itized by Google

Digitized by Google

Phavorinus

2° 63

Bibl. Gott. univ.
L. III, Cp. I. Ling. Graec.
E. Hoff. Pg. 941.

Digitized by Google

<36700139910017
<36700139910017
Bayer. Staatsbibliothek
Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

ΤΟ' ΜΕ'ΓΑ ΛΕ'ΞΙΚΟ'Ν,

Εἰς τὴν τῶν Σπουδαίων χρῆσιν πάνυ ὠφέλιμος, ἐκ πολλῶν καὶ διαφόρων Βιβλίων συλλεχθείς

Νεωστὶ μετὰ πλείστης ἀκριβείας τε καὶ ἐπιμελείας ἐκ πολλῶν τῶν ἐν τοῖς προτυπωθεῖσι σφαλμάτων ἐκκαθαρθείς,

ΤΩ͂ ΔΕ᾿ ΓΑΛΗΝΟΤΑ΄Τῼ, ΠΑΝΥΠΕΡΤΑ΄Τῼ ΤΕ, ΚΑΙ᾿ ΘΕΟΣΕΒΕΣΤΑ΄Τῼ

ΠΡΙ΄ΓΚΙΠΙ, ΚΥΡΙ΄ῼ ΚΥΡΙ΄ῼ

Εὐλαβῶς Ἀφιερωθείς.

CAMERTIS

Magnum Dictionarium, sive Thesaurus universæ Linguæ Græcæ, studiosorum usui valdè perutilis, ex multis variisque Authoribus collectus,

Atque Serenissimo, Celsissimo, ac Piissimo PRINCIPI
Ac Domino Totius WALLACHIÆ D. D.

BASARAMBÆ WOEVONDÆ BRANCOVANO
Dicatus, Anno M. DCCXII.

Ἐν τῇ Τυπογραφίᾳ Ἀντωνίου τοῦ Βόρτολι,

SUPERIORUM PERMISSU, AC PRIVILEGIO.

Digitized by Google

BIBLIOTHECA
REGIA
MONACENSIS

Digitized by Google

ΤΩ͂ ΓΑΛΗΝΟΤΑΤΩ͂, ΠΑΝΥΠΕΡΤΑΤΩ͂ ΤΕ, ΚΑΙ ΘΕΟΣΕΒΕΣΤΑΤΩ͂

ΠΡΙΓΓΙΠΙ, ΚΥΡΙΩ͂ ΚΥΡΙΩ͂

ΙΩΑΝΝΗ͂ ΚΩΝΣΤΑΝΤΙΝΩ͂

ΜΠΑΣΑΡΑΜΠᾼ ΒΟΕΒΟΝΔᾼ ΤΩ͂ ΜΠΡΑΓΚΟΒΑΝΩ͂

ΑΥΘΕΝΤΗ͂ ΚΑΙ ΗΓΕΜΟΝΙ ΠΑΣΗΣ ΟΥΓΓΡΟΒΛΑΧΙΑΣ

Τὴν ὀφειλομένην προσκύνησιν.

ΤΟ΄δε Σοι, κατ' ἀρχὴν, Κράτιστε καὶ Φιλάνθρωπε ΗΓΕΜΩΝ, τῷ ποιουμένῳ περὶ πλείστου τοὺς λόγους, καὶ τὰ πολλὰ καὶ μεγάλα με εὐεργετήσαντι δῶρον ἀνάγω. Οἶδ' ἔγωγε, ὅτι οὔτε ἱκανὸν τὸ δῶρον, οὔτε ὁ λόγος Βασιλεύοντος Ἀνδρὸς ἄξιος· ἀλλ' ὅμως ἐνθυμούμενος ὅτι αὖ πρὸς τὸν Θεὸν τολμῶσιν οἱ ἄνθρωποι, μέτρον τῶν θείων ὕμνων οὐ τὸ πρὸς ἀξίαν, ἀλλὰ τὸ πρὸς δύναμιν καταστησάμενοι. Θαῤῥῶν ἵημι χάριν Σοι ταύτην τὴν Βίβλον τὸ δυνατὸν ἐμοὶ προσφέρειν. Πέφυκας γὰρ Ἄριστε ΗΓΕΜΩΝ καὶ τὴν φύσιν, καὶ τὴν ἀρετὴν, καὶ τὴν ἀξίαν θεοειδὴς, καὶ θεῖον ὄντως μελέτημα. Ἀπὸ μεγαλοπρεπῶν Ἡγεμόνων, καὶ Ἐνδόξων Προγόνων γενόμενος, τὸ γενναῖον καὶ Αὐτοκρατορικὸν αἷμα τῶν ΚΑΝΤΑΚΟΥΖΗΝΩΝ Μητρόθεν ἔχεις· Ἀμφοτέρωθεν συῤῥεόντων ἐν Σοὶ

τῶν

τῶν σπερμάτων τῆς Ἀρετῆς καὶ τῆς Ἡγεμονίας, μηδαμῶς ἐκ τῶν ἔξωθεν τοῖς ἀνθρώποις συμβάντων, ἀλλὰ φύσει τὰ βασιλικὰ προμυούμενος· ὅθεν ἀγαμένως πάνυ μεμηχάνηταί Σοι καὶ τὰ τῆς ψυχῆς προθύραια, τῇ ἰσχύϊ, τῇ ὑγείᾳ, τῇ σεμνότητι, τῶν κεκρυμμένων τύπων μετέχοντα, καὶ συμφωνοῦντα τοῖς ἔνδοθεν· συστατικώτατος κόσμος τοῖς μέλλουσι βασιλεύειν. Τοιαῦτα δὲ τῆς ψυχῆς δαπανώσης εἰς τὸ σῶμα, ποῖα αὖ ἐν ἑαυτῇ εἴποιμεν ἔχειν τῶν Ἀρετῶν τὰ ἀγάλματα, ἅτινα συγγηράσκειν μὲν τῷ σώματι, ἀδύνατον, βελτίω δὲ πλούτου ἀεὶ πεφυκέναι, καὶ χρησιμώτερα Εὐγενείας, ἀναγκαῖον· δι᾿ ὧν καὶ πρὶν ἢ καταστῆναι εἰς τὴν Ἀρχὴν, ἄξιος ἦς τῆς Ἡγεμονίας, ἣν οὐ θέμις ἣν ἐπιτρέπεσθαί Σοι ὡς εὐεργέτημα Τύχης, ἀλλά Σοι δι᾿ ἀρετὴν γέρας ὠφείλετο. Τῷ Ἀρχιτέκτονι Λόγῳ προσάψας τὸν νοῦν, οὐ τῶν λόγων, ἀλλὰ τῶν ἔργων τὴν ἄσκησιν διὰ τῆς Ἡγεμονευούσης τῶν Ἀρετῶν Φρονήσεως μεμάθηκας, πάρεδρον καὶ φύλακα τῆς Ἐξουσίας συμπαραλαβὼν τὸν Νόμον, τὸν τροφὸν τῶν Ἀρχόντων, καὶ πατέρα τῆς Δίκης. Διὰ τῆς μνήμης τῶν παρῳχημένων, καὶ διὰ τῆς ἐμπειρίας τῶν παρόντων, τὴν γνῶσιν ἐκτήσω τῶν πραγμάτων πρὶν ἐν αὐτοῖς γενέσθαι, ἐξ ἀμφοτέρων ἄριστα πεπαιδευμένος, ὅπως δεῖ συνιδεῖν τοὺς καιροὺς, καὶ χρῆσθαι τοῖς ἀπαντῶσι καὶ προστυγχάνουσιν, εἰς παρασκευὴν Εὐδαιμονίας· ὥστε ἐν πολλαῖς καὶ χαλεπαῖς ἀπορίαις κλυδωνιζομένης οὐχ ἅπαξ τῆς Δυναστείας, καὶ τὰ ἔσχατα ἀπειλούσης τῆς Τύχης, οὐκ εἴασας αὐτὴν ὅπως ἔτυχε φέρεσθαι, καὶ κινδυνεύειν, ἀλλ᾿ ὡς ἐμπειρότατος Κυβερνήτης πρὸς τὰς τῶν πνευμάτων μεταβολὰς ἁρμοσάμενος τὸν πλοῦν, τῆς πρὸς τὰ χείρω ὁρμῆς ἐπέσχες, καὶ τὸν δυσδιάφευκτον ὑποκλίνων χειμῶνα, εἰς ἀσφαλέστατον ὅρμον κατέστησας. Καὶ ταῦτα μὲν οὐ μόνον τοῖς σοφοῖς βουλεύμασιν ἐξέπραξας, οἷς φιλεῖ νικᾶσθαι τὸ μετ᾿ ἀλογίας χειρῶν κράτος, ἀλλὰ τῇ Φρονήσει προστιθεὶς τὰ ἀναγκαιότατα, Ἀνδρείαν δηλονότι ἄτρεπτον, καὶ τὸ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας, ὅσαι, ἢ παρασκευῆς τῶν εἰς Στρατηγίαν, ἢ εὐπορίας τῶν ἐπιτηδείων, ἢ μηχανῶν καὶ τάξεως ἀντέχονται. Ὃ δὲ ἐν Σοὶ μάλιστα ἐπαινετὸν καὶ ἄριστον, ὅτι τῶν πολεμικῶν ἐμπειρότατος ὢν, μήτε ἡγῇ γλυκὺν τὸν πόλεμον, εἰ μὴ τοῖς ἀπείροις, μήτε τῷ ἡσύχῳ τῆς εἰρήνης ἡδόμενος, ἀδικεῖσθαι, ἢ κινδυνεύειν ἐᾷς τοὺς ὑπηκόους, ἱκανώτατος μὲν ὀνῆσαι τοὺς φίλους, δεινότατος δὲ κακῶσαι τοὺς ἐχθροὺς τῆς Ἡγεμονίας· οἶδας γὰρ ἐξουσίαν σε εἰληφότα τῆς Θείας μετέχουσαν, ἵνα μετὰ τῆς ἰσχύος τὴν πρᾳότητα σώζῃς, ἀεὶ τὰ καλὰ καὶ Θεῖα προαιρούμενος. Ἔφορος οὖν Σοι πάρεστιν ἡ Δικαιοσύνη, πρὸς ἣν κατευθύνων τὰς πράξεις, καὶ παραθέμενος τὸ ἦθος, σεαυτὸν μὲν ἐξομοιοῖς τῷ Θείῳ, Σοὶ δὲ συναρμόττεις τὸ ὑπήκοον. Ἀκριβῶς ἐπιστάμενος τὰ κάλλιστα τῶν Νόμων, εἰς διοίκησιν καὶ εὐνομίαν τῶν ἀρχομένων παράγεις τὸ ἀπ᾿ αὐτῶν ὄφελος. Κοινὸν ἀγαθὸν ὥσπερ καὶ ὁ Νόμος πέφυκας, τοῦ Νόμου μετέχων τὸ ὀρθὸν καὶ ἄτρεπτον. Τὸ μέγιστον δὲ ἐν Σοὶ, καὶ κρεῖττον ἅπαντος παραδείγματος, ὡς οὐδὲν ἔξω τοῦ δικαίου ποιῶν, οὐδέποτε τῆς φιλανθρωπίας ἐκπέπτωκας, τῇ Ἡμερότητι καὶ τῇ Ἐπιεικίᾳ, τὸ πικρὸν καὶ ὀξὺ τῆς ἀκριβεστέρας Δικαιοσύνης παραμυθούμενος, οὐκ ἀγνοεῖς ὅτι τὸ ἀναμάρτητον, πᾶν μέτρον ὑπερβαίνει τῆς Φύσεως, καὶ ὅτι τοῖς ἁμαρτάνουσι, σύμμετρον ἐπάγειν δεῖ τὴν ἐπανόρθωσιν, μόνοις τοῖς ἐκ προαιρέσεως κακοῖς μισοπόνηρόν Σε, καὶ ἀπαραμύθητον ἐπιδεικνύμενος. Ἄριστον Δικαιοσύνης εἶδος τὴν βασιλικὴν τέχνην διδάσκεις, ἀπείργειν τῶν ἁμαρτημάτων τῷ λόγῳ καὶ τῷ παραδείγματι, Σεαυτὸν τύπον, κανόνα, καὶ κόσμον Ἀρετῆς προτιθέμενος, ἐμφράττειν τοῖς ἀδικήμασι τὰς ὁδοὺς, καὶ τὰ μὲν παρορῶν, τὰ δὲ καὶ ἀγνοεῖν προσποιούμενος, πῇ μὲν ἐκκαθαίρων σφοδρῶς καθαπτόμενος, πῇ δὲ προσηνῶς θεραπεύων. Οὐδέν Σοι προσήκειν μᾶλλον ὑπολαμβάνεις, ἢ ταῖς κοιναῖς ὑπὲρ ἁπάντων ἐπιμελείαις, καὶ τῇ εἰς ἅπαντας ἐμμερίμνῳ προνοίᾳ, δοκεῖν τε καὶ εἶναι τοῖς ὑπηκόοις τὸν ἀληθῶς Ἄρχοντα, εὐμενῶς ἀεὶ ἔχων πρὸς τοὺς ἀρχομένους, οἷα Ποιμὴν ἀγαθὸς ἑκάστοις τὸ ἐπιβάλλον διανέμεις, καθάψας τῇ Ἡγεμονίᾳ τὰ ἄριστα τῶν ἐπιτηδευμάτων. Ἀεὶ μεγαλόφρων καὶ μεγαλοπρεπὴς τὴν βασιλικὴν ἄσκησιν, ἄπλετον ζωῆς ῥᾳστώνην, καὶ πλείστην τοῦ βίου σωτηρίαν ἀφθόνως παρέχεις ἅπασιν· Οὐ γὰρ κεχώρισταί Σοι τὸ κοινὸν συμφέρον τοῦ ἰδίου· καὶ τότε τῶν ἄλλων ὑπερέχειν καταλαμβάνεις, ὅταν πόῤῥω πάσης ἀκριβο-

λογίας

Digitized by Google

λογίας τὰς εὐεργεσίας παρέχεις, καὶ τὰς χάριτας ἀπαρακαλύπτους προτείνεις. Μεμαρτύρηται ταῦτα ὑπὸ τοῦ Σοῦ βίου, καὶ τῆς ἀληθείας· ἀλλ᾽ ἐξέσω πιστοτάτην μάρτυρα ἐπαναγάγεσθαι τὴν Ἑλλάδα, πάντα γὰρ τρόπον φιλέλληνα πεφυκώς, ὦ Βέλτιστε καὶ Κράτιστε ἩΓΕΜΩ῍Ν, ἑκοντὶ καὶ μεγαλοπρεπῶς, καὶ οὔτε περιμένων λιτὰς, οὔτε ἴσα ἀντὶ ἴσων ἀντικαταλλάττεσθαι προσδοκῶν, τὰ μέγιστα εὐποιεῖς τὸ Γένος, ὡς εὔδιος λιμὴν τὰ λείψανα τῆς ναυαγησάσης Μητρὸς ἀποδέξασθαι καὶ περισῶσαι μετὰ πολλῆς τῆς σπουδῆς ἐπιμελούμενος. πανταχοῦ παραμικρὸν καταπεφρονημένου, καὶ ἐν μηδενὶ σχεδὸν τιθεμένου τοῦ Ἑλληνικοῦ, ἔντε βοηθῶν ἐρημίᾳ ἀθλιώτατα διακειμένου, μόνος τὴν σωτήριον δεξιὰν παρέχεις. Οὐ μόνον τὰ πρὸς ὠφέλειαν καὶ τιμὴν δωρούμενος, ἀλλὰ καὶ μηδὲν ἐλλείπων, ἐξ ὧν οἷόν τέ ἐστι πάλιν τυχεῖν τῆς ἀρχαίας καὶ θαυμασίας ἀποκαταστάσεως τὴν Ἑλληνικὴν παιδείαν. Κράτιστε καὶ πάντα ἔπαινον ὑπερβαίνων ΔΥΝΑ῍ΣΤΑ, ὑπὲρ ὧν εἰς κοινὴν ἁπάντων, μάλιστα δὲ τῶν Ἑλλήνων εὐδαιμονίαν ἐπιχειρεῖς καὶ διαπράττεις, ἀξία Σοι χάρις παρὰ τοῦ Θείου γένοιτο, καὶ εἰς ἀεὶ τὴν Ἡγεμονικὴν εὐτυχίαν εὐτυχοίης. Ἔσω δὲ ἐπιτελὴς ἡ ἡμετέρα εὐχή.

Τῆς Ὑμετέρας Θεοφρουρήτου ΓΑΛΗΝΟ῍ΤΗΤΟΣ

Εὐλαβὴς καὶ ἐλάχιστος δοῦλος·

Ἀντώνιος Βόργολις.

Digitized by Google

Ὁ ΤΥΠΟΓΡΑΦΟΣ

ΤΟΙ͂Σ ΦΙΛΟΛΟΓΟΙΣ.

ΤΟ' ἀναγκαῖον καὶ χρήσιμον ἑκάστῳ τῶν φιλομαθῶν τῆς πολυτελοῦς ταύτης Βίβλου, παρὰ πολλῶν ὦ Φιλαναγνῶσται πυθόμενος, τύποις ἐκδοῦναι ταύτην πάλαι προεθυμήθην· τοῦ μέντοι τρόπου οὐκ εὐπορήσας, μέχρι τοῦ νῦν τὴν ταύτης ἀνεβαλόμην ἐπιχείρησιν. ἤδη δὲ προτροπῆς τε, καὶ συνδρομῆς ἐπιτυχὼν Ἡγεμονικῆς, τοῦ ἔργου εὐθέως ἅψασθαι οὐκ ὤκνησα, ὑμῖν ὦ Παῖδες Ἑλλήνων, ὡς ἔθος ἐμοὶ χαριζόμενος, καὶ μηδενὸς τόγ' ἐπ' ἐμοὶ τῶν ἀνηκόντων τῇ Βίβλῳ ταύτῃ φεισάμενος. Δέξασθε οὖν αὐτὴν φιλοφρόνως, ἀνακαινισθεῖσάν τε, καὶ ἔστιν ὅπου ἐπεξεργασθεῖσαν, προσθήκῃ τε παμπόλλων λέξεων τοῖς ἀστερίσκοις σημανθεισῶν πλουτισθεῖσαν, καὶ διορθώσεσι ταῖς ἐνδεχομέναις ἐπιεικῶς κοσμηθεῖσαν. εἰ καὶ τὸ τοῦ καιροῦ κατεπεῖγον καὶ βίαιον, ναὶ μὴν καὶ ἡ στέρησις τῶν ἐξ ὧν αὐτὴν ὁ Βαρῖνος συνελέξατο Συγγραφέων, τὸ ἀκριβὲς καὶ ὅλως ἀνεπίληπτον τῆς διορθώσεως οὐ συνεχώρησαν. Ἐπερειδόμενοι τοιγαροῦν ἐπ' ἀμφοτέροις, τῷ τε πρότερον φημὶ τύποις ἐκδοθέντι Ἐτυμολογικῷ, καὶ τῷ νῦν πολυτελεῖ Λεξικῷ τοῦ Βαρίνου, (οὗτινος εἰς δήλωσιν τοῦ σκοποῦ, καὶ ἡ ἑπομένη ἀφιερωτικὴ αὐτοῦ Ἐπιστολὴ προσετέθη,) εὐδοκιμεῖτε εὐτυχῶς ἐν τοῖς μαθήμασι, τῶν Προγόνων ὑμῶν τὴν κατὰ τὰς Ἐπιστήμας ζηλοῦντες ἐπίδοσιν. οἱ γὰρ ὑμέτεροι πάσης Σοφίας καὶ Ἐπιστήμης οὐχ εὑρεταὶ μόνον ὑπῆρξαν, ἀλλὰ καὶ εἰς τέλος αὐτὰς ἤγαγον. ὧν καὶ ὑμᾶς μιμητὰς γενέσθαι προσήκει, καὶ τὸν ἐμπεφυκότα ὑμῖν τῆς Σοφίας σπινθῆρα ἀναζωπυρεῖν. ἐγὼ δὲ φιλέλλην ὢν, καὶ πρὸς πολλῶν ἄλλων χρησίμων ἔκδοσιν πρόθυμον ἐμαυτὸν ὑμῖν ὑπισχνοῦμαι. Ἔρρωσθε :~

Βαρῖνος Κάμηρς ὁ Νουκαιρίας, τῷ Μεγαλοπρεπεστάτῳ τε, καὶ Αἰδεσιμωτάτῳ Ἰουλίῳ Καρδιναλίῳ τῷ τῶν Μεδίκων, χαίρειν.

Εἴ τινες πάνυ εὖ πεπονθότες, καὶ μεγίστων ὦσιν ἀγαθῶν μετεσχηκότες, τῷ εὐεργετήσαντι δὲ τὴν ὀφειλομένην μήτ' ἀπονέμοντες, μήθ' ὁμολογοῦντες χάριν, οὗτοί μοι δοκοῦσιν εἰκότως τὸ τῆς ἀχαριστίας ὄνειδος, καὶ τὴν τῶν ἀνθρώπων κακολογίαν ὀφλισκάνειν. εἰ οὖν ἐγὼ τριάκοντα ἤδη ἔτη τῶν Μεδίκων τρόφιμος γεγονὼς, καὶ τοσοῦτον ὑπ' αὐτῶν εὐεργετηθεὶς, τῶν καλῶν τε κἀγαθῶν ὧν τυγχάνω ἔχων, οὐδεμίαν μνήμην ποιήσαιμι, καὶ τὰ τροφεῖα αὐτοῖς μὴ ἀποτίσαιμι, δικαίως ἂν νομιζοίμην εἷς ἐκείνων ἐγώ. τοιγαροῦν, ἵνα μὴ τῶν μεγίστων ἀχάριστος δόξω εὐεργεσιῶν, ἅ, τε δύναμαι ποιῶ, καὶ τιμῶ σε ὦ Αἰδεσιμώτατε Ἰούλιε, τούτοις, οἷς τυγχάνω δυνάμενος. ἄλλοι δὲ ὅσοι μου πλουσιώτεροι καὶ εὐπορώτεροί εἰσι, τιμιώτατά σοι χρήματα καὶ μεγίστας δώσουσι δωρεάς. ἐγὼ δὲ ἀποθανόντος Λέοντος τοῦ Δεκάτου Μεγίστου Ἀρχιερέως, Σοὶ τῷ ἐν τῇ γῇ μοι ὥσπερ Θεῷ ἀπολελειμμένῳ, τὰς πάσας μου καὶ πάντας ἀγρυπνίας καὶ πόνους, οὓς πλείστην ἐπιμέλειαν ποιούμενος ἐν τῷ τὴν παλαιάν σου καὶ βελτίστην βιβλιοθήκην μεταχειρίζεσθαι, ἔτι τε καὶ ἐν τῷ ταῦτα πάντα ἐκ πολλῶν καὶ διαφόρων Γραμματικῶν συλλέγειν τε, καὶ θησαυρίζειν ἐπόνησα, ἀνατίθημι. βουληθεὶς τε καὶ προνοηθεὶς τουτοισὶ πρὸς Σὲ εὐνοϊκῶς διακείμενος, τῶν τῆς μεγαλοπρεπεστάτης Οἰκίας σου πασῶν Ἀρετῶν, μνημεῖον καταλιπεῖν. περὶ γὰρ τῆς εἰς τὸν Θεόν σου εὐσεβείας καὶ δικαιοσύνης, καὶ τῆς εἰς ἅπαντας ἐλευθεριότητος, καὶ τῶν ἄλλων πάντων τῆς μακαρίας σου ψυχῆς ἀγαθῶν, καὶ εἰ πολλὰ διαλεχθήσομαι, οὐ δὲ πολλοστημόριον ἁψάμενος διαφανοῦμαι. φεῦ τῆς θαυμαστῆς εὐδαιμονίας, καὶ τοῦ πλήθους τῶν Ἀρετῶν, ἃς οἱ Θεοὶ ἐνέσταξαν καὶ ἐχαρίσαντο τῇ ψυχῇ σου. οὐ τολμῶ νὴ τὸν Λόγιον, μᾶλλον ἢ φοβοῦμαι λέγειν, μὴ κολακευτικῶς πρὸς Σὲ ἔχειν φαίνωμαι. ὅσα γὰρ ἀγαθὰ, καὶ ὅσας χάριτας οἱ Θεοὶ τοῖς ἄλλοις πᾶσιν ἐδωρήσαντο ἀνθρώποις, ταῦτά σοι πάντα δισχυρίζομαι ἐκείνους δεδωκέναι. καὶ ὡς σωρηδὸν πάντα συλλαμβάνειν, περὶ Ἰουλίου τοῦ Καρδιναλίου τῶν Μεδίκων ἐκεῖνο λεγέσθω, ὅπερ περὶ ἄλλου λέγεσθαι μὴ δυνηθείη. ἀλλ' ἐπειδὴ Αἰδεσιμώτατε Ἰούλιε εἰχόμην ἂν ἴσως τῷ γελοίῳ ἐπιδειξάμενός σοι τὴν πολλὴν εὔνοιαν ἣν ἐκ πολλοῦ πρὸς Σὲ ἔχων διατελῶ, εἰ μὴ δηλώσαιμι ἔτι καὶ τὴν αἰτίαν δι' ἣν ταῦτα συνελεξάμην. ἑωρακὼς γὰρ πάντας τοὺς τῆς Ἑλληνικῆς γλώττης ἐξηγητάς τε καὶ ἑρμηνευτὰς, ἰδίᾳ καὶ μὴ συλλήβδην καὶ ὁμοῦ ἃ πρὸς τὴν τῶν Ποιητῶν τε καὶ Ῥητόρων ἐξήγησίν τε καὶ ἑρμηνείαν, συντείνει τε καὶ ποιεῖ συλλέξαι, ἀλλὰ τούτων, τὸν μὲν τὰς ποιητικὰς μόνον λέξεις, ἄλλον δὲ τὰς ῥητορικὰς, καὶ αὐτὰς εἰς πολλὰ καὶ διάφορα βιβλία διῃρημένας, καὶ διὰ τοῦτο πολὺν τὸν πόνον τοῖς σπουδαίοις ἐμποιεῖν, διέγνωκα πάντα κατὰ δύναμιν τὰ εἰς πολλὰ διεσπαρμένα, εἰς ἓν συναγαγεῖν, πρὸς τὴν τῶν σπουδαίων καὶ φιλολόγων ὠφέλειαν. τοῦτο δὲ, οὐχ ὡς φιλότιμος ὢν καὶ ἀμείνων ἐκείνων, ἀλλὰ ὡς φιλέλλην καὶ φιλόπονος. ὥσπερ καὶ ἔτι νέοι ὄντες, τὸ τῆς Ἀμαλθείας κέρας Πέτρῳ τῷ Μακαρίῳ σου Ἀδελφῷ ἀνατιθέντες ἐξεπονήσαμεν. Ἕξουσι τοιγαροῦν ὦ Αἰδεσιμώτατε Ἰούλιε ἕνεκά σου, καὶ τῆς εὐδαιμονεστάτης μνήμης Λαυρεντίου Δουκὸς τοῦ Ἀνεψιοῦ σου, εἰς χρῆσιν γὰρ ἀμφοῖν ταῦτα πάντα συνελεξάμην, καὶ ἄλλοι πάντες οἱ βουλόμενοι πρὸς τὰ Ἑλληνικὰ γράμματα σπουδάζειν, οὐ μόνον πασῶν τῶν λέξεων ἑρμηνείαν, ἀλλὰ καὶ τῶν Ποιητῶν καὶ Ῥητόρων, ἐξήγησιν καὶ διάνοιαν. οὐ γὰρ λεξικὸν μόνον, ἀλλὰ καὶ πάσης τῆς Ἑλλάδος φωνῆς, ὑπομνήματα ἀναγκαιότατα τοῖς πρὸς τὰ γράμματα προσέχειν βουλομένοις, ἐκδίδομεν. Ἔρρωσο.

Ὁ ἘΛΑ-

Digitized by Google

Ὁ ἘΛΑΧΙΣΤΟΣ
ἘΝ ἘΠΙΣΚΟΠΟΙΣ,
ΒΑΡΙΝΟΣ ΦΑΒΩΡΙΝΟΣ
ΚΑΜΗΡΣ Ὁ ΝΟΥΚΕΡΙΑΣ, ΕἸΚΟΤΩΣ ΤΕ, ΚΑΙ ὩΣ ΚΑΘΗΓΗΤΗΣ ΧΑΡΙΖΟΜΕΝΟΣ
ΛΕΟΝΤΙ ΤΩ ΔΕΚΑΤΩ ἌΚΡΩ ἈΡΧΙΕΡΕΙ,

Τὸ μέγα τοῦτο Λεξικόν τε, καὶ μονονοὺ ὑπόμνημα τῆς ἑλληνικῆς ἁπάσης φωνῆς, ἐκ πολλῶν καὶ διαφόρων βιβλίων, κατὰ στοιχεῖον συνελέξατο.

ΤΟ Α΄. ΜΕΘ' ἙΑΥΤΟΥ.

ἌΛΦΑ τὸ στοιχεῖον, παρὰ τὸ ἄλφω, τὸ εὑρίσκω. πρῶτον γὰρ τῶν ἄλλων στοιχείων εὑρέθη. ἢ ἀπὸ τοῦ κατ' ἀμοιβὰς πολιτεύεσθαι. ἄλφειν γὰρ, τὸ ἀμείβειν.

Ἄλφα τὸ μόριον, ποτὲ μὲν δηλοῖ στέρησιν ψιλούμενον, ὡς ἐν τῷ ἄκληπτος. ποτὲ δὲ τὸ πολὺ, ὡς ἐν τῷ ἀχανὲς πέλαγος, τὸ μέγα πάνυ καὶ ἐπὶ πολὺ κεχηνός, ποτὲ δὲ τὸ ὁμοῦ, ὡς ἐν τῷ ἀκόλουθος, ὁ ὁμοκέλευθος. καὶ ἀνίσχει ποιητικῶς, ἤγουν ἅμα ἴσχει. καὶ ἄκοιτις, ἡ παράκοιτις. καὶ τοῦτο ποιητικόν. καὶ ἀκοίτης, ἀρσενικόν. ἐνίοτε δὲ τὸ κακὸν, ὡς ἀφυὴς ποιητικῶς, ὁ κακοφυής. ἄλλοτε δὲ τὸ ἴσον, ὡς ἀτάλαντος, ὁ ἰσοτάλαντος. ποτὲ δὲ τὸ ὀλίγον, ὡς ἀμαθὴς ποιητικῶς, ὁ ὀλιγομαθής. ἐνίοτε δὲ πλεονάζει ἀττικῶς, μηδὲν σημαῖνον. ὡς ἐν τῷ στάχυς, ἄσταχυς. σπαίρειν, ἀσπαίρειν, ὃ λέγεται ἐπὶ τοῦ ἄκοντι καὶ ἀμούσου κινήσεως. οἷον, ἐπὶ δεδεμένου τινὸς, καὶ κεκρατημένου νόσῳ τινί. σκαίρειν δὲ, τὸ εὐρύθμως κινεῖσθαι καὶ ὀρχηστικῶς. καὶ ἀπὸ μὲν τοῦ στερεοῦ, ἀστέρος ὁ ἰχθύς. ἀπὸ δὲ τούτου, στάρος. σημαίνει δὲ καὶ ἄθροισιν δασυνόμενον, ὡς ἐν τῷ ἅπας.

Ἆ, ἆ, τὸ ἐπίρρημα, ψιλούμενον μὲν καὶ ὀξυνόμενον, ἔκπληξιν καὶ παρακέλευσιν δηλοῖ. (* βέλτιον εἰπεῖν, ὅτι ἐφεκτικόν ἐστιν ἐπίρρημα) ὡς παρ' Ἀριστοφάνει, Ἆ, ἆ, τὴν δᾷδα μή μοι πρόσφερε. ἅπερ οὐ καθ' ἕνωσιν, ἀλλὰ κατὰ διαίρεσιν ἀμφότερα ἀναγνωστέον. εἰ γὰρ ἓν μέρος λόγου ἦν, καὶ κατὰ συναφὴν ἀνεγινώσκετο, οὐ χρείαν εἶχε τῶν δύο τόνων. Δηλοῖ καὶ ἐπιτίμησιν, ὡς παρὰ τῷ αὐτῷ Ἀριστοφάνει, Ἆ μὴ λέγ' ὦ πόνηρε. * ταῦτα ἐν ἄλλοις ψιλοῦται, καὶ περισπᾶται.

* (Ἁ, δασυνόμενον, ἄρθρον ἐστὶ προτακτικὸν, θηλυκὸν, Δωριέων ἴδιον. ἁ Κύπρις, ἁ μοῦσα. ἀντὶ τοῦ. ἡ Κύπρις, ἡ μοῦσα.) Δασυνόμενον δὲ, (* καὶ ὀξυνόμενον) ἄρθρον γίνεται ὑποτακτικὸν πληθυντικὸν, γένους οὐδετέρου, σημαῖνον τὸ ἅπερ, ἢ ἅτινα, ὡς παρ' Ἱπποκράτει, ἔντισι καὶ τὸ ὅσα. παρὰ Δημοκρίτῳ, τὰ ἴδια. παρ' Ὁμήρῳ, τὰ ἑαυτοῦ. Ἃ πρὸς δῶμαθ' ἕκαστος. τέτακται καὶ ἀντὶ τοῦ ὧν, ὡς παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ, Πράξω τ' ἃ μέλλω, καὶ τυχοῦσ' ἃ βούλομαι, καὶ παρὰ Σοφοκλεῖ, Αἰτεῖς ὧν τεύξῃ. * πρὸς μὲν τὸ τοῦ Εὐριπ. ῥητέον, ὡς τὸ ἃ εἴπε πρὸς τὸ βούλομαι, τὸ δὲ τυχοῦσα ἔξωθεν συνυπακούει, ὥστε λέγειν. τυχοῦσα ἐκείνων, ἃ βούλομαι. καίτοιγ' ἐν ἄλλοις γέγραπται. τυχοῦσ' ὧν βούλομαι. πρὸς δὲ τὸ τοῦ Σοφοκλ. λέγομεν, ὡς καὶ τὸ τοιοῦτον οὐδὲν πρὸς ἔπος. Ἰστέον γὰρ ὅτι τὸ τυγχάνω σπανίως, καὶ αἰτιατικῇ συντάσσεται. ὡς παρὰ τῷ αὐτῷ Σοφοκλεῖ ἐν τῷ εἰς Οἰδίπουν τύραννον. τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ' ἐνταῦθ' ἔνι.

Ἆ, ψιλούμενον καὶ περισπώμενον κλητικὸν ἐπίρρημα ὂν, καθὰ καὶ τὸ ὦ ἔχει πρὸς τῇ κλήσει, ὡς πολλαχοῦ φαίνεται. καί τινα πλείω ἔμφασιν ἔχει, ἐπὶ σχετλιασμῷ ἢ θαύματι, κατὰ τοὺς παλαιοὺς, ἢ καὶ ἄλλως, ἐπί τινι λόγῳ οἰκτρῷ ὁμοίῳ. * παρ' Εὐσταθίῳ κεῖται ἐν τῷ ξ΄ τῆς Ὀδυσσ. οὕτως. κατὰ τοὺς παλαιοὺς, ἢ καὶ ἄλλως οἴκτῳ.

Ἄλλως. Ἆ, ψιλούμενον μὲν καὶ περισπώμενον, δηλοῖ τὸ ἐν ἴσῳ ἐπίρρημα, τῷ ναὶ καὶ εἴθε, ἢ αἴθε, ὡς ἔστιν ἐκ τῶν παλαιῶν δῆλον. Καλλίμαχος, Ἆ πάντα συναγείρας. καὶ τὸ ὦ, τὸ κλητικὸν, ὡς παρ' Ὁμήρῳ, Ἆ δειλοί, τί κακὸν; σημαίνει δὲ καὶ τὸ πολὺ καὶ μέγα, ὡς παρ' Ἀρχιλόχῳ, Ἆ, ἔα δ' εἴς τε ταύρους. καὶ ἔτι σχετλιαστικὸν, ἀντὶ τοῦ φεῦ, ὡς παρὰ Πλάτωνι. καὶ τὸ νῦν, ὡς ἐν τοῖς Εὔκλου τοῦ χρησμολόγου ποιήμασι. Δασυνόμενον δὲ, ὡς Ἀγαθίας ἐν τῷ εἰς Εὐστάθιόν τινα νέον ἐπιγράμματι, θαυμαστικὸν γίνεται. οἷον, Ἃ μέγα τολμήεις κηρὸς ἀνεπλάσατο. ὅπερ ἐν ἄλλοις γέγραπται, ἃ μέγα νηλειής, ἔσβεσεν ἀγλαΐην. * ἔστι δὲ, καὶ τόπου ἐπίρρημα, Θεόκριτος. ὁ δ' ἃ πόδες ἆγον ἐχώρει. ἀντὶ τοῦ ὅποι. καὶ ἃ τάχος, ἀντὶ τοῦ κατὰ τάχος, παρὰ τῷ αὐτῷ Ποιητῇ.

Α΄, μὲν τὸ μακρὸν, τρέπεται εἰς η ποιητικῶς. οὐδέποτε δὲ τὸ βραχύ. οἷον, κοιλίη, καρδίη.

Α΄, ι΄, υ΄, διατί τριῶν ὄντων τῶν διχρόνων, τὸ μὲν α εἰς η τρέπεται, τὸ δὲ ι καὶ υ, οὐ τρέπονται; ἐπειδὴ τὸ α ἔχειν ἀντίστοιχον τὸ η, τούτου χάριν ἐτράπη εἰς αὐτό. τὸ ι δὲ καὶ υ μὴ ἔχοντα, οὐ τρέπονται.

Ἆα, σχετλιαστικὸν ἐπιφώνημα, ἢ σύστημα ὕδατος.

* Ἄλλως. ἆ, ἆ. σχετλιαστικὸν ἐπιφώνημα, καὶ ἆα, σύστημα ὕδατος.

* Ἆ ἆ ἆ, γελαστικόν. Εὐριπίδης. βαβαί, χορεῦσαι παρακαλεῖ μ' ὁ βάκχιος, ἆ ἆ ἆ. τοῦτο δὲ παρ' ἄλλοις ψιλοῦται, καὶ περισπᾶται. ὥσπερ καὶ τὸ ἐφεκτικὸν τοῦ Ἀριστοφ. ἆ ἆ τὴν δᾷδα. καὶ τὸ ἐπιτιμητικὸν, ὡς ἄνω.

Ἀάβακτοι, καὶ ἀάβυκτοι, ἀβλαβεῖς, ἢ μέλανες.

Ἀαγὲς, ἄθραυστον. ἰσχυρὸν πάνυ. ἄγω γὰρ, τὸ κλῶ. ἀγής, καὶ μετὰ τοῦ στερητικοῦ, ἢ ἐπιτατικοῦ ἄλφα, ἀαγής. τὸ οὐδέτερον, ἀαγές. ἢ τὸ ἄθραυστον κατὰ στέρησιν, ἢ τὸ πολύθραυστον, κατ' ἐπίτασιν.

Ἄαδα, ἔνδεια. Λάκωνες.

Ἀαδεῖν, ὀχλεῖν, λυπεῖσθαι, ἀδικεῖν, ἀπορεῖν, ἀσιτεῖν.

Ἄαδεν, ἐλύπησεν.

Ἀαδένη, ἡ ὑεία κόπρος.

Ἀαδὲς, ἀηδές.

* Ἀάζω, ἐκπνέω θερμόν. καὶ ἀντίκειται τῷ φυσῶ. Ἀριστοτ. ὁ μὲν φυσῶν κινεῖ τὸν ἀέρα οὐκ ἀθρόως, ἀλλὰ διὰ στενοῦ τοῦ στόματος. ὁ δὲ ἀάζων, ἀθρόον ἐκπνεῖ, διὸ θερμόν.

Ἀάθω, ἠπατήθω.

Ἀάθικτον, ἄφθαρτον, ἀβλαβές.

Ἄακτον, ἄθραυστον, ὑγιές.

Ἀάλιον, ἄπρακτον. ἅλιον γὰρ τὸ μάταιον, ἀκρατές.

* Ἀάμυς, θος, ἰξευτήριον.

Ἀάνεμα, πολλαχῆ χάρις.

Ἀάνης, χρήσιμος.

Ἀανὲς, οὐ τελεσθησόμενον.

Ἄανθα, εἶδος ἐνωτίου παρὰ Ἀλκμᾶνι, ἢ Ἀριστοφάνει.

Ἄαπτος, ἀβλαβής. Ἡρωδιανός φησιν, ὅτι γίνεται ἀπὸ τοῦ ἰάπτω, τὸ βλάπτω, καὶ μετὰ τοῦ

στερη-

στερητικοῦ ἄλφα κατ' ἔλλειψιν τοῦ ι, ἄαπτος, ὃν οὐδεὶς δύναται βλάψαι. ἢ οὐ κατὰ στέρησιν ἐκληπτέον τὸ α. ἀλλὰ κατ' ἐπίτασιν, ἵν' ᾖ ὁ μεγάλα δυνάμενος βλάπτειν. ὅθεν παρ' Ὁμήρῳ, αἱ ἄαπτοι χεῖρες. Ἀρισοφάνης δὲ ἐν ταῖς γλώσσαις, ἀέπτους γράφει διὰ τοῦ ε. οἱονεὶ, ἀρρήτους, ἃς οὐ δύναταί τις εἰπεῖν. ἢ δυσπαρακολουθήτους, αἷς οὐ δύναταί τις ἕπεσθαι. Καὶ ἄλλως, χεῖρες ἄαπτοι, αἱ ἀπροσπέλαστοι, ὧν οὐκ ἂν ἅψαιτό τις.

Ἀαρὼν, ὄνομα κύριον.

Ἄας, εἰς αὔριον, Βοιωτοί. οἱ δὲ, τὸ εἰς τρίτην.

Ἀάσαι, τέσσαρα σημαίνει. τὸ κορέσαι. τὸ καθυπνῶσαι. τὸ λυπῆσαι, καὶ τὸ πολλαχῶς καὶ ἄγαν βλάψαι.

Ἀασάμην, ἥμαρτον. ἐσφάλην, ἐβλάβην. ἄτῃ περιέπεσον. καὶ ἐλυπήθην παρὰ Ἀπολλωνίῳ.

Ἄασαν, ἔβλαψαν. λέξις οὐ κοινὴ, ἀλλὰ κυριωτάτη ἐν ποιήσει.

Ἀασίφορος, βλάβην φέρων.

Ἀασίφρων, βλαψίφρων, φρενοβλαβής. ἀάσαι γὰρ, τὸ βλάψαι.

Ἀάσκει, βλάπτει, φθείρει.

* Ἀασμὸς, ἀθρόου ἐκπνευσις.

Ἀαστὸν, ἀναμάρτητον, ἀβλαβές.

Ἀάστονα, ἀνευφραντα.

Ἀάσχετος, ἀκατάσχετος, ἀκράτητος, ἀνυπομόνητος.

Ἄαται, κορέννυται. ἄημι γὰρ τὸ ἐκπνέω. τὸ παθητικὸν, ἄαμαι, ἄασαι, ἄαται.

Ἀάτολε, ἀπλήρωτε.

Ἄατος, ἀνὰ ἄτης. ἀβλαβὴς. ἢ πολυβλαβὴς, καὶ βεβλαμμένος κατ' ἐπίτασιν τοῦ α. χαλεπός. δυσχερὴς, ἀκόρεστος, ἀχόρταστος. καὶ ἄατον ὑδετέρως, τὸ ἐπιβλαβὲς, ἢ ἀνὰ ἄτης, ἢ ἀπλήρωτον. οἷον, ἄγρει δή μοι ὄμοσσον, ἄατον Στυγὸς ὕδωρ. * τοῦτο τὸ ἔπος ἐστὶν Ὁμήρου ἰλ. ξ'. γράφεται δὲ, ἀάατον Στυγὸς ὕδωρ. διὰ τριῶν α. καθὰ καὶ Εὐστάθιος ἐξηγεῖται.

Ἀάατος, καὶ ἀάατον, διὰ τριῶν ἄλφα προφέρεται. ὧν τὰ δύο στερητικὰ, διὸ καὶ ὑπερστερητικόν φασιν οἱ παλαιοὶ, ὡς διπλάζον τὴν στέρησιν. ἔστι δὲ τὸ μὲν δεύτερον α, στερητικὸν ἄτης. τὸ δὲ πρῶτον, ἀναιρετικὸν τῆς τοιαύτης στερήσεως. ὅθεν ἀάατον, τὸ μὴ στεροῦν ἄτης τοὺς ἐπιόρκους, ἀλλὰ μάλιστα αἴτιον ἄτης. τοιοῦτον καὶ τὸ ἀνάπηρος, καὶ ἐν Ὀδυσσείᾳ τὸ ἀνάπυστα. ἐν οἷς δηλοῦται ὁ πεπηρωμένος. καὶ τὸ πυστὸν, ἤτοι ἀκουστὸν, πλεονασμῷ τοῦ ν διὰ καλλιφωνίαν. ἄπηρος μὲν γὰρ, ὁ μὴ ἔχων πήρωσιν. ἀνάπηρος δὲ, ὁ ἐστερημένος τῆς τοιαύτης στερήσεως. ἔστι δὲ καὶ ἄπυστος μὲν, ὁ στερηθεὶς τοῦ ἀκουσθῆναι, ἀνάπυστος δὲ ὁ ἀκουσθεὶς, διὰ τὸ στερηθῆναι τῆς τοῦ ἀπύστου στερήσεως. τοιοῦτον δὲ καὶ τὸ ἀνάγνωστοι, ὁ ἐγνωσμένος. γνωστὸς γὰρ, καὶ ἐν στερήσει ἄγνωστος. καὶ ἐν δευτέρᾳ στερήσει ἀναιρετικῇ τοῦ ἄγνωστος καὶ πλεονασμῷ τοῦ ν, ἀνάγνωστος, ὁ μὴ ἄγνωστος, ἀλλὰ δηλονότι γνωστός. τινὲς δὲ διὰ τὸ ἀάατον τὴν βλάβην λέγεσθαι. ἄατον μένφασι τὸ ἀτηρόν. ἀάατον δὲ, τὸ πολυβλαβές. Ἴστον δὲ ὅτι τὸ ἀάατος, δι' εὐφωνίαν οὐκ ἔχει τὸ ν, κατὰ τὸ ἀνάπηρος, καὶ ἀνάπυστος.

Ἀάτυλον, ἀβλαβές.

ΤΟ Α, ΜΕΤΑ ΤΟΥ Β.

Ἀβ, ὁ γορπιαῖος μήν. * λέξις Ἑβραϊκή. δηλοῖ δὲ οὐ τὸν γορπιαῖον, ὅς τις ἐστὶν ὁ Σεπτέμβριος, ἀλλὰ τὸν Ἰούλιον.

Ἄβα, τροχὸς, ἢ βοή.

Ἀββᾶ, ὁ πατὴρ παρ' Ἑβραίοις.

Ἀβάγηθον, λεπτόν.

Ἄβαγνα, τὰ ῥόδα Μακεδόνες.

Ἄβαζος, ἥσυχος. ἤγουν, ὁ ἐστερημένος τοῦ βάζειν, ὅ ἐστι τοῦ λέγειν.

Ἀβαὴρ, ὁ λεπτὸς, ἢ τὸ λεπτόν.

Ἀβαὰθ, διδάσκαλος. Κύπριοι.

Ἀβάθματα, στρέμματα.

Ἄβαι, πόλις Φωκική. ἐκλήθη δὲ, ἀπὸ ἥρωος Ἄβα. οὗ, μαντεῖον Ἀπόλλωνος Ἀβαίου. Σοφοκλῆς ἐν τῷ εἰς Οἰδίπουν τύραννον δράματι.

Οὐκέτι τὸν ἄθικτον εἶμι γᾶς ἐπ' ὀμφαλὸν σέβων, οὐδ' ἐς τὸν Ἄβαισι ναόν.

Ἀβακαῖνον, πόλις Σικελίας.

Ἀβακέω ἀβακῶ, ἡσυχάζω. ἀπὸ τοῦ ἀβακὴς, γίνεται ἀβακῶ. ὥσπερ ἀπὸ τοῦ ἀσεβὴς, ἀσεβῶ.

Ἀβακέως, ἐπίρρημα ἀντὶ τοῦ ἡσύχως, ἀβακέως εὕδοντι. Γίνεται δὲ ἀπὸ τοῦ ἀβακὴς, ἀβακέως. ὥσπερ ἀπὸ τοῦ ἀσεβὴς, ἀσεβέως. οὕτως Ἡρωδιανὸς, εἰς τοὺς μεγάλους ἐπιμερισμούς.

Ἀβακήμων, ἄλαλος, ἀσύνετος, μωρὸς, ἥσυχος. ἤτοι ὁ ἐστερημένος τοῦ βάζειν, ὅ ἐστι τοῦ λέγειν.

Ἀβακὴν, ἀφελῆ. ἀσύνετον. ἡσύχιον, ἄπειρον. ἀδύνατον. ἄκακον.

Ἀβάκης, ἄβαξ. ἄφωνος. σιωπηλός. καὶ ὄνομα ἐργαλείου τεκτονικοῦ, ὃ Σκύθαι, ἄνδρα καλοῦσιν.

Ἀβακὴς, Ἡσύχιος, πρᾶος. ἀπὸ τοῦ βάζω, τὸ λέγω. Σαπφώ. ἀλλ' ἀβακὴν τὰν φρέν' ἔχω. ἀντὶ τοῦ, ἡσύχιον καὶ πρᾶον.

Ἀβάκησαν· τοῦτο ἅπαξ ἐρρέθη παρὰ τῷ Ποιητῇ. ἔστι δὲ ἀβακεῖν, τὸ ἀγνοεῖν. καὶ διὰ τὸ μὴ ἔχειν τι βάζειν, ἀλλ' ἀπορεῖν ἐπὶ τῷ βλεπομένῳ. καὶ γίνεται καθ' ὁμοιότητα τοῦ ἀπατᾶν, ὡς οἱ Ἐτυμολόγοι φασίν. ἢ καὶ ἄλλως.

Ἀβάκησαν, ἀντὶ τοῦ ἠγνόησαν. ἢ ἠσιωπήσαν. παρ' ἄλλοις δὲ, τὸ ἡσύχασαν. ἔστι βάζω, τὸ λέγω. ὅπερ ἀπὸ τοῦ βοάζω κατὰ συγκοπὴν γίνεται. ὁ παθητικὸς παρακείμενος, βέβακται. τὸ ῥηματικὸν, βακτός. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα ἄβακτος. τὸ ῥῆμα ἀβακτέω, ῶ. καὶ ἀφαιρέσει τοῦ τ ἀβακῶ. ὅθεν τὸ ἀβακῆσαι.

Ἀβακίζω, ἡσυχάζω. ἀπὸ τοῦ ἀβακῶ. Ἀνακρέων. Ἐγὼ δὲ μισέω πάντας, οἳ χθονίους ἔχουσι ῥυθμοὺς, καὶ χαλεποὺς μεμαθήκασιν, ὡς μεγίστη τῶν ἀβακιζομένων. ἀντὶ τοῦ, τῶν ἡσυχίων, καὶ μὴ θορυβούντων.

* Ἀβακίσκος. τὸ ἐν ἐδάφει λιθάριον. Ἀθηναῖος. Ταῦτα δὲ πάντα δάπεδον εἶχεν ἐν ἀβακίσκοις συγκείμενον ἐκ παντοίων λίθων.

Ἄβακοι, ἀγελαίσονες.

Ἀββακὺμ, πατὴρ ἐγέρσεως.

Ἀβάκτωτον, ἀνεπίφθονον.

Ἄβακτον, καὶ ἄβυκτον, τὸ μὴ μακαριστόν.

Ἀβακοάγκινοι, Σικελῶν μοῖρα τὶς, οὕτω καλουμένη.

Ἀβάχχλαστον, λινοῦν ὕφασμα, χειρομακτρίδιον.

Ἀβάλαι, ἐπίρρημα χετλιαστικὸν, παρὰ τὸ βάλλω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀβάλαι.

Ἀβάλε ἀντὶ τοῦ φεῦ, καὶ ἀντὶ τοῦ εἴθε.

Ἄββαλεν ἀντὶ τοῦ ἀνέβαλεν.

Ἄβαλ, παρὰ τὸ ἀβάλαι, ἐπίρρημα.

Ἀβάλε, ὄφελον, εἴθε, ἢ ἀχρεῖον.

Ἀβαλαία, συγγραφὴ, ὁμολογία.

Ἀβάλη, τὸν ἀχρεῖον Λάκωνες. οἱ δὲ, τὸν νωθρόν.

Ἄβαλις, μοχθηρὰ ἐλαία.

* Ἀβαμβάκαστον, ἢ ἀβαμβάκαστον, ἀντὶ ἀμαγγανείας. καὶ σιτία, παρ' Ἀθηναίῳ, ἀβαμβάκαστα, τουτέστι τὰ εἰς γεῦσιν ἀτερπῆ.

Ἀβάνταισιν, ἀνάβασιν.

Ἄβαντα, πόλις πλησίον Παρνασοῦ. ἔνθα ἱερὸν Ἀπόλλωνος.

Ἀβάντειος, ὁ τοῦ Ἄβαντος, καὶ Ἀβαντιάδης.

Ἄβαντες, ἔθνος. καὶ Ἀβαντὶς, ἡ Εὔβοια. ὡς ἀπὸ Ἄβαντος τοῦ Ἀργείου, υἱοῦ Ποσειδῶνος καὶ Ἀρεθούσης. ἧς ὁμώνυμος πηγὴ Ἀρέθουσα. οἱ δὲ λέγουσιν ὅτι Θρᾷκες κατὰ Ἀριστοτέλην ὁρμηθέντες ἐξ Ἄβας τῆς Φωκικῆς, ἐπῴκησαν τὴν νῆσον, καὶ ἐπωνόμασαν Ἄβαντας τοὺς ἐκεῖ· οἱ δὲ, ἀπὸ ἥρωός φασιν Ἄβαντος κληθῆναι, καθὰ καὶ Εὔβοιαν ἀπὸ ἡρωΐνης. Σημείωσαι οὖν, ὅτι ὥσπερ ἔθνος μὲν οἱ Βοιωτοὶ, καὶ οἱ Φωκεῖς, καὶ οἱ Λοκροὶ, πόλεις δὲ αὐτῶν αὗται καὶ ἐκεῖναι. οὕτω καὶ ἐθνικὸν μὲν ἐνταῦθα οἱ Ἄβαντες. αἱ δὲ κατ' αὐτοὺς πόλεις, ἡ δεῖνα, καὶ ἡ δεῖνα.

Ἄβαξ κυρίως, ὁ μὴ βάσιν ἔχων. καταχρηστικῶς δὲ, καὶ ἐπὶ οἵας δή τινος σανίδος. παρὰ τὸ βῶ τὸ βαίνω. ἢ καὶ ἄλλως.

Ἄβαξ, ἄλαλος, ἄφωνος. δηλοῖ καὶ τὸ σανίδιον. ὅπερ οὐ μόνον ἐπὶ σανίδος, ἀλλὰ καὶ ἐπὶ λίθων ὁμοιοσχημόνων ξυλίνοις ἄβαξιν. ὅθεν καὶ ἀβάκιον, ἐφ' οὗ ψηφίζουσιν.

Ἄβαπτος, ἀστόμωτος. ἐκ μεταφορᾶς τῶν μαχαιρῶν, τῶν κατὰ στόμα βαπτομένων. λέγεται καὶ ἐπὶ τῶν ἀργογλώσσων.

Ἀβάπτιστον, τρυπάνου εἶδος ἰατρικοῦ.

* Ἄβαρ, αρος. εἶδος πλακοῦντος παρ' Αἰσχύλῳ.

* Ἀβάρακες, μᾶζαι τινὲς παρ' Ἀθηναίῳ.

Ἀβαρβαλαῖαι, νύμφαι.

Ἀβαρβαρέη, ὄνομα νύμφης, πολλὰ γὰρ τὰ τῶν νυμφῶν εἴδη.

Ἀβαρὴς, ἀσύνετος.

Ἄβαρις, ὁ ἠπειρώτης, καὶ μὴ ἔχων βάριν.

Ἄβαρις, Σκύθης Σεύθου υἱός. συνεγράψατο δὲ, χρησμοὺς, τοὺς καλουμένους Σκυθινοὺς, καὶ γάμον Εὔρου τοῦ ποταμοῦ, καὶ καθαρμοὺς, καὶ θεογονίαν.

Ἀβαριστὰν, γυναικιζομένην, τὴν καθαιρομένην καταμηνίοις. Κύπριοι.

Ἀβαρκνᾶ, κομᾷ. οὕτω Μακεδόνες.

Ἄβαρνα, λιμός.

Ἀβαρλεῖται, παράστεται, κροτεῖ.

Ἀβαρνὰς, Φωκέων φυλή.

Ἀβάρνυ, στένε, οἴμωζε, βόα.

Ἄβαρνος, πόλις Φωκέων.

Ἀβαρνὶς, ὄνομα πόλεως. Λαμψάκου. οὕτω, Περκώτην δ' ἐπὶ τῇ, καὶ Ἀβαρνίδα ἠμαθόεσσαν.

Ἀβαρταὶ, πτηναί. Κύπριοι.

Ἀβαρτία, ἀπληστία.

Ἄβαρτος, ἄπληστος. οἱ δὲ, ἀμάργος.

Ἀβαρὺ, ὀρίγανον. Μακεδονία.

Ἀβὰς, ὁ ἀήθης. καὶ ἱερὰ νόσος παρὰ Ταραντίνοις.

Ἄβας, σοφιστὴς. ὁ ἱστορικὰ ὑπομνήματα, καὶ τέχνην ῥητορικὴν καταλιπών.

Ἀβάσαι, ἀριστῆσαι, καὶ ἀρθῆναι.

Ἀβαστάκτως, δυσβαστάκτως.

Ἀβασάνιστα, ἀνεξέταστα.

Ἀβασάνιστος, ἀδοκίμαστος. ἄτριπτος. μὴ κολαζόμενος. ἀγύμναστος. εἴρηται δὲ ἀπὸ τῆς βασάνου, τῆς χρυσοχοϊκῆς λίθου, ἐν ᾗ δοκιμάζουσι τὸ χρυσίον.

Ἀβάσκανος, ὁ ἀψευδὴς καὶ ἀνεπίφθονος. Ὁ δὲ μάρτυς ἀβάσκανος γίνεται πρὸς Καίσαρα, τῶν Ἀντιπάτρου κατορθωμάτων.

Ἀβάσκαντα, χωρὶς βλάβης.

Ἄβαστον, ἄβατον, ἀβίαστον.

Ἄβαστον, ἀκίνητον, ἀπρόσιτον.

Ἄβατος, ἀσύνετος. καὶ Ἄβατον, ἀδιόδευτον, ἀπάτητον. ἢ τὸ ἱερὸν, καὶ τὸ ἔρημον.

Ἀβαχθανὶ, λέξις Ἑβραϊκή. ἐγκαταλελειμμένος.

Ἄβδελον, πετεινόν.

Ἀβδέλυκτα, ἀμίαντα, τὰ μὴ μιαινόμενα. ἢ ἃ οὐκ ἄν τις βδελυχθείη καὶ δυσχεράνειεν.

Ἄβδελα, ἄβατα.

Ἄβδηρα θάλασσα, καὶ ὄνομα πόλεως. ὁ πολίτης, Ἀβδηρίτης. ὅθεν καὶ Ἀβδηρίτης ἄνεμος, ὁ Βορέας.

Ἄβδης, μάστιξ παρ' Ἱππώνακτι.

Ἀβδιοῦ, ὄνομα κύριον. Ἑρμοῦ δοῦλος ἐξομολόγητος.

Ἀβέβαιος, ὁ ἀσταθὴς καὶ ἀμετάτρεπτος. ὁ μὴ πάγιος.

Ἀβέβηλα, τὰ μὴ βάσιμα χωρία. ἱερὰ δὲ καὶ ὅσια, καθαρά. ἀβέβηλα γὰρ ἐλέγετο τὰ μὴ ὅσια, μηδὲ ἱερὰ, παντὶ δὲ βάσιμα. καὶ βέβηλοι οἱ μὴ κεκοινωνηκότες ἱερῶν. καὶ λόγοι ἀβέβηλοι, οἱ ἀπόρρητοι, καὶ ἀβέβηλος, ὁ καθαρός.

Ἄβεις, ἔχεις. Παμφίλιοι.

Ἄβελ, υἱὸς Ἀδάμ. καὶ Ἄβελ, πένθος.

Ἀβέλει, στέφει.

Ἀβελίην, ἠλιακόν.

Ἀβέλιον, τὸν ἥλιον. Κρῆτες.

Ἄβελον, πετεινόν.

Ἀβέλτερος, ἀνόητος, ἀσύνετος, ὁ τὸ βέλτιον μὴ γινώσκων. βέλτερος γὰρ, ὁ τὸ βέλτιον γινώσκων, καὶ φρόνιμος, γίνεται δὲ ἐκ τοῦ βέλτερος, μετὰ τοῦ στερητικοῦ ἄλφα, τὸ δὲ βέλτερος ἀπὸ τοῦ βάλλω, τύπου ἁπλοῦ, οὐχὶ δὲ συγκριτικοῦ. ὥσπερ γὰρ παρὰ τὸ φέρω φέρτερος, οὕτω παρὰ τὸ βάλλω βέλτερος. ὅθεν ἀβέλτερος νοῦς, χαῦνος, ἀήθης, νέος, καὶ ἠλίθιος, καὶ ἀβελτερία, ἢ ἀβελτηρία κατὰ τροπὴν τοῦ ε

εἰς η

Digitized by Google

οὖσα, ἀφροσύνη, ἄνοια, ἀνοησία, μωρία, ἡ τὸ βέλτιον μὴ γινώσκουσα. καὶ ἀβέλτερον, τὸ μωρὸν καὶ ἀνόητον.

Ἀβελτεροκόκκυξ, ὁ κενὸς καὶ ἀβέλτερος.

Ἀβέρβηλος, ὁ ἀκατάστατος. καὶ ἀβέρβηλον, πολύ, ἐπαχθές, μέγα, βαρύ, ἀχάριστον, μάταιον, ἀκατάστατον, ἀναίσχυντον.

Ἀβεσαλὼν, ὄνομα κύριον.

Ἀβηρὼν, ὄνομα κύριον.

Ἀβέστει, ἐπιποθεῖ, θορυβεῖ.

Ἀβηδηνὸς, ὁ ἀπὸ πόλεως Ἀβηδόνης.

Ἀβηδόνη, ὄνομα πόλεως.

Ἀβηδόνα, ἀηδόνα.

Ἀβὴρ, οἴκημα. στοὰς ἔχον, ταμιεῖον. Λάκωνες.

Ἀβήρει, ᾄδει. καὶ ἀβήρουσιν, ᾄδουσιν.

Ἀβὴς, ἀναίσχυντος, ἀνόσιος, ἀσύνετος, ἀνόητος.

Ἀβήστει, ἐπινοεῖ. ὅπερ καὶ ἀβὶ ὑπὸ Σκύθαις εἴρηται.

Ἄβια, οὐ βιώσιμα, ἢ βίαν οὐκ ἔχοντα.

Ἀβιὰ, καὶ Ἀβιάθαρ, ὀνόματα κύρια.

Ἀβιαδηνὸς, ὁ ἀπὸ πόλεως Ἀβιαδηνῆς.

Ἀβίας, υἱὸς Ῥοβοὰμ τοῦ υἱοῦ Σολομῶντος.

Ἀβίγας, ποταμός.

Ἄβιδα, ἀνδρεῖον.

Ἄβιε, ἔβαλλον. Σκύθαι.

Ἀβιέζερ, ὄνομα κύριον.

Ἀβίηκτον, ἐφ' οὗ οὐκ ἐγένετο βοὴ ἀπολλυμένου.

Ἀβίλακα, τὰ μνήμονα Πέρσαι.

Ἄβιλα, πόλις. καὶ Ἀβίλιος οἶνος.

Ἀβίλυξ, Ἀβίλυκος, τὸ ἀντικείμενον ὄρος ἐκ τῆς Λιβύης τῇ Κάλπῃ. ἥτις ἐστὶν ἐν τῇ Εὐρώπῃ κατὰ τὸν πορθμὸν τῶν Γαδείρων.

Ἀβιλύκη, στήλη ἐν Λιβύῃ.

Ἀβιμέλεχ, ὄνομα κύριον.

Ἄβιννα, ὄνομα πόλεως.

Ἄβιες, ἐλάτη. οἱ δὲ, πεύκη.

Ἄβιοι, μὴ ἔχοντες τόξα, ἀπόλεμοι, οὐ βίαιοι, οὐκ ἄδικοι. καὶ ὄνομα ἔθνους.

Ἀβιόλη, σπέρμα τί.

Ἄβιος, πλούσιος, πολὺν βίον ἔχων. οὕτως Ἀντιφῶν. ὥσπερ καὶ Ὅμηρος τὸ ἄξυλον, ἀντὶ τοῦ πολύξυλον. καὶ ἄβιος, ὁ μὴ ἔχων βίον, ἢ ὁ μὴ ἔχων τόξον. βιὸς γὰρ, τὸ τόξον.

Ἀβιοὺδ, ὄνομα κύριον.

Ἀβίωτος βίος, ὁ ὀδυνηρὸς, ἀτελὴς, πένης, καὶ ἀηδής. καὶ ἀβίωτος, ὁ μὴ ζῶν. Ὁ δὲ, ἀβιώτως εἶχεν, εἰ μὴ κρατήσει τῆς πόλεως.

Ἀβισὰκ, ὄνομα κύριον.

Ἀβίσαρος, ὄνομα τόπου.

Ἄβιτος, ὄνομα κύριον.

* Ἀβλάβεια, τὸ μὴ βλάπτειν, καὶ τὸ μὴ βλαβῆναι.

* Ἀβλαβὴς, ὁ μὴ βλάπτων. ἡδοναὶ ἀβλαβεῖς, παρὰ Πλάτωνι. καὶ παθητικῶς, παρὰ Ξενοφῶντι. τοὺς ἑαυτοῦ ἄνδρας ἀβλαβεῖς, διὰ τὸ πείθεσθαι παρέχεται.

Ἀβλαβύνιον, σειρὰ πλεκομένη παρ' Αἰγυπτίοις ἐκ βύβλων, πρὸς κάθαρσιν οὖσα.

Ἀβλαδέως, ἡδέως.

Ἄβλαξ, λαμπρὸς, ὡς Κύπριοι.

Ἄβλαροι, ξύλα.

Ἄβλας, ἀσύνετος, ἀγνώμων.

Ἄβλαυτος, ἀνυπόδητος.

Ἀβλεμὶς, ἀσθενές.

Ἀβλεμέως, οἷον ἀμελέως, ἀφροντίστως. παρὰ τὸ μέλειν, ἀμελεῖν. καὶ ἀμελέως ἐπίρρημα. καὶ ἐν ὑπερθέσει καὶ πλεονασμῷ τοῦ β, ἀβλεμέως. οὕτως Ὠρίων.

Ἀβλεπὲς, φαῦλον.

Ἀβλεμὴς, ἄτολμος, ἀτερπὴς, παρειμένος. οἱ δὲ, κακός.

* Ἀβλεννὴς, έος. ὁ, καὶ ἡ. δίχα βλέννης, ὅ ἐστι φλέγμα. καὶ ἀβλεννὴς ἡ ῥαφὶς, ἤτοι βελόνη. ὄνομα ἰχθύος.

Ἀβλεπτῶ, τὰ ἀβλεπτοῦντα.

Ἀβλεπτήματι, ἁμαρτήματι.

Ἀβληρὰ, ἡ ἡνία.

Ἄβληρος, ὄνομα κύριον.

Ἀβλήδην, ἐνδόσιμον.

Ἀβλὴς ὀϊστὸς, ὁ μήπω βληθείς. ὅ ἐστιν ἀφεθεὶς κατά τινος. διὸ καὶ ἀθετοῦσι τὴν λέξιν οἱ παλαιοὶ, φάμενοι μὴ εἰωθέναι τὸν Ποιητὴν τὸ βάλλειν ἐπὶ τοῦ ἁπλῶς ἀφιέναι τιθέναι. αἰτιῶνται δὲ καὶ τὸ ἕρμα, λέγοντες ὅτι οὐχ ὃ θέλει ὁ Ποιητὴς λέγει. ἕρμα γὰρ ὁμηρικῶς, τὸ ἔρυμα, καὶ κώλυμα, τὸ δὲ βέλος οὐ γίνεται κώλυμα ὀδυνῶν, ἀλλὰ μᾶλλον ἐνέρεισμα. ἔστι δὲ λύοντα τὰ τοιαῦτα εἰπεῖν, ὅτι ἀβλῆτα μὲν οἰστὸν λέγει, τὸν μήπω βάλλοντα, ἤτοι ἐπιτυχόντα τινὸς, διὰ τὸ μηδὲν ἀφεθῆναι. ἢ καὶ ἄλλως.

Ἀβλὴς ὀϊστὸς, ὁ κακόβλητος. ὁ κακὸς, παρὰ τὸ βέβληται, ἢ ὁ καινὸς, ὁ νεουργής. καὶ μήπω βεβλημένος. ἀλλὰ νεοπαγής. καὶ ἀκέραιον τὸν ἰὸν ἐν ἑαυτῷ ἔχων. κλίνεται δὲ, διὰ τοῦ τος. οἷον, ἀβλὴς, ἀβλῆτος. Τὰ γὰρ εἰς ς λήγοντα ὀξύτονα σύνθετα, ἀπὸ ῥημάτων γινόμενα, μίαν συλλαβὴν φυλάττοντα τοῦ παθητικοῦ παρακειμένου, διὰ καθαροῦ τοῦ τος κλίνονται. εἴτε εἰς ως ὦσιν, εἴτε εἰς ης, εἴτε εἰς ας. οἷον, κέκραται, χαλκοκρὰς, χαλκοκρᾶτος. βέβληται, ἀβλὴς, ἀβλῆτος. τέτρωται, ἀτρὼς, ἀτρῶτος.

Ἄβλητα βέλη, καινὰ, μὴ πεμφθέντα εἰς τρῶσιν, ἄτρωτα, οὔπω ἄλλοτε βεβλημένα.

Ἄβλητος καὶ ἀνούτατος διαφορὰν ἔχουσιν, ἣν οἶδε σαφῶς Ὅμηρος. ὡς καὶ ἐν ἄλλοις, τοῦ οὐτάσαι, καὶ τοῦ βαλεῖν. τὸ μὲν, ἐκ τοῦ σχεδὸν γενομένου. τὸ δὲ βαλεῖν, πόρρωθεν.

* Ἀβληχὴς, ὁ οὐ βληχώμενος, τουτέστι φωνῇ προβάτων μὴ χρώμενος.

Ἀβλήχμων, ἀμβλύς.

Ἀβληχρῆ, ἀσθενῆ. οἱ δὲ, ἁπαλὸν ἐπὶ τοῦ θανάτου.

Ἀβληχρὸς, ἀμβλὺς καὶ ἀμαυρός. καὶ ἀβληχρὸς θάνατος, ὁ ἀσθενὴς καὶ ἠρεμαῖος. διὰ τὸ ἄνοσον. ἢ ὁ ἀβληχροποιὸς, ὡς ἀσθενεῖς ποιῶν τοὺς θνήσκοντας. καὶ ἀβληχρὴ, ἡ ἡ ἀριστερὰ κατά τινας. ἢ μᾶλλον ἡ ἀσθενής.

Ἀβλίμαστον, ἄψαυστον.

Ἀβλόη, σπένδε, σπεῖσον, Μακεδόνες.

Ἀβλόπες, τὸ ἀβλαβὲς, Κρῆτες.

Ἀβλωθρίδια, ἀτέλεστα ἐκτρώματα.

Ἀβοαὶ, ἀρχαί.

* Ἀβοήθητος, ἀνίατος, καὶ ἀπορῶν βοηθείας.

* Ἀβόηθος, ἀθεράπευτος. οἷον, πληγὴ ἀβόηθος.

Ἀβοητὶ, ῥᾳδίως.

Ἄβολα, κυβευτικοῦ βόλου ὄνομα.

Ἀβολεῖς, αἱ περιβολαὶ, ὑπὸ Σικελῶν.

Ἀβολῆσαι, ἀπαντῆσαι.

Ἀβολήσομεν, συντευξόμεθα. Ἀπολλώνιος, αὖθις δὲ ἀβολήσομεν ἐνθάδ' ἰόντες.

Ἀβοληταὶ, ἀνυπάντητοι ἰσχυρῶς.

Ἀβολῆτις, ἔντευξις, ἀπάντησις.

Ἀβόλητοι, ἐντεύξεις.

Ἀβολήτορες, μάρτυρες, ἀνηλλαχότες.

Ἀβολήτωρ, καὶ ἄβολις, ἢ ἄβολος ὄνος καὶ ἵππος, ὁ μηδέπω ἐκβεβληκὼς τοὺς ὀδόντας.

Ἄβολον, ὄνομα στοιχείου.

Ἄβολος πῶλος, ὁ μηδέπω ἐκβαλὼν τοὺς ὀδόντας. καὶ ἀγνώμων ἢ ἄγνωμος, ὁ αὐτός. γνώμων γὰρ λέγεται ὁ ὀδοὺς, ἀφ' οὗ γνωρίζεται ἡ τῶν ζώων ἡλικία. τριάκοντα γὰρ μηνῶν γενόμενος ὁ πῶλος, ἢ μόσχος, ἐκβάλλει τοὺς πρώτους ὀδόντας. εἶτα ἐνιαυτοῦ παρελθόντος, τοὺς δευτέρους. καὶ μετ' ἄλλον ἐνιαυτὸν, τέλειοί εἰσιν, οἱ τεττάρων ἡμίσεων ἐτῶν. ἀφ' οὗ καὶ λειπογνώμονες καλοῦνται, οἱ μηκέτι διὰ τῶν ὀδόντων γνωσθῆναι δυνάμενοι. γνώμονα δὲ κυρίως οἱ φιλόσοφοι καλοῦσι, τὸ ἐν ὡροσκοπίοις ξύλον.

* Ἄβος, ἡβῶν, καὶ ἀκμάζων, ἀπὸ τοῦ ἄβα Δωρικὸν, ὅ ἐστιν ἥβη.

Ἄβοτοι, αἱ μὴ καταν(εν)εμημέναι βοτάναι, ἢ αἱ μὴ φέρουσαι καρπόν.

Ἀβουλὶς, ἀκτήμων.

Ἀβουλεὶ, ἀβούλως, ἀφρόνως, ἀμαθῶς.

Ἀβουλεῖν, μὴ βουλεύεσθαι, ἢ μὴ βούλεσθαι, Πλάτων. καὶ ἀβουλὴς, ἄκουσα. * βέλτιον οὕτως, ἢ παρ' Ἡσυχίῳ, ἤκουσα.

Ἀβούλητον κακὸν, ἀθέλητον, ὃ οὐ θέλει τίς. καὶ ἀβούλητος, ὁ μὴ βουλόμενος.

Ἀβούλιτος, ὄνομα κύριον. διὰ τοῦ ι.

Ἀβουλία, ἀπαιδευσία, ἄνοια, μωρία, καὶ ἀγνωσία.

* Ἄβουλος, ὁ μωρὸς, καὶ κακόβουλος.

Ἀβουλόταται, ἀπροαίρεται.

Ἀβούλως, μωρῶς, ἀφρόνως, ἀμαθῶς, κακῶς, ἄνευ λόγου.

Ἀβουσκολεῖ, θορυβεῖ.

Ἀβούτης, ἀκτήμων, ἄπορος. ἀπὸ τοῦ βοτοῦ.

Ἄβοτον, τὴν δουλείαν Ἀργεῖοι.

Ἀβρὰ, τρυφερὰ, μαλακά.

Ἄβρα, οὔτε ἡ ἁπλῶς θεράπαινα, οὔτε ἡ εὔμορφος λέγεται, ἀλλ' ἡ οἰκότριψ καὶ παρὰ χεῖρα. ἤγουν, ἡ σώφρων θεράπαινα. ἢ ἡ οἰκότριψ γυναικὸς κόρη, καὶ ἔντιμος. εἴτε οἰκογενὴς, εἴτε μή. ἢ ἄβρα κατά τινας, δούλη, παλλακή. καὶ ἄβραι, νέαι δοῦλαι.

Ἀβρὰ βαίνων, θρυπτόμενος, κολακευόμενος. Ἐκεῖνος ὄντως ἀβρὰ βαίνων ἐδόκει, ἔχων τὰς ὀφρῦς ὑπερηρμένας ἄνω.

Ἀβραὰμ, ὄνομα κύριον, ὁ πρῶτος ἐν Πατριάρχαις, καὶ Ἀβραὰμ, πατὴρ πολλῶν ἐθνῶν.

Ἄβραμ, περάτης, ἢ πατὴρ μετέωρος.

Ἀβρανῖτις, χώρα.

Ἀβραῖς, ἁπαλαῖς, τρυφεραῖς.

Ἀβραμιαῖος, ὁ ἀπόγονος Ἀβραὰμ, ἢ γιγαντιαῖος, ἱεροπρεπής.

Ἀβραμίας, ὄνομα βόλου κυβευτικοῦ.

Ἀβράνας, Κελτοὶ, τοὺς κερκοπιθήκους.

Ἀβρανίδας, τοὺς κροκωτούς. Λάκωνες.

Ἄβραχεν, ἤχησεν.

Ἀβρέας, ὄνομα κύριον.

* Ἄβρεκτος, ἄβροχος.

Ἀβρεμὴς, ἀβλεπής. Κύπριοι.

Ἀβρεττάνη, καὶ ἀβρεττίνη, ἢ ἀβρεττάνη, χώρα, ἡ λεγομένη Μυσία, ἀπὸ Βρετίας νύμφης. τὸ ἐθνικὸν, Ἀβρεττηνοί.

Ἀβρηλία, χώρα.

Ἀβρηλιανὸς, καὶ Ἀβρήλιος, ὀνόματα κύρια.

Ἀβρίζεσθαι, ἀβρύνεσθαι, καλλωπίζεσθαι.

* Ἀβριθὴς, ἐλαφρός.

Ἀβρικέστερον, ἀληθέστερον.

Ἄβρικτον, δύσκωφον, ἄγρυπνον, ἀνύστακτον, ἢ τὰ ἐκ μέρους ἀκοῦον.

Ἀβρινὰ, κεκαθαρμένα.

Ἀβρὶξ, ἐγρηγορώς.

Ἀβρίξαι, τὸ ἀπὸ βορᾶς νυστάξαι, ἢ κοιμηθῆναι.

Ἀβριόριξ, ὄνομα κύριον.

Ἀβριστὴν, μαστιγίαν.

Ἀβριάχεται, κοσμεῖται, θρύπτεται.

Ἀβρογάστης, Φράγγος. ὃς κατ' ἀλκὴν τοῦ σώματος, καὶ θυμοῦ τραχύτητα, φλογοειδὴς ἦν, δεινὸς ἀγωνιστὴς τυγχάνων Βαύδωνος.

* Ἀβρογόος, ὁ ἁπαλῶς κλαίων. Αἰσχύλος.

Ἀβροδίαιτα, τρυφερὰ ζωὴ, καὶ ἁπαλή.

Ἀβροδίαιτος, τρυφητὴς, τρυφερὸς, τρυφερόβιος τὸν βίον, περὶ τὴν δίαιταν δαψιλὴς, πλούσιος. ἀβρὸν, γὰρ τὸ πολύ.

Ἀβροείμονες, ἀβροείμονές τε καὶ καπηλαϊσμένοι, λαμπροφόροι, ἁπαλοφόροι. ἀβρὸν γὰρ, τὸ λαμπρὸν, καὶ κοῦφον, καὶ τρυφερόν.

Ἀβρόκαρπον, ἀβρόπονον.

Ἀβροκομᾷ, ὁ τὴν κόμην φαιδρὰν ἔχων.

Ἀβροκόμας, οὗτος σατράπης ἦν, Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως.

Ἀβροκόμης, ὁ πολύθριξ.

Ἀβρομία, σκοτία.

Ἀβρόμιος, ὁ ἄοινος, καὶ χωρὶς οἴνου. βρόμος γὰρ, ὁ Διόνυσος, ὁ καὶ ἔφορος τοῦ οἴνου καθ' Ἕλληνας.

Ἀβρομίτρας, λαμπροζώνους.

Ἄβρομος, καὶ ἄβρομοι, οἱ ἄγαν βρομοῦντες, ὅ ἐστιν ἠχοῦντες, θορυβώδεις. παρὰ τὸ βρόμος, ὃ σημαίνει τὸν ἦχον, μετὰ τοῦ ἐπιτατικοῦ α. ἢ ἄβρομοι, μετὰ τοῦ στερητικοῦ α, ἀπὸ τοῦ βρέμω, τὸ ἠχῶ. ἤγουν, χωρὶς βρόμου, ἢ ἄνευ θορύβου. καὶ ἄβρομοι, αὐίαχοι, τὸ ἅμα βρόμῳ. ἅμα ἰαχῇ, ὧν βρόμος μὲν ἐπὶ φλογὸς, ἰαχὴ δὲ ἐπὶ θυέλλης. Αἰολικὴ δὲ ἡ τοῦ υ ἐπένθεσις ἐν τῷ αὐίαχοι. ὡς ἐν τῷ ἀγάω. ἀγαὸς, ἀγαυὸς, καὶ ἀγαυρός. οὕτω δὲ καὶ τὸ παρ' Ὁμήρῳ ἠῶθεν ἐνικλᾶν, εὔωθεν λέγεται, εἰ μή τι ἄρα ἐκεῖνος, ἐκ τοῦ εἴωθε τροπὴν ἔπαθε τοῦ ι εἰς υ.

Ἄβρομον, ὀρίγανον καὶ σιγηρὸν, ἄψοφον.

Ἀβρομούνταχοι, οἱ σὺν βρόμῳ πολλῷ, οἷον μετὰ κραυγῆς μιᾶς. ἵνα ᾖ, ἀντὶ τοῦ ὁμόβρομοι. ὅ-

Digitized by Google

τερ δηλοῖ τοὺς ὁμοφώνως κεκραγότας. ὡς ἐπὶ τοῦ ἄκοιτις, ἡ ὁμόκοιτις. ἢ πολύβρομοι, ὅ ἐστι πολυτάραχοι. βρόμος γάρ ἐστι ποιὰ κραυγὴ κατὰ μίμησιν. καὶ αὐίαχοι, οἱ μετ' ἰσχύος μεγάλης ἰάχοντες. ὡς ἀχανὲς λέγεται, τὸ μεγάλως κεχηνός, τοῦ υ πλεονάζοντος.

Ἁβρὸν παρ' Ἡροδότῳ, καλόν, αὔθαδες, σεμνόν, τρυφερόν.

Ἁβρός, παρὰ τὸ ἅπτω, ὁ ἁπαλός. καὶ διαφής, ὥς φησι Φιλόξενος. ἄλλως·

Ἀβρός, βορά, βορός, καὶ ἀβρός, ὁ κούφως βαίνων κατὰ στέρησιν τοῦ βάρους, ἀβαρός, καὶ ἀβρὸς κατὰ συγκοπήν. * κατὰ ταύτην τὴν ἐτυμολογίαν ἔδει ψιλοῦσθαι. δασύνεται δὲ ἀττικῶς, φησὶν ὁ Εὐστάθιος.

Ἄβρος παροξυτόνως, ἔθνος πρὸς τῷ Ἀδρίᾳ.

Ἁβρὸς λειμών, ὁ εὐθαλὴς κῆπος. ἁβρὸν γάρ, τὸ λαμπρόν.

Ἁβροσύνη, φαιδρότης.

Ἀβροτάζω, ἁμαρτάνω. καὶ ἀβροτάξωμεν, ἁμάρτωμεν, ἀμφοδήσωμεν. Ὅμηρος, Μήπως ἀβροτάξομεν ἀλλήλοιιν. κυρίως ἐπὶ τῶν τοξοτῶν. τὸ βροτοῦ ἀποτυχεῖν, ὡς ἐν πολέμῳ. λέγεται δὲ καὶ τὸ ἁπλῶς ἀποτυχεῖν τὸν βροτὸν τοῦ βροτοῦ, κατὰ τὴν συνάντησιν. ἢ τὸ βροτοῦ ἀποτυγχάνειν ἐν ὁδῷ. ἢ τὸ ἐν ἀβρότῃ, τουτέστι, νυκτὶ ἀποπλανᾶσθαι. ἐν δὲ παλαιῷ κατὰ στοιχεῖον λεξικῷ γράφεται οὕτως.

Ἀβρόταξις, ἁμαρτία, διαμφόδησις. καὶ ἀβροτάξομεν, διαμφοδήσομεν, ἁμαρτήσομεν. τὸ θέμα ἀβροτάζω. ὁ μέλλων, ἀβροτάξω. οὕτως Ὠρίων.

Ἀβροτήμων, ἁμαρτωλός.

Ἀβροτῆ, ἀβροτησίᾳ.

Ἀβρότη νύξ, ἐντελῶς ἐρρέθη. ὅτε γὰρ ἀβρότη μόνον ῥηθείη, λείπει τὸ νύξ. ἔστι δὲ ἀβρότη κατὰ μὲν τὸν κοινόν, ἐν ᾗ βροτοὶ οὐ πρόεισιν. Αἰσχύλος, Ἄβροτον εἰς ἐρημίαν. ἢ ἀβρότη νύξ, κατὰ παράλειψιν τοῦ μ. ἀμβρότη γάρ ἐστιν, ἡ ἀθανάτη, καὶ θεία. ἱερὰ γάρ ἐστι τῶν θεῶν. Εἰς ὅκεν ἔλθῃ νὺξ ἀβρότη. ἀπρότη τις οὖσα, παρὰ τὸ μὴ προϊέναι ἐν αὐτῇ. ἢ ἐν ᾗ βρότος, ἤγουν, ὁ κατὰ πόλεμον μολυσμὸς καὶ φόνος οὐ γίνεται. ὡς λυομένων τότε τῶν ταξέων, διὰ τὸ ἀγαθὸν εἶναι νυκτὶ πείθεσθαι. ὅθεν καὶ ὁ δόρπος σύγκειται, ὡς τότε δηλαδὴ παυομένου δορός, ἤτοι πολέμου. ἢ μεταληπτικῶς ἀβρότη, ἡ ἄφως, τουτέστιν, ἀφώτιστος, ἡ φῶς μὴ ἔχουσα, ἢ ἐν ᾗ φῶς οὐκ ἔστι. τὸ φῶς γάρ, ὁμόφωνόν ἐστι τῷ, φὼς ἀρσενικῷ ὀνόματι, ὅπερ ἐστὶ βροτός.

Ἀβροτῆσαι, τὸ νυκτὸς ἀπαντῆσαι.

Ἁβρότητι, τρυφερότητι, ἁπαλότητι.

Ἀβροτίνη, ἁμαρτωλή.

Ἄβροτον, ἄψυχον, ἀναίσθητον, ἀπάνθρωπον. βροτὸν γάρ, τὸ μετὰ κονιορτοῦ αἷμα. ἢ τὸ ἐκ φόνου λύθρον.

Ἀβρότονον, εἶδος βοτάνης θαμνώδους. ἔστι δὲ πικρότατον.

Ἄβροτος, ἀζήμιος.

Ἀβρότων, κοχλίων εἶδος. οἱ δὲ ἀκρίδων. αἵτινες πολλαὶ γενόμεναι, τοὺς καρποὺς διαφθείρουσιν. οἱ δὲ μελιττῶν, οἱ δὲ ἀφρόντων φασίν, ὅ ἐστιν ἀντὶ τοῦ λῃστῶν.

Ἀβροῦτες, ὀφρῦς. Μακεδόνες.

Ἁβροχίτων, λαμπροφόρος, τρυφερὰ φορῶν.

Ἄβρωμα, συκάμινα.

Ἁβρύνεται, κοσμεῖται.

Ἁβρύνομαι, καυχῶμαι, διαθρύπτομαι, κοσμοῦμαι.

Ἁβρυνόμενοι, σεμνυνόμενοι, λαμπρυνόμενοι.

Ἄβρυστος, ἢ ἄβροστος, ὁ μὴ βιβρωσκόμενος.

Ἁβρυτοί, ἐχίνων θαλασσίων εἶδος.

Ἄβρωμα, στολῆς γυναικείας εἶδος.

Ἄβρων, Φρύξ, ἢ Ῥόδιος γραμματικός, μαθητὴς Τρύφωνος.

Ἁβρῶς, εὐθηνῶς.

Ἄβρωνος βίος, ἐπὶ τῶν πολυτελῶν. Ἄβρων γὰρ παρὰ Ἀργείοις ἐγένετο πλούσιος. ἢ καὶ ἀπὸ τοῦ ἁβροῦ, καὶ ἁβρώνειος.

* Ἀβρωσία, βρωμάτων σπάνις, ἀσιτία. καὶ ἀβρώς, ὁ μὴ βρωθείς.

* Ἄβρωτον, οὐκ ἐπιτήδειον εἰς βρῶσιν. Πλουτάρχ. Συμποσ. πολλὰ γὰρ τῶν ἀγρίων, καὶ ἀβρώτων πρότερον, ἥδιστα νῦν. καὶ τὸ σκώληξιν, ἢ ἑτέροις ἀναβρωτικοῖς οὐδαμῶς ὑποκείμενον. καὶ ἄβρωτος παρὰ Σοφοκλεῖ ὁ νῆστις.

Ἀβυδηνὸν ἐπιφόρημα, ἀπὸ τοῦ ὑπ' αὐτῶν συκοφαντεῖσθαι τοὺς ξένους. ὅταν γὰρ ἀκαίρως ἐπιφωνέντος τινὸς ἀηδία τις ᾖ, εἰώθαμεν λέγειν, ἀβυδηνὸν ἐπιφόρημα. διὰ τὸ τοὺς ἀβυδηνούς, ὁπόταν τινὰ τῶν πολιτῶν ἢ ξένων ἑστιῶσι, μετὰ τὸ μύρον καὶ τοὺς στεφάνους, τὰ παιδία περιφέρειν φιληθησόμενα. τῶν τε τιθηνῶν θορυβουσῶν, τῶν τε παιδίων κεκραγότων, ἐνοχλεῖσθαι τοὺς παρόντας. ἀφ' οὗ εἴθισαι λέγειν τὸ προκείμενον.

Ἀβυδόθεν, ἀπὸ Ἀβύδου πόλεως Καρίας.

Ἀβυδοκόμας, ὁ ἐπὶ τῷ συκοφαντεῖν κομῶν.

Ἀβυδόν, βαθύ.

Ἄβυδος πόλις. ἐπὶ συκοφάντου τάττεται ἡ λέξις, διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς Ἀβυδηνούς. καὶ ἐπίρρημα, ἀβυδόθι, ἐν Ἀβύδῳ. καὶ Ἄβυδον φλυαρίαν, τὴν πολλήν. καὶ Ἀβυδηνός, ὁ ἀπὸ Ἀβύδου.

Ἀβυδών, χώρα Μακεδονίας. καὶ κλίνεται Ἀβυδῶνος, ὡς Καλυδών, Καλυδῶνος. Στράβων, Τηλόθεν ἐξ Ἀβυδῶνος, ἀπ' Ἀξίου εὐρὺ ῥέοντος.

Ἀβύρβηλον, πολύ, μάταιον. οἱ δὲ δασύ, καὶ συρφετῶδες. ἢ ἀναίσχυντον, ἐπαχθές. καὶ ἀβέρβηλος, ὁ πολύς, καὶ μέγας, ἢ ὁ κατακορής. λέγεται δὲ καὶ Ἀβέρβηλος. ὡς καὶ πρὸ ὀλίγου γέγραπται, ὁ ἀκαταστατος.

* Ἀβύρσωτος δορά, ἡ ἀκατασκεύαστος.

Ἀβυρτάκη, ὑπότριμμα βαρβαρικόν, κατασκευαζόμενον διὰ πράσων, καὶ καρδάμων, καὶ ῥοιᾶς κόκκων, καὶ ἑτέρων τοιούτων.

Ἀβυρτακοποιοῦ, τοῦ τρίμματα καὶ ἐμβάμματα κατασκευάζοντος.

Ἄβυσσος, πλῆθος ὑδάτων ἀπέραντον. ἢ τόπος ἐν θαλάσσῃ, ἀπύθμαντος, μὴ ἔχων πυθμένα. ἢ ἄβυσσος, ἣν οὐδὲ βυθὸς χωρῆσαι δύναται. Ἴωνες δὲ τὸν βυθόν, βυσσόν φασιν. ὅθεν δοκεῖ λέγεσθαι καὶ βυσσοδομεύειν, παρὰ τὸ δύω τὸ ὑπέρχομαι, κατὰ τροπήν. βύω, βύσω, βέβυσμαι, βυσσὸς καὶ ἄβυσσος. εἰς ὃν οὐδεὶς εἰσέρχεται διὰ τὸ βάθος.

* Ἄβυσσος, ἱερὸν Περσεφόνης, ἐν ᾧ πλῆθος ἦν χρυσοῦ ἀόρατος τοῖς πολλοῖς κατὰ γῆς κεκρυμμένος.

Ἀβυσαῖοι, Λιβύων ἔθνος.

Ἀβώ, πρωΐ, Λάκωνες.

Ἀβώβας, ὁ Ἄδωνις ὑπὸ Περσῶν.

Ἀβώνου τεῖχος, πόλις ἐν τῷ Εὐξείνῳ πόντῳ. καὶ Ἀβωνοτειχίτης, τὸ ἐθνικόν.

Ἄβωρα, ὄνομα τόπου.

Ἀβωριγίνες, ἔθνος Ἰταλικόν.

Ἄβωρ, βοή, ὡς Λάκωνες.

Ἄβως, ἄφθογγος. ἄφαντος.

Ἄβωτος, ἀηδής.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Γ.

Ἄγα, φθόνος, καὶ βασκανία.

Ἀγάασθαι. φασὶν οἱ παλαιοὶ τοῦτο τρία σημαίνειν, τὸ θαυμάζειν, τὸ φθονεῖν, καὶ τὸ μισεῖν. Ὅμηρος ἀγαίεσθαι καὶ ἄγασθαι εἶπεν, ὡς ταυτὰ ὄντα. ἔστι δὲ τὸ ἀγάω πρωτότυπον τοῦ ἀγαίω. ἄλλως.

Ἀγάασθαι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐκπλήττεσθαι. ἐπίτασίς τις τοῦ θαυμάζειν.

Ἀγάγας, ἀντὶ τοῦ ἀγαγών.

Ἄγαγον, ἀντὶ τοῦ ἄγαγε. οἷον, ὁδήγησον, φέρε.

Ἀγαγύρτην, ἀγύρτην.

Ἀγάγωσιν, ἐκάξωσιν. καὶ ἁπλῶς εἰπεῖν, ὁ μὲν πρῶτος ἀόριστος καὶ οἱ ἐξ αὐτοῦ, ἄχρηστοι τοῖς λογογράφοις. ὁ δεύτερος δὲ ἀόριστος, καὶ οἱ ἀπ' αὐτοῦ χρόνοι, ἐν χρήσει.

Ἀγάζει, ἀγανακτεῖ, βαρέως φέρει, θαυμάζει, φθονεῖ, λυπεῖται. γίνεται δὲ ἀπὸ τοῦ ἀγῶ τὸ ἀγάζω, ὡς σκεδῶ σκεδάζω. ἐξ οὗ ἐστι τὸ ἄγημι, καὶ ἄγαμαι.

Ἀγάζεσθαι, βλάπτεσθαι.

Ἀγάζεται, σέβεται.

Ἀγάζηλοι, μεγαλόζηλοι. οἱ δέ, φθονεροί.

Ἀγαζόμεθα, πλεονάζομεν.

Ἀγαζόμενοι, κάμνοντες, λυπούμενοι, λιπαροῦντες.

Ἀγαθά. ἐπὶ τῶν πρὸς ἀπόλαυσιν καὶ εὐωχίαν σιτίων καὶ ποτῶν, ἐχρήσατο Ξενοφῶν τῇ λέξει.

Ἀγαθόν, τὸ θεῖον, ἢ τὸ θαυμαστόν, ἢ τὸ ταχύ.

Ἀγαθός, ὁ φρόνιμος, σώφρων καὶ ἀνδρεῖος.

Ἀγαθὰ Κιλίκων. λείπει τό, ἔχει. παροιμία δέ ἐστιν, ἐπὶ τῶν ἀπὸ τῶν οὐ προσηκόντων πλουτούντων. οὗτος γὰρ Μίλητον προδούς, ηὐπόρησεν.

* Ἀγαθαρχία, ἐπὶ Θεοῦ ἡ ἀρίστη ἐξουσία. καὶ ἀγαθαρχικός. ὅθεν ἀγαθαρχικὴ Τριάς.

Ἀγάθαρχος, ὄνομα κύριον.

Ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτον. παροιμία ἐπὶ τῶν τὰ δεύτερα τισὶ διδόντων, ἢ αἱρουμένων.

Ἀγαθὴ τύχη, ἡ νέμεσις, καὶ ἡ θέμις.

Ἀγαθίδες, σησαμίδες.

Ἀγαθίς, δέσμη ῥάμματος, ἢ στήμονος. λέγουσιν οἱ παλαιοί, ὅτι ὑποθήκαις Δαιδάλου ἀγαθίδα μίαν ἡ Ἀριάδνη δοῦσα τῷ Θησεῖ, αἰτία γέγονεν ἐκείνῳ, διεξοδεῦσαι τὸν λαβύρινθον.

Ἀγαθιζομένη, ἀγαθὰ λέγουσα.

Ἀγαθικά, τὰ σπουδαῖα.

Ἀγαθοδαιμονισταί, οἱ ὀλιγοποτοῦντες.

* Ἀγαθοδότης, τὸ θηλυκὸν ἀγαθοδότις.

Ἀγαθοεργός, ὁ ἀγαθὰ ποιῶν. καὶ ἀγαθοεργία, προθυμία ἔργου ἀγαθοῦ.

Ἀγαθοεργοί, οἱ ἐκ τῶν ἱππέων ἐξιόντες πέντε ἑκάστου ἔτους, ὡς Ἡρόδοτος ἱστορεῖ, παρὰ Σπαρτιάταις. ἢ ἀγαθοεργοί, αἱρετοὶ κατ' ἀνδραγαθίαν ἐκ τῶν Ἐφόρων.

* Ἀγαθολογέω τὸν δεῖνα, τουτέστιν ἐπαινῶ.

* Ἀγαθοποιέω τὸν δεῖνα, τουτέστιν εὐεργετῶ. καὶ ἀγαθοποιέω. τουτέστι ποιῶ τι ἀγαθόν.

Ἀγαθός. φύσει μόνος ἀγαθὸς ὁ Θεός. γίνεται δὲ καὶ ὁ ἄνθρωπος δι' ἐπιμέλειαν τῶν τρόπων. καὶ ὁ κατὰ μέθεξιν τοῦ ἀγαθοῦ. καὶ ὁ χωρὶς αἰτήσεως τὰ καλὰ χαριζόμενος ἀφθόνως. ἐτυμολογεῖται δὲ ἐκ τοῦ ἀγάζω, τὸ θαυμάζω. ὁ μέλλων, ἀγάσω. ὁ παρακείμενος, ἤγακα, ἤγασμαι, ἤγασαι, ἤγασται, ἀγαστός. ἀποβολῇ τοῦ σ, καὶ τροπῇ τοῦ τ εἰς θ, ἀγαθός. ὡς κρεμάστρα, κρεμάθρα.

Ἀγαθοκλῆς, ὄνομα κύριον.

* Ἀγαθοτελής, ὁ ἀγαθοποιός, καὶ ὁ τελείως ἀγαθός. καὶ ἀγαθοτέλεια, ἡ ἀγαθοποιία, καὶ ἡ τελεία ἀγαθότης.

* Ἀγαθότης, καὶ ἀγαθωσύνη ταυτόν.

Ἀγαθόν, οὗ πάντα ἐφίεται. καὶ τὸ δι' ἑαυτοῦ φύσει ἀναγκαῖον.

Ἀγαθὸς καὶ ἐχέφρων, ταυτά ἐστιν. ἢ καὶ διαφέρει, καθότι γενικώτερον ὁ ἀγαθός, τοῦ ἐχέφρονος.

Ἀγάθοσμον, πήλινον.

Ἀγαθοῦ δαίμονος. ἔθος ἦν τοῖς Ἕλλησι μετὰ τὸ ἄριστον πίνειν ἀγαθοῦ δαίμονος ἐπιρροφοῦσιν ἄκρατον. καὶ τοῦτο δὲ τρίτον. ὅπερ ἔλεγον, ἀγαθοῦ δαίμονος. ἄλλοι δέ φασι τὸ πρῶτον ποτήριον οὕτω λέγεσθαι. χωρίζεσθαι δὲ μέλλοντες, διὸς σωτῆρος. καὶ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνός, οὕτως ἐκάλουν. καὶ ἐν Θήβαις δὲ ἦν ἡρῷον ἀγαθοῦ δαίμονος.

Ἀγαθοθέλεια. ἡ τῶν ἀγαθῶν ἐκλογή.

* Ἀγαθουργός, καὶ ἀγαθοεργής, ὁ ἀγαθοεργός. καὶ ἀγαθουργία ἡ ἀγαθοεργία. καὶ ἀγαθουργῶ, τὸ εὐεργετῶ, καὶ ἐργάζομαι ἀγαθόν.

* Ἀγαθύνω, τὸ ἀγαθοποιῶ. καὶ ἀγαθύνομαι, χαίρω.

Ἀγαθῶν ἀγαθίδες. τάττεται ἡ παροιμία παρὰ τοῖς κωμικοῖς, ἐπὶ τῶν πολλῶν ἀγαθῶν. καὶ ἀγαθῶν θάλασσα, ἐπὶ πλήθους ἀγαθῶν. καὶ ἀγαθῶν μυρμηκιά, ἐπὶ πλήθους εὐδαιμονίας. καὶ ἀγαθῶν σωρός, ἐπὶ πλήθους ἀγαθῶν, καὶ πολλῆς εὐδαιμονίας.

Ἀγάθων, τραγικὸς ποιητής, ὃς ἐπὶ μαλακίᾳ διεβάλλετο.

Ἀγαθώνειος αὔλησις, ἡ μαλακὴ καὶ ἐκλελυμένη, ἢ ἡ μήτε χαλαρά, μήτε πικρά, ἀλλ' εὔκρατος καὶ ἡδίστη.

Ἀγάθυρσα, πόλις Σικελίας.

Ἀγάθυρσοι, ἔθνος.

Ἀγάθυσα ἡ Δῆλος ἐκαλεῖτο πρότερον.

Ἀγαθωσύνη, ἡ ἀπηρτισμένη ἀρετή, ὡς ὁ Ἀπόστολος.

Ἄγαι

Digitized by Google

Ἄγαι, ἥδονες, θαύματα, ἢ θαύματα.

Ἄγαις, ζηλώσεσιν. Αἰσχύλος Θρήσσαις.

Ἀγαίεται, βασκαίνει, ὀργίζεται, χολοῦται. τίθεται ἡ λέξις πολλάκις καὶ ἐπὶ τοῦ φθονεῖν.

Ἀγαίομαι, φοβοῦμαι. * ἄλλως φθονοῦμαι.

Ἀγαιόμενος κακὰ ἔργα, ὁ μεμφόμενος. ἐκ τοῦ ἀγῶ ἀγαίω, ὡς γῶ γαίω τὸ γαυριῶ. ὅτι δὲ παρ' Ὁμήρῳ τὸ ἀγαιομένου καὶ ἀταιομένου γράφεται, ὡς ἀπὸ τοῦ ἀτῶ ἀταίνω τὸ βλάπτω, οἱ παλαιοὶ δοκοῦσι κριτικοί.

Ἀγαιόμενον, ἐπίφθονον, θαυμάσιον, καὶ φθονερόν.

Ἀγαῖον, ἐπίφθονον.

Ἀγαῖος κατὰ τοὺς παλαιούς, σεμνός, καλός, λαμπρός, κόσμιος. ὅθεν πλεονασμῷ, καὶ ἀγαυρός.

Ἀγακλειτοί, ἄγαν ἔνδοξοι.

Ἀγακλεεῖς, ἄγαν ἔνδοξοι.

Ἀγακλεός, ἄγαν εὐκλεοῦς, ὅ ἐστι μεγάλως ἐνδόξου.

Ἀγακλυτά, ἄγαν ἔνδοξα, ἢ ἄγαν διαβεβοημένα.

Ἀγάλαλα, περιχειρίδιον.

Ἀγάλακτες, σύγγονοι, ἥλικες, ὁμογάλακτοι, ὁμογενεῖς, ὅμαιμοι, ἀδελφοί. οἱονεὶ ὁμογάλακτοι τινὲς ὄντες, ὡς τὸ αὐτὸ γάλα σπάσαντες. ἄλλοι δὲ τῶν ἱερείων κοινωνοὺς καὶ συγγενεῖς, οἱ δέ, σύντροφοι.

Ἀγάλακτος, ὁ ὁμόθηλος. * καὶ ὁ μὴ γευσάμενος γάλακτος. καὶ ἐπιτατικῶς δὲ ὁ πολυγάλακτος. καὶ γυνὴ ἀγάλακτος παρ' Ἱπποκράτει ἡ μὴ ἔχουσα γάλα. καὶ ἀγάλακτοι νομαί, ὅσαι δηλαδὴ οὐκ ἐπιτηδείως ἔχουσι τοῖς ζώοις πρὸς γαλακτοποιΐαν.

* Ἀγαλακτία στερητικῶς ἡ σπάνις, καὶ ἐπιτατικῶς ἡ εὐπορία τοῦ γάλακτος.

Ἀγαλακτοσύνη, συγγένεια.

Ἀγάλαξ, ὁμόπηθος.

Ἀγάλαστος, ἀκόλαστος.

Ἀγαλβάς, ἀκρατής. οἱ δέ, γελᾶς.

Ἀγάλλει, ποιεῖ, σκευάζει, θυσιάζει, κοσμεῖ.

Ἀγάλλω, τὸ τιμῶ καὶ κοσμῶ. ἢ τὸ ἀγαλλίασιν ἐμποιῶ. καὶ ἀγάλλομαι ποιητικῶς τὸ χαίρω. ὃ καὶ ἀγαλλιῶμαι λέγεται. ὁ μέλλων, ἀγαλῶ. ὁ ἀόριστος, ἤγειλα, ἀφ' οὗ ἄγαλμα ἡ εἰκών, καὶ ὁμοίωμα.

Ἄγαλμα, ξόανον, ἀφομοίωμα εἰδώλων, εἰκόνων, ἢ ἀνδριάντων. καὶ ἄγαλμα, πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. οὐχ ὡς ἡ συνήθεια, τὸ ξόανον.

Ἀγάλματα παρὰ μέντοι τοῖς ὕστερον, τὰ ξόανα. παρὰ δὲ τῷ ποιητῇ, πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. ὡς δηλοῖ ἡ Ὀδύσσεια. εἰ καὶ οἱ μεταγενέστεροι ἐπὶ ξοάνου τὴν λέξιν τεθείκασι. παλαιὸς δέ τις γραφὴ οὕτως.

Ἄγαλμα δέ, οὐ συνήθως τὸ θεῶν καὶ ἡρώων, ἀλλὰ κοινῶς. οἷον, βασιλῆϊ δὲ κεῖται ἄγαλμα. καί, ἄλλα δ' ἀγάλματα ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε. καὶ ἀγάλματα κεχάρητο ἰδοῦσα. πάντα οὖν τὰ κόσμου τινὸς μετέχοντα, οἷον, εἴδωλον, βρέτας, χάρμα, καλλονή, κόσμος, καύχημα, θαλλοί, ἀνδριάντες, ἐπιγραφαί, καὶ γραφαί, ἀγάλματα λέγονται. ἀγαλμάτιον δέ, ὑποκοριστικῶς. ἢ ἄγαλμα, ὁ καλλωπισμός, τὸ ἀνάθημα, καὶ τὸ θεοῦ ὁμοίωμα.

Ἄγαλμα, ἀπὸ τοῦ ἀγάλλω τὸ τιμῶ. ἀνδριάς, ἐπ' ἀνθρώπων, ἀπὸ χαλκοῦ, ἢ ξύλων, ἢ λίθων, ἢ τοιούτων τινῶν κατεσκευασμένος. εἴδωλα δέ, τὰ φαινόμενα ἐν ταῖς ἐρημίαις νυκτός, ἢ μεθ' ἡμέραν φαντάσματα. στῆλαι δέ, κυβοειδεῖς λίθοι ἐπιγράμματα τινῶν φέροντες.

Ἀγαλματοποιοί. (* καὶ ἀγαλματουργοί) τουτέστι, χειρουργοὶ ἀγαλμάτων. * καὶ ἀγαλματοποιΐα, ἀγαλματοποιητική, ἀγαλματουργία, καὶ ἀγαλματουργική, ἡ τέχνη.

* Ἀγαλματόω, μεταβάλλω εἰς ἄγαλμα. Λυκόφρων.

Ἀγάλλων, ἑαυτὸν σεμνοποιῶν.

Ἀγάλλω κάλλιον, ἢ λαμπρύνω. καὶ ἀγάλλομαι, ἢ λαμπρύνομαι. ἔστι δὲ καὶ ἀγάλλομαι ἀντὶ τοῦ χαίρω, τέρπομαι.

Ἀγαλλόμεναι πώλοισι, παρ' Ὁμήρῳ, τὸ πώλοισι θηλυκῶς προήκται κατὰ Ἴωνας. τὸ δὲ ἀγάλλεσθαι, φαίνεται κατὰ κυριολεξίαν λέγεσθαι ἐνταῦθα, ὡς τῶν μητέρων πρὸς ἀγέλην, ἢ ἄγαν ἀλλομένων ἐπὶ ταῖς πώλοις. Δύναται δὲ καὶ ἐκ τῶν λογικῶν τοῦτο εἰς ἵππους μετενηνέχθαι, καθὰ καὶ τὸ παρειλέξατο.

Ἀγαλλόμεναι πτερύγεσσι, παρ' Ὁμήρῳ, ἀκαταλλήλως εἴρηται. ἐχρῆν γὰρ ὀρθῶς εἰπεῖν ἀγαλλόμενα, ἵνα λέγῃ ἔθνεα πολλὰ ἀγαλλόμενα. Εἴρηται δὲ ἀττικῶς. ὅμως εἰ καὶ οὐκ ἀπεδόθη πρὸς τὴν φωνὴν τὰ ἔθνεα, ἀλλὰ πρὸς τὸ σημαινόμενον, ὅπερ ἐστὶν ὄρνιθες. ταυτὸν γὰρ ἔθνεα ὀρνίθων, καὶ ὄρνιθας εἰπεῖν. καινοποιὸν οὖν σχῆμα τὸ εἰπεῖν, ἔθνεα πολλὰ ὀρνίθων ἀγαλλόμεναι πτερύγεσσιν. ἀντὶ τοῦ, ἀγαλλόμενα. ἤ, ὄρνιθες χαίρουσαι τῇ πτερήσει.

* Ἀγαλλίασις, χαρά.

Ἀγαλλιῶμαι, τὸ χαίρω.

Ἀγάλματα πάτρια, τὰ τῶν Εὐμενίδων.

Ἀγαλλίαμα, δόξασμα.

Ἀγαλλιάζει, λοιδορεῖται.

Ἀγαλλίς, ὑάκινθος, ἢ θρυαλλίς, ἢ ἀναγαλλίς.

Ἀγαλλητόν, ἐφ' ᾧ αὖ τις ἀγαθείη.

Ἀγαλλήτορα, παῖδα, Τυρρηνοί.

Ἀγάλλιας, λοίδωρος.

Ἀγαλλόμενος, ἀγαλλιῶν, χαίρων, σεμνυνόμενος.

Ἀγάλλου, ἱλάσκου.

Ἀγαλοῦμεν, ἐπικοσμήσομεν, Ἀριστοφάνης.

Ἀγαλμός, λοιδορία.

Ἀγαλμηνόν, ἀσθενές.

Ἀγαλματοφορεῖσθαι, καλλωπίζεσθαι.

Ἀγαλματίτης, λίθου κόλλα.

Ἀγαλματικός, ἀκουστής.

Ἀγαλματοφόρος, ὡς ἄγαλμα ἐν τῇ ψυχῇ * φέρων.

Ἀγαλματοφορούμενος, ἀγάλματα ἤτοι τύπους τῶν νοηθέντων φέρων ἐν ἑαυτῷ. οὕτω Φίλων.

Ἄγαλμα Ἑκάτης, τὴν κύνα, διὰ τὸ ἐκφέρεσθαι τῇ Ἑκάτῃ κύνας. ἢ διότι καὶ αὐτὴν ἔνιοι κυνοκέφαλον πλάττουσιν.

Ἀγαλότιμος, λαμπρῶς τετιμημένος. * ἐκ μεταθέσεως ἀντὶ τοῦ ἀγλαότιμος.

Ἄγαμαι, θαυμάζω. ἄγαμαι, ἀγάσομαι, ἠγασάμην. καὶ ἄγαμαί σε τοῦ φρονήματος, ἀττικῶς, ἀντὶ τοῦ ἕνεκα τοῦ φρονήματος. οἱ ἀττικοὶ γὰρ ἔξωθεν λαμβάνουσι τὸ ἕνεκα. λέγεται καὶ ἀντιστρόφως, ἄγαμαί σου τὸ σῶφρον. οὐδὲ λίαν ἄγαμαι, ἀντὶ τοῦ, οὐκέτι λίαν ἐκπλήττομαι. ἄγαμαι καὶ ἔραμαι. τοῦ δὲ ἔραμαι κοινὸς ὁ ἐνεστώς, ἐρῶ. ἐράσω γάρ, ἵνα ᾖ παθητικὸς παρακείμενος ἀναύξητος. τοιοῦτο δὲ καὶ τὸ ἄγαμαι. (* τὸ γὰρ εἰπεῖν ὅτι) καὶ προϋπάρχει αὐτοῖς τὸ ἔρημι, καὶ τὸ ἄγημι ὁμοίως τῷ ἵστημι, ἀμάρτυρόν ἐστιν.

Ἀγαμέμνων, κατὰ μὲν Ὅμηρον, Ἀτρέως τοῦ Πέλοπος, μητρὸς δὲ Ἀερόπης. κατὰ δὲ Ἡσίοδον, Πλεισθένους. τὸ γένος Μυκηναῖος. ὃς ἤγαγε ναῦς εἰς Ἴλιον. ἐκπορθήσας δὲ τὴν Ἴλιον, καὶ ὑποστρέψας οἴκαδε, ἀναιρεῖται ὑπὸ Αἰγίσθου τοῦ Θυέστου δόλῳ ἐπ' εὐωχίᾳ. οὗτος γὰρ περὶ τὸν καιρὸν τῆς ἀποδημίας, ἐμοίχευε τὴν Ἀγαμέμνονος γυναῖκα, Κλυταιμνήστραν. κατὰ δὲ τοὺς τραγικούς, αὐτὴ ἡ Κλυταιμνήστρα ἀνεῖλεν αὐτόν, χιτῶνι μὴ ἔχοντι ἔνδυσιν τραχήλου. ἐξ αὐτῆς δὲ ἔσχεν υἱὸν τὸν Ὀρέστην, καὶ θυγατέρας τέσσαρας, Λαοδίκην, Χρυσόθεμιν, Ἰφιγένειαν, καὶ Ἠλέκτραν.

Ἀγαμέμνονα τὸν αἰθέρα, Μητρόδωρος εἶπεν ἀλληγορικῶς.

Ἀγαμεμνόνια ᾄδονταί τινα φρέατα. ἐπεὶ περὶ Ἀττικήν φασι καὶ ἐν Αὐλίδι καὶ ἀλλαχοῦ τῆς Ἑλλάδος, ὤρυξεν ὁ Ἀγαμέμνων φρέατα. καὶ τοίνυν ὁ ὀκνῶν οἰνοβαρῆ καὶ ἐμφόρητον οἴνου τὸν Ἀγαμέμνονα σκώπτειν, ἔχοι ἂν ἐν τούτοις τὸ νιφάλιον αὐτῷ ἐπιμαρτύρεσθαι, διὰ τὸ φιλίως ἔχειν πρὸς τὰ ὕδατα. ἄλλως.

Ἀγαμεμνόνια φρέατα. ἱστοροῦσι τὸν ἀγαμέμνονα περὶ τὴν αὐλίδα καὶ πολλαχοῦ τῆς Ἑλλάδος φρέατα ὀρύξαι, καὶ δῆμος δέ, ὡς ἐν τῇ δωδεκάτῃ τῆς ἀτθίδος.

Ἀγαμένως, θαυμαστῶς.

Ἀγαμήδης, ὄνομα κύριον.

Ἀγάμητος, ἄγαμος, ἄζυξ.

Ἀγαμίας, ἔνθα αἱ παρθένοι ἐξετίθεντο τῷ κήτει. τινὲς δὲ πολίχνην. * τοῦτο παρ' Ἡσυχίου λαβὼν ἔχει ὁ Βαρῖνος αὐτολεξεί. γράφεται δὲ παρ' ἄλλοις Ἀγάμεια, καὶ Ἀγάμη. ἀκρωτήριον, καὶ λιμὴν παρὰ τὴν Τροίαν. ἐκλήθη δὲ ἀπὸ τοῦ τὴν Ἡσιόνην ἄγαμον οὖσαν ἐνταῦθα παραδοθῆναι τῷ κήτει. καὶ δοκεῖ πως τὸ ἀγάμεια παρὰ τὸ ἀγάμη γίγνεσθαι, ὥσπερ καὶ παρὰ τὸ πρέσβη πρέσβεια, καὶ Πηνελόπεια ἐκ τοῦ Πηνελόπη. τὸ ἐθνικὸν ἐκ τοῦ Ἀγάμεια, Ἀγαμείτης, ἢ Ἀγαμειάτης, καὶ ἐκ τοῦ Ἀγάμη, Ἀγαμεύς.

Ἀγαμίου ζημία, παρὰ Σπαρτιάταις.

Ἄγαμος τόπος, ὄρος κρημνῶδες.

* Ἀγαμός, πόλις περὶ τὴν Ποντικὴν Ἡράκλειαν. ὁ πολίτης Ἀγάμιος.

Ἄγαν, πάνυ, μάλιστα, πολύ, μεγάλως, λίαν.

Ἄγανα, σαγήνην. Κύπριοι.

Ἀγανακτεῖν, στένειν, παρὰ Πλάτωνι.

Ἀγανακτῶ, δυσχεραίνω, εἰ καὶ δοκοῦσιν αἱ λέξεις ἐνεργητικαί, ἀλλὰ τὸ πάθος ἔχουσιν. ἀγανακτῶ, ἐνίοτε μεταβατικῶς σὺν προθέσει, ὡς τὸ ἀγανακτῶ ἐπὶ τοῖς γινομένοις. καὶ ἀγανακτῶ ἐπὶ τούτοις σοι, καὶ εἰκότως ἀγανακτεῖ δυστυχῶν. * λέγεται δ' ἔστι ἀγανακτῶ τινί, καὶ ὑπέρ τινος, καὶ περί τινος, διὰ ταῦτα, πρός τινα, καὶ κατά τινος.

Ἄγαννα, ἅμαξα, καὶ ἡ ἐν οὐρανῷ ἄρκτος.

Ἀγανάκτησις, μανία, θυμός, πόνος, ἄλγος, λύπη.

* Ἀγανακτητόν, δύσφορον. καὶ ἀγανακτικὸς ὁ ὀργίλος.

Ἀγάνιδα, ἀτρέμας.

Ἀγανοῖς, προσηνέσιν, ἀπὸ τοῦ ἄγαν καὶ τὸ αἰνεῖσθαι. ὅθεν καὶ ἀγανή. ἢ ἀπὸ τοῦ ἄγω, τὸ θαυμάζω.

Ἀγανέοισιν ἱέντες, τοῖς δόρασιν, ἢ ἀκοντίοις βάλλοντες.

Ἀγάνεται, πραγματεύεται, χρῆται.

Ἀγάνημαι, ἀγάλλω, ἀγανακτῶ.

* Ἀγανίκη, καὶ Ἀγανίππη, ὀνόματα κύρια. τὸ μὲν γυναικός, τὸ δὲ πηγῆς ἐν Βοιωτίᾳ περιφήμου, καὶ τῶν μουσῶν ἱερᾶς. ὅθεν καὶ Ἀγανιππίδες αἱ μοῦσαι.

Ἀγάννιφον ὄρος λέγει Ὅμηρος, τὸ λίαν χιονιζόμενον. καὶ ἀγάννιφον, τὸν ἄγαν χιονώδη τόπον καὶ πολύνιφον, ἄγαν βαλλόμενον νιφετῷ, τὸν πάνυ κατανιφόμενον. ἤτοι τὸν ὥστε ὅλως νιφόμενον. ἄμφω παρὰ τὸ νείφω. ἢ πολυνέφελον, ὅτινες ἐπὶ τοῦ οὐρανοῦ λαμβάνουσι. καὶ ἀγάννιφον Ὄλυμπον, τὸν ἄγαν χιονώδη. ἐκ τοῦ διφορουμένου νείφω. ἢ γὰρ ἐκ τοῦ ἐνεστῶτος τοῦ ἔχοντος τὸ ι, ἢ ἐκ τοῦ γραφομένου διὰ διφθόγγου. οὐ ὁ δεύτερος ἀόριστος ἔνιφον, ὅθεν δοκεῖ καὶ ἡ νιφὰς εἶναι. καὶ ὁ νιφετὸς ἐκεῖθεν, καὶ τὸ νέφος, καὶ τὸ νένιφα. ὅπερ Ἀριστοφάνης, νένοιφα εἶπεν. ἵν' ᾖ, ὥσπερ ἐκ τοῦ λείβω, τὸ λέλοιβα.

Ἀγανοί, πραεῖς.

Ἄγανον, προπαροξυτόνως, τὸ κατεαγὸς ξύλον, τὸ ἀκαλλώπιστον. ἢ τὸ φρυγανῶδες, καὶ ἕτοιμον πρὸς τὸ κατεαγῆναι. οἱ δέ, τὸ ἀπελέκητον.

Ἀγανὸν ὀξυτόνως, τὸ καλόν, ἢ ἀγαθόν, ἢ ἱλαρόν. οἱ δέ, ἀθάνατον. ἔνθεν καὶ ἀγανοφροσύνη, προσήνεια, πραότης, φιλοφροσύνη. καὶ ἀγανοῦμεν, ἀντὶ τοῦ κοσμήσομεν.

Ἀγανόφρων, πραότατος, λίαν φρόνιμος, ἢ ἀγαθός, ἀγαθὰ φρονῶν, καὶ προσηνὴς τὰς φρεσίν.

Ἀγανώπιδος, πραέα βλεπούσης, εὐοφθάλμου, πραείας, ἢ καλῶς βλεπούσης.

Ἀγάνωρ, ἀγαπητὸς τῆς ἀνδρείας. ἢ ὑπὸ τῆς ἀνδρείας ἀγαπώμενος. ἔστι δὲ καὶ ὄνομα κύριον, τοῦ Ἀγκαίου παιδός. τινὲς δέ, φιλόξενος.

Ἀγανώτερον, ποθεινότερον, πραότερον. γάνος γὰρ ἡ χαρά.

Ἀγαπῶ τὸ φιλῶ, αἰτιατικῇ συντάσσεται. οἷον, ἀγαπῶ τοὺς φίλους, ἀγαπῶ σε πλέον τούτων. ἀγαπῶ δὲ τὸ ἀρκοῦμαι, δοτικῇ, ὡς παρ' Ὁμήρῳ. καὶ Λυσίας. Ὁ γὰρ τῆς Ἀσίας βασιλεὺς οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλὰ ἐλπίζων τὴν Εὐρώπην δουλώσασθαι, ἔστειλε πεντήκοντα μυριάδας στρατιάν.

Ἀγαπᾷν, ἀποδέχεσθαι.

* Ἀγαπάζω, ποιητικόν, ἀγαπῶ, περιπτύσσομαι.

Ἀγαπήνωρ. ἐκ τοῦ ἀγαπάω ἀγαπῶ, ἡ μετοχὴ ὁ ἀγαπάων, ὁ ἀγαπῶν, τοῦ ἀγαπῶντος. τὸ δεκτι-

κὸν

Digitized by Google

κὸν ἀγαπῶμι, καὶ ἀττικῶς ἀγαπάζω, ἀγαπάζεις, ἀγαπάζει. καὶ ἀγαπῶ, φιλῶ, ἀσπάζομαι, στέργω, ποθῶ, ἐρῶ. ὅπερ Ὅμηρος ἐπεισι τοὺς ὕστερον, ἐπὶ τοῦ ἀρκεῖσθαι τιθέναι. ὃ καὶ μετὰ δοτικῆς ἐκεῖνοι συντάσσουσιν, ὡς φθάσαντες εἴπομεν. Ἄλλως.

Ἀγαπάζω, ῥῆμα εὐκτικόν. ἀγαπάω ἀγαπῶ, ἀγαπάοντος ἀγαπῶντος, ἀγαπάοιμι ἀγαπῷμι. τὸ τρίτον, ἀγαπάοι, ἀγαπῷ. καὶ οἱ Ἴωνες ἐν τοῖς τρίτοις προσώποις τῶν εὐκτικῶν, εἰώθασιν ἐπεντιθέναι τὸ η, καὶ ἀναλόγως πάλιν τὸ πρῶτον γίνεται, ἀγαπάζω. κανὼν γάρ ἐστιν ὁ λέγων, πᾶν τρίτον πρόσωπον εἰς η λῆγον, προσθήκῃ τοῦ ς, ποιεῖ τὸ δεύτερον, καὶ τροπῇ τοῦ ς εἰς ν, τὸ πρῶτον.

Ἀγάπη, παρὰ τὸ ἄγειν τὸ πᾶν ἤτοι ἑνοῦν καὶ συνάπτειν πρὸς ὁμόνοιαν, ἢ παρὰ τὸ ἄγαν ποιότητα ἔχειν. καὶ ἀγάπη οὐ περπερεύεται, τουτέστιν, οὐ προπετεύεται. ἡ ἀγάπη, ἄπαυστος πρόθεσις, ἐπὶ τῇ φιλίᾳ τοῦ φιλουμένου. καὶ τὸ προτιμᾶν ἑαυτοῦ ἀεὶ, ἀπόντα καὶ παρόντα τὸν ἠγαπημένον. ἢ ἡ τῶν ἀνθρώπων πρὸς ἀλλήλους συμψυχία.

Ἀγαπήνωρ, ὁ γενναῖος καὶ ἀνδρεῖος, ὁ ἀγαπῶν τὴν ἠνορέην, ὅ ἐστι τὴν ἀνδρείαν. ἔστι καὶ ὁ ἀγαπώμενος ὑπὸ τῶν ἀνθρώπων.

Ἀγαπησμὸν καὶ ἀγάπησιν, οἱ παλαιοὶ ἔλεγον τὴν φρόνησιν, καὶ τὴν φιλοφροσύνην.

Ἀγαπηταὶ ἔθη, τὰ καλὰ καὶ ἀγαθά.

Ἀγαπητὸν, τὸ ἠγαπημένον, καὶ κεχαρισμένον, ἢ τὸ μονογενές.

Ἀγαπητὸς, ὄνομα κύριον. καὶ ἀγαπητὸς υἱὸς, ὁ μόνος ὢν πατρὶ, ἢ μητρί. ὥσπερ καὶ ἀγαπητὴ θυγάτηρ, ἡ μονογενὴς καθ' Ἡσίοδον. τηλύγετος δὲ παρὰ ποιηταῖς, εἴτε ὁ ἀγαπητὸς, εἴτε καὶ ὁ ὀψίγονος, ὁπότε πρὸς τῷ γήρᾳ γένοιτο. ὡσαύτως καὶ τηλυγέτη θυγάτηρ. ὃ καὶ μᾶλλον ἂν λέγοιτο, ὡς Ὅμηρος μαρτυρεῖ. οὕτω γὰρ οὐ τὸν μονογενῆ μόνον τηλύγετον λέγει. ὥς τε εἴρηκεν ἄμφω τηλυγέτω, καὶ ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ.

Ἀγάπιος, ὄνομα κύριον.

Ἀγαπτερέως, ἀσμένως, προθύμως, ταχέως.

Ἀγαρικὸν, βοτάνη τὶς οὕτω καλουμένη παρὰ τοῖς ἰατροῖς.

Ἀγάῤῥητος, ἀχάριστος.

Ἀγαῤῥὶς, ἄθροισις, ἢ πλῆθος ἀγωγῆς.

Ἄγαρος, σκευοφόρος, φορτηγός.

Ἀγάῤῥοον, σφοδρὸν ῥεῦμα ἔχοντα, ἄγαν ῥοώδη.

Ἀγαῤῥοι, οἱ ἐκ διαγωγῆς τι πράττοντες.

Ἀγαῤῥεία, δουλεία.

Ἀγαῤῥεύει, ὑπομένει.

Ἀγαῤῥεύεται, ἐγγυᾶται, ὑπὸ ἀγγαρευτῶν κατέχεται.

Ἀγὰς, ἡ πτῶσις τοῦ ἀστραγάλου.

Ἀγάσατο, οὐ μακράν ἐστι τοῦ ἐφθόνησεν, ἢ ἐμέμψατο, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ.

Ἀγασάμενοι, παρὰ τὸ ἀγάζω τὸ θαυμάζω. μετοχὴ τοῦ μέσου ἀορίστου, ἀγασάμενος, θαυμάσας.

Ἀγάσασθαι, ζηλοτυπῆσαι, καὶ ἁπλῶς μέμψασθαι. ἢ ἀγάσσατο, ἐφθόνησεν, ἐμέμψατο. καὶ ἀγάσατο φοῖβος Ἀπόλλων, ἤγουν ἐφθόνησε. καὶ ἀγασάμενοι, ἀντὶ τοῦ φθονήσαντες. ὅθεν καὶ ἀγαστὸν εἶδος, τὸ ἐπίφθονον. τὸ δὲ ἀγᾶσθαι, καὶ ἀγαίειν λέγεται. τὸ μέν τοι ἄγασθαι προπαροξυτόνως ἐπὶ ἐκπλήξεως νοεῖται, καὶ δύναται ἐξ αὐτοῦ γίνεσθαι καὶ τὸ ἀγαστὸν, ὥσπερ καὶ τὸ ἀγαθόν.

Ἀγάσεσθαι, ταυτόν ἐστι τῷ ἀγαίεσθαι, καὶ μεγαίρειν, καὶ φθονεῖν.

Ἀγάσματα, σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται.

Ἀγάσει, ἄγαν τύπτει. ἀγαστὰ, ἃ ἄν τις ἀγάσαιτο. οἷον ἀρεστὰ, ὡς ὁ Αἰσχύλος.

Ἀγάσησθε, φθονήσητε.

Ἀγάσιον, ἔνδοξον.

Ἀγαστοπέρπαι, οἱ τοὺς πελώνας μηνύοντες, ἢ τὰ τέλη

Ἀγαστὴς, βάσκανος.

Ἀγάστονος, πολυστένακτος, στεναγμοῦ ἄξιος.

Ἀγάστορες, ἀδελφοὶ, ὅμαιμοι, δίδυμοι, ὁμόγαστροι.

Ἀγαστὸς, θαυμαστὸς, ἐπαινετός.

Ἀγάστου, θανάτου. *κατά τινας δὲ ἀναγνωστέον, ἀγαστοῦ, θαυμαστοῦ.

Ἀγάστροφον οὕτασε δουρί. τὸν ἀγάστροφον ἔτρωσε τῷ δόρατι.

Ἀγατεῖσθαι, βλάπτεσθαι.

Ἀγάτημαι, βέβλαμμαι.

* Ἀγαυὴ, μία τῶν Κάδμου θυγατέρων, καὶ Νηρεὶς δὲ οὕτω καλουμένη παρὰ τὸ ἄγαν αὔειν διὰ τοὺς θαλασσίους ἤχους, ὥς φησιν Εὐστάθιος.

Ἀγαύλιος, μῶ.

* Ἀγαύομαι, θαυμάζω.

Ἀγαυὸς κατὰ τοὺς παλαιοὺς, ὁ σεμνὸς, καλὸς, θαυμαστὸς, λαμπρὸς, κόσμιος. ὅθεν πλεονασμῷ τοῦ ρ ἀγαυρὸς, ἐπιφανὴς, ἔνδοξος. ἐκ τοῦ ἀγῶ τὸ θαυμάζω, γίνεται ἄγημι, ἄγαμαι, ἄγασαι, ἄγαται, ἀγαός. καὶ πλεονασμῷ τοῦ υ, ἀγαυὸς, αἰολικῶς, ὡς ναὸς ναυός. ἢ παρὰ τὸ γαίω, τὸ γαυριῶ, γίνεται γαῖος. καὶ τροπῇ τοῦ ι εἰς υ, γαυός. ὡς δίφρος, δύφρος. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀγαυός. καὶ ἀγαυοὶ, λαμπροὶ, φωτεινοὶ, ἔνδοξοι, ἐπιφανεῖς, καὶ προσφιλεῖς. ἔστι δὲ καὶ ἔθνος Σκυθικὸν Ἀγαυοὶ, οὕτω καλούμενον. ὡς ὅταν λέγῃ ὁ Ποιητὴς, καὶ Ἀγαυῶν ἱππημολγῶν.

Ἀγαυότατον, μέγιστον, ἐνδοξότατον.

Ἀγαύρει, ἀπέῤῥωγε μεγάλως.

Ἀγαυρίαμα, ἔπαρμα, οἴησις. παρὰ τὸ γαίω τὸ γαυριῶ γίνεται γαῖρος. καὶ τροπῇ τοῦ ι εἰς υ, γαῦρος. ὡς κλαίω, κλαύσω. καὶ ἐπιτάσει τοῦ α, ἀγαυρός. καὶ ἀγαυριᾶν, τὸ μεγάλως γαυριᾶν, καὶ ἐπαίρεσθαι.

Ἀγαυρὸς, ὁ κομψὸς καὶ αὐθάδης. οἱ δὲ κακός. ὑπὸ Ἰώνων δὲ, ἄπορος. ὑπὸ δὲ Ἀττικῶν, στυφερός. ἢ ἀγαυρὸς, ὁ ὑπερήφανος. παρὰ τὸ ἀπὸ τῆς γῆς αἴρεσθαι. ἢ παρὰ τὸ γαίω τὸ γαυριῶ, γίνεται γαῖος. ἢ παρὰ τὸ ἄγη, ὃ σημαίνει τὴν ἔκπληξιν, γίνεται ἀγηρὸς καὶ ἀγαυρός.

Ἀγγαρεία, ἡ δημοσία καὶ ἀναγκαία δουλεία. ἡ ἀκούσιος, καὶ ἐκ βίας γινομένη ὑπηρεσία.

Ἄγγαρος, ἐργάτης, ὑπηρέτης, ἀχθοφόρος. ἡ λέξις δὲ Περσική. σημαίνει δὲ καὶ τοὺς ἐκ διαδοχῆς βασιλικοὺς γραμματοφόρους. οἱ δὲ αὐτοὶ, καὶ ἀστάνδαι. λέγεται δὲ τὸ ἀγγαροφορεῖν, καὶ ἐπὶ τοῦ φορτία φέρειν, κατὰ διαδοχήν. οὕτως Ὠρίων. Ἄλλως.

Ἄγγαρος. οὕτως ἐκάλουν οἱ Πέρσαι, τοὺς βασιλέως ἀγγέλους. τίθεται δὲ τὸ ὄνομα, καὶ ἐπὶ τῶν φορτηγῶν, καὶ ὅλως ἀναισθήτων, καὶ ἀνδραποδωδῶν. καὶ τὸ ἀγγαροφορεῖν, ἐπὶ τοῦ τὰ φορτία φέρειν. καὶ ἀγγαρεύεσθαι καλοῦσιν, ὥσπερ ἡμεῖς νῦν, τὸ εἰς φορτηγίαν, καὶ τοιαύτην τινὰ ὑπηρεσίαν ἄγεσθαι.

Ἀγγαρεύω, τὸ ἐργάτας ἐγείρω. ἀπὸ τοῦ ἄγγαρος, ὃ σημαίνει τὸν ἐργάτην. ἀγγάρους λέγουσιν οἱ μὲν, τοὺς πρέσβεις. οἱ δὲ τοὺς ἀπράκτους καὶ νωθεῖς. ἔλεγον δὲ καὶ τοὺς σταθμοὺς, ἄγγαρα. καὶ τοὺς ἐπὶ τῷ καθοδηγεῖν παραλαμβανομένους ἄκοντας. Αἰσχύλος οὖν ἐν Ἀγαμέμνονι, τὸν ἐκ διαδοχῆς πυρσὸν, ἀπ' ἀγγάρου πυρὸς ἔφη.

Ἄγγατος, τὸ εἰς ἀναδενδράδα ξύλον.

Ἄγγεα, ἀγγεῖα, καὶ ἀγγεῖον, ἀπὸ τοῦ ἄγειν ἀφ' ἑαυτοῦ καὶ φέρειν.

* Ἀγγείδιον, μικρὸν ἀγγεῖον.

* Ἀγγειθήκη, καὶ ἀγγοθήκη, ἡ τῶν ἀγγείων ἀποθήκη.

Ἀγγεῖλαι κυρίως, τὸ διὰ λόγων κελεύειν. παρὰ τὸ λέγω, ἀνλέγω. καὶ καθ' ὑπερβιβασμὸν, ἀνγέλω. τροπῇ τοῦ ν εἰς γ, ἀγγέλλω.

* Ἀγγειολογέω, φλεβὸς ἐκλογὴν ποιοῦμαι. καὶ ἀγγειολογία δὲ φλεβὸς ἐκλογὴ, Γαληνὸς, παρ' ᾧ, καὶ ἀγγεῖον ἡ φλέψ.

Ἄγγεσον, ἄρσον, ἀντὶ τοῦ γέμισον. ὡς ἐκ τοῦ παρακολουθοῦντος. ἥρμοσται γὰρ τὸ πληροῦν, τῷ πληρουμένῳ.

Ἀγγελία, ἄγγελμα, ἀκοὴ, φήμη. καὶ ἀγγελία τινὸς λέγεται, ἣν ἀγγέλλει τὶς, ὑπ' ἐκείνου πεμφθείς. καὶ ἣν εἴπῃ τὶς περὶ ἐκείνου, οὐχ ὑπ' αὐτοῦ ἀποσταλείς. καὶ ἀγγελίαν, τὴν ἐξ ἀποστολῆς πρεσβείαν Ὅμηρος. ἣν ἄλλαχοῦ, ἐξεσίαν λέγει.

Ἀγγελίην ἐπὶ Τυδῆ, ἔπεμψαν Ἀχαιοί. τουτέστιν, ἐπὶ ἀγγελίαν ἔπεμψαν Τυδέα. καὶ ἀγγελίην αὐτὸν τὸν ἄγγελον.

Ἀγγελίης, ἄγγελος, καὶ ἀγγελία.

Ἀγγελίας, ἀπαγγελίας.

Ἀγγελιαφόρος. πρεσβευτής.

Ἀγγελλόντων, ἀντὶ τοῦ ἀγγελλέτωσαν οἱ Ἀττικοὶ φασίν. ἀγγελλόντων κήρυκες ἀνὰ ἄστυ. ἤγουν, ἔστωσαν τῶν ἀγγελλόντων. οὕτω δὲ καὶ πῦρ καιόντων, ἀντὶ τοῦ ἔστωσαν καίοντες. δῆλον γὰρ ὡς τὰ τοιαῦτα προστακτικὰ, κατὰ φυσικὸν γραμματικὸν κανόνα ἀναλυθέντα εἰς ῥῆμα ὑπαρκτικὸν, τῆς αὐτῆς ἐγκλίσεως, καὶ τοῦ αὐτοῦ ἀριθμοῦ, δύναται διχῶς προφέρεσθαι. οἷον τὸ καιέτωσαν οὕτως ἀναλυθὲν, ποιήσει τὸ ἔστωσαν καίοντες, ἤγουν, ἔστωσαν τῶν καιόντων. ὁμοίως καὶ τὸ κλαιέτωσαν ἀποτελέσει, τὸ ἔστωσαν κλαίοντες. ἤγουν ἔστωσαν τῶν κλαιόντων. ὡσαύτως καὶ τὰ λοιπὰ, ἐν οἷς τὸ ἀγγελλέτωσαν. οὐ ἀνάλυσις, ἔστωσαν ἀγγέλλοντες, ἢ ἔστωσαν τῶν ἀγγελλόντων. καὶ τοιαύτη μὲν ἀνενδεὴς ἀνάλυσις. οἱ δὲ Ἀττικοὶ, ἐλλείψαντες ἐν τούτοις τὸ ὑπαρκτικὸν ῥῆμα, ἀρκοῦνται ταῖς μετοχαῖς εἰς γοργὴν σημασίαν ὁλικὴν, καὶ φράζουσι τὰς πληθυντικὰς γενικὰς, ἀντὶ προστακτικῶν. Ἄλλως.

Ἀγγελλόντων, ἀντὶ τοῦ ἀγγελλέτωσαν οἱ Ἀττικοί φασιν. οὗτοι γὰρ ἐπὶ τῶν προστακτικῶν τῶν ἀπὸ ὁριστικῶν γινομένων, τῶν μὴ ἐχόντων τὸ μ κλητικὸν, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ὁμοφώνως ποιοῦσι τῇ γενικῇ τῶν πληθυντικῶν τῶν ἰδίων μετοχῶν. τύπτετε, τυπτόντων, ἀντὶ τοῦ τυπτέτωσαν. ἐπὶ δὲ τῶν ἐχόντων τὸ μ κλητικὸν, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ὁμοφώνως ποιοῦσι τῷ τρίτῳ τῶν δυϊκῶν. τύπτεσθε, τυπτέσθων, ἀντὶ τοῦ τυπτέσθωσαν.

Ἀγγέλλεσκον, ἤγγελλον.

Ἀγγελὴ, δῆμος τῆς Ἀττικῆς, Πανδιονίδος φυλῆς.

Ἀγγελίη, ὄρχησίς τις παροίνιος.

Ἄγγελοι, δυνάμεις ἅγιαι, ἀποστελλόμεναι παρὰ Κυρίου εἰς διακονίας.

Ἄγγελον Συρακούσιοι τὴν Ἄρτεμιν λέγουσιν.

Ἄγγελος, οὐσία νοερὰ, ἀσώματος, Αὐτεξουσιάζουσα, Θεῷ λειτουργοῦσα, χάριτι τὴν ἀθανασίαν εἰληφυῖα. Ἄλλως.

Ἄγγελος, ζῶον λογικὸν, ὑμνολογητικὸν, πύρινον, ἄϋπνον, ἀθάνατον κατὰ χάριν, οὐσία νοερὰ, αὐτεξούσιος, ἀκίνητος, Θεῷ λειτουργοῦσα. ἡ δύναμις ἄϋλος ἀποστελλομένη παρὰ Κυρίου, εἰς διακονίας. ὥσπερ δὲ παρὰ τὸ εἴκω τὸ ὁμοιῶ, γίνεται εἴκελος, οὕτω καὶ παρὰ τὸ ἄγω γίνεται ἄγελος, καὶ ἄγγελος.

Ἀγγέλιος. οὗτος ἐπὶ Οὐάλεντος ἦν, Κωνσταντινουπόλεως Ἐπίσκοπος, βίον ἀποστολικὸν βιούς. ἀνυπόδητος γὰρ διόλου διῆγεν, ἑνίτε χιτῶνι ἐκέχρητο, τὸ τοῦ Εὐαγγελίου φυλάττων ῥητόν.

* Ἀγγελιώτης, ἄγγελος, πρέσβυς, ποιητικόν. τὸ θηλυκὸν ἀγγελιῶτις.

Ἄγγελοι, οἱ μόνον τῇ τοῦ νοὸς καταλήψει εἰσὶ περιγραπτοί. οὔτε γὰρ ἐν τόπῳ, οὐδὲ ἐν σώματι, οὐδὲ ἐν χρόνῳ. πρὸ γὰρ τοῦ ἡλίου ἡ γένεσις αὐτῶν.

Ἀγγέλους πονηροὺς, τοὺς τῆς τιμωρίας ὑπουργοὺς ἡ γραφὴ καλεῖ. ὥσπερ ἡμέραν πονηρὰν, τὴν τῆς τιμωρίας. ὀργὴν γὰρ καὶ θυμὸν καὶ θλίψιν ἐπὶ Θεοῦ, τὰς πικρὰς τιμωρίας καλεῖ. οὐ γὰρ φύσιν, οὐδὲ προαίρεσίν φησιν.

Ἀγγέλλω, ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν συντάσσεται. ὡσαύτως καὶ τὸ περιαγγέλλω. οἷον ἀγγέλλω σοι τὰ πεπραγμένα. καὶ παθητικῶς, ἐπαγγέλλομαί σοι εὐδαιμονίαν. λέγομεν καὶ ἀγγέλλω σοι τὰ περὶ ἐμοῦ. καὶ ἀγγέλλει τὶς λόγους τινὸς, πρός τινα. ἤγουν, διακομίζει. καὶ ἀγγέλλειν τὸ ἀφ' ἑαυτοῦ τινὰ λέγειν περί τινος.

Ἀγγεράκομον, σταφυλήν.

Ἀγγέριος, ἄγγελος.

* Ἀγγήϊα, ἰωνικῶς ἀντὶ ἀγγεῖα.

Ἀγγίτας, ὄνομα ποταμοῦ. καὶ ἔστι παρὰ τὸ Παγγαῖον, ὁμοίως καὶ ἡ Ἄρτεμις.

Ἀγγιθεὺς, ἐξ ὧν ἡ κεφαλὴ συνίστηκε τῶν σκορόδων.

Ἀγ-

Digitized by Google

Ἀγγαραρὰξ, σταφυλή.

Ἀγγοπὺς, ᾧ τοὺς ἐλέφαντας τύπτουσι σιδήρῳ.

Ἀγγοπλωΐας, καὶ ἀγγοπλώϊα, τὰ τῶν μελισσῶν κηρία.

Ἄγγος, ἀγγεῖον, καὶ ῥίζα βοτάνης.

Ἄγγυρος, εἶδος πλακοῦντος.

Ἀγγρίας, λυπηρός. * ἴσως λύπας. ἀγγρίζειν γὰρ τὸ ὀδυνᾶν.

Ἀγγριὰς ὀξυτόνως, τὰς δέρρεις. οἱ δὲ, τὰς ἀνίας. οἱ δὲ συνήθως ἀπὸ τοῦ ἀγγρίζεσθαι, οὕτως Ὠρίων.

Ἀγγρίζειν, ὑφαιρεῖσθαι, ἐρεθίζειν, ὀδυνᾶν.

Ἄγγρις, ἡ ὀδύνη.

Ἀγγῶνες, δοράτια οὐ λίαν μικρὰ, ἀλλ' οὐδὲ μεγάλα, ἀλλ' ὅσον ἀκοντίζεσθαι εἴπου δεήσοι.

Ἄγδυς, ἄγγος κρυπτικόν.

Ἄγδιστις, ἡ αὐτὴ τῇ μητρὶ τῶν θεῶν.

Ἄγε, καὶ ἄγετε. τὸ μὲν ἑνικῶς. τὸ δὲ πληθυντικῶς. ἐπὶ πλήθους ἄμφω κατὰ Ὁμηρικὴν συνήθειαν. ὡς ἐν τῷ, Ἀλλ' ἄγε μὴ παρέλκετε. καὶ, Ἀλλ' ἄγετε μνηστῆρες.

Ἄγεται ὁ ἀνὴρ γυναῖκα, λέγεται. ἐπὶ γυναικὸς δὲ, οὐ λέγεται ὅτι ἄγεται ἄνδρα. προσάγεται δέ τις τινὰ, ἤγουν ἕλκει.

Ἄγε, ἴθι, ἢ ἄγε. ἄγε δὴ, φέρε δή.

Ἄγε δῆτα, δεῦτε δῆτα.

Ἄγεα, τεμένη.

Ἀγέεσι, τεμένεσιν.

Ἄγει χολὴν, καὶ ἄγει ἀπραξίαν, ἀντὶ τοῦ σχολάζει, καὶ ἀπρακτεῖ, ἢ ἔχει χολήν. καὶ ἄγει ἑορτὴν, ἀντὶ τοῦ ἑορτάζει. καὶ ἄγει ἑορτὴν τόδε τὸ ἔθνος, ἀντὶ τοῦ τελεῖ. καὶ ἄγει ἡ θάλασσα γαλήνην, ἤγουν ἔχει. ἢ ἄγει, ἀντὶ τοῦ πανηγυρίζει. Ἀριστοφάνης, ἄγουσιν οὖν τὸν ἴακχον, ὅνπερ ὁ Διαγόρας.

Ἄγειν, τὸ διεξάγειν τὸ στράτευμα. ὅθεν ἀγὸς ποιητικῶς, ὁ ἡγεμών. καὶ ἄγειν, νομίζειν, τίθεσθαι, καὶ ἡγεῖσθαι. ἄγειν, τὸ διάγειν, διαβιβάζειν. οἷον, ποίας ἡμέρας μ' ἄγειν δοκεῖς; Σοφοκλῆς, καὶ ἄγειν μυστήρια, ἀντὶ τοῦ μυσταγωγεῖν. διαφέρει δὲ τὸ ἄγειν τοῦ φέρειν. ἄγεσθαι μὲν τὰ ἔμψυχα λέγεται, φέρεσθαι δὲ τὰ ἄψυχα. οἱ δ' ἦγον, ἔφερον δ' αἴθοπα οἶνον. καὶ ἄγειν, ἀντὶ τοῦ παιδαγωγεῖν. ὅθεν καὶ ἀγωγὴ, ὡς ὁ Θεολόγος, τοὺς μὲν γὰρ ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγμασι. καὶ ἄγειν, ἀντὶ τοῦ συντρίβειν. ὅθεν τὸ κατεαγός. ἔχει δὲ τὴν δύναμιν ταύτην, ἀπὸ τῆς προθέσεως. καὶ ἄγειν τὸ φέρειν, καὶ λῃστεύειν, τιμᾶν, κομίζειν, σέβεσθαι, καὶ ἁρπάζειν. καὶ ἄγειν, τὸ ὑπάγειν, καὶ τείνειν, καὶ ὑφέλκειν, καὶ ἐρεθίζειν. οἷον, ἄγω τινὰ εἰς δουλείαν. καὶ ἄγω μεγάλως τοὺς νόμους, ἀντὶ τοῦ διηγοῦμαι. ἐξάγω, οὗ τὸ ἐναντίον εἰσάγω. συνάγω, τὸ τὰ διερρημένα συνάπτω, προσάπτω. προσάγω, τὸ προσφέρω. προσάγομαι δέ τινα, ἀντὶ τοῦ ἕλκω. προάγω τινὰ, ἤγουν προφθάνω. προάγομαι δὲ, τὸ εἰς ἀνάγκην καθίσταμαι ποιεῖν τι, ἢ λέγειν. ἀνάγω τὴν ναῦν ἐπὶ ἀναπλεύσεως. οὗ τὸ ἐναντίον κατάγω, ὅταν τῷ λιμένι προσίσχῃ. κατάγω, καὶ ἐπὶ ἐλαττώσεως μεγέθους ἀξιωμάτων, καὶ καθαιρέσεως. οὗ τὸ ἐναντίον, ἀνάγω. ἀνάγομαι δὲ παθητικῶς, τὸ ἀναπλέω. ἤτοι, τὸ ἐκ τοῦ λιμένος, εἰς τὸ πέλαγος πλέω. οὗ τὸ ἐναντίον κατάγομαι. λέγεται δὲ τὸ κατάγομαι, καὶ τὸ ἐπὶ καταγωγίου καταλύω. διάγω, τὸ διατρίβω. μετάγω, τὸ μετατίθημι. παράγω, τὸ, παρών φαίνομαι. παράγεται δὲ κατὰ γραμματικοὺς, καὶ λέξις ἐκ λέξεως. καὶ παράγεται τὸ ἀπατᾶται. ἐπάγω, καὶ ἐπάγομαι. ἤτοι, ἐπισύρω καὶ ἐφέλκομαι. λέγεται δὲ τὸ μὲν ἐπάγω, ἀντὶ τοῦ πρὸς τοῖς προτέροις, ἐπιφέρω ἕτερον. τὸ δὲ ἐπάγομαι λέγεται, ἐπὶ τῶν ἔμπροσθεν ἐρχομένων καὶ ἑλκόντων τι δεδεμένον ὄπισθεν αὐτῶν. περιάγω τὴν πομπὴν, ἀντὶ τοῦ καταφανῆ ποιῶ. ἀπάγω, τὸ μακρὰν ποιῶ ἵστασθαι. ὑπάγω, τὸ προάγω. ἄγω οὖν ὁ ἐνεστὼς. ὁ παρατατικὸς, ἦγον. ἄξω μέλλων, ἀγήοχα παρακείμενος. ἤγαγον β' ἀόριστος. ἄγομαι ὑπό τινος ἐπὶ παθητικῆς σημασίας. καὶ ἄγομαι γυναῖκα, ἤγουν λαμβάνω. καὶ ἡγόμην παρατατικὸς, ἄξομαι μέλλων, ἐπὶ σημασίας τοῦ ἐνεργητικοῦ, ἀχθήσομαι δὲ, ἐπὶ πάθους.

Ἀγεῖραι, ἀθροῖσαι, συναγεῖραι, συλλέξαι, συλλέξασθαι, ἐμπορίσαι, συμπορίσαι, συμπορίσασθαι.

Ἀγείραστον γέρας, ἡ τιμή. ἀγέραστον, καὶ πλεονασμῷ τοῦ ι, ἀγείραστον. οὕτως Ἡρωδιανὸς περὶ παθῶν. σημαίνει καὶ τὸ ἄτιμον, καὶ πολύτιμον.

Ἀγείρεσθαι, ἐκπορεύεσθαι, λοιδορεῖσθαι, συναθροίζεσθαι.

Ἀγείρειν πύρνα. δέδωκεν ἀφορμὴν τοῖς ὕστερον ἀγύρτας εἰπεῖν τοὺς πτωχούς. καὶ ἀγυρτάζειν, τὸ πτωχεύειν. καὶ μητραγυρτεῖν δὲ, τὸ μετὰ τυμπάνων καί τινων τοιούτων περιϊέναι, καὶ ἐπὶ τῇ μητρὶ ἀγείρειν τροφὰς, ὅ ἐστιν ἐπὶ τῇ Ῥέᾳ ὡς δῆλον ἐκ τοῦ Διονύσου. μητραγύρτης καὶ τυμπανιζόμενος, ἤγουν τύμπανον κρούων.

Ἀγείρειν, συνάγειν, συναθροίζειν. λέγεται κατὰ τὸν Αἴλιον Διονύσιον, καὶ τὸ περιϊέναι καὶ περινοστεῖν ἐπὶ νίκῃ, ἢ ἑτέρῳ τινί. ὅθεν ἴσως ὁ ἀγύρτης. Πλάτων ἐν πολιτικοῖς, καὶ τὴν ἄθροισιν ἀγυρμόν φησιν, εἰπὼν συναγυρμὸν φρονήσεως.

Ἀγειροκύβηλιν, μαντικὸν πέλεκυν, ἢ τὸν θύτην, τὸν ἀγείροντα τὸν πέλεκυν ἐφ' ἑαυτόν: παρὰ τὴν ἄγερσιν.

Ἀγηρέθω. ἐκ τοῦ ἀγείρω τὸ συναθροίζω, γίνεται ἀγηρέθω.

Ἄγεστοι, ἄβροχοι, σκληροί.

Ἀγειρόντων, συναθροιζόντων.

Ἀγείρω, αἰτιατικῇ συντάσσεται. οἷον, πολὺν στρατὸν ἀγείρας.

Ἀγειστῶσι, ἀθρηγγῶσι, ἀσεγάστου.

Ἀγέστης, ὑβριστής.

Ἀγελαίαν, καὶ ἀγελαίαν βοῦν, τουτέστι νομαδικὴν, ἀδάμαστον, νεμομένην, ἢ κτηνώδη.

Ἀγελαία σταφυλή, ἡ ἁπλῆς. καὶ ἀγελαῖα, τὰ οὐ γενναῖα.

Ἀγελαίας, ἀγραύλους.

Ἀγελαῖοι ἰχθύες, πολλοὶ μικροὶ ὁμοῦ, καὶ λίθοι ἁπλεῖς.

Ἀγελαῖος, ὀχλώδης, ἰδιώτης, ἢ ὁ ἐν ἀγέλῃ διάγων. καὶ ἀγελαίων, ἰδιωτῶν, ῥεμβωδῶν. καὶ ἀγελαίων ἔοικεν ἀνθρώπων εἶναι ὁ τοιοῦτος, ἀντὶ τοῦ ἁπλῶν. καὶ ἀγελαίων, τῶν πολλῶν καὶ τυχόντων. εἴη δ' ἂν ἐκ μεταφορᾶς τῶν ἀγελαίων ζώων, ἢ ἀπὸ τῶν ἰχθύων, οὓς βόσκεσθαι ῥύδην καὶ ἀγεληδόν φασιν.

Ἀγελαῖαι βόες, αἱ ἐκ τῆς ἀγέλης. οὐ μόνον βόας ἀγελαίας, ἀλλὰ καὶ ἀγελαίας ἰσχάδας τὰς εἰκαίας Εὔπολις ἔφη, καὶ ἄλλοι κωμικοί, ὥς φησι Παυσανίας. καὶ λίθους δὲ ἀγελαίους, τοὺς εἰκαίους καὶ ἀκατασκεύους.

Ἀγέλαιος μὲν προπαροξυτόνως, ὁ ἀμαθής. προπερισπωμένως δὲ, ὁ ἐκ τῆς ἀγέλης.

Ἀγελαιὼν, ὁ τόπος τῆς ἀγέλης.

Ἀγελάσαι, κομίσαι.

Ἀγελάσκον, ἄτιμον.

Ἀγέλαστα, τὰ μὴ γέλωτος ἄξια, ἀλλ' ἀγανακτήσεως. * καὶ ἀγέλαστος ἐνεργητικῶς, ὁ μὴ γελῶν. ὅθεν καὶ Ἡράκλειτος ἀγέλαστος ἐκλήθη.

Ἀγέλαος, ὄνομα κύριον.

Ἀγελάρχης, ὁ τῆς ἀγέλης τῶν βοῶν ἄρχων. * λέγεται καὶ ἀγέλαρχος. καὶ ἀγελαρχεῖν τὸ τῆς ἀγέλης ἄρχειν.

Ἀγελαστὴς, ἔγχελυς.

Ἀγελαστί, ἄνευ τοῦ γελάσαι.

* Ἀγελαστία, γέλωτος ἀποχή. καὶ ἀγελαστεῖν, οὐ γελᾶν.

Ἀγέλαστος πέτρα, ἐφ' ἧς ἐκαθέσθη ἡ Δημήτηρ, ὅτε τὴν κόρην ἐζήτει. καὶ ἀγέλαστος πέτρα, παροιμία ἐπὶ τῶν λύπης προξένων.

Ἀγελαστοῦ, ἀκακίας.

Ἀγελάστους, τοὺς ἐφήβους Κρῆτες λέγουσιν.

Ἄγε λέγωμεν. φέρε, εἰπέ. τὰ παρακελευστικὰ ἐπιρρήματα, τοῖς δευτέροις τῶν προστακτικῶν, καὶ προσέτι τοῖς ὑποτακτικοῖς συντάσσονται. τοῖς δὲ τρίτοις, τὸ ἀπαγορευτικόν. οἷον μὴ λεγέτω, μὴ τυψάτω, οἰκεῖον καὶ ταῖς ἄλλαις ἐγκλίσεσι. μὴ γράφῃς, μὴ γνῶναι, πλὴν τῇ ὁριστικῇ. ταύτης δὲ τὸ ἀποφαντικὸν ἴδιον. οὐ λέγω, ναὶ λέγω. τὸ, μὴ δὲ ἐμὴν ἰόντα, ἀντὶ τοῦ οὐ τίθεται.

Ἀγελείη Ἀθηνᾶ, ἡ ἄγουσα λείαν. τουτέστι στρατιωτική. ὡς ληΐτις, ἡ ἄγουσα λεών. τουτέστι λαὸν, ὡς ἡγεμονική. ἀφ' ἧς ἐννοίας καὶ τὸν στρατηγὸν λαγέταν ἡ ποίησις ἔφη. ἐκεῖθεν δὲ καὶ τὸ κύριον, ὁ Ἀγησίλαος, καὶ ὁ Ὁμηρικὸς ἀγεσίλαος.

Ἀγελή, δῆμος τῆς Ἀττικῆς.

Ἀγέλη λέγεται, ὅταν πολλὰ πρόβατα ὁμοῦ βόσκηται. ἢ πολλοὶ χοῖροι, ἢ βόες, ἢ τοιοῦτόν τι, ἐφ' ὧν λέγεται ὁ ἀπελάτης. ἀπελάτης γὰρ, ὁ μετὰ ξίφους ἀπελαύνων ἀγέλης ζῶον. ἀπὸ δὲ τῆς ἀγέλης, ἀγελαῖον ζῶον, τὸ ἐκ τῆς ἀγέλης. καὶ ἀπὸ τούτου ἀγελαῖος ἄνθρωπος, ὁ τοῦ πλήθους καὶ ὁ χυδαῖος. καὶ ἀγεληδὸν ἐπίρρημα, ἀντὶ τοῦ κατὰ ἀγέλας. διὰ τοῦ η. ἐπεὶ ἀπὸ τοῦ ἀγέλη παράγεται, ὥσπερ βοτρυδὸν διὰ τοῦ υ, ἀπὸ τοῦ βότρυς. λέγεται δὲ βοτρυδὸν, ἀντὶ τοῦ κατὰ τὴν πυκνότητα τῶν ἐν τῷ βότρυϊ ῥαγῶν. ὥσπερ ἰλαδὸν, ἀντὶ τοῦ κατὰ ἴλας. καὶ κρουνηδὸν, ἀντὶ τοῦ κατὰ τὴν χύσιν τῶν κρουνῶν.

Ἀγεληδὸν, ἠθροισμένως, ἅμα. ἢ δίκην ἀγέλης, καὶ ἀγεληδῶς, κατὰ τὴν ἀγέλην. καὶ ἀγέλημα, κατὰ ἀγέλην.

Ἀγελήτας βοῦς, ὁ ἐξ ἀγέλης.

* Ἀγέληθεν, ἐξ ἀγέλης.

* Ἀγεληΐς, ἀγελαία.

Ἀγεληφι μεταλθὼν, ἀντὶ τοῦ μετ' ἀγέλην, κατὰ προσχηματισμὸν τοῦ φι. Ὅμηρος Ἰλιάδος π, ἠΰτε ταῦρον ἔπεφνε λέων ἀγεληφι μεταλθών. καὶ ἀγεληφι, ἐν ἀγέλαις.

Ἀγέμεν, παρ' Ὁμήρῳ. χειρὸς ἑλόντ' ἀγέμεν, Βρισηΐδα. ἤγουν, ἄγετε. ἔοικε δὲ τοῦτο τὸ σχῆμα κατ' ἔλλειψιν γίνεσθαι, ὡς ῥήματος προαιρετικοῦ τινὸς λείποντος. οἷον τοῦτ' ἐθελήσατε ἀγέμεν, ἢ σπεύσατε, ἢ τοιοῦτό τινός. ἢ ἀντὶ προστακτικῶν λαμβάνονται ἀπαρέμφατα, ὡς παρ' Ὁμήρῳ, καὶ Ἡσιόδῳ, καὶ τοῖς ἄλλοις, ὡς ἐνταῦθα. ἀπὸ τοῦ ἄγω, ἄγονται ἐπὶ πολὺ τὰ ἔμψυχα. ἐκ δὲ τοῦ τοιούτου, ἄγειν. καὶ ἐπὶ αἰχμαλωσίας, εἴρηται ἐπαγωγή. καὶ τὸ ἀγεῖραι δὲ, ἐντεῦθεν παράγεται. καὶ ἀγέμεν, ἄγετε, ἀγαγεῖν. ὡς τὸ, Αἴας δ' ἐκ Σαλαμῖνος, ἄγεν δυοκαίδεκα νῆας.

Ἀγέμεν, ἄγε δή.

Ἄγεν, ἀντὶ τοῦ ἦγεν. Ἰστέον ὅτι τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ῥήματα, χρονικῶς αὐξάνονται ἐν τῷ παρατατικῷ. οἷον ἄγω, ἦγον. αἱρῶ, ᾕρουν. αἰτῶ, ᾔτουν. δεῖ δὲ προσθεῖναι, χωρὶς τῶν ἰωνικῶν, καὶ τῶν ποιητικῶν. οἱ γὰρ ποιηταὶ καὶ οἱ Ἴωνες συναρχομένους πολλάκις ποιοῦσι τοὺς παρῳχημένους, τοῖς ἰδίοις ἐνεστῶσιν. οἷον ἄγω, ἄγεν. καὶ ἅπτω, ἅψατο. χωρὶς τοῦ ἀναγινώσκω, ἀνεγίνωσκον, καὶ ἀνέρχομαι ἀνηρχόμην. καὶ χωρὶς τοῦ ἀηθέσσω, τὸ ἀήθης ὑπάρχω, ἀήθεσσον. καὶ ἀηδίζομαι ἀηδιζόμην. καὶ τοῦ ἀΐω, τὸ ἀκούω. καὶ τοῦ ἄω, τὸ πνέω. ἃ οὐ τρέπουσι τὸ α εἰς τὸ η ἐν τῷ παρατατικῷ.

Ἄγεν, Ὅμηρος, Πάλιν ἄγεν ὀξέες ὄγκοι. ἔστι δὲ τὸ πάλιν ἄγεν, ἀντὶ τοῦ εἰς τὸ ἔμπαλιν ἐκλάσθησαν. ποιητικὴ δὲ λέξις τὸ ἄγεν. καὶ ἔστιν ὥσπερ τραφεὶς τραφέντος, τράφεν, ὅ ἐστιν ἐτράφησαν. οὕτω καὶ ἀγεὶς ἀγέντος, ἄγεν.

Ἀγὲν ὀξυτόνως, τὸ καταγὲν, θραυσθέν. ὡς τὸ, τοῦ δ' ἐξελκομένοιο πάλιν ἄγεν ὀξέες ὄγκοι, καὶ ἦγεν.

Ἀγένεια, ἡ δυσγένεια.

Ἀγενής, ἄνανδρος. Ἰσαῖος ἀντὶ τοῦ ἄπαις.

Ἀγεννὲς, ἐπὶ τοῦ ἀσθενοῦς, καὶ ἐπὶ δυσγενοῦς.

Ἀγένειος, μειράκιον.

Ἀγεννία, ἡ ἀνανδρία, καὶ ἡ δειλία.

Ἀγεννῶς, ἀνάνδρως.

Ἀγένητα, τὰ στοιχεῖα παρ' Ἐμπεδοκλεῖ.

Ἀγέννητον, οὐ κατ' οὐσίαν ὑπάρχοντος, οὐδὲν προεπινοεῖται τῶν ὄντων.

Ἀγεννήτων, δυσγενῶν.

Ἀγεννίους, τὰς μὴ γεγεννηκυίας.

Ἀγεννῶς, ἀνάνδρως.

Ἄγεο, ἡγοῦ, ἄρχου.

Ἀγεόμενοι, θαυμάζοντες.

Digitized by Google

Ἀγέραια, ἄπιος. ὄγχνη.
Ἀγέραςος, ἄτιμος, ἄμοιρος.
Ἀγερθήσονται, συναθροισθήσονται.
Ἀγέρθη, συνηθροίσθη.
Ἄγερθεν, συνηθροίσθησαν.
Ἀγερμὸς, ἄθροισις. συναγωγὴ θυσίας.
Ἀγέροντο, συνηθροίζοντο.
Ἀγέροπτος, ὁ σπανίως ἐρχόμενος, ἢ ὑπερήφανος.
Ἀγέρωπον, ἀνάνιον.
Ἀγερωπεῖ, ἐφορᾷ.
Ἀγέῤῥακάβος, ςαφυλή.
Ἀγερσικύβηλις, Κρατῖνος ἐν δραπέτησιν Ἐπιλάμπωνος, τὸν αὐτὸν ἀγύρτην καὶ κυβηλιςὴν εἶπεν, οἱονεὶ θύτην καὶ μάντιν. κύβηλιν γὰρ ἔλεγον τὸν πέλεκυν. ὅθεν καὶ Λύσιππος ἐν Βάκχαις, τὸν αὐτὸν ἀγύρτην κωμῳδεῖ.
Ἀγερύπτει, ἐφορᾷ, ἀσπαςὸν ἡγεῖται.
Ἀγερώσατο, ἠθέτησε, διεψεύσατο, ἠμέλησεν.
Ἀγερώσσει, ἀγρυπνεῖ, ἀθετεῖ.
Ἀγερωχία, ὑπερηφανία.
Ἀγέρωχος, ὁ ἀλαζὼν, ἀλαζονικὸς, γαῦρος. πάνυ τετιμημένος, ἢ ὑπερήφανος.
Ἀγέρωχοι, οἱ ἄγαν γέρας ἔχοντες. ἵνα εἶεν ἀγεράοχοι, καὶ ἐν συναιρέσει ἀγέρωχοι. κατ' ἐπίτασιν τῶν ἁπλῶς γεραρῶν. δηλοῖ δέ φασιν οὕτως ἡ λέξις, τοὺς σεμνούς. ὡς Ἀλκμὰν βούλεται. Ἀλκαῖος δέ φασι καὶ Ἀρχίλοχος ἀγέρωχον, τὸν ἄκοσμον, καὶ ἀλαζόνα οἶδε. τοῦτο ἴσως ἐκ μεταφορᾶς τοῦ ὑπερῃρμένου καὶ ὑπερφανοῦς. ἐξ οὗ πλεονασμῷ τοῦ η, ὑπερήφανος. καὶ τοῦ κούφου καὶ ἐλαφροῦ. ὃς ἄγοιτο ἂν ῥᾷον ὑπὸ ὄχου, ἤγουν ἅρματος. μέση οὖν λέξις. ὅτι δὲ Τρῶες πῶς ἀγέρωχοι καὶ Λύκιοι λεχθήσονται, δύναται ἡ λέξις οὐ μόνον δηλοῦν σεμνοὺς τοὺς τοιούτους, ἀλλὰ καὶ ἱππιοχικοὺς, παρὰ τὸ ἄγειν ῥᾷον καὶ ἐλαύνειν ὄχους. οἱ καὶ ὄχεα λέγεται διγενῶς, ὁμοίως τῷ, ὁ σκότος, καὶ τὸ σκότος.
Ἀγέροχοι, οἱ ἄγαν ἔνδοξοι καὶ ἔντιμοι, ἢ ὑπερήφανοι, ἢ ἀπαίδευτοι. τινὲς δέ φασι τοὺς Ῥοδίους εἰρῆσθαι ἀγερώχους. ὅτι νησιῶται ὄντες, ἔξωθεν ἐκ τῆς ἠπείρου ἀγείροντες ὄχλον, διεγίνοντο, τουτέστι τροφὴν ἐπείσακτον.
Ἄγεε, ἄγε, φέρε.
* Ἄγεσκεν, Ἰωνικῶς ἦγεν.
Ἄγεσθαι, ἀγαγεῖν.
Ἀγεσήμων, ὁδὸς λεπτή.
Ἀγεσίλαος, ὁ Πλούτων. ἐπώνυμον τοῦ ᾅδου. εἴρηται δὲ ἀπὸ τοῦ ἄγειν τοὺς λαούς. ἄρχων γάρ ἐςι τῶν θανόντων.
Ἀγεσίφρων, τὰς ὀφρῦς ἐπαίρων.
* Ἄγεςα, ἢ ἄλλως ἔγεςα, πολεμικὸν μηχάνημα. ἴδε ἔγεςα.
Ἀγέςρατον, κάλλωπον. ἤγουν, κοσμητήριον.
* Ἀγέςρατος, ἐπίθετον Ἀθηνᾶς παρ' Ἡσιόδῳ. τὸν ςρατὸν ἄγουσα.
Ἄγεται, φέρεται.
Ἄγεται γυναῖκα ὁ ἀνὴρ, ἤγουν λαμβάνει. οὐ λέγομεν δὲ, γυνὴ ἄγει ἄνδρα. καὶ ἄγεται δὲ, καὶ ἄγει, ἀντὶ τοῦ φέρει. Πλάτων ἐν τῇ ἀπολογίᾳ Σωκράτους, Ὤχοντο εἰς Σαλαμῖνα, καὶ ἤγοντο λέοντα.
Ἀγετοὶ, θαυμαςοὶ, ἔνδοξοι, λαμπροί.
Ἀγετρία, μαῖα. Ταραντῖνοι.
Ἄγευςοι, ἄπειροι.
* Ἀγεωμέτρητος, ὁ μὴ συντείνων πρὸς γεωμετρίαν, οἷον ἀγεωμέτρητον πρόβλημα. καὶ ὁ ἀμαθὴς τῆς ἐπιςήμης ταύτης. ὡς τὸ, οὐδεὶς ἀγεωμέτρητος εἰσίτω.
Ἀγέων, ἁγνισμάτων, ἱερῶν.
Ἄγη, θάμβος. ὡς, Ἄγη μ' ἔχει εἰσορόωντα.
Ἀγὴ, θαῦμα, χαρὰ, ἀπιςία, ζῆλος. παρ' Ἡροδότῳ βασκανία, παρ' Ὁμήρῳ ἔκπληξις. πληγὴ, θραῦσις, κλάσις, ἀπώλεια, μίασμα. ἔνιοι ἱερεῖα.
Ἄγη μὲν οὖν παροξυτόνως, ἡ ἔκπληξις. ἀγὴ δὲ, ἡ κλάσις τοῦ κύματος.
Ἀγὴ, πολιὰ, αἰγιαλὸς, ἔνθα τὰ κύματα περιάγνυται.

Ἄγη ποιητικὸν Ἰωνικῶς, ἀντὶ τοῦ ἐάγη, παρ' Ὁμήρῳ. ἐάγη δὲ, ἀττικόν. Ὅμηρος, Ἐν καυλῷ δ' ἐάγη δολιχὸν δόρυ. ἐκ τοῦ ἄγω.
Ἄγη παρὰ τοῖς τραγικοῖς τιμὴ, σεβασμός.
Ἀγηγέραται, συνηθροισμένοι εἰσίν. ἐκ τοῦ ἀγείρω, ὁ μέλλων ἀγερῶ, ὁ παρακείμενος, ἤγερκα, ὁ παθητικὸς ἤγερμαι, τὸ τρίτον ἤγερται. καὶ Ἀττικῶς, ἀγήγερται. καὶ Ἰωνικῇ προσόδῳ τοῦ α ἀγηγέραται, ὡς ἔσπαρται ἐσπάραται.
Ἀγηγέρατο, συνηθροισμένοι ἦσαν. ἐκ τοῦ ἀγείρω ἀγερῶ, ἤγερκα ἀγήγερκα, ἤγερμαι ἀγήγερμαι, ἠγέρμην ἀγηγέρμην. τὸ τρίτον τῶν πληθυντικῶν, ἀγηγέρατο Ἰωνικῶς.
Ἀγηλάζειν, σώζειν.
Ἀγῆλαι, σεμνῦναι, ἀναθεῖναι, κοσμῆσαι, καὶ εἰς ἀγέλην ἀγαγεῖν, καὶ τιμῆσαι.
Ἀγήλειεν, τιμήσειεν.
Ἀγήλω, κοσμήσω.
Ἀγηλατοὶ, οἱ κεραυνοί.
Ἀγηλατεῖν, διώκειν, ὡς ἄγος ἐξελαύνειν, φυγαδεύειν, κεραυνοῦν, τινὲς δὲ ῥαπίζειν.
Ἀγηλατεῖν, ἐὰν δασύνῃς, τὸ ἄγος καὶ τὸ μίασμα ἐλαύνειν. ἐὰν δὲ ψιλώσῃς, ἀντὶ τοῦ ἀπελαύνειν. * βασιλεύειν. Σχολ. εἰς Σοφοκλ. Οἰδίπ. Τύρ.
* Ἀγηλατίζειν, ἀγηλατεῖν.
* Ἀγήλατος, ὁ ἄγαν ἐλαυνόμενος.
Ἀγηλείοιο, λαφυραγωγοῦ.
Ἀγηλόμεναι, χαίρουσαι.
Ἄγημα, τὸ προῖον τοῦ βασιλέως τάγμα, ἐλεφάντων καὶ ἵππων * (κάλλιον ἱππέων) καὶ πεζῶν. οἱ δὲ τὸ ἄριςον τῆς Μακεδονικῆς συντάξεως, κραταιὸν ὁπλίσει, καὶ σωμάτων ἀξίᾳ.
Ἀγηνορία, ἀνδρεία, καὶ ἠνορέα, παρὰ τὸν ἄνδρα. καταχρηςικῶς, καὶ ἐπὶ τῶν ἀλόγων ζώων τάσσεται. ἢ ἰσχύς. ὡς τὸ, Ἀγηνορίη δέ μιν ἔκτα.
Ἀγηνορίδης, αὐθάδης.
Ἀγηνορίη, ἀνδρεία, αὐθάδεια.
Ἀγηνόριος, Πυθαγόρειος.
Ἀγηνόριον, ὄνομα τόπου.
Ἀγήνωρ, οὐ μόνον ἐπὶ ψόγου λαμβάνεται, ὅτε δηλοῖ τὸν θρασὺν καὶ ὑβριςὴν, ἀλλὰ καὶ ἐπὶ ἐπαίνου, ὁπηνίκα τὸν ἀνδρεῖον δηλοῖ. γίνεται ἀμφότερα ἐκ τοῦ ἄγαν, καὶ τοῦ ἠνορέη, τουτέςιν ἀνδρεία. διττὸν γὰρ τὸ ἄγαν. τὸ μὲν καθ' ὑπερβολὴν, ὅπερ καὶ ψέγεται. τὸ δὲ κατὰ μεσότητα ἐςὶν ἄγαν, καὶ ἐπαινετόν.
Ἀγήνωρ, ὁ ἄγαν τῇ ἠνορέᾳ χρώμενος. οὕτω καὶ ὑπέροπλος, ὁ διὰ θρασύτητα ὑπὲρ τὸ δέον ὅπλοις χρώμενος. καὶ ὑπεροπλία, ἡ τοιαύτη κακία. Σημείωσαι δὲ, ὅτι ὁπλότατον μὲν καὶ ὁπλότερον ὁ Ποιητὴς λέγει τὸν νέον, καὶ ὅπλα αἴρειν δυνάμενον, οὐκ ἐπὶ ψόγῳ τὴν λέξιν τιθείς. τὸ δὲ ὑπέροπλος, καὶ τὰ ἐξ αὐτοῦ, ἐπὶ σκώμματι λαμβάνεται. καὶ ἀγήνωρ, ὁ ὑπερήφανος. Ἡσίοδος λέγει ἀγήνορα, τὸν αὐθάδη καὶ ὑπερόπτην. ὃν ποιεῖ ἀτελῆ καὶ ταπεινόν. καὶ ἀγήνωρ, ὁ εὐρύπυλος ῥηθείη ἂν, καὶ ἀγαπήνωρ. τὸ μὲν ὡς ἀγαπῶν. τὸ δὲ ὡς ἀγάμενος, ἤτοι θαυμάζων τὴν ἠνορέην. ὡς εἶναί ποτε ταυτὰ, τὸν ἀγαπήνορα καὶ τὸν ἀγήνορα.
Ἀγήνωρ ὁ Ποσειδῶνος, γαμεῖ Δαμνὼ τὴν Βήλου. τῶν δὲ γίνονται Φοίνιξ, καὶ Ἰσαίη, ἣν ἴσχει Αἴγυπτος. καὶ Μελία, ἣν ἴσχει Δαναός. ἔπειτα ἣν ἴσχει Ἀγήνωρ, Ἀργιόπην τὴν Νείλου τοῦ ποταμοῦ. τοῦ δὲ γίνεται Κάδμος. * ἐντεῦθεν Ἀγηνορίδης πατρωνυμικόν.
Ἀγήοχα, ἤνεγκα, ἐκόμισα.
Ἀγηοχὼς, ἐνέγκας. κανόνισον. ἄγω, ὁ μέλλων ἄξω, ὁ παρακείμενος ἦχα, καὶ Ἀττικῶς ἄγηχα. καὶ ἐπεὶ ὁ Ἀττικὸς παρακείμενος ἐθέλει ἔχειν ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, πλεονάζει ἡ γο συλλαβὴ, καὶ γίνεται ἀγήγοχα. καὶ ἀποβολῇ τοῦ γ, ἀγήοχα, ἡ μετοχὴ, ὁ ἀγηοχώς.
Ἀγήρατον, ἄφθαρτον, μὴ γηράσκον, ἀδιάφθορον. οἱονεὶ ἄφθαρτον, ἀπαλαίωτον.
Ἀγήραος, οὐ κρᾶμα ἀγήρως. μύθου ἤρτηται τοῦ κατὰ Τιθωνόν. ὃς ὑπεργηράσας, οὐδὲν τῆς μυθικῆς ἀθανασίας ἀπώνατο.
Ἀγήραος ποιητικὸν, ἀγήρως κοινόν. κλίνεται δὲ τὸ μὲν ποιητικὸν εἰς ου, ὡς ἵππος ἵππου. τὸ κοινὸν μονόκλιτόν ἐςιν, ὡς Ἄθω, κατ' ἀποβολὴν γὰρ τοῦ σ, ταῦτα τὴν γενικὴν ποιεῖται. εἶτα κατὰ τὴν αὐτὴν φωνὴν, καὶ τὴν δοτικὴν ποιεῖ καὶ τὴν αἰτιατικὴν τοῦ Ἄθω, τῷ Ἄθω, τὸν Ἄθω. οὕτω τοῦ ἀγήρω, τῷ ἀγήρω, τὸν ἀγήρω.
Ἀγήρατον, ἄφθαρτον, ἀθάνατον, μὴ γηράσκοντα. παρὰ τὸ γῆρας.
Ἀγήρω, τὰ μὴ γηρῶντα. καὶ σὺν τῷ ν ἀγήρων. οἱ δὲ ἄνευ τοῦ ν, θηλυκόν φασιν εἶναι. οἱ δὲ τὸ μὲν σὺν τῷ ν, τὴν αἰτιατικὴν δηλοῦν πτῶσιν. τὸ δὲ ἄνευ τούτου, τὴν γενικήν τε καὶ δοτικήν. καὶ ἀγήρως, ὁ ἄφθαρτος, Ἀττικῶς. καὶ οὐδετέρως, ἀγήρων.
Ἀγήρω, ἀγήρατον, μὴ γηρῶν.
Ἀγηρηναῖοι, ὄνομα ἔθνους.
Ἀγήρω τ' ἀθανάτω τε. ἀςείως συνέζευκται, ὡς μὴ ὂν ἀγαθὸν ἀγήρω τινὰ εἶναι, εἰ μὴ καὶ ἀθάνατος εἴη. ὡς ὁ τοῦ Τιθωνοῦ μῦθος δηλοῖ.
Ἀγήρως, ἀπαλαιώτως. * ἄλλ. ἀπαλαίωτος.
* Ἀγὴς, ὁ ἐναγὴς, παρ' Ἱππώνακτι. ὥς οἱ μὲν ἀγεῖ βουπόλῳ κατηρῶντο. ἔςι δὲ μᾶλλον ἐν χρήσει τὸ ἐναγής.
Ἀγήσανδρος, ὁ ἀηδής.
Ἀγήςωρ, ἄρχων. * ἴσως ἀγήτωρ, Δωρικὸν, ἀντὶ τοῦ ἡγήτωρ.
Ἀγηςαγόρας, ὄνομα κύριον.
Ἀγησίλαος, ὄνομα κύριον. * καὶ ὁ ἄγων τὸν λαόν.
Ἄγηται, ἀπάγει, ἕλκει.
Ἀγήτας, ὁ τῶν Αἰτωλῶν ςρατηγός.
Ἀγήτης, ὁ ἱερωμένος.
Ἀγητὴς, ὁ ἱερωμένος, ἄτιμος. ἐν δὲ τοῖς Καρνείοις, ὁ ἱερωμένος τῆς Θεοῦ. καὶ ἡ ἑορτὴ ἀγητορία.
Ἀγητοὶ, θαυμαςοί.
Ἀγήτορα, ὄνομα κύριον.
Ἀγητόρειον, ἑορτή.
Ἀγήτωρ, ὁ τῶν τῆς ἀφροδίτης θυηλῶν ἡγούμενος Ἱερεὺς ἐν Κύπρῳ. * κάλλιον μετὰ δασείας ἀντὶ τοῦ Δωρικοῦ ἡγήτωρ.
Ἀγηχῶ, ἠχῶ ἁγίων. ἢ ςίφος, ἢ σύςημα.
Ἅγια, τίμια, τὰ ἐντὸς τοῦ καταπετάσματος.
Ἀγιάδαι, τόπος ἐν Λακεδαιμονίᾳ. καὶ οἱ βασιλεῖς δὲ οὕτω καλοῦνται, οἱ ἀπὸ Ἄγιδος.
Ἁγιάζειν, ἅγια ποιεῖν, καὶ καθαίρειν τοῖς νεκροῖς. τινὲς δὲ, τὰ ἱερεῖα ἐσθίειν. καὶ ἁγιάζειν, ἅγια ποιεῖν, καὶ καθαίρειν.
Ἁγίαζε, σέβου.
Ἁγιάσαι, καρπῶσαι, καῦσαι ἁγίως.
Ἁγιάσατε, προευτρεπίσατε, κηρύξατε.
Ἁγιάσει, διαφυλάξει.
Ἁγίασμα, ὁ θεῖος ναός.
Ἁγιασμὸς, ἁγιςεία, καθάρσεις.
* Ἁγιαςήριον, τόπος ἐν ᾧ τὰ ἅγια τελεῖται.
Ἁγιαςία, ἡ ἁγιωσύνη. ἁγιςεία δὲ, ἡ ἱεροτελεσία, δίφθογγον.
Ἁγιαθέντων, ἀφιερωθέντων.
Ἁγίζων, ἁγιάζων.
Ἁγίζειν, τὸ τὰ ἱερὰ ἐσθίειν, ἢ καρποῦν. ἔνιοι τὸ κατατέμνειν.
Ἀγινεῖν, ἀντὶ τοῦ φέρειν, ἐκ τοῦ ἄγω τὸ φέρω γίνεται, κατὰ πλεονασμὸν τοῦ ν ἀγνῶ, καὶ ἐπενθέσει τοῦ ι ἀγινῶ, καὶ ἀγινεῖν. ὅπερ παράγωγον ὂν τοῦ ἄγειν, σεσημείωται τοῖς παλαιοῖς, ὡς ἀεὶ ἐκτείνει τὴν γι συλλαβήν. οἷον, ἕκαςος μῆλον ἀγίνει. καὶ πάροιθεν ἀγίνεσκον ἢ ἠγίνεον ἀνὰ ἄςυ. ἔνθα ἡ γι συλλαβὴ μετὰ τῆς ὄπισθεν αὐτῆς ἀπαρτίζουσα σπονδεῖον, τὰς ἐφεξῆς τέσσαρας προκοιλίου ςοίχου λόγῳ δακτυλικῶς ποδίζει. ἔςι δὲ ἀγινεῖν κυρίως μὲν τὸ ἄγειν, ἐκ τῆς παραγωγῆς τοῦ ἄγω. ἔτι δὲ καὶ καταφέρειν.
Ἅγιος, ὁ φύσει ἁγιάζων, καὶ οὐχ ἁγιαζόμενος. κατὰ μέθεξιν καὶ ὁ ἁγιαζόμενος, λέγεται ἅγιος.
Ἅγιος, ἅγιος, ἅγιος Κύριος. ὅτι τοὺς λέγοντας μυριάκις ἐςὶν ἅγιος ὁ Θεός, καὶ τοὺς παρερμηνεῦσαι τοῦτο τολμῶντας, λαμπρῶς ἐλέγχει

Digitized by Google

λέγχει, τό, ἐξεζήτησα τὸ πρόσωπόν σου, τὸ πρόσωπόν σου Κύριε ζητήσω, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. τὴν ἁγίαν ἀνακηρύττον Τριάδα. οἱ δὲ λέγοντες, τὸ ἅγιος ὁ σταυρωθεὶς, ἐπιστομιζέσθωσαν. ἀπὸ τοῦ, ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεόν, τὸν ἰσχυρὸν, τὸν ζῶντα. καὶ ἅγιοι οἱ καθαροὶ, καὶ σεβάσμιοι, καὶ ἅγιον τὸ ἁγνοῦ τὸ σπέρμα, καὶ ἅγιος ὁ ἀσεβής. *

Ἀγιγαῖος, Ἄργαλος καλεῖται παρὰ Λάκωσιν, ὁ Ἀμύκλαντος υἱός.

Ἀγίνεσκον, συνεῖριν ἦγον.

Ἀγίνεον, ἦγον. τὸ ἐπὶ νεῶν ἄγειν, καὶ ἐν ναυσὶ κυρίως.

* Ἀγιοσύνη, ἢ κάλλιον ἁγιωσύνη, καὶ ἁγιότης ταυτόν.

Ἀγισμὸς, ἀτραπός.

Ἀγιστεῦν, σέβειν, ἁγνεύειν.

Ἀγιστεύει, σέβεται.

Ἀγιστεύων, εὐσεβῶν.

Ἀγιστία, καθάρευσις. ἁγιάζω ἁγιάσω ἡγίακα, ἡγίασμαι ἡγίασαι ἡγίασται, ἁγιαστὸς, ἁγιαστία ἡ ἁγιωσύνη, καὶ κατὰ συγκοπὴν ἁγιστία.

Ἀγκαῖος. παρθένιος. Ἀριστοτέλης φησὶ περὶ Ἀγκαίου, ὅτι φιλογέωργος ὢν καὶ φυτεύων ἀμπελῶνα, βαρὺς ἐπέκειτο τοῖς οἰκέταις. εἷς δὲ τῶν οἰκετῶν ἔφη, μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. ὁ δὲ Ἀγκαῖος ἐπειδὴ ὁ καρπὸς ἐφθάκει, χαίρων ἐτρύγα. καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι, ὑπέμνησεν αὐτὸν τοῦ λόγου. ὁ δὲ ἔφη, Πολὺ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. τούτων ἔτι λεγομένων, ἧκέ τις ἀγγέλων, ὡς ὑπερμεγέθης σῦς λυμαίνεται τὸν ὄρχατον. ὁ δὲ Ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν, ἐπὶ τὸν σῦν ὥρμησε. καὶ πληγεὶς ὑπ' αὐτοῦ, ἐτελεύτησεν. ὅθεν ἡ παροιμία, ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων. καὶ Φερεκύδης ἐν τῇ ὀγδόῃ φησὶ, τὸν Ἀγκαῖον ὑπὸ καλυδωνίου συὸς πληγέντα τὸν μηρὸν, ἀποθανεῖν.

Ἀγκάλας, ἀγκαλίδας εἰπὼν ὁ Ποιητὴς συνυποκορίζει αὐτὰς τῇ βραχύτητι τοῦ ἐγκοιμωμένου αὐταῖς βρεφυλλίου. ἐξ ὧν οὐ μόνον οἱ ἀγκαλοδαγωγοὶ, ἀλλὰ ἀγκαλιδαγωγεῖν κατὰ Παυσανίαν, τὸ ἀγκαλίδας ἄγειν ἐπὶ κτηνῶν, ἢ πλοίου οὐκ αὐτοὺς φέροντας. τοῦτο γὰρ ἀγκαλιδοφορεῖν. ὥς τε ὁμώνυμον. καὶ ἡ Ἀγκαλὶς οὐ μόνον ὁμηρικῶς ἀγκάλην δηλοῖ, ἀλλὰ καὶ δεσμὸν ξύλων, ἢ τοιούτων τινῶν. κοιμᾶσθαι δὲ ἀγκάλαις ὁ παῖς λέγεται, ἢ ὡς συγκοιμώμενος τῇ τιθήνῃ, ἢ ὅτι ἄυπνος καὶ ἐκείνη οὖσα, εἶχέ τι λέκτρον σύμμετρον πρὸς τὰς ἀγκάλας, ἐν ᾧ ἐκάθευδεν ὁ παῖς, ὥς φασιν οἱ παλαιοί.

Ἀγκάζοντο, ταῖς ἀγκάλαις περιελάμβανον.

Ἀγκαλέους, ἀγκύρας.

Ἀγκαλέει, ἀνακαλεῖ.

Ἀγκαλέω, ἀνακαλῶ.

* Ἀγκαλιάζει, ταῖς ἀγκάλαις περιλαμβάνει.

Ἀγκαλιδαγωγοὶ, ἀγκαλίδας ἔχοντες.

Ἀγκαλίδας ἕλκειν, αἴρειν ξύλα εἰς ἔργατα.

Ἀγκαλίδες, αἱ τῶν φρυγάνων δέσμαι, ἢ μερίδες, ἢ δράγματα.

Ἀγκαλίδεσσιν, ἀγκάλαις, χερσίν.

Ἀγκαλίνας Ἀργεῖοι, τὰς ἀγκάλας.

Ἄγκαλον, ἄνοιξον.

Ἀγκαλὶς, ἄχθος καὶ δρέπανον. Μακεδόνες. καὶ ἀγκαλὶς, μερίς.

Ἀγκαλτὶς, κρημνός. οἱ δὲ, βόθρον.

Ἀγκὰς, ἀγκάλας, ἢ ταῖς ἀγκάλαις ἐπιρρηματικῶς. οἷον, ἀγκὰς ἐλάζετο. εἰ μὲν ἐπίρρημά ἐστι, συστέλλει τὸ α. ὡς τὸ ἑκὰς, ἀνδρακάς. εἰ δὲ ἐστιν αἰτιατικὴ πληθυντικὴ, ἧς ἡ εὐθεῖα αἱ ἀγκαὶ, καὶ δηλοῖ τὰς ἀγκάλας, Δωρικῶς, συστέλλει τὸ α. αἱ μὲν εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, συστέλλουσι τὸ α τῶν αἰτιατικῶν, παρὰ τοῖς Δωριεῦσιν. αἱ δὲ εἰς ες ἐκτείνουσιν, ἀπεναντίας τῇ κοινῇ διαλέκτῳ.

Ἀγκάσασθαι, ταῖς ἀγκάλαις βαστάσαι.

Ἄγκεα καὶ ἄγκη, οἱ φαραγγώδεις καὶ ἀγκυλοειδεῖς τόποι, καὶ κοῖλοι, καὶ καταδύσεις ἔχοντες. καὶ ἄγκεσι, συνδένδροις καὶ ὑλώδεσι τόποις. ὡς ἐν ἐπιγράμματι, Θηροβολεῖ πέτρῳ δ' ἄγκεσι θηροτόκοις. Ἄλλως.

Ἄγκεα, τόποι ὀρεινοὶ ἀνακείμενοι, δασεῖς, ὅ ἐστι χθαμαλοὶ, ταπεινοί. καὶ ὡς οἱ παλαιοί φασι, φάραγγες, κοῖλοι τόποι, κλίματα ὀρῶν, ἐν οἷς ὑγρότητος συλλειβομένης, πόαι φύονται εἰς λέχος, εἴτις ἐπ' αὐτῶν ἀνάκειται. ἀφ' ἧς ἐννοίας καὶ λεχεποίης ποταμὸς, οὗ εἰς λέχος ἡ ποία σχεδιασθήσεται τῷ ἀνακεισομένῳ. ἄγκος ἐκ τοῦ ἀνακεῖσθαι συγκέκοπται, εὐνὴ δὲ ἐλάφοιο, ἡ διατριβὴ, καὶ ὡς εἰπεῖν κοίτη. ὅθεν καὶ θῆρες ὑληκοῖται. καὶ ἄγκος, ὁ ὑψηλὸς τοῦ ὄρους τόπος. Ἰστέον, ὅτι τὰ μὲν ἀνωτάτω τοῦ ὄρους, ἀκρώρειαι καλοῦνται. τὰ δὲ ὑψηλὰ, σκοπιαί. τὰ δὲ προνενευκότα, πρῶνες. τὰ δὲ κεκαμμένα, κλιτύες. τὰ δὲ βάσιμα, βῆσσαι. τὰ δὲ κοῖλα, ἄγκεα, καὶ ἄγκη. τὰ δὲ σύνδενδρα, νάπαι. τὰ δὲ κάτω, πρυμνώρεια. ἡ δὲ παρὰ ταῖς πρυμνορείαις πεδιὰς, παρόριον. ἢ ἄγκη λέγονται τὰ τῶν ὀρῶν κοιλώματα, ἀπὸ τοῦ συγκεκλεῖσθαι καὶ συνάγεσθαι ἐν αὐτοῖς τὰ ξύλα. παρὰ τὸ ἄγω, τὸ φέρω, ἄγη. καὶ πλεονασμῷ τοῦ κ ἄγκη. ἢ παρὰ τὸ κέω κῶ, τὸ δηλοῦν τὸ κεῖσθαι, γέγονεν ἄγκος, ἐν ᾧ ἐστι συνάγεσθαι καὶ κεῖσθαι.

Ἀγκεῖθ' ἡφαίστῳ, ἀντὶ τοῦ ἀνάκειται.

Ἀγκεκυβερνηκὼς, ἀνατετροφώς.

Ἀγκεντέοντα, ἀνατέλλοντα. * Αἰολεῖς ἀντὶ τοῦ ἀνακεντέοντα κατὰ συγκοπήν.

Ἀγκεράτεσσι, ἐπὶ τῆς κεφαλῆς. * ποιητικὸν, ἀντὶ τοῦ ἀνὰ κεράτεσσι.

Ἀγκηθὴς, ὁ ἀβλαβής.

Ἀγκὴς, ὁ ἀντηχής.

* Ἀγκίον, ὑποκοριστικῶς μικρὸν ἄγκος.

Ἀγκίον, ἀγκιδοθήκη. * παρ' Ἡσυχίῳ. ἴσως ἀκιδοθήκη. τυχὸν δὲ καὶ παρέγγραπτός ἐστιν ἡ φωνή. ὀγκίον γὰρ, παρ' Ἡσυχίῳ, ἀγγεῖον, ἐν ᾧ αἱ ἀκίδες. καὶ Εὐστάθιος. ὄγκιον ἡ θήκη τῶν ἀκίδων.

* Ἀγκιστρεία, ἡ δι' ἀγκίστρου ἄγρευσις, καὶ ἀγκιστρεία ἡ τέχνη, ἥτις καὶ ἀγκιστρευτική.

Ἀγκιστρεύειν, θηρεύειν, δελεάζειν.

* Ἀγκιστρευτὴς, ὁ ἀγρεύων ἀγκίστρῳ.

* Ἀγκιστροειδὴς, καὶ ἀγκιστρωτὸς, ὁ ἐν εἴδει ἀγκίστρου.

Ἄγκιστρον, εἶδος θηρατικὸν ἐκ σιδήρου καμπτὸν, ἀγκύλον, στρεβλόν.

Ἀγκιστροφάγος, φιλάργυρος.

* Ἀγκιστρόω, ἰχθύας ἀγρεύω. καὶ ἀγκιστροῦμαι παθητικὸν παρὰ Συνεσίῳ.

Ἀγκιστρωμένος * (κάλλιον ἠγκιστρωμένος), κατεχόμενος. ἀπὸ μεταφορᾶς τῶν ἰχθύων, τῶν κατεχομένων ἐν τῷ ἀγκίστρῳ.

Ἄγκλειτοι, μεγάλαυχοι.

Ἀγκλεύειν, σώζειν.

Ἀγκλίνας, ἀνακλίνας, ἀνοίξας. ὡς τὸ Ἀγκλίνας, πρόσθεν δὲ σάκεα σχέθεν.

Ἀγκλὸν, σκολιόν.

Ἀγκοίνη, ἡ ἀγκάλη.

Ἀγκόλαι, ἀγκῶνες, ἀγκοῖναι, ἀγκάλαι, χεῖρες, καὶ χοινία ἰστοῦ.

Ἀγκοντίδες, αἱ ὑπηρετίδες. εἴρηται δὲ παρὰ τὸ ἐγκονεῖν. ὅ ἐστι, μετὰ σπουδῆς ἐνεργεῖν.

Ἀγκόνους, διακόνους, δούλους.

Ἀγκοπτὴρ, σφύρα.

Ἀγκορὲς, ἀκόρεστον.

Ἀγκορυφῶσα, ἀνατιθεῖσα. τὸ τῆς κεφαλῆς ἐφαπτόμενον τὴν ἱέρειαν, καθοσιοῦται τῇ θεῷ.

Ἄγκος, ὑψηλὸς τοῦ ὄρους τόπος. καὶ ἄγκον νῆσον, τὴν πολλὰ ἄγκη ἔχουσαν.

Ἀγκοτύλη, παιδιά τις, ἐν ᾗ τὰς χεῖρας ὀπίσω πλέξαντες δέχονται τὸ γόνυ.

Ἀγκόχασιν, ἤνεγκαν. παρ' οὐδενὶ εὑρίσκεται τῶν ἀκριβῶν, ἀλλ' ἐν ἐπιστολῇ Φιλίππου τοῦ μακεδόνος μόνον. * γραπτέον ἀγηόχασιν, ὅπερ ἐστὶ μέσος παρακείμενος Ἀττικὸς ἀπὸ τοῦ ἄγω. ὅθεν οὐ πρὸς λόγον ἡ μαρτυρία.

Ἀγκράτος ἐλαιώοντα, Ξενοφῶν ἀντὶ τοῦ πάνυ ἐλαιώοντα. * συγκοπὴ, ἀντὶ τοῦ ἀνὰ κράτος.

Ἀγκρινόμεναι, ἀποφηνάμεναι.

Ἀγκτὴρ, δεσμός.

Ἀγκταλιάζει, ἄγχει.

Ἀγκτῆρες, οἱ ἐν τῷ τραχήλῳ τόποι, δι' ὧν ἄγχεσθαι συμβαίνει.

* Ἀγκτηριάζω, ἀγκτῆρι διασφίγγω.

Ἀγκύλαι, τὸ ὄπισθεν τοῦ γόνατος. καὶ ἀγκύλαι, ἱμάντες ἐν κρηπῖσιν.

Ἀγκύλας, ὀγκίνας, * (ὀγκίνους.) σκεύη, ἢ χαλεπάς.

Ἀγκύλεσθαι, κάμπτεσθαι.

Ἀγκύλη, εἶδος ἀκοντίου. καὶ ἠγκυλωμένος, ἀγκύλην ἔχων. σημαίνει δὲ καὶ ἔργον τι τῆς σκηνῆς τοῦ Μωύσεως.

Ἀγκύλη, ἀκόντιον, ἢ ἡ καμπὴ τοῦ ἀγκῶνος, καὶ ποτηρίου γένος, εἰς κοττάβους. οἱ γὰρ τοὺς κοττάβους προϊέμενοι, τὴν δεξιὰν χεῖρα ἠγκύλουν, κυκλοῦντες αὐτὴν ὡς ἐνῆν, προστωδέστατα σεμνυνόμενοι, ὡς ἐφ' ἑνὶ τῶν καλῶν. ἔτι ἀγκυλισταὶ, οἱ ἀκοντισταὶ εἴρηνται. δηλοῖ δὲ καὶ ἀποτομάδα.

Ἀγκύλη χεὶρ, ἀπηγκυκλωμένη καὶ συνεστραμμένη, εἰς ἀποκοτταβισμόν.

* Ἀγκύλην, καὶ ἀγκύλωσιν Παῦλος ὁ Αἰγινήτης τὴν τῶν ἄρθρων κατοχήν.

Ἀγκύλια, οἱ κρίκοι τῶν ἁλύσεων.

Ἀγκυλομήτης, ὁ χρόνος λέγεται. ὅτι τὰ μὲν κρύπτει, τὰ δὲ φαίνει. ἢ ὅτι λεληθότως παρέρχεται.

Ἀγκυλόμητις, ὁ προμηθεύς. ἤγουν ὁ ἑαυτὸν νοῶν, καὶ εἰς ἑαυτὸν ἐπεστραμμένος. δηλοῖ δὲ τοὔνομα ἐνίοτε μὲν τὸν σοφὸν, καὶ τὸν ἑαυτὸν νοοῦντα. ἐνίοτε δὲ, τὸν πανοῦργον. Ἰστέον δὲ, ὅτι τὸ ἀγκυλόμητις, καὶ τὸ ποικιλόμητις, καὶ τὸ δολόμητις, καὶ ὅσα ἀπὸ τοῦ μῆτις σύγκειται, προπαροξύνεται, καὶ διὰ τοῦ ι γράφεται. κλίσιν δὲ οὐκ ἰδίαν ποιεῖται, ἀλλ' ἀγκυλομήτου καὶ δολομήτου, καὶ ποικιλομήτου κλίνεται ἑτεροκλίτως, ὡς πρέσβυς, πρεσβύτου. καὶ πολὺς, πολλοῦ, καὶ πολλὰ ἕτερα.

Ἀγκυλομήτεω, σκολιὰ βουλομένου.

Ἀγκυλομνὸν, νοσερόν.

Ἀγκύλον, καμπύλον, ἐπικαμπὲς, καὶ τὸ σκολιὸν, καὶ τὸ περιφερὲς σχῆμα, ὡς τὰ ἀγκύλα τόξα. καὶ τὸ ἰσχυρὸν, ὡς τὸ ἀγκύλον ἅρμα.

Ἀγκύλεσθαι, κάμπτεσθαι.

Ἀγκυλότοξοι, ἐπικαμπῆ τὰ τόξα ἔχοντες. καὶ ἀγκυλότοξοι, οἱ χρώμενοι ἀγκύλοις, ἤγουν σκολιοῖς τόξοις. μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς ἀγκύλαις. ἔτι δὲ καὶ τόξοις.

Ἀγκύλους, τοὺς ἀκάμπτους.

Ἀγκυλόχειλαι, ἐπικαμπῆ τὰ ῥάμφη ἔχοντες, ἤγουν τὰς τομάς.

Ἀγκυλοχείλης λέγεται, ὁ ἔχων ἀγκύλας χηλὰς, ἤτοι ὄνυχας. ὡς τραπέντος τοῦ η εἰς τὴν ει δίφθογγον Βοιωτῶν ἔθει. ἀνάκριβες τὸ τῆς ἐτυμολογίας, ἐπειδὴ χηλὴ, ἐπὶ ζώων κυρίως λέγεται πεζῶν, ἃ καὶ διχηλῆ λέγεται. ἄλλως τε, καὶ προείληπται ὁ νοῦς οὗτος, ἐν τῷ γαμψώνυχας. καὶ ἦν περιττὸν θέσθαι δὶς τὸ αὐτὸ ἐπίθετον. εἰ δέγε ἀγκυλοχείλης εἴη ὁ ἔχων ἀγκύλα χείλη, ἔχει τι καὶ οὕτω φράσαντες ἡ ἑρμηνεία. ἐπὶ γὰρ αὐτῶν ῥάμφος, οὐ χεῖλος λέγεται, καὶ ὅμως κάλλιον τοῦτο, ἤπερ τὸ πρότερον. ἡ γὰρ λέξις τοῦ ῥάμφους, τῶν ὑστέρων ἐστίν.

Ἀγκυλοχείλης καὶ ἀγκυλόχηλος, σκολιόχηλος, ἐπίθετον τοῦ ἀετοῦ. ἐπικαμπεῖς τὰς χηλὰς ἔχων τοὺς χείλους. ἐπὶ δὲ κλέπτου, ἀγκύλας τὰς χεῖρας ἔχων, πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν.

* Ἀγκυλόγλωσσον, πάθος ἐν τῇ γλώσσῃ ποτὲ μὲν ἐκ φύσεως, ποτὲ δὲ ἐξ ἐπικτήτου. ἔστι δὲ νευρώδης δεσμός. ὀνομάζεται δὲ καὶ Ἀγκύλαι, καὶ ἀγκύλια ἐν γλώσσῃ. καὶ ἀγκυλόγλωσσος ὁ τὸ τοιοῦτον πάθος ἔχων. ὃς καὶ

μογιλάλος καλεῖται, διὰ τὸ μόγις διαλέγεσθαι.

* Ἀγκυλόεις, λόεσσα, λόεν, ποιητικὸν, ἀντὶ τοῦ ἀγκύλος, ύλη, ύλον.

Ἀγκυλωμένος, ἀντὶ τοῦ ἀγκύλην ἔχων. ἔστι δὲ ἡ ἀγκύλη εἶδος ἀκοντίου.

Ἀγκύλως, ἀποτόμως. καὶ ποτὲ δὲ ἀγκύλη, τὸ ἐντὸς τοῦ ἀγκῶνος.

Ἄγκυρα, τὸ αἰδοῖον, παρὰ Ἐπιχάρμῳ. Κύπριοι δὲ τὸ ζιόβολον, καὶ τὸ ναυτικὸν σκεῦος καὶ τὴν ἀσφάλειαν. καὶ ἄγκυρα ἱερὰ, ἡ χωρὶς ἀνάγκης οὐ χαλᾶται. καὶ ἄγκυρα, ἐν ᾗ τὰ σῦκα λαμβάνουσιν.

Ἄγκυρα, πόλις. καὶ οἱ ἀπ' αὐτῆς Ἀγκυρανοί. Σημείωσαι, ὅτι οἱ νῦν Ἀγκυρανοὶ, Ἑλληνογαλάται πάλαι ἐλέγοντο.

Ἄγκυραι, μεταφορικῶς, αἱ ἀσφάλειαι. Σοφοκλῆς. Φαίδρᾳ.

Ἀγκυροβόλιον, τὸ σίδηρον τοῦ πλοίου.

Ἀγκύριον, πόλις Ἰταλίας. καὶ ὁ πολίτης Ἀγκύριος, ἢ Ἀγκυριεύς.

* Ἀγκύριον, ὑποκοριστικῶς, ἄγκυρα μικρὰ, παρὰ Λουκιανῷ.

Ἄγκυρις, βοτάνη τις.

Ἀγκυρίττη, μεταμέλεται. Κρῆτες.

Ἀγκύρισμα, σχήματι τῶν ἐν πάλῃ. καὶ ἀγκύρισμα, εἶδος παλαίσματος. καὶ ἀγκυρίσας, ἀντὶ τοῦ καταπαλαίσας, ἢ τῇ ἀγκύρῃ καταβαλών. ἔστι δὲ ἀγκύρισμα, καὶ σκεῦος ἀγροτικὸν σύκων. Ἀριστοφάνης, Διαβαλὼν, ἀγκυρίσας, εἶτα ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολάβησας. τουτέστι, προσέκρουσας, ἢ καταπέπωκας. ἀπὸ τοῦ ψωμοῦ, ὃν ἄκολον ἔλεγον.

Ἀγκυροβαλῶ, δειπνῶ.

Ἀγκυρόβολα, Φοίνικες τὰ δεῖπνα, ἃ παρεσκεύαζον τοῖς τελώναις, ἐκ τῶν λιμένων. ἔστι δὲ καὶ μισθός. ἔπρασσον γὰρ ἐν τοῖς λιμένεσιν ἐνόρμιον.

Ἀγκυρομήλη, ἄγκυστρον παρὰ τῷ Ἱπποκράτει.

* Ἀγκυρωτὸς λόγος, ὁ στηρίζων, καὶ παρέχων ἀσφάλειαν.

Ἀγκωλιάζων, ἀλλόμενος τῷ ἑτέρῳ ποδί.

Ἀγκωβόλος, ἁλιεύς.

Ἀγκὼν, ἐν τῇ βασιλικῇ αὐλῇ οἴκημα τὴν σκότους ἀνάπλεων. ὃ δὴ ἀγκῶνας ἐκάλουν οἱ Καρχηδόνιοι. ἔνθα ἐνεβάλλοντο ἅπαντες, οἷς ἂν χαλεπαίνοι ὁ τύραννος. καὶ ἀγκῶνες, μέρος τι τῆς οἰκίας. καὶ ἀγκῶνες, αἱ τῶν ποταμῶν ἐξοχαὶ, οἱ παρὰ τὰς ὄχθαις. καὶ ἀγκῶνας, τὰς ἄκρας τῶν ὀρῶν.

Ἀγκῶνες ἀπὸ σωματικοῦ ἀγκῶνος, οὐ μόνον τροπικῶς λέγονται τόποι ὀρεινοὶ, ἀλλὰ τόποι τινὲς ὡς κατά τι κύριον ὄνομα.

Ἀγκωνίσκοι, σχεδία τιμωρητικά.

Ἀγκὼν, τὸ, τε συνήθως λεγόμενον, καὶ ἡ τοῦ τείχους καμπὴ, παρ' ἀγκῶνος καὶ τείχεος ὑψηλοῖο. καὶ τῆς κιθάρας δὲ τὰ ἀνέχοντα τοὺς πήχεις, ἀγκῶνες λέγονται. λέγεται δὲ ἀγκὼν, παρὰ τὸ ὑποκεῖσθαι ἑτέρῳ ὀστέῳ, ἀγὼν, καὶ ἀγκών. * λέγεται παρὰ τὸ ἀγκεῖσθαι, ἤτοι ἀνακεῖσθαι ἑτέρῳ ὀστέῳ τὸ ὀστέον.

Ἀγλαὰ, λαμπρὰ, καλὰ, ἀνθηρά. παρὰ τὸ ἄγαν ἄλλεσθαι, ἀγλάαα. καὶ κατὰ συγκοπὴν, ἀγλαά. ἢ παρὰ τὴν αἴγλην.

Ἀγλααῖς, λαμπραῖς.

Ἀγλαΐας φέρειν, παρ' Ὁμήρῳ ἐν τῷ ρ τῆς Ὀδυσσείας, καὶ θέλειν ἀστικὸν εἶναι ἀεί. ὥσπερ ἄν τις ἐξ ἀντιστρόφου ποτὲ καὶ τὸν ἀστικὸν αἰτιάσηται, ἀεὶ πλανώμενον κατὰ ἀγρούς. πλάνης ἐνταῦθα νοουμένης, τῆς ἔξω τῶν οἰκείων ἔργων διατριβῆς.

Ἀγλαΐα, λαμπρότης.

Ἀγλαΐαι, τρυφαὶ, καλλοναὶ, κόσμοι.

Ἀγλαΐᾳ, τῷ κάλλει.

Ἀγλαΐεσθαι, λαμπρύνεσθαι, καλλωπίζεσθαι, παρὰ τὴν ἀγλαΐαν.

Ἀγλαΐζῃ, θάλλῃ, φαιδρύνῃ.

Ἀγλαΐζεσθαι καὶ ἀγάλλεσθαι, ταυτόν ἐστιν. ἀλλὰ τὸ ἀγλαΐζεσθαι ἐκ τοῦ ἀγάλλω παράγεται, κατὰ παραγωγὴν, καὶ ὑπέρθεσιν τοῦ ἀμεταβόλου.

Ἀγλαΐῃ πεποιθὼς, ῥίμφα ἑ γοῦνα φέρει. σχῆμά ἐστι καινοπρεπές. ὤφειλε μὲν εἰπεῖν, ὁ δ' ἀγλαΐα πεποιθὼς, ῥίμφα θέει, ἢ κραιπνὰ φέρεται γούνασιν, ἢ τοιοῦτόν τι. ἢ καὶ ἄλλως, ἀπὸ αἰτιατικῆς ἀρξάμενος, οὕτω πως φράσαι. τὸν ἀγλαΐα πεποιθότα, ῥίμφα (ὅ ἐστιν εὐκόλως καὶ κούφως) τὰ γοῦνα φέρει. καὶ ἀγλαΐην τὴν γυναῖκα τοῦ Ἡφαίστου λέγουσι, παρόσον διαφόρους καλλωπισμοὺς τεχνητῶν ἔργων, ἐκ τοῦ διακονικοῦ πυρὸς συμβαίνει γίνεσθαι.

Ἀγλαΐηφι, ἀγλαΐᾳ, κάλλει.

Ἀγλαΐσας, λαμπρύνας.

Ἀγλάϊσμα, καλλονὴ, κόσμος.

Ἀγλαϊστὴ, δικαία, τιμία.

Ἀγλάμασι, κλάσμασιν. * οὕτω καὶ παρ' Ἡσυχίῳ. γραπτέον δὲ ἴσως ἄγμασιν. ἄγμα γὰρ τὸ κλάσμα.

Ἀγλαοθηλὲς, ἁπαλόν.

Ἀγλαοὶ, λαμπροί.

Ἀγλαόκοιτος, πάνυ τίμιος. * καὶ ὁ ἀγλαὴν κοίτην ἔχων.

Ἀγλαομητία, λαμπρόβουλον, * (ἤγουν λαμπρὰ βουλὴ) ἢ μεγάλη βουλή.

Ἀγλαὸν, γλαφυρὸν, Κρῆτές τε καὶ Κύπριοι.

Ἀγλαὸν ἕδραν, λαμπρὰν καθέδραν.

Ἀγλαὸς, λαμπρός.

Ἀγλαὸν ὕδωρ, ἡ ἐν αὐλίδι πηγή. * τὸ διαυγὲς, διαφανές. Ὁμήρ. Ὀδυσσ. γ'. καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ.

Ἀγλαόπης, ὁ Ἀσκληπιός. Λάκωνες.

Ἀγλαοπίστου, λαμπροπίστου.

Ἀγλαότιμον, λαμπρῶς τετιμημένον.

Ἀγλαοφόστες, βοτάνη τις. * ἄλλως, ἀγλαοφωτίς.

Ἀγλαοφῶν, ὄνομα κύριον.

Ἀγλαρὸν, μωρόν.

Ἄγλαυρος, ἡ θυγάτηρ Κέκροπος. παρὰ δὲ Ἀττικοῖς καὶ ὀμνύουσι κατ' αὐτῆς. ἣν δὲ ἱέρεια τῆς Ἀθηνᾶς. ἔστι δ' ἔτι, καὶ ἐπώνυμον Ἀθηνᾶς. * καὶ ἐπίθετον, ἀντὶ τοῦ, ἀγλαὰς αὔρας ἔχων.

Ἀγλασινὸν, καλόν.

Ἄγλαυκον, (* ἴσως, ἄγλευκον.) ἀλυκόν.

Ἀγλαυρίδες, μοῖραι, παρὰ Ἀθηναίοις.

Ἀγλαφόρε, ἄριστε. Κρῆτες.

Ἀγλείτης, οἰκέτης.

Ἀγλευκὲρ, αὐλὸς, Λάκωνες.

Ἀγλευκὴς, ἀηδής. καὶ ἀγλευκέστερον, ἀηδέστερον.

Ἀγλέφαρον, ἐλάχιστον.

Ἀγλευτὶς, ἄρτος ἄναλος.

* Ἀγλυκὴς, ἄνευ γλυκύτητος. καὶ ἀγλυκέστερον, τὸ ἧττον γλυκύ.

* Ἄγλωσσος, ὁ μὴ ἔχων γλῶσσας, ἤτοι ὁ τυφλός.

* Ἀγλίη, ἡ ἐν ὀφθαλμοῖς ὑπόλευκος οὐλή.

Ἀγλίθες, σκόροδα.

Ἀγλῖθαι, αἱ κεφαλαὶ τῶν σκορόδων. * δοκιμώτερον, ἄγλιθες.

Ἄγλα, ὁ κύκνος ὑπὸ Σκυθῶν.

Ἀγλύσθαι, βλάπτεσθαι.

Ἀγλῶν, ἀγλαός.

Ἀγλωσσεῖ, δυσφημεῖ.

Ἄγλωσσοι, βάρβαροι. καὶ σιωπηροὶ, ἄναυδοι, ἄφωνοι.

Ἀγλῶσσα, ἔντριμμα γυναικεῖον.

Ἀγλωστῖναι, γογγυλίδες.

Ἀγλωττία, ἡσυχία, σιωπή.

Ἄγμα, σύντριμμα, κάταγμα, κλέμμα, καὶ κλάσμα, κατὰ τροπήν.

Ἀγμείονες, βουβῶνες.

Ἀγμὴ, ἱστία.

Ἀγμηρὸν, ἥσυχον.

Ἀγμιεῖς, παραθραύσεις.

Ἀγμικὸν, ἄκρατον.

Ἀγμοὶ ῥαχίαι, παραθραύσεις, ἀπορρῶγες.

Ἀγμοὺς, τοὺς ὀρείους καὶ κρημνώδεις τόπους.

Ἀγναῖον, καθαρόν.

Ἀγναιώτης, ἐπὶ πολὺ κεκαυμένος.

Ἀγναπτοπόλεμοι, ἀνίκητοι. * κάλλιον, ἀγναμπτοπόλεμοι.

Ἄγναμπτον ἱμάτιον, οὐκ ἀγναμμένον. * κάλλιον, ἄγναπτον ἱμάτιον, οὐκ ἐγναμμένον. λέγεται δ' ἔτι, ἄγναφον, καὶ ἄκναφον.

Ἀγνεῖ, λαμβάνει.

Ἀγνεῖν, ἄγειν. Κρῆτες.

Ἀγνεία, καθαρότης. ἐπίτασις σωφροσύνης, ἐλευθερία παντὸς μολυσμοῦ, σαρκὸς καὶ πνεύματος.

Ἄγνεια δὲ, ἡ μωρία. * γραπτέον, ἄγνοια.

Ἀγνείας, ὄνομα κύριον.

Ἀγνεῖον, πηγαῖον.

Ἀγνεύειν, καθαρεύειν, ἀπό τε ἀφροδισίων καὶ ἀπὸ νεκροῦ. ἁγνίζω δὲ ἕτερον, μεταβατικῶς. καὶ ἁγνεύετε, ἀντὶ τοῦ ἁγνίζετε.

* Ἅγνευμα, ἁγνεία.

* Ἁγνευτήριον, τόπος ἐν ᾧ μάλιστα περὶ τὸν βίον καθαρεύομεν.

* Ἁγνευτικὸν ζῶον, τὸ ἐναντίον τῷ ἀφροδισιαστικῷ.

* Ἀγνεὼν, τόπος ἐν ᾧ αἱ παρθένοι διεφθείροντο. παρ' Ἀθηναίῳ. εἴρηται δὲ κατ' ἀντίφρασιν.

Ἁγνὴ, καθαρὰ, καὶ ἀμίαντος, ἡ παρθένος, καὶ νηστεύουσά τις.

Ἀγνήκαμες, ἠγνοήκαμεν, Αἰολεῖς.

Ἀγνήσοι, ἀγήοχε. Λάκωνες.

Ἀγνίθες, λεῖαι.

Ἀγνίσαι, ἀποθῦσαι. Βουσίριδι. καὶ διαφθεῖραι, Σοφοκλῆς ἐν Ἀμφιαράῳ.

Ἁγνίτης, ὁ ἁγνισθεὶς μύστης, ἢ ὁ καθάρας τινά. τοὺς δὲ αὐτοὺς καὶ ἱερέας τινὲς ἔλεγον.

Ἀγνόδικος, ἀγνοοῦσα δίκαιον.

Ἀγνοδοχεῖς, οἱ Ἤιθεοι.

Ἀγνοεῖν, τὸ μὴ διαγινώσκειν. ὅθεν καὶ παροιμία τὸ, ἀγνοεῖ δ' ἀράχνη παῖδας ὡς παιδεύεται. θρέψασα γὰρ, τέθνηκε πρὸς τῶν φιλτάτων. ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραγματευομένων.

Ἀγνόημα. ἀγνόημα τοσοῦτον ἠγνοηκότες, ὅσον οὐδεὶς ἂν ἠγνόησεν ὀλίγα διαλεκτικῆς ἁψάμενος, καὶ ὅσον ἐπαΐειν ὑπὲρ αὐτῆς ἔχων.

Ἀγνοήσας, ἀγνοούμενος.

Ἀγνοήσομαι κάλλιον, ἢ ἀγνοήσω.

Ἀγνοήσασα, γίνεται μὲν διὰ χρησιμότητα μέτρου, πλεονασμῷ τοῦ ι ἐκ τοῦ ἀγνοεῖν. παράγει δὲ ἀναλόγως τὴν ἄγνοιαν.

Ἀγνοίησιν, εἴτε ἐκ τοῦ ἀγνοῶ, εἴτε ἐκ τοῦ ἀγνοιῶ, οὐκ ἄλογος ἡ προπαροξυτόνησις. μάλιστα οὖν δοκεῖ ἐκ τοῦ ἀγνοίημι εἶναι, τὸ τρίτον ἀγνοίησιν, ὡς τίθησι. τὸ δὲ ἀγνοίημι, ἐκ τοῦ ἀγνοιῶ. ὡς αἰνῶ αἴνημι, καὶ διζῶ δίζοιμι. ἔστι δὲ λέξις μετρικοῖς ἴσως ἀγαπητὴ, πάντη δὲ ἀσυνήθης.

Ἄγνοια, εἴτις λέγει ἄγνοιαν εἶναι στέρησιν ἐπιστήμης, ἁμαρτάνει. ἔστι δὲ ἄγνοια, ἕξις μοχθηρὰ καὶ ἠπατημένη. καὶ ἄγνοια, ἀγνωσία, ἀμαθία, διάζευξις τῶν ἐγνωκότων καὶ ἐγνωσμένων, καὶ ἡ κατὰ γνῶσιν ἐνεργείας, ἀναίρεσις νοούντων καὶ νοουμένων.

Ἀγνοίας, καθαρότητος. * Γραπτ. ἀγνείας.

Ἀγνοπολεῖσθαι, τὸ ὑπὸ ἡλίου θέρεσθαι.

Ἄγνος, φυτὸν, ὃν καὶ λύγον καλοῦσιν. ἔστι δὲ ἀγνείας ἐμποιητικόν. ὅθεν οἱ σώφρονες ἐν αὐτοῖς καθεύδουσιν.

Ἁγνὸς, καθαρὸς, ἢ ἄγνωστος.

Ἀγνοὸς, ὁ ἐπιγινωσκόμενος.

Ἁγνοτάτης, καθαρᾶς, λαμπρᾶς, ἀμιάντου.

Ἁγνότερος πηδαλίου, παροιμία ἐπὶ τῶν ἁγνῶς βεβιωκότων, παρ' ὅσον ἐν θαλάσσῃ διὰ παντός ἐστι τὸ πηδάλιον.

Ἁγνοτάτοι, ἀγνόστατοι, ἀμίαντοι. δυϊκῶς.

Ἀγνοῦ κέρας, ἡ Κνίδος πρότερον. οἱ δὲ, ἀκρωτήριον αὐτῆς. τινὲς δὲ τῆς Αἰγύπτου.

Ἀγνούσιος, Ἀγνοῦς δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος. ὡς ὁ φυλέτης, Ἀγνούσιος.

Ἀγνύθες, οἱ λίθοι τοῦ ἱστοῦ.

Ἀγνοῶ, αἰτιατικῇ συντάσσεται. οἷον, ἀγνοῶν αὐτὸς τἀμαυτοῦ ῥήματα. σημαίνει δὲ, τὸ καθόλου καὶ παντελῶς μηδὲν εἰδέναι. οἷον, ἀγνοεῖ τὴν ἁμαρτίαν

Digitized by Google

τίαν. καὶ ἀμφαγνοῶ, τὸ ἔν τισιν διστάζω.

Ἀγνυμενάων, κλωμένων, συντριβομένων.

Ἀγνύμενον, κλώμενον.

Ἀγνύμενα, θρυπτόμενα, ἀγνύμενα πηδάλια.

Ἄγνυσθαι, συντρίβεσθαι, κλᾶσθαι.

Ἀγνύσας, λείας. οἱ δὲ τὰς ὤας τῶν ἱστῶν.

Ἄγνυται, κλᾶται, συγκλάνεται.

Ἀγνώμονες, ἄβουλοι, ἀσύγγνωστοι, ἐναντιογνώμονες, ἀναίσθητοι, σύμψηφοι, ἀμαθεῖς, ἀλόγιστοι, ἀνοητότεροι.

* Ἀγνωμονεῖν, ἀχαριστεῖν, ἀποστερεῖν.

* Ἀγνωμονοῦμαι, ἀχαριστοῦμαι.

Ἀγνωμόνως, ἀνοήτως, ἀλογίστως, ἀβούλως.

Ἄγνωμον, ἀνόητον, ἀλόγιστον.

Ἀγνωμοσύνη, ἀναισθησία, ἄγνοια, ὀλιγωρία. καὶ ἀγνώμων, ἀναίσθητος, ἀνόητος, ἀλόγιστος, ἁμαρτάνων.

Ἀγνώνειος, ὁ τοῦ Ἄγνωνος παῖς. καὶ Ἀγνωνίδης.

Ἀγνὼς, τῆς Αἰολίδος φυλῆς δῆμος.

Ἀγνὼς, ὁ ἄγνωστος. καὶ κλίνεται, ἀγνὼς, ἀγνῶτος.

* Ἀγνῶς, ἐπίρρημα, ἀμαθῶς, ἀκουσίως, Φωκυλίδης. μήτ᾽ ἐπιορκήσῃς, μήτ᾽ ἀγνῶς, μήτε ἑκοντί.

Ἀγνώσασκε, λέξις καὶ αὐτὴ ἰδία ποιήσεως, γινομένη ἐκ τοῦ γνῶ, γνώσω. ἐξ οὗ ἐνεστὼς γνώσσω, ὡς τὸ κνώσσω, καὶ τὰ τοιαῦτα. καὶ παραγώγως, γνωσάσκω. ἐξ οὗ κατὰ στέρησιν, τὸ ἀγνώσασκεν.

Ἀγνώσσει, δυσχεραίνει. * καὶ ἀγνοεῖ, παρὰ Μουσαίῳ. ἀγνώσσεις ὅτι Κύπρις ἀπόσπορός ἐστι θαλάσσης;

Ἄγνωστος, ὁ μὴ γνωστός.

Ἀγνῶτα, ἀπὸ τοῦ ἀγνῶτος. οὐ γὰρ παρασχηματίζει ἀπὸ τοῦ ἀγνὼς, εἰς οὐδέτερον γένος. Ῥήματα ἀγνῶτα τοῖς θεωμένοις, Ἀριστοφάνης ἐν Βατράχοις.

Ἀγνῶτας, φίλους ἀγνώμονας, ἀνεπιστήμονας, μὴ ἐπιγινωσκομένους.

Ἀγνῶτες Θεοὶ, οὕτω λέγεσθαί φασι τοὺς μετὰ τοὺς Ἰλίου πλεῦν Φαληροῖ προσχόντας, καὶ ἀναιρεθέντας, ὑπὸ Δημοφῶντος ταφῆναι.

Ἄγξαι, χαλινῶσαι.

Ἄγοβος, σκευοφόρος, φορτηγός.

Ἀγοὶ, ἡγεμόνες.

Ἀγοιόμενος, ἀγόμενος.

Ἄγοις, ἀπάγοις.

Ἀγοίτης, ὑβριστής.

Ἀγοιτάσαι, ὀχλάσαι.

Ἀγολαῖος, ὄνομα κύριον.

Ἀγόμενος, δοῦλος παρὰ Ἀρχιλόχῳ. καὶ ἀγόμενος, ὁ φερόμενος.

Ἄγομαι, ἁρπάζομαι. καὶ ἀγομένων τῶν ἡμετέρων, ἀντὶ τοῦ ἁρπαζομένων, καὶ ληϊζομένων. καὶ Ἄγομαι παθητικῶς, ἀντὶ τοῦ φέρομαι. ὡς καὶ Ἀριστοφάνης, Ἄγομαι φέρομαι, τὰ χρήματ᾽ ἐνεχυράζομαι. καὶ ἄγομαι, τὸ παιδεύομαι, ὡς καὶ Ξενοφῶν. Καὶ κυνίας καλῶς ἀχθείσας. καὶ ἄγομαι παθητικῶς μὲν γραφόμενον, ἐνέργειαν δὲ δηλοῦν ἀντὶ τοῦ λαμβάνω. οἷον, ἄγομαι χάριν. ὡς καὶ παρὰ Θεοκρίτῳ, Αἶψα ταὶ μοῖσαι τὶν ὄϊδα δῶρον ἄγοντι. καὶ ἄγομαι γυναῖκα, ἀντὶ τοῦ εἰς γάμον ἄγομαι, ἐπὶ ἐνεργείας. ὡς καὶ Λιβάνιος, Ἣν ἀπόλωλας αὐτῷ, τῆς πόλεως ἄγει.

Ἀγόμην, ἠγαγόμην.

Ἀγόμφωσε, ἀνάρμοσε.

Ἀγόμφωτον, τὸ ἀνήλωτον.

Ἄγον, τὴν ἐν πύργῃ ἱέρειαν οὕτω καλοῦσι: καὶ ἄγον Ἰωνικῶς, ἀντὶ τοῦ ἦγον. ῥῆμα ὁριστικὸν, χρόνου παρατατικοῦ. ποιητικὸν γάρ ἐστι, καὶ ἔστιν ἀναύξητον βραχὺ ἔχον τὸ α. καὶ ἆγον Δωρικῶς, τὸ αὐτό. κατὰ τροπὴν τοῦ η, εἰς α μακρόν. τὸ γὰρ ἀκόλουθόν ἐστιν, ἦγον.

Ἀγονία, ἡ στείρωσις. καὶ ἀγονία, ἀτεκνία, ἀγεννησία, ἀφορία.

Ἀγονομόχθος, ὁ ἡμίονος.

Ἄγονον, τήγανον, ἢ πολύγονον.

Ἄγονος, καινότερον μὲν, ὁ μὴ γεννῶν, παρ᾽ Ὁμήρῳ ἐν τῷ, Ὄφελες ἄγονός τε εἶναι, καὶ ἄγαμος ἀπολέσθαι, ὁ μὴ γεννηθείς. ὁ δὲ μὴ γεννῶν, ἄσπερμος ἂν Ὁμηρικῶς ῥηθείη, κατὰ τὸ, ἄσπερμος γενεή. Ἰστέον δὲ, καὶ ὅτι λέγεται Διονύσιον τὸν σκυτοβραχίονα ἱστορεῖν, Δάρδανον παῖδα Ἑλένης καὶ Πάριδος. ὅς φασι καὶ προφέρει μετὰ τὸ, ἄγαμος τ᾽ ἀπολέσθαι, τὸν στίχον τοῦτον, Μηδέ τι γύνασιν ἐφέσσεσθαι υἱὸν Δάρδανον. ὡς εἶναι ἴσως οὕτως εὔλογον νοηθῆναι τὸ, ἄγονός τε εἶναι, ἄγαμός τ᾽ ἀπολέσθαι, κατὰ σχῆμα ὑστερολογίας. ἤτοι πρωθύστερον, ἀντὶ τοῦ μή τε εἰς γάμον ἐλθεῖν, μή τε παῖδα ἐκεῖθεν σχεῖν τὸν Δάρδανον, ὡς ἐρρέθη. καὶ ἄγονος, ἄτεκνος, ἄκαρπος, ἄσπορος, ἄσπερμος.

Ἄγοντα, ἡγούμενον.

Ἄγοντας, φέροντας.

Ἀγόνων χοῶν, ὁ Θεολόγος φησί. τουτέστι τῶν ἐπὶ τοῖς νεκροῖς χεομένων, καὶ διὰ τοῦτο ἀγόνων.

Ἀγὸρ, ἀετὸς, Κύπριοι.

Ἀγορὰ, τὸ συνηθροισμένον πλῆθος, καὶ ὁ τόπος ἐν ᾧ συναθροίζονται. καὶ ὁ τόπος, ἐν ᾧ πωλεῖται τὰ ὤνια. ἀφ᾽ οὗ καὶ ἀγοράζειν. τὸ ἐν τῇ ἀγορᾷ διατρίβειν, καὶ τὸ ὠνεῖσθαι. καὶ ἀγοραῖος ἄνθρωπος, ὁ χυδαῖος, καὶ ὁ ἐν ἀγορᾷ τιμώμενος. ἀγοραῖος δὲ, * (καὶ) ὁ πονηρὸς, καὶ ὁ ἐν ἀγορᾷ τεθραμμένος. καὶ ἀγορανόμος, ὁ τῆς ἀγορᾶς ἐπιμελούμενος, ὅπως δικαίως πωλοῖντο τὰ ὤνια. καὶ ἀγορανομῶ ῥῆμα, γενικῇ συντασσόμενον. ὡς τὸ, ἀγορανομῶν Ῥωμαίων ἐπελάττωσε Σύλλας. καὶ ἀγορεύω ποιητικῶς, τὸ λέγω. ἐξ οὗ τὸ, τε δημηγορῶ, καὶ παρηγορῶ, καὶ συνηγορῶ, καὶ τ᾽ ἄλλα. Ἄλλως.

Ἀγορὰ, ἡ ἐκκλησία, ὡς τὸ ἐν ἀγορᾷ λαλοῦσιν. ὅθεν ὁ Νέστωρ ἀγορητής. καὶ ὁ τόπος τὸ πωλητήριον, ἔνθα πιπράσκονται τὰ ὤνια. καὶ αὐτὰ τὰ ὤνια, ἤτοι τὰ πιπρασκόμενα. καὶ τὸ δικαστήριον, ἀγορὰ, καὶ ὁ τόπος, ἐν ᾧ ἀγείρεται ὁ λαός. γίνεται δὲ ἡ λέξις, ἐκ τοῦ ἀγείρω. ἐξ αὐτῆς δὲ οὐ μόνον ἀγύρτης κατὰ τοὺς παλαιοὺς, ὁ ἀγείρων ὄχλον καὶ ἀπατεὼν, καὶ ἀλαζὼν, καὶ ὄνομα βόλου κυβευτικοῦ, ἀλλὰ καὶ ἄγυρις. Αἰολίζουσα οὐ μόνον τῇ τροπῇ τοῦ ο εἰς υ, ἀλλὰ καὶ τῷ τόνῳ. ὡς γὰρ ἑορτὴ, ἔορτις Αἰολικῶς, οὕτω καὶ ἀγορὰ ἄγυρις. ἐξ οὗ καὶ ὁμήγυρις. ἔτι δέ φασι καὶ ἀγορὰ Κερκώπων Ἀθήνησι πλησίον Ἡλιαίας, ἔνθα τὰ κλοπιμαῖα ἐπωλοῦντο. τοιοῦτοι γὰρ οἱ Κέρκωπες περιᾴδονται, κλέπται δηλαδὴ, καὶ πανοῦργοι. ἡ ἀγορὰ, ὁ τόπος τῆς συνάξεως. καὶ τὸ πλῆθος τὸ συναγόμενον, καὶ αὐτὴ ἡ δημηγορία. παρὰ δὲ Ἡροδότῳ, κεῖται καὶ πόλις Θρακία, καλουμένη ἀγορά. ὅτι δὲ ἡ βουλευτικὴ ἀγορὰ τίμιόν τι καὶ θεῖον πρᾶγμα, δηλοῖ τὸ, Διὸς ἀγοραίου βωμὸν ἱδρύσθαι, κατὰ Ἡρόδοτον ἀλλαχοῦ τε, καὶ περὶ Σικελίαν. καὶ ἀγοραῖος ἀνὴρ, ὁ χυδαῖος, καὶ ὁ ἐν ἀγορᾷ τιμώμενος. Σημείωσαι δὲ ὅτι ἀγορὰ καὶ βουλὴ, διαφέρει. ἀγορὰ μὲν, σύναξις κοινή. βουλὴ δὲ, ἡ κατὰ σύγκλητον. καὶ ἀγορὰ ὄνομα τόπου, ἢ λιμένος. Θετταλοὶ δὲ, καὶ τὸν λιμένα ἀγορὰν καλοῦσιν. ἔτι ἀγορὰ Ἀργείων, τόπος Ἀθήνησιν οὕτω καλούμενος. καὶ ἀγορὰ Θεῶν, τόπος καὶ οὗτος Ἀθήνησι. καὶ ἀγορὰ Λύκειος, ἐν Ἄργει, Σοφοκλῆς ἐν Ἠλέκτρᾳ.

Ἀγορὰς ἀγορεύειν, Ἀττικόν ἐστιν, ὡς καὶ τὸ, βουλὴν βουλεύειν, καὶ λόγον λέγειν, καὶ ὅλως, τὸ παρατιθέναι τοῖς ῥήμασι, τὰ ἐξ αὐτῶν ὀνόματα. καλεῖται δὲ τὸ σχῆμα παρωνομασία.

Ἀγοράασθαι, διαλέγεσθαι. ἐκ τοῦ ἀγοράομαι ἀγορῶμαι. τὸ τρίτον, ἀγορᾶται. τὸ ἀπαρέμφατον, ἀγορᾶσθαι. καὶ πλεονασμῷ τοῦ α, ἀγοράασθαι.

Ἀγοράασθε ἐπὶ παρατατικοῦ λέγεται. εἰ γὰρ ἦν ἐπὶ ἐνεστῶτος, εἶχεν ἂν τὸ α βραχύ. ἔστι δὲ παρ᾽ Ὁμήρῳ ἀντὶ ἀορίστου. ἀγορεύω κοινῶς, ἀγοράομαι ἀγορῶμαι, ποιητικῶς. ἀφ᾽ οὗ τὸ ἀγοράασθε, καὶ τὸ, ἠγορόωντο, κατὰ πλεονασμὸν τοῦ α καὶ τοῦ ο.

Ἀγοράζω, τὸ εἰς ἀγορὰν διατρίβω, καὶ τὸ ὠνοῦμαι. οἷον, ἀγοράζω ἄρτον. καὶ ἐν τῇ ἀγορᾷ διατρίβω. ἔστι δὲ καὶ ἐπὶ τοῦ διαβουλεύεσθαι.

Ἀγοράσει, ἐν ἀγορᾷ διατρίψει. Ἀριστοφάνης, Οὐδ᾽ ἀγοράσει γ᾽ ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.

Ἀγοραία θέμις, ἡ ἐκκλησιαστική.

Ἀγοραία δίκη, ἡ δικαιολογία.

Ἀγοραίαν, δικαιολογίαν.

Ἀγοραῖοι, οἱ ἐν ἀγορᾷ ἀναστρεφόμενοι.

Ἀγοραῖον, Ἑρμῆν, προπερισπωμένως λέγομεν ἐπὶ τοῦ Θεοῦ. ἐν μέσῃ γὰρ τῇ ἀγορᾷ ἵδρυται Ἑρμοῦ ἀγοραίου ἄγαλμα. καὶ ἀγοραῖος Ζεὺς, ἵδρυται ἐν τῇ ἀγορᾷ, καὶ ἐν τῇ ἐκκλησίᾳ.

Ἀγοραῖος προπερισπωμένως, ὁ ἐν τῇ ἀγορᾷ ἀναστρεφόμενος ἄνθρωπος. προπαροξυτόνως δὲ ἀγόραιος, ἡ ἡμέρα ἐν ᾗ ἡ ἀγορὰ τελεῖται. καὶ ἀγοραῖος Ἑρμῆς, ὃς ἀφίδρυτο Κεβρίδος ἄρξαντος, ὡς μαρτυρεῖ Φιλόχωρος ἐν τρίτῳ. καὶ ἀγοραῖος νοῦς, ὁ παντελὴς, καὶ συρφετώδης. καὶ οὐκ ἀπόρρητος, οὐδὲ πεφροντισμένος.

Ἀγοραῖαι τέχναι, αἱ τοῦ πωλεῖν καὶ ἀγοράζειν, ἐν πείρᾳ εἰδέναι. καὶ ἀγοραίου Διὸς βωμὸς, Ἀθήνησιν.

Ἀγορανομίας, λογιστίας. εἴρηται δὲ καὶ ἐπὶ τῶν ἐπισκοπούντων τὰ τῶν πόλεων ὤνια. καὶ ἀγορανόμοι, οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες Ἄρχοντες. καὶ δικασταὶ οἱ ἐν τῇ ἀγορᾷ νέμοντες τὸ δίκαιον.

Ἀγορᾶς, ἐκκλησίας, ἢ ῥητορείας.

Ἀγορὰς, Ὑπερίδης, ἀντὶ τοῦ συνόδους.

Ἀγοράσαι. Ὑπερίδης τὸ ὠνήσασθαι, ἀγοράσαι λέγει. τὸ δὲ ἀγορᾶν, βάρβαρον.

Ἀγορᾶς ὥραν, οὐ τῶν πωλουμένων, ἀλλὰ τῶν ἄλλων πράξεων τῶν κατ᾽ ἀγορὰν, ἕωθεν ἢ καὶ πρὶν ἀγορὰν πεπληθέναι.

Ἀγοράσω, ἐν ἀγορᾷ διατρίψω.

Ἀγοράσματα, ὤνια.

Ἀγορᾶται, λέγει.

Ἀγορατυπεῖς, ἄγαν θορυβεῖς.

Ἀγοραίων, δημηγορῶν.

Ἀγορεύειν, λέγειν ἐν ἐκκλησίᾳ. κυρίως μὲν τὸ δημηγορεῖν ἐν ἀγορᾷ, καὶ ἐν ἀθροίσματι λέγειν, καὶ ἐκκλησιάζειν. καταχρηστικῶς δὲ καὶ τὸ ἁπλῶς λέγειν.

Ἀγορεύοντο, ἐκηρύττοντο, ἐλέγοντο. ἐκ τοῦ ἀγορεύειν.

Ἀγόρευσις, λόγος ἀγορήτατος, λογιώτατος. καὶ ἀγορητὰς, τοὺς ἐν τῇ ἀγορᾷ ἀναστρεφομένους. καὶ ἀγορήτας ὁλκάδας, τὰς ὤνια ἐπαγομένας.

Ἀγορεύω, τὸ δημηγορῶ.

Ἀγορεύουσι λόγον, κακῶς ἐκεῖνος ἀγορεύει τὴν φιλοσοφίαν. προσαγορεύω, τὸ ἀσπάζομαι, καὶ τὸ ὀνομάζω. καὶ παθητικῶς, προσαγορεύομαι τὸ ὀνομάζομαι. προσαγορεύω Αἰτιατικῇ μόνῃ, ὁμοίως καὶ ὅσα τὸ λέγω σημαίνει. οἷον λέγουσι τὰ μέλλοντα. ὁμοίως καὶ προλέγω, καὶ καταλέγω. ἐκλέγω δὲ καὶ συλλέγω Αἰτιατικῇ μόνῃ. ἀντιλέγω δοτικῇ μόνῃ. καὶ παθητικῶς μεθ᾽ ὅσων συνάπτεται προθέσεων, Αἰτιατικῇ μόνῃ. ἀγορεύω καὶ ἀγορῶ, ὥσπερ ζητεύω καὶ ζητῶ.

Ἀγορὴ, ἐκκλησία ἢ αὐτὸ τὸ ἄθροισμα, καὶ ὁ τόπος, καὶ ὁ λόγος.

Ἀγορῆθεν, διατί περισπᾶται; ἐπειδὴ τὰ ἀπὸ ὀξυτόνων ἢ περισπωμένων παραγόμενα εἰς θεν ἐπιρρήματα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον. γῆθεν, ἀρχῆθεν, ἀγορῆθεν. καὶ ἀγορῆθεν, ἐκ τῆς ἀγορᾶς, ἢ ἀπὸ ἀγορᾶς ἢ ἐκκλησίας.

Ἀγορήνδε, καὶ οἴκαδε, ἀντὶ τοῦ εἰς ἀγορὴν, καὶ εἰς οἶκον, σύνδεσμοι ἀντὶ προθέσεων.

Ἀγορήσατο καὶ μετέειπε παρ᾽ Ὁμήρῳ, παρατηροῦσιν οἱ παλαιοί. καὶ ἀγορήσασθαι μὲν Ποιητὴν, τὸ ἁπλῶς δημηγορῆσαι. μετειπεῖν δὲ, τὸ μετὰ ταῦτα παραινετικῶς ὑποθέσθαι τὸ ποιητέον. ἐκ τούτου ἀγορητής.

Digitized by Google

Ἀγορηταὶ, σύμβουλοι, φρόνιμοι, ἐκκλησιασταὶ, ἢ καὶ δημηγόροι.

Ἀγορητότατος, λογιώτατος.

Ἄγορος, ἄθροισμα, στρατός, ἢ καὶ δημηγόρος.

Ἀγόῤῥιον, ἐκκλησία.

Ἀγόῤῥις, ἀγορὰ, ἄθροισις.

* Ἀγορητὺς, ύος, ἡ. τέχνη τοῦ λέγειν, εὐφραδία. Ὅμηρ. οὔτε φυὴν, οὔτ' ἂρ φρένας, οὔτ' ἀγορητύν.

Ἀγορῶ, περισπᾶται. τὰ γὰρ εἰς ρῶ λήγοντα ῥήματα, τῷ ο παραληγόμενα, περισπῶνται. οἷον, δημηγορῶ, ἀλληγορῶ, συνηγορῶ, κατηγορῶ, μακρηγορῶ.

Ἄγος, ἄγνισμα θυσίας. Σοφοκλῆς ἐν Φαίδρᾳ.

Ἄγος, μίασμα καὶ βδέλυγμα, μίσος ἢ ἀγκών. καὶ ἀγὲς τὸ ἐντὸς τῶν χειρῶν καὶ βραχιόνων. ὡς ἀεὶ ἐφ' ἡμᾶς αὐτοὺς ἐπαγόμεθά τι. Ἀπολλόδωρος δὲ, τὸ ἐντὸς τοῦ βραχίονος μέρος. λέγεται δὲ ἄγος, καὶ τὸ τίμιον καὶ ἄξιον σεβάσματος. ἐξ οὗ καὶ αἱ ἱέρειαι, παναγεῖς.

Ἀγὸς δὲ ὀξυτόνως ὁ ἡγεμὼν, ἀπὸ τοῦ ἄγειν τὰ πλήθη, καὶ ἡγεῖσθαι αὐτῶν. οἱονεὶ ἀγωγός. καὶ ἐν Πέργῃ ἱέρεια Ἀρτέμιδος.

Ἄγος, κλάσμα, θαῦμα.

Ἀγὸς ἀσπιστέων, ἡγεμὼν τῶν ὁπλιτῶν. ἀσπὶς γὰρ λέγεται τὸ σκουτάριον.

Ἀγοστὸς, τὸ ἐντὸς τῶν χειρῶν, ἢ ὁ ἀγκών. ἀγοστὸς καὶ ὁ ἄγαν ὀστώδης τόπος, παρὰ τὸ τὴν συναγωγὴν καὶ ἐπίκαμψιν τῆς χειρός. ἢ παρὰ τὸ δύνασθαι τούτῳ τινὰ ἄγχειν, ἢ διὰ τὸ ἐπάγεσθαι τὴν χεῖρα, οἷον ἄγνυσθαι. ὥσπερ γὰρ παρὰ τὸ πολὺς γίνεται πολοστὸς, οὕτω παρὰ τὸ ἄγω, ἀγοστός. οἶμαι δὲ, τὴν τοῦ ἀγκῶνος τόπον λέγειν.

Ἀγοστοὺς, ὠλέκρανα. οἱ δὲ, ἄκρα χειρῶν, ἢ πήχεις, ἢ ἀγκῶνες.

Ἄγουσαν, πορθουμένην.

Ἄγουσι, φέρουσιν, ἐπιτελοῦσιν, ἢ ἀξιοῦσιν, ἢ πήγνυται. καὶ ἄγουσιν ἑορτὴν οἱ πλέπται, χαριεστάτη ἡ συμπαῖξις, καὶ ἱκανῶς πεπαιγμένη κατὰ τὴν κωμῳδικὴν χάριν. σημαίνει δὲ τοὺς ἀδεῶς κλέπτοντας.

Ἄγρα, θήρα, τὸ θηρώμενον λέγεται καὶ τὸ ἔργον. καὶ ἄγρα Δήμητρος, ἱερὸν ἔξω τῆς πόλεως, πρὸς τῷ Ἰλισσῷ.

Ἀγράθην, συνάγειν, συμμίσγειν.

Ἄγραι, χωρίον Ἀττικὸν ἔξω τῆς πόλεως, ἱερὸν Δήμητρος. καὶ στρατιῶται δέ τινες οὕτως ἐκαλοῦντο.

Ἀγράκαβος, σταφυλή.

Ἀγρακόμα, ἡ πόρνη ὑπὸ Παμφίλου.

Ἀγραμύξειν, κατατρίβειν.

Ἄγραμμα ἀφεῖται. ἐν τῇ τῶν βόλων παιδιᾷ οὕτως ἐλέγετο. * παιδιὰ ἦν διὰ ψήφων ἑξήκοντα λευκῶν τε, καὶ μελαινῶν, ἣν καὶ διαγραμμισμὸν ἐκάλουν. αἱ μὲν οὖν λευκαὶ ἄγραμμοι οὖσαι ἀτυχίαν ἐδήλουν ἐν τῷ παίζειν, ἤτοι ἐν τῷ γραμμίζειν. ἐντεῦθεν τὸ ἄγραμμα ἀφεῖσθαι.

Ἀγρανία, ἑορτὴ ἐν Ἄργει ἐπὶ μιᾷ τῶν Προίτου θυγατέρων.

* Ἄγραπτος, ὁ μὴ γραπτός. καὶ ἄγραπτος δίκη, φησὶ Πολυδεύκης, ἡ ὑπὸ τῆς παραγραφῆς ἀναιρεθεῖσα, καὶ διαγραφεῖσα.

Ἀγραρδέης, περιέρχη.

Ἄγραυλα, τὰ ἐν ἀθήρῳ τόπῳ, καὶ πλήρει ἀγραμμάτων.

Ἄγραυλοι ποιμένες, οἱ ἐν τοῖς ἀγροῖς αὐλιζόμενοι, ἢ οἱ ἐν τῷ ἀγρῷ διανυκτερεύοντες.

Ἄγραυλον, ὕπαιθρον, καὶ ἔρημον, ἢ ἐν ἀγρῷ αὐλιζόμενον, ἢ κατυρόν.

Ἀγραυλῶ, τὸ ἐπὶ ἀγροῦ αὐλίζομαι ἀμεταβάτως.

Ἄγραφα ἀδικήματα, περὶ ὧν νόμοι οὐ γέγραπται.

Ἀγραφίου, εἶδος δίκης κατὰ τῶν ὀφειλόντων μὲν τῷ Δημοσίῳ, καὶ διὰ τοῦτο ἐγγραφέντων, φωρινὴ δὲ ἐκτίσαι ἐξαλειφθέντων. οὕτω Δημοσθένης. ἡ ἀγραφίου δίκη, ἐπὶ τῶν καταδικασθέντων χρημάτων τῷ Δημοσίῳ, καὶ κατὰ χάριν μὴ ἐγγραφέντων ἐλέγετο.

Ἀγρέα καὶ νόμιον Ἀπόλλωνα λέγουσι, τὸ μὲν, ὅτι ἐν ἀγρῷ ἐμίγη τῇ μητρὶ Ἀρισταίου ὁ Ἀπόλλων. νόμιον δὲ, ὅτι νεμούσῃ ἐμίγη. οἱ δὲ, ὅτι τὴν κατὰ τοὺς ἀγροὺς θεραπείαν τοῖς νομεῦσιν εἰσηγήσατο.

Ἄγρει, ἀντὶ τοῦ ἄγε, λάμβανε, φέρε. σπουδὴν παρακελεύεται ὁποία καὶ εἰς ἄγραν. ὡς ἀπὸ τοῦ ἀγρεῖν, ἐξ οὗ καὶ τὸ ζωγρεῖν καὶ τὸ ἀγρεύειν. ἢ ἄγρει, ἀντὶ τοῦ ἄγε. Ὅμηρος, ἄγρει δμῶοι δμοοστον.

Ἀγρεία ἀοιδὴ, ἡ ἀγροικική. καὶ ἀγρεῖος ὁ ἄγροικος, ὁ ἀμαθής. ἢ ὁ ἀπὸ τοῦ ἀγροῦ. καὶ ἄγρει μὰν, ἀντὶ τοῦ ἄγε δὴ, ὅπως δή.

Ἀγρεῖτε, γίνεται ἀπὸ τοῦ ἀγρέω ἀγρῶ. ἔστι δὲ συντονώτερον τοῦ σπουδαίως ἄγετε, καὶ ὡς εἰπεῖν ἄγετε ῥᾷον. καὶ ἄγρει μὲν οἱ ἔπορσαν Ἀθηναίην. διὸ καθάπερ ἄγε καὶ ἄγετε παρακελευσματικῶς, οὕτω καὶ νῦν μὲν τὸ ἀγρεῖτε.

Ἀγρεῖται, λαμβάνεται, ζωγρεῖται.

Ἀγρέμιος, ὁ ἀπὸ τῆς ἄγρας. ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑράμενος.

Ἄγρεμον, τὸν κάμακα. ἀπὸ τοῦ αἴρειν, καὶ λαμβάνειν, ἤγουν ἀγρεύειν, ἢ λαμπάδα, ἢ δόρυ. Αἰσχύλος ἐν Μυρμιδόσιν.

Ἀγρέμονα, τὴν ἐπιμελῆ.

Ἀγρέμονες, θηραταὶ, πορθητικοὶ, Βοιωτοί. ἢ θηρατικοί. καὶ τόπος ἐν Αἰτωλίᾳ.

Ἀγρεῖφνα, γεωργικὸν ἐργαλεῖον, δι' οὗ συνάγουσι τὸν χόρτον. Ἄλκιμος.

Ἀγρεταὶ, λεπταί.

Ἀγρετᾷ, συναθροίζει.

Ἀγρέται παρὰ Κῴοις, ἐννέα κόραι αἱ κατ' ἐνιαυτὸν αἱρούμεναι, πρὸς θεραπείαν τῆς Ἀθηνᾶς.

Ἀγρέταν, ἡγεμόνα, Θεόν.

Ἀγρετήματα, τὰ ἀγορευόμενα τῶν παρθένων. Λάκωνες.

Ἄγρευμα, εὕρημα τὸ εἰλημμένον.

Ἀγρεύματα, σκῦλα. Εὐριπίδης ἐν Ἀνδρομάχῃ.

Ἀγρεύουσι, κρατοῦσιν.

Ἀγρεὺς ὁ Πὰν παρὰ Ἀθηναίοις, ὡς Ἀπολλόδωρος. ἢ ἀγρεὺς, ὁ ἥρως. εἴρηται παρὰ τὸ ἐν ἀγρῷ γεγεννῆσθαι. ἀπὸ γὰρ Κυρήνης καὶ Ἀπόλλωνος ἦν.

Ἀγρεσία, ἡ ἄγρα. οἱ στιχοποιοὶ ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι.

Ἀγρόστα Πὰν, ἄλλος ἄλλος ἀπ' ἀγρεσίης.

Ἄγρευσις, εὕρεσις.

Ἀγρευτεῖ, ὑβρίζει.

* Ἄγρηθεν, ἀπὸ τῆς ἄγρας.

Ἀγρήθησαν, ἠθέλησαν.

Ἀγρηνὰ, δίκτυα, καὶ ἔνδυμα.

Ἀγρηνὸν, ποικίλον, ἐρεοῦν, δικτυοειδὲς, καὶ ἔνδυμα ποιὸν, ὃ περιτίθενται οἱ βακχεύοντες Διονύσῳ. Ἐρατοσθένης δὲ αὐτὸ καλεῖ γρηνῶμα, ἢ γρηνον.

Ἀγρησθῶσι, συναχθῶσιν. * παρ' ἄλλοις, ἀγριασθῶσι παρὰ τὸ ἀγριάζομαι τὸ ἐρεθίζομαι. ἢ καὶ ἀγρηθῶσι ἄνευ τοῦ σ, ἀπὸ τοῦ ἀγρέω.

Ἀγρήσκεται, πικραίνεται.

Ἀγρῆσθαι, συνέπεσθαι, πείθεσθαι.

Ἄγρηστον, εἰπὲ, γένος τι ἐν Ἤλιδι.

Ἀγριάδες, νύμφαι.

Ἀγρίαζε, ἄγριος ἴσθι.

Ἀγρίαθεν, ἀνέκαθεν. Αἰσχύλος Ἀγαμέμνονι.

Ἀγριαίνει, εἰς παθητικὴν σημασίαν λαμβάνεται. Λιβάνιος, Αἰδεῖται καὶ τὰ θηρία τὴν φύσιν, καὶ τοὺς ἄλλους ἅπαντας ἀγριαίνοντας, φιλίᾳ τοῦ γένους τὸ ἡμερώτερον ἐπιδείκνυσιν.

Ἀγριάμπη, ἡ Βρυωνία βοτάνη.

Ἠγρίανεν, ὠργίσθη.

Ἀγριάνια, νεκύσια, παρὰ Ἀργείοις. καὶ ἀγῶνες ἐν Θήβαις.

Ἀγριᾶνες, τέλος τι τῆς κύφης συμπαίξεως, ἐκ τῆς Ἀγριανικῆς χώρας Παιόνων.

Ἀγριᾶνες, τάξις στρατιωτική.

Ἀγριανιαῖον, ἀκόντιον.

Ἀγρίας, στρουθοκάμηλος.

Ἀγριαύλη, δῆμος Ἀττικῆς.

Ἀγρίβροξ, ὀρίγανον.

Ἀγρίδιον, χωρίδιον. ἢ χωρίον παρὰ Αἰτωλοῖς.

Ἀγριέες, λῦπαι.

Ἀγριέλαιος, ἡ ἄκαρπος ἐλαία.

Ἀγριεὺς, ἄγροικος.

Ἀγριμέλισσα. Ἡγησίας οὕτως ἐπεκαλεῖτο.

Ἀγρίνιον, ὄρος.

Ἄγρινοι, ἀγρόνομοι. καὶ οἱ παιδερασταὶ οὕτως.

Ἀγριόθυμος, ἀγριόψυχος, θηριώδης.

Ἄγριοι Θεοὶ, οἱ Τιτᾶνες.

Ἄγριοι λιμένες, τόπος ἐν Ἑρμιόνι.

Ἀγρίοι, οἱ παιδερασταί. ἤτοι ὅτι ἀγριόν ἐστι τὸ πάθος ἡ παιδεραστία, ἢ ὅτι ὁ Πὰν ἐνοχός ἐστι τοῖς τοιούτοις. διὰ τοῦτο νῦν καὶ τὸ αἰδοῖον ἀνατεταμένον ἔχει. ἔστι δὲ ὁ Πὰν, ἄγριος Θεός. ἀγρίοι δὲ καὶ οἱ ἄγροικοι.

Ἄγριον, ἄμικτον, ἀνήμερον. λέγεται δὲ ἄγριος ἐπὶ κακίας ὑπερβολῆς.

Ἀγριοκάναβος, βοτάνη τίς.

Ἀγριοκάρυον, δένδρον.

Ἀγρία μέλιττα, ἐπὶ τῶν σφόδρα πονηρῶν, καὶ ὠμῶν.

Ἄγριον, γενικῶς ἐπὶ θηρίου. εἶτα ἄγριον ἀργιόδοντα. καὶ μεταφορικῶς, ἐπίθετον, ἄγριον αἰχμητήν. κατ' ἰδίαν δὲ ὀνομασίαν. κύριον, Οἰνέως μὲν ἀδελφοῦ, πατρὸς δὲ Θερσίτου.

Ἄγριον αἶγα λέγει Ὅμηρος. ἔστι καὶ θηλυκῶς λαβεῖν τὴν ἄγριον. καὶ ἀρσενικῶς. Ἀττικὸς γὰρ ἀνὴρ τὸν αἶγα λέγει, ὥσπερ καὶ τὸν ἀηδόνα.

Ἀγριοπήγανον, βοτάνη τίς.

Ἀγριώτατος, ὁ ἀνήμερος.

Ἀγριότης, ὁρμή.

Ἄγριος, ὁ ὠμός.

Ἀγρεῖος, ὁ ἐν τῷ ἀγρῷ οἰκῶν.

Ἀγρίου βέβρωκε, οἱονεὶ ζώου ἀγρίου. ἀναιδεῖς δὲ οἱ βεβρωκότες χασμᾶσθαι.

Ἀγριοσταφύλιες, ἀγριοσταφίδες.

Ἀγριοψωρία, νόσος. καὶ ἀγριολειχῆναι.

Ἀγρίους, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ, οὕτως ὠνόμασε. καὶ Μένανδρος δὲ ἀγρίους εἶπε κυβευτὴν, τὸν λίαν περὶ τὸ κυβεύειν ἐσπουδακότα. ἀγρίους καὶ καλοπολεμίκους ἐκάλουν οἱ παλαιοὶ, τοὺς παιδεραστάς.

Ἀγρίππου ἀκαρπότεροι, ἐπὶ τῶν ἀκάρπων. ἄγριππος γὰρ λέγεται ἡ ἀγριελαία.

Ἀγρίφα, Ἀθηνᾶ.

Ἀγρίφη, ὑποδοχὴ, ἅμη, σκάφη. ἢ Ἀγρίφη, δίκελλα, σκεῦος γεωργικὸν πολύχαμφον.

Ἄγριφος, γένος τι ἀγρίας ἐλαίας. Ὀλυμπιάσιν.

Ἀγριωπὸν, ἀγριόφθαλμον.

Ἀγριάθηρα, βοτάνη τίς.

Ἀγρόθι οἰκῶν, ἀγρόθεν ἥκων, ἀπελθὼν τῶν ἀγρῶν. καὶ ἐλθὲ πρὸς τὸν ἀγρόν.

Ἀγροικίζω, καὶ ἄγροικος, ἄφρων, δύσκολος, σκληρὸς, καὶ ἀπαίδευτος, ἢ ὁ ἐν ἀγρῷ κατοικῶν. κατὰ μεταφορὰν δὲ ὀρίζονταί τινες τὴν ἀγροικίαν, σκληρότητα ἤθους. ἡ γὰρ σκληρότης, κυρίως ἐπὶ σωμάτων.

Ἀγροῖκος, ὁ ἐν ἀγρῷ διάγων χωρικὸς, ἢ ἐργάτης καὶ δραστήριος. ἢ ζευγηλάτης.

Ἄγροικος ὀργὴν, φιλόδικος, ἀκρόχολος, εἰς ὀργὴν εὔκολος. Ἀριστοφάνης, νῷν γὰρ ἐστι δεσπότης ἄγροικος ὀργήν. καὶ ἀγροῖκος, ὁ ἄγριος. * παρ' Ἀριστοφάνει κεῖται. νῷν γὰρ ἐστι δεσπότης ἄγροικος ὀργὴν, κυαμοτρὼξ, ἀκρόχολος. Τὸ μὲν οὖν φιλόδικος οὐκ ἔστιν ἐξήγησις τοῦ ἄγροικος ὀργὴν, ἀλλὰ τοῦ κυαμοτρώξ. καὶ τὸ εἰς ὀργὴν εὔκολος δὲ τοῦ ἀκρόχολος, ὡς δῆλον παρὰ τῷ Σχολιαστῇ. ὁ δὲ Σουίδας φύρδην ἔγραψε ταῦτα λαβών. παρ' οὗ αὖθις καὶ Βαρῖνος αὐτολεξεὶ μετεγράψατο.

Ἀγροῖκος, κοινόν. ἄγροικος, Ἀττικόν. ἄγροικος ὁ σκαιός. καὶ ἀγροῖκος, ὁ ἐν ἀγρῷ ζῶν. ἄγροιος * (ἄλ. ἄγριος, ἢ ἀγρεῖος) δ' ἐπὶ ἀμφοῖν.

Ἄγροικος, ὁ ἰδιώτης. καὶ ἀπαίδευτος. οἱ Ἀττικοὶ δὲ καὶ ἐπὶ τοῦ ἐν τῷ ἀγρῷ οἰκοῦντος.

Digitized by Google

τος καὶ ἐπὶ τοῦ ἰδιώτου καὶ ἀπαιδεύτου, καὶ ἀναισθήτου προπαροξυτόνως λέγουσιν. οἷον, ἄγροικος.

Ἀγροικόσιτον, ἀπαιδευτόσιτον.

Ἀγροίκως, ἀμαθῶς.

Ἀγροιλῆθεν, ἀγροίλη, δῆμός ἐστι φυλῆς τῆς Ἐρεχθηΐδος. ὁ δὲ δημότης πάλαι ἐλέγετο ἀγροιλεύς.

Ἀγροιτιᾷ, ἀγροικίζεται, ὑβρίζει.

Ἀγροιώτης, ὁ ἄγροικος. ἐστὶν ἀγρὸς ἀγρότης, ὡς δῆμος δημότης. καὶ πλεονασμῷ τοῦ ι, καὶ ἐπενθέσει τοῦ ω, ἀγροιώτης.

Ἀγρολέτειρα, τὸν ἀγρὸν ἀπολέσασα. ἡ Ἄρτεμις.

Ἀγρομένης, ὁ ἐν ἀγρῷ διατρίβων, καὶ εἰς πόλιν μὴ κατιών.

Ἀγρομένῃσι, συνεστραμμέναις, συνηθροισμέναις.

Ἀγρομένους, συνελθόντας, συναθροισθέντας.

Ἀγρόμενοι, ἀγειρόμενοι. ἀγείρω, καὶ κατὰ συγκοπὴν ἄγρω. ὥσπερ παρὰ τὸ ἐγείρω ἔγρω.

Ἀγρομένων, ἀθροιζομένων, συνηγμένων.

Ἀγρόνομαι νύμφαι, προπαροξυτόνως μὲν αἱ τὰ ἄγρια νέμουσαι, ἢ ἐν ἀγρῷ διάγουσαι. δοκεῖ δὲ ἀπεμφαίνειν ἡ τοιαύτη σημασία. οὐ γὰρ ἂν αἱ νύμφαι λεχθεῖεν ἄν, εἰ μὴ ἄρα τὸ νέμεσθαι νοηθείη, ἀντὶ τοῦ ἁπλῶς διάγειν καὶ οἰκεῖν. οὗ ἡ χρῆσις, ἐν τῇ Ὁμηρικῇ Βοιωτίᾳ. προπαροξυτόνως μὲν ἡ λέξις λέγεται, ἴσως πρὸς ὁμοιότητα τοῦ πρωτότοκοι, καὶ τῶν ὁμοίων.

Ἀγρονόμων, ἐν ἀγροῖς διαγόντων.

Ἀγροῦ πηγὴ, παροιμία ἐπὶ τῶν λιπαρῶς προσκειμένων. ὁ δὲ Σώφρων, τὰ πλεῖστα μέρη λέγει μετὰ τῶν ὀρῶν, καὶ τὰ πρότερα τοῦ ἀγροῦ. καὶ ζάπλουτοι, ἀγροῦ πηγαί.

Ἀγρόπολον, ἄπορον.

Ἀγρὸς, χωράφιον, χωρίον.

Ἀγρὸς παρὰ τὸ ἄρω, ὃ σημαίνει τὸ σιδηρῶ, ὁ τῷ σιδήρῳ τεμνόμενος.

Ἀγρὸς, ὁ ἔξω τῆς πόλεως χῶρος.

Ἀγρώστη, βοτάνη καὶ ἄρτος τίς, ὃς πρότερον λόχος ἐκαλεῖτο. * παρ' ἄλλοις ὀρθότερον, ἀγρώστη, καὶ ἄγρωστις.

Ἀγρεῖται, θηρᾶται, κυνηγεῖται. καὶ ἀγρώσσω, τὸ κυνηγῶ.

Ἀγρότας, ἀγροίκους.

Ἀγρότης καὶ ἄγροικος, ὁ ἐν τῷ ἀγρῷ οἰκῶν.

Ἀγροτέραν, καὶ ὀρείαν τὴν Ἄρτεμιν. Ἀριστοφάνης, ἀγροτέρᾳ τῇ Ἀρτέμιδι. ἰδίως γὰρ οἱ Ἀθηναῖοι σέβουσι καὶ τιμῶσι τὴν ἀγροτέραν Ἄρτεμιν.

Ἀγροτεράων, ἀγρίων.

Ἀγροτέρας ἐλάφους, ἀγηροτέρας. καὶ κατὰ συγκοπὴν ἀγροτέρας.

Ἀγρότερον σῦν, ὅ ἐστιν ἄγριον. οἱ νεώτεροι σύαγρόν φασιν, ὡς ὄναγρον. ὥσπερ δὲ αἰπόλος καὶ αἰπόλιος ἐπὶ τοῦ αὐτοῦ σημαινομένου ἄμφω, οὕτω καὶ κάπρος καὶ κάπριος ὁ πρὸς θήλειαν [illegible].

Ἀγροτέροισιν, ἀγριωτέροις.

Ἀγρῶται, ἀγροῖκοι, ἢ θηρευταί.

Ἀγροῦ πλέων, ἀγροικίας πλήρης.

Ἄγροφον, ὀρεινόν.

Ἀγρύλη, δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς, καὶ τῆς Ἀτταλίδος.

Ἀγρυξία, σιωπή.

Ἀγρυπνὶς, ἑορτὴ Διονύσου ἐν Ἀρβήλῃ.

Ἀγρυπνῶ, ἐγρήσσω, ἰαύω. * γραπτέον ἀγρώσσω. ἀνωτέρω γὰρ εἴρηκεν. ἀγρώσσει, ἀγρυπνεῖ.

* Ἀγρυπνητικὸς, ὁ φέρων τὴν ἀγρυπνίαν, καὶ ἄγρυπνος, ὁ ἄϋπνος.

Ἀγρυπνία, ἤτοι ἀϋπνία. καὶ κατὰ πλεονασμὸν τοῦ γρ, ἀγρυπνία.

Ἀγυρτεῖ, ὑβρίζει.

Ἀγρωτὴς, ἀγροῖκος.

Ἀγρωνίδης, Ἄγρωνος παῖς.

Ἀγρώσσατο, ἠθέτησεν, ἐψάσατο.

Ἀγρώσσει, θηρεύει. ἀγρώσσω, παράγωγος ὁ χαρακτὴρ ἀπὸ τοῦ ἀγρὸς ἀγρώσσω. τὰ γὰρ διὰ τοῦ σσω, τὰ ἐξ λαμβάνουσι φωνήεντα. τὸ διὸ οὐ λαμβάνουσιν. οἷον τὸ α, παρὰ τὸ ἄλλος ἀλλάσσω. τὸ ε, παρὰ τὸ πῦρ πυρὸς πυρέσσω. πτήσσω, τὸ η. Διδίσσω, τὸ ι. ἀφύσσω, τὸ ἀπαντλῶ, τὸ υ. ὀνειρώσσω ἀγρώσσω, τὸ ω. ὡς τὸ ἔχεις μὲν δῦναι τὸ ο, οὐκ ἐν παραγωγῇ δέ. τὸ γὰρ ὄσσω, ἀπὸ τοῦ ὄπτω γέγονεν.

Ἀγρώσσων, ἀγρεύων.

Ἀγρῶσται, οἱ κυνηγοί. ἀπὸ τοῦ ἀγρώσσω ῥήματος πεποίηκεν Ὅμηρος. ἰχθῦς ἀγρώσσων, πυκινὰ πτερὰ δεύεται ἅλμῃ.

Ἀγρωστῖναι, νύμφαι ὄρειοι.

Ἀγρωστῖνος, ἀγροῖκος.

Ἄγρωστις, βοτάνη τὶς, ἣν ἀγρίαν ἡ κοινὴ γλῶσσά φησι. μελιηδὴς, ἤγουν γλυκεῖα. ἐστὶ δὲ ὀρυκτικὴ, καὶ φιλεῖται τοῖς ἀλόγοις ζώοις.

Ἀγυιὰ, ἄμφοδος, ῥύμη, ὁδὸς, γειτονία.

Ἀγυιαὶ, ἄμφοδα, ῥύμαι, ἢ ἐπιμήκεις ὁδοί. παρὰ τὸ μὴ ἔχειν πως, γυῖα καὶ μέλη καὶ κάμψεις. τὰ δὲ ἄμφοδα ἔχουσιν ἑκατέρωθεν διεξόδους, καὶ ταύτῃ διαφέρουσιν.

Ἄγυια καὶ ἀγυιὰ, εὕρηται παρ' Ὁμήρῳ. Ἀρίσταρχος μέσην ἄγυιαν προπαροξυτόνως ἀναγνώσας, ἐν τοῖς ἑνικοῖς τὸ εὐκτιμένας κατ' ἀγυιὰς ὀξυτόνως προέφερεν. ὁποῖόν τι πάσχει κατ' ἄλλους καὶ τὸ θέσπια καὶ θεσπιαὶ, καὶ πλάταια καὶ πλαταιαί. βέλτιον δὲ περισπᾶν, ὡς ἀπὸ τοῦ ἀγυιᾶς. ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν. ἔστιν οὖν τὸ ὁλόκληρον ἀγυιεὺς, καὶ ἡ αἰτιατικὴ ἀγυιέας, ἐν συναλοιφῇ δὲ ἀγυιᾶς. ἔστι δὲ ἴδιον Δωριέων. εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν βωμοί. καὶ ἀγυιεὺς, ὁ πρὸ τῶν αὐλίων θυρῶν κωνοειδὴς κίων, ἱερὸς Ἀπόλλωνος. καὶ αὐτὸς θεός. Φερεκράτης Κραπατάλοις, ὦ δέσποτ' Ἀγυιεῦ, ταῦτα σὺ μέμνησό μου.

Ἀγυιὰν, τὸ στενωπόν. Ξενοφῶν, καὶ ὅλως πολλὰ τὰ γλωσσηματικὰ παρ' αὐτῷ.

Ἀγυιαὶ, ἀπὸ τοῦ δι' αὐτῶν ἄγειν ἡμᾶς τὰ γυῖα, τουτέστι πορεύεσθαι. κέχρηται γὰρ καὶ τῷ ἄγειν, ἀντὶ τοῦ φοιτᾶν, Ὅμηρος.

Ἀγυιάτιδες, αἱ πρὸ τῶν θυρῶν θεραπεῖαι. * οἱ δὲ τὰ τοῦ Ἀγυιέως προπύλαια.

Ἀγυιεὺς ὁ πρὸ τῶν θυρῶν ἑστὼς βωμὸς ἐν σχήματι κίονος.

Ἀγυιεὺς, περὶ τοῦ ἀγυιέως Ἀπόλλωνος, ἰδίως Εὐτυχίας οὕτω γράφει. ἐν δὲ τῷ ἰάμβῳ, τοῦτο διανέμει. καὶ ὅτι καὶ νῦν ἐστιν ὡς ἀγυιεὺς τῶν Δωριέων οἰκησάντων ἐν τῷ τόπῳ ἀνάθημα. καταμηνύει ὅτι Δωριέων εἰσὶ τὰ Ἑλλήνων. τούτοις γὰρ ἐπὶ τὰς στρατιὰς φάσματος οἱ Δωριεῖς μιμούμενοι, τὰς ἀγυιὰς ἱστᾶσιν ἔτι καὶ νῦν τῷ Ἀπόλλωνι. Ἄλλως. Πρὸ τῶν θυρῶν ἐντὸς εἶχον κίονας εἰς ὀξὺ λήγοντας, ὡς ὀβελίσκους ἱδρύειν εἰς τιμὴν Ἀπόλλωνος ἀγυιέως. οἱ δὲ Διονύσου, οἱ δὲ ἀμφοῖν ἰδίους φασίν.

Ἀγυιῆται, κωμῆται.

Ἀγύλαιος, ὄνομα κύριον.

Ἀγυμνάστοις, πολυγυμνάστοις. * δηλοῖ καὶ στέρησιν. καὶ ἀγυμνάστως ἔχειν πρός τι, ὅ ἐστιν ἀμαθῶς. καὶ ἀγυμνασία, οὗ ἐναντίον ἡ γυμνασία.

Ἄγυνος, ἀγύναιος. * καὶ ἀγύναικος.

* Ἄγυιος, ὁ μὴ ἔχων γυῖα, ἤτοι χεῖρας, καὶ πόδας. ἄναρθρος. Ἱπποκράτης δὲ τὰ ἀσθενῆ ἄγυια καλεῖ, ὥς φησι Γαληνός.

Ἀγυρεῖ, ἀθροισματεῖ, ἢ συγκροτεῖ.

Ἀγυρίζειν, συνάγειν, ἀγυρτάζειν.

Ἀγύριος, ὄνομα κύριον.

Ἄγυρις, σύνοδος, συναγωγὴ, ἄθροισις, καὶ ἀγυρισμός.

Ἀγυρμὸς, ἐκκλησία, συναγωγὴ, συγκρότησις. καὶ πᾶν τὸ ἀγυρόμενον, καὶ τῶν μυστηρίων ἡ πρώτη ἡμέρα.

Ἀγύρριος, στρατηγὸς θηλυδριώδης ἄρξας ἐν Λήμνῳ. ὃς τὸν μισθὸν τῶν ποιητῶν συνέτεμε, καὶ πρῶτος ἐκκλησιαστικὸν δέδωκεν. ὁ δὲ πρόνομος, αὐλητὴς, μέγαν ἔχων πώγωνα. ἀγύρριος δὲ, εὐρύπρωκτος. οὗτος τὸν προνόμου ἔχων πώγωνα, λανθάνει ὢν γυνή.

Ἀγυρτάζει, συλλέγει, πολίζει, ἀγείρει, πτωχεύει. ἐξ οὗ καὶ ἀγύρτης αἰτίζει ἐν τούτοις ἔφη. εἰπὼν, ἄγει κειμήλια πολλὰ καὶ ἐσθλὰ αἰτίζων. ἄλλο τι ὂν παρὰ τὸ πτωχεύειν. ἐκεῖνο γὰρ τῶν πάνυ ἀπόρων ἦν. ὅτι δὲ τὸ ἀγυρτάζειν καὶ ἀγείρειν λέγεται, δῆλον ἐκ τοῦ ὅσα συναγείρατο Ὀδυσσεὺς ὁ φαινόμενος πτωχὸς, καὶ πρὸ αὐτοῦ ὁ Ἶρος.

Ἀγυρτείαν, ὁμιλίαν. οἵαν, ἐκεῖνος ἐθηρᾶτο πρὸς ἀγυρτείαν τινὰ θρασυνομένην.

Ἀγύρτης, πτωχὸς, ὀχλαγωγὸς, ἐπαίτης, φιλοκερδὴς, προσαίτης, συρφετώδης, ἀλαζὼν καὶ ἀπατεὼν, ἰδιώτης. ἐστὶ δὲ καὶ ὁ ἀγείρων ὄχλον. καὶ ὄνομα βόλου κυβευτικοῦ. καὶ Γάλλος, καὶ μάντις. ὡς Ἀππίων ἐν ἐπιγράμματι, δόλιον ἀγύρτην, ὃς ἐν τοῖς κέρδεσι μόνον δέδορκε. καὶ αὖθις, ἦν γὰρ αὐτὸς ἀγύρτης τῷ ὄντι, καὶ φιλομαντευτής. τὸ δὲ ἀγείρειν καὶ τὸ περιάγειν, τὸ περιιέναι καὶ περινοστεῖν ἐπὶ νίκῃ, ἢ τινι ἑτέρῳ τοιούτῳ σεμνύνειν.

Ἀγυρτικὰ, χυδαῖα ψεύσματα. καὶ ἀγυρτώδη συρφετώδη.

Ἀγυρτὴς, συναθροιστὴς καὶ μάντις, ὡς ὁ Ἀππίων.

Ἄγχαζε, ἀναχώρει. καὶ ἀγχάσδε, καὶ ἀγχάσαι, * (ἄλλως. ἀνάχαζε) τὸ αὐτό.

* Ἀγχαλάω, ἀναχαλάω.

Ἀγχαλέη, τόπου ὄνομα παρὰ Ἱππώνακτι.

Ἄγχαρμον, ἀναφερῆ τὴν αἰχμήν.

Ἀγχάσασθαι, ἀναχωρῆσαι.

Ἄγχαυρον, τὸν καιρὸν τὸν πλησίον καὶ ἐγγὺς τῆς ἡμέρας, ὥσπερ τὸ καλούμενον λυκόφως.

Ἄγχαυρος, ὁ παχνώδης ὄρθρος. παρὰ τὸ ἀγχοῦ ἤτοι πλησίον ἔχειν τὴν αὔραν. Ὅμηρος, αὔρη δὲ ψυχρὴ πνέει, ἠῶθι πρό.

Ἄγχε, πνῖγε. καὶ ἔπνιγεν, ἢ πλησίαζε.

Ἄγχει, φέρει, πνίγει, ἢ πλησιάζει.

Ἄγχει, κάλλιον ἢ πνίγει, καὶ ἄγχεται ἢ πνίγεται.

Ἄγχειν, τὸ τὸν λάρυγγα συνάγειν. ἐκ τοῦ ἄγειν, πλεονασμῷ τοῦ χ.

Ἀγχεῖος, ὁ πλησίον.

Ἀγχέμαχα ὅπλα, τὰ μὴ βαλλόμενα.

Ἀγχέμαχοι, οἱ ἐγγύθεν μαχόμενοι.

Ἀγχεμαχῶν, πλησίον καὶ σταδίην πολεμῶν. καὶ ἀγχέμαχα ὅπλα, οἷόν ἐστιν ἡ σπάθη. ἐκηβόλα δὲ ὅπλα, τὰ ἀπὸ τόξου πεμπόμενα βέλη. καὶ ὁ Θεολόγος, ἀγχεμάχοις ὅπλοις τοῖς ἀπὸ γλώσσης.

Ἀγχηρεῖς, ἐγγύς.

Ἀγχιστῖνοι, πυκνοί.

Ἀγχῆσαι, πνίγησαι.

Ἀγχιάλεια, πόλις. καὶ ἀγχίαλος, ἡ ἐγγὺς τῆς θαλάσσης. οὐ πάντως δὲ αἱ ἀγχίαλοι, καὶ ἀμφίαλοί εἰσιν, οἷα ἐστὶν ἡ Ἀλεξάνδρεια. ἀγχίαλος μὲν, οὐκ ἀμφίαλος δέ. αἱ δὲ νῆσοι, ἀμφίαλοι καὶ ἀγχίαλοί εἰσιν. εὐρύαλος δὲ χῶρος, εὕρηται πολλαχοῦ.

Ἀγχίαλος, ἡ μὲν πόλις ὀξύνεται. ὁ δὲ παραθαλάσσιος τόπος, προπαροξύνεται.

Ἄγχι, ἐγγὺς, πλησίον. παρὰ τὸ ἀγχόθι κατὰ συγκοπήν.

Ἄγχι παρέστηκε, παρ' Ὁμήρῳ, ἐπίστασις ἐστίν. ἤρκει γὰρ καὶ τὸ παρέστηκεν. Ἄλλως. τὸ ἄγχι, χρονικὸν κεῖται ἐνίοτε, ὡς παρ' Ὁμήρῳ. οἷον, ὡς ὁ μὲν, οὕτως ἐστὶ σῶος, καὶ ἐλεύσεται ἤδη ἄγχι μάλα. τουτέστιν, ἐγγὺς, μετ' ὀλίγον.

Ἀγχιάλη, πόλις ἣν ἔκτισεν ἐν μιᾷ ἡμέρᾳ Σαρδανάπαλος ὁ τῶν Ἀσσυρίων βασιλεύς. ὁμοίως ἔκτισε καὶ τὴν Ταρσὸν, ὁ αὐτός.

Ἀγχιβαδὴς, ἄρτι παρών.

Ἀγχιβαθὴς, ἡ ἐγγὺς τῆς γῆς βαθεῖα θάλασσα. καὶ ἀγχιβαθὴς, ὁ ἐγγύβαθος.

Ἀγχιβάτης, ὁ πλησίον βαίνων. καὶ ἀγχιβατεῖν, ἐγγὺς βεβηκέναι. Ἴωνες δὲ, τὸ ἀμφισβητεῖν.

Ἀγχιάλη ἡ Ἀττικὴ, ἀπὸ Ἀγχιάλου.

Ἀγχία-

Digitized by Google

Ἀγχίαλος, ἐγγὺς θαλάσσης. ἐστὶ δὲ καὶ ὄνομα κύριον.

Ἀγχίβι, μέγα, ἐγγύς. * ἐν παλαιῷ λεξικῷ οὕτω γέγραπται. παρ' Ἡσυχίῳ δέ· ἀγχίβοιον, μέγα, ἐγγὺς βοῆς, ἢ ἐπὶ τοῦ στενάξαι. ἐν δὲ τῷ μεγ. Ἐτυμολ. ἀγχίβιον, μέγα ἐγγύς.

Ἀγχιβλὼς, ὁ ἄρτι παρών.

Ἀγχίγυοι, οἱ πλησιόχωροι, οἱ γείτονες.

Ἀγχιδίαι, ἐνθαλασσηδίαι. * οὕτω καὶ παρ' Ἡσυχίῳ.

Ἀγχίθεον, ἰσόθεον, θεῖον.

Ἀγχίθεοι, οἱ Φαίακες. καθότι ἔγγονοί εἰσιν ἀπὸ Ποσειδῶνος οἱ βασιλεῖς, ἢ ὅτι Θεοὶ συνδιέτριβον αὐτοῖς, ἢ ὅτι εὐδαίμονες καὶ ἰσόθεοι.

Ἀγχίθερμον, * (κάλλιον, ἀγχίτερμον.) γεῖτον. καὶ ἀγχίθυρον.

Ἀγχίθυρος, πλησιαίτατος.

Ἀγχιλά, ἁλμυρὰ, θαλάσσια.

Ἀγχιαδάρ, παστία, ἐν ἀργείᾳ. * παρ' Ἡσυχίῳ. ἀγχιλιαδάρ.

Ἀγχίμαστρον, ἀμφιεσμένον. * παρ' ἄλλοις, ἀμφίεσμα.

Ἀγχιμαχηταὶ, οἱ συστάδην μαχόμενοι.

Ἀγχίμαχος, ὁ ἐγγύθεν μαχόμενος.

Ἀγχίμολον, τὸ ἐγγὺς ἐλθόν. ἢ ἐγγὺς ἐληλυθὸς, καὶ σύνεγγυς. ἢ μετ' ὀλίγον ἐπιρρηματικῶς κεῖται παρ' Ὁμήρῳ. ὡς τὸ, Ἀγχίμολον ἦλθεν Ἀθήνη. ἐκ τοῦ μολῶ, τὸ παραγίνομαι. σημαίνει δὲ τὸ πλησίον.

Ἀγχίνοια, φρόνησις, σύνεσις, ἡ ταχύνοια, ἡ ὀξεῖα γνῶσις. ἢ ἕξις εὑρετικὴ τῶν καθηκόντων ἐκ τοῦ παραχρῆμα. ἢ εὐστοχία τίς, ἐν ἀσκέπτῳ χρόνῳ.

Ἀγχίνοος, συνετὸς, ἀγχίνους.

Ἀγχίνους, συνετὸς, νηφάλιος. ὀξὺς τὸν νοῦν, φρόνιμος.

Ἀγχίξαι, ἐγγίσαι. Κρῆτες.

Ἀγχίπορος. εὐπρόσκομιστος.

Ἀγχίπους, εὐπρόσκομιστος. καὶ ὁ παρεστὼς καὶ σύνεγγυς. Εὐριπίδης Ἰφιγενείᾳ τῇ ἐν Ταύροις.

Ἀγχιρμίων, ὁ ἐγγύς. Σοφοκλῆς Ἀθάμαντι.

Ἀγχίσοος, ὁ ἄρτι παρών.

Ἀγχισβατεῖν, τὸ διαφέρεσθαι.

Ἀγχίσποροι, συγγενεῖς καὶ ἐγγὺς γένους.

Ἄγχιστα ἐῴκει, ἤγουν ἔγγιστα ἰσοδυναμεῖ δὲ τῷ ἄγχι μάλιστα, ὃ ἀλλαχοῦ κεῖται. ταυτὸ δέ ἐστι τῷ σχεδόν. σύστοιχα γὰρ τὸ σχεδὸν, καὶ ἐγγὺς, καὶ ἀγχοῦ, καὶ ἄγχι.

Ἀγχιστεία, συγγένεια.

Ἀγχιστεῖς, τοὺς ἐξ αἵματος συγγενεῖς ἐκάλουν οἱ παλαιοί. ἤγουν, τοὺς ἀπὸ ἀδελφῶν, καὶ ἀνεψιῶν, καὶ θείων. συγγενεῖς δὲ τοὺς ἐξ αἵματος μὲν, πλὴν πορρωτέρω. οἰκείους δὲ, τοὺς ἐξ ἐπιγαμβρείας. ὁ δὲ Ἀριστοφάνης λέγει ἀγχιστείαν, καὶ τὴν μετουσίαν τῆς οὐσίας.

Ἀγχιστεύω, συντάσσεται γενικῇ.

Ἀγχιστεύουσα, ἐγγὺς οὖσα.

Ἀγχιστεὺς, συγγενής.

Ἀγχιστίνδην, τὸ κατὰ ἀγχιστείαν. ὡς ἀπὸ τοῦ ἄριστος ἀριστίνδην, καὶ πλοῦτος πλουτίνδην.

Ἀγχιστῖναι, σύνεγγυς ἀλλήλων, ἢ συνεχεῖς, ὅ ἐστι πυκναί. ἢ ἄλλαι ἐπ' ἄλλαις. γίνεται δὲ, παρὰ τὸ ἄγχι ἱστάναι. ὃ ποιοῦσιν αἱ ὄϊες διὰ φόβον πυκνούμεναι, ὡς ἐπὶ συνασπισμῷ. εὕρηται δὲ καὶ διαλελυμένως. οἷον, ἄγχι ἱστάμεναι. σημείωσαι δὲ, ὅτι τὰ ἀπὸ τοῦ ἄγχι ἐπιρρήματος πάντα, διὰ τοῦ ι γράφεται. ἐν οἷς καὶ ὁ ἄγχιστος. ὅθεν τὸ ἀγχιστεύειν, καὶ τὰ ἐξ αὐτοῦ.

Ἀγχιστὸν, τὸ ἔγγιστα γένους.

Ἀγχίστροφος, ταχὺ ἐπιστρεφόμενος, εὐμετάβολος, εὐπερίστροφος, καὶ ἀγχίστροφον, τὸ εὐθέως στρεφόμενον.

Ἀγχιτέρμονες, οἱ ἐγγὺς τοῦ τέλους. καὶ ἀγχιτέρμων, ὁ γείτων.

Ἀγχλάσας, ἀναχαλάσας, ἀνακύψας, ἀναβαστάσας. * οὕτω καὶ ἐν τῷ μέγ. Ἐτυμολ. γραπτέον δὲ, ἀγχαλάσας.

Ἀγχοάδην, ἀμβολάδην.

Ἀγχοαὶ, πηγαὶ ἐπὶ Μυσίαν, καὶ τόπος ἐν Βοιωτίᾳ.

* Ἀγχόθεν, ἐπίρρημα, οὐκ ἐναντίον τὸ πόρρωθεν. καὶ ἀγχόθι, ἐγγύς.

Ἀγχόμαλον, τὸ ἐγγὺς ἔχον τὴν ὁμαλότητα ἰσόπεδον. καὶ ἀγχομάλου, τοῦ ἐγγὺς ὁμαλοῦ.

Ἀγχόνη, καὶ ἀγχονή. ἡ διαφορὰ τοῦ ὀνόματος, ἐν τῷ τόνῳ. ὀξυτόνως μὲν γὰρ, τὸ εἶδος τοῦ πάθους. βαρυτόνως δὲ, τὸ σχοινίον καὶ ὁ βρόχος. ὡς Ἀριστοφάνης, ταῦτα δῆτ' οὐκ ἀγχόνη. ἤγουν, πνιγετὸς, ἢ ἀγχόνης ἄξια.

Ἀγχονήσας, πνίξας.

Ἀγχοροὺς, γείτονας.

Ἄγχος, πρόσφατος, ἐγγύς. ἢ πνίγμα, ἢ πλησίον, ἢ δόρυ.

Ἀγχότερος, ἐγγύτερος. Ἡρόδοτος, στενοτέρη ἐφαίνετο καὶ ἀγχοτέρη ἡ εἰσβολή.

Ἀγχοῦ μὲν, ἐγγὺς, πλησίον, ἄγχι. ἄγχου δὲ, ἀντὶ τοῦ πνίγηθι.

Ἀγχοῦρος, πένης.

Ἀγχοῦρος, ὀρθὸς ἢ ὄρθρος. Κύπριοι. ἢ φωσφόρος, καὶ οἱ σὺν αὐτῷ.

Ἀγχούρους, πλησιοχώρους, γείτονας. παρὰ τὸ ἄγχι τοὺς ὅρους εἶναι.

Ἀγχοῦς, ἡ κάλυξ. * ἴσως ἄγχουσα. οὕτω γὰρ παρὰ Διοσκουρ. βιβ. δ. ἄγχουσα, ἣν ἔνιοι κάλυκα, οἱ δὲ ὀνόκλειαν καλοῦσι.

Ἄγχουσα, εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρὰ, ᾗ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖκες.

Ἀγχουσίζεται, ἐντρίβεται ταῖς παρειαῖς.

Ἄγχραν, μύωπα· Λοκροί.

Ἀγχριάνασθαι, περιαλείψασθαι, ἢ λούσασθαι.

Ἄγχω, τὸ πνίγω. καὶ συντάσσεται δοτικῇ. * (αἰτιατικῇ) οἷον, ὅπως ἦγχε τοὺς ἀντιλέγοντας.

Ἄγχων ὁ δήμιος. ἤγουν, περισφίγγων, θλίβων. ὁ δὲ ἄγχων τὴν αὐτῆς δεξιὰν καὶ περιάγων, περιαιρεῖται τὸ ξίφος.

Ἀγχώμαλοι, παρὰ μικρὸν ἴσοι. ἐγγὺς τοῦ ὁμαλοῦ.

Ἄγω, ἀπάγω, μέλπω, ἀείδω. καὶ ἄγω, τὸ πορεύομαι, τὸ κλάω, καὶ τὸ φέρω. καὶ ἀγῶ περισπωμένως, τὸ ἐκπλήττομαι. ἀπὸ τοῦ ἄγω τὸ κλῶ, ἄγνω, ἀγύω, ἄγνυμι.

Ἄγω καὶ ἄγομαι, κυρίως μὲν ἐπὶ ἐμψύχων τάσσεται, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀψύχων. οἷον, ἄγω αἴθωνα σίδηρον, ἀντὶ τοῦ φέρω.

Ἀγωγεὺς, ὁ ἱμὰς, ὁ λῶρος. καὶ ὁ ῥυτὴρ τοῦ χαλινοῦ, καὶ ὁ ἐνάγων.

Ἀγωγὴ, τρόπος, ἀναστροφὴ, ἀπαγωγὴ, ὁδός. πορεία τῆς νύμφης πρὸς τὸν ἄνδρα, Ῥόδιοι. ἢ ἀγωγὴ ἡ κομιδὴ, καὶ τὸ ἀγόμενον βάρος. λέγεται καὶ ἡ διὰ τῶν ἠθῶν τοῦ τρόπου κατακόσμησις, ὡς λέγεται παίδων ἀγωγή. καὶ ἡ μεταβολή. ἐφ' οὗ σημαινομένου ὁ ὁριζόμενος ὑπὸ τὴν γένεσιν κέχρηται τῷ τῆς ἀγωγῆς ὀνόματι Πολύβιος. ἤγαγε δὲ ὁ ξενολόγος, καὶ Λακεδαιμόνιον ἄνδρα, τῆς λακωνικῆς ἀγωγῆς μετεσχηκότα. καὶ τριβὴν ἐν πολεμικοῖς ἔχοντα σύμμετρον.

Ἀγωγία, ἀηδία.

Ἀγώγιμα κάλλιον, ἢ φορτία. εἰσὶ δὲ ἀγώγιμα, οὐ μόνον τὰ φορτία, ἀλλὰ καὶ τὰ κομιζόμενα ἁπλῶς.

Ἀγωγίμων, ὁτὲ μὲν φορτίων, ὁτὲ δὲ καταδεδικασμένων.

Ἀγώγιμον, ὠφέλιμον.

Ἀγώγιον, τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης.

Ἀγωγοὺς, ὁδηγούς. * (ἴσως, ἀγωγούς.) καὶ ἀγωγοῖς, τοῖς ἐπάγουσιν.

Ἀγωγὸν, ἐμβατικὸν, ἐπακτικόν. καὶ ἀγωγοὺς, τοὺς προπομπούς. τάττεται τοὔνομα, καὶ ἐπὶ τοῦ προηγουμένου τινὰ ὁδὸν, ὡς οἱ παλαιοί. οὕτω καὶ Θουκυδίδης κέχρηται. οἱ δὲ νῦν ἀγωγοὺς καλοῦσι, τοὺς ὀχετοὺς τῶν ὑδάτων.

Ἄγωγος, ῥύαξ, ἐπίβουλος.

Ἀγόμενος, θαυμαζόμενος. * παρ' ἄλλοις ὀρθώτερον. ἀγώμενος, θαυμαζόμενος, ἀγόμενος δὲ, φερόμενος.

Ἄγων, φέρων, ἐπάγων.

Ἀγὼν, πολυσήμαντος λέξις κατὰ τοὺς παλαιούς. ἀγὼν γάρ φασιν, ὅμιλος, κύκλος μάχης, ἔρις, ἀγορὰ, συναγωγὴ καὶ ἐπίδειξις. ἀγὼν, ὀξύτονον στάδιον, ἄθροισμα, καὶ τόπος ἔνθα ἀθροίζονται οἱ Ἀγωνισταί. καὶ ἀγὼν ἔρημος, ὁ οὐκ ἔχων ἀντίδικον. ἀγὼν, καὶ ἡ πρὸς τοὺς ἀγῶνας ἄσκησις. ἄλλως.

Ἀγὼν, τὸ πλῆθος παρὰ τοῖς Βοιωτοῖς. κατὰ δὲ τοὺς παλαιοὺς, ἡ ἀγορά. ὅθεν καὶ Ἀγορανόμος ὁ Ἀγωνάρχης. καὶ παρ' Αἰσχύλῳ, ἀγώνιοι Θεοὶ, οἱ ἀγοραῖοι. ἀγὼν καὶ τὸ ἆθλον, καὶ ὁ ναός. οἷον, θεῖον δύσονται ἀγῶνα. ἐτυμολ. δὲ ἀγὼν, ἢ παρὰ τὸ ἄγω, ἢ ἀπὸ Ἀγῶνος ἡνιόχου φασὶ Πέλοπος. ἢ παρὰ τὴν ἀστέρησιν καὶ τὴν γωνίαν. οἱονεὶ, τόπος κυκλοτερὴς, γωνίαν οὐκ ἔχων, καὶ διὰ τοῦ τὸ εὐρύς. καὶ Ὅμηρος, γὰρ φθάσας, ἱερὸν κύκλον ἔφη τὴν ἀγοράν. καὶ Σοφοκ. δήπου, κυκλόεντα θῶκον ἀγορᾶς εὐκλεῆ λέγει. καὶ Εὐριπίδης δὲ οὕτως οἶδεν, ἐν τῷ ἀγορᾶς κραίνων κύκλον.

Ἀγῶνα θεῖόν φησιν Ὅμηρος, ἢ τὸ ἐναγωνίως καὶ προθύμως εὔχεσθαι, ἢ τὸν ναὸν αὐτοῦ, ὡς θεῖον καταγώγιον, ἢ ἀθροιστήριον, διὰ τὰ ἐν αὐτῷ ἀγάλματα. ὅτι δὲ πενταχῶς λέγεται ὁ ἀγὼν, ἀριθμοῦσιν οἱ παλαιοί. πάλιν ὁ αὐτὸς, ἀγῶνα νηῶν λέγει τὸ ἄθροισμα, ἐν τῷ π τῆς Ἰλιάδος. οὕτω που, καὶ τὸ θεῖον δύσονται ἀγῶνα, ἀντὶ τοῦ εἰς τὰ τῶν Θεῶν ἱερὰ εἰσέλθωσιν. ἀγῶνος θείου λεγομένου τοῦ ναοῦ, ἔνθα Θεῶν ἄθροισις, καθ' ὁμοιότητα τοῦ νηῶν ἀγών.

Ἀγὼν χαλκεῖος, τὰ ἐν Ἄργει ἑκατόμβαια.

Ἀγωνάρχαι, ἀγωνοθέται, Ἄρχοντες τῶν ἀγώνων.

Ἀγὼν οὐ δέχεται σκήψεις, παροιμία ἐπὶ τῶν μηδὲν ὀνησαμένων εἰ σκήψαιντο.

Ἀγωνάρχης ὁ βασιλεὺς, ὅταν τοῖς ἀγῶσιν ἐπικάθηται.

Ἀγὼν πρόφασιν οὐκ ἀναμένει. ἡ παροιμία ἐπὶ τῶν φύσει ῥαθύμων. ἢ ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων.

Ἀγωνία λέγεται, ὁ ἀγών. τὸ ἀγώνισμα, καὶ ὁ φόβος. καὶ ἀγωνία ἀγοραία, ἡ πάλαισις καὶ ἡ παλαίστρα. καὶ ἀγωνία, λύπη, κίνδυνος, φόβος ἀποτεύξεως ἢ ἥττης. Ξενοφῶν δὲ ἀγωνίᾳ, ἀντὶ τοῦ ἀγῶνι.

Ἀγωνιᾶν Ἰσοκράτης, ἀντὶ τοῦ ἀγωνίζεσθαι.

Ἀγωνίζομαι ἐγώ. μεταγωνίζομαι δ' ἕτερον, ἀντὶ τοῦ καταστρέφομαι, αἰτιατικῇ μεταβατικῶς καὶ ἀγωνίζομαί σοι λέγομεν. ἀγωνίζομαι, ἠγωνιζόμην, ἀγωνιοῦμαι, ἠγωνισάμην.

Ἀγωνίης, τῆς ἐν ἀγῶνι ἁμίλλης.

Ἀγώνιοι Θεοὶ, οἱ τῶν ἀγώνων προεστῶτες.

Ἀγώνιος, ὁ ἐν ἀγῶνι. καὶ θηλυκὸν ἀγωνία, ὁ φόβος. ἀγονία δὲ διὰ τοῦ ο μικροῦ, ἡ στείρωσις.

Ἀγωνὶς, ὄνομα Ἑταίρας.

Ἀγωνίσματα, ἔπαθλα. καὶ ὀχλικαὶ ἐπιδείξεις. καὶ ἀγώνισμα ἔτι, σπουδὴ, ἐπιμέλεια.

Ἀγωνισμὰς, ἀντιλογία.

Ἀγωνισταὶ, οἱ ὑποκριταί.

Ἀγωνιστήρια, τὰ διδόμενα τοῖς ἀγωνισαμένοις. ἑνικῶς δὲ ἀγωνιστήριον, τόπος ἐν ᾧ ἀγωνίζονται.

Ἀγωνιούμενοι, εἰς ἀγῶνας ἐμβαλοῦντες.

Ἀγωνιῶ ἀμεταβάτως, τὸ φοβοῦμαι καὶ κινδυνεύω. Ἰσοκράτης δὲ ἀγωνιῶντες, ἀντὶ τοῦ ἀγωνιζόμενοι.

Ἀγωνοδίκας, βραβευτάς.

Ἀγωνοθέτης, ὁ ἐν τοῖς Σκηνικοῖς. Ἀθλοθέτης δὲ, ὁ ἐν τοῖς Γυμνικοῖς.

Ἀγωνοθέτης, ἀρχῆς ὄνομα Ἀθήνησιν. ὡς δὲ Νίκανδρος, Ἀθλοθέτης ὁ μόνα γυμνικὰ, Ἀγωνοθέτης δὲ ὁ μουσικὰ ἀκροάματα διατιθέμενος.

Ἀγωνοθετῶ, τὸ τὸν ἀγῶνα διατίθημι.

Ἄγωνον, τὸν ἀγῶνα Αἰολεῖς.

Ἄγωνος, ποταμὸς παρὰ τὴν Αἰθιοπίαν.

Ἀγώνυμος, φερώνυμος.

Ἀγωρεῖν, συναθροίζειν.

Ἀγωρέοι, ἠθροισμένοι.

Ἀγωστοὶ, * (ἴσως, ἀγωγοὶ) οἱ ἀπάγοντες ὁδηγοί.

Ἀγοστῷ. * (γραπτέον ἀγοστῷ. ἢ ἀνωτέρω) Ὅμηρος, ἕλε γαῖαν ἀγοστῷ· τουτέστι, τῷ ἀγκῶνι, κατά τινας. καθ' ἑτέρους δὲ μάλιστα, τῷ πλάτει τῆς χειρός. ἤγουν, τῇ δρακί. κρεῖττον γάρ φασι τὴν δράκα οὕτω νοεῖν, ἔνθα περιάγονται τὰ ὀστᾶ τῶν δακτύλων, ἢ ἀγνῦνται κατὰ τὰς σκυταλίδας καμπτομένων. ἀγκῶνι γὰρ οὐδεὶς δράττεται.

ΤΟ

ΤΟ' Α' ΜΕΤΑ' ΤΟΥ Δ'.

Ἀδὰ, ἡδονὴ, πηγή. καὶ ὑπὸ Βαβυλωνίων ἡ Ἥρα. παρὰ Τυρίοις δὲ, ἡ ἰτέα καὶ ἀδὰ, ἄπηρον.

Ἀδαγμὸς, κνισμός.

Ἀδαγόος, Θεός τις παρὰ Φρυξὶν ἑρμαφρόδιτος.

Ἀδαὶ, μιᾷ παρὰ Χαλδαίοις.

Ἀδαῆς, * (γραπτέον ἀδαεῖς) ἀσωῶτοι, ἀμαθεῖς, ἐστερημένοι τοῦ δαίειν, ἀπὸ τοῦ ᾱ στερητικοῦ, καὶ τοῦ δαίω τὸ μανθάνω. ἀδεὴς δὲ, ὁ ἄφοβος.

* Ἄδαδος, ὁ, καὶ, ἡ. μὴ ἔχων δᾷδα.

* Ἀδαδούχητοι γάμοι, αἱ λαθραῖαι μίξεις, αἷς οὐ παρῆν δᾷς ἡμμένη.

Ἀδαήμονες, ἀμαθεῖς, ἄπειροι. ἀπὸ τοῦ δαίω τὸ μανθάνω, δαῶ δαήσω, δαήμων, καὶ ἀδαήμων, συστολῇ τοῦ ῑ, καὶ μεταθέσει τοῦ τόνου.

Ἀδαημονίη, ἀπειρία.

Ἀδαῖα, εἰς χόρον ἄγονται, παρὰ τὸ ἅδην. ὁ δὲ Σώφρων τὸν ἀηδῆ, ἀδανῆ * (ἴσως, ἀδαῖον) ἔφη.

Ἄδδαι, ῥυμοί. ὑπὸ Μακεδόνων.

Ἀδαΐζω, ἀναβοῶ, ἀνιστένω.

Ἀδαΐκτον, καθαρόν.

* Ἀδαῖον, ἄκαυστον. Σουΐδας.

Ἀδαιὸν, δαψιλές. * Ἡσύχ. παρ' ἄλλοις προπερισπᾶται.

Ἀδαῖον, ἀπόρθητον, ἀπολέμητον.

Ἀδαιστὶ, χωρὶς μαθήσεως, ἢ χωρὶς μερισμοῦ.

Ἄδαιτον, ἀμέριστον.

Ἀδακρυτὶ, ἀκλαυστί.

Ἀδακτῶ, κνήθω. * ἄλ. κνήθομαι.

Ἄδακρυς πόλεμος, ὁ χωρὶς μάχης.

Ἀδάλαν, πονηρόν.

Ἀδαλὲς, ὑγιές.

Ἀδάλαιον, ξηρόν.

Ἀδαλὸς, ἄσβολος.

Ἄδαλτα, οὐκ ἄδηλα.

* Ἀδὰμ, ὁ πρῶτος ἄνθρωπος, ὁ χειρὶ θεοῦ πλασθείς. καὶ ἀδαμιαῖος, ἀπὸ Ἀδάμ.

Ἀδάμα, παρθενικὴ γῆ. * δοκεῖ δὲ ἡ λέξις, Ἑβραϊκὴ, ἀφ' ἧς καὶ Ἀδὰμ ἔσχε τὴν κλῆσιν.

Ἀδαμάντινα, στερρά.

Ἀδάμας, ἀγνώμων, ἀπειθὴς, καὶ ὁ λίθος, ἢ ἄπονος, ἀπαθής. λέγεται δὲ, καὶ τὸ ἐν τῷ χρόνῳ στερρότατον. ὅ, τε ὑοσκύαμος παρά τισι, καὶ ὄρος, καὶ ἔτι γένος σιδήρου ἄθραυστον.

Ἀδαμαστὶ, ἀδαμάστως.

Ἀδάμαστον, ἀνυπότακτον.

Ἀδάμαστος παρθένος, ἄζυξ.

Ἀδάματος, ἀδάμαστος, ἀνυπότακτος.

Ἀδαμιῷν, τὸ ἀδικάστως φονεύειν. Κρῆτες.

Ἀδμένιδες, αἱ δοῦλαι. οἶμαι δὲ ὅτι ἀδμωλίδες θέλει γράφεσθαι, * τοῦτο παρεγγράφη ἐκτὸς τῆς σειρᾶς.

Ἀδαμναῖς, ἀκολασταίναις. * ἴσως, ἀκολάστοις.

Ἀδαμνεῖν, τὸ φιλεῖν, καὶ Φρύγες τὸν φίλον ἀδάμνα λέγουσιν.

Ἀδαμνὴς, ἰσχυρὸς, σκληρός.

Ἀδαμνὸν, ἀγνώμονα. ἢ ἀδάμαστον, ἢ προτόδαμνον.

Ἀδανὲς, ἀφρονόητον.

Ἄδανα, πόλις ἀπὸ Ἀδανός τινος. ὁ πολίτης Ἀδανεὺς, ὡς Γάργαρα Γαργαρεύς.

Ἀδανίη, οὕτω τὸ πρότερον ἡ Μολοσσία ἐκαλεῖτο.

Ἀδαξῆσαι, κνῆσαι, λυπῆσαι.

Ἀδάξω, κνήσομαι, ἐπιθυμήσω. * ἄλ. κνήθομαι, ἐπιθυμῶ. ὁριστικῶς. καὶ παρὰ Γαληνῷ ἐν τῷ Ἱπποκρ. λεξ. ἀδάξασθαι, δάκνεσθαι κνησμωδῶς. ἔστι δὲ τὸ ἀδάξασθαι, μέσ. ἀόρ. α. ἀπὸ τοῦ ἀδάξομαι.

Ἀδάπανον, τὸ ὕδωρ.

* Ἀδάπανος, οὐκ ἐναντίον ὁ δαπανηρὸς, καὶ ἀδάπανον τὸ μὴ δυνάμενον δαπανᾶσθαι, ἤτοι τὸ ἀδαπάνητον.

Ἀδαπάνως, λιτῶς.

Ἄδαρτον, γυμνὸν, ἄδερμον.

Ἀδάρεξα, εἰρήνη.

Ἀδάρκη, βοτάνη.

Ἄδαρτος, ἀμαστίγωτος.

Ἄδας, πονηρός.

Ἄδασαν, ἔβλαψαν.

Ἄδασμος, οὐδένα δασμὸν ἐκτελοῦσα. οἷον τελοῦσα ἐνοίκιον. * (ἴσως, οὐ τελοῦσα ἐνοίκιον) Αἰσχύλος Ἠδωνοῖς.

Ἀδαύρα, αὐτὴ ἡ πνοή.

Ἀδαυῶς, ἐγρηγόρως.

Ἀδαυχᾷ, κνᾷ, κνήθει κεφαλὴν, ψηλαφᾷ.

Ἀδδάντην, κιννάβαριν.

Ἄδδαυον, ξηρόν. Λάκωνες.

Ἀδαχεῖν, τὸ κνήθειν.

Ἄδδει, ἔπειγε.

Ἄδδηλος, κόλπος.

Ἀδδηφάγος, γαστρίμαργος, πολυφάγος, ἀθρόως ἐσθίων. παρὰ τὸ ἄδδην, τὸ δαψιλῶς καὶ τὸ φαγῶ.

Ἄδδην, εἰς κόρον, καὶ εἰς πλησμονήν. τοῦ ἑνὸς δὲ πλεονάζοντος. ἐν γὰρ τοῖς ἐπιρρήμασι, τέσσαρα ταυτὶ μόνα ἐδιπλασίασαν. σπανίως μέντοι καὶ ταῦτα, κἂν μόνοις οἶμαι τοῖς ῥηθησομένοις. τὸ δὲ ἐν τῷ ἄδδην, τὸ κ Δωριεῖς ἐν τῷ ὄκκα, τὸ π ἐκ τῷ ὁππότε καὶ ὅππως καὶ ὁππόσα, τὸ τ ἐν τῷ ὅττι. διπλοῦν μέντοι ἢ δασὺ, οὐδέποτε κατὰ τὴν τῶν Ἑλλήνων διπλασιάζεται γλῶσσαν.

Ἄδδιξ, μέτρον τί, φασι τετραχοίνικον. Ἀριστοφάνης, ἀλφίτων μελάνων ἄδδιχα. καὶ ἐκτεῦς ἄλλοτι μέτρον ἐστίν. ὅ, ταυτὸν εἶναι λέγουσι τῇ χοίνικι. Ἀριστοφάνης, οἶδ' οὖν πυρῶν ἐκτέα. οὐ δηλαδὴ ἥμισυ, τὸ ἡμίεκτον.

Ἄδδιξις, μέτρον, τετραχοίνιξ.

Ἄδδουσιν, εἰς κόρον ἐσθίουσιν.

Ἀδεάζων, ἀναβοῶν, ἀναστένων.

Ἄδε, ἤρεσκεν. ἄδε δ' Ἕκτορι μῦθος, * ἀντὶ τοῦ ἦδε.

Ἀδεῖ, οὐ δοκεῖ, οὐ φοβεῖται.

Ἀδεὴς δέος δέδοικας, παροιμία, ἐπὶ τῶν τὰ μὴ φοβερὰ φοβουμένων.

Ἀδεὲς, ἄφοβος, καὶ ἀδεὲς, * (πτῶσις κλητικὴ θηλ. Ὅμηρ. Ὀδ.τ.) ἄφοβε, θρασεῖα, καὶ ἀδεὲς, ἀσφαλές. οὐ φοβερόν.

Ἀδεὴς μελανθεὶς παρ' Ὁμήρῳ, ἡ μὴ ἁπλῶς ἄπεστος, ἀλλ' ἀναιδὴς, καὶ θαρσαλέη. ἀμφω νῦν φαῦλα. θαρσαλέη γὰρ οὐκ ἐπὶ ἐπαίνῳ ἐῤῥέθη, ἀλλ' ἀντὶ τοῦ θρασεῖα. καθὰ καὶ ἀλλαχοῦ Ὅμηρος ἐν Ὀδυσσείας τ, παράγεται δὲ θαρσαλέα, ἀπὸ τοῦ θέρω θέρσω τὸ θερμαίνω, θρασεῖα, μεταθέσει τοῦ ρ ἀμεταβόλου.

Ἀδέητος, ἀνενδεὴς, ὁ μηδενὸς δεόμενος, καὶ πάντα ἔχων. Ἀντιφῶν ἐν πρώτῃ Ἀληθείας. διὰ τοῦτο οὐδενὸς δεῖται, οὔτε προσδέχεται οὐδενός τι, ἀλλ' ἄπειρος, καὶ ἀδέητος.

Ἄδει, ὑμνεῖ, ἢ ἀνιᾶται, * ἄλ. ἀδεῖ, λυπεῖ, ἢ ἀνιᾶται.

Ἄδεια, ἀφοβία, ἄδεια, ἄνεσις. γίνεται ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου, καὶ τοῦ δέος ὁ φόβος.

Ἀδεῖα, ἀντὶ τοῦ ἡδεῖα. Θεόκριτος. ἦνθέ γε μὰν, ἀδεῖα Κύπρις γελῶσα. ἁ Δία δὲ διὰ τοῦ ῑ, ἡ τοῦ Διὸς θυγάτηρ. ἀντὶ τοῦ, ἡ Δία.

Ἀδειὰς, εἶδος ἐσχάρας.

Ἀδεεῖ, λυπεῖ.

Ἀδεὴς, ἄφοβος, ἀδεής.

Ἆ, δειλὲ ξείνων. τοῦτο μέν τοι ἁπλοῦν μὲν ὄν, λαμβάνεται ἢ ἀντὶ ὑπερθετικοῦ, ἢ ἀντὶ συγκριτικοῦ. φησὶ γὰρ, ἆ δειλὲ ξείνων, ἀντὶ τοῦ ὦ δειλαιότερε, ἢ δειλαιότατε. ὁποῖον καὶ τὸ δαιμόνιε ξείνων. ἔχει δέ τι οἶκτον, ἆ δειλὲ ξείνων. καὶ ἆ δειλὲ, ὅ ἐστιν, ὦ δειλέ. κλητικὸν ἐπίρρημα τὸ ἆ, ἢ μᾶλλον προσφωνητικόν. διαφέρει δὲ τῆς διὰ τοῦ ὦ προσφωνήσεως. ὅτι τοῦτο μὲν ψυχῆς ἀπαθοῦς, τὸ δὲ ἆ πάθος ταραχῶδες δηλοῖ ψυχικόν. ὡς ἔστιν εὑρεῖν πολλαχοῦ. οἷον ἢ σχετλιασμὸν, ἢ ὄνειδος, ἢ ἀγανάκτησιν, ἢ ἔλεον. καὶ ἆ δειλὲ, ἀντὶ τοῦ ἄθλιε, δείλαιε.

Ἀδείλητον, * (ἴσως ἀδήλητον.) ὑγιές.

Ἀδειλοὶ, ὦ δειλοί.

Ἄδειλον, ἀβέλτερον.

Ἀδειλῶ, ὦ δειλοὶ, ὦ δείλαιοι.

Ἄδειμον, ἄφοβον.

Ἀδείμαντον, ἄφοβον. ἀπὸ τοῦ δειμαίνω, τὸ φοβοῦμαι.

* Ἀδείμαντος, Κορινθίων στρατηγός.

Ἀδεῖν, ἀκολουθεῖν.

Ἄδειν, ἀρέσαι. ἀπὸ τοῦ ἅδω τὸ ἀρέσκω, ἢ ἥδω, ἥσω, ἅδον ὁ δεύτερος ἀόριστος. καὶ ὁ δεύτερος μέλλων ἀδῶ. τὸ ἀπαρέμφατον. ἀδεῖν. ἐξ οὗ καὶ τὸ, Ἄδε δ' Ἕκτορι μῦθος. * παρὰ Σουΐδ. ἀδεῖν ἀρέσαι, παρ' ἄλλοις βέλτιον ἀδεῖν ἀπὸ τοῦ ἀδέω, ἢ ἅδειν ἀπὸ τοῦ ἅδω.

Ἄδειν, κυρίως ἐπὶ ἀλεκτρυόνος. κοκκύζειν δὲ, ἐπὶ τοῦ κόκκυγος.

Ἄδειν, τὸ ψάλλειν καὶ τὸ φημίζειν. καὶ παθητικῶς ᾄδεται μέλος, ἤγουν ψάλλεται. καὶ ᾄδεται λόγος, ἤτοι φημίζεται, καὶ περιλαλεῖται. ἀπὸ τοῦ ᾄδειν τὸ ψάλλειν, λέγεται ᾄδειν, καὶ τὸ ἐμμέτρως καὶ ἐμμελῶς λέγειν. καθὸ λέγονται Ποιηταὶ ᾄδειν.

Ἄδειν καὶ μέλπειν, οὐ διαφέρουσι. τὸ μέν τοι ψάλλειν, ἀμφοῖν διαφέρει. καθὰ δηλοῖ ὁ φράσας τὸ, περὶ τὸ δεῖπνον, ᾄδουσι καὶ ψάλλουσιν αἱ παλλακαὶ τῷ βασιλεῖ. καὶ μία μὲν ἐξάρχει, αἱ δὲ ἄλλαι ἀθρόως ᾄδουσιν. ἔστι δὲ ᾠδὴ μὲν, ἡ παρὰ τὸ ᾄδειν, λόγος μεμελισμένος. ψάλλειν δὲ, τὸ διὰ ὀργάνων μουσικῶν. καὶ μάλιστα τοῦ ἰδίως λεγομένου ψαλτηρίου.

Ἀδεινείη, ἡ ἀπειρία.

Ἄδειος, ἀκάθαρτος. Κύπριοι, καὶ ἄδειος, ἄφοβος.

Ἄδειρεν, ἔδειρεν.

Ἄδειτον, ὠμὸν, ἀφανές.

Ἄδεις ὥσπερ εἰς Δῆλον πλέων. ἐπὶ τοῦ ἀφροντίστου καὶ φιληδοῦντος.

Ἀδέκαστος, ἀδωροδόκητος, ὁ δεκάδας μὴ λαμβάνων. παρὰ τὸ δέχω, δέδεγμαι, δεκαστὸς, καὶ ἀδέκαστος.

Ἀδεκάστως, δικαίως, ἀδωροδοκήτως, ἀμερίστως.

Ἀδεκατεύτοις, ὧν δεκάτην οὐδεὶς ἔδωκεν, ἀτελωνήτοις.

Ἄδεκτον, ἄπιστον.

* Ἀδεκτὼ, ὄνομα Δαίμονος. Σουΐδας.

Ἀδελεῖ, ἤρεσεν. * ἡ φωνὴ αὕτη ἀδόκιμος.

Ἀδελιφὴρ, ἀδελφός. Λάκωνες.

Ἀδελφὰ, ὅμοια, οἰκεῖα, ἁρμόζοντα, πρέποντα, συγγενῆ.

Ἀδελφειὸς, ὁ ἀδελφός.

Ἀδελφίζειν, ἀδελφὸν καλεῖν, ἢ τιμᾶν ὡς ἀδελφόν.

Ἀδελφιδοῦς, ὁ ἀνεψιὸς, ὁ τοῦ ἀδελφοῦ ἢ ἀδελφῆς υἱός. οὕτως Ἰσοκράτης. τὸ θηλυκὸν, ἡ ἀδελφιδῆ.

Ἀδελφιζία, ἡ κοινωνία. * βέλτιον, ἀδέλφιξις. ἣν καὶ ἀδελφότητα εἶπε Γαληνὸς ἐν τῷ περὶ ἄρθρ. Ἱπποκρ. γ.

Ἀδέλφιος, ὄνομα κύριον.

Ἀδελφοὶ, οἱ ἐκ τῆς αὐτῆς δελφύος γεγονότες, ὁμόδελφοι. δελφὺς γὰρ ἡ μήτρα λέγεται. καὶ μετὰ τοῦ ᾱ τοῦ σημαίνοντος τὸ ὁμοῦ, γίνεται ἀδελφός. ὃς καὶ ἀδελφειὸς ποιητικῶς λέγεται. ὡς ἔτυμος, ἐτύμμος. καὶ ἀδελφοὶ ὁμοπάτριοι μὲν καὶ ὁμοπάτορες, οἱ ἐκ τοῦ αὐτοῦ πατρός. ὁμομήτριοι δὲ καὶ ὁμομήτορες, οἱ ἐκ τῆς αὐτῆς μητρός. οὓς καὶ ὁμογάλακτας, καὶ ὁμογαστρίους, καὶ ὁμογάστορας, καὶ ὁμογνίους ῥητέον. τοὺς δὲ διδύμους, καὶ ὁμόπαιδας ὠνόμαζον.

Ἀδεμὰν, ὅταν. Κρῆτες.

Ἀδέματον ψυχὴν, τὴν νεκρὰν, ἤγουν τὴν ἔξω τοῦ σώματος. Δωριεῖς.

Ἄδεν * (γραπτέον ἅδεν) ἀντὶ τοῦ ἤρεσεν,

ἡδὺς

Digitized by Google

ἡδὺς ἔδοξε. συνέλκει δὲ τὴν ἄρχουσαν. ἐξ αὐτοῦ γίνεται καὶ ἄδος, ὁ λάρος. καὶ ἄδην, τὸ δαψιλῶς. * (οὕτω κατ' Εὐστάθ. ἀλλ' ἀδόκιμον. τὸ γὰρ ἀδεῖν δασύνεται.) διὸ καὶ ψιλοῦται παρὰ πολλοῖς. ἔοικε δὲ τὸ ἄδω, * (ἄδον) Αἰολικὸς δεύτερος ἀόριστος τοῦ ἥδω ῥήματος. ἴσως δὲ τοῦ ἀδεῖν, τὸ ἄδεν. ὡς τοῦ κτυπεῖν, τὸ ἔκτυπεν.

Ἄδενδρον, γῆν τὴν μὴ ἔχουσαν δένδρα. καὶ * (ἄδενδρον οὐδετέρως) σίδιον ξηρὸν, ἤγουν ῥοιᾶς κέλυφος.

Ἀδένες, συστροφαὶ σαρκώδεις περὶ τὴν ῥάχιν, * (Ἐτυμολ. περὶ τὸν τράχηλον) καὶ βουβῶνας.

Ἀδένη, ἡ φλύαρος, ἡ δεῖνα.

Ἀδεὸν, ἀπολέμητον, ἢ ἀόρατον. καὶ ἀδεὸς, ἀόρατος.

* Ἄδερ. κύριον. ὁ ἀλιτήριος ἐκεῖνος Ἰδουμαῖος, ὁ ἐπαναστὰς Σολομῶντι.

Ἀδερβὸς, ὄνομα κύριον.

Ἀδερκὲς, ἀόρατον.

Ἀδερκὴς, οὐ βλέπων, τυφλὸς, ἢ ἀφανής. καὶ ἀνάδαρκης, ὁ ἐστερημένος τοῦ δέρκειν.

Ἀδέρκων, πόλις Ἰβηρίας.

Ἀδέρκτως, οὐ βλέποντες, ἀλλ' ἢ καταμύοντες. Παραμοιβώμεθ' ἀδέρκτως. * Σοφοκλ. Οἰδιπ. ἐπὶ Κολ. ὡς τρέμομεν λέγειν, καὶ παραμοιβόμεθ' ἀδέρκτως. ὁ δὲ Σχολιαστής. οὐ προσβλέποντες, ἀλλ' ἢ καταμύοντες, ἢ κύπτοντες.

Ἄδες, πόδες. ἔνιοι δὲ, ἄηδες.

Ἀδέσμῳ φυλακῇ, τῇ ἄνευ δεσμοῦ.

Ἄδεται, πιμπλᾶται, κοπιᾶται.

Ἀδευκὲς, ἄφοβον, ἀηδές.

Ἀδεύητον, χαλεπόν. ἢ οὐκ ἄν τις ἐπιδευηθείη.

Ἀδευκέας, ἀπροσδοκήτους, ἢ πικράς. δεῦκος γὰρ τὸ γλυκύ. Ἀπολλώνιος λέγει, ἀδευκῆ τὴν θάλασσαν, ἤγουν πικράν.

Ἀδευκέα, πικρά. καὶ ἀδευκέα πότμον, τὸν ἀνιστόρητον, ἤγουν ἀνήκουστον, ἢ ὃν οὐκ ἄν τις ἐξ ἱστορίας δέξηται. κοινότερον μέντοι ἀδευκὴς, ὁ ἀπροσδόκητος ἀπὸ τοῦ δεύκω. ὃν οὐκ ἄν τις προσεδόκησεν.

Ἀδευκεῖ, ἀπεοικότι. οἱονεὶ, ἀδοκεῖ, ἀπροσδοκήτῳ. Ἡλιόδωρος δέ φησιν, ἀνηκέστῳ. οἱ δὲ ἀδευκὴς, αὐτάρκης, οἱονεὶ ἀδεύης. καὶ ἀδευκέος ἄτης, οὐ προσηνοῦς, ἀπεοικυίας, πικρᾶς. δεῦκος γὰρ τὸ γλυκὺ, ὡς εἴρηται. ὅθεν Πολυδεύκης. καὶ γὰρ ζῶν, εὐεργετικώτατος. καὶ ἀποθεωθεὶς, ἅμα τῷ ἀδελφῷ διασώζει τὰς ναῦς. ἢ ἀφανοῦς καὶ ἀπροοράτου, παρὰ τὸ δεύκω.

Ἀδευκὴς, χαμνὸς, * (ἄλλ. χαλετὸς) πικρὸς, ἄγνωστος.

Ἀδεύμεθα, ἀηδιζόμεθα.

Ἀδέψητον, ὠμὸν, ἀνέργαστον.

Ἀδεῶς, ἀφόβως.

Ἀδευτὸν, χαλεπόν. ἢ οὐκ ἄν τις ἐπιδευηθείη.

Ἀδέψητον βοέην, ἤτοι ἀμάλακτον, ἀκατέργαστον. βοέη δὲ ἡ βοῦς. ὅ ἐστι, βύρσα. ἀδέψητος οὖν βοέη, ἡ ξηρὰ βύρσα. γίνεται δὲ ἀδέψητος, οὕτως. δέφω τὸ μαλάσσω καὶ κατεργάζομαι. οὗ ὁ μέλλων, δέψω. καὶ Δωρικῶς ἢ Αἰολικῶς καὶ κατὰ ἀναδρομὴν τὴν εἰς ἐνεστῶτα, δεψῶ, δεψήσω. ἀφ' οὗ ἀδέψητος. ἀπὸ μέντοι τοῦ δέφω δέψω, βυρσοδέψης, καὶ σκυτοδέψης, καὶ σκυλαδέψης. βοέη δὲ καὶ βοῦς ἤτοι βύρσα, διαφέρουσι. καθότι μετουσιαστικὸν μὲν ἡ βοέη, δορὰ δηλαδὴ, ὡς καὶ ἡ λεοντέη, ἢ παρδαλέη. ἡ δὲ βοῦς τὸ τοῦ ὅλου ἔχει ὄνομα. καθὰ καὶ ὁ πριστὸς ἐλέφας, τὸ τοῦ ἐλέφαντος. ἄλλως.

Ἀδέψητον βοέην λέγει, καθ' ὁμοιότητα τοῦ βόας αὔας, ἤγουν ξηράς. τὸ μὲν γὰρ ἀδέψητον ἤτοι ἀμάλακτον καὶ ἀκατέργαστον, αὖον ἂν εἴη. βοέη δὲ ἡ βοῦς, ὅ ἐστι βύρσα, ἣν ἐντελῶς βοέην λέγει Ὅμηρος. ἀδέψητος οὖν βοέη, ἡ ξηρὰ βύρσα. καὶ ἀδέψητον, ἀμάλακτον, ἀργόν.

Ἀδῆ, τὸν οὐρανὸν Μακεδόνες.

Ἀδηεῖν, διαπορεῖν.

Ἀδήιοι, ἄγνωστοι, ἀζήτητοι, ἀνενόχλητοι.

Ἀδήιον, ἀπόρθητον, ἀπολέμητον.

Ἀδήκορες, * (τοῦτο παρ' ἄλλοις ἀδόκιμον) ἐκλελυμένοι, παρειμένοι.

Ἀδηκτοτάτη, ἀσηπτοτάτη. Ἡσίοδος, Τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ Ὕλη.

Ἀδηκότες, ἀντὶ τοῦ κορεσθέντες. ἐπεὶ καὶ ἄδος ὁ κόρος κατὰ τοὺς παλαιούς. ἢ καὶ ἄλλως ἀδηκότες, ἀντὶ τοῦ ἀηδισθέντες. ὡς ἀπὸ τοῦ ἀηδῶ, καὶ κατὰ συναίρεσιν ἀδῶ. ἐξ οὗ καὶ τὸ ἀδημονεῖν, τὸ ἀλύειν καὶ ἀμηχανεῖν. καὶ ἀδηκότες, ἄδην ἔχοντες, καὶ πεπληρωμένοι ὕπνῳ, ἢ ἀδημονήσαντες. καὶ ἀδηκότες, κεκμηκότες, ταλαιπωρήσαντες. ἀπὸ κόπου ἀηδῶς διακείμενοι. ἀηδῶ, ἀηδήσω.

Ἀδήλητος, ἀσινὴς, ἀβλαβής. Ἀγαθίας. Καὶ ἐπεδείκνυντο σῶοί τε, καὶ ἀδήλητοι. δηλῶ γὰρ τὸ βλάπτω.

Ἀδηλία, ἀοριστία, ἀπορία, ἄγνοια, ἀφάνεια, καὶ ἡ κρυφιότης.

* Ἄδηλον, οὐ ἐναντίον τὸ φανερόν. καὶ ἄδηλος τόπος, ὁ σκοτεινός.

Ἀδηλώσας, ἀγνώριστον ποιήσας.

Ἀδήλωτον, ἀδιάφορον, δεξιὸν, συνετόν. ἢ πένητα, ἄπορον. * καὶ ἀδήλωτον, ὃ οὐ δεδήλωται, ἢ ὃ οὐ δύναται δηλοῦσθαι.

Ἀδημὰς, ἄδος, ψήφισμα, δόγμα.

Ἀδημεῖν, θαυμάζειν, ἀπορεῖν, ἀδημονεῖν.

Ἀδημονέστερος, ἀντὶ τοῦ ἀγωνιστικώτερος. Ὧν δὲ τοῦ προσήκοντος ἀδημονέστερος, ἀντεῖχε τούτῳ.

Ἄδημον, οὐκ ἔνδημον ὄντα. Σοφοκλῆς Τυμπανισταῖς.

Ἀδημονεῖν, τὸ ἀλύειν, καὶ ἀμηχανεῖν.

Ἀδημονία, ἡ φροντίς. καὶ ἀδημονία, σκυθρωπότης ψυχῆς, ἢ διάθεσις, ἐπὶ ἀποτυχίᾳ τινὸς τῶν ποθουμένων γινομένη.

Ἀδημονίη, θαῦμα.

Ἀδημονῶ, τὸ λίαν λυποῦμαι, ἀκηδιῶ, ἀγωνιῶ. καὶ ἀδημονέστερος, ἀντὶ τοῦ ἀγωνιστικώτερος. Ὁ δὲ, τὸ μὲν πρῶτον ἠδημόνει, καὶ ἡσυχίαν εἶχεν ὑπὸ τοῦ παρόντος κακοῦ. καὶ ἀδημονούσης, ἀντὶ τοῦ ἀπορούσης.

Ἄδην, Ἀττικοὶ, τὸ δαψιλῶς. ὅθεν καὶ ἀδηφάγοι ἵπποι, οἱ τέλειοι. καὶ ἀδηφάγον ἅρμα, διὰ τοὺς κατ' αὐτὸ τελείους ἵππους. καὶ ἄδος, κόρος, πλησμονὴ, κάματος. ἀφ' οὗ ἀδόλεσχος διὰ ἑνὸς δ, ὁ καὶ ἀδολέσχης. καὶ ἀδαῖον παρὰ Σώφρονι, τὸ εἰς κόρον ἄγον.

Ἄδην, συνεχῶς, ἢ ἀκορέστως, ἀθρόως, ἐξαίφνης, ἅλις εἰς κόρον, ἀρκούντως. ἢ λάβρως, κατακόρως, δαψιλῶς, πλουσίως. ὅπερ Ὅμηρος διὰ ἑνὸς δ γράφει. συστέλλων τὸ δίχρονον. καὶ ἄδην ἔχει, τὸ σφόδρα καλῶς. καὶ ἄδην ἔλθωσιν, ἀντὶ τοῦ εἰς κόρον ἥξουσιν. ἄλλως.

Ἄδην, τὸ κεκορεσμένως, καὶ εἰς πλήρωσιν ἄγον. ἔστιν ἕω, τὸ δηλοῦν τὸ κορεννύω. ὡς τὸ, Ἐπεὶ χ' ἕωμεν πολέμοιο. ἐξ οὗ παράγωγον, ἔδω, καὶ ἥδω, καὶ ἄδην ἐξ αὐτοῦ. δηλοῖ δὲ, καὶ τὴν ἡδονήν. οἷον, Ἥσατο δ' αἰνῶς. ἀντὶ τοῦ ἐτέρφθη. λαμβάνεται δὲ καὶ τὸ τερφθῆναι, ἐπὶ τοῦ κορεσθῆναι. οἷον, Ἀτὰρ ἐπεὶ σίτοιο τέρφθεν. ἢ ἀπὸ τοῦ ἄω ὦ, ἄεις ᾷς, ἄει ᾷ, τὸ δηλοῦν τὸ αὐτό. οἷον, Ἄσειν ἐν στοίῃ ταχέας κύνας. γίνεται ῥηματικὸν ὄνομα ἦδος καὶ ἄδος, καὶ ἄδην ἐξ αὐτοῦ. οὕτως Ὠρίων.

Ἀδηνὲς, ἄκακον, ἀπρονόητον.

Ἀδηνέως, ἁπλῶς, ἀδόλως, καὶ ἀταλαιπώρως κατὰ στέρησιν τῶν δηνέων καὶ μεριμνῶν. καὶ ἀδηνέως, χωρὶς βουλῆς.

Ἀδηνὴ, ἄκακος.

Ἀδηξῆσαι, κνῆσαι.

Ἀδηρίτην, τὴν ἀπολέμητον καὶ ἀπόρθητον.

Ἀδήριτον, ἄμαχον, ἀπολέμητον, ἀφιλονείκητον.

Ἀδήριτος, ἀνίκητος, ἄμαχος, ἀκαταπόνητος, ἀκαταμάχητος. καὶ ἀδηρίτως, ἀφιλονείκως, ἀμάχως.

Ἀδὴς, ἀτερπής.

Ἅδης, χωρίον ἀφεγγὲς, καὶ σκότους αἰωνίου πεπληρωμένον. ἢ ᾅδης, ἄναξ τῶν ἐνέρων. καθὰ τῶν ζώντων ἄνω Ζεύς. ἐκ τῶν τοιούτων, καὶ τὸ ἔνερθεν. καὶ τὸ ἐνέρτερον, ὃ κατὰ ἀφαίρεσιν λέγεται νέρτερον.

Ἀδήσει, ἀδημονήσει, καὶ ἀηδῶς διατεθείη.

Ἀδήσεις, ἀρέσεις.

Ἀδησίδες, ἱέρειαι τινὲς ἐν Ἄργει.

Ἀδηφάγα, μεγάλα καὶ τέλεια.

Ἀδηφαγία, πολυφαγία. ἢ ἀπληστία, εἰκαιοφαγία.

Ἀδηφάγος, ὁ ἀθρόως ἐσθίων, γαστρίμαργος, πολυφάγος. ἀφ' οὗ ἀδηφάγοι τριήρεις, αἱ πολλὰ ἀναλίσκουσαι. καὶ ἀδηφάγος λύχνος, ὁ πότης. καὶ ἀδηφάγους ἵππους ἔλεγον Ἀθηναῖοί τε, καὶ Βοιωτοὶ, τοὺς τελείους, πρὸς τὴν τῶν κώλων διάκρισιν. Ἀργεῖοι δὲ ἄνδρας, τοὺς πολλὰ ἐσθίοντας. ἄλλως.

Ἀδηφάγος, Λυσίας κατὰ μεταφορὰν, ἐν τῇ ὑπὲρ Εὐκρίτου μαρτυρίᾳ, τὴν ἐντελόμισθον ναῦν, ἢ τριήρη πολλὰ ἀναλίσκουσαν, λέγει ἀδηφάγον. Ἀλκαῖος δὲ τοὺς πότας λύχνους, ἀδηφάγους ἔφη. καὶ δρομεῖς δέ τινες ἐν Νεβάλᾳ, ἀδηφάγοι ἐλέγοντο. καὶ οἱ Γυμναστικοὶ παρ' Ἀργείοις, οὕτως ἐλέγοντο.

Ἀδῄωτον, ἀπόρθητον, ἀπραίδευτον. Οἱ δὲ τὸ χωρίον ἀδῄωτον ἔχειν ἐθέλοντες, ὡμολόγησαν ἀργυρίου σταθμὰ δώσειν χίλια. παρὰ τὸ δηῶ, τὸ πορθῶ. τοῦτο παρὰ τὸ δαίω τὸ κόπτω, τροπῇ τοῦ α εἰς η, τοῦ ι ἀνεκφωνήτου ὄντος.

Ἀδία, ἐσχάρα, βωμός.

Ἀδιαβηνή. αὕτη ἡ χώρα κεῖται πρὸ τῆς Μεσοποταμίας, ὡς ἐπὶ ἀνατολὴν, πέραν τοῦ Τίγρητος. ἐν αὐτῇ δέ ἐστιν, ἡ ἄσφαλτος, ἡ λεγομένη Νάφθα. λέγεται δὲ Ἀδιαβηνὴ, διὰ τὸ εἶναι πλείους ποταμοὺς ἐν αὐτῇ, καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν.

Ἀδιάβλητα, ἀμώμητα, ἀνέγκλητα.

Ἀδιάδοχος, ὁ ἔχων τι ἕως τέλους.

Ἀδιάδραστον, ἄφυκτον.

Ἀδιαίρετον, ἀχώριστον, ἄτμητον.

Ἀδιάκριτον, ἀδιαχώριστον, μὴ ἔχον διάκρισιν. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μὴ γινωσκόντων τὰ δέοντα, ἢ ἀφρόνως φλυαρούντων.

Ἀδιαίτητος, ἀλλότριος, ἀήθης, καὶ ὁ μὴ διαιτώμενος.

Ἀδιάκοπος, ἀδιαχώριστος.

Ἀδιάλλακτος, ἀφιλίωτος.

Ἀδιακένιστον, ἀκαίθητον, ἄτρωτον.

Ἀδιάλειπτον, ἀδιαλώβητον, ἀβλαβές. * ῥητέον ὡδέπως.

* Ἀδιάλειπτον, ἐπιμένον, ἀκατάπαυστον.

* Ἀδιαλώβητον, ἀβλαβές.

Ἄδιαν ὁδὸν, μακρὰν ἀκαιρίαν.

Ἀδίαντον, ξηρὸν, ἄβροχον. ἢ φυτὸν καλούμενον πολύτριχον.

Ἀδιαπλήστως, ἀπλησιάστως.

Ἀδιάρθρωτον, ἄσημον, ἀτράνωτον, ἀνάρμοστον.

Ἀδιάσκευον, ἀκόσμητον, ἀνεπιμέλητον.

Ἀδιασπάστως, ἀχωρίστως.

Ἀδιάστατον, ἀχώριστον, ἀνεξέλεγκτον. τὸ μήπω διεστηκὸς, μὴ δὲ διακεκριμένον Ἀντιφῶν εἶπεν.

Ἀδιαστάτως, χωρὶς διαστάσεως.

Ἀδιαπήκτῳ, ἐν μηδενὶ πεπηγμένῳ μέρει.

Ἀδιαφορία, ἀμέλεια, χωρὶς παρατηρήσεως.

Ἀδιάφοραν, ἀδιάκριτον.

Ἀδιαφόρου, ἀμελοῦς.

* Ἀδιάφρακτα, ὅσα συμψαύουσιν ἀλλήλων. καὶ ἀδιαφράκτως ἔχειν, ὁμοίως.

Ἀδίεπον, ἄναρχον, ἀνερεύνητον πέλαγος.

Ἀδιεξίτητον, ἀδιεξέλευτον.

Ἀδινὴ, λύπη.

Ἀδιήγητον, τὸ μὴ δυνάμενον δι' ὑπερβολὴν κακοῦ διηγηθῆναι.

Ἀδιίκελον, ἐμπρεπές.

Ἄδικα δρῶ τινὰ, καὶ κακῶς ποιῶ, αἰτιατικῇ. καὶ ὅσα τοιαῦτα.

Ἀδι-

Digitized by Google

Ἀδικεῖν, καὶ τοῦτο Αἰτιατικῇ, τὸ βλάπτειν ἑκόντα. τὸ δὲ μὴ ἀδικεῖσθαι Θεὸν, ἔνδοξον καὶ ἐναργές. ὑπ' οὐδενὸς γὰρ Θεὸς ἀδικηθήσεται.

Ἀδικία παρὰ τῷ Ἀποστόλῳ, ἡ τῶν εἰδώλων ἀπάτη. οἷον, Ἐκεῖνοι οὖν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχουσιν, ὅσοι τὸ σέβας τοῦ Θεοῦ παραπέμπουσιν εἰδώλοις. τὸ δὲ κατέχουσι, ἀντὶ τοῦ φυλάττουσι. καὶ ἀδικία, ἀνομία, παρανομία, ῥᾳδιουργία. ἄλλως.

Ἀδικία κατὰ Πλάτωνα, νόσος ψυχῆς. μηδεμία δὲ νόσος ψυχῆς, ὠφέλιμός ἐστι. καὶ οὕτω πᾶσα κακία, βλαβερά ἐστι τῷ ἔχοντι αὐτήν. ἡ δὲ ἀδικία κακία, οὐκοῦν βλαβερόν. ἡ γὰρ ἀδικία, καὶ τὴν φύσιν αὐτὴν ἀδικεῖ, παρ' ὅσον αὕτη σφετερίζεται. ἔστι δὲ καὶ φθαρτική, τοῦτο μὲν τῆς ἐν πόλει κοινωνίας, τοῦτο δὲ τῆς πάσης συναλλαγῆς. ἐναντία δὲ καὶ παρὰ φύσιν τοῖς ἀνθρώποις. οἱ γὰρ ἄνθρωποι, φύσει κοινωνικοί.

Ἀδικέσαι, ἀντὶ τοῦ ἀδικῆσαι, Αἰολεῖς λέγουσιν.

Ἀδικίου, εἶδος δίκης Ἀθήνησιν. οἷον ἀδικήματος. ἔστι δὲ ὄνομα δίκης. ἀποτίννυται δὲ τοῦτο ἁπλοῦν, ἐὰν πρὸ τῆς ἐννάτης πρυτανείας ἀποδοθῇ. εἰ δὲ μὴ, διπλοῦν καταβάλλεται.

Ἀδικοδοξία, παράλογος λοιδορία.

Ἄδικος Ἀφροδίτη, ἐν Λιβύῃ. καὶ ἄδικος δικαστὴς, ἄνομος, ἔκδικος, ῥᾳδιουργὸς, καὶ ἀπάνθρωπος.

Ἀδίκους, τοὺς ἄνευ βλάβης ἀδίκους.

Ἀδικῶ, Αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, Τί οὖν ἀδικοῦμαι τοῦτό σε; ἤγουν κατὰ τοῦτο. οὐ δεῖ ἀδικεῖν τοὺς ἀγαθούς. τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον κακὸν εἶναι λέγει ὁ Πλάτων. ἀδικῶ σε ἀδικίαν μεγάλην. ἐρῶ σου ἔρωτα θερμόν. πάντα τὰ ῥήματα καὶ μεταβατικὰ καὶ ἀμετάβατα, προσηγορικοῖς ὀνόμασι συντασσόμενα, ἐξ αὐτῶν τῶν ῥημάτων παραγόμενα, Αἰτιατικῇ προσφερόμενον ἔχουσι τὸ τοιοῦτον ὄνομα. προσλαμβανομένων δηλονότι τοῖς τοιούτοις προσηγορικοῖς καὶ ἐπιθέτων. μεταβατικὰ μὲν, οἷον ἀδικῶ σε ἀδικίαν μεγάλην, ἐρῶ σου ἔρωτα θερμόν. ἰδοὺ γὰρ ἡ ἀδικία, ἐκ τοῦ ἀδικῶ. καὶ ἔστι προσηγορικὸν ἡ ἀδικία. ἐπίθετον δὲ, τὸ μεγάλην. ἀπειθῶ σοι ἀπειθίαν ἀθεράπευτον. καὶ ἐν τοῖς παθητικοῖς, ἀδικοῦμαι ἀδικίαν περιφανῆ, ἀμελοῦμαι ἀμέλειαν οὐ μικράν. ἀμετάβατα δὲ, οἷον, γηρῶ γῆρας ταλαίπωρον, δυστυχῶ δυστυχίαν ἀνήκεστον, βιῶ βίον φιλόσοφον. εἰ δὲ ὡς ὀργάνῳ χρώμεθα τῷ τοιούτῳ προσηγορικῷ, κατὰ δοτικὴν αὐτὸ τότε ἐκφέρομεν. ῥάβδῳ ῥαβδίζω, ὅπλοις ὁπλίζομαι.

Ἀδινὰ, τὰ τῷ οἴκῳ μὴ μεγάλα.

Ἀδινὰ μῆλα, τὰ πυκνὰ, καὶ δαψιλῆ, καὶ εἰς κόρον. ἀπὸ τοῦ ἄδην. ἢ ἀπὸ τοῦ ἄδος, ἤτοι κόρος. ὡς τὸ, ἄδος τέμιν ἵκετο θυμόν.

Ἀδιναὶ μέλισσαι, πυκναὶ, παρὰ τὸ ἄδην, ὃ δηλοῖ τὸ δαψιλῶς. ἰστέον ὅτι κατὰ τοὺς παλαιοὺς πολλαχῶς τὸ ἀδινὸν, ἤγουν τὸ ἀθρόον καὶ τὸ οἰκτρὸν, ὡς ἐν τῷ, ἀδινὸν στοναχῆσαι, καὶ τὸ ἀδὺ, ἤγουν ἡδὺ, οἷον σειρήνων ἀδινάων. καὶ τὸ πυκνὸν καὶ ἰσχνόν. οἷον, ἀμφ' ἀδινὸν κῆρ. κατὰ δέ τινας καὶ τὸ ἠρέμα. οἷον, ἀδινῶς ἀνενείκατο φωνήν. Ἄλλως.

Ἀδινάων, ἀθρόων, ἁπαλῶν. ἀδινάων σειρήνων φθόγγον ἄκουσεν. Ὅμηρος ἐν Ὀδυσσείᾳ. ἔνθα φασὶν οἱ παλαιοὶ τὸ ἀδινάων, ἀντὶ τοῦ ἡδυφώνων, ᾠδικῶν. παρὰ τὸ ᾄδειν, ἢ μᾶλλον παρὰ τὸ ἡδύ. πέντε γάρ φασι τὸ ἀδινὸν σημαίνειν, τὸ ἀθρόον, ὡς ἐν τῷ μελισσάων ἀδινάων. τὸ οἰκτρὸν, ὡς ἐν τῷ, ἀδινὸν στοναχῆσαι, τὸ ἥδιον, ἤγουν γλυκὺ, ἡδὺ, ὡς ἐν τῷ, σειρήνων ἀδινάων. τὸ πυκνὸν, καὶ ἰχνόν. οἷον ἀμφ' ἀδινὸν κῆρ. καὶ τὸ ἠρέμα, ὡς ἐν τῷ, ἀδινῶς ἀνενείκατο, φωνήν.

Ἀδινὸν, οἰκτρὸν, γοερὸν, λευκὸν, λεπτόν.

Ἀδινὴν ὄπα, τὴν ἀσθενῆ διὰ τὴν δίψαν, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἀδινοῖο γόοιο, τοῦ ἀθρόως ἐρχομένου.

Ἀδινῶς, οἰκτρῶς.

Ἀδινῷ, ἀδιαλείπτῳ, συχνῷ. παρὰ τὸ ἄδην ἐπίρρημα.

Ἀδινὸν κῆρ, πυκνὴν ψυχήν. ἢ τὴν συνεχῶς λυπουμένην.

Ἀδινὸς ὕπνος, παρ' Ἀπολλωνίῳ, ὁ ἀδιάληπτος, ἢ λεπτὸς, ἢ πυκνός. καὶ ἀδινὰ κνώσσοντας, μεγάλως καὶ βαθέως ὑπνοῦντας. ὁ δὲ Ταῤῥαῖος, λεπτὰ κοιμωμένους καὶ οὐ κατὰ βάθος. ὁμοίως παρὰ τῷ Ἀπολλωνίῳ ἀδινῆς ὀδύνης, οἰκτρᾶς, λυπηρᾶς. κεῖται πολλαχοῦ παρὰ τῷ Ἀπολλωνίῳ ἀδινὸς, ἀντὶ τοῦ οἰκτρὸς, καὶ λυπηρός.

Ἄδιξις, ὁμολογία, παρὰ Ταραντίνοις.

Ἄδιον, κάτωπτες, πλάγιον, ἀνώμαλον.

Ἀδίοπον, ἄναρχον, καὶ ἀφύλακτον. Αἰσχύλος παρὰ Φρυξὶν, ἀπὸ τοῦ διέπω. δίοποι γὰρ ἐλέγοντο, οἱ τῆς νεὼς φύλακες.

Ἀδιόριστον, ἀδιαχώριστον, ἀναμίξ.

Ἄδισκον, κυκεῶνα. Μακεδόνες.

Ἄδισμα καὶ ἄδμα, ψήφισμα καὶ δόγμα.

* Ἀδίστακτος, βέβαιος. ἀδίστακτος ἐλπὶς, ἡ μὴ σαλευομένη, ἢ ἡ μὴ διστάζουσα.

Ἀδίστονον, οἰκτρὸν στένοντα.

Ἀδμαίνειν, ὑγιαίνειν, ζῆν. * παρὰ Σουίδ. καὶ ἐν τῷ Ἐτυμ. κεῖται ἀδμεύειν.

Ἀδμενίδες, δοῦλαι.

Ἀδμηλοῖ, ἀφανίζει.

Ἀδμὴς, ἀδάμαστος, παρθένος.

Ἀδμήτην, ἀδάμαστον.

Ἄδμητος, ὄνομα κύριον.

Ἀδμήτης, ὁ ἀδάμαστος. ἀδμῆτις δὲ γυνὴ διὰ τοῦ ἰῶτα.

Ἀδμήτου λόγον, σκολιόν.

Ἀδμήτου μέλος καὶ Ἁρμοδίου, ἐπὶ τῶν ῥᾳδίων καὶ εὐκόλων. τοιαῦτα μὲν γὰρ, καὶ τὰ σκολιὰ λεγόμενα.

Ἀδμήτου κόρη, ἑκάτη. τινὲς δὲ τὴν Βένδιν.

Ἀδμήτου μέλος, τὸ εἰς Ἄδμητον ᾀδόμενον σκολιόν.

Ἀδμωλὴ, ἀπορία, ὀλιγωρία, ἄγνοια, ἡσυχία.

Ἀδμωλία, ἡ ἄγνοια, παρὰ Καλλιμάχῳ. * (ἐν τῷ Ἐτυμ. γράφεται ἀδμολίη διὰ τοῦ ο.) καὶ ἀδμωλεὶ, χωρὶς δόλου, ἢ δουλείας. καὶ ἀδμωλῶ, τὸ ἀκηδιῶ. καὶ ἀδμωλεῖν, ἀγνοεῖν, ἢ ἀγνωμονεῖν, ἢ ἀκηδιᾷν, ἢ ἀγανακτεῖν, καὶ ζητεῖν.

Ἀδνὸν, τὸ ἁγνόν. Κρῆτες.

Ἀδνόμενον, * (ἄλλ. ἀδνούμιον) ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις. οἱ δὲ Ἀνουμῖνος, τὸ ἀδνούμιον.

Ἅδοι, ἀντὶ τοῦ ἀρέσκοι. δεύτερος ἀόριστος. ἐκ τοῦ ἄδω, ἢ ἥδω.

Ἀδοκεῖ, ἀδοκήτως διακείμενος.

Ἀδόκητον, αἰφνίδιον.

Ἀδόκητον, διεψευσμένον. καὶ ἀδόκητος, ἀπροσδόκητος. Μὴ ἀφυλάκτοις αὐτοῖς ἐπιπέσοιεν. ὃ δὴ οὐκ ἀδόκητον ἐγεγόνει, ἐπεὶ καὶ λῃστήριον αὐτῶν προέβαινεν.

Ἀδοκία, ἀπροσδοκία.

Ἀδόκιμον, πονηρὸν, ἀπόβλητον, ἄχρηστον.

Ἀδολὲς, ὑγιές.

Ἀδοκίμαστος. δοκιμασθῆναι λέγεται, τὸ εἰς ἄνδρας ἐγγραφῆναι. ἀδοκίμαστος δὲ, ὁ μήπω ἐγγεγραμμένος.

Ἀδολεσχεῖν, τὸ φιλοσοφεῖν. ὡς τὸ, Ὁ δὲ δοῦλος σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. τὸ παίζειν, ὡς τὸ, Ἐξῆλθεν Ἰακὼβ ἀδολεσχῆσαι εἰς τὸ πεδίον. τὸ φλυαρεῖν καὶ μακρολογεῖν, ὡς τὸ, Ἀδολεσχεῖς ἄνθρωπε. καὶ τὸ ὀλιγωρεῖν, ὡς τὸ, Ἠδολέσχησα καὶ ὀλιγοψύχησε τὸ πνεῦμά μου.

Ἀδολεσχία, ἀκαιρία, φλυαρία, πολυλογία, συνέχεια. * (παρὰ Σουίδ. κεῖται. φλυαρία, συνέχεια. ὁ δὲ Σχολιας. Κουστέρος, ἀναγνωστέον φησὶ, φλυαρίας συνέχεια, ἢ φλυαρία συνεχής.) οἱ ἀττικοὶ ἐκτείνουσι τὸ ᾱ. καὶ ἀδολεσχία παρὰ τῇ γραφῇ, ἡ συνεχὴς μελέτη. καὶ ἀδολεσχήσω, ἀντὶ τοῦ διηνεκῶς μελετήσω.

Ἀδολέσχης, ὁ μακρολόγος.

* Ἀδόλως, ἁπλῶς, ἀληθῶς. τὸ γὰρ ψεῦδος περιπεπλεγμένον, καὶ δόλου μεστόν. Σουίδας.

Ἆδον, ἀρέσκειαν σημαίνει, καὶ γνώμην, ἢ κόρον, ἢ κόπον. * ὅτε δηλοῖ τὴν ἀρέσκειαν, δασύνεται.

Ἀδονὰν, ἡδονήν.

Ἁδοναῖος, ὑπὸ τοῦ ᾄδειν.

* Ἀδόνες, παρὰ Θεοκρ. ἀηδόνες.

Ἀδόνητος, ἀσάλευτος. δόνος γὰρ ἡ ταραχή. καὶ δονῶ, τὸ ταράσσω.

Ἀδόξαστον, ἀνέλπιστον. Σοφοκλῆς Εὐρυσάκει.

Ἄδοξα, παράδοξα, καὶ ἃ οὐκ ἄν τις ἐδόξασε. Σοφοκλῆς Ἀκρισίῳ.

Ἀδοξεῖται, ἀτιμᾶται. Οὐκ ἀπόδεκτόν ἐστι τὸ νικᾶν παρὰ Ῥωμαίοις, ἄνευ παραγγέλματος, ἀδοξεῖται γάρ.

Ἀδοξότατα, τὰ παράδοξα, τὰ ἀδύνατα παρὰ Ἀριστοτέλει. ἔστι δὲ καὶ παράδοξα, τὰ τοῖς ἐνδόξοις ἐναντία. ἃ οὐ πάντως ἤδη, καὶ ἀδύνατά ἐστιν.

Ἀδορατία, ἡ ἀστρατία. κυρίως δὲ ἡ ἀργία.

Ἀδορεὶ, ἀνεκδαρτί.

Ἄδοροι, ἀσκοὶ, κώρυκοι, θύλακοι.

Ἄδορον, οὐ δεδαρμένον.

Ἀδόροις, ἀντὶ τοῦ μάχαις. Ἐν δ' ἀδόροισι χέειν εὐίλατον ἄλφι. Δόρυ γὰρ λέγεται, παρὰ τὸ ἐκδεδάρθαι. δόρος, καὶ δόροι. καὶ κατὰ πλεονασμὸν, ἄδοροι. ἢ ἀντὶ τοῦ κακόδοροι.

Ἆδος, κόρος, πλησμονὴ, παρὰ Δεινολόχῳ. οἱ δὲ κάματον.

Ἅδος τέμιν ἵκετο θυμὸν, ἀντὶ τοῦ κόρος. καὶ ἄδωνι, παρὰ τὸ ἥδω. καὶ τὸ, Ἅδε δὲ Ἕκτορι μῦθος. πάντα ταῦτα Ἀρίσταρχος δασύνει.

Ἀδοσύνη, ἡδονή.

Ἀδόσιον, ἄκαυτον, ἢ ὁμολογούμενον, ἢ ἀδιαίρετον.

Ἀδοτοῦσα, ἄκουσα.

Ἀδουσιάμενοι, * (ἄλλ. ἀδουσιασάμενοι) διελόμενοι, ὁμολογησάμενοι.

Ἀδοσίη, ἀνελωσίη, ἢ ἀναγκαία. ἔπαφος ἡμέρα. * οὕτω παρ' Ἡσυχ. ἀλλ' ἀδόκιμον.

Ἀδούσιον, ἐραστὸν, σύμφωνον.

Ἀδούλευτος οἰκέτης, ὁ ἐνὶ δεδουλευκὼς, καὶ μὴ παλίμπρακτος.

Ἀδουπηγοὶ, ἀπρόκοποι. * οὕτως Ἡσύχ. γραπτέον δὲ. ὥς φησιν Ἕῤῥικος ὁ Στέφ. ἀδούπητοι, ἀπρόσκοποι.

Ἀδραιὰ, αἰθρία. Μακεδόνες.

Ἄδραιον, ἄπρακτον, ἢ οὐκ ἐδίδρασκον.

Ἀδρακὲς, ἀόρατον.

Ἀδρακὴς, ὀλίγον τυφλὴ, καὶ ἀδερκής.

Ἀδρακὶς, ὀλιγάκις τυφλή.

Ἄδρακτον, ἴδιον.

Ἀδραμὼν, ὁ Ἕρμων παρὰ Λυδοῖς. καὶ ἀδραμήτιον, Ἕρμωνος.

Ἀδραμύττιον, πόλις. καὶ Θουκυδίδης, ἀτραμύττειον. * παρὰ Σουίδ. Ἀδραμύτειον. τὸ ἐθνικὸν, Ἀδραμυττηνός.

Ἀδρανέοντος, ἀσθενοῦντος.

Ἀδρανὲς, ἀσθενὲς, ἀνίσχυρον.

Ἀδρανία, ἀπραξία, διὰ τοῦ ἰῶτα. ἀδυναμία, ἀσθένεια. σημαίνει δὲ καὶ ὄνομα ποταμοῦ.

Ἀδράνεια διὰ διφθόγγου, ἀπὸ τοῦ ἀδρανὴς ἀρσενικοῦ.

Ἀδρανὴς, ἀσθενὴς, ἀνίσχυρος. ὁ μὴ δυνάμενος πρᾶξαί τι. δρῶ γὰρ, τὸ πράττω.

Ἀδράστεια, πόλις ἀπὸ Ἀδράστου βασιλέως, ὃς πρῶτος ἱδρύσατο νεμέσεως ἱερόν. ἐκαλεῖτο δὲ καὶ ἡ χώρα, Ἀδράστεια. οἱ δὲ, Ἀδράστειαν τὴν πόλιν κληθῆναι, ἀπὸ Ἀδραστείας μιᾶς τῶν Ὀρεστιάδων Νυμφῶν. ἔστι δέ φασι καὶ τόπος Τρωάδος Ἀδράστεια, ἀπὸ Ἀδραστείας θυγατρὸς Μελίσσου υἱοῦ Ἴδης τῆς πρῶτον βασιλευσάσης ἐν Τροίᾳ. καὶ ταῦτα μὲν

Digitized by Google

οὕτω, συμφωνήσας τῷ Στράβωνι ἐν πολλοῖς. ἐκεῖνος δὲ λέγει, καὶ ὅτι ὥσπερ Θήβη καὶ Θήβης, οὕτω καὶ Ἀδράστεια καὶ Ἀδραστείας πεδίον δισσῶς. καὶ ὅτι ἐνταῦθα μὲν οὔτε νεμέσεως, οὔτε ἀδραστείας ἱερὸν δείκνυται. περὶ δὲ Κύζικον Ἀδραστείας ἱερόν. γράφει οὖν Ἀντίμαχος οὕτως. Ἔστι δέ τις νέμεσις μεγάλη θεὸς, ἢ τάδε πάντα, Πρὸς μακάρων ἔλαχε. βωμὸν δέ οἱ εἵσατο, ἤγουν ἵδρυσε πρῶτος Ἄδραστος, ποταμοῖο παρὰ ῥόον Αἰσήποιο. ἔνθα τετίμηται, καὶ Ἀδρήστεια καλεῖται. καὶ οὕτω μὲν ὁ γεωγράφος. ἕτεροι δὲ, οὐκ ἰδίᾳ μὲν ἀδρήστειαν φασὶν, ἰδίᾳ δὲ νέμεσιν. οὐδὲ τὸν Ἄδρηστον τοῦτον οἴδασιν αἴτιον τοῦ τῆς ἀδρηστείας ταύτης ὀνόματος, ἀλλὰ νέμεσιν ἀδράστειαν λέγοντες, Ἄδραστον αἰτιῶνται τῆς παροιμίας ταύτης. ὃν Σικυῶνι πρῶτα ἐμβασιλεύειν ὁ Ποιητὴς πρὸ τούτου ἱστόρησε. καὶ τὴν μὲν Νέμεσιν, ὡς εἰς κύριον ὄνομα τιθέασι. τὴν δὲ Ἀδράστειαν, ὡς εἰς ἐπίθετον. καὶ βούλονται εἶναι Ἀδράστειαν, τὴν οἰκονομησαμένην παραδόξως τὰ κατὰ τὸν τοιοῦτον Ἄδραστον. ᾧ μόνῳ τῶν σωθέντων ἡγεμόνων ἐκ τοῦ Θηβαϊκοῦ πολέμου, ἐνεμέσησε τὸ θεῖον. τῶν γὰρ ἀπογόνων Θηβαίοις ἐπιστρατευσάντων, Διομήδης μὲν καὶ Σθένελος, καὶ οἱ λοιποὶ περιεγένοντο. μόνος δὲ ὁ ἐξ Ἀδράστου Αἰγιαλεὺς πέπτωκεν.

Ἀδράστεια, ὄνομα πόλεως, περὶ τὸν Ἑλλήσποντον.

Ἀδραστεϊδῶν, Ἄδραστος, Ἀδραστίδης, Ἀδραστιδῶν, καὶ πλεονασμῷ τοῦ ε, Ἀδραστεϊδῶν. οἷον, Ἀδραστεϊδῶν θάλος,

Ἀδραστίνη, ἡ τοῦ Ἀδράστου θυγάτηρ.

Ἄδραστον, ἄπρακτον, ὃ οὐκ ἄν τις πράξειεν.

Ἄδραστος πρῶτος ἱερέων, Νέμεσιν ἱδρύσατο.

Ἀδράστου δρῦς, τόπος περὶ Γρανικόν.

Ἀδράφαξις, λάχανόν τι ἄγριον.

Ἀδραφόζους, λάχανον ἄγριον. * ἐν τῷ Ἐτυμ. γέγραπται. Ἀδράφαξυς. τὸ δὲ Ἀδραφόζους ἐστὶν Ἡσυχίου, καὶ ἀδόκιμον.

Ἀδρεῖν, αὔξεσθαι.

Ἀδρεῖτο, ἐβαρύνετο.

Ἀδρέπανον, ἄδρεπτον, θεοῖς ἀνακείμενον.

Ἀδρεὺς, δαίμων τὶς περὶ τὴν Δήμητραν. ἀπὸ τῆς τῶν καρπῶν ἀδρήσεως.

Ἄδρησις, ἡ ἀπραξία. * παρὰ Σουΐδ. γράφεται καὶ Ἄδρασις.

Ἀδρήστεια, αὕτη τροφὸς Διός. Καλλίμαχος, Σὲ δ' ἐκοίμησεν Ἀδρήστεια ἀδελφὴ κυρήτων.

Ἀδρηστίνη, ἡ τοῦ Ἀδράστου θυγάτηρ.

Ἀδριάνη, πόλις Θρᾴκης, ἢ μικρὸν ὑπὲρ τῆς Βερενίκης κεῖται. τὸ ἐθνικὸν, Ἀδριανήτης. ὡς Συήνη, Συηνήτης. δύναται δὲ καὶ Ἀδριανοῖος εἶναι, ὡς Κυρήνη Κυρηναῖος.

Ἀδρεί, ἀνδρεί. Παμφίλιοι.

Ἀδριανοὶ, Κελτοὶ, οἱ περὶ τὴν Ἀδρίαν περίοικοι.

Ἀδριανοὶ, πόλις Μυσίας. τῆς νῦν Βιθυνίας.

Ἀδριανὸς, βασιλεὺς Ῥωμαίων.

Ἀδριανὸς σοφιστὴς μαθητὴς Ἡρώδου.

Ἀδρίας, πέλαγος.

Ἀδροὶ, πλούσιοι. καὶ στῦλοι ἀρότρου, δι' ὧν ὁ ἱστοβοεὺς ἁρμόζεται.

* Ἀδροβατικόν. Πλάτων, τὸ ἐπίγειον ζῶον ὃ καὶ ξηροβατικὸν λέγει. οὗ ἐναντίον τὸ ὑγροβατικόν.

Ἀδρὸν, μέγα, δαψιλὲς, παχύ. καὶ ἀδρὸς, πολὺς, μέγας, πλούσιος, παχύς.

Ἀδρότερον, μεῖζον, δαψιλέστερον.

Ἀδρὸς, ὁ χονδρός. παρὰ τὸ ἥδω, τὸ εὐφραίνω. ἡδόμεθα γὰρ τοῖς μεγάλοις καὶ χονδροῖς.

Ἀδρότης, δύναμις, μέγεθος.

Ἀδροχῶροι, οἱ ἀδρὰς ἔχοντες χώρας.

Ἄδρυα, μονόξυλα πλοῖα. Κύπριοι. λέγονται δὲ καὶ οἱ ἐν τῷ ἀρότρῳ στῦλοι. Σικελοὶ δὲ ἄδρυα λέγουσι, τὰ μῆλα. παρὰ δὲ ἀττικοῖς, ἀκρόδρυα.

Ἀδρύμακτον, καθαρόν.

Ἀδρύνεσθαι, αὔξεσθαι τοὺς στάχυας.

Ἀδρύνω, αὐξάνω. καὶ Ἀδρύνοιτο, αὐξάνοιτο.

Ἀδρυνθέντος, μεγαλυνθέντος.

Ἀδρύφακτον, ἀντὶ δικαστηρίου, ἢ ἀφύλακτον, ἀτείχιστον.

Ἀδρῷ, μεγάλῳ.

Ἀδρωμένον, ηὐξημένον.

Ἀδὺ, τὸ ἡδύ.

Ἀδύθεμον, ὄζος.

Ἀδυναστὶ, ἀδυνάτως.

Ἀδύνατοι, οἱ πεπηρωμένοι τὸ σῶμα. ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ἀπὸ τῆς βουλῆς, οἱ μὲν πεντακόσιοι, * (ἄλ. ὑπὸ τῆς βουλῆς τῶν πεντακοσίων) ἑκάστης ἡμέρας, ὀβολοὺς δύο. οἱ δὲ ὀβολόν.

Ἀδύνατον, ἄμωμον, ἄπρακτον.

Ἀδύνατον πρόβατον, τὸ γεγηρακὸς πόας.

Ἀδύνατά εἶναι, ἀντὶ τοῦ ἀδύνατον. πολλάκις γὰρ κέχρηται Θουκυδίδης τοῖς πληθυντικοῖς, ἀντὶ ἑνικῶν. μάλιστα δ' ἐπὶ ταύτης τῆς λέξεως. ἀδύνατον δέ ἐστιν, ὃ μή ἐστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι. οἷον, ἡ γῆ ἵπταται.

Ἀδύνατα θηρᾷς, παροιμία ἐπὶ τῶν ἐγχειρούντων μείζοσιν, ἢ καθ' ἑαυτούς.

Ἀδυνατῶ γράφειν, ἀδυνατῶ ποιεῖν τοῦτο, ἀντὶ τοῦ οὐ δύναμαι.

Ἀδυσώπητον, ἀπροσωπόληπτον. καὶ ἀδυσώπητος, ἀπαράκλητος, ἀναίσχυντος.

Ἄδυτα, ἄβατα, ἀπέραντα.

Ἄδυτον πῖον, ἢ τὴν δαψιλῆ θυσίαν δηλοῖ. ἢ ἄλλον τρόπον, τὸ πῖον ζῶον. τοῦτο μὲν γὰρ πιαίνειν ἔχει βωμόν.

Ἄδυτον, σπήλαιον. ἢ τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ. ἀπὸ τοῦ δύω, δύμι, δύσω, δέδυκα, δέδυμαι, δέδυσαι, δέδυται, δυτὸς, καὶ ἄδυτος. καὶ ἄδυτον, ὁ τόπος εἰς ὃν οὐκ ἔξεστι πᾶσιν εἰσιέναι. καὶ ἀδύτων, ἀσύλων, ἐνδοτάτων.

Ἁδῶ, ἀρέσκω.

Ἄδω τῷ Θεῷ, ὅταν ὕμνον ἀνάγω αὐτῷ. ᾄδω δὲ τὴν πόλιν, ἢ τὴν γῆν, ὅταν εἰς αὐτὰς ποιήσω ᾠδήν. καὶ ᾄδειν ποτὲ μὲν τὸ ψάλλειν. ἐνίοτε δὲ τὸ φημίζειν. ὡς τὸ, ᾄδεται λόγος. ποιητικῶς δὲ σημαίνει τὸ ἀείδειν, τὸ ἐμμέτρως καὶ ἐμμελῶς λέγειν. ᾄδω σοι μέλος. προσᾴδω σοι δὲ, δοτικῇ μόνῃ. περιᾴδω σε, αἰτιατικῇ μόνῃ. καταπᾴδω σου δὲ, γενικῇ.

Ἄδωνα, τὸν ἄδωνιν.

Ἀδωναῖος, πατειδῶν, καὶ βόλος. ὁ ὑπὸ τὴν ᾠδήν.

Ἀδώνειοι καρποὶ * (ἄλ. κῆποι) λέγονται, οἱ μετέωροι κῆποι.

Ἀδώνια, συνεσταλμένως. καλοῦσι καὶ τὸ εἴδωλον τοῦ ἀδώνιδος, ἀδώνιον, καὶ ἀδώνιος * (ἄλ. ἀδώνειος, καὶ ἀδωνίδειος) καρπὸς, ὁ τοῦ ἀδώνιδος.

Ἀδώνιδος κῆπος, ἐπὶ τῶν ἀώρων, καὶ ὀλιγοχρονίων, καὶ μὴ ἐρριζωμένων.

Ἀδωνιασμὸς, ὁ ἐπὶ τῷ Ἄδωνι θρῆνος.

Ἀδωνὶς, ἡ χελιδὼν καὶ ἡ θριδακίνη.

Ἀδώνιον, τὸ παρὰ τοῖς Λάκωσιν αὐληθὲν ἐπιβατήριον. ὅπερ ὕστερον παρὰ Λεσβίοις ὠνομάσθη.

Ἄδωνις, παρὰ τὸ ᾄδω τὸ ψάλλω. ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι. ὡς ἄδωνις τριφίλητος, ὁ πολυφίλητος. ἢ ὅτι ὑπὸ τριῶν ἐφιλήθη, Διὸς, Ἀφροδίτης, Περσεφόνης, καὶ ἐν ᾅδη. ὃς γαύας παρὰ Κυπρίοις καλεῖται. Ἱστορία.

Ἄδωνις ὁ Κύπριος κατά τινας Κινύρου παῖς ὤν, τοῦ Κυπρίων βασιλέως, καὶ οὐ Θείαντος. ἐξ οὗ Ἀφροδίτη γεννᾷ Πρίαπον, δυσειδῆ καὶ βαθυαίδοιον. ἡ γὰρ Ἥρα ἐγγὺς οὔσης αὐτῆς, μεμαγευμένη χειρὶ ἁψαμένη, τοιοῦτον ἐποίησε γεννῆσαι. καὶ τὴν θεὰν κλαυθέντα, αἱ μοῦσαι τῇ πρὸς Ἀφροδίτην ὀργῇ φερόμεναι, ὅτι πολλὰς αὐτῶν ἐποίησεν ἀνδράσι μιγῆναι καὶ τεκεῖν. οἷον Καλλιόπην ἐξ οἰάγρου τεκεῖν ὀρφέα καὶ Κυμόθωνα, Τερψιχόρην ἐκ Στρύμονος Ῥῆσον, Κλειὼ δὲ ἐκ Μάγνητος Λῖνον. Ἄρης ὁ Θεὸς ἀντεραστὴς ὢν Ἀφροδίτης, εἴτε μεταμορφώσας ἑαυτὸν πρὸς χοίρου μορφὴν, εἴτε πρὸς χοῖρον ὁρμήσαντα τὸν Ἄδωνιν, αὐτὸς ἐναντίος ἐλθὼν, αὐτὸν ἀναιρεῖ. καὶ τὸ μὲν Ἀδώνιδος αἷμα καταρρεῦσαν τὴν Ἀνεμώνην λευκὴν οὖσαν πρότερον, ἐρυθρὰν ἀπειργάσατο. περὶ δ' Ἀνεμώνην πεσεῖν τὸν Ἄδωνιν ἔτυχεν. Ἀφροδίτη δὲ τὸ πάθος μαθοῦσα, γυμνοῖς περιτρέχουσα τοῖς ποσὶν, ἐλεεινὸν ὠλοφύρετο. ἀκάνθαις δὲ αὐτὴ ῥοδωνίας ἐμπαγεῖσα, τῷ καταρρεύσαντι αἵματι, τὸ ῥόδον ἐρυθρὸν ἀπειργάσατο.

Ἄδωνις ἀδώνιδος, ὄνομα κύριον. Καὶ πένθος ἦν ἱερὸν ἐν Λιβάνῳ, τὸ ἐπ' Ἀδώνιδι, καὶ Βύβλῳ.

Ἄδωνις, ἰχθὺς θαλάσσιος, οὗ μνημονεύει Κλέαρχος. ἢ δεσπότης ὑπὸ Φοινίκων. καὶ βόλου ὄνομα. ἔστι δὲ καὶ κύριον.

Ἀδώνιδος κῆποι. ἐν τοῖς ἀδωνίοις εἴδωλα ἐξάγουσι καὶ κήπους ἐπ' ὀστράκων, καὶ παντοδαπὴν ὀπώραν. οἷον ἐκ μαράθρων καὶ θριδάκων παρασκευάζουσιν αὐτῷ τοὺς κήπους, καὶ γὰρ ἐν θριδακίναις αὐτὸν κατακλιθῆναι ὑπὸ Ἀφροδίτης φασίν. Σημείωσαι.

Ἀδώνιδος κήπων, καὶ δένδρων Ταντάλου, πολλὴ διαφορά. διὸ τοῦτο μὲν παροιμία ἐπὶ τῶν ἀκερδῶν τίθεται. ἐκεῖνο δὲ, ἐπὶ τῶν ἀκάρπων καὶ ὠκυμόρων. κῆποι γὰρ ἀδώνιδος, φυτάρια τὰ ταχὺ ἀναθάλλοντα ἔσω χύτρας, ἢ ἀρρίχου, καὶ ὅλως κοφίνου τινός. καὶ αὐτίκα ῥιπτόμενα κατὰ θαλάσσης, καὶ ἀφανιζόμενα. καθ' ὁμοιότητά τινα τοῦ κατὰ τὸν ὠκύμορον Ἄδωνιν θανάτου. ὃς ἀνθήσας νεοτήσιον, ταχὺ ἀπώλεσε καταβληθεὶς ὑπ' Ἄρεος. γυναῖκες δὲ τοὺς τοιούτους τημελοῦσαι κήπους, ᾄσιν ἐπιταφίους Ἀδώνιδι.

Ἀδωνιστὴς, ἔριφος.

Ἄδων τὴν σπιθαμὴν τοῦ βίου πρὸς ἄνηθον. ἐπὶ τῶν γλίσχρων καὶ μικροψύχων.

Ἀδώρειος, πόλις, * παρὰ Σουΐδα, Ἀδωρεός.

Ἀδωτῶ, ἱερῶ.

Ἀδωροδόκητος, ἀδωρόληπτος.

Ἀδωρότατος. ὁ μηδόλως μεταδιδοὺς τι, ἢ ἀδωροδόκητος.

Ἄδωρα, κακόδωρα, τὰ κακὰ δῶρα, τὰ ἐπὶ κακῷ διδόμενα. Σοφοκλῆς, Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.

Ἀδώσια, ἱερά τινά.

Ἀδώσιτος κρατὴς, ὁ ἀμίσθωτος.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ε.

Ἀ ε, εἰς ᾱ κιρνᾶται. οἷον κρέας, κρέα. ὁμοίως ἐπὶ τῶν ῥημάτων, οἷον ἐβόαες ἐβόας, ἐβόαε ἐβόα, ἐβοάετον ἐβοᾶτον. οὕτω καὶ ἐπὶ τῶν ἄλλων, οἷον βόαε βόα.

Ἀ ε, καὶ τὸ ο μικρὸν, τρέπονται. ὧν τὸ μὲν ᾱ εἰς η, οἷον ἀγαπῶ, ἠγάπων. τὸ δὲ ο μικρὸν εἰς ω μέγα, οἷον ὀμνύω, ὤμνυον. τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται, ποτὲ δὲ καὶ τὸ ι προσλαμβάνει. καὶ πάντοτε μὲν εἰς η τρέπεται, πλὴν τοῦ ἔχω εἶχον, καὶ ἔπω εἶπον, καὶ ἄλλων τινῶν. ἅτινα παρὰ τοῖς γραμματικοῖς σεσημείωται.

Ἄε, ἐπὶ τοῦ ἀεὶ, ἕως.

Ἄεδνον, ἄφερνον, ἢ πολύφερνον.

Ἀέδοντα, ἀρέσκοντα.

Ἄεθλα οὐδετέρως, τὰ ἐπὶ τοῖς ἀγῶσιν ἔπαθλα. ἆθλοι δὲ οἱ ἀγῶνες αὐτοί. γίνεται δὲ ἡ λέξις κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ ἐθέλειν. αἱρετὸν γὰρ καὶ θελητὸν, ὁ ἄεθλος καὶ τὸ ἄεθλον.

Ἄεθλα, ἔπαθλα, ἀγῶνας.

Ἀέθλεον, ἐμόχθουν, ἠγωνίζοντο.

Ἀεθλεύειν, ἀγωνίζεσθαι, ἀπὸ τοῦ ἀέθλου.

Ἀεθλεύων, ἀγωνιζόμενος.

Ἀέθλια, παράγωγόν ἐστιν ἐκ τοῦ ἄεθλον. ὡς ἐκ τοῦ ἴχνος, τὰ ἴχνια. ἐνταῦθα δὲ θεωρητέον, ὡς εἰ καὶ ἐκ τοῦ ἄεθλον κέκραται τὸ ἆθλον,

Digitized by Google

ἆθλον, ὅθεν καὶ ἀθλοφόρος, ἀλλ' οὐκ ἤδη καὶ ἐκ τοῦ παραγώγου ἀεθλίου, ὡσαύτως ἐστὶ τὸ ἄθλιον. αὐτὸ γὰρ ἐπὶ δυστυχίας μόνης κεῖται. ἵνα ᾖ ἄθλιος, ὁ δυσάεθλος κατὰ τὴν Ὁμηρικὸν Ὀδυσσέα. ὃς οὐδ' ἐν τῷ νόστῳ πεφυγμένος ἦεν ἀέθλων. ἐξ ὧν ὁ ἄθλιος καὶ ἡ ἀθλιότης κέκραται. ἐξ οὗ παραχθεὶς καὶ ὁ Ἀθλίας τὸ κύριον, εἰ καὶ ἐθέλει ἀπὸ τοῦ ἐπαινετοῦ ἄθλου κεκλῆσθαι, ὅμως κωμῳδεῖται.

Ἄεθλον, ἔπαθλον τὸ ἐπὶ τοῦ ἀγῶνος διδόμενον. Νηῶν δὲ ἔφερ' ἄεθλα. ἀπὸ τοῦ ἐθέλω ἐπιτάσει τοῦ α, ἄεθλον.

Ἀεθλοσύνης, ἀγωνίας.

Ἀεθλοφόρους, ἀγωνιστάς.

Ἀέθω, ἐπέλθω.

Ἀεὶ, τὸ ἑκάστοτε, τὸ διὰ παντὸς, τὸ αἰεὶ, ἐν παντὶ χρόνῳ, διηνεκῶς, καὶ ἐσαεὶ, ταῦτα ἐπὶ τοῦ αὐτοῦ λεγόμενα. πλὴν τὸ μὲν ἑκάστοτε, καὶ τὸ διὰ παντὸς, καὶ τ' ἄλλα, ἐπὶ τῶν τριῶν χρόνων, παρεληλυθότος, ἐνεστῶτος, καὶ μέλλοντος λέγεται. οἷον ἑκάστοτε ἐποίουν, καὶ ποιῶ, καὶ ποιήσω. ὡσαύτως καὶ τὸ αἰεὶ, καὶ τ' ἄλλα, καὶ τρισὶ χρόνοις συνάπτονται. οἷον ἐσαεὶ ποιήσω, καὶ ἐσαεὶ δεήσομαι. Δημοσθένης καὶ Λουκιανός. ὧν ὁ μὲν Δημοσθένης, Οὗτος μὲν ὦ ἄνδρες δικασταὶ, τὰ χρήματα προθύμως ἐσαεὶ συμβουλεύει. Λουκιανὸς δὲ, Καὶ οὗτος μὲν φανεῖται παρὰ πᾶσιν ἐσαεὶ πονηρός.

Ἀεὶ, ἐπὶ τριῶν χρόνων. τὸ δὲ εἰσαεὶ, ἐπὶ μέλλοντος καὶ ἐπὶ ἐνεστῶτος. ὅταν διηνεκειαν δηλοῖ. δηλονότι Θουκυδίδης ἐν πρώτῃ, Κεῖταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ, ἐσαεὶ ἀνάγραπτος.

Ἀεὶ ἀντὶ τοῦ ἕως. Εὐριπίδης, Εἶα τὰ λοιπά. δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.

Ἄει, ἀκούει, πνέει. ἀεὶ δὲ, διὰ παντὸς, καὶ ἕως καὶ μέχρι.

Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι. παροιμία ἐπὶ τῶν ἀξίως καὶ εἰς πάντα εὐδαιμονούντων. οἱ δὲ ἐπὶ τῶν ἀξίως τιμωρουμένων.

Ἀειγλώπησιν, ταῖς διηνεκέσι ῥυπαρίαις.

Ἀεὶ βλύων, ἐπιρρέων.

Ἀειγενετάων, διὰ παντὸς ὄντων.

Ἀεὶ γεωργὸς, εἰς νέωτα πλούσιος. ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων, ἀπαλλάττεσθαι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων.

Ἀειδάμνα, ὄνομα κύριον.

Ἄειδε, ᾆδε καὶ λέγε.

Ἄειδε δ' ἄρα κλέα ἀνδρῶν. ᾖδε δὲ ᾠδὴν, ἔλεγεν.

Ἀείδειν, ὃ πρωτότυπόν ἐστι καὶ ἐντελέστερον τοῦ ᾄδειν. κυρίως ἐπὶ ποιημάτων, διὰ τὸ ἐμμελὲς τῆς ποιήσεως λέγεται. ἀείδειν γάρ ἐστι τὸ ἐμμελῶς λέγειν, καὶ μετ' ᾠδῆς.

Ἀειδέλιον κακὸν, κορυφαῖον, ἄδηλον.

Ἀειδέλιος * (Ἐτυμ. ἀειδέλλιος. Ἡσύχ. ἀειδήλιος) κατάρατος, δεινός.

Ἀείδελον, ἀόρατον. καὶ ἀειδὲς, λυπηρόν.

Ἀειδέστερον, ἄμορφον.

Ἀείδελα * (ἄλλ. ἀείδελα) λαμπρά.

Ἀειδέμεναι, παραγωγὴ ποιητικὴ, οὐ δωρικὴ διάλεκτος. τὸ α τοῦτο συνεσταλμένον ἐστὶ παρὰ τῷ Ποιητῇ. ἅπαξ δὲ ἐκτεταμένον. ὡς ἐν τῷ, ἀείδει διδαούς.

Ἀειδὲς, ἀφανές. καὶ ἄμορφον, αἰσχρόν.

Ἀειδὴς, ὁ μηδέπω εἰδὴς, ὁ ἀφανὴς καὶ δυσειδής. καὶ ἀειδία, ἡ ἀμορφία.

Ἀειδίης, ἀεὶ οὔσης.

Ἀειδινήτοις, ἀεὶ στρεφομένοις.

Ἀείδιον, ἀέναον, ἀεὶ ὄν.

Ἄειδον, ᾖδον.

Ἀείδοντες, ᾄδοντες.

Ἀείδω ποιητικὸν, ᾄδω κοινόν. ἀφ' οὗ ὀνόματα ἀοιδὴ παρὰ ποιηταῖς, καὶ ᾠδὴ τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς. καὶ ἀείδω, τὸ λέγω.

Ἀείδω, τὸ πάνυ ἐπίσταμαι. ἐκ τοῦ εἴδω, μετὰ τοῦ ἐπιτατικοῦ α.

Ἀειεστὸν, * (ἴσως. ἀειεστὼ) τὴν αἰώνιον οὐσίαν, ἢ ἀϊδιότητα.

Ἀειεστὼ, Ἀντιφῶν τὴν ἀϊδιότητα, καὶ τὸ ἐπὶ τῶν αὐτῶν ἀεὶ ἑστάναι. ὥσπερ καὶ εὐεστὼ, ἡ εὐδαιμονία καλεῖται. ἡ λέξις παρὰ τῷ Διογενιανῷ, ἐν Ἀληθείας δευτέρῳ.

Ἀείζωον, φυτὸν ἀειθαλές.

Ἀείζωστος, ἄζωστος. ναῦς ἐστιν ἡ ἀνηπήλιθος. ἀζώστους δὲ τὰς ἀνασυρμένας γυναῖκας. ἢ ἀνετοίμους, ἢ ἀναισχύντους.

Ἀειθαλὴς, ἀεὶ θάλλων. καὶ ἀειθαλὲς τὸ βραβεῖον τῆς νίκης, ἀεὶ θάλλον.

Ἀείδειν, γίνεται ἐκ τῆς α ἐπιτάσεως, καὶ τοῦ εἴδω τὸ γινώσκω. πάνυ γὰρ εἰδότες καὶ ἐπιστήμονες ὡς φιλόσοφοι, ἐδόκουν οἱ ποιηταί. ὅθεν καὶ ἀοιδὸν τῆς Κλυταιμνήστρης φύλακα, φιλόσοφοί τινες ἡρμηνεύκασιν, ὡς εὖ εἰδότα πάντα ἐκ μουσῶν. καὶ μαντικοὶ δὲ διὰ σοφίαν οἱ ἀοιδοὶ ἐνομίζοντο. οὗ σύμβολον, καὶ ἡ ἐκ δάφνης ῥάβδος ἡ τοῦ Ἀπόλλωνος, ἣν κατεῖχον οἱ ᾄδοντες ῥαψῳδοί. ἀργεῖ δὲ παρὰ τῇ κοινῇ διαλέκτῳ, τὸ ἀείδειν. καὶ ἐκεῖθεν ἀοιδή. ἐνεργεῖ δὲ τὸ ᾄδειν, καὶ ᾠδή. τὰ παθόντα κρᾶσιν καὶ συναίρεσιν.

Ἀείδεσθαι φαμὲν, τὰ ποιήματα. ἀείδειν δὲ τὸ ἐμμελῶς λέγειν. καὶ ᾠδὴ ὁ μεμελισμένος λόγος, ὃς καὶ ἔξαρμα ἔχει, ἤγουν ὕψος ὄγκον μέγεθος. καίπως διὰ τὸ ὑπερηρμένον, ἄπηχος ὁ τοιοῦτος λόγος δοκεῖ. διόπερ ὁ μὴ τοιοῦτος, πεζὸς λέγεται διὰ τὸ ταπεινόν. δοκεῖ δὲ καὶ τὸ ἐννέπειν ἰσοδυναμεῖν τῷ ᾄδειν. ὡς δηλοῖ τὸ, Ἄνδρα μοι ἔννεπε μοῦσα. καὶ παρ' Ἡσιόδῳ, τὸ Μοῦσαι ἐννέπετε. ἐξ οὗ ἔπη τὰ ποιήματα λέγονται. οἰκειότερον δὲ τῇ ἐμμελείᾳ, τὸ ᾄδειν. ὅθεν καὶ ἐπὶ μουσικῶν ὀρνίθων, ᾄδειν λέγομεν.

Ἀεικὰς, μάχας, ὁρμάς. ἢ βολὰς τόξων.

Ἀηκέα ἔργα, ἀπρεπῆ, ἀθεράπευτα.

Ἀείκια, ἡ ἀπρέπεια.

Ἀεικέας. Ὅμηρος ἐν Ὀδυσσείᾳ, μή τις ἀεικεία φαινέτω. οὗ ἑρμηνεία κατωτέρω ἀεικέα ἔργα, ἤγουν ἀπρεπῆ.

Ἀεικελίην πήραν λέγει, τὴν πυκνὰ ῥωγαλέην.

Ἀεικελίησιν, ἀπρεπέσι, χαλεπαῖς.

Ἀεικέλιον, ἀνόμοιον, σκληρὸν, κακὸν, εὐκαταφρόνητον.

Ἀεικελὲς, ἀπρεπές.

Ἀεικελίους, ταλαιπώρους, εὐτελεῖς, οὐδενὸς ἀξίους.

Ἀεικὲς, τὸ ἀπρεπές. ἄεικες δὲ, τὸ ἀνόμοιον.

Ἀεικὲς, κακὸν, σκληρὸν, ἀπρεπὲς, εὐκαταφρόνητον, ἀπεοικός.

Ἀεικέστερα, ἀπεοικότα.

Ἀεικέστερος, ἀπρεπέστερος.

Ἀεικία, ἀτυχία, κόλασις, κακία, ὕβρις.

Ἀεικίσουσιν, ὑβρίσουσιν.

Ἀεικία καὶ δρύψις, ταυτόν. ἀεικίζεσθαι καὶ δρύπτεσθαι εἶπεν Ὅμηρος. διφορεῖται δὲ ἡ παραλήγουσα τῆς ἀεικίας. οὐ μόνον γὰρ διὰ τοῦ ι γράφεται, ἀλλὰ καὶ διὰ τῆς ει διφθόγγου, ὡς ἀπὸ τοῦ ἀεικής. ὅθεν καὶ ἀείκεια, ὡς ἐπιεικὴς ἐπιείκεια. δῆλον δ' ὅτι ὡς ἀπὸ τοῦ ἀείρω καὶ φαείνω τὸ αἴρω καὶ φαίνω γίνεται, οὕτως ἀπὸ τοῦ ἀεικίζω, καὶ τῆς ἀεικίας, τὸ αἰκίζω καὶ ἡ αἰκία.

Ἀεικίσω, ὑβρίσω. ὡς ἀγενὴς, ἀγενίζω, οὕτως ἀεικὴς ἀεικίζω.

Ἀεικὴς, αἰσχρὸς, ἀπρεπὴς, ὁ μὴ ἐοικώς.

Ἀεικίζει, ἀπολύει, φθείρει. ἀεικίσσω δὲ νεκρὸν παρ' Ὁμήρῳ, ἀπὸ τοῦ ἀεικής. ἀεικίζω. ἀεικίσωσιν, ὑβρίσωσιν, ἢ ἀπολύσωσιν.

Ἀεικορστώσασθαι, κεῖραι κεφαλήν.

Ἀεικόρσωτοι, ἄκαρποι.

Ἀεικῶς, ἀπρεπῶς, χαλεπῶς, ἀσυνήθως.

Ἄειλα πεδία, ἀνήλια. εἵλη γὰρ ἡ τοῦ ἡλίου αὐγή. καὶ ἄειλα χωρία, τὰ πολύσκια, κατὰ στέρησιν τῆς εἵλης.

Ἀείλη, πνοή.

Ἀειλογεῖς, ἀεὶ λαλεῖς, ἀεὶ προφέρεις.

Ἀειλογία, πολυλογία, ἢ ταυτολογία, ἢ τὸ διὰ παντὸς ἐξεῖναι λέγειν. τὸ ἑκάστοτε διδόναι λόγον, καὶ ἀπολογίαν.

Ἀείλλειν, θωπεύειν, ἀπατᾷν.

Ἀεί με τοιοῦτοι πόλεμοι διώκοιεν, ἐπὶ ἀνάνδρων, καὶ μηδενὸς λόγου ἀξίων.

Ἀείμεναι, πνεῦσαι.

Ἄειν, πνεῖν.

Ἀειναῦται, ἀρχῆς ὄνομα παρὰ Μιλησίοις.

Ἀεινάων, ἀεννάων.

Ἀεινέους, οὐ προσηνεῖς, βλαβερούς.

Ἀεινεφεῖς, τυφλώσεις.

Ἀεινεφὴς, ἡ τύφλωσις. * ἐν τῷ Ἐτυμολ. κεῖται ἀεινεφίς.

Ἀείνη, δένδρον μεγαφόρον. τὸ δὲ αὐτὸ καὶ δεῖνες. * καὶ ταῦτα ἀδόκιμα.

Ἀεινὸν, τὸ ἀέναον. * ἄλλ. ἀεὶ νῶν. Ἀριστοφ. Βατράχοις. ἤτοι τὸ ἀεὶ ῥέον.

Ἀειπαρθένους τὰς Ἐριννῦς. μυθικὸν δέ ἐστι τοῦτο. ὑπονοεῖν δὲ χρὴ, τὰς ἀδωροδοκήτους, καὶ οὐχὶ χρανθῆναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικούντων.

Ἀείπλανα, πεπλανημένα, πλήρη φλυαρίας.

Ἀεῖραι, βαστάσαι, ἆραι.

Ἀείραιεν, ἐγείραιεν.

Ἀείρακος, ἡ ἔλαφος παρὰ Κρησίν.

Ἄειρε, πρόσφερε.

Ἄειρεν, ἔβαλεν, προσέφερε. μή μοι οἶνον ἄειρε μελίφρονα, Ὅμηρος.

Ἄειρε παρ' Ὁμήρῳ, ἀντὶ τοῦ πρόσφερε· ἀφ' οὗ καὶ ὁ ἄρτος, καὶ τὰ προάρματα. ἤγουν αἱ τροφαί.

Ἀειραμένην, διεγειρομένην.

Ἄειραν, ὅ ἐστιν ἦραν. καὶ ἀείραντες ἱστία, εἴρηται πρὸς διαστολὴν τοῦ καταρρῖψαι.

Ἄειρεν. ἔβαλε. ἵππια λύματ' ἄειρεν, ἀείρεται, ὅ ἐστιν αἴρεται, ὑψοῦται.

Ἀείρας, ἐγείρας, ἄρας, κουφίσας.

Ἀείρειν, προσφέρειν.

Ἀειρίδας, κύκλους τοῦ ὅρμου. * ἄλλ. προπαροξυτόνως.

Ἀείροις, ἀπείροις.

Ἀείροιστον, ἀεὶ ῥέον. * καὶ τοῦτο ἀδόκιμον.

Ἀείρομαι, ἄνω αἴρομαι. Σοφοκλῆς Τραχινίαις.

Ἀειρομένας, περιερχομένας. καὶ ἀειρόμενος, ἐπαιρόμενος.

Ἀειρομένη κονίη, ἤγουν εἰς ἀέρα ἐγειρομένη, καὶ ἀειρόμενος πολὺς κονίσαλος.

Ἀειρὸν, ἄρρητον, ἀπαραίτητον, ἐπὶ κακῷ ὠνομασμένον.

Ἀειρὸς, δυστυχὴς, καὶ ὁ ἄπειρος.

Ἀείρρους κρείττων ἢ ἀείρροος, καὶ ἡδύπνους ἢ ἡδύπνοος.

Ἀείρρυτον, τὸ ἀεὶ ῥέον.

Ἀείρω, παρὰ τὸ ἀέρω, πλεονασμῷ τοῦ ι, τὸ ἄνω ὠθῶ, ἐπαίρω, καὶ κουφίζω, καὶ βαστάζω, καὶ ὑψῶ.

Ἀείρων, ἀθώπευτος.

Ἄεισεν, ᾖσεν.

Ἄεισιν, ἀῶ τὸ πνέω. παράγωγον τῶν εἰς μι. ἄημι, τὸ τρίτον ἄησι, τὸ δυϊκὸν ἄετον, καὶ κατ' ἔκτασιν ἄητον. οἷον, Τὼ Θρῄκηθεν ἄητον. τὸ τρίτον τῶν πληθυντικῶν. ἄεισιν αἰολικώτερον, ἔχρην ἀεῖσιν, ὥσπερ ἰεῖσιν.

Ἀείσιτος, ὁ ἐφ' ἑκάστῃ ἡμέρᾳ ἐν τῷ πρυτανείῳ δειπνῶν.

Ἄεισσον, ἆσσον, ἐγγύς. * ἄλλ. ἀεῖσσον.

Ἀειστὴν, γνάθον.

Ἀείστορες, ἄπειροι.

Ἀείσω, ᾄσω, ὑμνήσω.

Ἀειτάδος, ἄειχος * ἄλλ. ἀειτάδιος. ἀλλ' ἀδόκιμα.

Ἀεῖται, ὑμνεῖται.

Ἀείτης, ὁ ἑταῖρος. * ὁ Σχολ. εἰς Σουΐδ. καὶ ἄλλοι, κρεῖττον φασὶ τὸ αἴτης.

Ἀείτις ἐν Κύδωνος. ἐπὶ τῶν φιλοξένων, καὶ πρὸς ὑποδοχὴν ἑτοίμων. παρόσον Κύδων ὁ Κορίνθιος φιλοξενώτατος ἐγένετο.

Ἀεὶ τοῖς ἐρῶσιν συνέσμεν. Ἀριστοφάνης Ὄρνισι. διὰ τὸ τοὺς ἐραστὰς ὄρνιθας εὐγενεῖς χαρίζεσθαι τοῖς ἐρωμένοις. καὶ ἡ σίττη δὲ καὶ εἴ τι τοιοῦτον ὄρνεον δεξιὰ πρὸς ἔρωτα φαίνεται. ἐγὼ μὲν ὦ Λευκίππη δεξιὰ σίττη. ἡ νῦν οἶμαι λεγομένη σιταρίς.

Ἄειτον, ταχύ.

Digitized by Google

Α'είϋπνος, ὁ ἀεὶ κοιμώμενος.

Α'ειφόρος, ἀειθαλής. Σοφοκλῆς Τηλέφῳ.

Α'είφρουρος, ἀεὶ διαμένων. * Σοφοκλ. Α'ντιγ. οἴκησιν ἀείφρουρον λέγει, διὰ τὸ μὴ πρὸς καιρὸν εἶναι τὴν φρουρὰν ἐνταῦθα.

Α'ειφυγία, τὸ εἰς ἀεὶ φυγαδεύεσθαι.

Α'είχρηστος, οἶνος.

Α'εκαζόμενος, ἄκων, καὶ μὴ βουλόμενος. ἀναγκαζόμενος, ἀνιώμενος.

Α'εκαστεῖ, στερεῖται. * Ἡσύχ. ἀεκαστεῖ.

Α'εκήλια, ἀκούσια, χαλεπά. ἃ οὐκ ἄν τις ἑκὼν πάθοι. βέλτιον δ' ἄν τις ἀποδοίη, τὰ τεταραγμένα καὶ οὐκ εἰρηνικά, κατὰ στέρησιν τῆς ἡσυχίας, καὶ εἰρήνης.

Α'έκητι θεῶν τοῦτο ἐποίησα. ἤγουν μὴ θεοφιλῶς, καὶ παρὰ γνώμην τῶν θεῶν.

Α'έκητι, ἀβουλίᾳ, παρὰ γνώμην.

Α'εκητὶ, ἀκουσιότητι.

Α'εκοντάζεσθαι, μὴ θέλοντα ἀναχωρῆσαι.

Α'έκοντα βίῃ, ἐν τῷ ἄλφα τῆς Ο'δυσσείας. ἐκ παραλλήλου θέσεως, ταυτὸν σημαίνουσιν.

Α'έκοντος, ἄκοντος, μὴ βουλομένου.

Α'έκων, μὴ θέλων. ἐκ τοῦ ἑκών. ἐν παραθέσει ἀναβιβάζει τὸν τόνον, καὶ παροξύνεται παραδόξως. οὐδεμία γὰρ μετοχὴ ἐν συνθέσει ἀναβιβάζει τὸν τόνον, ὅτι μὴ μόνη ἡ ἀέκων. τὸ δὲ ἀέλθων, ἀντίκειται πρὸς τὸν τοιοῦτον λόγον. οὐ γὰρ ἁπλῶς μετοχή, ἀλλὰ κύριον παρὰ Ἡροδότῳ μετοχικὸν ὄνομά ἐστιν.

Α'έλατα, πολύσκια χωρία. κατὰ στέρησιν τῆς ὕλης. * κάλλιον οὕτως. Α'ελα, τὰ πολύσκια χωρία, κατὰ στέρησιν τῆς ἕλης. λέγεται καὶ ἄειλα παρὰ τὴν εἵλην.

Α'ελθρος, νοσώδης.

Α'έλια, οὐκ εἰρηναῖα, οὐδὲ ἥσυχα, ἀλλὰ ταραχώδη. * παραβλήδην ἀντὶ τοῦ ἀεκήλια.

Α'έλιοι, οἱ ἀδελφὰς γυναῖκας ἐσχηκότες. ἤγουν σύγγαμβροι.

Α'ελὶς, τάλαινα, ἀθλία.

Α'ελίποντες, οὐκ ἐλπίζοντες.

Α'ελλα, πνοὴ ἀνέμων. ἡ συστροφή, ἀπὸ τοῦ ἄειν τὸ πνεῖν, καὶ τοῦ εἰλεῖν τὸ συστρέφειν. δηλοῖ δὲ τὸ κοινῶς ἀνεμοζάλην. ταυτὸ δύναται καὶ ἡ θύελλα, πλὴν ὅτι τὸ μὲν ἐστι ποιητικόν, ἡ θύελλα δὲ κοινόν. γίνεται δὲ θύελλα, ἀπὸ τοῦ θύειν τὸ σφοδρῶς ὁρμᾶν, καὶ τοῦ ἑλεῖν. τὸ δὲ ἄελλαν, καὶ στροφάλιγγα κονίης εἰπεῖν, ταυτόν ἐστιν. ἐπεὶ καὶ τὸ στρέφειν καὶ τὸ εἰλεῖν, ὅμοια. ὧν τὸ μὲν τὴν στροφάλιγγα παράγει, τὸ δὲ τὴν ἄελλαν.

Α'ελλαι, ἄνεμοι, πνοαί.

Α'έλλαδες ἵπποι, αἱ ταχεῖαι. καὶ ἀελλάδων ἵππων, ταχέων. Σοφοκλῆς Οἰδίποδι τυράννῳ.

Α'έλλας, τὰ ἄτακτα πνεύματα, καὶ καταιγίδας καὶ τὰς μεγάλας συστροφάς.

Α'ελλάων, ταχέων.

Α'ελλεῖ, φιλεῖ, κολακεύει.

Α'ελλὲς, ἀθρόον, καὶ ὁμόσε.

Α'έλλεται, πνεῖ.

Α'ελλὴς, συστροφὴ ἀνέμου. ἡ κονίσαλος, ὁ συνεστραμμένος δίκην ἀέλλης. ἕτερον δὲ τοῦτο τὸ ἀολλέες παρ' Ὁμήρῳ. καὶ τὸ ἀολλέες, παρ' Ἡροδότῳ ἐν τῷ, εἰσέπεσον ἀολλέες εἰς τοὺς Πέρσας. δύναται δὲ ἄλλως τὸ ἀελλὴς χρήσιμον εἶναι καὶ εἰς ἐτυμολογίαν τοῦ κονισάλου. ἵνα ᾖ κονίσαλος, κόνις ἀέλλης.

Α'ελλήσας, κακοπαθήσας.

Α'ελλῆσι, πετομέναις. καὶ ἀελλῆσι, θυμοῖς ἀνυποστόλοις μετὰ παῤῥησίας.

Α'ελλόθριξ, ποικιλόθριξ, ἢ πυρεωροὺς, καὶ συνεχεῖς ἔχουσα τὰς τρίχας. παρὰ τὴν ἄελλαν Σοφοκλῆς Ἰνάχῳ.

Α'ελλόποδες, ἐλαφροί, κοῦφοι.

Α'ελλόπους, ταχεῖα τοὺς πόδας, ταχύπους.

Α'έλλοπος, ἶρις. ἢ ταχύπους. ἀφ' οὗ καὶ ποδήνεμος.

Α'ελλὸς, μαινόμενος, ἢ ὀρνεόν τι.

Α'ελλώδεις ἵπποι, αἱ ταχεῖαι. καὶ τὸ τραγικόν.

Α'ελλῶδες, μετὰ ἀνέμου ὁμιχλῶδους.

Α'ελλῶν, στρέφων, ὀπτῶν, ποικίλλων.

Α'ελπάρεα, δεινά.

Α'ελπέοντες, μὴ ἐλπίζοντες. καὶ ἀελπέων, οὐκ ἐλπίζων.

Α'ελπὲς, ἀνέλπιστον.

Α'ελπτέοντες, οὐκ ἐλπίζοντες. ἀπὸ τοῦ ἔλπω, ἔλπτω, ἀέλπτω. ἡ μετοχή, ὁ ἀέλπτων. ἡ πληθυντικὴ εὐθεῖα, ἀέλπτοντες, καὶ πλεονασμῷ τοῦ ε, ἀελπτέοντες, ἀνελπιστοῦντες.

Α'ελπτα, ἀνέλπιστα, ἀπροσδόκητα.

Α'ελπτον, ἀνέλπιστον. ἢ σκληρὸν, δυσχερὲς, ἀπροσδόκητον, δεινὸν, αἰφνίδιον.

Α'ελπτοὶ, δεινοὶ, καὶ ἄαπτοι. Αἰσχύλος Πρωτεῖ.

Α'εμμα, τόξον, ἱμάτιον.

Α'έμπεδον, βέβαιον.

Α'εν, ἔπνει.

Α'εννάασθαι, καταντλεῖσθαι.

Α'ένναον, τὸ ἄπαυστον, καὶ ἀεὶ ὄν. ἢ τὸ διηνεκές. ἀπὸ τοῦ ἄλφα ἐπιτατικοῦ μορίου, καὶ τοῦ νάω τὸ βλύζω. καὶ ἀένναον, τὸ πολὺ, ἀείῤῥυτον, πολυχρόνιον. καὶ ἀεννάων, ἀεὶ ὑπαρχόντων.

Α'έννaος, ὁ ἀεὶ ῥέων. ἀπὸ τοῦ νάω, ὅ ἐστι ῥέω. ἢ διαρκὴς, ἢ ἀεὶ θάλλων. * παρὰ Ποιηταῖς ἀέναος.

Α'εννάοντα, ἀεὶ ῥέοντα.

Α'έντες, πνέοντες.

Α'έντες. ἐστιν ἀῶ περισπώμενον. ἐκ τούτου ἄημι. ἀλλὰ οἱ αἰολεῖς τὴν ἀῶν μετοχὴν καθὰ ποιῶν φιλῶν, ἀεὶς ὡς φιλεὶς λέγουσι. καὶ ἡ πληθυντικὴ εὐθεῖα, ἀέντες, καὶ ἡ γενικὴ ἀέντων.

Α'έντιον, Αἰγύπτιοι, σμύρνιον.

Α'έξει, ἀπὸ τοῦ ἔχω τὸ ἐλαύνω. ὁ μέλλων ἔξω, καὶ ἀέξω προσθήκῃ τοῦ α. ἀέξει παρ' Ἡσιόδῳ, αὔξει.

Α'έξετο, ηὐξάνετο.

Α'εξῶν, αὐξῶν, ἢ ἔχων.

Α'έοισι, κοσμήταις. * ἄλλ. κομήταις.

Α'επάσιον, ἀσμένως χαίροντα.

Α'επται, * (ἴσως ἄεται) ἀκούεται.

Α'εργηκότες, ἀργοὶ, ἀναπαυόμενοι.

Α'εργηλὸν, ἀργόν.

Α'εργὴν, ἄνω, ἢ φοράδην.

Α'εργὸς, ποιητικόν. ἀργὸς, κοινόν.

Α'εργὸν, ἀντὶ ἀργὸν λέγουσιν οἱ Δωριεῖς.

Α'εργὸς, ἀργὸς, ἢ κακοῦργος. Ὅμηρος, Οὐ γὰρ ἀεργὸν ἀνέξομαι ὡς ἂν ἐκ τῶν ἐμῶν τρέφηται. παραινετικόν ἐστι τοῦ χρῆναι τοὺς ἐν τῷ οἴκῳ πάντας χρησίμους εἶναι. μὴ ὅτι γε τοὺς οἰκείους, ἀλλὰ καὶ εἴπου τὶς παρατύχοι ξένος.

Α'ερθεν, ἀείρω, ἀερῶ, ἄερκα, ἄερμαι. ὁ ἀόριστος, ἀέρθην τῶν πληθυντικῶν τὸ πρῶτον, ἀέρθημεν. καὶ ἐκβολῇ τοῦ η καὶ μ, ἄερθεν, ἀντὶ τοῦ ἀέρθησαν ἤρθησαν, ἀνέστησαν, ὥρμησαν. ὡς κόσμηθεν, ἀντὶ τοῦ ἐκοσμήθησαν.

Α'ερέθονται, αἰωροῦνται, αἴρονται, κρέμανται, καὶ λίαν παροξύνονται.

Α'ερήϊον, ἀμέτρητον, πολὺ, ἀερῶδες.

Α'έρης, ἄρης, βαστάσης.

Α'ερθεὶς, μετεωρισθείς.

Α'έρθη, ἐπήρθη.

Α'ερία, ἡ ὁμίχλη παρὰ Αἰτωλοῖς. Θάσον τε τὴν νῆσον, καὶ Αἴγυπτον, καὶ Λιβύην, καὶ Κρήτην, καὶ Σικελίαν καὶ Αἰθιοπίαν, καὶ Κύπρον, οὕτως ἐκάλουν.

Α'ερίδες, μέλισσαι.

Α'έριον ὕδωρ, τὸ ἐν τῷ ἀέρι. καὶ ἀέριος, ὁ ἐν τῷ ἀέρι.

Α'έριπον, * (ἴσως ἄερκτον,) οὐ περιειργόμενον.

Α'ερίπους, * (κάλλιον ἀερσίπους) ὁ εἰς ὕψος αἴρων τοὺς πόδας.

Α'ερκτον, ἀντὶ τοῦ ἄφρακτον, καὶ πανταχόθεν ὁρώμενον.

Α'ερμὼν, ὄρος κατὰ τὴν Παλαιστίνην. ἐφ' ᾧ χιὼν πολλὴ συνάγεται. ἀφ' ἧς ἀτμοὶ ἀναδιδόμενοι, καὶ τὸν ἀέρα τὸν ὑπεράνω τῶν ὀρέων τῆς Σιὼν παχύνοντες, δρόσον ἀποτελοῦσιν ἐν θέρει.

Α'εροβατεῖν, τὸ εἰς τὸν ἀέρα περιπατεῖν.

Α'εροπόμα, τὰ πετεινὰ τὰ τοῖς πτεροῖς τέμνοντα τὸν ἀέρα. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον, παρὰ τῷ Α'ριστοφάνει. ἀντὶ τοῦ περιεργάζομαι τὸν ἥλιον, ἢ τὸν τούτου δρόμον. ἐπιβαίνω τῷ ἀέρι.

Α'εροβλεῖ, τείνει.

Α'ερόεν, μέλαν, βαθὺ, μέγα.

Α'εροκέλαδοι, πιτυοκάμπται.

Α'ερολέσχης, ὑψηλὸς ἐν τῷ λέγειν, κομπηγόρος.

Α'ερονηχεῖς λέγει Α'ριστοφάνης, τὰς ἐν τῷ ἀέρι νηχομένας νεφέλας, παρόσον ἐν αὐταῖς νήχεται τὰ ὄρνεα. ἢ δίκην ὀρνέων αἱ νεφέλαι νήχονται, ἤγουν πέτονται.

Α'έροπες, ἔθνος τὴν Τροιζηνίαν κατοικοῦντες. καὶ ἐν Μακεδονίᾳ γένος τι, καὶ ὄρνεα τινά.

Α'εροπὸς, κοχλίας.

Α'ερὸς, ἀναιδής.

Α'έρος, εἴδιος. ἰὸς, καὶ ὄροβοι. ὡς τὸ, ἀέρον ἀπεδεκάτων. * ἄλλ. ἀέρος, εἶδος ὀρόβου.

Α'έρσαν, τὴν δρόσον. Κρῆτες.

Α'ερσιλόφους, τρυφαλείας, ὧν οἱ λόφοι ἐπηρμένοι εἰσὶ καὶ μετέωροι.

Α'ερσίποδες, ταχύποδες, ἐλαφρόποδες. καὶ ἀερσίποδες ἵπποι, οἱ ἀειρόμενοι, ὅ ἐστι κουφιζόμενοι ποσίν. οἱ λίαν ταχεῖς, καὶ ὠκύποδες. ἢ ἀελλόποδες, καὶ ὡς εἰπεῖν κουφόποδες. ἢ ὁμηρικῶς εἰπεῖν, φερόμενοι ὑπὸ ποδῶν. χρήσιμον δὲ ἐνταῦθα καὶ τὸ Ἡσιόδου, ἀερσιπότητος ἀράχνης. καὶ ἀερσίποδας, ἀειρομένους. καὶ ὡς εἰπεῖν, ἀερίους τοῖς ποσίν. ἐκ τοῦ ἀείρω, ἀέρσω. ἀείρεσθαι δέ ἐστι, τὸ εἰς ἀέρα κουφίζεσθαι. ἀφ' οὗ καὶ ἀερσιπότης.

Α'ερσίπους, ταχύπους, ὁ εἰς ὕψος αἴρων τοὺς πόδας.

Α'ερτάζειν, βαστάζειν.

Α'ερωδέστερα, ἀφανέστερα.

Α'έσαι, ἆσαι, κοιμηθῆναι. κατὰ στέρησιν τοῦ ε, ἆσαι, ὅ ἐστιν ὁρμῆσαι.

Α'έσαμεν, κατεκοιμήθημεν, ἐκοιμήθημεν, ἀνεπνεύσαμεν. ποιητικὴ λέξις. καὶ ἀέσκοντας, κοιμωμένους. καὶ ἀέσκοντο, ἀνεπαύοντο, ἐκοιμῶντο. Ὅμηρος, Νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες.

Α'εσις, πόνος, βλάβη.

Α'εσίμαινα, ἡ τοῖς πνεύμασι τῶν ἀνέμων μαινομένη. θαλάσσης δὲ τὸ ἐπίθετον.

Α'εσίφρονα θυμὸν, τὴν ψυχὴν λέγει Ἡσίοδος τὴν ἐπηρμένην. ἢ τὴν βεβλαμμένον ἔχουσαν τὸ φρόνημα. τὸ μὲν ἀπὸ τοῦ αἴρω, τὸ δὲ ἀπὸ τοῦ ἆσαι τὸ βλάψαι.

Α'εσιφροσύνῃσιν, ἀνοίαις.

Α'εστὴν, αὔριον. Βοιωτοί.

Α'εσίφρων, ματαιόφρων, ὁ κούφας ἔχων τὰς φρένας, φρενοβλαβὴς, ἢ κοιμώμενος τὰς φρένας. ἀέσαι γὰρ τὸ κοιμηθῆναι, ἢ ἀναπνεῦσαι. καὶ ἀεσίφρων, ὀξύφρων. παρὰ τὸ ἄω, τὸ πνέω.

Α'έται, πόλις.

Α'έτας, πόρπας, περόνας.

Α'ετασία, ἡ λύπη. * ἄλλ. ἀεπουσία.

Α'ετε, ἀκούσατε. * κάλλιον ἀΐετε.

Α'έτεα, τὰ τῷ αὐτῷ ἔτει γεννώμενα.

Α'ετιδεῖς, οἱ ἀετῶν παῖδες.

Α'έτειον πτερὸν, καὶ κρέας. * ἤτοι τὸ τοῦ ἀετοῦ.

Α'ετίτης, εἶδος λίθου. ὡς καὶ ἀχάτης, καὶ λυχνίτης.

Α'ετίγεννα, πόλις Α'σιχίας.

Α'ετμα, φλόξ.

Α'ετμὸν, τὸ πνεῦμα.

Α'ετο, ἐσίετο, διέπνει.

Α'ετόνυχες, βοτάνη.

Α'ετὸν ἵπτασθαι διδάσκεις. ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινὰς, ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

Α'ετ-

Digitized by Google

Ἀεπαλαίουσι, χαλεποῖς, δεινοῖς.

Ἀεπώσιον, λύπη μεμιγμένον.

Ἀετὸς ἐν νεφέλαις. ἐπὶ τῶν δυσαλώτων. παρόσον ἀετὸς ἐν νεφέλαις ὢν, οὐχ ἁλίσκεται.

Ἀετὸς οἰκοδομημάτων, τὸ κατὰ τὸν ὄροφον. ὃ τινὲς αἴτωμα καλοῦσιν.

Ἀετοῦ γῆρας, κορύδου νεότης. παρόσον καὶ γηράσκων ὁ ἀετὸς, ἀμείνων ἐστὶ παντὸς ὄρνιθος.

Ἀέτωμα, τὸ εἰς ὕψος ἀναπεπταμένον τῆς ὀροφῆς ὥσπερ τρίγωνον. καὶ αἰετώματα, τὰ τῶν ἱερῶν στεγάσματα, ἃ πτέρυγάς τε καὶ ἀετοὺς καλοῦσιν. Ἀριστοφάνης, τὰς οἰκίας ἐρέψομεν πρὸς ἀετὸν, ἀντὶ τοῦ στεγάσομεν.

Ἀεφανίων, λαμπρῶν.

Ἀεχλῶες, πένητες.

Ἀέχοντο, ὥρμων.

ΤΟ' Α' ΜΕΤΑ' ΤΟΥ' Ζ'.

Ἄζα, ἄσβολος, κόνις, παλαιότης, κόπρος ἐν ἀγγείῳ ὑπομείνασα.

Ἀζαία, φθονερά.

Ἀζαίνεσθαι, ξηραίνεσθαι.

Ἀζάλαι, νέαι καὶ ἁπαλαί.

Ἀζαλέας, ξηράς.

Ἀζαλέη, ξηρά. καὶ ἀζαλείην, ξηράν. καὶ ἀζαλέοιο, ξηροῦ.

Ἀζαλέους, ἀντὶ τοῦ ξηρούς. ὅθεν τινὲς οὐκ ἀπὸ τοῦ Ἀζᾶνος βασιλέως, ἀλλὰ διὰ τὸ τραχεῖαν εἶναι, Ἀζανίαν φασὶ κληθῆναι τὴν Ἀρκαδίαν. τραχεῖα γάρ ἐστι, καὶ ξηρά.

Ἀζαλέον, ἄγαν ζέον, θερμὸν, ἢ ξηρόν. Ὅμηρος, βοῦν ἀζαλέην.

Ἀζαλὲς, πολύπνουν, καὶ ὀλιγόπνουν.

Ἀζάλη, νώσιμος, γαλήνη.

Ἀζάνθη, ἐξηράνθη.

Ἀζάπα, πτισάνη.

Ἀζαραπατεῖς, οἱ εἰσαγγελεῖς παρὰ Πέρσαις.

Ἀζαρίας, ὄνομα κύριον.

Ἀζάτη, ἐλευθερία.

Ἀζαυτος, παλαιστής, καὶ κόνις. * ἄλλ. ἀζαυτός.

Ἀζαχές. οἱ μὲν σκληρὸν καὶ χαλεπὸν, παρὰ τὸ ἀζαλέον. οἱ δὲ, ἀδιάλειπτον.

Ἀζειάδης, ὄνομα κύριον. καὶ παρωνυμικῶς, Ἀζείδας.

Ἀζείδης, ὄνομα κύριον.

Ἀζείθει, τὸ ζέει.

Ἀζήρει δὲ, τὸ ξηραίνει.

Ἀζειν, στενάζειν, ἢ ἐκπνεῖν διὰ στόματος.

Ἀζείρει, ἀντὶ τοῦ ζέει: ἀζήρει δὲ, ἀντὶ τοῦ ξηραίνει.

Ἀζείδαο, Ἄζεως παιδός.

Ἄζειρον, ἀποίκιλτον. ζεῖρον * (ἄλλ. ζηρὸν) γὰρ τὸ ποικίλον. ἢ τὸ ἄχωστον.

Ἀζείρου, ἀζώστου. ἢ πολυζώστου, ἀπὸ τοῦ ζειρά.

Ἀζειῶται, ἔθνος τῆς Τρωάδος. Σοφοκλῆς συνδείπνῳ.

Ἀζέμιλκος, ὄνομα κύριον.

Ἄζενον, τὸν πώγωνα Φρύγες. καὶ ἄζενον, γενειῶντα.

Ἄζεο, ἐντρέπου, σέβου, εὐλαβοῦ, αἰσχύνου. καὶ ἄζεσθαι, σέβεσθαι. δασύνεται δὲ ἀπὸ τοῦ χάζω, τὸ ὑποχωρῶ.

Ἄζερος, ἀγαθός.

Ἄζεσθαι. ἐξ οὗ παρ' Ὁμήρῳ οἱ ἀζόμενοι. παρὰ Σοφοκλεῖ δὲ, οὐδὲν ἄζοντα, ἤγουν σεβόμενον. παρ' ᾧ καὶ ἀπειλεῖν καὶ ἀπειλεῖσθαι.

Ἀζέσιμοι κύκνοι, ταῖς πτέρυξιν ἐναπολαμβάνοντες. * ἀέρα.

Ἄζεται, θλίβεται, λυπεῖται.

Ἄζετο, ἐνετρέπετο, ἐξηραίνετο ψιλῶς. ὡς τὸ, ἡ μέντ' ἀζομένη κεῖται ποταμοῖο παρ' ὄχθας, καὶ καταζήνασκε δαίμων. δασέως δὲ ἁγιάζετο, καὶ ἅγιον ἡγεῖτο, καὶ ἐσέβετο. ἀλλὰ γὰρ οὐ Θεὸν μέγαν ἅζετο.

Ἄζετον, ἄπιστον. Σικελοί.

Ἀζεχὶς, ἀδιάλειπτον.

Ἀζεχὴς, ὁ σκληρὸς καὶ χαλεπός.

Ἄζη, ξηρασία, κονιορτὸς, ἱδρώς. καὶ ἄζη, ἡ τοῖς μυδῶσιν ἐγγινομένη λαλκότης. ὁ παλαιῶν ἱδρὼς, κατὰ στέρησιν τοῦ ζῶ. οὐ ζῶσι γὰρ τὰ ξηρανθέντα.

Ἀζήιος, ὄνομα κύριον.

Ἀζηλόεν, τὸ μέλαν.

Ἄζηλοι, ἄτιμοι, ἀμίμητοι.

Ἀζήμιτον, * (ἄλλ. ἀζήμιθρον) ἀζήμιον.

Ἄζηλον, ὃ οὐκ ἄν τις ζηλώσειεν. καὶ ἄζηλος βίος, ὁ εὐτελής.

Ἀζήμιος, ἀβλαβής. κυρίως δὲ ζημία, ἡ τῆς ζωῆς μείωσις. ἢ τὸ ἐν ζωῇ μικρόν. ἢ ἀζήμιος, ἀληθὴς, καὶ μὴ ὑπέχων ζημίαν τοῦ πάθους. * ἄλλ. τοῦ ψεύδους. οὕτω γὰρ κεῖται ἐν τῷ Σοφοκλ. Σχολ.

Ἄζημοι, πνοαί.

Ἀζημώθ, ὄνομα κύριον.

Ἀζηνᾶς, ὄνομα κύριον. καὶ Ἀζηνεύς.

Ἀζήνασκεν, ἐξήρανεν. * ἀντὶ τοῦ Ἄζηνεν, ἢ ἤζηνεν, ὡς τύψασκεν, ἀντὶ ἔτυψε.

Ἀζηνοὶ κύκνοι, οἱ ταῖς πτέρυξιν ἀπολαμβάνοντες ἀέρα.

Ἀζηνεχὲς * (γραπτέον ἀζηχές. ἴδε κατωτέρω) μεμακυῖα, ὅ ἐστι συνεχές.

Ἀζήν, ὁ πώγων.

Ἀζηνία, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ἀφ' ἧς ὁ φυλέτης ἀζηνιεύς. καὶ ἀζηνιεῖς, καὶ ἐρχιεῖς, καὶ ἁλιεῖς, καὶ πάντα τὰ ὅμοια, δασέως φασὶ φθέγγεσθαι τοὺς ἀττικοὺς τοὺς παλαιούς.

* Ἀζηός, νεανίας. ἔστι δὲ μᾶλλον ἐν χρήσει τὸ αἰζηός.

Ἀζήρει, ξηραίνει.

Ἀζηρὶς, τοῦ ἁρματίου τὸ ξύλον. * ἄλλ. ἀζηλίς. παρὰ Πολυδεύκ.

Ἄζηρος, ὁ μὴ ξηρός.

Ἀζησία, ἡ Δημήτηρ. ἀπὸ τοῦ ἀζαίνειν τοὺς καρπούς. * (οὕτως Ἡσύχ.) καὶ Ἀζησία, ἡ Κόρη. Ἀμαῖα δὲ ἡ Μήτηρ. * (ἤτοι ἡ Δημήτηρ. οὕτω Σουίδας) καὶ παροιμία, ἡ Ἀμαῖα τὴν Ἀζησίαν μετῆλθεν. ἐπὶ τῶν πολυχρονίαις ζητήσεσι χρωμένων.

Ἀζῆται, οἱ ἐγγύτατοι τοῦ βασιλέως.

Ἀζήτητον, τὸ ζήτησιν καὶ κατηγορίαν ἔχειν κεκωλυμένον. οὕτως Αἰσχίνης.

Ἀζητός, ὁ σεβαστός. * παρὰ πολλοῖς δασύνεται.

Ἀζηχέας. τὰς ξηρὰς, τὰς ἐχούσας ξηρὸν ἦχον.

Ἀζηχὲς, διηνεκὲς, ἀδιάλειπτον, μεγαλόφωνον, ἰσχυρὸν, ἀδιχθὲς, * (ἄλλ. ἀδιεχὲς) ἤτοι συνεχὲς, δεινὸν, μέγα, εἴρηται δὲ παρὰ τοῖς παλαιοῖς τὸ μεγαλόφωνον, διὰ τὸ πρὸ τούτου ῥηθὲν, ἀζηχὲς μεμακυῖα. ἰστέον δὲ ὅτι τὸ μὲν φαγεῖν ἀζηχὲς, οὐ πάνυ πολλούς. τὸ δὲ ἀζηχὲς ποιεῖν, μυρίους ἀπώλεσεν. ἀζηχὴς λέγεται ὁ ἀδιεχὴς, ὅ ἐστι συνεχής. τινὲς μέντοι ἀζηχὴς φασὶ θυμὸς, ὁ σκληρὸς, ἀπὸ τοῦ ἄζην ἔχειν, ὅ ἐστι ξηρασίαν. ἵν' ᾖ, ἄτεγκτος καὶ δυσμάλακτος.

Ἀζήωρα, παχέα, πυκνά.

* Ἄζοι, παρ' Ἀθηναίοις καλοῦνται οἱ δοῦλοι.

Ἀζοίμην, ἀγανακτοίμην. Εὐριπίδης Δικτυῒ.

* Ἀζόκροτος, καὶ αἰζόκροτος, ἡ ξηρασία.

Ἄζομαι, αἰσχύνομαι.

Ἅζομαι, τὸ σέβομαι, δασύνεται. καὶ ἅζετο, δασύνεται. ὃν λόγον ἐν ἄλλοις τὸ ἁζόμενοι Διὸς υἱὸν, ἤγουν σεβόμενοι, καὶ τὰ κατ' αὐτόν. ψιλοῦται δέ ποτε ἄλλως ἡ λέξις, οὐ μόνον ἐπὶ τοῦ ἄζειν τὸ ξηραίνειν, ἀλλὰ καὶ ὅτε ἆσθμά τι δηλοῖ, κατὰ τὸ εἰπόντα ὅτι ἄζειν, τὸ ἀθρόως προπνεῖν τῷ στόματι θερμόν. ἐξ οὗ ἴσως καὶ τὸ αἰάζειν γίνεται, ὅπερ οὐκ ἀεὶ τὸ θρηνεῖν δηλοῖ, ὡς ἀλλαχοῦ γέγραπται.

Ἀζομένη, ξηραινομένη, ἐντρεπομένη.

Ἄζον, μέγαν, * (ἄλλ. μέλαν) ὑψηλόν.

Ἄζοξ, ὕλη.

Ἄζυγες, ἄζευκτοι, μονάζοντες.

Ἀζυγία, ἄζευκτον. Ἀρχίλοχος.

Ἄζυμοι, καθαροί. ἄτυφοι, ἢ ἔπαρσιν μὴ ἔχοντες. τὸ γὰρ ἄζυμον, οὐ ψυχοῦται.

Ἄζυμα, τὰ ἄνευ παλαιᾶς ζύμης. ὃ καλεῖται προζύμη.

Ἄζυξ, ὁ μὴ συνεζευγμένος γάμῳ. καὶ ὁ κέλης ἵππος.

Ἄζω τὸ ξηραίνω, ψιλοῦται. παρὰ τὸ ᾱ στερητικὸν, καὶ τὸ ζῶ. οὐ ζῶσι γὰρ τὰ ξηρά. καὶ ἀπ' αὐτοῦ ἄζη ἐν Ὀδυσσείᾳ, ἡ ξηρασία.

Ἀζανία, τόπος ἐν Πελοποννήσῳ.

Ἀζωλεῖ, ἀγανακτεῖ.

Ἄζωπες, αἱ ξηραὶ ἐκ τῆς θεωρίας.

Ἄζωρος, ὁ εὔκρατος οἶνος, καὶ ὁ κυβερνήτης τῆς Ἀργοῦς.

Ἄζωστος θώραξ, ἄνοπλος, ἄστολος.

Ἀζῶτες, οἱ μὴ εἰς τὰ συνεστῶτα παρόντες.

Ἄζωτον, ἀβίωτον.

Ἄζωτος, ἔθνος Συρίας καὶ πόλις.

ΤΟ' Α' ΜΕΤΑ' ΤΟΥ' Η.

Ἄη, ἔπνει, ἐφύσα. καὶ ἀήμεναι, πνεῦσαι. καὶ ἀήμενοι, πνέοντες.

Ἄη. ὥσπερ παρὰ τὸ φιλῶ γίνεται ἐφίλει διὰ τῆς ει διφθόγγου, κατὰ δὲ Αἰολεῖς ἐφίλη διὰ τοῦ η, οὕτω καὶ παρὰ τὸ ἄω ἄει, καὶ κατὰ Αἰολεῖς ἄη. Ἡρακλείδης δὲ οὕτω βούλεται. ἵνα ὥσπερ ἐκ τοῦ φιλῶ φίλημι Αἰολικῶς, οὕτως εἴη καὶ ἀπὸ τοῦ ἄω ἄημι. καὶ ἀκολούθως, ὡς φίλη τρίτον ἑνικὸν καὶ δυϊκὸν ἐξ αὐτοῦ φίλητον, οὕτω καὶ ἄη ἄητον.

Ἀήδα, λείαν, λάφυρα.

Ἀηδᾶς. ὁ δεσπότης.

Ἀηδεῖν, δυσχεραίνειν, κεκμηκέναι. καὶ ἀηδῆσαι, καμεῖν καὶ κοπιάσαι, ὀχληθῆναι.

Ἀηδέομεν, κοπιῶμεν.

Ἀηδὲς, στυγνὸν, λυπηρὸν, ἀνέραστον.

Ἀήδιζον. τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ῥήματα χρονικῶς αὐξάνονται ἐν τῷ παρατατικῷ. οἷον ἄγω ἦγον, αἴρω ἦρον, αἰτῶ ᾔτουν. δεῖ δὲ προσθεῖναι χωρὶς τῶν Ἰωνικῶν, καὶ τῶν Ποιητικῶν. οἱ γὰρ Ποιηταὶ, καὶ οἱ Ἴωνες, συναρχομένους πολλάκις ποιοῦσι τοὺς παρῳχημένους, τοῖς ἰδίοις ἐνεστῶσιν. οἷον ἄγω ἄγεν, ἅπτω ἅψατο. ἀντὶ τοῦ ἦγεν καὶ ἥψατο. καὶ χωρὶς τοῦ ἀηθέσσω ἀήθεσσον. ἀηθέσσω δέ ἐστι, τὸ ἀήθης ὑπάρχω. καὶ χωρὶς τοῦ ἀηδίζομαι ἀηδιζόμην. καὶ ἀΐω τὸ ἀκούω. καὶ τὸ ἄω τὸ πνέω. ταῦτα οὐ τρέπει τὸ ᾱ ἐν τῷ παρατατικῷ εἰς η.

Ἀηδὴς, κοπιώδης, ὀκνηρός. καὶ ἀηδὴς ὁ ἀνεύφραντος, ὁ δυσειδής. καὶ ἀηδὲς, τὸ ἀνέραστον.

Ἀηδία, ἡ ἀνορεξία.

Ἀηδίζομαι, οὐκ εὐφραίνομαι.

Ἀηδόλα, ἀδὴν εὐφροσύνην. * ἀδόκιμον.

Ἀηδόνα, γλωσσίδα μεταφορικῶς. Εὐριπίδης Οἰδίποδι. καὶ τοὺς αὐλοὺς δὲ, λωτίνας ἀηδόνας τοῦ ἔφη.

Ἀηδόνειος ᾠδὴ, καὶ ἀηδόνειον μέλος.

Ἀηδονὶς, τόπος ἔνθα ᾖδον. ἢ ἐργαστήριον. καὶ ἀηδόνος νεοσσός. * (ἴσως ἀηδονὶς, νεοσσός. ἢ ἀηδόνος νεοσσοῦ) καὶ τὸ τῆς γυναικὸς αἰδοῖον, παρὰ Ἀρχιλόχῳ.

Ἀηδόνων ἐργαστήριον, ἐπὶ μὲν ὕπνου, τὸ ἐλάχιστον. ἐπὶ δὲ λύπης, τὸ σφοδρότατον. καὶ παροιμία ἐπὶ τῶν ἀγρυπνούντων, τὸ, οὐδ' ὅσον ἀηδόνες ὑπνοῦσιν.

* Ἀηδονιδεὺς, εως, ἀηδών. Θεόκριτ. οἱ δ' ἀηδονιδῆες ἐφεζόμενοι ἐπὶ δένδρων.

Ἀηδὼν, ὄρνεον. τῆς ἀηδόνος, κοινῶς. ἡ ἀηδὼ τῆς ἀηδόος, καὶ ἀηδοῦς ποιητικῶς. εἶδος πετεινοῦ. καὶ ἀηδὼν, ἡ Ἀθηνᾶ παρὰ Παμφιλίοις.

Ἀηδῶς, ἀνωφελῶς.

Ἀήθειν, * (ἄλλ. ἀηθεῖν) μὴ ἠθεῖσθαι, μὴ νοεῖν.

Ἀηθεῖν, λανθάνειν, ἀνεπιστημονεῖν.

Ἀήθης, ἀσυνήθης. συντάττεται δὲ δοτικῇ, καὶ γενικῇ. οἷον, ἀήθης εἰμὶ τούτῳ τῷ πράγματι. καὶ, ἀήθης τοῦ κατακύειν τινός.

Ἀήθεσ-

Digitized by Google

Ἀήθεσσον, ἀσυνήθεις ἦσαν. ποιητικὴ λέξις τὸ ἀηθέσσειν, καὶ δυσέλκυστος εἰς λόγον πεζόν. καὶ καινὴ ἡ μετὰ γενικῆς αὐτοῦ σύνταξις. καὶ οὐ μόνον ἰωνικῶς, ἀλλὰ καὶ ἀττικῶς κατὰ τοὺς παλαιοὺς, ἀναύξητόν ἐστι τὸ ἀήθεσσον, διὰ τὴν κακοφωνίαν τῆς αὐξήσεως τοῦ ἠήθεσσον. καὶ ἀηθέουσι, ἀσυνήθεις εἰσίν. καὶ ἀηθέουσα, ἀήθης οὖσα.

Ἀηθὴς, ἄγροικος, ἄγριος, ἀκριβής.

Ἄηκες, τὸ μὴ ἠκονημένον ξίφος.

Ἄηκτον, συμπαστὸν ἐγχειρίδιον, παρὰ Ταραντίνοις.

Ἄημα, ἡ πνοὴ τοῦ ἀνέμου, τὸ πνεῦμα, φύσημα τὸ πνοὴν φέρον.

Ἄημαι, τὸ ἀνάκειμαι. ἐν ἐπιγράμματι.

Ἀήμεναι, πνεῦσαι, πνεῖν.

Ἀήμενοι, πνέοντες.

Ἀηνὰ, δένδρα μικρὰ, ἄκαρπα.

Ἀηνῶαι, τὸ θέμα οὐκ εὔχρηστον. ἀαίνω γὰρ, ὡς φοραίνω, ὑδραίνω, καὶ τὰ τοιαῦτα.

Ἀηνῶες, ἀΐδιον, λάβρον, ἄθλιον.

Ἀηνὼς, τὸ λαμπρὸν, τὸ ἀΐδιον.

Ἀηνοβαρβος, ὁ χαλκοπώγων.

Ἀήπιον, τὸ μὴ πρᾶον.

Ἀὴρ, ὁ μεταξὺ οὐρανοῦ καὶ γῆς τόπος. ἢ λεπτότατον στοιχεῖον, ὑγρόν τε καὶ θερμόν. τοῦ πυρὸς βαρύτερον, τῆς δὲ γῆς καὶ τῶν ὑδάτων κουφότερον. ἀναπνοῆς καὶ ἐκφωνήσεως αἴτιον. ἀχρωμάτιστον, ἤτοι ἐκ φύσεως χρῶμα μὴ κεκτημένον. διειδὲς, διαφανές. φωτὸς γάρ ἐστι δεκτικόν. καὶ ταῖς πάσιν αἰσθήσεσιν ἡμῶν διακονοῦν. δι' αὐτοῦ γὰρ ὁρῶμεν, καὶ ἀκούομεν καὶ ὀσφραινόμεθα. δεκτικὸν θάλψεώς τε καὶ ψύξεως, ξηρότητός τε καὶ ὑγρότητος. οὗ πᾶσαι αἱ κατὰ τόπον κινήσεις εἰσίν, ἄνω, κάτω, ἔσω, ἔξω, δεξιᾷ, ἀριστερᾷ. καὶ ἡ κυκλοφορικὴ κίνησις. οἴκοθεν μὴ κεκτημένον τὸ φῶς, ἀλλ' ἀπὸ ἡλίου, καὶ σελήνης, καὶ ἄστρων, καὶ πυρὸς φωτιζόμενον. καὶ τοῦτό ἐστιν ὃ εἶπεν ἡ γραφὴ, Καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου. θέλουσα δεῖξαι, ὡς οὐκ οἴκοθεν ὁ ἀὴρ τὸ φῶς κέκτηται, ἀλλὰ ἄλλη τίς ἐστιν οὐσία τοῦ φωτός. ἔστι δὲ ἓν τῶν τεσσάρων στοιχείων, ἄνεμος ὁ πνέων. ὃς καὶ ἀήτης ποιητικῶς λέγεται.

Ἀήρης, καῦμα, ὁμίχλη.

Ἀήσσατος, ἀήττητος, ἀνίκητος.

Ἄησι, παρὰ τὸ ἄημι τὸ πνέω. τὸ τρίτον, ἄησι. καὶ τὸ δυϊκὸν, ἄετον. καὶ κατ' ἐπίτασιν, ἄητον, τὸ τρίτον τῶν πληθυντικῶν, ἄεισιν Αἰολικώτερον, ἔχρην ἀεῖσιν εἶναι.

Ἀήσυλα, παράνομα, ἁμαρτωλὰ, οὐ καθήκοντα καὶ ἀήσυλα ἔργα, τὰ βλαπτικά. παρὰ τὸ ἆσαι, ἤγουν βλάψαι. πλεονασμῷ τοῦ η, ὡς καὶ ἐν τῷ ὑπέρφανος, ὑπερήφανος, καὶ ἐν ἄλλοις. ἢ τὰ ἀηδῆ. παρὰ τὸ α στερητικὸν, καὶ τὸ ἆσαι τὸ εὐφρανεῖν ποιητικὴ ἡ λέξις, καὶ πεζῷ λόγῳ οὐκ εὔχρηστος.

Ἀήσυλον, τὸ ἄδικον, καὶ ἁμαρτωλόν. ἀπὸ τοῦ ἄσω μέλλοντος, τοῦ δηλοῦντος τὸ βλάπτω, γίνεται ὄνομα ῥηματικὸν ἀήσυλον, κατὰ πλεονασμὸν τοῦ η. ἢ ἀπὸ τοῦ ἥδω ἥσω, ἥσυλον, καὶ ἀήσυλον, τὸ μὴ τέρπον, ἢ ἄδικον καὶ ἁμαρτωλὸν, ὡς εἴρηται. ἢ ἀλαμπὲς, κακὸν, καὶ ἀνόμοιον.

Ἀήσυρον, κοῦφον, ἐλαφρὸν, ἀσθενὲς, κενὸν, ἄκοσμον, μάταιον, ἀκόλαστον.

Ἀήσυρος, ὁ ἐλαφρῶς πνέων.

Ἄηται, φέρεται, κεκίνηται. παρὰ Ἀπολλωνίῳ.

Ἀήτη, πνοὴ, ἀναθυμίασις.

Ἀήτης, ἄνεμος, ἀρσενικῶς. καὶ ὥσπερ ἡγήσω ἡγητὴς, ποιήσω ποιητὴς, οὕτως ἔδει, ἀῶ ἀήσω ἀητὴς, ἀλλ' ἡμάρτηται.

Ἀήττητος, ὁ ἀκαταπόνητος.

Ἄητο, ἐφέρετο, ἔπνει. καὶ ἄητο, ὥρμητο. καὶ ἄηται, προσδέεται, καὶ ἐπαυγάζει. ἄηται γὰρ πνεύματα. ἄητον. ὥσπερ γὰρ παρὰ τὸ φιλῶ γίνεται φιλεῖτον, οὕτω καὶ παρὰ τὸ ἄω ἄητον τὸ δυϊκὸν, καὶ παρὰ αἰολεῦσιν ἄητον.

Ἄητο θυμὸς, τουτέστιν, ἔπνει, δέδωκε δὲ τοῖς μεθ' Ὅμηρον λέγειν, τὸ θυμὸν πνέειν. γίνεται δὲ τὸ ἄητο, ὅθεν καὶ τὸ ἀεὶς ἀέντος καὶ ἄηντο, πνοὴν ἔπεμπον, ἢ μετεωρίζοντο παρὰ τῷ Ἀπολλωνίῳ.

Ἄητοι, ἀκόρεστοι, ἄπληστοι.

Ἄητον, πολὺ, ἀβλαβές. οἱ δὲ ὁρμὴν, καὶ τὸ καταπνεόμενον.

Ἄητον, πόρρω μὲν θέμα ἔχει, τὸ ἀῶ, ἀήσω. ἐξ οὗ καὶ ἀήτης ἐπὶ ἀνέμου. καὶ ἄημα, ὡς παρὰ Σοφοκλεῖ. καὶ ἀΐτης δὲ διὰ τοῦ ι ὁ φίλος. ἢ κατὰ τοὺς παλαιοὺς ὁ ἐρώμενος, διὰ τὸ οἷον πνεῖσθαι διὰ φιλίαν. διὸ καὶ εἴσπνιλος ὁ αὐτὸς παρὰ Λάκωσι. προσεχὲς δὲ θέμα τοῦ αὐτοῦ, ἄημι. ἐξ οὗ καὶ τὸ, ἀνέμων μένος ὑγρὸν ἀέντων. ἐκτέταται δὲ διὰ τὸ μέτρον ἡ παραλήγουσα τοῦ ἄητον. τὸ γὰρ ἁπλοῦν δυϊκὸν ἄετον, ὡς τίθετον.

Ἄητον θάρσος, τὸ πολὺ καὶ γοργόν. ἀπὸ τοῦ ἄω τὸ πνέω καὶ προθυμοῦμαι. ἢ ἀπὸ τοῦ ἄημι.

Ἀήτους, μεγάλας. Αἰσχύλος Ἀθάμαντι.

ΤΟ' Α' ΜΕΤΑ' ΤΟΥ' Θ'.

Ἀθαμαρεῖς, αὐθάδεις, ὑπερόπται, ἀκριβεῖς.

Ἄθαλδον, ἐτύγχανον. τινὲς, ἀθάδανον.

* Ἀθάλασσος οἶνος, ὁ ἀνεπίμικτος θαλάσσῃ. οὐ ἐναντίον ὁ θαλασσίτης, ἢ τεθαλασσωμένος.

Ἀθαλάττωτος καὶ Ἀσαλαμίνιος, ταυτόν. ὁ μὴ ναυτικὸς, καὶ ἄπειρος θαλαττίου πλοῦ.

* Ἀθαλλὴς, μεμαραμμένος.

Ἀθαμαντίδης, πατρωνυμικόν.

Ἀθαμάντιον πεδίον, οὕτω καλούμενον περὶ τὴν Ἄλλον. κατῴκησε γὰρ Ἀθάμας ἐν Ἄλῳ τῇ νήσῳ, τῆς βασιλείας ἐξελθών. Ἱστορία.

Ἀθάμας, ὄνομα κύριον. ὃς ἐκ νεφέλης δύο παῖδας ἔσχεν, Φρίξον καὶ Ἕλλην. ἀφεὶς οὖν τὴν νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ νεφέλη, ἀπέπτη εἰς οὐρανόν, καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλασε. πέπομφεν οὖν θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας, ἔρεσθαι περὶ τοῦ αὐχμοῦ. ἡ δὲ γυνὴ αὐτοῦ θέλουσα Φρίξον καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι, ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ πυθία, εἰ μὴ τοὺς τῆς νεφέλης θύσαιεν παῖδας. ἀκούσας οὖν Ἀθάμας, μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν κριὸς ἀνθρωπίνῃ φωνῇ χρησάμενος, λέγει Φρίξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φυγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν, ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ. ὅθεν καὶ ἀπ' ἐκείνης, Ἑλλήσποντος κέκληται. Φρίξος δὲ ἐποχούμενος τῷ κριῷ, εἰς τὴν τῶν Κόλχων γῆν περισώζεται. ἔνθα καὶ τὸν κριὸν ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει, ἢ τῷ Ἑρμῇ. καὶ κατοικήσας αὐτόθι, τοὔνομα κατέλειπε τῷ τόπῳ. ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Ἀθάμαντα δὲ ἡ νεφέλη, δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε. προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενος, ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε. Ἄλλως, ἐν Ἀθάμαντι Σοφοκλέους, ὑπόκειται ἀθάμας στεφανηφορῶν, ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενος περὶ Φρίξον. Ἄλλως. τοῦτο πρὸς ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε, τὸν Ἀθάμαντα ἐστεφανωμένον, καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενον. μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, παραγενόμενον Ἡρακλέα, καὶ τοῦ θανάτου ῥυόμενον λέγοντα, ὡς σώζοιτο ὁ Φρίξος δι' ὃν ἔμελλεν ἐκεῖνον τεθνήξεσθαι.

Ἀθαμβὴς, ἄφοβος.

Ἄθαμβος, ἄφοβος, ὁ θάμβος οὐ προσεστιν.

Ἀθανάριχος, ὃς ἐβασάνισε τὸν ἅγιον Νικήταν, καὶ μέγαν μάρτυρα Χριστοῦ πεποίηκεν.

Ἀθάνατοι, τάγμα ἱππέων παρὰ Πέρσαις μυρίων ἀνδρῶν.

Ἀθάνατος, ἐπὶ ἐμψύχων. τὸ δὲ ἄφθιτος ἐπὶ ἀψύχων φιλόσοφοι τάττουσι. τὸ ἀθάνατον κυρίως, καὶ κατ' οὐσίαν καὶ κατ' ἐνέργειαν ἐστὶν ἀμετάβλητον. ὁ δὲ τὴν ἀθανασίαν ὁριζόμενος στέρησιν θανάτου, ἁμαρτάνει. οὐ γὰρ στέρησις θανάτου ἡ ἀθανασία, ἀλλ' ἐν ἕξει καὶ διαθέσει.

Ἀθάνεις, ὄνομα ἔθνους.

Ἄθαπτος, ἄκαυστος, ἢ ἄκλαυστος. θάψαι γὰρ τὸ κλαῦσαι.

Ἀθάρα, ἀττικοὶ διὰ τοῦ η, ἀθάρη. αἰολεῖς ἀθήρα. ἡ δὲ κοινὴ διὰ τοῦ α, ἀθάρα. ἔστι δὲ ἄλευρον ἑψημένον. κλίνεται δὲ παρὰ μὲν ἀττικοῖς διὰ τοῦ η ἀθάρης. οἱ δὲ κοινοὶ, διὰ τοῦ α ἀθάρας. Ἀριστοφάνης πλούτῳ, ἀλλά με ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη, ὀλίγον ἄπωθεν τῆς κεφαλῆς τοῦ γραϊδίου.

Ἀθάρην, οὐκ ἀθάρην τὴν ἑψητὴν καλοῦσι. Κράτης Ἥρωσιν, Οὐκοῦν ἔτνους χρὴ δεῦρο τρυβλίον φέρειν, καὶ τῆς ἀθάρης. ἢ ἀθάρα, ὁλόπυρος πτισσάνη πυροῦ, καὶ πολτῶδές τι.

Ἀθαρὶς, εἶδος σπέρματος.

Ἀθαρέως, ἀκριβῶς.

Ἀθάρη, πυρίνη πτισάνη.

Ἀθάρυς, ἄφθορος, ἐπὶ γυναικός. ἐπὶ δὲ σιδήρου, στερεός.

Ἀθαρίζει, ἀδικεῖ, προπηλακίζει.

Ἀθάριοι, αἱ μὴ διαπεπαρθενευμέναι. τινὲς δὲ μὴ δεδεμένοι ἄρθρῳ.

* Ἀθαρσὺς, ὁ μὴ ἔχων θάρσος, οὐ θαρσύς.

Ἀθαυμαστὶ, χωρὶς θαύματος, καὶ θαυμασμοῦ.

Ἄθε, * (ἴσως αἶθε) ἀρχῆς σημαντικὸν, ἀντὶ τοῦ εἴθε.

* Ἀθεάμων, ὁ μὴ ὢν θεατής.

Ἀθέατος, μὴ τεθεαμένος, ἀόρατος. ἢ, ὅστις οὐδὲν ἐθεάσατο. ὡς τὸ, Ὦ οἵας πομπῆς ἀθέατος ἔμεινα. καὶ ὅστις οὐ δύναται βλέπεσθαι.

Ἀθεεὶ, χωρὶς θεοῦ, χωρὶς θεοῦ γνώμης.

* Ἄθεος, ἀσεβὴς, ὁ μὴ οἰόμενος θεὸν εἶναι.

* Ἀθεότης, καὶ ἀθεία, ἀσέβεια.

* Ἀθείαστος, ὁ χωρὶς θειασμοῦ, ὁ μὴ ἐπιτεθειασμένος.

Ἀθειρὲς, τὸ ἀκριβές. καὶ ἀθηρέως ἀκριβῶς.

Ἀθειρὴς, ἤτοι ἀπειρὴς, * (ἴσως, ἀθεριής. οὕτω γὰρ ἐν τῷ Ἐτυμολ.) ἢ ὁ ἀγανθεριστικὸς, ἢ ὑπέροπτος, ἢ θαυμαστός. ἢ ὁ μὴ φροντίζων τινὸς, καὶ ὑβριστής. ἢ ὁ διὰ λαμπρότητα ἀθρούμενος.

Ἀθελβάζειν, διηθεῖν.

Ἀθελβεῖν, ἕλκειν. Νίκανδρος.

Ἀθέλβεται, διηθεῖται. * ἀντὶ τοῦ ἀθελβάζειν, ἀθελβεῖν, καὶ ἀθέλβεται, γραπτ. ἀθέλγειν, καὶ ἀθέλγεται. φασὶ γὰρ τὸν Νίκανδρον ἐξηγεῖσθαι τὴν παρ' Ἱπποκράτει φωνὴν τοῦ ἀθέλγειν ἀντὶ τοῦ ἐκπιέζειν, καὶ ἐκθλίβειν.

Ἀθέλγειν, ἀμέλγειν.

Ἀθέλγεται, διηθεῖται, διεκλύεται. παρὰ τῷ Ἱπποκράτει.

Ἀθέλγητι, θηλάζητι, ἢ θλίβητι.

* Ἄθελξις, ἑλκυσμὸς, ὁλκή. Ἱπποκράτης.

Ἀθέλιμον, ἄκοσμον, κακόν.

Ἀθέλιμνοι, κακοί.

Ἀθεμβοῦσα, ἀκολασταίνουσα.

Ἀθέμηλον, οὐδὲν ἔχουσαν, οὐδὲ θεμέλιον.

Ἀθεμέλιος, ἀκροσφαλὴς, ψεύστης.

Ἀθέμιστα, ἄδικα.

Ἀθεμιστῆσαι, παρανομῆσαι, ἀδικῆσαι.

Ἀθέμιστοι, ἄνομοι, ἄδικοι.

Ἀθεμίστων, παρανόμων, ἀδίκων.

Ἀθεμίστια ᾔδει, τουτέστιν ἄδικα ἠπίστατο.

Ἄθεσμος, ὁ παράνομος.

Ἀθέμιτον, ἄδικον, ἄνομον, πονηρὸν, ἄναρχον, ἀσεβῆ. ἢ νόμοις οὐ χρώμενον.

Ἀθέ-

Ἄθεον· ἄθεόν ἐστι τὸ μὴ τὴν ἀθανασίαν τῆς ψυχῆς πρεσβεύειν, καὶ ἀνάγειν εἰς τὸ θεοειδὲς, καὶ συνάγειν αὐτὴν πρὸς τὸ θεῖον, ἀρρήκτοις καὶ ἀλύτοις δεσμοῖς. ἢ τοὐναντίον τούτων, τὸ κατασπᾶν καὶ καθέλκειν τὸ ἐν ἡμῖν θεῖον, εἰς τὸ γηγενὲς καὶ ἀλιτήριον, καὶ γιγαντῶδες, ἢ τιτανικὸν δεσμωτήριον.

Ἀθεραπευσία, ἡ παντελὴς καταφρόνησις.

Ἀθερὲς, εἶδος σπέρματος. καὶ ἀθερὲς, ἀνόητον ἀνόσιον, ἀκριβές.

Ἀθερὴς, ὁ ἀτειρὴς σίδηρος ὅταν θερίζῃ, ἢ θεριστικὸς, ἢ ὁ διὰ λαμπρότητα ἀθρούμενος, ὀξὺς, ἢ ἐπὶ ἀσταχύων.

Ἀθερίζειν, ἄγαν καταφρονεῖν, ἀφροντιστεῖν, μέμφεσθαι, ἀποδοκιμάζειν, ἀτιμάζειν, σκυβαλίζειν. ἢ τὸ ἀπορρίπτειν, καὶ ἐξουθενοῦν. μετῆκται δὲ ἀπὸ τῶν ἀθέρων. ἡ δὲ χρῆσις τοῦ ἀθέρος παρὰ Αἰλιανῷ ἐν τῷ περὶ προνοίας. ἄχρηστοι δὲ οἱ ἀθέρες εἰς καρπὸν συγκομιζόμενοι. εἰσὶ δὲ, στάχυες ἀγεννεῖς. ἐφ᾽ οἷς αἱ σταχυολόγοι πονοῦνται, οὓς οὐκ ἀξιοῖ θερίζειν ὁ γεωργός. ἰστέον δὲ, ὅτι ἐκ τοῦ ἀθερίζειν, καὶ ἰχθὺς ἡ ἀθερίνα ἔοικε λέγεσθαι. ἀθερίζεται γάρ πως καὶ αὐτὴ διὰ τὸ εὐτελές. διὸ καὶ ἀτυχὲς ἰχθύδιον. καὶ ἀθέριζον, ἀπεδοκίμαζον.

Ἀθέριξ, τὸ εἰς τὸν στάχυν τοῦ σίτου ἄνω ὡς κέντρον.

Ἀθέριξα, ἀπεφύσησα.

Ἀθερίσαι, καθυπνῶσαι, ἀφροντιστῆσαι, ἀποδοκιμάσαι, καὶ ὀλιγορῆσαι.

Ἀθέριστος, ἀφρόντιστος.

* Ἀθερολόγος, ὁ τοὺς ἀθέρας συλλέγων, καὶ ἀθερολογεῖν, τὸ συλλέγειν.

Ἀθερώσσει, ἀγρυπνεῖ.

Ἀθεσίαν, παραβασίαν. ὡς ἐν τῷ, Ἀγωνιῶν γὰρ τὴν ἀθεσίαν τῶν Κελτῶν, καὶ τὰς ἐπιβουλὰς τὰς ἐπισειομένας. * (οὕτω Σουΐδας ἐκ τῶν τοῦ Πολυβίου βιβ. γ. τὰ δὲ λοιπὰ μέχρι τοῦ γεραίστερος παρεγγράφη καὶ παρὰ τῷ Σουΐδᾳ, καὶ ὑπὸ Βαρίνου) ὅτι Ἀθηνᾶ καὶ Ποσειδῶν ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς ἔστιν ἐκ τῷ Γεραίστερος. οἱ δὲ Ῥωμαῖοι συλλογισάμενοι τὴν τῶν Γαλατῶν ἀθεσίαν. καὶ αὖθις Πολύβιος, Ἐπικρύπτειν ἅπασι τὴν ἀθεσίαν αὐτῶν, καὶ τὴν ἀβεβαιότητα.

Ἀθεσμία, παρανομία.

Ἀθέσμιον, τὸ ἄδικον.

* Ἀθεσμόβιος, ὁ παρανόμως βιῶν.

Ἄθεσμος βλάβη, ἐφ᾽ ἣν νόμος οὐ κεῖται.

Ἄθεσμος δίκη, ἄνομος. καὶ ἀθέσμως, παρανόμως.

Ἄθετος ἐριννῦς, σκληρὰ, ἄχρηστος, ἣν οὐχ οἷόν τε ἐξιλάσασθαι.

Ἀθέσφατον, πολὺ, δυσπαρακολούθητον. καὶ ὅσον οὐδὲ θεὸς φατίσειε δι᾽ ὑπερβολὴν πλήθους.

Ἀθετεῖ, ἀτιμάζει, ῥιπτάζεται.

Ἀθετεῖν παρὰ τοῖς Ἴωσι, τὸ μὴ ποιεῖσθαι λόγον.

Ἀθετῶ, ὀβελίζω, διαγράφω, ἀνατίθεμαι.

Ἀθέτως, ἀθέσμως, ἢ συγκαταπεθειμένως. Αἰσχύλος Προμηθεῖ δεσμώτῃ.

Ἀθετεῖται, ὑβρίζεται, καταφρονεῖται.

Ἀθέτησις, ἐκβολὴ, ἀμείψις * (ἴσως, ἐξάλειψις) οὕτως ὁ Ἀπόστολος. ἀθέτησις γὰρ γίνεται, προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενές.

Ἀθεωρητὶ, χωρὶς θεωρίας.

Ἀθεώρητος, ἀθέατος.

Ἄθηλον, τὸ μὴ τεθηλακὸς παιδίον.

Ἀθήλυντον, * (κάλλιον ἀθήλυντον) σκληρὸν, ἀδάμαστον, ἀνδρῶδες.

Ἄθηλος, ἄπαστος, ἢ ὁ γάλακτος ἄγευστος.

* Ἄθηλυς, ἀνδρώδης.

Ἀθημένος, οὐδὲν ἔχων ἀμείνω, ἢ ὑπὸ ἀνέμων καταπνεόμενος. * καὶ τοῦτο ἀδόκιμον.

Ἀθηνᾶ τὸν αἴλουρον. ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα. ὡς εἴ τις διὰ τὴν γλαυκότητα, τὸν αἴλουρον τῇ Ἀθηνᾷ παρεικάσειεν. καὶ Ἀθηνᾶ κάτοχος, ὅ ἐστι συνετὸς καὶ φρονήσας τὸ δέον. Ἱστορία. Ἥρα μὲν βοηθεῖ τοῖς Ἀχαιοῖς, ὡς οὐ μόνον εἰς νόμιμον γάμον Μενελάου ἀδικηθέντος, οἷα γαμήλιος δαίμων (ἐφίσταται γὰρ αὐτὴ τῶν γάμων) ἀλλὰ καὶ διὰ τὸ βασιλικώτερον τῆς Ἑλληνικῆς ἀρχῆς. Ἥρα γὰρ ὡς πολλαχοῦ ἐρρέθη, καὶ εἰς βασιλείαν μεταλαμβάνεται. ὅθεν ἡραία ζωὴ, ἡ βασιλική. Ζεὺς δὲ μένει καθήμενος ἄνω, καθότι οὐκ ἔστι πιθανὸν τὸν αἰθέριον καὶ ὀλύμπιον Δία ἀλόγως ἐνεχθῆναι κάτω. Σημειῶσαι δὲ, ὅτι εἴπερ εἶχε πιθανεύσασθαι τὸ πλάσμα ὁ ποιητὴς, ἐποίησεν ἂν καὶ τὸν Ἀϊδονέα, καὶ τὸν Διόνυσον, καὶ τὴν Δήμητρα παρόντας τῇ μάχῃ. οὐκ ἔχει δὲ πιθανῶς τοιοῦτόν τι ποιῆσαι. ᾅδης μὲν γὰρ οὐκ ἔστιν, ὅπως πρὸς τὸ ζῆν ἐπικουρήσει, ἀπωλείᾳ χαίρων ἀνδρῶν καὶ στεναγμοῖς, κατὰ τὴν τραγῳδίαν, καὶ γόοις πλουτιζόμενος. Δήμητρα δὲ κατὰ τοὺς παλαιοὺς καὶ Διόνυσος καρποφόροι ὄντες, ἄχθονται καθάπαξ τῷ πολέμῳ, φθαρτικῷ ὄντι τῶν καρπῶν. ἔστι δὲ ὁ περὶ τούτων τῷ ποιητῇ λόγος τοιοῦτος, Βὰν δ᾽ ἴμεναι πόλεμόνδε θεοὶ δίχα θυμὸν ἔχοντες ἤγουν, διχονοοῦντες. Ἥρη μὲν μετ᾽ ἀγῶνα νεῶν, καὶ Παλλὰς Ἀθήνη, Ἠδὲ Ποσειδάων γαιήοχος, ἠδ᾽ ἐριούνης Ἑρμείας ὃς ἐπὶ φρεσὶ πευκαλίμησι. ταῖς πολλαχοῦ ῥηθείσαις κέκαστο. Ἥφαιστος δ᾽ ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων, Χωλεύων. ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί. Ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος, αὐτὰρ ἅμ᾽ αὐτῷ Φοῖβος ἀκερσεκόμης, ἠδ᾽ Ἄρτεμις ἰοχέαιρα, Λητώ τε, Ξάνθος τε, φιλομειδής τ᾽ Ἀφροδίτη. καὶ εἰσὶ μὲν οὕτω πέντε μὲν ἀχαϊκοὶ, ἓξ δὲ οἱ τῶν Τρώων. ἀγῶνα δὲ ἐνταῦθα τὴν ἄθροισιν λέγει, καὶ ὥς φασιν οἱ μεθ᾽ Ὅμηρον συναγωγήν. Ἄλλως.

Ἀθηνᾶ ἡ φρόνησις, τοῖς ἀχαιοῖς καὶ αὐτὴ συμμαχεῖ, διὰ τὸ τοῦ Ἑλληνικοῦ πολέμου δίκαιον καὶ εὔλογον. διότι φρόνησις εἷλεν ὕστερον τὴν Τροίαν, καὶ δόλος σοφός. Διὸ καὶ ὁ Ἑρμῆς αὐτοῖς ὁ λόγιος συμμαχεῖ, φρεσὶ κεκασμένος πευκαλίμαις, ἀλλὰ καὶ δόλιος. Ἥφαιστος δὲ σύμμαχος Ἑλλήνων ἐστὶ καὶ αὐτὸς, ὅτι τε πολέμιος Ἄρει κατὰ τὸν ἐν Ὀδυσσείᾳ μῦθον, καὶ ὡς φίλος τῇ Ἀθηνᾷ. ἥφαιστος γοῦν διδάσκει τέχνας ἐν τῇ Ὀδυσσείᾳ, καὶ Παλλὰς Ἀθήνη. Ποσειδῶν δὲ, τοῖς Ἀχαιοῖς συνεφάπτεται μάχης, διά τε τὴν πρὸς τὸν Λαομέδοντα μῆνιν. εἴγε θητεύσαντος εἰς ἐνιαυτὸν μισθῷ ἐπὶ ῥητῷ, ἐβιάσατο τὸν μισθὸν, ὡς ὁ ποιητὴς λέγει. ἔτι δὲ καὶ ὅτι νησιῶται οἱ πλείους τῶν Ἑλλήνων, καὶ διὰ τοῦτο οἰκεῖοι Ποσειδῶνι. καὶ ὅτι διὰ θαλάσσης πλεύσαντες, ἀτυχῶς μετῆλθον τὴν τῆς Ἑλένης ἁρπαγήν. καὶ οὗτοι μὲν συμμαχοῦσι τοῖς Ἕλλησι διὰ ταῦτα. τοῖς δὲ Τρωσὶν, ὁ μοιχὸς Ἄρης βοηθεῖ, ὡς τοιούτοις ὅμοιος (ὅ φασιν) ὁμοίοις. ὅπου γε καὶ ὁ Τρωϊκὸς πόλεμος, ἀπὸ μοιχείας ἔσχε τὴν ἀρχήν. ἔτι καὶ ὡς ἁρπαγῆς καὶ βίας δεσπόζων, καὶ ὡς οὐκ εὔλογος, ἀλλὰ ἐναντίος τῇ Ἀθηνᾷ. διὸ καὶ ἡ Ἀφροδίτη τοῖς αὐτοῖς βοηθεῖ, οἰκείως μὲν ἔχουσα πρὸς τὸν ἀλόγιστον Ἄρην, ἀπεχθομένη δὲ τῇ ἔμφρονι Ἀθηνᾷ. Ἄρτεμις τοῖς Τρωσὶν ἐπικουρεῖ, ἢ ὡς ἔφορος τῶν χορῶν. καὶ γὰρ καὶ οἱ Τρῶες χοροιτυπίαις ἄριστοι, ἢ ὡς τοξότης. ὁποῖος καὶ ὁ τοῦ πολέμου αἴτιος Ἀλέξανδρος. διὸ καὶ Ἀπόλλων ὡς τοιοῦτος συνεπικουρεῖ. ἡ δὲ Λητὼ, οἷα μήτηρ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, καὶ ὅτι νυκτὸς ἄξια ποιοῦσιν οἱ Τρῶες, καὶ λήθης, εἰς ἅπερ ἄμφω ἀλληγορεῖται ἡ Λητώ. ὁ δὲ Ξάνθος, ὡς ποταμὸς ἐγχώριος, ἐπικουρεῖ τοῖς Τρωσὶ, καὶ ὡς πρὸς Ἥφαιστον ἀξιόμαχος. καὶ οὕτω μὲν ταῦτα.

Ἀθηνᾶ, εἶδος αὐλοῦ. Μεγακλείδης.

Ἀθηνᾶ, ἡ ἐλαία. * (κάλλιον Ἀθηναῒς) καὶ Ἀθῆναι, ἄστυ.

Ἀθηνᾶς, ἢ Ἡφαίστοιο ἔργον τι λέγει ὁ Ποιητὴς, ὅταν πρὸς τῇ σεμνότητι, καὶ ὑπερβολήν τινα σημαίνειν βούληται. ὁμοίως ἄνδρα ὃν Ἥφαιστος καὶ Ἀθηνᾷ ἐδίδαξε τέχνην παντοίην, χαλκευτικὴν δηλαδὴ, καὶ χρυσοχοϊκήν. Ἥφαιστος μὲν, διὰ τὴν ἐν πυρὶ τῶν τοιούτων ἐργασίαν. Ἀθηνᾶ δὲ, διὰ τὸ ἐπιστατεῖν τοῖς χειρώναξιν, ὑπερβολικῶς ἐπαινεῖται.

Ἀθήνῃ ἄγαλμα δόρυ κρατεῖ, διὰ τὸ στερρὸν καὶ ἀνδρεῖον. ὁμοίως καὶ ἀσπίδα, διὰ τὸ πᾶσαν ἐπιβουλὴν διὰ τῆς σοφίας ἀπωθεῖσθαι. ἡ αὐτὴ γάρ ἐστι τῷ νῷ. καὶ περικεφαλαίαν διδόασιν αὐτῇ, διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθέατον. καὶ ἐλαίαν, ὡς καθαρωτάτης οὐσίας οὔσης. φωτὸς γὰρ ὕλη ἡ ἐλαία. καὶ Γοργόνα διδόασιν ἐπὶ τοῦ στήθους αὐτῇ, διὰ τὸ ταχὺ τοῦ νοῦ.

Ἀθηναία, ἡ Θεά. ἡ δὲ γυνὴ, ἀστή. * (ἄλ. ἀττικὴ) καὶ Ἀθηναίαν τὴν θεὸν ἔλεγον. διὸ τὴν πολῖτιν, οὐκ ἀθηναίαν αἰδοῖ τῆς πολιούχου θεᾶς, ἥτις Ἀθηνᾶ καὶ Ἀθηναία ποιητικῶς ἐλέγετο, ἀλλὰ ἀττικὴν γυναῖκα, καὶ ἀτθίδα, ἢ ἀπὸ τῶν Ἀθηνῶν, ἢ ἀττικὰς, ὥς φησι Μεγακλείδης. ἀλλὰ φαίνονται καὶ τὴν πολῖτιν Ἀθηναίαν λέγοντες πανταχοῦ, ὡς παρὰ τῷ Ἀριστοφάνει.

Ἀθήναζε, εἰς Ἀθήνας.

Ἀθῆναι πόλις.

Ἀθῆναι καὶ Θῆβαι, πληθυντικῶς γράφεται ἀεὶ παρ᾽ ἀττικοῖς. ἑνικῶς δὲ οὐδέποτε. ὡσαύτως καὶ Κλαζομεναὶ, καὶ Σάρδεις, καὶ ἑτέρων ὀνόματα πόλεων.

Ἀθηναῖος, ὁ πολίτης τῆς ἀττικῆς, ἢ ὁ ἀπὸ τῶν Ἀθηνῶν. Ἀττικὸς δὲ, ὁ ἀττικίζων.

Ἀθήναιον, τὸ ἱερὸν Ἀθηνᾶς. ὡς Ἀπολλώνιον, τὸ τοῦ Ἀπόλλωνος. οὕτω καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. καὶ Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος. καὶ Διονύσιον, καὶ Δημήτριον, καὶ πάντα τὰ τοιαῦτα ὁμωνύμως τοῖς παρωνυμικοῖς. τὸ δὲ Ποσειδάνειον, δῆλον ὅτι Δωριέων ἐστίν.

Ἀθήναιος Ναυκρατίτης, γραμματικός. γέγονε δὲ, ἐπὶ τῶν χρόνων Μάρκου. ἔγραψε βιβλίον ὄνομα δειπνοσοφισταί. ἐν ᾧ μνημονεύει, ὅσοι τῶν παλαιῶν μεγαλοψύχως ἔδοξαν ἑστιᾶν.

Ἀθηναῒς, ἡ ἐλαία. καὶ Ἀθηναία, ἡ ἀγριέλαια.

Ἀθηναίων δυσβουλία, ἐπὶ τῶν παρ᾽ ἐλπίδας καὶ ἀναξίως εὐτυχούντων. τὸ γὰρ κακῶς βουλεύεσθαι Ἀθηναίοις ἤσκητο. τὴν δὲ Ἀθηνᾶν παρασχεῖν τὸ κακῶς βουλευθὲν ἀποκλῖναι καλῶς. καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον.

Ἀθήνηθεν, ἐξ Ἀθηνῶν.

Ἀθήνησιν, ἐν ταῖς Ἀθήναις. Ἀθήνη δὲ πόλις τῆς Λακωνικῆς.

Ἀθήνη, μυθικῶς μὲν Διὸς θυγάτηρ, οἱονεὶ ἀθήλη τις οὖσα, ὡς μὴ θηλάσασα. ὤδινε μέν φασιν αὐτὴν ἡ κεφαλὴ τοῦ Διός. ἐφίσταται δὲ προσκληθεὶς Ἥφαιστος, καὶ πλήττει πελέκει τὴν κεφαλήν. καὶ τὸ ἐγκυμονούμενον ἐξέθορε, κόρη ἔνοπλος καὶ αὐτή. ἐκ τοῦ μὴ θηλάσαι τὴν κλῆσιν ἔλαχεν. θῶ γὰρ θήσω, τὸ θηλάζω. ὡς τὸ, ἐπηετανὸν γάλα θῆσθαι. ἐξ οὗ καὶ ἀρνίον γαλαθηνὸν, καὶ τιθηνὸς ὁ τροφός. ἡ καὶ θηλαμὼν, παρὰ Λυκόφρονι. ἔτι δὲ καὶ ἡ θηλὴ καὶ τὸ θηλάζειν, καὶ ἡ τίτθη. ὡς οἷον ἐπιπάσσουσα τῷ βρέφει. τουτέστι, λάβε θήλασσον, κατὰ τοὺς παλαιούς. ἀλληγορικῶς δὲ, ὡς ἐν ὀλίγῳ πολλὰ συνελεῖν. Ἀθήνη ἡ φρόνησις, ἡ κατὰ στέρησιν καὶ αὐτὴ τῆς θήλης διὰ τὸ τέλειον. ἢ παρὰ τὸ ἀθρεῖν, τὸ βλέπειν, ἀθρήνη τις οὖσα, ὡς τῶν μελλόντων καὶ δεόντων προβλεπτική. ἐκ Διὸς δὲ, διὰ τὸ ἐκ τοῦ νοός. Ζεὺς γὰρ καὶ ὁ νοῦς. ἐκ κεφαλῆς, διὰ τὸ ἐκεῖ λογιστικόν. οὗ προβολὴ ἡ φρόνησις. Ἥφαιστος δὲ αὐτὴν ἐκφαίνει, διότι αὐτὸς μὲν εἰς πῦρ ἀλληγορεῖται, τὸ καὶ φωσφοροῦν καὶ ἐκκαῖον, καὶ ἄνω φερόμενον. καὶ ἡ φρόνησις φωσφόρος τέ ἐστι. καὶ τὸ δραστήριον, πρηστήριον ἔχει. καὶ οὐδὲν ταπεινὸν φρονεῖ, ἀλλὰ ὑποθορεῖται, καὶ ἄνω φέρεται. τέσσαρες δὲ εἰσὶν

Digitized by Google

εὐθεῖαι τῆς Ἀθηνᾶς. πρωτότυπος μὲν ἡ Ἀθηνή, ὡς εἴρηται, κατὰ συστολὴν Ἀθάνα γέγονε. παρά τε Σοφοκλεῖ κεῖται, καὶ ἑτέροις. ὥσπερ δὲ τὴν ἅμαξαν κατὰ παραγωγὴν ἁμαξαίαν φασί, καὶ τὴν αὐλὴν αὐλαίαν, καὶ τὴν προνομὴν προνομαίαν, καὶ τὴν ὑστέραν ὑστεραίαν, καὶ τὴν σελήνην σεληναίαν, οὕτω καὶ τὴν Ἀθηνῆν Ἀθηναίαν φασίν, ἄλλοι τε, καὶ ὁ Ποιητής. οἱ μέν τοι ὕστερον ἀποβάλλοντες τὸ ι τῆς αι διφθόγγου, καὶ Ἀθηναίαν ποιοῦντες, ὥσπερ τὴν ἐλαίαν ἐλάαν Ἀττικῶς. οἷον, τίς τὰς ἐλάας παρέξαγεν. Ἀθηνάαν μὲν οὔ φασι, τὰ δὲ δύο αα κιρνῶντες, λέγουσιν Ἀθηνᾶν. διὸ καὶ ἐκτείνεται ἡ ταύτης εὐθεῖα, καὶ ἀεὶ περισπᾶται, διὰ τὴν τῶν δύο αα κρᾶσιν.

Ἀθηνόδωρος, ὄνομα κύριον.

Ἀθήρ, ἐπιδορατὶς μεταφορικῶς. Αἰσχύλος Νηρεῖ.

Ἀθηρά, βρῶμα διὰ πυρῶν καὶ γάλακτος ἡψημένον παρ' Αἰγυπτίοις. * κάλλιον παροξύνεται. φασὶ γὰρ Αἰολικῶς οὕτω λέγεσθαι, ἀντὶ τοῦ ἀθάρη, μεταθέσει γραμμάτων.

Ἀθηρηλοιγόν, ὅ ἐστι πτύον, λικμητήριον, τὸ τῶν ἀθέρων ὀλοθρευτικόν. ἐξ ὧν καὶ τὸ ἀθερίζειν. ἐν γὰρ τῷ λικμᾶσθαι, σῖτος μὲν ἀποτίθεται, καὶ ἄχυρον ἀμελεῖται. ἀθέρες δὲ οὐδαμοῦ εἰσίν, ἅτε λεπτυνθέντες καὶ ῥιπισθέντες ἀνέμοις. καὶ ἀθέρες ὥς ἔνιοί φασι, τὰ λεπτότατα τῶν ἀσταχύων μέρη. ὃ καὶ ἀθηρολοὸν λέγεται, τὸ τῶν ἀθέρων ὀλοθρευτικόν. ἢ ἀθηρολοιγόν, τὸ πτύον. τὸ τοὺς ἀθέρας διαλέγον καὶ διαχωρίζον. καὶ ἀθερολόγον τὸ αὐτό. γράφεται δὲ κατὰ πλεονασμὸν τοῦ ι. ὑφ' ἓν δὲ καὶ ὀξυτόνως ἀναγνωστέον. οὕτως Ὠρίων.

Ἀθηρόβρωτον, ὄργανον, τὴν τορύνην, ἢ τὴν ἀθάραν ἀνακινοῦσι. Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι. * Εὐστάθιος βούλεται τὸ παρὰ Σοφοκλ. ἀθηρόβρωτον εἶναι τὸ παρ' Ὁμήρῳ ἀθηρηλοιγόν.

Ἄθηρον, τὸ ἀθήρατον, ἀθήρευτον.

Ἀθηρονόμοι, οἱ ὡς ἔτυχε τοῖς νόμοις χρώμενοι. * γραπτέον, ἀθυρονόμοι.

Ἀθησαύριστον, ἀνεπιτήδειον εἰς ἀπόθεσιν.

Ἀθήτευτος, ὁ μηδενὶ ἐπὶ μισθῷ δουλεύων.

Ἀθίγανος, ὁ αἱρετικὸς * ἀδόκιμον.

Ἀθιγῆ, ἀνέπαφον.

Ἀθιγής, ἄψαυστος.

Ἀθίγγανος, ὁ μὴ θέλων τινὶ προσεγγίσαι, ἀπὸ τοῦ θίγω. οἱ γὰρ τὴν αἵρεσιν ταύτην ἔχοντες, οὐδὲν παρ' ἄλλου λαμβάνουσιν. * οὕτως ἐν τῷ Ἐτυμολ. ἀλλ' ἀσύμβατον. κάλλιον δέ, ὅτι παρὰ τὸ θιγγάνω. καὶ ὅτι δηλοῖ τὸν ἀλλότριον τοῦ ἐφάπτεσθαί τινος.

Ἄθικτον, ἀψηλάφητον, ἀπρόσψαυστον, καθαρόν, ἀμόλυντον. καὶ παρθένος ἄθικτος.

Ἀθίκτορας, ἀνεπάφους, παρθένους, ἀνάνδρους.

Ἀθίλοι, κόγχου θαλασσίου εἶδος.

Ἄθινα, ξύλα κατακαύσιμα.

Ἆθλα, τὰ ἔπαθλα, ἀγῶνες.

Ἀθλεῖν, ἀγωνίζεσθαι, κακοπαθεῖν.

Ἀθλεύεται, διηθεῖται.

Ἀθλεύων, κοπιῶν, ἢ τὸν μοχλὸν ἀφαιρούμενος.

Ἀθλέω, ὁ μέλλων ἀθλήσω, ὁ ἀόριστος ἤθλησα, ἡ μετοχὴ ὁ ἀθλήσας. καὶ ἆθλος, ὁ ἀγών.

Ἀθλῆσαι, κοπιάσαι, κακοπαθῆσαι, καμεῖν, ἀγωνίσασθαι.

Ἀθλήσαντες, κεῖται ἐνίοτε ἀντὶ τοῦ κακοπαθήσαντες. ἔστι γὰρ ὅτε τὸ ἆθλον, τὸν μὴ ἐθελητὸν κόπον σημαίνει. ὡς δηλοῖ καὶ τό, οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων.

Ἀθλητάς, ἀγωνιστάς, ἀσκητάς.

Ἀθλητής, ὁ ἀγωνιστής, ὁ τοὺς ἄθλους ἐξησκηκώς.

Ἄθλιος, ταλαίπωρος. ἄθλιος κάλλιον ἢ ἀτυχής. ἄθλιος ὁ τληπαθής, ὁ πολλὰ δυσχερῆ ὑφιστάμενος. ὃς καὶ σχέτλιος λέγεται. καὶ ἄθλιος φύσει, ἄνθρωπος. καὶ ἄθλιος, ὁ ἐν ἀγωνίᾳ καὶ θρήνῳ ὤν, καὶ μηδ' ὅλως ἄνεσιν ἔχων.

Ἀθλιότης, ἡ ἐν τοῖς λυπηροῖς καὶ ἀβουλήτοις πάθεσι ταλαιπωρία.

Ἀθλίων, ἀτίμων, ἐπιπόνων.

Ἀθλιώτατα διάγει, ἀντὶ τοῦ δυστυχῶς.

Ἀθλοθεσία, ἡ ἀνταπόδοσις.

Ἀθλοθετῆρα, ἀγωνοθέτην.

Ἀθλοθέτης, ἀγωνοθέτης.

Ἀθροίζοι, συνάγει.

Ἆθλον, καὶ βραβεῖον, τὸ αὐτό. ὡς λῆμμα καὶ δῶρον, τὸ τῷ καρτεροῦντι καὶ νικῶντι διδόμενον. οἷον, Νηῶν δ' ἔκφερε ἄεθλα. ὅπερ ἀπὸ μὲν τῶν διδόντων αὐτὸ βραβευτῶν, βραβεῖον λέγεται. ἀπὸ δὲ τῶν ἀθλούντων, ἆθλον. ὡς πάθος καὶ πρᾶγμα, ἐνίοτε ἐπὶ τοῦ αὐτοῦ, ἀπὸ μὲν τοῦ ποιοῦντος, πρᾶγμα. ἀπὸ δὲ τοῦ πάσχοντος, πάθος. καὶ ἡ στρέβλωσις καὶ ἡ πληγή, καὶ ὅσα τοιαῦτα ὁμοίως. γίνεται δὲ ἀπὸ τοῦ τλῶ τὸ καρτερῶ. ἢ ἀπὸ τοῦ ἐθέλω, ἔθελον, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, αέθελον, τὸ πάνυ ζητούμενον. καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ε, ἆθλον. καὶ ἆθλος τὸ ἀρσενικόν, τὸ ἀγώνισμα, καὶ ὁ πόνος. διὸ καὶ περισπῶνται. ἢ καὶ ἄλλως.

Ἆθλον οὐδετέρως, τὸ διδόμενον γέρας, τῷ νικήσαντι τὸν ἀγῶνα. καὶ ἔπαθλον, τὸ ἐπὶ τῷ ἄθλῳ δηλονότι, καὶ τῷ ἀγῶνι διδόμενον, ὃ καὶ βραβεῖον λέγεται. ἢ ἆθλον, ἀγώνισμα, ἔργον, * (κάλλιον. ἢ ἆθλον, ἔπαθλον, ἡ τιμή, καὶ τὰ ἑξῆς) ἔπαθλον, ἡ τιμή, ὁ μισθός, καὶ τὸ τοῦ ἀγῶνος βραβεῖον. καὶ ἆθλος ἀρσενικῶς τὸ ἔργον, καὶ τὸ ἀγώνισμα, καὶ τὸ ἔπαθλον. * (ἆθλος μὲν τὸ ἀγώνισμα, ἀλλ' οὐ τὸ ἔπαθλον) διαφέρει δὲ τοῦτο τοῦ οὐδετέρου, ὅτι τὸ μὲν οὐδέτερον, δηλοῖ κυρίως τὸ ἔπαθλον, τοῦτο δέ, τὸν ἀγῶνα.

Ἄθλιος, ἄφωνος.

Ἀθλοφόρος, νικητής, ἀγωνιστής.

Ἀθλοφόροι ἵπποι, οἱ νικηταί. καὶ διαλελυμένως φάναι κατὰ τὸν ποιητήν, ὅ ἐστι κατὰ πρωτοτυπίαν, οἳ ἄεθλα ποσὶν ἤραντο. ταὐτὸ δὲ εἰπεῖν, ἔφερον.

Ἀθμονάζειν, τὸ εἰς δῆμον ἀφικνεῖσθαι τῆς Ἀττικῆς.

Ἀθμονεύς, φυλὴ τῆς Ἀτθίδος Ἀθηνᾶς.

Ἀθμωνία, καὶ Ἀθμών, δῆμός ἐστι φυλῆς τῆς Κεκροπίδος. ἀφ' οὗ ὁ δημότης, Ἀθμωνεύς.

Ἀθμωνίς, ὄνομα κύριον.

* Ἄθολος. ὁ ἄνευ θόλου.

Ἀθόλωτος, ὁ ἀτάραχος.

Ἀθόλωτον, καθαρόν.

* Ἀθορύβητος, ὁ πρᾶος. οὗ ἐναντίον, ὁ εὐθορύβητος.

* Ἀθόρυβος, ὁ μὴ ἔχων θόρυβον, ἢ ὁ μὴ θορυβοποιός.

Ἄθουρον, ἄπληστον.

Ἄθοω, προπαροξύνουσιν οἱ παλαιοί, τὸν φυσικὸν τόνον φυλάσσοντες. γέγονε γὰρ ἐκ τοῦ ἄθω, πλεονάσαντος ἐν τῇ παραληγούσῃ τοῦ ο μικροῦ. ὡς ἐν τῷ φῶς φόως. καὶ Κῶς ἡ νῆσος, Κόως. οἷον, Κόων εὐναιομένην.

* Ἀθραγένη, ὄνομα δένδρου παρὰ Θεοφράστῳ.

Ἄθραι, ἀπειλαί, καὶ ἀναστάσεις.

Ἄθρακτοι, ἀτάρακτοι.

Ἀθράνευτον, ἀστράτευτον. Εὐριπίδης Οἰνεῖ.

Ἄθρας, ἅρμα Ῥόδιοι.

Ἄθραυστα, ἀπρόσκοπα. Εὐριπίδης, Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι.

Ἄθραυστον, ἰσχυρόν, ὑγιῆ, ἀβλαβῆ, ἄκλαστον.

Ἀθράως, ἁπλῶς.

Ἄθρει, βλέπε, ὅρα, νόει, ἴδε, θεώρησον, σκόπει.

Ἀθρεῖν, τὸ ἄγαν βλέπειν. θρῶ ἀπὸ τοῦ δρῶ τὸ βλέπω γίνεσθαι δοκεῖ, καὶ προσθήκῃ τοῦ α ἐπιτατικοῦ μορίου, γίνεται ἀδρῶ, τὸ ἄγαν βλέπω. καὶ κατὰ συγγένειαν τοῦ δ πρὸς τὸ θ, ἀθρῶ. καθὰ καὶ ἐκ τοῦ μήδω γίνεται ὁ προμηθής. καὶ ἐκ τοῦ οὐδενός, τὸ ἐξουθενῶ, καὶ ἄλλα ὁμοίως. δρῶ δέ, ἐκ τοῦ διορῶ συγκέκοπται. ἢ θρεῖν, ἐκ τοῦ θεωρεῖν. καὶ κατ' ἐπίτασιν, ἀθρεῖν. μετὰ ἐπιτάσεως θεωρεῖν, περισκοπεῖν.

Ἀθρέω, ἀθρήσω, αἰτιατικῇ συντάσσεται. οἷον, ἄγε δὴ ἀθρήσω τουτονὶ ὅτι δρᾷ.

Ἄθρεκτοι, ἀτάρακτοι.

Ἀθρείοντες, ἰδεῖν ἐπιθυμοῦντες.

Ἀθρέμβολα, ὄργανα τιμωρητικά, ἄρθροις ὡς ἔοικεν ἐμβαλλόμενα, καὶ διασπῶντα καὶ πλήττοντα. οἶμαι ὅτι ἀρθρέμβολα δεῖ γράφειν.

Ἀθρήματα, δῶρα τὰ πεμπόμενα παρὰ τῶν συγγενῶν ταῖς γαμουμέναις παρθένοις, παρὰ Λεσβίοις. * παρὰ Σουΐδᾳ γραφ. ἀθρείματα. κάλλιον δὲ ἀθρήματα παρὰ τὸ ἀθρεῖν. ἐπέμποντο γὰρ ταῖς γεγαμημέναις, ὅταν τὸ πρῶτον τοῖς συγγενέσιν ἐμφανεῖς ἐγίνοντο. τὰ δὲ αὐτά, καὶ ὀπτήρια ἀπὸ τοῦ ὄπτεσθαι.

Ἀθρήνη, εἶδος μελίσσης.

Ἀθρηνί, χωρὶς θρήνου.

Ἀθρήνιον, ὁ Μυσῶν τόπος.

Ἀθρῆσαι, ἀτενίσαι, ἰδεῖν. καὶ ἀθρήσας, ἰδών.

Ἀθρήσειεν, σκοπήσειεν, ἀπίδοι. καὶ ἄθρησον, θεώρησον. * καὶ ἀθρητέον, θεωρητέον.

Ἀθριβίς, πόλις Αἰγύπτου.

* Ἀθριπήδεστος, οὐ θριπήδεστος, οὐ θριπόβρωτος, ὑπὸ θριπῶν μὴ βιβρωσκόμενος.

Ἀθρόα, ὁμοῦ πάντα.

Ἀθροίζει, συνάγει. Τούτους ἀθροίζοντες, ἀλλήλους παρεκρότουν. Ἰώσηπος.

Ἀθρόοι, ἀντὶ τοῦ ὁμοῦ. καὶ ἀντὶ τοῦ αἰφνίδιοι, καὶ ἀπροσδόκητοι. καὶ ἀθρόοι καταρρέοντες, ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα, καὶ δασύνειν τὴν πρώτην συλλαβὴν Ἀττικῶς. καταρρέοντες δέ, ἀντὶ κατερχόμενοι. ἡ μεταφορά, ἀπὸ τῶν ποταμίων ῥευμάτων. Ὅμηρος, Τάδ' ἐπέρρεεν ἔθνεα πεζῶν.

Ἀθρόως, καὶ ἀθρόον, ἀντὶ τοῦ ὁμοῦ, ἐξαίφνης.

Ἀθροίζω, τὸ συναγείρω. ἐκ τοῦ θροῦς ἢ θρόος, ὃ σημαίνει τὸν θόρυβον, γίνεται θροίζω. καὶ κατὰ συναίρεσιν, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀθροίζω.

Ἄθροισμα, πλῆθος, σύναξις, σώρευμα.

Ἀθρόον, πολύ, ἀκέραιον. Λάκωνες.

Ἀθρόους, ὃ καὶ ἄθρους λέγουσι δισυλλάβως. ἀντὶ τοῦ εἰς ἓν συνηγμένους. ὁμοῦ, ἀθρόως. ὡς τό, Τοιαῦτα μὲν ἐποίκιλλεν, ἄθρους δεδισσόμενος.

Ἀθρόοι, καὶ ἀθρόα, καὶ τὸ ἀθρόον. πρὸς διάφορον σημασίαν διαφόρως οἱ Ἀττικοὶ ἐπνευμάτιζον. ἐπὶ μὲν τοῦ αἰφνιδίου ψιλοῦντες αὐτό, διὰ τὴν τοῦ α στέρησιν. οἱονεί, τὸ δίχα θρου, τουτέστι θορύβου. ἐπὶ δὲ τοῦ ὁμοῦ δασύνοντες, διὰ τὴν ἄθροισιν, ἀθρόον τὸ ἅμα θρῶ, ἢ τὸ θορυβῶ, ἢ τὸ ἅμα θορόν, ἤγουν πηδῆσαν. τὸ δὲ ἀθροιστικὸν α δασύνεται. τὸ γοῦν ἀθρόοι ἦσαν, καὶ ἀθρόα πάντ' ἀπέτισεν, ἐδασύνετο Ἀττικῶς τούτῳ τῷ λόγῳ, διὰ τὴν ἀθροιστικὴν σημασίαν. οἱ δὲ νῦν, ὅπως ἂν ἔχοι ψιλοῦσιν αὐτὰ διὰ τὸ πρὸ δασέος κεῖσθαι τὸ α. οἱ δ' αὐτοὶ Ἀττικοὶ καὶ τὸ αὔω ἐπὶ μὲν τοῦ φαίνω ἐψίλουν. ἐξ οὗ καὶ ἠὼς ἡ ἡμέρα. ἐπὶ δὲ τοῦ ξηραίνω, ἐδάσυνον. ἐξ οὗ καὶ τὸ ἀπαφαυάνθην παρὰ τῷ Κωμικῷ ἤτοι ἀπεξηράνθην. καὶ τὸ εἴργω γὰρ ἐπὶ μὲν τοῦ κωλύω, ἐψίλουν. καὶ δῆλον ἐκ τοῦ ἀπεῖρξεν. ἐπὶ δὲ τοῦ ἐγκλείω, ἐδάσυνον ὡς δηλοῖ τὸ καθεῖρξεν.

Ἀθρόως, ταχέως, αἰφνιδίως, σφοδρῶς, ἀφώνως, συνηγμένως, ὁμοῦ.

Ἄθρυπτος, ἀνδρώδης, μὴ βλακεύουσα, μηδὲ μαλακιζομένη, μηδὲ χαυνουμένη. Δαμάσκιος, τὴν γὰρ σοφὴν ἐκληρώσατο μετρίαν τινὰ καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ

πε-

Digitized by Google

πενίαν, οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μουσικὴν καὶ τὸν Δώριον τρόπον, ὡς ἀληθῶς ἡρμοσμένην.

Ἀθυμία, λύπη. ἢ τῶν καταθυμίων ἀβούλητος στέρησις.

Ἄθυμος, ἀντὶ τοῦ ἀθυμήτως. Πλάτων Πολιτείας πέμπτῳ. ἤγουν, ὁ λελυπημένος. Οἱ δὲ στρατιῶται καίτοι ἄθυμοι δοκοῦντες, καὶ τὰ σώματα πονηθέντες, ἐν τῇ προτέρᾳ μάχῃ παρεβάλοντο καὶ ἐνίκησαν. ἀντὶ τοῦ, τὴν ψυχὴν κακοί.

Ἀθυμότερος, ἀψυχότερος, κακοψυχότερος.

Ἀθυμῶ ἀμεταβάτως. Οἴμ᾽ ὡς ἀθυμῶ, λυποῦμαι.

Ἀθὺρ, ὁ μήν. καὶ τὴν Ἀφροδίτην Αἰγύπτιοι καλοῦσιν ἀθώρ. καὶ μῆνά γε τὸν τρίτον τοῦ ἔτους ἐπώνυμον ταύτῃ πεποιήκασιν. οὕτως Ὠρείων. καὶ ἀθὺρ ὁ βοῦς παρὰ Αἰγυπτίοις.

Ἀθύρειν, τὸ ποιεῖν ἀθύρματα. κυρία λέξις ἐπὶ παίδων. ἔστι δὲ ἀθύρειν τὸ ἄνετα βαίνειν, ἐκτρέχοντα τοῦ καθήκοντος. ὡς οἷα περὶ θύρας ὅ φασιν ἥκοντα, ἢ μὴ εἰδότα θύραν. ὅπερ ἡ κοινὴ γλῶσσα ἐκθυρίζειν φησίν. οὐ τὸ ἀνάπαλιν, ἔσω κιγκλίδων μένειν καὶ θύρας. καὶ ἀθύρει, παίζει, ῥαθυμεῖ.

Ἄθυρμα, κάλλιον ἢ παίγνιον. εὕρηται δὲ παρὰ Πλάτωνι, ἀθυρμάτιον.

Ἀθυρεύεσθαι, παίζειν, μιγνύειν, σκιρτᾶν.

Ἀθύρματα. Ὅμηρος, Μυρία ἄγοντες ἀθύρματα. τουτέστι, κόσμια. φύσει μὲν ἀθύρματα, τὰ ταῖς γυναιξὶ σπουδαῖα. ὁποῖος ὁ ῥηθησόμενος χρυσὸς ὅρμος. κατὰ δὲ τοὺς παλαιοὺς, παίγνια. σκιρτήματα. παρὰ τὸ ἄγαν θύειν, ὅ ἐστιν ὁρμᾶν, κατὰ πρόσθεσιν τοῦ ρ. ὁμοίως τῷ, ἄϊδες, ἄϊδρες.

• Ἀθύρμιον, παίγνιον. Σουίδ.

Ἀθυρογλωττία, ἡ φλυαρία.

Ἀθυρόγλωσσος, βλάσφημος, φλύαρος, ἀθυρόστομος. λέγεται παρὰ τὸ θύραν μὴ ἐπικεῖσθαί φασι τῇ γλώσσῃ. ἢ παρὰ τὸ ἀθύρειν ἤγουν ἀδιακρίτως ὁμιλεῖν. ὃ καὶ αὐτὸ, ἤγουν τὸ ἀθύρειν στέρησιν θύρας τῆς κατὰ νοῦν σημαίνει.

Ἀθυρόγλωττον. καὶ καθ᾽ Ὅμηρον εἰπεῖν ἀκριτόμυθον, καὶ κατὰ τὸν Κωμικὸν φάναι, ἀπύλωτον ἔχειν στόμα.

Ἀθυρογλωττία, ἡ ἀχαλίνωτος γλῶσσα.

Ἀθυρονόμοι, οἱ ὡς ἔτυχε τοῖς νόμοις χρώμενοι.

Ἀθύσσει, μιγνύει, ῥαπίζει.

Ἀθυροστομεῖν μὴ εἴπῃς, ἀλλὰ λοιδορεῖν.

Ἀθύρω, τὸ παίζω ἀμεταβάτως. Πλάτων, Κεναῖς χερσὶν οὐκ ᾠήθη δεῖν ἀθύρειν.

Ἀθύρωτον στόμα. οὕτως ἀθύρωτον, οὐκ ἀπύλωτον. Ἀριστοφάνης ἐν Βατράχοις, καὶ Φρύνιχος. οἱ δὲ γράφουσιν ἀπύλωτον ἀντὶ τοῦ ἀνεῳγμένον, καὶ πύλην μὴ ἔχον.

• Ἄθυτον, τὸ μὴ τεθυμένον, τὸ μὴ σεπτόν. Φίλων. ἄθυτοι θυσίαι, καὶ ἀνίεροι ἱερουργίαι. καὶ ἄθυτος ἐνεργητικῶς, ὁ μὴ θύσας. Ξενοφῶν. ἄθυτος ἀπῆλθεν.

Ἀθωνὶς, πόλις.

Ἀθώπευτον, ἀκολάκευτον, ἄσπλαγχνον. ἐν ἐπιγράμματι, Θηρὸς ἀθωπεύτου Πανὶ καθῆψε δέρας: περὶ κάπρου φησὶ τοῦτο. * παρ᾽ Ἡσυχίῳ γράφ. ἀθώπευστον, καὶ ἀκολάκευστον.

Ἀθῴου Διός. Διὸς ἱερὸν ἐν ἄκρῳ Ἄθῳ τῷ ὄρει, ἀθῴου καλουμένου.

Ἀθῷος, ἀζήμιος, ἀναίτιος, ἀπὸ τοῦ θῶ τοῦ σημαίνοντος τὸ καταβάλλω, γίνεται θωὴ, ὅ ἐστι ζημία. ὁ γὰρ ζημιούμενος, καταβάλλεταί τι. καὶ ἀθώωτος, ἀζημίωτος.

• Ἀθώρηκτος, μὴ μεθύων. παρὰ τὸ μὴ θωρήσσεσθαι. οὕτω Γαληνὸς ἐν τῷ Ἱπποκρατ. λεξικῷ.

Ἄθως, ὄρος Θρᾴκης ὑψηλότατον. ὃ καὶ ἄθων, σὺν τῷ ν λέγουσιν.

Ἄθως σκιάζει νῶτα Λημνίας βοός. ὠνόμασται δὲ ἀπό τινος γίγαντος Ἄθω, ὃς ἦν Ποσειδῶνος καὶ Ῥοδόπης τῆς Στρύμονος. ἀπὸ τῆς μητρὸς οὖν τῆς Θρᾴκης τὸ ὄρος. ἀπὸ δὲ τοῦ υἱοῦ, τὸ πέλαγος ἐπωνόμασται.

Ἀθῷος, ὁ ἐπὶ τοῦ Ἄθω τοῦ ὄρους ἱδρυμένος ἀνδριὰς τοῦ Διός.

Ἀθῴωσε τοῦ ἐγκλήματος, ἀντὶ τοῦ ἀθῷον ποιῶ.

ΤΟΥ Α ΜΕΤΑ ΤΟΥ Ι.

ΑΙ, αἶ. σχετλιαστικὸν ἐπίρρημα, γενικῇ συντάσσεται. οἷον, Αἶ αἶ, τῶν νεογνῶν μου παιδίων, αἴμοι τῶν ἀγρῶν. ὁμοίως αἲ, ἀντὶ τοῦ εἴθε. οἷον, αἲ γὰρ δὴ οὕτως εἴη φίλος ὦ Μενέλαε. καὶ Αἶ αἶ, ἐπίρρημα θρηνητικὸν, ὃ πάντες οἱ νῦν βαρύνουσι. Στέφων δὲ καὶ Μελάμπους, περισπᾶν ἀξιοῦσι, λέγοντες τουτονὶ τὸν κανόνα. Κανών. Τὰ εἰς αι δίφθογγον λήγοντα ἐπιρρήματα, ἂν ἐπὶ τέλους ἔχωσι τὸν τόνον, περισπῶνται. ἰατταταῖ, παπαῖ, αἶ, καὶ τὰ ὅμοια. πλὴν τοῦ βαβαὶ, καὶ τοῦ ναὶ, ὀξυτονουμένων. ἄλλως.

Αἲ. ψιλούμενον μὲν καὶ ὀξυνόμενον, δυσφορικόν ἐστιν ἐπίρρημα. καί που καὶ μεμπτικὸν, ὡς τὸ, Αἲ τάλαν, παρὰ τῷ Κωμικῷ. εἰ καὶ ὡς τὰ πολλὰ θρηνητικόν ἐστι. Σοφοκλῆς ἐν Αἴαντι τῷ Μαστιγοφόρῳ δράματι. αἶ αἶ. τίς ἄν ποτ᾽ ᾤεθ᾽ ὧδ᾽ ἐπώνυμον τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς. νῦν γὰρ πάρεστι, καὶ δὶς αἰάζειν ἐμοὶ, καὶ τρίς. καὶ ἔστιν ἀρχαιότροπον τὸ πρὸς τὰς ὀνομασίας ἐκφέρειν τὰς συμφοράς. ψιλούμενον δὲ καὶ περισπώμενον, θρηνητικόν ἐστιν. ὃ καὶ διπλασιάζεται. οἷον, αἶ αἶ. τάλαινα θηλαμὼν κεκαυμένη. Ἄλλοι δέ φασι, τὸ Αἲ ψιλούμενον μὲν καὶ ὀξυνόμενον, ἐπίρρημά ἐστιν εὐχῆς σημαντικὸν, δηλοῦν τὸ εἴθε, ἀπὸ τοῦ αἴθε κατὰ ἀποκοπὴν γινόμενον. οἷον, αἲ γὰρ δὴ οὕτως εἴη φίλος ὦ Μενέλαε. ἢ ἀπὸ τοῦ εἰ, τοῦ σημαίνοντος τὸ εἴθε, κατὰ τροπὴν τοῦ ε εἰς α. ὡς τὸ, Αἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι. καὶ, Αἴ μοι γένοιτο παρθένος, καλή τε, καὶ τέρεινα. δασυνόμενον δὲ καὶ βαρυνόμενον, ἄρθρον γίνεται ἀναφορικὸν πληθυντικὸν γένους θηλυκοῦ. οἷον αἳ, ὅπερ καὶ αἵτινες λέγεται. * δασυνόμενον δὲ ἄνευ τόνου ἄρθρον ἐστὶ προτακτ. πληθυντ. θηλυκ. οἷον αἱ μοῦσαι.

Αἱ καὶ αὐ δίφθογγοι, ἀντὶ ἐν τοῖς παρῳχημένοις τῶν ῥημάτων τρέπονται; ἐπειδὴ οὐκ ἔχουσι γνήσια μεγέθη. τὸ γὰρ ι καὶ υ δι᾽ ὧν μεγεθύνονται, οὐκ εἰσὶν αὐτῶν γνήσια, ἀλλὰ τοῦ ε καὶ ο. καὶ τούτου χάριν τρέπονται.

Αἶα, πόλις τῆς Κολχίδος. αὕτη ἐπ᾽ ἐσχάτοις κεῖται τῆς Οἰκουμένης. ἄλλοι δὲ τὴν γῆν τῆς Κολχίδος, ἰδίως αἶαν καλεῖσθαι λέγουσιν. ἢ αἶα, ἡ γῆ. παρὰ τὸ γαῖα αἶα, ἀποβολῇ τοῦ γ. καὶ αἶα ὑπὸ Κυρηναίων, τηθὶς, καὶ μαῖα, ἡ ἀδελφὴ Κρήτης. καλεῖται δὲ καὶ Κρήνη ἐν Παιονίᾳ, καὶ φυτόν τι. ἔστι δὲ καὶ ὁ καρπὸς, αὐτῷ ὁμώνυμος.

Αἶαγμα, θρῆνος διὰ διφθόγγου. ἔαγμα δὲ τὸ σύντριμμα, διὰ τοῦ ε ψιλοῦ.

Αἰαζομένη, θρηνοῦσα, ἀκούουσα. * ἴσως, κλαίουσα.

Αἰάζω, ἀναβοῶ, στενάζω, θρηνῶ. παρὰ τὸ αἶ, σχετλιαστικὸν ἐπίρρημα. καὶ ἔστι ῥῆμα ποιητικόν.

Αἰαία, νῆσος ἐν τῷ Φάσιδί ἐστιν, ἐν ᾗ τὸ δέρας ἔκειτο. αὕτη δέ ἐστι Κόλχων μητρόπολις. καὶ αἰαίη, ἀντὶ τοῦ Κολχικὴ, κατὰ ἐπωνυμίαν τοπικήν. αἶα γὰρ πόλις Κολχίδος, παρά τε ἄλλοις, καὶ παρὰ Λυκόφρονι. ἧς ὁ πολίτης, Αἰαῖος. καὶ ἡ πολῖτις, Αἰαία. καὶ ἡ νῆσος δὲ τῆς Κίρκης, Αἰαία, διὰ τὴν τοιαύτην Κίρκην. ἄλλως γὰρ εἴπερ πρωτοτυπίαν ἔχει ἡ Αἰαία νῆσος, διὰ τῶν δύο αι ὤφειλεν ἡ ἀπ᾽ αὐτῆς Κίρκη ἔχειν καὶ τρίτον αι, ἵνα ᾖ Αἰαιαίη. ὅπερ οὐκ ἔστι, διὰ τὸ κακόφωνον, καὶ διὰ τὴν ῥηθεῖσαν ὁμωνυμίαν. ὁ δὲ Γεωγράφος Αἶαν εἰπὼν πόλιν περὶ τὸν Φᾶσιν, λέγει καὶ ὅτι περὶ τὴν τοιαύτην Κολχικὴν Αἶαν, καὶ Αἰαίη νῆσος, ἡ τῆς Κίρκης. ὅτι δὲ καὶ Αἰήτης ὁ Ἥρως ἀπὸ τῆς αὐτῆς Αἴας ἐκλήθη, δηλοῦσιν οἱ παλαιοί.

Αἰακὶς, ἀπὸ τοῦ Αἰακοῦ παρωνομάσθη. Κύλικος δὲ αὕτη εἶδος, ὡς ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται.

Αἰακεία, ὕβρις. οἱονεὶ, αἰκία.

Αἰακίδα, τοῦ Αἰακοῦ, ἐκγόνου Ἀχιλλέως.

Αἰακεῖον, οὗ φασιν Αἰακὸν οἰκῆσαι.

Αἰακόντιον, Ἀθήνησι. καὶ τὸ Αἰακοῦ τέμενος.

Αἰαίλουρος. τοῦτο οὐκ ἔστι πλεονασμὸς, ἀλλ᾽ ἀντίθεσις. παρὰ γὰρ τὸ αἰόλον καὶ τὴν οὐρὰν, ἐτυμολογεῖται αἰαίλουρος. ὃς καὶ αἴλουρος, διὰ διφθόγγου γράφεται. Ἔλουρος δὲ τὸ ἐθνικὸν, διὰ τοῦ ε ψιλοῦ.

Αἰαλοὶ, οἱ σύγγαμβροι.

Αἰανὴς κύκλος, καὶ αἰανὸς, ὁ σκοτεινός. καὶ αἰανὸν, τὸ δεινὸν, καὶ χαλεπόν.

Αἰάντειος γέλως, ἐπὶ τῶν παραφρόνως γελώντων. καὶ Αἰάντειος οἶκος, ὁ τοῦ Αἴαντος. καὶ Αἰαντὶς φυλὴ, ἡ τοῦ Αἴαντος.

Αἰάντια, ἑορτὴ ἐν Σαλαμῖνι.

Αἰαντὶς, φυλὴ Ἀθήνησιν.

Αἰανῆ, ἁμαρτία.

Αἴας, ὁ Τελαμῶνος. καὶ Αἴας ὁ Λοκρός· ὧν ὁ μὲν Τελαμῶνος, παρὰ τὸ αἶ αἶ, αἰάζω (θρηνητικὸν γάρ ἐστιν ἐπίρρημα) ὥς φησι Σοφοκλῆς. αἶ αἶ. τίς ἄν ποτ᾽ ᾤεθ᾽ ὧδ᾽ ἐπώνυμον τοὐμὸν, ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς. νῦν γὰρ πάρεστι, καὶ δὶς αἰάζειν ἐμοὶ, καὶ τρίς. ὁ δὲ Λοκρὸς, παρὰ τὸ αἴσσω τὸ ὁρμῶ. ὁ μέλλων, αἴξω. ὁ ἀόριστος, ἤϊξα, ἤϊξας. ἡ μετοχὴ, ὁ αἴξας, καὶ ἀποβολῇ τοῦ ξ, καὶ συναιρέσει, Αἴας. ἐτυμολογεῖται δὲ, παρὰ τὸ θαρσαλέως, καὶ σφόδρα αὐτὸν ἀΐσσειν καὶ ὁρμᾶν ἐν τοῖς πολέμοις. περὶ οὗ ἱστορεῖται ταῦτα. Ἱστορία.

Αἴας ὁ Λοκρὸς, ἐν τῇ ἁλώσει τῆς Τροίας καταφυγοῦσαν Κασάνδραν ἐν τῷ ναῷ, καὶ τοῦ Παλλαδίου τῆς Ἀθηνᾶς ἐχομένην, ἀπέσπασε. καὶ αὐτόθι, ταύτῃ συνεγένετο. ὀργισθεῖσα δὲ ἡ Ἀθηνᾶ, τοῦτον ἐν τῇ θαλάσσῃ σὺν πολλοῖς ἑτέροις ἀνεῖλεν. οὕτω μὲν οἱ πολλοί φασι. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. καταφυγοῦσαν αὐτὴν, ἀνέσπασε τοῦ ναοῦ. καὶ ἔσχησε, τὴν λείαν καθάπερ ἑτέρας οἱ πολλοὶ στρατιῶται, ἃς ἔφθασεν ἕκαστος ἁρπάσαι. ἐρασθεὶς δὲ ταύτης ὁ Ἀγαμέμνων, τῷ Ὀδυσσεῖ τοῦτο κοινοῦται. ὁ δὲ κηρύσσει, ὡς Αἴας, ἐν τῷ ναῷ ταύτῃ ἐμίγη. συνέβη γοῦν ἀφαιρεθῆναι αὐτὴν οὕτως ὑπὸ Ἀγαμέμνονος, καὶ μισηθῆναι ὑπὸ τοῦ ἀλογίστου πλήθους καὶ σύρφακος. εἰς νοῦν δὲ θέμενος ὁ ἀνὴρ τὴν πρότερον εἰς Ἀχιλλέα ὕβριν, ὡς ἀφῃρέθη τὴν Ἱπποδάμειαν Βρισηΐδα, ἔτι δὲ λογισάμενος καὶ τοῦ Παλαμήδους τὸν ἄδικον θάνατον, καὶ φοβηθεὶς μήπως καὶ αὐτὸν δόλῳ ἀνέλωσιν, ἐπιβὰς τῆς νεὼς ἐν ἀπροσφόρῳ καὶ χειμερίῳ καιρῷ, ἐναντίων ἀνέμων πνευσάντων, περὶ τὴν Τῆνον καὶ Μύκονον ναυαγεῖ. ἢ περὶ Ἄνδρον. καὶ τῆς νεὼς πρὸς τὰς πέτρας λυθείσης, μέχρι τινὸς ὁ ἀνὴρ γενναίως νηξάμενος, περὶ τὰς Γυραίας πέτρας ἔσωσε. μεγάλων δὲ τῶν κυμάτων ἐπερχομένων συνεχεστέρως, σὺν μέρει τῆς πέτρας ἀποκοπέντι, πρὸς τὴν θάλασσαν αὖθις κατενεχθεὶς ἀπεπνίγη. μαθοῦσα δὲ ἡ Λοκρὶς ἅπασα τὸ συμβὰν, ἐπὶ χρόνου ὅλου μελανοφοροῦσα, τὸν ἄνδρα ἐπένθησε. καὶ ἐτησίως ὁλκάδα πληροῦσα θυσιῶν μεγαλοπρεπῶν, καὶ πῦρ ἐμβαλοῦσα, τῇ ὁλκάδι ἐξαρτῶσα ἀρτεμώνιον ἱστίον αὐχένων χωρὶς, ἔπεμπε πρὸς τὸ πέλαγος, κατακαίεσθαι θυσίαν τῷ ἥρωι.

Αἰβάνη, ἡ θύρα. * παρὰ Σουίδ. αἰβάλη.

Αἰβοῖ, σχετλιαστικὸν ἐπίρρημα, ἀντὶ τοῦ φεῦ. τάττεται δὲ καὶ ἐπὶ ἡδονῆς, παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν, Αἰβοῖ, οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον.

Αἰᾶται, κάθηνται. * ἀδόκιμον.

Αἰαυλαῖαι, τὸ κατακάλυμμα.

Ἀιαφοὶ, αὐτοὶ ἀκούοντες. * ἀδόκιμον.

Digitized by Google

Αἴαψ, ματαίως.

Αἴαψος, ὁ ποικίλος.

Αἰβετός, Αἰετός, Περγαῖοι.

Αἶβον, κάταντες, πλάγιον.

Αἰγαγέρονα, * (ἴσως αἰγάγερον) ἄγερον αἶγα.

Αἴγαγρον, αἶγα ἄγριον.

Αἰγάδας, αἶγας. Δωριεῖς.

Αἶγαι, ὑποδημάτων γένος. * Ἡσύχ. γράφει αἴγαν.

Αἰγαί, νῆσος περὶ Εὔβοιαν. ἀφ' ὧν δοκεῖ καὶ πέλαγος αἰγαῖον παρονομασθῆναι. διαφερόντως γὰρ αὐτόθι Ποσειδῶν ἐτιμᾶτο. εἰσὶ δὲ καὶ ἕτεραι Αἰγαί, ὡς ἱστοροῦσιν οἱ παλαιοὶ ὁμώνυμοι ταῖς Ἀχαϊκαῖς, αἱ ἐν Εὐβοίᾳ. ἢ Αἰγαί, νῆσος πρὸς τῇ Εὐβοίᾳ, ἔνθα ἱερὸν Ἀπόλλωνος.

Αἰγαῖον πέλαγος, τὸ μεταξὺ τῶν Κυκλάδων, καὶ τῶν Ἀθηνῶν. εἴρηται δὲ Αἰγαῖον, παρὰ τὸ κυμαίνειν καὶ καταιγίδας ποιεῖν, ὅτι δίκην αἰγὸς κυματοῦται. ἢ αἰγαῖον πέλαγος οἱ μὲν ἀπὸ τῆς Περκανίας αἰγὸς ἐπώνυμον γεγονέναι φασίν. οἱ δὲ ἀπὸ τῆς Καρυστίας, τῆς αἰγαίης ὀνομαζομένης. αἱ μὲν γὰρ αἰγαὶ ἔνθεν τὸν Ποσειδῶνα παραγίνεσθαί φασι, κατὰ Πελοπόννησον εἰσίν, ἐν τοῖς περὶ Κρίσαν τόποις. εἰσὶ δέ τινες, οἱ διὰ τὸ θεωρεῖσθαι δι' ὅλου τοῦ πελάγους τὴν παρακειμένην γῆν. ἄλλως.

Αἰγαῖον πέλαγος ἐκλήθη, ἀπὸ νήσου Αἰγῶν καλουμένης. Ὅμηρος, Οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγάς. αὕτη γὰρ ἱερὰ Ποσειδῶνος. ἐν ᾗ μηδένα κοιμᾶσθαι λόγος, διὰ τὰ φαντάσματα τοῦ Θεοῦ, ὥς φησι Νικοκράτης. οἱ δὲ ἀπὸ Ποσειδῶνος ὀνομασθῆναί φασι τὸ πέλαγος. Αἰγαῖος γὰρ οὕτως ὁ θεὸς προσαγορεύεται, ὥς φησι Φερεκύδης. Νικοκράτης δέ φησιν ὅτι ἀπὸ Αἰγέως κατακρημνίσαντος ἑαυτὸν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν θάλασσαν. οὐκ εὖ. πολὺ γὰρ ἀπέχει ἡ ἀκρόπολις τῆς θαλάσσης παραπλέοντι.

Αἰγαῖος κόλπος, καὶ αἰγαῖος ποταμός, περὶ Κέρκυραν. τούτου θυγάτηρ Μελίτη. ἧς καὶ Ἡρακλέους, Ὕλλος. ἀφ' οὗ ἔθνος Ὑλλεῖς, καὶ Ὑλλικὸς λιμήν, παρὰ Φαίαξι. Πανύασις δέ φησιν, ἐν Λυδίᾳ νοσήσαντα Ἡρακλέα τυχεῖν ἰάσεως ὑπὸ Ὕλλου τοῦ ποταμοῦ. διὸ καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ὕλλους ὀνομασθῆναι. Γεωργία.

Αἰγαίων. Κόνων ἐν τῇ Ἡρακλείᾳ φησίν, ὅτι καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος, καταποντίσθη εἰς τὸ λεγόμενον ὑπὸ Ἀπολλωνίου Ἠρίον. Αἰγαίωνα τὸν αὐτὸν καὶ Βριάρεων καλῶν. τὸν δὲ Αἰγαίωνα, Ἡσίοδος φησὶν Οὐρανοῦ καὶ γῆς. Βριάρεως δὲ καὶ Αἰγαίων, καὶ Γύγης, ὁ αὐτὸς λέγεται συνωνύμως. Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ, τὸν Αἰγαίωνα γῆς καὶ Πόντου φησὶ παῖδα. κατοικοῦντα δὲ ἐν τῇ θαλάσσῃ τοῖς Τιτᾶσι συμμαχεῖν. καὶ Ἴων φησὶν ἐκ διθυράμβῳ. ἐκ μὲν τοῦ πελάγους αὐτὸν παρακληθέντα ὑπὸ Θέτιδος ἀναχθῆναι, φυλάξοντα τὸν Δία θαλάσσης δὲ παῖδα. ἄλλοι δὲ θαλάσσιον θηρίον φασὶ τοῦτον. Ταρραῖος δέ φησιν. ὅτι γίγας ὤν, καὶ φυγὼν ἐκ τῆς Εὐβοίας, ἀφίκετο εἰς Φρυγίαν, κἀκεῖ ἐτελεύτησεν. καὶ Αἰγαίων, ὁ Ποσειδῶν ἀπὸ τῆς ἐν ταῖς Αἰγαῖς πόλεως τῆς Ἀχαΐας, καὶ ἐν τῷ Αἰγαίῳ τιμᾶσθαι. ἢ Αἰγαίων, ὁ ἥλιος. παρὰ τὸ αἴγλη, αἰγλαίων. καὶ ἀποβολῇ τοῦ λ ὡς παρώνυμον. ἢ ἀπὸ τοῦ ταῖς ἀκτῖσιν ἀΐσσειν. ἢ ἀπὸ τοῦ γῶ τὸ γαυριῶ, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, Ἀγαίων. καὶ πλεονασμῷ τοῦ ι Αἰγαίων.

Αἰγανέα, οὐχ ἁπλῶς δόρυ, ἀλλὰ καὶ ἐλαφρὸν καὶ μακρὸν εἶδος ἀκοντίου, εἰς αἰγῶν θήραν ἐπιτήδειον. παρὰ τὸ ἵεσθαι κατὰ αἰγῶν, ἢ καὶ παρὰ τὸ ἄγαν ἵεσθαι. οἱ δὲ παλαιοί φασι καὶ ἄτι αἰγανέα, μικρὸν ἀκόντιον.

Αἰγανέας δολιχαύλους λέγει, τὰς μακροσιδήρους, αἵπερ ἵενται κατ' αἰγῶν. τὸ δὲ ἀπὸ τῶν αἰγανέη ταρὰς, ἀττικόν ἐστι. Ἰωνικόν. καὶ αἰγανέη, ἢ παρὰ τὸ ἄγαν ἵεσθαι, ἢ διὰ τὴν ἀγκύλην τὴν ἐξ αἰγείου δέρματος γεγενημένην. ἢ διὰ τὰς αἶγας, παρὰ τὸ ἐπ' αὐτὰς ἵεσθαι, ὅ ἐστι κινεῖσθαι. λέγεται δὲ ἀγκύλη, ἡ τῆς αἰγανέας λαβή.

Αἰγανέης, τοῦ δόρατος. καὶ αἰγανέῃσιν ἱέντες, τοῖς δόρασι βάλλοντες, τοῖς πάνυ ὑψουμένοις.

Αἲ γάρ, εἴθε γάρ.

Αἴγαστρος, εἶδος ζώου.

Αἰγάς, ἣ τὰς ἐν Εὐβοίᾳ λέγει Ὅμηρος ἐν τῷ γ τῆς Ἰλιάδος, ἔνθα μυθεύεται τὸ κατὰ τὰς ἐφημέρους ἀμπέλους, αἵ φασιν ἕωθεν ἀνθοῦσαι, πρὸς μεσημβρίαν πεπαίνουσι βότρυας. ἑσπέρας δέ, ἄκρατον χορηγοῦσι δαψιλῆ, τῷ χορῷ τῶν τελουμένων τῷ Διονύσῳ, ἢ τῶν Μαινάδων. ὁσάκις ἀναλίσκονται φασι, τοσαυτάκις ἐνδαψιλευόμεναι. ἢ κατὰ Νικόστρατον, αἰγὰς νοητέον, νῆσον περὶ τὸ Αἰγαῖον. περὶ ἧς παραδοξολογία φέρεται. ὡς οἱ προσορμιζόμενοι ἐκεῖ νυκτός, ἀφανεῖς γίνονται. διὸ μὴ δεῖ προσπελάζειν τινά. ὡς εἶναι καίριον κἀνταῦθα τὸ Σοφόκλειον εἰπεῖν, Οὐχ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν. ἕτεροι δέ φασιν, αἰγὰς ἐνταῦθα λέγειν τὸν Ποιητὴν τὰς ἐν Πελοποννήσῳ, ἤτοι Ἀχαϊκάς. ἔνθα καὶ Ποσειδῶνος ἑορτὴν ἄγεσθαι, καὶ τὰ Διονύσια ὀργιάζεσθαι. ὅπου καὶ συνάντας τοῦ χοροῦ φασὶν εἰς τὰ ὄργια συμβαίνει τὸ προρρηθὲν τῶν ἐφημέρων ἀμπέλων. ὁ δὲ Γεωγράφος φησίν, ὅτι περὶ τὴν τῶν Ἀχαιῶν εἰσὶν ἄλλαι Αἰγαί, αἵτινες καὶ ἑνικῶς λέγεται ἡ αἰγά. ἔνθα καὶ πόλις τὸ Αἴγιον, ἧς οἱ πολῖται Αἰγιεῖς. ἣν Ἄρατος Ὠλενίαν φησίν, ἀπὸ Ὠλένης, ἢ Ὠλένου ἐγχωρίας πόλεως. Ἰστέον δέ, ὅτι ἀπὸ τῆς κατὰ τὸν Ὀλύμπιον Δία αἰγός, καὶ μάλιστα τῆς κατὰ τὴν Ἀμάλθειαν, φέρεται ἡ παροιμία, τὸ αἲξ οὐρανία, ὁμοία τῷ, λευκὴ ψῆφος, κατὰ Παυσανίαν. ὡς γὰρ ἡ Ἀμάλθεια φασὶ τροφὸς ἦν τοῦ Διός, οὕτω καὶ ἡ τοιαύτη ψῆφος ἔτρεφε τοὺς δωροδοκοῦντας δικαστάς. ἢ καὶ ἄλλως. ὥσπερ ὁ τὸ τῆς Ἀμαλθείας αἰγὸς ἔχων κέρας πάντ' εἶχεν, οὕτω καὶ οἱ κυαμεύοντες φησὶ τὰς ἀρχάς, καὶ τἄλλα ἀργυριζόμενοι. διὸ καὶ αἲξ οὐρανία ἔοικε λέγεσθαι, οἱονεὶ θεία, καὶ ὑψοῦσα τοὺς δικαστὰς ὅσοι δῶρα ἐλάμβανον.

Αἴγδην, ἐπίρρημα μεσότατος. σημαίνει δὲ τὸ ὁρμητικῶς. οἷον, Αἴγδην δαμάσας δὲ σὺν ὀστέῳ, ἶνας ἔκερσε. παρὰ τὸ ἀΐσσω, τὸ ὁρμῶ. καὶ συναίγδην Ἡσίοδος, ἀντὶ τοῦ ὁμοῦ ὁρμῶν, ἐχρήσατο.

Αἶγε, αὗται.

Αἰγέα, τὸ τῆς αἰγὸς δέρμα. * λέγεται καὶ αἰγέη, καὶ κατὰ συναίρεσιν αἰγῆ, ὡς λεοντῆ.

Αἰγεία, θάλασσα.

Αἰγείην κυνέην, τὴν ἐξ αἰγείου δέρματος γενομένην περικεφαλαίαν.

Αἰγηΐς, φυλὴ Ἀθήνησιν. ὠνομάσθη ἀπὸ Αἰγέως τοῦ Πανδίονος. ἔνθεν οἱ φυλέται, Αἰγεΐδαι.

Αἴγειον, δέρμα αἰγός, ἢ καὶ μέλος. καὶ αἴγειον τὸ τοῦ Αἰγέως μαντεῖον.

Αἴγειος ἀσκός, ὁ ἀπὸ τῆς αἰγός. ὃς παρ' Ὁμήρῳ καὶ αἴγεος λέγεται, πρὸς ὁμοιότητα τοῦ, χρύσεος, καὶ ἀργύρεος.

Αἴγειρος, εἶδος δένδρου. ἀναστροφὴ ὁ τρόπος. ὠνομάσθη δέ, ἀπὸ τῆς ἐγέρσεως αὐτοῦ καὶ ἀναδόσεως. καὶ αἴγειρος, ἡ λεύκη, ἢ αἴγειρος παρὰ τὸ ἐκ τῆς ἔρας ἀΐσσειν. ἤγουν, ὁρμᾶν καὶ κινεῖσθαι. ἢ ἀπὸ τοῦ καταίγνυσθαι ὑπὸ τῶν ἀνέμων. ὅπερ ἐπὶ ἀρσενικοῦ τε, καὶ θηλυκοῦ γένους λαμβάνεται.

Αἰγειροτόμοι, Ἰθαγενεῖς τινὲς Ἀθήνησιν.

Αἰγείρου θέα. αἴγειρος ἦν Ἀθήνησι, πλησίον τοῦ ἱεροῦ. ἔνθα πρὶν γενέσθαι θέατρον, τὰ ἰκρία ἐπήγνυον.

Αἶγες, τὰ μεγάλα κύματα Δωριεῖς, ἐν τῇ συνηθείᾳ. καὶ ἐπαιγίζω, τὸ σφοδρῶς πνέω. καὶ αἰγαῖον πέλαγος, τὸ φοβερώτατον.

Αἰγιάλεια, ἡ νῦν Ἀχαΐα.

Αἰγιαλεῖς, οἱ μετὰ Ἀγαμέμνονος στρατευσάμενοι πρότερον Ἴωνες. νῦν δὲ Ἀχαιοί, οἱ ἐν Σικυῶνι.

Αἰγιαλία, δῆμος Ἀντιοχίδος. ὁ δημότης, Αἰγιαλεύς.

Αἰγιαλίδες, ὑμένες ἐν τοῖς ὀφθαλμοῖς. καὶ τὰς ἐν τοῖς ὀφθαλμοῖς δὲ ὑπολεύκους οὐλάς, αἰγιαλίδας ἔλεγον. * ἐν τῷ Ἐτυμολ. γράφ. αἰγιάδες.

* Αἰγιαλίτης ἀρσενικόν, ὁ ἐκ τοῦ αἰγιαλοῦ, καὶ αἰγιαλῖτις θηλυκόν, οἷον αἰγιαλῖτις ἄμμος καὶ αἰγιαλώδης κοινόν.

Αἰγίαλος, * (ἄλ. αἰγιαλός,) οὕτως ἐκαλεῖτο παραθαλασσία τὶς χώρα. ἤτοι πλευρὰ τῆς Πελοποννήσου, ἡ παρατείνουσα ἀπὸ Σικυῶνος μέχρις Ἤλιδος. αἰγίαλοι δέ, τόποι πλεῖστοι, ὧν εἷς, καὶ ὁ κατὰ Παφλαγονίαν.

Αἰγιαλός, παρὰ τὸ τὴν ἅλα εἶναι γείτονα τῆς ἁλός. ἢ ἀπὸ τοῦ γαίω, ἢ ἀπὸ τοῦ δίκην αἰγὸς ἅλλεσθαι.

* Αἰγιβότης, ὁ αἰγοβοσκός.

Αἰγίβοτος γῆ, ἡ αἶγας βόσκειν, καὶ τρέφειν δυναμένη. ἐξ οὗ τὴν ὀρεινὴν οὕτω λέγουσιν, ἥτις καὶ αἰγίνομος καὶ αἰγίβοσκος λέγεται.

Αἰγίδας. οὕτως ἐκάλουν τὰ τῶν στρατευμάτων δίκτυα. * (ἄλ. τὰ διὰ σχοινίων πεπλεγμένα δίκτυα) Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως, καὶ Ἡρόδοτος ἐν τῇ τετάρτῃ: Νυμφόδωρος γὰρ ταύτας φησὶν ὑπὸ Λιβύων αἰγαίας καλεῖσθαι.

Αἰγίδα θυσσανόεσσαν, τὸ ὅπλον τοῦ Διὸς τὸ κροσσῶδες.

Αἰγίζει, διασπᾷ, καταιγίζει. ἐκ μεταφορᾶς. παρ' ὃ καὶ τὸ αἰκίζεσθαι, ἀπὸ τῶν καταιγίδων. Αἰσχύλος. ἔστι ὁ αὐτὸς Ποιητὴς ἐν Ἠδωνοῖς, αἰγίζειν τὰς νεβρίδας λέγει, ἀντὶ τοῦ διασπᾶν καὶ καταιγίζειν.

Αἰγίθαλος, στρουθίον, καὶ εἶδος βοτάνης, καὶ ὀρχήσεως. * παρ' ἄλλοις ὀξύτονον.

* Αἴγιθος, πτηνόν, περὶ οὗ Ἀριστοτέλ. ἐν τῷ περὶ ζώων ἱστορ. ἰ.

* Αἰγικορεῖς, οἱ ἐπὶ νομαῖς, καὶ προβατείαις διατρίβοντες.

* Αἰγιλιάθεν, Αἰγιλιάδε, καὶ Αἰγιλιοῖ ἐπιρρήματα τόπου, ἀπὸ Αἰγιαλίας, ἢ τῆς καὶ Αἰγιλία, καὶ Αἴγιλος. καὶ Αἰγιλίδες ἰσχάδες. παρ' Ἀθηναίοις. ὁ δημότης Αἰγιλιεύς, καὶ Αἰγιαλεύς.

Αἰγίλιψ, πέτρα δύσβατος, καὶ ἐρημὸς τόπος. Ἧστε κατ' αἰγίλιπος πέτρης, δνοφερὸν χέει ὕδωρ. γέγονε δὲ παρὰ τὸν λείψω μέλλοντα, λεῖψ. καὶ ἀποβολῇ τοῦ ε λίψ. καὶ ἐν συνθέσει μετὰ τῆς αἴξ, γίνεται αἰγίλιψ. εἰς ἣν καὶ αἲξ οὐ δύναται ἀναβῆναι. οὕτως Ὠρίων. ἐστὶ δὲ ῥηματικὴ ἡ λέξις. Ἄλλως.

Αἰγίλιψ, πέτρα, ἤγουν διὰ τὸ τοῦ ὕψους δυσανάβατον, καὶ ὑπὸ αἰγὸς λείπεται. ἁλτικοῦ ζώου, καὶ πετροβατικοῦ. καὶ αἰγίλιπα τραχεῖαν, ὑψηλήν. παρ' Ὁμήρῳ. ὄνομα μὲν οὕτως ἡ τραχεῖα, ἐπίθετον δὲ καὶ τὸ αἰγίλιπα ὁμοίως. Ἰστέον δέ, ὅτι ἅπαξ τραχεῖαν εἰπών τις, καὶ δισσῶς συνενόησε τὴν αἰγίλιπα. ἤγουν τὴν τὰς αἶγας λιπαίνουσαν κατά τινας. διὸ καὶ ἡ Ἰθάκη, αἰγίβοτος λέγεται εἶναι. ἢ μάλιστα, τὴν καὶ ὑπ' αὐτῆς αἰγὸς λειπομένην, διὰ τὸ ἄγαν τραχὺ καὶ ἀβόσκητον. αἰγίλιψ ἐκ τῆς αἰγὶ σύγκειται δοτικῆς, καὶ τοῦ λείπω. ἤγουν, ἀπρόσβατος, ψιλή, ἀβόσκητος. καὶ αἰγίλιπες πέτραι λέγονται, ὡς διὰ τὸ δυσανάβατον, αἱ αἶγες λείπουσι. ἕτεροι δὲ πέτραν αἰγίλιπα νοοῦσι, τὴν μηδὲν φύουσαν. λέγοντες, ὡς οὗ ἂν ἡ αἲξ ἀποτράγῃ, ἄπορον αὐτὸ ποιεῖ. ὥστε κατ' αὐτοὺς αἰγίλιψ, ἣν ἡ αἲξ βοσκησαμένη ἔλιπε. καὶ αἰγίλιψ, πόλις Κεφαλληνίας. γράφεται δὲ ἡ λέγουσα τοῦ αἰγίλιψ, διὰ τοῦ ῖ. ἐστὶ μυδέστερον διὰ τῆς διφθόγγου, ἀφέλκεται δίφθογγος.

Digitized by Google

Αἴγιλος, ἀκρωτήριον Πελοποννήσου, καὶ εἶδος βοτάνης.

Αἰγίλουρος, αἴλουρος. καὶ πλεονασμῷ τῆς γι συλλαβῆς, αἰγίλουρος.

Αἰγιλούρος, κάραβος. * ἄλ. αἰγίλουρος.

Αἰγίλωψ, πόα τὶς ἐμφερὴς στάχυϊ, καὶ τὸ περὶ τοὺς ὀφθαλμοὺς πάθος. * παρ' ἄλλοις γράφεται διὰ τοῦ ω αἰγίλωψ. καὶ αἰγιλώπιον δὲ τὸ περὶ τοὺς ὀφθαλμοὺς πάθος. Διοσκουρ. καὶ αἰγιλώπια ἰᾶται·

Αἰγιμιοῦ, ὄνομα πόλεως. * Σουίδας Αἰγιμιό.

Αἴγινα, ὄνομα πόλεως καὶ νήσου, κεῖται δὲ πλησίον Ἐπιδαύρου πρὸ τῆς Ἀττικῆς. ἔχει δὲ τοὔνομα ἐξ Αἰγίνης τῆς Ἀσωποῦ, Οἰώνη πρότερον καλουμένη. γράφουσί τινες παρὰ τῷ Ποιητῇ, ἀντὶ τοῦ Οἵ τ' ἔχον Αἴγιναν, Νῆσόν τ' Αἴγιναν. ἵνα διαστείλωσι τὴν τῆς χέρσου Αἴγιναν. ἔνδοξος δέ ποτε ἡ νῆσος Αἴγινα. * ἐντεῦθεν Αἰγινάτης, Αἰγιναῖος, Αἰγινήτης, τὸ θηλυκὸν Αἰγινῆτις.

Αἰγιναῖα, τὰ ῥωπικὰ φορτία. καὶ οἱ πιπράσκοντες, αἰγιναιοπῶλαι. * (ἄλ. Αἰγινοπῶλαι) ἐλέγετο δὲ καὶ τὰ μεγάλα αἰγιναῖα, ἀπὸ τοῦ νομίσματος. καὶ γὰρ τὸ αἰγιναῖον τάλαντον, πλεῖον ἠδύνατο τοῦ ἀττικοῦ· ἔλεγον δὲ τοὺς μὲν πολίτας, Αἰγινήτας. τὰ δὲ ἐκ τῆς νήσου, Αἰγιναῖα.

Αἰγιναῖον, νόμισμα ἀργυροῦν, μέγα. καὶ αἰγιναῖος ὀβολός, ὁμοίως.

Αἰγινητικὰ ἔργα, τοὺς συμβεβηκότας ἀνδριάντας.

Αἰγιόνομοι, ζῶα οὕτω καλούμενα.

Αἴγιον, πόλις Ἀχαΐας, οὗ ὁ πολίτης, Αἰγιεύς. ὡς ὁ χρησμός, Ὑμεῖς δ' Αἰγιέες, οὔτε τρίτοι, οὔτε τέταρτοι. τουτέστιν, οὐ μόνον πρωτεῖον ἐν ἀνδρείᾳ οὐ πλουτεῖτε, οὔτε μὴν δευτερεῖον ὡς ἀκοῦσαι βούλεσθε, ἀλλ' οὐδὲ τρίτοι, οὐδὲ τέταρτοι τὰ εἰς ἀνδρείαν ἐστέ. ὁ δὲ Στράβων λέγει, τὸ Αἴγιον καὶ ἱκανῶς οἰκούμενον. ἱστοροῦσι δὲ ἐνταῦθα τὸν Δία ὑπὸ αἰγὸς τραφῆναι. τὴν Ὠλενίην Ἄρατος λέγει, διότι πλησίον ἡ Ὤλενος, οὐχ ὁ Ὤλενος κτίσμα ὁμώνυμον τῷ Αἰτωλικῷ, μεταξὺ Πατρῶν καὶ Δύμης. ῥεῖ δὲ αὐτόθι Σελινοῦς ποταμός.

Αἰγίοχος Ζεύς, ἡ αἰγίουχος. κατὰ μὲν μῦθον, ὁ κατὰ γέννησιν τὴν ἐν Κρήτῃ ὑπὸ αἰγὸς θρεπτικῶς τὴν ὀχὴν, δηλονότι τὴν τροφὴν, ὁπηνίκα τὸν παιδοβρῶτα πατέρα Κρόνον ἐκρύπτετο. ἧς αἰγὸς τὸ κέρας τῇ Ἀμαλθείᾳ δοθῆναι λέγεται. ἢ καὶ ἄλλως, αἰγίοχος Ζεύς, ὁ ἔχων τὴν αἰγίδα. τουτέστι τὸ δέρμα τῆς ῥηθείσης αἰγὸς ἣν ἐθήλασεν. ἔφερε γὰρ αὐτὴν φασὶν ἐναπτόμενος εἰς μνήμην. καὶ ἔστιν αἰγίοχος, ὡς ἄν τις εἴπῃ αἰγίδοχος, ἐκπεσόντος τοῦ δ.

Αἰγίποψ, ὁ ἀετός, ὑπὸ Μακεδόνων.

Αἰγίπυρος, ἐστὶν ἀκανθῶδες φυτὸν, ἢ εἶδος βοτάνης. τὸ δὲ φύλλον ἔχει πλατὺ, ὥσπερ φακός. ἔστι δὲ γλαυκίζουσα. εἰς ἕλκη φλεγμαίνοντα ἀγαθή.

Αἴγισθος, παρὰ τὸ θῶ τὸ θηλάζω. καὶ τὸ αἴξ, αἴγιθος, καὶ πλεονασμῷ τοῦ σ, Αἴγισθος. ἱστοροῦσι γὰρ αὐτὸν αἰγείῳ γάλακτι, τροφῇ χρήσασθαι. οὕτως Ὠρίων.

Αἰγὶς τοῦ Διός. μυθικῶς κατὰ τὰς λεγομένας τραγίας, καὶ κατὰ κρᾶσιν τραγίς. οὕτω καὶ αὕτη εἴη ἂν αἰγέη, τουτέστιν αἰγὸς δέρμα, ὅπερ Ζεὺς ἐνῆπτο εἰς ἀνάμνησιν αἰγὸς, ἧς αὐτὸς ἔσπασε τὴν θηλήν. ἀφ' ἧς καὶ ἐπεκλήθη αἰγίοχος, ὡς εἰς ὀχὴν ἤγουν τροφὴν, αὐτῇ χρησάμενος. οὕτω δὲ καὶ λεοντῆν ἢ λυκίην, ἢ παρδαλέην ἐνάπτεται εἰς μνήμην τινὸς πράξεως. καὶ ἄλλως δὲ ἡ τοῦ Διὸς αἰγὶς, σχηματίσματι κατὰ μῦθον. πλάττεται δὲ ἀπὸ ὕλης τιμίας αἰγιδοειδές. ἤτοι μηλωτῇ ἐοικός. καὶ ὡς ἂν ἀμαθέστερόν πως κατὰ τὴν κωμῳδίαν ῥηθῇ, καὶ σαφέστερον, φορήματι δοκεῖ σαγοειδές, θυσάνους τε ἔχον ἀπῃωρημένους κατὰ τὸν κροσσωτόν. καὶ δι' ὅλου τοῦ χιτῶνος λεπτά τινα καὶ ἰσχνὰ τειχώδη ἐξ ὕλης, καὶ αὐτὰ ὁμοίως πρὸς ἐμφέρειαν αἰγίδος τῆς ἀληθοῦς. ὅπλον δὲ Διὸς ἡ τοιαύτη μυθικὴ αἰγίς. οὐχ οἷον ἢ βαλεῖν ἢ τραῦμα ἐντρίψαι τινὶ, ἀλλὰ μόνον φοβῆσαι ἐν τῷ διατινάσσεσθαι, καὶ ἐπισείεσθαι. καὶ αὕτη μὲν ἡ τοῦ μυθικοῦ Διὸς αἰγίς. Ἱστέον δὲ, ὅτι ἀμφιβάλλεται αἰγὶς Ἀθηνᾶ, εἴτε ἴδιον φόρημα τῆς Ἀθηνᾶς ἡ αἰγὶς, εἴτε καὶ ὥσπερ τὴν χιτῶνα τοῦ πατρὸς Διός, οὕτω καὶ τὴν αἰγίδα ἐκείνου φορεῖ. πρὸς ὃ δοκεῖ συντελεῖν ἐνταῦθα, τὸ, Διὸς τέρας αἰγιόχοιο, Ἰλιάδος ε, οὕτω ἐκεῖνον τὴν αἰγίδα φορεῖν. ἄλλως.

Αἰγὶς, ἣν Λίβυες φοροῦσι δοράν. καὶ τὸ ἐκ στεμμάτων πλέγμα. καὶ τὸ διὰ στεμμάτων πεπλεγμένον δίκτυον. οὕτω Λυκοῦργος, καὶ Ἡρόδοτος. ἡ δὲ ἱέρεια Ἀθήνησι τὴν ἱερὰν αἰγίδα φέρουσα, πρὸς τὰς νεογάμους εἰσήρχετο.

Αἰγὶς καὶ ὁ θώραξ, καὶ ἡ ἐν ταῖς πάλαις οὐλότης. Νυμφόδωρος δὲ ταῦτα, ὑπὸ Λιβύων αἰγίας φησὶ καλεῖσθαι. ἢ ὅπλον Διὸς Ἡφαιστότευκτον. οὐχ ὡς ἄν τινές φασιν ἀπὸ τῆς Ἀμαλθείας αἰγὸς τῆς ἀναθρεψαμένης τὸν Δία, ἀλλ' ἀπὸ τοῦ τὰς συστροφὰς τῶν ἀνέμων ποιεῖν κινουμένας, αἰγίδας καὶ καταιγίδας. τὸ δὲ αἰγὶς, ἀπὸ τοῦ ἀΐσσω τὸ ὁρμῶ. καὶ αἰγὶς, ἡ καταῖξ, καὶ ἡ ὀξεῖα πνοὴ, καὶ αἱ ἀποστίλψεις τῶν ὀφθαλμῶν.

Αἰγίσκον, αἶγα ἐκτομίαν. * γραπτέον, ἐκτομίαν. λέγεται καὶ αἰγίδιον, τὸ κοινότερον ἔριφος.

Αἰγλαήρ, ὁ Ἀσκληπιός. * Σουίδ. γράφει αἴγλη.

Αἴγλαις, λαμπηδόσι, λαμπρότησι.

Αἴγλας, ἀμφιδέας, καὶ ψέλλια, τὰ περὶ τὴν ὤην τοῦ ἀρότρου.

Αἴγλη, βόλος κυβευτικός, λαμπηδὼν, αὐγή. Κρατῖνος. καὶ ποτάνου εἶδος δηλοῖ, καὶ θυσίαν. ὥς φησι Λεαγόρας. ἔστι καὶ παιδιᾶς τις. ἀλλὰ καὶ ἡ σελήνη, οὕτω καλεῖται.

Αἰγλήεις, λαμπρός. καὶ αἰγλήεσσι, λαμπροῖς.

Αἴγλης Χάριτες. πιθανῶς ἐγενεαλόγησαν τὰς χάριτας, Αἴγλης καὶ Ἡλίου. ἐπεὶ τὰς χάριτας λαμπράς φασιν εἶναι.

Αἰγληχίδων. Σοφοκλῆς Τηρεῖ. * (ἄλ. Αἴγλη, χιτών. Σοφοκλῆς Τηρεῖ) χιτὼν, καὶ πέδη, παρὰ Ἐπιχάρμῳ ἐν Βάκχαις.

* Αἰγλία, δακτυλίδια. Ἡσύχ.

* Αἰγοθὴς, ἐν τῷ Ἐτυμολ. ὁ αἰγοθήλας. παρὰ τὸ θῶ, τὸ θηλάζω.

Αἰγόκερως, ὅμοιος τῷ Πανί. ἐξ ἐκείνου δὲ γεγονὼς, ἔχει θηρίου τὰ κάτω μέρη, καὶ κέρατα ἐπὶ τῇ κεφαλῇ. ἐτιμήθη δὲ διὰ τὸ σύντροφον εἶναι τῷ Διΐ, καθάπερ Ἐπιμενίδης ὁ τὰ Κρητικὰ ἱστορῶν φησὶν, ὅτι ἐν τῇ Ἴδῃ συνῆν αὐτῷ ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστρατεύσεν. οὗτος δὲ δοκεῖ εὑρεῖν τὸν κόχλον, ἐν ᾧ τοὺς συμμάχους καθώπλισε, διὰ τὸ ἦχου πανικὸν καλούμενον. ὃ οἱ Τιτᾶνες ἔφυγον. παραλαβὼν δὲ τὴν ἀρχὴν, ἐν τοῖς ἄστροις, αὐτὸν ἔθηκε, καὶ τὴν αἶγα τὴν μητέρα. διὰ δὲ τὸν κόχλον ἐν τῇ θαλάσσῃ, παράσημον ἔχει ἰχθύος.

Αἰγοφάγος Ζεὺς, ὡς παρὰ Νικάνδρῳ ἐν θηριακοῖς. καὶ αἰγοφάγος, χήρα * (ἄλ. ἡ Ἥρα) ἐν Σπάρτῃ.

Αἰγυλὶς, λυγός. * ἄλ. λύγος.

Αἰγυπιὸς, οἱ μὲν εἶδος ἀετοῦ. οἱ δὲ τὸν γῦπα ἐξεδέξαντο. γίνεται δὲ παρὰ τὸ ἀΐσσω.

Αἰγύπτης, σίντης, ἀσκαλαβώτης.

Αἰγυπτία ἐμπολὴ, ὁ ῥωπὸς, καὶ τὰ ἐκεῖθεν φορτία. ὡς Εὐριπίδης.

Αἰγυπτιάζειν, τὸ κακοτροπεύειν, καὶ πανουργεύεσθαι. τοιοῦτοι γὰρ οἱ αἰγύπτιοι.

Αἰγύπτιον ἔλαιον κατά τινας, ἢ μύρον λευκὸν, τὸ κρινόμυρον, ὅπερ καὶ μενδήσιον ὠνόμασται. σκευαζόμενον διά τε κρίνων, καὶ ἀρωμάτων. διὰ τοῦτο μύρον, οὐκ ἔλαιον προσαγορεύεται. τὸ δ' αὐτὸ, καὶ σούσινον μύρον ὠνόμασται, παρὰ τῷ Ἱπποκράτει. ἢ αἰγύπτιον μύρον, τὸ ἀπὸ τῆς αἰγυπτίας ἀκάνθης τοῦ ἄνθους μύρον.

Αἰγύπτιος πλινθοφόρος, παροιμία ἐστὶν. ὅτι Αἰγύπτιοι διαβάλλονται, ὡς ἀχθοφόροι.

* Αἰγυπτιστί, πανούργως. Θεόκριτ. οὐδεὶς κακοεργὸς δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί.

* Αἴγυπτόνδε, εἰς Αἴγυπτον.

Αἴγυπτος, ἀπὸ Αἰγύπτου βασιλέως τοῦ υἱοῦ Βήλου. ἢ ἀπὸ Αἰγύπτου τοῦ Νείλου. ὁ γὰρ Νεῖλος πρότερον Αἴγυπτος ἐκαλεῖτο. ἥτις ὥς φησι Διόδωρος καὶ Ἡρόδοτος, πέλαγος ἦν. ἐχερσώθη δὲ καὶ χερσοῦται, ταῖς ἐκβολαῖς τῆς ἰλύος. σημαίνει δὲ τρία. τὴν χώραν, ὡς τὸ, Αἴγυπτόνδε με θυμὸς ἄνωγε. τὸν ποταμὸν τὸν Νεῖλον, ὡς τὸ, στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νῆας. τὴν ἁμαρτίαν, παρὰ τῷ Θεολόγῳ, ὡς τὸ, Αἴγυπτον τὴν σκυθρωπὴν, καὶ διώκτριαν ἁμαρτίαν.

Αἰγυπτῶσαι, μελᾶναι, καὶ ἐπικαῦσαι. * παρ' ἄλλοις γράφεται, αἰγυπτιῶσαι.

Αἰγῶν οἱ μὲν τέλειοι, τράγοι καὶ ἴξαλοι. ἡ δὲ ἐχομένη ἡλικία, χίμαροι. τὰ δὲ νεώτατα, ἔριφοι. ὁ δὲ Ποιητὴς ἐν Ὀδυσσείᾳ, τὰ μὲν τέλεια προγόνους καλεῖ. τὰ δὲ μετὰ ταῦτα, μετάσσας, τὰ δὲ ἔτι νεώτερα, ἕρσας.

Αἰγώνυχον, πόας εἶδος.

Αἰδάας, δεσπότης.

Αἴδαο, ἀντὶ τοῦ ἅδου, Δωρικῶς. καὶ αἴδεω, Ἰωνικῶς.

Αἰδάνας, ὁ διατρίβων. Ταραντῖνοι.

Αἳ δὲ, αὗται δέ.

Αἴδας, ὁ τάφος, ὁ τύμβος, καὶ ὁ ᾅδης.

Αἴδειν πρὸς μυρρίνην. ἔθος γὰρ ἐν τοῖς συμποσίοις τὸν μὴ δυνάμενον ᾆσαι, δάφνης κλῶνα ἢ μυρρίνης λαβόντα, πρὸς αὐτὴν ᾄδειν. καὶ ᾄδειν ἐπὶ ἀλεκτρυόνων λέγουσιν Ἀττικοί, κοκκύζειν δ' οὔ. καὶ ἀΐδειν αἰὰν παῖ Τελαμῶνος, ἦν τι σκολιὸν γεγραμμένον εἰς Αἴαντα.

Αἴδεις ἔχων, ἴσον τῷ μάτην λέγεις, καὶ ληρεῖς.

Ἀϊδεῖς, ἄγριοι, αἰσχύνῃ γεγονότες.

Ἀϊδὲς, τὸ ἀκατάληπτον.

Αἰδεῖσθαι, ἐντρέπεσθαι.

Αἰδεῖταί τις τὸν πατέρα, αἰσχύνεταί τις ὡς μή τι δέον πράξας. αἰσχύνη γὰρ, ἐφ' οἷς ἕκαστος ἁμαρτὼν αἰσχύνεται. αἰδὼς πρὸς ἡλικίαν, πρὸς ἀρετὴν, πρὸς ἐμπειρίαν, πρὸς εὐδοξίαν. ὁ γὰρ ἐπιστάμενος αἰδεῖσθαι, πρὸς ἑκάστην τῶν εἰρημένων ὑπεροχῶν προσέρχεται, οὐ διακείμενος οὐ διὰ τὸ ἡμαρτηκέναι, ἀλλὰ διὰ τὸ σέβεσθαι καὶ τιμᾶν τὰς εἰρημένας ὑπεροχάς.

Αἰδέσασθαι, τὸ ἔνοχον ὄντα φόνῳ ἀκουσίῳ, καὶ πεφυγαδευμένον ἐφ' ὡρισμένῳ χρόνῳ ἐξιλάσασθαι, ὡς εἰληφότα ἤδη τιμωρίαν μεταπεισθῆναι. οὕτω Λυσίας, καὶ Δημοσθένης.

Αἴδεσθεν, ᾐδέσθησαν.

Αἴδεσσαι, αἰδέσθητι.

Αἰδεσθεὶς, ἀπὸ τοῦ αἰδέζω, ὁ μέλλων αἰδέσω, ὁ παρακείμενος ᾔδεκα, ὁ παθητικὸς ᾔδεσμαι. ὁ ἀόριστος ᾐδέσθην, ἡ μετοχὴ αἰδεσθείς.

Αἰδέσσεται, αἰδεσθήσεται. ἀπὸ τοῦ αἰδέω, ῶ, αἰδαίομαι. ὁ μέλλων αἰδέσομαι, τὸ τρίτον αἰδέσεται. καὶ πλεονασμῷ τοῦ ἑτέρου σ Αἰολικῶς, αἰδέσσεται. οἱ γὰρ Αἰολεῖς διπλασιάζουσι τὰ σύμφωνα. οἷον, πόσον, πόσσον. ὁπότε, ὁππότε.

Αἰδέσιμον, σεβάσμιον, ἔντιμον.

Αἰδεσιμώτατος, αἰδοῦς ἄξιος.

Αἰδεσία, Ἑρμείου γυνή. αὕτη μὲν ἦν προσήκουσα γένει τῷ μεγάλῳ Συριανῷ. καλλίστη δὲ καὶ ἀρίστη γυναικῶν τῶν ἐν Ἀλεξανδρείᾳ. τὰ μὲν ἤθη, τῷ ἀνδρὶ παραπλησία, ἁπλῆ, καὶ γενναία, καὶ δικαιοσύνης οὐδὲν ἧττον, ἢ σωφροσύνης ἐπιμεληθεῖσα διὰ παντὸς τοῦ βίου. τὸ δὲ ἐξαίρετον αὐτῆς, φιλόθεον καὶ φιλάνθρωπον. καὶ ἄλλα πολλὰ λέγουσι περὶ αὐτῆς.

Αἰδέστεραι φροντίδες σοφώτεραι. παροιμία, ὅπερ ὁ ποιητὴς πολλαχοῦ αὐτοῖς ἔργοις ὑπο-

Digitized by Google

δηλοῖ. ἐν οἷς τὰς δευτέρας συμβουλὰς κρείττονας, ἢ τὰς ὑπαρξάσας μελέτας πραγματικῶς.

Ἀΐδηλον πῦρ, τὸ μὴ ἷζον, οἷον καθήμενον, καὶ μένον ἐπὶ ἑνὸς τόπου, ὅτε ἄνεμος εἰλυφόων φέρει, ἀλλὰ ῥοϊόν, καὶ νεμόμενον τὰ παρατυχόντα, ἵνα ᾖ αἴζηλον. καὶ τροπῇ συνήθει τοῦ ζ εἰς δ, αἴδηλον. καὶ αἴδηλον πῦρ λέγει Ὅμηρος. ἢ τὸ πολυφανές, ἐκ τοῦ α τοῦ σημαίνοντος τὸ πολύ, καὶ τοῦ ἰδεῖν. ὥσπερ ὅμοιον εἴη ἂν καὶ τὸ ἀείδελον, ἤγουν ἀφανιστικόν, καθ' ὁμοιότητα τοῦ ἀΐδου. ἢ τὸ εἰς πολὺ θέον, ἐκ τοῦ α καὶ τοῦ ἵζω τὸ κάθημαι, τραπέντος τοῦ ζ εἰς δ.

Ἀΐδηλος. οἷον, Κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνήρ, ὁ ὀλοθρευτικός. οὐ γὰρ ἄξιος Ἀριστόνικος, δηλοῦν λέγων τὸν ἀδηλοποιόν. καὶ παρὰ τῷ Ποιητῇ, αἴδηλον Ἄρηα, τὸν ὀλέθριον. καὶ ὁ μὲν Μεθόδιος λέγει εἶναι ἀπὸ τοῦ ἴδω, ἴδηλος καὶ αἴδηλος. ὁ δὲ Χοιροβοσκός, ἀπὸ τοῦ ἀϊδνόν, τὸ σημαῖνον τὸ ἀφανιστικόν. διὰ τοῦ ι, ἀϊδνόδηλος, καὶ κατὰ συγκοπὴν τοῦ δνο, αἴδηλος. ὁ δὲ Ἡρωδιανός, εἰς τὸ περὶ παθῶν, λέγει εἶναι ἀπὸ τοῦ ζῆλος, ἄζηλος, πλεονασμῷ τοῦ ι, καὶ τροπῇ, αἴδηλος. ἢ αἴδηλος, ὁ ἀφανής, καὶ θρασύς. * (ὅτε δηλοῖ τὸν θρασὺν, γράφ. αἴδυλος καὶ κατά τινας αἴδυλος) ἀείδελος δέ, ὁ ἀεὶ δελεάζων, διὰ διφθόγγου. * τὸ ἀείδελον, ποιητικόν, καὶ δηλοῖ τὸ ἀφανές, παρ' ἐνίοις δὲ καὶ τὸ πονηρόν.

Ἀϊδήλως, ἀφανιστικῶς.

Ἀιδημόνως, αἰδεσίμως.

Αἰδήμων, αἰδέσιμος.

Ἀΐδης, ᾅδης. τόπος ἐστὶν ὑπόγαιος, καὶ κεκρυμμένος. διὸ καὶ ἀΐδης λέγεται, ἤγουν ἀὴρ ἀφανής, ὃν οὐκ ἔστιν ἰδεῖν. ὡς τό, ἀΐδης ἔλαχε ζόφον ἠερόεντα. ταυτὸν ἀΐδης, καὶ ζόφος ἠερόεις.

Ἀΐδης δὲ καὶ ἀϊδωνεύς, ὁ ὑπὸ γῆν λέγεται ἀήρ. παρὰ τὸ ἄω τὸ πνέω καὶ αὐτός, καθὰ καὶ ὁ ἁπλῶς ἀήρ. οὐ γὰρ μόνον ὥς φασι ψυχὰς συνέχει, αἵ εἰσι πνεύματα, ἀλλὰ καὶ καρποῖς αἴτιός ἐστιν αὐξήσεως. ἀφ' ὧν τὸ ζῆν καὶ τὸ ἀναπνεῖν. οὐ ἐμφαντικὴ καὶ ἡ ἔμπνοια Δημήτηρ. διὸ καὶ Ζεὺς λέγεται καταχθόνιος, ἢ καὶ ἄλλως.

Ἀΐδης ὀνομάζεται, παρὰ τὸ μὴ ὁρᾶσθαι, ὃν οὐκ ἔστιν ἰδεῖν. ἢ καὶ διὰ τὸ ἀφανεῖς ποιεῖν, τοὺς ὑπὸ γῆν γενομένους.

Ἀϊδήφρων, αἰσχυντηλός.

Ἄϊδι, τῷ ᾅδῃ. κατά τινας, ἐκ τοῦ ἀΐδης. ἡ γενικὴ ἀΐδου, ἡ δοτικὴ ἀΐδῃ, κατὰ μεταπλασμόν, ἄϊδι. ὥσπερ ἀπὸ τῆς ὑσμίνης, ἡ δοτικὴ ὑσμῖνι. καὶ λιτῷ, λιτί. κατὰ δὲ ἑτέρους, ἐκλαγίσθη ἀπὸ τοῦ ἄϊς, οὗ γενικὴ ἄϊδος.

Ἀΐδιος ὁ ἀεὶ ὤν, ὁ μηδέποτε ἀρξάμενος, μηδὲ λήγων. τὰ παρὰ τὸ ἀεὶ σύνθετα, δίφθογγον ἔχουσιν. οἷον ἀείμνηστος, ἀείφρουρος, πλὴν τοῦ ἀΐδιος. δώδεκα δὲ φωναί εἰσι τοῦ ἀεί. ἔστι γὰρ ἀεί, καὶ αἰέν, καὶ αἰές, καὶ ἀεί, αἰεί, αἰεῖν, καὶ ἀεῖν καὶ αἰ, ἐξ οὗ τὸ ἀΐδιον, καὶ ἠΐ καὶ αἰῆ καὶ αἰέ, καὶ αἰές. καὶ ἀΐδιον, τὸ διαιωνίζον, καὶ λῆξιν μηδαμῶς ἔχον.

Ἀϊδίων, αἰωνίων.

Ἀϊδνός, ὁ ἀφανής. εἴδω τὸ βλέπω. ἢ τὸ γινώσκω. ὄνομα ἰδνός. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀϊδνός. ὡς στιβλὼ στιλπνός. ἐξ οὗ καὶ ἀϊδωνεὺς ὁ ᾅδης, εἰς ὃν οὐκ ἔστιν ἰδεῖν. ἐκ τοῦ ἀϊδνὸς γίνεται ἀϊδνόδηλος. καὶ κατὰ συγκοπὴν ἀΐδυλος. ἢ ἐκ τοῦ ἀΐδου γίνεται ἀϊδνός, καὶ ἐν συγκοπῇ ἀϊδνός.

Ἀϊδνής, ὁ μὴ βλεπόμενος.

Ἀϊδνή, σκοτεινή.

Αἰδοῖ εἴκων, περίφρασις τοῦ αἰδούμενος.

Ἀιδοιέστατον, ποιητικόν, καὶ ἔστι κατ' ἔθος γινόμενον Ἰώνων. τὰ γὰρ διὰ τοῦ ο συγκριτικά, διὰ τοῦ ες προφέρουσιν. οἷον, αἰδοιέστερος αἰδοιέστατος, δικαιέστερος δικαιέστατος. ὁμοίως ἀρχαιέστερος ἀρχαιέστατος, ἀφθονέστερος ἀφθονέστατος. ὤφειλε γὰρ ταῦτα εἶναι δικαιότερος, αἰδοιότερος, καὶ ἀρχαιότερος. ὁμοίως καὶ τὰ ὑπερθετικά.

Ἀιδοῖα, τὰ μόρια παρὰ τὴν αἰδῶ. γυμνῶσαι γὰρ ταῦτα, ἢ ὀνομάσαι, αἰδούμεθα. ἢ παρὰ τὸ ἀνοιδαίνειν ἐν συνουσίᾳ ὀργῶντα. ἔστιν οὖν οἰδοῖα. καὶ τροπῇ τοῦ ο εἰς α, αἰδοῖα.

Αἰδοίῃ νικώμενος. ἤγουν, τῇ αἰσχύνῃ.

Αἰδοίη, ἡ αἰδέσιμος. ἢ αἰδοῦς ἀξία, αἰδοῖος. γίνεται δὲ ἀπὸ τοῦ αἰδὼς αἰδόος, καὶ πλεονασμῷ τοῦ ι αἰδοῖος.

Αἰδοῖος, ὁ ἐφελκόμενος τὴν ἐξ ἑτέρων αἰδῶ, καὶ ἄξιος αἰδοῦς. αἰδήμων δὲ ὁ ἄλλους αἰδούμενος. καὶ ἔτι ὁ αἰδήμων, αἰδοῖος ἐν Ὀδυσσείᾳ καλεῖται. ὥστε διχῶς ὁ αἰδοῖος, ὁ αἰδοῦς τε ἄξιος (ὅθεν αἰδοίη ταμίη) καὶ ὁ αἰδούμενος, ἢ αἰδοῖος, δίκαιος, τίμιος, αἰδοῦς ἄξιος. καὶ ἐπὶ τοῦ αἰδουμένου δὲ χρῆται τῇ λέξει Ὅμηρος, καὶ ἐπὶ τοῦ οἰκέτου, Κακὸς δ' αἰδοῖος. ἀλήτης, καὶ αἰδοῖος. ὡς γελοῖος, ὁ ἄξιος γέλωτος. οὕτω καὶ αἰδοῖος, ὁ αἰδοῦς ἄξιος.

Αἰδοῖος δέ ἐστι τίς τινι, ἢ δι' ἃ ἔχει ἀγαθά, ἢ δι' ἃ εἰς αὐτὸν ἐξήμαρτεν ὁ αἰδούμενος. φαίνεται δὲ ὁ αἰδοῖος ταυτὸν εἶναι τῷ αἰδέσιμος. πλὴν ὅτι τὸ μέν ἐστι ποιητικὸν τὸ αἰδοῖος, τὸ δὲ παρὰ τοῖς κοινοῖς ἐν χρήσει. αἰδήμων δέ, ὁ εἰδὼς αἰδεῖσθαι. * ποιητικῶς λέγεται καὶ αἰδοῖος.

Αἰδοῖον, τὸ μόριον, αἰσχύνη, ὃ καὶ ἀναγκαῖον πρός τινων καλεῖται, ἐπεὶ τῆς ἀνάγκης ἐστὶ συμβόλαιον. καὶ αἰδοίων τε μεσηγύ, καὶ ὀμφαλοῦ.

Αἰδοίοισιν ἔδωκα, λέγει Εὔμαιος ὁ ὁμηρικός, ἀντὶ τοῦ ἀνδράσιν αἰδοῦς ἀξίοις, ξένοις δηλαδή, καὶ ἱκέταις. Σημείωσαι ὅτι ὕστερον ἐπενοήθη ἀντὶ τοῦ αἰδοῖος, τὸ αἰδήμων, καὶ τὸ αἰδέσιμος. τούτων μὲν γὰρ ἡ ὅλη κλίσις ἔννοιαν ἔχει σεμνήν. ὁ δὲ αἰδοῖος, ἔν τε τῷ οὐδετέρῳ γένει, καὶ ταῖς πλαγίαις, συνεμπίπτει τῷ σωματικῷ μορίῳ.

Αἰδόμενος, καὶ αἰδούμενος λέγομεν. διφορεῖται γὰρ τὸ ῥῆμα, ὡς καὶ ἕτερα. εὑρίσκεται γὰρ αἴδω καὶ αἰδῶ βαρυτόνως καὶ περισπωμένως.

Αἰδοῦμαι τὴν σὴν ἡλικίαν, ἀντὶ τοῦ αἰσχύνομαι. καὶ αἰδοῦμαι τὸν πατέρα, καὶ αἰδοῦμαι γυμνὸς βαδίζειν.

Αἰδοῦς ἄξιος κρείττων, ἢ σεβάσμιος. καὶ αἰδοῦς καὶ φιλίας βωμοὶ Ἀθήνησιν, ἐν τῇ Ἀκροπόλει.

Αἰδοσύνη, ἐπὶ τῶν ἀποκεκρυμμένων, καὶ ἀφανῶν, καὶ λανθάνειν βουλομένων. * παρ' ἄλλοις γράφεται αἰδροσύνη. ὁ δὲ Σουίδας. Ἀΐδου κυνῆ. ἐπὶ τῶν ἀποκεκρυμμένων, καὶ ἀφανῶν, καὶ λανθάνειν βουλομένων.

Ἄϊδος κυνέη, νέφος τι, καὶ ἀορασία. ἢ περιφραστικῶς, τὴν περικεφαλαίαν. ἐν αὐτῇ γὰρ τὸ πρόσωπον ἔκρυψεν ἡ Ἀθηνᾶ, διὰ τὸ μὴ ὁρᾶσθαι ὑπὸ τοῦ Ἄρεος. ἢ καὶ ἄλλως.

Ἄϊδος κυνέη, ἀθάνατόν τι νέφος, ὃ περιβάλλονται οἱ θεοί, ὅταν θέλωσιν ἀλλήλοις μὴ γινώσκεσθαι. ἢ νεφέλη ἀφανής, ἣν ὑποδυσάμενοι οἱ θεοί, ἀθεώρητοι γίνονται ἀλλήλοις. καὶ ἄϊδος, εἰς ᾅδου. * (γραπτ. ἄϊδός δε) καὶ ἄϊδος κυνῆ, παροιμία πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτούς, διά τινων μηχανημάτων. τοιαύτη γὰρ ἡ τοῦ ᾅδου κυνῆ, ἣ Περσεὺς χρησάμενος, τὴν Γοργόνα ἐδειροτόμησεν. καὶ ἄϊδος εἴσω ταυτόν ἐστι τῷ εἰς ἀΐδαο, καὶ τῷ ἄϊδόσδε. ἀττικοὶ δὲ εἰς ᾅδου φασί. καὶ ὤφειλεν εἶναι τὸ ἄει, διὰ διφθόγγου. ἀλλ' ὥσπερ ὁ νῆϊς ὁ γινόμενος ἀπὸ τοῦ νη στερητικοῦ μορίου, καὶ τοῦ εἴδω, εἴσω, ἰωταγραφεῖται, οὕτω καὶ τοῦτο.

* Ἀϊδοφοίτης, ὁ φοιτῶν παρὰ τὸν ᾅδην. Ἀθηναῖος.

Ἀϊδρείη, καὶ ἀϊδρείη, ἀνεπιστημοσύνη, ἀπειρία, ἀμαθία. διὰ διφθόγγου γράφεται. * παρὰ Σουίδᾳ γράφεται διὰ τοῦ ἰῶτα. ἀϊδρείη.

* Ἀϊδρήεις, ὁ ἄπειρος, ἀμαθής.

Ἀιδοφόλοι, οἱ λεπτοὶ καὶ ἰσχνοί, καὶ ἐγγὺς θανάτου ὄντες.

Ἄϊδροι, καὶ ἀΐδριες, ἀμαθεῖς, ἄπειροι. Ἡσίοδος. αὐτὸς δ' ἀποιχήσεται ἄλλη χώρου ἄϊδρις ἰών. καὶ Ὅμηρος, ἀΐδρει φωτὶ ἐοικώς.

Ἄϊδρις, ἔστι ῥῆμα, εἴδω τὸ ἐπίσταμαι. ὁ μέλλων, εἴσω. ὁ μέσος μέλλων, εἴσομαι. οἷον, Εἴσομαι αἴκε μ' ὁ Τυδείδης. ἐξ οὗ ῥηματικὸν ὄνομα, εἶδις. πλεονασμῷ τοῦ ρ καὶ ἀποβολῇ τοῦ ε ἴδρις, ὁ ἐπιστήμων. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄϊδρις. ἡ γενική, ἀΐδρεως. ὡς ὄφις, ὄφεως. καὶ ἀΐδρει καὶ ἀΐδρει, ἀμαθεῖ, ἀπείρῳ. ὅπερ οὐ χρὴ διὰ τοῦ δ λέγειν ἀΐδριδι. οὐ γάρ ἐστι παρώνυμον μακροκατάληκτον. ὥς τε ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ, πολυΐδριδι. καὶ τὸ παρὰ Σοφοκλεῖ, ἴδριδα. καὶ τὸ παρὰ Φρυνίχῳ, ἴδριδες. οὕτως εὗρον σχόλιον, ἐν ὑπομνήματι Ἰλιάδος. καὶ παρ' Ἡσιόδῳ ἄϊδρις, ὁ ἀσύνετος, καὶ ἀναίσθητος.

Ἀϊδρόν, τὸ ἀφανές.

Ἀϊδροφῶντι, ἀνδρείῳ, ἀναιρετικῷ. * ἄλ. αἰδρείων ἀναιρετικῷ.

Ἀϊδρῶς, ἀφανῶς, ἢ ἀπείρως.

Ἀΐδρυτον κακόν, τὸ κατάρατον, ὃ οὐκ ἄν τις αὐτῷ ἱδρύσαιτο.

Ἀΐδυλος, θρασύς.

Ἀιδώ, τὸ αἰδοῖον, καὶ ἡ σελήνη παρὰ Χαλδαίοις. καὶ ἡ ῥιπή, παρὰ Λάκωσι. καὶ ἡ τροφὴ τῆς Ἀθηνᾶς. καὶ ὁ βωμὸς ὁ ἐν τῇ Ἀκροπόλει. ὅπερ ὅτε μέν ἐστιν εὐθεῖα, ὀξύνεται ὡς Λητὼ καὶ Σαπφώ. ὅτε δὲ αἰτιατική, περισπᾶται. ὡς τό, Τά τ' αἰδῶ ἀμφικαλύπτει. οὐ γὰρ πτωτικόν ἐστι τὸ ω, ἀλλ' ἀπὸ κράσεως. ἀπὸ γὰρ τοῦ αἰδόα γίνεται αἰδῶ. Ἄλλως.

Ἀιδῶ ὀνομάζει Ὅμηρός που, τὰ παρὰ τοῖς ὕστερον αἰδοῖα. ὡς ἐν τῷ β Ἰλιάδος, Τά τ' αἰδῶ ἀμφικαλύπτει. καὶ ὅρα ὅτι ὁμώνυμος λέξις καὶ ἡ αἰδώς. οὐ γὰρ μόνον τὸ ἐπαινετὸν πάθος τῆς ψυχῆς, ὃ καὶ αἰσχύνη λέγεται κοινότερον, κατὰ τὸ αἰσχύνομαί σε βλέπειν ἐναντίον. ἤγουν αἰδοῦμαι, ἀλλὰ ἰδοὺ καὶ σώματος μόριον. τὸ δέ, τά τ' αἰδῶ ἀμφικαλύπτει, περιφραστικῶς εἶπεν. οὐ γὰρ ἔκειτο μία λέξις ἴσως δηλωτικὴ τοῦ καλύμματος αἰδοῦς, ὅπερ οἱ Ῥωμαῖοί φασι βράκαν. ὕστεροι δὲ ἀναξυρίδα, ἐκ τοῦ ἀνασύρεσθαι.

Ἀΐδων, λέγων.

Ἀϊδωνεὺς ὁ θεός, ὁ ᾅδης καὶ ὁ τόπος. καὶ ἀϊδωνι, τῷ ᾅδῃ.

Ἀϊδώνια, θανάσιμα.

Ἀϊδώτατον, αἰσχίονα.

Ἀιδώς, καὶ νέμεσις. ἡ μὲν αἰδώς, ἐξ ἡμῶν αὐτῶν. ἡ δὲ νέμεσις, ἐξ ἄλλων, πρὸς οὓς τὴν αἰδῶ ἔχομεν. καὶ αἰδώς, αἰσχύνη ἢ εὐλάβεια ἢ φόβος. καὶ αἰδώς με ἄγει παρ' Ἡσιόδῳ. καὶ αἰδῶ ἔχω, καὶ αἰδοῦμαι, ταυτόν.

Ἀϊδῶς ἀκαταλήπτως.

Ἀιδῶσα, τῆς αὐλῆς τὰ τειχία.

Αἰεί, σημαίνει τὸ ἀεί, διαπαντός, συνεχῶς, πυκνῶς, καὶ τὸ μετὰ χρόνον. ἔτι τὸ δι' αἰῶνος, τὸ δι' ὅλου, τὸ καθ' ὥραν τεταγμένην συμβαῖνον, καὶ τὸ ἐν βραχεῖ χρόνῳ συνεχές. τὸ ἀεὶ μὲν καὶ διαπαντός, ὡς τό, αἰεί με τοῦτοι πολεμοῖ διώκοιεν, ἐπὶ τῶν ἀκαταφρονήτων. καὶ αὖθις. Αἰεὶ γάρ ἡ γυνή σ' ἔχει διὰ στόμα. κἂν ᾠὸν ἢ μῆλον λάβοι, Κινησίᾳ τουτὶ γένοιτο. τὸ συνεχῶς, ἢ πυκνῶς καὶ μετὰ χρόνον. ὡς τό, Ἠΰτ' ἔθνεα ἦσι μελισσάων ἀδινάων Πέτρης ἐκ γλαφυρῆς, αἰεὶ νέον ἐρχομενάων. τὸ δι' αἰῶνος, ὡς τό, Θεῶν αἰειγενετάων. τὸ δι' ὅλου, ὡς τό, αἰεί τοι φίλον ἐστίν, ἐμεῦ ἀπὸ νόσφιν ἐόντα. τὸ καθ' ὥραν τεταγμένην συμβαῖνον, ὡς τό, Μάλακεν βαθὺ λήϊον αἰεί. τὸ ἐν βραχεῖ δὲ χρόνῳ συνεχές, ὡς τό, αἰεὶ δ' ἡνίοχον, κονίης ῥαθάμιγγες ἔβαλλον.

Αἰει-

Digitized by Google

Αἰηγενέται, ὧν τὸ γένος ἀεὶ ὑπάρχει. οὐ γὰρ καὶ ἀλλαχοῦ φησὶν Ὅμηρος, αἰὲν ἐόντες. λέγεται δὲ παρὰ τοῖς παλαιοῖς, ὅτι οἱ Ἴωνες τὸ εἶναι, γενέσθαι λέγουσιν. ὅθεν αἰηγενέτης, ὁ ἀεὶ ὤν. καὶ αἰηγενέτῃσι, τοῖς ἀεὶ ὑπάρχουσιν, ἢ τελεσιουργοῦσι. καὶ αἰηγενετάων, τῶν διὰ παντὸς ὄντων, ἢ ἐνεργούντων καὶ γενεσιουργούντων.

Αἰὲν νέον ἐρχομενάων. ἀντὶ τοῦ, κατὰ χρόνον πυκνῶς, ἢ συνεχῶς, νεωστὶ ἐρχομένων. καὶ γὰρ τοῖς μὲν ἄλλοις ζώοις ἡ πτῆσις ἀποτεταμένη γίνεται. αἱ δὲ μέλισσαι βραχεῖαν τὴν κίνησιν ποιούμεναι, ἐφίζουσι τοῖς ἄνθεσι. καὶ ἀπαρθεῖσαι, πίπτονται πάλιν, καὶ πάλιν ἐφίζουσι. κατ' ὀλίγον οὖν ἡ πτῆσις, ὥσπερ ἄρτι ἐρχομένων γίνεται, ὥστε καὶ φαντασίαν ποιεῖν, ὡς ἄρτι ἐξορμᾶσθαι. ἢ καὶ ἄλλως.

Αἰεὶ νέον ἐρχομενάων λέγει, καθ' ὅτι ἀθρόως εἰσελθοῦσαι ἐπὶ λειμῶνα ἀνθέων, ἢ ἀλλαχοῦ που αἱ μέλισσαι, μικρόν τι τῆς πτήσεως μετελθοῦσαι διιστῶσιν. ὁμοίως καὶ δεύτεραι πεπασθεῖσαι. καὶ αὖ πάλιν τρίται. εἶτα τῇ τάξει, ἀναπέτονται πάλιν. ὡς δοκεῖν αὐτὰς κατ' ὀλίγον ἀναπετομένας, ἀρχὴν τῆς πτήσεως λαμβάνειν.

Αἰεὶ φέρει τι Λιβύη κακόν. ἐπὶ τῶν κακούργων, καὶ ἀεί τι κακὸν ἐξευρισκόντων νεώτερον. παρ' ὅσον ἡ Λιβύη ποικίλα εἴωθε φέρειν θηρία.

Αἰεὶ ἑστώ. Ἀντιφῶν, τὴν αἰδιότητα, καὶ τὸ ἐπὶ τῶν αὐτῶν ἀεὶ ἱστάναι. ὥσπερ καὶ ἑστὼ εὖ, ἡ εὐδαιμονία καλεῖται. ἡ λέξις Διογενιανοῦ, ἐν τῷ ἀληθείας δευτέρῳ Ἀντιφῶντος. * κάλλιον Αἰειεστώ, καὶ εὐεστώ.

Αἰὲν, ἐπίρρημα χρόνου δηλωτικόν. σημαίνει δὲ τὸ διηνεκῶς, καὶ ἔστι ποιητικόν. τριχῶς δὲ οἶδε τοῦτο ὁ ποιητής. αἰέν. αἰεί, ἀεί.

Αἰὲν ἀτιμάζει. τὸ αἰὲν ὡς παρ' Ὁμήρῳ, ἐπίτασιν ἀτιμίας δηλοῖ.

Αἰέλιοι, οἱ ἀδελφὰς γυναῖκας ἔχοντες, σύγγαμβροι. οἱ δὲ, συγγενεῖς. καλοῦσιν αὐτοὺς καὶ ἀέλιους.

Αἰένοικος, ὁ ἀΐδιος οἶκος καὶ ἀδιάλειπτος.

Αἰένυπνος, ὁ θάνατος, ἢ ὁ ἀεὶ κοιμώμενος.

Αἰέσκοντο, ηὐλίζοντο.

Αἴεσχος, ὁ κλάδος τῆς δάφνης. * οὕτω παρὰ Σουίδα. ὁ δὲ Ἡσύχιος γράφει Αἴεσχλος.

Αἰετὸς, τὸ ὄρνεον. καὶ αἰετὸς ἐν νεφέλαις, παροιμία ἐπὶ τῶν δυσαλώτων. παρ' ὅσον ὁ αἰετὸς ἐν νεφέλαις ὤν, οὐχ ἁλίσκεται. ὁμοίως καὶ αἰετὸν κάνθαρος μαιεύσομαι, παροιμία. τὰ γὰρ ὠὰ τοῦ ἀετοῦ ἀφανίζουσιν οἱ κάνθαροι κυλίοντες. καὶ αἰετὸς αἴθων, ὁ ἔνθερμος. ἢ πυρώδης, καὶ ξανθός. σημαίνει δὲ τρία, ὡς εἴρηται ἐν τῷ ἀετός. τοῦ τροχοῦ τὸ κατὰ κνήμιον ἕκαστον σιδήριον. τὸ κυμάτιον, τὸ ἐν τοῖς γείσοις. καί τινα βοτάνην, ἐν Λιβύῃ φυομένην.

Ἄϊεν, ἤκουεν. οὐ θέμα, τὸ ἀΐω. καὶ ὥσπερ ἐκ τοῦ ἀκούειν ὁμακοΐον τὸ ἄθροισμα τῶν ἀκροωμένων, οὕτω καὶ ὅμαιον τὸ αὐτὸ, παρὰ τὸ ὁμοῦ ἀΐειν. καὶ ἄϊεν, ἐξέπνευσεν. καὶ ἀΐειν, ἀκούειν, αἰσθάνεσθαι.

Αἰζάειν, ἀστραφὲς βλάστημα.

Αἰζαὸν, τὴν μέσην ὥραν.

Αἰζασία, ἄμπελος οὕτω λεγομένη.

Αἰζάων, ὀρῶν ὑψηλῶν.

Αἰζήϊος, ὁ ἀκμάζων. καὶ αἰζηίων, νεανιῶν.

Αἴζηλον, ἄφαντον.

Αἰζηλὸς, ἄδηλος, ἄφαντος.

Αἰζηνεκὲς, αἰώνιον, διηνεκές.

Αἰζηὸς, νεανίας. παρὰ τὸ ἀεὶ, καὶ τὸ ζέω. ὁ ἀεὶ ζέων καὶ ἀκμάζων κατὰ τὴν ἡλικίαν, γίνεται αἰζεός. καὶ κατ' ἐπαύξησιν τοῦ ε εἰς η, γίνεται αἰζηός. ἀπὸ τοῦ ἀεὶ ζεῖν τὸ αἷμα τῆς ἡλικίας, τουτέστι, θερμὸν εἶναι. καὶ αἰζηοὶ, νεανίσκοι οἱ τὸ αἷμα ζέοντες. ἢ οἱ ἄγαν θερμοὶ καὶ θυμώδεις.

Αἰζόκροτον, ξηρασίαν.

Αἰζυκτὴ, ἡ γῆ.

Αἰζύπη, ἡ γῆ.

Αἰζωνεῖς, δῆμος φυλῆς τῆς Κεκροπίδος. ἐκωμῳδοῦντο καὶ ὡς βλάσφημοι. ἀφ' οὗ τὸ κακῶς λέγειν, αἰζωνεύεσθαι ἐλέγετο. Μένανδρος ἐν Κανηφόρῳ. Πλάτων δ' ἐν τῷ περὶ ἀνδρείας φησὶν, οὐδὲν ἐρῶ πρὸς ταῦτά γ' ἔχων εἰπεῖν. μή με εἴπῃ αἰζωνέα εἶναι.

Αἰηνὰ, τὰ μικρὰ τῶν δένδρων καὶ ἄκαρπα. οἱ δὲ, τὰ ξηρά. ἄλλοι αἰηνὸν, τὸ αἰώνιον, καὶ τὸ βλαβερόν.

Αἰηνὲς, ἀεί, δι' ὅλου, καὶ τὸ δεινὸν καὶ πολύστονον.

Αἰήσυλον, ἄνεμον κακοποιόν.

Αἴης, γῆς, γαίης. Ἱστορία.

Αἰήτης, ὄνομα κύριον, υἱὸς δὲ ἦν ἡλίου. ὃς θεῶν βουλῆσιν ἔγημεν Ἰδυίαν καλλιπάρηον. γέγονε δὲ κατὰ πλεονασμὸν τοῦ ι. αἴητης γὰρ ἦν. Ἀπολλώνιος, αἰήτῃ κείνην μὲν ἄφαρ διέχευαν ἄεθλοι. ἔδει δὲ εἰπεῖν αἰήτᾳ. ὡς τοξότης τοξότα, Ὀρέστης Ὀρέστα. ἀλλ' Ἰωνικῶς, ἔτρεψε τὸ α εἰς η. καὶ αἶηται, ἄνεμοι. Ἐπιμενίδης δέ φησι, Κορίνθιον τῷ γένει τὸν Αἰήτην. μητέρα δὲ αὐτοῦ Ἐφύραν. Διοφάνης δὲ ἐν τῇ πρώτῃ τῶν Ποντικῶν ἱστοριῶν, Ἀντιόπην φησὶν Αἰήτου μητέρα. προγενέστερον ἢ τὸν Ἄψυρτον Μηδείας γενέσθαι αἰήτῃ, ἐξ Ἀστεροδείης τῆς ὠκεανοῦ καὶ Τηθύος θυγατρός.

Αἰητὸν πέλωρον, ἢ πυρώδες. ἐπὶ τοῦ Ἡφαίστου.

Αἰθάλη, σποδὸς, τέφρα, τὸ ἐκ τῆς καμίνου μέλαν. ἢ εἶδος καπνοῦ πεπυκνωμένου. καὶ κονιορτός. γίνεται δὲ, ἀπὸ τοῦ αἴθω τὸ καίω. καὶ αἰθάλη, ἡ Λῆμνος. ἴσως ἀπὸ τῶν ἀναδιδομένων αἰθαλῶν ἐκ τῶν Ἡφαίστου χαλκείων. Αἰθαλίτης τὸ ἐθνικόν.

Αἶθαι, μέλαιναι, καὶ πομφόλυγες.

Αἰθαλίδες, τὰ ἐν τῷ σίτῳ γινόμενα. ἢ τοὺς ἐπὶ τῷ ὕδατι σταλαγμοὺς τοῦ ἐλαίου.

Αἰθαλίδης. κῆρυξ γέγονε τῶν ἀργοναυτῶν ἐστερημένος, ὥς φησιν Ἀπολλώνιος. ὥστε μίαν μὲν ὑπὸ τῶν ᾅδην διάγειν, μίαν δὲ ἐπὶ τὴν γῆν.

Αἰθαλείδης, δῆμος τῆς λεοντίδος φυλῆς.

Αἰθαλόεις θεὸς, ὁ Ἥφαιστος ὡς χαλκεύς. ὁ αὐτὸς δὲ καὶ κλυτοτέχνης λέγεται, ὡς ἔχων ἔνδοξον τὴν χαλκευτικήν. καὶ αἰθαλόεντος μεγάρου μέλαθρον λέγει Ὅμηρος τὴν ὀροφήν. διὸ ἐρεῖ που, Καὶ δὴ τότε ἀνέχεν Ἀθηνᾶ αἰγίδα ὑψόθεν ἐξ ὀροφῆς. ὡς ταυτὸν εἶναι ὀροφὴν καὶ μέλαθρον. καὶ νῦν μὲν ἐντελῶς ἐρρέθη, μέλαθρον οἴκου. ὅτε δὲ μέλαθρον ὁ οἶκος ἁπλῶς λέγεται, ἀπὸ μέρους καλεῖται. ὥσπερ στέγη καὶ στέγος ὁ αὐτὸς, ἀπὸ τοῦ σκέποντος ὀροφώματος, μέρους καὶ αὐτοῦ ὄντος. αἰθαλόεν δὲ, ἢ παρὰ τὸ αἴθω, ἐξ οὗ καὶ τὸ μέλαθρον διὰ τὸ αἰθόμενον δηλαδὴ πῦρ ἐν τῇ κατὰ τὴν ἑστίαν θυσίαις, ἢ τὸ καταλαμπόμενον καὶ πολύφωτον, παρὰ τὸ αἴθειν, ἤγουν λάμπειν. ἀφ' οὗ καὶ αἰθήρ. καὶ αἰθαλόεν, ἢ τὸ αἰθαλωθησόμενον, ὥς φασιν οἱ παλαιοί. ἢ τὸ ἐκφανὲς καὶ λαμπρόν. αἴθω γὰρ οὐ μόνον τὸ καίω, ἀλλὰ καὶ τὸ λάμπω. ἀκριβέστερον δὲ τὸ πρῶτον, οὗ πρόσεστιν ἡ αἰθάλη. οὐ τέφραν δηλοῦσα κατά τινας, ἀλλὰ μάλιστα εἶδός τι καπνώδους ἀναθυμιάσεως. ὁποία ἡ ἐκ τῶν καιομένων λίθων.

Αἰθαλοκαμπίαις, καπνοῖς, καὶ ψευδολογίαις.

Αἰθαλόεν, κεκαυμένον, λαμπρὸν, ἐμπεπρησμένον.

Αἴθαλος, ἡ τοῦ πυρὸς ἀποφορὰ, καὶ ἡ ἐν τῷ ὀρόφῳ αἰθάλη.

Αἶθε, ἀντὶ τοῦ εἴθε. ἐπίρρημα εὐκτικόν.

Αἴθειν, καίειν. Παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν χώραν.

Αἰθέρα, ἐμπυρισμόν. ἀπὸ τοῦ αἴθεσθαι. Εὐριπίδης Τρῳάσι, Καὶ αἰθέρα νώμησον ἔρεισμα, ἐπὶ τῶν μάτην πονούντων. ἢ αἰθέρα, τὸν οὐρανὸν, καὶ ἀέρα.

Αἰθέριον ὕψος, τὸ τοῦ αἰθέρος, ἢ τὸ ἐν τῷ αἰθέρι. καὶ αἰθέριον, οὐράνιον.

Αἰθερονόμων, τῶν ἐν ὕψει τὴν νομὴν ἐχόντων.

Αἰθεροβατεῖν, τὸ εἰς τὸν αἰθέρα βαίνειν.

Αἰθερίως, καθαρῶς.

Αἰθέρος τύμβος, ὁ οὐρανός.

Αἰθέριον, τὸ εὔθυμον. Κρῆτες.

Αἴθεσθαι, καίεσθαι.

Αἴθεσι, λαμπροῖς.

Αἴθεται, καίεται λαμπρῶς.

Αἴθη, ὄνομα θηλείας ἵππου. Ὅμηρος. αἴθην τὴν Ἀγαμεμνονείην. καὶ αἴθης πέπλους. Κρατῖνος, Ἐμβάλλοντες τῆς αἴθης πέπλους.

Αἰθὴρ, θηλυκῶς εὕρηται παρὰ τῷ Ποιητῇ, καθ' ὁμοιότητα τῆς ἠέρος. ὅπερ πολλάκις ὁ αὐτὸς, καὶ ἀντὶ τοῦ ἀέρος λαμβάνει. ἢ αἰθὴρ, ὁ οὐρανὸς κατὰ τὴν κοινὴν φράσιν. ὅθεν ὕπαιθρον, τὸ μὴ ἐστεγασμένον.

Αἴθικες, Θεσσαλικὸν ἔθνος ὑπερκείμενον τῆς Ἠπείρου. κατὰ δέ τινας, Μακεδονικόν. κατὰ δὲ ἑτέρους, Περραιβικόν. περὶ τούτων δὲ καὶ ὁ Γεωγράφος φησὶν, ὅτι ἐξηλάθησαν ὑπὸ Πειρίθου. ὁ δὲ τὰ ἐθνικὰ γράψας, φησίν. ἡ μὲν χώρα Αἰθικία, τὸ δὲ ἔθνος, Αἴθικες. ἐν Θετταλίᾳ δὲ ᾤκουν ἐν τῷ Πίνδῳ ὄρει, ἔθνος ἐπιεικῶς παράβυλόν τε, καὶ βάρβαρον, καὶ λῃστείαις κείμενον. καὶ αἰθίκεσσι πέλασσεν, ἀντὶ τοῦ πέλας τῶν Αἰθίκων, τοὺς Κενταύρους ἀφώρισεν. ἀληθῶς γὰρ οὐκ ἀπώλοντο οἱ ῥηθέντες θῆρες, ἀλλ' ἀπελήλαντο.

Αἴθινα ξύλα, εὔκαυστα. καὶ καπνὸς αἴθινος, ὁ δριμὺς, ἢ μέλας.

Αἰθίνην, καυσίμην.

Αἰθιοπαῖδα, τὸν Διόνυσον Ἀνακρέων. ἄλλοι τὸν οἶνον. ἄλλοι τὴν Ἄρτεμιν.

Αἰθιοπία, ἡ Σαμοθρᾴκη.

Αἰθιόπιον, τῆς Εὐβοίας χωρίον. καὶ Αἰθιόπιον, χώρα Λυδίας, ἀφ' οὗ ἡ Ἄρτεμις αἰθιοπία.

Αἰθιοπικὸν, ἀκακία.

Αἰθιοπὶς, φλομώδης πόα.

* Αἰθιοπὶς, ἡ αἰθιοπία, ἤτοι αἰθιοπική. οἷον αἰθιοπὶς χώρα, καὶ αἰθιοπὶς γυνή. καὶ Αἰθιόπισσαν ἰδιωτικῶς, Εὐστάθιος.

Αἰθιοπῆας. αἰθίοψ, καὶ κατὰ μετασχηματισμὸν αἰθιοπεύς. ὡς ἀπὸ τοῦ ἡγεμὼν ἡγεμονεύς, καὶ ἀπὸ τοῦ ἡνίοχος ἡνιοχεύς, καὶ ἀπὸ τοῦ ἀλκαῖος ἀλκεύς. ἀφ' οὗ ἀλκείδης, ὁ Ἡρακλῆς. οὐ μόνον δὲ εἰς ευς, ἀλλὰ καὶ εἰς ης μετασχηματίζει πολλὰ ὀνόματα, ἑτέραν ἔχοντα κατάληξιν. ὡς τὸν Πάτροκλον λέγει Πατροκλῆα. καὶ ἐφ' ἑτέρους πολλοὺς μετασχηματισμοὺς, μετατίθησι τὰ ὀνόματα. ὁ ἐτεοκλῆς δὲ, λέγεται καὶ ἐτέοκλος. ἔστι δὲ μᾶλλον ἐν χρήσει τὸ ἐτεοκλῆς. ὡς δοκεῖν τὸ ἐτέοκλος, ἀπὸ τοῦ ἐτεοκλῆς μετασχηματίζεσθαι. οὐ τὸ ἀνάπαλιν.

Αἰθίοψ, παρὰ τὸ αἴθω τὸ καίω, καὶ τὸ ὤψ ὠπὸς, ὃ σημαίνει τὸν ὀφθαλμὸν καὶ τὸ πρόσωπον. ὁ κεκαυμένην ἔχων τὴν πρόσοψιν. λέγεται γὰρ ἐκεῖσε σφοδρότερον αἴθειν τὸν ἥλιον.

* Αἶθμα, δέλεαρ. Ἡσύχιος.

Αἰθόλικας, τὰς περὶ τὴν ἐπιφάνειαν φλυκτίδας.

Αἴθοκας, φλυκταίνας. * ἐν τῷ Ἐτυμολογ. καὶ ἄλλοθι κεῖται αἰθόλικας. Γαληνὸς ἐν τῇ ἐξηγήσει τῶν Ἱπποκρ. γλωσσῶν γράφει αἰθύλικας, προστιθεὶς, ὅτι καὶ αἰθυλικώδεα τὰ τούτοις ὅμοια, τὰ ὑπὸ πολλῶν αἱμάλωπα. τὸ δὲ παρ' Ἡσυχίῳ αἴθοκας, ἡμάρτηται, ὡς δοκεῖ, παραλείψει τῆς λι συλλαβῆς.

Αἶθον, λαμπρὸν, πυρὸν, μέλαν.

Αἴθοπα, μέλανα, διάπυρον. ἢ τὸν ποιοῦντα ἐρυθροὺς, ἢ τὸν καυστικόν. ὡς τὸ, αἴθοπα οἶνον. ἡ εὐθεῖα ὁ αἴθοψ.

Αἰθὸς, ὁ αἰθόμενος. τουτέστιν, ὁ καιόμενος.

Αἶθος

Αἶθος παρ' Ἀπολλωνίῳ, πῦρ καὶ φλόξ. Τὸν δ' ἀμφί τε δήϊον αἶθος βάλεν, ἀντὶ στεροπή.

Αἴθουσαι, αἱ στυλωταὶ καθέδραι, περίστυλα ἔχουσαι. ἀπὸ τοῦ αἴθεσθαι ἐν αὐταῖς τὰ πυρά. οἷον, Πῦρ ἕτερον μὲν ὑπ' αἰθούσης εὐερκέος αὐλῆς. ἢ ὡς ἔνιοι καταλαμπόμεναι. σημαίνει δὲ τὴν καταφωτιζομένην στοὰν, καὶ τὴν μετὰ τὰ πυλῶνα παστάδα. καὶ αἰθούσαις, λαμπούσαις.

Αἴθουσα, στοὰ περίστυλος ἡλίῳ καὶ ἀνέμοις, αἰθομένη, ὅ ἐστι λαμπομένη. ᾠκοδομοῦντο γὰρ οἶκοι πρὸς τὸ ἐκκλίνεσθαι χειμῶνά τε καὶ καύσωνας. ἡ δὲ αἴθουσα, οὔτε καύσωνός ἐστι σκέπη, αἴθουσα γὰρ, οὔτε ἀνέμου, περίγδουπος γὰρ, διὰ τὴν τῶν ἀνέμων ἐπίρρηξιν. ἧς τὸ μὲν ἐνδοτέρω, πρόδομος. τὸ δὲ ἐνδοτάτω, θάλαμος. κατὰ δὲ τοὺς ἀκριβεστέρους ἡ τάξις οὕτως. ἕρκος περὶ ὃ πύλαι. μετὰ δὲ τὸ ἑρκίον, αὐλή. μεθ' ἣν αἴθουσα. ὃ, τε πρόδομος δόμος, καὶ θάλαμος.

Αἴθ' ὄφελεν, ἀντὶ τοῦ, εἴθ' ὄφελε. παραλλήλως τὰ Ἀττικὰ κείμενα μόρια, κατὰ τοῦτο διαφέρουσιν. ὅτι τὸ μέν ἐστιν ἀπαρέμφατον πρόσωπον. τὸ δὲ ὄφελον, τὰ πρόσωπα ἐμφαίνει.

Αἴθ' ὄφελες θανεῖν, ἢ πανύστατον ὀρχήσασθαι. * κάλλιον. αἴθ' ὄφελες θανέειν, ἢ ὕστατον ὀρχήσασθαι. οὕτω Καλλίμαχος περὶ γλαυκὸς, ἥτις περιαγομένη παρὰ τῶν παιδίων, καὶ μὴ βλέπουσα δι' ἡμέρας, στάσιν τινὰ ὀρχεῖται. ἢ καὶ πελεκῶσα ὑπὸ πληγῆς, στρέφεται ὥσπερ ὀρχουμένη.

Αἴθοψ οἶνος, ὁ οἷον ἐπικεκαυμένος τὴν ὄψιν, ἤτοι μέλας, ἢ ἐρυθρὸς, ἢ ὁ θερμὸς καὶ ἐκκαίων, παρὰ τὸ αἴθω. καὶ αἴθοψ καπνὸς, ὁ ἐκ τοῦ αἴθεσθαι τινὰ ὕλην ἀναδιδόμενος.

Αἰθρηγενέτεσσιν ἀνέμοις, τοῖς αἴθραν καὶ ψύχος ποιοῦσιν. ὅτι δὲ Αἴολος ἐξουσίαν εἶχεν ἀνέμων, καὶ Ὅμηρος φησί. Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων. ὅτι δὲ αἴθραν τὸ ψύχος λέγουσιν, ὁ αὐτὸς φησὶ ποιητὴς, Αἴθρῃ καὶ καμάτῳ δεδμημένον. καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν ὕπαιθρα, τὰ ὑπὸ ἀνέμου καταπνεόμενα.

Αἰθρηγενὴς καὶ αἰθρηγενέτης, ὁ βορρᾶς. ἢ διότι αἶθρον γίνεσθαι ποιεῖ. αἶθρος δὲ τὸ ψύχος. ὡς τὸ αἴθρῳ καὶ καμάτῳ δεδμημένος. ἢ ἀπὸ τοῦ πλεονάζοντος ὁ αἰθρίαν ποιῶν, ἐν τῷ διασκιδνάναι τὰ καθ' ἡμᾶς ἐκ νότου νέφη. ἢ καὶ ἄλλως, ἐκ νεφέων κατάγων ποτὲ νιφάδα καὶ χάλαζαν, τὸν ῥηθέντα αἶθρον ποιεῖ. αἰθρηγενέτης δὲ, οὐ μόνον ὁ αἶθρον, ὅ ἐστι ψύχος ποιῶν, ἀλλὰ καὶ ὁ αἰθρίας ὅ ἐστιν εὐδίας αἴτιος. ἢ ἄλλως, ὁ ἐξ αἰθέρος γενόμενος, ὅ ἐστιν ὑψόθεν πνέων. διὸ καὶ κῦμα κυλίνδειν λέγεται, ἵνα ᾖ αἰθρηγενέτης βορρᾶς, ὁ εὐδίαν ἢ ψύχος ποιῶν, ἢ ἐξ ὕψους καταπνέων.

Αἰθριάζουσιν, ἐν εὐδίᾳ εἰσίν.

Αἰθριάζειν, τὸ ἐν ἀσκέπτῳ τόπῳ τιθέναι τί. καὶ αἰθρία, ὅταν ἀνέφελος ὁ ἀὴρ ᾖ.

Αἴθριος, ὁ ὑπὸ τὸν αἰθέρα.

Αἴθρια σίφη. * (ἄλλ. σέφη) Κρατῖνος Ἰλιάσιν, Ὑπερβορείους αἴθρια τιμῶντας σέφη. τὰ γὰρ Ὑπερβορείων ἱερὰ κατά τινα πάτριον ἁγιστείαν, οὐχ ὑπὸ στέγην, ἀλλ' ὑπαίθρια διαφυλάττεται.

Αἴθρανος, τὸ γυναικεῖον ὑποπόδιον.

Αἰθρεῖ, χειμάζει.

Αἶθρον, τὸ καῦμα. καὶ τὸ ὀρεινὸν ψύχος. * ἄλλ. τὸ ὀρθρινόν.

Αἴθρα κοινὸν, καὶ αἴθρη ἀττικὸν, αἰθρία, αὐγὴ, εὐδία, ἀὴρ καθαρός. ἔστι δὲ καὶ ὄνομα κύριον τῆς Πιτθέως θυγατρός.

Αἰθρία, ἔξω ὑπὸ τὸν ἀέρα, καὶ τὰ ὕπαιθρον, καὶ ἡ εὐδία.

Αἰθρηγενεῖς, οἱ εὐδίαν ποιοῦντες.

Αἰθρινὸν, πρωϊνόν.

Αἴθριος, ὁ ὑπὸ τὸν ἀέρα.

Αἶθρος, ψύχος τὸ ὄρθριον.

Αἴθριπτος, ταχύς.

Αἴθρυλα, σκίασμα, κίνημα. * ἀδόκιμον.

Αἰθρῷ, τῷ ἐκ τῆς αἰθρίας πνέοντι.

Αἰθυίας ἄνθος, βοτάνης εἶδος.

Αἴθυια ἡ ἴυγξ, καὶ ἡ θαλάσσιος ὄρνις. αἰθυίης ὑπὸ πτερύγεσσιν ἔλυσαν πείσματα νηός. αἱ γὰρ αἴθυια, ὅταν δύωσι, κάκιστος οἰωνὸς ὑπάρχει τοῖς πλέουσι. τὴν αἰτίαν λέγουσιν, ὅτι γαλήνης οὔσης, οὐ τολμᾷ προϊέναι, φοβουμένη τὰ θαλάσσια ζῶα. χειμῶνα δὲ προορωμένη προέρχεται, τῶν ἄλλων ζώων ἐν ταῖς καταδύσεσιν ὄντων.

Αἴθυιαι, ἐνάλιαι, κορῶναι.

Αἰθυῖεσθαι, λαμβάνεσθαι.

Αἴθυγμα, τὸ ὁμοίωμα, καὶ ὅρμημα, ἐπὶ πυρός.

Αἰθύξασα, κινήσασα.

Αἰθύσσω, θερμαίνω, ἐκτείνω, καὶ τὸ διαλάμπω.

Αἰθύλικες, οἱ ἐπιπολῆς τοῦ δέρματος συνιστάμενοι ἐρυθροὶ κύκλοι, παρὰ τῷ Ἱπποκράτει.

Αἰθύσσει, ῥιπίζει.

Αἰθύσσοντος, ὁρμῶντος.

Αἰθύσσειν, ἀνασείειν, ἀνακαίειν, ῥίπτειν.

Αἴθω, τὸ φωτίζω, καὶ φλογίζω, καὶ καίω. ἀφ' οὗ αἶθος, ὁ μέγας ἢ μέλας. καὶ αἴθων, ἀνδρεῖος καὶ πολεμικός.

Αἴθων, ὁ ἀνδρεῖος. ἢ ὁ πολεμικὸς καὶ ἰσχυρός. καὶ αἴθων σίδηρος, καθ' Ὅμηρον, ὁ ἀκατέργαστος, καὶ ἐπιτήδειος εἰς καῦσιν καὶ ἐργασίαν ἐκ τοῦ αἴθω τὸ καίω. ἢ ὁ κατειργασμένος καὶ λαμπρὸς, ἀπὸ τοῦ αἴθω τὸ λάμπω. ὅθεν καὶ χροιὰ αἴθοψ, ἡ μέλαινα. τὸ δὲ αἴθων φυλάττει τὸ ω μέγα ἐπὶ γενικῆς. τὰ γὰρ εἰς θων λήγοντα πάντα, φυλάττουσι τὸ ω. οἷον, αἴθωνος, γράνθωνος, καὶ ἕτερα. ἢ αἴθων ὁ διάπυρος καὶ αἰθὼς παρὰ τῷ Κωμικῷ. αἴθοψ δὲ, ὁ μέλας. καὶ κλίνεται αἴθοπος διὰ τοῦ ο μικροῦ. ἐξ οὗ Αἰθίοπες, καὶ Αἰθιοπία. καὶ αἴθων, λάμπων. καὶ αἴθωνος λιμὸς, ὁ βίαιος, ἀπὸ Αἴθωνός τινος Ἠλίου. * (ἄλλ. γράφεται θετταλοῦ. αἴθων γὰρ ὁ ἀδηφάγος θετταλὸς ἦν) καὶ αἴθων ἀετὸς; πυρώδης, καυστικός. καὶ αἴθωνες βόες, οἱ θερμοὶ ἐργάζεσθαι, ἢ μέλανες. οἱ ἐν ἄλλοις, οἴνοπες. ἢ καὶ πυῤῥοὶ, ὡς ἀπὸ τοῦ οἶνος ἐρυθρός. καὶ αἴθωνες ἵπποι, ἤγουν μέλανες, εὐκίνητοι ἢ πυῤῥοί. καὶ αἴθωνες τρίποδες, οἱ αἰθόμενοι, ὅ ἐστι λάμποντες, ὡς γεγανωμένοι, ἀπὸ πυρὸς αἰθομένου. τιμιώτεροι δὲ λεβήτων ὄντες. καὶ αἴθων λέων, ὁ διάπυρος.

Αἴθ' ὡς, εἴθ' οὕτως.

Αἴθ' ὄφελες ἄγονός τ' ἔμμεναι, ἄγαμός τ' ἀπολέσθαι. ἤγουν ἔδει μὴ γενέσθαι σε ὅλως, ἐπειδὴ δὲ ἐγεννήθης, ὄφελες μὴ εἰς γάμον ἐλάσαι. ἵνα δὲ μὴ δόξῃ ἀνάλογα τὰ τῆς ἀρᾶς, ἐπάγει. καίκε τὸ βουλοίμην, καίκε πολὺ κέρδιον εἴη.

Αἶκα, ἀντὶ τοῦ ἐὰν, ποιητικῶς. καὶ ἀντὶ τοῦ εἶκεν. τὴν γὰρ ει δίφθογγον τρέπουσιν οἱ Δωριεῖς εἰς τὴν αι. τὸ δὲ ε ψιλὸν εἰς α βραχὺ, οἷον, εἶκεν αἶκα, Ἄρτεμις Ἄρταμις.

Αἰκάζει, καλεῖ.

Αἰκάλος, κόλαξ.

Αἰκάλλει, θέλγει, θωπεύει, κινεῖ, σαίνει, ἀπατᾷ, προτρέπεται. ὡς τὸ, αἰκάλλει τὴν ἐμὴν καρδίαν.

Ἀϊκὰς, ὁρμὰς, φορὰς, ὀξυτόνως ἀπὸ τοῦ ἀϊκὴ, ἀϊκάς. ὡς ἰωκὴ ἰωκάς. Τὰ γὰρ εἰς κη θηλυκὰ ὑπὲρ δύο συλλαβὰς, τῷ ι παραληγόμενα, βαρύνεται. ἑλίκη, μυρίκη, φοινίκη. τὸ δὲ ἀϊκὴ ὀξυτονήθη παρὰ τὸ ἀΐσσω. ὡς φυλάσσω, φυλακή. ὅθεν τόξων ἀϊκὰς, ἀντὶ τοῦ τοξευμάτων. ἔστι δὲ καὶ ἄλλη εὐθεῖα ἡ ἀΐξ, ὅθεν πολυάϊξ, Πολυάϊκος πολέμοιο. καὶ κορυθάϊξ, ἀπὸ τοῦ ἀΐσσω τὸ ὁρμῶ, διὰ τοῦ ι. καὶ ἀΐκες, ὁρμαὶ, αἱ ἐν τῷ πολέμῳ κλίσεις ἐφ' ἑκάτερα. καὶ γὰρ πολλάκις ὁ μέλλων ἀποβάλλων τὸ ω, ἀποτελεῖ ὄνομα. ἀΐσσω ἀΐξω, ἀΐξ. ἢ καὶ ἄλλως. τὰ εἰς ξ λήγοντα ὀνόματα, ἀποστρέφονται τὴν ει δίφθογγον, τέττιξ, πέρδιξ, ἀΐξ.

Ἀϊκελίου, ἀτελοῦς, εὐκαταφρονήτου.

Αἴκεν πως, ἐάν πως. ἀπὸ τοῦ εἰ συναπτικοῦ συνδέσμου, τροπῇ τοῦ ε εἰς α. οἱ γὰρ Δωριεῖς τὸ ε εἰς α τρέπουσιν.

Αἰκέποθι, ἐάνποτε.

Αἴκεν ἰδέη, ἐὰν θεάσηται.

Αἴκε πίθηαι, ἐὰν πεισθῇς.

Ἀΐκες, αἱ ἐν τῷ πολέμῳ ἐφ' ἑκάτερα κινήσεις καὶ ὁρμαί. ὁ δὲ Ἀπολλώνιος τὰς ἀντιπνοὰς τῶν ἀνέμων εἴρηκεν.

Ἀϊκὴ, ῥιπὴ, κίνησις.

Ἀϊκία, πληγὴ, ὕβρις, βάσανος, μάστιξ.

Αἰκία, εἶδος δίκης ἐστὶν ἰδιωτικῆς, ἐπὶ πληγαῖς λαγχανομένης, ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔστιν ὡρισμένον. ἀλλ' ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται ὁπόσου δοκεῖ ἄξιον εἶναι τὸ ἀδίκημα. οἱ δὲ δικασταὶ, κρίνουσι. καὶ αἰκία, ὕβρις, μάστιξ. διαφέρει δὲ ὕβρεως αἰκία. αἰκία μὲν γὰρ, ἡ διὰ πληγῶν. ὕβρις δὲ, ἡ ἄνευ πληγῶν, μετὰ προπηλακισμοῦ καὶ ἐπιβουλῆς.

Αἰκίζομαι τὸ ὑβρίζω. αἰκίζομαί σου, καὶ αἰκίζομαί σε. τὸ δὲ αἰκίζω, ποιητικώτερον.

Αἰκίζω, τὸ μαστίζω. ἀπὸ τοῦ ἀεικὴς, ὃ σημαίνει τὸ σκληρὸν, καὶ ἀπότομον.

Αἰκίσμασι, πληγαῖς, μάστιξιν.

Αἰκισμῶν, μαστίγων, πληγῶν.

Αἰκιῶν, βασάνων, πληγῶν.

Αἶκλοι, αἱ γωνίαι τοῦ βέλους.

Αἶκνον, δεῖπνον. * γράφεται καὶ αἶκλον, ὥς φησιν Εὐστάθιος, καὶ διῃρημένως, ἄϊκλον, καὶ ἄϊκνον.

Αἶκλος, ὁ ἑσπέριος.

Αἴκολα, αἰσχρά.

Ἄϊκτος, ἀπρόσιτος.

Ἀϊκτὴ, ἡ κρηπίς. οἱ δὲ, ἡ ἀκτή.

Αἴκουδα, αἰσχύνη. Λάκωνες.

Ἀϊκῶς, αἰκιστικῶς, ὑβριστικῶς, χαλεπῶς. ἀπὸ τῆς αἰκίας. ἤγουν, τῆς στάσεως.

Αἰκίστρια, ἡ αἰκίζουσα.

Αἰκίσασθαι, γίνεται ἐκ τοῦ ἀεικίσασθαι, ἐκβολῇ τοῦ ε, καὶ συναιρέσει τοῦ α καὶ ι.

Αἰκοῦλοι, ἔθνος.

Αἰλὰ, ἀντὶ τοῦ καλά.

Αἴλινον κοινῶς, καὶ ἐπὶ θρήνου καὶ ἐπὶ ὕμνου. ἔστιν ἀπὸ Αἰλίνου τοῦ Καλλιόπης.

Αἰλία, πόλις Παλαιστίνης, ἡ πάλαι ἱεροσόλυμα, ἀπὸ Αἰλίου Ἀδριανοῦ. ὁ πολίτης, Αἰλιώτης.

Αἴλινος, ὁ θρῆνος. ἢ ὀδυρτικὴ καὶ θρηνητικὴ αὐδή.

Αἴλιος, ὁ σύγγαμβρος. καὶ εἶδος βοτάνης.

Αἴλιον, κακοίλιον. οὐ γὰρ πλεονασμός. * ἴσως αἴλιον ἀεικήλιον. ἀλλὰ κίβδηλον, ὡς καὶ τὸ ἄνω αἴλια.

Αἰλεῖν, θωπεύειν.

Αἰλότροπον, ἀλλοιότροπον.

Αἰλοχειός. ῥίζα τὶς, οὕτω καλουμένη.

Αἴλουρος, τὸ ζῶον, παρὰ τὸ αἰόλλειν τὴν οὐράν.

Αἷμα, ἡ συγγένεια, καὶ ὁ χυμός. σύναιμος δὲ, ἄχρηστον, ἢ αἷμα, ἡ τελευταία τροφὴ τοῖς ἀναίμοις ζώοις. καὶ αἷμα τὸ γένος ταύτης τῆς γενετῆς. καὶ αἵματός τοι εὔχομαι εἶναι. καὶ τῶν ἐν ἡμῖν τεσσάρων χυμῶν τὸ καιριώτατον.

Αἱμαβόρου, αἷμα ἐσθίοντος. βορὰ γὰρ, ἡ τροφή.

Αἱμαλία, ἀλλαντία.

Αἱμαλεὰ, μέλας ζωμός. * Πολυδεύκ. γράφει αἱματία, παρ' ἄλλοις αἱμαλία.

Αἱμαλεὸν, ἀσθενῆ.

Αἱμακουρίας, τὰ τῶν νεκρῶν ἐναγίσματα Δωριεῖς λέγουσι. ἄλλως.

Αἱμακουρία. βοιωτικὴ ἡ φωνή. Βοιωτοὶ γὰρ αἱμακουρίας τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσι.

Digitized by Google

σι. καὶ παρὰ τῷ Πινδάρῳ αἱμακουρίαις, τοῖς μεθ' αἱμάτων γινομέναις ἐναγισμοῖς. κατ' ἐνιαυτὸν δὲ ἐγίνοντο τῷ Πέλοπι. ἡ δὲ ἐτυμολογία, ἀπὸ τοῦ κορέννυσθαι τὰς ψυχὰς αἵματος.

Αἱμασιὰ κατὰ τοὺς παλαιοὺς, τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον ἄνευ πηλοῦ, ὅμοιον φραγμῷ. ἢ τὸ ἐκ πολλῶν λίθων λογάδων ἄθροισμα. ἢ ἡ ἐκ χαλίκων οἰκοδομὴ, τειχίον, θριγκός. ἀττικοὶ καὶ ἴωνες φασὶν αἱμασιὰν, τὸ τειχίον. τὸ δὲ αὐτὸ, ἔδαφος οἶμαι Δωριεῖς καλεῖν. καὶ αἵμους τοὺς δρόμους Αἰσχύλος λέγει, ἴσως ἀπὸ τοῦ αὐτοῦ. ἀφ' οὗ καὶ αἱμασιὰ κέκληται. χρῆσις δὲ τῆς λέξεως καὶ παρ' Ἡροδότῳ. οἷον, αἱμασιὰν περιέβαλον κυκλοτερῆ, ὕψος ἀνήκουσαν, ἀνδρὶ ἐς ὀμφαλόν. ἦν δὲ περιῳκοδομημένη. ὁ δὲ Θρακικὸς παραφραστὴς, λίθους ἡρμήνευσε τὰς αἱμασιὰς, εἰπὼν, φυτῶν καὶ τοὺς λίθους ἐκλέγων. Ἴσεον δὲ, ὅτι δοκεῖ ἐξ ἀκανθῶν ποτὲ ἡ αἱμασιὰ οὖσα, ἐκεῖθεν σχεῖν τοὔνομα, παρὰ τὸ αἱμάσσειν. καὶ περιέμεινεν ἡ κλῆσις ἐκείνη ὕστερον καὶ τοῖς ἐκ χαλίκων κτίσμασι. καὶ αἱμασιὰ κατὰ τὴν τοῦ Ποιητοῦ ἑρμηνείαν, ἀλωῆς ἕρκος. ἴσως ἐξ ἀκανθῶν οὖσα ποτε. ἦν εἶδος, αἱ βάτοι.

Αἱμάτα, ἡ μάχαιρα, παρὰ Σοφοκλεῖ.

Αἵματι φοινὸν, ἀντὶ τοῦ πυρόν.

Αἱματίτης, ἡ φλέψ. ἰδιαίτερον καὶ αἱμοῤῥοΐς. καὶ λίθος ἐστὶ, αἱματίτης.

Αἱματόεντα, ἡματωμένα.

Αἱματόεσσα, αἱματώδης.

Αἵματος αἶσαι ἄρηα, ἀντὶ τοῦ, αἵματος κορέσαι τὸ δόρυ. ἢ αἵματι μολῦναι καὶ χρῶσαι αὐτό. ἄση γὰρ ἡ ῥυπαρία. ὅθεν καὶ ἀσάμινθος, ἐν ᾗ τὴν ἄσην μινύθοντες ἐλούοντο. οἱ δὲ τὴν ῥυπαρίαν μειοῦντες.

Αἵματι κλαίειν, καθ' ὑπερβολὴν, οὐ δάκρυσιν. ἐφ' ὧν μὴ δυναίμεθα πεῖσαι πάντα πράττοντες, οὕτως ἔλεγον οἱ ἀρχαῖοι, οὐδ' ἂν πείσῃς αὐτὸν, οὐδ' αἵματι κλαίων. λέγουσι δὲ καὶ, οὐδ' ἂν αἵματι στάζων πείσειεν.

Αἱματόλοιβοι στάσιες, αἱ πλήρεις αἵματος κατωρθωμέναι φλέβες. παρὰ τῷ Ἱπποκράτει.

Αἱματοπώτην δράκοντα λέγει Ἀριστοφάνης, ὅτι αἱματοποτεῖ τὸ ζῶον. καὶ αἱματοπώτην τὸ αἷμα καταναλίσκοντα, καὶ ὥσπερ ἐκφοροῦντα. * κοινῶς μετὰ τοῦ ο γράφεται. ἔχει δ' ἐνταῦθα τὸ ω διὰ τὸ μέτρον.

Αἵμνιον, τὸ αἱμοδόχον ἀγγεῖον.

Αἱματῶπις, αἷμα βλέπουσα.

Αἱματωπὸς, ὁ τοὺς ὦπας ἡμαγμένους ἔχων.

Αἱματῶσαι, φονεῦσαι, ἢ φοινίξαι.

Αἱμαχθέντες, τῷ αἵματι χρανθέντες.

Αἱμῶνας, ἐπιάξας, ἀμύξας. παρὰ τῷ Ἱπποκράτει. * Γαληνὸς γράφει αἱμόνας.

Αἱμηραὶ, αἱματώδεις.

Αἵμιον, σφάγιον.

Αἱμύλιος, δόλιος.

Αἱμοβόρος, ὁ ἐσθίων καὶ πίνων αἷμα.

Αἶμοι, ἀντὶ τοῦ οἴμοι. τίθεται καὶ ἐπὶ θαυμασμοῦ.

Αἶμοι, δρυμοί. Αἰσχύλος Αἰτναίοις.

Αἱμόκερχνα, αἱμοστάγματα. κερχνὸν γὰρ λέγεται, ἐπὶ αἵματος ἐκχύσει παρὰ τῷ Ἱπποκράτει.

Αἵμονά τε κρείοντα, τὸν βασιλέα αἵμονα, καὶ αἵμονα Σκαμάνδριον, ἤγουν ἐπιστήμονα, ἐσθλὸν θηρητῆρα, ἐκηβολίαις κεκασμένον. ὃν ἐδίδαξεν Ἄρτεμις αὐτὴ βάλλειν ἄγρια πάντα. ἔπαινοι ταῦτα κυνηγοῦ, ὥσπερ τὸν ἄριστα χαλκεύοντα ὁ Ἥφαιστος λέγεται διδάξαι. καὶ τῷ τοξότῃ, διδάσκαλος ὁ Ἀπόλλων. καὶ ὁ δεξιὸς δὲ κλέπτης, Ἑρμοῦ πλάττεται μαθητής. Ἀθηνᾶς δὲ, ὁ τέκτων. Φέρεκλος γὰρ ὡς ἀγαθὸς ναυπηγὸς, φιλεῖσθαι ἐφάνη τῇ Ἀθηνᾷ. οὕτω κυνηγετικὴν, Σκαμάνδριον ἡ Ἄρτεμις διδάξαι τὴν θύραν λέγεται.

Αἱμονία, ἡ Θεσσαλία τὸ πρότερον. ἀπὸ Αἵμονος υἱοῦ Ἄρεος ἐκαλεῖτο. καὶ ἄλλας ἔσχεν ὀνομασίας. ἐλέγετο δὲ καὶ Πυῤῥοδία, ἀπὸ Πύῤῥας τῆς Δευκαλίωνος ἡ Θεσσαλία. ἐκαλεῖτο τὸ παλαιὸν Πύῤῥα. ὡς Ῥιανὸς, Πύῤῥαν δή ποτε τήν γε παλαιότεροι καλέεσκον. Πύῤῥης Δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο. Αἱμονίην δ' ἐξ αὖθις ἀφ' Αἵμονος, ὅν ῥα Πελασγὸς γείνατο φέρτατον υἱόν. ὁ δ' αὖ τέκε Θεσσαλὸν Αἵμον, τοῦ δ' ἀπὸ Θεσσαλίην λαοὶ μετεφημίξαντο. οἱ δὲ, ἀπὸ Θεσσαλοῦ τοῦ Φειδίππου παιδὸς, τοῦ Ἡρακλείδου μετὰ τὰ Τρωϊκὰ κληθῆναί φασι. διαιρεῖται δὲ εἰς μέρη τέσσαρα. Πελασγιῶτιν, Θεσσαλιῶτιν, Ἱολκιῶτιν, καὶ Φθιῶτιν. ταῦτα παρατίθεται Ἀπολλόδωρος, ἐν νεῶν καταλόγῳ.

Αἱμόῤῥους, γένος ἔχεως, ἤτοι ὄφεως. ἐν τοῖς τετράδεσι χηραμοῖς ἔχον τὰς διατριβάς. καὶ αἱμόῤῥους, ἡ αἱμόῤῥοιαν πάσχουσα.

Αἱμορυγχιᾶν, τὸ καθημάχθαι τὸ ῥύγχος.

Αἷμος, ὄρος Θράκης. ἀπὸ Αἵμου τοῦ Βοῤῥέου, καὶ Ὠρειθυίας. καὶ αἷμος, ὁ τράχηλος. καὶ αἵμους, τὰς δρόσους, * (ἄλλ. δρυμοὺς) Αἰσχύλος. αἱμοὺς δὲ, τοὺς ὀβελίσκους.

Αἱμοφόρυκτα κρέα, τὰ αἵματι μεμολυσμένα καὶ ἀναπεφυρμένα. ἢ αἱμοβαφῆ. ὁποῖα τὰ ὠμά. συγκέκοπται δὲ ἡ λέξις, ἐκ τοῦ αἱματοφόρυκτα. ἄλλως γὰρ παρὰ τὸ αἷμα, αἱμαφόρυκτον ὤφειλεν εἶναι. τοιοῦτο δὲ καὶ τὸ αἱμόῤῥυτον, καὶ τὸ αἱμοβαφές. καὶ αἱ παρὰ Λυκόφρονι αἱμοφόρυκτοι μάχαι.

Αἱμύλιοι λόγοι, οἱ κατὰ ἔρωτα κολακεύοντες, καὶ οὓς ἂν εἴπῃ γυνὴ ἐρῶσα. καὶ διὰ τοῦτο κατὰ τὸν Ἡσίοδον αἱμύλα κωτίλλουσα. καὶ αἱμυλίοισι, συνετοῖς, καὶ προσηνέσιν.

Αἱμύλος, ἀστεῖος, συνετὸς, ὀξὺς ἐν τῷ λέγειν. καὶ αἱμύλος, ὁ ἀπατεών παρὰ τὸ δαίω τὸ μανθάνω, δαίμων. ἀποβολῇ τοῦ δ, αἵμων. αἵμονα θήρης, τουτέστιν εἰδήμονα. ὑποκοριστικὸν ἐκ τοῦ αἵμων, αἱμύλος. οὗ τὸ κτητικὸν αἱμύλιος. καὶ αἱμύλος, ὁ κόλαξ. διὰ μὲν τινὲς αἱμύλων καὶ κομψῶν, οἰήσονταί με παίζειν. ἢ αἱμύλος, ποικίλος, πυκνὸς, πανοῦργος, δολερός. καὶ αἱμυλία ἀστεϊόντοι, * (ἴσ. ἀστειάζοντες) ἐπίχαρις.

Αἱμωπὸς ὀφθαλμοὺς, πλήρεις αἵματος, ἢ ἀγερωπούς, αἱμωποὺς ἐστυφέλιξε λύκους.

Αἱμωδία, νάρκη.

Αἱμωδεῖν, τὸ αἱμωδιᾶν, καὶ τοὺς ὀδόντας ὀδυνᾶσθαι.

Αἵμων, ὁ ἔμπειρος. αἵμονα θήρης.

Αἱμωποὶ, αἱματώδεις.

Αἱμώθη, ἡματώθη.

Αἰνὰ τεκοῦσα. ἀντὶ τοῦ αἰνῶς. καὶ αἰνὰ, δεινὰ, κακά.

Αἰνάρετος, καὶ αἰναρέτης, ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν κεκτημένος.

Αἰναρέτη, ἡ ἐπὶ κακῷ κεκτημένη τὴν ἀρετήν. αἰνὸν γὰρ τὸ χαλεπὸν, καὶ δεινὸν, καὶ κακόν.

Αἴνεια, πόλις περῤαιβῶν. καὶ Αἰνιᾶνες, οἱ κατοικοῦντες. οἱ δὲ αὐτοὶ, καὶ Αἰνιεῖς. ἔτι δὲ καὶ Αἴνειοι. ὡς γὰρ φασι λυκία λύκιος, οὕτως αἰνία αἴνιος. οὓς Αἰνιῆνας διὰ τοῦ η Ἰωνικῶς φησιν Ὅμηρος. τὸ μὲν ὁμηρικὸν μέτρον διὰ τοῦ ε ψιλοῦ παραδίδωσι λόγῳ δακτύλου. ὃς ἀπαρτίζεται ἐν τῷ. τῷ δ' Ἐνιῆνες ἕποντο.

Αἰνείας, κύριον. παρὰ τὸ αἶνος, ὃ σημαίνει τὸν ἔπαινον, λέγεται αἰνέας. καὶ πλεονασμῷ τοῦ ι, αἰνείας. τὸ δὲ αἶνος, παρὰ τὸ ἰαίνω τὸ εὐφραίνω, γίνεται ἴαινος. καὶ ἀποβολῇ τοῦ ι, αἶνος.

Αἰνεῖν, ὁμώνυμος λέξις ἐστίν. ἐν γοῦν τῷ Αἰλίου Διονυσίου λεξικῷ, γράφεται οὕτως.

Αἰνεῖν, τὸ ἀναδεύειν, καὶ ἀνακινεῖν κριθὰς ὕδατι φύροντα. Φερεκράτης, Νῦν ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίσσειν, φρύγειν, ἀναβράττειν, αἰνεῖν. Παυσανίας δὲ ἐν τῷ κατ' αὐτὸν ῥητορικῷ, οὐ διὰ διφθόγγου γράφων αἰνεῖν, ἀλλὰ μόνου τοῦ διχρόνου φησὶν ἀνεῖν, ἔκτασιν ἔχει τὸ ᾱ. δηλοῖ δὲ τὸ πτίσσειν, ὡς Ἀριστοφάνης ἐν Εἰρήνῃ φησί. καὶ Φερεκράτης δ' ἔτι φησὶ, Νῦν δὲ ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίσσειν, ἀποβράττειν, ἀνεῖν, ἀλέξαι, μάξαι. τὸ δὲ τελευταῖον, παραθεῖναι. λέγει δὲ καὶ ὅτι διαφέρει τὸ πτίσσειν τοῦ ἄνειν. τὸ μὲν γὰρ πτίσσειν γίνεται, ἵνα τὸ πτισσόμενον ἀπολίποι τὸ πιτυρῶδες ἄχυρον. τὸ δὲ ἄνειν, ἐπὶ ξηρῶν. ὥσπερ καρύων, ἵνα τὸ ἀχυρῶδες αὐτῶν περικαὲν ἀφαιρεθείη. καὶ ἄλλως.

Αἰνεῖν, τὸ ἀναβράττειν τὸν ἀληλεσμένον σῖτον. τουτέστιν, ἀναδεύειν, καὶ ἀνακινεῖν τὰς κριθὰς ὕδατι φυρῶντα. οἱ δὲ, βλάπτειν, ἢ τὸ ταῖς χερσὶν ἀνατρίβειν τὰς κέγχρους. καὶ ἐπαινεῖν, καὶ συγκατατίθεσθαι παρ' Ὁμήρῳ. παρ' Ἡσιόδῳ δὲ, τὸ παραιτεῖσθαι.

Αἰνέου. Κανών. Τὰ εἰς ας καὶ εἰς ης ὀνόματα, ἰσοσυλλάβως κλινόμενα, κοινῶς μὲν καὶ ἀττικῶς εἰς ου ἔχει τὴν γενικήν. οἷον Αἰνείας Αἰνείου. Πηλείδης, δου. Ἀτρείδης, δου. Δωρικῶς δὲ, εἰς ᾱ μακρὸν περαίνει τὴν γενικήν. οἷον τοῦ Αἰνεία, τοῦ Πηλείδα, τοῦ Ἀτρείδα. Ἰωνικῶς δὲ διὰ τοῦ εω, Αἰνείεω, Πηλείδεω, Ἀτρείδεω. Βοιωτικῶς δὲ διὰ τοῦ αο. οἷον Αἰνείαο, Πηλείδαο, Ἀτρείδαο.

Αἰναρέτης. φασὶν ἡ λέξις κατὰ Ἡρόδωρον καὶ Ἀππίωνα ἔχει ἔπαινον ὁμοῦ καὶ ψόγον. τοῦτο δὲ συνηθές φασιν Ὁμήρῳ τε καὶ ἄλλοις, τὸ αἰνὸν συντιθέναι. οἷον αἰνόπαρις, αἰνολέκτρη. οὕτω καὶ αἰναρέτης, ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν ἔχων. ἤτοι τὴν ἀνδρείαν, κατ' ἐξοχήν. οὕτως Ὅμηρος τὸν Ἀχιλλέα αἰναρέτην καλεῖ.

Αἰνέομεν, αἰνοῦμεν.

Αἰνέοντες, διὰ παντὸς αἰνοῦντες.

Αἰνεπίκουρος, ἐπὶ κακῷ βοηθῶν.

Αἰνεῖται, συγκατατίθεται.

Αἰνέσαιμι, ἐπαινέσαιμι, ἢ ἀναπείσαιμι.

Αἶνες, ἐθνικόν.

Αἰνέσιμοι, καθήκοντες. * ἐπαίνου ἄξιοι.

* Αἴνεσις, ἔπαινος. καὶ αἰνεσίησι, παρὰ Ποιηταῖς, δοτικὴ ἀπὸ τοῦ αἰνεσία.

Αἰνετὰ νεικίοντα, τὰ ἐπαίνου ἄξια.

* Αἴνη, ὁ ἔπαινος.

Αἰνήθετος, οὐκ ἀλιπαίνετος.

Αἰνήσαιεν, καταδέξαιντο.

Αἰνήσωσιν, ἐπαινέσωσι, συγκαταθῶνται.

Αἱ νῆες ἐρεῖς, οὐκ αἱ ναῦς. σόλοικον γάρ. ἡμαρτε μέντοι Φαβωρῖνος Πολέμων, καὶ Σύλλας, αἱ ναῦς εἰπόντες τὰς νῆας. Πολλισμὸς δὲ ὁ σοφιστὴς ἀκούσας παρά τινος, ὅτι οὐ χρὴ αἱ ναῦς λέγειν, ἀλλὰ αἱ νῆες, ᾠήθη δεῖν λέγειν καὶ τὴν αἰτιατικὴν ὁμοίως τὰς νῆας. οὐκ ἔχει δὲ οὕτως. ἀλλ' ἐπὶ μὲν τῆς εὐθείας δισυλλάβως, ἐπὶ δὲ τῆς αἰτιατικῆς, μονοσυλλάβως.

Αἰνὴν δηϊοτῆτα λέγει Ὅμηρος, οὐ μόνον πρὸς διαστολὴν τὸν ἐν λόγῳ μάχης, ἀλλὰ καὶ καθόλου, καθὰ καὶ κακὴν ἔριν ἔφη, τὴν ἐν τοῖς ἐκ χαλίκων κτίσμασιν.

Αἴνηθος, ὄρος. τὸ ἐθνικὸν, Αἰνήθιος.

Αἴτνη, Σικελίας ὄρος.

Αἰνιάτης, ὁ ἀπὸ τῆς Αἴνου τῆς ἐν Θράκῃ πόλεως, παρὰ τῷ Ἱπποκράτει.

Αἰνίζομαι, ἐπαινῶ, θαυμάζω. ὁ δὲ Κομανὸς ἀντὶ τοῦ δεινήσομαι, καταπλήσσομαι, αἰνίζηθ' ὑποφήτην.

Αἰνίγματα, ζητήματα, ὁμοιώματα, τεκμήρια.

Αἰνιγματωδῶς, δυσχερῶς, ἀσυμφώνως.

Αἴνιγμα, πρόβλημα, ζήτημα. ἢ αἴνιγμα, φράσις ἐπιτετηδευμένη εἰς ἀσάφειαν, ἀποκρύπτουσα τὸ νοούμενον. ἢ αἴνιγμά ἐστι λόγος σκοτεινὸς, καὶ κεκρυμμένος. ὡς τὸ προβληθὲν ζήτημα. οἷον, ἐκ τοῦ ἐσθίοντος ἐξῆλθε βρῶσις. καὶ ἐκ τοῦ πικροῦ γλυκύ. ἢ ὡς ἵνα εἴπωμεν, θερειστὴν ὑδάτων, τὸν ἁλιέα. διαφέρει δὲ τῆς ἀλληγορίας. ὅτι ἡ μὲν ἀμαυροῦται ἢ λέξει, ἢ διανοίᾳ. τὸ δὲ αἴνιγμα, καθ' ἑκάτερον. οἷον, ἤγουν ἀλγή-

σας,

σας, παῖδα τὸν ἐκ Θέτιδος ἀνέθρεψε. ἥσσων γὰρ, Ἱπποκένταυρος χείρων ἀλγήσας, καὶ πονήσας τὸν Ἀχιλλέα ἀνέθρεψε. καὶ οὕτω πάλιν, γῆς ἔθανε κατὰ δεσμοῦ, ὅτ' ἀγγείων ἀφάμαρτεν, ἀντὶ τοῦ, Αἴας ὁ Τελαμώνιος ἐτελεύτησεν, ὅτε τῶν Ἀχιλλείων ὅπλων ἀπέτυχε. γῆς γὰρ Αἴας γίνεται. δεσμοῦ δὲ, Τελαμώνιος. ἀγγείων δὲ, τῶν ὅπλων. καὶ πάλιν, κασίγνηται δισσαί εἰσιν ἀλλ' οὐχ ὁμοῖαι. ἡ μὲν μία τίκτει τὴν ἑτέραν. ἀλλ' ἡ τεκοῦσα ὑπ' αὐτῆς τεκνοῦται. τοῦτο γὰρ λέγεται, ἐπὶ ἡμέρας καὶ νυκτός. γίνεται δὲ αἴνιγμα, κατὰ τρόπους ἕξ. καθ' ὅμοιον, κατ' ἐναντίον, κατὰ συμβεβηκὸς, καθ' Ἱστορίαν, καθ' ὁμωνυμίαν, καὶ κατὰ γλῶσσαν. καθ' ὅμοιον γίνεται αἴνιγμα, ὡς ὁ Ἀνδοκίδης ὁ Πυθαγορικὸς ἔλεγε, ζυγὸν μὴ ὑπερβαίνειν, γαμψώνυχας μὴ τρέφειν, ἀντὶ τοῦ ἅρπαγας φεύγειν. μελάνουρον μὴ ἐσθίειν, ἀντὶ τοῦ ψευδῆ λόγον μὴ προΐεσθαι. μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, τουτέστι, θυμούμενον λόγοις μὴ ἐρεθίζειν. καὶ ἐν τῷ βίῳ δέ τινα αἰνιγματωδῶς γίνεται, κατὰ τὸν ὅμοιον τρόπον. οἷον, ἐπὶ τῶν γαμούντων, σίσαμον ἢ κριθὰς ῥίπτουσιν, οἰωνιζόμενοι, ἐπεὶ πολύγονά ἐστι. κατ' ἐναντίον γίνεται αἴνιγμα οὕτως. ἀνὴρ, καὶ οὐκ ἀνήρ. ἰδὼν, καὶ οὐκ ἰδών. ὄρνιθα, καὶ οὐκ ὄρνιθα. καθημένην, καὶ οὐ καθημένην. ἐπὶ ξύλου, καὶ οὐ ξύλου. λίθῳ, καὶ οὐ λίθῳ. βάλλει τε, καὶ οὐ βάλλει. ταῦτα δὲ εἴρηται ἐπὶ εὐνούχου βεβληκότος κισσήρει νυκτερίδα, καὶ διὰ τὸ μὴ ἀκριβῶς ἰδεῖν ἐφημαρτηκότος. ἀνὴρ μὲν οὐκ ἀνὴρ, ὁ εὐνοῦχος. ὄρνις, οὐκ ὄρνις ἡ νυκτερίς. ἄπτερος γὰρ καὶ πετομένη. τὸ ἰδεῖν καὶ οὐκ ἰδεῖν, τὸ μὴ καλῶς ἰδεῖν, ἀμβλυωπεῖ γάρ. καθημένην, διὰ τὸ ἀνεπιστρόφως κρέμασθαι. ξύλον δὲ οὐ ξύλον, ὁ νάρθηξ. λίθος δὲ καὶ οὐ λίθος, ἡ κίσσηρις. βαλεῖν δὲ καὶ οὐ βαλεῖν, τὸ προθυμούμενον μὴ εὐστοχῆσαι. κατὰ συμβεβηκὸς, ὡς τό εἰσί μοι δύο κασίγνητοι, οἱ δύο μοῦσαι. ὄφρα μὲν οὖν ζώωσι τὸν ἥλιον οὐκ ἐσορῶσι, καὶ ἀλλήλοις μάχονται. περὶ τῶν ἀγγέλων οἴμαι λέγειν. καθ' Ἱστορίαν, οἷον Τριτογένειαν τὴν Ἀθηνᾶν λέγει καθ' Ὅμηρον, ὅτι ἐν Τρίτωνι ποταμῷ Λιβύας ἐγεννήθη. κατὰ δὲ Καλλισθένην, ἐν τρίτῃ μηνὸς, καὶ πραέως. κατὰ δὲ ἄλλους, ἐκ κεφαλῆς τοῦ Διός. καθ' Ὁμωνυμίαν, ὡς ἔχει ὁ δεδομένος χρησμὸς Ἀλεξάνδρῳ Μολοσσῷ, φυλάξασθαι τὸν κηρόεντα. ὁ μὲν ᾤετο τὸν ἐν Ἰταλίᾳ ποταμόν. ἦν δὲ ἕτερον. προσδοθέντος δὲ αὐτῷ πινακιδίου κεκηρωμένου, τοῦτο ἀναγινώσκων ἐδολοφονήθη. κατὰ δὲ γλῶσσαν, ὅταν τὴν θάλασσαν ἀτρυγέτορα λέγει. τὴν δὲ Ἀθηνᾶν, μαρμαρῶπιν. τὸν δὲ μῦν, δολυχοῦρον. καὶ τὸν γέρανον, δολιχόδειρον.

* Αἰνιγμὸς, αἴνιγμα. αἰνιγματίζομαι, ῥῆμα. αἰνιγματωδῶς, ἐπίρρημα. αἰνιγματώδης ὁ δι' αἰνιγμάτων φερόμενος. καὶ παρὰ τῷ Θεολόγῳ αἰνιγματιστὴς ὁ αἰνίγμασι χαίρων.

Αἰνικτὰ, ἄγνωστα, κεκρυμμένα. ὡς τὸ, Πάντα αἰνικτὰ καὶ ἀσαφῆ μοι λέγεις.

Αἰνίσσομαι, τὸ διὰ συμβόλων τινῶν δηλῶ τι.

Αἰνιᾶδες, ἔθνος.

Αἰνίσσω, τὸ ἐν παραβολαῖς λέγω. ὃ καὶ αἰνίζω λέγεται.

Αἰνίττεται, ἀντὶ τοῦ δηλοῖ. καὶ αἰνίττεσθαι, τὸ λεληθότως περί τινος λέγειν. ἢ αἰνίττεται, ἀσήμως λέγει, ἀποτείνεται, ἐπισημαίνει.

Αἰνιττόμενος, δι' αἰνιγμάτων ἢ παραβολῶν λαλῶν.

Αἰνόθεν, αἰνῶς. παρ' Ὁμήρῳ δηλοῖ τὸ ἀπὸ δεινῶν, ὅ ἐστι ἐκ δεινῶν. καὶ αἰνόθεν, ἀπὸ τοῦ Αἴνου. Αἶνος δὲ πόλις τῆς Θράκης. καὶ αἰνόθεν, ἀντὶ τοῦ ἐκ κακῶν.

Αἰνόμορος, δύσμορος, κακοθάνατος. δηλοῖ μὲν ἐκ παραλλήλου τὸ αὐτό.

Αἴνοίην, ἀντὶ τοῦ συγκατένευσα.

Αἰνὸν σημεῖον, δεινόν. αἰνότατε Κρονίδη. καὶ Τρώων δ' οἰωθῆ καὶ Ἀχαιῶν φύλοπις αἰνή. ἀλλ' ἐμοὶ οὐκ ἐντεῦθεν οἴομαι αἰνὸν ὄνειρον ἐλθέμεν, καὶ μέχρι σήμερον αἰνοῦ.

Αἰνὸν ὄνειρον, ἢ τὸ σκοτεινόν. ὡς ἐπαινὴ Περσεφονεία ἡ αἰνή. ἢ τὸ αἰνιγματῶδη, παρὰ τὸ αἶνος. ὃς δηλοῖ ποτὲ τὸ αἴνιγμα καθὰ πολλαχοῦ ἐφάνη.

Αἰνὸς, ἀντὶ τοῦ δεινὸς, φοβερὸς, Ἰωνικῶς. ἢ ἐναγὴς, δεινὸς, χαλεπός. καὶ αἰνότατος, ἀντὶ τοῦ δεινότατος. ἀποβολῇ τοῦ δ, καὶ τροπῇ Δωρικῇ τῆς ει διφθόγγου εἰς αι.

Αἶνος, παρὰ τοῖς παλαιοῖς, οὐ μόνον ὁ ἔπαινος, ἐξ οὗ πολύαινος Ὀδυσσεὺς, ἀλλὰ καὶ λόγος συμβολικὸς ἐκ μύθου ἢ ἱστορίας περιπέτειαν ἔχων παραινετικήν. αἶνος καὶ παροιμία, ὡς οἱ παλαιοί φασι, διαφέρουσι. καθὸ ὁ μὲν αἶνος, λόγος ἐστὶ μυθικὸς, ἐκφερόμενος ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν πρὸς ἀνθρώπων παραίνεσιν, ὥς φησι Λούκιλλος ὁ Ταρραῖος ἐν πρώτῳ παροιμιῶν. ἀπὸ μὲν ἀλόγων, ὡς παρ' Ἀρχιλόχῳ. αἶνός τις ἀνθρώπων, ὡς ἄρ' ἀλώπηξ, καὶ αἰετὸς ξυνωνίην ἔθεντο. καὶ Ἡσίοδος, Νῦν αἶνον βασιλεῦσιν ἐρέω· ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα. ἀπὸ δὲ φυτῶν, ὡς παρὰ Καλλιμάχῳ. Ἄκουε δὴ τὸν αἶνον, καὶ τὰ ἑξῆς. καὶ ἔστιν ὁ αἶνος, ἐξηπλωμένη παροιμία.

Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν, οὗ μνημονεύει καὶ Λέων ἐν περίπλῳ, καὶ Δημοσθένης ἐν τοῖς λιμέσιν.

Αἰνότατον, δεινότατον.

Αἰνοτόκος, κακὴ γέννησις. καὶ αἰνοτόκος, ὁ ἐπὶ κακῷ τεχθείς.

Αἴνου, ἐπαίνου, ὕμνου.

Αἰνῶς, καὶ αἰνότατα. ἀπὸ τοῦ δεινῶς, τροπῇ τοῦ ε εἰς α, καὶ ἀποβολῇ τοῦ δ αἰνῶς. σημαίνει καὶ τὸ λίαν. Αἰνῶς ἀκτίνεσσιν ἐοικότες ἠελίοιο. σημαίνει δὲ καὶ τὸ ἐκπληκτικῶς.

Αἰνίζομαι, ἐπαινῶ. οἷον, Περὶ δή σε βροτῶν αἰνίζομαι πάντων. ὁμοίως παρῆκται τὸ πολεμίζω, προκαλίζω, νεμεσίζω.

Αἴνυμαι, τὸ ἀφαιροῦμαι, ἢ τὸ λαμβάνω. Ὅμηρος, Ὁ δ' ἐξαίνυτο καμπύλα τόξα.

Αἰνύμενος, ἀπὸ τοῦ αἴνυμαι, ἀφαιρούμενος, λαμβάνων. ὅθεν καὶ τὸ ἐπαινύμενος.

Αἴνυται, ἀφαιρεῖται, λαμβάνει, μανθάνει.

Αἴνυμι, ἐκ τοῦ ἐπαινῶ λέγουσιν Αἰολεῖς.

Αἰνῶ, τὸ ἐπαινῶ, καὶ ὑμνῶ. καὶ αἶνος ὁ ἔπαινος καὶ ὕμνος. παρὰ δὲ τοῖς ποιηταῖς, ὁ λόγος. ἀφ' οὗ παραινῶ, καὶ συναινῶ. αἰνῶ καὶ τὸ παραιτοῦμαι.

Αἰνῶν, πτίσσων.

Αἰνῶς ἀντὶ τοῦ λίαν, μεταληπτικόν τί ἐστιν. αἰνῶς γὰρ καὶ δεινῶς ταυτόσημά ἐστιν, οὐδέποτε δὲ δεινῶς καὶ λίαν. καὶ αἰνῶς ἄρα, ἀντὶ τοῦ λίαν ἐστί.

Αἶξ, ζῶον ἐκ τοῦ ἀΐξαι, ἀρσενικῶς παρ' Ἀττικοῖς λέγεται, ὁμοίως καὶ Αἴξων, κύριον ὄνομα ἐξ οὗ καὶ δῆμος ἀττικὸς οἱ Αἰξωνεῖς. ἡ αἴξ, παρὰ τὸ ἀΐσσω, τὸ ὁρμῶ, γίνεται ἀΐξ, καὶ κατὰ συναίρεσιν, αἴξ. ὅθεν Ὅμηρος ἴξαλον ταύτην εἶπεν.

Αἶξ οὐρανία, τὰ τοῦ λευκοῦ κυάμου γένη. ᾧ ἐψήφιζον καὶ ἐχειροτόνουν.

Αἶξ ἑαυτῇ τὴν μάχαιραν. παροιμία ἐπὶ τῶν κακόν τι ἑαυτοῖς ποιούντων, ἀπὸ ἱστορίας τοιαύτης. Κορίνθιοι θυσίαν τελοῦντες, Ἥρᾳ τῇ Θεῷ αἶγα ἔθυον. τῶν δὲ κομισάντων μισθωτῶν κρυψάντων τὴν μάχαιραν, καὶ σκηπτομένων ἔνθα ἀπέθεντο, ἡ αἲξ τοῖς ποσὶν ἀνασκαλίσασα ἀνέφηνε. καὶ τὴν μὲν σκῆψιν αὐτῶν διήλεγξεν, ἑαυτῇ δὲ τῆς σφαγῆς αἰτία γέγονεν. ὅθεν ἡ παροιμία.

Αἶξας, ὁρμήσας.

Αἰξωνεία, ἡ βλασφημία. καὶ αἰξωνεύεσθαι τὸ κατηγορεῖν, καὶ βλασφημεῖν. μετῆκται δὲ ἀπὸ τῶν Αἰξωνέων. βλάσφημοι γὰρ κωμῳδοῦνται εἶναι οἱ Αἰξωνεῖς. ὅθεν καὶ αἰξωνεὺς, ὁ βλάσφημος.

Αἰξωνεῖς, δῆμος φυλῆς τῆς Κεκροπίδος. * παρ' ἄλλοις. γράφ. Αἰξωνή.

Αἰξωνίδα τρίγλην. δοκοῦσιν αὗται κάλλισται εἶναι, καὶ τῶν ἄλλων διαφέρειν.

Αἶοδα, παρὰ Δελφοῖς γένος τί.

Αἰόλαν, ποικίλην. Ἀριστοφάνης, Αἰόλαν χορείαν ἐφθεγξάμεθα. σημαίνει δὲ καὶ τὴν σκοτεινήν.

Αἰόλη νὺξ, μέλαινα. ἢ ποικίλη διὰ τὰ ἄστρα. Σοφοκλῆς Τραχινίαις.

Αἰολεὺς, ὁ Καικίας ἄνεμος, ὁ Κιλίκων.

Αἰόλα νὺξ παρὰ Σοφοκλεῖ, οὐ μόνον κατὰ τὸ ἐν ἄστροις ποικίλον αὐτῆς, καθ' ὃ καὶ ποικιλείμων παρ' Αἰσχύλῳ λέγεται, ἀλλὰ κατὰ τὰς ῥηθείσας Ὁμηρικὰς ἐννοίας τῆς θοῆς νυκτὸς εἰς ἐκεῖ ζήτει.

Αἰολεῖν, ἁπλῶς τὸ κινεῖν. δοκεῖ δὲ τοῖς παλαιοῖς γίνεσθαι παρὰ τὴν ἄελλαν τὸ αἰολλεῖν, ὅ ἐστι ποικίλως καὶ πυκνῶς καὶ ταχέως στρέφειν καὶ κινεῖν. αἰολέω, τὸ ποικίλλω.

Αἰοληίδι μολπᾷ, ἤτοι ποικίλῃ. ποικίλα γὰρ τὰ Λυρικά. ἢ Θηβαίᾳ. οἱ γὰρ Αἰολεῖς ᾤκησαν τὰς Θήβας. Ἄλλως. Τινές φασιν ὅτι ἄνωθεν Αἰολεὺς τὸ γένος ὁ Πίνδαρος. οἱ δὲ ὅτι Αἰολίῳ ῥυθμῷ διὰ τῆς μουσικῆς χρῆσαι τῶν ποιημάτων.

Αἰολιγγὴ, σκιὰ, ὀλίγος χρόνος. * ἀδόκιμον.

Αἰολίδας, ποικίλους, ταχεῖς.

Αἰολίη, ἡ τοῦ Αἰόλου Νῆσος.

Αἰολίδης παρὰ Ἀπολλωνίῳ, οὐκ ἀπὸ Αἰόλου, ἀλλ' ἀπὸ τῶν Αἰόλου. Σισύφου γὰρ παῖδες ἐγένοντο, Ἅλμος καὶ Πορφυρίων. Χρυσογόνης δὲ τῆς Ἅλμου καὶ Ποσειδῶνος, Μινύας ὁ τὸν Ὀρχομενὸν κτίσας. καὶ κατὰ τοῦτο εἴρηται Αἰολίδης, ὅτι Σύσιφος Αἰόλου ἐγένετο. Μινύας δὲ κατὰ μητέρα Αἰολίδης, πατρὸς δὲ Ποσειδῶνος. τοῦτον οὖν Ἀπολλώνιός φησιν εἰς τὴν Βοιωτίαν εἰσβάλλοντα ὅμορον Θηβαίοις, Ὀρχομενὸν κτίσαι.

Αἰολίζω, τὰ τῶν Αἰολῶν φρονῶ. καὶ αἰολίζω, ποικίλλω. καὶ αἰολίσας, ἀθροίσας.

Αἰολὶς, διάλεκτος. ἐκλήθη δὲ, ἀπὸ Αἰόλου τοῦ Ἕλληνος. ᾗ ἔγραψεν Ἀλκαῖος.

Αἰολίονες, οἱ Αἰολεῖς, ἀπὸ τοῦ Αἰόλου.

Αἰολικὸν θέαμα ἀντὶ τοῦ καλυδωνικὸν, παρὰ Θεοκρίτῳ. ἡ γὰρ καλυδὼν, Αἰολὶς ἐκαλεῖτο.

Αἰολικῶς, ποικίλως.

Αἰολόδωρον, ποικίλον δῶρον.

Αἰολοθώρηξ, ποικίλον θώρακα ἔχων.

Αἰόλαι τὰ μέσα, οἱ σφῆκες. ἢ ὡς εὐκίνητοι, διὰ τὴν ἐκτομὴν, καὶ τὴν ἐκεῖθεν στέρησιν. ἢ διότι παμφάγοι ὄντες, ποικίλοι καὶ ἐπίξανθοι τὴν χρόαν εἰσίν. οὐ μὴν αἱ μέλισσαι τοιαῦται. οὔτε γὰρ παμφάγοι ἐκεῖναι, οὔτε ποικίλαι κατὰ τοὺς σφῆκας εἰσίν. ἐν τῷ μ τῆς Ἰλιάδος. καὶ αἰόλον λέγεται τὸ ποικίλον. αἰόλον δὲ, τὸ ταχὺ, ἀπὸ τοῦ ἄελλα. ἀφ' οὗ κορυθαίολος Ἕκτωρ. καὶ αἰόλοι σφῆκες, οἱ κατὰ τὸ μέσον συνεχῶς κινούμενοι. καὶ πόδας αἰόλος ἵππος, ἤγουν ποδώκης, πρὸς διαστολὴν ἐῤῥέθη τῶν ἄλλων σημαινομένων τοῦ αἰόλος. Ἰστέον δὲ, ὅτι τὸν Αἴολον τὸ κύριον, ἐξ οὗ Αἰολίδης ὁ Σίσυφος, βούλεται ἡ τέχνη τῶν διαφόρως τονουμένων λέξεων προπαροξύνεσθαι, πρὸς διαφορὰν τοῦ αἰόλος ὁ ποικίλος. Αἴολος γάρ φησι τὸ κύριον.

Αἰολομίτραν, ποικίλην ἔχουσαν τὴν μίτραν. μίτρα δὲ ἡ πολεμικὴ ζώνη.

Αἰόλου νῆσοι. ἑπτὰ αὗται, Στρογγύλη, Εὐώνυμος, Ἱερὰ, Λιπάρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης, περὶ Σικελίαν.

Αἰολοπώλους, τὰς Φρύγας λέγει Ὅμηρος· ὡς

ὅτις εἴποι ταχυίππους, ἢ ἱππότας, ὡς ἐφίππων. αἰόλω γὰρ, τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ. ἢ ποικίλως ἱππαζομένους. Ἄλλως.

Αἰολοπώλους, ταχυπώλους, ἢ τοὺς ποικίλως ἱππαζομένους. γίνεται παρὰ τὸ αἰόλω, ὃ σημαίνει τὸ κινῶ, καὶ τὸ πῶλος. τοῦτο παρὰ τὸ ἐν τῇ ποίᾳ ἅλλεσθαι, πόαλος, καὶ πῶλος προπερισπωμένως. ἐπειδὴ τὰ εἰς ος δισύλλαβα προπερισπώμενα, ἐν τῇ συνθέσει προπαροξύνονται. οἷον οἶκος, ἄοικος, κοῦρος, ἐπίκουρος. οὕτω καὶ πῶλος, αἰολόπωλος.

Αἰόλος, ποικίλος, ἢ εὐκίνητος. ἀπὸ τοῦ αἰολεῖν, ὅ ἐστι κινεῖν.

Αἰολοτίας, ποικίλος. * παρ᾽ ἄλλοις αἰολοπίας.

Αἰονυλγὸς, δεινὸς, ψευδής. * ἀδόκιμον.

Αἰονᾶν, καταντλεῖν, καταχέειν, λούειν.

Ἄϊον, ἀντὶ τοῦ κατὰ ψυχὴν ᾐσθανόμην φασίν. ἐκ δὲ τοῦ αἴω, καὶ αἴσθω γίνεται. ἀφ᾽ οὗ κατὰ συναίρεσιν τὸ αἴσθω, καὶ ἡ αἴσθησις. ὅρα δὲ ἐκ τοῦ ἄω, καὶ τὸ ἄσθμα γίνεται, καὶ τὸ αἴειν ἐπὶ ἀκοῆς. καὶ τὸ ἄϊον ἦτορ. καὶ ὅτι τὸ αἴειν ἦτορ οὐ μακράν ἐστι τοῦ ἀσθμαίνειν. τῷ γοῦν εἰπόντι, ὅτι φίλον ἄϊον ἦτορ, ἀλλαχοῦ ἐγράφη.

Ἀϊόνες, αἰγιαλοί.

Αἰὸν, μάταιον. ἢ κάμνοντες, ἢ ἑτεροκλινὲς, ἢ πλάγιον.

Ἀϊόντες, αἰσθανόμενοι.

Αἰπὰ ῥέεθρα, ὑψηλὰ, χαλεπά. τὸ αἰπὰ βαρύνεται. ἢ ἀπὸ σεσιγημένης εὐθείας τῆς τὸ αἰπὸν, ὡς κακὸν κακά. ἢ κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ αἰπέα κατὰ συγκοπήν. κεῖται δέ που ἡ λέξις παρ᾽ Ὁμήρῳ, ἐπὶ ποταμοῦ Τρωϊκοῦ. συζυγεῖ δὲ τῷ αἰπὸν, καὶ ἡ αἰπὴ, ἧς χρῆσις πολλαχοῦ. Ἄλλως.

Αἰπὰ ῥέεθρα, τὰ δύσβατα καὶ ὑψηλὰ, ἀπὸ τῶν ἀκρωτηρίων. συστέλλει δὲ τὴν λήγουσαν, ὡς ἀπὸ τοῦ αἰπέα συγκοπὲν κατὰ τοὺς παλαιούς. ἢ καὶ ἀπὸ τοῦ αἰπὸς, ἡ αἰπὴ, τὸ αἰπόν. τῆς δὲ αἰπῆς ἡ χρῆσις, πολλαχοῦ.

Αἴπεια, πόλις Λακωνικὴ, ἡ ἐν Ἄργει, προπαροξυτόνως. ὡς ζέλεια, ἐπὶ διαστολῇ τοῦ ἐπιθέτου. ἔστι δέ φησι, καὶ ἑτέρα Κύπρου, καὶ ἄλλη Κρήτης.

Αἰπεῖα, ὑψηλή. τὰ ἀπὸ τῶν εἰς υς διὰ τοῦ ει σχηματιζόμενα θηλυκὰ, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον αἰπὺς αἰπεῖα, ταχὺς ταχεῖα, θῆλυς θήλεια. ταῦτα δὲ τὰ εἰς υς εἰ μὲν βαρύτονα, προπαροξύνουσι τὰ θηλυκά. οἷον θῆλυς θήλεια, ἥμισυς ἡμίσεια. εἰ δ᾽ ὀξύτονα, προπερισπῶσιν ἐκεῖνα. οἷον, αἰπὺς αἰπεῖα. χωρὶς τοῦ ἐλαχὺς ἐλάχεια, ἡ μικρά. καὶ λιγὺς λίγεια, ἡ ἡδεῖα.

Αἰπεινὴ, ὑψηλή. αἰπεινῇ ἐλάτῃ ἔρισε βάτος.

Αἰπεινὸς, ὁ χαλεπός.

Αἰπεινὰ, ὑψηλά.

Αἶπερ, ὥσπερ.

Αἰπήεσσα, ὑψηλή.

Αἰπόλος, ὁ αἰγονόμος, παρὰ τὸ ἐν αἰπᾶ, ὅ ἐστιν ὑψηλοῖς τόποις περιπολεῖν. χαίρουσι γὰρ τοῖς ὑψηλοῖς. καὶ αἰπὸν τὸ ἀκρωτήριον ἐπὶ ἀρσενικοῦ. ἡ εὐθεῖα, ὁ αἰπός. οἴμαι δὲ, ὅτι ἐστὶ καὶ αἶπος τὸ ὕψος, ἐπὶ οὐδετέρου.

Αἰπόλος λέγεται, οὐ μόνον ὁ αἰγοπόλος, καὶ ὁ ἄγων αἶγας, ἀλλὰ κατά τινας καὶ ὁ αἰπόλος, ἤγουν ὁ περὶ τὰ ὕψη πολῶν. διὰ τὸ τὰς αἶγας μάλιστα τοῖς τραχέσι χαίρειν. διὸ καὶ τῶν νήσων αἱ τραχύτεραι αἰγίβοτοί εἰσιν.

Αἶπος, τὸ ὕψος. καὶ αἰπεινὸς, ὁ ὑψηλός. καὶ αἰπὺς, ὁ δεινὸς, μέγας, ὑψηλὸς, χαλεπὸς, μετέωρος. διὰ διφθόγγου ταῦτα γράφεται. καὶ αἰπὺν ὄλεθρον, τὸν χαλεπὸν καὶ μέγαν, ἢ ὑψηλόν.

Αἰπυπάτην, ὑψηλοπάτην.

Αἰπύτιον, ὑψηλὸν, ἀπὸ τοῦ Αἰπύτου. Αἰπύτιον παρὰ τύμβον. Αἴπυτος δὲ, εἷς ἐστι τῶν τοῦ Ἀρκάδος παίδων· οὗ ἦν βασιλεὺς Ἀρκάδων.

Αἰπόλιον, αἰγονόμιον.

Αἰπολίου, αἰγιδίου.

Αἰπόλος, αἰγονόμος, ποιμὴν τῶν αἰγῶν. αἰπόλα δὲ, ἡ τῶν αἰγῶν ἀγέλη, καὶ κάπηλος.

Αἱ πορίαι σου, αἱ ὁδοί σου.

Αἶπος, κάματος, ἢ ὑψηλὸς τόπος, ἢ ὑλώδης.

Αἶπυ βαρυτόνως, ὄνομα πόλεως. αἰπὺς δὲ ὀξυτόνως, ὁ χαλεπὸς καὶ σκληρὸς, ἢ ὑψηλὸς καὶ μέγας. ἢ Αἶπυ, βαρυτόνως λεκτέον. ὄνομα γάρ ἐστι πόλεως. τὸ δὲ ὀξυτονούμενον, ἐπίθετόν ἐστι, καὶ σημαίνει τὸ ὑψηλόν. τῶν μέντοι εἰς υ ληγόντων οὐδετέρων τριγενῶν, τὰ θηλυκὰ εἰς α λήγει, τῇ ει διφθόγγῳ παραληγόμενα. οἷον αἰπὺ καὶ αἰπεῖα κολώνη, ὀξὺ ὀξεῖα, ταχὺ ταχεῖα.

Αἰπύκερως ἔλαφος, ὑψηλὰ κέρατα ἔχων.

Αἶρα, ἡ τοῦ σίτου διαφθορά, διὰ διφθόγγου. ἔρα δὲ ἡ γῆ, ψιλόν. σημαίνει δὲ καὶ τὴν σφαῖραν, * (ἄλλ. τὴν σφύραν) καὶ ὄνομα πόλεως.

Αἶρα, σφύρα, ἀξίνη.

Αἳ ῥὰ, αἵ τινες δὴ, ἄρχοντες. * τί πρὸς ταῦτα τὸ ἄρχοντες; παρ᾽ ἄλλοις ἀντὶ τοῦ αἳ ῥὰ, γράφεται, ἢ ῥαιστὴρ. ἵν᾽ ᾖ ἑρμηνεία τοῦ αἶρα. εὕρηται δὲ ἀντὶ τοῦ αἶρα, καὶ αἰρά.

Αἶρας, ἀγρίας βοτάνας. αἶρας, ἐστὶν ἀείρω, ὁ μέλλων ἀερῶ, ὁ ἀόριστος ἤειρα, ἡ μετοχὴ ὁ ἀείρας. καὶ κράσει τοῦ α καὶ ε εἰς α μακρὸν, αἴρας. καὶ μένει τὸ ι μὴ ἐκφωνούμενον, διὰ τὸ μέγεθος τοῦ α.

Αἶρε πλῆκτρον, τουτέστιν ὅπλον ἀμυντήριον. ἡ μεταφορὰ, ἀπὸ τῶν ἀλεκτρυόνων. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, οἷς μάχονται, ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων. οἱ δὲ πλῆκτρα. πλῆκτρα δέ εἰσι τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων τὰ χαλκᾶ.

Ἀὶρ, ὀξύβαφον. * ἴσως. αἰρὰ, ὀξύτονον.

Αἱρεθὲν, θεληθέν.

Αἵρεσθαι, προσενέγκασθαι. Οὐ σῖτον αἵρεσθαι, οὐχ ὕπνου λαχεῖν μέρος.

Αἱρετίζω, τὰ τῶν αἱρετικῶν φρονῶ, καὶ τὸ προαιροῦμαι. ἐξ οὗ καὶ αἱρετισάμενος,

Αἵρεσις, βούλησις.

Αἱρέσομεν, ἐπιλέξομεν.

Αἱρεθέντας, κατὰ κράτος ληφθέντας.

Αἱρεῖ, λέξις θηρατικὴ, ἀκόλουθος τῷ ἀμφικάλυψεν. ἵνα λέγῃ, ὡς ὁ ἔρως τοῖς κατ᾽ αὐτὸν δικτύοις ἀμφικαλύψας εἷλέ με. γλυκὺς μέντοι παρ᾽ Ὁμήρῳ ἐν γ ἰλιάδος. γλυκὺς ἵμερος αἱρεῖ, περιφραστικῶς ἐστὶ τοῦ ἔραμαι.

Αἱρεῖς τὴν σώτειραν, παρ᾽ Ἀριστοφάνει, ὑψώσεις, καὶ δοξάσεις τοῖς ἐπαίνοις. ἔστι γὰρ Ἀθήνησι σώτειρα λεγομένη, ἢ θύουσιν.

Αἱρεῖ, καταλαμβάνει. καὶ αἱρεῖν, τὸ κατακράτος τὶ λαμβάνειν. καὶ καταλαμβάνειν. καὶ αἴρει, ἐγείρει, αὔξει, κουφίζει, βαστάζει.

Αἴρειν μασχάλην, οὕτως εἰώθασι λέγειν, ἀντὶ τοῦ ὀρχήσασθαι. οἱ δὲ, τὸ ἀγροικικῶς ὀρχεῖσθαι.

Αἴρειν τραπέζας, παρατιθέναι, ἢ αὔξειν.

Αἱρείσθωσαν, ἐκ τοῦ αἱρέω αἱρῶ, καὶ τὸ παθητικὸν, αἱροῦμαι. καὶ ὁ παρατατικὸς, ἡρεόμην ἡρούμην, ἡρέου ἡροῦ. καὶ τὸ προστακτικὸν, αἱρεέσθω αἱρείσθω. τὸ τρίτον τῶν πληθυντικῶν, αἱρεέσθωσαν αἱρείσθωσαν.

Αἱρεῖσθαι, ἀγάγεσθαι, κρατεῖν. καὶ αἱρεῖσθαι, τὸ βούλεσθαι, τὸ ἐθέλειν, τὸ γλίχεσθαι, τὸ ἐφίεσθαι. τὰ προαιρετικὰ ῥήματα δύο συντάξεις ἔχουσι. μίαν, μετὰ ἀπαρεμφάτου ῥήματος. οἷον, αἱροῦμαι λέγειν, ἐθέλω γράφειν, βούλομαι λαλεῖν, καὶ τὰ ἐφεξῆς ὁμοίως. ἑτέραν δὲ, μετὰ ἐγκλίσεως ὑποτακτικῆς. οἷον, ἐθέλεις ἵνα γράφω; βούλει ἵνα λαλῶ; καὶ τὰ ἄλλα ὡσαύτως. ταύτας τὰς δύο συντάξεις ὁ ποιητὴς ἐν μιᾷ ἐννοίᾳ τιθεὶς φησὶν, ἢ ἐθέλεις ὄφρ᾽ αὐτὸς ἔχεις γέρας, αὐτὰρ ἔμ᾽ αὔτως ἧσθαι δευόμενον.

Αἱρείτω, κατεχέτω, λαμβανέτω.

Αἴρειν ἔξω πόδα πηλοῦ. ἐπὶ τῶν βουλομένων μὴ ἐν πράγμασιν εἶναι. λέγεται δὲ, καὶ αἴρειν ἔξω πόδα αἰτίας.

Αἴρειν, τὸ προσφέρειν δηλοῖ. Αἶρ᾽ αἶρε μάζαν ὡς τάχιστα κανθάρῳ, Ἀριστοφάνης.

Αἱρετιῶ, προσλαμβάνω. αἱρῶ αὐτοὺς πρὸς ἐμαυτόν.

Αἱρεῖ, φονεύει, ἀναιρεῖ. Σοφοκλῆς, Πόλεμος γὰρ οὐδὲν ἄνδρ᾽ ἑκὼν αἱρεῖ πονηρὸν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί. σημαίνει γὰρ τὸ καταβάλλει.

Αἱρετώτερον, προκριτότερον. οὐκ ἐκ παραλλήλου κεῖται τὸ αἱρετώτερον τοῦ βελτίονος, ἀλλ᾽ ἐπιπλεῖον τὸ βέλτιον, τοῦ αἱρετωτέρου. τὸ μὲν γὰρ αἱρετώτερον, ἐν τοῖς αἱρετοῖς καὶ μόνοις. τὸ δὲ βέλτιον, καὶ ἐν ἄλλοις. καὶ γὰρ ἐν θεωρητικοῖς καὶ φυσικοῖς καὶ λογικοῖς, ἡ ζήτησις τοῦ βελτίονος. ὁ γὰρ ζητῶν, ποτέρα βελτίων οὐσία, ἡ κινουμένη, ἢ ἡ ἀκίνητος, φυσικὸν μεταχειρίζεται πρόβλημα. λογικὸς δὲ, ὁ ζητῶν, πότερον βέλτιον, ἐπαγωγὴ ἢ συλλογισμός. θεωρητικὸς δὲ, ὁ ζητῶν πότερον ἡ φρόνησις πρακτικωτάτη, ἢ θεωρητική.

Αἰρόμενος, φερόμενος, καὶ αἰρόμενος, ἐπαιρόμενος, κουφιζόμενος.

Αἵρεσις, ἡ ἁπλῶς βούλησις. προαίρεσις δὲ καὶ πρόκρισις, ἡ ἐπὶ δύο πραγμάτων, ὅταν τὸ ἓν προτιμήσῃς τοῦ ἑτέρου. ἢ αἵρεσίς ἐστιν, ἡ περὶ πίστεως οὐκ ἀληθὴς δόξα. ἢ δόξα πλειόνων ἀνθρώπων, πρὸς ἀλλήλους μὲν συμφωνούντων, πρὸς ἄλλους δὲ διαφωνούντων. ἡ αἵρεσίς ἐστιν, ὡς μὲν εἰδοποιός, ποιότης. ὡς δὲ συνεκτικὴ, δύναμις. ὡς δὲ συστατικὴ, ἰδιότης. ὡς δὲ ἀφορίζουσα, διαφορά. ὡς δὲ ἐνδεικτικὴ, κίνησις. ὡς δὲ χαρακτηριστὴ, ἐνέργεια. ἢ καὶ ἄλλως.

Αἵρεσίς ἐστι, καταστροφὴ, κατάλυσις. ὡς τὸ, Διὸ καὶ πρῶτοι τῶν ἄλλων ἐπέθεντο δι᾽ ἐπιβουλῆς, ἵνα σφίσι τὸ λεγόμενον ἐξ ἄκρας ἡ αἵρεσις γένηται τῶν θεοφιλῶν καὶ ἀρχαιονόμων, ἠθῶν τε καὶ ἐπιτηδευμάτων. ἡ αἵρεσίς ἐστιν, ἡ λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσα, ἢ δοκοῦσα ἀκολουθεῖν. Ἱππόβοτος δὲ, ἐννέα φησὶν αἱρέσεις εἶναι τῶν φιλοσόφων καὶ ἀγωγὰς, πρώτην μεγαρικὴν, ἐρετριακὴν, κυρηναϊκὴν, ἐπικούρειον, ἀννικέρειον, θεοδώρειον, ζηνώνειον, τὴν καὶ στωϊκὴν, ἀκαδημαϊκὴν, περιπατητικήν. οὔτε δὲ κυνικὴν, οὔτε ἠλιακὴν, οὔτε διαλεκτικὴν, τὴν γὰρ πυρρώνειον, οὐδ᾽ οἱ πλείους προσποιοῦνται, διὰ τὴν ἀσάφειαν. εἰ γὰρ αἵρεσιν νοοῖμεν, πρόσκλισιν ἐν δόγμασιν ἀκολουθίαν ἔχουσαν οὐκέτ᾽ ἂν προσαγορεύοιτο αἵρεσις ἡ πυρρώνειος οὐ γὰρ ἔχει δόγματα. ἔτι δὲ καὶ Ἐκλεκτική τις εἰσῆλθεν ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. κριτήρια δέ φησιν εἶναι τἀληθῆ. τὸ μὲν, ὡς ὑφ᾽ οὗ γένηται ἡ κρίσις, τουτέστι, τὸ ἡγεμονικόν. τὸ δὲ, ὡς δι᾽ οὗ. οἷον, τὴν ἀκριβεστάτην φαντασίαν, ἀρχάς τε τῶν ὅλων, τήν τε ὕλην, καὶ τὸ ποιοῦν, ποίησίν τε καὶ τόπον. ἐξ οὗ γὰρ, καὶ ὑφ᾽ οὗ, καὶ ποίῳ, καὶ ἐν ᾧ. τέλος δὲ εἶναι, ἐφ᾽ ᾧ πάντα ἀναφέρεται, ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, οὐκ ἄνευ τῶν τοῦ σώματος κατὰ φύσιν, καὶ τῶν ἐκτός.

Αἱρετὸν, ἐπιθυμητόν. τοῦτο τριχῶς λέγεται, τὸ καλὸν, τὸ ἡδὺ, καὶ τὸ συμφέρον.

Αἰρόπιον, τὸ κόσκινον, ἐν ᾧ οἱ πυροὶ σήθονται. ἀπὸ τοῦ τὰς αἴρας διελεῖν, ὅ ἐστι διαχωρίζειν. λέγεται καὶ τὸ σκοτεινόν. * οὕτω παρ᾽ Ἡσυχ. παρ᾽ ἄλλοις δὲ κάλλιον αἰρόπινον διὰ τὸ αἴρειν τὸν πίνον, ἤτοι τὸν ῥύπον.

Αἱρῇ, βούλει. Ἐπείπερ αὐτὸς αἱρῇ λέγειν.

Αἱρηθὲν, βουληθέν.

Αἱρήσομαι, λήψομαι, σκέψομαι, βουλεύσομαι.

Αἱρετιεῖ, προτιμότερον ἡγήσεται.

Αἱρετίζειν, αἱρεῖσθαι, ἀρέσκεσθαι.

Αἱρετὶς, ἀγαπῶσα, ἀγαπωμένη. * ἄλλ. αἱρέτις, ἡ προαιρουμένη. τὸ ἀρσενικὸν αἱρέτης.

* Αἱρετιστὴς, ὁ αἱρέσει τινὶ, ἢ δόξῃ ἑπόμενος.

Αἱρεύμενον, λαμβάνοντα. παρὰ τὸ αἱρῶ, τὸ λαμβάνω. αἱρῶ οὖν αἱροῦμαι, αἱρούμενον, καὶ τροπῇ Δωρικῇ, αἱρεύμενον.

Αἱρεύμενοι. Ὅμηρος, Τύπτ᾽ ἐκ μήλων αἱρεύμενοι. ἀντὶ τοῦ, ὑφαιρούμενοι ἐκ τῶν βοσκημάτων, τουτέστιν ὑποκλέπτοντες, τοῦτον γὰρ τὸ ὑφέλεσθαι. ἢ τὰ ἐξαίρετα ἐκ φυσικῆς διαγνώσεως διαρπάζοντες.

Αἱρήσειν, ἀπὸ τοῦ αἱρέω, αἱρῶ. ὁ μέλλων αἱρήσω, καὶ τὸ ἀπαρέμφατον αἱρήσειν. καὶ συντάσσεται αἰτιατικῇ. σημαίνει δὲ, τὸ διαχωρίζω. ἐξ οὗ διαιρῶ. ὃ συντάσσεται μετὰ γενικῆς καὶ αἰτιατικῆς. καὶ αἱρῶ, τὸ καταλαμβάνω. ἔστι καὶ αἴρω τὸ κουφίζω, καὶ αἴρω τὸ προσφέρω. ἐξ οὗ καὶ ἄρτος.

Αἱρήσω, φθερῶ, πορθήσω, ἐξερημώσω, διελέγξω. Ἀριστοφάνης, Ἀλλά σε κλέπτοντ᾽ αἱρήσω. καὶ αἱρήσομεν παρ᾽ Ὁμήρῳ, καθαιρήσομεν, πορθήσομεν, ἐξερημώσομεν. γράφεται καὶ ἐν τῷ πεζῷ λόγῳ χωρὶς τῆς προθέσεως, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου.

Αἰριωλαὶ, αἱ τῶν μεγάλων ἀνέμων καταιγίδες καὶ συστροφαί. * κάλλιον ἐριωλαί.

Αἴρομαι, τὸ εἰς φόρτον λαμβάνω.

Αἱροῦμαι, προκρίνω. οἷον, αἱροῦμαι τόδε τοῦδε.

Αἱρουμένην, ἐπιλεγομένην. ὅθεν καὶ ὁ αἱρετικὸς, ὁ ἄλλο τι παρὰ τὴν ἀλήθειαν αἱρούμενος ἔχειν.

Ἄϊρος, ἐπὶ κακῷ Ἶρος ὀνομασθείς.

Αἴρονται, μισοῦνται.

Αἴρουμαι, ἐπελθόσομαι, ἢ λαμβάνω, ἢ βούλομαι.

Αἰρομένη, ἐπαιρομένη.

Αἱρουμένοις, βουλομένοις.

Ἄιῤῥον, ἄῤῥητον, ἀθώπευτον, ἀκολάκευτον.

Αἱρῶ, τὸ κρατῶ καὶ καταβάλλω. οἷον, ὁ πέλεκυς τὰ δένδρα αἱρεῖ. αἱροῦμαι δὲ παθητικῶς, τὸ προκρίνω, καὶ βούλομαι. ἐξ οὗ καὶ αἵρεσις, ἡ ἁπλῶς βούλησις. προαίρεσις δὲ ἐπὶ δύο πραγμάτων, ὅταν τὸ ἓν προτιμήσῃς τοῦ ἑτέρου. αἱρῶ οὖν τὸ κρατῶ, αἱρήσω, ᾕρηκα, αἱροῦμαι αἱρήσομαι, καὶ ᾑρόμην. ἀπὸ τοῦ αἱρῶ, τὸ κρατῶ καὶ καταβάλλω, γίνεται ἀναιρῶ τὸ φονεύω, καθαιρῶ, τὸ καταβάλλω. διαιρῶ, τὸ τὰ ἡνωμένα χωρίζω. συναιρῶ, καὶ συναιροῦμαι, τὸ δύο τινὰ εἰς ἓν συνάγω. περιαιρῶ, τὸ μετρίως στερίσκω. ὑφαιρῶ, τὸ κλέπτω. ἀφαιρῶ, τὸ μέρος τι τοῦ παντὸς λαμβάνω. ἀφαιροῦμαι δὲ, τὸ πᾶν. ἀπὸ δὲ τοῦ αἱροῦμαι, ὃ σημαίνει τὸ βούλομαι καὶ προκρίνω, γίνεται ἐξαιροῦμαι, τὸ ἐλευθερῶ. προαιροῦμαι δὲ, τὸ προκρίνω τόδε τοῦδε. ἀναιροῦμαι, τὸ φονεύω καὶ ἀναλαμβάνω, καὶ ἀναστρέφομαι: ὡς τὸ, ἀναιροῦνται οἱ νόμοι. καὶ τὸ ἀπολαμβάνω. οἷον, ἀναιρεῖται στέφανον, καὶ ἀναιρεῖται μετὰ χεῖρας βυβλίον. καθαιροῦμαι, τὸ καταβάλλομαι. παραιροῦμαι, τὸ παρασύρω, καὶ ἀφαιρῶ. Λιβάνιος, τὰ μέγιστα καὶ τιμιώτατα τῶν ἔργων, τὰ μὲν ἤδη παραιρούμενος. ἀνθαιροῦμαι, τὸ ἕτερον ἀνθ᾽ ἑτέρου προκρίνω. οἷον, ἀνθαιροῦμαι ζωῆς θάνατον. ἀφαιροῦμαι, τὸ ἀποστερῶ καὶ ζημιῶ, διπλῶς συντασσόμενον. οἷον, ἀφαιρεῖται τὸν ἄνθρωπον τῆς οὐσίας, καὶ ἀφαιρεῖται τὴν οὐσίαν ὁ ἄνθρωπος, ἐπὶ πάθους καὶ ἐνεργείας λαμβανόμενον. οὗ ὁ παρακείμενος, ἀφῄρημαι, ἀφῄρησαι, ἀφῄρηται. ὥσπερ τὸ εἴργασμαι, καὶ ἐώνημαι, καὶ ἀφεῖμαι. μέσοι γὰρ καὶ οὗτοι παρακείμενοι. ἔστι γὰρ μέσος ὁ πάθος, καὶ ἐνέργειαν παριστῶν. ἀφῄρημαι γὰρ, ἀντὶ τοῦ ἐστερήθην, καὶ ἀντὶ τοῦ ἐστέρησα. συντάσσεται δὲ καὶ τὸ ἀφῄρημαι καὶ γενικῇ καὶ αἰτιατικῇ. καὶ γενικῇ μὲν, ὅτε μὴ ἔχων πρᾶγμά τι, δυνάμενος δὲ αὐτὸ κτήσασθαι, καὶ ἀμελήσας οὐ λάβω. οἷον, ἀφῄρημαι λόγων, ἀφῄρημαι παιδείας. ταῦτα γὰρ οὐκ εἶχον, τὸν λόγον φημὶ, καὶ τὴν παιδείαν. δυνατὸν δέ μοι ἦν κτήσασθαι. καὶ διότι ἠμέλησα οὐκ ἔλαβον. τὰ τοιαῦτα οὖν συντάσσεται γενικῇ, ὡς προείπομεν. ὅταν δὲ ἔχω τι καὶ στερηθῶ τούτου, τότε τὸ ἀφῄρημαι συντακτέον αἰτιατικῇ. οἷον, ἀφῄρημαι τὸ ἱμάτιον. καὶ ὑφαιροῦμαι τὸ κλέπτω. Ἄλλως.

Αἴρω, ἐνεστώς. * (ἦρον) ἐμετεώριζον παρατατικός. ἀρῶ, μέλλων. ἦρα, ἀόριστος. αἴρομαι, ἐνεστὼς. * (ᾑρόμην) ἐμετεωριζόμην, παρατατικός. ἀροῦμαι, μέλλων, ἀντὶ τοῦ λήψομαι. ἀρθήσομαι, ἀντὶ τοῦ μετεωρισθήσομαι. ἠράμην, ἀόριστος, ἀντὶ τοῦ ἔλαβον. ἤρθην δὲ, ἀντὶ τοῦ ἐμετεωρίσθην. λέγεται καὶ ἐπηρκὼς, ἐπὶ ἐνεργητικοῦ παρακειμένου. καὶ ἐπηρμένος, ἐπὶ παθητικοῦ. καὶ αἴρω, τὸ ἀνιστῶ καὶ ἀνορθῶ τὰ ἱστία. αἴρω, τὸ ὑψῶ καὶ ἀφανίζω, καὶ τὸ ἔντιμόν τινα ἀποκαθιστῶ. ὡς τὸ, Ἦρεν ἡ φήμη τὸν ἄνδρα. καὶ τὸ ἄγω καὶ προσφέρω. ὡς Σοφοκλῆς, Αἶρε αὐτὸν αἶρε δεῦρο. ἀντὶ τοῦ ἄγε καὶ πρόσφερε. διαίρω, τὸ ἀνοίγω ἐπὶ στόματος. ἐξαίρω, τὸ ὑψῶ. μεταίρω, ἐπὶ μεταθέσεως. ἀνταίρω, τὸ μάχομαι. ὑπεραίρω, τὸ ὑψῶ. αἴρω, τὸ προσφέρω. ἀφ᾽ οὗ καὶ πρόσαρμα, ὁ ἄρτος.

Αἱρῶ, καὶ αἱροῦμαι, τὸ κρατῶ καὶ τὸ λαμβάνω. ὅθεν αἱρῇ, ἀντὶ τοῦ λαμβάνεις. οἷον, Σῖτόν τε αἱρῇ, τὸν αὐτὸν ἐκείνοις, καὶ πόμα παραπλήσιον. ἢ αἱρῶ, τὸ κρατῶ καὶ καταβάλλω καὶ πορθῶ. ἀφ᾽ οὗ ἀναιρῶ, τὸ φονεύω. καὶ παθητικῶς ἀναιροῦμαι, ὃ σημαίνει τὸ λαμβάνω, καὶ τὸ φονεύομαι. συναιρῶ, τὸ συνάγω. καὶ καθαιρῶ, τὸ καταβάλλω. καὶ διαιρῶ, τὸ χωρίζω. καὶ περιαιρῶ, τὸ ἐκβάλλω, καὶ στερίσκω. καὶ ἀφαιρῶ, καὶ ἀφαιροῦμαι τινὰ τὰ ὅπλα, ἤγουν κλέπτω. καὶ αἱροῦμαι, τὸ βούλομαι, καὶ προκρίνω. ἀφ᾽ οὗ τὸ προαιροῦμαι, ὅταν δύο τινῶν προκειμένων, τὸ ἕτερον προτιμῶ. αἴρω, τὸ ὑψῶ. ἀφ᾽ οὗ ἄρδην, ἀντὶ τοῦ μετεώρως καὶ κούφως, καὶ ἀντὶ τοῦ ἀφανιστικῶς καὶ ὁμοῦ. ἀφ᾽ οὗ ἐξαίρω, τὸ ὡς ἐξαίρετον ἐξάγω, καὶ τὸ μεγαλύνω, καὶ ἐκβάλλω. καὶ καταίρω, τὸ ἐλλιμενίζω. καὶ ἀπαίρω, τὸ ἀποδημῶ, ἀπὸ τῶν πλεόντων καὶ ἐπαιρόντων τὰ ἱστία μετενηνεγμένον. ἐπαίρω, τὸ ἐγείρω καὶ ἀναπείθω. καὶ αἴρω, τὸ ἀφανίζω. ἀφ᾽ οὗ, Ἦρεν ὄνειδος ἐξ υἱῶν ἰσραήλ. καὶ αἶρα ζιζάνιόν τι, μετὰ τοῦ σίτου ἀναφυόμενον, διὰ τῆς αι διφθόγγου.

Αἶσα κατὰ τοὺς παλαιοὺς, παρὰ τὸ δαίω, τὸ μερίζω. ὅθεν καὶ μοῖρα λέγεται. καὶ εἱμαρμένη δὲ, ὡς ἀπὸ τοῦ μείρω, ὅπερ ταυτόν ἐστι τῷ δαίω, τὸ μερίζω: κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ ζῆνά φασι, τὸν τοῦ ζῆν αἴτιον. καὶ δία, ὅτι δι᾽ αὐτοῦ πάντα. καὶ πεπρωμένην, ὅτι πάντα εἰς πέρας φέρει. Ὅμηρος, οὐδ᾽ ὑπὲρ αἶσαν. ὃ ταυτόν ἐστι τῷ, κατ᾽ αἶσαν. ὅμοιον γὰρ παρὰ φιλομήρῳ Σοφοκλεῖ. τὸ, Γνωτὰ οὐκ ἄγνωτά μοι. καὶ τὸ, Ἡδὺς, οὐδὲ μητρὶ δυσχερής. καὶ τὸ, οὔτε τι τοῦ μὴ θανεῖν προμηθής. ἡ αἶσα, ἡ μοῖρα. Τὴν σὴν ἤθελον αἶσαν ἔχειν. καὶ αἶσα, ἡ μανία. Σοφοκλῆς, τὸν αἶσ᾽ ἄπλατος ἴσχει. τουτέστι, μανία. παρὰ τὸ δαίω τὸ μερίζω, ὁ μέλλων δαίσω, γίνεται δαῖσα. ὡς βήσω βῆσα, καὶ πείσω πεῖσα, ἡ πεισμονή. καὶ ἀποβολῇ τοῦ δ, αἶσα, ἡ ἑκάστῳ μεμερισμένη, Ἐπεί νύ τοι αἶσα μίνυνθά περ. ἢ παρὰ τὸ ἀεὶ ἴση εἶναι, ἡ μὴ μεταβαλλομένη. πᾶσι γὰρ ἴσως ἔπεισιν.

Αἶσαι βούλει, αἰσθάνεσθαι κατανοεῖς. * ἀδόκιμον.

Αἴσακος, ὁ τῆς δάφνης κλάδος. ἢ ὁ τῆς μυρσίνης. ὃν κατέχοντες οἱ ἕλληνες, ὕμνουν τοὺς θεοὺς αὐτῶν. καλεῖται δὲ καὶ τὸ ζῶον ὁ αἰρίθακος. * (κάλλιον ἐρίθακος,) αἴσακος.

Αἴσαντες, αἰσθόμενοι. * κάλλιον ἀΐσαντες.

Αἰσαλὼν, εἶδος ζώου. * οὕτω Σουΐδας. ὁ δὲ Ἡσύχ. αἰσάρων. παρ᾽ ἄλλοις αἰσάλων.

Αἴσαρος, ποταμὸς διὰ μέσης τῆς πόλεως τῶν Κροτωνιατῶν ῥέων. ἔστι δὲ καὶ ἄλλος ποταμὸς Σικελίας αἴσαρος.

Αἰσάρων, εἶδος ἱέρακος.

Αἴσηπος, ποταμὸς, καὶ ὄνομα κύριον.

Αἴσιμα, τὰ προσήκοντα παρὰ τὴν αἶσαν. ἐνίοτε, τὰ καθήκοντα, ἢ τὰ ἀγαθά. ἔνθ᾽ ὅτε δὲ, τὰ εἱμαρμένα.

Αἴσιμος, ὁ χωλὸς, καὶ ἄτιμος, καὶ ἀμαθής.

Αἰσιμῶ, τὸ καταναλίσκω.

Αἴσιον, τὸ καλὸν, μέτριον, δίκαιον. καὶ ὑπεραίσιον, τὸ ὑπὲρ τὴν μοῖραν, ἢ ὑπὲρ τὸ προσῆκον.

Αἴσιος, ὁ καθήκων, ἀληθής.

Αἰσχρὰ γυνὴ, ἄμορφος.

Αἰσχύνη, ἡ τοῖς κατεγνωσμένοις ἐπιγινομένη αἰδώς.

Αἰσθάνομαι, τὸ νοῶ. μετὰ μετοχῆς συντάσσεται. οἷον, αἰσθάνομαι ἔξω τοῦ καιροῦ καὶ τοῦ μέτρου φερόμενος. εἰ δὲ πρὸς ἕτερον πρόσωπον, μετὰ αἰτιατικῆς συντάσσεται: οἷον, αἰσθάνομαί σε ποιοῦντα τόδε. αἰσθάνομαι, τὸ αἴσθησιν λαμβάνω. οἷον, αἰσθάνομαι καλῆς ᾠδῆς ἀλλοτρίᾳ ψαλτῇ. καὶ αἰσθάνομαι ψυχῆς, καὶ αἰσθάνομαι τῆς γλυκύτητος. αἰσθάνομαι οὖν τόδε τὸ πρᾶγμα, καὶ τόδε. καὶ αἰσθάνομαί σε ποιοῦντα τόδε, καὶ αἰσθάνομαι τῆς ψυχῆς. ὁ μέλλων αἰσθήσομαι, ᾐσθόμην, ᾔσθημαι.

Αἰσθέσθαι, παρὰ τὸ αἴσθω, ὁ μέλλων αἰσθήσω. ὁ δεύτερος ἀόριστος, ᾖσθον. ὁ μέσος ᾐσθόμην, ᾔσθου, ᾔσθετο. τὸ ἀπαρέμφατον, αἰσθέσθαι.

Αἰσθάνεσθαι, τοῦτο δύο σημαίνει. τὸ κατὰ δύναμιν, καὶ κατ᾽ ἐνέργειαν. αἰσθάνεσθαι τοίνυν λέγονται καὶ οἱ κοιμώμενοι, δύναμιν ἔχοντες τοῦ αἰσθάνεσθαι. Διαφέρει δὲ τὸ αἰσθάνεσθαι, τοῦ αἰσθέσθαι. τὸ μὲν γὰρ αἰσθάνεσθαι, ἐπὶ τοῦ ὑπονοεῖν τι. τὸ δὲ αἰσθέσθαι, ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι. καὶ περὶ μὲν τοῦ αἰσθέσθαι, Ἀντιφῶν ἐν προοιμίοις. Ἐγραψάμην ταύτην τὴν γραφὴν, ἠδικημένος ὑπὸ τούτου νὴ τὸν Δία πολλά. ἔτι δὲ καὶ πλείω ὑμᾶς ᾐσθημένος ἠδικημένους, καὶ τοὺς ἄλλους πολίτας. περὶ δὲ τοῦ αἰσθάνεσθαι, ἤγουν, τοῦ ὑποπτεύειν, καὶ οὐ βεβαίως εἰδέναι, Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην φησὶν, Οἶμαι μὲν τοίνυν, καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀλκιβιάδης, οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἡμῶν ἀμφισβήτει. ἔταξαν δὲ αὐτὸ καὶ ἐπὶ τοῦ εἰδέναι. Ἰσαῖος, Τὰ μὲν αὐτοὶ συνειδότες, ὅτι ὑγίαινεν ὁ παῖς, τῶν ἑωρακότων. αἰσθανόμενοι μαρτυρούντων. τὰ δὲ, ἀκηκοότες πυνθανόμενοι.

Αἰσθοίμην, νοησοίμην.

Αἴσθου, σύνες, ἄκουσον, γνῶθι.

Αἴσθων. Ὁ δ᾽ ἔβραχε θυμὸν αἴσθων, ἐκπνέων. καὶ, Αὐτὰρ ὁ, θυμὸν αἴσθε καὶ ἤρυγεν, ἀπὸ τοῦ ἀΐω, ῥήματος σημαίνοντος τὸ ἀκούω, παράγωγον ὄνομα αἶσος. ἐκ τούτου γίνεται αἴσω. καὶ τροπῇ τοῦ τ εἰς θ αἴσθω. ἐξ οὗ ἡ μετοχὴ, ἀΐσθων, καὶ κατὰ συναίρεσιν αἴσθων. ἢ καὶ ἀπὸ τοῦ ἀΐω ἐν παραγωγῇ αἶσθος. ὡς ὅρματος, ὅρμαθος. ἀφ᾽ οὗ ῥῆμα, αἴσθω.

Αἰσθῶν, ἐν αἰσθήσει ἔχων. ὅρος αἰσθήσεως.

Αἴσθησίς ἐστι δύναμις αἰσθητικὴ, καὶ τὸ ὑπὸ τὴν αἴσθησιν. καὶ νοῦς, τὸ νοοῦν, καὶ τὸ νοούμενον. ὡς τὸ, Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις. ἤγουν, τὰ νοητὰ, καὶ τὰ αἰσθητά. πέντε δὲ οὐσῶν αἰσθήσεων, ἑκάστη αὐτῶν διττῶς λέγεται. ἡ αἴσθησίς ἐστι πνεῦμα νοερὸν, ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα

τεμ-

περιτεμνόμενον. ἡ δὲ γεῦσις ἀκριβὴς τῶν διακρινομένων. ἡ δύναμις τῆς ψυχῆς, ἀντιληπτικὴ τῶν ὑλῶν, ἤγουν διαγνωστική. αἰσθήσεις δέ εἰσι πέντε, ὅρασις, ἀκοή, ὄσφρησις, γεῦσις, καὶ ἀφή. ὁμοίως καὶ αἰσθητήρια πέντε. Πρώτη μὲν οὖν αἴσθησίς ἐστιν, ὅρασις. αἰσθητήρια δὲ καὶ ὄργανα τῆς ὁράσεως, τὰ ἐξ ἐγκεφάλου νεῦρα, καὶ οἱ ὀφθαλμοί. αἰσθάνεται μὲν ἡ ὄψις κατὰ πρῶτον λόγον τοῦ χρώματος. συνδιαγινώσκει δὲ τῷ χρώματι, τὸ κεχρωσμένον σῶμα. καὶ τὸ μέγεθος αὐτοῦ, καὶ τὸ σχῆμα, καὶ τὸν τόπον ἔνθα ἐστί, καὶ τὸ διάστημα τὸ μεταξύ, καὶ τὸν ἀριθμόν, κίνησίν τε καὶ στάσιν, καὶ τὸ τραχὺ καὶ λεῖον, καὶ ὁμαλὸν καὶ ἀνώμαλον, καὶ τὸ ὀξὺ καὶ τὸ ἀμβλύ, καὶ τὴν σύστασιν, εἴτε ὑδατώδης ἐστὶν, εἴτε γεώδης, ἤγουν ὑγρὰ καὶ ξηρά. Δευτέρα δὲ αἴσθησίς ἐστιν, ἀκοή. τῶν φωνῶν καὶ τῶν ψόφων οὖσα αἰσθητική. διαγινώσκει δὲ αὐτῶν τὴν ὀξύτητα, καὶ τὴν βαρύτητα, λειότητά τε καὶ τραχύτητα, καὶ μέγεθος. ὄργανα δὲ αὐτῆς, τὰ νεῦρα τὰ ἐξ ἐγκεφάλου τὰ μαλακά, καὶ τῶν ὤτων ἡ κατασκευή. μόνος δὲ ὁ ἄνθρωπος, καὶ ὁ πίθηκος, οὐ κινοῦσι τὰ ὦτα. Τρίτη αἴσθησίς ἐστιν, ἡ ὄσφρησις. ἥτις γίνεται μὲν διὰ τῶν ῥινῶν, ἀναπεμπουσῶν τὰς ἀτμοὺς ἐπὶ τὸν ἐγκέφαλον. περαίνεται δέ, εἰς τὰ πέρατα τῶν ἐμπροσθίων κοιλιῶν τοῦ ἐγκεφάλου. αἰσθητικὴ γάρ ἐστι καὶ ἀντιληπτικὴ τῶν ἀτμῶν, ἧς γενικωτάτη διαφορά ἐστιν, ἡ εὐωδία, καὶ δυσωδία, καὶ τὸ μέσον τούτων. ὃ μήτε εὐῶδές ἐστι, μήτε δυσῶδες. γίνεται μὲν εὐωδία, τῶν ὑγρῶν τῶν ἐν τοῖς σώμασι, ἀκριβῶς πεφθέντων, δυσωδία δέ, μηδὲ ὅλως τούτων πεφθέντων. Τετάρτη αἴσθησίς ἐστιν ἡ γεῦσις. τῶν χυμῶν γάρ ἐστιν ἀντιληπτική. ὄργανα δὲ αὐτῆς, ἡ γλῶσσα. καὶ ταύτης πλέον, τὸ ἄκρον καὶ ἡ ὑπερῴα, ἣν καλοῦσί τινες οὐρανίσκον. ἐν οἷς ἐστι τὰ ἐξ ἐγκεφάλου φερόμενα νεῦρα πεπλατυσμένα, καὶ ἀπαγγέλλοντα τῷ ἡγεμονικῷ τὴν γενομένην ἀντίληψιν, ἤγουν αἴσθησιν. αἱ δὲ καλούμεναι γευστικαὶ ποιότητες τῶν χυμῶν, εἰσὶν αὗται, γλυκύτης, δριμύτης, στρυφνότης, αὐστηρότης, πικρότης, ἁλμυρότης, γλισχρότης. τούτων γάρ ἐστιν ἡ γεῦσις διαγνωστική. τὸ δὲ ὕδωρ, ἄποιόν ἐστι κατὰ ταύτας τὰς ποιότητας. οὐδεμίαν γὰρ αὐτῶν ἔχει. ἡ δὲ στρυφνότης, ἐπίτασίς ἐστι καὶ πλεονασμὸς τῆς αὐστηρότητος. Πέμπτη δὲ καὶ τελευταία αἴσθησίς ἐστιν, ἡ ἀφή. ἥτις κοινή ἐστι πάντων τῶν ζώων. γίνεται δὲ ἐκ τῶν τοῦ ἐγκεφάλου πεμπομένων νεύρων, εἰς ὅλον τὸ σῶμα. ἀλλὰ καὶ τὰ λοιπὰ αἰσθητήρια, τὴν τῆς ἀφῆς ἔχουσιν αἴσθησιν. ὑπόκειται δὲ τῇ ἀφῇ, τὸ θερμὸν καὶ ψυχρόν, τό, τε μαλακὸν, καὶ σκληρὸν, καὶ γλίσχρον, βαρύ τε καὶ κοῦφον. διὰ μόνης γὰρ τῆς ἀφῆς, ταῦτα γινώσκεται. κοινὰ δὲ τῆς ἀφῆς καὶ ὄψεως, τό, τε τραχὺ καὶ λεῖον, καὶ ξηρὸν, καὶ ὑγρὸν, παχύ τε καὶ λεπτὸν, ἄνω τε καὶ κάτω, καὶ ὁ τόπος, καὶ τὸ μέγεθος, ὅταν ᾖ τοιοῦτον, ὡς κατὰ μίαν προσβολὴν τῆς ἀφῆς περιλαμβάνεσθαι. καὶ τὸ πυκνὸν δέ, καὶ τὸ μανὸν, ἢ τὸ ἀραιὸν, καὶ τὸ στρογγύλον, ὅταν ᾖ μικρὸν, καὶ ἄλλα τινὰ σχήματα. ὁμοίως δὲ καὶ τοῦ πλησιάζοντος σώματος αἰσθάνεται, σὺν τῇ μνήμῃ τε καὶ τῇ διανοίᾳ. ὡσαύτως δὲ καὶ ἀριθμοῦ μέχρι δύο ἢ τριῶν. καὶ τούτων μικρῶν, καὶ ῥᾳδίως περιλαμβανομένων. τούτων δὲ μᾶλλον τῆς ἀφῆς, ἡ ὅρασις περιλαμβάνεται. χρὴ δὲ γινώσκειν, ὡς ἕκαστον τῶν ἄλλων αἰσθητηρίων, διπλοῦν ὁ Δημιουργὸς κατεσκεύασεν. ἵνα τοῦ ἑνὸς βλαπτομένου, τὸ ἕτερον ἀναπληροῖ τὴν χρείαν. δύο γὰρ ὀφθαλμοὺς, καὶ δύο ὦτα, καὶ δύο πόρους τῆς ῥινός, καὶ δύο γλώσσας. ἀλλ᾽ ἐν μὲν τοῖς τῶν ζώων διῃρημένας, ὡς τοῖς ὄφεσιν. ἐν τοῖς δὲ ἡνωμένας, ὡς ἐν τῷ ἀνθρώπῳ. τὴν δὲ ἀφὴν, ἐν ὅλῳ τῷ σώματι πλὴν ὀστέων καὶ νεύρων, ὀνύχων τε καὶ κεράτων, τριχῶν τε, καὶ τῶν ὁμοίων. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἡ μὲν ὄψις, τὰς κατ᾽ εὐθεῖαν γραμμὰς ὁρᾷ. ἡ δὲ ὄσφρησις, καὶ ἀκοή, οὐ κατ᾽ εὐθεῖαν μόνον, ἀλλὰ καὶ πανταχόθεν. ἡ δὲ ἀφή, καὶ ἡ γεῦσις, οὐ κατ᾽ εὐθεῖαν, οὐδὲ πανταχόθεν γνωρίζουσιν, ἀλλὰ τότε μόνον, ὅταν αὐτοῖς πλησιάσωσι τοῖς ἰδίοις αἰσθητοῖς. Ἄλλως περὶ αἰσθήσεως.

Αἴσθησις, νόησις. εἰσὶ δὲ τοῦ ἀνθρώπου σώματος αἰσθήσεις πέντε, ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις, καὶ ἀφή. τιμιωτέρα δὲ ἡ ὄψις τῆς ἀκοῆς, καὶ αὕτη τῆς ὀσφρήσεως, ἡ ὄσφρησις τῆς γεύσεως, καὶ τῆς ἀφῆς. ἡ μέντοι ἀφή, δοκεῖ μηδὲ αἴσθησις εἶναι. ἑκάστη γὰρ τῶν ἄλλων αἰσθήσεων, περὶ μίαν τινὰ τῶν αἰσθητῶν τὴν ἀντίθεσιν ἐνεργεῖ, καὶ τὰ ταύτης μεταξύ. οἷον ὄψις μὲν περὶ τὸ μέλαν, καὶ τὸ λευκόν, καὶ τὰ τούτων μεταξὺ χρώματα. ἀκοὴ δὲ περὶ τὸν βαρὺν καὶ τὸν ὀξὺν φθόγγον, καὶ τοὺς μεταξύ. ὄσφρησις, περὶ τὸ εὐῶδες, καὶ τὸ δυσῶδες. γεῦσις, περὶ τὸ γλυκὺ, καὶ τὸ πικρὸν, καὶ τὰ τούτων μεταξύ. ἡ μέντοι ἀφή, περὶ πλείους ἀντιθέσεις ἔχει, οὐκ οὔσας ὑπαλλήλους. περί τε γὰρ τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ ὑγρὸν, καὶ τὸ ξηρόν. καὶ τὸ σκληρὸν καὶ μαλακόν. τὸ βαρὺ καὶ τὸ κοῦφον, τὸ μανὸν, καὶ τὸ πυκνόν. ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται. Ἔτι αἱ αἰσθήσεις τῶν μειζόνων αἰσθητῶν ἀντιλαμβανόμεναι, οὐκέτι μετ᾽ ἐκείνων τῶν ἡττόνων ἀντιλαμβάνεσθαι δύνανται. ὁ γὰρ πληκτικωτέρων χυμῶν γευσάμενος, τῶν ἠρεμαιοτέρων οὐκ ἐπαισθάνεται. καὶ ὁ μεγάλων ψόφων ἀκηκοὼς, πρὸς τοὺς ἥττους ἐστὶν ἀνεπαίσθητος. καὶ ὁ πρὸς ἥλιον ἀτενίσας, ἀναγνῶναι οὐ δύναται, οὐδὲ τῶν ἄλλων ἀκριβῶς ὁρατῶν ἀντιλαμβάνεσθαι. ὁμοίως καὶ ἐπὶ τῆς ἀφῆς. ὁ δὲ νοῦς, τούτοις ἐναντίως ἔχει. ὅσῳ γὰρ τῶν μειζόνων νοητῶν ἀντιλαμβάνεται, τοσούτῳ καὶ ἀκριβέστερός ἐστι πρὸς τὴν ἀντίληψιν τῶν ἡττόνων. καὶ τὰς μὲν αἰσθήσεις, αἱ ὑπερβολαὶ τῶν αἰσθητῶν φθείρουσιν. ὑπερβολὴ γὰρ φωτὸς ἢ ζόφου, ἔφθειρε τὴν ὄψιν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. τὸν δὲ νοῦν τῶν μειζόνων νοητῶν ἡ ἀντίληψις ὀξυδερκέστερον ποιεῖ. Ἔτι κοινὰ αἰσθητὰ πέντε. πρῶτον κίνησις, δεύτερον ἠρεμία, τρίτον ἀριθμὸς, τέταρτον σχῆμα, πέμπτον μέγεθος. κοινὰ δὲ ταῦτα εἶναι λέγονται, οὐχ ὅτι ἓν ἕκαστον αὐτῶν πάσαις ταῖς αἰσθήσεσιν ὑποπίπτει, ἀλλ᾽ ὅτι ἕκαστον πλείοσι, καὶ οὐ μιᾷ. τινὰ δὲ καὶ πάσαις ἅμα. τὸ μὲν γὰρ μέγεθος, κοινόν ἐστιν αἰσθητὸν ὄψεως καὶ ἀφῆς. ὁρῶμεν γὰρ ὅτι μέγας ἐστὶ τυχὸν ὁ ἄνθρωπος. καὶ ἁπτόμενοι αἰσθανόμεθα, ὅτι μέγας ἢ μικρὸς ὁ προσπεσὼν ὄγκος, καὶ τὸ διάστημα. ἤδη δὲ καὶ ψόφου λέγομεν ᾐσθῆσθαι, μεγάλου ἢ μικροῦ. ἀλλ᾽ ἐνταῦθα τὸ μέγεθος, κατὰ ἀναλογίαν εἴληπται, οὐ κυρίως. μέγεθος γὰρ λέγομεν τὸ συνεχὲς τῶν κοινῶν εἶναι αἰσθητῶν. ὁ μέντοι μέγας ψόφος, ποιότητός ἐστιν ἐπιτεταμένης δηλωτικός. διὸ τὸ ἀμυδρὸν ἢ σφοδρὸν κυρίως ἐπὶ τῶν ψόφων ἁρμόζει λέγειν. τὸ δὲ σχῆμα, κοινὸν ὄψεως καὶ ἀφῆς. σχῆμα δέ, οὐ τὸ τετράγωνον, ἢ ὀκτάγωνον (τοῦτο γὰρ λόγου ἐστί, τὸ εἰπεῖν ὅτι σχῆμά ἐστι, τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἢ ὑπὸ τριῶν, ἢ ὅσων δήποτε) ἀλλ᾽, ὅτι ἁπλῶς περιγέγραπται. πᾶσα δὲ περιγραφή, κατά τι τῶν σχημάτων γίνεται. καὶ τὰ ἄλογα γοῦν, ὅταν ἐπὶ μικρὸν ὕψος καὶ ἐπανάστημα γῆς ἐμπέσωσιν, ἐπιβαίνουσι διελθεῖν. εἰς δὲ ὑψηλὸν καὶ ἀπόκρημνον ἐμπεσόντα, οὐκ ἐπιχειρεῖ παρελθεῖν, συνειδόμενα τοῦ μεγέθους τοῦ σχήματος. ὁ δὲ ἀριθμός, κοινόν ἐστιν αἰσθητὸν πασῶν. ὁρῶμεν γὰρ ὅτι πέντε τυχὸν ἄνθρωποι, ἀλλὰ καὶ ψηλαφῶντες τοῦτο αὐτὸ ἴσμεν, καὶ μὴν ἀκούοντες.

Αἰσθητικὸν, πᾶν ζῷον αἴσθησιν φόβου καὶ θανάτου ἔχον, ἢ αὐτὸ τὸ ζῷον τὸ κεκτημένον τὰς αἰσθήσεις.

Αἰσθητὰ, τὰ ὁρώμενα, τὰ πεφυκότα ταῖς αἰσθήσεσιν ὑποπίπτειν. οἷον χρῶμα, σχῆμα, καὶ ὄγκος, καὶ πηλικότης, καὶ ἀντιτυπία, καὶ μαλακότης, ψόφος, καὶ ἀτμοὶ, καὶ χυμοὶ, λειότης, τραχύτης, καὶ τὰ τοιαῦτα, αἰσθανόμενόν ἐστι ζῷον ἀντιληπτικὸν, κατὰ δύναμιν φυσικὴν τῶν αἰσθητῶν.

Αἰσθητήρια τὰ ὄργανα, ἤγουν τὰ μέλη, δι᾽ ὧν αἰσθανόμεθα, ἢ αἱ αἰσθήσεις τοῦ ἀνθρώπου, ἢ ἐν οἷς καθίδρυται ἡ αἴσθησις.

Ἀΐσθειν, γίνεται ἀπὸ τοῦ ἄω τὸ πνέω, ἐξ οὗ καὶ τὸ ἆσθμα, καὶ τὸ ἀσθμαίνειν. ἐκ δὲ τοῦ τοιούτου αἴσθειν, καὶ ἡ αἴσθησις κατὰ συναίρεσιν γίνεται.

Ἀΐστωρ, ὁ ἀμαθής.

Ἀϊστῶσαι, ἀφανίσαι, φονεῦσαι.

Ἀΐσθων, ἀντὶ τοῦ ἀποπνέων, ἐκ τοῦ ἄω. τινὲς δὲ ἀντὶ τοῦ αἰσθόμενος, ὡς τοῦ αἴσθειν συνῃρημένου εἰς ῥῆμα αἰσθήσεως. ἣν οἱ ἄοντες, ἤτοι πνέοντες καὶ ζῶντες ἔχουσι. κρεῖττον δὲ τὸ πρῶτον. ἔστι γὰρ ἀΐω ῥῆμα, ἐξ οὗ τὸ, φίλον ἄϊτο ἦτορ, τούτου μέλλων, ἀΐσω, ἄχρηστος. ἐξ οὗ πλεονασμῷ τοῦ θ ἐνεστὼς ἀΐσθω, ὡς βιβῶ βιβάσω βιβάσθω. οἷον, μακρὰ βιβάσθω. ἴδω, ἴσω, ἴσθω.

Ἀΐειν, ἐξέπνειν, ἐκ τοῦ ἀΐω, ὃ σημαίνει τὸ αἰσθάνομαι. τὸ δὲ ἀΐω, ἐκ τοῦ ἴα, ὃ σημαίνει τὴν φωνήν.

Ἀΐς, καὶ κλίνεται ἀΐδος. γίνεται παρὰ τὸ α στερητικὸν, καὶ τοῦ εἴδω εἴσω, τὸ βλέπω. καθάπερ καὶ ἐκ τοῦ νη στερητικοῦ, καὶ τοῦ εἴδω εἴσω τὸ γινώσκω, νῆις, ὁ ἄπειρος καὶ ἀνεπιστήμων. ἔστι γὰρ ἀΐς, τόπος σκοτεινὸς ὑπὸ γῆν, ἀφωρισμένος ψυχαῖς. διὸ καὶ ἀΐδης λέγεται ὁ αὐτὸς, καὶ ἀϊδωνεύς. ὡς δέ τινές φασι, καὶ ᾅδης, κατὰ συναίρεσιν τοῦ ἀΐδης. καὶ ἀΐς, ὁ μὴ βλεπόμενος, καὶ ὁ ἀνίσχυρος, ἀπὸ τοῦ ἴς, ἡ δύναμις.

Αἴσηπος ποταμὸς, οὗ μέλαν ὕδωρ λέγει ὁ ποιητὴς, ἢ κατὰ ἐπίθετον, καθ᾽ ὃ καὶ κυανώπιδα λέγει Ἀμφιτρίτην, καὶ Ποσειδῶνα κυανοχαίτην. καὶ ταύρους μέλανας θύεσθαι τῷ Ποσειδῶνι λέγεται. ἢ διὰ τὸ βαθύ. Καλλίμαχος δὲ παραφράσας, ἑλικώπιον ὕδωρ Αἰσήπου φησίν.

Αἴσια, γνήσια, δίκαια, δεξιὰ, ἢ εἱμαρμένα, καὶ καθήκοντα.

Αἴσιμα πάντα, ὅ ἐστι καθήκοντα, καὶ δίκαια. καὶ παρ᾽ Ὁμήρῳ, Ἀμείνω δ᾽ αἴσιμα πάντα. ἐγγύς ἐστι τοῦ εἰπεῖν, ὡς πάντων μέτρον ἄριστον.

Αἴσιμον ἦμαρ παρίσταται παρ᾽ Ὁμήρῳ ἐν τῷ τῆς Ὀδυσσείας. τουτέστιν ἐγγὺς αὐτῶν ἵσταται, ὄλεθρος ὁ ἀποκείμενος. καὶ ἐν Ἰλιάδι, εἰς ταυτὸ ἄγεται τῇ ταλαντευομένῃ κηρί. ὡς ἴσον ὄν, τὸ ῥέπουσαν εἰπεῖν κῆρα, καὶ ῥέπον αἴσιμον ἦμαρ, ἡ μεμοιραμένη ἡμέρα. ὥσπερ γὰρ ἀπὸ τοῦ σπορὰ σπόριμος, οὕτω καὶ παρὰ τὸ αἶσα αἴσιμος. ὅθεν καὶ τὸ αἰσιμία.

Αἰσίμη πρὶν φρένας ᾔδη. ἔστι δὲ αἰσίμη, ἡ τηροῦσα τὸ αἴσιον, ἤτοι καθῆκον, καὶ δίκαιον. καὶ γίνεται ἐκ τοῦ αἴσιμος, ὁμοίως τῷ ἔρημος ἐρήμη, καὶ χρήσιμος χρησίμη.

Αἰσιμίδαι, οἰκίας γένος. Ἱστορία.

Αἴσιμος. αἴσιμος ὁ Ἀντικλείας ἀδελφὸς, Σίνωνα γεννᾷ. ὃς αἰκισάμενος ἑαυτὸν πλησίον τοῦ δουρείου ἵππου ἐκάθητο. οἱ δὲ Ἕλληνες, ὥς φησι Τρυφιόδωρος, Πῦρ ὡς εἶδον πυκταῖσιν ἐνὶ κλησίῃσι, βάλλοντες πρὸς Τένεδον κατῆραν, καὶ τὰς περὶ τὴν Τροίαν καλυδνὰς νήσους. ἀφ᾽ ὧν νήσων δύο δράκοντες Πόρκις καὶ Χαρίβοια διανηξάμενοι, τὸν παῖδα τοῦ Λαοκόοντος ἀνεῖλον μέσον παντὸς τοῦ λαοῦ, ὅτι τῷ δόρατι βαλεῖν τὸν δούρειον ἵππον ἐτόλμησε. τότε δὲ τῶν Τρώων κατελθόντων, καὶ ἀπατηθέντων δόλοις τοῦ Σίνωνος, καὶ ἑλκυσάν-

σάντων αὐτῇ περὶ τὴν πόλιν, καὶ μέθῃ καὶ χαρᾷ καὶ ὕπνῳ συσχεθέντων, αὐτὸς ὁ Σίνων, ὡς ἦν αὐτῷ συντεθημένον, φρυκτὸν ὑποδείξας τοῖς Ἕλλησιν, ὡς ὁ Λέσχης φησὶν, Ἡνίκα νὺξ μὲν ἔην μέση, λαμπρὴ δ' ἐπέτελλε σελήνη, προσκαλεῖται αὐτοὺς διὰ τοῦ φρυκτοῦ εἰς Τροίαν, καὶ εἷλον.

Αἴσιον, τὸ δίκαιον, μέτριον, δεξιὸν, ἀγαθόν. καὶ ὑπεραίσιον, τὸ ὑπέρμετρον. ἐξαίσιον, τὸ θαυμαστόν. ἀπαίσιον, τὸ μισητόν. Κυρίως δὲ, ἐπὶ τῆς τῶν ὀρνίθων μαντείας λέγεται τὸ ἀπαίσιον. καὶ ἀπὸ τούτου, καὶ ἐπ' ἄλλων. οἷον ἀπαίσιοι ὄρνιθες, οἱ δυσοιώνιστοι. αἴσιοι δὲ τὸ ἐναντίον οἱ εὐσύμβολοι, τουτέστιν οἱ τὰ ἀγαθὰ σύμβολα δηλοῦντες, ὡς τὸ, Πολλοὶ ὄρνιθες πέτονται, οὐ δὲ πάντες ἐναίσιμοι, ἤγουν σημαίνοντές τι μέλλον. αἴσιος ὄρνις καὶ ἀπαίσιος, ἐκ τῆς καθ' εἱμαρμένην αἴσης παρονομάζονται.

Αἰσίως, καλῶς, δεξιῶς. Εὐριπίδης Τημένῳ.

Αἶσμα, ᾆσμα * (κάλλιον εἰπεῖν ἄϊσμα) καὶ αἰσμάτων, δαπανημάτων. * ἴσως, αἰσιμωμάτων.

Ἀΐσονται, διασείονται, κινοῦνται, κρέμανται. * κάλλιον ἀΐσσονται.

Ἀΐσοι, θεοὶ ὑπὸ Τυρρηνῶν.

Ἄϊσον, ἄϊστον, ἄγνωστον. * τὸ ἄγνωστον εἴη ἂν ἑρμηνεία μᾶλλον τοῦ ἄϊστον, ἢ τοῦ ἄϊσον.

Αἴσονες, φραγμοί.

Αἰσήτωρ, χοιροβοσκός.

Ἄϊστι, ἀφανῶς.

Ἀΐσσουσιν, ὁρμῶσιν.

Ἄϊστορες, ἄπειροι.

Ἀϊστωθείη, ἀφανισθείη.

Ἄϊστωρ, ἄπειρος, ἀμαθής. * κάλλιον ἀΐστωρ, ὡς ἄνω.

Ἀϊστωθέντα, ἀφανισθέντα.

Ἀΐσσων παρὰ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ὑπαΐσσων, καὶ ὑποφλέγων. καὶ ἀΐσσω, τὸ ὁρμῶ. καὶ ἀΐσσων παρ' Ὁμήρῳ, ᾄδων.

Ἄϊστος, ἄπυστος. τὸ τελείως ἀφανῆ σημαίνει, περὶ οὗ μηδὲν ἴσησί τις. οὔτε αὐτοῖς ἰδὼν, οὔτε γνοὺς ἀπὸ πύστεως, ἤτοι μαθήσεως. καὶ ἄϊστον, ἀφανῆ, ἄγνωστον. τὸ ἄϊστος εἰ μὲν σημαίνει τὸ ἀφανῆ, ἀπὸ τοῦ εἴδω τὸ βλέπω. ὁ μέλλων, εἴσω. ὁ παρακείμενος, εἶκα. ὁ παθητικὸς, εἶσμαι. ἐκ τοῦ τρίτου προσώπου, ἱστὸς καὶ ἄϊστος. εἰ δὲ σημαίνει τὸ ἄγνωστον, ἀπὸ τοῦ εἴδω τὸ γινώσκω ὁμοίως. ἐκ τούτου καὶ τὸ ἀϊστῶσαι.

Ἀϊστῶσαι, ἀπὸ τοῦ ἀϊστῶ, τοῦ σημαίνοντος τὸ ἀφανίζω. τοῦτο παρὰ τὸ ἱστῶ. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα, ἀϊστῶ καὶ ἀϊστῶσαι, καὶ ἀϊστώσμαι.

Ἀϊστώσας, ἀφανίσας.

Αἰσυήτης, δημογέρων, ἀρχαῖος, παρώνυμος ἴσως τῷ αἰσυητῆρι νεανίᾳ, Ἀντήνορός φασι καὶ Οὐκαλέγοντος. ἕτεροι ἱστοροῦσι, τὸν αἰσυήτην τοῦτον ἔγγονον Οὐκαλέγοντος.

* Αἰσυητήρ. ὁ τηρῶν τὰ αἴσια. λέγεται καὶ αἰσυήτης.

Αἰσυητῆρι, χοιροβοσκῷ.

Αἴσυλα, ἄδικα, ἁμαρτωλὰ, παράνομα, ἀπρεπῆ, Αἴσυλα ῥέζεις. ὁ δὲ Ἀππίων ἐτυμολογῶν τὴν λέξιν, φησὶ τὰ σεσυλημένα τῆς αἴσης, τουτέστιν ἁμαρτωλά. βέλτιον δὲ, τὸ μὴ δοκεῖν ἐγκεῖσθαι τὰ σεσυλημένα. οὐκ ἔτι γὰρ ἡ αἶσα φανήσεται ἐγκειμένη. ἔστιν οὖν αἴσυλα κατὰ παράλειψιν ἑτέρου α δηλοῦντος τὰ ἀαίσυλα, ἤγουν τὰ ἐστερημένα τῆς αἴσης, τουτέστι τοῦ καθήκοντος. καὶ αἴσυλα ῥέζεις, ἀπρεπῆ πράττεις: ἢ αἴσυλα, τὰ ἄδικα, καὶ τῆς αἴσης, ἤτοι τοῦ καθήκοντος σεσυλημένα. ὡς συγκεκόφθαι ἀπὸ τοῦ αἰσύσηλα. ἢ αἴσυλα τὰ ἐφάρματα, οἱονεὶ αἰσόσυλα, ἤγουν δι' ὧν συλᾶται τὸ αἴσιον. ἢ τὰ βλαπτικά. παρὰ τὸ ἆσαι κατὰ παραγωγὴν καὶ πλεονασμὸν τοῦ ι. ἢ αἴσυλα, ἄδικα. ἐκ δὲ τοῦ αἴσυλα ῥέζειν, ἡ σύνθεσις ἐπενοήθη τοῦ αἰσυλοεργός. αἴσυλον δὲ, οὐ μόνον δι' οὗ συλᾶται τὸ αἴσιον (ἵνα ᾖ αἰσόσυλον, καὶ κατὰ συγκοπὴν αἴσυλον) ἀλλὰ καὶ δι' οὗ βλάβη γίνεται. παρὰ τὸ ἆσαι, ὅ ἐστι βλάψαι. μάλιστα δὲ παρὰ τὸ α στερητικὸν καὶ τὸ ἴσον, κατὰ συναίρεσιν, αἴσυλον, τὸ ἐστερημένον ἰσότητος, ἤτοι τοῦ δικαίου.

Αἰσυμνῆται κατὰ τοὺς παλαιοὺς, βραβευταὶ, ἀγωνοθέται, ἀγῶνος ἐπίσκοποι, οἷς τὸ αἴσιον νέμεται. ἢ ἄλλως δ' εἰπεῖν, οἱ τὸ αἴσιον ἀπονέμοντες τοῖς ἀγωνιζομένοις, ὅ ἐστι τὸ κατὰ μοῖραν, καὶ τὸ καθῆκον. ἢ τὸ αἴσιον ὑμνοῦντες, τῷ εἰρημένῳ αἰσίῳ συστοιχεῖ. καὶ τὸ αἴσιμον, ἐξ οὗ καὶ τὸ ἐναίσιμον. τοῦ δὲ ἐναισίμου, ῥῆμα αἰσιμῶ. καὶ ἀναισιμῶ. τούτων δὲ αἰσιμοῦν μὲν ἐξ ἅπαντος, τὸ εἰς δέον ἀναλίσκειν καὶ δαπανᾶν. ἀναισιμοῦν δὲ, ἴσως τὸ ἀνάπαλιν, ὡς δῆλον. Τὰς γυναῖκας ἀπέπνιξας, ἐν πολιορκίᾳ δηλαδὴ, ἵνα μὴ ἀναισιμῶσι τὸν σῖτον.

Αἰσυμνᾷ, βασιλεύει, ἄρχει. Εὐριπίδης Μηδείᾳ.

Αἰσυμνητὴρ, ὁ βασιλεὺς, ὁ τὸ καθῆκον ὑμνῶν καὶ σέβων. ἢ αἰσυμενητὴρ, ὁ ἐν τῷ καθήκοντι μένων. οἱ δὲ, παρὰ τὸ αἰσυμνᾶν, ὅ ἐστι τὸ αἰσίων μνήμην ποιεῖσθαι. ἢ αἰσιομήτης, ὁ αἴσια βουλευόμενος. ὁ γὰρ τύραννος τοὐναντίον.

Αἰσύμη, πόλις Τρωϊκή.

* Αἰσυμνῆτις, ἡ δέσποινα. καὶ αἰσυμνητεία, ἡ αἱρετὴ τυραννίς.

Αἰσυμνῆται, οἱ τοῦ ἀγῶνος προεστῶτες. ἢ ὑπηρέται, ἢ οἱ νεανίαι.

Αἰσύφηλος, δειλὸς, ψευδὴς, ἀπατεών.

Αἴσχεα πολλὰ ὁρόων, ἀντὶ τοῦ, πολλὰ βλέπων μὴ καλά. ὀνείδη, ὕβρεις. ἐναντίον γὰρ τὸ αἶσχος, καὶ τὸ αἰσχρὸν, πρὸς τὸ καλόν.

Αἰσχέας, αἰσχύνας.

Αἴσχιστος, αἰσχρότατος, κακὸς, μυσαρός.

Αἰσχίω, χείρονα.

Αἰσχρὰ, μυσαρὰ, κακά. Εὐριπίδης Τρῳάσιν.

Αἰσχρὰ ἔπη, συνήθως, οἱ ὀνειδιστικοὶ, ὅ ἐστι ψεκτοὶ λόγοι. ὥσπερ ἀνάπαλιν, καλὰ ἔπη. καὶ ὡς εἰπεῖν ᾠδαὶ, τὰ ἐγκωμιαστικά.

Αἶσχος, ἀτιμία, ὕβρις, καὶ ἡ αἰσχύνη.

Αἰσχρὸς, αἰσχρότης, κακότης, κακία, λοιδορία, μῖσος, αἰσχύνη. παρὰ τὸ αἶσχος. τοῦτο παρὰ τὸ ἴσχειν τοὺς λαμβάνοντας αὐτό.

Αἰσχύνει, αἰκίζεται, λυμαίνεται. Αἰσχύνομαι, αἰδοῦμαι. αἰσχύνομαι ταῖς προτέραις ἁμαρτίαις.

Αἰσχύνω ἕτερον, καὶ αἰσχύνομαι ἐγὼ, ἐφ' οἷς ἐπλημμέλησα. καὶ αἰσχύνομαι τὰς ἐμαυτοῦ συμφοράς. καὶ αἰσχύνομαί σε, καὶ τὴν σὴν ἡλικίαν. αἰσχύνω, ῥῆμά ἐστιν ἀντίθετον τοῦ καλὸν εἶναι. καθὰ καὶ τὸ αἶσχος, τῷ κάλλει ἀντίκειται. αἰσχύνεται δὲ νεκρὸς, ὅτε ἀπορρυφθῇ, ἢ ἄλλο τι τοιοῦτον πάθῃ. τὰ διὰ τοῦ υνω, ὡς αἰσχύνω, καὶ πλατύνω, μακρὸν τὸ υ ἔχουσιν. καὶ αἰσχύνω, ἐπὶ ἀτόπων πράξεων λέγεται καὶ αἰσχρῶν. ὅθεν ἀναίσχυντος, ὁ μὴ αἰσχυνόμενος, ἐπὶ τοῖς ἀτόποις. καὶ ἀναισχυντία, τὸ πρᾶγμα. αἰσχύνω ἕτερον, αἰσχύνομαι δὲ ἐγὼ, ἐφ' οἷς ἐπλημμέλησα. αἰσχύνω μὲν, μακρὸν τὸ σχυ. αἰσχυνῶ δὲ ἐπὶ μέλλοντος βραχύ. ὅτι τοῦ ἑνὸς συμφώνου λείψαντος, ἔμεινε βραχύ. καὶ γὰρ ἐπὶ τοῦ ἐνεστῶτος φύσει μακρὰ πάντα, πλὴν τῶν παραληγομένων τῷ ε ἐπὶ τοῦ μέλλοντος, ὅμως εἰς θέσει μακρὰν μεταπίπτουσι. σπείρω, σπέρσω, σπερῶ, κατὰ γὰρ τὴν ἁπάντων μελλόντων ἀναλογίαν, διὰ τοῦ σ ὤφειλον καὶ οἱ ταύτης τῆς συζυγίας προφέρεσθαι μέλλοντες. ἀπέλειψε δὲ ἡ χρῆσις, ὅτι ἀμεταβόλων ἡγουμένων, τὸ σ οὐχ ἕπεται. ὁ παρακείμενος, ἤσχυκα. ὅτι παραλήγουσαν τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι. ὁ ἀόριστος, ἤσχυνα. ὅτι εἰ περισπᾶται ὁ μέλλων, καὶ τὴν παραλήγουσαν ἐκτείνει ὁ ἀόριστος. τοῦτο δὲ ἐπὶ πάντων ἁπλῶς, τῶν τῆς πέμπτης συζυγίας συμβαίνει.

Αἰχινάδου παρ' Ἀριστοφάνει, ὡς τοῦ αἰχινάδου μᾶλλον τῶν ἄλλων ἔχοντος καρπίμους μυρρίνας, ἢ ἀπὸ τῶν καρπῶν. ἢ ὄνομα κύριον αὐλητοῦ, ἢ φίλου.

Αἴσχιον, οὐκ αἰσχρότερον. καὶ αἰσχυντηρὸς, οὐκ αἰσχυντηλός. * τὸ αἰσχυντηλὸς δοκεῖ ἀττικώτερον. ἀδοκιμοῦσι δὲ ἄμφω. Πλάτων αἰσχυντηρότερον εἶπεν, οὐκ αἰσχυντηλότερον.

Αἰσχίους ἄνδρας, ἀμόρφους.

Αἴσχιστος τὸ εἶδος, ἀντὶ τοῦ δυσειδέστατος.

Αἰσχίω, ἀμείνω, χείρω, κρείττω, Ἀττικῶς. κοινῶς δὲ, αἰσχίονα, ἀμείνονα, χείρονα, κρείττονα.

* Αἰσχροεπέω, παρ' Ἀθηναίῳ. αἰσχρολογέω.

Αἰσχροκερδὴς, ἐπιθυμητὴς κακῶν.

Αἰσχρουργίας, αἰσχρὰς ἐργασίας.

* Αἰσχρουργὸς, ὁ αἰσχροποιός. καὶ αἰσχρουργεῖν, τὸ αἰσχροποιεῖν, καὶ παθητικῶς αἰσχρουργοῦμαι.

Αἰσχροῖς, τοῖς αἰσχύνην ἐνεγκεῖν δυναμένοις.

* Αἰσχρορρήμων, ὁ αἰσχρολόγος. Αἰσχρορρημοσύνη, αἰσχρολογία.

Αἰσχροῦ δὲ εἴδη τέσσαρα, ἄδικον, δειλὸν, ἄκοσμον, ἄμορφον.

Αἴσων, ὁ ἥρως, παρὰ τὴν αἶσαν. δοκεῖ ἀπὸ πλεονασμοῦ γεγονέναι. αἴσων μὲν πατὴρ, ἰάσων δὲ υἱὸς, κατὰ διάλυσιν τῆς αι διφθόγγου, καὶ μετάθεσιν τοῦ ι. καὶ αἵμων μὲν πατὴρ, μαίων δὲ υἱὸς, ὃν Τυδεὺς ἀνεῖλε. τοῦ ἐν τῇ ἀρχῇ διφθόγγου ἐντιθείσης. μαίων γὰρ φησιν Αἱμονίδης.

Αἰσώπου γελοῖα, οὕτως ἔλεγον τοὺς Αἰσώπου μύθους. καὶ ἐν τοῖς κοινοῖς δικαστηρίοις, ἔστιν ὅτε τοῖς αἰσωπείοις ἐχρῶντο μύθοις.

* Αἰσωπικὸν, καὶ Αἰσώπειον, ταὐτόν.

Αἰσχυνοίην, καταισχυνοίην.

Αἰσχύνη, ἐντροπή.

Αἶτα, πνοήν. * ἴσως αἴταν, Δωρικῶς ἀντὶ τοῦ αἴτην.

Ἀίτην, ἑταῖρον.

Ἀΐτας, ἑταίρους.

Αἰτία, πρόφασις.

Αἶται, θυγατέρες Διός, αἱ τοῖς δεομένοις βοηθοῦσαι.

Ἄϊτον, ἀπλήρωτον.

Αἰτηταὶ, τὰ κατ' ἔρανον διδόμενα.

Αἰτιαμάτων, ἐγκλημάτων.

Αἰτιατὰ, τὰ ἐκ τοῦ αἰτίου γινόμενα.

Αἰτιατικὴν ἀντὶ δοτικῆς οἱ Ἀττικοὶ ἠγαπήκασιν. ὡς Θουκυδίδης, Εἰ οὖν τισι τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστόν. ἀντὶ τοῦ σοί. ἔτι, τὸ αἰτιατικὰς πτώσεις λαμβάνειν ἀντὶ γενικῶν, Ἀττικῶν ἴδιόν ἐστιν, οἷον μήτε σὺ τὸν δ' ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην, ἀντὶ τοῦ ἀπὸ τούτου. καὶ Ἡσίοδος, ὅν τε διὰ βροτοὶ ἄνδρες. ἀντὶ τοῦ, δι' οὗ. καὶ δι' ὃν ἐξέπεσες, ἀντὶ τοῦ δι' οὗ. καὶ αἰτιατικὰς ἀντὶ εὐθείας παραλαμβάνειν, Ἀττικῶν ἐστιν. Ἀριστοφάνης ἐν Ὄρνισιν, ὡς τὸ, Δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν. ἀντὶ τοῦ, δεινόν γε εἰ μὴ νοστήσει πάλιν ὁ κήρυξ, ὁ παρὰ τοὺς βροτοὺς οἰχόμενος.

Αἰτία, ἡ ἀρχὴ τῆς ἀρχῆς. ἤγουν, ἡ πηγὴ, καὶ ἡ ῥίζα, αἰτία καὶ ἡ πρόξενος. αἰτία, ἡ ἀφορμὴ, καὶ ἡ κατηγορία.

* Αἰτιάζω, παρὰ Ξενοφῶντι, αἰτιῶμαι. αἰτίαν ἡγοῦμαι τινὸς εἶναί τι.

Αἰτιᾶται, μέμφεται.

Αἰτιατικὴν τὴν εἰς ους λήγουσαν, διὰ τοῦ ως Αἰολεῖς καὶ Δωριεῖς προφέρουσιν. οἷον τοὺς ἀνθρώπους, τὼς ἀνθρώπως λέγουσιν.

Αἴτνη, πόλις οὕτω καλουμένη.

Αἴτης, πτωχός.

Αἰτίζων ποιητικῶς, ἀντὶ τοῦ αἰτῶν. ὡς τό,

Αἰ-

Digitized by Google

Αἰτίζων ἀκόλους οὐκ ἄορας, οὐδὲ λέβητας.

Αἰπύσας, ἀπολαύσας.

Αἴτημα, ζήτημα, καὶ ἡ ἐπιθυμία. Δαβὶδ, Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν.

Αἰτήσασθαι, χρήσασθαι.

Αἰτήσιος, ὁ αἰτῶν.

Αἴτας ὑπὸ τῶν Θεσσαλῶν λέγεται, ὁ ἐρώμενος. ἀΐτηλος ὑπὸ Λακώνων ὁ ἐραστὴς, ὡς παρὰ Θεοκρίτῳ.

Αἰτηταὶ, οἱ παρά τινός τι αἰτοῦντες. Οἱ δὲ Ῥόδιοι τῷ Περσεῖ οὐκ αἰτηταὶ τῆς εἰρήνης μᾶλλον, ἢ δόται ὄντες.

Αἴτιαι, αἱ πρόξενοι. αἰτίαι δὲ, αἱ ἀφορμαὶ καὶ μέμψεις.

Αἰτίας, ἐρωτικὰς χορδὰς σημαίνει.

Αἴτιος, ὁ τὴν ἀφορμὴν δούς. ὡς τὸ αἴτιος εἶ ταύτης τῆς παῤῥησίας. καὶ αἴτιος, ὁ ποιητὴς καὶ κτίστης.

Αἴτησις. παρὰ Ἀριστοτέλει αἴτησίς ἐστι τοῦ ἐναντίου ἡ ἐν λόγοις παραγωγὴ, τὸ λαμβάνειν τι παρὰ τοῦ ἀποκρινομένου, καὶ μετὰ ταῦτα πειρᾶσθαι τὸ ἀντικείμενον αὐτῷ παρ᾽ αὐτοῦ λαμβάνειν, καὶ διὰ τούτου τοῦ τρόπου δεῖξαι τὴν ἐναντιολογίαν τῶν ἀποκρίσεων.

Αἴτιον. Ἰστέον δὲ ὅτι αἴτιον ἀεὶ παρ᾽ Ὁμήρῳ, τὸ τὴν αἰτίαν τοῦ γινομένου ἔχον. οἱ δὲ μεθ᾽ Ὅμηρον, καὶ ἐπὶ ὑπευθύνων τὴν λέξιν τιθέασιν· ὡς δηλοῖ ὁ γράψας τὸ, Αἴτιος ὁ γράψας αἴτια Καλλιμάχου, ἤγουν ὑπεύθυνος καὶ κολάσεως ἄξιος. αἴτιος οὖν παρ᾽ Ὁμήρῳ λέγεται, ὁ αἰτιατέος καὶ μεμπτέος, καὶ ὁ ὑπὸ μέμψιν καὶ αἰτίασιν κείμενος. καὶ ἀπολύτως λαμβάνεται. οἷον, Οὔτοι μοι αἴτιοι εἰσὶν, οἱ Τρῶες, καὶ οὔτοι μοι αἰτίη ἐστὶ, θεοὶ νύ μοι αἴτιοι εἰσίν. Ἄλλως. Ἰστέον ὅτι τὸ αἴτιον πολλαχῶς λέγεται. λέγεται γὰρ ποιητικὸν αἴτιον, ὡς ὑποδειγματικῶς εἰπεῖν. ὁ τέκτων τῆς κλίνης. τελικὸν αἴτιον, ὡς ἡ ἀνάπαυσις, δι᾽ ἣν ἡ κλίνη. ὑλικὸν αἴτιον, ὡς τὸ ξύλον, ἐξ οὗ ἡ κλίνη. εἰδικὸν αἴτιον, ἡ διατυπωμένη ἐν τῷ νῷ τοῦ τεχνίτου, καὶ διασκευαζομένη κατὰ διάνοιαν, καὶ εἰδοποιουμένη διαμόρφωσις. παραδειγματικὸν αἴτιον, ὡς ἑτέρα κλίνη, πρὸς ἣν ἰδὼν ὁ τεχνίτης, τὴν εἰς ἔργον αὐτῷ προκειμένην ἐδημιούργησε. φυσικὸν αἴτιον, ὡς ὁ πατὴρ τοῦ υἱοῦ. καθὸ καὶ μόνον ὁ Θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς εἶναι λέγεται. τῆς δὲ κτίσεως ποιητικὸν αἴτιον εἶναι λέγομεν τὸν Θεόν. τελικὸν αἴτιον τὴν τῶν δημιουργηθέντων εὐεργεσίαν, καὶ τὴν περὶ αὐτὰ ἀγαθότητα. εἰδικὸν αἴτιον, τὴν ἐν αὐτῷ τῶν δημιουργηθέντων γνῶσιν φαμέν. ἣν ἐξ ἀϊδίου καὶ προαιώνιον ἔσχεν, οὐχ ὕστερον αὐτῷ ἐπιγιγνομένην, ἀλλὰ συναιωνίζουσαν καὶ συμπαρεκτεινομένην ἀεί. τὸ δὲ ὑλικὸν αἴτιον καὶ ὀργανικὸν, καὶ παραδειγματικὸν, πόῤῥω τῆς θείας καὶ ἀπειροδυνάμου φύσεως.

Αἰτιῶδες ψεῦδος, ἢ ἀπὸ ψεύδους ἄρχεται, ἢ μὴ εἰς ἀκόλουθον λήγει. ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀνακόλουθον. οἷον διότι νύξ ἐστι, Δίων περιπατεῖ.

Αἰτιῶ, μέμφου, προστακτικόν. αἰτιῶμαι. παρατατικὸς, ᾐτιώμην, ᾐτιῶ, ᾐτιᾶτο. τὸ προστακτικὸν, αἰτιῶ, αἰτιάσθω.

Αἰτιῶμαι, ᾐτιώμην, αἰτιάσομαι, ᾐτιασάμην, αἰτιῶμαι, ὅτι σοι γράμματα οὐκ ἔπεμψα.

Αἰτναία πῶλος, ἀντὶ τοῦ μεγάλη, αἰτναίας ἐπὶ πολὺ βεβῶσαν. καὶ αἰτναῖος κάνθαρος, ὁ μέγας.

Αἰτναῖον λέγει Ἀριστοφάνης κάνθαρον, τὸν ὑπερμεγέθη. μέγιστον γὰρ ὄρος ἡ Αἴτνη. ἢ ὅτι διάφοροι κάνθαροι εὑρίσκονται, ἢ ἀντὶ τοῦ μέγας ὡς ἡ Αἴτνη, ἢ ὅτι οἱ Αἰτναῖοι ἵπποι ταχεῖς καὶ ἐπιβόητοι πρὸς τὸν δρόμον, ἢ ὅτι μεγάλοι οἱ Αἰτναῖοι κάνθαροι.

Αἴτνη, Σικελίας ὄρος ἐν Κατάνῃ ἐστίν. ἀπὸ Αἴτνης τοῦ οὐρανοῦ καὶ γῆς, ὡς φησὶν Ἀλκίμας. Σιμωνίδης δὲ ἐν τῷ περὶ Σικελίας, Αἴτνην φησὶ κρῖναι Ἥφαιστον καὶ Δήμητραν περὶ τῆς χώρας ἐρισάντων. Δημήτριος δὲ ὁ Καλλατιανὸς, τοῦ Βριάρεω ἑνὸς τῶν κυκλώπων παῖδας γενέσθαι, Σικανὸν καὶ Αἴτνην, ἀφ᾽ ἧς τὸ ὄνομα, ἐν ᾗ καὶ τὸ Αἰτναῖον πῦρ ἀναδίδοται.

Αἶτος, ὄνομα κύριον.

Αἶπος, τὸ ἐνδιαίτημα. οἷον, Διὸς αἶπει πανδόκῳ. Πίνδαρος ἐν Ὀλυμπιονίκαις, καινῶς. * ἀντὶ τοῦ ἄλσει κοινῷ. οὕτως Εὐστάθιος.

Αἴτεσθαι, δικάζειν, ἢ δικάζεσθαι.

Αἴτων, ὁρμῶν.

Αἴτυρον, ὕαλον.

Αἰτοῦμαι λέγουσιν, ὅταν ζητῇ τις ὃ μέλλει ἀποδώσειν. οἷον ἐπὶ δανείου. αἰτῶ δὲ ἄρτον, ὃν δηλονότι οὐκ ἀποδώσω. εὕρηται δὲ καὶ αἰτοῦμαι Ἀττικῶς, ἀντὶ τοῦ ἁπλῶς αἰτῶ. Λιβάνιος, Τί σοι νῦν αἰτοῦμαι. ἔστι δὲ αἰτοῦμαι, καὶ τὸ παρά τινος ζητοῦμαί τι, ὡς ὁ αὐτός. πολλάκις ἔφασκες ἀδικεῖσθαι, μηδὲν αἰτούμενος παρ᾽ ἡμῶν.

Αἰτῶ ἐπὶ τοῦ ἅπαξ τι λαβεῖν, καὶ μὴ ἀποδοῦναι. τὸ δὲ αἰτοῦμαι, ἐπὶ τοῦ χρήσασθαι εἰς ἀπόδοσιν. αἰτῶ, τὸ ζητῶ. αἰτοῦμαι, τὸ μετὰ παρακλήσεως αἰτῶ, καὶ ἱκετεύω.

Αἰτούμενος, ὁ λαβὼν, καὶ αὖθις ἀποδώσων. καὶ αἰτούμενος, ὁ κιχράμενος.

Αἰζηπόνητα, ἀκαταπόνητα. * τοῦτο ἐκτὸς τῆς σειρᾶς, καὶ ἀδόκιμον.

Αἰπόλιος. διφορεῖται ὁμοίως τῷ δάρδανος δαρδάνιος, κάπρος κάπριος, κάϊστρος καΐστριος, ἔκτοπος ἐκτόπιος. ὁ καὶ ἄμορφος, παρὰ Σοφοκλεῖ. ἔγχωρος, οὗ χρῆσις παρὰ Λυκόφρονι, ἐγχώριος.

Αἰπόλιον, τὸ αἰπολικὸν τῷ γένει.

Αἰπολὸς, ἀπὸ τοῦ αἰτεῖν παραχθῆναι ἔοικεν. ὡς δηλοῖ καὶ ὁ τὰ ἐθνικὰ γράψας, εἰπὼν, ὅτι ἔστι καὶ Αἰπολὸς ἐπίθετον, παρὰ τὸ αἰτεῖν ῥῆμα. καὶ Αἰπολοὶ τὸ ἔθνος, ἀπὸ Αἰπολοῦ καλοῦνται υἱοῦ Ἐνδυμίωνος. ὃς ἐκπεσὼν Πίσης τῆς ἐν Πελοποννήσῳ ὑπὸ Σαλμονέως, συνῴκησε τὴν ἀπ᾽ αὐτοῦ κληθεῖσαν Αἰπολίαν. πρότερον δέ φασιν, Ὕαντες ἐκαλοῦντο. ἣν δέ φασι καὶ Πελοποννήσου πόλις Αἰπολία. ὀξύνεται δὲ τὸ Αἰπολὸς, ὡς τὸ παχυπολὸς καὶ ἁμαρτωλὸς, καὶ ὅλως τὰ ἔχοντα τὸ τ πρὸ τοῦ ω ἀρσενικά. διὸ τὸ Μαύσωλος προπαροξύνεται, ὡς μὴ ἔχον τὸ τ. ἱστορεῖται δὲ, ὅτι εὐδοκίμουν οἱ Αἰτωλοὶ περὶ σφενδόνην μακροβολωτέραν διὰ τὸ τὸν Γεωγράφον εἰπεῖν οὖσαν, ἐκ τόξου ἐκβολίας. τὸ αἰτωλὸς ὄνομα, ἐχρημάτισε τῇ κωμῳδικῇ παροιμίᾳ τῇ λεγούσῃ. ἡ μὲν χεὶρ ἐν Αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν Κλωπιδῶν. ἤγουν ὁ δεῖνα, καὶ δωροδοκεῖται καὶ ῥαδιουργεῖ, ταῖν χεροῖν μὲν αἰτῶν, τῷ νῷ δὲ κλέπτων.

Αἰτῶν, εἰς ἀεὶ ἔξων. καὶ αἰτῶν, ζητῶν, παρακαλῶν.

Αἶφνης, ἐξαίφνης.

Αἰφνίδιον, τὸ ἐξαίφνης, παρὰ τὸ ἀφανὲς ἀφανίδιον, καὶ ἐν συγκοπῇ, αἰφνίδιον.

Αἰχάριστοι γυμναὶ, ὅτι δεῖ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι. ἢ ὅτι οἱ ἀχάριστοι, τὸν ἑαυτῶν κόσμον περιῄρηνται.

Αἴχθηναι, ὁρμηθῆναι.

Αἰχθήτην, ὥρμησαν. δυϊκῶς.

Αἰχμαὶ, πόλεμοι.

Αἰχμάζω, τὸ ἀκοντίζω, καὶ τὸ ὁπλίζω. αἰχμητὴς, ὁ τῇ αἰχμῇ χρώμενος.

Αἰχμάσουσι, δορατομαχήσουσιν.

Αἰχμαλωτεύσας, προνομεύσας.

Αἰχμάλωτον ποιῶ, καὶ αἰχμάλωτος γίνομαι, αἰχμαλωτίζω δὲ, καὶ αἰχμαλωτίζομαι, καὶ πάντες οἱ ἀπὸ τούτων χρόνοι παρὰ τοῖς Ἀττικοῖς ἀδόκιμοι.

Αἰχμαλωτίζοντες, ἀντὶ τοῦ αἰχμαλώτους ἐκ τῆς τοῦ πονηροῦ τυραννίδος λαμβάνοντες, ἀπὸ δουλείας εἰς ἐλευθερίαν. καὶ ὁ Ἀπόστολος, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.

Αἰχμάλωτος, ὁ αἰχμῇ ληφθεὶς, ἢ ὁ ἐκ πολέμου λαμβανόμενος. γίνεται παρὰ τὴν αἰχμὴν τὸ ξίφος, καὶ τὸ ἁλῶναι, ὃ σημαίνει τὸ πορθῆσαι. οὕτω Μεθόδιος. ὃς καὶ αἰχμόδετος λέγεται. Σοφοκλῆς Αἰχμαλωτίσιν.

Αἰχμὰς αἰχμάσουσι νεώτεροι. Ἀττικοί. ὡς τὸ δαίνυ δαῖτα, καὶ ἱδρῶθ᾽, ὃν ἵδρωσα. καὶ ἁπλῶς ἡ μυριαχοῦ συγκειμένη θέσις τῶν ῥημάτων, καὶ τῶν ἐκεῖθεν γενομένων ὀνομάτων, ἴσως δὲ καὶ ἡ παράχρησις τοῦτο ἐστὶ καθὰ καὶ τὸ γέρας γερόντων. αὐτὸ δὲ καὶ εἰς ἐτυμολογίας ἐμπίπτει σχῆμα. παρὰ τὸ γέρας γὰρ, οἱ γέροντες.

Αἰχμάσας, ἀκοντίσας, πολεμήσας.

Αἰχμὴ κυρίως, μέρος ἔγχεος τὸ πλῆττον. δῆλον δὲ ὅτι ταυτόν ἐστι ἔγχεος αἰχμὴ, καὶ δουρὸς ἀκωκή. αἰχμὴ δὲ παρὰ τὸ αἷμα χέειν τῇ ὀξύτητι. ὅθεν ἡ ῥαγῳδία τολμήσασα αἰχμὴν βέλεος εἶπε, τὴν ὀξύτητα τοῦ σιδήρου, δι᾽ οὗ Οἰδίπους τετύφλωται. κυρίως δὲ ἡ ἐπιδορατὶς, ἤγουν τὸ ξίφος τοῦ δόρατος, παρὰ τὸ αἷμα χέειν, μετατεθέντος τοῦ χ. ἀπὸ δὲ αὐτοῦ ὡς χρησιμωτάτου μέρους καὶ ἅπαν τὸ δόρυ αἰχμὴ συνήθως καλεῖται. ὡς δηλοῖ τὸ, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ ἀσπίδι ἐν κρατερῇ.

Αἰχμηταὶ ἁπλῶς, οἱ στρατιῶται, καὶ καλοῦνται οὕτως ἀπὸ ἑνὸς μέρους τῶν ὅπλων, ἤτοι τῆς αἰχμῆς, ὥσπερ ἀπὸ τῶν κνημίδων, εὐκνήμιδες, οἱ καθόλου εἰπεῖν εὔοπλοι. καὶ ἀπὸ θώρακος θωρηκταὶ, καὶ ἀπὸ ἀσπίδων ἀσπιδιῶται, καὶ ἀσπισταί. καὶ ἀπὸ κόρυθος, ἤγουν περικεφαλαίας, κορυθάϊκες, καὶ κορυθαίολοι. κορυσταὶ προστεθέντων καὶ τῶν ἵππων, ἱπποκορυσταὶ δορυκλυτοί. ὁπλῖται μέντοι μεθ᾽ Ὅμηρον, ἀπὸ γενικοῦ ὀνόματος τῶν ὅπλων ἐκλήθησαν. ὅθεν καὶ ὁπλότεροι οἱ νέοι, καὶ ὑπέροπλοι οἱ αὐθάδεις.

Αἰχμητὴς, ὁ πολεμικός. ἀπὸ τοῦ αἰχμάζω, ὁ μέλλων αἰχμάσω· αἰχματὴς, καὶ τροπῇ τοῦ α εἰς η, αἰχμητής. εἰ γὰρ ἦν παρώνυμον ἀπὸ τοῦ αἰχμὴ, ὤφειλε βαρύνεσθαι. ὥσπερ ὑπήνη ὑπηνήτης, καὶ κορώνη κορωνήτης. Κανών. Τὰ γὰρ ἀπὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα ὑπὲρ δύο συλλαβὰς, ὀξύνεται, οἷον ἐραστὴς, θεατὴς, λωβητὴς, δεσποτητής. τὸ δὲ πεδήτης καὶ κομήτης, καὶ ἀλήτης, οὐ παρὰ ῥῆμα, ἀλλὰ παρὰ τὸ πέδη, καὶ κόμη, καὶ ἄλη. τὰ δὲ δισύλλαβα βαρύτονα ὀνόματα, δῆλον ὅτι ἀπὸ μονοσυλλάβου περισπωμένου τῆς δευτέρας συζυγίας ἐγένοντο, καὶ βαρύνονται. οἷον, κτῶ, κτήτης, φιλοκτήτης. βῶ, βήτης, ἐπιβήτης. θλῶ, θλάτης. φρῶ, φράτης. ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ αἰχμηταί. ἡ γενικὴ, τῶν αἰχμητῶν, καὶ Αἰολικῶς αἰχμητάων. Κανών. Τὰς γὰρ εἰς ων γενικὰς, τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γινομένας, διὰ τοῦ αων προφέρουσιν Αἰολεῖς. οἷον μέλισσαι μελισσάων, μέλαιναι μελαινάων. οἱ δὲ Ἴωνες διὰ τοῦ εων, πύλαι, πυλέων. ὡς τὸ, Ὣς εἰπὼν, πυλέων ἐξέσυτο.

Αἰχμίον, τὸ δόρυ.

Αἶψα, θᾶττον, Λάζεο τιμήεσσα Κυθηρείας ὑμνοπόλοιο, αἶψα τάδε χλουνὰ δῶρα Λεωνίδεω. καὶ αἶψα, ἀντὶ τοῦ ταχέως, εὐθέως, ὠκέως. καὶ αἰψάκεν, εὐθέως ἄν. καὶ αἶψα λέλοιπεν, εὐθὺς καταλέλοιπεν.

Αἴψεα, τὰ μέλη. οἱ δὲ, ἄψεα.

Αἱ ψελλίζουσαι, αἱ ἀσήμως λαλοῦσαι.

Αἰψηρὰ, ταχέα, κοῦφα.

Αἰψηρὸς, ὁ ταχὺς, ἀπὸ τοῦ ψαίρειν, ὃ σημαίνει τὸ ταχύνειν.

Αἰψηρὸς, ἀντὶ τοῦ λαιψηρός. Ἴωνες καὶ Αἰολεῖς εἰώθασιν αἴρειν τὰ πρῶτα σύμφωνα τῶν λέξεων, ἄν τε ἓν ᾖ, οἷον λαιψηρὸς, αἰψηρός. ἄν τε δύο, οἷον τὸ παρὰ πλευρὰν ἑστάναι πλάγιον, εἶπεν ἐν ποιότητι Ὅμηρος, εὐρὰξ, ἀντὶ τοῦ πλευράξ. οὕτω καὶ πλάνη, καὶ πλανᾶσθαι, ἀπελαύσει τῶν καταρχόντων δύο συμ-

Digitized by Google

συμφώνων ἄλλη γίνεται. καὶ ἀλάσθαι, ἀντιθέσει τοῦ ν εἰς λ, ᾧ ἀντιστοιχοῦσι Δωριεῖς. ἐν τῷ φίντατος φίλτατος, ἦνθεν ἦλθεν, φίλτις φίντις, ἔλετο ἔντο. καὶ Δωρικῶς γέντο, κέλετο κέντο παρὰ Ἀλκμᾶνι.

Αἴωλις, κιθαρῳδικὸς νόμος, οὕτω καλούμενος. * ἄλλ. Αἰόλιος.

Ἀϊδώνεα, τὰ τοῦ ᾅδου, θανάσιμα.

Ἀΐω, παρατατικὸς, ἄϊον. ποῖα εἰσὶ ῥήματα τὰ οὐ τρέποντα τὸ ᾱ εἰς η ἐν τοῖς παρῳχημένοις; τὰ Ἰωνικὰ καὶ τὰ ποιητικὰ, καὶ τὰ ἀπὸ προθέσεων ἀρχόμενα, καὶ τὸ ἀηθέω, ἀήθεον, καὶ τὸ ἀηδίζομαι, ἀηδιζόμην. ἵνα μὴ ἐπάλληλον γένηται τὸ η. καὶ τὸ ἀΐω, ἄϊον, τὸ ἀκούω. καὶ ἄω, τὸ πνέω, ἆον. ἵνα μὴ συνεμπέσῃ τῷ ἦεν, τὸ ὑπῆρχεν.

Αἰωνάριος, ὁ ἰαννουάριος μήν. οὕτως ἑρμηνεῦσαι Λογγῖνος αὐτὸν βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα.

Αἰὼν, ὁ νωτιαῖος μυελὸς, καὶ ὁ χρόνος, καὶ ἡ ζωὴ, καὶ ὁ βίος. Σοφοκλῆς, Ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοι βροτῶν. γίνεται δὲ αἰὼν, ἐκ τοῦ ἀεὶ καὶ τοῦ ὤν. ὁμοίως ἐκ τοῦ ἀεικίζειν, τὸ αἰκίζειν δῆλόν ἐστιν. ἢ αἰὼν τὸ μέτρον τῆς ἀνθρωπίνης ζωῆς, καθ' ὃ σημαινόμενον καὶ Ἡρόδοτος τελευτῆσαι τὸν αἰῶνά φησι, τὸ θανεῖν. καὶ Σοφοκλῆς δὲ ζωὴν ἀνθρώπου, τὸν ἀεὶ βίοτον φησί. τοιοῦτο δὲ παρ' αὐτῷ, καὶ τὸ, τὸν εἰς ἀεὶ λειπλαστήσει χρόνον. ἤγουν, ἕως οὗ ζῇ. οὐ μόνον δὲ ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς ὁ ῥηθεὶς αἰὼν λέγεται τραγικώτερον, οἷον σκοτίαν αἰῶνα. λέγεται καὶ ἀντὶ τοῦ ζωή. Ὅμηρος. ἐπεί κέ με καὶ λίποι αἰὼν, ἤγουν ζωή. ἢ αἰὼν ζωὴ, ἡ συμπερίληψις χρόνων πολλῶν. Ἄλλως.

Αἰὼν, ἡ ζωὴ θηλυκῶς. Ὅμηρος, Αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθείς. παρὰ τὸ ἄειν, τὸ πνέειν. καὶ ἄημα, τὸ πνεῦμα. καὶ ἀήτης, ὁ ἄνεμος. καὶ ἔμπνουν δὲ τὸν ζῶντα φαμέν. ἢ παρὰ τὸ αἰνῶ τὰ τῆς ζωῆς. οἱ γὰρ ζῶντες ἐν χρόνοις καὶ ἔτεσι διάγουσιν. ἢ παρὰ τὸ ἀεὶ ὤν, κατὰ κρᾶσιν τοῦ ε καὶ α, καὶ ἐν συναιρέσει, αἰών. περιεκτικόν ἐστι, καὶ σημαίνει πέντε. τὴν ζωὴν τοῦ ἀνθρώπου, ὡς τὸ, Ἐπεί κέ με καὶ λίποι αἰὼν ἐν πόλει. αἰὼν, καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμός. αἰὼν, καὶ ὁ ἀΐδιος καὶ ἀτελεύτητος, ὡς τῷ Θεολόγῳ δοκεῖ. αἰὼν γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι μέρος. οὐδὲ γὰρ μετρητός. αἰὼν λέγεται, καὶ οἱ ἑπτὰ αἰῶνες, ἀπὸ τῆς τοῦ οὐρανοῦ καὶ γῆς κτίσεως, μέχρι τῆς κοινῆς τῶν ἀνθρώπων ἀναστάσεως. αἰὼν λέγεται, καὶ ὁ νωτιαῖος μυελός. Ἱπποκράτης. ἄνθρωπός τις νοσήσας τὸν αἰῶνα, ἑβδομαῖος ἀπέθανεν.

Αἰωνίζειν, τὸ διὰ παντὸς μένειν.

Αἰωροῦμαι, ἐν ἀέρι φέρομαι. ἀπὸ τῆς αἰώρας.

Αἰωρούμενοι, μετεωριζόμενοι.

Αἰωρηθέντες, κρεμασθέντες, μετεωρισθέντες. καὶ αἰώρημα, καὶ αἰωρήσεις, καὶ αἰωροῦνται. ὡς τὸ, κατὰ τῶν Καρχηδονίων αἰωροῦνται πράγματα.

Αἰωρήσας, ἐκκρεμάσας.

Αἰώρα, ἑορτὴ Ἀθήνησιν, ἣν καλοῦσιν εὔδειπνον. ἣν οἱ μὲν ἐπὶ Τιμαλέου τυράννου θύειν φασὶν, οἱ δὲ ἐπὶ Ἠριγόνῃ ἀλήτιδι, τῇ Ἰκαρίου. οἱ δὲ ἐπὶ Κλυταιμνήστρας καὶ Αἰγίσθου. καὶ αἰώρα, ἀγχόνη, ὕψωσις, ἔπαρσις, κρεμάστρα.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Κ.

Ἀκαδημία, γυμνάσιον. ἀπὸ Ἀκαδήμου τινὸς, καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δὲ ἦσαν, αἱ ὄντως ἱεραὶ τῆς θεοῦ * (τῆς Ἀθηνᾶς), αἱ καλοῦνται μορίαι. ἐξ ὧν τὸ ἔλαιον τῶν παναθηναίων. τρία δὲ ὑπῆρχον γυμνάσια, Λύκειον, Κυνόσαργες, Ἀκαδημία. ἐκλήθη δὲ ἀπὸ τοῦ καθιερώσαντος αὐτὴν Ἀκαδήμου. καὶ ὑστέρως Ἀκαδήμειον. λέγεται δὲ ἀκαδημία, καὶ ἡ τῶν φίλων * (τῶν φιλοσόφων) διατριβὴ, ἐν ᾗ διέτριβε Πλάτων. ἀπὸ Ἐκαδήμου τινὸς ἥρωος, ὀνομασθεῖσα πρότερον διὰ τοῦ ε, Ἐκαδημία. Ἀριστοφάνης νεφέλαις. καὶ ἀκαδημία, λουτρὸν, ἡ πόλις. λέγεται δὲ καὶ γυμνάσιον Ἀθήνησιν, ἀπὸ Ἀκαδήμου τοῦ ἀναθέντος. καὶ τόπος, ἤγουν ὁ κεραμεικὸς, οὕτως ἐκαλεῖτο. * λέγεται καὶ Ἀκαδήμεια, καὶ ἐχεδημία, καὶ ἐκαδήμεια, καὶ ἐκαδήμεα. καὶ Ἀκαδημαϊκοὶ δὲ οἱ ἐκεῖσε γυμναζόμενοι φιλόσοφοι.

Ἄκα, τὸ ὀξὺ καὶ ἄκρον τῆς φάλαγγος, ἡ μάχη. * ἴσως ἀκὰ, Δωρικῶς ἀντὶ τοῦ ἀκή.

Ἀκαδῆσαι, λυπηθῆναι.

Ἀκάζεσθαι, ἀνιάζεσθαι. * ἀκονᾶσθαι.

Ἄκακοι, οἱ ἁπλούστεροι. ὡς ὁ Ἀπόστολος, τὰς καρδίας τῶν ἀκάκων.

Ἀκακία, ἡ ἁπλότης, ἡ ἀγαθωσύνη, καὶ βοτάνη τις.

Ἀκαθαρσία, τὰ ἐκ φυσικῆς ἀνάγκης συμβαίνοντα.

Ἀκαθοσίωτον, ἄκοσμον, ἄνομον, ἀπόβλητον.

Ἀκαθὸν, τὸ ἀγαθόν.

Ἀκάθαρτον, μανιῶδες. Ἀχαιὸς Οἰδίποδι.

Ἀκαθαίρετον, τὸ μὴ χηρούμενον, ἢ ἀφανιζόμενον.

Ἀκάθεκτος, ἀκατάσχετος. ἣν γὰρ ἀκάθεκτος ὁρμὴ περὶ αὐτὸν, διὰ τὰς τῶν Περσῶν ἐπάρσεις.

Ἀκάθεσθαι, ἀνιᾶσθαι, στέρεσθαι. οἱ δὲ, ἀκάζεσθαι.

Ἀκάθαρτος, ἁμαρτητικός. ἀκάθαρτος γὰρ τὴν ψυχὴν, ὅγε κακός. καθαρὸς δὲ, ὁ ἐναντίος.

Ἀκαθαίρετος, ὁ ἀκατάβλητος. πύργος ἀκαθαίρετος.

Ἀκάκητος, ὁ Ἑρμῆς.

Ἀκάκιος, ῥήτωρ δεινότατος, ἐπ' Ἰουλιανοῦ, καὶ Λιβανίου τοῦ σοφιστοῦ.

Ἀκάκητος ὁ στερίσκων τὰς λύπας. ἢ ἀπὸ τοῦ ἐν Ἀρκαδίᾳ ὄρους Ἀκακησίου. ἢ πανοῦργος. οἱ δὲ, ἀγαθόν. οἱ δὲ πρᾶον, καὶ ποιμαντικόν.

Ἀκακαλλὶς, ἄνθος ναρκίσσου. Κρῆτες.

Ἀκάκητος, ὁ μηδενὸς κακοῦ ἄξιος. ἀντὶ τοῦ ἀκακήτης. * λέγεται καὶ ἀκάκητα παρ' Ὁμήρῳ. Ἑρμείας ἀκάκητα. ἔστι δὲ ὀνομαστικὴ κατ' αἰολικὸν σχηματισμὸν ὡς καὶ τὸ μητίετα.

Ἀκάκαστον, ἀκαμπές.

Ἀκακέμφατος, ὁ κακῆς φήμης ἀπηλλαγμένος.

Ἀκακίαγος, ὁ μὴ δυνάμενος.

Ἀκακίεις, συνίεις.

Ἀκακιεῖ, συνιεῖ. * τὰ τρία ταῦτα ἀδόκιμα.

Ἀκάκωτος, ἄλυπος.

Ἄκαιρος, ὁ μὴ ἔχων καιρόν. καὶ ἄκαιρος εὔνοια, οὐδὲν ἔχθρας διαφέρει. Ἱππόλυτόν φασι ταύτην εἰπεῖν πρὸς Φαίδραν, φάσκουσαν φιλεῖν τε καὶ στέργειν αὐτόν. ἀκέραιος δὲ, ἄκακος, ἐλεύθερος, ἢ ἀσφαλής.

Ἀκαιροβόας, ὁ λάλος.

Ἀκαλακανσὶρ, ἀκανθυλλίς. παρὰ Λάκωσιν.

Ἀκαλαυρόπις, ἡ καλλίραβδος. * ἐπιστατικῶς ἀντὶ τοῦ ἡ καλαῦροψ.

Ἄκαλα, ἄψοφα, ἥσυχα.

Ἀκαλλὲς, ἄμορφον.

Ἀκαλὸν, ἥσυχον, πρᾶον, μαλακόν.

Ἀκαλυφὴς καὶ ἀκάλυφον, ἄστεγον, ὕπαιθρον. * ἴσως ἀκαλυβὴς, καὶ ἀκάλυβον.

Ἀκαινὴ, ῥάβδος θαλασσία.

Ἀκαίνη, κέντρον παρὰ Ἀπολλωνίῳ.

Ἄκαινα, μέτρον δεκάπουν, Θεσσαλῶν εὕρημα, ἢ ῥάβδος ποιμενικὴ, Πελασγοῖς εἰρημένη. περὶ ἧς Καλλίμαχός φησιν, ἀμφότερόν τε βοῶν, καὶ μέτρον ἀκαίνης. * ἀλλ. ἀμφότερον κέντρον τε βοῶν, καὶ μέτρον ἀρούρης. Ἱστέον δὲ ὡς ἐν Αἰγύπτῳ ἕκαστος πρὸ τῆς ἀναβάσεως τοῦ ποταμοῦ ῥάβδον λαβὼν, τὴν ἑαυτοῦ γῆν ἐγεωμέτρει, καὶ πάλιν μετὰ τὴν ἀπόβασιν ὡσαύτως ποιῶν, τὴν ἰδίαν γῆν ἀπελάμβανε, δίχα μάχης, καὶ φόνου. ἐκλήθη οὖν ἡ ῥάβδος ἄκαινα, ἅτε δὴ στεροῦσα αὐτοὺς τοῦ καίνειν ἀλλήλους, ὅ ἐστι φονεύειν.

Ἀκαλῆφαι, εἶδος βοτάνης. παρὰ τοῖς πολλοῖς κνίδαι καλοῦνται. Ἀριστοφάνης ἐμνημόνευσε τῶν ἀκαληφῶν, διὰ τὴν δριμύτητα (δριμεῖα γὰρ ἡ βοτάνη) καὶ τοὺς θίγοντας κνᾶσθαι ποιεῖ. καὶ ἀκαλήφη εἶδος ἰχθύος, ὡς Ἀριστοτέλης. ἐν τῷ χειμῶνι δὲ ἐδώδιμοι εἰσίν. ἐν δὲ τῷ θέρει, ἀπόλλυνται, ἢ λαχανόν ἐστιν ἄγριον. καλεῖται δὲ καὶ θαλασσία ἀκαλήφη, ἡ προσελθοῦσα τῷ χρωτὶ, κνισμὸν ποιεῖ. ἐοίκασι δὲ τῇ ὥρᾳ τῇ πρὸ τοῦ ἔαρος χρῆσθαι. Ἄλλως.

Ἀκαλήφη, κνίδη, καὶ ἡ χερσαία, καὶ ἡ θαλαττία, ἥτις ἐστὶ κογχύλιόν τι. Φερεκράτης; Βουλοίμην γὰρ κἂν ἀκαλήφαις, τὸν ἴσον χρόνον ἐστεφανῶσθαι. ἢ ἀκαλήφην λέγουσι τὴν λεγομένην κνίδην. ἣν προσφέροντες τῷ σώματι, κνησμὸν ποιοῦμεν. ἄλλως αὐτὸ μεταφορικῶς τὸ τραχὺ καὶ δηκτικόν. ἣν καὶ ἀκαλήφην λέγεσθαί φησι Κράτης Φοινίσσαις. ἔστι δὲ καὶ θαλάττιος ἰχθὺς οὕτω λεγόμενος, ἀκαλήφη.

Ἀκαλὸς, ἥσυχος, ἐκ τοῦ ἦκα, τὸ ἠρέμα, καὶ ἡσύχως. ἐκ τούτου γίνεται παράγωγον, ἤκαλος. ὡς πέμπω πέμπελος. καὶ κατὰ συστολὴν, ἀκαλός.

Ἀκαλανθὶς, εἶδος ὀρνέου. τινὲς δὲ λέγουσιν ὄνομα κύριον ἐπισήμου.

Ἀκαλαρείτης, ὁ ἡσύχως ῥέων ποταμός. παρὰ τὸ ἄκηλον, καὶ ἤκαλον, τὸ ἥσυχον. τὸ παρὰ τὸ ῥέω διὰ διφθόγγου γράφεται. * γράφ. καὶ ἀκαλαρρείτης.

Ἀκαλλιέρητον θῦμα, ἀκόσμητον.

Ἀκάμαντα Σπερχειὸν, παρ' Ὁμήρῳ ἐν τῷ π τῆς Ἰλιάδος, ἀντὶ τοῦ ἀέναον. καὶ ὡς εἴ τις εἴποι, ἀκάματον. καθὰ καὶ Διονύσιος, ἀκαμάτοιο ῥόον φησὶν Ὠκεανοῦ. καὶ ἄλλως δὲ ἀκάμαντα, διὰ τὸ ὀξὺ καὶ περισπερχὲς τοῦ κατ' αὐτὸν ῥεύματος. μυθικῶς μέν τοι διὰ τὸ αὐτοῦ ἀνύπεικτον, καὶ περὶ πράξεις ἀκμαῖον καὶ ἀνδρικόν.

Ἀκάμανος, ἡ κάμηλος. παρὰ τὸ μὴ κάμνειν. ἢ ἀκάματος. πολύμοχθον γὰρ τὸ ζῶον. οὕτω Μεθόδιος καὶ Ὧρος. καὶ ἔτι ἀκάμαλαν, τὴν αὐτήν.

Ἀκαμαντὶς, καὶ ἀκάμας, μία τῶν δέκα φυλῶν, ἀπὸ Ἀκάμαντος τοῦ Θησέως.

Ἀκάμας, ἀκοπίαστος, ὁ μὴ κάμνων.

Ἀκάματον, πολὺ καὶ ἄφθονον, ἄπειρον.

Ἀκάμηλος, ἀππίου γένος, ἢ μήλου, ἢ μεσπίλου.

Ἀκαμύθιος, ἡ κύων. παρὰ τὸ αἰκάλλειν τοὺς ἰδίους δεσπότας. Μεθόδιος.

Ἀκαμπὴς, σκληρός.

Ἄκαμπος, * (ἴσως ἄκαμπτος) ἀκατάκλαστος, ἀκαμπής.

Ἀκαμπίας, ὁ διαθύδρομος.

Ἀκάμπιος δρόμος, ὁ μακρὸς, καὶ δι' εὐθείας περίπατος. παρὰ τὸ καμπὴν μὴ ἔχειν.

Ἀκάματον πῦρ λέγεται, οὐ τὸ διόλου ἀναπτόμενον, ἀλλὰ τὸ τῇ οἰκείᾳ φύσει τοιοῦτον. εἰ γὰρ καὶ κάμνει τῇ σβέσει, ἀλλ' ὅτε πῦρ ἐστὶν, ἀκάματόν ἐστιν.

Ἀκάμαντον, ἀκοπίαστον. παρὰ τὸ κάμνω. ἔστι δὲ καὶ ἀκάματον παρὰ τὸ κάμω κάματος, καὶ ἀκάματος.

Ἀκάματα, ἀντὶ τοῦ ἀκαμάτως, καὶ ἀδιαλείπτως, ἢ οὐ κεκμηκότως.

Ἄκανδος, ἄχαρις. κονδὰς γὰρ, χάρις ἐστίν. * γραπτ. ἄκονδος.

Ἄκανθα, τὸ φυτὸν, καὶ ἡ ῥάχις τοῦ κήτους. Τὸ δὲ θηρίον ὁρμῇ βιαίᾳ προσπεσὸν, διακόπτει τῇ ἀκάνθῃ τοὺς δεσμούς. καὶ ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων παροιμία, ἀκάνθιος τέττιξ. καὶ

ἄκαν-

ἄκανθα, ἡ ἁμαρτία. ὡς τό, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. ὡς ἄχρηστον βλάστημα, καὶ ὡς κεντεῖν πεφυκός. καὶ ἄκανθα λευκή, ἡ μελάμφυλλος.

Ἀκανθὶς, ἡ ἀκανθυλλὶς, στρουθίον ἐν ταῖς ἀκάνθαις καθήμενον. καὶ ἀκάνθιος, εἶδος τέττιγος. οἱ δὲ τὸ ἄφωνον.

Ἀκανὸς, κανθάρου εἶδος. ἔστι δὲ καὶ ἡ ῥάχις τῶν σφονδύλων τοῦ ἰχθύος. Εὐριπίδης Τρωάσιν, ἀκανία ξυλίνου.

Ἀκάθαια, ἀκανοί, ῥάχεις. * ἴσως ἄκανθαι.

Ἀκανθὲς, ἀκανθῶδες.

Ἀκάνθινον, ῥάμνος καὶ ἐχῖνος.

Ἀκανθίας, οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον τέττιγος. ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις. ὥσπερ καὶ ὁ ἀχέτας, οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον, ἀπὸ τοῦ ἠχεῖν.

* Ἀκανθικὸς, ἀκανθώδης. καὶ ποιητικῶς ἀκανθήεις.

* Ἀκάνθινος, ἐξ ἀκανθῶν. ἀκάνθινος στέφανος.

* Ἀκανθεών. τόπος ἀκανθῶν πεπληρωμένος.

* Ἀκανθόω, ποιῶ τι ἀκανθῶδες. καὶ ἀκανθοῦμαι παθητικῶς.

* Ἀκανθίζω, τὸ ἀκανθόω. καὶ οὐδετέρως ἀντὶ τοῦ ἀκανθοῦμαι.

Ἀκάνιον, ἀκάνθιον.

Ἄκανθον, ἄγναμπτον.

Ἀκανθονῶτος, ὁ ἐχῖνος.

Ἄκανθος, πεποίκιλμα ὑφασμένον, καὶ ζῶον, φυτὸν, καὶ πτηνόν.

Ἀκαπήλευτον, ἄδολον, καθαρὸν, ἐραδιούργητον, ἀνόθευτον.

Ἄκαρα, τὰ σκέλη. Κρῆτες. καὶ ἀκάραν, τὴν ἀκαρῆ.

Ἀκαρὲ, ἐν βραχεῖ, ταχέως.

Ἀκαρίδιος, ὁ βραχύτατος. ἀκαρίδιος ὁ ἀνθρώπινος βίος, καὶ μετ' ὀλίγον πάντες ἐξεπέθημεν.

Ἀκαρεῖ, πεποίηται παρὰ τὸ ἄτμητον τοῦ χρόνου. ὡς καὶ τὸ κείρομαι τρίχας. ἀκαρὲς τὸ ἄτμητον. ἄλλως. τῷ ἐλαχίστῳ ὃ οὐκ οἷόν τε διακόψαι, διὰ τὸ βραχύτατον τοῦ χρόνου, πεποίηται δὲ ἀπὸ τῶν μικρῶν τριχῶν τῶν διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. ἄλλως. ἐπίρρημα τὸ ἀκαρῶς, ἀφ' οὗ τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα.

Ἀκαρῆ, ἐπίρρημα, ἀντὶ τοῦ βραχὺ, καὶ οἰκτρὸν, καὶ σύντομον. ἀπὸ μεταφορᾶς τῶν τὰ ὦτα ἀλγούντων. καὶ δι' ἐρίου ἐπισταζομένων ἔλαιον κατὰ βραχύ. ἐκ γὰρ τοῦ στυπβόλου φερόμενοι, καὶ εἰς κατασκευὴν ἱματίου θησαυρίζοντες, ὀλίγον διὰ πολλοῦ χρόνου μόλις συνάγουσι τὴν πλήρη τιμὴν τοῦ ἱματίου. ὥσπερ ἄλευρον, ἢ εἰκὼν, ἀπὸ τῶν σφόδρα ἀσθενούντων. οἱ γὰρ κατὰ μικρὸν βουλόμενοι βάλλειν, ἐρίῳ ἐνστάζουσιν. Ἀριστοφάνης.

Ἀκαριαῖον, τὸ μὴ δυνάμενον καρῆναι. ἢ τὸ οἷον ἀκέφαλον, διὰ σμικρότητα. ἢ ἀδιάστατον κατὰ μέγεθος, καὶ οὐδ' ἀρχὴν ἔχον. ὅτι κάρα, ἡ κεφαλὴ, κατὰ γλῶσσαν τινά. ὅθεν καὶ κέρατα. ἢ ἀκαριαῖον, τὸ ὀλίγον, τὸ βραχὺ, τὸ λεπτότατον.

Ἀκαρπότερος ἀγριππου. ἐπὶ τῶν πάνυ πενομένων. Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν, ἄγριππον καλοῦσι. καὶ ἀκαρπότερος Ἀδώνιδος κήπου, ἐπὶ τῶν μηδὲν γενναῖον τεκεῖν δυναμένων. λέγονται δὲ, τὰ εἰς τὰ ὄστρακα φυτευόμενα.

Ἀκαρὸς, σημαίνει τὸν ἐγκέφαλον, ἢ τὴν κεφαλήν. καὶ γίνεται ἀπὸ τοῦ κάρη, καὶ διὰ τὸν χαρακτῆρα ὀξύνεται, ὡς τὸ μαδαρός.

Ἄκαρνα, δάφνη.

Ἀκαρῶς, ἀκαρῆ. ἐν βραχείᾳ ὥρᾳ, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν στιγμῇ.

Ἀκαρὲς, βραχὺ, ὀξὺ, ὃ οὐχ οἷόν τε κεῖραι. Ἀριστοφάνης. καὶ ἀκαρὲς, τὸ παρὰ τῷ μικρῷ δακτυλίδιον.

Ἀκαρὴς, ὁ ἐλάχιστος.

Ἀκαρίως, ὁλοχερῶς.

Ἀκάρναξ, λάβραξ.

Ἄκαρ, ἀντὶ τοῦ μικρὸν, ἢ οὐδέν. οὕτως Ἀντιφῶν. * ἄλλ. ἀκαρεί.

Ἄκαρον, τυφλόν.

Ἄκαρπον, ἄγονον.

Ἀκαρσύας, ὁ ἀνίκητος.

Ἀκαρτέρητος, ἀνυπομόνητος.

Ἄκας, τραγῳδίας ποιητής. Ἱστορία.

Ἄκαστος, κύριον ὄνομα, Πελίου υἱὸς, ὃς ἔγημε Κρηθηΐδα. ἢ ὥς τινες, Ἱππολύτην. ἡ δὲ Πηλέως ἐρασθεῖσα, αὐτοῦ ὡς ἀπετύγχανε δεομένη, προλαβοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὡς πειραθέντα αὐτῆς. ὁ δὲ ἐξαγαγὼν τὸν Πηλέα, ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον, κατέλιπεν αὐτὸν ἄοπλον ἐν τῷ Πηλίῳ ἵνα ὑπὸ θηρίων διαφθαρῇ. ἐπιστὰς δὲ ὁ Ἑρμῆς, ἢ ὥς τινες, Χείρων, ἔδωκεν αὐτῷ ἡφαιστότευκτον μάχαιραν, ᾗ τά, τε ἐπιόντα τυγχάνων τῶν θηρίων ἀνῄρει, καὶ εἰς τὴν πόλιν ἐπανελθὼν, τὴν Ἀκάστου γυναῖκα, καὶ αὐτὸν (ὥς φασί τινες) ἀνεῖλεν. καὶ ἄκαστος, ἡ σφένδαμνος.

Ἀκαστόφρων, συνετός.

Ἀκάσκα, ἡσύχως, μαλακῶς, βραδέως. * παρ' ἄλλοις ἀκασκᾶ περισπωμένως.

Ἀκασμένα, ἀναπεπαυμένα, ἡρμοσμένα.

Ἀκατάβλητον, τὸ ἀήττητον, τὸ μηδενὶ καταβαλλόμενον. Ἀριστοφάνης.

* Ἀκατάγγελτος, ἀνεπάγγελτος, οἷον ἀκατάγγελτος πόλεμος.

Ἀκαταγώνιστον, ἀήττητον.

Ἀκαταγνώστως, ἀνεπιλήπτως.

Ἀκαταιτίατον, ἀνέγκλητον, ἀκατηγόρητον.

Ἀκαταιτίατος, ὁ ἀναίτιος.

Ἀκατάληκτόν ἐστι μέτρον, ὅπερ ἔχει τοὺς πόδας ἀπηρτισμένους. οἷον, τὸ ἰοὺ ἰοὺ, ἢ τὸ ἰὼ ἰώ. ἢ τὸ, φεῦ φεῦ ἰώ. ταῦτα μονόμετρά ἐστιν ἀκατάληκτα, διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας, καὶ μὴ ἐλλιπεῖς, ὡς τὰ εἰρημένα.

Ἀκαταλήκτως, ἀκαταπαύστως.

* Ἀκατάληπτος, ὃν οὐ δύναταί τις καταλαβεῖν. καὶ ἀκαταλήπτως ἐνεργητικῶς, οὐ καταλαμβάνω. καὶ ἀκαταληψία, ἧς ἐναντία ἡ κατάληψις, ἤτοι δύναμις καταληπτική. ἣν δὲ καὶ φιλοσόφων αἵρεσις.

Ἀκατάλληλον, ἀνάρμοστον.

Ἀκαταλλήλως, ἀναρμοδίως.

Ἀκαταμάχητος, ἀκαταπόνητος.

Ἀκατάσειστον, βέβαιον, ἑδραῖον, ἀσάλευτον.

Ἀκατασκεύαστον, ἀφιλοκάλητον.

Ἀκάτειρα, ὄνομα πόλεως.

Ἀκατέργαστος, ἀμόρφωτος, ἀδιατύπωτος.

Ἀκατεύναστος, ἀκοίμητος.

* Ἀκατήχητος, ὃς οὔπω κατήχισται, ἀμύητος τὰ τῶν Χριστιανῶν.

Ἀκάτια, ὑποδημάτων εἶδος. ἢ τὰ μεγάλα ἄρμενα.

Ἀκατονόμαστος, ὁ μὴ ὀνομασμένος.

Ἄκατος, τὸ πλοῖον. παρὰ τὸ ἄγω, ἄξω, ἦχα, ἦγμαι, ἦκται, ἀκτός. καὶ πλεονασμῷ τοῦ α, ἄκατος. ἢ ἀπὸ τοῦ ἀκτὴ, γίνεται ἄκτος, ἡ ἀπ' ἀκτῆς εἰς ἀκτὴν περιερχομένη. ὡς καὶ πορθμὶς λέγεται, ἡ μὴ πελαγοδρομοῦσα. λέγεται δὲ καὶ ἐπακτὶς, καὶ πορθμὶς, καὶ κάραβος. καὶ ἀκάτιον, ὑποκοριστικῶς, τὸ μικρὸν πλοιάριον.

Ἀκαχέδαται, λυποῦνται.

Ἀκαχείατο, ἐλυποῦντο. καὶ ἀκαχίζω, λυπῶ, ἐν ἄχει γίνου. γίνεται δὲ τὸ ἀκαχείατο, ἀπὸ τοῦ ἀκαχῶ, ἀκαχήσω, ἠκάχηκα, ἠκάχημαι, ἠκαχήμην, καὶ Ἰωνικῶς ἀκαχέατο, καὶ πλεονασμῷ τοῦ ι, ἀκαχείατο. καὶ ἀκαχῆσθαι, τὸ ἀνιᾶσθαι. Ἰστέον, ὡς οὐ μόνον ἀκάχω ῥῆμα βαρύτονον, ἀλλὰ καὶ ἀκαχῶ, οὗ παθητικὸς ὑπερσυντέλικος, ἀκαχήμην, τὸ τρίτον δὲ πληθυντικὸν, ἀκάχηντο. καὶ κατὰ διάλυσιν Ἰωνικὴν ἀκαχέατο, καὶ ἐπενθέσει τοῦ ι, ἀκαχείατο.

Ἀκαχήμεναι, ἀνιᾶσθαι.

Ἀκαχήμενος, λυπούμενος. οὐκ ἔστι παρακείμενος, ἐπεὶ ὤφειλε παροξύνεσθαι, ὡς πεποιημένος. ἀλλ' ἔστιν ἀκάχω, ἀκάχημι. ὁ παθητικὸς ἐνεστὼς, ἀκάχημαι. οἱ γὰρ Αἰολεῖς τὴν παραλήγουσαν οὐ συστέλλουσι. καὶ ἡ μετοχὴ, ὁ ἀκαχήμενος.

Ἀκαχίζεο, ἄχθου, λυποῦ. ἀπὸ τοῦ ἀχῶ ἀχίζω, καὶ ἀκαχίζω, καὶ ἀκαχίζομαι, τὸ προστακτικὸν ἀκαχίζου, καὶ Ἰωνικῶς ἀκαχίζεο.

Ἀκαχίζω, ἀπὸ τοῦ ἄχος ἀχῶ ἀχίζω, καὶ ἀκαχίζω, παρὰ τὴν ἄγην, ὃ σημαίνει τὴν ἔκπληξιν. ἡ γὰρ ἔκπληξις, ἀφωνίαν οἶδε ποιεῖν. κατὰ τροπὴν τοῦ γ εἰς κ.

Ἀκάχμενος, ὑπάμενος, ἐληλάμενος. Σημείωσαι, ὅτι πᾶσα μετοχὴ τοῦ παρακειμένου παροξύνεται τῶν ἄλλων πασῶν προπαροξυνομένων. οἷον τυπτόμενος, τυφθησόμενος, τυψόμενος. δεῖ δὲ προσθεῖναι τῷ κανόνι, τὸ, εἰ μὴ ἀπὸ πάθους εἶεν, ὡς ἀκάχμενος ἀντὶ τοῦ ἠκαχημένος. καὶ ὑπάμενος, ἀντὶ τοῦ ὑπασμένος. καὶ ἐληλάμενος, ἀντὶ τοῦ ἐληλασμένος. ταῦτα ὁ Ἡρωδιανὸς οὔ φησι κατὰ πάθος γίνεσθαι προπαροξύτονα ἀπὸ τοῦ ὑπασμένος καὶ ἐληλαμένος, ἀλλὰ ἀπὸ τῶν εἰς μι, τοῦ, τε ὕπημι, καὶ ἐλήλημι. καί εἰσιν ἐνεστῶτες, ὡς τὸ ἵστημι, ἵσταμαι, ἱστάμενος. Ἄλλως.

Ἀκαχμένος, ἠκονημένος. ἀπὸ τοῦ ἀκάζω τὸ ἀκονῶ. ὁ μέλλων, ἀκάσω, ἤκακα, ἤκασμαι, ἠκασμένος. καὶ τροπῇ τοῦ σ εἰς χ ἠκαχμένος, καὶ ἀκαχμένος. Ἰστέον ὅτι μόνη ἡ τοῦ παρακειμένου μετοχὴ ἀεὶ παροξύνεται, τῶν ἄλλων πασῶν προπαροξυνομένων. οἷον τυπτόμενος, τυφθησόμενος. δεῖ προσθεῖναι χωρὶς, εἰ μὴ πάθωσιν. ἐὰν γὰρ πάθωσιν αἱ εἰς μενος μετοχαὶ τοῦ παρακειμένου, μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβὰς, ἀναβιβάζουσι τὸν τόνον. τουτέστι προπαροξύνονται. οἷον ἧδαι, ἡσμένος, καὶ ἅσμενος, καὶ πάλιν δεδεγμένος, καὶ δέγμενος. πρόσκειται, μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβάς· ἐπειδὴ ἐὰν ὦσιν ὑπὲρ τρεῖς συλλαβὰς, καὶ πάθωσι, τὸν αὐτὸν τόνον φυλάττουσιν. οἷον ἀκάχω, ἀκαχήσω, ἠκάχηκα, ἤκαχμαι, ἠκαχμένος. τὸ γὰρ ὑπάμενος καὶ ἐληλάμενος, ὁ Ἡρωδιανὸς οὐ δοξάζει κατὰ πάθος, ἀπὸ τοῦ ὑπάμενος καὶ ἐληλάμενος. ἐπειδὴ ὡς ὄντα ὑπὲρ τρεῖς συλλαβὰς ὤφειλε τὸν αὐτὸν τόνον φυλάττειν. ἀλλ' ἀπὸ τῶν εἰς μι λέγονται αὐτὰ, ἀπὸ τοῦ ὕπημι, καὶ ἀλήλαμαι. ἵνα ὦσιν ἐνεστῶτες καὶ παρατατικοὶ, ὡς τὸ ἵστημι ἵσταμαι, καὶ ἱστάμενος.

Ἀκάχοιτο, λυποῖτο. ἀπὸ τοῦ ἀκαχῶ, τοῦτο παρὰ τὸ ἄχος, ἀχῶ, καὶ ἀκαχῶ.

Ἄκαμψις, ὄνομα πόλεως. * παρὰ Σουίδᾳ ἄκαψις.

Ἀκαινά, κέντρον βοῶν, ἢ ἄροτρον.

Ἀκαίνης, ἀκοινώνητος.

Ἀκεομένη, ῥωννυμένη. ἢ θεραπεύουσα, καὶ ἰωμένη. Ἀπολλώνιος.

Ἀκειόμενον, σημαίνει δύο. μεταφορικῶς τὸν ἰώμενον, καὶ τὸν ἐπισκευάζοντα. ὡς ἐπὶ τοῦ νῆας ἀκειόμενον, καὶ ἀκειόμενον τὸν ῥάπτοντα. τὸ δὲ ἀκειόμενον νῆα, οὐκ ἐπὶ νεοπαγῶν λέγεται, ἀλλὰ ἀντὶ τοῦ φιλοκαλοῦντα, ἀναρράπτοντα. ὅθεν καὶ ἀκέστριαι, αἱ ῥάπτριαι, ἢ αἱ ἀνυφάντριαι.

Ἄκειον, τὸ φάρμακον, καὶ ἕτοιμον.

Ἀκειρεκόμης, ὁ τὴν κόμην μὴ κειρόμενος. κείρω γὰρ, τὸ κόπτω.

Ἀκεῖσθαι, ἐπὶ τῶν ἐνυφαινομένων ἱματίων λέγεται. ὅθεν καὶ γυναῖκες ἀκέστριαι. καὶ ἀκεῖσθαι τὸ θεραπεύειν, ἀφ' οὗ καὶ τὸ ἀκεσταὶ φρένες ἐσθλῶν. δοκεῖ δὲ ἡ λέξις γίνεσθαι παρὰ τὸ ἀκὴν, τουτέστιν ἡσύχως. ἐπειδὴ πᾶσα σώματος θεραπεία, ἡσυχίαν περιποιεῖται ταράχου τινός. ἐκ τοῦ τοιούτου δὲ ῥήματος Φρύγες, ἀκέστην καλοῦσι τὸν ἰατρὸν, ὥς φασιν οἱ παλαιοί. ἔτι δὲ ἀκεῖσθαι, καὶ τὸ ῥάπτειν ἐλέγετο. ἐτίθετο δὲ ἡ λέξις καὶ ἐπὶ νηῶν περιποιήσεως. καὶ ἀκεῖσθαι, τὸ ἰᾶσθαι, καὶ παραιτεῖσθαι.

Ἀκεα-

Ἀκεανὲς, ἰχθύες, ὑπὸ Ἀμπρακιωτῶν.

Ἀκεαναὶ, οἱ μὲν τὰ ἐν τοῖς φακοῖς στρογγύλα. οἱ δὲ σπέρμα οὐκ ἑψόμενον, οὐδὲ διαιρούμενον. * οὕτω Ἡσύχιος. ὁ δὲ Σουίδας, ἀκεανὸς, εἶδος ὀσπρίου. ἐν τῷ Ἐτυμολ. προπαροξυτόνως, ἀκέανος εἶδος ὀσπρίου ὅμοιον φακῷ, κατὰ στέρησιν τοῦ κεάσαι, ὅ ἐστι θραῦσαι.

Ἀκέαστος, ἄκλαστος.

Ἀκέλευθα, ἄνοδα, καὶ ἐν τῇ δυτικῇ σημεῖον ὅταν μὴ ᾖ κέλευθος.

Ἀκέλευμνον, οὐ βεβηβὸς ἀσφαλῶς. οἱ δὲ τὸν σκληρὸν σίδηρον.

Ἄκεν, ἄτινα.

Ἀκέντητον δέμας, ἀμάστικτον. Πίνδαρος.

* Ἀκενόσπουδον, ἡ τῶν κενῶν καὶ ματαίων πραγμάτων ἀμέλεια. κέχρηται τῇ λέξει Μάρκος ὁ φιλόσοφος βασιλεὺς παρὰ Σουίδᾳ.

Ἀκεόμενα, θεραπευόμενα. καὶ ἀκίοντα. ἀπὸ τοῦ ἀκῶ ἀκοῦμαι, τὸ θεραπεύω.

Ἀκέουσα, ἡσυχάζουσα.

Ἄκερα ἐνδύματι πολυτελές.

Ἀκέραιον, ἄκακον, ὁλόκληρον. σημαίνει δὲ καὶ τὸν ἔξω κήρας, * (ἄλλ. τὸ ἔξω κηρὸς) κατὰ τροπὴν τοῦ η εἰς ε. καὶ τὸν εἰλικρινῆ, καὶ ὑγιᾶ, ἀπὸ τοῦ κέρας, κέραιος. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα ἀκέραιος. ὁ ἀόργητος καὶ ἀβλαβής. κυρίως, ὁ μὴ θυμούμενος.

Ἀκέρδεια, ἡ κακηγορία, καὶ ἡ βλάβη ἣ τοὺς κακηγόρους περιέχει. Πίνδαρος, ἀκέρδεια κακηγόρως λέλογχε.

Ἀκερδὴς χάρις, ἡ μὴ δεόντως διδομένη, ἧς φαῦλον τὸ κέρδος. καὶ ἀκερδὴς, βλαβερὸς, ἀνωφελής.

* Ἀκερμία, ἐπὶ τοῦ μὴ ἔχοντος κέρμα. ἀχρηματία.

Ἄκερως βοῦς, ὁ μὴ ἔχων κέρατα.

Ἀκερσεκόμην εἰπεῖν, καὶ καρηκομόωντα, ταυτόν. ὅμως τὸν Ἀπόλλωνα καρηκομόωντα οὐκ εἶπεν Ὅμηρος. καὶ ἀκερσοκόμης, ὁ μὴ κείρων τὴν κόμην. παρὰ τὸ κείρω (ὁ μέλλων Αἰολικῶς, κέρσω) καὶ τὴν κόμην, γίνεται κερσοκόμης, διὰ τοῦ ο μικροῦ. πᾶς γὰρ ἐνεστὼς ἐν πρώτῳ προσώπῳ λαβὼν συνθήκην, τρέπει τὸ ω μέγα εἰς ο μικρόν. λείπω, λειποτακτίους, μίξω, μιξοπόλις.

Ἀκερσίλα, μυρσίνη. Σικελοί.

Ἀκερχές, ἀπενθές.

Ἀκέσαιο, ἐξιάσαιο.

Ἀκέσασθαι, θεραπεῦσαι. ἀφ' οὗ, καὶ ἀκεσταί τοι φρένες ἐσθλῶν. καὶ τὸ, νῆα ἀκειόμενον. δηλοῖ μὲν ἄρτι τὸ ἰάσασθαι, σημαίνει δέ ποτε καὶ τὸ ῥάψαι. ὥστε λαβεῖν τὴν λέξιν ἀντὶ τοῦ ἠπήσασθαι. ὅθεν κατά τινας καὶ ἀκέστρια, ἡ ἠπήτρια. καὶ ἀκέστριον, τὸ ἠπήτριον. οὐκ ὀρθῶς ἔχει. φησὶ γοῦν Αἴλιος Διονύσιος ἀκέστριαν, οὐκ ἠπήτριαν. Μένανδρος, Ἐξακέσασθαι δοκεῖ μοι τὸ δίκτυον, καὶ ἱμάτιον ἀκούμεθα. τὸ δὲ ἠπήσασθαι, παντελῶς βάρβαρον.

Ἀκέσεων, ἀποθεραπεύσεων.

Ἀκέσιμον, θεραπευτικόν. * ἄλλ. θεραπευτόν.

Ἄκεσιν, ἴασιν. Ἱστορία.

Ἀκέσιος, Ναυατιανῶν Ἐπίσκοπος, ὃς παρῆν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου, καὶ ἠρώτα αὐτὸν, εἰ δέχεται τὰ τῆς Συνόδου, τόν τε ὅρον τῆς πίστεως, καὶ τὸν ὁρισμὸν τοῦ Πάσχα ἑορτῆς. ὁ δὲ, συγκατέθετο. ἐπανερομένου δὲ τοῦ Βασιλέως, διατί οὖν τῆς κοινωνίας χωρίζῃ; ἐκεῖνος τὰ ἐπὶ Δεκίου γενόμενα κατὰ τὸν διωγμὸν ἐδίδασκε, καὶ τὴν ἀκρίβειαν τοῦ αὐστηροῦ κανόνος, ὡς ἄρα οὐ χρὴ τοὺς μετὰ τὸ βάπτισμα ἡμαρτηκότας ἁμαρτίαν, ἣν πρὸς θάνατον καλοῦσιν αἱ θεῖαι γραφαὶ, τῆς κοινωνίας τῶν θείων μυστηρίων ἀξιοῦσθαι. ἀλλ' ἐπὶ μετάνοιαν μὲν αὐτοὺς προτρέπειν, ἐλπίδα δὲ τῆς ἀφέσεως μὴ παρὰ τῶν ἱερέων, ἀλλὰ παρὰ τοῦ Θεοῦ ἐκδέχεσθαι, τοῦ δυναμένου συγχωρεῖν τὰ ἁμαρτήματα. ταῦτα εἰπόντος τοῦ Ἀκεσίου, ἐπειπεῖν τὸν βασιλέα. Θὲς ὦ Ἀκέσιε κλίμακα, καὶ μόνος ἀνάβηθι εἰς τὸν οὐρανόν. τούτων οὔτε Εὐσέβιος ὁ Παμφίλου, οὔτε ἄλλος τις ἐμνημόνευσεν. ἐκεῖνοι γὰρ πολλὰ παραλείπουσιν, ἢ προσπάσχοντές τισιν, ἢ προσώποις χαριζόμενοι. οὕτω λέγει Σωκράτης ἐν Ἐκκλησιαστικῇ Ἱστορίᾳ.

Ἀκέσματα, ἰάματα, ὑγιάσματα.

Ἀκεσμὸν, θεραπείαν, ἰατρείαν.

Ἄκεσον, ἄπονον.

Ἀκεσαμενὸς, ὡς κύριον ὀξύνεται, πρὸς διαστολὴν τῆς μετοχῆς, ὥσπερ καὶ τὸ Σωζομενὸς, καὶ Τισαμενός. ὧν ὁ μὲν Ἱστορικὸς, ὁ δὲ υἱὸς Ὀρέστου τοῦ Ἀτρείδου. τούτου δὲ τόνου καὶ Ἀλεξαμενὸς Τήϊος, ἀνὴρ εὑρετής φασι τοῦ μιμητικῶς γράφειν. διὰ τοιαύτην δὲ αἰτίαν, καὶ αἱ Κλαζομεναὶ ἡ πόλις ὀξύνεται, καὶ ἡ Δεξαμενὴ, καὶ ἡ εἰαμενή.

Ἀκεσταὶ, ἀκεσταὶ φρένες ἐσθλῶν, εὐθεράπευτοι, εὐίατοι. αἱ γὰρ τῶν ἀγαθῶν ἀνδρῶν φρένες ῥαδίως πρὸς τὸ κρεῖττον μετατίθενται, εὐθεράπευτοι οὖσαι, ἢ θεραπευτικαί.

Ἀκέστας * (ἄλλ. ἀκεστὰς δωρικὸν ἀντὶ τοῦ ἀκεστής), ἰατρός. καὶ ἀκέστωρ ἀκέστορος, ὁ αὐτός.

Ἀκεστήριον, ἠπητήριον.

Ἀκέστης * (ἄλλ. ἀκεστὴς) λέγουσιν οἱ παλαιοὶ οὐκ ἠπήτας * (ἄλλ. ἠπητής). ἠπήτιαθαι, * (ἄλλ. ἠπήσασθαι) ἔστι μὲν ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι, παίζοντι τὰς Ἡσιόδου ὑποθήκας, καὶ κόσκινον ἠπήσασθαι. σὺ δὲ λέγε, ἀκέσασθαι τὸ ἱμάτιον.

Ἀκεστορία, ἰατρική.

Ἀκέστρα, βελόνη ἡ μείζων, ἣν νῦν σακκοράφιον καλοῦσιν. ἀκέστρα δὲ, παρὰ τὸ ἀκεῖσθαι, ἤτοι συῤῥάπτειν τὰ διεῤῥωγότα τῆς ὀθόνης. τοῦτο δὲ καὶ ἠπήτριόν φασιν, ἐπεὶ καὶ ἠπήτρια καὶ ἠπήτης, καὶ ἀκέστρια καὶ ἀκέστης, ὃς νῦν ῥάπτας καλοῦσιν. Χρὴ δὲ εἰδέναι, ὡς οἱ παλαιοὶ γυναιξὶν ἐχρῶντο εἰς ταύτας τὰς ἐργασίας, καθὰ καὶ νῦν οἱ Σκύθαι.

Ἀκέστρια, ἡ ἠπήτρια.

Ἀκεστρὸν, * (ἄλλ. ἄκεστρον) φάρμακον. Σοφοκλῆς Παλαμήδῃ.

Ἀκεσόδυνον, * (ἄλλ. ἀκεσώδυνον) θεραπευτικὸν τῶν ὀδυνῶν. καὶ ἀκεσόδυνος * (ἀκεσώδυνος) ὁ ἰατρὸς, ὁ τὰς ὀδύνας παύων καὶ θεραπεύων.

Ἀκέσται, ἐπίατοι, ἀκαταλλακτοι. * γραπτέον. ἀκεσταὶ, εὐίατοι, εὐκατάλλακτοι.

Ἀκεύει, τηρεῖ. Κύπριοι.

Ἀκεύμενον. ἀκῶ, τὸ θεραπεύω. ἀκέομαι ἀκοῦμαι, ἀκεόμενος ἀκούμενος. καὶ κράσει Δωρικῇ τοῦ εο εἰς τὴν ευ δίφθογγον, ἀκεύμενον.

* Ἄκευμα, ἄκεσμα.

Ἀκέφαλος, ὁ ἄτιμος. καὶ παροιμία, ἀκέφαλος μῦθος, ἐπὶ τῶν ἀτελῆ λεγόντων.

Ἀκέω, ἀκέσω. δοκεῖ ἔχειν τὸν μέλλοντα ἀκήσω, ὡς δῆλον ἐκ τοῦ ἀκήματα, τὰ θεραπεύματα. ἀπὸ γὰρ τοῦ ἀκέω ἀκήσω, τὸ ἄκημα.

Ἀκέων ἐστὶν, ἀντὶ τοῦ ἡσύχως ἔχει, καθά φασιν οἱ παλαιοί. γίνεται δὲ ἐκ τοῦ ἀκέοντος, ἀποκοπὴν παθόν. εἶτα ἔκτασιν τοῦ ο εἰς ω. λαμβάνεται ἔτι καὶ ἀντὶ τοῦ ἀκέουσα ἀττικῶς. Ἀπολλώνιος δὲ ἐν τῷ περὶ μετοχῶν, ἀποδείκνυσιν ἐκ τῆς συντάξεως ἀκριβέστατα, ὅτι οὐ δύναται εἶναι ἐπίῤῥημα μεσότητος. κοινὸν οὖν γένος οὐ μόνον ἡ ὑλήεις Ζάκυνθος, καὶ ὅσα τοιαῦτα, ἀλλὰ καὶ τὸ, ἀκέων Ἀθηνᾶ.

Ἀκὴ, πόλις ἐν Φοινίκῃ. καὶ ἀκὴ, αἰχμὴ σιδήρου, ἢ ἡσυχία, ἢ θεραπεία, ἢ ἴαμα.

Ἀκηδέα σώματα παρ' Ὁμήρῳ. σώματα μὲν, τὰ νεκρώματα συνήθως φησίν. ἀκηδέα δὲ, τὰ ἀτημέλητα. πρὸς ὅπερ ὁμοιότητά τινα ἔχει καὶ τὰ δυσκηδέα. ἢ καὶ ἄλλως ἀκηδέα, τὰ ἀκήδευτα. καὶ ἀκηδέα τεύχεα λέγει Ὅμηρος, τὰ ἠμελημένα. καὶ ἀκηδέα θυμὸν, ἤγουν ἄλυπον καὶ ἀφρόντιστον. ἀκήδεα δὲ, ἀντὶ τοῦ ἀταλαιπώρητα.

Ἀκηδέδαται, λύπῃ κατέχονται.

Ἀκηδέες γυναῖκες, αἱ ἀφρόντιδες, ἢ καὶ δυσφρόντιδες, κατὰ τό. Ἀκηδέα νύκτα φυλάσσω.

Ἀκηδία, ῥαθυμία, λύπη, ἀχθηδών. Δαβὶδ, Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου.

Ἀκηδείῃσι, ταῖς πολυκηδείαις, τουτέστι ταῖς λύπαις.

Ἀκηδεῖς, ἀφρόντιστους, ἀμελεῖς. καὶ ἀκηδεῖς, τὸ ἀμελεῖς. θέμα ἔχει τὸ ἀκηδῶ. ἐξ οὗ καὶ τὸ ἀκηδέστως ἐπίῤῥημα, καὶ τὸ ἀκήδεστοι, ἄταφοι, καὶ ὁ κηδεμών. ἀπ' αὐτοῦ δὲ καὶ τὸ ἀκηδιᾷν. ὡς καὶ ἐκ τοῦ μειδῶ, καὶ κατηφῶ, τὸ μειδιᾷν, καὶ κατηφιᾷν.

Ἀκηδὲς, μέγα.

Ἀκήδεσεν, οὐκ ἐφρόντισεν, ἢ ἠφροντίστησεν.

Ἀκήδεστοι, γίνεται ἐκ τοῦ κηδέω κηδέσω. ἐξ οὗ καὶ ὁ κηδεστὴς, καὶ ὁ κηδεμών. ἔστι δὲ καὶ ἕτερος μέλλων ἐκ περισπωμένου ῥήματος ἀῤῥήτου τὸ κηδήσω. οὕτω καὶ οὐ μόνον ἡγῶ ἡγήσω, ἀλλὰ καὶ ἡγέσω. ὅθεν ὁ ἡγεμών. ἐκ δὲ τοῦ ἀχρήστου κηδῶ, οὗ ὁ μέλλων κηδήσω, γίνεται τὸ ἀκηδιῶ, ὡς μειδῶ, μειδιῶ. καὶ ἡ ἀκηδία, καὶ ἀκήδεστοι, οἱ μηδεμιᾶς κηδείας ἢ φροντίδος τυχόντες. ἤγουν ἀκήδευτοι, καὶ ἄταφοι.

Ἀκηδέστως, τὸ ἀνηλεῶς, καὶ δίχα τοῦ κήδεσθαι. ἐκ τοῦ κηδῶ κηδέσω. ἐξ οὗ καὶ κηδεμὼν καὶ κηδεστής. ἁπλοῦν δὲ τὸ κηδῶ κηδέω. οὗ δεύτερον τὸ κηδεύω, ἐπί τε ταφῆς καὶ ἐπιγαμβρείας.

Ἀκηδὴς, ὁ ἀφρόντιστος, καὶ ὁ μὴ φροντίζων ἑτέρων. ἢ ὁ ἄταφος, καὶ ἀμελής.

Ἀκηδία, αἰσχύνη, ὕβρις, ἀμέλεια, ἀλυπία.

Ἀκήδιτον, ἄθελκτον, σκληρόν. * οὕτω Ἡσύχιος. ἔδει δὲ ἴσως εἰπεῖν ἀκήλητον.

Ἀκηδιῶ, ἀκκίζομαι, ἀκμάζω, ἀκολασταίνω, ἀκρατίζω, τὸ ἄκρατον πίνω. πάντα ἀμεταβάτως.

Ἀκηδῶς, ἀτάφως, ὀλιγόρως. ὡς τὸ, Ἀκηδῶς ἐῤῥιμένον τὸν τεθνεῶτα, οὐκ ἐτόλμησε παρελθεῖν, ἀλλ' ἔθαψε. καὶ ἀκηδέστως, ἀφροντίστως, μωρῶς.

Ἀκήδωτος, ὁ κηδείαν μὴ ἔχων.

Ἀκήκοα, αἰτιατικῇ. ὡς τὸ, ἀκήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου Κύριε.

Ἀκήλητος νόος, ὁ ἀπαραλόγιστος, ἀκολάκευτος, ἀμετάβολος, ἀπαθὴς, ἄθελκτος. ἢ κατὰ τοὺς παλαιοὺς, καὶ ὁ ἄκλαστος. ἀπὸ τοῦ κλῶ, πλεονασμῷ τοῦ η δοκεῖ γίνεσθαι τὸ κηλῶ.

Ἀκηλίδωτον, ἄσπιλον, ἀκήρατον, καθαρόν.

Ἀκήματα, ἰάματα. καὶ ἄκου πόνων, τὰ λουτρά.

Ἀκήμων, ἐκκεχυμένος.

Ἀκὴν, ἐπίῤῥημα, δηλοῦν τὸ ἐπ' ἄκρας ἡσυχίας. ὅπερ οὐ σιωπὴν ἁπλῶς δηλοῖ, ἀλλὰ σιωπὴν μετὰ ἐκπλήξεως. ἐν γὰρ τῷ, Οἵ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. εἰ σιωπὴν ἐσήμαινεν ἁπλῶς τὸ ἀκὴν, περιττῶς ἂν ἔκειτο, καὶ ἀδολεσχίαν ὁ λόγος ἐπαχθῆ εἶχε. γίνεται δὲ ἀκὴν ἐκ τοῦ α στερητικοῦ, καὶ τοῦ χαίνειν ἀχήν. καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν, ἀκήν. οὐ μόνον Ἰωνικῶς, ἀλλὰ καὶ ἵνα μὴ προσκρούῃ συνεμπίπτον πρὸς τὸ ἀχήν. ὅ ἐστιν ὁ πτωχὸς, παρὰ τὸ μὴ ἔχειν ἀκὴν ἴσαν σιγῇ. τὸ δὲ σιγῇ ἑρμηνεία τοῦ ἀκήν. ἀκὴν οὖν ἀπὸ τοῦ α, καὶ τοῦ χαίνω. ὁ γὰρ λαλῶν χαίνει. ἢ παρὰ τὸ ἄγην, ὃ σημαίνει τὴν ἔκπληξιν. ἡ γὰρ ἔκπληξις ἀφωνίαν οἶδε ποιεῖν, γίνεται ἀκὴν, κατὰ τροπὴν τοῦ γ εἰς κ.

Ἀκήνιον, ἥσυχον.

Ἀκήξατο, μετὰ βηχὸς ἀνέπτυσε, παρ' Ἱπποκράτει.

Ἀκήραι, ἀκρόπολ. * ἀδόκιμον.
Ἀκηράσιον, ἀκέραιον, καθαρὸν, ἄφθορον, ἄφθαρτον.
Ἀκήρατα κτήματα, παρ' Ὁμήρῳ ἐν τῷ ρ̄ τῆς Ὀδυσσείας, τὰ οὐκ ἀκέραια. ἔδονται γὰρ, ἀλλὰ τὰ μὴ κηρόμενα πρὸς βίαν, καὶ λῃστρικῶς. τὸ δὲ σῖτος καὶ οἶνος, ἑρμηνεία ἐστὶ τῆς ῥηθέντων κτημάτων.
Ἀκήρατος, αἰώνιος, ἄφθαρτος, ἀπαθὴς, ἀκέραιος. ἀκήρωτος δὲ, ὁ δίχα κηρός.
Ἀκήρατος κλῆρος, ὁ ἀκέραιος καὶ σῶος, κατὰ στέρησιν τοῦ κείρεσθαι, ἢ τῆς κηρός. καὶ ἀκήρατον ὕδωρ, τὸ καθαρὸν, καὶ μὴ ἔχον κῆρα τινά. ᾧ λόγῳ καὶ οἶνος ἀκηράσιος, καὶ κτήματα ἀκήρατα, τὰ ἀκέραια.
Ἀκήρεα, ἀβλαβῆ. * καὶ ἀκήρεια.
Ἀκηρεσία, ἀφθαρσία.
Ἀκηρῆ, ἀσθενῆ, οὐκ ἐπιτεταμένα. * ἀλλ. ἀκιρῆ.
Ἀκήρια, ἀκέραια, σῶα.
Ἀκήριον, ἀσθενές, νεκροποιόν. παρὰ τὴν κῆρα, ἥτις σημαίνει τὴν θανατοφόρον μοῖραν. καὶ ἀκήριον, ἄψυχον. ὡς τὸ, Ἀκήριον αἶψα τίθησιν, ἀντὶ τοῦ ὀξέως θανατοῖ. ὁ ἀκήριος γὰρ, ἴσος εἶναι τῷ νεκρῷ δέδεικται, καὶ τὴν αὐτὴν ἐτυμολογίαν ἔχει. στέρησις γὰρ ἐν ἀμφοτέροις ψυχῆς. ἐν τῷ ῥητορικῷ λεξικῷ φέρεται ὡς ἀκήριος οὐ μόνον ὁ ἄψυχος, ἀλλὰ καὶ ὁ ἄνοσος, ὑγιὴς, ἀθάνατος, μὴ ὑποκείμενος δηλονότι κηρί. ὁποῖος καὶ ὁ ἀκήρατος, ὁ ἐστερημένος δηλαδὴ κηρὸς καὶ ἄτης. ὁμώνυμος οὖν λέξις τὸ ἀκήριος. τὸ μέν τοι ἀκηράσιον ποτὸν, ἄλλης ἑρμηνείας ἐστίν.
Ἀκήρυκτον, ἄγνωστον, ἀφανές. Σοφοκλῆς Θυέστῃ.
Ἀκήρυκτος, ἀνεπικηρύκευτος.
Ἀκηρυκτεὶ, ἄνευ κήρυκος.
Ἀκήρυτος, μέγας τίς, ἀδιάλλακτος. * ἴσως ἀκήρυκτος.
Ἀκήσκος, πάλαρος.
Ἀκήτων, κράτιστον.
Ἀκηχέδαται, λυποῦνται. παρὰ τὸ ἀχῶ, ἀχάζω, ἤχακα, ὁ μέσος παρακείμενος ἤχαδα, ὁ παθητικὸς ἤχασμαι, ἤχασαι. καὶ Ἰωνικῶς ἠχάδαται, καὶ κατὰ ἀναδιπλασιασμὸν Ἀττικὸν, καὶ τροπῇ τοῦ α εἰς ε, ἀκηχέδαται.
Ἀκηχεδόνας, λύπας.
Ἀκήχεται, ἀδημονεῖ.
Ἀκί, φυτόντι. ὅθεν τὸ ἀκιδωτ.
Ἀκιανώτερον, ἀσθενέστερον.
Ἀκιβδήλευτος, ἀκαχάργητος, ἄδολος.
Ἀκίβδηλον, καθαρὸν, οὐ νόθον. ὅθεν δὲ ἡ λέξις, ἡ ἱστορία διδάξει. Οἱ Ἀθηναῖοι μίσει τῷ πρὸς τοὺς ἐν Χίῳ, τὸ χ̄ χαράττοντες ἐν τοῖς ἀδοκίμοις αὐτῆς νομίσμασιν, ἐκάλουν χίας. εἶτα πρὸς τὸ εὐφωνότερον μετέβαλον τὸ χ̄ εἰς κ̄.
Ἀκίδας, τῆς βελῶν τὰς ὀξύτητας. καὶ ἀκιδωτὸ, τὸ ἔχον ἀκίδας.
Ἀκίδες, βέλους ὄγκοι, καὶ οἱ πώγωνες καλοῦνται.
Ἀκιδνὸν, τὸ ἀσθενές. παρὰ τὸ αἰκίζειν, κατὰ τοὺς παλαιοὺς, ἀποβολῇ τοῦ ἰῶτα. καθ' ὁμοιότητα τοῦ παίζω παιδνὸς, καὶ τῆς ὁμοίων.
Ἀκιδνότερον, ἢ τὸ ἀσθενέστερον καὶ εὐτελέστερον, κατὰ τοὺς γλωσσογράφους. καθ' οὓς καὶ ὑπερβολικῶς εἴρηται, τὸ μηδὲν ἀκιδνότερον εἶναι ἀνθρώπου. ἢ μᾶλλον ὑπομενετικώτερον, φερεπονώτερον, παρὰ τὸ μὴ κίδνασθαι, ἤτοι χωρίζεσθαι, καὶ πόῤῥω γίνεσθαι τοῦ ἐπισυμβαίνοντος. ὅτι δέ τινες καὶ παρὰ τὸ αἰκίζω τὴν λέξιν παράγουσι, δεδήλωται. καὶ ἀκιδνοτέρα, ἡ ἀσθενεστέρα, ἡ εὐτελεστέρα.
Ἀκιδρωνάζω, ἀμβλυωπῶ.
Ἀκίδωτον βέλος, τὸ χωρὶς σιδήρου, ἡ ὁρμοῦ ἐστὶ τῆς κατασκευῆς.

Ἄκικυς, ὁ ἀσθενὴς, ἀνίσχυρος, ἀδύνατος. κατὰ στέρησιν ἤτοι τοῦ κινεῖν, ἢ τῆς κίκυος, ἤ τις περὶ τὴν κίνησιν λέγεται ἰσχύσα.
Ἄκιμον, ἀθεράπευτον. * ἀλλ. θεραπευτόν.
Ἀκίμων, ἑτοίμων.
Ἀκίμενοι, ἰώμενοι. μεταφορικῶς, ἀπὸ τοῦ θεραπεύειν. * καὶ ἀκηόμενοι.
Ἀκινάγματα, τὰ κατὰ ῥυθμοῦ τινάγματα τῶν χειρῶν, καὶ τῆς ποδῶν.
Ἀκιναγμὸς, τιναγμὸς, κίνησις.
Ἀκινάκης, ξίφος Περσικόν. Λυκιανὸς ἐν τῷ περὶ Θεῶν διαλόγῳ. Πῶς ἔχεις; πολλὴ γὰρ ταραχὴ, καὶ ἄλλα ἄλλοι νομίζουσι. Σκύθαι μὲν ἀκινάκῃ θύοντες, καὶ Θρᾶκες Ζαμόλξιδι, δραπέτῃ ἀνθρώπῳ ἐκ Σάμου ὡς αὐτοὺς ἥκοντι. Φρύγες δὲ Μήνῃ, καὶ Αἰθίοπες ἡμέρᾳ. Κυλλήνιοι Φάλητι, καὶ Ἀσσύριοι περιστερᾷ, καὶ Πέρσαι πυρὶ, καὶ Αἰγύπτιοι ὕδατι. καὶ τοῦτο μὲν ἅπασι κοινὸν, τοῖς Αἰγυπτίοις τὸ ὕδωρ. ἰδίᾳ δὲ Μεμφίταις μὲν, ὁ βοῦς Θεός. Πηλουσιώταις δὲ, κρόμμυον. καὶ ἄλλοις, ἶβις, ἢ κροκόδειλος. καὶ ἄλλοις κυνοκέφαλος, ἢ αἴλουρος, ἢ πίθηκος. καὶ ἔστι κατὰ κώμας. τοῖς μὲν, ὦμος ὁ δεξιὸς Θεός. τοῖς δὲ καταντιπέρας οἰκοῦσιν, ἅτερος. καὶ ἄλλοις, κεφαλῆς ἡμίτομον. ἄλλοις, ποτήριον κεραμεοῦν, ἢ τρύβλιον. ταῦτα πῶς οὐ γέλως, ὦ καλὲ Τιμόκλεις; Ἄλλως.
Ἀκινάκης, εἶδος ἀκοντίου Περσικοῦ. παρὰ τὴν ἀκὴν, τὴν ὀξύτητα, καὶ παρὰ τὴν ἀκίδα. ἀλλήλων συντεθέντων τῆς δύο ὁμοιοσήμων. καὶ δῆλον ὅτι ἐτράπη τὸ δ εἰς ν, ὡς καὶ ἐπὶ τοῦ Ἐρεχθεὺς, καὶ Ἐριχθόνιος, παρὰ τὴν ἔραν καὶ τὴν χθόνα. Ἡρόδοτος δὲ, διὰ τοῦ ω, ὠκινάκην φησίν. εἰκός ἐστι κατὰ τροπὴν τοῦ α εἰς ω. ὡς ἀκὴ, ἀκὺς, καὶ ὠκύς. ἢ παρὰ τὸ ὠκὺς, καὶ τὴν ἀκὴν, γίνεται ὠκινάκης. ἢ ὁ ἀκινάκης, τοῦ ἀκινάκου. ἔστι δὲ ἐγχειρίδιον βαρβαρικὸν, ὅ φασιν οἱ ἄλλως παραμαχαιρίδιον.
Ἀκίναιδος, ὁ μὴ κινῶν τὰ αἰδοῖα, ὡς ὁ σώφρων.
Ἀκινδυνὶ, καὶ ἀκινδυνώτατα, χωρὶς κινδύνου.
Ἄκινος, πόα τίς.
Ἀκίονες, ἀστήρικτοι.
Ἀκιρὶς, λύχνος.
Ἀκιρὸς, ὁ βοῤῥᾶς.
Ἀκὶς, τὸ τοῦ βέλους σιδήριον. παρὰ τὸ ἀκὴ, ὃ σημαίνει τὴν ὀξύτητα. καὶ ἀκὶς, ποταμὸς Ἀσίας.
Ἀκιώτατον, ἀσηπότατον, ἄβρωτον. κὶς γὰρ λέγεται ὁ ἐν τοῖς ξύλοις σκώληξ. Ἡσίοδος, Δάφνης ἢ πτελέας, ἀκιώτατοι ἱστοβοῆες. ἄλλοι γράφουσιν ἀκηρώτατον, ἵν' ᾖ κάλλιστον.
Ἀκιρῶς, ἀβλαβῶς, ἀτρέμας.
Ἀκίσιν, ὀξύτησιν.
Ἀκίχητα, ἀκατάληπτα. καὶ ἀκίχητος, ἀκατάληπτος.
Ἀκινησία, ἠρεμία. Καὶ τοὺς ἵππους ἐξελαύνειν προσέταξεν, ὡς διαλύοιτο αὐτοῖς τὸ ὑπὸ τοῦ παράπλου ναρκηκὸς, ὑπὸ ἀκινησίας.
Ἀκινητίζω, ἐπιθυμῶ μὴ κινεῖσθαι.
Ἀκίνητα, καθόλου μὲν τὰ μὴ κινούμενα. παρ' Ἡσιόδῳ δὲ ἐν ἔργοις καὶ ἡμέραις, ὁ τάφος. παρὰ Ῥωμαίοις τάφον μὴ κινεῖν, τουτέστιν ὀρύττειν.
Ἀκκίζεσθαι ἐπὶ τοῖς ὅπλοις. ἀκκίζεται ἔτι, τῆς ὕβρεως ἔχεται, ἐπαίρεται, γυναικίζεται, θρύπτεται, ἢ μωραίνει. σημαίνει καὶ τὸ θέλοντα μὲν, προσποιούμενον δὲ μὴ θέλειν. ἀκκισμοὶ γὰρ προσποιήσεις εἰσὶ, καὶ ὑποκρίσεις. καὶ ἀκκίζομαι, τὸ θρύπτομαι, καὶ τὸ μωραίνω, καὶ προσποιοῦμαι ἀηδίαν. εἴρηται δὲ ἀπὸ Σαμίας τινὸς γυναικὸς μωρᾶς, ἧς ὄνομα Ἀκκώ. ἣν οὕτως ἀνόητον λέγουσιν, ὡς ἀπὸ τοῦ ἱστοῦ θοιμάτιον καθελομένην ἡμίεργον ἀμφιέσασθαι, εἰς τε τὸ κάτοπτρον βλέπουσαν πρὸς τὴν παρ' αὐτῆς ἔμφασιν εἰς αὐτὸ γιγνομένην, ὡς ἑτέρᾳ προσλαλεῖν γυναικί.
Ἀκωδώνιστον, ἀντὶ τοῦ ἀπείραστον, ἀβασάνιστον. κωδωνίσαι γὰρ, τὸ διαπειρᾶσθαι. μετῆκται δὲ ἀπὸ τῆς περιπολούντων, καὶ κώδωσι διαπειρωμένων, εἰ ἐγρηγόρασιν οἱ ἐπὶ ταῖς φυλακαῖς τεταγμένοι. οἱ δὲ ὑπομνηματισταὶ, ἀπὸ τῆς ὀρτύγων φασὶ μετῆχθαι τὴν λέξιν.
Ἀκωκὴ, ἡ ὀξύτης τοῦ δόρατος, τὸ ὀξὺ τῆς λόγχης. Ἀῤῥιανός. Λόγχας δὲ εἶχον, πάχος ἐξαπήχεας, ἀκωκὴ δὲ οὐχ ὑπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐταῖς πεπυρακτωμένον, ταὐτὸ ἐποίησεν. * ἀναγνωστέον οὕτω. λόγχας δὲ εἶχον παχέας, μέγεθος ὡς ἐξαπήχεας. καὶ τὰ ἑξῆς.
Ἄκκαθεν, ἀνέκαθεν. * ἴσως ἄγκαθεν κατὰ συγκοπὴν ἀντὶ τοῦ ἀνέκαθεν.
Ἀκκαῖον, ἀκαταφρόνητον.
Ἄκκελα, ἄδοξα. * ἀδόκιμον.
Ἀκκίζειν, γυναικίζεσθαι, προσποιεῖσθαι, μωραίνειν.
Ἀκκίζεται, ὀξύνεται.
Ἀκκὼ, γυνὴ ἐπὶ μωρίᾳ διαβαλλομένη, ἥν φασιν ἐνοπτριζομένην τῇ ἰδίᾳ εἰκόνι, ὡς ἑτέρᾳ διαλέγεσθαι. ὅθεν καὶ τὸ ἀκκίζεσθαι. ταύτην φασὶ καὶ σπόγγῳ πάτταλον κρούειν.
Ἀκκὸρ, ἀσκός. Λάκωνες.
Ἀκκισμὸς, προσποίησις.
Ἀκκὸς, παράμωρος. λέγεται δὲ παιδίοις, ὡς μωροῖς.
Ἀκλάδας ἀμπέλους, τὰς ἀκλαδεύτους. Αἰολεῖς.
Ἄκλαστος, ἡ μὴ κλαδευομένη ἄμπελος.
Ἀκλαυσὶ, χωρὶς κλαυθμοῦ.
Ἄκλαυτον, οἱ μεθ' Ὅμηρον ἄκλαυστον γράφουσιν.
Ἀκλεεῖς, ἡ μὲν κοινὴ αἰτιατικὴ τοῦ ὀνόματος, ἀκλεέα, καὶ ἀκλεῆ, ὡς τὸ ὑγιέα καὶ ὑγιῆ, εὐφυέα καὶ εὐφυῆ. ἡ δὲ ἀττικὴ, ἀκλεᾶ, κατὰ τὸ ὑγιᾶ, καὶ εὐφυᾶ. τὸ μέντοι ἀκλέα, συγκοπὴν ἔπαθεν ἐκ τοῦ ἀκλεέα. ὁμοίως τῷ, Δυσκλέα ἄργος ἱκέσθαι. τὸ δὲ ἀκλεὲς, ἡ δὲ ἐστι πληθυντικὴ, ἀντὶ τοῦ ἀκλεεῖς, ἀπελθόντος τοῦ ῑ, ὡς ἐν τῷ ἐπιπεδές.
Ἀκλεεῖς, οἱ ἄδοξοι.
Ἀκλεῶς, ἀκληδονίστως, ὡς μὴ δὲ φήμην τινὰ γενέσθαι. Μὴ μὰν ἀσπουδί γε, καὶ ἀκλεῶς ἀπολοίμην.
Ἀκλῆδας, ἀζύγας.
Ἀκλεέουσιν ἀοιδοὶ, ἀντὶ τοῦ, θείως φημίζουσι. καὶ ἔστιν ἕτερον τὸ, τὴν γὰρ ἀοιδὴν ἐπικλείουσιν ἄνθρωποι. ἐκεῖνο γὰρ, ἀντὶ τοῦ τιμῶσιν εἴληπται. λέγεται δὲ, καὶ ἀκλειὴς, τὸ ἀκλεής.
Ἀκληρεῖ, οὐ μετέχει, οὐ κεκλήρωται. ἢ χωρὶς κλήρου.
Ἀκληρήμασι, συμφοραῖς, δυστυχίαις. Διὰ τοῦτο δοκεῖ μὲν μάλιστα περιπεσεῖν τοῖς ἀκληρήμασιν.
Ἀκληρία, δυστυχία.
Ἀκληρούντων, δυστυχούντων. Συμπάσχοντας τῇ τῆς ἀκληρούντων ὑπεροψίᾳ.
Ἀκλήρῳ, μὴ ἔχοντι κλῆρον, μὴ δὲ οὐσίαν. ἤτοι πτωχῷ.
Ἀκλητὶ, χωρὶς κλήσεως.
Ἄκλητον, ἀνώνυμον. Δέδωκας σεαυτὸν ἄκλητον τῷ δεσπότῃ, ἀντὶ τοῦ ἀνώνυμον.
Ἀκλινὴς, ἀνυπότακτος.
Ἀκλόνητον, ἄσειστον, ἀδόνητον.
Ἀκλυδώνιστος, ἀτάραχος, ἀκλόνητος. κλόνος γὰρ, ἡ ταραχή. * καὶ ἄκλονος παρὰ Γαληνῷ τὸ αὐτό.
Ἄκλυστον σκέπας, πολύκλυστον, ἢ ἀχείμαστον.
Ἀκμάζει, νεάζει, τὰ νέων πράττει. οὕτως Ὑπερείδης, καὶ Λυσίας. καὶ ἀκμάζειν, ὀργᾶν, σπαργᾶν, βρύειν. μάλιστα δὲ τὸ βρύειν, ἐπὶ ἐλαιῶν. ἀνθεῖ, βλαστάνει, θάλλει.

Digitized by Google

Ἄκμια, νηστεία, ἔνδεια.

Ἀκμαία, ἀκμάζουσα, ἰθάλλουσα.

Ἀκμαῖος, σφριγῶν, νεανίσκος.

Ἀκμαιοτάταις, νεωτάταις.

Ἀκμαῖς, ὀξύτησιν.

Ἀκμὴ, ἡ ἰσχύς. καὶ ἀκμάζω, τὸ ἰσχύω. ὅθεν τὸ, ἀκμαζούσῃ γνώμῃ τοῦδέ τι πράττειν, ἀντὶ τοῦ ἰσχυρᾷ γνώμῃ. ἡ μεταφορὰ, ἀπὸ τῶν ἀκμαζόντων ζώων. ἀκμάζει γὰρ τὸ ζῶον, ὅτε ἐστὶν ἐν ἀκμῇ. ἔστι δὲ ἀκμὴ, τέλος τῆς αὐξήσεως. ἐν παντὶ γὰρ ταῦτα θεωροῦνται, αὔξησις, ἀκμὴ, καὶ παρακμή. καὶ ἀκμὴ, ἡ ὀξύτης τοῦ σιδήρου, ἡ μεσότης τοῦ καιροῦ, καὶ ἡ νεότης, καὶ ἀκμὴ καλεῖ, ἀντὶ τοῦ ὁ καιρὸς καλεῖ. * Καὶ ἀκμαὶ, ἴονθοι περὶ τὸ πρόσωπον, διὰ τὸ κατὰ καιρὸν τῆς ἀκμῆς μάλιστα γίνεσθαι. καὶ ἀκμὴ καιροῦ ἡ εὐτυχία, ὡς παρ' Ἰσοκράτει. Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν.

Ἀκμὴν, ἔτι.

Ἄκμηνος, καὶ ἄπαστος, καὶ νῆστις, ταῦτα κατὰ πολυωνυμίαν. ὃν καὶ ἄπαστον λέγει Ὀππιανός. Ἰστέον δὲ, ὅτι ὁμώνυμον ὄνομα τὸ νῆστις. λέγεται γάρ φασι νῆστις, καὶ τὸ μεταξὺ κοιλίας καὶ στομάχου ἔντερον. καὶ Σικελικὴ δέ τις θεὸς, νῆστις ἐλέγετο.

Ἀκμηνὸς ὀξυτόνως ἐν ψ' τῆς Ὀδυσσείας, ὁ ἀκμὴν ἔχων τοῦ νεάζειν, κατὰ Ἀρίσταρχον. τὸ δὲ ἀκμηνὸς, τὸ δηλοῦν τὴν νῆστιν, ἐν Ἰλιάδι ἐβαρυτόνησεν ὁ αὐτός.

Ἀκμήτης, ὁ νέος, ὁ νεάζων, ὁ μὴ κοπιῶν. καὶ ἀκμῆτες, οἱ μὴ κάμνοντες, ἀκοπίαστοι. παρὰ τὸ κάμνω. ὁ δεύτερος ἀόριστος ἔκαμον. ἐξ αὐτοῦ, καμής. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκαμής. καὶ συγκοπῇ, ἀκμής. ὁ μὴ κάμνων, ἢ ἡ μὴ κάμνουσα, διὰ νεότητα. ἢ ἡ μὴ δυναμένη πόνους ὑποστῆναι.

Ἀκμητεὶ, ἀκαματεί. * ἴσως ἀκμητεὶ, ἀκαμάτως. διφορεῖται γὰρ ἀκμητεὶ, καὶ ἀκμητί.

Ἀκμητὶ, ἀκόπως.

Ἄκμητοι, ἀκοπίαστοι.

Ἀκμόθετον, τόπος ἐν ᾧ τίθεται ὁ ἄκμων. συγκέκοπται δὲ, ἐκ τοῦ ἀκμονόθετον.

Ἄκμονα, ἀλετρίβανον, Κύπριοι.

Ἀκμονίδης, ὁ Χάρων, καὶ ὁ οὐρανός. Ἄκμονος γὰρ παῖς.

Ἀκμονίοιο ἄλσος μὲν λέγεται. οὐδέποτε δὲ ἀκμόνιον, ὡς δηλοῖ Εἰρηναῖος. ἔστι δὲ περὶ τὴν Θερμώδοντα. μέμνηται δὲ αὐτοῦ Φερεκύδης ἐν τῇ δευτέρᾳ.

Ἄκμων, ὁ τοῦ οὐρανοῦ πατὴρ λέγεται, διὰ τὸ ἀκάματον τῆς οὐρανοῦ κινήσεως. ἀφ' ἧς ἐννοίας καὶ ὁ Ἄτλας εἴρηται. καὶ ὅτι ἀκμονίδαι, δηλοῦσιν οἱ παλαιοί. ὡς δὲ ἄκμων ὁ οὐρανὸς, ὁ Ἀλκμὰν ἱστορεῖ. ἢ ἄκμων, ὁ ἀπαθὴς, ὁ χρόνος, ὁ οὐρανὸς, καὶ ὁ σίδηρος, ἐν ᾧ ὁ χαλκεὺς χαλκεύει. ἔστι δὲ, καὶ γένος ἀετοῦ. καὶ ἄκμων, ὁ ἀκμαῖος, ὁ σφριγῶν, ὁ νεανίσκος. παρὰ τὸ κάμνω, ἀκάμων τίς ὢν, ὁ ἀκαμάτως φέρων. ἢ ἄκμων, ἀκμοθέτης, ῥαιστὴρ, πυράγρα, φῦσαι, φυσητὴρ, ἀκροφύσιον, χοάνη, ἀκόναι, θηγάναι, ἐσχαρίδες, καὶ κροταφίδες. ταῦτα πάντα, χαλκέων σκεύη.

Ἄκναπτον, ἀκατάκλαστον, ἄγναφον ἱμάτιον, καὶ ἀκόλαστον. * ὅτε κεῖται ἀντὶ τοῦ ἄγναφον γραπτέον ἄκναφον, ἀντὶ δὲ τοῦ ἀκατάκλαστον, ἄκναμπτον.

Ἄκνηστις, ἡ ῥάχις. παρὰ τὸ μὴ δύνασθαί τινα κνήσασθαι αὐτὴν τῇ ἰδίᾳ χειρί. ἢ ἄκνηστις, τὸ μέσον τῆς ὀσφύος. κυρίως μὲν ἐπὶ τῶν τετραπόδων. Ὅμηρος δὲ καὶ ἐπ' ἀνθρώπου κέχρηται, λέγων, κατ' ἄκνηστιν μέσα νῶτα.

Ἀκοάζῃ, ἀκούεις.

Ἀκοαστῆρες, Ἀρχύτις παρὰ Μεταποντίοις.

Ἀκοίνησι, ταῖς ἀγκάλαις. * κάλλιον ἀγκοίνησι.

Ἀκοὴ γέγονε, πρὸς φωνῆς γνῶσιν.

Ἀκοινώνητος, ὁ ἀκριβής.

Ἀκοίτης, ὁ ἀνήρ. ἄκοιτις δὲ ἡ γυνή. καὶ ἄκοιτις, ἡ ἐκ παρθενίας ἄλλης κοίτης μὴ πειραθεῖσα, καὶ ἡ ὁμόκοιτος. καταχρηστικῶς δὲ, καὶ ἡ δευτέρου γάμου μετεσχηκυῖα.

Ἄκοιτιν, ἡ μὲν ποιητικὴ πολυφωνία καὶ ἄλοχον λέγει, καὶ ὁμόλεκτρον, καὶ ἀνδρὸς εὐνίδα. ἡ δὲ κοινὴ λαλιὰ, σύνευνον.

Ἀκόλακοι, οἱ οὐκ ἂν κολακευθεῖεν. * καὶ ἀκόλακον ἐνεργητικῶς. οἷον παρὰ Λαερτίῳ. ψήφισμα ἁπλοῦν, καὶ ἀκόλακον.

Ἀκολασία, ἀκρασία. ἔλλειψις τῆς σωφροσύνης, ἡ εἰς τὰ ἀφροδίσια καταφέρεια.

Ἀκολασταίνειν, ἀτακτεῖν, ἀσελγαίνειν, ἀσχημονεῖν, μωραίνειν. καὶ ἐπὶ τοῦ ἀκρατοῦς καὶ ὑβριστοῦ, καὶ ἐπὶ τοῦ ἀξίου κολάσεως λέγεται.

Ἀκόλαστος, ἀπαίδευτος. καὶ ἀκόλαστος, ἀκρατὴς, θρασύς. καὶ ὑβριστικὸν πρᾶγμα, ἢ ἄνθρωπος, καὶ ἀκόλαστος, ὁ κολάσεως ἄξιος. Ἀριστοφάνης Πλούτῳ.

* Ἄκολλον, τὸ ἄνευ κόλλης. τὸ μὴ συμπαγέν. ὡς παρὰ Θεοφράστῳ. ἀσύμπλεκτα δὲ καὶ ἄκολλα.

Ἄκολοι, οἱ σμικρότατοι καὶ ψιχώδεις ψωμοί, εἴτουν πύρνα. ταυτὸ γὰρ πύρνον εἰπεῖν καὶ ψωμὸν, κατὰ τὸν παραφράσαντα, οὓς οὐκ ἄντις ἔχοι κολούειν, ἤτοι κολοβοῦν, σμικροτάτους ὄντας. παλαιὸς δέ τις καὶ οὕτω φράζει. ἄκολος, μικρὸς ψωμὸς, ὁ μηκέτι κολούεσθαι δυνάμενος, καὶ εἰς μικρὰ τέμνεσθαι. τοιαῦτα δέ τινα καὶ τὰ παρὰ τῷ Παυσανίᾳ ψώθια ἅπερ ὑπερόπτων ἄρτων εἰσὶ θραύσματα. ἢ τὰ ὑπὸ κάτω τοῦ ἄρτου. τὰ δὲ τοιαῦτα ψώθια, καὶ ἀτταράγους ἐκάλουν τινές. καὶ ὁ ἔγκαφος, ὃν ψωμὸν, ἢ ἄρτου κόμματα οἱ παλαιοὶ ἑρμηνεύουσιν. ἀπὸ τοῦ ἐγκάψαι γέγονεν. ὡς Εὔπολις, Οὐ γὰρ λέλειπται τῶν ἐμῶν, οὐδ' ἔγκαφος. χρῆσις δὲ τοῦ ἐγκάψαι, ὅ ἐστι φαγεῖν, καὶ ἰδιωτικῶς εἰπεῖν χάψαι, παρὰ τῷ Κωμικῷ. ἡ δὲ λέξις, ἀφ' ἧς οἱ ἄκολοι γίνονται, παράγει καὶ κολόκυμα τὸ κωφὸν κῦμα, ὃ καὶ κόλον κῦμα διαλελυμένως. ἐκεῖθεν καὶ ὁ κόλαφος, παρὰ Ἐπιχάρμῳ. καὶ τὸ ἐκολάφησαν. Ἀττικοὶ δὲ τὸν κόλαφον, κόνδυλόν φασι, διὰ τοῦ δ'. κόνδυλος μέντοι, εἶδος ὀρνέου. εἰ δὲ καὶ κόλον τὴν τροφὴν οἱ παλαιοί φασιν, ὅθεν ὁ βουκόλος, καὶ κοιλίαν τὴν τῆς τροφῆς δεκτικὴν, εἴη ἂν ἐντεῦθεν καὶ ἄκολος ψωμὸς, ὁ ὀλιγότροφος. Ἰστέον δὲ πρὸς τοῖς εἰρημένοις, ὡς εἰ μὲν στερητικόν ἐστι τὸ α ἐν τῷ ἀκόλους, ἤγουν μὴ κολουμένους ὡς προσεχῶς ἐγράφη, εἴη ἂν ἴσως μεῖζόν τι ὁ κόλαβος βλωμίδιόν τι κολούεσθαι δυνάμενον αὐτὸς ὢν, καθὰ δῆλον ἐκ τοῦ ἐνεκολάβισεν, ἤγουν δίκην κολάβου κατέπιεν, ἐκ τοῦ κόλου ἡ τροφή. βούλονται τινὲς ἐκ τούτου καὶ τὴν κόλακα εἶναι. οὗ σύνθετον ψωμοκόλαξ, καὶ ὁ ψωμοκόλαφος δραπέτης. ἐκεῖθεν δέ φασι καὶ δύσκολος, ὁ δυσάρεστος. Ἄλλως.

Ἄκολοι, οἱ μικροὶ ψωμοὶ, οἱ μηκέτι κολούεσθαι δυνάμενοι, καὶ εἰς μικρὰ τέμνεσθαι. καὶ ἄκολοι, κλάσματα καὶ θραύσματα ἄρτων. ὡς τὸ, Αἰτίζων ἀκόλους οὐκ ἄορας, οὐδὲ λέβητας. Ὅμηρος. καὶ αὖθις. τὴν κύνα δ' ὡς ζώοντα πάλιν, ποτὶ ταύλιον ἄξω, ξηρὰς εἰς ἀκόλους, ξυνὸν ἔχειν ἕταρον.

Ἀκολουθεῖ, παρὰ τὸ κόλλη, καὶ τὸ θέω τὸ τρέχω. ἢ ἐκ τοῦ ἐλεύθω, ἤλευθα, ἐξ αὐτοῦ ἀκολουθεῖ.

Ἀκόλουθος, ὁ νεώτερος παῖς. θεράπων δὲ, ὁ περὶ τὸ σῶμα.

Ἀκολουθῶ, ἕπομαι, ἐνέχομαι, ὀπηδῶ, ὁμαρτῶ, δοτικῇ συντάσσεται. οἷον, ἀκολουθήσω ἀγαθῷ δεσπότῃ. καὶ Ἀριστοφάνης, Ἢν μὴ φράσῃς, ὅ, τι τῷ δ' ἀκολουθοῦμέν ποτ' ὦ δέσποτα. καὶ ἀλλ' ἀκολουθήσεις ἐμοὶ, ἀντὶ τοῦ ἀκολούθησον. τὸ ὁριστικὸν, ἀντὶ τοῦ προστακτικοῦ.

Ἀκόμης, οὐκ εὐδιάκονος, οὐδὲ πανοῦργος.

Ἀκομιαστεῖ, ἀμελεῖ. * ἀδόκιμον. ἴσως δὲ ἀκομιστεῖ, ἢ ἀκομιστίᾳ, ἀμελεῖ. ἀκόμιστος γὰρ ὁ ἠμελημμένος. καὶ ἀκομιστία, ἀμέλεια. Ὀδυσσ. φ.

Ἀκόμνιον, σιμόν.

Ἄκομψον, ἀτελὲς, ἀπάνουργον, ἁπλοῦν. Ἀρχίλοχος. τὸ οὐκ εὖ διακείμενον. ἄνδρα τὸν τῶν τοῦ Πραίτωρος ἐπιβάντα βημάτων. Ἀρχὴ δέ τις αὕτη παρὰ Ῥωμαίοις οὐκ ἄκομψος.

Ἀκονᾷ, θήγει, ὀξύνει.

Ἀκόνη, ἡ θήγα, παρὰ Ἱπποκράτει. καὶ ἀκόνη λίθος, δι' ἧς ὀξύνεται ὁ σίδηρος. παρὰ τὸ κονῶ, τὸ ἐνεργῶ, ἢ τὸ λεπτύνω καὶ φθείρω. ἐπιτάσει τοῦ α. ἡ διαφθείρουσα καὶ λεπτύνουσα τὸν σίδηρον, * ὑποκοριστικῶς ἀκόνιον.

* Ἄκονδες, ἄχαρις. κονδὰς γὰρ ἡ χάρις.

Ἀκονιτὶ ἄνευ ἀγῶνος καὶ μάχης. ἀπὸ τοῦ κόνις κόνιτος. καὶ ἀκονητὶ, ἀμαχητί. ἤγουν, χωρὶς ἀκονήσεως.

Ἀκοντίαι, ὄφεις τινές. καλοῦνται δὲ καὶ ἀκοντίλαι. καὶ ἀκοντία, βοτάνη τις. * παρ' ἄλλοις γράφεται ἀκοντίαι.

Ἀκόνιτον, εἶδος βοτάνης, φάρμακον. ἀλλά τιὼν ἀκόνιτον ὑπέκφυγε τοῦτ' ἀκονιτί. τουτέστι χωρὶς κόπου.

Ἀκονίτως, ἀκοπιάστως, ἀπόνως.

Ἄκονοι, ἄβρωμητοι, ἄβρωτοι, ἄπληκτοι.

Ἀκοντὶ, ἀντὶ τοῦ ἀκουσίως.

Ἀκοντιὰς, βοτάνη τις, οὕτω καλουμένη, τὰς κινάς θεραπευομένη τὰς δήξης τῶν ὄφεων.

Ἀκοντίζει, ἄνω ῥίπτει. καὶ ἀκοντίζειν, οὐ τὸ τύπτειν δόρατι ἐκ τοῦ σχεδὸν, * (ἴσως, ἢ τῷ σχεδίῳ) ὃ καὶ σχέδην που λέγεται, ἀλλὰ τὸ ἀφιέναι κατά τινος. ὡς ἐν τῷ ἀκόντισεν ἔγχει, περισσὸν, δοκεῖ τὸ ἔγχει. οὕτω καὶ ἐν τῷ ἀκόντισε δουρὶ φαεινῷ. λέγει δὲ Ὅμηρος, καὶ ἀκόντιζον δὲ θαμειὰς αἰχμὰς, καὶ ἀνηκόντιζεν αἷμα. ἐν τούτῳ δοκεῖ καὶ φλὲψ ἡ ἀρτηρία, αἵματι ἀκοντίζειν. καὶ ἀκόντισεν Αἴαντος, ἤγουν κατὰ Αἴαντος. ἔλλειψις προθέσεως πυριαχοῦ φαίνεται.

Ἀκοντικὸν, φάρμακον οὕτω καλούμενον.

Ἄκοντες, ἀκοντίζοντες, ἢ μὴ θέλοντες.

Ἀκόντιον, δοράτιον, μικρὰ λόγχη. ῥάχιν δὲ Μακεδόνες, καὶ στρατεύματος μέρος ἀγροικικῶς αἰολεῖς.

Ἀκόντισεν ὀξέϊ δουρὶ, παρ' Ὁμήρῳ, περισσὸν ἔχει συνήθως τὸ δουρί. ἤρκει γὰρ τὸ ἀκόντισεν. καὶ ἀκόντισε καταχρηστικῶς, ἀντὶ τοῦ ἔβαλεν. ἀκοντίζειν ἐστὶ, τὸ ἀκοντίῳ καὶ λόγχῃ βάλλειν. καὶ ὑπερακοντίζω, τὸ ὑπερβάλλω. τὸ δὲ ἀκοντίζω, γενικῇ συντάσσεται. οἷον, ἀκοντίζω τοῦ πολεμίου.

Ἀκοντιστὴν, ἀκοντισμόν. * παρὰ Σουίδᾳ. ἀκοντιστὺς, ἡ ἀκόντισις.

Ἀκοντοδόκος. δοκιμάζειν λέγεται, τὸ ἐπιτηρεῖν καὶ δοκεύειν. τὸ αὐτὸ καὶ δοκεῖν. καὶ ἀπὸ τούτου ἀκοντοδόκος, ὁ ἐπιτηρῶν, μή που ἀκοντίῳ βληθῇ.

Ἀκόντων, ἀκοντίων, δοράτων.

Ἄκοπος ἀνὴρ, ἀντὶ τοῦ οὐδέπω ἐνοχλημένος ὑπό τινος. οὕτως Ἀμειψίας.

* Ἀκοὸν, ἐπήκοον, καὶ ἀκουστικόν.

Ἀκοράζεσθαι, ἀκροᾶσθαι.

Ἀκοραῖος, βλαβερὸς, ἀνωφελής.

Ἀκόρεστος λέγεται, ὁ μὴ κόρον λαμβάνων τινός. οἷον, ἀκόρεστος χρημάτων, ἀκόρεστος ἡδονῆς. καὶ ἀκόρεστος, ὁ περὶ τροφὴν ἄπληστος.

Ἀκόρητος, ὁ ἀκαλλώπιστος, ἀνεπιμέλητος. κορεῖν γὰρ τὸ σαίρειν καὶ καλλωπίζειν, ὅθεν νεωκόρος. ἢ ὁ ἄπληστος, παρὰ τὸ κόρος. τοῦτο δὲ παρὰ τὸ κορῶ κορέσω, κορήσω, κεκόρηκα, κεκόρημαι κεκόρησαι κεκόρηται, κορητὸς, καὶ ἀκόρητος. Οὗτος δέ ἐστιν ἀκόρητος. οἱονεὶ πολὺς καὶ μὴ κορούμενος, αὔξων, καὶ πληθύων, καὶ τεθηλώς. Ἀριστοφάνης νεφέλαις, Ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος. Εὐρωτιῶν ἀκόρητος εἰκῆ κείμενος. Βρύων μελίτταις, καὶ προβάτοις καὶ στεμφύλοις. ἀπὸ τοῦ συμβεβηκότος, παρείληφε πάντα. παρ' οἷς γὰρ ἂν ᾖ στέμφυλα. μέλιτται, καὶ

προβάται, ἐξ ἀνάγκης ἐστὶ πολλὰ πάντα.

Ἀκορνά, ἀκανθῶδες φυτόν. * παρ' Ἡσυχίῳ ὀξύνεται. παρ' ἄλλοις προπαροξύνεται.

Ἀκορνοί, ἀστέλεβοι.

Ἄκορον, εἶδος βοτάνης, καὶ ἰατρικὴ ῥίζα.

Ἀκόρραι, ἄκανθαι.

Ἀκόρυμβοι, οἱ ἐπὶ τῶν ἀκρεμόνων βοτρυδὸν μετέωροι κόκκοι, ὡς ἐπὶ τῶν κισσῶν ἔχει.

Ἀκόρυφα, ἀναρίθμητα, πολλά.

Ἀκόρωδον, ἀκτένιστον, ἄκαρπον, ἀξύλιστον. * ἴσως, ἀκόρσωτον.

Ἄκος, φάρμακον, θεραπεία, βοήθεια, ἴαμα. Δέονται δή, παρὰ θεοῦ ἄκους. καὶ ἡ γενεά.

Ἄκοσμα. ἀπρεπῆ, μωρά, ἄδηλα, ἄτακτα.

Ἄκοσμον, ἄτοπον, ἄτακτον, ἄμορφον.

Ἀκοστῆσαι, τὸ πολυκριθῆσαι, κατὰ τοὺς παλαιούς. ἤγουν τὸ κριθιάσαι. ἀκοσταὶ γὰρ αἱ κριθαί. ὅπερ φασὶν ἐξ Ὁμήρου μὲν οὐ δείκνυται. παρὰ δὲ Νικάνδρῳ καὶ ἄλλοις κεῖται. οἱ δὲ παλαιοί φασι, καὶ πάσας τὰς τροφὰς παρὰ Θεσσαλοῖς ἀκοστὰς λέγεσθαι. ἄλλοι δὲ ἀκοστῆσαι φασὶ, τὸ σχεῖν ἄχος ἐν τῷ ἵστασθαι. ἔνιοι δέ, τὸ λαβεῖν ἄχθος. ἢ μᾶλλον κατ' αὐτοὺς, καὶ τοῦτο εἰπεῖν ἄκος τῇ στάσει, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. ὡς τὸ, Πιόντ' ἀκέοντό τε δίψαν. ἕτεροι τὸ ἀκολάστως διαπεθῆναι, ἵνα ᾖ ἀκολαστῆσαι, καὶ ἐν συγκοπῇ ἀκοστῆσαι. ἄλλοι δὲ, τὸ ἡσυχάσαι, παρὰ τὸ ἀκὴν, ἤγουν ἡσύχως στῆναι. καὶ ἀκοστήσας, κριθιάσας. ἀκοσταὶ γὰρ αἱ κριθαί, παρὰ τὸ ἄκος ἐμποιεῖν τοῖς ὀστέοις. ἵνα ᾖ κριθιάσας, καὶ ἀπὸ τῆς τροφῆς ἀκρατὴς ὤν. καὶ ἀκοστήσας ἐπὶ φάτνης, πεσὼν, ἐπὶ στάσει δυσχεράνας.

Ἀκόστιλα, ἐλάχιστα.

Ἄκοπον, ἀόργητον.

Ἀκοῦ, θεράπευε.

Ἀκουάζεσθον, παράγωγον μέν ἐστι τοῦ ἀκούω. δηλοῖ δὲ συγκλήτους εἶναι εἰς δαῖτα, τοὺς ὑπὸ ἀκουαζομένους, παρ' Ὁμήρῳ.

Ἀκουάζεσθε παρ' Ὁμήρῳ, ἀντὶ τοῦ αἰσθάνεσθε. ἐπεὶ ἡ ἀκοή, ὁδός ἐστι τῆς αἰσθήσεως.

Ἀκούει καλῶς, ἀντὶ τοῦ, εὐφημεῖται, καὶ ἐπαινεῖται. οὕτως Ἡρόδοτος.

Ἄκουεν, ἀντὶ τοῦ ἤκουεν. καὶ ἀκουέμεν, ἀντὶ τοῦ ἀκούειν.

Ἀκουή, ἰωνικόν. τὸ δὲ κοινὸν, ἀκοὴ ἀναλόγως τῷ βοὴ καὶ ῥοὴ, καὶ τοῖς τοιούτοις. ἄλλως. ἀκουὴ μὲν, ἐκ τοῦ ἀκούω. ἀκοὴ δὲ, ὡς ἐκ τοῦ ἤκοα, μέσου παρακειμένου.

Ἀκουϊλία, ὄνομα τόπου.

Ἀκούμβιτα, στρωμναὶ μαλακαί, εἰς ὕψος ἠγμέναι. αὗται δὲ τρυφῆς καὶ βλακείας εἰσίν. ἡ δὲ λέξις, ῥωμαϊκή. ἀκούμβω γὰρ παρὰ Ῥωμαίοις, τὸ ἀναπίπτω.

Ἄκουρε, μισόδημε, μοναρχίας ἐραστά. ὡς τὸ, Καὶ φορῶν κράσπεδα στεμμάτων, τὴν θ' ὑπήνην ἄκουρον τρέφων. Ἀριστοφάνης.

Ἄκουρον, τὸν μὴ γεννήσαντα παῖδα ἄρρενα. τὸν μὲν ἄκουρον ἐόντα ἔτ' ἀργυρότοξος Ἀπόλλων. ἀντὶ τοῦ, μὴ ἄρρενα παῖδα λιπόντα. σημαίνει δὲ ἡ λέξις, τὸ ἄπαις.

Ἄκουσα, ἄκουσα, ἡ μὴ βουλομένη.

Ἀκούσαμεν, ἀντὶ τοῦ ἠκούσαμεν.

Ἀκουσθήσομαι, ἀκούσω.

Ἀκούσια, τὰ ὑφ' ἡμῶν γινόμενα, τινὸς ἔξωθεν ἀναγκάζοντος.

Ἀκουσίθεον, τὸ εἰς θεοῦ ἀκοὰς ἐρχόμενον. ὡς τὸ, ἣν δέ μ' ἀνάψας εὔχηται, λάμψω φέγγος ἀκουσίθεον.

Ἀκούσιος, ὁ μὴ θέλων, ἀπροαίρετος.

Ἄκουσμα, φήμη.

Ἀκούσομαι, δεῖ γράφειν τὸν μέλλοντα κατ' Ἀττικούς, καὶ οὐκ ἀκούσω, ὥσπερ δὴ καὶ θρέψομαι, καὶ ἀποκρύψομαι, οὐ μὴν δὲ θρέψω, καὶ ἀποκρύψω.

Ἀκουστιῶν, ἀκουστικῶς ἔχων.

Ἀκουστόν, μέγα, παρὰ τὸ ἀκούεσθαι. ἢ λαλητόν.

Ἀκουστέα ἀττικῶς, ἀντὶ τοῦ ἀκουστέον.

Ἀκουστέον, ἄξιον ἀκοῦσαι, ἐπίρρημα ἐνεργητικὸν, καὶ παθητικόν.

Ἀκούω, κλύω, πυνθάνομαι, ἐπαΐω, ἀκούω σου τοὺς λόγους, καὶ ἀκούω σου τῶν λόγων. καὶ ἀκούω τινός, ἀντὶ τοῦ ἀκροατής εἰμι. διαφέρει τὸ ἀκούω, καὶ τὸ ἀκροῶμαι. τὸ ἀκροᾶσθαι, τὴν σπουδὴν τοῦ ἀκοῦσαι ἐμφαίνει. τὸ ἀκούειν δὲ, τὴν αἴσθησιν μόνον τῆς ψυχῆς. ἀκούσομαι, ἤκουσα, καὶ ἀκήκοα ἐνεργητικά. Ἰστέον ὅτι οἱ Ἀττικοὶ ῥημάτων τινῶν ἐνεργητικῶς γραφομένων, τῶν ἐνεστώτων, οἷον ἀκούω, ἐπαινῶ, γελῶ, θαυμάζω, γινώσκω, καὶ ἕτερα, τοὺς μέλλοντας ἐνεργητικῶς οὐκ ἐκφέρουσιν, ἀλλὰ μέσως. οὐ γὰρ ἀκούσω φασὶ, καὶ ἐπαινέσω, ἀλλὰ ἀκούσομαι.

Ἄκρα, ἀκρόπολις, ἀρχή, ἢ τέλος.

Ἄκρα πόλις, ἀντὶ τοῦ ἀκρόπολις λέγομεν, καὶ ἄκρα μόνον.

Ἀκράαντον ἔργον, ἀτελείωτον. ἀπὸ τοῦ κραιαίνω.

Ἀκράγας, ποταμός, καὶ πόλις ἐν Σικελίᾳ. ἡ ἀκράγας, τῆς ἀκράγαντος, θηλυκῶς. ἥτις καλεῖται ἀπὸ τοῦ παρακειμένου ποταμοῦ ἀκράγαντος, ἀρσενικῶς κλινομένου. καὶ ἡ τάρας τοῦ τάραντος, ὀνόματα πόλεων.

Ἄκραγον, ἀδιάρριπιστον, ἀεργές.

Ἀκραγγές, ἀσθενές.

Ἀκραγές, δυσχερές, σκληρὸν, ὀξύχολον, ἀσθενές.

Ἀκράδαντον, ἄσειστον. καὶ γίνεται ἀπὸ τοῦ ἄλφα στερητικοῦ μορίου, καὶ τὸ κραδαίνω, τὸ σείω.

Ἀκραία, οὔριον.

Ἀκραῆ ἄνεμον Ὅμηρος λέγει, τὸν ἀκέραστον, ὃν καὶ καλὸν λέγει. Ἐπλέομεν βορέῃ ἀνέμῳ ἀκραέϊ καλῷ. ἀπὸ δὲ τοῦ ἐναντίου τῶν μισγομένων ἀνέμων τὸ δεινὸν κατηγορεῖ. οἷον, δεινὴ δὲ μισγομένων ἐλθοῦσα θύελλα. καὶ οἶνον παλαιὸν εἰπὼν ἡδύποτον, ἵνα μᾶλλον ἐπάρῃ τὸν ἔπαινον αὐτὸς, ἄκρητον θεῖον ποτὸν, ἐπιφέρων αὐτὸν λέγει. καὶ ὕδωρ ἐπαινῶν, ἀκήρατον αὐτὸ λέγει. ἤτοι, ἀκέραστον. κατὰ ταῦτα καὶ τὸ θεῖον πόμα, νέκταρ ὀνομάζει. ἤτοι, ἀκέραστον, καὶ ἀκραιφνὲς, καὶ πάσῃ μοχθηρίᾳ ἀμιγές. ἢ ἀκραῆ ἄνεμον λέγει, τὸν ἄκρως ἀέντα, ἤτοι πνέοντα. οἱ δὲ γράφουσιν ἀκραῆ. ὥς τε δύναταί τις ἀκραῆ λέγειν, καὶ τὸν μὴ κεκραμένον, ἀλλ' ἀκριβῆ ζέφυρον.

Ἄκραι, κρόκαλα.

Ἀκραίας, ἄκρης.

Ἀκραιφνές, καθαρὸν, λαμπρὸν, διαυγές, τέλειον. ἐτυμολογεῖται δὲ, ἀπὸ τοῦ ἄκρως φαίνειν.

Ἀκραιφνέστερον, ἀληθέστερον.

Ἀκραιφνής, καθαρὸς, ἀκριβής, ἀληθής. οἷον, ἀκηροφανής, ἀβλαβής. κὴρ γὰρ ὁ θάνατος. ἢ ἀκραιφνὴς κυρίως, ὁ περιφανής. παρὰ τὸ ἀκέραιον, καὶ τὸ φαίνω, ἀκεραιοφανής. καὶ κατὰ συγκοπὴν, ἀκραιφνής. τοῦ ο εἰς α τραπέντος, ὡς ἐπὶ τοῦ μεσοπόλιος μεσαπόλιος. ὡς τὸ, ἀκραιφνὴς βοήθειά τις παραγίνεται. ἤγουν, περιφανής. καὶ ἀκραιφνὴς γενομένη, πολλὴν ἐποίησε τὴν ῥοπὴν τοῖς πολεμίοις. καὶ Φιλόστρατος ἀκραιφνῆ δαίμονα λέγει, τὴν λαμπράν.

Ἄκρα κόρυμβα, τὰ ἀκροστόλια τῶν νεῶν, τὰ ἐξέχοντα κατὰ πρύμναν, ἢ πρῷραν. ἐν οἷς τὰ σεβόμενα ἐνέγραφον. * ἤτοι ἀγάλματα, καὶ θεῶν εἰκόνας.

Ἀκράκιον, ἀκέραιον, πρόσφατον.

Ἀκραλέα, ἄκρεα. παρ' Ἱπποκράτει. * ἄλλ. ἀκρεάλεα.

Ἀκραμύλα, κοχλίας.

Ἄκραν, ἀκμήν.

Ἀκρανές, ἀκρατές.

Ἀκρανής, ἀπεχθής.

Ἄκρανον, τὸ μὴ κατὰ νόμους.

Ἄκραντον, ἀπλήρωτον. ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ κραίνω τὸ πληρῶ. Πίνδαρος, ἄκραντα γαρύετον.

Ἀκράαντον, ἀπλήρωτον, παρὰ τὸ κραίνω. τοῦτο παρὰ τὸ κάρα, καραίνω, καὶ συγκοπῇ κραίνω.

Ἀκρασία, ἀνωμαλία, παρὰ τὸ μὴ συγκεκρᾶσθαι. ἢ ἀπὸ τοῦ α στερητικοῦ, καὶ τοῦ κρατῶ, καὶ ἔστι τὸ κρα βραχύ. ἀκρασία δὲ, ἀπὸ τοῦ κεράω κερῶ, τὸ κιρνῶ. καὶ ἔστι τὸ κρα μακρόν. Διαφέρει δὲ ἀκρασία, καὶ ἀκολασία. ἡ μὲν γὰρ κατὰ προαίρεσιν πράττει τὰ αἰσχρά, ἡ ἀκολασία. ἡ δὲ, παρὰ προαίρεσιν. λέγεται δὲ καὶ ἀκράσιος. ἡ ἀκρασία παρὰ τῷ Θεολόγῳ, πᾶν τὸ περιττὸν καὶ ὑπὲρ τὴν χρείαν.

Ἄκρας νυκτὸς, περὶ τὸν πρῶτον ὕπνον, Ἐκεῖνος ἄκρας νυκτὸς ἦλθεν.

Ἀκρατές, ἀσθενές.

Ἀκράτεια, ἡ κακομιλία. * ἀδόκιμον.

Ἀκρατῆ, ἀκράτητα, ἄπρακτα.

Ἀκρατής, ὁ εἰδὼς τὰ κακὰ ὅτι φαῦλα, καὶ πράττων αὐτὰ δι' ἡδονήν. καὶ ἀκρατὴς γλῶσσα, ἀδιάρθρωτος. Ἱπποκράτης, Ἀκρατὴς γλῶττα ὑπὸ δυσκινησίης.

Ἀκρατία, ἡ ἀκρασία. * παρ' ἄλλοις ἀκράτεια.

Ἀκρατιεῖσθε παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ φάγεσθε, ἢ ἀκρατῆ πράσσετε. ἐπειδὴ μετὰ τὴν συνουσίαν οἱ τράγοι λείχουσι τὰ ἑαυτῶν αἰδοῖα. ἢ λείχετε τὸ ἄκρον τοῦ αἰδοίου.

Ἀκρατίζω, τὸ ἄκρατον πίνω. ὡς τὸ, ἀκρατισαμένη ἡσυχίαν ἦγεν, ἀντὶ τοῦ, ἀκράτου σπάσασα.

Ἀκρατισμὸς, τὸ πρωϊνὸν φαγεῖν. ἢ ἀκρατισμὸν λέγουσι, τὸν ἀπὸ τῶν βρωμάτων κόρον τε καὶ μέθην. Ἄλλως. οἱ πολεμεῖν μέλλοντες, πρωΐας ἔτι οὔσης, ὀλίγον τινὰ ἤσθιον ἄρτον, καὶ ἄκρατον οἶνον ἔπινον. ἵνα θερμοὶ ὦσι, καὶ μὴ δειλιῶσιν. ὃ ἀκρατισμὸν ἐκάλουν. ὅθεν Θεόκριτος, ἀκράτιστον, τὸν ἄγευστον λέγει.

Ἀκράτιστος, ὁ μηδενὸς ἐγκρατής. παρὰ δὲ Θεοκρίτῳ, ὁ ἄγευστος. οἷον, Πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηραῖς καθίξῃ.

Ἀκρατοπότης, ὁ μέθυσος, ὁ τὸν ἄκρατον οἶνον ἀπλήστως πίνων.

Ἄκρατος οἶνος, ἀμιγής, ἀσυγκέραστος. καὶ ἄκρατος ἡλίου ἀκτίς. ὡς τὸ, Τὸν δὲ ἀετὸν τὰς πτέρυγας ὑποτείνοντα, καὶ ἑαυτὸν αἰωροῦντα, ὡς στέγειν τὴν ἄκρατον ἀκτῖνα τοῦ ἡλίου. καὶ ἄκρατος οἶνος, ἀγαθοῦ δαίμονος. αἰρομένης τῆς τραπέζης μετὰ τὸ δεῖπνον, ἄκρατος οἶνος περιεφέρετο, καὶ ἐκαλεῖτο ἀγαθοῦ δαίμονος. οἱ δέ φασι, τὸ πρῶτον ποτήριον οὕτω λέγεσθαι. ἐξ οὗ καὶ ἀκρατέστερος.

Ἀκρατοκώθωνες, οἱ πίνοντες τὸν ἄκρατον ἐκ τῶν κωθώνων.

Ἀκράτωρ, ὁ ἀκρατής. ἦν δὲ οἴνου τε ἀκράτωρ καὶ τῶν ἄλλων ἡδονῶν. καὶ αὖθις, ἀκράτωρ ἑαυτοῦ ὤν, ἐσήλατο ἐς τὸν νεών.

Ἀκρατῶς, ἀνυπομονήτως, ἢ ἐπιτεταμένως, συντόνως. Ἱππεῖς ἤλαυνον ἀκρατῶς, καὶ ἅμα ἀνεβόων.

Ἀκραχολεία, ἡ πρόχειρος ὀργή. * ἄλλ. ἀκραχολία.

Ἄκρεα, παῖς θήλεια. Μακεδόνες. * (ἄλλ. ἀκρέα, καὶ ἀκραία.) καὶ ἄκρεα, * (ἄλλ. ἀκρέα) ἡ Ἀθηνᾶ, καὶ ἡ Ἀφροδίτη.

Ἀκρέμονες, βλαστοί, κλάδοι. * παρὰ Σουίδᾳ γράφ. ἀκρεμόνες.

Ἀκρέστερον παρ' Ἱπποκράτει. ἄκρας ἑσπέρας.

* Ἀκρήβης ἀρσενικόν. καὶ ἄκρηβος κοινόν. ὁ νέος. ὁ ἐν ἄκρῳ τῆς ἥβης.

Ἀκρηθής, ἄψεκτος.

Ἀκρηλόγχη, κέρχος, ἢ μικρόν. * ἀδόκιμον.

Ἀκρήμονες, κλάδοι, καὶ βλαστοί. ἤγουν, ἀκρέμονες.

Ἀκρήμορον, ἀεργές.

Ἀκρήπεδος, ἡ ἀγαθή.

Ἀκρής, ὁ διά τινα ἔκπληξιν ἄφωνος γενόμενος.

Digitized by Google

Ἄκρης πόλεως, διαλελυμένως, ἀντὶ τοῦ τῆς ἀκροπόλεως.

* Ἀκρησίη, ἀκρασία.

Ἀκρῆτις, ῥάχις, καὶ ἄκρα.

Ἀκρητόλυχος, δοῦλος.

Ἄκρητος, ὁ ἄκρατος, ἐκ τοῦ κερῶ, κεράσω, συγκοπῇ κράσω, κρατὴς, καὶ κρατήρ. ἐκ δὲ τοῦ κεράσω κρατὸς, ἄκρατος, καὶ ἄκρητος. καὶ ἄκρητον γάλα Ὅμηρος λέγει, ἐν ᾧ ἐστιν ἔτι τὸ τυρῶδες, καὶ τὸ ἐλαιῶδες, καὶ τὸ ὀρῶδες. καὶ ἄκρητοι, ἀχώριστοι, ἀδιάκριτοι. οἱ δὲ ἀκράτου οἴνου γινόμενοι.

* Ἀκρητόχολος, ὁ ἄκρατον ἀθροίζων χολήν.

Ἀκρία, Ἀθηνᾶ, ἐν Ἄργει, ἐπί τινος ἄκρας ἱδρυμένη. ἀφ' ἧς καὶ Ἀκρίσιος ὠνομάσθη. ἔστι δὲ καὶ Ἥρα, καὶ Ἄρτεμις, καὶ Ἀφροδίτη προσαγορευόμεναι ἐν Ἄργει. κατὰ τὸ ὅμοιον, ἐπ' ἄκρῳ ἱδρυμέναι.

Ἀκριβὲς, τὸ ἄκρον. Εὐριπίδης Φιλοκτήτῃ.

Ἀκρίβεια, ἡ ἀκριβὴς κατάληψις.

Ἀκριβὴς, ὁ νέος * (κάλλιον ἀκρήβης, ὡς ἄνω) ἀκριβὴς καὶ ὁ βέβαιος. Ἐλέγετο γὰρ ἀκριβὴς ζηλωτὴς τῆς τοῦ Μάνεντος δόξης. παρὰ τὸ κρίβω, κριβὴς καὶ ἀκριβής. καὶ γὰρ τὸν ἀκριβῆ, οὐδεὶς δύναται λαθεῖν. ἢ παρὰ τὸ ἄχρι καὶ τὸ βαιὸν, ἀκριβὴς, καὶ ἀκριβές. ὁ γὰρ ἀκριβὴς μέχρι καὶ τοῦ μικροῦ καταγίνεται. μεταλαμβάνοντες δὲ τὸ ἀκριβὲς, εἰς τὸ σαφὲς, ἢ εἰς τὸ ἀληθὲς, καὶ ὡς δοκεῖ ἀκριβὲς, καὶ τὸ ἀναγκαῖον σημαίνει.

Ἀκριβῶς, ἄκρως.

Ἀκριβολογεῖται, ἀκριβῶς ἐξετάζει.

Ἀκριβῶ τήνδε τὴν τέχνην, ἀντὶ τοῦ ἀκριβῶς ἐπίσταμαι, καὶ ἀκριβωθήσεται, ἀκριβῶς μελετηθήσεται.

Ἀκρεῖς κατὰ τοὺς παλαιοὺς, τὰ ἄκρα τῶν ὀρῶν, λόφοι, ἐσχατιαὶ, γωνίαι. καὶ ἀκρίζειν, τὸ τὰ ἄκρα ἐπιπορεύεσθαι. ὃ καὶ ἐξακρίζειν Εὐριπίδης φησίν. ἕτερος δέ τις ἐπήκρισέ φησιν, ἀντὶ τοῦ ἐπ' ἄκρον ἤγαγε, καὶ τέλος ἐπέθηκε. καὶ ἄκρας, τὰ ἀκρωτήρια λέγει Ὅμηρος, ἐν οἷς μάλιστα βρέμει τὰ κύματα.

Ἀκρίζω, τὸ ἄκροις ποσὶν ἐπιπορεύομαι. Εὐριπίδης Οἰνεῖ, καὶ τὸ ἄκρον κόπτω.

Ἀκρίνας, γωνίας, καὶ καθαρὸς, ἁγνός.

Ἀκρινόμος, ὕλης ἐπιμελητὴς, παρὰ Λάκωσιν.

Ἀκρὶς κατὰ τοὺς παλαιοὺς, ἐτυμολογεῖται ἀπὸ τοῦ α ἐπιτατικοῦ, καὶ τοῦ γράω τὸ ἐσθίω. ἐξ οὗ ἡ γράστις, ἡ ὑπὸ τῶν ζώων χλωρὰ ἐσθιομένη. καὶ γραῦς, ἣν ὁ χρόνος μικροῦ καὶ κατέφαγεν. οἱονεὶ οὖν ἀγρὶς, κατὰ τροπὴν ἀκρὶς, ἡ πάνυ γραοῦσα, ὅ ἐστιν ἐσθίουσα. Αἴλιος δὲ Διονύσιος οὐκ ἐθέλει ὀνομάσθαι γράστιν ὅλως. φησὶ γὰρ κράστιν Ἀττικοὶ τὴν πόαν, γράστιν δὲ οὐδένες. Ἰστέον δὲ ὅτι τὸ τῆς ἀκρίδος, καὶ κρίδος τοῖς αὐτοῖς γράμμασιν. ἐκείνης μὲν οὐκ ἔστι ῥῆμά τι ἐν χρήσει, ἐκ τῆς κρίδος δὲ εὔχρηστόν ἐστι τὸ κριδῶ. ἤγουν ὡς εἰπεῖν σφαιρῶ. οἷον, αὕτη δὲ κριδοῖ τὸ σῶμα, καμπύλητ' ἀγκυρά ἐστι, καὶ ὅτι παρὰ τὸ κάρη γίνεται καρίς. τὸ πλεῖστον γάρ φασιν αὐτῇ τοῦ σώματος ἡ κεφαλὴ ἀπηνέγκατο. καὶ ὅτι ἀκρὶς μὲν συστέλλει τὴν λήγουσαν. καρὶς δὲ τῇ βραχυκαταληκτεῖ, ἀναλόγως παρ' Ἀττικοῖς. ὡς γὰρ βολὴ βολὶς, γραφὴ γραφὶς, οὕτω καὶ καρὴ καρίς. παθείσης δὲ τῆς παρατελεύτου, ἐπάθη τὸ τέλος. ὡς τὸ κρηπὶς ψηφὶς, τάλις. εἴρηται γοῦν τὸ κρίδες ἐκτεταμένως. Ἐξήλλοντο δελφίνων δίκην εἰς σχοινόπλεκτον ἄγγος, καὶ ὠρχοῦντο ὥσπερ κρίδες, ἀνθράκων ἐπιπηδῶσαι κυρτά. καὶ ἐρυθρότερον κρίδος ὀπτῆς σε ἀποφανῶ. Ἰστέον δὲ ὅτι καὶ ἡ ῥαφανὶς, ὡς Ἀθήναιος παραδίδωσι, διφορεῖται κατὰ τὴν κρίδα. καὶ ἐκτείνει μὲν τὴν λήγουσαν ἀττικῶς. ὡς παρὰ Κρατίνῳ ἐν τῷ ῥαφανῖσι δοκεῖ, τοῖς δὲ ἄλλοις οὐ λαχάνοις. συστέλλεται δὲ παρ' Εὐπόλιδι.

Ἀκρισίας, ὁ Κρόνος, παρὰ Φρυξίν.

Ἀκρισία, ἡ ἀδιακρισία, καὶ κακὴ κρίσις.

Ἄκρισιν, κλίτριαν, ἀλετρίδα. Φρύγες. Ἱστορία.

Ἀκρίσιος. Φερεκύδης ἐν δωδεκάτῃ ἱστορεῖ, ὡς Ἀκρίσιος γαμεῖ Εὐρυδίκην τὴν Λακεδαίμονος. τῶν δὲ γίνεται Δανάη. χρωμένῳ δὲ αὐτῷ περὶ ἄρσενος παιδὸς, ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην. ἐκ δὲ τῆς θυγατρὸς, πρὸς οὗ αὐτὸν δεῖ ἀπολέσθαι. ὁ δὲ παρελθὼν εἰς Ἄργος, θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ. ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται. ἐρασθεὶς δὲ ὁ Ζεὺς τῆς παιδὸς, ἐκ τοῦ ὀρόφου χρυσῷ παραπλήσιος ῥεῖ. ἡ δὲ ὑποδέχεται τῷ κόλπῳ. ἐκφήνας δὲ αὐτὸν ὁ Ζεὺς τῇ παιδὶ μίγνυται. τῶν δὲ γίνεται Περσεὺς, καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη, καὶ ἡ τροφὸς, κρύπτουσαι Ἀκρίσιον. ὅτε δὲ Περσεὺς τριετὴς ἢ τετραετὴς ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος. καὶ διὰ τῶν θεραπόντων μετακαλεσάμενος τὴν Δανάην σὺν τῇ τροφῷ τὴν μὲν ἀναιρεῖ, Δανάην δὲ καταγεῖ σὺν τῷ παιδὶ ἐπὶ τὸν ὑπὸ τοῦ Ἑρκίου Διὸς βωμόν. μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς; ἡ δὲ ἔφη. ἐκ Διός. ὁ δὲ οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδός. καὶ κλείσας καταποντοῖ. καὶ φερόμενοι, ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον, καὶ αὐτοὺς ἐξέλκει Δίκτυς ὁ Περισθένους, δικτύῳ ἁλιεύων. εἶτα ἡ Δανάη, ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα. ὁ δὲ ἀνοίξας, καὶ μαθὼν οἵ τινές εἰσιν, ἄγει εἰς τὸν οἶκον, καὶ τρέφει ὡς ἂν συγγενεῖς αὐτοῦ ὄντας. ἦσαν γὰρ ὁ Δίκτυς καὶ ὁ Πολυδέκτης, Ἀνδροθόης τῆς Κάστορος, καὶ Περισθένους τοῦ Δαμάστορος, τοῦ Ναυπλίου, τοῦ Ποσειδῶνος, καὶ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν πρώτῳ. ἐν δὲ τοῖς ἑξῆς καὶ περὶ τοῦ θανάτου προστίθησι Φερεκύδης τοῦ Ἀκρισίου, ὅτι μετὰ τὴν ἐν Σερίφῳ ἀπολίθωσιν Πολυδέκτου τοῦ σὺν αὐτῷ, τὴν ἐκ τῆς Γοργόνος κεφαλῆς, Δίκτυν μὲν Περσεὺς ἀπολείπει ἐν τῇ Σερίφῳ, βασιλεύειν τῶν λελειμμένων Σεριφίων. αὐτὸς δὲ ἔβη πλέων εἰς Ἄργος σὺν τοῖς κύκλωψι, καὶ τῇ Δανάῃ καὶ τῇ Ἀνδρομέδᾳ. καὶ ἐλθὼν, Ἀκρίσιον οὐχ εὑρίσκει ἐν Ἄργει. ὑπεχώρει γὰρ αὐτὸν δείσας εἰς τοὺς Πελασγοὺς, εἰς Λάρισσαν. μὴ μεταλαβὼν δὲ αὐτὸν, τὴν μὲν Δανάην καταλείπει παρὰ τῇ μητρὶ Εὐρυδίκῃ, καὶ τὴν Ἀνδρομέδαν καὶ τοὺς κύκλωπας. αὐτὸς δὲ ἔβη εἰς Λάρισσαν, καὶ ἀφικόμενος Ἀκρίσιον ἀναγνωρίζει, καὶ σὺν αὐτῷ ἕπεσθαι εἰς Ἄργος πείθει. καὶ ὅτε δὴ ἔμελλον ἰέναι, συντυγχάνει ἀγῶνι νέων ἐν τῇ Λαρίσσῃ. καὶ ὁ Περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα, καὶ λαβὼν τὸν δίσκον, δισκεύει. τὸ δὲ πένταθλον οὔπω ἦν, ἀλλ' ἰδίᾳ ἕνα ἕκαστον τῶν ἄθλων ἤθλουν. ὁ δὲ δίσκος τροχαλισθεὶς ἐπὶ τὸν πόδα τοῦ Ἀκρισίου, τιτρώσκει αὐτόν. καμὼν δὲ ἐκ τούτου Ἀκρίσιος, ἀποθνήσκει αὐτοῦ ἐν Λαρίσσῃ, καὶ αὐτὸν κατατίθεται Περσεὺς καὶ οἱ Λαρισσαῖοι, πρόσθεν τῆς πόλεως. καὶ αὐτῷ ποιοῦσιν ἡρῷον οἱ ἐπιχώριοι. Περσεὺς δὲ ἀναχωρεῖ τοῦ Ἄργους.

Ἀκρισιώνη, ὄνομα πατρωνυμικὸν, τοιοῦτον ἔχει κανόνα. ἀπὸ τῶν εἰς ος καθαρῶν κυρίων ὀνομάτων γίνονται θηλυκὰ πατρωνυμικὰ διὰ τοῦ ωνη, οἷον, ἐκ τοῦ Ἀκρίσιος Ἀκρισιώνη, ἡ τοῦ Ἀκρισίου. ἀπὸ δὲ τῶν μὴ καθαρῶν, διὰ τοῦ νη, ὡς Ἀδραστίνη ἡ τοῦ Ἀδράστου.

Ἀκριτὶ, ἄνευ κρίσεως.

Ἀκριτόγωνον, πολύγωνον.

Ἀκριτοβάται, ἀρχῆτις παρὰ Ἐφεσίοις, τῆς Ἀρτέμιδος θυσιῶν.

Ἄκριτα νείκεα, ἀδιακρίτους φιλονεικίας, ἐφ' οἷς οὐχ εὕρηται κριτής. καὶ εἴη ἂν ἐντεῦθεν καὶ ἀκριτόμυθος, ὁ μὴ δεόντως κρίνων ἃ μυθεῖται καὶ ἄκριτα ἄχεα, τὰ πολλά. ὡς καὶ ἀκριτόμυθος, ὁ πολύμυθος. καὶ ἄκριτα, ἀχώριστα.

Ἀκριτόμυθος, ὁ πεφυρμένος δηλαδὴ, καὶ μὴ διακρινοῦς ἔχων ἐν τῇ τῶν νοημάτων τάξει. ἢ ἀκριτόμυθος, ὁ πολύλογος. ὡς καὶ ἄκριτα φῦλα, τὰ δυσδιάκριτα διὰ πληθυσμόν. ἢ ἀδιάκριτος ἐν τῷ λέγειν, καὶ ἄκοσμος.

Ἀκριτόμυθε, ἄκριτε περὶ τοὺς λόγους, καὶ ἄτακτε, ἀπεραντολόγε, πολλὰ καὶ ἀδιάστολα καὶ ἀδιαχώριστα λέγων, ὅ ἐστι, συγκεχυμένα καὶ ἀδιάτακτα, ἢ ἀδιανόητα καὶ ἄλογα. κριτήριον γὰρ τῶν φρονίμων, ὁ λογισμός. τῶν δὲ ἀφρόνων τὸ πάθος, ἄλογον καθ' ἑαυτό. γίνεται δὲ παρὰ τὸ κρίνω, κρινῶ, κέκρικα, κέκριμαι, κέκριται, κριτὸς, καὶ τὸ μῦθος. μετὰ δὲ τοῦ στερητικοῦ α ἀναβιβαζομένου τοῦ τόνου, γίνεται ἀκριτόμυθος. τὰ γὰρ εἰς ος δισύλλαβα, ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον.

Ἄκριτον τύμβον λέγει Ὅμηρος, τὸν μὴ διακεκριμένον εἰς ἕνα τινὰ νεκρὸν, ἀλλὰ τὸν ὄντα πολλῶν, ὁποῖα τὰ κυρίως πολυάνδρια. καὶ ἄκριτοι μῦθοι, ἤγουν ἀναρίθμητοι.

Ἄκριτος, ἀντὶ τοῦ ἀδιάκριτος.

Ἀκριτόφυλλον, σύμφυτον πολλοῖς δένδροις, ὥστε μὴ διακρῖναι αὐτῶν τὰ φύλλα, ἃ φέρει. ἢ κατάσκιον.

Ἀκριτόφωνοι, βαρβαρόφωνοι. συγκέχυται γὰρ ἡ τῶν βαρβάρων φωνή.

Ἀκροᾶσθαι, ἀντὶ τοῦ ὑπακούειν.

Ἀκροατὴς, ὁ μαθητής. καὶ ἀκροᾶσθαι, τὸ μανθάνειν.

Ἀκροβάζειν, τὸ ἄκροις τοῖς ποσὶν ἐπιβαίνειν.

Ἀκροβέλια, τὰ ἄκρα τοῦ ὀβελίσκου, καὶ τοῦ ὀβελιάρτου. * ἄλλ. τοῦ ὀβελίου ἄρτου.

Ἀκροβελίζειν, τοξεύειν, ἀκοντίζειν.

Ἀκροβελίζεται, τὰ ἄκρα τοῦ σώματος βάλλεται.

Ἀκροβελὶς, εἶδος ἀκοντίου.

Ἀκροβηματίζει, ἐπὶ ἄκροις τοῖς ποσὶν ἵστατο.

Ἀκροβόλαι, αἱ τοῦ ἡλίου βολαί.

* Ἀκροβόλοι, ἀκονтισταὶ, τοξόται.

Ἀκροβολισάμενοι, τῆς συμβολῆς ἐν τῷ πολέμῳ ἀρξάμενοι, ἢ ἀκοντίσαντες.

Ἀκροβολισμὸς, ὁ ἐρεθισμὸς, καὶ τὸ τὰ ἄκρα βάλλειν. ἀκροβολισμὸς δέ ἐστιν, ὅτε πρὶν συμβάλλωσιν οἱ πολέμιοι, ἀλλήλους βάλλουσι τοῖς βέλεσι, καὶ τοῖς λίθοις.

Ἀκροβυστία, ἐκ τοῦ ἀκρόβυστος, ὃ σημαίνει τὸν κεκαλυμμένον, παρὰ τὸ βύω τὸ καλύπτω. ἐντεῦθεν καὶ ἄβυσσος.

Ἀκροδίκαιον, τὸ ἔσχατον τῆς δίκης.

Ἀκρόδρυα, πάντες οἱ τῶν δένδρων καρποὶ, ἢ καρποὶ δενδρικοί.

Ἀκρόδρυον, πλῆρες μέτρον παρὰ Ταραντίνοις.

Ἀκροζυγία, τοῦ βοεικοῦ ζυγοῦ τὰ μέσα, ἤγουν ἡ ζεύγλη. * ἄλλ. ἀκροζύγια.

Ἀκροθάλυπτα, ἀκρόκαυστα. * κάλλιον, ἀκρόθαλπτα.

Ἀκροθιγῶς, τὸ λαβεῖν τῷ ἄκρῳ τοῦ δακτύλου τι. ἢ βραχύ. καὶ ἀκροθιγῶς, λεπτομερῶς.

Ἀκροθίνια. ἀκροθίνια λέγονται αἱ ἀπαρχαὶ τῶν καρπῶν, θινῶν δὲ κυρίως ἤγουν τῶν σωρῶν. ἤδη δὲ, καὶ ἀπὸ θήρας καὶ ἄλλων, παρὰ τὸ θὶν θινὸς, ὃ σημαίνει τὸν σωρὸν τῶν χρυσίων, θίνιον, καὶ ἀκροθίνιον. ἢ ἀκροθίνιον, ἀπαρχὴ καρπῶν, ἢ σκῦλα, λαφύρων ἀπαρχαί. ἀπαρχὴ τῶν θινῶν. θῖνες δέ εἰσιν, οἱ σωροὶ τῶν πυρῶν, ἢ κριθῶν, ἢ πᾶσα ἀπαρχή. Ἄλλως.

Ἀκροθίνια, αἱ ἀπαρχαὶ τῶν θινῶν. καταχρηστικῶς δὲ καὶ πᾶσα ἀπαρχὴ, ἢ αἱ τῶν ἐνιαυσιαίων καρπῶν ἀπαρχαί. ἀκροθίνια δὲ κυρίως καλοῦσι τὰς ἀπαρχὰς, ἃς ἀνατιθέασιν οἱ ἐξ ἐμπορίας, παρὰ τὸ ἀπὸ τοῦ θινὸς, τουτέστι τοῦ αἰγιαλοῦ σεσῶσθαι αὐτά.

ἄλλοι

ἄλλοι δὲ, τὰ ἀπὸ τῶν πολέμων, παρὰ τὸ σίνεσθαι ἐν τῷ πολέμῳ πολλοὺς, τουτέστι βλάπτεσθαι. ἢ τὰ ἄκρα τῶν σωρῶν, ἢ τὰ λάφυρα.

Ἀκροθινάζειν, ἀκροθιγγάνειν, καὶ ἀπάρχεσθαι.

Ἀκροθώραξ, ὁ μέθυσος.

Ἄκροι, ἄκραι, ἢ δοῦλοι.

Ἀκροκελαινόων, ἀντὶ τοῦ ἄκρας πεφρικὼς, μέλας, ἢ τὴν ἄκραν ἐπιφάνειαν μελαινόμενος ὡς εἰκὸς ὑπὸ πνοῆς ἀνέμου. ἢ μυθικῶς, κατὰ χρῶμα θυμουμένου, πρὸς ὁμοιότητα τοῦ νυκτὶ ἐοικός. ἵνα ᾖ ἀκροκελαινιόων, ὁ οἷον σκυθρωπάζων, καὶ ἀγειρόμενος μελαίνῃ φρικί.

Ἀκροκόλια, ἄρτοι, βολβοὶ, φακοί.

Ἀκρόκνεφα, πρὸς ὄρθρον.

Ἀκροκόρυμβα, τὰ ἀκροστόλια τῶν νεῶν.

Ἀκροκόμους Θρήϊκας λέγει Ὅμηρος, ἤγουν, καρηκομόωντας. τινὲς δὲ οἴονται ἀκροκόμους λέγειν, τοὺς ἐν ἄκρῳ τῆς κεφαλῆς κομῶντας, καὶ οὐ καθειμένας εἰς βάθος τὰς τρίχας ἔχοντας, ἤγουν τοὺς συμμέτρως τοῦ κορᾶν ἔχοντας.

Ἀκρόλειον, ἀπαρχὴ, ὥσπερ προτόλειον: ὡς τὸ, Πολυξένην καταθῦσαι τοὺς ἑλώας ἀκρόλειον. καὶ αὖθις, Ὅσα ἦν θεοῖς ἀναθήματα καὶ ἀκρόλεια.

Ἀκρολοφία, ἡ κορυφὴ τοῦ λόφου, τουτέστι, τοῦ βουνοῦ.

Ἀκρομύλη, ἐπιγουνατισμός. ἢ γουνὶς μύλων. ἢ μύλος αὐτός.

Ἄκρον σημαίνει δύο, τὸ ἄριστον, καὶ κάλλιστον. ἄκρον λέγεται, καὶ ἡ εἰς ἔσχατον πέρας ἄφιξις. οὗτινος οὐκ ἔστιν ἐπέκεινα, τὸ ἐξέχον, παρὰ τὸ ἄχι καὶ τὸ ὂν, ἄχρον, καὶ ἄκρον, ἤγουν ἄρχον τι ὄν. οὕτω Μεθόδιος. ὁ δὲ Φίλων, παρὰ τὴν ἀκὴν ἄκορον, καὶ συγκοπῇ ἄκρον.

Ἄκρον, ἐπιλίγδην, μεσότητος ἐπίρρημα, ἀντὶ τοῦ ἐπιψαύδην, ἤγουν, ὅσον ἐπιψαῦσαι μόνον. Σημείωσαι, ὅτι ἐν Ἰλιάδι ἅπαξ τοῦτο, καὶ ἐν Ὀδυσσείᾳ ἅπαξ. καὶ Ἄκρον λάβε, καὶ μέσον ἕξεις, παροιμία ἐπὶ τῶν δυσφράστων, καὶ δυσνοήτων. καὶ ἄκρον, μετέωρον, ὑψηλόν.

Ἀκρόνεον, τὸ τῆς νεὼς ἄκρον.

Ἀκρόνυξ, τὸ ἄκρον τῆς νυκτός. καὶ ἀκρονυχία ὁμοίως διὰ τοῦ ο μικροῦ. Ἀκρώνυξ δὲ, καὶ ἀκρωνυχία, διὰ τοῦ ω μεγάλου, τὸ ἄκρον τοῦ ὄνυχος, καὶ τοῦ ὄρους.

Ἀκροποδιτὶ βαδίζει, ἤγουν ἄκροις ποσίν.

Ἀκρόπλοα, τὰ Ἐπιπολῆς, καὶ ἐπ' ἄκρου ἐμπλέοντα.

Ἀκρόπολις, καρόπολίς τις οὖσα. ἡ κεφαλὴ τῆς πόλεως. ἔστι καὶ τόπος ὑψηλὸς Ἀθήνησι. τὰ δ' ὑπ' αὐτὴν, ὑπόπολις ὀνομάζεται. αἱ ἀκροπόλεις δὲ, ὡς ἐπιπολὺ τῇ Ἀθηνᾷ ἀνέκειντο.

Ἀκροπόλοισιν ὄρεσιν, ὡς ἂν εἴποι, οὐρανίοις. ὧν τὸ ἄκρον ἐφικνεῖσθαι δοκεῖ τῶν ἀνωτάτω πόλων. ὅτι δὲ καὶ παρὰ τὸ πολεῖν γίνεται, ὅ ἐστιν ἀναστρέφεσθαι, ἡ λέξις ὁ πόλος, δῆλον. καὶ ἄλλως δὲ, τὸ ἀκροπόλοις, ὅμοιόν ἐστι τῷ ἀνωφόροις. ἐν οἷς δηλαδὴ ὁ πολῶν, ὅ ἐστιν ὁ ἀναστρεφόμενος, εἰς ἄκρον φέρεται. δοκεῖ δὲ παροξυτονεῖσθαι καὶ ἡ εὐθεῖα τοῦ ἀκροπόλοις, καθὰ καὶ τὰ κατ' αὐτό. Κανών. Τὰ γὰρ παρὰ τὸ πολῶ, εἰ μὲν προθέσει σύγκειται προηγουμένῃ, προπαροξύνονται. οἷον, ἀμφίπολος, πρόπολος, πρόσπολος. εἰ δὲ ὀνόματα, προπαροξύνονται. ὡς δῆλον ἐκ τοῦ ὀνειροπόλος, μαντιπόλος, οἰωνοπόλος, θυηπόλος, ὁ ἱερεὺς, καὶ θυοσκόος ἐν Ὀδυσσείᾳ. οὕτω γοῦν ἀναλόγως, καὶ ἀκροπόλος. ὁμοίως δὲ καὶ μυστοπόλος, καὶ αἰπόλος, καὶ θαλαμηπόλος, καὶ δικασπόλος, καὶ θεμιστοπόλος, καὶ ἕτερα.

Ἀκρόπολον, ἔρρημον, ἔννομον.

Ἀκροπόρους, τοὺς ὀβελίσκους ἐπιθετικῶς. διὰ τὸ παρὰ τὸ ἄκρον αὐτῶν πείρεσθαι τὰ κρέα.

Ἀκροπόσθια, τὰ ἄκρα τοῦ αἰδοίου.

Ἀκροσαπὴς, τὸ ἐπὶ βραχὺ μεταβεβληκὸς, παρ' Ἱπποκράτει.

Ἀκροστόλιον, τὸ ἄκρον τοῦ στόλου, τὸ ἄφλαστον ξύλον, τὸ ἐξέχον ἀπὸ τῆς πρύμνης, καὶ διῆκον μέχρι τῆς πρώρας ξύλον. ἔνθα τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα. ἢ ἀκροστόλιον, τὸ ἄφλαστον, τὸ κατὰ τὴν πρώραν. ἀλλ' Ὅμηρος ἐπὶ τῆς πρύμνης αὐτὸ παραδίδωσι, λέγων, Ἄφλαστον μετὰ χερσὶν ἔχων.

Ἄκρος, τέλειος, εἰς ἄκραν ἐληλακώς.

* Ἀκρόστιχον, καὶ ἀκροστιχὶς, ἡ ἀρχὴ τοῦ στίχου. ἡ πρόταξις τῶν πρώτων γραμμάτων.

Ἀκροσφαλεῖς, τοὺς ἄκρως ἐσφαλμένους, ἢ τοὺς ἐν τῷ βαδίζειν σφαλλομένους.

Ἀκρόσφυρα, γένος ὑποδημάτων γυναικείων.

Ἀκροτάτην πόλιν, τὴν ἀκρόπολιν, διαλύσας λέγει. ἣν ἀλλαχοῦ ἄκρην ἔφη Ὅμηρος. ὡς ἐν τῷ, Ὤλετο Ἴλιος κατ' ἄκρης. πολλαχοῦ δὲ, καὶ πόλιν ἄκρην.

Ἀκροτάτων, ὑψηλοτάτων, ἀνωτάτων.

* Ἀκροτελεύτιον, τὸ ἄκρον τοῦ τέλους τοῦ στίχου. ἀκροτελεύτιον ἔπος, τὸ ἔσχατον κεφαλαίου τινὸς ποιητικοῦ. χρῶνται δὲ καὶ ἐπὶ τοῦ πεζοῦ.

Ἀκροτήριον, τόπος ἐν ᾧ συνάγονται ἀκροάσασθαι τὰ μαθήματα. *ἄλ. ἀκροατήριον.

Ἀκροτηριάζει, τὰ ἄκρα τέμνει. * κάλλιον, ἀκρωτηριάζει.

Ἀκρότης, ἀρχή.

Ἀκρότητα, πολυκρότητα. ὡς τὸ, Πολυκρότητα αὐτοῖς γενόμενα. ὥστε μὴ δὲ συγκροτεῖσθαι, μὴ δὲ συμπεσεῖν ἀκρότης.

Ἀκρότομος λίθος, σκληρὸς τῷ τέμνοντι, ὑψηλὸς, ἢ ὀξύτατος.

Ἄκροτον, ἀδιάρρητον, ἀπαίδευτον.

Ἀκροῦν, ἡ τοῦ ὄρους κορυφὴ, ἢ ὄρος.

Ἀκρουνοὶ, ὅροι, ὑπὸ Μακεδόνων.

Ἀκρουρά, οὐρά.

Ἄκρουρον, ἄκρατον. * ἀδόκιμον.

Ἄκρου, ἄκρας.

Ἀκρουχεῖ, ἄκρον ἔχει. ἄκρον δὲ, ὄρος τῆς Ἀργείας, ἐφ' οὗ Ἀρτέμιδος ἱερὸν ἱδρύσατο Μελάμπους, καθάρας τὰς Προιτίδας. Σοφοκλῆς Ἰφιγενείᾳ.

Ἀκροφύσια. Ἰστέον ὅτι τὰ μέρη τῶν φυσῶν τὰ τοῖς χοάνοις ἐνιέμενα, ἀκροφύσια ἐλέγοντο, καὶ ἀκροστόμια, οἷς φυσῶσιν οἱ χαλκεῖς. φασὶ δὲ οἱ παλαιοὶ τὸ γένος τῶν χοάνων ἄδηλον εἶναι. δηλοῖ δὲ ἡ λέξις τὰ φυσώμενα ἀγγεῖα, ἐν οἷς αἱ ὗλαι τήκονται. ἅπερ ἡμῖν ἐστι πήλινα. ἀπὸ δὲ τούτου καὶ παρὰ τῷ Κωμικῷ τὸ χοανεύειν. ἢ ἀκροφύσια, τὰ ἀκροστόμια τῶν ἀσκῶν.

Ἀκροχάλιξ, ὁ ἄκρως μεθύων. ἢ ἀκροχάλιξ, ὁ ἀκροθώραξ, ἢ μέθυσος. χάλιξ γὰρ, ὁ ἄκρατος οἶνος, ἀπὸ τοῦ χαλᾶν τὰς φρένας.

Ἀκρόχειρος, ἀνδροφόνος.

Ἀκροχειρίζεσθαι, τὸ πυκτεύειν, ἢ παγκρατιάζειν πρὸς ἕτερον, ἄνευ συμπλοκῆς. ἢ ὅλως, ἄκραις ταῖς χερσὶ μετ' ἄλλου γυμνάζεσθαι, ἐξ οὗ καὶ ὁ Ἀκροχερσίτης καλεῖται.

Ἀκρόχολος, ὁ κατ' ὑπερβολὴν ὀξὺς, καὶ πρὸς πᾶν ὀργίλος. ἢ καὶ ὁ πρὸς ὀλίγον ὀργιζόμενος.

Ἀκροχορδόνες, αἱ ἐν τῷ προσώπῳ ἐλαῖαι. ἡ εὐθεῖα, ὁ ἀκροχορδὼν, ἡ γενικὴ, τοῦ ἀκροχορδόνος.

Ἀκρόχωλος, ὁ πρὸς ὀλίγον χωλεύων.

Ἀκρόψιλον, τὸ ἐπὶ τὸ ἄκρον γυμνόν.

Ἄκρυ, ἀντὶ τοῦ ἀληθῶς. * ἀδόκιμον.

Ἀκροῶ, παρὰ τὸ ἀκούω, ἀκοῶ, ὡς κύω κυῶ, καὶ πλεονασμῷ τοῦ ρ. ἀκροῶ.

Ἀκροῶμαι, γενικῇ συντάσσεται. οἷον. Ὁ δὲ τῶν τοῦ βασιλέως λόγων ἀκροώμενος. λέγομεν ἀκροῶμαί σου, καίσε.

Ἀκρῶα, σπλάγχνα, ἔντερα.

Ἀκρωλένιον, τὸ τῆς χειρὸς ἄκρον.

Ἀκρώμιαι, αἱ κατακλεῖδες.

Ἀκρωμίται, οἱ μείζονες.

Ἀκρώνια, τὰ ἀθροίσματα, καὶ ἡ ἀκρότης. καὶ ἡ ἀκμή. τὸ ἐπίλεκτον ἄθροισμα, καὶ πλῆθος.

Ἀκρώνυξ, τὸ ἄκρον τοῦ ὄνυχος. καὶ τοῦ ὄρους. καὶ ἀκρωνυχία, ὁμοίως.

Ἀκρώρεια, ἐξοχὴ, κορυφή. εἰς τρία γὰρ διαιρεῖται τὸ ὄρος, εἰς ἀκρώρειαν, εἰς ὑπώρειαν καὶ εἰς τέρμα. καὶ ἀκρώρεια μέν ἐστιν, ἡ κορυφή. ὑπώρεια δὲ, τὰ πλευρά. τέρμα δὲ, τὰ τελευταῖα, καὶ πόδες. ἢ Ἀκρώρεια, ἡ ἀνωτάτω τοῦ ὄρους ἐξοχή. οὕτω καὶ πρυμνώρεια πολυπιδάκου Ἴδης, τὸ πρυμνόν. ἤτοι τὸ κατώτατον αὐτῆς ἄκρον, οἵπερ εἰσὶν ἀκριβῶς πόδες ὄρους.

Ἀκρωτηριάζω, αἰτιατικῇ συντάσσεται. οἷον, τέμνω τὰ ἄκρα. ὡς τὸ, Ἠκρωτηρίασεν αὐτοῦ χεῖρας καὶ πόδας. καὶ ἀκρωτηριάσας, ἀντὶ τοῦ, τὰ ἄκρα τεμών. καὶ ἀκρωτηριάσας, ἀντὶ τοῦ, πᾶν ἐκτεμών.

Ἀκρωτηριασμὸν λέγουσι, τὸ ῥῖνα ταμεῖν, καὶ ὦτα. ἁπλοῦν δὲ τὸ ῥῖνα τέμνειν, λέγεται ῥινοτομεῖν.

Ἄκρως, μεγάλως, ὀξέως.

Ἀκρώσσει, ἀκροᾶται, ἑκὼν οὐχ ὑπακούει, προσποιεῖται.

Ἀκρωτηρῆσαι, κόψαι, ἢ ἀγριῶσαι. * ἴσως, ἀκρωτηριάσαι.

Ἀκρωτήριον, ὁ ὑψηλὸς τόπος. καὶ ἀκρωτήρια, τὰ ἐπάνω τῶν ναῶν ἀνατιθέμενα ζώδια. Δωριεῖς.

Ἀκρωτηριάσας, τὰ ἄκρα ἀποτεμών.

Ἀκταίζων, ἀκτάζων, προθυμούμενος, ἢ ὀργῆς πληρῶν, ἢ μετεωρίζων.

Ἀκταίου, παραθαλασσίου.

Ἀκταϊσμένον, προηρμένον.

Ἀκταὶ λέγονται αἱ Ἀθῆναι, ὅτι Ἀκταῖος αὐτῶν ἐβασίλευσεν. ἢ ὅτι ἀκτή ἐστι, τουτέστι προβεβλημένη καὶ κειμένη τὸ πλεῖον μέρος εἰς τὴν θάλασσαν. τῆς ἀττικῆς δὲ νῆσος ἡ Σαλαμίς.

Ἀκταίνειν, τὸ μετεωρίζεσθαι καὶ ἐπαίρεσθαι. καὶ γαυριᾶν ἐπὶ τῶν ἵππων.

Ἀκτάζων, ἀντὶ τοῦ ἐξανιστάμενος. καὶ ἀκταίνειν, τὸ ἀτάκτως πηδᾶν, ἢ πρὸς συνουσίαν ὁρμᾶν.

Ἀκταιωρεῖν, ἀκτὰς φυλάσσειν.

Ἀκταίωρος, παρὰ τὸ τὴν ἀκτὴν ὠρεῖν, ὅ ἐστι φυλάσσειν.

Ἀκταὶ, αἰγιαλοὺς, πετρώδεις τόπους. * ἄλλ. ἀκτέα.

Ἀκταῖοι ἰχθῦς, οἱ αἰγιάλιοι.

Ἀκταίνουσα, τρέμουσα, ἀσφαλῶς κρατοῦσα.

Ἀκταία, ἡ ἀττικὴ πρώην ἐκαλεῖτο. καὶ ἡ ἐκ τοῦ ἀκτίτου λίθου κατασκευασθεῖσα τοῦ πεντελικοῦ.

Ἀκταία, δόρατα, κάμακας.

Ἀκτέανοι, πένητες, ἀκτήμονες.

Ἀκτεῖνος, ὁδηγός. Συρακούσιοι.

Ἀκτερὲς, ἄφαντον.

Ἀκτεροὶ, ἄφαντοι, αἱ κράνιοι ῥάβδοι, ἢ περὶ τῶν ἄθεν χώρα.

Ἀκτεῶες, πένητες.

Ἀκτὴ ἀλφίτου, ἡ δωρεὰ, κατὰ τοὺς παλαιοὺς, παρὰ τὸ προάγεσθαι, ἢ προσάγεσθαι. ἢ τὸ κλάσμα, παρὰ τὸ ἄγω τὸ κλῶ. οὐ ἔμφασιν ἔχει οὐ μόνον τὸ ἄλφιτον, ἀλλὰ καὶ μυλήφατον, ὃ δηλαδὴ καὶ κλᾶται ὑπὸ μύλης. ἀκτὴ Δημήτερος, κλάσμα ἄρτου. ὅ ἐστι ψωμὸς, ἢ καὶ ἄλλως βωμὸς, παρὰ τὸ ἄγω τὸ κλῶ. ἤγουν ἡ ἄγουσα ἡμᾶς, καὶ ποιοῦσα πορεύεσθαι. διὸ καὶ δαῖτα τινὲς ἴσην, καὶ εἴσην, ἐκ τοῦ ἰέναι ἐτυμολόγησαν.

Ἀκτὴ προύχουσα, ἡ αὐτὴ ἂν εἴη, τῇ προβλῆτι ἀκτῇ.

Ἀκτὴ ἐκαλεῖτο ἡ Ἀττικὴ, ἢ ἀπὸ ἀκταίωνος βασιλέως, ἢ διότι τὸ πλεῖον μέρος τῆς Ἀττικῆς ἀκτὴ, ἤτοι παραθαλάσσιόν ἐστιν. Ἄλλως.

Ἀκτὴ ἰδίως, ἐπιθαλαττίδιός τις μοῖρα τῆς Ἀττικῆς. ὅθεν καὶ ὁ ἀκτίτης λίθος. ἐκάλουν δὲ οὕτω καὶ τὴν Ἀττικὴν, οἱ μὲν ἀπό τινος βασιλέως Ἀκταίωνος, οἱ δὲ διὰ τὸ τὸ πλεῖον τῆς χώρας ἐπιθαλάττιον εἶναι. ἀκτὴ, καὶ ἡ τροφὴ, καὶ τὸ ἐξέχον μέρος τοῦ αἰγιαλοῦ. ὡς τὸ, Ἀκτῇ ἐπὶ προυχούσῃ.

Ἀκτή-

Digitized by Google

Ἀκτήμων, πένης.

Ἀκτημοσύνη, ἔνδεια.

Ἀκτίτης λίθος, ὁ ἀπὸ τῆς ἐν Πελοποννήσῳ ἀκτῆς. Σοφοκλῆς Ἀκρισίῳ.

Ἄκτιον τέκνα, ἀντὶ τοῦ κυνηγόν. ἐπακτῆρες γὰρ οἱ κυνηγοί, ὥς φησιν Ὀππιανός. ἢ ὥς φησι Φιλοστέφανος, ἔστι Πανὸς ἱερὸν πλησίον Κράθιδος ποταμοῦ. τινὲς δὲ τὸν Ἀπόλλωνά φασι, τὸν ἐπὶ ταῖς ἀκταῖς ἱδρυμένον. φησὶ δὲ καὶ Πίνδαρος, τῶν ἁλιέων αὐτὸν φροντίζειν.

Ἀκτὶς, οἰκέτου ὄνομα. παρὰ δὲ Συρακουσίοις, ὁδηγὸς, ἢ ναῦς. καὶ Ἀκτὶς καὶ ἀκτὶν, ἐπὶ τοῦ ἡλίου. ἀκτὴ δὲ ὁ αἰγιαλός. Ἰστέον δὲ, ὅπερ ἐστὶν ἐπὶ θαλάσσης ἀκτὴ, ὁ κρημνώδης δηλαδὴ τόπος, τοῦτο ἐπὶ ποταμοῦ ὄχθη. ὅπερ δὲ ἐπὶ θαλάσσης αἰγιαλὸς, ὁ ἐπίπεδος δηλονότι καὶ ὁμαλὸς, τοῦτο ἐπὶ ποταμοῦ πλαταμών. Παυσανίας γοῦν φησὶν, ὅτι ἀκτὶς, οἰκέτου ὄνομα καὶ ἀγγείου, ἐφ᾽ οὗ οἱ ὀβολοὶ ῥιπτοῦνται. οὕτω δὲ καὶ ἡ αἴγλη, οὐ μόνον ἡ λαμπηδὼν, ἀλλὰ καὶ ποτηρίου εἶδος κατὰ Παυσανίαν, καὶ θυσία τις πεμπομένη εἰς Δελφοὺς, καὶ κυβευτικὸς βόλος. ἕτερος δέ τις φησὶν, ὅτι αἴγλη ὀνομάζεται κυβευτικοῦ βόλου φαύλου.

Ἀκτορίωνες, οἱ παῖδες τοῦ Ἄκτορος, Κτέατος καὶ Εὔρυτος. ἀνδρεῖοι καὶ ἡνίοχικοὶ, ῥηθέντες οὗτοι καὶ Μολίονες, παρ᾽ Ὁμήρῳ. παρὰ δὲ τοῖς ὕστερον, Μολιονίδαι. οὓς Ὅμηρος μὲν διδύμους ἱστορεῖ ἁπλῶς, οἱ δὲ κατ᾽ Ἀρίσταρχον, οὐχ οὕτως, οἷον κατὰ τοὺς Διοσκούρους, ἀλλὰ κατὰ τὸν τοῦ Ἡσιόδου μῦθον, καὶ διφυεῖς, δύο μὲν ἔχοντας σώματα, συμπεφυκότας δέ γε ἀλλήλοις. Ἄλλως.

Ἀκτορίωνε, Μολίονε παῖδε. διαφωνεῖται παρὰ τοῖς παλαιοῖς. οἱ μὲν γὰρ καὶ ἄμφω τὰς λέξεις πατρωνυμεῖσθαί φασιν, ἵνα λέγῃ Ἀκτορίωνας μὲν ἀναμφιλέκτως, τοὺς Ἀκτορίδας, ὅ ἐστιν υἱοὺς Ἄκτορος. Μολίωνας δὲ, ἢ πατρωνυμικῶς καὶ αὐτὸ, οἷα Μόλου ὄντας πατρὸς τοῦ καὶ Ἄκτορος, διὸ καθὰ Ῥωμαϊκῷ ἔθει ἄκτωρ μόλου, ἀσυνδέτως ὁ πατὴρ κατὰ διωνυμίαν. οὕτω καὶ οἱ αὐτοῦ παῖδες, Ἀκτορίωνε Μολίωνε, ἢ μητρωνυμικῶς ἀπὸ μητρὸς Μολιόνης, ἵνα κλίνοιντο ἀπὸ τοῦ Μολιονίδης Μολιονίων, ὡς Πελαμίδης Πελαμίων. καὶ ἐν συγκοπῇ, Μολίων, μάλιστα δὲ, ὡς Ὑπεριονίδης, Ὑπερονίων, Ὑπεριονίονος, καὶ ἐν συγκοπῇ Ὑπερίονος λέγοιτο. καθάπερ διὰ τὸν πατέρα Ἄκτορα Ἀκτορίωνε, οὕτω καὶ διὰ τὴν μητέρα Μολιόνην, Μολίωνε, ἤγουν Μολιονίδαι. ἢ Μολίωνε, τουτέστι Μολιόνης υἱοί. ἕτεροι δὲ τὸ Μολίωνε κατ᾽ ἐπίθεσιν, ἤγουν ἐπιθετικῶς νοοῦσιν. ἵνα ἡ λέξις δηλοῖ, τοὺς μαχίμους καὶ ὁρμητικούς. οὐ παρὰ τὸν μῶλον, ἀλλὰ παρὰ τὴν ἐν μάχῃ μόλυνσιν, ἐξ ἧς ἐν ἐκστάσει ὁ μῶλος γίνεται. ἢ παρὰ τὸ μόλω ῥῆμα, ἐξ οὗ καὶ Μούλιος, ὁ ῥηθεὶς τοῦ Αὐγείου γαμβρός. καὶ μόλος ὁμώνυμος τῷ μόλῳ Ἄκτορι, ὁ τοῦ Μυρόνου, ἢ κατά τινας Μολιόνου πατήρ.

Ἄκυθος, ὁ ἄγονος, παρὰ τὸ μὴ ἔχειν σπέρμα. κύθος γὰρ τὸ σπέρμα. κύθεται γὰρ, ἤγουν κρύπτεται, ἤ, τε γονὴ καὶ τὸ κύημα ἐν τῇ μήτρᾳ. γράφεται δὲ τὸ ἄκυθος, διὰ τοῦ υ ψιλοῦ. Τὰ γὰρ διὰ τοῦ υθος ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ υ ψιλοῦ γράφεται. οἷον, μαμμάκυθος, ὁ μωρός.

Ἀκυθῶν, ἀγρυπνῶν.

Ἀκύκλιος, ἀπαίδευτος.

Ἀκυητήριον, φάρμακον πρὸς τὸ μὴ κύειν γυναῖκας.

Ἀκυλία, ἡ Σικελία. ἢ ἡ Βενετία.

Ἄκυλον, ἄδοξον. οἱ δὲ τὴν πρινίνην βάλανον παρὰ Λυδοῖς, τὸ αἰδοῖον, λέγεται οὕτω καὶ ὁ καρπὸς κομάρου.

Ἀκυμάντως, ἀταράχως, ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ κυμαίνω τὸ ταράσσω. καὶ ἀκύμονα, τὸν ἀτάραχον λέγομεν. καὶ ἀκύμων, ἡ μὴ γεννῶσα. ὡς ἐγκύμων, ἡ συνειληφυῖα. καὶ ἀκύμων, ἡ στεῖρα, ἄτεκνος, ἄτοκος.

Ἄκυον, ἄτοκον. * κάλλ. ἄκυον.

Ἀκυστὸν, ἀπρόσιτον.

Ἄκυον, ἀπόκιον.

Ἄκυπρον, ἀμιγῆ, παρθένον.

Ἀκυρὴς, ἀτυχής. καὶ ἀκυρήματα, τὰ ἀτυχήματα.

Ἀκύρματα, ἀποτεύγματα.

Ἀκυρόεντα, ἀνάρμοστα, ἄκυρα.

Ἀκυρολογεῖ, ψευδολογεῖ.

Ἄκυρον, παλαιὸν, ἄπειρον. ἢ τὴν μακρὰν οὖσαν. κῦρος γὰρ τὸ τέλος.

Ἀκυρῶσαι, ψευδοποιῆσαι, καταργῆσαι.

Ἄκυτος, ἄτοκος, στεῖρα.

Ἀκχαλίβαρ, κράββατος. Λάκωνες.

Ἀκχημονικὰ, τὰ κακοπαθήσαντα.

Ἀκχὸς, ὁ ὠμός.

Ἀκωδώνιστον, ἀπείρατον, ἀβασάνιστον. κωδωνίσαι γὰρ, τὸ διαπειραθῆναι.

Ἀκωκὴ, ἡ ὀξύτης. παρὰ τὸ ἄκω γίνεται ἀκή. καὶ κατὰ ἀναδιπλασιασμὸν, ἀκωκὴ, τὸ κω, μέγα. Τὰ γὰρ ἔχοντα ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, διὰ τοῦ ω μεγάλου γράφεται. οἷον, ἔδω, ἐδὴ, καὶ ἐδωδή. ἄγω, ἀγὴ, καὶ ἀγωγή. οὕτως οὖν καὶ ἀκωκὴ, τῆς ἐπιδορατίδος ἡ ἀκμή.

Ἄκωλος, ἄπους.

Ἄκων ὁ ἀβούλητος. καὶ ἄκων, ἀκούσιον. Σοφοκλῆς Οἰδίποδι Τυράννῳ. καὶ ἔχει μακρὸν τό α. κατὰ κρᾶσιν γάρ ἐστιν ἀπὸ τοῦ ἀέκων, ἄκων. καὶ ἄκων ποιητικῶς, τὸ ἀκόντιον, οὗ τινος τὸ α βραχύ ἐστιν.

Ἀκώπητον, τὴν ἀπαρασκεύαστον ναῦν. ἢ ἄνοπλον, ἀπὸ τῆς κώπης, ὅ ἐστι τῆς λαβῆς.

Ἀκῶραι, ἄκανθαι.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Λ.

Ἄλα λέγει Ὅμηρος, πᾶσαν τὴν θάλασσαν. διὸ καὶ λευκὴν αὐτὴν φησὶν, ἀπὸ τοῦ αἰγιαλοῦ, πᾶσαν οὕτω λέγων. πόντον δὲ τὸ ἐντὸς καὶ πόῤῥω τοῦ αἰγιαλοῦ. διὸ καὶ οἴνοπα, ἤτοι μέλαινα αὐτὴν λέγει. κατὰ γὰρ τὸ ἄκρον ἡ θάλασσα, τῶν ἀκτίνων τοῦ ἡλίου διαδεχομένων αὐτὴν πεφωτισμένη γίνεται, καὶ διὰ τοῦτο λευκή. κατὰ δὲ τὸ ἐνδοτέρω καὶ πόῤῥω τοῦ αἰγιαλοῦ ἀμβλυνομένων τῶν ἀκτίνων ὑπὸ τοῦ βάθους, καὶ μὴ δυναμένων κατ᾽ αὐτῆς διατείνειν καὶ καταφωτίζειν αὐτὴν, σκιώδης ἐστὶ, καὶ διὰ τοῦτο μέλαινα. Καὶ ἅλα, τὰ κόπρια. Ὅμηρος ἐν Ὀδυσσείᾳ. Οὐ σύ γ᾽ ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ, οὐδ᾽ ἅλα δοίης.

Ἄλαβα, μέλαν, ᾧ γράφομεν.

Ἀλάβαστον, δίχα τοῦ ρ Ἀττικοί, μετὰ δὲ τοῦ ρ. οἱ ἁπλῶς Ἕλληνες. ἔστι δὲ λήκυθος μύρου, ἢ ἄγγος μὴ ἔχον λαβὰς, λίθινον. ἢ λίθινος μυροθήκη, ἢ κατά τινας φωκάδιον, ἢ κάννιον.

Ἀλαβαστροθήκη, μυροθήκη.

Ἀλαβὴς, ὁ ἰχθύς. ὡς μὴ δυνάμενος χειρὶ λαβέσθαι.

Ἀλάβηστοι, θόρυβοι.

Ἀλαβυστῶ, θορυβῶ. * ἄλλ. ἀλαβηστῶ.

Ἀλαβῶδες, ἀνθρακῶδες, κεκαπνισμένον.

Ἀλαβῶς, ποταμός.

Ἀλλ᾽ ἄγε, ἀλλὰ φέρε. ἔστι δὲ ἐπίῤῥημα παρακελεύσεως. ἢ ἐπιῤῥηματικὸν μόριον.

Ἄλαζα, αἰσχρά.

Ἀλαζονεία, ἕξις προσποιητικὴ τῶν μὴ ὑπαρχόντων, καὶ ἡ ὑπερηφανία.

Ἀλαζονεύομαι, ἐπαίρομαι, αὐθαδιάζομαι, ἀπαυθαδιάζομαι, ἀποσεμνύνομαι, γαυριῶ, ἐναβρύνομαι, κομπεύω, κομπεύομαι, μεγαλαυχοῦμαι, ὑπερηφανεύομαι, καὶ τὸ κομπάζω, καὶ ψεύδομαι. Ἀριστοφάνης Βατράχοις, ἠλαζονεύετο, ἵνα φοβηθείην ἐγώ.

Ἀλαζὼν, πλάνος, ὑπερήφανος, ψευδής. παρὰ τὸ ἐν ἄλῃ ζῆν. καὶ ἀλαζὼν, ὁ χαυνόφλυαρος, ὁ μέθυσος, καὶ λῆρος. ἢ ἀλαζὼν, ὁ ἄλλως ζῶν, ὅ ἐστι ματαίως. ἰδίως δὲ ἀλαζόνας, τοὺς ψεύστας ἐκάλουν, ἐπὶ λέγειν ἐπαγγέλλονται. περὶ ὧν οὐκ ἴσασιν. διαφέρει δὲ ἀλαζὼν, εἴρωνος. ἀλαζὼν μὲν γάρ ἐστιν, ὁ μὴ ἔχων καὶ προσποιούμενος ἔχειν. εἴρων δὲ, ὁ ἔχων, καὶ προσποιούμενος μὴ ἔχειν. καὶ ἀλαζὼν, ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. εἰκότως δὲ καὶ τοὺς φιλοσόφους ἀλαζόνας καλοῦμεν, ἐπεὶ περὶ ὧν οὐκ ἴσασιν ὡς εἴρηται, λέγειν ἐπαγγέλλονται. ἢ ὅτι σεμνὰ ἔχοντες ἤθη, ἀλαζόνες δοκοῦσιν.

Ἀλαιεὺς, ὄνομα δήμου.

Ἀλαιθερὲς, χλιαρόν. οἱ δὲ, ἠλιθερές. * ἄλλ. εἰληθερές.

Ἀλαινὴς, ὁ μαινόμενος.

Ἀλαῖος, ὁ Ἀπόλλων.

Ἀλαίνω, τὸ πλανῶμαι. ἐξ οὗ καὶ ἄλαινος ποταμὸς, ὁ ἐπὶ πολλὴν γῆν ἀλώμενος, παρὰ τὸ ἄλη, ἀλῶμαι. παράγωγον, ἀλαίνω, ὡς ἱδρῶ ἱδραίνω. σημαίνει δὲ τὸ ἐξεστηκέναι.

Ἀλακὴ, λιγνὺς, σποδὸς, καρκίνος. κυπρίων, μαρίλη. * ἄλλ. ἀλαβή.

Ἀλάκη, πάνθρακες. * ἄλλ. ἀλάβη.

Ἀλαλαγαὶ κυρίως, αἱ ἐπὶ τῶν θυσιῶν εὐχαί. ὡς τὸ, Ἀλαλάξωμεν τῷ θεῷ τῷ Σωτῆρι ἡμῶν.

Ἀλαλαλαί. ἰὴ, παιήων, ἐπιφώνημα χοροῦ.

Ἀλαλαγμὸς, ὕμνος ἐπινίκιος. ἢ εὔφημος βοή. ἢ φωνή τις ἄναρθρος, σύμφωνος ἀλλήλοις τῶν ἐν πολέμοις συνασπιζόντων, συνυπηχούντων παρὰ τὴν ἀλάλην, ὃ σημαίνει τὸν θόρυβον, γίνεται ἀλαλάζω. καὶ ἐξ αὐτοῦ ἀλαλαγμὸς, καὶ ἀλάλαγμα.

Ἀλαλάζειν, τὸ ὀξείᾳ καὶ ἐμμελεῖ φωνῇ, εὔχεσθαι, ἢ ἐπινικίως ἠχεῖν.

Ἀλάλη, ὁ θόρυβος, καὶ ἡ ἄναρθρος φωνὴ, παρὰ τὴν ἄλα τὴν ἀεὶ ἠχοῦσαν, ἄλη. καὶ διπλασιασμῷ, ἀλάλη.

Ἀλάλημαι, πεπλάνημαι. παρὰ τὴν ἄλην, τὴν πλάνην.

Ἀλαλκομενηὶς, ἐπίθετον τῆς Ἀθηνᾶς, παρ᾽ Ὁμήρῳ. παρὰ δὲ τοῖς ἄλλοις, καὶ τῆς Ἥρας καὶ Διός. οἷον, Ἀλαλκομενεὺς Ζεύς. καὶ ἡ ἀπαλεξητικὴν προθυμίαν ἔχουσα, ἢ ἐν ἀλκῇ μένουσα. ἀλκὴ δὲ καὶ ἡ μάχη, καὶ ἀλκάζειν τὸ μάχεσθαι. ἀλκομένη, καὶ ἀλαλκομενηὶς, ἐν διπλασιασμῷ, ὡς ἀταρτηρὸς, καὶ ἐπήτυμος, καὶ ἀτιτάλλειν. ἢ ἀπὸ ἀλαλκομενέως τινὸς, ἱδρυσαμένου αὐτῆς ναόν. ὡς βασιλεὺς βασιληὶς, καὶ θησηὶς, καὶ οἰνηίς. Μεθόδιος, ἡ ἀλαλκοῦσα τῷ μένει, ὅ ἐστι τῇ δυνάμει βοηθοῦσα. ἢ ἡ ἐν ἀλαλκομεναῖς, πόλει τῆς Βοιωτίας τιμωμένη. ἔνθα καὶ ἀλαλκομένιον Ἀθηνᾶς ἱερόν. ἢ ἡ ἀπὸ Ἀλαλκομενηίου τραφεῖσα βοιωτοῦ.

Ἀλαλύκτημαι, τεθορύβημαι, ἀδημονῶ, ἢ πεπλάνημαι.

Ἀλαλκὼν, βοηθήσας, ἐπαμύνας.

Ἀλᾶτο, ἐπλανᾶτο. ἀλάω ἀλῶ, ἀλάομαι ἀλῶμαι, ἠλαόμην ἠλώμην, ἠλάου ἠλῶ, ἠλάετο ἠλᾶτο, καὶ τροπῇ ἀλᾶτο.

Ἄλγεα, λυπηρὰ, κακὰ, πήματα.

Ἄλγος, λύπη, θλίψις, ἀπὸ τοῦ ἀλέγω, τὸ φροντίζω. τὰ γὰρ πολυπαθῆ, φροντίδος ἄξια. ἢ ἃ μὴ λέγοι τὶς, μηδ᾽ ὀνομάζοι. ἀπὸ δὲ τοῦ ἀλέγω, οὐκ ἀλεγεινὸς, οὐδ᾽ ἀπὸ τοῦ ἐλεῶ ἐλεεινὸς, ἐπειδὴ ὤφειλε γράφεσθαι διὰ τοῦ ι. τὰ γὰρ εἰς νος ὀξύτονα, μὴ ὄντα παρώνυμα, διὰ τοῦ ι γράφονται. οἷον, τάχα ταχινὸς, πύκα πυκινὸς, ἀληθὲς ἀληθινὸς, χθὲς, χθεσινὸς, ἀλλ᾽ ἀπὸ τοῦ ἄλγος ἀλγεινὸς καὶ ἀλεγεινὸς, ἔλεος ἐλεεινὸς, πλεονασμῷ τοῦ ε. καὶ γράφεται διὰ διφθόγγου, ὡς παρώνυμα.

Ἆλτο, καθήλατο, ἅλλομαι τὸ πηδῶ. ὁ μέσος ἀόριστος πρῶτος, ἡλάμην ἦλω ἥλατο, καὶ συγκοπῇ ἧλτο, καὶ ἆλτο κατὰ τροπήν. * Εὐστάθιος φησὶ ψιλοῦσθαι.

Ἀλαθέας ὥρας. λέγει γὰρ, ὅτι κυκλισμῷ πάντα ποιοῦσιν.

Ἀλαὶ, δύο δῆμοι τῆς ἀττικῆς.

Ἄλαιθρα, ἄλευρα. * ἀδόκιμον.

Ἀλαίθερες, χλιαρὸν, ἡλιοθερές. * κάλλιον

λιον ἀλαιθερὲς, ὢν ἄνω.

Ἀλαιὸς, ὁ παλαιὸς, ἄφρων. Αἰσχύλος.

Ἀλάκται, γῆς ἔντερα. οἱ δὲ σφῆκας.

Ἀλάκηστον, ἀψόφητον.

Ἀλακῶσαι, ἀθροῖσαι. ἢ συνάγεσθαι.

Ἀλάλημαι, τεθορύβημαι, πεπλάνημαι, ἀπὸ τοῦ ἀλάλη.

Ἀλαλήμενος. πλανώμενος. ἢ ἀναγεγραμμένος, ἐκ τοῦ ἀλῶ, ἀλάλημι, ὁ παθητικὸς, ἀλάλημαι, αἰολικῶς. ἡ μετοχὴ, ἀλαλήμενος. παρὰ τῷ Ἀπολλωνίῳ ἀλαλήμενος, ἢ διὰ τὸ ἄπειρος εἶναι τῶν τόπων, ἢ ἀντὶ τοῦ περιερχόμενος, ἕως ἂν αὐτῷ ἁρμόδιον εὕρῃ.

Ἀλάλαγξ, ἡ πλάνη. * ἀδόκιμον.

Ἀλαλάξατε, ἀνυψώσατε τὴν φωνήν.

Ἀλάλησθαι, προπαροξυνοῦσιν οἱ παλαιοί. καὶ ἔστιν ἴσως ἄλησθαι, ὡς ἄγασθαι, ἔραθαι, ἀπὸ τοῦ ἄλαμαι καὶ ἄγημαι. ἤτοι θαυμάζω, καὶ ἔραμαι, ἤγουν ἐπιθυμῶ. καὶ ἐξ αὐτοῦ κατὰ τροπὴν καὶ πλεονασμὸν τῆς αλ συλλαβῆς, ἀλάλησθαι.

Ἀλάλησται, ξύλα ποταμοῦ, κλυστὰ, γομφώδη. ἢ τεθορυβημένα.

Ἀλάληται, ἀλῶμαι τὸ πλανῶμαι. καὶ προσθήκῃ συλλαβῆς, ἀλαλῶμαι. ἀφ᾽ οὗ ἀλάλημαι παθητικὸς παρακείμενος, ὡς πεπλάνημαι. τὸ τρίτον ἀλάληται, ταυτὸν τῷ πεπλάνηται. πλανᾶσθαι δὲ λέγεται, τὰ μὴ τεταγμένην ὁδὸν ἐρχόμενα, ἀλλ᾽ ἐνίοτε μὲν ταύτην, ἐνίοτε δὲ ταύτην.

Ἀλάλητο, ἐπεπλάνητο.

Ἀλαλητὸν φωνὴν, ἡρμήνευσεν Ὅμηρος. καὶ ἡ ἀλαλὴ, παρακεῖσθαι δοκεῖ, ὅπερ ἐστὶ στρατιωτικὸς ἀλαλαγμὸς, ὃν ἀλαλὰ λέγουσιν οἱ Δωριεῖς, βοὴν οὖσαν πρὸ μάχης. χρῆσις δὲ αὐτῆς ἐν τῷ, Κλῦθ᾽ ἀλαλὰ πολέμου θύγατερ, ἐγχέων προοίμιον.

Ἀλαλητῶ, θορυβῶ, ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου, καὶ τοῦ λαλῶ.

Ἀλαλκεῖν, ἐκβάλλειν. καὶ ἀλαλκεῖν, ἐνεστὼς καὶ μέλλων δεύτερος, ἐκ τοῦ ἀλάλκω βαρυτόνου, καὶ ἀλαλκέω, ἀλαλκῶ, περισπωμένως. ἀφ᾽ οὗ ἀλαλκὼν, καὶ ἀλαλκῶν μετοχὴ, ὁ βοηθήσας καὶ ἐπαμύνας. ἢ ἀλαλκεῖν, τὸ ἀπείργειν, τὸ ἀποσοβεῖν. ἢ τὸ βοηθεῖν. ἀόριστος δεύτερος καὶ μέλλων, ἀλάλκω, ἤλαλκον, ἀλαλκῶ, καὶ ἀλαλκεῖν. τὸ δὲ ἀλαλκὼν, μετοχή ἐστι δευτέρου ἀορίστου, καὶ μέσου. ἀλάλκω γάρ ἐστιν, ὁ μέλλων ἀλάλξω. ὁ δεύτερος ἀόριστος ἤλαλκον. καὶ ἀλαλκὼν, μετοχή. τὸ δὲ ἀλαλκῶ, ἀπὸ τοῦ ἀλκὴ, ἀλκῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν ἀλαλκῶ.

Ἀλαλίαν, πονηρίαν, ἀπαξίαν.

Ἀλαλκτήρια λιμοῦ, τὰ δυνάμενα ἀλαλκεῖν καὶ ἀπείργειν τὸν λιμόν.

Ἀλαλύσθαι, φοβεῖσθαι, ἀλύειν.

Ἀλαλύκτημαι, ἀπὸ τοῦ ἀλύσσω. ἔχει ἐνεστῶτα τὸ ἀλυκτῶ, καθ᾽ ὁμοιότητά τινα τοῦ πέσσω, ἄπεκτος, ἀπεκτῶ. καὶ ἔστι λέξις Ποιηταῖς φίλη, οὐ μὴν Πεζολόγοις. ἢ καὶ ἄλλως, ἀπὸ τοῦ ἀλαλύκτημι ἐστὶ παθητικὸς ἐνεστώς. σημαίνει δὲ τὸ δυσχεραίνειν, καὶ ἀδημονεῖν, καὶ πλανᾶσθαι. καὶ τὸ ἀλαλύκτημαι, οἱ μὲν παρακείμενον, οἱ δὲ ἐνεστῶτά φασι. παρακείμενον οὕτως, ἀλυκτῶ, οὗ παρακείμενος ὁ παθητικὸς ἠλύκτημαι, καὶ ἀττικῷ ἀναδιπλασιασμῷ, ἀλαλύκτημαι, καὶ συστολῇ τοῦ η εἰς α. οὕτω μὲν ὁ παρακείμενος. εἰς ἐνεστῶτα δὲ, οὕτω λαμβάνεται. ἔστιν, ὡς δέδηκται, ἀλυκτῶ. οὗ παράγωγον εἰς μι ἀλύκτημι. οὗ ὁ παθητικὸς ἐνεστὼς, ἀλύκτημαι, Αἰολικῶς. ἐκεῖνοι γὰρ οὕτω κλίνουσι, ποίημαι λέγοντες καὶ νόημαι, καὶ ἐν διπλασιασμῷ Ἀττικῷ, ἀλαλύκτημαι.

Ἀλαμπὲς, τὸ μὴ λάμπον.

Ἀλανὲς, ἀληθές.

Ἀλανέως, ὁλοσχερῶς. Ταραντῖνοι.

Ἄλαξ, ἡ αὖλαξ, ἤτοι ἡ γῆ καὶ πῆχυς Ἀθαμάνων.

Ἀλαοσκοπιὴ, ἡ τύφλωσις τῶν ὀφθαλμῶν.

Ἀλάντος, εἶδος ἐντέρου κατεσκευασμένου, καὶ ἀλλαντοπώλης, ὁ ἐντεροπώλης. ἢ εὐθεῖα, ὁ ἀλλᾶς, τοῦ ἀλλᾶντος.

Ἀλαὸς, ὁ μὴ λάων, ἤγουν ὁ μὴ βλέπων. καὶ ἀλαὸν νέφος, τὸ τυφλὸν νέφος. ἢ ἀλαὸς, ὁ τυφλὸς, ἢ ὁ πλανώμενος. Ὅμηρος Ἀσταίροντ᾽ ἀλάων, ἀντὶ τοῦ βλέπων. ἢ παρὰ τὸ ἀλῶ τὸ πλανῶ, ἀλαὸς ὁ πλανώμενος.

Ἀλαοτόκος, ὁ τυφλὰ γεννῶν.

Ἀλαπάξαι ἐκπορθῆσαι. κυρίως δὲ τὸ κενῶσαι. ἀλαπάζω, ἀλαπάξω. παρὰ τὴν λάπαθον βοτάνην, ἥ ἐστι κενωτικὴ γαστρός. ἀλαπάξαι δὲ κυρίως, τὸ ἐκκενῶσαι. ὅθεν καὶ λαπάρα, ἡ κενὴ ὀστῶν, καὶ τὸ λαφύσσω. γίνεται δὲ ἐκ τοῦ λαπάζω, πλεονασμῷ τοῦ α. παρὰ γοῦν τῷ Αἰσχύλῳ εὕρηται τὸ ῥῆμα χωρὶς τοῦ α. καταχρηστικῶς δὲ, καὶ τὸ πορθεῖν ἀλαπάζειν λέγεται, ὡς ἐν ταῖς ἁλώσεσιν ἐκκενουμένων τῶν πόλεων. κεῖται δέ που ἐν τῇ Ὀδυσσείᾳ φανερῶς τὸ ἀλαπάζειν, οὐκ ἐπὶ ἁλώσεως ἢ πορθήσεως πόλεως, ἀλλὰ ἁπλῶς ἐπὶ κενώσεως. γίνεται δὲ ἐκ τοῦ λαπάζειν τοῦ λάπτειν, ἀφ᾽ οὗ καὶ τὸ λάφυρον. ἔστι δὲ λάπτειν κυρίως, τὸ ῥοφεῖν. ὀνοματοποιηθὲν, καὶ κυριολεκτηθὲν, ἐπὶ τῶν κυνῶν, καὶ λύκων, καὶ τῶν τοιούτων ζώων καρχάρων. ἢ ἀλαπάξαι, ἐκπορθῆσαι. κυρίως δὲ, ἐκκενῶσαι. κενωτικὴ γὰρ γαστρὸς ἡ λάπαθος βοτάνη. ἢ ἡ λίαν ἄποθεν ἡμῶν ποιεῖ τὰ πάθη. ἢ παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ ἄποθεν.

Ἀλαπλὸς, ἀσθενής.

Ἀλάπτης, ἐκ τῆς χώρας τῆς Θρᾴκης τὰ Ἄλαπτα. παρὰ τῷ Ἱπποκράτει.

Ἄλαρα, τὰ ποντικὰ κάρυα, καὶ τὸν αὐλὸν τοῦ δόρατος καταξυόμενον. οἱ δὲ καὶ δένδρον ἀλαρίαν, ὅθεν εἰς τὰ δόρατα αἱ ῥάβδοι.

Ἄλαστε, ἀνεπίληστε. Τέκνον ἐμὸν ἄλαστον.

Ἀλασάρνη, Κῴων δῆμος.

Ἀλᾶσθαι, πλανᾶσθαι. ἄλη γὰρ ἡ πλάνη.

Ἀλαρῶσαι, ῥυπᾶναι.

Ἀλαπαδνὸς, ὁ ἀσθενὴς καὶ εὐπόρθητος, ἐκ τοῦ ἀλαπάζω. Ἰστέον δὲ ὅτι συντελεῖ καὶ τοῦτο εἰς γνῶσιν συγγενείας τοῦ ζ καὶ τοῦ δ. ἀπὸ γὰρ τοῦ ἀλαπάζω γίνεται ἀλαπαδνὸς, ὡς παίζω παιδνὸς, ὀλοφύζω ὀλοφυδνός. ἔστι γὰρ καὶ ὀλοφύζειν, ὡς ὀτοτύζειν, καθὰ ἐμφαίνει ἐν τῷ ὀτοτύζιοι, ὃ πρόκειται τὸ ὀλοφύζιοι.

Ἀλαπαδνότεροι παρ᾽ Ὁμήρῳ, λαμβάνεται καὶ ἀντὶ τοῦ εὐκαταφρόνητοι, εὐπόρθητοι. ἐκ τοῦ ἀλαπάζω τὸ πορθῶ, κατὰ συγγένειαν τοῦ ζ᾽ καὶ τοῦ δ᾽.

Ἀλαπάζονται, πορθοῦνται.

Ἅλας ταῖς οὐλαῖς ἀνεμίγνυον, οὐ μόνον διὰ γονιμότητα, καὶ τὸ ἐν τροφαῖς νόστιμον, ἀλλὰ διότι φιλίας οἱ ἅλες σύμβολον. διὸ καὶ τοῖς ἐπιξενουμένοις παρετίθεντο πρὸ τῶν ἄλλων βρωμάτων, ἢ διὰ τὸ τῆς φιλίας νόστιμον καὶ παράμονον. παραμονῆς γὰρ αἴτιος πολλῆς τῶν σωμάτων καὶ ὁ ἅλς. ἢ καὶ εἰς σύμβολον τῆς κατὰ φιλίαν ἑνώσεως. ὡς γὰρ ὁ ἅλς ἐξ ὑδάτων πολλῶν καὶ ῥυτῶν καὶ χυτῶν παγεὶς, ἕν τι στερεὸν γέγονε σῶμα, οὕτω καὶ οἱ συνελθόντες εἰς ξενίαν, ἐκ διεστώτων εἰς ἓν, τῷ τε τόπῳ καὶ τῇ φιλικῇ διαθέσει, συνήχθησαν. οἶνος δὲ εἰ καὶ μὴ τοῖς οὐλοχύταις συμπαρελαμβάνετο, ἀλλ᾽ οὖν ἐν ταῖς σπονδαῖς χρήσιμος ἦν μετὰ τὰς οὐλοχύτας, διότι καὶ ἡ τούτου εὕρεσις, ὥσπερ καὶ ἡ τῶν κριθῶν, πολιτικοῦ βίου καὶ ἡμέρου ἐστὶ καταρχή. ὀψὲ δέ ποτε εὕρηται.

Ἀλαοσκοπιὴ, καὶ κεῖται παρ᾽ Ὁμήρῳ, ἤγουν, ἡ ματαία κατασκόπευσις, ὡς καὶ ἐν Ὀδυσσείᾳ. φησὶ γὰρ οὐδ᾽ ἀλαοσκοπιὴν εἶχεν Ἀπόλλων. ἔστι δὲ ἀλαὸς, ὁ μὴ δ᾽ ὅλως βλέπων. πῶς γὰρ ἂν τοιοῦτος ἔχοι σκοπιὰν, ἀλλὰ ὁ κακῶς λάων ὅ ἐστι βλέπων. καὶ ἑτέρως δὲ εἰπεῖν, οὐκ ἐκοιμῶντο ἐν τῷ φυλάσσειν.

Ἀλαστεῖν σημαίνει τὸ δεινοπαθεῖν, ὡς ἐπὶ ἀλάστοις πάθεσι. καθὰ καὶ ἐν Ὀδυσσείᾳ. ὅθεν καὶ ὁ ἀλάστωρ.

Ἄλαστα, τὰ κακὰ, ἀνεπίληστά τινα ὄντα, ἄτιμα, δεινὰ, ἢ μικρὰ, * (ἄλλ. μιαρὰ) ἀπὸ τοῦ ἀλαστῶ, ἀλαστήσω, τὸ χαλεπαίνω. ἢ ἀπὸ τοῦ ἀλῶ, τὸ πλανῶ. οἱ γὰρ πλανώμενοι χαλεπαίνουσιν.

Ἀλασταίνει, δυσπαθεῖ.

Ἄλαστε, σχέτλιε, ἁμαρτωλέ.

Ἀλαστεῖν, ἐρευνᾶν. ἢ ἀλαστεῖν, τὸ δεινοπαθεῖν, ἐπὶ ἀλάστοις πάθεσιν. ὡς ἐν Ὀδυσσείᾳ. ὅθεν καὶ ὁ ἀλάστωρ.

Ἀλαστήσας, σχετλιάσας, δεινοπαθήσας, χαλεπήνας, δυσφορήσας.

Ἀλάστορες, παλαμναῖοι, οἱ μιάσμασιν ἐνεχόμενοι. ἢ οἱ μεγάλα ἁμαρτάνοντες. καὶ ἀλαστόρων, ἀντὶ τοῦ ἀσεβῶν, ἢ μιάσμασιν ἐνεχομένων, Ἄλλως.

Ἀλάστορες λέγονται τινὸς, ἢ οἱ κακοποιοῦντες αὐτὸν, ἢ οἱ δι᾽ ἐκδίκησιν αὐτοῦ ἑτέρους κακοποιοῦντες. κυρίως δὲ ἀλάστορες Δαίμονές τινες Ἐριννυώδεις, οἱ οὐκ ἂν λάθοιντο. καταχρηστικῶς δὲ, καὶ οἱ ἁπλῶς φαῦλοι ἐχθροί. ὁ δὲ Ὁμηρικὸς, ἐν τῷ υ τῆς Ἰλιάδος, ἀνεπαχθῶς καὶ οὐκ ἐπὶ ψόγῳ ἀλάστωρ λέγεται, ὡς μνήμης, οὐ μὴν λήθης ἄξιος ὤν. ἔστι δὲ ἐπὶ ψόγου ἀλάστορος χρῆσις, παρά τε ἄλλοις, καὶ παρὰ τῷ εἰπόντι, ὁ Διονύσιος ὁ πάσης γενόμενος Σικελίας ἀλάστωρ. καὶ ἀλάστωρ, πικρὸς καὶ φονικὸς δαίμων, τιμωρῶν καὶ ἀνεπίληστα ἔργα ποιῶν, ἢ ὁ ἄξιος ἐλαύνεσθαι διὰ φόνον, ἀπὸ τοῦ ἀλᾶσθαι, τὸ πλανᾶσθαι.

Ἀλαστὸς λέγεται, ὁ μέθης, * (ἄλλ. λήθης) ἄξια ποιῶν. καὶ ἀλαστῶ, σημαίνει τὸ χαλεπαίνω. ἢ ἀλάστοις, ἀνεπιλήστοις, χαλεποῖς. δεινοῖς. καὶ ἀλαστὸν, δεινὸν, κακὸν, ἢ ἀδιάλειπτον.

Ἀλαστρίας, ἁμαρτωλίας.

Ἀλαυρίδας, σχίζας.

Ἀλαῶν, στυφῶν, λακίζων, ἐκτυφλῶν, βραχίζων, στερίσκων.

Ἀλαῶσαι, τυφλῶσαι. παρὰ τὴν ἄλην, ἤγουν τὴν πλάνην. οἱ γὰρ τυφλώττοντες, ἀλῶνται. κατὰ στέρησιν τοῦ λάειν, ὅ ἐστι βλέπειν.

Ἄλγε᾽ ἀναπλήσειν, ἀντὶ τοῦ ἐντελῶς παθεῖν, καὶ πληρέσατα. γράφεται δὲ καὶ ἀνατλήσειν. ἄλγεα ἀλγεινὰ, κακὰ, ὀδύνας, πήματα.

Ἀλγεὶη, ἡ ἀρρωστία. Λάκωνες.

Ἀλαῶπιν, σκοτεινὴν, οὐ βλέπουσαν.

Ἀλαωτὺν, στέρησιν ὀφθαλμῶν, τύφλωσιν.

* Ἄλβα, οἱ μάργαροι. Σουΐδας.

Ἀλγὰς, ἀλγηδόνας.

Ἀλγᾷ, κρύπτει.

Ἀλγεῖν, πάσχειν. τὸ ἀλγεῖν δὲ τοῦ πονεῖν διαφέρει. ἀλγεῖν μὲν τὸ πάσχειν κατὰ σάρκα, πονεῖν δὲ τὸ ἐνεργεῖν.

Ἀλγεινὸς, καὶ ἀλγεινόεις, ὁ λυπηρός.

Ἀλγεινὴ, χαλεπή.

Ἀλγεόθυμος, ἀνώδυνος τὴν ψυχὴν, ἐλεεινὸς, θερμός.

Ἀλγηδόνα, πόνον, λύπην.

Ἀλγηρὰ, λυπηρά.

Ἄλγησις, ἡ λύπη, καὶ τὸ ἄλγος.

Ἄλγιον, εὕρηται παρὰ τῷ ποιητῇ λεχθὲν, ἀντὶ τοῦ ἀλγεινόν ἐστι τὸ πρᾶγμα. καὶ ἄλγιον, τουτέστι λυπηρόν.

* Ἀλγίστατον, τὸ δεινῶς ἀλγεινόν.

Ἀλγίστη, χαλεπή.

Ἄλγος, πόνος, πένθος.

Ἀλγυνεῖ, λυπεῖ, βαρεῖ, ἀφανίζει.

Ἀλγύνοιτο, λυποῖτο.

Ἀλγύνονται, καταπονοῦνται.

Ἀλγυνῶ, τὸ λυπῶ. ἀλγυνῶ τοῖς ἐχθροῖς.

Ἀλγῶ μεταβατικῶς, αἰτιατικῇ συντάσσεται. οἷον, ἀλγῶ τὴν κεφαλὴν, καὶ ἀλγῶ τῷ πάθει, καὶ ἀλγῶ τὴν δυστυχίαν.

Ἀλδαίνεται, πιμπλᾶται, αὔξει, βλαστάνει.

Ἄλδετα, ἄτμητα.

Ἀλδαίνειν, τὸ αὔξειν. παρὰ τὸ ἄλεσθαι, ἢ παρὰ τὸ ἀλθαίνειν.

Ἀλδήσκω, καὶ ἀλδαίνω, τὸ αὐξάνω.

Digitized by Google

Ἀλδήσκειν. κυρίως, τὸ ἐκ ποτισμοῦ αὔξειν, ὡς ἀπὸ τοῦ ἄρδω, τραπέντος (ὡς ἐν ἄλλοις) τοῦ ρ̄ εἰς λ̄.

Ἀλέα, ἡ θέρμη, ἢ ὁ τόπος ὁ ὑπὸ τοῦ ἡλίου θερμαινόμενος. παρὰ τὸ ἀλίος. ἄλιος γὰρ ὁ ἥλιος. μεταφορικῶς δὲ, καὶ πάντα τόπον θέρμην ἔχοντα. ἢ παρὰ τὸ ἀλῶ, τὸ πλανῶ.

Ἀλεάζειν, κρύπτειν, ἐκκλίνειν, ἢ προβάλλειν καὶ εἴργειν, θερμαίνειν, ἀφανίζειν.

Ἀλεάζω, ἀθροίζω.

Ἀλεάζων, δικαζόμενος.

Ἀλεᾶσθαι, φυλάξασθαι, πηδῆσαι, ἀναχωρῆσαι, θερμαίνεσθαι. * ἄλλ. ἀλέασθαι. ὅτε δὲ σημαίνει τὸ πηδῆσαι, γράφεται ἅλασθαι.

Ἀλεαινοίμην, θερμαινοίμην.

Ἄλεαρ, ἀλεωρίαν, ἢ πολυωρίαν.

Ἀλεαίνειν, τὸ θέρεσθαι. οὐκ ἀλεαίνεσθαι.

Ἀλεβεβᾶν, ἐρευνᾶν.

Ἀλεγεινὰ ῥέεθρα, τὰ ἀλέγεσθαι ἄξια, καὶ ὡς εἰπεῖν ἀξιόλογα. καὶ ἐν ἄλλοις αἰπὰ ῥέεθρα, τὰ ἀλεγεινὰ, ἤτοι ἀλγεινά. καὶ οὕτω χαλεπὰ μεταληπτικώτερον.

Ἀλεγεινοὶ, ἀντὶ τοῦ δυσχείρωτοι, δεινοὶ, ἀλγεινοὶ, χαλεποί. ἢ οἱ μὴ δυνάμενοι χωρὶς ἀλγηδόνος ὑπὸ θνητοῦ δαμασθῆναι.

Ἀλέγει, φροντίζει. καὶ ἀλέγειν, τὸ λόγον μὴ ἔχειν.

Ἀλεγεινή, σκληρὰ, δεινὴ, χαλεπή.

Ἀλεγεινότατον, κατὰ πρόθεσιν τοῦ ε̄. ἔστι γὰρ ἀλγεινότατον, παρὰ τὸ ἀλγεῖν εἰρημένον. ἢ τὸ φροντίδας ἔχον, ὥστε τὴν λέξιν εἶναι παρὰ τὸ ἀλέγειν.

Ἀλεγίζω, λόγον ποιῶ. καὶ ἀλεγίζω τὸ περιστρέφομαι, φροντίζω.

Ἀλέγοις, ἀρήγοις, βοηθείης.

Ἀλεγύνεται, κακοῦται, ἐλαφροῦται, ἐλαττοῦται, ἢ φροντίζεται.

Ἀλεεῖ, ἀδικεῖ.

Ἀλέει, ἐκκλίνει.

Ἀλεεινὸς, θερινὸς, θερμός.

Ἀλεγύνω, παράγωγόν ἐστιν, ἐκ τοῦ ἀλέγω. ὡς πλήθω πληθύνω. καὶ δηλοῖ τὸ ἀρτῦσαι, σκευάσαι. ἐκ δὲ τούτου κατὰ συγκοπὴν, τὸ ἀλγύνω, ἤγουν αἴτιος τινὶ γίνομαι τοῦ ἀλεγύνειν.

Ἀλέγω, τὸ φροντίζω, καὶ ἀλεγίζω ποιητικῶς γενικῇ συντάσσεται. ἀλέγω παρὰ τὸ λέγω τὸ φροντίζω, ἀφ' οὗ λόγος ἡ φροντὶς, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α̅ ἀλέγω. καὶ οὐκ ἀλέγω, τὸ οὐ φροντίζω. καὶ ἀλεγίζω παράγωγον, καὶ ἀλεγεινω, καὶ Σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω χωομένης, παρ' Ὁμήρῳ. ταυτὸ ἀλέγω καὶ ἀλεγίζω, διὰ τὸ τῶν λέξεων ἰσοδύναμον, καὶ χωομένην καὶ σκυζομένην εἶπεν χάριν ἑρμηνείας.

Ἄλεε, φύλαξε.

Ἀλέεινεν, ἐξέκλινεν.

Ἀλεείνων, εὐλαβούμενος.

Ἀλεηνὸς, καυματηρός.

Ἀλέη, ἄλυξις. ὅ ἐστιν ἔκλισις καὶ θερμασία.

Ἀλεείνω, ἐκκλίνω, ἐκφεύγω. ἔστιν ἀλέα ἡ θερμασία. ἐκ τούτου γίνεται ἀλεείνω, οἱονεὶ ἀπὸ ψύχους εἰς θερμασίαν.

Ἀλεῖ, ἀλήθει.

Ἀλεία, πορεία, ἢ ἄλειμμα. καὶ ἀλεία, ἡ ἄγρευσις. * κοινότερον ἡ ἄγρευσις οὐκ ἀλεία λέγεται, ἀλλ' ἁλιεία.

Ἀλείαρ, τὸ ἀπὸ τῶν πυρῶν ἄλευρον. τὸ γὰρ ἀπὸ κριθῆς, ἄλφιτον λέγεται.

Ἀλείατα, τὰ ἀπὸ πυρῶν ἀληλεσμένα ἄλευρα. ἃ συγκοπῇ καὶ ἄλειτα λέγονται. ἢ ἑφθὸν ἄλευρον, ὃ καὶ ἄλητον λέγεται.

Ἀλειλόγῳ, σὺν παντὶ λόγῳ.

Ἄλειμμα, ἐκ τοῦ ἀλείφω. ἄλιμα δὲ βοτάνη τὶς διὰ τοῦ ι̅.

Ἀλεῖν, τὸ οἰκεῖν. καὶ ἀλεῖν, οὐκ ἀλήθειν. καὶ ἀλεῖς, οὐκ ἀλίζεις. * ἴσως καὶ ἀλεῖν, ἀλήθειν. καὶ ἀλεῖν, ἀλίζειν.

Ἀλεῖναι, τὸ ἐπαλεῖψαί τι τοίχῳ.

Ἀλεινὸν, ἀσθενὲς, λεπτόν.

Ἀλεῖον ὕδωρ, ἀθροιστὸν, καὶ συλλεκτόν. * λέγεται καὶ ἀλεῖον.

Ἄλειον, τὸ τοῦ ἡλίου ἱερὸν, κατὰ Ῥοδίους.

Ἀλειὸς, ὁ πένης.

Ἀλειπτήριον, τὸ γραφεῖον. Κύπριοι.

Ἀλειπτὴς πηγὴ ἐν Ἐφέσῳ, οὕτω καλουμένη, διὰ τὸ μηδέποτε ἐπιλείπειν θέρους, ἢ πλεονάζειν χειμῶνος. οὕτω Μεθόδιος.

* Ἀλειπτήριον, τόπος εἰς ἄλειψιν ἐπιτήδειος.

* Ἄλειπτρον τὸ τοῦ ἀλείμματος ἀγγεῖον. παρ' Ἀθηναίῳ.

Ἀλείπτης, ὁ πρὸς τοὺς ἀγῶνας ἐπασκῶν. καὶ ὁ ἀγωνοθέτης, ὡς παρὰ Γρηγορίῳ τῷ Θεολόγῳ, ἀλεῖπται τῆς ἀρετῆς. γίνεται δὲ ἀπὸ τοῦ ἀλείφω, καὶ γράφεται διὰ διφθόγγου. Κανών. Τὰ γὰρ ἀπὸ τοῦ ἀλείφω γινόμενα. εἰ μὲν διὰ τοῦ πτ' ἐκφέρονται, φυλάσσουσι τὴν ει̅ δίφθογγον. οἷον, ἀλείφω, ἀλείπτης, καὶ ἄλειπτον, φάρμακον. καὶ ἀνάλειπτος, ὁ μὴ ἀλειφθείς. εἰ δὲ διὰ τοῦ φ̅ ἐκφέρονται σύνθετα ὄντα, οὐ φυλάσσουσι τὴν ει̅ δίφθογγον ἀλλὰ διὰ τοῦ ι̅ γράφονται. οἷον, νηλιφὶς, ἀνηλιφής. σημαίνει δὲ τὴν ναῦν, τὴν μὴ ἀλειφθεῖσαν πίσσῃ. πρόσκειται σύνθετα, διὰ τὸ ἄλειφα, ὃ σημαίνει τὸ ἄλειμμα. ἐκ δὲ τοῦ ἀλείπτης, γίνεται φιλαλείπτω. ὡς τὸ, Οὐκ ἔστι πίστις ἀνδρὶ φιλαλειπτοῦντι.

Ἀλείπτως, ἀνενδεῶς.

Ἄλεις, πληγεὶς, συστραφεὶς, κρατηθεὶς, φυλαχθείς.

Ἀλείσιον, πόλις Ἤλιδος.

Ἄλεισον, ἀπὸ τοῦ ἄγαν λεῖον εἶναι. εἰ μὴ ἄρα τὸ ποικίλον τῇ κατασκευῇ ἄλεισον ἀκούει τὶς, ὡς ἔξω λειότερον ὂν, πλεονάζοντος δηλαδὴ τοῦ ᾱ. δύναται δὲ καὶ κατὰ στέρησιν τοῦ ᾱ εἶναι, ὅτε ζωωτοῖς δαιδάλμασιν ἐμπέπαισται. ὡς δὲ τὸ αὐτὸ ἄλειστον καὶ δέπας λέγεται, δῆλον ἐκ τοῦ τὸν Ὅμηρον εἰπεῖν, ἐν δ' οἶνον ἔχευε χρυσέῳ δέπαι. εἶτα περὶ αὐτοῦ, τοὔνεκά σοι δώσω χρύσειον ἄλεισον. ἄλειστον κυρίως, τὸ μὴ λεῖόν ἐστι ποτήριον. ὥστε ἄλειόν ἐστι τὸ ἀπαθὲς, οἱονεὶ τὸ μὴ λεῖον, ἀλλὰ τραχὺ τοῖς ἐμπαίσμασιν. ἐπενθέσει δὲ τοῦ σ̅ γέγονεν ἄλεισον. εἰ δέ γε ἀπὸ τοῦ ἀλὲς γίνεται, ὅ ἐστιν ἀολλὲς, καὶ ἄθρουν, ἵνα ᾖ ἄλεισον. ἐξ οὗ ἐστι ποιεῖν ἀλές. καὶ ὡς οἷον εἰπεῖν ἀμυστὶ, κατὰ τὸ δέπας, ὃ ἄμυστις λέγεται, εἴη ἂν τότε ἡ ει̅ δίφθογγος ἄμαχος εἰς τοῦ ε̅ προαναφανέντος, εἶτα τοῦ ι̅ πλεονάσαντος ἐν αὐτῷ. Ἄλλως.

Ἄλεισον, λέγεται ἀρσενικῶς. οἷον, Γίνωσκε τὸν ἄλεισον καὶ τὰ γράμματα. Ἀριστοφάνης. ἔστι δὲ εἶδος ποτηρίου. ἐτυμολογεῖται δὲ διαφόρως. οἱ μὲν γὰρ λέγουσι παρὰ τὸ ἄλις, ἐξ οὗ ἔστι πιεῖν δαψιλῶς, καὶ ἀθρόως οὐκ ἀκριβῶς δὲ λέγεται. πρῶτον μὲν, ὅτι ἀντίκειται αὐτῷ ἡ γραφή. τὸ γὰρ ἄλεισον, διὰ τῆς ει̅ διφθόγγου γράφεται. εἰ δὲ ἦν ἀπὸ τοῦ ἄλις, ὤφειλε διὰ τοῦ ι̅ γράφεσθαι. δεύτερον δέ, ὅτι τὸ ἄλεισον ψιλοῦται, τὸ δὲ ἅλις δασύνεται. εἰ δὲ ἦν ἀπὸ τοῦ ἄλις, ὤφειλε δασύνεσθαι. τὸ γὰρ ἁπανταχοῦ, ἐκ τοῦ ἅπας παραχθὲν, τὴν δασεῖαν τοῦ ἅπας ἐφύλαξεν. ἄλλοι δὲ λέγουσιν, ὅτι παρὰ τὸ ἀλὲς ἐστὶ, τὸ σημαῖνον τὸ ἀθρόον. οἷον, πλατύ. ἐξ οὗ ἐστιν ἀθρόως πιεῖν. οἷς ὁ χρόνος ἀντίκειται. τὸ μὲν γὰρ ἀλὲς, μακρὸν ἔχει τὸ ᾱ. τὸ δὲ ἄλεισον. βραχύ. εἰ δὲ ἦν ἀπὸ τοῦ ἀλὲς, ὤφειλε τὸν μακρὸν * (χρόνον,) αὐτοῦ ἔχειν. κρεῖττον οὖν λέγει Ἀπολλώνιος ὁ τοῦ Ἀρχιβίου, ὅτι παρὰ τὸ λεῖον γέγονεν ἄλειον, καὶ ἐπενθέσει τοῦ σ̅ ἄλεισον. τοῦ ᾱ ἐπιτατικοῦ, ἢ στερητικοῦ ὄντος. τουτέστι, τὸ μὴ ὂν ὁμαλὸν, ἀλλὰ περιφερές. ἢ τὸ εὖ λεῖον, καὶ εὐλόγως ψιλοῦται. τὸ γὰρ ᾱ; ἢ ἐπιτατικὸν ὂν, ἢ στερητικὸν, ψιλοῦται. οὕτως ὁ Χοιροβοσκός.

Ἀλεῖται, πηδήσει. ὡς τὸ, Καὶ χωλὸς ὡς ἔλαφος ἀλεῖται.

Ἀλειτεία, ἡ ἁμαρτία.

Ἀλείτης διὰ διφθόγγου, σημαίνει τὸν ἁμαρτωλόν. ἐκ τοῦ ἀλείτω, τὸ ἁμαρτάνω, ἐκεῖθεν δὲ καὶ ὁ ἀλοιτὸς, ὁ παρὰ Λυκόφρονι, ὅμοιος ὢν τῷ ἀλείτῃ. διὰ δὲ τοῦ η̅, τὸν πλανήτην. τοῦ δὲ ἀλείτω δεύτερος ἀόριστος, ἤλιτον. ἐξ οὗ νηλιτεῖς καὶ νηλιτίδες γυναῖκες. καὶ ἀλιτρὸς διὰ τοῦ ι̅. κατά τινας δὲ, ἀλιτήριος.

Ἀλείτω, ἀληθεύω. * ἀπὸ τοῦ ἀλέω.

Ἄλειφαρ, τὸ ἀπὸ πυρῶν ἄλευρον. καθάπερ καὶ ἄλφιτον, τὸ ἀπὸ κριθῆς. καὶ αὐτὸ τὸ ἄλευρον ἐκ τοῦ ἀλέω γίνεται, πλεονασμῷ συνήθη τοῦ ῡ. καὶ τοιαύτη μὲν ἡ Ὁμηρικὴ ἀλετρίς. Ἄλλως.

Ἄλειφαρ, στέαρ, μῦρον, χρίσμα, ἔλαιον. ἄλειφαρ δὲ διενήνοχε τοῦ δημοῦ. Ἴσως μὲν ὡς ἐλαιῶδές τι ὂν, καὶ αὐτόχρημα ἔλαιον. ἴσως δὲ καὶ ὡς ἐκπιεσθὲν δημοῦ, καὶ ἀγγείοις ἐναποταθέν.

Ἀλείφατι, ἐλαίῳ.

Ἀλείφιον, ᾧ χρῶνται οἱ ἀλεῖπται.

Ἀλειφοβίους, πένητας.

Ἀλείφω, τὸ χρίω, ἀλείψω, ἤλειφα κοινῶς, καὶ ἀλήλιφα Ἀττικῶς, αἰτιατικῇ συντάσσεται. οἷον, ἄλειψον τὴν κεφαλὴν ἐλαίῳ. ἀλείφω καὶ χρίω, ἰσοδυναμοῦσι. πλὴν τὸ μὲν χρίω, παρὰ τὸ χροῦν ἐρρέθη, ὃς χρίεται. τὸ δὲ ἀλείφω, παρὰ τὸ ἀλέω. καὶ τὴν ἐξ αὐτοῦ ἀλέαν, ὅ ἐστι θερμασίαν, ἐπενθέσει τοῦ ι̅. ὅπερ ἐστὶν, ὅτε μονάζει ἐκδραμόντος ἐν ταῖς ἐκ τοῦ ἀλείφω παραγωγαῖς, τοῦ φυσικοῦ ε̅. γίνεται δὲ αὐτὸ οὐ μόνον ἐν τῇ συναλοιφῇ τῇ δηλούσῃ κρᾶσιν καὶ συναίρεσιν, ἀλλὰ καὶ ἐπὶ ἄλλων. φασὶ γὰρ τὰ ἐκ τοῦ ἀλείφω ὀνόματα, διὰ μὲν τοῦ πτ' ὄντα, φυλάττειν τὴν δίφθογγον. οἷον ἀλειπτὸν, ἀνήλειπτον, ἀναπάλειπτον. τὰ δὲ διὰ τοῦ ω̅ μόνον, τὸ ι̅ ἔχουσιν. οἷον ἀνηλιφὴς ναῦς, ἡ μὴ ἀλιφεῖσα πίσσει. καὶ πισσαλιφὴς, ἡ πεπισσωμένη. τὸ δὲ ἄλειφαρ, καὶ ἄλειφα, δίχα τοῦ ρ̄ γράφεται.

Ἀλεκινὸς, δυνατὸς, ὁ καὶ ἄλκιμος. * ἀδόκιμον.

Ἄλεκτα, ἄτμητα.

Ἀλεκταίνει, ἰσχύει, γαυριᾷ, μετεωρίζει.

Ἄλεκτρα, καὶ ἄνυμφα, ἀντὶ τοῦ παράνομα, καὶ οὐ νενομισμένα διὰ τὴν μοιχείαν, τουτέστι δύσλεκτρα καὶ κακόνυμφα. Σοφοκλῆς, ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβη μιαιφόνων ἁμιλλήματα.

Ἀλέκτο, ἐκοιμήθη. * κάλλ. ἔλεκτο Ἰωνικῶς ἀντὶ τοῦ ἐλέλεκτο.

* Ἀλεκτὴρ παρὰ Πινδάρῳ ταυτὸ τῷ ἀλεξητήρ. τὸ μὲν οὖν ἀλεκτὴρ ἀπὸ τοῦ ἀλέζω. τὸ δὲ ἀλεξητὴρ ἀπὸ τοῦ ἀλεξέω. ἔστι δὲ καὶ ἀλκτὴρ ἀπὸ τοῦ ἄλκω.

Ἀλέκτο, ἐκοιμήθη.

Ἄλεκτρος, ἀκοίμητος.

Ἀλεκτρὶς, θρὶξ ἡ ὑπὸ τῆς κεφαλῆς τρεφομένη, καὶ ὄρνις ἡ θήλεια.

Ἀλεκτρυὼν, καὶ ἐπὶ ἄρρενος, καὶ ἐπὶ θήλεος λογογράφοι. τὸ δὲ ἀλεκτορὶς, ποιητικόν. ὡς τὸ ἀλέκτωρ, ἑλληνικὸν ὅλως.

Ἀλεκτρυὼν, κύριον κεῖται ἐν τῷ τῆς Ἰλιάδος ρ̄. οὐ φυλάσσον τὸ ω̅ ἐν τῇ γενικῇ. ὡς ὁ ἀλεκτρυών. τὸ δὲ τοῦ ζώου ὄνομά φασιν οἱ παλαιοὶ, οὐδέπω ἐπὶ Ὁμήρου ἐγνῶσθαι. ὅπερ ἐπίθετον, ὁ ὀρθροβόας παρὰ τοῖς ὕστερον. Ἱστορία. Φασὶ δὲ τὸν ἀλεκτρυῶνα ἄνθρωπον ὄντα, καταστῆναι ὑπὸ Ἄρεως ἐν τῷ οἴκῳ Ἡφαίστου, τηρεῖν αὐτοῦ τὴν ἄφιξιν, διὰ τὴν μοιχείαν τῆς Ἀφροδίτης. ὁ δὲ ἀπεκοιμήθη. φωραθεὶς οὖν, εἰς τὸ ὄρνεον αὐτὸν μετέβαλεν. ὁ δὲ μεμνημένος τὴν ὥραν ἐκείνην, ἄρχεται ᾄδειν τὴν τοῦ ἡλίου προαισθόμενος ἄνοδον, καθ' ἣν ὁ Ἥφαιστος εἰώθει ἐπανήκειν οἴκαδε.

Ἀλέκτωρ λέγεται, διὰ τὸ ἐκ τοῦ λέκτρου ἡμᾶς ἐγείρειν. καὶ ἀλέκτωρ, παρθένος ἡ μὴ πειραθεῖσα λέκτρου λέγεται.

Ἀλεμὸς, κόμπος.

Ἄλεν ψιλοῦται, εἴτε ἐπὶ τοῦ ἐκκλίνειν τάσσεται, εἴτε ἐπὶ τοῦ συστραφῆναι. ἔστι δὲ δευ-

πέρου

Digitized by Google

τέρου ἀορίστου, ἀλῶ, τὸ πλανῶ. ὁ δεύτερος ἀόριστος, ἦλον καὶ ἄλον. ὁ παθητικός, ἥλην. καὶ ἄλην. ὁ μέσος δεύτερος, ἡλόμην καὶ ἀλόμην. τὸ δεύτερον πρόσωπον τοῦ δευτέρου ἀορίστου, ἤλες ἄλες. τὸ τρίτον, ἦλεν ἆλε. τὸ πρῶτον τῶν πληθυντικῶν, ἤλομεν καὶ ἄλομεν, καὶ κατὰ συγκοπὴν ἄλεν. ὡς τὸ κοσμηθέν. τοῦ δευτέρου ἀορίστου ἡ μετοχή, ἀλεὶς ἀλέντος. καὶ ἀλέντες, ὅ ἐστι κλεισθέντες, ἀθροισθέντες.

Ἀλέν, συναθροισθέν.

Ἀλένθη, ἡ νύξ.

Ἀλέντες, συγκλεισθέντες, ἢ συναθροισθέντες.

Ἀλενῶν, πλανώμενος.

Ἀλέξαι, ἐπιλέξαι. * φροντίσαι.

Ἀλεξαίθριον, θερμὸν σκέπασμα. Σοφοκλῆς Ἀμφιαράῳ.

Ἀλεξάνδριος, εἶδος βοτάνης. Ἱστορία.

Ἀλέξανδρον ὁ Πρίαμος δίδωσιν Ἀρχελάῳ οἰκέτῃ ἐκθεῖναι ἐν Ἴδῃ. πέντε δὲ ἡμέρας τοῦτον ἄρκτος ἐθήλασεν ἐκκείμενον. εἶτα πάλιν ὁ Ἀρχέλαος τοῦτον ἀνελόμενος, ἐπὶ τῆς χώρας, ὡς ἴδιον ἔτρεφε Πάριν κατονομασμένον. ὕστερον δὲ ποιμνίοις ἀλεξήσας, ἀπὸ τῶν λῃστῶν Ἀλέξανδρος ἐκλήθη. Ἄλλως.

Ἀλέξανδρον Φιλοκτήτης τοξεύσας, βάλλει πρῶτον κατὰ χεῖρα λαιάν. εὐθὺς δὲ δεύτερον οἰστὸν ἀφεὶς, ἐκκόπτει τοῦτον τὸν δεξιὸν ὀφθαλμόν. καὶ τρίτῳ βέλει κατὰ σφυρὸν πείρας, αὐτὸν ἀναιρεῖ. λέγουσιν ὅτι διερχομένου Ἀλεξάνδρου δι' Αἰγύπτου, ὁ Πρωτεὺς Ἑλένην ἀφελόμενος, εἴδωλον Ἑλένης αὐτῷ ἔδωκε. καὶ οὕτως ἔπλευσεν εἰς Τροίαν, ὥς φησι Στησίχορος. Ὅτι δὲ φιλῳδὸς ἦν ὁ αὐτὸς Ἀλέξανδρος, δηλοῖ καὶ ἡ κιθάρα, ἣν αὐτῷ Ἕκτωρ ὀνειδίζει. Ὅμηρος ἐλάφῳ μὲν αὐτὸν εἰκάζει, ὡς δειλόν. αἰγὶ δὲ, ὡς ὀχευτικόν. τοιαῦτα μὲν γὰρ τὰ ζῶα. Ἄλλως.

Ἀλέξανδρος ἐκλήθη, παρὰ τὸ ἐκτεθῆναι αὐτὸν ἐν τῇ Ἴδῃ εὐθὺς τεχθέντα, καὶ αὐξηθῆναι καὶ παρελθεῖν τὸν μόρον, οὕτως. κατὰ γαστρὸς αὐτὸν ἔχουσα ἡ Ἑκάβη, ἐνόμισε κατ' ὄναρ, καιόμενον δαλὸν τίκτειν, ὅστις κατέφλεξε πᾶσάν τε τὴν πόλιν, καὶ τὴν ἐκοῦσαν ἐν τῇ Ἴδῃ ὕλην. τοῦτο δὲ τὸ ἐνύπνιον ἀκούσαντες οἱ μάντεις, καὶ οἱ περὶ τοὺς ὀνείρους δεινοί, εἶπον τὸ τεχθὲν παιδίον εὐθέως μικρὸν ὄν, ῥιφθῆναι θηρσὶ βοράν. τεχθέντα δὲ Ἀλέξανδρον, ἐξέθηκαν ἐν τῇ Ἴδῃ. ὃν ποιμὴν ἑωρακὼς ὄντα εὐειδέστατον, ἀνελόμενος ἀνέθρεψεν. ἐτυμολογεῖται δὲ Ἀλέξανδρος, παρὰ τὸ ἐπαλεξεῖν τῇ πατρίδι τοῖς πολεμίοις. ἢ παρὰ τὸ ἄλεξιν εἶναι ἀνδρῶν, ἤγουν, βοήθειαν. ἀλέξω γὰρ, τὸ ἀμύνω.

Ἀλέξαι, βοηθῆσαι.

* Ἀλεξάνδρεια, πόλις. τὸ ἐθνικὸν ἀλεξανδρεὺς, καὶ ἀλεξανδρὶς τὸ θηλυκόν. λέγεται καὶ ἀλεξανδρειανός, καὶ ἀλεξανδρείτης, καὶ ἀλεξανδρεῖνος. ἔστι καὶ κτητικὸν ὄνομα παρ' Ἀθηναίῳ Ἀλεξανδρεωτικός. οἷον ὁ Μαρεώτης οἶνος Ἀλεξανδρεωτικὸς τὴν προσηγορίαν ἔσχεν ἀπὸ τῆς ἐν Ἀλεξανδρείᾳ κρήνης Μαρείας.

* Ἀλεξανδρίζω, μιμοῦμαι τὰ Ἀλεξάνδρου, καὶ παραπλήσιος εἰμί ἔν τισι, καὶ φιλῶ τὰ περὶ αὐτόν. οἷον, ἡ Ἀντιγόνου τύχη Ἀλεξανδρίζει.

Ἀλεξάνεμος χιτὼν, ἡ ἐσθὴς, ἡ παχεῖα καὶ εὐπαγής. ἡ ἀλέγουσα, ἤτοι ἀποσοβοῦσα τὸ ἐκ ἀνέμων ψύχος. ἢ ἡ βοηθοῦσα κατὰ ἀνέμων. καὶ ἀλεξίκακος, ὁ κατὰ μετάληψιν κηραμύντης παρὰ Λυκόφρονι. καὶ ἀλεξιβέλεμνος χιτὼν, ὅ ἐστι θώραξ πολεμικός. τοιαύτης δὲ συνθετικῆς δυνάμεως, καὶ τὸ ἀλεξιφάρμακον, καὶ τὸ ἀλεξίλογον, ἤγουν τὸ ἀλέγον, καὶ βοηθοῦν εἰς τὸν λόγον.

Ἀλέξασθαι, ἀμῦναι, βοηθῆσαι, ἢ ἀποσοβῆσαι. Ὅμηρος Ὀδυσσείας σ. Ξενοφῶν δὲ, ἀντὶ τοῦ ἐπαμύνειν καὶ βοηθεῖν. οἷον, Πολὺ γὰρ διέφερον, ἐκ χώρας ὁρμωμένους ἀλέξασθαι, ἢ προπορευομένους ἐποίουσι τοῖς πολεμίοις μάχεσθαι.

Ἀλέξειν, ἀντὶ τοῦ ἀποτρέπειν.

Ἀλεξέμεναι, ἀπὸ τοῦ ἀλέξω, ἀλέξειν. καὶ Δωρικῶς, ἀλεξέμεναι. ἔστι δὲ ἐνεστὼς μὲν, ἀλέξω. ὃ δηλοῖ κυρίως μὲν, τὸ ὑπὲρ τῶν ἀλόχων βοηθεῖν. καταχρηστικῶς δὲ λέγεται, καὶ ἐπὶ τοῦ ὁποσοῦν συμμαχεῖν. ἀλεξήσω μέλλων ἑτεροκλίτως. ὁ ἀόριστος ἠλέξησα. ἀφ' οὗ ἀλεξῆσαι.

Ἀλεξῆσαι, βοηθῆσαι.

Ἀλέξησις, βοήθεια, καὶ ἀντίτισις.

Ἀλεξητῆρα, βοηθὸν, σωτῆρα.

Ἀλεξητήριον, ἀποσοβητήριον. ἀλέξαι γὰρ, τὸ βοηθῆσαι.

Ἀλεξητὴρ μάχης, εἶχε παρά. τίνι θρασυγράφῳ συνθεῖναι, τὸν ἀλεξίμαχον πρὸς ὁμοιότητα τοῦ ἀλεξητὴρ κακῶν, ὅς ἐστιν ἀλεξίκακος. καὶ ἀλεξητὴρ φαρμάκου, ὁ ἀλεξιφάρμακος.

Ἀλεξιάρη γῆ, ἡ τοῖς ἀνδράσιν ὠφελοῦσα.

Ἀλεξιάρην νειὸν, καὶ τὴν χειμάμυναν χλαῖναν, καὶ τὴν ἀλεξάνεμον, λέγει Ἡσίοδος. ἡ ἀλεξιάρη νειὸς παρ' αὐτῷ, ἤγουν ἡ ἀποσοβοῦσα τὰς ἀρὰς, τουτέστι τὰς βλάβας. ἤδη δὲ, καὶ τὴν ἐκ τριχῶν μυιοσόβην συνέθετο.

Ἀλεξιάρης, ἐπίκουρος, ἀλεξίκακος.

Ἀλεξιβέλεμνον, τὸν τὰ βέλη ἀπερύκοντα.

Ἀλεξίκακοι, ἀποπομπαῖοι, ἀπότροποι, λύσιοι, φίλιοι, φύξιοι, λέγονται δαίμονες, οἱ λύοντες τὰς ἀράς. οἱ δὲ κυροῦντες, ἀλιτήριοι, ἀλιτηριώδεις, προστρόπαιοι, παλαμναῖοι, ἀλάστορες.

Ἀλεξίκακον λέγομεν, τὸν ἀποτρόπαιον, καὶ τὸν τὰ δεινὰ ἀπείργοντα. ἴδιον Ἡρακλέους τὸ ἐπίθετον, καὶ ἀλεξίκακος Ἀπόλλων λέγεται.

Ἀλεξίκακος. Τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων γινόμενα ὀνόματα, ἐν τῇ συνθέσει τρέπει τὸ ω εἰς ι. οἷον, ἄρχω ἀρχιστράτηγος, αὔξω αὐξίφωτος, λύσω λυσίκομος, ἀλέξω ἀλεξίκακος. καὶ ἀλεξίκακος, βοηθὸς, ἀποτρεπτικὸς κακοῦ, ἀπαλεξοῦσα τὰ κακά.

Ἀλεξιφάρμακον, θεραπευτικὸν βοήθημα.

Ἀλεξόμενον, ἀμυνοῦντα, βοηθοῦντα, τὸν κακῶς ἄρξαντα κακῶσαι θέλειν.

Ἀλεξούμενος, βοηθούμενος, ἀμελούμενος.

Ἀλεξῶ, ἀλεξήσω. ὡς καὶ αὔξω αὐξήσω, καὶ ἕψω ἑψήσω, ἐνεστῶτες καὶ μέλλοντες.

Ἀλέξω κυρίως, παρὰ τὸ τῇ ἀλόχῳ γυναικὶ βοηθήσω. ἢ ἀπὸ τοῦ ἄλκω, ἄλξω, καὶ πλεονασμῷ τοῦ ε, ἀλέξω.

Ἀλέοιμι, ἀντὶ τοῦ θερμαίνοιμι.

Ἀλεὸν, θερμὸν, ἢ χλιαρόν.

Ἀλεὸς, ὁ ἥρως, ὁ πατὴρ τῆς Αὔγης. παρὰ τὸ ἀλῶ, παράγωγον ἀλεύω. καὶ ὥσπερ παρὰ τὸ λοχεύω λοχεὸς, καὶ κελεύω κελεὸς, σωρεύω σωρεὸς, οὕτως ἀλεύω ἀλεός. Μεθόδιος.

Ἄλεος, ὁ μάταιος. καὶ ἀλεόφρων, ὁ παράφρων. ἢ ὁ θερμὸς καὶ ἐνεός. καὶ ἀλεὸς, ὁ διάπυρος.

Ἀλεόσσω, ματαΐζω.

Ἀλεόφρων, παράφρων.

Ἀλέπαδνον, ἄζευκτον.

Ἀλεπέοσι, στέατι.

Ἀλέρα, καὶ ἐλάρα, ἐλάρας, γενεά. οὕτω παρὰ Σιμωνίδῃ. ἀλέρα δὲ παρὰ Πινδάρῳ, οἷον ἀλέρας ὠσόν. ὅτι δὲ τὸ πρῶτον ἐστὶν ἀληθὲς, πίστις τοῦτο ἐκ τοῦ παρ' Ἡσιόδῳ μετὰ προσθήκης τοῦ ι λέγεσθαι τὸ πατρωνυμικόν. εἰλαριάδην γάρ φησι πιτυὸν, καθ' ὑπέρθεσιν ἄρα τὸ ἀλέρα γέγονεν. οὕτως Ἡρωδιανός.

Ἀλέρον, κάπρον.

Ἄλες. ἔστιν αἰολέες, ὃ σημαίνει τὸ ὁμοῦ, καὶ κράσει τοῦ α καὶ ο εἰς α μακρὸν, καὶ ἀποβολῇ τοῦ ἑνὸς λ ἀλέες, καὶ ἄλες.

Ἀλεσάφθονοι, ἐπὶ εὐφημισμοῦ ἐλέγετο.

Ἀλέσθαι, ἐκκλῖναι, ἀναχωρῆσαι. κυρίως δὲ τὸ ἀπὸ πυρὸς ἐκφυγεῖν.

Ἄλεσθαι πέος πύγλην, τὸ ἐν τῷ ἄλλεσθαι κρούειν τὰ ἰσχία.

Ἀλεσούριος, εἶδος ἰχθύος θαλασσίου, ὅν τινες κατ' εὐφημισμὸν καλλιώνυμον καλοῦσιν. ἔστι δὲ τὸ λεγόμενον θαλάσσιον αἰδοῖον, ἀλὸς οὐρὰ, ἀλοσούριόν τι ὄν. οὐρὰς γὰρ καὶ τὸ αἰδοῖον εἰώθαμεν καλεῖν.

Ἀλέτην, συστροφὴν, φυγήν.

Ἀλετένης, χαλεπῆς.

Ἀλετρεύουσιν ἐπὶ μύλης, μήλοπα καρπόν. οἱ ἐξηγηταί φασι, τὰς γυναῖκας ἀλήθειν ἐν μύλωνι σῖτον. καὶ ἀλετρεύειν μὲν τὸ ἀλήθειν, καὶ ἀλετὸν ποιεῖν. ὅθεν καὶ γυναῖκες ἀλετρίδες, αἱ καὶ μυλωθροὶ, καὶ μυλωθρίδες, παρὰ τὸ μύλον ἀθρεῖν ἐν συναιρέσει. ἢ περὶ μύλωνα θορεῖν ἐν συγκοπῇ. μύλην δὲ, ἐν ᾗ τρίβονται οἱ πυροί. μύλοπα δὲ καρπὸν, τὸν σῖτον. ὡς μυλοειδῆ τὴν χρόαν, ὅ ἐστι κιῤῥὸν καὶ ξανθόχρουν. ὅθεν καὶ Δημήτηρ, ξανθὴ λέγεται.

Ἀλετρίαι γίγνονταί τινες παρθένοι, αἵτινες τὰ εἰς τὰς θυσίας πόπανα ἀλοῦσι. καὶ ἔστι τοῦτο ἐπίτιμον.

Ἀλετρίβανον. οἱ μὲν δασέως, παρὰ τὸ τὰς ἅλας τρίβειν, οἱ δὲ ψιλῶς, παρὰ τὸ ἀλεῖν, καὶ δοίδυξ μὲν ἀττικόν. ἀλετρίβανον δὲ, ἀσιανὸν, λέγεται καὶ ἀλότριψ ὡς ἐν ἐπιγράμματι, Καὶ τοῦτον δικάρανον ἀλότριβα. καὶ ἀλετρὶς, ἡ μυλωθρὸς, παρὰ Καλλιμάχῳ.

Ἀλετρὶς γυνὴ, μυλωθρός. παρὰ τὸ ἀλέω τὸ ἀλήθω. ἐξ οὗ καὶ ἀλετὸς, ᾧ ἡ τοιαύτη ἐπιστατεῖ. ἐκ δὲ τοῦ τοιούτου ἀλέω, οὗ τὸ ἀλήθω παράγωγον. καὶ ἀλείαρ, τὸ ἀπὸ πυρῶν ἄλευρον, ἐκ τοῦ ἀλέω γίνεται, πλεονασμῷ συνήθει τοῦ ι, καὶ τοιαύτη μὲν ἡ Ὁμηρικὴ ἀλετρίς. ὕστερον δὲ ἀλετρίδες, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ, κόραι τινὲς ἀθλώησιν ἀπεδείκνυντο, ἐφ' ᾧ τὰ εἰς θυσίαν πόπανα πωλεῖν. ἀλλαχοῦ δὲ δηλοῦνται, ὅτι ἀλετρίδες ἔντιμοι καὶ εὐδόκιμοι παρθένοι, αἱ τὰ εἰς θυσίαν πόπανα ἄγουσαι. ἐφ' οἷς καὶ ἱερούς τινας μύλωνας ἀναγράφουσιν, οἱ τὰ ἀττικὰ συγγεγραφότες. Παυσανίας δὲ λέγει, ὅτι ἀλετρίδες αἱ τὸν ἱερὸν ἀλετὸν ἀλοῦσαι. ᾑροῦντο δέ τινες παρθένοι, αἳ τὰ εἰς θυσίαν πόπανα ἤλουν, καὶ ἔντιμοι ἦσαν.

Ἀλετῶναι, οἱ τοῖς μύροις ἐπιθέμενοι.

Ἀλευαδᾶ εἴρηται, ὡς τὸ φεῦδα. οἱ γὰρ Δωριεῖς τὴν γῆν δᾶν λέγουσι, καὶ δίαν. ὡς καὶ τὸν γνόφον δνόφον. φεῦδα οὖν φεῦγε. οὕτως οὖν καὶ τὸ ἀλεῦα δᾶ, ἀλέου δᾶ, τοῦ δᾶ ἀντὶ τοῦ γῆ κειμένου.

Ἀλευάδαι, οἱ ἐν Λαρίσσῃ τῆς Θετταλίας εὐγενέστατοι. ἀπὸ Ἀλεύου βασιλέως τὸ γένος ἔχοντες.

Ἀλευάμενον, καὶ κτάμενον, ποιητικά. ὧν τοῦ μὲν ἀλέω τὸ θέμα, οὗ ἐκ παραγωγῆς μὲν τὸ ἀλεείνω γίνεται. ἐξ ἐπενθέσεως δὲ τοῦ υ τὸ ἀλεύω. τούτου δὲ ἀόριστος ἤλευα, ὅθεν τὸ ἠλευάμην, καὶ ὁ ἀλευάμενος. ἢ ἀπὸ τοῦ ἀλευσάμενος. τοῦ δὲ κτάμενον, προϋπάρχει ῥῆμα κτῶ. ἀφ' οὗ δύο παράγωγα. τὸ κτείνω ῥητὸν, καὶ τὸ κτῆμι ἄῤῥητον, ὧν αἱ μετοχαὶ ὁ κτὰς, ὡς ὁ ἱστάς. καὶ ὁ κτάμενος, ὡς ὁ ἱστάμενος.

Ἀλευάμενος, ἐκκλίνας, φυλαξάμενος.

Ἀλεύατο, ἀντὶ τοῦ ἐφυλάξατο, ἐξέκλινεν. εἴρηται δὲ ἀπὸ τοῦ ἀλεύω.

Ἄλευε, Ἴωνες τὸ φύλαξαι. καὶ παροιμία, ἄλευε ἀπὸ μείζονος ἀνδρός.

Ἀλευόμενοι, ἐκκλίνοντες.

Ἄλευρα κυρίως, τὰ ἐκ σίτου ἄλφιτα, τὰ ἐκ κριθῶν ἄλευρα. ἐνίοτε οἱ ποιηταὶ, ἄλφιτα τὸν ἄρτον καὶ τὴν τροφὴν λέγουσιν.

Ἀλευρότησις, τὸ λεπτὸν τοῦ ἀλεύρου. ἢ τὸ κόσκινον. σήθω, σήσω, σῆσις, καὶ τροπῇ τοῦ σ εἰς τ, τῆσις, καὶ πλεονασμῷ τοῦ τ μετὰ τὸ ἄλευρον, ἀλευρότησις.

Ἀλευρονταφος, Κύπριοι. ἄλευρα καὶ ῥόας. ἴσως ὅτι τοῖς νοσοῦσιν, οὕτω διανύτουσιν.

Ἀλευροδοῦντες, πέμματος γένος, παρὰ Ἀντικλείδῃ.

Digitized by Google

Ἀλευροδῦνται, πέμματος γένος, παρὰ Ἀντικλείδῃ.

Ἀλευρόμαντις, ὁ Ἀπόλλων. διὰ τὸ καὶ ἐν ἀλεύροις μαντεύεσθαι.

Ἀλευρόπωσις, πωλία, εἰς ἣν τὰ ἄλευρα διατίθεσιν.

Ἀλεύρειν, ἀφεσάναι.

Ἀλεῦσαι, ἀδοξῆσαι.

Ἀλευσῶν, φυλάσσων, ἀλύων.

Ἄλευσα, ἀόρατα, ἀθεώρητα.

Ἀλεῦς, ὁ δῆμος τῆς κῶ, ὅπου καλούμενος ἀπό τινος ἀλέντος. ἢ τόπος ἐν κῷ, οὕτως ὀνομαζόμενος ἀπὸ ἀλεντίου τινὸς βασιλέως. ἔστι δὲ καὶ ἀλεῦς, ποταμὸς σικελίας.

Ἀλεύω, τὸ φεύγω. παρὰ τὴν ἀλέαν τὴν θέρμην. ἀλεῶ. καὶ ἀλεύω κυρίως, τὸ ἀπὸ τοῦ ψύχους εἰς θερμασίαν ἀποφεύγω. μεταφορικῶς δὲ, καὶ τὸ ἁπλῶς ἐκκλίνω ἀπὸ τοῦδε εἰς τόδε.

Ἀλεφάτισον, ἄλειψον.

Ἀλεώμεθα, ἐκκλίνωμεν, φεύγωμεν. ἀπὸ τοῦ ἀλῶ, τὸ πλανῶμαι. οἱ γὰρ φεύγοντες πλανῶνται.

Ἀλεωρή, ἡ κατὰ ἐπιτηδειότητα ἔκκλισίς ἐστι καὶ φυγή. ὡς τὸ, Ἔγχος ἠλεύατο. καὶ Ἡσίοδος, Λιμοῦ τ' ἀλεωρήν. ἢ ἡ φυλακή. καὶ ἡ μὲν φυλακή, παρὰ τὴν ἀλέαν τὴν θέρμην, καὶ τοῦ ὠρεῖν, τὸ φυλάττειν. ἡ δὲ φυγή, παρὰ τὸ ἀλέασθαι ἀπαραφυλάκτως. ἐκ τοῦ ἀλέω οὖν ἀλεωρή. καὶ ἀλεόμεθα, ἐκφεύγομεν, ἐκκλίνομεν. καὶ ἀλεωρή, ἀποστροφή, ἐκφυγή, καταφυγή.

Ἄλη, ἡ πλάνη. παρὰ τὸ ἀλῶ, τὸ πλανῶ. τοῦτο παρὰ τὸ λῶ, τὸ θέλω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄλη.

Ἀληδόν, ἀθρόως, ἐξαίφνης.

Ἀλῆεν, καταγνωσθεῖεν.

Ἄληθες, ἴσον τῷ ὄντως. ἀξιοῦσι δὲ ὀξύνειν τὴν πρώτην, ὅταν τοῦτο δηλοῖ. ἔστι δὲ ἐπίρρημα θαυμαστικὸν καὶ προπαροξύτονον, ἀττικῶς.

Ἀληθέα, ἀψευδῆ, καὶ τὰ μὴ ἐπιλανθανόμενα.

Ἀλήθεια, ἀπόφασις, λέγουσα τὸ ὑπάρχον ὡς ὑπάρχον, καὶ τὸ μὴ ὑπάρχον ὡς μὴ ὑπάρχον.

Ἀληθείας. τὸ τοῦ Πρωταγόρου σύγγραμμα, ἐν ᾧ ταῦτα δοξάζει, ἀληθείας ἐκαλεῖτο.

Ἀληθέσωσι, πλανηθῶσι, παρὰ τῷ Ἱπποκράτει.

Ἀληθεῖς, οἱ μηδὲν ἐπιλανθανόμενοι, ὡς Πίνδαρος.

Ἀληθές, ἐναντίον τῷ ψευδεῖ. ἄληθες δὲ, τὸ κατ' εἰρωνείαν, ἀντὶ τοῦ ὄντως. ὡς παρ' Ἀριστοφάνει ἐν Πλούτῳ, Ἄληθες, ὦ δηλότατε πάντων.

Ἀληθῆ, ἀψευδῆ. τῶν ἐπιθέτων τὰς συνῃρημένας αἰτιατικάς, δίχα τοῦ ν Ἀττικοὶ καὶ πάντες Ἕλληνες προφέρουσι. τὰς δὲ τῶν κυρίων, μόνοι οἱ Ἀττικοὶ καὶ διὰ τοῦ ν, τὸν Δημοσθένην καὶ τὸν Ἀριστοφάνην. ἐκείνας γὰρ κοινὰς πᾶσιν Ἕλλησιν οὔσας, ἀπαραποιήτους ἴασαν. τὰ δὲ κύρια ἐπειδήπερ ἀνθρώπων εἰσὶν ὀνόματα, ἐν αὐτοῖς γινομένων, καὶ μὴ τοῖς Ἕλλησιν ἅπασι γνωρίμων, ἐπ' αὐτοῖς μόνοις τὸν κανόνα ἐφύλαξαν, τὸν λέγοντα, δεῖν τὴν αἰτιατικὴν ἰσοσυλλαβοῦσαν τῇ εὐθείᾳ, διὰ τοῦ ν ἐκφέρεσθαι.

Ἀλήθη, ἐπλανήθη.

Ἀληθής, δικαία, ἢ δίκαιος. ἢ μνήμων. κατὰ στέρησιν τῆς λήθης. καὶ ἀληθής, φιλαλήθης. ἀρχαῖος, φιλάρχαιος. τὰ ὀνόματα συντιθέμενα, ἀναβιβάζουσι τὸν τόνον. αἱ δὲ μετοχαί, οὐκ ἀναβιβάζουσιν. ἀλλὰ πῶς τὸ φὰς τερίφας, τλὰς πολύτλας, καὶ ἄτλας, ἀναβιβάζουσι τὸν τόνον εἰς ἔννοιαν γὰρ ὀνοματικὴν ἐλθοῦσαι, τὸ τοῦ ὀνόματος σχῆμα ἀνεδέξαντο.

* Ἀληθέστερος, καὶ ἀληθέστατος, ὀνόματα. ἀληθέστερον, ὄνομα, καὶ ἐπίρρημα. ἀληθέστατον ὄνομα. καὶ ἀληθέστατα ἐπίρρημα. καὶ ἀληθεστέρως.

* Ἀληθεύων λέγεις. ἀληθῆ λέγεις. συντάσσεται τὸ ἀληθεύω καὶ αἰτιατικῇ, ὡς παρ' Ὁμήρῳ. πάντα δὶ ἀλήθευσον. καὶ παρὰ Ξενοφῶντι. λέγειν οὐδὲν ὅ, τι ἂν μὴ ἀληθεύω.

* Ἀληθεύομαι, ἀντὶ τοῦ ἀληθῆ λέγω. Ξενοφῶν. καὶ ἀληθεύει τοῦτο, ἀντὶ τοῦ ἀληθές ἐστι.

* Ἀληθευτικός, ὁ ἀληθεύειν ἀγαπῶν, ἤτοι ἀληθῆ λέγειν.

* Ἀληθινός, ὁ ἀληθής, καὶ ὁ μὴ πεπλασμένος. καὶ ἀληθινοὶ παῖδες, οἷς ἀντίκεινται οἱ ποιητοί. καὶ ἀληθινῶς παρ' Ἰσοκράτει ἀντὶ τοῦ ἀληθῶς.

Ἀληθεύω, ἀληθίζω, ἀληθίζομαι, ἀληθῆ λέγω, δοτικῇ συντάσσεται. ἀληθίζω, παρὰ Ἡροδότῳ ἐν τῇ πρώτῃ, Ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθίζεσθαι.

Ἀληθέως, καὶ εὐσεβέως, καὶ ἀτρεκέως, ἀντὶ τοῦ ἀληθῶς, εὐσεβῶς, ἀτρεκῶς, λέγουσιν οἱ Ἴωνες. καὶ ταῦτα τὰ ἐπιρρήματα, ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν γίνεται, τραπέντος τοῦ ν εἰς σ. ὁμοίως τὸ ὁσίως, δικαίως, θαυμαστῶς, καὶ μυρία ἄλλα.

Ἀληθινόν, τὸ κοπανιστήριον.

Ἀληθοεπῆ, ἀψευδῆ.

Ἀλήθω τὸν σῖτον, ἤγουν ἄλευρον ποιῶ, ἢ ἄλλο τι.

Ἀλήϊον, πεδίον κατὰ τοὺς παλαιούς, ἢ παρὰ τὴν ἐκεῖ τοῦ ἥρωος ἄλην, ὅ ἐστι πλάνην ὠνομάσθη. διὸ καὶ ὡς ἱέμενος ἔπαμον, καὶ ἔστειβε τέκνα, οὕτω καὶ ὧδε χρησάμενος ἐτυμολογίας τρόπῳ, φησὶ κατὰ πεδίον ἀλήϊον ἀλᾶτο. ἢ διότι ἐστέρηται λήϊου, διὰ τὴν ἐρημίαν. τινὲς δὲ ἐδάσυναν τὴν ἄρχουσαν παρὰ τὰ ἅλα, φάμενοι ἅλας φέρειν τὸν τόπον ἐκεῖνον.

Ἀλήϊος, πένης, ἄπορος, ἤτοι ἀπὸ τοῦ μὴ ἔχειν λήϊον, ἤγουν σιτοφόρον χωρίον. ἢ ἀπὸ τοῦ μὴ ἔχειν λείαν, ἤγουν ἀγέλας τῶν προβάτων.

Ἀλληλουχία, ἡ συνέχουσα καὶ συγκρατοῦσα ἀλλήλους.

Ἄληκτον, ἀκατάπαυστον.

Ἄληκτα, τὰ ἀμέριστα μὲν, κοινὰ δὲ πρός τινα ὄντα, πρὶν ἢ διανεμηθῆναι, ἄληκτα λέγεται.

Ἄλημα, ἑφθὸν ἄλευρον. καὶ ἄλημα, παραλογιστικὸν πανούργημα, ἢ ἐπίτριμμα. Τέκνον Λαερτίου κακοπινέστατον ἄλημα στρατοῦ. καὶ ἡ ὁδοιπορία.

Ἀλήμεναι, συστραφῆναι, πλανηθῆναι, συναθροισθῆναι.

Ἄληπτος, ἀκράτητος. Εἰπεῖν τὴν αἰτίαν, δι' ἣς ἄληπτός ἐστι τοῖς ἐχθροῖς. ἄληπτος καὶ ὁ ἀκατάληπτος. καὶ ἀλήπτως ἐπίρρημα, ἀντὶ τοῦ ἀκαταγνώστως.

Ἄληκος, ποταμός.

Ἀλήλεκα, ἐκ τοῦ ἀλήθω, ἀλέσω, ἄληκα κοινῶς, καὶ ἀλήλεκα ἀττικῶς.

Ἀληλεσμένον. Θουκυδίδης, Σῖτον δὲ ἀληλεσμένον τὸν βουλόμενον, ἀργυρίου πολλοῦ ὠνήσασθαι. καὶ ἀληλεσμένον βίον, οἱ μὲν ἐπὶ τῶν βαλανίτῃ βίῳ χρωμένων ἐδέξαντο, οἱ δὲ ἐπὶ τῶν ἀταλαιπώρως βιούντων.

Ἀλήλιμμαι, ἐκ τοῦ ἤλειμμαι παρακειμένου. τὸ θέμα ἀλείφομαι.

Ἀλήλιπται καὶ κατορώρυκται, οὐκ ἤλιπται, οὐδὲ κατώρυκται.

Ἀληλίφειν ἠληλίφειν, ἀγήγοχα ἠγηγόχειν. ὅτε ὁ ἀττικὸς παρακείμενος ἄρχεται ἀπὸ φωνήεντος, τότε αὔξανει τὴν ἄρχουσαν ὁ ὑπερσυντελικός. σεσημείωται δὲ ἐν τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις ἀττικοῖς παρῳχημένοις, ὁ ἐληλύθειν ὑπερσυντελικός. οὐκ αὔξανει γὰρ τὴν ἄρχουσαν. καὶ ὁ ἐώλπειν, καὶ ὁ ἐώργειν, καὶ ὁ ἐῴκειν, ὑπερσυντελικοὶ ὄντες, οὐ μεγεθύνουσι τὴν ἄρχουσαν. Ἰστέον ὅτι ταῦτα ὑπερβιβασμὸν ἀνεδέξαντο τοῦ χρόνου. ἔστιν ὁ μέσος παρακείμενος ἔολπα, ἔοργα, ἔοικα. καὶ ὤφειλεν εἶναι ἠόλπειν, ἠόργειν, ἠοίκειν. ἀλλὰ καθ' ὑπερβιβασμὸν τοῦ χρόνου, ἐγένοντο ἐώλπειν, ἐώργειν, ἐῴκειν, τῆς πρώτης συλλαβῆς συσταλείσης εἰς τὸ ε. τῆς δὲ δευτέρας ἐκταθείσης εἰς τὸ ω μέγα.

Ἀλήπεδα, τὰ πρὸς τῇ θαλάσσῃ πεδία. διὰ τὸ ἁλμυρὰ εἶναι φύσει, * ἴσως ἁλίπεδα.

Ἀλήπορον, τὸ λευκὸν ἄνθος. * ἀδόκιμον.

Ἀλήπτωρ, ὁ ἱερεύς.

Ἀληπτότερα, δύσλυτα.

Ἀλήπτορον, ἱερέα.

Ἀλήρια, ὀστᾶ.

Ἀλησιάς, ἡ Ἀφροδίτη. διὰ τὸ περὶ τὰν ζῶον ἀλᾶσθαι τὴν θεόν, πολλῶν ἐρασθεῖσαν καὶ πλανωμένην. πιθανώτερον δὲ διὰ τὸ ἐν κολοφῶνι ἐπὶ τοῦ ἄλεντος ἱδρυμένη ποταμοῦ. καὶ ἀλησίας, σπονδάς, ἀνοχάς. ἀπὸ τοῦ μὴ ληΐζεσθαι.

Ἀλήσιον, πᾶν τὸ ἀληλεσμένον, ἐν μὲν τοῖς παλαιοῖς τῶν ἀντιγράφων διὰ διφθόγγου φέρεται. ὡς ἀπὸ τοῦ ἀλέω, ἀλέσω, κατὰ τὸν Ἐτυμολόγον. ὁ δὲ τῶν ἐθνικῶν ἐκθέτης, διὰ τοῦ η γράφει αὐτό, λέγων οὕτω καλεῖσθαι, ἀπὸ Ἀλησίου υἱοῦ Σκιλλοῦντος ἑνὸς τῶν τῆς Ἱπποδαμείας μνηστήρων. ἔστι δέ φησι καὶ ἀλήσιον πεδίον ἠπείρου, παρώνυμον τῷ ἁλί, ὡς πηγνυμένου ἐκεῖ πολλοῦ ἁλός. Στράβων δὲ ἱστορεῖ, ὅτι περὶ τὸ Ὁμηρικὸν ἀλήσιον ἀγορὰν κατὰ μῆνα συνάγουσιν οἱ περίοικοι. καὶ ὅτι τὸ ἀλήσιον καὶ ἀλησίου κολώνην, ὁ Ποιητὴς καλεῖ εἰπών, Πέτρης τ' ὠλενίης καὶ ἀλησίου, ἔνθα κολώνη κέκληται. ἔνιοι καὶ ποταμὸν δεικνύουσιν ἀλήσιον.

Ἄλητος, ἀλάθητος.

Ἀλήτων, ἀληθαργήτων.

Ἀλητεύειν ἐν δήμῳ, παρὰ τῷ Ποιητῇ παραπέφρασται, πρὸς τὸ, ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος.

Ἀλητεύεσκον, ἐπλανῶντο.

Ἀλητεύω, τὸ πλανῶμαι.

Ἀλήτης, ὁ πλανήτης, Ἀλήτην βίον τρίβοντας ἤθροισε. καὶ αὖθις, Ἀλήτας καὶ φυγάδας ἀποφήναντες. ἀλῆτις δὲ θηλυκόν, ἡ πλανῆτις. ὅτι ἀπὸ τῆς ἄλης ὁ ἀλήτης, καὶ ὁ ἀλαζών, δῆλον. κεῖται γὰρ ἐν ῥητορικῷ λεξικῷ, ὅτι ἀλαζὼν κυρίως ὁ ἀπὸ τῆς ἄλης ζῶν, καὶ ἀγύρτης. ἁπλῶς δὲ ὁ φέναξ.

Ἀλῆτις, ἑορτὴ Ἀθήνησιν, ἡ νῦν ἑώρα λεγομένη. καὶ ἡμέρας ὄνομα, ὡς Πλάτων ὁ κωμικός.

Ἄλθα, θερμασία, ἢ θεραπεία.

Ἀλθαία, ὄνομα κύριον, Οἰνέως γυνή, Μελεάγρου μήτηρ. κατὰ δὲ ἰατροὺς εἶδος ἀγρίας μαλάχης διαφορητικῆς καὶ πεπτικῆς φυμάτων. ἔστι δὲ καὶ ἀλφῶν ῥυπτική. τὸ δὲ σπέρμα, λίθους ῥύπτει. καὶ ἀλθαία, πόλις Ὀλκάδων. αἱ δὲ ὀλκάδες, ἔθνος Ἰβηρίας.

Ἀλθαίνει, αὔξει, θεραπεύει, ὑγιαίνει. ἄλθος γὰρ τὸ φάρμακον.

Ἄλθαινος, ὄνομα ποταμοῦ ἐν Ἰταλίᾳ.

Ἀλθαίνοντα, ἰώμενον, θεραπεύοντα. ὡς τὸ Νοσοῦσαν ἀλθαίνοντα.

Ἀλθαιάτις, ῥίζα τις.

Ἀλθεῖναι, χαλεπῆναι.

Ἄλθετο, ἐπὶ τοῦ ὑγιασθῆναι. παρὰ τὸ ἄλδειν, ὅ ἐστιν αὔξειν, αὐξάνειν. τὸ γὰρ ὑγιὲς αὔξεται.

Ἀλθεύς, ὁ ἰατρός.

Ἀλθηφιάς, ἡ ἄμπελος, ἀπὸ Ἀλθηφίου τινός. καὶ ἀλθηδονιὰς καὶ ὑπεριάς, ἀπὸ ὑπέρου καὶ ἀλθηδόνος. ὡς τὸ, Πίνεις οἶνον τρυγίαν, ἐπεὶ οὐκ ἀνθηδόνα ναίεις, οὐδ' ἱερὰν ὑπέραν, ὅθι τ' ἄτρυγον οἶνον ἔπινες.

Ἁλί, ἅλατι.

Ἁλιανή, ἡ ἁλιατική. * ἄλ. ἁλιακή, ἁλιευτική.

Ἁλία, σκεῦος ἐν ᾧ τρίβονται οἱ ἅλες, ἢ εἰς ὃ ἀποτίθενται. καὶ ἡ πορεία. * ὅτε κεῖται ἀντὶ τοῦ σκεύους παρὰ τῷ Ἐτυμολόγῳ δασύνεται, ὅτε δὲ ἀντὶ τῆς πορείας παρὰ Σουίδᾳ ψιλοῦται.

Ἁλιάδες, ἔναλοι, οἱ διὰ θαλάσσης πλέοντες, καὶ μικρὰ σκαφίδια.

Ἁλίαν, θαλαττίαν.

Ἁλιακὸν ἀκάτιον, ἁλιευτικόν.

Ἁλίαι

Digitized by Google

Ἁλίαι κορῶναι, αἴθυιαι.

Ἁλιακτὴρ, τόπος ἐν ᾧ ἀθροίζονται οἱ Σικελοί.

Ἁλιαίαν, τὴν ἐκκλησίαν. Ταραντῖνοι.

Ἁλιαώνων, ἐναλίων θεῶν.

Ἁλιάκαπτοι, ἄσημοι, ἀδέσποτοι, ἄναρχοι.

Ἁλιάποδα, τὸν κέπφον, ἢ θαλάττιον ὄρνιν.

Ἁλιάεες, ἐπιτομή ἐστι τοῦ, Ἀνέμων μένος ὑγρὸν ἀέντων. εἴρηται δὲ πρὸς διαστολὴν ἑτέρων τοπικῶν ἀνέμων. ἀντὶ τοῦ, οἱ πνέοντες διὰ θαλάσσης. γίνεται δὲ παρὰ τὴν ἅλα, καὶ τὸ ἄω, τὸ πνέω. ἐξ οὗ οὐ μόνον ἀήτης ἐπὶ ἀνέμου, καὶ ἀήσυμον, κατὰ τοὺς παλαιοὺς τὸ κοῦφον (ὅθεν καὶ ἀήσυροι μύρμηκες παρ' Αἰσχύλῳ) ἀλλὰ ἀΐτις διὰ διφθόγγου, ὁ ἐρώμενος, ἤγουν ὁ εἰσπνέων τῷ ἐρωτι τὸν ἐραστήν. εἰσπνεῖται γάρ φασι τῆς μορφῆς, καὶ τῆς ὥρας. ὅθεν καὶ εἰσπνήλαι παρὰ Λάκωσιν, οἱ ἐρασταί.

Ἁλίαιτος, εἶδος ἀετοῦ ἐν θαλάσσῃ διαιτωμένου. * παρ' ἄλλοις ἁλιάετος, καὶ ἁλιαίετος.

Ἁλίαρον παρὰ τοῖς παλαιοῖς, τὸ ἠρτυμένον ἅλατι. οὗ ἡ σύνθεσις, κατὰ τὸ ἁλίμικτον καὶ ἁλίπαστον. παλαιὸς δέ τις ἁλμίων ἐπικαλούμενος, παρὰ τὴν πικρὰν ἅλμην, οὕτως ἐσκώπτετο. καθότι καὶ χολὴ ὁ αὐτὸς ἐπεκαλεῖτο.

Ἁλίαρτος, πόλις Βοιωτίας. ἀρσενικῶς λέγεται, κατὰ τὰ ἐθνικὰ γράψαντα. κτισθεὶς ὑπὸ Ἁλιάρτου, υἱοῦ Θερσάνδρου. καὶ ἁλίαρτος, ὅ, τι δασύνεται, δηλοῖ τὸ ποιητικὸν ἁλίαρτον. ἔχει δὲ ἕλη καὶ λίμνας, καὶ ὑδατόρρυτός ἐστι. διό καὶ ποιώεις ἐστὶ βοτανώδης, ἢ πολυβότανος. ὁ δὲ Ἁλίαρτος, ἀδελφὸς ἦν Κορώνου.

Ἁλίας, πρασιάς, πλινθείας.

Ἁλίαστος, ἄτιμος, ἀνέκκλιτος, ἀμετάτρεπτος, ἀνελπιστής, ἀχώριστος. καὶ ἁλίαστος ὅμαδος, ἢ ὃν οὐκ εἶχον διεκφυγεῖν οἱ ἀρχαῖοι, ἢ ὁ πολυλίαστος, ὁ εἰς πολὺν δηλαδὴ φόβον παρακινῶν, καὶ ἁλίαστος πόλεμος, τουτέστιν ἄφυκτος. λιάζω γὰρ τὸ ἐκφεύγω. καὶ ἁλίαστον ὀδύρεσθαι, τὸ ἀεὶ καὶ ἀχωρίστως, ὡς μὴ ἔχειν λιασθῆναι, ὅ ἐστιν ἐκκλῖναι τὸν ὀδυρμόν. ἢ ἁλίαστον, πολὺ, παρὰ Ἀπολλωνίῳ.

Ἁλιάθη, ἀπῴχετο. * ἴσως ἐλιάθη.

Ἁλιβάντας, τοὺς νεκρούς, διὰ τὸ ξηροὺς εἶναι, καὶ οἷον ὑγρασίαν τινὰ μὴ ἔχειν, ἢ λιβάδα. ἢ τοὺς ἐν θαλάσσῃ πελαγίσαντας. ἄλλοι, τοὺς διὰ πενίαν ἀτάφους * ὁ Ἐτυμολ. γρ. ἁλιβάντας, οἷον εἰς ἅλα βάντας. οἱ ἄλλοι, ἀλίβαντας.

Ἁλιβάπτοις, πορφυροῖς. καὶ ἁλιεργέα, πορφυροεργῆ, ἢ ἐν θαλάσσῃ εἰργασμένα.

Ἁλιβατεῖ, ἀφανίζει.

Ἀλίβας, νεκρὸς, ἢ βροῦχος, ἢ ποταμὸς, ἢ ὄρος. καὶ ἀλίβας, ὁ σκελετός. ἐπὶ νεκρῶν λέγεται, λοιδορουμένων τῶν παλαιῶν τῷ ὀνόματι τῆς ξηρότητος. ἀλίβας δὲ βαρύνεται, καθ' ὁμοιότητα τοῦ ἀλίκρας. ἀλίκρας δὲ, κατὰ Αἴλιον Διονύσιον, ὁ θαλάσσῃ μεμιγμένος. καθὰ καὶ ὁ χαλκόκρας, ὁ χαλκῷ κεκραμένος.

Ἁλιβδύειν, τὸ καταδύειν εἰς θάλασσαν. μεταφορικῶς δὲ καὶ τὸ κρύπτειν, καὶ ἀφανίζειν παρὰ τὴν ἅλα, καὶ τὸ δύειν, αἰολικῷ πλεονασμῷ τοῦ β. ὡς σίδη σίβδη, οὕτως ἁλιδύειν ἁλιβδύειν, Εἰρκτῆς ἁλιβδύσασα λυγαίης δέμας.

Ἁλιβδύσαι, ἀφανίσαι.

Ἀλίβης, ὁ ὀξὺς οἶνος. λέγεται παρὰ τὸ μὴ λείβεσθαι ἐν σπονδαῖς. * ἄλλ. ἀλίβας, τὸ ὄξος.

Ἁλιβρὸς, ὁ ἀπὸ θαλάσσης βιβρωσκόμενος. * ἄλλ. ἁλιβρώς.

Ἁλίβροχον, τὸν θαλάσσῃ βρεχόμενον.

Ἁλίβρωτος, ὁ ἅλας ἐσθίων, ἢ ὁ ὑπὸ τοῦ ἅλατος βεβρωμένος, καὶ δεδαμασμένος.

Ἁλίβυες, ζαγγῖται. ὅτι κατὰ τὸ παλαιὸν ἐλέγοντο δύο ἵπποι συνεζευγμένοι τῷ τραχήλῳ ἁμίπποι. ἦν δ' ἐπὶ μὲν τοῦ ἑτέρου ἡνίοχος, ἐπὶ δὲ τοῦ ἑτέρου ὁπλίτης. καὶ νῦν δὲ χρῶνται περὶ ἀρχῆς * (ἀπ' ἀρχῆς) ἁλίβυες, οἱ προσαγορευόμενοι ζαγγῖται. * ἴσως οἱ Λίβυες.

Ἁλιγενὴς, ὁ ἐν θαλάσσῃ γεννηθείς.

Ἁλίγκιον, ὅμοιον, καλὸν, ἀγαθόν.

Ἁλιδίως, ἱκανῶς, μετρίως, ἅλις.

Ἁλιδνοφεῖ, ἀλουργεῖ.

Ἆλιε, ἥλιε.

Ἁλιετρὸν, ἁμαρτωλόν. * κἀλλ. ἀλιτρόν.

Ἁλιεύομαι, ἐκ ἁλιεύω.

Ἁλιεὺς, κοινόν. ἁλίτυπος, ποιητικὸν, ὁ ἐν τῇ ἁλὶ δηλονότι τυχόμενος, ἢ ὁ ὁρμιευτής.

Ἁλιεῦσι, θαλαττουργοῖς, ἢ ἰχθυρευταῖς.

Ἄλιζα, ἡ λεύκη τῶν δένδρων. Μακεδόνες.

Ἁλίζειν, ἀλείφεσθαι. * ἀδόκιμον.

Ἁλίζω, τὸ συναθροίζω. ὅθεν ἅλως. ἐκεῖ γὰρ ἀθροίζουσι τοὺς στάχυας. ἐντεῦθεν καὶ ἁλεὶς, ἀντὶ τοῦ συστραφείς.

Ἁλίζωνος ἰσθμὸς, διὰ τὸ ἁλὶ διεζῶσθαι.

Ἁλίζωστις, εἶδος βοτάνης θαλασσίας.

Ἁλιζῶνες, οἱ μὲν τοὺς Παφλαγόνας φασίν. οἱ δὲ, τοὺς περὶ τὴν ἀγκάλην τοῦ Πόντου, τὴν μεταξὺ Τραπεζοῦντος καὶ Παφλαγονίας. παρὰ τὸ ἁλὶ ζώννυσθαι, ἤτοι περιέχεσθαι. ἄλλοι δὲ θέλουσι, περὶ τὴν Καρικὴν αὐτοὺς κεῖσθαι θάλασσαν. τολμῶσι δέ τινες καὶ ἔθνος αὐτοὺς καλεῖν Θρακικὸν, οἱ δὲ τοὺς Βιθυνούς. Ὅμηρος, Αὐτὰρ ἁλιζώνων καὶ ἐπίστροφος ἦρχον. ὅτι ἡ γῆ αὐτοῦ θαλάσσῃ διέζωσται, καὶ οἱονεὶ χερσόνησός ἐστιν. * Σουίδ. Ἁλιζῶνες.

Ἁλιῆας, ἐρέτας, παρ' Ὁμήρῳ. ἢ κοινῶς λέγει ὁ ποιητὴς τοὺς ἁλιευτὰς, ἢ καὶ ἄλλως ἁπλῶς τοὺς περὶ ἅλα πονουμένους. καὶ ἐν τῷ ω τῆς Ὀδυσσείας, ἁλιεῖς τοὺς πορθμέας δοκεῖ λέγειν, ὧν μάλιστα χρεία ἦν εἰς τὸ νεκραγωγεῖν. ὅπερ ἐστὶ νεκροὺς ἄγειν.

Ἁλίη, ἡ θαλασσία.

Ἁλιὴς, ἄκλοπος, ἀπόρθητος.

Ἁλιήτορες, οἱ ἁλιεῖς.

Ἄλιθον. ἦν γὰρ οὐ φύσει ἄλιθον, οὐδὲ εὔγειον τὸ πεδίον, Ἀρριανός φησιν.

Ἁλικάκκαβα, ὁ τοῦ λωτοῦ καρπὸς, καὶ πόας εἶδος. * ἄλλοι δι' ἑνὸς κ, ἁλικάκαβον.

Ἁλικαύων, ὁ Ποσειδῶν. Σώφρων.

Ἁλικὴ ἐν Πελοποννήσῳ, τῶν ἁλιέων χώρα.

Ἁλικίανες, θαλασσομιγεῖς. * ἀδόκιμον.

Ἁλίκινος, δυνατός. * ἀδόκιμον.

Ἁλικός. ἁλικοὶ καλοῦνται, οἱ τὰ πρὸς θάλασσαν οἰκοῦντες μέρη τῆς Πελοποννήσου.

Ἁλικρεῦδα, παρὰ ῥωμαίοις, ἡ σχεδία τροφὴ, καὶ ἄπυρος. κρεῦδα γὰρ τὰ ἀνέψητα.

Ἁλικύρκη, φύλλα μήκωνος, μετὰ ὄξους λειανθέντα, ἢ ὑπότριμμα ἐκ πλειόνων κρεῶν * ἄλλ. Ἁλικύκη.

Ἅλιμα, θαλάσσια.

Ἁλίμενον θάλασσαν, τὴν τέλος μὴ ἔχουσαν, μὴ δὲ ὅρμον.

Ἁλιμενώτης, τόπος λιμένα μὴ ἔχων.

Ἁλίμικτον, τὸ πεπασμένον.

Ἅλιμον, βοτάνη δενδροειδὴς παρὰ θάλασσαν. πληθυντικὰ δὲ, τὰ ἅλιμα. ἔστι δὲ γεννητικὸν γάλακτος καὶ σπέρματος.

Ἁλιμοῦς, δῆμος τῆς λεοντίδος φυλῆς. οἱ δημόται, ἁλιμούσιοι.

Ἁλιμυρέες ἀκταί, αἱ ὑπὸ θαλάσσης περιρρεόμεναι, ἢ περιρραινόμεναι.

Ἁλιμυρεᾶς πέτρας, * (ἄλλ. ἁλιμυρέος πέτρης) τῆς ὑπὸ θαλάσσης περιρρεομένης. καὶ ἁλιμυρέοντες ποταμοὶ, οἱ εἰς τὴν θάλασσαν βάλλοντες.

Ἁλιμυρήεντα ποταμὸν, τὸν ἁλὶ βρεχόμενον, ἢ τὸν εἰς θάλασσαν ῥέοντα, ἢ ἁλὶ κιρνάμενον. καὶ ἁλιμυρήεντες ποταμοὶ, οἱ ἐν τῇ ἁλὶ μυρόμενοι, τουτέστι, μετὰ ἤχου ῥέοντες. ἐν ταῖς ἐκβολαῖς δηλαδὴ, καὶ ὡς ἂν συνηθέστερόν τις εἴποι, μορμύροντες. ὡς γὰρ ἐκ τοῦ μαίρειν τὸ μαρμαίρειν, οὕτω καὶ ἐκ τοῦ μύρειν τὸ μορμύρειν γίνεται. τὸν ὅμοιον δὲ τρόπον καὶ μύρος, καὶ μορμύρος. ἑτεροειδεῖς μέντοι αὐτοὶ ἰχθύες εἰσὶ, καὶ ἁλιμυρήεντα ποταμὸν λέγει, τὸν εἰς ἅλα μυρόμενον, ἤγουν κατά τινα ποιὸν ἦχον ῥέοντα. ἐκ δὲ τοῦ τοιούτου δοκεῖ γίνεσθαι καὶ τὸ ἁλμυρόν. εἴγε λαμυρόν φασιν οἱ παλαιοὶ, τὸ εὔλαλον, καὶ τράπελον. καὶ ὕστερον δὲ μύρεσθαι, τὸ κλαίειν ἐρρέθη παρὰ τὸ αὐτὸ αἴτιον, ἵνα ᾖ μύρεσθαι, τὸ κατὰ ῥοῦν τινὰ προχέειν δάκρυα.

Ἁλῖναι, ἐπαλεῖψαι.

Ἁλινδεῖσθαι, κυλίεσθαι. ἔστι κυλίω, καὶ τροπῇ τοῦ υ εἰς α καὶ ἀποβολῇ τοῦ κ, ἁλίω, ἁλίσω, ἤλισα, ἁλίσαι. Ἀριστοφάνης, Ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε, ἀντὶ τοῦ κυλίσας. τὸ δὲ ἁλίω γίνεται ἁλίνδω, ὡς κυλίνδω, καὶ ἐν περισπωμένῃ τάσσει, ἁλινδῶ ἁλινδύσω, ἁλινδήθρα. ὡς κολυμβῶ, κολυμβήσω, κολυμβήθρα, τὸ δ' ἁλινδήθρα σημαίνει τὴν κυλίστραν.

Ἁλινδήθρας, συναγωγὰς στροφὰς, λεπτολογίας, καὶ τὰς πλοκὰς τοῦ Εὐριπίδου. Ἀριστοφάνης. ἢ ἁλινδήθρα, τόπος ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι, κυλίονται.

Ἁλινδὸν, δρόμον.

Ἁλινεῖν, ἀλείφειν.

Ἁλινήκτειραν, τὴν ἐν ἁλὶ νηχομένην. Καὶ ταύτην ἀπέπλον, ἁλινήκτειραν ἐλαίην.

Ἁλινηχέος, ἐν θαλάσσῃ νηχομένης. ὡς τὸ, Ἁλινηχέας ὄργανα τέχνης ἄνθετο.

Ἁλινοὶ, ἐπαφρόδιτοι.

Ἁλινὸν, ἀμυδρόν. Κρῆτες.

Ἄλιντος, ἅμιλλα.

Ἁλιξάντοις, ταῖς ὑπὸ τῆς ἁλὸς ξηραινομέναις. * (ἄλλ. ξαινομέναις) ἐν ἐπιγράμματι.

Ἅλιον, ὡς δασυνόμενον, ἀπὸ τοῦ ἅλς ἁλὸς γίνεται, καὶ δηλοῖ τὸ ἀσυντελές. καὶ ἡ θάλασσα γὰρ ἀσυντελὴς τοῖς γε πιεῖν ἐθέλουσι. καὶ ἅλιον πόνον λέγει Ὅμηρος, ἑρμηνεύων τὸν ἱδρῶτα, ἐν δ' τῆς ἰλιάδος. ῥηθὲν παρὰ τὴν ἅλα, ἧς τὸ ὕδωρ εἰκαιόν τι ἐδόκει, πρὶν ἢ τὰς νῆας ἐφευρεθῆναι.

Ἅλιον βέλος, μάταιον, ἄπρακτον.

Ἁλιοβόλη, σύνοδος ἡλίου ἅμα. Λάκωνες.

Ἅλιον ὕδωρ, τὸ ἠθροισμένον. ἀθρόον, παρὰ τῷ Ἱπποκράτει. καὶ ἅλιον, ἠλίθιον, μάταιον, κεδιὸν, * (ἴσως, κενὸν) ἐλαφρόν.

Ἁλίοιο, θαλαττίου.

Ἁλιπαρῆ, αὐχμηρὰν, ἢ λιπαρῆ, ἐξ ἧς αὐτὸν λιπαρήσομεν.

Ἁλίπεδον, τὸ παραθαλάσσιον πεδίον. καταχρηστικῶς δὲ καὶ πᾶν πεδίον. ἢ ἁλίπεδον, τὸ ὁμαλὸν ἔδαφος, παρὰ τῇ θαλάσσῃ. τινὲς δὲ τὸν Πειραιᾶ φασιν. ἔστι δὲ καὶ κοινὸς τόπος, ὃς πάλαι μὲν ἦν θάλασσα. αὖθις δὲ γέγονε πεδίον. διὸ καὶ δασυντέον τὴν πρώτην. ἔστι γὰρ οἷον ἁλὸς πεδίον. οἱ δὲ τὸ παραθαλάσσιον πεδίον οὕτω καλοῦσιν. ἄλλοι δὲ, παρὰ τὸ δύνασθαι ἐν αὐτῷ ἵππους ἁλινδεῖσθαι, τουτέστι, κονίεσθαι, τὴν ὀνομασίαν λαβεῖν φασιν.

Ἁλίπλαγκτος. οὕτω καλεῖται ὁ Πὰν, ἢ ὅτι ἐβοήθησε τοῖς Ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ, ἢ ὅτι τὸν Τυφῶνα δικτύοις ἠγρεύσεν, ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν Πᾶνα, ὡς νόμιον θεόν. ἢ ὅτι μεγαλόφωνος ἐν τῇ χορείᾳ, ὡς ἁλίβρομος. ἢ ὅτι τῆς ἠχοῦς ἐρᾷ. πολύηχος δὲ ἡ θάλασσα. ἔστι δὲ ὁ Πὰν χορῶν πρόξενος.

Ἁλίπλοα, ἐν τῇ θαλάσσῃ πλέοντα.

Ἁλιπόρφυρα, ἀλουργῆ, τουτέστιν, ἐκ θαλασσίας πορφύρας.

Ἄλιπτα, αἰολικῶς παρὰ τὸ ἀλείφω, ἄλιμμα καὶ ἄλιπτα.

Ἆλιρ, ὀξύβαφον. * ἀδόκιμον.

Ἁλιρρόθιον, κῦμα θαλάσσης. ἀκήρατον στόμα κόσμου παντὸς, ἁλιρρόθιος ξεῖνε κέκευθε κόνις.

Ἁλιρρόθιος δὲ υἱὸς Ποσειδῶνος.

Ἅλις, ἐνίοτε μὲν ἔχει προκείμενον τὸ ῥῆμα, καὶ λαμβάνει γενικὴν προσυπακουομένου τοῦ ἕνεκα, κατὰ τὸν λόγον τῶν ἐπιρρημάτων, ἃ μετὰ τὰ ῥήματα λεγόμενα γενικὴν ἀπαιτεῖ, προσυπακουομένου αὐτοῦ, ὅτε καὶ ἐντελῶς ἔχει τῆς συντάξεως, οἷον ἅλις ἔχω δακρύων, ἀντὶ τοῦ ἀρκούντως. ἐνίοτε δὲ ἔχει ἔξωθεν τὸ ἔχειν, προσυπακουόμενον. καὶ λέγεται ἢ κατὰ εὐθείας μόνης, ὡς παρὰ Εὐριπίδῃ, οἷον ἅλις κόρης σῆς θάνατος, ἀντὶ τοῦ, ἱκανῶς ἔχει δηλονότι ὁ θάνατος τῆς σῆς κόρης. ἢ μετὰ γενικῆς, ὅτε καὶ τὸ πρᾶγμα συνυπακούεται. οἷον ἅλις τῶν δακρύων, ἤγουν ἱκανῶς ἔχει τὸ πρᾶγμα ἕνεκα τῶν δακρύων.

Digitized by Google

Ἀλισαῖα, ἰσχυρά.

Ἀλίσας, συναθροίσας, κονίσας. καὶ ἀλίσασα, συναθροίσασα.

Ἀλίσβη, ἀπάτη.

Ἀλισγημάτων, τῆς μεταλήψεως τῶν μιαρῶν θυσιῶν, ἢ ἀλισγημάτων, τῶν μιασμάτων, τῶν ἐκ μυσαρᾶς τῶν εἰδώλων θυσίας.

Ἀλισγηθὲν, ἐσιαθὲν, ἢ μισηθὲν, ἢ λυπηθέν. καὶ ἀλισγηθεὶς, σπιλωθείς. * παρὰ Σουίδᾳ γράφ. ἀλισγηθέν.

Ἀλίσγοντες, μολύνοντες, μιαίνοντες.

Ἄλις δρυὸς, παροιμία, ἐπὶ τῶν πληρωθέντων φαύλου τινὸς, καὶ ἐπιποθέντων τῶν ἡμέρων, σίτου καὶ οἴνου.

Ἀλιθένευς, ἀδημονεῖς, τρέμεις.

Ἀλιθεῖσιν, συναθροισθεῖσιν. καὶ ἀλιθείσης, συναθροισθείσης.

Ἀλισθένειν, ἀσθενεῖν.

Ἀλισίμικτα, ἡλισμένα.

Ἀλίσιον, πόλις.

Ἀλισίχρυσον, ποτήριον περιφερές.

Ἀλίσκει, νικᾷ. καὶ ἀλίσκεται, καταλαμβάνεται, κρατεῖται.

Ἀλίσκεται, γενικῇ. ἀλλὰ καὶ δοτικῇ, ἐστιν ὅπου παρ' ἀττικοῖς συντασσόμενον, ἀπεργάζεται, κατατείνει, καὶ πιέζει, καὶ ἐπιτρίβει. οἷον κατεργάζεται τὸν ὁ δεῖνα πληγαῖς, καὶ κατεργάζεται ἡ νόσος τὸν ἄνθρωπον. ἐφ' οὗ σημαινομένου λέγεται, καὶ τὸ τεταρίχευται, καὶ τὸ τεταριχευμένος.

Ἀλίσκομαι, ἐνεστώς. ἡλισκόμην, παρατατικός. ἁλώσομαι, μέλλων. ἑάλωκα, παρακείμενος. ἑάλων, ἀόριστος δεύτερος. καὶ ἁλισκόμεθα, καταλαμβανόμεθα. καὶ ἁλισκόμενοι, κρατούμενοι. καὶ ἁλίσκονται, ἀγρεύονται. ἁλίσκω, τὸ ἀγρεύω, κυρίως μὲν ἐπὶ θαλάσσης. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ἀναλίσκω δὲ, τὸ δαπανῶ.

Ἀλίσκονται, κρατοῦνται, λαμβάνονται.

Ἀλίσκος, ὄνομα παγκρατιαστοῦ.

Ἁλισμένη παρὰ Ἡροδότῳ, ἀντὶ τοῦ συνηθροισμένη. ἀκήκοε δὲ, ὡς ἁλισμένη εἴη ταύτῃ στρατιή.

Ἀλίσπαρτον, κυρίως τὸ κατεσπαρμένον χωρίον. καὶ τὸ ἄλευρον δὲ οὕτω καλεῖται. * ἄλλ. τὸ ἁλὶ ἐσπαρμένον χωρίον.

Ἀλίστατος, σοφώτατος.

Ἀλιστιᾷ, ἀναπέπλησται.

Ἀλιστρία, παραποτάμιον ἀμμῶδες χωρίον. * ἄλλ. ἀλίστρα, τόπος παραποτάμιος ἀμμώδης, ἐν ᾧ οἱ ἵπποι ποτισθέντες ἀποκυλίονται. λέγεται καὶ κυλίστρα, καὶ κυλινδήθρα.

Ἀλιτενὴς, ὁ παράλιος τόπος, ὁ παρατεταμένος τῇ θαλάσσῃ, καὶ ἀλιτενὲς, ταπεινόν.

Ἀλιτεύω, τὸ ἁμαρτάνω.

Ἀλίτημα, ἁμάρτημα.

Ἀλιτήμενον, ἡμαρτημένον.

Ἀλιτημόρου, παράφρονος γεγονυίας. * γράφεται καὶ διὰ τοῦ ω ἀλιτημώρου.

Ἀλιτήμων, ὁ ἁμαρτωλός.

Ἀλίτω βαρύτονον (γράφεται καὶ ἀλείτω ὡς ἄνω) καὶ ἀλιτῶ περισπώμενον. ἀπὸ γοῦν τοῦ ἀλιτῶ ἀλιτήσω, γίνεται ἀλιτήμων, ὡς φιλῶ φιλήσω φιλήμων. ἀπὸ δὲ τοῦ ἀλιτῶ ἀλιταίνω. ἐξ οὗ καὶ τὸ ἀλιτρὸν, καὶ ἀλιτραίνω.

Ἀλιτηρίων, ἁμαρτησάντων.

Ἀλιτήριος, ὁ ἀνόσιος, ὁ ἐνεχόμενος μιάσματι, καὶ ἐξημαρτηκὼς εἰς θεὸν, ὁ ἁμαρτωλός. ἀλιτήριοι δὲ, ἐντεῦθεν ἐκαλοῦντο. Ἱστορία. λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους, καὶ οἱ πένητες, τὰ τῶν ἀλούντων ἄλευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. παρέτεινε δὲ τὸ ὄνομα, καὶ ἐπὶ τῶν μετὰ βίας τὶ ποιούντων, ἀπὸ σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παραγώγως, ἀπὸ τοῦ ἀλιτραίνειν, ὅ ἐστιν ἁμαρτάνειν, ἢ ἀπὸ τοῦ τοὺς ἀλοῦντας τηρεῖν.

Ἀλιτόκαρπον, ματαιότεκνον.

* Ἀλίτης ὁ ξένος, καὶ ὁ ἁμαρτωλός.

Ἀλιτόμηνον, τὸ ἁμαρτάνον τῶν ἐννέα μηνῶν, καὶ ἀλιτόμηνα βρέφη.

Ἀλιτόβιος, ὁ ἐκ πλάνης τρεφόμενος. * ἄλλ. ἀλιτόβιος.

* Ἀλιτρόβιος ὁ ἀνόμως ζῶν.

Ἀλίτομαι, τιμῶ. * τοῦτο ἀδόκιμον. ἔστι δὲ ἀλίτομαι, ἁμαρτάνω, ὡς πολλαχοῦ παρ' Ὁμήρῳ.

Ἀλιτραὶ, οἱ ἄδικα δικάζοντες.

Ἀλιτραίνει, παρ' Ἡσιόδῳ, ἀντὶ τοῦ ἁμαρτάνει.

Ἀλιτρίας, ἁμαρτωλούς.

Ἀλιτροῖς, ἁμαρτωλοῖς, κατὰ συναίρεσιν ἀλιτήριος, καὶ ἀλιτρός. * λέγεται καὶ ἀλιτηρός.

Ἀλιτροσύνη, ἁμαρτία, καὶ ἀλιτρία, Σοφοκλῆς Αἰχμαλώτισι λέγει.

Ἀλιτρὸς, ἐκ τοῦ ἐνεστῶτα ἀλείτω, τῇ διφθόγγῳ παραληγόμενον. οὗ δεύτερος ἀόριστος ἤλιτον, ὅθεν ἀλιτρός. ἴσως δὲ ἀλιτήριος, καὶ συγκοπῇ ἀλιτρός. ἐκεῖθεν δὲ καὶ ὁ Ὁμηρικὸς ἠλιτόμηνος, ὁ παρ' ἑτέροις διὰ τοῦ κατ' ἀρχὴν ἄλφα ἀλιτόμηνος. καὶ ἀλιταίνω, τὸ ἁμαρτάνω. καὶ ἀλιτεύω δέ φασιν ὁμοίως. καὶ ἀλιτρία ἡ ἁμαρτία. καὶ ἀλιτήμων, ὁ ἐφάμαρτος. καὶ ἀλίτημα, ἁμάρτημα. καὶ ἀλιτήμωρος, ὁ παράφρων. καὶ ταῦτα μὲν ἐκ τοῦ ἤλιτον, καὶ ἀλιτεῖ, ἤγουν ἐκ τοῦ β' ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος. ἐκ δὲ τοῦ ἀλείτω ἐνεστῶτος ἀλείτης ὁ ἁμαρτωλός. οὗ ἀναλογώτερος παρὰ Λυκόφρονι, ὁ ἀλοιτός.

Ἀλιτρός εἰσι καὶ οὐκ ἀποφώλια εἰδὼς, ἀντὶ τοῦ ἤλιτες, καὶ οὐκ εἶπας τὸ ἀληθὲς, καὶ ταῦτα μὴ ἀπαίδευτος ὤν. ἀποφώλιος γὰρ, ὁ ἀπαίδευτος καὶ ἀδίδακτος. ἐπειδὴ φωλεοὶ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο τὰ παιδευτήρια. ἢ καὶ ἄλλως, ὁ ἀπερριμμένος, καὶ μὴ ἄξιος λόγου. ὡς ἀπὸ τῶν ὀρνέων, ἃ τῶν φωλεῶν ἀποβάλλεται.

Ἀλιτρὸς, ὁ τοῦ δέοντος ἀλιτών, ἤτοι ἁμαρτών. ἵνα ᾖ ἀλιτὸς, καὶ πλεονασμῷ τοῦ ρ ἀλιτρός. ἢ ἀλίτηρος, καὶ ἐν συγκοπῇ ἀλιτρός. ἐκ τούτου δὲ κατά τινας καὶ ὁ ἀλιτήριος. ἔχει δὲ καὶ ἑτέραν ἐτυμολογίαν ἐκεῖνο. ὥσπερ δὲ ἀπὸ τοῦ ἤλιτον δευτέρου ἀορίστου ἀλιτὸς, ὅθεν ὡς εἴρηται ὁ ἀλιτρὸς, οὕτως ἀπὸ τοῦ ἀλείτω ἐνεστῶτος ἀλοιτὸς παρὰ Λυκόφρονι, τοῦ ῥηματικοῦ ε μεταπεσόντος εἰς ο.

Ἀλιτροῖς, ἁμαρτωλοῖς, κατὰ συναίρεσιν, ἀλιτήριος καὶ ἀλιτρός.

Ἀλίφαλος, γένος δρυός.

Ἀλίφατα, ἄλφιτα, ἢ ἄλευρα.

Ἀλίφειρα, ὄνομα πόλεως. καὶ ἀλιφειρεύς, ὄνομα ποταμοῦ.

Ἀλίφηρα, κώμη Θράκης.

Ἀλιφθερῶσαι, ἀφανίσαι.

Ἀλιφιλεῖς, πτωχοί.

Ἀλιφροσύνη, ἱκανὴ φρόνησις.

Ἀλίψ, πέτρα.

Ἀλίων, ἀλιφαέων, ἀλιέων.

Ἀλιῶσαι παρ' Ὁμήρῳ, τὸ παντελῶς ματαιῶσαι, καὶ ἀφεῖναι, διεκπεσεῖν ἄπρακτον.

Ἀλίωσε, μάταιον ἐποίησεν.

* Ἀλίως, μάτην.

Ἄλκα, ἄλυκα.

Ἀλκάζειν, τὸ ἀνδρείας πράσσειν τι. καὶ ἀλκάζουσαν, μαχομένην.

Ἀλκαία λέγεται κυρίως, ἡ τοῦ λέοντος οὐρὰ, ἀπὸ τοῦ δι' αὐτῆς εἰς ἀλκὴν τρέπεσθαι. Ὅμηρος, Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται, ἓ δ' αὐτὸν ἐποτρύνει μάχεσθαι. Καλλίμαχος δὲ κακῶς ἐπὶ τῶν μυῶν τέθεικε τὸ, ἀλκαίας ἀφύουσα. ἢ ἀπὸ τοῦ ἀλκεῖν, ὅ ἐστι βοηθεῖν, ἡ εἰς ἀλκὴν παρορμῶσα, ὥσπερ καὶ οὐρὰ (παρὰ τὸ οὐρεῖν, ὅ ἐστι φυλάττειν) ἢ διὰ τὸ ὀρίνειν ἑαυτὰ τὰ ζῶα τῇ οὐρᾷ. ὡς ὁ λέων, καὶ ὁ ταῦρος, καὶ ὁ κύων, καὶ τὰ λοιπά. κυρίως δὲ, ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία λέγεται. ἐν δὲ τῷ κωμικῷ λεξικῷ, οὐ μόνον ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία, ἀλλὰ καὶ ἵππου, καὶ βοὸς, καὶ τῶν ἐμφερῶν, ὅσα ὥσπερ ἀλεξητηρίῳ τῇ οὐρᾷ χρῆται.

Ἀλκαμαρὲς, ἄλκιμον. * κάλλιον ἀλκμαρὲς ἐν τῷ Ἐτυμολογικῷ κεῖται παροξυτόνως.

Ἀλκάος, ἀρχάος, ἀντὶ τοῦ ἀλκαῖος, ἀρχαῖος. Αἰολεῖς τῆς αι διφθόγγου τὸ ι ἐκβάλλουσιν, ὅταν μὴ αὐτῇ σύμφωνον ἐπιφέρηται.

Ἄλκαρ, δύναμις, σωτηρία, βοήθημα, παρὰ τὸ ἀλκή.

Ἀλκέτας, Μολοττῶν βασιλεύς.

Ἀλκεῖδαι, θεοί τινες παρὰ Λακεδαιμονίοις. καὶ Ἀλκμαιωνίδαι Ἀθήνησιν, ἀπὸ Ἀλκμαίωνος τοῦ κατὰ Θησέα.

Ἀλκήεις, ἰσχυρός. παραγώγως δὲ ἐσχημάτισται παρὰ τὴν ἀλκὴν, ὡς φωνήεις παρὰ τὴν φωνήν. ἔστι δὲ ὁ Ἡρακλῆς πατρωνυμικῶς. Ἀλκέως γὰρ παῖς Ἀμφιτρύων.

Ἀλκὴ, ἡ δύναμις, βοήθεια, ἀρκτή τίς ἐστι, τροπῇ τοῦ ρ εἰς λ. ἢ παρὰ τὸ ἀκμὴ, ὃ σημαίνει τὴν ἡλικίαν.

Ἄλκηστις. Ἱστορία. Ὅτι Ἄλκηστις ἡ Πελίου θυγάτηρ φίλανδρος οὖσα, θανάτῳ ἑαυτὴν παρέβαλεν ἀντὶ τοῦ ἀνδρὸς αὐτῆς Ἀδμήτου ἐκ ζώντων γενομένου, εἶτα εἰς φῶς παλινδρομήσει, δηλοῦσιν οἱ παλαιοὶ, καὶ μάλιστα οἱ ποιηταί. ὁ γοῦν Εὐριπίδης, ἐκ τῆς γυναικὸς ταύτης ποιεῖζεται, καὶ τὸ δρᾶμα ἐπιγράφει Ἄλκηστιν. περὶ δὲ ταύτης καὶ τοιαύτη μυθολογία φέρεται. φασὶ Πελίαν προσθεῖναι τὸν τῆς Ἀλκήστιδος γάμον, τῷ δυναμένῳ συζεῦξαι λέοντι κάπρον. Ἀπόλλωνα δὲ, τῷ Ἀδμήτῳ τοῦτο ἐκτελέσαι, καὶ τὸν γάμον αὐτῶν ἐγγυῆσαι. ἀπὸ δὲ τοῦ ῥηθέντος Ἀδμήτου, σκολιόν τι Ἀθήνησι ἦν ᾀδόμενον. ὡς καὶ Παυσανίας φησὶν, ἐν τῷ οἰκείῳ λεξικῷ λέγων. ὡς οἱ μὲν Ἀλκαίου φασὶν αὐτὸ, οἱ δὲ Σαπφοῦς. οἱ δὲ Πραξίλλης τῆς Σικυωνίας. ἀρχὴ δὲ τοῦ μέλους αὕτη. Ἀδμήτου λόγον ὦ 'ταῖρε μαθὼν τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλῶν ὀλίγα χάρις. ἔοικε δὲ διὰ μὲν τῶν ἀγαθῶν, τὴν γενναίαν καὶ φίλανδρον ὑποδηλοῦν Ἄλκηστιν. διὰ δὲ τῶν δειλῶν, τὸν Ἀδμήτου πατέρα, ὃς ὤκνησε θανεῖν ὑπὲρ τοῦ παιδός. Ἄλλως.

Ἀλκήστιδος ἡ ὑπόθεσις, τοιαύτη τίς ἐστιν. Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν, ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων, παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἀπέδωκεν ἑαυτὴν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης, Ἡρακλῆς παραγενόμενος, καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν θάνατον ἀποστῆναι ποιήσας, ἐσθῆτι καλύπτει τὴν γυναῖκα. τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν, εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου, ἔδειξεν ἣν ἐπένθει. Ἄλκηστις δὲ ἡ Πελίου θυγάτηρ ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ, διασώζεται βιασαμένου τοὺς χθονίους θεοὺς, καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' Οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

Ἀλκήεντας, ἥρωας, δυνατούς.

Ἀλκεὸν, ὅπλον, ἢ ἀλεξιφάρμακον φυτόν. Ἐρατοσθένης δὲ, ὄνομα εἶναί τινος ἀνθρώπου κωμῳδουμένου.

Ἀλκὶ, δυνάμει. μεταπλασμὸν ἔπαθεν, ἀπὸ τῆς ἀλκῇ δοτικῆς. Τρύφων δέ φησι λέγειν τὸν Ἀρίσταρχον, ὅτι ἔθος ἐστὶ τοῖς Αἰολεῦσι λέγειν τὴν ἰωκὴν, ἴωκα. καὶ τὴν κρόκην, κρόκα. καὶ τὴν ἀλκὴν, ἄλκα, ὡς σάρκα. ὅθεν καὶ τὴν αὐτῆς δοτικὴν ἀλκὶ, ὡς σαρκί. ὁ δὲ Ἀσκαλωνίτης οἴεται τὸ ἀλκὶ, ἀπὸ εὐθείας παρῆχθαι τῆς ἡ ἄλξ.

Ἀλκιβιάδης, ὁ Κλεινίου. ἦν δὲ καὶ ὕστερος πρόπαππος τοῦ προειρημένου. ὅν φησι Λυσίας ἐν τῷ κατὰ Ἀλκιβιάδου λειποταξίου, εἰ γνήσιος ὁ λόγος, αὐτόν τε καὶ τὸν πρὸς πατρὸς πάππου δὶς ἐξωστρακισθῆναι.

Ἄλκιμα δοῦρα, τὰ πολεμικά, καὶ ἀλκιμοτα-

ρός

προὸς διάστολὴν ἑτέρων ξύλων τῶν ἁπλῶς. ὡς τὸ, Ἑκατὸν δέ τε δούρατ' ἀμάξης, ὅ ἐστι ξύλα.

Ἀλκιμάχη, ἡ Ἀθηνᾶ, καὶ ἡ ἐν πολέμῳ κραταιά.

Ἄλκιμος, μάχιμος, ἀνδρεῖος, ἰσχυρὸς, θρασύς. ἢ ἀλτιμός ἐστιν, ὁ τὴν ἀνδρείαν αἱρετὴν ἔχων. τῷ ἐναντίον κακὸν, τὸ δειλὸν ἔφη ὁ Ποιητής. καὶ ἄλκιμον ἔγχος, τὸ ἀλκιμοποιόν.

Ἀλκιμώτατον, γενναῖον, ἰσχυρότατον.

Ἀλκιμέδη, Φερεκράτης συμφωνεῖ Ἀπολλωνίῳ, λέγοντι Ἀλκιμέδην μητέρα εἶναι Ἰάσονος, τὴν φυλάκου θυγατέρα. Ἡρόδωρος δὲ, Πολυφήμην φησὶν εἶναι τὴν Ἰάσονος μητέρα, θυγατέρα δὲ Αὐτολύκου. Ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν συγγενειῶν, Θεογνίτην τὴν Λαοδίκου μητέρα Ἰάσονος γεγονέναι φησίν. * ἀδόκιμον.

Ἀλκμάν, ὄρνεον θρηνητικόν.

Ἀλκμαῖος, νεανίσκος.

Ἀλκμαιωνίδαι, γένος ἐπιφανὲς Ἀθήνησιν, ἀπὸ Ἀλκμαίωνος.

Ἀλκμᾶνες, μεταξὺ δύο ἑνικῶν ὀνομάτων, πληθυντικὸν τιθέασι ῥῆμα οἷον, Πλάτων μὲν ἐπορεύθησαν καὶ Ἀριστοτέλης. καὶ Ὅμηρος, Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι, Κωκυτός τε. καὶ πάλιν. Εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης καὶ Φοῖβος ἀπόλλων.

Ἀλκμάρες, τὸ ἀλεξητήριον, κατὰ πλεονασμὸν τοῦ μ.

Ἀλκμάρες γάρ ἐστι τὸ ἀλαλκεῖν, ὅ ἐστι βοηθεῖν τὴν ἀρὰν, καὶ ἀπεῖργον τὴν βλάβην.

Ἀλκμέωνα, τὸν Ἀλκμᾶνα.

Ἀλκτῆρα, τιμωρὸν κωλυτὴν, βοηθὸν, ἢ βοηθοῦντα.

Ἀλκτήρια λιμοῦ, τὰ δυνάμενα ἀλαλκεῖν καὶ ἀπείργειν τὸν λιμόν.

Ἀλκτῆρες, οἱ φύλακες. θείας ἀλκτῆρες ἱμερτῆς φιλότητος.

Ἀλκτήριον. ἀμυντήριον.

Ἀλκυόνιον, βοτάνη τίς.

Ἀλκτὴρ, ὁ ἀρνὴς παρ' Ὁμήρῳ, ὁ τοῦ φόνου ἐκδικαστὴς, ὁ καὶ ἀμαύτωρ ἀλλαχοῦ λέγεται, καὶ ἀποτροπαῖος, ἀπὸ τοῦ ἀλκῶ τὸ βοηθῶ.

Ἀλκυόνιδες ἡμέραι. λέγεται ὁ Ζεὺς ἐφεξῆς πέντε καὶ δέκα ἡμέρας, ἢ ὥς τινες, ιδ΄, ἀδιεινὰς ποιεῖν, ἵνα ἀποκυήσῃ παρὰ τοῖς αἰγιαλοῖς.

Ἀλκυόνιδες ἡμέραι καλοῦνται, ἑπτὰ πρὸ τοῦ τόκου, καὶ ἑπτὰ μετὰ τὸν τόκον. ἡ δὲ ἀλκυὼν θαλάσσιόν ἐστιν ὄρνεον. καὶ ἱστορίαν δὲ τοιαύτην περὶ αὐτῆς φασιν. ὡς ἀπ' ἀνθρώπων ἀπορνεώθη. ἐστὶ δὲ ἡ κήυκος τοῦ τραχινίων βασιλέως γυνή. οἱ ὄλβῳ μεγίστῳ ἐπαρθέντες, εἰς τοσοῦτον ἦλθον φρυάγματος, ὡς ἀπαξιοῦν τοῖς ἰδίοις ὀνόμασι καλεῖσθαι. καὶ ὁ μὲν ἐκάλεσεν ἑαυτὸν δία, ἡ δὲ ἥραν. καὶ ποτὲ ἐν θαλάσσῃ αὐτοῦ πλέοντος, ὁ Ζεὺς ὀργισθεὶς, αὐτόν τε διέφθειρε, καὶ τὴν ναῦν. ἡ δὲ ἄγαν περιπαθῶς ὠδύρετο τὸν τοῦ ἀνδρὸς θάνατον παρὰ τῷ τύμβῳ. ἣν ἐλεήσας ὁ Ζεὺς, ἀπωρνέωσε. καὶ ἐκεῖνον δὲ εἰς ὄρνεον μετέβαλεν, ὃν κήρυλον καλοῦσιν. ἐθρήνει δὲ τῆς αὐτῆς ἐν τῇ θαλάττῃ κλωμένων αἰών. διὸ κατὰ διὸς οἶκτον, τεσσαρεσκαίδεκα ἡμέρας.

Ἀλκυονίτιδας καλουμένας, ἀδιεινὰς ἔχει ἴσως. ἐν αἷς τίκτουσα, ἐκβάλλει τοὺς νεοττούς. Ἄλλως.

Ἀλκυονίδες ἡμέραι, αἱ χειμῶνι νήνεμοι, καὶ γαλήνην ἔχουσαι. καὶ περὶ τοῦ αὐτῶν ἀριθμοῦ διαφέρεται. Σιμωνίδης μὲν γὰρ πέντε φησὶν αὐτάς, καὶ Ἀριστοτέλης. Δημαγόρας δὲ ὁ Σάμιος ἑπτά. Φιλόχορος δὲ ἐννέα. ὅτι δὲ καὶ δεκατέσσαρές εἰσιν, ἕτεροι λέγουσι. Παυσανίας δὲ μῦθον ἐπ' αὐταῖς, καὶ τὸν τὴν φησιν.

Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες, Φθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππη, Παλήνη, Δρυμώ, Ἀστερίη. αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καίστρου, ὅ ἐστιν ἄκρον Παλήνης, μέχρι καὶ νῦν φυλάσσον τὴν κλῆσιν, ἔρριψαν ἑαυτὰς εἰς τὴν θάλασσαν. Ἀμφιτρίτη δὲ αὐτὰς ὄρνιθας ἐποίησε, καὶ ἀπὸ τοῦ πατρὸς Ἀλκυόνες ἐκλήθησαν, ἀφ' ὧν αἱ Ἀλκυονίδες ἡμέραι. Ἰστέον δὲ, ὅτι κήρυλοι, κατὰ Παυσανίαν ἐν ἀλκυόσιν, οἱ ἄρρενες, οἱ γηράσαντές φησιν ὑπὸ τῶν θηλειῶν βαστάζονται. κεῖται δὲ ὁ ῥηθεὶς κήρυλος καὶ παρὰ τῷ Κωμικῷ παρεξυτόνως μέντοι δι' ἑνὸς λ ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων. Σημείωσαι ὅτι ἀλκυὼν μὲν ἀλκυόνος, τὸ ὄρνεον. Ἀλκυόνη δὲ ἐπὶ κυρίου, τῆς Κλεοπάτρας τῆς παρωνύμου τῷ ὀρνέῳ. ὅτι Διώνυμος ἡ Κλεοπάτρα. ὡς καὶ τοῦ Ἕκτορος ὁ υἱὸς, καὶ ἄλλα, τῇ μὲν μιᾷ τῶν κλήσεων παρὰ μόνων τῶν φιλτάτων ὀνομαζομένη ἐν μεγάροις, ὥς φησιν ὁ Ποιητής. τῇ δὲ ἑτέρᾳ κοινῶς ὑπὸ τῶν ἄλλων, καὶ ὅτι οὐ διὰ πάθος οἰκεῖον ἡ Κλεοπάτρα τὴν τῆς καὶ ἀλκυόνης ἔσχεν ἐπωνυμίαν, ἀλλὰ διὰ τὴν μητέρα παθοῦσαν δίκην πολυπενθοῦς ἀλκυόνος.

Ἀλκυὼν, εἶδος ὀρνέου. παρὰ τὸ ἐν ἁλὶ κύειν, ἤγουν ἐν θαλάσσῃ. λέγεται ὑποκοριστικῶς καὶ ἀλκυονίς. φασὶ δὲ, ὅτι τὸ κῦμα ἀφανίζον αὐτῆς τὰ ᾠὰ, καὶ ἐπιπολὺ οὔσης ἀτέκνου, ὁ Ζεὺς ἐλεήσας αὐτὴν, ὥρισεν ἡμέρας τινὰς ἀδιεινὰς, ἐν αἷς τίκτει, καὶ ἐκγλύφει, ἑπτὰ ἑπτά. ἃς λέγουσιν ἀλκυονίδας, τὰς γαληνούς.

Ἀλκυονίς. κατά τινας ἀλκυονὶς, καὶ ἀλκυονίτις, ἡ τῆς ἀλκυόνος μήτηρ.

Ἀλλὰ, σύνδεσμος, ἐνίοτε μέν ἐστι συμπλεκτικὸς, καὶ λέγεται ἐπὶ ἀναιρέσει ἑνὸς καὶ συστάσει ἑτέρου. οἷον, οὐκ ἔστι τόδε, ἀλλὰ τόδε. καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλως γινομένων λέγεται. ἐνίοτε δὲ ἐστὶ συλλογιστικὸς, καὶ λέγεται ἐπὶ βεβαιώσει τινὸς πράγματος. ὡς τὸ ἀλλ' ἦ μέμηνας, καὶ ἀλλὰ μὴν τόδε ἐστί. καὶ τὸ μὲν ἀλλὰ μετατίθεται ἐν τῷ λόγῳ. οἷον, Τυδεὺς μικρὸς μὲν ἦν δέμας, ἀλλὰ μαχητής. αὐτὰρ δὲ ἀεὶ προτίθεται. οἷον, Αὐτὰρ ἐπὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο. ἀλλὰ, ἀντὶ τοῦ παρακελευσματικοῦ πολλάκις τιθέασιν Ἀττικοί. ὡς παρ' Ὁμήρῳ, Ἀλλά γε μηκέτι ταῦτα λεγώμεθα. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ καί. εὑρήσεται παρ' Ἀττικοῖς λαμβανόμενος ἀντὶ τοῦ γὰρ, μετὰ τοῦ γε. ὡς καὶ Συνέσιος.

Ἀλλὰ τὸ βούλεσθαι τὰ δέοντα πολλά. ὁ ἀλλὰ σύνδεσμος ἀποδοτικὸς κεῖται, ὅτε καὶ ἀντὶ τοῦ δὴ λαμβάνεται.

Ἀλλὰ καὶ ὥς, ἀντὶ τοῦ ἀλλὰ καὶ ὅμως.

Ἀλλ' ἄνα, ἀντὶ τοῦ ἀλλὰ ἀνάστηθι.

Ἀλλὰ δὴ, ἀλλ' ὅμως. δυσχεραίνοντος δὲ ἡ λέξις. μὴ ὅτι, οὐχί.

Ἀλλὰ τί πάθω, ὑποτακτικὸν ἐπ' ἀποροῦντος λαμβανόμενον, καὶ οὐ μέλλων ὁριστικός. καὶ οἴμοι τί δράσω. καὶ ὦ Ζεῦ τί χρήσομαι, παρ' Ἀριστείδῃ. οἱ γὰρ Ἀττικοὶ εἰώθασιν ἐπὶ ἀπορίας ὑποτακτικοῖς ἀεὶ χρῆσθαι.

Ἀλλὰ χρὴ, ἀντὶ τοῦ ἴσω. τοῦτο δηλοῖ συγκατάθεσιν, οἷον καὶ τὸ μάλα.

Ἀλλὰ κακῶς, μεθ' ὕβρεως.

Ἀλλὰ νῦν ὦ θεοὶ πατρῷοι συγγένεσθε. τὸ ἀλλὰ νῦν, ἀντὶ τοῦ διὰ τάχους, ἡ τραγῳδία καὶ φησίν.

Ἀλλ' ἄναξ, ἐξόδιον κιθαρῳδοῦ τοῦτο, καὶ τὸ καταπάδον.

Ἀλλὰ τί ἤ μοι ταῦτα περὶ δρῦν. Ἡσίοδος. παροιμία ὅταν τίς καιροῦ τινὸς αὐτοῦ κατεπείγοντος περὶ ἄλλων λέγειν, ὁ δὲ ταῦτα ἀφεὶς ἄλλοις χρῆται. καὶ οὗτος οὖν ἀφεὶς περὶ τῶν προκειμένων αὐτῷ λέγειν, ἤτοι τῆς τῶν θεῶν γενέσεως, ὅπως αὐτῷ αἱ μοῦσαι δάφνης ἔδωκαν κλάδον λέγει.

Ἀλλ' ἄγετε. τὸ ἄγετε ῥῆμά ἐστιν ἢ ἐπίρρημα; καὶ λέγομεν ἐπίρρημα. ἀλλὰ κανών ἐστιν, ὁ λέγων, Τὰ ἀριθμὸν ἀναδεχόμενα μετὰ τῆς δεύτερης τῶν προσώπων καταλήξεως, ῥήματά εἰσι; καὶ ὀφείλουσιν εἶναι ῥήματα, ἀλλ' ἕτερος κανών ἐστιν, ὁ ποιῶν αὐτὸ ἐπίρρημα. ὥσπερ γὰρ τὸ δεῦρο ὁμολογουμένως ὂν ἐπίρρημα, ἐχόμενον δὲ προστακτικῆς ἐννοίας, κατὰ συνεκδρομὴν ἀριθμὸν ἐδέξατο. ὡς ἐν τῷ, δεῦτε φίλοι τὸν ξεῖνον εἰρώμεθα, οὕτω τὸ ἄγε ἐπίρρημα ὂν, κατὰ συνεκδρομὴν ἀριθμὸν τοῦ ῥήματος, ἔσχε πληθυντικῶς τὸ ἄγετε.

Ἀλλ' ἄγε, τέμνετε μὲν γλώσσας, κεράασθε δὲ οἶνον. ἔθος παλαιὸν, λαλεῖ ὁ Ποιητής. μέλλοντες γὰρ κοιμηθῆναι μετὰ τὴν θυσίαν οἱ παλαιοὶ, ἔθυον τῶν ἱερείων γλώσσας, κατὰ ἔθος Ἰώνων ἢ Ἀττικῶν, βάλλοντες ἐν πυρί. ἐπένεμον δὲ αὐτὰς ὁσιοῦντες θεοῖς, ἢ τῶν δυσφημιῶν καθαίροντες ἑαυτούς. ἢ ὅτι κράτιστον τῶν μελῶν ἡ γλῶσσα. ἢ καὶ ὅτι τὰ ῥηθέντα θεοῖς ἀνετίθεσαν, ὡς ἐπὶ μαρτύρων αὐτῶν λαληθέντα. ἀμέλει καὶ κατὰ τὸ οὖς τῶν ἐκπομάτων ἔσπενδον, τὴν θέαν οἰωνιζόμενοι ἀκοήν. ἢ διότι χρὴ τὰ ἐν συμποσίῳ σιγᾶν. ὅθεν ἡ παροιμία, μισῶ μνάμονα συμπόταν. ὅ ἐστι τὸν τὰ ἄξια σιγῆς ἐν μνήμῃ ἔχοντα, καὶ ἐκκαλύπτοντα.

Ἄλλαγμα, ἀντισαγωγή. ὡς ὁ Προφήτης φησὶ, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν. καὶ ἄλλαγμα, ὁ βαπτιζόμενος. * ἀδόκιμον.

Ἀλλαγὴν, ἀμοιβή.

Ἀλλάμπαν, τὸν ἥλιον, ὅτι ἀναλάμπει. οἱ δὲ, ἐπιχειρικὸν δαίμονα.

Ἀλλανὴς, ἀσφαλής. Λάκωνες.

Ἀλλᾶντα παρὰ τῷ Κωμικῷ. Ἡρωδιανὸς ὀκνῶν βαρύνειν, κατὰ τὴν κοινὴν συνήθειαν περισπᾷ. λέγει γὰρ, ὅτι ὁ ἀλλᾶς, ὡς ἀπὸ τοῦ ἀλλάεις κέκλιται διὰ τοῦ ντ, ἵνα ᾖ ἀλλάεντος, καὶ κατὰ κρᾶσιν ἀλλᾶντος. ὁ δὲ τοιοῦτος λόγος ἀπαιτεῖ καὶ τὴν εὐθεῖαν τοῦ ἀλλᾶντος περισπᾶσθαι. δῆλον γὰρ ὡς ὁ ἀλλάεις γενόμενος ἀλλᾶς, περισπωμένην ἀπαιτεῖ τὴν ἀπὸ κράσεως. ὁ δὲ Ἡρωδιανὸς τοῖς εἰρημένοις παραμιγνὺς, καὶ τὸ παρὰ τῷ κωμικῷ μαγειρικὸν τὸ βάρβαρον ὄνομα, διὰ τοῦ ντ κλιθῆναι λέγει, παραφέρων χρῆσιν τοιαύτην. ἀλλ' οὖν ἔγω γέ σοι λέγω μαγειρικῶντα μὴ κολάζειν.

Ἀλλὰξ, ἐνηλλαγμένως.

Ἀλλαξάμενος, προτιμήσας. Ὑπὲρ τοῦ κέρδους, ὁ κακοδαίμων τὴν πήρωσιν ἀλλαξάμενος.

Ἀλλάχθητε, ἀντὶ τοῦ διαλλάχθητε.

Ἀλλαρίοις, σιτηρεσίοις.

Ἀλλᾶς ἀλλᾶντος, εἶδος ἐντέρου κατεσκευασμένου. καὶ ἀλλαντοπώλης, ὁ ταῦτα πωλῶν.

Ἅλλας ἄγων καθεύδεις, παροιμία. ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων, καὶ ῥαστωνευομένων. ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος, συνέβη τὴν ἀντλίαν ἐπαναβῆναι, καὶ ἐκτῆξαι τοὺς ἅλας. ὅθεν καὶ ἡ παροιμία. ἁλῶν δὲ φόρτος, ὅθεν ἦλθεν, ἔνθ' ἔβη.

Ἀλλάσσω. παρὰ τὸ ἄλλος, ἀλλάσσω. ἀπὸ γενικῆς εἰς αἰτιατικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ ἀλλάσσω χρυσοῦ ἄργυρον, καὶ μολύβδου χαλκόν.

Ἀλλᾶται, πλανᾶται. * γράφεται δι' ἑνὸς λ.

Ἀλλὰ τὰ μὲν, ἀλλ' ὅσα μέν.

Ἀλλά τε, ἀλλὰ δή.

Ἀλλάττομαι τοῦδε τόδε, ἤγουν διὰ τοῦδε. ὡς τὸ ὠνοῦμαι τοῦδε τόδε. ἐναλλάττειν, τὸ μετατιθέναι τὴν τάξιν ἀντιστρόφως. ἀφ' οὗ ἐναλλὰξ, ἐπὶ τῶν ποιούντων ἐναντίως λέγεται. ἐξαλλάττειν, τὸ ἀμείβειν, καὶ ἀλλοιοῦν. οἷον, ἐξαλλάττει τὶς τὸ χρῶμα. ἤγουν, ἀμείβει. συναλλάττειν ἐπὶ συμφωνίας γάμου. ἀφ' οὗ συνάλλαγμα. καταλλάττειν, καὶ διαλλάττειν, τὸ εἰς φιλίαν συνάγεσθαι. πλὴν τὸ μὲν διαλλάττεσθαι, τὸ διὰ μέσου τινὸς πρὸς τὴν προτέραν φιλίαν ἐπανιέναι φησί. τὸ δὲ καταλλάττεσθαι, τοὺς χωρὶς μέσου. ὅθεν καὶ διαλλακτὴς μέν ἐστι, καταλλακτὴς δὲ οὔ. μεταλλάττειν, τὸ μεταβαίνειν ἀπό τινος εἴς τι. καθὸ λέγεται, τὸ μετήλλαξε τὸν βίον,

Digitized by Google

βίον, ἀντὶ τοῦ ἐτελεύτησε. παραλλάττειν, τὸ παρέρχεσθαι καὶ τὸ κατά τι μὲν ὁμοιοῦσθαι, κατά τι δὲ διαφέρειν, καὶ τῇ παραθέσει ἀλλοῖον δείκνυσθαι. ἀφ' οὗ παραλλὰξ ἐπίρρημα, ἀντὶ τοῦ παρηλλαγμένως, ὅταν ἐφεξῆς ἑτέρῳ ἕτερον ἀλλοῖον κεῖται, ἢ ἀντὶ τοῦ ἐφεξῆς. ἀνταλλάττειν, τὸ ἄλλο ἀντ' ἄλλου εἰσφέρειν. ἀπαλλάττειν, τὸ ἐλευθεροῦν, καὶ τὸ διάγειν. ἀπαλλάττεσθαι δὲ, τὸ ἀπέρχεσθαι, καὶ τὸ ἐλευθεροῦσθαι. ὑπαλλάττειν, τὸ μὴ κύριον ἀντὶ κυρίου λέγειν. καὶ ἁπλῶς, τὸ ἕτερον ἀνθ' ἑτέρου εἰσάγειν.

Ἀλλαχῆ, καὶ ἀλλαχόσε, τὸ εἰς ἄλλον τόπον. ἀλλαχοῦ δὲ καὶ ἀλλαχόθι, τὸ ἐν τόπῳ.

Ἀλλ' ἄχρι ἔξεστιν, ἀντὶ τοῦ ἔσω, Μένανδρος. * κάλλιον ἀλλὰ χρή. ὡς καὶ παρὰ Σουίδᾳ. δηλοῖ δὲ τὸ οὔπω χρή.

Ἀλλάων, ἄλλων.

Ἀλληλίζεσθαι, τὸ ἀλλήλους ἐπιχειρῆσαι.

Ἄλλεγον, συνέλεγον.

Ἀλλ' ἕνεκα, ἀλλὰ χάριν.

Ἀλλέξαι, ἀναλέξαι, συλλέξαι.

Ἀλλεπάλληλα, συνεχῆ.

Ἀλλ' ἔκ τοι ἐρέω, ἄλλο δή σοί τι ἐρῶ.

Ἄλλη, ἐπίρρημα δηλοῦν τὸ ἄλλως. εἴληπται δὲ κατ' ἔλλειψιν, ἀπὸ τῆς ἄλλη δοτικῆς ἀντωνυμίας. ἵνα λέγῃ, ἄλλῃ ὁδῷ ἢ βουλῇ ἢ τέχνῃ. τούτου δὲ τοῦ σχηματισμοῦ, καὶ τὸ ταύτῃ, ἀντὶ τοῦ οὕτως. καὶ ἄλλῃ, ποιητικόν. ἀλλαχόσε κοινόν, καὶ ἄλλῃ ἀντὶ τοῦ ἀλλαχοῦ. καὶ ταύτῃ, ἀντὶ τοῦ οὕτως, ἀντωνυμίαι ἀντὶ ἐπιρρημάτων. καὶ ἄλλῃ, ἀλλαχοῦ.

Ἀλλ' ἤ, σύνδεσμος διασαφητικός, ἐκ τοῦ ἀλλὰ συνδέσμου τοῦ συμπλεκτικοῦ, καὶ τοῦ ἢ συνδέσμου τοῦ διαζευκτικοῦ. ἀντὶ τίνος παραλαμβάνεται ὁ ἀλλὰ σύνδεσμος, ἀντὶ τοῦ καί. οἷον, Ἡμέρα ἐστὶν, ἀλλὰ τὰ νέφη οὐχ ὁρῶ.

Ἀλλ' ἤ, ἀντὶ τοῦ εἰ μὴ, καὶ ἀντὶ τοῦ ἁπλοῦ ἤ. τίθεται δὲ ἐνίοτε καὶ ἀντὶ τοῦ ἀλλὰ ἄρα, καὶ ἀντὶ τοῦ ἁπλοῦ ἄρα.

Ἄλλῃ πῃ ἁλός, ἄλλοθεν ἐκ τῆς θαλάσσης.

Ἀλληγορία ἐστὶ, λέξις ἕτερόν τι λέγουσα, ἑτέρου ἔννοιαν παριστῶσα, καθ' ὁμοίωσιν ἐπὶ τὸ πλεῖστον, ὡς τὸ, πλείστην μὲν καλάμην ἐπὶ χθονὶ χαλκὸς ἔχευε. σαφέστερον δὲ ὡς τὸ λεγόμενον ἐν τῇ γραφῇ, ἐν ᾗ πρὸς τὸν ὄφιν εἶπεν ὁ θεὸς, Ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων. ὁ γὰρ λόγος ὡς πρὸς τὸν ὄφιν, ἐπὶ δὲ τοῦ διαβόλου, ἀναλόγως αὐτὸν λαμβάνομεν. καὶ ἀλληγορία, ἡ ἄλλο τι παρὰ τὸ ἀκουόμενον ὑποδεικνύουσα.

Ἀλληγορούμενον, τροπολογούμενον, φυσιολογούμενον.

Ἀλληκτὶ, πράσσει τι ἄνευ κλήρου. * ἀδόκιμον.

Ἀλληλάξαι, ἀλλήλους ἐλάσαι.

Ἀλληλέγγυον, ἡ ἐξ ἀμφοτέρων πίστις ἀλλήλοις ἢ ἀλλήλαις.

Ἀλληλούϊα, αἰνεῖτε τὸν Κύριον, παρ' Ἑβραίοις ἤτοι τὸν ὄντα.

Ἀλλήλουλα, τὰ ἀτιπεπλεγμένα. * ἴσως ἀλληλοῦχα ὅπερ ἐστὶ τὰ ἑνωμένα.

Ἀλλήλοιϊν, δυϊκόν. Ὁρῶσιν ἐν τῇ λάρνακι σώματα ἀλλήλοιϊν περικείμενα.

Ἀλληλουχία, τὸ ἀλλήλους διαδεδέχθαι, καὶ συνέχειν, καὶ συγκροτεῖν. * καὶ Ἀλληλουχέω τὸ συνάπτω.

Ἀλλήλησι κέχυνται, ἀλλήλαις ἐπιβαίνουσιν.

Ἀλληλοφωδόται, ἀλληλοβόροι, ἀλληλοφάγοι.

Ἀλλήλων, οὔτε ἑνικὰ ἔχει, οὔτε εὐθεῖαν ἐν τοῖς πληθυντικοῖς, οὔτε ἐν τοῖς δυϊκοῖς. οὔτε ἄρθρον, διὰ τὸ ἐπὶ προεγνωσμένων προσώπων λέγεσθαι. ὁμοίως τὸ ἀμφότεροι ἔχει. καὶ λέγομεν ἀλλήλοις βοηθοῦμεν, πρὸς ἀλλήλους ἀγαπῶμεν. εἰς ἀλλήλους ἐπολέμιζον, καὶ ἀλλήλοις βοηθοῦμεν, ἀλλήλοις βοηθεῖτε, ἀλλήλοις βοηθοῦσιν.

Ἀλλήλους ἀγαπῶμεν, ἀλλήλους ἀγαπᾶτε, ἀλλήλους ἀγαπῶσιν. εἰς ἀλλήλους πολεμίζομεν, εἰς ἀλλήλους πολεμίζετε, εἰς ἀλλήλους πολεμίζουσι. καὶ ἀλλήλων, ἀντὶ τοῦ ἑαυτῶν. οὕτως Εὐριπίδης, καὶ Θουκυδίδης, Καί που τινὲς ἀλλήλων ἐγεύσαντο, ἀντὶ τοῦ ἑαυτῶν. καὶ ἀλλήλους τριπόλεμος καὶ σαρπηδὼν ἔβωσαν, πολυνείκης καὶ ἐτεοκλῆς ἀλλήλους ἐφόνευσαν. καὶ ἐπὶ θηλυκῶν λέγομεν ἀλλήλων, ἀλλήλαις, ἀλλήλας. καὶ ἐπὶ οὐδετέρων ὁμοίως ἀλλήλων. ἀλλήλοις, ἀλλήλα. αὗται δὲ αἱ τρεῖς πλαγίαι, οὐκ ἔχουσιν εὐθεῖαν, οὔτε ἑνικὴν, οὔτε δυϊκὴν, οὔτε πληθυντικὴν, οὔτε κλητικὰς ἔχουσιν.

Ἄλλην, λάχανον ἰταλοί, καὶ ἐπὶ τοῦ φαρκοῦντος προκοπτοῦ. ἐξ οὗ ἀλλαντοπώλης.

Ἀλλὴν ἄλλως, ὡς ἔτυχεν.

Ἀλλῆκα, χλαμύδα, ἐμπόρπημα. οἱ δὲ πορπίδα χλαμύδος ἀλληλοχείρου.

Ἀλλ' ἤει, ἀλλὰ, πορεύου.

Ἄλλη συνοχὴς, ἄλλη κατάστασις.

Ἀλληλίζειν, τὸ ἄλλως καὶ ἄλλως λέγειν.

Ἀλλῆσαι, ἀναστρέψαι.

Ἄλλιξ, ἀλλάσσω, ἀλλάξω, ἄλλαξ, καὶ ἄλλιξ. σημαίνει δὲ κατὰ θετταλοὺς, τὴν χλαμύδα. Καλλίμαχος ἄλλικα χρυσείησιν ἐργομένην ἐνέπησι. σημαίνει δὲ καὶ ἐμπόρπημα. οἱ δὲ πορφύραν, ἄλλαξ τὸ ἄλληξ, καὶ τροπῇ ἄλλιξ, παρὰ Εὐφορίωνι, χιτὼν χειριδωτός.

Ἄλλικα, χλαμύδα πορφυρᾶν.

Ἀλλόβρυγες, ἔθνος δυνατώτατον γαλατικόν. Πολύβιος διὰ τοῦ γράφει τὸ ἀλλόβριγες.

Ἀλλογνόων, ὁ παραφρονῶν, παρ' Ἱπποκράτει.

Ἀλλογεῖν, μὴ ἐπιγινώσκειν. * ἴσως ἀλλογνοεῖν.

Ἀλλογνώσας, ἀγνοήσας.

Ἀλλόγνωτος δῆμος, ἢ ὁ πολέμιος, ἢ ὁ ἄλλα γινώσκων ἤπερ ἡμεῖς, ἢ ὁ ἄλλοις καὶ οὐχ ἡμῖν γινωσκόμενος. ἐκ τοῦ γνωτὸς δὲ σύγκειται ὁ ἀλλόγνωτος, ὃν γνωστόν φασιν οἱ ὕστερον. δοκεῖ δὲ ὁ ἀλλόγνωτος μᾶλλον εἶναι ὁ ἄλλοις γνωτός. ἤγουν κατὰ γένος οἰκεῖος, παρὰ τοὺς γνωτοὺς, ἤτοι τοὺς ἀδελφοὺς, ἄλλως γὰρ οὐκ ἐκώλυε τὸν Ποιητὴν εἰπεῖν, Ἀλλογνώτῳ ἐνὶ δήμῳ, καθ' ὁμοιότητα τοῦ ἄγνωστον πάντεσιν. ὅτι δὲ ὅμως καὶ γνωτὸν λέγεται τὸ γνωστὸν, δηλοῖ καὶ Σοφοκλῆς, ἐν τῷ, Γνωτὰ οὐκ ἄγνωτά μοι προσήλθετε. καὶ ἀλλογνώτων, ξένων.

Ἀλλοδαπὰ, ξένα, παντοῖα.

Ἀλλοδαπὴ, ἡ ξένη.

Ἀλλόδημα, ὑπόδημα.

Ἀλλοειδὴς, ὁ ξένον ἔχων εἶδος, καὶ ἀλλοφανής.

Ἀλλοδαπὸς, ὁ ἀπὸ ἄλλου ἐδάφους, τραπέντος ἰωνικῶς τοῦ ψιλοῦ εἰς δασύ. τοῦτο δὲ οἱ παλαιοὶ παρέλκουσι, καὶ εἰς τὸ ἡμεδαπὸς καὶ ἐνδαπὸς, καὶ ἔτι του ὅμοιον. τινὲς δὲ τῶν παλαιῶν, εἶπον ἀλλοδαπὸς, ὁ ἀπὸ ἄλλου δαπέδου.

Ἄλλο κατὰ τοῦ ἢ συντάσσεται. οἷον, ἄλλο τοῦτο ἢ ἐκεῖνο, καὶ ἄλλο ἐπὶ φύσεως λαμβάνεται. οἷον, ἄλλο ἄνθρωπος, καὶ ἄλλο ἵππος.

Ἄλλοθεν, σημειῶδές ἐστι τοῖς παλαιοῖς, ὡς προπαροξυνόμενον. οἱ καὶ λέγουσι κανόνα τοιοῦτον. τὰ εἰς θεν ἐπιρρήματα τῷ ο μόνῳ παραληγόμενα, παροξύνονται, κοπρόθεν, ἰλιόθεν. αἰνόθεν, ἀβυδόθεν. τὸ ἄλλοθεν, πάντοθεν, οἴκοθεν, προπαροξύνονται, διότι ἀόριστά εἰσι. καὶ κοινὴν τόπου σημασίαν ἀναδέχονται. ἕτεροι δέ φασιν ἁπλῶς, ὡς πάντα τὰ εἰς θεν παροξύνονται χωρὶς τῶν ῥηθέντων τριῶν ὡς σεσημειωμένων.

Ἄλλοθι, ἄλλοθεν, ἄλλοσε δοκιμώτερα, ἢ ἀλλαχόθι, ἀλλαχόθεν, ἀλλαχόσε.

Ἀλλόθροι ἄνθρωποι, οἱ ἀλλόγλωσσοι καὶ ἄλλα θροοῦντες, ἤγουν λέγοντες, παρὰ τὰ ἑλληνικά. ἢ ἀγνώριστοι, καὶ ὑπὸ ἄλλων θρούμενοι, ἤτοι λαλούμενοι. οὗτοι δὲ καὶ ἀλλόγνωτοι λεχθήσονται· ἔχει τὴν εὐθεῖαν τὴν ἑνικὴν ἀλλόθροος, πρὸς ὁμοιότητα τοῦ ἀθρόος ὁ ἀθόρυβος. οὐ πρὸς διαστολὴν, ἀθρόος, ὁ συνηθροισμένος παροξύνεται.

Ἀλλοπρόσαλλος, δίγνωμος, διπρόσωπος, ὁ ἀμετάβλητος, ἀνάρμαστος.

Ἀλλόννησος, νησύδριον ἐν τῷ αἰγαίῳ πελάγει.

Ἀλλοιᾶ, ἀττικῶς. ἀφ' οὗ καὶ ὁ πατροτύπτης καὶ μητροτύπτης πατραλοίας καὶ μητραλοίας λέγεται. καὶ ἀλλοιᾶ μεταποιεῖ.

Ἄλλ' οἱ μὲν, οἱ μὲν ἄλλοι.

Ἄλλοι μέν ῥα, ἄλλοι μὲν δή.

Ἀλλοιοῦται, ἄλλος ἐξ ἄλλου γενόμενος μετασχηματίζεται.

Ἀλλοῖος, ὁ παρηλλαγμένος, ἢ ἀλλοδαπός.

Ἀλλοιοῦσθαι, μετασχηματίζεσθαι.

Ἀλλοιοτροπεύει, τρέπεται ποικίλως. παρὰ τῷ Ἱπποκράτει.

Ἀλλοίους, ἀλλοιοφανεῖς.

Ἀλλοῖον, ἐπὶ ποιότητος. οἷον τὸ λευκὸν πτερὸν, τοῦ μέλανος.

Ἀλλοιῶ, τὸ τύπτω καὶ μεταποιῶ. ὁ μέλλων ἑτεροκλίτως, ἀλοιήσω, ὡς τύπτω τυπτήσω. ἐκ τοῦ ἄλλως γίνεται ῥῆμα ἀλλοῶ, καὶ πλεονασμῷ τοῦ ι ἀλλοιῶ. τουτέστιν, ἀφ' ἑτέρου ἕτερον ποιῶ. καὶ ἀλλοιῶ, ἀμείβω, ἐξαλλάττω, μεταλλάττω, ἐναλλάττω, μεταβάλλω, μεθαρμόζω, τρέπω. ἐπὶ τοῦ ἀλλοιοῦντος ταῦτα λέγονται.

Ἄλλοις, τοῖς ἄλλοις.

Ἀλλοίῳ, ἐπ' ἄλλῳ.

Ἀλλοίω, τὸ τύπτω.

Ἀλλοιῶ περισπωμένως, τὸ μεταποιῶ.

Ἀλλοίωσις, ἤτοι, ἐναλλαγή. κατὰ πολλοὺς δὲ γίνεται τρόπους. καὶ γὰρ περὶ γένη ὀνομάτων καὶ περὶ ἀριθμοὺς, καὶ περὶ πτώσεις, καὶ περὶ ἐνεργείας, καὶ πάθη, καὶ χρόνους. καὶ περὶ γένη μὲν, ὀνομάτων, οἷον, πᾶσα ἡ ἑλλὰς ἐσιδηροφόρει, ἀντὶ τοῦ οἱ ἕλληνες. περὶ ἀριθμοὺς, οἷον, αἴας ὁ καθελὼν τὴν τροίαν, ἀντὶ τοῦ οἱ καθελόντες. περὶ δὲ πτώσεις, Μῆνιν ἄειδε θεὰ, ἢ μυρί', ἀχαιοῖς ἄλγ' ἔθηκεν. ἀπὸ αἰτιατικῆς γὰρ εἰς εὐθεῖαν μεπέπεσε. περὶ ἐνεργείας καὶ πάθη, οἷον, οὐκ ἔτι μιγνύμενοι. περὶ δὲ, χρόνους, ὡς τὸ, Παρέξομαι τοὺς ὁρῶντας μάρτυρας. Ἰστέον ὅτι ἀλλοίωσις μὲν λέγεται, ἡ ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον τροπή. μεταβολὴ δὲ, ἡ ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον. ἡ ἀπὸ τοῦ μέσου δὲ ἐπὶ τὸ κρεῖττον, ἢ ἐπὶ τὸ χεῖρον, τροπὴ λέγεται.

Ἄλλοκα, δωριεῖς, ἀντὶ τοῦ ἄλλοτε λέγουσιν.

Ἀλλόκοτα, ἀκατάλληλα, ἐναντία, ἀκατάστατα, ἀλλοφυῆ, ἐξηλλαγμένα, ἰδιόκοτα ἐξ ἄλλων.

Ἀλλόκοτον, τὸ ἀνόμοιον, παρὰ τὸ ἐξ ἀνομοίων συνεστὼς, ἀλλότοκον, καὶ καθ' ὑπερβιβασμὸν, ἀλλόκοτον. ἢ παρὰ τὸ ἀλλαχοῦ κεῖσθαι, καὶ μὴ κατ' αὐτὸ ὂν, ὡς τύπτω τύπτιλος. σημαίνει δὲ τὴν σφοδρὰν ὁρμὴν, καὶ πίτυλος καθ' ὑπερβιβασμόν. καὶ σκέπω, σκέπος, καὶ πέσκος. σημαίνει δὲ τὸ πρόβιον δέρος. καὶ τὸν ἐξηλλαγμένον καὶ ἰδιότροπον, καὶ ἀλλόκοτον, τερατῶδες, ξένον, ἄτοπον, ἀλλοφυὲς, ἐξηλλαγμένον, καὶ ἰδιότροπον.

Ἄλλο, ἀλλοῖον.

Ἄλλομαι, δασύνεται, ὃ δηλοῖ τὸ πηδῶ. ἀλλὰ καὶ τὸ ἄλπω ψιλοῦται. τάχα μὲν καὶ ὡς αἰολικόν. μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς, διὰ τὴν τούτων ἐπιφοράν. τὸ γὰρ α λῆγον εἰς λ ἐπαγομένου ἑνὸς τῶν τῆς τρίτης συζυγίας συμφώνων, ἤγουν τοῦ δ, ἢ θ ἢ τ, ψιλοῦται. οἷον ἀλδαίνω τὸ αὔξω, ἀλθαίνω τὸ θεραπεύω. ἄλθους. οὕτως οὖν καὶ τὸ ἄλτο, ἀντὶ τοῦ ἐπήδησεν.

Ἀλλομένου, ἀεὶ ῥέοντος, ἢ βλύζοντος.

Ἄλλομος, τυφλός.

Ἄλλον μέν κεν, ἄλλον δή τινα.

Ἀλλ' ὁ μὲν, ὁ μὲν ἄλλος.

Ἄλλον ἐραίσω, ἀνέκρινεν.

Ἀλλοπρόσαλος, ἀμετάβλητος.

Ἀλλοπειρίους, ἀλλοφύλους.

Ἄλλος ὀδίτης, ἀλλόφυλος.

Ἄλλος οὗτος ἡρακλῆς, ἐπὶ θησεῖ παροιμιώδες ἐλέχθη, ἄδηλον ἢ ἐπὶ τῷ ἰδαίῳ δακτύλῳ ἡρακλεῖ ἐῤῥέθη, ἢ τῷ τῆς ἀλκμήνης.

κης. Αἴλιος Διονύσιος οὕτω φησι. Παυσανίας δὲ ἱστορεῖ, ὅτι τὸ, ἄλλος οὗτος Ἡρακλῆς παροιμία ἐστὶν ἐπὶ Θησεῖ, ἢ ἑνὶ τῶν ἰδαίων δακτύλων. οἱ δὲ, ἐπὶ τῷ Αἰγυπτίῳ Ἡρακλεῖ, οἱ δὲ ἐπὶ τῷ τῆς Ἀλκμήνης.

Ἄλλος, ἐπὶ πολλῶν, ἕτερος ἐπὶ δυοῖν. Ἰστέον ὅτι τὸ ἄλλος κλητικὴν οὐκ ἔχει. οἷον ἄλλε. ἡ γὰρ φύσις τῆς κλήσεως μάχεται τῷ σημαινομένῳ τοῦ ὀνόματος. ἡ γὰρ κλητικὴ, πρὸς παρόν ἐστι πρόσωπον καὶ γνωριζόμενον. τὸ δὲ ἄλλος, ἀγνοούμενόν ἐστι καὶ ἀπόν. ὁμοίως καὶ αἱ κλητικαὶ τῶν πυσμάτων, τοῦ ποῖος, τίς, πόσος, ἐκλελοίπασιν. ἐπειδὴ τὰ πύσματα, περὶ ἀπόντων καὶ ἀγνοουμένων γίνονται προσώπων. αἱ δὲ κλητικαὶ παρόντων εἰσὶ, καὶ ἐγνωσμένων προσώπων κλήσει.

Ἄλλος προσώπου σημαντικόν ἐστιν, ἤγουν ὑποστάσεως. οἷον ἄλλος Πέτρος, καὶ ἄλλος Παῦλος. τὸ ἄλλο δὲ, τὴν κατὰ φύσιν διαφορὰν σημαίνει. οἷον ἄλλο ἄνθρωπος, καὶ ἄλλο ἵππος. τὸ δ' ἀλλοῖον ἐπὶ τῶν κατὰ φύσιν διαφορῶν τίθεται. τὸ γὰρ ἀλλοῖον ποιεῖ.

Ἄλλος, ὄνομά ἐστιν, οὐκ ἀντωνυμία; εἰσὶ μέν τινες λόγοι, μὴ ἐῶντες αὐτὸ εἶναι ἀντωνυμίαν, καὶ μὴ ὄνομα. ἐπειδὴ ὃν τρόπον τὸ ἐκεῖνος καὶ οὗτος ποιοῦσι τὰ οὐδέτερα αὐτῶν, ἀποβολῇ τοῦ ς ἐκεῖνο καὶ τοῦτο, τὸν αὐτὸν τρόπον καὶ τὸ ἄλλος, ἀποβολῇ τοῦ ς ποιεῖ τὸ οὐδέτερον. σεσημείωται τὸ ἄλλο, καὶ τοῦτο, καὶ τὰ ὅμοια. ἕτερος δὲ λόγος τοῦ μὴ εἶναι ἀντωνυμίαν, ἀλλ' ὄνομα. ἡ γὰρ ἀντωνυμία, ἀντὶ ὀνόματος παραλαμβάνεται. τὸ δὲ ἄλλο ἀόριστον: καὶ διότι τὸ οὗτος, καὶ ἐκεῖνος, καὶ τὰ λοιπὰ, ἢ δεῖξιν σημαίνει ἢ ἀναφοράν. τὸ δὲ ἄλλος οὔτε δεῖξιν σημαίνει, οὔτε ἀναφορὰν, ἔστιν ὄνομα.

Ἄλλος, ἀπὸ τοῦ ἄλαλος, κατὰ συγκοπὴν ἄλλος. ἀναιρετικὸν γάρ ἐστι τῶν ὡρισμένων προσώπων. οἷον, ἄλλος οὐκ ἐγὼ, ἄλλος οὐ σύ.

Ἄλλος ἄλλον, ἀντὶ τοῦ ἀλλήλους.

Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ, ἐπὶ τῶν ποτὲ μὲν δυσπραγούντων, ποτὲ δὲ εὐπραγούντων.

Ἀλλοτρίωσις, χωρισμὸς οἰκείων.

Ἀλλότριος, ξένος, ἀλλοόριος, καὶ κατὰ συγκοπὴν ἀλλόριος, ὁ ἄλλων ὁρίων ὑπάρχων. καὶ κατὰ πλεονασμὸν τοῦ τ ἀλλότριος.

Ἀλλότριος φὼς, παρ' Ὁμήρῳ; ἐνίοτε ἀντὶ τοῦ πολέμιος.

Ἀλλότριον ἀμᾷς θέρος, ἐπὶ τῶν τὰ ἀλλότρια καρπουμένων.

Ἀλλοτριῶ, αἰτιατικῇ συντάσσεται. οἷον, τὴν πίστιν ἀλλοτριῶν. ἀλλοτριοῦμαι δὲ γενικῇ.

Ἀλλοφρονέοντα, ἀντὶ τοῦ ἐξεστηκότα φρενῶν λέγουσιν οἱ παλαιοί. κρεῖττον δ' εἰπεῖν, τὸν ἠλλοιωμένον τὴν φρόνησιν. τὸ δὲ εἰπεῖν ἀλλοφρονοῦντα, παρ' ὃ πρώην ἐφρόνει, κακίζεται τοῖς πάλαι σοφοῖς, ἵνα μὴ τὸ παραφρονεῖν, φρονεῖν λεγόμενον, καὶ αὐτὸ νόμῳ καθυπαγάγῃ τὴν φρόνησιν, κατὰ τὸ νόμῳ γλυκὺ, καὶ νόμῳ πικρόν. ὁ δὲ ὡς ἐρρέθη ἀλλοφρονῶν, καὶ ἀλλότριος τοῦ φρονεῖν ἑρμηνευθείη ἄν. οἱ δὲ παρὰ τοῖς ἰατρικῶς ἰωνίζουσιν ἀλλοφράζοντες, οὐδέν τι ὅμοιον δηλοῦσιν, ἀλλὰ σημαίνουσι τοὺς ἄλλοτε ἀλλοφράζοντας, καὶ μηδὲν ὅλως διασαφοῦντας.

Ἀλλ' ὅτι οἱ, τέσσαρα μέρη λόγου. ἀλλὰ σύνδεσμος, τὸ ὃ ἄρθρον, τὸ τὶ ὄνομα ἀόριστον, τὸ οἱ ἀντωνυμία.

Ἄλλο τί, ἐν ἐρωτήσει, Ἀττικοί.

Ἀλλότοσον, ἀντὶ τοῦ ὅλον τὸ σῶμα. * παρὰ Σουίδᾳ κεῖται. ἄλλο τόσον. Ὅμηρος. τοῦ δὲ καὶ ἄλλο τόσον. οὕτως εἴωθε λέγειν ἄλλο τόσον, ἐπειδὰν ἀπολίπῃ τὶ τοῦ ὅλου μικρόν. ἀπελές.

Ἀλλοτριοεπίσκοπος, ὁ τὰς ἑαυτοῦ ἁμαρτίας ἀφεὶς, τὰς δὲ ἑτέρων περιεργαζόμενος.

Ἀλλοτριοπραγεῖν, ἐχθρῶς βουλεύεσθαι. ἐσημειοῦντο δέ ἐκ τούτου, τὸ, Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου, τουτέστι τῶν δυσμενῶν. * παρὰ Σουίδᾳ κεῖται ὧδέ πως. ἀλλοτριοπραγεῖν, ἐχθρῶς βουλεύεσθαι. ἐσημειοῦντο μηδὲν αὐτὸν ἀλλοτριοπραγεῖν, μηδὲ καινοτομεῖν. καὶ αὖθις παρὰ τῷ αὐτῷ Σουίδᾳ.

* Ἀλλοτρίως. πολεμίως. καὶ ὁ Δαβίδ. Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου, τουτέστι τῶν δυσμενῶν.

Ἀλλοτροπῆσαι, μεταθεῖναι.

Ἀλλοτριονομοῦντες, ἐναλλαγὴν ὀνομάτων ποιοῦντες. ἢ ὅλως, τισί τινα μὴ προσηκόντως διανέμοντες.

Ἀλλόφασις, θόρυβος ταραχώδης.

Ἀλλοφασεῖν, τὸ ἑτεροχρονεῖν. ἢ οὐχ ὑποφέρειν βάρος. * κάλλιον παρὰ τῷ Ἐτυμολόγῳ. ἀλλοφάσσειν, θορυβεῖσθαι, ἀλλαχοῦ τὰ φάη περιφέρειν. Εὐστάθιος δὲ, ἀλλοφάσσειν, ἀντὶ τοῦ ἄλλοτε ἄλλα φάσκειν.

Ἀλλοφάτοις, ὑπ' ἄλλου πεφατισμένοις, ἢ ἀνηρημένοις.

Ἀλλοφέρμονες, ἀλλαχοῦ τρεφόντες.

Ἀλλόφυζον, ἐν ἀμηχανίᾳ ἦσαν. * παρ' ἄλλοις γράφ. διὰ ἑνὸς λ.

Ἀλλόφυλος, ὁ ἀπὸ ἄλλης φυλῆς, ὁ ἀλλογενής.

Ἀλλοφρονέειν, ἐξεστηκέναι, ἢ ἀμφιδοξεῖν, ἄλλα διανοούμενος. οἱ δὲ, παρακόπτειν.

Ἄλλυδις, ἀπὸ τοῦ ἄλλη, ἤγουν ἀλλαχοῦ. καὶ οὕτως ἀπὸ τοῦ ἅμα τὸ ἄμυδις, ἤγουν ἅμα ἢ ὁμοῦ. καὶ ἄλλυδις, ἄλλη μεταλλαγὴ ἄλλου, ἐπ' ἄλλο ἀλλαχῇ.

Ἀλλύει, ἀναλύει.

Ἀλλοστρατεῖ, στρατεύεται, διαφθείρει.

Ἄλλως, ἀργόν. ἄλλως, ἀντὶ τοῦ μάτην. καὶ ἄλλως, ἀντὶ τοῦ ἀλλοτρόπως. ἄλλως, ἀντὶ τοῦ μάτην εὐφύμως πέφρασται. τὸ γὰρ μὴ κατὰ σκοπὸν, ἢ κατ' εὐχὴν ἀποβεβηκὸς, ἀλλ' ἑτέρως, ἄλλως ἀποβῆναι φαμὲν, κατά τινα δηλαδὴ ματαίαν ἔργων, ὅ ἐστι ματαιότητα. διὸ καὶ ἀναγκαίως, ἀντὶ τοῦ μάτην νοεῖται τὸ τοιοῦτον, διὰ τὴν εἰς μάτην ἑτεροιότητα τῆς πραγματικῆς ἀποβάσεως. ἢ ἄλλως, ἠλιθίως, καὶ ματαίως. καὶ Ὅμηρος, Σπερχεῖ' ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς. οἱ δὲ Ἀττικοὶ εἰώθασι προστιθέναι τὴν τὴν, λέγοντες τὴν ἄλλως. Ἀριστοφάνης, Ἄλλως ἄρ' ἐξηπατώμεθα. ἄλλως τε μάλιστα. καὶ ἄλλως ᾄδεις, ἐπὶ τῶν μάτην πονούντων, καὶ ἄλλως ἀναλίσκεις ὕδωρ, ἐπὶ τῶν μάτην ἐν λόγοις πονούντων.

Ἀλλ' ὥς τις, παρ' Ὁμήρῳ, ἢ ἀντὶ τοῦ ἀλλ' ὅπως, ἢ κατὰ τοὺς παλαιοὺς, ἀλλὰ πάντως, καὶ λίαν.

Ἀλλῴ τῳ, ἀντὶ τοῦ ἄλλῳ τινί.

Ἅλμα, πήδημα. καὶ ἡ πρώτη τοῦ ἐμβρύου καταβατικὴ κίνησις, παρ' Ἱπποκράτει. καὶ ἅλμα Πελασγῶν, τὸ Θετταλῶν πήδημα. Πελασγὸς γὰρ καὶ Θετταλὸς ὁ Ἀχιλλεύς. ἡ δὲ περὶ τοῦ Ἀχιλλέως πηδήματος ἱστορία, τοιαύτη ἐστίν, Ἱστορία. Χρησμὸς ἦν δοθεὶς Ἕλλησι, τὸν προπηδήσαντα τῶν Ἑλλήνων κατὰ Τρώων ἐκ τῶν ὁλκάδων, πρῶτον τῶν ἄλλων ἀποθανεῖν, προπηδήσαντος δὲ τοῦ Πρωτεσιλάου, καὶ ἀναιρεθέντος ὑφ' Ἕκτορος, ἢ ἑτέρου τινὸς, Ἀχιλλεὺς τῷ τούτου παθήματι παιδευθεὶς, ὕστερον ἁπάντων τῆς ἰδίας νεὼς σφοδρῶς πηδήσας, πλήττει τὴν γῆν, καὶ ὕδωρ ἐξ αὐτῆς ἀνεδόθη, ὥς φησιν Ἀντίμαχος. Ῥίμφα δ' ἀπ' ἠπείροιο μελαίνης ὑψόθ' ἀερθεὶς, Πηλείδης ἀπόρουσεν ἐλαφρὸς ἠΰτε κίρκος. Τοῦ δ' ἔμπροσθεν ποδῶν κρήνη γένετ' ἀενναοῦσα. καὶ Εὐριπίδης φησὶ, διὰ Νεοπτόλεμον, τὸ τρωϊκὸν πήδημα πηδήσας ποδοῖν.

* Ἅλμα, τὸ πήδημα. ὀρθότερον δασύνεται καὶ περισπᾶται. παρὰ τῷ Ἐτυμολόγῳ δηλοῖ τὸ ἄλσος, αἰολικῶς δὲ καὶ τὸν κλάδον. καὶ γίνεται ἀπὸ τοῦ ἄλδω τὸ αὐξάνω, οὗ ὁ παθητικὸς παρακείμενος, ἦλμαι. ὅθεν καὶ ψιλοῦται. κατὰ δὲ τὸν τόνον, παρὰ μὲν τῷ Ἐτυμολόγῳ παροξύνεται, παρ' ἄλλοις δὲ προπερισπᾶται.

Ἅλμενος, ἁλλόμενος. * τὸ ἄλμενος ψιλοῦται παρὰ τῷ Ἐτυμολόγῳ. κάλλιον δὲ μετὰ δασείας, ὅτι κατὰ συγκοπὴν ἀπὸ τοῦ ἁλλόμενος.

Ἁλμεῖον, ἀνδρεῖον. * ἀδόκιμον.

Ἁλμάδες, αἱ κολυμβηταὶ ἐλαῖαι, καὶ αἱ ἐκ σινάπιος γογγυλίδες.

Ἁλματῆραι, τὰ παραθαλάσσια χωρία.

Ἅλμη, ὁ τῶν ἰχθύων ζωμός.

Ἀλμήτην, ἀδάμαστον. * γραπτέον ἀδμήτην.

Ἁλμυρὸν ὕδωρ, ἄποτον τὴν θάλασσαν λέγει περιφράσας. ἄλλως γὰρ οὐκ ἂν, οὔτε τὸ ἁπλῶς ὕδωρ εἴη ἂν θάλασσα, οὔτε τὸ ἁλμυρὸν ὕδωρ. εἰ γὰρ καὶ ὁ Λοκρὸς Αἴας ὕδωρ ἁλμυρὸν πιὼν ἀπόλωλεν, ἀλλ' οὐ θάλασσαν ἐξέπιε, βραχὺ δέ τι αὐτῆς. ὁμοῦ τοίνυν τὸ ἄποτον ἁλμυρὸν ὕδωρ, εἴη ἂν θάλασσα.

Ἁλμυρὰ δάκρυα, χαλεπὰ, πικρά.

Ἁλμυρίδες, αἰγιαλοί, καὶ τόπος ἐν τῇ Ἀττικῇ παρὰ τὰς ἐσχατιὰς, οὗ τοὺς νεκροὺς ἐξέβαλλον.

* Ἁλμυρὶς, ἡ ἅλμη ἐν ᾗ ταριχεύεταί τι καὶ ἀποθησαυρίζεται. καὶ ἁλμεύω, τὸ ταριχεύω. ἅλμευσις, ἡ ἅλμη, καὶ αὐτὸ τὸ ταριχεύειν. ἁλμευτὴς, ὁ ταριχεύων.

Ἁλμυρὸν, ἁλυκόν. * καὶ ἁλμυρότης, ἁλυκότης. ἁλμυρίζω, ἁλυκὸς εἰμὶ τῇ γεύσει, ἁλμυρώδης, ἁλμυρός.

Ἄλξ, ἡ δύναμις, ἀπὸ τοῦ ἀλκή. Κανών. Τὰ γὰρ ἀπὸ τῶν εἰς κη θηλυκῶν, κατὰ ἀφαίρεσιν τοῦ η καὶ τροπῇ τοῦ προκειμένου κ εἰς ξ γίνεται, ὡς φοινίκη φοῖνιξ, φρίκη φρὶξ, κρόκη κρὸξ, πνυκὴ πνὺξ, τὸ ἐν Ἀθήναις βουλευτήριον. οὕτω καὶ ἀλκὴ, ἄλξ. οὕτω Μεθόδιος.

* Ἄλξις, βοήθεια. ἄλξεων τειχέων.

Ἀλωᾶν, τὸ ἐπὶ τῆς ἅλω πατεῖν καὶ τρίβειν τοὺς στάχυας. καὶ ἀλοιᾶν, τὸ τύπτειν. * γραπτέον ἀλοᾶν, ὁ ἐνεστὼς ἀλοάω. καὶ ἀλοιᾶν κατὰ πλεονασμὸν, ὡς ἀγνοιῶ, ἀπὸ τοῦ ἀγνοῶ.

Ἄλογα, ἄρρητα, Σοφοκλῆς Θυέστῃ.

Ἀλογία, παρακοὴ, ἀταξία, ἀφροντισία. Ταχὺ δὲ τοῦ λόγου διαδοθέντος εἰς τὸ πλῆθος, οὐκέτι συνέβαινε γίνεσθαι τὴν ἀλογίαν.

Ἀλογίσαντες, τὰ τῶν ἀλόγων φρονήσαντες.

Ἀλογεῖται, μωραίνει.

Ἀλογεῖν, ἀφροντιστεῖν.

Ἄλογος ὄρεξις, ἡ ὀργὴ, καὶ ἡ ἐπιθυμία.

Ἀλογήσει, ἀφροντιστήσει, λόγον οὐχ ἕξει.

Ἀλογηθῆναι, μωρανθῆναι.

Ἀλογήσας, καταφρονήσας, ὀλιγωρήσας.

Ἀλογίας δίκη, ἣν φεύγουσιν οἱ ἄρχοντες, λόγον οὐ διδόντες τῶν τῆς ἀρχῆς διοικημάτων. * Σουίδας. ἀλογίου δίκη.

Ἀλόγιστα παροίσομεν, ἀδιήγητα κακὰ βαστάξομεν.

Ἀλογῆσαι, ἀφροντίσαι, παραλογίσασθαι. καὶ ἀλογήσει, ἀμελήσει, οὐ φροντίσει.

Ἄλογχον, δόρυ τὸ σιδήρεον. Θρακικῶς.

Ἄλογος, μωρός.

Ἀλογχεῖν, ἀλόγχους μιμεῖσθαι, ὅ ἐστιν ἔθνος Θρακῶν.

Ἀλογῶ, τὸ ἀφροντιστῶ, καὶ καταφρονῶ, γενικῇ συντάσσεται. οἷον, ἀλογῶ τῶν ἀπειλῶν σου.

Ἄλογοι ἐρανισταὶ, οἱ μήπω εἰληχότες τὸ ἐπιβάλλον αὐτοῖς.

Ἀλοῆτος καὶ ἀλοάων, καὶ ἀλοητὸς, ὁ καιρὸς τοῦ θέρους.

Ἀλόη, πόα τὶς οὕτω καλουμένη, καὶ ὁ ταύτης χυλός.

Ἀλογήσει, προϋπάρχον αὐτοῦ ἔχει τὸ λογίζω, καὶ πρὸ αὐτοῦ τὸ λόγος, ἐλέγχει τοὺς παρασημειουμένους, ὡς ὁ ποιητὴς τὸ λέγειν μὲν οἶδε, τὸ δὲ ἐξ αὐτοῦ ὄνομα τὸν λόγον οὐκ οἶδε.

Ἀλοία, ἔτυπτε. παρὰ τὸ ἀλοιάω ἀλοιῶ. ὁ παρατατικὸς ἠλοίαον ἠλοίων, ἠλοίαες ἠλοίας, ἠλοίαε ἠλοία, καὶ ἰωνικῶς ἀλοία.

Ἀλοίη, ἄλωμι. ἡ μετοχὴ ἀλοὺς ἀλόντος.

τὸ

τὸ εὐκτικὸν, ἀλοίην ἀλοίης ἀλοίη.

Ἀλοίη, δοίη, γνοίη, διὰ διφθόγγου δεῖ γράφειν κατ' Ἀττικούς. καὶ οὐχ ἀλώη, δώη. τὸ δὲ ἁλίσκεται ποτὲ μὲν μετοχῇ, ποτὲ δὲ ὀνόματι συντάσσεται. ἔστι δὲ ὅτε καὶ γενικῇ, τότε ὡς αἰτία λαμβανομένη. οἷον ἑάλω κλοπῆς ἀντὶ τοῦ ἕνεκα κλοπῆς, ἑάλω φόνου, ἀντὶ τοῦ ἕνεκα φόνου. καὶ ἑάλω κλέπτων, καὶ ἑάλω ἐν ταῖς χερσὶν ἔχων φώρια.

Ἀλοῖεν ἄν, ληφθεῖεν ἄν.

Ἀλοιᾶν, τύπτειν, ἐξ οὗ καὶ πατραλοίας, ὁ τὸν πατέρα τύπτων. καὶ μητραλοίας, ὁ τὴν μητέρα. * γραπτ. ἀλοιᾷν.

Ἀλοιταὶ αἱ κοιναὶ ἁμαρτωλαί, πόρναι.

* Ἀλοιταὶ παρὰ τῷ Ἐτυμολόγῳ, κοιναὶ ἁμαρτίαι. καὶ ἀλοιτεύειν.

Ἀλοιτήσουσαν, τὴν κοινὴν ἀνδρῶν νέαν ἡ χρῆσις καλεῖ.

Ἄλοιτο, κινοῖτο, ὁρμοῖτο. Σχοινήτης μαλακοὺς κισσὸς ἄλοιτο πόδας. * γραπτ ἄλλοιτο.

Ἀλοιμός. τὰς χρίσεις καὶ τὰς ἐπαλείψεις, ἀλοιμοὺς ἔλεγον.

Ἀλοιτὸς, ὁ ἁμαρτωλὸς, πόρνος.

Ἀλοίμασι, χρίσμασι. Σοφοκλῆς.

Ἀλοίτης, Κυδωνία, καὶ Θρασώ, ἐπίθετα Ἀθηνᾶς καὶ Ἀρτέμιδος.

Ἀλοιφὴ, τὸ λῖπος. Ὅμηρος, μεθύουσαν ἀλοιφῇ. δηλοῖ τροπικῶς ἡ λέξις καὶ πλήρωσιν, τὴν ἀπὸ πληθυσμοῦ ἀλοιφῆς, ἥ ἐστι λῖπος. ὅπερ ἐξικμασθείσης τῷ τανυσμῷ ἀντησδύνει εἰς τοὺς πόρους, καὶ μαλάσσει τὴν βύρσαν.

Ἀλοιῶ, τὸ τύπτω καὶ μεταποιῶ. ὁ μέλλων ἑτεροκλίτως, ἀλοιήσω. ὡς τύπτω τυπτήσω. * ὅτε δηλοῖ τὸ μεταποιῶ, γράφεται διὰ δύο λλ.

Ἄλοκας, βοθύνους, δίοδους, αὔλακας, ἄλοκας, αὐδοὺς βωμοὺς, ἢ γλυφὰς δέλτου.

Ἄλοκι, τῇ τομῇ τοῦ ἀρότρου, αὔλακι.

Ἀλοκίζειν, ἀροτριᾶν. ἢ αὔλακας σχίζειν. Ἀριστοφάνης. ἢ τὸ τῷ ὄνυχι γράφειν, ἐν τιμητικῷ πινακίῳ.

Ἀλόννησος, νησύδριον ἐν τῷ Αἰγαίῳ πελάγει. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Ἀλόντες, ληφθέντες.

Ἀλόντα, κλαπέντα, διαπεσόντα.

Ἄλοξ, ἡ αὖλαξ.

Ἀλόπη, Θεσσαλίας πόλις, ἢ Μαγνησίας, ἥτις ὁμωνυμεῖ Ἀλόπῃ θυγατρὶ Κερκυόνος Ἄκτορος. ἔκειτο φασὶ μεταξὺ Λαρίσσης τῆς κρεμαστῆς, καὶ Ἐχίνου. ὁ πολίτης, Ἀλοπίτης, καὶ Ἀλοπεύς. εἰσὶ δὲ καὶ ἕτεραι Ἀλόπαι.

* Ἀλοπήγια, τόποι, ἐν οἷς οἱ ἅλες πήγνυνται. καὶ ἁλοπηγὸς, ὁ τῶν τοιούτων ἐπιμελούμενος.

Ἄλοπον, ἀλέπιστον.

Ἀλοπεύει, ἀνιχνεύει.

Ἀλορόα, ἄρουρα, καὶ γεωργία, ἡ παρὰ θάλασσαν.

Ἄλος, οὐ μόνον ἡ Φθιῶτις αὕτη, ἀλλὰ καὶ τῆς Ἀχαΐας πόλις. κτισθεῖσα ὥς φασιν ὑπὸ τοῦ Ἀθάμαντος. ὠνομάσθη δὲ ἀπὸ τῆς αὐτῷ συμβεβηκυίας ἄλης, ἤγουν πλάνης, ἣν ἔπαθεν εἰς μανίαν ἐμπεσών. γράφεται δὲ δι' ἑνὸς λ, πρὸς διαστολὴν τῆς ἄλλος ἀντωνυμίας. ἕτεροι δὲ ἱστοροῦσι, θεράπαιναν Ἀθάμαντος εἶναι τὴν ἄλον, τὴν μηνύσασαν τὴν Οἰνώ, φρύγειν τὰ σπέρματα. ἧς εἰς τιμὴν ἡ πόλις ὠνόμασται. γυνὴ δὲ Ἀθάμαντος ἡ Οἰνώ, δι' ἧς οἷα κατηργάσθη ἄλλα τε, καὶ τὰ ἐπὶ τῷ Φρίξῳ καὶ τῇ Ἕλλῃ τεθρύλληται. λέγεται δὲ καὶ ἀρσενικῶς ὁ Ἄλος, καὶ θηλυκῶς ἡ Ἄλος. τὸ ἐθνικὸν τῆς Ἄλου, Ἀλεύς, καὶ Ἄλιος. κατὰ δέ τινας, Ἀλούσιος. ἔστι δὲ ἐν μέσῳ Φαρσαλίας καὶ Φθιωτῶν.

Ἁλὸς ἄχνη, ἀφρὸς θαλάσσης.

Ἁλὸς, γενική. λέγουσιν οἱ παλαιοὶ, ὅτι ἐπὶ μὲν κυρίων ὀνομάτων συνθέτων ψιλὸν ἀποφέρεται πνεῦμα, οἷον Εὐρύαλος, Ἀστύαλος. ἐπὶ δὲ τῶν ἐπιθετικῶν, τὰ ἴδιον τηρεῖ πνεῦμα, οἷον ἀμφιάλῳ Ἰθάκῃ, ὕφαλος, πάραλος. ἀπὸ τῶν τοιούτων σημειοῦμεν, ὡς οἱ ἀρχαῖοι οὐ μόνον ἐν ταῖς ἀρχαῖς τῶν λέξεων τὸ ρ στοιχεῖον καὶ τὰ φωνήεντα ἐπνευμάτιζον, ἀλλὰ καὶ ὁπουδήποτε. οἱ γοῦν Ἀττικοὶ, ὡς καὶ Ἀθήναιός φησι, τοῦ ταῶς τὴν λήγουσαν περιέσπων τε, καὶ ἐδάσυνον. ὥσπερ οὖν πάλιν τοῦ λαὸς, καὶ κρεὼς, καὶ τῶν ὁμοίων τὰ τέλη ἐψίλουν.

Ἁλοσύδνης, τῆς θαλάσσης, παρὰ τὴν ἁλὸς γενικὴν ἁλόσυνος. καὶ τὸ θηλυκὸν, ἁλοσύνη. καὶ πλεονασμῷ τοῦ δ', ἁλοσύδνη. ὥσπερ τὸ γηθόσυνος, γηθοσύνη.

Ἁλοσύνα, ἡδονή. * καὶ ἁλοσύνη, ἀφροσύνη παρὰ Νικάνδρῳ.

Ἁλὸς θείοιο, ἐντίμου, τῆς θείκῆς κινουμένης θαλάσσης.

Ἁλὸς χνόον. χνοῦν τὸ λεπτότατόν φησι. τοιοῦτος δὲ ὁ ἀφρὸς τοῦ ἀέρος. τὸ πλεῖστον καὶ πνεύματος μᾶλλον, ἤπερ ὕδατος ἔχον. ἢ τὸν ἐπὶ τῆς ἐπιφανείας τῆς θαλάσσης ἀφρόν.

Ἁλοσύδνην, μίαν ὁ μῦθος οἶδε τῶν Νηρηΐδων. διὸ καὶ καλὴν αὐτὴν λέγει προσωπικῶς. ἄλλως μέντοι καὶ ἡ ἁλοσύδνη, ὡς καὶ τὸ ὕδωρ ἀγλαὸν λέγεται· ἕτεροι δὲ, Ἀμφιτρίτης ἐπίθετον αὐτὸ νοοῦσι. καὶ οὐδὲ παρὰ τὸ ὕδωρ ἐτυμολογοῦσι τὴν λέξιν, ἀλλὰ παρὰ τὸ ἐν ἁλὶ σύεσθαι, ὅ ἐστιν ὁρμᾶν. ἄλλοι δέ φασι καὶ πληθυντικῶς ἁλοσύδναι, ὅ ἐστιν ἐν ἁλὶ δευόμεναι, ἢ εἰς ἅλα δύουσαι. Ἰστέον δὲ, ὡς κτῆμα τῆς Ἁλοσύδνης αἱ φῶκαι πλάττονται. εἴτε φώκας Ἁλοσύδνης αὐτὰς ἀναγνώσῃ τίς, εἴτε Νέποδας Ἁλοσύδνης. διὸ καὶ ἔφη τὸν Πρωτέα ἐν μέσαις αὐταῖς κεῖσθαι, ὡς νομέα ἐν πώεσι μήλων. ἃ δὴ καὶ αὐτὰ ἀνδρῶν κτήματα. τινὲς δὲ ἠρίσθησαν τρόπῳ συγγενικῷ οὕτω φρασθῆναι. νέποδες γάρ φασι θαλάσσης αἱ φῶκαι, ὅ ἐστι τέκνα. νέπους γὰρ κατά τινα γλῶσσαν ὁ ἀπόγονος, καὶ ἁλοσύδνη, σημείωσαι ὅτι οὐ μιᾶς τῶν νηρηΐδων παρὰ τῷ ποιητῇ, ἀλλὰ τῆς Θέτιδος ἐστὶν ἐπίθετον ἐν τῇ Ἰλιάδι. ἐν μέντοι τῇ Ὀδυσσείᾳ ἔοικε νηρηΐδος ὄνομα εἶναι, ἐν τῷ Φῶκαι νέποδες καλῆς Ἁλοσύδνης. εἰ μὴ ἄρα θαλάσσης εἴη ἐκεῖ ἐπίθετον. Καλλίμαχος δὲ ἄλλως ὀνομάσαι θελήσας, μόνος ἐκεῖνος ὑδατοσύδνην λέγει, μεταποιήσας τὴν ἁλοσύδνην. ἢ ἁλοσύδναι θαλάσσιαι, ἀπὸ τοῦ ἐν ἁλὶ δύειν, ὅ ἐστιν ἐν τῇ θαλάσσῃ ὁρμᾶν.

Ἄλουα, κῆποι. * οὕτως Ἡσύχιος ἔν τισιν ἀντιγράφοις, ἐν ἄλλοις ἄλονα.

Ἀλοῦνται, κρατοῦνται, πηδῶσιν. * ἁλοῦνται ἀπὸ τοῦ ἁλέω, τὸ ἀλήθω, ἢ ἐκκλίνω. ἁλοῦνται, κρατοῦνται, ἅλλονται δὲ τὸ πηδῶσιν.

Ἁλουργὲς, πορφυροῦν.

Ἁλουργὴς ἐσθὴς, διὰ τοῦ η, καὶ κλίνεται ἁλουργέος ἁλουργοῦς.

Ἁλουργὶς, διὰ τοῦ ι πορφυρᾶ χλαμὺς, καὶ κλίνεται ἁλουργίδος. ἐκ τοῦ ἅλς ἁλὸς, καὶ τὸ ἔργον. ἡ ἀπὸ θαλασσίου κόγχου γινομένη.

Ἁλουργὸν χρῶμα, τὸ πορφυροῦν. ἁλουργὶς δὲ, ἁλουργίδος, τὸ πορφυροῦν ἱμάτιον. ἁλουργὲς δὲ τὸ πορφυροῦν ἁπλῶς, εἴτε ἔνδυμα εἴη, εἴτε ἱστίον, εἴτε ἄλλο τι. καὶ ἔστι τριγενές, οἷον ὁ ἁλουργὸς, ἡ ἁλουργὶς, καὶ τὸ ἁλουργές. ὡς τὸ, ὁ πορφυροῦς, καὶ ἡ πορφυρὶς, καὶ τὸ πορφυροῦν. ὥστε ταῦτα ὡς ἐπίθετα λέγεται, τὴν ποιότητα μόνον δηλοῦντα τοῦ χρώματος. οἷον χιτὼν ἁλουργὸς, καὶ ἐσθὴς ἁλουργὸς * (ἄλλ. ἁλουργὴς) ἡ χλαμὺς, ἤ τι τοιοῦτον, καὶ ἔνδυμα ἁλουργὲς, ἢ ἱστίον, ἤτι τοιοῦτον. ὥσπερ μέλας χιτὼν, καὶ μέλαινα ἐσθὴς, καὶ μέλαν ἱμάτιον. ἁλουργὶς καὶ πορφυρὶς, ὁμοῦ δηλοῦσι τό, τε ἔνδυμα, καὶ τὴν ποιότητα τοῦ χρώματος.

* Ἁλουργὸς, ἀρσενικόν. ἁλουργὴς, κοινόν. ἁλουργὸν, ἁλουργοῦν, καὶ ἁλουργὲς, οὐδέτερον.

Ἁλουργοπωλικὴ, ἡ πορφυροπωλική. * καὶ ἁλουργοπώλιον, τὸ ἐργαστήριον, καὶ ἁλουργοπώλης, ὁ πωλῶν.

Ἁλουργοειδὲς, πορφυροειδές.

Ἁλοὺς, πιασθεὶς, ληφθεὶς, κρατηθείς.

Ἁλοῦσα, ληφθεῖσα, χειρωθεῖσα. καὶ ἀλοῦσα περθομένη τε παρ' Ὁμήρῳ, ταυτὸν κατὰ παραλληλίαν δηλοῦν, ὡς καὶ τὸ πόλεμον καὶ δηϊοτῆτα, καὶ πόλεμόν τε, μάχην τε.

Ἄλυτος χωρὶς τοῦ σ, ὁ ἀπαράτιλτος. ὡς τὸ, ἐξ ἐτῶν ἄλυτος.

Ἀλοφάζω, σκιρτῶ, παροινῶ. * κάλλιον, ἀλλοφάσσω.

Ἄλοφος, ὁ μὴ ἔχων, ἢ ἡ μὴ ἔχουσα λόφον. λόφος γὰρ καλεῖται τὸ εἰς ὕψος ἐπάνωθεν τῆς περικεφαλαίας.

Ἀλοχεύτου, ἤγουν ἀσπόρου. Ἐξ ἀλοχεύτου προελθὼν, καὶ λοχευθεὶς * (ἄλλ. λογχευθεὶς) τὴν πλευρὰν ὦ Πλαστουργέ μου.

Ἄλοχος, γυνὴ, γαμετή. Εὐριπίδης Ἀνδρομέδᾳ, Ἄγου με ὦ ξένε εἴτε δμωΐδ' ἐθέλεις, εἴτ' ἄλοχον. κυρίως δὲ, ἡ ἐκ παρθενίας ἑτέρου λέχους ἄπειρος. τοῦ α σημαίνοντος τὸ ὁμοῦ, ἢ ἅμα, οἱονεὶ ὁμόλεχός τις οὖσα. ἡ μετέχουσα τῆς κοίτης τοῦ ἀνδρός.

Ἀλοῶ, τὸ συντρίβω, καὶ τύπτω, καὶ πλανῶ.

Ἀλπαλαῖον, ἀγαπητόν. * ἀδόκιμον.

Ἅλς δύο σημαίνει. θηλυκῶς μὲν τὴν θάλατταν, καὶ κλίνεται ἐν μόνοις τοῖς ἑνικοῖς. ἀρσενικῶς δὲ τὸ ἅλας, καὶ κλίνεται δι' ὅλου.

Ἄλσεα, ἄλσεα καλὰ λέγει ὁ ποιητὴς, τοὺς κήπους, ἤγουν τὰ σύμφυτα χωρία, ἀπὸ τοῦ ἄλδω, ἄλσω αἰολικῶς, διὸ καὶ ψιλοῦται. ὅπου δηλαδὴ τὰ φυτὰ ἐξ ὑγρότητος καὶ πνεύματος εἰς αὔξιν ἄλλονται. * (ἴσως εἰς αὔξησιν ἄλλονται) διὸ καὶ οὐ μόνον ἄλσος ὁ τοιοῦτος λέγεται τόπος ἀπὸ τοῦ ἄλεσθαι, * (ἴσως ἄλδεσθαι ἢ ἄλλεσθαι) ἀλλὰ καὶ κῆπος, ἀπὸ τοῦ κάπος, ὃ δηλοῖ τὸ πνεῦμα, τὸ ἀναγωγὸν ὑγρότητος θρεπτικῆς τῶν φυτῶν.

Ἄλσος, δρυμὼν, καὶ λόχμη, ὁ σύνδενδρος τόπος. ἔστι δὲ Αἰολικὴ λέξις, διὸ καὶ ψιλοῦται. ψιλωτικοὶ γὰρ ὥσπερ Ἴωνες καὶ Αἰολεῖς. καὶ ἄλσος λέγεται, παρ' οἷς ἄλονται, * (ἄλδονται, ἢ ἄλλονται) τὰ δένδρα. καὶ ἄλσος, ὁ σύνδενδρος τόπος. αἵτε νῆες ἃς ἐπήξαντο ἐκ τῶν Ὀλυμπιακῶν ἀλσέων, καὶ τοῦ χώρου τοῦ τῷ Διὶ κομῶντος, κατεσάπησαν.

Ἀλσεῖαν, πορνείαν.

Ἄλση, καὶ τεμένη, καὶ ἕρκη, καὶ ὁ περὶ αὐτὰ κύκλος, καὶ περίβολος, τόποι εἰσὶν οἱ Θεοῖς ἀνειμένοι.

Ἀλσηΐτιδες, * (ἄλλ. ἀλσηΐδες) καλοῦνται νύμφαι, αἱ ἐπὶ τὰ ἄλση. αἱ δὲ ἐπὶ τῶν δένδρων, ἁμαδρυάδες. αἱ δὲ ἐπὶ τὰ νάματα τῶν ὑδάτων, ναϊάδες. αἱ δὲ ἐπὶ τῶν βοσκημάτων, ἐπιμηλίδες. αἱ δὲ ἐπὶ τῶν ὀρῶν, ὀρεσιάδες. καὶ ὅσα ταύταις, ὁμοίως δὲ καὶ αἱ ἐπὶ τῶν ἑλῶν, ἑλειονόμοι.

Ἀλσίνη, βοτάνης εἶδος, ψύχουσά τε καὶ ὑγραίνουσα, παραπλησίως τῇ ἑλξίνῃ. ὅθεν πρὸς τὰς ζεούσας ἁρμόζει φλεγμονάς.

Ἄλτειον, ὄνομα ὄρους. * ἄλλ. ἄλπειον.

Ἀλτεῖ, ἀπορεῖ.

Ἀλτηρεία, ἡ ἀφὴ τῆς χειρός.

Ἁλτὴρ, καὶ ἁλτῆρες, κατασκεύασμά τι ᾧ κέχρηνται οἱ σωματασκοῦντες ἐν τοῖς γυμνασίοις, παρὰ τὸ ἅλλομαι. βαστάζοντες γὰρ αὐτὸ καὶ περιφέροντες, ἥλλοντο ἐν τῷ γυμνασίῳ. οὕτω Μεθόδιος. ὁ δὲ Φίλων ἐν τῇ περὶ Ῥωμαίων διαλέξει, ἀπὸ τοῦ ἀρτὴρ, κατὰ τροπήν.

* Ἁλτικὸς, ὁ ἐπιτηδείως ἔχων εἰς τὸ πηδᾶν. καὶ ἁλτικὴ ὄρχησις.

Ἆλτο, καθήλατο. ἅλλομαι τὸ πηδῶ καὶ ἆλτο, ὥρμησε. καὶ ἆλτο ποδὶ ἐλαφρῷ. καὶ ἆλτο χαμᾶζε, ἀντὶ τοῦ ἐπήδησε χαμαὶ, ἀπὸ τοῦ ἅλλομαι, ἁλοῦμαι, ἡλάμην, ἥλατο. ἅλατο Ἰωνικῶς, καὶ κατὰ συγκοπὴν ἆλτο. διὸ καὶ ψιλοῦται, ὡς ὄπατρος, ὁ ὁμόπατρος. * τὸ ἆλτο ψιλοῦται διὰ τὸ ἑπόμενον τ. ἢ φύσιν Εὐστάθιος.

Ἀλτὸς καὶ ἔλβος, ὁ μισθός.

Ἀλυάττης, Λυδῶν βασιλεύς. ὃς ἦν τὰ πολέμια γενναῖος. τινὲς δὲ διὰ δύο ττ

γρά-

γράφουσι τὸ Ἀλυάττης. ὁ οἰκήτωρ, Ἀλυαττηνός. καὶ Ἀλυάττα, χώρα Βυθυνίας ἀπὸ Ἀλυάττου.

Ἀλύβας, ὄρος. οἱ δὲ λίμνην. εἶναι δὲ καὶ πόλιν Ἀλύβην.

Ἀλύβη, ὄνομα στήλης, καὶ πόλις Τρωϊκή.

Ἄλυγος, ἀντὶ μάστιγος.

Ἀλύδιμον, πικρὸν, παρὰ Σώφρονι.

Ἀλύδαινος, ὁ κακὸς ἄνεμος.

Ἀλύδιμος, ὁ οἰκυρός.

Ἀλυδμαίνειν, ἀλύειν, ἀπορεῖν. ἀπὸ τοῦ τὴν λύσιν μὴ εὑρίσκειν. δηλοῖ δὲ καὶ τὸ χαίρειν καὶ διαχεῖσθαι.

Ἀλύειν, τὸ ἔν τινι χρείᾳ γενόμενον τινὰ ἀπορεῖν. ἀλύειν ψιλοῦται, ὡς ἡ συναλοιφὴ δηλοῖ. ἔστι δὲ ἀλύειν τὸ ἀδημονεῖν, καὶ οἷον ἐκλελύσθαι. ὅτι δέ ποτε καὶ ἐπὶ τοῦ ἀνάπαλιν τίθεται, ἐν ἄλλοις δεδήλωται. ἢ ἀλύειν, τὸ χαίρειν. παρὰ τὸ ἄγαν λελύσθαι καὶ διακεχύσθαι. καὶ ἀλύειν, τὸ ἐν ἄλῃ δυσφορεῖν. σημαίνει δὲ ἐνίοτε καὶ τὸ γεγηθέναι, ἀπὸ τῆς χλιδῆς καὶ διαχύσεως. Ὅμηρος, Ἢ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην; ὅθεν καὶ δασύνεται.

* Ἀλυΐσκω, Ἰωνικῶς. ἀλύω. καὶ ἀλύεσκον, ὁ παρατατικός.

Ἄλυζον, ἄλυπον.

* Ἀλύη, ξύλον οὗ ἐμπέπηγεν ἡ ἐχέτλη.

Ἁλυκὴ, ἐὰν μὲν τὸ α δασύνηται, ἡ θάλασσα. ἐὰν δὲ ψιλοῦται, * (καὶ παροξύνηται) ἡ λύκους μὴ ἔχουσα.

Ἁλυκὸν, ἁλμυρὸν, χλιαρὸν, ψυχρόν. οἱ δὲ θερμὸν, δριμύ. ἁλυκὸν δέ οἱ ἔκπεσε δάκρυ.

* Ἀλυκὸν παρὰ Σουίδᾳ ψιλοῦται, καὶ σημαίνει τὸ δριμύ. κοινότερον δὲ καὶ κάλλιον δασύνεται, καὶ σημαίνει τὸ ἁλμυρόν.

Ἀλυκτάζει, κρύπτεται, φοβεῖται, ἀπορεῖ, λύσιν οὐχ εὑρίσκει.

Ἀλυκτεῖ, ὑλακτεῖ. Κρῆτες.

Ἀλυκταίνειν, φεύγειν, ἀλυκτεῖν, κλαίειν, λυπεῖσθαι, δυσφορεῖν, θορυβεῖν.

Ἀλυκτοσύνη, φυγὴ, ἔκκλισις, ἀκοσμία.

Ἀλυκτοπέδη, δεσμὸς ἄφυκτος, ἢ ἄφυκτος, ἀλυτοπέδη τις οὖσα. καὶ πλεονασμῷ τοῦ κ, ἀλυκτοπέδη.

Ἄλυκτον, ὃ οὐ δύναταί τις φυγεῖν.

Ἀλυπότερος, ὁ μὴ λυπούμενος.

Ἀλυκτήσας, ἀπηλύσας, θορυβήσας.

Ἀλυκρὸν, εὔδιεινόν.

Ἀλυίει, φύει.

Ἄλυξαν, ἐξέφυγον. καὶ ἀλύξαι, ἐκκλῖναι, ἐκφυγεῖν.

Ἀλύουσα, ἀδημονοῦσα, ἢ χαίρουσα.

Ἀλύκιον, ψυχρὸν, ἢ χλιαρόν. οἱ δὲ, ἁλμυρόν. ἄλλοι, θαλάσσιον. ἀλυκότερον δὲ, τὸ θερμόν. καὶ ἁλυκὸς, ἁλμυρός.

Ἀλυκρὰ, χλιαρά. Γένετο δ᾽ ἀλυκρά. ἢ θαλυκρά.

Ἀλυκτεῖν, ἀλυκταίνειν, δυσφορεῖν, ἀγανακτεῖν.

Ἄλυς, ἀπορία, πλάνη, λύπη, βλάβη.

Ἅλυς, ποταμὸς Παφλαγονίας. ἢ Ἅλυς καὶ Γέρυς, ποταμοὶ τῆς Λακωνικῆς.

Ἀλυσθένεα, ἀσθένεια.

Ἀλυσιαίνειν, ἀδυνατεῖν, ἀσθενεῖν.

Ἀλυσκάζω, ἀποδιδράσκω, πλανῶμαι, ἐκκλίνω, ἐκφεύγω.

Ἀλυσπαθείη, κακοπαθεία.

Ἀλυστάζουσα, ἀλύουσα.

Ἀλυσταίνειν, ἀσθενεῖν, ἀδυνατεῖν.

Ἀλυστᾶται, παρατηρεῖ.

Ἀλύστινον, δεινὸν, ἄλυπον, χλιαρόν. * ἐν τῷ Ἐτυμολογικῷ γράφεται ἀλύστηνον.

Ἄλυστον, βυβλίον.

Ἀλυσείδιον, κόσμος. καὶ ἀλυσειδωτὸς θώραξ. * γράφεται ἄνευ διφθόγγου ἀλυσίδιον, οὕτω καὶ τὸ ἀλυσιδωτός. ἔστι δὲ ἀλυσίδιον ἡ ἄλυσις ὑποκοριστικῶς. παρὰ Σουίδᾳ δασύνεται. κοινότερον δὲ ψιλοῦται. γίνεται γὰρ παρὰ τὸ λύω, ἄλυτος οὖσα.

Ἀλύσιον, πλοκίου εἶδος περὶ τὸν τράχηλον. Μένανδρος, Περὶ τὸν τράχηλον ἀλύσιον τί σοι δόσω.

Ἀλυσιτελὲς, ἀσύμφορον, βλαβερὸν, ἀνωφελές.

Ἀλυσίδετος, ἀλύσει δεδεμένος.

Ἀλυσμὸν, ἀπορίαν, ῥιπτασμὸν, παρ᾽ Ἱπποκράτει.

Ἅλυσις, παρὰ τὸ λύω λύσω. ἄλυτος γάρ ἐστιν. ἢ παρὰ τὸ, ἄλλη ἄλλης, ἐξήρτηται. * (κάλλιον. ἢ ὅτι ἄλλη ἄλλης ἐξήρτηται) ἔστι δὲ ἡ ἐκ χαλκοῦ, ἢ σιδήρου, ἢ ἀργύρου, ἢ χρυσοῦ πεπλεγμένη σειρά.

Ἄλυτα, ὄνομα πόλεως.

Ἀλυτάρχης, ὁ τῆς ἐν τῷ ὀλυμπιακῷ ἀγῶνι εὐκοσμίας ἄρχων. Ἠλεῖοι δὲ, τοὺς ῥαβδοφόρους, ἢ μαστιγοφόρους. * Ἠλεῖοι τοὺς ῥαβδοφόρους, ἢ μαστιγοφόρους ἐκάλουν ἀλύτας, καὶ τὸν τούτων ἄρχοντα ἀλυτάρχην.

Ἄλυτος, ὁ δυσχερῶς λυόμενος. ὡς τὸ, ἄλυτος ἡβάσκει, γυοπακὴς πενίη. καὶ ἐν ἐπιγράμματι, ἄλυτος κακοῦ δ᾽ ἐπὶ γήραος ἡμῖν. καὶ ἄλυτον, ἀκατάλυτον, ἀκατάπαυστον.

Ἀλύσεις, τὰς ἀψῖδας καλοῦσιν οἱ Ἴωνες.

Ἀλύστηνον, δεινόν.

Ἀλυσκάζειν, ἐκ τοῦ ἀλύσκειν. ἀμφοῖν δὲ τὸ ἀλύω. ὡς γὰρ μεθύω μεθύσκω, οὕτω καὶ ἀλύω ἀλύσκω. καὶ ἐξ αὐτοῦ ἀλισκάζω.

Ἀλύσκει, ἐκφεύγει.

Ἀλύσσω, τὸ ἀδημονῶ. παρὰ τὸ ἀλῶ ἀλύσσω. ἐκ τοῦ ἄλης ὁ πλάνη.

Ἀλύσσοντες, γεροντικὴν πολυπειρίαν δηλοῖ, παρ᾽ Ὁμήρῳ. ὡς καὶ τοιαῦτα φυσικὰ εἰδότος πάθη τοῦ γέροντος. ἔστι δὲ τὸ ἀλύσσοντες, ἢ ἄλην ἔχοντες ἤτοι ἀδημονίαν, διὰ τὸ πολὺ τοῦ κόρου, ἢ λυσσῶντες, ὅπερ τοῖς κατοικιδίοις συμβαίνει κυσὶν, ὅτε τούτου κορεσθῶσι κρέατος. ἐν δὲ ῥητορικῷ λεξικῷ, εὕρηται καὶ ταῦτα, ἀλύσσειν, τρέμειν, πάλλεσθαι, πηδᾶν, δυσφορεῖν, λύσιν μὴ εὑρίσκειν, μαίνεσθαι.

Ἀλύω, δυσφορῶ, λυπῶ. ἢ ἀλύω, μέση λέξις. νῦν μὲν γὰρ τὸ ἀδημονεῖν σημαίνει, νῦν δὲ τὸ χαίρειν. Ὅμηρος, Ἢ ἀλύεις ὅτι Ἶρον ἐνίκησας, ἤγουν ἐκλέλησαι τῇ χαρᾷ. ἐπὶ ἀδημονίας ἡ λέξις κεῖται, μάλιστα παρὰ τοῖς ὕστερον, ὡς ἀπὸ τοῦ ἐκλύειν. ἄλυς γὰρ ἐντεῦθεν ἡ ἀδημονία, ὡς οἱ παλαιοί φασιν. ἄλλοι, ῥιπτασμόν. καὶ ἀλύειν μηδὲν πράττειν.

Ἄλφα, βοὸς κεφαλή. καὶ ἄλφα, τὸ στοιχεῖον. περὶ οὗ ἰστέον, ὅτι χωρὶς ἄρθρου δίδωσιν ὑπόνοιαν εὐθείας. εἰ δὲ σὺν ἄρθρῳ, πλαγίας πτώσεως.

Ἀλφάζω, νοῶ, ἐπινοῶ.

Ἀλφάδιον, ἐχθρόν.

Ἀλφαδεῖ, εὑρίσκει. δηλοῖ καὶ τὸ ἀλφαίνειν, ὅπερ καὶ ἀλφαίειν λέγεται.

Ἄλφαισις, μάθησις ζωῆς.

* Ἀλφάνω, παρὰ Σουίδᾳ εὑρίσκω. καὶ ἄλφω παρ᾽ ἄλλοις, ὅπερ ἀλφέω λέγει Εὐστάθιος ἐν τὸ ο, τῆς Ὀδυσσείας.

Ἀλφειὸς ποταμὸς ἐν Ἤλιδι, ἢ Ἀρκαδικῆς πόλεως, * (ἄλλ. χώρας) καλεῖται δὲ κατὰ τὸν γεωγράφον, ἀπὸ τῆς τῶν ἀλφῶν θεραπείας. ἢ παρὰ τὸ τοὺς ἀλφοὺς θεραπεύειν. ἢ παρὰ τὸ ἄλφειν, ὅ ἐστιν ὠφελεῖν. ὠφέλιμον γὰρ αὐτοῦ τὸ ὕδωρ. Τὰ διὰ τοῦ ειος τρισύλλαβα ἐπὶ ποταμῶν ὀξύτονα ὄντα, δίφθογγον ἔχει. οἷον, Πηνειός. Σπερχειὸς, κεῖται ὀξύτονα, διὰ τὸ Μηνιός. γράφεται γὰρ διὰ τοῦ ι. τρισύλλαβα δὲ, διὰ τὸ σαγγάριος.

Ἀλφεσίβοιαι, αἱ βοῦς ἀλφαίνουσαι, ἢ αἱ πολλὰς βόας εὑρίσκουσαι ἀπὸ τῶν ἕδνων. ἔχει δὲ ῥῆμα διφορούμενον τῇ κλίσει. * (δηλαδὴ τὸ ἀλφέω) μέλλων γὰρ αὐτοῦ καὶ διὰ τοῦ ε ἀφ᾽ οὗ ἀλφεσίβοια, καὶ διὰ τοῦ η, ἀφ᾽ οὗ ἀλφηστής. ἡ δὲ λέξις αὕτη ὁμώνυμος. ἀλφησταὶ, οὐ μόνον ἄνθρωποι, κατά τι κοινὸν ἐπίθετον, ἀλλὰ καὶ ἰχθύων εἶδος. μονάκανθοι δὲ αὐτοὶ, κιῤῥοὶ, πορφυρίζοντες κατά τινα μέρη. ὧν φασιν ἁλισκομένων σὺν δύο, φαίνεσθαι τὸν ἕτερον κατ᾽ οὐρὰν ἑπόμενον. ὅθεν διὰ τὸ κατὰ πυγὴν θατέρῳ τὸν ἕτερον ἀκολουθεῖν, Ἀπολλόδωρος τοὺς ἀκρατεῖς καὶ καταφερεῖς, ἀλφηστὰς εἶπεν ἐν τῷ, καταπυγωτέραν ἀλφηστῶν. Ἄλλως.

Ἀλφεσίβοιαι γυναῖκες λέγονται, ὅσαι εἰς προῖκα βόας ἦλφον. καὶ ὡς εἰ καὶ ἁρμόττει γυναιξί τε καὶ ἀνδράσι τὸ ἀλφεῖν. ὅμως οὐκ ἂν ῥηθεῖεν κατ᾽ αὐτὸ ἀλφησταὶ οἱ τοιοῦτοι, ἀλλὰ κατὰ τὸ κοινόν. κυρίως γὰρ ἀλφησταὶ πάντες ἄνθρωποι, διὰ τὴν περὶ τὰ πρακτέα εὑρετικὴν μέθοδον, καὶ τὴν κατὰ τέχνας καὶ ἐπιστήμας εὕρεσιν.

Ἀλφὴ, ἡ εὕρεσις, ἢ ἡ τιμὴ, ὧν ἡ εὕρεσις. * ἄλλ. ὠνή.

Ἀλφησταὶ κοινῶς, οἱ ἄνθρωποι, ὡς ἐφευρετικοὶ καὶ ἐπινοητικοὶ τεχνῶν τε καὶ μηχανῶν, καὶ βουλευμάτων καὶ ἑτέρων, ὧν τοῖς ἀλόγοις οὐ μέτεστιν. ἄλφω γὰρ τὸ εὑρίσκω. ἐξ οὗ τὸ ἀλφαίνειν παράγωγον, καὶ τὸ τιμαλφεῖν, καὶ τὸ τιμαλφές. τούτου ὁ μέλλων οὐ μόνον ἀλφήσω, ἐξ οὗ ἀλφηστὴς, ἀλλὰ καὶ ἀλφέσω, ἐξ οὗ ἀλφεσίβοιαι, ὡς δὲ καὶ ἰχθύων ὄνομα οἱ ἀλφησταὶ, ἱστόρηται. διὸ πρὸς διαστολὴν ἴσως ἔγραψεν Ὅμηρος τὸ, ἀνδράσιν ἀλφηστῇσιν. καὶ ἀλφηστῇσι, τοῖς εὑρετικοῖς καὶ συνετοῖς.

Ἀλφηστὴς, ὁ ἐφευρετὴς, ἀπὸ τοῦ ἄλφω τὸ ἐφευρίσκω καὶ διανοοῦμαι.

Ἄλφι, ἄλφιτον. τοῦτο δὲ καλεῖται ἀπότρωκτον ὅ φασι πρῶτον εὑρεῖν, Ἐπίχαρμον.

Ἀλφιταμοιβὸς, ὁ ἀντικαταλλάσσων καὶ πιπράσκων τὰ ἄλφιτα, ἢ ὁ ἀμείβων ἀντὶ ἀργυρίου ἄλφιτα. οὕτω καὶ ἀργυραμοιβοὶ, οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες. τὸ δὲ ἐργαστήριον, ἀλφιτεῖον, μύλων, ζώστριον, * (ἄλλ. ζώντειον, ἢ ζώντιον) ζητρεῖον, χόνδριον, χονδροπεῖον. * (ἄλλ. χονδροκοπεῖον) καὶ τὰ ἐργαλεῖα, ὄνος ὁ ἀλήθων, καὶ ἡ τράπεζα μύλη, καὶ ὁ τῆς ἐργασίας προεστηκὼς, μυλωρὸς, καὶ μύλωθρος. * ἀντὶ τοῦ μυλωρὸς, καὶ μύλωθρος, κάλλιον μυλωθρός.

Ἀλφηστὴς, ἰχθύος εἶδος, καὶ ὁ ἔντιμος.

Ἀλφίτου ἀκτὴ, τὸ βέλτιστον καὶ κράτιστον τοῦ ἀλφίτου.

Ἀλφινία, ἡ λευκή. Περῤῥαιβοί.

Ἀλφιτοσκόπαι, ἀλφιτομάντεις.

Ἀλφιτόχρως, λευκὴ, πολιά.

Ἄλφιτον. δοκεῖ τοῦτο εὐτελέστερον ἀλεύρου εἶναι. οἱ δὲ μεθ᾽ Ὅμηρον, ἐπὶ κριθίνων ἀλεύρων, ἢ ἐπὶ πιτύρων τὸ ἄλφιτον τιθέασι, παρὰ τὸ ἄλφεσθαι, ὅ ἐστιν εὑρίσκεσθαι πτωχοῖς, δι᾽ εὐτέλειαν. ἀλλ᾽ ὁ Ποιητὴς οὐχ οὕτως ἐκδέχεται. ἀλλὰ τὸ ἁπλῶς ἄλευρον ἄλφιτον λέγει, διὰ τὸ ἐν τῷ ἀλεῖσθαι φάειν, ἤγουν φαίνειν καὶ λευκαίνεσθαι, ἢ φρονεύεσθαι. ὅθεν μυλήφατον ἄλφιτον, ὅπερ οὐκ ἐξ ἀνάγκης, πίτυρον, ἢ πιτυρῶδές ἐστί. δηλοῦσι καὶ τὰ τῶν τρυφώντων ψαιστὰ ἄλφιτα ὄντα, κατὰ Παυσανίαν, οἴνῳ καὶ ἐλαίῳ μεμιγμένα, ἢ δευόμενα. ὁμοίως καὶ ἡ Ἀχίλλεια μάζα ἔχουσά τι, ὡς εἰκὸς, ἐξαίρετον. ἧς Ἀχίλλεια ἐλέγετο τὰ ἄλφιτα, ὧν μνημονεύειν καὶ τὸν Κωμικὸν ἐν Ἱππεῦσι φασί τινες.

Ἀλφιτοπώλης μὴ εἴπῃς, ἀλλ᾽ ἀλφιταμοιβός. Ἀριστοφάνης ἐν Νεφέλαις, Τῷ ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ. καὶ ἀλφιτόπωλις, ἡ τὰ ἄλφιτα πωλοῦσα.

Ἀλφιτεῖς, οἱ τὰ ἄλφιτα ποιοῦντες. οὕτως Ὑπερείδης.

Ἀλφιτόμαντις, ἡ ἀλφίτοις μαντευομένη.

Ἀλφίτων στοὰ, ἐν ᾗ τὰ ἄλφιτα ἐπωλεῖτο.

Ἄλφοι, εὗροι παρ᾽ Ὁμήρῳ. οἷον, Ὑμῖν μυρίον ὦνον ἄλφοι, ὅ ἐστιν εὑρήσει. ἀφ᾽ οὗ καὶ ἀλφεσίβοια, ἡ βόας ἄλφουσα, λόγῳ προικὸς, διὰ κάλλος. ἐν οἷς ἰστέον, ὅτι τὸ μὲν ἄλφοι, κατὰ τὸ ἐδούπησα, ἔδουπον, ἐκτύπησα ἔκτυπον, ἐχραίσμησα ἔχραισμον γίνεται, ἀπὸ τοῦ ἀλφῶ ἀλφήσω, ἀφ᾽ οὗ ἀλφηστής.

Digitized by Google

Ἀλφός, παρὰ τὸ ἀλλοφανής τις εἶναι. σημαίνει δὲ τὸ λεπτόν. * ἄλλ. τὸ λεπρόν.

Ἀλχηρὴς ὕπνος. ἀηδής, οὐκ ἔχων χαράν.

Ἀλῶ, ληφθῶ, πιασθῶ, ἀποθάνω.

Ἀλῶα, τὰ περὶ τὴν σελήνην νεφελώδη. καὶ ἀλῶα, Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, ἑορτή ἐστιν ἀττικὴ τὰ ἀλῶα, ἥν φησι Φιλόχορος ὀνομασθῆναι, ἀπὸ τοῦ τότε τοὺς ἀνθρώπους τὰς διατριβὰς ποιεῖσθαι περὶ τὰς ἅλως. ἄγεσθαι δὲ αὐτήν φησιν ἐν τῷ περὶ ἑορτῶν, ποσειδεῶνος μηνός. * ἐν τῷ Ἐτυμολογικῷ κεῖται ἅλωα ἑορτὴ Ἀθηνᾶς ἀγροικική. καὶ τὸ νεφελῶδες τὸ περὶ Σελήνην καὶ Ἥλιον. καὶ ἐστὶν αἰτιατική. ἅλως γάρ, τῆς ἅλω, καὶ ἅλωος, ἐξ οὗ ἡ αἰτιατικὴ ἅλωα. παρὰ Σουΐδᾳ, καὶ ἄλλοις λέγεται ἀλῶα ἡ ἀττικὴ ἑορτή.

Ἀλωάς, τὰς ἅλως, ἢ ἀλωνίας. καὶ ἀλωὰς ἱερὰς ὀνομάζει Ὅμηρος, οὐ μόνον διὰ τὸ ἀνειμένας εἶναι τῇ Δήμητρι, οἷά τινα τεμένη, ἀλλὰ μάλιστα διὰ τὸ ἐπωφελεῖς εἶναι ἀνθρώπων. οὕτω γὰρ πόλεις ἱεράς φησιν, ὡς ἀνθρώπων οὔσας φυλακτικάς, καὶ διὰ τοῦτο θείας τινάς. ἀλωὴ δὲ οὐ μόνον ἡ φυτοφόρος γῆ, ἀλλὰ καὶ ὁ τόπος ἐν ᾧ πατεῖται ὁ πυρός. ψιλοῦται τῆς λέξεως ἡ ἄρχουσα, ὡς δῆλον ἐκ τοῦ εἰπεῖν κατ' ἀλωάς. καὶ γράφουσιν οἱ παλαιοὶ τὴν τούτου παραλήγουσαν σὺν τῷ ι, διὰ τὸ γίνεσθαί φασιν, ἀπὸ τοῦ ἀλοιῶ τὸ συντρίβω. ἢ ἐκ τοῦ ἀλοῶ, ἐκτάσει τοῦ ο εἰς ω. * ταῦτα πάντα κοινότερον, καὶ κάλλιον δασύνεται.

Ἀλώβητοι, ἀνύβριστοι, ἀβλαβεῖς, ἀμώμητοι.

Ἁλῶ, ἐν τῷ ὑποτακτικῷ. οὕτω κανονίζεται. ἀλόω, καὶ παράγωγον ῥῆμα ἅλωμι, συζυγίας τρίτης τῶν εἰς μι. ἔστι δὲ ἄχρηστον. ὁ δεύτερος ἀόριστος, ἥλων ἄχρηστον, καὶ ἀττικῶς ἑάλων εὔχρηστον. ἡ μετοχὴ ὁ ἁλοὺς τοῦ ἁλόντος καὶ τὸ ὑποτακτικόν, ἐὰν ἁλῶ, ἁλῷς, ἁλῷ. καὶ ἀλῶ τὸ πλανῶ. ὅθεν ἀλήτης.

Ἁλῴη, ἅλωμι, ἁλώσω, ἅλων, ἁλούς, ἁλόντος. καὶ τὸ ὑποτακτικόν, ἐὰν ἁλῶ, ἁλῷς, ἁλῷ. καὶ ἁλώη, προσθήκῃ τοῦ η. ἁλώη δέ, ἐκ τοῦ ἁλοὺς ἁλόντος ἁλοίη γίνεται ἁλῴη, κατ' ἔκτασιν συνήθη. ὁμοίως τῷ δοὺς δόντος, δοίην δώην. πλείων δὲ παρὰ τοῖς ὕστερον ἡ χρῆσις τοῦ ἁλοίη, ὥσπερ καὶ τοῦ δοίη.

Ἀλωή, τέσσαρα σημαίνει. κυρίως μὲν γὰρ ὁ ἀμπελόφυτος τόπος, ὡς κατὰ πολὺ λῶον τοῦ ἁπλῶς πεδίου. λέγεται ἀλωὴ καὶ ὁ δενδροφόρος τόπος, ἐπεὶ δευτέρως, καὶ αὐτὸς λῶον τῆς ἁπλῶς γῆς. ἀλλὰ καὶ ὁ λαχανοφόρος τόπος ὁμοίως, καὶ αὐτὸς διὰ τὴν αὐτὴν αἰτίαν. ἀλωὴ δὲ καὶ ἡ ἅλως, καὶ ἀλωή, τριχῶς. ἤτε σιτοφόρος γῆ, καὶ ἡ δενδροφόρος, καὶ ἡ ἀμπελόφυτος. διὸ ὁ ποιητὴς ἀλωῆς εἰπών, ἐπήγαγε καὶ οἰνοπέδοιο, ἵνα μὴ ἀσαφὴς ἡ λέξις ᾖ. ἰστέον δέ, ὅτι ἀλωὴ ποτὲ καὶ ἡ ἅλως, ἐκ τοῦ ἀλοιῶ τὸ τύπτω καὶ συντρίβω, ἐκτάσει τοῦ ο εἰς ω, ἔνθα τρίβονται οἱ καρποί. * φασί τινες τὴν ἀλωάν, ἢ ἀλωὴν ἰωνικῶς ἐπὶ μὲν τῆς ἅλωνος δασύνεσθαι, ἐπὶ δὲ τοῦ τόπου ψιλοῦσθαι. παρ' ἄλλοις δὲ ἀεὶ δασύνεται ὃ καὶ δοκεῖ κάλλιον.

Ἀλωϊάδας, τὴν περὶ τούτων ἱστορίαν καὶ Ὅμηρος οἶδεν. Ἐρατοσθένης δὲ γηγενεῖς αὐτούς φησι. διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τῆς Ἀλωέως γυναικός, μυθευθῆναι ὡς Ἀλωέως εἰσὶν υἱοί. Ἡσίοδος δέ, Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν. ταῖς δὲ ἀληθείαις, Ποσειδῶνος καὶ Ἰφιμεδείας αὐτούς, καὶ Ἄλον πόλιν Αἰτωλίας ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι, ἧς Ὅμηρος μνημονεύει. οἵ τ' Ἄλον εἶχον.

Ἁλῴη, κρατηθῇ. ἔχει τὸ ι προσγεγραμμένον ἐν τῇ παραληγούσῃ. ἔστι γὰρ ἐὰν ἁλῶ, ἐὰν ἁλῷς, ἐὰν ἁλῷ. καὶ κατὰ πλεονασμὸν τοῦ η, γίνεται ἁλῴη. ὥσπερ ἐὰν στῶ στῇς στῇ. στήῃ ἐπ' ὠκυρρόῳ ποταμῷ. καὶ ἐὰν φῶ, φῇς, φῇ, φήῃ. δύναται καὶ τὸ ἁλώη μὴ ἔχειν τὸ ι κατὰ τὴν παραλήγουσαν, ἀλλὰ κατὰ τὴν λήγουσαν. ἵνα εἴπωμεν αὐτὸ ἀπὸ τρισυλλάβου. ἐὰν ἁλώω, ἐὰν ἁλώῃς, ἐὰν ἁλώῃ.

Ἀλῶμαι, τὸ πλανῶμαι. ἀφ' οὗ καὶ ἄλη, ἡ πλάνη. καὶ ἀλύειν, τὸ ἔν τινι χρείᾳ γενόμενον τινὰ ἀπορεῖν. καὶ ἀλύουσα κόμη, ἡ ἀτακτοῦσα καὶ πλανωμένη.

Ἁλῶναι, ἅλωμι, ἁλώσω, ἥλων, τὸ πρῶτον τῶν πληθυντικῶν, ἥλωμεν. καὶ τὸ ἀπαρέμφατον ἁλῶναι. καὶ ἁλῶναι, ἀπολέσθαι, ἀποθανεῖν, ἐνδεθῆναι, ληφθῆναι.

Ἀλωνάκη, ἀνάλωμα. Χαλκιδεῖς.

Ἀλωήν, μετὰ τοῦ ι παραδιδόασιν οἱ παλαιοί, ὡς ἀπὸ τοῦ ἀλοιῶ τὸ συντρίβω, ὥστε ψιλοῦσθαι οὕτω τὴν ἀλωήν. ἐν μέντοι τοῖς Ἀππίωνος καὶ Ἡροδώρου κεῖται, ἐν τῷ νεοαρδέα ἀλωὴν κατὰ τὴν φ ῥαψῳδίαν. ὅτι ἀλωὴ εἰ μὲν δασύνεται, σημαίνει τὴν ἅλωνα. εἰ δὲ ψιλοῦται, τὴν ἀμπελόφυτον γῆν.

Ἀλώνητα, τὰ βάρβαρα ἀνδράποδα. τοὺς γὰρ ἅλας διδόντες τοῖς Θραξίν, ὠνοῦντο τὰ ἀνδράποδα.

Ἀλωνίζουσα, ἐν ἅλωσι διάγουσα.

Ἀλωπά, ἡ ἀλώπηξ.

Ἀλωπεκάδης, πανοῦργος. * κάλλιον ἀλωπεκώδης.

Ἀλωπεκεία, νόσος ἡ περὶ τὴν κεφαλήν. οὐ καὶ διὰ διφθόγγου γράφεται. * κάλλιον ἄνευ διφθόγγου.

Ἀλωπέκεως, ἄμπελος οὕτω καλουμένη. καὶ ὁ ἀπ' αὐτῆς οἶνος. * ἄλλ. ἀλωπεκίς, εἶδος ἀμπέλου. καὶ ἀλωπεκίτης οἶνος, ὁ ἀπ' αὐτῆς.

Ἀλωπεκῆ, δῆμος τῆς Ἀντιοχίδος. ὁ δὲ δημότης, Ἀλωπεκεύς, καὶ Ἀλωπεκῆθεν. πόθεν δὲ ὠνομάσθησαν, Φιλόχορος ἐν τρίτῳ δηλοῖ. * καὶ ἀλωπεκῆ τὸ δέρμα, ὡς τὸ λεοντῆ, καὶ λυκῆ.

Ἀλώπηξ. καὶ κλίνεται ἀλώπεκος. σεσημείωται ὅτι ἔτρεψε τὸ η εἰς ε ἐν τῇ γενικῇ. καὶ ἔστιν εἰπεῖν, ὅτι τὰ εἰς ηξ θηλυκά, οὐ φαίνεται παραληγόμενα τῷ ω, διὸ οὐκ ἀντίκειται. ἀρσενικὸν γάρ ἐστιν. * (γραπτέον, ὅτι τὸ σκώληξ οὐκ ἀντίκειται. ἀρσενικὸν γάρ ἐστιν) ἐπεὶ οὖν τὸ ἀλώπηξ θηλυκόν ἐστι παραληγόμενον τῷ ω, εἰκότως ὡς παραλλάξαν κατὰ τὴν παραλήγουσαν, παρήλλαξε, καὶ κατὰ τὴν κλίσιν. λέγεται καὶ ὁ ἀλώπηξ. καὶ ἀλώπηξ, ὄρχησίς τις. καὶ ἀλωπεκίαι μώμων, ὡς Σοφοκλῆς. ὅπερ ἐστὶν ἐν σώματι, πάθος γενόμενον.

Ἀλωπεκία, πάθος ψιλωτικὸν τῶν τριχῶν καὶ τῶν γενείων. ἡ μεταφορὰ ἀπὸ τῆς ἀλώπεκος, ἥτις ἔνθα ἂν οὐρήσῃ, τὸν τόπον ἄκαρπον ποιεῖ, ξηραίνουσα καὶ τὴν προϋπάρχουσαν βοτάνην, καὶ ἑτέραν ἀναβλαστῆσαι οὐ συγχωρεῖ. τινὲς δὲ λέγουσιν, ἀλωπεκίαν, τὴν περικεφαλαίαν.

Ἀλωπεκόννησος, πόλις μία τῶν ἐν Χερρονήσῳ.

Ἀλωπεκίαι, αἱ τῶν ἀλωπέκων καταδύσεις.

Ἀλωπεκίδες, εἶδος κυνῶν.

Ἀλωπεκίζειν, ἀπατᾶν, πανουργεῖν, κολακεύειν.

Ἀλωρῆται, οἱ τοὺς ἅλας φυλάσσοντες. * ἄλλ. τὰς ἅλως φυλάσσοντες.

Ἅλως, τῆς ἅλω, κλίνεται ἀττικῶς. καὶ ἅλως, τὸ ἀλώνιον, παρὰ τὴν τῶν ἀσταχύων ἀλοίησιν καὶ συντριβήν. καὶ ἅλως ἔτι, ἡ τοῦ ἡλίου ἢ σελήνης περιφέρεια.

Ἁλώς, κρατηθείς. * ἴσως δωρικόν, ἀντὶ τοῦ ἁλούς.

Ἁλώσιμα, καταληπτά.

Ἁλώσιμον, τὸ ληφθῆναι δυνάμενον.

Ἅλωσις, καὶ ἁλωτός, καὶ ἀνάλωτος, κυρίως ἐπὶ τῶν κρατουμένων ἐν πολέμῳ λέγεται, ἢ μὴ κρατουμένων. καταχρηστικῶς δέ, καὶ ἐπὶ τῶν ἄλλως κρατουμένων. καὶ ἅλωσις, ἐρήμωσις, πόρθησις.

Ἁλώσεως, ἀπωλείας, θανάτου.

Ἁλώσεται, ληφθήσεται, πολεμηθήσεται.

Ἀλώσεσοι, παράδεισοι. * παρὰ Σουΐδᾳ κεῖται. ἀλωαί, ἀλωνίαι, ἢ παράδεισοι.

Ἀλωσομένην, ἀπολουμένην.

Ἄλωστοι, ἄρραφοι.

Ἀλώσω, ἀνταναλώσω.

Ἁλωτόν, ληπτόν. ἁλωτὸν γὰρ λέγεται, τὸ δυνάμενον ληφθῆναι. καὶ δυσήλωτον, τὸ δυσκόλως ἔχον ληφθῆναι. οἷον ὁ αἰχμάλωτος, ὁ διὰ τῆς αἰχμῆς ληφθείς. καὶ ἀνάλωτος, οὗ οὐ δύναταί τις ἐπιλαμβάνεσθαι. ἄλωτον δὲ τὸ πεπλανημένον οὐ, οὐδέποτε λέγεται. ὀρειάλωτον δέ, τὸ ἐν τῷ ὄρει πεπλανημένον. τοῦτο παρὰ τὴν συνήθειαν εἴρηται. οὐδέποτε γὰρ ἀπὸ τοῦ ἀλῶ, τοιαύτη γίνεται σύνθεσις.

Ἀλοφούς, λευκούς. * ἴσως, ἀλφοὺς τοὺς λευκούς, ὡς ἄνω.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Μ.

Ἅμα, χρονικὸν ἐπίρρημα παρὰ τῷ ποιητῇ. τὸ δὲ ὁμοῦ, τοπικόν. οἷον, Σόλων ἅμα μὲν ἐγένετο Ἀναχάρσιδι τῷ σοφῷ Σκύθῃ, ὡς τὸν αὐτὸν χρόνον ἀκμάσας. ὁμοῦ δέ, οὐκέτι. οὐ γὰρ ἐν τῷ αὐτῷ ἐγεννήθη τόπῳ. λέγει δὲ καὶ Ὅμηρος. Ἔνθα δ' ἅμα, οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν. ἤγουν, ἐν τῷ αὐτῷ χρόνῳ. καὶ οὕτω μὲν χρονικὸν τὸ ἅμα. τόπον δὲ δηλοῖ τὸ ὁμοῦ, ἐν τῷ ὁμοῦ ἐστρεφόμην, καὶ ὁμοῦ πίνακάς τε νεῶν, καὶ σώματα φωτῶν. ἤγουν ἐν τῷ αὐτῷ τόπῳ. καὶ ὁμοῦ ἔχων ὠκέας ἵππους, ἤγουν ἐν τῷ αὐτῷ τόπῳ. ἔσθ' ὅτε δὲ τὸ ὁμοῦ, καὶ ἐπὶ χρονικοῦ φασὶν ἐπιρρήματος τίθεται, ὡς τό, εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς. καθά φησιν Ἀσκληπιάδης, εἰ μὴ ἄρα τις εἴπῃ καὶ ἐνταῦθα τὸ ὁμοῦ, ἀντὶ τοῦ ἐν τῷ αὐτῷ τόπῳ, ἤγουν ἐν τῇ Τροίᾳ. καὶ Παυσανίας δὲ εἰπών, καὶ αὐτός, τὸ μὲν ἅμα χρονικόν. τὸ δὲ ὁμοῦ καὶ χρονικὸν καὶ τοπικόν, παρατίθησι καὶ ὅτι ἀμάμηλις σῦκον. τὸ ἅμα μήλῳ ἀνθοῦν, καὶ μῆλον ἀμάσυκον, τὸ ἅμα σύκῳ ἀνθοῦν. ἕτεροι δέ φασιν ἀμάμηλιν τὰς ἀπίους, παρὰ Ἀττικοῖς λέγεσθαι. καὶ ἀμαδρυάδας φασὶ Νύμφας, αἳ ἅμα δρυσὶ γίνονται, καὶ ἀπογίνονται. καὶ ἅμα, κατὰ χρονικὴν ἴσην γένεσιν λέγεται. οἷον, ἅμα ψυχὴ καὶ σῶμα. καὶ κατὰ τὰ ἀντιστρέφον, οἷον ἅμα ἥμισυ καὶ διπλάσιον, καὶ ἅμα διπλάσιον καὶ ἥμισυ, καὶ κατὰ τὸ διῃρημένον ἐκ τοῦ αὐτοῦ γένους. ἅμα ἐκ τοῦ ζώου, τὸ λογικὸν καὶ ἄλογον. ἅμα, καὶ ὁμοῦ τοῖς ἄλλοις, ἐπιρρήματα ἀθροιστικά, δοτικῇ συντάσσονται, οἷον ἐγὼ ἅμα τῷ Ὀρέστῃ ἐποίησα. Ἄλλως.

Ἅμα. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε. παρὰ τὸ θαμά. καὶ ἀποβολῇ τοῦ θ ἅμα, τὸ γὰρ πυκνῶς γινόμενον, κατὰ τὸν αὐτὸν ἀποτελεῖται χρόνον. τὸ δὲ θαμά, ἐστὶ θαμός. ἐξ οὗ τὸ θαμειός, ὡς ἀδελφὸς ἀδελφειός. τὸ θηλυκόν, θαμειά. τοῦ οὐδετέρου ἡ εὐθεῖα τῶν πληθυντικῶν, θαμά. καὶ τὸ ἐπίρρημα, θαμά. οὐ γὰρ ἀπὸ τοῦ θαμὺς θαμειός. ἀφ' οὗ τό, θαμέες γὰρ ἄκοντες.

Ἀμάδιος, ἁμάδα τὴν ναῦν Αἰσχύλος. ἐπιρρηματικῶς, ἅμα τῷ προσελθεῖν. ἀπὸ τοῦ ἅμα ἀμάδιος παράγωγον, διὰ τοῦ διος. καὶ πολὺς ὁ τοιοῦτος χαρακτήρ.

Ἀμάδοκος, Ἰσοκράτης Φιλιππικῷ. δύο γεγόνασιν οὗτοι, πατὴρ καὶ υἱός. ὃς καὶ Φιλίππῳ συμμαχήσων, ἦλθεν εἰς τὸν κατὰ Κερσοβλέπτου πόλεμον. ἀμφοτέρων μέμνηται Θεόπομπος, ἐν πρώτῳ τῶν Φιλιππικῶν.

Ἀμαδρυάδας, νύμφας Μνησίμαχός φησι, διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, νύμφαι ἀμαδρυάδες λέγονται.

Ἀμάδρυα, κοκκύμηλα. Σικυώνιοι.

Ἀμαξακάρινον, ἅμαξα. * ἄλλ. ἀμαξακάριον, ἔστι δὲ ὑποκοριστικόν.

Ἀμαζακάραν, τὸ πολεμεῖν, Πέρσαι.

Ἀμαζανίδες, αἱ μυλέαι.

Ἀμα-

Digitized by Google

Ἀμαζὼν, μία τῶν Ἀμαζόνων. Ἴσαιος ἐν τῷ πρὸς Διοκλέα, περὶ τῆς Ἀθήνησιν αὐτῆς ἀφιερώσεως ἱστορεῖ.

Ἀμὰν, ἑβραϊστὶ σημαίνει τὸ βαβαί. συριστὶ δὲ καὶ ἑλληνιστὶ, σύγχυσιν. * ἀδόκιμον.

Ἀμαθαίνει, ἀγνοεῖ ὅς ἐστιν.

Ἀμαθαίνω, ἀγροικίζομαι. ὅθεν ἀμαθὴς, καὶ ἀμαθία. * λέγεται καὶ ἀμάθεια.

Ἀμαθεὶ, ἀδιδάκτως.

Ἀμαθέστερος, καὶ ἀμαθὴς, ἀντὶ τοῦ ἀπαίδευτος, ἀκόσμητος. οὕτω Πλάτων. τάσσεται δὲ ἐπὶ τοῦ δυσμαθοῦς, καὶ ἐπὶ τοῦ μὴ μαθόντος, φύσει δὲ ἐπισταμένου.

Ἀμαθὴς, ἀδίδακτος, ἀμύητος. ὁ δὲ ἀκούει ταῦτα, καὶ μὴ ὢν ἀμαθὴς οἰωνῶν, τὴν παῖδα ἐπανάγει καὶ τρέφει ὡς γνήσιον. Ὁ δὲ Ἰουστῖνος, ἀμάθητος ἦν γραμμάτων ἁπάντων, καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος. καὶ ἀμαθὴς, σκαιὸς καὶ βίαιος.

Ἀμαθία, ἀντὶ τοῦ ἀναισθησία, παρὰ Πλάτωνι.

Ἀμάθοιο, τῆς πεδίου κόνεως.

Ἄμαθος, ἡ μεσόγειος ἄμμος. ἀπὸ τοῦ ψάμαθος, ἀποβολῇ τοῦ ψ. ἡ ἀμυδρὸς τις οὖσα, τουτέστιν ἀνεπίγνωστος. ἣν οὐκ ἔστιν ἀριθμῆσαι. ψάμμος δὲ λέγεται, ἡ περὶ θάλασσαν.

* Ἄμαθος, καὶ ψάμαθος διαφέρει. ἄμαθος μὲν γὰρ ἡ ἐν πεδίῳ κόνις. ψάμαθος δὲ ἡ παραθαλασσία ἄμμος.

Ἀμαθύνας, ἀφανίσας.

Ἀμαθύνει, ἀντὶ τοῦ λεπτύνει, ὡς εἰς ἄμαθον. καὶ ὡς οἱ παλαιοί φασιν εἰς κόνιν πεδιάσιμον. καὶ ἀμαθύνει παρὰ τὴν ἄμαθον, τὸ κόνιν ποιεῖν. καὶ ἀμαθύνει, τὸ ἀφανίζειν, καὶ φθείρειν.

* Ἀμαθώδης, ἀμμώδης.

* Ἀμαθόεις δὲ ποιητικόν. καὶ ἠμαθόεις διὰ τὸ μέτρον.

Ἀμαία, ἡ Δημήτηρ. Ἀζησία δὲ ἡ κόρη.

Ἀμαιμακέτην χίμαιραν, ἤτοι ἄγαν μαιμῶσαν, ἢ περιμήκετον. ἐκ τοῦ α ἐπιτατικοῦ μορίου, καὶ τοῦ μάκος δωρικοῦ, ὃ δηλοῖ τὸ μῆκος, τῆς μαι συλλαβῆς παρενθείσης. καὶ πλεονασμῷ τοῦ ι. καθ' ὁμοιότητα τοῦ παιπαλόεις, καὶ τοῦ παιφάσσειν, καὶ τῶν ὁμοίων. καὶ ἀμαιμάκετος ἱστὸς, ὁ πάνυ μέγας, καὶ ὡς εἰπεῖν ἀμάκετος. ἤτοι ἄγαν μακρὸς, τῆς μαι συλλαβῆς ἐξ ἀναδιπλασιασμοῦ μὲν οὔσης, ἐκταθείσης δὲ κατὰ τὴν τοῦ διχρόνου ἐπένθεσιν. καὶ ἀμαιμάκετος, ἀκαταπόνητος, κατὰ δέ τινας, ἀμαιμακέτην τὴν φοβεράν. παρὰ τὸ μαιμάων, μαιμάκετον. ἐξ οὗ τὸ θηλυκὸν ἀμαιμακέτην. οἷον πρῶτον μέν ῥα χίμαιραν ἀμαιμακέτην. ἢ παρὰ τὸ τὴν μάχην, ἀμαιμάχετος καὶ ἀμαιμάκετος.

Ἀμάκιον, ἄβαξ. Λάκωνες.

Ἄμακις, ἅπαξ. Κρῆτες.

Ἀμακριλίδας, εἶδός τι μυοπίλου ἐν Ἰταλίᾳ γενόμενον, παρ' Ἱπποκράτει. * ἄλλ. ἀμαμηλίδας.

Ἀμάλαν τὴν ναῦν, ἀπὸ τοῦ ἀμᾶν τὴν ἅλα. Αἰσχύλος, Πρωτεῖ σατυρικῷ.

Ἀμαλδῦναι, τὸ διὰ τοῦ πυρὸς ἀφανίσαι. ἀπὸ τοῦ μαίρω τὸ λάμπω. ὁ μέλλων, μαρῶ. ἀφ' οὗ τὸ μαραίνω, καὶ στερήσει τοῦ α, ἀμαρῶ. καὶ τροπῇ τοῦ ρ εἰς λ, ἀμαλῶ. καὶ κατὰ παραγωγὴν, ἀμαλύνω. καὶ πλεονασμῷ τοῦ δ, ἀμαλδύνω. ἢ τὸ ἁπλῶς ἀφανίσαι. ἢ τὸ ὁμαλίσαι παρὰ τὴν ἄμμον. οἷον, ἄμμος ἀμμῶ, ὡς δοῦλος δουλῶ. οὕτως Ὠρίων.

Ἀμαλδύνειν, λέξις μέν ἐστι ποιητική. πεζῷ δὲ λόγῳ δύσχρηστος. γίνεται δὲ ἀπὸ τοῦ ἀμαλὸν, ὃ δηλοῖ τὸ ἁπαλόν. πλεονασμῷ τοῦ δ' ὅθεν καὶ ἀμαλάττειν * (ἄλλ. ἀμαλάπτειν) παρὰ Λυκόφρονι, τὸ οἷά τι ἁπαλὸν καὶ εὔφθαρτον ἀφανίζειν. ὡς δηλοῖ τὸ, ἐμάλαψε κάρχαρος κύων ἐκεῖθεν δὲ καὶ ἐν Ὀδυσσείᾳ τὸ, ἄρν' ἀμαλὴν ἐν συγκλασφῇ. ἤγουν, τὴν ἀμαλὴν, ἤτοι ἁπαλὴν ἄρνα. τινὲς δὲ ἐκεῖ ἄρνα φασὶ μαλὴν ἐκτελῶς ἐν δισυλλαβίᾳ. ὅθεν καὶ παρὰ Θεοκρίτῳ μαλοπάρηος. καὶ μαλερὸν, τὸ εὔφθαρτον, διὰ ἁπαλότητα. ἢ τὸ μαραντικὸν τῶν ἁπαλῶν σωμάτων. ἢ τὸ σκληρὸν κατ' ἀντίφρασιν. τὸ δὲ τοιοῦτον δισύλλαβον μαλὸν, πλεονασμῷ τοῦ α γίνεται καὶ αὐτὸ, ἀμαλόν. ἐξ οὗ, τὸ ἀμαλδύνειν παράγεται,

Ἀμαλδύομεν, ἀφανίζομεν, μαραίνομεν.

Ἀμαλεκύδαλος, ὁ θόρυβος.

Ἀμαλὴν λέγει Ὅμηρος, ἢ τὴν ἁπαλὴν, ἢ τὴν μαλωτὴν, τριχώδη, κατὰ τοὺς παλαιούς. ὃν τινὲς καὶ μαλὴν δισυλλάβως γράφουσι. τὸ μαλὸν δὲ καὶ ἡ ἀμαλὴ τί σημαίνει, ἐξ ὧν καὶ τὸ ἀμαλδύνειν πλεονασμῷ τοῦ δ, ἡ Ἰλιὰς δηλοῖ.

Ἀμαλὴ, ἁπαλὴ, νέα, εἰ ὀξύνοιτο. ἢ δράγματα παροξυνόμενον.

Ἀμάλθακτος, ἀνένδοτος.

Ἀμαλθάκτους, σιδηροῦς, σκληροὺς, ἀμαλάκτους.

Ἀμάλθεια. ἡ τροφὸς τοῦ Διός. εἶναι γὰρ αὐτὴν φασιν ἀμαλακιστίαν. ὅθεν καὶ πεπλάσθαι τὸ ὄνομα, παρὰ τὸ μὴ μαλάσσεσθαι. διὰ τοῦτο καὶ τὸν Ἡρακλέα καρτερικώτατον γενόμενον, ἔχειν αὐτῆς τὸ κέρας ἐμυθολόγησαν.

Ἀμαλθείας κέρας, διὰ τὸ πάντων ἐπιτυγχάνειν. ἐπειδὴ οἱ εὐχόμενοι τῇ οὐρανίᾳ αἰγὶ, ἐπιτυγχάνουσιν. ἢ ὅτι Ἑρμῆς Ἡρακλεῖ ἔδωκε τὸ κέρας, ὅτε τὰς Γηρυόνου βοῦς ἔμελλεν ἐλαύνειν.

Ἀμαλθεύει, πληθύνει, πλουτίζει, ἢ τρέφει.

Ἀμαλκιεῖν, τὸ μὴ ῥιγοῦν.

Ἀμάλλα* (καὶ ἄμαλλα) ἡ δέσμη τῶν σταχύων. ἢ ἀμάλλαι, τὰ δράγματα τοῦ σίτου, παρὰ τὸ ἀμᾶσθαι. ἢ παρὰ τὸ ἅμα ἀολλίσθαι ταῖς χερσὶ, τὴν τοῦ σίτου μετὰ τῶν ἀσταχύων καλάμην.

Ἀμαλλεύειν, δραγμεύειν. καὶ ἀμάλλιον χοινίον ἐν ᾧ δεσμεύουσι τὰς ἀμάλλας.

Ἀμαλλοῖ, ἀφανίζει. * κάλλ. ἀμαλοῖ.

Ἄμαλλοι, φυτὰ σικύων, ἢ τῶν ὁμοίων.

Ἀμαλλὸν, ἰσχυρόν. * ἄλλ. ἄμαλλον.

Ἀμαλλοδετῆρες παρ' Ὁμήρῳ, οἱ τὰς ἀμάλλας δεσμοῦντες. ἀμάλλη τὸ ὑπ' ἀγκάλην συμπίεσμα τῶν δραγμάτων, ἅπερ οἱ δραγματεύοντες παῖδες παρεκόμιζον. ἀπὸ ταύτης τῆς ἀμάλλης, καὶ Δημήτηρ ἀμαλλοφόρος, ἣν ἔθυον Ἀθηναῖοι. ἀμάλλαι δὲ κατὰ τοὺς παλαιοὺς, δράγματα σίτου, παρὰ τὸ ἅμα ἀολλίζεσθαι χερσὶ τοὺς στάχυας. ἢ παρὰ τὸ ἀμᾶσθαι, ὅθεν φασὶ καὶ ἀμαλλεύειν, τὸ δραγματεύειν. καὶ ἀμάλλιον σχοινίον, τὸ καὶ ὑλόδετον, ἐν ᾧ δεσμοῦσι τὰς ἀμάλλας. οἱ δ' αὐτοὶ καὶ τὸ ἀμᾶν, ἐκ τοῦ ἅμα παράγουσιν. ἵνα δηλοῖ τὸ ὑφ' ἓν πολλὰ ἕλκειν. ἑτέρωθι δὲ φέρεται καὶ ταῦτα. ἀμάλλιον, ὃ νῦν τινὲς ὑλόδετον. οἱ δὲ ὠρόδεσμον τὸν ἐκ τῆς καλάμης στρεφόμενον δεσμὸν, ᾧ δεσμοῦσι τὰ δράγματα, καὶ τὴν ἐκ τούτων συγκειμένην ἀμάλλαν. ἀμάλλαι γὰρ, αἱ ἐκ τῶν δραγμάτων ἀγκαλίδες.

Ἄμαλλος, πέρδιξ. Πολυρρήνιοι.

Ἀμάλλως, μετρίως, εὐκόλως, ἀσθενῶς, ἁπλῶς. καὶ ἀμαλλὸν, ἀμαλὸν, ἀσθενῆ, Εὐριπίδης Ἡρακλείδαις δηλοῖ. * κάλλ. ἀμαλῶς, καὶ ἀμαλόν.

Ἄμματα, χοινία. λέγεται δὲ καὶ ἐπὶ τῶν σκολιῶν τοῖς τρόποις ἀπὸ τῶν ἐν Κασίῳ Πηλουσιωτῶν. οἳ φυσικῇ τέχνῃ ἄμματα ἔπλεκον, δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες.

Ἀμαμαξὺς, ἡ ἀναδενδράς. παρὰ τὸ ἀμμῖξαι, ἡ συνδεδεμένη. ἀναδεσμοῦνται γὰρ αἱ ἀναδενδράδες.

Ἀμάμυξ, ἄμπελος, ἢ γένος σταφυλῆς. εἴρηται δὲ ἐπὶ χωλοῦ τινὸς, δυσὶ βακτηρίαις ὑπὸ τὰς μασχάλας ἐρειδομένου, καὶ ἐκκρεμάμενον ἔχοντος τὸν πόδα, ὡς βότρυν.

Ἀμᾶν, τὸ θερίζειν, ἀπὸ τοῦ ὁμοῦ ἐπισπᾶν. οἷον, ἅμα σπᾶν.

Ἀμάναν, ἄμαξαν.

Ἀμάνδαλον, τὸ ἀφανὲς παρὰ Ἀλκαίῳ. παρὰ τὸ ἀμαλδύνω, ἀμάλδανον, τὸ ἀφανὲς καὶ ἀφανιζόμενον, καὶ καθαιρέσει * (ἄλλ. ὑπερθέσει) ἀμάνδαλον. * καὶ ἀμανδαλόω, τὸ ἀφανίζω, βλάπτω.

* Ἀμανῖται, οἱ μύκητες. καὶ οἱ τοῦ Ἀμάνου οἰκήτορες. ὄρος δὲ τὸ Ἄμανον πρὸς τῇ Κιλικίᾳ, οὕτω κληθὲν, ὅτι Ὀρέστης ἀπὸ Ταύρων σὺν Ἰφιγενείᾳ τὴν Ἄρτεμιν κομίσας, τῆς μανίας τὴν λύσιν εὗρε.

Ἀμάνορες, δοθιῆνες, Ἠλεῖοι.

Ἄμαντες, οἱ περὶ Ἐλεφήνορα μετὰ τὴν Τροίας ἅλωσιν, διέβησαν εἰς τὴν ἤπειρον, καὶ ᾤκησαν παρὰ τὰ Κεραύνια ὄρη. ἔκτισαν δὲ Εὔβοιαν. ὅθεν Ἄβαντες ἐκλήθησαν. * καὶ κατὰ μεταβολὴν Ἄμαντες.

Ἀμάντευτος, ὁ μὴ μαντευόμενος, καὶ περὶ οὗ οὐ μαντεύεταί τις. ὥσπερ ἀθέατος, καὶ ἄποπτος.

Ἄμαντοι, ἔθνος Ἠπειρωτικόν.

Ἀμαξάων, ἀμαξῶν. * ἡ ἄμαξα καὶ τὰ ἐξ αὐτῆς τοῖς μὲν ψιλοῦται, τοῖς δὲ δασύνεται. κοινότερον δὲ καὶ κάλλιον δασύνεται, παρὰ τὸ ἅμα ἄξαι.

Ἄμαξα, παρὰ τὸ ἄγω, ἄμαξα. ἔστι καὶ Ἄμαξα χωρίον Βιθυνίας. ὁ χωρίτης Ἀμαξήτης.

Ἀμαξεία, ὁ τῶν ἀμαξῶν φόρτος.

Ἀμαξεύς, ζευγηλάτης.

Ἀμαξητὸς, ἡ δημοσία ὁδός. * κοινότερον γράφεται διὰ τοῦ ι, ἀμαξιτὸς ὁδός. λέγεται καὶ ἀμαξήλατος, καὶ ἀμαξήρης.

Ἀμαξιντεία, δῆμος τῆς Ἱπποθοωντίδος. ὁ φυλέτης, ἀμαξαντεύς.

Ἀμαξίποδες, τῆς ὑπερτερίας τὰ εἴδη, τὰ τοῖς ἄξοσι προστιθέμενα, τοῖς στρεφομένοις περὶ αὐτά. * παρὰ τῷ Πολυδεύκ. γράφεται ἀμαξήποδες. παρ' ἄλλοις κοινότερον ἀμαξόποδες.

Ἀμαξὶς, τὸ μικρὸν ἀμάξιον. ἢ πλακοῦντος εἶδος. καὶ ἀμαξὶς, ἔτι γένος σταφυλῆς ἀπὸ ἀναδενδράδος.

Ἀμαξιτὸν, ὁδὸν δημόσιον, καὶ ἀμάξαις διαπορευτήν.

Ἀμαξιτὸς, ἀμάξαις διοδευτός. καὶ Ἀμαξιτὸς, τὸ πολίχνιον τῆς Τρωάδος. ὁ πολίτης, Ἀμαξιτηνός.

Ἀμαξουργοὶ, καὶ ἀγγειοπηγοὶ, εἶδος τεκτόνων, οἳ τὰς ἀμάξας τεκταίνουσι, καὶ πάντων τῶν ἀγγείων ξύλων εἰσὶν ἐργάται.

Ἀμαξουργὸς, ὁ τὰς ἀμάξας κατασκευάζων. * λέγεται καὶ ἀμαξοποιὸς, καὶ ἀμαξοπηγός. ἡ τέχνη ἀμαξοπηγία, καὶ ἀμαξουργία.

* Ἀμαξεύω, ἐλαύνω τὴν ἄμαξαν.

* Ἀμαξιαῖοι λίθοι, οἱ μεγάλοι. καὶ ἀμαξίτης φόρτος τὸ ἐν ἀμάξῃ φερόμενον.

* Ἀμαξόβιοι, Ἀμαξοβῖται, καὶ Ἀμάξοικοι, οἱ Σκύθαι.

* Ἀμαξοπηγέω, ἀμάξας συμπήγνυμι, ἐργάζομαι.

* Ἀμαξοτροχία, ἢ ἀμαξοτροχιὰ, τὰ ἴχνη τῶν τροχῶν τῆς ἀμάξης.

Ἀμάρα, ὀχετός. ἢ ὑδρορρόα, παρὰ τὸ ἀμαρεῖν τὸ ὕδωρ. ὅτι τὰ φυόμενα πλησίον, οὐκ ἐᾷ μαραίνεσθαι. ἢ διὰ τὸ παρὰ τὰς αἱμασιὰς ῥεῖν.

Ἆμαρ, ἦμαρ, ἡ ἡμέρα.

Ἀμάρακος, γένος μύρου. ἀπὸ φυτοῦ ἀμάρακος καλουμένου. * τὸ φυτὸν λέγεται ἀμάρακος, καὶ ἀμάρακον. καὶ ἄλλως σάμψυχος, ἢ σάμψυχον. ἐντεῦθεν ἀμαράκινον ἄνθος. ἀμαράκινον μύρον, καὶ ἔλαιον. καὶ ἀμαρακόειν δὲ τὸ παραπλήσιον ἀμαράκῳ.

Ἀμάραν, αὔλακα.

Ἀμαράντιον, ἀειθαλές. καὶ ἀμαράντιον, ἄσηπτον. * κάλλιον λέγεται ἀμάραντον τὸ ἄσηπτον, καὶ ἀμαράντινον τὸ ἐξ ἀμαράντου, δηλαδὴ τοῦ ἄνθους. οἷον παρὰ Φιλοστράτῳ. ἀμαράντινοι στέφανοι.

Ἀμάραντος, εἶδος φυτοῦ, ἀφ' οὗ στέφανοι πλέκονται.

Ἀμαραντὸς, πόλις ἐν Πόντῳ. ὡς δὲ Ἡρωδιανός φησιν, ὄρος τῆς Κολχίδος, ἐξ οὗ ὁ Φάσις ποταμὸς καταφέρεται. ὅτι δὲ ἀμάραντα ὄρη ἐστὶ Κόλχων, ἱστορεῖ Κτησίας

Digitized by Google

σίας ἐν δεξιᾷ πέρα. ὁ δὲ Φᾶσις φέρεται μὲν ἀπὸ τῶν Ἀρμενίας ὀρῶν, ὥς φησιν Ἐρατοσθένης, ἐκδίδωσι δὲ εἰς Κόλχους, κατὰ θάλασσαν.

Ἀμαραρυγκαὶ, * (γραπτ. ἀμαρυγαὶ) ἀκτῖνες, λαμπηδόνες, ὄψεις. * γραπτ. ὄψεις.

Ἀμαράσαι, αἱ σῦς. οἱ δὲ, χώσας.

Ἀμαργομένη, δρασσομένη, ὑφαιροῦσα. * ἀδόκιμον.

Ἀμαρεῖν, ἀκολουθεῖν, πείθεσθαι, ἁμαρτάνειν.

Ἀμάρευμα, ἄθροισμα βορβόρου.

Ἀμαρεύων, διοδεύων.

Ἀμάρα, ἡ ἐν τοῖς κήποις ὑδρορρόη. παρὰ τὸ ἅμα, ἴσως, καὶ ὁμαλῶς ῥεῖν. ἢ οἷον ἀμαρρόη τὶς οὖσα. ἢ παρὰ τὸ τῇ ἅμῃ αἱρεῖσθαι.

Ἀμάρησι, πόροις.

Ἀμαρία, παρὰ τὸ ἅμα ἄγω παραγώγως τὸ αὐτὸ σημαινόμενον. καὶ ἀμάραι, αἱ ἐν τῷ ὠτίῳ κοιλότητες.

Ἄμαρις, ὑδρορρόη, ὀχετός.

Ἀμαρτάδας, ἁμαρτίας. ἀπὸ τῆς ἁμαρτάδος ἀληθείας.

Ἁμαρτάνειν, δίχα μὲν προθέσεως κοινῶς λέγεται καὶ ἀμεταβάτως, καὶ μεταβατικῶς. ἀμεταβάτως μὲν, ὅτε δηλοῖ τὸ πλείω ἁμαρτίαν ἐργάζομαι. ὡς τὸ, ἥμαρτον εἰς τὸν οὐρανόν. μεταβατικῶς δὲ ἀντὶ τοῦ ἀποτυγχάνω, συντασσόμενον γενικῇ. οἷον, ἥμαρτον τοῦ σκοποῦ. καθὸ καὶ ἤμβροτες ποιητικῶς, ἀντὶ τοῦ ἀπέτυχες, τὸ κοινῶς λεγόμενον ἠστόχησες. μετὰ δὲ προθέσεως γράφεται ἀττικῶς. μετὰ μὲν οὖν τῆς διὰ, δηλοῖ τὸ ἀποτυγχάνω, συντασσόμενον γενικῇ, καθὰ καὶ τὸ ἥμαρτον, οἷον, διήμαρτε τῆς ἀξίας. μετὰ δὲ τῆς ἐκ, τὸ πταίειν, κυρίως ἐπὶ Θεοῦ λεγόμενον, ὃ καὶ ἀμετάβατον. οἷον, ἐξήμαρτεν εἰς Θεὸν, ἐξύβρισεν εἰς ἀνθρώπους.

Ἁμαρτάνω, ἀλιτραίνω, ἀλιτῶ, πλημμελῶ. καὶ ἁμαρτάνω, τὸ ἁμαρτίαν ποιῶ, καὶ τὸ πταίω, ἀμεταβάτως ἁμαρτάνω δὲ, τὸ ἀποτυγχάνω, μεταβατικόν. καὶ συντάσσεται γενικῇ. οἷον ἁμαρτάνω τοῦ σκοποῦ, καὶ τῆς ἀληθείας. ὁμοίως καὶ ἐξαμαρτάνω τοῦ σκοποῦ, διαμαρτάνω τοῦ ὀρθοῦ. καὶ ἥμαρτον, ἀντὶ τοῦ ἀπέτυχον. καὶ ἁμαρτία λέγεται ἡ ἀποτυχία.

Ἁμαρτεῖν, γενικῇ καὶ δοτικῇ συντάσσεται. ἀντὶ τοῦ ἀκολουθεῖν, ἀποτυχεῖν.

Ἅμαρτεν, ἀπέτυχεν, ἐψεύσθη.

Ἁμαρτῆ, ὃ σημαίνει τὸ ἅμα καὶ ὁμοῦ. Ἀρίσταρχος ἀποκοπὴν εἶναι βούλεται τοῦ ἁμαρτήδην, καὶ οὐ προσγράφει τὸ ι. ἐλέγχει δέ φασιν αὐτὸν ἡ παράδοσις περισπῶσα τε αὐτὸ, καὶ σὺν τῷ ι γράφουσα, τῷ χαρακτῆρι τῶν ἐπιρρημάτων.

Ἁμαρτῆσαι, στερηθῆναι.

Ἁμαρτήσαντες, συντυχόντες, ὁμοῦ γενόμενοι. ἢ ὁμοῦ προϊέμενοι, ὅ ἐστιν ἐκπέμψαντες.

Ἁμαρτήσασθαι, τὸ δι᾽ ἁμαρτίαν στερηθῆναι.

Ἁμαρτήτην, ὁμοῦ προήκοντα δόρατα. Εὐριπίδης Σκείρωνι. * δοκεῖ τὸ ἁμαρτήτην ἐπίρρημα εἶναι ἀντὶ τοῦ ὁμαρτήδην.

Ἁμαρτία, ἡ τοῦ καλοῦ ἐκτροπὴ, εἴτε τοῦ κατὰ φύσιν, εἴτε τοῦ κατὰ νόμον.

Ἁμαρτίνους, ὁ κατὰ νοῦν ἁμαρτών. Τὰ ἀπὸ περισπωμένου ῥήματος γινόμενα, ἢ διὰ τοῦ ο μικροῦ γίνονται, οἷον, μισῶ μισογύνης, φιλῶ φιλόθεος. ἢ διὰ τοῦ ι. οἷον, ἁμαρτῶ ἁμαρτίνους, οἰδῶ οἰδίπους.

Ἁμαρτοεπὴς, ὁ ἁμαρτάνων ἐν τῷ λέγειν, ἢ κατὰ νοήματος πιθανότητα, ἢ κατὰ λέξιν, καὶ τὰ περὶ αὐτήν.

Ἁμάρτοις, ἀποτύχοις.

Ἁμαρτωλοὶ, οἱ ἑκουσίως ἁμαρτάνοντες, μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας.

Ἁμαρτωλὸν, πανοῦργον, μοχθηρὸν, αἱμύλον.

Ἁμαρτῶν, ἀκολουθῶν, ἀγνοήσας.

Ἀμαρυγὰς, τὰς οἷον συνεχεῖς κινήσεις. καὶ ἐπὶ τοῦ πυρὸς λέγεται ἀμαρύσσειν, ἀπὸ τοῦ τὴν φλόγα συνεχῶς ἀΐσσειν. Ὅμηρος, ἀμαρυγὰς θηεῖτο ποδῶν, τὴν κατὰ πάλληλον δηλῶν κίνησιν.

Ἀμαρυγὴ, ἡ λαμπηδών.

Ἀμαρυγκία, ὄνομα κύριον.

* Ἀμαρυγκεὺς, κύριον. Τὸ πατρωνυμικὸν, Ἀμαρυγκείδης.

Ἀμαρυγκυσία, βοστρυχία. * ἀδόκιμον.

Ἀμάρυγμα καὶ ἀμαρυγὴ, λαμπηδὼν, αἱ τῶν ὀφθαλμῶν ἐκλάμψεις. Ἡσίοδος, χαρίτων ἀμαρύγματ᾽ ἔχουσα. σημαίνει δὲ καὶ τὰς τοῦ προσώπου ῥυτίδας. αἵ τινες εἴρηνται ἀπὸ τοῦ ἀμαυροῦ, διὰ τὸ ἀλαμπεῖς εἶναι καὶ ἀμυδράς. ἢ παρὰ τὸ ἀμάραις ἐοικέναι, ἤγουν ὀχετοῖς. ὡς γὰρ ἐκεῖναι τὸ ὕδωρ, οὕτω καὶ αὗται τὸν ἱδρῶτα μετάγουσιν ἐπὶ τὰ παρ᾽ ἑκάτερα μέρη τῆς κεφαλῆς. αἱ γὰρ ἐκλάμψεις εἴρηνται, παρὰ τὸ μαίρω τὸ λάμπω, ἐξ οὗ καὶ τὸ μαρμαίρω, καὶ μαρμαρυγή. καὶ μάρμαρον, ἀφ᾽ οὗ καὶ Μάρων κύριον ὄνομα. ἐκ τοῦ μαρῶ μέλλοντος, γίνεται μαρύσσω. ἐξ οὗ, καὶ πλεονασμῷ τοῦ α, ἀμαρύσσω, καὶ ἀμάρυγμα. ἢ ἀπὸ τοῦ μαρυγμὴ, ἀμαρυγμὴ καὶ ἀμάρυγμα.

Ἀμαρυλλὶς, ἡ πορνεία. * ἀδόκιμον.

Ἀμαρύξω * (τὸ ἀμαρύξω ἀδόκιμον) καὶ ἀμαρύσσω, τὸ λάμπω.

Ἀμαρὺς, ἄπλετος, πολύς.

Ἀμαρυσία, ἑορτὴ Ἀθήνησιν.

Ἀμαρύσσει, στίλβει, λάμπει.

Ἀμαρύσσω, τὸ λάμπω καὶ ἀστράπτω. Ἡσίοδος, Ὑπ᾽ ὀφρύσι πῦρ ἀμάρυσσε. μαίρω, μαρῶ, ἐξ οὗ μαρύσσω. καὶ πλεονασμῷ τοῦ α, ἀμαρύσσω.

Ἀμὰς χεῖρας, ἤγουν ἡμετέρας χεῖρας.

Ἄμας, τὰς πυράμας, ἐργαλεῖά τινα ἐπιτήδεια πρὸς τὸ ἀνορύττειν.

Ἀμᾶσθαι, ἐφέλκεσθαι τὴν γῆν.

Ἀμασθαίνειν, ἀμαθεῖν. ἔστι δὲ ἀμαθεῖν, τὸ θερίζειν.

Ἀμασυκάδες, οἱ σὺν τοῖς σύκοις γινόμενοι ἄπιοι.

Ἄμαστος, ὁ ἀμάσητος. ὡς ἄπαστος, ὁ ἄγευστος.

Ἀματίζει, ἀναφυρᾷ.

Ἀματὶς, ἅπαξ. Ταραντῖνοι.

Ἅμα τοῖσι, σὺν τούτοις.

Ἄμοτον, ἀντὶ τοῦ ἀμότως, καὶ ἀκορέστως.

Ἀμάτορος, μητέρα μὴ ἐχούσης.

Ἀματροχίαι, αἱ ὁμοδρομίαι. ἢ μᾶλλον, αἱ ὁμοῦ συμβολαὶ τῶν τροχῶν κατά τινας. * λέγεται καὶ ὀξυτόνως.

Ἀματροχόωντα, ἀντὶ τοῦ ἀκολουθητικὸν, δυνάμενον ἅμα τινὶ τρέχειν. γράφεται δὲ καὶ ὁμοτροχόωντα, τουτέστιν, ἐν τῷ συμπορεύεσθαι καὶ τρέχοντά ποτε.

Ἀμαυρῇ γλώσσῃ, ἡσύχῳ.

Ἀμαυροῖ, ἀναιρεῖ, μαραίνει.

Ἀμαυρὸν, σκοτεινόν. ἀπὸ τοῦ ἅμα ταῖς αὔραις φερόμενον. Ὅμηρος προσέφη, εἴδωλον ἀμαυρόν.

Ἀμαυρούμενοι, σκοτιζόμενοι.

Ἀμαυρώσας, σκοτώσας.

* Ἀμαυρῶς, ἐπίρρημα. ἀμαύρωσις ὀφθαλμῶν. ὅπερ λέγεται παρὰ Γαληνῷ καὶ ἀμαυρούμενον ὄμμα, καὶ ἀμαυρούμεναι ὄψεις.

* Ἀμαυρωτικὸς, ὁ δυνάμενος σκοτίσαι.

Ἀμαχεὶ, ἀμάχως. * λέγεται καὶ ἀμαχητί.

Ἀμαχητηρία, εἶδος ἀκάνθης.

Ἄμαχον λέγεται, τὸ ὑπερφυὲς, καὶ οὗ τινος οὐδεμία μάχη καὶ φιλονεικία, καὶ ἔρις πέφυκε περιγενέσθαι. καὶ ἄμαχον, δυσκαταμάχητον, Πίνδαρος, Ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος. καὶ ἄμαχον τὸ ἀμήχανον, περὶ οὗ τὶς οὐ δύναται μηχανὴν εὑρεῖν. ὡς καὶ ἄμαχον κάλλος, ἀντὶ τοῦ ὑπερφυὲς λέγεται. ἄμαχον καὶ τὸ ἀπρόσιτον, ὡς πρὸς πόλεμον. ἐξ οὗ καὶ ἄμαχον τὸ ἀνίκητον. ὡς καὶ Λιβάνιος τὴν τοῦ ἔρωτος φύσιν. ἄμαχος ὁ Θεὸς, ὡς ἀνίκητος, ἀντὶ τοῦ ᾧ οὐ δύναταί τις μάχεσθαι.

Ἀμάω ἀμῶ, τὸ θερίζω, καὶ ἀμῶ τὸ συνάγω. ἐξ οὗ καὶ ἄμητος ὁ καιρὸς τοῦ θέρους, ἀμητὸς δὲ ὁ καρπός. καὶ ἀμησάμενοι, ἀντὶ τοῦ συνάξαντες. σπανιάκις δὲ γράφεται καὶ ἀμητὸς, ὁ καιρὸς ὅτε ἀμῶσι, καὶ ὁ καρπὸς ὁ ἀμώμενος, καὶ ἡ ἐνέργεια. ἤγουν αὐτὸ τὸ ἀμᾶν, ὥσπερ ἀλοητὸς ὁ καιρὸς, ὅτε ἀλοῶσι, καὶ ὁ καρπὸς ὁ ἀλοώμενος, καὶ τὸ ἀλοᾶν. καὶ τρυγητὸς ὁ καιρὸς ὅτε τρυγῶσι, καὶ ὁ καρπὸς ὁ τρυγώμενος, καὶ τὸ τρυγᾶν. ἀροτὸς δὲ ὁ καιρὸς ὅτε ἀροῦσι, καὶ τὸ ἀροῦν, δοκοῦσι δὲ ὀξύνεσθαι, ὡς γνωστὸς, ἐπαινετὸς, νοητὸς, ἀγαπητὸς, θεατὸς, ὑμνητὸς, καὶ ἁπλῶς πάντα τὰ εἰς ος ἁπλᾶ, ὅσα ἀπὸ τῶν παθητικῶν παρακειμένων περισπωμένων γίνεται συζυγιῶν. αἰτία δὲ οὐ φαίνεται, δι᾽ ἣν ἐπὶ τοῦδε μὲν τοῦ σημαινομένου ὀξυτονηθήσεται, ἐπὶ δὲ τοῦδε προπαροξυνθήσεται. * παρ᾽ Ἡσυχίῳ. Ἄμητος, τῆς μὲν πρώτης ὀξυνομένης, αὐτὰ τὰ τεθερισμένα. τῆς δὲ τελευταίας, ὁ καιρὸς τῆς συγκομιδῆς τῶν καρπῶν. οὕτω που καὶ Ἀμμώνιος. τοὐναντίον δὲ Σουΐδ. καὶ Εὐστάθιος. ἀλλ᾽ ὅτι κάλλιον Ἡσύχιος καὶ Ἀμμώνιος δῆλον ἐκ τῶν παλαιῶν ἀντιγράφων.

Ἀμβαδέως, ἀφροντίστως, ἀπρονοήτως.

Ἄμβαινα, ἀνάδενδρα.

Ἀμβακεῖν, ἁμαρτεῖν, * γραπτέον, ἀμβλακεῖν.

Ἀμβαλλόμεθα ἔργον, ἀντὶ τοῦ εἰς ἄλλον καιρὸν παρατείνωμεν. τῆς ἀνὰ προθέσεως διαπέρωσιν τινὰ δηλούσης παρ᾽ Ὁμήρῳ. ὡς καὶ ἐν τῷ ἀναπαλαίειν, καὶ ἀναμάχεσθαι, καὶ ἀναψηφίζεσθαι, τὸ μεταψηφίζεσθαι. ἵνα εἴη ἀναβάλλεσθαι, τὸ ὑπερτίθεσθαι τὸ πρᾶγμα. ἐκ τοῦδε τὸ ἀναβαλλώμεθα ἔργον, σύγκειται παρ᾽ Ἡσιόδῳ. καὶ τὸ ἀμβολιεργὸς, ὃς ἄταις παλαίει.

Ἀμβάσεται, ἀπὸ τῆς ἀμήσεως οἱονεὶ σφάξει. Σοφοκλῆς Τρωΐλῳ.

Ἄμβασις, ἀνάβασις.

Ἄμβατος, ἀντὶ τοῦ ἀνάβατος, ἐν συγκοπῇ. * ἄλλ. ἀμβατός. καὶ ἀμβάτης, ἀναβάτης.

Ἀμβὲς, δύσκολον. ἢ ἀβλαβές.

Ἄμβη, ἡ τῆς πέτρας ὀφρύς. καὶ ἄμβη, τὸ χεῖλος τῆς λοπάδος, παρὰ τὸ ἐν ἀναβάσει εἶναι. καὶ ἄμβων, ὁμοίως, διὰ τοῦ ω μεγάλου. καὶ ἄμβη, ἡ ὀφρυώδης ἐπανάστασις, παρὰ τῷ Ἱπποκράτει. καὶ ἄμβη, ἡ τῆς ἴτυος ὀφρὺς τῶν κοιλῶν ἀσπίδων.

* Ἀμβήξατο, ἀντὶ τοῦ ἀνεβήξατο. μετὰ βηχὸς ἀνέπτυσεν.

Ἀμβητιῶν, ἐπιτηδεύων παρεκβάλλειν τινὰ τῆς αὐτοῦ ἐξουσίας.

Ἄμβικα, χύτραν, κάδον.

Ἀμβιοῖ, ἀναπνεῖ, ἀναζεῖ.

* Ἀμβλήδην, ἀντὶ τοῦ ἀναβλήδην, ἢ ἀναβολάδην. σημαίνει τὸ μεγάλως, ὁρμητικῶς καὶ ἀπὸ προοιμίου.

* Ἀμβλίσκω, ἀποβάλλω. ἐπὶ τῶν διαφθειρουσῶν, καὶ προβαλλουσῶν τὰ κυήματα.

* Ἀμβλόω, τὸ ἀμβλίσκω, καὶ τὸ ἀμβλυώσσω.

* Ἀμβλὺ κυρίως ἐπὶ σιδήρου. τὸ ἐναντίον τῷ ὀξεῖ. μεταφορικῶς δὲ καὶ ἐπὶ τῆς ὄψεως. οἷον ἀμβλὺ ὁρᾷ. καὶ ἀμβλὺς ὁ ἀσθενὴς, καὶ ὀκνηρός. οἷον ἀμβλὺς πρὸς δρόμον. ἀμβλύτερος ἀσθενέστερος. καὶ ἀμβλύτατα ὑπερθετικῶς.

* Ἀμβλυώσσω, τὸ ἐξασθενίζω, τὸ ἐκλύω.

* Ἀμβλυωγμὸς, καὶ ἀμβλυωσμὸς ἡ ἀμυδρὰ ὅρασις. ἥτις καὶ ἀμβλυωπία.

* Ἀμβλυωπίας, καὶ ἀμβλυωπὸς, ὁ ἀμυδρῶς ὁρῶν.

* Ἀμβλυώττει, καὶ ἀμβλυωπεῖ, τυφλώττει.

* Ἀμβλωθρίδια, ἐκτρώματα. τὰ ἐξημβλωμένα ἔμβρυα. καὶ ἀμβλωθρίδιον, αὐτό τε τὸ φθόριον φάρμακον, καὶ δὴ καὶ τὸ διαφθαρέν.

* Ἄμβολα, τῆς κεραίας τὸ μέσον τὸ κατὰ τὸν ἱστὸν, λέγεται καὶ σύμβολα.

* Ἀμβολάδην, κατὰ χονισμοῦ, μετ᾽ ἀναβολῆς.

* Ἀμβολὰς γῆ, ὑπὸ τοῦ ὀρύγματος ὑψωθεῖσα.

* Ἀμβολὴ, ἀντὶ τοῦ ἀναβολὴ, κατὰ συγκοπήν.

* Ἀμ-

Digitized by Google

Ἀμβολία, ἡ ὑπέρθεσις, ἡ βραδυτής. καὶ ἀμβολιεργὸς ἀνὴρ, ὁ τὸ ἔργον ἀναβαλλόμενος.

* Ἀμβρίζειν, παρ' Ἡσυχίῳ, τὸ θεραπεύειν ἐν τοῖς ἱεροῖς.

* Ἀμβρόσιος, θεῖος, ἀθάνατος. καὶ ἀμβρόσιος ὕπνος, ὁ γλυκύς. καὶ ἀμβροσία, ἡ τροφὴ τῶν θεῶν, ἐστὶν ὅτε καὶ ἄνθος τι, ἡ φυτόν, παρὰ Διοσκορίδῃ, τὸ ἀνίζωρν.

Ἄμβροτα, θεῖα, ἀθάνατα, τεύχεα, ὅπλα. * ἄμβροτα ἢ δηλοῖ τὰ ὅπλα. ῥητέον δὲ τυχὸν, ἄμβροτα τάχα ἢ ὅπλα, τὰ θεῖα τάχα ἢ ὅπλα.

Ἀμβροτεῖν, ἁμαρτεῖν, ἀποτυχεῖν βροτοῦ, ὅ ἐστιν ἀνθρώπου, καὶ τὸ κρύπτειν.

Ἀμβρόταις, κενῶς ἀποτυγχάνεις.

Ἀμβρότιγον, ἄκυρον.

Ἄμβροτος, ἄφθαρτος, θεῖος, ἀθάνατος.

Ἀμβροτίξας, ἀπαρξάμενος. Λάκωνες.

Ἄμβροτον, θεῖον, ἄφθαρτον, ἀθάνατον, ὃ βροτοὶ οὐχ ἅπτονται. αἰδοῖον. * (ἄπο καὶ παρὰ τῷ Ἐτυμολόγῳ) ἡδὺ, λαμπρὸν, εὐῶδες, καλόν. καὶ ἄμβροτα, κεκρυμμένα. παρὰ τὸ ἁμαρτῶ, ἁμαρτήσω, ἡμάρτησα, ὁ δεύτερος ἀόριστος ἤμβροτον, καὶ ἐν ὑπερθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ β καὶ τροπῇ τοῦ α εἰς ο, ἄμβροτον.

Ἄμβροτοι, διότι ἀθάνατοι οἱ θεοί. τῷ ἀμοῖροι εἶναι βρότου, ὅ ἐστιν αἵματος.

Ἄμβρυτοι * (ἀλλ. ἄμβρυττοι) εἶδος ἐχίνων θαλασσίων. Ἀριστοτέλης δὲ αὐτοὺς βρωύνους καλεῖ.

Ἀμβρυχαί, αἱ τῶν χειρῶν ἐμβολαί.

* Ἀμβωμοῖσι, περὶ τοὺς βωμούς.

Ἄμβων, ὁ τῆς πέτρας ὀφρύς. εὗρον φυτῷ καὶ ἄμβη.

Ἀμβώνων, χωρίον τῆς Ζελείας.

Ἄμβωνες, αἱ προσαναβάσεις τῶν ὀρῶν.

Ἀμεγάλοιτος, ἡ μεγάλως ἀθλία καὶ δυστυχής. οὗτος γὰρ οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ πᾶν τὸ δεινόν.

Ἀμέγαρτος τόνος, ὁ ἄφθονος, ἐκ τοῦ μεγαίρω τὸ φθονῶ. ἢ ὁ πάνυ εἰς μέγα αἰρόμενος. ἢ ὁ ἀφθόνητος διὰ τὴν κακίαν. οὐδεὶς γὰρ φθονεῖ ἐπὶ κακοῖς.

Ἀμέθυσος, βοτάνη καὶ λίθος. * ἀμέθυσος καὶ ἀμέθυσος οὐ μόνον βοτάνη καὶ λίθος. οὕτω καλοῦνται διὰ τὸ ἀπείργειν τῆς μέθης, ἀλλὰ πᾶν ὅ, τι τὴν τοιαύτην ἔχῃ δύναμιν.

Ἀμείβεται, παραιτεῖται. Εὐριπίδης.

Ἀμείβεσθαι, ἀποκρίνεσθαι, διέρχεσθαι, καὶ τὸ ἐν μέρει τι ποιεῖν.

Ἀμείβειν, ἀντὶ τοῦ διέρχεσθαι, αἰτιατικῇ συντάσσεται. οἷον τὴν θάλασσαν ἀμείβοντες καὶ ἀντὶ τοῦ ἀλλάττειν, ὡς παρ' Ἰουλιανῷ. Πρῶτος ἐστι, ὁ Τιβέριος πολλὰ ἀμείβων χρώματα, ὥσπερ ὁ χαμαιλέων. καὶ ἀντὶ τοῦ ὑπερβαίνειν. οἷον, Πολλοὺς τόπους ἀμείβει, ἀντὶ τοῦ διέρχεται. ἐξαμείβειν δὲ, τὸ ἐκφεύγειν καὶ ἀπέρχεσθαι.

Ἀμείβομαι, τὸ περιβέβλημαι, καὶ ἀμπέχομαι. καὶ ἀμείβομαί σε λόγοις, ἢ δώροις, ἀντὶ τοῦ ἀποδίδωμι, καὶ ἐκτίνω. καὶ ἀμείβομαι, τὸ ἀντικαταλλάσσομαι. καὶ τὸ ἀντιχαρίζομαι, ἐξ οὗ ἀμοιβή, καὶ τὸ ἀνταποκρίνομαι. ἐνεργητικῶς δὲ τὸ πεπραττω, ὅπερ καὶ μετὰ προθέσεως γράφεται. οἷον παραμείβει τὴν παιδικὴν ἡλικίαν. καὶ παρήμειψεν, ἀντὶ τοῦ διέβη.

Ἀμείβοντα, ἀλλάσσοντα.

Ἀμείβοντες. λέγονται δὲ παρ' Ὁμήρῳ, ξύλα τὰ ὑπανέχοντα τὴν στέγην, ἅπερ συνδυο ἐξ ἀποστάσεως τοῖς κάτω ἄνω συναγόμενα, ἀντερείδουσιν ἄλληλα. οἷς δεξιῶς εἴκασεν ὁ ποιητὴς τοὺς ἥρωας, ἀλλήλοις ἐν τῷ παλαίειν ἀντικημένους. καὶ τὰ μὲν ἄνω, εἰς ἓν ἥκοντας, κατὰ τὰς δοκοὺς καὶ ἐρειδομένους. τὰ δὲ κάτω διεστῶτα.

Ἀμείβει, ἀνταποδίδει.

Ἀμείβω, τὸ ἀλλάττω. ὡς τὸ ἀμείβω τὸ χρῶμα. ἀμείβω καὶ τὸ πορεύομαι, ὡς τὸ ἀμείβω τὴν ὁδόν. καὶ ἀντὶ τοῦ διέρχομαι τὸ πορεύομαι. καὶ ἀμείβω, τὸ ἀντικαταλλάσσω, ὡς Ὅμηρος, Πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβεν. ἀμοιβαῖς γὰρ οἱ παλαιοὶ ἐχρῶντο, καὶ οὐ νομίσμασιν. ὡς παρ' Ὁμήρῳ, Ἔνθεν ἄρ' οἰνίζοντο φασὶν ἀχαιοί, ἄλλοι μὲν χαλκῷ ἄλλοι δ' αἴθωνι σιδήρῳ, ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτῇσι βόεσσιν, ἄλλοι δ' ἀνδραπόδεσσιν. ὁ καὶ παθητικῶς παρὰ τοῖς ῥήτορσι γράφεται. οἷον ἀμείβεται τὰ ὤνια πρὸς χρυσίον, ἐπὶ πάθους λαμβανόμενον. ὡς καὶ παρ' Ἰουλιανῷ, Παρήμειψε διὰ τὴν περιττὴν φρόνησιν, ἀμειβομένων πρὸς χρυσίον. καὶ ἀμείβομαι, τὸ περιβέβλημαι, ὡς παρ' Εὐριπίδῃ, Ἀμφίβληχημα δ' ἱμάτια σκότι, ἀμείβομαι.

Ἀμειδὴς, στυγνὸν, ἀγέλαστον, σκυθρωπὸν, καὶ σκοτεινόν.

Ἀμειδήτως, σκυθρωπῶς. μειδιᾶν γάρ ἐστι τὸ γελᾶν.

Ἀμείδητον, ἀγέλαστον.

Ἀμειλίοις, ἀθλίοις.

Ἀμείλικτον, πικρὸν, οὐ προσηνῆ, ἄμικτον, ἀπάνθρωπον. * λέγεται καὶ ἀμείλιχος.

Ἀμείνονα, βελτίονα.

Ἄμεινον, κάλλιον, βέλτιον, κρεῖσσον.

Ἀμεῖναι, πληρωθῆναι. * ἀδόκιμον.

Ἀμείρεσθαι, στερεῖσθαι.

Ἀμείροντες, στερίσκοντες, ἀφαιρούμενοι.

Ἀμείς, εὑρήσεις.

Ἀμειφθήσεται, ἀλλαγήσεται.

Ἀμείψασθαι, ἀποκρίνασθαι.

Ἀμειψεν, ἤλλαξεν.

Ἀμείψαιμεν, τὸ ἀλλάσσειν τὴν σύγκρισιν, ἢ μεταμορφοῦσθαι.

Ἀμείψιχρον, μεταβάλλοντα. * παρ' ἄλ. κάλλιον ἀμειψίχροον, μεταβάλλοντα, καὶ ἀμείβοντα τὴν χρόαν.

Ἀμειψικόσμη, ἡ μετακόσμησις.

Ἀμειψόμεθα, ἀνταποδώσομεν.

Ἀμείψομεν, ἀντὶ τοῦ καταλλάξομεν.

Ἀμειψιρυσμεῖν, μεταμορφοῦσθαι. * ἐν τῷ Ἐτυμ. κεῖται, ἀμειψιρυσμεῖν.

Ἀμέλγει, αντισπᾶται τὸ γάλα, αἰτιατικῇ, οἷον, Ἐγὼ πρῶτος ἀμέλγω τὰς αἶγας.

Ἀμέλδω, τὸ στερίσκω. Ὅσσε δ' ἀμέρδεν αὐγὴ χαλκείη.

Ἀμέλεια, καταφρόνησις. ἀμέλεια, καὶ ἀμελία, ἀμφότερα ἑλληνικά. καὶ γὰρ διὰ διφθόγγου, καὶ διὰ τοῦ ι γράφεται. * λέγεται καὶ ἀμελησία.

Ἀμέλδειν, τίκτειν, στερίσκειν.

Ἀμελῆσαι, * (κάλλιον ἀμελῆσαι) ἀφροντιστῆσαι.

Ἀμέλη, τοιγαροῦν, τὸ λοιπὸν, ἁπλῶς, καὶ διὰ τοῦτο βεβαιωτικῶς.

Ἀμελητὶ, χωρὶς βραδυτῆτος, καὶ ὑπερθέσεως. καὶ ἀμελητὶ, ταχέως, μελλήσεως χωρίς. * ἀμελητὶ δηλοῖ τὸ ἀμελῶς, ἠμελημένως. ἀμελητὶ δὲ τὸ χωρὶς βραδυτῆτος, καὶ ταχέως.

Ἀμελὺς γωνία, χωρίον Λιβύης.

Ἀμελὴς δίκη, ζημία.

Ἀμελῶ, ὀλιγωρῶ, ἀφειδῶ, ἀφροντιστῶ, γενικῇ συντάσσεται. οἷον, οὐκ ἀμελητέον τούτων τῶν πραγμάτων. Ἀριστοφάνης, τοῦ σπουδάζειν ἀμελήσας.

Ἀμεμαχίτην, ἀκαταμάχητον.

Ἄμεμπτος, καὶ ὁ μὴ μέμψιν δεχόμενος, καὶ ὁ μὴ μεμφόμενός τινι. τῷ δευτέρῳ χρῶνται οἱ Ἀττικοί. ὡσαύτως καὶ ἀθεατος, ὁ μὴ βλέπων κρεῖττον, ἢ ὁ μὴ βλεπόμενος τινί. Λιβάνιος, Ἀθέατος ἔμεινα μοναχιῶν.

* Ἀμεμφὴς, ἄμεμπτος, ποιητικόν. καὶ ἀμεμφία στέρησις μέμψεως.

Ἀμέμφως, ἀμέμπτως, ἀφειδῶς.

Ἀ' μὲν, ἃ δὲ, μὴ ἅπτης. ἀλλὰ, τινὰ μὲν, τινὰ δὲ, ὡς Λουκιανὸς λέγει, εἴτε παίζων, εἴτε σπουδάζων. λέγει γὰρ, Ἔπειτα δὲ αὐτοὺς, ἃ μὲν προϊόντι δεικνὺς κατὰ τὴν ὁδὸν, ἃ δὲ καὶ παραινῶν.

Ἀμέναι, πληρωθῆναι. * ἄω, ἄειν, ἀέμεναι δωρικῶς, καὶ κατὰ συγκοπὴν ἄμεναι.

Ἀμενής, ἀσθενής.

Ἀμενηνά, ἀσθενῆ. κατὰ στέρησιν τῆς δυνάμεως. μένος γὰρ ἡ δύναμις, ἢ ἡ ψυχή.

Ἀμένητα, τὰ ὑμένα. Αἰολεῖς.

Ἀμένησος, ὁ μὴ δυνάμενος.

Ἀμενητί, χωρὶς τοῦ ἐπιμεῖναι.

Ἀμενηνοὶ ὄνειροι, παρ' Ὁμήρῳ, οἱ φαντασιοῦντες μὴ στερεμνίως τὰ βλεπόμενα, καὶ ὡς εἰπεῖν μετά τινος μένους. εἴρηται καθ' ὁμοιότητα τῶν ἀμενηνῶν ἐν ᾅδῃ εἰδώλων, τῶν ἐν τῇ νεκυίᾳ, διὰ τὸ συγγενῶς ἐκεῖνα πρὸς τοὺς ὀνείρους ἔχειν.

Ἀμενήνωσεν, ἀσθενῆ ἐποίησεν.

Ἀμενηνὰ κάρηνα. Ἡλιόδωρος ἐπὶ τῶν νεκύων, τὰ ἀδύνατα ἀπέδωκεν.

Ἀμενηνὸς, ἀσθενὴς, λεπτὸς, μάταιος, ἐκ τοῦ μένος ἡ δύναμις γίνεται. ἀμενὸς ὁ ἀσθενής. καὶ πλεονασμῷ τῆς νη συλλαβῆς, ἀμενηνός. οὕτω δὲ καὶ νῶ, τὸ σωρεύω, καὶ προσθέσει τῆς νη συλλαβῆς ἐν καταρχῇ, νηνῶ. ἐξ οὗ ἐπενήνεον ἐν κανέοισιν.

Ἀμενηνῶν, ἀσθενῶν. καὶ ἀμενήνωσεν, ἀντὶ τοῦ ἀμενηνὸν ἐποίησε, καὶ ἠχείωσεν.

Ἀμένης, σημαίνει τὸν παῖδα. παρὰ τὸ μὴ ἔχειν μένος, καὶ κλίνεται ἀμένητος, ὥσπερ Ἀμέλης Ἀμέλητος, ὄνομα ποταμοῦ. εἰσί τινα εἰς ης ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ η ἀμετάβολον, καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν, μήτε τὸ η, μήτε τὸ ι, μήτε τὸ υ, μήτε τὸ ω. ἅτινα διὰ τοῦ τος κλίνεται. ἐπιάλης, ἐπιάλητος.

Ἀμ' ἔπος, ἅμ' ἔργον ἐστι.

Ἀμέραν, τὴν ἡμέραν λέγουσιν οἱ Δωριεῖς. Πίνδαρος, ἐν ἀμέρᾳ φαεινὸν ἄστρον.

Ἀμερβὲς, τὸ μεσονύκτιον. παρὰ τὴν ὀρφνὴν, ἀμορφνὲς, καὶ ἐκλείψει τοῦ ν, καὶ τροπῇ τοῦ φ εἰς β', ἀμερβές. ὡς ἐν τῷ κύφος κύβος, φερενίκη βερενίκη, καὶ ἀμορφὸς ἀμορβὸς, ὅ ἐστιν ἀκόλουθος, ὁ ἅμα τινὶ ἀκολουθῶν, τροπῇ τοῦ φ εἰς β' * κάλλιον, ἀμορβές.

Ἄμοργον, νῆσος.

Ἀμέργον, εἱμαρμένην. Κρῆτες.

Ἀμέργει, ἀποστερεῖ. * ἀμέργει, δηλοῖ τὸ ἐκθλίβει, ἐκπιέζει. ἐκμάσσει.

Ἀμέρδειν, τὸ ἀμαυροῦν, καὶ ἀποστερεῖν τοῦ μέρδειν, ὅ ἐστι τοῦ βλέπειν. οὐ τὸ ἐναντίον, ζμέρδειν διὰ τοῦ ζ, παρὰ τοῖς Ἀχαιοῖς, ὅ ἐστιν ἄγαν βλέπειν, ἐν τῷ μερίζειν τὰς ὀπτικὰς δυνάμεις. ὅθεν καὶ σμερδνὸν, κυρίως τὸ τῇ ὄψει καταπληκτικόν. Σημειῶσαι, ὅτι οὐ μόνον τὸ ζμέρδειν, ἀλλὰ καὶ ἕτεραι πολλαὶ λέξεις ἐν ἀρχῇ προσέφερον τὸ ζ. καὶ ὡς ἀπὸ τοῦ ζα ἐπιτατικοῦ μορίου, τὸ τοιοῦτον ζ δοκεῖ εἶναι ἐν τῷ ζμικρὸν, καὶ ἐν τῷ ζμίρδειν, καὶ ἐν τῷ ζμερδνῷ. καὶ ὡς ἐκ τοῦ μερίζω γίνεται, ἀλλαχοῦ ἱκανῶς δεδήλωται. καὶ ἀμέρδει καπνὸς τάχεια, ἀντὶ τοῦ σκοτίζει. στερίσκει τοῦ μέρδειν, ὅ ἐστι λάμπειν. ὡς ἐντεῦθεν μὴ δὲ εἶναι καλὰ αὐτὰ, ἀλλὰ κατηκίσθαι. καὶ δαιτὸς ἀμέρδεσθαι, τὸ στερίσκεσθαι, ἀπὸ τοῦ μερίζειν. ἵνα ᾖ ἀμέρδειν, τὸ μερίδος ἀποστερεῖν. καταχρηστικῶς δὲ, ἐπὶ τοῦ στεροῦμαι.

* Ἀμερμηρεὶ, χωρὶς φροντίδος.

Ἀμέρσαι, ἀντὶ τοῦ μερίδος στερῆσαι, τίθεται ἐνίοτε. ἀλλὰ κυρίως ἐπὶ τοῦ τυφλώττοντος λέγεται. ὡς τὸ, Ὀφθαλμῶν μὲν ἄμερσε. καὶ ἐπὶ σκοτώσεως, ἤτοι ζοφώσεως. οἷον, Ὄσσε δ' ἄμερσεν αὐγὴ χαλκείη. καὶ ἀμέρσαι, ἀμαυρῶσαι, ἄμοιρον ποιῆσαι. καὶ ἄμερσεν, ἄμοιρον ἐποίησεν, ἐστέρησεν.

Ἀμέρσης, ἀπὸ τοῦ ἀμέρδω, τὸ ἀφανίζω. τοῦτο δὲ ἀπὸ τοῦ ἀμῶ, τὸ θερίζω.

Ἀμερσίφρων, βλαβερός.

Ἀμέρυτος, ἀνασπόσχετος, ἀπελάτητος. * ἀδόκιμον.

Ἀμερφὲς, αἰσχρόν.

Ἀμετάβατα ῥήματα προσηγόρευται, ὅτι οὐδαμῇ μεταβαίνουσιν εἰς ἕτερον πρόσωπον, τὴν σύνταξιν ἐν τῷ λόγῳ ἔχει. οἷόν ἐστι τὸ ζῶ,

ζῷ, τὸ πλουτῶ, τὸ ὑγιαίνω, καὶ τὰ τοιαῦτα, ἐν γὰρ τούτοις μόνον ἐμφαίνεται πρόσωπον, τὸ τοῦ ζῶντος, ἢ τοῦ πλουτοῦντος. ὅθεν οὐδὲ παθητικὰ τὰ τοιαῦτα ῥήματα ἔχει. μὴ γὰρ ἐμφαινομένης ἐν αὐτοῖς ἐνεργείας εἰς ἕτερον πρόσωπον, δῆλον ὡς οὐδὲ πάθος δύναται ἔχειν.

Ἀμεταβόλοις, ἡ προσοῦσα προσηγορία, οὐκ ἔξωθεν, ἀλλ' ἢ ἐκ τοῦ μὴ μεταβάλλεσθαι προσεγένετο. εἰ τοίνυν τὰ μὲν ἀμετάβολα οὐ μεταβληθήσεται, τῶν ἀμεταβόλων δὲ, τοῦ μ μὲν ἡγουμένου, οὐδέ ποτε τὸ σ ἐπὶ τῆς λέξεως ἕπεται. τοῦ δὲ λ καὶ ν σπανιάκις, ὡς τὸ ἅλς, καὶ τίρυνς. τοῦ δὲ ρ, καὶ εἰς πλάτος, ὡς τὸ πέρσω, καὶ πυρσὸς, διὰ τὸ φωνήεντος ἔχειν δύναμιν. καὶ μαρτυρεῖ σοι τὸ δασὺ πνεῦμα. Ἕλληνες δὲ τὴν τραχυφωνίαν, ὡς τὸ πολὺ φιλοῦσιν ἐκκλίνειν. διὰ ταῦτα ἐπὶ τῆς πέμπτης συζυγίας οὐ προσέθηκαν τὸ σ. Αἰολεῖς δὲ τὸ τοιοῦτον οὐ παρῃτήσαντο. καὶ μάλιστα ἐν ὅσοις ῥήμασιν ὁ ἐνεστὼς διὰ τοῦ ρ ἐκφέρεται, διὰ τὴν εἰρημένην τοῦ ρ δύναμιν. εἴλω ἔλσω λέγοντες, καὶ σπείρω σπέρσω, καὶ ὄρω ὄρσω. χρὴ τοίνυν καὶ ἐν τοῖς δὲ τοῖς μέλλουσι τὸ σ νοεῖν, ὡς σπέρσω λέγομεν Αἰολικῶς, οὕτω καὶ κλίνσω, καὶ νέμσω, καὶ τοῦτο μάθοις ἂν ἐκ τοῦ ἐκλίθην σαφέστερον. τὸ γὰρ τραχυφωνεῖν, μάλιστα πάντων Ἑλλήνων Ἀττικοὶ φεύγουσι. καὶ ἴδιον ὂν, θάτερον τῶν δύο συμφώνων ἀφελεῖν τοῦ ν λέγω καὶ θ', τὸ ν μᾶλλον ἀφεῖλον καταλιπόντες τὸ θ', ἵν' ᾖ δῆλον ὅτι πᾶσάγε ἀνάγκη πάντα μᾶλλον διὰ τοῦ σ νοεῖν τὴν προφορὰν ἔχειν.

Ἀμετάθετος, ἄστρεπτος, ἀκίνητος, ἀμεταποίητος.

Ἀμετάπτωτον. κυρίως ἐπὶ σωμάτων λέγεται, τῶν δι' ἰσχὺν μὴ τρεπομένων. ἢ διὰ ἰδιότητα μὴ μεταβαλλόντων. κατὰ μεταφορὰν δὲ λέγεται ἡ ἐπιστήμη ἀμετάπτωτος.

Ἀμεταποίητον, ἀμετάθετον.

Ἀστρεπτὶ, χωρὶς ἐπιστροφῆς. * γραπτέον, ἀμεταστρεπτί.

Ἀμεταχείριστα, δυσάληπτα.

Ἀμετεῖναι, ἀποδῦναι. * ἀδόκιμον.

Ἀμετουσίαστον, ἀμέτοχον.

Ἀμέτοχον, ἀμετάληπτον.

Ἄμετρα, ἄπειρα, ἀκεράμια. * ἀδόκιμον.

Ἀμετρία, ὑπερβολή.

Ἀμετρὶ, χωρὶς μέτρου. καὶ παροιμία, ἀμετρὶ μάζαν ἔδοντες.

Ἄμετρον, ἀμέτρητον, ἄπειρον.

Ἀμετροεπὴς Θερσίτης ἐστὶν, ὁ ἀπεραντολόγος, κατὰ τοὺς παλαιούς. καὶ μὴ μέτρον εἰδὼς λόγου. διὸ καὶ ἄκοσμα φασὶν αὐτὸν εἰδέναι, καὶ πολλά. πολλὰ μὲν, ὡς πολυλόγον, εἴγε πάντων σιγώντων, αὐτὸς λαλεῖ. ἄκοσμα δὲ, διότι μάτην, καὶ οὐ κατὰ κόσμον ἤριζε τοῖς βασιλεῦσι. τινὲς δὲ ἀμετροεπῆ λέγουσι, τὸν ἐν τῷ λέγειν ἄτακτον. μέτρον γάρ φασιν ἡ τάξις. διὸ καὶ πολλὰ ὑπερβολὴν ἐνδείκνυται ἀφροσύνης. πολλὰ μὲν οἶδε καὶ μυρία, κατὰ τὸν ποιητὴν, ὁ συνετὸς καὶ πολύπειρος. ἄκοσμα δὲ οἶδεν, ὁ ἀφραίνων. ὁ δὲ Θερσίτης ἄκοσμά τε εἰδὼς καὶ πολλὰ, πάνυ ἂν εἴη πόῤῥω τῆς εὐκοσμίας. διὸ ἐχθρός ἐστι τοῖς βασιλεῦσιν.

Ἀμεύσασθαι, ἀμείβεσθαι, διελθεῖν, περαιώσασθαι.

Ἀμεύσιμον, ἀμεύω τὸ πορεύομαι, παρὰ τὸ ἅμα καὶ τὸ σεύω. ἢ παρὰ τὸ νεύω νεύσιμος, καὶ ἀνεύσιμος, τοῦ α ἢ τὸ ὁμοῦ, ἢ πλεονασμὸν δηλοῦντος. τροπῇ τοῦ ν εἰς μ. οἷον ὅπῃ καὶ ἀμεύσιμον, τουτέστιν, ὅπῃ πορεύσιμον, Ἀπολλώνιος ὁ τὰ ἀργοναυτικά.

Ἀμευσιεπὴς, ἡ διαλλάσσουσα καὶ ἀμειβομένη τοῖς λόγοις.

Ἄμη, σιδηροῦν σκεῦος, καὶ σκάφη εἰς ἣν ἐβάλλοντο ἐρίφων πόδες, πρὸς τὸ μὴ βαίνειν. ἢ τὸ γεωργικὸν, καὶ οἰκοδομικὸν καὶ τεκτονικὸν ἐργαλεῖον. καὶ ἄμη, ἡ δρεπάνη.

Ἀμῆγε, ἀμηγέπως.

Ἀμηγέπη, κάλλιον, ἢ ἀμωσγέπως. δηλοῖ δὲ τὸ καθ' ἕνα τινὰ τρόπον. καὶ ἀμηγέπη, ὅπως δήποτε, καθοτιοῦν. λέγεται δὲ καὶ ἀμωσγέπως, καὶ ἀμόθεν, καὶ ἡμωγέπου, καὶ ἀμηγέποι καὶ ἀμοιγέποι.

Ἀμὴ θέμις, ἃ μὴ πρέπει.

Ἀμήκανα, δεινά. Ταραντῖνοι.

Ἄμηλον, ἀκολάκευτον. Κρῆτες.

Ἀμήμενοι, σῖτον συλλέγοντες.

Ἅμ' ἡμέρᾳ, Ἀλκαῖος ἅμ' ἠοῖ.

Ἀμὴν πόλιν, ἤγουν ἡμετέραν. καὶ ἀμὴν, * (γραπτέον ἄμην. ἄμητα γὰρ τὰ πλακοῦντα, ἰωνικῶς ἄμην λέγουσι) πλακοῦντος εἶδος.

Ἀμὴν, πεπιστωμένως, ἀληθῶς. ἢ ἀντὶ τοῦ γένοιτο.

* Ἀμήνιτος, ὁ ἐκτὸς ὀργῆς, ἀμενής.

Ἀμηνίτως, ἀμέμπτως, Ἀχαιοί.

Ἄμηροι, ὅμηροι.

Ἄμηρον, τὸν νέον. καὶ ἄμηρον οὐδετέρως, ὄνομα ὄρους.

Ἀμήρυτον, ὃ καὶ ἀμήρυον παρ' Ἀπολλωνίῳ, ἐκτεταμένον, ἀτέλεστον, καὶ διηνεκῶς ἐπιμένον, ἀπέραντον, ἄφθαρτον, ἀπέλευστον, καὶ τὸ τέλος μὴ ἔχον. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν μηρυομένων ἐρίων.

Ἀμῆσαι, τὸ συναγαγεῖν, ἢ μάλιστα θερίσαι. ὅθεν ἄμητος, ὁ καιρὸς ὅτε ἀμῶσι. καὶ ἀμητὸς, ὁ καρπός. ἔτι καὶ ἡ ἐνέργεια. οὕτω καὶ ἀλοητὸς, καὶ τρυγητὸς, ὁ καιρὸς ὅτε ἀλοῶσι ἢ τρυγῶσιν. καὶ ἡ ἐνέργεια. ἀροτὸς δὲ, ὁ καιρὸς ὅτε ἀροῦσι, καὶ αὐτὸ τὸ ἀροῦν, ἤγουν ὅ, τε καιρὸς, καὶ ἡ ἐνέργεια.

Ἀμησάμενος, ἀντὶ τοῦ συνελὼν χερσὶ, καὶ συναγαγών. ὡς καὶ Ὀδυσσεὺς φύλλα ἐπαμησάμενος ἐκαλύψατο. καὶ Πρίαμος ἐπαμησάμενος κόνιν κατεπάσατο. ἐντεῦθεν καὶ ποιμὴν ἄμητος, συναγωγή τις τῶν καρπῶν, διὰ χειρῶν καὶ αὐτὸς ὤν.

Ἀμήσαντες, θερίσαντες. Οὔατα ἀμήσαντες ἀντὶ τοῦ ἐκτεμόντες, ἀποκόψαντες.

Ἄμητα, λέγει Ἀριστοφάνης, εἶδος πλακοῦντος γαλακτώδους. ὡς τὸ, ἄμητα προσέπεμψεν ἡμῖν αὐτονί.

Ἀμητῆρες, οἱ θερισταὶ, ἀπὸ τοῦ ἀμᾶν.

* Ἄμητος. ἴδε ἐν τῷ ἀμάω, ἀμῶ.

Ἀμήτωρ, ὁ μὴ ἔχων, ἢ ἡ μὴ ἔχουσα μητέρα λέγεται. ὥσπερ ἡ Ἀθηνᾶ. ἢ κακομήτωρ, Σοφοκλῆς Ἠλέκτρα.

Ἀμηχανία, ἀπορία, λύπη. οὗ τὸ ἐναντίον πολυμηχανία.

Ἀμήχανον κάλλος, ὅπερ οὐ δυνατὸν, ὥστε μιμήσασθαι αὐτό τινα, οὐδὲ διὰ μιμήσεως ἀφικέσθαι τούτου. ἢ ἀμήχανον, τὸ ὑπὲρ λόγον καὶ ἀνεπιχείρητον, ἢ ἀδύνατον.

Ἀμήχανος δύο σημαίνει. τόν τε μὴ ἔχοντα μηχανὴν, ἀλλὰ ἄπορον καὶ οὐ βαθὺν ταῖς φρένας, καὶ τὸν δεινὸν καὶ δυσκατέργαστον, πρὸς ὃν οὐκ ἔστι μηχανήσασθαι. καὶ ἀμήχανος γυνὴ, ἡ ἐναντία τῇ πολυμηχάνῳ. τουτέστιν, ἀφελὴς καὶ ἁπλοϊκὴ, καὶ ἄδολος, καὶ ἀπανοῦργος. ἑτέρα οὖσα παρὰ τὴν Ὁμηρικὴν ἀμήχανον Ἥραν. καὶ ἀμήχανον γυναῖκα, λέγει Εὐριπίδης τὴν ἀήθη, καὶ ἐναντίαν τῇ πολυμηχάνῳ. καὶ ἀμήχανος ἐσσὶ γεραιὲ, ὅ ἐστιν ἀνίκητος, ἀνένδοτος, καθ' ὃ οὐκ ἔστι τι μηχανήσασθαι. καὶ ἀμήχανος, ὁ ὑπὲρ λόγον καὶ ἀνεπιχείρητος. ἢ ἀδύνατος. ὡς τὸ, Τοῖς δὲ Ῥωμαίοις, ἀμήχανος ἡ χαρὰ παρέστη πρὸς τὸ πάθος. καὶ ἀμήχανος, ὁ περιμανὴς καὶ ἀκατάσχετος, καὶ ἀήττητος. καὶ ὁ ἀπροσμάχητος, καὶ ἀμήχανοι ὄνειροι, πρὸς οὓς οὐκ ἔστι κρίσιν τινὰ ὡρισμένην τεχνήσασθαι, ἤτοι μηχανίσασθαι. ὅθεν καὶ ἀκριτόμυθος.

Ἀμηχάνητοι, ἀντὶ τοῦ πολλοί. οὕτω Ξενοφῶν. * γραπτ. ἀμήχανοι, ἀντὶ τοῦ πολλοί. οὕτω γὰρ Ξενοφῶν, Παιδ. ζ. ἀμήχανοι τὸ πλῆθος.

Ἀμηχανῶ, τὸ ἀπορῶ. καὶ οὐχ εὑρίσκω μηχανήν. καὶ ἀμηχανῶ τὸ ἀποτυγχάνω. Ἡρόδοτος ἐν τῇ πρώτῃ, Ἔνθα ἀμηχανήσεις χρήματος οὐδενός.

Ἀμηχανῶν, καὶ ἀμηχανόωντες, ἐνεργητικῶς λεχθὲν, τὸ μέντοι ῥῆμα παθητικῶς δεῖ ἐκφωνεῖσθαι εἴωθεν. ὡς δηλοῖ τὸ μηχανάασθαι, καὶ τὸ κακὰ μηχανόωνται. * γραπτέον ἴσως, μηχανόων, καὶ μηχανόωντες.

Ἀμίδα, τὴν οὐρητρίδα, τὸ οὐρηρὸν ἀγγεῖον, λέγουσι καὶ ἀμίδας, τὰ οὐροδόχα ἀγγεῖα, ἀπὸ τοῦ ἀμὶς ἀμίδος.

Ἀμία, φυλακία. καὶ ἀμία, ἰχθὺς, ὥς φησιν Ἀριστοτέλης. καρχαρόδουν καὶ τῶν συναγελαζομένων καὶ σαρκοφάγων. χολὴν δὲ ἔχει, ἰσομήκη τῷ ἐντέρῳ καὶ σπλῆνα. παρὰ τὸ ἅμα ἰέναι τοῖς πλέουσιν. ἔστι γὰρ συναγελαστικόν. * ἀμία ἀντὶ τοῦ φυλακία, ἀδόκιμον.

Ἀμιγὲς, καθαρὸν, ἄδολον.

Ἀμίερα, ἀμμώδη, ἔρημα. * ἀδόκιμον.

Ἄμιθα, ἔδεσμα ποιὸν, καὶ ἄρτυμα, ὡς Ἀνακρέων.

Ἀμίθιος, μύλων.

Ἀμιθρεῖν. καινολόγος τις ποιητὴς μετατεθεὶς τὸ ἀριθμεῖν, λέγει ἀμιθρεῖν.

Ἀμιθρῆσαι, μετρῆσαι, καὶ ἀριθμῆσαι, παρὰ Καλλιμάχῳ.

Ἀμικόνιστος, ὁ ἄρτος. Ταραντῖνοι.

Ἀμικτίσας, αἰτήσας, χωρισάμενος.

Ἄμικτος, ὁ μὴ μιγνύμενος.

Ἀμίλικτον, σκληρόν. * κάλλιον, ἀμείλικτον.

Ἅμιλλα, ὁ ἀγὼν, ἡ ἔρις, καὶ δρόμος ἀγωνιστικὸς, καὶ φιλονεικία.

Ἀμιλλᾶν, τὸ ἐρίζειν, καὶ εἰς τεῖχος γράφειν, ἢ ἄλλο τι ποιεῖν. * τὸ ἀμιλλᾶν οὐκ ἐν χρήσει.

Ἀμίλλακαι, οἷον Θηβαῖοι.

Ἀμιλλᾶται, ἐρίζει.

Ἀμιλλᾶσθαι, φιλονεικῆσαι, ἀγωνίζεσθαι.

* Ἀμίλλημα, ἀντὶ τὸ ἀμιλλᾶσθαι.

Ἀμιλλητήριον, τόπος ἐν ᾧ ἀμιλλῶνται. καὶ ἀμιλλητήριος ὁ περιττῶς ἐρίζων. * καὶ ἀμιλλητήρια, τὰ ἀγωνίσματα.

* Ἀμιλλητὴρ, ἐρίζων. Τροχοὺς ἀμιλλητῆρας ἡλίου, παρὰ Σοφοκλεῖ, τοὺς ἀλλήλους διαδεχομένους. συντάσσεται καὶ γενικῇ. οἷον, μῦθος ἀμιλλητὴρ σιωπῆς. τουτέστιν, ἀμιλλώμενος πρὸς τὴν σιωπήν.

Ἀμιλλητηρίους λόγους, τοὺς ἐν ἀγῶνι. * ἴσως ἀμιλλητηρίους.

Ἀμιλλότερα, ἐπιπλέον ἐρίζοντες.

Ἀμίλλυκα, δρέπανον. Ἠλεῖοι.

Ἀμιλλώμεθα, φιλονεικοῦμεν.

Ἀμιλλώμενος, ἐρίζων. ἢ ὀρίζων.

Ἀμιλλῶμαι, τῷ δεῖνι. ἐξαμιλλῶμαι δὲ, τὸν δεῖνα, ἀντὶ τοῦ ἀποδιώκω. Εὐριπίδης, τίνες πόλεις ἐξαμιλλῶνταί σε γῆς.

Ἀμὶν, ἀντὶ τοῦ ἡμῖν λέγουσιν οἱ Δωριεῖς, συστέλλοντες τὸ ι, καὶ ὀξύνουσιν. * γράφουσι δὲ καὶ ἀμῖν.

Ἀμιναῖον δι' ἑνὸς ν, τὸν οἶνον λέγουσιν. ἡ γὰρ Πικετία, Ἀμιναία λέγεται.

Ἀμίνασις, ἡδύοσμον. * τὸ ἥμερον ἡδύοσμον λέγεται ἄλλως μίνθη, τὸ δὲ ἄγριον, καλαμίνθη.

Ἀμίξαι, οὐρῆσαι. ἢ ἠχῆσαι, ἢ ὀμίξαι.

* Ἄμιον, σκύφος ἀργυροῦν.

Ἄμιπποι, δύο ἵπποι συνεζευγμένοι. Ἴσαιος δὲ Τεμενικῷ, οἱ σὺν ἵπποις στρατευόμενοι. ἔνιοι δέ φασιν, ὅτι ζεύγνυνταί τινες πρὸς ἀλλήλους ἵπποι κέλητες. ὁ δ' ἐλαύνων αὐτοὺς, τὸν ἕτερον μὲν παρέλκεται, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχεῖται. οὗτοι ἄμιπποι λέγονται. τουτέστι, τὸ παρ' Ὁμήρῳ. θρώσκων, ἄλλοτ' ἐπ' ἄλλον. πεζοὶ δ' εἰσὶν οἱ ἄμιπποι, ὡς δῆλόν ἐστιν ἐκ τῶν Θουκυδίδου καὶ Ξενοφῶντος, ἐκ τῆς τῶν Ἑλληνικῶν. καὶ μήποτε πρόδρομοί τινες εἰσὶν, οἱ ἅμα τοῖς ἱππεῦσι τεταγμένοι. Φιλόχορος οὖν ἐν τῇ ἑκκαιδεκάτῃ φησὶ, καὶ προδρόμους.

Ἀμὶς, τὸ οὐροδόχον ἀγγεῖον. παρὰ τὸ ὁμιχῶ τὸ οὐρῶ. ἢ παρὰ τὸ ἄμη ἀμὶς, ὡς σκάφη σκαφίς.

Ἀμίσαρος, ἀκόρεστος.

Ἀμισηνὸς, ἀπὸ τόπου.

Ἀμισθὶ, χωρὶς, μισθοῦ.

Ἀμίσυλλον πυρὸν, σημαίνει δὲ τὸ μὴ κα-

χομ-

Digitized by Google

κεκομμένον, ἀδιάκοπον. καὶ ἀμίστυλλον, τὸ μὴ κεκομμένον.

Ἀμίσγαλλος, ὁ δυσάρεστος, ὁ μὴ ἄλλῳ μισγόμενος. καὶ ἀμίσαλλος, οἷον, ἀμίσαλλοί ποι γέροντες, κατ᾽ ἔνδειαν τοῦ γ.

Ἀμίτρα, μικρά. Κρῆτες.

Ἀμιτροχίτωνας, τοὺς ἀζώστους ἔχοντας χιτῶνας. καὶ ἀμιτροχίτωνας λέγει Ὅμηρος, οὐχ ὡς ἀζώστους, ἀλλὰ τοὺς μὴ ὑποζωννυμένους μίτρας τοῖς χιτῶσιν, ὅ ἐστι τοῖς θώραξιν. ἀλλὰ ἅμα τῷ θώρακι συνηρτημένην ἔχοντας καὶ τὴν μίτραν, καὶ οὐ συμβλητὴν κατὰ τοὺς πολλούς. ὥστε τὸ α ἐνταῦθα, καὶ στέρησιν δύναται δηλοῦν, διὰ τὸ μὴ ὑποζώννυσθαι μίτρας, καὶ ἀντὶ τοῦ ἅμα λαμβάνεται, διὰ τὸ ὁμοῦ τῷ θώρακι συνηρτῆσθαι αὐτάς.

Ἀμιχθαλόεσσα, ἀπροσόρμιστος ἐκ θαλάσσης, καὶ δύσορμος. καὶ ἀμιχθαλόεσσα Λῆμνος, οἱονεὶ ἀμικτόεσσα. τροπῇ τῶν ψιλῶν εἰς δασεῖα, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ἐκ τοῦ ἄμικτος. ἀπρόσμικτος γὰρ ἦν ἡ Λῆμνος τοῖς πλέουσιν. ἐπεὶ Σίντιες οἱ Λήμνιοι καὶ πειρατικοί.

Ἀμμά, ὀξυτόνως ἡ τροφός. καὶ ἡ μήτηρ, κατὰ ὑποκόρισμα. καὶ ἡ Ῥέα. λέγεται * (δὲ καὶ) ἀμμάς, καὶ ἀμμία.

Ἄμμα, βαρυτόνως, ὁ δεσμός.

Ἀμμάθω, μεταμέλομαι.

Ἀμμαλής, ἀνοσία.

Ἀμμακρύ, τὸ ἀπαρχῆς.

Ἀμμαλαί, ἑορτὴ ἀγομένη Διΐ.

Ἀμμαμηθάδης, Ἡδυσμάτι σκευαστὸν διὰ κρεῶν εἰς μικρὰ κεκομμένων, διὰ ἀρτυμάτων.

Ἀμμάξαι, αἰωρεῖσθαι, καὶ κρεμᾶσθαι. ἢ ἀποπνῖξαι.

Ἀμμάς, ἡ τροφὸς Ἀρτέμιδος, καὶ ἡ μήτηρ. καὶ ἡ Ῥέα, καὶ Δημήτηρ.

Ἀμματίζει, περιπλέκει, δεσμεύει.

Ἄμμε, Αἰολικόν ἐστιν, ὡς δῆλον ἐκ τῆς βαρυτονήσεως, καὶ τῆς ψιλώσεως, καὶ τῆς τῶν ἀμεταβόλων διπλώσεως. καὶ ἄμμες ἀντὶ τοῦ ἡμεῖς, Αἰολικῶς. ἄμες δὲ, οἱ Δωριεῖς.

Ἄμμεναι, ἀπόστοργον πεζογραφοῦντι ῥήτορι. σκευωρεῖται δὲ οὕτως. ἄω τὸ κορέννυμαι, οὗ ἀπαρέμφατον ἄειν, καὶ Δωρικῶς ἄεν. ὥσπερ καὶ ἔδω, τὸ ἐσθίω, ἔδειν καὶ ἔδεν. οὕτω γίνεται ἐδέμεναι τετρασυλλάβως, καὶ ἐν συγκοπῇ ἔδμεναι κατὰ τρισυλλαβίαν, οὕτω καὶ ἀέμεναι, καὶ ἐν συγκοπῇ ἄμεναι, καὶ ἴσως διπλασιασμῷ Αἰολικῷ, ἄμμεναι.

Ἀμμελάγην, ἐγχώριον. * ἀδόκιμον.

Ἄμμες, ἡμᾶς, ἢ ἡμεῖς, ἢ ἡμῖν. * ὑμεῖς, ὑμῖν, καὶ ἡμᾶς Αἰολικῶς λέγουσιν, ἄμμες, ἄμμιν, καὶ ἄμμι, ἄμμας.

Ἀμμέσον, ἤγουν ἀναμέσον, συγκοπῇ τοῦ α. τὸ δὲ ν συνήθως ἔχει πρὸς τὸ ἔμπροσθεν σύμφωνον τὸ μ. οὕτω καὶ τὸ κατέβαλε, κάββαλε, καὶ τὸ κατέπεσε, κάππεσε, καὶ ἕτερα.

Ἀμμία, μήτηρ, τροφός.

Ἀμμιάξαι, ἀποπνῖξαι.

Ἄμμι δ᾽, ἡμῖν δέ.

Ἄμμιν λέγουσιν οἱ Αἰολεῖς, βαρύνοντες αὐτό, καὶ συστέλλοντες τὴν λήγουσαν. Ἀπολλώνιος, Ἄμμιγε μὴν νόος ἔνδον ἀτύζεται. Δωριεῖς δὲ ἀμίν, συστέλλοντες τὸ ι καὶ ὀξύνοντες. Θεόκριτος, Πολλαὶ δὲ ἀμὶν κατὰ κρατὸς δονέοντο. Ἴωνες δὲ πολλάκις καὶ Ἀθηναῖοι προπερισπῶσιν ἐν συστολῇ τοῦ ι. Ὅμηρος, ὦ φίλοι οὐ μὰν ἧμιν Ἀχιλλεὺς ἀπονέεσθαι. Σοφοκλῆς Οἰδίποδι, Ὅπως λύσιν τίν᾽ ἧμιν εὐαγῆ πόροις. Φρύνιχος Μύστῃ, Ἐβουλόμην ἂν ἧμιν ὥσπερ καὶ πρὸ τοῦ. Ἀττικὰ δὲ παραδείγματα ταῦτα τὰ δύο. οἱ δὲ αὐτοὶ παλαιοί φασι, καὶ ὅτι τὸ ἡμεῖς, ἄμες λέγουσιν οἱ Δωριεῖς, ἄμμες οἱ Αἰολεῖς. χρῆσις δὲ τοῦ ῥηθέντος ἧμιν ἐν Ὀδυσσείᾳ.

Ἄμμιγα, ἀναμεμιγμένως. * (λέγεται καὶ ἀμμίγδην) Εἵνεκεν ἀμαθίης πινυτόφρονος, ἣν ὁ μειλιχὸς, Ἤσκησε μουσῶν ἄμμιγα καὶ χαρίτων.

Ἀμμιρός, πεπληρωμένος.

Ἀμμισκόμιστον, συγκομιστῶν ἔργον.

Ἀμμοάτις, εἶδος ὄφεως.

Ἀμμοιρίαν, τὴν κακὴν μοῖραν, κακομοιρίαν.

Ἄμμορον, δύσμορον, κακόμορον. μόρος γὰρ ὁ θάνατος. καὶ ἀμμορίην, τὴν κακὴν μοῖραν. καὶ ἀμμόριον ἄτιμον, ἢ ἀθάνατον, ἀμέτοχον. ὡς τὸ, ἔμμορον. καὶ ἀμέτοχον, ὡς τὸ, οἴη δ᾽ ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο.

Ἄμμος, ψάμμος.

Ἀμμοῦς, ὁ Ζεύς, παρὰ Ἀριστοτέλει.

* Ἄμμων, ὁ Ζεύς. Ἀμμωνία, τὸ τῆς Λιβύης μέρος, ἔνθα ὁ τοῦ Ἄμμωνος ναός. τὸ ἐθνικὸν ἀμμώνιοι. καὶ ἀμμωνιακὸν ἅλας, τὸ ἐκεῖ γεννώμενον.

Ἀμμών, ἑορτὴ Ἀθήνῃσιν ἀγομένη. καὶ ὄφις, Κυρηναῖοι.

Ἀμμώνιον, ἐν τῷ περὶ βωμῶν καὶ θυσιῶν. ἔστι δὲ ἱερὸν Ἄμμωνος, ὃ Ἀμαζόνες ἱδρύσαντο. * κάλλ. ἀμμωνεῖον.

Ἄμμωνος, υἱός, ἀπόγονος. * γραπτέον, ἄμνημος.

Ἀμμαχεῖν, ἀργεῖν.

Ἀμνάδας, παρθένους. ἢ πρόβατα.

Ἄμναμοι, αἱ ἀπόγονοι, Κυρηναϊκῶς. κυρίως δὲ ἄμναμοι, οἱ τῶν ἀρνῶν ἀπόγονοι, ἢ παῖδες.

Ἀμνάμους, τοὺς ἐκγόνους.

Ἀμναμός, ὁ υἱοῦ υἱός.

Ἀμνεῖν, θερίζειν.

Ἀμνειὸς ὁ ποταμός, διὰ τῆς ει διφθόγγου. ἀμνὶς δὲ, ὁ ἀμνός, διὰ τοῦ ι. * παρὰ Σουΐδᾳ κάλλιον. Ἀμνειός, ὁ ποταμός, καὶ ὁ ἀμνός.

Ἀμνημονῶ, γενικῇ συντάσσεται. οἷον, ἀμνημονήσας τῶν παραινέσεων.

Ἀμνημονεῖ, ἐπιλανθάνεται.

Ἀμνημύοντες, ἀθυμοῦντες.

Ἀμνήνωσεν, ἀσθενῆ ἐποίησεν.

Ἀμνησία, ἡ εἰλείθυια.

Ἀμνησικακία, τὸ μὴ μιμνήσκεσθαι κακῶν.

Ἀμνηστεία, τὸ μὴ μιμνήσκεσθαι, καὶ ἡ ἀγαμία, διὰ διφθόγγου. ἀμνηστία δὲ ἡ λήθη, διὰ τοῦ ι. * ἀμνηστεία διὰ διφθόγγου δηλοῖ οὐ τὸ μὴ μιμνήσκεσθαι, ἀλλὰ τὴν ἀγαμίαν. διὰ δὲ τοῦ ι. δηλοῖ τὴν λήθην.

Ἀμνίον παροξυτόνως, τὸ τοῦ αἵματος δεκτικὸν ἀγγεῖον. ὅ ἐστι τοῦ ἀποσφάγματος, ἀμένιόν τι ὄν, τουτέστι μένους ἤγουν αἵματος στερητικόν. Κρῆτες δὲ, ἄμνιόν φασιν ἀγγεῖον, εἰς ὃ τὸ αἷμα τῶν ἱερείων ἐδέχοντο, αἵμνιόν τι ὄν, παρὰ τὸ αἷμα. * ἀμνίον παρ᾽ ἰατροῖς ὑμὴν, ὁ περιέχων τὸ ἔμβρυον.

Ἀμνισσός, Μίνωος ἐπίνειον. ὡς ὁ Γεωγράφος φησίν. ἕτεροι δὲ, Κνωσσοῦ. ἔστι δέ φασι καὶ ποταμὸς Κρήτης Ἀμνισσός. πάνυ δὲ ἐπιδεξίως ὁ μῦθος ἐπεδέξατο τὸν ἀμνισσὸν, τῇ εἰλειθυίᾳ εἰς διατριβήν. ἐπειδὴ τὸ βρέφος τηνικαῦτα εἰς φῶς ἐλεύθοι, ὅπερ εἰλειθυίας ἔργον ἐστὶν, ὁπηνίκα οὐ δύναται μένειν κατὰ γαστρός. αὐτὸ δὲ ὁ Ἀμνισσὸς, ὡς οἷά τις ἀμενισσὸς, τῷ ἤχῳ τῆς λέξεως παραινίττεται. εἰ δὲ καὶ ἀγαθὸς ὁ ἐκεῖ τόπος ὢν τοῖς λεχοῖς, καὶ διὰ τοῦτο τῇ εἰλειθυίᾳ ἀνέκειτο, οὐκ ἔστιν ἀπιχυριστικῶς εἰπεῖν.

Ἀμνόα, πρόβατον. οἱ δὲ, ἀμνός.

Ἀμνοὶ τοὺς τρόπους, ἀντὶ τοῦ πραεῖς, εὐήθεις, ἁπλοῖ, ὡς οἱ νέοι. ἢ μαλακοί. τὸ γὰρ ἄρρεν πρόβατον ὅταν ἔχῃ τὴν μέσην ἡλικίαν, ἀμνὸς καλεῖται. οἱ δὲ τὸν ἐνιαύσιον ἄρνα, ἀμνὸν καλοῦσιν.

Ἀμνοκόπος, ποιμήν.

Ἀμνοκῶν, προβατώδης, μωρός, εὐήθης. τοιαῦτα γὰρ τὰ πρόβατα. Ἀριστοφάνης Ἱππεῦσι, Καὶ σκοπεῖς γε τῶν πολιτῶν, ὅστις ἐστὶν ἀμνοκῶν, πλούσιος, καὶ μὴ πονηρὸς καὶ τρέμων τὰ πράγματα. πολλοὶ γὰρ διὰ δειλίαν, καὶ τρόπων ἐπιείκειαν, αἱροῦνται ζημιωθῆναι μᾶλλον, ἢ συγχωρῆσαι διὰ δίκης.

Ἀμνὸν, τὸν ἐνιαυσιαῖον ἄρνα λέγουσι. τρεῖς γὰρ αὐτοῦ ἡλικίαι, ἀμνός, ἀρνός, ἀρνειός. γίνεται δὲ παρὰ τὸ μένος, ἄμενος, καὶ ἀμνός. ἢ παρὰ τὸ μνοῦς, ὃ σημαίνει τὴν ἐκ γενετῆς αὐτοῦ μαλθακὴν τρίχα. ἐξ οὗ μνούδην, γίνεται ἀμνός. οἱονεὶ, ὁ ἐστερημένος τῶν νηπίων τριχῶν.

Ἀμογητί, χωρὶς βίας, ἢ κακοπαθείας.

Ἀμόγητοι, ἀμνοί, πρᾷοι, ἀκακοπάθητοι, χωρὶς μόχθου.

Ἀμόγῳ, ἀκοπιάστῳ.

Ἀμόθεν, ἀντὶ τοῦ ἀπό τινος μέρους, ὁπόθεν θέλεις. Τῶν ἁμόθεν γε θεὰ θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν. ἀμὸς παρὰ Δωριεῦσιν ἰσοδύναμοῖ τῷ τίς. ἀμόθεν δηλοῖ τὸ ποθὲν, καὶ ἀπό τινος ἑνός. σχηματίζεται δὲ οὕτως. ἀμὸς λέγεται ὁ εἷς, ἢ ὁ τίς, Ἰωνικῶς, εἴτε καὶ Δωρικῶς. ἐξ οὗ ἀμόθεν μὲν, τὸ ποθὲν, καὶ ἀπό τινος ἑνός. οὐδαμόθεν δὲ, τὸ οὐδέποθεν.

Ἀμοιβαί, χάριτες, καὶ τιμωρίαι. ἀνταποδόσεις, καὶ ἐκτίσεις χρεῶν.

Ἀμοιβαδίς, ἀντὶ τοῦ ἀμοιβαίως, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ. καὶ ἀμοιβαδὶς ἐδίκαζον, ἀντὶ τοῦ ἐναλλάξ. πρῶτον ἀνθιστάμενος οὗτος, εἶτα ἐκεῖνος, μεθ᾽ οὓς ἄλλος. ἢ ἀμοιβαδὶς, ἀντὶ τοῦ κατὰ λαχμόν τινα καὶ κλῆρον ἄλλοτε ἄλλος.

Ἀμοιβαδὸν, ἐναλλάξ, παρὰ μέρος, ἢ κατ᾽ ἐναλλαγήν. ἐφεξῆς.

Ἀμοιβαίας, ἀνταλλαττομένας.

Ἀμοιβάς, τιμωρίας, ἐκτίσεις.

Ἀμοιβή, ἀντικαταλλαγή, ἀνταπόδοσις.

Ἀμοιβοί, οἱ διαδεχόμενοι τοὺς προεστρατευκότας. ἢ ἀμοιβοί, οἱ ἀλληλεπάλληλοι. ἤτοι, οἱ ἐξ ἀμοιβῆς, ἢ καὶ ἐναλλάξεως παραγεγονότες συμμαχῆσαι τοῖς Τρωσίν.

Ἀμοιγέποι, ἐς τινα τόπον, ἢ καθ᾽ ἕνα τρόπον.

Ἀμοίη, ὃ τῇ πιέσει παραλλὰξ ἐκκλίνει εἰς τὴν αὔξησιν, παρὰ τῷ Ἱπποκράτει.

Ἄμοιος, ὁ κακός, Σικελοί.

Ἀμοίρημα, ἀτύχημα.

Ἀμοιρῆσαι, γενικῇ συντάσσεται, τὸ ἀποτυχεῖν. ἀμοιρῶ γὰρ, τὸ οὐ μετέχω. οἷον, ἀμοιρῶ τοῦδε. καὶ ἄμοιροι, οἱ ἀμέτοχοι, ἢ κακόμοιροι.

Ἀμοιρεῖ, ἐστέρηται.

Ἄμοιροι, ἄχωροι, ἄκληροι.

Ἄμοιρος, ἐκτός, ἄνευ.

Ἀμοίρων, ἀστόχων.

Ἀμολγάζει, μεσημβρίζει.

Ἀμολγοί, οἱ ἀμέλγοντες τὰ δημόσια. ἀμολγὸς δὲ σημαίνει τὸ μέλαν, ἀωρίαν, σκότος. ἢ φλογμός.

Ἀμολγὸν νυκτὸς λέγει Ὅμηρος, ὅτε οὐ μογοῦμεν, πλεονασμῷ τοῦ λ. ἢ καθ᾽ ὃν οὐ μολοῦμεν ἐν ἐπενθέσει τοῦ γ. ἢ τὸν τοῦ ἀμέλγειν καιρόν. διττὸς δ᾽ αὐτὸς, ἢ ἑῷος, ἢ ἑσπέριος. Ἄλλως.

Ἀμολγὰν νυκτὸς, τὸ πυκνόν. καὶ ἔστι λαβὴ σημασίας τοιαύτης καὶ παρ᾽ Ἡσιόδῳ, ἐν τῷ μάζα τ᾽ ἀμολγαίη. ὅπερ ἐστὶ ποιμενικὴ καὶ ἀκμαία, κατὰ τὸ Ἀθήναιον, ὃς εἰς μάζας ἀναγράφει καὶ τὴν μελιτοῦτταν, καὶ τὴν οἰνοῦτταν. ἔτι δὲ καὶ τὸ κρῖνον, ὅπερ ὁμωνυμίαν πλατεῖαν δηλῶν, λέγει καὶ ὅτι σχῆμά τι χορικῆς ὀρχήσεως ἐλέγετο κρῖνον. Ἀχαιοὶ δὲ κατὰ τοὺς γλωσσογράφους, ἀμολγὰν τὴν ἀκμήν φασιν, ὡς εἶναι νυκτὸς ἀμολογὸν τὴν ἀκμήν, ἤτοι τὸ μέσον, κατὰ τὸ θέρους ἦν ἀκμή. ὁ μέν τοι παρὰ Θεοκρίτῳ ἀμολγεύς, ποιμενικὸν ἀγγεῖόν ἐστιν, ἐν ᾧ ἀμέλγουσι. καὶ ἀμολγῷ νυκτὸς παρ᾽ Ὁμήρῳ ἐν δ τῆς Ὀδυσσείας. ἀσφαλέστερον νοῆσαι ἀμολγὸν νυκτὸς, οὐ τὸν ἀφ᾽ ἑσπέρας, ἀλλὰ μᾶλλον τὸν πρὸς τῇ ἡμέρᾳ, ὅτε καὶ εἰκὸς ἀληθεύειν τὸν ἐνταῦθα φανέντα ὄνειρον, ὅτι ἀληθεῖς οἱ τοιοῦτοι ὄνειροι.

Ἀμολγῷ, Ὅμηρος, Νυκτὸς ἀμολγῷ, τῆς ἑσπέρας, ἢ τῷ μεσονυκτίῳ, καθ᾽ ὃ οὐκ ἀμέλγουσιν. ἑσπέρας γὰρ καὶ ἡμέρας εἰώθασι τοῦτο ποιεῖν. ἢ ἐν καιρῷ, ἐν ᾧ συμβέβηκεν ἀμέλγεσθαι τὰ πρόβατα. ἢ παρὰ τὸ μολῶ, πλεονασμῷ τοῦ γ μολγῶ. καὶ μετὰ τοῦ στερη-

Digitized by Google

στερητικοῦ α, ἀμολγῶ, ἐν ᾗ οὐδεὶς μολίσκει. οὕτως Ὠρίων.

Ἀμόρα, σεμίδαλις ἑφθὴ, σὺν μέλιτι. * καὶ ἀμόρας, παρ' Ἀθηναίῳ, μελιτώματα. καὶ ἀμορίτης ἄρτος ὁ ἐκ σεμιδάλεως σὺν μέλιτι.

Ἀμορβάδας νύμφας λέγει Ἀπολλώνιος, τὰς ἀκολούθους.

Ἀμορβεύσασθαι, ὁδοιπορῆσαι, ὁρμῆσαι.

Ἀμορβεύων, ἀκολουθῶν, ἀπαλλαττόμενος.

Ἀμορβὴς, καὶ ἀμορβὲς, σημαίνει τὸ μεσονύκτιον. παρὰ τὴν ὄρφνην, καὶ ἐλλείψει τοῦ ν, καὶ τροπῇ τοῦ φ εἰς β. ὡς ἐν τῷ κῦφος κῦβος, φερενίκη βερενίκη. σημαίνει δὲ καὶ τὸν ἀκόλουθον, ὁ ἅμα τινὶ ὁρμῶν, τροπῇ τοῦ μ εἰς β. ἀμορβὸς, καὶ ἀμορβὴς, καὶ ἀμορβές. Μεθόδιος.

Ἀμορβὸς καὶ ἀμορμὸς, ὁ ἅμα τινὶ ὁρμῶν.

Ἀμοργέαι, ἀποψῆσαι, ἢ ὁμόρξαι.

Ἀμόργεια, χρώματος βυσσίνου εἶδος. ἀπὸ νήσου Ἀμοργοῦ. ὡς θήρεια, τὰ ἀπὸ Θήρας νήσου.

Ἀμοργὶς, καλάμη τὶς, ἐξ ἧς ἔνδυμα γίνεται. ἢ ὕφασμα, ἢ χιτών.

Ἀμοργίδα, ἐξεσβηκυῖαν τὸ γάλα.

Ἄμοργμα, σύλλεγμα, ἄρτυμα.

Ἀμόργη, τρυγία, ἐλαίου ἰλύς.

Ἀμόργινα, λεπτοῦφη ἐνδύματα.

Ἄμορος, ἀμέτοχος.

Ἀμοργίτας, πλακοῦντας.

Ἀμόρρωτον, ἀθάνατον.

Ἀμορφυγεῖν, οὐ δεόντως πράττειν.

Ἀμόρφωτον, ἀδιατύπωτον. Σοφοκλῆς Θυέστῃ τῷ ἐν Σικυῶνι.

Ἄμουσα, ἀτερπῆ, ἀηδῆ, ἀπαίδευτα.

Ἀμοῦσι, θερίζουσιν.

Ἄμουχα, καθαρεύουσα. Λάκωνες.

Ἀμόργινος χιτωνίσκος, παρὰ τὴν ἀμόργην, ὅ ἐστιν εἶδος χρώματος, ὅμοιον βύσσῳ. καθὰ καὶ θηραῖον, τὸ ἀπὸ Θήρας τῆς νήσου. σημαίνει δὲ καὶ τὴν πολυτελῆ ἐσθῆτα.

Ἀμοργία καὶ ἀμάργη καὶ ἀμοργὶς, ἡ λινοκαλάμη, ἡ τοῦ ἐλαίου ὑποστάθμη, ἡ τρυγία.

Ἀμόργιον, ὅμοιον βύσσῳ πολυτελὲς, λέγεται καὶ ἀμοργία θηλυκῶς.

Ἀμοργὶς, τοῦ καλάμου τῆς ἀνθήλης τὸ λεπτότατον μέρος. ὅθεν ἀμόργη.

Ἀμορμεύεσκε, συνοδοιπόρει. Σὺν δ' ἡμῖν ὁ Πελαργὸς ἀμορμεύεσκεν. ἀπὸ τοῦ ἀμορμεύειν, τὸ ὁρμᾶν, καὶ πορεύεσθαι. τὸ δὲ ἀμορμεύειν, ἀπὸ τοῦ ἅμα ὁρμᾶν.

Ἀμὸς, ὁ ἡμέτερος, ἀπὸ τοῦ ἁμέτερος Δωρικῇ διαλέκτῳ. ὡς ἀπὸ τοῦ σφέτερος σφὸς, οὕτω καὶ ἀπὸ τοῦ ἁμέτερος ἀμός.

Ἄμοτον, ἀκατάπαυστον, παρὰ τῷ Ἀπολλωνίῳ. καὶ ἄμοτον ἐν τῷ τ τῆς Ἰλιάδος, τὸ πλῆρες, καὶ ἀνενδεὲς, καὶ μεστόν. ὡς ἐκ μεταφορᾶς τῶν μοτουμένων τραυμάτων. ἀποτελευτᾷ δὲ ὁ νοῦς τῆς λέξεως, εἰς τὸ λίαν. καὶ ἄμοτον τανύοντο, τουτέστιν, ἀπόνως ἐκινοῦντο. ἄμοτον δὲ τὸ ἐντελὲς κυρίως, καὶ πληρέστατον, ἐκ μεταφορᾶς σωμάτων, ἢ τραυμάτων, τῶν μὴ δεομένων μοτοῦ. Ἄλλως.

Ἄμοτον. ὡς τὸ, Ἄμοτον μεμαῶτε μάχεσθαι. παρὰ τὸ μένω γίνεται μοτὸς, καὶ ἄμοτος. καὶ ἄμοτον, ἀνυπομόνητον, ἵνα ᾖ τὸ α ἐπιτατικόν. ἢ μοτὰ λέγει τὰ ῥάκη, τὰ πληρωτικὰ τῶν πληγῶν. καὶ ἄμοτον κατ' ἀπόφασιν, τὸ μὴ πεπληρωμένον. ἀπὸ μεταφορᾶς τῶν μὴ πεπληρωμένων τραυμάτων, τουτέστι μοτῶν. οὕτω μὲν Ὠρίων. ἐγὼ δὲ εὗρον ἐν ὑπομνήμασιν Ἰλιάδος, ὅτι ἄμοτον λέγεται τὸ ἀπλήρωτον, ἔνθα καὶ μοτά. ἴσως ἀπὸ τοῦ μεστῶ, ἄμεστον, καὶ ἄμοτον. ἢ ἄτρωτον, ἄρρηκτον, ἰσχυρὸν, ἄπληστον.

Ἀμουργοὶ, λαμπτῆρες.

* Ἀμοχθεὶ, χωρὶς κόπου. γράφεται, καὶ ἀμοχθί.

Ἄμοχθος. παρὰ τὸ μόχθος, ἄμοχθος. σημαίνει δὲ τὸν μὴ κακοπαθοῦντα.

Ἀμόαλον, ἀγγεῖον ἑλικοειδές. * ἀδόκιμον.

Ἀμόωνφος, ἄπιστος. * ἀδόκιμον.

Ἀμπαιωνίσαι, ἀνιερῶσαι. * κατὰ συγκοπὴν, ἀντὶ τοῦ ἀναπαιωνίσαι.

Ἀμπαιδες, οἱ τῶν παίδων ἐπιμελούμενοι, παρὰ Λάκωσιν.

Ἀμπαλίνωρον, τὸ ἀνακάμψαι πάλιν τὴν αὐτὴν ὁδόν.

Ἀμπαλίνωρος, ὁ τὴν αὐτὴν ὁδὸν ἀναστρέφων. Οἴκαδ' ὦ κόρη ἄπιθι, ἀμπαλίνωρος. * τινὲς γράφουσιν ἀμπαλίνορας, καὶ ἀμπαλίνορσος.

Ἀμπάξαι, παῦσαι. Λάκωνες.

Ἀμπαυστὸν, ἀναπαυστόν.

Ἀμπαυλὶς, ἡ τὰ πράγματα φέρουσα. * ἴσως, ἄμπαυλις ἀντὶ τοῦ ἀνάπαυλις, ἡ ἀνάπαυσις.

Ἄμπαυμα, ἀνάπαυμα, καὶ κατὰ συγκοπὴν ἄμπαυμα. καὶ ἀμπνυώθη, * (ὃ δηλοῖ τὸ ἀνέπνευσεν) ἀπὸ τοῦ ἀναπνύω, ἀναπέπνυκα, ἀναπέπνυμαι, ἀνεπνύθη, * (καὶ συγκοπῇ) καὶ πλεονασμῷ τοῦ ν, ἀμπνυώθη, ὡς τὸ ἀρτυώθη.

Ἀμπαύσας, ἀναπαύσας. Ὁ δὲ ἀμπαύσας αὐτοὺς, ὅσον τὴν πρώτην φυλακὴν τῆς νυκτὸς ἀπελθεῖν.

Ἀμπάζονται, ἀναπαύονται.

Ἀμπαδίην, φανερῶς. * κάλλ. ἀμφαδίην.

Ἀμπεδίον, κατὰ τὸ πεδίον.

Ἀμπελίαν, ἀμπελίδα. φυτόν τι οὕτω κατὰ στελέχη τῆς ἀμπέλου.

Ἀμπελόεσσαν, ἀμπέλους ἔχουσαν. καὶ ἀμπελόεσσαν Φρυγίην καλεῖ Ὅμηρος, τοιαύτην ὡς εἰκὸς οὖσαν, ἤγουν τὴν κατὰ ἀμπέλους εὐφοροῦσαν. Φρυγίαν δὲ νῦν ἐν γ τῆς Ἰλιάδος κατὰ τοὺς παλαιοὺς νοητέον τὴν μεγάλην, τὴν παρὰ τῷ ποταμῷ Σαγγαρίῳ, οὐ τὴν μικράν. περὶ ἣν καὶ ἡ Τροία ἐστίν.

Ἀμπελὼν, * (ἡ οἰνόφυτος, ἢ ἀμπελόφυτος γῆ) ὁ καρπὸς, βότρυς, σταφυλή. γίγαρτα, οἱ ἐν ταῖς ῥαξὶ κόκκοι. οἴναρον, τὸ φύλλον τῶν κλημάτων. τρύγη, σταφυλῶν, καὶ ἀσταφίδες, αἱ σταπίδες. οἶνος δὲ ὁ μὲν νέος, λέγεται γλεῦκος. ὁ δὲ καλὸς ἤδη καὶ παλαιὸς, ἀνθοσμίας. ὁ δὲ νοσήσας, ἐκτροπίας καλεῖται, καὶ ὀξίνης.

Ἀμπελεὼν, ἡ ἀμπελόφυτος γῆ. Λιπὼς δ' ὁ χεδὸν ἀμπελεών.

Ἄμπελος, παρὰ τὸ ἀνάπηλός τις οὖσα. ἡ μὴ ἔχουσα ἐν ἑαυτῇ τὸν πηλὸν, ἤγουν τὸν οἶνον. ἢ παρὰ τὸ πάλλειν καὶ σείειν ἡμᾶς πίνοντας αὐτόν.

Ἀμπέλειος βότρυς, ὁ τῆς ἀμπέλου. Ἀμπέλιος δὲ κύριον, διὰ τοῦ ι. * λέγεται καὶ ἀμπέλινος. οἷον ἀμπέλινος οἶνος, ἀμπέλινος καρπός.

* Ἀμπέλιον, ὑποκοριστικῶς ἡ μικρὰ ἄμπελος.

Ἀμπελόπρασον, πόα τίς. ἔστι δὲ καὶ βοτάνη.

Ἄμπελος, ἡ μηχανὴ, καὶ ἄκρα μυκάλης, ἤγουν ὄρους. Κυρηναῖοι δὲ, αἰγιαλὸς, καὶ πόλις Θράκης, καὶ ἡ ἄμπελος.

* Ἀμπελουργῶ, κλαδεύω. ἀμπελουργία, ἡ κλάδευσις. ἀμπελουργικὴ ἡ τέχνη. ἀμπελουργὸς, ὁ κλαδευτήρ.

Ἄμπεον, τὸ σχοινίον τὸ ἕλκον τοὺς βόας. * γραπτ. ἄμπρον. οὕτω γὰρ παρὰ Σουίδᾳ, Εὐσταθίῳ, καὶ Ἡσυχίῳ, καὶ παρὰ Βαρίνῳ κατωτέρω. παρὰ τῷ Ἐτυμολόγῳ ὀξύνεται, ἀμπρόν.

Ἀμπερέως, διαμπάξ.

Ἀμπεπαλὼν, διασείσας, κινήσας, κραδάνας. Ἦ ῥα καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος. ἀντὶ τοῦ ἀνασείσας, ἀνατείνας, διπλασιασμὸς μετοχῆς δευτέρου ἀορίστου. τὸ ῥῆμα ἀναπάλλω. οἱ γὰρ Ἴωνες ἐν τοῖς ῥήμασι καὶ ταῖς μετοχαῖς, εἰώθασιν ἀναδιπλασιάζειν. οἷον, λάχωσι, λελάχωσι, λάθῃ, λελάθῃ.

Ἀμπέσαι, ἀμφιέσαι. Λάκωνες.

Ἀμπέτασον, ἀνακάλυψον.

Ἀμπέχειν, ὅμοιον τὸ περιέχειν, ἤτοι ἐνδύειν, καὶ ὡς εἰπεῖν, ἀμφιέχειν. τροπῇ τοῦ φ εἰς τὸ ἀντίστοιχον π, κατὰ Ἴωνας. ὅθεν καὶ τὸ ἀμπίσχειν, καὶ ἡ ἀμπεχόνη, καὶ τὸ ἀμπέχονον. ὅτι δὲ τοῦ ἀμπέχω, καὶ μέλλων ἐστὶν ἀμπέξω, ἀντὶ τοῦ ἐνδύσομαι, ὁ Ἀθήναιος δηλοῖ.

Ἀμπεχὲς, ἔνδυμα, ἀπὸ τοῦ ἀμπέχειν.

Ἀμπέχονον, σύμμετρον περίβλημα.

Ἀμπεῖχε, περιεκέχυτο, κατεῖχεν.

Ἀμπεχόνη, καὶ ἀμπεχόνιον, λεπτὸν ἱμάτιον, πάλλιον.

Ἀμπεχόμενος, περιβαλλόμενος. καὶ ἀμπέχῃ, ἀντὶ τοῦ περιβέβλησαι.

Ἀμπέμψει, ἀποπέμψει.

Ἀμπείρας, διχάσας.

Ἄμπειρος, ἔμπειρος.

Ἀμπείραντες, διαπείραντες. πείρω γὰρ, τὸ σουβλίζω καὶ κεντῶ.

Ἀμπηλίδιον, πήλιον. * ἀδόκιμον.

Ἄμπηρον, πεπηρωμένον.

Ἀμπίουρον, πυλῶνα. Ταραντῖνοι.

Ἀμπιστάτωρ, ἐξεταστής.

Ἀμπιστᾶσθαι, ἐξετάζειν.

Ἀμπισχεῖν, περιβαλεῖν.

Ἀμπισχούμενον, περιβαλλόμενον.

Ἀμπλακεῖν, ἁμαρτεῖν.

Ἀμπλάκημα, ἁμάρτημα. ἐκ τοῦ πλέκω πλακῶ, πλάκημα, καὶ ἀμπλάκημα. ἢ παρὰ τὸ ἀναπλέκεσθαι ἡμᾶς.

Ἀμπλακήμασιν, ἁμαρτήμασιν.

* Ἀμπλάκητος, ἀναμάρτητος, παρὰ Σοφοκλεῖ.

* Ἀμπλακία, ἁμαρτία.

Ἀμπλακὼν, ἀποτυχὼν, ἁμαρτών.

Ἄμπνευσις, ἀνάψυξις.

Ἀμπνοὰς, ἀντὶ τοῦ ἀναπνοάς.

Ἀμπνυώθη, πρωτότυπον ἔχει τὸ πνύω. ἐξ οὗ καὶ ὁ πεπνυμένος. αὐτοῦ δὲ προϋπάρχει τὸ πνέω. ἵνα ᾖ, ὡς τὸ θῶ θύω, ῥῶ ῥύω, οὕτω πνῶ πνύω. ἐξ οὗ κατὰ πλεονασμὸν, καὶ τὸ πινύω. ὅθεν καὶ πινυτὸς, ὁ συνετός. ἐκ δὲ τοῦ πινύω κινεῖται τὸ πινύσσω, ὅ ἐστι συνετίζω, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀπινύσσειν, τὸ ἀσυνετεῖν, ἤτοι ἀφραίνειν. καὶ ἀμπνυώθη, ἀπὸ τοῦ ἀναπνύω, ἀναπνύσω, ἀναπέπνυκα, ἀναπέπνυμαι, ἀνεπνύθην, καὶ πλεονασμῷ τοῦ μ καὶ συγκοπῇ, ἀμπνυώθη, ὡς τὸ ἀρτυώθη.

Ἄμπνυτο, ἀνεσωφρονίσθη, ἢ ἐς φρένα ὁ θυμὸς ἀγέρθη. ὃ δὴ θυμηγερέειν ἀλλαχοῦ πέφρασται.

Ἀμποίχοιτις, ἐν Συρακούσαις ἀρχή.

Ἀμπόνων. Ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν, σημαίνει τὸ ἐπὶ τὸν πόλεμον.

Ἀμπρακὸν, μακρόθεν.

Ἀμπρεύσουσιν, ἐμπορεύσουσιν, κακοπαθήσουσιν.

Ἄμπρον, τὸ σχοινίον τὸ ἕλκον τοὺς βόας, ἢ τὸ ξύλον τὸ ὑποκείμενον τοῖς αὐχέσι τῶν ὑποζυγίων. ἢ ἄμπρον, σχοινίον, ὅπερ διὰ τῶν ζυγῶν διατείνουσι. ἢ σχοινίον μεθ' οὗ εἰώθασιν ἕλκειν, ἤτοι παρακομίζειν μεγάλα φορτία.

Ἀμπρεύων, ὁ μὲν Καλλίμαχος κυρίως ἐπὶ τοῦ ἕλκειν ἔλαβε τὴν λέξιν. ἄμπρον γὰρ τὸ σχοινίον. ὁ δὲ Λυκόφρων, ἐπὶ τοῦ κακοπαθεῖν. ἄλλοι δέ φασιν, ὅτι ἀμπρεύειν ἐστὶ κυρίως, τὸ μετὰ ἁμάξης πορεύεσθαι. * εἰπὼν ὁ Λυκόφρων, ἄχλαινον ἀμπρεύσουσιν ἤλιτοι βίον, δῆλον ὅτι ἐπὶ τοῦ ἕλκειν ἔλαβε. δηλοῖ γὰρ, γυμνὸν ἑλκύσουσιν ἄφρονες βίον.

Ἀμπυκάζειν, τὸ τὰς ἔμπροσθεν ἀπὸ προσώπου τρίχας συράττειν. εἴρηται οὕτω καὶ ὁ τροχός. καὶ δεσμοὶ δὲ, ἄμπυκες. * οὕτω παρὰ τῷ Ἐτυμολόγῳ. τὸ δὲ ἀμπυκάζειν σημαίνει τὸ ἀμπέχειν τὰς τρίχας, ἀναδεῖν. ὡς καὶ κατωτέρω Βαρῖνος, ἐκ τῶν τοῦ Εὐσταθίου.

Ἄμπυκες, κεκρύφαλος κόσμος γυναικῶν. ἢ ἄμπυκες, τὰ διαδήματα, ἢ χαλινοὶ, ἢ τροχοί. οὕτω Σοφοκλῆς ἐν Φιλοκτήτῃ, διὰ τὸ κυκλοτερές.

Ἀμπυκτήρια, τὰ φάλαρα, Σοφοκλῆς Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ. * τὰ ἀμπυκτήρια οὐ δηλοῖ τὰ φάλαρα, οὐδὲ γὰρ οὐσιαστικόν ἐστιν, ἀλλ' ἐπίθετον. φησὶ γάρ. πᾶσα δ' ὁρμᾶται κατ' ἀμπυκτήρια φάλαρα πώλων ἄμβασις.

δῆλον

Digitized by Google

δῆλον οὖν ὅτι τὸ ἀμπυκτήριον φάλαρα κεῖται ἀντὶ τοῦ ἄμπυκας, ἢ ἀμπυκτῆρας.

Ἄμπυξ ἀρσενικῶς κατὰ τοὺς παλαιοὺς, διάδημά τι πρὸς ἀνάδεσιν τριχῶν, ἃς περιστέλλοντες οἱ παλαιοὶ ὑπὸ τοῦτον ἦγον. ἡ δὲ τοιαύτη φράσις οἱονεί τινα κέφαλον ἰδιωτικῶς εἰπεῖν, διαγράφει τὴν ἄμπυκα. καὶ νῦν δέ φασιν ἀμπυκίζειν, τὸ τὰς ἐμπροσθίας τρίχας ἀναδεῖν. ἐντεῦθεν καὶ χρυσάμπυκες ἵπποι, διὰ τὸ δεῖσθαι στροφίῳ τὰς κορυφὰς τῶν τριχῶν. ἐν δὲ ῥητορικοῖς λεξικοῖς, εὑρέθη καὶ ταῦτα. ἀμπυκάσαι, ἀναδῆσαι, χαλινῶσαι. καὶ ἄμπυξ, χαλινὸς, συγκάθαμμα, ἐπίκρανον, καλύπτρα, διάδημα, στεφάνη. καὶ ὅτι ἄμπυκες, διαδήματα, κατὰ μεταφοράν. καὶ ὅτι ἀμπυκῖται διαδήματα, ἴσως διὰ τὸ ἀμπέχειν τὰς τρίχας, ὥς φησι Παυσανίας, ὃ καὶ ἀμπυκίζειν ἔλεγον. ἐκ μεταφορᾶς δέ φασι καὶ ὁ τροχὸς, διὰ τὸ κυκλοτερὴς εἶναι. δῆλον δὲ καὶ ἡ κοινὴ γλῶσσα, παραμπύκια ἐπὶ τριχῶν λέγειν εἴωθεν. εὕρηται δὲ καὶ παρὰ τοῖς ἀρχαίοις, ὅτι παραμπυκίζεται, καὶ τὸ παραπλέκεται τὰς τρίχας σημαίνει. κεκρύφαλος δέ φασι, κόσμος τις περὶ τὴν κεφαλὴν καὶ αὐτὸς λεγόμενος κεκρύφαντος. ἀναδέσμη δὲ, σειρὰ, ἣν κύκλῳ περὶ τοὺς κροτάφους ἀναδοῦσιν. ἢ ἄμπυξ ἐστὶ, κεφαλοδέσμιον γυναικεῖον. ὡς καὶ Ὅμηρος, Ἄμπυκα, κεκρύφαλόν τε, ἠδὲ πλεκτὴν ἀναδέσμην. καὶ ἄμπυξ ἐκαλεῖτο, σειρὰ κατάχρυσος, τὰς περὶ τὸ μέτωπον τῶν ἵππων τρίχας συνδέουσα. ἐξ ἧς καὶ οἱ τοῦ Ἄρεως ἵπποι, χρυσάμπυκες λέγονται.

Ἄμπωτις, ξηρασία, καὶ ἀνάπωσις· ὅταν ἀναδίδωσι τὸ ὕδωρ, καὶ πάλιν ἐπανέρχεται. τοῦτο δὲ γίνεται κατὰ Βρεττανίαν, καὶ τὴν περὶ τὰ Γάδειρα ἑσπερινὴν θάλασσαν, καὶ εἰς τὸν Εὔριπον. ἐκ τοῦ πῶμι πώσω, πῶσις καὶ ἀνάπωσις, καὶ ἄμπωσις κατὰ συγκοπὴν, καὶ ἐν τῇ ἄμπωτις. ἢ ἄμπωτις, αἱ περὶ τὸν Ὠκεανὸν ἀποφυγαὶ, καὶ διαστάσεις.

Ἀμυγδαλὴ, παρὰ τὸ ἐν τῇ καλύφῃ, τὸ μετὰ τὸ ἔξω χλωρὸν, πολλὰς ἀμυχὰς ἔχειν. Ὠρος. καὶ ἀμυγδαλῆ, τὸ δένδρον. ἀμυγδάλη δὲ, ὁ καρπός. * τὸ δένδρον λέγεται ἀμυγδαλέα, καὶ ἀμυγδαλέη Ἰωνικῶς, καὶ ἀμυγδαλῆ, καὶ ἡ ἀμύγδαλος. ὁ καρπὸς ἀμυγδάλη, ἀμυγδαλὴ, καὶ ἀμύγδαλον, καὶ ἀμυγδαλίς.

* Ἀμυγδαλώδης, καὶ ἀμυγδαλοειδὴς, ἀμυγδάλης εἶδος ἔχων, ἢ ἔχουσα. καὶ ἀμυγδαλίτης ὁ ἀμυγδάλῃ προσφερής. ἀμυγδάλινος, ὁ ἐξ ἀμυγδάλων πεποιημένος. οἷον, ἀμυγδάλινον ἔλαιον.

* Ἀμυγδαλοκατάκτης, παρ᾽ Ἀθηναίῳ, λέγεται τὸ ξύλινον ἐργαλεῖον, ᾧ διαθρύπτουσι τὰς ἀμυγδάλας. καὶ ὁ θρύπτων δι᾽ αὐτῆς οὕτω καλεῖται.

Ἀμύγμασι, σχίσμασιν.

Ἀμυγνὸν, τὸ μὴ μυσαρὸν, ἀλλ᾽ ἁγνὸν, καὶ καθαρόν. οὕτω Σοφοκλῆς.

Ἄμυγος, ἀγαθὸς, ἀμώμητος, ἄμεμπτος, καὶ ἀμύμων.

Ἀμυδάνω, κρύψαι.

Ἄμυδις, Αἰολικόν ἐστι. διὰ τοῦτο καὶ ψιλοῦται, καὶ δηλοῖ τὸ ὁμοῦ, καὶ καθ᾽ ὁμοιότητα τοῦ ἄλυδις ἐσχημάτισται.

Ἀμυδρὰ, τὰ ἀσθενέστερα.

Ἀμυδρὸς, παρὰ τὸ μύδρος, ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον.

Ἀμυδρὸς, ὁ ἀλαμπής.

Ἀμυδρῶς, σκοτεινῶς, λεπτῶς, ἀσαφῶς.

Ἄμυδροι τόποι, οἱ κάθυγροι, καὶ ἄγαν ῥέοντες παρὰ τὸ μυρεῖν, ὅ ἐστι ῥεῖν.

Ἀμυδρότερα, ἀμαυρότερα.

Ἀμύειν, τὸ σπεύδειν, παρ᾽ Ἀττικοῖς, καὶ δασύνεται.

Ἀμύητος, βέβηλος, ἀμαθὴς, ἀδίδακτος, μὴ μετασχὼν μυστηρίων.

Ἀμύθητον, ἄλεκτον, ἀνεκδιήγητον.

Ἀμυκάλαι, τῶν τοξικῶν βελῶν αἱ ἀκίδες. παρὰ τὸ ἀμύσσειν. * παρ᾽ Ἡσυχίῳ ὀξύνεται.

Ἀμυκλαΐδες, εἶδος ὑποδήματος πολυτελοῦς, Λακωνικοῦ.

Ἀμύκλαι, κόσμιόν τι, ὅπερ ἐν ποσὶν εἶχεν Ἐμπεδοκλῆς. εἶχε γὰρ χρυσοῦν στέμμα ἐπὶ τῆς κεφαλῆς, καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς. καὶ Ἀμύκλαι, μία φασὶ τῶν ἑκατὸν τῆς Λακωνικῆς πόλεων, Ἀπόλλωνος ἱερά· ἣν Ἀμύκλας ὁ Λακεδαίμονος υἱὸς ἔκτισεν. ὃς καὶ περιττοσυλλάβως κλίνεται, Ἀμύκλαντος· καὶ ἰσοσυλλάβως δὲ, Ἀμύκλα. ὁ πολίτης ταύτης, Ἀμυκλαιεὺς, ἔστι δὲ καὶ Ἀμυκλαῖος· ἐξ οὗ καὶ Ἀμυκλαΐς. ἔστι δὲ καὶ Ἀμύκλαιον, πόλις ἐν Κρήτῃ, καὶ ὅρμος. αἱ δὲ ἀμυκλαΐδες, εἶδος ὑποδήματος ἐν Ἀμύκλαις.

Ἀμυκλὺς, γλυκὺς, ἡδύς.

Ἄμυλα, μῆτρα.

Ἀμυλίδωτον, χύτρος εἶδος.

Ἄμυλος, βρῶμα τὸ μὴ πεπτωκὸς ὑπὸ μύλων, ἀρσενικῶς, καὶ ψιλοῦται.

Ἄμυλον, στερρὸν, ἄκλαστον.

Ἄμυλοι, πλακοῦντές τινες. οἱ δὲ, ζωμοὶ πλακουντώδεις· ὃν νῦν ἀμύλατον φασιν.

Ἀμύμων, ἄψογος, ἀμώμητος, ἀγαθός. παρὰ τὸ μύω, τὸ καμμύω. ὁ μέλλων, μύσω. ἐξ οὗ ῥηματικὸν ὄνομα, μύμων, καὶ ἀμύμων, ὁ μὴ κεκαμμυμένος. Φασὶν οἱ παλαιοὶ, ὅτι τὸ τοιοῦτον ἐπίθετον, θνητοῖς ὁ Ποιητὴς ἐπιλέγει. διὸ καὶ τὸν ταρήορον Πήγασον τὸν τοῦ Ἀχιλλέως ἵππον, ὡς θνητὸν, ἀμύμονα λέγει, διαστέλλων αὐτὸν τῶν ζυγιτῶν, οὓς ὁ μῦθος ἀθανάτους ληρεῖ. καὶ ἀμύμων, προσώποις μόνοις Ἡρωϊκοῖς ἐπιτίθεται, ἤγουν θνητῶν ἐνδόξων ἀνθρώπων. Ὅρα δὲ, ὅτι εἰπὼν Αἴγισθος ἀμύμων, οὐ μέγα τοῦτο, κἂν ἕτεροι φαῦλοι μὲν ἄλλως, ἄμωμοι δὲ κατ᾽ ἀνδρείαν, ἢ γένος, ἤ τι τοιοῦτον.

Ἀμυμώνη, ἡ θυγάτηρ Δαναοῦ, ἀπὸ τῆς ἀμύμονος γενικῆς. πολλὰ γὰρ τῶν θηλυκῶν ὀνομάτων εἰς η λήγοντα, γίνεται ἀπὸ τῶν εἰς ος γενικῶν τῶν ἀρσενικῶν ὀνομάτων. οἷον, πέρατος περάτη, κάλυκος καλύκη, ἅρπαγος ἁρπάγη. βαρύνεται ἐπὶ τοῦ ἐργαλείου. σώφρονος Σωφρόνη, χίονος Χιόνη, ὄνομα ἡρωΐδος. οὕτω καὶ ἀμύμονος Ἀμυμόνη, καὶ κατ᾽ ἔκτασιν Ἀμυμώνη.

Ἄμυνα, καὶ ἐπὶ ἀμοιβῆς, καὶ ἐπὶ εἰσπράξεως δίκης.

Ἀμυνάθειν, ἀμύνειν, βοηθεῖν.

Ἀμῦναι, ἐκδικῆσαι, βοηθῆσαι, ἀπαλεξῆσαι, τιμωρῆσαι.

Ἄμυναν μὴ εἴπῃς, ἀλλ᾽ εἰς ῥῆμα μεταβάλλων, ἀμύνασθαι. πάντα γὰρ τὰ ῥήματα δόκιμα, ἀμυνοῦμαι, ἀμύνασθαι, ἠμυνάμην, ἀμυνοῦμεν.

Ἀμύνανδρος, ὁ δυνάμενος ἄνδρας ἀμύνεσθαι.

Ἀμυνεῖ, ἀνταποδώσει.

Ἀμύνειν, ἐνεργητικῶς μὲν δηλοῖ τὸ ἀποσοβεῖν τοὺς πολεμίους, ἤτοι βοηθεῖν τοῖς πολεμουμένοις, συντασσόμενον αἰτιατικῇ, ὡς τὸ ἀπὸ λοιγὸν ἀμῦναι. καὶ τὸ, Πολλὴν ἤμυνε τῷ σώματι κίνδυνον. παθητικῶς δὲ ἀμύνομαι, τὸ παθὼν ἔκ τινος δεινὰ, ἀνταποδίδωμι τὰ ἴσα, ἤτοι τιμωροῦμαι. καὶ ἀμύνειν νηυσὶ πῦρ κατὰ τὸ πλῆρες πέφρασται· καθὰ καὶ τὸ, ἀλεξήσας κακὸν ἦμαρ. ἄλλως δὲ τὸ ἀμῦναι μόνον τὸ ἀλέξασθαι, ἐλλιπές ἐστι. καὶ ἀμύνειν, τὸ βοηθεῖν. οἷον ἀμύνω σοι, βοηθῶ σοι. ἀμύνομαί σε, ἀντὶ τοῦ τιμωροῦμαι, καὶ κολάζω σε. καὶ ἀμύναι, τὸ ἀποσοβῆσαι.

* Ἀμύνω, τὸ βοηθῶ, δοτικῇ. Ἰσοκρ. οἱ δὲ πάντων τῶν ἄλλων ἀμελήσαντες, ἧκον ὑμῖν ἀμυνοῦντες. ἀμύνω δὲ τὸ ἀποσοβῶ, αἰτιατικῇ, καὶ δοτικῇ. Ὀδυσσ. θ. αἰεὶ καὶ τεκέεσσιν ἀμύνων νηλεὲς ἦμαρ. δηλοῖ καὶ τὸ ἐκδικεῖν μετὰ προθέσεως· οἷον ἀμύνω περὶ σοῦ· ὃ καὶ ἀμύνομαι περὶ σοῦ λέγεται.

Ἀμύνεσθαι, τὸ κολάζειν τοὺς προαδικήσαντας. Θουκυδίδης δὲ ἀντὶ τοῦ ἀμείβεσθαι. Σιμωνίδης, ἀντὶ τοῦ χάριτας ἀποδοῦναι. Σοφοκλῆς, ἀντὶ τοῦ ἀπαλεξῆσαι. ἐπὶ τῶν προηδικηκότων, ὡς εἴρηται, τάσσουσιν οἱ ῥήτορες τὸ ἀμύνεσθαι, ὅτε οἱ κακόν τι παθόντες, ἀντιπράσσουσι τοὺς προδιατιθέντας.

Ἀμυνίας, ὁ ἀμυντικὸς, παρὰ τὸ ἀμύνειν.

Ἀμυνόμενοι, τοὺς κακόν τι πράξαντας ἀντιδιατιθέντες. οἱ δὲ ῥωμαῖοι ἔθος εἶχον, μὴ ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ᾽ ἀεὶ δοκεῖν ἀμυνόμενοι.

Ἀμύνου, ἀνταπόδιδου.

Ἀμύντωρ, βοηθὸς, ἐπίκουρος, ἢ καὶ ὁ τιμωρητικὸς, ἐκ τοῦ ἀμύνω. ἐξ οὗ καὶ κύριον, ὁ Ἀμύντας, καὶ ὁ Ἀμυνίας. Ἰστέον δὲ, ὅτι θεόθεν ἐπικουρίας, καὶ τιμῆς δηλωτικόν ἐστιν.

Ἀμυντήριον, ξίφος, ἢ βάκτρον, ἢ ῥάβδος, ἢ ἀξίνη, ἢ ἄλλο τι τῶν πληττόντων.

Ἀμύνων νηλεὲς ἦμαρ, ῥηθὲν ἀντὶ τοῦ ἀποσοβῶν τὴν κακὴν ἡμέραν.

Ἄμυξα, ἔξυσα, ἐσπάραξα.

Ἄμυξ, ἐπίρρημα· σημαίνει δὲ τὸ ἀμυκτικῶς. καὶ ἄμυξ, ἡ ἀμυχή.

Ἀμύξαι, καταμάξαι, καταξῦσαι, στενάξαι, σπαράξαι τὴν ψυχὴν ἀνιώμενος, ἀντὶ τοῦ αἱμύξαι. τοῦτο οὐ μόνον Ἰωνικὸν, ἀλλὰ καὶ Ἀττικόν ἐστι. λέγεται δὲ ἔλλειψις, ἤτοι ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον, οὐ ποιοῦντος συλλαβήν· ἥτις ἐστὶν ἐναντία τῇ παρενθέσει.

Ἀμύξεις, κινήσεις, λυπήσεις. ἐκ τοῦ ἀμύσσω, ὁ μέλλων ἀμύξω.

Ἀμυρεῖν, μὴ ἔχειν μέρος.

Ἀμύρητον, τὸ ἀτέλεστον, καὶ τέλος μὴ ἔχον, εἴρηται εἰς τὸ ἀμύρητος.

Ἀμυροίραινος, ὁ μὴ μυσαττόμενος τὸ ῥαίνεσθαι μύρῳ.

Ἄμυροι τόποι, κάθυγροι, καὶ διαρρέοντες. ἀπὸ τοῦ μυρεῖν, ἤγουν ῥεῖν.

Ἄμυρος, Θεσσαλίας ποταμὸς, προσαγορευόμενος ἀπὸ τοῦ Ἀμύρου υἱοῦ τοῦ Ποσειδῶνος. ἔστι δὲ καὶ πόλις αὐτόθι.

Ἀμυρτὸν, ἱμάτιον, Κρῆτες.

Ἀμύρων, ἀφαιρῶν, καὶ λαμβάνων, παρὰ τῷ Ἱπποκράτει.

Ἀμύς, ὁμοῦ, σὺν αὐτῷ.

Ἀμύσκαρον, τὸ ἁγνόν.

Ἀμύσσειν, ταράσσειν, ἑλκοῦν, ξέειν, σπαράσσειν. ποτὲ μὲν τοῖς ὄνυξιν, οἷον, ἀμύττων τὰς παρειάς. ἐκ τούτου ἡ ἀμυχὴ, ὡς τὸ, ἀμυχὰς ξεσμάτων. καὶ τὸ ἄμυγμα, οἷον, καὶ πολιᾶς ἀμύγματα χαίτης. καὶ ἀμυχὴ περόνης. ἢ ἀμύσσειν κυρίως, τὸ ξέειν, ὡς καὶ αἷμα ῥυίσκεσθαι, οἱονεὶ αἱμύσσειν, μετὰ δασείας, καὶ ἀποβολῇ τοῦ ι ἀμύσσειν, μετὰ ψιλῆς. ἀμύσσειν γοῦν τις λέγεται παρειάν· ἐξ οὗ καὶ ἀμυχαὶ σαρκῶν, καὶ ἀμυχαὶ ξεσμάτων, τῶν ὅπου δήποτε, οἷον καὶ ἐν βίβλοις ἢ ξύλοις. τὸ δὲ τὴν ψυχὴν ἀμύξειν, μεταφορικόν ἐστιν ἀπὸ σώματος

Ἄμυσσος, κῆτος, Λάκωνες.

Ἀμύσσω, τὸ διὰ ξυροῦ τὴν σάρκα τέμνω. ὅθεν καὶ ἀμυχαὶ, αἱ τοῦ δέρματος τομαί.

Ἄμυστιν, τὴν συνεχῆ πόσιν.

Ἀμυστία, μέτρον τι.

Ἀμυστὶ, ἀθρόως, ἄνευ τοῦ μῦσαι τοῖς χείλεσι, παρὰ τῷ Ἱπποκράτει.

Ἄμυστις, ἡ ἀπνευστὶ πόσις καὶ ἀθρόα. παρὰ τὸ μὴ μύειν, ὅ ἐστι χανδὸν πιεῖν, ἐπὶ πολὺ μὴ μύοντα καὶ συνάγοντα τὰ χείλη. ἢ παρὰ τὸ ἅμα πιεῖν χωρὶς τοῦ διαπνεῦσαι, ὥστε ἀπνευστί. ἔστι δὲ καὶ εἶδος ποτηρίου φιαλώδους.

Ἀμύχαια, οἰνάνθη, ἢ ἀναδενδράς.

Ἀμυττέτωσαν, κνιζέτωσαν, σπαραττέτωσαν.

Ἀμυχὴ, ἡ οὐ εἰς βάθος πληγὴ, ἐπιπόλαιον ἕλκος, ἤτοι μὴ ὁρωμένη ἐπὶ τοῦ δέρματος. παρὰ τὸν μυχὸν, μυχὴ, καὶ ἀμυχή. ἢ παρὰ τὸ ἀμύσσειν, ὅπερ ἐκ τοῦ αἱμάσσειν γίνεται.

Ἀμυχὶ, ἐπιπολαίως.

Ἀμυχούσης, στυφούσης ἐπιπλέον.

Ἀμυχρὸν, καὶ ἀμυγνὸν, τὸ καθαρὸν, καὶ ἀμύσκαρον.

Ἀμφαγαπαζόμενος, πάνυ φιλοφρονούμενος.

Ἀμυτήμων, ἁμαρτωλός.

Ἀμφαγαπάζω, φιλῶ, καὶ φιλοφρονοῦμαι.

Ἀμφαγαπῶντες, ἤγουν περιθάλποντες, περισσῶς ἀγαπῶντες. Ἐὸν κακὸν ἀμφαγαπῶντες, ἀντὶ τοῦ σφέτερον. ἑὸν γὰρ ὃ μόνος ἔχει τις, σφέτερον δὲ ὃ πολλοὶ ἔχουσιν.

Ἀμφαγνοεῖ, ἀμφιβάλλει.

Ἀμφαγέροντο, περιηθροίζοντο.

Ἀμφαδά, ἀκουστά, φανερά.

Ἀμφαδὸν, φανερῶς. φαίνω, φανδὸν, καὶ ἀμφαδόν.

Ἀμφαδίης, ψηλαφητῆς. καὶ ἀμφαδίην.

Ἀμφαϊκοῦς, κύκλῳ σειομένους.

Ἀμφαὴς οἶκος, περίσκεπτος. * κάλλιον, ἀμφανής.

Ἀμφακής, ἀξίνη.

Ἀμφ' Ἀχίερος ῥοάς. Ἀχιεὶς ποταμός.

Ἀμφ' ἅλα, περὶ τὴν θάλασσαν.

Ἀμφ' ἄλητα, περὶ τὰ ἄλφιτα.

Ἀμφαλλάξαι, διαμφοδῆσαι. οἱ δὲ, ὁμοῦ βαδίζοντας, ἐφ' ἑτέρας ὁδοῦ χωρισθῆναι.

Ἀμφαικτὴρ, χιτὼν διπλοῦς. * κάλλιον, ἀμφεκτήρ.

Ἀμφαιρήσεται, περιχεθήσεται.

Ἀμφάνα, μάλιστα.

Ἀμφαξονεῖν, λέγεται παροιμιακῶς, τὸ πορεύεσθαι κατ' ὀρθόν. τίθεται δὲ κατὰ Πανσανίαν, καὶ ἐπὶ τῶν τὰ γόνατα ἀσθενούντων, καὶ ἐκκλωμένων.

Ἀμφαρής, περιορωμένη, καταλιγωρουμένη, καὶ γυμνὸς ἐπιφανείς.

Ἀμφαρίστερος, οὐκ αἴσιος, οὐ δεξιὸς, ἀμφοτέρωθεν ἀριστερός.

Ἀμφαρμένη, δίκελλα· Λάκωνες.

Ἀμφασία, ἀφωνία, ἀλαλία, ἀγρυξία.

Ἀμφασμα, ψαιστὰ οἴνῳ καὶ ἐλαίῳ βεβρεγμένα ἐν θυσίαις. Συρακούσιοι.

Ἀμφαυγεῖ, ἀντιλάμπει.

Ἀμφαῦον, περιήχουν.

Ἀμφ' αὐτοὺς, ἐπ' αὐτοὺς, περὶ αὐτούς.

Ἀμφαφάασθαι, τὸ μεταχειρίζεσθαι, παρὰ τὴν ἀφήν. ἀφ' ἧς καὶ τὸ, σῶμα ἀμφαφόων, ὅ ἐστι παραδεικνὺς τῇ χειρί.

Ἀμφαφόωσα, ψηλαφῶσα. Ὅμηρος, Κοῖλον λόχον ἀμφαφόωσα.

Ἀμφαφόων, ψηλαφήσειεν.

Ἀμφαφόωντα, διὰ χειρὸς ἔχοντα, καὶ περιψηλαφῶντα.

Ἀμφέθετο, περιέθετο.

Ἀμφ' εἰκάς, ἡ περὶ εἰκάδα.

Ἀμφεκάλυψε, περιεσκέπασε, περιέσχεν. ἡ πρὸς νέφους εἴρηται ὁμοιότητα, καθ' ὃ καὶ ὁ ἔρος τῆς ψυχῆς Ἥλιον ζοφοῖ. ἢ ἐκ δικτύων μετῆκται, ἃ καταπετασθέντα καλύπτει τὰ ἁλισκόμενα. ἢ καὶ ἄλλως, ἁπλῶς μετῳνέχθη, ἐκ τῶν ὁπωσοῦν κρυπτόντων τὸ καλυπτόμενον, ἢ καὶ ἀφανιζόντων τέλεον.

Ἀμφεκτέον, περιβλητέον.

Ἀμφελαῖς, μάζα ἐλαίῳ πλήρης.

Ἀμφελάσασα, περιεγείρασα, κινήσασα.

Ἀμφελάχαινε, περιέσκαπτε, περιέσκαλλε, περιώρυσσεν.

Ἀμφ' Ἑλένῃ, τὴν ἀμφὶ πρόθεσιν δοτικῇ συνέταξεν, ὥσπερ εἶπεν ἐπὶ τῇ Ἑλένῃ καὶ τοῖς κτήμασιν. ἢ ἀντιπτωτικῶς, περὶ Ἑλένης καὶ κτημάτων.

Ἀμφέμενον, τὸ ἐν μάχαις καὶ λοιδορίαις ὑφίστασθαι, καὶ μεγαλοψυχεῖν· Λάκωνες.

Ἀμφενέμοντο, ἐκατοίκουν, ἐδιοίκουν.

Ἀμφέξη, ἤγουν ἐνδύσῃ. ἐκ τοῦ ἀμπέχω, ἀμφέξω, ἀμφέξομαι.

Ἀμφεπεν, ἐνήργει.

Ἀμφέπει, περιέπει, θεραπεύει, παρακολουθεῖ.

Ἀμφεπένοντο παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐνήργουν, ἀπέφερον, ἤσθιον, ὑπηρέτουν.

Ἀμφέπλεον, περιέπλεον.

Ἀμφεπονεῖτο. οἷον, ἐν μεγάρῳ Ἑκάτης πανημέριος ἀμφεπονεῖτο, ἀντὶ τοῦ διέτριβεν.

Ἀμφέπτατο, περιεπέτατο.

Ἀμφεπολεῖτο, ἤγουν περιήρχετο. Θεόκριτος, Χ' ὡς ὄρος ἀμφεπονεῖτο.

Ἀμφέποντο, συντέσι περὶ αὐτὸ ἐπονοῦντο. παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας τ', ἤτοι περὶ τὸν Ὀδυσσέα. ἴσως δὲ καὶ περὶ τὸν σῶν, ὥσπερ καὶ τὸν πενταέτηρον βοῦν ἀμφέπον.

Ἀμφεποτᾶτο, ἔχει τι ἄπορον ἐπὶ τῇ γραφῇ τῆς παραληγούσης. εἰ γὰρ πέτω ἐστὶ τὸ πέτομαι, καὶ ἐξ αὐτοῦ ποτὸς ὁ πετώμενος, ὡς δῆλον ἐκ τοῦ ποτὴ θηλυκοῦ ἐν Ὀδυσσείᾳ, διὰ τί μὴ τὸ ποτῶ ῥῆμα, καὶ τὰ ἐξ αὐτοῦ μεγεθύνουσι τὴν πρὸ συλλαβήν, κατὰ τὸ τρέχω, τροχὸς, τρωχῶ, καὶ τὰ ὅμοια; Αἴτιον δὲ κἀνταῦθα ἡ συνήθεσις. τὸ γὰρ ἁπλοῦν ποτῶ ἐκτείνει ἐστιν ὅτε τὴν λήγουσαν, ὡς δῆλον ἐκ τοῦ λίθοι ποτῶνται θαμιαί.

Ἀμφέρετο, ἀνεφέρετο.

Ἀμφερκῆ, πάντοθεν περιειργόμενον.

Ἀμφέχετο, περιεβάλετο.

Ἀμφεστρατόωντο, περιεστρατοπεδεύοντο.

Ἀμφέχανε, κατεπέπωκε. τοὺς δ' ὁ μέλας ἀμφέχανε θάνατος, ἢ περιεκάλυψεν.

Ἀμφέχυτο, περιεκέχυτο. ἀπὸ τῆς ἀμφὶ προθέσεως, καὶ τοῦ χύω ῥήματος. τὸ παράγωγον χῦμι, τὸ παθητικὸν χῦμαι. ὁ παρατατικὸς ἐχύμην ἔχυσο ἔχυτο, καὶ ἀμφέχυτο.

Ἀμφεωρία, περισσευομένη. * ἴσως, ἀμφεωργῆα. ἔργω, ἔοργα, καὶ ἔωργα. ἐοργὼς, καὶ κατ' ἔκτασιν ἐωργώς. ἀμφεωργὼς, ἀμφεωργυῖα.

Ἀμφήκες, δίστομον, ἀμφοτέρωθεν ἠκονημένον. ἀπὸ τοῦ ἥκω τὸ ἔρχομαι, ἥκης, καὶ ἀμφήκης. ἐξ οὗ τὸ οὐδέτερον, ἄμφηκες, ἀπὸ τῆς ἀμφήκης εὐθείας.

Ἀμφήλυθεν, ἀπῆλθεν.

Ἀμφήμερον, τὸν ἀμφημερινὸν πυρετόν.

Ἀμφὴν, αὐχὴν, τράχηλον.

Ἀμφήρεις νῆες, ἀμφοτέρωθεν ἐρεσσόμεναι.

Ἀμφηρεφής, ἀμφίστεγος, πλήρης. καὶ ἀμφηρεφέα ἀμφηρεφῆ, τὴν ἀμφοτέρωθεν ὠροφωμένην, ὅ ἐστιν ἐσκεπασμένην, ἢ τὴν κύκλῳ περιφερομένην. Περὶ ἧς ἰστέον, ὅτι οὐ μόνον ὡς τὸ ἐρέφειν ἐπὶ φαρέτρας τέθεικε μετενεγκὼν ἀπὸ τῆς τῶν οἰκοδομημάτων στέγης, ἐφ' ὧν κυρίως τὸ ἐρέφειν καὶ ὁ ὄροφος λέγεται, ἀλλὰ καὶ ὅτι οὐκ εἴθισται τὸ ἀμφηρεφὲς ἐπὶ οἴκου λέγεσθαι, εἰ καὶ ἀπὸ τοῦ ἐρέφειν γίνεται, ἀλλ' ἀποκεκλήρωται ἡ λέξις μόνῃ τῇ θήκῃ τῶν οἰστῶν, διὰ τὸ φέρειν τὰ τρῶσαι δυνάμενα. ὥσπερ ὁ γωρυτὸς τῷ τόξῳ, διὰ τὸ χωρεῖν τὸ ῥυτὸν, ὅ ἐστι τὸ βίᾳ ἑλκυστόν. ἐοίκασι δὲ οὐ μικραὶ τοῖς παλαιοῖς αἱ φαρέτραι εἶναι, οὐδὲ τοὺς οἰστοὺς ἔξω προκύπτοντας ἔχειν, ἀλλ' ὅλους αὐτοὺς ἔσω στέγειν. καὶ δῆλον, ἐκ τοῦ ἀμφηρεφέα φαρέτραν εἰπεῖν τὸν Ὅμηρον.

Ἀμφήρης αὐλὸς, ὁ ἑκατέραις χερσὶ κατεχόμενος, καὶ σύμφωνος. καὶ στόμα ἀμφῆρες ὁμοίως, τὸ ἀμφοτέραις γνάθοις ἐσθίον.

Ἀμφηρικὸν, ἀκάτιον ληστρικὸν, ἐν ᾧ εἰσελαύνουσι δύο κώπας.

Ἀμφήριστον, τὸ ἐξ ἀμφοτέρων ἐριστὸν, ἐπίμαχον, ἄνισον, ἀμφίβολον, ἐπιφιλόνεικον.

Ἀμφὴς, οἴνου ἄνθος. οἱ δὲ, μέλανα οἶνον.

Ἀμφὶ ῥέεθρα, περὶ τὰ ῥεῖθρα.

Ἀμφὶ Πρίαμον, καὶ ἀμφὶ Μενέλαον, καὶ ἀμφὶ Ἀγαμέμνονα, καὶ τὰ τοιαῦτα, Ὅμηρος χρῆται ἀντὶ τοῦ, ὁ Πρίαμος, καὶ ὁ Μενέλαος, καὶ ὁ Ἀγαμέμνων. ὥσπερ ἐν τῷ γ' τῆς Ἰλιάδος φαίνεται, Ἀμφὶ Πρίαμον, καὶ τὰ λοιπά. ἤγουν ὁ Πρίαμος, καὶ ὁ Πάνθοος, καὶ ὁ Θυμοίτης, καὶ ὁ Λάμπος, καὶ ὁ Κλύτιος, καὶ Ἱκετάων, ἐκάθηντο ἐν τοῖς πύργοις. καὶ ἀμφὶ παιδὶ βάλε πήχεε, ἀντὶ τοῦ ἀμφέβαλε τὸν υἱὸν τοῖς πήχεσι. καὶ ἀμφὶ περὶ κρήνην, αἱ δύο προθέσεις τὴν περὶ τὸν αὐτὸν τόπον συναγωγὴν ὁμοῦ δηλοῦσι παντὸς τοῦ στρατοῦ.

Ἀμφιάλῳ, τῇ ὑπὸ θαλάσσης περιεχομένῃ, πάντοθεν.

Ἀμφιάνακτα, ἀρχὴ νόμου κιθαρῳδικοῦ.

Ἀμφιανακτίζειν, τὸ προοιμιάζειν, κατὰ Περίανδρον, * (ἄλλ. κατὰ Τέρπανδρον) οἷον, Ἀμφί μοι αὖθις ἄνακτα. ἢ καὶ ὡς Ἀριστοφάνης Νεφέλαις, Ἀμφί μοι αὖτε Φοῖβε ἄναξ Δήλιε. ἀμφιάνακτας ἔλεγον, καὶ τοὺς διθυραμβοποιούς. συνεχῶς γὰρ ἐκεῖνοι ταύτῃ ἐχρῶντο τῇ λέξει. ἢ ἀμφιανακτίζειν, τὸ ᾄδειν κατὰ τὸν Τερπάνδρου νόμον, τὸν καλούμενον ὄρθιον. οὗ γὰρ αὐτῷ προοίμιον, ταύτην ἔχον τὴν ἀρχήν, Ἀμφί μοι αὖ τὸν ἄναχθ' ἑκατηβόλον ᾀδέτω φρήν.

Ἀμφιάραον φιλεῖν ὁ Ζεὺς λέγεται, ὡς βασιλικὸν ἄνδρα, καὶ διὰ τοῦτο διογενῆ καὶ διοτρεφῆ. Ἀπόλλων δὲ, ὡς μάντιν.

Ἀμφίας, μέτριος οἶνος. Νικόστρατος Οἰνοποιῷ, καὶ Σωκράτης. * ἄλλ. Σωσικράτης.

Ἀμφίασιν, σκέπην.

Ἀμφίασμα, ἔνδυμα.

Ἀμφὶ αὐτὸν ἕποντο, ἀντὶ τοῦ ἀμφηκολούθουν, ἢ ἀντὶ τοῦ ἀμφεῖπον, ὅ ἐστι ταυτὸν τῷ ἀμφέποντο. καὶ ἀλλαχοῦ Ὅμηρος, Ἀμφ' Ὀδυσσῆα Τρῶες ἕπον, ἤγουν ἀμφεῖπον ἐκεῖνον.

Ἀμφιαχυῖαν, καὶ ἀμφιαχυῖα. ἴα ἡ ἐκπεμπομένη φωνή, ἀπὸ τοῦ ἰαχέω ἰαχῶ ἐνεστὼς, ἰαχήσω μέλλων, ἴαχον δεύτερος ἀόριστος, ὡς ἔλακον, ἴαχα μέσος παρακείμενος. ἀφ' οὗ ἰαχυῖα, καὶ μετὰ τῆς ἀμφὶ ἀμφιαχυῖα, παρ' Ὁμήρῳ, ἤγουν ὀδυρομένη περὶ τῶν τέκνων, ἢ κραυγάζουσα, ἢ βοῶσα.

Ἀμφίβασις, ὑπερμάχησις. κυρίως ἡ περὶ τοῦ νεκροῦ μάχη.

Ἀμφιβαίνει παρ' Ὁμήρῳ, ὡς ἐπὶ πολὺ τὸ σκέπειν, καὶ περιέπειν σημαίνει. ὡς ὅτε λέων ἀμφιβαίνει τοῖς σκύμνοις λέγεται, ἢ κύων τοῖς σκυλακίοις· οὕτω καὶ ἐν μάχῃ νεκρῷ τις ἀμφιβαίνει ὑπερμαχῶν ἐκείνου. ἀμφιβαίνειν, καὶ περιβαίνειν τισὶ, ταυτά· φυλακὴν καὶ σκέπην δηλοῦσι συμμαχικήν. καὶ ἀμφιβαίνειν, τὸ ὑπερμαχεῖν τοῦ κειμένου.

Ἀμφίβαιος, ὁ Ποσειδῶν, παρὰ Κυρηναίοις.

Ἀμφιβαλεῦμαι, καθοπλισθήσομαι.

Ἀμφιβάλλεσθαι, περιθέσθαι.

Ἀμφιβάλλω, καὶ διστάζω, καὶ ἐνδοιάζω, περὶ τοῦδε. καὶ ἀμφιβάλλειν, τὸ μὴ ἐφ' ἕνα σκοπὸν βάλλειν τὸν λογισμὸν, ἀλλ' ἐπὶ δύο. ἀφ' οὗ ἀμφίβολος, ὁ ἐν διπλῇ γνώμῃ κείμενος. καὶ ἀμφιβολία, ἡ διπλῆ γνώμη. τὸ ἀμφιβάλλειν, οὐ μόνον τὸ ἐνδοιάζειν, ἤγουν ἀμφοτέρωσε ῥίπτειν τὸν νοῦν, ἀλλὰ καὶ τὸ ἑκατέρωθεν βάλλειν, ὡς δῆλον ἐκ τοῦ ἀμφίβολον, ὃς τὸν ἀμφοτέρωθεν βαλλόμενον σημαίνει. δηλοῖ γοῦν καὶ τὸ περιβάλλειν, ἤγουν κυκλοῦν. ὅθεν καὶ ἀμφίβληστρον, καὶ ἀμφιβάλλειν. καὶ ἀμφισβητεῖν, καὶ ἀμφιλέκτως ἔχειν, ἀμφὶς φράζεσθαι λέγει. οὕτω διχονοητικὸν καὶ τὸ ἀμφὶς φρονέοντε. σημαίνει δέ ποτε ἡ λέξις, καὶ τὸ ἐκτός· οἷον ἀμφὶς ὁδοῦ δραμέτην. ἔτι δὲ καὶ τὸ ἀμφότερος, ὡς τὸ ἀριζήλῳ ἀμφίς. Ἰστέον δὲ, ὅτι καθάπερ ἀπὸ τῆς εἰς προθέσεως, καὶ τῆς ἐξ, καὶ τῆς πρὸς, καὶ τῆς ἀνὰ καὶ κατὰ, γίνονται ἐπιρρήματα, τὸ εἴσω, τὸ ἔξω, τὸ πρόσω, ἀφ' οὗ τὸ πόρρω. τὸ ἄνω, τὸ κάτω. καὶ ἐκ τῆς περὶ, τὸ πέριξ, ὅθεν τὸ ἄπριξ κατὰ συγκοπήν. καὶ ἐκ τῆς ἀπὸ, τὸ ἄπο. οὕτω καὶ τὸ ἀμφὶς, ἐκ τῆς ἀμφὶ, ἢ τῆς ἀμφὶ λαμβανομένης ἀντὶ τῆς περὶ, οἷον ἀμφ' ἀγαθὸν θεράποντα, ἢ ἀντὶ τῆς ἐν· οἷον ἀμφὶ πυρὶ στῆσαι τρίποδα· ἢ ἀντὶ τῆς ἐπὶ, οἷον ἦν κτεῖνεν ἀμφ' ἐμοὶ, ἀλλὰ σημαινούσης τὸ δύο, ὡς ἐν τῷ ἀμφίδυμος, ἀμφίστομος.

Ἀμφίβαλλον, ἀμφοτέρωθεν φάλλους ἔχουσαν. φαλλοὶ δὲ οἱ ἀσπιδίσκοι. οἷον, ἀμφίβαλλον ἀσπίδα.

Ἀμφιβαλὼν παρ' Ὁμήρῳ ἐν ψ' τῆς Ὀδυσσείας, ἀντὶ τοῦ ἔσω περιβαλὼν, περικλείσας, ἢ μαχόμενος περιβάλλων.

Ἀμφίβασις, κύκλωσις, ὁρμή, ἢ ἡ περὶ νεκροῦ μάχη. περιβάντες γὰρ τὸν νεκρὸν, ἐμάχοντο περὶ τοῦ σώματος, ἵνα μὴ σκυλευθῇ. ἀπὸ δὲ τῶν ἀλόγων ζώων ἡ μεταφορά.

Ἀμφιβατεῖν, ἀμφισβητεῖν.

Ἀμφίβιον, τὸ στόμιον τῆς μήτρας, παρ' Ἱπποκράτει. * γραπτ. ἀμφίδιον.

Ἀμ-

Digitized by Google

Ἀμφίβια ζῶα, τὰ ἐπὶ τῆς χέρσου καὶ ὕδατος, ὁμοίως διατελοῦντα. καὶ ἀμφίβιον, τὸ ἐν γῇ καὶ ὕδατι ζῆν δυνάμενον.

Ἀμφὶ βίην, περὶ τὴν δύναμιν.

Ἀμφίβλημα, ἀναβόλαιον.

Ἀμφίβληστρον, τὸ δίκτυον, ἀπὸ τοῦ ἀμφοτέρωθεν βάλλειν. ἢ παρὰ τὸ βάλλω βαλῶ βλήσω, βλῆτρον, καὶ κατὰ τὸν ἀμφὶ πλεονασμῷ τοῦ σ ἀμφίβληστρον.

Ἀμφιβολεῖς, ἁλιεῖς.

Ἀμφιβολία ἐστὶ, λέξις, ἢ λόγος, δύο ἢ πλείονα πράγματα δηλοῦσα. λέξις δὲ εἴρηται, ὅτι αἱ ὁμωνυμίαι ἀμφίβολοί εἰσιν. οἷον, Αἴας, ἄδηλον ὁπότερος τῶν Αἰάντων δηλοῦται. λόγος δὲ, οἷον ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα. καὶ δὸς δέ μ' ἄνδρα τὸν δ' ἑλεῖν, καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν.

Ἀμφίβολος τὴν ὄψιν, καὶ οὐκ ἂν διακρίναις, εἴτ' ἔφηβος ἐστὶν, εἴτε καὶ παρθένος. καὶ ἀμφίβολος τὴν γνώμην, καὶ ἀμφίβολοι παρὰ Ἀρριανῷ καὶ ἑτέροις, οἱ ἀμφοτέρωθεν βαλλόμενοι. ἢ οἱ πανταχόθεν βαλλόμενοι, ἢ ἀπορούμενοι, ἢ διαφόροις συνεχόμενοι λογισμοῖς.

Ἀμφιβραγχίων, τῶν περὶ τὰ παρίσθμια καλουμένων χωρίων, παρὰ τῷ Ἱπποκράτει.

Ἀμφίβραχυς, ὁ ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, τετράχρονος. οἷον, σιληνὸς, στερηνὸς, βοηθός. καλεῖται δὲ ἀμφίβραχυς, ὅτι ἑκατέρωθεν δύο βραχείας ἔχει.

Ἀμφιβρότη ἀσπὶς, ἡ ἀμφὶ τὸν βροτὸν ἄνθρωπον. ἢ ἡ σκέπουσα ὅλον τὸν ἄνθρωπον.

Ἀμφίβροχος, πανταχόθεν βεβρεγμένος, τουτέστι μεθύων. Ἡδὺ μέθυ βλύζων ἀμφίβροχος εἵματα Βάκχῳ.

Ἀμφιβώτης, περιβόητος, Ἴων Τεύκρῳ.

Ἀμφὶ γάμῳ παρ' Ὁμήρῳ, ἤγουν περὶ γάμου, καινότερον ἔχει τὴν ἀμφὶ πρόθεσιν συντεταγμένην δοτικῇ.

Ἀμφιγένεια, παρά τισι, καὶ οὐδετέρως λέγεται, τὸ Ἀμφιγένειον. ὁ πολίτης αὐτῆς, Ἀμφιγενειάτης, καὶ Ἀμφιγενεύς. εἶχε δὲ Λητοῦς ἱερόν. ἐπεὶ φασὶν ἐκεῖ Λητὼ παραγενομένη, ἔτεκεν Ἀπόλλωνα.

Ἀμφιγένυς, ἀξίνη.

Ἀμφιγνοεῖν, ἀντὶ τοῦ ἀγνοεῖν, ἢ ἐνδοιάζειν περὶ τῆς γνώσεως. καὶ ἀμφιγνοεῖς, ἀμφισβητεῖς. καὶ ἀμφιγνοεῖν, τὸ μὴ ἀκριβῶς γινώσκειν.

Ἀμφιγνοῶ κάλλιον, ἢ ἀμφιβάλλω. Πλάτων ἐν Γοργίᾳ, Ἀμφιγνοῶ μέντοι ὦ Πῶλε, ἐφ' ἑκάστου ὧν λέγεις.

Ἀμφίγονον υἱὸν, τὸν ἐκ προτέρας γυναικός.

Ἀμφὶ γούνασι βάλλειν χεῖρας, περίφρασίς ἐστι τοῦ γουνάζεσθαι.

Ἀμφίγυα ἔγχη λέγει Ὅμηρος, ἢ τὰ ἀμφοτέρωθεν ἐπάγοντα γόον, ἀπό τε τῆς ἔμπροσθεν αἰχμῆς, καὶ τοῦ ἐν τῷ πέρατι σιδηροῦ στύρακος, ὡς οἱονεὶ ἀμφίγοα, καὶ Αἰολικῶς ἀμφίγυα. ἢ τὰ ἀμφοτέρωθεν γυῶσαι, ὅ ἐστι βλάψαι δυνάμενα, ὡς ἀμφίστομα· ἢ τὰ ἀμφοτέρωθεν ἐνεργὰ καὶ πρακτικὰ, παρὰ τὰ γυῖα· ὃ καὶ χεῖρας δηλοῖ, ὡς εἴρηται ἀλλαχοῦ. Γυῖα γὰρ ὡσανεὶ δόρατος ὁ πρὸς τοῖς ἄκροις ἐνεργὸς σίδηρος. τὰ μὲν τοίνυν ναύμαχα οὐκ ἀμφίγυα κατὰ τοὺς παλαιοὺς, ἀλλὰ κατὰ στόμα μόνον ἐκεκάλυπτο, χαλκὸν μὴ ἔχοντα στύρακα. ἄλλοι δὲ ἀμφίγυα εἶπον, τὰ ἀμφοτέροις γυίοις, ὅ ἐστι χεροῖν ἀμφοῖν, τοῖς τῶν πολεμίων ἐπερειδόμενα σώμασιν. * τὸ μὲν γυῖα διὰ διφθόγγου. τὸ δὲ ἀμφόγυος, πολλοὶ διὰ τοῦ υ. καὶ κάλλιον παρ' Ὁμήρῳ διὰ τὸ μέτρον.

Ἀμφιγυήεις * (ἀλ. ἀμφιγυήεις) λέγεται ὁ χωλὸς, ὁ ἀμφοτέρων δηλαδὴ τῶν γυίων, ἤγουν τῶν ποδῶν πεπηρωμένος. γίνεται οὖν ἀμφιγυόεις, καὶ τροπῇ τοῦ ο μικροῦ εἰς η, ἀμφιγυήεις. ὥσπερ χάρις χαρίεις, τιμὴ τιμήεις, αἴγλη αἰγλήεις. γυῖα, αἱ χεῖρες, καὶ οἱ πόδες, ἀπὸ τοῦ γυῶ, τὸ τὰ σκέλη βλάπτειν. καὶ ἀμφιγυήεις ταυτὸν τῷ κυλλοπόδης, ἤγουν ὁ βεβλαμμένος τοὺς πόδας, καὶ χωλός. ὀνομάζεται δὲ τούτῳ τῷ ὀνόματι καὶ τὸ παρ' ἡμῖν πῦρ, καὶ ὁ ἐπιστάτης τῶν διὰ τοῦ πυρὸς ἐνεργουμένων τεχνῶν. τὸ μὲν, ὡς ἄνευ τῆς τῶν ξύλων παραθέσεως οὐ δυνάμενον παραμένειν. ὥσπερ ὁ βεβλαμμένος τοὺς πόδας, οὐκ ἂν σταίη μὴ ὄντος τινὸς τοῦ στηρίζοντος. ὁ δὲ, ὡς ἐπιστάτης καὶ ἔφορος αὐτοῦ τούτου τοῦ πυρὸς, καθὰ εἴρηται συμβολικῶς ὀνομαζομένου. καὶ ἀμφιγυήεις, ἤγουν ἀμφοτέρους τοὺς πόδας γυιὸς, ἤγουν χωλός. τοῦτο γὰρ ὁ ἀμφιγυήεις δηλοῖ. ἀμφοτέρωθεν γὰρ σκάζει, μὴ ἔχων ὕλην τὴν ὑπερείδουσαν. οἷον, κάτω μὲν ξύλα, καὶ εἴ τι ἄλλο ἐξάπτεται γήϊνον. ἄνω δὲ, τὴν ξηρὰν καὶ καπνώδη ἐκ γῆς ἀναθυμίασιν.

Ἀμφιγυῶσαι * (ἀλ. διὰ τοῦ υ.) ἀκρωτηριάσαι, ἢ ἑκατέρωθεν εἰς γῆν πῆξαι.

Ἀμφὶ γυναικὶ, περὶ γυναικός.

Ἀμφιδαὴς, ἡ ἀμφοτέρωθεν κόπτουσα μάχαιρα.

Ἀμφιδάσεια Αἰγὶς, ἡ ἐξ ἑκατέρου μέρους κροσσοὺς ἔχουσα, ἢ κύκλοθεν δασεῖα. ἡ μυθικῶς μὲν, ἡ ἀμφοτέρωθεν ἢ πάντοθεν δασεῖα, οἷά τις σαγηνδὴς, διὸ καὶ θυσανόεσσα ἡ αὐτή. ἀλληγορικῶς δὲ διὰ τὴν ἐν τοῖς ἄνω τόποις πυκνότητα τὴν τῶν κατὰ Δία, ἤτοι τῶν ἀερίων αἰγίδων συστάσεως, ὅτε ποτὲ γίνοιντο. ὁ δὲ τόνος, ὡς τὸ Ἱπποδάσεια.

Ἀμφίδεα, ψέλλια, βραχιόνια.

Ἀμφιδέας, ἁλύσεις, κρίκους, παρ' Ἡροδότῳ. οἱ δὲ ψέλλια, ἢ περισκελίδας, ἢ δακτυλίους.

Ἀμφιδέδηεν. Ὅμηρος, Πόλεμός τε ἄστυ τόδ' ἀμφιδέδηεν, ἤγουν ἀνάπτεται. ἐξ οὗ ῥήματος καὶ δαῒς καὶ δηῒς, ἡ μάχη, ὅ ἐστι πόλεμος. ἀμφιδέδηεν ἐμφαντικώτερον τοῦ συνέστηκε, καὶ τοῦ ἐγήγερται, καὶ τοῦ συνέρρηκται, ἢ συνέρρωγε καὶ τῶν ὁμοίων ληφθέν. ἐκ τοῦ ἐμάχοντο δέμας πυρὸς, ἤγουν ὡς πῦρ δαιόμενον δηλαδή. τῶν οὖν καὶ τὸ μάχη δέδηε, καὶ πῦρ δήϊον, ἢ ἐξῆπτο, διεγήγερτο.

Ἀμφιδεδίνηται, ἀντὶ τοῦ κύκλῳ περιθέει.

Ἀμφιδεμάτη, ἡ μετὰ εἰκάδα ἡμέρα, παρὰ Ἀρκάσιν.

Ἀμφιδέξιον, τὴν ἑκατέροις μέρεσι τὰς μήτρας, ἄρρεν καὶ θῆλυ γεννᾷν δυναμένην ἵππον.

Ἀμφιδέξιος, τουτέστιν, ἀμφοτεροδέξιος. εἴρηται καὶ περιδέξιος, παρὰ τῷ Ποιητῇ, τουτέστιν ὑπερδέξιος, κατὰ τοὺς παλαιούς. δῆλον δὲ, ὅτι ὥσπερ ἀμφιδέξιος, οὕτω καὶ ἀμφαρίστερος παρὰ τοῖς παλαιοῖς, ὁ ἐναντίος τῷ ἀμφιδεξίῳ. ὅτι δὲ ἀγαθὰ καὶ εὐοιώνιστα παρὰ τοῖς παλαιοῖς τὰ δεξιὰ ἐκρίνοντο, οὐ τοιαῦτα δὲ τὰ λαιὰ, ἔκ τε τῶν οἰωνοσκοπιῶν δῆλον, καὶ τοῦ ἐπαρίστερον.

Ἀμφιδεσφάγανον, ζῶόν τι πολύπουν, Κολόπενδρα καλούμενον.

Ἀμφὶ δὲ νῆας, περὶ δὲ τὰ πλοῖα.

Ἀμφὶ δὲ, περὶ δέ.

Ἀμφιδήριτον, ἰσοστάσιον, ἀμφίδοξον. συνέβη γενέσθαι τὴν μάχην ἀμφιδήριτον.

Ἀμφιδεές, περιδεές.

* Ἀμφιδεύπατος, ὕπατος, καὶ ἀκρόπατος. παρὰ Πινδάρῳ.

Ἀμφιδήριτος, ἀμφισβητήσιμος.

Ἀμφιδήτιοι, ὡς κρίκοι διάκενοι, παρὰ Δημοκρίτῳ.

Ἀμφιδήσασθαι, ἀποδήσασθαι.

Ἀμφιδίδυμον, διπλοῦν. ἢ τὸ ἔχον κατάδυσιν καὶ σκέπην.

Ἀμφίδοξοι μῦθοι οἱ διχογνωμονούμενοι. καὶ ἀμφίδοξον, ἀμφίβολον.

Ἀμφίδουλος λέγεται παρὰ τοῖς παλαιοῖς, ὁ ἐξ ἀμφοτέρων γονέων δοῦλος.

Ἀμφίδοχμοι, λίθοι μέγεθος ἔχοντες.

Ἀμφιδρανές, ἱμάτιον διπρόσωπον ἐν τῷ πεποικίλθαι, τὴν αὐτὴν ἔχον ἐπιφάνειαν.

Ἀμφιδρόμια, Λυσίας περὶ τῆς ἀμβλώσεως, εἰ γνήσιος ὁ λόγος. Ἡμέρα τὶς ἤγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος παρὰ τὴν ἑστίαν ἔφερον τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων καὶ φίλων, πολύποδας καὶ σηπίας ἐλάμβανον. ἢ κατά τινας, ἀμφιδρόμια, ἡμέρα πέμπτη τοῖς βρέφεσιν ἐκ γενέσεως, οὕτω κληθεῖσα, καθόσον ταύτῃ καθαίρουσι τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως, καὶ τὸ βρέφος περὶ τὴν ἑστίαν φέρουσαι τρέχουσι κύκλῳ, καὶ τοὔνομα τίθενται τούτῳ. δῶρά τε πέμπουσι τῷ παιδὶ, ὡς ἐπιτοπλεῖστον πολύποδας, οἵ τε φίλοι, καὶ οἰκεῖοι, καὶ ἁπλῶς οἱ προσήκοντες. Ἄλλως.

Ἀμφιδρόμια, ἑορτή ἐστιν Ἀθήνησι τελουμένη. καθ' ἣν ἐγκρυφίου ἄρτου ὀπτομένου ἐπὶ τῆς ἑστίας, ἐπιτρέχουσι. τὸ δ' αὐτὸ ποιοῦντες, καὶ μετὰ σκευῆς τὰ βρέφη παρὰ τὴν ἑστίαν περιφέρουσιν· ἐπειδὴ κουροτρόφος, ἡ τροφὸς ἐπί τινων πεφήμισται. μέμνηται Πλάτων ἐν Θεαιτήτῳ, τοῦτο μὲν δὴ ὡς ἔοικε, μόγις ἐγεννήθη, ὅτι δήποτε τυγχάνει ὄν. μετὰ δὲ τὸν τόκον τὰ ἀμφιδρόμια, ὡς ἀληθῶς ἐν κύκλῳ, περιθρεκτέον τῷ λόγῳ.

Ἀμφίδρομον, ἑλικοειδές. Ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης ἀμφίδρομον κυκλεῖται.

Ἀμφίδρομος, Αἰσχύλος Σεμέλῃ, Ἔπλασε δαίμονα καινὸν περὶ τὰ ἀμφιδρόμια, ὡς εἰ ἔλεγε τὸν γενέθλιον. δηλοῖ δὲ ἐξ ἑκατέρου μέρους θεόμενον, ἢ προηγούμενον, ἢ ὁρμᾶν δυνάμενον.

Ἀμφιδρυφὴς, ἡ ἅπαν δρυπτομένη, ὅ ἐστι ξεομένη τὸ πρόσωπον, ὃ λύπης ὑπερβολὴν δηλοῖ. ἐκ δὲ τοῦ δρύπτω, γίνεται τὸ ἀμφιδρυφής. δρύπτειν δὲ κυρίως, τὸ ἀποδέρειν δόρυ, ἤγουν ξύλον, δένδρον. ἵνα ᾖ δορύπτω, ὡς κορύπτω, καὶ ἐν συγκοπῇ δρύπτω. ἢ ἀμφιδρυφὴς, ἡ ἐξεσμένη ἀμφοτέρωθεν, καὶ περιεσπαραγμένη τὸ πρόσωπον, διὰ τὸ τοῦ ἀνδρὸς πένθος, δρύψαι γὰρ τὸ ξέσαι.

Ἀμφίδρυφοι, πάθους ὑπερβολὴ, ὅτε οὐ μία παρειὰ δρύπτεται, ἀλλὰ ἀμφότεραι. ἀπὸ δρυῶν δὲ τὸ δρύπτω, ὅ ἐστι ξύλων. λέπονται γὰρ τὸν φλοιόν.

Ἀμφίδυμοι λιμένες, δίδυμοι, διὰ τὸ ἐξ ἑκατέρου μέρους ἔχειν εἰσδύσεις. ἢ ἀμφίδυμοι, οἱ πανταχόθεν κατάδυσιν ἔχοντες καὶ σκέπην, οἷον ἀμφίδυνοι, ἀπὸ τοῦ δύνειν τὸ σκεπόμενον. λέγεται δὲ καὶ ὁ λιμὴν τῆς Κυζίκου ἀμφίδυμος, διττὰς εἰσόδους ἐξ ἑκατέρου μέρους ἔχων.

Ἀμφιδὺς, ἐνδυσάμενος.

Ἀμφίδυσις, ἐπίθετον φιάλης, παρὰ Ἀναξανδρίδῃ. * ἴσως, ἀμφίδυμος.

Ἀμφίδωρον, τὸ πανταχόθεν περιέχον σκύτος. ὡς τὸ ἀμφιδόρου στικτὸν ἀχαίνεω, τουτέστιν, ἐλάφου δέρμα. * γραπτ. ἀμφίδορον.

Ἀμφὶ ἓ, περὶ αὐτόν. ὡς τὸ, ἀμφὶ ἓ γινώσκων ἑτάρους πειρώμενος.

Ἀμφιειμένος δύναμιν, ἤγουν ἐνδεδυμένος. παρὰ τὸ ἕω, ὃ σημαίνει τὸ ἐνδύομαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος εἷκα, εἷμαι, εἱμένος ἡ μετοχὴ, καὶ ἐν συνθέσει ἀμφιειμένος.

Ἀμφίεκτος χιτὼν, διπλοῦς.

Ἀμφιελίσσαι, αἱ νῆες, αἱ ἀμφοτέρωθεν ταῖς κώπαις ἐλαυνόμεναι. ἢ ἑκάτερα τὰ πλευρὰ στρεφόμεναι. * οὕτω καὶ παρὰ τῷ Ἐτυμολόγῳ. παρ' ἄλλοις, ἀμφιέλισσαι προπαροξύτ.

Ἀμφίελον, ἄφθονον.

Ἀμφιέννυμαι, ἐνεστὼς κοινὸς, ἀπὸ τοῦ ἕω. ὡς ἀπὸ τοῦ ἄγω τὸ κλῶ, τὸ ἄγνυμαι, καὶ τοῦ ὄρω ὄρνυμαι. μέλλων ποιητικὸς μὲν ἕσομαι ἀπὸ τοῦ ἕω ἀχρήστου, κοινὸς δὲ ἀμφιέσομαι, μετὰ τῆς προθέσεως ἀεί. ὁ ἀόριστος ποιητικῶς μὲν, ἑσάμην, κοινῶς δὲ, ἠμφιεσάμην, καὶ ἀμφιάσομαι καὶ ἠμφιεσάμην, ἐπὶ τῶν αὐτῶν παρὰ τοῖς κοινοῖς. ὡς ἀπὸ τοῦ ἀμφιάζω, καθὸ καὶ ἄμφια * (ἀλ. ἀμφία) τὰ περιβάλματα λέγεται. παρακείμενος μὲν ποιητικὸς εἷμαι, ἀφ' οὗ καὶ εἱμένος, καὶ ἐπιειμένος, ἀπὸ τοῦ ἕω ἀχρήστου. ἀπὸ τούτου γὰρ ἕημι, ἄχρηστον, κατὰ ἀκολουθίαν μέντοι τοῦ τίθημι. ἤγουν, εἷω, ὡς θείω. καὶ ἀπὸ τούτου εἷμαι, ὡς τέθειμαι. κοινῶς δὲ ἠμφίεσμαι, ἀπὸ τοῦ εἷμαι, εἷμα τὸ ἔνδυμα ποιητικῶς, λευχήμων κοινῶς. * (τὸ λευχήμων διὰ μὲν τοῦ η, οὐδὲν σημαίνει, διὰ

Digitized by Google

δὲ τοῦ ει, τὸν λευκοφόρον.) ὡς μῆλον μὲν τὸ πρόβατον ποιητικῶς, μηλωτὴ δὲ τὸ δέρμα κοινῶς.

Ἀμφιέννυται. ἔστιν ἀμφιεννύω, καὶ ἐξ αὐτοῦ παράγωγον, ἀμφιέννυμι. τὸ παθητικὸν ἀμφιέννυμαι, ἀμφιέννυσαι, ἀμφιέννυται· παρὰ τὸ ἕω τὸ ἐνδύομαι.

Ἀμφὶ ἑ παπτήνας, περιβλέψας αὐτόν.

Ἀμφίεπον, περιεποίουν, περιεκύκλουν, ἢ περὶ ἔργον ἐπόνουν.

Ἀμφιέποντες, περὶ ἔργον πονούμενοι, καὶ ἀσχολούμενοι· ἢ περὶ τὸ αὐτὸ πονούμενοι.

Ἀμφιέπουσα, περιέχουσα.

Ἀμφιέπων, περιθάλπων.

Ἀμφιεταζομένας, τὰς κατ᾽ ἐνιαυτὸν περιεχομένας. * ἄλλ. περιερχομένας. Ἰστέον δὲ ὅτι παρ᾽ Ἡσυχίῳ καὶ τῷ Ἐτυμολόγῳ γράφεται ἀμφιεταζομένας, ὡς ἀπὸ τοῦ ἀμφιετάζομαι. κάλλιον δὲ τὸ παρ᾽ Εὐσταθίῳ ἀμφιετίζεσθαι, ὃ δηλοῖ τὸ κατ᾽ ἔτος περιέρχεσθαι.

Ἀμφιέτες, τὸ κατ᾽ ἔτος. ἔστι δὲ ἀντὶ τοῦ κατ᾽ ἐνιαυτόν. ὡσαύτως δὲ καὶ ἀμφημερινὸν, ἤγουν καθημερινόν. * γράφεται καὶ ἀμφιετεῖ, καὶ παρὰ Σουίδᾳ ἀμφιέτει.

* Ἀμφιετεῖν, θύειν καθ᾽ ἕκαστον ἔτος. Ἐτυμολόγ.

Ἀμφιετηρὶς, ἡ κατ᾽ ἔτος γινομένη ἑορτὴ, καὶ θυσία.

Ἀμφίζανε, περιεκαθέζετο.

Ἀμφιηκὲς, ἀμφοτέρωθεν ἠκονημένον.

Ἀμφιθαλεῖς παῖδες, οἷς ἄμφω περίεισιν οἱ γονεῖς. καὶ ἀμφιθαλὴς παῖς, ὁ ἀμφοτέρωθεν θάλλων, ἤτοι εὐδαιμονῶν, ἤγουν ᾧ ὁ πατὴρ καὶ ἡ μήτηρ περίεισιν. ἅπαξ δὲ ἡ λέξις εἴρηται παρὰ τῷ ποιητῇ. ἑτεροθαλὴς μέντοι, ᾧ ὁ ἕτερος τῶν φυσικῶν τούτων κλάδων ἀπέσπασται. καθ᾽ ἣν ἔννοιαν καὶ παῖδες πατρὸς οἱ μὴ ὁμομήτριοι, ἑτεροθαλεῖς λέγονται. ἐκ δὲ τοῦ τοιούτου θάλλειν, καὶ θάλεα φησὶν ἐν τούτοις ὁ Ποιητὴς τὰ ἀγαθὰ, ὧν ἐμπίμπλανται παῖδες εὐδαίμονος πατρός· ὃς καὶ φίλον θάλος τοῖς γειναμένοις ἐστίν. οἱ δὲ παλαιοὶ λέγουσιν, ὅτι ἀμφιθαλεῖς, οἱ ἔχοντες ζῶντας τοὺς δύο γονεῖς.

Ἀμφιθέατρον, τόπος πανταχόθεν περισκοπούμενος. Ὁ δὲ τῶν Φράγγων ἡγεμὼν, ἐς ἀμφιθέατρόν τι ἀνήρχετο.

Ἀμφιθέοντε, περιβάλλοντε, δυϊκῶς.

Ἀμφίθεος, ἱερεὺς Δήμητρος καὶ Τριπτολέμου· παρὰ τῷ Ἀριστοφάνει.

Ἀμφίθετον φιάλην, κατὰ πᾶν μέρος αὐτῆς τιθεμένην, ἀπύθμενον. οὐ τὸ παρ᾽ ἡμῖν ποτήριον, ἀλλὰ γένος λέβητος, ἐκ παντὸς μέρους δυνάμενον ἔχειν ἕδραν.

Ἀμφιθῆ, ἐπιθῇ.

Ἀμφίθυρος οἰκία, ἡ ἔχουσα ἀμφοτέρωθεν θύρας.

Ἀμφικαλύπτει, πάντοθεν καλύπτει. ἀπὸ δικτύων μετήνεκται, ἃ καταπετασθέντα, ὄρνιθας καλύπτει ἔσω. καὶ ἀμφικαλύπτειν, σκέπειν, περιέχειν.

Ἀμφικαλύψει, ἔσω παραδέξεται.

Ἀμφίκαυστις, ἡ ὀρεινὴ κριθὴ, ἣν ἡμεῖς ὄσπριον καλοῦμεν. καὶ οὕτω μὲν οἱ Τραγικοί. οἱ δὲ Κωμικοὶ τὸ αἰδοῖον, ἀμφίκαυτις. * ἄλλ. ἀμφίκαυστις.

Ἀμφικεάσας, περισχίσας, περικόψας.

Ἀμφικείλαωις, ἡ κατ᾽ ὤμων περικρέμασις ἰσόρροπος.

Ἀμφίκελος κλίνη, ἡ ἑκατέρωθεν ἔχουσα ἀνακλιντήριον.

Ἀμφικέλεμνον, ἀμφοτέρωθεν ὀκέλλον, καὶ στηριζόμενον.

Ἀμφίκεστον, περιτμητὸν, ἢ περιγραφόμενον.

Ἀμφικεύθων, περικρύπτων.

Ἀμφικέφαλος, κλίνης εἶδος, παρὰ τὸ ἑκατέρωθεν ἀνάκλισιν ἔχειν, καὶ προσκεφάλαιον.

Ἀμφίκλαστον, πάντοθεν κεκλασμένον. Λείψανον ἀμφίκλαστον.

Ἀμφίκλυσις, ἡ πρώτη τῶν ἀσταχύων ἔκφυσις. λέγεται δὲ καὶ καῦσις.

Ἀμφίκοιλον ξύλον, ἀνάφορον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται, βαστάζουσιν. ἀμφίκυρτον οὖν γραπτέον, ὅπερ καὶ ἀληθές.

Ἀμφίκοιτος, ὁ τάπης.

Ἀμφίκορος, ὁ μέσος τῶν τριῶν ἀδελφῶν· ἀμφίκουρος δὲ, ἣν ἑκατέρωθεν ἄνδρες περιλάβωσιν.

Ἀμφίκρανον, ἀμφοτέρωθεν ἔχον κεφαλάς.

Ἀμφίκρημνον, ἑκατέρωθεν ἐπικίνδυνον.

Ἀμφίκρημνος, περίκρημνος, ἢ βραχύτατος.

Ἀμφικτύονες, περίοικοι Δελφῶν, συναγόμενοι ἐπὶ Πυλαίαν. οἱ καὶ Πυλαγόροι, καὶ Ἱερομνήμονες. ἢ Ἀμφικτύονες, οἱ περιοικοῦντες. τὸ γὰρ κτίσαι, ἐπὶ τοῦ οἰκῆσαι ἔλαβον οἱ παλαιοί. ὥς φησιν Ὅμηρος· Ἐϋκτίμενον πτολίεθρον· καὶ Ἐϋκτιμένην κατ᾽ ἀλωήν. ἔστιν οὖν οἰκίζω, οἰκίσω, οἰκιῶν, οἰκτιῶν, κατὰ πλεονασμὸν τοῦ τ, καὶ μετὰ τῆς ἀμφὶ προθέσεως, ἀμφικτίων, καὶ τροπῇ τοῦ ι εἰς υ, ἀμφικτύων· ὡς τριφάλεια, τρυφάλεια. ἔστι δὲ συνέδριόν τι ἑλληνικὸν, συναγόμενον ἐν Θερμοπύλαις. ὠνομάσθη δὲ, ἀπὸ Ἀμφικτύονος τοῦ Δευκαλίωνος. ὅτι αὐτὸς συνήγαγε τὰ ἔθνη βασιλεύων. ταῦτα δὲ εἰσὶ δώδεκα, Ἴωνες, Δωριεῖς, Περραιβοὶ, καὶ οἱ λοιποί. * κτητικά ἐστιν Ἀμφικτυόνειος καὶ Ἀμφικτυονικός. καὶ θηλυκῶς Ἀμφικτυονὶς, καὶ Ἀμφικτυονική.

Ἀμφικύπελλον, ἤγουν, στρογγύλον ποτήριον. παρὰ τὸ κύφελλον, καὶ κύπελλον. ἢ παρὰ τὸ χέω, χύπελλον, ὅπου ὁ πηλὸς, ἤγουν ὁ οἶνος χεῖται, καὶ μετὰ τῆς ἀμφὶ, καὶ πλεονασμῷ ἑτέρου λ, ἀμφικύπελλον, τὸ ἐκ περιφερείας κυφόν. ὅθεν γὰρ τὰ πρὸς ἡμᾶς κάτω νεύοντα νέφη, κύφελλα λέγονται. Ἀρίσταρχος δέ φησι, σημαίνειν τὴν λέξιν τὴν διὰ τῶν ὤτων ἑκατέρωθεν περιφέρειαν. ἐφ᾽ ὧν καὶ ῥητῶς ἀποδιδοὺς λέγει, Ἤτοι ὃ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε, χρύσεον, ἄμφωτον, ἤγουν οἷον ἀμφίκυρτον. Χρὴ δὲ εἰδέναι, ὅτι τὸ ἀμφικύπελλον, ὡς Ἀριστοτέλης ἐμφαίνει, καινήν τινα κατασκευὴν ἔχει. φησὶ γὰρ ἐκεῖνος, ὅτι αἱ θυρίδες τοῦ μέλιτος ἀμφίστομοι. περὶ γὰρ μίαν βάσιν, δύο θυρίδες εἰσίν· ὥσπερ τῶν ἀμφικυπέλλων, ἡ μὲν ἐκτὸς, ἡ δὲ ἐντός. Εὐστάθιος, ἰλιάδος α. Ἀριστοτέλης μὲν οὖν ὡς ἀπὸ δήλων τῶν ἀμφικυπέλλων, ἱστορεῖ τὰ τοῦ μέλιτος. νῦν δὲ χρὴ τὸ μέλι κατασκέψασθαι, ἵνα νοηθῇ καλῶς ἐξ αὐτοῦ τὸ ἀμφικύπελλον. τέως μὲν οὖν ὡς ἐν εἰκασμῷ, δοκεῖ ταυτὸ εἶναι ἀμφικύπελλον εἰπεῖν, καὶ δικύπελλον, ὡς κατὰ τὰς ἀντιθέτους σύριγγας, καὶ θήκας τοῦ μέλιτος, μιᾷ βάσει, τουτέστι πυθμένι, δύο κυπέλλων διοικουμένων.

Ἀμφικόμῳ, φυλλώδει.

Ἀμφιλασθεὶς, περιελασθείς. * ἄλλ. ἀμφιελασθείς.

Ἀμφιλάφειαν, συγκρότησιν, ὠφέλειαν.

Ἀμφιλαφεῖς πλατάνιστοι, ἀνθηραὶ, μεγάλαι καὶ περίοπτοι. καὶ παρὰ Ἀπολλωνίῳ ἀμφιλαφὴς, ἀντὶ τοῦ ποικίλος ἢ μέγας· ἢ ἀμφοτέρωθεν θριξὶ στεγαζόμενος.

Ἀμφιλαφὲς, κατάσκιον, ἀμφιλαβές τι ὂν, τὸ ἑκατέρωθεν ληπτὸν, τροπῇ τοῦ β εἰς φ· ἢ παρὰ τὴν ἀφήν.

Ἀμφιλαφῆ, μέγαν, δαψιλῆ.

Ἀμφιλαφὴς νῆσος, Ἀπολλώνιος, ἀμφοτέρωθεν ἐπιτηδείως πρὸς ὅρμον ἔχουσα. Καλλίμαχος δὲ, ἀμφίδυμον εἶπε τὸν ἀμφιλαφῆ λιμένα. ἱστορικῶς δὲ Ἀπολλώνιος ἀμφιλαφῆ τὸν λιμένα φησί. τινὲς ἀντὶ τοῦ ξυλώδης ἀπέδωκαν.

Ἀμφιλάων, περικυκλούντων.

Ἀμφίλεκτος, ἀμφίβολος.

Ἀμφιλήξαντες, ἀμφισβητήσαντες, καὶ διενεχθέντες.

Ἀμφίλινα, κρούπαλα, Σοφοκλῆς. * δοκεῖ παρ᾽ Ἡσυχίῳ τὸ κρούπαλα δηλωτικὸν εἶναι τοῦ ἀμφίλινα. παρ᾽ ἄλλοις δὲ τὸ ἀμφίλινα τόπον ἔχει ἐπιθέτου. ἀμφίλινα οὖν κρούπαλα, τὰ ξύλινα σανδάλια.

Ἀμφιλίτην, τὴν λιτανευτήν. * ἀδόκιμον.

Ἀμφιλιχῆ, περιμάχητον. ἀδόκιμον.

Ἀμφίλογον, ἀμφιβαλλόμενον, ἐνδοιάζοντα.

Ἀμφιλύκη, ἐκ τοῦ λύκη γίνεται, ὃ σημαίνει κατὰ τοὺς παλαιοὺς τὴν σκιάν. προσλαβὸν δὲ τὸ η, ποιεῖ τὴν ἠλύγην, ὃ δηλοῖ σκέπην, σκιάν. ἐξ οὗ παρὰ Πλάτωνι ἐπηλυγησάμενος, ὁ προβαλλόμενος, καὶ ἐπισκιασάμενος. ὅτι δὲ καὶ νυκτερινοὶ κύνες λέγονται ἠλύκοι, ἔστιν εὑρεῖν ἐν τοῖς παλαιοῖς. καὶ ἀμφιλύκη νὺξ λέγεται, ἣν ἡ ἀπεριμέριμνος ἰδιωτία, λυκόφως λέγει. καὶ ἀμφιλύκη νὺξ, τὸ παρ᾽ ἡμῖν λεγόμενον λυκόφως· ὅπερ οὔτε ἡμέρα ἤδη ἐστὶν ἀλλ᾽ οὐδὲ νὺξ ἔτι ἁπλῶς. καὶ ἄλλως δὲ ὁ Ποιητὴς ἀμφιλύκην νύκτα καλεῖ, τὴν ἤδη πρὸς τῇ ἡμέρᾳ οὖσαν, καὶ προηγουμένην τῆς ἠοῦς, ἤτοι τοῦ ὄρθρου. καὶ ἄλλως δὲ καθ᾽ Ὅμηρον ἀμφιλύκη νὺξ, καθ᾽ ἣν ὁ ἥλιος νέον προβάλλει τῇ γῇ, οὕτω διαλύσας τὴν νύκτα, οὐ μὴν ἤδη προβέβληκεν, ὡς καὶ ἠῶ ποιῆσαι. ἐτυμολογεῖται δὲ, ἢ παρὰ τὴν λύγην, ὅ ἐστι τὴν σκοτίαν (λυγαῖον γὰρ, ὅ ἐστι σκοτῶδες, τὸ τηνικαῦτα φῶς.) ἢ παρὰ τὸ λυκέῃ ἐοικέναι, τουτέστι λύκου δορᾷ· τεφρώδης γὰρ ἡ λυκέη, καὶ οὐκ ἄκρατον ἴσχει τὸ μέλαν. καὶ ἀμφιλύκην, σκοτεινήν. λύγη γὰρ ὡς εἴρηται ἡ σκοτία, καὶ λυγόφως ἐξ αὐτοῦ, καὶ λυκόφως.

Ἀμφίμακρος, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, πεντάχρονος. οἷον, ἡγεμών. καλεῖται δὲ ἀμφίμακρος, ὅτι ἑκατέρωθεν δύο μακρὰς ἔχει.

Ἀμφίμαλλος, ἔνιοι τὸ ἐν ἴσοις καῖρον ἀποδιδόασι. καῖρον δὲ, τὸν μίτον ἔλεγον.

Ἀμφιμάντορα, ἄλφιτα μέλιτι δεδευμένα. Λάκωνες. καὶ ἀμφιμάντορα, δύσμορον, κακοθάνατον. ἄμφω τοὺς γονεῖς ἢ ἔχων, ἢ ἀποβαλλόμενος.

Ἀμφιμάσεσθαι, περιψήσασθαι, περικαθάραι, ἀπομάξαι. ἐκμάσσω, ἀφ᾽ οὗ ἐκμάσσειν, καὶ ἀπομάσσειν.

Ἀμφίμαστα, ψαιστά.

Ἀμφιμασχάλου, χειριδωτοῦ ἱματίου. οἱ δὲ δουλικοῦ, ἢ μικροῦ χιτωνίσκου. ἦν καὶ ἑτερομάσχαλος, ὁ τῶν ἐργατῶν, οὗ τὴν μίαν μασχάλην ἔρραπτον, ἢ ἀμφιμασχάλου, τοῦ ἑκατέρωθεν χειρίδας οὐ μακρὰς, ἀλλ᾽ ἕως τῶν μασχαλῶν ἔχοντος.

Ἀμφιματῶσαι, ἀποδῦσαι. * γραπτ. ἀφιματῶσαι.

* Ἀμφιμάχητος, περιμάχητος. καὶ ἀμφιμάχητος νύμφη, καὶ περικαλλής.

Ἀμφιμέλαινα, βαθεῖα, συνετή.

Ἀμφιμέμυκε, περιηχεῖ, μυκᾶται.

Ἀμφιμερινὸς, ὁ καθημερινός.

Ἀμφιμήτορες, οἱ ἐκ πολλῶν μητέρων γεγονότες ἀδελφοί.

Ἀμφιμήτρια, τὰ μετὰ τὴν τρόπιν τῆς νεὼς ἐξ ἑκατέρου μέρους ἐπιτιθέμενα. καὶ ἀμφιμήτριον, τὸ σημαντικὸν τῶν περὶ τὴν μήτραν παθῶν.

Ἀμφιμιγὲς, πολυμιγές. ἢ πολυσύγκρατον. καὶ σπαρτίον πρὸς ὃ τὸν μίτον αἱ γυναῖκες προσάγουσιν.

Ἀμφιμυστίων, δημήτρια ζῶα· καὶ ἀμφιμυσίων, ἡ Δημήτηρ.

Ἀμφίνεικος, περιμάχητος, ἐναντίους ἔχων λόγους. * λέγεται καὶ ἀμφινεικὴς, καὶ ἀμφινείκητος.

Ἀμφινοτίζοντα, προσπελάζοντα, προσφερόμενον. * ἴσως, ἀμφινωτίζοντα.

Ἀμφινοτοὺς, * (ἄλλ. ἀμφινώτους) χιτῶνας ἢ φελλώνας (ἄλλ. φελόνας, ἢ φαινόλας,) Κρῆτες.

Ἀμφίξουν, καλῶς ξέον, ἀμφίξουντε σκέπαρνον.

Ἄμφιον, ἱμάτιον, ἔνδυμα, καὶ Ἄμφιος, ὄνομα κύριον. * παρ᾽ ἄλλοις ἀμφίον.

Ἀμφιόνη, κιθάρα.

Ἀμφιορκία, ὅταν οἱ δικαζόμενοι ἀλλήλοις ὀμνύωσι. καὶ ἀμφιορκία, ἐπειδὰν ὅ, τε φεύγων, καὶ ὁ διώκων ὀμνύωσι, κλοπῆς ἔγκλημα τισὶν ἐπιγράφοντες.

Ἀμφίπαλοι, θεράπαιναι. * γραπτ. ἀμφίπολοι.

Ἀμφίπαστα, ἄλφιτα ἀναδεδευμένα ἐλαίῳ.

Ἀμφι-

Digitized by Google

Ἀμφιπελέκκη, πελέκιον δίςομον, Κυρηναῖοι. ὁ δὲ Ἀρίςαρχος, τὸ τῆς ἀξίνης ςελεὸν ἀπέδωκεν. * κάλλιον ἀμφιπελέκκη, ἢ καὶ ἀμφιπέλεκκον.

Ἀμφιπέληται, παραγίνηται.

Ἀμφὶ περὶ, ἐξ ἑκατέρου μέρους, περὶ αὐτούς.

Ἀμφιπεριςρώφα, περιέςρεφε.

Ἀμφιπήρους, τυφλοὺς, ἢ μηδὲν λέγοντας.

Ἀμφίπλεκτος, ἐμπλεκόμενος.

Ἀμφιπλήκτοις, ἰσθμοῖς, ἤγουν ἀμφιθαλάσσοις. παρ' ὅσον ἑκατέρωθεν θαλασσοῦται.

Ἀμφιπλὴξ, ἡ ἑκατέρωθεν ἐλασία.

Ἀμφίποκοι τάπητες, ἀμφίμαλλοι.

Ἀμφιπολεύειν, τὸ συμπεριοδεύειν δηλοῖ. καὶ ἀμφιπολεύει, ἐργάζεται.

Ἀμφιπολεύοι, ὑπηρετοῖ, φροντίζοι, περιέποι, ἢ ἀναςρέφοιτο.

Ἀμφίπολις, Ἀντιφῶν περὶ τοῦ Λυσιφόρου. πόλις αὕτη τῆς Θρᾴκης, πρότερον δὲ Ἐννέα ὁδοὶ ἐκαλεῖτο, ὡς Ἀνδροτίων ἐν δωδεκάτῃ Ἀτθίδος. Μαρσύας δ' ἐν Μακεδονικοῖς, διὰ τὸ περιοικεῖσθαι τὸν τόπον ἀμφίπολιν ὠνομάσθαι, πρότερον Ἄρα καλουμένη. οἱ δὲ, Ἄρεος πόλις.

Ἀμφίπολοι, αἱ δουλίδες. καλοῦνται δὲ οὕτω, διὰ τὸ ἀμφὶ τὰς δεσπότιδας πολεῖν. ἐντεῦθεν δὲ αἱ πρόσπολοι, καὶ πρόπολοι. οἱ δέ φασιν ὅτι πρόσπολος μὲν ἐπὶ ἀρρένων, ἀμφίπολος δὲ ἀεὶ ἐπὶ γυναικῶν. Πίνδαρος δὲ εἴφη τύμβον ἀμφίπολον, τὸν κύκλῳ περιπολούμενον. καὶ ἀμφίπολον τύμβον Πέλοπος λέγουσί τινες, τὸν περιπολούμενον διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει. οἱ γὰρ οἰκιςαὶ, ἐν μέσαις ταῖς πόλεσιν ἐθάπτοντο ἐξ ἔθους. ἄλλοι δὲ ἀμφίπολον, τὸν περιπολούμενον ἀπὸ τῶν ἀγωνιζομένων· ἐν γὰρ τῷ ςαδίῳ ἐςὶν αὐτοῦ ὁ τάφος. ἢ ἀμφίπολον, τὸν περιπολούμενον, ὡς τῶν ἐπιφοιτώντων διὰ τὸ ἄγαν τῆς κατασκευῆς εὐπρεπὲς, κύκλῳ περιόντων καὶ θεωμένων. ἔνιοι δὲ, ὅτι οἱ δρομεῖς εἰς τὸν τάφον τοῦ Πέλοπος ἔκαμπτον.

Ἀμφίπολος, ὁ δοῦλος. Τὰ παρὰ τὸ πολῶ καὶ χέω, μὴ μετὰ προθέσεως συντιθέμενα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον πόλος, ὀνειροπόλος, οἰνοχόος. τὰ δὲ μετὰ προθέσεως, προπαροξύνονται. οἷον, ἀμφίπολος. ἔςι δὲ καὶ ἐπὶ θηλυκοῦ, πρόσπολος.

Ἀμφιπρύμναις, εἶδος πλοίων. Ἔμπαλιν διελθεῖν παρεσκεύασε τὸν Ἴςρον ἐν ταῖς ἀμφιπρύμναις τῶν νεῶν.

Ἀμφὶ πυρὴν, περὶ τὴν πυράν.

Ἀμφίπυρον, πανταχόθεν πυρούμενον.

Ἀμφὶ ῥά ἑ, περὶ δ' αὐτόν.

Ἀμφιρεφέα, ἑκατέρωθεν ἐςεγασμένην. * κάλλ. ἀμφηρεφέα.

Ἀμφιρεφὲς, ἑκατέρωθεν ἐρρεπτωμένον. * κάλλ. ἀμφηρεφές.

Ἀμφιτον, ἀμφορέα.

Ἀμφιρρύτη, περιρρεομένη κύκλῳ. ἐν ἐπιγράμματι.

Ἀμφιρρύτη Κῶς, καὶ πάλιν πένθος ἔχεις, οἷον ἐφ' Ἱπποκράτει. * κάλλ. ὠδέπως. Ἀμφιρύτη Κῶς - καὶ πάλι πένθος ἔχεις, οἷον ἐφ' Ἱπποκράτει. Λέγεται δὲ καὶ ἀμφορύτη διὰ τὸ μέτρον.

Ἀμφιρρῶγας, πάντοθεν διερρωγότας, ἐρρωγμένους. Κλοβοὺς τ' ἀμφιρρῶγας.

Ἀμφιρρῶτις, περιβόητος. κεφαλὴν ἔχων ἑκατέρωθεν. ἀδόκιμον.

Ἀμφισαρωγοὶ, * (ἀμφὶς ἀρωγοὶ,) οἱ κεχωρισμένως βοηθοῦντες, οἱ μὲν τῷδε, οἱ δὲ τῷδε.

Ἀμφὶς, ἀπὸ τῆς ἀμφὶ προθέσεως, ἀμφὶς ἐπίρρημα, ὃ σημαίνει τὸ χωρὶς, καὶ δασμὸν, καὶ τὸ ἐκτός. οἷον, ἀμφὶς ὁδοῦ δραμέτην. σημαίνει καὶ τὴν περὶ πρόθεσιν. ἀμφὶς, καὶ περὶ, ταυτόν. καὶ ἀμφὶς, ἀντὶ τοῦ κύκλῳ, ἤγουν πέριξ. ἀμφὶς ἐάγη, ἤγουν κύκλῳ. καὶ ἀμφὶς ἰδὼν, ἀντὶ τοῦ κύκλῳ, ἤτοι πάντοθεν. καὶ ἀμφὶς, ἀντὶ τοῦ ἀμφοτέρωθεν ἐνιότε λαμβάνεται. καὶ ἀντὶ τοῦ μεταξὺ, ὡς τὸ, ὀλίγη ἀμφὶς ἄρουρα.

Ἀμφὶς ἐέργει, χωρίζει.

Ἀμφίςγονοι, οἱ ἑτερομήτορες.

Ἀμφὶς, περὶ, χωρὶς, δίχα.

Ἀμφὶς ἕκαςον, περὶ ἕκαςον.

Ἀμφὶς ἐόντες, χωρὶς ὄντες, ἀποδημοῦντες.

Ἀμφὶς ἔχοιεν, περιέχοιεν.

Ἀμφισβητεῖν, καὶ παρακαταβάλλειν, ὅταν τελευτήσας τὶς, ἄπαις εἶναι δοκῇ, φάσκῃ δέ τις ἑαυτὸν ἐκείνου υἱὸν, οὗτος ἀμφισβητεῖν τοῦ κλήρου λέγεται. εἰ δὲ παῖδα μὲν τοῦ θανόντος ἑαυτὸν μὴ εἰσάγῃ, λέγῃ δὲ ἄλλως κατὰ γένος αὐτῷ προσήκειν τὸν κλῆρον, παρακαταβάλλειν αὐτὸν οἱ νόμοι κελεύουσι. πλὴν ἀμφότερα ἐπὶ ἀντιλογίᾳ τάσσεται.

Ἀμφὶς ἰδὼν, φανερῶς.

Ἄμφις, Κωμικὸς, Ἀθηναῖος. ἀμφὶς δὲ, ἀντὶ τοῦ χωρίς.

Ἀμφὶς φρονεῖν, ἐναντίον ἐςὶ τῷ ὁμοῦ φρονεῖν, ὅπερ συνθέτως ὁμοφρονεῖν λέγεται. καὶ τὸ ἐξ αὐτοῦ ὄνομα ἐν Ὀδυσσείᾳ, ὁμοφροσύνη. ἔτι τὸ ἀμφὶς φρονεῖν, ὅμοιόν ἐςι τῇ παρὰ τοῖς παλαιοῖς διθυμίᾳ, ὅ ἐςι διχοςασία, καὶ ὡς εἰπεῖν διψυχία. τοῦτο δὲ ἀνάπαλιν ἔχει πρὸς τὸ ἕνα θυμὸν ἔχοντες. τὸ δὲ ἀμφὶς φρονέειν, ἀλλαχοῦ ἀμφὶς φράζεσθαι ἔφη.

Ἀμφίσβαινα, ζῶον, ὁ ὄφις ἑκατέρωθεν βαίνων. ἐκ τοῦ ἀμφὶς ἐπιρρήματος γίνεται. οὗ χρῆσις καὶ ἐν τῷ ἀμφὶς φράζονται. * παρὰ τῷ Ἐτυμολόγῳ γράφεται καὶ ἀμφίσμαινα.

Ἀμφίσβατα, τὰ ἀμφισβητήσιμα. οὕτως Ἑλλάνικος.

* Ἀμφισβησίη, Ἰωνικῶς, ἀμφισβήτησις.

Ἀμφισβητεῖν, ἀμφιβάλλειν. καὶ ἀμφισβητεῖν, ἐπὶ φίλων. ἐρίζειν, ἐπὶ ἐχθρῶν.

Ἀμφισβήτησις. οἱ ἔξω φασὶν, ἡ ἀμφισβήτησις, κρίσει ἀναρτάσθω, ἡ δὲ κρίσις, τοὺς ἐλέγχους βασανιζέτω, * (ἡ δὲ βάσανος τὸ δέον ὁριζέτω) ὁ δὲ ὅρος γεγράφθω· τὰ δὲ γεγραμμένα κυρούσθω, τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις, καὶ πᾶσα ἀψιμαχία, οἰχέσθω, καὶ πάλιν φιλία χορευέτω, καὶ οὐ δεῖ ἀπερισκέπτως ποιεῖσθαι τὰς κρίσεις. * ἰςέον ὡς, οἱ ἔξω, δηλοῖ τοὺς ἐθνικοὺς, τοὺς ἐκτὸς δηλαδὴ τῆς Ἐκκλησίας.

Ἀμφισβητοῦντες ἀμφιλογοῦντες, ἀπὸ τοῦ ἀμφὶς καὶ τοῦ βάζειν. πολλάκις δὲ πλεονάζει τὸ β, ὡς ἐν τῷ ἄδηρον ἄβδηρον, καὶ σίδα σίβδα. ἢ παρὰ τὸ ἀμφὶς ἐπίρρημα, τὸ κεχωρισμένως βαίνειν, τοιοῦτοι γὰρ οἱ διςάζοντες.

Ἀμφισβητῶ, γενικῇ συντάσσεται. οἷον ἀμφισβητούντων τῶν πραγμάτων. καὶ ἀμφισβητοῦσι τῆς ἀρχῆς, καὶ περὶ τῆς ἀρχῆς, καὶ τὸ ἐξετάζω.

Ἀμφὶς ἦθλον, ἤγουν χωρὶς καὶ ἰδίᾳ τοῦ Διός.

Ἀμφισίκωμοι * (ἄλλ. ἀμφίσκωμοι) οἱ περιοικοῦντες τὰς κώμας.

Ἀμφίσκῃ τῇ χειρὶ, κυρτωθείσῃ. ἔνιοι δὲ τὸ δεῖπνον. * παρὰ τῷ Ἐτυμολόγῳ κεῖται. Ἀμφύσκῃ, τῇ χειρὶ κυρτωθείσῃ. οἱ δὲ, πτύον κοπροβόλιον.

Ἀμφίσκουσιν, ἐνδύουσιν.

Ἄμφισσα, πόλις τῆς Λοκρίδος.

Ἀμφίςαται, περιίςαται. ἀμφίςαται διαφρύσιος ὄτοβος. καὶ ἀμφίςασθαι, τὸ ἐξετάζειν.

Ἀμφιςερῆ, τὴν καταρχὴν τῶν θυσιῶν, Λάκωνες.

Ἀμφίςερρον, δεινήν.

Ἀμφιςεφέες. τρεῖς κεφαλαὶ, ἤγουν κατὰ κύκλον καμπτόμεναι. ἢ ἀμφιςρεφέες, ὅ ἐςιν ἀλλήλαις συμπεπλεγμέναι. ἢ πάντοθεν πλήρεις. * Ὅμηρ. Ἰλιάδ. λ. Κεφαλαὶ δέ οἱ ἦσαν τρεῖς ἀμφιςεφέες, ἑνὸς αὐχένος ἐκπεφυυῖαι. τουτέςιν, ἐξ ἑνὸς ςόματος τοῦ δράκοντος τρεῖς ἐπεφύκεισαν κεφαλαὶ, ἀλλήλαις συμπεπλεγμέναι. παρὰ πολλοῖς γράφεται καὶ ἀμφιςρεφέες.

Ἀμφίςομος φάλαγξ καλεῖται, ἡ τοὺς ἡμίσεας τῶν ἐν τῷ λόχῳ ἀνδρῶν ἀπεςραμμένους ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι.

Ἀμφιςροφὴ, ἐκχώρησις, ὑποςροφή.

Ἀμφισφαῖρα, εἶδος ὑποδήματος γυναικείου.

Ἀμφίσωπον, περίβλεπτον. * παρ' ἄλλοις γράφεται ἀμφισωπός· ὃ δὴ καὶ κάλλιον. οὕτω γὰρ καὶ ἀντωπὸς, καὶ εὐρωπὸς, καὶ μελανωπὸς, καὶ ἄλλα.

Ἀμφιτάλαντον, ἀμφοτέρωθεν ῥέψαι δυνάμενον.

Ἀμφιτάπητας, Αἴλιος Διονύσιός φησι, τοὺς μὴ ἑτερομάλλους, ἀλλὰ τοὺς ἐξ ἑκατέρων μερῶν δασεῖς. Παυσανίας δὲ λέγει, ὅτι ἀμφιτάπητες, οἱ ἀμφίμαλλοι. οἱ δὲ ἑτερόμαλλοι, τάπητες.

Ἀμφὶ τεοῖο, περὶ σοῦ.

Ἀμφίτερμον, ἀποτετερματισμένον.

Ἀμφὶ τὸ λυκόφως, περὶ τὴν αὐγήν.

Ἀμφιτοττοβίζετε, ποιὸν μέλος ἀποτελεῖτε, Ἀριςοφάνης.

Ἀμφίτοροι, ἄλφιτα ἐλαίῳ δεδευμένα, Λάκωνες.

Ἀμφιτρίβαν, περιτετριμμένον.

Ἀμφίτριτον, τὸ ἐξ ἑκατέρων τῶν μερῶν τετριμμένον.

Ἀμφιτρίτη, ὄνομα Νηρηΐδος. λέγεται δὲ διὰ τὸν πανταχόθεν φόβον, ἢ διὰ τὸ ἀμφίβολον τοῦ φόβου, ἢ διὰ τὸ πανταχόθεν ἄνωθέν τε καὶ κάτωθεν τρίτον εἶναι ςοιχεῖον. λέγεται δὲ, ὅτι ἐν Νάξῳ χορεύουσαν αὐτὴν ἰδὼν Ποσειδῶν ἥρπασεν. καὶ Ἀμφιτρίτη, ἡ θάλασσα. ἢ γὰρ παρὰ τὸ ῥεῖν ἐςὶν, ἡ περιρρεομένη. ἢ παρὰ τὸ τρεῖν, φόβον γὰρ ἐμποιεῖ. καὶ ὤφειλε δίφθογγον εἶναι, ἐκ τῆς ἐτυμολογίας, ἀλλὰ τὰ εἰς τη λήγοντα θηλυκὰ βαρύτονα, ὑπὲρ μίαν συλλαβὴν, ἑνὶ φωνήεντι θέλουσι παραλήγεσθαι. οἷον, ἐρέτη, μελέτη, Ἀφροδίτη, καὶ Ἀμφιτρίτη.

Ἀμφιτροπὴ, δῆμος τῆς Ἀντιοχίδος φυλῆς.

Ἀμφιτρυχῆ, κατερρωγότα.

Ἀμφιτρύων, παῖς Ἀλκέως. * καὶ, Ἀμφιτρυωνιάδης, ὁ τοῦ Ἀμφιτρύωνος.

Ἀμφίτυπα, ἐπταισμένα.

Ἀμφίφαλον, ἀμφοτέρωθεν φαλοὺς ἔχουσαν περὶ αὐτήν. φαλοὶ δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι, χάριν κόσμου τιθέμενοι.

Ἀμφιφανῆ ἄςρα, δὶς φαινόμενα. καὶ ἀμφιφανὲς, περιλαμπές.

Ἀμφιφορεῖς, κεράμεοι ἦσαν ἀμφοτέρωθεν φερόμενοι· ὅ ἐςιν, ἄμφωτοι, δίωτοι. ἢ ἀμφιφορεῖς Θεόπομπος λέγεσθαί φησι, τοὺς ὑπ' ἐνίων μετρητάς. Παυσανίας δέ φησι τὸν ἀμφιφορέα, ὑπὸ Ἀθηναίων ἀμφορέα καλεῖσθαι. καὶ ἀμφιφορεὺς, σορὸς, ὑδρία, κέραμος. ἢ μέτρον ἐλαίου. καὶ ἀμφιφορῆα, ἀγγεῖον ἐν Ἐπιγράμματι.

Ἀμφιφόων, πλακοῦς ποιὸς Ἀρτέμιδι μετὰ δᾴδων προσφερόμενος.

Ἀμφιφῶντες, πλακοῦντος εἶδος· οἵτινες ἐγίνοντο, ὅτε ὁ ἥλιος καὶ ἡ σελήνη πρωῒ ὑπὲρ γῆς φαίνονται. ἢ ὅτι ἐκόμιζον αὐτοὺς, δᾳδία ἡμμένα περιπηγνύντες ἐπ' αὐτῷ, ὥς φησιν Ἀπολλόδωρος.

Ἀμφιχαλκοφάλαρα, ἀντὶ τοῦ πολύχαλκα, λέγει Ἀριςοφάνης.

Ἀμφιχανόντες, καταπιόντες.

Ἀμφιχυθεὶς πατέρα, παρ' Ὁμήρῳ, ἐμφαντικώτερόν ἐςι τοῦ ἀμφὶς, καὶ τοῦ περιθύς. δηλοῖ τὴν ἄγαν δι' ὅλου περιπλοκήν· ὁρμηθὲν, ἐκ τοῦ νήδυμος ἀμφιχυθείς.

Ἀμφίχυτον, κατὰ μέν τινας τὸ βουνοειδὲς, καὶ ἀμφοτέρωθεν καταχεχυμένον τῇ ἐξ ὑψηλοῦ ἐφ' ἑκάτερα χθαμαλότητι. οἱ μέντοι πλείους ἀμφίχυτόν φασι, τὸ μὴ ἐκ λίθων, ἀλλὰ περικεχυμένον, ἤγουν τὸ ἐξ ἀναχώματος ὄν. ὡς τὸ χεύαντες δὲ τὸ σῆμα, ἤγουν ἀναχωματίσαντες. τοιοῦτον δὲ ἦν τεῖχος ἐν Τροίᾳ ἢ ἀμφίχυτον, τὸ περικεχωσμένον ἔξωθεν καὶ ἔσωθεν.

Ἀμφιῶ, εἴρηται εἰς τὸ κρεμῶ.

Ἀμφίων, καὶ Ζῆθος, τὰς Θήβας ἐτείχισαν. ὡς καὶ Ὅμηρος φησὶν, Οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο. Φερεκύδης δὲ, καὶ τὴν αἰτίαν παραδίδωσι τῆς οἰκοδομῆς. διότι Φλεγύας πολεμίους ὄντας εὐλαβοῦντο, βασιλεύοντι Κάδμῳ.

Ἀμ-

Digitized by Google

Ἀμφόβολα, ἡ διὰ τῶν σπλάγχνων μαντεία. * ἄλλ. ἀμφώβολα.

Ἄμφοδα, αἱ ῥύμαι, ἀγυιαί, δίοδοι.

Ἀμφοῖδις, * (γραπτέον ἀμφοῦδις. λέγεται δὲ καὶ ἀμφουδίς) παρὰ τὸ ἔδαφος. ὁ δὲ Ἡσίοδος * (ἀμφοῦδις ῥίπτων) ἀμφοτέραις ταῖς χερσίν, εἰς τὸ οὖδος ῥίπτων.

Ἄμφοδος, ἡ ῥύμη.

Ἀμφοῖν, τῶν δύο. καὶ τοῖς δυσίν, ἐπ' ἀμφοτέρων.

Ἀμφόνη, ἀκρατής, ἁμαρτωλός, μὴ δυναμένη νηστεῦσαι.

Ἀμφόνον, περὶ τὸν φόνον.

Ἀμφοράσσατο, ἐγνώρισεν. * ἄλλ. ἀμφράσσατο, κατὰ συγκοπὴν ἀντὶ τοῦ ἀνεφράσατο.

Ἀμφορέας, φόρους τοὺς μισθίους, ἢ τοὺς τὰ κεράμια φέροντας. * γραπτέον, ἀμφορεαφόρους, τοὺς μισθίους, ὡς κεῖται παρὰ Σουίδᾳ. ἔστι δὲ καὶ ῥῆμα ἀμφορεαφορεῖν παρὰ τῷ Ἀριστοφάνει.

Ἀμφορείδιον, * (ἄλλ. ἀμφορίδιον) ὁ μικρὸς ἀσκός. καὶ ἀμφορεῖῳ, φορτίῳ. * ἄλλ. φορείῳ.

Ἀμφ' ὀστεόφιν, περὶ τοῖς ὀστοῖς.

Ἀμφότερα, δύο.

Ἀμφότεροι γράφουσιν, οὐ γράφετον. τὸ δὲ ἄμφω καὶ δύω δυϊκῶς, ὡς τῇ σημασίᾳ, οὕτω καὶ τῇ φωνῇ δυϊκοῖς τε καὶ πληθυντικοῖς συντάσσεται ῥήμασι. τὸ μὲν διὰ τὴν φυσικὴν σημασίαν, τὸ δὲ διὰ τὸ ἐμπεριέχεσθαι τῷ πληθυντικῷ ἀριθμῷ, τὸ ἓν κατὰ δύο. ἄμφω οὖν τρέχετον λέγομεν, καὶ ἄμφω τρέχουσιν.

Ἀμφότερον βασιλεύς τ' ἀγαθός, κρατερός τ' αἰχμητής. ὡς ἐπίρρημα τὸ ἀμφότερον εἴληπται νῦν. καὶ ἀμφότερον, μάντιν τ' ἀγαθόν, καὶ δουρὶ μάρνασθαι, παρὰ Πινδάρῳ, ἀντὶ τοῦ κατὰ ἀμφότερα, ἐπιρρηματικῶς. ὁμοίως τό, πολιός τε νόον, πολιός τε κάρηνον.

Ἀμφοτερόπλουν, ὅταν τις ναυτικὸν δανείσῃ δάνειον, ἐπὶ τῷ ἐνθάδε πλεῦσαι ποιῶν, κἀκεῖθεν ἐνθάδε, * (γραπτέον. ἐπὶ τῷ καὶ ἐνθένδε πλεῦσαί ποι, κἀκεῖθεν ἐνθάδε) τοῦτο ἀμφοτερόπλουν καλεῖται. οὕτω Δημοσθένης.

Ἀμφοτέρωθεν. Κανών. Τὰ εἰς θεν ἐπιρρήματα, τὰ ἀπὸ ὀνομάτων γινόμενα, διὰ τοῦ ο μικροῦ γράφεται. οἷον, κύκλοθεν, οὐρανόθεν. πλὴν τοῦ ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἑτέρωθεν. καὶ ἀμφοτέρωθεν ἀκαχμένον, τὸ ἀμφίστομον λέγεται.

Ἀμφοτέρων ἕλε χεῖρα, εἶχε μὲν εἰπεῖν δυϊκῶς χεῖρε, ἀλλὰ διὰ τὸ καινότερον οὕτως εἶπε. καὶ νοητέον, ὡς ἡ ἰδίᾳ τὴν ἑκατέρου ἔλαβε χεῖρα, ἑκατέραις ταῖς αὐτοῦ χερσίν, ἢ μίαν ἐξ ἑκατέρων τὰς δεξιάς, τῇ αὐτοῦ δεξιᾷ δηλαδή.

Ἀμφοτέρωσε, εἰς ἑκάτερον μέρος.

Ἀμφοῦδις, παρὰ τὸ ἔδαφος. ἔστι ῥῆμα οὐδίζω, ὁ μέλλων, οὐδίσω, ἀποβολῇ οὖν, οὖδις. καὶ ἐν συνθέσει, ἀμφοῦδις. παρὰ τὸ οὖδας, τὸ ἔδαφος. οὐδὲν διαφέρει τοῦ ἀμφ' οὖδας, πλὴν αὐτὸ ἐπίρρημά ἐστιν ἐκεῖθεν παραχθέν. ἀμφοῦδις ἐρεῖσαι, τὸ πρὸς τῇ γῇ ῥίψαι. καὶ ἔστι ταυτὸν τῷ πρὸς γῆν ἐλάσαι. ἀείρας δὲ ἀμφοῦδις, τουτέστιν ἐκ γῆς πρὸς γῆν αὖθις ἐλάσειε, τὴν ἐκείνου κεφαλήν. ἢ καὶ ἄλλως, ἀείρας βάλλει τὴν κεφαλὴν πρὸς γῆν. ἀμφοῦδις, κατὰ μίαν ἀμφοῖν τῶν λέξεων ἐκ παραλλήλου ἔννοιαν.

Ἀμφρυσός, ἢ ἀμφρύσιος, ποταμὸς Θεσσαλίας, προπαροξύνεται. γράφεται δὲ καὶ διὰ τοῦ β, ὡς Διονύσιος.

Ἄμφω βάλλεσθαι πήρην, παρ' Ὁμήρῳ, τὸ ἐναψασθαι. οὐ γὰρ φορεῖται ἄλλως ἡ πήρα, ὡς ἐν Ὀδυσσείας ρ̄.

Ἀμφύσκῃ τῇ χειρί, κυρτωθείσῃ.

Ἄμφω, ἀμφότεροι, τὸ ω μέγα. τὸ ἄμφω, καὶ δύο, θεματικά, διότι οὐ γίνεται ἀπὸ ἑνικῶν. τὸ γὰρ σημαινόμενον κωλύει. καὶ τί διαφέρει τὸ ἄμφω τοῦ δύο; ὅτι τὸ δύο γράφεται καὶ διὰ τοῦ ο μικροῦ, καὶ διὰ τοῦ ω μεγάλου πάντοτε. καὶ ὅτι τὸ μὲν δύο, μετὰ τοῦ ἄρθρου συντάσσεται. οἷον, οἱ δύο. τὸ δὲ ἄμφω, ἄνευ τοῦ ἄρθρου. καὶ σημαίνει τὸ ἀμφοτέρους· ὡς τό, ἄμφω ὁμῶς φίλοι θυμῷ. καὶ ἄμφω ὁμῶς φιλέουσά τε, κηδομένη τε.

Ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς, σολοικοφανές. ὤφειλε μὲν γὰρ καὶ ἠδύνατο ἀσυντάκτως εἰπεῖν, ἀμφοῖν δ' ἑζομένοιν· ὁ δέ, οὕτως ἔφρασε καινότερον, διὰ τὸ ἄρξασθαι μέν, ὡς ἐν σχεδιασμῷ, ἀπὸ εὐθείας δυϊκῆς, εἶτα μὴ ἔχειν ἓν κοινὸν ῥῆμα περὶ Ὀδυσσέως καὶ Μενελάου εἰπεῖν. οὐ δὲ γὰρ ἦσαν ὁμοίως ἄμφω γεραροί. τοιοῦτον καὶ τό, σύν τε δύ' ἐρχομένω. καὶ τό, οἱ δὲ δύο σκόπελοι, ὁ μὲν εἰς οὐρανὸν ἱκάνει. καὶ ἄλλα πολλά.

Ἄμφω δ' ἔθελον, ἀμφότεροι ἐπεβάλλοντο. ἢ προεθυμοῦντο.

Ἀμφώδοντα ζῷα. οἷον ἄνθρωπος, ἵππος, ὄνος, καὶ ὅσα οὐκ ἐνηλλαγμένους τοὺς ὀδόντας ἔχει. οἷς συμβέβηκε πιμελήν, ἀλλ' οὐ στέαρ ἔχειν. * γράφεται καὶ διὰ τοῦ ο. ἀμφόδοντα, παρὰ Σουίδᾳ, καὶ ἄλλοις.

Ἀμφώδων, ὄνομα. καὶ ἐπὶ τῶν ἄνω καὶ κάτω ὀδόντας ἐχόντων μερικῶς.

Ἀμφῶνες, καὶ ἀμφωτίδες. καὶ ἀμφωτίδων, τῶν δύο ὦτα ἐχουσῶν. καὶ παροιμία, μέχρι τῶν ἀμφωτίδων, ἐπὶ τῶν ἄγαν πεπληρωμένων, ἀντὶ τοῦ μέχρι τῶν ὤτων. ἅτινα ἦσαν χαλκᾶ τινά, ἃ περιετίθεσαν οἱ παλαιοὶ τοῖς ὠσίν, * (κάλλ. εἰπεῖν. καὶ ἀμφωτίδες χαλκᾶ τινά, ἃ περιετίθεσαν οἱ παλαισταὶ τοῖς ὠσίν.) ἀμφῶνες δὲ παρὰ τὸ οὔας, ἐλλείψει τοῦ υ ὄας. ὡς οὖδας οὖδας, καὶ ὡς γένος δυσγενής, οὕτω καὶ ἄμφω, ἀμφῶες.

Ἄμφω μὲν ἤστην, ἀντὶ τοῦ ἀμφότεροι μὲν ὑπῆρχον.

Ἀμφ' ὤμοισιν, ἀντὶ τοῦ περὶ τῶν ὤμων.

Ἀμφώμοις, ἀναβλήμασιν, ἀναθήμασιν.

Ἀμφῶμος, ἐν ταῖς ὀνομασίαις, ὁ λιβανωτός.

Ἀμφωμοσία, ὅταν τῶν δικαζομένων ὁ μὲν προομόσῃ, ὁ δὲ ἐπομόσῃ. λέγεται δὲ καὶ ἀμφορκία. * ἢ καὶ ἀμφιορκία.

Ἀμφώνυξ, γαστρίμαργος, ἀκρατής.

Ἄμφωξις, ὑδρεῖον ξύλινον, εἰς ὃ ἀμέλγουσιν. * παρ' Εὐσταθίῳ γράφεται ἄμφωτις, ὃ καὶ κάλλιον.

Ἀμφώτιδες κατὰ Παυσανίαν, ἃς οἱ παλαισταὶ περὶ τοῖς ὠσὶν εἶχον. ἄλλως δέ γε, καὶ ἐκπώματος εἶδος οἱ ἀμφώτιδες.

Ἄμφωτον, δίωτον, ἑκατέρωθεν ὦτα ἔχον.

Ἄμφωτος, χύτρας εἶδος.

Ἄμφω χεῖρε, ἄμφω τὰς χεῖρας.

Ἀμῷεν, ἀμώοιεν, θερίζοιεν.

Ἀμώμητος, ἄμωμος, ἄψογος, ἀγαθός· ἢ σώματι, ἢ ψυχῇ.

Ἀμώμενοι, θερίζοντες, καὶ ἀμῶσιν, ὁμοίως.

Ἄμωμος, ὁ καθαρὸς καὶ ἀναίτιος. ὡς τό, Τοῦ κατασκεύσαι ἐν ἀποκρύφοις ἄμωμον.

Ἀμώνας, τοὺς ἀνεμώνας, Αἰολεῖς.

Ἀμωνίς, ἡ τοῦ Ἄμωνος ἱερὰ τριήρης, Δείναρχος ἐν τῷ κατὰ Ἡμεραίου.

Ἀμώντων, θεριζόντων.

Ἀμωρίης, Πιτταίου νόθος υἱὸς ἦν.

Ἄμωρος, πλακοῦντος εἶδος.

Ἀμώς, προφήτου γένος. καὶ ἀμὼς ἑρμηνεύεται στερέωσις, ἢ ἰσχύς.

Ἀμώτας, κρεμάστας, Ταραντῖνοι.

Ἀμωσγέπως, ὅπως δήποτε. καὶ ἀμωσγέπως, ἀντὶ τοῦ ἑνί γέ τῳ τρόπῳ. καὶ ἀμωσγέπως, ὅθεν δήποτε. ἔστι δὲ κυρία ἡ λέξις. Παρὰ τὸ ἀμὸς ὄνομα, ἰσοδυναμοῦν τῷ τίς, Δωρικῶς, ὥς φησιν Ὅμηρος, τῶν ἀμόθεν γε Θεά ἀντὶ τοῦ ἀπό τινος μέρους. ὥσπερ παρὰ τὸ καλὸς γίνεται ἐπίρρημα καλῶς, οὕτω καὶ ἀπὸ τοῦ ἀμὸς γίνεται ἐπίρρημα ἀμῶς, καὶ ἐν συνθέσει ἀμωσγέπως. ἔτι ἀπὸ τοῦ ἀμός, γίνεται ἀμόθεν. ἐξ οὗ τὸ οὐδαμόθεν ἐπίρρημα. καὶ ὥσπερ ἀπὸ τοῦ καλῶς γίνεται ἐπίρρημα καλά, οὕτω καὶ ἀπὸ τοῦ οὐδαμῶς οὐδαμά, ἀντὶ τοῦ οὐδαμῶς.

* Ἄμωτα, κάσανα, παρ' Ἀθηναίῳ.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ν.

Ἄν, δυνητικὸς σύνδεσμος τοῖς ὁριστικοῖς κατὰ τὸν παρατατικὸν καὶ ὑπερσυντέλικον καὶ ἀόριστον συντάσσεται. τοῖς δὲ εὐκτικοῖς καὶ ὑποτακτικοῖς, κατὰ πάντα χρόνον. ἀλλὰ τῷ ὑποτακτικῷ προτάσσεται, μόνοις δὲ εὐκτικοῖς καὶ προστακτικοῖς προτάσσεται καὶ ὑποτάσσεται.

Ἂν σύνδεσμος ἐπὶ τέλει λεγόμενος, μετὰ παρεληλυθότος ῥήματος, εἴτε μετὰ εὐκτικοῦ, εἴτε μετὰ μετοχῆς, μὴ γινόμενον πρᾶγμα, ἔχον δὲ γενέσθαι ὑπεμφαίνει.

Ἂν σύνδεσμος, ἐνίοτε μὲν ἐπὶ πράγματος κεῖται, δύναμιν ἔχοντος γενέσθαι, καὶ διὰ τοῦτο καὶ δυνητικὸς καλεῖται. ἐνίοτε δὲ κεῖται ἀργός, καὶ διὰ τοῦτο οὐδὲν κωλύει δύο συνδέσμους τοιούτους ἐν ἑνὶ λόγῳ κεῖσθαι. διὸ καὶ ἀντὶ τοῦ δή, τὸ δεύτερον ἂν τίθεται. οἷον, ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαι μ' ἂν εἰσιδών.

Ἂν σύνδεσμος, εἰ μὲν δύναται τεθῆναι πρῶτον τοῦ ῥήματος καὶ ὕστερον, συντάσσεται μετὰ εὐκτικοῦ. ὡς τό, οὐκ ἂν γένοιτο, καὶ οὐκ ἂν δυναίμην. εἰ δὲ οὐ δύναται τεθῆναι καὶ ὕστερον, ἀεὶ ποτὲ μετὰ ὑποτακτικοῦ συντάσσεται.

Ἂν σύνδεσμος ὑποτάσσει, ἀοριστολογικὸς ὤν, ὅσα ἂν λέγῃς, ὅσα ἂν εἴπῃς. δυνητικὸς δέ, κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος πρὸς εὐκτικόν, οἷον, οὐκ ἂν λέγοις, οὐκ ἂν φαίοις, οὐκ ἂν λέξοις, εἴτε προτάσσοιτο, εἴτε ἐπιτάσσοιτο. καὶ πρὸς ὁριστικόν, οὐκ ἂν ἐρεῖς, ἀλλὰ σπανίως τοῦτο. κατὰ δὲ παρῳχηκότος, πρὸς ὁριστικόν, οἷον, οὐκ ἂν εἶπες, ἢ ἔλεγες.

Ἂν σύνδεσμος ἀοριστολογικὸς ὤν, ὑποτάσσεται, οἷον, ὅσα ἂν λέγῃς, ὅσα ἂν εἴπῃς. δυνητικὸς δέ, μετὰ ἐνεστῶτος, καὶ μέλλοντος τοῦ εὐκτικοῦ. οἷον, οὐκ ἂν λέγοις, οὐκ ἂν φαίοις οὐκ ἂν λέξοις. καὶ μετὰ ὁριστικοῦ, παρῳχημένοις συντάσσεται. οἷον οὐκ ἂν εἶπες, οὐκ ἂν ἔλεγες, εἴτε ὑποτάσσηται, εἴτε προτάσσηται. καὶ Ἀττικῶν ἐστι χρῆσθαι πολλάκις ἐν τῇ αὐτῇ περιόδῳ τῷ ἄν.

Ἄν, ἤν, κἄν, σύνδεσμοι ὑποτακτικοί, οὐδέποτε συντάσσονται μέλλοντι. κἂν Ἀριστείδης ἅπαξ συνέταξε λέγων. ἂν μηδενὸς ἀνθρώπων μεμνήσονται.

Ἄνα πρόθεσις, ἀναβιβασθέντος τοῦ τόνου, λαμβάνεται ἀντὶ τοῦ ῥήματος τοῦ ἀνάστηθι. Σοφοκλῆς ἐν Αἴαντι τῷ μαστιγοφόρῳ. ἀλλ' ἄνα ἐξ ἑδράνων, ἀντὶ τοῦ ἀνάστηθι ἐκ τῶν θρόνων.

Ἄνα Ζεῦ, ἐκ τῆς ἀνὰ προθέσεως παρονομασθῆναι δοκεῖ, τῆς τὸν ἄνω τόπον δηλούσης. οὕτω καὶ τὸ ἀνερύειν τὰ θυόμενα, τὸν ἄνω τόπον δηλοῖ, ὡς ἀλλαχοῦ ἐρρέθη. πρὸς ὃν ἀπονεύει τὰ τῆς θυσίας. ὁποίῳ λόγῳ καὶ Ὀδυσσεύς, Ἀθηνᾷ ληΐτιδι, ἀνέσχεθε τὰ τοῦ Δόλωνος τόξα, ὡς ἐκείνῃ ἀναθήσων αὐτά.

Ἀνὰ πρόθεσις, ἀεὶ Αἰτιατικῇ συντάσσεται; οἷον, ἀνά τε ἔντεα καὶ μέλαν αἷμα. δηλοῖ δὲ καὶ τὴν ἄνω φοράν, οἷον ἀνέρχομαι, ἀνίσταμαι. καὶ τὴν εἰς τοὐπίσω κάμψιν, ὡς ἀνέστρεψεν, ἀνεπήδησε. καὶ τὴν δευτέραν ὕπαρξιν, ἢ ἐνέργειαν, οἷον, ἀνεβίω τις, ἀντὶ τοῦ αὖθις ἦλθεν εἰς τὴν ζωήν. καὶ ἀνεκαίνισε τὸ πρᾶγμα, ἀντὶ τοῦ νέον αὐτὸ αὖθις εἰργάσατο.

Ἀνά, ἀντὶ τοῦ σὺν Δωριεῖς λαμβάνουσιν. Ὅμηρος, χρυσέῳ ἀνὰ σκήπτρῳ. καὶ Πίνδαρος, χρυσέαις ἀν' ἵπποις.

Ἄνα, ἀλλ' ἄνα εἰ μέμονας, ἀντὶ τοῦ ἀνάστηθι. ὅλη ἡ λέξις ἀπεστάλη, οὐκ ἔστιν ἀποκοπὴ ἐπὶ τοῦ τοιούτου.

Ἀναβάδην, τὸ ἐφ' ὕψους ἄνω τοὺς πόδας ἔχειν, καὶ κοιμᾶσθαι. Ἀριστοφάνης Πλούτῳ, Νῦν δὲ πεινῶν, ἀναβάδην ἀναπαύομαι. ἢ ἐφ' ὑψηλοῦ τόπου καθήμενος. ἢ κατά τινας λέγει, νῦν δὲ πεινῶν, ἄνω ἔχω τοὺς πό-

πόδας κοιμώμενος. οἱ γὰρ διάκονοι τοὺς πόδας ἄνω εἶχον, πρὸς τὸ μὴ βαρεῖσθαι ἀπὸ τοῦ δρόμου.

Ἀναβαθμοὶ, αἱ ἀναβάσεις, λέγουσι δὲ τὴν ἀπὸ Βαβυλῶνος τοῦ λαοῦ ἐπάνοδον.

Ἀνάβαινε παρ' Ὁμήρῳ, ἤγουν ἀνάπλει, ἐν Ὀδυσσείας ω.

Ἀναβαίνει, ἐπὶ θέσεως τόπου, καὶ μετὰ προθέσεως λέγεται, οἷον ἀναβαίνει πρὸς δικαστήριον, καὶ ἐπὶ βῆμα. λέγεται ἀναβαίνει, καὶ ἐπὶ ὀχείας ἀλόγων ζώων. καὶ ὥσπερ ἀναβαίνειν, οὕτω καὶ ἀνάγεσθαι τὸ ἐκ τοῦ λιμένος ἀναπλέειν. οὐ τὸ ἀνάπαλιν, καταπλέειν καὶ κατάγεσθαι, ὡς ἄνω γῇ κειμένου. καὶ οὕτως ἀναβαινομένου τοῦ πλεομένου ὕδατος, διὰ τὸ ὕψου κεῖσθαι. Ὅμηρος, Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα, ἐπὶ τὴν ναῦν δηλονότι. εἰ γὰρ τὴν ἀπὸ τοῦ λιμένος ἐπὶ τὸ πέλαγος ἤθελε δηλοῦν ἀναγωγὴν, ἀναχθέντες ἂν ἔλεγε. τὸ γὰρ ἀναβάντες, τὴν διὰ τῶν ποδῶν σημαίνει ἀνάβασιν. καὶ ἔτι ἀναβαίνειν ἐλέγετο, τὸ ἐπὶ τὸ λογεῖον εἰσιέναι. καταβαίνειν δὲ, τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν, ἀπὸ τοῦ παλαιοῦ ἔθους. Ἀριστοφάνης, ἀλλαντοπώλα, δεῦρο δεῦρ' ὦ φίλτατε ἀνάβαινε, σωτὴρ τῇ πόλει, καὶ νῷν φανείς.

Ἀναβαίνω, αἰτιατικῇ συντάσσεται, οἷον ἀναβαίνω τὸν ἵππον, καὶ ἀναβαίνω τὸ ὄρος.

* Ἀναβακχεύω, ἀντὶ τοῦ ποιῶ μαίνεσθαι. Εὐριπίδης, ματέρος αἷμα σᾶς, ὅ σ' ἀναβακχεύει.

Ἀναβαλλογόρας, φάρμακόν τι, καὶ λίθος ἐν Σάμῳ.

Ἀνάβαλλε, ἀναβολὴν δίδου, καὶ ἀναβάλλου.

Ἀναβάλλει ὕδωρ ἡ πηγὴ, ἀντὶ τοῦ ἀνάγει.

Ἀναβάλλειν, οὐ μόνον τὸ ἀνάγειν, ἐξ οὗ καὶ λέβης ἀμβολάδην ζέων, καὶ ἀμβλήδην γοόωσα, καὶ ἀμβλίσκειν, καὶ ἀμβλῶσαι· ἀφ' ὧν καὶ ἀμβλωθρίδιον, καὶ ἄμβλωμα, τὸ οἷον ἀναβληθὲν ἐκ τῆς μήτρας. καὶ τὸ ἀναβάλλειν σφαῖραν ἄνω, καὶ ἡ αὐτῆς εἰς ὕψος ἀναβολή. καὶ τὸ εἰς ἵππον ἀνάγειν, καὶ ἔποχον ποιεῖν. ὅθεν καὶ ἀναβολεὺς, οὐ μόνον τὸ σιδήριον, ᾧ τοὺς πόδας ἐντιθέντες ἔφιπποι γίνονται τινές· καὶ ἄνθρωπος, ὃς εἰς τὸ τοιοῦτον ἔργον καθυπουργεῖ. οἷον, τὸν βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλεν, ἤγουν ἀνεβίβασεν. ἀλλὰ καὶ τὸ ἐνδύεσθαι, ἀναβάλλεσθαι λέγεται, καὶ ὄνομα ἐκ τούτου ἡ ἀναβολή. ἀναβάλλεσθαι δὲ τὸ ἀνατιθέναι τὸ ἔργον, ἀντὶ τοῦ ὀκνεῖν, καὶ ἀναδύεσθαι. ὅθεν καὶ ἀναβολὴ ἡ ἀνάπτωσις. καὶ ἀμβολιεργὸς, ὁ ἀναπίπτων εἰς ἔργον. ἴσως δὲ καὶ ἀμβλὺ τὸ ἀνάπαλιν τοῦ βάλλοντος ὀξέως, ὃ δοκεῖ ἀναβάλλεσθαι. οἷον, τὴν ἐν δευτέρῳ τομήν.

Ἀναβάλλεσθαι, τὸ προΐεσθαι τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων.

Ἀναβάλλεται δὲ ὕδωρ, διὰ σωλήνων οὐ κίονος, ἢ ὅπως πῶς ἀναβαῖνον, ἢ ἄλλως ἀναπηδῶν. ὡς δηλοῖ παρὰ Καλλιμάχῳ, τὸ κρήνη λευκὸν ὕδωρ ἀνέβαλεν, ἀναπηδάον δηλαδὴ, καὶ ἀναβλύζον. καὶ μύρμηκες δὲ ἀναβάλλουσι κάτωθεν χοῦν. ὅπερ ἐναντίον τῷ καταβάλλειν ἐστὶν, ἤτοι κάτω βάλλειν, τουτέστι ῥίπτειν. Καὶ ἀνεβάλλετο παρ' Ὁμήρῳ ἐν α τῆς Ὀδυσσείας, ἀντὶ τοῦ προανεκρούετο ὡς ᾀσόμενος, ἤτοι προοιμιάζετο. ἀναβολὴ γὰρ, οὐ μόνον ἐπὶ ἀργίας τίθεται καὶ ἱματισμοῦ, ἀλλὰ καὶ ἐπὶ προοιμίου· καθὰ δηλοῖ καὶ Κωμικὸς ἐν τοῖς Ὄρνισιν. ἢ τὸ ἀνεβάλετο, ἀντὶ τὸ πνεῦμα συνῆγεν, ὥς φασιν οἱ παλαιοί. ἢ μᾶλλον ἀντὶ τοῦ ἀνῆγεν. ἀναβάλλειν γὰρ καὶ τὸ ἀνάγειν. οἱ γοῦν ὀρύσσοντες ἀναβάλλειν γῆν λέγονται, καὶ ἡ τοιαύτη γῆ, ἀμβολὰς λέγεται.

Ἀναβαλλίδες, ταινίαι. οἱ δὲ, σφαίρας ἀπεδίδοσαν.

Ἀναβάλλομαι τὸ πρᾶγμα, ἀντὶ τοῦ ῥαθυμῶν ὑπερτίθεμαι, αἰτιατικῇ συντάσσεται. καὶ ἀναβάλλομαι, τὸ ἐνδύομαι· ἐξ οὗ ἀναβολή. καὶ τὸ μέλπω· ὡς τὸ, ἀνεβάλλετο καλὸν ἀείδειν. καὶ ἀναβάλλομαι, τὸ ἀνακρούομαι ἐπὶ μέλους· ὡς τὸ, ἤπιον ἀναβάλλεται μέλος.

Ἀναβαλόμενος, ἀντὶ τοῦ προοιμιασάμενος, δι' ἑνὸς λ. ἀναβαλλόμενος οὖν ὥσπερ εἰώθει βραχὺν διεξῆλθεν ὕμνον. καὶ ἀνεβάλλοντο, ἀντὶ τοῦ ἐσχηματίζοντο. * Σεσημείωται παρὰ Σουίδᾳ, ὅτι τὸ ἀναβαλλόμενος διὰ δύο λ μὲν, ἀντὶ τοῦ ὑπερτιθέμενος. δι' ἑνὸς δὲ, ἀντὶ τοῦ προοιμιασάμενος. γελοιοτάτη σημείωσις· οὐ γὰρ ἄλλην ἔχει σημασίαν ὁ ἐνεστὼς, καὶ ἄλλην ὁ ἀόριστος.

Ἀναβάλλω, σημαίνει τέσσαρα. τὸ προοιμιάζω, ὡς τὸ ἀνεβάλλετο καλὸν ἀείδειν. τὸ ἀνακρούω καὶ ἀναπέμπω, ὡς τὸ, καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον. τὸ ἐνδύομαι, ὡς τὸ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. καὶ τὸ ἀπαρνοῦμαι, ὡς τὸ, ἀναβάλλομαι τοῦδε τοῦ πράγματος.

Ἀναβαλοῦ, περιπατουμένως Ἀττικοί.

Ἀναβάσεις καρδίας, αἱ προκοπαὶ, οἱ εὐσεβεῖς λογισμοὶ περὶ Θεοῦ. ὡς ὁ προφήτης Δαβίδ, Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. εἰς δὲ τὸ ἐναντίον, καταβάσεις λέγονται.

Ἀναβασμοὶ, ἀναβαθμοί.

Ἀνάβατα, μετέωρα.

Ἀναβάτης ἵππος, ὀχευτής.

Ἀναβεβαμένοι, ἀντὶ τοῦ ἀναβάτην ἔχοντες. οὕτω Ξενοφῶν. * τὸ ἐναντίον λέγεται, ἀνάμβατος.

Ἀναβεβλημένος ἱμάτιον, καὶ ἱματίῳ.

Ἀναβεβασμένη, ἀνακεκινημένη.

Ἀναβέβρυχεν, ἀναπέπωκεν.

Ἀναβέβρυχεν, ὅπερ ὀνοματοποιηθὲν, τὸ ἀναπηγάζειν δηλοῖ. γράφεται καὶ ἀναβέβροχεν, ὅ ἐστι πίνεται. ὅθεν καὶ τὸ καταβρόξειεν. δῆλον δὲ ὅτι τοῦ ἀναβεβρυχέναι λειότερον τὸ ἀναβλύζειν ἐστίν. αὐτὸ δὲ καὶ ἀναβλυσθονεῖν λέγεται· ὡς ἐν ῥητορικῷ εἴρηται λεξικῷ.

Ἀναβήμεναι. Ὅμηρος τὸν ἐπὶ τὴν Τροίαν πλοῦν, ἀνάβασιν λέγει. δηλοῖ δὲ, καὶ τὸ ἀναχωρῆσαι.

Ἀναβῆναι, ἐνίοτε σημαίνει τὸ ἀναπλεῦσαι ἐκ τοῦ λιμένος. καὶ ἀναβῆναι εἰς Τροίαν, τὸ ἀναπλεῦσαι. δῆλον δὲ, ὅτι καὶ βῆναι τὸ τοιοῦτον λέγεται. οὐχ ἁπλῶς μέντοι, ἀλλὰ μετὰ νηός. ὡς δηλοῖ τὸ, Ἔνθαπερ ἄλλοι Ἀργείων οἱ ἄριστοι ἔβαν, κοίλαις ἐπὶ νηυσίν.

Ἀναβησάμενοι, ἀναβιβασθέντες ἐπὶ τὴν ναῦν.

Ἀναβήσομαι, ἐπανελεύσομαι ἐπὶ τὰ ἐξ ἀρχῆς.

Ἀναβιβάζω, αἰτιατικῇ. καὶ ἀναβιβάζων, ἀναφέρων.

Ἀναβιβῶμαι, ἀντὶ τοῦ ἀναβιβάσομαι.

Ἀναβιώμην, ἐκ τοῦ βιῶμι τῆς τελευταίας εἰς ην ληγούσης, Ἀττικῶς.

Ἀναβιῶναι, ἀναζῆσαι. καὶ ἀνεβίωσα ἐγὼ, ἀμεταβάτως. μεταβατικῶς δὲ Πλάτων ἅπαξ ἐν τῷ Φαίδωνι, Ἐάνπερ γε ἡμῖν ὁ λόγος τελευτήσῃ, καὶ μὴ δυνάμεθα αὐτὸν ἀναβιώσασθαι.

Ἀναβιώσεται, μᾶλλον λέγουσιν οἱ Ἀττικοὶ, ἢ ἀναβιοῖ.

Ἀναβίωσις, ἀνανέωσις ζωῆς.

Ἀναβιώσκεσθαι, τὸ ἀναζῆν.

Ἀνάβλησιν λέγει Ὅμηρος, τὴν ἀναβολὴν καὶ παράτασιν, ἀπὸ τοῦ ἀναβάλλεσθαι, ὃ δηλοῖ τὰ ἀργεῖν. ὅθεν καὶ ὁ ἀμβολιεργός. Ἰστέον δὲ, ὡς οἴδασι μὲν ἀνάβλησιν οἱ βλῆσιν λέγοντες, ἀφ' ἧς παρὰ αὐτοῖς τὸ βλησίδιον. καὶ ἀνάβλησις, ὑπέρθεσις, καὶ ἀναβολή.

Ἀναβλύει, ἀναζεῖ, ἀναβρύει.

Ἀναβλύες, πηγαί.

Ἀναβλύζουσα, ἀναβρύουσα.

Ἀναβλυστωνῆσαι, τὸ ἀναβλῦσαι, καὶ τὸ ἀναβλαστῆσαι. * οὕτω παρὰ Σουίδᾳ. παρ' Εὐσταθίῳ δὲ κεῖται ἀναβλυσθονεῖν, ὡς ἀνωτέρω ἐν τῷ ἀναβέβρυχεν.

Ἀναβοθρεύουσιν, ἀνασκάπτουσιν, ἀναμοχλεύουσιν.

Ἀναβολαὶ, αἱ βραδυτῆτες λέγονται, καὶ τὰ προοίμια, καὶ αἱ ἀνακρούσεις, καὶ αἱ ἀρχαί. καὶ ἀναβολὰς, τὰς ἀρχὰς τῶν ᾀσμάτων λέγει Ὅμηρος, Ἤτοι ὁ φορμίζων, ἀνεβάλλετο καλὸν ἀείδειν.

Ἀναβολεὺς, ὁ ἐπὶ τὸν ἵππον ἀνάγων. Ὁ δὲ βασιλεὺς, τὸν ἀναβολέα προσκαλεσάμενος, καὶ ταχέως ἀναβὰς ἐπὶ τὸν ἵππον, ἤπτετο πιεῖν, καὶ ἀκράτου σπασάμενος πλεονάκις, ἐνέφαινεν ὡς τοὔμπροσθεν προάξων. ἀναβολεὺς, καὶ ἡ παρὰ Ῥωμαίοις λεγομένη σκάλα. καὶ αὖθις, ὁ δὲ Μασσάλιος γηράσας, ἵππου χωρὶς ἀναβολέως ἐπέβαινεν.

Ἀναβολὴ, ἀνοχή. Αἰλιανὸς, Λοξίας καὶ Ζεὺς πατὴρ, ἀναβολὴν θανάτου ἐψηφίσαντο Φαλάριδι, ἔτη δύο.

Ἀναβόλιμοι δίκαι, οἳ διὰ περίστασιν, εἰς ὑπέρθεσιν ἐμπίπτουσιν.

Ἀνάβραστα, ζεστὰ, ἑψημένα. Ἀριστοφάνης Βατράχοις, Καὶ κρέα γε πρὸς τούτοις, ἀνάβραστ' εἴκοσιν.

Ἀνέβρυχεν, ἤχησε, ποιὸν ἦχον ἀπετέλεσεν.

Ἀναβρόχειν, ἀναρροφεῖν.

Ἀναβρόξειεν, ἠχήσειεν, ἀναρροφήσειεν. * κάλλ. ἀναβρέξειεν, ἠχήσειε. καὶ ἀναβρόξειεν, ἀναρροφήσειεν.

Ἀναβροχθὲν, ἀναποθὲν, ῥοφηθέν.

Ἀνὰ βουνὸν, ἀνὰ τὸ βουνίον, ἀνὰ ὄρος.

Ἀναβῶδες, βαθμοῦ εἶδος.

Ἀναγαγὼν, ἀντὶ τοῦ ἀπαγαγών. οὕτω Ξενοφῶν.

Ἀναγαγγάνεσον, ἀνέκραζον, ἀνεβόων.

Ἀνὰ γαῖον, ἀνὰ τὴν γῆν.

Ἀναγαλλὶς, ἡ Κερκυραία Γραμματική. ἥτις τὴν τῆς σφαίρας εὕρεσιν Ναυσικάᾳ τῇ Ἀλκινόου θυγατρὶ ἀνατίθησι. καὶ ἀναγαλλὶς, εἶδος βοτάνης, καὶ πόα τίς.

Ἀναγάργαρον, ἀκρογάργαρον, ἀκρωτήριον.

Ἀναγαργαρισμὸς, διάχυσις.

Ἀναγγέλλει, κηρύσσει, λέγει.

Ἀναγγελήσεται, διηγηθήσεται.

Ἀναγγέλλω, τὸ ἀναφέρω, ἀπὸ ἐλάττονος εἰς μεῖζον πρόσωπον λεγόμενον. οἷον, Ἀναγγέλλει ὁ δοῦλος τῷ δεσπότῃ. ὡς καὶ Ξενοφῶν, Ἀριαῖος δ' ἐλθὼν Κύρῳ περὶ πάντων ἀναγγέλλει.

Ἀνάγγελον. Μὴ δὲ ἄγγελον καταλειφθῆναι. ἔνθα μάχην ἔπλημεν ἀνάγγελον, ἄλλος ἐπ' ἄλλον πίπτοντες.

Ἀνάγειν, τὸ μηνύειν τὸν πεπρακότα, καὶ ἐπ' ἐκεῖνον ἰέναι. Λυσίας ἐν τῷ πρὸς Βοίωνα, εἰ γνήσιος. καὶ ἀνάγειν, ἄγειν, πείθειν, ἀναγινώσκειν. καὶ ἄναγ' ἐπὶ σκέλος, ἀντὶ τοῦ ἀναχώρει ὀλίγον ἐπὶ πόδα, παρὰ τὸ γόνυ γουνὸς ἀμείβων.

Ἀναγεῖς. Αἰσχίνης κατὰ Κτησιφῶντος, διὰ μὲν τοῦ α, τοὺς ἀνάγνους. ἐὰν δὲ ἐναγεῖς, τοὺς ἐν τῷ ἄγει, τουτέστιν ἐν τῷ μιάσματι.

Ἀναγείσας, ἀπειλησάμενος. * ἀδόκιμον.

Ἀνάγεσθαι, ἀνέρχεσθαι, ἀποπλεῖν ἐκ Βυζαντίου, ἢ ἀπὸ ἑτέρας πόλεως.

Ἀναγεστρὶς, μάζα, Ταραντῖνοι.

Ἀνάγεται, ὁδηγεῖται.

Ἀναγέτρια, ἡ ταῖς τικτούσαις ὑπηρετοῦσα γυνὴ, παρὰ Ταραντίνοις. ἣν Ἀττικοὶ μαῖαν καλοῦσιν.

Ἀναγὴς, ὁ ἐναγὴς, καὶ βέβηλος. καὶ ἀναγής ἐστι, ὁ καθαρὸς, κατὰ στέρησιν τοῦ ἄλφα λαμβανομένου.

Ἀναγινώσκει τὶς τὴν βίβλον, ὅτε ἤδη τοῦτο ποιεῖ. καὶ ἀναγινώσκει τὶς τὴν βίβλον, ὅτε οὐ τοῦτο ποιεῖ, ἀλλὰ ἀρξάμενος καὶ ἀναγνοὺς μέρος αὐτῆς, μέλλει ἀναγνῶναι καὶ τὸ ἕτερον.

Ἀναγινωσκόμενος λόγος, καὶ ἀναγινωσκόμενος ἄνθρωπος, ἀντὶ τοῦ ἀναπειθόμενος· ὡς παρ' Ἀντιφῶντι, καὶ Ἡροδότῳ.

Ἀνάγνωθι, ἤγουν ἀναγίνωσκε.

Ἀναγινώσκω, τὸ βιβλίον διέξειμι. καὶ ἀναγινώσκω, τὸ ἀναγνωρίζω, ἀφ' οὗ καὶ ἀνάγνωσις, ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρησις, ὡς προειδυίας ταῦτα. εἴρηται δὲ καὶ παρ' Ἡροδότῳ τὸ ἀναπείθω. καὶ ἀναγινώσκω ὅλην τὴν νύκτα, καὶ δι' ὅλης τῆς νυκτός.

Ἀναγκάζω, ἐπὶ ἐμψύχου μόνον, βιάζειν ἐπὶ ἀψύχου. οἷον, Ἐβιάσατο τὸ ῥεῦμα τοῦ ποταμοῦ τὴν ναῦν. ἀναγκάζω σε τοῦτο ποιεῖν, καὶ ἀναγκάζω σε τρέχειν. ὡς καὶ ἡ τύχη ἀναγκάζει τοὺς ἀνθρώπους πάντα ποιεῖν. Σημείωσαι ὅτι τὸ ἀναγκάζω, ὁμοίως καὶ τὸ καταναγ-

ναγ-

Digitized by Google

ναγκάζω, ἀεὶ ἀπαρεμφάτῳ συντάσσεται, αἰτιατικὴν ἐφελκομένῳ. ὡς τὸ, ἀναγκάζω σε λαβεῖν βιβλίον εἰς χεῖρας, ἀμφοτέρων, τοῦ τε ῥήματος, καὶ τοῦ ἀπαρεμφάτου, τῆς αἰτιατικῆς ἐχομένης. οἷον, ἀναγκάζω σε λαβεῖν βιβλίον.

Ἀναγκαία, ἐξ ἀνάγκης. καὶ ἀναγκαία τράπεζα, ἡ εὐτελής, καὶ πενιχρά.

Ἀναγκαίη ἐπείγει, ἀντὶ τοῦ ἀνάγκη. ὁμοίως λέγεται ἀλκαία, καὶ προκομαία ἐλέφαντος, ἀντὶ τοῦ ἀλκή, καὶ προνομή.

Ἀναγκαίνισμα, ἀνακίνημα. * ἀδόκιμον.

Ἀναγκαῖοι δμῶες, κατὰ τὴν Ὁμηρικὴν ἑρμηνείαν, οἱ φίλα ἐργαζόμενοι. καὶ ἀναγκαῖοι πολεμισταί, οἱ κατὰ ἀνάγκην πολεμικοὶ γεγονότες, γέροντες ὄντες, ὥς, τε Λαέρτης καὶ Δολίων.

Ἀναγκαῖον ἦμαρ, τὸ τῆς ἁλώσεως καὶ δουλώσεως, ἐν ᾧ τις ἀνάγκην πάσχει. ὅθεν καὶ παρὰ Σοφοκλεῖ ἀναγκαία τύχη, ἡ δουλική, καθ' ἣν οὐ ζῇ τις ὡς βούλεται, ἀλλὰ δουλικῶς. διὸ καὶ ἀντετέθη, τὸ ἐλεύθερον ἦμαρ, καὶ τὸ ἦμαρ ἀναγκαῖον. καὶ ἀναγκαῖον, τὸ δεσμωτήριον.

Ἀναγκαίῳ μύθῳ παρ' Ὁμήρῳ, ἤγουν ἀναγκαστικῷ, καὶ βιαίῳ.

Ἀνάγκη, διττή· ἡ μὲν πρὸς βίαν, ἡ δὲ κατὰ φύσιν. γίνεται παρὰ τὸ ἄγω, ἄγη, καὶ πλεονασμῷ τοῦ κ, ἄγκη, καὶ ἀνάγκη. ἢ παρὰ τὸ ἀνάσσω, ἡ πάντων ἀνάσσουσα. καὶ ἀνάγκη, ἡ δικαστικὴ κλεψύδρα.

Ἀνάγκυς, ὄρνεόν τι Ἰνδικόν, ὅμοιον Ψάρῳ.

Ἀναγκομέναρχος, ὁ τύραννος.

Ἀναγκοφαγεῖν, πρὸς ἀνάγκην ἐσθίειν. ὅπερ οἱ ἀθληταὶ πάσχουσιν.

Ἀναγνούσῃ, ἀναγνωρισάσῃ.

Ἀναγνῶναι, ἀναπεῖσαι.

Ἀναγνωρίζω, ἐπιγινώσκω, μιμνήσκομαι, ἐνθυμοῦμαι, ἀναπολῶ, ἀναλογίζομαι, ἀναμιμνήσκομαι. ἐπὶ ἀναγνωρισμοῦ ταῦτα λέγεται. ἐκ τούτων παράγεται ἐπίγνωσις, καὶ μνήμη, καὶ ἐνθύμημα, καὶ ἀναπόλησις, καὶ ἀναλογισμός, καὶ ἀνάμνησις.

Ἀναγνωσθείς, ἀντὶ τοῦ ἀναπεισθείς. Ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικός, ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί.

Ἀνάγνωσις κατὰ φιλοσόφους, ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις. ἡ ἀνάπεισις, οὕτως Ἡρόδοτος. ἡ ἀνάγνωσις κατὰ τοὺς γραμματικούς ἐστι ποιημάτων, ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά. ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν. ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως, τὴν ἀρετήν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην, ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν. ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν, τὴν δὲ κωμῳδίαν βιωτικῶς, τὰ δὲ ἐλεγεῖα λιγυρῶς, τὸ δὲ ἔπος εὐτόνως, τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς, τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς. τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν, καὶ τὰς τῶν ποιητῶν ἀρετὰς καταρρίπτει, καὶ τὰς ἕξεις τῶν ἀναγινωσκόντων καταγελάστους παρίστησιν.

Ἀνάγεται ἡ ναῦς ἀπὸ λιμένος εἰς πέλαγος, κατάγεται δὲ καὶ καταίρει ἀπὸ πελάγους εἰς γῆν. κατάγονται οἱ φυγάδες, εἰς τὴν πατρίδα ἐπανιόντες. κατάγεται καὶ ὁδοιπορῶν τις εἰς καταγώγιον.

Ἀνάγομαι παθητικῶς, τὸ ἀναπλέω. ἤτοι ἐκ τοῦ λιμένος εἰς τὸ πέλαγος πλέω. οὗ τὸ ἐναντίον, κατάγομαι.

Ἀναγεῖς, διὰ μὲν τοῦ α, τοὺς ἀνάγνους. διὰ δὲ τοῦ ε, τοὺς ἐνόχους ἄγει καὶ μιάσματι. οὕτως Αἰσχίνης.

Ἀναγνωστήριον, ἀναλόγιον.

* Ἀναγνωστήριον λέγεται ὁ τόπος, ἐν ᾧ ἀναγινώσκομεν.

Ἄναγον. Ὅμηρος, Ἐς μέσον ἄναγον, περιττὴ ἡ πρόθεσις ἐν τῷ ἄναγον. Ἰώνων δέ φασιν ἡ λέξις, κειμένη καὶ ἐν τῷ, Τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε. τοιοῦτον καὶ τὸ, Εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρον ἀνάγουσιν, ἀντὶ τοῦ ἄγουσιν.

Ἀνάγοντο, ἀνέπλεον.

Ἀνάγου, ἀνάπλευσον.

Ἀνὰ γουνόν, ἀνὰ τὴν γόνιμον γῆν.

Ἀνάγουσιν, ἀντὶ τοῦ ἁπλῶς ἄγουσι. καὶ ἐν Ὀδυσσείᾳ πολλαχοῦ τοιαῦται λέξεις κεῖνται.

* Ἀναγραμματισμός ἐστι γραμμάτων μετάθεσις. οἷον, ἀρετή, ἐρατή. χλόη, χολή. καὶ ἀναγραμματίζειν, τὸ λέγειν τι κατὰ γραμμάτων μετάθεσιν. Εὐστάθιος, ἀναγραμματισθεὶς γὰρ καὶ νῦν ὁ χύλος, τὸν λόχον ποιεῖ.

Ἀναγραπτέον ἐστὶν ἡμῖν ἐκεῖνον εὐεργέτην, ἀντὶ τοῦ γραπτέον.

Ἀνάγραπτος, ἀνάπηρος, ἀνάπλεως, ὁ δι' ὅλου πεπληρωμένος.

* Ἀνάγραπτος, ὁ τοῖς ὕστερον διὰ γραμμάτων παραδιδόμενος. κείσεταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἐσαεὶ ἀνάγραπτος. Θουκυδίδης.

Ἀναγράψασθαι, εὐφημίσασθαι.

Ἀνάγρεπτον, τὸ ἀνυπόστροφον.

Ἄναγρον ἢ ἄνιγρον, ἐναγές. * ἴσως, ἄναγνον, ἢ ἀνιγρόν.

Ἀναγυράσιος, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος, δῆμός ἐστιν Ἀναγυροῦς, τῆς Ἐρεχθηΐδος φυλῆς. ἔνθεν ὁ δημότης Ἀναγυράσιος. ἢ ἀναγυροῦς, δῆμος Αἰαντίδος. ἀφ' οὗ Ἀναγυράσιος.

Ἀναγχιππεῖν, τὸ μετὰ ἀνάγκης ἱππεύειν.

Ἀνάγχρεψις, ἀνάβηξις. * γραπτέον, ἀνάχρεμψις.

Ἀνάγω, τὸ παιδεύω καὶ διδάσκω, αἰτιατικῇ συντάσσεται. καὶ ἀνάγει ὁ κυβερνήτης τὴν ναῦν ἀπὸ λιμένος ἐπὶ τὸ πέλαγος. καὶ ἀνάγω τὴν ναῦν ἐπὶ ἀναπλεύσεως. οὗ τὸ ἐναντίον, κατάγω. καὶ ἀνάγω, τὸ ἐρεθίζω, καὶ ἐμβιβάζω. οἷον, ἀνάγω σε πλέειν εἰς Πειραιᾶ. καὶ ἀνάγω σε εἰς τὴν καταδοχὴν τοῦ φίλου. τουτέστιν, ἐρεθίζω σε καταδέξασθαι αὐτόν. ἄλλως.

Ἀνάγω, τὸ ὑπομιμνήσκω, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται, οἷον, ἀνάγει τῷ βασιλεῖ τὰ περὶ αὐτοῦ. ἀνάγω καὶ τὸ εἰς ὕψος ἄγω, οἷον, ἀνάγει ταύτην τὴν ὑπόθεσιν, ἀντὶ τοῦ ἐφ' ἡμῶν ὕψοι.

Ἀναγωγή, ὁ ἀνάπλους. καὶ ἀνάγεσθαι μέν, τὸ ἐξ ὅρμου ἀναπλέειν. κατάγεσθαι δέ, τὸ καταπλέειν καὶ προσορμίζεσθαι. ἡ ἀναγωγή, ἡ τῶν πραθέντων ἀνδραπόδων ἀνάδοσις, ἐχόντων αἰτίαν τινά. ἢ ὁ ἐκ τῆς Ἑλλάδος εἰς τὴν Τροίαν ἀπόπλους. καὶ ὁ ἐκ τοῦ Ναυστάθμου, ἐπὶ τὴν Ἑλλάδα. Ἡλιόδωρος.

Ἀναγωγία, ἡ ἀπαιδευσία. Ὁ δὲ δι' ἀναγωγίαν ταῦτα ἔπασχεν, ἔχων στρατὸν ὑπὸ μέθης καὶ ἀναγωγίας ἠμελημένον, καὶ διεφθαρμένον.

Ἀνάγωγος, ὁ ὑβριστής. ἢ ὁ μὴ τυχὼν τῆς δεούσης ἀναγωγῆς. ἢ ὁ φιλήδονος, καὶ ἐκλελυμένος.

Ἀναγωγότερον, ἁμαρτητικώτερον, ἀτακτότερον.

Ἀναγωγῶ πως, ἀτάκτω πως.

Ἀναγώνιστος, ὁ μὴ ἀγωνισάμενος.

Ἀναδαιμονίζειν, τὸ ἐκ δευτέρου κληροῦσθαι.

Ἀναδάσασθαι, ἀναμερίσασθαι. καὶ ἀναδασμός, μερισμός.

Ἀναδάστως, ἀνωμάλως. ἔχων τις τοῦ σώματος ἀναδάστως.

Ἄνα δέ, ἀνέστη δέ. καὶ ἄνα, ἀντὶ τοῦ ὦ ἄναξ.

Ἀνὰ δ' ἐβόασ' ὁ λεώς, ἀντὶ τοῦ, ἀνεβόησε δὲ ὁ λαός.

Ἀναδέδραμεν, ἄνω ἔδραμεν. καὶ εἰς ὕψος ἀνῆλθεν, ἢ ἐχώρησεν εἰς τοὐπίσω.

Ἀναδείμασθαι, ἀνοικοδομῆσαι.

Ἀναδέδρομε, μέσος παρακείμενος, ἀπὸ τοῦ ἀρρήτου ἐνεστῶτος τοῦ δρέμω. ἀφ' οὗ καὶ δρόμος.

Ἀναδείγματα, ὤιας τὰς περὶ τραχήλοις, καὶ τὰ ἐν ταῖς τραγικαῖς σκηναῖς εἴδωλα δεικνύμενα. * ὅτε δηλοῖ τὰς ὤιας κάλλιον λέγειν ἀναδέγματα διὰ τὸ τούτοις ἀναχαιτίζεσθαι τοὺς ἵππους.

Ἀναδεῖ, ἀναπλέκει, στέφει. καὶ ἀναδεῖσθαι, στεφανοῦσθαι. καὶ ἀναδήσασθαι, στεφανώσασθαι. καὶ ἀναδῆσαι, τὸ ταινιῶσαι νικῶντα. καὶ ἀναδήσοντες, στέψοντες. ὡς τὸ, ἀναδήσειν στεφάνῳ, χρυσοῦ πεποιημένῳ. ἢ τὸ ἀναδεῖν παρὰ τῷ Ἀριστοφάνει, ταυτὸν τῷ στεφανοῦν. ἐξ οὗ ἀνάδετος, γυναικεῖος κόσμος. ὃς καὶ ἀναδέσμη λέγεται. ἔχει δὲ ἀπεναντίον πρὸς τὸ ἀναδεῖν, τὸ ὑποδεῖν. ἐξ οὗ ὑπόδημα. τὸ μέντοι διάδημα, ἐπὶ κόσμου βασιλικοῦ τοῦ περιδεδεμένου δι' ὅλου τοῦ σώματος.

Ἀναδενδράδα, σταφυλῆς γένος. οἱ δὲ τὴν ἀνάμιξιν τῆς ἀμπέλου οὕτω καλεῖσθαι. εὕρηται δέ, καὶ παρὰ Ἐπιχάρμῳ, καὶ Σαπφοῖ τὸ ὄνομα.

Ἀναδέξασθαι, ὑπενεγκεῖν, ὑπομεῖναι, ἀναλαβεῖν, ἐκδέξασθαι.

Ἀναδέρειν, γυμνοῦν.

Ἀναδέρω, ὑπερτίθεμαι, ἀναβάλλομαι.

Ἀναδέσμη, ἦν δέ τις κόσμος τῆς κεφαλῆς, ὥσπερ κεκρύφαλος.

Ἀναδεύειν, φυρᾶν. καὶ ἀναδεύσει, φυράσει, μαλάξει.

Ἀνὰ δ' ἔφλυεν, ἀνέβαλεν.

Ἀναδέχομαι, τὸ ἐπ' ἐμοὶ δέχομαι.

Ἀναδήματα, στεφανώματα.

Ἀναδήσονται, στέψονται.

Ἀναδιδάξαι, ἀντὶ τοῦ πάνυ διδάξαι. ἐπιτατικὸν γὰρ ἡ ἀνά.

Ἀναδίδωμι, ἀνίσχω, ἀναβλαστάνω, ἀνίημι, ἐκφύω. καὶ ἀναδίδωσιν, ἀντὶ τοῦ ἀναβλαστάνει, καὶ ἀναπέμπει.

Ἀνάδικα, τὰ ἤδη κριθέντα. ὡς τὸ, Ἀνάδικα τὰ δεδικασμένα ποιῶν, αἰσχροκερδείας ἡττώμενος.

Ἀναδικάσασθαι, τὸ ἄνωθεν δικάσασθαι.

Ἀνάδικοι κινήσεις, * (ἄλλ. κρίσεις) αἱ ἄνωθεν δικαζόμεναι, ὅταν ἁλῶσιν οἱ μάρτυρες ψευδομαρτυριῶν. Ἄλλως.

Ἀνάδικοι, οὕτως ἐλέγοντο, οἱ τὰ δίκαια εἰς ἀκεραίαν ἐγκαθιστάμενοι, ἤτοι διὰ πολιτικὴν αἰτίαν, ἢ τῶν μαρτύρων ἁλόντων ψευδοκατηγόρων.

Ἀναδίκτης, εἶδος παγίδος. παρὰ τὸ δικεῖν, τὸ βάλλειν. ἔνθεν ὁ δίσκος ὁ ῥιπτούμενος.

Ἀναδινήσας, ἀνακινήσας.

Ἀναδινίω, περιπατῶ. * κάλλ. ἀναδινέω.

Ἀναδιπλασιασμός, ὅταν τὸ ἑξῆς τῆς λέξεως σύμφωνον ἔχῃ. οἷον, τέτυφα.

Ἀναδίπλωσίς ἐστι, πρώτων ἢ δευτέρων συλλαβῶν διὰ τῶν αὐτῶν συμφώνων, ἢ ἀντιστοίχων ἐπάλληλος ἐκφορά. γίνεται δὲ ἐπὶ ῥημάτων, καὶ μετοχῶν, καὶ ὀνομάτων. πλεονάζει παρά τε Ἴωσι καὶ Αἰολεῦσιν. οἷον κεκάμωσιν ἀντὶ τοῦ κάμωσι, λελάχωσιν ἀντὶ τοῦ λάχωσιν, ἀταρτηρὸς ἀντὶ τοῦ ἀτηρός, ἐτήτυμον ἀντὶ τοῦ ἔτυμον. Ἄλλως.

Ἀναδίπλωσις, ἢ ἐπανάληψις, ἢ παλιλλογία ἐστίν, ὅταν ἐπαναλαμβάνωμεν μέρος τι λόγου, ἢ πλείονας λέξεις. οἷόν ἐστι τὸ, τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, εἰ πυρὶ χεῖρας ἔοικε. ποτὲ δὲ παρεντιθεμένων ἄλλων τινῶν, καὶ τῶν αὐτῶν πάλιν ἀντιλαμβάνωμεν. ὡς ἐν τῷ, ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας, Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν.

Ἀναδοιδυκίζει, ἀναταράττει.

Ἀναδομή, ἀναδασμός. ἐγὼ δὲ λέγω, ἀνάκτισις.

Ἀναδουμένη, στεφανουμένη. ἀναδουμένη οὕτω μέγα πρὸ πάντων ἀνθρώπων.

Ἀναδούμενος, ἀναδεσμούμενος· δέω, δέομαι δεόμενος, κατὰ συναίρεσιν ἢ κρᾶσιν, ἀναδούμενος.

Ἀναδουνῦαι, ἐκκλῖναι. * ἄλλ. ἀναδῦναι.

Ἀνάδοχον, οὐκ ἀναδοχέα λέγουσιν.

Ἀναδραμεῖν, ἀναβιῶναι.

Ἀναδρᾶσαι, ἀναπράξαι.

Ἀναδρομαί, αὐξήσεις, βλαστήσεις. Εὐριπίδης Ἱκέτησιν.

Ἀναδρύμματα, θύματα. * κάλλ. ἀναδράγματα.

Ἀναδρύψει, ἀναξηρανεῖ. * ἴσως, ἀναξανεῖ. δρύπτειν γὰρ τὸ ξαίνειν.

Ἀναδύει, μεταβουλεύει.

Ἀναδύεσθαι, κατὰ τοὺς παλαιούς, ἀπὸ ζώων

εἰλη-

εὔληπται. καὶ προθύμως μὲν ἔχοντα δύεται ὑπὸ ζυγόν· μὴ προθυμούμενα δὲ, ἀναδύεται. καὶ ἄλλως δέ ἐστιν εἰπεῖν. ὡς δύεσθαι μὲν, καὶ καταδῦναι ὅμιλον, τὸ θαρρεῖν εἰς μάχην δηλοῖ, καὶ οὕτως εἰς βάθος αὐτῆς χωρεῖν. ἀναδύεσθαι δὲ, τὸ ἄλλως ἀναχωρεῖν, ὁμοίως τοῖς καθ' ὑδάτων δυομένοις ζώοις. καὶ ἀναδύεσθαι λέγεται, ἐπὶ τῶν ἀποδυσαμένων, καὶ εἰς ἀγῶνα ὁρμησάντων, εἶτα διὰ δειλίαν ὑποφυγόντων τὸν ἀγῶνα, καὶ ἐκδυσαμένων. λέγεται τὸ ἀναδύεσθαι, καὶ ἐπὶ τῶν ἀνανεύειν ἐπὶ τῆς θαλάττης, ὃ ἐναντίον τοῦ καταδύεσθαι. οἷον, καταδύεταί τις εἰς τὸν βυθὸν, καὶ ἀναδύεται ἐκ τοῦ βυθοῦ.

Ἀναδύεται, ὑπερτίθεται, καὶ βραδύνεται.

Ἀναδῦναι, ἀνάπαλιν ἔχει πρὸς τὸ καταδῦναι εἰς πόλιν, ἢ εἰς ὅμιλον δηλονότι. σημαίνει καὶ τὸ ἀναχωρῆσαι, ἀναδραμεῖν, καὶ ὑποστρέψαι.

Ἀναδυόμενος, φεύγων, ἀναβαλλόμενος. καὶ ἀναδύομαι, ἀντὶ τοῦ μεταβουλεύομαι.

Ἀναδύεσθαι, ἀναβάλλεσθαι, ἀπωθεῖσθαι, μὴ βούλεσθαι.

Ἄνα δωδωναῖε, βασιλεῦ ἐν Δωδώνῃ τιμώμενε.

Ἀνάεδνον, ἄπροικον, χωρὶς ἕδνων. ἕδνα δέ ἐστι, τὰ πρὸ τοῦ γάμου ταῖς γαμεῖσθαι μελλούσαις παρὰ τῶν μνηστήρων διδόμενα δῶρα.

Ἀναεῖραι, τὸ ἀνυψῶσαι, καὶ ἄνω ἆραι. δηλοῖ καὶ τὸ ἀναβαστάξαι. κυριωτάτη λέξις ἐστί. διὸ καὶ ἐπιμένει αὐτῇ ὁ Ποιητὴς πολλαχοῦ.

* Ἀνάελπτος, ὁ ἐκτὸς ἐλπίδος. Ἡσίοδος.

* Ἀναερτάζω, ἀναίρω, ἀνυψῶ.

Ἀνάζαρβα, πόλις Κιλικίας, ἀπὸ Ἀναζάρβα τοῦ κτίσαντος αὐτήν. ὁ πολίτης, Ἀναζαρβεύς· ὡς Καρυανδεύς. ἀφ' ἧς Διοσκουρίδης ἰατρὸς χρηματίζων, καὶ Ἀσκληπιάδης ὁ Ἀναζαρβεύς. * παρὰ Σουίδᾳ γράφεται ἡ πόλις Ἀνάζαρβος, ὁ κτίσας Ζάρβας. παρ' ἄλλοις, Ἀζάρβας.

Ἀναζεύξας, ἀναστρατοπεδεύσας, ὑποστρέψας.

Ἀναζυγαῖς, ἀναστροφαῖς, στρατοπεδείαις, ἀναλύσεσι τῶν στρατοπεδευμάτων. Πολύβιος, ὁ δὲ Φίλιππος οὐδενὶ κόσμῳ ποιησάμενος τὴν ἀναζυγὴν, καὶ τὸν ἀνάπλουν, δευτεραῖος εἰς Κεφαλληνίαν κατῆρεν.

Ἀναζυγοῦν, τὸ ἀνοίγειν κιβωτὸν, ἢ τὸν ἐπὶ τῇ θύρᾳ στύρακα. λέγεται δὲ καὶ ζύγαστρον ἀναζυγοῦντες, ἀντὶ τοῦ ἀνάγοντες εἰς τὸ ἄνω φῶς.

Ἀναζωπυρῆσαι, ἀνεγεῖραι, ἀνανεῶσαι, ἀνάψαι.

Ἀναζυγῶσαι, τὸ τὰς θύρας ἀναπετάσαι. Ἀριστοφάνης, τὴν θύραν ἀναζυγώσας.

Ἀναθαρρήσῃ, θαρσαλεωτέρας γένηται.

Ἀναθέης, βασιλίσσης.

Ἀναθεῖναι τὸν φόρτον, οὐκ ἐπιθεῖναι. Ἀριστείδης ἐν τῇ τετάρτῃ τῶν ἱερῶν, μὴ κρίσεως νόμῳ τὴν ἀρχὴν ἀνατιθέντος. καὶ ἀναθεῖναι, ἀντὶ τοῦ ἀφιερῶσαι. ὁ αὐτὸς ἐν τῷ αὐτῷ, Ἔδοκει χρῆναι ἀναθεῖναι τρίποδα ἀργυροῦν. καὶ ἀνατίθημι, ἐπὶ φορτίων καὶ ἀφιερωμάτων. ἀνατίθεμαι δὲ, τὸ ἀναβάλλομαι, καὶ ὑπερτίθεμαι. οἷον ἀνατίθεμαι τὰ κατηγορημένα. ἀναθεῖσα τοῦ γε κατθανεῖν, παρὰ Σοφοκλεῖ. οἷον, ὑπέρθεσιν ποιησαμένη τοῦ θανάτου.

Ἀναθεὶς, ἐπιστρέψας. ἐπὶ ἀψύχων τάττεται. ἐχρήσατο δὲ Ἀριστοφάνης καὶ ἐπὶ ἐμψύχων, ἀπολῶ τὸν ἄνθρωπον ἐπὶ κρημνόν τιν' ἀναθείς.

Ἀναθεματισμένος, ἐπάρατος, ἢ ἀκοινώνητος.

Ἀναθέντας, ἀντὶ τοῦ ἐπιθέντας. οὕτω Ξενοφῶν.

Ἀναθέσθαι, ἀντὶ τοῦ ἀναβιῶναι. οὕτως Ἀντιφῶν. καὶ ἐπὶ τῶν πεττῶν ἔλεγον οἱ παίζοντες. οὓς γὰρ μὴ κατὰ τὸ δέον ἐκίνησαν, τούτους ἀνετίθεσαν. καὶ ἀναθέσθαι, τὸ ἀναβαλεῖν τὰ λελεγμένα, καὶ μηκέτι ταῦτα λέγειν.

Ἀνάθεσις, ὑπέρθεσις. τὰ χρήματα δώσειν ὑπέσχοντο, τριῶν ἡμερῶν ποιήσαντες ἀνάθεσιν.

Ἀναθήκη, ἀνάθεσις.

Ἀναθηλήσει, παρὰ τὸ ἀναθηλῶ. ἢ παρὰ τὸ θάλλω. ὁ μέλλων θαλῶ, καὶ θαλήσω. καὶ ἀναθηλήσει, ἀναβλαστήσει.

Ἀνάθημα, ἄγαλμα, κόσμος.

Ἀναθήματα, ὡς ἐπιτοπολὺ λέγονται στέφανοι, φιάλαι, ἐκπώματα, θυμιατήρια, χρυσίδες, ἀργυρίδες, οἰνοχόαι, ἀμφορίσκοι. καὶ ἀναθήματα δαιτὸς, ἡ μολπὴ, καὶ ἡ ὀρχηστύς. ὥσπερ γὰρ ναοῖς ἀναθήματα, οὕτω καὶ αὐτὰ κόσμος τὶς ἀνακείμενος τῇ δαιτί.

Ἀναθήσει, κεῖται ἀντὶ τοῦ ἀνάψει, ἤγουν ἐκκρεμάσει, παρ' Ὁμήρῳ. ἐκ μεταφορᾶς τῶν ἀναθημάτων, ἀντὶ τοῦ ἐπιθήσει. Ἀττικῶν δὲ ἡ λέξις, οἳ καὶ ἀναθεῖναι φορτίον φασὶ, τὸ ἐπιθεῖναι. τοιοῦτον δέ τι καὶ τὸ τοῦ Κωμικοῦ, τὸ ἐπὶ κρημνὸν ἀναθείς.

Ἀναθολώσει, ἀναταράξει. μολυνεῖ.

Ἀναθορεῖ, ἀναπηδήσει.

* Ἀναθορεῖ οὐ δηλοῖ τὸ ἀναπηδήσει, ἀλλὰ τὸ ἀναπηδᾷ.

Ἀναθοροῦντες, ἀναπηδοῦντες.

Ἀναθρούμενα, ἀνασκοπούμενα.

Ἀναθροίσας, ἀναβλέψας.

Ἀναθρώσκων, ἀναπηδῶν.

Ἀναθύειν, τὸ ἀναλαμβάνειν τὸ πρᾶγμα διὰ χρόνου. Φερεκράτης, Πάλιν αὖθις ἀναθύουσιν αἱ γεραίτεραι. καὶ ἀναθύειν, τὸ ἀνασκιρτᾷν, καὶ αὖθις ἐξ ἀρχῆς ἀνανεάζειν.

Ἀναθυμιάσεις, ἀναδόσεις. καὶ ἐπὶ τῆς γῆς, καὶ ἐπὶ τῶν βρωμάτων.

Ἀναθύοντες, ἀναιροῦντες, παραβαίνοντες.

Ἀναθῶ, προσφέρω.

Ἀναθωΐξας, ἀναβοήσας. * ἄλλ. ἀναθωΰξας.

Ἄναια, χώρα, πόλις, καὶ τόπος, ἀντικρὺ Σάμου. ἐκλήθη δὲ Ἄναια, ἀπὸ γυναικὸς, μιᾶς οὔσης τῶν Ἀμαζόνων γυναικῶν.

Ἀναίδεια, παρὰ τὸ ἀναιδής. τοῦτο παρὰ τὸ αἰδῶ, αἰδὴς ἀαιδὴς, καὶ ἀναιδής.

Ἀναιδὲς, τὸ θρασύ. καὶ ἀναιδὲς βλέπειν, ἀντὶ τοῦ θρασὺ, θρασέως. καὶ ἀναιδῆ, ἀθρόως, σφοδρῶς, ἀπηρυθριασμένως. καὶ ἀναιδῶς, ἀναισχύντως. καὶ ἀναιδὴς, καὶ ἀναίδεια, ἡ ἀναισχυντία.

Ἀναίδεστον, ἄμοιρον, ἄτιμον.

Ἀναιδεύομαι, ἀμεταβάτως.

Ἀναιέσθιον, * (ἄλλ. ἀνέσθιον) μηκέτι ἐσθιόμενον.

Ἀναιδὴς λίθος, ἐκ τῶν λογικῶν παρῆκται εἰς τὸν λίθον. καθὰ καὶ τὸ ἀνηλεὴς, εἰς τὸν σίδηρον. * σημαίνει δὲ τὸν παχὺν λίθον. ἢ τὸν μέγαν, ἄμετρον.

Ἀναιδῶς, ἀντὶ τοῦ τολμηρῶς, καὶ ἀναισχύντως ἀπὸ τοῦ ἀναιδὴς, ὁ ἀναίσχυντος τῶν ἀναιδῶν, ἀφ' οὗ τὸ ἀναιδῶς.

Ἀναιὴ, τροφὸς, τιθήνη.

Ἀνὰ ἰθὺν, ἤγουν καθ' ὁρμήν. ὁμοίως τῷ οἷς μάλιστα πεποίθεια πᾶσαν ἐπ' ἰθύν. οἱ δὲ παλαιοὶ, ὡς ἓν μέρος λόγου λαμβάνοντες, οἷα ἐπίρρημά φησιν.

Ἀναιθύσσω, ἀνασείω. Σοφοκλῆς Σίνωνι.

Ἀναίκλεια, ἄδειπνα. * παρ' ἄλλοις, ἀναίκλια, ὡς ἀπὸ τοῦ αἶκλον τὸ δεῖπνον.

Ἀναίλιπος, ἀνυπόδητος. * ἔστι γὰρ ἀνάλιπος Δωρικῶς, ὁ ἀνυπόδητος, ἀντὶ τοῦ ἀνήλιπος, παρὰ τὸ ἧλιψ, τὸ ὑπόδημα.

Ἀναιμακτὶ, ἄνευ αἵματος. καὶ ἀναίμονες, καὶ ἀναιμωτί.

Ἀναιμεὶ, χωρὶς αἵματος.

Ἀναιμόδιτον, ἡ Ἀνδράχνη.

Ἀναίμονες, ἀναίματοι. καὶ ἄναιμος, ὁ μὴ ἔχων αἷμα. καὶ ἀναιμωτὶ, ἄνευ αἵματος. καὶ ἀναίμονι δίψῃ, τουτέστιν ἀγγελικῇ. αἷμα γὰρ οὐκ ἔχουσιν οἱ ἄγγελοι. καθὸ οὐδὲ ἐσθίουσιν. περὶ τοῦ ἁγίου Δανιὴλ φησιν, ὁ λογοθέτης εἰς ἐπίγραμμα δῆθεν τοῦ κίονος αὐτοῦ.

Ἀναίμων, ἀναιμάκτων.

Ἀναιμωτὶ διακρίνεσθαι, παροιμιῶδες γέγονε, δηλοῦν, τὸ δίχα μάχης λυθήσεσθαι.

Ἀναίνεσθαι, κοινῶς μὲν τὸ ἀρνεῖσθαι. ἰδίως δὲ, ἐπὶ τῶν κατὰ τοὺς γάμους καὶ τὰ ἀφροδίσια. καὶ ἀναίνομαι, ἀπαρνοῦμαι, προΐεμαι. ἢ τὸ ἀναίνεσθαι, ταυτόν ἐστι τὸ μὴ αἰνεῖν, ἤγουν συναινεῖν, ἢ συγκατατίθεσθαι. παρὰ τὴν α στέρησιν, καὶ τὸν αἶνον, ὃς δηλοῖ συγκατάθεσιν. ἐξ οὗ καὶ ἡ συναίνεσις, καὶ τὸ συναινεῖν, καὶ συγκαταινεῖν.

Ἀναίνεται, καὶ ἀναίνετο, ἀρνεῖται, παραιτεῖται. ἀρνεῖτο, καὶ παρῃτεῖτο. ἐκ τοῦ ἀρνῶ, ἐξ οὗ καὶ τὸ ἀρνοῦμαι, γίνεται ἀρναίνω. καὶ ἐνδείᾳ τοῦ ρ ἀναίνω, καὶ ἀναίνομαι.

Ἀναιρεθεὶς, ἀντὶ τοῦ ἀναληφθείς. οὕτως Ἰσοκράτης.

Ἀναιρεῖ, ἐνεργητικῶς, ἀντὶ τοῦ φονεύει. καὶ ἀναιρεῖ, ἀντὶ τοῦ ἐκβάλλει, καὶ ἀφανίζει. Μάξιμος· Καὶ τὰ μαντεῖα ἀναιρεῖ, καὶ τὸν φήμαις ἀπιστεῖ. καὶ ἀναιρεῖ, ἀντὶ τοῦ νικᾷ. Ἡρόδοτος, Ὀλυμπίαν ᾑρηκώς. ἀναιρεῖται δὲ παθητικῶς, ἀντὶ τοῦ φονεύεται, καὶ ἀντὶ τοῦ ἀναλαμβάνει, καὶ ἰδιοποιεῖται. Ἑρμογένης, Ἐξετίθεσαν Ἀθηναῖοι τὰ γένη, Μεγαρεῖς ἀναιρούμενοι ἔτρεφον. Ἄλλως.

Ἀναιρεῖν, φονεύειν, κτείνειν, ἀποκτείνειν, ἀποκτιννύειν, ἀποκτιννύναι, σφάττειν, ἀποσφάττειν, δολοφονεῖν, μιαιφονεῖν, ἀποχρᾶσθαι, καὶ διαχρᾶσθαι, καὶ τὰ ὅμοια, ταυτὸν σημαίνουσι. τὰ δὲ πράγματα, ἀναίρεσις, φόνος, σφαγὴ, μιαιφονία, ἀνδροφονία. ἐπίρρημα μόνον, φονικῶς. ὀνόματα δὲ ἀνδροφόνος, φονεὺς, φονικὸς, σφαγεὺς, μιαιφόνος.

Ἀναίρεσις ἡ τῆς κάρας ἐκτομὴ, καὶ τὸ ἄλλως θανατῶσαι, καὶ ἡ τινὸς ἀφαίρεσις. λαμβάνεται δὲ καὶ ἐπὶ ἀνατροπῆς.

Ἀναιρετὴς, φονευτὴς, ἐκτομεύς.

Ἀναιρήσεσθαι, καὶ ἀνελέσθαι τὶ δηλοῖ, κάτω κείμενον. τοιοῦτον οὖν τι, καὶ τὸ πρὸ ὀλίγου μεταφορικῶς, τὸ ἄεθλια παρὸς καλὰ ἀνελέσθαι.

Ἄναιρον, ὄνειρον. Κρῆτες.

Ἀναιρῶ, οὐ μόνον τὸ φονεύω, ἀλλὰ καὶ τὸ μαντεύομαι. καὶ ἀναιροῦμαι, οὐ μόνον τὸ φονεύομαι, ἀλλὰ καὶ τὸ ἀναλαμβάνω, καὶ τὸ ἀνέλκω. ὡς τὸ, ἀναιρεῖται τὸν βωμὸν, βαρυστενάξας. καὶ τὸ, πάντας εἰς ἔπαινον ἀνῄρηται. καὶ ἀναιροῦμαι, τὸ μαντείαν δέχομαι. Ἀριστείδης, Πῶς οὐκ ἄλογον, καὶ πρόχειρον, παρὰ Θεῷ κριτῇ σοφωτάτῳ, ἀνῃρῆσθαι· ἤτοι μαντεύεσθαι. καὶ τὰ πράγματα, ἀναίρεσις, ὁ φόνος. καὶ ἀναίρεσις, ἡ ἀνάληψις. οἷον, ἀναίρεσις τῶν ὀστῶν, καὶ ἀναίρεσις τῶν κρεῶν.

Ἀναισθητεύομαι, τὸ μὲν ὄνομα ἀναίσθητος, δοκιμώτατον. τὸ δὲ ῥῆμα, οὐκέτι. λέγε οὖν, οὐκ αἰσθάνομαι. διὸ ἀναισθητεύομαι μὴ εἴποις, ἀλλ' ἀναισθήτως ἔχω.

Ἀναισιμοῦν, δαπανᾷν, ἀναλίσκειν.

Ἀναισιμώματα, ἀναλώματα.

* Ἀναισχυντεῖν λόγῳ, καὶ ἀναισχυντεῖν πρὸς τὴν ἀλήθειαν, καὶ περί τινος.

* Ἀναισχυντηλία ἐστὶν ἕξις ἔμφυτος ἀναισχυντίας.

Ἀναίτιος, ἀθῶος, ἀνέγκλητος.

Ἄναιτος, ἀβλαβὴς, ἀναίτιος. Σοφοκλῆς, Πόλις δέ σοι κακῶν ἄναιτος, τῆσδ' ἀπαλλαχθῇ χθονός.

Ἀνακαγχάσας λέγεται, τὸ ἀσέμνως γελᾷν.

Ἀνακαθαίρομαι, οὐ μόνον τὸ κάθαρσιν δέχομαι, ἀλλὰ τὸ καθαίρω. Λιβάνιος, Πάντα τὸν τρόπον ἐπῆλθεν ἀνακαθαιρόμενος γῆν τε καὶ θάλατταν.

Ἀνακάθαρσις, διάνοιξις, διασάφησις, ἐπίλυσις, διάκρισις.

Ἀνακαθιζήσομαι, τὸ ἀνακαθίσω.

Ἀνακαίασις. δῆμος φυλῆς Ἱπποθοωντίδος ἡ ἀνακαίασις. * παρ' ἄλλοις. Ἀνάκαια.

Ἀνακαίειν, ἀνάπτειν.

Ἀνακαίνισις. ἡ ἀνανέωσις. λέγεται δὲ καὶ ἀνακαίνωσις.

Ἀνάκαιον, τὸ δεσμωτήριον, εἰς ὃ κατετίθεντο τοὺς πονηροὺς δούλους, καὶ τῶν ἀπελευθέρων τοὺς ἀφισαμένους.

Ἀνακαλεῖ τὶς τινὰ, ὑποστρέφειν αὐτὸν προτρεπόμενος. ἀνακαλεῖται δέ τις, ὁ ἀνακτώμενος.

Ἀνακαλοῦμαι, παθητικῶς προφερόμενον, ἐνεργητικὴν ἔχει σημασίαν, καὶ τίθεται ἀντὶ τοῦ ἀναδέχομαι, καὶ ἀντὶ τοῦ ἀναλαμβάνω. οἷον, Ὀργισθεὶς τῷ δεῖνι ὁ βασιλεὺς, εἶτα ἀνεκαλέσατο αὐτόν. καὶ ἀντὶ τοῦ ἐπανακτῶμαι. οἷον, ἀνεκαλεῖτο τὴν ἧτταν. ἀντὶ τοῦ ἅπερ ἀπώλεσεν ἡττηθεὶς τῶν ἐχθρῶν εἶτ' αὖθις διὰ πολέμου ταῦτα ἀνεκαλεῖτο. ἀντὶ τοῦ πολεμῶν ἐπανεκτᾶτο καὶ ἐπανέσωζεν.

Ἀνακαλυπτήρια, τὰ διδόμενα δῶρα ταῖς νύμφαις, ὅταν πρῶτον ἀνακαλύπτωνται, ὥστε ὁραθῆναι τοῖς ἀνδράσι. καλεῖται δὲ αὐτὰ καὶ ἐπαύλαια. ταῦτα δ' εἰσὶ τὰ παρ' ἡμῖν θεώρητρα. * λέγεται καὶ ἀνακάλυπτρα.

Ἀνακαμψέρως, φυτόν τι, ὃ καὶ ἀρθὲν ἀπὸ γῆς ζῇ.

Ἀνακαμψίπλοος, ὁ καικίας καλούμενος ἄνεμος. * καὶ ἀλ. ἀνακαμψίπνοος.

Ἀνάκωνδα, ἐν ὑπερῴῳ. Λάκωνες.

Ἄνακας, τοὺς Διοσκούρους. ἢ ἄνωθεν, ἐν ὕψει, ἄνω.

Ἀνακάμψαι, καταφυγεῖν, ὑποστρέψαι.

Ἀνακείμενος, ὁ ἀναπεπτωκὼς, καὶ ῥαθυμῶν. καὶ ἀνακείμενος, ὁ ἀνατεθειμένος. οἷον, ἀνακείμενος ἀνδριάς.

Ἀνάκεια, Διοσκούρων ἑορτὴ τὰ ἀνάκεια.

Ἀνάκειον, ὄρος. ἢ τὸ τῶν Διοσκούρων ἱερόν.

Ἀνακείρει, ἀποτέμνει.

Ἀνακεῖσθαι, λέγεται κυρίως ἐπὶ τῶν ἀναθημάτων, καὶ ἐπὶ τῶν ἀνδριάντων. κατακεῖσθαι δὲ καὶ κατακεκλῖσθαι, ἐπὶ τραπέζης. καὶ ἀνακεῖσθαι πολλάκις, ἀντὶ τοῦ κατακεῖσθαι.

Ἀνάκειται, λέγεται ἐπὶ ἱερῶν, ἀντὶ τοῦ ἀνατίθεται. οἷον, ἀνάκειται δῶρον τῷ θεῷ, τὸ τοῦ βασιλέως διάδημα. καὶ ἀνάκειται ἀνδριὰς τοῦ βασιλέως τῷ θεῷ. ἐξ οὗ, καὶ ἀνάθημα. ἀνάκειται καὶ τὸ ἐπὶ κλίνης κεῖται. ἀνάκειται, καὶ ἐπὶ συμποσίου λέγεται. οἷον, ἀνάκειται ὁ διωχθέμενος σκώμμασιν, ἀντὶ τοῦ σκώπτεται. καὶ ἀνάκειται λοιδορίαις, καὶ ἀνάκειται πόρνοις, κύβοις, συμποσίοις, ἀντὶ τοῦ πρόσκειται ἰσχυρῶς.

Ἀνακεκαλυμμένως, ἀκατακαλύπτως, φανερῶς.

Ἀνακεκώφηκας. Ἀριστοφάνης, τὰς ἀκοὰς ἡμῶν κωφὰς εἰργάσω, βοῆς ἀνεπλήρωσας.

Ἀνακεφαλαιοῖ, ἀναπληροῖ, ἀνακτίζει. καὶ ἀνακεφαλαιοῦται, συμπληροῦται, ἐπαναλαμβάνει.

Ἀνακεφαλαίωσις, ἡ ἐξ ἀρχῆς ἔρευνα.

Ἀνακεχυμένη, ἀνειμένη, κεχαυνωμένη.

Ἀνακεχωρηκότων. ὁ δὲ ἐκτήσατο βιβλίων μυριάδας τρεῖς, καὶ τούτων σπουδαίων καὶ ἀνακεχωρηκότων, ἀντὶ τοῦ ἀποκρύφων. λέγει, περὶ Ἐπαφροδίτου τοῦ Χαιρωνέως.

Ἀνακηκίει, ἀναφέρεται. καὶ ἀνακηκίειν, τὸ ἀναπηδᾶν, ἀπὸ τοῦ κίω. κατὰ ἀναδιπλασιασμὸν, κακίω, καὶ τροπῇ κηκίω. ἄλλως γὰρ οὐκ ἔστιν εὑρεθῆναι ἀναδιπλασιασμὸν ἐκτεταμένον. τοιοῦτον δέ τι γίνεται ἐπὶ τοῦ τιτρῶ τὸ στερίσκω, καὶ ἐπὶ τοῦ ἱπεμιώσιον, καὶ ἐπὶ τοῦ κηκάζω.

Ἀνακῆσαι, ἡσυχάσαι.

Ἀνακλάσεις, ἐπιστροφάς.

Ἀνακλέπτεσθαι, ἀναχωρεῖν.

Ἀνάκλησις, ἡ προσφώνησις. διὰ δὲ τοῦ ῑ, ἡ ἀνάπαυσις, καὶ τόπος τὶς ἐν τῇ νηΐ.

Ἀνακλητικὸν, μέλος σάλπιγγος, ἀνακαλοῦσης τοὺς ῥαθύμους εἰς πόλεμον. καὶ Μάρκος Ἀντωνῖνός φησιν, ἔσο ἀναμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου τινὸς μάρτυρος.

Ἀνακλῖναι, τὸ ἀνοῖξαι. ἐπικλῖναι δὲ, τὸ κλεῖσαι. ἀνακλῖναι εἰς γῆν, καὶ ἀνακλῖναι πρὸς τῇ γῇ, ὅμοιόν ἐστι τῷ καταθεῖναι εἰς γῆν, καὶ θεῖναι εἰς γῆν. καὶ Ὅμηρος, καὶ τὸ μὲν εὖ κατέθηκε, τανυσάμενος. ὁ καὶ τανύσαι λέγεται ἀνακλῖναι, ἐπὶ θυρῶν ἀνοίξεως. ὡς Ὅμηρος ἐν Ἰλιάδι. ᾧ ἀντίθετον, τὸ ἐπιθεῖναι. ὡς ἐν Ὀδυσσείᾳ, ἀλλ' ἴθι Εὔμαιε, θύρας ἐπίθες θαλάμοιο, τουτέστι κλεῖσον.

Ἀνάκλιτον, ἀνακεκλιμένον.

Ἀνακλώμενον, τὸ ἀπηχούμενον.

Ἀνακλῶνται, κνήθονται, κατὰ ἰατρούς. * γραπτ. ἀνακνῶνται.

Ἀνακογχυλίσαι ὕδωρ, καὶ ὕδατι. οἷον, Ὕδωρ μοι τὶς δότω, ἀνακογχυλίσαι. καὶ πάλιν, ἀνακογχύλισον ὕδατι. ἀνακογχυλιάζων δὲ λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ κωλύων. καὶ ἀνακογχυλιάσαι, τὸ ἀνακλῦσαί πως τὸν φάρυγγα, ὑγρῷ τινί. * ἔστι δὲ τὸ κοινῶς λεγόμενον ἀναγαργαρίζω.

Ἀνακωδώνισον, ἀνάσεισον. καὶ διακωδώνισον.

Ἀνακοινοῦσθαι μετὰ σοῦ, τὰ ἐμὰ πράγματα βούλομαι. Ἀριστοφάνης, Βουλομένους ἀνακοινοῦσθαί σοι πράγματα κἀντιγραφάς. λέγομεν ἀνακοινοῦμαι μετὰ σοῦ, καὶ σοί.

Ἀνακοὶ, οἱ Διόσκουροι παρὰ Ἀττικοῖς. παρὰ τὸ ἀνάσσω, ἀνακός· ὡς φυλάσσω φυλακὸς, μαλάσσω μαλακός. ἢ ὅτι ἀνακῶς, ὅ ἐστι φιλανθρώπως, ἐχρήσαντο τοῖς Ἀθηναίοις. ἢ ὅτι τοὺς πλέοντας σώζουσιν, ἀστέρες ὄντες, ἄνω καὶ ἑκὰς ἡμῶν ὄντες. καὶ τὸ ἄνω δὲ, συνθέτως εἰώθασιν Ἀττικοὶ ἀνακῶς λέγειν.

Ἀνακομιδὴ, ἀναγωγὴ, ἐπάνοδος.

Ἀνακομίσαι, θεραπεῦσαι, ἀνενέγκαι.

Ἀνακινεῖν, ἀναστρίφειν.

Ἀνακομῶ, τὸ ἀναφύω.

Ἀνακραγεῖν κάλλιον, καὶ ἐγκραγεῖν, ἢ ἀναφωνῆσαι.

Ἀνακραθὲν, ἀνακεραθέν.

Ἀνακράτος, μετὰ πάσης σπουδῆς. οἱ δὲ ἔφευγον ἀνακράτος.

Ἀνακραδαίνει, σείει, σαλεύει.

Ἀνακράτης, ἰσχυρὸς ἐν κεφαλαίῳ, ἢ κατὰ τὴν κεφαλὴν, ἢ παντελῶς.

Ἀνάκρησις, ἡ ἀνάκρασις.

Ἀνακρίνειν, ἐξετάζειν, ἀναπυνθάνεσθαι, ἐπερωτᾷν, ἐλέγχειν, βασανίζειν, εἰς ταυτὸ φέρουσι. τὰ μὲν ἁπλῶς οὕτωσι, τὰ δὲ καὶ μετὰ βίας.

Ἀνακρίνω, τὸ πραχθὲν ἐξετάζω, εἰ καλῶς ἢ κακῶς ἐπράχθη.

Ἀνάκρισις, ἡ ἐξέτασις.

* Ἀνάκρισις θεσμοθετῶν, ἐκαλεῖτο ἡ ψῆφος τῶν ἐννέα Ἀρχόντων Ἀθήνησιν.

Ἀνακροτῆσαι, ἐπαινέσαι, ὑμνῆσαι. ὁ δὲ Πτολεμαῖος, πάντας ἐκέλευεν ἀνακροτῆσαι, τὴν στρατηλασίαν αὐτοῦ ἀποδεχόμενος.

Ἀνακρούεσθαι, ἐπὶ τῶν κρουστῶν ὀργάνων. λέγεται καὶ ἀντὶ τοῦ μέλπειν ἁπλῶς.

Ἀνακρούεται, ἀναχαιτίζει.

Ἀνακρουόμεθα, αναπροοιμιαζόμεθα.

Ἀνακρούσασθαι, ἐπὶ ναυμαχίας, τὸ συμβάλλειν, καὶ πάλιν ἀναδύεσθαι.

Ἀνακρουσία, παιδιᾶς εἶδος ἐπὶ σφαίρας.

Ἀνακτᾶσθαι, ἀντὶ τοῦ θεραπεύειν, Θουκυδίδης. τίθεται δὲ ἡ λέξις, καὶ ἐπὶ τοῦ, τὸ προαπολωλὸς αὖθις κτήσασθαι, καὶ ἀπολαβεῖν.

Ἀνακτᾶται, ἀπ' ἀρχῆς κτᾶται.

Ἄνακτες, οἱ θεοὶ, καὶ οἱ βασιλεῖς. ἄναξ δὲ εἴρηται παρὰ τὸ τὴν ἄνω τάξιν ἔχειν. ἢ ὁ ἄνω ἀΐσσων, ἢ πρὸς ὃν πάντα ἀναφέρομεν. σημαίνει δὲ, τὸν βασιλέα, καὶ τὸν οἰκοδεσπότην. ὡς τὸ, αὐτὰρ ἐγὼ οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο. σημαίνει καὶ τὸν φύλακα. Ἄλλως.

Ἄνακτας, καὶ ἀνάσσας, Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ φησί. καλοῦνται δὲ οἱ μὲν υἱοὶ, καὶ ἀδελφοὶ τοῦ βασιλέως, ἄνακτες. αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες, ἄνασσαι. καὶ ἀνάκτορα, τὰ ἱερὰ, ἢ τὰ βασίλεια.

Ἀνακτητικὸν, γλίσχρον.

Ἀνακτίσκειν, ἀναπηδᾶν.

Ἀνακτορίαν, δεσποτείαν, βασιλείαν.

Ἀνακτορίας ὗας παρ' Ὁμήρῳ, Ἀρίσταρχος μὲν τὰς δεσποτικάς φησιν· Ἀριστοφάνης δὲ, ὧν ἕκαστος βόσκων ἀνάσσει, ὅ ἐστιν ἄρχει. ἀπὸ τοῦ τοιούτου δὲ ἀνάσσειν, γίνεται καὶ χειρῶναξ, ὁ τῆς χειρὸς, ἢ τῶν ἐν χερσὶν ἀνάσσων.

Ἀνακτορίῃσι, ταῖς δεσποτικαῖς, ἢ βασιλικαῖς ὑπηρεσίαις. Ἡλιόδωρος, Παῖς ἀπὸ ἀνακτορίας δῆπνήσας, ἐμῇσιν ἀνακτορίῃσιν ἕπεσθαι.

Ἀνακτόριον, ἱερόν. καὶ ἀνακτόρων, ἱερατείων.

Ἀνάκτορον, ἀνάκειον. Δημοσθένης ἐν τῷ περὶ Στεφάνου, ἱερὸν τῶν Διοσκούρων. λέγεται δὲ ἀνάκτορον, καὶ τὸ τῆς Δήμητρος ἱερὸν, ὃ καὶ μέγαρον καλοῦσιν, ὅπου τὰ ἀνάκτορα τίθεται.

Ἀνακτόρων, ναῶν. ἢ οἴκων βασιλείων.

Ἄνακτος, γενικὴ, ἐκ τοῦ ἄναξ, ὅτι πλεονάζον ἔχει τὸ τ, δηλοῖ τὸ ἀνακοὶ Διόσκουροι.

Ἀνακτοτελεῖται, οἱ τὰς τελετὰς ἐπιτελοῦντες τῶν ἱερῶν.

Ἀνακτῶμαι παθητικῶς, τὸ λόγοις ἢ φαρμάκοις τὸν ἀσθενοῦντα ῥᾷον ἔχειν ποιῶ.

Ἀνάκτωρ, θεὸς, βασιλεύς.

Ἀνακυκλήιον, τὸ ὀρθόν.

Ἀνακωττεῖν, ῥέγχειν.

Ἀνακυπτῶσαι, ἀναστρέψαι.

Ἀνακυρτῶσαι, ἀνασκιρτῆσαι, ἀναπηδῆσαι.

Ἀνακῶς, ἀντὶ τοῦ ἐπιμελῶς λέγουσιν οἱ Ἴωνες, καὶ φυλακτικῶς, ἢ βασιλικῶς.

Ἀνακωχεύειν, παρὰ Σοφοκλεῖ, τὸ ἀναστρέφειν. καὶ ἀνακωχεύειν, τὸ ἐν πελάγει χειμῶνος ὄντος, συστείλαντας τὰ ὀθόνια σαλεύειν. ἡ ἀνακωχεύειν κυρίως μὲν λέγεται, ὅταν χειμῶνος ὄντος, ἐν πελάγει στείλαντες τὰ ἄρμενα, σαλεύουσιν αὐτόθι μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς δὲ, καὶ ἐπὶ ἅρματος λέγεται. ὡς τὸ, Οὐ διημιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα, καὶ ἠρέμα ἤλαυνεν. σημαίνει καὶ τὸ ἐν πολέμῳ ἀμελεῖν, παρὰ τὸ ἄνω τὰς ἀκωκὰς ἔχειν. καὶ τὸ ἀναχωρεῖν.

Ἀνακωχὴ, ἡ πρὸς καιρὸν ἀναβολὴ τοῦ πολέμου. ὅτε εἰρήνην ἄγονται τὰ στρατεύματα, ἄνω τὰς ἀκωκὰς ἔχουσι, τουτέστι τὰς αἰχμάς. ἀνακωκὴ οὖν, καὶ ἀνακωχή. ἀπὸ μεταφορᾶς τούτου λέγεται, καὶ ἐπὶ τοῦ ἐνεργοῦντός τι, εἶτα πρὸς καιρὸν διαλιπόντος.

Ἀνακωχήσαντες, ἀναχωρήσαντες. ἢ μετεώρως κατέχοντες τὰς ναῦς.

Ἀναλαβεῖν, ἀντὶ τοῦ ἀνακαλέσασθαι, καὶ εἰς ὀρθὸν στῆσαι.

Ἀναλάκατα, τὰ οὐ πρὸς ἠλακάτην ἐργαζόμενα.

Ἀναλαμβάνει, ἀντὶ τοῦ ἀναδέχεται. καὶ ἀναλαμβάνει ἑαυτὸν ἀπὸ νόσου, ἢ ἀναλαμβάνει τὸ σῶμα ἐκ τῆς νόσου, ἀντὶ τοῦ ἀνακουφίζει, καὶ παραμυθεῖται. ὅθεν ἀναληπτικὴ τροφὴ, παρὰ τῷ μεγάλῳ Βασιλείῳ. καὶ ἀναλαμβάνειν, τὸ ξένον δειπνίζειν, φιλοφρονεῖσθαι.

Ἀναλαμβάνομαι, τὸ ἀναδέχομαι, καὶ ἐπανακτῶμαι, αἰτιατικῇ συντάσσεται. ἀναλαμβάνομαι δὲ ἐγὼ, ἐπὶ πάθους.

Ἀναλγεῖν, ἀνοικοδομεῖν, ἀναγινώσκειν.

Ἀναλγὴς, ὁ μὴ κρατούμενος νοσήματι. ἀνάλγητος δὲ, ὁ τοῦ προσήκοντος μὴ ἐπιστρεφόμενος. καὶ ἀνάλγητος, δυσμετάβλητος, ἀναλγὴς, ἀπαθὴς, ἀνηλεὴς, σκληρὸς, δυσανάλγητος.

Ἀναλγησία, ἀναισθησία.

Ἀνάλγητοι, ἀνηλεεῖς, ἢ ἀμείρμενοι.

Ἀναλδὲς, ἄτροφον, παρὰ τῷ Ἱπποκράτει.

Ἀναλδίσκοντες, ἀναδιδόμενοι, αὐξανόμενοι.

Ἄναλδον, ἄναυξες, ἀνυγίαστον.

Ἀναλέγομαι, ἀπολέγομαι, ἐκλέγω, ἀπολέγω. Παρθένους ἀπολέξας, καὶ ἐκλέξας. καὶ ἐπιλέγομαι, τὸ αὐτὸ, καὶ τὸ ἀναγινώσκω. Λουκιανός, Ἐπιλεγόμενος τῶν τεθνηξομένων τὰ ὀνόματα.

Ἀναλέγειν κυρίως, τὸ τὰ διεσπαρμένα, κάτωθεν ἄνω ἕλκειν τινά. οἷον, ἀναλέγουσιν αἱ ὄρνιθες ἀπὸ γῆς τὰ σπέρματα.

Ἀναλέγεται, αἰτιατικῇ, τὸ ἀναμφιβόλως ἔχειν ἐννοεῖται.

Ἀναλεῖ, κολάζει, Ταραντῖνοι.

Ἀναλελάφθαι, ἀνειλῆφθαι.

Ἀναλεξάμενος, ἀναγνοὺς, νοήσας. ὁ δὲ ἀναλεξάμενος τὴν ἐπιστολήν.

Ἀνάλημμα, ὕψωμα, στήριγμα. Κατανοήσας τὸ βάρος τῶν ἀναλημμάτων, καὶ ὡς ἀδύνατόν ἐστι σαλεῦσαι τὰ τείχη, ἐκ χειρὸς τὴν μάχην ἐποίησεν.

Ἀναλῦσαι, ἀναστρέψαι.

Ἀναλήψεσθαι, ἀνακτήσασθαι. ὁ δὲ ἔλεγεν ἀναλήψεσθαι τὸ παρὸν πταῖσμα, ταῖς εἰς τὸ μέλλον ἀρεταῖς.

Ἀνάληψις, ἡ ἀνάρρωσις. Σπουδὴν ἐποιεῖτο ὑπὲρ ἀναλήψεως καὶ θεραπείας τῶν ἀνδρῶν.

Ἀναλθὲς, ἀνίατον, ἀνυγίαστον, ἀναίσθητον.

Ἀναλιβόζορα, τόπος.

Ἀναλίγκιον, ἀνόμοιον.

Ἀναλίσκω, τὸ πορθῶ, καὶ δαπανῶ.

Ἀναλκαστάλλα, ἄνωθεν κάτω.

Ἄναλκες, ἀσθενὲς, ἀδύνατον.

Ἀναλκὴς, ἄνανδρος, ἀσθενής.

Ἀναλκίδα, ἀσθενῆ.

Ἀνα-

Ἀναλλοίωτος, ἄτρεπτος.

Ἀναλλύζουσα, στενάζουσα, λυγκαίνουσα. ἔστι δέ τι πάθος γινόμενον τοῖς μετὰ συμπαθείας πολλῆς κλαίουσιν.

Ἀναλογάδην, κατ' ἀναλογίαν.

Ἀναλογία, τὸ λέγειν, ὃν λόγον ἔχει ὁ δύο ἀριθμὸς πρὸς τὸν τέσσαρα, τοῦτον ὁ τρία πρὸς τὸν ἕξ. ἀμφότερα γὰρ διπλάσια. ἡ ἀναλογία ἐστὶν, ἡ τὸ πολυσχιδὲς τῶν ἀνθρώπων φθέγμα, συντόμως παραδιδοῦσα. ἡ ἀναλογία ἐστὶν, ἡ τῶν λεγομένων ὁμοιότης. οἷον, ὡς τόδε πρὸς τόδε, οὕτω καὶ τόδε πρὸς τόδε. ὡς ἀπὸ λόγων νόημα πρὸς τὴν ἁπλῆν φωνὴν, οὕτω καὶ σύνθετον νόημα πρὸς τὴν σύνθετον φωνήν. ἡ ὁμοίωσις ἑτέρου πρὸς ἕτερον κατά τι. οἷον, ὡς ἔχει ἐπὶ ποιμένος προβάτων, καὶ ἐπὶ ἐπισκόπου. καὶ ὡς ἐπὶ ποδῶν κραββάτου, καὶ ἐπὶ ποδῶν αὐτοῦ. ἀμφότεροι γὰρ ὅλον τὸ σῶμα βαστάζουσιν. γίνεται δὲ παρὰ τὸ λόγος, λογία, ἀλογία, καὶ ἀναλογία. αἱ γὰρ δύο στερήσεις ὁμοῦ οὖσαι, κατάθεσιν ποιοῦσιν, ὡς πυστὰ, ἄπυστα, καὶ ἀνάπυστα, τὰ περιβόητα. καὶ πηρὸν, ἄπηρον καὶ ἀνάπηρον τὸ πεπηρωμένον.

Ἀναλογίζομαι, τὸ ἐνθυμοῦμαι, αἰτιατικῇ συντάσσεται. καὶ ἀναλογίζομαι, τὸ ἀναπεμπάζομαι, ἀναπολῶ, ἀνανεοῦμαι.

Ἀνάλογος, ἰσχυρός.

Ἀναλόγως, ὁμοίως, ἴσως.

Ἀναλογώτερον, τὸ ὑψηλότερον, τὸ σοφώτερον, τὸ ἀναλογιώτερον.

Ἀναλοῦντες, ἀντὶ τοῦ ἀναιροῦντες, οὕτω Θουκυδίδης. καὶ ἀναλῶν, καὶ ἀναλοῦν.

Ἀναλῶ, ἐξ οὗ τὸ ἀναλίσκω παράγωγον. σημαίνει δὲ τὸ πορθῶ, καὶ δαπανῶ, ἐξ οὗ καὶ ἀνάλωμα.

Ἄναλτον, τὸ χωρὶς ἁλῶν, ἤγουν ἄχρεῖον, καὶ μὴ ἅλμην ἔχον, καὶ ἀνάρτυτον, καὶ ἀηδὲς, ὡς ἐκ μεταφορᾶς ἐδεσμάτων τῶν οὐκ ἐχόντων ἅλας. σημαίνει ἔτι παρ' Ὁμήρῳ καὶ τὸν ἀπλήρωτον, ἤγουν ἀκόρεστον. οἷον, ἄναλτος γαστὴρ, ἡ ἀπλήρωτος, καὶ μηδέποτε ἅλις ἔχουσα, ἡ ἀεὶ ἐν ταπεινώσει οὖσα, καὶ μὴ ἀλδαινομένη, ὅ ἐστιν αὐξωμένη ἐν τῷ κορέννυσθαι.

Ἄναλτος, ὁ ἀηδὴς, ἀπὸ τῶν ὄψων τῶν μὴ ἐχόντων ἅλας, καὶ ἀηδῶν ὄντων. σημαίνει δὲ καὶ τὸν ἀχρεῖον, Ὀδυσσείας σ. ἡ ἀναυξὴς, καὶ ἀτελὴς, παρὰ τὸ ἄλδω τὸ αὐξάνω. ἡ ὁ ἀπλήρωτος καὶ ἀκόρεστος, ὥς φησιν ὁ ποιητὴς ἐν Ὀδυσσείᾳ, Ὡς οὐδὲν ἅλις, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ, ἀζηχὲς φαγέμεν καὶ πιέμεν. καὶ ἐπιφέρει, ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας, ἀντὶ τοῦ πλανᾶσθαι. παρὰ τὸ ἅλις τὸ δαψιλῶς, γίνεται ἅλος, καὶ κατὰ στέρησιν, ἄναλος, καὶ πλεονασμῷ τοῦ τ, ἄναλτος. ἡ τὸν ἄλεσθαι μὴ δυνάμενον, βαρύ.

Ἀναλύει, ἀντὶ τοῦ συμπλοκάς τινῶν πραγμάτων ἐξ ἀρχῆς διαλύει. ὅθεν καὶ ἀναλυτικὰ παρὰ Ἀριστοτέλει. καὶ ἀναλύει. ἀντὶ τοῦ ἐπανέρχεται. Συνέσιος, Κἂν αἰσχρῶς ἀνέλυσεν ἐπὶ κακίας Ἀλέξανδρος. καὶ ἀναλύειν λέγεται, τὸ τοὺς συνθέτους συλλογισμοὺς ἀνάγειν εἰς τοὺς ἁπλοῦς, καὶ εἰς τὰς προτάσεις, ἐξ ὧν αὐτοῖς τὸ εἶναι.

Ἀναλύζων, ἀνανύττων.

Ἀναλυθῆναι, τὸ καθαρτικῷ τινὶ χρήσασθαι φαρμάκῳ. Μὲν ἀνδρὸς Ἥρωσιν, ἐπιφαρμακεύσει γλυκύτατ' ἀναλυθεὶς μόλις.

Ἀναλῦσαι, τὸ βεβλαμμένον τινὰ δι' ἐπῳδῆς ἀπαλλάξαι.

Ἀναλυσάμενος, ἀνακολλήσας.

Ἀνάλυσις, ἐξάπλωσις. ὅρος γάρ ἐστι, λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντως, ἐκφερόμενος τοῦ ὁριστικοῦ κεφαλαιωδῶς. ἡ ἀνάλυσις, ἡ ὑπὸ σχήματος ἐπὶ σχῆμα τῶν τρόπων ἀνακύκλησις. καὶ ἀνάλυσις ἔτι, ἡ ἀναστροφή.

Ἀναλύω, τὸ τὰ συντεθειμένα διαιρῶ εἰς τὰ ἐξ ὧν συνετέθησαν.

Ἀναλφάβητος, ἀμάθητος γραμμάτων ἁπάντων, καὶ τὸ δὴ λεγόμενον, ἀναλφάβητος.

Ἀναλῶ, ἐξ οὗ τὸ ἀναλίσκω παράγωγον. σημαίνει δὲ τὸ πορθῶ, καὶ δαπανῶ. καὶ ἀναλώσειν, ἀντὶ τοῦ ἔπτηξε. Προκόπιος, ὡς δὲ τὴν ἐπιστολὴν ἀναλώσας, ἐσκόπουν.

Ἀναλώθησαν, ἠφανίσθησαν. οὐ δὲ γὰρ ἀναλώθησαν ἄλλως αἱ Ἀχαΐαι· θηρίον γάρ τι αὐτοῖς πομπῇ κρείττονι ἐντυγχάνει. ὅθεν ἀνάλωμα καὶ προανάλωμα, ἡ ἔξοδος.

Ἀνάλωκα, καὶ ἀνάλωσα, Ἀττικοί. τὸ δὲ μετὰ αὐξήσεως ταῦτα λέγειν, οἷον ἀνήλωσα, κοινόν. ὡσαύτως καὶ ἐπὶ πάντων τῶν χρόνων τοῦ τοιούτου ῥήματος, τῶν δεχομένων αὐξήσεις.

Ἀνάλωτος, ἀπόρθητος, ἰσχυρός.

Ἀναμαθεῖν, ἐξ ἀρχῆς μανθάνειν.

Ἀναμαιμάει, ἀναφαίνεται, ἀναφέγγει, ἀνάζει.

Ἀναμαλάττεσθαι, ἀναφυρᾶν. καὶ ἀναμάττεσθαι, ὁμοίως.

Ἀναμάξεις, ἀντὶ τοῦ προστρίψεις. σαφέστερον δὲ, ἀντὶ τοῦ προσκολληθῆναι ποιήσεις. ὡς Ὅμηρος Ὀδυσσείας τ. καὶ ἀναμάξεις, ἐναπομήσεις, ἐναποτυπώσεις, ἀναδείξεις.

* Ἀναμάξευτος ὁδὸς, δύσπορος, δυσπόρευτος, ἄτριβής, σκολιά, δύσβατος, ὀρεία, ὀρθία.

Ἀναμασσώμενοι, ἀντὶ τοῦ διαλογιζόμενοι, νοούμενοι, ἀνερευνῶντες. ὡς τὸ, Μόλις τὸ πρᾶγμα ἔγνωσαν, ἀναμασσώμενοι οἱ κριταί. καὶ ἀναματτόμεναι, ἀναμασσώμεναι, πρὸς τὸ χειρῶδες παρέλαβεν Ἀριστοφάνης, ἐν Σφηξίν.

Ἀναμασσώμενος, ἀνειληφώς.

Ἀναμαστεύων, ἀναζητῶν.

Ἀναμαχαλιστὴρ, εἶδος γυναικείου κόσμου.

Ἀναμάττεσθαι, ἀναφυρᾶν.

Ἀνάματτοι, ἅμματα μὴ ἔχοντες.

Ἀναμάχεσθαι, τὸ πάλιν μάχεσθαι. καὶ ἀναπαλαίειν, τὸ ἐκ δευτέρου παλαίειν. καὶ ἄλλα μυρία. καὶ ἀναμαχόμενον, ἐκ δευτέρου μαχεσόμενον. ὡς τὸ, Ὁ δὲ ἐκέλευεν αὐτὸν αὖθις ἥκειν, ἀναμαχούμενον τὴν πρώτην ἧτταν.

* Ἀνάμβατος ἵππος, ὁ μὴ ἔχων ἀναβάτην. Ξενοφῶν.

Ἀνάμεινον, ἀντὶ τοῦ ὑπέρθες. καὶ ἔστι μεταβατικόν. Εὐριπίδης, ἀνάμεινον δὲ φασγάνου τομάς. καὶ ἀνάμεινον, ἀντὶ τοῦ προσκαρτέρησον. Ἀριστοφάνης, ἀνάμεινον ὦ δαιμόνιε ἐὰν ξυμβῶ τί σοι.

Ἀναμελλάναι, ἀνανεῦσαι, ἀρνήσασθαι.

Ἀναμέλποντες, ὑμνοῦντες. μολπὴ γὰρ ὁ ὕμνος.

Ἀναμέρος, ἐν μέρει.

Ἀναμέσον, ἐν μέσῳ.

Ἀναμετρήσαιμι, διεκπεράσαιμι. Μήποτε εἰς Ῥήγιον ἐκπλεῖν, μή τε τὴν πολλὴν θάλασσαν ἀναμετρεῖν.

Ἀναμετροῦνται, ἀντὶ τοῦ ὑφίστανται. Λιβάνιος, οἱ τὴν θάλατταν τολμῶντες, οὐ μικροῦ κέρδους ἕνεκα ἀναμετροῦνται κινδύνους.

Ἀναμετρῶ, ἀντὶ τοῦ διαμετρῶ, αἰτιατικῇ συντάσσεται. ἀναμετρῶ, τὸ μετρηθὲν ἐξ ἀρχῆς ἀναλαμβάνω πάλιν, ἐφ' ᾧ γε μετρῆσαι.

Ἀναμηλῶσαι, μὴ ἀναγλύψαι.

Ἀναμηρύσασθαι, ἀνατεῖναι.

Ἀναμίλλητον, ἀφιλόνεικον, καὶ ἀναμφίλεκτον.

Ἀναμιμνήσκομαι ὑπ' ἐμαυτοῦ. ἀναμιμνήσκω δὲ ἕτερον. Ἀριστείδης, ἀνεμίμνησκέ με τῆς Ὀδυσσείας. καὶ ἀναμιμνήσκομαι ὑπ' ἄλλου.

Ἀναμιμνήσκω σε τῶνδε, ἤγουν ἃ ἀπέβαλε τῆς μνήμης, αὖθις τούτων σε εἰς μνήμην ἄγω. ὡσαύτως ὑπομνήσκω σε τῶν γεγενημένων. καὶ ἀνάμνησον σεαυτὸν, εἰ τοῦτο ἐποίησας.

Ἀναμίξ, ἀναμίγδην, ἀναμεμιγμένως.

Ἄναμμα, τρέφεσθαι δὲ τὰ ἔμπυρα καὶ τὰ ἄλλα ἄστρα, τὸν μὲν Ἥλιον ἐκ μεγάλης θαλάττης νωθρὸν ὄντα, ἄναμμα. τὴν δὲ σελήνην, ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν, καὶ πρόσγειον οὖσαν.

Ἀνάμνησις, μνήμης ἐξιτήλου γενομένης ἀνάκτησις, ἡ ἄθροισις φαντάσματος. ἀρξαμένη γὰρ ἀπὸ τῆς ψυχῆς, διαβαίνει ἐπὶ τὸ ἐζωωμένον. ἀναμνησθέντες γὰρ φοβεροῦ τινος ἡμῖν γενομένου, ὠχριάσαμεν. καὶ τοῦ πλοῦ ἀναμνησθέντες, ἐναυτιάσαμεν.

Ἀναμονὴ, μακροθυμία.

Ἀναμορμύρεσκεν, ἀνέζει, ἀνεστρέφετο.

Ἀναμοχλευόντων, ἀνορυσσόντων, ἀνακινούντων. Βιαζομένων δὲ αὐτῶν, καὶ τὰς θύρας ἀναμοχλευόντων.

Ἀναμπλάκητοι, αἱ εἰς μηδὲν ἁμαρτάνουσαι, ἀλλὰ πάντων κρατοῦσαι, ἡ ἄφυκτοι, ἀπλάνητοι, ἀπροσπέλαστοι, ἀφανεῖς, ἃς οὐκ ἔστιν ἀποφυγεῖν.

Ἀναμύειν, ἀναβλέπειν.

Ἀναμυρησάμενος, χρηματισάμενος.

Ἀναμφιλέκτως, ἀναντιλέκτως, ἀνενδοιάστως.

Ἀναμφήριστον, ἀναμφίβολον. καὶ ἀναμφήριστος, ὁ ἀναμφισβήτητος.

* Ἀναμφίβολον, ἀναμφίλεκτον, ἀναντίλεκτον, ἀνενδοίαστον, ἀναμφισβήτητον, ἀναντίρρητον, πάγιον, βέβαιον.

Ἄναν, ἄνησιν.

Ἄνανδες, οὐκ ἀρεστὸν, ἡ ἀληθές.

Ἄνανδρον, χήραν.

Ἄνανδρος, ἀσθενής.

Ἀνανέμειν, ἴσον τῷ ἀναγινώσκειν. οὕτως Ἐπίχαρμος. Ἡρόδοτος δὲ ἀνανέμεσθαι, ἐπὶ τοῦ καταλέγειν τέθεικεν.

Ἀνανεοῦμαι τῇ μνήμῃ τόδε κάλλιον λέγειν, ἡ εἰς μνήμην λαμβάνω. Λιβάνιος, ἀνανεοῦμαι τῇ μνήμῃ τὸν Ὀθρυάδην ἐκεῖνον. καὶ ἀνανεοῦμαι τὴν οἰκίαν, ἤγουν ἀνακαινίζω. ἀνανεῶ ἐπὶ ἐνεργητικοῦ ἀδόκιμον.

Ἀνανεύων, παραιτούμενος.

Ἀνανεωσάμενος, ἀνακαινίσας, καὶ ἀνεγείρας. ἡ ἀναμνησθεὶς, εἰς ἔννοιαν ἐλθών.

Ἀνανεύει, οὐ συντίθεται πρός τι.

Ἀνανήξας, διαπλεύσας.

Ἀνανήξασθαι, ἀνακολυμβῆσαι.

Ἀνανύσαι, σφάξαι.

Ἀνάνιον, ἄλυπον, κατὰ στέρησιν τῆς ἀνίας, ἀβλαβές. καὶ ἀνάνιος, ὑπερήφανος, ἀλύπητος. καὶ ἀνανίως, τὸ ἀλύπως.

Ἀνανομὴν, ἀναδασμόν. ἀνανέμειν γὰρ τὸ μερίζειν, Εὐριπίδης.

Ἀνανταπόδοτον, ἔστιν ἴδιον τῶν Ἀττικῶν, ὡς παρ' Ὁμήρῳ. τὸ, ἀλλ' εἰ μὲν δώσουσι γέρας| μεγάθυμοι Ἀχαιοὶ, λείπει τὸ, παύσομαι, ἡ ἡσυχάσω.

Ἄναντα, τὰ προσάντη καὶ ἀνωφερῆ. κάταντα δὲ, τὰ κατωφερῆ. πάραντα δὲ, ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ, τὰ πλάγια, ἑτεροκλινῆ, ἡ προσώμαλα, καὶ γήλοφα. δόχμια δὲ, τὰ πλάγια. τούτοις δὲ πᾶσιν ἡ πεδιὰς διαφέρει τῆς ὀρεινῆς. Ἱστέον δὲ, ὅτι τὸ ἄναντα, ἐκ τοῦ ἀνάντεα δοκεῖ συγκεκόφθαι. ὡς γὰρ ἐξάντης ἀρρενικὸν, καὶ ἔξαντες οὐδέτερον, οὗ πληθυντικὸν ἐξάντεα, οὕτω καὶ ἀνάντης, ἄναντες. ὅθεν τὸ ἄναντα. τὸ δὲ αὐτὸ, καὶ ἐκ τοῦ κάταντα, καὶ πάραντα, πρὸς ὁμοιότητα τοῦ ἐναντία ἔναντα.

Ἀνανταγώνιστος, ἀκαταμάχητος. ἀνανταγώνιστος ἦν ἡ Ῥωμαίων ὁρμὴ, καὶ δυσάντητος τοῖς ἐντυγχάνουσιν.

Ἀνάντης τόπος, ἤγουν ἀνωφερὴς, ᾧ ἐναντίον ἐστὶ τὸ κατάντης, ἤγουν κατωφερής. λέγεται δὲ καὶ ἀνάντη ξύλα, καὶ κατάντη, τὰ ἄνω φερόμενα καὶ κάτω. καὶ ἀνωφερῆ, καὶ κατωφερῆ, ἐπὶ τῶν αὐτῶν.

Ἀναντίρρητον, τὸ ἀντιλογίαν μὴ δεχόμενον.

Ἄναξ, θεῖόν τι ἡ λέξις, παρὰ τὸ τὴν ἄνω τάξιν ἔχειν. ἡ ὁ ἄνω ἀΐσσων, κατὰ δύναμιν τοῦ κρατεῖν, ἡ πρὸς ὃν πάντα ἀναφέρομεν. δηλοῖ δὲ καὶ Εὐριπίδης τὴν τῆς λέξεως θειότητα, εἰπὼν ἐν Φαίδρᾳ· ἄναξ, θεοὺς γὰρ δεσπότας καλεῖν χρεών. καὶ Ἄνακοι, οἱ Διόσκουροι, ὡς φαρμακοί. τὸ δὲ ἄναξ ὄνομα, σημαίνει τρία· τὸν θεὸν, ὡς τὸ, Ὀφρ' Ἴλαον ἄνακτα. τὸν βασιλέα· ὡς τὸ, Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν. τὸν δεσπότην· ὡς τὸ, Αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο.

Ἄλλως.

Ἄναξ γίνεται παρὰ τὸ ἀνακὲς, ὅ ἐστιν ἐπιμελές. ἔστι γὰρ ἐν χρήσει ἀνακῶς, ἀντὶ τοῦ φροντιστικῶς, ἐπιμελῶς, πεφυλαγμένως. ἔστι δὲ θεία τὶς λέξις τὸ ἄναξ, ἀπὸ τῶν Διοσκούρων. Αἴλιος γοῦν Διονύσιος Ἄνακας τοὺς Διοσκούρους

Digitized by Google

φησι λέγεσθαι, ὡς αἰακῶς. καὶ κατάρχοντας φησὶν, ἀνακοῖν Διοσκούροιν. Παυσανίας δὲ λέγων καὶ αὐτὸς τὸ ἀνακῶς, ἀντὶ τοῦ φυλακτικῶς, καὶ φροντικῶς, παρά τε τῷ Ἡροδότῳ καὶ Θουκυδίδῃ, φησὶ καὶ ὅτι ἀνάκεια ἑορτὴ Διοσκούροιν ἀνακοῖν, ὡς σοφοῖν. Τριττύαν δὲ φησι τὴν θυσίαν ταύτην, συμβαίνει γὰρ Διοσκούροις καὶ Ἑλένῃ, διὰ τὴν εἰς τὴν Ἀττικὴν ἐμβαλόντες ἐκεῖνοι, οὐκ ἠδίκησαν οὐδένα τῶν ἐγχωρίων. Ἰστέον δὲ, ὅτι καθὰ οἴκου τὶς ἄναξ ἐστὶν, ὡς οἰκοδεσπότης, οὕτω καὶ χειρὸς ὡς εἰκὸς, ὅθεν συνήθως ὁ χειράναξ, καὶ συνελόντι φάναι χειρῶναξ. Σημείωσαι δὲ καὶ ὅτι τὸ ἄναξ ἄνακτος, προσλαβὸν ἐν τῇ κλίσει τὸ τ, διεσάφησεν ἑαυτὸ καθ' ὑπεξαίρεσιν ἀμφιβόλου ἐννοίας, ὡς θώρακος, ὑποπτεύετο γὰρ ἂν στέρησιν ἄκους δηλοῦν. οὐκοῦν ἐπὶ Διοσκούρων ἡ τοῦ τ ἐξαίρεσις, τὸ ἄκος παρησκείνη. ἐκεῖθεν γὰρ οἱ ἀνακοὶ, καὶ τὸ αὐτῶν ἐπίρρημα τὸ ἀνακῶς. ὀξυτονοῦνται δὲ οἱ Ἀνακοὶ ἀναγκαίως, ἵνα μὴ διδοῖεν ἔμφασιν, ὡς ἐκ τοῦ ἀνάσσειν καὶ ἐκ τοῦ ἄναξ παρήχθησαν.

Ἀναξαγόρας, σοφιστὴς, Ἡγησιβούλου υἱὸς, Κλαζομένιος, Ἀναξιμένους μαθητὴς Μιλησίου. νοῦς δὲ ἐπεκαλεῖτο, ἐπεὶ ὕλην τε καὶ νοῦν πάντων φρουρὸν εἶπεν. αὐτὸς δ' ἐστὶν ὁ τὸν Ἥλιον μύδρον εἰπὼν διάπυρον.

Ἀναξαίνειν, ἀνακινεῖν.

Ἀναξία, ἀξίαν οὐκ ἔχουσα. καὶ ἀναξίαν τὴν βασιλείαν, Αἰσχύλος.

Ἀναξίβιος, Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, Λακεδαιμονίων δὲ ἦν στρατηγός.

Ἀναξιδώρα, ἡ ἀνάγουσα, καὶ ἀνιεῖσα τοὺς καρποὺς ἐκ γῆς, ἡ Δημήτηρ.

Ἀνάξοιτο, ἀναχήσοιτο, οὕτω Ξενοφῶν.

Ἀναξιοπαθοῦντες, οὐκ ἄξιον ἡγούμενοι. Οἱ δὲ Κρῆτες ἀναξιοπαθοῦντες, οὐκ ἐδέξαντο αὐτὸν, ὡς μοιχογέννητον.

Ἀναξυρὶς, καὶ ἀναξυρίδες, τὸ βρακίον, τὰ βαθέα καὶ ἄβατα ὑποδήματα. οἱ δὲ, φημινάλια, βρακία, βαρβαρικὰ ἐνδύματα ποδῶν, ὑποδήματα βαθέα, ἢ βασιλικά.

Ἀνάξω, ἐκ τοῦ ἀνάγω τὸ κελεύω.

Ἀνὰ οὐλαμὸν ἀνδρῶν, κατὰ τὸ ἄθροισμα τῶν ἀνδρῶν.

Ἀνάπαιστοι, κυρίως τὰ ἐν ταῖς παραβάσεσι τῶν χορῶν ᾄσματα, ἰδίως δὲ τὰ τῶν ῥυθμῶν. πᾶσαν δὲ παράβασιν, ἀναπαίστους καλοῦσιν. ὡς τὸ, αὐτὸν ἐπῄνει πρότερον παραβὰς ἐν τοῖς ἀναπαίστοις, φησὶν Ἀριστοφάνης ἐν Εἰρήνῃ, Γραφαί τε παιγνιώδεις εἰς τοῦτο, καὶ ἀνάπαιστοι ᾔδοντο κατὰ Ῥωμαίων. ἔστι δὲ ὁ ἀνάπαιστος, καὶ εἶδος μέτρου στίχων.

Ἀνάπαιστος, ἐκ δύο βραχειῶν καὶ μακρᾶς, τετράχρονος. οἷον, πολέμων. καλεῖται δὲ ἀνάπαιστος, ὅτι ἀνάπαλιν τῷ δακτύλῳ παίει, ἤτοι στρέφεται.

Ἀναπαιστρίδες, σφῦραι αἱ παρὰ τοῖς χαλκεῦσιν.

Ἀνάπαλιν, ἐκ τοῦ ἐναντίου πάλιν.

Ἀναπάλλει, ἀναπηδᾷ, ἀνασείει.

Ἀναπάλλεται ἰχθὺς φασὶν οἱ παλαιοὶ, ὅτι ἐπειδὰν τὸ πέλαγος στίζηται ἀρχομένου πνέειν ἀνέμου, ἀναπάλλονται οἱ ἰχθύες. στίζεται δὲ πάντως τὸ πέλαγος, ὅτε φρίκα πάχει.

Ἀναπαυστῶσιν, ἀνακύπτωσιν.

Ἀνάπαπλον, ἀνοίμωζον.

Ἀναπᾶσαι, καταπάσαι.

Ἀναπαπαίξασθαι, ἀνακρούσασθαι ᾆσμα.

Ἀνάπαυλα, ἡ ἀνάπαυσις. Λιβάνιος, Οἵαν ὦ Ζεῦ γνώμης καμνούσης, ἀφῃρέθημεν ἀνάπαυλαν. τὸ δὲ παῦλα ἀδόκιμον.

Ἀνάπαυλις, ἀνάπαυσις, κατάπαυσις.

Ἀναπαυόμενον ὕδωρ, πηγὴ ἐν Δωδώνῃ. ὅτι οὐκ ἀέναον ἔχει τὸ ὕδωρ, ἀλλὰ κατὰ τὰς μεσημβρίας καὶ μέσας τὰς νύκτας ἀπολήγει, καὶ οὐ ῥεῖ. τὰς δὲ ἄλλας ὥρας, συνεχῶς φέρεται. ὥσπερ οὖν ἐπὶ ἀνθρώπων καμνόντων, κατὰ δὲ τὸν ὁρισμὸν ἀπολιπόντων.

Ἀναπαύσασθαι, τὸ κατακλίνεσθαι ὡς πρὸς ὕπνον.

Ἀνάπαυστα, ἀνεκλάλητα, ἄρρητα, ἔκδηλα, ἐξάκουστα.

* Ἀναπαυστήριον, σάλπιγγος ἐπίφθεγμα, τὸ τῶν καταπαυομένων τοῦ πολέμου. ὥσπερ παρακελευστικὸν, τὸ κατὰ τὴν τῆς μάχης συμβολὴν ἐπίφθεγμα· καὶ ἀνακλητικὸν, τὸ ἐκ τῆς μάχης ἀνακαλοῦν. ἔστι δὲ καὶ πομπικὸν, ἐπὶ πομπαῖς· καὶ ἱερουργικὸν, ἐπὶ θυσίαις.

Ἀναπείθω, αἰτιατικῇ συντάσσεται. οἷον, οὐ τοῦτο ἀναπείθειν ζητεῖς.

Ἀνάπειρα, τὸ κατασπᾶν τὰς ναῦς, καὶ τὰς ὑπηρεσίας ἐμβιβάζειν. Πολύβιος, καὶ τὰς εἰρεσίας ἀνάπειραν λαμβάνει, παρέλκων τὸν χρόνον ἐπίτηδες, ἕως τὰ παρὰ Ῥωμαίων αὐτῷ γένηται φανερά. καὶ αὖθις· Τῶν δὲ ναυτικῶν δυνάμεων κατὰ θάλατταν, ταῖς ἀναπείραις καὶ εἰρεσίαις ἐγύμναζον. καὶ, ἀνάπειρά τε, ῥυθμὸς αὐλητικός.

Ἀναπειρᾶσθαι, μελετᾶν.

Ἀναπείρατε, πήξατε, κεντήσατε. Ἀριστοφάνης, Φέρετε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας.

Ἀναπείσετε, δώροις πείσετε. Ἀριστοφάνης, Εἰ μή μ' ἀναπείσετε, ἀποθανεῖσθε σήμερον. διαβάλλει δὲ αὐτὸν, ὡς δωροδοκούμενον.

Ἀναπειστηρίαν, δυναμένην πείθειν τοὺς ἀκούοντας.

Ἀναπελάσας, ἀναρρωσθείς.

Ἀναπέλεψαι, ἀνενέγκαι.

Ἀναπεμπάζειν, ἀνανεοῦσθαι, ἀναμιμνήσκεσθαι. εἴρηται ἀπὸ τῶν τοῖς πέντε δακτύλοις τῆς χειρὸς συνεχῶς ἀριθμούντων, καὶ ἐπαναλαμβανόντων, οἱονεὶ κατὰ πεντάδα ἀριθμούντων.

Ἀναπεμπάζομαι, τὸ ἀναλογίζομαι κάλλιον, ἢ ἀναπεμπάζω.

Ἀναπεμπαζόμενοι, ἀριθμούμενοι, σκεπτόμενοι.

Ἀναπέμπειν, τὸ ἀναφέρειν. οἷον, ἀναπέμπει τῷ κρείττονι, ἤτοι τῷ Θεῷ εὐχάς.

Ἀναπεμπάσαι, ἀνασκέψασθαι, ἀναριθμῆσαι.

Ἀναπεποιημένης, ἀναπεφυρμένης, ἀναζυμωμένης.

Ἀναπεπταμένα χωρία, ἢ πεδία, ἀντὶ τοῦ ἡπλωμένα.

Ἀναπεπταμένον, ἀνεῳγμένον.

Ἀναπεπταμένοι, τὰς διανοίας ἀνατετραμμένοι.

Ἀναπεπτωκὼς, ῥαθυμῶν, ἀφροντιστῶν, ἀμελῶν, ἀναπεσών.

Ἀναπεσεῖν, οὐ καλῶς ἐπὶ τοῦ ἀνακλιθῆναι τάττουσιν. ἐὰν δὲ ἐπὶ τοῦ τὴν ψυχὴν ἀδημονῆσαι, καλῶς. οἷον, ἀνέπεσεν ἄνθρωπος, ἀντὶ τοῦ τὴν ψυχὴν ἠθύμησεν.

Ἀναπετάσωμεν, ἁπλώσωμεν.

Ἀναπετῶ, ἁπλώσω. καὶ ἀναπετῶ, ἀντὶ τοῦ ἀναπετάσω, Ἀττικοί. τὸ δὲ ἀναπετάσω, ἁπλῶς Ἕλληνες.

Ἀναπέφηνα, ἀπεδείχθην ἐγὼ, καὶ οὐχὶ ἀναπέφηνα ἕτερον.

Ἀναπεφλασμένον, ἐντεταμένον ἔχοντα τὸ αἰδοῖον. ἀναφλᾶν γὰρ λέγουσιν Ἀττικοὶ, τὸ ἀναμαλάσσειν τὰ αἰδοῖα.

Ἀναπεφοίτηκεν, ἀνῆλθεν.

Ἀναπηγάζει, ἀναδίδωσιν, ἀναβλύζει.

Ἀναπήλας, ἀνακινήσας. ὁ δὲ διὰ τοῦ κοντοῦ ἀναπήλας εἰς ὕψος.

Ἀναπηνικίζω, ἀναλέγομαι, ἐκλύω, ἀνακυκλέω.

Ἀναπῆξαι, ἀνεγεῖραι.

Ἀνάπηρος, πηρὸς, τυφλὸς, νοσώδης, βεβλαμμένος, μὴ ὑγιῶς ἔχων. ὡς τὸ, ἀνάπηρος ἐς μέσον παράγεται ῥῖνα καὶ ὦτα. καὶ ἀνάπηρος γέρων, ὁ ἐπιβλαβής. ἀπὸ τοῦ πηρὸς ἄπηρος. καὶ μεθ' ἑτέρας στερήσεως, πλεονασμῷ τοῦ ν, ἀνάπηρος. αἱ γὰρ δύο στερήσεις, ποιοῦσι μίαν ἐπίτασιν.

Ἀναπίμπλαται, ἀναπληροῦται.

Ἀναπίπτειν, δηλοῖ τὸ ῥαθυμεῖν. καὶ ἀπὸ τούτου ἀναπεπτωκὼς, ὁ ῥάθυμος, καὶ μαλθακὸς, καὶ τὴν γνώμην ἀνατετραμμένος. καὶ ἀναπίπτειν οὐ τὸ κατακλίνεσθαι, ἀλλὰ τὸ μεταμέλεσθαι καὶ μετατίθεσθαι, καὶ ἀποκνεῖν· λέγεται καὶ τὸ ἀθυμεῖν παρὰ τοῖς παλαιοῖς.

Ἀναπιτνάμεν, ἤγουν ἀναπετεννύειν, ἀνοίγειν, ἀπὸ τοῦ πιτνῶ τὸ πίτνω, καὶ τῆς ἀνὰ προθέσεως, ἀναπιτνῶ, ἀφ' οὗ ἀναπιτνᾶν, καὶ Δωρικῶς, ἀναπιτνάμεναι. καὶ ἀναπιτνάμεν ἀντὶ τοῦ ἀνακεῖσθαι ποιεῖν, ἤγουν ἀνοίγειν, ἀναπετᾶν. ἀποβάλλει δὲ τὸ προσγεγραμμένον ι, καὶ συστέλλεται κατὰ τὴν ἀκολουθίαν τοῦ εἶμεναι, δόμεναι, θέμεναι.

* Ἀναπιπράσκειν, ἀναπωλεῖν. καὶ τὸ ἔργον, ἀνάπρασις.

Ἀναπλάζειν, τὸ διπλάζειν, παρὰ τῷ Ἱπποκράτει.

Ἀνάπλασμα, σχῆμα, ψεῦμα.

Ἀναπλάττειν, τὸ φαντάζεσθαι λέγεταί τις, ὃ οὐδέποτε εἶδεν.

Ἀναπλέειν, καὶ καταπλέειν λέγομεν, ὥσπερ ἀνάγεσθαι, καὶ κατάγεσθαι. ὁμοίως ἀναβαίνειν καὶ μεταβαίνειν.

Ἀνάπλεων, τὸ πεπληρωμένον, ἢ τὸ ἀνάπλουν ἔχον, Ἀττικῶς διὰ τοῦ ω μεγάλου γράφεται. ὁμοίως τὸ πλέων, περίπλεων, καὶ ἔμπλεων.

Ἀνάπλεως, ὁ πεπληρωμένος. ἀπὸ τοῦ πλέως, μετὰ τοῦ στερητικοῦ α, ἄπλεως, ὁ ἐνδεὴς, καὶ μετὰ προσθήκης ἑτέρας στερήσεως, καὶ πλεονασμῷ τοῦ ν, ἀνάπλεως. ἥτις ἐν τοῖς τοιούτοις προστιθεμένη, καὶ ἀναδιπλουμένη, κατάφασιν, ἀλλ' οὐ στέρησιν δηλοῖ.

Ἀναπλῆσαι οἶτον, τὸ τελευτὴν θανάτου ἰδεῖν· ταυτὸ γὰρ ἀναπλῆσαι, τῷ τελευτῆσαι, ὅ ἐστι πληῶσαι, πληρῶσαι, ἐκ τοῦ ἀναπλῶ.

Ἀναπλήσας, οὐχ ἁπλῶς δηλοῖ τὸ ἀναπληρώσας, ἀλλὰ τὸ πολλάκις, καὶ ὡς εἰπεῖν, πάλιν καὶ πάλιν. ἔστι γὰρ τὸ τοιοῦτον σημαινόμενον τῆς ἀνὰ προθέσεως, ὡς καὶ ἡ ἀνάκρισις δηλοῖ, καὶ ὁ ἀναβαπτισμὸς, καὶ τὰ τοιαῦτα.

Ἀναπνέοντες, ἐν νῷ ἔχοντες.

Ἀνάπνευσις, ἀνάπαυσις, ἀπὸ τοῦ πνέω, πνεύσω, πνεῦσις, καὶ ἀνάπνευσις.

Ἀναπνεύσουσιν, ἐκ τοῦ πνέω, μέλλων πνεύσω καὶ ἀναπνεύσω, πλεονασμῷ τοῦ υ, κατὰ τὸν μέλλοντα.

Ἀναπνῶ, ἀναψύχω, ἀναπνέω, ὃ καὶ ἀναπνεύω. ὡς τὸ, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν, ἀντὶ τοῦ ἀναψύξωσιν, ἀναπαύσονται.

Ἀναπνοὴ, εἴσοδος ἀέρος ὑπὸ μετεωρισμοῦ πνεύμονος, διὰ αὔξησιν τοῦ ἐν ἡμῖν θερμοῦ.

Ἀνὰ πόδα, ἔμπαλιν, ὀπίσω.

Ἀναποδίζειν, τὸ ἐξετάζειν, καὶ ὡσανεὶ συγκρούειν. τὸ αὐτὸ καὶ ποδίζειν ἔλεγον.

Ἀναποδίσαι, τὸ ἀναχωρῆσαι λέγει Ὅμηρος, ὅπερ ἐστὶν ἀνάπαλιν τοῦ χωρεῖν, καὶ προχωρεῖν.

Ἀναποδισμὸς, ἐπανάλυσις.

Ἀναπόδραστος, μὴ δυνάμενος φυγεῖν.

Ἀναποθεῖ, μνημονεύει, Λάκωνες.

Ἀναποθήσεται, καταποθήσεται.

Ἀνάποινος, ἀλύτρωτος, μάταιος.

Ἀναπόλαυστος, ἄγευστος.

Ἀναπολεῖ, ἀναμιμνήσκεται. τάττεται δὲ καὶ ἐπὶ τοῦ μηρυκίζεσθαι, καὶ ἀναπτύσσειν.

Ἀναπολῶ, ἀναλογίζομαι, ἀναστρέφω.

Ἀναπεμπαζόμενον, ἐν ἀναπολήσει γινόμενον.

Ἀναπόμπιμα δῶρα, τὰ ἀποστρεφόμενα.

Ἀναπόνιπτος, μὴ νιψάμενος, μὴ δὲ πλύνας τὰς χεῖρας, ἀλλ' ἀκάθαρτος· Ἀριστοφάνης.

Ἀναπότριπτον, ἀνεξάλειπτον.

Ἀναπρῆσαι, ἀναφυσῆσαι. καὶ ἀναπρῆσαι, ἀνατρῆσαι, παρὰ τῷ Ἱπποκράτει.

Ἀναπρήσας, πρήω, πρήθω, καὶ καθ' ὑπαλλαγὴν, πρέθω, ὅθεν ἔπρεσεν, ἐξ οὗ κατ' ἔκτασιν τοῦ ε εἰς η, γίνεται πρήθω, καὶ σημαίνει τὸ ἐμπυρίζω, ὡς τὸ, Πρῆσαι πυρὸς δηΐοιο θύρετρα. σημαίνει καὶ τὸ φυσῶ, ὡς τὸ, Πρῆσεν δ' ἄνεμος μέσον ἱστίον. ἀναπρήσας δὲ, ἀναφυσήσας. παρ' Ὁμήρῳ δὲ κεῖται, ἀντὶ τοῦ ἀναπεράσας, ἢ ἀναφυσήσας, ὡς ἀπὸ τοῦ πρήθω ῥήματος. καὶ τὸ γεμίσας τοὺς ὀφθαλμοὺς, ὅθεν καὶ ἄνεμος ἱστίον ἔπρησε.

Ἀναπρόθυρον, τετραμμένον, εἰς τὸ πρόθυρον βλέπον· τοιοῦτον γὰρ τὸ σχῆμα τῆς τῶν νεκρῶν προθέσεως.

Ἀνάπτεται, δημοεγέρται.

Ἀνά-

Digitized by Google

Ἀνάπταιστον, τὸ μὴ πταῖον.

Ἀνάπτειν, ἀναπίμπρειν, παρατιθέναι, προσάγειν. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀναπτόντων τὸ πῦρ.

Ἀναπτερώσω, μετέωρον ποιήσω.

Ἀνάπτεται, φλέγεται.

Ἀναπτοσιοχέρας, ὁ Γηγῖνος.

Ἀναπτύσω, πτερνίσω.

Ἀναπτομένας, ἀναπτοηθείσας.

Ἄναπτος, ἄληπτος, ἀπίαστος.

Ἀνάπτυξις, ἑρμηνεία, διασάφησις. καὶ ἀναπτύξω, ἀντὶ τοῦ ἐπιδείξω.

Ἀναπτύξαντες, ἀνακαλύψαντες.

Ἀναπτύσσων, δοκιμάζων, καὶ διακρίνων.

Ἀναπτυχαί, ἀνατολαί.

Ἀνάπτω, ἀνεγείρω.

Ἀνάπυστα, τὰ ἀκουστά, ἢ φανερά. καὶ κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἀνὰ στόμα πᾶσι κείμενα πυνθάνεσθαι. γίνεται δὲ ἡ λέξις ἀπὸ τοῦ πάθω, πάσω, ἐξ οὗ πύστις, ἡ διὰ ἐρωτήσεως μάθησις. ἐκ δὲ τοῦ πύστις, ἄπυστον καὶ ἀνάπυστον. ἢ ἐκ τοῦ πέπυσμαι πέπυσαι, πυστὸν, τὸ ἀκουστόν. καὶ ἄπυστον, καὶ ἀνήκουστον, καὶ μετὰ τοῦ στερήσεως ἀάπυστον, τὸ μὴ ἀνήκουστον, ἀλλὰ δηλαδὴ ἀκουστόν, καὶ πλεονασμῷ τοῦ ν διὰ εὐφωνίαν, ἀνάπυστον. ὥσπερ καὶ γνωστὸν ἄγνωστον, ἀάγνωστον, καὶ ἀνάγνωστον. κατὰ τὸ αὐτόν, μηδὲν ἐθέλειν καλὸν ἔχειν ἀνάγνωστον, ἀλλὰ πᾶσι δηλαδὴ γνωστόν.

Ἀναπωλεῖν, τὸ δεύτερόν τι πιπράσκειν ἐρεῖς, καὶ ἀναπιπράσκειν ὁμοίως. καὶ τὸ ἔργον, ἀνάπρασις. καὶ τοὺς αὐτὸ ποιοῦντας, ἀναπιπράσκοντας, καὶ ἀναπωλοῦντας. καὶ τὰ δεύτερον πιπρασκόμενα, ἀναπωλούμενα, ἀναπιπρασκόμενα, παλίμπρατα, παλίμβολα. καὶ ὁ αὐτὰ ποιῶν, παλίμπωλος, παλιγκάπηλος. τὰ δὲ ἐκ τοῦ δεδημεῦσθαι πιπρασκόμενα, δημόπρατα. τὸ δὲ σὺν ἄλλῳ πιπράσθαι, προσπεπρᾶσθαι, λέγουσιν.

Ἄναρ, ὄναρ, ἢ ἤκουσα.

Ἀνάραβηλα, τὰ μὴ ἐξεσμένα, ἄρβηλα γὰρ τὰ δέρματα.

Ἀναραθαγῆσαι, ἀναψοφῆσαι, ἀναπηδῆσαι.

Ἀναραίσαι, παύσασθαι.

Ἀνάρακτος, δημόσιος.

Ἀνάργυρος, ὁ ἀργύριον μὴ κεκτημένος, εἰ καὶ εἴη αὐτῷ ἱκανὴ οὐσία ἐξ ἑτέρων κειμένων. Λυσίας, ἐν τῷ περὶ τῆς ἐπιγένους διαθήκης. Ἐπειδὴ τοίνυν Ἐπιγένης ἀδυνατῶς διατελεῖ ἐξ ὑπαρχῶν ἠναγκάζετο ἀνάργυρος ὤν, καὶ τῆς γῆς τῶν πολεμίων κρατούντων.

Ἀναρέειν, ἀμέλγεσθαι, κυΐσκεσθαι.

Ἄναρθρα, ἀτύπωτα, ἀδιάνοητα, ἀμέριστα.

Ἄναρθρος, ἄτονος, ἀσθενής.

Ἀναρᾶσθαι, ἀντὶ τοῦ διαλύειν τὰς γενομένας ἀράς, οὕτω Καλλισθένης.

Ἀναρίθμητος, ἄπειρος. Σοφοκλῆς, Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος. καὶ ἀναρίθμοι, πλεῖστοι, ἄπειροι. εἷς ἐμοὶ ἄνθρωπος, μύριοι· οἱ δ' ἀνάριθμοι, οὐδεὶς, τοῦτ' αὐδῶ, καὶ παρὰ Περσεφόνῃ φησὶν Ἡράκλειτος.

Ἀναρίθμιον, ἐχθρόν.

Ἀναρίτης, ζῷον κοχλιῶδες.

Ἀναριχᾶται, Ἀττικοὶ, δηλοῖ δὲ, τὸ ταῖς χερσὶ καὶ τοῖς ποσὶν ἀντεχόμενον, ἀναβαίνειν πρὸς τὸ πρόσαντες. γράφεται δὲ δι' ἑνὸς ρ. γίνεται δὲ ἐκ τοῦ ἀράχνη, ἀραχνιῶ, καὶ ἐν ὑπερβιβασμῷ, ἀναριχῶ.

Ἀναρκτῶ, ἀνυποτάκτω.

Ἄναρκτον, τὸ ἀνυπότακτον.

Ἀνάρμοστος, ἀνακόλουθος, μηδενὶ ἁρμοζόμενος. * ἀναρμοστεῖν, τὸ ἐναντίον τοῦ εὐαρμοστεῖν.

Ἀναροδανισθῆναι, ἀναβλασθῆναι.

Ἀναροιζοῖ, φονεύει.

Ἀναροῦσα, κύουσα.

Ἄναρος, ἄγγελος, Ταραντῖνοι.

Ἀνάρπαστοι, οἱ ἀμύητοι.

Ἀναρρηθῆναι, ἀνακηρυχθῆναι. καὶ ἀνάρρημα, κήρυγμα. καὶ ἀνάρρησις, ἀναγόρευσις.

Ἀναρρήξει, ἐπὶ γῆς κυβιστήσει. καθὰ καὶ ἐπὶ γαστρὸς τὴν ἀναρρήξεις Δίων. δηλοῖ δὲ ἡ λέξις, τὸ διαχίσαι, διασχίσαι. ὅμοιον δὲ καὶ τὸ, τεῖχος ἀναρρῆξαι.

Ἀναρρήσεως, ἀνακηρύξεως.

Ἀνάρρησιν, τὴν πανήγυριν.

Ἀνάρρησις, στέφανος. ἢ ἀνακήρυξις, πρόρρησις, προαγόρευσις.

Ἀνάρρινον, τὸ διὰ τῶν ῥινῶν παλίρρυτον ἰὸν, παρὰ τῷ Ἱπποκράτει.

Ἀναρριπίζειν, κινεῖν, ἀνεγείρειν.

Ἀναρρίπτειν, διδάσκειν.

Ἀναρριχᾶσθαι, ἀναδίδοσθαι τὸ ὕδωρ, καὶ τὸ σχοινοβατεῖν. ἀναρριχῶ, ἀναρριχᾷ, ἀναρρίχων, ἀναρρίχων, οἱονεὶ τρόπον ἀράχνης τοῖς ποσὶν ἀντιλαμβανόμενον, ἀνιέναι πρὸς τὸ πρόσαντες. ἀραχνιᾶν, ἀραχνιᾶσθαι, καὶ ἀναρριχᾶσθαι. ἢ ἔστι ῥίον, τὸ ἀκρωτήριον, ἐκ τούτου γίνεται ῥιᾶσθαι, καὶ πλεονασμῷ τοῦ χ, ἀναρριχᾶσθαι. ἀναρριχᾶσθαι δὲ ἔλεγον κυρίως, τὸ τοῖς ποσὶ καὶ χερσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν.

Ἀναρροιβδεῖ, ἀναρροφεῖ.

Ἀναρροίβδησις, ἡ ἀναφορὰ τῶν ὑδάτων.

Ἀνάρροιστον, ὀπισθόρμητον.

Ἀναρρύει, θύει, καὶ σφάττει, Εὔπολις. καὶ ἡ θυσία δὲ, ἀνάρρυσις καὶ ἐπανάρρυσις, ἐπειδὴ θύοντες ἀνέκλων τοὺς τραχήλους τῶν θυομένων, ἐπὶ τὰ ἄνω τρέποντες. Ὅμηρος, αὖ ἔρυσαν. καὶ ἑορτὴ, οὕτως ἐκαλεῖτο παρὰ Ἀθηναίοις.

Ἀνάρρυσις, ἡ θυσία, καὶ ἡ ἐλευθερία.

Ἀναρρῶγας μεγάροιο, τὰς ἐν τῷ μεγάρῳ διόδους, ὡς ἤ, τὸ ἀνάρρηγμα τοῦ τοίχου, ἢ τὰς ῥαγάδας. οἱ δὲ, τὰς ἀναβάσεις.

Ἀνάρσιοι, ἄδικοι, ἐχθροί. ἔστιν ἀρῶ τὸ ἁρμόζω, ὁ μέλλων Αἰολικῶς, ἄρσω, ἐξ οὗ ἄρσιος, καὶ ἀνάρσιος, κατὰ στέρησιν τοῦ α, πλεονασμῷ τοῦ ν, ὁ ἀνάρμοστος, καὶ ἀσύμφωνος, πολέμιος, ὑβριστής. καὶ ἄναρσις, νεῖκος, πόλεμος.

Ἀνάρσιον, ἀβάσταχτον, δυσκαταφρόνητον, ἄδικον.

Ἀνάρσιος, ἀνάρμοστος, ἄφιλος, ἐχθρός. οἱ γὰρ ἐχθροὶ ἀλλήλοις οὐ συμβαίνουσιν.

Ἀνάρτησις, ἀνακρέμασις. καὶ ἡ ἐπὶ ξύλου καθήλωσις.

Ἀναρύττειν, ἀναντλεῖν. ἀπὸ τοῦ ἀρύεσθαι.

Ἀναρυστῆρα, ἐν ᾧ ὁ οἶνος ἀνιμᾶται.

Ἀνάρχει, ἀντὶ τοῦ ἀβασίλευτοι, δίχα ἄρχοντος.

Ἄναρχον, ἐξ οὗ ἅπαντα γεγέννηται, αὐτὸ δὲ ἀγέννητον.

Ἀνασαβρῶσαι, εἰς ὀροφὴν ἐμπλέξαι.

Ἀνάσαι, γεράσαι, ἀναδοθῆναι.

Ἀνασείειν, ἐκτινάσσειν.

Ἀνασείοις, ἀναπείθοις.

Ἀνασειράζει, ἀνθέλκει, ἀναστρέφει. ἐν Ἐπιγράμματι, αἶψ' ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω.

Ἀνασεῖν, ἀναφέρεσθαι.

Ἀνασειράζω, τὸν ἵππον ἀναχαιτίζω. καὶ ἀνασειράζω, τὸ ἀναχαλινῶ, ἀνακόπτω.

Ἀνασεσιλιᾶσθαι, τὸ ἐστεμμένας ἔχειν τὰς τρίχας, καὶ ἀνάσιλος στέφανος.

Ἀνασεσυρμένη, ἡ συρόμενον ἱμάτιον ἐπαίρουσα, καὶ μέρος γυμνοῦσα. καὶ ἀνασεσυρμένην, ἄκοσμον, ἄπρεπη. ὡς τὸ, Κωμῳδίαν ἀνασεσυρμένην, καὶ πλημμελῆ. καλοῦσι δὲ τὸ μὲν σκωπτικὸν, ἐπίχαρι. τὸ δὲ ἀστεῖον, ἐπιδέξιον. τὸ δ' ἀνασεσυρμένον, ἄπλαστον, καὶ ἁπλοῦν. οἷς ἐπακολουθεῖ καὶ τὸ αὐστηρὸν, ἄγροικον ἡγεῖσθαι. τὸ δὲ δίκαιον, οὐ πολιτικὸν, οὐδὲ ἥμερον.

Ἀνασηκοῦ, τὸ προστιθέναι τὸ ἐλλιπές.

Ἀνασηκῶσαι, ἀνταποδοῦναι, ἢ ἀναλαβεῖν.

* Ἀνασηκωθῆναι, τὸ προσθεῖναι τῷ ἀναφερομένῳ τὴν πρὸς τὸ βαρῦνον ἰσορροπίαν.

Ἀνάσιλος, ὁ ἀναφαλαντίας, ὅ ἐστι φαλακρὸς, ἄκοσμος τὴν κεφαλήν. φάλα γὰρ, κόσμος τις.

Ἀνάσιμον τείχωμα, τὸ διὰ τοῦ μετώπου ἐπὶ κορυφὴν ἐστραμμένον. ὡς τὸ, Μηδὲν πρότερον ἀναποδῆσαι ἀνάσιμον, ἢ πρεσβύτερον. οὐ γὰρ ἀνεχετὸν οὕτω ἐλαθῆναι.

Ἀνάσιμοι, ἄμορφοι.

Ἀνασιμοῦν, τὸ τὰ ζῷα πρὸς ὀχείαν ὁρμῶντα ὀσφραίνεσθαι. δηλοῖ δὲ καὶ τὸ ἀναλίσκειν.

* Ἀνασιμώσασθαι λέγουσι, τὸ ὀσφραινόμενον τῷ σχήματι τῆς ῥινὸς, μυσάξασθαι.

Ἀνασκίνδησις, ἀναπήδησις.

Ἀνασκαλεύων, ἀνακινῶν, ἀδημονῶν, ἀναλογιζόμενος.

Ἀνασκίνισμα, ἀνακίνημα.

Ἀνασκελίζειν, μαστιγοῦν.

Ἀνασκελιζόμενοι, μαστιζόμενοι.

Ἀνασκελίζω, τὸ κατασκελιζόμενον ἀνατρέπω. ἐναντίον γὰρ τὸ κατασκελίζειν τῷ ἀνασκελίζειν. καὶ ὄνομα ἀπὸ τούτου ἀνασκελὴ, ἐναντίον τῇ κατασκελῇ. καὶ ἀνασκελισάμενοι, ἀπέραντες. καὶ ἀνασκελισθείσης τῆς στάσεως φησὶ Δημοσθένης.

Ἀνὰ σκῆπτρῳ, ἅμα τῇ βασιλικῇ ῥάβδῳ.

* Ἀνασκησία, ἀμελησία, βλακεία, νωθεία, ἀμελετησία.

Ἀνασκινδυλεῦσθαι, σκολοπισθῆναι.

Ἀνασκιρτῆσαι, ἀναπηδῆσαι.

Ἀνασκολοπισμένος, ἀνεσταυρωμένοι. σκόλοπες γὰρ τὰ ὀξέα ξύλα.

Ἀνασκολύψας, γυμνώσας.

Ἀνασοβῶ, τὸ ἀναπτεράσσω.

Ἀνασπᾷ τὰς ὀφρῦς τις λέγεται, καὶ ἀνασπᾷ ἀντὶ τοῦ ἀνιμᾶται. Γάσπος, ἐκ τοῦ φρέατος ἀνέσπασαν ὕδωρ.

Ἀνασπάζουσιν, ἀναπεράσουσιν.

Ἀνασπᾶν, τὸ βιαίως ἀνέλκειν. οἷον ἀνασπᾶν τὰς τρίχας. κατασπᾶν, τὸ καθέλκειν. ἀποσπᾶν, τὸ κεκολλημένα χωρίζειν. καὶ ἀνασπᾷ, ἀντὶ τοῦ καταλύει, ἢ ἀναιρεῖ.

Ἀνασπάσιον, ἀνεσπασμένον.

Ἀνασπάσω, ἐκβαλῶ.

Ἀνασπῶ, τὸ τὰς βοτανῶν ῥίζας τέμνω. ἀποσπῶ, τὸ ἀποτέμνω. κατασπῶ, τὸ καταχαλῶ. ἐπισπῶμαι, τὸ λαμβάνω. περισπῶ δὲ τὸ περιαιρῶ. ὡς παρὰ Φιλοστράτῳ, Περισπάσας τὴν ἀσπίδα. διασπῶ, τὸ διαμερίζω.

Ἄνασσα, ἡ βασίλισσα, ἡ δέσποινα, οὐκ ἀπὸ τοῦ ἄναξ γέγονε. τὰ γὰρ ἀπὸ τῶν εἰς ξ εἰς α παραγόμενα, ἐθνικά ἐστι. Φοῖνιξ, Φοίνισσα. Κίλιξ, Κίλισσα. τοῦτο δὲ μὴ ὂν ἐθνικὸν, ὁμοίως οὐ λέγεται. ἔστιν οὖν ἀπὸ τοῦ ἀνάσσω. ὡς ἑλίσσω ἕλισσα, καὶ ἀμφιέλισσα, καὶ νύσσω νύσσα.

Ἀνάσσωσι, ἀντὶ τοῦ ἀνάσσουσι λέγουσιν οἱ Δωριεῖς.

Ἀνάσσειν, ὥσπερ καὶ τὸ ἡγεῖσθαι, καὶ τὸ ἄρχειν, ποτὲ μὲν γενικῇ, ποτὲ δὲ δοτικῇ συντάσσεται. οἷον. Μυρμιδόνεσσιν ἄνασσεν, ἀντὶ τοῦ Μυρμιδόνων. καὶ ἄρχει Μυρμιδόνεσσι λέγει. οὕτω καὶ Τρώων ἡγεῖταί τις, καὶ Τρώεσσιν ἡγεῖται.

Ἀνασσέμεν, κελεύειν.

Ἄνασσεν, ἐβασίλευσεν.

Ἀνάσσεσθαι, ταρᾶσαι, γυρᾶσαι.

Ἀνασαύσωντα, ἀνασεσησμένα.

Ἀνάσσω, βασιλεύω. καὶ ἀνάσσων, βασιλεύων, ὁ μέλλων, ἀνάξω. ὁ παρακείμενος, ἤναχα. ὁ μέσος, ἤναγα, καὶ καθ' ὑπερβιβασμὸν, ἄνηγα. καὶ οἱ Δωριεῖς, τὸν μὲν παρακείμενον μετάγουσιν εἰς ἐνεστῶτα, ἀνήγω, ἀνώγω. ἢ ἀπὸ τοῦ ἄνω τοῦ σημαίνοντος τὸ ἀνύω, ἀνάσσω, ὡς πτώσσω πτωσσέσω, σαλῶ σαλάσσω. καὶ παραλήγουσαν ἐπιδέχεται τὰ δύο σσ, τὸ α, ε, η, ι, υ, ω, χωρὶς τοῦ ο μικροῦ. ὁ μέλλων, ἀνάξω. πόθεν ἔχει τὸ ξ, εἰ γὰρ ἡ σπεῖρα διφορεῖται, ἴδιον ἔχειν τὸ σ καὶ μὴ τὸ ξ. Ἰστέον ὅτι τὰ εἰς ζω λήγοντα ῥήματα, εἰ μὲν ὦσι δισύλλαβα, τῇ μὲν διὰ τοῦ ξ ἐκφέρονται, οἷον κράζω κράξω, τῇ δὲ διὰ τοῦ σ, οἷον κτίζω κτίσω. εἰ δὲ ὦσιν ὑπὲρ δύο συλλαβὰς, ἀεὶ διὰ τοῦ σ. πλὴν τοῦ οἰμώζω οἰμώξω, ὀλολύζω ὀλολύξω, θρυλίζω θρυλίξω. τὸ δὲ βαστάξω, καὶ νυστάξω, καὶ τὰ ὅμοια, Δωρικά ἐστι κατὰ τροπὴν τοῦ σ εἰς ξ. τοῦ δὲ στενάζω ὁ ἐνεστὼς, διφορεῖται, εὕρηται γὰρ καὶ στονάχω, ἀφ' οὗ καὶ στόναχοι, καὶ

Digitized by Google

στοιχῇ. καὶ πλὴν τοῦ αἰάζω, αἰάσω. εἰ δὲ διὰ δύο σσ ἐκφέρεται ὁ ἐνεστὼς, ἀεὶ ὁ μέλλων διὰ τοῦ ξ, πλὴν τοῦ πλάσσω πλάσω, τὸ ἐργάζομαι· ἱμάσσω ἱμάσω, τὸ τύπτω. ἰνάσσω ἰνάσω, τὸ δύναμιν παρέχω. ἐρέσσω τὸ κοπηλατῶ, ἐρέσω. πάσσω, τὸ ποικίλλω, πάσω. καὶ λεύσσω τὸ βλέπω, λεύσω.

Ἀνασαδὸν, ἀνιστάμενοι.

Ἀναστὰς ὁ Ἀχιλλεὺς δημηγορεῖ. οὕτω δὲ ἦν ἔθος τοῖς παλαιοῖς κἂν βασιλεῖς ἦσαν, ὡς ἂν ἔχοιεν τοὺς κύκλῳ ἐπιστρέφειν, καὶ ὑπὸ πάντων ἐπίσης ἀκούεσθαι. εἰ δέ ποτέ τις καθήμενος ἐδημηγόρησε, καινὸν τὸ πρᾶγμα ἐδόκει. καὶ ὁ τοῦτο ποιῶν παραιτήσεως ἐδέετο. καθάπερ ὁ Ἀγαμέμνων ποιήσει. ὅτε διὰ τὸ τετραυματίσθαι αὐτόθεν ἐξ ἕδρας διαλέγηται.

Ἀνάστατα ἐποίει, ἐθαυμάζετο.

Ἀναστατήριαι θυσίαι, αἱ ἐπὶ ἀναρρώσει νόσου.

Ἀνάστατοι, πλακοῦντος εἶδος. οὗτοι δὲ αὐταῖς ταῖς ἀρρηφόροις ἐγίνοντο. ἐλέγοντο δέ τινες πλακοῦντες, καὶ χαρίσιοι. οὗτοι δὲ ἀπὸ τῶν καταλειπομένων συμμιγνύμενοι ἐγίνοντο, καὶ δημιουργοὶ πλάσσουσιν. Ἀριστοφάνης Δαιταλεῦσι, Πέμψω πλακοῦντας ἑσπέρας χαρισίους.

Ἀναστατοῦντας, ἀνατρέποντας.

Ἀναστάτους, κατεστραμμένους.

Ἀναστεῖλαι, ἀντὶ τοῦ ἀναχέεσθαι.

Ἀναστέλλω, κωλύω, ἀναφράττω.

Ἀνάστημα, ὕψωμα.

Ἀνάστημα ψυχῆς, τὸ πρὸς ἀρετὰς ἐπιτεταμένον καὶ σύντονον ἰδίωμα.

Ἀναστήσει, οἱ μὲν κοινότερον ἐνόησαν, ἀντὶ τοῦ ταράξας ἐξεγερεῖ. οἱ δὲ ἄνω κάτω ποιήσει, ἀναστατώσει, ἀναστάτους ποιήσει. εἴρηται ἡ λέξις παρὰ τοῖς παλαιοῖς, οἳ πόλιν ἀναστήσειν, πολλάκις τὸ ἀναστατώσειν φασί. καὶ εἰ τοῦθ' οὕτως, ἔστι καὶ τοῦτο αὐτὸ πρωθύστερον, ἤγουν σχῆμα ὑστερολογίας, ἵνα ᾖ τὸ ἀκόλουθον οὕτως, Ἀτρείδην ἐξεναρίξοι, τοὺς δὲ ἀναστήσει, ὅ ἐστιν ἀναστάτους καὶ ἀβασιλεύτους ποιήσει.

Ἀνάστα, ἐπὶ παρακελεύσεως. γίνεται ἐκ τοῦ στῶ, ὁ παρατατικὸς, ἔστων ἔστας ἔστα, καὶ τὸ προστακτικὸν, στὰ καὶ ἀνάστα. αἱ γὰρ προθέσεις ἀναβιβάζουσι τοὺς τόνους. καὶ ἄλλως, πᾶν προστακτικὸν, εἰ μὲν εἴη μονοσύλλαβον, ἐν τῇ συνθέσει παροξύνεται, ἕς ἄφες, δὸς ἀπόδος, σχὲς πρόσχες. εἰ δὲ ὑπὲρ δύο συλλαβὰς, προπαροξύνεται. οἷον, βᾶθι ἀνάβηθι, στῆθι ἀνάστηθι.

Ἀνάστασις λέγεται ἐπὶ ἀφανισμοῦ, οἷον ἀνάστασις πόλεως, καὶ ἀνάστατα ἐποίησε τὰ ταύτης χωρία. καὶ ἀνάστασις ἐπιπεσόντος, ὅταν ἀναστῇ, οὗ ἡ τοῦ πεπτωκότος ἔγερσις. καὶ ἐπὶ τοῦ ῥαθυμοῦντος, ὅταν ἐγερθῇ. καὶ ἀνίστησί τις τινὰ, κατὰ τὸ διπλοῦν τοῦτο σημαινόμενον. καὶ ἀνίστησιν ὁ Ὅμηρος τὸν Ἀχιλλέα ἐπὶ τῷ Πατρόκλῳ, ἀντὶ τοῦ γράφει ὅτι ἀνέστη. καὶ ἀνάστασις κοινὴ, ἡ τῶν διαζευχθέντων στοιχείων κελεύσει τοῦ κτίσαντος πρὸς ἑαυτὰ συνδρομή. ἀνάστασις Χριστοῦ, μετάθεσις τῆς λογικῆς φύσεως ἐκ φθορᾶς πρὸς τὴν ἀφθαρσίαν, καὶ ἐκ τῆς ἀγνοίας ἐπὶ τὴν ἀπλανῆ γνῶσιν. Ἄλλως.

Ἀνάστασις, ἐπειδὴ ὁ θάνατος παρὰ φύσιν εἰσῆλθεν, ἡ δὲ ἀνάστασις κατὰ φύσιν. ὁ γὰρ Πρωτόπλαστος πρὸ τῆς παραβάσεως, ἀθάνατος ἦν. ἀνάστασις δὲ λέγεται, ἐπειδὴ τὸ φθαρὲν πλάσμα διὰ τῆς ἁμαρτίας, ὀρθοῦται διὰ δικαιοσύνης. εἰ γὰρ παρέμεινεν ὁ Ἀδὰμ τῇ ἐντολῇ, ἔμεινεν ἂν ζῶν. ἀνάστασις οὖν, ἡ δευτέρα στάσις, καὶ ἡ τῆς μακροθυμίας τοῦ Θεοῦ παῦλα. καὶ ἀνάστασις, ἀντὶ τοῦ ἀναστάτωσις. Πολύβιος, Μάσσανα δὲ, Καρχιδόνι αἴτιον τῆς ἀναστάσεως γενέσθαι πάμπαν, τὴν ἀσθενῆ Ῥωμαίοις ὑπολείποντα.

Ἀνάστατον ἐποίησα, καὶ ἀνέστησα τὸν δεῖνα ἐπὶ ἔργον, καὶ ἀνέστην ἐγὼ ἐπὶ τοῦτο. οἱ δὲ ἐπὶ τοῦ ὕπνου τὸ ἀνέστην καὶ ἀνέστησα λέγοντες, ἁμαρτάνουσι. δεῖ γὰρ ἐξήγειρα καὶ ἐξηγέρθην λέγειν.

Ἀνάστατος, ὁ κατεστραμμένος, ἢ ὁ πεπορθημένος. ὁ διά τινα συμφορὰν, ἢ δίκην καταλιπὼν τὴν οἰκείαν, καὶ ἐν τῇ ἀλλοδαπῇ διαγενόμενος. εἴρηται δὲ καὶ ἐπὶ πόλεων ἑαλωκυιῶν, καὶ οἴκων ἐξερημωθέντων, καὶ ἀνάστατος, ὁ καταλιπὼν τὴν οὐσίαν, καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ζῆν αἱρούμενος. καὶ ἀνάστατον τὴν πόλιν ποιήσας, ἀντὶ τοῦ ἀνοικίσας, ἢ μεταστήσας ἢ μεταγαγών.

* Ἀνάστασις, παρὰ Δημοσθένει, ἡ τῆς πόλεως ἀναστάτωσις.

Ἀναστεῖλαι, ἀντὶ τοῦ ἀναχέεσθαι.

Ἀνάστημα, ἡλικίας εὐθύτης. ὡς τὸ, θαυμαστὸν ὁ Θεὸς τῷ Μωϋσῇ, τὸ τῆς ἡλικίας ἐξῆρεν ἀνάστημα.

Ἀναστήσας, ἀναστάτους ποιήσας καὶ μετοικίσας. ὡς τὸ, ἀναστήσασα ἐκ τοῦ ἱεροῦ τὸν ἄνθρωπον, αἰκίαις καθυπέβαλε. καὶ αὖθις· Τὴν δὲ καταφυγοῦσαν εἰς τὸ ἱερὸν, ἀναστῆσαι οὐκ ἐτόλμησε. καὶ ἀναστήτω ὁ Θεός.

Ἀναστήσειε, Τοὺς μὲν ἀναστήσειεν, ἀντὶ τοῦ ἀναστάτους καὶ φυγάδας ποιήσειεν.

Ἀναστοιχειώσας, ἀναπλάσας. μεταστοιχειώσας δὲ, ἀντὶ τοῦ μεταπλάσας.

Ἀνὰ στόμα ἔχων παρ' Ὁμήρῳ, ἀντὶ τοῦ οὐκ ἂν ἀγορεύοις, ἀεὶ ἐν στόματι ἔχων τοὺς βασιλεῖς· ἤγουν ἄλλως δὲ οὐ μόνον οὐ χρὴ ὑβρίζειν, ἀλλ' οὐδὲ ἁπλῶς ἀνὰ στόμα φέρειν τοὺς βασιλεῖς χρὴ τὸν τυχόντα.

Ἀναστομεῖ, ἐπὶ πηγῆς καὶ φλεβὸς λέγεται.

* Ἀναστομῶσαι τὰς τάφρους φησὶν Ἡρόδοτος, ἀντὶ τοῦ εὐρῦναι.

Ἀνὰ στρατὸν, κατὰ τὸ στράτευμα.

Ἀναστρεφόμενος, περιερχόμενος.

Ἀναστρέφων, ἀρνούμενος.

Ἀναστρέφει, ὁ ὑποστρέφων. ἀναστρέφεται δέ τις πρὸς ἡμᾶς, ἀντὶ τοῦ διάγει.

Ἀναστρέφομαι, αὐλίζω, διάγω, διατρίβω.

Ἀναστροφὴ, ἐστὶ λέξις ἀναστρέψουσα ἐκ τοῦ ὑποκειμένου εἰς τὸ προκείμενον, μηδενὸς μέρους λόγου μεταξὺ πίπτοντος. οἷον, εἰ ἀντὶ τοῦ εἰπεῖν ἕως ἡμῶν ἦλθεν, εἴπῃ ἡμῶν ἕως ἦλθε. γίνεται δὲ ἐπὶ ὀνόματος, ὡς τὸ ἕνεκα τοῦ Χρύσου. ἢ ἐπὶ προθέσεως, οἷον ᾧ ἔπι πόλλ' ἐμόγησα, ἀντὶ τοῦ ἐφ' ᾧ. καὶ ὡς τὸ Ἰθάκῃ ἔνι, ἀντὶ τοῦ ἐν Ἰθάκῃ. ἢ ἐπὶ ἐπιρρήματος. οἷον, ὄρνιθες ὥς, βόες ὥς. καὶ ἀναστροφὴ, τρόπος ποιητικός· κεῖται δὲ μυριαχοῦ τῆς ποιήσεως, οἷον ἦν διὰ μαντοσύνην, ἀντὶ τοῦ διὰ ἰδίαν μαντείαν. καὶ τὸ, βῆ δὲ κατ' Οὐλύμποιο, ἀντὶ τοῦ κατέβη. καὶ βῆ δὲ κατ' Ἰδαίων ὀρέων. καὶ παρ' Ἡσιόδῳ, ὄν τε διά.

Ἀναστροφάδην, ἀνεστραμμένως. φασὶ δὲ τοῦτο, ὅταν ὁ ἐγκαλῶν τῷ ἠδικημένῳ ἐγκαλῇ.

Ἀναστροφὴ, ζωὴ, πολιτεία, διαγωγή. ἢ ἡ ἀποκατάστασις τῆς ἐπιστροφῆς, εἰς τὴν προτέραν χώραν. λέγεται καὶ ἡ ἀνταπόδοσις, ὡς τὸ, καὶ μὴ ἂν ἀναστροφὴν εἶναι αὐτοῖς πταίσματός τινος γενομένου κατ' ἐκείνους, ἀκμῆς πλήθει χρωμένους.

Ἀνάστρω, ἀφεγγεῖ.

Ἀναστροφῶν, ἀναστρέφων.

Ἀνασύψαι, ἐπᾶραι τὸ αἰδοῖον, ἢ συγνῶσαι, Σοφοκλῆς.

Ἀνασυφελιζομένου, ἀνερειδομένη.

Ἀνασύνταξις, τὰ διαγεγραμμένα τιμήματα τῆς συμμορίας, ὅταν δόξῃ τῷ δήμῳ χρήζειν προσθήκης ἢ ἀφαιρέσεως, καὶ ἕλωνται τοὺς τοῦτο πράξοντας, τοῦτο ἀνασύνταξιν καλοῦσιν.

Ἀνασυντάξας, ἀντὶ τοῦ ἄνωθεν συντάξας, Ὑπερείδης κατὰ Πολυεύκτου.

Ἀνασύραι, ἀποκαλύψαι, ἢ περιποιῆσαι.

Ἀνασυροίμεθα, τὸ πολὺ ἀργύριον, ἢ τὶ ἄλλο λαμβάνειν, σῦραι ἔλεγον Ἀττικοὶ, μεταφορικῶς.

* Ἀνάσυρμα παρθένου εἶπεν Εὔβουλος ὁ κωμικὸς, τὸ λαθρίδιον γέννημα καταγελάστως.

Ἀνασφαδάζειν, ἀναπηδᾶν, ἀναλακτίζειν, ἀγάλλεσθαι.

Ἀνασφῆλαι, ἀναρρωσθῆναι, σφῆλον γὰρ τὸ ἰσχυρόν.

Ἀνασφήλας, ἀνανήψας ἑαυτὸν, ἀναστήσας. ἢ ἀναλαβὼν, ἢ ἀνενεγκών.

Ἀνασφοδῆξαι, ἀναπηδῆσαι, ἐξελάσαι.

Ἀναχεθέειν, ἢ ἀντὶ τοῦ ἀναχεῖν, ἤτοι ἀναδῦναι, ἀνελθεῖν, καὶ ὡς εἰπεῖν ἀνατεῖλαι. ὅπερ ὅμοιον τῷ ἀνέδυ, καὶ τῷ κύματος ἐξαναδύς.

Ἀναχέμεναι, ἀναχεῖν.

Ἀνάχεο, ἀνάτεινον, ἢ ὑπόμεινον. ἀνοχὴν γὰρ ὑπομενετικὴν δηλοῖ, ὡς τὸ, ἀνάσχεο κηδομένη περ. ἀπὸ τοῦ σχῶ, σχῆμι. ὁ μέλλων, σχήσω. ὁ παρακείμενος, ἔσχηκα. ὁ παθητικὸς, ἔσχημαι. ὁ ἀόριστος πρῶτος, ἐσχέθην. ὁ μέσος, ἐσχήμην. τὸ δεύτερον, ἔσχεσο. καὶ ἐκβολῇ τοῦ σ, ἔσχεο, καὶ ἔσχου. ὁ μέσος προστακτικὸς, σχέο, καὶ ἀνάσχεο, μέσος ἀόριστος δεύτερος προστακτικὸς, κατὰ διάλυσιν Ἰωνικήν.

Ἀνασχέσθαι, ἀναδέξασθαι, ὑπομεῖναι. ἀπὸ τοῦ ἀνέχω ἀνέξω, ὁ δεύτερος ἀόριστος, ἀνέσχον, πλεονασμῷ τοῦ σ. ὁ μέσος δεύτερος ἀόριστος, ἀνεσχόμην, ἀνέσχου, ἀνέσχετο. τὸ ἀπαρέμφατον, ἀνασχέσθαι.

Ἀνασχινδυλευθήσεται, ἀνασκολοπισθήσεται.

Ἀνασχοῦσα, ἀναδῦσα.

Ἀνασχὼν χεῖρας, ἀντὶ τοῦ ἀνατείνας. τὸ ῥῆμα, σχῶ, καὶ μετὰ τῆς ἀνὰ, ἀνασχῶ. ὁ μέλλων, ἀνασχήσω. ὁ ἀόριστος, ἀνέσχησα. ὁ δεύτερος, ἀνέσχον. ἡ μετοχὴ, ὁ ἀνασχών. ἔστι δὲ πρώτης συζυγίας τῶν περισπωμένων. εἰς δευτέραν δὲ λέγεται τὸ ἀνασχεῖν, καὶ ἐπὶ ἀνατολῆς. ἀνίσχειν γὰρ ὁ Ἥλιος, καὶ ἀνασχεῖν λέγεται. τὸ δὲ χεῖρας ἀνασχὼν, ἐν ἄλλοις ἀνασχόμενος ἑρμηνεύεται παθητικῶς. ὅπερ ἕτερος ποιητὴς ἀναπτύξας χεῖράς φησι. Σημείωσαι δὲ, ὅτι τῷ ἀνίσχειν ἀντίκειται τὸ κατίσχειν, ὡς Ἡρόδοτός φησι, Κατίσχει σέλας ἐκ τοῦ οὐρανοῦ, ἐπὶ τὴν βοῦν τὴν γεννῶσαν τὸν Ἆπιν. καὶ ὅτι τὸ ἀνασχεῖν καὶ ἐπὶ ὑπομονῆς ποτὲ λέγεται, φησὶν ὁ αὐτὸς, μέγα οὐ λυπηρὸν ἀνασχήσειν, ἤγουν ἀνέξεσθαι. καὶ ἀνασχὼν, ἀναβιβάσας, καὶ ἀνατείλας, Λιβάνιος.

Ἀνασχούσης δέ ποτε τῆς εὐδαίμονος ὡς ἐνόμιζον ἀκτῖνος.

Ἀνασχόμενος οὐχ ὁ ὑπομείνας, ὡς παρὰ τοῖς μεθ' Ὅμηρον, ἀλλ' ὁ ὑψοῦ τείνας τὴν χεῖρα. φησὶ γὰρ, Ἐρυσάμενος ξίφος ἀργυρόηλον πλῆξεν, ἀνασχόμενος κόρυθος φάλον. ἀλλαχοῦ δὲ, ἐνεργητικῶς χεῖρα ἀνασχὼν φησὶν ἐπ' εὐχῆς, καὶ χεῖρας ἀνέχον.

Ἀνασώσων, ἀνακτησόμενος.

Ἀνατασθεὶς, ἀνεπαπειλήσας. ὁ δὲ ἀνατασθεὶς, καὶ τὸν ἐξ αὐτοῦ φόβον ἐπικρεμάσας. καὶ ἀναπαττικῶς κελεύων, ἀντὶ τοῦ προστακτικῶς.

Ἀνατάθῶμεν, ἀναπλεχθῶμεν, ἀναχῶμεν.

Ἀνατάξασθαι, συντάξαι, εὐτρεπίσασθαι.

Ἀνατάσεσιν, ἀναγωγαῖς, ἀναπλώσεσιν, οὕτως ὁ θεῖος καὶ μέγας Διονύσιος.

Ἀνατάσεις, ἐπαπειλήσεις. ὡς τὸ, Ὑπερηφάνοις τὰ μὲν φιλάνθρωπα παρεσιώπων, τὰς δὲ ἀνατάσεις, καὶ ἐπαπειλήσεις ἔλεγον.

Ἀνάτασις, ἡ μετὰ πικρίας καὶ θρασύτητος ἀπειλή. Πολύβιος, οἱ μὲν οὖν περὶ Μητρόδωρον καταπλαγέντες τὴν ἀνάτασιν Φιλίππου τοῦ βασιλέως, ἐπανῆλθον.

Ἄνατε, ἀνάστητε. ἢ ἀπὸ τοῦ ἀνάστητε, κατὰ συγκοπήν. ἢ ὥσπερ ἀπὸ τοῦ ἄγε γίνεται ἄγετε, οὕτω καὶ παρὰ τὸ ἄνα ἄνατε.

Ἀνατεθυμιασμένος, ἀναπεπεισμένος, ἀνακεκαυμένος.

Ἀνατειχισμένης, ἀναπλαττομένης.

Ἀνατέξεσθαι, ἀναγεννῆσαι.

Ἀνατεῖλαι, ἀνθῆσαι, ἐκ μεταφορᾶς τῶν βοτανῶν.

Ἀνατέλλει μὲν ἐρεῖς ὁ Ἥλιος, ἐπιτέλλει δὲ ὁ Κύων, ἢ ὁ Ὠρίων, ἢ ἄλλο τι τῶν μὴ ὡσαύτως τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ πολευόντων. καὶ ἀνατέλλει, φύει. ἢ ἀνατέλλειν, τὸ ἀνίσχειν ἀνέχειν, ἀναβαίνειν, προφαίνεσθαι, ἀναφαίνειν, ἀναλάμπειν. δύειν, δύεσθαι, καταδύεσθαι, κάτω ῥέπειν, κατακλίνεσθαι, ἀποκλίνειν, μεσημβριάζειν, ὑπὲρ κεφαλῆς ἑστάναι. τὸ γὰρ μεσουρανεῖν, Αἰγυπτίων. Ὅμηρος αὐτὸ σεμνῶς λέγει, Ἦμος δ' Ἠέλιος

λιος μέσον οὐρανὸν ἀμφιβεβήκει.

* Ἀνατέλλειν, ἀνίσχειν, ἀνέχειν, προφαίνεσθαι, ἀναλάμπειν.

Ἀνατέταλκεν, ἀνέτειλεν.

Ἀνατέτραπτο, ἀνατροπὴν ἔπαθεν.

Ἀνατετυρβακὼς, ἀνασπαράξας. τυρβάσαι δὲ κυρίως λέγεται, τὸ πηλὸν ταράξαι.

Ἀνατεινάμενος, κάλλιον εἰπεῖν, ἢ ἀπειλήσας. ὡσαύτως καὶ ἀνατεινάμενος ῥόπαλον, ἢ ἀναχών. καὶ ἀναδησάμενος, ἢ ἀναρπάσας. καὶ ἀνατεινάμενος, ἐπαπειλήσας. ὡς τὸ, ὁ δὲ βασιλεὺς πολλὰ τοῖς εἰς τὴν πρᾶξιν ὑπουργηκόσιν ἀνατεινάμενος, οὐδὲν ἔδρασε. καὶ αὖθις, Οἱ δὲ Αἰγύπτιοι ἀνατεινάμενοι καὶ καταχαγχάσαντες, ἐν ὄψει τοσούτων ἀνδρῶν καὶ γυναικῶν, εἴκοσιν ἀποδέοντας πεντακοσίοις ἀπέκτειναν. ἀνατεινάμενοι οὖν, ἤγουν μεθ᾽ ὕβρεως ἀπειλήσαντες.

Ἀνατείνας, τὴν ψυχὴν ἐπὶ τὰ ἄνω ῥίψας, καὶ ἐπὶ τὴν τοῦ Θεοῦ θέαν.

Ἀνατείνει, ἤτοι ἀνέχει, καὶ εἰς ὕψος αἴρει. ὡς τὸ, ἀνατείνει τὰς χεῖρας πρὸς τὸν Θεόν. καὶ ἀνατεινόμενος, ἀντὶ τοῦ ἀναγειρόμενος, καὶ ἀντὶ τοῦ ἀπειλῶν, ὅπερ καὶ δοτικῇ συντάσσεται. Συνέσιος, Ἀνατεινόμενοι δὲ τοῖς ἱερεῦσι τοῦ Θεοῦ ταῦτα.

Ἀνατὶ, ἀντὶ τοῦ ἄνευ ἄτης, ἄνευ κακοῦ, ἀβλαβῶς. καὶ ἄνευ τίσεως, Ἰσαῖος ἐν τῷ πρὸς Ἀπολλόδωρον.

Ἀνατίθεμαι, ἀντὶ τοῦ ἀθετῶ.

Ἀνατίθημι, ἐπιφορτίζω, καὶ ἀφιερωμάτων. ἀνατίθεμαι δὲ, τὸ ἀναβάλλομαι καὶ ὑπερτίθεμαι, καὶ ἀθετῶ. οἷον, ἀνατίθεμαι τὰ κατηγορημένα. τὸ δὲ ἀναθεῖσα τοῦ γε κατθανεῖν παρὰ Σοφοκλεῖ, κατὰ διάστασιν συντακτέον εἰς γενικὴν, οἷον, ὑπέρθεσιν ποιησαμένη τοῦ θανάτου.

Ἀνατικτόμενον, τὸ ἐκ δευτέρου τικτόμενον.

Ἀνατιμήσας, ὑπερβαλλόμενος τῇ τιμῇ.

Ἀνατιναγμὸς, μετάστασις, μετακίνησις.

Ἀνατίσαντες, πληρώσαντες.

Ἀνατλάντες, καὶ ἀνατλῆναι, καὶ ἀνατλῆσαι, ἀντὶ τοῦ ὑπομεῖναι. τλῶ γὰρ τὸ καρτερῶ.

Ἀνάτλημα, ὑπομονὴ, καρτερία.

Ἄνατλος, ἀκρατής.

Ἀνατολὴ, ἐπὶ Ἡλίου, ἐπιτολὴ δὲ ἡ φανέρωσις τῶν ἄστρων, μετὰ τὴν κρύψιν τὴν ἡλιακήν.

Ἀνατοιχεῖν, μὴ λέγε, ἀλλὰ διατοιχεῖν.

Ἀνατοιχάσαι, περὶ τοῖχον περιπατῆσαι.

Ἀνατολίαν, ἀνατολήν.

Ἄνατος, ἀβλαβής.

Ἀναστραπέντες, σκελισθέντες, πεσόντες. ὡς τὸ, οἱ δὲ σπῶσι τοῦ οἴνου ἄδην, καὶ ἀναστραπέντες ἔκειντο ὡς ἔτυχον.

Ἀναστρέπειν, ἀναστρέφειν.

Ἀναστρέχειεν, μεταπλάσειεν.

Ἀναστρέχω, Μένανδρος, ἀντὶ τοῦ ἀναλύω.

Ἀναστρητὰς ἐμβάδας, τὰ διεστρυπημένα, καὶ διακεκομμένα ὑποδήματα.

Ἀναστοπῆς, ἀντὶ τοῦ ἤχου. Ὅμηρος.

Ἀνατροφὴ, ἣν ἀναστρέφει τίς τινα. ἢ ἣν ἀναστρέφεται τὶς ὑπό τινος.

Ἀνατυποῦταί τις, ὅταν φαντάζηται, ἃ ἑώρακεν.

Ἀνατυπῶσαι, Ἀντίμαχος ἀντὶ τοῦ ἀναστρέψαι.

Ἀνατύπωσις, ἡ διανόησις.

Ἀνὰ τυχόντα, κατὰ τὰ γινόμενα.

Ἀναύδακτον, ἀνεξήγητον, ἄλεκτον.

Ἀναυδέα, ἄρρητα, ἄφωνα.

Ἄναυδος, ὁ ἄφωνος. καὶ ἀναύδητον, ἄλεκτον, ἄρρητον, ἀπόρρητον. Σοφοκλῆς, Κοὐδὲν ἀναύδητον φατίξαι μ᾽ ἄν. καὶ, οὐχ ὑπ᾽ αἰσχύνης τοῦ πάθους περιρρεόμενος δάκρυσιν, ἄναυδος ἦν, ἐξειπεῖν αἰδούμενος τὸ πάθος.

Ἀναυλεὶ, χωρὶς ναύλου.

Ἀναυμαχίου, ὡς τοῦ μὴ στρατεύεσθαι, καὶ τοῦ μὴ λείπειν τὴν τάξιν, καὶ τοῦ τὰ ὅπλα ἀποβαλεῖν ζημίαι ἦσαν ὡρισμέναι ἐκ τῶν νόμων, οὕτω καὶ τοῦ μὴ ναυμαχῆσαι. τοῦτο τὸ ὄφλημα ἀναυμαχίου ἐκαλεῖτο, ὡς Ἀνδοκίδης· οὕτω δὲ δεῖ καὶ αὐτοὺς, καὶ τοὺς ἐξ αὐτῶν ἀτίμους εἶναι.

Ἀναύροις, δίχα ἀνέμου. ἄναυρον λέγει ὁ Ἀπολλώνιος, τὸν χείμαρρον. οἱ γὰρ ἐξ ὑετῶν συνιστάμενοι ποταμοὶ, οὕτω καλοῦνται.

Ἀναυσία, τὸ μὴ ναυτιᾶν.

Ἄναυτα, ἠπειρωτικά.

* Ἀναυμαχίου δίκην ἐκρίνετο, ὁ τὴν ναῦν μὴ λιπὼν, μὴ μέντοι ναυμαχήσας. λιποναυτίου δὲ ἐκρίνετο, ὁ τὴν ναῦν ἐλλείπων. ὥσπερ λειποταξίου, ὁ τὴν τάξιν ἐλλείπων.

Ἀναφαίρετον, μὴ ἀφαιρούμενον. ἀπὸ τοῦ ἀφαιρῶ, ἀφαίρετον, καὶ ἀναφαίρετον, πλεονασμῷ τοῦ ν. τὸ δὲ ἀφαιρῶ, ἐκ τοῦ αἱρῶ τὸ λαμβάνω.

Ἀναφαιρέτων, ἀμεταλήπτων, μηκέτι ἀφαιρουμένων.

Ἀναφαίνειν, λέγειν.

Ἀναφανδαὶ, δηλοῖ τὸ ἐναργῶς. ἐσχημάτισται πληθυντικῶς ἐκ τοῦ ἀναφανδὸν ἐπιρρηματικοῦ ὀνόματος.

Ἀναφανδὸν, φανερῶς· ὡς τὸ, ἀναφανδὸν ὀπύειν τὴν νόμιμον ὁμιλίαν δηλοῖ. οὗ ἐναντίον, τὸ παρελέξατο λάθρα. ὃ ταυτόν ἐστι τὸ κλεψιγαμεῖν. ἀφ᾽ οὗ τὸ ὀπύειν χώραν οὐκ ἔχει, ἀλλὰ τὸ παραλέξασθαι, καὶ τὸ συνηθῆναι. Σημείωσαι δὲ, καὶ ὅτι καλῶς οἱ μὴ γεννώμενοι παῖδες ἐκ γυναικῶν ἀναφανδὸν ὀπυομένων, σκότιοι λέγονται. διότι καὶ πρὸς τὸ ἀναφαίνειν, ἀντίκειται τὸ σκοτίζειν. ὥσπερ καὶ φωτὶ, τὸ σκότος. παρθένιος δὲ τίς ἐστίν; αὐτὸς ὁ ποιητὴς δηλοῖ, διδάξας παρθένιον εἶναι τῇ μητρὶ παῖδα, οὗ γεννηθέντος λάθρα ἐν παρθενίας καιρῷ, εἶτα τὴν γεννησαμένην ἀνὴρ ἕτερος ἠγάγετο πρὸς δώματα. ὅπερ ἀναφανδὸν ὀπύειν ἔφη ὁ ποιητής. καὶ ἄλλως δὲ παρθένιος υἱὸς, ὃν κατὰ τὸν ποιητὴν ἐπορέ τις, ὅ ἐστιν ἐπορίσατο γυναικὶ, μιγεὶς αὐτῇ πρὸ τοῦ γάμου.

Ἀναφῆναι, δηλοῖ τὸ δεῖξαι, φανερῶσαι. γέγονε δὲ ἀρχὴ δικαστικῆς λέξεως παρ᾽ Ἀττικοῖς, τοῦ φαίνειν, ὡς ἐν κατηγορίᾳ. ὅθεν καὶ τὸ συκοφαντεῖν γίνεται. φαίνει γὰρ καὶ ὁ συκοφάντης τοὺς συκοκλέπτας, ὡς ἡ Ἱστορία λέγει.

Ἀναφέρειν, τὸ εἰς ἄνω μέρος βαστάζειν. καὶ ἀναφέρειν, ἀντὶ τοῦ κουφισμὸν λαμβάνειν τῆς νόσου. καὶ ἀναφέρειν, ἀντὶ τοῦ εἰς τοὔπισθεν φέρειν. Εὐριπίδης, Λεὼς μὲν εἰς τοὔπισθεν ἀναφέρει πόδα. καὶ ἀναφέρειν, ἀντὶ τοῦ φαντάζεσθαι, καὶ ἀνασπᾶν. Συνέσιος, καὶ ἀναφέρων ἀπὸ τῶν ἐγγεγραμμένων τὴν ἔμψυχον συνουσίαν. καὶ ἀναφέρειν, ἀντὶ τοῦ τὴν αἰτίαν εἰς ἕτερον τιθέναι. Εὐριπίδης, εἰς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν. καὶ ἀναφέρειν, τὸ ἱστορεῖν. Πλούταρχος ὁ ἱστορικὸς ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἀττικῶν, Ἀναφέρει περὶ Αἴθρας. καὶ ἀναφέρειν, τὸ πρὸς ὑπερέχον πρόσωπον γράμμασιν, ἢ προσώποις πλησιάζουσι, παραδηλοῦν περί τινος. καὶ ἀναφέρειν, τὸ ὑπολύζειν ἀναπνέοντα, παρὰ τῷ Ἱπποκράτει.

Ἀναφέρω, φανερὰ ποιῶ.

Ἀναφὴς, ἄψαυστος, ἀψηλάφητος, ὁ μὴ ψηλαφώμενος.

Ἀναφήριστον, ἄμαχον.

Ἀναφλᾶν ἔλεγον, τὸ μαλάσσειν τὸ αἰδοῖον.

Ἀναφλαλάχανον, φέρει ἄνθος ὡς ἡ μαλάχη, καὶ τὸ ἄνηθον.

Ἀναφλασμοὶ, τὰ ἀφροδίσια.

Ἀναφλύει, ἀναζεῖ.

Ἀναφλύστιοι, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος δῆμος τῆς Ἀντιοχίδος. ἔνιοι δὲ, ὡς πόλεως τῆς Ἀναφλύστου μνημονεύουσιν.

Ἀναφοιτῆσαι, ἀνελθεῖν.

Ἀναφορεὺς, ὁ ἀνέχων καὶ ἀναβαστάζων, καὶ ὁ λῶρος.

Ἀναφορὰ, δέησις, παράκλησις. καὶ ἀναφορὰ, τὸ ἀναφέρειν τὴν αἰτίαν τῶν ἁμαρτηθέντων ἐπ᾽ ἄλλους. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ Ὑπερίδης ἐν τῷ κατὰ Κόνωνος.

Ἀναφοράξαντες, ἀναπτύξαντες, ἀναπετάσαντες

Ἀναφοιβάσας, ἀνακαθάρας.

Ἀναφορικὰ, ὡς τὰ πεύσικα, καὶ ἀόριστα, ἐπί τε ποσοῦ καὶ ποιοῦ λέγονται. τοῖς δὲ κυρίοις καὶ προσηγορικοῖς ὁμογενῶς καὶ ὁμοιοπτώτως συντάσσονται, ὁμοιώσεως ἢ δείξεως ἕνεκα. ἔστι δ᾽ ὅτε θαυμαστικῶς. καλεῖται δὲ οὕτω διὰ τὸ τὴν διάνοιαν ἐπί τι ἀναφέρεσθαι τῶν προεγνωσμένων. συμβαίνει γὰρ τὸ τοιοῦτον ὅταν τις λέγῃ, τοιοῦτος ἦν Ἀχιλλεὺς, οἷος Αἴας. ἔξεστι ταῦτα καὶ δεικτικὰ καὶ ἀνταποδοτικὰ ὀνομάζειν. ὅτι πολλάκις χρώμενοι τοῖς τοιούτοις δεικνύομεν, ὁρῶντές τι ὅμοιον. καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδίδοται ἡγούμενα, καὶ ἑπόμενα. κυρίως δὲ ἀνταποδοτικὰ, τὰ ἔχοντα τὸ τ ἀρκτικόν. οἷον τοιοῦτος, τηλίκος, τόσος. ἃ δὴ καὶ τῷ δε ἐπιτείνεται, τοιόσδε, καὶ ἄρθροις συντάσσεται. τά γε μὴν ἀπὸ φωνήεντος ἀρχόμενα, οὐ συντάσσονται ἄρθροις. οὐ γὰρ ὁ οἷος λέγομεν, οὐδὲ ὁ ὅσος. ἡγεῖται μὲν ἀλλήλων ἐν τῇ συντάξει, καὶ ἐπιφέρεται ὡς εἴρηται. οἷον, αὖθ᾽ ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἶναι. καὶ ἀλλ᾽ οὗτοι τόσοι ἦσαν, ὅσοι ἑλίκωπες Ἀχαιοί. καὶ χωρὶς δὲ ἀναφορικοῦ λαμβάνεται τὰ ἀνταποδοτικὰ ἀπολύτως, ἤτοι ἀποστηματικῶς, ἢ θαυμαστικῶς. τοίην κεφαλὴν ποθέω. πολλῷ δὲ μᾶλλον τὰ ἀναφορικὰ, δίχα τῶν ἀνταποδοτικῶν. συμφορῶν πεπείραται, οἵων οὐδεὶς φαμέν. καὶ σοφοῖς ἐνέτυχεν, οἵοις οὐδείς. καὶ πολέμους διανύσειν, ὅσους οὐδείς. Ἄλλως.

Ἀναφορικὰ καλοῦνται, ἐπειδὴ τὸν νοῦν τοῦ ἀκροατοῦ ἀναφέρουσιν ἐπὶ τὰ εἰς τὸν καιρὸν, ἀπὸ τοῦ λαλοῦντος ὁριζόμενα. καθ᾽ οἷον οὖν ἐθέλει χρόνον, ἐνεστῶτα, ἢ παρεληλυθότα, ἢ μέλλοντα, ἀποβάλλοντα τὸ κατ᾽ ἀρχῆς τ, τὰ ἑαυτῶν ἀνταποδοτικὰ παρασκευάζουσιν. ὥσπερ καὶ τὰ ἐν τοῖς ὀνόμασιν ἀναφορικά. ὃν γὰρ τρόπον ἐκ τοῦ τοῖος, τόσος, τηλικοῦτος, γίνεται οἷος, ὅσος, ἡλίκος, τὸν αὐτὸν τρόπον ἐκ τοῦ τῆμος τότε, τέως, τηνίκα, τόφρα, γίνεται ἦμος, ὅτε, ἕως, ἡνίκα, ὄφρα, ὅπερ συνεμπίπτει τῷ αἰτιολογικῷ συνδέσμῳ· λέγω δὴ τῷ ὁμωνύμῳ αὐτοῦ ὄφρα.

Ἀνάφορον ξύλον, ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται, βαστάζουσιν.

Ἀναφρονήσαντες, ἀνανήψαντες, μεταγνόντες ὡς τὸ οὐκοῦν οἱ πλεῖστοι ἀναφρονήσαντες, ἐγνωσιμάχουν καὶ μετεβάλλοντο.

Ἀναφρονέων, ἀναλογιζόμενος.

* Ἀναφυγὴ, ἀποφυγὴ, ἀναχώρησις, ἀποστροφὴ, ἀναφορά.

Ἀναφῦναι, ἀναβλαστῆσαι.

Ἀναφυομένων, ἀναφαινομένων.

Ἀναφώνημα, ἀνειμένη βοή.

Ἀναφωτὰ, ἀναφανδά.

Ἀναχάζομαι, σημαίνει τὸ ἀναχωρῶ. καὶ ἀναχασάμενος, ἀναχωρήσας.

Ἀναχαίνεται, ἀναξαίνεται, παρὰ τῷ Ἱπποκράτει.

Ἀναχαιτίζω, ἀνακρούω, ἀναποδίζω, καὶ ἀνακόπτω, ἐπὶ ἵππου λέγεται.

Ἀναχαιτίσαντι, ἀνορμήσαντι, ἀποστρέψαντι, ἀνακρούσαντι, χαλινώσαντι.

* Ἀναχάνειν, ἀναχάσκειν, ἐγχανεῖν.

Ἀνάχαρσις, ὁ σκύθης, παρὰ τὴν ἀνὰ πρόθεσιν, καὶ τὴν χάρσιν, ὃ σημαίνει τὴν χαρὰν ἢ τὴν χαράν. ἐστι καὶ ἰχθῦς ποιός.

Ἀναχασσάμενος, ἀναποδήσας.

Ἀναχασσαμένη, ἀναχωρήσασα, κωλύσασα.

Ἀναχειοῖ, οἰκοιοῦται.

Ἀνὰ χεῖρα, ἐγγὺς τῆς χειρός.

Ἀναχελοῦσθαι, ἀναξηραίνεσθαι. παρὰ τῷ Ἱπποκράτει.

Ἀνάχυσις, φυρμὸς, σύγχυσις, ἢ καὶ ἔκλυσις.

Ἀναχοαὶ, πόροι.

Ἀναχρέμπτω, τὸ ἀναπνέω καὶ ἀναπέμπω.

* Ἀναχύρωτον, τὸν πηλὸν ἐν Ἀγήρῳ Ἀριστοφάνης λέγει.

Ἀναχωρίζειν, ἀντὶ τοῦ ἀναχωρεῖν ποιεῖ.

Ἀναχωρῶ, τὸ εἰς τοὔπισθεν ἔρχομαι. Ἀριστοφάνης, οὐκ ἔτι χρὴ μέλλειν ἡμᾶς, ἀλλ᾽ ἀναχωρεῖν εἰς τοὔπισθεν. διαχωρῶ δὲ, τὸ διέρχομαι, καὶ δίειμι, καὶ διαπορεύομαι, τῆς διὰ ἐπὶ μεσότητος λαμβανομένης.

Ἀναψαθάλλων, ψηλαφῶν, βαστάζων.

Ἀνάψαι, ἀναθεῖναι, κοσμῆσαι. καὶ ἀνάψαι μῶμον, ἢ ἀπὸ τοῦ ἅπτω, ἐξ οὗ καὶ ἥφαιστος,

ἵνα

Digitized by Google

ἵνα λέγῃ ἐκφῆναι, καὶ ἐκφλογίσαι μῶμον δί-
κλω φανοῦ, ἢ ἀντὶ τοῦ προσάψαι, καὶ οἱονεὶ ἐκ-
δῆσαι. καθ' ὃν λόγον καὶ πεισμανθεὶς ἐκ πέ-
τρας ἀνάπτεσθαι λέγεται. ἑρμηνευτικὸν δέ ἐστι
τοῦ αἰσχῦναι, τὸ μῶμον ἀνάψαι.

Ἀνάψομαι φόβον, τὸ περιθήσομαι σημαίνει, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἀναψύξαι, ἀνεμίσαι.

Ἀναψύχειν κυρίως, τὸ ἀνακτᾶσθαι ψυχὴν ἤδη κινδυνεύουσαν οἴχεσθαι. οὐκ ἀνάπαλιν ἀποψύχειν, τὸ ἀπὸ ψυχῆς γίνεσθαι λειποθυμοῦντα, ἢ καὶ θνήσκοντα. ἀναψύχειν τόδε καὶ τόδε λέγομεν, οἷον, ἕλκος ἀναψύχοντα. καὶ μακρὰν ἐλθὼν, τοῦδ' ἀναψύξαι θέλω.

Ἀναψυχή, παραμυθία.

Ἀναψυχῆναι, ἀναπαύσασθαι. ἀναψυχῆναι γὰρ λέγομεν, καὶ οὐκ ἀναψυχθῆναι. οὐδ' ἀναψυγῆναι, οὐδὲ ἀναψύξαι.

Ἀναψύχειν, ῥιπίζειν.

Ἀνάψυχον, τὸ ἀναψυχὴν διδόν. καὶ ἀναψυχομένη, ἀντὶ τοῦ ἀναπαυομένη.

Ἀναψύχουσα, ξηραίνουσα, ῥιπίζουσα.

Ἀναψύχω, τὸ τὸν λειποθυμοῦντα ἐπαναφέρω. ἢ τὸ ἀνακτῶ, καὶ ἀναλαμβάνω.

Ἀνάψω, ἀναθήσω πρὸς τὴν τοῦ ἀνέμου πνοήν.

Ἄνδα, αὕτη· Κύπριοι.

Ἁνδάνει, ἀρέσκει, ἐκ τοῦ ἥδω παράγεται, ἢ ἀπὸ τοῦ ἅδω. οὗ χρῆσις παρ' Ὁμήρῳ. ὡς τὸ, Ἅδεν δ' Ἕκτορι μῦθος. καὶ ἁνδάνον, τὸ ἀρέσκον, καὶ εὐάρεστον.

Ἀνδ' ἄρ ἔβαινεν, ἀνέβη δέ.

Ἄνδας, ὁ Βορέας, ὑπὸ Τυρρηνῶν.

Ἀνδ' αὐτήν, ἀντὶ τοῦ καὶ αὐτήν.

Ἀνδειράδες, πρασιαί, ὀχετοὶ ταφρώδεις.

Ἄνδεργμα, ὁ ἐπὶ τῆς τραγικῆς σκηνῆς παραγόμενος παράκοπος.

Ἄνδηρα, ὅτι λέγονται αἱ τῶν ποταμῶν ὄχθαι, οἱ παλαιοὶ δηλοῦσιν. οἱ λέγουσιν, ὡς ἄνδηρα εἰσὶν, αἱ τῶν τάφρων ἀναβολαὶ, ἤγουν τὸ ἀναβαλλόμενον χῶμα, δι' οὗ ὀχθώδης ἄνω καὶ τάφρος γίνεται. ἢ ἄνδηρα κυρίως, τὰ χείλη τοῦ ποταμοῦ διὰ τὸ εἶναι ἔνικμα, καὶ διερά. ἢ παρὰ τὸ ἄνω εἶναι τῶν διερῶν, ἤγουν τῶν διύγρων. παρὰ Λυκόφρονι δὲ, τὰ κύματα σημαίνει. καὶ ἄνδηρα, μέρος τι τοῦ κήπου. ὥσπερ ἡ πρασιά, καὶ ὁ ὀχετός. Δίδυμος, Ὅπως τὸ ἀνώμαλον τοῦ χωρίου, τῇ τῶν ἀνδήρων καὶ ὀχετῶν ἀφαιροῖτο κατασκευῇ. ἢ καὶ ἄλλως.

Ἄνδηρα, τὰ ἐν ταῖς αἱμασιαῖς ἄνθη. τῶν γὰρ ῥόδων τὰ ἄκρα καὶ προστεύοντα φύονται ταῖς αἱμασιαῖς. παρὰ δὲ Θεοκρίτῳ, τὰ ἄνθη, ἢ τὰ ἄκρα. κυρίως δὲ ἄνδηρα γίνωσκε, τὰ ἐπάνω τῶν ὑγρῶν ὀχετῶν, ἤτοι τὰ χείλη τοῦ ποταμοῦ, παρὰ τὸ ἄνω διερὰ εἶναι. ἢ τὸν ἔνυδρον τόπον, καὶ τὰ τῶν ποταμῶν ἀναχωρήματα.

Ἀνδιάχων, ἀνατείνων.

Ἀνδίκτης, εἶδος παγίδος. ὡς τὸ, ἀνδίκτην μάλα τι εἰδότα μακρὰν ἀλέσθαι, παρὰ τὸ δίκειν τὸ βάλλειν. ἔνθεν καὶ δίσκος ὁ ῥιπτόμενος. ἢ τὸ ἀναιρεπτόμενον τῆς μυάγρας ξύλον.

Ἄνδιχα, ἀντὶ τοῦ δίχως. Ὅμηρος, ἢ ἄνδιχα πάντα δάσασθαι. καὶ ἀντὶ τοῦ χωρίς, Μήτ' ἄρα τῶν κώμων ἄνδιχα, μήτε λύρης.

Ἄνδικε, ἀνάρριψεν. δίκειν γὰρ τὸ ῥίπτειν. ἔνθεν καὶ ὁ δίσκος, ἀπὸ τοῦ ῥίπτεσθαι. καὶ τὸ δίκτυον, τὸ δικόμενον εἰς τὴν θάλασσαν.

Ἀνδικλόβολος δίκη, ἡ ἐξ ὑπάρχων δικαζομένη, παρὰ Ταραντίνοις.

Ἀνδοκάνας, δοκούς.

Ἀνδοκίδου Ἑρμῆς. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, Ἔπειτα τὸν Ἑρμῆν τὸν ἀνδοκίδου καλούμενον, οὐκ Ἀνδοκίδου, ἀλλ' Αἰγηΐδος φυλῆς εἶναι ἀνάθημα. καὶ αὐτὸς Ἀνδοκίδης ἐν τῷ περὶ τῶν Μυστηρίων, ὅτι τῆς αἰγηΐδος εἴη τὸ ἀνάθημα εἴρηκεν. ὥστε ὁ Δίδυμος αὐτοσχεδιάζει, ἀνδοκίδου αὐτὸν εἶναι λέγων.

Ἀνδοχάδην, ἐκ διαδοχῆς.

Ἀνδοχεύς, ἀνάδοχος.

Ἄνδρα, τὴν μνηστῆρα. ὡς τὸ, τὸν ἄνδρα Ἑλένης.

Ἄνδρα, τὸ ἀνδρεῖον.

Ἀνδραγαθῶ, ἀνθῶ, ἀνοηταίνω, ἀνοσιουργῶ, πάντα ἀμεταβάτως.

Ἀνδραγαθιζομένη, ἀνδριζομένη.

Ἀνδραγαθία, τρόπαιον, καλοκαγαθία, ἔπαινος.

Ἀνδραγαθίζεται, ἀνδρίζεται τῷ ἀγαθῷ.

Ἀνδραγαθῶ, καὶ ἀνδρίζω, τὸ ἀνδρός τι ποιῶ.

Ἀνδράγρια, σκῦλα τὰ παρὰ τῶν ἀνδρῶν, ἢ τὰ ἀπὸ τῶν ἀνδρῶν ἀγρευόμενα, ἢ ἀγειρόμενα. ξένη δέ φασιν ἡ λέξις ἅπαξ ῥηθεῖσα. παρῆκται δὲ καθ' ὁμοιότητα τοῦ βοάγρια, ζωάγρια, μυάγρια.

Ἀνδροκτασία, ἡ ἀνδροφονία· ἐκ τοῦ κτῶ τὸ φονεύω, παράγωγον κτεῖμι, κτείσω, ἔκτακα, ἔκταμαι, κτάσις, κτασία, καὶ μετὰ τῆς ἀνδρὸς γενικῆς, ἀνδροκτασία.

Ἀνδρακάς, ὀξύνεται, ὥσπερ τὸ ἑκάς, καὶ ἀγκάς, καὶ ἐντυπάς. δηλοῖ δὲ τὸ κατ' ἄνδρα χωρεῖν.

Ἀνδραπόδεσσι, τινὲς δὲ ἀνδραπόδοισι γράφουσι. παρ' Ὁμήρῳ ἅπαξ ἡ λέξις εἴρηται, καὶ δηλοῖ τοὺς δούλους, ὡς ἀνδρῶν ὄντας πόδας, δηλονότι τῶν δεσποτῶν. εἴπερ εἰς κεφαλὴν ἐκείνοις λογίζονται. ὅτι δὲ οἱ τῶν ἀνδρῶν πορισταὶ τοῖς ἐμπόροις ἀνδραποδισταὶ λέγονται, οἷς ἡ Θετταλία εὐθηνεῖ πάλαι ποτε, καὶ ὅτι οὐκ αἰχμάλωτοι ἐξ ἀνάγκης τὰ ἀνδράποδα, εἴγε τὰ πλείω κλέπτονται, δῆλόν ἐστι. Σημειῶσαι δὲ ἐν τούτοις, καὶ ὅτι καθάπερ οἶνον ὠνοῦνται τὰ ἀνδράποδα, οὕτω ποτὲ καὶ οἱ Θρᾷκες, ἅλατος. ὅθεν ἁλώνητα δουλάρια, τὰ εὐώνητα.

Ἀνδραποδισμός, ἡ αἰχμαλωσία.

Ἀνδραποδοκάπηλος, ὁ νῦν λεγόμενος σωματέμπορος, παρὰ τὸ καπηλεύειν τὰ ἀνδράποδα, ὅ ἐστι πιπράσκειν. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα. ἢ ἀνδραποδοκάπηλοι λέγονται, οἱ τὰ ἀνδράποδα πιπράσκοντες. οἱ γὰρ λαφυροπῶλαι, κοινὸν ὄνομα καὶ πρὸς τὰ ἄψυχα. εἶπε δὲ καὶ ἀνδραποδώνης, ἐν τοῖς Ἥρωσιν Ἀριστοφάνης. τὴν δὲ θεραπαινίδα, καὶ θρέπτην ἐρεῖ, ὅστις βούλοιτο ἕπεσθαι Φερεκράτει, εἰπόντι ἐν Μυρμηκανθρώποις, Μανίαν θρέπτην.

Ἀνδραποδώδεις, δουλοπρεπεῖς, δουλογνώμονας.

Ἀνδραποδιστής, ὁ τοὺς ἐλευθέρους καταδουλούμενος.

Ἀνδράποδον εἴρηται ὁ πούς, ὁ ἐν ἀνδράσιν, ἀπὸ τοῦ ὑποκειμένου μέρους τοῦ ὅλου. ὑπόκειται γὰρ ὁ οἰκέτης τῷ δεσπότῃ, καθάπερ ὁ πούς τῷ ὅλῳ σώματι. καὶ ἀνδραποδώδεις, δουλοπρεπεῖς, δουλογνώμονας.

Ἀνδραποδώδη τρίχα, τὴν τῶν ἀνδραπόδων ἰδίως κουράν, ἣν ἀπελευθερωθέντες ἠλλάσσοντο Ἀθήνησιν οἱ δοῦλοι. καὶ ἣν ταύτην ἀκούειν πολλῶν συνειλεγμένων ἀνδρῶν. οὐδὲ τὰ πάθη κατεσταλμένων, ἀλλ' ἔτι τὴν ἀνδραποδώδη τρίχα, φασὶν ἐπιδεικνυμένων.

* Ἀνδραποδώνην, τὸν ἀνδραποδοκάπηλον, Ἀριστοφάνης εἶπεν ἐν τοῖς Ἥρωσι.

Ἀνδραποδέστατος, δουλοπρεπής.

Ἀνδράριον ὑποκοριστικῶς, ἄνδρα.

Ἀνδράσιν ἑκάστῳ παρ' Ὁμήρῳ, ὡς ταυτὸν ὂν ἀνδράσι πληθυντικῶς, καὶ ἑκάστῳ ἑνικῶς, διὰ τὴν τοῦ πλήθους εἰς τὰς οἰκείας μονάδας ὅλας διαίρεσιν. Ἡ μὲν συνήθειά φησιν, ἀνδρῶν ἑκάστῳ.

Ἀνδραφασσέειν, τὸ κατ' ἄνδρα ἐφάπτεσθαι.

Ἀνδραφυσεῖν, φεύγειν, ἢ ἐπὶ φόνῳ διώκειν.

Ἀνδρασγραφεῖν, τὸ ἐν διδασκαλείῳ τὰ παιδία ὀνόματα γράφειν.

Ἀνδραχθέσι, τοῖς δυναμένοις ἀνδράσιν ἄχθος ποιῆσαι.

Ἀνδραχθεῖς λίθοι, οἱ ἀνδροβαρεῖς, οἳ τοῖς ἄλλοις ἀνδράσιν ἐπαχθῆ ἂν γένοιντο φορήματα.

Ἀνδράχλη διὰ τοῦ λ ἑνικῶς, ἀντὶ τοῦ αἴθρανος. * (ἤγουν γυναικείου ὑποποδίου) γυναι[illegible]ῖν ἐπικαθίζειν ἀνδράχλην.

Ἀνδράχνη, χοιροβότανον. καὶ βοτάνη τις, ψύχει μὲν κατὰ τὴν πρώτην ἀπόστασιν, ὑγραίνει δὲ κατὰ τὴν δευτέραν. διὸ καὶ ἀποκρίνεται τὰ ῥεύμασι, τῇ τε γλισχρότητι, τοῖς ἐκ τῶν ὀξέων αἱμωδίας καταλεαίνει. διὰ δὲ τὴν στύψιν, καὶ δυσεντερίας, καὶ αἱμορραγίας ὀνίνησιν.

Ἀνδρειάς, δύναμις εὐπρεπής, ἡ ὑποκρινομένη. καὶ ἀνδρεία, ἡ ἰσχύς. καὶ τὰ συσσίτια, Κρῆτες.

Ἄνδρε δύω, ἀντὶ τοῦ ἄνδρες δύο.

Ἀνδρεία ἡ ἀρετή, διὰ διφθόγγου. ἀνδρία δὲ γυνή, ἡ ἀπὸ τῆς Ἄνδρου τῆς νήσου. καὶ Ἄνδριος ἀνήρ, ὁ ἀπὸ ταύτης.

Ἀνδρείκελος, ὁ ὅμοιος ἀνδρί. ἀνδρίκελον δὲ διὰ τοῦ ι, καὶ ἀνδρείκελον, τὸ ὅμοιον ἀνδρί. σημαίνει δὲ καὶ τὸ μίμημα τῶν ζωγράφων, ὃ καλεῖται χρωμάτων κρίσις.

Ἀνδρεῖος ἀνήρ, ὁ ἄφοβος. ἁμαρτάνει οὖν ὁ λέγων τὴν ἀνδρείαν, ἐγκράτειαν φόβων.

Ἀνδρειᾶται, κατήγοροι, οἱ ἐπὶ φόνῳ διώκοντες.

Ἀνδρεία, ἡ τῶν ἀνδρῶν ἡλικία.

Ἀνδρείων, γενναίων.

Ἀνδριφόντης, ἀνδροφόνος, ὁ φονεύων τοὺς ἄνδρας, ὅπερ ἐστὶ ταυτὸν τῷ βροτολοιγός.

Ἀνδρὶ χέρηϊ, ἀνδρὶ ἐλάττονι καὶ ἰδιώτῃ.

Ἀνδρίζεσθαι, τὸ τὰ τῶν ἀνδρῶν πράττειν.

Ἀνδρόβασμος, στενὴ ὁδός.

Ἀνδροβόρων, ἀνθρωποφάγων. ὡς τὸ, Ἀνδροβόρε, ὁμότεχνε κυνῶν, αἴλουρε, κακίστη τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων.

Ἀνδρόγυνος, ὁ Διόνυσος. ὡς τὰ ἀνδρὸς ποιῶν, καὶ τὰ γυναικῶν πάσχων. ἢ ἄνανδρος, καὶ ἑρμαφρόδιτος.

Ἀνδρογένειαν, τὴν κατὰ ἄνδρας διαδοχὴν τοῦ γένους, παρὰ τῷ Ἱπποκράτει.

Ἀνδρογυνῶν, ἀσθενῶν, γυναικῶν καρδίας ἐχόντων.

Ἀνδροδῆμις, ὕπανδρος γυνή.

Ἀνδροδόμων, στικλίνων.

Ἀνδροκάδες, πόα τις.

Ἀνδροκάς, μερίς.

Ἀνδροκάπηλος, μεταβολεὺς ἀνδραπόδων.

Ἀνδροκλεῖδαι, γένος Ἀθήνησιν.

Ἀνδροκμήτῳ, ἐν ᾧ ἀνὴρ ἀποθανὼν κεῖται, ἢ ὑπὸ ἀνδρὸς οἰκοδομηθέντι.

Ἀνδροκόβαλος κακοῦργος.

Ἀνδροκόνοι, ἀνδροφόνοι.

Ἀνδροκτασίαι, ἀνδροφονίαι.

Ἀνδρολογεῖ, στρατολογεῖ.

Ἀνδρολήμην, ἀνδρὸς ἔχουσα λῆμα.

Ἀνδροληψία, τὸ ἁρπάζειν ἄνδρας ἔκ τινος πόλεως. ἐνεχύραζεν γὰρ τὴν ἔχουσαν πόλιν τὸν ἀνδροφόνον, καὶ μὴ προϊεμένην αὐτὸν εἰς τιμωρίαν. Δημοσθένης κατ' Ἀριστοκράτους, λέγει καὶ οὐδετέρως τὸ ἀνδρολήψιον ἐν τούτῳ.

Ἀνδρομανής, ἐπιμεμηνυῖα τοῖς ἀνδράσιν.

Ἀνδρομέδα, ἥτις προσετέθη τῷ κήτει. ἀνθ' ὧν σωθεῖσα ὑπὸ τοῦ Περσέως, οὐχ εἵλετο τῷ πατρὶ συμμένειν, οὐδὲ τῇ μητρὶ, ἀλλ' αὐθαιρέτως εἰς τὸ Ἄργος ἀπῆλθε μετ' ἐκείνου, εὐγενές τι φρονήσασα. λέγει δὲ σαφῶς καὶ Εὐριπίδης, ἐν τῷ περὶ αὐτῆς γεγραμμένῳ δράματι.

Ἀνδρομέης, ἀνθρωπίνης.

Ἀνδρόμιον, τὸ ἱμάτιον, Κρῆτες. καὶ ἀνδρόμεον αἷμα, καὶ ἀνδρομέους ψωμοὺς λέγομεν.

Ἀνδρόμεος, καὶ ἀνδρόμεα, κρέα ἀνθρώπου οὐδετέρως. ἀπὸ τοῦ ἀνδρὸς ἄνδρομος, ὡς διὸς Δίομος κύριον, ὁ πατὴρ Ἡρακλέους. καὶ ἐν ἑτέρᾳ παραγωγῇ κτητικῇ, ἀνδρόμεος, πλεονασμῷ τοῦ ε, ὡς κέρμομος κερμόμεος. Ὁ δὲ ἵετο δῦναι ὅμιλον ἀνδρόμεον, καὶ ψωμοὶ ἀνδρόμεοι.

Ἀνδρόκμητος στήλη, ἡ ἐπὶ ἀνδρὶ οὐ ζῶντι, ἀλλὰ καμόντι, ὅ ἐστι θανόντι. ὡς εἰπεῖν, περὶ ὃν ἄνδρες ἔκαμον, ἀβαθὲς καὶ ἀπερινόητον. ἔχει δὲ ἀμφιβολίαν παρ' Ὁμήρῳ, τὸ ἀνδροκμήτῳ ἐπὶ τύμβῳ, εἴτε στήλῃ ἀνδροκμήτῳ συντακτέον, εἴτε ἀνδροκμήτῳ ἐπὶ τύμβῳ. στήλη δὲ κυρίως, ἡ ἐκ λίθου. ὡς ἀπὸ τοῦ στῶ στήσω, καὶ τοῦ λᾶς ὁ λίθος, ὁ ἐκ λίθου δηλαδὴ ἀνεστηκὼς ἀνδριάς. ἐκ δὲ τῆς τοιαύτης στήλης, οὐ μόνον στηλίτης ἄρρητον ὄνομα, ἐξ οὗ στηλιτεύειν σκωπτικῶς τὸ στήλαις ἐγγράφειν τὰ κατά τινων, ἀλλὰ καὶ ὁ στῦλος, σταπῆ.

τρῦ. ὁποία γίνεται. καὶ ἐν τῷ ἅλμῃ ἁλμυρὸς, καὶ πρῷ τυρός.

Ἀνδρόμιντον, συμπαστὸν ἐγχειρίδιον τραγικὸν, καὶ ἀνδρόμηρον.

Ἀνδρόπαις, ὁ ἀνδρούμενος ἤδη παῖς, ἢ ὁ ἀνδρὸς φρόνησιν ἔχων. Σοφοκλῆς Τρωΐλῳ.

Ἀνδροσάθων, ὁ ἀνδρὸς αἰδοῖον, ἢ ὁ μεγάλα αἰδοῖα ἔχων.

Ἀνδροπλήθεια, πλῆθος ἀνδρῶν.

Ἀνδρόφορον, ἀνδροφρόσωπον.

Ἀνδροπορφυρὰς, ἀνδροκογχυλευτὴς, ὁ ἀναλέγων τὰς κόχλους.

Ἀνδροπῖτα, φύσιν ἀνδρὸς, καὶ ἀνθρωπόπιτα. τὴν γὰρ ἀνδρείαν φασὶ, σύμφυτον καὶ ἰδίαν ἀρετήν. ἡ ἀνδροτὴς σημαίνει τὴν ἰσχὺν καὶ τὴν ἀνδρείαν. Ὅμηρος, Λιποῦσ᾽ ἀνδροτῆτα, καὶ ἥβην. Τὰ εἰς της θηλυκὰ ἅπαντα βαρύνονται, πλὴν τοῦ παχυτὴς, βραδυτὴς, ἀνδροτὴς, δηϊοτὴς, ὀξυτονουμένων.

Ἀνδροφόνος, οὕτω λέγεται οὐ μόνον ὁ ἄνδρα φονεύσας, ἀλλὰ καὶ ὁ γυναῖκα κτείνας.

Ἀνδρὼν, οἶκος περιεκτικὸς ἀνδρῶν, ἔνθα εἰώθασιν οἱ ἄνδρες συναθροίζεσθαι.

* Ἀνδρωδῶς ἐναριθμεῖσθαι τῷ καταλόγῳ, Ἰσοκράτης φησὶν, ἀντὶ ἀνδρικῶς.

Ἀνεβάλετο, ἐπροοιμίασεν. Ὅμηρος, ἀνεβάλετο καλὸν ἀείδειν. ἢ ἀνεκρούετο, ἀνήρχετο.

Ἀνέβαλεν, ἀναβολὴν ἐδίδου.

Ἀνεβαλόμην, οὐχ ὑπερεθέμην. καὶ ἐπὶ μέλους χάλκιον, ἢ ᾖσα. ὡσαύτως ἀνεβαλόμην χιτῶνας, ἤγουν ἐνεδύθην.

Ἀνέβησεν, ἀντὶ τοῦ ἀνεβίβασεν.

Ἀνέβη τὸν ἵππον, καὶ ἀνέβη τὸ τεῖχος. ὅθεν καὶ ἀναβάτης ἐπὶ ἵππου.

Ἀνεβίω, ἀνέζησεν, ἀνέστη. καὶ ἀνεβιωσάμην, ἀντὶ τοῦ ἀναβιῶναι ἐποίησα, Κράτης.

Ἀνεβίωσα, ἀνέστησα. καὶ ἀνεβίωσα ἐγὼ ἀμεταβάτως. καὶ μεταβατικῶς Πλάτων ἅπαξ εἶπεν ἐν τῷ Φαίδωνι. ἐὰν πέργε ἡμῖν ὁ λόγος τελευτήσῃ, καὶ μὴ δυνάμεθα αὐτὸν ἀναβιώσασθαι.

Ἀνεβλύζετο, ἀνεδίδοτο.

Ἄνεβοι, οἱ ὥσπερ δώδεκα ἐτῶν ὄντες.

Ἀνεβόησεν οὐράνιον, ἀντὶ τοῦ μέγα, καὶ μέχρι τοῦ οὐρανοῦ ἀφικνούμενον.

Ἀνεβορβόρυξαν, ἀνέκραγον.

Ἀνεβράχθη, ἀντὶ τοῦ ἀνεδόθη, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἀνέβραχεν, ἤχησεν. κεῖται ἐπὶ τραχέως κτύπου ὅπλων, παρ᾽ Ὁμήρῳ, Ἰλιάδος ζ.

Ἀνέβροχεν, ἀντὶ τοῦ ἐρροφήθη, κατὰ ὀνοματοποιΐαν καὶ μίμησιν ἤχου. τραχύτερον δὲ αὐτοῦ τὸ ἀναβροχθέν. ἐξ οὗ καὶ ὁ βρόχθος, καὶ τὸ βροχίζειν.

Ἀνεβιώσετο, ἀπεβιώσετο, παρὰ τῷ Ἱπποκράτει.

Ἀνεβρύαξαν, ἀνεθορύβησαν, ἀνέκραγον. κροτεῖν λέγουσι κυρίως, τὸ κροῦσαι τὰς χερσίν.

Ἀνέγγυος, ἄπιστος.

Ἀνεγκαλύπτοις, μὴ κεκαλυμμένοις.

Ἀνεγκλήτως, ἀνεπιθέτως.

Ἄνεγμα, αἴνιγμα, Ταραντῖνοι. ἐκβολῇ τοῦ ἑνὸς ι, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλόν.

Ἀνέγμεθα, ὑπεμείναμεν.

Ἀνεγνάμφθη, ἀνεκάμφθη.

Ἀνέγναμψαν, ἀνέλυσαν. τοῦτο παρὰ τὸ γόνυ γονάμπτω, καὶ γνάμπτω γνάμψω, ἔγναμψα καὶ ἀνέγναμψα.

Ἀνέγνω, Ἴωνες μὲν καὶ ἐπὶ τοῦ πεῖσαι τιθέασιν, ὡς δηλοῖ Ἡρόδοτος ἐν τῷ, ἀναγινώσκεις βασιλέα στρατεύεσθαι, ἤτοι ἀναπείθεις. Ὅμηρος δὲ ἐν τῷ ν τῆς Ἰλιάδος, ἀντὶ τοῦ ἔγνω, ᾔδετο ἐπανευρίσκων δηλαδὴ τοῦ καλοῦ. καὶ ἑτέρως δὲ τὸ ἀνέγνω, ἀντὶ τοῦ γνῶσιν ἔχει, καὶ σοφίαν καὶ νόησιν.

Ἀνέγνωσε, ἀντὶ τοῦ ἀνέπεισε, οὐ ἐδίδαξε, λέγουσιν Ἴωνες.

Ἀνέγρετον, ἀνυπόστροφον.

Ἀνεγχώρητον, ἀμήχανον.

* Ἀνέγγυον, οὐ ἐναντίον τὸ ἐπέγγυον.

* Ἀνέγκλητος, ἀνεπίκλητος, ἀνεπίληπτος.

Ἀνεδείματο, ἀνεβίωσεν.

Ἀνεδάρδανεν, ἐμόλυνε. δαρδαίνειν γὰρ τὸ μολύνειν.

Ἀνεδείματο, ἀνῳκοδόμησεν, ἔκτισεν, ἀνῆλθε, κατεσκεύασεν.

Ἀνεδέξατο, ὑπέσχετο, ὡμολόγησεν.

Ἀνέδεντο, ἐδεσμοῦντο. δέω, δέσω, δέδεκα, δέδεμαι, ἐδεδέμην, τὸ τρίτον τῶν πληθυντικῶν ἐδέδεντο, ἐν συγκοπῇ τοῦ δε, ἀνέδεντο.

Ἀνεδέχετο, προσεδέχετο, ἐξυπέμενεν.

Ἀνέδην, ἀντὶ τοῦ φανερῶς, καὶ προχείρως. ὡς καὶ Δημοσθένης. Τῆς δὲ πομπείας τῆς ἀνέδην οὑτωσὶ γεγενημένης, ἀντὶ τῆς φανερᾶς. καὶ γράφεται ἀεὶ ψιλόν. ἢ ἀνέδην, ἐκκεχυμένως, καὶ τὸ κατὰ στέρησιν τοῦ ἔδους. ἐνταῦθα δὲ ἀπὸ τοῦ ἀνίημι, ὡς παρὰ Πλάτωνι. καὶ ἀνέδην φεύγει.

Ἀνεδήσατο, ἀπηνέγκατο. ὁ δὲ τὰ πρακτέα ὀρθῶς διαπράττων, πολλὰς ἀνεδήσατο νίκας.

Ἀνεδίδοτο, ἀνεπέμπετο. καὶ ἀνεδίδου, συνεβάλλετο.

Ἀνέδουν, ἐστεφάνουν.

Ἀνέδραμεν, ἤγουν παλίμπους ὥρμησεν, ὀπερέστιν ἀνεπόδισεν. ἄλλως γὰρ ἀναδραμεῖν λέγεται, καὶ τὸ ἄνω δραμεῖν, ἤγουν αὐξηθῆναι, κατὰ τὸ, ὁ δ᾽ ἀνέδραμεν ἔρνεϊ ἶσος. ἀφ᾽ οὗ καὶ ἀναδρομὴ, ἡ καθ᾽ ἡλικίαν αὔξησις.

Ἀνέεργεν, ἐκώλυεν, ἀνέκοπτεν, ἀπὸ τοῦ εἴργω, εἶργε, διαλύσει τῆς ει διφθόγγου.

Ἀνέζδαγον, ᾠδαον.

Ἀνεζδαγνυ, ἀνέστρεφεν. ὁ δὲ μετὰ πολλῆς λείας ἀνεζδαγνυ.

Ἀνεζωπυρήθη, διεθερμάνθη.

Ἀνέηκεν, ἀνέπησεν.

Ἀνεθέμην, ὡμολόγησα.

Ἀνεθήσεται, λυπηθήσεται.

Ἀνεθολοῦτο, ἀνεταράσσετο.

Ἀνέθορεν, ἀνεπήδησεν.

Ἀνεθύραζεν, ἀνεθυρώθη.

Ἀνείδεος, ὁ ἀσχημάτιστος.

Ἀνεικάσασθε, ἀνασκόψατε, Κρατῖνος Δραπέτισιν.

Ἀνείκαστος, ὁ εἰκασμῷ τινι μὴ ὑποβαλλόμενος.

Ἀνεικότες λέγεται, ἐπὶ τῶν τῆς κεφαλῆς τριχῶν, καθεικότες δὲ ἐπὶ τῶν τῆς γενειάδος. πολλάκις δὲ τοῦτο, καὶ ἐπὶ τῶν τῆς κεφαλῆς τριχῶν λαμβάνεται.

Ἀνείλατο, ἀνέλαβεν, ἐπανεκαλέσατο.

Ἀνεῖλεν, ἀντὶ τοῦ ἐξέβαλεν. ὡς τὸ, ἀνεῖλε πᾶσαν αἰτίαν. καὶ ἐπὶ τοῦ ἐμαντεύσατο. Λιβάνιος ἐν τῷ πρεσβευτικῷ πρὸς Ἀχιλλέα, ὁ δὲ ἀνεῖλε παρὰ τῷ τρώσαντι, καὶ τὴν ἴασιν ζητεῖ. ὡσαύτως τὸ ἀναιρῶ, οὐ μόνον τὸ φονεύω, ἀλλὰ καὶ τὸ μαντεύομαι. καὶ ἀναιροῦμαι, οὐ μόνον τὸ φονεύομαι, ἀλλὰ καὶ τὸ ἀναλαμβάνω, καὶ τὸ ἀνέλκω, καὶ τὸ μαντείαν δέχομαι. καὶ ἀνεῖλεν, ἀντὶ τοῦ ἐφόνευσε. καὶ λογογράφοι, καὶ ποιηταί. ἀντὶ δὲ τοῦ ἔλαβεν, ποιηταὶ μόνοι.

Ἀνείλετο τὴν γραφὴν, ἤτοι κεκίνητο κατηγορῆσαι, ἐράνου φορᾷ.

Ἀνειλεῖτο, ἀνέβαινεν.

Ἀνειληθέντες, ἄνω εἰληθέντες.

Ἀνειλήθυαν, ἄποκον.

Ἀνειληφότων, λαβόντων.

Ἀνειλήμματα, τὰς στρόφους, παρὰ τῷ Ἱπποκράτει.

Ἀνείληπτός ἐστι τὸ ἑλληνικὸν, οὐχὶ ἀνάληπτος.

Ἀνείλλεσθαι, τὸ συστρέφεσθαι, καὶ ἀλλήλους τοῖς δόρασι τύπτειν. καὶ ἀνείλλεται, καὶ ἀνειλεῖται.

Ἀνείλετο, ἀνέλαβεν.

Ἀνειλιθῶσιν, εἰς τὸ ἄνω εἰλιθῶσι, συστραφῶσι, παρὰ τῷ Ἱπποκράτει.

Ἀνειλόμην, δύο δηλοῖ, τό, τε ἔθρεψα, καὶ τὸ ἐβάστασα.

Ἀνειλυσπᾶσθαι, ἀναρριχᾶσθαι.

* Ἀνειλκυσμένη ναῦς, νεωλκημένη, διεψυχωμένη.

Ἀνείμονες, ἄνευ ἱματίων.

Ἀνείμονος, γυμνοῦ.

Ἀνείμαθος, ἄφθορος, ἄπληρος.

Ἀνειμένον, τὸ ἀπολελυμένον, καὶ ἐλεύθερον, καὶ ἀνιημένον.

Ἄνειμι, τὸ ἀνέρχομαι.

Ἀνείθη, ἀνέτρεχε, καὶ ἀνέθορεν.

Ἀνεῖν, ἀνακαθαίρειν, ἀναπαύειν. οἱ δὲ, ἀναπλεῖν κριθὰς βεβρεγμένας.

Ἀνείθη, ἀφείθη.

Ἀνεῖνται, ἤγουν ἀπολέλυνται.

Ἀνεῖναι, οὐ δεσμοῦ μόνον σημαίνει λύσιν, ἀλλὰ καὶ τὸ ἀναπείθειν δηλοῖ ποτέ. οἷον, Ἦ μάλα δή τινα Κύπρις ἀνιεῖσα. καὶ τὸ γυμνοῦν. οἷον, Κόλπου ἀνιεμένη. καὶ τὸ ἐκδέρειν. οἷον, αἶγας ἀνιεμένους, ἤγουν ἐκδέροντας. καὶ τὸ παρορμᾶν, οἷον, Μαργαίνειν ἀνέηκεν.

Ἀνεικάσασθαι, ἀνασκέψασθαι.

Ἀνεῖναι, ἀφεῖναι, καὶ τὸ ἀναρρῖψαι, ἀνεῖναι κύβον.

Ἀνεικῶς, οἰκτρῶς.

Ἀνεῖπεν, ἐκήρυξε, διὰ κήρυκος εἶπεν.

Ἀνεῖπον τοῦτον αὐτοκράτορα κάλλιον λέγειν, ἢ ἀνηγόρευσαν. ἔστι δὲ τὸ ἀνεῖπε, καὶ ἀντὶ τοῦ ἁπλῶς ἀνεβόησεν, ὡς τὸ ἀνεῖπεν ὁ κῆρυξ. καὶ λαμβάνεται ἐπὶ ἀγγελίας χρησμῶν, ἢ μυστηρίων.

Ἀνείργειν, κωλύειν.

Ἀνεῖρε, ἐρώτησον.

Ἀνείρετον, ἀπαραίτητον.

Ἀνείρειν, ἀναπείρειν. Πλάτων χοινίκου λαβὼν, ἀνάειρε τὰ κρέα.

Ἀνειρεσίαν, οὐσίαν πολλήν.

Ἀνείρηκε τὸν χρησμὸν, καὶ τὸν κήρυκα ἀνειπεῖν λέγουσιν.

Ἀνειρήκασι, κεχρηματίκασιν.

Ἀνειρήψαντο, ταυτὸν τῷ ἀνέλοντο θύελλαι.

Ἀνειρυσθέωσιν, ἀνασπασθῶσιν.

Ἀνεῖρπεν, ἐσύρετο.

Ἀνειρύσω, ἀνελκύσω.

Ἀνειρῶν, ἁμαρτωλῶν, ἀναπείρων.

Ἀνεὶς, ἀφείς. καὶ ἀνεῖσαι, ἀφεῖσαι. ἀνεῖσθαι, λελύσθαι.

Ἀνείσθω, συγχωρείσθω.

Ἀνεῖσαι, ἐρευνῆσαι, ζητῆσαι.

Ἄνεισιν, ἀνέρχεται. κάτεισι, κατέρχεται. ὅθεν καὶ ἀνεδόθη κυρίως, ἐπὶ τῶν ἐκ τῆς γῆς βλαστησάντων λεγόμενον.

Ἀνείσας, ἐν ὕψει ἀνωτάτω κρεμάσας.

Ἀνεῖται, ἀνατέλλει, ἀναφέρεται. παρὰ δὲ τῷ Ἀριστοφάνει, κεῖται, δέδοται, πρόκειται, παρεῖται, ἀπολέλυται.

Ἀνεῖτο αὐτῷ ἡ κόμη, ἀντὶ τοῦ ἀπολελυμένη ἦν, καὶ ἀντὶ τοῦ ἀνέκειτο.

Ἀνέκαθεν, ἐκ πολλοῦ χρόνου, ἢ ἀπ᾽ ἀρχῆς. Φυλακτέον δὲ ἐπὶ χρόνου λέγειν. οἷον, ἀνέκαθέν μοι ἐστὶ φίλος. ἐπὶ γὰρ τόπου τάττουσιν αὐτὸ οἱ Ἀθηναῖοι, λέγοντες, ἀνέκαθεν κατέπεσε. λέγειν οὖν χρὴ, ἄνωθέν σοι φίλος εἰμί. εἰ δέ τις φαίη ἐπὶ χρόνου παρ᾽ Ἡροδότῳ εἰρῆσθαι τοὔνομα, ἀληθῆ μὲν φήσει. εἴρηται γὰρ· οὐ μὴν τῷ ὑφ᾽ Ἡροδότου εἰρῆσθαι, τὸ δόκιμον. ὥσπερ καὶ τὸ δόκιμον τῆς χρήσεως παρέχεται. οὐ γὰρ Ἰωνικῶν καὶ Δωρικῶν ἐξέτασίς ἐστιν ὀνομάτων, ἀλλ᾽ Ἀττικῶν.

Ἀνέκαιρεν, ἀνεβάλλετο.

Ἀνεκαλαμήσατο, ἀνεθέρισεν, ἐπανετρύγησεν.

Ἀνεκαλέσατο, ἀπέστρεψεν.

Ἀνεκάμφθη, ἀνεκλάσθη.

Ἀνεκήκιεν, ἀνεπήδα, ἀνεδίδου, ἀνέφερεν, ἐκ τοῦ κίω τὸ πορεύομαι.

Ἀνεκδιήγητον, ἀνεκλάλητον, ἄρρητον.

* Ἀνέκδοτος, ἡ μὴ ἐκδεδομένη.

Ἀνεκὰς, ἀντὶ τοῦ ἄνω, πάνυ ἑκάς, καὶ εἰς ὕψος, Ἀριστοφάνης.

Ἀνεκεράνυ, κεράνυμι, ὁ παρατατικὸς, ἐκεράνυν, ἐκεράνυς, ἐκεράνυ, καὶ μετὰ τῆς ἀνὰ ἀνεκεράνυ.

Ἀνέκναψαν, ἀνέλυσαν, ἀνέκαμψαν.

Ἀνεκνάδαλον, ἀνέκλων, ἔκνυζον, ὡς οἱ ὀρτυγοπῶλαι.

Ἀνεκκλητεῖν, ἐξαίρεσιν ποιεῖσθαι, παρὰ Ῥοδίοις.

Ἀνεκολυμβήθη, ἐκ βυθοῦ ἀνηνέχθη.

Ἀνεκόρει, ἔσαιρεν, ἐσάρου.

Ἀνεκρούετο, ἀνέκοπτεν, ἀνέστελλεν, ἀνέστρεφεν.

Ἀνεχρύσατο, ἀνεκιθάρισεν.

Digitized by Google

Α'νεκτότερον, ἐλαφρότερον, ὑποφύλακτον, ἡμερώτερον.

Α'νεκτῶς, μετρίως, ἐπιεικῶς.

Α'νέκφραστον, ἀνερμήνευτον.

Α'νεκυμβάλιζον, ἀντὶ τοῦ ἀνεκρότουν, ἢ ἀνεπήδων. μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῶν ἠχητικῶν κυμβάλων, ἅπερ ἀναπηδᾷ ἐν τῷ προσκρούεσθαι ἀλλήλοις. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι τὸ ῥῆμα βομβῶδες ὄν, ἔμφασιν ἔχει τῆς μετὰ ἤχου τῶν ἁρμάτων ἀναστροφῆς. ἢ ἀνεκυμβάλιζον, ἀντὶ τοῦ τῇ μὲν προσερράσσοντο ἀλλήλοις, τῇ δὲ διΐσταντο μετὰ ἤχου, καθ' ὁμοιότητα καὶ τῶν κυμβάλων. ἢ ἀνεστρέφοντο, ἄνω καὶ κάτω γινόμενοι, κατὰ ὁμοιότητα τῶν πιπτόντων κυμβάλων.

Α'νεκώκυσεν, ἀνεστέναξεν.

Α'νεκώχευον, ἀνεχώρουν. Ἡρόδοτος, ἀνεκώχευον τὰς νέας, ἀντὶ τοῦ τὰ ὀθόνια στήσαντες ἔστελλον.

Α'νελαυνόντες, ἀπόνως ἐλαυνόντες.

Α'νελέγετο, ἀνεπόλει, ἐξεσκέπτο.

Α'νελεήμονας, τοὺς ἀκαμπεῖς, καὶ ἀνενδότους πρὸς ἔλεον. καὶ τοὺς ἀστόργους, καὶ ἀπηνεῖς, καὶ ἀφίλους.

Α'νελέσθαι, ἐξελέσθαι.

Α'νελεύθερος, κακία παρωνόμασται τῇ ἀνελευθεριότητι. ἔστι δὲ κατ' ἀρετὴν μὲν ἄνθρωπος, ὁ ἐλευθέριος. ὃς ἀντιτίθεται τῷ φειδωλῷ, καὶ δαπανᾷ δεόντως.

Α'νελεύθερος δὲ, ὁ μὴ τοιοῦτος, ἀλλὰ κατὰ τοὺς κύμβικας καὶ σκιφοὺς διακείμενος. ὁ δὲ φιλοκερδὴς, εἰς ταυτὸ ἥκει τῷ ἀνελευθέρῳ. εἰκὸς γὰρ τῷ φιλοκερδεῖ, καὶ σμικρολόγον εἶναι, εἶτ' οὖν ἀνελεύθερον. Α'λλως.

Α'νελεύθερος, ὁ μικρολόγος, ὁ ἐκτὸς τῆς ἀληθείας ποιῶν τί. ὡς τό, ἀγεννῆ καὶ ἀνελευθέραν ἐποιήσατο τὴν ἀναχώρησιν.

* Α'νελευθέρως, χρηματιστικῶς, φιλοχρημάτως.

Α'νελεῖν, ἀναστρέψαι. λέγεται καὶ ἁπλῶς, ὅπερ ἄν τις ἀναλάβοιτο. καὶ ἀνελεῖν, ἀντὶ τοῦ μαντεύεσθαι λέγουσιν οἱ Ἴωνες.

Α'νέλη, καὶ ἀνεῖλεν, ἀντὶ τοῦ ἔχρησεν, ὅ ἐστιν ἐχρησμοδότησεν.

Α'νέληπτον, καὶ ἀνέκλητον, τὸ ὑγιῶς καὶ ὀρθῶς ἔχον.

Α'νελθεῖν εἰς οὐρανὸν, τοῖς ἀνθρώποις ἀδύνατον, καὶ ἀπανελθεῖν, καὶ κατελθεῖν.

Α'νελθέ μοι πάλιν, ἀντὶ τοῦ ἐξ ἄλλης ἀρχῆς διήγησαι.

Α'νελίνυον, διέτριβον, ἀνεστρέφοντο, περιεφέροντο, ἐβράδυνον. ἢ ἀνελίνυον, ἀνεδίδουν, ἀνεπαύοντο. ἤγουν καὶ τὰ αἴλινα τὰ θρηνητικά, ἐντεῦθεν γεγένηται, παρὰ τὸ ἀνήνυτά τινα εἶναι, κατὰ τὸ Ὁμηρικὸν, οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

Α'νελιπὴς, ὁ τοῖς ποσὶ μὴ ἀλλόμενος, ἤτοι χωλός.

Α'νελλιπὴς, ἀνενδεής.

Α'νελίξαντες, ἀναζητήσαντες.

Α'νελίξῃς, ἀνοίξῃς.

Α'νελκυσθῆναι, ἀναχθῆναι εἰς ὕψος τὸ ἱστίον, κατὰ τάχος. ὡς τό, ἀνελκυσθῆναι ἐγκελευσάμενος.

Α'νελοίμην, ἀναλάβοιμι, ἐκθρέψαιμι.

Α'νέλοιο, λάβῃς.

Α'νέλοιτο οὐλοχύτας, προγίνεται τοῦ οὐλοχύτας, τὸ προβάλοντο.

Α'νελόμενοι γὰρ κάτωθεν, εἶτα ῥιπτοῦσι κατὰ βωμοῦ αὐτὰς προθέμενοι.

Α'νέλπιστον βίον εἰρήκασιν Ἀττικοὶ, ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἐπτόηνται, ἀλλὰ πάρεστιν ἤδη τὰ ἀγαθά.

Α'νέλω, φονεύω.

Α'νελῶ, φονεύσω.

* Α'νεῖλεν, ἀπέκτεινεν, ἀπέκτονεν, ἀπέσφαξεν, ἀπεχρήσατο, διεχρήσατο, καθεῖλεν, ἐδολοφόνησεν.

Α'νέμβατος, ὁ δυσχερῶς δεχόμενος, δυσπειθής. Γυοβόροις βελέεσσιν ἀνέμβατος ὅπερ ἐρώτων.

Α'νεμέσητον, ἄμεμπτον. νεμεσῶ γὰρ, τὸ μέμφομαι.

Α'νεμεστώθη, ἀντὶ τοῦ ἀνεπληρώθη.

Α'νεθέμην, ἀνεκοινωσάμην.

Α'νέμητα, ἀμέριστα.

Α'νεμιαίων, ἐκ τῶν ἀνέμων.

Α'νέμιον, ὑπηνέμιον. ἔστι δὲ ᾠὸν, τὸ δίχα τοῦ ὀχευθῆναι γεννώμενον.

Α'νέμμενον, ἀνέμενον.

Α'νεμοκοῖται, οἱ ἀνέμους κοιμίζοντες. γένος δέ φασι τοιοῦτον ὑπάρχειν ἐν Κορίνθῳ.

Α'νεμος, κίνησις ἀέρος, ἢ ἀναθυμίασις ξηρά. ἢ πλῆθος ξηρᾶς ἀναθυμιάσεως. ἢ ῥεῦμα ἀέρος, ὁ τῶν τόπων ἐξαλλαγαῖς ὅθεν ῥεῖ, τὰς ἐπωνυμίας ἀμείβων.

Α'νεμοσκεπέων, τῶν πρὸς ἀνέμου σκέπην ἐπιτηδείων χλαμύδων.

Α'νεμοστρεφὲς, τὸ ὑπὸ τοῦ ἀνέμου στρεφόμενον, τυπτόμενον, καὶ κινούμενον, οἱονεὶ στερεὸν, καὶ εὔτονον.

Α'νεμοτρεφὲς ἔγχος, στερρὸν δόρυ, τραφὲν καὶ ἐγγυμνασθὲν ταῖς ἴσαις τοῦ ἀνέμου, καὶ διὰ τοῦτο στερρὸν καὶ οὐκ εὔθραυστον, ἀλλὰ εὔτονον, ὁποῖα τὰ ἐν εὐανέμοις χωρίοις τρεφόμενα φυτά. διὸ ἡ τοῦ Ἀχιλλέως μελία κατὰ τὸν ποιητὴν, Πηλίου ἐκ κορυφῆς τέτμηται. ὅπου μάλιστα ἦν ἀνέμοις εὐγύμναστος. ἕτεροι δὲ ἀνεμοτρεφὲς ἔγχος νοοῦσι, τὸ οἷον ἀνεμοτρεπὲς, καὶ ἀντιπαρατασσόμενον ἀνέμοις, διὰ στερρότητα. καὶ οὐ τοιοῦτον, οἷον ἂν ἐξαπίνης ἄνεμος ἐκστρέψῃ, καὶ τανύσῃ ἐπὶ γῆν. ὃ περὶ ἔρνους νεοθηλοῦς λέγει που ὁ Ποιητής. ἄλλοι δὲ ἀνεμοτρεφὲς ἔγχος νοοῦσι, τὸ κοῦφον καὶ εὐκίνητον. κῦμα δέ που ἀνεμοτρεφὲς εἴρηται, ὅπερ ἀνέμῳ αὔξεται· ἤγουν τρεφόμενον, πηγνύμενον, καὶ συνιστάμενον, ὡς κορυφοῦσθαι, καὶ μὴ δίκην ἐπιπέδου, ὡς ἐν νηνεμίᾳ ἡπλῶσθαι. ἀλλαχοῦ δὲ Ὅμηρος τρόφιμον κῦμά φησι, διὰ τὴν αὐτὴν αἰτίαν, οἱονεὶ τὸ ἀνέμου τρόφιμον. ἕτεροι δὲ ἀνεμοτρεφὲς, τὸ εὔτονον λέγουσι. Σιμωνίδης γοῦν φασι, κατὰ τοῦτο τὸ σημαινόμενον, πύλας ἀνεμοτρεφέας λέγει, τὰς εὐτόνους καὶ στερράς.

Α'νεμούριον καὶ οὐκ ἀνεμοδούλιον, παρὰ τὸ ἄνεμος καὶ τὸ οὖρος.

Α'νεμοφθορία, ἡ πληγὴ τῶν ἀνέμων.

Α'νεμυμάχθη, ὑπεδύετο.

Α'νεμύται παρὰ Ταραντίνοις, ὁ ὄνος, ὁ ἀνέμοις θυόμενος.

Α'νεμώκεος, ὁ ταχύς.

Α'νεμώλια, ὥσπερ σόος σῶς, κατὰ συναίρεσιν τῶν δύο μικρῶν εἰς μέγα, πρόορα πρῷρα, καὶ ὁμορρόφιος ὁμωρόφιος, καὶ τὸ οἰκίδιον ὠκίδιον, οὕτω καὶ ἀνεμοώλια ἀνεμώλια, τὰ ἀνέμοις ὀλλύμενα, καὶ ὡς εἰπεῖν ἀνεμόφθορα, ἢ ἀνεμοφόρητα, καὶ ἀνέμῳ ἐοικότα. ἔστι δὲ σύνθετον.

Α'νεμώλιον, τὸ μάταιον. παρὰ τὸ ἄνεμος ἀνεμώνιος, καὶ ἀνεμώλιος.

Α'νεμώνη, τὸ ἄνθος, διὰ τὸ φύλλον εὐδιάσειστον εἶναι, παντὶ ἀνέμῳ. ἄλλοι δὲ, ἄνθος ἄοδμον, ὅ φασιν ἀναδοθῆναι ἐκ τοῦ αἵματος τοῦ Ἀδώνιδος. Νίκανδρος δέ φησιν ἐκ τοῦ Ἀδώνιδος αἵματος φυῆναι. Κρατεύας δὲ, ἢ Κρατίδης κατά τινας, δύο φησὶν εἶναι τὰς ἀνεμώνας. τὴν μὲν, ἄνθος ἔχουσαν μέλαν. τὴν δὲ, φοινίκεον. Σωσίβιος δὲ, τὰς ἀνεμώνας παρὰ Λάκωσι, φανίδας καλεῖσθαί φησιν. ἢ ἀνεμώνη, ὥς τινες, μάζης εἶδος, καὶ φίλημα, καὶ ἡ μήκων, καὶ τὸ ἄνθος, καὶ φυτὸν τὸ ταχέως ὑπὸ ἀνέμων φθειρόμενον, ἢ μάταιον, καὶ ἀνεμῶδες.

Α'νεμώρεια, πόλις τῆς Φωκίδος. ὠνόμασται μέν φασιν, ἀπὸ τοῦ συμβαίνοντος πάθους. ὑπέρκειται γὰρ αὐτῆς τὸ καλούμενον κατοπτήριον χωρίον. ἐξ οὗ δὴ ἡμέρας καὶ νυκτὸς καταιγίζεται πανταχόθεν. ἔστι δὲ μεθόριον Φωκίδος καὶ Δελφῶν, κειμένη ἐπὶ λόφου ὑψηλοῦ. ταῦτα ἐν τοῖς ἐθνικοῖς. ἐν οἷς καὶ ὅτι ἀνεμώρεια, ἡ νῦν ἀνεμώλια. τὸ μέντοι ἐν Κιλικίᾳ ἀνεμούριον, ἐξ ὁμοίου μέν τινος πάθους ὠνόμασται. οὐδετέρως μέντοι προάγεται. ἡ δὲ τοῦ Γεωγράφου περὶ ἀνεμωρείας ἱστορία, φησὶ καὶ αὐτὸ, ὅτι κατοπτήριος χῶρος ἐκεῖ καταιγίζων εἰς ἀνεμώρειαν κρημνός τις, ἀπὸ Παρνασσοῦ διήκων. καὶ ὅτι τινὲς ἀνεμώλειαν ταύτην εἶπον, καὶ ὅτι ὅριον ἦν ὁ τόπος, Δελφῶν καὶ Φωκέων.

Α'νένδεκτον, ἀπαράδεκτον.

Α'νενέγκατο, ἐστέναξεν ἐκ βάθους.

Α'νενεγκὼν, καὶ ἀνενέγκας λέγεται. Κύπριοι, Ὑπόμνησιν ὁμοῦ καὶ ἱκεσίαν ὑπὲρ αὐτοῦ ἀνενέγκας, ἤγουν ἀνανήψας. ὡς τό, ὁ δὲ ἀνενεγκὼν, ἠρώτα πόθεν ἥκει.

Α'νενδοίαστον, τὸ ἀναμφίβολον.

Α'νενδοιάστως, ἀναμφιβόλως, ἀδιστάκτως.

Α'νενείκατο, ἤγουν ἀνήνεγκε πνεῦμα.

Α'νενεοῦτο, ἀνεμιμνήσκετο. ὡς τό, ὁ δὲ βασιλεὺς, ἐπῄνει τε αὐτοὺς, καὶ ἀνενεοῦτο τὸ μέγεθος τοῦ κατεργασαμένου πολέμου.

Α'νενόητον, ἀδίδακτον, ἀμελέτητον, ἀνάσκητον. οὐ δεῖ παραβάλλεσθαι, καὶ κυβεύειν τῷ βίῳ, τὸ παράπαν ἀνεννόητον ὄντα τῆς μάχης, καὶ τῆς βαρβαρικῆς χρείας.

Α'νενεχθεὶς, ἀναβιώσας.

Α'νενήνοθεν, ἀνῆγεν, ἢ ἀνέβη.

Α'νέντες, ἀντὶ τοῦ ἐρεθίσαντες, παροξύναντες, ἀναπείσαντες. λέξις δὲ καὶ αὕτη ἀγαθὴ, καὶ τοῖς πεζολογοῦσι, ληφθεῖσα ἐκ χορδῶν ἀνιεμένων, ἢ μᾶλλον ἐκ κυνῶν λυθέντων ἐπὶ ἄγρᾳ. ταύτῃ δὲ σύστοιχον καὶ τὸ ἀνῆκεν, ἀντὶ τοῦ ἀνέπεισεν.

Α'νέντονον, τὸ ἱμάτιον, Λάκωνες.

Α'νένεται, ἀρνεῖται. ἀπὸ τοῦ ἄνω νεύειν, ἢ ἀπαρνεῖται.

Α'νένευεν, ἀνένευσεν. ἀνέντες δὲ ἀτήμονες, ἀφέντες.

Α'νεξάλειπτος, ὁ μὴ ἐξαλειφόμενος, ὁ μὴ ἐπιλείπων.

Α'νεξαπάτητος, ὁ μὴ ἀπατώμενος, ἢ χλευαζόμενος.

Α'νεξέλεγκτος, ἀβασάνιστος, ἀγύμναστος, ἀδόκιμος.

Α'νεξετίμονον, τὸ μὴ ὑπερμένον.

Α'νεξερεύνητον, τὸ μὴ ἐπιδεχόμενον ἐρευνᾶν.

Α'νεξηνάσκετο, ἐξηνάσκετο, ἐξηραίνετο.

Α'νέξεται, ὑπομενεῖ, ἐνδέχεται, μακροθυμεῖ.

Α'νεξίκακος, ὁ ὑποφέρων κακά.

Α'νεξικώμη, ἧς οὐκ ἀνάσχοιτο ὅλη κώμη, Κρατῖνος.

Α'νεξίτητον, ἀδιόδευτον, ἀνεξέλευστον, ἀσάλευτον, ἀδιάβατον, μὴ ἔχον ἔξοδον.

Α'νεξιχνίαστον, ἀκατάληπτον.

Α'νέξομαι, ὑπομενῶ.

Α'νεξωνοῦτο. ἀντὶ τοῦ ἀνεκοινοῦτο.

Α'νεος, καὶ ἄνεως Ἀττικῶς, ἄφωνος, καὶ τὸν νοῦν ἐκπεπληγμένος, παρὰ τῷ Ἱπποκράτει.

Α'νεοστασίη, θάμβος.

Α'νεπάγγελτοι, οἷς οὐ παρηγγέλθη ἐπὶ δεῖπνον ἐλθεῖν, ἄκλητοι.

Α'νεπάγγελτος, ἄκλητος.

Α'νεπαίσθητος, οὗ αἴσθησις οὐκ ἔστιν.

Α'νεπάλλετο, ἀνεκινεῖτο.

Α'νεπάταξεν, ἐξ ὕπνου ἀνέβλεψεν.

Α'νεπέτασας, ἀντὶ τοῦ κατεπέτασας.

Α'νέπαλτο, λίαν ἀνεπήδησε, παρ' Ὁμήρῳ. πάλλω γὰρ τὸ πηδῶ. πάλλομαι, ἐπαλλόμην, ἐπάλλου, ἐπάλλετο, καὶ συγκοπῇ ἔπαλτο, καὶ ἀνέπαλτο.

Α'νεπάφλαζον ἀνεκόχλαζον.

Α'νέπαφον, ἀνεύθωρον, καθαρὸν, ἀθιγὲς, ἀψηλάφητον.

Α'νεπαφρόδιτα, τὰ ψυχρά.

Α'νεπαφρόδιτος, ὁ μὴ ἐπίχαρις, καὶ ἀηδής.

Α'νεπείλησα, ἀνεμνήσθην.

Α'νεπήδησεν, ἀνέκαμψεν, ἀνέλυσεν.

Α'νεπὴς, ἄφωνος.

Α'νεπιβούλευτον, ἀσύλητον.

* Α'νεπίδικος, ὑπὲρ ἧς οὐκ ἀμφισβητοῦσι τινὲς ἀλλήλοις. ἐπίδικος γὰρ ἡ ἐπίκληρος λέγεται.

Α'νεπίδεκτον, ὅλως μὴ ἐπιδεχόμενον.

Α'νεπιεικὲς, ἀνοίκειον, ἀπρεπές.

* Α'νεπιείκεια, βαρυθυμία, ὠμότης, δυσθυμία.

Α'νεπίκλητοι, μηδὲν ἐγκληθέντες.

Α'νεπίκρειστος, ἀνύβριστος, ἄπιστος.

Α'νεπίκοπος, μὴ ἐπιθυμῶν.

* Α'νεπίκλητον, ἀνεπίληπτον, ἔξω τῆς αἰτίας, ἀνεύθυνον.

Α'νεπίληπτον, ἄμωμον, ἄμεμπτον.

Α'νεπιλήπτως, ἀκαταγνώστως, ἢ ἀνεπιλήπτως.

Α'νε-

Digitized by Google

Ἀνεπίστρεπτοι, ὁ μὴ ὑποστρέφων.

Ἀνεπιτήδευτον, ἀμελέτητον, μὴ σπουδαζόμενον εἰς τέχνην, ἢ εἰς μάθησιν.

Ἀνεπιτίμητος ἀπολογία, ἡ μὴ ἔχουσά τι ἀπότομον.

Ἀνεπίτμητοι μισθώσεις, αἷς ὑποτμήσεις οὐ δίδονται ἐπὶ βλάβῃ καὶ ἀφαιρέσει.

Ἀνεπιφάτως, ἀπροσδοκήτως, ἀμιγῶς, κατὰ μόνας. ὡς τὸ, Ἐντυχόμενος ἀνεπιφάτως ἐντυχεῖν τῷ βασιλεῖ.

Ἀνεπίφθονον, μὴ φθονούμενον.

Ἀνεπιχάδην, οὐκέτι χωροῦν.

Ἀνεπιχείρητοι, ἀνεπιβούλευτοι.

Ἀνέπνιον, ἀνεχώρουν.

Ἀνέπνευσεν ἐκ τῆς νόσου, ἀντὶ τοῦ ἀνεκουφίσθη. καὶ ἀνέπνευσε τὸν δεῖνα, ἀντὶ τοῦ πνοὴν καὶ ζωὴν ἔχει τὸν δεῖνα. ὡς παρὰ Γρηγορίῳ τῷ θεολόγῳ, Καὶ μηδὲν ἕτερον ἀναπνεύσαντι, ὅτι μὴ λόγον ἀσεβῆ.

Ἀνεπόδησεν, ἀνέκαμψεν.

Ἀνεπόλει, ἀνεπράξατο, ἀνέστρεφεν εἰς ἑαυτὸν τὰ μαθήματα.

Ἀνεπόπτευτον, τὸ μὴ ἐποπτευτόν.

Ἀνεπόψιος, ὁ ἀθεώρητος.

Ἀνεπταμένας, ἀναπεπτασμένας, ἀνεῳγμένας.

Ἀνεπτέρωμαι, οἰκεῖον ὄρνισι τὸ ἀνεπτέρωμαι. οἷον, μετεωρίσμαι. μεταφορικῶς δὲ καὶ ἐπ' ἀνθρώπου.

Ἀνεπτερωμένος, μετεωρισμένος, καὶ κεκουφισμένος. ἀνεπτυξάτην δυϊκῶς, ἀντὶ τοῦ ἀνέπτυξαν.

Ἄνερ, κλητικῶς παρ' Ἀριστοφάνει ἐν Πλούτῳ, Φίλτατ' ἄνερ. χρῆσις δὲ τοῦ ἄνερ, οὐκ ἐπὶ τοῦ ἀνδρὸς τῆς γυναικός. εὑρέθη κλητική, ὥσπερ ἐκεῖ ἐστι παρὰ τῷ ποιητῇ, ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο.

Ἀνέρας, ἄνδρας. καὶ ἀνέρες, ἄνδρες.

Ἀνέραστος, καὶ ὁ μὴ ἐρῶν, καὶ ὁ μὴ ἐρώμενος. ἐπέραστος δὲ, ὁ ἀεὶ ἐρώμενος.

Ἄνεργε, ἀπὸ τοῦ εἴργε, καὶ ἐν διαιρέσει, ἔεργε, καὶ μετὰ τῆς ἀνὰ προθέσεως, ἀνέεργε, ἄνεργε, σημαίνει δὲ τὸ ἐκώλυεν.

Ἀνεργήσῃ, ἀναρπάσῃ, καὶ οἷον κολάσῃ.

Ἀνερειπομένη, χωριζομένη, ἀναλίσκουσα.

Ἀνερειψάμενοι, ἀναρπάσαντες.

Ἀνερίναστος, παροιμία ἐπὶ τῶν ἅπερ ἂν λάβωσι, μὴ διακατεχόντων. καὶ ἀνερίναστος συκῆ· ἣ μὴ προβέβληνται οἱ ἐρινεοί. ἐρινεὸς δέ ἐστι τῆς ἀγρίας συκῆς ὁ καρπὸς, ὃν καὶ ἀπαρτῶσι ταῖς ἡμέραις, ὡς ἂν οἱ ἐξ αὐτῆς καλούμενοι Ψῆνες, εἰς τοὺς ὀλύνθους μεταστάντες, τελεσφορηθῆναι τούτους παρασκευάσωσι. τοῦτο δὲ, ῥινάζειν λέγεται. οἱ δὲ τὸ ἀνερίναστος, ἀντὶ τοῦ μαλακὸς, καὶ ἄγονος λαμβάνουσιν.

Ἀνερίψαντο, ἀφήρπασαν.

Ἀνερμάτιστον, ἄοπλον, ἀπαράσκευον, ἀστήρικτον, ἀπαρασάλευτον. καὶ ἀνερμάτιστος ναῦς, ἡ κούφη σαβούρας.

Ἀνέρπει, ἀνέρχεται.

Ἀνερπύσαι, ἀναχωρῆσαι.

Ἀνερρίπιζον, ἀνήγειρον, ἀνεκίνουν.

Ἀνέρριπτον, ἀνέβαλλον, ἀνελάμβανον. καὶ ἀνέρριπται κύβος, οἷον ἀποκεκινδύνευται.

Ἀνέρριστα, ἀφιλονείκητα.

Ἀνερριπίσθη, ἀνεκινήθη, ἐξεκαύθη.

Ἀνερριχῶντο, χερσὶ καὶ ποσὶ δραττόμενοι ἀνήρχοντο. κυρίως τὸ τοῖς ποσὶ καὶ χερσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν, ἀναρριχᾶσθαι ἔλεγον. Ἑλλάνικος, ἀναρριχᾶται δὲ ὥσπερ πίθηκος ἐπ' ἄκρα τὰ δένδρα, τουτέστι πρὸς δένδρα καὶ τοίχους. εἴρηται δὲ ἀπὸ τῶν ἀρρίχων. εἶδος δέ ἐστι Κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν. ἢ ἀπὸ τῶν Ἀραχνῶν, καὶ ἔστιν οἷον ἀναραχνᾶσθαι. αἱ γὰρ ἀράχναι νήθουσι καὶ τοὺς ἐναερίους ὁδούς. Ἀριστοφάνης, πρὸς ταῦτα ἀνερρίχατ' ἂν πρὸς τὸν οὐρανὸν, περὶ τοῦ Κανθάρου λέγων.

Ἀνερροίβδησαν, ἀνέπιον, ἀνερρόφησαν.

Ἀνερρώσθημεν, ὑγιεῖς γεγόναμεν.

Ἀνέρρωσε, ὑγιᾶ εἰργάσατο.

Ἀνέρσει, ἁμαρτήσῃ, κρεμάσῃ.

Ἀνερύειν, ἀποκόπτειν, καὶ λαιμοτομεῖν τὸν τράχηλον.

Ἀνέρυσαν, εἰς τὸ πίσω ἔκλασαν.

Ἀνερύσκος, ἄνθους εἶδος.

Ἀνέρχομαι, μετὰ μετοχῆς συντάσσεται. οἷον, ἀνέρχομαι μαθὼν φιλοσοφίαν.

Ἀνερχομένῳ, ὑποστρέφοντι.

Ἀνερώτα, παρὰ τῷ Ἀριστοφάνῃ ἐν Πλούτῳ. οἷον, Μηδὲν ταύτην ἀνερώτα, ἢ περιττή ἐστιν ἡ πρόθεσις, ἢ δηλωτικὴ τοῦ πολλάκις ἐρωτᾶν.

Ἄνες, συγχώρησον, ἄφες, ἀπόλυσον.

Ἀνέσαι, Ὅμηρος. εἰς εὐνὴν ἀνέσαι, ἀντὶ τοῦ ἀναπεῖσαι, ἢ ἀναβιβάσαι, ἀνακαθίσαι, ἀναθεῖναι. κατὰ τὸ, Ἐς δίφρον δ' ἀνέσαντες ἄγον. καὶ ἀνέσαιμι, ἀναπείσαιμι, παρορμήσαιμι.

Ἀνέσῃ, σώσῃ, ἀναπέμψει, καὶ ἐπανάληψιν ποιήσῃ. καὶ ἀνέσῃ θεὸς, ἀντὶ τοῦ ἀνήσῃ, ἀφήσῃ, ἀπολύσει. οὐ τὸ ἐναντίον, ἀλῶναί ἐστιν. καὶ ἀνέντες, ἀντὶ τοῦ ἀφέντες, ἀπολύσαντες, ἀναπείσαντες. Καὶ κύων δὲ εἰς θήραν ὅπως ἀνίεται, λυθεὶς δηλαδὴ δεσμοῦ.

Ἄνεσθαι, αὐξάνεσθαι. οἱ δὲ, φθάνειν.

Ἀνεσθίων, μηκέτι ἐσθιομένων.

Ἀνεσίαν, τὴν ἄνεσιν, καὶ τὴν ἄδειαν λέγουσιν.

Ἄνεσις, ἀνάπαυσις.

Ἀνεσίπων, ἀμέμπτων.

Ἀνεσκολοπισμένοι, ἐσταυρωμένοι. σκόλοπες γὰρ τὰ ὀρθὰ ξύλα, ἢ καὶ οἱ κάλαμοι.

Ἀνεσόβησαν, διήγειραν. ὡς τὸ, οἱ δὲ ἁβροὶ τῷ σκληρότατῳ καὶ ὀγκώδη φρονήματα ἔχειν, τὴν ὡς ἀλλήλους ἀνεσόβησαν ἔριν.

Ἀνέσπακεν, ἀνείρηκεν, εἴληφεν.

Ἀνέσπερον, ἀσκότεινον.

Ἀνεστάλη, μετεκινήθη.

Ἀνεστάλησαν, ἐκρύβησαν.

Ἀνέσταν, ἀντὶ τοῦ ἀνέστησαν. ἵστημι, ὁ δεύτερος ἀόριστος, ἔστην, τὸ τρίτον τῶν πληθυντικῶν, ἔστησαν, καὶ κατὰ συγκοπὴν Αἰολικῶς ἔσταν, καὶ ἀνέσταν.

Ἀνεσταυρώθη, ἀνεσκολοπίσθη.

Ἀνεστέλλοντο, ὑπεχώρουν.

Ἀνεστενάχιζεν, ἀνέστενεν.

Ἀνέστησα, αἰτιατικῇ συντάσσεται. οἷον, ἀνέστησα τεῖχος, καὶ ἀνέστησα δῆμον, ἤγουν ἀνάστατον ἐποίησα. καὶ ἀνέστησα τὸν δεῖνα, ἐπὶ τὸ ἔργον. καὶ ἀνέστην ἐγὼ ἐπὶ τοῦτο, καὶ ἀνέστησα ἐκεῖνο τὸ μνῆμα.

Ἀνέστιος, ὁ ἄοικος. ἑστία γὰρ ἡ οἰκία.

Ἀνεστομώθησαν, ἀνεκρούσθησαν.

Ἀνεστραμμένα, ἀνατεταραγμένα, παρὰ τῷ Ἱπποκράτει.

Ἀνεσύρατο, ἐγύμνωσεν, ἄνω τὰ ἱμάτια ἔσυρεν.

Ἀνέσχεθεν, ἀνέτεινε. σχέθω γὰρ τὸ κωλύω. ἔσχεθον. καὶ ἀνέσχεθεν.

Ἀνέσχετο, εἴληπται ἀντὶ τοῦ ἀνέσχεν, ἀνέτεινεν, αἰτιατικῇ συνταχθέν. εἴρηται, ὡς τῷ Ὁμήρῳ ἀρέσκει, παθητικῶς λεχθέν. ἡ δὲ κοινὴ χρῆσις, ἀνέσχε χεῖρά φησι, καὶ ἔγχος, καὶ τὰ ὅμοια. λέγει δὲ καὶ μετοχὴν παθητικὴν, ἀνασχόμενος. δῆλον δὲ ὡς οἶδε καὶ τὰ ἐνεργητικὰ, ἤγουν τὸ ἀνέσχε, καὶ τὸ ἀνασχόμενος.

Ἀνεσχήκει, ἀνέτειλεν, ὡς τὸ, ἡ σελήνη ἀνεσχήκει λαμπρά.

Ἀνέσχεν, ἐκράτησεν, ἄνω ἔσχεν, ἐπῆρεν, ὕψωσεν.

Ἀνέσχον, ἀνάστασιν ἐποίουν.

Ἀνεσώσατο, ἀνεκτήσατο.

Ἄνεται, ἀνύεται, ἀναλοῦται καὶ τελειοῦται, ἐκ τοῦ ἄνομαι, τὸ τρίτον, ἄνεται. ἄνω γὰρ τὸ πράττω, ὡς τὸ ἄνεται νὺξ, ἤγουν τελειοῦται.

Ἄνετε, ἀφεῖτε, ἰάσατε. Σοφοκλῆς Ἠλέκτρᾳ Ἄνετέ μ' ἄνετε παράγοροι. ἵημι, ὁ δεύτερος ἀόριστος, ἧν. ἡ μετοχὴ, εἷς ἕντος, καὶ τὸ προστακτικὸν, ἕς, καὶ μετὰ τῆς ἀνὰ προθέσεως ἄνες, ἀνέτω, καὶ ἀνέτωσαν.

Ἄνετον, ἀντὶ τοῦ ἱερὸν, ἀνειμένον θεῷ τινὶ, Ὑπερίδης Δηλιακῷ.

Ἀνέτειλεν, ἀνεβλάστησεν.

Ἀνέτλη, οὐ μόνον πόνον τινὰ δηλοῖ, ἀλλὰ καὶ στερρότητα τὴν κατὰ νοῦν ὑπομεῖναι.

Ἀνετράπετο, ἀνατραπῆναι λέγει, τὸ ἀναστραφῆναι· τίθεται δὲ ἡ λέξις, καὶ ἐπὶ ἀγγείων καὶ τραπεζῶν, ἄνω κάτω γινομένων. λέγεται δὲ καὶ πόλις ἀνατετράφθαι, ὅτε χαλασθείη.

Ἀνέτρεχον, ἐν συνθήκῃ οὐκέτι ἔμενον.

Ἀνετῶς, ἀνατεταμένως, Σοφοκλῆς Τυμπανισταῖς.

Ἄνευ, ἄνευθεν, χωρίς.

Ἀνευάσαι, τὸ εὐοῖάσαι. ἔστι δὲ τοῦτο ὕμνος εἰς Διόνυσον.

Ἀνευθέτου, ἀχρήστου.

Ἀνεύθυνον, ἀζήμιον, ἀνέγκλητον, ἀνευ πρυτανείων. καὶ ἀνεύθετος, ἀκατάκριτος.

Ἀνευρόντες, εὑρόντες.

* Ἀνεύξασθαι, ἐπαναράσασθαι, ἀναλύειν τὴν ἀράν.

Ἀνευροι, ἐξερευνήσοι.

* Ἄνευρος, ἀσθενὴς, ἀνέντατος.

Ἀνέφαινον, φανερὸν ἐποίουν, ἀνέκαιον.

Ἀνέφαπτον, ἀψηλάφητον.

Ἀνέφελον, τὸ ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον.

Ἀνέφερε, διεδείκνυτο, ἀνήγετο, καὶ ἀνέπεμπεν, παρεμυθεῖτο, παρεκάλει, καὶ ἀνεμιμνήσκετο.

Ἀνέφικτον, ἀκατάληπτον, ἀδύνατον.

Ἀνεφίκτου, ἀσυγχωρήτου.

Ἀνέφλυεν, ἀνέβλυζεν, ἀνέζει, ἀνέβαλλεν, ἀνέφυ, ἀνῆλθεν.

Ἀνεφρόνησεν, ἐκ τῆς μέθης ἀνένηψεν.

Ἀνέφυ, ἀνέτειλεν, ἀνῆλθεν, ἀνέζησεν.

Ἀνεφυσῶντο, μετεωρίζοντο.

Ἀνεφυσίασεν, ἀπέθανεν.

Ἄνεχε παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐπέχε, ἀνεσείραζεν· ὃ δὴ ἀνάπαλιν ἔχει πρὸς τὸ, ἦχε Μενέλαος, τουτέστιν ἤλαυνε.

Ἀνέχαζεν, ἀνεπόδιζεν, ἀνεχώρει.

Ἀνεχαίτισε, Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς, ἀντὶ τοῦ ἀνέκοψεν, ἀνεπείθησεν. ἢ ἀνέτρεχεν, ἐκ μεταφορᾶς τῶν ἵππων.

Ἀνεχέγγυος, ἄπιστος.

Ἀνέχει, σώζει, οὐχ ὥστινες ἀντὶ τοῦ ἐπέχει. καὶ Θουκυδίδης, αἱ περιουσίαι τῶν χρημάτων πολέμους ἀνέχουσιν, ὅ ἐστι σώζουσιν. ἀνέχειν καὶ τὸ βαστάζειν, καὶ μηδὲν ἐπιπολῆς ἀνέχειν. ἀνέχει καὶ τὸ ὑψοῖ, καὶ τὸ ὑπέρκειται. ὡς τὸ, ὄρος ταύτης ἀνέχει. καὶ πόνοις τις ἀνέχων ῥᾷστα, καὶ σκληρῷ βίῳ καὶ τραχεῖ ἐνηθισμένος. καὶ Σοφοκλῆς, οὐκ ἀνέχουσι τῶν πόνων, ἀντὶ τοῦ οὐ περιγίνονται τῶν πόνων. ἢ ἀνέχειν, ἀντὶ τοῦ ἐπέχειν, κωλύειν.

Ἀνέχειν τε αὐτοῖς τὰς ἐπιπλεῖστον ὁρμὰς, καὶ ἐκδρομάς. Ἄλλως.

Ἀνέχειν, λέγεται μὲν μεταβατικῶς, ἀντὶ τοῦ ἀναβαστάζειν, συντασσόμενον αἰτιατικῇ. οἷον, ἀνέχουσι τὸν οἶκον οἱ κίονες. λέγεται δὲ καὶ ἀμεταβάτως, καὶ δηλοῖ τὸ ἐπέχειν, κατέχειν, καὶ τὸ σφοδρῶς κρατεῖν καὶ φυλάσσειν. οἷον, κατέχει τις τὴν φρουρὰν, ἢ τὸ φρούριον, αἰτιατικῇ συντασσόμενον. ὡς καὶ Δημοσθένης, τοὺς θεοὺς, οἳ τὴν χώραν κατέχουσι. διέχειν, τὸ διΐστασθαι καὶ διαλείπειν, καὶ ἀφίστασθαι. οἷον, ποσὶν δέ τι ὁ κίων τῆς ὀροφῆς διέχει τρόπον τινὰ, ὅπερ δηλοῖ τὸ ἀπέχειν. ἐπὶ τῶν ἐπιπέδων, τοῦτ' αὐτὸ δηλοῖ τὸ διέχειν ἐπὶ τῶν μετεώρων. καθά φησι καὶ Λιβάνιος, τὸν Ἀπόλλω μὲν εὐθὺς, ἅ τε καὶ μικρὸν διέχοντα τοῦ τέγους.

Ἀνέχεσθαι, ἀναδέχεσθαι, καὶ τρέφειν.

Ἀνέχομαι παθητικῶς, τρία σημαίνει. τὸ ὑπομένω, καὶ συντάσσεται κοινῶς μὲν γενικῇ, Ἀττικῶς δὲ, αἰτιατικῇ. Ἰουλιανὸς, Ἐβουλόμην μὲν γὰρ ἐθίζειν ἐμαυτὸν ἀνέχεσθαι τὸν ἀέρα. καὶ οὐκ ἀνέχομαι γυμνῇ τῇ κεφαλῇ τὴν θέρμην. τὸ ἀναβαστάζομαι, καὶ συντάσσεται δοτικῇ. ὡς τὸ, ἀνέχομαι τῷ ἵππῳ, καὶ δόμος ἀνέχεται τοῖς κίοσι. τὸ καταφρονῶ, καὶ συντάσσεται γενικῇ, ὡς τὸ, ἀνέχομαι τοῦ θράσους σου. καὶ ἀνέχομαί σε λοιδορεῖν, καὶ σοῦ λοιδοροῦντος.

Ἀνεχομένων, ὑποστρεφόντων.

Ἀνεχόμην, ἄνω ηὐχόμην σεμνυνόμενος.

Ἀνέχουσιν, ἀνακρατοῦσιν.

Ἀνέχραζεν, ἀνέχριμπτεν, ἀνῄρει, ἀνεκούφιζεν·

Digitized by Google

Ἀνεχρήσαντο, διέφθειραν. οὕτω Θουκυδίδης, σημαίνει δὲ καὶ τὸ εἰς χρείαν τινὰ περιλήψασιν.

Ἀνεχύθη, μετεχύθη.

Ἀνέχω τὸν δεῖνα, ἤγουν ἀναφέρω. ἀνέχω καὶ τὸ ἄνω ἵσταμαι. καὶ ἀνέχω τὸ ἀναφέρομαι, καὶ ἀνακουφίζομαι. καὶ ἀνέχω τὰς χεῖρας ἐπὶ εὐχῆς. ἀνέχω τὸ τιμῶ, καὶ στέργω. Σοφοκλῆς, Δορυάλωτον στέρξας λέχος ἀνέχει, ἤγουν τιμᾷ καὶ στέργει. καὶ ἀνέχω ἐπὶ εὐχῆς, ἀντὶ τοῦ ἀναπέμπω. καὶ ἀνέχω ἐπὶ χειρῶν, ἀντὶ τοῦ ὑψῶ. ἀνέχω ἐπὶ βάρους, ἀντὶ τοῦ βαστάζω. καὶ ἀνέχει ἐνεργητικῶς, ἀντὶ τοῦ ὑπερανίσταται καὶ ὑπερφαίνεται. καὶ ἀνέχει μεταβατικῶς ἀντὶ τοῦ ἀναβαστάζει. καὶ ἀνέχει, ἀντὶ τοῦ ἀναχαιτίζει καὶ ἀναστέλλει.

Ἀνεψαινυγμένως, ἐσπουδασμένως.

Ἀνεψιαδοῦς, ὁ ἐκ τοῦ ἀνεψιοῦ γεγονὼς, ἢ τῆς ἀνεψιᾶς.

Ἀνεψιοὶ, ἀδελφῶν υἱοί. ὡς Ἀχιλλεὺς καὶ Αἴας ἀδελφιδοῖ δὲ, οἱ ἀδελφῶν παῖδες.

Ἀνεψιὸς, ὁ ἐξάδελφος. καὶ αὐτανέψιος, ὁ πρωτεξάδελφος. καὶ ἐξανεψιὸς, ὁ ἐξαδέλφου υἱός. ἀδελφιδοῦς δὲ, ὁ ἀδελφόπαις.

Ἀνεψιότης, ἀνεψιαδῶν συγγένεια.

Ἀνέψυχθεν, ἀνεκτήσαντο.

Ἀνεψύχησεν, ὅπερ ἐν τῇ συνηθείᾳ ἀνέψυξεν.

Ἀνέψυξα, ἀνεπαυσάμην.

Ἀνέψυχον, ἔπνεον.

Ἄνεῳ οἱ ἄφωνοι μετ᾽ ἐκπλήξεως, εὐθείας τῶν πληθυντικῶν. ὡς τὸ, Τίπτ᾽ ἄνεῳ ἐγένεσθε; ἔστιν ἴα, ὃ σημαίνει τὴν φωνὴν, παρὰ τὸ ἰέναι τὸ πορεύεσθαι, ἢ πανταχοῦ πεμπομένη φωνὴ, πλεονασμῷ τοῦ ο καὶ τροπῇ, ἰοή. διὰ τὸ ἐπὶ πᾶσαν ἀκοὴν ἰέναι. ἐξ αὐτοῦ γίνεται ἴος. καὶ μετὰ τοῦ στερητικοῦ α ἄϊος. καὶ ἄνεος πλεονασμῷ τοῦ ν, ὁ ἄφωνος. ὡς αἷμα ἀναίμων. τροπῇ τοῦ ι εἰς ε, ἄνεος. καὶ Ἀττικῶς διὰ τοῦ ω μεγάλου, ἄνεως. τὰ δὲ εἰς α θηλυκὰ εἰς ο μεταπίπτοντα, κατὰ τὴν σύνθεσιν προπαροξύνονται. οἷον, σκιὰ ἄσκιος, ὥρα ἄωρος, πεῖρα ἄπειρος. οὕτω καὶ ἴα, ἄνιος. ἢ παρὰ τὸ αὔω, τὸ φωνῶ, γίνεται ῥηματικὸν ὄνομα, ἄναυος, ὁ ἄφωνος. ὡς αὐδῶ, ἄναυδος. καὶ ἀποβολῇ τοῦ υ, ἄναος, καὶ Ἀττικῶς, ἄνεως. ὡς Μενέλαος, Μενέλεως. ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ ἄνεῳ, καὶ προπαροξύνεται. Κανὼν γάρ ἐστιν, ὁ λέγων, ὅτε ἀπὸ ῥήματος ἀποτελεῖται ὄνομα σύνθετον εἰς ος λῆγον, τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν ἔχει. οἷον μυκῶ ἐρίμυκος, συλῶ ἄσυλος, φυτῶ νεόφυτος. οὕτως οὖν, αὔω ἄναυος, καὶ ἄναος, μακρὸν φυλάττων τὸ α. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι παρεπόμενόν ἐστι τῇ ἐκ τοῦ α συνεστώσῃ διφθόγγῳ, μετὰ τὴν ἀπόστασιν τοῦ ὑποτακτικοῦ φωνήεντος, ἐκτείνειν τὸ α, οὐχ ἑτέρου λόγου ἐπικρατοῦντος. οἷον, κλαίω κλάω, ῥᾴδιον ῥάδιον. οὕτως οὖν αὔω, ἄναυος, καὶ ἄναος, μακρὸν ἔχει τὸ α. Ἄλλοι δὲ ἐπίρρημά φασιν εἶναι τὸ ἄνεῳ, μὴ προσγράφοντες τὸ ι ἐν τῇ λήγουσῃ, ὡς εἶναι κατ᾽ αὐτοὺς ὁμοίας συντάξεως, τὸ ἀκὴν ἐγένοντο, καὶ τὸ ἄνεῳ ἐγένοντο. καὶ δίδωσιν ὑπόνοιαν καὶ τὸ, οἱ δ᾽ ἄνεῳ ἦσαν, τοιοῦτον εἶναι. καθὰ καὶ τὸ, Ἀθηνᾶ ἀκέων ἦν, δοκεῖ ἐπίρρημα εἶναι, διὰ τὸ ἀκέων δαίνυσθε. καὶ ἄνεως, ὁ ἄφωνος ἐν μυθικοῖς, Ὣς φάσαν, οὐδὲ ἄναξ ἄνεως ἦν.

Ἀνέῳγε, μέσος παρακείμενος, συζυγίας δευτέρας τῶν βαρυτόνων. ἀνοίγω, ἤνοιγον, ἐπεισόδῳ τοῦ ε, ἠνέῳγον, συστολῇ τοῦ η εἰς α, ἀνέῳγον, τὸ τρίτον ἀνέῳγε. καὶ ἀνοίγω, ἤνοιγε, προσθέσει τοῦ ε, καὶ συστολῇ τοῦ η, ἀνέῳγα. Ἰστέον δὲ, ὅτι τὸ ῥῆμα τοῦτο ὅτε μὲν ἐνεργητικόν ἐστιν, αἰτιατικῇ συντάσσεται. ὡς τὸ, Τὸν δ᾽ οὐ θεὸς ἄλλος ἀνέῳγεν, ὅτε δὲ παθητικὸν, εὐθείᾳ. οἷον, ἠνέῳκται ἡ θύρα. Ἄλλως.

Ἀνέῳγεν ἐπὶ μὲν τοῦ παρατατικοῦ, ἀντὶ τοῦ ἤνοιγεν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ, Γεράτε γὰρ πάντα ἀνέῳγεν. ἀπὸ γὰρ τοῦ ἀνοίγω, ἀνέῳγον ἀνέῳγες ἀνέῳγεν. ἐπὶ δὲ τοῦ μέσου παρακειμένου τὸ ἀνέῳγεν, ἀντὶ τοῦ ἠνεῴχθη. ἀνοίγω γὰρ, ἀνοίξω, ἀνέῳχα, ἀνέῳγα ἀνέῳγας ἀνέῳγεν. ἔστι δὲ τὸ μὲν ἤνοιγε καὶ τὸ ἠνεῴχθη, κοινά. τὸ δὲ ἀνέῳγεν, Ἀττικόν. καὶ τὸ ἀνέῳξεν. Ἀριστοφάνης ἐν Πλούτῳ, Εἶτ᾽ ἀνέῳξάς με φθάσας. Λιβάνιος ἐν ἐπιστολῇ, Ἀνέῳξε γὰρ τοῖς ξένοις τὴν οἰκίαν.

Ἀνεῴγεισαν, ἠνοίχθησαν. καὶ ἀνέῳγεν, οὐχὶ ἤνοιξε. καὶ ἀνεῴγετο, λέγει καὶ Ἀμειψίας Μοιχοῖς, καὶ οἱ νεώτεροι πολλαχοῦ. ἡ δ᾽ ἀνέῳγε τὴν θύραν Θετταλή. καὶ τὸ, κεράμιον ἀνέῳγεν. καὶ Εὔπολις Πόλεσιν, οὐδ᾽ οὐκ ἀνέῳξα πώποτ᾽ ἀνθρώποις ἐγώ. καὶ Φερεκράτης Κραπατάλοις, Οὐδεὶς γὰρ ἐδέχετ᾽ οὐδ᾽ ἀνέῳγέ μοι θύραν.

Ἀνεῳγμέναι μουσῶν θύραι, ἐπὶ τῶν ἐξ ἑτοίμου μεταδιδόντων, ἢ μεταλαμβανόντων τὰ κάλλιστα τῶν ἐν παιδείᾳ.

Ἀνεῳγμένος, παρὰ τὸ οἴγω, οἴξω, ᾤχα, ᾦγμαι. καὶ ἐν συνθέσει, ἀνῷγμαι, καὶ πλεονασμῷ τοῦ ε, ἀνέῳγμαι. ἢ ἀνοίγω, ὁ παρατατικὸς ἄνῳγον, πλεονασμῷ ἀνέῳγον. ὁ παρακείμενος, ἀνέῳχα, ἀνέῳγμαι, καὶ ἀνεῳγμένος. Ἰστέον ὅτι πᾶς παρῳχημένος ἀπὸ φωνήεντος ἀρχόμενος, εἰ ἀπὸ φύσει μακρᾶς, τὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει. οἷον, εἶπον προεῖπον, ὦσμαι ἀπῶσμαι, εἶχον συνεῖχον. πρόσκειται παρῳχημένος, διὰ τὸ ἧμαι κάθημαι, κεῖμαι διάκειμαι, καὶ κατάκειμαι.

Ἀνέῳγον, ἀνώγεον.

Ἀνὴ, ἄνυσις καὶ πρᾶξις.

Ἀνηβᾷ, ἐκ δευτέρου νεάζει.

Ἀνηβητηρίαν, τὰν ἀνελῶν νεότητος. ἄνηβος, ὁ ἀνήλικος, ὁ μήπω τὴν ὀφειλομένην ἡλικίαν ἐπιφθάσας. ἥβη γὰρ ἡ ἀκμή. καὶ ἀνηβῶν, ἀνανεάζων. τὸ δὲ ἀνηβῶν κατὰ πρόθεσιν τῆς ἀνὰ, δηλούσης τὸ πάλιν. ὡς καὶ τὸ ἀναδασμὸς ὁ ἐκ δευτέρου δασμός. καὶ ποιητικώτερον ἀμπαλος, ὁ ἐκ δευτέρου κλῆρος.

Ἄνηβοι, οἱ δώδεκα ἐτῶν ὄντες. οἱ μήπω φθάσαντες τὴν νενομισμένην ἡλικίαν.

Ἀνήγαγεν, ὕψους ἐστὶ δηλωτικόν. ὡς τοῦ εἰς Τροίαν ἐκ τῶν νοτίων πλοῦ ἀναγωγῆς τινὸς, ἤτοι ἀναβάσεως, καὶ ὡς εἰπεῖν ἀνάπλου. Ἀνήγγειλεν, εἶπεν, ἀπήγγειλεν.

Ἀνήγκακα, ἀπὸ τοῦ ἀγκάζω, τοῦ σημαίνοντος τὸ ταῖς ἀγκάλαις λαμβάνω. ὁ μέλλων, ἀγκάσω. ὁ παρακείμενος ἤγκακα. καὶ μετὰ τῆς ἀνὰ προθέσεως, ἀνήγκακα. Ἰστέον ὅτι βάρβαρόν ἐστιν, οὐχ εὑρισκόμενον παρ᾽ Ἕλλησιν ἐν χρήσει, ὡς λέγει Ἡρωδιανός. ἐν μόνῃ γὰρ τῇ τῶν Ἀλεξανδρέων δημώδει συνηθείᾳ εὑρίσκεται. λέγουσι δέ τινες Ἀττικὸν εἶναι ὅπερ οὐκ ἔστιν. οὐ γὰρ ἔχει ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ, τὸ αὐτὸ σύμφωνον. γίνεται δὲ ἀπὸ τοῦ ἀναγκάζω, ἀναγκάσω, ἠνάγκακα, καὶ καθ᾽ ὑπερβιβασμὸν, ἀνήγκακα. δύναται δὲ καὶ σύνθετον εἶναι, ἐκ τοῦ ἀγκάζω, τὰ ταῖς ἀγκάλαις λαμβάνω, ὡς εἴρηται.

Ἀνηγμένος, ηὐξημένος.

Ἀνῆγες, ἄνω ἦξας, ἀνῆξας.

* Ἀνήει, ἀντὶ τοῦ ἀνῆλθεν. οὗ τὸ ἐναντίον, κατήει.

Ἀνήειμεν, ἀνερχόμεθα.

Ἀνηέντα, ἐνδόντα.

Ἀνήῃ, ὡς τὸ, Εὖτ᾽ ἄν σε μελίφρων ὕπνος ἀνήῃ. σημαίνει δὲ, τὸ καταλίπῃ, ἢ ἀφῇ. ἀνίημι, ὁ δεύτερος ἀόριστος, ἀνῆν. ἡ μετοχὴ, ἀνεὶς ἀνέντος. τὸ ὑποτακτικὸν, ἐὰν ἀνῶ ἀνῇς. τὸ τρίτον, ἐὰν ἀνῇ, πλεονασμῷ τοῦ η, ἀνήῃ.

Ἀνηθείη, ὁμιλία.

Ἀνήϊξαν, ἀνώρμησαν. εἴγε τὸ ἀΐσσω, ἐξ οὗ τὸ ἀναΐσσω, ἐκ τοῦ ἄω τὸ πνέω γίνεται, ἀφ᾽ οὗ καὶ ἄνεμος. εἰ δὲ τὸ ἄω προϋπόκειται τῷ ἀΐω, ἀλλὰ ἐκεῖνο μὲν ἀλλοῖον ἆσμα δηλοῖ, ψυχικὸν δηλαδὴ, οὗ ἔχεται καὶ τὸ αἰσθεῖν, καὶ τὸ ἐξ αὐτοῦ αἰσθάνεσθαι, καὶ ἡ αἴσθησις.

Ἀνῆκα, ἀφῆκα, ἀνέπεισα.

Ἀνήκει παρ᾽ Ἀντιφῶντι ἀληθείας πρώτῳ, ἀντὶ ἁπλοῦ τοῦ ἥκει. ἢ οἷον ἀνεβιβάσθη, καὶ προελήλυθεν. καὶ ἀνήκει, ἀντὶ τοῦ ἀκόλουθον καὶ πρέπον ἐστί. καὶ ἀνήκει, ἀντὶ τοῦ ἀνέρχεται. Πλούταρχος, τὸ μὲν πρῶτον γένος εἰς Ἐρεχθέα, καὶ τοὺς πρώτους αὐτόχθονας ἀνήκει. καὶ ἀνήκει μοι τόδε τὸ πρᾶγμα. ἀνήκει δὲ, ἀντὶ τοῦ ἀνέρχεται. Αἰλιανὸς, τὴν κεφαλὴν ἀνήκουσαν εἰς ὀξύ.

Ἀνῆκεν, ἀντὶ τοῦ ἀνέδωκε καὶ ἀνεβλάστησε. Χρυσόστομος, ὁ δημιουργὸς ἀνῆκε τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου. καὶ ἀνῆκεν, ἀντὶ τοῦ ἀνέθηκε καὶ ὑπεχάλασεν. Ἀριστοφάνης, Οὐδὲν μᾶλλον ἀνῆκε. καὶ ἀνῆκεν, ἀντὶ τοῦ ἀνέβαλε. Χρυσόστομος, Πῦρ ἀνήκειν εἰς τὰς ἡμετέρας ψυχάς. καὶ ἀνῆκε παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἀνέπεισεν, ἠρέθισεν, ὡς καὶ ἐν ἄλλοις φαίνεται πολλαχοῦ. καὶ ἀνῆκεν, ἀντὶ τοῦ ἀνήγειρε. λαμβάνεται ἐνίοτε, καὶ ἀντὶ τοῦ ἀνεβλάστησεν. ὡς ἐν τῷ, ἀνῆκεν ἡ γῆ βοτάνας.

Ἀνηκέσαι, ἀναπαῦσαι.

Ἀνηκὲς, ἀνῆκον, Σοφοκλῆς Αἰχμαλωτίσιν.

Ἀνήκεστον, ἀνίατον, ἀθεράπευτον, ἀνυπομόνητον, ὡς ἐπὶ νόσου δεινῆς λέγεται. οὕτω καὶ χόλος λέγεται ἀνήκεστος, καὶ ἐπὶ ἑτέρων.

Ἀνηκίδοτοι, ἄνευ ἀκίδος, Αἰσχύλος Ψυχοστασίαις.

Ἀνηκόντιζεν, ἀνεφέρετο.

Ἀνήκοος, ἀνήκουστος, ὁ ἀνηκουστήσας. Λόγων ἐλευθερίων, καὶ παιδείας ἀνήκοος ὤν. οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματικοῦ φοιτῶν ἔμαθεν, ὅτι μὴ γράμματα, καὶ ταῦτα κακὰ, κακῶς γράψαι.

Ἀνηκούστησεν, οὐκ εἰσήκουσεν, παρήκουσεν. ὡς τὸ, ὁ δὲ μὴ ἀνηκουστῆσαι τοῦ ὑπάτου κατατολμήσας ἀφίκετο.

Ἀνήλατος, ὁ μηδέπω δαμασθεὶς, ἀπὸ τῶν ὑποζυγίων. ἢ ἐλαθεὶς, ἢ ὁ ἀπαθής. ἐλαύνω ἤλακα, ἤλασμαι ἤλασαι, ἠλατὸς, καὶ ἀνήλατος, κατὰ ἀποβολὴν τοῦ σ.

Ἀνηλεγὲς, ἀφρόντιστον.

Ἀνηλεὲς, οἴκτιστον, ὠμόν.

Ἀνηλεὴς, ὁ ὠμός.

Ἀνηλεῶς, ἀνοίκτως, ἀσπλάγχνως.

Ἀνῆλθεν, ἀνήγαγεν.

Ἀνήλειπτος λέγουσιν, οὐχὶ ἀνήλιφος, οὐδὲ ἀνάλειφος.

Ἀνήλωκα, ἀνάλωκα, καὶ ἠνάλωκα. συντάσσεται αἰτιατικῇ, ὁμοίως καὶ ἐπίσης, παρὰ τοῖς ῥήτορσι γραφόμενα. πλὴν τὸ μὲν ἀνήλωκα, καὶ ἠνάλωκα, γράφεται Ἀττικῶς. ἀνάλωκα δ᾽ ἀναύξητον, κοινῶς. ὁμοίως καὶ ἐπὶ τῶν παθητικῶν, ἀνήλωται, καὶ ἀνάλωται. ἃ καὶ αὐτὰ παραπλησίως τοῖς ἐνεργητικοῖς γράφεται, καὶ κατὰ τὴν αὐτὴν σύνταξιν. Ἄλλως.

Ἀνήλωκα, καὶ ἀνήλωσα, μετὰ αὐξήσεως, κοινῶς. ἀνάλωκα δὲ καὶ ἀνάλωσα, Ἀττικῶς.

Ἀνήλωμα, οὐ χρὴ λέγειν, ἀλλ᾽ ἀνάλωμα.

Ἀνήλιον, ἀδύλευτον, καὶ τὸ μὴ ἔχον ἥλιον.

Ἀνήλιος, ἀπὸ τοῦ δῆλος, ὁ φανερὸς, γίνεται δήλιος. ἀποβολῇ τοῦ δ, Ἥλιος, καὶ ἐξ αὐτοῦ ἀνήλιος, ὁ μὴ ἔχων Ἥλιον.

Ἀνήλιπος, ὁ ἀνυπόδητος. ὡς καὶ ἀνάλιπος, Δωρικῶς. ἐξ οὗ καὶ πέδιλον, τὸ ὑπόδημα. ἤλιψ γὰρ τὸ ὑπόδημα, παρὰ τὸ ἐλίσσειν τὸν πόδα.

Ἀνηλόχισμαι, ἀνάχισμαι.

Ἀνήλυσιν, ἄνοδον.

Ἀνημμένος, ὁ ἐξηρτημένος, ἢ ὁ ἀναπτόμενος καὶ κωλυόμενος.

Ἀνῆμεν. ἵημι, ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧκα, καὶ ἀνῆκα. τῶν πληθυντικῶν τὸ πρῶτον, ἀνήκαμεν, καὶ συγκοπῇ ἀνῆμεν.

Ἀνημιοβολιαῖα, δηλοῖ τὰ ἡμιοβόλου ἄξια.

Ἀνήμερος, ἄγριος.

Ἀνήνασθαι, δηλοῖ τὸ ἀρνήσασθαι. γίνεται δὲ ἀπὸ τοῦ ἀναίνω. ἀναίνεσθαι δὲ, ταυτόν ἐστι τῷ μὴ αἰνεῖν, ἤγουν συναινεῖν, καὶ συγκατατίθεσθαι. κατὰ δὲ ἑτέρους, ἀπὸ τοῦ α στερήσεως, καὶ τοῦ αἶνος, ὃ δηλοῖ τὴν συγκατάθεσιν. κυρίως ἐπὶ γάμων, ἢ ἀφροδισίων.

Ἀνηνέγκατο, ἀπὸ τοῦ ἀνενείκατο, τροπῇ τοῦ ε εἰς η, καὶ τοῦ ι εἰς γ. σημαίνει δὲ, τὸ ἐκ βάθους ἐβόησεν.

Ἀνηνέχθη, ἀντὶ τοῦ ἀνήνεγκεν, ἐξ ἀφωνίας καὶ λιποψυχίας ἐφθέγξατο.

Ἀνήνυσε, παρῃτήσατο.

Digitized by Google

Ἀνηνοχίαν, ἀναφέρουσαν.

Ἀνήνωνται. ἀναίνω, ἀνανῶ. ὁ ἀόριστος, ἤνηνα. ὁ μέσος, ἠνηνάμην. τὸ ὑποτακτικὸν, ἐὰν ἀνήνωμαι ἀνήνῃ ἀνήνωνται, ἀποστρέφονται, ἀπαρνήσονται.

Ἀνήνιον, ἀδούλωτον, ἀχαλίνωτον.

Ἀνήνιος, ἄνευ ἀνίας, καὶ λύπης.

Ἀνήνω, ἄνυσιν, ἢ δεινώ.

Ἀνηνύστῳ ἐπὶ ἔργῳ, ἀναλόγως ἔχει. εἰ γάρ ἐστι τὸ ἄνυστον, ἔστι καὶ τὸ ἀνήνυστον. τὸ δὲ ἀνήνυστον, ἀπέρριψε τὸ σ, ὁμοίως τῷ γνωτὸς, ἀλλόγνωτος. ὧν προϋπάρχει τὸ γνωτός.

Ἀνήνεισαν, ἀνήρχοντο.

Ἀνήνοθεν, ἀνῄει, ἀνεφέρετο. Ὅμηρος, Ὀδυσσείας ρ. ἐστὶ δὲ μέσος παρακείμενος, ὡς δηλοῖ τὸ θ. ὁ γὰρ ἐνεργητικὸς παρακείμενος οὐδέποτε διὰ τοῦ θ ἐκφέρεται. ἔστιν οὖν θέω, καὶ ἐν συνθέσει ἀναθέω, καὶ ἀνθέω, καὶ ὑπερβιβασμῷ τοῦ ε, ἀνέθω. τούτου ὁ μέσος παρακείμενος, ἤνοθα, συνήθως τραπέντος τοῦ ε εἰς ο, καὶ Ἀττικῷ ἀναδιπλασιασμῷ, ἀνήνοθα. ἢ οὕτως ἔω τὸ πέμπω, ἔθω. ὡς φλέγω, φλεγέθω. καὶ τροπῇ τῶν δύο εε εἰς η, ἤθω. καὶ συνθέσει, ἀνήθω. ὁ μέσος παρακείμενος, ἄνηθα. καὶ ὁ Ἀττικὸς, ἀνήνοθα. καὶ ἐπειδὴ ὁ Ἀττικὸς παρακείμενος τὴν τρίτην ἀπ᾽ ἀρχῆς συλλαβὴν βραχεῖαν θέλει ἔχειν, συστολὴ γίνεται τοῦ η εἰς ε, καὶ τροπῇ τοῦ ε εἰς ο, ἀνήνοθεν. ὡς τὸ, Ὄφρα οἱ αἷμ᾽ ἔτι θερμὸν ἀνήνοθεν, ἤγουν ἀνεφέρετο.

Ἀνήνορα, ἀνήνορα λέγομεν τὸν ἄνανδρον. καὶ ἀντίκειται πρὸς τὸ ἠνορέα τε, καὶ ἀγήνορα.

Ἀνήνυεν, ἐτέλει, ἐξεπόνει.

Ἀνήνυστον, κάλλιον, ἢ ἀτέλεστον, ἄμετρον, πολύ. ἢ ἀνήνυστον, ἀπέρριψε τὸ σ ἐκ τοῦ ἀνήνυστον. ὁμοίως τῷ γνωτὸς καὶ ἀλλόγνωτος, ὧν προϋπάρχει τὸ γνωτός. ἔστι δὲ καὶ κατὰ τὸ ἐραστὸς, ἐρατὸς, ὁ ἐπιθυμητός. ὅθεν καὶ ἡ Ἐρατὼ Μοῦσα. κατὰ τὸ ἀγάζω, ἀγαστὸς, καὶ ἀποβολῇ τοῦ σ, καὶ τροπῇ τοῦ τ εἰς θ, ἀγαθός. ὁμοίως θαυμαστὰ, θαυματὰ, παρὰ Πινδάρῳ.

Ἀνήνυτον, ἄμετρον, πολύ.

Ἀνήνυτος, ὁ ἀπλήρωτος, ὁ ἄπρακτος, ὁ ἀτέλεστος. ἔστι καὶ ὁ δυσκατόρθωτος ἆθλος ἐκ τοῦ ἀνυτὸς γίνεται. καὶ δίδωσιν ἔμφασιν, ὁ Ἄνυτος τὸ κύριον, προπαροξυνθέν.

Ἀνήξεις, κολυμβήσεις.

Ἀνηπελίη, ἀσθένεια.

Ἀνήπλωσαν, ἀνήγαγον.

Ἀνῆπται, ἀνάκειται, ἀνιερῶται. καὶ ἀνῆπται, ἐξῆπται.

Ἀνήκιστον, τὸ ἀνήκεστον. ἀνύποιστον δὲ, τὸ ἄφορον καὶ ἀνυπομόνητον, διὰ τῆς οι διφθόγγου.

Ἀνήρ. τετραχῶς λέγεται ὁ ἀνὴρ παρὰ τοῖς παλαιοῖς. ὁ ἤδη τέλειος τὴν ἡλικίαν, καὶ ὁ συζυχθεὶς γυναικὶ, καὶ ὁ ἀνδρεῖος, καὶ ὁ φύσει ἄρσην, ὃν ἐξ ἀνάγκης οἶδεν ἡ φύσις, ὁ ἀντιδιῃρημένος τῇ γυναικί. ὡς τὸ, ἄνδρα ἔννεπέ μοι. οἱ παλαιοὶ ἄνδρα, τὸν φύσει φασίν. ὡς εἴ τις εἴποι, ἄνθρωπον ἄρρενα. ἀνδρεῖον δὲ νοῆσαι οὐ θέλουσι, λέγοντες, ὅτι ἐπὶ ἀνθρώπου οὐδέποτε κεῖνται δύο ἀλλεπάλληλα ἐπίθετα, δίχα κυρίου ἢ προσηγορικοῦ. τίς γὰρ ἄν ποτε εἴπῃ σοφὸς, ἢ δίκαιος, ἀνὴρ κυρίου τοῦ Ἀριστείδης, ἢ ποιμήν τινος; οὕτως οὖν οὔτε ἀνδρεῖον, τὸν πολύτροπον εἴπομεν. καὶ ἀνὴρ λέγεται, ὁ ἀπὸ ἐτῶν τριακονταπέντε, ἕως ἐτῶν ἓξ καὶ τεσσαράκοντα. καὶ ἀνὴρ κόπριος, ὁ ἀπόδημος, ἤτοι ὁ κοπρολόγος, ἢ ὁ κηπουρὸς, παρὰ τὴν κόπρον.

Ἀνηρέθη, ἐξηλείφθη.

Ἀνήρει, κουφίζει.

Ἀνηρείψαντο, ἀνηρέπτω, ἀπὸ τοῦ ἐρέπτω γίνεται, πλεονασμῷ τοῦ ι. ἐρέπτω δὲ κυρίως μὲν ἐπὶ τροφῆς ἀλόγων, παρὰ τὸ ἀπὸ τῆς Υἵας, ἤτοι τῆς γῆς λαμβάνειν. ἔχει δέ τινα καὶ ἄλλην ἑρμηνείαν, ὡς δηλοῖ τὸ, κόνιν δ᾽ ὑπερέπτε ποδοῖιν. καὶ ἀνηρείψαντο, ἀνήρπασαν.

Ἀνηροί, κρίκοι δι᾽ ὧν οἱ κάλοι διαδέχονται.

Ἀνήρεστον, ἀρεστόν.

Ἀνήρετο, ἠρώτα.

Ἀνήρηκεν, ἐπὶ τοῦ ἐκποδὼν ἐποιήσατο. Δημοσθένης, καὶ ἀντὶ τοῦ ἐφόνευσεν.

Ἀνηρήμεθα, ἠρωτήθημεν.

Ἀνῃρημένος, πεφονευμένος. ἢ ἀναλαβὼν, ἑλόμενος, ἐπενηνεγμένος.

Ἀνήρης, ἀνδρώδης. αἱ δὲ, ἀνάρμοστοι.

Ἀνῃρήσθω. ἀναιρέω, ἀναιρῶ. ὁ μέλλων, ἀναιρήσω. ὁ παρακείμενος, ἀνῄρηκα. ὁ παθητικὸς, ἀνῄρημαι. ὁ ὑπερσυντέλικος, ἀνῃρήμην ἀνῄρησο ἀνῄρητο. τὸ προστακτικὸν, ἀνῄρησο ἀνῃρήσθω.

Ἀνῄρηται ὁ ἄνθρωπος, ἀντὶ τοῦ πεφόνευται. ἀναιρῶ γὰρ, τὸ φονεύω. καὶ ἀνῄρηται ἔπαθλον, ἀντὶ τοῦ ἐπηνέγκατο, καὶ ἔλαβεν.

Ἀνηρίθμος, ὁ ἐν οὐδενὶ ἀριθμῷ ταττόμενος, ἀλλὰ περιερριμμένος.

Ἀνηρίναστοι, ὁ μὴ κραστὰ ἔχει, ἀλλ᾽ ἀποβάλλων. ἀπὸ τῶν συκῶν τῶν μὴ κρατουσῶν τὸν καρπὸν, διὰ τὸ μὴ ἐπιβληθῆναι αὐταῖς τοὺς ὀλύνθους, τοὺς ἀπὸ τῶν ἐρινεῶν, ὅ ἐστιν ἀγριοσυκῶν.

Ἀνηρίπτεσθαι, χαρίζεσθαι.

Ἀνήριστα, ἀνέριστα, ἄπλαστα.

Ἀνηρίτης, κοχλίδιον. εἴρηται γὰρ ἀπὸ τοῦ Νηρέως, τοῦ θαλασσίου δαίμονος.

Ἄνηρον, ἄβλαπτον.

Ἀνήροτον, μὴ ἠροτριωμένον, ἀγεώργητον.

Ἀνήρρυξα, ἀνελεξάμην ἐμαυτὸν ἐκ τόπου.

Ἀνήρρησεν, ἀνεφθάρη.

Ἀνηρτήθη, ἐκρεμάσθη.

Ἀνηρτημένοι, ἐπηρτημένοι.

Ἀνήρτησαν, ἀνεποίησαν.

Ἀνήρυσαν, ἀνήντλησαν.

Ἀνήρχετο, ἀνεφέρετο.

Ἀνήρωρ, ᾧ τέκνα οὐ γίνεται, ἄτεκνος.

Ἀνήσει παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἀναπείσει, καταλείψει, ἀφήσει.

Ἀνησίδανος, ἡ τὰ δῶρα ἀναδιδοῦσα. δάνος γὰρ τὸ δῶρον.

Ἀνησιδώρα, ἡ γῆ.

Ἄνησιν, ἀνέρχεται.

Ἄνηστις, ὁ γεγευμένος. καὶ ἄνηστις, ἡ νῆστις. καὶ ἄνηστις, ὁ ἄσιτος.

Ἀνήτινον, εἶδος ἄνθους τὸ ἀνήτινον.

Ἀνητίνοις δὲ ἐχρῶντο στεφάνοις, ὡς Ἀλκαῖος, καὶ Σαπφώ. φασὶ δέ τινες, καὶ πᾶν ἄνθος ἀνήτινον, παρὰ τὸ ἄνω τείνεσθαι, ἤγουν ἵστασθαι, ἄνηθον δὲ τὸ μάραθρον. ἢ ἄνισον, τὸ γλυκάνισον.

Ἀνήφθη, ἐξήφθη, ἐκρεμάσθη, ἢ ἀνεφλέχθη ὑπὸ πυρός.

Ἀναχαίας, χάσμης.

Ἀνήχθημεν, ἀνεπλεύσαμεν.

Ἀνήψατο, προσέθηκεν, ἀνέθηκε, προσήνεγκεν.

Ἀνῆψεν, ἀντὶ τοῦ ἐξέδησεν, ἀνέθετο, ἐξήρτησεν. ὅθεν καὶ τὸ, βρόχον ἀνῆψε. τὸ μέν τοι περιῆψε, δηλοῖ μὲν καὶ αὐτὸ τοιοῦτόν τι. ὅθεν καὶ περίαπτον. μάλιστα δὲ περιάπτειν, τὸ περιελίσσειν λέγεται.

Ἀνθαιροῦμαι, τὸ ἕτερον ἀνθ᾽ ἑτέρου προκρίνω. οἷον, ἀνθαιροῦμαι ζωῆς θάνατον.

Ἄνθεα, φάρμακα ποικίλα.

Ἄνθεια, εἶδος ἰχθύος.

Ἄνθειαν τινὲς, ἣν καὶ καλλιχθὺν, καὶ καλλιώνυμον, καὶ ἔλοπα καλοῦσι. καὶ ἄνθεια ἡ Ἀφροδίτη, παρὰ Κνωσσίοις. καὶ πόλις τῆς Πελοποννήσου, καὶ ὄνομα ἑταίρας. καὶ ἐπίθετον τῆς Ἥρας. ἀνθεῖαι δὲ, αἱ ὧραι.

Ἀνθείλοντο, προέκριναν, ἐπελάβοντο.

Ἀνθεινός, ὁ ἐξ ἀνθέων, καὶ ὁ καιρός.

Ἀνθέκαστον, ἐξεναντίας ἕκαστον.

Ἀνθελέσθαι, χειροτονῆσαι.

Ἀνθέλκει, ἀντισπᾶται.

* Ἀνθέλιξ, τὸ ἀνθεστηκὸς τῇ ἕλικι. ἕλιξ δέ ἐστι τὸ πτερύγιον τοῦ ὠτός.

* Ἀνθερεών, τὸ ὑπὸ τοῖς χείλεσιν ἐκ τῆς κάτω σιαγόνος τρίχον, ἀπὸ τοῦ θριξὶν ἀνθεῖν. ὃ καὶ γένυς ὀνομάζεται.

Ἄνθεμα, ἀνάθεμα, καὶ μᾶζα τις.

Ἀνθέμη, ὑπ᾽ ἐνίων, ἀμάρακος πόα.

Ἀνθέμιον, τὸ ἐκλεκτὸν χρυσίον. καὶ Ἀνθέμιος, ὄνομα κύριον.

Ἀνθεμουσίδα, ἀπὸ Ἀνθεμουσίας τῆς Λύκου μὲν θυγατρὸς, γυναικὸς δὲ Δασκύλου, τοῦ Ταντάλου υἱοῦ.

Ἀνθεμόεις λειμὼν, ὁ πολύφυτος, καὶ διὰ τοῦτο ἐν καιρῷ πολλοῖς ἀνθέμοις, ἤγουν ἄνθεσι βρύων. ἐντεῦθεν δὲ τροπικῶς, καὶ λέβης ἀνθεμόεις, ὁ οἷον ἀνθῶν, τῷ κάλλει τοῦ ποικίλματος. καὶ μὴν ἐκεῖνος, καὶ ὡς ἀναθηματικὸς δοκεῖ οὕτω λέγεσθαι. καὶ ἀνθεμόεις τόπος, ὁ φυτοῖς θαλερός. καὶ ἀνθερινὸς, παρὰ τὸ ἄνθεμον. ὃ σημαίνει τὸ ἄνθος. καὶ ἀνθεμόεις κρατὴρ, καὶ λέβητες καὶ τρίποδες, οἱ ἀναθηματικοὶ διὰ κειμηλίωσιν. ἢ ἀνθηροὶ διὰ τὰ δαιδάλματα.

Ἀνθεμόεντα, τὸ δὲ πεποικιλμένον.

Ἀνθεμόκριτος. Ἀθηναίων μὲν οὗτος ἦν κῆρυξ. ἀπεσφάγη δὲ ὑπὸ Μεγαρέων, ἀπαγορεύων αὐτοῖς, τὴν ἱερὰν ὀργάδα ταῖν θεαῖν μὴ ἐργάζεσθαι. Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα, Τόπε βαλανεῖον τὸ παρ᾽ Ἀνθεμοκρίτου τοῦ ἀνδριάντος, τουτέστι τὸ πρὸς ταῖς θριασίαις πύλαις.

Ἀνθεμόεσσα, πολλὰ ἄνθη ἔχουσα.

Ἀνθεμοῦς, πόλις Μακεδονική. οἱ ἀπ᾽ αὐτῆς Ἀνθεμουσῖοι. καὶ Ἀνθεμοῦς, χώρα, ποταμὸς, καὶ λίμνη τῆς Μαριανδυνίας.

Ἀνθεμουσία, τάγμα τι παρὰ Μακεδόσιν.

Ἀνθεμώδη, ἄνθος ἔχοντα.

Ἀνθέμων, ῥόδων. Ἀριστοφάνης, Ἔχων στέφανον ἀνθέμων.

Ἀνθέξεται, ἀντιλήψεται, ἢ λύει.

Ἀθέξομαι, κρατήσω.

Ἀνθερεὼν, ὁ ἐπὶ τοῦ γενείου τόπος, περὶ ὃν ἀνθεῖ τὸ γένειον. ἢ διὰ τὸ δι᾽ αὐτοῦ θορεῖν τὸ πνεῦμα. λέγεται δέ ποτε καὶ ἐπὶ γυναικὸς καταχρηστικῶς τόδε. ὑπ᾽ ἀνθερεῶνος ἑλοῦσα. ἢ ἀντὶ τοῦ κάτωθεν τοῦ ἀνθερεῶνος, ἢ ἀντὶ τοῦ ὑφελοῦσα καὶ ὑφαψαμένη ἀνθερεῶνος. ἢ ἀνθερεὼν φανερῶς, ὁ ὑπὸ τὸ πρυμνὸν τῆς γλώττης ὤν, οὗ ἥπτοντο οἱ ἱκέται. σαφέστερον δὲ εἰπεῖν, τὸ τέλος τοῦ ὑπογενείου. ἀνθερεὼν δὲ ἐκεῖ ἐστιν, ὅπου τῆς περικεφαλαίας ὑποτέταται ὀχεύς. Ἰστέον δὲ ὅτι τὸ ὑπ᾽ ἀνθερεῶνος, ἤγουν ὑπὸ κάτω τοῦ ἀνθερεῶνος, ὑπ᾽ ἀνθερεῶνα ἡ κοινὴ φράζει. ὀχεὺς δὲ οὐ μόνον ἐπὶ μοχλοῦ θύρας, ἀλλὰ ἰδοὺ καὶ ἱμὰς ὁ συνεκτικὸς τῆς περικεφαλαίας, ἀπὸ τοῦ ἔχειν παρηγμένος. ὅθεν καὶ τὸ τῆς ἀσπίδος ὄχανον. καὶ Ἀνθερεὼν, βοτάνη τις.

Ἀνθέρικες, τὰ τῶν σταχύων ἄκρα καὶ προβολαί. καὶ ὁ τοῦ ἀσφοδέλου καρπός.

Ἀνθερίκεσσι, παρὰ Θεοκρίτῳ.

Ἀνθέρικος, ὁ τοῦ ἀσφοδέλου καρπός. καὶ ὁ καυλὸς, ὥς φησιν Γλαῦκός τε, καὶ Θεόφραστος. Ἀπολλόδωρος δὲ ὁ Δαυλιεὺς, τὸν καυλὸν μόνον οὕτω καλεῖσθαι βούλεται.

Ἀνθέρικος, ὁ τοῦ ἀσφοδέλου καρπὸς, ἢ καυλός. ἡ δὲ χρῆσις, καὶ παρὰ Θεοκρίτῳ. οἱ δὲ ἀνθερίκους, ἐπὶ τοῦ σίτου φασίν, ἀκολουθοῦντες Ἡσιόδῳ, εἰπόντι περὶ Ἰφίκλου τοῦ καὶ ἐν Βοιωτίᾳ ῥηθέντος, ὅτι ἐπὶ πυραμίνους ἀθέρας, ἐκεῖνος ἔθεε. καὶ γίνεσθαί φασι τὸ ἀνθέρικος, ἐκ τοῦ ἀθὴρ ἀθέρος, πλεονασμῷ τοῦ ν. καὶ ἀρέσκονται μάλιστα εἰς τοῦτο λέγοντες, καὶ ὅτι ἡ ζείδωρος ἄρουρα οὐκ Ἀσφοδέλους φέρει, ἀλλὰ πυρῶν ἀνθέρικας. ὅτι δὲ ἀθὴρ καὶ ἡ ἐπιδορατὶς λέγεται ἀπὸ μεταφορᾶς τῶν ἀσταχύων, δηλοῦσιν οἱ παλαιοί. οἳ παραδιδόασι, καὶ ὅτι ἀνθερίκων ἡ ἀλθαία, ὁ ἀνθέρικος, θέροντες χρῆσιν τὸ, Λίβυες οἱ νομάδες οἰκίας ἔχουσιν ἐξ ἀνθερίκων πεποιημένας μικρὰς, ὅσον σκιᾶς ἕνεκεν, ἃς καὶ περιφέρονται ὅποι ἂν φέρονται. εἶεν ἂν οἱ τοιοῦτοι σκιαπόδων τλημονέστεροι. ἐκείνοις γὰρ αὐτοφυὴς ἡ σκιὰ, ἐκ τῆς τῶν ποδῶν ἄγαν πλατύτητος, ὡς αἱ ἱστορίαι περιηγοῦνται. εἰ μὴ ἄρα αἱ τῶν νομάδων, σκιᾶς χάριν ἐκ τοῦ ἀνθερίκου σκηναὶ τοῦ, βάρους τῶν παρὰ τοῖς σκιάποσι ποδῶν ἐλαφρότεραί εἰσιν.

Ἀνθέριξ, παρὰ τὸ ἄνθος. σημαίνει δὲ τὸ ἄκρον τῶν ἀσταχύων. ἢ φυτόν τι, ὃ καὶ ἀνθέρικος λέγεται. ὁ τύπος, κατὰ τὸ ὁ κῆρυξ, καὶ ὁ κήρυκος.

Digitized by Google

Ἄνθεσι μήλων, τοῖς ἀκροδρύοις. ἀπὸ μεταφορᾶς τῶν μήλων τοὺς καρποὺς δένδρου μῆλον λέγεται.
Ἀνθεστήρια, τὰ Διονύσια. φησὶν Ἀπολλόδωρος καλεῖσθαι κοινῶς, τὴν ὅλην ἑορτὴν Διονύσῳ ἀγομένην Ἀνθεστήρια. κατὰ μέρος δὲ, Πιθοιγίαν, χόας, χύτραν.
Ἀνθεστηριάδας, τὰς ἐχούσας ὥραν γάμου, Ῥόδιοι.
Ἀνθεστηριὼν, ὄγδοος μὴν ἐστι παρ' Ἀθηναίοις, ἱερὸς Διονύσου. Ἴστρος δὲ ἐν τοῖς τῆς συναγωγῆς, κεκλῆσθαί φησιν αὐτὸν οὕτω, διὰ τὸ πλεῖστα τῶν ἐκ τῆς γῆς ἀνθεῖν τότε.
Ἀνθέται, ἐλεύθεροι, παρὰ Ταραντίνοις.
Ἄνθη, ἡ ἄνθησις, καὶ τὰ χρώματα. ἀπὸ τούτου τοῦ ὀνόματος ἡ γενικὴ τῶν πληθυντικῶν, τῶν ἀνθῶν. ὡς τὰ βέλη τῶν βελῶν, καὶ τὰ γένη τῶν γενῶν. ἀλλὰ τὰ μὲν ἄλλα περισπᾶται ὁμολογουμένως. τὰ δὲ ἄνθη, οὐκέτι τῶν ἀνθῶν, ἐπειδὴ ἄλλο τι ἐμφαίνει. οἷον, ἀνθ' ὧν ἔδωκας, ἀνθ' ὧν ἔγραψας. ὅθεν τοῦτο μόνον διαιρεῖται τῶν ἀνθέων γραφόμενον· ὡς Φιλόστρατος εἰκόσι, Τῶν ἀνθέων ἡ ἐλευθερία.
Ἀνθρηδὼν, ἡ τενθρηδών.
Ἀνθηδὼν, καλεῖται οὕτω, διὰ τὸ αὐτῆς ἀνθηρόν. ἀπὸ ἀνθηδόνος, ἢ ἀνθέου ἀπογόνου Ποσειδῶνος. συνῴκησαν δὲ αὐτὴν Θρᾷκες. διὸ καὶ Λυκόφρων Θρηϊκίην ἀνθηδόνα φησίν. ἐκ ταύτης Γλαῦκος ὁ θαλάσσιος Δαίμων, κατὰ τὸν μῦθον. ὃς ἰχθὺν εἰς γῆν ἔκθετον ἰδὼν λειπόμενον τοῦ ζῆν, καί τινος βοτάνης ψαύσαντα καὶ ἀναζωπυρηθέντα εἰς ὅπερ ἦν, καὶ τῆς θαλάσσης αὖθις γενόμενον, μιμεῖται, καὶ τῆς αὐτῆς πόας ἐμφαγὼν, καθάλλεται εἰς θάλασσαν. καὶ εἰς κῆτος μεταβληθεὶς, ἀπαθανατίζεται. φασὶν ἁλιέων τὸν ἄριστος, καὶ νήξασθαι δεινότατος, καὶ ἐμβραδύναι τῷ βυθῷ, καθά καί τινι χέρσῳ ἄπλους. καὶ ταῦτα τὸν περὶ αὐτοῦ μῦθον πλασθῆναι πιθανῶς ἐχορήγησαν. παρὰ δὲ τοῖς παλαιοῖς, γένος τοῦ Γλαύκου τούτου ποιεῖται τοῖον.
Ἀνθηδὼν νύτις ἐστὶν ἐπὶ πλευροῖο θαλάσσης, ἀντίον Εὐβοίας, ἔνθεν ἐγὼ γένος εἰμὶ, πατὴρ δέ με γείνατο Κώπεύς. ναυτικὸς δέ φασι καὶ κολυμβητὴς γενόμενος, πόντιος ἐκαλεῖτο Σύμης ἐραστής. ἡ ὁμώνυμος ἡ ἐν Καρίᾳ νῆσος Σύμη. ᾄδεται δὲ καὶ τῆς Ἀργοῦς δημιουργὸς γενέσθαι. καὶ κυβερνῶν αὐτὴν, ὅτε Ἰάσων Τυρρηνοῖς ἐμάχετο, μόνος αὐτὸς ἄτρωτος ἐν τῇ ναυμαχίᾳ μεῖναι. τὴν δὲ βοτάνην, ἣν φαγὼν ἄτρωτος, ἢ καὶ ἀθάνατος ἐλέχθη γενέσθαι, ἄγρωστιν εἶπεν ὁ γράψας τὸ, Καὶ θεῶν ἄγρωστιν εὗρες, ἣν Κρόνος κατέσπειρε. μαθεῖν αὐτὴν λέγεται κατὰ μέν τινας, ὑπὸ ἰχθύος, κατὰ δὲ ἄλλους, ὑπὸ λαγὼ τεθηραμένου. ὅν φασι λειποθυμοῦντα ἐκ διώξεως, ἀπαχθῆναι ὑπό τινι κρήνῃ, καὶ πόᾳ παρακειμένῃ, ἀπαμάσσειν τὸ ζῶον, ἤδη ψυχόμενον. ὡς δὲ ἀνεζωπύρησεν ὁ λαγὼς τῇ βοτάνῃ, ἐπιγνοὺς ὁ Γλαῦκος αὐτῆς τὴν δύναμιν, ἐνέφαγε. καὶ οὕτως ἔνθεος γενόμενος, εἰς θάλασσαν ἑαυτὸν ἐξέρριψεν. καὶ τὸ ἐντεῦθεν, λαβὰς ἐνδέδωκε τῷ μύθῳ, ἀοίδιμον θέσθαι αὐτόν. τοιαῦτα μὲν τὰ περὶ τοῦ Ἀνθηδονίου Γλαύκου. κατὰ δέ τινας ἀνθηδὼν· πόλις Βοιωτίας ἐσχάτη παραλίας τῆς πρὸς Εὔβοιαν. Ὅμηρος, Ἀνθηδόνα τ' ἐσχατόωσαν. ἢ καὶ πόλις Παλαιστίνης. καὶ ἀνθηδὼν ἡ Μέλισσα, παρὰ τὸ τὰ ἄνθη ἔδειν.
Ἀνθηλά, περιδέρεα.
Ἀνθυλεῖν, τὸ πυρὸς ἄνθει ἀνθήσειν.
Ἀνθήλη, πώγων, ἢ περίδερμα.
Ἀνθήλιος, ἡ Σελήνη, καὶ τὸ ἀποσκίασμα τῆς τοῦ Ἡλίου ἀνταυγείας. ἐνίοτε δὲ καὶ τὸ μίμημα, ἢ ἀντάλλαγμα, ὡς Θεόπομπος. σημαίνει δὲ καὶ τὰ ἐπισκοποῦντα τῷ Ἡλίῳ νέφη, ἃ καὶ ἀνθήλια καλεῖται.
* Ἀνθηλὴ, ἡ λυχνίς.
Ἀνθήμασιν, ἐξανθήμασιν.
Ἀνθ' ἡμέρας, δι' ὅλης τῆς ἡμέρας.
Ἀνθήμερον, τὴν σήμερον ἡμέραν.
Ἀνθήνας, ὁ προσφάτως συντεθειμένος τυρός.

Ἀνθηνὸν, ἀνθηρὸν, βαπτόν.
Ἀνθήνη, πόλις τῆς Λακωνικῆς.
Ἀνθηρημένος, ἀντιλαμβανόμενος, ἢ προκεκριμένος.
Ἀνθηρὸν, τὸ Σανδαράκην.
Ἄνθης βαρύτονον, καὶ πότης τὸ ἀρσενικόν. τὸ δὲ θηλυκὸν, ποτὴς ποτῆτος.
Ἀνθίας, ὄνομα ἰχθύος.
Ἀνθίνην οἶνον, ἤτοι τὸν ἠνθισμένον, ἢ τὸν ἐκ τῶν ἀνίθων ἡδυσμένον.
Ἄνθινον, βαπτὸν, ἀνθηρόν.
Ἀνθιππασία, ὁ ἱππικὸς ἀγών.
Ἀνθίσασθαι μουσικῆς, καὶ ἠνθισμένοι μουσικῆς, οἱ ἠθροικότες τὰ ἄνθη τῆς μουσικῆς.
Ἀνθοβόσκον, ἀνθοτρόφον, Σοφοκλῆς.
Ἀνθολεῖν, ἀνθολογεῖν.
Ἄνθολκον, ἀντίρροπον, ἑτεροκλινές.
Ἀνθομολογησόμεθα, εὐχαριστήσομεν, ὑπὲρ τῆς εὐεργεσίας ὁμολογοῦμεν χάριτας.
Ἀνθοπωλεῖν, οἰνοπωλεῖν, φαρμακοπωλεῖν.
Ἀνθοριθήσεται, ἀντιτεθήσεται.
* Ἀνθορμεῖν, ἀντεφορμεῖν, προσορμεῖν, προσεκπλεῦσαι.
Ἄνθος λευκὸν, τὸν κυπρισμὸν τῆς ἐλαίας φησὶν Ὅμηρος, κατὰ τοὺς παλαιούς. οἵ φασι καὶ κοτινοφόρους ὡς τὰ πολλὰ, τοὺς ὑψηλοὺς εἶναι τόπους. ἀμέλει φασὶ καὶ ἐν ἀκροπόλει τῆς Ἀττικῆς, πρῶτον ἐλαία ἐφάνη.
Ἄνθος, παρὰ τὸ ἄνω θεῖν ἐν τῷ αὔξάνεσθαι. οὐκ ἀναστρέφουσι δὲ αἱ ἐτυμολογίαι. οὐ γὰρ εἴτι ἄνω θεῖ καὶ αὔξεται, τοῦτο καὶ ἄνθος λέγεται. ἰδοὺ γὰρ πάντα τὰ φυτὰ ἄνω θέουσι, καὶ ἄνθη οὐ λέγονται. ὁμοίως δὲ καὶ ἔλαφος, παρὰ τὸ ἐλαύνειν τοὺς ὄφεις, ὅπερ ποιεῖ τοῦτο τὸ κέρας θυμιώμενον· καὶ οὐκ εἴτι τοῦτο ποιεῖ, ἔλαφος λέγεται. ἡ γὰρ δίκταμος βοτάνη καιομένη τοῦτο ποιεῖ, καὶ οὐδέποτε ἂν κληθείη ἔλαφος. ἢ ἄνθος, τὸ τῶν βοτανῶν. ἀφ' οὗ καὶ ἄνθινος στέφανος, ὁ ἐξ ἀνθέων. ὥσπερ χρύσινος στατὴρ δηλονότι, ὁ τοιοῦτόν τι ἐκ χρυσοῦ. ἀλλὰ τὸ μὲν ἄνθινος εἰ μὴ τὸ στέφανος ἔχει προσκείμενον, ἀτελές ἐστι. τὸ δὲ χρύσινος, μόνον ἀεὶ λέγεται, καὶ δηλοῖ νόμισμα ἐκ χρυσοῦ. ἀπὸ δὲ τοῦ τῶν βοτανῶν ἄνθους, λέγεται ἄνθος κατὰ μεταφορὰν καὶ τὸ χρῶμα, ὡς παρὰ Φιλοστράτῳ, Τῷ τῆς ἴδης ἄνθος ῥαίνεται. ἤγουν τῷ χρώματι τῆς ἴδης. ἔστι δὲ ἴδη, βοτάνη τις. καθὸ λέγεται καὶ τὸ ἀνθοκρόκοισι πήναις, παρὰ Εὐριπίδῃ. καὶ τὸ, Οὐ γάρ σε μὴ γνῶσιν, οὐδ' ἠνθισμένον, παρὰ Σοφοκλεῖ, ἀντὶ τοῦ κεχρωματισμένον.
Ἀνθοσμίας οἶνος, εὔπνους, ἢ ἄνθος ἔχων.
Ἀνθοσμίου, μέλανος, παρὰ τῷ Ἀριστοφάνει, μέλανος, ἐρυθροῦ. Ὅμηρος, μέλανος οἴνοιο. Ἀνθοσμίου, ἡδέος, εὐόσμου ὥσπερ τὰ ἄνθη. ἢ ὡς ἀπὸ τόπου ἀνθοσμίας, ἢ ὡς ἀπὸ ἰδίου ἀμπέλου, ἢ τοῦ ἡδέος καὶ περιόσμου, καὶ ἀνθηροῦ. τὸν δὲ χυδαῖον οἶνον, καρηβαρίτην εἶπεν.
Ἀνθ' ὅτου δή, ἀνθ' οὗ τινος δή.
Ἀνθοῦσα, βλαστήσασα, ἄνθος ἀφιεῖσα· ἐκ τοῦ ἄνθους εἰς ὄμφακα μεταβάλλουσα.
Ἀνθοφόρῳ, ἀνθηρῷ, ἢ εὐώδει, ἀνθυματικῷ.
Ἀνθρακιᾷ, χρησιμεύει τῷ χειμῶνι.
Ἀνθράκιον, τὸ μικρὸν ξυπόδιον. καὶ λίθος τίμιος, ὁ ἐν δακτυλίῳ· καὶ χυτροπώλιον, καὶ πᾶσα μικρὰ κάμινος.
Ἄνθραξ, τὸ ἐκκαυθὲν ξύλον, καὶ ἔτι διαλαμπές. ἢ ἄνθραξ, πῦρ γεῶδες, μετὰ τὴν τῆς φλογὸς πάροδον, τῇ παχυτέρᾳ καὶ γεωδεστέρᾳ ὕλῃ ἐναπομένον. μετὰ γὰρ τὸ παρελθεῖν τὸ ἀνθηρὸν τῆς φλογὸς, ἡ περὶ τὴν παχεῖαν ὕλην τοῦ πυρὸς ὁμιλία, ἄνθρακες ὀνομάζονται· παρὰ τὸ θέρω, τὸ θερμαίνω, θέραξ, καὶ ἐν συγκοπῇ ἄνθραξ.
* Ἀνθρακοπώλης, ὁ τοὺς ἄνθρακας πιπράσκων.
Ἀνθρεῖ, κρύπτει.
Ἀνθρήνην, συγγενῆ τῇ μελίσσῃ Ἀριστοτέλης φησί. κοινότερον δὲ ἐπὶ τῶν μελισσῶν, τὰς ἀνθρήνας λέγουσιν. ἔστι δὲ εἶδος μελίσσης, ὅμοιον σφηξίν.
Ἀνθρήνιον, τὸ τῶν μελισσῶν πλάσμα.

Ἄνθρησκα, ἄγρια λάχανα τὰ παραπλήσια ἀνήθοις, οἷα καὶ τὰ μάλαθρα.
Ἀνθρωπαρέσκεια, ἡ πρὸς ἀνθρώπους σπουδή.
Ἀνθρωπείους ἡμέρας, τὰς ἀποφράδας Ῥόδιοι.
Ἀνθρωπίζω, τὰ τῶν ἀνθρώπων φρονῶ.
Ἀνθρώπινον, σύμμετρον, μικρὸν, καὶ ὁ Ἀπόστολος, Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν.
Ἄνθρωπος, ἀνθρώπινον, ἀνθρωπίσκος, ἀνθρώπιον, ἀνθρωπικόν· ἀνθρωπίνως, ἀνθρωπικῶς, ἀνθρωποειδές. καὶ ἀνθρωπεία τέχνη, ὡς Θουκυδίδης. καὶ ἀνθρωπίνη φύσις, ὡς Πλάτων. ἀνθρωπίζεται φησὶν Ἀριστοφάνης. τὸ δὲ τοῦ ἀνθρώπου δέρμα, ἀνθρωπίνην Ἡρόδοτος καλεῖ. προσήκει δ' ἂν ἀνθρώπῳ, φιλάνθρωπος, φιλανθρωπεία, φιλανθρώπως, φιλανθρωπεύεσθαι. ἀπάνθρωπος, ἀπανθρωπία, ἀπανθρώπως. πολυάνθρωπος, καὶ πολυανθρωπία.
Ἀνθρωπόλεθρος, ὁ φονεύς.
* Ἀνθρωπεία τέχνη, ὁ Θουκυδίδης φησί· καὶ ἀνθρωπίζεται Ἀριστοφάνης.
Ἀνθρωπώ, ἡ γυνὴ, παρὰ Λάκωσιν.
Ἄνθρωσκε, ἄνω θρῶσκε, ὀρχοῦ, Σοφοκλῆς.
Ἀνθυπόμνυσθαι, τὸ ἀναβάλλεσθαι δίκην, ἢ χειροτονίαν μεθ' ὅρκου.
Ἀνθυπέργησιν, ἀντευεργέτημα.
Ἀνθυπουργῆσαι, τὸ χάριν ἀνταποδοῦναι.
Ἀνθυποφορὰ, ἡ ἀνταπόκρισις, ἀνθυποφαίρεσις.
Ἀνθυπωμοσίᾳ, ἀντὶ τοῦ εἰπεῖν τῇ ὑπωμοσίᾳ.
Ἀνθώπλισαν, ὥπλισαν.
Ἀνθωπλισμένοι, ἀναπεπταγμένοι.
Ἀνία, σημαίνει τὴν χαλεπωτάτην καὶ δυσίατον λύπην. ἡ ἀνία, θλῖψις, λύπη· παρὰ τὸ ἰῶ, ὃ σημαίνει τὸ ὑγιάζω, καὶ θεραπεύω, γίνεται αἰῶ κατὰ στέρησιν, καὶ πλεονασμῷ τοῦ ν ἀνιῶ. ἡ γὰρ ἀνία ἐστέρηται τῆς ἰάσεως. τὰ διὰ τοῦ νια, μακρὸν ἔχει τὸ α, μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ εὐω· καὶ διὰ διὰ τοῦ ι γράφεται· οἷον, μανία, πενία, ῥωδονία, ἰσωνία, ἡ ἴση φράσις· οὕτω καὶ ἀνία. πρόσκειται μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ εὐω, διὰ τὸ ἑρμηνεύω ἑρμηνεία, σαλακωνεύω σαλακωνεία, σημαίνει δὲ τὴν βλακίαν. πρόσκειται μακρὸν ἔχοντα τὸ α, διὰ τὸ σαφήνεια, ἀγένεια, ἀπήνεια. τὸ μνεία δὲ οὐκ ἀντίκειται, ἐπεὶ οὐκ ἔστιν ἀπὸ τῶν διὰ τοῦ εὐω ῥημάτων.
Ἀνιάζειν, ἐκ τοῦ ἀνιῶ, καθ' ὁμοιότητα τοῦ ἀμφαγαπάζειν, καὶ τῶν ὁμοίων.
Ἀνίαζον Ἀχαιοὶ, ἀντὶ τοῦ ἀνιῶντο, ἀνίαν εἶχον.
Ἀνιάχειν, ὄζειν.
Ἀνιηθεὶς, λυπηθείς.
Ἀνιαρὸν, τὸ λύπην ἔχον, καὶ ἀλγεινόν. ὁμοίως καὶ λυπηρὸν, καὶ ἀργαλέον.
Ἀνίασιν, ἀνέρχονται.
Ἀνιᾶσι, τὸ ἀφιᾶσι, καὶ ἐκδιδόασι, δοτικῇ συνετάσσονται.
Ἀνιᾶται, ὀδυνᾶται, λυπεῖται.
Ἀνίατον, ἀθεράπευτον.
Ἀνιγροδέτης, βυρσοδέψης.
Ἀνιγρὸν, ἀκάθαρτον, φαῦλον, κακὸν, δυσῶδες, ἀσεβές.
Ἀνιγρὸς, βλαβερὸς, λυπηρός· παρὰ τὸ ἀνία ἀνιαρὸς, καὶ κατὰ συγκοπὴν, καὶ πλεονασμῷ τοῦ γ, ἀνιγρός. παρὰ δὲ τὸ ἀνία ἀνιαρὸς, τὸ ἀνιῶ ῥῆμα.
Ἀνιδιτὶ, ἀνιδρωτί.
Ἀνίδρυτον, ἀστήρικτον.
Ἀνίδρυτος, ἀντὶ τοῦ ἀνεξίλαστος· Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος.
Ἀνδρωτὶ, ἄνευ ἱδρῶτος.
Ἀνίει, ἐλύπει, ἔλυε. καὶ ἀνίει, ἀνέπεμπεν· Ἀριστοφάνης, ἀλλ' ἔνθεν δ' ἀνίει τἀγαθά. ἢ ἀνίει, ἐνεδίδου, ἐχαυνοῦτο.
Ἀνιεὶς, ἀνατιθεὶς, ἀφιεὶς, παρορμῶν ἐρεθίζεις.
Ἀνιεῖσα, ἀναπείθουσα.
Ἀνιεμένους, Ὅμηρος, Ὀδυσσείας γ, ἀντὶ τοῦ ἐκδέροντας.

Ἀνιε-

Digitized by Google

Ἀνιεμένη, κόλπον ἀνέλκυσα, καὶ ἀναχαλῶσα, καὶ ἀπογυμνοῦσα τὸ κατὰ τοὺς μαστοὺς κόλπωμα. καὶ, αἶγας ἀνιεμένους.

Ἀνιέναι, ἤτοι ἀνακάλειν, λέξις Ὁμήρῳ συνήθης, πολλαχοῦ κειμένη. ὡς τό, μαργαίνειν ἀνέηκεν ἡ Ἀθηνᾶ, ταυτόν ἐστι τῷ ἀνέπεισε, διήγειρεν, ἠρέθισε. τὸ δὲ μαργαίνειν, ὅ ἐστι μαίνεσθαι, καὶ ὁ πρωτότυπος αὐτοῦ μάργος, βαρυτόνος. ἢ μαργὸς ὀξυτόνως, κατὰ Τυραννίωνα. ἢ ἐκ τοῦ μὴ ἀρνητικοῦ, καὶ τοῦ ἔργον· γίνεται κατὰ τοὺς παλαιούς. ἢ ἐκ τοῦ μὴ ἀρήγειν· οὐ γὰρ ἔργον τι σπουδαῖον τῷ μαργαίνοντι.

Ἀνιέντα, ἐνδόντα.

Ἀνίερος, βέβηλος, αἰσχρὸς, μεμιασμένος.

Ἀνιερεῦσθαι, εἰς θυσίαν κρίνεσθαι.

Ἀνιερώσαντες, ἀναθέντες.

Ἀνίεσθαι, τὸ ἀπολύεσθαι, συγχωρεῖσθαι, κουφίζεσθαι.

Ἀνίεσαν, ἀντὶ τοῦ συνεχώρουν.

Ἀνιηθέντα, λυπηθέντα.

Ἀνίημι, συγχωρῶ.

Ἀνίηρ, βοτάνη τις.

Ἀνιηρέστερον, ὤφειλε μὲν εἶναι ἀνιηρότερον, μέχρι δὲ χάριν οὕτω καλεῖται. ὡς καὶ τὸ αἰδοιέστερον, καὶ λυπηρότερον, τροπῇ τοῦ α εἰς η. τοῦτο δὲ, ἔθος Ἰώνων.

Ἀνίησι καὶ ἀφίησι, καὶ ἀνῆκε καὶ παρῆκεν, ἐπὶ τοῦ ἀφῆκε λέγομεν. καὶ ἀνίησιν ἡ γῆ τὰ φυτά, ἀντὶ ἀναδίδωσι τὸ φυτόν.

Ἄνιθι, ἄνελθε.

Ἀν' ἰθὺν, ἐπ' εὐθείας, κατὰ τὴν ὁρμὴν καὶ φορὰν τοῦ πολέμου· ἀνὰ θυμόν· οἱ Ἀττικοὶ τὴν ἀνὰ, ἀντὶ τῆς κατὰ παραλαμβάνουσιν.

Ἀνίθωνται, εἰς τὸ ἄνω ἀπωθῶνται, παρὰ τῷ Ἱπποκράτει.

Ἀνικλώμενον, ἀνακαθαιρόμενον.

Ἄνικμος, ἄνυγρος, ξηρά.

Ἀνιλλομένη, καθυποκρινομένη. κυρίως δὲ ἀνίλλεσθαι, τὸ ἀπαξιοῦν.

* Ἀνίλλωμα, τὸ ἀνάβλεμμα. οἱ δὲ, καὶ ἴλλους τοὺς ὀφθαλμοὺς Ἰωνικῶς ὠνόμασαν.

Ἀνιλυστῶ, ἀνέβαινες.

Ἀνειμέναι, ἐκλελυμέναι.

Ἀνιμᾶν λέγεται, τὸ ἐπὶ ὑγροῦ τι ἀνέλκειν. ἀνιμᾷ τὸ δίκτυον, ἤγουν ἀνασπᾷ.

Ἀνιμᾶσθαι, ἀντλεῖν, ἀρύεσθαι, ἀναφέρειν. καὶ ἀνιμώμενος, ἀντλῶν, ἀνέλκων. ἱμονιὰ γάρ, τὸ ἀντλητήριον, ἀπὸ τοῦ ἱμάς. καὶ ἱμητόν, τὸ ἀντλητόν. καὶ ἀνιμῆσθαι, διὰ τοῦ η.

Ἀνιμώμενος, ἀντλῶν, ἀναφέρων.

Ἀνίμων τοῖς δόρασιν, ἀντὶ τοῦ ἀνεῖλκον.

Ἄνιος, ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος.

Ἀνιόντα, ὑποστρέφοντα.

Ἀνιόντος, ἀνερχομένου, ἀνατέλλοντος.

Ἀνιππασία, καὶ Διιππασία, ἡ τῶν ἵππων ἅμιλλα. ὥσπερ διωμοσία, καὶ ἀντωμοσία, τὸ αὐτὸ ἄμφω δηλοῦσιν.

Ἄνιππος, ἵππων ἐστερημένος. * καὶ ἄνιππος, ἀναμάξευτος, δυσπρόσβατος, δύσβατος.

Ἀνιπτάμενος, πετόμενος, ἢ ἀναπετασθείς.

Ἀνιπταμένη, ἠνεῳγμένη.

Ἀνίπτοισιν, ἀνίπτοις.

Ἀνιπτόποδες χαμαιεῦναι, οἱ μὲν νοοῦσι τοὺς Σελλοὺς ἀσκοῦντας· καὶ χαμαιεῦνας μὲν, ὡς κάτω περὶ γῆν αὐτοὺς κειμένους, καὶ μὴ ἐπὶ στιβάδων ἢ δεμνίων ὑπνοῦντας· ἀνιπτόποδας δὲ, ὡς μὴ προϊόντας τοῦ ἱεροῦ, καὶ διὰ τοῦτο μηδὲ ἐθέλοντας ποδάνιπτρα. ὁ καὶ ἐν τῷ τοῦ Εὐριπίδου Ἐρεχθεῖ δηλοῦται, εἰπόντος. ὅτι πηγαῖς οὐχ ὑγραίνουσι πόδας. ἕτεροι δὲ, σεμνότερον τοιοῦτον συντιθέασι νόημα· χαμαιεῦναι μὲν, ἀνιπτόποδες δέ· τουτέστι χαμαὶ μὲν ἐρχόμενοι, ἀνιπτάμενοι δὲ τῶν κάτω ταῖς διανοίαις, διὰ τὴν ἐν ταῖς μαντείαις φιλοσοφίαν. ὅρα δὲ, ὡς τὸ χαμαιεῦναι συστέλλει τὴν τῆς παραληγούσης δίφθογγον, ὡς ἐν Ὀδυσσείᾳ, χαμαιευνάδες σύες. ὥστε οὐ μόνον τὸ πάλαι συστέλλει τὴν λήγουσαν, ὡς δῆλον ἐκ τοῦ πρόπαλαι, ἀλλὰ καὶ τὸ χαμαί· τὸ μέντοι χαμαιτυπεῖον, καὶ ἡ χαμαιτύπη, οὐκ ἄδηλον ἀπὸ μέρους, εἴπερ συστέλλουσι τὴν μαι συλλαβήν. ὅρα δὲ, ὅτι χαμαιεῦναι μὲν ἄνθρωποι ἐπαινετοὶ τῆς χαμαιεύνης, ὡς ἐνάρετοι. αἱ δὲ χαμαιευνάδες, οὐ τοιοῦτον. σύες γάρ. ἡ δὲ κωμῳδία τὰ συνήθη παίζουσα, τοὺς χαμαιεύνας χαμαιευνάδας καλεῖ, πρὸς ἀναλογίαν τοῦ ἀρκάδας, καὶ φυγάδας, καὶ τῶν ὁμοίων. καὶ ἀνιπτόποδες, οἱ δι' ἁγνείαν χρείαν μὴ ἔχοντες νίπτεσθαι.

Ἀν' ἶσον, ἀνὰ ὀρθόν.

Ἄνισον, τὸ μὴ ὂν ἴσον. σημαίνει δὲ καὶ εἶδος βοτάνης.

Ἀνισοφυὲς, τὸ ἀνόμοιον.

Ἀνιστάμεναι, ἀντὶ τοῦ αἰχμαλωτιζόμεναι.

Ἀνιστάμενος, ἀναστάς.

Ἀνίσταται, ἀντὶ τοῦ ἐγείρεται.

Ἀνίστησι τίς τινα κείμενον. καὶ ἀνίστησι τὸν ῥαθυμοῦντα, ἤγουν διεγείρει. καὶ ἀνίστησιν ὁ Ὅμηρος τὸν Ἀχιλλέα ἐπὶ τῷ Πατρόκλῳ, ἤγουν λέγει αὐτῷ ὅτι ἀνέστη.

Ἀνίστη, ἀντὶ τοῦ ἐφίστη. καὶ ἀνίστω, ἀντὶ τοῦ ἀνίστασο.

Ἀνίστω Ἀττικοὶ, οὐκ ἀνίστασο.

Ἀνίσχαδον, τὴν ἄσχον, καὶ ἀθήλαστον.

Ἀνίσχει καὶ ἀνεῖται, ἀντὶ τοῦ ἀνανέεται, ἀνέρχεται, ἀνατέλλει.

Ἀνίσχειν, ἐπὶ τῆς ἀνατολῆς λέγεται, ἀμεταβάτως τοῦ Ἡλίου. οἷον, ἀνίσχει ὁ Ἥλιος, καὶ ἡ πηγή. καὶ ἐπὶ ἀναβλαστήσεως τῶν βοτανῶν. οἷον, ἀνίσχει ἡ βοτάνη, ἤγουν ἀναδίδοται. λέγεται δὲ καὶ μεταβατικῶς, ὡς τό, ἡ γῆ ἀνίσχει βοτάνας, ἤγουν ἀναδίδωσι. καὶ ἀπὸ τούτου, καὶ ἐπ' ἄλλων. ἀνέχω δὲ τὰς χεῖρας, ἐπὶ ἀρχῆς. καὶ ἀνέχω, τὸ βαστάζω.

Ἀνίσχεν, ἀνεβόησεν.

Ἀνίσχον τελαμῶνα, τουτέστιν ἀνέχων, ἀνατείνων, καὶ ἀνατέλλων. καὶ ἀνίσχουσα, ἀναδύουσα.

Ἀνισῶσαι, τὸ ἴσους ποιεῖν τοὺς ὕστερον ἐλθόντας.

Ἀνίσω, ἀναδιδόσθω.

Ἀνιχνεύων, ἀναζητῶν τὰ ἴχνη.

* Ἀνιχνεύειν, ἰχνηλατεῖν.

Ἀνίψαλον, ἀβλαβῆ.

Ἀνίψαλον, οὐ βεβλαμμένον. οἱ δὲ, ἡλικίας τάξιν.

Ἀνιῶ, τὸ λυπῶ· ἤγουν τοῦτό ἐστιν, ὃ μάλιστα ἐμήνιασεν.

Ἀνιῶμαι, λυποῦμαι, διὰ ταῦτα, καὶ ἐπὶ τούτοις, καὶ τούτων ἕνεκα.

Ἀνιὼν, καὶ ἐξιὼν, καὶ κατιὼν, καὶ πᾶσαι αἱ ἀπὸ τῶν εἰς μι λεγόμεναι βαρύτονοι μετοχαὶ, λαμβάνονται καὶ ἀντὶ ἐνεστώτων, καὶ ἀντὶ παρῳχημένων. ἀλλὰ καὶ ἐπὶ μελλόντων τάττονται· οἷον, ἐξιὼν καὶ ἀντὶ τοῦ ἐξερχόμενος, καὶ ἀντὶ τοῦ ἐξελθὼν, καὶ ἀντὶ τοῦ ἐξελευσόμενος. ὡσαύτως καὶ τὸ εἰσιὼν, καὶ τὰ τοιούτοις ὅμοια.

Ἀν ἰωχμὸν, κατὰ τὴν δίωξιν, κατὰ τὴν μάχην, ἢ τὴν ταραχήν. παρὰ τὸ διώκω διώξω, δεδίωγμαι, διωγμὸς, καὶ τροπῇ τοῦ γ εἰς χ διωχμός. ἐκ γὰρ τοῦ διώκω γίνεται διωκὴ, καὶ ἀποβολῇ τοῦ δ, ἰωκή. καὶ ἀν ἰωχμὸν, κατὰ τὴν μάχην.

Ἄννα, πόλις τῆς Ἰουδαίας.

Ἀννεμεῖν, ἀναγινώσκειν.

Ἀννησοειδὲς, κόννιον.

Ἀννὶς, ἡ πατρὸς, ἢ μητρὸς μήτηρ.

Ἀννίτης, καὶ ἀννίανος, ἀπὸ τοῦ ἄννια, ἢ ἀπὸ τοῦ ἄννα, ἥτις ἐστὶ πόλις τῆς Ἰουδαίας.

Ἄνιτον, τὸ ἄννισον, διὰ δύο νν, καὶ δύο ττ.

Ἀννωδεῶς, τρυφερῶς.

Ἄννωμα, θρυπτόμενα, Ταραντῖνοι.

Ἀννουμίνος, ἀπογραφὴ ὀνομάτων, παρὰ Ῥωμαίοις. οἱ δὲ, ἀδνούμιόν φασιν.

Ἀν ὄγμους, κατὰ τὰς ἐπὶ στίχον φυτείας, ἢ τὴν σχιζομένην αὔλακα.

Ἀνοδίᾳ, ἐπίρρημα τοπικόν· ὡς τό, Οἱ δὲ πλείους ἀνοδίᾳ καὶ κατὰ τὰς νήσους διεσπάρησαν.

Ἀνόδοντος, ὀδόντας οὐκ ἔχων.

Ἄνοδον, ἀδιέξοδον. Ξενοφῶν, Τῇ μὲν γὰρ ἄνοδον, τῇ δὲ ἄοδον εὑρήσομεν τὸ ὄρος. καὶ ἄνοδον, τὴν ἀνέλευσιν.

Ἄνοδος, ἀνάβασις. ἡ ἐνδεκάτη τοῦ Πυανεψιῶνος, ὅτε αἱ γυναῖκες ἀνέρχονται εἰς Θεσμοφορεῖον, οὕτως ἐκαλεῖτο.

* Ἀνόδους, καὶ νωδὸς, ὁ μὴ ἔχων ὀδόντας.

Ἀνόζεστα, τὰ μὴ ἐξεσμένα.

Ἀνοήμων, ἄνους, ἄφρων.

Ἀνόητα, τὰ ἀφροδίσια, καὶ ἡ λαγνεία, τουτέστι, μωρά. μωραίνειν γὰρ τὸ ἀφροδισιάζειν ἔλεγον. Ἀριστοφάνης, Οἴνου τ' ἀπέχῃ καὶ γυμνασίων, καὶ τῶν ἄλλων ἀνοήτων, τουτέστι. μωρῶν, ἀνοήτων, ἀνεπιστημόνων.

* Ἀνοηταίνειν, ἀπονενοῆσθαι, παρανοεῖν.

Ἀνόθευτον, γνήσιον, ἀπαραποίητον, καθαρόν.

Ἀνόθηρον, νωθρόν.

Ἀνόθως, γνησίως.

Ἄνοια, ἡ παντελὴς ἀφροσύνη. ἄγνοια δὲ, ἡ ἑνὸς πράγματος ἀγνωσία. καὶ ἀγνοῶ λέξιν. μετάνοια δὲ καὶ μετάγνοια, ταυτόν· πλὴν ὅτι τὸ μὲν μετάνοια ἐστὶν ἐν χρήσει παρὰ τοῖς κοινοῖς, τὸ δὲ μετάνοια παρὰ τοῖς ποιηταῖς.

* Ἀνοησία, ἀνοητία, ἄνοια, παράνοια.

Ἀνοίγνυμι κάλλιον, ἢ ἀνοίγω, καὶ διαχωρίζω. καὶ μετ' αἰτιατικῆς, ὡς τό, ἄνοιγε σὸν στόμα.

Ἀνοίγω, παροίγω, ἀνέρχομαι.

Ἀνοιδήσας ἀναφλεγμήνας, ἀναφυσηθείς.

Ἀνοικίζειν, ἐναντίον τοῦ οἰκίζειν. Θουκυδίδης. οἱ μὲν ἀνῴκιζον τότε καθαιροῦντες τὰς πόλεις, καὶ ἐς πόλεμον παρεσκευάζοντο.

Ἀνοίκειος, ἀντὶ τοῦ ἀπρεπής.

Ἀνοικτὲς, ἀταλαιπώρητον.

Ἀνοικτὶ, χωρὶς οἴκτου.

Ἀνοίκτως σκληρῶς, ἀνηλεῶς.

Ἀνοιμώζω, στενάζω, θρηνῶ.

Ἀνοιμωκτὶ, χωρὶς οἰμωγῆς.

Ἀνοῖξαι πύλας, καὶ ἀνεῖναι, καὶ ἀναθεῖναι, καὶ ἀναπετάσαι, κατὰ τὸν ποιητὴν, ταυτόν.

Ἀνοίξαντες, ἀναλαβόντες.

Ἀνοίσει, ἀναφέρει, ἀναβάσει.

Ἄνοισις, ἡ ἀνακόμισις. καὶ ἀνοῖσαι, κομίσαι.

Ἀνοίσω, ἀνενέγκω, ἀναβιβάσω.

Ἀνοιστέον, δεῖ κομίζειν.

Ἄνοιτο, τελοῖτο ἐκ τοῦ ἄνω, ἐξ οὗ τὸ ἀνύω. χρῆσις δὲ ἐκείνου ἐν Ὀδυσσείᾳ· Οἷον, τὰ δὲ πολλὰ κατάνεται. καὶ ἄνυον ὁδόν.

Ἀνοῖτο, ἀνύοιτο, τελειοῖτο.

Ἀνοχηδέα λόγον, τὸν παρὰ τὸ εἰκὸς εἰρημένον.

Ἀνακωχὴ, ἀναχώρησις, ἀνοχή.

Ἀνόλβους, ἀπόρους, ἀνοήτους, κακοδαίμονας.

Ἀνόμαλον, τραχεῖαν· ἀνόμαλον δὲ κατὰ τὸ πλῆθος, ἢ ἔκφυλον.

Ἀνομβρεῖ, ἀναβάλλει.

Ἄνομεν, τορεύσωμεν.

Ἀνομένης, παυομένης, ἀνυομένης.

Ἀνομένῳ, ἀρνουμένῳ.

Ἄνομοι, οἱ παντελῶς ξένοι τῶν θείων νόμων, οἱ ἀποστατήσαντες αὐτῶν.

Ἀνομολογίαι, αἱ διὰ λόγων συγκαταθέσεις.

Ἄνομον καὶ παράνομον, ἡ τῶν ἀνθρωπίνων νόμων παράβασις. ἀθέμιτον δὲ, ἡ τῶν θείων. καὶ ἄνομον, τὸ μὴ ὑποκείμενον νόμῳ. παράνομον, πρὸ τοῦ νόμου.

Ἄνομος γνώμη, ἡ ἔξω μᾶλλον νόμου.

* Ἀνόμοιον, ἀπεοικός.

Ἀνονδόκως, ἄνωθεν.

Ἀνόνητον, ἀνωφελῆ, ἄκερδον.

Ἄνοντος, ἀνύοντος. εὕρηται παρὰ τῷ Ἀριστοφάνει, καὶ ἀντὶ τοῦ ἀνύοντος τὰ πρὸς σωτηρίαν, καὶ εὑρίσκοντος. γίνεται δὲ παρὰ τὸ ἄνω, βαρύτονον· οὗ τὸ τρίτον τοῦ παθητικοῦ ἐνεστῶτος, ἄνεται. ὡς τό, μάλα γὰρ νὺξ ἄνεται.

Ἀνόπαια, εἶδός τινος ὀρνέου λέγουσιν αἰετιδεῦς, φήνῃ ἐοικότος· οἱ δέ φασιν, ὅτι διέπτατο ἀνόπαια, ἤγουν ἀνὰ τὴν ὀπὴν τὴν ἐν μέσῳ τῆς ὀροφῆς, ἣν κάπνην καὶ καπνοδόχην ἐκάλουν. ἢ διὰ τῆς ὀπαίας κεραμίδος. οἱ δὲ τὸ ἀνόπαια λέγουσιν, ἀντὶ τοῦ ἀφανὴς, καὶ πόρρω τῆς ὄψεως. δοκεῖ δέ τισι, καὶ ἀντὶ τοῦ ἀνωφερὴς εἶναι, ὡρμημένοις, ἐκ τῶν Ἐμπεδοκλέους, εἰπόντος ἐπὶ πυρὸς, τὸ καρπαλίμως δ' ἀνόπαιον· ἐξ οὗ δῆλον, ὅτι καὶ οὐδετέρου γένους ἐστὶ τὸ ἀνόπαιον. διὸ Ἡρωδιανὸς τὸ ἀνόπαια, οὐδέτερον οἶδε πληθυντικὸν, καὶ περισπᾷ, ἀντὶ τοῦ ἀοράτως καθάπερ τὸ πυκνὰ, ἀντὶ τοῦ πυκνῶς. Ἄλλως.

Ἀνο-

Ἀνοπαῖα διέπτατο. παρὰ τὴν ὀπήν, ὀπαῖα, καὶ ἐν συνθέσει, ἀνοπαῖα. καὶ ἐνδέχεται τὴν καπνοδόχην εἶναι. Κράτης δέ φησιν, ἀνοπαίαν τὴν τετρημένην κεραμίδα, τὴν ἐπὶ τῆς ὀροφῆς. ἢ πανόπαια γράφεται, καὶ νοεῖται ἡ χελιδών. ἐν δ' Αὐλίδι τῆς Φωκίδος, τὰ περὶ Τηρέως λεγόμενα μυθολογεῖται. καὶ Πανοπεὺς, Φωκικὴ πόλις ἐστίν· ἡ ἀνόπαια, εἶδος ὀρνιθος. ἢ διὰ τῆς ὀπῆς, ἢ ἀοράτως ἀνὰ τὰς ὀπάς.

Ἂν ὄπιν, εἰς πρόσωπον. κατόπιν δὲ, εἰς τοὐπίσω.

Ἄνοπτοι, ἀθέατοι.

Ἀνοργάζειν, ἀνακινεῖν, ἀναλλάσσεσθαι, καὶ τὸ τὰ παιδία ταῖς χερσὶν ἀναβάλλειν.

Ἀνοργίας, ἀμυστηρίας. ὄργια γὰρ τὰ μυστήρια. καὶ ἀνοργιάστοις, τῶν μυστηρίων ἀπείροις. τὰ τῆς Ἀφροδίτης ἀνοργίαστά σοι ἐστὶν, ἀντὶ τοῦ ἀνοργίαστος τῇ Ἀφροδίτῃ.

Ἄνοργοι, ἀντὶ τοῦ ἄνευ ὀργῆς.

Ἀνόρεκτος, ὁ μὴ ὀρεγόμενός τινος, ὁ πρὸς τὰ προσφερόμενα βρώματα ἀηδῶς διακείμενος.

Ἀνόρεος πόλεμος, ἀνδρεῖος, ὁ πρὸς τοὺς ἄνδρας. Σοφοκλῆς Ναυπλίῳ.

Ἄνορ, ὁ νοῦς ὑπὸ Σκυθῶν.

Ἀνόρουσεν, ὥρμησεν. ὀρούω τὸ ὁρμῶ· καὶ ὄρνυμαι, τὸ διεγείρομαι. ὀρίνω δὲ ἕτερον. καὶ ὀρνύω, ὀρύω, ἐνεστώς· ὤρυον παρατατικὸς, ὀρύσω μέλλων, ὤρυσα ἀόριστος, ὄρωρα παρακείμενος· καὶ κατὰ μετάθεσιν ἐστιν ὅτε διὰ μέτρου ἀνάγκην ὤρορα, ἀπὸ τοῦ ὄρομαι. ἀφ' οὗ καὶ τὸ ὄρμενος, ἐπὶ παρακειμένου. ὅτι δὲ ἀπὸ τοῦ παρακειμένου τοῦτο γίνεται, ἀλλ' οὐκ ἀπὸ τοῦ ἐνεστῶτος, δῆλον ἀπὸ τοῦ προστακτικοῦ. ὄρσο γὰρ τὸ προστακτικὸν, ἀπὸ τοῦ ὑπερσυντελίκου. ὃ καὶ πλεονασμῷ τοῦ ε ἐστιν ὅτε ὄρσεο λέγεται. προπαροξύνεται δὲ ὄρμενος, διὰ τὸ ἀναύξητον μεῖναι κατὰ τὴν τῶν Ἰώνων συνήθειαν. ὡς καὶ τὸ βλήμενος, καὶ τὸ φθίμενος ἀπὸ τοῦ ὄρομαι, καὶ τὸ ὤρετο, ἐπὶ τοῦ παρατατικοῦ.

Ἀνορταλίζειν, σκιρτᾶν, παίζειν. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀρχομένων ἀναπτερῦσθαι ἀρνέων, Ἀριστοφάνης.

Ἀνορύττει, φανεροῖ. οἷον, ἀνορύττει τὴν γνῶ.

Ἀνορωρυγμένον λέγουσιν, οὐχὶ ἀνωρυγμένον.

Ἀνοσάμικτον, ὀλιγόρρυτον ὕδωρ.

Ἀνόσιον, βέβηλον, ἀνίερον, ἄθυτον, Αἰλιανός.

Ἀνοσιουργηθέντων, ἀνοσίως πραχθέντων.

* Ἀνοσιουργεῖν, ὀλιγωρεῖν περὶ τὸ θεῖον, ἀσεβεῖν.

Ἄνοσον χωρίον, ἀκήρατον, καθαρὸν, ὑγιεινὸν λέγομεν. ὁμοίως, εὔκρατον, ἀκραιφνὲς, ἀεὶ ὥρας ἔχον, ἄριστα κεκραμμένον, ἀναπνοὰς ἔχον, ἀναπνεόμενον, πνεύματα διαρρέοντα ἔχον, ἀνέμους διαθέοντας, εὔπνουν, ἀνάψυχον, αὔραις διαπνεόμενον, ἔνθερον, ἐλάθερον, εὔσκιον, σκιερὸν, καλλίσκιον, ψυχεινὸν, εὐχείμερον, ἀλεεινὸν, ὑπόθερμον, εὐήλιον, ταῖς ὥραις δίκαιον, καλῶς οὐρανοῦ κείμενον, εὐήκοον ὡρῶν, καλῶς ἔχον πνευμάτων, αἴθριον, ἀνέφελον. εἰς τοὐναντίον, νοσερὸν, νοσῶδες, νοσηρὸν, ἐπίνοσον, ἐπίκηρον, ἐπισφαλὲς, σφαλερὸν, ἐπικίνδυνον, κινδυνῶδες, φθινῶδες, δύσωρον, βαρὺ, ζοφῶδες, σκοτῶδες, δυσφεγγὲς, ἀνήλιον, ἄκρατον, ἄνισον ταῖς ὥραις, χειμέριον, δυσχείμερον, κρυῶδες, κρυμῶδες, παγετῶδες, κάτομβρον, συνέφελον, διάπυρον, ἔμπυρον, πυρῶδες, φλογῶδες, καυματῶδες, ζέον, περιζέον, περιφλέγον, καῖον, ὑπερκαῖον, καταφλὲς, δύσθερον, ὑδατῶδες, χιονῶδες, αὐχμῶδες, αὐχμηρὸν, ἀνήμερον, νοσοποιὸν, φθοροποιὸν, ἔξωρον, λοιμῶδες, κακῶς ἔχον οὐρανοῦ, καὶ τὰ ἄλλα ὁμοίως.

Ἀνόστεος, ὁ θαλάσσιος πολύπους, σκώληξ.

Ἀνόστιμος, παρὰ τὸ νόστος, τοῦτο παρὰ τὸ νέω τὸ πορεύομαι, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀνόστιμος.

Ἄνοστοι, οἱ μὴ ἐπιστρέφοντες ὅθεν ἦλθον.

Ἀνοχλῶ, ἄνανδρον.

Ἀνόστους, ἀνυποστρέπτους. νόστος γὰρ ἡ εἰς τὰ οἰκεῖα ἐπάνοδος.

Ἀνόστεγγτον, ἀθρώητον.

Ἄνου, τὸ ἄνω, Ἴωνες.

Ἀνούλεγοι, ἀνώλεθροι.

Ἄνουροι, ἄβρεκτοι.

Ἄνους, ἀσύνετος.

Ἀνοῦς ἔχων, ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων.

Ἀνούσιον, τὸ ἄκτιστον, καὶ ἀνύπαρκτον. διόλου τῷ ῥήματι λεγόμενον. ἐν οὐσίᾳ δὲ ἢ ὑποστάσει, μὴ γνωριζόμενον: οἷον, ὁ θάνατος, ὁ ἅδης, ἡ νόσος.

Ἀνούστατος, ἄτρωτος, μωρὸς, ἀσύνετος.

Ἀνούτατος λέγεται, ὁ ἔτι μήτε ἀπὸ διαστήματος τρωθεὶς δόρατι, ἢ οἰστῷ, μήτε δὲ ἐκ τοῦ ἐγγὺς ξίφει. τοῦτο γὰρ διαφέρει βολὴ τρώσεως.

Ἀνουτητὶ, ἄνευ τρώσεως.

Ἀνοχίου, ἀνατολικοῦ.

Ἀνοχλίζω, τὸ ἀνέχω, παρὰ τὸ ὄχλος.

Ἀνοχὴ, ὑπομονὴ, ἡ μακροθυμία.

Ἀνοχλίζων, ἀνακινῶν. ἰδίως ἐν τῷ κωπηλατεῖν, καὶ ἀνακόπτειν τὰ κύματα καὶ τὰς δίνας.

Ἀνοψία, σπάνις τῶν ὄψων.

Ἀνοψοφιεῖν, τὸ μὴ βλέπειν.

Ἀνσατὴρ, βουβὼν, Λάκωνες.

Ἀνστερίσασθαι, τὸ μόνον πρὸς τὸ πῦρ στῆναι· Λάκωνες.

Ἀνστὰς, καὶ ἀνστάντες, ἀντὶ τοῦ ἀναστὰς καὶ ἀναστάντες, κατὰ συγκοπήν.

Ἄνστησον, ἀνάστησον.

Ἀνστήτην, ἀνέστησαν, δυϊκῶς.

Ἄνσχετα, ἀνάσχετα, συγκέκοπται. ὡς καὶ ἀμφαδὸν, καὶ ὁ ἄμπαλος, ἤτοι ἀνάπαλος, ἤγουν ὁ ἀναδασμὸς, ὁ ἐκ δευτέρου πάλος, ὅ ἐστι κλῆρος.

Ἄντα Ἤλιδος, τουτέστιν ἀντικρὺ τῆς Ἤλιδος.

Ἄντα Ἀλεξάνδροιο, ἀντὶ τοῦ ἀντία, κατὰ συγκοπήν.

Ἀνταγορίδαι, γένος Ἀθήνησιν.

Ἀνταγορεύουσοι, Ἀριστοφάνης, ἀνταγορεύειν τοῖς ἄρχουσι τοὺς παράλους.

Ἀνταγωνίζομαί σοι, δοτικῇ συντάσσεται.

Ἀνταγωνιστὴς, λέγεται δὲ καὶ ὁ κατὰ τὴν πάλην, καὶ ὁ κατὰ τὸν πόλεμον ἐναντίος, ἤτοι καὶ ἐπὶ τοῦ πολέμου καὶ ἐπὶ τοῦ ἀντιπάλου.

Ἀντᾴδει, δοτικῇ συντάσσεται: ἀντᾴδει δὲ τοῖς ἱεροῖς ἔνδον μέλεσι.

Ἀνταδεῖται, ἐναντιοῦται.

Ἄνται, ἄνεμοι.

Ἀνταία, ἐναντία, ἱκέσιος: Αἰσχύλος Σεμέλῃ. σημαίνει δὲ καὶ δαίμονα. καὶ τὴν Ἑκάτην δὲ ἀνταίαν λέγουσιν, ἀπὸ τοῦ ἐπιπέμπειν αὐτήν. καὶ ἀνταίαν, ἔκτοπον, χαλεπήν. καὶ ἀνταίας, πολεμίας, ἐχθρὰς, Σοφοκλῆς.

Ἀνταίη, ἡ ῥέα οὕτω λέγεται, διότι ἐναντία τοῖς Τελχῖσιν ἐγένετο. ὡς δέ τινες ἀνταίη, ἡ ἀλιτάνευτος καὶ εὐάντητος.

Ἀνταίρω, τὸ ἀνθίσταμαι καὶ ἀντιβαίνω, καὶ φιλονεικῶ, δοτικῇ συντάσσεται. Ἀριστείδης, Εἰ δὲ βούλει, τίς πρῶτος ἀντῆρε τῷ Ἀγαμέμνονι τῶν Τρώων, ἢ τῶν Ἐπικούρων. ἀνταίρειν κυρίως ἐπὶ τῶν ἀντιτασσομένων λέγεται, χερσὶν αἰρομέναις, ἢ ῥάβδοις, ἢ τοιούτοις τισί. καὶ ἀπὸ τούτου καὶ ἐπὶ γνώμης, ἢ τοιούτων τινῶν: οἷον, ἀνταίρει γνώμην, καὶ ἀνταίρει μένος.

Ἀντακὲς, σημεῖον.

Ἀντακταὶς, σήμερον.

Ἀνταλλαγῆναι, ἀναπαύσασθαι.

Ἀντάλλαγμα, ἀνθόμοιον. καὶ ἀντάλλαγμα, οἱ κατὰ σάρκα πρόγονοι τοῦ Χριστοῦ, οὓς ἴχνη καὶ ἀντάλλαγμα ἐκάλεσαν οἱ ἑβδομήκοντα ἑρμηνευταί.

Ἀντάλλαγον καλοῦσι, τὸν ἀντὶ ἄλλου ἠλλαγμένον οὐχὶ ἀντάλλον, Μένανδρος.

Ἀνταλλάττειν, τὸ ἄλλο ἀντ' ἄλλου εἰσφέρειν.

Ἀνταλλὲς, ταύτης τῆς ἡμέρας.

Ἀντ' ἄλλης ἀρχῆς ἐστι τοῦτο δρᾶν, τουτέστιν ἀντὶ τοῦ ἄρχειν τὸ καινοτομεῖν, τῶν δὲ ἀρχαίων ἀμελεῖν.

Ἀντάμοιψις, ἀνταπόδοσις.

Ἀνταμιλλᾶσθαι, ἀντερίζειν.

Ἀντᾶν, ἀντιάζειν, ἱκετεύειν.

Ἀνταναγνῶναι, ἀντιβάλλειν βιβλίον.

Ἀνταναιρεθῇ, ἀνταναφανισθῇ.

Ἀνταναιρεῖται, ἀφαιρεῖται.

Ἀντανάκλασις, ἡ ἀπό τινος ἐπί τι κίνησις, καὶ ἐξ ἐκείνου πάλιν, ἐξ οὗ προῆλθεν, ὑποστροφή: ὡς ἐπὶ τῆς σφαίρας. ἡ ἀντανάκλασις, ἡ κατὰ ἀνάκλασιν ἀπό τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ὅταν ἀντηχῇ. καὶ ἐπὶ φωτὸς ἡλιακοῦ, ὅταν λείῳ τινὶ, ἢ λαμπροτάτῳ ὕδατι προσπέσῃ.

Ἀντανακλωμένη, κατ' ἀνάκλασιν διά τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ἣν καλοῦσιν ἠχώ. καὶ ἐπὶ φωτός. ἡ ἀντιπίπτουσα.

Ἀντανελέσθαι, ἀντιλαβεῖν χείρονα.

Ἀνταφελὼν, ἐκκόπτων, ἀφελών.

Ἀντανέψιοι, καὶ ἀνέψιοι, οἱ ἀδελφῶν παῖδες.

Ἀντανίσχει, ἀνατέλλει.

Ἀντανίσχομεν, προβαλλόμεθα. καὶ ἀντανίσχον, ἀντὶ τοῦ παρετάσσοντο.

Ἀνταίρτην, ἐπίβουλον, ἀντίδικον.

Ἄνταξ, ἐν μέρει.

Ἀντάξιον, ἴσον κατὰ τὴν ἀξίαν.

Ἄντα παρειάων σχομένη κρήδεμνα, τουτέστι κρηδέμνῳ καλυπτομένη τὰς παρειὰς, ταυτὸν ἐστι τῷ παρακαλυψαμένη ὑπὸ αἰδοῦς. Ἰστέον ὅτι ὁ σχόμενος ἐν χρήσει ἐστὶ, καὶ ὁ μέσος ἀόριστος ὁ ἐσχόμην. ἐξ οὗ καὶ τὸ σχέσθαι, καὶ ἀνασχέσθαι. αὐτῶν δὲ προϋπάρχει τὸ σχεῖν· ᾧ πολλαὶ προθέσεις κολλώμεναι, ἀποτελοῦσι διάφορα σημαινόμενα, χρηστὰ τοῖς ῥητορεύουσιν.

Ἀνταπαιτῆσαι, κἀπαιτῆσαι, Θουκυδίδης ἐν τῇ τρίτῃ καὶ τετάρτῃ. ἀνταποδοῦναι δὲ καὶ ἀνταπολαμβάνειν, Δημοσθένης, ἐν τῷ κατὰ Λεπτίνου.

Ἀνταποπαρδεῖν, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ κτυπῆσαι, καὶ ἀντηχῆσαι κατὰ τὴν βροντὴν, ἔπαιξεν ὁμοιῶν αὐτῇ τὸν τῆς πορδῆς ἦχον.

Ἀντάποτος, συνδεδεμένος.

Ἄνταρ, ἀετὸς, ὑπὸ Τυρρηνῶν. Εὐφορίων δὲ, δίασμα.

Ἀνταίρεια, ἡ ἐξ ἐναντίας ἄρσις.

Ἀνταίρτης, τύραννος, ἀντιβαίνων βασιλεῖ.

Ἀντὰς, πνοάς.

Ἀντᾶσθαι, συναντᾶν.

Ἀνταίρης, νυκτερὶς ὄψεσι, φησὶ Σοφοκλῆς.

Ἄντα σταίης, Ὅμηρος, Εἰ κέ μευ ἄντα σταίης, ἀντὶ τοῦ εἴπερ ἀντισταίης μοι. τὸ δὲ μὴ δ' ἀντίος ἱστὰς ἐμεῖο, καινότερον ἐσχημάτισται· ὡς ἀπὸ ἄλλης ἀρχῆς ὤν. τὸ ὀρθὸν μὴ δ' ἀντίον ἵστασθαι ἐμοῦ. Ἰστέον δὲ, ὅτι τὸ ἀντίον ἵστασθαι, ἄντα στῆναι ἔπι τῆς ποιήσεως λέγει. ἀλλαχοῦ δὲ ἀντίον ἐλθεῖν· οἷς ἐναντίον ἐστὶ τὸ ἀναχωρῆσαι.

Ἄντα τιτυσκόμενος, ἐξ ἐναντίας τιτρωσκόμενος.

Ἀνταυγεῖς κόρας στρέψον, ἀντὶ τοῦ τὰς κόρας σου ἀντιπροσώπως μοι στρέψον.

Ἀνταφωνεῖς πολλὰ, ἤγουν ἀντιλέγεις.

Ἀντεβόλησα, ἀπήντησα.

Ἀντεγράψατο, ἀντεδικάσατο.

Ἀντεδύσατο, ἀνέδυ, ἀνέβη.

Ἄντεια, παρ' Ὁμήρῳ ἡ αὐτὴ Ἄλλοι Σθενέβοιαν καλοῦσιν, ὡς Εὐριπίδης, καθάπερ μέμνηται καὶ ὁ Κωμικός.

Ἄντεινον, ἀντὶ τοῦ ἀνάτεινον λέγουσι Δωριεῖς. συγκόπτουσι γὰρ τὴν ἀνὰ, ὡς ἂν τὴν ἀγοράν, ἀντὶ τοῦ ἀνὰ τὴν ἀγοράν.

Ἀντείρχει, ἀντὶ τοῦ ἀντεῖχε.

Ἀντείχοντο, κατέχον.

Ἀντεκκομιεῖ, ἐντεύξει.

Ἀντεκκομίσει, ἀντεκφέρει.

Ἀντεκπονησόμεθα, ἀντιπενέγκωμεν.

Ἀντέκτασις, ἀνταπόδοσις, καὶ ἀντέκτισις.

Ἀντεκτείνειν, ἀνταποδιδόναι.

Ἀντεμηνίσιν, ἀντωργίσθη.

Ἀντεμβριάζει, ἀντεξετάζει.

Ἀντεμμάσασθαι, ἀνταποδοῦναι, ἐπιπλῆξαι. Εὐριπίδης Πολιᾶσιν.

Ἀντεμπλήσαντες, ἀνταποδόντες· Ξενοφῶν.

Ἀντεμφανίζων, ἀντιδεικνύς.

Ἀντεναντίωσίς ἐστιν, ὅταν εἰπεῖν τι βουλόμενοι, διὰ τοῦ ἐναντίου δηλώσωμεν. οἷον, ἴσως οὐ τῶν

πολ-

Digitized by Google

πολλῶν ἐγενόμην φαυλότερος.

Α᾿ντεξάγειν, ἀντιπαρατάττεσθαι, ἀντεπιέναι.

Α᾿ντεξάγοντες, ἀντεκφέροντες.

Α᾿ντεξάγω, ἀντεισφέρω, ἀντεισάγω.

Α᾿ντεξετάζω, ἀντερωτῶ.

Α᾿ντεπίῃ, ἀντεπήρχετο.

Α᾿ντέπιπτεν, ἐναντιοῦτο.

Α᾿ντεπίῤῥημα, ὅμοιόν ἐστι τῷ ἐπιῤῥήματι. ζήτει εἰς τὸ ἐπίῤῥημα.

Α᾿ντεπιτίθησιν, ἀντὶ τοῦ ἀντεπιστέλλει. οὕτως Ἴσαῖος.

Α᾿ντεπιχειρεῖν, πρὸς τὰ λεγόμενα φέρειν ἐνστασιν.

Α᾿ντεραστὴς, ὁ ἀντερῶν.

* Α᾿ντέρως, ἀντερώμενος.

Α᾿ντερεῖ, ἀντιλέξει.

Α᾿ντερέτης, ὁ ἀντικαθήμενος. καὶ ἀντηρετεῖν, τὸ ἐπὶ ταυτοῦ ζυγοῦ καθεζόμενος ἐρέσσειν.

Α᾿ντερήσεις, ἀντείπεις, ἀντιζηλώσεις.

Α᾿ντεροῦσιν, ἀντιλέγουσιν.

Α᾿ντερώμενος, ἀντεπιθυμημένος.

Α᾿ντεσθαι, ποτὲ μὲν λιτανεύειν, ποτὲ δὲ ἐξεναντίας παραγίνεσθαι, ἢ παραγίνεσθαι πρὸς λιτανείαν.

Α᾿ντέσο, ἀντὶ σοῦ ἄντικρυς ἐλθέ.

Α᾿ντέσχεν, γενναίως ἔφερεν, ὑπέμεινεν.

Α᾿ντεταιῶς, ἀναγεγραμμένως.

Α᾿ντετόρησε, διεπερόνησε, διέτρησε, διέπειρησεν.

Α᾿ντετὴς, τοῦ αὐτοῦ ἔτους, Λάκωνες.

Α᾿ντευφρασμα, τὸ ἐναντίον τῇ εὐφροσύνῃ ἀγαθόν.

Α᾿ντεφέροντο, ἠναντιοῦντο, ἀντέπραττον.

Α᾿ντεφιλοτιμοῦντο, ἀντὶ τοῦ ἡμιλλῶντο, καὶ ἤριζον, καὶ ἀνταγωνίζοντο.

Α᾿ντεφοδεύων. καὶ ἀντεφώδευκα, ἀντὶ τοῦ ἀντεπέστρεφον.

Α᾿ντέχει, ἀντὶ τοῦ ἐξαρκεῖ. Δείναρχος, ἀντὶ τοῦ σώζεται. Δημοσθένης, καὶ Ὑπερίδης, ἀντὶ τοῦ ἀντιλαμβάνεται, ἢ ἀντὶ τοῦ ὑπομενετικῶς ἔχει.

Α᾿ντέχειν, τὸ ἀντιτείνειν καὶ ἀντιβαίνειν, καὶ ἀντικρούειν, καὶ ἀποδυσπετεῖν. ὡς καὶ Δημοσθένης, εἰ μὲν γὰρ ἀντέχει τὰ τῶν Ὀλυνθίων, ἀντὶ τοῦ ἀνθίσταται, καὶ ἀντιτείνει.

Α᾿ντεχειροτόνησεν, ἀντέλεγεν. ὡς τὸ, εἰ δὲ κἀκεῖνα προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἄν.

Α᾿ντέχω σοι, ἤγουν ἐναντιοῦμαι. ἀντέχομαι δέ σου, ἤγουν ἀντιλαμβάνομαι. ἀντεῖχε τοῖς δεινοῖς, καὶ οὕτως ἀντεῖχε πρὸς τὰ δεινὰ, ἤγουν ἐναντίως διέκειτο.

Α᾿ντήδην, ἱκετευτικῶς.

Α᾿ντήλιοι θεοὶ, οἱ πρὸ τῶν πυλῶν ἱδρυμένοι. Εὐριπίδης μελεάγρῳ.

Α᾿ντήλιος, ὁ ἴσος καὶ ὅμοιος Ἡλίῳ φαινόμενος· καταχρηστικῶς δὲ, ὁ ἀντικρὺ ἡλίου ἱδρυμένος βωμὸς, ἢ Θεός.

Α᾿ντήμειψαν, ἤγουν κατήλλαξαν, παρὰ τῷ Ἀπολλωνίῳ.

Α᾿ντην, ἐν ἄλλοις μὲν τὸ ἀντικρὺ, ἐνταῦθα. παρ' Ὁμήρῳ δὲ ἐν Ὀδυσσείας φ, τὸ ἄντικρυς, ἤτοι φανερῶς. ὃ καὶ αὐτὸ, ἀντικρὺ λέγεται παρὰ τῷ Ποιητῇ· οἷον, ἀντικρὺ δ' ἀπόφημι· τὸ γὰρ ἄντικρυς, τῶν ὑστέρων ἐστίν. καὶ ἄντην εἰσιδεῖν, τὸ ἀντωπῆσαι παρὰ τοῖς ὕστερον λέγεται.

Α᾿ντῆνες, τὰς τῆς δάφνης ὄρπηκας, τὰς πρὸ τῶν θυρῶν ἱσταμένους.

Α᾿ντήιον δῶρον, ἱκέσιον.

Α᾿ντήρεις, ἀντιθέτους, ἀντικτυπούσας. Σοφοκλῆς Ἠλέκτρᾳ, Πολλὰς δ' ἀντήρεις ᾔσθου στέρνων πληγὰς αἱμασσομένων· εἴρηται δὲ ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσι, καὶ μὴ εἰς θάτερον περιωθῆται ἡ ναῦς.

Α᾿ντήρεις ἀνθηρμοσμένους, ἄχρηστον ἐν τῇ ἀληθείᾳ, αἱ δὲ ἄλλαι πτώσεις, κατὰ τὸ ἀντήρεις κλινόμεναι, εὔχρηστοι.

Α᾿ντηρις δὲ σημαίνει τὴν θυρίδα, καὶ κλίνεται ἀντήριδος.

Α᾿ντήρειον, ἴσον, ἀπὸ τῶν ἐξίσου ἐρεσσόντων, ἤγουν κωπηλατούντων.

Α᾿ντήριδες, τὰ ἀντερείδοντα ξύλα, ἢ λίθινα κατασκευάσματα.

Α᾿ντήριος, στήμων, καὶ ὁ κανὼν ὁ προσκείμενος τῇ θύρᾳ, ὃν ἔνιοι καλυπτῆρά φασιν.

Α᾿ντῆσαι, κατὰ γενικῆς σύνταξιν, ἐστὶ τὸ ἄντην γενέσθαι· ὅπερ ὅμοιον τῷ, ἤντησας ἐπωπῆς ἐν Ὀδυσσείᾳ. οὐ πάνυ δὲ συνήθης, οὐδὲ κοινὴ τοῦ ἀντᾶν αὕτη σύνταξις ἡ μετὰ γενικῆς, ἱστοριογράφοις.

Α᾿ντήσειε μάχης, εἴρηται συνήθως, ἀντὶ τοῦ ἐπὶ τύχῃ ἄντην γένηται· κυριώτερον δὲ εἰπεῖν, ἀντίον ἔλθοι.

Α᾿ντήσεις, ἱκεσίαι, λιτανεῖαι, ἱκετεῖαι.

Α᾿ντήσωμεν πάντων μνηστήρων· ὅ ἐστιν ἄντην ἔλθωμεν.

Α᾿ντὶ πρόθεσις, ἀεὶ γενικῇ συντάσσεται· οἷον, ἀντὶ πολλῶν, ἀνθ' ἑνός. σημαίνει τρία· κυρίως τὴν πρόθεσιν, ὡς καὶ ἡμεῖς· οἷον, Τρώων ἀνθ' ἑκατόν τε διηκοσίων τε ἕκαστος. τίθεται δὲ καὶ ἀντὶ τοῦ ἴσος· ὡς τὸ, ἀντίος εἰμ' ἱκέταο, ἀντὶ τοῦ ἴσος ἱκέτου. καὶ τὸ ἐναντίον, ὡς τὸ ἀντίθεον Κύκλωπα, τὸν ἐναντιούμενον τοῖς θεοῖς. ἀντίθεος δὲ Ὀδυσσεὺς, ἀντὶ τοῦ ἰσόθεος.

Α᾿ντιάειν, μεταλαβεῖν.

Α᾿ντία μάχεσθαι, διάλυσίς ἐστι τοῦ ἀντιμάχεσθαι. ὥσπερ καὶ τὸ ἀντίβιον πολεμίζειν.

Α᾿ντία πλέκειν, ἀντιμηχανᾶσθαι.

Α᾿ντιάζει, ἀπαντᾷ, συναπαντᾷ, μηχανᾶται. Ἴωνες ἀντὶ τοῦ πολεμεῖ καὶ ἀντὶ τοῦ ἱκετεύει. ὡς τὸ, ἀντιάζω σὲ πρὸς ἐφεστίου Διός.

Α᾿ντίαιον, τὸ ἐναντίον ἀλλήλων.

Α᾿ντιᾶν δοτικῇ συνταχθὲν, ἐναντίωσιν δηλοῖ. τὸ μέντοι ἀντιόων ἑκατόμβης, καὶ τὸ ἐμὸν λέχος ἀντιόωσαν, οὐχ ὁμοίως συντέτακται. καὶ ἀντιόωσαν εὕρομεν, ἤγουν δεομένην.

Α᾿ντιάνειραι, ἐπίθετον Ἀμαζόνων. ὁ μὲν Ἀρίσταρχος, τὰς ἴσας ἀνδράσιν, ἔνιοι δὲ τὰς ἐναντιουμένας τοῖς ἀνδράσι τῇ οἰκείᾳ δυνάμει. ἐξ οὗ τὸ πολεμικάς. καὶ ὡς εἰπεῖν δηϊανείρας, τὰς ἐξισουμένας ἀνδράσι τὰ εἰς τὸν πόλεμον.

Α᾿ντιάουσαν, ὑποστρωννύουσαν.

Α᾿ντιάσωμεν σέθεν, ταυτόν ἐστι τῷ ἀντιάσωμεν, καὶ ἀντίοι ἔλθωμεν.

Α᾿ντιάσας μεταλαβὼν, ἢ συντυχήσας, ἢ ἵλεως γενόμενος.

Α᾿ντιάσας παρ' Ὁμήρῳ, συναντήσας, καὶ μεταχών.

Α᾿ντιάσειεν, ἐπιτύχοιεν, ἢ ἐπιτύχοι.

Α᾿ντίασεν, ἱκέτευσεν, ἀπήντησε. καὶ ἀντιᾶσαι, συναντῆσαι, καὶ ἐλθεῖν, μετασχεῖν. παρ' Ὁμήρῳ τὸ ἐπιτυχεῖν, καὶ ἰάσεως συντυχεῖν, καὶ παραγενέσθαι.

Α᾿ντιάτης, ὁ ἀπὸ Ἀντίου πόλεως, ἥτις ἀπέχει Ῥώμης τριακοσίους σταδίους.

Α᾿ντιβαίνει, τὸ ἀντιτείνει, καὶ ἀντερείδει. Λιβάνιος, ὁ δὲ κατὰ τὴν ὁδὸν πᾶσαν ἀντέβαινε καὶ ἀντέσπα.

Α᾿ντιβάλανος, ἡ κικίς.

Α᾿ντιβάλλειν, τὸ ἀντιτιθέναι. οἷον λόγους, ἢ τί τοιοῦτον. σύστοιχον δὲ τούτῳ, καὶ τὸ ἀντιβολεῖν. καὶ ἀντιβολία, ἡ δέησις.

Α᾿ντιβάλμους, ἀντιστρόφους.

Α᾿ντιβαρνικὴ, ἡ κασσία.

Α᾿ντίβιον μαχόμενοι, ἐξεναντίας πολεμοῦντες, ἐπίῤῥημα τοπικόν.

Α᾿ντίβιος, ἐναντίος, τὸ ἀντὶ προθέσεως τὴν ἐναντίαν σχέσιν δηλούσης, ἤγουν ὁ ἐναντιούμενος τῇ βίᾳ, ὅ ἐστι τῇ δυνάμει. καὶ ἀντιβίοισι, τοῖς ἐναντίοις καὶ στασιαστικοῖς.

Α᾿ντιβλέψας αὐτοῖς, καὶ αὐτούς. οἷον, μηδέποτε μὴ δὲ τοὺς πολεμίους ἀντιβλέψας.

* Α᾿ντιβλέπειν τῷ Ἡλίῳ, ἀντωπεῖν. δυσωπεῖσθαι δὲ, τὸ ὑποπτεύειν.

Α᾿ντιβληθέντας, ἀντὶ τοῦ ὑπαγορευθέντας.

Α᾿ντίβοιον, ἰσόβοιον, ἀντιβοὸς καθαγιαζόμενον, Σοφοκλῆς.

Α᾿ντιβολεῖ, ἀεὶ παρ' Ὁμήρῳ τὸ συναντᾶν, καὶ ὡς εἰπεῖν ἄντην βάλλειν καὶ ἐπιτυγχάνειν δηλοῖ. παρὰ δὲ τοῖς νεωτέροις, καὶ τὸ παρακαλεῖν. παρὰ τὸ ἄντην ποδῶν βάλλεσθαι, ἤτοι ῥίπτεσθαι τοὺς ἱκετεύοντας. διφορεῖται δὲ κατὰ τάξιν ἡ λέξις μάχης.

Α᾿ντιβολῆσαι, ἀντὶ τοῦ τυχεῖν, καὶ ἄντην γενέσθαι, ἀλλαχοῦ δὲ, ἐπίῤῥημοι ἀντιβόλησαν ἑκατόσι φησὶν, ἀντὶ τοῦ συνήντησαν. τὸ μέντοι κοινότερον ἀντιβολεῖν, αἰτιατικὴν φιλεῖ· ἀντιβολῶ σε γὰρ φαμέν.

Α᾿ντιβολὴρ, στρωτὴρ μικρὸς, Λάκωνες.

Α᾿ντιβολῆσαι, σημαίνει τὸ συναντῆσαι, τὸ μετασχεῖν, τὸ ἀπαντῆσαι, καὶ ἄντην τὰς ὄψεις βαλεῖν. παρὰ μέντοι τοῖς μεθ' Ὅμηρον, ἱκέσιος ἡ λέξις, καὶ σημαίνει τὸ ἄντην καὶ πρὸ ποδῶν τινος ῥίπτεσθαι. καὶ ἀντιβολῆσαι, ἐπιτυχεῖν, ἐν Ὀδυσσείας φ. ἐν ἄλλοις τὸ συναντῆσαι, παρὰ δὲ τοῖς ὕστερον, καὶ τὸ ἱκετεῦσαι. σημαίνει καὶ τὸ δυσωπῶ.

Α᾿ντιβόλησις, καὶ ἀντιβολία, παράκλησις, ἱκετεία.

Α᾿ντιβολῶ, παρακαλῶ, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, στῆθ' ἀντιβολῶ σε. καὶ ἀντιβολῶ σε, φράσον μοι τίνες εἰσίν. Ἀττικῶς, ὡς τὸ, ὁ δὲ λίαν τὸν ἐπίσκοπον ἠντιβόλει. καὶ ἀντιβολῆσαι, ἀπαντῆσαι, μετασχεῖν, ἀπὸ τοῦ μολῶ μολήσω, μετὰ τῆς ἀντὶ προθέσεως, καὶ τροπῇ τοῦ μ εἰς β ἀντιβολήσω. σημαίνει δὲ καὶ τὸ συνέτυχε, καὶ ἱκετεύει.

Α᾿ντιγενίδας, αὐλητής. υἱὸς οὗτος ἦν Διονυσίου, ἐνδοξότατος αὐλητής.

Α᾿ντιγόνιον, βοτάνη καὶ ἄνθος.

Α᾿ντιγόνιος, βῶλός τις, οὕτως ἐκαλεῖτο.

Α᾿ντίγονον, ἀκακία.

Α᾿ντιγραφὴ, ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων διαδικασίαις ἀντιγραφὴ καλεῖται, ὅταν τις ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον κατὰ γένους δόσιν. κοινῶς δ' ἐν ταῖς δίκαις τὸν δημοσίαις, τὰ τῶν δικαζομένων γράμματα, ἃ ἐδίδοσαν περὶ τοῦ πράγματος. καὶ τὰ τοῦ διώκοντος, καὶ τὰ τοῦ φεύγοντος.

Α᾿ντιγραφὴ, καὶ τὰ μαρτύρια. Δημοσθένης ἐν τῷ περὶ Στεφάνου, καὶ Ὑπερίδης. Πλάτων δὲ ἐν τῇ Σωκράτους ἀπολογίᾳ, τὸ αὐτὸ καλεῖ ἀντωνομασίαν, καὶ ἀντιγραφήν.

Α᾿ντιγραφεὺς, ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι αὐτά. διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὁ δὲ τῆς βουλῆς.

Α᾿ντιδιαιρεῖται, ἀντιμερίζεται.

Α᾿ντιδιαστέλλεται, ἀντιδιΐστησιν, ἢ χωρίζεται, καὶ ἀντιβάλλει.

Α᾿ντιδικεῖν, τὸ ἐν δίκῃ ἀντιβαίνειν.

Α᾿ντίδικός μοι κατέστης, καὶ ἀντίδικος πρὸς ἐμὲ καθέστηκας.

Α᾿ντίδικος παρὰ τῇ θείᾳ γραφῇ, ὁ διάβολος, καὶ ἡ συνείδησις ἡμῶν, ἡ ἀντικειμένη τῷ κακῷ ἡμῶν θελήματι. κατὰ γὰρ τὸν Ἀπόστολον, ἐὰν ἡ συνείδησις ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν θεόν.

Α᾿ντιδικῶν, κατηγορῶν, καὶ ἐναντιούμενος. Ἀριστοφάνης, ὅπως ἀποτρέψαις ἂν ἀντιδικῶν δίκην, μέλλων ὀφλήσειν. ἔθος τοῖς γραψαμένοις καὶ μὴ ἀποδείξασιν ἐπεβάλλετο χρηματικὴ ζημία· καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν ὑπερήμερος γενόμενος, ἐξέτισε τετραπλῆ. οἱ δὲ μὴ ἔχοντες τῖσαι, καθείργνυντο εἰς τὸ δικαστήριον· πολλοὶ δὲ τοῦτο πεπόνθασιν.

Α᾿ντίδοξος, ἐναντίος κατὰ τὴν δόξαν.

Α᾿ντίδορον διὰ τοῦ ο μικροῦ, τὸ τοῦ δέρματος δέρμα· ὡς ἐν ἐπιγράμματι, καὶ κάρυον χλωρῆς, ἀντίδορον λεπίδος. διὰ δὲ τοῦ ω μεγάλου, ὃ δίδοται ἐν ταῖς ἁγίαις τοῦ θεοῦ Ἐκκλησίαις.

Α᾿ντίδοσις, ἡ μετάληψις.

Α᾿ντίζηλον, στρογγύλον, ἀστραγαλῶδες, ἐν κύκλῳ.

Α᾿ντίζυγα, ἰσόζυγα.

Α᾿ντίθεον, καὶ ἀμύμονα, καὶ κρατερὸν λέγει Ὅμηρος τὸν Πάνδαρον, ἐξ ὧν εἶχε καλῶν.

Α᾿ντιθεόντων, ὑπαντώντων.

Α᾿ντίθεσις, σχῆμα λέξεώς ἐστι, καθ' ἣν ἀντιτιθέασιν ἀλλήλοις τὰ ἐναντία, ἢ κατὰ μέρος, ἢ ἀθρόως. οὕτως Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ.

Α᾿ντίθεσις, ἀντιλογία, ἐρώτησις.

Α᾿ντίθετα, ἐναντία.

Ἀντίθρονος, ὁ ἀντικαθήμενος· καὶ ἀντικαθήμενος, ὁ ἀντίθρονος, καὶ ἀντιποιμαίνων.

Ἀντίθυρον κλισίης, ὅπερ ἐστὶν ἀντικρὺ τῆς θύρας.

Ἀντικαθεστώσας, ἀντικειμένας.

Ἀντίκαινον, ἰσόκαινον.

Ἀντικατηγορεῖσθαι, τὸ ἴδιον κατηγορεῖται τοῦ πράγματος, ὃ καὶ μόνῳ ὑπάρχει, καὶ ἀεὶ, ὡς τοῦ ἀνθρώπου τὸ γελαστικόν. καὶ τοῦτο ἐστὶν ἀντικατηγορεῖσθαι, τὸ μόνῳ καὶ παντὶ ὑπάρχειν.

Ἀντικάθηται, ἐναντιοῦται.

Ἀντικατέστησαν, ἠναντιώθησαν.

Ἀντικαθίσταται, ἀντὶ τοῦ ἐναντιοῦται.

Ἀντικαταλλαττόμενος, οὐ μόνον ὅταν σπένδηταί τις, ἢ εἰς φιλίαν ἔρχεται, πρὸς ὃν γέγονεν αὐτῷ διαφορά· οὕτω καταλλαττόμενος, ἐχρήσαντο οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀμείβοντος χρυσίον ἐν τῷ δήμῳ, πολλάκις Δημοσθένης.

Ἀντίκαρα, τόπος ὁ μετὰ τὴν κλεῖδα.

Ἀντικασίγνητος, ἴσος τῷ ἀδελφῷ.

Ἀντικαταλαβεῖν, τὸ ἀντιλαχεῖν δίκην.

Ἀντικάρτερα, ἀντίχυρα, Λάκωνες.

* Ἀντικάρδιον, τὸ ὑπὸ τὸ στέρνον ἔγκοιλον, ὃ καλοῦσι σφαγήν.

Ἀντίκειται, τὸ ἐναντίως ἔχειν τι πρὸς τὸ ἕτερον· οἷον, τὸ πῦρ τῷ ὕδατι. καὶ τὸ ἁπλῶς, ἀντιπρόσωπον κεῖται· οἷον κάτοπτρον, τῷ προσώπῳ ἀντίκειται. καὶ ἀντίκειται πόρναις, κύβοις, συμποσίοις, ἀντὶ τοῦ πορνεύει, κυβεύει, συμποσιάζει.

Ἀντικένσωρ, ὁ τοὺς νόμους μεμαθηκώς.

Ἀντίκλειαν εἶναι τὴν Ὀδυσσέως μητέρα, Σηλεῦκος ὁ Χῖός φησιν, καὶ ἐγκύμονα διοδεύουσαν Νήριτον τὸ τῆς Ἰθάκης ὄρος, ὕσαντος πολλοῦ τινος, ὑπ' ἀγωνίας καὶ φόβου καταπεσοῦσαν τεκεῖν Ὀδυσσέα, ὅθεν καὶ Ὀδυσσεὺς ἐκλήθη.

* Ἀντίκλειδες, στρόφιγγες, κορῶναι, κόρακες, κλειδες, βάλανοι, ὀχεῖς.

Ἀντικνημώσιος, τῆς διὰ τοῦ κοντοῦ ἀντερείσιος· ὅπερ καὶ σκίμπτων καλεῖται παρὰ τῷ Ἱπποκράτει.

* Ἀντικνήμιον, τῆς κνήμης τὸ ἔμπροσθεν. τὸ δὲ ὄπισθεν εἰς μῦν ἐπηρμένον, γαστροκνήμιον.

Ἀντίκρουσις, ἀπόκρουσις· οὕτως Ἀναξίλας.

Ἀντικρὺ, τὸ φανερῶς καὶ ὡς ἄντις ἐρεῖ, ἐξ ἐναντίας, καὶ κατὰ ἀντίκρουσιν. τὸ μέν τοι ἄντικρυς, τῶν μεθ' Ὅμηρόν ἐστι, καὶ ἑτεροίαν σημασίαν ἔχει. ἡ ἀντικρὺ κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ διόλου, καὶ ὡς εἰπεῖν διαμπερές. ἐμφαίνει δὲ ἡ λέξις ἀντέρεισίν τινα τῶν ἔνδον, ὡς ἀντικρουόντων, καὶ οὕτω βλαπτόντων τὸ πληγέν. δοκεῖ γὰρ ἐκ τοῦ ἀντικρούειν τὸ ἀντικρὺ γίνεσθαι, καὶ δηλοῖ πληγὴν ἀντέρεισιν.

Ἄντικρυς καὶ ἀντικρὺ, διαφέρει. ἄντικρυς μὲν γὰρ λέγεται, ἀντὶ τοῦ φανερῶς, ἀντικρὺ δὲ περισπωμένως χωρὶς τοῦ σ, λαμβάνεται ἀντὶ τοῦ ἐξεναντίας, καὶ ἀντιπρόσωπον· οἷον, ἀντικρὺ κάθηται. ἄλλως.

Ἀντικρὺ κατὰ τοὺς παλαιοὺς γίνεται παρὰ τὴν ἀντὶ πρόθεσιν, καὶ τὸ κάρα, ἵνα ᾖ κυρίως ἀντικαρὺ, καὶ ἐν συγκοπῇ ἀντικρὺ, τὸ κατέναντι. οὐ πρὸς ὁμοιότητα ἐρρέθη τὸ ἀντιπρόσωπον. οὔσης δὲ ἀναλογίας, ὡς οὕτως οὕτω, μέχρις μέχρι, αὖθις αὖθι· οὕτω καὶ ἀντικρὺς, ἀντικρύ. ὅμως ὀξυτονήθη τοῦτο ἀναλόγως, καὶ τὸ μεσηγὺ, καὶ μεταξύ. καὶ ἅμα, διότι μὴ κατὰ τὸ οὕτως οὕτω, μέχρις μέχρι, ἐφύλαξε καὶ τὸ ἀντικρὺ τὴν αὐτὴν σημασίαν τῷ ἄντικρυς.

Ἀντικυρίας σοι δεῖ, ἀντὶ τοῦ ἐξουσίας.

Ἀντικύρικον, ὁ ἐλλέβορος.

Ἀντικύων, ἡ ἀλώπηξ.

Ἀντιλαμβάνω μὲν Ἀττικῶς οὐχ εὕρηται, παθητικῶς δὲ ἀντιλαμβάνομαι, ἀντὶ τοῦ προφέρω, καὶ ἀντὶ τοῦ ἐπικουρῶ καὶ ὑπερμαχῶ, γενικῇ συντάσσεται· ὡς παρὰ Δημοσθένει, Καὶ ἕως ἐστὶ καιρὸς, ἀντιλαμβάνεσθε τῶν πραγμάτων.

Ἀντιλαοὶ, τὰ τῶν ἄρτων κλάσματα.

Ἀντιλαβαὶ, λογικαὶ ῥύσεις, ἐξ ἡμιστίχων λεγόμεναι κατὰ μικρὸν παρὰ Τραγικοῖς.

Ἀντιλαχεῖν, τὸ δίκην ἐπιδιαλείποντα λαχόντα, ἐρήμην ὀφλεῖν, καὶ πάλιν περὶ τὰ αὐτὰ δικάζεσθαι.

Ἀντιλαβεὺς, ὁ πόρπαξ τοῦ τοῦ ὅπλου ἀσπίδος.

Ἀντιλάζεσθαι, ἀντιλαβέσθαι.

Ἀντιλαμβάνεται, βοηθεῖ, ἢ κωλύει.

Ἀντιλέγειν, τὸ τοῖς λόγοις ἐναντιοῦσθαι, δοτικῇ συντάσσεται· οἷον, ἀντιλέγω σοι. λέγομεν καὶ ἀντιλέγω τοῦτο σοι, καὶ οὐ δύναμαι ἀντιλέγειν σοι τοῦτο.

Ἀντίληψις, ἀντὶ τοῦ ἐπίληψις.

Ἀντιλήπτωρ, ὁ ἀντιλαμβανόμενος, ὑπερασπιστὴς, βοηθός.

Ἀντιλογεῖν, ἀντειπεῖν. Ἀριστοφάνης, ἑτέρῳ λόγῳ ἀντιλογῆσαι.

Ἀντιλέγειν, ἀντερεῖν.

Ἀντιλογικὸς, ἀντιλογητικός.

* Ἀντιλόβιον, τοῦ λοβοῦ τοῦ ὠτὸς τὸ πρὸς χον, ὃ καὶ προλόβιον λέγεται.

Ἀντίλυτρον, ἀντίδοτον.

Ἀντίμαχος, ὡς κίναιδος καὶ ἄμορφος, καὶ θηλυμανὴς κωμῳδεῖται παρὰ τῷ Ἀριστοφάνει. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος· τρίτος ὁ ψεκάδος λεγόμενος, καὶ τέταρτος τραπεζίτης, οὗ μέμνηται Εὔπολις ἐν Δήμοις.

Ἀντὶ μιῶν, κατὰ μιῶν.

Ἀντιμισθωτὸς, ὁ ἀντ' αὐτοῦ ὑπηρετῶν.

Ἀντιμίσιον παρὰ Ῥωμαίοις, τράπεζα πρὸ τοῦ δικαστηρίου κειμένη.

Ἀντίνυ πολλῶν, ἴσος πολλοῖς.

Ἀντίξοοι, ἐναντίοι, ἀντίπαλοι.

Ἀντιξοῦν, τὸ ἐναντίον, ἁρμόζον, οἷον ἀντισούμενον, τροπῇ Ἀττικῇ τοῦ σ εἰς ξ. οἱ γὰρ Ἀττικοὶ τὸ σύμβολον, ξύμβολον λέγουσιν.

Ἀντιόπη, Νυκτέως ἦν θυγάτηρ. ἣν ὁ Ζεὺς Σατύρῳ ὁμοιωθεὶς φθείρει· καὶ φεύγουσα τοῦ Νυκτέως τὰς ἀπειλὰς, καταφεύγει εἰς Σικυῶνα πρὸς Ἐπωπέα. τεκοῦσα δὲ Ἀμφίονα καὶ Ζῆθον, ἐξέθηκεν ἐν τῷ Κιθαιρῶνι παρὰ βουκόλῳ τινί. ὁ δὲ Νυκτεὺς διὰ τὴν τόλμαν τοῦ παιδὸς λυπηθεὶς, τελευτᾷ. τοῦ ἀδελφοῦ Λύκου δεηθεὶς, μὴ περιϊδεῖν τὴν παῖδα, ἀλλ' ἐλεεῖν· ἀπελθόντα δὲ εἰς Σικυῶνα, στρατεύει ἐπὶ τὴν πόλιν Λύκος, καὶ κτείνει τὸν Ἐπωπέα, καὶ λαβὼν τὴν Ἀντιόπην αἰχμάλωτον, παραδίδωσι φυλάττειν Δίρκῃ τῇ ἑαυτοῦ γαμετῇ. ἡ δὲ, φεύγει· καὶ ληφθεῖσα πάλιν τοῖς ἑαυτοῖς παισὶν, ἐκδίδοται Ἀμφίονι καὶ Ζήθῳ. ἐνταῦθα δὲ ἐκκαλύπτει ὁ τροφεὺς βουκόλος τὸ γεγονός. οἱ δὲ τὴν μὲν Ἀντιόπην σώζουσιν, τὴν δὲ Δίρκην, ἐξ ἀγρίου ταύρου προσδήσαντες, διαφθείρουσι. μεμψάμενοι δὲ τὸν Λύκον ὡς ἐκδώσοντες τὴν Ἀντιόπην, σφάττειν ἔμελλον, Ἑρμῆς δὲ ἐκώλυσε. τῷ Λύκῳ δὲ προσέταξε, παραχωρῆσαι τῆς βασιλείας αὐτοῖς.

Ἀντίον, ἀντὶ τοῦ ἐξεναντίας. λέγεται δὲ ἀντίον, καὶ τὸ ἐν ἀκατίῳ ἱστίον. ἢ ὁ διοπτεύων τὴν πόλιν ἄρχων, ἢ ὁ δικαστὴς, ἢ ὁ μέγας ἱστός. ἢ ναῦς, ἤγουν πλοῖον. ἔστι δὲ καὶ φιάλη, ἴσως διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ.

Ἀντίος ἔλθω, οὐκ ἐναντιότητα ἀεὶ σημαίνει, ἀλλὰ τὸ ἁπλῶς, ἐκ τῶν ἔμπροσθεν συναντῆσαι.

Ἀντιόφρων, ἐναντίον φρονῶν.

Ἀντιοχεῖ, ἐναντιοῦται.

Ἀντιοχὶς, ὄνομα φυλῆς.

Ἀντιόων, ὑπαντῶν, ἢ μεταλαμβάνων.

Ἀντιόωσαν παρ' Ὁμήρῳ, ἀντὶ τοῦ τιμῶσαν ἁπλῶς, κατὰ μεταφορὰν, ἀπὸ τῶν ὑπαντώντων καὶ ὑποτεινόντων τὰς χεῖρας, ἐπὶ δεξιώσει καὶ τιμῇ. διὸ καὶ πρὸς αἰτιατικὴν λέγεται, ὡς παρὰ Πινδάρῳ. καὶ ἀντιόωσαν παιδός. σημείωσαι τὴν λέξιν, ὡς φανερῶς τὸ μετέχειν ἁπλῶς δηλοῦσαν, καὶ ἄντην γίνεσθαι.

Ἀντιόωσιν, Ὅμηρος, ἐμῷ μένει ἀντιόωσι. ταῦτα δ' ἂν εἴη εἰπεῖν, ἐμὸν ἔγχος μένουσι. καὶ ἔστιν ἰδοὺ τὸ ἀντιλαμβανόμενον καὶ ἐπὶ τοῦ συναντᾶν. δῆλον ὅτι λέγεται ἐπὶ τοῦ ἀπολαύειν, ὡς τὸ, ἀντιόων ἑκατόμβης. καὶ ἐπὶ τοῦ ἐπιμελείας ἀξιοῦν, ὡς τὸ, ἐμὸν λέχος ἀντιόωσαν.

Ἀντιπαγὲς, τὸ ἐναντίως συνεστηκός.

Ἀντίπαις, ὁ ἐγγὺς ὢν τοῦ ἴουλος γενέσθαι, ὁ τὸν πώγωνα ἐκφύων. ὁ δὲ Ἀριστοφάνης, τὸν πρόσηβον καὶ ἀνδρόπαιδα εἶπεν. καὶ ἀντίπαις, ὁ νέος παῖς.

Ἀντίπαλος, οὐ μόνον τὸν ἐξεναντίου πάλου ἐρίζοντα, ἀλλά ποτε καὶ τὸν σαφῶς οὕτω λεγόμενον ἰσοπαλῆ.

Ἀντίπαλος, ἐπὶ παλαίστρας. ἀντίδικος, ἐπὶ κρίσεως. ἀνταγωνιστὴς, ἐπὶ παντὸς ἀγῶνος. ἀντίβιος, ἐπὶ μάχης. ἀντίτεχνος, ἐπὶ τῶν ἐναντίως ἐχόντων τεχνιτῶν.

Ἀντιπαρέξειν, ἀντιδοῦναι, ἀντιπαρέχειν.

Ἀντίπαστον, ὄνομα φιλήματος.

Ἀντιπελαργεῖν, Πελαργὸς, ζῶον, ἀφ' οὗ ἀντιπελαργῶ. καὶ ἀντιπελάργωσις, ἐπὶ τῶν ἐπισταμένων χάριν ὑφ' ὧν εὖ ἔπαθον ἀντιδιδόναι. διὰ τὴν τῶν Πελαργῶν πρὸς τοὺς πατέρας, ὅτε γηράσκουσι κηδεμονίαν, καὶ ἀντίδοσιν τῆς γενήσεως αὐτῶν, καὶ ἀνατροφῆς.

Ἀντιπέμπει, τὸ ἐξεναντίας πέμπει, ἤτοι εἰς ἐναντίον καὶ ἐξ ἀντιστροφῆς πέμπει, αἰτιατικῇ συντάσσεται.

Ἀντίπερα, τὸ ἐν τῷ πέρα, ἢ ἀντικρύ. πέρα τῆς θαλάσσης, ἢ ἐναντίον.

Ἀντιπέραια, παρώνυμόν ἐστι τῆς περαίας. αὐτὸ δὲ παρῆκται ἀπὸ τῆς πέρας προῤῥηθείσης. ὡς γὰρ ὕστερα ὑστεραία, οὕτω καὶ πέρα περαία. ὁ δὲ Γεωγράφος λέγει, ὅτι τὰ ἀντιπέραια τῶν νήσων βούλεται λέγειν ὁ ποιητὴς, Λευκάδα καὶ Ἀκαρνανίαν. ἕτεροι δέ φασιν, ἀντιπέραια, τὰ ἐξ ἐναντίας τῆς Ἤλιδος κείμενα χωρία.

Ἀντιπέρας, παροξυτόνως ἀναγνωστέον. ὄνομα γάρ ἐστι θηλυκὸν γενικῆς πτώσεως συνήθειον. ἀντιπέρας Θάσου, μέταλλά ἐστι χρυσοῦ.

Ἀντιπέρηθεν, ἐξεναντίας. ὥσπερ κεῖται ἡ Θρᾴκη τῆς Λήμνου.

Ἀντιπεριλαχεῖν, ἀντιστρέφειν.

Ἀντιπερίσπασμα, ἐμπόδιον.

Ἀντιπεσεῖν, τὸ ἐναντιωθῆναι.

Ἀντιπεφάσθαι, ἀντιτεθνάναι, ἀναιρεῖσθαι.

Ἀντιπεφυκότων, ἐναντίως πεφυκότων.

Ἀντίπηγα, κύστιν. Εὐριπίδης Ἴωνι, ἤγουν ἀγγεῖον.

Ἀντίπηξ, τὸ κιβώτιον. παρὰ τὴν ἀντὶ πρόθεσιν, καὶ τοῦ πήσσω τὸ πηγνύω.

Ἀντιπίπτει, ἀντίσταται.

Ἀντιπιφάσκει, ἀνταποδίδωσιν.

Ἀντίπλαστον, Σοφοκλῆς Ἰνάχῳ. ὡς τὸ, πατὴρ δὲ ποταμὸς Ἴναχος τὸν ἀντίπλαστον ἔχει νόμον κεκμηκότων, ἀντὶ τοῦ ἰσόπλαστον, ὅμοιον.

* Ἀντίπους τὸ μετὰ ἀστραγάλους πᾶν τοῦ ποδός.

Ἀντὶ ποδὸς, ξεινήϊον, Ὅμηρος Ὀδυσσείας χ, τοῦτό σοι ἀντὶ ποδός. εἰς παροιμίαν ὕστερον ἔπεσεν, ἐπὶ τῶν ἀντὶ κακοῦ ἀπολαυόντων κακόν. ἦν δὲ σοφὸς πάμμεγας καὶ ἱερὸς, ὁ κατάρξας τῆσδε τῆς παροιμίας. ὃς καὶ κυκλώπειον δωρεὰν ἔφη, ὡς ἐκ τῶν κατὰ Κύκλωπα, τὴν ὄψιμον καὶ ὀλεθρίαν. ὡς ἐκ τοῦ οὖτιν ἐγὼ πύματον ἔδομαι.

Ἀντιποιοῦμαι τῆς ἀρχῆς, καὶ ἀντιποιοῦμαι βασιλεῖ τῆς ἀρχῆς.

Ἀντιπολέμους, πολεμίους.

Ἀντὶ πολλῶν λαῶν ἐστιν ἀνὴρ, ὅντε Ζεὺς κῆρι φιλήσει. ἀντὶ τοῦ, ἴσός ἐστιν ὁ εἷς ἀνὴρ πολλοῖς ὅταν ᾖ θεοφιλής.

Ἀντιπράττεται, ἀντιμάχεται, ἐναντιοῦται.

Ἀντίπροικα, τὰ ἐπώνυμα καὶ ἰσόπροικα.

Ἀντιπροῖξειν, ἀντιδοῦναι.

Ἀντιπροκλήσεις, ἀντιλογίας, ἀντεγκλήματα.

* Ἀντιπροσαμήσασθαι, εἰ γυμνωθεῖεν αἱ ῥίζαι, χοῦν ἐπιφορήσασθαι.

Ἀντίπρωρα, ἀντιπρόσωπα. πρώρα γὰρ τὸ πρόσωπον. καὶ ἀνδρόπρωρον, ἀνδροπρόσωπον.

Ἀντίπτωσίς ἐστιν, ἀπόδοσις τῆς ἰδιότητος πτώσεις ἀντὶ πτώσεως. τρία ζητεῖται ἐν ἀντιπτώσει, ἓν ὑποκείμενον, ἰδιότης, καὶ ὅτι ἡ πτῶσις ἀντὶ πτώσεως τίθεται. οἷον, τὴν πόλιν, ἣν βλέπω, ἡμετέρα ἐστίν.

Ἀντίπυργος, ἰσόπυργος, ἴσον κατὰ τὸ ὕψος τοῦ μήκους τὸ ἀνάστημα ἔχων.

Ἀντίῤῥινον, ἀντίῤῥιζον, οἱ δὲ βοτάνης εἶδος.

Ἀντίῤῥητίς ἐστι, λόγος τὸ πιθανὸν ἑτέρου λόγου διαβάλλων.

Ἀντίῤῥοπον, τὸ ἀντίσταθμον, ἰσόζυγον.

Ἀντέῤῥαται, ἀντὶ τοῦ ἀποπέμπεται.

Ἀν-

Ἀντισήκωσις, ἡ ἀνταπόδοσις, διόρθωσις, ἰατρεία.

Ἀντισηκῶ, τὸ ἀντισταθμίζω.

Ἀντυπιχνοῦται, ἀναβάλλεται.

Ἀντισπᾶν, ἐναντιοῦσθαι.

Ἀντισσαμία, πόλις τῆς ἐν Λέσβῳ.

Ἀντιστάτης, ὁ αὐθέντης ἐν τῇ μάχῃ.

* Ἀντίστερνον, τὸ καταλῆγον τῆς Ῥάχεως.

Ἀντιστῆναι, ἀπολελυμένως ἔφη ἔναντα ἵστασθαι, καὶ ἄντα ἰέναι. τὸ δὲ ἄντα, ποιητικὴ λέξις.

Ἀντιστηρίζει, βοηθεῖ, ἀντιλαμβάνεται.

Ἀντιστήσεται, ἀνταλλάξεται.

Ἀντιστοιχεῖν, κατὰ στοιχεῖον ἱστάναι.

Ἀντίστοιχον, τὸ ἴσον. Σκιᾶς γὰρ ἀντίστοιχον φωνὴν ἔχεις, ἀντὶ τοῦ, Ἴσον σκιᾶς ἀντιστοιχεῖς.

Ἀντίστομος, παρὰ τοῖς τακτικοῖς τάξις, ἡ ἐξ ἑκατέρου μέρους ἔχουσα τοὺς μαχίμους.

Ἀντιστρατευόμενον, ἀνθιστάμενον.

Ἀντιστρέφω, ἀνταξιῶ.

Ἀντιστροφή ἐστι, τὸ ἐναντίον ἐπαναφορᾶς. ὡς γὰρ ἐκείνη ἀπὸ τοῦ αὐτοῦ ἄρχεται, οὕτω καὶ αὕτη εἰς τὸ αὐτὸ λήγει.

Ἀντιστρόφους, ἀντὶ τοῦ ἰσοστρόφους.

Ἀντίσχαδον, τὸ μηδενὸς ἄξιον.

Ἀντισχεῖν, ὑπομεῖναι. ἀντισχεῖν τῷ δίψει μὴ δυνηθέντες, ὑπεκηρυκεύσαντο.

Ἀντίσχεσθε τραπέζας ἰῶν, ἀντὶ τοῦ προβάλλεσθε ἄντα, ἢ ἄντην. καὶ ἐξεναντίας τῶν βελῶν, ἔχετε δίκην ἀσπίδων.

Ἄντιτα ἔργα, ἀντὶ τοῦ ἀντίποινα, ἀντιτιμώρητα, ἀντίσηκα.

Ἀντιτάλαντον, ἀντίσταθμον, ἴσον.

Ἀντιτάσσεται, ἀντίκειται.

Ἀντιτίθημι, τὸ ἀντισηκῶ καὶ ἀνθίστημι. ἀντιτίθεμαι, οὐκ ἔστιν, οὐδέ γε μὴν εὕρηται παρὰ τοῖς Ἀττικοῖς. ὥσπερ οὐδὲ τὸ παρατίθεμαι.

Ἀντιτείνει, ἤτοι ἀντικρούει, καὶ ἀντιβαίνει, καὶ ἀντερείδει.

Ἀντιτεχνήσει, ἀντικατασκευάσει.

Ἀντιτιθέναι, τὸ παραθέσει βλέπειν, καὶ συγκρίνειν. Ἑρμογένης, δεῖ δὲ ἀντιτιθέναι τοῖς μάρτυσι τοὺς μάρτυρας.

Ἀντίτιμα, τὰ ἄποινα, τὰ ἀνέκτιστα.

Ἀντιτιμᾶσθαι, ὃ χρὴ παθεῖν ἐν τοῖς δικαστηρίοις. ἢ ἀποτίσαι τὸν ἁλόντα.

Ἀντιτίμημα, ἡ ἀντιτίμησις.

Ἀντιτίσασθαι, ἀνταποδοῦναι.

Ἀντίτοι εἰμ᾽ ἱκέταο, ἴσος ἱκέτης σοι εἰμί.

Ἀντίτομον φάρμακον, ἀντιπαθὲς, ὅπερ ὁ πιὼν οὐ βλάπτεται ὑπό τινος, ἀλεξιφάρμακον.

Ἀντιτορεῖν, ὀνοματοπεποίηται μὲν κυρίως ἐπὶ ξύλων, ἃ ξυστῶνται τερέτρῳ. δηλοῖ δὲ τὸ ἄντων ἐτόρησε, τὸ διόλου ἐτρύπησεν. ἐρεῖ δέ που ὁ ποιητὴς, καὶ ὅτι κλέπτων τὶς, οἰκίαν ἀντετόρησεν. ἐκ δὲ τοῦ τορῶ κατὰ συγκοπὴν μὲν γίνεται τὸ τρῶ, τρήσω. κατὰ παραγωγὴν δὲ, τὸ τετραίνω, ὡς τρέμω τετρεμαίνω, ἐξ οὗ τὸ, Τέτρηνε δ᾽ ἄρα πάντα.

Ἀντιτορῆσαι, τὸ μὴ ἁπλῶς, ἀλλ᾽ ἀντικρὺ, καὶ ὡς εἰπεῖν διαμπὰξ τρυπῆσαι. καὶ ἔστι τὸ τορῆσαι πρωτότυπον τοῦ τρῆσαι· ἀφ᾽ οὗ καὶ τὸ τρύει. ὅθεν καὶ ἡ τρυπάνη, καὶ τὸ τρύπανον.

Ἀντιτορήσας, διορύξας, κατακόψας.

Ἀντιτάττω, καὶ παρατάττω, τὸ ἕτερον τοῖς πολεμίοις μαχόμενον διεγείρω, καὶ τάττω, αἰτιατικῇ καὶ δοτικῇ ἐφελκόμενον. οἷον, παρατάττει τοὺς Θηβαίους τῷ Φιλίππῳ. παρατάττομαι δ᾽ ἐγὼ, κυρίως ἐπὶ πολέμου, ἀντὶ τοῦ, παρασκευάζομαι πολεμήσων. ὥσπερ δὴ καὶ τὸ ἀντιτάττω αἰτιατικῇ καὶ δοτικῇ, καὶ αὐτὸ ἐπαγόμενον. ὡς καὶ Συνέσιος, Ταύτῃ μὲν οὖν τῇ πληγῇ, τὸν νότον ἀντέταξεν ὁ Θεός. ὁμοίως καὶ τὸ ἀντιτάττομαι, ταυτὸ δηλοῦν τῷ παρατάττομαι. πλὴν τὸ μὲν παρατάττω καὶ παρατάττομαι, εἴποις ἂν κυρίως ἐπὶ πολέμου καὶ πλήθους, τὸ δὲ ἀντιτάττω καὶ ἀντιτάττομαι, καὶ ἐπὶ ἑνός. ἐπιτάττω καὶ προστάττω, τὸ αὐτό. καὶ ἐπίταγμα, καὶ πρόσταγμα. πλὴν ἀκριβέστερον τὸ ἐπιτάττω, καὶ ἐπίταγμα. ὡς καὶ Ἀριστείδης, Ἔδοξεν ἀπάρξασθαι τοῖς τοῦ βασιλέως ἐπιτάγμασιν.

Ἀντιτυπῆσαι, ἀντιπαθῆσαι.

Ἀντιτυπία, ἐναντίωσις, σκληρότης. λαμβάνεται δὲ καὶ ἐπὶ ὁμοιότητος ἐν ἐπιγράμματι, καὶ λίθον ἀντιτύπῳ χρώματι πυρσοτόκῳ.

Ἀντίτυπον, τὸ σκληρὸν, καὶ τὸ ὁπωσοῦν ἀντιβαῖνον τῇ ἀφῇ.

Ἀντίτυπα, τὰ μεταγεγραμμένα, καὶ τὸν αὐτὸν τύπον ἔχοντα, ἀπὸ τοῦ τύπος.

Ἀντιφάρα, ἡ ζήλη παρὰ Συρακουσίοις. παρὰ τὸ φέρω, ὃ Δωριεῖς φάρω λέγουσιν. ὡς τέμνω τάμνω, καὶ τρέπω τράπω· οἱ δὲ παλλακήν. ἄλλοι μητρυιάν.

Ἀντιφαρὲς, ἐναντίον.

Ἀντίφασις, ἀντικείμενον, κατάφασις καὶ ἀπόφασις. ἢ μάχη καταφάσεως. μέσον γὰρ λαμβανομένη τῆς καταφάσεως καὶ ἀποφάσεως, μίαν ἀληθῆ ποιεῖ, τὴν δὲ ἄλλην ψευδῆ.

Ἀντιφάτης, καὶ ἀντιφατεὺς λέγεται, ὁμοίως τῷ Γηρυόνης καὶ Γηρυονεύς. καὶ ἀντιφάτης, ἐκαλεῖτο ὁ τῶν Λαιστρυγόνων βασιλεύς.

Ἀντιφέρεσθαι, ἐναντιοῦσθαι. ὃ ποιητικῶς λέγεται ἀντιφερίζειν. γίνεται δὲ παρὰ τὸ ἀπεναντίας φέρεσθαι.

Ἀντιφερίζειν, ἐξισοῦσθαι, ἀντιστῆναι, ἐρίζειν, ἐναντιοῦσθαι. οἱ δὲ, ἀντιλέγειν.

Ἀντιφῇς, ἀντὶ τοῦ ἀντιλέγεις.

Ἀντιφιλοτιμούμενος, πρὸς τὴν οἰκείαν ἕκαστος ὁρῶντες φιλοτιμίαν, καὶ δόξαν.

Ἀντιφολκὸς, μέρος τῆς πολεμικῆς νεώς.

Ἀντίφρασίς ἐστι, λέξις δι᾽ ἐναντίου τὸ ἐναντίον σημαίνουσα. ὡς ὅταν τις τὸν τυφλὸν πολυβλέποντα εἴπῃ, ἢ τὸν αἰθίοπα μαργαρίτην καλέσῃ. καὶ πάλιν διὰ τοῦ ἐναντίου ἀντιφράζεται οὕτως, Ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ᾽ Ἀχαιῶν, ἀλλ᾽ ἰσχυρὸς δηλονότι. καὶ, οὐδ᾽ ἄρα τώδε ἰδὼν γήθησεν Ἀχιλλεὺς, ἀλλὰ συνεχύθη, καὶ ἐλυπήθη. ἐνίοτε καὶ αὐτὸ προστίθεται τὸ ἐκ τοῦ ἐναντίου. οἷον, οὐχ ὁ κάκιστος τὸ καλὸν πράττει. ἐντεῦθεν δεικνύει, ὅτι ὁ ἄριστος. καὶ οὐκ ὀλίγον καιρὸν ἐγένετο, τὸ δὲ δεικνύει, ὅτι πολύν. διὰ δὲ τοῦ προκειμένου, τὰ κατ᾽ εὐφημισμὸν λεγόμενα. ὡς ὅταν λέγωμεν, τὸν μὴ δὲ κλύοντα, ἀλλ᾽ ἤδη κλυόμενον. καὶ τὰς Ἐριννύας, Εὐμενίδας. καὶ τὸν Χάρωνα, τὸν λύπης ποιητικόν. καὶ τὸν δυσειδῆ, Καλλίαν, ἢ ὡραιότατον. ἢ τὸν σκαιὸν, εὐώνυμον. καὶ τὸ πάνυ θερμὸν, ἄγαν ψυχρὸν, καὶ τὰ ὅμοια. ἄλλως.

Ἀντίφρασίς ἐστι, λέξις τὸ ἐναντίον καὶ τὸ παρακείμενον σημαίνουσα. ὡς ἐν τούτῳ, οὐδ᾽ ἄρα τώγ᾽ ἰδὼν γήθησεν Ἀχιλλεύς. βούλεται γὰρ εἰπεῖν τὸ ἐναντίον, ὅτι ἰδὼν αὐτοὺς ἐλυπήθη. δι᾽ ἐναντίων τὸ ἐναντίον σημαίνουσα οὖν ἀντίφρασις, ὡς ὅταν τὸν τυφλὸν εἴποι τὶς, πολὺ βλέποντα, ἤτοι ὀξέως.

Ἀντίφρουροι, οἱ τὴν ἴσην ἔχοντες φρουράν.

Ἀντιφολοτιμεῖται, θεραπεύει.

Ἀντιφῶν, εἷς τῶν δώδεκα ῥητόρων· φιλοσόφου μὲν υἱὸς, ἀπὸ τῆς φυλῆς δὲ Ἀμνούσιος.

Ἀντιφωνῶ σοι, ἐγγυῶμαί σοι. σημαίνει καὶ τὸ ἀντιλέγω σοι.

Ἀντίφωνα, ἐναντιόφωνα.

Ἀντίχειρ, ὁ μέγας τῆς χειρὸς δάκτυλος, ἢ ὅτι ἀντίκειται τοῖς ἄλλοις, ἢ ὅτι τὸ ἴσον δύναται τῇ ὅλῃ χειρί.

Ἀντείχετο, προΐστατο, ἀντελαμβάνετο.

Ἀντίχορδα, σύμφωνα, σύγχορδα, ἰσόχορδα.

Ἀντίχειρες, ἔνια τῶν βαρβάρων ἐθνῶν, τοὺς ἀντίχειρας ὑποτιθέντα τοῖς γενείοις, καὶ τοὺς δακτύλους ἐκτείνοντα, προσκυνεῖ τοὺς ἡγουμένους αὐτῶν.

Ἀντιχάλημα, μέρος τὶ τῆς μακρᾶς νεώς.

Ἀντιχόρτοις, συνόροις.

Ἀντιψάλλων, ἀντὶ τοῦ ἀνακρούων. ψαλμὸς δὲ κυρίως, ὁ τῆς κιθάρας ἦχος.

Ἀντιψάλμους, ἀντιστρόφους. Εὐριπίδης Ἰφιγενείᾳ τῇ ἐν Ταύροις.

Ἀντίψυχοι, οὕτω καλοῦνται οἱ Μέμνονος Ὄρνιθες.

Ἀντιῶσα, ἐστὶ δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ ἔστιν ὁμώνυμος ἡ λέξις. ὅτε γὰρ δηλοῖ τὸ ἀπολαύω, γενικῇ συντάσσεται· οἷον, ἀντιόων ταύρων τε καὶ αἰγῶν. ὅταν δὲ τὸ διοικῶ καὶ λαμβάνω, αἰτιατικῇ. οἷον ἐμὸν λέχος ἀντιόωσαν. ὅτε δὲ τὸ συναντῶ, δοτικῇ. ἔστι δὲ πλεονασμὸς τοῦ ο ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, κατὰ ποιητάς. οἷον ἀντιάω ἀντιῶ, καὶ ἀντιόω.

Ἀντλεῖν, τὸ συνεχῶς ἀρύεσθαι.

Ἀντλῶ, ἀνιμῶ, ἀρύομαι, καὶ ἀρύττομαι. λέγεται καὶ τὸ ἀντλεῖν, καὶ ἐκχεῖν. οἷον, ἀντλεῖ τις ἀπὸ φρέατος ὕδωρ, ἤγουν συνεχῶς ἀρύεται καὶ ἀνέλκει. ἐκχεῖ τὸ ἀντλούμενον· ὥστε ταυτὸ συγχεῖται, ὥσπερ λῆμμα καὶ δῶρον. καὶ ἀντλεῖν ἀμφοτέραις, λείπει χερσί. παροιμία ἐπὶ τῶν σπουδῇ τι ποιούντων.

Ἀντλεῖς ἐκ πίθων, παροιμία παρὰ Θεοκρίτῳ, ἐπὶ τῶν ἐν περιουσίᾳ ζώντων. ἀφθόνως φησὶ καὶ πλουσίως ἀπολαύεις τῶν πραγμάτων.

Ἀντλεῖται, ἐλαύνεται.

Ἀντλητὴρ, κάδος ναυτικός.

Ἀντλία, ἡ τοῦ πλοίου ἐκροὴ, τὸ σκαφίδιον. καὶ Πισίδης, ἐκ τῶν ἐχόντων τὰς δυσώδεις ἀντλίας. καὶ ἀντλία, ἡ σκευὴ, ἡ σκάφη, ἐν ᾗ μάττουσι, καὶ ὁ καδίσκος.

Ἄντλον, κάδον, ἀντλητήριον. τινὲς δὲ καὶ τὴν θάλασσαν, καὶ τὸν σωρὸν τῶν δραγμάτων.

Ἀντολαὶ, γενέσεις.

Ἀντολὴ, ἀνατολή.

Ἀντοίσωμεν, ἀντιπροσενέγκωμεν, ἀντιδώσωμεν.

Ἀντόμεναι, ὑπαντῶσαι. Ταραντῖνοι. ἀπὸ βαρυτόνου ῥήματος γίνεται τοῦ ἄντω, καὶ δηλοῖ τὸ συναντήσασθαι. οἶδεν Ὅμηρος καὶ περισπᾶσθαι τὸ τοιοῦτον ῥῆμα. ὡς δηλοῖ τὸ, καὶ γὰρ ἔγωγε ἤντησα. πολλὰ δὲ καὶ ἄλλα οὕτω διφοροῦνται. ὁποῖον δὴ καὶ τὸ, αἰδομένων δὲ ἀνδρῶν. καὶ, οὐδέ τι μ᾽ αἰδέσεται. καὶ τὸ κοινῶς μὲν λεγόμενον ὀφρυᾶσθαι, ἄλλως δὲ ὀφρύεσθαι. ὡς ἐδήλωσε τὸ, Κόρινθος ἀφρύεται, καὶ κυλαίνεται.

Ἀντόμενος, ἐνεστὼς αὐτοῦ συνηθέστατος Ὁμήρῳ. τὸ ἄντω βαρύτονον, ἐξ οὗ τὸ ἄντομαι, καὶ ἀντόμενος. οἱ μέντοι μεθ᾽ Ὅμηρον περισπῶσιν, ὡς τὸ βοῶ.

Ἀντόμους, σκόλοπας. Σικελοί.

Ἀντομῶσαι, παρακαλέσαι.

* Ἀντωμοσία, ὅρκος, ὃν ὁ κατηγορούμενος ἀντομνύει, ἢ μὴν μὴ ἀδικεῖν.

Ἀντοναὶ, αἱ τῶν χειρῶν φοραί.

Ἄντος, εὖρος. Εὐριπίδης.

Ἀντοφθαλμῶ, ἀντιβλέπω, ἐξεναντίας βλέπω.

Ἀντόφρυς, βοτάνης εἶδος.

Ἄντρα νύχια, σκοτεινὰ σπήλαια.

Ἀντρέσας, ἀναφοβηθείς.

Ἄντρον, τὸ σπήλαιον. κυρίως ἐπὶ τῆς ξηρᾶς, καὶ ἐφ᾽ ᾧ πηγή. ἐπὶ δὲ θαλάσσης, ὁ ἐσπασμένος ἀπὸ τῶν κυμάτων, λέγεται σπιλάς. ὁ δὲ ἀνεστηκὼς, προβλής. ἡ ὑπὸ τοῖς κύμασι δὲ πέτρα, λέγεται ὕφαλος. ἄντρον δὲ λέγεται τὸ σπήλαιον, ἀπὸ τοῦ ἄνω τετρῆσθαι. ἤγουν τετρυπημένον εἶναι.

Ἀντρώδη, σπηλαιώδη.

Ἀντρώδων, ἀνανεάζων, ἢ σπηλαίων.

Ἄντρωνα, τινὲς μὲν βαρυτονοῦσιν, ὡς τὴν Ἴτωνα. τινὲς δὲ, Ἀντρῶνά φασιν, ὡς Πυθῶνα. Ἡρωδιανὸς δέ φησιν, ὡς πλευρῶνα. ὠνόμασται δὲ οὕτω, διὰ τὸ τοὺς ἐκεῖ τόπους ἀντρώδεις, τουτέστι σπηλαιώδεις, καὶ ὑπονόμους εἶναι. ὁ δὲ τὰ ἐθνικὰ συλλέξας, καὶ τὸν ἐν παροιμίαις ἀντρώνιον ὄνον, ἐντεῦθεν εἰρῆσθαι λέγει. εὐφυεῖς γάρ φησι πρὸς μύλωνας ἔχει λίθους. ὅθεν κατὰ τοῦτον τὸν λόγον ἀντρώνιος ὄνος, ὃς πρὸς ἀλητὸν δεξιός. καὶ Ἄντρων, ἢ Ἀντρῶνες, πόλις ἐν Θετταλίᾳ.

Ἄντυ, ἄντινα. Ῥόδιοι.

Ἀντύα, τὸ ὑποπόδιον.

Ἄντυγος, τῆς περιφερείας τοῦ ἅρματος.

Ἀντυγχόνοιαι, οἱ τοῦ ἅρματος τροχοί.

Ἀντύγων χνόαι, αἱ περιφέρειαι τοῦ ἅρματος, οἱ τροχοί.

Ἀντυγωτὸς, συνδεδεμένος, ἐπειδὴ αἱ ἄντυγες καταδέονται. παρὰ τὸ ἀντυγῶ ῥῆμα.

Ἄντυξ. λέξις λέγεται οὐ μόνον ἐπὶ ἅρματος, ἀλλὰ καὶ ἐπὶ ζυγοῦ κιθάρας, κατὰ τοὺς παλαιοὺς, ἢ πτύχεως.

Ἄντυπος, ἴσος, ὅμοιος. ἢ ἐναντίος.

Ἀντῳδὴ καὶ ἀντιστροφὴ παρὰ τῷ Ἀριστοφάνει, ὁμοία ἐστὶ τῇ ᾠδῇ, καὶ στροφῇ, κατὰ τὰ κῶλα, καὶ τὰ μέτρα. ὡς τὸ παρὰ τῷ Ἀριστοφάνει, Ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ Δήλιε Κυνθίαν ἔχων.

Ἀντωμένη, ὑπαντήσασα, συναντήσασα, ἐντυχοῦσα, ἱκετεύουσα.

Ἀντώμενοι, συμβαλόντες.

Ἀντωμοσίας λέγει Ἀριστοφάνης, γράμματά τινα γράψαντας περὶ ὧν ἡ δίκη, ὅ, τε, κατηγορούμενος, καὶ ὁ κατηγορῶν ἀποφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυεν, ὁ μὲν τἀληθῆ κατηγορήσειν, ὁ δὲ τἀληθῆ ἀπολογήσεσθαι. ἄλλως.

Ἀντωμοσία, γραφὴ κατά τινος ἔνορκος, περὶ ὧν ἠδικῆσθαί φησι. Διωμοσία δὲ, ὁ ἑκατέρωθεν γινόμενος ὅρκος ὑπὸ τῶν δικαζομένων. τοῦ μὲν ὡς πράξαντα διώκειν, τοῦ δὲ ὡς οὐκ ἔπραξεν ἀποφάσκειν. Ἐξωμοσία δὲ, ἄρνησις σὺν ὅρκῳ, ὡς ἀδυνατοῦντος, ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν.

Ἀντονομασία ἐστὶ, λέξις ἐπιθέτων ἢ συσσήμων ὀνομάτων, ἴδιον σημαίνουσα. ὡς ἐν τούτῳ, Πηλείδης δ' ἐξαῦθις ἀταρτηροῖς ἐπέεσσιν Ἀτρείδην προσέειπε. δηλοῖ γὰρ διὰ τούτων τόν τε Ἀχιλλέα, καὶ τὸν Ἀγαμέμνονα. καὶ πάλιν, Θάρσει Τριτογένεια φίλον τέκος. καὶ ἐν ἄλλοις, Φοῖβος ἀκερσεκόμης. τὸ μὲν γὰρ τὴν Ἀθηνᾶν, τὸ δὲ τὸν Ἀπόλλωνα δηλοῖ. ἄλλως.

Ἀντονομασία ἐστὶ, λέξις ἢ φράσις, διὰ τῶν ὁμωνύμων ὀνομάτων τὸ κύριον παριστῶσα. ὡς ὅταν δύο ἡμῖν ἐγνωσμένων ἀνθρώπων τὸ αὐτὸ κύριον ἐχόντων, θέλωμεν ἐξ αὐτῶν ἑνὸς μνήμην ποιήσασθαι, καὶ οὐ λέγομεν κύριον ὄνομα διὰ τὴν ὁμωνυμίαν, ἀλλὰ ἐκ τῶν συμβεβηκότων ὀνομάσωμεν, τὸν χαλκέα, ἢ τὸν τέκτονα λέγοντες. εἰ δὲ σωματικὰ ἔχει πάθη, τὸν χωλὸν, ἢ τὸν φαλακρὸν λέγοντες. καὶ πάλιν διὰ μὲν λέξεως Φοῖβε λέγει, ἀντὶ τοῦ Ἄπολλον. καὶ Ἐννοσίγαιε, ἀντὶ τοῦ Πόσειδον. διὰ δὲ φράσεως, οἷον, Λητοῦς καὶ Διὸς υἱὸς, ἀντὶ τοῦ Ἀπόλλων. ἔνιοι δὲ τὴν ἔκληψιν καὶ τὴν ἀντονομασίαν ὑποτάσσουσι τῇ συνεκδοχῇ.

Ἀντωνυμίαι πρωτότυποι, οἷον, ἐγὼ, σὺ, οὗ, οὗτος, αὐτὸς, ἐκεῖνος, καὶ τὸ σφὲ, ἄρθροις οὐ συνάπτονται. παραγόμεναι δὲ συνάπτονται. οἷον, ὁ ἐμὸς, ὁ σὸς, ὁ ὅς, ὁ ἡμέτερος, καὶ ὁ σφέτερος. ὅταν μέντοι φῶμεν ὁ αὐτὸς, οὐκ ἔτι ἀντωνυμίαν φαμὲν, ἀλλὰ ὄνομα. δηλοῦμεν γὰρ τὸ ὅμοιον, οὐχὶ δεῖξιν προσώπου τινός.

Ἀντωπεῖ, ἀντοφθαλμεῖ. ἐξ οὗ καὶ ἀντώπησαν οἱ ὀφθαλμοί. καὶ ἀντωπὸν, ἀντὶ τοῦ κατὰ πρόσωπον, ἀπέναντι.

Ἀντωπίσαι, ἀντοφθαλμῆσαι.

Ἀντωπὸς, λαμπρὸς, ἀντίος τοῖς ὄμμασιν.

Ἀνυδρευόμενος, ἐκ φρέατος ἀντλῶν.

Ἀνυδρεύσασθαι, ἀντλῆσαι.

Ἀνύδρονος, ἄταφος, οὐ λελουμένος, οὐδὲ τῶν νομιζομένων τυχών.

Ἀνύει, πληροῖ, ἀπαρτεῖ.

Ἄν' ὑλήενται, κατὰ τὴν ὑλώδη.

Ἀνυμέναιος, ἡ μὴ ἔχουσα ἄνδρα.

* Ἀνυμέναιος, ἡ ἄγαμος. ὑμέναιος γὰρ τὸ ᾆσμα τὸ γαμήλιον.

Ἄνυμφον, κακόνυμφον. ἢ τὴν μὴ δυναμένην νυμφευθῆναι.

Ἄνυμφος, ὁ μὴ ἔχων γυναῖκα.

Ἀνύξιον, ἄβροτον. Εὐκλείδης.

Ἀνυπαίτιος, ὁ ἀναίτιος.

Ἀνύπαρκτον, τὸ μὴ ὑπάρχον.

Ἀνυπέρβλητος, προέχων.

Ἀνυπείκαστον, ἀνυπέρβλητον.

Ἀνύπεικτον, τὸ ἀνένδοτον, ἀνυποχώρητον.

Ἀνύπνωος, ἀγύναιος.

Ἀνυπόδετας, ταχύποδας, ἀπὸ τοῦ τοῖς ποσὶν ἀνύειν.

Ἀνυπόδητος, οὐκ ἀνυπόδετος, ὁ γυμνόπους.

Ἀνύποιστον, ἀφόρητον, ἀνυπομόνητον.

Ἀνυπομόνητον, τραχὺ, ἢ βόλος τίς.

* Ἀνυπόπτευτον, ἄοπτον.

Ἀνυπόκριτος, ἄδολος, ἀπροσωπόληπτος, καὶ μὴ ἐν πλάσματι περιπατῶν. ὡς ὁ Ἀπόστολος, Ἡ ἀγάπη ἀνυπόκριτος, καὶ μὴ πλάσμα ἀγάπης ἔστω.

Ἀνυπόστατον, τὸ μὴ ἔχον ὕπαρξιν ἤτοι οὐσίαν. οἷον τὸ ἐνύπνιον. ἀνούσιον τὸ ἀνύπαρκτον, καὶ φαντασιῶδες. ἢ ἀνυπόστατον, πᾶν τὸ μὴ ἐκ θεοῦ γεγονὸς, ἀλλ' ἐν ἀπουσίᾳ τοῦ κρείττονος ὑφιστάμενον. ὡς σκότος, νόσος, ἁμαρτία, θάνατος. καὶ ἀντὶ τοῦ ἀφόρητον.

Ἀνυποστόλως, ἀνυπόπτως.

Ἀνύπουλος, ἀνύποπτος.

Ἄνυρις, ἄδικος, ἀσεβής.

Ἀνύσας, συνελών.

Ἄνυσις, τελείωσις, κατόρθωσις, δύναμις, πράξεων ἀποτελεστική. ἢ ἄνυσις, σπεῦσις, πρᾶξις, αὔξησις, ἐπίδοσις, περαίωσις, κατόρθωμα.

Ἀνυσίμως, ἐνεργῶς, πρακτικῶς, τελείως.

Ἄνυσαι, ἤνυσαι.

Ἀνυστέον, δεῖ ἀνύειν.

Ἀνύτειν ἀττικῶς, ἀνύειν κοινῶς. ἀνύω τὸ τελειῶ, καὶ ἀνύω τὸ μετὰ σπουδῆς τρέχω. Ἀριστοφάνης, οὐ μέλλειν χρὴ σοι, ἀλλ' ἀνύειν. ἀνύω τὴν ὁδὸν, ἀντὶ τοῦ τελειῶ. καὶ ἀνύω τὸ βραβεῖον, ἤγουν σπουδάσας λαμβάνω.

Ἀνυφεστῶτα, ἀντικαθεστῶτα.

Ἀνύω, παρὰ τὸ ἄνω τὸ πράττω γίνεται. οἷον μάλα νὺξ ἄνεται. καὶ ἐκ ἀνύω φθονέουσα, ἀντὶ τοῦ οὐδὲν ὠφελῶ πράττουσα. Ἰστέον ὅτι τὸ ἀνύτω, καὶ ἀρύτω, ἀπὸ τοῦ ἀνύω καὶ ἀρύω γέγονε, κατὰ πλεονασμὸν τοῦ τ. τὸ μὲν ἀνύω ἀεὶ ἐν συστολῇ. τὸ δὲ ἄνω, διφορεῖται κατὰ τὸν χρόνον. καὶ ἀνύω, τὸ πληρῶ. ἢ ἄνω, τὸ ἀπέχον πλεῖον τοῦ μέσου.

Ἄνω, καὶ ἀνωτέρω, ἐπιρρήματα. ἀνώτερος συγκριτικὸν, καὶ ἀνώτατος ὑπερθετικόν. ἄνω, κάτω, ἔξω, πόρρω, δεῦρο, ὧδε, τῆδε, εἴσω, ποτὲ μὲν ἐπὶ στάσεως, ποτὲ δὲ ἐπὶ κινήσεως τίθεται. τὸ δὲ αὐτόθι, ἀεὶ ἐπὶ στάσεως. τὸ δὲ ἐκτὸς, ἐπὶ κινήσεως ἀεί.

Ἄνωγα, μέσος παρακείμενος τοῦ ἀνώγω ἐνεστῶτος. καθὰ ἐκ τοῦ ἀνοίγω, τὸ ἤνοιγα.

Ἀνώγαιον, τὸ οἴκημα. ἀνώγαιον καὶ κατώγαιον διὰ διφθόγγου καὶ μικροῦ.

Ἄνωγε. Λαοὺς δ' Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγεν, ἐκέλευε, παρεκελεύετο. τὸ θέμα, ἀνωγῶ, συζυγίας πρώτης τῶν περισπωμένων. ἐξ οὗ γέγονεν ἀνωγή. τοῦτο παρὰ τὸ ἄνω, τὸ ἐγκελευσματικὸν ἐπίρρημα. ἢ παρὰ τὸ ἄγω ἀγῶ, ἀγὴ, καὶ ἀνωγὴ ἡ ἐγκέλευσις, δι' ἧς ἀγόμενοί τι καὶ φέρομεν. ὁ παρατατικὸς, ἠνώγουν. τὸ τρίτον ἠνώγει. Δεῖξαι δὲ ἀνώγει φ' πένθει. ὁ μέλλων, ἀνωγήσω. ὁ ἀόριστος, ἠνώγησα. ὁ δεύτερος, ἤνωγον ἤνωγες ἤνωγε, καὶ κατὰ συστολὴν Ἰωνικὴν ἄνωγε. ἢ ἐκ τοῦ ἀνώξω μέλλοντος, ὁ μέσος παρακείμενος ἄνηγα. καὶ ὥσπερ ἐκ τοῦ πέπληγα μέσου παρακειμένου ἐγένετο ῥῆμα πεπλήγω, οὕτω καὶ ἀπὸ τοῦ ἄνηγα μέσου παρακειμένου, γίνεται ῥῆμα ἀνώγω. τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, τοῦ ἄνηγα. ὡς τὸ, Πληθὺν δὲ ποτὶ νῆας ἀνώξομεν. ἢ ἄνωγε μέντοι, ἀντὶ τοῦ ἐκέλευε προπαροξυτόνως. οἷον, Παιήονα ἄνωγεν ἰήσασθαι. ὃ καὶ ἀνώγει γράφεται, ἀπὸ τοῦ ἀνώγω ῥήματος. οὗ μέλλων, ἀνώξω. ἐπὶ δὲ τοῦ ἤνοιγε προπερισπᾶται. οἷον, Οὔτις θεὸς ἄλλος ἀνῶγεν. ἐκ τοῦ ὤγεν. ὡς ἧγεν ἀνῆγε, εἶχε, κατεῖχε. τῷ λόγῳ τῶν τοιούτων τροχαϊκῶν.

Ἀνωγὴ, ἡ παρακέλευσις.

Ἀνώγω, καὶ ἀνωγέω ἀνωγῶ, γράφεται διπλῶς.

Ἀνωδόρκας, βρίγχος ὁ ἰχθὺς, ὑπὸ Θηβαίων.

Ἀνωδύρετο, ἐθρήνει, ἔκλαιεν.

Ἄνωθεν σοι φίλος εἰμὶ, ἀλλ' οὐκ ἀνέκαθεν ἐρεῖς. τὸ γὰρ ἀνέκαθεν, ἐπὶ τόπου λαμβάνουσιν οἱ Ἀττικοί.

Ἄνωθεν τούτου ἵδρυται, καὶ κάτωθεν τόδε κέκρυπται. ἔστι δ' ὅπου καὶ τὸ πόῤῥωθεν λαμβάνεται ἀντὶ τοῦ ἄνωθεν. ἐπεὶ τὸ πόῤῥωθεν διπλῶς λαμβάνεται παρὰ τοῖς ῥήτορσι. λέγεται μὲν γὰρ πόῤῥωθεν, καὶ ἀντὶ τοῦ πρὸ πολλοῦ, καὶ ἔκπαλαι, εἰς ὅπερ ἁρμόττει τὸ ἄνωθεν. λέγεται δὲ πόῤῥωθεν, ἀντὶ τοῦ μακρὰν ἐπὶ κινήσεως. καὶ ἄνωθεν ἐκ τόπου, οὐ χρόνου.

Ἀνωθῆσαι, ἐπὶ τὰ ἄνω κινῆσαι.

Ἄνωθον, ὄξυμι.

Ἄνω ποταμῶν, παροιμία ἐστί. λεγομένη, ὅταν τἀναντία ὧν ἐλπίζει τις ἀποβῇ. καὶ ἐπὶ τῶν σκοπουμένων διαπράξασθαί τι ἀγαθὸν μὲν δοκοῦν, ἔτ' αὐτὸ τοῦτο πρὸς κακὸν ἀποβῇ. παρῴδηται δὲ ἡ παροιμία, ἀπὸ τοῦ τῆς Φαίδρας Εὐριπίδου, φάσκοντος, ἄνω ποταμῶν χωροῦσι πηγαὶ, ἀντὶ τοῦ ἅπαντα τἀναντία γεγόνασι τῶν ἐλπιζομένων.

Ἀνώϊστον, τὸ ἀνέλπιστον. καὶ γίνεται ἐκ τοῦ οἴω τὸ ὑπολαμβάνω, καὶ νοῶ. ἔκτασιν δὲ ἔπαθε τοῦ ο εἰς ω.

Ἀνωΐστως, ἀνυπονοήτως. καὶ ἀγνώστως, ἢ ἐξαίφνης.

Ἀνῳκισμένον, ἐν τοῖς ἀνωτάτοις γενέσθαι, ἄνω οἰκῶν.

Ἀνῶκται, κελεύεται.

Ἄνω κάτω, τὸ πάντα λίθον κινεῖν. ἢ ἐπὶ τῶν τὴν τάξιν μεταστρεφόντων.

Ἄνω κοιλία, παρὰ τοῖς ἰατροῖς λέγεται, ἡ τὰ ποτὰ καὶ τὰ σιτία δεχομένη.

Ἀνῳκοδόμησεν, ἔκτισεν.

Ἀνῳκίσαντο, ἀντὶ τοῦ ἀπῳκίσαντο. καὶ ἀνεχώρησαν, παρὰ τῷ Ἀριστοφάνει.

Ἀνωλόφυρτον, ἀδάκρυτον.

Ἀνώλεθρον, ἀθάνατον, ἀκίνδυνον. ὄλεθρος γὰρ ὁ θάνατος, καὶ ὁ κίνδυνος.

Ἀνώλεος, ἰσχυρός.

Ἀνῴμωξεν, ἐστέναξεν.

Ἀνώμοτος, χωρὶς ὅρκου.

Ἀνωμαλία, ἡ τραχύτης.

Ἄνωμος, ὁ μὴ ἔχων ὦμον.

Ἀνωμολογεῖσθαι, σαφῶς καὶ γενναίως [illegible].

Ἀνώμαλα δάσσειν, ἀνωμάλως μερίζειν.

Ἀνωμαλοχρῶς, ἀνωμάλως κεχαρμένη. οἱ δὲ, δεδεμένη.

Ἄνων, ἀνύων.

Ἀνώνυμος, ἄδηλος.

Ἀνωνύμους, ἀδόξους.

Ἄνωξις, βούλευσις.

Ἀνώπιστον, ἀόρατον, ἀπαράτακτον, ἀνεπίστροφον.

* Ἀνῶπα, τὰ ἄνω ἀπὸ τῶν ὠπῶν.

Ἀνωργισμένον, τὸ ἀναμεμαλαγμένον. οὕτως Ἱπποκράτης.

Ἀνωρέας, οὐκ ἀπολυμένους.

Ἀνωρθίαζον, ἀντὶ τοῦ ὄρθιοι βοῶντες ἔλεγον. οὕτως Ἀνδροκίδης.

Ἀνωρθιασμένον, τὸ ὀρθόστατον.

Ἀνωρθωσάμην, ἀνωρθίαζον.

* Ἀνωρροθία, ὁ περὶ τὰ χείλη τῆς νεὼς ῥόθος ἤγουν ἦχος τοῦ ὕδατος.

Ἀνώσαντες, ἀναστρέψαντες πλοῦν ἐς πόλιν, τὰ τέσσιν ἀνωθήσαντες τὴν ναῦν ὕψου ἐν νοτίῳ, ὥστε πλεῖν. κυρίως γὰρ ὠθεῖν τὸ ἀπὸ χθαμαλωτέρων ἀνάγειν εἰς ὑψηλότερον.

Ἀνωστὸν, ἐγκλητόν.

Ἀνωφέλητος, ὁ μὴ ὠφελημένος. ἀνωφελὴς δὲ, ὁ μὴ ὠφελήσας.

Ἀνώφλιον, τὸ ὑπέρθυρον.

Ἀνωφύουσα, ἀναβλαστάνουσα.

Ἄνωχθι, κέλευσον, κατεπλάσθη ἐκ τοῦ ἄνωγε. ἢ παρὰ τὸ ἀνώγημι, τὸ προστακτικὸν ἀνώγηθι. τροπῇ οὖν τοῦ γ εἰς χ, καὶ συγκοπῇ, ἄνωχθι. ἢ ἄνωχθι, ἐκ τοῦ ἀνωγῶ περισπωμένου γενέσθαι φασίν. οὗ παρατατικὸς, τὸ ἠνώγουν. ἀνωγῶ γὰρ, ἀνώγημι, ὅθεν ἀνώγηθι, καὶ ἐν συγκοπῇ ἄνωχθι, τραπέντος τοῦ γ συνήθως εἰς χ. ὡς καὶ ἐν τῷ βρέγμα βρεχμὸς, καὶ τοῖς ὁμοίοις. ὅτι δὲ δοκεῖ καὶ μεταπλάσασθαι ἐκ τοῦ ἄνωγε καθ' ἕτερον προστακτικὸν, δεδήλωται καὶ αὐτό.

Ἄνωχμον, κελευστικόν.

ΤΟ' Α' ΜΕΤΑ' ΤΟΥ' Ξ'.

Ἄξαι, κόλασαι, προστακτικόν.

Ἄξαντες, κατεάξαντες.

Ἄξειν γυναῖκας, ἐπὶ αἰχμαλωσίᾳ κεῖται παρ' Ὁμήρῳ. ὅθεν καὶ ἡ ἀπαγωγὴ, παρὰ

τοῖς

Digitized by Google

τοῖς ὕστερον. ἔτι δὲ καὶ τὸ ναυτικὸν ἀγώγιμον. ὅπερ ἐνδεικτικόν ἐστι, τὸ ἄξειν ἐν νήσοισι γυναῖκας.

Ἄξεινον, τὸν Εὔξεινον πόντον φησὶν ὁ Ἀπολλώνιος. οἱονεὶ κακόξεινον, τοῦ ᾱ σημαίνοντος τὸ κακόν. πρότερον μὲν γὰρ ὑπὸ λῃστῶν περιοικούμενος, ἄξενος ἐκαλεῖτο. καθαρθεὶς δὲ, Εὔξεινος τὸ μετὰ ταῦτα ἐκλήθη.

Ἀξέμεναι, ἐνεγκεῖν.

Ἄξενοι, οἱ μὴ ἔχοντες τὸ ξενοῦσθαι.

Ἄξενος, ἀνεπίμικτος.

Ἄξεσθαι, ἀγαγέσθαι, ἀφίξεσθαι, παραγενέσθαι.

Ἀξίνης, τραχείας. Σοφοκλῆς Σίνωνι.

Ἀξία, τιμὴ, καθῆκον, ἀξίωμα.

Ἀξιάγαστος, ἀξιοθαύμαστος.

Ἀξιαπηγητότατα, ἄξια ἀφηγήσεως, ἄξια τοῦ ἀφηγεῖσθαι.

Ἄξιτε, ἀντὶ τοῦ ἀνάγετε. τὸ ἄξω μέλλων, ἀνέδραμεν εἰς ἐνεστῶτα. καὶ τὸ προστακτικὸν, ἆξον ἀξάτω, ἄξατον ἀξάτων, ἄξατε ἀξάτωσαν.

Ἀξιεπιθύμητον, ἐπέραστον.

Ἀξιέπαινος, ὁ ἄξιος ἐπαίνου.

Ἀξιέραστος, ὁ ἀξιοεπιθύμητος, ὁ ἄξιος ἐπιθυμεῖσθαι.

Ἀξίνη, δίστομος πέλεκυς.

Ἀξιοῖ, ἀντὶ τοῦ δικαιοῖ. Ἀριστοφάνης, Σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, πρὶν ταῦτα καὶ φράσαι. καὶ Ἀριστείδης, οὐ γὰρ ἠξίωσαν αὐτοὶ δὴ αὐτὸ κρύψαντες ἐξαρνεῖν. καὶ ἀξιοῖ, ἀντὶ τοῦ καθιστάνει. Λιβάνιος, Ἀξιῶ δέ σε μὴ δυσχερῶς ἀκούειν, μετὰ Πηνελόπης καὶ Κλυταιμνήστρας. καὶ ἀξιοῖ, ἀντὶ τοῦ νομίζει, ὡς Ἀντιφῶν.

Ἄξιον παρ' Ἀττικοῖς, τὸ εὔωνον. Ἀριστοφάνης, οὐ πώποτ' ἀφύας εἶδον ἀξιωτέρας, ἤγουν εὐωνοτέρας, τῆς ἀξίας τιμῆς. ἀξιωτέρα, εὐωνοτέρα.

Ἄξιον, τὸ ἀτίμητον.

Ἀξιόληπτον, ἐπαινετόν.

Ἀξιομανεῖς, δυνατώτεροι.

Ἀξιομάχοι, ἱκανοὶ μάχεσθαι.

Ἀξιομνημόνευτος, ἄξιος μνημονεύεσθαι.

Ἄξιον, εὔωνον.

Ἀξιόπιστος, ἀξιόχρεως.

Ἄξιον ἄλφοι, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. ἢ ὑδέστερον, ἀντὶ τοῦ εὕρισκε τὸ ἄξιον, ἤγουν τὴν ἀξίαν τιμὴν, ἢ κατὰ γένος ἀρσενικὸν, ἐλλειπτικῶς. τὸ γὰρ πλῆρες, ὦνον ἄλφοι. ὡς καὶ ἀλλαχοῦ κεῖται. Ὅτι δὲ τὸ ἄξιον καὶ ἐπὶ τοῦ εὐώνου ἐκεῖτο παρὰ τοῖς ὕστερον Ἀττικοῖς, δηλοῖ σαφῶς καὶ ὁ κωμικὸς, ἔντε ἄλλοις, καὶ ἐν τῷ ἀξιωτέρας ἀφύας.

Ἄξιον, ὅτι ἀντάξιον Ὅμηρος λέγει, δεδήλωται ἀλλαχοῦ. οἱ δὲ ὕστερον Ἀττικοί, ἄξιον καὶ τὸ εὔωνον εἶπον, σημαίνει δέ ποτε ἡ λέξις καὶ τιμιότητα, ὡς δῆλον καὶ ἐκ τῶν ἐν ἀξίαις, ὅ ἐστι τῶν ἐν ἀξιώμασιν. τοιοῦτον δέ τι, καὶ τὸ τῆς παροιμίας. τὸ ἐξ ἀξίου γοῦν ξύλου ἀπάγξασθαι. γίνεται δὲ τὸ ἄξιον, ἐκ τοῦ ἄγω ἄξω. οἱονεὶ τὸ ἐπαγωγὸν, ὡς ἡδύ. ὡς δὲ καὶ ὄνομα ποταμοῦ, ὁ Ἄξιος, οὐκ ἄδηλόν ἐστιν.

Ἀξιόλογος, ἀξιομνημόνευτος. Ἀττικώτερον, ἄξιος λόγου, ἄξιος μνήμης.

Ἀξιοπιστότατον, ἀξιολογώτατον, ἄξιον ὑφηγήσεως.

Ἀξιοπιστία, ἡ πίστωσις. καὶ ἀξιόπιστος, οὐχὶ ὁ κατάπλαστος λέγεται.

Ἄξιος τριωβόλου ἄνθρωπος. καὶ ἄξιοι, οὐχ ὁ περὶ πολλοῦ. καὶ ἄξιός ἐστι μισεῖσθαι ὑπὸ τῆς πόλεως ἐκεῖνος. καὶ Ἄξιος, ποταμὸς Παιονίας.

Ἀξιούμενος, παρακαλούμενος, τυγχάνων.

Ἀξιόχρεως, ἀξιόπιστος. ἀξιοχρέως, ἱκανῶς. ἐπὶ μάρτυρος ταυτὸν δύναται τῷ ἀξιοπίστῳ. ὡς ἐνταῦθα καὶ παρ' Ἀριστείδῃ, ἀξιόχρεως μάρτυρας τοὺς κωμικοὺς ὀνομάζοντι. ὅτε δὲ λαμβάνεται ἀντὶ τοῦ ἁπλῶς ἀνθρώπου, ἔσον τι δύναται τοῦ ἀξιοπίστου. τίθεται γὰρ τότε, ἀντὶ τοῦ ἁπλῶς ἀξίου.

Ἀξιόμαχος, ἰσοδύναμος. Ἦν δὲ ἔχων στρατὸν ἀξιόμαχον.

Ἀξιοζήλως, ἐπαινετῶς. Ὁ δὲ ἐν ὀφθαλμοῖς τῶν ὑπάντων ἑαυτὸν ἀξιόζηλον διεχρήσατο.

Ἀξίοχος, Αἰσχίνου τοῦ Σωκρατικοῦ διάλογος ἐγράφη, ἀξίοχος καλούμενος.

Ἀξιομνημόνευτος, ὁ ἄξιος μνημοσύνης.

Ἀξιῶ, τὸ παρακαλῶ, αἰτιατικῇ συντάσσεται μόνῃ· οἷον, ἀξιῶ ὑμᾶς ὦ ἄνδρες, ἀντὶ τοῦ παρακαλῶ ὑμᾶς.

Ἀξιῶ, ὅταν γενικῇ συντάσσεται, σημαίνει ἄξιον κρίνω. οἷον, ἀξιῶ σε τοῦ θώκου. καὶ ἀξιῶ σε τιμῆς, ἤγουν ἄξιον κρίνω. καὶ ἀξιῶ σε ἐλθεῖν. καὶ Ζεὺς ἠξίωσε τὸν Γανυμήδην τῆς ἀθανασίας.

Ἀξιῶ, τὸ ὑπολαμβάνω· σημαίνει καὶ τὸ ἱκετεύω, καὶ τὸ νομίζω. καὶ ἀξιῶ σε ποιεῖν τόδε. καὶ ἀξιῶ σε τοῦδε, καὶ ἀμφότερα ἀντὶ τοῦ ἄξιον κρίνω.

Ἀξιῶ τὸ παρακαλῶ, τὸ ἄξιον κρίνω, καὶ τὸ τιμῶ. ἀφ' οὗ ἀξιούμενος, ὁ τιμώμενος. καὶ ἀξίωμα, ἡ τιμὴ, καὶ ἡ παράκλησις παρὰ τῇ θείᾳ γραφῇ, καὶ τὸ μέγεθος. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ, τὸ μὲν οὖν ἀξίωμα τοῦ παρόντος ἀγῶνος, ἤγουν μέγεθος. οὐχ ὁ αὐτὸς, καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς, ὡς ἐλευθερῶν τὴν Ἑλλάδα. φέρεται καὶ ἡ ἀξιωματικὴ παρὰ φιλοσόφοις, ἡ λεγομένη κοινὴ ἔννοια. οἷον, ἀξιοῦσι πάντες τὸν οὐρανὸν σφαιροειδῆ εἶναι.

Ἀξίωσιν, τιμήν. ὡς τὸ, Τὸν δὲ βασιλέα ὄντα κατ' ἀξίωσιν τῆς τρίτης μοίρας, μεγέθει τῆς χώρας, καὶ πλήθει τῶν ὑπηκόων.

Ἀξίωμα, ἡ ἱκετεία. ὡς ὁ Δαβὶδ, εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου κύριε. καὶ ἀξίωμα, βούλημα.

Ἀξιῶται, ἔθνος Τρωάδος.

Ἄξομαι, κάλλιον ἢ ἄξω.

Ἆξον. ἄγω, τὸ κλῶ. ὁ μέλλων ἄξω, ἀόριστος ἦξα, καὶ τὸ προστακτικὸν ἆξον.

Ἄξοον, τὸ ἄτμητον.

Ἄξονες, ἐν οἷς οἱ ἰδιωτικοὶ ἐγράφοντο νόμοι· οἳ γὰρ τετράγωνοι ὑπῆρχον πίνακες. ἄξονες, καὶ αἱ πράξεις τῆς ἀρετῆς.

Ἄξος, ὕλη παρὰ Μακεδόσι, καὶ πόλις Κρήτης.

Ἄξονα, ξύλον τὸ τοὺς τροχοὺς φέρον.

Ἀξύλιστον, ἄκοπον.

Ἄξυλον, πολιὰ. ὅθεν οὐδεὶς ξυλοφορεῖ. ἢ τὸ ἱερὸν τόπον.

Ἀξυγγενὲς, ἀλλότριον κατὰ γένος.

Ἀξυρὲς, ἄξυρον, ἄστομον, ἄτομον, ἀμβλύ.

Ἀξύμβλητος, ἀναπάντητος. ἢ δυνατός.

Ἀξύστατον, οὐ συνεστῶτα, οὐδὲ πυκνὸν, ἀλλ' ἀραιόν.

Ἀξυλία, ἡ ἔνδεια τῶν ξύλων.

Ἄξυνος, ἀκοινώνητος, πολύξενοι.

Ἀξύμμετρον, τὸ ὑπὲρ τὸ μέτρον.

Ἄξυλος ὕλη. ἡ δασεῖα καὶ πολύξυλος, κατὰ ἐπίτασιν. ἢ κατὰ Πορφύριον, ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο. ἣν ξύλοχον λέγει Ὅμηρος.

Ἄξω, ἀγάγω, φέρω. καὶ ἄξω ἐνταῦθα, καὶ ἐκεῖσε. ἀπάξω δὲ, τὸ ὀπίσω ἄξω.

Ἄξων, ἡ διάμετρος τοῦ κόσμου εὐθεῖα διὰ τῶν πόλων ἐπιζευγνυμένη. μέσην μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο πόλους πέρασι· καὶ περὶ ταῦτα μένουσα ἡ σφαῖρα στρέφεται. καὶ ἄξων, τὸ διὰ τῶν τροχῶν διῆκον ξύλον, περὶ ὃ στρέφονται.

ΤΟ Α. ΜΕΤΑ ΤΟΥ Ο.

ἈΟζήσω, διακονήσω, ὑπηρετήσω, ὑπουργήσω.

Ἄοζοι, πολύοζοι, πολλὰ ξύλα καίοντες. λέγει δὲ τοὺς μαγείρους. ὄζος γὰρ ὁ κλάδος.

Ἀοῖα, δένδρα κοπτόμενα, καὶ ἀνατιθέμενα τῇ Ἀφροδίτῃ.

Ἄοιγον, τὸν ὀλέθριον.

Ἀοιδάων, ᾠδῶν, φωνῶν.

Ἀοιδὴ, ἡ ᾠδή.

Ἀοιδιάει, ᾄδει, ὑμνεῖ.

Ἀοίδιμον, μέση λέξις ἐστὶ, καὶ οὐκ ἐπὶ ἐπαίνου λαμβάνεται.

Ἀοίδιμος, ὁ ᾀδόμενος. καὶ ἀοίδιμος, ὁ ἀείμνηστος. παρὰ τὴν ἀοιδὴν, ἀοίδιμος, ὡς σοφὴ σόφιμος, τουτέστιν ὁ ἐν ᾠδαῖς ἀεὶ μνημονευόμενος, ἢ ὀνομαζόμενος. καὶ ἀοίδιμος, ὑμνητός.

Ἀοιδοὶ, περιβόητοι, ὀνομαστοί. ἢ δύστυχοι.

Ἀοιδοπόλος, ὁ περὶ τὰς ᾠδὰς ἀναστρεφόμενος.

Ἀοιδὸς, κιθαρῳδός. προκατάρχει ῥῆμα, τὸ ἀοίδω. ἴσμεν δὲ, ὅτι ἔθος ἔχουσιν οἱ ποιηταὶ, παρατιθέναι τὰ ὀνόματα τοῖς ἀφ' ὧν γεγόνασι. πτολίεθρον, πόλις. μάχη, ἐμάχοντο. βοῦς, βουκολέεσκεν. οὕτω καὶ ἐνθάδε, ἀοιδὸς, ἀοιδήμεναι. ἀείδω, ἀοιδός. καὶ Ὅμηρος, καλὸν ἀοιδιάει. καὶ ἀοιδὸς, ῥαψῳδός.

Ἀοιδοὺς, ὁμοίους.

Ἄοιμος, ἀπόρευτος. οἶμος γὰρ ἡ ὁδός. ἢ ἄοιμος, ὁ ἄπορος, ἢ ἀληθὴς, ἢ ἀπρόστυχος. καὶ ἄοιμον, ἄρρητον.

Ἄοινα, ἱερὰ, τὰ καὶ νηφάλια.

Ἀοίνοοι, ἀείμνηστοι.

Ἄοινος, ἐπὶ τῶν μὴ γευομένων οἴνου, καὶ ἐπὶ τῶν μὴ ἐχόντων οἶνον.

Ἀοιρὰς, τὰς μακροτάτας πέτρας, οἱ δὲ μεγίστας, ἄλλοι ἀφυλάκτους.

Ἀολλέες, ὁμοῦ συνηγμένοι, παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι. ἀπὸ γὰρ τοῦ εἰλῶ ῥήματος, τοῦ σημαίνοντος τὸ συστρέφω. ἢ ἀπὸ τοῦ εἰλῶ ῥήματος, ὄνομα εἰλλὴς, καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ, ἢ τοῦ ἀθροιστικοῦ, ἤγουν τοῦ σημαίνοντος τὸ ὁμοῦ, ἀειλλὴς, καὶ τροπῇ τοῦ ῑ εἰς ō ἀολλής. ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἀολλέες. ἐκ δὲ τοῦ ἀολλὴς, γίνεται ἀολλίζω.

Ἀολλεῖ, συνάγει, ποιεῖ. καὶ ἀολλήσασα, ἀθροίσασα.

Ἀολληθῆναι, συναθροισθῆναι.

Ἀολλίζειν, φίλη λέξις ποιηταῖς. Ὅμηρος, οἱ δ' ἄρ' ἀόλλισαν κατὰ ἄστυ γεραιάς. καὶ, ἀολλίσασα γεραιάς.

Ἀολλόπους, ταχεῖς πόδας ἔχων.

Ἀονίοιο δράκοντος, ἀντὶ τοῦ Βοιωτικοῦ.

Ἀονία γὰρ τὸ πρότερον ἡ Βοιωτία.

Ἀόξεον, εὐθεράπευτον.

Ἀοξήσω, διακονήσω, ὑπουργήσω.

Ἀοξοὶ, μάγειροι, ὑπηρέται, θεράποντες, ἀκόλουθοι. Καλλίμαχος.

Ἀόξοος, ἀδιάγλυφος.

Ἄοπος, ἄφωνος, ἢ ἀόρατος.

Ἄοπτα, ἀντὶ τοῦ ἀόρατα, καὶ οὐκ ὀφθέντα, ἀλλὰ δόξαντα ὁρᾶσθαι. Ἀντιφῶν ἀληθείας πρώτῳ.

Ἄορ, τὸ ξίφος. κυρίως δὲ, ἡ σπάθη. ἐτυμολογηθείη δ' ἂν, ἀπὸ τοῦ αἱρῶ τὸ φονεύω. ἢ ἀπὸ τοῦ ᾱ στερητικοῦ, καὶ τοῦ ὁρῶ τὸ ποιεῖν τὸν ἄνθρωπον μὴ ὁρᾶν. ἀορασίας γὰρ ἐμποιητικὸν πᾶν ξίφος. καὶ κλίνεται, ἄορος ἄορι. ὑπαντιάσασα δὲ μήτηρ εἶπε κατὰ στέρνων ἄορ ἀνασχομένη.

Ἄορας, Ὅμηρος ἐν ρ̄ τῆς Ὀδυσσείας, τὰς γυναῖκας λέγει, παρὰ τὸ ἀείρω, τὸ συζευγνύω. ὡς καὶ ἡ Ἰλιὰς δηλοῖ, ἐν τῷ ἀμυνέμεν ὤρεσι, τουτέστι ταῖς γυναιξίν. ἄορ γὰρ ἐκ τοῦ αἴρω, τὸ συζευγνύω. ἡ γενικὴ ἄορος, καὶ πληθυντικὴ αἰτιατικὴ, ἄορας. μετατεθεῖσα ἡ ἄορ, ἐποίησε τὸ ὄαρ ὄαρος, ὅθεν ὀαρίζειν, καὶ ὀαριστύς. ἕτεροι δὲ ἄορα γράφουσι χωρὶς τοῦ σ̄, ἤγουν ξίφη. ὡς ἂν λέγῃ κατὰ μὲν πρώτην γραφὴν, αἰτῶν οὐ μεγάλα τινά. οἷον, γυναῖκας δμωὰς, ἢ λέβητας, ὁποῖα τοῖς ἀξίοις μεγάλοις δίδονται, ἀλλὰ ἀκόλους, τοὺς ῥηθέντας. κατὰ δὲ τὴν ἑτέραν γραφὴν, αἰτῶν οὐ ξίφη, καὶ τάδε τινὰ τιμῆς ἄξια, ἀλλὰ ψωμοὺς βραχεῖς τινάς.

Ἀόρατον, τὸ καθάπαξ ἀδύνατον ὁραθῆναι. οἷον, ἡ φωνή. ἢ τὸ πεφυκὸς ὁρατὸν, μὴ ὁρώμενον δέ· ὅπερ ἐστὶ, τὸ ἐν στερήσει. ἢ ὃ μὴ πέφυκεν ὀφθαλμοῖς σαρκὸς καθορᾶσθαι, ὡς ὁ νοῦς ὁ ἡμέτερος. ἢ ὡς ὁ ἐν τῷ βυθῷ σίδηρος. ὃς ὁρατὸς φύσει ὑπάρχων, ἀποκέκρυπται διὰ τὴν ἐπιπρόσθησιν τοῦ ἐπικειμένου αὐτῷ σώματος.

Ἀόρατος· ὥσπερ τὸ καλύπτεσθαι τὴν γῆν ὑπὸ τοῦ ὕδατος· ὡς τὸ, ἡ δὲ γῆ ἦν ἀόρατος. φύσει γὰρ ὁρατή· διὰ δὲ τὴν ἐπιπρόσθεσιν τοῦ ἐπικειμένου τῇ γῇ ὕδατος, ἦν ἀόρατος.

Ἀόργητος, ὁ μὴ ὀργιζόμενος.

Ἄορες αἱ γυναῖκες λέγονται, καὶ τρίποδες.

Ἄορι, τῷ ξίφει.

Ἀόριος, λιμήν, ἢ λίμνη.

Ἀόριστον, τὸ ὅρῳ μὴ ὑποβεβλημένον καὶ κατεχόμε-

Digitized by Google

χόμενον. οἷον, τὸ κατ' οὐσίαν θεὸς τὸ μόνον ἄκτιστον. ζήτει περὶ ἀορίστου, εἰς τὸ τί ἐστιν ὅρος. ἐν ᾧ καὶ περὶ ὁρισμοῦ.

Α'όριστος πρῶτος, ποτὲ μὲν φύσει μακρᾷ παραλήγεται. ὡς ἐπὶ τοῦ ἐποίησα, ἐνόησα, ἐστεφάνωσα. ποτὲ δὲ θέσει, ὡς ἐπὶ τοῦ ἔγραψα, ἔνυξα. ποτὲ δὲ φύσει καὶ θέσει, ὡς ἐπὶ τοῦ ἤλειψα. ποτὲ δὲ βραχείᾳ, ὡς ἐπὶ τοῦ ἐτέλεσα, ἐσύριστα, ἐγέλασα. ὅθεν καὶ ἀναλογώτεροι εἰσὶν οἱ ποιηταὶ διπλασιάζοντες δύο σσ, ἵνα μακρᾷ παραλήγηται. ἐτέλεσσα γάρ, καὶ ἐσύρισσα, καὶ ἐγέλασσα λέγουσιν. Α'λλως.

Α'όριστος πρῶτος ἐνεργητικὸς, εἴτε παράγεται ἀπὸ τῶν βαρυτόνων ῥημάτων, εἴτε ἀπὸ τῶν περισπωμένων, εἴτε ἀπὸ τῶν εἰς μι, ἀεὶ γίνεται ἀπὸ τοῦ μέλλοντος, τροπῇ τοῦ ω εἰς α, καὶ προσλήψει κατὰ τὴν ἀρχὴν τῆς αὐξήσεως συλλαβικῆς, ἢ χρονικῆς. καὶ ἀεὶ φυλάττει τὸ τοῦ μέλλοντος σύμφωνον. οἷον τύψω ἔτυψα, λέξω ἔλεξα, πείσω ἔπεισα, φράσω ἔφρασα, φανῶ ἔφηνα, θύσω ἔθυσα, ποιήσω ἐποίησα, βοήσω ἐβόησα, χρυσώσω ἐχρύσωσα. θήσω ἔθησα ὤφειλεν εἶναι, ἀλλὰ ἔθηκα ποιεῖ. στήσω ἔστησα. δώσω ἔδωσα ὤφειλεν εἶναι, ἀλλὰ ἔδωκα ποιεῖ. ἄξω ἦξα, ἀγορήσω ἠγόρησα, ὀρύξω ὤρυξα. χωρὶς τοῦ εἶπα, ἀπὸ τοῦ ἔπω. ἤνεγκα, ἀπὸ τοῦ ἐνέγκω. ἔθηκα, ἀπὸ τοῦ τίθημι. ἔδωκα, ἀπὸ τοῦ δίδωμι. καὶ ἧκα, ἀπὸ τοῦ ἵημι, τὸ πέμπω, ἀντὶ τοῦ ἧψα, ἤνεγξα, ἔθησα, ἔδωσα, ἧσα.

Α'όριστος δεύτερος, ἐπὶ τῶν βαρυτόνων ῥημάτων ἀεὶ συστέλλει τὴν παραλήγουσαν, χωρὶς τοῦ εἶπον, καὶ ἦλθον, ἧκον, εἶδον, εἷλον, εἷλκον, ἦγον, ὅθεν ἤγαγον. ἔπαρθον, ἔδαρκον, καὶ ἔδρακον κατὰ μετάθεσιν. ἔπραξον, ἤνεγκον, καὶ ἔπεφνον. ἐπὶ δὲ τῶν περισπωμένων ποτὲ μὲν φυλάττεται μακρὰ, ὅτι τὰ ἔχοντα δύο σύμφωνα, φυλάττουσι μακρὰν τὴν παραλήγουσαν τοῦ δευτέρου ἀορίστου, ἐπὶ τῶν περισπωμένων. οἷον, χασμῶ ἔχασμον, ὀλισθῶ ὤλισθον, βλαστῶ ἔβλαστον, ἀλαλκῶ ἤλαλκον, ἁμαρτῶ ἤμαρτον. τὰ δὲ μὴ ἔχοντα δύο σύμφωνα, συστέλλουσι τὴν παραλήγουσαν τοῦ δευτέρου ἀορίστου. οἷον, ληκῶ ἔλακον. χωρὶς τοῦ δουπῶ ἔδουπον, ποιῶ ἐποίον, καὶ δευρῶ δεῦρον. Α'λλως.

Α'όριστος δεύτερος ἐνεργητικὸς, ἀπὸ τοῦ πρώτου γίνεται, τροπῇ τῆς τελευταίας ου βραχύ, πρὸ τοῦ ου τεθειμένου τῆς συζυγίας τοῦ χαρακτηριστικοῦ συμφώνου. οἷον, τύπτω ἔτυπον, γράφω ἔγραφον. καὶ φιλεῖ ἐν τῇ παραληγούσῃ ἔχειν τὸ δίχρονον φωνῆεν. ὅθεν ἐὰν μὲν ἐν δισυλλάβῳ ῥήματι γένηται ε, ἡγουμένου ἢ ἑπομένου ἀμεταβόλου, ὡς ἐπιτοπλεῖστον τρέπεται εἰς α ἐν τῷ δευτέρῳ ἀορίστῳ. οἷον, δέρω ἔδαρον, πέρθω ἔπαρθον, πλέκω ἔπλακον, στέλλω ἔσταλον. τὸ δὲ λέγω καὶ φλέγω, ἔλεγον καὶ ἔφλεγον ποιοῦσιν. ἐὰν δὲ η, τρέπεται εἰς α βραχύ. ὡς ἐν τῷ λήβω ἔλαβον, λήθω ἔλαθον. ἐὰν δὲ ω, εἰς α ὁμοίως. οἷον, τρώγω ἔτραγον. ἐὰν δὲ δύο δίχρονα γένηται, τὸ δεύτερον ἐκβάλλεται. οἷον, καίω ἔκαον, φαίνω ἔφανον, παύω ἔπαον. ἐὰν δὲ ει δίφθογγος, ἐκβάλλεται τὸ ε. οἷον, πείθω ἔπιθον, λείπω ἔλιπον. χωρὶς τῶν δισυλλάβων ῥημάτων τῆς πέμπτης συζυγίας, ἐφ' ὧν τὸ ι ἐκβάλλεται, καὶ τὸ ε εἰς α τρέπεται. ὡς ἐν τῷ σπείρω ἔσπαρον, φθείρω ἔφθαρον. ὀφείλω δὲ ὤφελον, διὰ τοῦ ε. καὶ ἐγείρω ἤγερον, καὶ ἀείρω ἤερον· τρισύλλαβα γάρ ἐστιν. ἐὰν δὲ ευ, ἐκβάλλεται τὸ ε. οἷον φεύγω ἔφυγον, τεύχω ἔτυχον. ἐὰν δὲ ου, ἐκβάλλεται τὸ υ. οἷον, ἀκούω ἤκοον.

Α'όριστος πρῶτος παθητικὸς, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου γίνεται, τροπῇ τῆς τελευταίας εἰς ην, καὶ ἐκβολῇ τοῦ συμφώνου κατὰ τὴν ἀρχὴν, καὶ τροπῇ τῶν ψιλῶν εἰς δασέα. οἷον, τέτυπται ἐτύφθην, λέλεκται ἐλέχθην, πέπεισται ἐπείσθην, πέφρασται ἐφράσθην, κέκλιται ἐκλίθην. ἐκρίνθην δὲ καὶ ἐκλίνθην, ποιητικά. πεποίηται ἐποιήθην, βεβόηται ἐβοήθην. ἐμνήσθην, προσέλαβε τὸ σ. ὤφειλε γὰρ εἶναι ἐμνήθην, ἀπὸ τοῦ μέμνηται. ὁμοίως ἐρρώσθην, ἀπὸ τοῦ ἔρρωται. ἀλλὰ ἐσώθην ἀπὸ τοῦ σέσωσται, ἀντὶ τοῦ ἐσώσθην, ἀπέβαλε τὸ σ. ἔσπαρται ἐσπάρθην, μεμίανται ἐμιάνθην, καὶ πέφανται ἐφάνθην. καὶ τὴν παραλήγουσαν τοῦ παρακειμένου φυλάττει. ὡς τέτυμμαι ἐτύφθην, λέλεγμαι ἐλέχθην. χωρὶς τοῦ εὕρημαι, εὑρέθην, καὶ οὐχ εὑρήθην. καὶ ἐπλώνημαι ἐπηνέθην. καὶ χωρὶς τῶν συντεθειμένων ἀπὸ τοῦ αἱρῶ περισπωμένου ῥήματος, οἷον καθῄρημαι καθῃρέθην. ἀφῄρημαι, ἀφῃρέθην. καὶ ἔτι χωρὶς τῶν ἐχόντων τὸ ρ μετὰ ἐπιπλοκῆς συμφώνου, ἃ μεταβάλλουσι τὸ α εἰς ε ἐν τῷ ἀορίστῳ. οἷον ἔστραμμαι, ἀπὸ τοῦ ἔστρεφα ἐστρέφθην, τέτραμμαι ἐτρέφθην.

Α'όριστος δεύτερος παθητικὸς, γίνεται ἀπὸ τοῦ δευτέρου ἀορίστου ἐνεργητικοῦ. οἷον, ἔτυπον ἐτύπην, τροπῇ τοῦ ον εἰς ην.

Α'όριστος μέσος πρῶτος, γίνεται ἀπὸ τοῦ ἀορίστου πρώτου ἐνεργητικοῦ, προσθήκῃ τῆς μην συλλαβῆς· οἷον ἔτυψα ἐτυψάμην, ἔλεξα ἐλεξάμην, ἐποίησα ἐποιησάμην.

Α'όριστος μέσος δεύτερος, γίνεται ἀπὸ τοῦ δευτέρου ἐνεργητικοῦ, ἐπενθέσει τῆς μην συλλαβῆς. οἷον, ἔτυπον ἐτυπόμην.

Α'ορίστως, ἀπολύτως.

Α'οριστὺς, ὁμιλία.

Α'ορνις, λίμνη περὶ Κύμην. ἐπεκλήθη δὲ οὕτως, ὅτι οὐδὲν ὄρνεον δύναται περιπετάσαι. καὶ ὁ μὲν Λυκόφρων, λίμνην λέγει τὴν Α'ορνιν, καὶ ἕτεροι τινὲς, περὶ τὸν Ἠριδανὸν, θερμὴν, ὀζώδη, ἧς οὐδὲν ζῶον γεύεται. τελευτᾷ γάρ.

Α'ορνις, περὶ τὸν ἐν Βαΐαις κόλπον, κόλπος τις ἕτερος, ποιῶν χερρόνησον, ἔχουσαν ἰσθμὸν ὀλιγοστάδιον, ἀγχιβαθής φασι, καὶ ἀρτίστομος, περικυκλούμενος ὀφρύσιν ὀρθαῖς, συνηρεφὴς ἀγρίᾳ ὕλῃ μεγαλοδένδρῳ, καὶ ἀβάτῳ. ἐν ᾧ μῦθος, τοὺς ὄρνις ὑπερπετεῖς γενομένους, καταπίπτειν εἰς τὸ ὕδωρ, φθειρομένους ὑπὸ τῶν ἀναφερομένων ἀέρων, ὡς ἐν τοῖς Πλουτωνείοις. διὸ καὶ τοῦτο τὸ χωρίον, πλουτώνιόν τι ὑπελάμβανον.

Α'ορνος πέτρα, ἐν τῇ Ἰνδικῇ. Α'ρριανὸς, μέγα γάρ τι χρῆμα πέτρας ἐν ταύτῃ ἐστίν. ἔστι δὲ καὶ λίμνη οὕτω καλουμένη. ταύτην Α'λέξανδρος εἷλεν, ἣ τῷ Ἡρακλεῖ ἄπορος ἐγένετο ἡ πέτρα.

Α'ορον, μοχλόν, πυλῶνα, θυρωρόν. Κύπριοι.

Α'ορτὴν, ἣν λέγουσιν οἱ πολλοὶ νῦν, ἀβρετὴν. Μακεδονικὸν δὲ καὶ τὸ σκεῦος, καὶ τὸ ὄνομα. καὶ ἀορτὴ φλέψ, ἡ μεγάλη.

Α'ορτὴρ, ὁ λῶρος, ἐν ᾧ τὸ ξίφος κρέμαται. παρὰ τὸ αἴρω, ἀρτὴρ, καὶ πλεονασμῷ τοῦ ο, ἀορτήρ. αὐτὰρ περὶ κουλεὸν ἦν, ἐν χρυσέοις ἀορτήρεσιν.

Α'ορτήρεσι χρυσέοις ἀρηρὸς, ὅ ἐστι χρυσοῦς ἔχον ἀορτῆρας, ἤγουν ἀναφορεῖς. καὶ ὡς ἄν τις εἴποι δημοτεύόμενος, βαστάγια. ἢ κρεμαστῆρες, ἀπὸ τοῦ ἀείρω. ἐξ οὗ καὶ πήρας ἀορτήρ.

Α'ορτον, τὸ ἀπηρτημένον τοῦ πνεύμονος μέρος, παρὰ τῷ Ἱπποκράτει.

Α'ος, πνεῦμα, ἢ ἴαμα.

Α'οσσητὴρ, ὁ δίχα ὄσσης βοηθῶν, τουτέστιν ὁ ἕτοιμος καὶ ἀπροφάσιστος ἐπίκουρος. καὶ ἀοσσητῆρα λέγει ὁ ποιητὴς, τὸν σπουδαῖον βοηθὸν, καὶ δίχα ὄσσης ἀρήγοντα.

Α'οστον, ἄριστον.

Α'ούματα, τὰ τῶν πτυσσομένων κριθῶν ἄχυρα. Κύπριοι.

Α'ουτον, ἀνήκοον, ἄτρωτον.

Α'οψ, ἀνόφθαλμος.

ΤΟ' Α'. ΜΕΤΑ' ΤΟΥ Π'.

ΑΠαβοῖδορ, ἐμμελῶς. Λάκωνες.

Α'παγε, παῦσαι, μὴ γένοιτο. ἢ ἀντὶ τοῦ χρῶ τῇ ἀπαγωγῇ. οὕτω Δημοσθένης. καὶ παροιμία, ἄπαγε ξένον ἐν χειμῶνι, ἐπὶ τῶν ὀχληρῶν. καὶ ἄπαγε, ἀντὶ τοῦ ἀπαγωγῇ χρῶ. ἀπαγωγὴ δὲ, εἶδός ἐστι δίκης, ἢ δόξης, ἐν τῷ κατὰ Κόνωνος. ὠνόμασται δὲ, ἀπὸ τοῦ ἀπάγειν. ἀπάγεσθαι δὲ, ἐπὶ τῶν κακούργων. ἀπήγοντο δὲ, πρὸς τοὺς ἕνδεκα. Α'λλως.

Α'παγ' εἰς μακαρίαν, Α'ριστοφάνης. γράφεται δὲ καὶ ἔρρ' εἰς μακαρίαν, κατ' εὐφημισμὸν, ἀντὶ τοῦ εἰς ὄλεθρον. ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται. ἣν δὲ ἡ μακαρία, Ἡρακλέους θυγάτηρ, ἣν Α'θηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν, πολυτελῶς ἔθαψαν. Α'λλως. Παροιμιῶδες, τὸ βάλλ' εἰς μακαρίαν. ὅπερ οἱ μὲν κατ' εὐφημισμὸν ἐδέξαντο λέγεσθαι, ἀντὶ τοῦ βάλλ' εἰς δηλαιότητα. μακαρίαν γὰρ, ἐν ᾅδου χωρίον διατυποῦσιν. οἱ δὲ τὴν Μακαρίαν, θυγατέρα φασὶ τοῦ Ἡρακλέους. ἥγε κατὰ τὴν ἐπὶ τὰς Α'θήνας Εὐρυσθέως στρατείαν, τῶν Α'θηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας, πρὸς τὸν τοῦ ἐλέου βωμὸν καταφυγόντας, χρησμοῦ δοθέντος τοὺς Α'θηναίους νικήσειν, εἴ τις τῶν Ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτὸν, κατέσφαξεν ἑαυτήν. ὡς ἐν Ἡρακλείδαις Εὐριπίδης. ἧς τὸν τάφον ἄνθεσι καὶ στεφάνοις τιμῶντες οἱ Α'θηναῖοι, ὡς τῶν Α'ργείων ἡττηθέντων, ἐπέλεγον, τὸ βάλλ' εἰς μακαρίαν.

Α'παγγέλλειν, ὅτι ταυτὸν τῷ εἰπεῖν, παρ' Ὁμήρῳ δηλοῦται σαφῶς, ἐν τῷ, ἢ αἱ ἀπαγγέλλεσκε, καὶ οὐ οἱ ἔειπεν.

Α'παγγέλλω, τὸ μηνύω, καὶ διηγοῦμαι, δοτικῇ συντάσσεται. καὶ ἀπαγγέλλω, τὸ τὰ παρ' ἑτέρων εἰρημένα ἢ γεγραμμένα ἀπὸ στόματος λέγω. καὶ τὸ λέγω, ἢ φράζω, ἅπερ ἐγὼ εἶδον καὶ γινώσκω.

Α'πάγει, γενικῇ συντάσσεται. οἷον, ἀπάγω τῆς ὁδοῦ, δηλονότι ἐμαυτόν. σημαίνει δὲ τὸ μακρὰν πέμπει, καὶ εἰς τοὐπίσω κομίζει, καὶ ἀναστρέφει. Α'ριστοφάνης, ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε. καὶ ἀπάγει μετὰ γενικῆς ἐλλειπτικῶς τῆς αἰτιατικῆς λαμβανομένης. οἷον, ἀπάγω τῆς ὁδοῦ, ἐμαυτὸν δηλονότι, ἀντὶ τοῦ ἐκτρέπομαι, καὶ τὴν ὁδὸν ταύτην ἐῶ. καὶ παρὰ Συνεσίῳ, ἄπαγε τοῦ νόμου, ἀντὶ τοῦ κατάλειψον καὶ ἄφες.

Α'πάγειν, ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι. τούτων ἕκαστον ἐπὶ τῶν ἑτέρως κατηγορούντων λέγεται. ἀλλ' ἐὰν μὲν πρὸς διαιτητὰν ἡ διαδικασία γίνεται, καλεῖται δικάζεσθαι.

Α'πάγελος, ὁ μηδέπω συναγελαζόμενος παῖς, ὁ μέχρις ἐτῶν ἑπτακαίδεκα. Κρῆτες.

Α'παγκωνισάμενοι, ἐντείναντες τοὺς ἀγκῶνας.

Α'πάγεται ἐπὶ αἰχμαλωσίας, ἤγετο περιηγμένος τὼ χεῖρε. καὶ ἐπὶ καταδίκων. οἷον, ἀπάγεται τὴν ἐπὶ θάνατον, καὶ ἀπάγεται ἡ λεία, καὶ ἤγετο περιηγμένος τὼ χεῖρε. περιάγω γὰρ τὼ χεῖρε, ἤτοι εἰς τοὐπίσω δεσμῶ. περιάγω, καὶ τὸ πᾶσι καταφανῆ ποιῶ τινά. καὶ περιενέγκατε παρὰ τῷ Συνεσίῳ, εἰς τοιαύτην σημασίαν.

Α'πάγοντες, ἀπωθοῦντες, ἀπελαύνοντες, τὸν ἄνδρα ἀπάγοντες.

Α'παγορεύει, ἀποφαίνει, ἀποτρέπεται, ἀρνεῖται. ἀπαγορεύει τῷ Φιλίππῳ.

Α'παγόρευσις, ἀπόφασις.

Α'παγορεύω, μὴ λέγω, καὶ ἀπαγορεύω λέγειν. καὶ ἀπαγορεύω, τὸ ἀρνοῦμαι, αἰτιατικῇ συντάσσεται. οἷον, ἀπαγορεύω σε τὴν εἴσοδον, ἤγουν ἀποκλείω. καὶ ἀπαγορεύω, τὸ ἀποκάμνω. οἷον, ἀπαγορεύοντες τὸν πρὸς Σικελίαν ἀπόπλουν. καὶ ἀπαγορεύω ἀμεταβάτως, ἀντὶ τοῦ ἐνδίδωμι. καὶ ἀπαγορεύω τὸν νοσοῦντα, ἤγουν ἀπελπίζω. καὶ ἀπαγορεύω τὴν ἁμαρτίαν, ἤγουν ἀποπέμπομαι. καὶ ἀπαγορεύω σοι μὴ ποιεῖν τόδε.

Α'πάγουσιν, ἐνίοτε ταυτὸν τῷ ἄγουσι, καὶ περιττὴ κεῖται ἡ πρόθεσις. σημαίνει δέποτε ἡ λέξις, καὶ τὸ ἀποστερεῖν, καὶ ληΐζεσθαι, ὡς τὸ, ἀπάγουσι βόας.

Α'παγρευθεὶς, ἀφαιρεθείς.

Α'παγρος, ἀτυχὴς περὶ τὰς ἄγρας.

Α'παγωγὰς, αἰχμαλωσίας, ἀδυνατίας. καὶ ἀπαγωγὴ, μήνυσις ἔγγραφος, διδομένη τῷ ἄρχοντι περὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν δεῖνα. ὡς τὸ,

Digitized by Google

ὡς τὸ, Ἐνταῦθα ὁ Λικίνιος, κατὰ πρόφασιν ἀπαγωγῆς ἀφικόμενος. τὸ οὖν ἀπαγωγὴ, δίκης ἐστὶν εἶδος· ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν. ἀπήγοντο δὲ οἱ κακοῦργοι πρὸς τοὺς ἕνδεκα.

Ἀπαγωγή ἐστιν, ὅταν μετὰ τὴν ἀπόφασιν, ἐξέρχηταί τις, ὡς καταδίκος τοῦ δικαστηρίου. Ἄλλως. ἀπαγωγὴ, δικαστηρίου ὄνομα. ἔστι δὲ, ὅταν τις ὃν ἔστιν ἐνδείξασθαι, μὴ παρόντα, τοῦτον παρόντα ἐπ' αὐτοφόρῳ λαβὼν ἀπάγῃ.

Ἀπάγω, τὸ μακρὰν ποιῶ ἵστασθαι. καὶ ἀπάγει τοῦ δεῖνος τὸν δεῖνα, ἀντὶ τοῦ διϊστᾷ. καὶ ἀπάγει τὸν δεῖνα τῷ δεῖνι, ἀντὶ τοῦ κομίζει. καὶ ἀπάγει τὸν δεῖνα, παρὰ τὸν δεῖνα. Ἡρόδοτος, συλλαβόντες ἀπάγεται παρ' ἐμέ.

Ἀπαγών, ἀφελών.

Ἀπάδει, ἐναντιοῦται, οὐ συμφωνεῖ. καὶ ἀπάδει ἀπαρέσκει. καὶ ἀπᾷδον, οὐ συνᾷδον.

Ἀπάδοντα, ἀλλότρια.

Ἀπάδοντες, ἀπαρέσκοντες.

Ἀπαειρόμενον, ἀπαίροντα.

Ἀπάθεια τοῦ νοῦ, ἡ ἀπὸ τῆς κτίσεως ἀποδημία.

Ἀπαθὲς, τὸ πάσης ὕλης χωρὶς, καὶ ὑπὸ ταύτης οὐδαμῶς νοηθῆναι δυνάμενον. ἢ πάθους χωρὶς, καὶ πάσης ἁφῆς ἀνώτερον. καὶ ἀπαθὲς, τὸ ὑγιαίνειν ἐν τῷ τεθνάναι μᾶλλον, ἢ ἐν τῷ ζῆν.

Ἀπαθῆ, ἀντὶ τοῦ τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη. καὶ ἀπαθῆ, ἄλυπον.

Ἀπαθὴς παρὰ τοῖς Ἀττικοῖς, οὐ λέγεται ὁ σπουδαῖος καὶ κατ' ἀρετὴν ζῶν, ἀλλ' οἱ ἔξω πάθους παντὸς σωματικοῦ, καὶ δυσχερείας ἄλλης δυναμένης φθορὰν ποιῆσαι τῷ σώματι. καὶ ἀπαθὴς ἀνάλγητος, ἀβλαβὴς, ἄτρωτος, σκληρός.

Ἀπαιάζειν· παρεῖσθαι, παραλελύσθαι.

Ἀπ' αἰγείρων· ἀνδροκλέα τῶν ἀπ' αἰγείρων, ἀντὶ τοῦ τῶν συκοφαντῶν. ἐπειδὴ ἐκ τῆς ἐν τῇ ἀγορᾷ αἰγείρου τὰ πινάκια ἐξῆπτον, τουτέστιν ἐξήρτων οἱ ἔσχατοι.

Ἀπ' αἰγείρου θέα, καὶ ἐπ' αἴγειρον, ἤγουν ἀπὸ τῶν ἐσχάτων. αἴγειρος γὰρ ἐπάνω ἦν τοῦ θεάτρου. ἀφ' ἧς οἱ μὴ ἔχοντες τόπον ἐθεώρουν.

Ἀπ' αἰγίλιπος πέτρης, ἀντὶ τοῦ ἀπὸ ὑψηλῆς πέτρας.

Ἀπᾴδειν, τὸ μὴ λέγειν προσόμοια.

Ἀπαιδευσία, ἀγυμνασία.

Ἀπαίδευτοι, ἀνόητοι, ἄτακτοι.

Ἀπαίδευτος, ἐπὶ ψυχῆς καὶ σώματος λέγεται. καὶ ἀπαίδευτος, ὁ ἀκόλαστος. κολάζειν γὰρ, τὸ παιδεύειν. καὶ κεκολασμένα ἤθη, τὰ πεπαιδευμένα. παρὰ δὲ τοῖς ποιηταῖς, ὁ ἀπαίδευτος καὶ ἀποφώλιος λέγεται. οὐ μὴν πᾶς ὁ ἀπαίδευτος, ἀλλ' ὁ κατὰ ψυχὴν μόνον. καὶ ἀπαίδευτος, ὁ μωρὸς, καὶ ἄτακτος.

Ἀπαιδία, ἡλικία.

Ἀπαιδοίωται, ἀπηναισχύντηκε, τέτμηται.

Ἀπαιδοτρίβητον, ἀγύμναστον, ἀπαίδευτον.

Ἀπαιθριάζει, ἀντὶ τοῦ εὐδίαν ἄγει. Ἀριστοφάνης, ἀπαιθριάζει τὰς νεφέλας. ἢ ξυνεφεῖ, ἀντὶ τοῦ συνάγει τὰ νέφη.

Ἀπαινύμενος, ἀφαιρούμενος.

Ἀπαΐξαι, ἀπελθεῖν, ἀποχωρῆσαι.

Ἀπαιόλη, ἡ ἀπάτη, καὶ ἀποστέρησις. γίνεται ἀπὸ τοῦ αἰόλλω. Αἰσχύλος, τέθνηκεν αἰσχρῶς χρημάτων ἀπαιόλῃ. ἐκεῖθεν δὲ καὶ ἀπαιόλημα, τὸ ἀποπλάνημα, καὶ ἀποκάθαρμα. ὃ καθαρῶς νοήσας ἐν σαφηνείᾳ Σοφοκλῆς, ἄλημα τὸ ἁπλῶς δόλιον καὶ αἱμύλιον Ὀδυσσέα λέγει. καὶ ἄλημα στρατοῦ, ᾧ παράκειται εἰς ἑρμηνείαν. καὶ τὸ αἱμυλώτατον. καὶ ἀπαιόλη, Ἀριστοφάνης πέπλακεν ὄνομα δαίμονος, σωματοποιήσας αὐτὴν παρὰ τὸ ἀπαιολεῖν, καὶ κινεῖν, καὶ στερεῖν. ἢ τινὰ τοιαύτην, ὡς ἂν εἴπῃ τις ἡ ἀδικία. Ἀριστοφάνης ὀξωύεσθαί φησι τὴν ἐσχάτην, ἀπαιολή.

Ἀπαιόλησις μισθοῦ, ἀποστέρησις μισθοῦ. ὡς ὑστεροῦντας τῶν μισθῶν τοὺς ὑπουργοῦντας.

Ἄπαιρε, ὃ οἱ παλαιοὶ ἆρον λέγουσιν.

Ἀπαίρει, ἀποδημεῖ, ἀναχωρεῖ, ὁδεύει. ἀπαίρω, ἀπαρῶ, ἀπῆρα καὶ ἀπῆρκα.

Ἀπαίρειν, ἀντὶ τοῦ παραγενέσθαι.

Ἀπαίροντες, μεθιστάμενοι. οὕτως Ἀριστοφάνης.

Ἄπαις, ὁ οὐκ ἔχων παῖδας, καὶ ἄτεκνος. λέγεται δὲ, καὶ ὄνομα πόλεως.

Ἀπαισίως, βλασφήμως, ἀπρεπῶς, ἀσυμβόλως, ἀσινῶς.

* Ἀπαίσια, τὰ μὴ αἴσια. αἴσια δὲ τὰ ἱερὰ, ἢ τὰ δεξιά.

Ἀπαισός. πόλις κατὰ Τρωάδα. λέγουσι καὶ δίχα τοῦ α. ὃς ῥ' ἐνὶ Παισῷ. ὁ πολίτης Ἀπαισινὸς, καὶ Παίσιος.

Ἀπαισχυνεῖ παρὰ Πλάτωνι, ἀντὶ τοῦ μὴ αἰσχυνθείης.

Ἀπαιτίζοντα, ἀπαιτοῦντα.

Ἀπαιτίζω, παραγωγὴν ἔχει, ὁποίαν καὶ τὸ νεμεσίζω. Διαφέρει δὲ τοῦ αἰτεῖν, τὸ ἀπαιτεῖν. ὡς καὶ διδόναι, τοῦ ἀποδιδόναι. αἰτεῖ μὲν γάρ τις, τὸ μὴ χρεωστούμενον, ἀπαιτεῖ δὲ, τὸ χρέος.

Ἀπαιτῶ, τὸ κεχρεωστημένον λαμβάνω, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, ἔπειτ' ἀπαιτεῖς ἀργύριον τοιοῦτος ὤν.

Ἀπαιώνιστον, δύσφημον. Εὐριπίδης ἀλλαχοῦ, καὶ ἐν Μηδείᾳ. Κόρινθον ἀπαιώνιστον, δύσφημον.

Ἀπαιωρήσας, κρεμάσας, κουφίσας. ἐκ τοῦ αἴρω, τὸ κουφίζω, πλεονασμῷ τοῦ ω αἰωρῶ, αἰωρήσω.

Ἀπ' ἄκρας μάχη, ἡ ἑνὸς πρὸς ἕνα μάχη, Λάκωνες.

Ἀπακτέων, ὁ κινεῖσθαι μὴ δυνάμενος.

Ἀπάκτου, ἀπάγαγε, κόμισον. Σοφοκλῆς, ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου, καὶ δῶμ' ἀπάκτου. ἀπὸ τοῦ ἄγω, ἄξω, ἦχα, ἦγμαι ἦξαι ἦκται. ἢ ἀπὸ τοῦ ἀπακτόω ῥήματος.

Ἀπάλαμνον λέγει Ὅμηρος τὸν ἄπειρον, καὶ μὴ ἔχοντα τεχνάσασθαί τι: ὡς οἷον ἄχειρα καὶ μὴ ἔχοντα παλαίειν, ἢ παλαμᾶσθαί τι. οὐ ἀνάπαλιν παλαμναῖος, οὐ μόνον κοινότερον ὁ βριαρόχειρ, ἀλλὰ καὶ ὁ αὐτόχειρ κατὰ τοὺς παλαιοὺς φονεύων, καὶ τινὶ μιάσματι ἔνοχος. καὶ Ζεὺς δέ φασι παλαμναῖος, ὁ τοὺς φονεῖς καταρρίπτων. καί τις δέ φασι κατὰ θηρίων ἀσπὶς, παλαμναία ἐκαλεῖτο. ψογερὰ δὲ ἡ λέξις ἀεὶ παρὰ τοῖς ῥήτορσι δίχα Διός. ὁ παλαμναῖος, οὐ μὴν οὕτω καὶ ἀπάλαμνος.

Ἀπάλαμνος, ἀσθενὴς, ἀμήχανος.

Ἀπαλαστήσασα, σχετλιάσασα.

Ἀπαλαύξινα, εἰς αὐτὸν καταστρέφοντα.

Ἀπαλγήσαντας, ἀντὶ τοῦ παυσαμένους ἀλγεῖν. ὥσπερ καὶ τὸ ἀπολοφυράμενοι.

Ἀπαλγοῦντες, ἀπογινώσκοντες. ἀπαλγοῦντας δὲ αὐτοὺς ἀπὸ τοῦ πολλοῦ ῥίγους, ἐπερρώννυον.

Ἀπαλεῖν, ἀμελεῖν.

Ἀπαλέξασθαι, ἀντιτάξασθαι. Σοφοκλῆς, οὐδὲν σθένομεν πρὸς ταῦτ' ἀπαλέξασθαι, σοῦ χωρὶς ἄναξ.

Ἀπαλεξῆσαι, κωλῦσαι. καὶ ἀπαλέξαι, ὁμοίως.

Ἀπαλεξήσει, βοηθήσει. τὸ ἀπαλεξήσει κακόφατος παρ' Ὁμήρῳ, ἐξεῦρε συντιθέναι τὸ παρὰ τοῖς ὕστερον ἀλεξίκακον.

Ἀπαλεξίκακον, ἀθεράπευτον.

Ἀπαληθεύειν, τὸ τἀληθὲς ἐξευρίσκειν. καὶ ἀπαληθεύω, τὸ τὴν ἀλήθειαν ἐκφαίνω. ὡς τὸ, Ὁ δὲ χρόνῳ ὕστερον ἐφωράθη, τῷ πάντα ἐκκαλύπτοντι καὶ ἀπαληθεύοντι, τοῦτο τὸ δολερὸν ἀναφαίνεται.

Ἀπαλθήσεσθαι, τὸ θεραπευθήσεσθαι. ἢ καὶ ἐνεργητικῶς θεραπεῦσαι εἰς ὑγίειαν. ἀπὸ τοῦ ἄλδω, τὸ αὐξάνω, κατὰ τὴν συγγένειαν τοῦ δ πρὸς τὸ θ. ἧς ἔνδειξις καὶ ἐν τῷ προτένθης, ὃ ἐκ τοῦ τένδω γίνεται, τροπῇ τοῦ δ εἰς θ, δηλοῦν τὸ προτένθην. τοῦτο δὲ ὡς τῆς νόσου φθίνειν ποιούσης. ὅπερ ἐναντίον τῷ ἀλθεῖσθαι, ἤτοι αὔξεσθαι. οὐ τὸ πρωτότυπον ἄλδω. ἢ παρὰ τὸ ἀλδῶ ἀλδήσω. ἐξ οὗ ἀλδίσκω, τὸ αὐξάνω. καὶ Ἄλδισκος ποταμός. ἐκ τοῦ ἄλλω ἄλλομαι γίνεται, ἐπενθέσει συνήθει τοῦ δ. ἄλλονται γὰρ πῶς ὑψοῦ. καὶ ἀλδίσκω, τὸ αὐξάνομαι. καὶ ἀπαλθήσεσθον, ὁμοίως. ἀλθέω ἀλθῶ, πρώτης συζυγίας τῶν περισπωμένων. ὁ μέλλων ἀλθήσω, ἀλθήσομαι ἀλθήσῃ, ἀλθησόμεθα, ἀλθήσεσθον. τὸ δὲ ἄλθω, παρὰ τὸ ἄλδω.

Ἀπάλιον, θῦμα, δελφάκιον.

Ἀπαλλάξαι, ἀφανίσαι. καὶ ἀπαλλάξωμεν, ἀντὶ τοῦ ἀφανίσωμεν. τῶν ἄλλων σκευῶν τὰ περιττὰ ἀπαλλάξωμεν. καὶ ἀπαλλάξαι, ἀντὶ τοῦ φυγαδεῦσαι. προσωτάτω Ἀρμενίας ἀπαλλάξαι.

Ἀπαλλάξας, ἀντὶ τοῦ πείσας ἀποστῆναι. οὕτω Κρατῖνος, Δημοσθένης, καὶ ἄλλοι.

Ἀπαλλάξειεν, μετακινήσειεν, πῶς καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον.

Ἀπαλλαξείοντες, ἐπιθυμίαν ἔχοντες ἀπαλλαγῆναι.

Ἀπάλλαξις, ἀπαλλαγή.

Ἀπαλλᾶσθαι, ἀπαντλεῖν.

Ἀπαλλάττειν, λέγεται καὶ ἀντὶ τοῦ ῥύεσθαι, καὶ λυτροῦν, συντασσόμενον γενικῇ. οἷον ἀπαλλάττω σε τῶν κακῶν. ἀπαλλάττειν καὶ τὸ διατρίβειν, καὶ διαγίνεσθαι. Εὐριπίδης, ἀνάγκη πεινῆν διὰ βίου, καὶ ἀθλιώτερον ἀπαλλάττειν, ἤτοι διατρίβειν.

Ἀπαλλάττεις, ἀποπέμπεις.

Ἀπαλλάττω, τὸ ἐλευθερῶ, καὶ τὸ διάγω. οἷον, οὐκ ἄμεινον ἀπαλλάττουσι τῶν τῆς ἐφημέρου τροφῆς δεομένων. ἀπαλλάττομαι δὲ, τὸ ἐλευθεροῦμαι, καὶ ἀπέρχομαι. Ἀριστοφάνης, ἀπαλλάχθητον ἀπ' ἐμοῦ.

Ἀπαλλητὸν, θαυμαστόν, ἔξαλλον, πολὺ παρηλλαγμένον.

Ἁπαλοβραχία, ἁπαλοανθῆ, ἁπαλῶς θάλλοντα.

Ἀπαλοῖξαι, ὀμόσαι. Λάκωνες.

Ἀπαλοῖς, μικροῖς.

Ἄπαλαν, ἀνοχή. ἀπὸ τοῦ παλαίειν.

Ἁπαλὸς, ἐπὶ ζώων καὶ φυτῶν, οἷον ἁπαλὰ βρέφη, καὶ ἁπαλὸν ῥόδον. μαλακὸν δὲ, ἐπὶ κηροῦ, καὶ τῶν τοιούτων, καὶ ἀπὸ τούτων ἐπὶ ἤθους καὶ λόγων. μαλάσσεται γὰρ ὁ κηρὸς, καὶ τὸ ἦθος, καὶ ὁ λόγος, καὶ ἔτι ὁ σίδηρος ὑπὸ πυρός. οἷον, χαυνοῦται, καὶ ἐνδίδωσι. παρὰ δὲ τῇ θείᾳ γραφῇ, καὶ λόγοι ἁπαλύνονται ὑπὲρ ἔλαιον.

Ἁπαλώτερος στρύχνου, ἐστὶν ἐν τῷ τρύχνος.

Ἀπαμβλύνει, ἐκκαθαίρει σκότους καὶ ἀλλοιώσεως.

Ἀπαμβρέχον, ἀνδρίζου, καρτέρει.

Ἀπάμεια, πόλις Συρίας. ἀπὸ Ἀπαμείας, τῆς Σελεύκου μητρός. ὁ πολίτης, Ἀπαμεύς.

Ἀπαμείβομαι, ἀνταποκρίνομαι.

Ἀπαμείρεται, ἀποκεχώρισται, ἀποστερεῖ, ἀφαιρεῖται. ἐκ τοῦ μείρω, τὸ μερίζω. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀμείρω. καὶ ἐν συνθέσει, ἀπαμείρω.

Ἀπαμήσατο χερσὶ φίλησιν, ἀντὶ τοῦ συνέλεξεν. ἐκ μεταφορᾶς τῶν ἀμώντων. οὕτω καὶ κόνιν τις ἐπαμᾶται χερσὶ, καὶ τέφραν.

Ἀπαμήσεται, ἀποθερίσει.

Ἀπαμυνεῖ, ἀποτρέψει.

Ἀπαμυντοὶ, βοηθοί.

Ἀπαμφιάσαι, γυμνῶσαι.

Ἀπαμφιέσαντες, ἀπενδύσαντες. καὶ ἀπαμφιεῖ, ἀποκαλύψει. ὡς τὸ, Ἀπαμφιεῖ γὰρ τὸ κατάπλαστον τοῦτό μου, καὶ λανθάνειν βουλόμενον, ἡ μέθη ποτέ.

Ἅπαν, ὅλον, ἅπαντα. τὸ ἅπαν, οἱ μὲν Ἴωνες συστέλλουσι, καὶ ὁ ποιητής, Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον· οἱ δὲ Ἀττικοὶ, ἐκτείνουσι τὴν ὑστέραν. καὶ τὸ παράπαν, ὁμοίως καὶ τὰ τοιαῦτα.

Ἀπαναίνου, ἀποστρέφου.

Ἀπαναίνομαι, ἀρνοῦμαι.

Ἀπανᾶν, καλεῖν.

Ἀπανάστασις, ἀποικία.

Ἀπάνεσον, κάλεσον. Λάκωνες.

Ἀπάνευθεν, ἔχει περιττὴν τὴν πρόθεσιν. καὶ σημείωσαι ὅτι τὰ εἰς θεν ἐπιρρήματα παρὰ τοῖς παλαιοῖς, φωνήεντος μὲν ἐπιφερομένου, ἐφέλκονται χάριν εὐφωνίας τὸ ν, οἷον ἀπάνευθεν ἔρχεται. εἰ δὲ σύμφωνον ἐπιφέρεται, δίχα τοῦ ν ἐξεφωνοῦντο. οἷον, ἀπάνευθε κατῆλθεν.

Ἀπανεχθῆναι, ἀπενεχθῆναι, ἀναιρεθῆναι.

Ἀπανηνάμενοι, ἀπαρνησάμενοι.

Ἀπανθήσαντα, ξηρανθέντα.

Ἀπανθρακίδες, οἱ πρὸς ὄπτησιν ἐπιτήδειοι ἰχθύες. καὶ πέμματος εἶδος, ἀπανθρακίς.

Ἀπανθρακίζομεν, ἀντὶ τοῦ ἄνθρακα ἐσθίομεν. ἔστι δὲ εἶδος ἰχθύος, ὃ παροπτῶντες ἐσθίουσιν. ἢ ἄνθρακας πυροῦμεν.

Ἀπαν-

Digitized by Google

Ἀπανθρωπία, ἡ κακία. ὅταν γάρ τις μὴ κατὰ ἄνθρωπον ποιῇ, τοῦτο ἀπανθρωπία λέγεται.

Ἀπάνθρωπος, σκληρός, ἀνόητος, ἄφρων, ἀνελεήμων. Σοφοκλῆς.

Ἀπαυαινόμενοι, ξηραινόμενοι.

Ἀπαντᾶν, ἀντὶ τοῦ ἐναντιοῦσθαι. Ἀριστοφάνης, ἐγὼ δ' ἀπαντῆσαι ἐκείνοις βούλομαι, καὶ τὸ μάχεσθαι, δοτικῇ συντάσσεται. καὶ ἀπαντᾶν, τὸ ἀφικέσθαι, καὶ τὸ ἐκβάλλειν. Δημοσθένης, εἰς τὴν βουλὴν ἀπαντήσας, ἤγουν ἀφικόμενος.

Ἅπαντα τόλμης πλέα, καὶ ἀναισχυντίας, ἐπὶ τῶν ἰταμῶν, καὶ ἀναιδῶν.

Ἀπαντήσαντος, παραγενομένου, φθάσαντος.

Ἀπαντῆσαι, χωρῆσαι, διαρκέσαι, πληρῶσαι.

Ἀπαντίζορα, ἐναντία.

Ἀπαντικρὺ τοῦ δεῖνος, καὶ καταντικρὺ λογογράφοι. ἀντικρὺ δὲ, ποιηταί. σημαίνει δὲ τὸ κατὰ πρόσωπον τινός.

Ἀπαντικὰ, ἀνέντροπα, ἐκτετιμένα.

Ἀπαντλοίην ἄν, ἐπικουφισαίμι ἄν.

Ἀπαντωμένων, συμβαινομένων, γινομένων. Οὐ μὴν ἀλλὰ τοιούτων ἀπαντωμένων, οὐδὲν ἱκανὸν ἦν πρὸς τὸ κωλύειν τὴν ὁρμὴν τῶν ῥωμαίων.

Ἅπαξ, ἐπίρρημά ἐστιν ἀπαριθμήσεως. ὡς τὸ τετράκις, τὸ πεντάκις, καὶ τὰ τοιαῦτα. λέγεται δὲ καὶ ἀπὸ τοῦ οὐδενὸς ἐπίρρημα κατὰ ταύτην τὴν ἀκολουθίαν, τὸ οὐδ' ἅπαξ. καὶ τὸ μὲν ἅπαξ ἐφ' ὧν γίνεται ἀριθμῶν, φυλάττει τὸ αὐτὸ εἶδος. οἷον ἅπαξ τὰ τέτταρα, δ'. ἅπαξ τὰ πέντε, πέντε. τὸ δὲ οὐδ' ἅπαξ ἐφ' ὃν γίνεται ἀριθμὸν, ἀναιρεῖ αὐτόν. οἷον οὐδ' ἅπαξ τὸ ἕν, οὐδέν. οὐδ' ἅπαξ τὰ πέντε, οὐδέν. καὶ ἅπαξ, ἀντὶ τοῦ οὕτως, καὶ βεβαίως. ὡς τὸ, ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου. Ἄλλως.

Ἅπαξ, ἢ δὶς, τῆς ἡμέρας, τρὶς τοῦ μηνός, τετράκις, καὶ πολλάκις τοῦ ἐνιαυτοῦ, ἐπιρρήματα ποσότητος, μετὰ γενικῆς συντάσσονται.

Ἀπαξάπαντες, δύο μέρη τοῦ λόγου τὸ ἀπαξάπαντες οὔ φασι πάντες, ἀλλ' ὁμοῦ πάντες. τὸ γὰρ ἀπαξάπαντες ἐπιτάσεως λαμβάνεται. ὑφ' ἓν δὲ ταῦτα τίθεται καὶ προφέρονται ὡς δηλαδὴ, ἀπαξαπλῶς.

Ἀπαξάπαντα, ἀπὸ μικροῦ ἕως μεγάλου.

Ἀπαξιοῖ, οὐκ ἀξιοῖ, ὑπερηφανεύεται.

Ἀπαξιῶν, ἀνάξιον ἡγούμενος.

Ἀπαξίωσις, καταφρόνησις. Ὁ δὲ Φίλιππος ἐδυσχέραινεν, ἐπὶ τῇ τῶν Κερκυραίων ἀπαξιώσει.

Ἀπαξοὶ, μοναχοί.

Ἄπαξον, ἀπορρίπισον.

Ἀπάξω, ἐκεῖθεν ἄξω.

Ἀπαπαὶ, συγκαταθετικὸν ἐπίρρημα.

Ἀπαπαρίζειν, ἐπαίρειν.

Ἀπαράβατον, ἄπιστον.

Ἀπαράβλητος, ἀσύγκριτος, ἀνόμοιος.

Ἀπαραγγέλτως, ἀκελεύστως. Πολύβιος.

Ἀπάραζεν, ἀπέτεμεν.

Ἀπαραίτητον, ἄφευκτον. ὃ οὐ δύναταί τις παραιτήσασθαι.

Ἀπαραιτήτως, ἀσυγχωρήτως, ἀσυγχύτως.

Ἀπαράκλητοι, αὐτόματοι. Θουκυδίδης, Τῶν αὐτονόμων Θρᾳκῶν, ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν. ἀπαράκλητοι, καὶ ἀπαρηγόρητοι.

Ἀπαράκλιτος, ἀνόμοιος, ἀσύγκριτος.

Ἀπάρακτον, ἀπαυστον, ἀπάρατον.

Ἀπαράλλακτον, ἀλλοιωτόν.

Ἀπαραλλάκτῳ, ὁμοίῳ, κατὰ μηδὲν παραλλάσσοντι.

* Ἀπαράλεκτος, ἄσμηκτος, ἀπὸ τοῦ σμήχω τὸ καθαίρω.

Ἀπαράντινα, ἀπαράλλακτα.

Ἀπάραξεν, οὐκ ἔχει κυριωτέραν λέξιν εἰπεῖν ὁ Ποιητὴς, ἐπὶ τῶν πληγῶν. δηλοῖ γὰρ τὸ ἰσχυρῶς καὶ ἀθρόον ἀποκόψαι καὶ κρατερῶς, ὡς τρέτον Ἄρη, ὅ ἐστι σιδήρῳ.

Ἀπαραπόδιστα, ἐπλανῆ.

Ἀπαραποιήτως, ἀπλάστως.

Ἀπαρασάλπιγκτοι, ἀπερίηχητοι.

Ἀπάρας, σκεψάμενος, ὁρμήσας.

Ἀπαράσημον, ἀπαραχάρακτον.

Ἀπαράσσεται, ἀποκατάγνυται.

* Ἀπαράσκευος, ἀπαρασκεύαστος, δύσχερής, δύσκολος.

Ἀπαράτιλτος, δασὺς, καὶ ἄκοσμος τὰς τρίχας, καὶ ἐκ μακροῦ χρόνου ἀλουτιῶν, ἢ ἄλουτος ὤν.

Ἀπαράτρωτος, ἀπαρασάλευτος.

Ἀπαράχυτος οἶνος, ᾧ οὐ προστέθηται θάλασσα.

Ἀπάργματα, τὰς ἀπαρχὰς λέγουσιν, ἃς εἰώθασιν οἱ ἱερεῖς λαμβάνειν. καὶ ἀπάργματα λέγονται, τὰ ὑπὸ τῶν Τραγῳδῶν λεγόμενα μαχαλίσματα. ταῦτα δέ ἐστι τὰ τοῦ φονευθέντος ἀκρωτηριάσματα. τὰ γὰρ ἀκρωτήρια, εἴροντες καὶ συρράπτοντες, διὰ τῶν τοῦ νεκροῦ μαχαλῶν καὶ τοῦ τραχήλου, παρετίθετο τῷ νεκρῷ, καθάφησι Σοφοκλῆς.

Ἀπαρεμποδίστως, ἀνεμποδίστως.

* Ἀπαρτία, τὰ ἔπιπλα τῶν σκευῶν.

Ἀπάρχεσθαι, τὸ τοῖς ἀγύρταις ἀργύριον ἐμβάλλειν. καὶ ἀπάρχον, ἀρχὴν βάλλε, ἢ ἀπαρχὰς πρόσφερε.

Ἀπαρέμφατα.

Πάντα τὰ ἀπαρέμφατα, συντάσσονται μετὰ αἰτιατικῆς, ὅτε μετὰ τοῦ ἐνεργοῦντος προσώπου κεῖνται, ἢ πάσχοντος. ἢ οὔτε ἐνεργοῦντος, οὔτε πάσχοντος. οἷον, λέγεται ποιεῖν τὸν δεῖνα τόδε, ἢ πάσχειν, ἢ πλουτεῖν· ὅπερ οὔτε ἐνέργειαν, οὔτε πάθος ἔχει. συντάσσονται δὲ καὶ μετὰ εὐθείας. οἷον, βούλομαι ἐγὼ πλουτεῖν, καὶ βούλει σὺ πλουτεῖν, καὶ βούλεται ἐκεῖνος πλουτεῖν. εἰ δὲ μεταβαίνουσιν εἰς ἕτερον πρόσωπον, κατὰ τὴν δύναμιν τοῦ ῥήματος συντάσσονται. οἷον, θέλω πολεμεῖν σε τῷ δεῖνι, καὶ κατηγορεῖν τοῦ δεῖνος.

Ἀπαρέμφατον μάλιστα τοῖς προαιρετικοῖς καὶ ὑπηρετικοῖς ἐπιφέρεται. οἷον βούλομαι, ἢ θέλω γράψαι. προαιροῦμαι ἢ ἐφίεμαι φιλοσοφεῖν. ἐπιθυμῶ ἰατρεύειν, ποθῶ ἰδεῖν, προθυμοῦμαι βοηθεῖν. ἐπίσταμαι ἢ δύναμαι γράφειν. ἔτι γε, τοῖς ἀπροσώποις. δεῖ γενέσθαι, λέγεται ἀφικέσθαι πολλούς.

Ἀπαρέμφατα, ἀντὶ προστακτικῶν λαμβάνονται. οἷον, εἰ λάβῃς με ποτὲ τὰ συντιθέμενα μὴ ποιεῖν, τότ' ἤδη θυμοῦσθαι ταῖς βοαῖς, ἄνω καὶ κάτω κυκᾶν, ἅπαντα τὰ μηδοτιοῦν δάκνειν πεφυκότα ἐφίστασθαι. καὶ παρ' Ὁμήρῳ, Χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα, ἤγουν ἄγετε. καὶ παρ' ἄλλοις ὁμοίως.

Ἀπαρέμφατα, δύο τελικὰ ἔχει, τὸ ν ἐκ τῶν συμφώνων, καὶ τὴν αι δίφθογγον ἐκ τῶν φωνηέντων. καὶ πᾶν ἀπαρέμφατον λήγει εἰς ειν, ἢ εἰς αι. οἷον τύπτειν, τετυφέναι, τύψαι, τυπεῖν, τύψειν, τυπεῖν, τύπτεσθαι, τετύφθαι, τυφθῆναι, τυπῆναι, τυφθήσεσθαι, τυπήσεσθαι. οὕτω καὶ τὰ ἄλλα ἀπαρέμφατα τῶν βαρυτόνων ῥημάτων, καὶ τῶν περισπωμένων. χωρὶς τῶν ἀπαρεμφάτων τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων. ὧν τὸ μὲν εἰς αν, τὸ δὲ εἰς ουν, οἷον βοᾶν, καὶ χρυσοῦν. ἃ κανονίζεται ἀπὸ τοῦ παρατατικοῦ, οἷον ἐβόων ἐβόας ἐβόα βοᾶν, ἐχρύσουν ἐχρύσους ἐχρύσου χρυσοῦν.

Ἀπαρέμφατα τὰ ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνονται. οἷον κεκάρθαι ἐσπάρθαι. ἀλλ' ἐπεὶ τὰ παραλήγοντα, τῇ ορ συλλαβῇ, Αἰολικά εἰσιν, ὡς ἔφθορθαι, μέμορθαι, τέτορθαι, προπαροξύνονται. ὅθεν ἡ παραλήγουσα Αἰολικωτέρα ἐστὶ, καὶ ὁ τόνος ὁμοίως.

Ἀπαρέμφατα γίνονται ἀπὸ τῶν τρίτων προσώπων ἑνικῶν τοῦ ὁριστικοῦ. ὧν αἱ καταλήξεις δύο εἰσὶν, εἰς ν τὸ σύμφωνον, καὶ εἰς αι δίφθογγον. εἰς ν ποιοῦσιν, ἅ τινα ἔχουσι τὴν ει δίφθογγον ἐπὶ τῆς τελευταίας συλλαβῆς, ἢ α ἢ ου. οἷον τύπτειν, ποιεῖν, γελᾶν, βοᾶν, χρυσοῦν, βιοῦν. ἐπὶ τινῶν δὲ τῶν εἰς αν καταληγόντων, ἀντὶ τοῦ α τίθεται η ἔθει Δωρικῷ. οἷον, ζᾶν ζῆν, πεινῆν, διψᾶν διψῆν, ὁρᾶν ὁρῆν, ἐφ' ὧν τὸ ι οὐχ ὑπογράφεται κατὰ τοὺς παλαιούς. Τύπτειν, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ ἑνικοῦ, προσθήκῃ τοῦ ν· οἷον, τύπτω, εις, ει. τύπτειν κοινῶς. τύπτεν Δωρικῶς, καὶ τύπτην Αἰολικῶς καὶ Δωρικῶς. καὶ τυπτέμεναι, Ἀττικῶς καὶ Δωρικῶς. καὶ τυπτέμεν, Ἰωνικῶς. Σημείωσαι, ὅτι οἱ Δωριεῖς καὶ Ἀττικοὶ σχηματίζουσι τὸ ἀπαρέμφατον τυπτέμεναι, ἀπὸ τῶν κοινῶν εἰς ειν, ἢ εἰς αι, ἢ εἰς ουν ληγόντων, ἐκβολῇ τοῦ ὑποτακτικοῦ φωνήεντος, καὶ ἐπενθέσει τῆς με συλλαβῆς, καὶ προσθήκῃ ἐπὶ τοῦ τέλους τῆς αι διφθόγγου. οἷον τύπτειν τυπτέμεναι, ἀροῦν ἀρόμεναι. εἰ δὲ εἰς αι τὸ ἀπαρέμφατον, εἰ μὲν ἡ παραλήγουσά ἐστι δίφθογγος, ἐκβολῇ τοῦ ὑποτακτικοῦ φωνήεντος, καὶ ἐπενθέσει τῆς με συλλαβῆς γίνεται τὸ ἀπαρέμφατον. οἷον δοῦναι δόμεναι, θεῖναι θέμεναι, εἶναι ἔμεναι, καὶ ἔμμεναι πλεονασμῷ τοῦ μ. ἐὰν δὲ μόνον φωνῆεν ᾖ, οὕτω· τιθέναι τιθέμεναι, στῆναι στήμεναι, ἰέναι ἴμεναι. Ἴωνες δὲ κατὰ ἀποκοπὴν ταῦτα προφέρουσι, τυπτέμεν, ἀρόμεν, δόμεν, θέμεν, ἔμεν, τιθέμεν, στῆμεν, καὶ τὰ λοιπὰ ὁμοίως. Τετυφέναι, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παρακειμένου γίνεται, προσθήκῃ τῆς ναι συλλαβῆς. οἷον, τέτυφα, ας, ε, τετυφέναι, τοῦ τόνου ἐπὶ τῆς παραληγούσης τεθέντος. ὅτι τὰ ἀπαρέμφατα εἰς ναι λήγοντα ἀεὶ ἔχουσι τὸν τόνον ἐπὶ τῆς παραληγούσης, χωρὶς τῶν Δωρικῶν, ἅπερ ἔχουσι τὸν τόνον ἐπὶ τῆς προπαραληγούσης, οἷον τυπτέμεναι. Τύψαι, ἀπὸ τοῦ πρώτου προσώπου τοῦ πρώτου ἀορίστου, ἀποβολῇ τῆς αὐξήσεως, καὶ προσθήκῃ τοῦ ι. ἢ ἀπὸ τοῦ τρίτου, τροπῇ τοῦ ε εἰς αι δίφθογγον. Τυπεῖν, ἀπὸ τοῦ τρίτου προσώπου, ἀποβολῇ τῆς αὐξήσεως, καὶ προσθήκῃ τοῦ ι καὶ ν ἐπὶ τοῦ τέλους, καὶ ἀεὶ περισπᾶται. Τύψειν, ἀπὸ τοῦ τρίτου προσώπου γίνεται. οἷον τύψω τύψεις τύψει, τύψειν, προσθήκῃ τοῦ ν. Τυπεῖν, ὁμοίως ἀπὸ τοῦ τρίτου. οἷον τυπῶ, εῖς, εῖ, τυπεῖν, καὶ ἀεὶ περισπᾶται. Τύπτεσθαι, γίνεται ἀπὸ τρίτου προσώπου τοῦ ὁριστικοῦ παθητικοῦ ἐνεστῶτος, τροπῇ τῆς τελευταίας εἰς θαι καὶ ἐπενθέσει τοῦ σ. πᾶν γὰρ παθητικὸν ῥῆμα ἢ μέσον, ἔχον ἐπὶ τοῦ τρίτου προσώπου τ καθαρὸν, τουτέστιν οὐδενὸς συμφώνου προηγουμένου οὑτινοσοῦν, ἢ χρόνου, ποιεῖ τὸ ἀπαρέμφατον, τροπῇ τῆς τελευταίας εἰς θαι, καὶ ἐπενθέσει τοῦ σ, τύπτομαι τύπτῃ τύπτεται, τύπτεσθαι. τυφθήσομαι τυφθήσῃ τυφθήσεται, τυφθήσεσθαι. τυπήσομαι τυπήσῃ τυπήσεται, τυπήσεσθαι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Τετύφθαι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου, τροπῇ τῶν ψιλῶν εἰς τὰ δασέα, καὶ τοῦ τόνου ἐπὶ τῆς παραληγούσης τιθεμένου. καὶ τοῦτο ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας γίνεται. οἷον, τέτυπται τετύφθαι, λέλεκται λελέχθαι. ἐπὶ δὲ τῶν ἄλλων συζυγιῶν, τροπῇ τῆς ται συλλαβῆς εἰς θαι (ὥσπερ ἐν τῷ ἐνεστῶτι εἰρήκαμεν) καὶ τοῦ αὐτοῦ συμφώνου φυλαχθέντος, ὅπερ ἦν πρὸ τοῦ ται, γίνεται τὸ ἀπαρέμφατον τοῦ παθητικοῦ παρακειμένου. οἷον πέπεισται πεπεῖσθαι, ἔψαλται ἐψάλθαι. ἐὰν δὲ οὐδὲν προηγῆται σύμφωνον, ἐπενθέσει τοῦ σ γενήσεται. οἷον, ἵππευται ἱππεῦσθαι, πεποίηται πεποιῆσθαι. Τυφθῆναι, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ πρώτου ἀορίστου, ἀποβολῇ τῆς αὐξήσεως, καὶ προσθήκῃ τῆς ναι συλλαβῆς. Τυπῆναι, ὁμοίως ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ δευτέρου ἀορίστου, ἀποβολῇ καὶ προσθήκῃ. Τυφθήσεσθαι, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ αὐτοῦ χρόνου, τροπῇ τῆς ται συλλαβῆς εἰς θαι, καὶ ἐπενθέσει τοῦ σ. τυφθήσεται, τυφθήσεσθαι. Τυπήσεσθαι, ἀπὸ τοῦ τρίτου προσώπου ὁμοίως. τὸν αὐτὸν τρόπον τυπήσεται, τυπήσεσθαι. Τύψεσθαι γίνεται ὥσπερ τὸ τύπτεσθαι παθητικόν. Τετυπέναι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ μέσου παρακειμένου, προσθήκῃ τῆς ναι συλλαβῆς. οἷον τέτυπα, πας, πε, τετυπέναι. Τύψασθαι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ πρώτου ἀορίστου μέσου ἀποβολῇ τῆς αὐξήσεως, καὶ τροπῇ τῆς τελευταίας εἰς σθαι. οἷον ἐτύψατο, τύψασθαι. Τυπέσθαι, ὁμοίως ἀπὸ τοῦ τρίτου προσώπου τοῦ δευ-

Digitized by Google

δευτέρου ἀορίστου γίνεται, ἀποβολῇ τῆς αὐξήσεως, καὶ τροπῇ τῆς τελευταίας εἰς θαι, τοῦ τόνου ἐπὶ τῆς παραληγούσης τιθεμένου. οἷον, ἐτύπετο τυπέσθαι. Τύψεσθαι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ πρώτου μέσου μέλλοντος, τροπῇ τῆς ται συλλαβῆς εἰς θαι, καὶ ἐπενθέσει τοῦ σ, οἷον τύψεται, τύψεσθαι. Τυπεῖσθαι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ δευτέρου μέσου μέλλοντος ὁμοίως, τροπῇ τῆς ται συλλαβῆς εἰς θαι, καὶ ἐπενθέσει τοῦ σ. οἷον τυπεῖται, τυπεῖσθαι.

Ἀπαρέμφατα ῥήματα τὰ εἰς ειν καταλήγοντα, οἱ Αἰολεῖς διὰ τῆς ην ἐκφέρουσι, βαρυτονοῦντες. φιλεῖν φίλην, καλεῖν κάλην, φρονεῖν φρόνην. τὰ δὲ λήγοντα παρ' ἡμῖν εἰς αν, αὐτοὶ εἰς αις μεταβάλλουσι. γελᾶν γελαῖς, πεινᾶν πειναῖς. τὰ δὲ εἰς ουν λήγοντα, διὰ τοῦ οις ἐκφέρουσιν. ὑψοῖν ὑψοῖς, ὀρθοῦν ὀρθοῖς, χρυσοῦν χρυσοῖς.

Ἀπαρέμφατα, σὺν ἄρθροις, ἀντὶ ὀνομάτων τίθεται. ἀντὶ γὰρ τοῦ εἰπεῖν, τῶν φύλλων ἐστὶν ἡ εὐωδία, φασὶ, τῶν γὰρ φύλλων τὸ ὀδωδέναι.

Ἀπαρεμφάτως, ἄνευ δηλώσεως προσώπου.

Ἀπαρθένευτα, οὐ πρέποντα παρθένοις.

Ἀπαρθένευτος, ἀκέραιος, καθαρά.

Ἀπαριθμεῖν, ἀντὶ τοῦ ἀποπληροῦν ἀριθμόν.

Ἀπαριθμησόμενος, ἀποδώσων, καταβαλούμενος.

Ἀπαρὲς, ὑγιὲς, ἀπλήρωτον.

Ἀπερέσασθαι, εἰς ἀρέσκειαν ἀγαγεῖν.

Ἀπαρίνη, φυτάριόν τι. ἔνιοι δὲ, Ὀροβάγχην.

Ἀπαρκεῖ κάλλιον, ἢ ἀρκεῖ.

Ἀπαρκέσαι, ἀποσκεδάσασθαι.

Ἀπαρκοῦ, ἁρμόζοντα, αὐτάρκου.

Ἀπαρκτίαις, ταῖς ἀπὸ τῆς Ἄρκτου πνοαῖς. καὶ ἀπαρκτίας ἄνεμος, ὁ ἀπὸ τῆς Ἄρκτου πνέων.

Ἀπαρκτεῖν, ἀποτυχεῖν.

Ἀπαρκῶ, τὸ ἀποσοβῶ.

Ἄπαρνος, ὁ καθόλου ἀρνούμενος.

Ἀπαρνοῦντα, ἀποχωρήσαντα. ὡς τὸ, ἀν' ἑκάστην ἡμέραν ἀπαρνοῦντα τὸν στόλον εἰς τὴν οἰκείαν.

Ἀπαρνύμενον, ἀφαιρούμενον.

Ἀπάρσεως, ἀναχωρήσεως. τῆς δὲ ἀλόγου ταύτης ἀπάρσεως.

Ἀπαρτῆσαι, τὸ κρεμάσαι, καὶ τελειῶσαι.

Ἀπαρρήξειεν, ἀποσπάσειεν, ἀποχωρήσειεν.

Ἀπαρτία, ὁ κατὰ τὸν οἶκον κόσμος, ἤτοι τὰ λεγόμενα ἔπιπλα. ἔστιν ἀπαρτῶ, παράγωγον ἀπαρτίζω. τὸ ἀρτίως, ὅ ἐστιν ἐναρμόστως συμπληρῶ. καὶ ἀπαρτίαν, ἀποσκευὴν, τέλος ἀπαρτισμοῦ. καὶ ἀπαρτιζόντως, τὸ μὴ ὑπερβάλλειν, μήτε ἐνδεῖν. ὅρος γάρ ἐστι λόγος κατ' ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος. καὶ ἀπαρτιλογία, ἀπαρτισμένος καὶ πλήρης ἀριθμὸς καὶ λόγος. οὕτω Λυσίας.

Ἀπαρτικὸς, ὁ πρὸς ἄπαρσιν, καὶ ἀποδημίαν ἕτοιμος.

Ἀπαρτιλογία, ἀπηρτισμένη ψῆφος.

Ἀπαρτίζει, τελειοῖ, πληροῖ.

Ἀπαρτὶ, ἀπηρτισμένως. ἐπίρρημα δέ ἐστιν, ὡς ἀμογητί. παρὰ τὸ ἀπηρτισμένον, καὶ πλῆρες. κέχρηται δὲ αὐτῷ Ἡρόδοτος, λέγων, ἀπὸ τούτου εἰσὶ στάδιοι δύο ἀπαρτί. καὶ Φερεκράτης, φράσον μοι ἀπαρτὶ δήπου προλαβεῖν. συνωνυμεῖ δὲ ἡ λέξις. ἐσθ' ὅτε γὰρ καὶ χρονικὸν ἐπίρρημα δηλοῖ, ὡς καὶ Καλλίμαχος.

Ἀπαρτύειν, ἀποκηρύσσειν, Ταραντῖνοι. καὶ ἀπαρτῦναι, τάξαι.

Ἀπαρτῶ, ἐξαρτῶ, ἀναδῶ, ἅπτομαι, ἐξάπτω, αἰωρῶ, κρεμῶ, ἐπὶ στεφάνου λέγεται ταῦτα τὰ ῥήματα.

Ἀπαρυστέον, ἀφαιρετέον, ἀπὸ τοῦ ἀρύω.

Ἀπάρχεσθαι, παρὰ τοῖς ῥήτορσι, τὸ ἀπαρχὰς κυρίως ἀνατιθέναι δηλοῖ, καὶ τὸ μεταδιδόναι.

Ἀπαρχὴ, προσφορὰ, ἀφαίρεμα. καὶ ἀπαρχὴ Χριστὸς, πρῶτος Χριστάς.

Ἀπάρχονται τῶν μήλων, ἤγουν ἀπαρχὰς ἄγουσι. καὶ ἀπαρχόμεναι, ἤγουν ἀπαρχὴν διδόντες.

Ἀπάρχου, τὰς ἀπαρχὰς πρόσφερε.

Ἅπασα χαλκῆ, λαμπρὰ ὅλη. Κρῆτες.

Ἀπασιτὸν, τὸ δεσμωτήριον.

Ἀπασίοντα, παμποίκιλον. οἱ δὲ, λινὸν χιτῶνα. οἱ δὲ, μαλωτόν.

Ἀπαστία, ἀγευστία, διαγωγή. παρὰ τὸ πάσασθαι. Μέμνων καὶ Σαρπηδὼν υἱοὶ ὄντες Διὸς, ἀποθανόντες ἐν Τροίᾳ, οὕτω παρὰ θεοῖς ἐτιμήθησαν, ὡς τοῦ πατρὸς νομοθετήσαντος τὴν ἡμέραν, καθ' ἣν ἀπέθανον, ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος.

Ἄπαστος, ἄγευστος.

Ἀπαστεύων, ψευδόμενος.

Ἀπασταχὼν, ἁμαρτών.

Ἀπασταγὶ, ἄνευ ψόφου.

Ἀπάτερθεν, μακρὰν, ἢ χωρίς. ἀπὸ τοῦ ἄτερ, ἄτερθεν, καὶ ἀπάτερθεν.

Ἀπατεὼν, ψεύστης.

Ἀπάτη, τὸ ὑφ' ἑτέρου παραλογισθῆναι. καὶ ἀπατῶ ἀπατῶ, καὶ ἐξαπατῶ, τὸ αὐτό. πλάνη δὲ τὸ ἀφ' ἑαυτοῦ τῆς ἀληθείας διαμαρτεῖν.

* Ἀπάτη, παραλογισμὸς, φενακισμός.

Ἀπατηλὸν, ψευδές. καὶ ἀπατητικὸς, παραλογιστικός.

Ἀπατητὸν, τὸ ἀνωμάλως συγκείμενον, παρὰ Δημοκρίτῳ.

Ἀπατοῦργος, κωλυτικός. Ἱστορία,

Ἀπατούρια, ἑορτὴ ἐπίσημος καὶ δημοτελὴς, ἀγομένη παρὰ τοῖς Ἀθηναίοις, κατὰ τὸν Πυανεψιῶνα μῆνα, ἐπὶ τρεῖς ἡμέρας. καλοῦσι δὲ τὴν μὲν πρώτην, δόρπειαν. ἐπειδὴ οἱ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο. τὴν δὲ δευτέραν, ἀνάρρυσιν, ἀπὸ τοῦ θύειν. ἔθυον δὲ Διὶ φρατρίῳ καὶ Ἀθηνᾷ. τὴν δὲ τρίτην, Κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας. ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκου. ἡ δὲ αἰτία, πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Κελαινῶν, ὃ ἦν χωρίον ἐν μεθορίοις. Ξάνθιος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. οὐ δεξαμένου δὲ, Μέλανθος ἐπιδημῶν Μεσσήνιος τὸ γένος ἀπὸ Περικλυμένου τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δὲ, ἐφάνη τῷ Μελάνθῳ τὶς ὄπισθεν τοῦ Ξανθίου τραγεῖν, τουτέστιν αἰγίδα μέλαιναν ἐνημμένος. ἔφη οὖν, ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα. ὁ δὲ, ἐπεστράφη. ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥτε ἑορτὴ ἀπατούρια, καὶ Διονύσου μελαναίγιδος ἱδρύσαντο. οἱ δέ φασιν, ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων, διὰ τὰς τῶν παίδων ἐγγραφὰς, οἷον ὁμοπατόρια λέγεσθαι τὴν ἑορτὴν, ὁποίῳ τρόπῳ λέγομεν ἄλοχον τὴν ὁμόλεκτρον, καὶ ἄκοιτιν τὴν ὁμόκοιτον, οὕτω καὶ ὁμοπατόρια.

Ἀπατῶ, παράγω, αἰκάλλω, παραβάλλω, διαβουκολῶ, δελεάζω, προσγελῶ, θέλγω, κολακεύω, θωπεύω, κηλῶ, διακρούομαι, παραγράφομαι, παραλογίζομαι, κωτίλλω, σαίνω, σοφίζομαι, φενακίζω.

Ἀπάτωρ, ὁ μὴ ἔχων πατέρα καλεῖται, ὡς ὁ Ἥφαιστος.

Ἀπαύγασμα, καὶ ἀπαυγάζω, καὶ ἀπαυγὴ, ἡ ἔκλαμψις τοῦ ἡλίου.

Ἀπαύγειος, λαμπρὸς, φωτεινός.

Ἀπαυδῶ, ἀπαγορεύω, ἀπολέγομαι. δοτικῇ συντάσσεται. Ἀριστοφάνης, τούτοις ἀπαυδῶ.

Ἀπαυθαδιάζειν, μέγα φρονεῖν, ἑαυτῷ ἀρέσκειν. αὐθάδης τίς ἐστιν, ὁ ἑαυτῷ ἀρέσκων.

Ἀπαυθαδιάζομαι κάλλιον, ἢ αὐθαδίζομαι, καὶ αὐθαδιάζομαι.

Ἀπαυθαδιεῖσθαι, ἀποτολμήσειν. ἀπαυθαδιάζεται, ἐν ὑπερηφανίᾳ ἀναστρέφεται, ἢ μεγαλοφρονεῖ.

Ἀπαυθημερίζειν, αὐθημερὸν ἐπανέρχεσθαι. Ξενοφῶν, Ὥστε ἀπαυθημερίζειν ἐπὶ τὸ στράτευμα.

Ἀπαυλία, ἑορτὴ παρὰ Ἀθηναίοις, ὅτι τότε ἄρχεται ἡ κόρη χωρὶς τοῦ πατρὸς αὐλίζεσθαι. ἢ τότε ἐπαυλίζετο τῷ ἀνδρὶ ἡ γυνή.

* Ἀπαύλια, τὰ διδόμενα δῶρα τῇ νύμφῃ.

Ἀπαυλεῖσθαι, τὸ μὴ προαυλεῖν κατὰ τρόπον. ἀπαυλία, καὶ ἐπαυλία διχῶς λέγεται, ἡμέρα ἐν ᾗ ἐπαυλίζεται τῷ ἀνδρὶ ἡ νύμφη.

Ἀπαυλὸν, ἀπόκοπον.

Ἀπαυρῶ, τὸ ἀφαιροῦμαι, πρὸς αἰτιατικὴν συντάσσεται. συζυγίας δευτέρας τῶν περισπωμένων. ὁ παρατατικὸς, ἀπηύρων, ὡς ἐβόων. ἀφ' οὗ ἀπηύρα. ἄμφω θυμὸν ἀπηύρα. καὶ ἀπηύρων, ἐπὶ τοῦ τρίτου τῶν πληθυντικῶν. γίνεται δὲ ἀπὸ τοῦ αὔρα. ἔστι γὰρ ἀπαυρῶ, τὸ ἀνάπνευσίν τινος ἀφαιροῦμαι. ἐπαυρῶ δὲ, τὸ ἐπισπῶμαι ἀνάπνευσιν. εἶτα ἀπὸ τούτων ἀπαυρῶ τὸ ἀφαιροῦμαι ἁπλῶς. καὶ ἀπαυρῶ, τὸ ἀπολαβῶ.

Ἀπαυτοματισθεῖσα, οὐκ ἀφ' ἑαυτῆς τελειωθεῖσα.

Ἀπ' αὐτομάτου, ἐξαίφνης.

Ἀπαυτομολῆσαι, φεύξεσθαι, ἀναχωρῆσαι.

Ἀπαυτομολήσει, ἀφ' ἑαυτοῦ ἔλθοι. παρὰ τὸ μολεῖν, ὅ ἐστιν ἐλθεῖν.

Ἀπαυτόφιν, ἀντὶ τοῦ ἀπ' αὐτοῦ. Ὅμηρος Ἰλιάδος λ, Τῆλε δὲ χαλκὸς ἀπ' αὐτόφιν οὐρανὸν εἴσω. κατὰ προσχηματισμόν.

Ἀπαυχενίζειν, ἀφηνιᾶν, ἀτακτεῖν, ἢ τὸν αὐχένα συντρίβειν.

Ἀπάφοιτο παρ' Ὁμήρῳ, τουτέστιν ἀπατήσοι ἐπέεσσιν.

Ἀπαφὸς Ἔποψ, τὸ ὄρνεον.

Ἀπαφυλίστωρ, σταφυλῖνος. Λάκωνες.

Ἀπαφῶ, τὸ ἀπατῶ. παρὰ τὸ φῶ τὸ λέγω, καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ κακὸν, ἀφῶ, καὶ ἀπαφῶ. τὸ δὲ ἀπατῶ, ἐκ τοῦ ἀπαφῶ.

Ἀπαφίνιον, Λάκωνες κέρδοπον λιθίνην, ἐν ᾗ μάττουσιν, ἣν κνιτίαν καλοῦμεν.

Ἀπέβαλον, ὃ ἄκων ἀπώλεσα. ἀπεβαλόμην, ὃ ἑκὼν ἔρριψα.

Ἀπέβη, συνέβη, ἐγένετο. ὡς τὸ, ἀπέβης ὅμοιος ἐκείνῳ.

Ἀπέθανε νῦν, τέθνηκε πάλαι. καὶ ἀπέθανεν ὁ Ἕκτωρ ὑπὸ Ἀχιλλέως.

Ἀπεβήσετο, ἀντὶ τοῦ ἀπῆλθε, παρ' Ὁμήρῳ. βαίνω ἐνεστὼς κοινὸς, ὃ δηλοῖ τὸ ἵσταμαι, καὶ τὸ πορεύομαι. ποιητικῶς βήσομαι, ὡς νόσσομαι, ἀφ' οὗ κατεβήσετο. βήσομαι μέλλων, κοινός. καὶ ἔβην, ὡς ἔφην ἀόριστος, ἀφ' ἑτέρου ῥήματος ἀχρήστου. οἱ ποιηταὶ δὲ ἐπιβήσω λέγουσι μετὰ τοῦ ἐπὶ κατ' ἐνέργειαν. καὶ ἐπίβησα ἐπίβησας ἐπίβησε κελεύθου, ἀντὶ τοῦ ἐπεβίβασεν.

Ἀπεβήσατο, ἐπορεύθη.

Ἀπεβίω, ἀπέθανεν. ὡς καὶ ἀνεβίω, τὸ ἀνέζησεν.

Ἀπέβλισε θοιμάτιον, ἀντὶ τοῦ ἀφείλετο, ἡ μεταφορὰ ἀπὸ τῶν κηρίων, ἢ ἀπὸ τῶν τὸ γάλα ἀμελγόντων. Ἀριστοφάνης.

Ἀπέβλισεν, ἀπεπίασεν.

Ἀπεβουκόλησα, τὸ ἐν συνηθείᾳ ἀπεβόσκησα, καὶ τὸ ἐπετήρησα.

Ἀπεγγυαλίζειν, ἀποκαθιστᾶν.

Ἀπεγκάμενος, κτησάμενος.

Ἀπεγένετο, ἀντὶ τοῦ ἀπέθανεν. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης.

Ἀπέγνωμεν, ἀπειρήκαμεν, ἀπηλπίσαμεν.

Ἀπεγνωκὼς, ἀποδοκιμάσας. οὕτω Δημοσθένης.

Ἀπεγνωσμένος, ἀνέλπιστος.

Ἀπεγνωκότες, ἀπηγορευμέναι.

Ἀπεγραψάμεθα, ἀπείπαμεν, ἢ ἀπηριθμήσαμεν.

Ἄπεδα, τὰ ἰσόπεδα.

Ἀπέδει, ἐνέλιπεν. ὁ δὲ Φιλοποίμην Ἀρκὰς ἀπέδει Πελοποννησίων οὐδενός.

Ἀπεδειλίασεν, ἐδεδίει.

Ἀπέδειξεν, ἀντὶ τοῦ παρέδωκεν. οὕτω Ξενοφῶν.

Ἀπεδέσθη, ἄμορφος ἐγένετο.

Ἀπέδοτο, ἐκδέδωκεν.

Ἀπεδέξατο, ἀπέλαβεν.

Ἀπεδημηκότες, ἀντὶ τοῦ ἀποδεδημηκότες. οὕτως Ἕρμιππος.

Ἀπεδήδοκε, κατέφαγεν.

Ἀπεδίζειν, ὁμαλίζειν.

Ἀπεδικάσθη, κατεδικάσθη.

Ἀπεδοκίμαζεν, ἀτίμως ὕβριζεν, ἐξεφαύλιζεν, ἢ προῆγεν.

Ἀπέδοξεν, ἀντὶ τοῦ πῶς οὐκ ἔδοξεν.

Ἄπεδον, τὸ ὁμαλόν. Θουκυδίδης, καὶ κατέβησαν εἰς πεδίον ἀπεδόντι.

Ἀπέδοτο, ἀπεμπωλήσατο.

Ἀπέδου δίδωμι, ὁ μέλλων δώσω, ὁ δεύτερος ἀόριστος, ἔδων. ὁ μέσος ἐδόμην, τὸ δεύτερον ἔδοσο, καὶ ἔδου, καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀπέδου. καὶ ἀπέδομεν Ἀττικοὶ, οὐκ ἀπεδώκαμεν.

Ἀπέδρα καὶ ἀπέδραν χρὴ λέγειν, οὐχὶ ἀπέδρασε, καὶ ἀπέδρασαν.

Ἀπέδρα, ἀπέφυγεν, ὁ ἀφύλακτος. διέδρα, ὁ ἐν φυλακῇ.

Ἀπέδραν ἐγὼ, τὸ πρῶτον πρόσωπον οὐχὶ ἀπέδρων. ἀπέδραμεν ἡμεῖς.

Ἀπέδραν ἐκεῖνοι πληθυντικὸν, ἀντὶ τοῦ ἐπανεχώρησαν.

Ἀπέδραμε ῥυτὶς τῷ προσώπῳ, ἐπιτρέχει ταῖς παρειαῖς ἐρύθημα, ταῦτα πάντα τὴν ἐπιπολὴν σημαίνει.

Ἀπέδοσθε, ἀπεμπολήσατε.

Ἀπέδωτο, ἐκ τοῦ δέδωκε, παρέδωκεν.

Ἀπέειπεν, ἤγουν ἁπλῶς εἶπεν, ὡς περιττευούσης τῆς προθέσεως. καθὰ καὶ ἐν τῷ, κεῖται ἀπομηνίσας. ἢ μάλιστα ὁμηρικώτερον, τὴν ἀπόφασιν ἡ λέξις δηλοῖ.

Ἀπέεργεν, ἀπεκώλυσεν.

Ἀπειήσῃ, ἀπίσῃ.

Ἀπέθανεν νῦν, τέθνηκε πάλαι. ἀπέθανεν ὁ Ἕκτωρ ὑπ' Ἀχιλλέως. καὶ ἀπέθανεν, ἀντὶ τοῦ ἀπῆλθεν.

Ἀπέθανον, κυρίως ἐπὶ πολέμου. οἷον εἰς τὸν πόλεμον ἔπεσον τόσοι, ἀντὶ τοῦ ἀπέθανον.

Ἀπέθετο, μέσος δεύτερος ἀόριστος. κανονίζεται δὲ οὕτω· τίθημι, ὁ μέλλων θήσω, ὁ δεύτερος ἀόριστος ἔθην, ὁ μέσος ἐθέμην ἔθου ἔθετο. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, καὶ κατὰ συγκοπὴν, ἀπέθετο.

Ἀπέθρισε, καὶ ἀπεθέρισεν, ἀπέκειρε καὶ ἀπέκοψεν.

Ἄπει, ἤγουν ἀπελεύσῃ. παρὰ Θεοκρίτῳ, εἰ μὴ ἄπει τουτόθεν. ἀπὸ τοῦ ἄπειμι, ἄπεις, ἐκβολῇ τοῦ σ, ἄπει, ὥσπερ καὶ τὸ εἶ. καὶ ἄπει, ἀντὶ τοῦ ἄπιθι, ἄπελθε.

Ἀπεῖδεν, ἀντὶ τοῦ μετὰ δριμύτητος ἐθεάσατο. ὁ δὲ στρατηγὸς ἐπεὶ ἀπεῖδεν αὐτόν.

Ἀπειθεῖ, ἀντιλέγει.

Ἀπειθῶ, ἀντιλέγω. καὶ διὰ τοῦ ι Ὅμηρος γράφει. ὡς τὸ, οὐδ' ἀπίθησεν.

Ἀπείκασμα, ὁμοίωμα.

Ἀπεικὸς, μὴ πρέπον, ἄτοπον, ἀπρεπές.

Ἀπεικότως, καὶ ἀπεοικότως λέγεται. Θουκυδίδης, οὐδὲ τοῦτο ἀπεικότως.

Ἀπειλεῖν, τὸ αὐχεῖν. καὶ ἀπειλὴ, τὸ καύχημα λέγεται. γίνεται δὲ ἡ τοιαύτη λέξις, παρὰ τὴν ἀπὸ πρόθεσιν, καὶ τὸ εἱλεῖν. ἀποστρέφεται γὰρ ὁ καυχώμενος τοὺς ὑπερηφανευομένους. ἢ ἀπειλεῖν ἐπὶ μὲν ἀρχῆς κατὰ τοὺς παλαιοὺς, παρὰ τὰς πέλας, ἤτοι φιάλας, αἷς ἔσπενδον πλεονασμῷ τοῦ ι. ἐπὶ δὲ τοῦ ὀργίλου, παρὰ τὸ ἄποθεν ἵλεως εἶναι. ἢ ἀπὸ τοῦ εἱλεῖν ἀφοριστικῶς, τῶν ἐκφοβουμένων.

Ἀπειλὴ, ἡ μετὰ ὀργῆς ἐπίπληξις. παρὰ τὸ ἄποθεν εἶναι ἵλεως. ἢ παρὰ τὸ ἀπείλλειν, ὅ ἐστιν ἀπείργειν.

Ἀπειλημμένος, κεκρατημένος. καὶ ἀπειλημμένοι, συνειλημμένοι, συγκεκλεισμένοι, κεκρατημένοι.

Ἀπειλήθη, συνεκλείσθη, παρὰ τῷ Ἱπποκράτει.

Ἀπειλῶ, οὐ μόνον ἐπὶ ὀργῆς, ἀλλὰ καὶ ἀντὶ τοῦ μεγαλαυχοῦμαι.

Ἀπειλῶσι φόνον, καὶ ἔστιν ἐπὶ κακοῦ, ἤγουν ἀπειλῶ κακῶς ποιήσειν.

Ἀπειλητῆρες, ἀχαιΐδες, ἤγουν οἱ μόνον καυχώμενοι, καὶ εἰς καιρὸν αὐχοῦντες, ὡς καὶ εἰ ἀχαιΐδες ἦσαν· κατὰ τὸ, γυναικῶν τὸ λαλεῖν, ἀνδρῶν δὲ τὸ πράττειν. ἢ οἱ ἐκφοβοῦντες λόγοις. ἐπ' ἀμφοτέρων γὰρ λέγεται τὸ ἀπειλεῖν, ἀχαιΐδες δὲ ἀντὶ τοῦ γυναῖκες. ὃ παραφράζων Σοφοκλῆς φησὶ, μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας ἐστάτε. ἔστι δὲ τοῦτο σφοδρότερον τοῦ ὁμηρικοῦ, λειότερον γὰρ τὸ ἀχαιΐδες.

Ἀπείληφα, ἀντὶ τοῦ τὸ κεχρεωστημένον ἔλαβον.

Ἄπειμι, τρίτην ἡμέραν λέγομεν, καὶ οὐκ ἀπελεύσομαι, ἄχρηστον γάρ.

Ἄπειμι, καὶ δίειμι καὶ τὰ τοιαῦτα, ἐπὶ ἐνεστῶτος μόνον καὶ μέλλοντος. ἐπὶ δὲ παρῳχημένου, ἀπῄειν καὶ διῄειν.

Ἀπεῖναι, τὸ ἀφίστασθαι, καὶ ἐπὶ τόπου λέγεται, καὶ ἐπὶ πράξεως, καὶ ἔτι ἐπὶ πράγματος. δηλοῦσι δὲ τὸ κεχωρίσθαι μόνον, οὐκέτι δὲ καὶ τὸ διάστημα, ὅτι μακρὸν ἢ βραχύ.

Ἀπειπάμην, οὐκ ἀπεῖπον, σημαίνει τὸ ἀπέγνων, ἀπερριψάμην, ἠρνησάμην, ἀπεπτυξάμην.

Ἀπειπεῖν, τὸ κωλῦσαι, καὶ λόγοις ἀποτρέψαι, λέγεται παρὰ τῷ ποιητῇ. οἷον, πᾶσι Μνηστῆρσιν ἀπειπέμεν. λέγεται δέ ποτε ἀπειπεῖν, καὶ τὸ ἐν ἀγῶνι ἢ μάχῃ ἀπαγορεῦσαι, καὶ ἀποκαμεῖν. ὅπερ ἐστὶν ἴσον τῷ ἀπαυδῆσαι, καὶ ἀπειρηκέναι. καὶ ἀπαγορεῦσαι, ἐν τῇ Ἰλιάδι, τὸ ἀπειπεῖν, ἀπομυθεῖσθαι, ὁ Νέστωρ φησί. καὶ ἀπειπεῖν παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας π, τὸ ἀπαρτίσαι λόγον. ὡς τὸ, ἐπεὶ δὲ πᾶσαν ἐφημοσύνην ἀπέειπε. καὶ τὸ μηδέν τι ἐκ τῶν Τρώων δέξασθαι, ἀλλαχοῦ λέγει ἀπειπεῖν. ἀγγελίαν εἶπεν Ὅμηρος, ἀπὸ μέρους τοῦ κυριωτέρου. τί δέ ἐστι κυρίως ἀπειπεῖν, ἐδηλώθη σαφῶς. ὅτι δὲ ἀπειπεῖν λέγεται καὶ τὸ σιγῆσαι, εἴτουν ἀπαγορεῦσαι, διά τινα βαρύτητα, δηλοῖ καὶ τὸ, ἀπεῖπεν ἄλγει. καὶ τὸ ἔστε κἀπείπῃς, ἤγουν ἕως ἂν ἀπαγορεύσῃς, ὡς ἡττώμενος.

Ἀπειπεῖν, ἀντὶ τοῦ ἀπαγορεῦσαι. οἷον ἀπειπεῖν πρὸς ἀλλεπαλλήλους συμφοράς. καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι. Συνέσιος, τοῦτο οὖν οὐκ ἔστιν ὅλως φιλίαν ἀπειπεῖν, ἀλλ' ἔχθραν. καὶ ἀνειπεῖν, ἤγουν κηρύξαι.

Ἀπείπῃς, ἀπαγορεύσῃς.

Ἀπειπὼν, ἐντειλάμενος. ὡς τὸ, ἀπειπὼν μηδενὶ φράζειν τὸ γεγονός. καὶ ἀπειπὼν, ἀντὶ τοῦ ἀπαρνησάμενος, παραιτησάμενος.

Ἀπειραίη, ἠπειρωτικὴ, ἡ ἄποθεν παροῦσα.

Ἀπείρατος κάλλιφ, ἢ ἄπειρος, καὶ ἐπὶ τριῶν γενῶν.

Ἀπειράκις, πολλάκις, πλειστάκις.

Ἀπειργεῖσθαι, ἀντὶ τοῦ ἀποδεδεῖχθαι.

Ἀπείργω, κωλύω.

Ἀπείργω τινὰ, βουλόμενον ἐνεργεῖν τι. ἀνείργω δὲ, τὸ ἀρξάμενον, καὶ ὁσονοῦν τοῦ ἔργου ἀνύσαντα ἀναστεῖλαι.

Ἀπειρημένοι, ἀπεγνωσμένοι.

Ἀπείρηται κάλλιον, ἢ ἀπηγόρευται.

Ἀπειρέσια, ἄπειρα τῷ πλήθει.

Ἀπεῖρξεν, ἐκώλυσεν.

Ἀπειρηκὼς, ἀπαγορεύσας.

Ἀπειροκαλία, ἡ φιλοδοξία. καὶ ἀπειρόκαλοι. εἴρηται δὲ ἀπὸ τοῦ ἀπείρους εἶναι τοῦ καλοῦ, ἤτοι τῆς ταπεινώσεως. ἢ οἱ ἀμέτρως καλλωπιζόμενοι τοιοῦτοι δὲ, οἱ τῆς νεανικῆς ἡλικίας.

Ἀπειρόκαλον, ἄγνωστον, ἀμαθές.

* Ἀπειρία, ἀνεπιστημοσύνη, εὐήθεια, ἀμαθία, ἄγνοια, ἀγνωμοσύνη.

Ἄπειρον, πολὺ, ἄγνωστον, περιφερὲς, στρογγύλον. διὰ τὸ μήτε ἀρχὴν, μήτε πέρας ἔχειν.

Ἀπειροπλάσιον, πολυπλάσιον.

Ἀπειρομένων, ἀποφευγόντων.

Ἀπείρου, ἀγνώστου, μεγάλου.

Ἀπείρρητον, ἄρρητον, ἀνεκλάλητον.

Ἀπείρωνα γαῖαν, ἀντὶ τοῦ ἄπειρον. ὡς Εὐριπίδης ἐν Φαίδρᾳ φησί. καὶ ἐντεῦθεν παραφράσας, ἀπέρμονα ἔσοπτρα εἶπε τὰ κυκλοτερῆ. ὅπερ ταυτόν ἐστι τῷ ἀπείρωνα. ἐπεὶ καὶ τὸ τέρμα καὶ τὸ πέρας τὸ αὐτὸ δηλοῦσι. καὶ ὅτι καθ' Ὅμηρον μὲν ἀπείρων ἡ ὅλη γῆ, ἥ ἐστι σφαιροειδὴς καὶ στρογγύλη.

Ἄπεισιν Ἀττικοὶ, οὐκ ἀπελεύσεται. καὶ ἀπιὼν, οὐκ ἀπιὼν. κοινὸν γάρ. καὶ ἄπεισιν, ἀπέρχεται, ἀπέθανεν.

Ἀπεισωτῆρες, σκόλοπες.

Ἀπειστεῖν, τὸ ἀπειθεῖν, παρὰ Ἀντιφῶντι.

Ἀπεῖχε, πόῤῥω ἦν. Ὅσον δὴ ἀπεῖχε τοῦ ἐκπεπλῆχθαι βασιλέα τε καὶ ὄγκον, ἐδήλου τῷ μηδὲ ὀφθαλμῶν ἄξια ἡγεῖσθαι τὰ τοιαῦτα.

Ἀπεκάθετο, ἐκαθέζετο.

Ἀπεκαίνυτο, ἐνίκα, ἀφῃρεῖτο, ἀπὸ τοῦ καινύω, καίνυμι, καίνυμαι, ἐκαινύμην, σο, το, καὶ ἀπεκαίνυτο.

Ἀπεκάλει, ἐνεκάλει, μετεπέμπετο.

Ἀπέκνισε ξύλον, ἀντὶ τοῦ ἔκοψεν.

Ἀπεκορύφου, φανερῶς ἔλεγεν, εἰς κορυφὴν τὸ τέλος ἦγεν.

Ἀπεκρανίξεν, ἀπεχώρισε τῆς κάρας, ἀπέκοψεν.

Ἀπέκτανεν Ἀττικῶς, ἀντὶ τοῦ ἀπέκτεινεν.

Ἀπέκτατο, κτῶ τὸ φονεύω, παράγωγον, κτῶμι, κτάμαι, ἐκτάμην ἔκτασο ἔκτατο, καὶ ἀπέκτατο.

Ἀπέκτατος, ἀκτένιστος. πέκω γὰρ, τὸ πλέκω, καὶ κτενίζω.

Ἀπέκτονα κάλλιον, ἢ ἀπέκτονον, ἀπὸ τοῦ κτείνω κτενῶ, μέσος παρακείμενος ἔκτονα, καὶ ἀπέκτονα.

Ἀπεκυπάρωσεν, ἀπέκτεινεν.

Ἀπέλεθρον, πέλεθρον, ἢ πλέθρον, μέτρον γῆς ποδῶν ἑκατὸν εἴκοσιν. ὅθεν ἀπέλεθρον, τὸ μὴ ὑποπίπτον πελέθρῳ, κατὰ στέρησιν. ἢ τὸ πολυπέλεθρον, κατὰ ἐπίτασιν. καὶ ἀπέλεθρος δύναμις, ἡ πολυπέλεθρος. καὶ ἀπέλεθρος γῆ, ἡ πολυπέλεθρος. ἢ κατὰ στέρησιν, ἡ μὴ δυναμένη πλέθρῳ ὑποπεσεῖν. ἔστι δὲ τὸ πλέθρον μέτρον πήχεων ρξ, ὡς ἐν τοῖς Ἀππίωνος καὶ Ἡροδώρου φέρεται. ἀνάλογα δὲ πρὸς τὸ πέλεθρον, τὸ πτολίεθρον, ῥέεθρον, καὶ φαρύγεθρον.

Ἀπελέκησεν, ἀπεδήμευσε, καὶ τὸ τοῖς δακτύλοις ἐψόφησεν.

Ἀπελέπη, ἀπεδεπίθη.

* Ἀπελεύθερος, ὁ τῆς τῶν δούλων ἀφέμενος δουλείας. ὃς καὶ ἐξελεύθερος.

Ἀπεληλαμένος, ἀποφεύγων.

Ἀπελλῆς καὶ Ἑρμῆς, κλίνεται ἀπελλοῦ καὶ ἑρμοῦ. τὰ γὰρ εἰς ης λήγοντα ἀρσενικὰ δισύλλαβά τε καὶ τρισύλλαβα κύρια ἁπλᾶ, ἐπὶ μὲν τῆς γενικῆς ἀποβάλλει τὸ ς. οἷον Ἑρμῆς ἑρμοῦ, Ἀπελλῆς ἀπελλοῦ. ἐπὶ δὲ τῆς αἰτιατικῆς προσλαμβάνει τὸ ν. οἷον, τὸν ἑρμῆν, τὸν ἀπελλῆν. τὸ δὲ εὐτυχῆ μέντοι, καὶ τὸν εὐγενῆ, χωρὶς τοῦ ν. σύνθετα γάρ εἰσι, καὶ οὐ κύρια.

Ἀπεδικόμην, ἀπερριπτόμην. * δίκω γὰρ τὸ ῥίπτω.

Ἀπελλαῖος, ὁ Δεκέμβριος μήν.

Ἀπελογίζετο, ἀπηριθμεῖτο.

Ἄπελος, τὸ ἕλκος. παρὰ τὸ μὴ πελάζειν, ἀλλὰ διΐστασθαι. ἕλκος γὰρ, παρὰ τὸ διελκύσθαι τὴν σάρκα ἐκ τῆς τομῆς.

Ἀπελωβήθη, ἐφύβρισται.

Ἀπεμαστίγισε παρ' Ἴωσι, τὸ ἐμάρανεν.

Ἀπεμόργνυ κελαινεφὲς αἷμα, ὅ ἐστιν ἀπέμασεν, ἀπεπίεζεν, ἐξήρασεν.

Ἀπεμόρξατο, ἀπὸ τοῦ ἀπομόργνυμαι, ἀπομόρξομαι ἑτεροκλίτως. ἀπομορξάμην, ἀόριστος ἀναύξητος κατὰ Ἴωνας. τὸ τρίτον, ἀπομόρξατο. λέγεται δὲ, ἐπὶ τοῦ ἐκθλίβειν τινὰ, καὶ ἀποῤῥίπτειν τι ἀφ' ἑαυτοῦ. καὶ ἀπεμορξάμην ἀπεψησάμην τὰ δάκρυα.

Ἀπεμπολὴ, καὶ ἀπεμπόλησις, ἡ μετὰ ἀπάτης πρᾶσις καὶ ἐμπορία. καὶ ἀπόστασις, καὶ ἀπαλλαγὴ, καὶ πρᾶσις ἐμπορίας.

Ἀπεμπολῆσαι, τὸ ἐπὶ κέρδος ἀποδόσθαι τι.

Ἀπεμπολήσας, πωλήσας, πραγματευόμενος.

Ἀπεμπολῶσι τὸν ἵππον, εἴκοσι νομισμάτων. ὁμοίως πωλῶ, καὶ πιπράσκω. καὶ ἀποδίδομαι, καὶ ὠνοῦμαι, καὶ ἐπριάμην.

Ἀπεμυθεόμην, ἀπηγόρευον, ἐκώλυον. ἀπὸ τοῦ μυθέω μυθῶ.

Ἀπεμύθεον, ἤτοι ἀπηγόρευον. ὃ ἀνάπαλιν πρὸς τὸ μυθεῖσθαι, καὶ παραμυθεῖσθαι. καὶ ἀπεμυθήσω, ἀντὶ τοῦ ἀπελογήσω.

Ἀπεμύλλαινον, διεφαύλιζον, ἐξευτέλιζον σαρκάζοντες.

* Ἀπέμυττε, ὕλιζε τὰς ῥῖνας.

Ἀπεμφαίνειν, ἀπέοικεν.

Ἀπεμφαίνοντα, ἀπεοικότα, καὶ ἀνάρμοστα.

Ἀπέναντι, κατὰ ἀνατολὰς νότου.

Ἀπενάσθη, ἀπῳκίσθη.

Ἀπενάσσατο, ἀπῴκησεν.

Ἀπενιαυτισμὸς, φυγὴ ἐπ' ἐνιαυτὸν διὰ φόνον ἀκούσιον. καὶ ὅλως ἀποδημία τοσούτου χρόνου ἀπαλλαγῆς, ἕνεκα μίσους, ἢ ἔρωτος.

Ἀπενδονηκὼς, φυγών.

Ἀπενέγκασθαι, λαβεῖν, σκέψασθαι.

Ἀπενεγκεῖν γραφὴν, τὸ γράψασθαι δίκην.

Digitized by Google

Ἀπένημεν, ἀπεκλήρωσεν, ἐδικαίωσεν.

Ἀπενιχθῆναι, τὸ μετὰ ἀνάγκης καὶ βίας μεταστῆναι εἰς ἕτερον τόπον. οὕτω καὶ ἐπὶ ἐνεστῶτος φαμέν. ἀπάγεται τὴν ἐπὶ θάνατον, καὶ ἐπάγεται ἐπὶ αἰχμαλωσίαν. ὅθεν καὶ ἀπαγωγή.

Ἀπενήνατο, ἀπεῖπεν, ἀπηρνήσατο.

Ἀπενηνέγμεθα, ἀντὶ τοῦ ἀποκεχρύσμεθα. ἀποφέρομαι γάρ, τὸ ἀποδιώκομαι. οἱονεὶ, ἀποχωρὶς καὶ μακρὰν γίνομαι. καὶ ἀποφέρομαι, τὸ ἀποκερδαίνω καὶ λαμβάνω, ἐπ' ἐξουσίας κυρίως τατόμενον. οἷον, ἀποφέρεται πολλὴν τιμὴν ἐπὶ τῆς ἀρχῆς.

Ἀπενήσω, ἀπέβαλες. Εὐριπίδης Αὔγῃ.

Ἀπενιαυτίσαι, ἐνιαυτῷ φυγεῖν τὴν πατρίδα, ἐπὶ τισιν ἀδικήμασιν. Ἀπολλώνιόν φασι τὸν Τυανέα ἀπενιαυτίσαι εἰς τὸ Σκυθῶν ἔθνος, διὰ ἁμαρτίᾳ ἐρωτικῇ χρησάμενον. καὶ αὖθις περὶ Ἡρακλέους, ἀπενιαυτίσαντα, ὡς νόμος ἔξω, καὶ καθηράμενον, ἐπανελθεῖν εἰς Ἀθήνας.

Ἀπενίζοντο. ἐστὶ νίπτω. τοῦτο κατὰ τροπὴν Δωρικὴν γίνεται νίζω. οἱ γὰρ Δωριεῖς τὰ εἰς πτω λήγοντα ῥήματα, ποτὲ μὲν εἰς δύο σσ, ποτὲ δὲ εἰς ζ τρέπουσιν.

Ἀπένιον, ἢ Ἀπέννινον, ὄρος διὰ μέσης Ἰταλίας τεταμένον.

Ἀπενώτισαν, ἀπέστρεψαν τὰ νῶτα.

Ἀπέξεσε χεῖρα, ἀντὶ τοῦ ῥᾷστα ἀπέκοψεν εἴληπται. ῥᾷον γὰρ τὸ ξέειν τοῦ κόπτειν. τοῦτο δὲ καὶ ἀπαράσσειν λέγεται.

Ἀπεοικέναι παρ' Ἀττικοῖς, οὐ μὴν καὶ ἀπεοικὼς ἐπὶ μετοχῆς λέγεται.

Ἀπεοικὸς, ἀνόμοιον, ἀπρεπές.

Ἀπέπαρδεν, οὕτως Ἀττικοὶ, τὸ πορδὴν ἀφεῖναι.

Ἀπεπάρδισα, λέξις οὐ σεμνὴ, δηλοῦσα ἢ τὸ λὰξ ποδὶ καθ' Ὅμηρον ἐνθορεῖν ἰσχίῳ ἀφραδίῃσιν. ἢ ἀποπυδαρίσαι, ἄραντα τὸν πόδα.

Ἀπεπλίξατο, ἀντὶ τοῦ ἀπεπίουκε λέγουσιν Ἴωνες. πλὶξ γὰρ τὸ βῆμα. ἐξ οὗ πλίγματα, τὰ πηδήματα. Ὅμηρος, αἱ δ' εὖ μὲν τρόχων, εὖ δὲ ἐπλίσσοντο πόδεσσι. καὶ ἀπεπλίξατο, ἀντὶ τοῦ ἀπεστήσατο. ἔλεγον δὲ πλὶξ, καὶ τὸ ἀπὸ τοῦ χειρὸς εἰς τὸν λιχανὸν δάκτυλον διάστημα, καὶ τὸ μεταξὺ μηρῶν ὀστοῦν.

Ἄπερ, ἀντὶ τοῦ ὅπου. Θεόκριτος, ἄπερ ὁ θῶκος· καὶ ἀντὶ τοῦ καθάπερ.

Ἀπέραντον, μέγα, ἀπλάτατον, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ ἀπείραντον μετὰ τοῦ ι γράφοντες, ἁμαρτάνουσιν.

Ἀπεργάζομαι, τὸ εἰς τέλος τι διαπράττομαι, τουτέστιν ἐκπληρῶ, καὶ περαίνω. ὡς Ἀριστείδης, Ὅμηρον δὴ ἐπαινοῦσιν, ὡς κάλλιστά τε ἀρξάμενον, καὶ ἀπεργασάμενον ποίησιν.

Ἀπερείδουσι, στηρίζουσιν.

Ἀπερεισαμένοις, στηριχθεῖσιν.

Ἀπερείσατο, ἀπετινάξατο.

Ἀπερείσια, ἄποινα, ἀγλαά. ὡς Ὅμηρος, τὰ ἀγλήεντα, ἢ ἀγλαΐαν ἔχοντα. ἀπὸ τοῦ ἀπήρα, ἀπηρέσια, καὶ κατὰ μετάθεσιν, ἀπερείσια.

Ἀπερίγραπτον, ἀπεριόριστον, μοναδικὴ ὑπόστασις, τῶν πάντων περιεκτική. δυάδα γὰρ ἢ τριάδα ἀπερίγραπτον ἀδύνατον λέγειν. ἐν γὰρ τῇ περιγραφῇ τῆς μονάδος, γνωρίζεται ἡ δυάς. ἡ δὲ ἁγία ἐκκλησία, τρεῖς ὑποστάσεις ἀπεριγράπτως ὁμολογεῖ. καὶ ἀπερίγραπτον, τὸ ἀπερίσκοπον.

Ἀπεριμερίμνως, ἀμαθῶς, ἀσκόπως.

* Ἀπερίλαλητος, ἀδιαβόητος, παρ' Αἰσχύλῳ.

Ἀπεριόριστος, ὁ μὴ καθαρῶς ἐπιφωνῶν. περιορίζειν γάρ, τὸ περικαθαίρειν.

Ἀπερισάλπιγκτοι, ἀπερίηχητοι, ἀκατήχητοι.

Ἀπερισκέπτως, ἄνευ βουλῆς καὶ σκέψεως, ἀνεπινοήτως.

Ἀπερίστατον, μωρὸν, ἀφορμὰς μὴ ἔχον.

Ἀπερίτρεπτον, τὸ μὴ περιτρεπόμενον, τὸ μὴ καταστρεφόμενον.

Ἀπεροῦντες, κωλύοντες, ἀποτρέποντες.

Ἀπερράπισεν, ἀπεφίμωσεν, ἀπεστόμισεν.

Ἄπερρε, ἀποφθείρου, πορεύου μετὰ φθορᾶς.

Ἀπερρίγασιν ἐς οἶκον νέεσθαι, ὃ δηλοῖ τὸ δειλιῶσι καὶ φρίττουσι, περιττὴν ἔχει τὴν ἀπὸ πρόθεσιν, ὡς καὶ ἀπεμνήσαντο, καὶ ἀπεμηνίσαντο. μέσος δὲ παρακείμενος τὸ ἔρριγα, συγκοπεὶς ἐκ τοῦ ἐρριγήκασιν, ὁμοίως τῷ βέβυκα, καὶ τοῖς τοιούτοις.

Ἀπερρώοντο, ἐρρωμένως ἦλυν.

Ἀπερύκοι, κωλύοι.

Ἀπέρωτον, ἄγριον, ἀπηνῆ, σκληρὸν, ἢ δυσπαραίτητον, στυγνὸν, ἀπαράπιστον.

Ἀπερωήσειας, καὶ ἀπερωήσειαν, ἐκ τοῦ ἐρωή. τοῦτο παρὰ τὸ ἐρωῶ ἐρωήσω. σημαίνει δὲ, τὸ ἀποχωρήσειας, καὶ ἀποχωρήσειαν.

Ἀπεσάλευε, τοῦτο ἐπὶ νηῶν λέγεται, καὶ ἐπ' ἄλλων. σημαίνει δὲ ἡ λέξις, τὰς ἐλπίδας.

Ἀπέσαν, ἀπέλαβον. διατί προπαροξύνεται; Πᾶν ῥῆμα εἰς αν λῆγον, χρόνῳ βραχεῖ παραληγόμενον, ἁπλοῦν ἢ σύνθετον, ὅ ἐστιν ὑπὲρ δύο συλλαβὰς, προπαροξύνεται. εἰ μὴ Δωρικῶς εἴη. προπερισπᾶται δὲ, μακρᾶς οὔσης. ὅθεν τὸ μὲν ἀπέσαν, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. τὸ δὲ ἀπῆσαν, οὐκέτι.

Ἀπέσβη, ἐσβέσθη.

Ἀπεσείσατο, ἀπέβαλεν, ἀπεώσατο.

Ἄπεσθαι, ἀκολουθῆσαι.

Ἀπεσία, ἄνεσις, καὶ ἀπέδρα.

Ἀπεσκέδασε, διεσκόρπισεν.

Ἀπεσκευάζετο, τὴν στολὴν ἀπετίθει. κυρίως δὲ ἀποσκευάσασθαί ἐστι, τὸ ἀπορρίψαι τὰ σκεύη, καὶ τοῖς πολεμίοις ἀκολουθεῖν μετὰ πλείστων ἀνθρώπων. Ἐκεῖσε ἀπεσκευάσατο, ἀντὶ τοῦ ἀπέθηκεν.

Ἀπεσκευασάμην, ἀπέρριψα, ἀπεδοκίμασα.

Ἀπέσκη, τόξον. ἔνιοι δὲ, γυμνὰ θήκης τόξα.

Ἀπέσκλη, ἀπέθανεν.

Ἀπεσκληκὼς, κακοπαθήσας, καὶ ἀναισθήτως ἔχων.

Ἀπεσκόλυπτεν, ἀπέσκεπε τὸ δέρμα. ὅθεν καὶ σκολαδέφης.

Ἀπεσκολυμμένος κυρίως, ἐκτετμημένος. κόλλυς γὰρ ἡ ἐπὶ τοῦ ἄκρου θρὶξ, ἣν ἐφύλαττον ἀκούρευτον θεοῖς ἀνατιθέντες. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τοῦ ἀπογεγυμνωμένου.

Ἀπεσκοράκιστο, καταπεφρόνιστο.

Ἀπεσκοτωμένα, ἐσκιαγραφημένα, κεχρωσμένα. τὰς γὰρ χρίσεις, σκότος καλοῦσιν οἱ ζωγράφοι.

Ἀπεσκύθιζον, κυρίως τὸ ἀποτεμεῖν τὸ ἐπὶ τῆς κεφαλῆς δέρμα σὺν θριξί. καταχρηστικῶς δὲ, τὸ ἀποκεῖραι.

Ἀπεσκύψισαι, κεκάθαρται.

Ἀπέσοιξεν, ἀπέσωσε. Λάκωνες.

Ἀπέσομαι, Ἀριστοφάνης ἀντὶ τοῦ ἀπέρχομαι.

Ἀπεσύπαζον, ξύλοις ἀπεδίωκον.

Ἀπεσπάδαντο, ἀπέστησαν.

Ἀπέσπασε, κατὰ βίας ἐξείλετο.

Ἀπεσποδῆσθαι, ἀπερρίφθαι, ἀποθανεῖν.

Ἀπεσποδηκότων, φλεγομένων ἐν τῇ τέφρᾳ.

Ἀπεσπούδαζεν, ἠμέλει, κατεφρόνει. Οὐ δὲ τῶν ἐπικούρου λόγων ἀπεσπούδαζεν ὁ Ἀπολλώνιος.

Ἀπέσσυτο, ἐξέλιπε. σεύω γὰρ τὸ ὁρμῶ, καὶ σύω.

Ἀπεστάτει, ἀπεῖχεν, ἀπεχωρίζετο.

Ἀπεστεῖν, τὸ ἀπεῖν. καὶ ἀπιστίαν, τὴν ἀπείθειαν λέγουσιν.

Ἀπέστη τούτων, καὶ ἀπέστη τούτοις, καὶ ἀπέστη ἀπὸ τούτων. οἷον, ἀπέστη Μεσήνη ἀπὸ Ἀθηνῶν, καὶ ἀπέστη Εὔβοια Ἀθηνῶν. καὶ μεσημβρίας τούτους ἀφεστήκασιν.

Ἀπέστησεν, ἀπῆλθεν.

Ἀπέστησαν, ἀντὶ τοῦ ἀνεχώρησαν, καὶ ἐκώλυσαν.

Ἀπεστιν, ἀντὶ τοῦ μακράν ἐστι.

Ἄπεστιν, ἀπέχει.

Ἀπεστλεγγισμένοις, κεκαρμένοις. Ἀπίων δὲ ἀκούει στλεγγίδας, τὰς σταγόνας τοῦ ἐλαίου. ἀπεστλεγγισμένοις, ἀντὶ τοῦ ἐγκεκαθαρμένοις, ματτομένοις. στλεγγὶς γὰρ, ἡ ξύστρα. καὶ στλεγγιζόμενος, ἀποξυόμενος. καὶ ἀλλαχοῦ, ἢ παιδαρίοις ἀκολουθεῖν δεῖ, σφαῖραν, καὶ στλεγγίδ' ἔχοντα, δαπανεῦσιν. οὐδὲ γὰρ αὐτὴ στλεγγὶς, οὐδὲ λήκυθος. καλεῖται στλεγγὶς, καὶ χρυσοῦν ἔλασμα, τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. ἡ δὲ στλεγγὶς, τῶν πρὸς ἄλλο τι. οὐ γὰρ πρὸς τὸ περιξύεσθαι ἄντις αὐτῇ χρήσαιτο μόνον, ἀλλὰ καὶ πρὸς τὸ ὕδωρ ἀρύσασθαι. ἀπεστλεγγισμένοις οὖν, ἀνεξεσμένοις, ἢ ἔλαιον ἀληλιμμένοις.

Ἀπεστομάτισαν, ἀπεφθέγξαντο.

Ἀπεσταύρωσαν, ἀπέφραξαν ξύλοις.

Ἀπεσύλουν, ἀπέσυρον, ἀπεγύμνουν τὸ αἰδοῖον.

Ἀπεσύπαζον, τύπτω τυπάζω, ὡς κύπτω κυπάζω, ἀποβολῇ τοῦ τ, καὶ πλεονασμῷ τοῦ σ συπάζω.

Ἀπεσύπαζον, ἀπεδίωκον.

Ἀπεσσύς, ἀποχώρησις.

Ἀπεσυφέλιξεν, ἔσεισεν, ἐκίνησεν.

Ἀπεστώ, ὥσπερ Σαπφώ, παρὰ Καλλιμάχῳ, ἡ ἀποδημία.

Ἀπέσω, οἰχέσθω, διωκέσθω.

Ἀπεσφακέλισεν, αἰφνιδίως ἀπέθανεν. οἱ δὲ ἰατροὶ, ἀντὶ τοῦ ἐσάπη, καὶ ἀπεσφενδόνησεν. σημαίνει καὶ τὸ ἀπεκάκισεν.

Ἀπέσφηλεν, ἀποτυχεῖν ἐποίησεν.

Ἀπεσφραγίσθαι, ἀποκεκλεῖσθαι.

Ἀπεσχαρόφιν, ἄποθεν τῆς ἐσχάρας.

Ἀπέσχας, ἀπεσχάσας.

Ἀπεσχεδιάζετο, ἀσκέπτως ἐγένετο, ἐτοιμάζετο.

Ἀπεσχοινισμένος, ὁ ἐστερημένος. Δημοσθένης δὲ, ἀντὶ τοῦ ἐναποκεκλεισμένος.

Ἀπεσχοίνισεν, ἀπεχώρισεν.

Ἀπέσχον τοῦ δεῖνος φαμὲν, ἀντὶ τοῦ ἀπείχοντο καὶ ἔσχον. Θουκυδίδης, Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι ἑαυτοὺς δηλονότι. καὶ ἔσχον, ἀντὶ τοῦ ἐνελιμένισαν.

Ἀπετείχιζον, ἀπεχώριζον, ἐκώλυον.

Ἀπετέλεσεν, ἀπήρτισεν, ἐπλήρωσεν.

Ἀπετέμετο, περιέκοψε, διεχώρισε.

Ἀπετιμήσαντο, ἀποτίμημα ἔλαβον. οὕτω Δημοσθένης.

Ἀπετίννυον, ἀπεδίδουν.

Ἀπετίννυτο, ἀπελάμβανεν.

Ἀπετίνυτο ποινήν· ἐξ οὗ εἴληπται τὸ ἀντίποινα ἔργα, τὰ ἀντίτιμα· καὶ τὸ ποινὴν ἀπονέμειν ἤδη. καὶ τὸ ἀρνύσθαι, Ὅμηρος, Πολέων ἀπετίνυτο ποινὴν, ἀντὶ τοῦ πολλοὺς Ἕλληνας ἐξεδίκει. καὶ οὕτω Τρῶες ἐτίνυον καὶ ἐχρεώστουν ποινήν.

Ἀπέτισαν σὺν σφῇσιν κεφαλῇσι, ἐν Ὀδυσσείᾳ, ἐλλειπτικῶς παραφράζων φησὶ, σῷ κράατι τίσεις. Ὅρα δὲ καὶ ὅτι ἐν τῷ, ἐκ τε καὶ ὀψὲ τελεῖ, καὶ ἐν τῷ σύν τε μεγάλῳ ἀπέτισαν, χρόνοι ἀντὶ χρόνων συνήθως λαμβάνονται, ἤγουν ἐνεστὼς καὶ παρῳχημένος, ἀντὶ ἀληθοῦς μέλλοντος. τὸ γὰρ ἐκτελεῖ, ἀντὶ τοῦ πάντως ἐκτελέσει. καὶ τὸ ἀπέτισαν, ἀντὶ τοῦ ἐξ ἅπαντος ἀποτίσουσι.

Ἀπετίσατο ποινὴν ἑτέρων, ἐν Ὀδυσσείᾳ, ἢ ἀντὶ τοῦ ἀπέτισε ποινὴν ἑταίρῳ, ἢ ἀντὶ τοῦ ἀπέτισε ποινὴν ὁ φαγὼν αὐτοὺς Κύκλωψ, τουτέστιν ἀπέδωκεν. ἢ ὁ Ὀδυσσεὺς ἐτίσατο ἐκεῖνον, ἤγουν ἐτιμώρησεν εἰς ποινὴν τὴν ὑπὲρ τῶν φίλων.

Ἀπετμήθη, ἀπεκόπη.

Ἀπετράπετο, διαφορὰν ἔχει τινὰ πρὸς τὸ ἁπλῶς τρέπεσθαι. αὐτὸ μὲν γὰρ ἀκούσιόν ἐστιν, ὡς τὰ πολλά. Ἕκτωρ δὲ ἀβίαστος ἀπετράπετο, οἷα νικῶν, εἰ μὴ ἄρα καὶ αὐτὸν ἡ νὺξ ἄκοντα ἔτρεψε. τὸ δὲ ἀποτραπέσθαι, καὶ τὸ ἂψ ἀναχωρῆσαι, ὁ ποιητὴς ἀλλαχοῦ λέγει.

Ἀπετράπημεν, ἀπεφύγομεν.

Ἀπετρίψαντο, ἀπελογίσαντο. εἰ μόνον ἀπετρίψαντο τὰς διαβολάς.

Ἀπετρύετο, κατεδαπανᾶτο. ὡς τὸ, Καὶ παρὰ τὰς τῶν δείπνων παρασκευὰς, τὸ πολὺ τῶν δημοσίων ἀπετρύετο. καὶ ἀπέτρυσεν, ὁμοίως.

Ἀπέτυλον, ἀπέσυρον τὸ αἰδοῖον. καὶ ἀποτυλῶσαι, τὸ ἐπᾶραι τὸ αἰδοῖον. τύλον γὰρ, τὸ αἰδοῖον.

Ἀπετρωπῶντο, δευτέρας συζυγίας ὂν τῶν περισπωμένων, ἐκτείνει τὴν προπαραλήγουσαν, ὡς καὶ τὸ στρωφῶ, καὶ τὸ νωμῶ. ἐν μὲν τῇ πρώτῃ συζυγίᾳ συστέλλει αὐτὴν, ὡς δηλοῖ τὸ περιτροπέων ἐνιαυτός. καὶ τὸ καλλίτριχες ἵπποι, ἂψ ὄχεα τρόπεον.

Digitized by Google

Ἀπαύδα, ἀπηγόρευσεν.
Ἀπαυήκασιν, ἀπεξηραμμέναι εἰσίν.
Ἀπαθανατίζειν, ἀποθνήσκειν.
Ἀπευθὴς, ὁ μὴ ἀκούσας, ἢ ὁ μὴ ἀκουσθείς. ὄλεθρον ἀπευθέα λέγει Ὅμηρος, τὸν ἀνήκουστον.
Ἀπευθέες, ἄπειροι, ἀπαίδευτοι.
Ἀπευθὴς, ἄφημος.
Ἄπευθος, ἀνήκοος· ἢ ὁ ἀπευθὴς ὢν παντὸς κακοῦ.
Ἀπευθῦναι, κολάσαι.
Ἀπευθύνω, τὸ ὀρθῶ, καὶ ἐπὶ τῆς ἀρχῆς, καὶ ἐπὶ τοῦ κανόνος. ὡς ὁ κανὼν ἀπευθύνει τὰ ἐξισάζοντα, καὶ ἀφαιρεῖ τὰ περιττά. καὶ ἀπευθύνω, τὸ ἀπὸ εὐθύνης ποιῶ, ἤτοι ἀνεύθυνον. ὑπευθύνω, τὸ τιμωροῦμαι, καὶ ὑπεύθυνον ποιῶ. εὐθύνη δὲ, ἡ τιμωρία. εὐθύνειν καὶ ἀπευθύνειν, ἐπὶ τῶν ὀρθουμένων λοξῶν λέγεται, καὶ ἐπὶ τῶν κυβερνωμένων νεῶν, καὶ ἀπὸ τούτων κατὰ μεταφορὰν ἐπὶ τοῦ κολάζειν, καὶ ἐπὶ τῶν ἄλλως διακεχυμένων.
Ἀπευκταίοις, ἀχρησίμοις.
Ἀπευκτὸν, μισητὸν, τὸ μὴ εὐχῆς ἄξιον.
Ἄπευστος, ἀνήκοος.
Ἀπευστελεῖσθαι, ἀπάρξασθαι.
Ἀπεύχομαι μὴ γενέσθαι, καὶ εὔχομαι μὴ γενέσθαι.
Ἀπεφαυάνθην, ἐξηράνθην, καὶ μικροῦ δεῖν ἀναίσθητος γέγονα. ἀόριστος πρῶτος παθητικὸς, ἐκ τοῦ αὐαίνω αὐανῶ.
Ἀπέφρασε, ἀπέθανεν, ἀπείπατο, ἀπεφώνασε.
Ἀπεφώνασε, εἶπεν.
Ἀπέφηνεν, ἔδειξεν.
Ἀπέφησεν, ἠρνήσατο.
Ἀπεφθαρμένοι, ἀποθνήσκοντες.
Ἀπέφθιθον, ἀπεφθείροντο. ἀπὸ τοῦ φθίθω, ὁ παρατατικὸς, ἔφθινον, καὶ ἀπέφθινον.
Ἀπεφλαύριζεν, ἐκάκιζεν. ὁ δὲ τούτοις ἀντέπραττε, καὶ ἀπεφλαύριζε τὰ λεγόμενα.
Ἀπέφρησαν διὰ τοῦ φ, ἀντὶ τοῦ ἀφῆκαν, Κρατῖνος.
Ἀπέφρυσε, διὰ τοῦ υ ψιλοῦ, ἀπέξεσεν, ἀπέβαλεν.
Ἀπεφύσησεν, ἀπεμάρανεν.
Ἄπεχεν, ἐκώλυεν.
Ἀπέχει τί τινος σταδίους εἴκοσιν, ἢ τριάκοντα, ἀντὶ τοῦ κεχωρισμένος ἐστίν. ἀπέχει Χαλκηδὼν Βυζαντίου σταδίους τοσαῦτα. καὶ ἀπέχει στάδιον, καὶ σταδίῳ, τῆς πόλεως.
Ἀπέχειν, τὸ ἀφεστάναι, συντασσόμενον γενικῇ, οἷον, τοσοῦτον ἀπέχω τοῦ ῥαθυμεῖν. ἀπέχειν καὶ τὸ ἀπολαμβάνειν, ὡς τὸ, ἀπέχω τὴν χάριν, Καρνᾶς ἱκέτης μου γέγονεν.
Ἀπέχειν ἑκὰς νήσων, ἐναντίον ἐστὶ τῷ προσίσχειν, ἤτοι ἐλλιμενίζεσθαι. ἐπεὶ καὶ ἐγγύτητα μὲν ἡ πρὸς πρόθεσις δηλοῖ, τὸ δὲ ἀνάπαλιν αὐτῆς, ἡ ἀπό.
Ἀπεχειρίασεν, ἀπεσκίρτησεν. οἱ δὲ, ἀπὸ τῶν χειρῶν ἀπέπληξεν.
Ἀποχειριάσθη, τὴν χεῖρα ἀφῃρέθη. Ὃς μετὰ πολλὰς αἰκίας καὶ στρεβλώσεις, ἀπεχειριάσθη τὴν δεξιάν.
Ἀπεχρᾶτο, Ἡρόδοτος, ἀντὶ τοῦ ἀρκεῖν ἡγεῖτο. Θουκυδίδης δὲ, ἀπεχρῶντο, ἀντὶ τοῦ ἀνῄρουν.
Ἀπέχεσθαι, τὸ φείδεσθαι καὶ ἀφίστασθαι, γενικῇ συντάσσεται. Ἀριστοφάνης, οἴνου τε ἀπέχεσθαι. καὶ ἀπέχεσθαι ἀλλοτρίων, ἀντὶ τοῦ ἀπέχου, Ἰωνικῶς.
Ἀπέχω, τὸ ἀπολαβὼν ἔχω, συντασσόμενον αἰτιατικῇ. οἷον, ἀπέχω τὸ κεχρεωστημένον, ἀντὶ τοῦ δανεισάμενος. εἶτ' ἀπολαβὼν αὖθις ἔχω. Δημοσθένης, Θηβαῖοι μὲν ἀπέχουσι τὰ οἰκεῖα. καὶ Συνέσιος, ἀπέχω τὴν χάριν, Καρνᾶς οἰκέτης μου γέγονε.
Ἀπέχεται τῶν κρεῶν καὶ οἴνου, καὶ τῶν τοιούτων ἡδονῶν, ἤγουν ἀπάγει ἑαυτόν. καὶ ἀπέχομαι τούτου, καὶ τούτῳ.
Ἀπέχῃς, ἀπολάβῃς. ἀποστολικὴ λέξις, ἵνα αἰωνίως αὐτὸν ἀπέχῃς.
Ἀπεχθαῖος, ἐχθροποιός.
Ἀπεχθαίρων, μισῶν.
Ἀπεχθάνομαί σοι, καὶ ἀπεχθάνοντο, ἐμισοῦντο. καὶ ἀπέχθεσθαι. λέγουσι δὲ καὶ ἀπεχθάνεσθαι.
Ἀπέχθεια, μῖσος.

Ἀπεχθὴς, ἐχθρὸς, μισητός. καὶ ἀπεχθησόμενος, ἀντὶ τοῦ ἐχθρὸς γενησόμενος.
Ἀπέχθῃ, ἐχθρὸς γένῃ, μισηθῇς, ἀπὸ τοῦ ἀπέχθω. καὶ ἀπεχθήρω, μισήσω.
Ἀπέχθηται. ἀπέχθω, ἀπῆχθεν, ἐὰν ἀπέχθωμαι, ἐὰν χθῇ, ἐὰν χθῆται.
Ἀπεχθῶς, ἐχθρωδῶς, μισητῶς.
* Ἀπεχθήμων, ἀπεχθὴς, στασιώδης.
Ἀπεχοιρίασεν, ἀπεσκίρτησεν ἀπὸ τῶν χοίρων.
Ἀπέχομαι παθητικῶς, ἀεὶ ποτὲ ἀντὶ τοῦ δύναμαι, ἀττικῶς δὲ ἐνίοτε αἰτιατικῇ. Πλάτων, οὐκ ἀπευχόμην τὸ μὴ διὰ τοῦτον ἐλθεῖν.
Ἀπέχῃ, ἤρκει.
Ἀπεχήσατο, ἀντὶ τοῦ διέφθειρεν. Πλάτων, ἐμαυτοῦ οὐ διεχησάμην.
Ἀπεχρῶντο, ἀντὶ τοῦ ἀνῄρουν.
Ἀπέχω ἐνεργητικῶς, ἀντὶ τοῦ δύναμαι. Λιβάνιος, ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ μισεῖν Ἕκτορα διὰ τὴν ἀριστείαν. καὶ ἀντὶ τοῦ δύνω. Ἡσίοδος, Ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἠδύναντο ἀλλήλων ἀπέχειν.
Ἀπέχω ἀντὶ τοῦ ἀπολαμβάνω· Συνέσιος, ἀπέχω τὴν χάριν.
Ἀπέψα, ἀπέμαξεν.
Ἀπεψησάμην, κατεμαξάμην. ἀποψᾶν λέγουσι τὸ ἐκμάσσειν· ὡς Ἀριστοφάνης ἐν Πλούτῳ, ἀποψώμεθα δ' οὐ λίθοις ἔτι, ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
Ἀπεψηφίσατο, τουτέστι κατεδίκασεν.
Ἀπεψίαν, οἱ πολλοὶ λέγουσι, τὸ μὴ πέψαι τὰ σιτία· σὺ δὲ, ὀξυρεγμίαν ἂν λέγοις.
Ἀπέψον, τὸ ἕψιον, διὰ τοῦ ο μικροῦ· ἀπέψων δὲ τὸ ἀποσπόγγιζον, διὰ τοῦ ω μεγάλου.
Ἀπεψύχη, ἀπεπνευματίσθη.
Ἀπεψύχοντο, συνώνυμόν ἐστι τῷ ἀνέψυχον· ὡς τὸ, ἱδρῶ ἀποψυχεὶς, ἀντὶ τοῦ ἀναψύξας. τὸ μέντοι ἀποψύχειν, ἐνεργητικῶς, λειποψυχίαν ἢ θάνατον δηλοῖ, παρὰ τοῖς μεθ' Ὅμηρον. ἐναποψύχειν δέ γε, δυσεμφάτως παρ' Ἡσιόδῳ ἔχει. εἴρηται δὲ καὶ ψύχειν παρ' Ὁμήρῳ. καὶ ἀπεψύχοντο, πρὸς τὸ πνεῦμα ἐξηραίνοντο.
Ἀπεψωλημένοι. Ἀριστοφάνης Πλούτῳ, Ἔπειθ' ἀπεψωλημένοι, τράγοι δ' ἀκρατιεῖσθε.
Ἀπεώρητον, ἀμετεώριστον.
Ἀπεωρούμενον, κρεμάμενον.
Ἀπεώσατο, ἀπεσείσατο, ἀπετινάξατο.
Ἀπέωσεν, λέξις Ἀττικὴ, καθὰ καὶ τὸ ἐξέωσε, καὶ συνέωσεν. ἔστι δὲ ταυτὸ τῷ ἐξῶσεν· ἐξ οὗ, ἄνεμοι ἐξῶσται καὶ ὦσται λέγονται.
Ἀπέωσαι, ἀπωθεῖτο.
Ἀπηβηκὼς, τὴν ἀκμὴν παρελθών.
Ἀπηγγέλθη, ἐμηνύθη.
Ἀπῆγεν, ἐκώλυεν, ἀπεῖργε. καὶ ἀπῆγεν ἰλεῶς σκληρῶς.
Ἀπηγενέες, ἀποσεσπασμένοι.
Ἀπηγκωνισμένος, ἐν σχήματι τὸν ἀγκῶνα ἀπεστακώς.
Ἀπηγμένος, ἀπαγόμενος.
Ἀπήγξατο, βρόχου ἧψεν.
Ἀπηγόρευμα, ἀπολόγημα.
Ἀπηγορευμέναι ἡμέραι οὐκ ἱεραὶ, ἀλλὰ ἀποφράδες μόνον. εἴρηται δὲ καὶ ἐπὶ ἀρσενικοῦ, παρὰ Συνεσίῳ ἐν ἐπιστολῇ. ἀποφρὰς ἄνθρωπος, ἤτοι ἀποτρόπαιος, καὶ ἀπηγορευμένος.
Ἀπηγορευμένα, ἄνομα.
Ἀπηγορευμένος, ἀποβεβλημένος.
Ἀπηγόρευον, ἀπέκαμνον, ἐταλαιπώρουν.
Ἀπηγόρευται, κεκώλυται.
Ἀπηγορήσομαι, ἀντὶ τοῦ ἀπολογήσομαι.
Ἀπῄειν, ἀντὶ τοῦ μακρὰν ἦλθον. κανονίζεται δὲ οὕτω· εἴω τὸ πορεύομαι, ἄχρηστον· ὁ μέλλων εἴσω, καὶ αὐτὸς ἄχρηστος. ὁ μέσος παρακείμενος, εἶα· καὶ διαλύσει ἔϊα, καὶ τροπῇ τοῦ ε εἰς η ἦα, μένοντος τοῦ ι προσγεγραμμένου. ὁ ὑπερσυντέλικος, ἤειν ἤεις ἤει, ἤειτον, ἠείτην, ἤειμεν ἤειτε ἤεισαν, καὶ ἐκβολῇ τοῦ ι, ἤεσαν, καὶ ἐξήεσαν, καὶ μετήεσαν.
Ἀπῆσαν, παρῆλθον, παρέδραμον.
Ἀπηθάλωσεν, ἐξεπύρωσεν, ἢ ἀπέσβεσεν.
Ἀπήκει, ἀπέχει, εἰς ὀξὺ συνάγει.
Ἀπηκολούρισεν, ἐν τῷ παραβεβλῆσθαι ἀπέστρεφε. Λάκωνες.

Ἀπήκοοι, οἱ μὴ ὑπήκοοι.
Ἀπῆκτο, ἀπηνέχθη. καὶ ἀπῆκτο, ἀπῆλθε. καὶ ἀπηκτὸς, ὁ πορευόμενος.
Ἀπηλεγὴς, σκληρός.
Ἀπήλασεν, ἐδίωξεν.
Ἀπήλαυσε, μετέσχεν. ὅτι Κλέων, ὅτι Βρασίδας ὁ τῆς συμφορᾶς αἴτιος, ἀπήλαυσεν.
Ἀπηλγηκὼς, ἀναίσθητος, παρὰ τὸ ἄλγος. καὶ ἀπηλγηκότες, μηκέτι θέλοντες πονεῖν, ἀναίσθητοι γενόμενοι, ἀποκαμόντες.
Ἀπηλεγέως, ἀπολελεγμένως. ἢ τὸ ἀφροντίστως, καὶ προφανῶς, ἀπὸ τοῦ ἀλέγω. σημαίνει καὶ τὸ ἀληθῶς καὶ ἁπλῶς. ἔτι δὲ καὶ τὸ σαφῶς. τίθεται δὲ καὶ ἀντὶ τοῦ ἀποτόμως, καὶ συντόμως.
Ἀπηλιαστὴς, μισόδικος, παρὰ Ἀριστοφάνει.
Ἀπηλιώτης, ὁ ἄνεμος, καὶ ἀντήλιος, καὶ ἐπῆλις, καὶ πάντα τὰ ὅμοια, ψιλῶς. Ποσείδιππος ἐν τῷ ὀγδόῳ.
Ἀπηλλάγη, ἠφανίσθη. ἐκ τοῦ ἀπαλλάττω, ὁ μέλλων ἀπαλλάξω. ὁ ἀόριστος, ἀπήλλαξα. ὁ δεύτερος, ἀπήλλαγον. ὁ παθητικὸς ἀπηλλάγην, ης, η. καὶ ἀπηλλάγησαν, ἐστάλησαν, ἢ τινὸς ἐστερήθησαν.
Ἀπηλλάξῃ, ἀπηλλαγμένος ἔσῃ.
Ἀπήλλαξεν, ἀντὶ τοῦ ἠλευθέρωσεν. ἀπήλλαξέ με δέους, καὶ ἀπήλλαξεν ἡμᾶς πραγμάτων, ἐκ τοῦ ἀπαλλάττω.
Ἀπήλλαξεν ὁ δεῖνα τῶν κακῶν, κάλλιον ἢ ἀπηλλάγη. καὶ ἀπαλλαξείοντες, ἤγουν ἀπαλλάξειν μέλλοντες. καὶ ἀπήλλαξεν, ἀντὶ τοῦ ἀπῆλθεν. ὁ μὲν δὴ πρῶτος στόλος Λακεδαιμονίων οὕτως ἀπήλλαξεν.
Ἀπηλοίησεν, ἀπέκοψεν. ἀπὸ τοῦ ἀλοιῶ, ἀλοιήσω, ἠλοίησα· ὅθεν καὶ πατραλοίας, ὁ τὸν πατέρα τύπτων.
Ἀπηλωημένος, ὁ ἀπὸ τῆς ἅλω συγκεκομισμένος, κατὰ τὸ ἀλωηθῆναι, ὅ ἐστι πατηθῆναι.
Ἀπημάλδυνεν, ἤμβλυνεν, ἠφάνισεν.
Ἀπήμαντον, ἀβλαβές.
Ἀπήμαντος, ἀναμάρτητος.
Ἀπήμαρτεν, ἀπέτυχεν.
Ἀπήμβροτε, ἀπέτυχεν.
Ἀπημείφθη, ἀντὶ τοῦ ἀπεκρίνατο.
Ἀπῆμεν, ἀπὸ τοῦ εἴω τὸ πορεύομαι, ὁ μέσος παρακείμενος εἶα, καὶ ἐν διαλύσει καὶ τροπῇ τοῦ ε εἰς η, ἦα. τὸ πληθυντικὸν, ἤαμεν, καὶ ἦμεν ἐν συγκοπῇ, καὶ ἀπῆμεν. τὸ δεύτερον, ἦτε, καὶ ἀπῆτε. τούτου ἦα ὑπερσυντέλικος, ἀπήειν, ἐξήειν, παρήειν. τὸ τρίτον τῶν πληθυντικῶν, ἤεσαν. καὶ συστολῇ ἤεσαν, καὶ ἀπήεσαν, καὶ παρήεσαν, καὶ ἐξήεσαν.
Ἀπήμησαν, ἀπεθέρισαν.
Ἀπήμονα, ἀβλαβῆ. Ὅμηρος, τοὺς Κρονίδη τι πάμπαν ἀπήμονας.
Ἀπήμπλακον, ἀπέτυχον.
Ἀπημύλλαινεν, ἐξηυτέλιζεν.
Ἀπήμων, ἀβλαβής.
Ἀπηναῖος, ἀπάνθρωπος, ὠμός.
Ἀπηνήνατο, ἐκ τοῦ ἀναίνω τὸ ἀπαρνοῦμαι, ὁ μέλλων ἀνανῶ, ὁ ἐνεργητικὸς πρῶτος ἀόριστος, ἤνηνα, καὶ ὁ μέσος ἠνηνάμην, ἠνήνατο, καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀπηνήνατο, τὸ παρῃτήσατο.
Ἀπηνέα εἰδὼς, ἑτεροῖος τοῦ ἁπλῶς ἀπηνέος. ἔτι καὶ ἀμύμονα εἰδὼς, τοῦ ἁπλῶς ἀμύμονος. ἀπηνέα μὲν γὰρ καὶ ἀμύμονα ἔργα, οἶδεν ὁ περὶ τὰ τοιαῦτα ἔργα ἤδη ἐπιστήμων. ἀπηνὴς δὲ καὶ ἀμύμων, οὐκ ἐξ ἀνάγκης ὁ τοιοῦτος, ἀλλὰ καὶ ὁ μήπω τέλειος εἰς τὸ κακὸν, μὴ δὲ κατὰ τὸν ποιητὴν μαθὼν ἔργα κακά.
Ἀπήνεια, ἡ ἀπανθρωπία.
Ἀπήνεικεν. ἐνέγκω, τροπῇ ἐνείκω, ἤνεικε, καὶ ἀπήνεικεν.
Ἀπηνεμώθη, ὑπ' ἀνέμου ἔπεσεν.
Ἀπηνέμοις, γαληνοπαίτοις.
Ἀπηνέμους, μὴ ἔχοντας ἀνέμους.
Ἀπηνὲς, σκληρὸν, ὠμόν.
Ἀπηνέστερον, ἀτομώτερον.
Ἀπηνεώθη, ἐξεπλάγη, ἄφωνος ἐγένετο.
Ἀπήνη, ἐστὶν ἅρμα, ἐξ ἡμιόνων ζευχθέν. ἀπήνη ἐπὶ ἵππων. ἅμαξα ἐπὶ βοῶν.

* Ἀπη-

* Ἀπηνήνη, ἅμα τῶν ἀπήνης, τουτέστι τοῦ ἅρματος.
Ἀπηνήνατο, ἀπηρνήσατο, παρῃτήσατο, οὐκ ἠθέλησεν.
Ἀπηνής, ἀπήρντος, ὠμός, σκληρός. λέγεται δὲ καὶ ὁ ἀπαθὴς τοῦ αἰνεῖσθαι, ὅ ἐστιν ἐπαινεῖσθαι. αἶνος γάρ, ὁ ἔπαινος. ἢ ὁ μὴ ἠπίως ἔχων, τουτέστι σκληρός. ἀπὸ μεταφορᾶς τῶν ἵππων τῶν δυσηνίων. ἢ αἰνός, ὁ δεινὸς καὶ σκληρός. αἰνής, ἀπηνής.
Ἀπηνθρακίζεν, ὤπτα. τὰ γὰρ ἐξ ἀνθράκων γινόμενα, καλὰ γίνεται. Ἀριστοφάνης, βοῶν δ' ἀπηνθράκιζ' ὅλον.
Ἀπήντα, καὶ ἀπελώπηκα, τέθνηκα. καὶ ἀπήντησεν, ἐπελήθη, ἐξέβη.
Ἀπήξεν, ἱσώρμησεν.
Ἀπηξιωμένων, ἀτίμων, ἀναξίων.
Ἀπηξίωσεν, ἀπέλαβεν.
Ἀπήορα, μετέωρα, ὑψηλά.
Ἀπήοροι, ἀποκρεμεῖς, ἀπαρτιζόμενοι.
Ἀπήορον, ἀπέχον.
Ἀπήορος, ὁ διεσιὼς καὶ ἀπηρτημένος, ἀπὸ τοῦ ἀείρω.
Ἄπηρα, τὸ ἀβλαβῆ.
Ἀπῆραν, ἀντὶ τοῦ ἀπὸ ἄλλου ἰκνοῦντες, εἰς τὸν οἰκεῖον τόπον ἐπανεστράφησαν. Ἀριστείδης, Ἔπειτα ἀπῆραν, ὥσπερ τοῖς ἀκολουθεῖν μὴ δυνάμενοι.
Ἀπήραξε παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ῥᾶον καὶ ἀπέρρηξε, ἀπέκοψεν ἄρσι, ὅ ἐστι ξίφει σιδηρῷ.
Ἀπηρεῖς, ἀπήρωτοι, ἐπιπηρωμένοι.
Ἀπηρείσατο, ἐκύμβισεν, ἀπετινάξατο, ἐπηνέξεν, ἀπέθετο.
Ἀπῆρεν, ὕψωσεν.
Ἀπηρείσατο, ἔπηξεν, ἀπῆρε, μετέστησεν.
Ἀπηρής, παρὰ τὴν ἀρὰν τὴν βλάβην, ἀπηρής, ὁ ἀβλαβής. ἢ παρὰ τὸ πηρός, ἀπηρὴς, ὁ ἀβλαβής.
Ἀπήρκει, ἀπέκοψεν, ἀπεδήμησεν.
Ἀπηρκότος, ἀναχωρήσαντος. ἄρτι δ' ἀπηρκότος τοῦ Σοραΐχου, Ἡρωνὶς ἐσίσατο. Ἀπήρξατο, ἀπαρχὰς ἔδωκεν.
Ἄπηρος, ὁ ἀβλαβής, παρὰ τὸ πηρὸς ἄπηρος. καὶ ἄπηρος, ὁ μὴ ἔχων Μαρσύπιον.
Ἀπήρωσιν, ἀπηρωτίασεν.
Ἀπηρτίως, ἀπηρτημένως, καὶ ἀκριβῶς παρὰ τῷ Ἱπποκράτει.
Ἀπήρτα, ἐκώλυε, διατριβὴν παρεῖχε. καὶ ἀπήρτα τὸν πλοῦν τῆς ὁδοῦ, ξυμπαρεῖναι τῇ στρατιᾷ.
Ἀπηρτημένη, κρεμαμένη.
Ἀπηρτημένοι, μακρὰν ὄντες.
Ἀπηρτισμένον, τέλειον.
Ἀπήρτημαι, τὸ ἐξήρτημαι, γενικῇ συντάσσεται.
Ἀπηρτισμένας, ἀπηωρημένας.
Ἀπήρυκεν, ἀπεκώλυσε.
Ἀπήρχοντο, ἀντὶ τοῦ προκατῆρχον· ὡς ὁ Θεολόγος, ἧς αὐτὸς ἀπήρξατο. καὶ ἀπήρχοντο, ἀντὶ τοῦ ἀπαρχὰς ἐποίουν. Λιβάνιος, ᾧδέ τινες τῶν παλαιῶν καὶ δρυῶν κόμας ἀπήρχοντο.
Ἀπήσραψεν, ἀπέλαμψεν.
Ἀπήτει, ἐζήτει.
Ἀπητίμησε, πωλητὴν ἔχει τὸν ἀφροδίσιον, ὡς καὶ τὸ ἀπομελιώσας, καὶ ἕτερα πολλά. ἐν οἷς τὰ ἀπελωβήθη παρὰ Σοφοκλεῖ.
Ἀπήτρια, ἀχίσεμα.
Ἀπηυδόκησαν, ἀπέγνωσαν, ἀπηγόρευσαν.
Ἀπηύρα θυμόν, ὅ ἐστιν ἀφείλετο, ἀπέλαυσεν. ἀπηύρα ἐγχεῖ θυμόν, παρὰ τῷ ποιητῇ, περίφρασις τοῦ ἀνεῖλε. καὶ ἀπηύρας κῦδος, ἤγουν ἀφείλου. ἐναντίον πρὸς τὸ ἐπαυρεῖν, ὃ γενικῇ συντάσσεται.
Ἀπηῦρον. ἀπαυρῶ, ἀπαυρήσω ὁ δεύτερος ἀόριστος, ἀπηῦρον. ἀφηλόμην, ἀφείλοντο.
Ἀπηυτομόλησε, προσετίθετο τοῖς ἐναντίοις.
Ἀπήχθηνα, δυσοιωνισμός, ἄχθηα, μῖσος, καὶ ἀντὶ τοῦ ἀπήχθηνα. ὡς παρὰ Λυσίας, καὶ Δείναρχος.
Ἀπηχὲς κυρίως τὸ σκληρὸν καὶ ψόφος, δύσφορον, ἀηδές, ἐχθρόν.
Ἀπηχέστατον, ἀηδές, ἢ καὶ αὐτὸν τὸν ἦχον ἀποστρεφόμεθα.
Ἀπηχήματα, ψιλαὶ ἀπατηλαί.

Ἀπηχημένον, ἀπόβλητον, ξένον τῷ κατὰ τὰς φωνὰς ἤχῳ.
Ἀπηχὲς, ἡ λέξις Ἀττική. ἀμφότερα κατὰ ἔνδειαν τοῦ δ, ἀπηχθής τις ὤν, ὃ ἄν τις ἀπέχοιτο. ἢ ἀπὸ τοῦ ἤχου, ὁ μὴ συνᾴδων, ἀπὸ μεταφορᾶς τῶν μουσικῶν ὀργάνων, ὁ ἄμουσος, καὶ ἐχθρός. Ἀπολλώνιος, Καί σε θεοὶ συνῄ ἀπηχέσιν αὖθις ἐτέροις.
Ἀπήχησίς ἐστιν, ὁ ἦχος, καὶ ἡ προφορά, καὶ ἡ ἐκφώνησις. ὁ ῥομβισμός, ἡ καππάνεξις, καὶ ὁ ὑπτιασμός, ἡ δ' ὀξεῖα ἐστι, ποιοῦσα συλλαβῆς ἀνημμένον ἔχουσα φθόγγον. ἡ δὲ βαρεῖα, ποιοῦσα ὑφειμένον ἔχουσα φθόγγον. ἡ δὲ περισπωμένη, ποιοῦσα συλλαβῆς ἀνημμένον ἢ κεκλασμένον ἔχουσα φθόγγον. καὶ ταῦτα κατὰ τοὺς γραμματικούς.
Ἀπήχθετο, ἐμισεῖτο. ἔχω ἔχθω, ἔχθομαι, ἐχθόμην ἤχθον ἤχθετο, καὶ ἀπήχθετο.
Ἀπήχθη, ἀπηλλοτριώθη, ἡ παρεβάτη· ὡς τό, Ὁ δὲ Ἀπολλώνιος τὴν γλῶσσαν Ἀττικῶς εἶχεν, οὐδὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους.
Ἀπηχθημένον, ἀπόβλητον. ἀπηχθισμένον δέ, βεβαρημένον. καὶ ἀπηχθημένης, μεμισημένος.
Ἀπηχῶς, σκληρῶς, ἀπεχθῶς.
Ἀπῃωρῆσθαι, κρεμᾶσθαι. ἐκ τοῦ αἰωρέω, ῥῶ, ήσω, ἠώρηκα, ἠώρημαι ἠώρησαι ἠώρηται, καὶ τὸ ἀπαρέμφατον ἠωρῆσθαι, καὶ ἀπῃωρῆσθαι.
Ἀπῃωρεῦντο· τὸ θέμα, αἰωρῶ τὸ κρεμῶ· τὸ παθητικόν, αἰωροῦμαι· ὁ παρατατικός, ἠωρούμην, τὸ τρίτον τῶν πληθυντικῶν, ἠωροῦντο, καὶ ἠωρεῦντο Αἰολικῶς, καὶ ἀπῃωρεῦντο.
Ἀπήωροι ὄζοι, οἱ κλάδοι οἱ ἀπηωρημένοι, τουτέστιν ἀποκρεμεῖς, καὶ πόρρω τῆς ῥίζης ὄντες. κατὰ δὲ ἑτέρους, ἀφεστῶτες, παρηκτεταμένοι. ἐκτείνουσι τὴν παραλλαγήν, ὡς μὴ γενόμενοι ἀπὸ τοῦ ἀέρος, ἀλλὰ ἀπὸ τοῦ αἰωρῶ.
Ἀπία γῆ, ἡ Πελοπόννησος. ὡς τό, Ἐξ Ἀπίης γαίης, ἀπὸ τῆς Πελοποννήσου. τὸ γὰρ παλαιόν, ἐκαλεῖτο Αἰγιάλεια, ἀπὸ Αἰγιαλέως τοῦ υἱοῦ Ἰνάχου, τοῦ ἐν Ἄργει ποταμοῦ, καὶ Μελίας τῆς Ὠκεανοῦ. ὕστερον δὲ Ἀπία ἐκλήθη, ἀπὸ Ἄπιδος τοῦ Φορωνέως παιδός. ἢ παρὰ τὸ Ἀπίδα, ὃ σημαίνει τὴν Ἀπιδίαν, ἢ ἐν κατεξήροις τόποις ὑπάρχουσα, ἐκ τοῦ πίω γὰρ γίνεται, ὃ σημαίνει τὸ πίνω, ἀποβολῇ τοῦ ν. ἐκ τούτου ἂν γίνεται ἄπιος, καὶ τὸ θηλυκὸν, ἀπία, ἢ ἐν πολλοῖς ἔπεσι διψάσασα. ὡς Ὅμηρος, Πολυδίψιον Ἄργος φησίν. ἡ γὰρ πόλις ἐστὶν ἡ Ἑλλάς, ἡ δὲ χώρα Ἀπία. ἢ ἀπὸ τοῦ ἐκεῖ φράσιν πεφυτεῦσθαι. Ἀπίης, τῆς Ὄχνης, τῆς Ἀπιδίας Ἄργος δέ, ἀπὸ Ἄργου τοῦ πανόπτου. τελευταῖον δὲ πάντων, Πελοπόννησος, ἀπὸ τοῦ Πέλοπος καὶ τοῦ νήσου, διὰ τὸ κρατῆσαι τῆς χώρας τὸν Τάνταλον, υἱὸν Πέλοπος. Ἄλλως.
Ἀπία γῆ ἐκλήθη ποτὲ ἡ Πελοπόννησος, ἀπὸ Ἄπιδος τινός. ἐνταῦθα δὲ δοκεῖ, καὶ ὅτι Ἀπία ἐκείνη λέγεσθαι ἱστορεῖται διὰ τὸ ἐπιδαψιλῆ ἐν αὐτῇ τὸ φυτόν, ὃ τὰς ἀπίους φύει.
Ἀπιακός, ἄρτος ὁ μεμφιτικός.
Ἀπιαλέας, ἀποτέμνης.
Ἀπίαλος, ῥῖγος.
Ἀπίασι, τὸ ἀπέρχονται, μετὰ προθέσεως.
Ἀπιγμένοι, καὶ ἀπίκοντο, ἀντὶ τοῦ ἀφιγμένοι καὶ ἀφίκοντο, λέγουσιν Ἴωνες. ἀπαξίζονται γὰρ τὰ ψιλά, ἀντὶ δασέων.
Ἀπ' Ἰδαίων ὀρέων, ἀπὸ τῶν τῆς Ἴδης ὀρέων.
Ἀπιδανός, ποταμὸς Θεσσαλίας.
Ἄπιδες, θεοὶ ἦσαν τιμώμενοι παρ' Αἰγυπτίοις, σημεῖον ἔχοντες περὶ τὴν οὐρὰν καὶ τὴν γλῶσσαν, δηλοῦν εἶναι αὐτοὺς Ἄπιδας. οἷς γενωμένοις, διὰ χρόνου ὡς ἔλεγον ἐκ τοῦ σέλαος τῆς Σελήνης, ἑορτὴν μεγάλην ἦγον, καὶ ἱερεῖς τινὲς περὶ τὸ πηχθέντα βοῦν ἱερεῦντο, παρατιθέντες ταῖς δαισίαις, ὡς ἀναχύνεσθαι αὐτοῖς.
Ἀπίδω, θεάσομαι.
Ἄπιθι, ἀπέρχεται, ἀπιέναι, ἀπέρχεσθαι. ἀπὸ τοῦ ἵημι ψιλουμένου. ὁ παρατατικός, ἵειν, ἵεις, ἵει. ἡ μετοχὴ ὁ ἱεὶς, τοῦ ἱέντος. καὶ τὸ ἀπαρέμφατον, ἱέναι, ὡς τιθέναι. ὁμοίως καὶ μετιέναι.

Ἀπίη, ἀλλοδαπή, ἀλλοτρία.
Ἀπίης γῆς, τῆς πολὺ ἀφεστώσης γῆς. καὶ ἀπίης, ξένης. ἐξ ἀπίης γαίης, ἢ τῆς Πελοποννήσου.
Ἀπίθανον, ἄπιστον.
Ἀπιθεῖν, ἀεὶ παρ' Ὁμήρῳ γράφεται διὰ τοῦ ι, ὡς ἀπὸ τοῦ πιθῶ, διὰ τὸ τοῦ μέλλοντος γενόμενον. παρ' ἡμῖν δὲ διὰ τῆς ει διφθόγγου γράφεται, ἐκ τοῦ ἀπειθὴς ὀνόματος.
Ἀπίθετο, ἀπεζημιοῦτο.
Ἀπιθής, ὁ δυσχερὴς καὶ δυσανάβατος.
Ἄπιθι, ἀπέρχου, ἐκ τοῦ εἶμι. καὶ ἀπίασι, τὸ ἀπέρχονται, μετὰ προθέσεως.
Ἀπιθῦντι, ἀνυποτάκτῳ.
Ἀπίκια, εἶδος πλακοῦντος.
Ἀπίκιος, ὀψοφάγος.
Ἀπικμῶντα, ἀπεψῶντο.
Ἀπ' ἰκριόφιν, ἀπὸ τοῦ ἰκρίου. λέγεται γὰρ καὶ ἡ τοῦ κυβερνήτου καθέδρα, ἴκριον.
Ἀπικρόχολον, τὸ μὴ ἔχον ξανθὴν χολήν.
Ἀπίλαιν, Λυσίας ἐν τῷ κατὰ Θεομνήστου (εἰ γνήσιος) ἀποκλείειν νομίζει.
Ἄπιμεν, ἀπερχόμεθα.
Ἀπίμελος, ὁ μὴ ἔχων πιμελήν.
Ἀπιμμένη, κραταίσασα.
Ἀπίναι, φροσῖναι, ἐξεῖναι, κατίναι, πάντα ἀδόκιμα ἀνὰ τὸ λεγόμενα, χρὴ δὲ σὺν τῷ ε, ἀπιέναι, φροσιέναι, ἐξιέναι, λέγεσθαι.
Ἀπίναιον, ὄρος.
* Ἀπινδάκοτος, ἀπύθμενος κύλιξ.
Ἀπινής, ὁ καθαρός.
Ἀπινῦται, ἀπορυποῦται. πῖνος γάρ, ὁ ῥύπος.
Ἀπινύσσω, ἀπινύσσως ἔχω, ἢ σωφρονῶ. πινυὸς γάρ, ἡ σωφροσύνη. καὶ ἀπινύσσω, τὸ ἀσυνετῶ, καὶ ἐκπνέω.
Ἀπιόντος, πορευομένου.
Ἄπιος, ἡ ὄχνη καλουμένη γενικῶς, ὅτι φύσιν ἐν Ἀπίᾳ γέγονεν. ἢ παρὰ τὸ ἐν διψηροῖς τόποις φύεσθαι. ἢ παρὰ τὴν ποιότητα τοῦ χυλοῦ αὐτῆς. καὶ ἄπιος, ἡ ὀπώρα. καὶ ἄπιον, καὶ ἄπιος ἔξω τοῦ δένδρου καὶ τοῦ καρποῦ, βοτάνη τίς.
Ἄπις, βασιλεύς, ὡς Αἰγύπτιοι, καὶ ὁ παρ' αὐτοῖς Ἄπις θεός. καὶ Ἄπις, νῆσος κειμένη πρὸ τῆς Κρήτης.
Ἀπισεῖν, τὸ ἀπειθεῖν. οὕτω Πλάτων.
Ἀπιστία, ἡ ἀσέβεια, καὶ ἡ ἀπείθεια. οὕτω Πλάτων.
Ἄπιστος, ἀπαράπιστος, ἀπειθής, ἀσεβής. λέγεται δὲ καὶ ὁ μὴ πειθόμενος, ὥς φησι Πλάτων.
Ἀπιστῶ, καὶ πιστεύω, δοτικῇ συντάσσεται.
Ἀπιτὲ κατὰ τάχος εἰς τὴν πόλιν, ἤγουν βαδίζετε, ἔρχεσθε.
Ἀπιχυρίζεται, τὸ διὰ χειρῶν τι βιαίως κατέχειν, καὶ ἀμετακινήτως ἐπ' ἐκείνῳ ἑστηκέναι. Συνέσιος, Ὅσπερ ἐπειδὰν λάβηται πέτρας, ἀπιχυρίζεται.
Ἀπίχθυς παρὰ Ἀριστοφάνει, οἱ ἰχθύων ἄγευστοι, ἢ ὁ μὴ ἐσθίων ἰχθῦς. ἔτος δὲ καὶ τὴν ἀσιτίαν, ἀπαστίαν ὠνόμασεν.
Ἀπιὼν ᾤχετο, φεύγων, ἀποδιδράσκων. καὶ ἀπιὼν, πορευόμενος, ἀπερχόμενος.
Ἀπλᾶ, ἐκδιέτεινεν, ἐκ τοῦ ἁπλῶ, ὃ σημαίνει τὸ ἐκτείνειν τὰς παλάμας ἐκτείνω. ἐξ οὗ τό, Ὁ δὲ ἐμὲ παλάμας ἐν τῷ σταυρῷ ἁπλώσας.
Ἀπλαῖ, ὑποδήματος εἶδος.
Ἀπλάκητον, ἀναμάρτητον. Σοφοκλῆς Τραχινίαις.
Ἀπλανῆ, πολλά, Κύπριοι.
Ἄπλαντα, ῥυπαρά.
Ἀπλᾶς, φησὶ Καλλίστρατος, τὸ μονόπελμα τῶν ὑποδημάτων.
Ἄπλασον, ἀληθινόν, ἄδολον.
Ἄπλετοι, ἀφροντίσταστοι, μεγάλαι, διαπαιρόμεναι, καὶ διατεινόμενοι.
Ἄπλετον, πολύ, μέγα, ἀπλήρωτον, ἄπειρον, ἀχώρητον, ἀμέτρητον οἷον ἄπλεθρον, ἢ τὸ μὴ πλεόμενον.
Ἀπλήδρος, ἡ μὴ ἔχουσα βοήθειαν, ἢ πληάδραν.
Ἁπλῆ, μονοειδής.
* Ἀπληγίδας, καὶ διπληγίδας, καὶ διβόλους, τὰς διπλᾶς χλαίνας φασὶν οἱ Ἀττικοί.
Ἀπληκία, μῖνον.
Ἀπλήκτων, τὸ καπίλυμα.

Ἀπλή-

Ἀπλήμων, ἄπληστος.
Ἀπλῶ, ἀκακούργητον.
Ἀπλὴξ, ὁ μὴ πεπληγμένος.
Ἄπληστος, ἀχόρταστος.
Ἀπληστία, ἡ ἀδδηφαγία.
Ἄπλητα, ἄπειρα, πολλά. παρὰ τὸ πλῶ, πλήσω, τὸ πελάζω, πλητὸς, καὶ ἄπλητος, ὁ ἀπρόσιτος.
Ἀπλήτιος, ἁπλοῦς.
Ἀπλοῗς ἡ σύμμετρος χλαῖνα, ἡ δυναμένη διπλωθῆναι· ὅπερ Ὅμηρος ἁπλοΐδα καλεῖ.
Ἀπλοΐδες, ἱμάτιον μικρόν.
Ἁπλοϊκὸς, ἁπλοῦς.
Ἁπλοϊκώτερος, ἁπλούστερος.
Ἄπλοοι, οἱ μὴ δυνάμενοι πλέειν.
Ἁπλοῦν, εἰ μὲν ἐπὶ ἄλλων τινῶν λέγεται, δηλοῖ τὸ ἀσύνθετον, καὶ οὐ πολύτροπον. οἷον ἁπλοῦν ἦθος, καὶ ἁπλοῦς· ᾧ ἐναντίον τὸ ποικίλον καὶ πολύτροπον. ἀπὸ τούτου ἐπίρρημα τὸ ἁπλῶς· ὃ λέγεται καὶ ἀντὶ τοῦ καθόλου, τουτέστιν ἐν ἑνὶ λόγῳ πολλὰ δηλῶσαι. ἢ ἁπλοῦν, ἀπερίεργον. καὶ ἁπλότης, ἕξις ἀπερίεργος, τὸ πιστὸν ἑτοίμως ἔχουσα· ἢ τὸ μηδὲν μετ' ἐπινοίας ἐξ ἑαυτοῦ πλάττον, ἢ λαλοῦν. λέγεται δὲ τὸ μὴ συντεθειμένον, καὶ τὸ ἀκακούργητον.
Ἁπλοῦς, ἄκακος, ἄδολος, ἄπλαστος, ἐκφανὴς, ἐκκείμενος, ἀκατάσκευος, ἐλεύθερος, ἀθυρρήμων, εὐήθης. τὰ δὲ πράγματα, ἁπλότης, ἀκακία, ἐλευθερία, ἀθυρρημοσύνη, εὐήθεια. τὰ ἐπιρρήματα, ἁπλῶς, ἀκάκως, ἀπλάστως, ἐκφανῶς, ἐλευθέρως, ἀθυρρημόνως, εὐήθως. τὰ ἐναντία, δύστροπος, κακοήθης, εἴρων, ἐπίβουλος, δολερὸς, ὕπουλος, ἐπίσκιος. τὰ δὲ πράγματα, δυστροπία, κακοήθεια, εἰρωνεία, ἐπιβουλὴ, δόλος. τὰ δὲ ἐπιρρήματα, δυστρόπως, κακοήθως, εἰρωνικῶς, ἐπιβούλως, δολερῶς, ὑπούλως, ἐπισκίως. καὶ ἁπλοῦς νοῦς, καὶ ἁπλᾶ νοήματα. ἁπλοϊκὰ δὲ, τὰ συντιθέμενα γράμματα, καὶ δηλοῦντα τὰ νοήματα. ἢ ἁπλοῦς, ὁ μηδὲν μετ' ἐπινοίας ἐξ ἑαυτοῦ λαλῶν. ὥσπερ παρὰ τὸ πέλω καὶ τὸ δὶ γίνεται διπλόος διπλοῦς, οὕτω καὶ παρὰ τὸ ᾱ, τὸ σημαῖνον τὸ ἓν, καὶ τοῦ πέλω, γίνεται ἁπλοῦν, τὸ ἓν ὑπάρχον.
Ἀπλουστέρας Θουκυδίδης λέγει νῆας, οὐ τὰς ἄπλους παντελῶς, ἀλλὰ τὰς διὰ πληρώματος ἔνδειαν, καὶ ἀπλόους ἱσταμένας.
Ἄπλυτοι ῥαφανίδες, οὕτως ἔνιοι, καὶ οὐ ποταμίους τὰς καὶ θαλασσίας τινὲς ἔλεγον.
Ἄπλυτον πώγωνα, σκώπτων εἶπε.
Ἁπλῶς, συντόμως, καὶ ἅπαξ. καὶ ἁπλῶς χωρὶς προσθήκης, ἀντὶ τοῦ ἐξ ἀνάγκης, ἤγουν πρώτως.
Ἀπνευστὶ, ἀπονητί.
Ἄπνευστος, οὐκ ἀναπνέων κατὰ φύσιν.
Ἀπνίγμου, οὐ πεπνιγμένου. καὶ ἀπνίγμου, κνώδοντος.
Ἄπνους, ἄψυχος, νεκρὸς, ἄφωνος.
Ἀπὸ πρόθεσις, ἀεὶ γενικῇ συντάσσεται, καὶ τίθεται ἐπὶ ἀψύχων· οἷον, ἀπ' Ἀθηνῶν, ἀπὸ δικαίου, ἀφ' ἑτέρου. καὶ ἐν συνθέσει, ἀπόφασιν δηλοῖ· οἷον, ἀπόφημι, ἀπαγορεύω. καὶ στέρησιν, οἷον ἀπέμαθον, ἀποδιδάσκω. καὶ αὔξησιν, οἷον ἀποχωρίζομαι. σημαίνει καὶ αἰτίαν. Ἰώσηππος, Ὁ μὲν οὖν ὄφις ἀθοῦς δακὼν, ἀπέκτεινεν ἀπὸ τοῦ ἰοῦ. καὶ ἀπὸ, πόρρω, μακράν.
Ἀπὸ, ἀντὶ τοῦ μετὰ τίθεται. Ὅμηρος, Δεῖπνον ἕλοντο, ἀπὸ δ' αὐτοῦ θωρήσσοντο, ἤγουν μετὰ τὸ δεῖπνον.
Ἀπαγνεῖς, ἀποκαθαίρεις.
Ἀπαίνυμαι, ἀφαιροῦμαι.
Ἀποαιρεῖ, ἀποκαθαίρει, Κύπριοι.
Ἀποαιρεῖσθαι, τὸ ἁρπάζειν, ὅ ἐστιν ἀφαιρεῖσθαι· κατὰ τὸ πλῆρες τῆς ἀπὸ προθέσεως μὴ συγκοπείσης.
Ἀποβαδίζειν, οὐδὲν πλέον τοῦ βαδίζειν δηλοῖ.
Ἀποβάθρα, ἀποβατηρία, ἡ κλίμαξ νεώς. Σοφοκλῆς.
Ἀποβάθρας, τὰ λάσανα, ἃ λέγονται χυτρόποδες· καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα.
Ἀποβαίνει τῆς νηὸς, γενικῇ συντάσσεται. ἀποβαίνει, καὶ τὸ ἀπέρχεται.
Ἀποβαίνοντες, ἀναβαίνοντες.
Ἀποβαλβίδος, ἀπ' ἀρχῆς, ἀπὸ τῆς ἀφετηρίας.
Ἀποβάλλειν, τὸ ῥίπτειν καὶ ἀφιέναι χιτῶνα, ἢ ἕτερόν τι. ἀποβάλλεσθαι δὲ, καὶ τὸ μετὰ βίας στέρεσθαί τινος· οἷον, ἀπεβάλετο τὸν πατέρα θανάτῳ.
Ἀποβάλλειν, ἀπολέσθαι, τὰς τρίχας τίλλειν.
Ἀποβάλλω, τὸ ῥίπτω, καὶ ἀφίημι. αἰτιατικῇ συντάσσεται, οἷον ἀποβέβληκας τὴν περὶ τοὺς λόγους τέχνην. καὶ ἐπιβάλλομαι, ἐπὶ τοῦ αὐτοῦ πολλάκις.
Ἀποβαλομένη δι' ἑνὸς λ, ἀντὶ τοῦ ἀποβαλοῦσα.
Ἀπόβασις, κυρίως ἡ ἀπὸ τῆς νηὸς πρὸς χέρσον μετάβασις. ὡς καὶ παρὰ Θουκυδίδῃ, Καὶ ἀπόβασιν εἰς Νηρικὸν ποιησάμενος. ἀποβαίνει, καὶ τὸ ἀπέρχεται· ὡς παρ' Ὁμήρῳ, Ὣς ἄρα φωνήσας, ἀπέβη κορυθαίολος Ἕκτωρ, ἀντὶ τοῦ ἀπῆλθεν.
Ἀποβάτης, ἱππικόν τι ἀγώνισμα. καὶ ἀποβῆναι, τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην. καὶ ἀποβατικοὶ τροχοὶ, οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος. τὰ δὲ ἐν αὐτῷ γινόμενα, δηλοῖ Θεόφραστος. χρῶνται δέ φησι τούτῳ μόνοι τῶν Ἑλλήνων Ἀθηναῖοι καὶ Βοιωτοί.
Ἀποβεβιωκέναι, ἀποθανεῖν. ὡς τὸ, ἀνάγκη μὴ ἀποκρύπτειν, ὡς ἂν μὴ ὑπόνοια γένοιτο σφίσι, τοῦ ἀποβεβιωκέναι αὐτόν.
Ἀπ' ὀβελίσκου ἰχθῦς, οἱ ἀναπεπαρμένοι.
Ἀποβήσεται, γίνεται.
Ἀπὸ βηλοῦ, ἀπὸ τοῦ οὐδοῦ.
Ἀποβῆναι, τὸ ἀγωνίσασθαι τὴν ἀποβάτην. ἀποβάτης δέ ἐστιν, ἱππικὸν ἀγώνισμα.
Ἀποβλεπόμενοι, ἀντὶ τοῦ θαυμαζόμενοι.
* Ἀποβλεφθῆναι, ἐπὶ τοῦ θαυμασθῆναι, Αἰσχίνης εἶπεν ὁ Σωκρατικός.
Ἀπόβλεπτον, ἔνδοξον.
Ἀποβλίσαι, ἀποπιέσαι, ἀποθλίψαι.
Ἀποβλύζω, ἀπεμῶ τὸ βλύζω, ἐκ τοῦ βάλλω, βλῶ, βλύζω.
Ἀποβολὴ, ἡ πρόσκρουσις· ὡς ὁ Ἀπόστολος, εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν.
Ἀποβολιμαῖος, ἅμα μὲν καὶ διὰ τὸ ἀποβαλεῖν τὰ ὅπλα, καὶ παρὰ τὸ ὑποβολιμαῖος εἶναι.
Ἀπόβολον, ἀποβεβλημένον.
Ἀποβουκολῆσαι, ἐκβαλεῖν, ἀπατῆσαι, ἀποπλανῆσαι, ἀποδιῶξαι.
Ἀποβουκολῶ, ἀντὶ τοῦ πλανῶ ἕτερον, μεταβατικῶς. καὶ ἀποβουκολεῖν, τὸ ἀποπλανᾶν. ὡς ἔφη τις τῶν σοφῶν, φθάνει ταῖς ἐλπίσιν ἡμᾶς ἀποβουκολῶν.
Ἀποβράσαι, τὸ διαπτίσαι πυροὺς, ἢ ἄλευρα ὀθόνῃ· ὅθεν καὶ ἀποβράσματα, τὰ σκύβαλα τῶν πυρῶν.
Ἀπόβρασμα, κόχλασμα.
Ἀποβράσματα, τὰ πίτυρα, παρὰ Καλλιμάχῳ. τῆς, οὐδὲν ἀπέβρασε φαῦλον ἀλετρίς.
Ἀποβρίζειν, ἀπονυστάζειν. καὶ ἀποβρίξας, ἀπονυστάξας.
Ἀποβρόχθισον, κατάπιε.
Ἀπεβύσαντες, ἀποκλείσαντες.
Ἀπόβωμος, ἄθυος. καὶ θυσίαι ἀπόβωμοι, αἱ μὴ ἐν τοῖς βωμοῖς.
Ἀπογαλακτίζω, γενικῇ, ἀντὶ τοῦ ἀφιστῶ τοῦ γάλακτος, ἢ ἀποπαύω.
Ἀπὸ γὰρ ὀλοῦμαι, ὑπερβατόν.
Ἀπογειῶσαι, καὶ ἀπογειώσασθαι, τὸ ἀποθεμελιῶσαι.
Ἀπόγεμε, ἄφελκε, Κύπριοι.
Ἀπογενέσθαι, ἢ τὸ ὑστερῆσαι σημαίνει, ἢ τὸ ἀποθανεῖν.
Ἀπογενόμενοι, ἀποθανόντες.
Ἀπογινώσκω, τὸ ἀπελπίζω, αἰτιατικῇ συντάσσεται. οἷον, ἀπογνόντες τὴν σωτηρίαν τῶν ἔργων.
Ἀπόγνοια, ἀπόγνωσις.
Ἀπογνόντες τῆς ἐλπίδος, ἀντὶ τοῦ εἰς ἀπόγνωσιν ἐλθόντες.
Ἀπογνοὺς, ἀντὶ τοῦ ἀπελπίσας, καὶ ἀντὶ τοῦ ἀποψηφισάμενος.
Ἀπόγνωσις, ἐλπίδος στέρησις.
Ἀπογνωστέον, δεῖ ἀπογινώσκειν.
Ἀπογνώστης, ἀνέλπιστος.
Ἀπόγονα, τὰ γόνιμα. τινὲς δὲ ἄγονα, παρὰ τῷ Ἱπποκράτει.
Ἀπόγονοι, οἱ ἔκγονοι.
Ἀπόγονος, υἱὸς, ἢ ἔγγονος, ἢ συγγενής.
Ἀπὸ γραμμῆς, οἷον ἀπ' ἀρχῆς· ἐκ μεταφορᾶς τῆς τῶν δρομέων ἀφετηρίας, καὶ γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβῖδα καλοῦσιν.
Ἀπογραφὴ, ἐπειδὰν λέγῃ τις τινὰ ἔχειν τι τῶν τῆς πόλεως, ὁ ἀναγόμενος ἀπογραφὴν ποιεῖται, δηλῶν ὅσα τε ἔχει καὶ ὅθεν τὰ χρήματα, καὶ πόσα ταῦτα εἴη. καὶ ἀπογραφὴ, ἡ ἀρίθμησις, ἡ γινομένη μήνυσις.
Ἀπογράψαι δὲ τὸ ὑπογράψασθαι, καὶ οἷον σημειώσασθαι δηλοῖ.
Ἀπόγυιοι ἀρχαὶ, σιωπώμεναι.
Ἀπογυμνῶ, φανερὸν ποιῶ.
Ἀπογυιώσεις, ἀντὶ τοῦ εἰς ἄνεσιν ἀναγάγῃς, καὶ ὡς οἷον εἰπεῖν ἀπομελίσῃς. γυῖα γὰρ τὰ μέλη. ὥστε οὐ μόνον λυσιμελὴς ὕπνος ὁ θάνατος, ἀλλὰ καὶ ὁ παρὰ καιρὸν αἱρόμενος οἶνος. καὶ οὕτω μὲν ἡ κοινότης. κρεῖττον δέ ἐστιν εἰπεῖν, ὅτι Ὁμήρου εἰπόντος, γυιώσω μὲν σφῶιν ὑφ' ἅρμασιν ὠκέας ἵππους, ἤγουν χαλινῷ βλάψω· γυῖα δύναται καὶ τὸ ἀπογυιῶσαι τῆς αὐτῆς εἶναι σημασίας, ἵνα ᾖ, ὥσπερ μάχομαι καὶ ἀπομάχομαι, καρτερῶ καὶ ἀποκαρτερῶ, ἀμύω καὶ ἀπαμύω, καὶ ἄλλα μυρία τοιαῦτα ταυτοσήμαντα· οὕτω καὶ γυιῶ, καὶ ἀπογυιῶ, τὴν αὐτὴν ἑρμηνείαν ἔχουσι, καὶ ἐν προθέσει, καὶ δίχα προθέσεως.
Ἀπογυιώσεις, ἀσθενῆ ἢ χωλὸν ποιήσεις. καὶ ἀπογυιώσεις, βλάψεις, τὰ μέλη ἐκλύσεις. κυρίως, τὸ τὰ γυῖα, τουτέστι τὰ μέλη βλάπτειν.
Ἀποδαιμονίζει, ἀποκαρτερεῖ, ἐνθουσιᾷ.
Ἀποδαρθεῖν, τουτέστι κοιμηθῆναι. ἔστι δρήθω ῥῆμα, τὸ κοιμῶμαι. ὁ δεύτερος ἀόριστος ἔδραθον, καὶ ἐν ὑπερβιβασμῷ τοῦ α, ἔδαρθον· ὁ μέλλων, δαρθῶ· τὸ ἀπαρέμφατον, δαρθεῖν.
Ἀποδάσμιοι, ἀποδεδασμένοι.
Ἀποδασμὸς, μοῖρα.
Ἀποδάσομαι, ἀπομερίσομαι.
Ἀποδαστὺς, ἀπομερισμός.
Ἀπόδατοι, μετοικισθέντες.
Ἀποδάψαι, ἀποκόψαι.
Ἀποδέει, λείπει.
Ἀποδεθυρεανεῖ, ἀποκοιμᾶται.
Ἀποδεῖν, ἀποδεσμεῖν.
Ἀποδείξασθαι, τὰ ἐν διδασκαλείῳ μαθήματα ἃ τις ἔμαθε, λέγειν.
Ἀπόδειπνος, ἄδειπνος.
Ἀποδειροτομήσω, ἀποτεμῶ τοὺς τραχήλους.
Ἀποδειχθέντα, ἀποδοχῆς ἀξιωθέντα.
Ἀποδέκται, ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις οἱ ἀποδέκται, οὓς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες, καὶ οἱ Κωμικοί. Ἀριστοτέλης δὲ, ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν, ὡς δέκα τε ἦσαν, καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα, ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ, καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. ὅτι δὲ ἀντὶ τῶν Κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ Κλεισθένους ἀπεδείχθησαν, Ἀνδροτίων ἐν τῇ δευτέρᾳ.
Ἀπεδεικτὸν, ἐπαινετόν.
Ἀπόδεξις, ἀντὶ τοῦ ἀπόδειξις, Ἰωνικῶς. Ἴωνες γὰρ πολλάκις ὑπεξαιροῦσι τὸ ι.
Ἀποδέον, τὸ ἀπαρίσκον. καὶ ἀποδεόντων, λειπόντων, ἀπολειπομένων. καὶ ἀποδεῖν, τὸ ἀπολείπεσθαι.
Ἀποδέουσα, λείπουσα, ὑστεροῦσα.
Ἀπόδεσμος, κόσμιόν τι γυναικεῖον περικεφάλαιον.
Ἀπὸ δὲ χλαῖναν βάλεν, ἀπέβαλε δὲ τὸ ἱμάτιον.
Ἀποδέχομαι, ὁμολογῶ, αἰτιατικῇ καὶ γενικῇ συντάσσεται. Δημοσθένης ἐν τῷ πρὸς Ἀλέξανδρον περὶ τῶν συνθηκῶν, ἄξιον ἀποδέχεσθαι ὦ Ἀθηναῖοι σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν. Πλάτων ἐν Φαίδωνι, οὐκ ἀποδέχομαι ἐμαυτοῦ. καὶ Συνέσιος, καὶ ἡμεῖς ἀποδεχόμεθα λέγοντος.
* Ἀποδεκταῖοι, οἱ τὸν σῖτον ἀναμετρούμενοι, σιτῶναι δὲ οἱ συνωνούμενοι.

* Ἀπο-

Digitized by Google

* Ἀποδείελοι, ἐνδείελος.

Ἀποδημεῖ, ἀναχωρεῖ· καὶ ἀποδημεῖν, τὸ μακρὰν εἶναι.

Ἀποδημία, καὶ ἐνδημία, τὸ αὐτό· ὅταν τις ἐκ τῆς πατρίδος εἰς ἀλλοδαπὴν ἀπέρχηται. ἐπιδημία δὲ καὶ ἐνδημία, ταυτὸν, ἐπὶ τοῦ ἐναντίου.

* Ἀποδημητὴς ὁ ἐκδημητής. Θουκυδίδης, ἀποδημηταὶ πρὸς ἐνδημοτάτους.

Ἀποδίδομαί σοι τὸν ἵππον τοσούτου, ἀντὶ τοῦ πιπράσκω· ὁμοίως καὶ ὅσα τὸ δίδωμι, ἢ δωροῦμαι σημαίνει.

Ἀποδίδωμι, ἀφοσιοῦμαι, ἀφιερῶ. τὸ μὲν ἀφοσιοῦμαι, καὶ τὸ ἀφιερῶ, ἐπὶ τῶν θείων ἁρμόττει. τὸ δὲ ἀποδίδωμι, καὶ ἐπὶ θείων, καὶ ἐπὶ τῶν καθ' ἡμᾶς λέγεται. οἷον, ἀντὶ τῶν ἀγαθῶν ἁπάντων τῶν ἐμοὶ γεγονότων παρὰ Θεοῦ, ἀποδίδωμι χάριν τῷ Θεῷ. καὶ ἀποδίδωμι τὸ λαβεῖν τι παρά τινος ἐπὶ χρείᾳ, εἶτ' αὖθις ἀποδίδωμι τὸ ὀφειλόμενον. λέγεται δὲ καὶ παθητικῶς, ὡς τὸ ἀποδίδοται τὰ χρήματα. ἀποδίδομαι καὶ ἐπὶ ἐνεργητικῆς σημασίας, ἀντὶ τοῦ πωλῶ. καὶ ἀποδίδωμι τὸ προδίδωμι δωροδοκηθείς. καὶ Συνέσιος, εἰς Σωσίας τε καὶ Τυβίους ἀπέδοτο. καὶ Δημοσθένης, γίνεται τῶν πρέσβεων εἷς καὶ οὗτος, οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ἡμέτερα, οὐδὲ τῶν πεπιστευκότων τῷ Φιλίππῳ.

Ἀποδιδράσκει τις φυλακὴν, ὅταν ἀφύλακτος ᾖ.

Ἀποδιδράσκων, ἀποφεύγων, δραπετεύων.

Ἀποδίομαι, ἀποδιώξω.

Ἀποδικεῖν, ἀντὶ τοῦ ἀπολογεῖσθαι δίκην.

Ἀποδιέσεισεν, ἐδίωξεν.

Ἀποδιϊστῶνται, χωρίζονται.

Ἀποδιοπομπεῖσθαι, ἀποστρέφεσθαι, τὸ ἀποτρόπαιον ἐκπέμπεσθαι μακρὰν, ἀποκαθαίρεσθαι.

Ἀποδιοπομπῶ, ἀποτρέπομαι.

Ἀποδιοπομπεῖσθαι, τὸ ἀποτρέπεσθαι τὸν προστρόπαιον Δία, καὶ οἱονεὶ καθαίρεσθαι τὰ δεινά.

Ἀποδιατρίψουσιν, ἐγχρονίσουσι, χρονοτριβήσουσιν.

* Ἀποδιδρασκίνδα, παιδιά τις ἐν συμποσίῳ, ἐν ᾗ ὁ μὲν ἐν μέσῳ καταμύων κάθηται, ἢ καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ τις λαμβάνει· οἱ δὲ ἀποδιδράσκουσι· ἐπαναστάντος δὲ ἐπὶ τὸν ἐξερεύνησιν ἔργον ἐστὶν ἑκάστῳ εἰς τὸν τόπον ἐκείνου φθάσαι.

* Ἀποδικάσαι τὴν δίκην φησὶν ὁ Κριτίας, τὸ ἀπολῦσαι, ἢ νικῆσαι ἀπορρῆναι, ὡς ἂν ἡμεῖς ἀποψηφίσαι.

Ἀποδοῖτε, καὶ ἐπιθεῖτε, συγκοπὴν ἔχουσι τοῦ δοίητε, καὶ θείητε. ὧν τρίτον, τὸ ἀποδοῖεν καὶ ἐπιθεῖεν.

Ἀποδόσθαι, πωλῆσαι.

Ἀποδοκιμάσας, ὡς ἄχρηστον ἐκφαυλίσας.

Ἀπὸ δόξης, ἀπὸ εἰκασμοῦ.

Ἀποδρᾶναι ἐστὶ, τὸ ἀναχωρήσαντά τινα ἄδηλον εἶναι, ὅπου ἐστίν.

Ἀποδρᾶν, φεύγειν, τὸ ἔξω τῆς ὑπηρεσίας γενέσθαι τοῦ δεσπότου.

Ἀπόδραγμα, ἀπομερισμός.

Ἀποδρὰς, οὐκ ἀποδράσας. ὡσαύτως ἀπέδραν, ἐπὶ πρώτου τῶν ἑνικῶν, καὶ ἐπὶ τρίτου τῶν πληθυντικῶν οὐκ ἀπέδρων.

Ἀποδρέψεσθε, ἀποτρυγήσετε.

Ἀποδρέπειν, ἀφαιρεῖν.

Ἀποδραθεῖν, παρὰ τὸ δρῶ τὸ ὑπηρετῶ τὸ κοιμηθῆναι. ἐστὶ ῥῆμα δρῶ, ὁ δεύτερος ἀόριστος, ἔδραθον. δρῶ γὰρ, τὸ ἐνεργῶ· οὐ δρᾶσθαι παράγωγον. οἱ γὰρ κοιμώμενοι, οὐδὲν ἐνεργοῦσιν.

Ἀποδρύφω, ἐκδέρω.

Ἀποδρύφει, ἀποσπᾷ, ἀποσύρει.

Ἀποδρύφει, ξαίνει, ἢ ἀποξέσει.

Ἀποδρύψωσι, καταξέσωσι.

Ἀποδοθῇ, πραθῇ.

Ἀποδοκιμάζει, ἀποβάλλει.

Ἀποδομένου, πωλήσαντος.

Ἀπηδὸν, βραδὺ, ἢ ἀπαγόρευσις.

Ἀπόδοντο, ἀπώλοντο.

Ἀποδόσθαι, πιπράσκει.

* Ἀποδόμενος, ἀντὶ τοῦ ὑποθείς, Ὑπερίδης ἐν τῷ πρὸς Χάρητα ἔφη.

Ἀπὸ δόξης, ἀπὸ δοξασμοῦ.

Ἀπόδου, ἀπόδοσον.

Ἀποδοῦ, ἀποδοῦναι.

Ἀποδοχμώσας, πλαγιάσας, ἢ πλατὺς ἀνακλιθείς.

Ἀπ' ὀστέων ἄχρις ἄραξεν, ἄχρι τοῦ ὀστοῦ τὴν σάρκα διέκοψεν.

Ἀπόδρομος λέγεται, ὁ πεπαυμένος ἀπὸ τῶν δρόμων, πρὸς ὁμοιότητα ἴσως τοῦ ἀπόμαχος. ἕτεροι ἄλλως χρῶνται τῷ ἀπόδρομος, φάμενοι ὡς ἐν Κυρήνῃ μὲν τοὺς ἐφήβους τριακάτους καλοῦσιν. ἐν δὲ Κρήτῃ ἀποδρόμους, διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν. οὕτω δὲ καὶ Καλλίμαχος, ἀπότριχα τὴν ἀνηβὸν ἔφη.

* Ἀποδάντωσις, ἡ ῥύψις ἤγουν κάθαρσις τῶν ὀδόντων.

* Ἀπόδοσις, πρᾶξις, ἐμπώλησις, ἀλλαγὴ, ἀποκήρυξις, καπηλεία, μεταβολὴ, Ξενοφῶν δὲ καὶ πώλησις εἴρηκε.

Ἀπὸ δρυὸς, ἢ ἀπὸ πέτρης· Παροιμιώδης ὁ λόγος. καὶ ὅτι καταφατικῶς μὲν ἀπὸ δρυὸς, ἢ ἀπὸ πέτρας εἶναί τις λέγεται, ὅτε οὐκ ἔστι γένος αὐτοῦ εἰπεῖν. ἀποφατικῶς δὲ φαμὲν, ὡς οὐκ ἔστι τίς ἀπὸ δρυὸς παλαιφάτου, ἢ ἀπὸ πέτρης, ὅτε οὐκ ἂν ἔχῃ σιγῆσαι πόθεν ἐστίν. εἰ γὰρ καὶ τἄλλα μὴ ἀκριβῶς οἶδέ τις καταλεπτὸν, τίνων γοῦν ἐξέφυ οἶδεν ὡς εἰκὸς, ἢ καὶ ποίας γοῦν ἐστὶ γῆς. Εἴληπται δὲ ἡ παροιμία, ἐκ τοῦ παλαιοῦ βίου, ὅτε ἐν σπηλαίοις καὶ δρυῶν, ἤγουν δένδρων κοιλώμασι, ταυτὸν δὲ εἰπεῖν γεράνδρυων, ἐξετίθεντο τὰ νεογνὰ, ὑπὸ τῶν γεννησαμένων κατὰ ἀπορίαν βίου. οἷς ἀναληφθεῖσι, καὶ κατατεθραμμένοις, δρύες, τουτέστι δένδρα κοῖλα εἰς μητέρας ἐνεγράφοντο, κατὰ τοὺς ἐκ μελιῶν, οὓς φησιν Ἡσίοδος, ἢ καὶ σπηλαιώδεις. ὅτε τοίνυν οἱ τοιοῦτοι οὐκ εἶχον γονεῖς ἀνθρώπους λέγειν, ὡς ἐκ δρυῶν καὶ ῥωχμῶν πετρῶν ἀνειλημμένοι, ἐξέπεσε παροιμία ἐκεῖθεν ἐπὶ τῶν ἀγενεαλογήτων, τὸ ἐκ δρυὸς αὐτοὺς εἶναι, ἢ ἀπὸ πέτρης. εἰς δὲ τὸ ἀπὸ δρυὸς εἶναι προσενθυμητέον ἐκ τῶν παλαιῶν, καὶ τὸν (ὥς φασιν ἐκεῖνοι) βαλανίτην βίον. ὃς ὕστερον ἐξ ἐπιμελείας καὶ ἀρίστεως ἀλετοῦ, ἐξενήνοχε παροιμίαν, τὴν ἀλληλομένον βίον ζῆν, ἐξ ἀγρίου καὶ ἀκανθώδους τοῦ πρότερον. ὃν δηλοῖ τὸ, οὐ γὰρ ἄκανθαι, ὑπομιμνῆσκον τὴν τοῦ παλαιοῦ βίου μεταβολήν. ἐντεῦθεν δὲ καὶ τὸ ἅλις δρυὸς, ἐπὶ τῶν δυσχερῶς φασι καὶ ἀηδῶς ἐσθιόντων. ἔστι δὲ καὶ ἄλλως νοηθῆναι τὸ ῥητὸν οὕτως ἁπλούστερον, παρ' Ὁμήρῳ. εἰπέ μοι τὰ κατὰ σὲ, οὐ γὰρ ἂν εἴποις χρόνῳ μακρῷ ἀπειλῆφθαι τὴν περὶ αὐτῶν μνήμην, ὡς τὰ ἐκ δρυὸς καὶ πέτρας παλαιὰ διηγήματα. νόησαι δὲ τὸ παροιμιῶδες τοῦτο ἐνταῦθα ἐπὶ ἀγριότητος, οὐχ ὁμηρικόν ἐστι. παραχρησόμενος δ' ἄν τις εὐφυῶς ποτε εἴποι ἂν, καὶ ἐπὶ ἀγρίου ἤθους, ἵνα τὸν μὲν τοιοῦτον ἐρεῖ ἀπὸ δρυὸς εἶναι, ἢ ἀπὸ πέτρης, τουτέστι ξύλινον, ἢ πέτρινον, ἢ καὶ ἄλλως δρυὸς, εἴτε καὶ πέτρας ἀτεράμνου ἀπόκομμα.

Ἀποδῦ, ἀποδύσῃ, ἀποδοθῇ.

Ἀποδύεσθαι καὶ ἐνδύεσθαι, ἐναντία ἐστίν. ἀποδύεσθαι μὲν λέγεται, ἐπὶ τῶν γυμνουμένων ἁπλῶς καὶ ἀδίκως. οἷον, ἀπεδύσατο τὴν Λεοντῆν, καὶ ἐνεδύσατο τὴν Ἀλωπεκῆν. τὸ δὲ ἀναδύεσθαι, λέγεται ἐπὶ τῶν ἀπεκδυσαμένων, καὶ εἰς ἀγῶνα ὁρμησάντων. εἶτα διὰ δειλίαν ὑποφυγόντων τὸν ἀγῶνα, καὶ ἐνδυσαμένων λέγεται τὸ ἀναδύεσθαι, καὶ ἐπὶ τοῦ ἀνανεύειν ἐπὶ τῆς θαλάττης, ᾧ ἐναντίον τὸ καταδύεσθαι. οἷον, καταδύεταί τις εἰς τὸν βυθὸν, καὶ ἀναδύεται ἐκ τοῦ βυθοῦ.

Ἀποδύντες, ἀντὶ τοῦ ἀποδυσάμενοι.

* Ἀποδῦναι καὶ ἀπογυμνάσασθαι παρὰ Θουκυδίδῃ.

Ἀποδυράμενος, θρηνῶν, πενθῶν.

Ἀποδύοι, ἀποδύσοι.

Ἀποδυσπετεῖ, ἀποδύρεται, καὶ δυσθετούμενοι τοῖς συμβαίνουσιν, ἀποδυσπετεῖν ἀναγκάζονται. καὶ ἀποδυσπετεῖν, τὸ μὴ ῥαδίως πίπτειν.

Ἀποδύομαι, ἀφαιροῦμαι τὰ ἱμάτια. Ἀριστοφάνης, οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν.

Ἀποδυσάμενος, αἰτιατικῇ. οἷον, ἀποδυσάμενος τὴν πλοῦτον καὶ πάντα τἀγαθά.

* Ἀποδυτήριον, τὸ γυμνάσιον παρὰ Πλάτωνι.

Ἀπόδωμαι, ἀπόχωμαι, ἐπίθωμαι. Πᾶν ὑπερτρισύλλαβον εἰς μαι λῆγον, ἐπὶ τοῦ δευτέρου ἀορίστου ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. ὡς θῶμαι, ἐπίθωμαι.

Ἀπὸ ἕθεν ἀσπίδ' ἀνέχε δείσας, ἀντὶ τοῦ ἀφ' ἑαυτοῦ ἄνω εἶχε τὴν ἀσπίδα. ἐπὶ Ἀχιλλέως οὕτως ἔφρασε, Σάκος ἀπὸ ἕο σχέθε παχὺ ἴσχετο ταρβήσας. τὴν μὲν ἐνταῦθα ἀσπίδα εἰς σάκος ἐκεῖ μεταλαβὼν, τὸ δὲ ἀνέχεν ἐνεργητικὸν, ἔχετο παθητικῶς εἰπὼν δίχα προθέσεως. τὸ δὲ ἀπὸ ἕθεν, ἀπὸ ἕο φάμενος. τὸ δὲ δείσας, ταρβήσας.

Ἀπόειπε. Πᾶν προστακτικὸν δισύλλαβον, βραχυκατάληκτον ἑνικὸν, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. οἷον, ἐλθὲ πρόσελθε, βαῖνε πρόβαινε. καὶ ἀπόειπε κελεύθους θεῶν, Ὅμηρος αἰτιατικῇ συντάσσει, λαβὼν τὴν λέξιν ἀντὶ τοῦ ἀπόσχεθι, ὅπερ διασαφεῖ τόδε. Μὴ δὲ πόδεσσιν ὑποστρέψειας Ὄλυμπον. ὁ δὲ γράψας τάλαν' ἄπειπον ἄλγη, ἐπὶ ἑτέροις σημαινομένοις τὴν λέξιν εἴληφε. καὶ ἀπόειπε, ἀπαρνῆσαι.

Ἀποειπεῖν, ἀποκρίνασθαι. καὶ ἀποειπεῖν μῆνιν τῷ δεῖνι, λέγει Ὅμηρος, οἷον μῆνιν ἀποειπὼν Ἀγαμέμνονι, ἡ Θέτις τῷ Ἀχιλλεῖ παρῄνεσεν, ἢ καὶ ἀγορήνδε καλέσαι τοὺς Ἀχαιοὺς συμβουλευσαμένη αὐτῷ. καὶ νῦν μὲν δοτικῇ καὶ αἰτιατικῇ συντέτακται τὸ ἀποειπεῖν, ὃ καὶ ἀπομηνίσαι λέγεται. οὐχ οὕτω δὲ ἐν τῷ μῆνιν ἀπειπόντος. τὸ δέ γε τάλαιν' ἄπειπον ἄλγει, καὶ τὰ τοιαῦτα, ἑτέραν σημασίαν ἔχει παρὰ τὸ ὁμηρικὸν ἀπειπεῖν.

Ἀποείποι, ἀντὶ τοῦ εἴποι εἴρηται, περιττῇ τῆς προθέσεως. κοινότερον μέντοι ἀπειπεῖν, ἢ τὸ ἀποφῆσαι. οἷον εἰπὲ ἢ ἀπόειπε, ὅμοιον ὂν τῷ φάθι καὶ ἀπόφαθι. ἢ καὶ ἄλλως, τὸ ἀπαγορεῦσαι, καὶ μηκέτι ἔχειν τι εἰπεῖν. ὡς τὸ τάλαιν' ἄπειπον ἄλγει. δῆλον δ' ὅτι τὸ ἀπειπεῖν καὶ ἀπείπασθαί ποτε λέγεται.

Ἀποέννυται, ἀφαιρεῖται.

Ἀπὸ ἕο, ἀφ' ἑαυτῆς.

Ἀποέργαθεν, ἐχώριζεν, ἠφόριζεν.

Ἀποεργεῖ, χωρίζει.

Ἀπόερσεν, ἀπέπνιξεν. ὡς τὸ, ἔνθα με κῦμ' ἀπόερσε, διέφθειρεν. ἔρρω τὸ φθείρω, ὁ μέλλων, ἐρῶ. ὁ Αἰολικὸς, ἔρσω. ὁ ἀόριστος, ἔρσα, σας, σε. καὶ ἀπόερσεν, ἔφθειρεν.

Ἀπόζει, ἤγουν ὀσμὴν ἀποπέμπει.

Ἀποζεύγνυμι, αἰτιατικῇ συντάσσεται.

Ἀποζῶ, τὸ ἁπλῶς ζῶ. ζῶ δὲ τὸ μετὰ τρυφῆς, καὶ πολυτελείας.

Ἀπόζων, ἀποπνέων, ὀσμὴν ἀποπέμπων, γενικῇ συντάσσεται.

Ἀποθανεῖν, ἀποψύχειν, ἡ ἀπὸ πρόθεσις ἐνταῦθα χωρισμὸν δηλοῖ.

Ἀποθανῶ, αὐθυπότακτον. καὶ ἀποθανῶμεν, ὁμοίως.

* Ἀποθανόντας τοὺς λειποψυχοῦντας καὶ κεκμηκότας ὁ Θουκυδίδης φησίν.

Ἀπόθεα, ἄθεα, ἐκτὸς θεῶν. Σοφοκλῆς.

Ἄποθεν, ἐκτὸς, ἔξω, χωρὶς, μακράν.

Ἀποθέσθαι, ἀποβαλεῖν, ἀποθερίσαι, ἀποταμιεῦσαι, τοῦ μέσου ἀορίστου δευτέρου ἀπαρέμφατον.

Ἀπόθεσις, ἀπόδοσις.

Ἀποθεσπίσαι, δογματίσαι, ἐκθέσθαι, εἰπεῖν.

Ἀπόθεστος, ἀποίητος, οὐκ ἐπιζητούμενος. ὅ ἐστιν ἠμελημένος, μὴ ποθούμενος. ἢ ὁ ἀφίλητος, καὶ ἀπημέλητος. ἐκ τοῦ ποθέω ποθῶ, ποθέσω, πεπόθηκα, πεπόθεσμαι, πεπόθεσαι, ποθεστὸς καὶ ἀπόθεστος.

Ἀπόθετον, τὸ ἀποτεθησαυρισμένον.

Ἀπόθετος, κείμενος.

* Ἀπόθετος καρπὸς, ψυγόμενος καὶ ἡλιούμενος.

* Ἀπόθετα σκεύη, τὰ ἔπιπλα, ἃ καὶ ἔγγειος κτῆσις λέγεται, καὶ χρηστήρια σκεύη.

Ἀποθευσόμεθα, ἀποδραμούμεθα. λέγεται καὶ ἐπιπλοῦ.

Ἀποθήκην, ἀντὶ τοῦ ἀποστροφήν, Φίλιστος.

* Ἀποθήκην τὴν σκευοθήκην Θουκυδίδης φησίν.

Ἀποθησαμένη, ἀποσωρεύσασα.

Ἀπο-

Digitized by Google

Ἀποθήσεσθαι, ἐχθήσεσθαι.

Ἀποθησαυρίζοντας, ἀποτιθεμένους.

Ἀπόθητος, ὁ μὴ ποθούμενος.

Ἀποθλίβω, ἐπὶ σταφυλῶν κυρίως, τὸ ἀποπιέζω.

Ἀποθλίψαντες, ἐκπιάσαντες, ἀποστάξαντες.

Ἀπόθου, ἀποβαλοῦ. ἀπόθου δὲ, ὤθησον.

Ἀποθραυσθῇς, ἐκπέσῃς, τουτέστιν οὐκ εἰσέλθῃς.

Ἀποθρέξεις, συναποτροχάσεις. Πλάτων, καὶ ἀποθρέξῃ. τρέχω, μέλλων θρέξω, μέσος θρέξομαι, ξῃ, ται, καὶ μετὰ τοῦ ἀπό, ἀποθρέξῃ.

Ἀπόθρεπτα, φευκτά.

Ἀποθριάζειν κυρίως, τὸ ἀφαιρεῖν φύλλα συκῆς. καταχρηστικῶς δὲ, καὶ τὸ ὁτιοῦν ἀφαιρεῖν.

Ἀποθρίξασθε, ἀπὸ τοῦ ἀποθριάζω, ἀποθριάξω.

Ἀπόθριξ, ἄνηβος, ἄθριξ.

Ἀποθρώσκοντα, ἀποπηδῶντα.

Ἀποθύκειν, ἀποτυγχάνειν.

Ἀποθύμια, λυπηρά, τὰ μὴ καταθύμια, ἀπὸ τοῦ θύω θυμός, καὶ ἀποθύμιον.

Ἀπὸ θυμοῦ μᾶλλον ἐμοὶ ἔσεαι. ἀπὸ θυμοῦ τις λέγεται παρὰ τῷ Ποιητῇ, ὅτε ἐν θυμῷ τινὸς ἢ ἤτοι ἔσω ψυχῆς, εἶτα ἐκπέσῃ. ἐκεῖθεν ἄρα ἐξ Ὁμήρου λαβόντες οἱ ὕστερον φασίν, ἐξ ὀμμάτων, τὸν πηρωθέντα, οἷον, Δίδυμος ὁ ἐξ ὀμμάτων. ὁμοίως καὶ τινὰς ἀπὸ ἐπάρχων, καὶ ἑτέρους ἀπὸ βασιλέως, καὶ ἄλλα τοιαῦτα πολλά. Ἰστέον ὅτι καὶ ἐναντίον τῷ ἀποθυμίῳ, τὸ καταθύμιον.

Ἀποθωνίζω, τὸ ἀποπέμπομαι καὶ παραλογίζομαι.

Ἀποθυρούμενος, ἀποκεκλεισμένος.

Ἀποθύσῃ, ἀποπνεύσει, ἀποζέσει, ἀποσείσει.

Ἀποθώμεθα, αὐθυπόστακτον, ἀποβάλωμεν.

Ἀποίζειν, ἀπομωκᾶσθαι.

Ἀποίκησιν, μετανάστασιν.

Ἀποίκησις, ἡ μετοίκησις.

Ἀποικίσαι, τὸ κτίσαι πόλιν ἐν ἐρήμῳ.

Ἀποικιστής, κατοικιστής.

Ἄποικοι, οἱ ἐν ἐρήμῳ τόπῳ πεμπόμενοι οἰκῆσαι. ἔποικοι δὲ, οἱ ἐν πόλει. οὕτω Θουκυδίδης.

Ἀποικοδομεῖς, ἀποφράττεις. οὕτω Δημοσθένης.

Ἄποινα, τὰ δῶρα, καὶ τὰ λύτρα, τὰ ὑπὲρ φόνου διδόμενα. ἔστιν οὖν φόνος, καὶ κατὰ στέρησιν, ἄφονος, καὶ πλεονασμῷ τοῦ ι, ἄφοινος. τὸ οὐδέτερον, ἄφοινον καὶ ἄποινον, τουτέστι τὰ ὑπεξαιρούμενα τοῦ φονικοῦ ἐγκλήματος. ἢ ἐκ τοῦ ποινὴ, ἡ τιμωρία, γίνεται ἄποινος καὶ ἄποινον, ὅθεν ἄποινα.

Ἀποινᾶν, ἀπολυτροῦν.

Ἄποινον, ἀτιμώτατον, ἢ λύτρον.

Ἄποιον, ἀνήδονον, ἄνοστον.

Ἀποίσει, ἀνενέγκει.

Ἀποιστῇ, κομίσῃ· ὡς τὸ λαψῇ, ἀντὶ τοῦ λήψῃ. τοὺς γὰρ μέλλοντας περισπῶσιν οἱ Δωριεῖς, δεξῇ, λαχῇ, γραψῇ.

Ἀποίσονται, κομίσουσιν.

Ἀποίσω, ἀποφέρω.

Ἀποίχεται, ἀφίσταται.

Ἀποιχόμενα, παρερχόμενα.

Ἄποκα πρόβατα, ἄκαρα. καὶ ἄποκα, ἀπόκιστα, ἢ κεκαρμένα.

Ἀποκαθεύδουσιν, Εὔπολις ἀποκοιτοῦσιν, ἤτοι γυναῖκα χωρίζεσθαι ἀνδρὸς, καὶ ἀφίστασθαι.

Ἀποκαθημένη, αἱμορροοῦσα.

Ἀποκαθιστῶν, διδοὺς, χαριζόμενος. Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου.

Ἀπὸ καὶ κλυσιάων, ἀπὸ τῶν σκηνῶν.

Ἀποκαίνυμαι, νικῶ. ἀπὸ τοῦ καίνω, τὸ φονεύω, καίνυμαι καὶ ἀποκαίνυμαι. μεταφορικὴ ἡ λέξις. ἢ παρὰ τὸ αἴνυμι, τὸ λαμβάνω. αἴνυνται γὰρ, καὶ λαμβάνουσιν ἄθλον οἱ νικῶντες.

Ἀπὸ καιροῦ, ἀκαίρως.

Ἀποκακήσαντες, ἀφροντιστήσαντες, Ὅμηρος. παρὰ δὲ Σώφρονι, ὁμοίως.

Ἀποκάλυψις, πρόγνωσις, προθεωρία.

Ἀποκαραδοκία, προσδοκία, ἐλπίς.

Ἀποκαταλλάξαι, φιλοποιῆσαι.

Ἀποκαταλλάξας, φιλοποιήσας.

Ἀποκαταπτύσαι, τελειῶσαι.

Ἀποκατάστασις, τελείωσις.

Ἀποκατέστη, ἀπεδόθη ὡς τό, ἀπεκατέστη τοῖς περὶ τὸν ἕβδομον χρόνον, τὰ ὀφειλόμενα χρήματα.

* Ἀποκάμπτειν ἐστὶ τὸ ἐναντίον τοῦ ὀρθοδρομεῖν.

* Ἀποκαρτίον τὸ ἀποκεκαρμένον Εὔπολις φησίν. κουριᾶν δὲ τὸ κομᾶν.

* Ἀποκαύλισις τὸ Ἀποσκολύφθαι καὶ ἀνασπᾶσαι τὸ αἰδοῖον. τὸ δὲ ἐπεγείρειν αἰδοῖον χεροῖν, ἀναφλᾶν.

Ἀποκείλαντες, ἀποκλίναντες.

Ἀποκεῖσθαι πόρρω, ἀτιμάζεσθαι. οὕτω Κρατῖνος.

Ἀπόκειται, καὶ ἀποκείμενα, καὶ ἀποτίθεται, καὶ ἀπόθετα, τὰ φυλαττόμενα ἐπὶ τῷ προσήκοντι καιρῷ τῆς χρείας αὐτῶν. καὶ ἀπόθετοι λόγοι, οἱ οἱονεὶ τεθησαυρισμένοι, καὶ φυλαττόμενοι, ὡς πολλῶν ἄξιοι. καὶ ἀπόκειται, ἡτοίμασται.

Ἀποκεκάρπωκεν, ἀποβεβλάστηκε, παρὰ τῷ Ἱπποκράτει.

Ἀποκέκλεισμαι τροφῆς λέγει, μὴ ἀποτετείχισμαι, μηδὲ κεχώρισμαι.

Ἀποκεκλήκαμεν, ἀπηγορεύσαμεν, ὡς τὸ, ἀποκεκλήκαμεν μηκέτι τὴν πόλιν διαπερᾶν.

Ἀποκεκόψονται. ἀποκόπτω, ὁ μέλλων ἀποκόψω, ὁ παρακείμενος ἀποκέκοφα, ὁ παθητικὸς, ἀποκέκομμαι, ψαι, πται, ὁ μετ' ὀλίγον μέλλων, ἀποκεκόψομαι. τὸ τρίτον τῶν πληθυντικῶν, ἀποκεκόψονται.

Ἀποκεκρουσμένον, οἷον ἀποκεκλασμένον, καὶ κεκολοβωμένον, καὶ ἠκρωτηριασμένον. Ἀριστοφάνης. Δός μοι κυλίσκιον χεῖλος ἀποκεκρουσμένον ποτήριον.

Ἀποκεκτίλαι, ἐκδεῖραι.

Ἀποκοιτῶν, ἀποκοιμίζων.

* Ἀποκεφάλισμα, ἡ κάθαρσις τῆς κάρας.

Ἀποκηδήσαντες, ἀποκακήσαντες, ἀφροντιστήσαντες.

Ἀποκηδήσονται, τὴν λύπην ἀφαιρήσονται.

Ἀποκήλειν, ἀποδιώκειν.

Ἀποκήρυκτον, ἀλλότριον.

Ἀποκήρυκτος παῖς ὁ ἐπὶ ἀδικήματι ἐκβληθεὶς τῆς οἰκίας, παρὰ τοῦ πατρὸς, μετὰ ψήφου δικαστικοῦ. καὶ ἀποκηρύττειν, τὸ τοῦτό τε ἐργάζεσθαι, καὶ τὸ διὰ κηρύγματος πωλεῖν. καὶ ἀποκήρυκτος, ὁ οὕτω πωλούμενος.

Ἀποκηρύξαι, τὸ ὑπὸ κήρυκι ἀποδόσθαι. Μένανδρος, ἀπεκήρυξεν αὐτὴν ἀγαγών. ἤγουν ὑπὸ κήρυκι ἐπώλησεν. καὶ ἀποκηρύξει, ἀντὶ τοῦ πωλήσει.

Ἀποκηρύττοντες, ἀντὶ τοῦ πιπράσκοντες· οὕτω Δημοσθένης, καὶ Πλάτων.

Ἀποκηρυχθέντα, ἀποβληθέντα.

Ἀποκινδυνεύοντες, ἀποτολμῶντες, ἀποθηλιῶντες.

* Ἀπόκινος καὶ ἀπόσεισις, ἀσελγῆ εἴδη ὀρχήσεων, ἐν τῇ τῆς ὀσφύος περιφορᾷ.

Ἀποκινεῖν, τὸ ἀπέρχεσθαι καὶ ἀποτρέχειν. λέγεται δὲ καὶ ἐπὶ πλοίων καταγομένων, ἢ ὁρμιζομένων, ἀποκινεῖν τῇ κώπαις.

Ἀπόκινον φυγὴν, ἀποχώρησιν λέγουσιν. ἔστι δὲ καὶ εἶδος ὀρχήσεως φορτικῆς. οἱ δὲ μέλος, καὶ ὁ βαυκισμός.

Ἀποκλαίω, κλαίω.

Ἀποκλάνει, ἀποκάμνει.

Ἀπόκλεισμα, φυλακή.

Ἀποκλείσαντες, φυλακίσαντες.

Ἀπόκλητοι, οἱ κεκλημένοι. οὐ τὴν κοινὴν προσδεξάμενοι σύνοδον, ὥστε τοῖς ἀποκλήτοις συμμεταδόντες τὰς αὐτῶν κρίσεις.

Ἀποκλύσασθαι, ἀποκαθαίρεσθαι.

Ἀπόκλωμα, ἀπολογία, ἐπὶ τὸ χεῖρον.

Ἀποκλονεῖ, ἀποστροφεῖ, Ταραντῖνοι.

Ἀποκλήρωσις, διανομή, μερισμὸς, μέρος εἰς ἀμείνονα. λῆξις δέ ἐστι, μερὶς, κληρονομία.

Ἀπόκλιμα, τὸ ἔκνευμα τῶν ὀρῶν.

Ἀποκναίειν, ἐνοχλεῖν, παρεκτείνειν.

Ἀποκναίνεις, ἀναιρεῖς.

Ἀποκναίεις, λυπεῖς, ὀδυνᾷς, ἀπολλύεις, ἀποκόπτεις.

Ἀποκναισθέντες, λυπηθέντες.

Ἀπόκναισις, ἡ μετὰ βραχὺ ἀναιροῦσα λύπη.

Ἀποκνεῖ, ἀποκάμνει.

Ἀποκνησάμενοι, ἀποξύσαντες.

Ἀπόκνησιν, ὄκνον, ἀποκάκησιν.

Ἀπόκνιξε, ἀπόσχασε, ἢ ἀπότιλε.

Ἀποκνίζῃ, λυπῇ, ὀδυνᾷ.

Ἀποκνίψῃς, σκεδάσῃς, κρούσῃς. ὡς τὸ, μὴ ἀποσκορακίσῃς με, μὴ ἀποδοκιμάσῃς με, μὴ ἀπορρίψῃς με.

Ἀπόκοιτος, πόρρω τῆς κοίτης.

Ἀποκολοκαύτωσις, παρ' Ἰνδοῖς ἡ συνουσία. ἡ δὲ παρὰ Παφλαγόσι τινῶν χριομένων τὰ αἰδοῖα δονεῖν παρέχει.

Ἀποκολουστέμεναι, κολοβώσειν.

Ἀποκομίζεσθαι, ἀποφέρεσθαι.

Ἀποκοπή ἐστιν ἀφαίρεσις συλλαβῆς κατὰ τὸ τέλος. οἷον δῶ, ἀντὶ τοῦ δῶμα. Ἀπόλλω, ἀντὶ τοῦ Ἀπόλλωνα. Ποσειδῶ, ἀντὶ τοῦ Ποσειδῶνα.

Ἀποκοπῆναι, κυρίως λέγεται, ὅταν ἡ κύων μηκέτι εὑρίσκῃ τὰ ἴχνη, καὶ ἐπὶ τῶν ἰχνευόντων.

Ἀποκοπησαμένη, στερνοκοπησαμένη.

Ἀποκορεῖν, ἀποκοψᾶν, ἀπὸ τραπέζης.

Ἀποκορσωσαμέναι, ἀποκειρσαμέναι. κόρσαι γὰρ τὰς τρίχας, Αἰσχύλος.

Ἀποκόπους, ἐκτομίας, καὶ ἀντὶ τοῦ ἀσθενεῖς.

Ἀποκοτταβίζειν, τὸ λειπόμενον παρὰ τοῦ πόματος τοῦ ποτηρίου ἐκχεῖν, ὥστε ψόφον ποιεῖν. κότταβος γὰρ, ὁ ἦχος.

Ἀποκοψέμεν οὔατα χαλκῷ. τινὲς ἀπολεψέμεν γράφουσιν, ὅ ἐστι σιδήρῳ τεμεῖν. ὁμοίως τῷ περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψεν. οὗ θεματικὴ κλίσις, τὸ λέπω, λέψω ὁ μέλλων, ἀφ' οὗ κατά τινας καὶ μώλωψ, ὁ ἐκβοείων δερμάτων, οἱονεὶ βώλωψ. ἐκ δὲ τοῦ λέπειν, καὶ τῆς αὐτοῦ κινήσεως, καὶ τὸ λεπτὸν γίνεται. ὡς οἷον λεπιστὸν, καὶ ἡ ὀρειώδης λεπὰς, καὶ ὁ λεπρὸς, καὶ ἡ λεπρὰς πέτρα· αἱ λεπάδες, καὶ τὸ ὀρεινὸν λέπας, καὶ ὁ τοῦ κρομμύου λοπός. ἴσως δὲ καὶ ὁ κατὰ ὄρος λόφος, ἐκ τοῦ λέλεφα παρακειμένου ἐνεργητικοῦ, καὶ ἐκ τοῦ μέσου ἡ λοπὰς, ὡς καὶ λεπτὴ, καὶ τραχεῖα. ἐκεῖθεν δὲ καὶ ἡ λεπὶς, τὸ λέπαδνον. ἴσως δὲ καὶ ἡ παρὰ τῷ Δειπνοσοφιστῇ λεπαστὴ ὀξυτόνως κύλιξ, καὶ τὸ καλὴ, ἢ παροξυτόνως, ὡς τὸ μεγάλη. τάχα δὲ καὶ τὸ λεπτὸν, καὶ τὸ ἐκπέταλον δὲ, κατὰ τὰς λεπάδας ἔχει τὸ καλεῖσθαι λεπαστή. οἱ μέν τοι παλαιοὶ, διὰ τὸ μεγάλην αὐτὴν εἶναι, ἀπὸ τοῦ λάπτειν ὠνομάσθαι φασὶ, διὰ τοὺς ἐπὶ μέθῃ ἀναλίσκοντας πολλὰ, οὓς λαφύκτας ἐκάλουν. χρῆσις δὲ τοῦ λεπαστῆς, τῷ Κωμικῷ ἐν Εἰρήνῃ. ἔστι δὲ Δολόπων λέξις, λεπαστή.

Ἀποκραιπαλισμὸς, κραιπάλης ἀπαλλαγὴ καὶ μέθης. καὶ ἀποκρεπαλισμὸς, ἀπανθρακισμός.

Ἀποκρῆθεν, ἀπὸ τῆς κεφαλῆς. ἀπὸ γὰρ τοῦ κρατὸς κρᾶς, γίνεται κρᾶθεν, καὶ τροπῇ τοῦ α εἰς η κρῆθεν.

Ἀποκριθῆναι, χωρισθῆναι.

Ἀπόκριμα, κατάκριμα, ψῆφον.

Ἀποκρίνασθαι, τὸ ἀπολογῆσαι, τὸ χωρισθῆναι. ἀποκριθῆναι, τὸ ἀποχωρισθῆναι. καὶ ἀποκρίνασθαι, τὸ ἐρωτηθέντα λόγον δοῦναι.

Ἀπόκριναι, ἀντὶ τοῦ ἀπολογήθητι. Δημοσθένης, ἀπόκριναι γὰρ δεῦρο παρελθών μοι.

Ἀποκρίνειν ἐνεργητικῶς, τὸ ἀποπατεῖν. ἤγουν τὸ τὰ περιττὰ τῆς γαστρὸς ὑπάγειν, ὃ καὶ ἐκκρίνειν λέγεται. ἀποκρίνεται δέ τις παθητικῶς, ἐρωτώμενος. ἀπολογεῖται δὲ κατηγορούμενος. ἀποκρίνω παρ' Ἀττικοῖς τὸ χωρίζω.

Ἀποκριθῆναι, ἀποχωρισθῆναι. ἢ ἀποκρίνεσθαι, τὸ ἀπολογεῖσθαι, οὐκ εἶδεν ὁ ποιητὴς, ἀλλὰ ὑποκρίνεσθαι λέγει αὐτὸ, καθὰ φανεῖται ἀλλαχοῦ. ποιητικώτερον δὲ τὸ ἀποκρινθέντες μετὰ τοῦ ν. ἡ μὲν κοινὴ φράσις, ἀποκριθῆναι λέγει. καὶ ἀποκρινθέντες, ὥσπερ κλινθῆναι κλινθέντες. οἱ ποιηταὶ δὲ φυλάττουσι τὸ ν τοῦ θέματος ἐν τούτοις τῷ νόμῳ τῶν ἀμεταβόλων.

Ἀποκρίνου, ἀποφαίνου.

Ἀποκρίνω τὸ διαχωρίζω. παρὰ τῷ Λουκιανῷ, Τέτταρας ἡμῶν αὐτῶν ἀποκρίναντες. καὶ ἀποκρίνω ἐπὶ γαστρὸς, τὸ ἀφοδεύω, καὶ ἀποπατῶ, καὶ ἀποψύχω. οἷον, ἀποκρίνει δ' ἄρα γαστὴρ ὁπόσα λαυκανίη ἐδέξατο πειναλέη. ἀποκρίνομαι δὲ παθητικῶς, ἐπὶ λόγων. καὶ συντάσσεται δοτικῇ.

Ἀποκρισάμενοι, ἀπολυσάμενοι, ἐπιπλυνάμενοι.

Ἀπόκρισις λέγεται, ὅταν ἐρωτᾷ τις τινὰ, καὶ ἐκεῖνος ἀποκρίνεται. Ἰστέον ὅτι ἀπόκρισιν ἀπολο-

Digitized by Google

ἀπολογίας, τινὲς διαφέρειν λέγουσιν. ἀπολογία μὲν γάρ ἐστιν, ὅταν κατηγορούμενός τις ποιῆται ἀπολογίαν ὑπὲρ τῶν ἐγκλημάτων. ἀπόκρισις δὲ, ὅταν ἐρωτώμενός τις ἁπλῶς περί τινος, ἀπόκρισιν διδῷ. ὁμοίως καὶ τὸ ἀπολογεῖται, ὅταν κατηγορῆται. καὶ ἀποκρίνεται, ὅτε ἁπλῶς ἐρωτᾶται. παρὰ δὲ τοῖς ῥήτορσι, τίθεται καὶ ὡς οὐδὲν ἀλλήλων διαφέροντα. οἷον, ἀπολογία ἀντ' ἀποκρίσεως, καὶ ἀντ' ἀπολογίας ἀπόκρισις.

Ἀποκρίνομαι ἀντὶ τοῦ ἀπολογοῦμαι, ὡς καὶ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου, ἀπόκριναι γὰρ δεῦρο παρελθὼν μοι.

Ἀπόκροτον, σκληρόν.

Ἀποκρύεσθαι, τὸ ἀποβάλλεσθαι, αἰτιατικῇ.

Ἀποκρύπτειν λέγεται κοινῶς, ἀντὶ τοῦ συγκρύπτειν. λέγεται καὶ ἀντὶ τοῦ νικᾶν, καὶ ἀντὶ τοῦ ὑπεραίρειν, καὶ διαβαίνειν. ὡς καὶ Συνέσιος, ταχὺ μὲν τὴν γῆν ἀποκρύπτομεν.

Ἀποκταῖσθαι, τὸ ἀποβάλλεσθαι.

Ἀποκτείνω, αἰτιατικῇ, τὸ φονεύω. καὶ ἀποκτεῖναι, τὸ φονεῦσαι.

Ἀποκτείνης, αὐθυπόακτον.

Ἀποκτείνειν μᾶλλον λέγουσιν οἱ Ἀττικοὶ, ἢ ἀποκτιννύειν.

Ἀποκτείνω, αἰτιατικῇ συντάσσεται. οἷον, δύο τυράννους ἀπέκτεινα μιᾶς ἡμέρας. καὶ Ἀριστοφάνης, ἀποκτενεῖν τὸν πατέρα.

Ἀποκτιννύναι βέλτιον, ἢ ἀποκτιννύειν.

Ἀπὸ κυανέων, ἀπὸ τοῦ κυανὸς κυάνεος, ἀποβολῇ τοῦ ι κυάνεος, τὸ κυάνεον, τὰ κυάνεα, τῶν κυανέων.

Ἀποκυπαρῶσαι, ἀποκτεῖναι.

Ἀποκυριάζειν, ἀποκακεῖν, ἀποφεύγειν.

Ἀποκυηθὲν, τεχθέν. καὶ ἀποκυίσκω, τὸ γεννῶ. καὶ ἀποκυίσκει, τίκτει.

Ἀπόκυνον, μάζα μεμαγμένη φαρμάκῳ, πρὸς ἀναίρεσιν κυνῶν, ἢ εἶδος βοτάνης.

Ἀπολαβόντες, ἐναποκλείσαντες. Οἱ δὲ τὴν στρατιὰν αὐλῶσι στενοῖς καὶ δυσεμβόλοις ἀπολαβόντες, εἰς διαλλαγὰς ἐλθεῖν αἰσχρὰς ἠνάγκασαν.

Ἀπολάκημα, ῥάπισμα ἀπὸ τοῦ ψοφεῖν.

Ἀπολακτίζω, καὶ ἀπολάκτισεν ὁ ἠγαπημένος, τουτέστιν ἀπέλαυσεν.

Ἀπολαχεῖν, τὸ διανείμασθαι τὰ πατρῷα, καὶ ἄλλα τινὰ δόντα πρός τινας. διαλαχεῖν δὲ, τὸ διανεμεῖσθαι οἱ ῥήτορες εἰρήκασιν. Ἀντιφῶν, Ὁπόταν ἄνθρωποι βούλοιντο, χρήματα διαλαγχάνειν.

Ἀπολαμβάνω, τὸ κεχωρισμένον κυρίως λαμβάνω. ἀφ' οὗ καὶ ἀπείληφα καὶ ἀπέλαβον. καὶ ἀπολαχεῖν, ἀντὶ τοῦ ἁπλοῦ τοῦ λαχεῖν, Ἀντιφῶν ἐν τῷ κατὰ Φιλοίνου, Λυσίας κατὰ Ποσειδίππου, καὶ Ἀριστοφάνης Ταγηνισταῖς. οὐ μὴν ὅ γε σὸς ἀδελφὸς οὐκ ἀπελάγχανεν.

Ἀπολαχόντες, ἀποκληρώσαντες.

Ἀπολαύη, τρυφᾷ.

Ἀπολαύω, συντάσσεται γενικῇ. ὡς καὶ Λιβάνιος, βουλοίμην ἂν τῆς σῆς ἀρχῆς ἀπολαῦσαι τὸν ἄνθρωπον εἰς ἐπίδοσιν. ἔστι δ' ὅτε λέγεται καὶ μετὰ αἰτιατικῆς, ἐμφαινομένης ἐκεῖ γενικῆς. καὶ ἡ μὲν γενικὴ τότε λαμβάνεται ὡς αἰτία, ἡ δὲ αἰτιατικὴ ὡς πρᾶγμα. ὡς Λιβάνιος, τοιαῦτα τοῦ παρόντος ἀπολαύομεν καιροῦ. ἰδοὺ γὰρ τῆς καιροῦ γενικῆς ὡς αἰτίας ληφθείσης, τὸ ῥῆμα ὡς πρᾶγμα τῇ αἰτιατικῇ συνετάχθη. λέγεται δὲ ἀπολαύω, τὸ τρυφῶ. καὶ ἀπολαύω τοῦ πλούτου, ἀντὶ τοῦ εὐδαιμονῶ. καὶ ἀπολαύω τιμῆς, ἀντὶ τοῦ εὐτυχῶ. καὶ ἀπολαύω τὸ καθ' ὑπερβολὴν, καὶ ὑπὲρ χρείαν ἐμφοροῦμαί τινος, ὡς λέγεται χρῶμαι καὶ καταχρῶμαι, καὶ ἀναλίσκω καὶ καταναλίσκω. οἶμαι δὲ κάλλιον εἶναι κατὰ Ἀττικοὺς συντάσσεσθαι τῇ αἰτιατικῇ, ὡς Ἀριστοφάνης, ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε. καὶ Συνέσιος, Πλείω καλὰ τῆς Σιμωνίδου συνουσίας ὁ Ἱέρων ἀπήλαυσε. τίθεται δὲ τὸ ἀπολαύω καὶ ἐπὶ κακοῦ.

Ἀπολέγει, παραγγέλλει.

Ἀπολέγειν, ἀπολέγεσθαι, ἀπαυδᾶν.

Ἀπολεγόμενος, ἀντὶ τοῦ παραιτούμενος. Πολύβιος, ὁ δὲ παρῃτεῖτο τοὺς Ἀχαιοὺς, ἀπολεγόμενος τὴν ἀρχήν.

Ἀπολέγονται, ἀποτρέπονται, ἀπαγορεύονται. ὡς τὸ, Πράγματά τε ἄντικρυς ἀπολέγονται, τοῖς πρέσβεσιν ἔγραψεν.

Ἀπολείβεται ὑγρὸν ἔλαιον, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας η. ἢ τὸ τῶν ὑφασμάτων τρυφερὸν κατὰ τοὺς παλαιοὺς δηλοῖ, ὡς δοκεῖν ἔλαιον ἀπορρεῖν. ἢ τὸ πυκνὸν, ὡς μηδὲ εἶναι δι' αὐτῶν ἐλθεῖν. ἢ καὶ τὸ στίλβον διὰ λευκότητα. ἴσως δὲ στίλβειν αἱ τοιαῦται λέγοιντο ὀθόναι, ὡς εἴπερ ἔλαιον αὐτῶν ἀπελείβετο, διὰ τὸ στιλπνὸν χρῶμα τῶν νεοϋφάντων, καὶ ἔτι ἀπλύτων ὑφασμάτων. ὅτι καὶ θρόνοι λίθινοι οὕτω στίλβουσιν, ἐκ τῆς κατὰ συγχνὴν παράτριψιν λειάνσεως.

Ἀπολείβοντες, ἀποστάζοντες, ἀποσπένδοντες.

Ἀπολειβράξαι, ἀπαλεῖψαι, ἐκνοτίσαι. ἄλλοι, πορρωτέρω ἀπελθεῖν.

Ἀπολείπειν, ἀντὶ τοῦ ἀφίστασθαι.

Ἀπολείπεται, ἀπομένει.

Ἀπολείπω, αἰτιατικῇ συντάσσεται. οἷον δέομαι σου μή με ἀπολίπῃς. καὶ τὰ χρήματά με ἀπέλιπον.

Ἀπολείψεται, ἐάσεται.

Ἀπόλειψις, ἡ ἀπὸ γυναικῶν ἐγκατάλειψις.

Ἀπολείψομεν, ἀποδέρωμεν. λεῖψαι γὰρ, τὸ ἀποδεῖραι.

Ἀπόλεκτον, ἐκλεκτόν. καὶ ἀπόλεκτον, οὐχὶ τὸ φαῦλον καὶ ἀπόβλητον, ἀλλὰ τὸ ἔκκριτον. καὶ ἐκλελεγμένον, ἐκ πλειόνων ἐξειλεγμένον. καὶ στρατιώτας ἀπολέκτους.

Ἀπολελαμέναι, κοιναὶ, παρὰ Ἱπποκράτει.

Ἀπολελασμένον, ἀπολελιθωμένον.

Ἀπολέλασται, ἀπολέλεκται.

Ἀπολελάχνωται, εἰς λαχνείαν ἀνάλωται.

Ἀπολελειμμένου, ἀποκηραμένου, ἀπολελειμμένου τὰ καλά.

Ἀπολέλοιπεν, ἀφῆκεν, εἴασεν.

Ἀπολελοιπότες, ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων. οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους. Ἰσοκράτης Παναθηναϊκῷ καὶ Πανηγυρικῷ.

Ἀπολέμητον, ἀνενόχλητον. ὡς τὸ, Καταίραντες εἰς χώραν εὐδαίμονα, καὶ πολλῶν χρόνων ἀπολέμητον.

Ἀπόλεμον, ἀπειροπόλεμον.

Ἀπόλεμος, ὁ μὴ ἰσχύων, ἢ ὁ μὴ εἰδὼς πολεμεῖν. ἀπόλεμος γὰρ ἦν.

* Ἀπολέμων ὀνόματα, ἀστράτευτοι, ἄθυμοι, βλᾶκες, ἀμβλεῖς, ὀκνώδεις, ῥάθυμοι, δειλοὶ, νωθεῖς, καταρραθυμημέναι, εὐάλωτοι, εὐεπιχείρητοι.

Ἀπολίξαι, ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι.

Ἀπολέξας, ἐκλεξάμενος.

Ἀπολέξω, ἐρῶ, δηλώσω.

Ἀπολέσθαι, ἀποθανεῖν.

Ἀπόληγε, παύου.

Ἀπόληξις, εἷς τῶν συγγραφέων, ὡς Πλάτων κωμῳδεῖ ἐν Σοφιστῇ.

Ἀπόληρος, ἡ τοῦ θανάτου γραφὴ, Ταραντῖνοι.

Ἀπολῆσαι, ἀποπεσεῖν.

Ἀποληισθῆναι, ἀποστραφῆναι.

Ἀπολιβάζω, ἀπέλθω, ἀποδράμω, παρὰ τὴν λιβάδα, ἢ τὸ ἀπορρίπτω.

Ἀπολιβάζεις, συντόμως ἀναχωρήσεις, λιβὰς γὰρ, ἡ σταγών. ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν.

Ἀπολιγαίνει, θορυβεῖ, ὀξέως βοᾷ, παρὰ τὸ λιγύ.

Ἀπολιγαίνειν, ἀφηδυνεῖν. ἢ παραφθέγγεσθαι, ἢ βάζεσθαι.

Ἀπόλιδας, ἀγενεῖς, ὡς μὴ οἰκοῦντας ἐν πόλει, ἀπαιδεύτους.

* Ἀπολεῖται, καὶ ἀφέταιροι Θεόπομπος ὁ Συγγραφεὺς φησιν.

Ἀπολῖναι, ἀποστρέφειν, Λάκωνες.

Ἀπόλλιον, θαῦμα.

Ἀπολιταργιεῖς (λιταργισμοὺς ἐκάλουν τὰ σκιρτήματα) ἀποδραμῇ, ἀποσκιρτήσεις, καταλείψῃ ἀπὸ τῆς θύρας, ἥτις ἐστὶν ἡ λίτη. ἢ ἀπὸ τοῦ ἀργοῦ, ὃ δηλοῖ τὸ ταχὺ, καὶ τὸ λιπεῖν. οὐ ταχέως οὖν φησιν ἀποδράμῃς.

Ἀπολιταργίζω, σημαίνει τὸ ταχέως ἀπέρχομαι, καὶ ὑποχωρῶ, ἀπὸ τοῦ λίαν, καὶ τοῦ ἀργοῦ, κατὰ ἀντίφρασιν, ἀντὶ τοῦ ταχέως ὁρμᾶν. Ἀριστοφάνης, Οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς ἀπὸ τῆς θύρας.

Ἀπολιχμήσονται, διὰ μόνου δικρόνου τοῦ ι, ἔχει τὴν ἄρχουσαν, διὰ τὸ δύο σύμφωνα ἐπάγεσθαι, εἰ καὶ ἄλλως ὤφειλε δίφθογγον ἔχειν, ὡς ἀπὸ τοῦ λείχω.

Ἀπολιχμήσονται δὲ, ἀπολείξουσιν.

Ἀπολλὰ, ἅτινα, πολλά.

Ἀπολλύειν, καὶ ἀπολλύναι, διττῶς λέγουσι, καὶ ἀποδεικνύειν καὶ ἀποδεικνύναι, καὶ πάντα τὰ ὅμοια.

Ἀπόλλυμι, ἔχει θέματα τέσσαρα. ὄλω ἄχρηστον, ὁ μέλλων ὀλῶ. καὶ γράφεται μετὰ τῆς ἀπὸ προθέσεως, οἷον ἀπολῶ. ἐξ οὗ ὄλωλα, καὶ ἀπόλωλα, καὶ ἀπολώλειν. καὶ ὀλέω, λῶ, ἄχρηστον, ἐξ οὗ ὀλέσω, καὶ ἀπολέσω, καὶ ἀπολώλεκα, καὶ ἀπώλεσα. ὀλλύω, ἄχρηστον, ὤλλυον, καὶ ἀπώλλυον, καὶ ὄλλυμαι καὶ ὠλλύμην, μετὰ τῆς ἀπὸ προθέσεως καὶ ταῦτα.

Ἀπολύμου δαίμονες, οἱ θυσιάζοντες ἄμφακες.

Ἀπόλυρε, φόνευε εἰς ἀπώλειαν.

Ἀπολλὺς, οὐκ ἀπολλύων.

Ἀπόλλων πατρῷος, ὁ Πύθιος, προσηγορία τίς ἐστι τοῦ θεοῦ πολλῶν τε καὶ ἄλλων εἰδῶν. τὸν δὲ Ἀπόλλωνα κοινῶς πατρῷον τιμῶσιν Ἀθηναῖοι ἀπὸ Ἴωνος. τούτου γὰρ οἰκήσαντος τὴν Ἀττικὴν, ὡς Ἀριστοτέλης φησὶ, τοὺς Ἀθηναίους Ἴωνας κληθῆναι, καὶ Ἀπόλλωνα πατρῷον αὐτοῖς ὀνομασθῆναι.

Ἀπολλωνιὰς, ἡ δάφνη.

Ἀπολλωνιεῖς, δῆμος φυλῆς τῆς Ἀττικῆς.

Ἀπόλλω οἱ Ἀττικοὶ, οὐκ Ἀπόλλωνα.

* Ἀπόλλων ἀγυιεὺς, ὁ πρὸ τῶν θυρῶν ἱστάμενος. Δεῖ δὲ εἰδέναι, ὅτι ὁ Ἀπόλλων μέρος τι εἱμαρμένης λαμβάνεται μυριαχοῦ παρὰ τῷ Ποιητῇ. καὶ ὡς ἂν εἴπῃ τις, μερικός φαίνεται Ζεὺς καὶ οἷον μικρόν τι χρεὼν, τουτέστι μικρά τις εἱμαρμένη. διὸ καὶ Διὸς υἱὸς λέγεται, οὐ μόνον ὡς περὶ ἀέρα καὶ οὐρανὸν φερόμενος, ἑκάτερον Ζεὺς λέγεται, ἀλλ' ὡς εἱμαρμένη τὶς εἰπεῖν μοιρίδιον. καὶ τὰ μὲν μόνος αὐτὸς, τὰ δὲ σὺν τῷ Διῒ καταπράττεται. Ἥλιος γάρ ἐστιν αἴτιον ἔχων τῶν γινομένων, κατὰ τὴν Ἑλληνικὴν δόξαν, καθὰ καὶ ὁ Ζεύς. διὸ παρ' Ὁμήρῳ τὰ κατὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως, βουλῇ τε Διὸς καὶ χόλῳ Ἀπόλλωνος πράττεται. χόλος δὲ Ἀπόλλωνος ὁ λοιμὸς, οὗπερ ὁ Ἀπόλλων αἴτιος.

Ἀπόλλων, υἱὸς λέγεται Λητοῦς, τουτέστι νυκτὸς, δοκεῖ γὰρ ἐξ αὐτῆς οἷα μητρὸς ὁ Ἥλιος γεννᾶσθαι. ὥσπερ καὶ Σοφοκλῆς ἐν Τραχινίαις λέγει. καὶ ζητητέον τὴν ἐκείνου ἀλληγορίαν, ἔνθα φησὶν, ὅτι ἡ νὺξ ἐναριζομένη τίκτει, κατευνάζει τε τὸν Ἥλιον. παρέοικε δὲ πάντως τῇ τοιαύτῃ τοῦ Σοφοκλέους ἐννοίᾳ, καὶ τὸ Αἰσχύλου ἐν Ἀγαμέμνονι, Εὐάγγελος ὡς γένοιτο μητρὸς εὐφρόνης πάρα. ὡς γὰρ ἐκ νυκτὸς Ἥλιος, οὕτω καὶ ἠὼς ἐξ εὐφρόνης. Λητὼ δὲ καὶ νὺξ διὰ τὴν παρ' Εὐριπίδῃ σοφὴν καὶ πότνιαν λήθην. ὑπνοῦντες γὰρ νυκτὸς πάντων λανθανόμεθα.

Ἀπολογεῖται, ὁ κατηγορούμενος.

Ἀπολογισμὸς, ἀπολογία.

Ἀπόλογος, ἀπολογισμός.

Ἀπολογεῖσθαί ἐστι, τὸ ἐπὶ τῷ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν. ἡ γὰρ κατηγορία, πρὸς τὴν ἀπολογίαν ἀντίκειται, καὶ ὁ κατηγορούμενος πρὸς τὸν ἀπολογούμενον. οἷον ἀδικώτατόν ἐστιν ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τὸν κατηγοροῦντα ἰσχῦσαι παρ' ὑμῖν πρὶν τὸν φεύγοντα ἀπολογίαν σχεῖν.

Ἀπολογία λέγεται, ὅταν τινὸς κατηγορῇ τις. καὶ ἀπολογεῖται ὁ κατηγορούμενος. καὶ ἀπολογία, ἡ πληροφορία.

* Ἀπολογήσατο, ἀπελύθη, ὡς Ἀντιφῶν, ἀπέφυγεν, ἀπελύσατο τὰς αἰτίας.

Ἀπολογίζεσθαί ἐστι, τὸ ἀποδοῦναι λόγον τῶν δαπανημάτων.

Ἀπολοίμην εὐκτικῶς, καὶ ἀπόλοιτο, ὡς, ἀπόλοιτο ἡ κακία.

Ἀπολοιγὸν ἀμῦναι, ἀποσοβῆσαι τὸν θάνατον.

Ἀπόλοιτο, ἀπώλετο.

Ἀπολοίμιον, φανὸν τὸν ἐπὶ δόλῳ.

Ἀπολὸν, ἀστρεφὲς, βαρὺ, ἀκίνητον.

Ἀπολοφύρεσθαι, ἀποδύρεσθαι.

Ἀπολύομαι μέμψεως, καὶ ἀπολύομαι τὴν μέμψιν. ἢ ἀπολύω καὶ τὸ ἀπολυμαίνεσθαι.

Ἀπολύων, τῷ θανάτῳ παραπέμπων.

Ἀπολυμαίνεσθαι, ἀποκαθαίρεσθαι. λύματα γὰρ λέγουσι τὰ καθάρσια. ἢ καὶ αὐτὸς ὁ ῥύπος, παρὰ τὸ λυμαίνειν τὸ ὑπολειπόμενον. ἀπὸ γοῦν τοῦ λύμα, λυμαίνω, καὶ ἀπολυμαίνω.

Ἀπολύει, ἀποτρίβει, ἀποκόπτει.

* Ἀπολῦσαι, ἀφεῖναι, ἀπαλλάξαι.

Ἀπολύγματος, ἀπογύμνωσις, Κύπριοι.

Ἀπολυμαντῆρα δαιτῶν, τὸν τὰ δεῖπνα λυμαινόμενον.

Ἀπόλωλά ἐστιν, ἀντὶ τοῦ ἐφθάρην, ἀμετάβατον. Ἀριστοφάνης ἀπόλωλα δείλαιος ἐκ τοῦ σκίμποδος.

Ἀπολυσάμενος, ἀπολυτρωσάμενος.

Ἀπόλυτρωσιν, ἀποφυγὴν, ἀπόλυσιν.

Ἀπόλωλε, καὶ οὐκ ἔτι νόσιμός ἐστιν. ἅπερ ἐκ παραλλήλου ταυτὰ δηλοῦσιν.

Ἀπολώλεκα ἕτερον, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, ἀπολωλεκὼς ἅπαντα τὰ ἐκ τῆς οἰκίας. καὶ Λιβάνιος, ὦ θεοὶ, ἀπολωλεκὼς τὸν ἐμαυτοῦ παῖδα ἀλιρρόθιον.

Ἀπολῶ, ἀπολέσω, ἀφανίσω.

Ἀπόλωψιν, ἀπώλετο.

Ἀπομάγματα, ἀποσμήγματα.

* Ἀπολωπίσαι τὸ ἀποδῦσαι ὡς Σοφοκλῆς. καὶ περιλωπίσαι, ὅπερ Ὑπερίδης περιδῦσαι εἴρηκε.

* Ἀπομαγδαλιαῖς ἐχρῶντο οἱ πάλαι, αἳ ἦσαν τὸ ἐν ἄρτῳ μαλακὸν καὶ σταιτῶδες· εἰς ὃ ἀποψησάμενοι τοῖς κυσὶν αὐτὸ παρέβαλλον. ὅθεν Λακεδαιμόνιοι κυνάδα τὴν ἀπομαγδαλιὰν καλοῦσι.

Ἀπομαγδαλιά, τὸ σταὶς, ὃ ἀπομάττονται οἱ μάγειροι, ὅπερ ἐκάλουν χειρόμακτρον. ὃ μετὰ τὴν ἐργασίαν ἀπέρριπτον ταῖς κυσίν. ἢ ἡ τῶν κυνῶν τροφή.

Ἀπομάκτης, περικαθαρτής.

* Ἀπόμακτρα ἡ σκυτάλη, ἢ περιστροφίς.

Ἀπομάκτρας, ξύλα, τὰς σκυτάλας, ἐν αἷς ἀποψῶσι τὰ μέτρα.

Ἀπομάσσειν, τὸ ἁπλῶς ἀποσπογγίζειν. ἀναμάσσειν δὲ, τὸ ἄνω ποιεῖν τοῦτο περὶ κεφαλήν. ἐκμάσσειν καὶ ἐκμάσσεσθαι, τὸ ἀποσπογγίζειν, μάλιστα δὲ τὸ ἔκτινος τύπου αἴρειν τινά. ὅθεν καὶ ἐκμαγεῖον κατὰ τοὺς παλαιοὺς, τὸ ἀποτύπωμα, σφραγὶς, εἰκών. τὸ δ' αὐτὸ, καὶ ἔκμαγμα. ἐκ δὲ τοῦ τοιούτου μάσσειν, καὶ ἀπομάγματα, καὶ ἀπόμακτρα, τὰ ἀποκαθάρματα. καὶ μαγδαλιὰ παρὰ τῷ Κωμικῷ, παρὰ δὲ ἄλλοις ἀπομαγδαλιά. καὶ ἀπομαγδαλὶς, ψωμὸς εἰς ὃν ἐκματτόμενοι τὰς χεῖρας μετὰ τὸ δεῖπνον, ἐρρίπτουν κυσί. Παυσανίας δέ φησιν, ὅτι ἀπομαγδαλιά ἐστι σταὶς, ὃ ἔφερον ἐπὶ τὸ δεῖπνον, εἰς ὃ τὰς χεῖρας ἀποματτόμενοι, εἶτα τοῖς κυσὶν ἔβαλλον.

* Ἀπομάξασθαι, ἀποψήσασθαι. τὸ δὲ ἐκμαγεῖον, καὶ χειρόμακτρον ἂν προσείποις.

Ἀποματαιάσαι, ἐξευτελίσαι.

Ἀπομάττεσθαι, ἀναλαβεῖν, μιμεῖσθαι, καὶ ἀποτυποῦν.

Ἀπομάττεται, ἀποτυποῖ.

Ἀπομάττων, οἱ μὲν ἁπλοϊκώτερον ἀκούουσιν, ἀντὶ τοῦ ἀποψῶν καὶ ἀπολυμαινόμενος. ἄλλοι δὲ περιεργότερον, οἷον, περιπλάττων τὸν πηλὸν, καὶ τὰ πίτυρα τοῖς τελουμένοις. ὡς λέγομεν ἀπομάττεσθαι τὸν ἀνδριάντα τῷ πηλῷ. ἤλειφον γὰρ τῷ πηλῷ, καὶ τῷ πιτύρῳ, τοὺς μυουμένους, ἐκμιμούμενοι τὰ μυθολογούμενα παρ' ἐνίοις, ὡς ἄρα οἱ Τιτᾶνες τὸν Διόνυσον ἐλυμήναντο, καταπλασάμενοι ἐπὶ τῷ μὴ γνώριμοι γενέσθαι. τοῦτο μὲν τὸ ἔθος ἐκλείπειν, πηλῷ δὲ ὕστερον ἀναπλάττεσθαι νομίμου χάριν. Σοφοκλῆς ἐν αἰχμαλώτισιν, ἐρατοῦ καθαρτὴς, καὶ ἀπὸ πραγμάτων ἴδρις.

Ἀπομάχομαι, δοκιμώτερον λέγειν, ἢ μάχομαι. καὶ ἀποκνῶ, ἢ ὀκνῶ.

Ἀποδειλιῶ, ἢ δειλιῶ.

Ἀπόμαχος, ὁ ἐκτὸς τοῦ πολέμου γεγονώς.

Ἀπομερμηρίσαι παρὰ τοῖς παλαιοῖς, τὸ ἀποδαρθεῖν, ὡς τοῦ κοιμωμένου μηδὲν μεριμνῶντος, εἰ δέ τις τόλμαν ἴσχει θεῖναι τὸ ἀπομερμηρίζειν καὶ ἐπὶ τοῦ θανεῖν, ἀσφαλῶς ἂν ἐτόλμησεν. ἐπεὶ καὶ ἡ κοινὴ γλῶσσα ἐντεῦθεν ἴσως λαβοῦσα, λέγει ἀπομεριμνεῖν τὸ θνήσκειν. Ἄλλως.

Ἀπομερμηρίσαι. μέρμηρα, ἡ εἰς ὕπνον καταφορὰ περὶ τὴν ἕω. λέγεται δὲ μέρμηρα καὶ φροντίς· ἐκ δὲ τούτου, τὸ καθευδῆσαι. οἱ γὰρ καθεύδοντες ἀποτίθενται τὰς φροντίδας. καὶ πρὸς τὸν ὄρθρον δὲ γίνεταί τις ὕπνος ἐν ταῖς ἐπιστάσεσιν ἐλαφρὸς, ὃν τούτῳ τῷ ὀνόματι καλοῦσιν.

Ἀπομηνύειν, τὴν μήνυσιν ἀπαγγέλλειν.

Ἀπομηνίζω, περιττὴν ἔχει τὴν ἀπὸ πρόθεσιν, ὃ καὶ ἐπ' ἄλλων μυρίων γίνεται. καὶ ἔστι μέντοι τὸ ἀπομηνίσαι, καὶ τὸ ἀποθέσθαι μῆνιν.

Ἀπομηνίσας, ὀργισθείς. μηνίω, ίσω, ἐμήνισα, μηνίσας, καὶ ἀπομηνίσας. καὶ ἀπομηνίσας, ἀποχωρίσας διὰ ὀργὴν, ἢ παυσάμενος τῆς ὀργῆς.

Ἀπομηνίσει, ἢ περιττὴν ἔχει τὴν πρόθεσιν, ἢ κυρίως ἀπομηνίσαι, τὸ ἀποθέσθαι μῆνιν. ἀλλ' ἐκεῖνο μὲν τὸ ἀπομηνίσας Ἀγαμέμνονι, τὴν ἐπιμονὴν δηλοῖ τῆς μήνιδος. κεῖται γὰρ ἡ ἀπὸ πρόθεσις ἀργή, ὡς καὶ ὅτε τις λέγει ἀπομνημονεύειν χάριτος, ἐξ οὗ τὸ ἀπομνημόνευμα. οὕτω δὲ καὶ τὸ ἀπειπεῖν ἀδιάφορον, πρὸς τὸ εἰπεῖν. καὶ τὸ ἄνδρα ἀπαμύνεσθαι, ἀντὶ τοῦ ἀμύνασθαι. ὅμοιον καὶ τὸ ἀπέχεσθαι. περιττὴ δὲ ὁμοίως ἡ πρόθεσις, καὶ ἐν τῷ ἀπ' οὐρανόθεν, καὶ ἀπὸ νόσφι.

Ἀπόμισθοι, οἱ μισθὸν μὴ λαμβάνοντες, Δημοσθένης Φιλιππικοῖς.

Ἀπόμισθος, ἄμισθος. ἢ ὁ μισθοῦ ἔργον τι διαπραξάμενος. καὶ ἄμισθος, ἀφειμένος.

Ἀπομισθώματα τὰς δημοσίας οὐσίας οἱ Ἀττικοὶ ἔλεγον.

Ἀπομνύμενοι, ἀποβάλλοντες δι' ὅρκων.

Ἀπομυλλώας, προβαλὼν τὰ χείλη συνημμένως παρὰ τῷ Ἱπποκράτει.

Ἀπομνημονεύω, ἀντὶ τοῦ μνείαν ἔχω τινὸς, γενικῇ συντάσσεται.

Ἀπομνημονεύω δὲ, ἀντὶ τοῦ ἀπορρίπτω τῆς μνήμης, αἰτιατικῇ.

Ἀπόμοιρα, μέρος, κλῆρος. καὶ ἀπόμοιρα, τὸ ἀπὸ τῶν οἰκείων κτημάτων ἀφιερωθὲν εἰς ἐκκλησίαν, ἢ εἰς μοναστήρια, ἢ εἰς γηροκομεῖα.

Ἀπομόργματα, σφραγίδων ἐκτυπώματα.

Ἀπομόργνυσθαι, οὐκ ἐπὶ δακρύων μόνον, ἢ ὅλως ὑγρῶν, ἀλλ' ἰδοὺ παρ' Ὁμήρῳ οἱ ἥρωες ἀπωμόρξαντο, ταυτὸν δὲ εἰπεῖν ἀπεψήσαντο κονίην, ἣ ἐμιάνθησαν. ὅθεν καὶ παροιμία ἐκ τῶν παλαιόντων ἐφ' οἷς ἔπταισαν, τὸ, τὴν κονίην ἀποψησάμενος ἠγωνίζετο.

Ἀπομόρξατο, ἀπομόργνυμαι ἐνεστὼς, ἀπομόρξομαι μέλλων ἑτεροκλίτως, ἀπομορξάμην ἀόριστος ἀναύξητος, κατὰ Ἴωνας, τὸ τρίτον ἀπομόρξατο. λέγεται ἐπὶ τοῦ ἐκθλίβειν τινὰ, καὶ ἀπορρίπτειν τι ἀφ' ἑαυτοῦ. Ἄλλως.

Ἀπομόρξατο, ἐκ τοῦ μόργω ῥήματος γίνεται, ὅπερ κατὰ ὁμοιότητα τοῦ ἄχνυμαι, προσλήψει τοῦ ν, γίνεται μόργνω, ἐξ οὗ μοργνύω, ἀφ' οὗ μόργνυμι, ἐξ οὗ ἀπομόργνυται, καὶ τὰ ὅμοια. ἐκ δὲ τοῦ μόργω, γίνεται σύνθετον ἀπομόργω, ἐξ οὗ τὸ ἀπόμοργμα. τὸ δὲ μόργω, ἐκ τοῦ ἀμέργω, τὸ πιέζω, κατὰ τοὺς παλαιοὺς, ἐξ οὗ ἀμόργη, ἡ τοῦ ἐλαίου ὑποστάθμη. καὶ τὸ ἀμέλγω, κατ' ἐναλλαγὴν ἀμεταβόλου τοῦ ρ εἰς ἀμετάβολον τὸ λ, ὡς ποδαργία ποδαλγία, κεφαλαργία κεφαλαλγία. εἴη ἂν οὖν ἀπομόργεσθαι καὶ ἀπομόργνυσθαι κυρίως, τὸ ἐκπιέζειν. ὅθεν ἀπεμόρξατο δάκρυον, ἀντὶ τοῦ ἔκθλιψε, ἐξ οὗ ἐκπιέσας ἀπήγαγε τοῦ ὀφθαλμοῦ. τοῦ δὲ μόργω καὶ μόργνυμι, κοινότερον ἐκ πλεονασμοῦ τοῦ παρὰ τοῖς μεθ' Ὅμηρον, τὸ ὀμόργω, καὶ ὀμόργνυμι.

Ἀπομορξάμενοι, ἀπαμαξάμενοι.

Ἀποπόμπιμοι, αἱ ἀποφράδες ἡμέραι.

Ἀπομόσαι, καὶ κατομόσαι, τὸ μὲν ἀρνητικὸν, τὸ δὲ καταφατικόν.

Ἀπομυρίζω, ἀποστομίζω.

Ἀπομυίος, οὕτως ὁ Ζεὺς παρὰ τοῖς Ἠλείοις τιμᾶται, Ἡρακλέους ἱδρυσαμένου ἐπὶ ἀποτροπῇ τῶν μυιῶν.

Ἀπομυξίαι, ἀκαθαρσίαι.

Ἀπομύττειν, ἐξαπατᾶν, γοητεύειν.

* Ἀπέμυττε, ὕλιζε τὰς ῥῖνας ἔφη Κρατῖνος.

Ἀπομώμοκα, ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς γυναῖκα πεποίηκα.

Ἀπὸν, ἀπρεπές. σημαίνει καὶ τὸ μὴ παρόν.

Ἀπόναιο, ἐπαύραιο, ὄναιο.

Ἀποναίατο, ὀνάω, ῶ, τὸ ὠφελῶ. ὁ μέλλων ὀνήσω, ὁ ἀόριστος ὤνησα, ἡ μετοχὴ ὁ ὀνήσας τοῦ ὀνήσαντος, καὶ τὸ εὐκτικὸν ὀνήσαιμι, καὶ συγκοπῇ ὄναιμι, καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀπόναιμι, καὶ τὸ παθητικὸν τρίτον πρόσωπον, ὄναιντο καὶ ἀπόναιντο, καὶ Ἰωνικῶς κατὰ τροπὴν τοῦ ν εἰς α, ἀποναίατο.

Ἀποναρκήσαντες, ὀκνήσαντες.

Ἀπόνασθαι, ἀπολαῦσαι, κατατρυφᾶν, ἢ ὠφελεῖσθαι.

Ἀπονάσωσι κούρην παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀποστρέψωσιν. ὡς ἐκ τοῦ νῶ, οὗ ἐντελὲς τὸ νέω, ἐξ οὗ ὁ νόστος. ποιητικὴ δὲ ἡ λέξις. ὅθεν καὶ ἐπὶ μετοικίας τὸ νάσασθαι, καὶ ἀπονάσασθαι, καὶ ὁ μετανάστης.

Ἀπονέεσθαι, ταυτόν ἐστι τῷ ἀπονοστῆσαι. ἀπὸ γὰρ τοῦ νέω τούτου ῥήματος, ὁ νόστος γίνεται, καιρία λέξις ἐν ποιήσει. καὶ ἀπονέεσθαι, ἢ ὑστερῆσαι σημαίνει, ἢ ἀποθανεῖν, ἢ ἀποκομίζεσθαι, ἢ ἐπανελθεῖν.

Ἀπονέεται, ἀποστρέφεται.

Ἀπόνειμαι, ἄποδος.

Ἀπονέμετο, ἀντὶ τοῦ ἀποκεκλήρωτο.

Ἀπονέμετο, παρέχει, δίδωσιν.

Ἀπονέμω, οἱονεὶ τάσσω καὶ ὁρίζω, ὡς τὸ ἀπένειμεν ὁ θεὸς τῇ ἡμέρᾳ τὸν ἥλιον, καὶ τῇ νυκτὶ τὴν σελήνην.

Ἀπονέοντο, ἀπήρχοντο.

Ἀπονεύειν, ἐκκλίνειν, τρέπεσθαι.

Ἀπονευρούμενος, τὰ νεῦρα κοπτόμενος.

* Ἀπονενοῆσθαι τὸ παρανοεῖν.

Ἀπονήμενος τιμῆς ἐν Ὀδυσσείας ω̄ ἧσπερ ἄνασσες, εἴρηται, ἀντὶ τοῦ κερδήσας, καὶ ὄνησίν τινα ἔχων, τῆς βασιλείας δι' ἧς ἄνασσες, ἢ ἧς ἕνεκεν ἄνασσες. οὐ γὰρ τιμῆς ἀνάσσει τὶς, ἀλλὰ χάριν, ἢ ἕνεκεν τιμῆς. καὶ ἀπονημένος, ὄνησιν εἰληφώς.

Ἀπονησαμένη, ἀποσωρεύσασα.

Ἀπονήσασθαι, ἀφίξεσθαι.

Ἀπονήσεται, ὄνησιν λήψεται.

Ἀπονηστίσασθαι, τὸ ἀπὸ νηστείας ἐπὶ πρώτην ἐλθεῖν.

Ἀπόνητο οὐδὲν πατὴρ ἐξ ἐμοῦ, ἤγουν ὠφελήθη, ὡς εἰκὸς ὠφελεῖσθαι πατέρας ὑπὸ τέκνων. καὶ ἀπόνητο, συνήθες τοῖς παλαιοῖς. τὸ δὲ ἀπώνετο καὶ ἀπονάμενος, οἱ μεθ' Ὅμηρον λέγουσιν.

Ἀπονητὶ, ἄνευ πόνου, ἀπνευστὶ, ἀνιδρωτὶ, ἀκμητὶ, ἀμεταστρεπτί.

Ἀπονίζεσθαι, ὃ καὶ νίπτεσθαι λέγεται, ὡς δηλοῖ τὸ νίψειν ἀπὸ χρωτός. φασὶν οἱ παλαιοὶ ὡς οἱ Ταραντῖνοι, τὰ εἰς ζω λήγοντα ῥήματα βαρύτονα, διὰ δύο σσ προφέρουσιν. οἷον, σαλπίζω σαλπίσσω, λακτίζω λακτίσσω, φράζω φράσσω. ὁ καὶ Κόριννα φράττω λέγει Βοιωτικῶς. πάλιν δὲ τὰ παρ' ἡμῖν διὰ δύο σσ, αὐτοὶ διὰ τοῦ ζ προφέρουσι, τὸ πλάζω πλάσσω λέγοντες, καὶ τὸ ἀνάσσω ἀνάζω. καὶ τὸ νίπτω οὖν παρ' Αἰολεῦσι νίσσω λεγόμενον, ὡς πέπτω πέσσω, οἱ Ταραντῖνοι, μεταθέσει τῶν δύο σσ εἰς ζ νίζω λέγουσιν.

Ἀπονίνησι, τὴν τιμὴν ἀποδίδωσιν.

Ἀπονιπτόμενοι, τοὺς πόδας ἐλαίῳ ἠλείφοντο οἱ παλαιοί. Ὅμηρος, Εὐρύκλεια οὖν τὴν δεσπότιν ἔνιψε, καὶ ἤλειψε λίπ' ἐλαίῳ, ἐν Ὀδυσσείας τ̄.

Ἀπόνιπτρον ἐκάλουν, τὸ τῶν χειρῶν καὶ τῶν ποδῶν ἀπόνιμμα. ἐν ᾧ τρόπῳ, καὶ χερόνιπτρον λέγομεν.

Ἀπο-

Digitized by Google

Ἀπονομή, ἡ ἀπόμοιρα, ἀπομερισμός.

Ἀπόνυμφον, τὴν φιλόπαιδα, καὶ γυναικείᾳ ὁμιλίᾳ δυσχεραίνοντα, ὃν καὶ μισογύνην ἐρεῖς, ὡς τὸν ἐναντίον, φιλογύνην.

Ἀπόνοια, ἡ χωρίζουσα τοῦ δέοντος, καὶ ἀποστασίαν ποιοῦσα τοῦ νοῦ. καὶ ἀπόνοια, ἄνοια, ὕβρις. σημαίνει δὲ δύο, τὴν ὑπερηφανίαν, καὶ τὴν θρασύτητα. καὶ γίνεται παρὰ τὸ ἄποθεν εἶναι τὸν νοῦν. καὶ θρασύτης ἐστὶν, ἡ ἄλογος τόλμα, ἡ ἀπὸ πρόθεσις χωρισμὸν δηλοῖ.

Ἀπόνημον, ἀπογύμνασιν.

Ἀπονοσφίζεσθαι, χωρίζεσθαι.

Ἀπονοσφισθέντες, ἀποχωρισθέντες.

Ἀπονόσφιν, πλεονασμὸν ἔχει τῆς προθέσεως, ὡς καὶ ἐπὶ τῶν ἄλλων γίνεται.

Ἀπονοστήσῃ, ἐπανελεύσεται, ἀποκομίσῃ, ἐπανέλθῃ, ἀποστρέψῃ.

Ἀπονοστήσω, ἀπονοσφίσομαι.

* Ἄπονον τὸ ἄνοσον καὶ ἀνόσητον.

Ἀπονούμενοι, οὐ μνημονεύοντες.

Ἀπ' ὄνου καταπεσών, ἀπὸ τύμβου πεσών. καὶ Εὔπολις, ὥσπερ ἀπ' ὄχθου πεσών, οἷον, ἀπ' ὄνου.

Ἀπονυχίζειν, τὸ τὰς ὑπεραυξήσεις τῶν ὀνύχων ἀφαιρεῖν σημαίνει.

Ἀπονυχιῶ σου τὴν πρυτανείῳ σιτία, Ἀριστοφάνης, ἀφαιρήσομαι, ἀποφράξω, ἀποκλείσω, ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων.

Ἀποξανᾶν, κακοπαθεῖν.

* Ἀποξενωθῆναι, Ἰσαῖος καλεῖ τὸ ξενίας ἁλῶναι, ξενίας ἀποφυγεῖν.

Ἀποξίννυται, ἀποσβέννυται.

Ἀποξιφίζειν, ὀρχεῖσθαι ποιὰν ὄρχησιν. ὁ γὰρ ξιφισμὸς σχῆμα ἐμμελείας τῆς τραγικῆς ὀρχήσεως.

Ἀποξίφισται, ἀποδεδοκίμασται.

Ἀποξύσας, ἀφελών.

Ἀποξυστροῦνται, ἐπικάμπτονται, ἐπιστρέφονται.

Ἀποξύονται, ἀποτίθενται.

Ἀποξυνοῦσιν ἐρετμά, δύνανται μὲν ταὐτὸ τῷ λεπτύνουσιν, ἢ ἀποξύουσιν.

Ἀπόπαλαι καὶ ἔκπαλαι, ἀμφοῖν δυσχεραίνω, ἐκ παλαιοῦ χρὴ λέγειν.

Ἀποπαλήσιος, ἀπὸ πάλσεως, παρὰ τῷ Ἱπποκράτει.

Ἀποπαλώσει, ἀποπαλαιώσει, καὶ ἀποκρύσεται.

Ἀπόπαξ, ξύμπαν, ἢ σύμπαν.

Ἀποπαρδακᾶ, τοῦτο εἴρηται παρὰ τὸ ἀποπαρδεῖν.

Ἀποπατεῖν, καὶ ἐκκρίνειν, τὸ τὰ περιττὰ τῆς γαστρὸς ὑπάγειν, ἤγουν τὸ χέζειν, ὅθεν ἀπόπατημα, τὸ χεζόμενον.

Ἀποπατῆσαι, ἀποσκεδάσασθαι, ταὐτὸ σημαίνει τῷ χέσαι, ὅθεν καὶ χέσας. καὶ τὸ ἀποσκεδαζόμενον ἀνθρώπου, κόπρος, σκώρ, ἀφ' οὗ τὰς πλαγίας οὐ λέγουσιν, ἀλλ' ἀντ' αὐτῶν, τοῦ σκατὸς, καὶ τῷ σκατί. ὧν τὴν ὀνομαστικὴν οὐκ ἐκφέρουσι. λέγουσι δὲ καὶ σπίλον, καὶ πέλεθον. καὶ σπατίλην, τὴν ἵππου κόπρον φασί. βοὸς δὲ, βόλιτον. ὄνου, ὀνίδα, καὶ ὄνθον. Ὅμηρος δὲ, ὄνθον βοῶν. χοίρου, ὑπέλεθον. προβάτων, οἴσπωτον. αἰγῶν, σπυράδα. καὶ σπυράθιαν, καὶ σπύραθον, καὶ σπύρδακα. καὶ μυῶν, μυσχέλεδρα.

Ἀπόπατον, καὶ κοπρῶνα λέγουσιν

* Ἀποπάτου ἀναγκαῖα ταῦτα, λάσανα, ἀμὶς, ἐνουρήθρα

Ἀπόπατοι λέγονται, τῆς ἐκδεδιητημένης τροφῆς ἡ ἄφοδος, παρὰ τὸ ἐκτρέπεσθαι τῆς ὁδοῦ, πάτος γὰρ ἡ κοινὴ ὁδός. καὶ Ὅμηρος, Πάτον ἀνθρώπων ἀλεείνων.

Ἀπὸ πατρὶ φίλῳ δόμεναι, ἀποδοῦναι τῷ προσφιλεστάτῳ πατρί

Ἀπὸ πατρὸς ἀμαρτών, ἀμοιρήσας ἢ ἀποτυχὼν τοῦ πατρός.

Ἀποπατταίνουσι, περιβλέπουσιν ὅπως φύγωσιν.

Ἀποπεζεύεται, ἀποκλείει, ἀποφυλάττει.

Ἀποπεῖν, ἀπελθεῖν.

Ἀπόπειρα, δοκιμασία.

Ἀποπειρῶμαι, γενικῇ συντάσσεται. οἷον ἀποπειρῶ τῆς φιλίας ἐκείνου.

Ἀποπομπαῖος, ὁ ἀπογραφεὶς ἄπρακτος, καὶ ὁ κεκαθαρμένος.

Ἀποπέμπομαι, ἀποδιοπομποῦμαι, ἀποκρούομαι.

Ἀποπέμποντες, περαιοῦντες.

Ἀπόπεμπτοι, οἱ ἄξιοι ἀποπεμφθῆναι, διὰ μοχθηρίαν ἤθους.

Ἀποπέμπω, τὸ ἀποδιώκω, καὶ ἀπελαύνω, αἰτιατικῇ συντάσσεται.

Ἀποπέμπω, καὶ τὸ ἀποστέλλω. ἤγουν ἀπὸ τοῦ ἐνταῦθα ἑτέρωσε πέμπω. ἐκ τούτου ἡ πομπή. καὶ ἀποπέμπω, τὸ ἀπολύω.

Ἀπὸ πεντόζοιο, ἀπὸ πενταχλάδου, Ἡσίοδος, Μὴ δ' ἀπὸ πεντόζοιο αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ. πεντάκλαδος ἡ χείρ, ὥστε μὴ ὀνυχίσῃς φησὶν ἐν ἑορτῇ ξηρὸν ὄνυχα. χλωρὸν δὲ, τὸ ζωτικὸν αἷμα. ἀσεβὲς γὰρ τὸ ὀνυχίζεσθαι ἐν ἑορτῇ θεῶν. κλίνεται δὲ, ἡ πέντοζος τῆς πεντόζου.

Ἀποπέπεικται, ἀποκέκαρται.

Ἀποπεπόνηκας, τῶν πόνων ἔληξας.

Ἀποπερατοῦσαν, συμπεραίνουσαν, συμπληροῦσαν.

Ἀποπερανῶ, ἀποπληρώσω, ἀποτελέσω.

Ἀποπεφάνθαι, ἀποδειχθῆναι.

Ἀποπεφασμένου, ἀπειρημένου, ἢ ἀντὶ τοῦ ἀποδεδειγμένου, καὶ πεφανερωμένου.

Ἀποπεφασμένως, φανερῶς.

Ἀποπεφοίτηκεν, ἀπῆλθεν, ἀπεδήμει.

Ἀποπεφυκέναι, ἀλλοτρίας φύσεως εἶναι.

Ἀποπλαγχθεὶς, ἀποπληγεὶς, ἀποτμηθείς.

Ἀποπλαγχθῆναι, ἐρρέθη τὸ πόρρω πεσεῖν τοῦ οἰκείου τόπου καὶ ἐκτιναχθῆναι, καθὰ Ὅμηρος λέγει ἐπὶ οἰστοῦ, τὸ ἀποπλαγχθείς.

Ἀπόπλανοι, κακοὶ, γόητες.

Ἀποπλάξαντες, ἀποπλανήσαντες.

Ἀποπλασθεῖσα, ἀποκρυθεῖσα.

Ἀποπλέειν, πλέειν.

Ἀπόπληκτον, θαυμαστὸν, ἀναίσθητον.

Ἀπόπληκτος, ὁ πεπονθὼς, ὁ ἠλίθιος. ἔμπληκτος δὲ, ὁ ἀμετάβολος καὶ φορᾶς μεστός.

Ἀποπλήκτῳ, ᾧ οὐκ ἄν τις ἑκὼν προσπελάσειεν, οἷον μοχθηρῷ. καὶ ἀποπλήκτῳ ποδὶ, μανιώδει. Σοφοκλῆς, Θυέστῃ Σικυωνίῳ.

Ἀποπληξία, τὸ μετὰ ἀναισθησίας, καὶ παρέσεως πάθος. καὶ ἀποπληξία, θλίψις, μανία, ἄνοια. ἢ πλῆθος ἰχῶρός τε, καὶ πνεύματος, ἐπισχόντος τὴν ἀναπνοήν.

Ἀποπλοκίαι, ἐμπλοκαὶ, Λακώνων.

Ἀπόπλοον, τὸ μηκέτι πρὸς πλοῦν ἐπιτήδειον ὂν πλοῖον.

* Ἀποπλύνειν, καὶ διαπλύνειν τὸ φαιδρύνειν.

Ἀποπνείων, ἀποπνέων.

Ἀποπνέω, γενικῇ συντάσσεται, οἷον, ἀκράτου ἔωθεν ἀποπνέων.

Ἀποπνιγήσομαι ὑπὸ τοῦ καπνοῦ. ἐκ τοῦ ἀποπνίγω, μέλλων δεύτερος παθητικός.

Ἀποπνεῖται, ἀντὶ τοῦ ἀρνεῖται. Μάξιμος, καὶ τὰ μὲν ἄλλα ἅπαντα ἀποπνεῖται εἰδέναι.

Ἀποπομπαῖος, ὁ χίμαρος, ὁ τράγος. καὶ ἀποπομπαῖοι, θεοί τινες οὕτως ἐκαλοῦντο. καὶ ἀποπομπὴ, ἀντὶ τοῦ ἀποτροπή.

Ἀποπομπάς. Ἰσοκράτης, Φιλίππῳ ἀποπομπαῖοί τινες ἐκαλοῦντο θεοὶ, περὶ ὧν Ἀπολλόδωρος ἐν ἕκτῳ περὶ θεῶν διείλεκται. καὶ ἀποπομπαὶ ἡμέραι τινὲς, ἐν αἷς θυσίαι ἐτελοῦντο τοῖς πομπαίοις θεοῖς.

Ἀποπομπεῖν, τὸ ἀποπέμψασθαι, καὶ ἀποκαθήρασθαι.

Ἀποπορεία, ἡ ἐπαναχώρησις, ἡ ἀποστροφὴ, ἡ ἐπάνοδος. Ἐπιταχῦναι τὴν ἀποπορείαν.

Ἀποπορευτέα, ἀγαθὰ, τιγαροῦν ἀποπορευτέα αὐτῷ δοκεῖ.

Ἀποπορευτέον, ἀντὶ τοῦ ἐπανακτέον, ὑποστρεπτέον.

Ἀποπρεσβεύει, ἀπαγγέλλει πρεσβείαν.

Ἀποπρίω, ἀντὶ τοῦ ὤνησαι, καὶ ἀπόδος.

Ἀπὸ προελών, ταὐτόν ἐστι τῷ ἀπὸ ποταμῶν, ὃ ἀλλαχοῦ κεῖται παρ' Ὁμήρῳ.

Ἀπόπροθι, τηπέσιν ἄποθεν.

Ἀπόπροθι, χωρὶς, μακράν.

Ἀποπροσποιεῖσθαι, οὐδεὶς λέγει Ἕλλην, οὐ μέντοι οὐδ' οὕτω λέγουσιν, οἷον προσποιεῖται μὴ ἀκούειν.

Ἀποπροσωπίζεσθαι, ἀπονίπτεσθαι, ἰσοπτρίζεσθαι, τὸ πρόσωπον ἐκμαλάσσεσθαι.

* Ἀποπροσωπίζεσθαι. τὸ καθαίρειν πρόσωπον. εἶπε Φερεκράτης, οὐ δὲ ἀποπροσωπίζεσθαι κυάμοις.

Ἀποπταίη, πετασθῇ, ἀπέλθῃ.

Ἀποπτάμενος. ἵπταμαι ἐνεστὼς, ἱπτάμην παρατατικὸς, πτώσομαι μέλλων, ἔπτην ἀόριστος δεύτερος, ὁ μέσος, ἐπτάμην. ἀφ' οὗ μετοχὴ, ὁ πτάμενος, καὶ μετὰ τῆς ἀπὸ, ἀποπτάμενος, ὁ ἀποπτάς.

Ἀποπτανοῦσιν, ἢ ἀπὸ τοῦ ὄπτω ὀπταίνω, ἀντὶ τοῦ ἀποβλέπουσιν. ἢ ἀπὸ τοῦ πτῶ πταίνω τὸ φοβοῦμαι, ἵνα δηλοῖ τὸ πτήξουσιν. ἢ ἀπὸ τοῦ πέτω, πτῶ, πταίνω. ταυτέστι πετασθήσονται φεύγοντες.

Ἀποπτερύσσεται, ἀποτινάσσεται τὰ πτερὰ, ἢ πταίρνυται.

Ἀποπτόλιος, ὁ ἀπὸ τῆς πόλεως.

Ἀπόπτολις, ἔρημος, ἄπολις.

Ἄποπτον λέγεται, ἀφ' οὗ τις δύναται ἰδεῖν μακράν. καὶ ἄποπτον, τὸ ἀθέατον. ἀθέατος δὲ, ὅστις οὐδὲν ἐθεάσατο. ὡς τὸ, Ὦ οἵας πομπῆς, ἀθέατος ἔμεινα.

Ἄποπτος, ὁ ἄνωθεν καὶ ἔξω τῆς ὄψεως, ἢ ἀσφαλὴς, βέβαιος.

Ἀποπτύει, καὶ διαπτύει τὸν χαλινὸν ὁ ἵππος, αἰτιατικῇ· προσπτύει δὲ, δοτικῇ. καταπτύει δὲ τοῦ χόρτου, γενικῇ.

Ἀποπτύσαι, ἀπομύξασθαι.

Ἀπόπτυστον, ἀπόρριπτον, ἀπόβλητον, κατάπτυστον, ἔκβλητον.

Ἀπόπτυστον, μισητόν.

Ἀποπτύω, ἀπὸ τοῦ πέτω πετύω, καὶ συγκοπῇ πτύω, τὸ ἀποπεταννύμενον.

Ἀποπυρίας ἄρτος, ὁ ἐπ' ἀνθράκων πυρώμενος.

Ἀποπυρίζων, ἀπὸ πυρὸς ἐσθίων.

Ἀπορέγει, προτείνει, παρὰ τῷ Ἱπποκράτει.

Ἀπορεῖ, ἀδημονεῖ, ἀγωνιᾷ.

Ἀπορηματικὰ πάντα, ἤγουν ἀπορίαν ἔχοντα, μετὰ ὑποτακτικοῦ λέγεται. οἷον, ὦ Ζεῦ τί χρήσωμαι, τίς γένωμαι, καὶ ποῖ τράπωμαι.

Ἀπορῆσαι, ἀφορῆσαι.

Ἀπόρθητοι, ἀνέριστοι, ἀναιχμάλωτοι.

Ἀπ' ὀρθίου, ἐπὶ ὑψηλοῦ.

* Ἀπορεῖν, πτωχεύειν, μισθαρνεῖν, θητεύειν, ἀγείρειν, προσαιτεῖν.

Ἀπορία, ἀγνωσία, ἢ ἡ καθ' ὑπεροχὴν ἑτέρου ἀσθενείας ὕπαρξις.

Ἀπορνύμενοι, ὁρμῶντες.

Ἀπόροις, ἀμηχάνοις.

Ἄπορον λέγεται, οὗ πόρον καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν.

* Ἀπορία, ἀλογία, ἀφωνία, ἀγλωττία, ἀδυναμία, ἀδυνασία.

Ἄπορος χώρα, ἀπόρευτος. καὶ ἄπορος, ἀχρήματος, ἀκτήμων.

Ἄκληρος, πένης, ταὐτὸν καὶ ἐνδεῶς πράττων, ἀπόρως πράττων, ἐν πενίᾳ καθεστηκὼς, σπανίζων, ἐξ ὧν πενία, ἀκληρία, ἀπορία, ἀχρημοσύνη, ἀχρηματία, ἀκτημοσύνη, σπάνις, ἔνδεια, ἐπίληψις.

Ἄπορος κυρίως, ὁ ἀδιόδευτος. πόρος γὰρ, ὁ περάσιμος τόπος.

Ἀπορούμενοι, πενόμενοι.

Ἀποροῦντες, ἀμηχανοῦντες.

Ἀποροῦντι, ἐρωτῶντι. ἀποροῦντι δὲ αὐτῷ τίνι μηχανῇ ἀνεβίω; τὴν δὲ φάναι.

Ἀπόρουσε, κεῖται ἐν Ὀδυσσείας χ, ἀντὶ τοῦ ἔφυγε. καὶ ἀπόρουσεν, ἀφείλετο.

Ἀπορραγοὶ, οἱ καθαρμοί.

Ἀπορραγεὶς, ἀποκοπείς.

Ἀπορράγειν, τὸ ἐκ πολλῶν ὀλίγα διδόναι.

Ἀπορραίσει κτήματα, δηλοῖ τὸ φθερεῖ δαπανήσας. γίνεται δὲ, ἀπὸ τοῦ ῥῶ ῥαίω, ἀφ' οὗ καὶ ῥαιστὴρ, ἡ σφῦρα.

Ἀπορραίω, τὸ ἀποχέω.

Ἀπόρραξιν, παιδιὰν διὰ σφαίρας. * καθ' ἣν ἔδει τὴν σφαῖραν εὐτόνως πρὸς τὸ ἔδαφος ῥίψαντα, ὑποδεξάμενον τὸ πήδημα τῆς σφαίρας, τῇ χειρὶ πάλιν ἀντιπέμψαι, καὶ τὸ πλῆθος τῶν πηδημάτων ἠριθμεῖτο.

Ἀπορρὰξ, ἀπορρῶγα, ἀπόσπασμα, ἀπότμημα.

Ἀπορράσαι, ἀφελέσθαι, κύειν.

Ἀπορρέξαντες, ἀπομερίσαντες, ἀπόμοιραν δόντες.

Digitized by Google

Ἀπόρρημα, ἀπαγόρευσις.

Ἀπορρῆξαι, τὴν ψυχὴν ἐκπνεῦσαι.

Ἀπορρήξας, ἀτιμάσας.

Ἀπορρησία, ἀντὶ τοῦ ἀπορία. οὕτως Εὔβουλος.

Ἀπόρρησις, ἡ ἀπαγόρευσις. ὁ δὲ οὐκ ἤνεγκε τὴν ἀπόρρησιν, ἀλλὰ θυμοῦ πληρωθεὶς ἔφη. σημαίνει δὲ καὶ τὴν ἀποκήρυξιν.

* Ἀπόρρησις, ἀνάρρησις καὶ διάρρησις καὶ πρόρρησις. καὶ ἀρρησία παρ' Ἀντιφῶντι ἡ σιωπή.

Ἀπορρήσσομαι, ἀπορρήξομαι, ἀπέρρωγα, ἀπερράγην.

Ἀπόρρητα, τὰ ἀπειρημένα ἐν τοῖς νόμοις, ἀκατάληπτα, ἀπόκρυφα, ἀνεκλάλητα.

Ἀπόρρητον, ἄφραστον, μὴ δυνάμενον ῥηθῆναι.

* Ἀπόρρητα, σιωπῆς ἄξια, ἀφθεγκτα, ἀνέκφορα, λανθάνοντα.

Ἀπόρρητος δυσμορφία, ἡ μεγάλη.

Ἀπορρήτους, ἀπηγορευμένους. καὶ ἀπορρήτως, ἀφράστως.

Ἀπορριπτεῖ, ἀποβάλλει.

Ἀπορρίψας, ἀποκόψας.

Ἀπορροή, τὸ κατὰ ἀποκοπὴν ῥέον, ἡ ὁ λεγόμενος σταλαγμὸς, ὃ ποιητικῶς ἀπορρὼξ λέγεται. Ὅμηρος, Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ.

Ἀπορρούς, στάγων.

Ἀπόρροια, ἡ ἀπορροὴ τοῦ ὕδατος.

Ἄπορρον, πάλιν.

Ἀπορρύει, ἀπορρύπτει, ἀπονίπτει. καὶ ἀπορρυήσεται, ἀντὶ τοῦ ἀποπεσεῖται.

Ἀπορρυήσεται, ῥέω, καὶ πλεονασμῷ τοῦ υ ῥεύω. ὁ μέλλων, ῥεύσω. ὁ ἀόριστος, ἔρρευσα. ὁ δεύτερος ἀόριστος, ἔρρυον. ὁ παθητικὸς, ἐρρύην, ης, η. ὁ μέλλων, ῥυήσομαι, σῃ, σεται, καὶ ἀπορρυήσεται.

Ἀπορρυπαλίξαι, ἀποσπάσαι.

Ἀπορρυφθείς, ἀντὶ τοῦ ἀπονιφθείς.

Ἀπορρώας, εἴδωλα καὶ σκιάς.

Ἀπορρῶγες, ἐξοχαὶ ἀπεσχισμέναι, ἀπερρηγμέναι, ἀπεσπασμέναι ἀπ' ἀλλήλων. ἀπὸ τοῦ ῥήξ, καὶ τροπῇ ῥώξ. καὶ κλίνεται ῥωγὸς, καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀπορρώξ.

Ἀπορρώξ, τουτέστιν ἀπόρροια. κεῖται δὲ ἡ λέξις ἐν Ὀδυσσείᾳ. λαμβάνεται δέ ποτε, καὶ ἐπὶ πετρῶν ἀπεσχισμένων ἐξ ἀλλήλων. οὕτω γὰρ ἀπορρὼξ πέτρα πηγὴν προσβάλλειν λέγεται. χρῆσις δὲ τοιαύτης πέτρας πανταχοῦ. ἡ τις καὶ καταρρὼξ λεχθείη ἂν κατὰ τὸν Σοφοκλέα, παρ' ᾧ προβλῆτες μὲν, ὡς καὶ παρ' Ὁμήρῳ, οἱ καὶ πρόβολοι. καταρρῶγες δὲ, καὶ διὰ τὸ μὴ ἀντέχειν κόμμασιν, ἀπορρωγεῖσαι πέτραι εἰς ῥωχμούς. ἡ ἀπορρὼξ, καὶ ἐπὶ πετρῶν τίθεταί ποτε, καὶ ἀπορρῶγες πέτραι, αἱ ἀλλήλων ἀπερρηγμέναι. Ἰστέον δὲ, ὅτι τὸ ἁπλοῦν τοῦ ἀπορρὼξ, ἤγουν τὸ ῥὼξ, οὐ ῥεύματι δηλοῖ καὶ ἀπόρροιαν, ἀλλὰ φαλαγγίου εἶδός ἐστι. καὶ ὅτι ἐπὶ βότρυος ῥῶγας εἰπεῖν, βάρβαρόν ἐστι. ῥῶγες γὰρ, μεγάρου μέρος. καθ' Ὅμηρον. ἐπὶ δὲ τῆς σταφυλῆς ῥᾶγας φαμέν. πάντων δὲ τῶν τοιούτων προηγεῖται θέμα τὸ ῥήσσω, τῇ μὲν συστέλλον τὸ η εἰς α, τῇ δὲ τρέπον τὸ η εἰς ω. καὶ ἀπορρὼξ, τὸ ἀπόρρηγμα καὶ ἀπόσπασμα.

Ἀπορῶ, ἀμηχανῶ, γράφω, παρατίλλομαι, λογίζομαι, ἀποβλέπω.

Ἀπορῶ πρὸς ἐμαυτὸν, ᾧ τινι διαχρήσαιμι καλὸν ἀπὸ κακοῦ.

Ἀπορῶ πρὸς τοῦτο. καὶ ἀπορῶ καὶ εὐπορῶ, γενικῇ συντάσσεται.

Ἀπορώτατος, ἀντὶ τοῦ πρὸς ὃν οὐδένα πόρον ἐστὶν εὑρεῖν. Ἰσαῖος ἐν τῷ ὑπὲρ Μνησιθέου θυγατρός.

Ἀποσαπείς, ἀποσβεσθεὶς, παρὰ τῷ Ἱπποκράτει.

Ἀποσαλεύσας, ἐπιτηρήσας, ἀποφυγὼν ἐκ τοῦ λιμένος.

Ἀποσάξαντα, Δείναρχος, ἀντὶ τοῦ φράξαντα τὸ στόμα.

Ἀποσβαίῳ, νεκρῷ.

Ἀποσβέω, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, τοὺς λύχνους ἀποσβέσας. ὁ μέλλων σβέσω, καὶ ἀποσβέσω.

Ἀποσείομαι βάρος, ἤγουν ἀποτίθεμαι. ἀπωθοῦμαι καὶ διωθοῦμαι, τὸ διώκομαι καὶ ἀποστρέφομαι.

Ἀποσεισάμεναι, ἀπορρίψασαι.

Ἀποσεμνυνῶ, μεγαλυνῶ.

Ἀποσεμνυνεῖται, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἀπονοεῖται σιωπῶν, ὑπερηφανεῖ. ἐσιώπα Αἰσχύλος, ἐν τοῖς δράμασιν εἰσιών.

Ἀποσεσυκάσαι, τὰ σῦκα ἀποβέβληκε βρωθέντα.

Ἀποσηκώσας, κατακλείσας ἐν σηκῷ.

Ἀποσημανῶ, ἀποδιώξω.

Ἀποσημειώσασθαι, ἀφομοιοῦσθαι. καὶ ἀποσημειώσασα φανερώσασα, ἐξειποῦσα.

Ἀποσήχειν, ἀποδιώκειν.

Ἀποσιμοῦν, ἀποστρέφειν, πρὸς τὸ σιμόν. σιμὰ δὲ ἐκάλουν, τὰ προσάντη χωρία. λέγεται καὶ ἐπὶ νεῶν τὸ ἐκ διαστήματος ἐμβάλλειν. καὶ ἐπὶ σιδήρου τὸ ἀποστρέφειν τὴν ἀκμήν.

Ἀποσιμῶσαι, τὸ ἐπικόψαι, καὶ τὴν πυγὴν προθεῖναι γυμνήν. οὕτω Φίλιππος. Θουκυδίδης δὲ, τὸ μεταμεῖψαι τὰς ναῦς.

Ἀποσιτικά, ἀποσιτίας καὶ ἀνορεξίας ποιητικά, παρὰ τῷ Ἱπποκράτει.

* Ἀπόσιτος, ὁ ἀπεστραμμένος ἀπὸ σιτίων, ὡς ἀπιχθὺς παρ' Ἀριστοφάνει ὁ ἰχθύων ἄγευστος.

Ἀπόσιτος, ξένος. καὶ κακόσιτος, ὁ ἀπεστραμμένος ἀπὸ σιτίων, καὶ ὁ ἄσιτος.

Ἀποσιώπησις, σχήματος εἶδος.

Ἀποσκαλίδοντα, τῶν σκαλίκων τὰ ἀνθρωποειδῆ ἄκρα, Ξενοφῶν.

Ἀποσκαμυνθίζειν, ἀπομυκτηρίζειν.

Ἀποσκαρύζειν, διακεχυμένως γελᾶν.

Ἀποσκελλῦσαι, παιδικὴν ὄρχησιν ὀρχήσασθαι.

Ἀποσκευάζειν, ἀκύρους ἐποίει.

Ἀποσκευάζομαι, τὸ ἀποσοβῶ καὶ ἀποπομποῦμαι.

Ἀποσκευαζόμενος, ἀποχωριζόμενος, ἀποβαλλόμενος, ἀπορριπτόμενος.

Ἀποσκευάζονται, ἀποφέρονται.

* Ἀποσκευάσασθαι, χέσαι. καὶ τὸ ἀποσκευαζόμενον, ἀνθρώπου κόπρος, σκὼρ, τίλος, πέλεθος, σπατίλη.

Ἀποσκευάσαι, ζημιῶσαι.

Ἀποσκευή, ἡ τῶν ἐπιτηδείων κομιδή. τὸ παρ' ἡμῖν λεγόμενον τοῦλδον, τὰ σαγμάρια. συνέταξε δὲ τούτοις καὶ τὴν ἀποσκευήν.

Ἀπόσκεψις, ἀπόχασις, παρὰ τῷ Ἱπποκράτει.

Ἀποσκιρρωθέντες, σκληρωθέντες, σκίρρος γὰρ ὁ γύψος.

Ἀποσκιρτᾷ, ἀποπηδᾷ.

Ἀποσκλαίοι, ἀποθάνοι.

Ἀποσκλῆναι, ἀποθανεῖν.

Ἀποσκληρωθεῖ, σκελετεύει. παρὰ τῷ Ἱπποκράτει.

Ἀποσκόλυπτε, ἀπολέπιζε, καὶ ἀποκόλουε. φασὶ καὶ τὸν περιτετμημένον τὸ αἰδοῖον, ἀποσκολυμμένον.

Ἀπὸ σκοποῦ, οὐκ ἐκτὸς σκοποῦ, ἢ ἀποσκέπτως.

Ἀποσκοποῦμαι κάλλιον, ἢ ἀποσκοπῶ.

Ἀπόσκοπος, ἄποθεν σκοπῶν.

Ἀποσκορακίζειν, ἀποδοκιμάζεσθαι.

Ἀποσκορακισμὸς, ἐξουδένωσις.

Ἀποσκύδμαιναι, ὀργίζου, χολοῦ, μέμφου.

Ἀποσκύζει, ἀπομέμφεται.

Ἀποσκυθίσαι κυρίως, τὸ ἀποτεμεῖν τὸ ἐπὶ κεφαλὴν δέρμα σὺν θριξί. καταχρηστικῶς δὲ, τὸ ἀποκεῖραι.

Ἀποσκώμμασι, μυκτηρίσμασι.

Ἀποσμήχει, αἰτιατικῇ, ἀποκαθαίρει.

Ἀποσμιλεύουσι, τῇ σμίλῃ ξέουσι, καὶ ἐκκαθαίρουσιν.

Ἀποσοβεῖ, ἀπελαύνει, ἀποδιώκει.

Ἀποσοβῶ, οὐ μόνον τὸ ἀποδιώκω, ἀλλὰ καὶ τὸ σεσοβημένως καὶ θαρσαλέως ἀπέρχομαι. ὡς τὸ, καὶ ὡς ὁρᾷς, ἤδη ἀποσοβῶ παρ' αὐτῶν.

Ἄποσον, τὸ ποσότητι ἢ μέτρῳ οὐχ ὑποπίπτον.

Ἀποσπαδόντας, ἀποκοπέντας.

Ἀποσπᾶν, τὸ βιαίως χωρίζειν τὰ κεκολλημένα.

Ἀποσπαράσσουσι, σπαίρουσι, σφίζουσι. καὶ ἀποσπαρθάζουσιν, ὁμοίως παρὰ τῷ Ἱπποκράτει.

Ἀπόσπασμα, μέρος, ἀπότμημα.

Ἀποσπεύσας, ἀποπηδήσας, ἀποκόψας, καταθραύσας.

Ἀποσπεύδοντας, κωλύοντας. ὡς τὸ, ἀποσπεύδουσης δὲ τῆς γυναικὸς καὶ τῶν παίδων.

Ἀποσποδῆσαι, ἀφανίσαι. ἀπὸ τῆς σποδοῦ. αὕτη γὰρ ἀφανίζει τὴν προϋπάρξασαν ὕλην τῶν ξύλων. ἢ ἀποκρύψαι, ἀφανίσαι.

Ἀποσπουδάζων, παυόμενος τῆς σπουδῆς, ἀμελῶν.

Ἀπὸ σπουδῆς ἀγορεύειν, ἤτοι σπουδαίως, ἀπὸ σκέψεως καὶ κρίσεως.

Ἀπὸ σπυρίδος δειπνεῖν, ἢ δειπνίζειν, τὸ ἀντὶ δείπνου ἀργύριον καὶ μέρη ἐν σπυρίδι λαβεῖν, ἢ δοῦναι.

Ἀποσπῶμαι, μερίζομαι.

Ἀποσσοῦν, ἀφορᾶν.

* Ἀποσυσσιτεῖν, Ξενοφῶν ἔφη τὴν συσσιτίαν.

Ἀποσταδά, ὅ ἐστι πόρρω καὶ ἐκ διαστήματος, κατὰ τὸ ἀναφανδὰ ἐσχημάτισται. ὡς γὰρ ἀναφανδὸν ἀναφανδά, οὕτως ἀποσταδὸν ἀποσταδά.

Ἀπόσταδον, δίκτυον μεμολυβδωμένον, καὶ καλάμῳ περιεζωσμένον.

Ἀποσταδὸν ὀξύνεται, ἀντὶ τοῦ ἀφεστὼς, καὶ πόρρωθεν, ἐκ διαστήματος.

Ἀποσταθμοῖο, ἀπὸ τῆς ἐπαύλεως.

Ἀποσταίην, μακρὰν γενοίμην.

Ἀποσταλαί, ἀποτέμψεις.

Ἀποσταλέντων, ἀποσπασθέντων.

Ἀποστάς, φυγὼν, Αἰσχύλος.

Ἀποστάσιον, τὸ ἀπολῦσαι τὴν γυναῖκα, καὶ γράψαι ἀποστάσιον.

Ἀποστασίου δίκην ἔλεγον, ὁπότε ἀπελεύθερος ἢ δοῦλος ἀποστασίου κρίνοιτο, ὡς ἀποστὰς τοῦ δεσπότου. ἀπροστασίου δὲ, ὁπότε μέτοικος ἐγκαλοῖτο μὴ ἔχων προστάτην.

Ἀποστατεῖ, διεστατεῖ, καὶ ἐπιστατεῖ, συντάσσεται γενικῇ. ἔστι δ' ὅτε καὶ αἰτιατικῇ. καὶ ἀττικῶς τὸ ἐπιστατεῖ, δοτικῇ.

Ἀπόστα, οὐ μόνον ἀπόστα ἀντὶ τοῦ ἀπόστηθι λέγουσιν, ἀλλὰ καὶ παράστα. Μένανδρος, παιδίον ἐνταῦθα ἀπόστα μικρὸν, δὶς ἐξαπατήσαντι ἐμοὶ, παράστα τὴν θύραν κόψας, ἐγὼ καλῶ τινα αὐτῶν.

Ἀπόστασις, ἀποχώρησις ἐκ διαστήματος. Πολύβιος, Οὐδενὸς ἐπεγνωκότος τῶν πολιτῶν, τὸ συμβαῖνον διὰ τὴν ἀπόστασιν, ἅτε μεγάλης οὔσης τῆς πόλεως. ἀπόστασις καὶ ἡ ἀποστασία, ἀπό τινος πρός τινα, ὡς τὸ, Ὁ δὲ ἀμείβεται τὸν εὐεργέτην ἀποστάσει. ὅθεν καὶ ἀποστασίου δίκη, ἡ κατὰ τῶν ἀπελευθέρων, ὅταν ἀποστῶσι τῶν ἀπελευθέρων.

Ἀποστατέον, καὶ διαιρετέον, καὶ χρηστέον, καὶ ὅσα τοιαῦτα, καὶ κατ' αἰτιατικὴν καὶ δοτικὴν ἐκφέρονται, οἷον, ἀποστατέον μοι τοῦ πράγματος, καὶ ἀποστατέον με τοῦ πράγματος. ὅτε μὲν γὰρ πρὸς τὸ ἄξιον τὴν πτῶσιν συντάττεις, δοτικὴν δεῖ γράφειν, ὅτε δὲ πρὸς τὸ ἀπαρέμφατον, αἰτιατικῇ. ὁμοίως δὲ χρηστέον καὶ δοτικῇ καὶ αἰτιατικῇ. δοτικῇ μὲν, ὡς παρὰ Λιβανίῳ. Μέχρι τούτου τῷ ἔπει χρηστέον. αἰτιατικῇ δὲ, ὡς παρὰ Λουκιανῷ, Ὅμως δ' οὖν χρηστέον με, τοῖς ἐμοῖς ἔργοις. ὁμοίως καὶ τὸ ἀποδοτέον, ἀντὶ τοῦ ἄξιον ἐμοὶ ἀποδοῦναί σοι ταῦτα, καὶ ἄξιον ἀποδοῦναί με σοι ταῦτα.

Ἀποστατίσαι, ἀποχωρισθῆναι.

Ἀποσταίειν, οἷον ἀπερύκειν καὶ κωλύειν.

Ἀπόστειχε, ἄπιθι, ἀναστάθμευε.

Ἀπόστειχε, τὸ ἀπαλλάσσου, καὶ ἀναχώρει.

Ἀποστέλλεις, ἀπείργεις, κωλύεις.

Ἀπ' ὀστεόφιν, κατὰ σχηματισμὸν, ἀντὶ τοῦ ἀπὸ τῶν ὀστῶν. Ὅμηρος Ὀδυσσείας ξ, μέλλουσι ῥινὸν ἀπ' ὀστεόφιν ἐρύειν, ἀντὶ τοῦ ἀπὸ τῶν ὀστῶν.

Ἀποστεπτικὸν ᾆσμα, οὕτω καλούμενον, ὅτι μετὰ τὸ ἀποστεφθῆναι τοὺς στεφάνους, ᾔδετο ἐν τοῖς παισὶ μέλλουσιν ἀποπλεῖν. Χρὴ γινώσκειν, ὅτι τὰ ἀπὸ συνθέτων ὀνομάτων παραγόμενα ῥήματα οὐκ ἔτι μένουσι σύνθετα, ἀλλὰ γίνονται παρασύνθετα. οἷον, ἄπιστος ἀπιστῶ, ἀσεβὴς ἀσεβῶ.

Ἀποστερεῖν, ἁρπάζειν. Ἀριστοφάνης, ἀποστερεῖν δ' ἔνι. καὶ ἀποστερήσουσι τὰ χρήματα, ἃ ἐδανείσατο, βούλεται.

Ἀποστερεῖται, στερεῖται.

* Ἀποστέρησιν, τὴν ἀγνωμοσύνην φησὶν ὁ Ἀντιφῶν.

Ἀποστέρξας, καρτερικῶς ὑπομείνας. ὡς τὸ, ἀλλ' ἀποστέρξας εὐγενῶς τὸν βίον κατέστρεψεν.

Ἀπόστηθι, ἀποχώρει. καὶ ἀποστῆναι, τὸ ἀποχωρισθῆναι.

Ἀπόστημα ἀποστήσας, πυλώσας σταθμοῦ.

Ἀποστηρίγματα, ἀντερείσματα.

Ἀποστήσασθαι, ἀποδοῦναι χρέος.

Ἀπόστησον, ἀντὶ τοῦ παράδος.

Ἀποστήσωνται παρ' Ὁμήρῳ ἐν τῷ μ τῆς Ἰλιάδος τὸ χθιζὸν χρέος. τινὲς μὲν γράφουσιν ἀποτίσωνται, οὐκ ἀρέσκει δὲ τοῖς σοφοῖς, ἀλλὰ θέλουσιν εἶναι ἀποστήσωνται, ἀντὶ τοῦ σταθμήσωσιν, ἤγουν σταθμῷ ἀποδῶσιν, ὃ λήψονται. καὶ ὅπερ ἡμᾶς χθὲς νικῶντες ἐλάβομεν, αὐτοὶ σήμερον εἰσπράξονται. γίνεται δὲ ἡ λέξις παρὰ τὸ ἱστᾶν, ὃ ἐπὶ τοῦ ζυγοῦ λέγομεν. ἐξ οὗ καὶ στατὴρ, τὸ νόμισμα. καὶ μεταστῆσαι, τὸ ἐναλλαγῇ μεταστασθμῆσαι.

Ἀποστίβων, ἀποπειρατικῶς, ἐπὶ τῶν αὐτὴν τρίβον στείβων, πατεῖ σοι. Σοφοκλῆς Κυρίαις.

Ἀπόστειχε. στείχω ἐνεστώς, ἔστειχον παρατατικὸς, διὰ διφθόγγου. ἔστιχον, δεύτερος ἀόριστος διὰ τοῦ ι. καὶ μετὰ τῆς ἀπό, ἀπέστιχον. ἀφ' οὗ προστακτικὸν, ἀπόστιχε, ἤγουν ἀπαλλάσσου, ἀναχώρει.

Ἀποστολαὶ, δῶρα, ἀποπέμψεις.

Ἀποστολεὺς, ὁ τὰ πρὸς πλοῦν παρασκευάζων τοῖς πλέουσιν ἀποστελλομένοις ἀπὸ στόλων τῶν διὰ θαλάσσης.

Ἀποστολικὴ πολιτεία, πίστις, ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια, καὶ τὰ ὅμοια.

Ἀποστολεῖς, οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι ἀπόστολοι δὲ, αἱ τῶν νεῶν ἐκπομπαί. οὕτω Δημοσθένης.

* Ἀποστολεῖς, οἱ φροντιζόμενοι τοῦ ἀποστόλου καὶ τοῦ ἔκπλου τῶν τριήρων.

Ἀπόστολος, ὁ ἀπεσταλμένος, καὶ αὐτὴ ἡ ἐπιστολή. Ἀριστείδης, καὶ Δημοσθένης.

Ἀποστοματίζειν, ἀπὸ μνήμης λέγειν.

* Ἀποστοματίζεσθαι τοὺς παῖδας, Πλάτων λέγει, ἤγουν ὑπὸ τῶν διδασκάλων ἐρωτᾶσθαι τὰ μαθήματα.

Ἀπὸ στόματος, ἄνευ γραμμάτων. ὁ δὲ κελεύει ἀπὸ στόματος φράζειν τοῖς ἡγεμόσι τῶν Μάρδων.

Ἀποστομίζειν, ἀπὸ μνήμης ἀξιοῦν λέγειν.

Ἀποστομίζων, φιμῶν.

Ἀποστομοῦν, ἀποφράττειν.

Ἀποστρακισθῆναι, ἐξορισθῆναι, τὸ παλαιὸν γὰρ ἐν ὀστράκῳ αἱ ἐξορίαι γραφόμεναι τοῖς ὑπερορίζομένοις ἐνεδίδοντο.

Ἀποστρατόφιν, ἀπὸ στρατοῦ.

* Ἀποστράτηγοι, ταξίαρχοι καὶ οὐραγοὶ καὶ λοχαγοί.

Ἀπόστοργον, ἀπεχθὲς, καὶ μὴ στεργόμενον.

Ἀποστρέφει τὶς εἰς τοὐπίσω τὸ πρόσωπον, ἢ τὰς χεῖρας ἑαυτοῦ, ἢ ἑτέρου. ἀποστρέφεται δέ τινα, ὁ μισῶν.

Ἀποστρέφομαι, ἄχθομαι.

Ἀποστροφὴ, προδοσία.

Ἀποστροφὴν, ἀντὶ τοῦ καταφυγήν. Δημοσθένης ἐν Φιλιππικοῖς.

Ἀπόστροφος, σημεῖον ἐκθλίψεως φωνήεντος. οἷον, ὥς ἔφατ' Ἀχόμενος. ἀπόστροφος δὲ, διὰ τὸ νεύειν ἐπὶ τὰ ἴσω. τίθεται δὲ ἀντὶ τεσσάρων, ἀντὶ τοῦ α, ἀντὶ τοῦ ε, ἀντὶ τοῦ ι, καὶ ἀντὶ τοῦ ο.

Ἀποστυγοῦντες, μισοῦντες.

Ἀποστύφων, τῇ φωνῇ σκληρός.

Ἀποσυκάζεις, συκοφαντεῖς, δοκιμάζεις. ἢ τὸ τὰ πέπειρα σῦκα διαλέγεις, ἢ σῦκα ἐσθίεις.

Ἀποσυμβολεῖν, συναντᾶν.

Ἀπὸ συμβόλων δικάζειν. ἐδίκαζον Ἀθηναῖοι ἀπὸ συμβόλων τοῖς ὑπηκόοις, καὶ τοῦτο ἦν χαλεπόν.

Ἀπόσφαγμα, τὸ ξυγῶδες παράθημα, παρὰ τῷ Ἱπποκράτει.

Ἀποσφαλεὶς, ἀποτυχὼν, παρατραπεὶς, ὀλισθήσας.

Ἀποσφαλμήσας, ἀποπηδήσας, ἀποσκιρτήσας.

Ἀπόσφαξ, τὸ ὑψηλόν.

Ἀπὸ σφείων, ἀφ' ἑαυτῶν.

Ἀποσφήλειε πόνοιο, οἷον ἀποσφαλῆναι καὶ ἀποτυχεῖν ποιήσαι τοῦ ἔργου. σφάλλω σφαλῶ, ἔσφηλα καὶ ἔσφαλον, ἡ μετοχὴ ὁ σφήλας τοῦ σφήλαντος. τὸ εὐκτικὸν, σφήλαιμι, αις, αι. καὶ Αἰολικῶς, σφήλειε. καὶ ἀποσφήλειε πόνων, ἀντὶ τοῦ ἐμποδίσει, καὶ κωλύσει τοῦ ἐνεργεῖν.

Ἀποσφήλωσιν ἀέθλου, ἀντὶ τοῦ ἀποπλανήσωσιν ὁδοῦ. εἴωθε γὰρ τὸ σφάλλειν, ἐμπόδιον ὁδοῦ σημαίνειν. ἡ διόρθωσις, τὸ ἀνασφάλλειν.

Ἀποσφήλωσις, ἡ ἀποπληξία, ἡ ἀποτυχία.

Ἀποσφίλωσις, ἀπενέγκωσις.

Ἀποσχᾶν, ἀνερεῖν.

Ἀποσχάσαι, ἀποῤῥῆξαι καὶ διαφθεῖραι, καὶ διασχίσαι. σημαίνει καὶ τὸ φλεβοτομῆσαι.

Ἀποσχεδιάζειν, εἰκῇ καὶ παραχρῆμα λέγειν.

Ἀποσχεδιάζω, καὶ αὐτοσχεδιάζω, καὶ σχεδιάζω λέγομεν.

Ἀποσχεδιάσας, συντεμάσας, ἢ ψευσάμενος.

Ἀποσχεῖν ἐνεργητικῶς, τὸ διῶξαι ἐστίν. Ὅμηρος, αἶκεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου.

Ἀποσχέσθαι, ἀπενεχθῆναι.

Ἀποσχήσει ἀποχωρήσει, ἀποδιώξει. ἔχω, ἔχον, σχῶ, σχήσω, καὶ ἀποσχήσω.

Ἀποσχήσει, ἀντὶ τοῦ πόῤῥω ἕξει, ἐκβαλεῖ, ἀφέξει. τὸ ἐναντίον, τὸ παρέξει, καὶ τὸ παρασχεῖν.

Ἀποσχοινισμένος, διεστὼς, διεζευγμένος.

Ἀποσχοινίσαντες, ἀποστερήσαντες.

Ἀποσχολάζειν, κατασχολάζειν.

Ἀπόσχου. ἔχω ἕξω, ὁ δεύτερος ἀόριστος ἔσχον. ὁ μέσος ἐσχόμην ἔσχου. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀπέσχου.

Ἀποτάδων, ἐκτεταμένων.

Ἀποταμιεύεται, ἀποκλείει.

Ἀποτάξιον, ἀπόπομπον.

Ἀπόταξις, τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους, εἰς τὸ ὑποτελεῖν τὴν ὡρισμένον φόραν. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρακῶν φόρου.

Ἀποτάσσομαί σοι, ἔκφυλον πάνυ. χρὴ δὲ λέγειν, ἀσπάζομαί σοι. οὕτω γὰρ οἱ ἀρχαῖοι εὑρίσκονται λέγοντες, ἐπειδὰν ἀπαλλάττωνται ἀλλήλων.

Ἀπὸ ταὐτομάτου, ἐξαίφνης.

Ἀποταυρούμενος, θρασυνόμενος.

Ἀπόταφοι, οἱ συνηριστευκότες τοῖς ἐλευθέροις δούλοι, καὶ μὴ συνταφέντες αὐτοῖς.

Ἀπόταφος, ἀντὶ τοῦ ἐστερημένος τῶν προγονικῶν τάφων. Δείναρχος ἐν τῇ κατ' Ἀγασικλέους εἰσαγγελίᾳ.

Ἀποτεθρίακεν, ἀντὶ τοῦ ἔτιλλεν, ἢ ψιλὸν εἰργάσατο. κυρίως δὲ συκῆς ἀπεφύλλισε. θρία γὰρ τὰ φύλλα τῆς συκῆς. καὶ ἀποτεθρίακεν, ἀποτεφύλλακεν, ἀπεκάθαρεν.

Ἀποτεθηριωμένοι, ἀπηγριωμένοι.

Ἀποτεθυμένοι, κεκαυμένοι.

Ἀποτείνει, τὸ εἰς ταὐτὸ τείνει, καὶ φέρει. ἀποτείνει καὶ τὸ ἀπάγειν εἰς μῆκος· οἷον, ἀπέτεινε τὸν λόγον μακρόν. τοῦτο καὶ χωρὶς τῆς προθέσεως γράφεται. ὡς παρὰ Σοφοκλεῖ, μὴ τεῖνε μακρὰν, ἀντὶ τοῦ μὴ ἀπότεινε.

Ἀποτειχίσαι, τὸ βαλεῖν τείχη, καὶ ἀποκλεῖσαι τῆς ἐξόδου. ἀποτετειχισμένος δὲ, ὁ ἀπειλημμένος, καὶ ἀποκεκλεισμένος τῷ τείχει. Ἀντιφῶν, καὶ Θουκυδίδης. καὶ ἀποτειχίζω, τὸ ἀποφράσσω. καὶ ἀποτείχησις, ἡ τῶν τειχῶν ἀφαίρεσις.

Ἀποτέλειοι, οἱ κατὰ πόλεις ἡγεμόνες τῶν Ἰουδαίων.

Ἀποτεμεῖται, ἀποχωρίσειεν.

Ἀποτέμνω, τὸ ἀποκόπτω, αἰτιατικῇ.

Ἀποτερματίζω, τὸ ἀποτελῶ. οἷον ἐνταῦθα οἱ γραμματικοὶ ἀποτερματίζουσιν.

Ἀποτετέλεκα, καὶ ἀποτετέλεσμαι, οὐκ ἀπήρτικα, οὐδὲ ἀπήρτισμαι.

Ἀποτετικέναι, ἀποδοῦναι.

Ἀποτετίνακται, ἀπέῤῥιψεν.

Ἀποτέτμηται, ἀποκέκοπται.

Ἀπότευγμα, ἀποτυχία.

Ἀποτεύξασθαι, ἀποτυχεῖν.

Ἀποτηλόθεν, μακρόθεν.

Ἀποτίθεμαι, παθητικῶς ἀεὶ, τὸ εἰς φυλακὴν καὶ τήρησιν τίθεμαι. οἷον ἀποτίθεμαι σῖτον.

Ἀποτίθεται, συνάγει εἰς τὰς Ἀποθήκας.

Ἀποτίθησιν, ἀποθνήσκει.

Ἀποτίμαστος, ἀνύβριστος.

Ἀποτιμήματα, αἱ πρὸς τὰς φερνὰς ὑποθῆκαι.

Ἀποτιμήσασθαι, τὸ λαβεῖν εἰς ὑποθήκην.

Ἀποτίμησις, τὸ ἀποτίμημα, καὶ τὸ τέλος, καὶ ὁ φόρος.

Ἀποτιμηταὶ, καὶ ἀποτίμημα, καὶ ἀποτιμᾶν, καὶ τὰ ἀπ' αὐτῶν. οἱ μισθούμενοι τὰς τῶν ὀρφανῶν οἰκίας παρὰ τοῦ ἄρχοντος, ἐνέχυρα τῆς μισθώσεως παρείχοντο. ἔδει δὲ τὸν ἄρχοντα ἐπιπέμπειν τινὰς τιμησομένους τὰ ἐνέχυρα. τὰ μὲν οὖν ἐνέχυρα τὰ ἀποτιμώμενα, ἐλέγοντο ἀποτιμήματα. οἱ δὲ πεμπόμενοι ἐπὶ τῷ ἀποτιμήσασθαι, ἀποτιμηταί. τὸ δὲ πρᾶγμα, ἀποτιμᾶν. εἰώθεσαν δὲ καὶ οἱ τότε, εἰ γυναικὶ γαμουμένῃ προῖκα διδοῖεν οἱ προσήκοντες, αἰτεῖν παρὰ τοῦ ἀνδρὸς ὥσπερ ἐνέχυρόν τι τῆς προικὸς ἄξιον, οἷον οἰκίαν, ἢ χωρίον. ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς, ἀποτιμᾶν. ὁ δὲ λαβὼν, ἀποτιμᾶσθαι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων. ὡς καὶ Δημοσθένης ἐν τῷ κατ' Ὀνήτορος δευτέρῳ, καὶ Λυσίας ἐν τῷ πρὸς Διογένην ὑπὲρ μισθώσεως οἴκων, εἰ γνήσιος.

Ἀποτιμιᾷ, ἀποτίθησιν.

Ἀπότιμος, ἄτιμος.

Ἀποτιμοτέρους, τοὺς ἀτιμοτέρους λέγουσιν Ἴωνες.

Ἀποτινεῖται, ἀποδώσεται.

Ἀποτίνῃ, τιμωρίαν παράσχῃ.

Ἀποτίνυται, τιμωρεῖται. Ἡσίοδος, Ἢ ὅγε τεῖχος ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.

Ἀποτίπλαστον, ἀπροσπέλαστον.

Ἀποτιάσειν, ἀποδοῦναι.

Ἀποτίσεις χοῖρε γίγαρτα, ἃ κατέφαγες. οἷον, ὧν κατέφαγες ἀποδώσεις πλεῖστα. ἐπὶ τῶν μείζονα τιμωρίαν, ὧν ἥμαρτον διδόντων.

Ἀποτίσεται, τιμωρήσεται.

Ἀποτμήγουσι χαράδραι, ἀποτέμνουσιν αἱ ὑδροῤῥόαι.

Ἀπότμημα, ἐκκεκομμένον.

Ἀποτμήξαντες, ἀποτεμόντες, ἀποχωρισθέντες.

Ἀποτμότατος, ὁ δυστυχής. πότμος γὰρ οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη. παρὰ τὸ πετεῖν, ὅ ἐστι πεσεῖν. ἀφ' οὗ καὶ ἡ περιπέτεια. τὰ γὰρ ἀπὸ τύχης, συμπίπτειν λέγεται, ἤγουν συμβαίνειν. ὅθεν ἄποτμος μὲν ὁ δυστυχής. πανάποτμος δὲ, καὶ ἀποτμότατος, ὁ κακοτυχής.

Ἀπότμου, δυστυχεστάτου.

Ἀπὸ τοῖν, ἀπὸ τούτων.

Ἀποτόκους, τὰς ἀπογεννήσεις τῶν γεννημάτων.

Ἀποτομάδα, σχίζαν, καὶ ἀκόντιον πεντάθλου.

Ἀποτομὴ, ἀκόντιον μικρὸν, ἀποτετμημένον.

Ἀπότομοι, οὐκ ἐνεργοί.

Ἀπότομον, τὸ μὴ ἄξιον προσόψεως.

Ἀποτόμως, κεκρημνώς, σκληρῶς.

* Ἀποτομὰς καλεῖται τὸ ἀκόντιον τῶν πεντάθλων.

Ἀπὸ τοῦ πράγματος, ἀντὶ τοῦ ἄποθεν. Δημοσθένης κατ' Ἀνδροτίωνος.

Ἀποτραγεῖν, ἤγουν φαγεῖν.

Ἀποτράγημα, λείψανον, βρῶμα.

Ἀποτραχηλίζοντες, ἀπάγχοντες.

Ἀποτραχύνεται, θρασύνεται.

Ἀποτρέπη, ὁ κωλύων τινά.

Ἀποτρέπεται δέ τις τὰ ἐξ ὀνείρων δείματα, τουτέστιν ἀπεύχεται, ἀποδιαπέμπει.

Ἀπότρεχε ἀναχώρει.

Ἀποτρέχει, ἀντὶ τοῦ ἐκφεύγει. καὶ ἀποτρέχει, ἀντὶ τοῦ καταφεύγει, καὶ προστρέχει. ὡς ὁ μέγας Βασίλειος, Πείσωμεν ἑαυτοὺς ἀδελφοὶ ἐν καιρῷ πειρασμοῦ, μὴ πρὸς ἀνθρωπίνας ἐλπίδας ἀποτρέχειν.

Ἀποτρέψαι, ἀπελῦσαι φιλονείκους.

Ἀποτριάσαι, πληγὰς τρεῖς δοῦναι.

* Ἀποτριάξαι λέγουσιν ἐπὶ πεντάθλου τὸ νικῆσαι.

Ἀποτριβόμενος, ἐμποδίζων, ἀπείργων.

Ἀπότριχες, οἱ ἄνηβοι, τῆς ἀπὸ προθέσεως ἀντὶ τῆς α στερήσεως κειμένης. ὡς ἐν τῷ ἀποκηδήσαντα ἀντὶ τοῦ ἀκηδήσαντα, καὶ ἀφροντιστήσαντα. καὶ ἀπότιμον ἔθεντο, ἀντὶ τοῦ ἄτιμον.

Ἀποτριψάμενοι, ἀποῤῥιψάμενοι.

Ἀπό-

Digitized by Google

Ἀπότριψις, μέλλησις, ἀπάγγελσις, ἀγώνισις, προάγγελσις, τέκμαρσις, κάθεξις, πλάνησις, διάφαξις, ἐφόρμησις, ὅπλισις, ξένισις, κούφισις, βλάψις, ἐπαίνεσις, ψόφησις, διάρπασις, γυναίκισις, λάλησις, ὁμοιοκατάληκτα ὀνόματα. καὶ ἀποτριβόμενος, ἀντὶ τοῦ ἐμποδίζων. ὁ δὲ Ἀννίβας ἐν κακοῖς ὢν, ἔμενε τοὺς πολεμίους ἀποτριβόμενος.

* Ἀποτρίβων σκελῶν ὁ Δημοσθένης τὰ κρεμαστὰ σκέλη καλεῖ.

Ἀποτρόπαιος, φαῦλος, μίσους ἄξιος.

* Ἀποτρόπαιοι δαίμονες, ἀποπομπαῖοι, λύσιοι, φύξιοι.

Ἀποτροπᾶσθαι, ἀποτρέπεσθαι.

Ἀποτροπιαζόμενοι, ἀποτρεπόμενοι, καὶ ἀποστρεφόμενοι, καὶ μισοῦντες.

Ἀποτροπάσματα, ἐξιλεώσματα ἀποτρέποντα τὸ φαῦλον.

Ἀπότροπον, ὅ τις ἂν ἀποτράποιτο. Σοφοκλῆς Οἰδίποδι. ἢ ἀπότροπον, τὸ οὐκ ἐπιστρέφον εἰς τὴν πόλιν, ἀπεστραμμένον τὴν τοῦ ἄστεος ἐπιστροφήν.

Ἀπότροπος, ὁ κεχωρισμένος, καὶ οἷον ἐξόριστος. φησὶ γὰρ Εὔμαιος τῷ δεσπότῃ, αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος. ἐφ' οἷς ἑρμηνεύων τί ἐστιν ἀπότροπος, ἐπάγει, οὐδὲ πόλιν δὲ ἔρχομαι.

Ἄπο τρόπου, ἔξω τοῦ τρόπου.

Ἀπότροφος, μακρὰν τεθραμμένος.

Ἀποτρόφους, τοὺς μὴ ὄντας τροφίμους τῆς φιλοσοφίας.

Ἀπὸ τροχοῦ, ἐξ ἅρματος δρόμου.

Ἀποτρυγῶν, λάθρα ἀφελῶν.

Ἀπότρωκτον, ἄλφιτον.

Ἀποτρωμάξαι, ἀποφράξαι.

Ἀποτρωπᾶσθαι, ἀποτρέπεσθαι.

Ἀποτυγχάνω, ἁμαρτάνω, ἀμηχανῶ, διαψεύδομαι.

Ἀποτυλῶσαι, ἐπᾶραι αἰδοῖον.

* Ἀποτυλοῦν, τὸ γυμνοῦν τῇ χειρὶ τὸ αἰδοῖον. τύλος γὰρ τὸ αἰδοῖον.

Ἀποτυμπανίσαι, οὐχ ἁπλῶς τὸ ἀποκτεῖναι, ἀλλὰ τυμπάνῳ πλῆξαι. ἔστι δὲ ξύλον, ὅπερ σκυτάλην καλοῦσι. τὸ γὰρ παλαιόν, ξύλοις ἀνῄρουν τοὺς πολεμίους. ὕστερον δὲ τῷ ξίφει, κἄν τε δοῦλος εἴη, κἄν τε ἐλεύθερος.

Ἀποτυμπανισθῆναι, ταυτόν ἐστι τῷ τὴν κεφαλὴν ἀποκοπῆναι.

Ἀποτυχισθεὶς, ἀντὶ τοῦ ἀποτιλθείς. καὶ ἀποτυχισθέν, ἐπὶ τοῦ ἀποπελεκῆσαι τὸν λίθον ἀποτύχῳ. ἔστι δὲ λιθοξοϊκὸν σιδήριον.

Ἀποτύψονται, παύσονται τοῦ τύψασθαι.

Ἀπ' ὀμμάτων ἄγγελος ἔλθοι, παρὰ Καλλιμάχῳ, τουτέστι δύσφημος, μὴ ἄξιος τοῦ ἀκουσθῆναι, ἢ μακρὰν τῆς ἀκοῆς.

Ἀπ' οὔδεος, ἀπὸ τοῦ ἐδάφους.

Ἀπ' ἄκρατος, ἀπὸ τῆς κεφαλαίας.

Ἀπὸ ὑπονοίας, ἀπὸ δορός, ἀπὸ δόρατος βολῆς, ἢ μέγεθος βολῆς διαστήσας.

Ἀπούρας, ἀπουρίζω ἐνεστώς, ἀντὶ τοῦ ἀφορίζω, καὶ ἀλλοτριῶ. ὁ μέλλων, ἀπουρίσω. ἀόριστος, ἀπούρισα. ἀφ' οὗ μετοχὴ ἀπουρίσας, καὶ κατὰ συγκοπὴν ἀπούρας. ἀπούρας ἐλεύθερον ἦμαρ, παρὰ τῷ ποιητῇ. ὅ ἐστι δουλώσας. καὶ ἀπούρας, ἀφελόμενος, ἢ ἀφαιρήσας.

Ἄπουργοι, γωνίαι ἀτελεῖς, εἰς ἃς τὰ σαρώματα συνῆγον.

Ἀπουρία, ἡ ἐξ ἀνίσων γάμων σπορά, οἷον ἀπὸ δούλης, ἢ ἀπὸ δούλου γεννωμένη.

Ἀπουρίζω, ἀντὶ τοῦ ἀφορίζω, τὸ ἀλλοτριῶ, ἀπὸ τῆς ἀπὸ προθέσεως καὶ τοῦ ὅρος, τὸ ὁροθέσιον. ὃ δασυνόμενον, εἰ πρὸς λάβοι τὸ υ, ψιλοῦται. ὡς τὸ εὔκηλος, ἀπὸ τοῦ ἕκηλος, ὁ ἥσυχος. ὁ μέλλων ἀπουρίσω. ἄλλοι γάρ οἱ ἀπουρίζουσιν ἀρούρας.

Ἀπουρίσαι ἀρούρας, τὸ ἀφορίσαι καὶ ἀφελέσθαι, καὶ ἔστι χαμαιπετὴς λέξις, τιθεμένη καὶ ἐπὶ ἐξορίας. ἐκ δὲ τοῦ τοιούτου ῥήματος, καὶ τὸ ἀπούρας. ἤγουν μᾶλλον τοῦτο πρωτότυπον, τοῦ ἀπουρίζειν. ὁμοίως ἐρέθω ἐρεθίζω, καὶ ὁπλέω ὁπλίζω, ἀφρέω ἀφρίζω, καὶ τὸ τοιοῦτον ἀπουρίζειν. κατουρίζειν δὲ, τὸ κατ' οὖρον πλέειν.

Ἀπουρίσουσιν, ἀφαιρήσονται.

Ἄπους, ὁ μὴ ἔχων πόδας.

Ἀπουσία, ὅταν τις ἀπῇ. ἢ ὅταν τις ἀπέχῃ, καὶ ἡ ἀπόλειψις.

Ἀπουσιάσει, τῆς οὐσίας μέρος δώσει. Οὐδεὶς τὴν αὐτοῦ θυγατέρα ἀπουσιάσει.

Ἀποφαίνειν λέγεται μὲν καὶ τὸ δεικνύειν, καὶ ἐξελέγχειν ἐπ' ἀληθείᾳ, βεβαίως τινὰ κακοῦργον ἢ ψεύστην, ἢ μοιχόν, ἢ ἕτερον τοιοῦτον. λέγεται δὲ ἀποφαίνειν, καὶ τὸ παριστᾶν. οἷον, τῷ τεκμηρίῳ τοῦτ' ἀποφαίνεις; καὶ ὡς παρ' Ἀριστοφάνει ἐν νεφέλαις· Κἀποφανῶ γε νὴ Δία, ὡς ἐνδίκως ἔτυπτον. καὶ ἐν πλούτῳ· Κἂν μὲν ἀποφήνω μόνην ἀγαθῶν ἁπάντων αἰτίαν ἐμέ, ἀντὶ τοῦ δείξω καὶ παραστήσω.

Ἀποφαίνομαι, τουτέστιν ἀποφαντικῶς λέγω. λαμβάνεται ἐπὶ ὄντος, καὶ μὴ ὄντος. οἷον ἀποφαίνομαι ὅτι οὐκ ἔστιν ἐν ἐμοὶ μῖσος πρὸς τὸν φιλούμενον, ἢ ἀποφαίνομαι ὅτι ἐστί. καὶ ἀπεφήναντο οἱ δικασταὶ ψῆφον καταδικάζουσαν, ἢ σώζουσαν. καὶ τὸ πρᾶγμα, ἀπόφασις.

Ἀποφαίνουσιν, ἀποδεικνύουσιν.

Ἀποφανθεὶς, ἐν τῷ φανερῷ καταστάς.

Ἀποφαντικὸν κυρίως, τὸν ἐκφαίνοντά τι νόημα, εἴτε δι' ἀποφάσεως, εἴτε διὰ καταφάσεως. σημαίνει δὲ ἰδικῶς, καὶ τὸν μὴ συγκατατιθέμενον.

Ἀποφαίνω, τὸ δείκνυμι. Ἀριστοφάνης. κἂν μὲν ἀποφήνω μόνην ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμέ.

Ἀποφάσεις δύο ἀντὶ μιᾶς τίθενται, ὅπερ τῶν Ἀττικῶν ἐστιν. ὡς τὸ, μοιχοῖς δὲ οὔτε προσδιαλέγεται οὐδέν.

Ἀπόφαρσις, ἡ ἑταίρα, ὡς Ἡγήσανδρος.

Ἀπόφασθε. φημί, τὸ λέγω, φήσω, πέφηκα, πέφαμαι, ἐφάμην ἔφασο ἔφατο. ἐκ τοῦ ἔφασο τὸ προστακτικὸν φάσο, φάσθω, φάσθε, καὶ ἀπόφασθε. φιλόσοφος λέξις, καὶ δηλοῖ τὸν εὐθὺς ἐπαγόμενον ἀποφαντικὸν λόγον. Ὅμηρος, ἔρχεσθε καὶ ἀπόφασθε, ἀπαγγείλατε, εἴπατε.

Ἀπόφασις ὄνομα, ἐξ Ὁμήρου εἴληπται, εἰπόντος, ἀντικρὺ δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω. τὸ γὰρ γυναῖκα οὐκ ἀποδώσω, ἀπόφασίς ἐστιν. ὥσπερ κατάφασις, τὰ ἀποδώσω γυναῖκα. ἀπὸ γοῦν τοῦ Ὁμηρικοῦ ἀπόφημι, παρῆκται τὸ ἀποφάσκειν, καὶ ἡ ἀπόφασις. ἡ ἀπόφασις λόγος, ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. ἢ λόγος ἀποφαντικός τινος ἀπό τινος. ἢ ἀνατροπὴ τῆς καταφάσεως, οἷον ὁ ποταμὸς οὐκ ἀνέρχεται, ὁ δὲ ἄρχων, εἰσέρχεται. ἢ λόγος, σημαίνων τί ὄν, τίνι μὴ ὑπάρχειν. τὸ μὲν γὰρ τίνι ὑπάρχει δηλοῖ τὴν κατάφασιν, τὸ δὲ τί τίνι μὴ ὑπάρχειν, σημαίνει τὴν ἀπόφασιν. ἀπόφασις δὲ, καὶ πρότασις, καὶ πρόβλημα, καὶ ἔνστασις, καὶ συμπέρασμα, τὰ πέντε ταῦτα οὐδὲν κατὰ τὴν ὑπόστασιν ἀλλήλων διαφέρουσιν. ἡ δὲ διαφορὰ τούτων, κατ' ἐπίνοιαν, ἢ κατά τινα γίνεται σχέσιν. ὅταν μὲν γὰρ ἁπλῶς ἀποφαίνωμαι, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἀπόφασις λέγεται. ὅταν δὲ ὡς μέρος συλλογισμοῦ ληφθῇ, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι, τὸ ἀθάνατον αὐτοκίνητον, τότε πρότασίς ἐστι τὸ λέγειν, ἡ ψυχὴ ἀθάνατος. ἡνίκα δὲ ἐνίσταταί τις πρὸς τὴν πρότασιν, ζητῶν πόθεν δῆλον ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι, τὸ τοιοῦτον ἔνστασις προσαγορεύεται. ἡνίκα δὲ πάλιν προτείνομεν εἰς ζήτησιν, ἆρά γε ἡ ψυχὴ ἀθάνατός ἐστι; καλεῖται πρόβλημα. ὅτε δὲ ἐκ προτάσεως συνάγεται, καλεῖται συμπέρασμα.

Ἀπόφασις, Δημοσθένης τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος ὁπόσην οὐσίαν ἔχει. ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται. καλεῖ δὲ αὐτὸ καὶ ἀπογραφήν.

Ἀποφάσκει, ἀπαγορεύει.

Ἀποφασμένον, ἀντὶ τοῦ ἀποδεδειγμένον. Δημοσθένης κατὰ Νεαίρας, ἀποφασμένως πολοῦνται, ἀντὶ τοῦ φανερῶς.

Ἀποφαυλίζοντες, ἐπισυνθάζοντες, ἀτελίζοντες, ἢ ὡς πονηρὸν ἀποστρεφόμενοι. ἀεὶ γὰρ τὸ φαῦλον ἐπὶ τοῦ πονηροῦ τάττεται.

Ἀποφέρεσθαι, οὐ μόνον τὸ πόῤῥω φέρεσθαι, ἀλλὰ καὶ τὸ κερδαίνειν, ἀποφέρειν. καὶ ἀποφορά, τὰ παρὰ τῶν ἡττόνων τοῖς μείζοσι παρεχόμενα χρυσά. λέγεται μέντοι ἀποφορά, καὶ ἡ δυσώδης ὀσμή.

Ἀποφεύγειν ἐστί, τὸ ἀναχωρήσαντά τινα, μὴ δύνασθαι ὅπου ἐστὶν ἐπιληφθῆναι.

Ἀποφηληκίζει, βιάζεται.

Ἀπόφημι, ἀποφαίνομαι. καὶ ἀποφῆναι, ἀποδεῖξαι.

Ἀπόφημος, δύσφημος.

Ἀπόφηναι τοῦτ' ἐμοί, ἀντὶ τοῦ εἰπέ. προστακτικόν.

Ἀποφῆσαι, ἀρνήσασθαι. καὶ ἀπόφημι, τὸ ἀπολέγω.

Ἀποφθαράξασθαι, τὸ τοῖς μυκτῆρσιν εἰς τὸ ἔξω ἦχον προΐεσθαι.

Ἀποφθάρθιμου λέγουσιν οἱ Ἀττικοί, οὐκ ἀπαλλάγηθί μου. δηλοῖ δὲ, τὸ μετὰ φθορᾶς ἀποστηθί μου.

Ἀποφθεγγόμενος, μαντευόμενος.

Ἀποφθέγγεσθαι, τὸ ὀξέως ἀποτρέχειν.

Ἀπόφθεγμα, σύντομος λόγος, μάντευμα.

Ἀποφθίμενον δῦναι εἰς ᾅδην, πρὸς διαστολὴν εἴρηται τῶν δίχα φθορᾶς μυθευομένων δῦναι εἰς ᾅδου, ὁποῖος ὁ Πειρίθους, καὶ ὁ Ὀδυσσεύς, καὶ ὁ Ἡρακλῆς. συγκέκοπται δὲ τὸ ἀποφθίμενον Αἰολικῶς. τὸ γὰρ ἐντελὲς, ἀποφθιόμενον, ἐκ τοῦ φθίω.

Ἀποφθίμενος. φθίω, φθίσω, τὸ παθητικὸν φθίομαι, φθίμενος κατὰ συγκοπήν, καὶ ἀποφθίμενος.

Ἀποφθίμην, ἀπὸ τοῦ φθίω ῥήματος, ἐξ οὗ καὶ ὁ φθίσις, καὶ ὁ φθισήνωρ. καὶ ἀποφθίμην, ἀπολοίμην, ἀποθάνοιμι.

Ἀπόφθιμον, φθαρέντα, ἀποθανόντα, ἀπὸ τοῦ φθίω.

Ἀποφθινύθουσι, φθείρονται. ἀπὸ τοῦ φθίνω φθινύθω. ὡς ἀπὸ τοῦ νέμω, τὸ νεμέθω.

Ἀποφθίσθω. φθίω, φθίσω, ἔφθικα, ἔφθιμαι, ἐφθίμην, ἔφθισο, τὸ προστακτικόν, φθίσο φθίσθω, καὶ ἀποφθίσθω, ἀντὶ τοῦ ἀποθανέτω.

Ἀποφλᾶσαι, ῥογχάσαι, Κρῆτες καὶ Σάμιοι.

Ἀποφλαυρίζοντες, ἐπισυνθάζοντες, ἐξευτελίζοντες, ἢ ὡς πονηρὸν ἀποστρεφόμενοι.

Ἀποφλύειν, ἀπερεύγεσθαι.

Ἀποφοιβάζων, ἀποκαθαίρων, ἢ χρησμῳδῶν, μαντευόμενος.

Ἀποφοιτᾶν, ἀποπηδᾶν, ἀναχωρεῖν.

Ἀποφοίτησις, χωρισμός, ἢ ἀναχώρησις.

Ἀποφοιτήσομαι κάλλιον, ἢ ἀποφοιτήσω. οὕτως ἀπολαύσομαι, ἢ ἀπολαύσω.

Ἀποφορά, ὀσμή. καὶ ἀπόφορα δένδρα, τὰ μὴ φέροντα καρπόν.

* Ἀποφορά, οὐχὶ ἀποκομιδὴ μόνον, ἀλλὰ καὶ ἡ τῶν φόρων καταβολή.

Ἀποφορᾶν, ἀντὶ τοῦ ἀπενεγκεῖν, καὶ διάστημα ποιῆσαι μεταξύ. Ἰσαῖος ἐν τῷ πρὸς Ὀργαίωνα, ἐν ᾧ φησιν οὕτως, Εἴπερ γοῦν ἀρρίζον τὰς ἀποφορὰς ταύτας τῶν ποδῶν ἀλλότριον εἶναι τὸ χωρίον.

Ἀποφόρος, ἀσθενέστερος.

Ἀποφορτίσασθαι, ἀποῤῥίψασθαι, ἀποβαλεῖν τὸ φορτίον.

Ἀποφράδας, κακάς, παρατηρησίμους.

Ἀποφράδες, αἱ ἀπηγορευμέναι ἡμέραι, ἃς οἱ παλαιοὶ καὶ ἐνηκάδας καλοῦσι φθίνοντος τοῦ μηνός, τετράδα, τρίτην ἡμέραν. ἢ τὰς ἡμέρας ἐν αἷς τὰς φονικὰς δίκας ἐδίκαζον, διὰ τὸ οἷον ἀποφράττεσθαι τὸ τῆς σελήνης φῶς ἐν αὐταῖς. καὶ τοὺς πονηροὺς δὲ, ἀποφράδας ἐπιθετικῶς ἐκάλουν, οἷον ἄνθρωπος ἀποφράς, καὶ βλέπων ἀπιστίαν. παρὰ τὸ φῶ ῥῆμα, φράζω. ὁ μέλλων, φράσω. ἀποβολῇ τοῦ ω, φράς, καὶ ἀποφράς.

Ἀποφυλακίζει, βιάζεται.

Ἀποφύλιοι, ξένοι οἱ μὴ ἔχοντες φυλήν, Αἰσχύλος.

Ἀποφῶναι, διαστῆναι.

Ἀποφυσήσασα, ἐγκρύψασα.

Ἀποφυσίας, ἐκφυσήσεις, ἐξοχάς.

Ἀποφώλιοι, ξένοι, οἱ φυλὴν μὴ ἔχοντες. οὕτως Αἰσχύλος. ἢ ἀπαίδευτοι, φωλεοὶ γὰρ τὰ παιδευτήρια, κατὰ Ἴωνας, οὐ μὴν πᾶς ἀπαιδεύτους, ἀλλὰ κατὰ ψυχὴν μόνον.

Ἀπο-

Ἀποφῶρας, κλέπτας.

Ἀπόχασον, ἀποχάρισον.

Ἀποχαδῇ, ἀποθάνῃ, ἀποίχῃ.

Ἀποχειρόβιοι, οἱ ἁλιεῖς, καὶ χειρογάστορες, οἱ τεχνῖται.

Ἀποχειροβίων, τῶν ἐκ χειρῶν ζώντων, καὶ ταῖς τέχναις προσκαθημένων.

* Ἀποχειροβίωτος, ὁ ἀπὸ τῶν χειρῶν ζῶν.

Ἀποχειροτονηθῆναι, ἀποστραφῆναι, ἀποδοκιμασθῆναι.

Ἀποχετεύονται, μεταφέρονται.

Ἀποχλωρίας, ὁ ἀπὸ αἰσχύνης, ἢ μανίας, ἢ χρόα τῆς ὄψεως ἀλλάσσεται.

Ἀποχοιριάζειν, ἀποσοβεῖν, ὡς χοῖρον ἐξελαύνειν.

Ἄποχον, ἀπότεχνον. οἱ δὲ, ἄγροικον. οἱ δὲ μάταιον.

Ἀπόχρωμον, τὸ ἀποληφθὲν τῶν χρωμάτων παρὰ τοῖς ζωγράφοις.

Ἀποχρᾶν, ἐξαρκεῖν.

Ἀπόχρανος, ἀκάλυπτος, ἀπροφάσιστος.

Ἀποχρέμματος, ἀποπτύσματος.

Ἀποχρησαμένοις, ἀποσησαμένοις.

* Ἀποχρήσασθαι, ἀποκτεῖναι, ἀποσφάξαι, καθελεῖν, διαχρήσασθαι, ἀνελεῖν.

Ἀπόχρη, σημαίνει τὸ ἀρκεῖ. ἀπὸ τοῦ χρῶ, χρῆμι, χρῆς, χρῆσι, καὶ κατὰ συγκοπὴν χρὴ, καὶ ἀπόχρη. δοτικῇ, οἷον οὐκ ἀπόχρη αὐτῷ τοσαῦτα ἔχειν;

Ἀποχριμφθέντα, ἀποχωρισθέντα.

Ἀποχρῶν, πεπληρωμένος πρὸς τὰς πράξεις.

Ἀποχρῶσα, ἀρκοῦσα.

Ἀποχρώντως, ἱκανῶς, ἀρκούντως, αὐτάρκως.

Ἀποχωρεῖ, ἀντὶ τοῦ ἀφίσταται. καὶ ὑποχωρεῖ, ἀντὶ τοῦ ὑπεξίσταται.

Ἀποχώρησις, ἡ ἀποστροφή.

Ἀποχωρῶ, τὸ ἀπέρχομαι, καὶ ἀποδημῶ. ὡς καὶ Δημοσθένης, ἀποχωρῶν δὲ ἐκεῖνος, τοιαῦθ' ἡμῖν ἀπηγγέλλετο.

Ἀποψάλλειν, τὰς θρίχας τίλλειν. ἀπὸ μεταφορᾶς τῶν χορδῶν.

Ἀπόψηστον, τὸ ἀπόμακτρον τοῦ μεμαγμένου σίτου.

* Ἀποψηφίσασθαι, ἀφεῖναι.

Ἀποψηφίζουσιν, ἀντὶ τοῦ καταδικάζουσι. Δείναρχος, ἀποψηφίζουσιν αὐτὸν μὴ εἶναι πολίτην. καὶ τὸ πρᾶγμα Δημοσθένης ἀποψήφισιν καλεῖ. καὶ μετοχὴ, ἀποψηφισμένος.

* Ἄποψιν καὶ ἔποψιν Ἡρόδοτος φησὶ τὴν πρόοψιν καὶ δίοψιν.

Ἀποψοφεῖν, τὸ πέρδεσθαι ἀσχημόνως. ἀσχημονέστερον δὲ λέγειν, ἀποπνεῖν.

Ἀποψύχειν, τὸ ἀπὸ ψυχῆς γίνεσθαι λειποθυμοῦντα, ἢ καὶ θνήσκοντα. τό γε ἐναποψύχειν, ὡς οὐκ εὔφημόν ἐστιν, οἶδεν Ἡσίοδος, ἢ τὸ ἀποπνέειν. οὗ τὸ ἀνάπαλιν, ἀμπνύσθαι. καὶ ἀναπνέειν, ἤγουν ἐπανέρχεσθαι εἰς πνοήν. Ἡσίοδος μέντοι ἐπί τινος, τὸ ἐναποψύχειν σεμνῶς τίθησιν, ὡς δῆλόν ἐστιν. ἐν δὲ τῷ ὃς φρένας θυμὸς ἀγέρθη, ὡς οἷά τινα τόπον καὶ ἑστίαν ψυχῆς καὶ τὰς φρένας εἶναι δοξάζει.

Ἀποψώμεθα, ἤγουν καθαίρομεν τὴν πυγὴν, ἀποσπογγίζομεν τοὺς πρωκτούς. Ἀριστοφάνης ἐν Πλούτῳ, ἀποψώμεθα δ' οὐ λίθοις ἔτι, ἀλλὰ σκοροδίοις, ἤγουν φύλλοις τῶν σκορόδων.

Ἄππας, ὁ τροφεύς.

Ἀππαλάζειν, ἐκκλησιάζειν, Ἴωνες.

Ἄππιλος, ἀσπάραγος.

Ἄππιρ, ὕπαλιξ, Λάκωνες.

Ἀππία ὁδὸς, οὕτω καλεῖται, ἀπὸ Ἀππίου ῥωμαίου· ὃς λιθομυλίᾳ ταύτην κατέστρωσε, καὶ ὕδατος ὀχετοὺς κατεσκεύασεν.

Ἀπράγμονα λέγει Ἀριστοφάνης, τὸν ἐπιεικῆ, καὶ μέτριον τοὺς τρόπους.

Ἀπράγμων, ἄπονος, ὡς τὸ, ἀπράγμονας δεῖ εἶναι τοὺς δούλους. ἡ ἀπράγμων κατά τινας σημαίνει δύο, λέγεται γὰρ καὶ εἰς πρόσωπον, καὶ εἰς πρᾶγμα. ὡς ὅταν εἴπῃς ἀπράγμονα δοῦλον, δηλοῖ τὸν ἀνοικονόμητον, καὶ ἀνεπιτήδειον πρὸς τὰ δημόσια. ὅταν δὲ εἴπῃς ἀπράγμονα ζωὴν, τότε λέγεται ἀντὶ τοῦ ἀπραγμάτευτον, καὶ ἀκίνδυνον.

Ἀπραγμόνως, ἐλευθέρως, ἄνευ τινὸς ἐξετάσεως. Ἰάμβλιχος, Εἴπε ἐάσατε οὕτως ἀπραγμόνως, ἀποθανεῖν.

Ἀπραγμάτευτος, ἡ μηδένα κόπον ἔχουσα, ἀπολυπραγμόνητος.

Ἀπραγμοσύνη, ἡ καταφρόνησις, καὶ ἀμέλεια. ἡ ἀπραγμοσύνη, ἡ ἀργία. ἢ φυτὸν, ὡς Ἀριστοφάνης ὁ γραμματικὸς, ἐν Ἀκαδημίᾳ φυόμενον. Ἄλλως.

Ἀπραγμοσύνη, εἶδος ἄνθους, οἷον πάσης εὐωδίας ὄζον καὶ ἀσφαλείας. ἢ ἀπραγμοσύνης, ἀντὶ τοῦ πολυπραγμοσύνης, Ἀριστοφάνης.

Ἀπράδευτοι, ἀζήμιοι.

Ἄπρακτα, ἀνεκδίκητα, ἀτιμώρητα. ἀλλὰ ταῦτα μὲν οὐχ οἷά τε εἶναι ἄπρακτα γενέσθαι. καὶ ἄπρατα λέγονται, τὰ μήπω πεπραγμένα. ὡς ἄπρατος ἀνὴρ, ὁ μὴ πιπράσκων ἑαυτόν.

* Ἄπρατα, τὰ μήπω πεπραγμένα, ὡσαύτως καὶ τὰ μὴ πιπρασκόμενα.

Ἄπρηκτος, δύσπρακτος, δυσεργὴς, δυσκατόρθωτος.

Ἀπρήκτους ὀδύνας λέγει Ὅμηρος, ἐφ' αἷς οὐκ ἔστιν ἐκδίκησις. αἳ καὶ ματιδίως λέγοιντο ἂν γίνεσθαι, κατὰ τὸ εἰλαπινάζουσι, πίνουσί τε αἴθοπα οἶνον ματιδίως, ἤγουν ἐφ' οἷς οὐκ ἔστι τίσις, ὅ ἐστιν ἀνταπόδοσις.

Ἄπρηκτα, ἀνωφέλητα.

Ἄπρητον, ἀφλόγιστον.

Ἀπριάτην, ἄνευ τιμῆς. ἀπὸ τοῦ πρίημι, τὸ παθητικὸν, πρίαμαι. τὸ ἐπίρρημα, ἀπριάδην, καὶ τροπῇ τοῦ δ εἰς τ, ἀπριάτην. ἢ ἀπριάτην, ἀνάποινον, ἐπιρρήματά φασιν οἱ παλαιοὶ, ἀντὶ τοῦ ἀπριάδην καὶ ἀναποίνως. ἤγουν δίχα τοῦ πρίασθαι, καὶ δίχα ἀποίνων.

Ἀπρὶξ, τὸ στερρῶς κρατεῖν, καὶ μὴ ἀπολύειν. ἀπρὶξ ἐλάβετο λέγε, ἀλλὰ μὴ ἀμφοτέραις χερσί. καὶ παρὰ Πλάτωνι, ἀπρὶξ προσπεφυκότων, ἰσχυρῶς· ὃ οὐχ οἷόν τε πρίσαι, διὰ τὴν σύμφυσιν.

Ἀπροβούλευτον, τὸ μὴ πρότερον εἰς βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσφερόμενον ψήφισμα. ἐν τῷ κατ' Ἀνδροτίωνος νόμος παράκειται ταῦτα δηλῶν.

* Ἀπροβουλία, ἀναρμοστία, προπέτεια σὺν ἀπονοίᾳ.

Ἀπροδιορίστως, ἀορίστως, μὴ πρός τι διωρισμένως.

Ἀπροθέστως, ἄνευ προθέσεως.

Ἀπροϊδὴς, ἀπροόρατος, ὁ ἄδηλος.

Ἀπροΐτως, ἀνεξόχως.

Ἀπρόϊτος, ὁ τῆς οἰκίας μὴ ἐξερχόμενος.

Ἀπροϊδῆ, ἀφανῆ.

* Ἄπροικος ἡ μὴ ἐπίπροικος, ἡ ἀχρήματος.

Ἀπρονόμευτος, ὁ πραιδευθείς. ἀπρονομὴ γὰρ, ἡ ἐπὶ τῆς χώρας ἁρπαγή.

Ἀπρονόητος, καὶ ὁ μὴ προνοῶν, καὶ ὁ μὴ προνοούμενος.

Ἀπροόπτως φέρεταί τις, ὅταν οὐ προορᾷ τὴν ὁδὸν, καὶ ἀμερίμνως ταύτην διέρχεται. καὶ ἀπρόοπτος, ἀπροόρατος, λαθραῖος.

Ἄπροπον, ἄτροπον, ἀπρεπές.

Ἀπρόσβλητον, γενναῖον.

Ἀπροσβούλευτον, τὸ μὴ πρότερον εἰς τὴν βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα. οὕτω Δημοσθένης.

Ἀπροσδεὴς, ὁ μηδενὸς ἐνδεής.

Ἀπροσδιορίστως, ἀορίστως, μὴ πρός τι διωρισμένως.

* Ἀπροσδοκήτως, ἀνελπίστως, ἐξαίφνης, ἐξαπίνης.

Ἀπροσέλαστος, ἀπροσπέλαστος, ἀδιεξίτητος.

Ἀπροσεξία, ῥᾳθυμία, παρὰ τὸ μὴ προσέχειν τινὰ ἑαυτῷ, ἢ τοῖς πρακταίοις.

Ἀπρόσηλον, ὃ οὐδεὶς προσηλεῖται, ἀλλ' εὐθέως πίπτει. ἢ ἀκαυμάτιστον, ἀπὸ τῆς εἵλης.

Ἀπρόσιτος, ἀπροσπέλαστος, ἀπάνθρωπος, ἀχώρητος, ἀπροσέγγιστος, ἀδεχθὴς, μοχθηρὸς ἰδεῖν.

Ἀπρόσιτον, ἀθεώρητον.

Ἀπρόσκλητος δίκη, ἡ μὴ τυχοῦσα τῶν καλουμένων κλητήρων κατὰ τὸν νόμον, καὶ διὰ τοῦτο οὐκ ἦν εἰσαγώγιμος.

Ἀπροσκοπεῖν, μὴ προορᾶν.

Ἀπρόσκοπον, ἀσκανδάλιστον.

Ἀπρόσμαστος, ἀπρόσθικτος, ἄψαυστος, μαστεύσθαι γὰρ τὸ ἅψασθαι, ἀπρόσβατος.

Ἀπρόσμαχοι, ἀκαταγώνιστοι. ὡς τὸ, Καὶ ῥωμαίοις ἐν πεδίοις ἀναπεπταμένοις, καὶ ἐν τῇ ἐκείνων οἰκείᾳ γῇ αἰσθέσθαι, ὅτι οὐκ ἀπρόσμαχοι εἶεν Πάρθοι.

* Ἀπρόσρητος, δυσπρόσρητος, μισοπροσήγορος, δυσέντευκτος.

Ἀπρόσοιτος, ἀνυπομόνητος.

Ἀπροσπέλαστος, ἀπροσέγγιστος.

Ἀπροσπλήστῳ, ᾧ οὐκ ἄν τις προσπελάσειεν.

Ἀπροσπταίστῳ, ἀσκανδαλίστῳ.

Ἀπροστασίου δίκην ἔλεγον, ὁπότε μέτοικος ἐγκαλεῖτο, ὡς μὴ ἔχων προστάτην.

Ἀπροστάτευτος, ὁ μὴ ἔχων προστασίαν τινός.

Ἀπροσίματον, ἀπροσδόκητον.

* Ἀπρόστομον, ἄστομον, στομοῦσι δὲ τὰ ἄστομα.

Ἀπρόσφορον, ἀνάρμοστον.

Ἀπρόσωπον, κακόμορφον, δυσειδές.

Ἀπρόσωπος, οὐκ εὐπρόσωπος, καὶ ὁ προσωπείῳ μὴ χρώμενος, ἢ λαμβάνων.

Ἀπροτίμαστος, ἄψαυστος, ἄθικτος. ἡ μὴ ἐπιζητηθεῖσα γυνὴ, ἀλλ' ἄθικτος διαμείνασα. Ἀλλ' ἔμεν ἀπροτίμαστος ἐνὶ μεγάροισι. παρὰ τὸ μαίω, τὸ ζητῶ, ἡ μὴ ἐπιζητουμένη πρὸς μίξιν, ἢ παρὰ τὸ μαστεύω, τὸ ζητῶ, ὅθεν καὶ μαστός. καὶ ἐπιμασσάμενος, ἐπιλαβόμενος, ἀψάμενος. ἢ ἀντὶ τοῦ ἀπρόσψαυστος, παρὰ τὸ μάσασθαι, τὸ ἅψασθαι. ἀφ' οὗ καὶ τὸ μασάσθαι, καὶ μαστὸς, ὁ τοῖς βρέφεσι μαστευτός. καὶ τὸ εἰσεμάσατο θυμὸν, ἤτοι ἥψατο. οὗ οὐ δυσχερὲς ἐφάψασθαι τῆς δυνάμεως.

Ἀπροτίοπτα, κρύφα, λάθρα. ἀπὸ τοῦ ὄπτω, τὸ βλέπω.

Ἀπροτιόπτιστος, ἀπρονόητος.

Ἀπροτίοπτοι, ἀόρατοι.

Ἀπρόφατοι, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἀπροόρατοι, ἀπροφάσιστοι. οἷον ἄνευ προφάσεως, καὶ ἐποχῆς, καὶ ὑπερθέσεως, παρ' ὅσον τοῖς προφασιζομένοις παρέπεται ὑπέρθεσις.

Ἀπροφάτως, ἀπροσφωνήτως, ἀπροφασίστως.

Ἀπροφάτως, ἀθρόως, παρὰ τῷ Ἀπολλωνίῳ, καὶ ἀδιαστάκτως, ἀδιακρίτως.

Ἀπταὶ, φάρμακα.

Ἀπταίστως, ἀκαταγνώστως.

Ἀπταραῖος, ὁ ἀπὸ Κρήτης. Ἄπτα γὰρ, πόλις Κρήτης.

Ἀπταρύζεται, πέπτεται·

Ἀπταρτίτας, τοῦτο ἐν συνηθείᾳ λέγεται. σημαίνει δὲ ἀπταὶν πένητα. τιταὶν γὰρ, παιδεραστήν.

Ἅπτει βρόχον, καὶ ἅπτεται, καὶ ἅπτει πῦρ. Ἀριστοφάνης νεφέλαις, ἅπτε ταῦ τὸν λύχνον. καὶ ἅπτει, συνάπτει.

Ἀπτηλοῦς, λείας.

Ἄπτερα, ἰσόπτερα, ταχέα, ἡδέα. καὶ Ἄπτερα, πόλις Κρήτης. ὅτι αἱ Σειρῆνες ποτὲ πρὸς τὰς Μούσας εἰς ἔριν ἐλθοῦσαι, καὶ ἡττηθεῖσαι, ἐκεῖ τὰ πτερὰ ἀπέβαλον.

Ἀπτερέως παρ' Ἡσιόδῳ, ὥσπερ τὸ ἀψοφέως. σημαίνει τὸ ἐστὶν ἀπωτέρω. οὕτως Ἡρωδιανός. Ἔτι ταχέως, ἑτοίμως, ἀφροντίστως. οἱ δὲ, ἀπροθύμως, ἐλαφρῶς, ἡδέως. Ἔνιοι δὲ, ἠμελημένως.

Ἄπτερος ἔπλετο μῦθος, παρ' Ὁμήρῳ. κεῖται δὲ τὸ ἄπτερος ἔπλετο μῦθος, εἰς ἴσον τῷ ταχέως προσήκατο φασὶ τὸν λόγον. ἄπτερος δὲ, ὁ παράμονος καὶ μὴ πτερόεις, κατὰ τὸ κοινὸν τοῦ λόγου ἐπίθετον, ἤγουν ὁ μὴ ἀποπτὰς, ἀλλ' ἐπιμείνας τῇ γυναικί. τινὲς δὲ καὶ ἀντὶ τοῦ ταχὺς, καὶ ἰσόπτερος νοοῦσι τὴν λέξιν· ἵνα λέγῃ, ὅτι ταχὺς ἐς ψυχὴν εἰσέδυ τῇ Πηνελόπῃ.

Ἅπτεσθαι, ἀόριστόν ἐστι. τὸ δὲ προσάπτεσθαι, ἔλαττον τοῦ ἅπτεσθαι. τὸ γὰρ προσάπτεσθαι, ἀντὶ τοῦ ἐσκεμμένως πως, καὶ ἀκροθιγῶς ἅπτεσθαι, καὶ οἱονεὶ ἄκροις δακτύλοις ἅπτεσθαι δηλοῖ. ὥσπερ καὶ ψαύειν καὶ προσψαύειν, καὶ ἐγγίζειν καὶ προσεγγίζειν.

Ἅπτεσθαι, ἀντὶ τοῦ ἐπιλαμβάνεσθαι, γενικῇ συν-

συμπλέκεται. ὡς παρ' Ὁμήρῳ, ἀλλήλοις ἐκέλευον ἅπτεσθαι νηῶν, καὶ νηὸς ἀσέλμοιο μελαίνης ἥπτετο.

Ἅπτεται βέλη παρ' Ὁμήρῳ, ἀνάπαλιν ἔχει πρὸς τὸ πίπτει ἔραζε. τὰ γὰρ ἁπτόμενα βέλη, οὐ κάτω πίπτει, ἀλλὰ βαλλόμενα ἐνατομένει.

Ἥπτετο, ῥῆμα. καὶ συντάσσεται μετὰ γενικῆς. ἐπειδὴ ἡ ἐκ τῶν αἰσθήσεων γινομένη ἐνέργεια γενικῇ συντάσσεται. οἷον, ἀκούω σου, γεύομαί σου. εἰ δὲ ἐπὶ φιλοφροσύνης ἢ ἁπλῶς ὁμιλίας ἡ λέξις λαμβάνεται, τότε δὴ αἰτιατικῇ συντάσσεται.

Ἀπτέρως παρὰ Λυκόφρονι, ὁμοπτέρως, ταχέως, αἰφνιδίως.

Ἀπτέρωτα, ταχέα, αἰφνίδια.

Ἀπτώ, γίνεται παρὰ τὸ πτῶ πτώσω, πτώ, καὶ ἀπτώ. ὥσπερ παρὰ τὸ ἔχω, ἀεχώ, καὶ συναιρέσει ἀχώ, ὁ πτωχὸς, ὁ μηδὲν ἔχων.

Ἄπτηνες, οἱ μὴ ἵπτασθαι δυνάμενοι.

Ἀπτῆσι, μηδέπω πετομένοις.

Ἀπτίστων, ἀκόπων, ὁλοχερῶν, παρὰ τῷ Ἱπποκράτει.

Ἅπτομαι, ἐπὶ ἀφῆς, ἀόριστον ἔχει τὴν φωνήν. τὸ δὲ προσάπτομαι, τὸ ὑπεσταλμένως καὶ οἱονεὶ ἄκροις δακτύλοις ἅπτεσθαι δηλοῖ. ὥσπερ καὶ ψαύω καὶ προσψαύω, ἐγγίζω καὶ προσεγγίζω, χρῶμαι καὶ προσχρῶμαι. ἅπερ γενικῇ συντάσσεται. οἷον, ἅπτομαί σου, ψαύομαι, ψηλαφῶ.

Ἀπτοεπής, ἢ ὁ ἁπτόμενος διὰ λόγων, ἢ ὁ ἀπτόητος, ὁ μὴ πτοούμενος ἐν τοῖς λόγοις, ὁ θρασύλογος, καὶ ὑβριστής.

Ἀπτόν, ψηλαφητόν.

Ἄπτερος, ἰσόπτερος.

Ἀπτῷ, ψηλαφητῷ.

Ἄπτωτον, τὸ μὴ πίπτον, ἀλλ' ἑστώς.

Ἄπτωτος, ἄφοβος.

Ἄπυγοι, οἱ λεῖοι τὰς πυγάς. ἐσκώπτοντο δὲ ἐπιεικῶς Ἀθηναῖοι, εἰς αἰσχρότητα.

Ἀπυθύσομεν, ἐξιλασκόμεθα, ἢ ἀποπνίξομεν.

Ἄπυθεν, ἄποθεν.

Ἀπυθυμιῶ, ἀποφαίνω. Κρῆτες.

Ἀπυξίνου, ἀπονίπρου, Τιμοκλῆς.

Ἀπυλέτω, αἰνείσθω.

Ἀπυνδάκωτος, ἀπύθμενος. Σοφοκλῆς τριπτολέμῳ. ἐν δὲ Ἰφιγενείᾳ, πύνδακα τὴν λαβὴν τοῦ ξίφους ἔφη.

Ἀπύλωτον στόμα, Φρύνιχος ἀθύρωτον. οἱ δὲ γραμματικοὶ ἀπύλωτον, ἀντὶ τοῦ ἀνεῳγμένον, καὶ πύλην μὴ ἔχον, μὴ χαλιναγωγούμενον, μὴ δὲ κρατούμενον.

Ἄπυρα, σῖτα.

Ἄπυστος, ἀνήκουστος. ἀπὸ τοῦ πεύθω πευστὸς, καὶ ἄπυστος.

Ἄπυος, ὁ δίχα ἕλκους.

Ἄπυργος, ἀτείχιστος. Εὐριπίδης Τημένῳ.

Ἄπυροι τρίποδες, εἰς οὓς οἶνος ἐξεκεράννυτο. λοετροχόοι δὲ, ἐν οἷς ὕδωρ ἐθερμαίνετο, οἳ καὶ ἐμπυριβῆται. ὧν ἔνιοι ὤτωέντες τρίποδες ἐκαλοῦντο, διὰ τὸ τρίποδα τὴν ὑπόβασιν ἔχειν. καὶ ὅτι τὸ ἀρχαῖον δύο γένη τριπόδων ἦσαν, οἳ καὶ λέβητες ἐκαλοῦντο, ἐμπυριβῆτες, καὶ ὁλοετρόχοες. Αἰσχύλος, Τὸν μὲν τρίπους ἐδέξατο οἰκεῖος λέβης, ἀεὶ φυλάττων ὑπὲρ πυρὸς τὴν στάσιν. ὁ δὲ ἕτερος, κρητὴρ καλούμενος. ὁποῖοι οἱ παρ' Ὁμήρῳ ἄπυροι, ἐν οἷς οἶνον ἐκίρνων. ὃς δὴ καὶ ᾠκειοῦτο Διονύσῳ, διὰ τὴν κατ' αὐτὸν ἐν μέθῃ ἀλήθειαν. καθὰ καὶ τῷ πυθίῳ Ἀπόλλωνι τρίπους ἦν ἀληθείας, διὰ τὴν ἐκ μαντικῆς ἀλήθειαν. οἶνος δέ φασι καὶ ἀλήθεια, ὃς καὶ ἀνδρὸς ἔδειξε νόον. καὶ ἐν Διονυσίοις νικητήριον διὰ τοῦτο τέθειται τρίπους. ἐπεὶ καὶ τοὺς ἀληθεύοντας, ἐκ τρίποδος λέγειν φαμὲν, τοῦ κατὰ μαντείαν δηλαδὴ ἀληθευτικοῦ. ὃ καὶ οἶνος ποιεῖ, ὡς εἴρηται. λέγει δὲ ὁ αὐτὸς, καὶ ὡς τριπόδων λέξις καὶ ἐπὶ τραπεζῶν ἔκειτο. ὡς τὸ, ἐπεὶ δ' ἂν τρίπους ἤρθη, στατέον ἡ τράπεζα. ἔστι δὲ πάντως τρίπουν εἰπεῖν, καὶ τράπεζαν. τριπόδων οἱ μὲν ἐμπυριβῆται, οἱ καὶ αἴθωνες ἴσως λέγοιντο ἂν, ὡς πυρὶ αἰθόμενοι, καὶ οὕτω χρήσιμοι. οἱ δὲ ἀναθεματικοὶ, πρὸς κάλλος ἀνατιθέμενοι ἐν οἴκοις ἢ ναοῖς, ἄχραντοι πυρὶ φυλαττόμενοι. οὓς ἀπύρους φησὶν ὁ ποιητὴς, πρὸς διαστολὴν τῶν ἐμπυριβητῶν. ἕτεροι δὲ ἀπύρους μὲν νοοῦσι, τοὺς μήπω πυρὶ ὁμιλήσαντας. αἴθωνας δὲ, τοὺς ἤδη πυρωθέντας. λέβητες δὲ, ἕτεροι ὄντες τριπόδων, ὡς δηλοῖ σαφῶς ἐν Ὀδυσσείᾳ. ἢ αἴθωνες λέγονται διὰ τὸ ἐκ τοῦ γεγανῶσθαι λαμπρὸν, ὡς ἀπὸ τοῦ αἴθω τὸ λάμπω. ὅτι δὲ ἐντιμότεροι λεβήτων οἱ τρίποδες, δηλοῖ ὁ ποιητὴς ἐν τῷ ἰῶτα. ἑπτὰ μὲν ἀπύρους τρίποδας, αἴθωνας δὲ λέβητας εἴκοσι, πρὸς τοῦ βασιλέως ὑποσχέσθαι τῷ Ἀχιλλεῖ.

Ἄπυρον λέβητα λέγει Ὅμηρος, τὸν μήπω τεθέντα εἰς πῦρ, καὶ διὰ τοῦτο λευκὸν, ἀπὸ χαλκώματος δηλαδὴ κασσιτέρου.

Ἀπύρου, ἀθύτου, Σοφοκλῆς.

Ἀπύρους, καινοὺς, νεαρούς. ἢ τοὺς ἀναθεματικοὺς, καινοὺς, καὶ οὐδέ ποτε πεπυρωμένους, ἀλλ' ἕνεκα κόσμου ἀνακειμένους. ἐξ ἐναντίου δὲ πυριβήτας, ἐν οἷς θερμαίνουσι τὸ ὕδωρ.

Ἄπυρος, ἄναπτος, νεαρὸς, καινός.

Ἀπυρωμήλῃ, τῇ πυρὰν μὴ ἐχούσῃ μήλῃ, παρὰ τῷ Ἱπποκράτει.

Ἀπύρωτον, καινὴν, ἢ ἀναθηματικήν.

Ἀπυσδέον, δυσῶδες.

Ἀπύτισιν, ἀπότισιν.

Ἄπυστος, ἀνήκουστος. ἀπὸ τοῦ πεύθω, πευστὸς καὶ ἄπυστος.

Ἀπυστρόπειον, ἀπέστρεφον.

Ἀπύω, τὸ φωνῶ, καὶ βοῶ. Εὐριπίδης, οἳ ἐγὼ μελέα, τί ποτ' ἀπύσω.

Ἀπφά, ἀδελφῆς καὶ ἀδελφοῦ, καὶ ὑποκόρισμα. καὶ ἀπφὺς ὑποκοριστικῶς, ὁ πατὴρ, παπύς τις ὤν, καὶ ἀπφύς.

Ἀπφῶ, τὸν πατέρα λέγουσι Δωριεῖς.

Ἀπφὺς παρὰ Θεοκρίτῳ, ὁ πατήρ. καὶ ὤφειλε μὲν διὰ τῶν δύο γράφεσθαι φφ. ἀφφὺς γὰρ, ἀφ' οὗ φύεταί τις, ἀλλὰ ἐπεὶ οὐδέποτε ἑλληνικὴ λέξις διπλάζει τὰ δασέα, δίχα τοῦ κατὰ ῥωμαίους ὄφφικιου, μετεβλήθη τὸ ἀπὸ πάθους τῆς προθέσεως φ εἰς τὸ ἀντίστοιχον π, καὶ γίνεται ἀπφύς.

* Ἀπφίον καὶ ἀπφάριον, νέας δεσποίνης ὑποκορίσματα.

Ἀπφῶ, σημαίνει τοῦ ἀποκρύφου, ἢ τοῦ ἀποκρυβέντος. καὶ ἀπφῶ, ἀντὶ τοῦ πατρὸς, ἡ διπλασία χάρις.

Ἀπώγωνες, οἱ μὴ ἔχοντες πώγωνα.

Ἀπῳδὸν, ἀναρμόστως, τὸ ἄποθεν τῆς ᾠδῆς.

Ἀπωθεῖται, ἤτοι ἀποπέμπει, καὶ ἀποσείεται.

Ἄπωθεν, χωρὶς, ἢ πόρρωθεν.

Ἄπωθιν, ἀπὸ διαστήματος.

Ἀπώθησαν, ἐξέβαλον.

Ἀπωθοῦμαι, καὶ διωθοῦμαι, τὸ ἀποδιώκω, καὶ ἀποστρέφομαι.

Ἀπωθούμενος. ὠθέομαι, ὠθοῦμαι. καὶ ἡ μετοχὴ, ὠθούμενος καὶ ὠθούμενος. καὶ ἀποθούμενος, μετὰ τῆς ἀπὸ προθέσεως.

Ἀπῴκισεν, ἠχμαλώτευσεν.

Ἀπῳκισμένοι, Φασί τινες Ἀθηναίους αὐτόχθονας φῦναι, καὶ τούτων γονέας ἔχειν γῆν καὶ ἥλιον. ὃς ὁ αὐτός ἐστιν Ἀπόλλωνι. οἱ δὲ ὅτι Κρεούσῃ τῇ Ἐρεχθέως μιγεὶς Ἀπόλλων, Ἴωνα ἐγέννησεν, ἀφ' οὗ καὶ τοὺς Ἀθηναίους ποτὲ Ἴωνας κληθῆναι, καὶ διὰ ταῦτα πατρῷον αὐτοὺς Ἀπόλλωνα ἔχειν.

Ἀπῳκισμένος, μεμακρυσμένος.

Ἀπῴκισται, ἐμακρύνθη.

Ἀπώλεια, ἡ διαφθορά.

Ἀπώλεσας τὸν οἶνον, ἐπιχέας ὕδωρ.

Ἀπωλεύπων, ἀνὰ πώλων. ὡς τὸ, Καὶ ἱππαγέλην ἀπελάσαντες ἀπωλεύπων, μάλα ἀνοίκτως ἀλοῶντες διέφθειραν. ἀπωλύμην, παρατατικός.

Ἀπ' ὤμοιϊν, ἀπὸ τῶν ὤμων.

Ἀπωμοσία, ὅταν τις κρινόμενος σκήπτηται μὴ σχολεῖν πρὸς τοὺς δικαστάς. ἀνθυπομνύει δὲ ὁ ἀντίδικος, καὶ περὶ αὐτοῦ τούτου προσδικάζονται.

Ἀπώμοτον, φευκτὸν, τὸ ἔξω ὅρκου γινόμενον. ἢ ὅπερ ἄν τις ἀπομόσειε γεγονέναι, ἢ μὴ γενέσθαι. Ἔνιοι, ἀνέλπιστον.

Ἀπὼν, μακρὰν ὤν.

Ἀπώνατο, ὠφελήθη. ὀνῶ, ὀνήσω, ὤνησα, ὠνησάμην, ὠνάμην, ὤνου, ὤνατο, καὶ ἀπώνατο.

Ἀπωνηθήσεται, πειράσεται.

Ἀπώρυγας, ὑδραγούς.

Ἀπῶσαι, ταυτόν ἐστι τῷ ἀποπέμψαι. ἅπερ οἱ μεθ' Ὅμηρον, παθητικῶς ἀπώσασθαί φασι, καὶ ἀποπέμψασθαι.

Ἀπώσατο, μακρὰν ἔρριψεν.

Ἀπώθησαν, ἀπερρίφησαν.

Ἀπῶσμαι, ἀπέρριμαι. ὡς τὸ, Κἀγὼ ἥπου ἀπῶσμαι.

Ἄπωσον, τὸ δίωξον, ὤθησον.

Ἀπωστὸς, ἐκδεδιωγμένος.

Ἀπωτάτω, μακράν.

Ἀπωτέρω, πόρρω, μακράν.

ΤΟ' Α'. ΜΕΤΑ' ΤΟΥ' Ρ'.

Ἆρα; ἐρωτηματικῶς προπερισπᾶται. οἷον, ἆρά σοι ἀλόγως λελυπῆσθαι δοκῶ; καὶ Ἀριστοφάνης, ἆρ' ἐκδιδάσκω τὸ σαφές;

Ἄρα σύνδεσμος παροξύνεται. οἷον, εἰ φῶς ἐστιν, ἡμέρα ἐστί· φῶς ἐστιν, ἄρα ἡμέρα ἐστίν. ἔστιν ὅτε σημαίνει, ὅπερ σημαίνει τὸ κὲν.

Ἄρα, οἱ Ἀττικοὶ ὅταν μὲν ἐρωτηματικὸν ᾖ, τροχαϊκῶς γράφουσιν. ὅταν δὲ ὡς σύνδεσμος συναπτικὸς λέγηται, ἀδιαφόρως· ποτὲ μὲν τροχαϊκῶς, ποτὲ δὲ πυρριχαϊκῶς.

Ἄρα, λαμβάνεται καὶ ἀντὶ τοῦ ὡς ἔοικεν, ὡς παρὰ Ἀριστοφάνει, Σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων. καὶ παρὰ Λιβανίῳ, Οὐκ ἄρα εἵμαρτο τῇ Βιθυνίᾳ, τὴν χείρω τύχην ἀθάνατον γενέσθαι.

Ἄρα, συλλογιστικὸς σύνδεσμος, καὶ ἀντὶ τοῦ δὴ, καὶ ὡς ἔοικε, καὶ ὡς φαίνεται οὕτω Πλάτων.

Ἄρα, συμπερασματικὸν ὂν, καὶ ἀντὶ μακροῦ εἴρηται. ἔστι δὲ τὸ μὲν ἀπορρηματικὸν ἆρα, μακρὸν ἀεί· τὸ δὲ συμπερασματικὸν οὐκ ἀεὶ βραχύ.

Ἄρα, ἔστιν ὅτε καὶ ἀντὶ τοῦ ἀληθῶς λαμβάνεται.

Ἄρα, ἀντὶ τοῦ ὡς ἔοικεν εἴρηται· Ἡσίοδος, Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος, οὐκ ἦν ὡς ἔοικε μία ἔρις. καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ, Οὐκ ἄρα σοί γ' ἐπὶ εἴδει καὶ φρένες ἦσαν. καὶ Ἀπολλώνιος, ἦ ἄρα δή τις. τὸ ἦ ἄρα ἠθικῶς, ἀντὶ τοῦ ὡς ἔοικεν.

Ἀρά, οὐ μόνον ἡ κατάρα, ἀλλὰ καὶ ἡ εὐχὴ καὶ ἡ βλάβη. ὥσπερ καὶ ἡ τύχη, ποτὲ μὲν ἡ εὐτυχία, καὶ δαίμων. ὁμοίως καὶ τὸ ἀρᾶσθαι.

Ἀραβήσσειν, ὅ ἐστιν ὀρχεῖσθαι, Ἰωνικὴ λέξις.

Ἀράβησεν, ἤχησεν, ἐκ τοῦ ἀραβῶ, ἤσω. κυρίως ἡ ἐπὶ τὴν ἔραν πνοὴ, ἄραβος· καταχρηστικῶς δὲ, καὶ ἐπὶ τοῦ σιδήρου. παρὰ τὸν ἄρεα, καὶ τὴν βοήν.

Ἀραβία, τόπος Συρίας, καὶ κόσμος γυναικός.

Ἀραβίδες, αἱ μετὰ κονιορτοῦ πνοαί. καὶ ἀραβικὴ πνοὴ, ἡ Τυφωνική.

Ἀράβιος ἄγγελος, παροιμία. παρὰ τὸ ἀράβιος αὐλητὴς, παραλαμβανομένη ἐπὶ τῶν ἀπαύστως διαλεγομένων. μετῆκται δὲ ἀπὸ τοῦ Ἀραβίου αὐλητοῦ, ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων.

Ἄραβος, κτύπος, κυρίως ἡ ἐν Ἄρει βοὴ, ἀράβοος καὶ ἄραβος. ἢ κυρίως ἡ ἐν ὄρει βοὴ, ὄραβος καὶ ἄραβος. ἢ κυρίως ἡ ἐπὶ τὴν ἔραν βοὴ, ἔραβος, καὶ ἄραβος· ἐξ οὗ τὸ ἀραβῶ. καὶ ἀράβησεν, ἤχησεν, ἐψόφησεν.

Ἀραβύλας, ὑποδήματος διαφοραὶ, καὶ βαρβαρικά.

Ἀράβῳ, ψόφῳ, ἐν Κλυταιμνήστρᾳ.

Ἀράγειν, σπαράσσειν.

Ἀραγμὸς, ψόφος.

Ἀράσει, θορυβήσει, ταράξει.

Ἀράδηται, κεκόνιται, συγκέχυται.

Ἄραδος, ἡ ἀπὸ τῶν γυμνασίων τῆς καρδίας κίνησις, καὶ Πόλις.

Ἀράδους, βλαβερὰς, λεπτάς.

* Ἀράζειν, κνυζᾶσθαι τοὺς κύνας.

Ἀραιαὶ κνῆμαι, αἱ ἀσθενεῖς καὶ βεβλαμέναι. ὡς γὰρ γῆρας γηραιὸς, πλεονασμῷ τοῦ ι, οὕτω καὶ

Digitized by Google

ἀρὰ ἀραιός. ἡ δὲ Ἱστορία, οἶδε καί τινας νήσους ἐπονομαζομένας ἀραιάς.

Ἀῤῥαιὰς γλώσσας, τῶν λύκων φησὶν ὁ ποιητής. ἢ μετὰ δασείας, ἀντὶ τοῦ στερεὰς καὶ ἐπιμήκεις. ἢ μετὰ ψιλῆς, ἀντὶ τοῦ βλαπτικάς. ἄκρον δὲ λάπτουσιν ὕδωρ· διότι κατὰ τοὺς παλαιοὺς οὐ καθιᾶσι τὴν γλῶσσαν εἰς τὸ ὕδωρ, ὡς οἱ βόες. οὐδὲ κατὰ λυκοσπάδας ἵππους τὸ ἥμισυ τοῦ ὄψεως, ἀλλὰ τοῦ ἐπιπολῆς ὕδατος πίνουσιν, ὡς εἴπερ καὶ ἔλειχον.

Ἀραιάς, τὰς βλαπτικὰς νῆας. παρὰ τὸ ῥαίσσειν, ὅ ἐστι φθείρειν. ὅθεν καὶ ψιλοῦται, ἵν' ᾖ τὰς στρατιωτικάς, καὶ οὐ φορτίδας.

Ἀραιὴ γαστὴρ, τὰ λεπτὰ ἔντερα·

Ἀραιὴν, ἀσθενῆ, ἀδύνατον. ἀραιὴν χεῖρα, παρὰ τὸ ῥαίω τὸ φθείρω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀραιή. ὅθεν καὶ δασύνεται. ἀπὸ οὖν τοῦ ῥαίω γίνεται ῥαιὸς, καὶ πλεονασμῷ τοῦ α ἀραιός. καὶ ἀραιὴ μετατεθείσης τῆς δασείας τοῦ ρ εἰς τὸ α. ὡς καὶ ἐπὶ τοῦ ῥέζω, ἔρδω.

Ἀραιήσει, ἁρμοστὸν ποιήσει.

Ἀραιῇσι, λεπταῖς, καὶ μακραῖς.

Ἀραιπτὸν, στρεπτόν.

Ἄραιθος, ποταμὸς Ἠπείρου, ὡς καὶ Καλλίμαχος λέγει.

Ἀραιθυρέα, ἡ Ἀρεθυρέη, καὶ Φλιοῦς, ὄνομα πόλεως. ἐκλήθη δέ φασιν ἀπὸ Φλιοῦντος υἱοῦ Διονύσου, ὡς φέρεται ἐν τοῖς τοῦ Ἐθνογράφου. ὅτι Ἄραντος ἥρωος υἱὸς ἐγένετο Ἄορις, καὶ θυγάτηρ Ἀραιθυρέα. τούτους Φλιάσιοι θηρατάς φασι καὶ πολεμικούς. προαποθανούσης δὲ τῆς ἀδελφῆς, ἀπ' αὐτῆς ἡ χώρα ἐκλήθη. τὸ τοπικὸν αὐτῆς, Ἀραιθυρεύς. ἡ δὲ τοῦ Γεωγράφου Ἱστορία φησὶν, ὅτι Ἀραιθυραία, ἡ νῦν Φλιασία πόλις Φλιοῦντος, κειμένη μέσον Σικυωνίας Ἀργείας Κλεωνῶν, καὶ Στυμφάλων. πόλιν δ' εἶχεν ὁμώνυμον τῇ χώρᾳ πρὸς ὄρει ὀνομαζομένῳ Κηλώσσῃ. οἱ δ' ὕστερον ἀναστάντες ἐκεῖθεν, πρὸ τριάκοντα σταδίων ἔκτισαν τὸν Φλιοῦντα.

Ἄραιος, ὄνομα ποταμοῦ.

Ἀραιός, οὗ τὰ μόρια διάστασίν τινα πρὸς ἄλληλα ἔχει. πυκνὸν δὲ, οὗ τὰ μόρια ἐγγὺς ἀλλήλων κεῖνται. τὸ δὲ ἀραιὸν, οἱ πλείονες ψιλοῦσιν· οὐ γὰρ δασύνεται.

Ἀραῖον, κατάρατον. ὡς τὸ, ὁ πρόσθεν ἐλθὼν, ἣν ἀραῖός μοι νέκυς. οἷον, ἀρὰν προσετρίβετο, καὶ κατευχῆς. Σοφοκλῆς Πολυΐδῳ.

* Ἀραῖος, ᾧ τὶς ἐπαρᾶται.

Ἀραιότερος, βαρύτερος. ἀραιὸς, ἀτυχὴς, ἄθλιος.

Ἄραιτο, λάβοι, κομίσειεν. ὡς τὸ, ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.

Ἀράκην, φιάλην, καὶ ἀράκτην.

Ἀρακίδα, εἶδος ὀσπρίου, παρὰ τῷ Ἱπποκράτει.

Ἄρακον, ὀσπριόν τι. τὸ δὲ αὐτὸ, καὶ λάθυρον.

Ἄρακος, ἱέραξ, Τυῤῥηνοί.

Ἀρακτῆρα, ἀμελκτῆρα.

Ἀράμ, μετέωρος.

Ἄραμα, βόρβορος.

Ἀράμενα, τὰ ἀπόχυτα ὕδατα.

Ἀράμεναι, ἡσυχάζειν.

Ἀράμενοι, ἐπάραντες. καὶ ἀραμένη, ὡς τὸ, ἐπάρασα τὴν ὑδρίαν.

* Ἀράμενος, ἐνεγκὼν, ἀνενεγκὼν, ἀναθέμενος, ἀνακουφίσας, ἐπαιρόμενος, βαστάζων, φορῶν, ἀχθοφορῶν, φέρων, ἀναφέρων.

Ἄραμος, Ἐρωδιός.

Ἀράνη, μεσάγκυλον.

Ἀράγκιλις, ἡ νῦν Αἴγυπτος.

Ἄρανον, τὴν οὐσίαν, καὶ τὸ λευκόν.

Ἄραντες, ἀπενεγκάμενοι. καὶ παρὰ Θουκυδίδῃ ἐπὶ θαλάσσης εἴρηται. ἔστι δ' ὅτε καὶ ἐπὶ γῆς.

Ἀραντίσιν, Ἐριννύσιν· Μακεδόνες, Ἀρανὶς, ἔλαφος.

Ἀράξαι, συντρῖψαι.

Ἀράξης, Ἀράξου, ὄνομα ποταμοῦ, παρὰ τὸ ἀράσσειν, ὅτι ἀπὸ Καυκάσου καταῤῥήγνυται. καὶ ἀραξὸς, βοτάνη τίς.

Ἀράρουσιν, ἐρεθίζουσιν.

Ἄραρ, ποταμὸς τῆς Κελτικῆς, ἀπὸ τοῦ ἀρηρέναι τῷ Ῥοδανῷ ποταμῷ.

Ἀράραι, ἁρμόσαι, πλέξαι.

Ἄραρε, δέδοκται, κέκριται. ἀρῶ, τὸ ἁρμόζω. ὁ μέλλων Αἰολικῶς, ἄρσω. ὁ παρακείμενος ἦρκα. ὁ μέσος, ἦρα. καὶ κατὰ ἀναδιπλασιασμὸν Ἀττικὸν, ἄρηρα. ἡ μετοχὴ, ἀρηρώς. ὅτε φρεσὶν ᾖσιν ἀρηρώς. Δωρικῇ τροπῇ τοῦ η, ἄραρα, καὶ ἄραρεν.

Ἄραρε γὰρ ὅρκος ἐκ θεῶν μέγας.

Ἄραρέ με, ἤρεσέ με ταῖς φρεσὶν, ἢ ἥρμοσαι. καὶ ἄραρεν, ἡρμόσθη. ἢ πλαγίως δέδεικται, ἢ κέκριται.

Ἀράρῃ, καὶ ἄραροι. ἐκ τοῦ ἀράρω ἐνεστῶτος γίνονται.

Ἀράρω δὲ, ἀπὸ τοῦ ἄραρα παρακειμένου. ὡς ἐκ τοῦ πέπληγα τὸ πεπλήγω, καὶ πέφυκα πεφύκω, καὶ τὰ ὅμοια.

Ἀραρίζειν, ἐπὶ τῶν κυνῶν παρ' Ἀθηναίοις, ἀπὸ τῆς ἂρ φωνῆς. παρ' ἡμῖν δὲ, ὑλακτεῖν.

Ἄραριν, ἀράχνην.

Ἀραρινὰ, ὅσα παρασφηνοῦται λιθάρια εἰς τὰς ῥαγάδας.

Ἄραρις, ἄνορχος.

Ἀραρίσκειν, ἐκ τοῦ ἀράρω ἀρχῆς τοῦ ῥήματος παρῆκται. ὁμοίως τῷ τελίσκω, ῥυίσκω, καὶ τοῖς τοιούτοις.

Ἀραρίσκω, τὸ ἁρμόζω.

Ἀραροίμην, ἁρμοσαίμην.

Ἀραρὸν, πάγιον, βέβαιον, καὶ κατάρατον.

Ἀραρόντες, δύχρηστον εἰς ῥητορείαν. τουτέστι, τεχνησάμενοι, τεκτηνάμενοι. λέξις γὰρ τεκτονικὴ, χρόνου δευτέρου ἀορίστου. ἐκ τοῦ ἄραρον γὰρ, ἡ μετοχὴ ἀραρὼν, τουτέστι τεχνησάμενος.

Ἀραρότως, ἁρμοζόντως. ἢ παγίως, καὶ ἑδραίως.

Ἀραρυῖα, συστολὴν ἔχει τοῦ η εἰς α. ἀρηρυῖα γὰρ τὸ ἐντελές. οὕτως· ἀραίω, ἀρῶ. ὁ μέλλων ἀράσω, ὁ μέσος παρακείμενος ἦρα, καὶ ἄρηρα Ἀττικῶς. ἡ μετοχὴ ὁ ἀρηρὼς· καὶ τὸ θηλυκὸν ἀρηρυῖα.

Ἀραρυῖαν, ἡρμοσμένην.

Ἀραρυίας, σανίδας, ἢ κολλητὰς, τὰς θύρας φησὶ περιφραστικώτερον.

Ἄρας, ἱερὸν ἄρας Ἀθήνησιν. Ἀριστοφάνης Ὥραις. ἔνιοι δὲ τὴν βλάβην λέγειν αὐτὸν ἐνόμισαν.

Ἄρας, ἐπάρας, ὡς εἶδον τὸν νέην ἄραντα Ἀχαιούς. ἀείρω, ὁ μέλλων ἀερῶ. ὁ ἀόριστος ἤειρα, ὥσπερ ἤγειρα. ἡ μετοχὴ, ὁ ἀείρας· καὶ κράσει τοῦ ε καὶ α, εἰς α μακρὸν, γίνεται ᾄρας. καὶ μένει τὸ ι προσγεγραμμένον, καὶ μὴ ἐκφωνούμενον, διὰ τὸ μέγεθος τοῦ ι.

Ἀρὰς ἐπισπεῖραι, ἔθος Κυπρίων σπειρόντων κριθὰς μεθ' ἁλὸς καταρᾶσθαί τισιν.

Ἀράσαι, ὀμόσαι, δῆσαι.

Ἀρασάμεναι, ἀλειψάμεναι, ποιοῦσαι ἀράς.

Ἄρασθαι, ἀπενέγκασθαι, ἢ λαβεῖν. Φροντίσασθαι μεῖζόν γε ὂν, ἢ καθ' ἑαυτὸν ἄρασθαι φορτίον.

Ἄρασθαι, ἑλεῖν, λαμβάνειν.

Ἀράσιμος, ὁ καταράσιμος.

Ἀράσσειν, γίνεται ἀπὸ τοῦ ἄρης, ὁ σίδηρος. δηλοῖ δὲ τὴν ῥαδίαν καὶ ἄπονον ἐκκοπήν. καὶ ἀράσσει, συντρίβει, τύπτει, ἀμέλγει.

Ἀρασσόμενα, προσρηγνύμενα, πλησσόμενα, θορυβούμενα.

Ἀρασσομένων, ἀντὶ τοῦ συγκρουομένων ἀλλήλαις.

Ἀράσσω κυρίως, τὸ διὰ σιδήρου τέμνω.

Ἀραχάδες, τὰ περυσινὰ κλήματα.

Ἀρᾶται, καταρᾶται, εὔχεται, ἐπιθειάζει τῷ πατρί.

Ἀρατειχεύειν, καταρᾶσθαι. οἱ δὲ, στρατεύεσθαι.

Ἀράτπων, κρύων.

Ἀραφὲλ, γνόφος, ὁμίχλη. ἢ ὄνομα στερεώματος.

Ἀραφήνιος, δημός ἐστι φυλῆς τῆς Αἰγηΐδος.

Ἀραχθεὶς, διωχθείς.

Ἀράχνειον νῆμα, καὶ ἀραχναῖος μίτος, ὁ λεπτότατος.

Ἀράχνη θηλυκῶς, τὸ ὕφασμα. ἀράχνης δὲ ἀρσενικῶς, τὸ ζωΰφιον τὸ ποιοῦν ἐν ἀέρι νήματα. καὶ ἀράχνιον δὲ, τὸ νῆμα.

Ἀράχνηκες, ἀράχναι.

Ἀράχνης, εἶδος ὀσπρίου.

Ἀραχνία, ἀράχνη, Ἀττικοί.

Ἀραχνοϋφεῖς, ὡς ὑπὸ Ἀράχνης ὑφασμένοι.

* Ἀραχνοειδὴς ὀφθαλμοῦ χιτὼν, ὁ ἐσώτατος, ὁ καὶ ἀμφιβληστροειδὴς λεγόμενος.

Ἀραχωσία, χώρα.

Ἀράων, τῶν εὐχῶν, ἢ ἱερέων.

Ἀρβάκις, ὀλιγάκις.

Ἀρβάλη, τήγανον ὀστράκινον, Ταραντῖνοι.

Ἄρβηλα, ὄνομα τόπου. καὶ Ἀρβήλοις, Ἀθηναίοις.

Ἄρβηλον, σμιλίον σκυτικὸν περιφερὲς, ἔστι δὲ καὶ ὅπλον.

Ἀρβίννη, κρέας, Σικελοί.

Ἀρβὸν, διεστὸς, ἀραιὸν, τὸ ἐλαφρὸν τοῦ ὑποδήματος.

Ἀρβύλαι, αἱ καὶ ἀρβυλίδες, ἀσκέραι Περσικαί. ὧν χρῆσις καὶ παρὰ τῷ Κωμικῷ.

Ἀρβύλη, εἶδος ὑποδήματος. παρὰ τὸ ἁρμόζεσθαι τοῖς ποσὶν, ἁρμύλη, καὶ ἀρβύλη.

Ἀρβωΐδα, λήκυθον, Λάκωνες.

Ἀργάδες, εἶδος φυτοῦ. καὶ ἀργαὶ γυναῖκες.

Ἀργαίνειν, λευκαίνειν. Εὐριπίδης Ἀλκμαίωνι, διὰ ψηφίδος ἀργαίνουσα, λευκαίνουσα, φοιτῶσα.

Ἀργαῖον, τὸ Καισαρείας ὄρος. καὶ Ἀργαῖον, τὸν Ἀγγέλαον καλοῦσιν, Ἀργαῖον καὶ Παυσανίαν.

Ἀργαλέον, χαλεπὸν, δύσκολον. εἴρηται δὲ παρὰ τὸ ἄλγος, ἀλγαλέον, καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ. ὡς ποδαλγία, ποδαργία. ἢ ἔργον παρὰ τοῖς παλαιοῖς, τὸ δυσχερές. ἐκ τούτου παράγωγον ἀργαλέον, ταυτὸ σχεδὸν τῷ ἄλγος, καὶ πόνος, καὶ κάματος.

Ἀργαλέος, ὁ τοῦ Διὸς νοῦς τοῖς ἀνθρώποις κατανοῆσαι. ταυτὸ λέγων ὥσπερ εἰ ἔλεγε, τὸν τοῦ Διὸς νοῦν πολλὰ ἂν κάμοιεν ἄνθρωποι κατανοῆσαι ζητοῦντες, καὶ ὅμως οὐ κατανοοῦσι. καὶ ἀργαλέος, χαλεπὸς, δεινὸς, παρὰ τὸ τὴν ἄρην τὸν πόλεμον, ἀραλέος, καὶ πλεονασμῷ τοῦ γ, ἀργαλέος. ἢ παρὰ τὸ ἄλγος, ὁ λύπας καὶ κακὰ ἐμποιῶν. παράγονται δὲ τὰ τοιαῦτα ὀνόματα ἀπὸ τριῶν μερῶν τοῦ λόγου, ἀπὸ ὀνόματος, ἀπὸ ῥήματος, ἀπὸ ἐπιῤῥήματος. ἀπὸ ὀνόματος. ὡς τὸ, δίψα, διψαλέος. ἀπὸ ῥήματος, ὡς τὸ θαρσῶ, θαρσαλέος. ἀπὸ ἐπιῤῥήματος, ῥίμφα ῥιμφαλέος. τὸ δὲ ἀργαλέος, παρὰ τὸ ἄλγος, μεταθέσει τοῦ λ εἰς ρ. ὅμοιον τῷ ὑδρηρὸς ὑδρηλὸς, ὑψηρὸς ὑψηλός.

Ἀργαλέῳ, ἀργῷ.

Ἀργαλεώτατοι, δεινότατοι.

Ἀργανθώνιον, ὄρος τῆς Κίου.

Ἀργαριζὸν, ἔθνος.

Ἀργὰς, δεινότατος, θηριώδης τὸν τρόπον. ἀργᾶν γὰρ τὸν ὄφιν ἐκάλουν οἱ Ἀργεῖοι. καὶ Ἀργὰς, ὄνομα τυράννου

Ἀργαφιης, οἷον νιψάμεναι κρήναις ἔδραμον Ἀργαφίης. τινὲς δὲ διὰ τοῦ ε, ἀπὸ γεωγράφου τοῦ Ποσειδῶνος. τὸ δὲ ἐντελὲς ἐν τῷ Ἑρμῇ, κρήνης Ἀργαφίης.

Ἀργεία, ἡ Ἥρα, ἢ τῶν Ἀργείων γῆ. καὶ Ἀργεία μὲν Ἑλένη, ἡ Πελοποννησία, ἡ ἐξ Ἄργους δηλαδή. ὅθεν τὰ ῥηθέντα κτήματα ἤγετο ὁ Ἀλέξανδρος

Ἀργεία σφυρὰ, ὡς φιλοδίκους καὶ συκοφάντας Ἀργείους κωμῳδοῦσιν.

Ἀργεῖαι, ὑποδήματα πολυτελῆ γυναικεῖα.

Ἄργειαν ἔχοντα, παρ' Ὁμήρῳ προπαροξυτόνως διὰ διφθόγγου, πλεονάζει μέντοι ἡ διὰ τοῦ ι καὶ τῶν δύο σσ γραφή. τινὲς δὲ λέγουσι Ἄργισσαν. κεῖται δέ φασι, ἐπὶ τῷ Πηνειῷ, κτισθεῖσα ὑπὸ τῶν παίδων Λαρίσσης. κατὰ δὲ τὸν ἀναλεξάμενον τὰ ἐθνικὰ, καὶ Ἄργουρα ὕστερον ἐκλήθη. ἣν δέ φασι καὶ τόπος Εὐβοίας Ἄρουρα· ὅπου δοκεῖ τὸν Πανόπτην ὁ Ἑρμῆς φονεῦσαι. Ἄργισσα δὲ ὠνομάσθη, ἢ ἀπὸ Ἀργείων, ἢ διὰ τὸ προσκυρεῖν τοῖς πεδίοις τῆς Θεσσαλίας, ἣν Πελασγικὸν Ἄργος Ὅμηρος εἶπεν. ἐκαλοῦντο δέ φασιν οἱ ἐκεῖ καὶ Λεοντῖνοι, ἀπὸ Λεοντέως.

Digitized by Google

Ἀργεῖοι, ἀντὶ τοῦ Ἀργεῖοι Αἰολεῖς λέγουσιν. τούτων γὰρ αἱ διαιρέσεις εἰσὶ, καὶ συναιρέσεις. οἷον βασιλέϊ καὶ βασιλεῖ, ἀργέϊ καὶ ἀργῆ.

Ἀργηφόντης λέγεται, οἷον ἀργοφόντης, καὶ τροπῇ τοῦ ο εἰς ε, καὶ πλεονασμῷ τοῦ ι ἀργειφόντης. ὥσπερ καὶ ἀνδροφόντης, ἀνδρεφόντης, ἀνδρειφόντης. ἢ ἀργειφόντης, ὁ Ἑρμῆς. ἀργοφόνος, καθαροφόντης, λευκοφόντης. ἢ ἐν Ἄργει φόνον πεφηνώς, ἢ κατεργῶν τοὺς φόνους.

Ἀργείωνας, τοὺς Ἀργείους.

Ἀργέλλα, οἴκημα Μακεδονικόν· ὅθεν βαίνοντες, ἐν αὐτῷ λούονται.

Ἀργίματα, τὰ ἐπὶ τῶν ὀφθαλμῶν λευκώματα.

Ἄργεμον, τὸ κατὰ πάθος γενόμενον λεύκωμα ἐν τῷ ὀφθαλμῷ. παρὰ τὸ ἀργὸν, ὃ σημαίνει τὸ λευκόν. * καὶ ὁ τοῦτο ἔχων ἄνθρωπος, ἐπάργεμος.

Ἀργεμόνη, εἶδος βοτάνης.

Ἀργέμων, τὸ ἐν τοῖς ὀφθαλμοῖς λευκωπάτων, οἱ δὲ τὸν ὀφθαλμόν.

Ἀργεννὸς, ὁ λαμπρός.

Ἀργεννὸν, τὸ λευκὸν, ἐκ τοῦ ἀργός. ὁμοίως τῷ φάος φαεννὸν, ἔρεβος ἐρεβεννόν.

Ἀργεννοῦσαι, ἀργιλώδεις. εἰσὶ δὲ αἱ τοιαῦται εἰς καρπῶν ἀνέσεις φαῦλαι, καὶ ὡς ἐπιτοπλεῖστον μηλόβοτοι. καθάπερ ἡ Σκῦρος, καὶ αἱ λεγόμεναι Ἀργινοῦσαι.

Ἀργενναίων, λευκῶν, ἢ λαμπρῶν.

Ἀργεννῆσι, λαμπραῖς, λευκαῖς.

Ἀργέσται, οἱ ἐτήσιοι.

Ἀργέσταο, εἰ μὲν ἐστὶ κύριον ἀνέμου, προπαροξύνεται, ὡς τὸ Ἀτρείδαο, ἀπὸ εὐθείας τοῦ Ἀργέστης. εἰ δὲ ἐπίθετον νότου ἐστὶ, προπερισπᾶται, ὡς ἀπὸ τοῦ Ἀργεστὴς ἀργεστοῦ. δηλοῖ τὸν ταχὺν, ἢ τὸν λευκὸν νότον· ὃν καὶ συνηθέστως οἱ σοφοὶ λευκόνοτόν φασιν.

Ἀργέτα δημὸν, τὸ λευκὸν λίπος λέγει. δημὸς μὲν γὰρ, τὸ λίπος, παρὰ τὸ δαίω, ἀργὴς δὲ ἀργῆτος, ὁ λευκός. ἐξ οὗ τὸ ἀργέτα κατὰ συστολήν. τοῦτο δὲ, καὶ ἐπινεφρίδιον δημὸν ἀλλαχοῦ λέγει ὁ Ποιητής.

Ἀργέτι δημῷ, τουτέστι λευκῇ πιμελῇ. ἀπὸ τοῦ ἀργὴς ἀργῆτος ἀργέτι, κατὰ συστολὴν τῆς παραληγούσης. καὶ ἴσως πρὸς διαστολὴν τοῦ, ἀργῆτι κεραυνῷ, ἤγουν λαμπρῷ.

Ἄργετος, ἡ ἄρκευθος, Κρῆτες.

Ἀργὴ, ἡ πάντη καὶ διόλου λευκή.

Ἀργὴν ἔπεφνεν ὄφιν, ἔστι δὲ ἐπίθετον δράκοντος.

Ἀργὴν δὲ χῆνα λέγει Ὅμηρος, τὴν οἰκουρόν. ὡς καὶ αὐτός φησιν, ἥμερον καὶ ἀτιταλλομένην ἐν οἴκῳ.

Ἀργὴς κεραυνὸς, ὀξυτόνως πρὸς διαστολὴν βαρυτόνου κυρίου μυθικοῦ τοῦ Ἄργης· ὅπερ ἀδελφὸς ἦν Βρόντης, καθ᾽ Ἡσίοδον. καὶ ἀργὴς, ὁ λευκὸς, ἢ λαμπρός. ἢ ὄφις τὶς, οὕτως ὀνομαζόμενος παρὰ τῷ Ἱπποκράτει.

Ἀργηστῆρα, ἀργῆτα, λευκὸν, λαμπρόν.

Ἀργῆτα, κεραυνὸν, τὸν λαμπρὸν, ἢ ταχύν.

* Ἀργίας γραφὴ, ἐπὶ μὲν Δράκοντος, ἀτιμία ἦν τὸ τίμημα· ἐπὶ δὲ Σόλωνος, εἰ τρὶς τὶς ἁλῷη, ἠτιμοῦτο.

Ἀργία, οὐ μόνον ἡ κοινῶς λεγομένη ἀργία, ἡ ἐκ τῆς ἀεργίας κεκραμένη, ἀλλὰ καὶ ἡ εἰς ἔργον ἀτεχνία, διαφέρουσα τῆς κακοεργίας. ὅτι ἐκείνη μὲν κακίαν δηλοῖ ψυχῆς. ὡς ἐν τῷ κακοεργίης, εὐεργεσίη μέγ᾽ ἀμείνων. τοῦτο δὲ, ἀνεπιστημοσύνην.

Ἀργιάφης, ὁ ἀπηρτισμένος τῷ λόγῳ.

Ἀργίλια, δῆμος τῆς Ἀττικῆς.

Ἀργιλλώδης, ὁ ῥυπαρός.

Ἄργιλλός ἐστιν, ἡ λευκὴ γῆ.

Ἀργίλλιψιν, γῆν μὴ βλαστάνουσάν τι.

Ἀργίνη, ὄνομα πόλεως.

Ἀργίνουσα, ὄνομα νήσου.

Ἀργίλοφοι, λαπάραι κωδίων. οἱ δὲ προκνῆται, καὶ μηλωταί.

Ἀργιμήτας ταῦρος, ταχυμῆτις, ἢ λευκὸς, παραγωγῶς. λέγεται δὲ ἐπὶ τοῦ διακομίσαντος τὴν Εὐρώπην.

Ἀργινόεντα, λευκὸν, λευκόγειον, αἰγιαλώδη.

Ἀργίνουσα, πόλις τῆς Αἰολίδος. ἀντικρὺ δὲ Λέσβου κειμένη, καὶ μανίας καλουμένη ἄκρας.

Ἀργινοῦσαι, νῆσοι κείμεναι ἔναντι τῆς Λέσβου, ἀπὸ Ἀργίνου τινός.

Ἀργιόδοντες, οἱ ὀξυόδοντες, οἷς ἀργοὶ ὀδόντες, ὅ ἐστι ταχεῖς, θοοί. καὶ μεταληπτικῶς, ὀξεῖς παρ᾽ Ὁμήρῳ.

Ἀργιόδοντες σύες, ἢ πλεονασμῷ τοῦ ι, ὡς καὶ ἐν τῷ ἱππιοχάρμης, ἢ τροπῇ τοῦ ο εἰς ι γέγονεν ἐκ τοῦ ἀργόν.

Ἀργιόδους, ὁ μεγαλόδους.

Ἄργιος, λευκὸς, ταχύς.

Ἀργιόπους, ἀετὸς, Μακεδόνες.

Ἄργιστα, τὰ ἐκ τῶν στεμμάτων μέρη, ὡς διαπεπλεγμένον δίκτυον.

Ἀργιφόντου, καθαροφόνου.

Ἄργματα, τουτέστιν ἀπαρχὰς, ἔθυσε θεοῖς λέγει Ὅμηρος.

Ἀργοὶ βόες, τινὲς παρ᾽ Ὁμήρῳ ἀποροῦσι, λέγοντες ἀργοὶ βόες, οἱ ταχεῖς, καὶ μὴν εἰλίποδες. ἀλλὰ οἱ λευκοὶ, καὶ μὴν μέλανα τοῖς τεθνεῶσι θύονται. εἶτα λύοντές φασιν, ὅτι ἀργοὶ βόες οἱ μετὰ τὸ σφαγῆναι, καὶ ἀποδαρῆναι, λευκοὶ τῇ ποιότητι. ὁποῖοι οἱ παρὰ τῷ Πινδάρῳ ἄργαντες.

Ἀργόλαι, εἶδος ὄφεων. οὓς ἤνεγκε Μακεδὼν ὁ Ἀλέξανδρος ἐκ τοῦ Ἄργους τοῦ Πελασγικοῦ εἰς Ἀλεξάνδρειαν, καὶ ἐνέβαλεν εἰς τὸν ποταμὸν πρὸς ἀναίρεσιν τῶν ἀσπίδων, ὅτε μετέθηκε τὰ ὀστᾶ Ἱερεμίου τοῦ προφήτου, ἐξ Αἰγύπτου εἰς Ἀλεξάνδρειαν· οὓς αὐτὸς ὁ προφήτης ἀπέκτεινεν. ἀργόλαι οὖν, ἐκ τοῦ Ἄργους.

Ἀργὸν, τὸ λευκὸν, ἐξ οὗ καὶ ἄργυρος. ἀργύφεον ποιητικῶς, τὸ αὐτό.

Ἄργον φασὶν εἰς ταῶνα μεταβεβλῆσθαι. διὰ τοῦτο λέγει Ἀριστοφάνης, πότερον ὄρνις εἶ σὺ, ὁ λεγόμενος Τηρεύς. παρὰ τὸ τηρεῖν τὴν Ἰώ, ἢ ταώς.

Ἄργος, τὰ περὶ τὰς Μυκήνας χωρία, καὶ αὐταὶ αἱ Μυκῆναι. Μυκῆναι δὲ, ἡ προκαθεζομένη τοῦ Ἄργους πόλις. ὥσπερ Σπάρτη, ἡ προκαθεζομένη πόλις τῆς Λακεδαιμονίας. Λακεδαιμονία δὲ, τὰ περὶ αὐτὴν χωρία. εἰσὶ δὲ τὸ Ἄργος καὶ ἡ Λακεδαιμονία, ἐντὸς τῆς Πελοποννήσου.

Ἄργος, φησὶν Ἑλλάνικος παῖδας τρεῖς Φορωνέως γενέσθαι. οἱ τοῦ πατρὸς θανόντος, διενείμαντο τὴν Ἀργείαν. καὶ ἡ μὲν πρὸς Ἐρασίνῳ τῷ ποταμῷ, Πελασγῷ ἔλαχε, τῷ καὶ τὴν ἐκεῖ Λάρισσαν κτίσαντι. Ἰάσονι δὲ, τὰ πρὸς Ἦλιν. Ἀγήνωρ δὲ, ἀναλωθείσης τῆς γῆς, τὴν πατρικὴν εἴληφεν ἵππον. ὅθεν ἐν τῷ αὐτῷ χρόνῳ ὀνομάσθη τὸ Ἄργος τριχῶς, Ἴασον, Πελασγικὸν, καὶ Ἱππόβοτον. τινὲς δὲ μετὰ τὸν θάνατον τῶν δύο ἀδελφῶν ἐπιστρατεῦσαί φασι τὸν Ἀγήνορα πολλὴν ἐπαγόμενον ἵππον, ἀφ᾽ ἧς κληθῆναι τὸ Ἄργος ἱππόβοτον.

Ἄργος, ὑποθυμοσύνῃσι τῆς Ἀθηνᾶς πεποίηκε τὴν Ἀργὼ, ἀλλ᾽ οὐχ ὥσπερ αὐτῷ ἐκέλευσεν ὁ Πελίας ἀραιοῖς γόμφοις παγῆναι, ἵνα ταχέως ἀπολέσῃ τοὺς Ἀργοναύτας. διὰ τοῦτο ὁ Ἀπολλώνιός φησιν Ἀθηνᾶς ὑποθυμοσύνησιν γενέσθαι αὐτήν.

Ἄργος, εἷς τῶν Φρίξου παίδων. οὓς Ἡρόδωρός φησιν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός. Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος, ἐν ταῖς μεγάλαις Ἠοίαις φασὶν, ἐξ Ἰοφώσσης τῆς Αἰήτου. καὶ οὗτος μὲν φησὶν αὐτοὺς τέσσαρας, Ἄργον, Φρόντιν, Μέλανα, Κυτίσσωρον. Ἐπιμενίδης δὲ, καὶ πέμπτον προστίθησι Πρέσβωνα.

Ἀργὸς ἡμέρα, καὶ ἀργὸς γυνὴ, κρεῖττον ἢ ἀργὴ, Ἀττικῶς.

Ἀργὸς, ὁ νωθρὸς, καὶ δυσκίνητος, μᾶλλον δὲ ἀνενέργητος. εἰ δὲ σημαίνει τὸ καθαρὸν καὶ λευκὸν, γίνεται παρὰ τὸ ἀὴρ, ἀεργὸς, ὁ ἀργός. διειδὴς γὰρ ὁ ἀὴρ καὶ διαφανὴς, καὶ δίοσμος, ἅτε λεπτομερέστατος ὤν.

Ἄργουσα, πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη.

Ἀργοὺς κύνας, ἤγουν λευκοὺς, παρ᾽ Ὁμήρῳ, ὡς τῶν λευκῶν φασι σωμάτων, διὰ τὸ ἀραιότερον ἀπαθεστέρων ὄντων ἤπερ τὰ μέλανα. προπαθοῦς μὲν οὖν ὀρέες καὶ κύνες ἐκακώθησαν· ὕστερον δὲ καὶ ἄλλα ζῶα, εἰ καὶ Ὅμηρος ἐκεῖνα σιγᾷ τρόπῳ ποιητικῷ, ἐκ μέρους δηλώσεως τὸ πᾶν. εἶτα καὶ ἀνθρώποις ἐπεδήμησε τὸ κακὸν ὀψέποτε τῶν ναυσὶν ἐπιχωριάσαν. διά τε τὸ ἀναφορεῖσθαι αὐτοῖς τὸ τῆς ὀσφρήσεως αἰσθητήριον καὶ διὰ τὸ ἀφεστάναι τῶν τόπων, ἐν οἷς οἱ φαῦλοι αὐχμοὶ τὸν ἀέρα ἔχραναν, καὶ ἄλλα πολλά.

Ἀργυραμοιβὸς, ὁ κολυμβιστής. δηλοῖ δὲ τὸν ἰδιωτικῶς λεγόμενον καταλλάκτην. ὃν καὶ ἀργυρογνώμονα λέγουσιν, ἤγουν τὸν τὸ ἀργύριον συνιέντα, καὶ δοκιμάζοντα. καὶ ἀργυραμοιβοὺς, χρυσοχόος ἢ καὶ ὁ καταλλάκτης.

* Ἀργυράγχη, Δημάδης σκώπτων Δημοσθένην, συνάγχῃ λέγοντα εἰλῆφθαι, ἔφη, ἀργυράγχῃ.

Ἀργυράσπιδες, τάγμα τι στρατιωτικὸν, ὑπὸ Ἀλεξάνδρου.

Ἀργυρέα, λιμὸς, ἀργυρίου σπάνις. καὶ ἀργυρέα ὠῒς, ἡ ἀργυρέα αὖλαξ, παρὰ Θουκυδίδῃ.

Ἀργυρέαι, λόγχαι, οἱ μισθοφόροι.

Ἀργύρεον, λαμπρὸν καὶ καθαρόν.

Ἀργυρηλάτης, ἀργυροκόπος.

Ἀργυρίδιον, διὰ τοῦ ι γράφεται διὰ τοιαύτην αἰτίαν. ἐμάθομεν, ὅτι εἰσὶ παραγωγαὶ διὰ τοῦ διον, καὶ ιδιον. καὶ εἰ μὲν ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται, διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγὴ, καὶ φυλάσσονται αἱ τρίται συλλαβαὶ αἱ τελευταῖαι συνεσταλμέναι. οἷον, γνώμη, γνώμης, γνωμίδιον. ψυχὴ, ψυχῆς, ψυχίδιον. ξίφος, ξίφους, ξιφίδιον. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, διὰ τοῦ διον γίνεται ἡ παραγωγὴ, καὶ ἐκτείνεται ἡ τρίτη ἀπὸ τέλους συλλαβή. οἷον, γραφεῖον γραφείδιον, ἀγγεῖον ἀγγείδιον. καὶ εἰ μὲν εὑρεθῇ τὸ ε, ἢ τὸ ο, τὸ ι προτέρχεται, πόλεως πολείδιον, ἔξεως ἐξείδιον, βοὸς βοΐδιον.

Ἀργύριον, γραμματεῖον, ὃ καὶ Βοιωτικὸν καὶ κοῖλον λέγεται.

Ἀργυριοθήκη. Δείναρχος ἐν τῷ κατὰ Προξένου λαβοῦσι, διττὰ ἦν γραμματείδια, οἷς ἐχρῶντο Ἀθηναῖοι· τὰ μὲν ὥστε γράφειν μόνον τὶ ἐν αὐτοῖς, τὰ δὲ ὥστε καὶ ἀργυρίδιον κατατίθεσθαι, ἅπερ καὶ κιβώτια ἐκάλουν. τὰ δ᾽ ἄλλα, μαρτύρια.

Ἀργύριος παρὰ Ἀριστοφάνει, Ἀθηναῖος, ἐπὶ μαλακίᾳ τοσοῦτον διαβάλλεται, ὡς καὶ πορδὰς ἀφιέναι. καὶ εἰς θρασύτητα δὲ τὸν ἀργύριον κωμῳδοῦσι. πέρδεται δὲ, στρηνιᾷ πλούτῳ, καὶ ἀργύριος, εἶδος βοτάνης.

Ἄργυρις, λιθάργυρος.

* Ἀργυρὶς καὶ χρυσὶς, φιάλαι ἄμφω.

Ἀργυρίτης, ὁ ἐν ἀργυρίῳ τὴν οὐσίαν ἔχων, καὶ ἡ ἐκ τῶν ἐναργύρων μετάλλων γῆ.

Ἀργυρογνώμονα λέγουσι, τὸν καταλλάκτην.

Ἀργυρογνώμων, δοκιμασθείς.

Ἀργυροδίνην, οὐ Πηνειοῦ μόνον ἐπίθετον, ἀλλὰ διαυγοῦς παντὸς ποταμοῦ. καὶ ἀργυρέαις δίναις, ὅ ἐστι καθαρῷ ῥεύματι διοικουμένου. ἢ λευκόρειθρος, ἀπὸ τοῦ ἄργυρος καὶ τοῦ δίνη. καὶ ἀργυρᾶ φιάλη, τὸ δι, ἰῶτα. τὰ διὰ τοῦ ινη, ἢ διὰ τοῦ ινης, ἀποστρέφονται τὴν ειδίφθογγον, οἷον Αἰσχίνης, Λεπτίνης. τὸ δὲ νεοπείνης, ἀπὸ τοῦ πεῖνα. ἀργυροδίνης δὲ, παρὰ τὸ ἄργυρος, ὃ σημαίνει τὸ λευκόν.

Ἀργυρόηλον, τὸ ἀργυροῦς ἥλους ἔχον, ἐκ τοῦ ἀργυρὸς τοῦ κτητικοῦ, καὶ τοῦ ἧλος.

Ἀργύριον, πᾶν νόμισμα εἴτ᾽ ἐν χαλκῷ, εἴτ᾽ ἐν ἀργύρῳ, εἴτ᾽ ἐν χρυσῷ, εἰώθασιν ἀργύριον καλεῖν. καὶ οἱ μὲν ῥήτορες ἑνικῶς, οἱ δὲ κωμικοὶ ἀργύρια, πληθυντικῶς.

Ἀργυροκοπεῖον, ἐν ᾧ κόπτεται τὸ νόμισμα, ὃ νῦν τινες σημαντήριον καλοῦσιν.

Ἀργυροκοπιστὴρ, τραπεζίτης, ἢ ὁ τὰ ἀργύρια ἐργαζόμενος.

Ἀργυρολόγος, τελώνης.

Ἀργυρολόγους ναῦς, τὰς συλλεγούσας ἀργύριον, καὶ λήμματα ποιούσας, λέγει Ἀριστοφάνης.

Ἀργυ-

Digitized by Google

Ἀργυρόπεζα, ἡ ἀργυροῦς πόδας ἔχουσα. πέζα γάρ, ὁ πούς. καὶ ἀργυρόπεζα Θέτις λέγεται, διότι αἱ ὡσανεὶ πέζαι τῆς θαλάσσης, τουτέστι τὰ ἔσχατα ὅσα πρὸς τῷ αἰγιαλῷ, ἀργύρεα εἰσιν, ὡς διάλευκα. μελάντερα δὲ, τὰ ἐνδοτέρα. διὸ ὁ ποιητὴς ἐπὶ μὲν αἰγιαλοῦ φησι, θῖν' ἐφ' ἁλὸς πολιῆς, ἤτοι λευκῆς. ἐπὶ δὲ τῶν ἐσωτέρω, μέλανά τε πόντον λέγει, καὶ οἴνοπα. σωματικῶς δὲ καὶ κατὰ μῦθον, ἀργυρόπεζα ἡ λαμπρόπους, ὁποία τίς ἐστι καὶ καλλίσφυρος. καὶ ἡ παρ' Εὐριπίδου ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί. τινὲς δὲ λέγουσι πέζαν, τὸν κόσμον τοῦ ἱματίου ὄντα κάτω δέρματι· ἵνα εἴη ἀργυρόπεζα, ἡ κόσμον λαμπρὸν περὶ τὰς ὤας τοῦ ἱματίου ἔχουσα.

Ἀργυρόπους δίφρος, ὁ Ξέρξου, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο. ἐξ οὗ καθεζόμενος, ἐθεώρει τὴν ναυμαχίαν. ἀνέκειτο δὲ, εἰς τὸν Παρθενῶνα τῆς Ἀθηνᾶς.

Ἄργυρος μὲν λέγεται καὶ χρυσὸς, ἡ οὐσία τοῦ ἀργύρου καὶ τοῦ χρυσοῦ. ἀργύριον δὲ καὶ χρυσίον, τὰ ἐξ αὐτῶν νομίσματα. ἀργυροῦν δὲ ἢ χρυσοῦν, σκεῦος.

Ἄργυρος, ὁ στατήρ. ἦσαν δὲ ὀβολοί.

Ἀργυρότοξος, τουτέστι λαμπρότατος, οὐ γάρ ἐστι πλάσαι τόξον ὅλον ἀργύρεον.

Ἀργυρουκόπις, ἀργυρολόγος, ἐκ τοῦ παρεπομένου.

Ἀργυρώνητος, ὁ ἀργύρῳ ἀγορασθεὶς οἰκέτης.

Ἀργύταν, τὴν Λάμιαν, Φρύγες.

Ἄργυφα, μήλων ἐπίθετον, διὰ τὴν τοῦ ἐρίου λευκότητα. ἀργύφεον δὲ, ἐπὶ ἱματίου τίθεται.

Ἀργύφεον, μέλαν, ἢ λαμπρόν.

Ἀργυφέοισι, λαμπροῖς, καθαροῖς. καὶ ἀργύφεον, ἄργυφον. παράγωγον ἀπὸ τοῦ ἀργόν. καὶ ἀργύφεον πλῆτο σπέος, σημαίνει δὲ τὸ μέγα σπήλαιον, ἢ λαμπρόν. Ἀργυφέῃ ἐσθῆτι, Ἡσίοδος.

Ἀργὼ ἡ ναῦς, ἀφ' ἧς καὶ οἱ Ἀργοναῦται. εἴρηται ὅτι Ἄργος αὐτὴν κατεσκεύασεν, ἢ ὅτι ἐν Ἄργει τῇ πόλει κατεσκευάσθη.

Ἀργὼ, ὁ Ἀπολλώνιος καλεῖ τὴν Ἀργὼ, ἀπὸ Ἄργου τοῦ κατασκευάσαντος. Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ. ταύτην δέ φασι πρώτην ναῦν γενέσθαι μακράν. ἄλλοι δὲ λέγουσι, Δαναὸν διωκόμενον ὑπὸ Αἰγύπτου, πρῶτον κατασκευάσαι. ὅθεν καὶ Δαναὶς ἐκλήθη. ἢ ὅτι ἐν Ἄργει ἐναυπηγήθη, ὥς φησιν Ἡγήσανδρος ὁ Σαλαμίνιος, ὑπὸ Ἄργου.

Ἀργῷος λιμὴν, παρὰ τῇ Τριτωνίδι λίμνῃ ἐστὶν ἀργῷος καλούμενος.

Ἄρδα, μολυσμός.

Ἀρδαλίδες, αἱ Μοῦσαι.

Ἄρδαλος, μόλυσμα.

Ἀρδάλους, εἰκαίους.

Ἀρδαλωμένους, ταρασσομένους.

Ἀρδαλῶσαι, μολῦναι. εἰς οἷον ἐμπεπτώκασι τὸν ἄρδαλον.

Ἀρδάνιον, κεράμιον, γάστρα, ὅθεν τὰ θρέμματα πίνει.

Ἄρδα, ῥύπος τις, καὶ ἀκαθαρσία παρὰ τῷ Ἱπποκράτει.

Ἀρδεύσαντες, ποτίσαντες.

Ἀρδηθμὸς, ὁ ποτισμός. καὶ ἀρδηθμοῖον, μεσημβρινόν.

Ἄρδην, φοράδην, ἢ σφόδρα, ἢ παντελῶς, ἢ ἀθρόως, ἢ ἐξ ὁλοκλήρου.

Ἄρδην, ἀπὸ τοῦ αἴρω γίνεται. καὶ ἐπεὶ τὸ αἴρω δηλοῖ τὸ ὑψῶ καὶ ἀφανίζω, καὶ τὸ ἄρδην δύο δηλοῖ. ἐνίοτε μὲν τὸ μετεώρως καὶ κούφως, ἐνίοτε δὲ τὸ ἀφανιστικῶς. καὶ ἄρδην ἐπίρρημα, σημαίνει τὸ ὁμοῦ.

Ἄρδηττος, Λυσίας ἐν τῷ πρὸς Ἐλπίνην, τόπος Ἀθήνησιν ὑπὲρ τὸ στάδιον τὸ Παναθηναϊκὸν, πρὸς τῷ δήμῳ τῷ ὑπένερθεν Ἀργυλίων. ἐν τούτῳ φασὶ δημοσίᾳ πάντες ὤμνυον Ἀθηναῖοι, τὸν ὅρκον τὸν Ἡλιαστικόν. ὠνομάσθη δὲ ἀπὸ Ἀρδήττου ἥρωος ἀρχαίου, ὃς Ἀθηναίους πρῶτος ἐξώρισε. Θεόφραστος δ' ἐν τοῖς περὶ νόμων δηλοῖ, ὡς καταλέλυται τὸ ἔθος τοῦτο.

Ἀρδήττους, τοὺς ῥαδίως ἐπὶ τοὺς ὅρκους ἰόντας. ἀρδήττους ἐκάλουν τόπον περὶ τὸν Ἰλισσόν, ἐγγὺς τοῦ Παναθηναϊκοῦ σταδίου, ἐν ᾧ τοὺς οἴκους ἐποιοῦντο.

Ἀρδίας, τὰ ἐκ χειρὸς ὅπλα.

Ἀρδικὸς, φαρέτρα.

Ἄρδιν, ἀκίδα βέλους, ἢ τὰ ἐκ χειρὸς ὅπλα. καὶ ἄρδις πληθυντικῶς, ἀντὶ τοῦ φαρέτρας. καὶ ἄρδις, ἀκίς. Αἰσχύλος, Προμηθεῖ Δεσμώτῃ.

Ἀρδμὸς, ποτισμός.

Ἀρδεία, ὁ ποτισμός.

Ἀρδομένην, ποτιζομένην.

Ἄρδων, ποτίζων.

Ἀρέθουσα, ὄνομα πηγῆς, παρὰ τὸ ἄρδω τὸ ποτίζω.

Ἀρειανοὶ, οὗτοι ἔλεγον κτίσμα τὸν υἱὸν τοῦ θεοῦ, καὶ οὐχὶ ὁμοούσιον τῷ Πατρὶ πεφυκότα· ὅ ἐστιν αἵρεσις.

Ἀρειάς, ἀπειλάς. καὶ ἀρειάς πώλους, περσικάς.

Ἀρειὴ, ἡ ἀπειλὴ, ἢ ἀσθενὴς, ὃ καὶ δασύνεται. ἢ βλάβη.

Ἀρειὴν λέγει Ὅμηρος, τὴν ἀρὰν, ἤτοι ἀπειλὴν, πλεονασμῷ τῆς ει διφθόγγου. ἀντίκειται τῇ ἀρειῇ πάντως οἱ μειλίχιοι λόγοι.

Ἀρειμάνειος, ὁ πολεμικός. ὥσπερ παρὰ τὴν ἄρει δοτικὴν γίνεται ἀρείφατος ὁ πολεμικὸς, τουτέστιν ὁ ἐν πολέμοις ὀνομαζόμενος, ἢ καὶ ὁ πεφονευμένος, τὸν αὐτὸν τρόπον καὶ ἀρειμάνειος, διὰ τῆς ει διφθόγγου, παρὰ τὴν ἄρει δοτικήν.

Ἀρειμανὴς, ὁ ἀΐδης, παρὰ Πέρσαις.

Ἄρειος πάγος, δικαστήριον Ἀθήνησιν, οὕτω καλούμενον. οἱ δικασταὶ, Ἀρειοπαγῖται. ἐκλήθη δὲ Ἄρειος πάγος, ἢ ὅτι αἱ Ἀμαζόνες ἐπὶ τὸν τόπον ἐστρατεύοντο Ἄρεως οὖσαι, ἢ ὅτι ἐν πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον. Ἄρειος δὲ, ἐπεὶ δικάζει ὁ Ἄρης τὸν φόνον. Πάγος δὲ, ὁ λόφος. ὡς καὶ Ὅμηρος, πάγος δέ οἱ ἀντεβόλησεν. ἢ ὅτι ἔπηξεν ἐκεῖ τὸ δόρυ ὁ Ἄρης, Ποσειδῶνος κατηγορήσαντος διὰ τὸν φόνον τοῦ υἱοῦ αὐτοῦ Ἁλιρροθίου, ὅτε ἀπέκτεινεν αὐτὸν, βιασάμενον Ἀλκίππην.

Ἀρειώσει, αὐξήσει.

Ἀρείσοι, ἔθνος Περσικόν.

Ἀρείφατον λῆμα, ἰσχυρὸν, ἀντὶ τοῦ ἄρει ἐοικός. Αἰσχύλος Νεανίσκοις.

Ἀρείων, ἤτοι κρείττων καὶ βελτίων.

Ἀρεμὸς, ἡ φιλία, καὶ ἡ ἁρμονία τῆς ψυχῆς.

Ἄρεν οὖν, ἄρα οὖν.

Ἀρενοβοσκὸς, προβατοβοσκός.

Ἀρεοπαγίτης, ὁ δικάζων καὶ σιωπῶν δι' ὅλου, κατὰ ἀνάγκην.

Ἀρέσαι, κεῖται παρ' Ὁμήρῳ, καὶ ἀντὶ τοῦ ἁρμοσθῆναι, εἰς ἀριθμὸν καὶ φιλίαν ἐλθεῖν. ποιητικῶς δὲ τὰ πλείω τὸ ῥῆμα τοῦτο προφέρεται. λέγεται δὲ καὶ παθητικῶς, ἀπαρέσασθαι καὶ ἀπαρεσάσθω. δηλοῦται δὲ καὶ διὰ τούτων τὸ εἰς φιλίαν συναρμοσθῆναι. οὕτω δὲ καὶ πειρήσω ἐνεργητικῶς, καὶ πειρήσομαι παθητικῶς. ὅρα δὲ καὶ τὸ ἄνδρ' ἀπαρέσασθαι, αὐτὸ μὲν γὰρ ἐλλιπῶς ἔχειν δοκεῖ. τὸ δὲ ἀπαρέσασθαι δώροις καὶ δαιτὶ, ἢ τοιούτοις τισὶν, ἐντελὲς εἶναι καὶ ἀνελλιπές. Ἰστέον δὲ, καὶ ὅτι ἐκ τοῦ Ὁμηρικοῦ ἀρέσασθαι καὶ πέμματά τινα ἱερὰ λέγεσθαί φησιν Αἴλιος Διονύσιος ἀρεστῆρας, δι' ὧν δηλαδή ἐστι πρὸς τὸ θεῖον ἀρέσασθαι.

Ἀρέσασθαι, τὸ φιλικῶς θεραπεῦσαι, ἤγουν φιλοφρονήσασθαι. ὅθεν καὶ ἐρίηρες, οἱ πρὸς φιλίαν ἡρμοσμένοι ἑταῖροι, καὶ ἀρθμὸς ἡ φιλία. συντάσσεται δὲ μετὰ αἰτιατικῆς, ὡς δηλοῖ τὸ αὐτὸν ἀρεσάσθω, καὶ τὸν ξεῖνον ἀρέσσομαι. καὶ παρ' Ὁμήρῳ ἀρέσασθαι, τὸ εἰς φιλίαν ἁρμόσασθαι. ὅθεν καὶ ἀρθμὸς ἡ φιλία. καὶ ἔται ἐρίηρες, οἱ ἀλλήλοις ἀρεστοὶ, ὅ ἐστιν ἡρμοσμένοι. καὶ πρόσαρμα δὲ, ἡ τῷ σώματι προσφυὴς τροφή. καὶ ἀρέσαι, ἐνεργητικῶς φησὶ τὸ φιλοφρονήσασθαι. καὶ τὸ ἀρέσασθαι δὲ, ἀντὶ τοῦ εὔξασθαι, ὁμοίας ἐστὶ δυνάμεως. καὶ γὰρ καὶ τὸ ἀρᾶσθαι ἁρμονία τίς ἐστι πρὸς τὸν θεὸν, ὥσπερ ἡ εὐχὴ, ἣν ὁ Αἰλιανὸς πρέσβυν φησὶ πρὸς θεὸν ἀδωρότατον.

Ἀρεσάσθω, εὐάρεστον καταστησάτω.

Ἀρέσθορεν, ἐπήδησεν.

Ἀρέσσατο, ηὔφρανεν.

Ἀρέσσεσθαι, ἤτοι συναρμοσθῆναι φιλικῶς, καὶ εἰς ἀριθμὸν, ὅ ἐστιν ἁρμονίαν φιλίας, ἐλθεῖν.

Ἀρεσίπονον, σύμμετρον, ἀρέσκον.

Ἄρεσκες, ὁ πρώην, καὶ ἡ διδομένη ῥάβδος τοῖς κωμικοῖς.

* Ἄρεσκον, ἡ ῥάβδος, ἣν οἱ πορνοβοσκοὶ ἔφερον, βαπτῷ χιτῶνι, καὶ ἀνθινῷ περιβολαίῳ ἐνδεδυμένοι.

Ἀρεσκεύεσθαι, φιλοφρονεῖσθαι.

Ἀρέσκει μοι περιγιγνομένῳ θριαμβεύειν, καὶ ἀρέσκει μοι νικῶντα θριαμβεύειν.

Ἀρέσκω τινὶ, ἀντὶ τοῦ ἀρεστὸς αὐτῷ φαίνομαι, Ἀττικῶς μετὰ αἰτιατικῆς συντάσσεται, ὡς παρὰ Πλάτωνι, ἀλλ' οἶμαι οὔ σε ταῦτα ἀρέσκει. ἀρέσκομαι δέ τινι, ἀντὶ τοῦ ἀποδέχομαι αὐτόν. καὶ ἀπαρέσκομαι, τὸ οὐκ ἀποδέχομαι. γίνεται δὲ ἐκ τοῦ ἀρέω ἀρῶ, ὁ μέλλων ἀρέσω, καὶ πλεονασμῷ τοῦ κ ἀρέσκω, καὶ μετάγεται εἰς ἐνεστῶτα. Ἰστέον ὅτι τὰ εἰς σκω λήγοντα ῥήματα βαρύτονα, μέχρι τοῦ παρατατικοῦ κλίνονται. χωρὶς τοῦ θνήσκω θνήξω, καὶ ἀλύσκω ἀλύξω. τὸ γὰρ διδάξω, οὐκ ἀπὸ τοῦ διδάσκω, ἀλλ' ἀπὸ τοῦ διδάχω παράγεται.

Ἀρεσόμεθα, ἐξιλεωσόμεθα, θεραπεύσομεν, φιλοφρονησόμεθα. ἀπὸ τοῦ ἀρῶ, ἀρᾷς. ἄλλως.

Ἀρεσόμεθα. Ὅμηρος, Τάδ' ὄπισθεν ἀρεσόμεθα, ἤγουν ὕστερον φιλιωσόμεθα. ἐκ τοῦ ἀρῶ ἀρέσω, τὸ εἰς φιλίαν συναρμόττω. ἐξ οὗ καὶ ἀρεστὴρ εἶδος πέμματος, ἀρέσκοντος ὡς εἰκός. καὶ ἀρθμὸς, ἡ φιλία. καὶ ἄρθμιος, ὁ φιλιωθείς. ἀφ' ἧς λέξεως καὶ ἀρέσαι παρὰ τοῖς ὕστερον, τὸ συγκαταθέσθαι. ὅθεν καὶ τὸ εὐαρεστεῖν, καὶ τὸ ἀρέσκειν.

Ἀρεστήριον, ἱερεῖον, θῦμα, καὶ πέμμα πρὸς θυσίαν.

Ἀρεστὴρ, εἶδος πλακοῦντος, τοῖς Θεοῖς ἀφιερωμένος. καὶ πόπανον, τὸ ἐν ταῖς θυσίαις ἐπιτιθέμενον, παρὰ τὸ ἀρεστεῖν.

Ἀρεστῶσα, ἡ ὑπερέχουσα τὰς ἄλλας, καὶ βελτίων τῶν ἄλλων.

Ἀρέσχαι, κλήματα, βότρυες,

Ἀρεταὶν, ποταμὸς Κρωτωνιάδος χώρας.

Ἀρετᾷ, ἐν ἀρετῇ ἐστιν. οὐκ ἀρετᾷ κακὰ ἔργα, τουτέστιν, οὐκ ἀπολήγει εἰς ἀρετήν. ἀνεγνώσθη δὲ περισπωμένως.

Ἀρετὴ, διάθεσις ὁμολογουμένη. καὶ αὐτὴ δι' αὑτὴν οὖσα αἱρετή. οὐ διά τινα φόβον ἢ ἐλπίδα, ἤ τι τῶν ἔξωθεν ἐν αὐτῇ. ἢ ἀρετή ἐστιν, ἡ τῶν ἀποκειμένων ἐν ἡμῖν παρὰ Θεῷ φυσικῶν ἀγαθῶν, κατ' ἐντολὴν καὶ ἀρέσκειαν αὐτοῦ χρῆσις. ἢ ἀρετή ἐστι διάθεσις βελτίστη, ἢ ἕξις ἀρίστη ψυχῆς λογικῆς, καθ' ἣν δυσκίνητος γίνεται πρὸς κακίαν. εἴρηται δὲ παρὰ τὸ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γινόμενον. ἢ παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ, ἐρατὴ, καὶ κατὰ μετάθεσιν τῶν στοιχείων, ἀρετὴ, ἡ ἐπέραστος κτῆσις, ἣν αἱροῦνται πάντες. ἢ παρὰ τὸ ἀρῶ ἀρέσω, ἀρεστὴ, καὶ ἀρετή. λέγεται ἀρετὴ, καὶ ἡ κατὰ πόλεμον δύναμις, παρὰ τὸν Ἄρην, ὃ σημαίνει τὸν πόλεμον. ἢ ἀρετὴ, ἡ πᾶσιν ἀρέσκουσα, καὶ τῶν καλῶν νομιζομένων ἐμπειρία, ἢ θεία δύναμις. ἢ διάθεσις ἀγαθὴ, καὶ βίος ἐνάρετος. ἄλλως.

Ἀρετὴν οὐ μόνον τὴν ἀνδρείαν, ἀλλὰ καὶ τὴν δεξιότητα τὴν περὶ τοὺς ἀέθλους δηλοῖ παρὰ τοῖς ὕστερον. δηλοῖ δέ ποτε καὶ τὴν εὐδαιμονίαν. ὡς τὸ, Ὄφρ' ἀρετὴν παράσχωσι Θεοί. καὶ τὴν εὐδοξίαν, ὡς Θουκυδίδης ἐν πρώτῳ. καὶ ἀρετὴν, τὴν εὐδαιμονίαν καὶ εὐθηνίαν τοῦ βίου. ἣν ἔχων ὁ ἄνθρωπος, λέγει μὴ ἂν ἀνέξεσθαι εἴ τι που καὶ πάθοι κακόν. ἀλλ' ὅταν καὶ αὐτὸ πάθοι, φέρει ἀεκαζόμενος, τουτέστιν ἀέκων. ὧν τὸ θέμα πρωτότυπον, τὸ ἀέκω.

Ἀρετῶσιν, ἀντὶ τοῦ εὐδαιμονοῦσι. καὶ ἀρετῶσι λαοὶ ἀντὶ τοῦ εὐδαιμόνως ζῶσιν. οὐδὲν γὰρ εὐδαιμονία ἕτερον, ἢ συγκρότησις ἀρετῶν. οὐκ ἀρετᾷ κακὰ ἔργα, κατὰ τοὺς παλαιοὺς, ἀντὶ οὐκ ἀρετὴν καὶ εὐσθένειαν ἄγουσιν· ἵνα γένηται τὸ ἀρετᾶν ἐκ τῆς κατὰ ἀνδρείαν ἀρετῆς. τῷ δὲ ἀρετᾷ σύστοιχον καὶ τὸ ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ. δῆλον δὲ ὡς καὶ τὸ ἀρεταίνειν ἐκ τοῦ τοιούτου παράγεται.

Ἀρζανὴ, ὄνομα τόπου.

Digitized by Google

Ἄρηα λέγουσι τὸν πόλεμον. τετραχῶς γὰρ τούτῳ τῷ ὀνόματι κέχρηται ὁ ποιητής. ἐπὶ μὲν τοῦ πολέμου, ὡς ἐνταῦθα, Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα. ἐπὶ δὲ τοῦ σιδήρου, ὡς ἐκεῖ, Αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν. καὶ, Ἔνθα δ' ἔπειτ' ἀφιέμενος ὄμβριμος Ἄρης. ἐπὶ δὲ αὐτοῦ τοῦ Θεοῦ οὕτως, Καὶ δ' αὐτῷ κυδοίμον ἄγει βροτολοιγὸν Ἄρηα. καὶ πάλιν, Ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος. ἐπὶ δὲ τῆς πληγῆς, Ἔνθα μάλιστα γίγνετ' Ἄρης ἀλεγεινὸς, ὀϊζυροῖσι βροτοῖσιν.

Ἀρὴ, σημαίνει δύο. τὴν εὐχὴν, καὶ τὴν βλάβην.

Ἄρηαι. αἴρω τὸ ἐπαίρω, ὁ μέλλων ἀρῶ. ὁ ἀόριστος ἦρα, ὁ μέσος ἠράμην. καὶ τὸ ὑποτακτικὸν, ἐὰν ἄρωμαι, ἄρῃ, ἄρηται. καὶ ἐκ τούτου τοῦ τρίτου γίνεται τὸ ἄρηαι, ἀποβολῇ τοῦ τ.

Ἀρήγω, τὸ βοηθῶ.

Ἀρηγὼν, λέγεται μὲν καὶ ἀρωγός. γίνεται δὲ ἀπὸ τοῦ Ἄρης, ὥσπερ ὁ βοηθὸς ἀπὸ τῆς βοῆς, ὃ καὶ αὐτὸ τὴν μάχην ἐστὶν ὅτε δηλοῖ, καθὰ καὶ ὁ Ἄρης.

Ἀρήγων ἡ μετοχὴ, παρηχεῖ πρὸς τὸ ἀρηγὼν, ὀξύτονον ὄνομα, ὃ δηλοῖ τὴν βοηθόν. παράγει δὲ τὴν ἀρωγὴν καὶ τὸν ἀρωγόν.

Ἀρήϊα τεύχεα, πρὸς διαστολὴν τῶν ἐν ἄλλαις τέχναις ὅπλων.

Ἀρηΐα, πολεμιστήρια.

Ἀρηΐδηλος, ὁ φανερός. καὶ ἀρηΐθοος, ὁ ἐν πολέμῳ ταχύς.

Ἀρήϊος, γίνεται ἀπὸ τοῦ Ἄρης, ἄρεος, ἀρέϊος, καὶ τροπῇ τοῦ ε εἰς η, ἀρήϊος.

Ἀρήϊος, ὁ πολεμικός. καὶ ἀρήϊοι, Ἀλκαῖος, ἄνδρες πόλεως πύργοι ἀρήϊοι.

Ἀρηΐφαντος, ἐν πολέμῳ ἀνῃρημένος.

Ἀρηϊθόων, γενναίων, πολεμικῶν.

Ἀρηΐφατος, ὁ ἐν τῷ πολέμῳ πεφονευμένος, ἐκ τοῦ φῶ τὸ φονεύω, παράγωγον φημὶ, σημαῖνον τὸ αὐτό. καὶ ἐστὶ δευτέρας συζυγίας.

Ἀρηΐφιλος, ὑπὸ τοῦ Ἄρεος φιλούμενος, ἢ ὁ φιλῶν τὸν Ἄρεα, δι' ἀμφοτέρων δὲ, ὁ πολεμικὸς δηλοῦται.

Ἀρηΐθοον Κορυνήτην, δῆλον ὅτι κύριον τὸ Ἀρηΐθοος, ἐπίθετον δὲ τὸ Κορυνήτης, ὡς ἱστορεῖ ὁ ποιητής. διὸ εἰπὼν Μενέσθιον υἱὸν ἀρηϊθόου, ἐπάγει κατὰ ἐπανάληψιν, ὃν Κορυνήτης γείνατο ἀρηΐθοος. καὶ ἀρηΐθοον, πολεμικὸν, τὸν ἐν τῷ πολέμῳ ταχύν. παρὰ τὸ Ἄρης, καὶ τὸ θοός.

Ἀρήμεναι, ἐκ τοῦ ἀραίνω προτοτύπου. ἢ ἄρημι, ἐκ τοῦ ἀρῶ. οἷα καὶ ἄλλα δύσχρηστα παρεσημειώθησαν παρ' Ὁμήρῳ. ἀρήμεναι, τουτέστιν εὔξασθαι.

Ἀρημένον, κεκρατημένον. αἰρῶ αἰρήσω, ᾕρηκα ᾕρημαι, ᾑρημένον καὶ ἀρημένον. Ὅμηρος, Ὕπνῳ καὶ καμάτῳ ἀρημένος, ἤγουν κεκρατημένος.

Ἀρημένον δύῃ, ἤγουν βεβλαμμένον. παροξυτόνως, δίκην παρακειμένου. ἢ προπαροξυτόνως ἠρήμενον, ὡς ἀκαχήμενον.

Ἀρημένον, τὸ κατειλημμένον, καὶ παραπεποδισμένον.

Ἄρην καὶ Ἀθηνᾶν ὁ ποιητὴς λέγει τῇ μάχῃ ἐνδημεῖν, ὧν Ἄρης μὲν μάχαις, Ἀθηνᾶ δὲ βουλῆς ἐπιστατεῖ.

Ἀρὴν, ἐστὶν ἀρὰ ἡ εὐχὴ, ἐκ τούτου γίνεται ἀρὴν τὸ ἐπιτήδειον εἰς εὐχὴν πρόβατον. καὶ κλίνεται ἀρὴν, ἀρῆνος. ἐξ οὗ τὰ ἀρνὸς κατὰ συγκοπὴν, καὶ ἀποβολῇ τοῦ α ῥήν.

Ἀρήνη, τὸν πολίτην αὐτῆς Ἀρηναῖον παράγει. ἐρατεινὴ δὲ παρ' Ὁμήρῳ λέγεται, διότι ἀρδεύει αὐτὴν ποταμός. φησὶ γὰρ ὁ Γεωγράφος ὅτι Ἀρήνη, ὅπου ποταμὸς ἄνυγρος, καλούμενος πρότερον Μινύειος, ὡς ὁ ποιητής· ἔστι δέ τις ποταμὸς Μινυήϊος εἰς ἅλα βάλλων, ἐγγύθεν Ἀρήνης. ἀπὸ Μινυῶν δέ φασιν ἐκλήθη ὁ ποταμὸς, Ὀρχομενίων ἐλθόντων ἐκεῖ. δύο δέ φασιν πόλεις Ἀρῆναι, Μεσσήνης μία, καὶ Τριφυλίας ἑτέρα. καὶ Ἀρήνη, ὄνομα πηγῆς. καὶ Ἀρήνη πόλις Πελοποννήσου. νῦν δὲ Γεράνα λέγεται, ὥς φησι Πείσανδρος.

Ἀρηνοβοσκὸς, προβατοβοσκὸς, Σοφοκλῆς Τυροῖ. γράφεται δὲ, καὶ ἀῤῥηνοβοσκός.

Ἀρῆξαι, τὸ βοηθῆσαι. κυρίως δὲ, τὸ πρὸς καιρὸν θεραπεῦσαι. ἰᾶσαι δὲ, τὸ παντελῶς θεραπεῦσαι.

Ἀρηξήνορα, τὸν τὴν ἀνδρείαν ῥήσσοντα.

Ἄρηος, θρασὺς, ἀγαθὸς, πολεμικός.

Ἀρήρασθαι, εὔξασθαι.

Ἀρήρει, ἐνήρμοσα. ἄρω τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα, ὁ μέσος ἦρα, καὶ ἀττικῶς ἄρηρα. καὶ ὁ ὑπερσυντέλικος, ἠρήρειν, καὶ ἀρήρειν ποιητικῶς. τὸ τρίτον, ἀρήρει. ὁμοίως ἄραρεν, ἐκ τοῦ ἄρηρα. καὶ ἀρηρὼς καὶ ἀραρὼς, καὶ ἀραρυῖα τὸ θηλυκόν.

Ἄρηρεν, ἰσχυρῶς ἥρμοσται.

Ἀρήρη, διὰ τοῦ η ἔχει τὴν λήγουσαν, ὡς ὑποτακτικὸς μέσος παρακείμενος τοῦ ἄρηρα. ὁμοῖον καὶ τὸ ὀλώλη, ἐκ τοῦ ὄλωλα.

Ἀρηρομένη, ἠροτριασμένη.

Ἀρηρότα, ἡρμοσμένα.

Ἀρηρυσμένου, ἀπηντλημένου.

Ἄρης κυρίως, ὁ σίδηρος. Βαψαμένη κοίλων ἐντὸς ἄρηα γόνων. σημαίνει δὲ καὶ τὸν πόλεμον, παρὰ τὸ ῥῶ τὸ λέγω, ὁ μέλλων ῥήσω, ῥὴς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄρης. ἐν τῷ πολέμῳ γὰρ οὐ λόγων χρεία. καὶ Ὅμηρος, Ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ. τὸ α, καὶ μακρὸν καὶ βραχύ. Ὅμηρος, ἄρες ἄρες βροτολοιγέ. κλίνεται δὲ ἄρης ἄρου, καὶ ἄρης ἄρητος, καὶ ἄρης ἄρεως. ἄρης γάρ ἐστι, καὶ ταράσσει τὴν κλίσιν.

Ἄρης ἄρου, καὶ ἄρης ἄρητος, καὶ ἄρης ἄρεος ἄρους, καὶ ἄρευς ἄρεος κοινῶς, καὶ ἄρηος ἰωνικῶς, καὶ ἄρεως ἀττικῶς, καὶ ἄρειος αἰολικῶς. ὁ Ἄρης ὥς φησιν Ἡρωδιανὸς, πλείοσι κλίσεσι κέχρηται. καὶ γὰρ ὡς ἰαμβικὸν μὴ ἔχον ἐπ' εὐθείας τὸ τ, περιττοσύλλαβον ἔχει τὴν γενικὴν, ἄρης ἄρητος. ὅθεν Ἀρητιάδης παρ' Ἡσιόδῳ πατρωνυμικὸν, καὶ Ἀρητιὰν ὑποκοριστικὸν, κλίνεται ὡς σπονδειακὸν, ἄρης ἄρου. ὅθεν κατὰ Ἰάδα διάλεκτον ἐπεκτείνας Ἀρχίλοχος, ἔφη ἐν τοῖς τριμέτροις, παῖδα Ἄρεα μιαιφόνου. ἔστι δέ φησι καὶ ἄλλη πλάγιος παρ' Ὁμήρῳ, Ἄρεος ἀνδραφόνοιο, καθ' ὁμοιότητα τῶν ὑπὲρ δύο συλλαβάς. ὡς οὖν Σωκράτης σωκράτεος ὦ σώκρατες, οὕτως Ἄρης ἄρεος ὦ ἄρες. ἔστι δὲ καὶ ἄρεως γενικὴ, ἣν χρὴ γενέσθαι οὐκ ἀπὸ τοῦ ἄρευς εὐθείας· ἧς χρῆσις παρ' Ὁμήρῳ οὐκ ἔστι, παρὰ δὲ Ἀλκαίῳ εὑρέθη. ἐκ ταύτης τῆς εὐθείας ἄρευς, εὑρίσκομεν καὶ ἄρηος, καὶ ἄρηϊ, καὶ ἄρηα. παρ' Ὁμήρῳ, ἄρευς βεβαρύνεται μόνον, ἐκ πάντων τῶν εἰς ευς, ὡς Αἰολικόν. Αἰολέων γὰρ ἴδιον, βαρυτονεῖν. κλίνεται καὶ ἄρεως ἄρεω, ὡς Μενέλεω, κατὰ Ἀρίσταρχον. καὶ σημαίνει ἐνίοτε μὲν τὸν πόλεμον, ἐνίοτε δὲ τὸν ἐπιστάτην τοῦ πολέμου Θεόν. ἔστι δ' ὅτε τὸ ἔγχος, ἢ τὸ ξίφος, οἷς χρῶνται ἐν τοῖς πολέμοις. ἐνίοτε δὲ τὴν πληγήν. καὶ Ἄρης τύραννος, παροιμία.

Ἀρήσασθαι, εὔξασθαι.

Ἀρήσαιο, εὔξῃ.

Ἀρήσῃ, εὔξῃ.

Ἀρήσθορεν, ἐπήδησεν.

Ἄρηται, ἀπενέγκηται.

Ἀρητὴρ, εὐχέτης, ἱερεὺς, ἀπὸ τοῦ τὴν ἀρὰν καὶ τὴν εὐχὴν τηρεῖν. ἔστι δὲ καὶ ἀρὰ ἡ κατάρα, ἢ παρὰ τὸ τὰς ἀρὰς ποιεῖσθαι, ὅ ἐστι τὰς εὐχάς. ἢ παρὰ τὸ αἴρειν εἰς ὕψος τὰς χεῖρας, ἢ παρὰ τὸ ἀρέσκειν Θεῷ.

Ἀρητήσιον, πεδίον. καὶ ἀρητήσιον, τόπος Ἀθήνησιν οὕτω καλούμενος, ὅτι Θησεὺς μετὰ τὸ ὑποστρέψαι ἐκ τοῦ ᾅδου, ἐκπεσὼν Ἀθηνῶν, ἐκεῖσε τὰς κατὰ τῶν ἐχθρῶν ἀρὰς ἐποιήσατο. παρὰ τὰς ἀρὰς οὖν, ἀρητήσιον ὁ τόπος ἐκλήθη. οὕτω Φιλόχορος, ἐν τῷ δευτέρῳ τῶν Ἀτθίδων.

Ἀρητῆρα, ἱερέα.

Ἀρήτη, παρὰ τὴν ἀρὰν, ὅ ἐστι τὴν εὐχὴν, ἡ εὐκταία γεννηθεῖσα τοῖς τοκεῦσιν. οὕτως Ἄρητος τὸ κύριον. ἐξ οὗ καὶ ὁ παρὰ Ἡροδότῳ Δημάρητος, κατὰ δήμου ἀρὰν καὶ αὐτὸς γεννηθείς. ὁ μέντοι ἀρητὸς τὸ ἐπίθετον, ὃ δηλοῖ τὸν δυστυχῆ, καὶ ὡς εἰπεῖν ἐπάρατον. ὡς τὸ, ἀρητὸν δὲ τοκεῦσι πένθος, παρὰ τὴν ἀρὰν, τὴν βλάβην ὠνόμασται. ἀπὸ δὲ τοῦ ὁμηρικοῦ ἀρήτου, οἱ μεθ' Ὅμηρον Ἄρατοι, ὁ καλὸς ποιητὴς, καὶ ὁ ὑμνούμενος στρατηγὸς, καὶ εἴ τινές που ἕτεροι.

Ἀρητιάδης, δῆλον ὡς εὕρηται καὶ Ἄρητος, οὗ τὸ πατρωνυμικὸν, ὁ Ἀρητιάδης.

Ἀρητιὰς, νῆσος ἐν ᾗ Στυμφαλίδες ὄρνιθες ἦσαν, ἀπὸ Στυμφάλου τῆς Ἀρκαδίας πόλεως ὑπὸ Ἡρακλέους διωχθεῖσαι. ὅτι δὲ αὕτη ἡ νῆσος ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς, ἱστορεῖ καὶ Εὐριπίδης ἐν Φρίξῳ.

Ἀρητὸν, βλαπτικὸν, ἀπὸ τοῦ ἀρὰ, ἡ βλάβη. καὶ ἀρητὸν, τὸ πολυχρόνιον.

Ἄρητος, Ἡρακλῆς παρὰ Μακεδόσιν. οὗ ἀρητὸς μὲν ἐπίθετον ὂν, ὀξύνεται κατὰ ἀναλογίαν. κύριον δὲ τυγχάνον, προπαροξύνεται. ὡς δηλοῖ τὸ χρόμιος.

Ἄρητος, Διονύσιος. ἐξ οὗ κατὰ παρωνυμίαν καὶ ἡ ἀρήτη γίνεται. ἐκεῖθεν δὲ καὶ ὁ παρὰ τοῖς ὕστερον Ἄρατος, καὶ τὸ σύνθετον ὁ Δημάρατος, καὶ ὅσα κατ' αὐτό. πολλῶν δὲ ὄντων, ἅπερ διαφόρος τονοῦνται πρὸς διάφορον σημασίαν κατὰ τὸ Ἀρητὸς καὶ Ἄρητος, μνηστέον ἐν αὐτοῖς καὶ τοῦ μαλακὸς ὀξυτόνου ἐπιθετικοῦ, καὶ τοῦ Μάλακος προπαροξυτόνου κυρίου. ἱστορικὸς δὲ ἦν ἐκεῖνος, ὡς ἱστορεῖ ὁ Δειπνοσοφιστής. ὅτι δὲ τὸ ἀρητὸν πένθος ἄῤῥητόν τινες γράφουσι, δῆλον. καὶ ὡς οὐκ ἀρέσκονται οἱ παλαιοὶ τῇ τοιαύτῃ γραφῇ, πάντως δὲ παῖς μὲν ἀρητὸς, ὁ εὐκταῖος. γόνος δὲ ἀρητὸς, ὁ ἀπευκταῖος, καὶ ὡς εἰπεῖν ἐπάρατος. μέση δὲ λέξις ἡ ἀρὰ καὶ τὸ ἀρᾶσθαι, ἀφ' ὧν τὰ τοιαῦτα γίνονται.

Ἄρθος, τράγος.

Ἀρθεὶς, μετεωρισθείς.

Ἄρθεν, συνηρμόσθησαν.

Ἀρθῆναι, ἀπολέσαι, ἢ ἀπολέσθαι.

Ἀρθήσεται, ἐκ τοῦ αἴρω ἀρῶ ἦρκα ἦρμαι ἤρθην, ἀρθήσομαι ἀρθήσῃ ἀρθήσεται.

Ἀρθμηθέντες, φιλιωθέντες.

Ἀρθμήσαντε, ἤτοι φιλιωθέντες, καὶ διὰ τοῦ ἐν φιλότητι διατμαγῆναι εἰς ἀριθμὸν, ἤγουν εἰς ἁρμονίαν φιλικὴν ἐλθόντες ἀλλήλοις. ὡς γάρ ἐστι συμπλοκὴ μάχιμος, οὕτω καὶ φιλικὴ διάτμηξις.

Ἄρθμιοι, οἱ κατὰ φιλίαν ἡρμοσμένοι. ἀρθμὸς γὰρ ἡ φιλία.

Ἄρθμιος, κύριον ὄνομα, δοῦλος τινὸς βασιλέως. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἦρμαι, ἁρμός. ὡς κείρω, κορμὸς, καὶ πλεονασμῷ τοῦ θ ἀρθμός. ὡς πείρω, πορμὸς, καὶ πορθμός. ἢ ἀπὸ τοῦ ἐρῶ τὸ λέγω. οἱ γὰρ ἐν φιλίᾳ ὄντες, διαλέγονται ἀλλήλοις.

Ἀρθμὸν, προτμησία, ἢ μετάφρενον, ἢ αἰδοῖον ἀνδρὸς καὶ γυναικός.

Ἄρθρα λαμβάνεται κατ' ἐξοχὴν. οἷον ὁ ποιητὴς, καὶ νοεῖται ὁ Ὅμηρος. λαμβάνονται καὶ εἰς μοναδικὴν κτῆσιν. οἷον ἐὰν εἴπω χωρὶς ἄρθρου, ὅτι συγγενής σου ἦλθε, δηλῶ ὅτι εἰσί σοι πλῆθος συγγενῶν. εἰ δὲ προσθεὶς ἄρθρον εἴπω, ὁ συγγενής σου ἦλθεν, ἐμφαίνω διὰ τοῦ λόγου, ἕνα σοι εἶναι συγγενῆ. καὶ εἰς δευτέραν γνῶσιν, οἷον, ναῦς ἦλθεν ἐὰν εἴπω, οὐκ οἶδα ποία ναῦς αὕτη ἐστί. μετὰ δὲ τοῦ ἄρθρου, εἰς γνῶσιν ἔρχεταί σοι ποία ἐστί. λέγεται δὲ καὶ εἰς ἀοριστίαν, οἷον ὁ πταίσας μαθητὴς τυπτέσθω. καὶ οὐ λέγω τὸν προεπταικότα, ἀλλὰ ὅστις μέλλει πταίσειν. Ἄλλως.

Ἄρθρα, μέλη, ἄκρα. τίθεται δὲ τὰ ἄρθρα μετὰ τῶν ἀπαρεμφάτων ἀντὶ τῶν σουπίνων, καὶ γερουντίων Λατινικῶν, οἷας δήποτε πτώσεως. ὡς ὅτε λέγω, ἔρχομαι ἕνεκεν τοῦ ἀναγινώσκειν, ἐπιτήδειός εἰμι τῷ ἀναγινώσκειν, τρέχω εἰς τὸ ἀναγινώσκειν, χαίρομαι ἐν τῷ ἀναγινώσκειν. οὐ γὰρ ἔχει ἡ Ἑλληνικὴ γραμματικὴ γερούντια, ἢ σουπίνα, καί τοι ἔχουσα τινὰ ἐπιῤῥήματα θετικὰ, ἀντὶ

τῶν

Digitized by Google

των προσώπων τῶν ἑνικῶν τῶν παθητικῶν παρακειμένων. οἷον, ἀπὸ τοῦ γέγραπται, γραπτέον, ἀντὶ τοῦ σκριπτένδουμ. οὕτω καὶ περὶ τῶν λοιπῶν· ἀφ' ὧν ἐπιρρήματα καὶ ὀνόματα παρασχηματίζονται, αὐτοῖς τοῖς ἐπιρρήμασι παραπλήσια, οἷον γραπτέος, γραπτέα, γραπτέον. ἀντὶ τοῦ σκριπτένδους, σκριπτένδα, σκριπτένδουμ, ἐφ' ὅσα ἐστὶν ὄνομα, οὐκ ἐφ' ὅσα ἐστὶ παθητικὴ μετοχὴ μέλλοντος χρόνου. ἔχει γὰρ ἡ Ἑλληνικὴ γραμματικὴ μετοχὰς παθητικὰς ἰδίας μέλλοντος χρόνου, ἰσοδυναμούσας ταῖς παθητικαῖς μετοχαῖς, ἐνδοῦς, δα, δουμ λεγούσαις. Τῶν παραγώγων ἀντωνυμιῶν τὰ ἄρθρα προτίθεται, ὥσπερ καὶ τῶν ἐπιθέτων ὀνομάτων. οἷον, ὁ ἐμὸς οἶκος, ἡ ἐμὴ οἰκία, τὸ ἐμὸν οἴκημα. ὁ ἡμέτερος πατὴρ, ἡ ἡμετέρα μήτηρ, τὸ ἡμέτερον τέκνον. Ἰστέον, ὅτι ὅταν δύο ὀνόματα ᾖ, τὸ ἓν καθολικώτερον τοῦ ἑτέρου, εἰ μὲν προτάσσεται τὸ καθολικώτερον, δυσὶν ἐκφέρονται. οἷον, ὁ ἰχθὺς ὁ κέφαλος. εἰ δὲ τὸ ἕτερον, καὶ δυσὶ καὶ ἑνὶ, οἷον κέφαλος ὁ ἰχθὺς, καὶ ὁ κέφαλος ὁ ἰχθύς. εἰ δὲ ἐπίθετον καὶ προσηγορικόν ἐστιν, εἰ μὲν προτάττεται τὸ προσηγορικὸν, μετὰ τοῦ ἄρθρου ἀμφότερα λέγονται, οἷον οἱ ἵπποι οἱ μέλανες ἀγαθοί. εἰ δὲ τὸ ἐπίθετον, τὸ ἄρθρον ἔχει ἀεὶ, τοῦ ἑτέρου χωρὶς ἄρθρου λεγομένου. οἷον, οἱ μέλανες ἵπποι. ἐπὶ δὲ τῶν κτητικῶν καὶ κτημάτων, εἰ καὶ δοκεῖ τὰ κτητικὰ ἄρθρον ἔχειν, ἀλλ' οὐδέποτε ἔχει. σημαίνει γὰρ ἡ τοῦ κτητικοῦ προστασσομένου ἓν ἄρθρον εἶναι αὐτοῖς μετὰ τοῦ κτητικοῦ λεγόμενον, καὶ διαφορὰν πρὸς τὸ κτῆμα. οἷον, ὁ ἐμὸς οἶκος. εἰ δὲ τὸ κτῆμα προτάττεται, καὶ τὸ κτῆμα ἄρθρον ἔχει, καὶ τὸ κτητικόν. ὅμως καὶ τὸ τοῦ κτητικοῦ πρὸς τὸ κτῆμα ἀφορᾷ. δύο δὲ ἄρθρα καθ' ἑνὸς ὀνόματος λέγονται. οἷον ὁ οἶκος ὁ ἐμὸς, ὥσπερ ἂν ἦν ὁ οἶκος ὁ τοῦ Γεωργίου. τὸ γὰρ ἓν ἔχει ἀναπόλησιν τοῦ κτήματος. τὸ δὲ ἕτερον τοῦ κεκτημένου. ἐπιθέτου δὲ ὄντος καὶ κυρίου, τὸ ἐπίθετον ἔχει τὸ ἄρθρον ἀεὶ, ὁπότερον ἂν προτάττοιτο, τὸ δὲ κύριον οὐδαμῶς. οἷον Πλάτων ὁ σοφὸς εἴρηκε τόδε. καὶ ἀνάπαλιν, ὁ σοφὸς Πλάτων εἴρηκεν. εἰ μὴ ποιητὴς παραχρήσαιτο. ὡς Ὅμηρος τὸν Χρύσην ἀρητῆρα λέγει, ὀφείλων εἰπεῖν τὸν ἀρητῆρα Χρύσην. εἰ δὲ πρὸς ἀγνοοῦντα λέγω ὅτι ὁ Κέφαλος ἰχθὺς, καὶ ὁ οἶκος ἐμὸς, καὶ ὁ Πλάτων σοφὸς, καὶ θέλων διδάσκειν ταῦτα αὐτὸν μετὰ τοῦ μερικωτέρου καὶ τοῦ κτήματος καὶ τοῦ κυρίου, ὀφείλω λέγειν ἀεὶ τὸ ἄρθρον, ὁπότερον ἂν προτάττοιτο, καὶ ἐπιφέρειν ἐκεῖνα μετὰ τοῦ ὑπαρκτικοῦ ῥήματος, οἷον ὁ Κέφαλος ἰχθύς ἐστι, καὶ ὁ οἶκος ἐμὸς, καὶ ὁ Πλάτων σοφός.

Ἄρθρον, τὴν δευτέραν γνῶσιν τῶν ὑποκειμένων πραγμάτων σημαίνει. ἂν μὲν γὰρ εἴπω, ὅτι ἄνθρωπος ἦλθεν, πρώτην γνῶσιν σημαίνω. ἂν δὲ, ὁ ἄνθρωπος ἦλθε, δευτέραν. τὰ μὲν οὖν προτακτικὰ τῶν ἄρθρων, πάντων τῶν ὀνομάτων προτίθεται. τὰ δὲ ὑποτακτικὰ, ἑνὸς μὲν ὀνόματος ἀορίστου τοῦ συγκλινομένου. οἷον, ὅστις καὶ ὅ,τι. καὶ ἔτι συνδέσμου τοῦ περ παραπληρωματικοῦ, οἷον ὥσπερ. ἐνίοτε δὲ καὶ τοῦ γε, καὶ τοῦ, οἷον ὅσγε, ὅστου. ἀλλ' ὅταν μὲν ἀναφορικῶς λαμβάνεται, ἁπλῶς τὸ ὅς τις, μόνον συνάπτεται, ἢ τοῖς ἄλλοις τοῖς ῥηθεῖσιν, οἷον ἦλθεν ὁ ἄνθρωπος ὅστις ἐμοὶ φίλος. ὅταν δὲ βούλωμαι δηλῶσαι τὸ ὑποκείμενον ἀγνοοῦντα ἐμαυτὸν, τὸ τὶς ὁμοῦ καὶ τὸ ποτὲ ἐγκλινόμενον καὶ αὐτό. οἷον, εἶδόν τινα βαδίζοντα, ὅστίς ποτε ἦν ἐκεῖνος. Ἐν τοῖς μερισμοῖς, ἢ τοῖς προτακτικοῖς ἄρθροις, χρώμεθα σὺν τῷ μὲν, καὶ δὲ συνδέσμῳ. οἷον, τῶν ἀνθρώπων οἱ μέν εἰσιν ἀγαθοὶ, οἱ δὲ πονηροί. καὶ τῶν Αἰάντων ἕτερος μὲν Σαλαμίνιος, ἕτερος δὲ Λοκρός. Ἰστέον οὖν, ὡς ἐν ταῖς τοιαύταις συντάξεσι τῶν μερισμῶν, εἰ μὲν προτίθεται ῥῆμα πληθυντικὸν τὸ ἑπόμενον πρὸς ἑκάτερον κατὰ πρόσληψιν, δεῖ εὐθεῖαν προηγεῖσθαι, οἷον αὐτοὶ δύο ἔπτησαν, ὁ μὲν ἀπὸ ἀνατολῶν, ὁ δὲ ἀπὸ δυσμῶν. εἰ δὲ ἕπεται ἑνικῶς πρὸς τὰ μεριζόμενα ῥήματα, δεήσει προηγεῖσθαι γενικὴν πληθυντικήν. οἷον, δυοῖν αὐτῶν ὁ μὲν ἀπ' ἀνατολῶν, ὁ δὲ ἀπὸ δυσμῶν ἔπτη. Δύναται μέντοι καὶ τὸ ἑνικὸν διαιρεῖσθαι, ὁτὲ μὲν εἰς ἑνικὰ, ὁτὲ δὲ εἰς πληθυντικά. ἑνικὰ μὲν, οἷον τὸ ἀνθρώπινον γένος ἐστὶν ἐν μέρει μὲν ἀγαθὸν, ἐν μέρει δὲ πονηρόν. πληθυντικὰ δὲ, οἷον τοῦ ἀνθρωπίνου γένους οἱ μέν εἰσιν ἀγαθοὶ, οἱ δὲ πονηροί. καὶ τὸ πληθυντικὸν αὖθις, ὁτὲ μὲν εἰς πληθυντικὰ, οἷον τῶν ἀνθρώπων οἱ μέν εἰσι πονηροὶ, οἱ δὲ ἀγαθοί. ὁτὲ δὲ εἰς ἑνικὰ, οἷον αὐτῶν δυοῖν ὁ μὲν ἀπ' ἀνατολῶν ἔπτη, ὁ δὲ ἀπὸ δυσμῶν. εἰ μὲν εὐθεῖα προηγεῖται ἐν τῇ ἀθροίσει, καὶ τὸ ῥῆμα σὺν ἀθροίσει ἔξεστι κεῖσθαι. εἰ δὲ γενικὴ ἐν τοῖς μεριζομένοις, μόνον ἔξεστι κεῖσθαι τὸ ῥῆμα, ὡς δέδεικται, καὶ εἰκότως. τὸ γὰρ ῥῆμα εἴτε προηγούμενόν ἐστιν εἴτε ἑπόμενον, εὐθεῖαν ἀπαιτεῖ.

* Ἀρθρῖτις, ἡ περὶ τὰ ἄρθρα νόσος. ὥσπερ πλευρῖτις, ἡ περὶ τὰς πλευράς. καὶ νεφρῖτις, ἡ περὶ τοὺς νεφρούς.

Ἀρθρύσανοι, ἀποσχήματα, καὶ ἀποβλαστήματα.

Ἀρθῶμεν, ὑψωθῶμεν, ἀπὸ τοῦ αἴρω ἀρῶ, ἦρκα, ἦρμαι, ἤρθην. τὸ ὑποτακτικὸν, ἐὰν ἀρθῶ. τὸ τρίτον τῶν πληθυντικῶν, ἀρθῶμεν.

Ἄρια, φυτὸν ἡ Ἄρια.

Ἀριβάσκανος, πεποίηται ὡς ἀριπρεπής.

Ἀριβαλίδα, λήκυθος.

Ἀριγκύμων ἡ ταχέως ἐγκύμων γενομένη. παρὰ τῷ Ἱπποκράτει.

Ἀρίγνωτος, διάδηλος, φανερὸς, ἀπὸ τοῦ ἀεὶ ἐπιτατικοῦ μορίου, καὶ τοῦ γνωτοῦ, ὃ δηλοῖ τὸν γνώριμον.

Ἀρίδακρυς, ταχέως πολύδακρυς.

Ἀριδάκρυσι, πολυδάκρυσιν.

Ἀριδείκετος, ἄγαν ἔνδοξος. παρὰ τὸ δείκω τὸ δεικνύω, ἐξ οὗ παράγωγον δεικνύω. καὶ δείκελον, τὸ δεικνύον τὴν ὁμοιότητα. ὡς οὖν ἀπὸ τοῦ ἔχω ἔχετος, ἐμῶ ἔμετος, οὕτως ἀπὸ τοῦ δείκω δείκετος, καὶ ἀριδείκετος.

Ἀρίδες, τὰ τεκτονικὰ ἐργαλεῖα. καὶ ἀρίδες, αἱ μετὰ κονιορτοῦ πνοαί.

Ἀριδήλαν, τὴν Ἀριάδνην, Κρῆτες.

Ἀρίδηλον, ἔκδηλον, φανερόν.

Ἀριδηλότατα, φανερώτατα.

Ἀριζήλη, θαυμαστὴ, ἄγαν ἐκδηλοτάτη, ὅπερ θηλυκόν ἐστι τοῦ ἀρίζηλος. οἷον ἀστὴρ ἀρίζηλος· καὶ ὅτι ἔτρεψε τὸ δ εἰς ζ συνήθως, δῆλόν ἐστι. καὶ ὅτι κακεμφαλέξις ὡς ἐν ποιήσει τὸ ἀριζήλη, ἐπιφωνῆς ὑπερφωνούσης τὰς λοιπὰς, φασὶν οἱ παλαιοί. καὶ ἀρίζηλον λᾶαν παρ' Ὁμήρῳ, ἀρίδηλον δηλοῖ, τραπέντος τοῦ δ εἰς ζ, κατὰ συγγένειαν τοῦ δ καὶ ζ.

Ἀρίζηλος, ἡ περὶ Δωρικῶς, ἀρὶ, καὶ τὸ δῆλος ὁ φανερὸς, ἀρίδηλος. ἐκ τοῦ δαλὸς, ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον, ἀναδόσει τοῦ τόνου, καὶ τροπῇ τοῦ α εἰς η, δῆλος· πλεονασμῷ γίνεται ἀρίσδηλος. καὶ ἐπειδὴ τὸ ζ ἐκ τοῦ σ καὶ δ σύγκειται, τρέπει τὸ σ καὶ δ εἰς ζ, καὶ γίνεται ἀρίζηλος. ὁ ἄγαν ἔκδηλος. καὶ ὁ ἀρίζηλος, πολυτίμητος. καὶ ἀριζήλη, ἡ διάδηλος καὶ φανερά.

Ἄριζος, τάφος, Κύπριοι.

Ἀρίη, ἀπειλή.

Ἀριήκοον, ὀξυήκοον, εὐπειθῆ.

Ἀριήκοος, λίαν ἐπήκοος.

Ἀριὴλ, λέων.

Ἀριμρέστερον, χαλεπώτερον.

Ἀριφάτων, τῶν πολέμων.

Ἀριθμεῖν, ἐπὶ ψήφου. μετρεῖν, ἐπὶ μεδίμνου. σταθμεῖν, ἐπὶ ζυγοῦ. καὶ ἀριθμεῖται, ἐξετάζεται.

Ἀριθμηθήμεναι, εἰς φιλίαν ἐλθεῖν.

Ἀριθμητὰ, τὰ ὀλίγα.

Ἄρθμια, φίλια.

Ἀριθμός· παρατηρητέον, ὅτι τά τε φωνήεντα, τά τε σύμφωνα συντελοῦσιν εἰς τὸν ψηφισμὸν καὶ ἀριθμὸν, ὡς παρὰ τοῖς ἐπισήμοσι Λατίνοις ὁ λογαριασμός. συντελοῦσι καὶ εἰς τοῦτον τρία σχήματα, ἅπερ κυρίως οὐκ εἰσὶ γράμματα, τὸ ἐπίσημον δηλονότι ϛ, ἡ σκόπητα, καὶ ἡ χαρακτῆρα. πάντα γὰρ τὰ γράμματα ἀριθμὸν διασημαίνουσι. τὸ γὰρ α σημαίνει ἓν, τὸ β δύο, τὸ γ τρία, καὶ τὰ ἑξῆς. καὶ τὸ ἐπίσημον τὸ οὕτω γραφόμενον ϛ, ὅπερ ἕκτον ἐν τοῖς γράμμασι τίθεται, ἓξ ποιεῖ. καὶ οὕτως ἀκολούθως ἕως τοῦ ι, ὅπερ ποιεῖ δέκα. καὶ ἕκαστον ἀκολουθοῦμενον γράμμα, δέκα προστίθησιν ἐπὶ τὸ προηγούμενον, ἕως τοῦ π, ὅπερ ποιεῖ ὀγδοήκοντα. ἔπειτα ἀκολουθεῖ, ἡ σκόπητα. ὅπερ ποιεῖ ἐνενήκοντα. καὶ μετὰ ταῦτα ἀκολουθεῖ τὸ ρ, ὅπερ ποιεῖ ἑκατόν. εἶτα ἕως τοῦ ω, τὸ καθέκαστον γράμμα προστίθησιν ἑκατὸν, ἐπὶ τὸ προηγούμενον. τὸ δὲ ω, ὀκτακόσια ποιεῖ, καὶ ἀκολούθως ἐπάγεται τὴν χαρακτῆρα, ἥτις ποιεῖ ἐννακόσια. τὰ δὲ χίλια γίνεται διὰ τοῦ α μετὰ τοῦ σύρματος. δισχίλια δὲ οὕτω, β. μετὰ τοῦ σύρματος. καὶ τὸ αὐτὸ διὰ τῶν ἑξῆς γραμμάτων ὀφείλει γίνεσθαι.

* Ἀριθμῷ διατέμνειν, δίχα διαλαμβάνειν, ἀναιρεῖν, διαιρεῖν, διαχωρίζειν.

Ἀριθμὸς, σημεῖον γνωριστικὸν τοῦ ποσοῦ τῶν ὑποκειμένων. ὁ ἀριθμὸς ὁρίζεται, σωρεία μονάδων, ἢ μονάδος σύνθεσις. ἢ χύμα μονάδων, οὐχὶ διαίρεσις μονάδων.

Ἀριθμῶ, καὶ ἀπαριθμῶ· καὶ ἐξαριθμοῦμαι, καὶ ἀπαριθμῶ, καὶ ἀπαριθμοῦμαι. ὡς Ξενοφῶν, καὶ ἀπαριθμησάμενος ἅπαν τὸ στράτευμα παρεσκευάσατο, εὐθὺ τῶν ἐναντίων ἐλαύνειν.

* Ἀριθμητικοῖς ὀνόμασι, ἄρτιος, περιττὸς, ἀρτιοπέρισσος, περισσάρτιος, ἀρτιάκις ἄρτιος, ἡμιόλιος, ὑφημιόλιος, ἐπίτριτος, ἐπόγδοος, καὶ ὅσα τοιαῦτα.

Ἀριθύσανοι, ἡνίοχοι.

Ἀρίκεσι, χαλεπαῖς.

Ἀρικύμων, εὐσύλληπτος.

Ἄριμα, ὄνομα ὄρους.

Ἀριμάζει, ἁρμόζει.

Ἀριμαθαῖος, ἑρμηνεύεται αἴρων.

* Ἀριμασποὶ, ἔθνος.

Ἀριμάτυς, γαστὴρ σὺν κόπρῳ.

Ἀρὶ, μεγάλως. ὅθεν καὶ ἀρίζηλος, ὁ μεγάλως ζηλωτός. καὶ σύνδεσμος ἰσοδύναμος τῷ ἀριδήλως.

Ἄριμος, πίθηκος, ἢ ἄριμα. οἱ δὲ, ὄρος Παλλικίας.

Ἄρινον, τὸ νάπυ, τοῦ ψελλοῦ ἡ Μίνθη, τὸ ἡδύοσμον.

* Ἄρινες κύνες, ὥσπερ καὶ εὔρινες.

Ἀρίξαι, ὑποστηρίξαι.

Ἀριοβαρζάνης, σατράπης Φρυγίας ἀποδειχθεὶς οὗτος παρὰ Ξέρξου, ἀπέστη. ὃς καὶ ἀποστείλας λαὸν, τοὺς πολεμήσαντας αὐτῷ καὶ χειρωσαμένους ἐσταύρωσεν.

Ἀρίπικρον, μεγάλως πικρόν.

Ἀριπρεπέα ἄστρα, τὰ λίαν ἐκπρεπῆ τῇ λαμπρότητι. καὶ ἔστι ταυτὸν τῷ ἐκπρεπέα βασιλέα εἰπεῖν Ὁμηρικῶς, καὶ ἀριπρεπὲς ἄστρον, διὰ τὸ ἐκ ἀμφοῖν ὡς εἰπεῖν περιφανές. ὡς γὰρ ἐπιτείνει τὸ ἀρὶ ἐπιτατικὸν μόριον. οὕτω πολλαχοῦ ἡ ἐξ πρόθεσις καὶ ἡ περί. ἐναντίον δὲ τῷ ἐκπρεπεῖ, καὶ ἀριπρεπεῖ τὸ ἀπρεπὲς, ὡς ὑπ' οὐδενὸς περιεπόμενον. τὸ δὲ μεγαλοπρεπὲς, ἀρετὴν δηλοῖ λαμπράν.

Ἀριπρεπέα, ταυτόν ἐστι τῷ ἐκπρεπέα ἐν πολλοῖς. ἐπίτασιν γὰρ σημαίνει καὶ ἡ ἐκ πρόθεσις, καὶ τὸ ἀρὶ ἐπίρρημα.

* Ἀρὶς, τρύπανον, τέρετρον, τρυπανοῦχος.

Ἀρίσβη πόλις, ἀπὸ Ἀρίσβης θυγατρὸς μὲν Μάκαρος, ἢ Μέροπος, ἣν πρώτην ὁ Πάρις ἔσχε γυναῖκα.

Ἀριπρεπὲς, μεγαλοπρεπές.

Ἀριπρεπὴς, ἐπίσημος, ἔνδοξος καὶ διάδηλος.

Ἀρὶς, οὐ μόνον τὸ ὄργανον, ἀλλὰ καὶ βοτάνη τὶς, οὕτω καλουμένη παρὰ τῷ Ἱπποκράτει.

Ἀρίσημος, φανερὸς ἐν πολλοῖς.

Ἀρισκυδὴς, ἡ ἄγαν ὀργιζομένη. σκύζω γὰρ, τὸ ὀργίζομαι.

Ἀρίσκος, κόφινος.

Ἀρίσβη, πόλις Τρωάδος, Μιτυληναίων ἀποικίαν οὖσα.

Ἀρίσπης, εὔκαλος, ἄρτιος τοῖς ἔπεσιν.

Ἄριστα. τρεῖς ἦσαν τροφαὶ, ἄριστα, δεῖπνα, δόρπα τε, κατ' Αἰσχύλον.

Ἄριστα, κάλλιστα.

Ἀρι-

Digitized by Google

Ἀρισταῖος, ὁ Ἀπόλλωνος καὶ Κυρήνης, πρῶτον τὴν ἐργασίαν τοῦ Σιλφίου ἐξεῦρεν, ὥσπερ καὶ τοῦ μέλιτος.

Ἀριστᾶν, εὐωχεῖσθαι, τρυφᾶν. Ἀριστοφάνης, ἀριστᾶν ἐπιθυμεῖς.

Ἀρίσταρχος, μηδέν τι τῶν Ὁμήρου ἀλληγορεῖν ἀξιῶν, οὐ μόνον ὑπερβολικόν τι λέγει, ἀλλὰ καὶ σοφίας μεγάλης ἀφαιρεῖται τὸν ποιητήν.

Ἀριστάω ἀριστῶ, τὸ γευματίζω. ἐξ οὗ ἄριστον, τὸ γεῦμα. ἀριστάω δὲ, τὸ ἀνδραγαθῶ.

Ἀριστεία, ἡ ἀνδραγαθία.

* Ἀριστεῖα, ἐπινίκια, νικητήρια.

Ἀριστείδης, ὁ ἐπικαλούμενος δίκαιος. καὶ Ἀριστείδης Ἀνδριανεύς, σοφιστής.

Ἀριστεῖον, τὸ τοῖς ἀριστεῦσι διδόμενον ἔπαθλον, ἢ τὸ δῶρον τὸ ἐπὶ τῇ νίκῃ.

Ἀριστερά, τὰ μωρά. δεξιὰ δὲ, τὰ συνετά. ἀπὸ τοῦ ἄριστος, ἀριστερός, ἀριστερά, ὡς φόβος φοβερὸς φοβερά. ἔστι δὲ κατ' εὐφημισμόν, ὥσπερ καὶ εὐώνυμος λέγεται ἡ αὐτή. καὶ ἀριστεραὶ χεῖρες παρὰ τῷ Εὐαγγελίῳ, οἱ σαρκικοὶ λογισμοί. δεξιὰ δὲ χείρ, τὸ ἅγιον πνεῦμα. ὡς τὸ, Μὴ γνώτω ἡ ἀριστερά, τί ποιεῖ ἡ δεξιά σου. τὰ γὰρ δεξιὰ μέρη τοῦ ἀριστεροῦ πνεύματος οὐ φροντίζουσι, πιστεύοντα τῇ δεσποτικῇ φωνῇ, Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Ἀριστεροστάτης, ὁ πρωτοστάτης τοῦ χοροῦ.

Ἀριστεύς, πρόμαχος κάλλιστος, καὶ ὁ πολέμῳ νικῶν.

Ἀριστεῦσιν, ἱππεῦσιν, ἐπὶ δοτικῆς τῶν πληθυντικῶν. Μόνα γὰρ τὰ διὰ τῆς ευ διφθόγγου ἐκφερόμενα ἐπὶ τῆς ὀνομαστικῆς, τηρεῖ τὴν ευ δίφθογγον καὶ ἐπὶ τῆς δοτικῆς τῶν πληθυντικῶν. οἷον, ἀριστεὺς ἀριστεῦσιν, ἱππεὺς ἱππεῦσιν. ὁμοίως καὶ αἱ ἀπὸ τῶν εἰς μι ῥημάτων γινόμεναι μετοχαί. οἷον, τίθημι ἐτίθην, ὁ τιθεὶς τοῖς τιθεῖσι. συνίειμι, ὁ συνιεὶς τοῖς συνιεῖσιν. ὅσα δέ εἰσι τῶν ὀνομάτων σύνθετα παρ' οὐδετέρων, τὴν αὐτὴν φυλάττουσι τοῖς οὐδετέροις κλίσιν. οἷον, ὁ εὐγενής, τοῦ εὐγενοῦς, τοῖς εὐγενέσιν, ὡς ἀπὸ τοῦ γένος συγκείμενον. καὶ Δημοσθένης, Δημοσθένεος Δημοσθένους, Δημοσθένεσιν ὁμοίως, ὡς ἀπὸ τοῦ σθένος.

Ἀριστεύω, μετὰ προθέσεως συντάσσεται. οἷον, ἠρίστευσα ἐν τῇ μάχῃ, ὅθεν ἀριστεὺς καὶ ἀριστεία.

Ἀριστήσασθε, γεύσασθε.

Ἀριστίνδην, ἀντὶ τοῦ κατ' ἐκλογήν. ὡς τὸ πλουτίνδην, ἀντὶ τοῦ πλουσίως.

Ἀριστίνδης, ὁ ἐκ τῶν ἀρίστων ἐκλελεγμένος.

Ἀριστῆραι, δοῦλαι.

* Ἀριστήρ, ᾧ τὸν οἶνον ἀρύονται, καὶ ἀρύστιχος, καὶ κύαθος, καὶ ἀνήρυσις, καὶ λεπαστή.

Ἀριστίων, Ὑπερείδης κατὰ Δημοσθένους, οὗτος Σάμιος μέν ἐστιν, ἢ Πλαταιεύς. ὡς δ' Ὕλλος φησίν, ἐκ Μειρακυλλίου, ἑταῖρος Δημοσθένους. ἐπέμφθη δ' ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα, ἕνεκα διαλλαγῶν, ὥς φησι Μαρσύας ἐν πέμπτῳ τῶν περὶ Ἀλεξάνδρου.

Ἀρισκύδης, ἡ ὀργίλη, παρὰ τὸ ἀρι καὶ τὸ σκύζεσθαι, ἡ ἄγαν σκυζομένη. οὕτως Ἀρτεμίδωρος.

Ἀριστόδημος. ἀριστόδημον οἱ κωμικοὶ, τὸν πρωκτὸν, καὶ Θεόδωρον, καὶ Τιμησιάνακτα ἔλεγον, ἀπὸ τῶν ἡταιρηκότων. Φορμισίους δὲ τὰ γυναικεῖα αἰδοῖα, καὶ Βασιλείδας, καὶ λαχάρας. Ἀριστοκρατεῖσθαι, τὸ ὀλιγοκρατεῖσθαι. ὅθεν ἴσως ἀριστοκράτης ἔσχε τὸ ὄνομα. ἐπεβούλευσε γὰρ κατάλυσιν τῷ δήμῳ. ὡς τὸ μισῶ ἀριστοκρατίαν, ὅτι καὶ ἀριστοκράτης κέκληται οὗτος. ἀριστοκρατεῖσθαι, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὀλιγαρχεῖσθαι. Ἀριστοκράτης δὲ Σκελλίου υἱός, ἐπεβούλευσεν εἰς κατάλυσιν τοῦ δήμου.

Ἀριστοκρατούμενοι, ὑπὸ ἀρίστων κρατούμενοι, ἢ δήμου, ἢ ἑτέρων τινῶν καλλίστων.

Ἀριστολοχία, βοτάνη τις.

Ἀριστομένιον, βοτάνη.

Ἀριστοτέχνης, ὁ ἐν τῇ τέχνῃ χρήσιμος.

Ἀριστοτόκεια, ἡ ἄριστα γεννῶσα.

Ἄριστος, μέγιστος, ἔξαρχος, ἐξοχώτατος. ἢ ἄριστος ἐπὶ σώματος, βέλτιστος ἐπὶ ψυχῆς. καὶ ἄριστος, ὁ ἐν πολέμοις ἀνδραγαθῶν, ἢ ὁ ὑπερτερῶν ἐν παντὶ πράγματι, καὶ τοὺς ἄλλους ὑπερβαλλόμενος.

Ἄριστον, τὸ ἀκράτισμα, ἤγουν τὸ πρωϊνὸν ἔμβρωμα. ὃ ἡμεῖς ἀκρατισμὸν καλοῦμεν, διὰ τὸ ἐν ἀκράτῳ βρέχειν καὶ προσίεσθαι ψωμούς. Φιλήμων, τροφαῖς τέσσαρσι χρῆσθαί φησι τοὺς παλαιούς, ἀκρατίσματι, ἀρίστῳ, ἑσπερίσματι, δείπνῳ. καὶ ὅτι τὸν μὲν ἀκρατισμόν, διανηστισμὸν ἐκεῖνοι ἔλεγον. τὸ δὲ ἄριστον, δορπιστόν. τὸ δὲ δεῖπνον, ἐπιδορπίδα. ἔστι δέ φησιν ἡ τάξις τῶν ὀνομάτων παρ' Αἰσχύλῳ, ἐν οἷς παράγει τὸν Παλαμήδην λέγοντα οὕτω, Σῖτον δ' εἰδέναι διώρισα, ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι τρία. τῆς δὲ τετάρτης οὕτω μέμνηται Ὅμηρος, Ἔρχεο δειελιήσας, ὃ καλοῦσί τινες δειλινὸν βρῶμα, μεταξὺ ὂν τοῦ ὑφ' ἡμῶν λεγομένου ἀρίστου καὶ δείπνου. ὅτι δὲ τοῦτο, ἤγουν τὸ δειελιήσας, ἀντιλέγεται, ὡς μὴ δηλοῦν τετάρτην τροφὴν. ἐπεὶ μηδὲ οἶδεν Ὅμηρος τροφὰς ἐφ' ἑκάστῃ ἡμέρᾳ τέσσαρας. ὁ δὲ Ἀθήναιος, ὡς ἄριστον μέν ἐστι, τὸ ὑπὸ τὴν ἕω λαμβανόμενον. δεῖπνον, τὸ μεσημβρινόν, ὃ ἡμεῖς ἄριστον φαμέν. δόρπον δὲ, τὸ ἑσπερινόν. ἐπὶ δὲ τούτοις ἐπικρίνει συνωνυμεῖν τὸ ἄριστον τῷ δείπνῳ, ἐξ ὁμηρικῆς χρήσεως ὡρμημένος. ἄριστον λέγομεν, καὶ ἀριστῆσαι, ἠρίστησα, συνηρίστησα, ἀριστοποιούμενοι. καὶ τὸ Μενάνδρου δρᾶμα συναριστῶσαι, ὃ παρὰ Ξενοφῶντι συνάριστος.

* Ἀριστόδειπνον καὶ ἄδειπνον, Μένανδρος εἴρηκε.

Ἀριστονομία, ἡ εὐνομία, ἡ τῶν ἀρίστων διανομή.

Ἀριστόχειρ, ὁ γενναῖος περὶ τὰ ἀριστεῖα, καὶ ἀριστόχειρ ἀγών.

Ἀρίβαλλος, πλεκτόν τι βαλάντιον, ἢ μαρσύπιον, παρὰ τὸ ἀρύειν καὶ βάλλειν.

Ἀρίστυλος, κύριον ὄνομα, αἰσχρὸς παρὰ τῷ Ἀριστοφάνει. καὶ ἐν Ἐκκλησιαζούσαις μέμνηται αὐτοῦ, ὡς αἰσχροποιοῦ.

Ἀριστωτός, ἀρίστου ὥρα.

Ἀρισφαλέα οὐδὸν λέγει Ὅμηρος, τὴν τραχεῖαν καὶ πάνυ σφάλλουσαν, ὡς κινδυνεύειν πίπτειν τὸν ὁδεύοντα.

Ἀρίφρων, ὁ κακῶς φρονῶν.

Ἀριφραδέα, δῆλα, εὔσημα, εὐεπίγνωστα, καὶ φανερά.

Ἀριφηλεῖς, εὐχερῶς ἁπτόμενοι.

Ἀρισφαλεῖς, ἰσχυρῶς σφαλεροί.

Ἀριφραδές, ἄγαν φανερόν.

Ἄριχα, ἄρρεν πρόβατον.

Ἀρίχεται, γλίχεται, ἐπιθυμεῖ.

Ἀριχῶσθαι, ἐκδύειν ζητεῖσθαι.

Ἀριώθ, ἡ λέαινα, ὑπὸ Σύρων.

Ἀρίων, ὁ ἵππος Ποσειδῶνος υἱός, καὶ μιᾶς τῶν Ἐριννύων.

Ἄρκαλλα, λευκά, καὶ ἐνώτια ἐξ ὑάλλου περικεχυμένα. οἱ δὲ, ξύλα ξηρά.

Ἀρκαλᾶν, περιχαλᾶν, μύζειν.

Ἀρκάνη, τὸ ῥάμμα, ᾧ τὸν στήμονα ἐγκαταπλέκουσιν αἱ διαζόμεναι.

Ἀρκαλέον, ξηρόν, ῥυσσόν.

Ἀρκασκηνή, ἀρκαδικὸς πῖλος, Σοφοκλῆς Ἰνάχῳ.

Ἀρκάς. Ἰστέον ὅτι ἀρκάς, κυνῆ ἐλέγετό τις, ἤτοι ἀρκαδικὴ πῖλος, διὰ τὸ ἔχειν ὡς εἰκός τι διάφορον πρὸς τὰ ὁμοειδῆ, καὶ ὅτι φελλός τις ἐφέρετο Ἀρκάς. καὶ ὅτι Ἐρατοσθένης παρὰ Ἀρκάσι φησὶ φελλὸν, μέσον τι πρίνου καὶ δρυὸς, ὃ ἐνίους θηλύπρινον καλεῖν. καὶ ὅτι παροιμία ἦν τὸ ἀρκάδας μιμούμενος, ἐπὶ τῶν ἄλλως ταλαιπωρούντων. μαχιμώτατοι γὰρ ὄντες, αὐτοὶ μὲν οὐδέποτε ἐνίκησαν, πολλοῖς δὲ ἄλλοις αἴτιοι τοῦ νικᾶν ἦσαν. ὅθεν καὶ Πλάτων ὁ κωμικός, διὰ τὸ τὰς κωμῳδίας φησίν, αὐτὸς ποιῶν ἄλλοις ἐκδιδόναι διὰ πενίαν, Ἀρκάδας μιμεῖσθαι. ἕτερος δὲ ῥήτωρ ἐπιδραμὼν τὰ πολλά φησιν, Ἀρκάδας μιμούμενος, ἤγουν ἄλλοις ταλαιπωρῶν. οἱ γὰρ Ἀρκάδες, ὑπὲρ ἑτέρων ἠνδραγαθίζοντό φησιν, ὃ δὴ καὶ Ἡρακλῆς ἔπαθεν. ἐξ οὗ καὶ παροιμία ἐπὶ τῶν ἄλλως μοχθούντων, τὸ ἐν τετράδι γεννηθῆναι, κατὰ τὸν Ἡρακλέα δηλαδή, ὃς μηνὸς τετάρτῃ γεννηθεὶς, ἄλλοις ἤθλει.

Ἀρκάδες, ἀπὸ Ἀρκάδος υἱοῦ Διός. καὶ ἡ χώρα αὐτῶν Ἀρκαδία, κληθεῖσά ποτε καὶ Πελασγία, καὶ Παρρασία, καὶ Λυκαονία, καὶ Γιγαντὶς, καὶ Ἀζανία. ὅτι δὲ Ἀρκὰς τὸ, τε κύριον καὶ τὸ ἐθνικὸν συστέλλει τὸ ἄλφα, καὶ ὀξύνει, καὶ διὰ τοῦ δος κλίνεται, κατὰ τὸ φυγὰς φυγάδος, καὶ τὰ ὅμοια, ἐκ τῶν Ἡρωδιανοῦ δῆλον. ὃς παρατιθεὶς τὸ ἱμὰς καὶ ἀνδριὰς, ἐκτεινόμενα ἐν τῇ ληγούσῃ, κατὰ τὰς μετοχὰς μιμήσασθαί φησιν αὐτὰ, καὶ τὴν τῶν μετοχῶν κλίσιν, τοῦ ἱστὰς ἱστάντος, καὶ βιβὰς βιβάντος. Δοκεῖ δέ φασι, παλαιότατα ἔθνη Ἑλλήνων εἶναι τὰ ἀρκαδικά. διὸ καὶ προσέληνοι ἐλέγοντο οἱ Ἀρκάδες. ὅπερ φασὶν Ἵππυς ὁ Ῥηγῖνος πρῶτον αὐτοὺς ἐκάλεσε. τοῦτο δὲ ὁ Λυκόφρων παραφράζων, πρόσθε Μήνης τοὺς Ἀρκάδας βαλανηφαγεῖν εἶπεν.

Ἀρκεῖν, βοηθεῖν, προσαρκεῖν.

Ἄρκειος κεφαλή, ἡ τῆς Ἄρκτου. καὶ ἄρκειον κρέας, δίφθογγον. ἄρκιον δὲ τὸ ἱκανὸν καὶ ὠφέλιμον, ἰῶτα.

Ἀρκεισιάδης, Λαέρτης, ὁ υἱὸς Ἀρκεισίου. ὃς ἢ παρὰ τὸ ἀρκέω ἀρκέσω ἐρρέθη, ὡς οἷα ἐπαρκεῖν ἁπλῶς δυνάμενος, ὅθεν καὶ ὁ Ποδάρκης. ἢ διότι ἄρκος αὐτὸν, ἤτοι ἄρκτος θηλάσοι, καθὰ καὶ ἕτερόν τινα ἵππος, ἢ αἴξ, καὶ ἄλλους τινὰς λύκαινα. ἐν οἷς καὶ οἱ τῶν ῥωμαίων ἔξαρχοι κατὰ Δίωνα, Ῥῶμος δηλαδὴ καὶ Ῥώμυλος, οὓς ἐθήλασε λύκαινα, ἢ παρὰ τοῖς Ἰταλιώταις λοῦπα καλεῖται. ὃ δὴ ὄνομα μετῆκται ἀστείως εἰς ἑταιρίδων προσηγορίαν. τὸ γὰρ ζῷον ἁρπακτικὸν ἡ λοῦπα, ἤτουν λύκαινα. καὶ αἱ ἑταιρίδες δὲ, ὁμοιότροποι. εἰ δὲ καὶ μῦθος τερατεύεται, ὡς ἄρα τέκοι αὐτὸν ἄρκτος, ἡ ἱστορία θεραπεύει τὸ τοιοῦτον βρέφος ἀνθρωπίνως μαιεύουσα. φασὶ γὰρ Κέφαλον τὸν Δηϊονέως, ἢ Δηΐονος, ἐξ Ἄρκτου γυναικὸς τεκεῖν τὸν Ἀρκείσιον.

Ἀρκεσίλαον, ἀμυντικὸν, ἤτοι βοηθητικόν. δηλοῖ γὰρ τὸν ἐπαρκοῦντα λαοῖς. ὥσπερ δὲ μνῶ μνήσω, Μνησίλοχος. οὕτως ἀρκῶ ἀρκέσω, Ἀρκεσίλαος. Διὸς καὶ Εὐρυοδίας γενεαλογοῦσιν Ἀρκεσίλαον. αὐτοῦ δὲ καὶ Χαλκομεδούσης, Λαέρτην. τοῦ δὲ, καὶ Ἀντικλείας, Ὀδυσσέα. οὗ καὶ Πενελόπης, Τηλέμαχον. αὐτοῦ δὲ καὶ Πολυκάστης τῆς Νέστορος, Περσέπτολιν, ὡς Ἡσίοδος. Ἀριστοτέλης καὶ Ἑλλάνικος, Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι τὴν Ἀλκινόου, καὶ γεννῆσαι τὸν Περσέπτολιν. τινὲς δὲ καὶ τοιούτοις λόγοις ἐνδιατρίβουσιν, ἐκ Κίρκης υἱοὶ καθ' Ἡσίοδον Ὀδυσσεῖ, Ἄγριος καὶ Λατῖνος. ἐκ δὲ Καλυψοῦς, Ναυσίθοος. ὁ δὲ Τηλεγόνειαν γράψας Κυρηναῖος, ἐκ μὲν Καλυψοῦς Τηλέγονον, υἱὸν Ὀδυσσεῖ ἀναγράφει, ἢ Τηλέδαμον. ἐκ δὲ Πηνελόπης, Τηλέμαχον καὶ Ἀρκεσίλαον. κατὰ δὲ Λυσίμαχον, υἱὸς αὐτῷ ἐξ Εὐίππης Θεσπρωτίδος, Λεοντόφρων, ὃν ἄλλοι Δόρυκλόν φασι. Σοφοκλῆς ἐκ τῆς αὐτῆς Εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε Τηλέμαχος.

Ἀρκεῖσθαι παρεοῦσιν, ἀντὶ τοῦ ἀρκοῦ. ἴδιον τῶν Ἰώνων χρῆσθαι τοῖς ἀπαρεμφάτοις, ἀντὶ προστακτικῶν.

* Ἀρκεῖ, ἐξαρκεῖ, ἀπαρκεῖ, ἀπόχρη, ἀποχρώντως ἔχει.

Ἀρκείσιος, ὁ πάππος Ὀδυσσέως.

Ἄρκευθος, φυτὸν ἢ δένδρον ἐστὶν ἀκανθῶδες, Ἀπόλλωνος ἱερόν, ὡς ἱστορεῖ Μουσαῖος. Θεόφραστος δέ φησιν, ὅτι τῶν ἀγρίων ἐστὶν, ἐλάτη, πεύκη, ἄρκευθος, μελία, οἴα, καὶ ἀναρύκα, ἣν καλοῦσι φελλόδρυν. Ἄλλως.

Ἄρκευθος, εἶδος φυτοῦ ἀκανθῶδους, ἀπὸ τοῦ τὴν ἀρὰν, ἤτοι τὴν βλάβην κεύθειν, ἀράκευθος, καὶ ἄρκευθος. ἢ διὰ τὸ ἔχειν ἀκάνθας κεκρυμμένας, οὗ τὴν ὀσμὴν πάντα τὰ ἑρπετὰ ἀποστρέφονται.

Ἀρκέσει παρ' Ὁμήρῳ, ὅ ἐστιν ἄρκιος φανήσεται, βοηθήσει.

Ἀρκέσιον, οὕτω καλούμενον ἄντρον τῆς Κρητικῆς Ἴδης. παρὰ τὸ ἀρκέσαι, τὸ βοηθῆσαι.

Ἄρκηλα, τὸ ὃν Κρῆτες, τὴν ὕστριχα.

Ἀρκής, ταχύς.

Ἄρκιος, ἀλλαχοῦ θρασύς, ἀγαθὸς, πολεμικός.

Ἀρ-

Ἄρχιον, ἀρκετὸν, αἱρετώτερον, ἱκανὸν, ἐπίσημον.

Ἀρχὸν, χολή. Μακεδόνες.

Ἄρκος, ἄρκεσμα, βοήθεια. ἢ τὸ παιδίον, καὶ τὸ ζῷον, καὶ ἱέρεια τῆς Ἀρτέμιδος.

Ἀρκοῦμαι, ἀγαπῶ. ἀρκεῖ, καὶ ἐπαρκεῖ τις τινὶ, βοηθῶν.

Ἀρκεῖ ἡμῖν ἀριστήσασι, καὶ ἀρκεῖ ἡμῖν ἀριστῆσαι. ἡ ἄρκτος, παρὰ τὸ ἀρκῶ ἄρκος ἡ ἐπαρκοῦσα ἑαυτῇ, φασὶ γὰρ αὐτὴν διαζῆν τὸν χειμῶνα, χωρὶς ἐπεισάκτου τροφῆς. ἄρκος δὲ, ὅτι ἀπὸ τῆς ἄρκτου ἐγένετο. Ἀρκτοῦρος, καὶ ὁ ἐπὶ τῆς ζώνης τοῦ Ἀρκτοφύλακος λαμπρὸς ἀστὴρ, ἀπὸ τοῦ κατὰ τὴν οὐρὰν τῆς ἄρκτου.

Ἀρκούντως ἔχειν, καὶ μετρίως ἔχειν λέγομεν. καὶ ἀποχρώντως, ἱκανῶς, αὐτάρκως, μεμετρημένως. τὸ δὲ ἀμέτρως λέγειν, εἰ μὲν κατὰ τὸ πλέον, ἐκμέτρως, καὶ ὑπερμέτρως, καὶ περιττῶς. εἰ δὲ κατὰ τὸ ἔλαττον, ἐνδεῶς, ἐλλιπῶς, ἐλαττόνως.

Ἀρκτεία, ἡ τῶν ἀρκτευομένων παρθένων τελετή.

Ἀρκτέον, δεῖ ἄρχεσθαι, ἢ ἄξιον ἀρχὴν λαμβάνειν τὸ πρᾶγμα. ἔστι γὰρ ὄνομα ἐπίθετον, ἀλλ' οὐκ ἐπίρρημα. τὰ γὰρ οὕτω προφερόμενα ἐπιρρήματα ἐνεργητικὴν ἔχει τὴν σημασίαν, τὰ δὲ ὀνόματα παθητικήν.

Ἀρκτεῦσαι, Λυσίας ἐν τῷ ὑπὲρ Φρυνίχου θυγατρὸς (εἰ γνήσιος) τὸ καθιερωθῆναι πρὸς γάμον τὰς παρθένους τῇ Ἀρτέμιδι τῇ Μουνυχίᾳ, ἢ τῇ Φαυρωνίᾳ. τὰ δὲ συντείνονται εἰς τὸ προκείμενον, εἴρηται παρά τε ἄλλοις καὶ Κρατίνῳ, ἐν τοῖς Ψηφίσμασιν. ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, Εὐριπίδης Ὑψιπύλῃ, καὶ Ἀριστοφάνης Λυμνίαις καὶ Λυσιστράτῃ.

Ἀρκτῆ, ἡ τῆς ἄρκτου δορά. * Ὥσπερ ἀλωπεκῆ, ἡ τῆς ἀλώπεκος. καὶ λυκῆ, ἡ τοῦ λύκου. καὶ μοσχῆ, ἡ τοῦ μόσχου. καὶ λεοντῆ, ἡ τοῦ λέοντος. νεβρὶς δὲ ἡ τῆς ἐλάφου, καὶ αἰγὶς, ἡ τῆς αἰγός.

Ἄρκτον ὄρος, κυρίως οὕτω λεγόμενον, ἐπειδή φασι τὰς τροφοὺς τοῦ Διὸς ἐκεῖ διατριβούσας εἰς ἄρκτους μεταβληθῆναι. ἢ ὅτι ὁ τόπος ἔνθηρος, καὶ ἀπὸ τοῦ θηρίου τῆς ἄρκτου ὠνομάσθη. ἢ διὰ τὸ ὑψηλὸν τοῦ ὄρους. ἀπὸ τοῦ δοκεῖν ταῖς ἄρκτοις προσπελάζειν ταῖς ἀστρῴοις. τοῦτο δὲ ἄγριοί τινες γηγενεῖς ᾤκουν.

Ἄρκτος. ὅτι λόγος ἐστὶ, Καλλιστὼ τὴν Λυκάονος χόλῳ Ἥρας διὰ τὸν Διὸς ἔρωτα, μεταπεσεῖν εἰς ἄρκτον. καὶ τοξευθῆναι μὲν ὑπ' Ἀρτέμιδος, ἀναχθῆναι δὲ εἰς ἀστέρας ὑπὸ τοῦ Διός. ἔχουσι δὲ καὶ περὶ αὐτῆς τὸ ἀρκοῦν, οἱ τοῦ Ἀράτου ὑπομνηματισμοί. Ἱστέον δὲ, ἐξ ἐπεὶ ἄρκτον ὁ μῦθος κατὰ ζωωνυμίαν τὸ τῆς Καλλιστοῦς ὠνόμασεν ἀστροθέτημα, ὁ δὲ Ὠρίων ἐπειδὴ κυνηγέτης ὑπόκειται, χαριέντως εἶπεν ὁ ποιητὴς τὸ, Ἥ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει. ἀληθῶς μὲν, διότι τὴν αὐτὴν ἡ Ἄρκτος τῷ Ὠρίωνι ποιεῖται κίνησιν. ἀστείως δὲ, ὡς πρὸς τὸν μῦθον. διότι δέδιεν ὡς ἄρκτος τὸν κυνηγέτην, καὶ διὰ τοῦτο πρὸς τὸ τοῦ Ὠρίωνος ἀποβλέπει ἄστρον. λέγει δὲ καὶ κύριον μὲν αὐτῆς εἶναι τὸ Ἄρκτος, διὰ τὴν τοῦ μύθου ἐξουσίαν. ἥτις αὐτὴν ἐξ ἄρκτου κατηστέρισεν. ἐπίκλησιν δὲ τὸ ἅμαξα διὰ ὁμοιότητα τῆς τῶν ἁμαξοειδῶς αὐτὴν συμπληρούντων ἀστέρων θέσεως. ἡ δὲ ἄρκτος, ὅτι μετὰ τοῦ τ λέγεται, δηλοῖ ὁ γράψας οὕτω, ἄρκτον, οὐχὶ ἄρκον. τὸν μὲν ἄνεμον ἐνταῦθα τὴν ἀπαρκτίαν, διὰ τὸ ἄφωνον, καὶ τὴν ἐκεῖθεν πνοὴν ἄρκιον. εἰς ὃ καὶ φέρει ἐκεῖνος χρῆσιν αὐτήν· Καὶ μὴν πελάζει καὶ καταψύχει πνοὴ ἄρκιος, ὡς ναύτῃσιν ἀσκευάστοις μολών. τὸ δὲ Ἅμαξα, οἱ παλαιοὶ μὲν ψιλοῦσι, καὶ φέρονται καὶ συναλοιφαὶ τοῦτο δηλοῦσαι, οἷον, τιλλέσθην ἐπάμαξαν, καὶ αἱ δ' ἐπ' ἀμαξιτοὺς, καὶ κατημαξευόμενον. οἱ μέντοι νεώτεροι Ἀττικοὶ ἐδάσυναν, καὶ διὰ δασείας συνήλειψαν, καθημαξευόμενα εἰπόντες, ὥς φασιν οἱ παλαιοί. καὶ ἄρκτος τὸ ζῷον, καὶ τὸ ἀεικίνητον ἀστροθέτημα.

* Ἀρκτύλοι, τὰ τῶν ἄρκτων ἔγγονα. τὰ δὲ τῶν ἐλάφων, νεβροί. τὰ δὲ τῶν ἀλωπέκων, ἀλωπεκιδεῖς. τὰ δὲ τῶν λύκων καὶ κυνῶν, σκύλακες.

Ἀρκτοῦρος, ὁ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος λαμπρὸς ἀστὴρ, ἀπὸ τοῦ κατὰ τὴν οὐρὰν ἄρκτου. καὶ εἶδος βοτάνης, καὶ ὅλος ὁ Βοώτης.

Ἀρκτῷος τόπος, ἐν ᾧ οἱ ἑπτὰ ἀστέρες. καὶ ἀρκτῴων τόπων, τῶν βορείων.

Ἄρκυα, δίκτυα, λίνα.

Ἄρκυες, δίκτυα πρὸς θήραν, θηρευτικά.

Ἄρκυμα, ἀχλὺς, ὑπὸ Περγαίων.

Ἄρκυον, μεσάγκυλον, καὶ γυναικεῖον κεκρύφαλον.

Ἄρκυς κυρίως δίκτυον πρὸς ἄρκτων θήραν ἁρμόδιον. καὶ ἀρκυωρεῖσθαι, τὸ φυλάσσειν τὰς ἄρκυς.

Ἀρκυωρὸς ὁ τὰς ἄρκυς φυλάσσων. ἄρκυς δὲ, πάντα τὰ θηρευτικὰ λίνα. Ξενοφῶν Κυνηγετικῷ.

Ἀρκυστάσια, οἱ τόποι ἔνθα αἱ ἄρκυες πήγνυνται.

Ἀρκῶς, ἀρκετῶς, ἱκανῶς.

Ἀρκῶ, τὸ βοηθῶ, ἀρκέσω, ἤρκεσα. καὶ ἀρκῶ, καὶ ἐπαρκῶ τοῖς πένησι. καὶ ἀρκῶ, ἀντὶ τοῦ ἱκανός εἰμι. καὶ ἀρκεῖ μοι τόδε τὸ πρᾶγμα, ἀντὶ τοῦ ἱκανόν ἐστιν. ἐπαρκῶ δὲ, τὸ βοηθῶ τοῖς χρείαν ἔχουσιν, ἀρκετὰ δίδωμι. καὶ ἀπαρκῶ, τὸ ἀποσοβῶ.

Ἅρμα, κώμη τις πλησίον Μυκαλησσοῦ. καὶ δῆμος ἔχον φρούριον ὀχυρὸν, ὅμορον φασὶ τῇ Ταναγρικῇ. οὗ ὁ πολίτης, Ἁρματεύς. ἐκλήθη δέ φασιν οὕτως, ἢ διότι ἐκεῖ κατεάγη τὸ τοῦ Ἀδράστου ἅρμα, ἢ ἀπὸ τοῦ ἅρματος Ἀμφιαράου, καταφυγόντος ἐκεῖ, καὶ μὴ ἐκδοθέντος τοῖς διώκουσιν. ἐκαλεῖτο ἀπὸ τοῦ αὐτοῦ καὶ λύτρα Ἀμφιαράου. ἔστι δέ φασι καὶ τῆς Ἀττικῆς τόπος ἐν Πάρνηθι Ἅρμα καλούμενος, κείμενος περὶ τὴν οὕτω καλουμένην Φυλήν. τὸ δὲ παροιμιῶδες τὸ ὁπόταν ἀστράψῃ δι' ἅρματος, ἤγουν ὀψέ ποτε καὶ διὰ χρόνου ἀδήλου, τοῦ Ἀττικοῦ ἅρματος μέμνηται, ἢ μᾶλλον τοῦ Βοιωτικοῦ. φασὶ δὲ καὶ ὡς ἀστραπὴν ἐσημαίνοντο κατά τινα χρησμὸν οἱ Πυθαϊσταὶ, βλέποντες ἐπὶ τὸ τοιοῦτον ἅρμα, καὶ ὅτε ἤστραψεν ἔπεμπον θυσίαν εἰς Δελφούς. ἐτήρουν δὲ ἐπὶ τρεῖς μῆνας, καὶ καθ' ἕκαστον μῆνα ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας ἀπὸ τῆς ἐσχάρας τοῦ ἀστροπόλου Διός. ἢ ἅρμα ἑνικῶς, τέθριππον. πληθυντικῶς δὲ παρὰ Λατίνοις, τὰ ὅπλα. καὶ ἅρμα, ὄχημα, κάρουχα, δίφρος, καὶ πόλις Βοιωτίας.

Ἁρμαθὶμ, ὄνομα τόπου.

Ἁρμακίας, στοάς.

Ἁρμαλιὰ, ἡ τροφὴ, παρὰ τὸ τῇ ψυχῇ ἁρμόζειν. ἄρω γὰρ, τὸ ἁρμόζω. ἢ παρὰ τὸ αἴρειν τὰ σώματα, γίνεται ἁρμός. καὶ ὡς καθαίρω καθαρμὸς, οὕτως αἴρω ἁρμός. ἀφ' οὗ καὶ παρωνύμως ἁρμιὰ, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, γίνεται ἁρμαλιά. ἢ διὰ τὸ δίκην ἅρματος φέρειν τὰ σώματα.

Ἁρμαλίας ὄχος, ὁ τὴν τροφὴν τῇ στρατείᾳ ἐμπεριφερόμενος. ἢ τροφεύς, καὶ θρεπτικός.

Ἁρμάμαξα, ἡ πρὸς ἀνδρῶν καθέδραν κατεσκευασμένη ἅμαξα. οἷον, ἅρμα καὶ ἅμαξα. ἢ ἀνδράμαξά τις οὖσα, ἡ ἄγουσα τοὺς ἄνδρας.

Ἁρμάρειον, ὅτι τὰ λεγόμενα παρ' ἡμῖν ἁρμάρεια, ἑρμάρεια ὀφείλουσι λέγεσθαι. ὡς εὗρον ἐν τοῖς σχολίοις τοῦ ἁγίου Διονυσίου, ἐν ἀρχῇ τοῦ δ' κεφαλαίου περὶ τῶν Θείων ὀνομάτων. οἱ γὰρ Ἕλληνες οἷά τινας ἀνδριάντας ἐποίουν μήτε χεῖρας, μήτε πόδας ἔχοντας, τούτους δὲ Ἑρμᾶς ἐκάλουν. οὗ ὑποκοριστικὸν ἑρμάρειον. ἐποίουν δὲ αὐτοὺς διακένους θύρας ἔχοντας, καθάπερ τοιχοπυργίους, καὶ ἔσωθεν αὐτῶν ἐτίθουν ἀγάλματα, ὧν ἔσεβον θεῶν. ἔξωθεν δὲ, ἀπέκλειον τοὺς Ἑρμᾶς.

Ἁρματωλία, ἡ τῶν ἁρμάτων ἡνιοχεία.

Ἁρμάτειον μέλος παρ' Εὐριπίδῃ, ἐξηγοῦνται οἱ παλαιοί. φασὶ δὲ εἶναι αὐτὸ καὶ τὸ ἐπὶ τῷ ἑλκυσμῷ τοῦ Ἕκτορος γενόμενον μέλος, ἀπὸ τοῦ θρήνου τῶν Τρωάδων.

Ἁρματηλάτης, ὁ ἡνίοχος, ἀπὸ τοῦ ἐλαύνειν τὸ ἅρμα.

Ἁρματροχία, καὶ ἁρματροχιὴ, ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ.

Ἁρμεθεῖς, οἱ εὐπατρίδαι, ἐν κύκλῳ.

* Ἁρμάτων μέρη, δίφρος, ὑπερτερία, ἄντυξ, ἴτυς.

Ἅρμενα, ἰδιωτικώτερον μὲν, ὅμως δὲ οὐκ ἀλόγως τὰ ἱστία καλεῖν.

Ἅρμενον, φιαλίον τι, παρὰ τῷ ἄρω τὸ ἁρμόζω, καὶ ἀραρῶ ἀραρημένον, καὶ κατὰ συγκοπὴν ἅρμενον. σημαίνει καὶ τὸ ἐν τῷ πλοίῳ, καὶ τὸ ἁρμόζον, καὶ προφανές.

Ἁρμὴ, λευκὴ, καὶ σύνοδος σώματος. ἁρμογὴ, ἦχος τόνου, καὶ φωνῆς.

Ἁρμίως, παραχρῆμα, παρὰ τῷ Ἱπποκράτει.

Ἁρμόγαλα, τὰ ἀρτύματα, Ταραντῖνοι.

Ἁρμογὴ, ἡ εὐταξία. Μαθόντες δὲ τὴν τῶν πολεμίων ἁρμογήν.

Ἁρμογλώσσας, ἄνθη πάντα.

Ἁρμόδιοι, οἰκεῖοι, συγγενεῖς, φίλοι.

Ἁρμοδιοτυπὲς, ὁμοίως, ἢ ἴσως διακείμενον.

Ἁρμόδιον ᾄσεται, λέγει Ἀριστοφάνης. ἐν ταῖς τῶν πότων συνόδοις ᾖδόν τι μέλος Ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχὴ, Φίλτατε Ἁρμόδιε οὔτι που τέθνηκας. ᾖδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθῃρηκότας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. ἦν δὲ ἕτερα μέλη τὸ μὲν Ἀδμήτου λεγόμενον, τὸ δὲ Λαμπῶνος.

Ἁρμόζει μοι δεσποτεία, καὶ ἁρμόζει μοι δεσπόζειν.

Ἁρμόζεται, συζεύγνυται, συνάπτεται.

Ἁρμοζόντως, ἀσφαλῶς. ὅθεν καὶ τὸ ἀραρῶς, παγίως δέδεικται.

Ἁρμόζουσα, συμφωνοῦσα, συνοικουμένη, ἢ κοσμοῦσα.

Ἁρμοῖ, ἐπίρρημα ὃ δηλοῖ τὸ νεωστί. διφορεῖται μὲν κατὰ τοὺς παλαιούς. ἡ δὲ πλείων χρῆσις δασύνει αὐτὸ, Συρακουσίων ὂν κατὰ τὸν Τεχνικόν. ἁρμὸς γάρ φησιν, ἁρμοῦ ἁρμῷ, καὶ συστολῇ ἁρμοῖ· κατὰ τὸ ἔξω ἐξοῖ, καὶ ἔνδον ἐνδοῖ. σημαίνει δὲ, τὸ νεωστὶ, ταχέως. ἀπὸ τοῦ ἅρμα ἁρμοῖ. καὶ Αἰσχύλος ἐν Προμηθεῖ, ἁρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους. καὶ ἁρμοῖ, ἀντὶ τοῦ ἀρτίως, ἡσυχῆ, ἐξαίφνης, προφανῶς.

Ἁρμονία, ἐμμέλεια, συμφωνία· καὶ ἁρμονία, ἡ θήκη. ὡς ἐν τῷ συνάγειν τὰ μέρη ἁρμόττουσα, καὶ ποιοῦσα εἰς ἓν συνιέναι, ἤγουν συμβαίνειν. ὅθεν καὶ συνηρμοσύνη λέγεται ἡ αὐτὴ, ἀπὸ τοῦ συνίημι. ὡς ἀπὸ τοῦ συμβαίνειν σύμβασις, καὶ συμβίβασις. φησὶ γοῦν Ἀχιλλεὺς παρὰ τῷ ποιητῇ, μή μοι συνηρμοσύνας ἀγόρευε, δηλῶν ὡς ταυτὸν ἁρμονίαι τε καὶ συνηρμοσύναι, ὅ ἐστι συνθῆκαι, ἃς ἀλλαχοῦ συνθεσίας φησί. καὶ ἁρμονίαν λέγομεν τὴν τῶν ποιημάτων σύνθεσιν καὶ Ἁρμονία, νύμφη, ναΐς. ἧς καὶ Ἄρεος Ἀμαζόνας εἶναί φησι Φερεκύδης, ᾧ ἕπεται Ἀπολλώνιος.

Ἁρμονίαι πλείονες, Δώριος, Λύδιος, Φρύγιος. ἁρμονία Λυρικὴ ἥρμοσται τῷ Πινδάρῳ, ἡ λύρα.

Ἁρμονιάων, ἁρμονιῶν.

Ἁρμονίης, συζεύξεως.

Ἁρμὸς, παρὰ τὸ ἄρω, ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα. ὁ παθητικὸς, ἦρμαι, ἁρμὸς, τῆς δασείας προσελθούσης. ὡς εἴρω, εἱρμός. ἁρμὸς δὲ, ἡ ἁρμογὴ καὶ συνάφεια. καὶ ἁρμὸς, εἰρήνη, συνθήκη, φιλία.

Ἁρμοσταὶ, οἱ ἀπὸ βασιλέως στελλόμενοι εἰς ἔθνη. ἢ ἁρμοσταὶ, οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι. ὡς Ἐρατοσθένης ἐν τοῖς περὶ ἀγαθῶν καὶ κακῶν φησὶ, καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Ἁρμόσυνοι, ἀρχή τις ἐν Λακεδαίμονι, ἐπὶ τῆς εὐκοσμίας τῶν γυναικῶν.

Ἁρμόττω, καὶ ἁρμόζω λέγεται. ἁρμόζω, ἀντὶ τοῦ ἁρμόδιός εἰμι. ἁρμόττω δὲ ξύλον ξύλῳ, ἀντὶ τοῦ εἰς ἁρμονίαν συνάγω.

Ἁρμύματα, ἀρτύματα.

Ἅρμυλα, ὑποδήματα. Κύπριοι.

Ἁρμῶ, σημαίνει τὸ ἀρτίως.

Ἁρμώατος, σπασμός. Κύπριοι.

Ἁρμώμια, ἀρτύματα. Ἀρκάδες, καὶ ἁρμώμαλα.

Ἁρμῶν, ἁρμονιῶν.

Ἀρναῖος παρ' Ὁμήρῳ, ἢ ὁ εὐκταῖος μητρὶ, τῇ

καὶ θε-

Digitized by Google

καὶ θεμένη αὐτῷ τοὔνομα. ὡς ἀπὸ τοῦ ἀρὰ ἡ ἀρχὴ, πλεονασμῷ τοῦ ν, πρὸς διαστολὴν τοῦ ἐπιθετικοῦ ἀραιοῦ. ἢ βοσκηματώδης, καὶ προβατώδης, κατὰ τὸ ἀνῆθες. ἢ παρὰ τῷ ἄρνυσθαι, καὶ ἀντιλαμβάνειν, καὶ ἐντεῦθεν ζῆν.

Ἀρνακὶς λέγεται, τὸ τοῦ ἀρνὸς κῴδιον, καὶ τὸ μετὰ τῶν ἐρίων δέρμα.

Ἄρναν, τὸν ὅρκον, Κλαζομένιοι. ὅθεν καὶ τὸ ἔξαρνος.

Ἄρνα προβάλλειν. νόμος ἦν Ἀθήνησι μὴ πρότερον συμβάλλειν, πρὶν ἢ τὴν ἄρνα προσμένων τὶς, λάβῃ τῶν πολεμίων.

Ἄρνακον, τὸν ἄρνα.

Ἄρνας, πρόβατα.

Ἄρνε δύο φέρουσιν, ἕτερον μὲν λευκὸν, ἑτέραν δὲ μέλαιναν, παρ' Ὁμήρῳ, εἰς θυσίαν γῇ τε καὶ ἡλίῳ, τῷ μὲν, τὸν λευκὸν, τῇ δὲ τὴν μέλαιναν. οὐ μόνον κατὰ ὁμοιότητα τοῦ χρώματος, ἀλλὰ καὶ ἐνεργείας. ἄῤῥεν μὲν γὰρ θύεται ἡλίῳ, ὡς οἷον ἀνδρί. ἐν ἑτέρῳ γὰρ γεννᾷ, ἤγουν ἐν τῇ γῇ, ὡς οἷα γυνή. καὶ θῆλυ δὲ τῇ γῇ, ὡς οἷα μητρὶ τῶν ἐξ αὐτῆς καὶ ἡλίου. εἰ δὲ ἕτερον λευκὸν, ἑτέραν δὲ μέλαιναν, ἐπὶ δὲ τοῦ τρίτου ἄλλως ἔθηκεν.

Ἀρνεῖα, τὰ κρεωπώλια τῶν προβάτων.

Ἀρνειὸς ὀξυτόνως, τὸ ζῶον. ἀρνεῖος δὲ μὴν, προπερισπωμένως. Ἰστέον, ὅτι ἀρνειὸς θύεται Ποσειδῶνι, διὰ τὸ πρᾶον τῆς θαλάσσης, ὅτε πορφύρει γαλήνιον. Ταῦρος, διὰ τὸ τῆς κατὰ σφοδρότητα κινήσεως πληκτικόν. ἔτι δὲ, διὰ τὸ μυκητικὸν, καὶ διὰ τὰς ἐν τῷ ὕδατι καμπὰς δίκην κεράτων. Κάπρος δὲ, διὰ τὸ τοῦ ὑγροῦ γόνιμον. συνουσιαστικὸν γὰρ ὁ ἄῤῥην Κάπρος. ὅθεν καὶ καπρᾶν, τὸ οὕτως ὀρέγεσθαι. καὶ καπρῶσα γυνή. Ἔτι σημείωσαι, ὅτι ὥσπερ ὁ τράγος ὄνομά ἐστιν ἄῤῥενος αἰγὸς, οὕτω καὶ ὁ ἀρνειὸς προβάτου τοῦ ἄῤῥενος. Ἴστρος ἐν Ἀττικαῖς λέξεσι, λέγει ἄρνα, εἶτα ἀμνὸν, εἶτα ἀρνειὸν, εἶτα λειπογνώμονα. ἐλέγετο δὲ καὶ μοσχίας, ὁ τριετὴς κριός. Ἰστέον δὲ, καὶ ὅτι οὐ μόνον ἐπὶ προβάτου λειπογνώμων, ἀλλὰ κυρίως ἵπποι ἐλέγοντο λειπογνώμονες, οἱ μηκέτι διὰ τῶν ὀδόντων γνωσθῆναι δυνάμενοι γνώμων γὰρ ὀδοὺς, ἀφ' οὗ ἡ ἡλικία γνωρίζεται πώλων τε, καὶ μόσχων. ἐν οἷς ἄβολος, ὁ μηδέπω ἐκβεβληκὼς τοὺς ὀδόντας. καὶ ἀρνειὸς, οὐ τὸ ἀρνίον, ἀλλὰ ὁ τέλειος ἤδη κριός. καὶ δῆλον ἐκ τοῦ τὸν Ὀδυσσέα σώσαντος. ἐκεῖνος γὰρ ἀρνειὸς ὢν κριὸς πέπων ὑπὸ τοῦ Κύκλωπος προσεφωνήθη. γίνεται δὲ ἀπὸ τοῦ ἀρνὸς, ὁ ἀρνειός. ὁμοίως τῷ ἀδελφειὸς, καὶ ἀφνειὸς, σπερχειὸς, καὶ τοῖς ὁμοίοις.

Ἀρνεῖσθαι, ἀπὸ τοῦ αἴρειν τὰς χεῖρας. παρὰ τὸ αἴρω, ἀρῶ. καὶ πλεονασμῷ τοῦ ν, ἀρνῶ.

Ἀρνεῖται, καὶ ὁ λέγων μὴ πεποιηκέναι τόδε τι, ἀρνεῖται καὶ ὁ μὴ θέλων ποιῆσαι τόδε τι. οἷον λισσόμενος δειπνῆσαι, ὁ δὲ ἀρνεῖτο στοναχίζων, ἀντὶ τοῦ ἀπηγόρευεν.

Ἄρνες, οἱ νεογνοὶ, οἱ προήκοντες, οἱ ἐντελέστεροι δηλονότι κατὰ χρόνον. καὶ ἄρνες, οὐ μόνον ῥῆνες λέγονται, ἀλλὰ καὶ ἀρῆνες. ὅθεν οἱ ἄρνες ἐν συγκοπῇ. διὸ καὶ ἀρνηνοβοσκὸς, ὁ προβατοβοσκὸς κατὰ Παυσανίαν, ἐκ μέρους δηλαδή. καὶ ἀρενοβοσκὸς ὁ αὐτὸς, φέρεται διὰ τοῦ ε.

Ἀρνευτὴρ, ὁ κυβιστὴρ εἴρηται μεταφορικῶς, ἀπὸ τῶν ἀρνῶν, οἵτινες εἰώθασιν ἐπὶ κεφαλὴν ἅλλεσθαι, ὥσπερ τὸν ἀέρα κηρύττοντες.

Ἀρνευτῆρες δύται, οἱ δύοντες.

Ἀρνεώνιον, ὅρκον βασίλειον.

Ἄρνη, νύμφη, ἡ τροφὸς Ποσειδῶνος. εἴρηται δὲ ἄρνη, καὶ ἡ νύμφη Σινόεσσα καλουμένη. ὅτι τὸν Ποσειδῶνα λαβοῦσα παρὰ τῆς Ῥέας ἐκτρέφειν, πρὸς τὸν Κρόνον ζητοῦντα ἀπηρνήσατο, καὶ ἐντεῦθεν ἄρνη ὠνομάσθη. Ἄλλως.

Ἄρνη, πόλις Βοιωτίας. ἔστι δὲ καὶ Θεσσαλίας. ἡ Ἄρνη, ὁμώνυμός ἐστι τῇ Ἡρωΐδι. αὕτη δὲ ἀπὸ περιουσιασμοῦ ἀρνῶν, ἔοικεν ὑπὸ τοῦ πατρὸς ἄρνη κληθῆναι. καθὰ καὶ αὐτὴ παῖδα ὑπὸ Ποσειδῶνος τεκοῦσα, Βοιωτὸν ἐκ τῶν βοῶν ἐκάλεσε. φησὶ γοῦν Εὐφορίων, Βοιωτὸν δ' ὀνόμηνε, τὸ γὰρ καλέσαντο νομῆες, Ὅττι ῥά πατρώησι βοῶν ἀπεθήκατο κόπροις. ὡς οὖν ὁ υἱὸς αὐτῆς ἐκλήθη Βοιωτὸς ἐκ τῶν βοῶν, οὕτω καὶ αὐτὴ ὡς εἰκὸς Ἄρνη ἐκ παρωνυμίας ἀρνῶν ζώου φιλουμένου τοῖς παλαιοῖς. ἐν αἷς καὶ Θετταλικὴ ἄποικος Βοιωτίας, περὶ ἧς ἐῤῥήθη οὕτως. Ἄρνη χηρεύουσα μένει Βοιώτιον ἄνδρα. τὰ δὲ σχόλια γράφουσι, καὶ ὅτι Ἄρνη νῦν Χαιρωνείας, καὶ ὅτι ἦν καὶ Τάρνη πόλις Ἀχαΐας. ἡ δὲ παρ' ἑτέροις Λεοντάρνη, κώμη καὶ αὐτὴ περὶ τὸν Ἑλικῶνα. ἡ Κρώνη, κληθεῖσα οὕτως. διότι Ἀδράστου θύοντός φασιν ἐκεῖ, λέων τὸν ἄρνα ἥρπασε. τὴν παρ' Ὁμήρῳ Ἄρνην ταύτην, Ζηνόδοτος Ἄσκρην γράφει. οὐ δύναται δέ φασι πολυστάφυλος Ἄσκρη λέγεσθαι. ἀξιοπιστότερος γὰρ αὐτὸς Ἡσίοδος λέγων, Ἄσκρη χεῖμα κακὴ, θέρεος ἀργαλέη, οὔποτε ἐσθλή. φασὶ δὲ καὶ τὴν ὁμηρικὴν ταύτην Ἄρνην ὑπὸ τῆς Κωπαΐδος λίμνης καταποθῆναι, καὶ τὴν Μίδειαν. Μίδεια δὲ οὐ μόνον αὐτὴ, ἀλλὰ καὶ Ἀργεία, ἡ καὶ πόλις Περσέως, κληθεῖσα οὕτως ἀπὸ Μιδείας θυγατρὸς Ἀλωέως. λεγομένη καὶ Μίδεα χωρὶς τοῦ ι, ὅθεν καὶ Μιδεάτις Ἀλκμήνη. φασὶ δὲ, ὅτι ἡ μὲν Βοιωτικὴ Μίδεα, λέγεται προπαροξυτόνως, ὡς πρόνοια. ἡ δὲ περὶ Τίρυνθα, Μιδέα ὡς Τεγέα.

Ἀρνικὸν, χρώματος εἶδος χλωρὸν, ὅπερ ἡμεῖς ἀρσενικὸν λέγομεν.

Ἀρνίον, πρόβατον, ἀμνός.

* Ἄρνις, τὰ νέα τῶν προβάτων. μοσχοὶ, τὰ νέα τῶν βοῶν. ἔριφοι, τὰ νέα τῶν αἰγῶν.

Ἀρνόγλωσσον, βοτάνη τις.

Ἀρνορίη, ὁ μετὰ τοῦ ἀρνὸς αἰρομένου γινόμενος ὅρκος.

Ἀρνόφυλλον, κύτισον. ἔστι δὲ πόα θαμνώδης.

Ἄρνοῦμαι, ἀπαρνοῦμαι, ἀναίνομαι.

Ἄρνυσθεν, ἠγωνίζοντο, ἐνήργουν.

Ἀρνύμεθα, ἀντὶ τοῦ καταλλασσόμεθα. ἐπειδὴ διὰ τῶν ἀρνῶν καὶ τῶν ἄλλων ζώων τὰς ἀμοιβὰς ἐποιοῦντο οἱ ἀρχαῖοι. ὅθεν ἀρνύμενος, ἀντικαταλλασσόμενος. σημαίνει δὲ καὶ τὸ ῥυόμενον, ἢ φυλαττόμενον, ἢ τρυχόμενον, ἢ τὸ ἀντιλαμβάνειν καὶ τὸ περιποιεῖσθαι.

Ἀρνύμενοι, ἀπὸ τοῦ αἴρω, ἄρνυμαι, τὸ λαμβάνω. ἀφ' οὗ ἡ μετοχὴ ἀρνύμενος.

Ἀρνύμενος μέγα κλέος, ἤγουν ἀντικαταλλασσόμενος. ἔστι δὲ τὸ ἀρνύμενος κλέος, ὅμοιον τῷ τιμὴν ἀρνύμενος Μενελάῳ. ἐκεῖ μὲν οὐ κλέος τὴν τιμὴν ἐθέλουσι τινὲς νοεῖν, ἀλλὰ τὴν ποινὴν, ὡς ἐκ τοῦ τίω τὸ τιμωρῶ. καὶ ἀρνύμενος ἥν τε ψυχὴν, ἤγουν τὴν ἰδίαν, ὅ ἐστιν ἀντικαταλλασσόμενος, ἀπὸ μέρους εἴληπται τῶν πάλαι ποτὲ μεσιτευόντων ζώων τοῖς συναλλάγμασι, τουτέστι ἀπὸ τῶν ἀρνῶν ἑνὸς εἴδους τῶν τετραπόδων. καὶ ἔστι κυρίως μὲν ἄρνυσθαι, τὸ ἄρνα διδόντα ὡς ἐν καταλλαγῇ ἀντιλαμβάνειν τὶ ἕτερον χρήσιμον. καταχρηστικῶς δὲ, καὶ τὸ ἁπλῶς ἀντικαταλλάσσεσθαι. καὶ ἄρνυσθαι, σημαίνει τὸ ἀντικαταλλάττεσθαι.

Ἄρνυται, λαμβάνει, ἀντικαταλλάσσεται.

Ἀρνυτὸς, εὔπνους, εὔνους.

Ἀρνῳδοὶ, οἱ ῥαψῳδοὶ, ὅτι ἄρνα ἐλάμβανον.

Ἀρνῶν, παρ' Ὁμήρῳ κατὰ τοὺς παλαιοὺς, οὐκ ἀπὸ μονοσυλλάβου εὐθείας κλίνεται (ἄῤῥητος γὰρ ἡ τοιαύτη) ἀλλ' ἔστιν εὐθεῖα δισύλλαβος ἀρὴν, ἀρῆνος, καὶ ἐξ αὐτοῦ κατὰ συγκοπὴν ἀρνὸς ἀρνὶ, καὶ ἡ λοιπὴ κλίσις. ἐτυμολογεῖται δὲ ἡ λέξις, παρὰ τὴν οὐρὰν, ὅ ἐστι τὴν ἀρχήν. ὅτι ἐν ἀρχαῖς παρελαμβάνετο τὸ ζῶον θυόμενον. καὶ ὅτι καὶ ἄλλως ἀρχαῖος ἦν τῶν τετραπόδων κτῆσις τοῖς παλαιοῖς.

Ἄρξαι, ἄρχειν, κατακρατεῖν.

Ἄρξει καὶ προτέρῳ κακὸν εἶναι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀρχὴν ἀπὸ τοῦ νῦν ποιήσει εἰς τὸ προσωτέρω, καὶ ἐπὶ τὰ ἑξῆς κακῶσαι ἡμᾶς.

Ἀρξεῦμαι Δωρικῶς, ἀντὶ τοῦ ἄρξομαι. ἀρξῶ, ἀρξοῦμαι, ἀρξεῦμαι.

Ἄρξιφος, ὁ ἀετὸς, παρὰ Πέρσαις.

Ἀροάτους, ἀβάτους, καὶ ἀνιαρούς.

Ἀροανδικὸν, νόμισμα, ᾧ χρῶνται Αἰγύπτιοι, ἀπὸ Ἀροάνδου.

Ἀρόη, κώμη πάλαι τῆς Ἀχαΐας. νῦν δὲ πόλις ἡ καλουμένη Πάτρα. Ἀρόη τρίπυργος ἔσσεται.

Ἀροίης, ἐποχῆς ἐμμελοῦς, παρὰ τῷ Ἱπποκράτει.

Ἀροίμεθα, ἀπενεγκοίμεθα.

Ἄροιο, λάβοιο, ἀπενέγκοιο.

Ἄρομα μὲν, τὸ ἀροτρίασμα, διὰ τοῦ ο μικροῦ. ἄρωμα δὲ, διὰ τοῦ ω μεγάλου τὸ μυρεψικόν. καὶ ἀρόσιμον κλῆμα, τὸ ἀροτριούμενον.

Ἀρόμενος, ἀντιλαβών.

* Ἀρόσαι, σπεῖραι.

Ἀρόμεναι, ποιητικὸς οὗτος ὁ τρόπος τῶν ἀπαρεμφάτων, ἀποβάλλειν τὸ ὑποτακτικὸν φωνῆεν διφθόγγου παρούσης, καὶ προστιθέναι τὴν με συλλαβὴν, εἶτα καὶ τὴν αι δίφθογγον εἰ μὴ πάρεστι. δεῖ γὰρ τῷ ἀπαρεμφάτῳ δίφθογγον ἐπὶ τέλει εἶναι. αὕτη γάρ ἐστι τὸ ἐπίσημον αὐτῷ καὶ χαρακτηριστικόν.

Ἄρον, τριβλίον μέγα, καὶ βοτάνης ῥίζα.

Ἄρον. ἄρω, ὁ μέλλων ἀρῶ. ὁ ἀόριστος, ἦρα ἦρας ἦρε. καὶ τὸ προστακτικὸν, ἆρον.

Ἄροντο ἀέθλια ποσὶν, ἤγουν ἔπαθλα ἔχοντο. καὶ καθ' Ὅμηρον λόγῳ πολυωνυμίας εἰπεῖν, ἠνείκαντο, τουτέστιν ἠνέγκαντο. σαφέστερον δὲ φάναι, ἔφερον, οἷς ταυτὸν τὸ ἄροντο. οἱ δὲ τοιοῦτοι, καὶ φερένικοι ῥηθεῖεν ἄν. παρατατικοῦ δὲ παθητικοῦ χρόνου τὸ ἄρεντο. ἴσως δὲ, καὶ μέσου ἀορίστου δευτέρου. οὐ πρῶτος, τὸ ἠράμεθα μέγα κῦδος.

Ἀροπῆσαι, πατῆσαι. Κρῆτες.

Ἄρος, ὄφελος, καὶ κοιλάδες ἐν αἷς ὕδωρ ἀθροίζεται ὁμόριον, καὶ βλάβος ἀκούσιον.

Ἀρόσω, ἀρῶ (παρὰ τὸ ἄρης ὁ σίδηρος. σιδήρῳ γὰρ τέμνεται ἡ γῆ) ἀρόσω. ἡ τρίτη συζυγία τῶν περισπωμένων, θέλει ἔχειν τὸ ω μέγα, ἢ τὸ ο μικρόν. καὶ πάντοτε διὰ τοῦ ω μεγάλον, πλὴν τεσσάρων. οἷον ἀρόω ἀρῶ, ἀρόσω, ὀμῶ ὀμόσω, ὀνῶ ὀνόσω, καὶ βῶ βόσω, τὸ τρέφω.

Ἀροτὴρ ποιητικῶς, ἀρότης κοινῶς.

Ἀροτῆρες, οἱ ἀροτριῶντες.

Ἀροτίζω. ἐκ τοῦ ἀρῶ τὸ ἁρμόζω, γίνεται ἀροτίζω. καὶ συγκοπῇ, ἀρτίζω καὶ καταρτίζω. ἢ ἐκ τοῦ ἄρτιον γίνεται.

Ἄροτον, τὸν ὁλκὸν τοῦ Ἕκτορος. ἢ τὸ ἀντίσταθμον. Αἰσχύλος Φρυξίν.

Ἄροτρα, γῆ, χώρα, πλέθρα.

Ἀροτρεὺς, ὁ ἀροτριῶν, ἐκ τοῦ ἀρότρου.

Ἄροτρον, παρὰ τὸ ἀρῶ, τὸ ἀροτριῶ. ὁ μέλλων, ἀρόσω. καὶ ἐξ αὐτοῦ ἄροτρον.

Ἀροτοὺς, ἐνιαυτούς. Σοφοκλῆς Τραχινίαις.

Ἀροῦ, ἐπίφθεγμα ναυτικόν.

Ἀροῦν Ἀττικοὶ, οὐκ ἀροτριᾶν. καὶ ἀροτριῶ τὸ χωρίον, αἰτιατικῇ.

Ἄρουρα ἡ γῆ, κυρίως ἡ ἠροτριασμένη. ἢ ἡ πρὸς σπορὰν καὶ ἄροσιν ἐπιτήδεια. παρὰ τὸ ἀρῶ, ἀρόσω, ἄρουρα. καὶ ἄρουρα κατὰ Κυπρίους, σορὸς σίτου σὺν ἀχύροις.

Ἀρουραία θεὸς, Ἀριστοφάνης σκώπτων Εὐριπίδην, τὴν μητέραν αὐτοῦ λαχανόπωλιν οὖσαν, ἀρουραίαν θεὸν ὠνόμασεν.

Ἀρουραῖοι μύες, οἱ κατὰ ἀγροὺς, καὶ οἱ ἐργάται. ἤδη δὲ καὶ βίος ἀρουραῖος, ὁ ἀρυσσόμενος χρυσός. καὶ ἀρουραῖος Οἰνόμαος, Δημοσθένης Αἰσχίνην οὕτως ἔφη. ἐπεὶ κατὰ τὴν χώραν περινοστῶν, ὑπεκρίνετο Σοφοκλέους τὸν Οἰνόμαον.

Ἀρούρης, γῆς ἀρωσίμης χωρίον, ἢ κῆπος.

Ἀροῦσιν, ὑψώσουσι. καὶ ἀροῦσι τρία, ἐπὶ οἴνου ἐλέγετο. ἐπεὶ τὸ παλαιὸν ἐκιρνᾶτο τρία ὕδατος λαμβάνων, καὶ τὸ τέταρτον οἴνου.

Ἀρόχεται, γλίχεται, ἐπιθυμεῖ.

Ἀρόωσι παρ' Ὁμήρῳ, ἔοικε δευτέρας εἶναι συζυγίας τῶν περισπωμένων. ἦν δ' ἂν καθαρῶς τρίτης, εἴπερ ἐγράφετο ἀρόουσιν.

Ἀρόωσις, ἀροτρίωσις.

Ἁρπάγδην, ἀπὸ τοῦ ἁρπάζειν. ὡς φοράδην, ἀπὸ τοῦ φέρειν. καὶ αἴγδην, ἀπὸ τοῦ ἀΐσσειν.

Ἁρπαγὴ μὲν κυρίως, ἡ μετὰ βίας ἀφαίρεσις. ἁρπάγη δὲ, ξυστὴρ ἢ ἄγκιστρον. ἔστι δὲ σκεῦος ἔχον ὀγκίνους, ᾧ τοὺς κάδους ἀνασπῶσιν ἀπὸ τῶν φρεάτων. καὶ ὁ Λύκος.

* Ἁρπάγη, ἡ κρεάγρα.

Ἁρπα-

Digitized by Google

Ἀρπαγὴ Κόριννα, παροιμία. ὅτι ἐπεὶ πορνοβοσκὸς ὢν, καὶ μετοικίσας εἰς Σελινοῦντα ἄπορος ἐπελάσε, καὶ ὄντα προύδηκεν εἰς ἁρπαγήν.

Ἁρπάζω, κυριολεκτεῖται ἐπὶ λεόντων, καὶ κυνῶν, καὶ λύκων, καὶ τῶν τοιούτων. ἁρπάζω λέγεται, καὶ τὸ βιαίως λαμβάνω, μὴ βουλομένου δηλονότι τοῦ ἀφαιρουμένου. καὶ ἁρπάζω, τὸ ὀξέως νοῶ. ἁρπάζω, διαρπάζω, ἐξαρπάζω, αἰτιατικῇ συντάσσεται.

Ἁρπακτῆρες, ποιηταῖς φίλη λέξις, καθὰ καὶ τὸ φυλακτῆρες· καὶ τὸ πρηκτήρ, καὶ ῥητήρ, καὶ θηρητήρ.

Ἁρπαλέος, ὁ ἐπιθυμητικός. καὶ ἁρπαλέα χρήματα.

Ἁρπαλίσαι, ὁμιλῆσαι.

Ἁρπαλέως, ἁρπακτικῶς, ἀσμένως, ἡδέως, προσφιλῶς, ἐπιθυμητῶς. καὶ κερδέων ἁρπαλέων, τῶν ἐπιθυμητῶν.

Ἁρπαλίζομαι, ἀσμένως δέχομαι.

Ἅρπαλιμα, ἁρπακτά, προσφιλῆ.

Ἁρπάναι, μάνδραι βοσκημάτων.

Ἅρπασος, ποταμὸς Καρίας, πρότερον Δαφνοῦς καλούμενος. εἴρηται δὲ διὰ τὸ ὀξύτατον τοῦ ῥοῦ, καὶ ὅτι ἁρπάζει τοὺς παριόντας αὐτόν. οὕτως ἱστορεῖ ὁ Ἀπολλώνιος.

Ἁρπαστὸν καὶ σφαῖρα, εἶδος παιδιᾶς.

Ἀρπεδίσαι, ὁμαλίσαι, ἐδαφίσαι.

Ἀρπεδόεσσα, ἡ ἄγαν πεδινή, κατὰ συγκοπήν, παρὰ τὸ ἀεὶ συγκεῖσθαι. πέπονθε δὲ, ἵνα μὴ σημαίνηται ἡ ἄγαν ὁμαλὴ ὁδός. οὐδὲ γάρ ἐστιν ἐπίπεδον. πέπονθε δὲ, ὁμοίως τῷ ἐρδύειν αἰολικῶς. εὐρύθυρις γὰρ, ἡ μεγάλη θυρίς.

Ἀρπεδόνη, ἡ τῶν ἀμαυρῶν ἀστέρων σύγχυσις. καὶ ἡ διὰ σπάρτων θήρα, καὶ ἡ πλεκτὴ σειρά.

Ἀρπεδόνες, τὰ σχοινία.

Ἀρπεδονίζειν, λωποδυτεῖν, καὶ διὰ σπάρτων θηρᾷν.

Ἀρπέζας, τοὺς αἱμασιώδεις τόπους. οἱ δὲ, τείχη, καὶ περιβόλους. οἱ δὲ, τὰ κλημματώδη χωρία.

Ἄρπεζον, τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον.

Ἀρπεσόν, ἀκόμιστον, ἢ τὸ ἰκτῖνον, Κρῆτες.

Ἅρπη, ἡ ὁ ἰκτῖνος, ἢ ζῶον ἄλλο ἀετώδες· ὃ εἰς ὕψος ἀρθὲν, δυσχερὲς ὅπῃ θέλει καταράσσει. οἱ δὲ, ζῶον θαλάσσιον λάρῳ πολεμοῦν. φιλεῖ δὲ τροφὴν συνάγειν καὶ φυλάσσειν ἐπὶ τοῖς κάρφεσιν, εἰς χορηγίαν τοῖς νεοσσοῖς. τανύπτερα δέ φασι τὴν μεγαλοπτέρυγον. ἡ ἅρπης εἶδος ὀρνέου. καὶ ἅρπυια ὁμοίως. καὶ οἱ ἄνεμοι ἅρπυιαι λέγονται. καὶ ὀνόματα δηλοῦν πτερωτῶν δαιμόνων. Λυκόφρων δὲ λέγει τὰς ἁρπυίας, ἁρπυιογόνους, οἷον ὀρνιθογόνους. πτερωταὶ γὰρ ἦσαν, τὰ δὲ κάτω μέρη ὀρνίθων εἶχον. ἃς αἱ Μοῦσαι νικήσασαι μελῳδίᾳ, τοῖς πτεροῖς ἐκείνων ἐστεφανώθησαν· πλὴν Τερψιχόρης, ὅτι μήτηρ ἦν Σειρήνων. περὶ δὲ Κρήτην ταῦτα γεγόνασιν. ὅθεν καὶ πόλις Ἄπτερα τῆς Κρήτης, παρὰ τὸ ἐκεῖ τὰ πτερὰ νικηθείσας ἀποβαλεῖν τὰς Σειρῆνας. ἦσαν δὲ ὡς ἔφαμεν αἱ Σειρῆνες, τὰ κάτω μέρη ὀρνίθων ἔχουσαι, τὰ δὲ ἄνω ἀνθρώπων, οἰκοῦσαι περὶ τὴν Τυρσηνίαν. καὶ ἅρπη ἔτι, εἶδος δρεπάνης παρὰ τὸ ἁρπάζω.

Ἅρπην περάσας, Λυκόφρων λέγει τὴν Φαιακίαν νῆσον, τὴν Κέρκυραν λεγομένην. ἐν ᾗ ἦν κεχωσμένον τὸ δρέπανον, ἐν ᾧ Ζεὺς Κρόνον ἐξέτεμεν. ἢ ὅτι ἐκεῖ τὸ δρέπανον ἡ Δημήτηρ ἔλαβε παρ' Ἡφαίστου, ὥστε τὸ τέμνειν τοὺς στάχυας. καὶ οὕτω μὲν ἡ Κέρκυρα δρέπανον λέγεται. ἔστι δὲ καὶ Σικελικὸν χωρίον, Δρέπανον λεγόμενον. ἀπὸ τοῦ κεκρύφθαι ἐκεῖ τὸ δρέπανον, μεθ' οὗ ὁ Κρόνος ἀπέτεμε τὰ παιδογόνα.

Ἄρπιζον, τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον ἄνευ πηλοῦ, παρὰ Ἡροδότῳ· ὅ τινες ἄπαζον καλοῦσιν.

Ἅρπιξ, εἶδος ἀκάνθης, Κύπριοι.

Ἀρπὶς, καὶ ἀρπίδες, τὰ ὑποδήματα, ἃ δὴ καὶ κρηπῖδας καλοῦσι, καὶ ῥαπίδας. πολυῤῥαφῆ γὰρ τὰ ὑποδήματα. καὶ κατὰ μετάθεσιν, ἀρπίδες.

Ἄρπισος, ὁ φοίνιξ, καὶ ἀρπίαλος.

Ἀρπισαι, αἱμασιαί, οἱ τάφροι.

Ἅρπυια, ἁρπαγὴ ἡ διὰ τάχους.

Ἅρπυιαι, αἱ τῶν ἀνέμων συστροφαὶ, θύελλαι. καὶ ἅρπυιαι μυθικῶς, δαίμονές τινες, Ἀελλὼ καὶ Ὠκυπέτη καὶ Κελαινώ, Γραιῶν ἀδελφαί, θυγατέρες Θαύμαντος καὶ Ἠλέκτρας, τῆς Ὠκεανοῦ θυγατρός. Ἅρπυιαι λέγονται, καὶ ὄρνεα τινὰ ἁρπακτικά. ἐμυθεύσαντο καὶ τὰς τοῦ Φινέως θυγατέρας, Ἐράσηιαν καὶ Ἁρπύρειαν, ὄρνεα εἶναι, ἁρπάζοντα τὴν τροφὴν ἀπὸ τοῦ στόματος τοῦ γέροντος. ἅρπυιαι γὰρ ἀλληγορικῶς οἱ ἄνεμοι, ὡς καὶ παρὰ Λυκόφρονι.

Ἄρπυς, ὁ ἔρως, παρὰ τὸ ἁρπάζειν τὰς φρένας.

Ἀῤῥωμαι, ἁρπάζω, δρεπάνῳ κέχρημαι.

Ἀῤῥάβακα, ὄρχησιν. ἀπὸ τοῦ ἀῤῥαβάσσειν, ὃ ἐστιν ὀρχεῖσθαι. οἱ δὲ, τὸν βλάσφημον.

Ἄῤῥαβες, ἔθνος.

Ἀῤῥάβη, θύρα. οἷον γέῤῥον.

Ἀῤῥαβὼν, πρόδομα, καὶ ἄγκιστρον. καὶ ἡ ἐπὶ ταῖς ὠναῖς παρὰ τῶν ὠνουμένων διδομένη προκαταβολὴ ὑπὲρ ἀσφαλείας.

Ἀῤῥαβωνίζω, ἐκ τοῦ ἀῤῥαβὼν ἀῤῥαβῶνος, ἀῤῥαβῶνα Σίφνιον, διαβεβλημένον. ὡς τῶν Σιφνίων ἀσελγῶν ὄντων.

Ἀῤῥαγὲς ὄμμα, οὐ δακρύον. ὥσπερ φαμὲν, κατεῤῥαγμένον δάκρυον. Σοφοκλῆς.

Ἀῤῥαγέσι, στερεοῖς, ἀκαταπονήτοις.

Ἀῤῥαγὴς, ἄπτωτον, μὴ ῥηγνύμενον.

Ἀῤῥαγίδες, σήμονες, Κρῆκοι.

Ἀῤῥαθάγησεν, εψόφησεν.

Ἄῤῥαιστος, ἄφθαρτος.

Ἀῤῥάζει, κροτεῖ, ἀῤῥάσσεται.

Ἄῤῥατον, ἰσχυρόν, στερεόν. οὕτω Πλάτων. ἀῤῥάττων δὲ, ἀντὶ τοῦ κρείων, πλήττων.

Ἄῤῥατος, οἷον ἄφθαρτος, ὁ μὴ ῥαιόμενος. ἵν' ᾖ, ὁ ἀκαταγώνιστος, ἢ ὁ ἀνέκφραστος, ἄῤῥητός τις ὢν· ἢ ἰσχυρὸς, ἢ δυσκίνητος.

Ἀῤῥαχθὲς, ἀσυνετον.

Ἄῤῥεκτον, ἀποίητον, ἄθετον, ἀτελέστατον.

Ἄῤῥενα, οὐκ ἄρσενα λέγουσιν οἱ Ἀττικοί· ἀλλὰ καὶ τῶν κονδύλων τὰ ἐξέχοντα. καὶ τὰ εἰς κοιλότητα ἐμπίπτοντα.

Ἀῤῥενωπάδες, ἀνδρόγυνοι.

Ἀῤῥενωπὸς, ἐκ τοῦ ἄῤῥεν ἄῤῥενος, καὶ τοῦ ὤψ ὠπός, ὁ σημαίνει τὸ πρόσωπον, ἀῤῥενωπὸς, ὁ ἄῤῥενος πρόσωπον ἔχων, κατὰ συνεκδοχήν. ἤγουν ὁ ἀνδρεῖος, καὶ ἰσχυρὸς, καὶ δυνάμενος.

Ἀῤῥεπὲς, ἀμετακλιτον.

Ἀῤῥεπὴς, κοῦφη.

Ἀῤῥεπῶς, ἀκλινῶς.

Ἀῤῥήγω, τὸ βοηθῶ.

Ἀῤῥηδένος, ὁ κατατιθέμενος τῇ ῥήσει.

Ἄῤῥηκτοι δεσμοὶ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, καὶ ἄλυτοι, οἱ πάνυ στερεοί, οὓς οὔτε ἀνακάμψας τὶς ἠρέμα λύσει, οὔτε πρὸς βίαν ῥήξει.

Ἀῤῥήκτοις, ἀχίστοις.

Ἄῤῥηκτος, ἀδιάῤῥηκτος, στερεά, παρὰ τὸ ῥήσσω.

Ἄῤῥην, καὶ ἄρσεν, ἀττικώτερον δὲ τὸ ἄῤῥην.

Ἀῤῥηνεῖν, λοιδορεῖν, καὶ γυναικὶ πρὸς ἄνδρα διαφέρεσθαι.

Ἀῤῥῆνες, ἄγριον, δυσχερές.

Ἀῤῥῆσαι, ἀβυλῆσαι, ἀπαγορεῦσαι.

* Ἀῤῥησία, παρ' Ἀντιφῶντι ἡ σιωπή.

Ἄῤῥητον, τὸ μὴ δυνάμενον ῥηθῆναι. καὶ ἄῤῥητον, τὸ μὴ ἄξιον ῥηθῆναι. καὶ τοῦτο τριχῶς. ἢ ὡς ἀποτρόπαιόν ἐστιν ἄῤῥητον, καὶ ὡς αἰσχρόν, ἢ ὡς μυστηριώδες. ἄῤῥητον ὑπερβολικῶς, καὶ τὸ μέγα ἢ τὸ πολύ.

Ἄῤῥητον λέγεται μὲν τὸ ἄφατον καὶ ἄλεκτον, καὶ ἀμήνυτον, ὃ οὐ δύναταί τις σημᾶναι τοῖς μὴ εἰδόσιν, ὡς ὑπερφυὲς ὄν, καὶ σεβάσμιον· λέγεται ἄῤῥητον, καὶ τὸ πλεῖστον καὶ ὑπὲρ τὸ μέτρον. οἷον, ἄῤῥητον ἡδονὴν ἐποίησας ἡμῖν, ἀγαθῶν ἄγγελος ἐλθών. λέγεται ἄῤῥητον, καὶ τὸ μὴ δίκαιον τισὶ λεχθῆναι, καὶ ὃ οὐ θεμιτὸν ἐκφέρειν, ὡς αἰσχρὸν καὶ βδελυκτόν. ὡς καὶ παρὰ Σοφοκλεῖ, Πῶς δῆτα λέγω λόγον ἄῤῥητον, ἀντὶ τοῦ οὐκ ἄξιον ὄντα δηλωθῆναι ὑμῖν.

Ἄῤῥητον, ἄφρασον, ἄλεκτον, ἀνιστόρητον, ἀπόῤῥητον, ἄφωνον, αἰσχρόν. Σοφοκλῆς.

Ἀῤῥητοποιΐα, ἀσέλγεια, αἰσχρουργία.

Ἀῤῥητοποιῇ, ἡ Περσεφόνη. Εὐριπίδης.

Ἀῤῥητουργία, ἡ αἰσχρουργία, κακουργία, τὸ ἄῤῥητα ἐξεργάζεσθαι.

Ἀῤῥήτως, ἀλέκτως.

Ἀῤῥηφορεῖν, τὸ χρυσῆν ἐσθῆτα φορεῖν. ὅθεν ἀῤῥηφόρος. καὶ ἀῤῥηφορία, ἑορτὴ ἐπιτελουμένη τῇ Ἀθηνᾷ.

Ἀῤῥηφορία, θυσία, ἑκατέρως λέγουσιν οἱ συγγραφεῖς. κἂν μὲν διὰ τοῦ ε, ἑρσεφορία, διὰ τὸ τῆς ἕρσης ἐγκατειλῆφθαι τὴν πομπήν. ἐὰν δὲ διὰ τοῦ α, ἐπεὶ ἐν ἀῤῥήτοις συνίστη.

Ἀῤῥηφόρος, μυσταγωγός.

Ἀῤῥιχᾶσθαι, εἰς ὕψος ἀναβαίνειν, χερσὶ καὶ ποσίν.

Ἄῤῥιχα ἐξηγοῦνταί τινες, κόφινον. ἠγητέον οὖν ἐκ μέσου αὐτῇ γένους εἶναι, διαφόρον δέ τι· λέγουσι δὲ καὶ νῦν Σκάρων τι εἶδος ἀῤῥίχους.

Ἄῤῥιχος, κόφινος, ἢ ἀγγεῖον λύγιον.

Ἀῤῥοθος, ἀργός, βοηθός.

Ἀῤῥόττου μέρη τὸ κάτωτιν, ξύλον. οὐ ἔχεται ὁ ἀρότης, καλεῖται ἐχέτλη. ᾧ δὲ ὁ ζυγὸς ἐνήρμοσται, ἔλυμα. τὸ δὲ σιδήριον, ὕννις.

Ἄῤῥυθμος, ἀδιατύπωτος, ἀκανόνιστος, μὴ ἔχων ῥυθμόν. ῥυθμὸς γὰρ, ὁ τύπος.

Ἀῤῥὺ, ἐπίφθεγμα κοπηλατικόν, ὡς τὸ σίττα ποιμένων.

Ἀῤῥυομεῖ, ἀκοσμεῖ, ἀχημονεῖ.

Ἀῤῥυσίαστον, ἄσυλον, ἀνεχυρίαστον.

Ἀῤῥυτίδωτον, τὸ μὴ ἔχον ῥυτίδας, ἤτοι ζαρώματα, αἵ εἰσι γραμμαὶ γήρως σημαντικαί.

Ἀῤῥωδεῖν, διὰ τοῦ α στερητικῶς εἴρηται κατὰ Ἐρέννιον Φίλωνα. δηλοῖ γὰρ τὸ μὴ ὀῤῥωδεῖν, ἀλλὰ καταφρονεῖν, καὶ τεθαῤῥηκέναι, ἐκ τοῦ ὀῤῥωδεῖν τὸ εὐλαβεῖσθαι.

Ἀῤῥωδία, φόβος.

Ἄῤῥωλος, ὄνομα πόλεως.

Ἀῤῥωσία, νόσος, ἀσθένεια.

Ἄῤῥωξ, οὐκ ἐῤῥωγώς.

Ἀῤῥωστεῖ, ἀμεταβάτως, τῷ σώματι νοσεῖ, ὁ κλινήρης.

Ἄῤῥωστος, ὁ ἐστερημένος τῆς ὑγείας.

* Ἀῤῥωστήσας, νοσήσας, ἀσθενήσας, καμὼν, μαλακισθεὶς, μαλακῶς ἔχων.

Ἀρσάκες, οἱ βασιλεῖς Περσῶν.

Ἀσάμεναι, ἀλειψάμεναι, ποιῆσαι.

Ἀρσαντες, ἁρμόσαντες. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. ἀρῶ ἄρσω, Αἰολικῶς. καὶ ἄρσαντες. ἢ παρὰ τὸ ἁρμόζω, ἁρμόσω, ἥρμοσα. ἡ μετοχὴ ὁ ἁρμόσας· ἁρμόσαντες, καὶ συγκοπῇ ἄρσαντες. ἢ ἄρσαντες κατὰ θυμόν, ἀρχή ἐστι καὶ ἀφορμὴ τῆς τοῦ θυμήρους συνθέσεως. πάντως γὰρ ὅπερ τὶς ἄρσῃ κατὰ θυμὸν, ὃ ἐστιν ἁρμόσει, ἢ ἀρέσει, θυμῆρες ἐκεῖνό ἐστι. φασὶ δὲ οἱ παλαιοί, ὅτι Ἀρίσταρχος μὲν δασύνει τὸ ἄρσαντες, λέγων, ἐξ αὐτοῦ γενέσθαι τὸ ἅρμα. Ἡρωδιανὸς δὲ ψιλοῖ, ὡς ἀπὸ τοῦ ἀρῶ ἄρσω, Αἰολικῶς.

Ἄρσει, μέμφεται, κατηγορεῖ.

Ἀρσεις, ἀροτριάσεις, βαστάγματα.

Ἀρσενὶ βοᾷ, δοκίμῳ, τῇ θαυμαστῇ φωνῇ, καὶ δεδοκιμασμένῃ.

Ἄρσεων, βασταγμάτων, φορτίων.

Ἄρσενα. Ἰστέον ὡς οἱ μεθ' Ὅμηρον οὐ θέλουσιν ἄρσενα γράφειν διὰ τοῦ σ, ἀλλὰ διὰ τοῦ ρ, ἄῤῥενα. λέγοντες, ὅτι ὑποτεταγμένον τὸ σ οἱ Ἀττικοὶ ρ ποιοῦσιν, οἷον ἄρσεν ἄῤῥεν. οὕτω δὲ καὶ θαῤῥεῖν, καὶ πόῤῥω ἐκ τοῦ πόρσω, καὶ μυῤῥίνη, καὶ ἐπὶ κόῤῥης ἤτοι κόρσης, καὶ προσέτι ταρσός. ὡς τὸ, ταρσοὶ μὲν τυρῶν βρῖθον, Αἴλιος Διονύσιος λέγει. καὶ ὅτι ἀρσενικὸν οὐχὶ ἀρσενικὸν τῶν γραφέων παρὰ Ἀττικοῖς φάρμακον. ὁ μέντοι Στράβων ἀρσενικὸν ὀνομάζει αὐτό, ἱστορῶν καὶ ὄρος εἶναι, ἀφ' οὗ λαμβάνεται τοῦτον ἀρσενικόν, ὅπερ ἀρσενίκιον λέγεται.

Ἄρσω, ἀπὸ τοῦ ἀρδῶ ἄρσω, ἄρδων τῆς δηλείας. καὶ γὰρ διὰ τοῦτο πόσις λέγεται ὁ ἀνήρ, παρὰ τὸ ποτίζειν τὴν γονήν. ἢ παρὰ τὸ ἔρδω τὸ πράττω, ὁ μέλλων ἄρσω, καὶ ἄρσω ἐξ αὐτοῦ.

Ἄρσιν, ἀφανισμόν.

Ἀρσινὸν, πόλις ἐν Συρίᾳ, ἐπὶ θινὶ ᾠκημένη. ἐπὶ δὲ τοῦ θινὸς πηγὰς ἐξερεύγεσθαι πλείονας, καὶ ποταμοὺς γίνεσθαι φασὶ μεγάλους, ἀφ' ὧν ἡ πόλις ὠνόμασθαι. ἀρσαι γὰρ τὸ ποτίσαι· ἀφ' οὗ καὶ ἄρσω, ὁ τὴν γυναῖκα ποτίζων τῇ σπορᾷ.

Ἀρσὶς, ἡ ἀκὶς τοῦ βέλους, ἢ τὰ ἐκ χειρὸς ὅπλα. καὶ ἄρδις πληθυντικὸν τὰς φαρέτρας. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἦρμαι, ἦρται, ἄρτις. οὕτως ἄρτις, καὶ ἄρδις. ἢ παρὰ τὸ ἄρης, ὃ σημαίνει τὸν σίδηρον, ἄρες, καὶ ἄρδις, καὶ ἄρδει.

Ἄρσιον, δίκαιον.

Ἄρσις, ζήμη.

Ἀρσίπτε. ἡ Ἄλκηστις.

Ἀρσωμίδες, ὑπόδημα γυναικεῖον.

Ἄρσω, ἁρμόσω.

Ἀρτάβη, μέτρον Μηδικὸν σίτου, Ἀττικὸς μέδιμνος.

Ἀρτάδες, οἱ δίκαιοι ὑπὸ Μάγων.

Ἀρτάκης, αὐτάρκης. ἀρτακία, Κρήνη.

Ἀρταῖοι, οἱ ἥρωες, παρὰ Πέρσαις.

Ἀρτακία, Ἡρωδιανὸς βαρυτονεῖ τὸ ὄνομα, ἐν τῷ τρίτῳ τῆς καθόλου. ἀρτάκης γάρ.

Ἀρτᾶ, ἐπικρέμαται, καὶ ἀρτῶ ὁμοίως.

Ἀρτακία, κρήνη περὶ Κύζικον. ἧς καὶ Ἀλκαῖος μέμνηται, καὶ Καλλίμαχος. ἡ ἀρτακία, παρ' Ὁμήρῳ μὲν, πηγὴ περὶ Λαιστρυγόνας. ἴσως μὲν ἰσοβαρῶς περιφερομένη. τυχὸν δὲ καὶ πεπλασμένη διὰ τὸ ἀέναον, παρὰ τὸ ἀρτακίειν, ὅ ἐστιν ἀναδίδοσθαι, καὶ προϊέναι, καὶ ἀνακηκίειν, πρὸς ὁμοιότητα τοῦ ἀεὶ νέον ἐρχομενάων.

Ἀρταμεῖν, κατακόπτειν.

Ἀρταμῆσαι, κρεμάσαι.

Ἄρταμις, ἄρτεμις. στάπω στέπω, στάχω στέχω, αἶκα αἶκε, πιάζω πιέζω, Δωρικῶς φασι στέπονται.

Ἄρταμος, ὁ μάγειρος, παρὰ τὸ διαρτάσαι, ὅ ἐστι μερίσαι, ἢ συναρμόσαι.

Ἀρτάμουσιν, ἐσθίουσιν.

Ἀρτάνας, βασιλείας, καὶ στάσεις.

Ἀρτάνη, ἡ ἐκ τῶν καλωδίων ἀγχόνη. Σοφοκλῆς δὲ, ἐπὶ δεσμοῦ ἐν Ἀντιγόνῃ. ἔπειτα μήτηρ καὶ γυνὴ διπλοῦν πάθος, πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον.

Ἀρτάρια, παρ' ἡμῖν οἱ τῶν ποδῶν πῖλοι.

Ἀρταχήλας, τὰ χέμνια, τὰ χείλη.

Ἀρτὰς, μέγας καὶ λαμπρός.

Ἀρτελὲς, ὑγιές.

Ἀρτεμέα, ἀντὶ τοῦ ὑγιῆ, οἱονεὶ ἀρτεμέα τινὰ, καὶ σῶον, ἢ ἄρτιον. ὅθεν καὶ Ἄρτεμις φασιν, ἡ περιποιουμένη ὑγείαν. ὡς καὶ Ἀπόλλων οὔλιος, ὁ ποιῶν οὔλειν, ἤτοι ὑγιαίνειν. κατὰ τὸ, οὖλέ τε καὶ μέγα χαῖρε. ἄρταμος μέντοι Ὀδυσσείας ά, ὁ εἰς ἄρτια τέμνων καὶ δαιτρεύων, ὅ ἐστι κρεουργὸς, μάγειρος, φονεύς. οὗ χρῆσις καὶ παρὰ Λυκόφρονι.

Ἀρτεμέοντα, ὑγιαίνοντα, ἰσχύοντα.

Ἀρτεμὴς, ὁλόκληρος, σῶος, ὑγιής. Ἄρτεμις δὲ, ἡ θεός.

Ἀρτεμίδωρος, Δαλδιανὸς φιλόσοφος. ἔγραψεν ὀνειροκριτικὰ, ἐν βιβλίοις τέσσαρσιν.

Ἄρτεμις, ἡ σελήνη, παρὰ τὸ τὸν ἀέρα τέμνειν. καὶ Ἄρτεμις ἀρμενίη, ἤγουν ἐφεσία. ἀρμενία γὰρ ἡ ἔφεσις καλεῖται.

* Ἀρτέμιδος ὀνομασίαι, ἀγροτέρα, φιλόθηρος, ὀρεία, κυνηγέτις. καὶ ἰδαία, ἀπὸ τῆς Ἴδης· καὶ Δίκτυννα, ἀπὸ τῶν δικτύων, καὶ ἐκηβόλος, ἀπὸ τοῦ τὰ θηρία βάλλειν· καὶ πολλὰ ἄλλα ὀνόματα αὐτῆς ἀπὸ θήρας.

Ἀρτεμισία. δύο γεγόνασιν Ἀρτεμισίαι, καρικαὶ τὸ γένος, καὶ βασιλίδες ἀμφότεραι. ἡ μὲν πρώτη κατὰ τὰ περσικὰ, θυγάτηρ ἦν Λυγδάμιδος. ἡ δὲ νεωτέρα, θυγάτηρ μὲν ἦν Ἑκατόμνω, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου. καὶ ἀρτεμισία, βοτάνη τις.

Ἀρτεμίσιος, ὁ μάϊος. τὰ διὰ τοῦ ισιος ἀρσενικὰ καὶ ισια θηλυκὰ, καὶ ισιον οὐδέτερα, ἀποστρέφονται τὴν ει δίφθογγον. οἷον ἀφροδίσιος, ἀφροδισία, ἀφροδίσιον. σεσημείωται τὸ ἀρκείσιος, σιμοείσιος, διότι ἀνεφάνη τὸ ε ἐν τῷ ἀρκέσιος, καὶ σιμόεντος, καὶ ἀπερείσιος, καὶ ἀπειρέσιος. ἀλείσιον, ὄνομα πεδιάδος, ἀπὸ τοῦ ἀλῶ, ἀλέσω, τὸ πλανῶ. ἀνθεμοείσιος, ἀπὸ τοῦ ἀνθεμόεις. τὸ δὲ ἡμερήσιος, οἱ μὲν ἄλλοι διὰ τῆς ει διφθόγγου, καὶ ἴσως ἀπὸ τοῦ ἡμερεύω, ἡ παράδοσις. διὰ δὲ τοῦ η, ὡς Ἰθάκη Ἰθακήσιος.

Ἀρτέονται, ὁπλίζονται.

Ἄρτημα, θήκη, δίκη ἀρτήματος.

Ἀρτήματα, ὅρμια τοῖς ἀγκίστροις προσαρτώμενα, καὶ κόσμιά τινα.

Ἄρτημος, ὁ τελαμὼν, ὅς ἐστι λῶρος, ἐξ οὗ ἤρτηται τὸ βαλάντιον, ἢ τὸ σκευάριον, ἢ ἕτερόν τι.

Ἀρτηεστέραν, ὑγιεστέραν, ἐντιμοτέραν.

Ἀρτὴρ, ὑπόδημα. οἱ δὲ, ξύστραν.

Ἀρτηρία, παρὰ τὸ τὸν ἀέρα τηρεῖν, τουτέστι τὸ πνεῦμα, ἀεροτηρία τίς οὖσα. πνεύματος γάρ ἐστι δεκτική. καὶ ἀρτηρίαι, τὰ ἀγγεῖα.

Ἀρτῆσαι, δῆσαι, ἀναρτῆσαι.

Ἀρτησάμενος, κρεμάσας.

Ἀρτητὰ, θαυμαστὰ, κρεμαστά.

Ἄρτι, οὐ μόνον ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀλλὰ καὶ ἀντὶ τοῦ ποτέ. Λουκιανὸς ὅπως σαυτὸν ἐπιστάσῃ, ἄρτι μὲν πρὸς τὰς πράξεις, ἄρτι δὲ πρὸς τὸν πλοῦτον σπουδάζεις. καὶ νῦν μὲν εἰς σπουδὴν, νῦν δὲ εἰς ἡδονὴν ἀποκλίνεις. ἄρτι ἥξω οὐκ εἴποις, ἀλλ' ἄρτι ἔρχομαι. καὶ ἄρτι ἀφικόμην. καὶ ἀπαρτὶ, ἀντὶ τοῦ ἀπὸ τοῦ νῦν. καὶ ἄρτι, ἀντὶ τοῦ ποτέ. οἷον ἄρτι μὲν εἰς τὸ κάλλος βλέπων, ἄρτι δὲ εἰς τὴν ἀγχίνοιαν. ἢ ἄρτι σημαίνει τὸ παρὸν καὶ ὑπόγυον, καὶ τὸ παραυτίκα μέλλον γίνεσθαι.

Ἄρτια βάζειν, ταυτὸν τῷ ἀπαρτιλογεῖν. καὶ παρ' Ἡροδότῳ ἀπαρτιλογία, ὁ ἀπαρτισμένος λόγος. καὶ ἄρτια, ἡρμοσμένα, τέλεια, ὑγιῆ. λέγεται ταῦτα καὶ ἄρμενα. καὶ ἀρτιάζειν, τὸ παιδιάν τινα παίζειν.

* Ἀρτίαλα, τὰ ἐνώτια, κατὰ τοὺς Αἰολέας.

Ἄρτια φρεσὶν ἤδη, ἤγουν τὰς φρένας ἀραρυῖας ἦν, ὅ ἐστιν συνθέτως εἰπεῖν, φρενήρης.

Ἀρτιάζομεν, τὰ ἄρτια καὶ περιττὰ παίζομεν. Ἀριστοφάνης, Στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν χρυσοῖς.

Ἀρτίγαμοι, νεόγαμοι.

Ἀρτίγονος, εὔτονος, εὐάρμοστος.

Ἀρτιδαεῖ, ἀρτιμαθεῖ. δαίω γὰρ, τὸ μανθάνω.

Ἀρτίδακρυς, εὐχερὴς πρὸς δάκρυα.

Ἀρτίδιον, μικρὸς ἄρτος.

Ἀρτιέπειαι μοῦσαι, αἱ ἀπηρτισμένα καὶ τέλεια καὶ ὑγιῆ λέγουσαι. ἢ ἀρτίοις ἔπεσι χρώμεναι.

Ἀρτιεπὴς, παρὰ τῷ ποιητῇ, ὡς τὸ, ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθοις. ἢ μύθῳ κατὰ δοτικὴν πτῶσιν, ἢ μύθων κατὰ γενικὴν πληθυντικήν. λέγει δὲ ἀρτιεπῆ, τὸν γλαφυρὸν καὶ εὐεπῆ, καὶ ἀπηρτισμένον ἐν τῷ παραλογίζεσθαι. ἡ μέντοι ὑστέρα χρῆσις, εἰς ἐναντίον τῷ ἀμετροεπεῖ, καὶ ἀκριτομύθῳ τὴν λέξιν λαμβάνουσα, ἀρτιεπῆ λέγει τὸν κατὰ τὴν ποίησιν ἄρτια βάζοντα. τέως γε μὴν παρὰ τῷ ποιητῇ, οὐ ταυτὸν τὸ ἀρτιεπῆ τινὰ εἶναι, καὶ τὸ ἄρτια βάζειν. καθάπερ οὐδὲ τὸ λογίζεσθαι ταυτὸν, τῷ παραλογίζεσθαι.

Ἀρτίζωνα, ὀλιγοχρόνια, παρὰ τῷ Ἱπποκράτει.

Ἀρτίη, ἀγαθή.

Ἀρτιθαλῆ, νεόφυτα.

Ἀρτίκολλα, ἡρμοσμένα.

Ἀρτικροτεῖν, συμφωνεῖν, ἀπὸ τῶν ἐρεσσόντων.

Ἀρτικροτεῖσθαι, συμφωνεῖσθαι. ἀρτικροτοῦνθ' οἱ γάμοι, φησὶ Μένανδρος.

Ἀρτιμαζὲς, νέον.

Ἀρτιμήασαν, ἀφροδίτην οὐρανίαν ὑπὸ Σκυθῶν.

Ἀρτιμήτας, νέους.

Ἄρτιον, τὸ ὁλόκληρον, τέλειον, καὶ ὑγιές.

Ἀρτίπαις, ὁ ἐκβεβηκὼς τὴν παιδικὴν ἡλικίαν. βούπαις, ὁ μέγας παῖς.

Ἀρτιπλανέες, πεινῶντες.

Ἀρτίπνουν, ὀρθόπνουν.

Ἀρτίπος, ἀντὶ τοῦ ἀρτίπους, διὰ τὸ μέτρον ἐξέπεσε τὸ υ. καθὰ καὶ τὸ Ἶρις ἀελλόπος.

Ἀρτίπους, ὁ ὑγιὴς καὶ ἄρτιος τοὺς πόδας.

Ἀρτιρία πόα τις, ἣν καὶ βουκάριον καλοῦσιν, καὶ λυχνίδα ἀγρίαν, παρὰ τῷ Ἱπποκράτει.

Ἀρτίσαι, ἁρμόσαι, συναγαγεῖν, πλέξαι.

Ἀρτίσασθαι, παρασκευάσασθαι.

Ἀρτίστομος, σαφὴς, καὶ ὁ ἡδὺ φθεγγόμενος. οὕτω Διόνυσος, Ὁ δὲ ἦν κάτοινος ἤδη, καὶ οὐκ ἀρτίστομος ἔτι.

Ἀρτίστομα, πανταχόθεν ὁμαλὰ, παρὰ τῷ Ἱπποκράτει.

Ἀρτίτομος, ὁ νεωστὶ τεμνόμενος.

Ἀρτίως, ὑγιῶς, ὁλοκλήρως, καὶ ἄρτι, διαφέρουσι παρ' Ἀττικοῖς. ἄρτι μὲν γὰρ ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ, πρὸ ὀλίγου.

Ἀρτιωτὰ, τὰ βραχυτάτῳ χρόνῳ συντετελεσμένα.

Ἄρτοι, τροφὴ, κρέα, ἄλφιτα, μάζα, ὄψα, σῖτα, σιτία, ἐδέσματα, βρώματα. καὶ ἀπὸ μὲν τροφῆς, θρέψαι, τραφῆναι, τροφεὺς, εὔτροφος, σύντροφος, τροφὸς, τρόφιμος. παρατρέφεσθαι, συντρέφεσθαι, ἀποτρέφεσθαι, ὑποτρέφεσθαι. ἀπὸ δὲ ἄρτου, ἀρτοποιὸς, ἀρτοκόπος, κανοῦν ἀρτοφόρον, ἀρτοσιτεῖν, ἄρτοι ζυμῖται, καὶ ἄζυμοι ἄρτοι, ὀβελίαι ἄρτοι, κριβανῖται ἄρτοι, καγχρυδίαι ἄρτοι, οἱ ψωμοὶ καλοῦνται, ἔνθεσις. καὶ τὸ ψωμίζειν δὲ, ἀπὸ τῶν ψωμῶν, ὡς Ἀριστοφάνης φησίν. εἴδη δὲ τῶν ἄρτων ταῦτα. οἱ μὲν γὰρ κριβανῖται, οἱ δὲ ὀβελίαι λέγονται. κόλλικες, κόλλαβοι, νασοὶ, ἄμυλοι, κολλύραι, τιμῆτες, σησαμῆται, χαρίσιοι, καγχρύδαι. οἱ δὲ εἰσὶ φαυλότεροι, πιτυρίαι. εἴποι δ' ἄν τις καὶ ἄρτον πύρινον, πρὸς τὸν ἐκ κριθῆς διαιρῶν. οἱ δὲ σιτάνιοι ἄρτοι, ἐκ τῶν σιτανίων πυρῶν, οἵ εἰσιν οἱ τριμηνιαῖοι. σιτινὸν γὰρ, τὸ ἐπέτειον. τὸν μέντοι χαρίσιον πλακοῦντα εἶναι λέγουσιν. αὔανος δὲ ἄρτος, ἐγγυτέρω πλακοῦντος. Αἰγύπτιοι δὲ τοὺς εἰς ὀξὺ ἀνηγμένους ἄρτους, καλλιστεῖς ὠνόμαζον. ὡς Ὀρίνδην τινὰ ἄρτον ἐσθίοντες, τὸν ἐξ Ὀρίνδου γενόμενον, ὅ ἐστι σπέρμα ἐπιχώριον, ὅμοιον σησάμῃ. ὁ δὲ ὀρθοστάτης, ἱεροῦ ἄρτου εἶδος.

Ἀρτοπώλιον, ὁ τόπος ἔνθα οἱ ἄρτοι πιπράσκονται. καὶ ἀρτοπωλεῖον δὲ, τὸ μαγκυπεῖον, ἔνθα οἱ ἄρτοι γίνονται, μικρὸν καὶ δίφθογγον.

Ἀρτοπῶλαι, ἀρτοπωλίαι, ἀρτοπώλιδες, ἀρτοπωλεῖν, ἀρτοπώλιον, σιτουργοὶ, ἀρτοποιοὶ, ἀρτοκόποι. Ξενοφῶν, ἀρτοκόπους λέγει.

Ἄρτος, ὁ ψωμός· ἐστι δὲ καὶ ὄνομα τυράννου.

* Ἀρτοδείγμα, τὸ ψωμοπωλεῖον.

Ἀρτοσιτεῖ, ἄρτον ἐσθίει. Ξενοφῶν.

* Ἀρτοκόποι, σιτουργοὶ, ἀρτοποιοὶ, ἀρτοπόσσοι.

Ἀρτοῦ, ἀρτίζου, ἑτοιμάζου.

Ἀρτυθῆναι, παρασκευασθῆναι.

Ἀρτυλία, θήκη.

Ἀρτύλην, λόγχην ἀγκύλην.

Ἄρτυμα, θήκη, δίκη.

Ἀρτύμασι, τοῖς πρὸς τὴν θυσίαν εὐτρεπιζομένοις.

Ἀρτὺν, φιλίαν καὶ σύμβασιν.

Ἀρτύναντες, παρασκευάσαντες.

Ἀρτύνει, ἡδύνει.

Ἀρτύνειν, ἀπὸ τοῦ ἀρτύω γίνεται, πλεονασμῷ τοῦ ν. ὥσπερ δύω δύνω, καὶ θύω θύνω τὸ ὁρμῶ. καὶ χύω χύνω. καὶ ἀρτύνεσθαι ὁμοίως, ἀπὸ τοῦ ἀρτύω ἀρτύνομαι, Δωρικῶς πλεονασμῷ τοῦ ν.

Ἀρτύνεσθαι πλεονασμὸν ἔχει τοῦ ν, Δωρικῶς. ὡς ἀπὸ τοῦ χύω χύνω, τὸ ἐκκλίνω. δηλοῖ δὲ τὸ ἀπαρτισμένον τι ποιεῖν.

Ἀρτύνοντας, τουτέστιν ἀρτύοντας, εὐτρεπίζοντας.

Ἄρτυνος, ἄρχων.

Ἀρτύνω, ἁρμόζω, ἢ εὐτρεπίζω. Πυκινὴν ἠρτύνετο βουλήν. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἦρμαι, ἦρται, ἀρτός· καὶ ἀρτῶ, ἀρτύω, καὶ πλεονασμῷ τοῦ ν ἀρτύνω· ὡς ὀρῶ, ὀρούω.

Ἀρτύομαι, κάλλιον, ἢ ἀρύομαι.

Ἄρτυς, σύνταξις.

Ἀρτῶ, τὸ κρεμῶ.

Ἀρτῶμαι, ἁρπάζω, δρεπάνῃ κέχρημαι.

Ἀρτωμένη βρόχῳ, ἀπαρχομένη.

Ἄρυα, τὰ ἡρακλεωτικὰ κάρυα.

Ἀρύβαλλοι, τὰ μαρσύππια. ἀπὸ τοῦ ἀρύειν καὶ βάλλειν εἰς αὐτούς.

Ἀρυβάλλων, πλεκτόν τι βαλλάντιον, ὅπερ ἑλκόμενον κλείεται, καὶ ἀνοίγεται. παρὰ τὸ ἀρύειν καὶ βάλλειν, παρὰ τῷ Ἀριστοφάνει.

Ἀρύβας, Ἀλκέτου μὲν υἱὸς, Μολοττῶν βασιλεύς. Δημοσθένης.

Ἀρυβάσσαλον, κοτύλη, ἢ φάσκων. φάσκων δέ ἐστιν εἶδος ποτηρίου.

Ἀρυετᾶ, ἀντλεῖ.

Ἀρύει, ἀντιλέγει, βοᾷ.

Ἄρυθμος, ἄμετρος.

Ἀρύθμων, ἀσυμφώνων.

Ἀρύομαι, τὸ ἀντλῶ.

Digitized by Google

Ἀρύσασα, παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἀφελομένη, ἀπαντλήσασα, ἢ ἐκκενώσασα.

Ἀρύσασθαι, ἐπικαλέσασθαι.

Ἀρυσάμενος, ἀντλήσας.

Ἀρυσμεῖ, ἀσχημονεῖ, ἀκοσμεῖ.

Ἀρυστεῖς, τὰς ἀπὸ τῶν ἀρυστήρων πόσεις. τὰ δὲ αὐτὰ, καὶ ἀρυστῆρας καὶ ἀρυστίχους ἐκάλουν.

Ἀρύστιχος, καὶ ἄρυστις, καὶ ἀρυστὴρ, ἀγγεῖόν ἐστιν, οἷον ἀρύσασθαι, κοτύλη, ἢ κύαθος. εἶχον δέ φησιν αὐτοὺς πρὸς τὴν διαψήφισιν. ἀρυστίχους δὲ, οὓς ἔνιοι κυλίσκους. Ἄλλως.

Ἀρυστίχους τοὺς οἰνοχόους εἴρηκεν, ἀπὸ τοῦ ἀρύειν, ὅθεν καὶ ἀρύταινα. ἔλεγον δὲ καὶ ἔφηβον τὸ τοιοῦτον σκεῦος. ἥβην γὰρ οἱ παλαιοὶ τὸ τέρπεσθαι τὰς εὐωχίας προσηγόρευον. καὶ ὁ ποιητὴς τοίνυν ἀπὸ ταύτης τῆς αἰτίας τὴν ἥβην ὑπεστήσατο, καὶ διὰ τοῦτο τοῖς θεοῖς οἰνοχοοῦσαν παρεισήγαγεν, οἰκείαν τῇ πεπαιγμένῃ ὑποθέσει λειτουργίαν αὐτῇ προσμερίζων.

Ἀρύταινα, χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς τοὺς λύχνους.

Ἀρυφῆνα, ῥυτίδα, ἀρυφή.

Ἀρύω, τὸ ἀντλῶ.

Ἄρφα, ἀῤῥαβών.

Ἀρφὺς, ἱμάς. Μακεδόνες.

Ἀρφύταινον, ὁ δίσκος ὑπὸ Λυδῶν.

Ἀρχαία φύσις, ἡ πρὸ τοῦ νοσεῖν κατάστασις, παρὰ τῷ Ἱπποκράτει.

Ἀρχαῖα, τὰ κεφάλαια τῶν χρεῶν. Ἀριστοφάνης νεφέλαις, αὐτοί τε καὶ ἀρχαῖα, καὶ τόκοι τόκων. καὶ ἀρχαῖα, τὰ χρόνια. καὶ παναρχαῖα, παμπάλαια, ἄσημα, παλαιὰ, ἀσαφῆ, συγκεχυμένα, ἀμυδρὰ, ἀμαυρὰ, ἐξίτηλα, ἀθέατα, δύσγνωστα, ἄγνωστα, δυσγνώριστα, ἀγνώριστα, ἀτέκμαρτα, δυσόρατα, ἀόρατα, ἀδιόρατα, κατεῤῥυηκότα, διεῤῥυηκότα, δυσσύμβολα, δυσείκαστα, δυσξύμβολα, ἀσύμβολα.

Ἀρχαϊκὸν, ἁπλοῦν, ἀφελὲς, ἄδοξον.

Ἀρχαιομελισιδωνοφρυνιχήρατα, παρὰ τῷ Ἀριστοφάνει, παρὰ τὸ μέλι, ὅπερ ἐστὶν ἡδὺ, ἢ τὰ μέλη καὶ τὴν Σιδῶνα, καὶ τὸν Φρύνιχον, καὶ τὰ ἐρατὰ ἔμιξεν. οἷον ἀρχαῖα μέλη Φρυνίχου, ἐρατὰ καὶ ἡδέα, καθάπερ μέλι περιέχοντα τὸ τῆς Σιδῶνος ὄνομα. Φρύνιχος δὲ ἐγένετο τραγῳδίας ποιητὴς, ὃς ἔγραψε δρᾶμα Φοινίσσας, ἐν ᾧ μέμνηται Σιδωνίων. τὰ δὲ μέλη εἶπε, διὰ τὴν γλυκύτητα τοῦ ποιητοῦ. ἢ καὶ ἄλλως πεποίηται ἡ λέξις, παρὰ τὸ ἀρχαῖον, καὶ τὸ μέλος, καὶ τὸ Σιδὼν, καὶ τὸ Φρύνιχος, καὶ τὸ ἐρατόν. Ἀρίσταρχος δέ φησι γεγενῆσθαι, ἀπὸ τοῦ μέλι καὶ τοῦ Σιδῶνος, καὶ τοῦ Φρυνίχου, καὶ τοῦ ἐρατόν.

Ἀρχαῖον, ἀντὶ τοῦ μωρὸν λέγουσιν, καὶ ἀρχαῖον τὸ κιθαρίζειν, ληρῶδες, ἀνόητον, οὐδενὸς λόγου ἄξιον.

Ἀρχαιοτρόπος, τουτέστιν ὁ ἀρχαιοτέροις ὀνόμασι χρώμενος.

Ἀρχαιότυπος, ὁ παλαιὸς νόμος.

Ἀρχαιρεσιάζειν, τὸ ἀναξιοῦν αὐτὸν αἱρεθῆναι ἄρχοντα. Δείναρχος ἐν τῷ Πολυεύκτου. καὶ ἀρχαιρεσιάζειν, τὸ πρὸς χάριν τοῖς πολλοῖς ζῆν.

Ἀρχαίως, ἀντὶ τοῦ ἀνοήτως, καὶ ἀντὶ τοῦ παλαιῶς, ἁπλῶς, καὶ ἀκάκως.

Ἀρχὰς, ὑποθέσεις, βαθμίδας.

Ἀρχεῖ τῆς ἵππου, συνεκδοχικῶς ἀντὶ τοῦ τῶν σὺν ἵπποις στρατευόντων. Θουκυδίδης, Στρατηγὸν μὲν τοῦ παντὸς πεζοῦ, οἱ σύμμαχοι ᾑροῦντο τῆς ἀριστείας τῆς ἵππου Περδίκκαν.

Ἄρχειν, τὸ προηγεῖσθαι ὁδοῦ, ἢ ἔργου, ὃ πρὸ βραχέων ἡγήσατο Παλλὰς Ἀθήνη. καὶ ἄρχειν ἀνθρώπων. κρατεῖν δὲ, καὶ ἀνθρώπων καὶ θηρίων. καὶ ἄρχειν, λάμπειν.

Ἀρχεῖον, τὸ χαρτοφυλάκιον, ἔνθα οἱ δημόσιοι χάρται κεῖνται, ἢ παλάτιον.

Ἀρχέκακοι νῆες, ὡς καταρξάσαι κακῶν μάλιστα τοῖς Τρωσίν. Ἑλλήνων μὲν γὰρ πολλοὶ δι᾽ αὐτὰς ὤλοντο. Σημείωσαι, ὅτι ταυτὸν εἰπεῖν συνθέτως ἀρχέκακον, καὶ διηλελυμένως ἀρχὴν κακοῦ, κατὰ Ἴωνας. φησὶ γοῦν Ἡρόδοτος, Ἀττικάς τινας νῆας, αἳ τοῖς Ἴωσι πεμφθεῖσαι εἰς βοήθειαν, ἀρχὴ κακῶν ἐγίνοντο Ἕλλησί τε καὶ βαρβάροις. τοιοῦτον παρ᾽ αὐτῷ Ὁμήρῳ, αἱ ῥηθεῖσαι εἰς ἀρχήν. ἀφ᾽ οὗ ὕστερον τὸ ἀρχαιρεσιάζειν συντέθειται. καὶ τὸ θέας ἄξιος, ἀντὶ τοῦ ἀξιοθέατος, καὶ ἕτερα.

Ἀρχέκακος, ἀρχὴ τῶν κακῶν.

Ἀρχέλας, ἄρχων τοῦ λαοῦ, ἡγεμὼν, ἔξαρχος, δημαγωγός.

Ἀρχέπλουτον, ἄρχοντα πλούτου.

Ἀρχέτυπος, ὁ τὴν ἀρχὴν διδούς.

Ἀρχέτυπον, πρωτότυπον, ἀφ᾽ οὗ πᾶσιν ὁ τύπος.

Ἄρχευε, ἡγοῦ, ἄρχου.

Ἀρχεύειν Τρώεσσιν, ἡγεῖσθαι Τρώων.

Ἄρχευ Ἀργείοισι, δοτικῇ συνετάγη· ᾧ διαφορούμενον διαδείκνυσιν, ὅτι διχῶς ἐστι λέγειν. καὶ ἄρχε καὶ ἄρχεο, τουτέστι βασίλευε. ὅτι δὲ διαφορά ἐστι ποτὲ τοῦ ἄρχειν πρὸς τὸ βασιλεύειν, ὡς μείζονος ὄντος τοῦ βασιλεύειν, δηλοῖ Εὐτυχίδης. ὡς Δημάρατον ἐκπεσόντα τῆς βασιλείας, εἶτα εἰς ἀρχὴν αἱρεθέντα, ἤρωτα γελῶν, ὁποῖόν τι εἴη τὸ ἄρχειν μετὰ τὸ βασιλεύειν.

Ἀρχὴ, τριχῶς· ποιητικὴ, εἰδικὴ, καὶ τελική. καὶ ἀρχὴ, εἶδος μελίσσης ἀκέντρου. καὶ ἀρχὴ, ἡ ἐξουσία, καὶ ἡ τιμή. ὡς τὸ, οὐ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. ἀρχὴ, ἡ μὲν φυσικὴ, ὡς λέοντος ἐν ζώοις, καὶ ἀετοῦ ἐν ὀρνέοις. ἡ δὲ χειροτονητὴ, ὡς ἐπὶ ἀνθρώπων. ἢ ἀρχὴ βασιλέως, ἡ πρώτη κίνησις. ὡς ἀρχὴ ὁδοῦ ἀγαθῆς, τὸ ποιεῖν δίκαια. ἀπὸ γὰρ τῶν δικαίων πράξεων πρῶτον κινούμεθα εἰς τὸν μακάριον βίον.

Ἀρχὴν ἰᾶσθαι πολὺ λῷον, ἢ τελευτὴν, παροιμία. δηλοῖ δὲ ὡς ἀρχόμενα τὰ δεινὰ, δεῖ μᾶλλον πειρᾶσθαι κωλύειν, ἢ ἀκμάσαντα, καὶ πληρωθέντα.

Ἀρχηγέτας, ἄρχοντας.

Ἀρχηγέται, ἥρωες ἐπώνυμοι τῶν φυλῶν. ἢ θεοὶ ἐν Ἀθήναις.

Ἀρχῆθεν, ποιηταὶ λέγουσι, τῶν δὲ καταλογάδην δοκίμων οὐδεὶς, ἀλλ᾽ ἐξ ἀρχῆς.

Ἀρχὴ Σκυρία, παροιμία ἐπὶ τῶν εὐτελῶν, καὶ μηδὲν λυσιτελὲς ἐχόντων. ἔστι γὰρ λυπρὰ καὶ πετρώδης ἡ Σκῦρος.

Ἀρχίδιον, ὑποκοριστικῶς τὴν ἀρχὴν λέγει Ἀριστοφάνης.

* Ἀρχίδικος, ἄρχων τῆς δίκης.

Ἀρχιειρεσία, κωπηλασία.

Ἀρχιθέωρος, ὁ ἡγούμενος τῶν θεωρῶν. θεωροὶ δέ εἰσιν, οἱ τὴν θεωρίαν φέροντες τοῖς θεοῖς εἰς τοὺς Ἑλληνικοὺς ἀγῶνας, καὶ οἱ ὑπὲρ τῶν πατρίδων θύοντες.

Ἀρχίκλοπος, ὁ ἀρχαῖος κλέπτης.

Ἀρχιλλὰν, ἀρχιποίμενα, Κρῆτες.

Ἀρχιμάγειρος, ἔφορος τῆς βασιλικῆς τραπέζης.

Ἀρχισυνάγαγος, ὁ ἀρχηγός.

Ἀρχιτέκτων, σημαίνει μὲν τὸν τῶν οἰκοδομημάτων ἐπιστάτην. κυρίως δὲ, τὸν ἀρχὸν τῶν τεκτόνων, τὸν τὴν διάθεσιν τοῦ κατασκευάσματος ἐπινοοῦντα, καὶ τὸν κατασκευάσαντά τι, καὶ σκευωρήσαντα πρᾶγμα. παρὰ τὸ ἄρχω, καὶ τὸ τέκτων.

Ἄρχμενος. ἄρχω, ἄρχομαι, ἀρχόμενος, καὶ ἐν συγκοπῇ ἄρχμενος.

Ἀρχογλυπτάδης, ὁ ὡσπερεὶ γλύφων τὰς ἀρχάς.

Ἀρχιδάμιος πόλεμος, Λυσίας ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ Πυθέου ξενίας, Τὰ πρῶτα ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου Ἀρχιδάμιος ἐκλήθη πόλεμος, ὡς ἔοικεν ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθὰ Θουκυδίδης καὶ Ἔφορος, καὶ Ἀναξιμένης φασίν.

Ἀρχολάβων, ἐργολάβων.

Ἀρχολίπαρος, ὁ λιπαρῶν ἵνα ἀρχῆς τύχῃ. ἢ ὁ ἐκ τοῦ ἄρχειν λιπαινόμενος.

Ἄρχομαι, ἤτοι ἀρχὴν ποιῶ, ὡς τοῦτο μόνον ποιήσων. ἄρχομαι δὲ ἀπὸ τοῦδε, ὡς τοῦτο μόνον ποιήσων, καὶ ἐφ᾽ ἕτερον τραπησόμενος. ἄρχομαι, τὸ ἀρχὴν λαμβάνω. ὡς ἐν τῷ, ἄρχεται δὲ ὁ πόλεμος. ἄρχομαι δὲ καὶ τὸ ἐξουσιάζομαι. καὶ ἄρχομαι τῆς γραφῆς, καὶ ἄρχομαι γράφειν, καὶ τοῦ γράφειν ἄρχομαι τὸ βιβλίον, καὶ ἄρχομαι λόγου, καὶ ἄρχομαι λέγειν.

Ἀρχὸν, εἰπόντος Ὁμήρου ἐπὶ νηὸς, οἱ μεθ᾽ Ὅμηρον συντιθέντες ναύαρχον ἔλεξαν.

Ἄρχοντα δὲ λέγομεν, τὸν ἔξαρχον, ἡγεμόνα, προηγεμόνα, προστάτην, δεσπότην, βασιλέα, ἐπιμελητὴν, ἁρμοστὴν, ὕπαρχον, σατράπην, στρατηγὸν, αὐτοκράτορα, τύραννον, δυνάστην, μόναρχον, ἔφορον, ἐπόπτην, ἐπίσκοπον, καὶ τὰ ὅμοια. καὶ τὸ ἄρχειν, ἡγεῖσθαι, κρατεῖν, δεσπόζειν προστάττειν.

Ἀρχὸς Ἀχιλλεὺς, περίφρασίς ἐστι τοῦ ἦρχε. καὶ ἀρχὸς, ὁ ἡγεμών. σημαίνει δὲ καὶ τὸ ἔντερον, προσκείμενον τῷ καλουμένῳ κτύλῳ, πέρας ὂν τῶν ἐντέρων πάντων. εἴρηται δὲ παρὰ τὸ ἄρχειν τῶν ἐντέρων κάτωθεν.

Ἀρχύσωσι, θάψωσιν.

Ἄρχω, δεσπόζω, ἐξουσιάζω, ἡγοῦμαι, κρατῶ, βασιλεύω, κυριεύω, δυναστεύω, προηγοῦμαι.

Ἀρχώνης, ὁ ἄρχων τῆς ὠνῆς, οὔτινος οὖν προηγούμενος.

Ἀρχωνίδας, δρῦς. Πλάτων.

Ἀρῶ, ἐκτενῶ.

Ἀρωγὴ, ἡ βοήθεια.

Ἀρωγός, βοηθὸς, λυτρωτὴς, ὠφέλιμος.

Ἄρωμα, θυμίαμα. καὶ ἄρωμα, τὸ μύρισμα, καὶ εὐωδίασμα. τὸ ῥῶ μέγα. ἄρομα δὲ, τὸ ἀροτρίασμα, μικρόν.

* Ἀρώματα, τὰ θυμιάματα· ἅπερ ὁ Θουκυδίδης ἁγνὰ θύματα εἴρηκεν.

Ἀρῶμαί σοι τὰ χείριστα. ἀρῶμαι καὶ εὔχομαι τῷ θεῷ εὐπορίαν, ἢ εὐφορίαν γενέσθαι.

Ἀρώμενος, καταρώμενος.

Ἀρῶς, ἀριθμοῦ ὄνομα παρὰ Πέρσαις.

ΤΟ Α΄. ΜΕΤΑ ΤΟΥ Σ΄.

ἈΣ, ἕως, ὅπως, μέχρις οὗ.

Ἀσάζειν, λυπεῖσθαι.

Ἆσαι, κορέσαι, χορτάσαι, θρέψαι, πληρῶσαι, βλάψαι. λέγεται καὶ τὸ δοξάσαι καὶ ὑμνῆσαι, ψάλλαι. καὶ παρ᾽ Ὁμήρῳ ἆσαι Ἄρηα, ἀστείως, καὶ ἀλληγορικῶς, δηλοῖ τὸ εἰς αἷμα πολὺ βάψαι τὸν ἄρην, ἤγουν τὸ ξίφος.

Ἄσαιμι, πληρώσαιμι, κορέσαιμι. δοκεῖ ἀπὸ ῥήματος εἶναι τοῦ ἄδω, ἀφ᾽ οὗ καὶ ἄδης ὁ κόρος. καὶ ἀδηκότες, οἱ κεκορεσμένοι.

Ἀσαλαμίνιος, ἄπειρος θαλάσσης. οἱ δὲ, οὐ κοινωνικῶς ὑπὲρ Σαλαμινίων.

Ἀσάλγαν, ὕβριν, ἀμέλειαν, τὴν πενίαν.

Ἀσαλγάνας, φοβερός. εἴρηται δὲ οὕτω, παραβαρβαρίζων.

Ἀσαλὴς, ἡ ἄφροντις, ἢ ὁ ἀμέριμνος. σάλα γὰρ ἡ φροντίς. Αἰσχύλος, ἀσαλὴς μανία. οὕτως Ἡρωδιανὸς, καὶ Ἀπολλώνιος. καὶ γὰρ ἀσαλέαν ὁ Σώφρων, τὴν ἀμεριμνίαν καὶ ἀλογιστίαν καλεῖ.

Ἀσάλπικτον ὥραν, τὸ μεσονύκτιον. ἑσπέρας γὰρ καὶ ὄρθρου ἐσάλπιζον. Σοφοκλῆς.

Ἄσαμεν νύκτα, ἤγουν ἀνεπαυσάμεθα.

Ἀσάμινθος, ἡ πύελος, ἤτοι λεκάνη. καὶ ὁ τόπος. παρὰ τὸ τὴν ἄσιν, ὅ ἐστι τὸν ῥύπον μινύθειν, ἤγουν ἐλαττοῦν.

Ἀσανέων πόλιν, τὰς Ἀφίδνας.

Ἄσαντος, οὐ σαίνων.

* Ἀσάνδιον, τὸ μέσον τῆς πρύμνης. οὗ τὸ ἐντὸς, ἐνθέμιον.

Ἄσαρ, εἶδος λαχάνου, ᾧ κέχρηνται οἱ ἰατροὶ, εἰς θεραπείας νοσούντων.

Ἄσαρον, ἀσάρωτον.

Ἀσαρδανὸν, λυπηρὸν, ἐπαχθὲς, ἀηδές.

Ἀσάριον, καὶ λέπιον, ἓν εἰσιν. ἤγουν ἑξακισχιλίων τριακοσίων ταλάντων, ὅ ἐστιν ἓν ἥμισυ λεπτοῦ. τὰ γὰρ δύο λεπτὰ, κονδράντης εἷς, ἤγουν νουμμία τρία.

Ἅσα, ὅτε σημαίνει τὸ ὅσα, καὶ ἅτινα, δασύνεται. ὅτε δὲ τὸ τινὰ, ψιλοῦται.

Ἄσασθαι, τὸ κορεσθῆναι. κυρίως μὲν τὸ μετὰ κόρον εἰς ὕπνον ἐλθεῖν. ἀέσαι γὰρ τὸ κοιμηθῆναι.

Ἄσασθαι, σίτου φίλον ἦτορ. εἴρηται καὶ ἐπὶ βλάβης, δι᾽ ἑνὸς α. οἷον, ἆσέ με δαίμονος αἶσα κακὴ, καὶ ἀθέσφατος οἶνος.

Ἄσας, βλάψας, ἢ ἔβλαψας. Σοφοκλῆς.

Ἄσατε, ψάλατε.

Ἀσᾶται, πληροῦται, ἢ προσκόρως καὶ ἐπαχθῶς διατίθεται, παρὰ τῷ Ἱπποκράτει.

Ἄσαον, θόρυβον, ταραχήν.

Ἄσβεσαι, διέφθειρε. Κρῆτες.

Ἀσβέστη, ἀπὸ τοῦ ἄσβεστος παρῆκται, καθ᾽ ὁμοιότητα τοῦ ἀρίγνωτος ἀριγνώτη, καὶ ἀποίητος ἀποιήτη. ταυτὸν δὲ πάντως ἀκάματον πῦρ εἰπεῖν, καὶ ἄσβεστον φλόγα. δῆλον δὲ ὅτι πῦρ καθ᾽ ὕλην ἀκάματον.

Ἄσβεστος, ἀκατάπαυστος. καὶ ἄσβεστος γέλως, δηλοῖ ἔκ τινος θερμότητος τὸν γέλωτα γίνεσθαι, καὶ συμβάλλεταί πως τοῖς γραμματικοῖς, οἳ τὸν γέλωτα παρὰ τὴν εἵλην, ὃ δηλοῖ τὴν θερμότητα, ἐτυμολογεῖσθαί φασιν.

Ἀσβόλη, ἡ ἄσις, ὅ ἐστι ῥύπον βάλλουσα κατὰ ὄψεως. καὶ ὥσπερ ἡ κεροσβόλα, παρὰ Πλουτάρχῳ καὶ ἑτέροις, τὰ ἀτεράμονα. ἀσβόλη δὲ μὴ λέγε, ἀλλὰ ἄσβολος.

Ἀσβῆνοί, ὄρνιθες.

Ἀσβοληθὲν, μέγα, ὑψηλὸν, μέλαν.

Ἄσβολος, καὶ αἴθαλος, οἱ δοκιμώτατοι. οὐκ ἀσβόλη, οὐδὲ αἰθάλη.

Ἄσε, ἅτινα σέ.

Ἀσέβεια, ἀδικία περὶ τὸ θεῖον.

Ἀσεβῆ, πονηρὰ, ἀθέμιστα, ἁμαρτήματα.

Ἀσεβὴς, παρὰ τὸ σέβω σεβὴς, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀσεβής. οἱονεὶ ὁ μὴ σεβόμενος τὸν θεόν. ἐπὶ τὸ α, ψιλῶς, διότι τὸ στερητικὸν α ψιλοῦται, πλὴν τοῦ ἄλυσις καὶ ἅδης.

* Ἀσεβὴς, ἀθέμιτος, μισόθεος, θεομισὴς, ὀλίγωρος θεῶν, νεωτεριστὴς περὶ τὸ θεῖον, ἐναγὴς, ἐξάγιστος, βέβηλος, θεοβλαβὴς, θεοστυγής.

Ἄσειν, πληρώσειν. καὶ ἄσειν, ὑμνήσειν.

Ἄσειρος ἵππος, ὁ μὴ ἔχων σειρὰν, μηδὲ δέσιν, ἀλλ᾽ ἄφετος καὶ ἄνετος.

Ἄσεκτος, ἀγαθός.

Ἀσελγαίνειν κυρίως, τὸ παρὰ φύσιν ταῖς γυναιξὶ μίγνυσθαι. καταχρηστικῶς, τὸ ὁπωσδήποτε ἀκολασταίνειν, πορνεύειν. παρὰ τὸ λέχος λεχαίνειν, τὸ λέχους ἐπιθυμεῖν, καὶ κατὰ τροπὴν λεγαίνειν. ἔνθεν Ἀρχίλοχος, λέχαι δὲ γυναῖκες, ἀντὶ τοῦ ἀκόλαστοι. λεγαίνειν οὖν, καὶ πλεονασμῷ ἐλεγαίνειν. καὶ κατὰ σύνθεσιν τῆς α ἐπιτάσεως, καὶ πλεονασμῷ τοῦ σ, ἀσελγαίνειν. ἔστι δὲ καὶ πόλις καλουμένη ἀσέλγη, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι, καὶ ἀλλήλοις ἐκοινώνουν.

Ἀσελγαίνω, ἀσθενῶ, ἀσθμαίνω, ἀσιτῶ, ἀσπαίρω, ἀστείζομαι, ἀστράπτω, ἀμεταβάτως.

* Ἀσελγῆ ἄνεμον Εὔπολις τὸν βίαιον εἶπε.

Ἀσέλγεια τοῦ Λοκροῦ Αἴαντος, ἐνώπιον τοῦ τῆς Παλλάδος ἀγάλματος, γέγονεν αἰτία τοῦ ἐν τῷ νοστῆσαι Ἀχαιοὺς δυστυχῆσαι. ὅπερ ὁ ποιητὴς σιωπᾷ λέγων μόνον, λυγρὸν νόστον ἐπετείλατο Ἀθήνη. καὶ ἀσέλγεια, ἀντὶ τοῦ πολυτέλεια, ἢ πορνεία, ἀκαθαρσία, μιαρία. ἢ διάθεσις, μὴ φέρουσα ἄλγος.

Ἀσελγεῖς. Σελγοί, ἔθνος σωφρονέστατον. ἔνθεν ἀσελγεῖς, οἱ μὴ σώφρονες.

Ἀσελγὴ πόλις, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι, καὶ ἀλλήλοις ἐκοινώνουν.

Ἀσελγὴς, ἐπὶ ἀρσενικοῦ. ἐπὶ δὲ θηλυκοῦ, οὐκέτι. καὶ ἀσελγὴς, ὁ ἀπατητὸς, καὶ σκοτεινὸς κατὰ τὸν νοῦν. ἢ ἀσελγὴς, ὁ ἀκόλαστος, ἀκάθαρτος. ἔστι δὲ ἀσελγὴς, ὁ μέγας, ἢ σφοδρός. ὡς Πλάτων, ἀσελγόκερων, τὸ μεγαλόκερων.

Ἀσέληνα ὄρη, οὕτω καλούμενα.

Ἄσεν, ἐνέδυσεν.

Ἄσεπτον, ἀσεβές. Σοφοκλῆς αἰχμαλωτίσιν.

Ἄσεται, λωβήσεται, ἀνιᾶται.

Ἀσηθεὶς, λυπηθείς.

Ἀσηκόρος, ὁ ἀκηδεστής.

Ἄσημα, ἄφθογγα, ἄμορφα.

Ἀσήμαντα λέγει ὁ ποιητὴς, τὰ ἀπροστάτευτα, καὶ ἀποίμαντα, οἷς δηλαδὴ οὐκ ἦν ὁ σημαίνων, ἤγουν σημεῖόν τι ποιῶν, ἢ νοῶν σωτηριῶδες τῷ ποιμνίῳ. ἐξ οὗ δὴ σημαινομένου καὶ οἱ στρατηγοῦντες λαοῦ σημάντορες λέγονται. ἤδη δὲ καὶ οἱ ἄλλως ἄρχοντες, οἷς τέθειται σημεῖά τινα, καθὰ καὶ σημαίνειν λέγονται. ταυτὸν δ᾽ εἰπεῖν ἄρχειν, ἢ ἀρχεύειν, ἢ ἀνάσσειν.

Ἀσήμων, ἀφανῶν, ἀγνώστων.

Ἀσήμαντα, τὰ λεγόμενα ἀσφράγιστα. καὶ γὰρ σημεῖα τὰς σφραγῖδας ἔλεγον. ἢ καὶ τὰ ἀφύλακτα, ποιμένα μὴ ἔχοντα, ἀφρόντιστα, ἐκ τοῦ σημαίνω.

Ἀσήμιον, ὁ ἄργυρος.

Ἄσημον, ἀτράνωτον.

Ἄσημον, τὸ δυσγενὲς καὶ τὸ μηδὲν σημαῖνον. καὶ ἄσημος, ὁ ἀγενής.

Ἀσηρῆ, ἀκάθαρτα.

* Ἀσηρῶς, ἀχθηρῶς, ἐπαλγῶς, ἀνιαρῶς, ἀθύμως, δυσθύμως.

Ἄσηρος, ὁ μὴ ἔχων σκώληκας.

Ἄσης, λύπης.

Ἀσήσῃ, λυπηθήσῃ, βλαβήσῃ.

Ἀσθμαίνω, δυσπαθῶ, ἀδυνατῶ, κακοπαθῶ, μοχθῶ, χαλεπαίνω, ταλαιπωρῶ, ἀμεταβάτως.

Ἀσθένεια, ταλαιπωρία, νόσος, ἀδυναμία. καὶ ἀσθενοῦντας, ἀντὶ τοῦ ἐν ἐνδείᾳ ὄντας.

Ἀσθενὴς, παρὰ τὸ σθένος, ἡ δύναμις. μετὰ τοῦ στερητικοῦ ἄλφα, ἀσθενὴς ὁ ἄρρωστος.

Ἀσθενῶ, ἀρρωστῶ, κάμνω, νοσῶ, ἀτροφῶ.

Ἆσθμα, ἡ ἀναπνοή. ἀὴρ οὗτος, ὃν ἀναπνέομεν. ἄνεμος, ἀήτης, ποιητικῶς αὔρα, ἀὴρ δινηθείς. διαφέρουσι δὲ ἀλλήλων, τῷ τὴν μὲν αὔραν, ἐπὶ τῆς ἐξ ὑγροῦ ἐκπνοῆς τάττεσθαι. τὸν δὲ ἄνεμον, ἐπὶ τῆς ἐν ἀέρι πνευμάτων. τὰ πνεύματα δὲ, καὶ τοὺς ἀήτας, ἐπὶ παντὸς ἀέρος κινηθέντος.

Ἀσθμάζει, ἀντὶ τοῦ ἀσθμαίνει.

Ἀσθμαίνει, πνευστιᾷ.

Ἄσθματι, φυσήματι, τῷ συνέχοντι πνεύματι.

Ἀσία, πόλις Λυδίας. ἐν ᾗ τρίχορδος εὑρέθη κιθάρα. διὸ καὶ Ἀσία ἡ ἤπειρος. οἱ μὲν, ἀπὸ Ἀσίου τοῦ Λυδοῦ. οἱ δὲ, ἐκ τῆς Προμηθέως γυναικός. τὸ ἐθνικὸν, Ἀσιεὺς, καὶ Ἀσιανός.

Ἀσίαρος, ἐπισκάζων, ἢ ἀσίδαρος.

Ἀσιάσκει, σκεδάζει.

Ἀσιάτις, ἡ τρίχορδος κιθάρα εἴρηται, ὅτι ἐν τῇ Ἀσίᾳ πόλει τῆς Λυδίας κειμένῃ ἐν Τμώλῳ, πρῶτον εὑρέθη. ἢ ἀπὸ Ἀσίου τινός.

Ἀσίδα, στρουθοκάμηλον.

Ἀσιδηνὸς, ὁ ἀπὸ τῆς Ἀσίδος.

Ἄσιμος, ἄργυρος.

Ἄσιν καλύψω, παρ᾽ Ὁμήρῳ. καλύψαι μὲν γὰρ Ἀχιλλέα ἰλύϊ, τὸ κρύψαι καὶ ἀφανίσαι. καλύψαι δὲ τῷ Ἀχιλλεῖ ἄσιν, ἀντὶ τοῦ ἐπιθεῖναι εἰς κάλυμμα.

Ἄσιν, ἀκαθαρσίαν, ἢ τὴν μετ᾽ ὀστράκων λίθων ὕλην.

Ἀσινεῖς, οἱ Δρύοπες, οἱ τὴν Ἀσίνην κατοικοῦντες.

Ἀσινὴς, ἀβλαβής.

Ἀσίνη, ὄνομα πόλεως. οὐ μόνον δὲ αὕτη, ἀλλὰ καὶ ἕτεραι. ὧν μία καὶ Λακωνικὴ πόλις, ἀπὸ Ἀσίνης κληθεῖσα, θυγατρὸς Λακεδαίμονος. ὁ δὲ Γεωγράφος, καὶ κόλπον Ἀσιναῖον, μάλιστα δὲ Ἀσίνην οἶδεν ὁμώνυμον ταύτῃ. φασὶ γοῦν Ἀσίνη κόλπος ἔνθα αἱ πόλεις, αἱ τῷ Ἀχιλλεῖ ὑπεσχημέναι ἐξ Ἀγαμέμνονος.

Ἄσιον, λειμῶνα, ῥοδιῶνα.

Ἄσις, κόνις, ἢ εἶδος ὀρνέου, ἢ ἰλὺς, ὅ ἐστι γῆς ψαμμώδης. ὅθεν καὶ ἀσιόγειαι, αἱ αἱμασιαὶ, καὶ ἡ ἀκαθαρσία. καὶ ἄσις κατὰ ἰατροὺς, ἡ ἀνερμήνευτος ποιότης, ἡ προηγουμένη τοῦ ἐμέτου. ἢ ἄσις, ὁ ἐν ὕδασι ξηρὸς συρφετὸς, ἀπὸ τῆς ἄζης. οἱ δὲ, τὴν ἐκ τοῦ ποταμοῦ δεῖσαν. ὅθεν καὶ ἄσιον, τὸν λειμῶνα καλοῦσιν.

Ἀσιτία, ἡ ἀνορεξία.

Ἀσιτῶ, ἄρτον οὐκ ἐσθίω.

Ἀσιχὴρ, δοτικός.

Ἀσίῳ, ἄσιν ἔχοντι καὶ ἰλαῷ.

Ἀσιώτας, ἀσίας. ἔστι κώμη Ἀρκαδίας, ὅθεν ὁ Ἀλφειὸς δοκεῖ τὰς πηγὰς ἔχειν.

Ἀσίῳ ἐν λειμῶνι, τινὲς λέγουσιν, ἀντὶ τοῦ Ἀσίου, κατὰ γενικὴν πτῶσιν. καὶ φασὶν, ὅτι ἀνδρί τινι ἐπιφανεῖ ὁ λειμὼν ἐπωνόμασται. οὗ εὐθεῖα ὁ Ἀσίας, ἡ γενικὴ ἀσίου, καὶ Ἰωνικῶς ἀσίεω, ὡς ἑρμείεω, ἐϋμελίεω, καὶ ἐν συγκοπῇ, ἀσίω, ὡς ἑρμείω, ἐϋμελίω. καὶ ἔστι φασὶ λειμὼν Ἀσίου, περὶ ὃν χῆνες καὶ τὰ τοιαῦτα συνάγονται. ἢ ἀσίῳ ἐν λειμῶνι παρὰ τῷ ποιητῇ, ἐν τῷ τῆς Ἀσίας συμφύτῳ τόπῳ. ἢ ἐν τῷ ἰλυώδει τόπῳ. ἄσις γὰρ κατὰ διάλεκτόν ἐστιν, ἡ ἰλύς. ἄλλοι δὲ ἀσίῳ ὀνομαστικῶς, ἀπὸ Ἀσίου τοῦ Λυδοῦ. ἄλλοι παρὰ τὸ ἄσιν. ἀλλὰ πιστότερον τὸ κύριον αὐτῷ περιτιθέναι. ἔστιν οὖν ἀπὸ Ἀσίου, ὃς ἦρξε Λυδίας. κατὰ δὲ τὰς προχοὰς πηλώδη τὸν τόπον ὁ Κάϋστρος ἐργάζεται. οὗ δὲ ὕδωρ καὶ βοτάνη, ἀφθονία ὀρνέων. τὸ ἀσίῳ ἐνταῦθα γενικῆς πτώσεώς ἐστιν, ὅθεν οὐκ ἔχει τὸ ι. ἦν γάρ τις Ἀσίας ἥρως, οὗ ὁμώνυμος ἀσιὰς λειμών. εἶτα ἀσίω, ὡς Ἀτρείδεω, καὶ ἀσίω κατὰ συγκοπὴν, ὡς ἐϋμελίας ἐϋμελίω Πριάμοιο, καὶ Αἰνείω ἑταίρω, καὶ Βορέω ὑπ᾽ ἰωγῇ. οὕτως Ὦρος ἐν τῇ ὀρθογραφίᾳ.

Ἀσκάλαφος, ὁ υἱὸς τοῦ Ἄρεος. δοκεῖ κατὰ τὴν ἀκαλήφην παράγεσθαι, πλεονασμῷ τοῦ σ. ἵνα ᾖ παρὰ τὸ ἀκαλὸν καὶ τὴν ἁφὴν, ἀκάλαφος, ὁ στερρὸν τὸν χρόα, καὶ δυσαφής. ἀκαλὸν δέ φασι τὸ πρᾶον, μαλθακὸν, ἄψοφον, ἥσυχον. ὅθεν καὶ ἀκαλαρρείτης ποταμός.

Ἀσκαλαβώτης, ζωΰφιον, ἐοικὸς σαύρᾳ, ἐν τοῖς τοίχοις τῶν οἰκημάτων ἀνέρπον. παρὰ τὸ ἀκαλῶς, τὸ ἡσύχως, καὶ τοῦ βαίνω ῥήματος, ἀκαλαβώτης, καὶ πλεονασμῷ τοῦ σ ἀσκαλαβώτης.

Ἄσκαλα, ἀκάθαρτα.

Ἀσκαλιάζοντες, χωλεύοντες, ἐφ᾽ ἑνὸς κώλου βαδίζοντες.

Ἄσκαλτοι, κακῶς εἰργασμένοι, ἀτύπωτοι.

Ἀσκαμωνία, βοτάνη ἰατρική.

Ἀσκάντην, σκίμποδα, δίφρου τι εἶδος, ἢ τὸν κράββατον λέγουσιν.

Ἀσκανδὴς, ἄγγελος.

Ἀσκάνη, ἀγανάκτησις.

Ἀσκανίη, πόλις Φρυγίας.

Ἀσκάντης, κλινίδιον εὐτελές. ὃ παρ᾽ Ἀττικοῖς σκίμπους ὀνομάζεται.

Ἀσκαρδαμυκτὶ εἰς ἐκεῖνον βλέπει, ἀντὶ τοῦ χωρὶς τοῦ μύειν.

Ἀσκαρδαμύκτοις, ἀκαμμύστοις.

Ἀσκαρὲς, ἀκίνητον, καὶ ἄσκαρθμον.

* Ἄσκαρον, ὄργανον κρουστικὸν, ὃ ψιθύραν ὀνομάζουσιν.

Ἀσκαρίδες, εἶδος σκωλήκων, ἢ ἕλμινθες ἰσχναὶ καὶ μακραὶ, ἐν τῷ ἀπευθυσμένῳ, παρὰ τῷ Ἱπποκράτει.

Ἀσκαρίζειν, σημαίνει τὸ κινεῖσθαι. σκαίρω, σκαρίζω, καὶ ἀσκαρίζω.

Ἄσκαρμοι, ἀκοίμητοι.

Ἄσαροι, γένος ὑποδημάτων, ἢ σανδαλίων. οἱ δὲ κρόταλα.

Ἀσκαρόφορον, φορτηγόν.

Ἀσκεθέες. εἰ μὲν ἀπὸ τοῦ ἀσκῶ ἀσκήσω γίνεται, συστολὴν ἔπαθε τοῦ η προπαραληγούσης ἢ εἰς ε. ὁμοίως τῷ ξηρὸν, ξερόν. οἷον ποτὶ ξερὸν ἠπείροιο. εἰ δὲ ἀπὸ τοῦ σχέθω ἐτυμολογεῖται, φυσικῶς ἔχει τὸ ε. δύναται δὲ καὶ ἐκ τοῦ ἀσκῶ, ἀσκέσω γενέσθαι. ἀσκεθὴς, καθ᾽ ὁμοιότητα τοῦ ποθῶ ποθέσω, καὶ στερῶ στερέσω.

Ἄσκει, μελετᾷ, γυμνάζεται, φιλοπονεῖ.

Ἀσκεία, θρησκεία, εὐσέβεια, κόσμησις.

Ἀσκεῖν, ἐπὶ ἐπιμελείᾳ τῆς διὰ χειρῶν ὁ ποιητὴς τίθησιν. οἷον, ἤσκει ἔρια, καὶ πτύξασα καὶ ἀσκήσασα χιτῶνα. καὶ νῆμα δέ που ἀσκητὸν λέγει. ταυτὸν δὲ τῷ κομεῖν, καὶ τῷ ἀσκεῖν. ὅθεν συνθέτως γραῖάν τινα εἰροκόμον, ἴσως τὴν εἰρυσαν κόμας, ἤτοι πλέκουσαν τρίχας φησίν. ἢ οἱ ἤσκει εἴρια καλὰ, ὡς ταυτὸν εἰπεῖν εἴρια κομεῖν καὶ ἀσκεῖν. Ἰστέον, ὅτι τὸ ἤσκειν εἴρια μετὰ τοῦ ν γράφουσιν οἱ παλαιοὶ, καὶ μετὰ τὴν συναίρεσιν τοῦ ἤσκεε. δοκεῖ δὲ Ἰωνικῶς οὕτω λέγεσθαι.

Ἀσκελὲς, ἢ ἀντὶ τοῦ πάνυ σκληρὸν, ἀπὸ τοῦ σκέλλω τὸ ξηραίνω. ἐξ οὗ καὶ τὸ σκέλος, καὶ ὁ κατεσκληκὼς, καὶ ὁ σκελετός. ἢ καὶ ἄλλως ἀσκελὲς, τὸ ἀμετάβατον καὶ ἀμετακίνητον, ἀπὸ στερήσεως τῶν σκελῶν. ἴσως δὲ καὶ ἀντὶ τοῦ κατεσκευασμένον καὶ πολυεπερχὲς, καὶ οἷον πολυσκελές. κατὰ τὸ ἥξει καὶ πολύπους καὶ πολύχειρ. καὶ ἀντὶ τοῦ ἀδιαλείπτως.

Ἀσκελέες, κατεσκελετευμένοι, ἄσαρκοι, ξηροί.

Ἀσκελέως, ἀντὶ τοῦ σκληρῶς, ἢ ἀμεταβάτως.

Ἀσκέπαρνον, ἄξυστον, ἀπελέκητον, οὐκ εἰργασμένον.

* Ἀσκέ-

Digitized by Google

* Ἀσκέραι, ὑποδήματα χειμῶνι χρήσιμα.

Ἀσκέλοις, ψιλοῖς, ἀπαρασκεύοις. Αἰσχύλος Ἀγαμέμνονι.

Ἄσκελον, ἀντὶ τοῦ ἀπαράσκευον, ἄνευ ὅπλων. ὡς ὁ Θεολόγος, Βίον ἄσκελον καὶ ἀπέριττον.

Ἀσκηθής, τοῦτό τι δηλοῦν ἔοικεν, οἱονεὶ τεθεραπευμένος, καὶ ἀβλαβής. καὶ ἀσκηθής, λέξις Αἰολέων κατὰ τοὺς παλαιούς. δοκεῖ δὲ ἀπὸ τοῦ ἀσκεῖν γενέσθαι, καὶ σημαίνει τὸν ὑγιῆ. τοιοῦτοι γὰρ οἱ ἀσκηταί. εἰ δὲ καὶ ἀπὸ τοῦ α στερητικοῦ καὶ τὸ σχέθειν ἐτυμολογεῖται, ἵνα ᾖ ἀσχεθής, καὶ Ἰωνικῶς ἀσκεθής, καὶ κατὰ μετρικὴν ἀναγκαίαν ἔκτασιν ἀσκηθής, ὁ πολὺς τὴν ῥύμην, καὶ ὃν οὐκ ἔστιν ἐπισχεῖν, οὐδὲ αὐτὸ σεσίγηται. εὕρηται δέ που καὶ ἀσκεθὴς διὰ τοῦ ε, παρὰ τῷ ποιητῇ.

Ἀσκήματα, κατασκευάσματα, ἀπὸ τῆς ἀσκήσεως.

Ἄσκηρα, εἶδός τι τῶν καστανίων.

Ἀσκήσασα, μετ᾽ ἐπιμελείας ὑφάνασα.

Ἀσκῆσαι, τὸ θεραπεῦσαι, ἐπιμεληθῆναι, ἀθλῆσαι. καὶ ἀσκῆσαι, τὸ ἐπιμελείας ἀξιῶσαι. παρὰ τὸ ἀσκήσασθαι, ἤγουν θεραπεῦσαι, πλεονασμῷ τοῦ ε. ὅθεν καὶ ἄσκησις, ἡ τοῦ σώματος θεραπεία ἐν ταῖς τροφαῖς. τοιοῦτοι γὰρ οἱ παρ᾽ Ἕλλησιν ἀθληταί, σωμάτων ἀσκηταί.

Ἀσκήσας, ἀντὶ τοῦ καλλωπίσας λέγουσιν Ἴωνες.

Ἀσκήσαντες, ἀντὶ τοῦ μαθόντες, καὶ ἀντὶ τοῦ κοσμήσαντες.

Ἄσκησις, ἐπιμέλεια.

* Ἄσκη, ἡ ἄσκησις· ὡς αὔξη, ἡ αὔξησις.

Ἀσκητῷ πέπλῳ τε καὶ ἄμπυκι, ἀσκητῷ ἢ κεκοσμημένῃ πέπλῳ, τουτέστιν ἐνδύματι καὶ περικεφαλαίᾳ. τοῦτο γὰρ τὸ ἄμπυξ σημαίνει. ἢ ἄμπυκι, τῷ συνδέοντι τὰς τρίχας, ἀπὸ τοῦ ἀμπέχειν.

Ἀσκητής, διὰ τὸ ὡς ἀσκὸν νεκροῦσθαι τὸν ἀσκητήν. ὅρος δὲ αὐτοῦ, ὁ πόνος τῆς ἀσκήσεως. καὶ ὁ ἀθλητής, ἀπὸ τοῦ ἀσκῆσαι. ἐκ τοῦ ἀσκός, ἢ ἀσκητής, ὁ ἐν τῷ κατὰ διάνοιαν κόσμῳ εὐσεβῶς καὶ δικαίως ἀναστρεφόμενος.

Ἀσκητὸν λέχος, τὸ μὴ αὐτοσχέδιον καὶ εἰκαῖον, ἀλλὰ ἐπιμεμελημένον καὶ πολυδαίδαλον. οὕτω καὶ νῆμα ἀσκητόν, τὸ ἐπιμεληθέν. καὶ ὁ ἀσκητής.

Ἄσκιον, τὸ μὴ ἔχον σκιάν.

Ἄσκιος ὕλη, ἡ δασεῖα ὕλη.

Ἀσκληρές, ἰσόπλευρον, παρὰ Δημοκρίτῳ.

Ἄσκλη, ἄσκησις.

Ἀσκληπιαδῶν μνήμη γίνεται, πολλαχοῦ τῆς ποιήσεως, οὓς τοῦ Λαπιθαίου γένους φασὶ γενέσθαι. Σίλβης γὰρ καὶ Ἀπόλλωνος ὁ Λαπίθης. οὗ ἀπόγονος Ἀσκληπιός, υἱὸς καὶ αὐτὸς Ἀπόλλωνος καὶ νύμφης Κορωνίδος. Ἀσκληπιοῦ δὲ οἱ ῥηθέντες δύο ἰητῆρες.

Ἀσκληπιός, ὁ ἰατρός, παρὰ τὸ τὰ ἀσκελῆ τῶν νοσημάτων ἤπια ποιεῖν. τὸ δὲ ἀσκελές, παρὰ τὸ σκέλλω, τὸ ἄγαν σκληραίνω. ὅθεν καὶ σκέλος. ὀξύνεται δέ, ἀλλὰ Δημοσθένης προπαροξυτόνως προφέρειν ἠξίωσεν, ὡς ἱστορεῖ Πλούταρχος. ἢ ἀσκληπιός, διότι ἄσκλην τὴν Ἐπιδαυρίων ἰάσατο ὀφθαλμιῶντα, ἤπιος ἐκείνῳ φανείς, πλεονασμῷ τοῦ λ. ἢ παρὰ τὸ ἀσκεῖν ἠπίως τοὺς νοσοῦντας, ὅ ἐστιν ἐπιμελείας ἀξιοῦν. ἢ παρὰ τὸ μὴ σκελετεύεσθαι αὐτοὺς ἐᾶν, ἠπίως προσφερόμενος.

Ἀσκληπιάς, ἡ Δάφνη.

Ἀσκληπιοῦ παῖδες, Ποδαλείριος, Μαχάων, Ἰασώ, Πανάκεια, Ὑγεία. ἀναπέπλασται δὲ τὰ ὀνόματα, παρὰ τὸ ἰᾶσθαι, καὶ πάντα ἀκεῖσθαι, καὶ παρὰ τὸ ὑγείαν παρέχειν.

Ἀσκόλαχα, ἀσκαλαβώτης.

Ἀσκὸν λείπεται. ἀσκὸς νικητήριον ἐτίθετο, καὶ μετὰ σάλπιγγος ἔπινον νικητήριον στέφανον.

Ἀσκὸν δέρειν παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ τὸ σῶμα ἐκδέρειν.

Ἀσκοπήρα, τὸ μαρσύπιον, ἤτοι τὸ σακοφάτνιον.

Ἄσκοπον, ἄθεον. Σοφοκλῆς. ἄσκοπος δέ, ἀνόητος, ἀπροόρατος.

Ἀσκορδίνωτος, ἀσάλευτος, μὴ κινῶν τὰ μέλη. σκορδινᾶσθαι γὰρ λέγουσι, τὸ παρὰ φύσιν ἐκτείνειν. ὅπερ γίνεται τοῖς ἐγειρομένοις ἐξ ὕπνου.

Ἀσκός, ὑδρία, ἢ ὁ ἀβλαβής, καὶ ὑγιής, καὶ μὴ ἐσχισμένος. ὅθεν καὶ ἀσκοπός, ὁ ἀβλαβής, ἀπὸ μεταφορᾶς τοῦ ἀσκοῦ.

Ἀσκότονοι, κυνορραισταί, Κρότωνες.

Ἀσκούμενοι, γυμναζόμενοι, παιδευόμενοι.

Ἀσκουρῶτις, ἄρκτος ἡ μικρά.

Ἀσκοφλαυρίζεις, οὐδενὶ καταπλήττῃ, τῇ σκιᾷ μορμύσσῃ.

Ἀσκοφορεῖν, ἐν ταῖς Διονυσιακαῖς πομπαῖς τὰ μὲν ὑπὸ τῶν ἀστῶν πράττεται, τὰ δὲ τοῖς μετοίκοις ποιεῖν ὑπὸ τῶν νομοθετησάντων προστέτακται. οἱ μὲν οὖν μέτοικοι, χιτῶνας ἐνδεδυμένοι, χρῶμα ἔχοντας φοινικοῦν, τὰς σκάφας φέρουσιν, ὅθεν καὶ σκαφοφόροι λέγονται. οἱ δὲ ἀστοί, ἐσθῆτα ἔχουσιν ἣν βούλονται, καὶ ἀσκοὺς κατὰ τῶν ὤμων φέρουσι, καὶ διὰ τοῦτο ἀσκοφόροι καλοῦνται.

Ἄσκρα, δρῦς ἄκαρπος.

Ἀσκραῖος, ὁ Ἡσίοδος.

Ἄσκυροι, βοτάναι τινές.

Ἀσκῶ καὶ ἀσκοῦμαι, τὸ αὐτὸ σημαίνει τῷ παιδεύομαι καὶ τῷ μετέρχομαι. καὶ ἠσκηκὼς καὶ ἠσκημένος.

Ἀσκῶ σοφίαν, ἀντὶ τοῦ παιδεύομαι, ἢ ἰατρικήν, ἢ ἄλλην τινὰ ποιεῖν γυμνασίαν, αἰτιατικῇ συντάσσεται. Λιβάνιος, Ἴσασιν οἱ στρατιῶται τοὺς ἐμοὺς πόνους, τὰς ἐμὰς ἀγρυπνίας, ἐν ὅσαις μὲν αὐτοὺς ἤσκουν μελέταις. καὶ ἀσκῶ ἕτερον, ἀντὶ τοῦ παιδεύω, κυρίως ἐπὶ γυμνασίας λέγεται. ἀσκεῖται δὲ παῖς. καὶ ἀσκῶ τὸν υἱόν, ἤγουν παιδεύω. ἀσκῶ τὴν ἀρετὴν ἐξ ἁπαλῶν ὀνύχων, ὥς φασιν.

Ἀσκωλιάζω, ἐπὶ ἀσκοῦ πηδῶ. Ἀριστοφάνης, ἀσκολίαζε ἐνταῦθα πρὸς τὴν αἰθρίαν.

Ἀσκωλιάζω, τὸ ἵστασθαι ἐφ᾽ ἑνὸς ποδὸς ἐφαλλόμενον, ἢ ὑστερούμενον τῶν κατὰ φύσιν. κυρίως δὲ ἀσκωλιάζειν, τὸ ἐπὶ ἀσκῶν ἅλλεσθαι. ἑορτὴν δὲ οἱ Ἀθηναῖοι ἦγον τὰ ἀσκώλια, ἐν ᾗ ἥλλοντο ἐπ᾽ ἀσκοῖς αἰγείοις εἰς τιμὴν τοῦ Διονύσου. Δοκεῖ δὲ ἐχθρὸν εἶναι ἀμπέλῳ τὸ ζῶον. ἀμέλει καὶ ἐπίγραμμα φέρεται τῆς ἀμπέλου πρὸς τὴν αἶγα, οὕτω λέγον. Κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δ᾽ ἔτι καρποφορήσω, Ὅσσον ἐπισπεῖσαί σοι τράγε θυομένῳ. ἢ ἀσκωλίαζε, ἀντὶ τοῦ ἅλλου. κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον, τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι, ἕνεκα τοῦ γέλωτα ποιεῖν. ἐν μέσῳ δὲ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ἐνωλίσθαινον. καθάπερ Εὔβουλός φησι, Καὶ πρός γε τούτοις ἀσκὸν εἰς μέσον καταθέντες, εἰσάλλεσθε καὶ καγχάζετε ἐπὶ τοῖς καταρρέουσιν. οὕτω καὶ Δίδυμος. ἢ ἀσκολιάζειν ἔλεγον, τὸ ἐνάλλεσθαι τοῖς ἀσκοῖς, ἢ ἐπὶ ἑνὸς ποδὸς ἅλλεσθαι. ἦν δὲ τὰ ἀσκώλια, ἑορτὴ Διονύσου. ἀσκὸν γὰρ οἴνου πληροῦντες, ἑνὶ ποδὶ τοῦτον ἐπήδων. καὶ ὁ πηδήσας, ἆθλον εἶχε τὸν οἶνον. Ἄλλως.

Ἀσκωλιάζω. ἀσκωλιάζειν ἐστί, τὸ ἵστασθαι ἐφ᾽ ἑνὸς ποδὸς ἐφαλλόμενον, ἢ στερούμενον τῶν κατὰ φύσιν. εἴρηται παρὰ τὸ σκῶλον, ὅ ἐστι σκόλοπα, τῷ ἑνὶ ποδὶ ἅλλεσθαι, ἀπὸ τῶν πατούντων σκόλοπα, καὶ χωλευόντων· ὅπερ Ἐπίχαρμος ἐν τοῖς Πέρσαις σκωλοβατίζειν φησί. σκωλιάζειν οὖν, καὶ κατὰ πλεονασμὸν ἀσκωλιάζειν. τινὲς δὲ οὐ πλεονασμὸν ἡγοῦνται τὸ α, ἀλλὰ παρὰ τὸν ἀσκὸν γέγονε. κυρίως γὰρ ἀσκωλιάζειν λέγεται, τὸ ἐπὶ ἀσκῶν ἅλλεσθαι.

Ἀσκωλιάζοντες, ἐφ᾽ ἑνὸς ποδὸς ἁλλόμενοι.

Ἄσκωμα, Δερμάτιόν τι, ᾧ ἐν ταῖς τριήρεσι χρῶνται. καθ᾽ ὃ ἡ κώπη ἐμβάλλεται. ἢ ἄσκωμα λέγεται, ὁ ἱμὰς ὁ συνέχων τὴν κώπην πρὸς τῷ σκαλμῷ.

Ἀσκώσατο, ἠχθέσθη.

Ἆσμα, ὕμνος, ᾠδή, καὶ μέλος ᾠδῆς.

* Ἆσμον, τὸ ἀσμάτιον Πλάτων εἴρηκεν ὁ κωμικός.

Ἀσματοκάμπτας λέγει Ἀριστοφάνης, τοὺς πλείονας καμπὰς ἔχοντας ἐν ἁρμονίᾳ, ἃς οἱ Μουσικοὶ καλοῦσι στροφάς, καὶ ἀντιστρόφους, καὶ ἐπῳδούς.

Ἀσμενέστατα, χαίρων.

Ἀσμενίζει, χαίρει. καὶ ἄσμενος, ὁ χαίρων. ἥδω, τὸ εὐφραίνομαι, ἧσμαι, ἡσμένος ἡ μετοχή, καὶ ἄσμενος.

Ἀσμενίζω. καὶ ἀσμένιζε, τὸ συνευφραίνου. ἐκ τοῦ ἥδω, τὸ εὐφραίνω.

Ἀσμένῳ μοι εἴη, περιφραστικῶς εἴρηται ἀντὶ τοῦ χαίρω. καὶ ἀσμένως ἔχω· τοιοῦτον καὶ τὸ ἐμοὶ βουλομένῳ εἴη, καὶ τὸ ἐμοὶ χαίροντι ἐστὶ τόδε τι, καὶ ὅσα τοιαῦτα.

Ἀσμένως, μετὰ χαρᾶς, ἡδέως, εὐκταίως, προθύμως, ἑκουσίως.

Ἄσμικτον, τὸ ἀπόλεκτον.

Ἀσμόσει, ἀγνοεῖ, ἀναπνεῖ.

Ἀσμολή, ὀλίγη ἀναπνοή, οἶμαι, ὅτι ἀσθμωλὴ γράφεται.

Ἀσόλοικον, ἥμερον, προσηνές, οὐ βάρβαρον. Σοφοκλῆς.

Ἆσου, ἅτινά σου.

Ἄσουρ, ὁ κρατήρ, ὑπὸ Φοινίκων.

Ἄσπα, ἤπιος, ἡ ἐγγύα.

Ἀσπάζει, συμπεριπατεῖ.

Ἀσπάζεσθαι, καὶ τὸ φιλεῖν, ποτὲ μὲν δηλοῦσι τὴν φυσικὴν διάθεσιν, καὶ ἔχουσιν ἐναντίον τὸ μισεῖν. ποτὲ δὲ τὴν σωματικὴν ἐνέργειαν, ὅπερ οὐκ ἔχει οὐδὲν ἐναντίον. καὶ ἀσπάζεσθαι δεξιῇ καὶ ἔπεσι μειλιχίοισιν, ἐπὶ πάσης ἐπιθυμητῆς ἐπανόδου προσήκει λέγεσθαι. καὶ ὅρα, ὅτι τὸ περιπλέκεσθαι, καὶ οἱονεὶ εἰς ἑαυτὸν σπᾶσθαι, ἀσπάζεσθαι λέγεται.

Ἀσπαζόμεθα, ἤγουν ἀγαπῶμεν, φιλοῦμεν, καὶ χαιρετίζομεν. Ἀριστοφάνης, αὐτὸν ἠσπάζοντο, ἤγουν ἐχαιρέτιζον.

Ἀσπάζω, ἐστὶ ῥῆμα σπῶ, καὶ σημαίνει τὸ διαχωρίζω. ἐξ αὐτοῦ γίνεται σπάζω κατὰ παραγωγήν, ὡς φρῶ φράζω.

Ἀσπαθῆ, τὰ μὴ κεκρουσμένα τῇ σπάθῃ ἱμάτια.

Ἀσπάθητον χλαῖναν, τὴν δοράν, παρ᾽ ὅσον οὐχ ὕφασται.

Ἀσπαίροντες, σκαρίζοντες, κινοῦντες, ψυχορραγοῦντες.

Ἀσπακάζομαι, τὸ ἀσπάζομαι, πέπαικται.

Ἀσπακῶς, φιλοφρόνως.

Ἀσπάλαθος, εἶδος ἀκάνθης. Νίκανδρος, Ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι. εἴρηται δὲ παρὰ τὸ σπῶ, σπάλαθος, καὶ ἀσπάλαθος. ἢ διὰ τὸ μὴ ῥαδίως ἀπὸ τῶν πληγέντων ἀποσπᾶσθαι, ἤγουν ἀφαιρεῖσθαι.

Ἀσπάλαξ, ζῶον ἐστερημένον ὄψεως.

Ἀσπαλιεύω, τὸ ἁλιεύω. παρὰ τὸ ἀποσπᾶν τοὺς ἰχθῦς ἐκ τῆς θαλάσσης. ὅθεν ἀσπαλιευτής, ὁ ἁλιεύς.

Ἀσπαλία, ἡ τοῦ ἁλιέως ἐργασία, ὁρμιά, ἁλεία.

Ἀσπαλιεύς, ὁ ἁλιεύς. ἄσπαλος γὰρ ὁ ἰχθύς.

Ἀσπαλιευτής, ὁ τῇ ὁρμιᾷ χρώμενος.

Ἄσπαλον, σκῦτος.

Ἀσπάνιον, πάσσαλον.

Ἀσπάραγος, τὸ ἐκ τῶν ἀκανθῶν φυόμενον τραχύ. κυρίως δὲ ἐπὶ τοῦ ὀρείου λέγεται, ἤγουν ἄσπαρτος, ὁ μὴ σπειρόμενος.

* Ἀσπαραγγίς, ὁ ἀκανθίας. ἔστι δὲ ὄνομα λαχάνου.

Ἀσπάσασθαι κυρίως ἐστί, τὸ περιπλέκεσθαί τινα, διὰ τὸ ἄγαν σπᾶσθαι εἰς ἑαυτὸν τὸν ἕτερον, καὶ περιβάλλειν τὰς χεῖρας ἐν τῷ φιλοφρονεῖσθαι.

Ἀσπασία, θαυμαστή, χαιρετιστική.

Ἀσπάσιος γῆ, ἀττικόν ἐστι. τὸ δὲ κοινόν, ἀσπασία. ἐξ οὗ καὶ κύριον, ἡ παρὰ ταῖς ἱστορίαις σοφὴ γυνὴ Ἀσπασία.

Ἀσπασίως, ἡδέως, περιχαρῶς, ἀσμένως.

Ἀσπασμός, ἡ εὐχή, παρὰ τῷ Ἀποστόλῳ, ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί.

Ἀσπασμός, πρόσρησις, προσηγορία, προσαγόρευσις. προσαγορεῦσαι, καὶ προσρηθῆναι, ἀσπάζεσθαι, καὶ προσειπεῖν, προσαγορευθῆναι, προσειρῆσθαι, προσειρημένος, καὶ ἀντιπροσειπεῖν, καὶ ἀντιπροσαγορεῦσαι, καὶ ἀντασπάσασθαι. καὶ ἡ μὲν ἡμέρα ἐν ᾗ γίνεται ἀσπασμός, προσρητή, καὶ προσρητέα, καὶ πρόσρημα. ἐν ᾗ δὲ μὴ γένοιτο, ἀπρόσρητος. καὶ ὁ μὲν δεξιὸς ἐν τούτοις, εὐπροσήγορος, φιλοπροσήγορος. τὸ γὰρ εὐπρόσρητος σκληρότερον. ἐφαρμόττει δὲ τούτῳ κατὰ ἄλλην χρείαν, εὐπρόσοδος, εὐπρόσιτος, εὐέντευκτος, εὐεπίμικτος, εὐξύμβολος, μειλίχιος, ἵλεως, φιλάνθρωπος, ἥμερος, εὐμενής, πρᾶος. ὁ δὲ ἐναντίως ἐκείνῳ, δυσπροσήγορος, δυσπρόσιτος, δυσξύμβολος, μισοπροσήγορος, ἀπρόσρητος. τοῖς δὲ ἐφεξῆς δυσπρόσικτος, δυσπρόσοδος, ἄμικτος, δύσμικτος, δυσέντευκτος,

σκυ-

Digitized by Google

σκυθρωπὸς, σκαιὸς, ἀργαλέος, ἄγριος, σκληρὸς, τραχύς, ἀπάνθρωπος, ἀνήμερος, δυσμενής. ὁ γὰρ ἀμείλικτος, ποιητικώτερον. καὶ τὰ ἐπιῤῥήματα ἐκ μὲν τοῦ ἀπροσήγορος, ἀπροσηγόρως, καὶ φιλοπροσηγόρως. καὶ τὰ ἐναντία, δυσπροσηγόρως, καὶ μισοπροσηγόρως, καὶ ἄλλα τὰ ὁμοίως.

Ἀσπάζεσθαι, προσαγορεῦσαι, προσειπεῖν, προσαγορευθῆναι, προσειρῆσθαι.

Ἀσπαστοὶ, ἄσμενοι, θεοειδεῖς. παρὰ δὲ Καλλιμάχῳ, ἀσπαστὺς, ἀσπαστύος, τουτέστι προσηγορία, φιλία. καὶ ἀσπαστοὶ, ἥδιστοι, χαρτοί.

Ἀσπαστὸν, ἐπιθυμητὸν, καὶ ἡδύ.

Ἀσπαστῶς, ἡδέως.

Ἄσπειστος, ἄσπονδος ἔχθρα, μῖσος.

Ἄσπερμος, ἄγονος, ἀφανής.

Ἀσπερχὲς, ἀδιαλείπτως, τοῦ α κατ' ἐπίτασιν λαμβανομένου. τουτέστιν, ἄγαν ἐσπευσμένον. παρὰ τὸ σπέρχω, συνεχῶς, ἰσχυρῶς, ταχέως. ἢ ἀσπερχὲς, τὸ πολυσπούδαστον, ὃ περισπερχὲς λέγει ὁ Σοφοκλῆς, κατ' ἐπίτασιν καὶ αὐτός. ἁπλοῦν δὲ αὐτοῦ ῥητὸν οὐ τὸ σπερχὲς, ἀλλὰ τὸ σπερχνόν, ὅμοιον ὂν τῷ τερπνόν.

Ἄσπετα, δυσπαρακολούθητα, πολλά.

Ἄσπετον, πολλὴν, μεγάλην. ὡς τὸ, ἀλλ' ἄσπετον χέασα παμμιγῆ βοήν. ἔστι ῥῆμα σπῶ, ὥσπερ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ, σπῶ. ἐξ οὗ τὸ σπᾶσθαι, καὶ ἐπίσπεσθαι ποσὶ ῥῆμα, ὄνομα σπετὸς, καὶ ἄσπετος. οἷον, ἄσπετος αἰθήρ. οἱ δὲ παρὰ τὸ ἔπω τὸ λέγω, φασὶν εἶναι ἄσπετα, τὰ οὕτω πολλὰ καὶ μεγάλα, ὥστε καὶ ἄῤῥητα ὑπάρχειν. καὶ ἄσπετον κῦδος, δόξαν μεγάλην.

Ἄσπετον οὖδας, περιφραστικῶς τὴν ἤπειρον λέγει, ὅ ἐστι τὴν ἁπλῶς γῆν.

Ἄσπετος ὁ Ἀχιλλεὺς, ἐν ἠπείρῳ, ὥς φησιν ὁ Ἀριστοτέλης.

Ἀσπίδας εὐκύκλους ἔχον, φασὶν οἱ παλαιοὶ, ὡς οὐ πᾶσαι περιφερεῖς αἱ ἀσπίδες, ὅ ἐστι κατὰ τὸν ποιητὴν εὔκυκλοι, ἀλλ' εἰσί τινες καὶ σπιδεῖς, ἤγουν ἐπιμήκεις. σπίζω γὰρ τὸ ἐκτείνω, ἀφ' οὗ σπιδὴς μὲν, ἡ ἐπιμήκης. ἀσπὶς δὲ, ἡ μὴ εἰς μῆκος ἐκτεταμένη, ἀλλὰ εἰς κύκλον συνηγμένη. φασὶ δὲ οἱ αὐτοὶ, ὡς καὶ παρὰ τῷ ποιητῇ ἀντιφράζεται τῇ ἀσπίδι τὸ σάκος, ὡς διαφέρον δηλαδὴ πρὸς αὐτήν. ὅτι δὲ ἐκ τοῦ ῥηθέντος σπίζω ἡ σπιθαμὴ γίγνεται, καὶ ὅτι σπίζειν λέγεται ἄλλως μέντοι κατ' ὀνοματοποιίαν ὁ σπῖνος, σπίζων ἕωα παρὰ τῷ Ἀράτῳ, οὐκ ἄδηλόν ἐστιν.

Ἀσπιδεῖα, τὰς πτυχὰς τῶν ἀσπίδων, καὶ μέρος τῆς νεὼς, τὸ πρὸς πρύμναν.

Ἀσπιδέος πεδίοιο, ἢ ἀσπιδὲς τρισυλλάβως, νοητέον πεδίον τὸ περιφερὲς, δίκην ἀσπίδος πάντοσε ἴσης. ἢ σπιδὲς κατά τινας δισυλλάβως τὸ ἐκτεταμένον καὶ πλατὺ, ὡς ἀπὸ τοῦ σπίζω τὸ ἐκτείνω. ἐξ οὗ καὶ σπιθαμὴ, παρὰ τὸ ἅμα σπίζεσθαι, ὅ ἐστιν ἐκτείνεσθαι, ἐν τῷ μετρεῖν τοὺς ἄκρους δακτύλους. καὶ ἡ ἀσπὶς, ἡ μὴ πλέον τοῦ μετρίου μεμηκυσμένη. ἢ κυρίως κυκλοειδὴς, καὶ μὴ εἰς μῆκος ἐκτεταμένη. ὅτι δὲ πᾶν πλατὺ πεδίον καὶ μὴ εὐπεριόριστον, κατὰ τὴν τοῦ ἀσπίδεος γραφὴν περιφερὲς εἶναι δοκεῖ, ὡς κύκλου ἐναπολαμβανομένη τῇ θέᾳ, διὰ τὸ δυστέκμαρτον τοῦ πέρατος ἡ ὄψις ἐδοκίμασε. συνηγορεῖ δὲ τῇ τοῦ σπιδέος γραφῇ καὶ τὸ παρ' Αἰσχύλῳ σπίδιον πεδίον. ὅ ἐστι μακρὸν, κατὰ τοὺς παλαιούς.

Ἀσπιδήια, ἀσπίδας.

Ἀσπιδιώτης, ὁπλίτης, πολεμιστής.

Ἀσπίδι γινώσκων, ἐκ τῆς ἀσπίδος γινώσκων.

Ἀσπιδίσκας, πελτάρια, σκουτάρια. ἢ περιφερὴς κόσμος, ὅπλοις ἐοικώς.

* Ἀσπιδηφόροι, ὑπασπισταὶ, συνασπισταὶ, ὁπλοφόροι, ὁπλομάχοι. καὶ ἔτι ἐπὶ τούτων εἴποις ἂν, τὰς ἀσπίδας ἐθεράπευον, ἐξεκάθαιρον, ἐλάμπρυνον τοὺς θώρακας, ἐφαίδρυνον τὰς κνημίδας, τὰ κράνη στιλπνὰ ἐποίουν, τοὺς λόφους κυθέτιζον, ἔθηγον τὰ ξίφη, ἔξυον τὰ δόρατα, καὶ τὰ ὅμοια.

Ἀσπιδίσκοι, τοὺς κιθάρας τὰ ἐπ' ἄκροις πήχεσιν.

Ἀσπίδιον, ἀψίνθιον.

Ἀσπιστὴς, πεζὸς, ὁπλίτης, πολεμιστής.

Ἄσπιλος, ἄμωμος, καθαρὸς χείμαῤῥος.

Ἀσπὶς, θηρίον ὀφιοειδὲς, καὶ τὸ σκουτάριον.

Ἀσπιστάων, ὁπλιστῶν, μαχητῶν.

Ἄσπλαγχνος, ἄτολμος, ταπεινὸς, δειλὸς, ψυχρός.

* Ἀσπληδὼν, ἐκλήθη ἀπὸ Ἀσπληδόνος υἱοῦ Ποσειδῶνος, ἢ Πρέσβωνος, ἢ Ὀρχομενοῦ· φησὶν ὅμηρος· Ἀσπληδὼν, Κλύμενός τε, καὶ Ἀμφίδοκος θεοειδής. ἔστι δὲ καὶ Φωκική φασιν Ἀσπληδών.

Ἀσπλῆνις, βοτάνης εἶδος.

Ἀσπόλην, ἀρίστην.

Ἀσπόνδους, ἐχθροὺς, ἀγρίους, ἀδιαλλάκτους, μνησικάκους, ἀνελεήμονας, τοὺς ἀκαμπεῖς, καὶ ἀνενδότους πρὸς ἔλεον.

Ἀσπουδεὶ, οὐκ εἰρωνευτικῶς. καὶ ἀσπουδεὶ, ἀντὶ τοῦ ῥᾷον καὶ ἀμογητὶ, καὶ ἀπονητὶ, καὶ δίχα κακοπαθείας. καὶ κατὰ τὸν ποιητὴν, ἡσυχῇ. τοῦτο γὰρ ἐμφαίνεται διὰ τοῦ ἔκηλοι, Ὅμηρος πολλάκις. καὶ ἀσπουδεὶ, χωρὶς σπουδῆς, καὶ χωρὶς πόνου.

Ἀσπονδεὶ, χωρὶς θυσίας, ἢ χωρὶς φιλίας.

Ἄσπορον, ἄγονον, χωρὶς σπέρματος.

Ἄσσα, τρία σημαίνει, τὸ ἅτινα, καὶ τὸ ὅσα, καὶ τὸ τινά. καὶ ὅτε μὲν ἰσοδυναμεῖ τῷ ἅτινα, καὶ τῷ ὅσα, δασύνεται. οἷον, Τὰ φράζεαι, ἅσσα ἐθέλησθα. ὅτε δὲ κεῖται ἀντὶ τοῦ τινὰ, ψιλοῦται. τὸ δ' αὐτὸ ῥητέον καὶ ἐπὶ τοῦ ἄττα. ἐκ τοῦ ἅσσα γὰρ ἐκεῖνο γίνεται. καὶ γίνεται ἐκ τοῦ ἃ, ὅπερ ἐστὶν ἄρθρον οὐδέτερον ὑποτακτικὸν πληθυντικόν. καὶ ἀπὸ τοῦ σὰ, ὃ δηλοῖ τὸ τινὰ, μεγαρικῶς, καὶ Δωρικῶς. διὸ δασύνεται, ὁμοίως τῷ ἅτινα. Ἄλλως.

Ἅσσα μητιόωσι κατὰ σφίσιν, ἀντὶ τοῦ τινὰ βουλεύονται. διὸ καὶ ψιλεῖται τὸ ἄσσα κατὰ τοὺς παλαιοὺς, ὡς τοῦ δασυνομένου μὴ τὸ τινὰ δηλοῦντος, ἀλλὰ τὸ ἅτινα. δῆλον δὲ, ὅτι τὸ ῥητὸν ἅσσα Ἀττικοὶ διὰ δύο ττ ἐκφέρουσι. καὶ ὅτι τὸ ἅσσα ἀντὶ τοῦ ἅτινα, ὃ καὶ αὐτὸ Ἀττικῶς ἅττα λέγεται, ἀναγκαίως δασύνεται. ὡς ἀπὸ τοῦ α ὑποτακτικοῦ ἄρθρου καὶ τὸ σα, ὃ δηλοῖ τὸ τινὰ γλώσσῃ Μεγαρέων, φασὶν οἱ παλαιοί.

Ἀσσάριον, πεντανούμμιον, ἢ δεκάνουμμον.

Ἅσσ' ἐθέλησθα, φησὶν Ἀρίσταρχος τρία σημαίνειν τὴν λέξιν, τινὰ, ἅτινα, ὅσα, καὶ ἀεὶ ψιλοῦται. δασύνεται δὲ ὅτε δηλοῖ τὸ ἅτινα. καὶ ἔστι κατὰ Ἡρωδιανὸν δύο μέρη λόγου. τὸ ἃ, ἄρθρον. καὶ τὸ σα, ὅ ἐστι μεγαρικὸν, δηλοῦν τὸ τινά. καὶ ἡ παραλήγουσά φησι δασύνεται.

Ἄσση, κατάσση.

Ἀσσέο, ἐπὶ σοῦ.

Ἄσσιος, προκόλπιος.

Ἄσσιστα, ἔγγιστα. Αἰσχύλος Ἠδονοῖς.

Ἆσσον ἐπίῤῥημα, σημαίνει μὲν τὸ ἐγγύς. γίνεται δὲ ἀπὸ τοῦ ἐγγὺς ἐγγύων, καὶ οὐδέτερον ἔγγυον, ἴσσον, καὶ κατὰ τροπὴν ἆσσον, ὅ ἐστιν ἔγγιον, ἤτοι πλησίον. ὡς τάχιον, θᾶσσον. καὶ ἆσσον ἰόντε, παρ' Ὁμήρῳ, κατὰ τὴν συνήθη ἐν τοῖς τοιούτοις ἀδιαφορίαν, δυϊκῶς ἐκφωνηθὲν, ὡς πληθυντικὸν ὅμως κεῖται.

Ἀσσυρία, ἡ Χαλδαϊκή.

Ἀσσυρίαν εἶπεν Ἀπολλώνιος, τὴν Συρίαν, τὴν Καππαδοκίαν. ἐκαλεῖτο δὲ πάλαι Συρία, διὰ τὸ τὸν Ἅλυν ποταμὸν, μεταξὺ Σύρων καὶ Παφλαγόνων ῥέοντα, φασὶν εἰς τὸν Εὔξεινον ἐκδιδόναι πόντον. τινὲς δὲ τῶν ἀρχαίων, Λευκοσυρίαν αὐτὴν ἐκάλουν. ὁμοίως τοὺς Ἀσσυρίους, Λευκοσύρους λέγουσί τινες, ὥς φησι καὶ Ἀρτεμίδωρος.

Ἀσσύριος, ὁ Βαβυλώνιος. ἐξ οὗ καὶ Ἀσσύριος φλόξ.

Ἀσσώριον, ὄρος Σάμου, καὶ πόλις Σικελίας. ὁ πολίτης, Ἀσσωρῖνος.

Ἀσταθῆ, ἀβέβαιον.

Ἀστάθμητος, ἄνισος.

Ἀσταθμητότατον, περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμήρασθαι, οὐδὲ σταθμήσασθαι τί ποτε διανοεῖται, ἢ τί πράξει. Δημοσθένης ἐν τῷ περὶ Παραπρεσβείας.

Ἀσταθμεύτους, ἀφορολογήτους.

Ἀσταινεῖ, δυσπαθεῖ, ἁμαρτάνει, μοχθεῖ.

Ἀστακτὶ, πολυδακρύτως. Τὸν νεκρὸν παραπέμπων ἀστακτί.

Ἄστακτον, οὐ καταστάζον, ἀλλὰ ῥύδην.

* Ἀσταχὸς, καλεῖται τὸ κοῖλον τοῦ ὠτὸς, τὸ ἔσω δὲ, ἀφ' οὗ ὁ ῥύπος, κυψέλη.

Ἀστάλακτον, ἀσθενὲς, ἢ νωθρόν.

Ἀστάλη, πολύπους, ὁ ἐν Μυκτηρι… σκώληκα, οὐρὰν ἔχοντα.

Ἀσταλὴς, μὴ περιβεβλημένος.

Ἀσταλύχειν, ἀναβλύζειν, κλαίειν.

Ἀστάνδαι, οἱ ἐκ διαδοχῆς γραμματοφόροι.

Ἀστάνδης, ἡμεροδρόμος, ἢ κράββατος, ἢ ἄγγελος, Ταραντῖνοι.

Ἀστάρτη, ἄγαλμα Ἀφροδίτης, τιμώμενον παρὰ Σιδωνίοις. τοῦ ἄστρου δὲ τύπος, αὐτὸ τὸ ἄστρον ὁ ἑωσφόρος, ὅπερ Ἀφροδίτην ὀνομάζουσι. τὸ αὐτὸ καὶ παρὰ Μωαβιτῶν ἐτιμᾶτο. καὶ ὁ Θεολόγος, Τί φήσω πρὸς τοὺς τὴν Ἀστάρτην προσκυνοῦντας, ἢ τὸ Χαμὼς βδέλυγμα Σιδωνίων. ἡ Ἀστάρτη θεὸς, ἡ Σελήνη, καὶ νῆσος Αἰθιοπίας. παρὰ τὸ ἄστρα ἀστάρτη, ἢ παρὰ τὸ τοὺς ἀστέρας, καὶ κατὰ συγκοπὴν ἀστάρτη, ἀσταρταῖος, ἀστάρτης.

Ἀστασίαστον, ἀθόρυβον.

Ἀστατοῦμεν, τουτέστι διωκόμεθα, ἀποστολικὴ ἡ λέξις. ὡς τὸ, Κολαφιζόμεθα, καὶ ἀστατοῦμεν.

Ἀσταφὶς, σταφίς.

Ἀσταχύεσι, τοῖς στάχυσιν.

Ἀστεγὲς, ἀντὶ τοῦ πολυστεγές. τὸ γὰρ α νῦν ἐπιτακτικὸν, ὡς ἄξυλος ὕλη.

Ἄστεγον, τὸ μὴ ἔχον στέγην. ἢ ἀκαρτέρητον, καὶ ἀνυπομόνητον.

Ἄστεγοι, οἱ μὴ ἔχοντες οἴκους.

* Ἀστείζεται, ὡραΐζεται, ψεύδεται. ἢ ἀστείζεται, ἀγλαΐζεται, ὡραΐζεται, κομψεύεται.

Ἀστείζεσθαι, πολυτεύεσθαι.

Ἀστειζόμενος, ὡραϊζόμενος.

Ἀστειοῤῥημονήσωμεν, εὐμορφολογήσωμεν.

Ἀστειότης, φαιδρότης μετὰ λόγου.

Ἀστεῖος, γελοιώδης. σημαίνει δὲ καὶ τὸν εὐσύνετον, καὶ εὐπρόσωπον, καὶ χαρίεντα. παρὰ Πλάτωνι, γελοιώδη.

Ἄστειπτος, ἄβατος, ἀδιόδευτος.

Ἀστεῖον λέγεται, τὸ χάριεν, καὶ τὸ δεξιὸν, καὶ θαυμάσιον. καὶ ἀστεῖον τὸ σπουδαῖον, καὶ θαύματος ἄξιον, καὶ αἰδέσιμον.

Ἀστεϊσμός ἐστι, λόγος ἀφ' ἑαυτοῦ διασυρτικὸς γενόμενος, ὡς εἴ τις πλουτῶν λέγει, ἐγὼ δέ εἰμι πάντων πενέστατος. καὶ εἰ ἅπαντας καταπαλαίων λέγει, ὑπὸ πάντων πίπτειν. παρὰ Καλλιμάχῳ δὲ ἀστεϊζομένη ἡ ἐλαία φησὶν, ἐγὼ φαύλη πάντων τῶν δένδρων εἰμί. καλεῖται δὲ τοῦτο προσωποποίησις.

Ἄστεκτος, ἀνυπομόνητος, ἀφόρητος, ἀβάστακτος.

Ἀστέλεφος, τὸ περὶ τὴν κιθάραν δέρμα.

Ἀστελόφου, δέρμα τὸ εἰς τὰ ἄκρα.

Ἀστέλεχος, ὁ δακτύλιος, ἕδρα.

Ἀστέμβακτος, ἀκίνητος, βεβαία, ἢ τετιμημένη. εἴρηται δὲ κατὰ ἀπόφασιν τοῦ στεμφάξαι, ὅ ἐστιν ὑβρίσαι.

Ἀστεμβὴς, ἀθαμβὴς, ἀτάραχος.

Ἀστεμφέας, ἀμετακινήτους, βεβαίους.

Ἀστεμφῆ, τραχὺν, χαλεπόν.

* Ἀστεμφὴς, ἀμείλικτος, ἀτεράμων, σκληρὸς, σιδήρειος, ἀνηλεὴς, βαρύμηνις, ὠμὸς, ἀσυγγνώμων, ἀπαραίτητος, ἀνεπιεικής.

Ἀστεμφὴς βουλὴ, ἡ ἀμετακίνητος, κατὰ στέρησίν φασι τοῦ στέμβειν, ὃ δηλοῖ οὐ μόνον τὸ ὑβρίζειν, ἀλλὰ καὶ τὸ συνεχῶς κινεῖν. ὅθεν καὶ ἀστέμβακτα παρὰ Λυκόφρονι. λέγει δὲ καὶ Εὐφορίων, κλέος ἀστέμβακτον. τινὲς δὲ ἀστεμφὲς, τὸ οἷον ἀστερές. ὅθεν καὶ ἐπίῤῥημα ἀστεμφέως.

Ἀστεναχτὶ, ἄνευ στεναγμοῦ, ἀστενοί.

Ἀστενοὶ, οἱ δυστυχεῖς, οἱ πένητες, οἱ στάσιν καὶ οἴκησιν μὴ ἔχοντες.

Ἀστέρα ὀπωρινὸν λέγει Ὅμηρος, τὸν κύνα. ὃν ἡ κοινὴ λαλιὰ διὰ τὸ σαφέστερον κύναστρον λέγει. Ἱστορία.

Ἀστερία φεύγουσα τὴν μίξιν τοῦ Διὸς, μετέβαλεν ἑαυτὴν εἰς ὄρτυγα, καὶ ἥλατο εἰς τὴν θάλασσαν, καὶ ἐγένετο νῆσος, ἥτις.

Ἀστερία καὶ Ὀρτύγια ἐκαλεῖτο. ὕστερον δὲ τοῦ Διὸς συγγενομένου Λητοῖ, καὶ ποιήσαντος αὐτὴν ἔγγυον.

Digitized by Google

γυον, Ἄρτεμιν καὶ Ἀπόλλωνα, ζήλῳ τῆς Ἥρας μήτε ἐν γῇ μήτε ἐν θαλάσσῃ ὑποδεχομένης τῆς Λητοῦς πρὸς ἀπότεξιν, κελεύει τῷ Ποσειδῶνι Ζεὺς, καὶ ἀνέδωκε αὐτὴν τὴν νῆσον τὴν Ὄρτυγα καὶ Ἀστερίαν λεγομένην, πρότερον κρυπτομένην τοῖς κύμασιν, ἔτι δὲ καὶ βέμυσαν. καὶ ἐκ τοῦ φανῆναι αὐτὴν, Δῆλον ὠνόμασεν. ἐκεῖ οὖν ἐλθοῦσα ἡ Λητὼ, καὶ Δάφνης καὶ Φοίνικος πρώτων ἐκεῖ φανέντων ἁψαμένη, τὴν Ἄρτεμιν γεννᾷ. ἡ δὲ αὐτὴν μαιεύει, καὶ τίκτει τὸν Ἀπόλλωνα, καὶ Ἄρτεμιν. καὶ Ἄρτεμις μὲν τὴν Δῆλον κατέλαβεν, Ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν.

Ἀστερίη, ἡ Κρήτη, καὶ ἡ Δῆλος, οὕτως ἐκαλοῦντο.

Ἀστέρι ὀπωρινῷ, ἤγουν τῷ κυνάστρῳ.

* Ἀστέρων ὀνόματα· ἀπλανῆ, στάσιμα, ἀμετάθετα, ἀκίνητα, μόνιμα, ἑστηκότα, καὶ ἀφόρητα. οἱ πλανώμενα, πλανητὰ, φορητὰ, φερόμενα, περιφερόμενα, περιϊόντα, θέοντα, περιθέοντα, περιστρεφόμενα, κυκλούμενα, εἱλούμενα, περιαγόμενα.

Ἀστέριον, πόλις ἐν Θεσσαλίᾳ.

Ἀστερὶς, ὄνομα νήσου.

Ἀστερίσκον τιθέασιν οἱ παλαιοὶ, ὅς ἐστιν ἀστέρος σημεῖον χιαστὸν, ἔχον ἐν ταῖς τέσσαρσι γωνίαις στιγμάς. οὕτως εἶναι. καὶ τίθεται ἐπὶ τῶν ἄριστα ἐχόντων ἐπῶν. καὶ ἀστεροειδῶς, οἱονεὶ λαμπόντων, ὡς ἐν καλῷ κειμένων. καὶ λέγουσιν ὅτι ἐνταῦθα μὲν καλῶς ταῦτα λέγει, καὶ κατὰ καιρὸν ὁ ποιητής.

Ἄστεκτα, τὰ οὐ δυνάμενα κατασχεθῆναι.

Ἀστερόεν, λαμπρὸν, ποικίλον.

Ἀστερόεντι, ἀστέρας ἔχοντι.

Ἀστεροπὴ, ἡ ἀστραπὴ, παρὰ τὸ στερίσκειν τοὺς ὦπας διὰ τῆς ἀντιλαμπούσης λαμπάδος. ἢ παρὰ τὸ ὄπτω, ὀπτὴ, καὶ μετὰ τοῦ ἀστέρος ἀστεροπτὴ, καὶ ἀποβολῇ τοῦ τ ἀστεροπή.

Ἀστεροπητὴς, ἀστραπτικὸς, ἀστραπὰς ποιῶν, ἤγουν ὁ Ζεὺς, ἀπὸ τῆς ἀστραπῆς. ἡ αὐτὴ γὰρ ἀναστρέφειν ποιεῖ τοὺς ὦπας.

Ἀστέρι ὀπωρινῷ, τῷ κατὰ τὸν καιρὸν τῆς ὀπώρας ἀνατέλλοντι ἀστέρι. λέγει δὲ, τῷ κυνὶ, ἢ θερινῷ.

Ἀστέρων τέθριππος, τὸ ἅρμα Ἡλίου.

Ἀστερωπὸς, κατάστικτος.

Ἄστεσι, πόλεσιν.

Ἄστεως, πόλεως.

* Ἀστὸς, ὁ πολίτης. καὶ ἀστικὸς, καὶ ἀστεῖος, ὁ αὐτός. ἐκ δὲ τοῦ ἀστὸς ἀστὴ, καὶ ἀστεΐζεται, καὶ ἀστυπολεῖν, καὶ ἀστυνόμος.

Ἄστη, ἐλαία ἡ ἐν ἀκροπόλει, ἡ καλουμένη πάγκυφος, διὰ χθαμαλότητα.

* Ἄστης ἐλαίας, τῆς ἐν πόλει.

Ἀστηνεῖ, ἀδυνατεῖ.

Ἄστηνος, ὁ δυστυχὴς, ὁ πένης. ἀπὸ τοῦ στάσιν καὶ οἴκησιν μὴ ἔχειν.

Ἀστὴρ, ἕν τι σῶμα. ἄστρον δὲ, ζῴδιόν τι ἐκ πολλῶν ἀστέρων συγκείμενον. ἀστὴρ ἀπὸ τοῦ αἴθειν, αἰστὴρ, καὶ ἀπελάσει τοῦ Διχρόνου ἀστήρ. καὶ ἀστὴρ ἀπέλαμπεν, ἐτυμολογίαν ἀστέρος ὑποβάλλει νοεῖν, ὃς ἀπὸ τοῦ αἴθειν, ὅπερ ἐστὶ λάμπειν λέγεται. καὶ ἀρχὴν ἐνδέδωκεν ἐπαίνῳ τοῖς εἰποῦσι τὸν καλὸν Μένανδρον, ἀστέρα τῆς νέας κωμῳδίας. Διαφέρει δὲ ὁ ἀστὴρ τοῦ ἄστρου. ἀστὴρ μὲν γὰρ, ὁ μονομερής. ἄστρον δὲ, τὸ ἐκ πολλῶν συγκείμενον.

Ἀστὴρ, ἡ φαρέτρα, ἤγουν ἡ βελοθήκη.

Ἀστήρικτον, ἄπιστον.

Ἀστηρίκτους, ἀσθενεῖς.

Ἀστιβῆ, ἄβατα.

Ἀστίβητοι οἶκοι, τὰ ἄδυτα.

Ἀστιβὴς ὁδὸς, ἀτριβὴς, ἀπάτητος, ἄβατος. στίβος γὰρ ἡ ὁδός.

Ἀστίβους, ἀπατήτους.

Ἄστιγγας αἶγας, ἤγουν ἄστριγγας.

Ἀστικοὶ νόμοι, οἱ κατὰ τὴν Ἀθηναίων πόλιν. ἦσαν γὰρ καὶ ἐμπορικοί.

Ἀστικὸν χωρίον, τὸ μὴ ὑποκείμενον δανειστῇ. ὅταν γὰρ ὑπόκειται, εἰώθει ὁ δανείσας αὐτὸ τοῦτο δηλοῦν διὰ γραμμάτων ἐπόντων τῷ χωρίῳ. τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ οἰκίας γίνεται. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν.

Ἀστικὸς, πολιτικός.

Ἄστικτον, τὸ ἐλεύθερον χωρίον Ἀθηναῖοι ἐκάλουν, καὶ μὴ ὑποκείμενον χρήστῃ. εἴρηται, ὅτι τοῖς ὑποκειμένοις χωρίοις χρήστην, εἰώθεσαν ἐγκαταπηγνύειν στήλην, ἣν ἐκάλουν ὅρον, ἐν ᾗ χρέος ἐγκεχάρακτο, καὶ ὁ χρήστης. ἵνα μὴ πλανηθεὶς ἕτερος, ὡς ἐπὶ καθαρῷ αὐτῷ δανείσῃ.

Ἀστικῶς, ἀσυνέτως, ἐμφρόνως.

Ἀστικάζει, συμπεριπατεῖ.

Ἀστεϊσμὸς, πιθανολογία, ἀποστάσεις ῥητορικῆς καὶ ποιητικῆς. καὶ ἀστισμός, γράφεται καὶ ἀστεϊσμός.

Ἀστιοχος, ἄγγος περιφερὲς, εἰς ὃ ἐγχέοντες πίσσαν καὶ θεῖον καὶ στυπτεῖον, ἠφίεσαν, καὶ ἔνθα ἐφέρετο, ἔκαιε τὰ προσυγχάνοντα. ἔστι δὲ καὶ γένος λίθου, καὶ ξηροῦ ξύλου πεπισσωμένου.

Ἄστιπποι, ἱππέων ἑβδομήκοντα.

Ἀστοῖσι, πολίταις.

Ἀστοιχειότατα, μὴ ἔχοντα ἀρχάς.

Ἄστομοι ἵπποι, σκληρόστομοι. ὡς τὸ, ἄστομοι πῶλοι βίᾳ φέρουσιν.

Ἄστομος, ὁ μὴ δυνάμενος λέγειν, Σοφοκλῆς.

Ἀστὸν, πολίτην, ἢ πυκνόν.

Ἄστονον, μεγαλόστονον.

Ἀστοξένοι, οἱ γένει μὲν προσήκοντες, ἐπὶ δὲ τῆς ἀλλοδαπῆς γεγονότες. οἱ δὲ, τοὺς ξένους μὲν ὄντας, ἐπὶ τιμῇ δὲ ἀστοὺς γενομένους.

Ἀστόργους, ἀσπλάγχνους, ἀπηνεῖς, ἀφίλους.

Ἀστόριον, μέγα καὶ διακεχυμένον.

Ἀστὸς, θαυμαστὸς, πολίτης.

Ἀστοχεῖ, ἀποτυγχάνει, ἁμαρτάνει.

* Ἄστοχον, ἄσκοπον, ἀτυχὲς, δυστυχὲς, διημαρτημένον, ἐσφαλμένον.

Ἀστοχῶ τοῦ σκοποῦ, γενικῇ.

Ἄστρα, Ἀττικοὶ τοὺς ἀστέρας. ὡς τὸ, ἄστρα δὲ δὴ προβέβηκε, παρῴχηκε δὲ πλέω νὺξ τῶν δύο μοιράων, τριτάτη δ᾽ ἔτι μοῖρα λέλειπται. ἤτοι εἰς τρεῖς μοίρας διαιρετέον, καὶ τὸ πλέω ἀντὶ τοῦ πλήρης ἀκουστέον. ἵνα ᾖ, ὅτι πλήρης τῶν δύο μοιρῶν ἡ νὺξ παρελήλυθεν.

Ἀστραβαλίζειν, ὁμαλίζειν, ἀπευθύνειν.

Ἀστραβὲς, ἀσύρραπτον, ἀσφαλές.

Ἀστραβῆ κίονα, παρὰ Πινδάρῳ. ἀστραβὴς δὲ λέγεται ὁ ἰσχυρὸς, καὶ μὴ ῥᾳδίως συστρεφόμενος. ἄστρεπτον καὶ ἀκίνητον. καὶ ἔστι κατὰ μετάθεσιν τοῦ ε εἰς α, καὶ ἀποβολῇ τοῦ λ. ἔστι γὰρ ἀστρεβλὴς, οἱονεὶ ἄστρεπτον καὶ ἀστραβῆ.

Ἀστράβη, τὸ σαγμοσέλλιον. καὶ ἀστράβη, ἡμίονος. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. μήποτε δὲ καὶ πᾶν ὑποζύγιον, ἐφ᾽ οὗ ἄνθρωποι ὀχοῦνται, οὕτως ἐκαλεῖτο.

Ἀστραβιστὴρ, ὀργανόν τι, ὡς δίοπτρον.

Ἀστραγάλας, τὰς πονηρὰς κύνας, κακοήθεις κύνας.

Ἀστραγάλα, ἡ τῆς ἱερᾶς ῥίζα.

Ἀστραγαλίζειν, τὸ πεττοῖς καθ᾽ Ὅμηρον τέρπεσθαι λέγεται.

Ἀστράγαλον, τὸν σφόνδυλον, καὶ τὸ ὑποκάτω τοῦ σκέλους.

* Ἀστράγαλοι, σπόνδυλοι, στροφεῖς.

Ἀστράγαλος, τρία σημαίνει. τὸν ἐν σφυρῷ, καὶ τὸν σπόνδυλον ἁπλῶς, καὶ τὸν παιστικὸν, ἢ πεσσευτικὸν βόλον.

* Ἀστραγαλωτῆτις μάστιξ, ὠνόμασται παρὰ Κράτητι ἐν ταῖς ἑορταῖς.

Ἀστρακλεῖν, ἀδυνατεῖν.

Ἀστραλίαν, τὸν θρᾶκα, Λυδοί.

Ἀστραλὸς, ὁ ψαρὸς, ὑπὸ Θετταλῶν.

Ἀστραπαῖοι, ἄνεμοι πνέοντες, ἀφ᾽ ὧν ἀστραπαὶ γίνονται.

Ἀστραπὴ ἐξέλαμψεν, ἐξερράγη, ἐξήστραψεν, ἐξετρίφθη, ἐπέσχε τὰ ὄμματα, ἐτάραξε, συνετάραξεν, ἐξέπληξε, τὰς ψυχὰς ἐθορύβησεν, ἐξεθορύβησε, θόρυβον ἐνεποίησε ταῖς γνώμαις. λαμπρὰ, ὑπέρλαμπρος, διάπυρος, φλογώδης, ἐκπληκτικὴ, βλοσυρὰ, ἀπρόσοπτος, δυσαντίβλεπτος, ἀπρόσωπος, δυσπρόσωπος, δυσπρόσοπτος, δύσοπτος, ἀντίτυπος, ὡς συγκλείσασθαι τοὺς ὀφθαλμούς. καὶ ἀστραπὴ δι᾽ ἅρματος Ἀθηναῖοι, ἀστραπὴ δὲ ῥῆξις πυρὸς ἐκ νεφῶν περιτρίψεως. τὸ γὰρ πνεῦμα, μετὰ βίας ἐκραγέντων νεφῶν, καὶ τὸν ψόφον ποιῆσαν, ἐκπυρωθὲν διὰ κίνησιν, φλογῶδες γίνεται. Ἰστέον δὲ, ὅτι ἡ αὐτὴ φύσις τοῦ πνεύματος, ἐν μὲν τῇ γῇ ἐστι σεισμὸς, ἐν δὲ τοῖς νέφεσι βροντή. περὶ δὲ τὴν γῆν, ἄνεμος. πάντα γὰρ ταῦτα ἀναθυμίασις ἐστὶ ξηρά.

Ἀστράπτων ἐπιδέξια, οὕτως ἂν εἰ χέφημι κατανεῦσαι τὸν Δία, ἀστράπτοντα ἐπιδέξια. ὁ δὲ ποιητὴς οὐχ οὕτως ἐποίησεν, ἀλλὰ τελείαν στιγμὴν θέμενος ἐν τῷ Τρώεσσι φόνον καὶ κῆρα φέροντες, εἶτα ὡς ἀπ᾽ ἄλλης ἀρχῆς ἀσυνδέτως ἀρχόμενός φησιν, ἀστράπτων ἐπιδέξια, λείποντος τοῦ ἦν ὑπαρκτικοῦ ῥήματος· ἵνα λέγῃ, ὅτι ἀστράπτων ἦν ὁ Ζεὺς ἐπιδέξια. Ὅρα ὅτι ἐν ταῖς ἀστραπαῖς τὰ ἐκ δεξιῶν ἦσαν αἴσια, ὡς τῶν εὐωνύμων οὐ τοιούτων, κἀνταῦθα νομιζομένων. σημείωσαι ὅτι ἐπιδέξια παρὰ τοῖς ὕστερον Ἀττικοῖς, καὶ τὰ καίρια, καὶ ἐπιτήδεια τοῦ σώματος. πληγῆναι οὖν τις λέγει, τὰ ἐπιδέξια. ἴσως δὲ καὶ τὸ ἐνδεξιᾷ, ταυτόν ἐστι τῷ ἐπιδέξια. τοιοῦτον γάρ τι, τὸ ἐνδέξια πᾶσιν οἰνοχοεῖν. καὶ ἀστράπτων, ὑπερλάμπων.

Ἀστρατεία, ἡ εἰρήνη, ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται.

Ἀστραφὲς, ἄστρεπτον, ἀσφαλές.

Ἀστραφὴς, σκληρός. Σοφοκλῆς.

Ἀστράψῃ διὰ πυρὸς, ἀντὶ τοῦ δι᾽ ἅρματος.

Ἀστραχίας, ἀστροφανίας.

Ἄστρεπτον, ἄπιστον, ὀρθόν.

* Ἄστρηπα, τὰ ἐντὸς τοῦ δίφρου ἐγγώνια, ἤγουν γωνίαι ἢ ἀγκῶνες

Ἀστρηνὲς, δύσθετον, σκαιὸν, ὀξύ.

* Ἀστρίζειν, ἀστραγάλοις παίζειν, ἀστραγαλίζειν.

Ἄστρια, οἱ ἀστράγαλοι. Καλλίμαχος, δέκα δ᾽ ἄστρια αἴνυτο λύτρον.

Ἀστρόβακος, ὁ ἀστρονόμος.

Ἄστροβλον, τὸν ταχυλόγον. ἔνιοι τὸ συνεστραμμένον, ἢ δεδονημένον.

Ἀστροβίαν, ταχὺν, συνεστραμμένον, ἐντρεχῆ.

Ἀστροβεληθῆναι, τὸ νόσῳ τινὶ κατασχεθῆναι, ἐπὶ τῶν παιδίων. κυρίως δὲ, τὰ τῶν δένδρων καταβληθέντα, ἐπὶ τὴν ἐπιτολὴν τοῦ κυνός.

Ἀστροβολήτους, τοὺς ὑπὸ τοῦ κυνὸς βαλλομένους.

Ἀστροβολίως, ἐντρεχῶς, Πλάτων. οἱ δὲ, ταχέως.

Ἀστροβόλειον ἐν Ἰταλίᾳ. ἔνιοι δὲ, τὸ δεδονημένον, ἢ ἀστρόβιλον.

Ἄστροις σημειοῦσθαι μακρὰν ὁδὸν, καὶ ἐρήμην βαδίζειν. ἡ μεταφορὰ, ἀπὸ τῶν πλεόντων.

Ἀστρολόγος, γενεθλιολόγος.

Ἄστρον, σῶμα πύρινον, ἐν τῷ οὐρανῷ πεπηγὸς, καὶ τῇ κύκλῳ φορᾷ φερόμενον. ἢ σύστημα πλειόνων ἄστρων. ἢ τὸ ἐπί τινα χρόνον συνιστάμενον ἐν μετεώρῳ, ὡς κομήτης.

Ἀστρονομία, ἡ τῶν ἄστρων διανομή. πρῶτοι Βαβυλώνιοι ταύτην ἐφεῦρον, διὰ Ζωροάστρου. μεθ᾽ ὧν καὶ Ὀστάνης.

Ἀστρονομῶ, ἀχάλλω, τὸ ἀδημονῶ, καὶ λυποῦμαι. ἀσχημονῶ, ἀμεταβάτως.

Ἀστροπολοῦντας, περὶ τὰ ἄστρα ἀναφέροντας τὴν διάνοιαν.

Ἀστροφαὲς, λαμπρὸν, λευκόν.

Ἄστυ, κοινῶς μὲν πᾶσα πόλις. ὅθεν καὶ ἀστεῖος κυρίως, ἀνὴρ ὁ ἐξ ἄστεος, καὶ μὴ ἀγρότης. Ἀττικοὶ δὲ, ἰδίως οὕτω τὰς Ἀθήνας ὠνόμαζον, κατά τι ἐξαίρετον. ὥσπερ καὶ οἱ Ἀλεξανδρεῖς, πόλιν ἐξαιρέτως τὴν Ἀλεξάνδρειαν. ἔλεγον οὖν οἱ Ἀθηναῖοι ἀστοὺς καὶ ἀστὰς, ἄνδρας τε καὶ γυναῖκας τοὺς ἐξ Ἀθηνῶν. καὶ ἀστὴν ἐλαίαν, τὴν ἐκεῖθεν, καὶ μάλιστα τὴν ἐξ ἀκροπόλεως τὴν ἱεράν. ἄστυ, ἐτυμολογεῖ Εὔμολπος τὴν λέξιν, λέγων, παρὰ τὸ ἵστασθαι. ἐπὶ μετεώρου γὰρ κεῖνται αἱ πόλεις. καὶ ἄστυ, παρὰ τὸ ἄνω ἵστασθαι. οἱ γὰρ ἀρχαῖοι, ἐφ᾽ ὑψηλοῦ τόπου ᾠκοδόμουν τὰς πόλεις. ἐκ δὲ τοῦ ἄστυ, ἀστεῖος. σημαίνει δὲ τρία, τὸν ἐν ἄστει διατρίβοντα, τὸν διὰ χρηστὸν ἦθος ἐπαινούμενον, (ὡς ὁ Μωϋσῆς) καὶ τὸν γελωτοποιόν.

Ἀστυάναξ, ἰχθῦς τις, οὕτω καλεῖται, καὶ ὁ τοῦ Ἕκτορος παῖς. Ἀστυάναξ δὲ εἴρηται, διὰ τὸ φιλεῖν τὸν Ἕκτορα, ὡς ἔρυσμα τῆς Ἰλίου. ὠνόμαζον

Digitized by Google

μαζον καὶ τὸν ἑαυτοῦ παῖδα, Ἀστυάνακτα. καὶ ἀστυάναξ, οὐχ ὡς ἁπλῶς βασιλέως ὄντος τοῦ πατρὸς, ἀλλ' ὡς ἐρυομένου τὸ ἄστυ, τουτέστι φυλάσσοντος, ὁ ἔργον ἄνακτος· ὃς ἀπὸ τοῦ ἀνακῶς ἔχειν, ὅ ἐστιν ἐπιμελῶς. ἐτυμολογούμενος, πόλεων ἐστὶν ἐπιμελητὴς, καὶ ὡς οὕτως εἰπεῖν, ἐρυσίπτολις. τοῦτο γὰρ δηλοῖ τὸ ἔρυσο πύλας, καὶ τείχεα μακρά.

Ἀστυάνασσα, Ἑλένης θεράπαινα. ἥτις πρώτη ἐξεῦρεν Ἀφροδίτην, καὶ ἀκόλαστα σχήματα.

Ἀστυαστὸς, πόλις, καὶ ὁ πολίτης.

Ἄστυβον, ἀλοιδόρητον.

Ἀστυβοώτης, παρὰ τὸ κατὰ ἄστυ βοᾷν. ὥσπερ καὶ ἀπὸ τοῦ ἀπύειν, ὃ δηλοῖ τὸ φωνεῖν. ὡς τὸ, ἠπύτα κήρυξ, ὁ φωνητικός.

Ἀστυγείτων, πλησιόχωρον. καὶ ἀστυγείτων, τῇ πόλει γειτνιῶν.

Ἀστυδάμεια, Ἀκάστου γυνή.

Ἀστυλάζει, λυπεῖ μετὰ κλαυθμοῦ.

Ἀστυλὶς, φυτὸν, ὅθεν ὁ ἰξός.

Ἀστυλὸν, τὸ τραχὺ ἱμάτιον καὶ φαῦλον, μηλήτιον, καὶ ἀναιδές.

Ἀστυνόμη, ἡ Χρυσὶς, ὑπὸ τῶν νεωτέρων.

Ἀστυνόμος, ὁ διοικῶν κατὰ τὸ ἄστυ. καὶ ἀστυνόμους, Δημοσθένης κατὰ Τιμοκράτους, δέκα φησὶν εἶναι τοὺς Ἀστυνόμους. Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, πέντε μὲν Πειραιεῖ, πέντε δ' ἐν ἄστει. καὶ τούτοις μέλλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν, καὶ τῶν κοπρολόγων, καὶ τῶν τοιούτων.

Ἀστυ Νυμφέων, τὴν Σάμον, Ἀνακρέων, ἐπεὶ ὕστερον ἄνυδρος ἐγένετο.

Ἀστυξένοι, οἱ μὴ ἔχοντες ἐν τῇ πόλει τὴν ἰδίαν οἰκίαν, Ταραντῖνοι.

Ἀστυόχη, κατὰ Ὅμηρον Ἀστυόχεια, ὡς καὶ Πηνελόπη Πηνελόπεια. Φύλαντος ἦν θυγάτηρ. ταύτην Ἡρακλῆς ἄγεται, ἀνελὼν τὸν Φύλαντα, ὅτε κατὰ Ἐφυρέων Αἰτωλοῖς ἐστρατήγει. γεννᾷ δὲ ἐξ αὐτῆς Τληπόλεμον· ὃς ἐκτραφεὶς περιπέπτωκεν ἀκουσίῳ κακῷ. ἰδὼν γὰρ τὸν ἑαυτοῦ μὲν πάππον, τῷ δὲ πατρὶ μήτρωον, ἤτοι τὸν πρὸς μητρὸς θεῖον τοῦ Ἡρακλέους, τουτέστι τὸν Λικύμνιον (ἀδελφὸς γὰρ ἦν Ἀλκμήνης, ὥς φασιν, ὁ Λικύμνιος) τοῦτον οὖν ἰδὼν ἀμελῶς φασιν ἐν τῷ γήρᾳ χειραγωγούμενον, καὶ ἀφεὶς βακτηρίαν ἐπὶ τὸν οἰκέτην, τοῦ μὲν οἰκέτου ἥμαρτεν ὁ κατασχήσας, τὸν δὲ γέροντα πλήξας ἔκτεινεν οὐχ ἑκών. διὸ καὶ ἔφυγεν εἰς Ῥόδον συναγαγὼν λαόν. καὶ στασιαζομένους τοὺς Ῥοδίους εἰρηνικῶς, καὶ ἐνὶ προσκεχωρηκὼς μέρει, ἐκράτησε. καὶ δυνατὸς γενόμενος, ἐστράτευσε κατὰ τῆς Τροίας καὶ αὐτός.

Ἀστυπάλαια, καὶ ἀστυπαλία, μοῖρα τῆς Σάμου. εἴρηται ὅτι Πατροκλῆς καὶ Τομβρίων ἀποικίαν στείλαντες εἰς Σάμον, πρὸς τοὺς ἐνοικοῦντας Κᾶρας κοινωνίαν θέμενοι, ᾤκησαν πρὸς τὸν Σχήσιον ποταμὸν, καὶ εἰς δύο φυλὰς τὴν πόλιν διένειμαν. ὧν τὴν μὲν Σχησίαν ὠνόμασαν, τὴν δὲ Ἀστυπάλαιαν, ἀπὸ τοῦ παλαιοῦ ἐκεῖσε ὄντος ἄστεος.

Ἀστυπολεῖ, ἀγελοφορεῖ, ἰχθυοφορεῖ.

Ἀστυπορεῖ, τιλλοφωνεῖ, τυροπολεῖ.

Ἄστυρον, πόλισμα.

Ἀστύτριψ, ἐν ἄστει διατρίβων, ὁ ἐν πόλει ἀναστρέφων.

Ἀστυφέλικτον, ἄσειστον, ἀπρόσβατον.

Ἀστυφίη, ἀστυσία.

Ἀσύγγνωστος, ὁ οὐκ ἔχων συγγνώμην.

Ἀσύγκριτον, ἀνόμοιον, ὑπερέχον.

Ἀσύγχυτον, ἄμικτον, ἤγουν μὴ συγκρινόμενον.

Ἀσυλλόγιστον, τὸ μὴ καλῶς γεγονός.

Ἄσυλον, ἱερὸν, τὸ τίμιον. καὶ ἄσυλον, ἀβλαβές.

* Ἄσυλος, τόπος φύξιμος, ἄνετος θεοῖς, κρησφύγετος τοῖς οἰκέταις.

Ἀσύμβατον, ἀφιλίωτον, πολέμιον, ἀνειρήνευτον.

Ἀσύμβλητον, ἀσύγκριτον.

Ἀσύμφορον, τὸ μὴ συμφέρον, ἢ πρέπον, καὶ ἀπρόσφορον.

Ἀσυμφυὲς τῇ κτίσει, ἐκτὸς κτίσεως.

Ἀσυμφανὲς, ἄδηλον, περικαλυμμένον.

Ἀσύνακτος, ὁ μὴ συναγόμενος ἐξώβλητος.

Ἀσύνδετον σχῆμα γίνεται, ὁπόταν ἐξαίρονται οἱ σύνδεσμοι, οἱ συνδέοντες τὴν φράσιν. ὅπερ οὐ μόνον τάχους, ἀλλὰ καὶ ἐμφάσεως παθητικῆς χάριν γίνεται. οἷόν ἐστι καὶ τοῦτο, ἤομεν ὡς ἐκέλευες ἀνὰ δρυμὰ φαίδιμ' Ἀχιλλεῦ, εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης. ἐν τούτοις γὰρ, ὁ καὶ ἐξῄρηται.

Ἀσυνδέτους, μὴ συνδεσμουμένους.

Ἀσυνδύαστος, ἀσύζευκτος, ἀσύμπλοκος, ἢ ἀσυναύλιστος. συνδυάζω γὰρ, τὸ συναυλίζομαι. ὡς τὸ, Οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτοῦ.

Ἀσύνετος, ἄφρων.

Ἀσυνετῶ, μωραίνω.

Ἀσυνέτους, τοὺς ἀσυνειδήτους λέγει ὁ Ἀπόστολος. ὧν οὐδὲν ἀφρονέστερον.

Ἀσυνθεσία, παράβασις συνθηκῶν.

Ἀσύνθετος, ὁ ἀσύμφωνος, ὁ ταῖς συνθήκαις μὴ ἐμμένων.

Ἀσυνάρτητον, ἀσυνάρμοστον.

Ἀσύνετον, τὸ μὴ ἐκ μερῶν τὴν συμπλήρωσιν τῆς οὐσίας καθ' ὑπόστασιν ἔχον.

Ἀσυνθετώτατον. Δημοσθένης ἐν τῷ περὶ Παραπρεσβείας, ἐπ' ὄχλου ἔταξε τοὔνομα, ἤτοι ἐπὶ τοῦ ἀπιστώτατον, καὶ ἐβεβαιότατον, καὶ πίστει οὐ τιθέμενον διὰ τὸ ἀβέβαιον. ἢ ἀνομόλογον, καὶ ἀσύμφωνον. ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον, ὅπερ ἐστὶν ἀνοητότατον. ἢ ἀντὶ τοῦ ὃν μάλιστα οὐκ ἂν δύναιτό τις συνιέναι, τί ποτε φρονεῖ. Ὅμηρος, Σὺ δὲ σύνθεο, καί μοι ὄμοσον.

Ἀσύντακτον, τὸ μὴ τεταγμένον, τὸ μὴ ἡνωμένον καὶ σύμμικτον, ἀλλὰ διεσπαρμένον καὶ διῃρημένον. τὸ ἀσύντακτον δὲ, ὃ καὶ ἀλλοίωσις καλεῖται, ἐστὶν, ὅταν ἡ συνήθης τάξις ἀλλοία γένηται. καὶ ἔστι ποικίλη, ἕνεκα τοῦ κόσμον, ἢ χάριν ἐμποιεῖν τοῖς λόγοις. τῆς μὲν συνήθους τάξεως οὐ δοκούσης ἀκολουθεῖν, ἐπί τι δὲ ἴδιον ἀναφορᾶς ἐχούσης ἀκολουθίαν. συμβαίνει δὲ πολλαχῶς ἐπὶ τὰ γένη τῶν ὀνομάτων ἐναλλασσομένων. οἷον ἔστι τὸ κλυτὸς Ἱπποδάμεια, ἀντὶ τοῦ κλυτή. καὶ θῆλυς ἐέρση, ἀντὶ τοῦ θήλεια. σύνηθες γὰρ ἦν τοῖς παλαιοῖς, χρῆσθαι τοῖς ἀρσενικοῖς ἀντὶ τῶν θηλυκῶν, ὡς κρείττοσι καὶ δυνατωτέροις· οὐκ ἀμέτρως μέντοι, οὐδ' ἀλόγως, ἀλλ' ὅταν δέῃ χρῆσθαι ὀνόματι ἐπιθέτῳ, ἐκτὸς ὄντι τοῦ σώματος, περὶ οὗ ἐστιν ὁ λόγος. ἐκεῖνο μέν ἐστι περὶ τὸ σῶμα, ὁ μέγας ἡ μεγάλη, ὁ καλὸς ἡ καλὴ, καὶ τὰ τοιαῦτα. ἐκτὸς δὲ, οἷον ἔνδοξος, εὐτυχής. καὶ ἀσυντελὲς, τὸ ἐκτὸς τοῦ τεταγμένου.

Ἀσυντελὴς, ἀχρήσιμος, ἀσύμφορος.

Ἀσυρὲς, βδελυρὸν, προπετὲς, βλοσυρὸν, θρασύ.

Ἀσυρῆ, ἀκάθαρτα.

Ἀσύστατον τὸν Αἰσχύλον λέγει Ἀριστοφάνης, οἷον ἀδιάθετον, ἀπιθάνους συνιστάντα τοὺς μύθους, οὐ συνεστῶτα, οὐδὲ πυκνὸν ἐν τῇ ποιήσει.

Ἀσύφηλος, οὐ πεζὴ, ἀλλὰ ῥητορικὴ λέξις. γίνεται δὲ ἐκ τοῦ σοφὸς ἄσοφος, κατὰ παραγωγὴν ἀσόφηλος, καὶ Αἰολικῶς, ἀσύφηλος, ὁ ἀδόκιμος, καὶ εἰς μηδὲν σοφός. ἢ παρὰ τὸ ἆσαι, ἤτοι βλάψαι, καὶ τὸ φηλῆσαι. καὶ δηλοῖ τὸν βλαβέντα, καὶ ἀπατηθέντα. ὅτι δὲ τὸ ῥηθὲν φηλῆσαι φηλῶσαι παρὰ τοῖς παλαιοῖς ἐλέγετο, κατὰ τρίτην συζυγίαν τῶν περισπωμένων, δηλοῖ ὁ Λυκόφρων εἰπὼν, φηλώσας πρόμον, ἤγουν ἐξαπατήσας τὸν ἄρχοντα. τὸ δὲ φηλῶ φηλήσω, τῶν ὑστέρων ἐστί. διὸ καὶ τὸ πέποιθ' ὅ γε φιλήτῃσιν, οὐ διὰ τοῦ η ἔχει τὴν ἄρχουσαν, ἐν τοῖς ἀκριβέσιν ἀντιγράφοις, ἀλλὰ διὰ τοῦ ι. καὶ οὐ δηλοῖ ἀπατεῶνα, ἀλλὰ κλέπτην, παρὰ τὸ ὑφελεῖν. καὶ ἀσύφηλον, τὸ ἀπαίδευτον, καὶ βλαπτικὸν, παρὰ τὸ ἆσαι τὸ βλάψαι, καὶ τὸ φηλῆσαι, ἀσόφηλον, καὶ αἰολικῶς ἀσύφηλον. ὡς ὄνομα, ὄνυμα.

Ἀσφαδάστως, συντόμως. σφαδάζειν γὰρ λέγεται, τὸ σπᾶσθαι καὶ σφακελίζειν.

Ἀσφάζει, ἀντέχεται.

Ἀσφακέλιστον, ἀπερίστατον, οὐ μελανθὲν ἀσφάλτῳ.

Ἀσφάλαξ. παρὰ τὸ σπῶ, γίνεται σπάλαξ, καὶ πλεονασμῷ τοῦ α, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς τὸ ἀντιστοιχοῦν δασὺ, ἀσφάλαξ.

Ἀσφάλεια, σωτηρία, ἡ ἔγγραφος βεβαίωσις.

* Ἀσφαλείας, κλεῖθρα, μοχλοὶ, κλεῖδες, κληΐδες, ἐπιβλῆτες, βαλανάγραι, ὀχεῖς.

Ἀσφαλὴς, ἑδραῖος, ἀπὸ τοῦ σφάλλω.

Ἀσφαλίων, πλάττεται ὀτρηρὸς θεράπων Μενελάου προσφυὲς ὄνομα, ὃν οὐ χρὴ σφάλλεσθαι τοῦ δέοντος, πρὸς τὸν δεσπότην. ὥσπερ καὶ Ἐτεωνεὺς, παρὰ αὐτοῦ, ὃν ἀληθεύειν χρεών.

* Ἀσφαλτίτης, ὁ τελευταῖος σπόνδυλος· ὁ γὰρ πρῶτος καλεῖται νεφρίτης.

Ἀσφαλτῖτις, ἡ ἐρυθρὰ θάλασσα. καὶ ἀσφαλτούσης, χρίσεις, πισσώσεις. Ἄλλως.

Ἀσφαλτῖτις λίμνη, ἔνθα ἡ ἄσφαλτος γίνεται. ἄσφαλτος δὲ, ξηρόν ἐστι, πίττῃ ὅμοιον. χρῶνται δὲ αὐτῇ καὶ οἱ ἰατροί. λέγουσι δὲ τὴν ἄφθαν.

Ἀσφάλτωσις, πίττωσις.

Ἀσφάραγος, ὁ λαιμός. παρὰ τὸ ἀσπάρω ἀσπάραγος, καὶ ἀσφάραγος. τείνεται γὰρ ἐν τῷ λέγειν ὁ λάρυγξ. ὁ δὲ Ἡρωδιανὸς λέγει, παρὰ τὸ σφαραγεῖν, ὅ ἐστιν ἠχεῖν. δι' αὐτοῦ γὰρ ἡ φωνὴ φέρεται, καὶ κατὰ πλεονασμὸν τοῦ α ἀσφάραγος. λέγεται δὲ, καὶ τὸ ἐξ ἀκανθῶν φυόμενον βλάστημα. ἔστι δέ τι καὶ βοτάνης εἶδος ἀσφάραγος, πρὸς τὰς καθάρσεις ἐπιτήδειον. καὶ οἱ μὲν Ἀττικοὶ διὰ τοῦ φ τὴν λέξιν προσφέρουσιν, οἱ δὲ λοιποὶ μὴ ἀκριβοῦντες, διὰ τοῦ π.

Ἄσφηλοι, ἀσθενεῖς. σφηλὸν γὰρ, τὸ ἰσχυρόν.

Ἀσφοδελὸν λειμῶνα. ὀξύνεται δὲ ὁ ὁμηρικὸς οὗτος ἀσφοδελὸς, πρὸς διαστολὴν, ὡς περιεκτικὸς ὢν ἀσφοδέλων. ἀσφόδελος μὲν γὰρ προπαροξυτόνως, τὸ φυτὸν, κατὰ Ἑρέννιον Φίλωνα. ἀσφοδελὸς δὲ ὀξυτόνως, ὁ αὐτοῦ τόπος. Τρύφων δὲ προκρίνων φησὶν ὁμοτονεῖν ἄμφω, ἐπεὶ πολλάκις ὁμότονα τοῖς περιέχουσι τὰ περιεχόμενα. σκόροδον γοῦν καὶ ὁ τόπος, ἐν ᾧ τὸ φυτὸν πωλεῖται, καὶ αὐτὸ τὸ φυτόν. ὁμοίως καὶ κρόκος ὁ τόπος, καὶ τὸ ἐν αὐτῷ πεφυκός.

Ἀσφράγιστος, ἀποίμαντος.

Ἀσφυσγετὸν, Τυραννίων μὲν βαρύνει, ὡς τὸ ἄτρύγετος. Ἀρίσταρχος ὀξύνει, ὡς τὸ ἰαπετός. δηλοῖ ἡ λέξις τὸν ἰλυώδη συρφετόν. ὀνοματοπεποιημένον, ὡς ἀπὸ τοῦ ἀφύσσω, ὃ καὶ αὐτὸ ὀνοματοποιίας ἐστὶ τρόπος.

Ἀσχαδὲς, ἀκατάσπαστον, ἀμετάσχετον.

Ἀσχαλάα, δυσαναχετεῖ.

Ἀσχάλλει, λυπεῖται, ὀλιγοψυχεῖ, ἀθυμεῖ, ἀδημονεῖ, ἀγανακτεῖ.

Ἀσχάλλω, κοινῶς. ἀσχαλάω, ῶ, ποιητικῶς, καὶ πλεονασμῷ τοῦ ο ἀσχαλόω. πλεονάζει δὲ ἐν τοῖς τοιούτοις ἐνίοτε μὲν τὸ ο μικρὸν, ἐνίοτε δὲ τὸ ω μέγα. καὶ τὸ μὲν ο μικρὸν, ὅταν ἡ προηγουμένη συλλαβὴ βραχεῖα ᾖ. τὸ ω μέγα, ὅταν μακρά. Ἰστέον δὲ, ὅτι ἐφ' οἷς τὸ αὐτὸ προστίθεται κατὰ συζυγίαν δευτέραν, ἐπὶ τῶν πρώτων προσώπων τῶν ἑνικῶν, καὶ τῶν πρώτων τῶν πληθυντικῶν, καὶ ἐπὶ τῶν τρίτων τοῦτο προστίθεται, ἔνθα δηλονότι τὸ ω ἐστίν. ἐπὶ δὲ τῶν δευτέρων καὶ τρίτων τῶν ἑνικῶν, καὶ τῶν δευτέρων τῶν πληθυντικῶν, ἔνθα τὸ α ἐστὶν, οὐκέτι τὸ ο προστίθεται, ἀλλὰ τὸ α. οἷον ὁρῶ ὁρόω, ὁρῶμεν ὁρόωμεν, ὁρῶσιν ὁρόωσιν. ὁρᾷς ὁράᾳς, ὁρᾷ ὁράᾳ. καὶ ὅτι ἐφ' ὧν ἡ προηγουμένη συλλαβὴ μακρά ἐστι, καὶ τὸ προστιθέμενον α μακρόν ἐστιν. οἷον μαιμᾷ μαιμάᾳ. καὶ ὅτι τὰ τῆς τρίτης συζυγίας πάντα, ἐφ' ὧν οὕτω τὸ ω μέγα προστίθεται, προστιθεμένου ἤδη αὐτοῦ βαρύτονα γίνεται, καὶ κατὰ τὰ βαρύτονα ἤδη κλίνεται. οἷον ἱδρῶ, ἱδρώω, ἱδρώεις. καὶ ἡ μετοχὴ ἱδρῶντος, ὡς τύπτοντος. ὑπνῶ, ὑπνώω, εις, ει, ὑπνῶντος. καὶ βιῶ βιώω, ὡσαύτως. καίτοι γε τῆς δευτέρας. καὶ μάλιστα ἐφ' ὧν οὐκ ἔχει χώραν ἐπὶ τῶν δευτέρων, καὶ προσθήκῃ τοῦ α ὁμοίως προσλαμβάνοντα τὸ ω εἰς βαρύτονα μετατίθεται, καὶ κατὰ τὰ βαρύτονα κλίνεται. οἷον τὸ, ζῶ, ζώω, ζώεις, ζώει, ζώοντος

Digitized by Google

στης. καὶ ἐπὶ παρατατικοῦ, ἤζωον, ἤζωες, ἤζωε. ἡβῶ ἡβώω, ἀφ' οὗ τὸ ἡβώοιμι. ἀπὸ βαρυτόνου γὰρ τὸ ἡβώοιμι, κατὰ ταυτὸ τῷ λέγοιμι, οὐκ ἀπὸ περισπωμένου· ἦν γὰρ ἂν ἡβῴμι. τὰ δὲ τῆς πρώτης, ὁμοίως ἔχει τῇ τρίτῃ. ἔτι γὰρ ἀπ' αὐτῆς οὔπω γίνεται, εἰς βαρύτονον μετατίθεται συζυγίαν.

Ἀσχαλόωντος, δυσφοροῦντος.

Ἀσχάλλων, ἀδημονῶν, λυπούμενος, χαλεπαίνων, ἢ ἀγανακτῶν. καὶ ἀσχαλόων, ὁ λυπούμενος. ἀσχάλλειν ἐστὶ, τὸ ἄχους ἅλις ἔχειν.

Ἀσχίδωρος, ὁ σύαγρος, παρὰ Ἰταλοῖς.

Ἀσχέλιον, τραχύ. Κρῆτες.

Ἄσχου, ἀνάσχου.

Ἄσχετος, ἀκράτητος, παρὰ τὸ σχῆμι. ἀφ' οὗ καὶ ἔσχηκα ὁ παρακείμενος, καὶ ἐσχέθην ὁ ἀόριστος. ὁ μέλλων, σχήσω. ἐξ οὗ ἡ σχέσις. καὶ ὡς παρὰ τὸ τίθημι γίνεται θετὸς, ἵημι ἑτὸς καὶ ἀγετὸς, δίδωμι δοτὸς, οὕτω καὶ σχῆμι σχετὸς, καὶ ἄσχετος. καὶ ἄσχετον, ἀκράτητον. καὶ ἀσχέτως, ἀμέτρως.

Ἀσχημάτιστον, ᾧ μὴ πρόσεστι χαρακτὴρ, ἐκ διατυπώσεως σώματος.

Ἀσχημονήσομεν, ὑπὲρ τὸ μέτρον καλλωπισόμεθα. πᾶν γὰρ τὸ περιττὸν, εἴτε ἐν λόγῳ, εἴτε ἐν πράγματι, ἀσχημοσύνην καὶ φλυαρίαν καλεῖ ὁ Πλάτων. φησὶ καὶ ὁ Θεολόγος, Καὶ τοῖς μὲν ἀσχημονήσομεν μᾶλλον, ἤπερ ἐμπρέψομεν.

Ἀσχήμονι θανάτῳ, ἐπονειδίστῳ.

Ἀσχήμονα, ἄμορφον, ἀνείδεον.

Ἀσχημονεῖ, ἀκοσμεῖ.

Ἀσχολία, ἡ πολλὴ περί τι σπουδὴ, καὶ συνεχὴς ἐπιμέλεια. καὶ ἀσχολοῦμαι, ῥῆμα. καὶ ἄσχολος ὄνομα, ἀρσενικῶς καὶ θηλυκῶς ἐκφερόμενον. σχολάζω δὲ, τὸ ἐμαυτὸν ἀπάγω τοῦ πράγματος. τουτέστιν, ἡσυχίαν ἄγω, καὶ τοῦ θορύβου ἐμαυτὸν ἀφιστῶ. καὶ ἀπὸ τούτου σχολὴ, ἡ ἄδεια. καὶ ἀσχολία, ἡ περὶ τὰ ἀνθρώπινα πράγματα διατριβὴ, καὶ τὸν θνητὸν βίον περιολκή. σχολὴ, ἡ ἀπόθεσις τούτων, καὶ ἀνθολκὴ ἐπὶ τὸ νοερώτερον, καὶ καθαρώτερον. διὸ καὶ σχολαστικὸς λέγεται, κατὰ τὴν εἰς ἑαυτὸν στροφὴν, ἢ ἀπόθεσιν τῶν ἀνθρωπίνων, ὡς καὶ Ἀριστοτέλης φησίν.

Ἄσχολος, ὁ μὴ εὐκαιρῶν. σχολὴ γὰρ, ἡ λεγομένη συνήθης εὐκαιρία.

Ἄσω, ψαλῶ, αἰνέσω, ὑμνήσω.

Ἀσώδης, ἀμμώδης.

Ἀσώματον, τὸ μὲν τῷ ἀριθμῷ, ὡς οἱ ἄγγελοι, Μιχαὴλ καὶ Γαβριήλ. ἀριθμῷ γάρ. τὰ δὲ οὒ, ὡς τὰ καθόλου.

Ἀσωμένη, λυπουμένη.

Ἀσώπιον, τόπος Ἀθήνησιν.

Ἀσωπὸς, ποταμὸς Θηβῶν, ἔχων τὰς πηγὰς ἐν Ἀραιθυραίᾳ. ἐκεραυνώθη δὲ ἀπὸ Διὸς διώκων αὐτὸν, διὰ τὸ ἡρπακέναι τὴν θυγατέρα αὐτοῦ Αἴγιναν, ὡς καὶ Καλλίμαχός φησιν.

Ἄσωτος, ἀσωτεύομαι, ἀσωτία. καὶ ἄσωτος, ἀκόλαστος, ἀσελγής. παρὰ τὸ σώζω, σώσω, σέσωκα, σέσωσμαι, σέσωσται, σωτὸς, καὶ ἄσωτος.

* Ἄσωτος, ἀφειδὴς, ἀταμίευτος, ἐκκεχυμένος, ἀθησαύριστος, ἀπρόοπτος, οὐ περισκοπῶν τὸ μέλλον, ὅλος τῆς σήμερον ἡμέρας, ἐφήμερος τῷ βίῳ, ἄπολυς, ἐκχέων, σπαθῶν τὴν οὐσίαν.

Ἀσώτως, αἰσχρῶς, ἀπλήστως.

ΤΟ Α. ΜΕΤΑ ΤΟΥ Τ.

Ἄτα, ὦτα, Ταραντῖνοι.

Ἀταβέες, ἄφοβοι.

Ἀταβύριον ὄρος, ἔνθα θηρία συνάγονται.

Ἀταὴς, ἀγύμναστος.

Ἀταθήνιον, χαλκὸς, ἔλυτρον.

Ἀται, πληροῦται.

Ἄταιθα, λαμυρά.

Ἀταισὸν, ἀναδενδράς. Τυῤῥηνοί.

Ἀταίω, τὸ θαυμάζω, καὶ ἐκπλήττομαι. ἀταιομένου κακὰ ἔργα.

Ἀτάκτημα, ἀταξία. ὡς τὸ, Τοῦ μηδὲν ἀτάκτημα γενέσθαι περὶ τὴν ἀρχήν.

Ἀτακτῶ, ἀτμίζω, ἀτονῶ, ἀτρεμῶ, καὶ ἀτρεμίζω, τὸ ἠρεμῶ, ἀψοφῶ, ἀμεταβάτως πάντα.

Ἀταλά, νήπια, ἁπαλά.

Ἀταλαὶ, παρθένοι, αἱ μηδὲν δυνάμεναι τλῆναι, διὰ τὸ τῆς ἡλικίας ἁπαλόν. τὸ δὲ τοιοῦτον, τοῖς πολυτλήτοις ἀντίκειται.

Ἀταλαίπωρον, ῥάθυμον, ὀλίγωρον. Ἀριστοφάνης, ἀταλαιπώρως ἡ ποίησις διάκειται. σημαίνει δὲ τὸ κακοπαθεῖν, καὶ ἐνεργεῖν. ταλαίπωρος, ἐπίπονος, ἄθλιος. εἴρηται δὲ ὡς Διογενιανὸς, παρὰ τὸ τάλας καὶ τὴν ὥραν, ταλάωρος, καὶ ταλαίπωρος. κυρίως δὲ λέγεται, ὁ περὶ τὸν πόρον τλῶν, τουτέστι καρτερῶν, οἷον ταλάπωρος, καὶ πλεονασμῷ τοῦ ι, ταλαίπωρος. οἱ γὰρ ἀρχαῖοι τοὺς νεφρικοὺς ταλαιπώρους ὠνόμαζον, τοὺς τλῶντας περὶ τὸν πόρον. ἢ παρὰ τὸ πῶρα, ὃ δηλοῖ τὸ πάθος.

Ἀταλαιπώρως, ἀκοπιάστως, ἄνευ κόπου.

Ἀτάλαντος, ὁ οἷον ἰσόσταθμος. τὸ α μὲν γὰρ ἐνταῦθα ἰσότητα δηλοῖ κατὰ τοὺς παλαιοὺς, ἢ ὁμοιότητα, ὡς καὶ ἐν τῷ ἀδελφός. τάλαντον δὲ φαμὲν, τὸν σταθμόν. Ἰστέον γὰρ, ὅτι ὥσπερ μέδιμνος τό, τε σκεῦος τὸ μετροῦν, καὶ τὸ ὑπ' αὐτοῦ μετρούμενον, οὕτω καὶ χοῖνιξ ὁμοίως. λέγομεν γὰρ μέτρον τι χοίνικα. καὶ πῆχυς δὲ αὐτός τε ὁ μετρῶν, καὶ τὸ ὑπ' αὐτοῦ μετρούμενον. οὕτω καὶ τάλαντον, οὐ μόνον σταθμὸς, δι' οὗ τὰ βάρη διακρίνεται τῶν σωμάτων ἐντιθεμένων ταῖς πλάστιγξιν, ἀλλὰ καὶ αὐτὸ τὸ βάρος τὸ σταθμώμενον. ἔστιν οὖν ἀτάλαντος, ὁ τὸ ἴσον ἕλκων σταθμὸν, ἐὰν ταλάντῳ μέλλῃ κρίνεσθαι· ὁ δὲ Πορφύριος καὶ αὐτὸς, ἀτάλαντον λέγων τὸ ἴσον, ἄλλως τὴν λέξιν καθίστησι, δεικνύων ἄνισον μὲν εἶναι παρὰ τοῖς παλαιοῖς τὸ τάλαντον, ἀτάλαντον δὲ ἐντεῦθεν νοεῖσθαι, τὸ μὴ κατὰ τὸ τάλαντον ἄνισον, ἀλλὰ τῆς ἐκείνου ἐστερημένον ἀνισότητος. γίνεται τὸ τάλαντον ὁ σταθμὸς, παρὰ τὸ τάλας, ὃ δηλοῖ τὸ καρτερικόν. τοιοῦτόν τι ὁ σταθμὸς, ὡς φορτιζόμενος, καὶ διὰ τὰ βάρη ἐπινοηθείς. μάλιστα δὲ παρὰ τὸ ταλάσσειν, τὸ καρτερεῖν. ἐξ οὗ καὶ ὁ ἄτλας, καὶ ὁ τάλας, τὸ ῥηθὲν τάλαντον γίνεται. ἀχθοφορεῖ γὰρ ἀεί. ὅθεν καὶ τρυτάνη παρὰ τοῖς ὕστερον λέγεται, διότι τοῖς ὄγκοις τρύεται, ἤγουν καταπονεῖται. κυρίως μέρος τι τοῦ ζυγοῦ ἡ τρυτάνη. οὕτω δὲ καὶ πλάστιγξ λέγεται ὁ σταθμὸς ἐκ μέρους, ἤτοι ἐκ τῶν πλαστίγγων, τουτέστι τῶν κάτω πλατέων, οἷς τὰ βάρη ἐπίκεινται. καὶ ζυγὸς δὲ ὁ αὐτὸς ἀπὸ μέρους, οὗ αἱ ῥηθεῖσαι πλάστιγγες ἐξήρτηνται. πρὸς ὃν παροιμιάζεται ζυγὸς δόλιος, ᾧ ἀντίκειται τὸ δίκαιος. στάθμιον, τὸ παρώνυμον τοῦ ζυγοῦ.

Ἀτάλαντος, Ἄρηϊ ὁμοτάλαντος, οἱονεὶ ἰσοτάλαντος, ἰσόζυγος, ἰσόσταθμος. τάλαντον γὰρ τὸν ζυγόν φασιν. καὶ ταλαντεύομεν, ἐπὶ τοῦ ζυγοστατεῖν.

Ἀταλὰς λέγει τοὺς πώλους Ὅμηρος, ὡς τῶν ἤδη τελείων ἵππων ταλάνων ὄντων, διὰ τὸ ἀχθοφορεῖν. ἐξ οὗ καὶ οἱ ἡμίονοι, ταλαεργοὶ λέγονται.

Ἀταλάφρονα, ἁπαλὸν φρόνημα ἔχοντα.

Ἀταλάφρων ἐστὶν, ὁ νήπιος, ἢ ὁ μὴ τάλας, ἢ τλήμων, ἀλλὰ ἔτι φρονεῖν ἁπαλός.

Ἄταλος, ἢ ἀταλὸς, ὁ νήπιος. παρὰ τὸ τλῆναι ταλὸς, ὁ μηδέπω δυνάμενος κακοπαθῆσαι. ἐξ αὐτοῦ, ἀτάλλειν καὶ ἀτιτάλλειν, κατὰ ἀναδιπλασιασμόν.

Ἀτάλλων, ὁ ἀπαθὴς καὶ μὴ κακοπαθῶν. παρὰ τὸ τλῶ, τὸ καρτερῶ καὶ ὑπομένω, γίνεται τλάς. καὶ ἄτλας, ὁ μὴ δυνάμενος τλῆναι. ἢ ἐκ τοῦ τάλλω, τὸ κακοπαθῶ. καὶ ἀτάλλω, τὸ τρέφω καὶ νηπιάζω.

Ἀτάλματα, ἀντὶ τοῦ ἅλματα, παίγνια.

Ἀταμίευτον, ἀφύλακτον, ἀδιοίκητον, ἀναπόθετον.

Ἀταρποῦ, χαλεπῆς.

Ἀτὰρ λογογράφοι, ἀντὶ τοῦ δέ. αὐτὰρ ποιηταί· σημαίνει δὲ τὸ ὅμως. ἀτὰρ καὶ αὐτὰρ ἀρκτικοὶ λόγου, καὶ τῷ δὲ ἰσοδυναμοῦντες. οἷον, αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο. καὶ ἀτὰρ, ἀντὶ τοῦ ἄν ποτε, ἤν ποτε, ἐὰν δή ποτε.

Ἀτὰρ, μενοῦν γε, καὶ δὴ, καὶ ἄρτι.

Ἀτάρμην, νῦν γε, νῦν δὲ αὐτόν.

Ἀτὰρ οὖν, διὰ τοῦτο οὖν, ἀτὰρ οὐ τέλος ἵκεο μύθων.

Ἀταρβὴς, ἀκίνδυνος, καὶ ἄφοβος, ἀτρέμας, παρὰ τὸ τάρβος. ἢ ἀταρβωτὸς, ὁ μὴ θαρρῶν βοὴν ὑπομεῖναι.

Ἀτὰρ δὴ, δηλαδὴ, ὁμοίως, πλὴν, ὅμως. καὶ ἀντὶ τοῦ δὴ, ἢ διὰ τοῦτο.

Ἀταρπὸς, ἡ εὐθεῖα ὁδός. παρὰ τὸ τρέπω, τρέψω, ὁ δεύτερος ἀόριστος, ἔτραπον.

Ἀταρβίζεται, ἀταρβὴς φαίνεται.

Ἀτάρβητον, ἄφοβον, θρασὺν, ἄθικτον, ἄψεκτον.

Ἀτάρμυκτον, τὸ ἄφοβον. κυρίως δὲ τὸ μὴ μύον. Εὐφορίων, ἀτάρμυκτον τρέπων ὄμμα. παρὰ τὸ ἄτερ καὶ τὸ μύειν τὸ ἀτενές. ἢ παρὰ τὸ τάρβος, ἀταρβύκητον, καὶ ἀτάρμυκτον. καὶ γὰρ ταρμύσσειν, τὸ φοβεῖν, ὡς Λυκόφρων. σημαίνει καὶ τὸν θρασύν.

Ἀταρνεὺς, πολίχνιόν τι κατ' ἀντικρὺ Λέσβου κείμενον.

Ἀταρπιτὸς, στενὴ ὁδὸς, καὶ διηνεκὴς, καὶ μὴ ὧδε, καὶ ἐκεῖ τετραμμένη.

Ἀταρτᾶται, βλάπτει, πονεῖ, λυπεῖ.

Ἀταρτηροῖς ἐπέεσι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ὑβριστικοῖς, βλαβεροῖς. δῆλον ὅτι ἀταρὸς λόγος ἐστὶ καὶ ὁ χολωτός. καὶ ἡ ἄτη, οὐ μόνον ἐν ἔργοις, ἀλλὰ καὶ ἐν λόγοις. ὁποῖοι καὶ οἱ κατὰ χόλον ὑβριστικοί. καὶ ἔχει πλεονασμὸν φανερῶς τῆς ταρ συλλαβῆς, ὁ ἀταρτηρός. ἢ ἀπὸ τοῦ ἄτη, ἀτηρόν. καὶ κατὰ ἀναδίπλωσιν τῶν γραμμάτων, ἀτατηρὸν, καὶ προσθήκῃ τοῦ ρ διὰ τὸ μέτρον, ἀταρτηρόν. ἔστι μὲν οὖν ἀταρτηρὸν, τὸ βλαπτικόν. ἐνταῦθα δέ φησιν ἀταρτηροῖς ἐπέεσιν Ὅμηρος, κατὰ μεταφορὰν, ἀντὶ τοῦ ὑβριστικοῖς.

Ἄταρχον, ἀχείμαστον.

Ἀτάρχυτος, ἄταφος.

Ἄτας, εἰκαιολογίας, ἀπάτας. καὶ ἄτας κελαδεῖν, τὸ μάταια εἰπεῖν, ἢ ἠχεῖν.

Ἀτασθαλία, ἡ ἐν θαλίαις ἁμαρτία. ἀτασθαλία, οὐ μόνον ἡ τῇ ἄταις θάλλουσα ἀφροσύνη, ἀλλὰ καὶ ἡ ἐν θαλίαις ἤτοι εὐωχίαις ἄτη ἐκ παροινίας, ὡς φησιν Ἀθήναιος. καὶ ἀτασθαλία, ἡ φρενοβλάβεια, ἡ ἁμαρτία, καὶ ἀδικία.

Ἀτάσθαλον ἑώργει παρ' Ὁμήρῳ, ἑρμηνευτικόν ἐστι τοῦ ῥέξαι ἐξαίσιον. ταυτὸν γὰρ ἐξαίσιόν τι ῥέξειν, καὶ ἀτάσθαλόν τι ἑοργέναι. ἀρχαϊκὸν δὲ τὸ οὔ ποτε ἀτάσθαλον ἄνδρα ἑώργει. λείπει γὰρ πρόθεσις, ἵνα ᾖ, ὡς οὐκ ἐποίησέ τι κακὸν εἰς ἄνθρωπον.

Ἀτάσθαλος, μωρὸς, φλύαρος, ἁμαρτωλὸς, ἄδικος, παράνομος. ἀπὸ τοῦ θάλλειν ἄταις, παρὰ τὸ ἀτῶ, τὸ βλάπτω. ἢ παρὰ τὴν ἄτην. ὡς οὖν δαίω δαίδαλος, καὶ παρὰ τὸ αἴθω αἴθαλος. οὕτω καὶ παρὰ τὸ ἀτῶ ἀτάζω, ἀτάλαζος, καὶ τροπῇ τοῦ ζ εἰς θ, ἀτάσθαλος. καὶ ἀτάσθαλον, ἀθέμιτον, παράνομον. ἀτάσθαλοι δὲ, οἱ εἰς Θεὸν ἐξαμαρτάνοντες. καὶ ἀτάσθαλον ἔργον, δηλονότι τὸ ἀθέμιτον, καὶ παράνομον.

Ἀταυρώτη, ἁγνὴ, ἄμικτος. ταῦρος γὰρ τὸ αἰδοῖον τοῦ ἀνδρός.

Ἀταύρωτος, ἄζυγος. καὶ παρθένος, παρ' ὅσον οὐκ ἐζεύχθη γάμοις, αἱ μὴ γημάμεναι λέγονται.

Ἅτε ἐπίρρημά ἐστιν ἀντὶ τοῦ καθά, ὥσπερ καὶ ἀντὶ τοῦ ὅπου. οἷον, ἅτε μυρίκαι, ἐκ τοῦ α ὑποτακτικοῦ οὐδετέρου ἄρθρου, καὶ τοῦ τε συνδέσμου. συνυπακούεται δὲ ἡ κατὰ πρόθεσις, διὸ καὶ ἀντὶ τοῦ καθά ἐστιν.

Ἄτεγκτος, ἄπιστος, καὶ ἀναίσθητος, ὁ μήτε παραινέσει, μήτε τὴν πήρωσιν καὶ τὸ ἦθος σκληρὸν τεγγόμενος, καὶ μαλαττόμενος. κυρίως δὲ ὁ ἄβροχος. ἐξ οὗ ὁ μὴ δακρύων, καὶ ὁ μὴ ἱδρῶν.

Ἄτεγκτος, ὁ μήτε δακρύων, μήτε ἱδρῶν, ἀνένδοτος. καὶ γὰρ ὁ ἐλεῶν δακρύει. καὶ ἄτεγκτος, σκληρὸς, ἀμάλακτος, ἄβροχος, ἀσυμπαθὴς, ἄβρεκτος.

Ἄτε μυρίκαι ὅπου αἱ μυρσίναι, ἐφ' αἷς μεσημβριάζειν εἰώθασιν.

Ἀτειρέα χαλκὸν, ἤγουν σκληρόν. καὶ γίνεται ἐκ τοῦ τείρω, καὶ αὐτὸ καὶ ὁ ἀτεράμων. τὸ δὲ ἀτεράμων οὐ χαλκὸς, ἀτειρὴς γὰρ καὶ αὐτὸς, ἀλλ' ὁ σκληρὸς ἄνθρωπος, καὶ ἄτεγκτος. καὶ σπόριμος δὲ καρπὸς, ἀνέψητος. ἀτέραμνα γάρ φασι διὰ τοῦ ν, ὄσπρια τὰ μὴ ἑψόμενα. Πλάτων δὲ διὰ τοῦτο κερασβόλα λέγει τὰ σκληρὰ, ἐκ μεταφορᾶς. τὰ γὰρ προσκρούσαντα κέρασι βοῶν (ὡς εἴρηται) ὄσπρια, οὐχ ἕψεται. ἀντίκειται δὲ πρὸς τὸ ἀτειρὲς καὶ τὸ τέρεν, καὶ ἡ τέρεινα. ἴσως δὲ καὶ τὰ ἐν οἴκοις τέραμνα διὰ τὰς περὶ αὐτὰ γλυφὰς, αἳ τηρουμένῳ πάντως ξύλῳ ἐγκολάπτονται. δοκεῖ δέ τισιν ἐτυμολόγοις, καὶ τὰ τείρεα ἐκ τοῦ τείρειν παρωνομάσθαι.

Ἀτειρής, ὁ σκληρός, ὁ ἀδάμαστος. τείρω, ἀτερής, καὶ ἀτειρής. ἢ παρὰ τὸ τείρειν, ἀτερὴς καὶ ἀτειρής.

Ἀτέκμαρτος ὄρνις, ὁ σημεῖον διὰ τῆς πτήσεως οὐκ ἐμφαίνων. καὶ ἀτέκμαρτον, ἀτελείωτον, ἀκατασόχαστον, ἄγνωστον, ἄσημον.

Ἀτεκνία, ἡ ἀπαιδία καὶ ἡ μνήμη. Δαβίδ, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου, ὡς διὰ τῶν τέκνων φυλαττομένης τῆς μνήμης.

Ἀτέλεβος, ἀχρεῖστις.

Ἀτέλεια, ἀλειτουργησία.

Ἀτελεῖς, ἐλλιπεῖς.

Ἀτελές, τὸ μήπω τετελεσμένον. τὸ μέντοι τετελεσμένον λαμβάνεται παρ᾽ Ὁμήρῳ, καὶ ἐπὶ τοῦ μήπω μὲν τελεσθέντος, φύσιν δὲ ἔχοντος τελεσθῆναι. οἷον εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν.

Ἀτέλεστον, τὸ ἀδύνατον τελεσθῆναι. καὶ ἀτέλεστος, ἀμύητος, βέβηλος, ἀνοργίαστος, τελετὰς μὴ πεποιημένος.

Ἀτελεστός ἐστιν, ὁ μὴ μυηθείς. καὶ ἀτελής, ὁ ἀμέτοχος. Λουκιανὸς ἐν διαλόγῳ Μενίππου, ἀλλ᾽ ἀτελεῖς τούτων πάντων ἐσμέν.

Ἀτελεύτητον, οὐ πᾶν ἀτελεύτητον πάντως καὶ ἄναρχον. οἱ γὰρ ἄγγελοι καὶ αἱ ψυχαί, ἀτελεύτητοι μέν, οὐκ ἄναρχοι δέ.

Ἀτελευτήτῳ ἐπὶ ἔργῳ, ταυτόν ἐστι τῷ ἀτελεῖ. τουτέστι μὴ εἰληφότι τέλος. εἰ καὶ οἱ μεθ᾽ Ὅμηρον ἀτελεύτητόν φασι, τὸ μὴ πεφυκὸς τέλος ἔχειν.

Ἀτελῆ, ἀδάπανα. ὡς πολυτελῆ, τὰ πολυδάπανα.

Ἀτέμβειν, οἱ νεώτεροι, οὐκ ἐπὶ τοῦ στερίσκεσθαι ἤκουσαν, ἀλλ᾽ ἐπὶ τοῦ μέμφεσθαι. καὶ ἀτεμβόμενος παρὰ τῷ Ἀπολλωνίῳ κεῖται, ἀντὶ τοῦ δυσχεραίνων, καὶ μεμφόμενος.

Ἀτέμβεσθαι, ἔχει παραγωγὴν τὸ εἰς ἄτην ἐμβαίνειν.

Ἀτεμβόμενος, στέρησίν τινα καὶ βλάβην δηλοῖ. ἀτέμβει θυμόν, ἤγουν εἰς βλάβην ἐμβιβάζει, στερίσκει.

Ἀτέμβιος, μεμψίμοιρος.

Ἀτέμβω, τὸ στερῶ. εἴρηται παρὰ τὸ τέμω ἀτέμω, καὶ πλεονασμῷ τοῦ β, ἀτέμβω.

Ἀτενὲς καὶ ἀτενῶς, ἐπιρρήματα ἀντὶ τοῦ ἀτρέπτως, καὶ διόλου. Λουκιανός, ἀτενὲς ὁρᾷ εἰς ἐμέ. καὶ ἀτενὲς ἐς ἰθύ, συνεχές, παντελῶς, καθόλου, παραχρῆμα, ἰσχυρῶς, ἀφελῶς, ἢ πάνυ προσεχῶς. κάλλιον δὲ ἀτενὲς ἦθος λέγειν, τὸ σκληρόν, καὶ ἀκαμπές.

Ἀτενής, ἥκω δ᾽ ἀτενὴς ἀπ᾽ οἴκων. Εὐριπίδης Ἀλκμαίωνι, τὸ, διὰ ψυφίδος συντείνασα. καὶ ἀτενίζειν λέγουσι, τοὺς συντείνοντας, καὶ ἐπερείδοντας τὴν ὄψιν.

Ἀτενίζει, ἄκρως προσέχει.

Ἀτενίζοντι νεανίσκῳ ἐς ὕδωρ, ἤγουν ἀφορῶντι.

Ἀτενίζω, τὸ λίαν καὶ ἐπιτεταμένως βλέπω, τοῦ α ἐπίτασιν σημαίνοντος.

Ἀτενῶς, ἀμεταστάτως.

Ἀτέοντα λέγει Ὅμηρος, τὸν βεβλαμμένον εἰς φρόνησιν, ὡς ἀπὸ τῆς ἄτης. οἱ μέντοι μεθ᾽ Ὅμηρον, οὐκ οἴδασι τὸ ἀτέω ἀτῶ ἐν πρώτῃ συζυγίᾳ, ἀλλ᾽ ἐν δευτέρᾳ κατὰ τὸ βοῶ. ἀτέοντα δέ, ἀντὶ τοῦ ἀτιμάζοντα.

Ἄτερ, ἐκτός, χωρίς. καὶ ἀτερήμενον, χωρὶς καθήμενον.

Ἀτέραμνον κῆρ, συνήθως τὸ ἀτηρὲς καὶ σκληρόν, καὶ μὴ τέρεν. ὅθεν καὶ ἀτέραμνα σπέρματα, τὰ κερασβόλα. περὶ ὧν λόγος, ὡς ἐὰν σπέρμα ἐν τῷ καταρρίπτεσθαι εἰς γῆν καιρῷ σπόρου πελάσῃ κέρατι ἀροῦντος βοός, σκληρὸν γίνεται καὶ δυσέψητον. κερασβόλα δὲ τὰ ῥηθέντα λέγεται, διὰ τὸ κατὰ κεράτων βληθῆναι. ἐνταῦθα δὲ σημείωσαι, ὅτι συνήθως μὲν ἀτέραμνον, τὸ μὴ τέρεν, ἀλλὰ δηλαδὴ ἀπεσκληρυμμένον. οὐ μὴν καὶ τέραμνον ἀσυνήθως τὸ τέρεν καὶ ἁπαλόν, ἀλλὰ ἡ τοῦ οἴκου στέγη· καθὰ σὺν ἄλλοις καὶ ὁ Λυκόφρων δηλοῖ. καὶ ἀτέραμνα, τὰ δυσκατέργαστα καὶ σκληρά, παρὰ τῷ Ἱπποκράτει, καὶ τὰ μὴ ἑψόμενα ὄσπρια.

Ἀτεράμων, οὐχὶ ἀτέραμνος. Ὅμηρος, κῆρ ἀτέραμνον ἔθηκαν. παρὰ τὸ τέρεν, τὸ ἁπαλόν, τεράμων ὁ ἁπαλός, καὶ ἀτεράμων ὁ σκληρός. τὸ οὐδέτερον, ἀτέραμον, καὶ πλεονασμῷ τοῦ ν, ἀτέραμνον.

Ἀτεράμονες, σκληροί, μὴ τειρόμενοι, ἀνένδοτοι. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων, ἀτεράμονα λέγεται. οἷον, οὐχ ἁπαλά.

Ἀτερέα ὄρος, γοργόν. Κρῆτες.

Ἀτερέψατο, ἠθέτησεν.

Ἀτερμάτιστον, ἀθεμελίωτον, ἀβέβαιον, ἀτελείωτον.

Ἀτερίγε, χωρίς.

Ἀτέρμονες, ἄριστοι.

Ἀτέροιον, τὸ ἑτέρωθεν, καὶ χωρίς.

Ἄτερος, ὁ θάτερος. βάρβαρον γάρ, εἰ καὶ Λυκόφρων καί τινες ἄλλοι οὕτω γράφουσιν. ὁ ἕτερος γάρ ἐστι, καὶ κατὰ κρᾶσιν ἄτερος. οὐκ ἔχει οὖν χώραν ἐνταῦθα τὸ θ, ὥσπερ ἐπὶ τῶν ἄλλων πτώσεων ἔνθα μεσοσυλλαβοῦν ἔχει σύμφωνον, τὸ ν λέγω ἢ σ, οὐ γίνεται ἡ τοιαύτη συναλοιφή. οἷον τὸ ἕτερον, τοῖν ἑτέροιν, τῶν ἑτέρων, τοῖς ἑτέροις, τοὺς ἑτέρους. ὡσαύτως ἐπὶ θηλυκοῦ. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ οὐδετέρου, ὃν ἔφημεν ἐπὶ τοῦ ἀρσενικοῦ.

Ἄτερπνος, ὁ ἄγρυπνος, παρὰ Ῥηγίνοις. παρὰ τὸ ἄτερ καὶ τὸ ὕπνος γίνεται ἀτέρυπνος, ὁ χωρὶς ὕπνου ὤν, καὶ συγκοπῇ τοῦ υ, ἄτερπνος.

Ἄτερπος, καὶ ἀτερπὴς λέγεται. ὡς τό, Φαίηκεν φρέν, ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι. τουτέστιν, εἴποιμι ἂν μηδέποτε παθεῖν ἄτερπνον καὶ ἀηδῆ κακοπάθειαν. καὶ χῶρον ἀτερπία λέγομεν. καὶ ἀτερπία δὲ αὖλιν ἔκυρσαν.

Ἀτεόν, λακεῖν.

Ἀτεπῶς, ἀφροντίστως.

Ἀτεύκτου, ἀνεπάφου, ἀτέρπους.

Ἀτευχῆ, ἄνοπλον.

Ἀτέχνοις, πανούργοις, ἢ ἀπείροις.

Ἄτεχνον, τὸ μὴ μετὰ τέχνης καὶ ἐνεργείας τινὸς λεγόμενον· οὗ ἐναντίον τὸ τεχνητόν. καὶ ἐντέχνως ἐπίρρημα. ἄτεχνος, καὶ ὁ μὴ εἰδὼς τέχνην, ἢ ὁ εἰδὼς μέν, οὐ μὴν καλῶς. οὗ ἐναντίον, ὁ τεχνικός. καὶ ἄτεχνος ζωή, ἡ χωρὶς τεχνῶν συνισταμένη.

Ἀτεχνῶς, ἀντὶ τοῦ ἁπλῶς, καθάπαξ, ὅ ἐστιν ἐνὶ λόγῳ, ἀληθῶς, τέχνη γὰρ ὁ δόλος παρὰ τοῖς Ἀττικοῖς. τὸ δὲ ἄνευ δόλου, ἀληθές. ὁ γὰρ τόνος διαστέλλει τὸ σημαινόμενον, τήν τε τῆς τέχνης στέρησιν, καὶ τὸ ἀδιάφορον τῆς χρήσεως ἀτεχνῶς, οἱονεὶ ἀτενῶς, μετὰ περισσοῦ τοῦ χ. ἢ ἁπλῶς, ἄνευ τέχνης, ἀπὸ μεταφορᾶς τῶν μὴ τέχνῃ νικώντων, ἀλλὰ δυνάμει, ἢ καθάπαξ, ἢ ἀδόλως. ἐὰν δέ τις παρὰ τὴν τέχνην λέγῃ τι, ἢ μή, οὐκ ἔστι περισπωμένως, ἀλλὰ βαρυτόνως. ἀτέχνως ποιεῖς, ἢ ἀτέχνως λέγεις. καὶ ἀτεχνῶς ἐπανθεῖ, ἀντὶ τοῦ ἄγαν ἀκριβῶς, Ἀριστοφάνης. ἢ ἀτεχνῶς, ἀντὶ τοῦ ἄντικρυς. ἀτέχνως, ἀνεπιστημόνως. καὶ ἀντὶ τοῦ ὅλως, καὶ συνόλως, καὶ ἔστιν οἷον ἀδόλως. τέχνας γὰρ ἔλεγον τοὺς δόλους. οἷον, ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχυντο.

Ἀτευχόμοι, ἄγαν αὐθάδεις.

Ἄτη, παρὰ τὸ τῶ, ὃ δηλοῖ τὸ λαμβάνω· οἷον, Τῆ Κύκλωψ πίε οἶνον. ἐξ οὗ ῥηματικὸν ὄνομα, τή, καὶ μετὰ τοῦ στερητικοῦ α, ἄτη, ἣν οὐδεὶς θέλει λαβεῖν. ἢ παρὰ τὸ ἄω, τὸ βλάπτω, ἄσω, ἄση, ἡ βλάπτουσα τὴν ψυχήν, καὶ τροπῇ τοῦ σ εἰς τ, ἄτη.

Ἄτη ἀάσας, Ὁμήρῳ δόξαν, ἐφράσθη οὕτως. ἣν κατὰ αἰτιατικὴν εἰπεῖν, τὴν δ᾽ ἄτην ἀάσας, κατὰ τὸ βουλὴν ἐβούλευσας, καὶ λόγον ἔλεξας. ἐκ τοῦ ἀάσας, κατὰ κρᾶσιν, ἄσας (ὡς τό, ἆσέ με δαίμονος αἶσα κακή) γίνεται ἀάτη, καὶ ἄτη κατὰ κρᾶσιν.

Ἀτημέλεια, καταφρόνησις.

Ἀτημελήτως, ἀπρονοήτως, καταφρονητικῶς.

Ἀτήμενον, βλαπτόμενον. παρὰ τὴν ἄτην.

Ἄτην σθεναρὰν λέγει καὶ ἀρτίπουν, ἤγουν ὑγιῆ τοὺς πόδας. ἐπείπερ οἱ βλάπτοντες, ἀσθενῶς τε ἔχουσι καθ᾽ ὃ βλάπτουσι, καὶ ἐπιταχύνουσι τὸν καιρόν. ἐν ἄλλοις δὲ καὶ ἁπαλοὺς εἶναι πόδας τῇ ἄτῃ ἐρεῖ, ὡς ἀνεπαισθήτως τὰ πολλά τινων βλαπτομένων ἀψοφητί, οἷον τῆς ἄτης ἐπερχομένης αὐτοῖς.

Ἀτήνειν, μοχθεῖν.

Ἀτηρής, ἀκαταπόνητος.

Ἀτηρόν, βλαβερόν, ἀκόλαστον, ὑβριστικόν, χαλεπόν, κακόν.

Ἄτης ὁ Διόνυσος, ἐπιθετικῶς, ἀπὸ τῆς γενομένης ἐκ τῶν Τιτάνων εἰς αὐτὸν ἄτης καὶ φθορᾶς.

Ἀτθίς, ἀπὸ Ἀτθίδος τῆς Κραναοῦ θυγατρός, ἣν ἔγραψεν Ἀριστοφάνης.

Ἀτθίδων, Ἀθηναίων.

Ἀτίθασσος, ἀνήμερος, ἄγριος. τιθασσεύειν γὰρ λέγεται, τὸ τὰ ἄγρια θηρία ἡμεροῦν, καὶ χειροήθη ποιεῖν.

Ἀτίζω, εἰ μὲν σημαίνει τὸ ὑπερορῶ, γίνεται παρὰ τὸ τίω τὸ τιμῶ. καὶ ἀτίζω πλεονασμῷ τοῦ ζ. εἰ δὲ σημαίνει τὸ βλάπτω, παρὰ τὸ ἄτη ἀτίζω. καὶ ἀτίζω, τὸ ἀφροντιστῶ, ἄτῃ περιφέρομαι, καὶ πίπτω.

Ἀτιμαγέλαστος, ὁ μὴ συναγελαζόμενος.

Ἀτιμαγελοῦντες, μὴ ἄτιμα πράττοντες τῆς ἀγέλης, μὴ καταλείποντες τὴν ἀγέλην. τοὺς γὰρ καταλείποντας τὸ κοινὸν τῆς ἀγέλης, καὶ καθ᾽ ἑαυτοὺς νεμομένους οὕτω καλοῦσιν.

Ἀτιμάζω, τὸ ὑβρίζω, τὸ παραβλέπω, τὸ ἄτιμον ἡγοῦμαι, παρὰ τὸ ἀτιμῶ. ἀτιμῶ δὲ τὸ ἄτιμον καθιστῶ. Σημείωσαι δὲ ὅτι τὸ μὲν ἀτιμάζω παρ᾽ Ἀττικοῖς ἐπὶ ἀψύχων λέγεται. τὸ δὲ ἀτιμῶ, ἐπὶ ἐμψύχων.

Ἀτιμάζων λέγεις, ἀτίμως λέγεις, ἐν ἀτιμίᾳ ποιεῖς.

Ἀτιμαλφοῦσι, τιμὴν οὐχ εὑρίσκουσιν.

Ἀτιμᾶν, πρωτότυπον τοῦ ἀτιμάζειν. ἐξ οὗ τὸ ἠτίμησε, καὶ τὸ ἀτίμητος.

Ἀτιμαστέον, περιφρονητέον.

Ἀτιμάω ἀτιμῶ, καὶ ἀτιμῶ, τὸ ἄτιμον πέμπω. Ὅμηρος, Οὕνεκα τὸν Χρύσην ἠτίμασ᾽ ἀρητῆρα, ἤγουν ἄτιμον ἔπεμψεν.

* Ἀτίμητος δίκη, ἣν οὐκ ἔστιν ὑποτιμήσασθαι, ἀλλὰ τοσούτου ἐπιτετίμηται, ὅσου ἐπιγέγραπται.

Ἀτίμητον μετανάστην λέγει Ὅμηρος, τὸν ἄτιμον μέτοικον. διὰ τὸ τῶν μετοίκων ὡς τὰ πολλὰ οὐκ ἐντίμων ὄντων, ὡς νόθων πολιτῶν· καθὰ καὶ ἡ Ἀττικὴ ἐδήλου, ἐν ᾗ ξένοι μὲν τὸ μηδὲν σχεδὸν ἦσαν πεπολιτογραφημένοι, ὅμως τῶν ἰθαγενῶν ἐδευτέρευον. σημείωσαι δέ, ὅτι τὸ ἡμῖν ἐναντίως Ὅμηρος λέγει τὸ ἀτίμητος. οὐ γὰρ τὸν πολλῆς τιμῆς ἄξιον κατὰ τοὺς ὕστερον, οὕτω καὶ αὐτὸς νοεῖ ἀτίμητον, ἀλλὰ τὸν οὐδεμιᾶς. καὶ ὅτι ἐκ τοῦ ἀτιμῶ ἀτιμήσω, τὴν λέξιν παράγει.

Ἀτίμητος ἀγών, καὶ τιμητός. ὁ μὲν τιμητός, ἐφ᾽ ᾧ τίμημα ὡρισμένως ἐκ τῶν νόμων οὐκ ἔστιν, ἀλλὰ τοὺς δικαστὰς ἔδει τιμᾶσθαι ὅτι χρὴ παθεῖν, ἢ ἀποτίσαι. ὁ δὲ ἀτίμητος, τοὐναντίον ᾧ πρόσεστιν ἐκ τῶν νόμων ὡρισμένως τίμημα, ὡς οὐδὲν δεῖν τοὺς δικαστὰς τιμῆσαι.

Ἄτιμον οἶκον Ὅμηρος ἐν Ὀδυσσείας π λέγει, τὸν ἀτιμώρητον. ἢ καὶ ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἀτίμως, προῖκα, δωρεάν, μὴ καταβαλὼν τιμήν, ὅ ἐστι τίμημα τῶν ἐσθιομένων.

Ἄτιμος, ταὐτὸν τῷ ἀγέραστος.

Ἀτιμότεροι τῶν αὐτοχθόνων ἐδόκουν οἱ μέτοικοι ὡς τὰ πολλά, διὰ μοχθηρίαν τρόπου τὰς ἰδίας καταλείποντες, καὶ ὡς οἱ μεθ᾽ Ὅμηρον. ἄλλοι ἀτίμητόν φασι τὸν πολυτίμητον, ἤγουν τὸν ὑπὲρ πᾶσαν τιμήν, καὶ ἀλλαχοῦ δεδήλωται. ὅτι δὲ μετανάστης κυρίως ὁ μετὰ τὸ γεννηθῆναι ἀνασπασθεὶς ἐκεῖθεν, οὐκ ἂν ῥηθείη ἀφυῶς.

Ἀτιμότερος, ἀτελέστερος, ἀτεχνότερος. ἐρεῖς δέ, ἄκοντος ἀτιμότερόν με θήσεις.

Ἀτιμοῦταί τις ὑπὸ τῶν νόμων, ὁλοσχερεῖ ἀτιμίᾳ. ἀτιμίζεται δέ, ὁ ὑβριζόμενος ἔν τινι πράγματι.

Ἀτιμόω ῶ, τὸ ἄτιμον διὰ λόγου ποιῶ, ἤτοι δι᾽ ἀτίμου λόγου ὑβρίζω.

Ἀτιμώρητος, ἀβοήθητος, ἢ θαυμαστός, ἔστι δ᾽ ὅτε καὶ ὁ κακός.

Ἀτιμῶ, ἀτιμήσω, συνήθες τῷ ποιητῇ. ἔνθα καὶ ἀτίμητος, καὶ ὁ ἄτιμος. οἱ δὲ ὕστερον, ἀτιμῶ ἀτιμώσω φασίν.

Ἀτίμων, ὡς τὸ ἐβόων, ἐξ οὗ καὶ ἐν Ἰλιάδι ἀτίμητος.

Ἀτίνακτα, ἄσειστα.

Ἀτινοῦν, ἅτινα οὖν.

Ἀτιόλοφος, οὕτω τὸ Ἴλιον ἐκαλεῖτο πρῶτον.

Ἀτίσαι, ἀτιμάσαι, παραβλῆναι.

Ἀτίσαν, οὐκ ἐτίμησαν.

Ἀτίσαι

Ἀτισανδρεῖν, ἀτιμάζειν ἄνδρα, καὶ ὑπερηφανεῖν.

Ἀτισιλινοῖς, περὶ τὰ λινὰ, ἐξ ἀμμάτων δέσεσιν.

Ἀτιταὶ, ἄδικοι.

Ἀτίταλα, ἀνέθρεψα.

Ἀτιτάλλειν, σημαίνει τὸ τιθηνεῖν, καὶ ἐκτρέφειν ἐκ τῶν νηπίων. ἔστι γὰρ ἀταλὸς ὁ νήπιος, ὁ τλῆναι καὶ κακοπαθεῖν μὴ δυνάμενος. καὶ ἐξ αὐτοῦ ἀτάλλειν, καὶ ἀτιτάλλειν, κατὰ ἀναδιπλασιασμόν. καὶ ἀτιτάλλειν, τὸ ἀναπαύειν, καὶ ἀπαλῶς τρέφειν. ὡς μὴ ταλαιπωρεῖν, ὅ ἐστι τάλανα τοῖς πόνοις εἶναι καὶ τλήμονα. ἵνα ᾖ πρῶτον τὸ ἀτάλλειν, ὅθεν καὶ ἀταλός. εἶτα κατὰ ἀναδιπλασιασμὸν τὸ ἀτιτάλλειν. δῆλον δὲ ὡς τινες λέγουσιν, ἀπὸ τοῦ ἄττειν καὶ ἅλλεσθαι τὸ ἀτάλλειν παράγουσι, τοῦ ἑνὸς τ ἀπελθόντος διὰ τὸ εὐφωνότερον. ἢ ἀτιτάλλειν, στερεῖν τοῦ ταλαιπωρεῖν. ἐξ οὗ τάλανες μὲν, οἱ ταλαοὶ, οἱ πολύπονοι. ἀταλοὶ δὲ, οἱ μὴ πονοῦντες.

Ἀτιτεῖν, ἀδικεῖν.

Ἀτίτταλα, ἀνέθρεψα.

Ἀτίτην, ἀτιμώρητον, ἄπορον, ἄτιμον, τὸν μὴ ἔχοντα ἀποτίσαι.

Ἀτίτεστον, ἀπρομήθευτον.

Ἄτιτος, ἀτιμώρητος, ἢ ἀνεκδίκητος, ἢ μᾶλλον ἀναπόδοτος, ὡς ἐκ μεταφορᾶς τῶν ἐν πόλεσιν ἢ κώμαις ἀποτινόντων ποινὴν ὑπέρ τινος πεφονευμένου.

Ἄτλας, ὁ ὁμόφρων, ἄτολμος, ἀπαθής. ὄρος λιβύης, καὶ ἡ διιοῦσα εὐθεῖα ἕως τῶν πυλῶν. καὶ Ἄτλας κύριον, παῖς Ἰαπετοῦ, τὸν οὐρανὸν ἀνέχων καὶ τὰς κίονας, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.

* Ἄτλας, ὁ πελευταῖος τῶν σπονδύλων, ὡς ἀχθοφορῶν.

Ἄτλαντος υἱοῦ τοῦ Ἰαπετοῦ, ὡς λέγει Ἄρατος, θυγατέρες ἑπτὰ γεγόνασι. καλέονται δὲ, Ἀλκυόνη, Μερόπη τε, Κελαινώ τ' Ἠλέκτρα τε, καὶ Ἀστερόπη, καὶ Ταϋγέτη, καὶ Πότνια μαῖα. καὶ Κελαινοῦς μὲν καὶ Προμηθέως παῖδες, Λύκος καὶ Χιμαιρεύς. Ἠλέκτρας καὶ Διὸς, Δάρδανος, καὶ Ἠετίων, Ἀστερόπης καὶ Ὑπερόχου, Οἰνόμαος. Ταϋγέτης καὶ Διὸς, Λακεδαίμων. Μαίας καὶ Διὸς, Ἡρακλῆς. ὡς καὶ Ὀρφεύς φησιν, ἐν τῇ ἀρχῇ τῶν λιθικῶν.

Ἀτλατεῖ, ἀγνοεῖ, ἀθυμεῖ, φοβεῖται.

Ἀτλατέω, ἀγωνιῶ.

Ἀτλησία, ἀμηχανία, ἀνυποστασία.

Ἀτλήτους μελεδόνας, ἀνυποστάτους μερίμνας ἔχω, ἀνυπομονήτους, καὶ μεγάλας.

Ἀτλητὸν, ἀνυπομόνητον.

Ἀτλητῶν, μὴ καρτερῶν, μὴ φέρων, δυσανασχετῶν, πάρειμ' ἀτλητῶν.

Ἄτματα, καθάρματα.

Ἀτμενία, δουλεία, δυστυχία.

Ἀτμένες, οἱ δοῦλοι, οἱ ἀτειρμένους ὄντες, διὰ κακοπάθειαν.

Ἀτμὴν, ὁ δοῦλος, παρὰ τὸ τιμὴ ἀτιμὴν, καὶ κατὰ συγκοπὴν ἀτμήν. οἷον, ὁ ἄτιμος. ἢ πολυτίμητόν τινα ὄντα ὑπὸ τῶν μαστίγων, ἐπιτάσει τοῦ α. ἀπὸ δὲ τοῦ ἀτμὴν, ἀτμῶ.

Ἄτμενον, ἄπαυστον, οἰκέτην.

Ἀτμενώνητον, δουλικὸν, μωρόν.

Ἀτμησίφρων, ὁ οὐδεμιᾶς τόλμης ἔννοιαν ἔχων.

Ἄτμητον, ἀμέριστον.

Ἀτμιδοῦχον, ἀτμίδα ἔχων.

Ἀτμίζουσαν, ἀναθυμιάζουσαν.

Ἀτμὶς, ἀναθυμίασις, ἀπαύγασμα, πνοὴ, ἀναθυμίασις, ἄκρον πυρός. καὶ ἀτμῶν, ἀναθυμιάσεων.

Ἀτμὸς, ἀνάδοσις, παρὰ τὸ ἄω, τὸ πνέω, ὁ παρακείμενος ἦσμαι, ἀσμὸς, καὶ ἀτμός. λέγεται ἀτμὸς καὶ ἐπὶ κνίσσης, καὶ ἐπὶ καπνοῦ. καὶ ἐπὶ ἀναθυμιάσεως. λέγεται δὲ κνίσσα μὲν, τὸ ἀπορρέον πνεῦμα ἀπὸ στέατος καιομένου. καπνὸς δὲ, ἐπὶ πυρὸς ξύλα καίοντος, ἤτι τοιοῦτον. ἀναθυμίασις δὲ, ἐπὶ τῶν ἐξατμιζομένων.

Ἄτοκον, βοτάνη τίς.

Ἀτόκιον, φάρμακον τὸ κωλύον τὸν τοκετόν. οὗ ἐναντίον τὸ ὠκυτόκιον.

Ἄτολμοι, δειλοὶ, κατεπτηχότες. ὡς τὸ, Οὕνεκ' εἰσὶν ἀδρανέστατοι ζώων, ψυχὰς ἄτολμοι, μοῦνον εἰδότες φεύγειν.

Ἄτομα, λεπτὰ, τὰ μὴ δυνάμενα τομὴν δέξασθαι.

Ἄτομον λέγεται, τὸ μὴ τεμνόμενον, μήτε μεριζόμενον, ὡς ἡ στιγμὴ, καὶ τὸ νῦν, καὶ ἡ μονάς. ἃ τινα καὶ ἄποσα λέγονται. ἄτομον, καὶ τὸ δύστμητον, τουτέστι τὸ δυσχερῶς τεμνόμενον, ὡς ὁ ἀδάμας λίθος, καὶ τὰ τοιαῦτα. Ἄλλως.

Ἄτομον κυρίως λέγεται, ὅπερ τέμνεται μὲν εἰς ψυχὴν καὶ σῶμα. ἀλλ' οὔτε ἡ ψυχὴ καθ' ἑαυτὴν ἐστιν ἄνθρωπος τέλειος, ἢ Πέτρος τέλειος, οὔτε τὸ σῶμα· περὶ τούτου παρὰ τοῖς φιλοσόφοις λόγος, ὅτι δηλοῖ τὴν ὑπόστασιν. ἢ ἄτομον, τὸ ἐξ ἰδιωμάτων συγκείμενον, ὧν τὸ ἄθροισμα οὐκ ἂν ἐπ' ἄλλου ποτὲ λεχθείη. δηλοῖ δὲ τὴν καθ' αὑτὸ ὑπόστασιν, οἷον Πέτρον, Παῦλον, ἤ τινα τῶν κατὰ μέρος ἀνθρώπων.

Ἀτονία, ἀδυναμία.

Ἄτοπα, πονηρὰ, ἀπρεπῆ, αἰσχρὰ, ξένα.

Ἀτόπαστον, ἀνείκαστον. τοπάζειν γὰρ, τὸ εἰκάζειν. καὶ τοὐποτοπάσαι δὲ, ἐνθένδε λέγεται. Αἰσχύλος Κρήσσαις.

Ἄτοπον, οὐ μόνον τὸ ἄλογον, ἀλλὰ καὶ τὸ παράδοξον καὶ θαυμαστόν. Πλάτων ἐν Φαίδωνι, ὡς ἄτοπον ἔφη ὦ ἄνδρες.

Ἆτος πολέμοιο, τουτέστιν ἀκόρεστος. κραθεὶς ἐκ τοῦ ἄατος. ἢ ἆτος, ὁ ἀκόρεστος. κέκραται δὲ, ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ἆσαι, τὸ κορέσαι. ἀφ' ὧν ἄατος, καὶ κατὰ κρᾶσιν ἆτος.

Ἀτραβατικὰς, ξηραμπελίνας τὸ χρῶμα. τὸ γὰρ μέλαν, ἄτρον καλοῦσιν οἱ Ῥωμαῖοι. ἢ ὅτι μετὰ Τραβαίας ταύταις εἰώθασι χρῆσθαι. τραβαῖαι δὲ, αἱ πολυτελεῖς χλαμύδες.

Ἄτρακτος, γυναικεῖον ἐργαλεῖον, ἐφ' ὃν τὸ νῆμα περιειλεῖται. ἀεὶ γὰρ ταράσσεται, ἢ ὅτι ἀτάρακτον τὸ νῆμα φέρει. ἀπὸ τοῦ ταράσσω οὖν, γίνεται ἀτάρακτος, καὶ ἄτρακτος.

Ἀτρακτυλίδες, εἶδος βοτάνης, ἢ ἀκάνθης. εἴρηται δὲ, ἀπὸ τοῦ τὰς ἀγροίκων γυναῖκας, ἀτράκτους ποιεῖν ἐξ αὐτῶν. ἔνιοι δὲ ἀτρακτυλίδας τὰ ἀγροιολάχανά φασιν.

Ἀτραπητοὶ ὁδοὶ, αἱ μὴ ἔχουσαι ἐκτροπὴν, ἤτοι κάμψιν, αἱ στεναὶ δηλαδὴ καὶ εὐθεῖαι. ὅθεν καὶ διηνεκεῖς λέγονται, παρὰ τὸ διόλου ἐνηνέχθαι, καὶ μὴ παρεκκλίνειν.

Ἀτραπητὸς, καὶ ἀτραπὸς, ἡ ὁδός. παρὰ τὸ τρέπω τρέψω. ὁ β' ἀόριστος, ἔτραπον. ῥηματικὸν ὄνομα, τραπός. στερήσει καὶ μεταθέσει, ἀτραπός. ἐξ ἧς οὐκ ἔστι τραπῆναι. ἢ ἡ πολύτροπος .. εἰς πολλὰ γὰρ σχίζεται. καὶ ἀτραπὸς, τὸ ἀπόσταγμα τῆς σταφυλῆς, τὸ πρὸ τοῦ πατηθῆναι γινόμενον. τραπεῖν γάρ ἐστι τὸ πατῆσαι.

Ἀτραπίζειν, βαδίζειν, ὁδοιπορεῖν.

Ἀτράφαξις, εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται.

Ἀτρείδαο, Αἰολικῶς καὶ Βοιωτικῶς, Ἀτρείδα Δωρικῶς, Ἀτρείδεω Ἰωνικῶς, ἀντὶ τοῦ Ἀτρείδου. καὶ τοῦτο δυνάμεθα ποιεῖν ἐν πάσαις ταῖς γενικαῖς τῆς πρώτης κλίσεως.

Ἀτρείδης καὶ Ἀτρεΐδης, πατρωνυμικὸν, ἀπὸ τοῦ Ἀτρεύς. Τὰ ἀπὸ τῶν εἰς ν. ξ. ψ. ρ, γινόμενα πατρωνυμικὰ εἰς δης, διὰ τοῦ ι γράφεται. Μέμνων Μεμνονίδης, Φοῖνιξ Φοινικίδης, Πέλοψ Πελοπίδης, Νέστωρ Νεστορίδης. καὶ τὰ ἀπὸ τῶν εἰς ος, καὶ ως. Βῆλος Βηλίδης, Ἥρως Ἡρωΐδης, καὶ συναιρέσει Ἡρῴδης. ἔτι τὰ μητρωνυμικὰ πάντα οἷον, Λητὼ Λητωΐδης, Δανάη Δαναΐδης. τὸ δὲ Φιλομηδείδης κύριον ὂν, διὰ διφθόγγου γράφεται. τὰ δὲ ἀπὸ τῶν εἰς ευς, καὶ ως Ἀττικῶς καὶ τῶν εἰς αιος γινόμενα, διὰ διφθόγγου γράφεται. οἷον, Ἀτρεύς Ἀτρείδης, Οἰνεύς Οἰνείδης, Ἀλκαῖος Ἀλκείδης. ἔτι τὰ ἀπὸ τῶν εἰς ης, καὶ εἰς ους μακροπαράληκτον ἔχοντα τὴν γενικήν. οἷον, Εὐκλῆς Εὐκλοῦς, Εὐκλείδης. χωρὶς τριῶν. οἷον, Θρασυμίδους Θρασυμίδης, Δικήρους Δικηρίδης, Θεοκύδους Θεοκυδίδης, καὶ κράσει τοῦ ε καὶ ο εἰς ου, Θουκυδίδης.

Ἀτρείδῃσι, Θήβῃσι, ἀντὶ τοῦ ἀτρείδαις, θήβαις, δοτικὴ τῶν πληθυντικῶν. ἔχουσι δὲ τὸ ι προσγεγραμμένον, κατὰ τὴν παραλήγουσαν. καὶ κατὰ ἐπέκτασιν τοῦ ι γίνεται ἀτρείδαισι, θήβαισι. καὶ κατὰ τροπὴν τοῦ α εἰς η, Ἀτρείδῃσι, Θήβῃσι, Ἰωνικῶς.

Ἀτρεκὲς, ἀληθὲς, ἀκριβές. καὶ ἀτρεκεῖ, ἀληθεῖ, ἀκριβεῖ. καὶ ἀτρεκὲς αἷμα, τὸ ἀληθὲς καὶ μὴ ψευδὲς τὴν ὄψιν, κατὰ τὰ ἐρυθροβαφῆ, ἃ φορέματα ἦσαν Λακώνων, ἐπικρύπτοντα τὴν ἐν πολέμῳ ῥύσιν τοῦ αἵματος.

Ἀτρεκήσασα, ἀκριβωσαμένη. Εὐριπίδης.

Ἀτρέμας, ἐπίρρημα, δηλοῖ τὸ ἡσύχως. οἱ δὲ μεθ' Ὅμηρον, καὶ δίχα τοῦ σ λέγουσιν αὐτό. ὡς τὸ, ἀτρέμ' ἔξης παρὰ τῷ Κωμικῷ, καὶ τὸ εὐθὺς δὲ καὶ ἰθὺς τὰ ἐπιρρήματα, ὁμοίως ἀπάγουσι τὸ σ, ἐν τῷ εὐθὺ καὶ ἰθύ. ὅθεν καὶ τὸ κατ' εὐθὺ, καὶ τὸ κατ' ἰθὺ αὐτοῦ. ἔνθα ἐκ παραλλήλου θέσεως δηλοῦσι τὸ αὐτόθι. καὶ ἀτρέμας ἧσθαι παρὰ τῷ ποιητῇ, ἀντὶ τοῦ βεβαίως μένειν.

Ἀτρέμη, ὑγιεῖα.

Ἀτρεμῆσαι, ἡσυχάσαι.

Ἀτρέμητον, ἀσάλευτον.

Ἀτρεμία, ἡσυχία.

Ἄτρεπτον, ἀκίνητον.

Ἀτρέπτως, ὀρθῶς.

Ἀτρέστοις, ὀξυβλέπτοις.

Ἄτρεστος, καὶ ἄτρηστος, ὁ ἄφοβος.

Ἀτρεὺς, παρὰ τὸ τρεῖν τὸ φοβεῖσθαι. ὥσπερ παρὰ τὸ τρέφω τροφεύς, οὕτω καὶ παρὰ τὸ τρέω γίνεται τρεύς, καὶ μετὰ τοῦ στερητικοῦ α Ἀτρεύς. ὃς βασιλεύων τῆς Πελοποννήσου, ηὔξατό ποτε, ὅ, τι ἂν κάλλιστον ἐν τοῖς ποιμνίοις αὐτοῦ γεννηθῇ, τοῦτο Ἀρτέμιδι θῦσαι. γεννηθείσης δὲ αὐτῷ χρυσῆς ἀρνὸς, τῆς εὐχῆς μετημέλησε. καὶ καθείρξας αὐτὴν εἰς λάρνακα, ἐφύλαττε. μέγα δέ τι φρονῶν ἐπὶ τῷ κτήματι, κομπάζει κατὰ τὴν ἀγοράν. ἀνιώμενον δὲ ἐπὶ τούτῳ Θυέστην, ὑπελθόντα ὡς ἐρῶντα πεῖσαι Ἀερόπην, ἐκδοῦναι αὐτῷ τὸ κτῆμα. λαβόντα δὲ ἀντειπεῖν τῷ ἀδελφῷ, ὡς οὐ δεόντως περὶ τοῦ τοιούτου κομπάζει. αὐτὸς δὲ ἔλεγεν, ἐν τῷ πλήθει δεῖν καὶ τὴν βασιλείαν ἔχειν τὸν τὴν χρυσῆν ἄρνα ἔχοντα. τούτου δὲ ὁμολογοῦντος καὶ Ἀτρέως, Ζεὺς Ἑρμῆν πέμπει πρὸς Ἀτρέα, συνθέσθαι λέγων περὶ τῆς βασιλείας, καὶ δηλοῦν τὰ περὶ τῆς ἀνατολῆς, διότι μέλλει ποιεῖσθαι τὴν ἐναντίαν ὁδὸν ὁ Ἥλιος. συνθεμένου δὲ περὶ τούτων, ὁ Ἥλιος τὴν δύσιν εἰς ἀνατολὰς ἐποιήσατο. ὅθεν ἐκμαρτυρήσαντος τοῦ δαιμονίου τὴν Θυέστου πλεονεξίαν, τὴν βασιλείαν Ἀτρεὺς παρέλαβε, καὶ τὸν Θυέστην ἐφυγάδευσεν.

Ἀτρέχως, ἀτρεκῶς.

Ἀτριάκαστοι, οἱ μὴ μετέχοντες τριακάδος, Ἀθηναῖοι.

Ἀτρία, πόλις Τυρρηνίας.

Ἀτριβὶ, χωρὶς τριβῆς.

Ἀτρίζεται, πένεται.

Ἄτριον, ὕφος λεπτόν. καὶ εὐάτριοι, εὐυφεῖς.

Ἀτρίπτους χεῖρας κάμε, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας φ, ἀγυμνάστου ἀνδρὸς δήλωσις. διασαφητικὸν δὲ τοῦ ἀτρίπτους, τὸ ἁπαλάς. καὶ ἄνθρωπον ἄτριπτον, ἁπαλόν.

Ἀτρὶψ, ἀμαθὴς, ἀτριβής.

Ἀτρόμητος, ἄφοβος. οὐδ' ὀλύμπιος Ζεὺς ἀτρόμητος εἶδεν.

Ἄτρον, τὸ μέλαν, παρὰ Ῥωμαίοις.

Ἀτροπία, ἡ κακοτροπία, ἀβουλία.

Ἀτροπὶη, ἀωρία, μεσονύκτιον.

Ἄτροπος, ἀμετάτρεπτος.

Ἀτροφῆσαν, μὴ τραφέν.

Ἄτροφος τυρὸς, ὁ πησσόμενος, ὑπὸ Λακώνων.

Ἀτρύγετος πόντος, ὁμοίως δὲ καὶ Θάλασσα, ὅθεν οὐδὲν τρυγῶμεν. ἢ ἄκαρπος, παρὰ τὴν τρύγην. ἢ παρὰ τὴν τρύγα, ὃ δηλοῖ τὸν Δημητριακὸν καρπόν. ὡς δηλοῖ τὸ, ἀδηφάγου κήλωνος, ὁ τρυγηφάγου. διὸ καὶ Εὐριπίδης ἀκάρπιστα λέγει πεδία, τὴν θάλασσαν. ἔτι δὲ ἀτρύγετος, καὶ ἡ βαθυτάτη, καὶ ἄβυσσος, ἧς τρύγα οὐκ ἔστιν εὑρεῖν. εἰ δέ τις εἴποι, ὡς κατὰ τὴν πρώτην ἐτυμολογίαν προσαρμόζει τὸ ἐπίθετον, καὶ ἀέρι καὶ αἰθέρι, καλῶς ἐρεῖ. καὶ εὑρήσεις τούτου πολλαχοῦ χρήσεις. τὸ γὰρ τρυγᾶν, τῇ γῇ ἀφώρισται. τὰ δὲ λοιπὰ στοιχεῖα, ἀτρύγετα.

Ἀτρυγηφάγου, πολυφάγου. τρύγη γὰρ, ὁ Δημητριακὸς καρπός.

Ἄτρυγον, καθαρὸν, μὴ ἔχον τρύγα.

Ἀτρύνων, ἐγείρων.

Ἀτρύπονος, πολύπονος.

Ἄτρυτα, ἀκάματα, σκληρὰ καὶ ἰσχυρά. σημαίνει δὲ καὶ τὰ ἀβλαβῆ, οἷον ἄτρωτα, παρὰ τὸ τρῶ τρήσω.

Ἄτρυτος. ἐκ τοῦ τρύω λέγεται τρυτὸς, καὶ ἄτρυτος, ὃν οἱ πόνοι οὐ τείρουσιν.

Ἄτρωτος, ἀνίκητος, ἄπληκτος, ἀσινὴς, ἀπαθής.

Ἀτρυτώνη, Ἀθηνᾶ, ἡ ἄτρυτος, ὅ ἐστιν ἀτειρής. ὡς ἀπὸ τοῦ τρίω τρῶ, ἐξ οὗ καὶ τὸ τείρω, καὶ τὸ τρύω. ἀφ᾽ οὗ καὶ τρυτάνη ἐπὶ ζυγοῦ, ἡ τειρομένη τῷ βάρει τῶν ὄγκων. ἀπ᾽ αὐτοῦ καὶ τρύμη, παρὰ τῷ κωμικῷ, ὁ πανοῦργος καὶ ἱστικός. καὶ κατ᾽ ἐκεῖνον ἴστις, ὅ ἐστιν ἱστμός.

Ἄττα, πρόσφθεγμα ἀδελφικόν. ἄττα, πολλαχοῦ κείμενόν ἐστι προσφώνησις ἀδελφοῦ νέου πρὸς πρεσβύτερον. καὶ ἔστιν ἡ λέξις ἀπαράγωγος, ἀκίνητος, καὶ τὸ ὅλον εἰπεῖν ἀσύνθετος. οὐ γάρ ἐστιν ἀρχὴν τινα τοῦ ἄττα εὑρεῖν, οὐδὲ ἑρμηνείαν ἔχει. διὸ καὶ ἀμετάληπτος, ἤγουν ἀνερμήνευτος ἀπὸ τῶν παλαιῶν λέγεται.

Ἄττα, γλώττης φασὶ Θετταλῶν οἱ παλαιοὶ προσφώνημα ἐκτινος νεωτέρου, ὡς πρὸς τροφέα, ἀσύνθετον, ἄκλιτον.

Ἄττα, ἅτινα, ἢ ὅσα, Ἀντιφῶν ἐν τῷ περὶ τῶν Λυδίων φόρου. ἀντὶ δὲ τοῦ τινὰ ἢ ποιά τινα Δημοσθένης Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα. ὡς τὸ, Χιωνίππου, πόθου Χελιδόνων πολλάκις ἄττα φαίνεται.

Ἄττα, ψιλούμενον μὲν τινὰ σημαίνει, δασυνόμενον δὲ ἅτινα, ὡς Δημοσθένης δηλοῖ ἐν τῷ περὶ Παραπρεσβείας, Ὁ δὲ πρεσβεύων Αἰσχίνης οὑτωσὶ ἐλθὼν, πῶς μὲν καὶ ἄττα ποτὲ διηλέχθη. ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται. ὡς ἐν τῷ Χείρωνι Φερεκράτης, τοῖς δέκα ταλάντοις ἄλλα προστιθεὶς ἔφη, ἄττα πεντήκοντα. οὐδὲν γὰρ σημαίνει ἐνταῦθα τὸ ἄττα.

Ἀτταβυγᾶς, εἶδος ὀρνέου, καὶ τὸ ἀτταγᾶς.

Ἀτταγᾶς παρ᾽ Ἀττικοῖς, ὀρνεόν ἐστι τερπόμενον ἐν ἕλεσι καὶ πηλώδεσι τόποις, καὶ τέλμασιν, ὃν ἡμεῖς φαμὲν ἀτταγῆνα. ἡ ὄρνις κατάστικτός ἐστι, ποικίλοις πτεροῖς.

Ἀτταγάθη, ἀθάρη, παρὰ τῷ Ξάνθῳ.

Ἀτταλαγώσεται, μολυνθήσεται.

Ἀτταλασίξαι, ὀμάσαι.

Ἀττάλη, φάρυγξις, ὑπὸ Φρυγῶν.

Ἀτταλίζομαι, πλανῶμαι. Σικελοί.

Ἀτταλίδες, πλακοῦντες ἔνθρυπτοι.

Ἄττανα, τήγανα. καὶ πλακοῦς, ὁ ἐπ᾽ αὐτῶν σκευαζόμενος.

Ἀττανίτας, τηγανίτας.

* Ἀττάραγος, τὰ κάτω τοῦ ἄρτου, ἐψηθίαι τοῦ ἄρτου.

Ἀττάραχος, τὸ ἐλάχιστον. οἱ δὲ τὰς ἐπὶ τῶν ἄρτων φλυκταίνας, οἱ δὲ τὰς καλουμένας ψίχας.

Ἀττάρυμα, πόμα, σόφισμα Κρητικόν.

Ἀττασία, ἀνάστηθι.

Ἀτταταῖ, βαβαὶ, φεῦ, μόριον κωμικόν.

Ἄττει, πηδᾷ, ἄλλεται, βαδίζει, ὁρμᾷ.

Ἀττέλεβος, εἶδος κνωδάλου.

Ἀττελάβους, ἀκρίδας.

Ἄττεσθαι, τὸ ἅλλεσθαι, καὶ πηδᾶν. παρὰ τὸ αἴσσω, τὸ ὁρμῶ, γίνεται ᾄσσω, καὶ ἀττικῶς ἄττω. καὶ ἄττεσθαι, διάζεσθαι στήμονα.

Ἄττης, τὸν Ἄττην φασὶ Λάκωνες.

Ἀττησύος, Δημοσθένης ὑπὲρ Κτησιφῶντος, ὁ Ἄττης παρὰ Φρυξὶ μάλιστα τιμᾶται, ὡς πρόσπολος τῆς μητρὸς τῶν θεῶν. τὰ δὲ περὶ αὐτὸν δεδήλωκε Νεάνθης, μυστικὸς δὲ ὁ λόγος.

Ἀττικὴ γυνὴ, ἡ ἀπὸ τῶν Ἀθηνῶν. καὶ Ἀττικὴ, ἡ χώρα αὐτῶν.

Ἀττικὴν χύτραν, τὸν καλούμενον Ἐχῖνον παρὰ τῷ Ἱπποκράτει.

Ἀττικοὶ τῇ εὐθείᾳ ἀντὶ γενικῆς χρῶνται. οἷον, δύο σκόπελοι, ὁ μὲν εἰς οὐρανὸν ἱκάνει. ἀντὶ τοῦ, τῶν δύο σκοπέλων. καὶ Νεστορίδα δ᾽ ὁ μὲν οὔτασ᾽ Ἀτύμνιον, ἀντὶ τοῦ τῶν Νεστοριδῶν. καὶ πάλιν, ἐλθόντες δ᾽ ἤβαιὸν ἀπὸ σπείο γλαφυροῖο, πρῶτος ὑπαρνειοῦ ἐλυόμην, ἀντὶ τοῦ, ἐλθόντων δὲ ἡμῶν. τῶν δ᾽ αὐτῶν ἐστι καὶ τὸ ἀντὶ πλαγίων συντάξεων ὀρθαῖς χρῆσθαι. οἷον, Ἀλκιβιάδης ὀφθεὶς ἀνέστρεψαν Λακεδαιμόνιοι, ἀντὶ τοῦ, Ἀλκιβιάδου ὀφθέντος. καὶ τὸ συντάσσειν τοῖς ὑποτακτικοῖς μορίοις εὐκτικὰ ῥήματα. φασὶ γὰρ, ἵνα θύσαιεν, ἵνα ποιήσαιεν. καὶ Ὅμηρος, ἵνα μήποθ᾽ ἄλλοθεν αὖοι. καὶ πάλιν, ἵν᾽ ἀθανάτοισι φανείη. καὶ τὸ γνόντων, βοώντων, καὶ ποιούντων, ἀντὶ τοῦ γνώτωσαν, βοάτωσαν, καὶ ποιείτωσαν. καὶ τὸ μέμφομαι, καὶ ὀνειδίζω, καὶ ἐνοχλῶ, καὶ λοιδοροῦμαι, δοτικῇ συντάσσουσι. καὶ τὰ συντασσόμενα δὲ ῥήματα μετὰ δοτικῆς, γενικῇ συντάσσουσι, τὸ ἕνεκα προστιθέντες. μετὰ αἰτιατικῆς δὲ ταῦτα συντάσσουσιν. οἷον συνήντησέ με, ἀντὶ τοῦ ἐμοί. ὡς καὶ Ἀριστοφάνης ὁ κωμικὸς, ἀρέσκει με λέγων. καὶ ἔστι τὰ μετὰ γενικῆς συντασσόμενα ῥήματα, αἰτιατικῇ συντάσσουσιν, οἷον αὐτός με ἤρετο. καὶ ἀφαιρεῖταί με, ἀντὶ τοῦ ἐμοῦ. καὶ Ὅμηρος, Ἐπεί μ᾽ ἀφέλεσθέ γε δόντες. καὶ τοῦτο δὲ τῶν Ἀττικῶν ἐστι, τὸ δοτικῆς πτώσεως προηγουμένης, εἰς γενικὴν ἀποδιδόναι. φασὶ γὰρ, οὐκ ἂν οὖν ἡμῖν συνέβη τοῦτο παθεῖν εὐσεβῶν ὄντων. καὶ Ὅμηρος, ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ, δεισάντων φθόγγον τε βαρύν, ἀντὶ τοῦ φοβηθεῖσιν.

Ἀττικοῖς γράμμασι, Δημοσθένης κατὰ Νεαίρας, ἀντὶ τοῦ παλαιοῖς. τὴν γὰρ τῶν κδ στοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι. Θεόπομπος δὲ ἐν τῇ κε τῶν Φιλιππικῶν ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας. οἷς οὐκ Ἀττικοῖς γράμμασιν ἐστηλίτευται, ἀλλὰ τοῖς τῶν Ἰώνων.

Ἀττικὸν, ἀγγεῖον παρὰ τῷ Ἱπποκράτει.

Ἀττικουργούμενον, τὸ κατὰ Ἀττικὸν τρόπον εἰργασμένον.

Ἀττικωνικοὶ, οὕτως ἔλεγον ἀττικίζοντες, καὶ ἐνυβρίζοντες τοὺς Ἀθηναίους. ἢ πρὸς τὸ Λακωνικὸν ἔπαιξεν Ἀριστοφάνης ἐν Εἰρήνῃ.

Ἀττικῶς, Ἀθηναίως.

Ἀττὶς, Ἀθηναῖς.

Ἄττοντες, ὁρμῶντες, πηδῶντες. λέγεται δὲ, ὡς ἀπὸ τῶν σκορπίων.

Ἀττίζει, ἐπιτιμᾷ, ταράσσει, ἀπολύει, φοβεῖται.

Ἀττύζηλον, φοβερὸν, ἀφανὲς, ἄσημον.

Ἀττύλα, ἀγκύλη.

Ἀτύζεσθαι κατὰ τοὺς παλαιοὺς, τὸ ἐκπλήττεσθαι. τελευταῖ γάρ φασιν εἰς τὸ φοβεῖσθαι. παράγεται δὲ ἐκ τοῦ ἀτῶ, κατὰ τὸ κλῶ κλύω, καὶ τὰ τοιαῦτα.

Ἀτυζηλῷ, ἐκπληκτικῷ. περισπαστέον δὲ τὸ ἀτυζηλῷ. ἔστι γὰρ ἀπὸ ὀξυτόνου τοῦ ἀτυζηλός. ὡς Ἡρωδιανὸς, ἐν τῷ ἕκτῳ τῆς καθόλου.

Ἀτυζόμενοι, ταρασσόμενοι, λυπούμενοι, θορυβούμενοι, ἐκ τοῦ ἀτύζω. παρ᾽ Ὁμήρῳ, ἀτυζόμεναι ἤμεθα, τουτέστι ταρασσόμεναι.

Ἀτύζω, παρὰ τὴν ἄτην γίνεται ῥῆμα ἀτῶ, οὗ παράγωγον ἀτύω, ὡς ὀλῶ ὀλύω, πλεονασμῷ δὲ τοῦ ζ, ἀτύζω, ὡς καὶ παρὰ τὸ ἀτίω, ἀτίζω.

Ἄτυκτον, ἄκοσμον, σκληρὸν, ἀκατασκεύαστον.

Ἀτυλὸν, μικρὸν, ἀγενές.

Ἀτυπῆδες, κριθαὶ ἀπίτυροι, λεγόμεναι ἀλέπυροι.

Ἄτυπος νοῦς, ὁ μηδὲν σωματικὸν κατὰ τὸν καιρὸν τῆς προσευχῆς φανταζόμενος. οὐ γάρ ἐστι σῶμα θεός.

Ἀτυφία, ταπεινοφροσύνη.

Ἄτυφος, ἀκενόδοξος.

Ἀτυχῆσαι, ἀντὶ τοῦ ἀποτυχεῖν. οὕτω Πλάτων.

Ἀτυχήσεις, ἀποτεύξεις.

Ἀτύχημα, ταλαιπωρία.

Ἀτυχθεὶς, ἀπογραφεὶς, ἐκπλαγεὶς, καὶ ὁ μὴ βουλόμενος τυχεῖν, ἀλλ᾽ ἀποστρεφόμενος εἰς τὸ ἐξαμαρτεῖν. σημαίνει δὲ καὶ τὸ καταπλαγεὶς, φοβηθεὶς, ὄψιν ἀτυχθείς. ἐκ τοῦ τάχω, λείπει ἡ κατὰ πρόθεσις, ἢ ἡ διὰ. ἵνα λέγῃ, ὅτι ταραχθεὶς καὶ ἐκπλαγεὶς διὰ τὴν ὄψιν, ἢ πρὸς τὴν ὄψιν. διὸ καὶ ἐν τῷ, ἵπποι ἀτυζόμενοι πεδίοιο, λείπει τὸ τοιοῦτόν τι. ἵνα λέγῃ, ὅτι ταρασσόμενοι ἐπὶ πεδιάδος, διὰ στέρησιν ἡνιόχου.

Ἀτυχὸν, μέτριον.

Ἀτύω, τὸ ταράσσω, καὶ ἀτύσσω. καὶ κατὰ παραγωγὴν, ἀτύζω Αἰολικῶς.

Ἀτωμένη, ἄτῃ συνεχομένη, βλαπτομένη.

Ἄτωρ, ἡ μελία, ὑπὸ Αἰγυπτίων.

ΤΟ Α. ΜΕΤΑ ΤΟΥ Υ.

ΑΥ δίφθογγος πρὸ συμφώνου, ψιλοῦται. οἷον αὐτὸς, αὔρα, αὔριον. ἀμέλει κατὰ τοὺς παλαιοὺς, αὔω τὸ ξηραίνω δασύνεται, καθὰ καὶ τὸ αὑαίνω παρὰ τῷ κωμικῷ διὰ τὸ μὴ ἐπιφέρεσθαι τῇ διφθόγγῳ σύμφωνον. αὔω δέ φασι, τὸ φωνῶ, ψιλοῦται, πρὸς διάφορον σημασίαν.

Αὖ, πάλιν, αὖθις. Ἀττικοὶ πολλάκις κατὰ πλεονασμὸν προφέρουσιν, ὡς πολλαχοῦ ἐστιν εὑρεῖν παρὰ Ἀριστοφάνει.

Αὖ αὖ λέγει Ἀριστοφάνης, μιμούμενος τὴν φωνὴν τοῦ κυνός.

Αὖα αὖα πάλαι περίκηλα, ταυτὸν μὲν ἐκ παραλλήλου δηλοῦσι. λέγει δὲ τὰ ξηρὰ ξύλα. τὸ δὲ χρήσιμον αὐτῶν, ἵνα κατὰ τὸν ποιητὴν πλώοιεν ἐλαφρῶς. καὶ βόας αὔας, τὰς ξηρὰς βύρσας.

Αὑαίνου λίθον ἔπλασεν ὁ Ἀριστοφάνης, ἐν τῷ ᾅδῃ, ἀπὸ τοῦ αὑαίνεσθαι τοὺς νεκροὺς, καὶ ἀλίβαντας εἶναι. ἢ ἀπὸ τοῦ αὔους νεκροὺς εἶναι, ὡς ὄντος τινὸς ἐν ᾅδου οὕτω λεγομένου, αὑαίνου λίθου. φασὶ δὲ αὑαίνου μῦθόν τινα λέγεσθαι Ἀθήνησι, παρ᾽ ὃν οἰκείως ἀπὸ τοῦ αὑαίνου παρήχθη. ἐπειδὴ οἱ πολὺν χρόνον περιμείναντες εἰώθασι λέγειν, αὖος γέγονα περιμένων. ἔοικε δὲ θρυλούμενον τοῦτο ἤδη. ἀναπλάττει δὲ τοῦτο, ἀπὸ τοῦ τοὺς νεκροὺς ξηροὺς εἶναι, καὶ ἀλίβαντας. τὸ δὲ ἀληθὲς, οὕτως ἔχει, παρὰ τὸν λίθον αὑαίνου, ἤγουν ξηραίνου, ὅπου ξηραίνονται οἱ νεκροί.

Αὑαίνεται, ξηραίνεται.

Αὑαλέας, καταξήρους, καὶ τὰς ξηρὰς βύρσας.

Αὑαλέος, κατάξηρος. παρὰ τὸ αὔω τὸ ξηραίνω, αὖος καὶ αὑαλέος.

Αὑαλὸς, ὁ Διόνυσος.

Αὑανθεὶς, ξηρανθείς.

Αὑαντὴ, ξηραντικὴ νόσος, παρὰ τῷ Ἱπποκράτει.

Αὑαραὶ, τὰ ποντικὰ κάρυα.

Αὑὰς, ξηράς.

Αὐάταν, τὴν βλάβην Αἰολικῶς, ἀντὶ τοῦ ἀάταν.

Αὐγάζομαι, βλέπω, θεωρῶ.

Αὐγάζουσα, ὁρῶσα.

Αὔγαρος, ὁ ἄσωτος, ὑπὸ Κυπρίων.

Αὐγάσασθαι, ἰδεῖν.

Αὐγειαὶ, οὐ μόνον Λοκρικαί, ὧν ὁ πολίτης Αὐγεάτης, ἀλλὰ καὶ Λακωνικὴ πόλις ἐστὶν ὁμώνυμος.

Αὐγείας, Ἡρακλεῖ τὴν τῶν αὐτοῦ βοῶν κόπρον καθήραντι οὐκ ἐδίδου ἀπαιτοῦντι τὸν μισθὸν, ὃς ἦν δεκάτη τῶν βοῶν, λέγων οὐχ ἑκόντα ποιῆσαι τὸ ἔργον, ἀλλὰ ἐπιταγέντα ὑπὸ Εὐρυσθέως. καθίζουσιν οὖν κριτὴν αὐτοῖς τῆς δίκης αἱρετὸν Φιλέα, τὸν τοῦ Αὐγείου υἱόν. ὁ δὲ, καταψηφίζεται τοῦ πατρός. ἀγανακτεῖ ἐπὶ τούτοις Αὐγείας, καὶ ἐκβάλλει τὸν υἱόν. Ἡρακλῆς δὲ ἐπιστρατευσάμενος, πορθεῖ τὴν Ἦλιν, καὶ μεταπεμψάμενος ἐκ Δουλιχίου τὸν Φιλέα, δίδωσιν αὐτῷ τὴν τοῦ πατρὸς βασιλείαν. καὶ τὸν στρατὸν διὰ τὴν ἐκ πολέμου ὀλιγανδρίαν, συγκατακλίνει ταῖς τῶν τετελευτηκότων γυναιξί. καὶ τὸν Ὀλυμπιακὸν διαθέμενος ἀγῶνα, πρῶτος αὐτὸς τῶν ἀγωνισμάτων ἅπτεται. πρὸς δὲ τούτοις ἱστορεῖται, καὶ ὅτι τὴν ἀρχὴν Πισᾶται τοῦ ἀγῶνος ἐπεμέλοντο. ἐπειδὴ δὲ τοῖς Μεσσηνίοις αὐτοὶ κατὰ Λακεδαιμονίων συνεμάχησαν, καθελόντες ὕστερον αὐτοὺς οἱ Λακεδαιμόνιοι, παρέσχον τὴν τοῦ ἀγῶνος ἀρχὴν τοῖς Ἠλείοις, οἳ κατὰ Μεσσηνίων τοῖς Λάκωσι συνεμάχησαν.

Αὐγέας, Ἀθηναῖος κωμικὸς, τῶν δραμάτων αὐτοῦ ἄγροικος.

Αὐγεῖν, ἀλγεῖν.

Αὐγὴ, ἡ λαμπρότης, παρὰ τὸ ἄγω, ἀγή. καὶ αὐγὴ, δι᾽ ἧς ἀγόμεθα. σκότος γὰρ παρὰ τὸ ἐπιχεῖσθαι ἡμᾶς.

Digitized by Google

Αὐγίας, Ἤλιδος τύραννος.

Αὐγοειδὲς, ἀστροειδές τι καὶ αἴθριον. ὅθεν, Ἔφασκεν Ἰσίδωρος ἐκεῖνο ἀκηκοέναι, ὡς ἔχει ἡ ψυχὴ αὐγοειδὲς ὄχημα.

Αὐγυστεῖον, ὀψοπώλιον.

Αὐγῶ, αὐγάζομαι.

Αὐδα. ἔστιν αὐδάω, ῶ, ηὔδαον ηὔδων, ηὔδαες ας, ηὔδαε ηὔδα. καὶ τὸ προστακτικὸν, αὔδαε αὔδα. Ὅμηρος, ἐξαύδα, μὴ κεῦθε νόῳ. καὶ αὔδα, λέγε. καὶ αὐδήσας, βοήσας, φωνήσας.

Αὐδᾶν λέγεται, τὸ ἀνθρωπίνως λαλεῖν, αὐδὴ γὰρ οὐχ ἁπλῶς ἡ τυχοῦσα φωνὴ, ἀλλ' ἡ ἀνθρωπίνη. ὅθεν καὶ αὐδήεσσα, ἡ κεχρημένη φωνῇ ἀνθρωπίνῃ. καὶ αὐδήεις ὁμοίως, γίνεται παρὰ τὸ ἄνω τὸ φωνῶ, καὶ τὸ δέω τὸ δεσμῶ αὐδὴ, ἡ συνδεδεμένη, καὶ ἐναρμόνιος αὐδή.

Αὐδυναῖος, ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ Γαμηλιών.

Αὐδήεσσα, ἡ διαβόητος κατὰ τοὺς παλαιούς. ὅ ἐστιν ἀοίδιμος διὰ τὰ ἐπ' αὐτῇ συμβάντα. ἢ ἔνδοξος, εὐγενής. ἢ κατὰ Ἀρίσταρχον, ἡ κεχρημένη ἀνθρωπίνῃ φωνῇ. οὕτω γὰρ αὐδήεντες οἱ ἄνθρωποι, πρὸς διαστολὴν τῶν λοιπῶν ζώων. καὶ αὐδήεσσα, ὀνομαστὴ, ἔνδοξος.

Αὐδηέντων, τῶν λόγον καὶ φωνὴν ἐχόντων.

Αὐδῶ, φωνῶ, λέγω, λαλῶ ἀνθρωπίνως.

Αὔε, ψιλῶς μὲν, ἐφώνει, ἐβόα. δασέως δὲ, τὸ ἐξέκαυσε, καὶ ἀνῆπτε πῦρ.

Αὔειν κυρίως, τὸ καίειν, ὅθεν καὶ βάναυσος, ὁ αὔων τὸν ἐν ἄλλοις ῥηθέντα βαῦνον. ἐξ οὗ καὶ ὁ κρίβανος, ἵνα ᾖ ὁ βαύναυσος, καὶ δι' εὐφωνίαν βάναυσος. ἐκ δὲ τοῦ τοιούτου αὔειν. καὶ αὐόν φασι τὸ κοῖλον καὶ ξηρὸν ξύλον. καὶ τὸ ὀπτῆσαι, ἐξαῦσαι.

Αὐεκίζει, σφακελίζει, Κύπριοι.

Αὔελλαι, ἄελλαι, παρὰ τὸ ἄελλαι.

Αὐερὸς, σκιά.

Αὐερύοντες, εἰς τοὐπίσω ἕλκοντες.

Αὐέρυσαν. Ἰστέον ὅτι τὸ α οὐ μόνον τὸ ὁμοῦ σημαίνει, ὡς ἐπὶ τοῦ ἄλοχος, ἀλλὰ καὶ τὸ ὀπίσω, ὡς ἐπὶ τοῦ ἀκόλουθος. οὐ μόνον γὰρ τὸν ὁμοκέλευθον σημαίνει, ἀλλὰ καὶ τὸν ὀπίσω τὴν κέλευθον ἔχοντα. ὁ γὰρ ἀκολουθῶν ὄπισθεν ἀκολουθεῖ. ἤτοι οὖν ὁμοκέλευθος, ἢ ὁ ὀπίσω ἔχων τὴν ὁδόν. τὸ δὲ α τὸ σημαῖνον τὸ ὀπίσω, ἀπὸ τοῦ κ ψ γέγονε κατὰ ἀποβολήν. ὥστε μετὰ τὸ ἔρυσαν αἴρυσαν, καὶ πλεονασμῷ τοῦ υ αὐέρυσαν, τουτέστιν εἰς τοὐπίσω ἀνέκλασαν τὸν τράχηλον τοῦ θυομένου ἱερείου, ὡς προσέχειν εἰς οὐρανόν. Ἄλλως.

Αὐέρυσαν, ἢ ἀνέρυσαν μὲν πρῶτα. ἔθος ἑλληνικὸν εἰ μὲν τοῖς ἄνω ἔθυον, ἀνακλᾶν τὸν τοῦ ἱερείου τράχηλον, ὥστε ἀφορᾶν ὡς εἰς οὐρανόν καὶ ἐλέγετο τοῦτο αὐερύειν, ἐν παραθέσει δύο λέξεων. ἢ ἀναρύειν, ἐν συνθέσει κατὰ ὑφὲν, τουτέστιν ὀπίσω ἕλκειν, καὶ ἀναφέρειν ἐν τῷ ἀνακλᾶν. ὃ καὶ ἐρμηνεύειν δοκεῖ Σοφοκλῆς ἐν τῷ, ἄνω τρέπων ἔσφαζεν. ἐὰν μέντοι ἥρωσιν ἢ ἄλλως τοῖς καταχθονίοις ἔθυον, κάτω τὸ ἱερεῖον ἀποβλέπον ἐσφάζετο. τὸ σφάζειν πρωτότυπον, φῶ φάζω, καὶ πλεονασμῷ τοῦ σ σφάζω. κατὰ τὸ, μικρὸν σμικρὸν, καὶ μερίδω σμερίδω, καὶ μῶ σμῶ, ὅθεν τὸ σμήχω. ἢ ἐκ τοῦ ἔρυσαν, καὶ μετὰ α αἔρυσαν, καὶ πλεονασμῷ τοῦ υ αὐέρυσαν, τουτέστιν εἰς τοὐπίσω ἀνελκύσαντες τὸν τράχηλον τοῦ θυομένου ἱερείου, ὡς προσέχειν εἰς οὐρανόν. Ἄλλως.

Αὐέρυσαν παρὰ τῷ ποιητῇ, ἀνέστρεψαν τὸν τράχηλον τοῦ ἱερείου, ἵνα ἡ κεφαλὴ ἄνω ἀφορᾷ. τοῖς γὰρ οὐρανίοις θεοῖς ὑπό τε τὴν ἕω ἔθυον, ἀνατέλλοντος τοῦ Ἡλίου, καὶ ἀναστρέφοντες τὰς κεφαλὰς τῶν θυομένων. τοῖς δὲ καταχθονίοις τὸ ἔμπαλιν, περί τε δυσμὰς Ἡλίου, καὶ τὰς κεφαλὰς κάτω τρέποντες τῶν ἱερείων. τὸ δὲ αὐέρυσαν ὁμοῦ δεῖ ἀναγινώσκειν, ἀπὸ τῆς ἀνὰ προθέσεως, καὶ τοῦ ἐρύειν ἐστὶ συντεθειμένον κατὰ ἀποκοπὴν, καὶ πλεονασμῷ τοῦ υ, ἵνα μακρὸν τὸ α γένηται. ὡς ἀπὸ τῆς κατὰ προθέσεως καὶ τοῦ ἆξαι, τὸ καυάξαις παρ' Ἡσιόδῳ.

Αὐέτη, τῇ αὐτοετῇ.

Αὐθάιμι, ὑγραίνεις.

Αὐήρ, Αἰολικῶς ἀντὶ τοῦ ἀήρ.

Αὐῆλαι, ἆσαι.

Αὐήτων, ἐνιαυτῶν.

Αὐθάδεια, θρασύτης, ἀλαζονεία, αὐταρέσκεια.

Αὐθάδες, ἐξουσιαστικόν.

Αὐθάδης, ὑπερήφανος, θυμώδης. καὶ κλίνεται αὐθάδεος. ἡ κλητικὴ, αὐθάδες. παραλόγου δὲ, τὸ αὐθάδες.

Αὐθαδία, ἡ προπετεία.

Αὐθαδιάζεται, ὑπερηφανεύεται.

Αὔθαιμοι, οἱ ἀδελφοὶ, ἀπὸ τοῦ αὐτοῦ αἵματος.

Αὐθαίρετος, αὐτόβουλος, ὁ αὐτεπάγγελτος.

Αὐθέκαστα, αὐτὰ καθ' ἑαυτὰ γινόμενα. ἢ αὐτὰ τὰ γινόμενα ἀκριβῶς καὶ συντόμως καὶ ἀποτόμως. ἢ τὰ ἁπλᾶ καὶ ἀληθῆ, αὐτακριβῶς.

Αὐθέκαστος, ἀκίνητος, καὶ ἐν τοῖς καθ' ἕνα θέλων ἀριθμεῖσθαι. ἢ ὡς ἀπαξιῶν πάντας, διὰ τὸ νομίζειν αὐτὸν ἑαυτῷ δύνασθαι ἀντὶ πάντων ἀρκεῖν. ἢ ὡς ἀνεπιτηδείως ἔχων πρὸς τὰς ἐπιμιξίας, δι' ἁπλότητα γνώμης. καὶ αὐθέκαστος, ἀκριβὴς, καὶ σύντομος. ὅθεν καὶ λόγους αὐθεκάστους, τοὺς σαφεῖς καὶ συντόμους λέγομεν. τινὲς δὲ, καὶ τὸν παρρησιαστικὸν καὶ αὐθάδη. καὶ αὐστηρὸς, ὁ τῷ λόγῳ ἀπαρακάλυπτος. ἢ τῷ τρόπῳ ἁπλοῦς, ἐλεύθερος, ἀξιόπιστος. αὐτάρεσκος.

Αὐθεκαστότης, ἀλλόκοτον. τὸ μὲν ἂν αὐθέκαστος, κάλλιστον ὄνομα. τὸ δὲ παρὰ τοῦτο πεποιημένον αὐθεκαστότης, κίβδηλον.

Αὐθεντεῖν, ἐξουσιάζειν.

Αὐθέντης, ὅ ἐστιν αὐτοφόντης. αὐθέντης λέγεται, ὁ ἐξ ἑαυτοῦ ἐπί τινος φόνον ἱέμενος, οἷον αὐτοέντης τὶς ὤν.

Αὐθεντήσαντα, κύριον γενόμενον. Μὴ ὀφείλειν αὐτὸν αὐθεντήσαντα, τοὺς ὑπὸ ζώνην συνέχειν.

Αὐθεντικωτάτῳ, αὐθαιρέτῳ.

Αὐθημερὸν, αὐτῇ τῇ ἡμέρᾳ.

* Αὐθήμερον, τὸ διὰ μιᾶς ἡμέρας πραχθέν. καὶ αὐθημερίσαι, τὸ τὴν αὐτὴν ὁδὸν διὰ μιᾶς ἡμέρας ἐπανελθεῖν.

Αὖθι ἐπὶ τόπου, ἀντὶ τοῦ αὐτόθι, καὶ ἀντὶ τοῦ πάλιν.

Αὐθιγενεῖς, ἐγγενεῖς, ἐπίγονοι.

Αὐθιγενὴς, γνήσιος, αὐτόχθων, ἰθαγενής.

* Βέλτιον δὲ, ἀστὸς, ἐπιχώριος, ἐγχώριος, ἡμεδαπὸς, ὁμόφυλος, ἐγγενὴς, ἔντοπος, τὸ γὰρ ἐνδήμιος ποιητικόν.

Αὖθι μένειν, τοπικὸν ἐπίρρημα αὐτόθι, ἐπὶ τόπον. ἐν γενικῇ γὰρ, ἐν τοπικῇ σχέσει λαμβάνεται. Ὅμηρος, αὐτοῦ οἱ καὶ μοῖρα τετάξεται. διαφέρει τοῦ αὖθις. τὸ μὲν αὖθι τοπικὸν ἐπίρρημα, ἀπὸ τοῦ αὐτόθι. τὸ δὲ αὖθις σημαίνει τὸ πάλιν, καὶ μετὰ ταῦτα. τὰ εἰς ι ἐπιρρήματα, πεφυκότα λέγεσθαι καὶ ἄνευ τοῦ σ, διὰ τοῦ ι γράφεται, αὖτις, καὶ αὖτι. ἢ τὰ βαρυνόμενα ἐπιρρήματα, ἀποστρέφουσι τὴν ει δίφθογγον. οἷον, αὖθι, νόσφι, ἀντὶ τοῦ χωρίς. ἄγχι, ἀντὶ τοῦ ἐγγύς. ἶφι, ἀντὶ τοῦ ἰσχυρῶς. ναίχι, ἀντὶ τοῦ ναί. ἧχι, ἀντὶ τοῦ ὅπου. ὕψι, ἀντὶ τοῦ εἰς ὕψος. πεντάκι, ἑξάκι, πλειστάκι, πολλάκι, ὀλιγάκι.

Αὖθι μένων ἐπὶ τόπου μένων.

Αὐθίξας, κινήσας.

Αὖθις μετὰ τοῦ σ τὸ πάλιν. αὖθι, ἀντὶ τοῦ αὐτόθι, χωρὶς τοῦ σ. καὶ αὖτις μετὰ τοῦ τ, τὸ ὕστερον. αὖτις μὲν Ὅμηρος χρῆται, καὶ Ἴωνες. αὖθις δὲ, Ἀττικοί. αὖθι δὲ καὶ τὸ αὐτόθι φησὶν Ὅμηρος τοπικόν. ὃ καὶ αὖθι, καὶ αὖτι ἐνίοτε, μέχρι χάριν γράφουσι. καὶ αὖθις, ἐξ ἀρχῆς, ἐκ δευτέρου. καὶ αὖθις, μόνον τῷ μέλλοντι συντάσσεται. αὖθις ὑποστραφθεὶς, ἤγουν μεταστραφθείς.

Αὐθομαίμων, τῶν συγγενῶν.

Αὐθορίζειν, ῥιγοῦν, Κύπριοι.

Αὐθύπαρκτον, τὸ ἐν ἑαυτῷ καὶ ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν.

Αὐθώρης, ὁ αὐτὸν βλέπων.

Αὐθωρήτως, συντόμως.

Αὐθωρὸν, αὐτῇ τῇ ὥρᾳ.

Αὐΐαχοι, ἄβρομοι, πολύηχοι. ἢ παρὰ τὴν ἰαὴν, ὃ σημαίνει τὴν φωνήν. ἢ παρὰ τὸ ἰαχὴ, ἰαχὸς, καὶ ἐν συνθέσει αὐΐαχος, ἵνα σημαίνῃ τὸν ξηρόφωνον.

Αὐϊδέτου, ἀφανοῦς, ἀοράτου.

Αὐκάν, ἀλκήν, Κρῆτες.

Αὐκήλως, ἕως, ὑπὸ Τυρρηνῶν.

Αὐκηρασία, ἀφθάρτως.

Αὐκύονα, ἀλκύονα. Κρῆτες.

Αὐλαὶ, πανδοχεῖς.

Αὐλαία, τὸ τῆς σκηνῆς παραπέτασμα.

Αὐλαὶ, ἐπίνειον Κιλικίας, πλησίον Ταρσοῦ. οἱ οἰκοῦντες, αὐλαιῶται.

Αὐλακας, κοίλους τόπους.

Αὖλαξ, ἡ ἐπιμήκης τομὴ τῆς γῆς ἐξ ἀρότρου, καὶ σπήλαιον κοῖλον.

Αὔλαρος, αὐλωρὸς, οἰκοφύλαξ.

Αὐλαχα, ἡ ὕννις.

Αὔλειος, ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. καὶ αὐλείους, θύρας.

Αὐλείτης, ὁ ἀπὸ τῆς ἐπαύλεως, ὁ ἄγροικος. ἔστι δὲ παρὰ τὴν αὐλὴν τὸ ὄνομα.

Αὐλὴ, ὁ περιτετειχισμένος καὶ ὕπαιθρος τόπος. καὶ αὐλὴ, τὸ νῦν ἀρχεῖον λεγόμενον, ὅπου ἀπήγοντο οἱ κατάκριτοι. καὶ τοὺς ἐκεῖσε ὑπηρέτας, αὐλικοὺς ὠνόμαζον.

Αὐλὴν, κοίτην, ἐπαυλισμόν. καὶ αὐλὴν, καὶ αὐλιν παρωνύμως, καὶ ἔπαυλιν ἔστιν εἰπεῖν.

Αὐλῆρας, ἡνίας, μάνδρας.

Αὐληρὸν, χαλινὸν, σχοινίον. οἱ δὲ, σπεῖραν.

* Αὔλημα, φύσημα, πνεῦμα.

Αὐλῆς, ἐπαύλεως. καὶ αὐλῆς ἐν χόρτῳ, ἐν τῷ περιφράγματι τῆς αὐλῆς περιωρισμένῳ. καὶ γὰρ τὰ ὅμορα, σύγχορτα λέγουσι. καὶ αὐλῆς, τῆς κατ' ἀγροὺς ἐπαύλεως λέγει.

Αὐλησεῦντι Δωρικῶς, ἀντὶ τοῦ αὐλήσουσι. αὐλεῖν δὲ, τὸ δι' αὐλοῦ μέλπειν.

Αὐληταὶ, ἀκροαταὶ, αὐλοῦντες.

* Αὐλητικαὶ ἁρμονίαι, ἡ μὲν Δωριστὶ, ἡ δὲ Φρυγιστὶ, ἡ δὲ Λύδιος, ἡ δὲ Ἰωνικὴ καὶ σύντονος. ἐπαινῶν δ' ἂν αὐλητὴν εἴποις, ἐμμελὴς, δεξιὸς, εὔπνους, μέλη φυτεύων, ἰσοδίῳ φυσήματι χρώμενος, διὰ μέγεθος καὶ τόνον καὶ ἰσχὺν πνεύματος οὐκ ἐνοχλεῖν τῷ προσώπῳ εἰς ἀταξίαν, μέγα πνέων, ἁδρὸν, εὔπνουν, ἰσχυρὸν, ὄρθιον, ῥᾴδιον, ἡδύπνουν. τὸ γὰρ λιγυρόπνουν ποιητικόν.

Αὐλήτην, τὸν τοῦ κόσμου ἐπιμελούμενον τῶν προβάτων.

Αὐλητοθήκη, αὐλῶν θήκη.

Αὐλητρίαν, τόπος παρὰ Ταραντίνοις.

Αὐλητὴς, εἶδος σφηκός.

Αὐλία, ἀντὶ τοῦ ἔπαυλις. οὕτω Λυσίας, καὶ Αἰσχίνης.

Αὐλίδα, λιμένα.

Αὐλίζεται, καταλύει, φυλάττεται, παρεμβάλλει, κοιμᾶται.

Αὐλίζομαι, τὸ ἀναστρέφομαι ἐν τῷ δ' ἐν τῷ ὕπνῳ. καὶ αὐλίζομαι, μένω, ἐνδιατρίβω.

Αὐλιζομενάων, εἰς κοίτην ἐλαυνομένων.

Αὐλιζόμεναι, ἀντὶ τοῦ κοιμώμεναι. οὕτως Ἀντιφῶν.

Αὐλίκαροι, φύλακες.

Αὐλικοὺς, κιθαρῳδούς.

Αὐλίξαι, στασιάσαι, δραμεῖν.

Αὐλὶξ, φλέψ.

Αὐλιονάνθεια, παρὰ τὸ ἐν αὐτῷ αὐλισθῆναι τὸν Διόνυσον.

Αὐλιον ἀστέρα λέγει ὁ Ἀπολλώνιος, τὸν ἕσπερον. ἢ παρὰ τὸ αὐλίζεσθαι, ὅ ἐστι κοιμᾶσθαι. ἢ παρὰ τὸ ἐν αὐλαῖς διατρίβειν, καθ' ἣν ὥραν ὁ ἕσπερος ἀνατέλλει.

Αὐλὶς, ἀντιπέραν Εὐβοίας κεῖται, φυλάσσουσα μέχρι καὶ νῦν τοὔνομα. ἐκλήθη δὲ οὕτω, παρὰ τὸ ἐκεῖ αὐλισθῆναι τὰς τῶν Ἀχαιῶν νῆας πρὸ τοῦ ἀπόπλου. ἢ ἀλισθῆναι, ἤγουν συναθροισθῆναι. ἢ ἀπὸ Αὐλίδος φασὶ, θυγατρὸς Ὠγύγου ἢ Κηφισοῦ. ἔχει δέ φασι λιμένας ἡ αὐλὶς, τοὺς μὲν βλέποντας ἐπὶ τὴν Ἴλιον, τοὺς δὲ καταγωγοὺς ἀπὸ πάσης Ἑλλάδος. διὸ ἀθροισθέντες οἱ Ἀχαιοὶ αὐτόθι, ἀνέπλευσαν. ὁ Στράβων δέ φησιν, ὅτι Αὐλὶς πετρῶδες χωρίον,

Digitized by Google

ριον, ἔνθα λιμὴν πεντήκοντα πλοίοις. ὥστε εἰκὸς τὸν ναύσταθμον τῶν Ἑλλήνων ἐν τῷ μεγάλῳ ὑπάρξαι λιμένι. πλησίον δ' αὐτῆς Εὔριπος, ὁ Χαλκιδικός. εἰς ὃν ἀπὸ Συρνίου στάδια ἑβδομήκοντα. ὀξύνεται δὲ ἡ αὐλὶς, ἀναλόγως διὰ τὴν παρωνυμίαν. ὡς πύλη, πυλίς. τὸ δὲ βαρύτονον, ἐξ οὗ καὶ ἡ ἔπαυλις, Αἰολικόν φασιν εἶναι. βαρυτικοὶ γὰρ οἱ Αἰολεῖς. καὶ ἄλλως δὲ, ἡ μὲν αὐλὶς, ὡς ἐκ τοῦ αὐλίζω αὐλίσω, ἔχοι ἂν ἴσως τὴν ὀξεῖαν τόνησιν. ἡ δὲ αὖλις τὴν βαρεῖαν, πρὸς διαστολήν. οἷον, ἀτερπέα δ' αὖλιν ἔχυρσαν. καὶ ἔστιν ἡ τύπου ἀναλογία, κατὰ τὸ Θέτιδα θέτιν, Θέμιδα θέμιν, Κύπριν. ἃ δὴ πάντα βαρύνονται.

Αὐλὶς, πόλις Βοιωτίας κατ' ἀντικρὺ τῆς Εὐβοίας κειμένη.

Αὖλις, ἀπὸ τῆς αὐλῆς Αἰολικῶς, ἡ κοίτη, καὶ ἡ κατασκήνωσις. ὅθεν καὶ ἡ ἔπαυλις, καὶ τὸ αὔλιον.

Αὐλίσκοι, ἐνώτια, Πέρσαι.

Αὐλισμὸς, διανυκτέρευσις.

Αὖλα. Λυσίας ἐν τῇ κατὰ Διοδότου, καὶ Αἰσχίνης κατὰ Κτησιφῶντος, ἤτοι ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ τὰς μακρὰς αὐλάς.

Αὐλοὶ καὶ σύριγγες, ὄργανα ἐπιπνεόμενα. ὡς καὶ Ἀριστοφάνης, καλαμίνην σύριγγα. καὶ ἀπὸ μὲν τῶν αὐλῶν, αὐλεῖν, ὑπαυλεῖν, καταυλεῖσθαι, παραυλεῖν, αὔλημα, ἔναυλον, ἔξαυλον, ἐξηυλημένον. ἐρεῖς δὲ καὶ πολύφθογγος αὐλός. καὶ πολύκομπος, πολυκαμπὴς, πολύφωνος, πολυμελὴς, πολυμελπὴς, πολυμήκης. Πλάτων δὲ καὶ πολύχορδον εἴρηκε τὸν αὐλόν. ἐπὶ δὲ αὐλῶν φαίης ἂν, ἐμφυσᾶν, ἐμπνεῖν, ἢ καταπνεῖν. καὶ καταπέμπειν τὸ πνεῦμα εἰς τὸν αὐλὸν, ὑποπιμπλαμέναις ταῖς γνάθοις, ὑπογκωμέναις, ὑποιδούσαις, καὶ ἄλλα πολλά.

Αὐλοῖσι διδύμοισιν· Ὅμηρος ἐν Ὀδυσσείας τ. αὐλοὶ δὲ ἐνταῦθά φασι, ῥαβδοειδεῖς τινες ἀναστάσεις εὐθεῖαι, εἰς ἃς κατακλείονται αἱ περόναι. ἃς διὰ τοῦτο καὶ κληῖδας εὐγνάμπτους ἔφη πρὸ μικροῦ. δίδυμοι δὲ οἱ τοιοῦτοι, ἀντὶ τοῦ διπλοῖ, ἢ συμφυεῖς ταῖς περόναις.

Αὐλός· τὸ φωνητικὸν ὄργανον. σημαίνει καὶ τὸν εἰς εὐθὺ ἀνακοντισμὸν τοῦ αἵματος, ὡς, τὸ αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν αἵματος. σημαίνει καὶ περόνης μέρος. ὡς τὸ, αὐλοῖσι διδύμοισι πάροιθεν δαίδαλα ἦκεν. καὶ τὸ στάδιον. Ἄλλως.

Αὐλὴ, ἡ ὀπὴ τῆς αἰχμῆς, ἣ τὸ ξύλον ἐμβάλλεται. ὅθεν λέγομεν, τὸ δολιχαύλους αἰγανέας. ἢ αὐλὸς ἐν Ὀδυσσείας χ κατὰ τοὺς παλαιοὺς, κρουνὸς, ἐξακόντισμα, αἵματος ὀξεῖα ἀναφορά. αὐλὸς γάρ φασι πᾶν στενόν. ὅθεν καὶ ἔναυλοι, οἱ στενοὶ ποταμοί. τοιοῦτόν τι καὶ οἱ αὐλῶνες. ὅθεν καὶ τὰ διαυλωνίζοντα πνεύματα. καὶ διαυλώνια, τοπικὴ στενότης καθ' ἣν ὄρτυγες, ἢ ἁπλῶς ἄγριοι ὄρνιθες ἀγρεύονται. ἢ κατά τινας αὐλὸς, τὸ ὀξὺ τοῦ δόρατος. ἐπεὶ καὶ αἰγανέας δολιχαύλους πού λέγει Ὅμηρος, τὰς μακροξύλους. ἢ τὸ τρῆμα τῆς κυνέης, τὸ διὰ τοῦ ἔγχεος. καὶ ἄλλως δὲ, αὐλὸν τὸν ἐξακοντισμόν φησιν Ὅμηρος, καὶ τὴν ἐπιμήκη φορὰν τοῦ αἵματος. αὐλὸς γὰρ πᾶν τὸ ἐπίμηκες καὶ πλατύ. ὅθεν καὶ οἱ αὐλῶνες, καὶ ὁ τῶν πνευμάτων ἀνακαμπτικὸς διαυλωνισμός. καὶ αὐλὸς καὶ δίαυλος τὸ στάδιον. καὶ ἐξ αὐτοῦ μεταφορικῶς καὶ ἡ ἁπλῶς ὁτινοσοῦν ἀνάκαμψις. ὡς τὸ, Πολλοῖς διαύλοις κυμάτων φορούμενος. καὶ ἐν χορδαῖς χεῖρα καμψιδίαυλον ἀναστροφῶν τάχος, ἤγουν ταχὺ ἀναστρέφων. ἐν τῷ πλήττειν τὰς χορδάς, εἰς ὃ καλλίων φράσις ἡ τοῦ νέου Φιλοστράτου. ἐν τῷ οἱ δάκτυλοι δὲ, τοῖς μίτοις ἐπεστάνυντο.

Αὔλους, ἀσωμάτους.

Αὐλουρὸς, οἰκοφύλαξ.

Αὐλῶ (καταυλῶ δὲ, ἕτερον) μεταβατικῶς αἰτιατικῇ συντάσσεται.

Αὐλωλάζειν, τὸ σύρειν διὰ τῶν δακτύλων.

Αὐλὼν, στενὴ ἀναφορὰ τοῦ ὕδατος. καὶ λειμὼν, ὁ ἔφυδρος τόπος.

Αὐλῶνες, οἱ ἐπ' εὐθείας τόποι. Αἰσχύλος, καὶ τὴν τάφρον καὶ τὴν πυράν. Σοφοκλῆς δὲ, τὴν λόγχην τὴν μακρὰν, αὐλῶπιν εἶπεν. αἱ φάραγγες, ἢ τόποι πλατεῖς εἰσίν. αἱ αὐλῶνες, τὰ μεταξὺ τῶν φαράγγων στενὰ, καὶ ἐπὶ μῆκος φερόμενα.

Αὐλωνία πόλις, ὑπὸ Κροτωνιατῶν κτισθεῖσα.

Αὐλωνίζει, ἐν αὐλῶνι διάγει.

Αὐλωπίας, κοιλόφθαλμος.

Αὐλῶπις, ἡ περικεφαλαία, ἡ παρατεταμένους ἔχουσα τοὺς ὦπας. καὶ αὐλῶπις, ἡ εἰς αὐλὸν ἀνήκουσα, ὅ ἐστιν εἰς στενὸν καὶ μακρὸν ἀπολήγουσα. κεῖται γάρ ποτε καὶ ἐπὶ τοιούτου αὐλός. ὡς ἐν τῷ, αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθε. πάνυ δὲ κατακέχρηται, εἰ καὶ στοπικῶς ὁ αὐλὸς ἐνταῦθα, καθὰ καὶ ἐν τῷ αὖλαξ. καὶ αὕτη γὰρ διὰ τὸ στενοεπίμηκες, ἐκ τοῦ αὐλοῦ παρωνόμασται· καὶ μὴν αὕτη ἔχει τι καὶ κοιλότητος τῆς τοῦ ἀρότρου τομῆς. καίπως ἐγγίζει τῷ αὐλῷ, διὰ τοῦτο μᾶλλον, ἤπερ ἡ αὐλῶπις τρυφάλεια. εἰ μὴ ἄρα καὶ αὐτῇ βοηθεῖ εἰς στοπὴν ἡ κατὰ αὐτὴν κοιλότης. ὁ μέντοι ῥηθεὶς παχὺς αὐλὸς ἀνὰ ῥῖνας, σκληρότερον τέτραπται.

Αὐλῶπις, ἡ λήγουσα εἰς ὀξὺ τῷ αὐλίσκῳ, εἰς ὃν ὁ λόφος ἐνίεται.

Αὐλωτοὶ φιμοὶ λέγονται, διὰ τὸ κώδωνας ἔχειν, ἐπηρτημένους. οἷς ἐγχρεμετίζοντες οἱ ἵπποι, ἦχον ἐποίουν προσόμοιον αὐλῷ.

Αὖμα, ἅλμη, ὑπὸ Κρητῶν.

Αὐξάνομαι, ἐπιδίδωμι, αὔξω, ἐπιτείνω.

Αὔξας, ὁρμήσας.

Αὔξει, ἐπὶ ἐνεργητικοῦ. οἷον αὔξει ὁ ἥλιος καὶ ἡ ὑγρότης τὰ φυτά. καὶ αὔξει, ἀντὶ τοῦ αὐξάνεται. Ἀριστείδης ἐν τῷ εἰς Ῥώμην. ἀλλὰ καὶ εἰκότως ηὔξησεν ἀρχὴ, αὐξάνει ἐπὶ παθητικῆς σημασίας. οἷον αὐξάνει τὰ φυτὰ, ἤγουν αὔξησιν δέχεται. καὶ αὐξάνομαι, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου.

Αὐξῆ, ὡς αὐλῆ, καὶ αὐδῆ. ζητεῖται πότερόν ποτε καλεῖται περισπωμένως, ἢ βαρυτόνως; οἱ μὲν ἀξιοῦσι καλεῖν καὶ περισπᾶν, ἡμεῖς δὲ λέγομεν ὅτι οὐ δύναται. οὐδὲ γὰρ τὸ ῥῆμά ἐστιν, αὐξῶ. λέγομεν οὖν, ὅτι τρία ταῦτα ὁμοίως λέγεται, αὔξη, καὶ βλάστη, καὶ ἄνθη. ἐπεὶ παρεσχημάτισται αὐτοῖς, αὔξησις, βλάστησις, ἄνθησις. τὸν αὐτὸν οὖν ἕξει καὶ ταῦτα τόνον, οὐ περισπώμενα. ἀλλὰ ἀναβιβαζόμενα, αὔξη, βλάστη, ἄνθη.

Αὔξησις, ἐπὶ ἀνθρώπων ἢ ζώων, ἢ ἑτέρων τινῶν. αὔξη δὲ καὶ βλάστη, ἐπὶ μόνων τῶν φυτῶν. καὶ αὔξησις κίνησις περὶ τὸ τέλειον μέγεθος.

Αὐξίδιμος Ἑρμῆς, ἐπὶ τῆς ἱδρύσεως.

Αὔξω, τὸ αὐξάνω, ἤτοι τὸ αὔξησιν λαμβάνω. ηὔξυσε δέ τις τὴν πόλιν μεταβατικῶς, αἰτιατικῇ συντάσσεται.

Αὖον βοὰν, διαστέλλεται τῆς τῶν ὑγρῶν βοῆς. ἐκείνη γὰρ ἑτεροία ἐστί. γενικὴν δὲ ἀοριστίαν ἔχει τὸ βοὰν αὖον, δηλοῦν τὸ κτυπεῖν, δουπεῖν, βομβεῖν, καὶ τοιαῦτά τινα. μᾶλλον δὲ καί τι τύπων στραχύτερον παρ' Ὁμήρῳ. καὶ αὖον, ξηρόν. Ἡσίοδος, αὖον ἀπὸ χλωροῦ τέμνει. καὶ αὖον κοινῶς μὲν ψιλοῦται. ἐν δὲ τοῖς Ἀππίωνος καὶ Ἡροδώρου φέρεται, ὅτι δασυντέον τὸ αὖον. καὶ ἔστιν Ἀττικὸς ὁ πνευματισμὸς οὗτος. καὶ ἐν τῷ αὐένῳ, ὡς δηλοῖ τὸ ἀφαυένθην παρὰ τῷ κωμικῷ. πρωτότυπον δὲ τούτων τὸ αὔω.

Αὐόνη, ἡ ξηρότης, παρὰ τὸ αὔω τὸ ξηραίνω. καὶ ἡ λύπη, κραυγὴ, αὐχμὸς, φθορὰ, κακοπάθεια, ξηρασία.

Αὖος, ξηρός. ἔστιν οὖν ῥῆμα, τὸ βρέχω. καὶ ἐπενθέσει τοῦ α, ἀύω, καὶ ἐν συναιρέσει, αὔω, ἐξ οὗ αὖος.

Αὖ πάλιν, πάλιν αὖθις.

Αὔπνους νύκτας ἴαυον, καὶ πολλὰς δὴ νύκτας ἀεικελίῳ ἐνὶ κοίτῃ ἄεσα.

Αὔρα, ἡ πνοή, α καὶ υ. ἄβρα δὲ ἡ δούλη, α καὶ β.

Αὐρηλιανὸς, βασιλεὺς Ῥωμαίων, τὰ πολέμια δεινῶς ἠσκημένος, ἀκάθεκτος δὲ τὴν γνώμην, καὶ ὠμός.

Αὐριβάτας, Αἰσχύλος τὸ αὔριον, καὶ ἐπὶ τοῦ ταχέως τίθησι. καὶ ὁ αὐτὸς Ψυχοστασίαις οὕτω φησί, τὸ ὄνομα Ταχυβήλων.

Αὐρίζειν, ῥιγοῦν, ἢ καὶ τὸ εἰς αὔριον ὑπερβάλλεσθαι.

Αὔριον ἐπίρρημα, τῷ μέλλοντι μόνῳ συντάσσεται. οἷον, αὔριον ποιήσω. ποτὲ δὲ καὶ ἐνεστῶτι, ἡνίκα ἂν ὡς ἐν βεβαίῳ γενέσθαι δηλοῦν βουλοίμεθα αὔριον ἔρχομαι.

Αὔριον, παρὰ τὸ αὐῶ Αἰολικὸν, ὃ σημαίνει τὴν ἡμέραν. αὔιον, καὶ αὔριον, τὸ χρονικόν.

Αὖροι, οἱ λαγωοί.

Αὐροὶ λόγοι, ἴσαυροι.

Αὐρόσχη, ἡ ἄμπελος.

Αὐρότερον, ἀσθενέστερον.

Αὖς, αὐτός. Κρῆτες, καὶ Λάκωνες.

Αὐσάντων, βοησάντων, φωνησάντων, κηρυξάντων.

Αὔσας, φωνήσας, βοήσας.

Αὐσίδα, πόλις Λιβύης. ἣν παραρρεῖ ὁ Κίνυφος ποταμός.

Αὐσίτης, Ἰσαυία, Ἰσαυίτης. καὶ ὑπερβιβασμῷ αὐσίτης. Ἰσαυία γὰρ, χώρα ἐστίν.

Αὐσὸν, ξηρόν.

Αὐσονία, ἡ Ἰταλία, κέκληται ἀπὸ Αὔσονος τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς υἱοῦ.

Αὔσονες, οἱ βασιλεῖς, παρὰ τὸ τολμῶ. οἱ πάντα ἐπιτολμῶντες τοῖς πράγμασιν.

Αὐσταλέος, καὶ κατὰ διάλυσιν, αὐσταλέος ὁ αὐχμῶν, ἀπὸ τοῦ αὔω. ἐξ οὗ καὶ ὁ αὐχμὸς, καὶ ὁ αὐχμηρός. ἔοικε δὲ ἀπὸ τοῦ τοιούτου αὔω, προϋπάρχειν δισύλλαβον καὶ ὁ αὐτὸς (ἐξ οὗ αὖθις) ὁ αὐστηρός. καὶ αὐσταλέων, ὁ αὐχμῶν. αὐσταλέως, ὁ μὴ λουσάμενος. καὶ αὐσταλέος, ὁ κατάξηρος, καὶ ἀνεπιμέλητος. ἀπὸ τοῦ αὔω αὔσω, τὸ φλογίζω, αὐσταλέα, καὶ αὐσταλέα. τροπῇ Δωρικῇ τοῦ ε εἰς α.

Αὐστὴρ, μέτρου ὄνομα.

Αὐστηρὸς, σημαίνει τὸν στρυφνὸν, ξηρὸν, αὐχμηρὸν, σκυθρωπόν.

Αὔσω, τὸ τολμῶ.

Αὐτάγγελος, ἡ ἀφ' ἑαυτῆς ἀπαγγέλλουσα· ὡς τὸ, αὐτάγγελος γὰρ δροῦς αὐτή σοι φράσει.

Αὐτάγετοι, αἱ ἑαυτὰς ἀγάμεναι.

Αὐτάγρετα, τουτέστιν αὐθαίρετα. ἢ μᾶλλον αὐτόθεν ἀγειράμενα, ἤγουν ἀγρευόμενα, καὶ παρ' αὐτὰ γινόμενα ἦν τοῖς ἀνθρώποις, πάντα τὰ πράγματα παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ.

Αὐτάγρετον, τὸ αὐθαίρετον.

Αὐτὰ κέλευθα, τὰς αὐτὰς ὁδοὺς, τὴν αὐτὴν ὁδόν.

Αὐτάδης, αὐτὸς ἀφ' ἑαυτοῦ.

Αὐταῖς βουλαῖς, ἀντὶ τοῦ σὺν αὐταῖς ταῖς βουλαῖς, Ἀττικῶς.

Αὐταιώρητος, ὑφ' ἑαυτοῦ μετεωριζόμενος.

Αὐταῖς ἀμάλαις, ἐπὶ τῶν πανωλεθρίᾳ διαφθειρομένων. οἱονεὶ, αὐτοῖς βάθροις, αὐταῖς ῥίζαις. ἀμάλη γὰρ ὁ καρπός.

Αὐτάλει, ἐσκίρτα.

Αὐτάλκης ζωμὸς, καὶ ὁ αὐτάρκης.

Αὔτανδρον, σὺν αὐτοῖς τοῖς ἀνδράσιν.

Αὐτανίδας, αὖθις, πάλιν.

Αὐτάντας, ὁ προεστὼς τινὸς πράγματος, καὶ αὐθέντης.

Αὐτὰρ ποιητικῶς, ἀτὰρ κοινῶς. καὶ αὐτὰρ καὶ ἀτὰρ οἱ σύνδεσμοι, ἀδιάφοροι πάντῃ εἰσὶ πρός τε ἀλλήλους, καὶ πρὸς τὸν δὲ σύνδεσμον. διαφέρουσι δὲ ἀμφότεροι τοῦ δὲ συνδέσμου, ὅτι αὐτοὶ μὲν ποιητικώτεροί εἰσιν, ἐκεῖνος δὲ κοινός. καὶ αὐτοὶ μὲν ἀεὶ προτάσσονται τῶν τοῦ λόγου μερῶν. ἐκεῖνος δὲ, ἀεὶ ὑποτάσσεται. τὸ δ' ὅμοιον προείρηται καὶ περὶ τοῦ ἤτοι, καὶ μέν. δῆλον δὲ ὅτι καὶ ὁ καὶ σύνδεσμος, καὶ ὅτε, εἰ μὴ παραπληρωματικῶς ἁπλῶς οὕτω τίθενται, ἰσοδυνάμως ἔχουσι. διαφέρουσι δὲ, ὅτι ὁ καὶ μὲν προκατάρχει τῶν λέξεων, οἷον καὶ ἐγὼ καὶ σύ. ὅπερ καὶ αὐτὰρ ἐγὼ, ἀτὰρ σύ. ὁ δὲ τε ὑποπίπτει, οἷον, ἐγώ τε σύ τε, ὡς καὶ τὸ ἐγὼ δὲ, σὺ δέ. τὸν δὲ τόνον τοῦ ἀτὰρ καὶ αὐτὰρ παρασημειοῦνται οἱ παλαιοὶ, ὡς μὴ ἂν ἄλλως ἔχοντα λέγοντες. αἱ εἰς ρ λήγουσαι βραχυκατάληκτοι λέξεις βαρύνονται. κἂν ἄλλοθέν ποθεν εἰς

ἔξω?

Digitized by Google

ἔξω μόνον βιάζωνται, οἷον πάτηρ, σώτηρ, θύγατηρ, ἦμαρ, ὕπαρ, ὄναρ, φρέαρ. χωρὶς τοῦ ὑπὲρ προθέσεως, καὶ χωρὶς τοῦ ἀτὰρ καὶ αὐτὰρ.

Αὐτὰρ ἐμοὶ δὲ, ἐπεὶ δὲ, μετὰ ταῦτα.

Αὐτὰρ δὴ, ἢ ἀληθῶς, ἢ ἐπειδὴ.

Αὐτὰρ δὲ, ἐγὼ δέ.

Αὐτάρεστος, ὁ ἐφ' ἑαυτῷ ἀγαλλόμενος.

Αὐτὰρ ὑπὸ χθὼν, ὑπὸ δὲ τῶν ποδῶν αὐτῶν ἡ γῆ.

Αὐτὰρ ἔπειτα, μετὰ δὲ ταῦτα.

Αὔταρκες, τὸ ἱκανῶς ἐξαρκεῖν.

Αὐτάρκης, αὐτοβοηθὸς, παρὰ τὸ αὐτὸς, καὶ τὸ ἀρκῶ τὸ βοηθῶ, ὁ ἑαυτῷ ἐπαρκῶν, καὶ βοηθῶν.

Αὖτε, ἀπὸ τοῦ α τοῦ σημαίνοντος τὸ ὀπίσω, γίνεται ἄτε, καὶ πλεονασμῷ τοῦ υ αὖτε. αὖτις δ' ἐξοπίσω πλῆτο χθονὶ, σημαίνει τὸ ἐξ ὑστέρου, ἢ τὸ ἐκ δευτέρου. ἐκ τοῦ τὶς καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ εἰς τὰ ὀπίσω, γίνεται ἄτις. καὶ ὡς παρὰ τὸ ἐρύσω γίνεται ἀέρυσαν καὶ αὐέρυσαν, οὕτω καὶ αὖτις, ὁ σημαίνει τὸ πάλιν.

Αὖτε, ἀντὶ τοῦ πάλιν. καὶ αὖτε, ἀντὶ τοῦ μετὰ ταῦτα.

Αὐτεῖν, τὸ τοῦ ἀΰειν φροντιστηρίας ἔχεται. ἄυω γὰρ, καὶ διαλύσει αὔω, ἐξ οὗ αὐτὴ, ὅθεν τὸ αὐτῶ. Ὅμηρος, μακρὸν ἄϋσε, ὅ ἐστιν ἐφώνει.

Αὐτεξούσιον, ψυχῆς φρόνησις, ἔχουσα ἐπιτηδειότητα νεῦσαι πρὸς ἃς βούλεται πράξεις. ἢ αὐτεξούσιον, τὸ αὐτοδέσποτον. τὸ γὰρ ὑπὸ δεσπότου ὂν, οὐκ ἔστιν αὐτεξούσιον. ἤγουν αὐτεξουσιότης ψυχῆς νοερᾶς ἐστιν, ἡ ἀκώλυτος πρὸς ἀρετὴν, ἢ κακίαν τοῦ ἐπιθυμητικοῦ ἡμῶν ῥοπή τε καὶ κίνησις. ἔνθα δὲ κακίας καὶ ἀρετῆς προσβολὴ οὐ γίνεται, ἐκεῖ οὐδὲ ἡ αὐτεξουσιότης τῆς ψυχῆς γνωρίζεσθαι δύναται. πῶς γὰρ ἂν καὶ φανήσεται ἡ αὐτεξούσιος προαίρεσις, ἔνθα προσβολὴ ἐναντία οὐ γίνεται. μόνος τοίνυν ὁ τοῦ Χριστοῦ νοῦς καὶ ἡ παναγία αὐτοῦ ψυχὴ, ἄγνωστος καὶ ἄδεκτος πάσης προσβολῆς πονηρᾶς γέγονε. μορφὴ γὰρ δούλου ἦν χαλιναγωγουμένη καὶ δεσποζομένη ὑπὸ τοῦ καθ' ὑπόστασιν ἡνωμένου αὐτῇ θεοῦ λόγου. διόπερ καὶ ἔλεγεν ὁ κατὰ τὸν σωτῆρα νοούμενος ἄνθρωπος, Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. ὑπὲρ γὰρ τοὺς ὅρους καὶ νόμους τῆς ἡμετέρας φύσεως ὑποστὰς ἀπορρήτως ὡς θεὸς, σῶμα καὶ ψυχὴ ὢν, τῇ τοῦ δεσπότου νεύσει ἑτοίμως ὑπεπίπτετο ὡς θεωθείς.

Αὐτεπάγγελτος, ὁ αὐτόκλητος.

Αὐτεπίβουλος, αὐτοφονευτής.

Αὐτερέται, αὐτοὶ ἐρέσσοντες.

Αὔτευν, εἶχε μὲν αὔτουν εἶναι κοινότερον, ὡς τὸ ἐποίουν, προετιμήθη δὲ ὅμως διὰ ὄγκον φωνῆς, τὸ ποιητικώτερον. καὶ αὔτευν, ἐφώνουν, ἐβόων.

Αὐτὴ, ἡ βοὴ, παρὰ τὸ αὔω τὸ φωνῶ. λαμβάνονται δὲ καὶ ἄμφω ποτὲ ἐπὶ πολέμου. αὐτὴ γὰρ καὶ βοὴ, πολλαχοῦ ἡ μάχη, ἐκ τοῦ παρακολουθοῦντος. παρακολουθεῖ γὰρ ἡ μεγάλη βοὴ τῇ μάχῃ. διὸ καὶ φύλοπις λέγεται, ἐκ τῆς τῶν φύλων ὀπός. καὶ Ἐνυὼ δὲ, ἀπὸ τοῦ ἐναύω τὸ φωνῶ.

Αὕτη, ἐκείνη. αὕτη δὲ, δεικτικῶς. ὡς τὸ, αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος.

Αὐτῇ, βίᾳ, τῇ δυνάμει, καὶ αὐτὴν, κραυγὴν, φωνὴν, βοήν.

Αὐτὴ κάμινος, αὐτὸς εἵλκυσε καπνὸς ἢ στοχὸς, ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια διαπραττομένων.

Αὐτῆκεν γαίῃ, σὺν αὐτῇ ἂν τῇ γῇ.

Αὐτήκοοι, οἱ μὴ ἐπιστασόμενοι, αὐτοὶ δὲ ἑαυτῶν ἀκούοντες.

Αὐτῆμαρ, αὐτῇ τῇ ἡμέρᾳ.

Αὐτῇσι ῥίζῃσι, σὺν αὐταῖς ταῖς ῥίζαις.

Αὕτηποι δίκη ἐστὶ θεοῦ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας τ, τουτέστιν αὕτη θέμις θεοῦ ἐν τῷ ἐπιφαίνεσθαι ποιεῖν οὕτω, καθὰ δηλαδὴ βλέπεις. τινὲς δὲ γράφουσιν, αὐτήτοι δίκη ἐστὶ θεοῦ, τουτέστιν οὐκ ἄλλος τὶς ὁ ἔνδον ἄρτι θεὸς, ἢ αὐτὴ δίκη ἑσομένη σὺν ἡμῖν, ἢ καὶ οὖσα ἤδη.

Αὐτίκα, ἐπίρρημα μεσότητος χρόνου δηλωτικόν. ὥσπερ παρὰ τὸ πολλὰ γίνεται πολλάκις. οὕτω καὶ παρὰ τὸ αὐτὰ, αὐτάκι. καὶ κατὰ ἀντίθεσιν αὐτίκα. καὶ αὐτίκα μάλα, ἀντὶ τοῦ τάχιστα. ὃ γὰρ δύναται τὸ τάχιστα, τοῦτο καὶ τὸ αὐτίκα μάλα. ἀλλὰ τὸ τάχιστα μὲν, γενικῇ τῶν πληθυντικῶν συντάσσεται, ὡς τὸ τάχιστα πάντων. ὡς καὶ τὰ μάλιστα, καὶ τὸ ἥκιστα πάντων. τὸ δὲ αὐτίκα, κἂν ἰσοδυναμῇ, οὐκ ἔστι πρὸς ὅ, τι παρατιθεμένον συντάσσεται. καὶ αὐτίκα ἐπείκει πυρὸς θερέω, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ, ἤγουν ὑπὸ πυρὸς θερμανθῶ, ἀλέη δὲ γένηται, ἡ ἐκ τοῦ ἡλίου δηλονότι.

Αὖτις ἰωνικόν. τὸ δὲ αὖθις κοινόν. ταυτὸν δὲ αὖτοις, τὸ πάλιν. αὐτὰ δὲ ὁμοῦ τὰ τρία δηλοῦσι, τὸ εἰς τοὐπίσω, οὗ δὴ δευτερονόμα τοῦτο ὄντος, εἴληπται παρὰ τοῖς ὕστερον τὸ πάλιν ἁπλῶς, ἀντὶ τοῦ ἐκ δευτέρου.

Αὐτίτης, ὁ χωρὶς παραχύματος οἶνος, οἷον ἑψήματος. ἢ ὁ ἐπιχώριος, ἢ ὁ ἀμιγής. ἢ ὡς ἔνιοι, ὁ δευτερίας. ἢ ὁ ἐπέτειος.

Αὐτοῦ τὴν, τὸν αὐτοῦ τὴν, τὸν ἐκ τοῦ ἐνεστῶτος ἔτους, παρ' Ἱπποκράτει.

Αὐτμένα, τὴν ἀναπνοὴν πνευμάτων, ἢ καὶ πεφυσημένα. τὸν αὐτμένα, σπανίως ἐστὶν εὑρεῖν. ἡ αὐτμὴ γὰρ ἐν χρήσει πλείονι.

Αὐτμενότης, πεφυσημένος, πεπνευμένος.

Αὐτμὴ πυρὸς, ὁ καπνὸς, ὡς ἀναθυμίασις. παρὰ τὸ ἄω καὶ αὔω, τὸ πνέω. ἐπεὶ πνευμάτων ἡ ἀναθυμίασις γεννητική.

Αὐτμὴν, κλίνεται μὲν ὡς ὁ ποιμὴν, ὁ αὐτὸς δὲ ἐστι τῇ αὐτμῇ, ὅ ἐστι τῇ πνοῇ. καὶ γίνεται ἀπὸ τοῦ ἄω τὸ πνέω. καὶ παραγώγως αὔω, καθ' ὁμοιότητα τοῦ ἄω αὔω, τὸ φωνῶ. ἐκ τοῦ προρρηθέντος ἄω, καὶ τὸ ἆθμα γίνεται.

Αὐτὸ, ὅταν λάβῃ ἄρθρον καὶ γένηται ταυτὸν, μετὰ τοῦ ν γράφεται ὡς τὸ ξύλον. τὸ γὰρ ἄρθρον διαστέλλει αὐτὸ ἀπὸ τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ. εἰ δὲ σύμφωνον ἐπάγοιτο, ἀποβάλλει, ὡς τὸ τοιοῦτον.

Αὐτοβοᾶς, αὐτὸς ἑαυτῷ μαρτυρεῖς.

Αὐτοβοεὶ, αὐτῇ τῇ βοῇ, τὸ παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις. οἷον ταχέως, καὶ ἅμα τῷ πολεμικῷ ἀλαλάγματι.

Αὐτογένεθλον, τὸ αὐτογέννητον.

Αὐτό γε, ἐπ' ἐκεῖνον τὸν τόπον.

Αὐτόγνωτος, Σὲ δ' αὐτόγνωτος ὤλεσεν ὀργὰ, ἀντὶ τοῦ αὐθαίρετος, καὶ ἰδιογνώμων τρόπος.

Αὐτόγυον, μέρος ἀρότρου ἐστιν ὁ γύης, καὶ τὸ γύον. γίνεται δὲ παρὰ τὸ γαῖα, γύη, ἵν' ᾖ ἡ γύη, τῆς γύης, καὶ μεταχθείσης τῆς γενικῆς εἰς εὐθεῖαν, ὁ γύης.

Αὐτοδαῆ, καὶ αὐτομαθῆ, τὰ ἐκ φύσεως, καὶ μὴ ἐκ διδαχῆς. καὶ τὰ ὀρχήματα εἶεν αὐτοδαῆ.

Αὐτοδάϊκτος, ὁ ἑαυτὸν φονεύσας, ἢ καὶ κακοποιήσας.

Αὐτοδακὴς, μῆνις μικρά.

Αὐτόδαξον στόμον, αὐθάδη καὶ ὀργίλον. ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοῖς ὀδοῦσιν.

Αὐτόδειπνος, ὅταν τις κεκλημένος ἑαυτῷ φέρῃ τὰ ἐπὶ τὸ δεῖπνον.

Αὐτοδικεῖν λέγε, οὐκ αὐθεντεῖν. κοινότατον γάρ.

Αὐτόδιον, ἤγουν κατὰ τὴν ὁδόν· καὶ αὐτόδιον οἱ μὲν ἀντὶ τοῦ παραχρῆμά φασιν, ἐξ αὐτῆς τῆς ὁδοῦ. οἱ δὲ, ἀντὶ τοῦ αὐτίκα. καὶ Ἰωνικῶς ἐγράφη. κοινῶς γὰρ αὐθόδιον γράφεται.

Αὐτοδικεῖν, ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν. Δείναρχος ἐν τῷ κατὰ τοῦ Κλεομέδοντος.

Αὐτοεθείρας, κόμας, ἢ καὶ κόσμας.

Αὐτοέντης, αὐτόχειρ.

Αὐτοεπὴς Ἥρα παρ' Ὁμήρῳ, ἡ ἁμαρτάνουσα ἐν τῷ λέγειν.

Αὐτόετες, σὺν αὐτῷ τῷ ἔτει.

* Αὐτοετῆ, τὰ ἐνιαύσια. καὶ διενιαυτίσαι, τὸ δι' ὅλου ἐνιαυτοῦ τὶ πρᾶξαι. ἀπενιαυτίσαι δὲ τὸ φυγεῖν ἔτος, ἢ παύσασθαί τινος ἐπ' ἐνιαυτόν.

Αὐτόθεν, ἤγουν ἀπ' αὐτοῦ.

Αὐτόθι, ἐν αὐτῷ τῷ τόπῳ.

Αὐτοὶ θύομεν, ἀντὶ τοῦ αὐτοὶ πίνομεν.

Αὐτοῖς ἀνδράσιν ὤλετο ναῦς, ἀντὶ τοῦ σὺν αὐτοῖς ἀνδράσιν.

Αὐτοῖσιν ὄχεσφιν Ἀττικὸν, ἀντὶ τοῦ σὺν αὐτοῖς τοῖς ἅρμασιν.

Αὐτοκάβδαλος ναῦς, ἢ αὐτοκάβδαλον σκάφος, αὐτοσχέδιον. κυρίως δὲ ἡ λέξις, ἐπὶ τῶν ἀλφίτων εἴρηται. τὸ γὰρ ὡς ἔτυχε φυραθὲν ἄλευρον, αὐτοκάβδαλον λέγεται.

Αὐτοκαλὲς, τὸ ἐπιτυχὸν, συμβεβηκός.

Αὐτόκαρνος, αὐτοζήμιος. κάρνη γὰρ ἡ ζημία.

Αὐτοκασίγνητος, γνήσιος ἀδελφὸς, ὁ ἐκ τῶν αὐτῶν γονέων.

Αὐτοκέλευστος, αὐθόρμητος. Κρότος τε ἀθρόως, οὐκ ἐκ παραγγέλματος, ἀλλ' αὐτοκέλευστος ὡρμήθη.

Αὐτοκέραστον, οἷον ἀκέραστον, συμμέτρως κεκραμμένον.

Αὐτοκίνητον, αὐτοφυές. Τῷ δὲ Ἑρμείᾳ τῷ φιλοσόφῳ, τὸ αὐτοκίνητον οὐ προσεμίχθη τῇ πολυμαθίᾳ.

Αὐτοκλείδης. Αἰσχίνης κατὰ Τιμάρχου, Κυδωνίδην, καὶ Αὐτοκλείδην, καὶ Θέσανδρον, οὗτοι Παιδερασταὶ σφοδροί. ὡς καὶ Ἀριστογείτων κατὰ Τιμάρχου.

* Αὐτόκρας οἶνος, ὁ μηδεμιᾶς προσθήκης δεόμενος, ὁ εὐκέραστος.

Αὐτόκραντα, αὐτόδηλα, αὐτοκράαντα.

Αὐτοκράτορες, ἀντὶ τοῦ τῶν δογμάτων κρατοῦντες. Ἀριστοφάνης, Τούτων περὶ πάντων αὐτοκράτορες ἥκομεν.

Αὐτοκράτωρ, δεσπότης, ἄρχων, ἑλληνικὴ ἡ φωνή. τάττεται δὲ ἐπὶ παντὸς τοῦ καταπολεμήσαντος, καὶ κρατήσαντος τῶν ἐναντίων. αὐτοκράτορα πάντα τὸν ἀνυπεύθυνον, παρὰ τὸ κρατῶ, κράτωρ, καὶ αὐτοκράτωρ. ἢ παρὰ τὸ κραίνω κράντωρ, καὶ ἐν συνθέσει αὐτοκράτωρ.

Αὐτόκτιστους δόμους, οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταυτομάτου γεγενημένους, ἢ τοὺς οἰκουμένους.

Αὐτόλαβον, τὸ ἑαυτοῦ λαβὴν ἔχον.

Αὐτόλειον. λιτόν.

Αὐτολήκυθος, ὁ πένης, παρὰ τὸ φέρειν ἑαυτῷ τὰς ληκύθους εἰς τὰ βαλανεῖα. καὶ ἀντὶ τοῦ ἀλαζόνας τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν λέγουσιν. ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τύπτοντας, καὶ μαστιγοῦντας, καὶ ὑβρίζοντας. ἢ ἀντὶ τοῦ ἐκ προχείρου διδόντας ἀργύριον, καὶ ἑτοίμους πρὸς τὰς μίξεις. καὶ γὰρ εἶχον ἐν τοῖς ληκύθοις ἀργύριον. καὶ τὸ ὄνομα παρὰ Μενάνδρῳ, ἐντὶ ἡνιόχῳ καὶ δακτυλίῳ.

Αὐτολόχευτος, αὐτογέννητος, ὁ θεὸς, ἀγέννητος.

Αὐτόλυσις, δέμα. ἐφ' ᾧ ἀγκύλη ἐφῆπται, καὶ οὐχ ἅμμα γέγονεν.

Αὐτομάρος, μονόμοιρος. Σοφοκλῆς.

Αὐτομάρτυς, ὁ ἑαυτῷ μαρτυρῶν.

Αὐτομάσπετον, σπέρμα ἀνδρός.

Αὐτοματίζουσιν, αὐτόματοι παραγίνονται.

Αὐτόματον, αἰτία κατὰ συμβεβηκὸς ἀόριστος, ἐν τοῖς ἕνεκά τινος κατὰ προαίρεσιν γινομένοις συμβαίνουσα. τὸν γὰρ λίθον πεσόντα, γενέσθαι καθέδραν ἔτυχεν.

Αὐτόματος, αὐτόκλητος, παρὰ τὸ μαστεύω τὸ ζητῶ, μαστός. καὶ αὐτόματος, ὁ αὐτοζήτητος, καὶ μὴ παρ' ἑτέρου ζητηθείς. ἢ παρὰ τὸ μένω, τὸ προθυμοῦμαι, μέμαμαι μέμαται, ματὸς καὶ αὐτόματος.

Αὐτομαχεῖν, τὸ δι' αὐτοῦ, ἀλλὰ μὴ δι' ἑτέρου μάχεσθαι.

Αὐτομέδων, καὶ αὐτοκράτωρ, οὐ μακρὰν ἀλλήλων κεῖνται, εἰ μέδειν καὶ ἄρχειν καὶ κρατεῖν, ταυτὸ δηλοῦσιν.

Αὐτομένης, ὄνομα κύριον παρὰ τῷ Ἀριστοφάνει. ἔσχε τρεῖς υἱοὺς, τὸν μὲν κιθαρῳδὸν, τὸν δὲ ὑποκριτὴν, τὸν δὲ τῷ στόματι αἰσχρουργοῦντα.

Αὐτομολῆσαί ἐστι, τὸ προδοῦναι τοὺς ἰδίους, καὶ ἐάσαι καὶ ἀπελθεῖν πρὸς τοὺς ἐναντίους ἐπὶ συμμαχίᾳ. καὶ αὐτομολεῖν, τὸ πρὸς τοὺς πολεμίους ἀπελθεῖν.

Αὐτόμολος, πρόσφυξ.

Digitized by Google

Αὐτομολῶ, πρὸς τοὺς πολεμίους ἔρχομαι, ταυτὸν τῷ ταυτομολεῖν.

* Αὐτομολίας, ἐκφύσεις τῶν κλημάτων, ἢ τῶν δένδρων· ἃς καὶ παραφύσεις ἂν εἴποις, καὶ παραβλαστήμασι, καὶ ἀναβλαστήμασι.

Αὐτόνομος, ὁ αὐθαίρετος, ὁ αὐτόβουλος.

Αὐτονομουμένη πόλις, ἡ τοῖς αὐτοῖς νόμοις χρωμένη, καὶ οὐχ ὑπακούουσα ἑτέροις.

Αὐτονυχεὶ, αὐτῇ τῇ νυκτί. ἐν τοῖς Ἀπίωνος μὲν καὶ Ἡροδώρου, διὰ τοῦ ῑ γράφεται. ἄλλοι δὲ διὰ διφθόγγου αὐτὸ ἔγραψαν.

Αὐτοξενεῖν, ἐν ἴσῳ τῷ προξενεῖν.

Αὐτόξυλον, αὐτοδημιούργητον ξύλον. ἢ ξύλινον.

Αὐτοπαθῶς, οἴκοθεν, ἐξ ἰδίας προαιρέσεως.

Αὐτόπαιδα, αὐτὸν τρόπῳ τινὶ παῖδ' ὄντα.

Αὐτόπαστοι πύλαι, παστάδας ἔχουσαι, ποικίλαι.

Αὐτόπεδον, καὶ αὐτοποδητὶ, τὸ ἐκ ποδὸς βαδίζειν.

Αὐτοπίλις, κλίμαξ.

Αὐτοποίητον, ἀτελές.

Αὐτοπόκιστον, μὴ κεκαρμένον. οἱ δὲ, ἀτελὲς ἱμάτιον.

Αὐτόπομα, ἐπίκληρον.

Αὐτοπρέμνοις, δυσκόλοις, προῤῥίζοις, ἢ μεγάλοις. Ἀριστοφάνης.

Αὐτόπτης, θεατής.

Αὐτοργότερον βάριν, αὐτοσχέδιον πλοῖον. βάρις δὲ νῦν μὲν παρὰ Λυκόφρονι, τὸ πλοῖον. σημαίνει δὲ καὶ βρόχους, καὶ πύργους, αὐλὰς, στοάς.

Αὐτορέγμονος πότμου, ὅσον ἑαυτὸν ἔρεζε. καὶ κατὰ ἐνθὺ ἑαυτορέγμονος, παρὰ τὸ ὀρέγειν τὴν χεῖρα. Αἰσχύλος.

Αὐτορέγμων, ἑαυτῷ ἐργαζόμενος.

Αὐτόρεκτον, οἷον τὸν ἀποτείναντα.

Αὐτὸς, οὐκ αὐτότατος. παίπεκται γὰρ τοῦτο παρ' Ἀριστοφάνει ἐν πλούτῳ, ὥσπερ καὶ τὸ μονώτατος.

Αὐτός. ἀντωνυμία, ἐπιτασσομένη τοῖς πρωτοτύποις, ἣν καὶ ἐπιταγματικὴν οἱ τεχνικοὶ καλοῦσιν. ἐπιτάττεται καὶ τοῖς τρισὶ προσώποις τῶν ἀντωνυμιῶν, ἐγὼ αὐτὸς εἰργασάμην τόδε, σὺ αὐτὸς, ἐκεῖνος αὐτός. καὶ οὐκ ἔστιν ἄρθρον. αἱ γὰρ ἀντωνυμίαι ἄρθρα οὐκ ἐπιδέχονται. ὅταν δὲ ἀπαράλλακτον παραληφθῇ τι, δηλοῦσά τινα ὁμοίωσιν καὶ ταυτότητα, τότε ἤδη καὶ μετὰ τοῦ ἄρθρου προφέρεται. οἷον ὁ Νικόλαος ὁ αὐτός ἐστι τῷ Κωνσταντίνῳ, ἀντὶ τοῦ ὅμοιός ἐστιν, ἀπαράλλακτος. καὶ οἱ αὐτοὶ κίνδυνοι τοῖς προτέροις ἡμᾶς ἐκδέχονται. καὶ ἡ αὐτὴ φιλία ἔτι παρ' ἐμοὶ μένει. καὶ ἐπὶ οὐδετέρου τὸ αὐτό· ταυτὰ τοῖς προτέροις εἰργάσατο. καὶ αὐτὸς, ἐπὶ τῶν τριῶν προσώπων λαμβάνεται. οἷον, αὐτὸς ἐγὼ, αὐτὸς σὺ, καὶ αὐτὸς ἐκεῖνος. οὕτω καὶ τὸ αὐτοῦ ἐπίῤῥημα, ἐπὶ τριῶν λαμβάνεται. οἷον τοῦ αὐτοῦ, αὐτόθι, καὶ τοῦ ἐκεῖ. καὶ, Αὐτὸς μὲν ἐγὼ μενέω, ἀλλ' ἑταῖρον πέμπω, ἀντὶ τοῦ ἕτερον δὲ, ἐναλλαγὴ συνδέσμου, καὶ ἐνταῦθα.

Αὐτὸς ἔφα, παροιμιακὸν ἐπὶ Πυθαγόρου τοῦ φιλοσόφου εἰσῆλθεν εἰς τὸν βίον. οὗτος γὰρ ἀποσεμνύνων τὸν ἑαυτοῦ λόγον καὶ βίον ἐν ταῖς ὁμιλίαις, ἔλεγεν, αὐτὸς ἔφα, ἀντὶ τοῦ εἶπεν. οὐκ ἐμὸς ὁ λόγος φησὶν, ἀλλὰ τοῦ Θεοῦ. καὶ ἀλλαχοῦ αὐτὸς, κατ' ἐξοχὴν ὁ Σωκράτης.

Αὐτόσιτον, τὸν ἑαυτὸν τρέφοντα. ἢ τὸν σὺν ἑτέρῳ δειπνοῦντα, καὶ ἑαυτῷ φέροντα τὰ ἐπιτήδεια πρὸς τὸ δεῖπνον.

Αὐτοσκεδὲς, ὑποδήματος εἶδος γυναικείου.

Αὐτόσε, ἐκεῖσε. λέγεται καὶ αὐτοῦσε. διάβασις δὲ οὐκ ἔστιν αὐτοῦσε, ὅτι μὴ τῷ σχήματι.

Αὐτοστέριφον, ἰσχυρὸν, αὐτοφυές.

Αὐτόστοιχος, αὐτὸς ἑαυτῷ προσέχων. ὁ βουλόμενος ἐν τῷδε τῷ βίῳ ἀβέβηλον βίον πολιτεύεσθαι, αὐτόστοιχος ἐθέλει εἶναι.

Αὐτόστυλον, αὐτοσκεύαστον.

Αὐτοσφαγῆ, τὸν ὑφ' ἑαυτοῦ ἀναιρούμενον.

Αὐτοσχεδὰ ἐπόρουσεν, ἀντὶ τοῦ αὐτοσχεδόν. ὁποῖον καὶ τὸ ἀμφαδὸν, ἀμφαδά. μεταβληθέντος τοῦ ἐπιῤῥηματικοῦ ἑνικοῦ οὐδετέρου εἰς πληθυντικὸν ὅμοιον. Ἰστέον δὲ, ὅτι ὥσπερ ἀπὸ τοῦ σχεδὸν, ὃ δηλοῖ τὸ ἐγγὺς, καὶ ὡς εἰπεῖν ἐχομένως, ὡς ἀπὸ τοῦ χέω χῶ, γίνεται σχέδιος προπαροξυτόνως, ὁ ἐγγύς· καὶ καθὰ κοινότερον λέγεται αὐθωρόν. ἔτι δὲ καὶ Σχεδίος παροξυτόνος, τῷ κανόνι τῶν τριβραχέων, τὸ κύριον ὄνομα. οὕτω καὶ ἐκ τοῦ αὐτοσχεδὸν, ὁ αὐτοσχέδιος. οὗ ῥῆμα τὸ αὐτοσχεδιάζειν, παρὰ τοῖς μεθ' Ὅμηρον. ὅ ἐστιν, ὅτε τὸ τοιοῦτον ῥῆμα οὐκ ἐν ἐπαίνῳ τιθέασιν, ἀλλὰ σεμνῶς ὑπ' αὐτοῦ τὸ ψεύδεσθαι παραδηλοῦν, αὐτοσχεδιάζειν λέγοντες, τὸ ἀσκέπτως καὶ ἀμελετήτως λαλεῖν, ἢ γράφειν παρὰ τὸ ἀληθὲς, ἢ καὶ ἄλλως ἀκριβές.

Αὐτοσχεδιάζει, πάραυτα λέγει.

Αὐτοσχέδιον, τὸ εὐθὺς ῥηθὲν, ἢ ὑπαγορευθὲν, ἢ γενόμενον.

Αὐτοσχεδίως, αὐτομάτως.

Αὐτοσχεδίη, ἀπὸ χειρὸς, ἀπὸ τοῦ σύνεγγυς.

Αὐτοσχεδὸν γενέσθαι, ἀντίκειται πρὸς τὸ διακριθῆναι. καθὰ καὶ τὸ συνελθεῖν, πρὸς τὸ διαστῆναι. σημαίνει δὲ, τὸ ἔγγιστα.

* Αὐτοσχεδίασμα, ἄσκεπτον, φαῦλον, ἀφρόντιστον, ἀπρονόητον, προπετὲς, ὀλίγωρον, εὐχερές.

Αὐτόπαστα μέλη, ὡς ἂν εἴπῃ, ἀδέσποτα, οὐκ ἔχοντα τοὺς ἐπιστάσοντας.

Αὐτόστεγον, ἀπηρτισμένον, πλῆρες, ὅσον δεῖ.

Αὐτοτελὴς, ἱκανὸς, τέλειος. Πολύβιος.

Αὐτοτελὲς ψήφισμα, τὸ μὴ προβεβουλευμένον.

Αὐτοτελὴς δίκη, ἀφ' ἧς μὴ ἔστιν ἐφιέναι.

Αὐτοῦ ἐπίῤῥημα, ἐπὶ τῶν τριῶν λαμβάνεται. ἤτοι τοῦ ἐνταῦθα, καὶ αὐτόθι, καὶ ἐκεῖ. ὥσπερ καὶ τὸ αὐτὸς, ἐπὶ τριῶν προσώπων. ὅπερ οὐχ ἁπλῶς ἐκεῖσε ἀντὶ τοῦ ἐκεῖ, ἀλλὰ κατὰ ἔλλειψιν Ἀττικὴν, ἀντὶ τοῦ ἐπ' αὐτοῦ τοῦ τόπου. ὁμοίως εὕρηται παρὰ τοῖς ποιηταῖς ἐν ἄλλαις σημασίαις. ἐνταῦθα μὲν, ὡς τὸ, Οἷον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο αὐτοῦ ἐνὶ Τροίῃ.

Αὐτούργητον, αὐτοφυές.

Αὐτουργῶ, τὸ οἰκείαις χερσὶν ἐργάζομαι.

Αὐτοφαρίζειν, αὐτοματεῖν.

Αὐτόφιν. Ὅμηρος, ἄμμι παρ' αὐτόφιν, ἤγουν παρ' αὐτοῖς.

Αὐτόφλοιον, αὐτόδερμον.

Αὐτοφόνῳ, ἑαυτὸν ἀνελόντι.

Αὐτοφορβὸς, ὁ αὐτοφάγος. ἠξίωσαν δέ τινες βαρύνεσθαι διὰ τὴν αὐτὸς ἀντωνυμίαν, ἥτις βαρύνει τὰ εἰς ος λήγοντα ἐν τῇ συνθέσει. ὡς τὸ, αὐτόνομος εἶναι βούλομαί σοι σύμμαχος.

Αὐτόφορτοι, αὐτοδιάκονοι.

Αὐτοφυέστατον, μὴ ἐπίπλαστον ἔχουσαν κάλλος, ἀλλ' αὐτοφυέστατον.

Αὐτόφωρος, ὁ ὑφ' ἑαυτοῦ ἐξελεγχόμενος, καὶ πεφωραμένος ὤν.

Αὐτόχειρ, καὶ ὁ ἑαυτὸν ἀνελὼν, καὶ ἕτερον, καὶ μὴ δι' ἄλλου φονεύσας. καὶ αὐτοχειρία, τὸ τῇ ἑαυτοῦ χειρὶ ποιῆσαί τι.

Αὐτόχειρος, ὁ ἑαυτὸν ἐγχειρίσας.

Αὐτόχειρες, οἱ ἑαυτοὺς φονεύοντες αὐτοχειρίᾳ, ἢ τινάς.

Αὐτοχθηδὸν, αὐτοποίητον.

Αὐτόχθονες, πολῖται, γνήσιοι. λέγονται δὲ καὶ οἱ Ἀθηναῖοι. ἢ ἐπεὶ τὴν χθόνα, ὅ ἐστι τὴν γῆν ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο, ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας.

Αὐτόχθονοι, αὐτοκτίσται.

Αὐτόχρημα, σχεδὸν εἰπεῖν. ἢ αὐτὸ τὸ πρᾶγμα, ὅμοιον παντελῶς.

Αὐτοχροΐνδον, πρὸς τὸν χρῶτα.

Αὐτόχρυσα, τὰ τίμια.

Αὐτόχωνον, αὐτοχώνευτον.

* Αὐτόμολοι, ἔθνος Αἰθιοπικὸν, ὡς Ἡρόδοτος, β'.

* Αὐτομάλακα, χωρίον Λιβύης. Πολυΐστωρ, γ'.

Αὐτώδης, ὑπερόφρων, ἰδιογνώμων.

Αὐτέλης, ὑβριστὴς, αὐτόχειρ.

Αὔτως, ποιητικὸν ἀπὸ τοῦ αὐτοῦ. οὕτως κοινὸν, ταυτὸν τῷ οὕτως. καὶ ἀαύτως, ἀντὶ τοῦ μάτην. σημαίνει καὶ τὸ ὁμοίως. ἔστιν ἔτος ὁ ἀληθὴς, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ, ἄετος. καὶ ἀνεβίβασε τὸν τόνον. τὰ γὰρ εἰς τος δισύλλαβα ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ συνθέσει· καὶ κλίνεται ἄετος. ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ ἄετοι, τῶν ἀέτων. καὶ ἐξ αὐτοῦ ἐπίῤῥημα μεσότητος, ἀέτως· καὶ τροπῇ τοῦ ε̄ εἰς ῡ αὔτως. τὸ γὰρ α καὶ ε̄ εἰς τὴν αυ δίφθογγον τρέπεται. τὸ δὲ ὁμοίως, ἀπὸ τοῦ οὕτως. Ὡς δ' αὔτως Μενέλαος.

Αὐτῷ στεφάνῳ, σὺν αὐτῷ τῷ στεφάνῳ.

Αὐχαλέοι, σεμνοί.

Αὐχὰν, καύχησιν.

Αὐχάττειν, ἀναχωρεῖν. καὶ τὸ ἐμμένειν, χάττειν.

Αὐχέες, καυχώμενοι.

Αὐχεῖν, ἀλαζονεύεσθαι, κομπάζειν, σεμνύνεσθαι, σεμνολογεῖσθαι, μεγαληγορεῖν, μεγαλοῤῥημονεῖν, μεγαλύνεσθαι, αἴρεσθαι, μετεωρίζεσθαι, τεφυσῆσθαι, ὑψηλοφρονεῖν, ὑπερφρονεῖν, ὑπερορᾶν, τερατεύεσθαι. ἔστι καὶ τὸ καυχήσεσθαι πράγματα, αὔχημα, ἀλαζονεία, κόμπος, σεμνολογία, μεγαλοῤῥημοσύνη, μεγαληγορία, ὑπερφρόνησις, ὑπεροψία, τερατεία, ὑπερηφανεία. τὸ δὲ ῥῆμα, ὑπερηφανεῖν· ἀλλὰ τοῦτο οὐκ ἐπαινῶ. τὰ δὲ ὀνόματα, ἀπὸ μὲν τοῦ αὐχεῖν κατὰ μετοχὴν ῥητέον αὐχῶν. ὁ γὰρ αὐχήτης βίαιον. ἀπὸ δὲ τῶν ἄλλων, κομπαστὴς, κομπαστικὸς, κομπώδης, ὑπέρκομπος, σεμνολόγος, μεγαλήγορος, μεγαλοῤῥήμων, μεγαλυνόμενος. καὶ αἰρόμενος καὶ μετεωριζόμενος, τεφυσημένος. καὶ μετοχαὶ, ὑψηλόφρων, καὶ ὑπέρφρων, καὶ ὑπερόπτης, καὶ ὑπεροπτικὸς, καὶ ὑπερορῶν, καὶ ὑπερήφανος, καὶ μετέωρος. καὶ τὰ ἐπιῤῥήματα, ἀλαζονικῶς, κομπαστικῶς, μεγαληγόρως, μεγαλοῤῥημόνως, ἠρμένως, μετεώρως, τεφυσημένως, ὑπερφρόνως, ὑπερόπτως, ὑπεροπτικῶς, καὶ ὑπερηφάνως.

Αὐχεῖν, καυχᾶσθαι.

Αὐχένιοι, χιτῶνος εἶδος, ὑπὸ Ἀντιφάνους.

* Αὐχένιον, καὶ αὐχὴν τὸ πηδάλιον.

Αὐχέω, εὔχομαι. αὐχήεις, σεμνός.

Αὐχήματα, σεμνολογήματα, καυχήματα, κομπάσματα, ὑψώματα.

Αὐχὴν, ὁ τράχηλος. παρὰ τὸ αὐχμὴν αὐχὴν, ὁ κατάξηρος τόπος τοῦ σώματος. ἢ παρὰ τὸ ἔχω, ὀχὴν, καὶ αὐχὴν, ὑφ' οὗ ὀχεῖται ἡ κεφαλή. ἢ παρὰ τὸ αὐχεῖν καὶ γαυριᾶν, γίνεται αὐχήν. γαυριῶντες γὰρ ἐπαιρόμενοι, ἀνατείνομεν αὐτόν. καὶ αὐχὴν, οὐ μόνον ἐπὶ ζώων λέγεται, ἀλλὰ καὶ ἐπὶ καρπῶν. ὡς δηλοῖ ὁ οὕτω γράψας, ἴσμα φησὶν Ἀριστοτέλης, Θεόφραστος δὲ μόσχον, ἔστι δὲ αὐχὴν τοῦ καρποῦ τῶν ἀκροδρύων.

Αὐχήσασθαι, καυχήσασθαι.

Αὐχθῇ, αὐξυνθῇ.

Αὐχμεῖ κακῶς, ὁ ῥύπον ἔχων κατὰ τὸν Λαέρτην, καὶ ἀλουτίας. γίνεται δὲ τὸ αὐχμεῖν, ὥσπερ καὶ ὁ αὐχμὸς, παρὰ τὸ αὔω τὸ ξηραίνω, πλεονασμῷ τοῦ δασέως. καὶ αὐχμεῖν, ξηραίνεσθαι. Ἀριστοφάνης, πεινῆν, διψῆν, αὐχμεῖν, ῥιγοῦν.

Αὐχμηρὰ τράπεζα, ἡ ξηρὰ, καὶ πενιχρά. καὶ αὐχμηρὸν, στυγνὸν, ἢ σκοτεινόν.

Αὐχμὸς, ξηρασία, ἀνομβρία. παρὰ τὸ αὔξω αὐχμὸς, κατὰ ἀντίφρασιν, ὁ μὴ ποιῶν τι αὔξεσθαι. ὑγρότης γὰρ τρέφει. ἢ παρὰ τὸ αὔω τὸ ξηραίνω. ἐξ οὗ αὖος, καὶ αὐαλέος γίνεται αὐχμός.

Αἰχμῶντα, ῥυπῶντα.

Αὖχος, τὸ ὄσπριον, ἀρσενικῶς.

Αὔω τὸ ῥῆμα, τινὲς ἐδάσυνον. ἐξ οὗ τὸ αὖον, οὐ μόνον τὸ ξηραίνει δηλοῖ, ἀλλὰ καὶ τὸ λάμπειν καὶ φαίνειν. ὅθεν αὔως Αἰολικῶς ἡ ἡμέρα, ἡ καὶ ἀὼς λεγομένη Δωρικῶς, καὶ ἠὼς κοινῶς τε καὶ Ἰωνικῶς. ἐκ δὲ τοῦ αὔειν, καὶ πυραύστης ζωΰφιον, ἐπιβουλεῦον τῷ τῶν λαμπάδων φωτὶ, ὑφ' οὗ καὶ ὄλλυται ἀφ' οὗ παροιμία τὸ, πυραύστου μόρος, ἐπὶ τῶν ταχὺ θνῃσκόντων.

Αὔω, τὸ φωνῶ. Ὅμηρος μακρὸν ἀΰσας. ἐν ᾧ δηλοῦται, δεῖν εἶναι μεγαλοφώνους τοὺς ἡγεμόνας, καὶ ὡς εἰπεῖν βοὴν ἀγαθούς. καὶ αὔω, ἀΰτῶ. ὡς ἀνύω καὶ ἀνυτῶ. καὶ αὔω, διαχέω, θερμαίνω. τὰ γὰρ προσηνῆ τοῖς θερμοῖς παρέμβαλλον.

Αὔως Αἰολικῶς, ἀντὶ τοῦ ἕως, ἡ ἡμέρα. μετὰ γὰρ τοῦ ᾱ ἐπαγομένου φωνήεντος προστίθεται τὸ ῡ.

ΤΟ' Α'. ΜΕΤΑ' ΤΟΥ Φ'.

Αφαγνίσαι, καθιερῶσαι. λέγεται δὲ καὶ τὸ συλῆσαι.

Ἀφαδίαν, τὴν πολεμικὴν ναῦν, διὰ τὸ ἀφανδάνειν.

Ἀφάδιος, ὁ μὴ ἀρέσκων. ἁδεῖν γὰρ τὸ ἀρέσκειν.

Ἀφαδὸς, ἐχθρός. παρὰ τὸ ἀφανδάνειν. καὶ ἀφαδία, ἡ ἀπαρέσκουσα ἔχθρα.

Ἀφάζει, ἀναδέχεται, ἀπὸ τῆς ἀφῆς.

Αφ συλλαβὴ κατὰ τὰς παραγωγὰς ἐπεντίθεται ἐν μέσῳ λέξεων, οἷον χρυσὸς χρυσάφιον, ξύλον, ξυλάφιον.

* Ἀφάνναι, χωρίον Σικελίας, ἄσημον. ἀφ' οὗ, ἢ ἐς Ἀφάννας, ἐπὶ τῶν ἀδήλων, καὶ ἐκπεπτωκισμένων. τὸ ἐθνικὸν, Ἀφανναῖος.

Ἀφάν, ὕστερον.

Ἀφαία, ἡ Δικτυῶνα, καὶ Ἄρτεμις.

Ἀφαιᾶσαι, ἀπαλγῆσαι, ἀπολησμονῆσαι, καὶ ἀπολέσαι.

Ἀφ' αἵματος, τουτέστι συγγενῶν.

Ἄφαιμοι, ἀπόγονοι, ἀγενεῖς.

Ἀφαιρεῖν παρὰ τῷ Ἀριστοφάνει, κόπτειν, ἢ διαιρεῖν, ἢ κλέπτειν.

Ἀφαιρεῖται, ἀποσπᾷ.

Ἀφαιρέματα, τὰ ἀπὸ τῶν ἱερείων ἀφαιρούμενα μέρη. οἷον τὸ στηθύνιον, τὸν δεξιὸν βραχίονα, καὶ τὸν λοβὸν τοῦ ἥπατος. τοῦ Θεολόγου, ὅσα τε περὶ θυσιῶν καὶ καθαρσίων καὶ ἀφαιρεμάτων νενομοθέτηται. θυσίας νόει τὰ πρόβατα, τοὺς μόσχους, τὰς τρυγόνας, καὶ τὰς περιστεράς. καθάρσια δὲ, τὰ διὰ τοῦ αἵματος, ἢ τῆς σποδοῦ καθαρτήρια.

Ἀφαίρεμα, ἀνάθημα, δῶρον, ἢ ξένιον. καὶ ἀφαίρεσις, Ὑπερίδης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει.

Ἀφαίρεσις, ἡ ἐκ τῆς ἀρχῆς ἄρσις. οἷον, ἐμὲ, μέ.

Ἀφαιροῦμαι, τὸ ἀποστερῶ καὶ ζημιῶ, διπλῶς συντάσσεται, οἷον ἀφαιρεῖται τὸν ἄνθρωπον τῆς οὐσίας, καὶ ἀφαιρεῖται τὴν οὐσίαν τὸν ἄνθρωπον. οὗ παρακείμενος, ἀφῄρημαι ἀφῄρησαι ἀφῄρηται. ἐπὶ πάθους καὶ ἐνεργείας λαμβανόμενον. ὥσπερ τὸ εἴργασμαι, καὶ ἐώνημαι, καὶ ἀφεῖμαι. μέσοι γὰρ οὗτοι παρακείμενοι. ἀφῄρημαι γὰρ καὶ ἀντὶ τοῦ ἐστερήθην, καὶ ἀντὶ τοῦ ἐστέρησα. καὶ συντάσσεται μετὰ γενικῆς καὶ αἰτιατικῆς. μετὰ γενικῆς μέντοι, ὅταν μὴ ἔχων τὶ πρᾶγμα, δύναμαι δὲ τοῦτο κτήσασθαι, καὶ ἀμελήσας οὐ λάβω. οἷον, ἀφῄρημαι λόγων, ἀφῄρημαι παιδείας. ταῦτα γὰρ οὐκ εἶχον, τὸν λόγον φημὶ καὶ τὴν παιδείαν. δυνατὸν δέ μοι ἦν κτήσασθαι, καὶ διότι ἠμέλησα, οὐκ ἔλαβον. ὅταν δὲ ἔχω τι καὶ στερηθῶ τούτου, τότε τὸ ἀφῄρημαι συντακτέον αἰτιατικῇ. ἀφῄρημαι τὸ ἱμάτιον, ἀφῄρημαι τὰ χρήματα. καὶ ἀφαιροῦμαι ἐκεῖνον τὰ ὅπλα, ἀντὶ τοῦ ἀπ' ἐκείνου λαμβάνω.

Ἀφαιρῶ, ἀφαιροῦμαι, παραιροῦμαι.

Ἀφαιρῶ, τὸ μέρος τι τοῦ παντὸς λαμβάνω. ἀφαιροῦμαι δὲ, τὸ πᾶν. ἀφαιρῶ μὲν, συντάσσεται ἀπὸ γενικῆς εἰς αἰτιατικὴν, οἷον ἀφαιρῶ σου τόδε. καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, οἷον ἀφαιρῶ σε τοῦδε. καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, οἷον ἀφαιρῶ σε τόδε. καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, οἷον ἀφαιρῶ σοι τόδε.

* Ἀφαίρεσις συμφώνων ἀρκτικῶν εἴτε ἑνὸς εἴτε δυοῖν τοῦ Ἰώνων καὶ Αἰολέων ἐστὶν ἰδιώματος. οἷον, πήγανον, ἤγανον. πλευρὰξ, εὐράξ.

Ἀφαῖς, πληγαῖς, ἢ χερσίν.

Ἄφακες, εὐήθεις.

Ἄφαλον, τὸ φαλὸν μὴ ἔχον, μήτε προμετωπίδα.

Ἄφαλος περικεφαλαία, ἡ μὴ ἔχουσα φαλούς. φαλοὶ δέ εἰσιν οἱ λαμπροὶ ἧλοι, ἢ τὰ ποικίλματα.

Ἄφαλτοι, οἱ ἀναπηδῶντες.

Ἀφάμαρτεν, ἀπέτυχεν, ἀπὸ τοῦ ἁμαρτῶ. καὶ ἀφάμαρτεν, ἄριστος δεύτερος. ἁμαρτῶ, ἥμαρτες ἥμαρτεν.

Ἀφαμαρτοεπὴς, ὁ ἁμαρτάνων ἐν τῷ λέγειν.

Ἀφαμαρτούσῃ, ἀποτυχούσῃ, στερηθείσῃ.

Ἀφαμιῶται, οἰκέται, ἀγροῖκοι, πάροικοι.

Ἀφανδάνει, ἀπαρέσκει.

Ἀφανὲς, σκοτεινόν.

Ἀφανὴς οὐσία, καὶ φανερά. ἀφανὴς μὲν, ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύεσι. φανερὰ δὲ, ἡ ἔγγειος. Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην.

Ἀφανίαν, συναγωγὴν ἑστιάσεως.

Ἀφανίζεται, ἀντὶ τοῦ ἀπόλλυται, καὶ φθείρεται διόλου. καὶ ἀφανίζεται τὸ κρυπτόμενον, καὶ μὴ φαινόμενον. καὶ ἀφανίζεται, ἀντὶ τοῦ ἀφανὴς ἐπὶ καιρὸν γίνεται. Φιλόστρατος ἐν εἰκόσιν, Οὐχ ἁπλῶς ἀπόλλοιντο, ἀλλ' ἀφανισθεῖεν μίαν ἡμέραν. καὶ ἀφανίζει τὶς τόδε, ἐπὶ τῶν δύο τύπων.

Ἀφανίζω, ἐξαλείφω, ἀμαυρῶ, ἀναλῶ, ἀπόλλυμαι, ἀποκόπτω, φθείρω, λυμαίνομαι, καταλύω, ὄλλω, ὀλύω καὶ ἀπολύω, κατασείω, καταστρέφομαι, τέμνω, κεραΐζω, καὶ ἀφανίζω, αἰτιατικῇ. Ἀριστοφάνης, ὁ Θεὸς δ' εὐθέως ἠφάνισεν αὐτὸν, ἤγουν ἀφανῆ ἐποίησεν.

Ἀφανίσαι οἱ πάλαι, οὐχὶ τὸ μολῦναι ὡς οἱ νῦν, ἀλλὰ τὸ τελέως ἀφανὲς ποιῆσαι.

Ἀφάνναι, χωρίον τῆς Δαμάρτιδος φυλῆς.

Ἄφαντον, ἀφανὲς, ἀθεώρητον, μὴ φαινόμενον. ἀφανῆ, μὴ ὁρώμενον. καὶ ἄφαντον φῶς, τὸ ἐκ πυρίτου λίθου. ὡς τὸ, ἀλλ' ἐν πέτρῃσι πέτρον ἐκθλίβων, μόλις ἔφηνεν ἄφαντον φῶς.

Ἀφαυανθήσομαι, ξηρανθήσομαι. καὶ ἀφαύει. Ἀριστοφάνης, Τοὺς ἀλλοτρίους ἀμῶν στάχυς τούτους ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται. τουτέστιν, ὁ Κλέων.

Ἀφάπτειν, προσκολλᾶν.

Ἄφαρ, ἐπίρρημα μεσότητος, παρὰ τὸ ἅπτω ῥῆμα. σημαίνει τὸ ταχέως, ἢ εὐθέως, καὶ ἅμα τῷ ἅψασθαι γινόμενον. ἀφ' οὗ καὶ Ἴωνες οἱ Ἐφέσιοι ἀφαρεὶ λέγουσι, τὸ ἀσκέπτως καὶ ἀκόπως ποιεῖν τι, ἢ φθέγγεσθαι. ὅπερ Ἰωνικῶς ψιλούμενον σημαίνει τέσσαρα. τὸ ταχέως, οἷον ἄφαρ δέ σε Παλλὰς Ἀθήνη, ἔγχει ἐμῷ. τὸ πρόχειρον, καὶ παραχρῆμα. ὡς τὸ, ἄφαρ δὲ χεὶρ ἀμύνειν ἐστὶ καὶ ἡμῖν. τὸ ἀφνίδιον, ὡς τὸ, ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους. τὸ ῥαδίως, ὡς τὸ, ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν.

Ἄλλως.

Ἄφαρ, Αἰολικὸν ἐπίρρημα, καὶ τὸ αἶψα. ὧν μία ἡ παραγωγὴ, καὶ ταυτὸν σημαίνουσι. τὸ μὲν γὰρ ἐκ τοῦ ἅπτω ἅψω, τὸ δὲ ἐκ τοῦ ἅψω ἧφα παρακειμένου. ἔστι γὰρ αἶψα καὶ ἄφαρ, τὸ ταχὺ καὶ ὡς εἰπεῖν συναπτῶς. ἄφαρ, ὅ ἐστι ταχὺ καὶ εὐθέως. οὕτως ἐτρίβη πρὸς κοινότητα τὴν ἀπὸ συνηθείας. ὥστε τινὲς τῶν πολλῶν, τὸν αὐτοσχέδιον ζωμὸν ἀφθόζωμόν φασιν. ὡς εἴ τις εἴποι ταχύζωμον, εὐθύζωμον. καὶ ἄφαρ καιρωσέων ὀθονέων, ἀντὶ τοῦ εὐθύς. ἅμα τῷ γεννηθῆναι, κεράτων φυὴν προβάλλονται, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ.

Ἄφαρον, ἐλεύθερον.

Ἀφθαρεὶ, τὸ ἐσπουδασμένως, καὶ ἀπερισκέπτως τὶ ποιεῖν.

Ἀφαρεῖ, ἱδροῖ, ἀνιμᾶται.

Ἀφαρεὺς, οὗτος Ἱππίου ἦν υἱὸς, ἐνομίζετο δὲ Ἰσοκράτους. καὶ Ἀφαρεὺς, ὁ ἥρως. καὶ ἀφαρεὺς, τοῦ θήλεος Θύννου τὸ ὑπὸ τῇ γαστρὶ πτερύγιον.

Ἀφαρκίδευτον, ἄγρευτον, ἀθυσίαστον.

Ἄφαρκτος, ἀφύλακτος.

Ἀφάρμακον χρῶμα, τὸ ἄνευ ἀνθοῦς. ἄνθη γὰρ τὰ φάρμακα, καὶ τὰ βαφεῖα φαρμακῶντα Σοφοκλῆς ἔφη.

Ἀφάρματεν, ἀπέτυχεν, ἀπὸ τοῦ ἁμαρτῶ.

Ἄφαροι, ἀνίματοι, ἀνένδυτοι.

Ἄφαρον, ἀνήροτον.

Ἀφαρόωσιν, ἀντὶ τοῦ ἀροτριῶσιν.

Ἀφάροτος, ἡ ἀναροτρίαστος γῆ. φάρος γὰρ ἡ ἀροτρίασις. ἢ παρὰ τὸ φάρσαι, ὅ ἐστι σχίσαι. καὶ γὰρ τοὺς εἰς δύο μέρη κεχωρισμένους χιτῶνας, διαφάρσους φαμέν.

Ἀφάρτεροι ἵπποι, τουτέστι ταχύτεροι, ἀπὸ τοῦ ἄφαρ τὸ εὐθέως.

Ἄφαρτος, πολὺς, ἄριστος βοηθός.

Ἀφάρυμος, ἄτιμος.

Ἀφάρωτος, ἀνδρειότατος.

Ἀφὰς λύχνων, Ἡρόδοτος λέγει.

Ἀφάσσειν, ψηλαφᾶν, παρὰ τὴν ἀφήν.

Ἀφάσας, ψηλαφήσας, παρὰ τὸ ἅπτω ἀφή. ἀφῶ ἀφάσσω, τὸ τῇ ἀφῇ ὑποβάλλω. ὡς μάθη μαθλάσσω. καὶ ἀφάσσειν ὁμοίως.

Ἀφασία, ἀφωνία, ἔασις, στέρησις, σιωπὴ, ἀναυδία, ἀμουσία.

Ἀφασσόμενος, ψηλαφῶν.

Ἀφάσσων κόνιν παρὰ Λυκόφρονι, ψηλαφῶν.

Ἀφατῆλες, μαστοὶ, θηλαί.

Ἄφατον, τὸ ἀμύθητον καὶ ὑπὲρ τὸ μέτρον, ἤγουν πλεῖστον, ἄφατον, καὶ ἄρρητον, καὶ ἄλεκτον. περὶ οὗ οὐ δύναταί τις εἰπεῖν, ἀδιήγητον.

Ἄφατος, ὡς φρόνιμος, παρὰ τῷ Ἀριστοφάνει, ἀφάτως φησὶ καὶ μεγίστως φρονῶν, ἢ ἀντὶ τοῦ μεγάλως.

Ἀφαυανθήσομαι, ξηρανθήσομαι.

Ἀφαυρὰ, ἀσθενῆ, ἀμαυρότερα, ἢ κουφότερα.

Ἀφαυρὸς, ἀσθενὴς, ἄγαν παῦρος, καὶ ὀλίγος κατὰ δύναμιν. ἢ παρὰ τὸ φῶ τὸ λέγω, ὁ μέλλων φάσω, γίνεται φαρὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀφαρὸς, καὶ πλεονασμῷ τοῦ υ, ἀφαυρὸς, ὁ μὴ δυνάμενος διαθέσθαι λέξαι. ἢ παρὰ τὸ φῶ τὸ φαίνω, γίνεται παράγωγον φάω, οἷον Φάε δὲ χρυσόθρονος. καὶ ἐξ αὐτοῦ, φάρος ὄνομα. καὶ κατὰ στέρησιν, ἀφαρὸς, καὶ πλεονασμῷ τοῦ υ, ἀφαυρὸς, ὁ εὐτελὴς καὶ ἀλαμπής.

Ἀφαυρότατος. Ὅμηρος, ἐπὶ οὗ μιν ἀφαυρότατος βάλεν Ἀχαιῶν. νοητέον ἐξ ἐναντίου τὸ ἀλλ' ὁ ἀνδρειότατος. εἴωθε γὰρ ὁ ποιητὴς ἐν πολλοῖς τῇ ἀποφάσει, ἀντεισάγειν τὸ ἐναντίον. ὁποῖον καὶ τὸ, Οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεὺς, ἀλλὰ δηλαδὴ ἐλυπήθη, διὸ καὶ ἐδάκρυσε. τοιοῦτον καὶ τὸ, οὐκ ἐχολώσατο θυμῷ Ζεὺς, ἀλλὰ δηλονότι ἐχάρη.

Ἀφάψεις, ἐκδήσεις, κρεμάσεις.

Ἀφάψαι, προσκολλῆσαι, συνδῆσαι, μίξαι.

Ἀφέδιτος ἡμέρα παρὰ Λάκωσιν, ἐν ᾗ θύουσιν.

Ἀφεδρεῖ, ἀποπνίγει.

Ἀφεδρὴν, ἀναιδῆ.

Ἀφεδρεῦσαι, ἐπὶ δίφρῳ καθίσαι.

Ἀφέδρῳ, ἀκαθαρσίᾳ.

Ἀφεδρῶνες, σέλλαι, σελλάρια, σωτήρια, ἀναγκαῖα.

Ἀφέῃ, ἐκ τοῦ ἀφῇ, ἀντὶ τοῦ πέμψῃ, κατὰ πλεονασμὸν συνήθη τοῦ ε, ὃ καὶ ἦσσει ἔφη ὁ ποιητής. οὕτως ἐν τῷ ἀφέωνται πλεονάζει τὸ ε.

Ἀφεθῆναι, ἀπολυθῆναι.

Ἀφέθησαν. ἀφίημι τὸ συγχωρῶ, ὁ μέλλων ἀφήσω, ὁ παρακείμενος ἀφεῖκα, ὁ παθητικὸς ἀφεῖμαι, ὁ ἀόριστος ἀφείθην. καὶ ἀποβολῇ τοῦ ι ἀφέθην, ὡς παρέθην.

Ἀφειδὴς, ὁ ἀνελεήμων.

Ἀφειδήσας, μὴ φεισάμενος, ἢ παριδὼν, ἢ καταφρονήσας.

Ἀφειδήσασα, ἀφροντιστήσασα.

Ἀφειδία, καρτερία.

Ἀφεῖεν, συγχωρήσαιεν.

Ἀφεῖεν, τὸ Ἀττικόν. τὸ δὲ ἀφέωκα, Δώριον.

Ἀφεικὼς, μετοχή. καὶ ἀφεικέναι, ἀπαρέμφατον, ἐκ τοῦ εἷκα παρακειμένου. τὸ δὲ εἷκα, ἐκ τοῦ ἵημι τὸ πέμπω.

Ἀφειλάμην, καὶ ἀφείλατο, οἱ λέγοντες ἁμαρτάνουσιν. δέον λέγειν διὰ τοῦ ο ἀφειλόμην, καὶ διὰ τοῦ ε ἀφείλετο. τοῦ γὰρ ἁπλοῦ ῥήματος ὄντος εἱλόμην, καὶ διὰ τοῦ ε ἀφείλετο. τοῦ γὰρ ἁπλοῦ ῥήματος ὄντος εἱλόμην εἵλου, ἐξ ἀνάγκης τὸ σύνθετον ἐφύλαξε τὰ βραχέα, τό, τε ε, καὶ τὸ ο. μόνως οὖν ῥητέον, ἀφειλόμην ἀφείλετο.

Ἀφείλατο. ὅσοι διὰ τοῦ λα λέγουσιν, ἀσχημονοῦσι. δέον διὰ τοῦ λε λέγειν, ἀφείλετο. καὶ ἀφείλομεν δεῖ λέγειν διὰ τοῦ ο, καὶ μὴ διὰ τοῦ α.

Ἀφεῖλεν, ἦρεν, ἔκοψεν.

Ἀφείλετο, οὐκ ἀφείλατο. καὶ προεῖτο, καὶ πάντα τὰ ὅμοια. ἐφ' ὧν γὰρ τὸ δεύτερον πρόσωπον διὰ τῆς ου συλλαβῆς, καὶ πρῶτον διὰ τοῦ ο. ἐφ' ὧν δὲ τὸ πρῶτον διὰ τοῦ α, τὸ μὲν δεύτερον διὰ τοῦ ω, τὸ δὲ τρίτον πάλιν διὰ

τοῦ α. οἷον, ἐποιησάμην ἐποιήσω ἐποιήσατο, ἐγραψάμην ἐγράψω ἐγράψατο. ἐπὶ δὲ τῶν πρώτων, εἰλόμην εἵλου εἵλετο, ἠρόμην ἤρου ἤρετο.

Ἀφείλοντο, ἀπεστέρησαν, ἥρπασαν, ἀνέσπασαν.

Ἀφεῖμαι, ἀντὶ τοῦ ἀπολέλυμαι. καὶ ἀφεῖσαι, καὶ ἀφεῖται καὶ ἀφημένος, καὶ ἀφεῖσθαι γράφεται, καὶ γενικῇ συντάσσεται. κανονίζεται δὲ τὸ ἀφεῖμαι, εἰ μέν ἐστιν ἐπὶ ἐνεστῶτος, οὕτως. ἵημι τὸ πέμπω, καὶ ἀπολύω. καὶ ἀφίημι, τὸ παθητικὸν ἀφίεμαι. καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, ἀφεῖμαι. εἰ δέ ἐστιν ἐπὶ παρακειμένου, οὕτως. ἕω τὸ ἀπολύω. ὁ μέλλων ἕσω, ἄχρηστος. ὁ παρακείμενος εἶκα, καὶ αὐτὸς ἄχρηστος. ὁ παθητικός, εἷμαι καὶ ἀφεῖμαι. ἡ μετοχὴ ἀφειμένος. καὶ ὁ ἀόριστος ἀφείθην, ἀφείθη. ὡς τὸ ἐρρέθη, καὶ ἐλέχθη.

Ἀφημένοι πόνων, ἤγουν ἀπαλλαγέντες.

Ἀφημένοι, καὶ ἐπὶ πάθους καὶ ἐπὶ ἐνεργείας λαμβάνεται. οἷον ἀφεῖμαι, ἀντὶ τοῦ ἀφείθην. καὶ ἀφεῖμαι, ἀντὶ τοῦ ἀφῆκα. καὶ ἀφεῖναι, ὡς θεῖναι.

Ἀφεῖναι τὸ ἀπολῦσαι ἐγκλήματος. καὶ ἀφεῖναι, τὸ τὰς ἐπιτεταμένας κερκίδας ταῖς χερσὶ τρίβειν.

Ἀφεῖνται, φαίνεται, ἠμέληνται. ποῖ φέρομαι; πάντῃ δὲ φρενῶν οἱ ἀφεῖνται.

Ἀφεὶς τὴν ὑπέραν, τὸν πόδα διώκει, Ὑπερίδης ἐν τῷ περὶ τοῦ Ταρίχου πρώτῳ. παροιμία ἐπὶ τῶν παριέντων τὰ σπουδαιότερα, καὶ περὶ τὰ φαῦλα διατριβόντων. ὑπέραι δέ εἰσι, ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ κέρας. καὶ ἀφείσας, ἀπαλλάξας.

Ἀφεὶς, καὶ ἀπαλλάξας. τὸ μὲν ἀφεὶς, ὅταν ἀπολύσῃ τινὰ τῶν ἐγκλημάτων ὧν ἐνεκάλει αὐτῷ. τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι, καὶ μηκέτι ἐγκαλεῖν. Δημοσθένης ἐν τῇ β´ τῇ περὶ Φορμίωνος παραγραφῇ. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὅτι ἀφίησι μέν τις αὐτῶν μόνων, ὧν ἂν ἐγκαλῇ. ἀπαλλάττει δέ, ὅταν μηδὲ ἄλλον τινὰ λόγον ὑπολείπηται ἑαυτῷ πρὸς τὸν ἐγκαλούμενον. Δημοσθένης ἐν τῷ αὐτῷ, ἵν᾽ ἀπαλλαγῇ τις αὐτῷ γένηται παρ᾽ ἡμῶν κυρία.

Ἀφεῖσαι, ἐκ τοῦ ἵημι, ὁ μέλλων, ἥσω, ὁ παρακείμενος, εἷκα, ὁ παθητικός, εἷμαι, εἷσαι, εἷται. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀφεῖσαι.

Ἀφεῖσθαι, ἀφίημι, ὁ μέλλων ἀφήσω, ὁ παρακείμενος ἀφεῖκα, ὁ παθητικός, ἀφεῖμαι, σαι, ται, καὶ τὸ ἀπαρέμφατον, ἀφεῖσθαι.

Ἄφεκτος, ἱερός, τοῖς ἀνέμοις ἀκατάστρεπτος.

Ἀφελγύνουσα, κακοῦσα.

Ἀφέλειαν, οὐ μόνον ἐπὶ ἁπλότητος οἱ παλαιοὶ ἐτίθουν, ἀλλὰ καὶ ἐπὶ μεγαλειότητος, καὶ ἐνδοξότητος, ὡς ἐν ῥητορικοῖς δηλοῦται λεξικοῖς.

* Ἀφέλεια, ὅτι ἀφελείας καὶ αἰδοῦς βωμὸς ἦν ἀθήνησιν.

Ἀφελέον, συνηγμένον, κοινόν.

Ἀφέλεος τόπος, ὁ ὁμαλός.

Ἀφελέσθαι, λέγεται ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν, καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

Ἀφέλεσθε, ἀπὸ τοῦ ἕλω τὸ λαμβάνω, ἐν συνθέσει ἀφέλω, ὁ παθητικὸς ἀφέλομαι, τὸ πληθυντικὸν ἀφελόμεθα, τὸ δεύτερον ἀφέλεσθε.

Ἀφελής, ὁ εὔκολος, ὃν ἄν τις ἕλοι διὰ τὴν εὐκολίαν. σημαίνει καὶ τὸν ὑγιῆ τὸ σῶμα, παρὰ τὸ μηδενὸς ἀφαιρεῖσθαι τοῦ σώματος.

Ἀφελλίαι, μελανὸς ἀλφώς.

Ἄφελμα, τὸ κάλλυντρον.

Ἀφελομένη, ἐπάρασα.

Ἀφελοῦνται, ἀποστεροῦνται.

Ἀφελοῦμαι τὰ σὰ βέλη, ἤγουν ἀπὸ σοῦ λήψομαι.

Ἀφελχθείη, κωλυθείη, ξυμβουλεύειν ἐδόκει, εἴπῃ.

Ἀφελῶν πεδίων, ἀντὶ τοῦ ὁλοκλήρων, κατὰ στέρησιν.

Ἄφεμα, ἐκ τοῦ ἵημι, ἵεμαι, εἷκα, εἷμαι, ἕμα. καὶ συνθέσει, ἄφεμα, τὸ ἀπόσαλμα.

Ἀφέμενον, ἀποστάντα, ἀντιλέγοντα.

Ἀφέμενος, ἐάσας, συντάσσεται δὲ μετὰ γενικῆς.

Ἄφενος, ὁ ἀπὸ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ ἀθροιζόμενος πλοῦτος. τὸ αὐτὸ καὶ βίος, ἀφ᾽ οὗ βιοῖ τις δηλονότι. λέγεται δὲ καὶ ὁ ἄφενος ἀρσενικῶς. καὶ τὸ ἄφενος, οὐδετέρως. ἀφ᾽ οὗ ἀφνειός, ὁ πλούσιος. καὶ ἄφενος κατὰ τοὺς παλαιούς, ὁ δι᾽ ὀλίγου συναγόμενος. πλοῦτος δέ, ὁ διὰ πολλῶν ἐτῶν, οἱονεὶ πολυετός τις ὤν. γίνεται δὲ ἄφενος, ὡς τοῖς πλείοσι δοκεῖ, ἀπὸ τοῦ ἕνου, ὅ ἐστι χρόνου. ὃς εἰ καὶ παρ᾽ ἡμῖν ψιλοῦται, ἀλλὰ παρὰ τοῖς παλαιοῖς Ἀττικῶς δασύνεσθαι λέγεται. τοῦτο δὲ ἢ παρὰ τὸ ἕω τὸ πληρῶ, ἤτοι τελειῶ, ἐξ οὗ καὶ ὁ ὅλος. τελεσφόρος γὰρ κατὰ τοὺς παλαιοὺς ὁ ἐνιαυτός. ἢ παρὰ τὴν ἕνωσιν τῶν τεσσάρων ὡρῶν, καὶ τῶν κατ᾽ αὐτὰς ἔργων. ἢ καὶ ἄλλως, παρὰ τὸ εἷς ἑνός, ἵνα κατὰ τὴν ἕνην καὶ αὐτὸς εἴη βοῦς, μόσχος, μονόκερως. βοῦς μέν, διὰ τὸ κατὰ βόας ἐργατικὸν τῆς γενέσεως. μόσχος δέ, διὰ τὸ ἀεὶ νεάζειν, ἐφ᾽ οἷς ποιεῖ. μονόκερως, διὰ τὸ μοναδικὸν καὶ ἐπικοινώτατον κατ᾽ ἐνέργειαν τοῖς μερικοῖς καιροῖς. ἔτι ἰστέον, καὶ ὡς διφορεῖται ἄφενος κατὰ τὸ γένος. καὶ Ὅμηρος μέν, οὐδετέρως προάγει αὐτό, λέγων ἄφενος καὶ πλοῦτον ἀφύξειν. εὕρηται δὲ παρά τισι καὶ ἀρσενικῶς ὁ ἄφενος.

Ἀφέξει, ἀποκωλύσει, ἀποστήσει, παύσει, ἐκ τοῦ ἔχω, ἀπέχω, ἀφέξω.

Ἀφέξομαι, παύσομαι.

Ἀφέξονται, παύσονται.

Ἄφεως, ἄφωνος.

Ἀφέξω χεῖρας, ἀντὶ τοῦ κωλύσω. ἀπ᾽ ἐναντίας τὸ ἀπέχειν ἐστί, πρὸς τὸ προσέχειν. εἴπερ ἀπέχειν μέν, τὸ πόρρω ἔχειν. προσέχειν δέ, τὸ ἐγγὺς ἔχειν.

Ἀφέρεμα, ἀνάθημα, δῶρον, ξένιον.

Ἀφέριστα, ἄχρηστα.

Ἀφέριστος τόπος, ὁ ἀκαλλώπιστος.

Ἀφερπίσαι, βαδίσαι.

Ἀφερτή, οἷον ἀφερτὴ δ᾽ ἀρετή. ἀπὸ τοῦ φέρω, γίνεται φερτός, καὶ φερτή, καὶ ἀφερτή. ἐκ δὲ τοῦ φερτός, προφερέστερος, τὸ συγκριτικόν, καὶ προφερέστατος.

Ἀφέρτεροι, ἥσσονες.

Ἀφερτέρους, παχυτέρους.

Ἀφέρτερος, ἀφόρητος.

Ἄφες. ἵημι, ὁ μέλλων, ἥσω. δεύτερος ἀόριστος ἦν, ἡ μετοχὴ εἷς ἕντος, καὶ τὸ προστακτικὸν ἕς. ὁ κανών. πᾶσα μετοχὴ εἰς σ ὀξύτονος διὰ τοῦ ντ κλινομένη, τὸ τέλος τῆς γενικῆς τρέπουσα εἰς θι, τὸ προστακτικὸν ποιεῖ. χωρὶς τοῦ ἕς, θές, καὶ δός.

Ἀφέσθαι, ἀποθέσθαι.

Ἄφεσις, ἀπόλαυσις, συγχώρησις. καὶ ἄφεσις, ἡ ὕσπληγξ, ὅθεν ἀφίενται οἱ ἵπποι εἰς τὸν δρόμον. λέγεται καὶ γραμμή, καὶ βαλβίς, περὶ ὃ κάμπτουσι καὶ καμπτήρ. ἵνα δὲ παύονται, τέλος, καὶ τέρμα, καὶ βατήρ. ἔνιοι δὲ καὶ βαλβίς.

Ἀφέσιος Ζεύς, ἐν Ἄργει τιμᾶται.

Ἀφεσταίη, καινότερον ἐσχημάτισται. καὶ ἔστι μὲν κοινὸν καὶ σύνηθες ἀντ᾽ αὐτοῦ, τὸ ἀποσταίη. τὸ μέντοι ἀφεσταίη, φίλτερον Ὁμήρῳ, οἷα ποιητικώτερον. ἰστέον δέ, ὥσπερ τὸ τέτλαθι, καὶ τὸ τετλαίη, σύστοιχα. ὡς τὸ οὐδ᾽ ἂν ἔμοιγε τετλαίη, καὶ κωφός περ ἐών, καὶ εἰς ὦπα ἰδέσθαι, οὕτω καὶ ἕσταθι ἑσταίη, καὶ ἀφεσταίη. ὧν τοῦ μὲν ἕστα̣θι χρῆσις ἐν χ τῆς Ὀδυσσείας. τοῦ δὲ ἀφεσταίη, ἐν ψ τῆς Ὀδυσσείας.

Ἀφεστακέναι, ἀπεσταλκέναι.

Ἀφεστάναι, τοῦ διεστηκέναι διαφέρει. ἀφεστάναι μὲν λέγεται, ὅταν πλεῖστον ἀπέχωσι. διεστηκέναι δέ, τὸ κεχωρίσθαι τῇ γνώμῃ πλησίον ὄντας.

Ἀφεστᾶσιν, ἑστήκασιν. καὶ ἐν συγκοπῇ, ἑστᾶσιν, καὶ ἀφεστᾶσιν.

Ἀφέστατε, ὡς ἀπὸ τοῦ ἀφεστήκατε, διὸ καὶ δασύνεται. καὶ ἀφέστατε, ἄποθεν καὶ χωρίς. ἑστήκατε οὖν, καὶ κατὰ συγκοπήν, ἕστατε, καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀφέστατε.

Ἀφέστηκας, ἐμακρώθης.

Ἀφεστής, ἀγαθός.

Ἀφ᾽ ἑστίας ἀρχόμενος, ἤγουν ἐκ τῶν κρειττόνων, ἢ ἐκ τῶν οἰκείων. μετῆκται δέ φασιν ὁ λόγος, ἐκ τῶν ἱερῶν. ἔθος γὰρ ἑστίας πρῶτον ἀπάρχεσθαι. ἀπὸ τῆς ἑστίας δέ, γίνεται ἑστιᾶν. ὅπερ κατὰ τοὺς παλαιοὺς οἱ Δωριεῖς ἱστιᾶν λέγουσιν.

Ἀφ᾽ ἑστίας ἀρχόμενος. ἐν ταῖς σπονδαῖς ἀφ᾽ ἑστίας ἄρχονται. καὶ οὕτως ἐκ τῶν Θεῶν ὡς ἐν κωμῳδίᾳ εἶπεν ὁ θεράπων, φήσας ἐπιτρέψω τινά. ἐπὶ γὰρ τοῦ χοιροκομείου μέλλει δικάζειν, ὁ Φιλοκλέων καταδικάζειν ὡς φιλόδικος. ἔστι δὲ παροιμία, τὸ ἀφ᾽ ἑστίας ἄρχου. μετενήνεκται δέ, ἀπὸ τοῦ τῶν τὰ ἱερὰ καθιεμένων. τῇ γὰρ ἑστίᾳ τὰς ἀπαρχὰς ἔθος ἦν ποιεῖσθαι. μῦθον δὲ συνέθηκεν Ἀριστόκριτος, οὕτως ἔχοντα. μετὰ γὰρ τὸ κωλυθῆναι τὴν τῶν Τιτάνων ἀρχήν, τὸν Δία δεξάμενον τὴν βασιλείαν, ἐπιτρέπειν Ἑστίᾳ λαβεῖν ὅ,τι βούλοιτο. τὴν δέ, πρῶτον μὲν παρθενίαν αἰτεῖσθαι, μετὰ δὲ παρθενίαν, ἀπαρχὰς θυομένων αὐτῇ νέμεσθαι πρώτῃ παρὰ τῶν ἀνθρώπων. κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ἐν Εὐθύφρονι. βουλοίμην ἄν ὦ Σώκρατες, ἀλλ᾽ ὀρρωδῶ, μὴ τοὐναντίον γένηται. ἀτεχνῶς γὰρ ἀφ᾽ ἑστίας δοκεῖ μοι ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν.

Ἀφέστιος, ὁ ἔξωθεν τῆς οἰκίας. καὶ ἀφ᾽ ἑστίας, ἀπὸ τῆς οἰκίας.

Ἀφεστώς, ἀφειμένος.

Ἀφέται, τόπος ἐν ἀθήναις, ἔνθα ὁ στόλος τοῦ Ξέρξου ἐναυάγησε, διὰ λιμένων ἀνεπιτηδειότητα.

* Ἀφέται παρὰ λακεδαιμονίοις οἱ ἀπελευθερωθέντες εἵλωτες, ἐκαλοῦντο.

Ἀφέτην, ἀφήκασιν.

Ἀφετηρία, ἀρχή, ἡγεμονία. ἢ ἡ ἀρχὴ τοῦ ἱπποδρόμου. καὶ ἁπλῶς, πᾶσα ἀρχή, ἢ τὸ κάγγελον.

Ἀφετήριον, τὸ πετρόβολον ὄργανον.

Ἄφετοι, οἱ ἱεροβόαι, καὶ ἀπολελυμένοι.

Ἀφευθεὶς τὸν πρωκτόν, Ἀριστοφάνης. ἀντὶ τοῦ φλογισθείς.

Ἀφεύξομαι, παύσομαι.

Ἀφεύς, ἀδύνατος.

Ἀφεψάλου, ἄνευ σπινθῆρος λαμπροῦ.

Ἀφεψεῖν, βλάπτειν τρίχα.

Ἀφεψιασάμην, ἀφωμίλησα.

* Παρὰ τὸ ἐψιᾶσθαι.

Ἀφέωκα, ἀφεῖκα, ἐλλείψει τοῦ ι, καὶ πλεονασμῷ τοῦ ω.

Ἀφέωνται, ἐκ τοῦ ἀφεῖνται ἀφένται. καὶ πλεονασμῷ τοῦ ω ἀφέωνται. ἀφίημι, ἀφήσω. ὁ παρακείμενος, ἀφεῖκα, ὁ Ἀττικὸς ἀφέωκα. οἱ γὰρ Ἀττικοὶ ἡνίκα πλεονάζωσι τὸ ε κατὰ τὸν παρακείμενον, τότε καὶ τὸ ἐπαγόμενον φωνῆεν τρέπουσιν εἰς ω. ὁ παθητικὸς ἀφέωμαι, τὸ τρίτον τῶν πληθυντικῶν ἀφέωνται.

Ἀφή, ψηλάφησις, ἡ χείρ, καὶ ἡ χροιὰ τῆς λέπρας, καὶ αὐτὴ ἡ αἴσθησις.

Ἀφηβηκέναι, γηράσαι.

Ἄφηβος, ἀπαθής.

Ἀφηγεῖσθαι, ἡγεῖσθαι, προηγεῖσθαι, ταυτόν. καὶ ἐπὶ προοδεύσεως καὶ ὁδηγίας λαμβάνεται, παρὰ τοῖς ὕστερον.

Ἀφηγῇ, ἄρχεις.

Ἀφηγήμων, ὁ ἀφηγούμενος ὁδοῦ, ὁδηγός.

Ἀφηγητός, ὁμοίως.

Ἀφήγησις, διήγησις, τὸ αὐτὸ καὶ ἀφηγοῦμαι, καὶ διηγοῦμαι, ἀντὶ τοῦ ἐξέρχομαι. ἀφήγημα, καὶ διήγημα. Ἀττικῶς μέντοι δεῖ γράφειν, ἀφηγοῦμαι. ἀφήγησιν δὲ κοινῶς, καὶ διήγησιν Ἀττικῶς. διηγοῦμαι δὲ κοινῶς. ἀφήγημα δὲ καὶ διήγημα, ἀμφότερα κοινῶς γράφονται.

Ἀφηγοῦσα, μεταστρέφουσα.

Ἀφῆκα, ἀόριστος πάντοτε διὰ τοῦ η γράφεται. ἐκ τοῦ ἵημι, μέλλων ἥσω, ἀόριστος πρῶτος ἧκα. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀφῆκα. τούτου τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ἀφῆκαν.

Ἀφῆκε βέλος, ἀντὶ τοῦ ἔπεμψεν. φωνὴν δὲ ἀφῆκεν, ἀντὶ τοῦ ἐξήνεγκε. μέλος δὲ ἀφῆκεν, ἐπὶ κιθάρας, ἀντὶ τοῦ ἤχησεν. καὶ ἀφῆκεν εἰς τὸ πέλαγος, οὐκ ἐφῆκεν.

Ἀφη-

Digitized by Google

Ἀφηκές, ἄνηθες.

Ἀφήλατο, ἐπήδησεν, ἐκ τοῦ ἅλλομαι.

Ἀφηλικέστερον, ἀντὶ τοῦ πρεσβύτερον λέγουσιν Ἴωνες.

Ἀφήλικα, τὸν πρεσβύτην. τινὲς δὲ χρῶνται τῇ λέξει ἐπὶ τοῦ μηδέπω τῆς ἡλικίας παιδός, ὅπερ δεῖ φυλάττεσθαι.

Ἀφήλικες, οἱ τὴν ἥβην μὲν ὑπεραναβάντες, ἥττους δὲ τῶν εἴκοσι πέντε ἐνιαυτῶν, ὧν προΐστανται οἱ κουράτορες.

Ἀφῆλιξ, λέγουσιν οἱ ῥήτορες. τοὐναντίον γάρ, ἢ δεῖ χρῶνται. τὸν μὲν γὰρ πρεσβύτερον, ῥητέον ἀφήλικα. οἱ δέ, ἐπὶ τοῦ μηδέπω τῆς ἐννόμου ἡλικίας χρῶνται.

Ἀφήμαρτεν, ἀπέτυχεν.

Ἀφ' ἡμείων, ἀφ' ἡμῶν.

Ἀφήμενος, πόρρω καθήμενος.

Ἀφημιαστοῦ, ἀγροικίας.

Ἀφημίζεσθαι, ἀθερίζεσθαι.

Ἄφημοι, ἀνώνυμοι, ἀκλεεῖς.

Ἀφήμονες, ἄρρητοι, οὐκ ὀνομαζόμενοι.

Ἀφημοῦντας, ἀγροίκους.

Ἀφ' ἡμῶν, ἄποθεν ἡμῶν.

Ἀφήμως, ἐν κόσμῳ, ἡσυχῇ.

Ἄφηνα, ἔκοψα.

Ἀφηνᾶι, τὸ τὰς ἐπτισμένας κριθὰς ταῖς χερσὶ τρίψαι.

Ἀφηνιάζειν ἐστὶ τὸ σκληρύνεσθαι, καὶ ἄποθεν τῆς εὐθείας ὁδοῦ εἶναι. γίνεται ἐκ τοῦ ἡνίον, ὃ σημαίνει τὸν λῶρον, ἠνιάζω, καὶ ἀφηνιάζω.

* Ἀφηνιάζειν λέγονται, ἵπποι, ἤγουν συμμαχεῖν, καὶ πειρᾶσθαι ἀπὸ ἡνίων γενέσθαι.

Ἀφηνιάζετο, ἐχωρίζετο.

Ἀφηνιαστής, ἀνυπότακτος, ὑπερήφανος.

Ἀφηράαν, μακράν.

Ἀφηρέθην, ἐκ τοῦ ἀφῄρμαι παρακειμένου ὤφειλεν εἶναι ἀφηρήθην. ζήτει τὸν κανόνα ἐν τῷ καθηρέθην.

Ἀφῄρημαι, ἐστέρημαι.

Ἀφήρηνται οἱ ὀφθαλμοὶ ἐκείνου, καὶ ἐκείνῳ.

Ἀφ' ἧς, ἀδύνατον ἄλλως, ἢ ἐξῆς.

Ἀφήσασθαι, ἅψασθαι.

Ἀφήσειν ἐς τὸ Αἰγαῖον ἡμᾶς φασίν. οὕτως ἀμεταβάτως, ἀντὶ τοῦ ἁπλῶς πλεῦσαι ἡμᾶς εἰς τὸ Αἰγαῖον. καὶ μεταβατικῶς, ἀφῆκε τὴν ναῦν εἰς τὴν θάλασσαν.

Ἀφήτωρ, ὁ Ἀπόλλων, ἤτοι ὁμοφήτωρ. ὁμοίως πᾶσι προφητεύων, καὶ μαντευόμενος τῷ τε πένητι, καὶ πλουσίῳ. ἢ τοξικός, ἀπὸ τῆς τῶν βελῶν ἀφέσεως.

Ἀφήτορος, προφητεύοντος, ἢ τοῦ τοξότου.

Ἄφθα, ἡ ἐν στόματι ἕλκωσις, τὸ δὲ ὑπὸ καὶ φθόη.

Ἀφθίβορος. ὁ βορῶς ἐσθίων.

Ἄφθιτον, ἄφθαρτον, θεῖον, ποιητικῶς τοῦτο πέπλασται. τὸ μὲν ἀθάνατον, ἐπὶ ἐμψύχων οἱ φιλόσοφοι τάσσουσι. τὸ δὲ ἄφθιτον, ἐπὶ ἀψύχων.

* Ἄφθιτοι ἄμπελοι, ἐπιθετικῶς αἱ μακρόβιοι.

Ἀφθίτους γνώμας, ἀμεταστρέπτους.

Ἀφθονία, πλῆθος, καὶ κακία.

Ἄφθονον, πολύ, καὶ πλούσιον.

* Ἀφθονέστατος, ἀντὶ τοῦ ἀφθονώτατος.

Ἀφθόνους, τοὺς ἄλλας.

Ἀφιᾶσι, τὸ ἐλευθεροῦσι, καὶ πέμπουσιν. ἐκ τοῦ ἵημι, τὸ τρίτον τῶν πληθυντικῶν, ἱεῖσι, καὶ ἱέασι. καὶ Ἀττικῇ συναιρέσει, ἱᾶσι. καὶ ἀφιᾶσι, καταλιμπάνουσιν.

Ἀφίγμεθα, ἵκω, ἵξω, ἶχα, ἶγμαι. καὶ τὸ πρῶτον τῶν πληθυντικῶν ἵγμεθα, καὶ ἀφίγμεθα.

* Ἀφιγμένος, παραγεγονώς, παραγενόμενος.

Ἀφιδήσας, ἀφροντιστήσας.

Ἄφιδνα, δῆμος Αἰαντίδος φυλῆς· ὅθεν Ἀφιδναῖος.

Ἀφίδρυμα, ἱερόν, τὸ εἰς τὸν ναὸν εἴδωλον·

Ἀφιδρύματα, τὰ τῶν θεῶν ἀγάλματα.

Ἀφίει, ἐκ τοῦ ἱῶ περισπωμένου ῥήματος. ὁ παρατατικὸς, ἵουν ἵεις ἵει. καὶ συνθέσει, ἀφίει.

* Ἀφίει, φύσει μακρὸν ἔχει τὸ φι, συστέλλει δὲ ἐνίοτε κατ' αναυξησίαν Ἰωνικήν.

Ἀφίει παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἠφίει. ἐνεστὼς ἀφίημι, ὁ παρατατικὸς ἠφίουν, ὡς ἐτίθουν. τὸ τρίτον, ἠφίει. λέγεται μὲν οὖν ἠφίει, ἐπὶ φωνῆς, καὶ βέλους, καὶ τοῦ ἀπολύειν, καὶ τοῦ καταλιμπάνειν τι ἐν διαθήκαις. ἀφίει, ἀναύξητον. ὤφειλε γὰρ ἠφίει εἶναι, ἀντὶ τοῦ ἀπέπεμπεν.

Ἀφίεμαί σε τοῦ χρέους, ἀντὶ τοῦ ἀπολύω. ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

Ἀφίεμαί σοι, ἀντὶ τοῦ ἐλευθεροῦμαι διὰ σοῦ. ἀφίεμαί σου, ἀντὶ τοῦ ἀφίσταμαί σου.

Ἀφίεμεν, ἀφίετε. ἐκ τοῦ ἵημι, τὸ πρῶτον τῶν πληθυντικῶν, ἵεμεν ἵετε, καὶ ἀφίεμεν ἀφίετε.

Ἀφιέναι, ἀπὸ τοῦ ἵημι τὸ πέμπω καὶ ἀπολύω, κατὰ μετάθεσιν καὶ συναίρεσιν ἀφεῖναι.

Ἀφ' ἱερᾶς. οὕτως ἐλέγετο γραμμὴ ἱερά, παρὰ τοῖς πεττεύουσιν.

Ἀφιερισμένα, περικεκαθαρμένα.

Ἀφιερῶσαι, καὶ τοῦτο Φαβωρῖνος, σὺ δὲ καθιερῶσαι.

Ἀφιερωμέναι, αἱ τῷ θεῷ ἀνακείμεναι.

Ἀφιέρωσεν, ἀνέθηκε τῷ θεῷ.

Ἀφιζάνει, ἀπανίσταται τῆς καθέδρας.

Ἀφίζειν, ἀποκαθίζειν.

Ἀφίημι λέγεται, ἀντὶ τοῦ ἐῶ, καὶ ἀπολύω. οἷον ἀφίημί σε ἐλεύθερον. καὶ ἀντὶ τοῦ καταλείπω. οἷον, ἀφίησι τὶς τοῖς ἑαυτοῦ ἐν διαθήκαις τόδε. καὶ ἀντὶ τοῦ πέμπω, οἷον ἀφίημι βέλος. καὶ ἀντὶ τοῦ καταγινώσκω τί τινός, ἢ εἰργόμενος ὑπό τινος καταλιμπάνω αὐτό, οἷον ἀφίημι τὴν τῶν λόγων σπουδήν, εἴργουσι γάρ με τὰ πράγματα. καὶ ἀφίημι τὴν ἐπιθυμίαν τῆς τροφῆς.

Ἀφίημι, παραιτοῦμαι, παραλιμπάνω, ἐῶ, παρίημι, προΐεμαι, λείπω, ἀπολείπω, καταλιμπάνω.

Ἄφθαρτον, κυρίως τὸ ἀπαθὲς καὶ ἄϋλον, καὶ ἀψηλάφητον. ἄφθαρτόν ἐστι, τὸ ὑφ' ἑτέρας οὐσίας βλαβῆναι μὴ δυνάμενον. ἢ τὸ κατὰ πάντα ἄρρευστον, καὶ ἀνενδεές, καὶ ἄτρωτον. τὸ δὲ πανάγιον σῶμα τοῦ Χριστοῦ καὶ πέπονθε καὶ ἐτρώθη τοῖς ἥλοις καὶ τῇ λόγχῃ, καὶ αἷμα καὶ ὕδωρ ἐξήγαγε, καὶ ἐκ ζωῆς νεκρὸν γέγονε. λοιπὸν ἡνίκα ἀκούσῃς διδασκάλου λέγοντος ἄφθαρτον τὸ σῶμα τοῦ Χριστοῦ ὑπάρχειν πρὸ τοῦ σταυροῦ, νόησον ὅτι κατὰ τὴν φθορὰν τῆς ἁμαρτίας λέγει τὸ ἄφθαρτον, ἤτοι ἀμίαντον, καὶ οὐ κατὰ λεπτότητα τινὰ καὶ ἀλλοτριότητα τῶν ἡμετέρων σωμάτων.

Ἀφθάς, ὁ Διόνυσος, τὸ α ἐπιτατικόν.

Ἄφθιτον, τὸ ἄφθαρτον.

Ἄφθονα, τὰ μὴ φθονούμενα, καὶ τὰ πολλά.

Ἀφικάνει, παραγέγονεν.

Ἀφικέσθαι, ἀντὶ τοῦ ἐλθεῖν. ἐφικέσθαι δέ, ἀντὶ τοῦ φθάσαι. Ἀριστοφάνης, Ὡς τάχιστ' ἀφικόμεθα πρὸς τὸν Θεόν.

* Ἀφικέσθαι Ἴλιον, ἐλλιπῶς τῆς εἰς προθέσεως λέγεται παρ' Ὁμήρῳ.

Ἀφ' ικετηρίας, ἐπὶ τῶν κατασπουδαζομένων, καὶ λόγου τυγχανόντων, οὕτως ἔλεγον.

Ἀφίκετο, παρεγένετο.

* Ἀφικέσθαι, ἐν ἴσῳ τῷ ἐφικέσθαι, ὅ ἐστιν ἐφάψασθαι καὶ καταλαβεῖν.

Ἀφικλῶντο, ἀπεσείοντο, ἢ ἀποελῶντο.

Ἀφικνεῖται, ἐνεστώς, ὡς τὸ ὑπισχνεῖται. ἀφίκηται δέ, καὶ ὑπόσχηται, ὑποτακτικά. οὐ γὰρ εὑρίσκεται ἐπὶ ἐνεστῶτος ἀφίκεται καὶ ὑπόσχεται, οὐδὲ ἀφίκομαι καὶ ὑπόσχομαι, ἀλλὰ ἀφικνοῦμαι καὶ ὑπισχνοῦμαι.

Ἀφικνοῦμαι, ἐπὶ ἐνεστῶτος. καὶ ἐφικνοῦμαι, ὡς ὑπισχνοῦμαι. καθικνοῦμαι δὲ γενικῇ συντάσσεται. οἷον, καθικνοῦμαι τῆς κεφαλῆς τῇ ῥάβδῳ. καὶ ἐπὶ ἀορίστου, ἀφίκωμαι. ἀλλὰ μετὰ τοῦ ἄν, ἐὰν ἀφίκωμαι. καὶ ἐπὶ μέλλοντος ἀφίξομαι, καὶ ἐφίξομαι. ἀφίξομαι, ἀντὶ τοῦ ἐλεύσομαι. ἐφίξομαι δέ, ἀντὶ τοῦ ἅψομαι, καὶ ἀφικνοῦμαι, καὶ βαδίζω πρὸς τὴν πόλιν, καὶ ὅσα τῆς αὐτῆς σημασίας ἔχονται, οἷον πορεύομαι, ἔρχομαι, φοιτῶ, παραγίνομαι, τρέχω, ὁρμῶ.

Ἀφικνούμενος, παραγενόμενος.

Ἀφικομένῳ, παραγενομένῳ.

Ἀφικόμην, ἀφῖγμαι.

Ἀφῖκται, παραγέγονε. καὶ ἀφικόμενος, παραγενόμενος.

Ἀφικτόν, ἀκάθαρτον, μισητόν.

Ἀφίκτορα, τὸν ἱκέσιον Δία.

Ἀφικτρός, ἀκάθαρτος, μιαρός.

Ἀφίκου, παραγένου. ἥκω, ὁ παθητικὸς δεύτερος ἀόριστος ἱκόμην, ἵκου, καὶ ἀφίκου.

Ἀφιλέταιρος, ὁ ἐχθρωδῶς πρός τινα διακείμενος.

Ἀφ' ἵλης, καθαρός, ὑγιής, ὁλόκληρος.

Ἀφιλία, καρτερία.

Ἀφιλοικτίρμονες, ἀνελεήμονες.

Ἀφιλότιμος, ταπεινός. ἢ ὁ μὴ ἐπὶ τοῖς καλοῖς, οἷς πράττει, τιμᾶσθαι βουλόμενος.

Ἀφιματῶσαι, ἀποδῦσαι.

Ἀφινιάξει, ἀφίξεται, παραγενήσεται.

Ἀφῖξαι, μετοχῇ συντάσσεται, οἷον ἀφῖξαι γελῶν, ἀφῖξαι γελάσων. καὶ δοτικῇ ἐστιν ὅτε συντάσσεται. οἷον, ἀφῖξαι ἡμῖν, καὶ ἀφίκετο ἡμῖν τὸ δεινόν. ποτὲ δὲ μετὰ τῆς πρὸς προθέσεως. οἷον, ἀφίκετο πρὸς ἡμᾶς ὁ ἄνθρωπος. καὶ ἀφίκετο ὡς τὸν Θεόν, ἰσοδυναμοῦν τῷ ᾠχόμην πρὸς τὸν Θεόν.

Ἄφιξις, ἔλευσις, ἔφοδος, παρουσία.

Ἀφίξομαι καὶ ἕως καὶ μετ' ἄριστον, μαθησόμενος τὴν τέχνην.

Ἀφίππους, ἀπείρως ἔχοντας ἱππικῆς.

Ἀφ' ἵππων μάρνασθαι, καὶ ὅθι χρὴ πεζὸν ἐόντα, παραφραστικὴ τοῦ ἱππόται, καὶ πεζοί. δῆλον δέ, ὡς ὁ ἀφ' ἵππων μαρνάμενος, ἱππιοχάρμης λέγεται. ἤγουν, ὁ ἐφ' ἵππων μαχόμενος, ἢ καὶ ἵπποις χαίρων.

Ἀφίσταμαι, ἀπάγω, ἀπαλλάττομαι.

Ἀφίσταμαι, τὸ ἀπέχω. συντάσσεται γενικῇ. οἷον ἀφίσταμαι τοῦ ἔργου τῶν πραγμάτων, ἀντὶ τοῦ μακρὰν εἰμί. ἀφίσταμαι, καὶ τὸ ἐξίσταμαι, καὶ τὸ παραχωρῶ, συντασσόμενον ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον ἀφίσταμαί σοι τῆς ὁδοῦ, ἀντὶ τοῦ παραχωρῶ σοι. καὶ ἀφίσταμαι τῷ δεῖνι τοῦδε κάλλιον, ἢ παραχωρῶ.

Ἀφίσταμαι, τὸ μακρὰν καὶ πόρρω γίνομαι.

Ἀφίσταται, τὸ ὑπομένει καὶ ἀνέχεται, καὶ δέχεται. καθὸ καὶ Πίνδαρος, Χρυσέας ὑποστήσαντες εὐτυχεῖ θαλάμῳ κίονας. ὑφίσταται καὶ τὸ ὑπισχνεῖται καὶ ἐπαγγέλλεται. καὶ ἀφίστασθαι, οὐ λέγεται ὡρισμένον διαστήματος, ἀλλὰ τὸ μὴ ἁπτόμενον τινός, εἴτε πολὺ κεχώρισται τούτου, εἴτε ὀλίγον.

Ἀφίστησι, σταθμῷ παραδίδωσιν.

Ἀφίσων, ἀπέτρεπον, ἀπεκώλυον. Τοὺς δὲ βαρβάρους τῆς πολιορκίας ἀφίσων οἱ Ῥωμαῖοι.

Ἀφλάσαι, ἀπολέσαι.

Ἄφλαστόν φασιν, οὐχὶ τὸ ἀκροστόλιον. διαφέρουσι γὰρ αἱ λέξεις. ἀλλὰ κατὰ Δίδυμον, ὅς φησι Παυσανίας, τὸ ἐπὶ πρύμνης ἀναπεπταμένον εἰς ὕψος, ἐκ κανονίων πλατέων ἐπικεκαμμένων, διήκοντος δι' αὐτῶν πλατέος κανονίου ὑπηρεισμένου τούτῳ στυλίσκου, ὄπισθεν τοῦ κυβερνήτου. κρεμάννυται δ' ἐκ τῶν κανονίων, καὶ τοῦ θρανίου ταινία, εἰς παράσημον δηλαδὴ τῆς νηός. καὶ τοιοῦτον μὲν τὸ ἄφλαστον, ἐτυμολογούμενον ἀπὸ τοῦ μὴ ῥᾳδίως φλᾶσθαι, ἤγουν θλᾶσθαι, κατὰ διάλεκτον Ἀττικήν. ἀκροστόλιον δέ φασι, τὸ ἀπὸ τῆς πτυχῆς ἀνατεῖνον ξύλον, ἐπὶ τὴν πρῷραν. περὶ οὗ καὶ αὐτοῦ φησὶν ὁ Δίδυμος, ὅτι τὸ λεγόμενον ἀκροστόλιόν ἐστιν, ἄκρος στόλος. στόλος ἐστί, τὸ ἀπὸ τῆς λεγομένης πτυχῆς ξύλον πλατύ. πτυχὴ δέ ἐστιν, ὅπου οἵ τε ὀφθαλμοὶ ζωγραφοῦνται, καὶ τὸ τῆς ναὸς ὄνομα ἐπιγράφεται. ἕτεροι δέ, καὶ τὸ στενὸν καὶ εἰς ὀξὺ λῆγον, στόλον φασίν. Ἄλλως.

Ἄφλαστον. Ἀπολλώνιος ἐν ταῖς λέξεσιν ἀποδέδωκεν ἄφλαστον, τὸ ἀκροστόλιον, οὐκ εὖ. ἐπειδὴ τὸ ἀκροστόλιόν ἐστι τοῦ

Digitized by Google

στόλου. στόλος δὲ λέγεται, τὸ ἐξέχον ἀπὸ τῆς πτυχῆς, καὶ διῆκον ἄχρι τῆς πρώρας ξύλον. πτυχὴ δὲ λέγεται, ὅπου τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα. ἔστιν οὖν ἀκροστόλιον τὸ ἄφλαστον, κατὰ τὴν πρώραν. ἀλλ᾽ ὁ ποιητὴς αὐτὸ παραδίδωσιν ἐπὶ τῆς πρύμνης λέγων, Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὐχὶ μεθίει ἄφλαστον μετὰ χερσὶν ἔχων. καὶ εἴρηται ἄφλαστον κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ θ, ἄθλαστον, κατὰ ἀντίφρασιν, ἐπεὶ εὔθλαστόν ἐστιν. ἔστιν οὖν ἄφλαστον, σανίδιον κατὰ τὴν πρύμναν. καὶ ἄφλαστον, οἷον ἄφλαστα καὶ φώστωνας ὠργυωμένους, τὰ ἀκροστόλια τῆς νηός, κατὰ ἀντίφρασιν. εὔθλαστα γὰρ κατὰ μετάθεσιν τοῦ θ εἰς φ. ὅπερ λέγεται καὶ κορωνίς, καὶ τὸ ἐπὶ τοῦ χειλίου τῆς θύρας. καὶ τὸ ἐν τοῖς βιβλίοις ἐπικαμπὲς σχῆμα, ὅτε σημεῖον ποιοῦμεν. διαφέρει δὲ τῶν κορύμβων. ἄφλαστα μὲν λέγονται, τὰ πρυμνήσια. κόρυμβα δέ, τὰ πρωρρήσια.

Ἀφλεστῆρες, μαστοί, θηλαί.

Ἀφλοιγμός, ὁ ἀφρός, κατὰ Αἰτωλούς. γίνεται δὲ κατὰ τοὺς παλαιούς, ἢ ἀπὸ τοῦ ἀφρισμὸς ἀμεταβόλου τοῦ ρ, μεταβολῇ καὶ πλεονασμῷ τοῦ ο. ἢ παρὰ τὸ φλέω φλοισμός, καὶ ἀφλοισμός. ὀξύνεται δέ, ὅτι τὰ εἰς μος ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ μ τὸ σ, ὀξύνεται. μερισμός, ὁπλισμός.

Ἀφλοῦς, ἀφλοῖο.

Ἀφλυσμός, ἀφρός.

Ἀφνειός, πλούσιος. δύναται καὶ ἀφνειώτερος λέγεσθαι. καὶ δῆλον ἐκ τοῦ, χερσὶν ἀφνειωτέραις παρὰ Σοφοκλεῖ. οὕτω καὶ ὁ θηότερος θεώτερος, ἐν τῷ Περιηγητῇ.

* Ἀφνειέστατος, ἀντὶ τοῦ ἀφνειότατος. καὶ ἀφνειὸν φρένας τὸν μωρὸν λέγει ὁ Ἡσίοδος, ἀντιφραστικῶς.

Ἀφνήμων, πλούσιος. παρὰ τὸ ἄφενος γίνεται ἄφνος, κατὰ συγκοπήν. ἐκ τούτου γίνεται ῥῆμα ἀφνῶ, καὶ ἀφνήμων.

Ἀφνιδία, αἰφνιδίως, ἄφνω.

Ἀφνιδρὸν, ἀκοίμητον.

Ἀφνύει, ἀφεναύει, ὀλβίζει.

Ἄφνω, παρὰ τὸ ἀφανὴς ὄνομα, γίνεται ἐπίρρημα ἀφανῶς, καὶ κατὰ συγκοπὴν καὶ ἀποβολὴν ἄφνω. καὶ ἄφνω, ἐξαίφνης, ἐξαπίνης, αἰφνίδιον, ἐξαπίναιον, ἐξαπιναίως, ταυτὸν σημαίνουσι. χρηστέον δὲ ἐπὶ τούτοις καὶ τῷ ἀπροσδοκήτως. τάχα δὲ καὶ τῷ ἀνελπίστως, καὶ ἐξαπροσδοκήτου καὶ ἀνελπίστου. καὶ ἄφνω χωρὶς προθέσεως, ἐξαίφνης μετὰ προθέσεως.

Ἀφοβία, ἕξις καθ᾽ ἣν ἀνέκπληκτοι ἐσμὲν πρὸς φόβον.

Ἀφοβόσπλαγχνος, ἄφοβος, τολμηρός. ἐπειδήπερ ὁ φόβος (ὥς φασιν) ἐν τοῖς σπλάγχνοις ἐστίν. ἢ ὅτι ἡ καρδία ἐν τοῖς σπλάγχνοις, περὶ ἣν ὁ φόβος γίνεται.

Ἀφόδιοι, ἐχθροί.

Ἀφοδεῦσαι, ἀναχωρῆσαι.

* Ἄφοδος ἡ κόπρος· ὅθεν ἀφοδεύειν ῥῆμα. λέγονται δὲ παρὰ τὴν ὁδόν.

Ἄφοδος, ὁ ἔξω τῆς ὁδοῦ γενόμενος. ἔστι δὲ καὶ ἡ ἀναχώρησις· θηλυκόν. ἔφοδος δέ, ἡ ἐπέλευσις.

Ἀφοίβατον, ἀνακάθαρτον.

Ἀφοιδεῖν, μὴ φροντίζειν.

Ἀφοίνους, ἀφόνους, ὑγιεῖς.

Ἀφλοισμός, ἀφρός.

Ἀφόνιτρον, τελέως ἐξίτηλον καὶ ἀδόκιμον. χρὴ οὖν λίτρον λέγειν, ἢ λίτρου ἀφρόν. νίτρον τοῦτο Αἰολεῖς μὲν ἂν εἴπῃ. ὥσπερ οὖν ἡ Σαπφὼ διὰ τοῦ ν, Ἀθηναῖος δὲ διὰ τοῦ λ λίτρον.

Ἀφόπλισον, ἀπόδυσον.

Ἀφοπλίζεσθαι, ἀφαιρεῖσθαι.

* Ἀφοπλίζεσθαι καθ᾽ αὐτὸ ἀτελῶς λέγεται, ἀφοπλίζεσθαι δὲ ὅπλα ἐντελῶς.

Ἀφοπλίττονται, ἀπολύονται στρατείας.

Ἀφόρδιον, ἡ ἀκαθαρσία, καὶ τὸ ἄξιον.

Ἀφόρμητον, ἀβάστακτον, δεινόν.

* Ἀφόρητοι βλαῦται, τὰ καινοεργὰ ὑποδήματα.

Ἀφορία, βλάβη τῶν καρπῶν τῆς γῆς, ἀκαρπία.

Ἄφορμος, θρασύς, ἄπιστος.

Ἀφορίσθητε, μονώθητε, Ἱερεμίας. καὶ ἀφορίσθητε λέγει Κύριος.

* Ἀφορισμός, σχῆμα καταστατικόν, καὶ συμπληρωτικόν, καὶ ἀνακεφαλαιωτικὸν παρὰ ῥήτορσι.

Ἀφορμή, ὅταν τις ἀργύριον δῷ ἐν δίκῃ, ἀφορμὴ καλεῖται ἰδίως παρὰ τοῖς Ἀττικοῖς.

Ἀφορμὴ ἐμοὶ τῶν λόγων ἐκεῖνος γέγονεν.

* Ἄφορμος, ἀντὶ τοῦ ἐκτόπιος.

Ἀφορολόγητον, τὸ μὴ τελοῦν φόρον.

Ἀφορῶντες, ἀποβλέποντες.

Ἀφόρτιον, ἄχρηστον.

Ἄφορτος, οὐκ ἡγμένος τὴν Λυκουργίαν ἀγωγήν.

Ἄφος, ἡ ξαγάκανθα.

Ἀφοσιούμεθα, τὸ ὅσιον ποιούμεθα.

Ἀφοσιοῦν, καθαίρειν.

Ἀφοσιοῦνται, πληροῦνται. ὅσιος, ὁσιῶ, ἀφοσιῶ.

Ἀφοσιοῦται, τὸ πληροῦται, ἀπὸ τοῦ ὅσιος, ὁσιῶ. καὶ ἀφοσιῶ, τὸ τὰ νενομισμένα ἐπὶ τῇ ταφῇ πληρῶσαι. καὶ ἀφοσιοῦμαί σοι τὸ χρέος.

Ἀφοσιώσας, καθάρας, ἢ ξενώσας. ἢ τὴν ὁσίαν ποιῶν, ἢ τὴν κηδείαν, ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην. ὅσιον λέγεται τὸ καθαρόν, τὸ ὀφειλόμενον, ἢ ὃ μᾶλλον ἀφοσιούμενοι τιμῶντες. ἢ τὸ ὅσιον καὶ τὸ καθαρὸν καὶ τὸ ὀφειλόμενον ποιοῦντες. καὶ ἀφοσιοῖ, τὸ καθαίρει.

Ἀφοσιώσασθαι, τὸ ὁπωσδήποτε ἀποδοῦναι, καὶ θεραπεῦσαι τὸ ὀφειλόμενον.

Ἀφοσιούμενοι, ἐν ὑποκρίσει θωπεύοντες, τιμῶντες.

Ἀφοσιωμέναι, ἀνόσιαι, ἄποθεν τοῦ ὁσίου γεγενημέναι.

Ἀφοσιώσεται, ἀπάρξεται ὁσίαν χάριν.

Ἀφοσίωσις, θυσία, καθιέρωσις.

Ἀφοσιωσόμεθα, τὸ ὅσιον καὶ πρέπον ποιήσομεν.

Ἀφόωντα, ψηλαφῶντα. ἀπὸ τοῦ ἀφή, ἀφάω ἀφῶ, ἀφῶντα. καὶ πλεονασμῷ τοῦ ο, ἀφόωντα.

Ἀφραδέας Μνηστῆρας, ἤτοι κακοφράδμονας, καὶ κακοβούλους. ὅρα ὅτι ἀφραδέας ὀνομάσαι, τοὺς μὴ νοήμονας, μηδὲ δικαίους, ἐνέφηνε τῇ φρονήσει τὴν δικαιοσύνην ἀκολουθεῖν.

Ἀφραδέες νεκροὶ κατὰ τοὺς παλαιούς, οἱ ἄφραστοι, καὶ ἀθεώρητοι. ἢ οἱ ἀσώματοι, τουτέστι φρένας μὴ ἔχοντες, αἵ εἰσι κρεμαστῆρες τοῦ ἥπατος. ἢ ἄλλως. ἀφραδέες, νεκροί. ὡς πρὸς σύγκρισιν τοῦ Τειρεσίου, ὃς μόνος ἐπέπνυτο.

* Ἀφραδέοντες, ἤγουν κακῶς φραζόμενοι.

Ἀφραδέα, ἐχθρά, πολέμια, ἀδιαμέλητα, μωρά.

Ἀφραδέως, κακοβούλως, καὶ ἀνοήτως.

* Ἀφραδέως παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἀνεπιστημόνως. καὶ ἀφραδία, ἡ ἄγνοια, καὶ ἀπρονοησία. καὶ ἀφραδής, ὁ ἀνόητος, καὶ κακόβουλος.

Ἀφραδία, ἡ ἀπαρέσκουσα ἔχθρα. παρὰ τὴν ἀπὸ πρόθεσιν, καὶ τὸ ἁδεῖν. ἢ ἀπειρία, ἀμηχανία.

Ἀφραδίαν φησὶν ὁ Ἀπολλώνιος, τὴν ἀβουλίαν.

Ἀφραδίῃσιν, ἀβουλίαις, ἀφροσύναις. καὶ ἀφραδέοντα, ἀσυνετοῦντα. καὶ ἀφραδέως, ἀνοήτως, ἀσυνέτως, ἀπείρως.

Ἀφράδμων, ἀσύνετος, ἀμαθής.

Ἀφράζει, ἀφραίνει, ἀσυνετεῖ. παρὰ τῷ Ἱπποκράτει.

Ἀφραίνω, μωραίνω, παρανομῶ, παραφρονῶ. ἐκ τοῦ φρὴν φρενὸς φρένω, καὶ ἀφραίνω. καὶ ἀφραίνοντα, ἀφρονοῦντα, ἀνοηταίνοντα.

Ἄφρακτος φίλων, οὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις, διὰ τὸ ἀπαυθέντας καταλιπεῖν σε.

Ἄφρακτος, ἀφύλακτος.

Ἀφράκτους οἰκήσεις, τὰς μὴ ἐχούσας περιβολάς.

Ἄφραστον, ἀνεκδιήγητον, ἄρρητον.

Ἀφράστει, ἀσυνετεῖ.

Ἄφραστον, ἀπρονόητον, ὥστε μηδένα νοῆσαι, ἀνεκλάλητον, ἀνεκδιήγητον, ὃ μὴ φράζομεν, ἄλεκτον.

Ἀφραστύες, ἀσυνεσίαι, σχετλίαι ἀνθρώπων.

Ἀφρατίας, ἰσχυρός. Κρῆτες.

Ἄφραττος, ἡ Ἑκάτη παρὰ Ταραντίνοις.

Ἄφρεον, ἤφριζον, ἀφρὸν ἔπεμπον.

* Ἀφρήτωρ, ἐν ἴσῳ τῷ ἄπολις, παρὰ τὴν φρήτρην ὅ ἐστι φρατρίαν λέγεται.

Ἀφρήτωρ, ὁ συγγενῶν ἐστερημένος. καὶ ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος, ὃς πολέμου ἔραται ἐπιδημίου. τουτέστιν, ἄπολίς ἐστι, καὶ μήτε θέμιν εἰδώς, μήτε οἶκον ἔχων, ὃς ἐμφυλίου πολέμου ἐρᾷ. γίνεται δὲ κατὰ τοὺς παλαιοὺς ὁ ἀφρήτωρ, ἢ παρὰ τὴν φρήτρην, ἢ δηλοῖ τὴν ξυῒτ τουτέστι, τὸ τρίτον τῆς φυλῆς. ἢ παρὰ τὴν φρατρίαν, καὶ τοὺς φράτορας. σύστημα δὲ τοῦτο ἐν Ἀθήναις, τοὺς τικτομένους ἀπογραφόμενον, ὥστε φανεροὺς εἶναι ὅτι πολῖταί εἰσι. καὶ ἔστι τῷ λόγῳ τούτῳ ἀφρήτωρ, ὡς καὶ ἀνωτέρω γέγραπται, ὁ ἄπολις. ἦν δὲ κατὰ τὴν ἱστορίαν καὶ φράτριον τόπος ὡρισμένος, ἐν ᾧ οἱ τῆς αὐτῆς φρατρίας συνήγοντο. καὶ φατριάζειν εὐφωνότερον ἐλέγετο παρὰ τοῖς Ἀττικοῖς, τὸ εἰς ταυτὸ συνιέναι. ἐγράφετο δὲ καὶ φράτηρ διὰ τοῦ η, καὶ φράτωρ διὰ τοῦ ω, ὁ ἐκ τῆς αὐτῆς φρατρίας.

Ἀφριόειν, ἀφρῶδες. ὡς τό, ἀφριόειν κοναβηδὸν ἐπιφρίσσουσα γένειον.

Ἀφρίους, αἰθέρας.

Ἀφρῖνον, τάλαρον, τὸν ἐκ τῶν ἑλκυσμάτων τῶν ἐρίων.

Ἀφρίς, μύρτον.

* Ἀφρῖτις, εἶδος ἀφύης, ἐξ ἀφροῦ ἐπιπολάζοντος τῇ θαλάττῃ γινομένης. καὶ τῇ Ἀφροδίτῃ ἀφιέρωτο.

Ἀφρογένεια, ἢ παρὰ τὸν ἀφρόν, ἢ παρὰ τὸ ἀφραίνειν. ὡς Εὐριπίδης, Τὰ μῶρα γὰρ πάντεσσι γίνεται ἀφροσύνη βροτοῖσιν.

Ἀφροδισία ἄγρα, Σοφοκλῆς Δανάῃ. Γόνον τε μήλων, κἀφροδισίαν ἄγραν. οἱ μὲν τοὺς πέρδικας, οἳ δὴ πρὸς τὸν καθαρμὸν ἁρμόζουσι. τῇ δὲ θηλείᾳ πατταλεύοντες, αἱροῦσιν αὐτούς. κακῶς δὲ χοίρῳ καθαίρουσι καὶ ἀρνίῳ, ἀλλ᾽ οὐ πέρδικι. λέγει οὖν τὴν τῶν συῶν, διὰ τὸ καταφερὲς εἶναι τὸ ζῶον πρὸς συνουσίαν. καπρᾶν γέ τοι καὶ καπραίνειν, ἀπὸ τούτου. δύναται δὲ καὶ τὴν τῶν αἰγῶν γονὴν δηλοῦν. καὶ γὰρ καὶ τοῦτο τὸ ζῶον, λίαν ἐπτόηται ἀφροδισίοις.

Ἀφροδισιάζουσι, τὰ τῆς Ἀφροδίτης πράττουσιν.

Ἀφροδισιάζω, συνουσιάζω, βινῶ, συνοικῶ, διαπλεκῶ, ὀπύω.

Ἀφρόδιον, ἡ ἀκαθαρσία, καὶ τὸ ἄξιον ἀπελασίας. παρὰ τὸ ἀφορίζω, ἀφορίζιον, καὶ ἀφορίδιον. καὶ κατὰ συγκοπὴν, ἀφρόδιον, τὸ ἀφορίζεσθαι ἄξιον.

Ἀφροδίσιον ἰδίως, τὸ τῆς ἀφροδίτης εἶδος.

Ἀφροδίσιος ὅρκος οὐ δάκνει, παροιμία. ἐπὶ τῶν δι᾽ ἔρωτα ὀμνυόντων πολλάκις, καὶ ἐπιορκούντων. πρῶτος δὲ ταύτης Ἡσίοδος ἐμνήσθη.

Ἀφροδίτη Μενελάῳ τὸν Ἀλέξανδρον εἰκάσασα, παρήγαγεν, ἤτοι ἠπάτησε τὴν Ἑλένην παραλογισαμένη τῇ ὁμοιότητι. τοῦτο δὲ φαίνεται παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας ψ, ὅπου ἀλλοδαπῷ ἐμίγη.

Ἀφροδίτη, ἡ ἐξ ἀφροῦ ἀναδῦσα, τροπῇ διχρόνου. οὕτω καὶ ὁ χιτὼν ἐκ τοῦ χύω γίνεται. καὶ ὁ φίτυς ἐπὶ πατρός, καὶ ὁ φιτρὸς (ὅ ἐστι κορμός) ἐκ τοῦ φύω. καὶ ἐκ τοῦ δεύω δεύσω, δεῦσα, ἡ ὑγρασία.

* Ἀφροδίτη λέγεται ὡς ἄρχουσα ἀφροσύνης. καὶ ἀφροδίτη ἡ μῖξις κατὰ μετωνυμίαν. καὶ ἀφροδίτη ἑταίρα ἐπωνυμικῶς λέγεται διὰ τὸ χαίρειν ταῖς ἑταίραις.

* Ἀφροδίτης υἱὸς λέγεται πᾶς ἡδὺς καὶ ἐπέραστος, καὶ ὡς εἰπεῖν ἐπαφρόδιτος.

* Ἀφροδίτης ἀστήρ, καὶ ἕσπερος λέγεται, καὶ στίλβων, καὶ ἑωσφόρος κατὰ καιροῦ μεταβολήν.

Ἀφροδίτη, ψίθυρος.

Ἀφρόδιτος, Θεόφραστος μὲν τὸν ἑρμαφρόδιτόν φησιν. ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφώς, Παιάνισον ἄνδρα, τὴν Θεὸν ἐσχηματίσθαι ἐν Κύπρῳ λέγει.

Ἄφροι, ἀσύλληπτοι. καὶ ἄφροι, οἱ Καρχηδόνιοι. ἀπὸ Ἄφρου τοῦ τῆς Λιβύης βασιλεύσαντος.

Ἀφρολόγητον, τὸ φόρον μὴ τελοῦν.

Ἀφρονῆσαι, ἄφρονα γεννῆσαι.

Ἀφρὸν κυρίως, θάλλον. καὶ ἀφρῶδες δὲ διαχώρημα, ὡς Ἀριστοφάνης, Πολὺς δέμας κατεῖχεν ἀφρός.

Ἀφροντιστεῖν, καὶ ἀφροντίστως οἱ δόκιμοι, οὐκ ἀμεριμνεῖν, οὐδὲ ἀμερίμνως ἔχειν. ἀπεριμερίμνως δέ, ἀντὶ τοῦ ἀσκόπως. Ἀριστοφάνης, ἀπεριμερίμνως τὴν θύραν λελάκτικας.

Ἀφροντιστήσας, ἀμεριμνήσας, ἢ ἀμελήσας. ἀπὸ τοῦ

τοῦ ἀφροντιστῶ. τοῦτο παρὰ τὸ φροντίζω, φροντίσω. καὶ πλεονασμῷ τοῦ τ μετὰ περισπωμένης, φροντιστῶ καὶ ἀφροντιστῶ.

Ἀφροντιστῶ, ἀλογῶ.

Ἀφρὸς, ἄφρων, μωρὸς, ἄνους, ἀπὸ τῆς συγκρούσεως καὶ κοπῆς τῶν ὑγρῶν, ἐν τῇ ἐπιφανείᾳ λευκόν. φρὶξ δὲ, ἀφ' οὗ τὸ φρίττειν ἐπὶ τῆς ἐπιφανείας τῆς θαλάττης, ὅταν ὑπὸ τῶν κυμάτων τραχύνηται. διαφέρει δὲ τοῦ ἀφροῦ, τὸ τὸν μὲν ἀφρὸν εἶναι λευκὸν, τὴν φρίκα δὲ μέλαιναν. ὡς παρ' Ὁμήρῳ, μελαίνῃ φριξὶ καλυφθείς.

Ἀφρυτὸς, ποταμὸς Μαγνησίας.

Ἄφρων οἴεται, ἀντὶ τοῦ φαίνεται, νομίζεται. ἄφρων δὲ καὶ ἄνους διαφέρει. ἄφρων μέν ἐστιν, ὁ μὴ εἰδὼς τὸν ὄντως Θεὸν, ἀμύητος τῆς σοφίας. ἄνους δὲ, ὁ μὴ θέλων συνιέναι τὸ δέον. ὁ εἰδὼς μὲν τὸν Θεὸν, περὶ τὰ γήϊνα δὲ μόνον ἐπτοημένος, καὶ μηδὲν οὐράνιον ἐννοῶν. ὡς τὸ, ἐπιτοαυτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται.

Ἀφύα, εἶδος ἰχθύων, ἧς ὁ πηλὸς γένεσις, ὅταν πάνυ ἰλυώδης συστῇ καὶ γένηται μέλας, φύσει τινὶ ἀπορρήτῳ εἰς ζῶα μεταβάλλεται πάμπολλα. οὐδὲν δὲ δέονται τροφῆς, ἀπόχρη γὰρ μόνην ἀλλήλας περιλιχμήσασθαι. ἄγρα δὲ αὐτῶν, δίκτυα λεπτά· εἰς δὲ ἄλλων ἰχθύων θήραν, ἥκιστα. συμβαίνει δὲ τὴν ἀφύαν τάχιστα ἕψεσθαι. ὅθεν παροιμία, ἀφύα ἐς πῦρ. ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων. ἑνικῶς ἀφύη, πληθυντικῶς τὰς ἀφύας λέγομεν. λέγεται δὲ καὶ ἀφρὸς διὰ τὴν λευκότητα. ἔστι δὲ καὶ ἡ παρὰ πολλῶν λεγομένη ἐγγραυλίς. καὶ ἀφύων τιμὴ, τὸ ἔλαιον, ἐπεὶ ἐν αὐτῷ ἕψονται. καὶ ἀφύας Φαληρικὰς, τὰς μεγάλας. Φαληρεὺς δὲ, λιμὴν τῆς Ἀττικῆς. ἔστι δὲ γένη πλείονα, ἡ μὲν ἀφρῖτις λεγομένη, ἥτις οὐ γίνεται ἀπὸ γόνου, ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ, καὶ πηλοῦ ἰλυώσεως. ἑτέρα δέ ἐστιν ἡ λεγομένη κωβῖτις, ἣ γίνεται ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ φερομένων κωβιῶν. ἐξ αὐτῶν δὲ ἕτεραι, αἳ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη, ἥτις ἐστὶ γένος μαινίδων. καὶ ἄλλη ἐκ τῆς μεμβράδος. καὶ ἄλλη, ἐκ τῶν μικρῶν κεστρέων. καὶ ἀφύα, μεμβράς.

Ἀφυᾶδες, τὸ ἀφύης χρώματι ἐοικὸς, παρὰ τῷ Ἱπποκράτει.

* Ἀφύαι, πληθυντικῶς λέγονται παρὰ τοῖς Ἀττικοῖς ὡς ἐπιτοπλεῖστον, σπανιώτατα δὲ ἑνικῶς.

Ἀφύαι, αἱ ἐγγραυλοι.

Ἀφύας, Ὑπερίδης κατ' Ἀρισταγόρου. ἔστι δὲ καὶ ὀνόματα ἑταιρῶν γυναικῶν ἀδελφῶν δύο.

Ἀφύει, ἀπολευκαίνεται, παρὰ τῷ Ἱπποκράτει.

* Ἀφύειν, ἐν ἴσῳ τῷ ἀφύσσειν, ἤγουν ἀρύειν, ἀπαντλεῖν.

Ἀφύη, ἰχθύδιον μικρόν.

* Ἀφυὲς, ἀντὶ τοῦ μικροφυές. ὅθεν καὶ ἀφύη ὁ ἰχθὺς λέγεται ὡς μικροφυὴς ὢν ἐν ἰχθύσι.

Ἀφυὴς, ἀμαθὴς, ἄπειρος, δυσχερής. ἐκ τοῦ φυὴ, ὃ σημαίνει τὸν τρόπον καὶ τὴν θέσιν. καὶ ἀφυὴς, ὁ κακότροπος. καὶ ἀφυὴς, ὁ ἀμαθὴς, ἄπειρος, δυσχερής.

Ἀφυΐα, ἡ πρὸς τὰ προκείμενα μαθήματα σκληρότης.

Ἄφυκα, ἀκαλλώπιστα, παρὰ τὸ μὴ ἔχειν φυκάριον. ὃ βάλλουσιν αἱ γυναῖκες πρὸς φιλοκαλίαν, ῥοϊδάριον.

Ἀφύκτως, ἀναποδράστως, οὗ οὐκ ἔστιν ἐκφυγεῖν.

Ἀφύλλοις, ξηροῖς.

Ἀφύλλου στόματος, ἄνευ ἱκετηρίας, Εὐριπίδης.

Ἄφυλλον, λεῖον, ξηρὸν, ἄνοζον, ψιλόν.

Ἄφυλλος, αὐχμώ. οἱ δὲ, ἄτρακτον.

Ἀφύλλωτον πέτραν, ἄπορον, ἄδενδρον, οἷον λεωπετρίαν.

Ἄφυξιν, ἀπάντησιν.

Ἀφυσάμενοι. τοῦ δὲ ἀφυσάμενοι, ὅ ἐστιν ἀρύσαντες, ἢ ἀντλήσαντες. ἔστι καὶ ἐνεργητικὴ χρῆσις ἐν τῷ ἤφυσε χαλκὸς, καὶ ἐν τῷ πλοῦτον ἀφύξειν. ἐκ δὲ τούτων δῆλον, ὅτι διφορεῖται ὁ μέλλων τοῦ ἀφύσειν. ἀφύξω τε γὰρ ὡς ἁρπάξω. καὶ ἀφύσω, ὡς ἁρπάσω. ἐξ ὧν τὸ ἀφύξειν, καὶ ἄφυσε, καὶ τὸ ἀφυσάμενος.

Ἀφύσσαν, τὴν κοτύλην, Ταραντῖνοι.

Ἀφύσγετον, τὸ ἰλυῶδες καὶ συρφετόν· παρὰ τὸ ἀφύω (ἀφ' οὗ τὸ ἀφύσσω, ὡς ὑλάω ὑλάσσω, ὀδύω ὀδύσσω) γίνεται ἀφύγετος (ὡς πήσσω παγετὸς) καὶ πλεονασμῷ τοῦ ς, ἀφύσγετος. ἢ παρὰ τὸ φλύγω φλυκτὸς, ὡς ἔχω ἑκτὸς, καὶ κατ' ἔνδειαν τοῦ σ, φυκτὸς καὶ ἄφλυκτος.

Ἄφυσσε, ἀπόλαβε.

Ἀφύσσειν, ἐκ τοῦ ὕειν γίνεσθαι δοκεῖ. ἀφ' οὗ καὶ ὁ ὑετός. ὕει μὲν γάρ πως εἰς πίθον, ἢ ἀμφιφορέα, ὁ πληρῶν ὑγροῦ. ἀφύει δὲ, καὶ ἀφύσσει, παραγώγως ὁ ἐκκενῶν, ἤτοι ἐξαντλῶν. ὅτε μέντοι ἐκ πηγῆς ἀφύσσονταί που ὕτερα, ἐκεῖ καὶ ἀπὸ τοῦ στερεῖσθαι τῆς συμφυΐας αὐτὰ, ἡ λέξις ἐτυμολογεῖσθαι λέγεται. καὶ ἀφύσσειν, τὸ ἐκ πηγῶν τι ἀντλεῖν.

Ἀφυσμὸς, ἀπάντλησις.

Ἀφύστα, κοτύλη, στάμνος.

Ἀφυστερίσαι, βραδῦναι.

Ἀφύσσεσθαι, ἐπὶ ὕδατος ἀντλουμένου κυριολεκτεῖται. ὡς δηλοῖ τὸ, ἀφυσσόμενοι μέλαν ὕδωρ. ἀλλ' ἐν τῷ φύλλα ἀφύσσεσθαι, ἡ τροπὴ οὐκ ἔστιν ἔξω λόγου. τίθησι τὴν λέξιν καὶ ἐπὶ ἐντέρων ὁ ποιητὴς, ἐκπεπτωκότων τῆς κοιλίας διὰ πληγήν. οἷον ἔντερα ἤφυσεν ὁ χαλκός. καὶ φασὶν οἱ παλαιοὶ, γίνεσθαι αὐτὸ ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ φύω, φύσω. ἀφύσσω, τὸ τῆς συμφυΐας ἀποστερῶ.

Ἀφύσσειν, τὸ ἀπαντλεῖν καὶ ἐκκενοῦν. ἐξ οὗ φασὶ καὶ τὸ λαφύσσειν. γίνεται δὲ ἤτοι ἐκ τοῦ ὕω τὸ βρέχω, οὗ στέρησις τὸ ἀφύσσειν, κυρίως τὸ ἰσχὺν τὸ ἐπιρρέον. ἢ ἐκ τοῦ φυσᾶν. ἐξ οὗ καὶ ἡ φύσις, ὡς οἷον φύσησις. ἵνα ᾖ ἀφύσσειν, τὸ ἀφύσητον καὶ κενὸν ἐᾶν τὸ ὑποκείμενον, ἐκ μεταφορᾶς τῶν ἀσκῶν. ἢ διὰ τὸ στερεῖν τοῦ κατὰ φύσιν ἔχειν ἀστείως δὲ ὁ ποιητὴς τὴν ἐκ κοιλίας χύσιν τῶν ἐντέρων, ἐξαντλήσει ἀπείκασεν. οὕτω δὲ καὶ πλοῦτον ἀφύσσειν ἀλλαχοῦ εἶπε, τὸ ὡς ἔκ τινος ὑγρὸν κοιλότητος ἐξαντλεῖν.

Ἀφυσσόμενοι, ἐκ τοῦ ἀφύσσω, μέλλων ἀφύξω. ἀφύσσω δὲ σημαίνει, τὸ ἀπό τινος ἐπιρρέοντος ἀπαντλεῖν, καὶ ἀπαρύεσθαι.

Ἀφύτις, ἅρπαινα.

Ἀφύων τιμὴ τὸ ἔλαιον, ἐπεὶ ἐν τούτῳ ἕψονται. λέγουσι δὲ Ἀττικοὶ πληθυντικῶς τὰς ἀφύας, ἑνικῶς δὲ οὐδέποτε.

Ἀφῶ, ἀντὶ τοῦ ἀφ' οὗ, Δωρικῶς.

Ἄφωνα ἐννέα, β̄ γ̄ δ̄, κ̄ π̄ τ̄, θ̄ φ̄ χ̄. τούτων τρεῖς εἰσὶ συγγένειαι, ἡ μὲν μία καὶ πρώτη ἐστὶ, γ̄ κ̄ χ̄. ἅτινα τρία σχηματίζονται ἐν τῷ λάρυγγι. ἡ δὲ δευτέρα συγγένειά ἐστι, δ̄ θ̄ τ̄. καὶ ταῦτα σχηματίζονται ἐν τῷ οὐρανίσκῳ. ἡ δὲ τρίτη συγγένειά ἐστι, β̄ π̄ φ̄. ἅτινα ἐν τοῖς χείλεσι σχηματίζονται. τούτων δὲ λέγονται ψιλά. οἷον, κ̄ π̄ τ̄. τρία δασέα, ἤγουν θ̄ φ̄ χ̄. τρία δὲ μέσα, οἷον, β̄ γ̄ δ̄. τὸ γὰρ β̄ μέσον ἐστὶ τοῦ π̄ καὶ φ̄. τὸ δὲ γ̄, μέσον τοῦ κ̄ καὶ τοῦ χ̄. τὸ δὲ δ̄, μέσον τοῦ τ̄ καὶ τοῦ θ̄. λέγονται δὲ μέσα ταῦτα τὰ τρία, ὅτι τῶν δασέων εἰσὶ ψιλότερα, τῶν δὲ ψιλῶν δασύτερα. καὶ ταῦτα διὰ τὴν ὁμοιότητα ἑαυτῶν τὴν κατὰ φύσιν, εὐκόλως καὶ πολλάκις ἀντ' ἀλλήλων λαμβάνονται. τὰ μὲν γὰρ ψιλὰ μεταβάλλονται καὶ μετατρέπονται εἰς δασέα, ὁπότε ἐπὶ τῆς τελευταίας συλλαβῆς εὑρεθέντων αὐτῶν, τῆς ἑπομένης λέξεως ἀρχομένης ἀπὸ φωνήεντος δασυνομένου, γίνεται ἔκθλιψις. ὡς ἐν τῷ κατὰ ἡμῶν, ἐκθλίψει καὶ ἐκβολῇ τοῦ ᾱ, καὶ τροπῇ τοῦ τ̄ εἰς θ̄, γίνεται καθ' ἡμῶν. ὁμοίως ἐν τῷ ἐπὶ ἡμᾶς, ἐφ' ἡμᾶς, ἐκλείψει τοῦ ῑ καὶ τροπῇ τοῦ π̄ εἰς φ̄, γίνεται ἐφ' ἡμᾶς. τὸ αὐτὸ ἐν τῷ πλέκε ἑαυτὸν εἰ τύχῃ, ἐκβολῇ τοῦ ε̄ καὶ τροπῇ τοῦ κ̄ εἰς χ̄, πλέχ' ἑαυτόν. Σημείωσαι, ὅτι τὸ θ̄ δασὺ, ἀντιστοιχεῖ τῷ ἑαυτοῦ ψιλῷ τῷ τ̄. τὸ δὲ φ̄, τῷ ἑαυτοῦ ψιλῷ, ἤγουν τῷ π̄. τὸ χ̄ δὲ, τῷ κ̄. ὡς εὔδηλον ἐν τοῖς προειρημένοις νῦν παραδείγμασι. γίνωσκε, ὅτι ἡ μία συγγένεια τῶν προειρημένων ἀφώνων, οἷον β̄ π̄ φ̄, ποιεῖ τὴν πρώτην συζυγίαν τῶν βαρυτόνων ῥημάτων. ἡ δὲ ἄλλη συγγένεια, ἤγουν, γ̄ κ̄ χ̄, ποιεῖ τὴν δευτέραν συζυγίαν. ἡ δὲ ἄλλη συγγένεια, ἤγουν δ̄ θ̄ τ̄, ποιεῖ τὴν τρίτην συζυγίαν. ὁμοίως δὲ τὸ ζ̄, καὶ δύο σσ̄, ποιεῖ τὴν τετάρτην συζυγίαν. τὰ δὲ τέσσαρα ἀμετάβολα, ἤγουν λ̄ μ̄, ν̄, ρ̄, ποιεῖ τὴν πέμπτην. ἡ δὲ ἕκτη συζυγία τῶν αὐτῶν βαρυτόνων ῥημάτων, διὰ καθαροῦ τοῦ ω γίνεται. Ἰστέον τοίνυν, ὅτι τὰ δεκαεπτὰ προειρημένα γράμματα, λέγονται σύμφωνα, διὰ τὸ συμφωνεῖν τοῖς ἑπτὰ φωνήεσιν, ἤγουν τὴν συλλαβὴν ἀποτελεῖν. τὰ δὲ ἐννέα νῦν ῥηθέντα λέγονται ἄφωνα, οὐ διὰ τὸ μηδεμίαν μηδαμῶς ἔχειν φωνὴν, ἀλλὰ διὰ τὸ κατὰ τὸ τέλειον τῆς φωνῆς τοσοῦτον ἀναλόγως ἐλαττοῦσθαι ἀπὸ τῶν ἡμιφώνων, ὅσον τὰ ἡμίφωνα ἀπὸ τῶν φωνηέντων. Ἔτι Ἰστέον, ὅτι τὸ κ̄ μετὰ τὸ ν̄ ἢ τὸ γ̄, προσλαμβάνει τὸν φθόγγον τοῦ γ̄, εἴτε ἐν τῇ αὐτῇ λέξει, οἷον ἐνέγκω, ἀνάγκη. εἴτε ἐν διαφόροις, ἀμέσως καὶ ἀδιαστάτως ἐκφερομέναις, οἷον τὸν κύριον, τὸν καιρόν. ἔτι τὸ γ̄ πρὸ τοῦ κ̄, ἢ πρὸ ἑτέρου γ̄, ἠχεῖ οἱονεὶ τὸ ν̄, οἷον εἰσενέγκης, ἄγγελος. ἔτι τὸ π̄ μετὰ τοῦ μ̄, ἢ μετὰ τοῦ ν̄, εἴτε ἐν τῇ αὐτῇ, εἴτε ἐν διαφόροις λέξεσιν ἀμέσως ἐκφερομέναις, ἔχει τὸν ἦχον τοῦ β̄ γράμματος λατινικοῦ, ὃν οὐκ ἄλλως ἂν εἶχεν, οἷον ἄμπελος. ἐν τῇ αὐτῇ λέξει, ἔμπυρος. ἐν διαφόροις δὲ λέξεσιν ἀμέσως καὶ ἀδιαστάτως ἐκφερομέναις, οἷον τὸν πόθον, τὸν πόνον. ὁμοίως τὸ τ̄ μετὰ τοῦ μ̄, ἢ μετὰ τοῦ ν̄, κρατεῖ τὸν ἦχον τοῦ δ̄ συμφώνου λατινικοῦ, ὃν οὐκ ἄλλως ἂν εἶχεν. οἷον, Ἀντίχριστος. Παρατηρητέον, ὅτι τὰ αὐτὰ καὶ στοιχεῖα καὶ γράμματα καλοῦνται. ὅτε μὲν γράφονται, γράμματα καλοῦνται. ὅτε δὲ ἀναγινώσκονται, λέγονται στοιχεῖα.

Ἄφωνος, ἄφθογγος.

Ἀφῶντα, ψηλαφῶντα.

Ἀφώρισται, πεπεράτωται.

Ἀφωρισμένος, ἐκλελεγμένος, διακεκριμένος.

Ἀφωσιωμένε, ἄποθεν τοῦ ὁσίου ἀφωρισμένε.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Χ.

Ἀχαία, ἡ Πελοπόννησος, ἢ ἡ Ἑλλὰς, ὅθεν καὶ Ἀχαιοί. ἐπαρχία δέ τις ἐστὶν ἡ Ἀχαία, ὑφ' ἣν ἡ Κόρινθος.

Ἀχαία ἐπίθετον Δήμητρος, ἀπὸ τοῦ περὶ τὴν Κόρην ἄχους, ὅπερ ἐποιεῖτο ἀναζητοῦσα αὐτήν. Λάκωνες δὲ, ἀγαθά. οἱ δὲ, ἔρια μαλακά.

Ἀχαίας, λύπας.

Ἀχαΐζειν, ἑλληνίζειν.

Ἀχαΐδα, ἐντελῶς ἔχει, καθὰ καὶ τὸ Ἀχαϊκός. τὸ δέγε Ἀχαΐδα καὶ ἀχαϊκὸν, ὥσπερ καὶ ἀχαία, παρὰ τοῖς ὕστερον ἀπέλυσιν ἔπαθε, τοῦ κατὰ ἀκολουθίαν Αἰολέων, οἳ ὑπερβάλλουσιν αὐτό.

Ἀχαιϊάδεσσι, ταῖς Θεσσαλαῖς, ἀπὸ Ἀχαιοῦ τοῦ Φθίου. Ὅμηρος, Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί. καὶ ἀχαΐδες, οὐκ ἔτ' ἀχαιοί. δηλοῖ μὲν τὸ γυναῖκες, οὐκ ἔτι ἄνδρες. λέγεται δὲ παρωνομασία ὑπὸ τῶν παλαιῶν. ὅμοιον τῷ, οὐ Φίλιππος, ἀλλὰ Φιλίππιον κεκράτηκε τῆς Ἑλλάδος. ἔχει δέ τινα ὁμοιότητα πρὸς τὸν τοῦ Θερσίτου λόγον, καὶ τὸ παρ' Ἡροδότῳ ἐν τοῖς περὶ Ἀρτεμισίας. ὡς οἱ μὲν ἄνδρες γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες γεγόνασιν.

Ἀχαϊνέην, παρὰ τῷ Ἀπολλωνίῳ. Ἀχαΐα ἐστὶ τῆς Κρήτης πόλις, ἐν ᾗ γίνονται ἀχαϊνέαι λεγόμεναι ἔλαφοι, αἳ καὶ σταθμιαῖαι καλοῦνται. οἱ δὲ κέρατα μεγάλα ἔχοντες ἔλαφοι, κεράσται.

Ἀχαΐνη, ἡ ἔλαφος, καὶ σκῦτος ἀμφιδούρου συκτὸν Ἀχαΐνεω.

Ἀχαιμένης, ὁ ἥρως, ἀφ' οὗ καὶ οἱ Πέρσαι Ἀχαιμενίδαι. γέγονεν υἱὸς Περσέως. ὠνόμασται δὲ, ἀπὸ τοῦ εἶναι τὸν προπάτορα αὐτοῦ ἀπὸ τῆς Ἀχαΐας. οὕτω Νικόλαος.

Ἀχαὶ νεβρῶν, ἐλάφων ἡλικίαι.

Ἀχαίνειν, σαίνειν, παίζειν. τοῦ Ψελλοῦ αὔθαιμοι, ἤγουν οἱ αὐτάδελφοι, ἀχαίνουσιν.

Ἀχανὲς πέλαγος, τὸ λίαν κεχηνός.

Ἀχαρὲς, μὴ τερπνὸν, ἀλλὰ λυπηρόν.

Ἀχαιοῖς, τοῖς Ἕλλησιν. Ἱστορία. Ξοῦθος ὁ Αἰόλου παῖς ἀγόμενος Κρέουσαν τὴν Ἐρεχθέως θυγατέρα, ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ἴωνα καὶ Ἀχαιόν. ὧν ὁ μὲν Ἴων ᾤκησεν Ἀθήνας, ὁ

δὲ

Digitized by Google

δὲ Ἀχαιὸς φόνον ἐμφύλιον δράσας, παρεγένετο εἰς Θεσσαλίαν. καὶ κυριεύσας τῆς χώρας, τοὺς ὑποτεταγμένους ἀφ' ἑαυτοῦ προσηγόρευσεν.

Ἀχαιομάντεις, οἱ τὴν τῶν θεῶν ἔχοντες ἱερωσύνην ἐν Κύπρῳ.

Ἀχαιὸς, ἐθνικόν. * καὶ Ἀχαιὸς κύριον ὁμωνύμως τῷ ἐθνικῷ. Ποσαχῶς λαμβάνονται τὰ ἐθνικά; τετραχῶς. ἐκ πόλεως, ἐξ ἔθνους, ἐκ χώρας, ἐκ βασιλείας. τὸ δὲ ἀχαιὸς, ἀπὸ Ἀχαιοῦ βασιλέως. τὰ δὲ διὰ τοῦ αιος εἰ ἔχουσι πρὸ τῆς αι διφθόγγου τὸ χ, προπερισπᾶται. οἷον, ἀρχαῖος, τροχαῖος. σεσημείωται τὸ αἰχαιὸς, καὶ τὸ εὐρυσιχαιός.

Ἀχαιοὺς ἄρξωσιν, ἔλλειψις προθέσεως ἐνταῦθα. τὸ γὰρ ἀχαιοὺς ἄρξωσι, ταυτόν ἐστι τῷ ἀρχὴν ποιήσωσιν εἰς τοὺς Ἀχαιούς. καὶ Ἀχαιοὶ, Ἕλληνες δὲ κοινῶς, πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν, ἀπὸ Ἕλληνος τοῦ Διός. πρῶτοί τε οὕτως ἐλέγοντο οἱ ἐν Θεσσαλίᾳ ἄνθρωποι. οὐ μὴν ἅπαντες, ἀλλὰ μόνοι οἱ ἐν Ἑλλάδι τῇ πόλει. ἔπειτα μεγάλα δυνηθέντος τοῦ Ἕλληνος, καὶ τῶν τούτου παίδων, ἀπ' αὐτοῦ πάντες ἐκλήθησαν Ἕλληνες.

Ἀχαιός, Συρακούσιος τραγικὸς νεώτερος. ἔγραψε δὲ τραγῳδίας δέκα.

Ἀχάλκευτα τύπανα, τὰ φρύγια πυρεῖα.

Ἀχανά, κ[illegible]ήματα.

Ἀχάναι, κίσται, περσικὰ μέτρα ἤσαν, ἐν οἷς ἀπετίθεντο ἐπισιτισμοὶ τοῖς θεωροῖς. λέγονται καὶ Ἀχανίδες παρὰ τῷ κωμικῷ ἐν Ἀχαρνεῦσιν. οὕτω καὶ ἀστάρβη, μέτρον ἐφέρετο περσικόν.

Ἀχανεῖ, ἀνανοίκτῳ.

Ἀχανὲς, ἡπλωμένον.

Ἀχάνη, μέτρον ἐστὶ περσικὸν, ὥσπερ ἡ Ἀρτάβη παρ' Αἰγυπτίοις. ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς τεσσαράκοντα πέντε, ὡς μαρτυρεῖ Ἀριστοτέλης. ἄλλοι δέ φασιν, ὅτι κίστη ἐστὶν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς, οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι.

Ἀχανής, ἄφωνος, μὴ κεχηνώς. παρὰ τὸ χαίνω χανής, καὶ ἀχανής.

* Ἀχάντια, τὰ ἀκάνθια Ἰωνικῶς κατὰ ἀντιστοιχίαν.

Ἀχάξ, κατάχεσις.

Ἀχαός, δίχα τοῦ κατὰ τὴν δίφθογγον ι προφέρουσιν οἱ Αἰολεῖς.

Ἀχανόωσαν, ἐπιθυμοῦσαν.

Ἄχαρις ὀσμή, οὐ δυσοσμία.

Ἀχαριστεῖν, ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀντιφῶν.

Ἀχάριστος λέγεται, ὁ ἀποστερῶν χάριν. καὶ ἄχαρις ἂν ῥηθείη, καὶ ἀπάνθρωπος, ἀναίσθητος, ἄδικος, ἀγνώμων, ἀμνήμων, ἐπιλήσμων, ἔνοχος τοῖς ἀχαριστίας ἐπιτιμίοις. καὶ τὸ πρᾶγμα, ἀναισθησία, ἀχαριστία, ἀδικία, ἀγνωμοσύνη. ὡς Ἀντιφῶν, ἀποστέρησις. ὡσαύτως καὶ τὰ ἐπιρρήματα, ἀχαρίστως, ἀναισθήτως, ἀδίκως, ἀγνωμόνως, ἐπιλησμόνως. τὸ δὲ δίκαιον εἶναι περὶ τοὺς εὐεργέτας, εἰδέναι χάριν, ἐπίστασθαι χάριν, ἔχειν. ὡς Ὑπερίδης τε, καὶ Λυσίας, διαλύειν χάριν, ἀποδιδόναι, ἀποτίνειν, ἐκτίνειν, ἀπομνημονεύειν, ἀντεπιμετρεῖν, ἀμείβεσθαι, ἀντεισφέρειν, ἀντευποιεῖν, ἀντευεργετεῖν, ἀντεπιμελεῖσθαι, ἀντικήδεσθαι, ἀντιχαρίζεσθαι, ἀντευφημεῖν, ἀντευνοεῖν, ἀντιφιλοτιμεῖν, ἀντιφιλοτιμεῖσθαι.

* Ἀχαρίστερον, μᾶλλον ἄχαρι, ἤγουν ἀηδέστερον.

Ἀχαρίστερον, τὸ ἀηδέστερον. οὐ ὁ τύπος, ὡς τὸ λαλίστερον, καὶ κλεπτίστερον. δῆλον δὲ, ὅτι ἀντίκειται τὸ ἡδύ, τουτέστι τὸ χαρίεν, πρὸς τὸ ἄχαρι.

* Ἀχάριστον τὸ ἀχαρίτωτον, καὶ μὴ χαρίεν παρ' Ὁμήρῳ· παρὰ δὲ τοῖς ὕστερον ἀχάριστος, ὁ τῶν εὐεργεσιῶν ἐπιλαθόμενος.

Ἀχαρὲς, λυπηρόν.

Ἀχαρίστερον, ἀχαριτώτερον. Δόρπου δ' οὐκ ἄν πως ἀχαρίστερον. οἱ δὲ, λυπηρότερον.

Ἀχάρνα, εἶδος ἰχθύος.

Ἀχάρνη, δῆμος τῆς Ἀττικῆς.

Ἀχαρνικαὶ πύλαι, Ἀθήνησιν.

Ἀχαρνικοὶ ὄνοι, ἐπὶ τῶν μεγάλων οὕτως ἔλεγον.

Ἄχαρι, χαλεπὸν, κακὸν, λυπηρόν.

Ἀχάτης λίθος, καὶ λυχνίτης, καὶ ἀστρίτης.

Ἀχαχημένη, ἡ ἀκαχημένη, καὶ ἀκηχεμένη, διὰ χρείαν μέτρου, ἤγουν βαρυνομένη, λυπουμένη.

Ἄχεα, λύπη.

Ἄχερδος, ἡ ἀγρία ἄπιος, ἀχερός τις οὖσα, ἡ δυσχερὴς ταῖς χερσὶ λαβέσθαι, καὶ πλεονασμῷ τοῦ δ ἄχερδος. ὡς δείω δείδω, οἷον μοχθηρὸς ὤν. καὶ τὴν γνώμην ἀχερδούσιος, ἀντὶ τοῦ σκληρός. ἔστι δὲ εἶδος ἀκάνθης. ἢ ἄχερδος, ἄκανθα ποιά. ὡς τὸ, ἐθρίγκωσεν ἀχέρδῳ.

Ἄχει προστραπέσθαι, τῇ λύπῃ ὑπεῖξαι, καὶ οἷον ὑποχωρῆσαι.

Ἀχείμαστον, ἀπάραχον.

Ἀχείμονα, ἀγνήν.

Ἀχειρὲς, ἀχρεῖον.

Ἀχειρώ, ἡ Ἀχερώ, καὶ Ὦπις, καὶ Ἑλλή, Γῆρυς, καὶ Γῆ, καὶ Δημήτηρ, ἡ αὐτή.

Ἀχείρωτος, ἀνίκητος, ἀήττητος, ἀκράτητος, ἄμωμος, ἀπόρθητος.

Ἄχειρος, ὁ χειρὸς ἐστερημένος.

Ἄχερλα, ἰχθῦς ποιός.

Ἀχέλιον, τὸ λεπτομερές.

Ἀχέλουρις, τῶν ἀχύρων ποίμνη τις, παρὰ Ταραντίνοις.

Ἀχελώϊος πεντασυλλάβως, καὶ Ἀχελῷος τετρασυλλάβως λέγεται. οὕτω δὲ καὶ πατρώϊος καὶ μητρώϊος, ποιητικώτερα. κοινὰ δὲ τὸ πατρῷος καὶ μητρῷος. Ἀχελῷος, ποταμὸς ἱστόρηται. εἰ μὴ ἄρα τις ἀχελῷον ἁπλῶς τοὔδωρ νοεῖν βούλεται. καὶ Ἀχελῷος ποταμὸς μεταξὺ Αἰτωλίας καὶ Ἀκαρνανίας. κοινῶς δὲ πᾶν ὕδωρ, ἀχελῷος καλεῖται. δοκεῖ δὲ τῶν ἐν τῇ Ἑλλάδι ποταμῶν, μέγιστος εἶναι ὁ Ἀχελῷος. διὸ καὶ πᾶν ὕδωρ, τῇ τούτου προσηγορίᾳ καλεῖται. Ὅμηρος, Τῷ οὐδὲ κρείων ἀχελώϊος ἰσοφαρίζει.

Ἀχελλιφάδας, τὰς εὐτραφεῖς καὶ μεγάλας, παρὰ τῷ Ἱπποκράτει.

Ἄχεος νεφέλη, περιφραστικῶς ἡ λύπη.

Ἀχερουσία, λίμνη ἐστὶν Ἡρακλείας τοῦ πόντου. ὡς καὶ ποταμὸς ἀχέρων, ὃς νῦν καλεῖται σαοναύτης μυθικῶς. καὶ ἀχερουσία, καὶ ἀχέρων, λίμνη καὶ ποταμὸς τοῦ ᾅδου. παρὰ τὸ ἄχη καὶ θλίψεις ῥέειν, τοὺς τῶν τεθνηκότων συγγενεῖς.

Ἀχερουσιὰς, λίμνη ἐστὶ πλησίον Ἡρακλείας πόντου. ὡς τὸ, Ἔνθα μὲν εἰς ἀΐδαο καταιβάτις ἐστὶ κέλευθος, ἀκτή τε προβλὴς ἀχερουσιὰς ὑψόθι τείνει.

Ἀχερωΐδα, τὴν λεύκην καλεῖ Ὅμηρος, ὡς ἀπὸ τοῦ ἀχέρων. ὃς ἦν ἐν ᾅδου ποταμὸς κατὰ τὸν ἐν Ὀδυσσείᾳ κείμενον μῦθον. φασὶ γὰρ Ἡρακλέα ἐκεῖ διὰ τὸν Κέρβερον κατελθόντα, καὶ ἰδόντα τὸ φυτὸν, ἐκ τῆς εὐφυΐας θαυμάσαντα, στεφανώσασθαί τε καὶ ἀναγαγεῖν, καὶ ἡλίῳ δεῖξαι. ὡς ἄκαρπος δὲ ἡ ἀχερωῒς, τῷ ᾅδῃ ἀνάκειται, διὸ καὶ ἰτέαι καὶ αἴγειροι τὸν τῆς Περσεφόνης πληροῦσι λειμῶνα. ἕτεροι δὲ, ἀντὶ τοῦ ἀχερωῒς γράφουσιν ἀχελωῒς, ὡς ἄντις εἴποι ὑδατοτρεφής. ὡς ἀχελώου λεγομένου παντὸς ὕδατος. καὶ νοοῦσιν, ὡς αὐτοὶ βούλονται, ἀχελωΐδα, τὴν αἴγειρον, ὡς ὕδασι χαίρουσαν. ἣ καλῶς εἰκάζεται καθ' Ὅμηρον, μέγας Ἄσιος.

Ἀχέρων, ὁ ἐν ᾅδου ποταμὸς, παρὰ τὸ ἐστερῆσθαι χαρᾶς τοὺς ἐκεῖ κατιόντας, καὶ καθ' ὑπέρθεσιν ἀχέρων.

Ἄχεται, στυγεῖ, μέμφεται.

Ἀχέτας, ὁ τέλειος καὶ φωνήεις.

Ἀχέτης, ὁ ἄῤῥην τέττιξ, ὁ λαλίστατος.

* Ἀχέται, λέγονται οἱ μάστιγοι τῶν τεττίγων, ἁπλῶς δὲ ἀχέτης τέττιξ ὁ ἠχητικός.

Ἀχεύων, καὶ ἀχέων, λυπούμενος. παρὰ τὸ ἄχος, ἀχέων. ἀχεύων δὲ, ἀπὸ τοῦ ἀχέω.

Ἀχέων, δυσφορῶν.

Ἀχηνία, ἀπορία, πενία, πτωχεία. ἢ ἀχὴν, ὁ πτωχός. καὶ ἀχῆνες, οἱ μηδὲν ἔχοντες. παρὰ τὸ τὰ κενὰ τῶν σκευῶν ἠχεῖν.

Ἀχῆνες, κενοί.

Ἀχηρὴς, ὁ λυπηρὸς, ἐκτάσει τοῦ α εἰς η.

Ἄχηρον, ἀκρίδα. Κρῆτες.

Ἄχης, ὁ πένης. καὶ ἀχῆνες οἱ πένητες.

* Ἀχὴν ὁ πτωχὸς οἱονεὶ ἀεχὴν, παρὰ τὸ μ[illegible] ἔχειν.

Ἀχητεῖς, ἀζήτητοι, ἀσύνετοι, ἄποροι.

Ἄχητι, λυπήθητι.

Ἀχθεία, ἡ Δημήτηρ, μυστικῶς.

Ἀχθεινὸν, ἐπίπονον, ὀδυνηρόν.

Ἀχθέσομαι κάλλιον, ἢ ἀχθεσθήσομαι, ἤγουν βαρυνθήσομαι.

Ἄχθεται, λυπεῖται, βαρεῖται.

Ἀχθεσθήσῃ, λυπηθήσῃ. καὶ ἀχθέσῃ, ὁμοίως.

* Ἄχθεσθαι, τὸ ἄχθος, ὅ ἐστι φορτίον αἴρειν, καὶ ἄχθεσθαι ναῦς λέγεται, ἀντὶ τοῦ βαρύνεσθαι τῷ φορτίῳ. παρὰ δὲ τοῖς μεθ' Ὅμηρον τὸ λυπεῖσθαι σημαίνει.

Ἄχθη, ἀκαθαρσία, ἀφρὸς θαλάσσης.

Ἀχθηδὼν, βάρος, λύπη, καὶ κλίνεται ἀχθηδόνος.

Ἀχθηρὲς, λυπηρόν.

Ἀχθήσας, γομώσας, ἤγουν πληρώσας.

Ἀχθομένη, βαρυνομένη, λυπουμένη.

Ἄχθος, βάρος. ἄχος τί ἐστι, καὶ πλεονασμῷ τοῦ θ, ἄχθος.

Ἀχθοφόροι, ἀμφορεαφόροι, ἀμφορεῖς. ἀμφορεῖς λέγονται, οἱ ἐξ ἀγορᾶς ἢ λιμένος κομίζοντές τι. καὶ τὰ ῥήματα, ἀχθοφορεῖν, καὶ ἀμφορεαφορεῖν, ἀφορεῖν, ἀμφορεῖν. ὑδροφόροι, ξυλοφόροι, σκευοφόροι, ὑλοφόροι καὶ ὑλοφορεῖν. πλινθοφόροι πλινθοφορεῖν, πηλοφόροι καὶ πηλοφορεῖν, ξυληγοί. ἀφ' ὧν τὸ ξυληγῶν εἴρηκε Δημοσθένης. φρυγανοφόροι, ὄνομα ἐν τῇ Λυσίου ἐπιστολῇ. καὶ ξυλοφορίαν εἴρηκε Λυσίας. τὸ δὲ σύμπαν εἰπεῖν, μισθωτοί. καὶ ὡς Φρύνιχος, μισθώτριαι γυναῖκες.

Ἀχθοφοροῦντας, βαστάζοντας καὶ φέροντας βάρος.

Ἄχθος ἀρούρης, παροιμιῶδες μέν ἐστιν. ὑποδηλοῖ δὲ τὸν βουγάϊον.

Ἀχθὼν, κορμὸς ἐκ λιπαροῦ δαδίου, Λάκωνες.

Ἄχι, ἀντὶ τοῦ ῥαδίως.

Ἀχιὰ, ἔρια μαλακά.

Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος, ἔγημε Μήδειαν. καὶ τοῦτο πρῶτος Ἴβυκος εἴρηκε, καὶ Σιμωνίδης. τῷ Ἀχιλλεῖ κεκλωσμένον ἦν, ἢ πολυχρόνιον γενήσεσθαι, καὶ ἄτιμον, ἢ ὀλιγοχρόνιον, καὶ ἔντιμον.

Ἀχιλλεὺς ἐρασθεὶς Πολυξένης τῆς Πριάμου θυγατρὸς, φασὶν οἱ παλαιοὶ, ὅτι ἐδήλωσε τῷ Πριάμῳ συμμαχῆσαι αὐτῷ, εἰ λάβοι τὴν κόρην. ὁ δὲ συνέθετο δοῦναι. καὶ ἐλθόντων ἐν τῷ Θυμβραίου Ἀπόλλωνος ναῷ, Ἀλέξανδρος λάθρα τοξεύει τὸν Ἀχιλλέα, καὶ οὕτω συνέβη ἀποθανεῖν τὸν ἥρωα. οἱ δὲ Τρῶες τὸ σῶμα αὐτοῦ τοῖς Ἕλλησιν οὐκ ἐδίδουν, ἕως ἔλαβον πάλιν τὰ δῶρα, ἃ Πρίαμος σκεθρῷ ταλάντῳ, ἤτοι ἀκριβεῖ ζυγοσταθμήσει τρυτάνης τοῦ ζυγοῦ ἀπέδωκε.

Ἀχιλλεὺς μετὰ θάνατον (ὡς ληροῦσιν) ἔγημε Μήδειαν τὴν Αἰήτου παῖδα. Αἰήτης δὲ, καὶ Κίρκη, καὶ Πασιφάη, Ἡλίου παῖδες, καὶ Πέρσης τῆς Ὠκεανοῦ. Αἰήτου μὲν παῖδες καὶ Εἰδυίας, Μήδεια καὶ Ἄψυρτος. Κίρκης τε καὶ Ὀδυσσέως, Τηλέγονος καὶ Πασιφάη. Πασιφάης καὶ Μίνωος, Ἀριάδνη, Φαίδρα καὶ Γλαῦκος, ὃν Λυκόφρων Γλαύκωνά φησιν. Ἰστέον, ὅτι ὁ Τζέτζης δι' ἑνὸς λ γράφει τὸ Ἀχιλλεύς. φησὶ γὰρ, ἢ ἀπὸ τοῦ ἄχος ἐμποιεῖν τοῖς Ἰλιεῦσιν ἐτυμολογεῖται, ἢ παρὰ τὸ μὴ θιγεῖν χείλεσι θηλῆς. ὅλως γὰρ οὐ μετέσχε γάλακτος. ἢ παρὰ τὸ ἄχη λύειν. ἰατρὸς γὰρ ἦν. ἢ παρὰ τὸ χιλοῦ ἄμοιρος εἶναι. ἢ παρὰ τὸ ἄγειν τὸν λαὸν, ὡς στρατηγός. τὸν ἀχιλλέα κατὰ τοὺς παλαιοὺς, Ὅμηρος, οὐχ ὑπὸ Χείρωνος οἶδε τραφῆναι, εἰ μὴ ἄρα ἴσως μόνον μόνην παιδευθῆναι τὴν ἰατρικήν. Ἄλλως.

Ἀχιλλεὺς, παρὰ τὸ ἄχος λύειν. ἰατρὸς γὰρ ἦν. ἢ διὰ τὸ ἄχος, ὅ ἐστι λύπην ἐπενεγκεῖν τῇ μητρὶ, καὶ τοῖς Ἰλιεῦσιν· ἢ διὰ τὸ μὴ θίγειν χείλεσι θηλῆς, ὅ ἐστι τροφῆς. ὅλως γὰρ οὐ μετέσχε γάλακτος, ἀλλὰ μυελοῖς ἐλάφων ἐτράφη ὑπὸ Χείρωνος. ὑπὸ Μυρμιδόνων δὲ ἐκλήθη, καθά φησιν Εὐφορίων, Ἐς Φθίην χιλοῖο κατήϊε πάμπαν ἄπαστος, Τοὔνεκα Μυρμιδόνες μιν Ἀχιλλέα φημίξαντο.

Ἀχιλλείων, τουτέστι κριθῶν καθαρῶν, καὶ εὐγενῶν, οὕτω καλουμένων.

Digitized by Google

* Ἀχιλλέως ἵπποι, ὑπὸ Ποσειδῶνος ἐδωρήθησαν τῷ Πηλεῖ ἐν τοῖς Θέτιδος γάμοις, τὰ δὲ ὅπλα ὑπὸ Ἡφαίστου.

Ἀχιλλεία μᾶζα περιλαλεῖται, ἀλλ' οὐκ ἐκείνη διαφερόν τι ἔχει, ἐν ἄρτῳ μόνῳ θεωρουμένη. οὐ σημαίνον τὸ ἀττᾶσθαι, ὅ ἐστι σήθεσθαι κατὰ Αἴλιον Διονύσιον. ὅς φησιν, ὅτι διαττᾶν Ἀττικοὶ λέγουσι, τὸ σήθειν. καὶ διαττώμενον, τὸ σεσησμένον.

Ἀχιλλείδης, ἐκ τοῦ Ἀχιλλέως. οὕτω καὶ Αἰγεὺς αἰγείδης, ὁ υἱὸς τοῦ Αἰγέως.

Ἀχίλλειος σπόγγος, ἔχει τι ἐξέχον πρὸς τοὺς λοιποὺς, ὑποκείμενος ἁπαλὸς τῇ περικεφαλαίαις. καθ' ὑπεροχὴν Ἀχιλλέως, ἵνα μὴ ὁ σίδηρος τρίβοι τὴν κεφαλήν.

Ἄχιλον, ἄτροφον, πολύχορτον.

Ἀχίκητα, ἀκαταλήπτα.

Ἀχινέων, τῶν ἀχιδαίων.

Ἀχιοπῷ, χόρτῳ χλωρῷ.

Ἄχλαξ, ἡ λιθώδης καὶ ψαμμώδης ἄμμος, ἢ ὁ μικρὸς λίθος.

Ἀχληρὸν, ἀπεχθές.

Ἀχλυδιᾶν, θρύπτεσθαι.

Ἀχλυέωσης, σκοτομήνης.

Ἀχλύμενος, λυπούμενος.

Ἀχλὺς, σκότος, ὁμίχλης ζόφος, ἡ ἄγαν ἀλύουσα, καὶ ἀποκρύπτουσα, παρὰ τὸ ἀλύω, τοῦ α ἐπιτατικοῦ ὄντος. ἢ παρὰ τὸ τὰς ὄψεις ἡμῶν ὀχλεῖν, καὶ λυπεῖν.

Ἀχλύσαντος, σκοτισθέντος.

Ἀχνάζει, ἄχθεται, μισεῖ, ψέγει.

Ἄχναι, λεπτὰ ἄχυρα, ἢ ἀκαθαρσίαι. καὶ ἄχνη ἁλὸς, τὸ λεπτότατον τοῦ ὕδατος, ὁ ἀφρὸς τῆς θαλάσσης.

Ἄχναν, τὴν οἴκησιν, καὶ τὴν ἐπὶ τοῦ σίτου λεπτὴν καλάμην.

Ἀχνάσδημι. ἀχνῶ, ῥῆμα παράγωγον, ἀχνάζω, ἀχνάζημι τροπῇ τοῦ ζ εἰς δ καὶ σ, καὶ πλεονασμῷ τοῦ ν, ἀχνάσδημι.

Ἄχνη, γίνεται παρὰ τὸ α στερητικὸν, καὶ τὸ ἔχω τὸ κρατῶ, ἡ ἀκράτητος διὰ λεπτότητα. ὡς γὰρ ἀχῆνες οἱ πτωχοὶ, παρὰ τὸ μὴ ἔχειν, οἱονεὶ ἀεχῆνες, καὶ κατὰ κρᾶσιν ἀχῆνες, οὕτω καὶ αἔχη, καὶ κράσει ἄχη, ἡ μὴ ἐχομένη ἄχει. καὶ πλεονασμῷ τοῦ ν ἄχνη, ὡς τέχη τέχνη, καὶ ἄλλα οὐκ ὀλίγα. ἐν οἷς καὶ ἡ μυσάχνη, σκῶμμα πόρνης, ἐκ τοῦ μυσάττω. ὁ παρακείμενος μεμύσαχα, ὅθεν μυσάχνη. ἐκ τούτων δὲ φαίνεται, ὅτι οὐχ ἁπλῶς ἄχυρον, ἀλλὰ τὸ ἀχύρου λεπτότατον νῦν ἡ ἄχνη δηλοῖ. κατὰ ἄλλον δὲ λόγον, ταυτίζονται ἀμφότερα. καὶ ἡ ἄχνη γὰρ παρὰ τὸ μὴ ἔχεσθαι εἴρηται. καὶ τὸ ἄχυρον δὲ, αἔχυρόν τι. δῆλον δὲ ὅτι καὶ ἐπὶ ὕδατος ἡ ἄχνη λέγεται. κύματος γὰρ ἄχνην φαμὲν, ἀκολούθως τῷ ἁλὸς ἄχνη.

Ἄχνη, τὸ λεπτότατον τοῦ κύματος, ἤγουν ἀφρὸς, ἐκ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ἔχειν, ἡ μὴ συνεχὴς, ἀλλὰ σκορπιζομένη, ὡς δηλοῖ τοῦ ὑψόσε ἄχνη σκίδναται. ἀναλογοῦσι δὲ πρὸς τὸ ἄχνη ἡ πάχνη, ἡ λάχνη, σὺν ἄλλοις, καὶ ἡ μυσάχνη. ταυτὸν εἰπεῖν ἡ μυσαρὰ ὡς ἀπὸ τοῦ μυσάττω. οὗ ὁ παρακείμενος, μεμύσαχα.

Ἄχνην λέγει Ὅμηρος, τὸ λεπτότατον τοῦ κύματος, ὅπερ ἐν ταῖς ἔξω προσρήξεσιν ἀπαφρίζεται. Σοφοκλῆς ἄλλως τὴν λέξιν ἐκλαβόμενος, ἄχνην τὴν δρόσον ἔφη· ἐν τῷ, Θάλλει δ' οὐρανίας ὑπ' ἄχνας ὁ καλλίβοτρυς Νάρκισσος. οὐδ' αὐτὸς ἀπροσφυῶς γράψας, διὰ τὸ μὴ δὲ τὰς τοῦ ὑετοῦ σταγόνας συνεχεῖς εἶναι, ἀλλὰ διεχεῖς. ὅθεν καὶ ἡ ἄχνη ὠνόμασται, αἔχητις οὖσα, καὶ κατὰ κρᾶσιν, καὶ πλεονασμῷ τοῦ ν. Εὐριπίδης δὲ καὶ αὐτὸς μιμησάμενος τῷ ἁλὸς ἄχνη, οἰνωπὸν ἄχνην λέγει, τὴν ἐν λοιβαῖς καταχεομένην τῆς γῆς.

Ἀχνητὸν, δαψιλὲς, ἄφατον, πολὺ, ἄφθονον.

Ἄχνους, ἀγένειος, ἢ ὁ μὴ ἔχων χνοῦν, ἤτοι χνοῦν.

Ἄχνυλα, τὰ κάρυα. Κρῆτες.

Ἄχνυμαι, λυποῦμαι, καὶ ἀλγῶ, ταυτόν. τὸ μὲν παρὰ ποιηταῖς, τὸ δὲ λυποῦμαι, καὶ ἀλγῶ, κοινά. ὧν ὀνόματα, τὸ ἄχος ἡ λύπη, καὶ τὸ ἄλγος. εἰ δ' ἐπιπαθείη τὸ ἄχνυμαι, καὶ περιτάσει τὴν ἀγανάκτησιν, ἄχθεσθαι λέγεται, καὶ βαρύνεσθαι. καὶ ὀχθεῖν ποιητικῶς. ὃ καὶ προσοχθίζειν λέγεται παρὰ τοῖς κοινοῖς· ὧν τὸ μὲν, παρὰ τὴν ὄχθην γίνεται. τὰ δὲ, παρὰ τὸ ἄχθος, καὶ βάρος.

Ἀχνύμενος, ἄχω τὸ λυποῦμαι, καὶ προσλήψει τοῦ ν, ἄχνω. καὶ παραγώγως, ἀχνύω, καὶ ἐξ αὐτοῦ ἄχνυμι, καὶ ἄχνυμαι, καὶ μετοχὴ ἀχνύμενος.

Ἄχνυμι, ἄχω, ἀχύω, καὶ Δωρικῶς ἀχνύω, μεταθέσει, ἐξ οὗ τὸ ἄχνυμι. ὁμοίως καὶ δέχω, δεχύω, δεχνύω, καὶ μεταθέσει καὶ παραγωγῇ δεχνύω δέχνυμι.

* Ἀχνύμενος κῆρ, συνεχόμενος τὴν ψυχήν.

* Ἄχνυσθαι, ἀναλογεῖ τῷ κλαίειν, ὡς τὸ γελᾶν τῷ μειδιᾶν.

Ἀχνὺς, ἡ λύπη.

Ἀχνῶδες, ἄχνῃ ὅμοιον.

Ἀχολὰξ, ἡ λιθώδης καὶ ψαμμώδης ἄμμος, ἢ ὁ μικρὸς λίθος.

Ἄχολον, τὸ ἀόργητον. ἄχολα ζῶα, τὰ μὴ ἔχοντα σωματικὴν χολήν. καὶ ἄχολον, ἀποσχολαζόμενον τὴν ὀργὴν, κωλυτικὴν ὀργῆς δύναμιν ἔχον. Νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.

Ἀχόρτασος, ἄπληστος.

Ἄχος κατὰ τοὺς παλαιοὺς, ἡ ἄφωνος ἀνία. παρὰ τὸ α στερητικὸν μόριον, καὶ τὸ χαίνειν. ἢ ἄχος ἐστὶ, σύγχυσις ψυχῆς, λύπη ἐπιτεταμένη.

Ἀχραδάμυλλος, ὁ κοχλίας.

Ἄχραντον σῶμα, ἀμίατον, ἀμόλυντον. γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ χραίνω, τὸ μολύνω. χραίνω χραντὸς, καὶ ἄχραντος. ἢ ἄχραντον, οὗ μηδέπω χεὶρ ἥψατο. ἢ τὸ μήπω ἐν χρείᾳ γεγονός. σῶμα δὲ λέγεται, διὰ τὸ σῆμα εἶναι τῆς ψυχῆς, ἤγουν τάφος. ἢ διότι τούτῳ σημαίνει ἡ ψυχὴ, ἃ ἂν σημαίνῃ.

Ἀχρὰς, εἶδος ἀπίου, ἡ μηδέποτε ἐν χρείᾳ οὖσα. καὶ ἀχρὰς, ἡ ἀγρία ἄπιος.

Ἀχράδας, τὰς ἀπίους.

Ἀχραδῆναι, ζῶα τινὰ ξυλοφάγα.

Ἀχρανὲς, ἄχραντον, ἀμόλυντον, καθαρὸν, ἀμίαντον. χραίνειν γάρ ἐστι τὸ μιαίνειν.

Ἄχραντοι, οἱ πολέμιοι.

Ἀχρεῖος, ὁ ἄχρηστος, ὁ ἔσχατος, ἐκ τοῦ χρεία. καὶ ὤφειλεν εἶναι ἄχρειος. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η, θηλυκὰ συντιθέμενα, προπαροξύνονται, οἷον πύλη, Εὐρύπυλος. οὕτως οὖν χρεία, ἄχρειος. ὡς οὖν εἴπομεν ἐκ τοῦ χρεία μετὰ τοῦ στερητικοῦ α ἀχρεῖος, οὗ μὴ ἔχοι τις χρείαν. καὶ ἐξ αὐτοῦ ἀχρεῖον, τὸ οὐδέτερον. ἀπὸ δὲ ὀνόματος μετήχθη εἰς ἐπίρρημα.

Ἀχρειόγελως ἄνθρωπος, ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν, καὶ χαίρων.

Ἀχρεία, βλάσφημον, ἄμορφον, ἀχρεῖον, λυπηρόν.

Ἄχρειον ἐγέλασεν, ἀντὶ τοῦ ἄκαιρον, καὶ πρὸς οὐδεμίαν χρείαν. Ἀττικοὶ δέ φασι τὴν λέξιν ταύτην προπαροξύνουσιν, ἄχρειον λέγοντες.

Ἀχρεῖον ἰδὼν, οὐχ ὅμοιον τῷ, τὴν Πηνελόπην ἀχρεῖον γελάσαι. ἀλλ' ἐκεῖ μὲν ἀχρεῖον, τὸ ἐπίπλαστον καὶ ὑποκεχειρισμένον. ἐνταῦθα δὲ ἀχρεῖον ἰδεῖν, τὸ ἀκαίρως βλέψαι, καὶ ἐπ' οὐδεμιᾷ χρείᾳ. ἢ ἀντὶ τοῦ μιμοειδὲς, καὶ ἀχρειοποιὸν, ὡς ἀμορφωθέντος τοῦ προσώπου τοῖς δάκρυσι. τὸ δὲ ἀχρεῖον φασιν οἱ παλαιοὶ, παρὰ μὲν τοῖς Ἀττικοῖς προπαροξύνεσθαι, ἀναβιβασμῷ τόνου ὡς σύνθετον. παρὰ δὲ τῷ ποιητῇ προπερισπᾶται, κανόνι τοιούτῳ. Τὰ ἔχοντα τὸ α ἐν τῇ πρώτῃ συλλαβῇ, ἐπιφερομένων δύο συμφώνων μετὰ διφθόγγου, προπερισπᾶται. οἷον ἀνδρεῖος, ἀργεῖος, ἀγρεῖος. τοὺς δὲ ἄλλως προπερισπῶντας τὸ ἀχρεῖος, ἐπεὶ ἀχρήϊος λέγεται παρὰ Ἡσιόδῳ, ἡ δὲ ὀξεῖά φασι καὶ ἡ περισπωμένη συνίζουσαι περισπωμένην ποιοῦσιν, αἰτιᾶται Ἡρωδιανὸς, λέγων ὡς οὐκ αἰεὶ τοῦτο, καθὰ δῆλον ἐκ τοῦ ἀρήϊος ἄρειος, βασιλήϊος βασίλειος. διό φησι τὸ ἀχρεῖος, εἴτε παρὰ τὴν χρείαν, εἴτε παρὰ τὸ χρέος, προπαροξύνεσθαι ὀφείλει, ὃ δηλαδὴ ἐποίουν οἱ Ἀττικοί. ὡς ἐν τῷ ἔρημον, καὶ ἕτοιμον τοῖς ὁμηρικοῖς. καὶ αὐτοὶ γὰρ οἱ νεώτεροι Ἀττικοὶ, ἀναλόγως παρώξυναν, ὥς φησιν Ἡρωδιανός.

Ἀχρήεις, μάταιος, ἐλαφρὸς, ἄχρηστος.

Ἀχρήϊστον ὄλεθρον, μέχρι τοῦ ἐσχάτου, καὶ ἀπεράντου.

Ἀχρήματον, ἀδάπανον.

Ἀχρημοσύνη, πενία, ἔνδεια, ἀπορία.

Ἀχρήμων, πένης, καὶ αὐτάρκης.

Ἄχρις ἀπηλοίησαν, παντελῶς ἀπέκοψαν.

Ἄχρηστος ἐκ Δελφῶν ἐπανῆκεν, ἤγουν μὴ λαβὼν χρησμὸν, μηδὲ χρῆς πειρασάμενος.

Ἄχρι, καὶ τὸ μέχρι, καὶ τὸ ἕως συνυπακουόμενον ἔχουσι τὸ ἄν. ἄχρι χειρῶν προυχώρησε τὸ πρᾶγμα. καὶ ἄχρι μὲν ἐν παισὶν ἦν. ὁμοίως τῷ ἄχρι μὲν ἐν ἀνδράσιν ἦν. καὶ, ἐπειδὲ εἰς ἄνδρας τελεῖν ἠρξάμην, συνυπάκουε πανταχοῦ τὸ ἄν. καὶ ἄχρι, χρονικόν. ἄχρις δὲ, ἀντὶ τοῦ ἀκριβῶς.

Ἀχρείνη, βαθυτάτη.

Ἄχριον, ἄχριστον.

Ἀχρισαπεὲς, ἀληθές.

Ἄχρις οἱ παλαιοὶ ἀντὶ τοῦ διόλου φασί. βαρύνεται δὲ τὸ ἄχρις κανόνι τοιούτῳ. τὰ εἰς ις ἐπιρρήματα δισύλλαβα, βαρύνονται. ἄλις, μόγις, μέχρις, ἄχρις. τὸ χωρὶς δὲ καὶ ἀμφὶς ὀξύνεται, διότι φασὶ μακρᾷ παραλήγεται. διὸ τὸ αὖθις καινὸν φαίνεται βαρυνόμενον. δοκεῖ δέ φασιν ἀποφυγεῖν τὴν ὀξεῖαν, ἐπεὶ καὶ τριχῶς ἐλέγετο κατὰ τὸ τέλος, αὖθις, καὶ αὖθι, καὶ αὖθιν μετὰ τοῦ ν. καθὰ καὶ τὸ πέρυσι, καὶ πέρυσιν. γίνεται δέ φασι τὸ ἄχρις, ἀπὸ τοῦ μέχρις, ἀποβολῇ τοῦ μ, καὶ τροπῇ τοῦ φωνήεντος ἢ ἄχρις καὶ μέχρι, μετὰ τοῦ σ καὶ χωρὶς τοῦ σ. εἰσὶ δὲ χρονικὰ ἐπιρρήματα. καὶ ἄχρις, ἀντὶ τοῦ ἕως οὗ. καὶ ἄχρις, ἀντὶ τοῦ διόλου. Ὅμηρος, ἀμφοτέρων τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς, ἄχρις ἀπηλοίησεν, ἤγουν διόλου συνηλόησεν.

Ἀχροίην, ὁμόχροιαν, καὶ συγχρωμάτιστον.

Ἄχρονον, τὸ ἄκτιστον. κτιστὰ γὰρ τὰ ἐν χρόνῳ, καὶ τὸ μὴ ἀρξάμενον ἐπὶ χρόνου. καὶ ἄχρονον φῶς, ὁ Χριστός.

Ἀχρονοτριβὲς, σύντομον, ταχύ. παρὰ τὸ μὴ τετρῖφθαι ἐν χρόνῳ, ἢ χρόνον πολὺν διατρίψαι.

Ἄχροιοι, πυρραὶ ἡμίονοι.

Ἄχροον, πονηρόν. Λάκωνες νόθον.

Ἄχρωμον, ἀναιδές. ἦν δὲ τὸ ἔργον αὐτοῦ ἄχρωμον. καὶ ἀχρώματος.

Ἀχώετον, πολύχυτον. ἔνθα πῦρ μὲν ἀείζωον καὶ ἀχώετον, ἔρρεεν ὕδωρ.

Ἀχυρμιὰ, ὀξυτόνως κατὰ περιεκτικὴν ἔννοιαν, τόπος ἀλωῆς, ἐν ᾧ πίπτει τὸ ἄχυρον, λικμώντων τῶν ἀνδρῶν. ὡς ἔχει τὸ μ ἀπὸ πλεονασμοῦ. τὸ δὲ ἄχυρον, ἄχνην, οὕτως καλεῖ διὰ τὴν εἰς λεπτὰ τομὴν, λέγων, ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωὰς, ἀνδρῶν λικμώντων.

Ἀχυροδόκη, ἀποθήκη τῶν ἀχύρων.

Ἄχυρον, καὶ ἡ κατὰ αὐτὸν ἄχνη ἐστὶ, τὰ ἐκ δραγμάτων λεπτὰ, τρίψει ποδῶν βοείων. καὶ ἀλλοιωθεῖσα καλάμη αἰέχυρόν τι ὂν, μηδὲν ἔχον.

Ἄχυρος, ὁ ἀχυρών.

* Ἀχυρὸς, ὀξυτόνως ὁ ἀχυροβολῶν παρ' Ἀττικοῖς.

Ἄχω, ἀντὶ τοῦ ἠχῶ.

Ἀχὼν, ἡ ἄμπελος.

Ἀχώνευτον, ἄκαυστον.

Ἀχῶρα, τὰ πίτυρα. ἔνιοι δὲ κρανίον. καὶ ἀχὼρ, τὸ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πιτυρῶδες. παρὰ τὸ ἄχνη ἀχνὼρ, καὶ ἀποβολῇ τοῦ ν ἀχώρ. καὶ κλίνεται ἀχῶρος, ὡς ἰχὼρ ἰχῶρος, τοῦ σεσηπότος αἵματος.

Ἀχώρητον, τὸ πάντα μὲν περιγράφον, ὑπ' οὐδενὸς δὲ περιγραφόμενον.

Ἀχώρητος, ὁ μὴ χωρούμενος.

Ἀχώριστος, ὁ μὴ χωριζόμενος.

Ἄχωρος, ἐν κατάρᾳ λέγεται. ὁ μήτε τάξιν βίου, μήτε κατάστασιν οἰκίας ἔχων.

Ἀχώρους, κακοχώρους.

Digitized by Google

ΤΟ' Α' ΜΕΤΑ' ΤΟΥ' Ψ'.

Α'Ψ, ἤγουν ὀπίσω. γίνεται ἀπὸ τοῦ ὀπίσω, κατὰ ἔκθλιψιν τοῦ ὂ μικροῦ, καὶ τροπῇ Δωρικῇ τοῦ ω μεγάλου εἰς ᾱ, καὶ κρᾶσιν τοῦ π καὶ σ εἰς ψ.
* Ἀψ ἴμεν, προσακτικῶς, ἀντὶ τοῦ ὀπίσω ἐλθέ.
* Ἀψαι χορδὴν, ἤγουν ἐκδῆσαι. ἅψασθαι γὰρ τὸ κρεμάσαι. ἢ τοῦ ὕψοθεν ἐκδῆσαι.
Ἄψαι, προσεγγίσαι.
Ἄψαιρον, τὸ μὴ ψαῖρον.
Ἀψακεῖν, ἀποτυχεῖν.
Ἀψαλᾶ, ἀψοφητὶ πορεύεται.
Ἀψάλακτον, τὸ ἄδικτον.
Ἀψάλακτος, ἀπαθὴς, ἀτιμώρητος, ἀκίνητος, ἀψηλάφητος, ἀκράτητος.
Ἄψαμαθον, ἄμμον.
Ἀψαμένη, ἐξαρτήσασα, καὶ ἡ ἁπτομένη.
Ἄψασθαι, ἀναφθῆσασθαι. ὥστε ἅψασθαι χλωρὸς περιῶν.
Ἀψάσθην, ἐπελάβοντο χειρῶν.
Ἀψαυστεῖν, ἀνεπαφῶς ἔχειν.
Ἄψαυστον, ἀπροσπέλαστον. ψαύω γὰρ τὸ προσεγγίζω.
Ἀψεακυθείως, αἱ συναφαὶ τῶν μελῶν. καταχρηστικῶς δὲ, καὶ τὰ μέλη. παρὰ τὸ ἅπτω, ἅψω, ἄψον. καὶ ἅψεα, ἀπὸ τοῦ ἐφάπτεσθαι ἀλλήλων.
Ἄψεον, τόπος.
Ἄψεκτον, ἄμωμον, ἄμεμπτον, ἀψευδές.
Ἀψελὲς, ὑγιές.
Ἄψερον, ὕστερον, πάλιν.
Ἀψεύδεια, ἡ ἀλήθεια.
Ἀψεφὲς, ἀφρόντιστον.
Ἀψεφέων, ἀμελῶν.
Ἀψηθὲς, ἀληθὲς, ἀψευδές.
Ἀψήκτῳ κοθόρνῳ, σκληρῷ, ἀμαλάκτῳ.
Ἀψηλάφητον, ἀνέπαφον.
Ἄψηνος, ἀνυπότακτος.
Ἀψήφιστον, τὸ μὴ ἰσῶσαι ἑαυτόν τινι, καὶ τὸ μὴ εἰπεῖν περὶ καλοῦ ἔργου, ὅτι κἀγὼ τοῦτο ἐποίησα. ὁ κατέχων τὸ ἀψήφιστον, ἐν πᾶσιν ἐπιτελεῖ πάσαν τὴν γραφήν.
Ἄψηφον, πολύ, μέγα, ἰσχυρόν.
Ἀψίαι, ἑορταί. Λάκωνες.
Ἀψῖδες περιηγέες, αἱ συναφαί, περιφερεῖς, περίδρομοι.
Ἀψίκορος, ὁ ταχέως εὐμετάβλητος, ὁ συντόμως κορεννύμενος.
Ἄψιλον, ἄπτερον ἢ πολύπτερον.
Ἀψιμαχία, συναφὴ, ἢ ἀρχὴ μάχης.
Ἀψίμαχος, ἐπίμαχος, ἐπίφορος μάχης.
Ἀψιμισία, ἡ πρὸς ὀλίγον διαφορά.
Ἀψίνθιον, εἶδος βοτάνης. τινὲς δὲ τῶν κωμικῶν, λέγουσιν αὐτὸ ἀπίβιον, ὅ ἐστιν ἄντικρυς πιεῖν. ἡ ἄπτω, ἅψω. οὐδεὶς ἅπτεται.
Ἄψινθος, πόλις Θρᾴκης. ἀψινθὶς δὲ, ἡ χώρα.
Ἀψίον, τὸ πρόσωπον.
Ἀψίορ, μέγα, πλατύ, πολύ, ἰσχυρόν.
Ἀψίρροον, εἰς τοὐπίσω ῥέον, παρὰ τῷ Ἱπποκράτει.
Ἀψὶς, ἐπὶ τροχοῦ. Παυσανίας δέ φησιν, ὅτι ἀψὶς ξύλινος κύκλος τροχοῦ. τὸ δ' αὐτοῦ κύκλον σιδήρεον, ἐπίσωτρον. Ὅμηρος μὲν τὸν τροχὸν ὅλον κύκλον ὀνομάζει. τὴν δὲ ἀψῖδα, ἴτυν. λέγονται καὶ ἀψῖδες, δικτύων καμπαὶ καὶ ἀγκύλαι. ὡς τὸ, ἀψῖσι λίνου πανάγρου ἁλισκεσθαι. τοιαύτης δέ τινος ἐννοίας ἔχεται, καὶ τὸ εἰπεῖν σαγηνευθῆναί τινας ὑπὸ πολεμίων. φασὶ τὰ χόλικα, δέον εἶναι βαρύνεσθαι τὴν εὐθεῖαν τοῦ ἀψῖσιν, ἵνα λέγηται ἄψις. ἡ ὡς Αἰολικόν, καθὰ καὶ Ἡσίοδός φησι, τριςπίθαμον ἄψιν. ἢ καὶ ἀναλόγως, ὡς ἀπὸ μέλλοντος. καθάπερ τὸ μέμψις, καὶ ὄψις. ὥστε εἶναι τὴν δοτικὴν τῶν πληθυντικῶν ἀψῖσι, προπαροξυτόνως. λέγουσι δὲ, καὶ ὅτι ψιλοῦται.
Ἀψίσι, συναφαῖς, ἢ λίνου ἄμμασιν.
Ἀψίπω, ἐπανίπω.
Ἀψογίως, ἀμέμπτως.
Ἀψοος θηρίον τι, κατεσθίον τὰς ἀμπέλους.
Ἄψορρον, ὀπισθορμήτως. ἐστὶ δὲ ἐπίρρημα μεσότητος, παρὰ τὸ ἄψ, καὶ τὸ ὄρω, τὸ ὁρμῶ. πλεονασμῷ τοῦ ρ ποιητικῶς. καὶ ἀψόρρον, παλινόρμητον, ἐξ ὑποστροφῆς.
Ἄψορρος ὠκεανὸς, ὁ κύκλῳ τῆς γῆς περινοστῶν, καὶ ἀψ πάλιν ἐπὶ τὸ αὐτὸ ἰκνούμενος. κατὰ τὸ, Περιτελλομένων ἐνιαυτῶν. οἱ δὲ παλαιοὶ, φράζουσι καὶ οὕτως. ἀψόρρος, ὁ εἰς ἑαυτὸν ἀναλύων ἐν τῷ εἰλεῖσθαι κύκλῳ περὶ τὴν γῆν. τινὲς δέ φασιν ἀψόρρον, τὸν ταχὺ ῥέοντα, ὡσοῖον ἀψόρροον.
Ἀψοφητὶ, ἠρέμα, ἡσύχως. καὶ ἀψόφητος, ἄνευ κραυγῆς.
Ἀψυρτεῦσιν, ἔθνος ἀπὸ Ἀψύρτου εἰρημένον.
Ἄψυρτοι, ἔθνος σκυθικόν.
Ἀψυχίη, λειποθυμία.
Ἄψυχον, εἴδωλον, μὴ ἔχον ψυχήν.
Ἄψυχος, δῆλος, καὶ ὁ τῶν Πυθαγορικῶν βίος.
Ἀψῶ, προσεγγίσω, δήσω. Κρατῖνος.

ΤΟ' Α'. ΜΕΤΑ' ΤΟΥ' Ω'.

Α'Λφα καὶ ω, εἰς ὃ μέγα κιρνᾶται, οἷον κρεάων κρεῶν.
Ἀώ, ὑγιῆ, ἡμέρα.
Ἄω, τὸ πνέω.
* Αω λήγοντα ῥήματα τῆς Βοιωτῶν εἰσὶ διαλέκτου, οἷον ἐλάω, πινάω, διψάω.
Ἀωδυνεῖν, ἀπονεῖν, ὑγιαίνειν.
Ἀώιος, πρωϊνὸς, ὄρθριος.
Ἀώλυτον, τὸ οὐκ ἀπολυμένον.
Ἀὼν, ἰχθύς ποιός.
* Αων λήγουσαι εὐθεῖαι ἑνικαί, οἷον Ποσειδάων. Μυσάων, πυλάων, ἐκτείνουσιν ἀεὶ τὴν παραλήγουσαν.
Ἄωοι θεοί, οἱ ἐκ δρόμου μετακομισθέντες εἰς Σαμοθρᾴκην λιμένα. καὶ Κίλικες ἀπὸ Ἀώου τοῦ Κεφάλου, τοῦ περιρρέοντος ποταμοῦ.
Ἄῳος, ποταμὸς ἐν Κύπρῳ.
Ἄωρος, ὁ παρὰ καιρὸν ἀρπασθεὶς. ἢ ὁ ἀφρόντις. ὤρα γὰρ ἡ φροντίς.
Ἄωρα, τὰ παρὰ καιρὸν τρυγώμενα. Ἀριστοφάνης, ἀωρίαν ἥκοντες, ἀντὶ τοῦ ἀωρίᾳ. ἀκαίρως, καὶ παρὰ δέοντα καιρόν.
Ἀωρεῖν, ὀλιγωρεῖν, ἀπειθεῖν, φυλάσσειν.
Ἄωρες, αἱ γυναῖκες. παρὰ τὸ ὁμοῦ ἀρηρέναι, καὶ συναρμόσθαι τῷ ἀνδρί.
Ἀώρησις, ἡ κρέμασις.
Ἀωρὶ, παρακαιρὸν, ἢ ἀντὶ τοῦ ἀκαίρως, καὶ παρὰ τὸν δέοντα καιρόν.
Ἀωρινυκτὸς, καὶ νυκτῶν, οὐκ ἀωρίᾳ. ἐν Δημοσθένους ἐγκωμίῳ, ἀωρὶ τῆς νυκτός.
Ἀωρία, τὸ μέσον τῆς νυκτός. ἀφ' οὗ καὶ ἄωρον, τὸ παρακαιρὸν γινόμενον.
Ἀωρίνης, κρεμάσης.
Ἄωμοι, ὠμοί, ἄγριοι, σκληροί.
Ἄωροι πόδες κατὰ τοὺς παλαιοὺς, οἱ λεπτοί, καὶ παραπωρέμενοι, ἢ ἀσθενεῖς, ἢ δυσφύλακτοι, οὓς οὐδεὶς ἂν ὠρήσηται, ὅ ἐστι φυλάξηται, διὰ τὴν ἐν αὐτοῖς δυνότητα. ὠρεῖν γάρ φασι, τὸ φυλάσσειν. ὅθεν καὶ ὁ πυλωρός. καὶ δυσωρεῖν ἐν Ἰλιάδι, τὸ δυσχερῶς φυλάσσειν. ἔνιοι δὲ φασι, δασέως ἀναγινώσκειν. ἵνα ἦσαν ἄωροι, οἱ ὠμοί, καὶ σκληροί, καὶ ἄγριοι. ἐκ μεταφορᾶς τῶν ἀώρων, καὶ μὴ πεπόνων, ἤτοι πεπείρων καρπῶν. ὧν πολλὴ φροντίς, κατὰ ἐπίτασιν τοῦ α. εἰσὶ δὲ οἱ τοὺς ἐμπροσθίους πόδας ἀώρους φασί, φέροντες καὶ χρῆσιν τοῦ κωμικοῦ εἰπόντος, οὐ τοὺς ἀώρους εἶπας πόδας χομίζειν, σὺ δὲ φέρεις ὀπισθίους. δοκεῖ δέ τισιν, ὡς καὶ Ἀρίσταρχῳ ἀώρους εἰρῆσθαι, καὶ τοὺς πλεκτανώδεις, καὶ διὰ τὸ ποκαλῶ μὴ ἔχοντας. ὥρα γὰρ ἡ ὥρη ὀξύτονως, ἡ κωλῆ κατὰ Ἴωνας. εἰσὶ δὲ, οἱ τὸ ἄωροι ταυτὸν εἶπον εἶναι τῷ αἰώροι, διὰ μέγεθος, ἤγουν μεγάλοι, ἐκτάσει τοῦ ω. Ἀπολλώνιος δέ φασιν ὁ Ῥόδιος, ἀώρους τοὺς συνεσταλμένους νοεῖ. ἄμεινον δέ φασιν ἀποδιδόναι ἀώρους, τοὺς χαλεποὺς καὶ δυσφυλάκτους, ἢ τοὺς ἀκινήτους καὶ δυσορμήτους, καὶ μὴ ὀρούειν δυναμένους, ἐκπαθέντος δηλαδὴ τοῦ ὃ εἰς ω.
Ἄωρον, ἄμορφον, ἀπρεπὲς, ἀχρήιστον, ἀνοίκειον, ἀσύμφερον.
Ἀωρόλειος, ὁ φαλακρὸς, ὁ παρὰ τὴν ὥραν καὶ τὴν ἡλικίαν λειαινόμενος. τὸ αὐτὸ καὶ ὠμογέρων, ὁ παρ' ἡλικίαν γηράσας.
Ἀωρῶ, τὸ ἀλογῶ, καὶ οὐ φροντίζω.
Ἄωρτο παρ' Ὁμήρῳ, ἤγουν ἤωρητο καὶ ἐκρέματο. καὶ κατὰ συγκοπὴν καὶ συστολὴν τῆς ἀρχούσης, ἄωρτο. εἰ δὲ συστέλλεται κατά τινας τὸ ο τῆς παραληγούσης, δηλοῖ μὲν καὶ οὕτως τὸ ἐκρέματο. ὅθεν καὶ ἀορτὴρ, ὁ δηλοῖ τὸ κρεμαστῆρα τοῦ ξίφους, ἀπὸ τοῦ ἀείρω τὸ κουφίζω. ἐξ οὗ καὶ τὸ ἠερέθω, τὸ κρεμῶ. Ἄλλως.
Ἄωρτο. ὁ Ἡρωδιανὸς λέγει, ὅτι σημαίνει τὸ ἥρμοσται τοῦτ' ἔστι περὶ τοῦ ξίφους. καὶ γίνεται παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ. ὁ παρακείμενος ἦρκα ἦρμαι ἥρμην ἦρσο ἦρτο. Γωνικῶς ἄρτο, καὶ πλεονασμῷ τοῦ ω, ἄωρτο. ὡς εἶδα, εἴωδα. τινὲς λέγουσι σημαίνειν, τὸ ἐκρέματο. καὶ γίνεται ἐκ τοῦ αἴρω τὸ κουφίζω, καὶ κρεμῶ. ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα ἦρμαι, ἥρμην ἦρσο ἦρτο, τροπῇ τοῦ μακροῦ εἰς μακρόν, ὦρτο. καὶ πλεονασμῷ τοῦ α, ἄωρτο ποιητικῶς.
Ἀωτεῖν, ἐκ ἔγκειται τὸ ὡς ὠτός κατά τινας, διὰ τὸ τοὺς κοιμωμένους, μὴ χρῆσθαι ὠτίοις εἰς ἀκοήν, ἀλλὰ τὸ ἄωτον, ὅπερ ἐστὶν ἄνθος. ἵνα ἦ ἀωτεῖν ὕπνον, τὸ ἀπανθίζειν. τοῦτο δὲ διὰ τὸ καθ' ὕπνους ἡδύ, καὶ οἷον ἀνθηρόν. αὐτὸ δὲ διὰ τὸ δοκεῖν ἀνθεῖν καθ' ὑγιείαν, τοὺς πάννυχον ὕπνον εὕδοντας. ὡς γὰρ ὁ μὴ πιστὸς ὕπνος, ἀλλὰ περικεκομμένος καὶ ἔμφροντις, οὐκ ἀωτεῖσθαι καιρίως λέγοιτο.
Ἀωτεῖς, ἀντὶ τοῦ τὸ κάλλιστον τοῦ ὕπνου ἀπανθίζῃ, καὶ συλλέγεις. καὶ ἀωτεῖς καρπούς.
Ἀωτήσειεν, ὑπνώσειεν.
Ἀωτεῖσθαι, ἀπανθίζεται τὸν ὕπνον.
Ἀωτεύειν, ὑφαίνειν, ἀπανθίζεσθαι.
Ἄωτοι, οἱ ὦτα μὴ ἔχοντες, ἢ οἱ νεκροί. ὅπερ εἴληπται ἐκ τοῦ, κωφὴν δὴ γαῖαν ἀεικίζει. ἐκεῖ δὲ κεῖται, καὶ ὅτι ἀωτεύειν τὸ ὑφαίνειν καὶ ὑπνοῦν. τοῦτο μὲν ἐκ τοῦ πάννυχον ὕπνον ἀωτεῖς. ἐκεῖνο δὲ ἐκ τοῦ, ὑφαινομένου ἀώτου ἐρίου δηλαδή, ἢ λίνου.
Ἄωτος οἷος, τὸ ἐξ ἐρίων ὕφασμα, οὐ τὸ ἁπλῶς, ἀλλὰ τὸ ἀνθηρόν, ἐκ μεταφορᾶς. ἄωτον γὰρ κυρίως τὸ ἄνθος, παρὰ τὸ ἄω τὸ πνέω, ὃ ἡδύ τι ἀποπνεῖ. ὡς γὰρ εἴδω εἴδωλον κατὰ πρόσληψιν συλλαβῆς, οὕτω καὶ ἄω ἄωτον. ἐκ τούτου, πολλὰ ἀνθηρῶν πραγμάτων καλοῦνται. οἷον, τὸ ἀπὸ λίνου κάλλιστον ἔργον, λίνοιο λεπτὸν ἄωτον λέγεται, ἤγουν λίνου ἀπάνθισμα. καὶ οἷος ἄωτον ὁμοίως, τὸ ἐξ ἐρίων ἐπανθισθέν. οὕτω καὶ ὕπνον ἀωτεῖν, τὸ ὑπνοῦν ὕπνον ἡδύν, καὶ φροντίδα ὡς εἰπεῖν ἀνθηράν. καὶ τὶς δὲ τῶν συγγραφέων ἄκρον ἄωτον ἐν λόγοις φησί, τὸν ἐν λόγοις οἷον ἀνθοῦντα. καὶ Θεόκριτος τοὺς Ἀργοναύτας, θεῖον ἄωτον Ἡρώων φησί. καὶ Πίνδαρος τὴν μουσικὴν ἐπιστήμην, ἤτοι λυρικήν, μουσικῆς ἄωτον λέγει. καὶ πατέρων δ' ἄωτον φησί, καὶ ἀλλαχοῦ πλαῦτα. Γέγονε δ', ὅτι ὁ ποιητὴς αὐτὸ τὸ ἁπλῶς ἔριον ἄωτον λέγει. φησὶ γάρ, αὐτὰρ θεσπεσίοιο εἰχόμην. καὶ τοῦτο ἀλόγως. ἔστι γὰρ καὶ τὸ ἔριον δέρματος, οἷον ἄνθος. ἐρρηται δὲ ἐν τε τοῖς τοῦ Ἀθηναίου καὶ ποτήριον ἄωτον, τὸ εἰς οὐκ ἔχον.
Ἄωτον, ἀγγεῖον μὴ ἔχον ὦτα. καὶ ἄωτον, λεπτὸν, λίνου σκέπασμά τι δονοειδές. ἐστὶ δὲ ἄωτον, τὸ οἱονεὶ ἀπάνθισμα καὶ κάλλιστον. ὥσπερ καὶ οἷος ἄωτον, ὅσον τοῦ ἐρίου ἔκκριτον. ἢ ἄωτον, ἄνθος, κόσμος, στέφανος, περιβόλαιον ἐξ ἁπαλῶν ἐρίων.
Ἀωτῶ, ἀπανθίζω.

Πῶς συνέστη ἡ τῶν ἑλληνικῶν γραμμάτων εὕρεσις, Καὶ ἐκ τίνων καὶ ποίων ἀνδρῶν, ἡ τῶν παρ' ἕλλησι στοιχείων εἰσαγωγή.

Ἄλφα ἀπὸ τοῦ ἄλεφ γέγονεν, Ἑβραϊκοῦ πρώτου στοιχείου, ὃ ἑρμηνεύεται μάθησις, ἐνεπόμενη τῷ εἰσαγομένῳ παιδίῳ, καὶ λέγουσα, μάθε. ἀφ' οὗ ἄλεφ λέγουσιν, καὶ αὐτοὶ οἱ Ἕλληνες μιμησάμενο,

Digitized by Google

μένοι, ὁμοίως τὸ ἄλφα κεκλήκασι. καὶ συνεφωνήθη ἡ φράσις τῆς Ἑβραΐδος, τῇ Ἑλλάδι διαλέκτῳ. ἵνα εἴπῃ τῷ παιδίῳ ἀντὶ τοῦ μάθε, ζήτει. τοῦτο γὰρ ἑρμηνεύεται τὸ ἄλφα. τὸ γὰρ ἀλφὰν, ζητεῖν λέγεται τῇ ἑλληνικῇ διαλέκτῳ. ἀλλὰ καὶ ὡς πρώτου ὄντος στοιχείου τοῦ ἄλφα, ἐκ θεοῦ δοθέντος τῷ γένει τῶν ἀνθρώπων, τοῦ ἀνοίξαντος στόμα εἰς σύνεσιν τῶν γραμμάτων, διὰ μεγάλου ἀνοίγματος, ἐκφωνεῖται τὸ αὐτὸ ἄλφα. τὰ δὲ ἄλλα διὰ βραχείας ἀνοίξεως ἐκφωνεῖται, καὶ ἀπαγγέλλεται. οὔτε γὰρ γράμματα εἶχον οἱ Ἕλληνες, ἀλλὰ διὰ φοινίκων γραμμάτων ἔγραφον, τὰ αὐτῶν ἑλληνικὰ ὀνόματα. Παλαμήδης δὲ ὕστερον ἐλθὼν, πρῶτος ἀπὸ τοῦ ἄλφα καὶ βῆτα, ἑκκαίδεκα μόνα στοιχεῖα τοῖς Ἕλλησιν εὗρεν. οἷον, α΄ β΄ γ΄ δ΄ ε΄ ι΄ κ΄ λ΄ μ΄ ν΄ ο΄ π΄ ρ΄ σ΄ τ΄ υ΄. Κάδμος δὲ ὁ Μιλήσιος προσέθηκεν αὐτοῖς γράμματα τρία. οἷον, θ΄ φ΄ καὶ χ΄. διὸ πολλῷ τῷ χρόνῳ τοῖς ἐννεακαίδεκα στοιχείοις ἐχρῶντο. ὅθεν οἱ ἀρχαῖοι μὴ ἔχοντες τὸ ψ, τὴν ψαλίδα, σπαλίδα ἔγραφον, καὶ ἔλεγον. ἀλλὰ καὶ ἄλλα πολλὰ ῥήματα ἄλλως ἐξεφώνησαν, καὶ ἔγραψαν. πρὸς τούτοις καὶ Σιμωνίδης ὁ Χῖος εὑρὼν, προσέθηκε γράμματα δύο. οἷον η΄ καὶ ω μέγα. Συρακούσιος δὲ, τρία εὗρε γράμματα, οἷον ζ΄ ξ΄ ψ΄. καὶ οὕτως ἐπληρώθη τὰ εἰκοσιτέσσαρα στοιχεῖα τῶν ἑλληνικῶν γραμμάτων. ὅθεν οὐδ᾽ ἐξηκολούθησεν Ὅμηρος, τῷ ἀριθμῷ τῶν εἴκοσι δύο στοιχείων τῶν παρ᾽ Ἑβραίοις. ἀλλὰ καὶ αὐτὸς τὴν ἰδίαν ποίησιν τῆς Ἰλιάδος, διὰ τῶν εἰκοσιτεσσάρων στοιχείων τῶν ἑλληνικῶν γραμμάτων ἐτύπωσεν. ὡσαύτως δὲ καὶ Ὀδύσσειαν· αἵ τινες ῥαψῳδίαι προσαγορεύονται.

Τέλος τοῦ ά στοιχείου.

ἈΡΧῊ ΤΟΥ͂ Β΄. ΣΤΟΙΧΕΊΟΥ. ΤῸ ΑΥ̓ΤῸ ΜΕΤᾺ ΤΟΥ͂ Α΄.

ΒΗ͂τα τὸ στοιχεῖον, ὅτι δευτέραν ἔχον τάξιν, ἐπιβέβηκε τῶν λοιπῶν.

* Β εἰς ζ τρέπεται, ὡς βέρεθρον ζέρεθρον. καὶ εἰς μ, οἷον σέβω, σεμνός. καὶ εἰς φ Μακεδονικῶς· οἷον, βίλιππος, φίλιππος. καὶ πλεονάζει διὰ καλλιφωνίαν ἐνίοτε. οἷον, γαμβρὸς, μεσημβρία.

Βάαλ, Τυρίων ἦν θεός.

Βάαξ, μαλακός.

Βαβάζειν, τὸ μὴ διηρθρωμένα λέγειν. ἔνιοι δὲ βοᾶν.

Βαβαὶ, ἐπίρρημα θαυμαστικὸν, πρὸς γενικὴν τάσσεται. οἷον, βαβαὶ τῆς εὐδαιμονίας. καὶ ἔστι λογογραφικὸν, βαβαιὰξ δὲ ποιητικόν. καὶ γίνεται ἀπὸ τοῦ βαβαὶ, ὥσπερ ἀπὸ τοῦ ἰατταταὶ, ἰατταταιάξ. καὶ βαβαὶ βαβαιάξ, σχετλιαστικόν. ἀντὶ τοῦ φεῦ φεῦ κεῖται παρὰ τῷ Ἀριστοφάνει.

Βάβακα, τὸν γάμον.

Βαβάκινος, εἶδος χύτρας.

Βάβακοι, ὑπὸ Ἠλείων τέττιγες. ὑπὸ Ποντικῶν δὲ, βάτραχοι.

Βαβάκτης, ὀρχηστὴς, λάλος, μανιώδης.

Βακχευτὴς, παρὰ τὸ βάζω τὸ λαλῶ, βάξω, βέβακται, βάκτης καὶ βαβάκτης, ὁ πολλὰ λαλῶν, φλύαρος.

Βάβαλον, αἰδοῖον. καὶ βάβαλον, κραύγασον, Λάκωνες.

Βάβαξ, ὁ ῥήτωρ, παρὰ τὸ βάζω τὸ λέγω. καὶ βάβαξ, ὁ μάταιος, ἐνδεὴς ὢν, ἀναιδής. καὶ βάβαξ, λάλος, φλύαρος. παρὰ τὸ βάζω, βάξω, βάξ, καὶ κατὰ ἀναδιπλασιασμὸν, βάβαξ.

* Βαβάκτης καὶ βάβαξ, ἄσωτος, λάγνος, μαινόμενος καὶ κατεχόμενος δαιμονίῳ τινί.

* Βαβέλιος, ἀντὶ τοῦ ἀέλιος, ὅ ἐστιν ἥλιος, κατὰ γλῶσσαν Παμφυλίων.

Βαβάξαι, ὀρχήσασθαι.

Βαβὴρ, ὁ Ἄρης.

Βαβοῦς, ὄνομα γυναικός.

Βαβράζων, κεκραγὼς συντόνως.

Βάβρικες, τὰ οὖλα τῶν ὀδόντων. οἱ δὲ, σιαγόνας. οἱ δὲ, τὰ ἐν τοῖς ὀδοῦσιν ἀπὸ τῆς τροφῆς κατεχόμενα.

Βαβρὴν, ὑπόστασις ἐλαίου, κατὰ Μακεδόνας.

Βαβύας, βόρβορος, πηλός.

Βαβύη, χείμαρρος. οἱ δὲ, πόλις.

Βαβύκτα, γέφυρα.

Βαβύλας, πηλὸς, βάθρον, βῆμα, καὶ ὄνομα κύριον.

Βαβυλὼν, σύγχυσις, καὶ πόλις οὕτω καλουμένη.

Βαβυλωνία, κάμινος. καὶ βαβυλώνιοι παῖδες.

Βαβύρτας, ὁ παράμωρος.

Βαγαία, ματαία. ἢ Ζεὺς Φρύγιος, μέγας, πολὺς, ταχύς.

Βαγαρὸν, χλιαρὸν, Λάκωνες.

Βαγδαλονία, μοῖρα Καππαδοκίας νοτιωτάτη.

Βαγεύει, πλανητεύει.

Βαγεῖσαι, εἰσελθοῦσαι.

Βάγιον, μέγα.

Βάγος, κλάσμα ἄρτου μάζης. καὶ βασιλεὺς, καὶ στρατιώτης, Λάκωνες.

Βαδὰς, κίναιδος, ὡς Ἀμερίας.

Βαδδὶν, στολὴ ἱερὰ, ἔνδυμα ἐξαίρετον καὶ βύσσινον.

Βάδδομαι, ἀγαπῶ.

Βαδελαγεῖ, ἀμέλγει.

Βάδηδοι, ἠχεῖοι.

Βάδην, βαδιστικῶς, ἠρέμα παραγενόμενος, βάδην.

Βαδιεῖται, καὶ φεύξεται, οὐ μόνον Αἰολικὰ εἴτε Δωρικὰ, ἀλλ᾽ ἤδη καὶ Ἀττικά.

Βαδίζω πρὸς τὴν οἰκίαν, καὶ βαδίζομαι, μέλλων βαδίσομαι. ἐκ τούτου βαδιοῦμαι, Ἀττικῶς. ἢ βαδιεῖται, ἀντὶ τοῦ βαδίσει.

* Βάδω ῥῆμα σύστοιχον τῷ βαδίζω. ὥσπερ καὶ τὸ βάδος, ἀντὶ τοῦ βάδισις. καὶ δοκὸς, ἀντὶ τοῦ δόκησις.

Βαδίζω, τὸ ἁπλῶς περιπατῶ. βαδίζω δὲ πρὸς τὴν πόλιν, μεταβατικῶς, αἰτιατικῇ συντάσσεται. καὶ βαδίζω τὴν ὁδόν. γίνεται δὲ παρὰ τὸ βάδος, ὃ σημαίνει τὴν ὁδόν. Ἀριστοφάνης, ὡς τοὺς δικαίους ἂν βαδίζεις. καὶ βαδίζει ὁ ἄνθρωπος, ἀντὶ τοῦ διέρχεται ἀμετάβατον.

Βαδιίζειν ἐκτεταμένως οἱ λέγοντες ἁμαρτάνουσι, δέον λέγειν συνεσταλμένως βαδίζειν. καὶ ἐβάδιζον, λόγῳ τοιούτῳ. τριῶν ὄντων διπλῶν, ζ΄ ξ΄ ψ΄, καὶ τριῶν διχρόνων, α΄ ι΄ υ΄, πᾶν δίχρονον διπλοῦ ἐπιφερομένου συστέλλεται, μάλιστα δὲ τοῦ ζ΄ ἐπιφερομένου. οἷον, φροντίζω, αὐγάζω, κουφίζω, ἀκοντίζω. οὕτως ἄρα καὶ βαδίζω ἐβάδιζον συνεσταλμένως, ὡς καὶ φροντίζω ἐφρόντιζον.

Βαδιστέα, ἀνυστέα, γραπτέα, λέγουσιν οἱ Ἀττικοί. βαδιστέον, ἀνυστέον, γραπτέον, οἱ κοινοί. ὁμοίως, καὶ ἐν ἄλλοις.

Βαδιστικοῦ, ὀξύποδος.

Βαδιῶ, περιπατήσω ἐπὶ μέλλοντος.

Βάδος παρεσχηματίσαι ὡς ἀπὸ τοῦ πατεῖν πάτος, οὕτω καὶ ἀπὸ τοῦ βαδίζειν βάδος. Ὅμηρος, Πάτον ἀνθρώπων ἀλεείνων.

Βάζω, τὸ λέγω. παρὰ τὸ βῶ βάζω, ὥσπερ καὶ παρὰ τὸ φῶ φάζω. ἢ ἀπὸ τοῦ βοΐζω κατὰ συγκοπήν. οἷον, Εὖ μὲν βάζουσι, κακῶς δ᾽ ὄπισθεν φρονέουσι.

Βαθακῆσαι, ζῆσαι.

Βαθακίζων, κακῶς ἕρπων.

Βαθάλη, κρήνη, Ἀμερίας. βαθανίαν, νεοσσείαν. Κρῆτες.

Βαθεῖα κόμη, ἤτοι δασεῖα. Ἀπεκείρατο τὴν κόμην, ἣν δὲ πολλὴ καὶ ξανθὴ καὶ δασεῖα.

Βαθεῖαν αὔλακα, ὅπερ ἐστὶ στίχος γῆς ὑπ᾽ ἀρότρου. καὶ βαθεῖαν, κεκρυμμένην, ὑψηλὴν, μελανήν.

Βαθείης βένθεσιν ὕλης, δοκεῖ παρηνέχθαι ἀπὸ τοῦ βαθείης βένθεσι λίμνης, ὡς μὴ μόνον ἐπὶ ὕδατος τὸ βένθος λέγεσθαι, καὶ τὸ βάθος, ἀλλ᾽ ἰδοὺ καὶ ἐπὶ ξυλόχου ὕλης, καὶ πολλοῦ δάσους.

Βαθὴλ, Ἰβηρικόν.

Βάθιστον, βαθύτατον.

Βαθμίδες, ἀρχαὶ λόγων.

Βαθμοὶ, ἴχνη, πόδες. καὶ δίφροι παρὰ τραγικοῖς.

Βαθμὸς παρὰ τοῖς στρατηγικοῖς, ἡ ἐφ᾽ ἕνα τῆς φάλαγγος στάσις. καὶ βαθμὸς Ἰακὸν, διὰ τοῦ θ. διὰ δὲ τοῦ σ, Ἀττικὸν, βασμός.

Βάθος ὡς οἶμαι, τὴν γέενναν ὀνομάζει. οὔτε ὕψωμα οὔτε βάθος. ὕψος δὲ τὴν βασιλείαν, καὶ πρὸς τούτοις τὴν αἰώνιον ζωὴν, καὶ τὸν αἰώνιον θάνατον. ἢ βάθος ἐστὶ, φάλαγγος τὸ μετὰ τὸ μέτωπον ἅπαν. καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος, κατὰ βάθος λέγεται. καὶ βάθος, τὸ ἐπὶ τρία συνεχὲς παρὰ τὸ μετὰ βίας θέειν.

* Βάθος ἔχειν λέγεται οὐ μόνον τὸ ὕδωρ, ἀλλὰ καὶ δάσος τι καὶ ὕλη, καὶ τάξις στρατιωτική.

Βάθρον, θεμέλιον. καὶ βάθρα, ἀγάλματα. καὶ βῆμα, βάσις, ὑποπόδιον.

* Βάθρακος, ὁ βάτραχος Ἰωνικῶς κατὰ ἀντιστοιχείαν.

Βαθύγλωσσοι, ἐλλόγιμοι, εὔγλωττοι.

Βαθυδίνης, δίνας βαθυτάτας ἔχων.

Βαθυζώνους, βαρβάρων γυναικῶν τὸ ἐπίθετον, ἀπὸ τοῦ βαθέως ζώννυσθαι.

* Βαθύζωνοι γυναῖκες, ἀντὶ τοῦ Εὔστολοι.

Βαθυκαμπῆ, ἐπὶ πολὺ καμπτομένην. καὶ βαθυκαμπῆ κλεῖδα συῶν.

Βαθυκόλπων πέπλος, τὸ ἱμάτιον καλεῖται ἑλληνικῶς, βάρβαρον ἔθος. καὶ τὸ βαθυκόλπους, ἀπὸ τοῦ ἐκ τῆς ζώσεως κολπώματος.

Βαθυλήϊον, τὸ σιτοφόρον πεδίον. καὶ βαθυλήϊος, ἀντὶ τοῦ πολυλήϊος, πολύσιτος.

Βαθύλιμον, βαθὺν λιμένα ἔχον.

* Βαθύλειμος, τόπος τὶς πολύχορτος.

* Βαθυλήϊον, τὸ ὑψηλοὺς καὶ εὐτραφεῖς ἔχον στάχυας.

Βαθύμαλλον, Κνεωροῦ τοῦ Μήλωνος κάπνης. ἀπὸ ἱστορίας. ἀπὸ κνεωροῦ φυτοῦ, ᾧ ἐχρῶντο πρὸς κάθαρσιν. ἀπὸ δὲ τοῦ αὐτοῦ, αὐχμηροῦ.

Βαθυμῆδαι, γένος ἐπὶ Λυδίᾳ.

Βαθυπέπλων, καλὰ ἱμάτια ἐχόντων. καὶ βαθυπέπλων, μεγάλων, ἐκ τοῦ παρακολουθοῦντος. καὶ γυναικῶν βαθυπέπλων.

Βαθύπλουτος, πολὺν πλοῦτον ἔχουσα, ἢ εὐδαίμονα.

Βαθυρρείτης, ὁ βαθέα ῥεύματα ἔχων.

Βαθύρριζοι, βαθεῖαι.

Βαθυρρίζου πέτρας, τῆς ὑψηλῆς.

Βαθυρρόου, βαθέως καὶ ταχέως ῥέοντος.

Βαθὺς, βαθύτερος, καὶ βαθίων, ὁ τρίτος τύπος τῶν συγκριτικῶν, βάσσων. καὶ βαθὺς, ἀντὶ τοῦ πονηρός.

* Βαθὺς ἀὴρ, ὁ ζόφος παρ᾽ Ὁμήρῳ.

Βαθύσπορος, βαθεῖαν σπείρων γῆν.

Βαθύστρωτος κοίτη, ἡ πολυτελής.

Βαθύσχοινον, ὑψηλὰς σχοίνους φέρον.

Βαθύτατα, ταχέα.

Βαιαὶ αἱ ἐν Ἰταλίᾳ, ἀπὸ Βαίου τοῦ Ὀδυσσέως κυβερνήτου ἐκλήθη.

Βαιάγις, ἑορτὴ παρὰ Ἀσσυρίοις.

Βαίδειον, ἕτοιμον. Ἠλεῖοι.

Βαιδυμὴν, ἀροτριᾶν. Βοιωτοί.

Βαίεσσα, βότρυς.

Βαιὴ νῆσος, ἡ Ἀνάφη κληθεῖσα, πλησίον Θήρας.

Βαιῆσι, μικραῖς.

Βαιθάλη, οἶκος Θεοῦ.

Βαύκυλος, προβατώδης.

Βαιμάζειν, βασιλεύειν, ἢ βαστάζειν.

Βαίμεναι, βαίνειν. βαίνειν λέγεται, τὸ ἁπλῶς διὰ σκελῶν βαδίζειν. ἀναβαίνειν, ἡ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω ἀνάδοσις. ὁ μέλλων βήσω· καὶ μετάγεται εἰς ἐνεστῶτα, καὶ μέλλοντα οὐκ ἔχει. τὰ γὰρ ποιητικὰ, ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα κατταγόμενα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται. καὶ βαίνειν, φιλεῖν, κολακεύειν.

Βαῖνον, ἐξέβαινον.

Βαίνω, τὸ πορεύομαι, καὶ τὸ ἵσταμαι. ἀφ᾽ οὗ βάσις ἀνδριάντος.

Βαίομαι, βιώσομαι.

Βαῖον, παρὰ τὸ βίᾳ τίλλεσθαι, σημαίνει τὸν κλάδον τοῦ φοίνικος.

Βαιὸν, τὸ μικρόν.

Βαίνω, τὸ ἵσταμαι, καὶ τὸ πορεύομαι. ἀφ᾽ οὗ βάσις, ἡ στάσις, καὶ ἡ πορεία. καὶ βαίη, εὐκτικόν.

Βαῖος, κυβερνήτης ὢν Ὀδυσσέως, ὃς πλωτεύσας ἀπέθανε περὶ Σικελίαν, ἀφ' οὗ κληθῆναί φασι Βαιάς, τὰς νήσους. καὶ πόλις περὶ τὴν Ἰταλίαν, Ἄορνις. καὶ Βαιὸς, ἐπὶ ἀριθμοῦ καὶ ἐπὶ μεγέθους.
* Βαιὸν ἐνστρέψασθαι, ἀντὶ τοῦ ὑδόλως ἐπιστρέφεσθαι.
Βαΐς, ῥάβδος φοίνικος, καὶ βαΐον.
Βαιστὴν παρ' Ἰνδοῖς, τὸ στραβὸν. βαίστωος δὲ, ὁ στραβός.
Βαισὸν, βάθος.
Βαίτην, τὴν μηλωτὴν, ἢ τὴν διφθέραν, τὴν σισύραν. βαίτας γὰρ λέγουσι τὰ ἐκ κωδίων συνερραμμένα περιβόλαια. Ἀττικοὶ δὲ ταύτην, καὶ σισύραν φασίν. ὡς Ἀριστοφάνης, ἐν πέντε σισύραις ἐγκεκορδυλημένος. ἡμεῖς δὲ αὐτὰ σισύρινα φαμὲν, καὶ βαίτας Ἕλληνες.
Βαιτὶς, ἄπελος, γυμνή. ἀρχαία δὲ ἡ λέξις. καὶ βαιτίδα, ἄπελης, γυμνή.
Βαιταρρῆνοί, ἀπὸ Βαιτάρρους, κώμης Παλαιστίνης.
Βαίτην, τὴν διφθέραν λέγουσιν οἱ Δωριεῖς, καὶ τὴν γουνίαν.
Βατὴρ, ἡ ἀρχὴ τῶν τοῦ πεντάθλου σκαμμάτων. Αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου, οἷον τὸ ἐπικαιρότατον καὶ τὸ πρῶτον. οὐ παρὰ τὸ βαίνω, ἐγένετο γὰρ βαντὴρ, ἀλλὰ παρὰ τὸ βίβημι βατήρ.
Βαίτιον, βοτάνη ἐμφερὴς δικτάμνῳ, ἤγουν γλήχωνι.
Βαῖτις, πόλις κατὰ τὴν Ἰβηρίαν.
Βαιτύκη, τὸ τύμπανον.
Βαίτυλος λίθος, γενόμενος κατὰ τὸν Λίβανον τὸ ὄρος τῆς Ἡλίου πόλεως. οὕτως ἐκαλεῖτο ὁ δοθεὶς λίθος τῷ Κρόνῳ, ἀντὶ Διός.
Βαίτυξ, βδέλλα.
Βαιζάειν, ἀροτριᾶν.
Βαιτῶνα, τὸν ἄπελῆ ἄνδρα.
Βαιῶμφαι, αἱ αἶγες ἐν ἱερατικοῖς.
Βαιὼν, ἐκβαλὼν. καὶ ἐν αἰχμαλωτίσι. βαῖον ἐν Βαρκάθοις ὄχλος Λιβυκός.
Βαίων, ἰχθῦς, ὁ καὶ βλέννος, παραπλήσιος κωβιῷ. Ἐπίχαρμος δὲ βαίονας λέγει. καὶ ἡ παροιμία, Μήμοι βαιὼν κακὸς ἰχθῦς, ἐπὶ φιληδόνου εἴρηται.
Βαιῶτις, ἡ Ἀφροδίτη, παρὰ Συρακουσίοις.
Βακαῖον, μεῖζόν τι.
Βακάντης, ὁ σχετλιαστής.
Βακάντιβος, κακὸς ἰχθῦς, ἐπὶ φιληδόνου εἴρηται. κολαστὴς, μὴ παραμένων τῷ πράγματι αὐτοῦ.
Βακέντιμος, ὁ μὴ παραμένων τῷ πράγματι αὐτοῦ, ἀλλὰ χολάζων.
Βακχέω, τὸ μεθύσκομαι. καὶ βακχευτὴς, ὁ μεθυστής. γέγονε παρὰ τὸ βάκχος, ὃ σημαίνει τὸν οἶνον. τοῦτο δὲ παρὰ τὸ ἄχος, καὶ τὸ βῶ τὸ βαίνω. ὁ γὰρ ἔχων λύπην, καὶ εἰς μέθην ἐμπίπτων, ἀφίησιν αὐτὸν ἡ λύπη. ὑπερέβη γὰρ τὴν λύπην ἡ μέθη.
Βάκηλος, ὁ μέγας, ἢ ἀνόητος. ἢ ὁ ἀπόκοπος, ὁ ὑπ' ἐνίων γάλλος. οἱ δὲ, ἀνδρόγυνος. ἄλλοι παρειμένος, γυναικώδης. παρὰ Μενάνδρῳ Ὑμνίδι, καὶ τὸ σύνηθες ἡμῖν. ἢ ὁ τετμημένος τὸ αἰδοῖον, οἱονεὶ βίακηλός τις ὤν.
Βάκηλος, ἁμαρτάνουσιν οἱ τάττοντες τοῦτο ἀντὶ τοῦ κατατετμημένον τὰ αἰδοῖα, ὃν Βιθυνοί τε καὶ Ἀσιανοὶ γάλλον καλοῦσι. λέγουσι δὲ βλάξ, καὶ βλακίων, ὡς οἱ ἀρχαῖοι.
Βακίας, βόρβορος, πηλὸς, ὑπὸ Ταραντίνων.
Βάκιδες, τρεῖς ἐγένοντο. εἷς Ἀττικὸς, καὶ μάντις, οὗ μέμνηται Ἀριστοφάνης. ὁ δὲ, Λοκρός. ὁ δὲ, Βοιωτός.
Βάκινος, καὶ βαβάκινος, εἶδος χύτρας.
Βάκις, χρησμολόγος γέγονε. βάκιδες δὲ, τρεῖς. ὧν ὁ πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας. ὁ δὲ δεύτερος, Ἀττικός. ὁ τρίτος, Ἀρκὰς, ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας ἐκαλεῖτο, καὶ Ἀλήτης, ὥς φησι Φιλήτας ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ ἐνάτῃ τῶν Φιλιππικῶν, ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. ἔστι δὲ καὶ ἐπίθετον Πεισιστράτου, βακίζων.

Βάκκαρις, μύρον ποιὸν, ἀπὸ βοτάνης ὁμωνύμου. ἔνιοι δὲ, ἀπὸ μυρσίνης. ἄλλοι δὲ, μύρον Λύδιον. ἔστι δὲ καὶ ξηρὸν διάσπασμα, τὸ ἀπὸ τῆς ῥίζης.
Βακκίδες, εἶδος ὑποδημάτων.
Βάκοα, βάθρον.
Βακοίας, πηλός.
Βακὸν, πεσσὸν, Κρῆτες.
Βακτηριάζειν, στηρίζεσθαι.
Βακτηρίαν λέγουσι, τὴν βάσιν ποιοῦσαν ἑδραίαν. ἡ βακτηρία τίς ἐστιν, οἱονεὶ βάσεως αἰτία. καὶ ἐν πλεονασμῷ τοῦ κ. πάντες γὰρ οἱ γέροντες ἐν ταῖς Ἀθήναις, δύο βακτηρίας ἐβάσταζον. βακτηρίαι δὲ ἐδίδοντο τοῖς δικασταῖς, ὁμόχροοι τοῖς δικαστηρίοις, ὅπου ἑκάστους εἰσελθόντας δικάζειν ἔδει, ἵνα τὸν διαμαρτάνοντα ἀπελέγξῃ τὸ χρῶμα. βακτηρία, καὶ σχῆμα, καὶ τριβώνιον, ἢ τριώβολον. τοῦτο ἐπὶ τῶν σκωπτόντων τοὺς δικαστὰς, Ἀθήνησι.
Βάκτρον, ἡ ῥάβδος, καὶ δρέπανον, καὶ ἡ κάμηλος.
Βάκχαι, καὶ Σάτυροι, καὶ Πᾶνες, καὶ Σιληνοὶ, ὀπαδοὶ Διονύσου.
Βακχᾶν, ἐστεφανῶσθαι κισσῷ.
Βακχέβακχον ᾆσαι, ἀντὶ τοῦ ἀφυμνῆσαι τὸν Διόνυσον. Βάκχος γὰρ ὁ Διόνυσος.
Βακχεῖον, τελεστήριον, νάρθηξ.
Βακχεῖος, ὁ ἐκ βραχείας καὶ δύο μακρῶν, πεντάχρονος. οἷον νοήμων. καλεῖται δὲ οὕτως, ἐπειδὴ οἱ ὕμνοι τῶν διθυραμβοποιῶν, πρὸς Διόνυσον, ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τούτων σύγκεινται τῶν ποδῶν. παλιμβάκχειος, ὅτι ἀνάπαλιν τοῦ βακχείου διάκειται.
Βακχευθεῖσα, ἐξοιστρημένη, ἐξεστηκυῖα.
Βακχεύω, σημαίνει τὸ μεθύσκομαι. καὶ βακχευτὴς, ὁ μεθυστής. καὶ βακχεύω, τὸ μαίνομαι. ἐκβακχεύω δὲ ἕτερον, ἀντὶ τοῦ μαίνεσθαι ποιῶ, μεταβατικῶς.
Βακχεύει, βακχικὸν ὕμνον ᾄδει.
Βάκχη, γένος Ἄπιου, ἢ μία τῶν Βακχῶν, ἢ τοῦ Διονύσου.
* Βάκχαι, ἀλληγορικῶς, αἱ ἄμπελοι.
Βακχιάδαι, οὐ μόνον οἱ Μιλήσιοι, ἀλλὰ καὶ Κορίνθιοι, ἀπὸ Βάκχου.
Βακχία, μανία.
Βακχίδης, ὁ τοῦ Διονύσου υἱός.
Βακχόαν, βόθρον, Αἰολεῖς.
Βάκχον, οὐ μόνον τὸν Διόνυσον ἐκάλουν, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια, Βάκχους ἐκάλουν. οὐ μὴν ἀλλὰ καὶ τοὺς κλάδους, οὓς οἱ μύσται φέρουσι. μέμνηται δὲ Ξενοφάνης ἐν Σίλλοις οὕτως. Ἑστᾶσι δ' ἐλάται πυκινὸν περὶ δῶμα. ἔστι δὲ καὶ στεφάνης εἶδος, ὡς Νίκανδρος ἐν τῷ περὶ τῶν γλωσσῶν ἱστορεῖ. φησὶ γὰρ οὕτω, Βάκχοισι κεφαλὰς περιανθέσιν ἐστέψαντο. καὶ βάκχον, κλαυθμὸν, Φοίνικες.
* Βάκχος ὁ μανιώδης καὶ ἀκρατὴς, παρὰ τὸ βάζω, βέβαχα, πλεονασμῷ τοῦ κ.
* Βάκχων ἀντὶ τοῦ Βακχυλίδης καθ' ὑποκορισμὸν, καὶ κλίνεται διὰ τοῦ ω μεγάλου, βάκχωνος.
Βάκχυλον, σποδίτην ἄρτον. Ἠλεῖοι.
Βάλαικες, δεσμωτήριον, καὶ βαλαικάκες.
Βαλαιὸν, μέγα, πολύ. οἱ δὲ, ταχύ.
Βαλανάγρα, ἡ κλεὶς, παρὰ τὸ ἀγρεύειν τὸν βάλανον. βάλανος δέ ἐστι, τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον.
Βαλανειομφάλους, τὰς φιάλας οἱ κωμικοὶ καλοῦσι. βαλανεῖον δὲ ἐκλήθη, διότι τὰς βαλάνους ἐσθίοντες τὰ κελύφη ἔκαιον. λέγουσι δὲ, ὅτι οἱ πολλοὶ ἐλαττοῦσι τὸν ἀέρα ἐν τῷ λουτρῷ εἰς ἑαυτοὺς αὐτὸν ἕλκοντες. καὶ Βαλανεύς, ὁ παρὰ τοῖς πολλοῖς καλούμενος περιχύτης. ἔστι δὲ τὸ βαλανεῖον, ὁδὸς ἐπὶ τρυφήν. ὅτι τὸ κατ' ἀρχὰς μὴ ὄντων βαλανείων, ἐν ταῖς σκάφαις καὶ πυέλοις οἱ ἀρχαῖοι ἐλούοντο.
Βαλανεῖον, ὁ τόπος, ὁ περιέχων λουτρά. λουτρὸν δὲ λέγεται, τὸ θερμὸν ὕδωρ πρὸς τὸ λούειν ἑτοιμασθέν.
Βαλανεύειν, λαμπροφωνεύεσθαι, παρόσον οἱ βαλανεῖς, ὅταν παράγωσι τὸ ὕδωρ, κραυγάζουσι.
Βαλανεὺς πολυπράγμων, περίεργος καὶ παραχύτης.

Βαλανεύσω παρὰ Ἀριστοφάνει, διακονήσω, ὑπουργήσω.
Βαλανιομφάλους· οὕτω Κρατῖνος ὠνόμασε τὰς ἐχούσας ὀμφαλοὺς, ἄνευ προσώπων, ὁποῖοι οἱ θόλοι, ἐπὶ τῶν ὀφθαλμῶν τῶν ἐν τοῖς πυέλοις ἐν τοῖς βαλανείοις.
Βαλανὶς, ἡ τοῦ Βαλανέως γυνή.
Βάλανοι, δρύες, φηγοί. ἢ βάλανοι, τὰ ἐξηρτημένα τῶν ὅρμων περὶ τὸν τράχηλον, καὶ τῶν δρυῶν ὁ καρπὸς, καὶ ὁ τῶν φοινίκων. καὶ κλεῖδες. καὶ ἰατροὶ τὰ ἐντιθέμενα τῇ ἕδρᾳ, βαλάνους λέγουσι.
Βάλανον τὸν μοχλὸν λέγει Ἀριστοφάνης. κυρίως δὲ, τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. καὶ βάλανοι, τὰ μάγγανα τῆς κλειδώσεως. καὶ βεβαλάνωται, ἀντὶ τοῦ κεκλείδωται. καὶ βαλανάγρα, ἡ κλεὶς, παρὰ τὸ ἀγρεύειν τὴν βάλανον.
Βάλανος, τὸ αἰδοῖον, καὶ τὸ ψέλιον.
Βάλανος φοινίκων, οἶνον ἔπινον ἀπὸ τῆς βαλάνου τοῦ Φοίνικος. καὶ βάλανος, ὁ τῶν δρυῶν καρπός.
Βαλάνους Διὸς, τὰ κάρυα τοῦ ψιλοῦ, Διὸς βαλάνους λέγουσι.
Βαλαντιοτόμοις, τοῖς τὰ βαλάντια τέμνουσιν. ἃ ἐν ταῖς ζώναις ἀπῃωρημένα φέρουσιν ἄνθρωποι. καὶ βαλάντιον, τὸ μαρσύππιον.
Βαλάντιον, τὸ ἀκόντιον, διὰ τὸ βάλλειν τοὺς ἐναντίους.
Βαλαντιοκλέπτης, καὶ βαλαντοκλέπτης. καὶ βαλαντιοτόμος, καὶ βαλαντοτόμος.
Βάλαρες, οἱ βλαισοί. βαλάρα γὰρ γυνὴ παρὰ Βοιωτοῖς.
Βάλαρις, βοτάνη τρίφυλλος.
Βαλάσαι ἀγοράσαι.
Βαλαύστιον, εἶδος ῥοιᾶς, φέρον ἄνθος, ἁρμόζον πρὸς θεραπείαν.
Βαλβίδες, ἀπὸ τοῦ βάλλειν, οὐ μόνον αἱ ἐπὶ ἀφέσεως δρομέων γραμμαὶ κατὰ Αἴλιον Διονύσιον, ἀλλὰ καὶ ὅσαι ἐν φρέασι, καὶ ἄλλοις τοιούτοις ἐγκοπαί φησι καὶ ἐξοχαὶ δι' ὧν κατίασιν εἰς αὐτά. αἷς βαλβῖσιν ὁμοιοῦντι κατὰ ἔννοιαν, καὶ ὁ βατὴρ, ὃς ἦν ἀρχή φασι τοῦ τῶν πεντάθλων σκάμματος. ὅθεν παροιμία. Αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου. ὡς οἷον εἰπεῖν, τὸ πρῶτον καὶ καιριώτατον.
Βαλβιδοῦχον, τερματοῦχον.
Βαλβὶς, καὶ γραμμὴ, καὶ ὕσπληγξ, καὶ ἄφεσις, ὅθεν ἀφίενται οἱ δρομεῖς. καὶ βαλβὶς, κοιλότης περιμήκης, παρὰ τῷ Ἱπποκράτει. Ἄλλως.
Βαλβὶς καλεῖται, τὸ ἐν τῇ ἀρχῇ τοῦ δρόμου κείμενον ἐγκαρσίως ξύλον, ὃ καὶ ἀφετηρίαν καλοῦσιν. ὅπερ μετὰ τὸ ἑτοιμασθῆναι τοὺς δρομεῖς εἰς τὸ δραμεῖν, ἀφαιρούμενοι ἀφίεσαν τρέχειν. βαλβὶς καλεῖται, ἀπὸ τοῦ εἰσβάλλεσθαι βάδην. πρῶτον γὰρ εἰσέρχονται βάδην, εἶτα τοῦ δρόμου ἄρχονται. ἢ ἀπὸ τοῦ ἅλλομαι, ἁλμὶς, ἁλβὶς, καὶ ἐν ὑπερβιβασμῷ, βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω. τίθεται δὲ ἀπὸ βαλβίδων, ἀπ' ἀρχῆς, ἄνωθεν, ἀπὸ μεταφορᾶς τῶν σταδιοδρομούντων. βαλβὶς γάρ ἐστιν ἡ ἀφετηρία.
Βάλε, ῥίψαι. ὥσπερ ἀπὸ τοῦ ἄγε προστακτικοῦ ῥήματος μετατίθεται, καὶ λέγεται ἐπίρρημα παρακελεύσεως ἄγε. οἷον, Ἄγε δή μοι ὦ Μοῦσα. καὶ ἀπὸ τοῦ φέρε προστακτικοῦ ῥήματος, φέρε. οὕτω καὶ ἀπὸ τοῦ ἔβαλον ἔβαλες ἔβαλε, οὗ τὸ προστακτικὸν βάλε, μετατιθέμενον λέγεται σχετλιαστικὸν ἐπίρρημα ἀντὶ τοῦ φεῦ. οἷον, βάλε βάλε κῆρυξ φωνήν. τοῦτο πλεονασμῷ τοῦ α ἀντὶ σχετλιαστικοῦ ὄντος ἐπιρρήματος, ὡς παρὰ τῷ ποιητῇ, ἃ δεῖ λέγεται ἀβάλε. ἀμφότερα μίαν σημασίαν ἔχουσι. τὸ α καὶ τὸ βάλε, καὶ τὸ ἀβάλε. ἔστι δὲ ἰδίᾳ, α, καὶ ἰδίᾳ τὸ βάλε καὶ ἐν συνθέσει τὸ ἀβάλε, καὶ κατὰ ἀφαίρεσιν βάλε.
* Βαλεῖν ἀγκύρας, τὸ κατὰ βυθοῦ ῥίψαι. καὶ βαλεῖν ἐν χερσὶ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ θεῖναι. καὶ βαλεῖν, ἐν ἴσῳ τῷ ἁπλῶς τυχεῖν καὶ ἐπιτυχῆσαι. καὶ βαλεῖν ἐν κονίαις, τὸ κτεῖναι καὶ καταβαλεῖν. καὶ βαλεῖν τὸ πόρρωθεν καθικέσθαι. οὐτάσαι δὲ τὸ ἐγγύθεν πατάξαι.
Βαλεῖν, πόρρωθεν πέμψαι, εἴρηται παρ' Ὁμήρῳ καὶ ἀντὶ τοῦ θεῖναι. ὡς τὸ, βαλέτην ἐν χερσὶν ἑταίρων, ἀντὶ τοῦ ἔθεντο. ἢ ἀντὶ τοῦ

Digitized by Google

ἔρριψαν. ὁποῖον καὶ τὸ, βάλε σεαυτὸν κάτω. καὶ τὸ, βαλεῖν δὲ ὀδόντας.

Βαλὶκ, δεσμωτήριον.

Βαλαῖος, ὁ ἀπὸ Βαλείας πόλεως Μακεδονικῆς, παρὰ τῷ Ἱπποκράτει.

Βάλεκες, δεσμωτήρια.

Βάλῃ. Ὅμηρος, ἢ βάλῃ ἢ ἐλάσῃ (ἐν Ὀδυσσείας ρ̄) τουτέστιν ἐγγὺς τύψῃ. διαφορὰν συνήθη δηλοῦσι. δῆλον δὲ, ὅτι τὸ βαλεῖν οὐ μόνον τοῦ ἐλάσαι διαφέρει, ἀλλὰ καὶ ὑπερβολὴν τοῦ τύψαι, καὶ τρῶσαι, καὶ οὐτάσαι, καὶ πλῆξαι.

Βαλῆρα, αἰχμεῖα.

Βαλία, ὀφθαλμία. καὶ τὸν βάλιον, πηρόν. Κρῆτες.

Βαλίκδος, μαινόμενος.

Βαλίαι, αἱ ταχεῖαι, παρὰ τὸ βάλλειν καὶ ταχέως φέρεσθαι τὸ βαλλόμενον. ἢ παρὰ τὸ πάλλεσθαι διὰ τὸ τάχος. ἢ παρὰ τὸ βαίνειν ἅλις. καὶ βαλία, διαποίκιλος. καὶ τὸν Διόνυσον Θρᾷκες.

Βαλίαν ἔλαφον, κατάστικτον. καὶ βαλίων ἀνέμων, τουτέστι σφοδρῶς πνεόντων.

Βαλιαρίδων νήσων, ἐν αἷς κατοικοῦσι σφενδονῆται ἄριστοι.

Βαλίας. ὄνομα τοῦ Ἀχιλλέως ἵππου. σημαίνει δὲ καὶ τὸ ποικίλον. Εὐριπίδης, βαλιὰν ἔλαφόν φησιν. ἢ φάλιός τις ὢν, ὁ λευκομέτωπος, καὶ ὁ λευκός.

Βαλικιωτὴς, συνέφηβος. Κρῆτες.

Βαλίος ἵππος, ποικίλος.

Βαλιῶται, πρόγονοι.

Βάλλαι, βαθμοὶ, ὑπὸ Κυπρίων.

Βάλλε κημὸς, παρὰ τῷ Ἀριστοφάνει. βάλλ' ἐς κόρακας, τὰ δικαστικὰ σκεύη.

Βάλλεαι, ἀντὶ τοῦ βάλλεις, τίθης. ὡς τὸ, Ἐνὶ θυμῷ βάλλεαι, παρ' Ὁμήρῳ.

Βάλλει λίθον, ἤγουν πέμπει. βάλλει τινὰ λίθῳ, ἢ βέλει. καὶ βάλλει ὕδωρ εἰς ἄγγος. βάλλεται λίθοις, βάλλεταί τις λίθῳ. βάλλω βέλος, ἀντὶ τοῦ πέμπω. καὶ βάλλεται βέλος, ἀντὶ τοῦ πέμπεται. καὶ βαλῶ σε τῇ ῥάβδῳ.

Βάλλειν, οὐ τὸ ἀφεῖναι βέλος, ἀλλὰ τὸ ἐπιτυχεῖν. ὡς ἐπὶ τὸ πλεῖστον εὑρίσκεται παρὰ τῷ ποιητῇ. δηλοῖ δέ ποτε, καὶ τὸ καταρρῖψαι. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ θεῖναι. ὡς τὸ, φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν, ἤγουν θήσωμεν. καὶ ἐν φρεσὶ βάλῃ, ἤγουν εἰς νοῦν θήσεις. ἐξ οὗ σύνθετον τὸ νουθετεῖν καὶ βάλλειν, παρὰ τῷ ποιητῇ. ὡς ἐπιτοπολὺ, τὸ μήκοθεν ἀφιέντα βέλος τυγχάνειν τοῦ σκοποῦ. ἄλλως μέντοι ἀφιείς τις, καὶ μὴ ἐπιτυγχάνων, οὐκ ἄν ποτε κυρίως βάλλειν λεχθείη. καὶ βάλλειν ἁπλῶς, τὸ ἐπιτυγχάνειν. ὅθεν καὶ ἐπίβολος, ὁ ἐπιτυχὴς λογισμοῦ. καὶ βουλὴ, ὡσανεὶ βολὴ, ἡ ἐπιτυχὴς σκέψις. σημαίνει δὲ τρία, τὸ προΐεσθαι, τὸ ῥίψαι, τὸ τρῶσαι. καὶ τοιαῦτά τινα, ἐκ τῶν σημαινομένων τοῦ βάλλειν γίνονται, τὸ βέλος, καὶ ἡ βολίς. καὶ ἡ βολὴ, ἡ ἐπιτυχὴς δηλαδὴ καὶ εὔστοχος. ἀφ' ἧς καὶ ἐπήβολος, ὁ τυχὼν πράγματός τινος. οἷον παρ' Ὁμήρῳ, νηὸς ἐπήβολος. παρὰ δὲ τοῖς ὕστερον κατ' ἐξοχὴν, ὁ συνετός. οἱονεὶ, ὁ τοῦ κυριωτάτου ἐπιτυχὴς τοῦ φρονεῖν. ἐκ τῆς βολῆς δὲ καὶ ὁ βολαῖος θῶνος, καὶ ἡ βουλὴ, ἐπενθέσει τοῦ υ. καὶ ἡ συμβουλὴ, τὸ ἐπιτυχὲς σκέμμα. τρία δὲ σημαινόμενα τῆς βουλῆς, ὁ τόπος, οἱ βουλευταὶ, καὶ αὐτὸ τὸ περὶ οὗ ἡ σκέψις. βολῆς δὲ σύνθεσις ποιεῖ καὶ μεταβολὴν, καὶ ὑπερβολήν. καὶ βάλλειν, ἐν ἁπλότητι μέν ἐστιν, ὅτε δοκεῖ καὶ τὸ ἀπάγειν σημαίνειν· ὡς ἐν τῷ, βάλλ' ἐς κόρακας, ἤγουν ἄπαγε εἰς ὄρη καὶ κρημνούς. καὶ βάλλ' ἐς μακαρίαν, ἤγουν ἄπαγε εἰς ὄλεθρον, ἢ εἰς ᾅδου. ἐπειδὴ οἱ νεκροὶ μακαρῖται λέγονται. ἢ καὶ ἄλλως, ἐπεὶ Μακαρία ἡ Ἡρακλέους θυγάτηρ, ὅτε Ἀθηναίοις Εὐρυσθεὺς ἐπεστράτευσεν, ἑαυτὴν ἐπέδωκεν εἰς σφαγὴν ὑπὲρ σωτηρίας τῶν πατριωτῶν. ἐκ τοῦ βάλλω, καὶ ἐν συγκοπῇ βλῶ, καὶ κατὰ παραγωγὴν βλάξω, γίνεται βλὰξ βλακὸς, ὁ καταβεβλημένος, οἷον καὶ μὴ δυνάμενος ὀρθοῦσθαι διὰ τρυφὴν, ἢ καὶ εὐήθειαν. ὅθεν καὶ βλὰξ ἰχθὺς πλεῖον ἀχρεῖος, ὡς μηδέν τι ζῶον ἐσθίειν αὐτοῦ. καὶ βλακεύεσθαι, τὸ μωραίνειν. καὶ βλακεύματα, αἱ εὐήθειαι. Ξενοφῶν δὲ βλακεύεσθαι ἔφη, τὸ νωθρεύεσθαι.

Βάλλ' ἐς κόρακας, παρὰ τῷ Ἀριστοφάνει δηλοῖ, ῥίψον σεαυτὸν εἰς φθοράν· τοιοῦτον γάρ τι τὸ ἐς κόρακας. Ἄλλως. Ἄπιθι ἐς κόρακας. ἔστι δὲ παροιμία, ἐπὶ καταρᾶς λεγομένη, ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ εἰς φθοράν. Βοιωτοῖς γὰρ ἀναστάτοις ὑπὸ Θρᾳκῶν γενομένοις, εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν, ἔνθα ἂν ἴδωσι λευκοὺς κόρακας. οἱ δὲ ἐν Θετταλίᾳ παρὰ τὸν Παγασιτικὸν κόλπον εἶδον περιϊπταμένους τοὺς τοῦ Ἡλίου ἱεροὺς κόρακας. οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης. καὶ τελεῖσθαι τὸν χρησμὸν νομίσαντες, ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἐκ τοῦ ζῴου λέγεσθαι τὴν παροιμίαν. ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις ἐπιτηρεῖ τὰ πτώματα. Ζηνόδοτος δὲ ὁ τὰς Ταρραίου καὶ Διδύμου παροιμίας ἀποτεμὼν, Βοιωτοῖς φησιν Ἄρνην ποτὲ οἰκοῦσι, προείρητο ὑπὸ τοῦ Θεοῦ ἐκπεσεῖσθαι, λευκῶν κοράκων φανέντων. νεανίσκοι δέ ποτε μεθυσθέντες, καὶ συλλαβόντες κόρακας, γυψώσαντες ἀφῆκαν πέτεσθαι. ἰδόντες δὲ οἱ Βοιωτοὶ, ἐταράχθησαν, ὡς τῆς μαντείας λαβούσης τὸ τέλος. καὶ φοβηθέντες τὸν θόρυβον, φυγόντες ᾤκησάν τινα τόπον, ὃν ἐκάλεσαν κόρακας. μετὰ δὲ ταῦτα ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς, ἔσχον τὴν Ἄρνην οἰκείαν οὖσαν. καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν, εἰς τοὺς κόρακας καλουμένους.

Βάλλ' ἐς μακαρίαν, οἷον εἰς ᾅδου, ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ' ἀρετὴν διδόντων. Μακαρία γὰρ ἡ Ἡρακλέους, ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις. ἑαυτὴν ἐπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. τὸ δ' αὐτὸ τοῦτο καὶ οὕτω λέγουσιν, εἰς μακαιρίαν, καὶ εἰς μακαρίαν.

* **Βάλλειν**, ἀντὶ τοῦ νοεῖν ἐπιτυχῶς. καὶ βάλλεσθαι ἐν θυμῷ, ἀντὶ τοῦ ἐνθυμεῖσθαι.

* **Βάλλειν βήματα**, ἀντὶ τοῦ κατὰ βῆμα πορεύεσθαι.

Βάλλ' ἐς ὕδωρ, ἀντὶ τοῦ καταπόντισον, ἐπὶ τῶν ὀλέθρου ἀξίων.

Βαλλίζειν, τὸ κύμβαλα κτυπεῖν, καὶ πρὸς τὸν ἐκείνων ἦχον ὀρχεῖσθαι.

Βαλλὶς, εἶδός ἐστιν ἄνθους, ὃ δοκεῖ ποιεῖν ἀναζῆν τοὺς τεθνεῶτας, ὁμοίως τῇ ἀρυώρῃ. οἱονεὶ βιαλλίς τις οὖσα, ἐπειδὴ δοκεῖ βίον ἄλλον ποιεῖν, διὸ καὶ βαλλὶς καλεῖται.

Βαλλὴν, βασιλεὺς, Φρυγιστί.

Βαλλήσομεν, βαλοῦμεν.

Βαλλητὺς, ἑορτὴ Ἀθήνησιν, ἐπὶ Δημοφῶντι.

Βαλλήϊαι, οἱ ἀκροβολισμοί.

Βάλλομαι, παθητικῶς τὸ νοῶ. ὡς τὸ βαλλόμενος εἰς νοῦν, ἤτοι νοήσας, καὶ βεβλημένος εἰς νοῦν.

Βαλλομένοιο, ἀντὶ δοτικῆς κεῖται παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ̄, ὀρθότερον βαλλομένῳ εἶναι. ὡς τὸ, Πολλά οἱ σφέρα πλευρὰς ἀποτρίψουσι. περίφρασται δὲ οὕτω διά τε τὴν τῆς δοτικῆς συγγένειαν καὶ γενικῆς. καὶ διότι ὡς καὶ ἐν ἄλλοις φαίνεται, οὐκ οἶδε σολοικισμὸν ποιεῖν γενική.

Βάλλω, σημαίνει τρία. ἐπὶ τοῦ προϊέμεναι ἐπιτυχεῖν, ὡς τὸ, βέλος ἐχεπευκὲς ἐφιεὶς βάλλε. καὶ ἐπὶ τοῦ ἐπιθεῖναι, Τάων ἡ μὲν ἔβαλλε δόμοις ἔνι ῥήγια καλά. καὶ ἐπὶ τοῦ ἐν ἡμῖν συνήθους, Τὸν μὲν πὰρ πόδ' ἰόντα χαμάδις βάλε.

Βαλοιτόσειρον, παρὰ τὸ διεστραμμένον εἶναι τοὺς πόδας.

Βάλος, ὁδὸς ὑψηλή.

Βαλὸν, οὐδὸν, καὶ οὐρανὸν, καὶ βαλός.

Βαλμὸς, στῆθος.

Βάλσαμον, ἀρωματικὸν ἄνθος.

Βαλὼν. αἱ εἰς ων λήγουσαι μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται, δραμὼν, ἐλθὼν, πιών. οὕτως οὖν καὶ βαλὼν, ἀντίκειται τὸ τέφνων. αἱ γὰρ εἰς ων λήγουσαι μετοχαὶ, ὁπότε ἐν ἐπιπλοκῇ ἔχουσι δύο σύμφωνα, ὧν τὸ δεύτερόν ἐστιν ἀμετάβολον, πάντως βαρύνονται. τέμνων, δάμνων. τούτοις ὅμοιον, καὶ τὸ τέφνων.

Βάμα, βάσις, βῆμα.

Βάμβα, τὸ χρῶμα, καὶ μύρου τὶ μέρος. καὶ τὸ ἔμβαμμα, Συρακούσιοι.

Βαμβαίνει, διστάζει, τρέμει τοῖς ποσίν. καὶ τῇ γλώττῃ ἀσήμως φθέγγεται, ὑπὸ τρόμου ἠχεῖ τοὺς ὀδόντας.

Βαμβαίνειν, ὅ ἐστι συγκρούειν τοὺς ὀδόντας· ἀπὸ τοῦ κατὰ τὸ στόμα ψόφου κατὰ τοὺς παλαιοὺς ἐσχημάτισται. καὶ ἔστι φασὶ δυσερμήνευτον. συμβαίνει δὲ τοῖς ῥιγοῦσι καὶ τοῖς ὑποπτήσσουσι, καὶ θέλουσι μὲν λαλῆσαί τι, ἀπορουμένοις δὲ καὶ ὑποτρέμουσι, καὶ οὕτω τοὺς ὀδόντας συρρήσσουσιν. Ἰστέον δὲ, ὅτι ἔν τινι ῥητορικῷ λεξικῷ φέρεται βαλίζειν, τὸ τρέμειν ὑπὸ ψύχους. ἐν δὲ ἑτέρῳ, ὅτι βαμβαίνων μὲν βήματα βάλλων, κατὰ βῆμα πορευόμενος, καὶ ταπταίνων. βαμβαλίζων δὲ, ῥιγῶν, ἀπολλύμενος. ὁ δὲ ἄραβος, καὶ αὐτὸς τῶν βαμβαινόντων ἐστὶν ἀποτέλεσμα.

Βαμβακεῦτριαι, μαγγανεύτριαι. οἱ δὲ φαρμακίστριαι, οἱ δὲ λαλοῦσαι. τὸ δὲ βαμβακίας χάριν, ἀντὶ τοῦ φαρμακίας χάριν.

Βάμβαλα, χειμερινὰ ἱμάτια. καὶ βάμβαλον, τὸ αἰδοῖον.

Βαμβάλειν, τρέμειν, ψοφεῖν τοῖς χείλεσι.

* **Βαμβαλίζειν**, τὸ τρέμειν ὑπὸ ψύχους.

Βάμβαξ, ἢ πάμβαξ, καὶ παμβακὶς, τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον. ὡς ἐν ἐπιγράμματι, Καὶ τὴν τρυτοδόκην κοιτίδα παμφακίδων.

Βάμμα Σαρδιανικὸν, ἀντὶ τοῦ ἐρυθρὸν, φοινικοῦν. Σαρδὼ γὰρ νῆσός ἐστι τῶν ἑπτὰ, σταδίους ἑξήκοντα Κύρνου διέχουσα. ἐν ταύτῃ δὲ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. ἢ ὅτι εἰς τὴν Σαρδὼ τῆς Λυδίας, πυῤῥὰ βάμματα γίνεται.

Βάξον, κατάξιον.

Βάμμα Κυζικηνὸν, τὴν ἀκάθαρτον ἀσχημοσύνην Ἀττικοὶ λέγουσι.

Βὰν, ἐπορεύοντο. ἐκ τοῦ βῆμι, ὁ παρατατικὸς ἔβην. καὶ ἀφαιρέσει τοῦ ε, βῆν, ης, η, βάτον βάτην, βάμεν βάτε βάσαν, καὶ συγκοπῇ βάν.

Βᾶν, εἶδος ἄνθους.

Βανβᾶ κοιμίζει. καὶ βανβᾶν, καθεύδειν.

Βανβυκάνες, πελεκάνες.

Βάναυσοι, οἱ ἑδραῖοι τεχνῖται· παρὰ τὸ βαύνῳ, ὅ ἐστι καμίνῳ τὶ ἔργον διατιθέμενοι. οἱ δὲ βάναυσον, τὸν ἀπάνθρωπον καὶ ὑπερήφανον.

Βάναυσος, πᾶς τεχνίτης διὰ πυρός. βαῦνος γὰρ ἡ κάμινος, παρὰ τὸ τοὺς βαύνους αὔειν, ὅ ἐστι καίειν.

Βαναυσίας, ἰδιωτίας, ἢ ἀλογίας.

Βανεῖα, τὰ ἀρνεῖα. καὶ βάννιμα, τὸ αὐτό.

Βανῆκας, γυναῖκας, Βοιωτοί.

Βανθῶσαι, σκοτοδινιάσαι.

Βανίδης, ποταμὸς ἐν Δαμασκῷ.

Βάνισος, εἶδος θυμιάματος.

Βανκὸν, μωρόν.

Βανμὼ, Τιθήνη Δήμητρος. σημαίνει δὲ καὶ κοιλίαν, ὡς παρ' Ἐμπεδοκλεῖ.

Βάννα, γαυνὴ, ὑπὸ Βοιωτῶν.

Βάννας, βασιλεὺς, παρὰ Ἰταλιώταις. οἱ δὲ, μέγιστος ἄρχων.

Βαννάται, αἱ λοξοὶ καὶ μὴ ἰθυτενεῖς ὁδοί. τὸ δὲ αὐτὸ, καὶ βάνναστροι.

Βανοὶ, τέχναι.

Βανὸν, λεπτόν.

Βάνος, κλάσμα, μέρος, καὶ τυφλός.

Βανοὺς, ὄρη στρογγύλα.

Βανύσει, μωραίνει, ἐπιμαίνεται.

Βάξις, ὁ λόγος, ἡ φήμη. παρὰ τὸ βάζω, βάξω, βάξις.

Βαπαίνει, παρακαλεῖ.

Βάπταν, ἀντλουμένην, βαπτόν.

Βάπτισμα, ἄφεσις ἁμαρτιῶν δι' ὕδατος καὶ πνεύματος, ἢ ἑκούσιος συνταγὴ πρὸς Θεὸν δευτέρου βίου, ἢ ἀνάληψις ψυχῆς, ἐπὶ τὸ κρεῖττον. ἢ λύσις δεσμοῦ ἐκ φιλανθρωπίας δεδωρημένη. ἢ ἀνεκλόγιστος ἄφεσις ἁμαρτιῶν. ἢ βάπτισμα, ἐν ᾧ βάλλεται, ἤγουν πίπτει τὸ πταῖσμα.

Βάρβιτος, εἶδος μουσικοῦ ὀργάνου, ψαλτήριον, ἢ κιθάρα. εἴρηται δὲ, οἱονεὶ βαρύμιτός τις ὢν, ὁ βαρεῖαν τὴν φωνὴν καὶ τὸν φθόγγον ἀφιείς. μίτους γὰρ τὰς νευρὰς ἔλεγον, ἐπειδὴ πρὸ τῆς χρήσεως τῆς νευρᾶς, λινοῖς στήμοσιν ἐκέχρηντο. ὅθεν καὶ οἱ Αἰολεῖς βάρμιτον αὐτὸ, διὰ τοῦ μ φασί.

Digitized by Google

Βάπτουσι, πλύνουσιν.

Βάπτω, μιαίνω, φοινίσσω, χρώζω, χρωματίζω.

Βάπτω. τὰ χείλεσι βέβαπται τῷ τῶν ῥόδων αἵματι.

Βάραγχος, Ἱππῶναξ μάλιστα πλεονασμῷ τοῦ α. οἱ γὰρ ἄλλοι βράγχος. καὶ βαραγχιᾶν, ἀντὶ τοῦ βραγχιᾶν.

Βάραθρον, τόπος Ἀθήνησι βαθὺς, ὅπου καὶ τοὺς Δαρείου πρέσβεις ἔλαβον. πάντα τὰ ἐκεῖ βαλλόμενα, ἀφανῆ ἐποίει. καὶ βάραθρον, ὄρυγμά τι, εἰς ὃ τοὺς κακούργους ἐνέβαλλον. ἀῤῥενικῶς δὲ βάραθρος, ὁ βαράθρου ἄξιος. κρεῖττον δὲ λέγειν, βαράθρου ἄξιος, ἢ ὀλέθρου. ἢ βάραθρον, χάσματι φρεατῶδες, καὶ σκοτεινὸν, ἐν τῇ Ἀττικῇ· ἐν ᾧ τοὺς κακούργους ἔβαλλον.

Βαρακάκαι, αἴγειοι διφθέραι, παρὰ Κελτοῖς.

Βάρα, νόσημά τι καρηβαρικὸν, ἢ θρέμματα, Λάκωνες.

Βάρακες, τὰ προφορήματα τῆς μάχης. Ἀττικοὶ δὲ βύρικας. δηλοῖ δὲ, καὶ τὴν λύπην.

Βαρακίναις, ἀκάνθαις, σκόλοψι.

Βαρακὶς, γλαύκινον ἱμάτιον.

Βάρακον, τὸν ἄνουν καὶ βάρβαρον.

Βάρακος, ἰχθῦς ποιός.

Βαράχνια, τὰ βραγχία τῶν ἰχθύων.

Βάρβαξ, ἱέραξ παρὰ Λίβυσι. καὶ φύραμα στρογγύλον, ἀφ᾽ οὗ αἱ μάζαι γίνονται, καὶ ἐρίων πολύπαι.

Βάρβαρα, ἀσύνετα, ἄτακτα.

Βαρβαρίζω, ἀμεταβάτως, βαττολογῶ.

Βαρβαροκτόνος, ὁ κτείνων τοὺς βαρβάρους. ὁ δὲ ὑπὸ τῶν βαρβάρων κτανθεὶς, βαρβαρόκτονος.

* Βαρβαρικαὶ εἰσὶν ἐθνικαὶ λέξεις ἐπιχωριάσασαι τοῖς Ἕλλησιν, οἷον ἀχάνη, ἄβρα, ἀβυρτάκη, ἄγγαρος.

Βαρβαρισμὸς, παράτονος διάλεξις. ἡ λέξις, ἤτοι περὶ τὰ στοιχεῖα, ἢ περὶ τὰς προσῳδίας ἡμαρτημένη, ἢ τὸ περὶ μίαν λέξιν ἁμαρτάνειν.

Βάρβαροι, οἱ ἀπαίδευτοι.

Βάρβαρος, ὠνοματοπεποίηται ἡ λέξις κατὰ μίμησιν τῆς γινομένης αὐτῷ βραγχότητος ἐν τῇ φωνῇ. ἀφ᾽ οὗ καὶ βρόγχος λέγεται, δι᾽ οὗ ἀναφέρεται ἡ φωνή. καὶ αὐτὸ τὸ βραγχιᾶν, καὶ τὸ σαθρᾷ τῇ φωνῇ καὶ τραχείᾳ χρῆσθαι.

Βαρβαρόφωνοι, οἱ Ἠλεῖοι, καὶ οἱ Κᾶρες. ὡς τραχύφωνοι, καὶ ἀσαφῆ τὴν φωνὴν ἔχοντες.

Βαρβαρόπην, βαρύφωνον.

Βαρβιτίδας, εἴτε βαρβατιστάς τις λέγοι, δρᾶμά ἐστι τοῦ Μάγνητος.

* Βάρβιλον, ὁ καρπὸς τῆς κρανείας.

Βάρβιτον, ψαλτήριον, κιθάρα. εἶδος ὀργάνου μουσικοῦ, ἢ λύρα. οὕτω καὶ βαρβίτων.

Βαρβὸς, μύστρον, ἐν Θεσμοφοριαζούσαις.

Βαρδίνης, ποταμός. παρὰ τὸ βαρείας καὶ ἐπαχθεῖς δίνας ἔχειν, βαρυδίνης τις ὤν.

Βαρδίσαγνος, ὁ τὰς γυναῖκας βιαζόμενος. Ἀμπρακιῶται.

Βάρδισται, ἀντὶ τοῦ βράδισται, φασὶ Δωριεῖς.

Βάρδιστοι ἐκ τοῦ βράδιστοι, μετατίθεται διὰ μέτρον. ἀνάπαλιν ἤπερ τὸ δρατὰ σώματα, ἤγουν δαρτὰ, γυμνὰ δέρματος. καὶ βάρδιστοι, τουτέστι βραδύτατοι θέειν.

Βαρδοὶ, αἱ ὁδοὶ, παρὰ Γαλάταις.

Βαρεῖα, ποιότης συλλαβῆς ὑφειμένον ἔχουσα φθόγγον. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰ φορτία βασταζόντων, καὶ διὰ τὸ βαρείας τρίβους ἀνυόντων.

Βαρείας χεῖρας, ὑβριστικὰς, φονικὰς, ὅπλῳ βεβαρημένας. Σοὶ κοίλης παρὰ νηυσὶ βαρείας χεῖρας, παρὰ τὸ βίᾳ αἱρεῖσθαι, ὥσπερ καὶ τὸ βάρος.

Βαρεῖ, βρίθει, βαρύνει.

Βαρεῖον, πρόβατον. καὶ τὸ βαρὺ, καὶ τὸ βράδιον.

Βάρεις, τὰ πλοῖα, οἱ πύργοι, αἱ στοαὶ, τὰ τείχη, αὐλαὶ, σφαῖραι. ἢ αἱ μεγάλαι καὶ ὑπόβαθροι πέτραι. καὶ βάρεις, τὰς ναῦς λέγουσιν οἱ Ἴωνες. ἢ βάρεις ἐλεφάντιναι, αἱ πανταχοῦ τῆς γῆς ἐκκλησίαι, μία δὲ τῇ πίστει, ἐν αἷς γεραίρεται ὁ Θεός. καὶ βάρεων, ἡ γενικὴ τῶν πληθυντικῶν.

Βάρηκες, τὰ ἕλκα τῶν ὀδόντων. οἱ δὲ, σιαγόνας. οἱ δὲ, τὰ ἐν τοῖς ὀδοῦσιν ἀπὸ τῆς τροφῆς ἐνισχόμενα. σημαίνει δὲ καὶ τὴν πολύπην.

Βαρθαγενῶν, ἰθαγενῶν.

Βαρινακέδα, τὸν Δούριον ἵππον.

Βαρισίκται, οἱ μὴ γεννῶντες.

Βάρις, παρὰ τὸ βάρος, τροπῇ τοῦ βραχέος. σημαίνει δὲ τὸν πύργον, καὶ τὴν κλίνην, καὶ στοὰν, καὶ πόλιν. παρὰ τὸ μετὰ βίας πολλῆς ἀρηρέναι.

Βάριχοι, ἄρνες.

Βάρκα, αἰδοῖον, καὶ περόνη.

Βαρκάζειν, τὸ βαρβαρίζειν.

Βαρκαίοις ὄχοις, Λιβυκοῖς. οὗτοι γὰρ ἐσπούδαζον περὶ ἱπποτροφίαν. φασὶ δὲ αὐτοὺς καὶ πρώτους ἁρμάζευξαι, διδαχθέντας ὑπὸ Ποσειδῶνος. τὸ δὲ ἡνιοχεῖν, ὑπὸ Ἀθηνᾶς. ὡς Μνασέας ἐν τοῖς περὶ Λιβύης.

Βαρμίγκαλλος, ὑπέρκαλλος.

Βάρκη, πόλις Λιβύης.

Βαρκίων, βοτάνη τις ἐν Αἰγύπτῳ.

Βάρος, τὸ ἄχθος, καὶ τὸ φορτίον. βάρος καὶ ἡ ἐμβρίθεια, καὶ ὁ ὄγκος. ὡς καὶ Σοφοκλῆς, ἢ μακροῦ πλούτου βάρει. καὶ Βάρος, ὄνομα κύριον.

Βαροὺχ, εὐλογημένος.

Βὰρ, μικρόν. καὶ βὰρ, ὁ υἱός. ὡς τὸ, βὰρ Ἰωνᾶ.

Βαῤῥαχεῖν, ἠχεῖν, σκιρτᾶν.

Βαῤῥεῖ, ἀπολεῖ.

Βαρύ. τινὲς μὲν φασὶ θυμίαμα εὐῶδες, τὴν βαρεῖαν, δηλοῖ δὲ καὶ τὸ μέγα, καὶ χαλεπὸν, καὶ ἰσχυρὸν, καὶ ἀναιδές. καὶ βαρὺ, τὸ σκαφίον.

Βαρύαρον, ἰσχυρὸν, στερέμνιον.

Βαρυβρομέων, βαρυαχῶν, καὶ βαρυηχέων.

Βαρυγέτας, βάρος μὲν ἔχοντας, γέτας δὲ ὄντας.

Βαρυδρόμου, μεγαλοφώνου.

Βαρύες, δένδρα.

Βαρυηχέος Ὠκεανοῦ, τοῦ μέγα ἠχοῦντος. οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες, μέγαν ἦχον ἀπεργάζονται.

Βαρύθει, ἀντὶ τοῦ βαρύνεται, παρ᾽ Ἡσιόδῳ. οἷον, βαρύθει δέ θ᾽ ὑπ᾽ αὐτῆς ἐγκύρσας ἄτῃσι.

Βαρυθυμεῖ, ὀλιγωρεῖ.

Βαρύθω. ἀπὸ τοῦ βάρος, βαρύω, βαρύθω, πλεονασμῷ τοῦ θ.

Βαρύκαν, σφύραν.

Βαρυκάρδιοι, ἀσύνετοι, μωροί.

Βαρύκτυπος λέγεται ὁ Ζεὺς, οὐχ ὅτι αὐτὸς κτυπεῖ, ἀλλ᾽ ὅτι αἴτιός ἐστι τῶν βαρυήχων βροντῶν.

Βαρύμηνις, μνησίκακος.

Βαρὺν ἀστράγαλον, δυσκίνητον.

Βαρὺν θυμὸν λέγει ὁ Θεόκριτος, τὴν βαρεῖαν ὀργὴν, ἣν οὐκ ἄν τις ῥαδίως ἐνέγκαι.

Βαρύνειν, χρήσιμον. βαρεῖν δὲ, ἄχρηστον παρὰ τοῖς δοκιμωτάτοις τῶν παλαιῶν. πλὴν ἐπὶ τοῦ παρακειμένου οὐ βεβάρυγκα, ἀλλὰ βεβάρυκα, εἰς παθητικὴν σημασίαν. καὶ, Ἐβάρυσαν τὸ κοινὸν τοῖς ἰδίοις ἀναλώμασιν. Ἀριστείδης, ἧκον οἴνῳ βεβαρηκότες οἱ ναῦται.

Βαρύνομαι τοῖσδε λέγουσιν οἱ Ἀττικοὶ, καὶ βαρύνομαι τάδε. βαρύνομαι καὶ βαρύνω τῷδε τῷ πράγματι, καὶ βαρέω ὁμοίως. οἷον βεβαρηκότες οἴνῳ ἐκεῖνοι ἦλθον. καὶ βαρυνόμενος, καταπονούμενος.

Βαρυνεῦντα, ἀντὶ τοῦ βαρύνοντα, παρὰ Θεοκρίτῳ, λυποῦντα, μέλλων ἀντὶ ἐνεστῶτος.

Βαρύνων ὀδυνάων, κωλύων.

Βαρύνω, ἐπὶ τοῦ φόρτου.

Βαρυπρεπὴς, πολυτελὴς, καὶ τὸ μέσον τῆς ἡμέρας. Εὐωχία περιεκέχυτο βαρυπρεπὴς τῷ λέοντι, καὶ πρὸς ἑαυτὸν ἐκάλει.

Βαρὺς τὴν ὀφρὺν κάλλιον, ἢ σκυθρωπός. καὶ βαρὺς ἐπὶ ψυχῆς, ὁ δύσκολος καὶ ἀγανάκτησιν ἔχων. καὶ βαρὺς ἐπὶ σώματος, ὁ βεβαρημένος καὶ δυσκίνητος. ἐνίοτε μὲν βεβαρημένον δηλοῖ (καὶ ἐπὶ πάθους λέγεται) βαρὺν ὄντα, καὶ ἐνεργείας ἐστὶ δηλωτικόν.

Βαρύστονος, κακοδαίμων.

* Βαρύτονα ῥήματα τὰ αὐτὰ καὶ περισπωμένως λεγόμενα, οἷον ἕλκω καὶ ἑλκῶ. αἴδομαι καὶ αἰδοῦμαι. ἐπιμέλομαι καὶ ἐπιμελοῦμαι.

Βαρυσυμφορώτατος, δυστυχὴς, βαρέως φέρων τὰς συμφοράς.

Βασαγεῖ, ἀδολεσχεῖ.

Βασαγικόρος, ὁ θᾶσσον συνουσιάζων, παρὰ Ἱππώνακτι.

Βασὰν, αἰσχύνη, ἢ πικρία. ἤτοι παραπικρασμὸς, ὅ ἐστι παροξυσμός.

Βασανίζεται, διελέγχεται, ἢ διακρίνεται, βασανίζεται.

Βασανίζειν λέγεται, καὶ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, ἀπὸ τῆς βασάνου. καὶ βασανίζειν, ἐπὶ δοκιμασίας λαμβάνεται. καὶ τῆς διὰ λόγων, καὶ τῆς διὰ τιμωρητικῶν ὀργάνων. μὴ λέγε οὖν βεβασάνισαι ὑπὸ νόσου. παρὰ δὲ τοῖς Ἀττικοῖς, οὐ τὸ αἰκίζεσθαι καὶ τιμωρεῖσθαι καὶ μαστιγοῦν σημαίνει, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων.

Βασανίζω, τὸ ἀκριβῶς ἐξετάζω. Ἀριστοφάνης, Τὸ πρῶτον τῆς τραγῳδίας μέρος αὐτοῦ βασανιῶ.

Βασανίσας, ἀντὶ τοῦ δοκιμάσας. Δείναρχος ἐν τῷ κατὰ Προξένου. πολὺ δ᾽ ἐστὶ τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου, παρ᾽ Ἀττικοῖς.

Βασανιστὴς, ὁ δημόκοινος. πολλάκις δὲ ὁ διαιτητὴς, καὶ ὁ παρὰ τῶν ἀνδραπόδων, τὴν ἀλήθειαν πυνθανόμενος.

Βάσανος, ἡ τιμωρία. καὶ βάσανος λίθος, ἡ τὸ χρυσίον περιτριβόμενον δοκιμάζουσα. οὕτως Ἀντιφῶν καὶ Πίνδαρος.

Βασαρικὰ, ἤτοι διονυσιακά.

Βασεῦνται Δωρικῶς, ἀντὶ τοῦ βήσονται, πορεύσονται. καὶ βασεῦμαι, ἀντὶ τοῦ βήσομαι.

Βασίλεια γυνὴ, καὶ βασιλὶς μέντοι. βασίλειος πόλις, καὶ οἰκία, καὶ ναῦς. οὐ μὴν καὶ βασίλεια. βασίλειος δ᾽ αὖ μόνον, δημηγορία καὶ ἐπιστολή.

Βασιλεία, τὸ ἀξίωμα, καὶ τὸ ἔθνος τὸ βασιλευόμενον. οἷον Περσῶν, Ἰνδῶν, Ἀράβων. βασιλεία ἐστὶν, ἀνυπεύθυνος ἀρχή. οὐ μόνον δὲ ἐλευθέρους εἶναι τοὺς σπουδαίους, ἀλλὰ καὶ βασιλέας. ἡ γὰρ βασιλεία, ἀρχὴ ἀνυπεύθυνος: ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς συσταίη.

Βασίλεια, γένος ἰσχάδων.

Βασιλείδης, ὁ τοῦ βασιλέως υἱός.

Βασίλειον ἱεράτευμα, τοὺς ὀρθοδόξους ἱερεῖς λέγει.

Βασίλειον, εἶδος τυροῦ καὶ μύρου.

Βασιλειῶντα, ἐπιθυμοῦντα βασιλεῦσαι.

Βασιλειῶ, τὸ ἐπιθυμῶ βασιλείας.

Βασιλεὺς κυρίως, ὁ πατρόθεν ἢ ἄλλως ἀπὸ γένους ἔχων τὴν ἀρχήν. καὶ βασιλεὺς, τοῦ λαοῦ. κοίρανος δὲ, ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ποιῶν. ἡγεμὼν, ὁ τάξεως στρατιωτικῆς ἐχόμενος. τὸ δὲ ἄρχων, ἐπὶ τριῶν λαμβάνεται. τὸ μέντοι κρατῶν, ἐπὶ μόνου τοῦ βασιλεύοντος. δεσπότης, τοῦ δούλου. κύριος, τῶν αὐτοῦ πραγμάτων. τὰ ἐξουσιαστικὰ ὀνόματα πρὸς γενικὴν συντάσσονται. τοῦ βασιλεὺς τὸ θηλυκὸν, οὐ μόνον βασίλεια, ὡς ἱέρεια, ἀλλὰ καὶ βασίλισσα, κατὰ Αἴλιον Διονύσιον Ἀττικῶς· βασίλινναν δέ φησι Μένανδρος. ἐλέγοντο δὲ καὶ ὑποδήματά τινα βασιλίδες, καί τι μύρου εἶδος, ἐπταβασίλειαν. καὶ βασιλίνδα, παιδιά τις, βασιλείας τινὰς ἀποδεικνύουσα. καὶ βασιλειᾶν, καὶ διαβασιλίζεσθαι, τὸ βασιλείας ἀντιποιεῖσθαι. ἣν δέ φασι καὶ βασιλεὺς, ἀρχή τις Ἀθήνησι, καὶ ἡ ἐκείνου βασιλίς. καὶ βασίλειος ἐκεῖ στοὰ, πλησίον τῆς τοῦ ἐλευθερίου Διὸς στοᾶς.

Βασίλειος στοὰ, δύο εἰσὶν Ἀθήνησι βασίλειοι στοαί. ἥ, τε τοῦ λεγομένου βασιλέως Διὸς, καὶ ἡ τοῦ ἐλευθερίου.

Βασιλεῖς, οἱ δικασταὶ, παρὰ Ἡροδότῳ.

Βασιλεύτατος, ὁμοιόσχημόν ἐστι τῷ δεύτατος, περὶ οὗ ἀλλαχοῦ εἴρηται.

Βασιλεύτερον, ἐν δήμῳ Ἰθάκης, παρ᾽ Ὁμήρῳ συγκριτικῶς λεχθὲν, δηλοῖ ὡς καὶ ἄλλοι μέν εἰσι βασιλεῖς ἐν Ἰθάκῃ. καθάπου καὶ ὁ Τηλέμαχος εἶπεν, ὅμως δὲ πάντων βασιλεύτερον τὸ γένος τοῦ Ὀδυσσέως. τὸ ἐν δήμῳ Ἰθάκης, πρὸς ἀκρίβειαν κεῖται. οὐ γὰρ οὐδαμοῦ γῆς οὐκ ἔστι βασιλεύτερον γένος ἄλλο ἐν Ἰθάκῃ.

Βασι-

Digitized by Google

Βασιλεύω, τὸ ἄρχω. βασιλεύω δὲ τὸ βασιλέα ποιῶ, αἰτιατικῇ συντάσσεται. βασιλεύομαι παθητικῶς τῷ δεῖνι, ἤγουν ὑπὸ τοῦ δεῖνος. καὶ βασιλεύω, ὅταν σημαίνῃ τὸ ποιῶ βασιλέα, αἰτιατικῇ.

Βασιλέως ἔπαινος, πατὴρ ἤπιος, πρᾶος, ἥμερος, προνοητικὸς, ἐπιεικὴς, φιλάνθρωπος, μεγαλόφρων, ἐλεύθερος, χρημάτων κρείττων, ἔξω παθῶν, ἑαυτοῦ κρατῶν, ἄρχων ἡδονῶν, λογισμῷ χρώμενος, ὀξὺς, ἀγχίνους, εὔβουλος, δίκαιος, σώφρων, θεῶν ἐπιμελητὴς, ἀνθρώπων κηδεμὼν, στάσιμος, βέβαιος, φροντιστὴς τῶν ἀρχομένων, σωτὴρ, πρόχειρος εἰς εὐεργεσίαν, βραδὺς εἰς τιμωρίαν, καὶ ἄλλα πολλά.

Βασιλείας λέγει Ἡσίοδος, τοὺς δικαστὰς, καὶ τοὺς ἄρχοντας. οὕτω γὰρ αὐτοὺς ἐκάλουν οἱ παλαιοί. ὡς Ὅμηρος, Ἀλλ' ἤτοι βασιλῆες Ἀχαιῶν εἰσι καὶ ἄλλοι.

Βασιλίδες, ὑπόδημα γυναικεῖον, καὶ αὐλητικόν.

Βασιλίζω, τὰ τοῦ βασιλέως φρονῶ.

Βασιλικὴ διαδρομή. ἔοικεν ἡ λεγομένη διαδρομὴ τοῦ βασιλέως παρόντος. οὗπερ εἰσέτι τῶν Ἀθήνησιν ἐννέα ἀρχόντων βασιλικὴ διαδρομὴ καλεῖται. Δείναρχος κατὰ Πυθέου.

Βασιλικὸς λόγος. τὰ εἰς κος, τινὰ μὲν κτητικά, οἷον βασιλικὸς λόγος, ὃν ἔγραψε βασιλεὺς, ἢ ὃν ἔγραψέ τις πρὸς βασιλέα. καὶ πλατωνικὸν βιβλίον. τινὰ δὲ δηλοῦσιν ἐπιτηδειότητα τινός ἐστι. οἷον δρομικὸς, ὁ ἐπιτηδειότητα ἔχων εἰς δρόμον, κἂν μὴ δέπω ἔδραμεν. καὶ πυκτικὸς, ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸ πυκτεύειν. τὰ δὲ, λέγονται ἐνεργείᾳ. οἷον μουσικὸς, ὁ εἰδὼς μουσικήν. καὶ γραμματικὸς, ὁ εἰδὼς γραμματικήν. τὰ δὲ, φύσει. λογικὸς, ὁ λόγῳ χρώμενος.

* **Βασίλιννα**, ἀντὶ τοῦ βασίλεια, ὅ ἐστι βασίλισσα.

Βασιλίνδα, τὴν βασιλείαν.

Βασιλὶς, ἡ τοῦ βασιλέως γυνή.

Βασίλισσα, οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλὰ βασίλεια, ἡ βασιλίς.

Βάσιμα, πορεύσιμα, ἐπίβατα.

Βάσιμον, ἑδραῖον, βέβαιον, στάσιμον, ἢ πορευτικόν.

Βάσις, ὁ ῥυθμός. δηλοῖ δὲ καὶ τὴν πορείαν, καὶ βῆμα, καὶ ὁδὸν, καὶ στήριγμα, καὶ ἕδραν, καὶ στάσιν.

Βάσκα, μακέλη, βασκανία.

Βασκαίνει, φθονεῖ, ζηλοῖ, μέμφεται, συκοφαντεῖ.

Βασκαίνειν, οὐχὶ τὸ φθονεῖν δηλοῖ, ἀλλὰ τὸ λυπεῖν, καὶ αἰτιᾶσθαι, καὶ δυσχεραίνειν. ἐάν τι δύσκολον συμβῇ, τοῦτο βασκαίνει. Φερεκράτης, Ὁ λαγώς με βασκαίνει τεθνηκώς. διὰ τοῦτο οὐδὲ τῇ δοτικῇ συντάσσεται, ἀλλὰ τῇ αἰτιατικῇ. τὸ γὰρ βασκαίνειν μοι, βάρβαρον. καὶ βάσκανον, τὸν λυπηρὸν, καὶ βλαβερὸν λέγουσι.

Βασκαίνω, οὐ μόνον ἀντὶ τοῦ φθονῶ, ὃ πρὸς δοτικὴν συντάσσεται, ἀλλὰ καὶ ἀντὶ τοῦ μέμφομαι, καὶ διαβάλλω παρὰ τοῖς παλαιοῖς εὕρηται, καὶ αἰτιατικῇ συντάσσεται.

Βασκανία, καὶ βάσκανος. τὸ βάσκανος, ἁπλῶς ἐπὶ λοιδορίας τιθέασι.

Βασκάνιον λέγουσιν οἱ ἀρχαῖοι, οὐ προσβασκάνιον μετὰ τῆς πρός.

Βάσκανον, τὸν λυπηρὸν, καὶ βλαβερὸν λέγουσι.

Βάσκανος, ὁ κακίζων, καὶ μεμφόμενος ἅπαντα, καὶ πειρώμενος εἰς ἀπέχθειαν ἄγειν, ὁ φθονερὸς, καὶ βλαβερός. οὕτως Ἀριστοφάνης. καὶ βάσκανος ἁπλῶς, ἐπὶ λοιδορίᾳ τίθεται.

Βασκαρίζειν, τὸ σκαρίζειν, Κρῆτες.

Βάσκε, ἀντὶ τοῦ ἄπιθι. βάσκω, ὡς στάσκω στάσκε· τὸ μὲν ἀπὸ τοῦ βῶ ἀρχήσαντος, τὸ δὲ ἀπὸ τοῦ στῶ.

Βάσκε, πορεύου, λέγε, ἀνάστηθι.

Βάσκειν, λέγειν, κακολογεῖν, καὶ ἀνίστασθαι.

Βασκέμεν, ἐκ τοῦ βάσκω. τὸ ἀπαρέμφατον, βάσκειν, Δωρικῶς βασκέμεν. Δωριεῖς τὰ εἰς ειν ἀπαρέμφατα διὰ τοῦ εν προφέρουσι, προστιθέντες τὸ μεν. οἷον τύπτειν, τύπτεν. βάσκειν, βάσκεν, βασκέμεν.

Βασκευταὶ, φασκίδες, ἀγκάλαι.

Βάσκ' ἴθι, τὸ ἴθι τὸ ἄγε καὶ τὸ φέρε, ἐνίοτε μὲν ῥήματά εἰσι προστακτικά, ἐνίοτε δὲ ἐπιρρήματα παρακελευσματικά. ταυτολογίαν δὲ τοῦτο ἔχει κατὰ τὸ σχῆμα τὸ ἐκ παραλλήλου λεγόμενον. εἰσὶ γὰρ ἰσοδυνάμοι λέξεις τό, τε βάσκε, καὶ τὸ ἴθι. ἢ καὶ ἄλλως, τὸ μὲν βάσκε ἀντὶ τοῦ πορεύθητι. τὸ δὲ ἴθι κατὰ τοὺς παλαιοὺς ἐπίρρημα παρακελεύσεως.

Βάσκιλλος, κίσσα.

Βάσκιοι, δεσμαὶ φρυγάνων.

Βάσκον, χῶρον.

Βάσκου, πορεύου.

Βασμοὶ, βαθμοί.

Βασσάρα, ὁ λαὸς, ὁ χιτὼν βακχῶν, εἶδος ἀλώπεκος, καὶ ἡ βάκχη.

Βασσάραι, αἱ τοῦ Διονύσου τροφαί, διὰ τὸ βάσιν ἐπ' ἄρᾳ ποιεῖσθαι τὸ μανιῶδες. καὶ Λυδαί, καὶ Μακέται, καὶ Μιμαλλόνες, δαιμόνιά τινα τιθῆναι Διονύσου. εἰς ἀμπέλους δὲ ἀλληγορικῶς μετελαμβάνοντο, τὰς τρίχας καταχεχυμέναι, καὶ ἄλλα τινὰ ποιοῦσαι, φίλα τῷ Διονύσῳ. κιττῷ φασι στεφανούμεναι, καὶ ἀμπέλῳ, καὶ κατέχουσαι χερσὶν αἱ μὲν ἐγχειρίδια, αἱ δὲ ὄφεις. τοῦτο δὲ πρὸς αἴνιγμα τοῦ καὶ θηριώδεις καὶ φονικοὺς εἶναι τοὺς μεθύοντας. σημείωσαι, ὅτι εἰς οἶνον ἀλληγορεῖται ὁ Διόνυσος. ἀφ' οὗ καὶ τὸ διονυσιάζειν, συμποσιάζειν, συμποσιακὴ λέξις παρὰ Πλάτωνι. οἷον πάντα τὸν βίον ἐδιονυσίαζεν, ἤγουν περὶ οἶνον ἠσχολεῖτο.

Βασσάρεια, τὰ ἀλωπέκεια οἱ Λίβυες λέγουσιν.

Βασσαρίδες, αἱ πόρναι, ἢ αἱ βάκχαι. παρὰ τὸ διάγειν ἐν βήσσαις, ὅ ἐστιν ὀρεινοῖς τόποις. ἢ παρὰ τὸ τῇ βάσει ἀρηρέναι. λέγονται βασσάραι, αἱ Θράκιαι βάκχαι. χιτῶνας οὖν ἐφόρουν ἀπὸ τοῦ Βάκχου Διονύσου.

Βάσσαρος, ἡ ἀλώπηξ, κατὰ Ἡρόδοτον.

Βασσέας, τὰς ἐν βήσσῃ γεγονυίας. ἔλεγον δὲ βήσσας, τοὺς κοίλους καὶ δενδρώδεις τόπους. ἔνιοι τοὺς βασίμους τῶν ὀρῶν.

Βάσσος οὐδετέρως, ἡ βῆσσα.

Βάσσων, Ἐπίχαρμος βάσσον χωρίον, ἀντὶ τοῦ βαθύτερον, εὔγειον. ἀπὸ τοῦ βαθὺς, βαθύτερος, βαθίων, βάσσων, ὁ βαθύτερος.

Βαστά, τὰ ὑποδήματα, Ἰταλιῶται.

Βασταγὴ, βάρος.

Βαστάζω, ἀνέχω, ἐπαίρομαι, ἐντείνομαι, στέγω, φέρω.

Βαστακάρας, ἐπὶ τῶν παχέων, καὶ δυνατῶν, δύο ταῦτα ὀνόματα. ἐπιγέγραπται δὲ ἐπὶ ἀναθήματος ἐν Σάμῳ, ἐν τῷ τῆς Ἥρας ἱερῷ οὕτω, Βαστακάρας Σάμιος, Ἥρῃ τήνδε θήρηναν ἔθηκε. κατὰ διαστολὴν δὲ ἀναγνωστέον.

Βαστάκας, τοὺς πλουσίους καὶ εὐγενεῖς.

Βαστάσας, ἀντὶ τοῦ δοκιμάσας.

Βασταχθείη, ἀρθείη, κλαπείη.

Βαστιζακρόλεα, θᾶσσον ἔρχου. Λυδιστί.

Βαστραχαλίσαι, τραχηλιάσαι. βάστραχας γὰρ τοὺς τραχήλους λέγουσι.

Βατὰ, βάσιμα.

Βαταίνει, καλεῖ.

Βαταῖς, πορφυρῆσιν· ἢ ὁδοί.

Βάταλος, βδελυρὸς, αἰσχρός. οὕτως ἐκλήθη Δημοσθένης νέος ὤν. γηράσας δὲ, Ἀργᾶς ἀπὸ ὄφεως οὕτω καλουμένου. Εὔπολις δὲ τὸν πρωκτὸν βάταλον λέγει. μήποτε οὖν ἔνθεν τοὺς κιναίδους βατάλους καλοῦσιν. ἢ βάταλος κατά τινας, ὁ καταπύγων καὶ ἀνδρόγυνος, κίναιδος, ἔκλυτος.

Βατάνια, τὰ λοπάδια. ἡ δὲ λέξις Σικελική.

Βαταρισταῖς, τοῖς βαταρίζουσι.

* **Βατταρίζειν λέγονται** οἱ δυσεκφόρως φθεγγόμενοι.

Βατᾶς, ὁ κατωφερής. Ταραντῖνοι.

Βάτειαν, τινές φασι πόλιν τρωϊκὴν, παρονομαζομένην ἐκ τῶν περὶ αὐτὴν βάτων, οἵπερ καὶ βάτειαι τρισυλλάβως λέγονται. ὡς καὶ ὁ Πίνδαρος δηλοῖ, ἐν τῇ εἰς τὸν Ἀγησίαν ᾠδῇ. ἕτεροι δὲ ἐνδιάζοντές φασιν οὕτω καλεῖσθαι, ἴσως παρὰ τὸ βαίνεσθαι ἐν τοῖς πολέμοις. ἡ δὲ ὁμηρικὴ αὕτη Μύριννα, κεῖται καὶ παρὰ Λυκόφρονι. λεγομένη παρά τινων Τεύκρου θυγάτηρ, γυνὴ Δαρδάνου. ὁ δὲ Γεωγράφος μεμνημένος τοῦ τῆς τοιαύτης φησὶν, Ἕρμιος ἀπέχει τῆς κώμης σταδίους ἑβδομήκοντα, μεγίστη δὲ τῶν Αἰολικῶν. καὶ ἀρίστη ἡ κώμη, ἀπὸ Ἀμαζόνος τὸ ὄνομα ἔχουσα. καθάπερ καὶ ἡ Μύρρινα, ἀπὸ τῆς ἐν τῷ τρωϊκῷ πεδίῳ κειμένης, ὑπὸ τῇ Βατιείᾳ τοπικόν. ὥστε κατὰ τὴν ἱστορίαν ταύτην τοῦ Γεωγράφου, οὐκ αὐτὴ ἐκείνη ἡ Ἀμαζὼν Μύριννα διώνυμος, ἀλλὰ ὁ τύμβος αὐτῆς· οὗ δύο ὀνόματα, ἡ Βατίεια τοπικὸν, καὶ ἡ Μύριννα, ἐκ τῆς κειμένης μυρρίνης ἐν τῇ Βατιείᾳ.

Βατεῖν, πορεύειν, πορεῖν.

Βατεῦνται, ἀντὶ τοῦ βατεύονται, ὀχεύονται. παρὰ Θεοκρίτῳ, οἷον οἷα βατεῦνται, ἤγουν τοῖς τράγοις μίγνυνται.

Βάτην δῆκας, ἀντὶ τοῦ ἐπορεύθησαν. καὶ βάτην, τὴν γῆν Μεσσήνιοι.

Βατὴρ, βαίνων, βαδιστικός. καὶ βατὴρ, ἡ ἀρχὴ τοῦ τῶν πεντάθλων σκάμματος. ὡς τὸ, αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου φησί τις. οἷον τὸ ἐπικαιρότατον καὶ τὸ πρῶτον.

Βατηρίαν, ῥάβδον, καὶ βακτηρίαν.

Βατῆρος, τῆς Ἐχίνου σφάκελος.

Βάτης, πίθηκος, ἀναβάτης.

Βατία, δῆμος φυλῆς τῆς Αἰγηίδος. λέγεται καὶ ὁ βάτους ἔχων τόπος. ἀπὸ τοῦ βάτος, βατία διὰ τοῦ ι. ὡς Αἰπολὸς αἰπολία. τὸ ἐθνικὸν βατεύς. καὶ βατία, ὁ τῆς καλάμης καρπός. καλεῖται δὲ καὶ ἄβρωμα, ἢ μορέα.

Βατίδες, εἶδος ἰχθύος πλατὺ, ἡ βατία. διαφέρει δὲ τοῦ βάτου ἰχθύος, ὡς Ἀριστοτέλης ποιεῖ φανερόν.

Βατιεία, πόλις τρωϊκή.

Βατιῆθεν, ἐκ δήμου Βατῆς τῆς Αἰγηίδος φυλῆς.

Βατιδῆ, φιάλη. οἱ δὲ, εἶδος ποτηρίου.

Βατὶς, εἶδος ἰχθύος. καὶ βατιδοσκόποι, οἱ ὀψοφάγοι.

Βατολογία, ἀργολογία, ἀκαιρολογία.

Βατὸν, βάσιμον, ἐν ᾧ δύναταί τις ἐπιβαίνειν.

Βάτος καὶ **βατὶς** ἰχθύες, διαφέρουσιν ἀλλήλων.

Βατὸς, διαπεράσιμος τόπος.

Βάτος ἡ ἄκανθα, εἴρηται κατὰ ἀντίφρασιν, ὁ μὴ ὢν βατός. καὶ ἔστιν ἐν τόνῳ παροξυτόνῳ.

Βάτος, ἀντιπέφρασται τῇ βάσει, αὐτὴ ἄβατος οὖσα. κατὰ τὸ, γένοιτ' ἂν τόπος ἄβατος, βάτου περικειμένης.

Βάτρα, βάσις βασιλέως.

Βατράχειον, εἶδος χρώματος. ἀπὸ τούτου βατραχὺς, ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα, πρὶν ἐπιθεῖναι τὰ προσωπεῖα.

Βατραχὶς, εἶδος ἐσθῆτος ἀνθινῆς, ὅμοιον τῷ ὀνόματι ἐχούσης τὸ χρῶμα. καὶ βατραχὶς, ἱματίου εἶδος.

Βατραχίσκοι, μέρος τι τῆς κιθάρας.

Βάτραχος ἐκ Σερίφου, ἐπὶ τῶν ἀφώνων. παρόσον οἱ ἐν Σερίφῳ βάτραχοι κομισθέντες εἰς Σκῦρον, οὐκ ἐφθέγγοντο. εἴρηται δὲ, παρὰ τὸ βοὴν τραχεῖαν ἔχειν, βοάτραχός τις ὤν. ἔστι δὲ καὶ εἶδος ἐσχάρας.

Βάτταλος, ἐπώνυμον ἦν Δημοσθένους. ἐκάλουν δὲ οἱ παλαιοὶ τὸν μαλακὸν καὶ βδελυρὸν, καὶ αἰσχρὸν οὕτως, ἀπὸ Βαττάλου τινὸς αὐλητοῦ. ὃς μαλακὸς ὢν, καὶ αὐλήματα τοιαῦτα ἐφεῦρεν. οἱ δὲ βάτταλον, ὄνομα παρὰ τοῖς παλαιοῖς τῶν μαλακιζομένων τὸν πρωκτόν. ἀπὸ τοῦ τύπτεσθαι ἐν τῷ ἔργῳ, καὶ βατταλίζεσθαι.

Βατταλίζεσθαι, μαλακῶς καὶ αἰσχρῶς διάγειν.

Βατταρίζειν, μόλις λαλεῖν, ἀπὸ Βάττου Θηραίου ἰσχοφώνου ὄντος.

Βητταρισμὸς, φλυαρία.

Βάττικες, γυναῖκες, Βοιωτοί.

Βάττος βασιλεὺς Λίβυς, ὃς δοκεῖ παροιμίαν δοῦναι τοῦ βαττολογεῖν. καὶ Βάττος ὄνομα κύριον, ἰσχνόφωνος καὶ τραυλός.

Βάττος δὲ Κυρήνην ἔκτισεν, ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου. ὃν τιμήσαντες Λίβυες, ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον. καὶ ἐν νομίσμασιν αὐτὸν ἐχάραξαν τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον, παρὰ τῆς πόλεως δε-

Digitized by Google

δεχόμενον. ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ. ἔνθεν καὶ ἡ παροιμία, ἐπὶ τῶν διαφόρους καὶ ἐξόχους τιμὰς δεχομένων. Ἄλλως. σίλφιον βοτάνη πολυτίμητος. ἡ δὲ αἰτία τοιαύτη ἐστί· Βάττος ἐν Λιβύῃ Κυρήνην ἔκτισε, κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τῷ Ἀπόλλωνι χρησμόν. καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν εἰκόνα. ὡς δέ τινες δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ, τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς, καὶ ὁ κλάδος, καὶ ὁ ὀπὸς, καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ, πολλῆς τιμῆς ἄξιόν ἐστι. καὶ οἱ Ἀμπελιῶται δὲ ἔθνος Λιβύης, εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, ὥς φησιν Ἀλεξανδρίδης.

Βάττου σκοπιὰ, χωρίον Λιβύης, ἀπὸ Βάττου.

Βάτταλον κωμικὸς, δράμασιν αὐτοῦ συνεξετάζων ἀνδροφόνους, καὶ εὐεργέτας.

Βάτυος αὐλὸς, Μεσήνιος.

Βαΰζειν, ἐπὶ τῶν σκυλακίων λέγεται κυρίως. ἐπὶ δὲ τελείων κυνῶν, τὸ ὑλακτεῖν λέγουσιν. παρὰ δὲ Θεοκρίτῳ βαΰσδει, ἀντὶ τοῦ ὑλακτεῖ.

Βαΰθει, μασσᾶται.

Βαυκὰ, ἡδέα.

* Βαυβᾶν, τὸ κοιμᾶσθαι κατὰ γλῶσσαν.

Βαυκαλᾶν, τὸ τιθηνεῖσθαι μετ' ᾠδῆς τὰ παιδία.

Βαύκαλον, μαλακιζόμενον, τρυφερὸν, καὶ ὡραῖον. βαυκὸν γὰρ, τὸ τρυφερόν·

Βαυκανήσεται, βοήσεται, βοήσει.

Βαυκανιζόντων, τιθηνούντων.

Βαυκίδες, ὑποδήματα Ἰωνικὰ πολυτελῆ. καὶ βαυκισμὸς, ὄρχησις. καὶ βαυκίζεσθαι, τὸ θρύπτεσθαι. καὶ βαῦν, τὸ κατακοιμίζειν·

Βαῦνον λέγεται τὸ πῦρ. καὶ βάναυσος τέχνη, ἡ διὰ πυρὸς ἐνεργουμένη.

Βαῦνος, ἡ κάμινος. παρὰ τὸ αὔω, τὸ καίω, βαῦνος. λέγεται καὶ ὁ βουνός. βαῦνοι δὲ, χυτρόποδες.

Βάφα, ζωμὸς, Λάκωνες.

Βαφὴ, χρῶσις, κατάχρωσις. βάπτων καὶ καταβάπτων, χρωννὺς, καταχρωννὺς, καλχαίνων. ἴδιον γὰρ ἐπὶ τῶν χρωννύντων τοὔνομα. Εὔπολις δὲ καὶ βάπτριαν. Ἀντιφῶν δὲ εἴρηκε, βάψιν χαλκοῦ καὶ σιδήρου. λέγεται δὲ καὶ τὸ φαρμάττειν τὰ ἔρια, καὶ μηλοῦν, διαμηλοῦν, καὶ καταμηλοῦν, τὸ τῷ κινήθρῳ καταλύειν. καὶ χρώματα, καὶ βάμματα, καὶ ἄνθη, καὶ φάρμακα. καὶ τὸ ἐργαστήριον ἵνα τοῦτο γίνεται, φαρμάκων. ὁ δὲ βάπτων αὐτὰ, πορφυροβάφος. εἴποις δ' ἂν καὶ δολοῦν τὰ ἔρια.

Βάφιον, ὀξύβαφον.

Βάκχαρις, Λύδιόν τι μύρον παρὰ τῷ Ἱπποκράτει.

Βάχθος, τέλμα ὕδατος, ἢ βάθος.

Βαχία, τελετὴ, ἐνόρχηος χορεία.

Βάψας, δεύσας, πλεύσας, ἢ τὴν κώπην βάψας.

ΤΟ' Β'. ΜΕΤΑ' ΤΟΥ͂ Δ'.

ΒΔάλλεται, θηλάζεται, ἢ ἀμέλγεται.

Βδαλοὶ, ῥαφίδες θαλάσσιαι, καὶ φλέβες κροσσώδεις.

Βδάλλει, ἀμέλγει.

* Βδάλλειν, τὸ ἐκμυζᾶν.

Βδαροὶ, δρύες, δένδρα.

Βδέλλα, εἶδος σκώληκος. ἢ βδελλίον, ἀπὸ τοῦ βδάλλω τὸ ἀμέλγω. ἐξ οὗ καὶ νεόβδα, τὸ γάλα τὸ νεωστὶ ἀμελχθέν, καὶ βδέλλα, ζῶον. ἀφ' οὗ βδέλλεται, ἀντὶ τοῦ ἀμέλγει. καὶ βδέλλα, ἡ ἁμαρτία. θυγάτηρ αὐτῆς, πορνεία, φθόνος, εἰδωλολατρεία. αἳ οὐκ ἐμπίπλανται διὰ τῶν ἀτόπων πράξεων. τετάρτη, ἡ πονηρὰ ἐπιθυμία.

Βδέλλεται, ἀμέλγει, ἀπὸ τοῦ βδέλλα.

Βδέλλεσθαι, τὸ κοιλιολυτεῖν.

Βδέλλω, τὸ ἐκπιέζω. ἐκ τούτου καὶ βδέλλα, ἡ ἐκμυζῶσα, καὶ πίνουσα τὸ αἷμα, Ἀττικῶς δὲ βδάλλω, τὸ αὐτό. καὶ βδέλλων, τρέμων, ἢ βδέων.

Βδέλος, ἡ δυσωδία τοῦ λύχνου, καὶ ἡ πορδή. τὸν βδόλον, οὐκ ἔσθ' ἥτις ῥὶς ὑπενεγκεῖν δύναται. παρὰ τὸ ὄζω, ὄζολος, καὶ ἀφαιρέσει τοῦ ο, ζόλος. ὡς τὸ ὀδύρεσθαι. καὶ τροπῇ τοῦ ζ εἰς βδ, βδόλος. καὶ τὸ ῥῆμα, ὄζει, βδεῖ. ὡς τὸ ῥοίζω ῥοιβδῶ, καὶ ἀναρροιβδῶ.

Βδέλυγμα, ὁ ἀντίχριστος. ὡς πιστευθησόμενος παρὰ Ἰουδαίων χριστὸς εἶναι, καὶ καθεσθησόμενος, καὶ δόξων ὅλης τῆς οἰκουμένης βασιλεὺς εἶναι. ἥξει δὲ ἐπ' ἐρημίᾳ τοῦ κόσμου. ἢ βδέλυγμα ἐρημώσεως, τὸν ἀνδριάντα φησὶ τοῦ τὴν πόλιν ἑλόντος, ὃν ἔστησεν ἔνδον, ἐρημώσας τὴν πόλιν καὶ τὸν ναόν. καὶ βδέλυγμα, πᾶν εἴδωλον ἀνθρώπου παρὰ Ἰουδαίοις ἐκαλεῖτο. καὶ ἔτι βδέλυγμα, ἡ πραττομένη πρᾶξις παρὰ τὸν προσήκοντα λόγον, καὶ πᾶν ἐκτύπωμα.

Βδελυγμίαν Ξενοφῶν καλεῖ, τὸ ἐπὶ τῷ κέρδῳ δυσχεραίνειν. καὶ βδελυγμία, δυσωδία.

Βδελύζει, βδελυρὰ, μίσους ἀξία.

Βδελυκτὸν, μισητόν.

Βδελυρὸν, τὸν πόρνον οὕτως ἐκάλουν, ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνης. καὶ τὸν μίσους ἄξιον, ἢ τὸν ἀνελεύθερον. καὶ βδελυρὸς, ὁ αἰσχροποιός.

Βδελυρῶς, μισητῶς, ἀκολάστως.

Βδελύττεσθαι, μισεῖσθαι.

Βδελύττεται, τουτέστι μισεῖ, Ἀριστοφάνης.

Βδέννυσθαι, ἐκκενοῦσθαι τὴν κοιλίαν, οὐχὶ τὸ πέρδειν.

Βδύλλει, φοβεῖται, τρέμει. ὅ, τι πένης βδύλλει λεώς. καὶ βδύλλει, καταπέπληγε.

ΤΟ' Β'. ΜΕΤΑ' ΤΟΥ͂ Ε'.

ΒΕβάασιν, ἀπὸ τοῦ βῶ, βῆμι, βήσω, βέβηκα. τὸ τρίτον τῶν πληθυντικῶν, βεβήκασι, καὶ τροπῇ τοῦ η εἰς α, καὶ ἀποβολῇ τοῦ κ, βεβάασιν, ἐνεστήκασι, παρεληλύθασι.

Βεβαία, πηγὴ, οὕτω καλουμένη, ἐν Εὐβοίᾳ.

Βέβαιος, ἐπὶ θηλυκοῦ κρεῖττον, ἢ βεβαία. Ἀριστείδης, βέβαιον τὴν αἰτίαν ἔχοιεν ἄν.

Βεβαιῶ, τὸ στερεῶ. καὶ βέβαιον, τὸ στερεὸν, καὶ ἄτρεπτον. ἢ βεβαιῶ, διϊσχυρίζομαι, κυρῶ, ἐπισφραγίζομαι, ἐπιψηφίζω, ἐπικρίνω, ἐμπεδῶ, διατείνομαι, διαμαρτύρομαι.

Βεβαιώσεως δίκη, ἣν ἐδικάζοντο οἱ ὠνησάμενοι, ὅταν οἱ πεπρακότες ἀρραβῶνα λαβόντες, ἀμφισβητῶσιν.

Βέβακεν, οἴχεται, ἀπέθανεν.

Βέβακται, ἐκ τοῦ βάζω, οὐχ ἁπλῶς, ἀντὶ τοῦ εἴρηται, ἀλλὰ κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ πεφλυάρηται. ἐξ οὗ καὶ ὁ παρὰ Λυκόφρονι βάβαξ γίνεται.

Βεβαλάνωκεν, ἐκλείδωσεν. βάλανος γὰρ τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον.

Βεβαλάνωται, ὡσεὶ εἶπε κεκλείδωται. ὅτι βάλανοι λέγονται τὰ μάγγανα τῆς κλειδώσεως· Ἀριστοφάνης.

Βεβαλωμένον, κατεχόμενον ὑπὸ τῆς κόπρου.

Βέβαμεν, ἐκ τοῦ βεβήκαμεν κατὰ συγκοπὴν, εἰ μὲν προπαροξυτόνως. εἰ δὲ παροξυτόνως, ἀπαρέμφατον.

Βεβαρηότα, βεβαρημένον.

Βεβᾶσι, βεβάασιν, Ἰωνικὴν ἀπέλευσιν ἔχει τοῦ κ, καὶ συστολὴν τοῦ η εἰς α. καὶ γεννᾷ κατὰ κρᾶσιν τὸ βεβᾶσι, κατὰ τὸ ἑστήκασιν, ἑστήασιν. ἑστάασιν ἑστᾶσιν.

Βέβασις, τὸ ἑζόμενον.

Βεβαὼς βεβαότος, ἐκ τοῦ βέβηκα βέβαα, ὁ βεβαὼς τοῦ βεβαότος.

Βεβαῶσα, βεβηκυῖα, ἢ παραβεβηκυῖα.

Βεβέηκος, ὁ Ἠριδανός, ὑπὸ τῶν Ἐνετῶν.

Βεβήκει, ἐπρεύετο, ἥδραστο, πεπαγίωτο.

Βέβηκεν, ἕστηκεν, ἐπέπηκτο.

Βεβηκὸς, ἀσφαλές.

Βεβηκῶσθαι, πεπορῆσθαι.

Βέβηλον, τὸ πᾶσι βατόν. ἀφ' οὗ βέβηλον, τὸ ἀκάθαρτον. καὶ βεβηλῶ, τὸ ἀκάθαρτον ποιῶ. ἀβέβηλον δὲ, τὸ ὅσιον, καὶ παντελῶς ἄδυτον. ὡσαύτως καὶ ἄβατον, τὸ μὴ πρέπον πατηθῆναι, καὶ ὃ οὐ διῆλθέ τις. καὶ ὃ οὐ δύναταί τις διελθεῖν, ἤγουν τὸ ἀδιεξίτητον.

Βέβηλος, ὁ μὴ ἱερὸς τόπος. ἀκάθαρτος, καὶ βατὸς πᾶσι. βέβηλος δὲ ὁ βάσιμος παντὶ, πρὸς ἀντιδιαστολὴν τοῦ ἀδύτου. λέγεται βέβηλος ἀνὴρ, ὁ μιαρὸς καὶ ἀκάθαρτος, ἢ καὶ ἀμύητος.

Βεβηλοῦνται, μιαίνονται, ἁμαρτάνουσιν.

Βεβίασται ἡ κόρη λεκτέον, ἀλλ' οὐχ ὥς τινες τῶν ῥητόρων, ἔφθαρται.

Βεβίηκε, ἐκ τοῦ βιῶ, οὐ παράγωγον τὸ βιάζω. μέλλων δὲ τοῦ τοιούτου, βιῶ βιήσω, πρὸς διαστολὴν τοῦ βιώσω, ἤγουν ζήσω. βεβίακα, τροπῇ τοῦ α εἰς η βεβίηκα, τὸ τρίτον βεβίηκε. τὸ δὲ τοῖον ἄχος βεβίηκεν Ἀχαιούς. σημείωσαι τὸ δὲ τοῖον, ἔστι μὲν θαυμαστικόν· εἴληπται δὲ ἢ ὡς ὄνομα οὐδέτερον, ἢ ἐπιρρηματικῶς ἀντὶ τοῦ ὑπερβολίαν, διαστροφοῖ δὲ τὴν τοιαύτην βίαν·

Βεβίωκα, ἔζησα.

Βεβιωμένα, ἃ ἐπράξαμεν.

Βέβλεσθαι, μέλλειν, φροντίζειν, ἢ μέμβλεσθαι.

Βεβλήκει, κεῖται παρ' Ὁμήρῳ ἐν τῷ ε τῆς Ἰλιάδος, καὶ ἀντὶ τοῦ ἔκρουσεν, ἔτυψεν, ἔτρωσεν. οὐ γὰρ πόρρωθεν, ἀλλ' ἐγγὺς ἔβαλε κατὰ τοὺς οὐτάζοντας.

Βεβλημένος, τετρωμένος. καὶ βεβλημένος πόρρωθεν, οὐτασμένος ἐγγύθεν λέγεται.

Βεβλῆσθαι, τὸ ἐκ βολῆς τετρῶσθαι, καὶ ἐκ τῶν ἐναντίων, κυρίως. οὐτᾶσθαι δὲ, ἐκ χειρὸς τετρῶσθαι.

Βεβλυχασμένον, μεμολυσμένον.

Βέβλωκεν, ἠρεμεῖ, φύεται.

Βεβοημένα, διαβόητα.

Βεβοῆτο, βοάω βοήσω, βεβόηκα, βεβόημαι. τὸ εὐκτικὸν βεβοήμην βεβοῇο βεβοῇτο.

Βεβολήατο, τῇ ψυχῇ τετρωμένοι ἦσαν, ἐλυποῦντο. παρὰ τὸ βάλλω γίνεται βλῶ βλήσω, βέβληκα, βέβλημαι, ἐβεβλήμην ἐβέβληντο. προσθέσει τοῦ ο, ἐβεβόληντο, καὶ Ἰωνικῶς ἐβεβολέατο, καὶ τροπῇ τοῦ ε εἰς η βεβολήατο. ἢ βεβολήατο, ἐκ τοῦ ἐνεστῶτος τοῦ βολῶ βολήσω, τὸ βάλλω, καὶ ἔστι πρωτότυπον αὐτὸ καὶ τοῦ βλῶ βλήσω, καὶ τοῦ βεβλήατο, ἤγουν βέβληντο· καθὰ καὶ τὸ βεβολημένος τοῦ βεβλημένος. καὶ τούτων μὲν τὸ ἁπλοῦν βολεῖν. τὸ δὲ ἀντιβολεῖν, ἑτεροῖον ἔγνωσται εἶναι. ὡς καὶ ἐπὶ νηῶν βολεῖν, εἴτε βολίζειν, ὃ βάθους θαλάσσης δηλοῖ μέτρημα, διὰ καθιεμένου βόλου τινός.

Βεβολημένον, πληγέντα.

Βεβολημένος, βεβλαμμένος, βεβουλευμένος, ἠπορημένος, τεταραγμένος, ἢ τετρωμένος.

Βεβόληντο, τέτρωντο.

Βεβολῆσθαι, ἤγουν βεβλῆσθαι, ἡ χρῆσις ἐν Ἰλιάδι.

Βεβουκόλημαι, ἀποδεδίωγμαι, πεπλάνημαι, πέπαιγμαι.

Βέβουλα, προκέκρικα, προτετίμηκα. ἀπὸ τοῦ βούλω βαρυτόνου, ὁ μέλλων βουλήσω. ὡς μέλω μελήσω, θέλω θελήσω. ὁ παρακείμενος βεβούληκα, ὁ μέσος βέβουλα καὶ προβέβουλα.

Βεβράδα, ἀθαρίνην.

Βεβραμένων, εἱμαρμένων, τετιναγμένων.

Βεβράξοντα, συντόμως κεκραγότα. λέγουσι γὰρ τὸ ἔνδον τῶν σιαγόνων μέρος βέβρηκας.

Βεβρεγμένος, ὑπομεθύων.

Βεβρενθυόμενον, ὀργιζόμενον.

Βέβρηκες, τὸ ἔνδον τῶν σιαγόνων μέρος.

Βέβριθα, μέσος παρακείμενος. ἐκ τοῦ βρίθω, δοτικῇ συντάσσεται. Ἡσίοδος, Μαλλοῖσι καταβεβρίθασι.

Βέβρυξ, ἀγαθὸς, χρηστὸς, καλός.

Βεβρὸς, ψυχρὸς, τετυφωμένος.

Βεβροτωμένα τεύχεα, τὰ δοκοῦντα βεβροτῶσθαι. ὅ ἐστιν αἵματι μεμολῦσθαι. ἢ βεβροτωμένα, αἱματωμένα, μεμολυσμένα.

Βεβρυχέναι λέγεται, κατὰ ὀνοματοποιίαν, καὶ ἐπὶ ὕδατος ἀντὶ τοῦ βλύζειν, ἢ βρύειν, κατὰ τὸ ἀναβέβρυχεν ὕδωρ, ἐκ πηγῆς δηλαδή.

Βέβρυχεν, ἠχεῖ.

Βεβρυχότες, θυμοφωνοῦντες.

Βεβρώθοις. τὸ θέμα βεβρώθω, γενόμενον κατὰ ἀναδιπλασιασμὸν ἐκ τοῦ βρῶ. καθὰ ἐκ τοῦ κλῶ τὸ κλώθω. ἢ βεβρώθοις, φάγοις.

βρῶ

Digitized by Google

βρῶ βρώσω, βέβρωκα. ἐκ τούτου ῥῆμα βεβρώκω, τροπῇ τοῦ κ εἰς θ, βεβρώθω. ἡ μετοχὴ ὁ βεβρώθων, τοῦ βεβρώθοντος. τὸ εὐκτικὸν, βεβρώθοιμι, οις, οι.

Βεβρωκὼς βοὸς, Ἀττικῶν ἐστι παρ' Ὁμήρῳ.

Βεβρώσεται, ἐκ τοῦ βρώσω, βέβρωκα, βέβρωμαι, βέβρωται. ὁ μετ' ὀλίγον μέλλον, βεβρώσομαι, βεβρώσῃ, βεβρώσεται.

* Βεβρωμένα τεύχεα τὰ αἵματι μεμολυμμένα.

Βεβυλῶσθαι, βεβύσθαι.

Βεβυσμένα, λαθραῖα, ἢ τετρωμένα, ἢ καὶ τετρεγμένα. καὶ βεβυσμένον, πεπληρωμένον, κεκαλυμμένον.

Βεβυσμένος, ὁ γέμων, καὶ κατὰ ὠθισμοῦ τινος μεστὸς, παρὰ τὸ βύω· ὅθεν ὁ κωμικός φησι, τὸ στόμ' ἐπιβύσας κέρμασι τῶν ῥητόρων. καὶ ξύλα δ' οὕτω παραβύει, ὑποκαιόμενα στίποδι. ἐντεῦθεν καὶ παράβυστος. ὃς ἑαυτὸν παρέβυσε τόπῳ τινὶ ἐπικρύψας. καὶ τὸ ἐν παραβύστῳ, ἀντὶ τοῦ ἐν τόπῳ καὶ γωνίᾳ, ᾧ τις οὕτω παραβέβυσται.

Βέβυστο, ἐπεπλήρωτο.

* Βέβυκται, ἀντὶ τοῦ πεφλυάρηται.

* Βεβύσθαι οὖς λέγεται, βλαβὲν τὸν ἀκουστικὸν πόρον.

Βεβῶς Ἀττικοὶ λέγουσιν, οὐ βεβηκώς. καὶ βεβᾶσιν, οὐ βεβήκασι.

Βέδος, στέμματι, καὶ ἱμάτιον γυναικεῖον, καὶ πόλις, καὶ ἄγαλμα.

Βεελφεγὼρ, ἐστὶν ὄνομα εἰδώλου, τὸ λεγόμενον βάαλ. καὶ λέγεται παρὰ Ἑβραίοις βὴλ, καὶ φαγὼρ, ὄνομα τόπου. καὶ διαλύσει τοῦ η εἰς δύο εε, καὶ τροπῇ τοῦ α εἰς ε, γίνεται σύνθετον Βεελφεγὼρ, ἤγουν τὸ βὴλ ἐν φεγώρ.

Βεζὲκ, ἀστραπή τις, Γεζεκιήλ.

Βέῃ. Ὅμηρος, οὐδ' αὐτὸς δηρὸν βέῃ, τουτέστιν οὐδὲ σὺ ἐπὶ πολὺ ζήσῃς, βιώσῃ· ποιητικὴ δὲ λέξις ἀσυνήθης, ἐκ τοῦ βέω βῶ θέματος. ἐξ οὗ ἴσως κατὰ πλεονασμὸν γίνεται τὸ βιῶ, ὡς μηδῶ μηδιῶ, ἔτι δὲ καὶ καπφῶ, καὶ καπφιῶ, ὧν αἱ χρήσεις πρόδηλοι. οὕτω δὲ καὶ ἐκ τοῦ λῶ τὸ θέλω, οὗ δεύτερον λᾷς, καὶ λῇς, καὶ ἐπενθέσει τοῦ ι γίνεται λιῶ. ἀφ' οὗ λελιημένος, ὁ θέλων, ὅπερ ἐστὶν ὁ ἐπιθυμῶν. ἐκ δὲ τοῦ βέω, γίνεται καὶ τὸ βείω. οἷον, τέκνον ἐμὸν τίνυ βείομαι αἰνὰ παθοῦσα.

Βέθηλον, οἶκος Θεοῦ.

Βείδιος, ὁ ἔνδοξος.

Βειέλοπες ἱμάντες, οἷς ἀναδοῦσι Λακεδαιμόνιοι τοὺς νικηφόρους.

Βειέλοψ, ὁ λῶρος, καὶ ἔθνος.

Βείῃ, ζήσεις, βιώσεις, βιώσῃ, πορεύσῃ.

Βεικάδες, δέρματα θρεμμάτων, νόσῳ θανόντων. Λάκωνες.

Βείκας, μακράν.

Βεικάθων, κατ' ὀλίγον προβάς.

Βείκατι, εἴκοσι.

Βεικηλάνω, ἀχρεῖα, Λάκωνες.

Βεικὺς, τὰς πίθους.

Βειλαρμόστας, βειλάρχας, Ταραντῖνοι.

Βείνειν, παρὰ Σόλωνι, τὸ βίᾳ μίγνυσθαι. τὸ δὲ κατὰ νόμον, σπεύδειν.

Βεινητιᾶν, τὸ ταχητιᾶν, καὶ τὸ ὄρεξιν ἐπὶ συνουσίαν ἔχειν.

Βείομαι, γίνεται ἀπὸ τοῦ βῶ βέω, ὡς χῶ χέω, θῶ θέω. ἢ ἄλλως ἀπὸ τοῦ βίω, πλεονασμῷ τοῦ ι ὁμοίως τῷ σείω σέω. ὡς τὸ, οὔτι Διὸς βείομαι φρεσὶν, ἀντὶ τοῦ οὐδαμῶς κατὰ τὴν αὐτοῦ γνώμην βιώσομαι, ἀλλὰ κατὰ τὴν ἐμαυτοῦ. διὸ οὐδαμῶς τοῦ Διὸς ἐπιστροφὴν ποιήσομαι.

Βείομαι. Ὅμηρος, τέκνον ἐγὼ δειλὴ τί νυ βείομαι. ἤγουν τί δὲ βιώσομαι αἰνὰ παθοῦσα σεῦ ἀποτεθνηῶτος.

Βείονται, καταπονῶνται.

Βείρακες, ἱέρακες.

* Βειέλοπες, ἱμάντες παρὰ Λάκωσι.

Βειράκη, ἡ ἁρπακτική.

Βείριξ, ἔλαφος.

Βειρὸν, δασύ.

Βείω, ποιητικόν. ὃ ἀντὶ τοῦ περίειμι καὶ ζῶ, λαμβάνουσιν. ἀπὸ τοῦ βῶ παράγεται κατὰ πλεονασμὸν τῆς διφθόγγου, βῶ βείω.

Βεκὰς, μακράν.

Βεκκεσέληνε, ζήτει Σεσόγχωσις. καὶ Βεκκεσέληνε, ἀνοητόπαιε. ἢ ἀρχαῖε, τουτέστιν ἀνοητόπαιε.

Βέκκος, κύριον.

Βεκὸς, ἄρτος, ἢ ἄβητος. Φρύγες.

Βεκεσέληνος, Σεληνόπληκτος.

Βέκυλος, προβατώδης.

Βέλα, Ἥλιος καὶ αὐγή.

Βελαίνα, κώμη Λακωνική.

Βελὰς, εἴρων, καὶ καταγελαστής.

Βελγαῖος, ἀπὸ πόλεως Βέλγης.

Βέλγιος, ποταμὸς ἐν Λιβύῃ.

Βέλεα, βέλη.

Βελέβατος, ὁ τοῦ πυρὸς ἀστήρ. Βαβυλώνιοι.

Βελεβέκη, βελόνη.

Βέλει, ἀντὶ τοῦ βέλει. καὶ ἔγχει, ἀντὶ τοῦ ἔγχει Ἴωνες λέγουσιν. αἱ γὰρ διαιρέσεις τῶν εἰς ει ληγόντων ἑνικῶν δοτικῶν, Ἰώνων εἰσί.

Βέλεκος, ὄσπριον, ἔοικε δὲ τοῖς λαθύροις.

Βέλεμνα, τὰ βέλη. παρὰ τὸ βέλος βέλεμνος, ὡς ἔχω ἔχεμος.

Βέλη φησὶν Ὅμηρος, ὀϊστοὺς, λίθους, δόρατα, καὶ εἴ τι ἄλλο ἀφίεται μήκοθεν. ὁ δὲ Πίνδαρος τροπικῶς, βέλη τοὺς λόγους εἴρηκε, διὰ τὸ ὀξὺ καὶ καίριον τῶν ἐγκωμίων. φαρέτρης δὲ τῆς διανοίας. καὶ λέγει βέλη, τὰ ποιήματα. καὶ βέλος, πᾶν τὸ κατά τινος βαλλόμενον, παρὰ τὸ βάλλω βέλος. καὶ θαῦμα παρ' Ὁμήρῳ. πᾶν γὰρ τὸ ἀπὸ διαστήματος πεμπόμενον, βέλος καλεῖται.

Βέλημα, κώλυμα, φράγμα ἐν ποταμῷ. Λάκωνες.

Βελίαρ, δράκων. καὶ Βελίαρ τῇ Ἑβραίων φωνῇ τὸν ἀποστάτην δηλοῖ. ὡς ὁ Ἀπόστολος, Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ;

Βέλλαι, ῥαφίδες θαλασσίαι.

Βελλάσεται, ἀλλοιωθήσεται.

Βέλλειν, μέλλειν.

Βελλεροφόντην, τὸν φρονούμενον παύειν τὰ κακά. βέλλερα γὰρ, τὰ κακά. τὰ εἰς της ἀρσενικὰ μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ, ἢ κράτης, μὴ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ου ἔχει τὴν γενικήν. οἷον πολίτης πολίτου, μητιέτης μητιέτου, Βελλεροφόντης Βελλεροφόντου. πρόσκειται ἀρσενικὰ, διὰ τὸ κακότης φιλότης. μὴ ὄντα δὲ σύνθετα παρὰ τὸ κρατῶ ἢ κράτης, διὰ τὸ Ἱπποκράτης. πρόσκειται μὴ ἔχοντα οὐδέτερον εἰς ες, διὰ τὸ ἐνναέτης ἐνναέτους ἐνναέτης. τοῦτο δὲ εἰ μὲν σημαίνει τὴν σωματικὴν ἡλικίαν, ἐνναέτους βαρύτονον. εἰ δὲ χρόνος ἐνναετὴς, ὀξύνεται. καὶ Βελλεροφόντην, Ἱππόνουν τὰ πρῶτα κυριολεκτεῖσθαι, ἢ λεοφόντην. ἀνελόντα δὲ Βέλλερον δυνάστην Κορινθίων, μετατίθεσθαι τὸ ὄνομα καὶ φυγεῖν εἰς Ἄργος, καὶ τυχεῖν παρὰ τῷ Προίτῳ τῶν συνήθων καθαρσίων. εἶτα παθεῖν ἃ ἔπαθε τῇ τῆς Ἀντείας διαβολῇ. Ἱστέον δὲ, ὅτι τὴν παρ' Ὁμήρῳ ταύτην Ἄντειαν, Σθενέβοιαν ἄλλοι καλοῦσιν, ὡς καὶ Εὐριπίδης. καθάπου μέμνηται καὶ ὁ κωμικός. ὅτι δὲ ὁ Βελλεροφόντης καὶ Βελλεροφῶν τετρασυλλάβως λέγεται, ποιητὴς ἕτερος δηλοῖ. δῆλον δὲ, ὡς ἐκ τοῦ Βελλεροφόων κατὰ συναίρεσιν, ὡς Ξενοφόων ξενοφῶν. δῆλον δὲ, ὅτι καὶ Ἑλλεροφόντην τοῦτον ἱστόρησάν τινες καλεῖσθαι. ἐν δὲ ῥητορικῷ, εὕρηται καὶ Βέλλορος λεγόμενος.

Βελλεροφόντης, ἠθικῶς ὁ σπουδαῖος ἀνὴρ, καὶ ὡς εἰπεῖν παθοκτόνος, καὶ ὡς ἄν τις εἴποι ἐλλεροφόντης, ἤτοι φονεὺς κακίας. ἔλλερα γάρ φασι κατὰ διάλεκτον, τὰ κακά. Ζήτει εἰς τὸ Χίμαιρα. Ἄλλως.

Βελλεροφόντης ὁ Κορίνθιος, καὶ Ἱππόνους πρώην καλούμενος, ἀνὴρ ὑπάρχων Φρυγίας, ἄκων ἀνελών τινα Βέλλορον, ἢ τὸν ἴδιον ἀδελφὸν Ἠλιάδην, ἢ Αὐρίναν, ἢ Ἀλκίμενον, ἐλθὼν εἰς Ἄργος πρὸς Προῖτον καθαίρεται. Ἄντεια ἢ Σθενέβοια γυνὴ Προίτου ἐρωτικῶς ἐπεμάνη Βελλεροφόντῃ. ὡς δὲ οὐκ ἐπείθη συγγενέσθαι αὐτῇ, διαβάλλεται παρ' αὐτῆς Προίτῳ ὡς πειράζων αὐτήν. Προῖτος δὲ αὐτοχειρίᾳ τοῦτον ἀνελεῖν οὐκ ἠθέλησε, κατά τι παλαιὸν ἦθος ἐπικρατοῦν, τὸ μὴ συμφαγόντας ἀλλήλοις παρ' ἀλλήλων θνήσκειν, εἰ μὴ τοῦτο ἀκουσίως συμβῇ. διὰ τοῦτο καὶ Προῖτος ἀνελεῖν Βελλεροφόντην οὐκ ἠθέλησε. πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς Ἰοβάτην τὸν πενθερὸν αὐτοῦ, γράμματα δοὺς κατ' αὐτοῦ περιέχοντα τὴν τῆς Ἀντίας διαβολήν. καὶ Ἰοβάτης ὁμοίως ἡμέρας ἐννέα συνεστιασάμενος αὐτῷ, τῇ δεκάτῃ τὰ γράμματα δεξάμενος, ἐπεὶ μηδ' αὐτὸς εἶχεν αὐτὸν ἀνελεῖν διὰ τὸ συμφαγεῖν μετ' αὐτοῦ, κελεύει τοῦτον ἀπελθεῖν, καὶ πολεμῆσαι Χίμαιραν, εἶτα Σολύμοις, εἶτα Ἀμαζόσιν. οἱ θεοὶ δὲ αὐτῷ ἐπτερωμένον ἵππον (ὅν φασι Πήγασον) ἀπέστειλαν. ᾧ ἐποχηθεὶς, τὴν Χίμαιραν μὲν ἀνεῖλε, μόλιβδον τῷ αὐτοῦ δόρατι ἐπιτιθεὶς, καὶ ἐμβαλὼν τῷ ἐκείνης πυρπνέοντι στόματι. ἀφ' οὗ πυρὸς ὁ μόλιβδος συντακεὶς, ἐκείνην ἀπέκτεινεν. ἦν γὰρ προϊδόντα τινὰ τὸ πῦρ τῆς Χιμαίρας φυλάξασθαι, καθά φησι Λυσίας ὁ ῥήτωρ. μυθικῶς οὕτως οὖν ἐκείνην ἀνεῖλε. τούς τε Σολύμους, καὶ τὰς Ἀμαζόνας πολέμῳ. ὑποστρέφοντα δὲ ἐνέδρᾳ Λυκίων ἔμελλεν αὐτὸν ἀνελεῖν. ὡς δὲ καὶ τοὺς ἐν τῇ ἐνέδρᾳ ἀνεῖλεν, Ἰοβάτης γαμβρὸν ἔχειν ἐπὶ Φιλονοΐᾳ τῇ θυγατρὶ αὐτοῦ, καὶ τελευτῶν αὐτῷ τὴν βασιλείαν καταλιμπάνει. Βελλεροφόντης δὲ (ὥς φασί τινες) ἐπαρθεὶς τοῖς κατορθώμασιν, ἠθέλησε σὺν τῷ Πηγάσῳ τὸν οὐρανὸν περιπολεῦσαι. Ζεὺς δὲ οἶστρον τῷ Πηγάσῳ βαλὼν, ἔπεισε τὸν Βελλεροφόντην ἀποσφαιρίσαι τῶν ἑαυτοῦ νώτων, καὶ καταβαλεῖν αὐτὸν εἰς γῆν. καὶ δὴ περὶ τὸ Ἀλήϊον πεδίον κατενεχθέντος τοῦ Βελλεροφόντου, καὶ παραπορευομένου χωλοῦ ἀπὸ τῆς πτώσεως, ὁ Πήγασος ἄνω περιεποχεῖτο καὶ κάτω. ἡ γοῦν ἡμέρα τοῦτον παρὰ τοῦ Διὸς αἰτεῖται, ὡς ἂν ἐποχουμένη αὐτῷ τὸν ἡμερήσιον κύκλον βαδίζῃ. ταῦτα δὲ εἰσὶ τὰ λυρώδη καὶ μυθικά. Εὐριπίδης δὲ ἐν δράματι, χωλὸν εἰσάγει τὸν Βελλεροφόντην, διὰ τὸ πεπτωκέναι ὑπὸ τοῦ Πηγάσου.

Βέλλιαι, ἀκίνητοι.

Βέλλιον, ἀτυχές. Κρῆτες.

Βέλλιρ, στυφαλία. Λάκωνες.

Βελλούνης, στόρχης. Λάκωνες.

Βελόνη, τὸ σιδήριον, δι' οὗ ῥάπτουσι τὰ ἐνδύματα. παρὰ τὸ βέλος καὶ τὴν τούτου ὀξύτητα. ἢ παρὰ τὸ ὅλη βάλλεσθαι. τὰ διὰ τοῦ ονη, εἰ μὲν οὐσίαν σημαίνει, πάντα βαρύνονται, οἷον βελόνη, περόνη, ἀγχόνη, τὸ χοινίον. ἐπὶ δὲ τοῦ πράγματα ὀξύνεται. οἷον, ἡδονὴ, καλλονὴ, ἀγχονὴ, ἡ ἄγξις. βελόνη μὲν καὶ βελενοπώλης, ἀρχαῖα. ἡ δὲ ῥαφὶς τί ἐστιν, οὐκ ἄν τις γνοίη.

Βελονοποικίλτης, ὁ τῇ ῥαφίδι ὕφη ποιῶν, καὶ ζωγραφῶν.

Βέλος, καὶ τὸ βέλεμνον, καὶ ἡ βολὴ, καὶ τὸ ἐκ τῆς βολῆς θαῦμα. καὶ βέλεμνον ποιητικῶς τὸ βέλος. καὶ βελοθήκη, ἔνθα τὰ βέλη τίθεται. βέλος τὸ βαλλόμενον, καὶ ἡ βολὴ, καὶ τὸ ἐκ τῆς βολῆς θαῦμα. καταχρηστικῶς δὲ παρ' Ὁμήρῳ, καὶ τὴν ὠδίνουσαν ὀξὺ βέλος ἔχειν λέγουσι.

Βέλτερος, καὶ φέρτερος, οὐκ εἰσὶ συγκριτικά. θέματα δέ εἰσι συμπεπτωκότα τύποις συγκριτικῶν. οὐδὲ γὰρ πάντα τὰ εἰς δης παρωνυμικά εἰσιν, οὐδὲ πάντα τὰ εἰς κος κτητικά. καὶ δῆλον ἐκ τούτου. οὐδ' ἐν εἰς ρος λήγει συγκριτικὸν μετὰ στερήσεως λεγόμενον. εἰ οὖν ἀβέλτερος φαμὲν, δῆλον ὅτι οὐ συγκριτικόν. τὸ γὰρ ἀτυχέστερος, οὐκ ἐν τῷ συγκριτικῷ εἴληφε τὴν σύνθεσιν.

Βέλτω, χωρίον Φρυγιακόν.

Βέλτιον ἐπὶ ψυχῆς, ἄριστον ἐπὶ σώματος. λέγεται πολλάκις καὶ ἄριστον ἐπὶ ψυχῆς, κρεῖττον δὲ ἀεὶ ἐπὶ σώματος, ἀντὶ τοῦ ἐπικρατέστερος. Θουκυδίδης, οἷον Τὸ στράτευμα τῶν Λακεδαιμονίων κρεῖττον τοῦ τῶν Ἀθηναίων ἐγένετο, τουτέστιν ἐπικρατέστερον καὶ ἰσχυρότερον.

Βελτίω, ἐκ τοῦ βελτίονα. ἐκβολῇ τοῦ ν βελτίοα, καὶ κατὰ κρᾶσιν βελτίω, Ἀττικῶς. λέγομεν ὁμοίως βελτίους κατὰ τοὺς Ἀττικούς. βελτίονες

δὲ

Digitized by Google

δὲ καὶ βελτίονας, κατὰ τοὺς κοινούς.

Βελτίων, γλυκίων, κακίων, ἅπαντα τὰ διὰ τοῦ ιων συγκριτικὰ παρὰ τοῖς ποιηταῖς τὸ δίχρονον ι φύσει μακρὸν ἔχουσι. ἐπὶ δὲ ἁπλῶν καὶ ὑπερθετικῶν, ἐπαμφοτερίζει. καὶ βελτίων, ὁ κρείττων. καὶ βέλτιστος, ὁ κράτιστος.

Βελτὸς, ὁ βλητός.

Βελυβία, πόλις Λακεδαιμονίας.

Βεελφεγὼρ, βέελ, ὁ Κρόνος. φεγὸρ, ὁ τόπος ἐν ᾧ ἐτιμᾶτο.

Βεμβεύει, δινεύει.

Βεμβικίσωσι, διακινήσωσι, βέμβηξ δὲ ὁ ξύλινος στρόμβος. ὡς ἐν ἐπιγράμματι, Οἱ δ' ἄρ ὑπὸ πληγῇσι θοὰς βέμβηκας ἔχοντες, Ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ. καὶ Ἀριστοφάνης, βέμβηκος οὐδὲν διαφέρειν δεῖ, ἀντὶ τοῦ ἀκίνητον καὶ ἄστροφον εἶναι δεῖ. ἔστι δὲ βέμβηξ ἐργαλεῖον, ὃν μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων, ὡς στρόχος, ὃς μάστιγι δερόμενος στρέφεται· καὶ βεμβηκιᾶν, τὸ περιστρέφεσθαι.

Βέμβηκες, περιφοραὶ, περιαγωγαί.

Βέμβηκος δίκην, ῥόμβου τρόπον, ἐπὶ τοῦ τὸν φεύγοντα μὴ ἐπ' εὐθείας τὴν φυγὴν ποιεῖσθαι, ἀλλ' εἱλεῖσθαι.

Βέμβηξ, ὁ στρόμβος, ὃν οἱ παῖδες στρέφοντες καὶ παίοντες ἱμάντι, παίζουσι. πέμπηξ τὶς ὤν, παρὰ τὸ πίμπεσθαι καὶ ἐλαύνεσθαι.

Βεμβίδιον, ἰχθύδιον λεπτόν.

Βέμβλετο, ἐφρόντισε.

Βέμβλωκεν, ἐντυγχάνει, ἔστηκε, πάρεστι.

Βεμβράνας, ῥωμαϊκώτερον τὰ εἰλητὰ ἐκάλεσεν. ὡς ἀπὸ τῆς ἐν Ῥώμῃ συνηθείας, ἀδιαφόρως τῇ λέξει καταχρησάμενος, ἀφ' ἧς δὴ καὶ ἔγραφε τὴν ἐπιστολήν.

Βεμβρὰς, εἶδος ἰχθύος εὐτελοῦς καὶ βράδονος ὁμοίως. καὶ βράδονες κίχλαι.

Βεμβρὸς, πετυφωμένος, τύρεπος.

Βεμβεῖ, δονεῖ.

Βεμόριξ, κῶνος, συστροφὴ ἀνέμου, ῥόμβος, στρέβλα, στρόχος.

Βένδις, ἡ Ἄρτεμις, Θρακιστί. παρὰ δὲ Ἀθηναίοις, ἑορτὴ βενδιδία.

Βενεβεντὸν λέγουσι, τὴν τῶν πνευμάτων βίαν.

Βενεβεντὸς, πόλις Καλαβρίας, ἣν ἔκτισε Διομήδης.

Βενεφοίκιον, ἅπαν εἶδος χάριτός τε καὶ δεξιώσεως. τῆς γὰρ τῶν Λατίνων διαλέκτου οὖσα ἡ λέξις, εὐεργεσίαν δηλοῖ, πρὸς ἑλλάδα μεθερμηνευομένη διάλεκτον.

Βένθος, τὸ βάθος. καὶ οὐ μόνον ἐπὶ ὕδατος λέγεται, ἀλλὰ καὶ ἐπὶ ξυλόχου ὕλης, καὶ πολλοῦ δάσους. ἔστι δὲ καὶ ἐπὶ στρατηγικῆς τάξεως τὸ βάθος. ὑπονοεῖται δὲ καὶ ἐπὶ μεγέθους πόλεως, ὡς δηλοῖ τὸ, Κατέδυ Τρώων πόλιν. ἐπὶ βάθους γὰρ τὸ καταδῦναι.

Βέντιον, ἀντὶ τοῦ βέλτιον Κρῆτες λέγουσι.

Βέομαι, ᾧ δὴ οὐκ ἂν χρήσαιτό τις πεζογραφῶν. τὸ θέμα ἐστὶ βέω, ἐξ οὗ ἡ βία παράγεται. δηλοῖ γὰρ τὸ βιάζομαι, ἢ βιασθήσομαι. δύναται δὲ δηλοῦν καὶ τὸ βαίνω. ἵνα λέγῃ παρ' Ὁμήρῳ ἐν τῷ ο τῆς Ἰλιάδος ὁ Ποσειδῶν, ὅτι οὐκ ὀφείλω βαίνειν, ὅποι ποτὲ βουλὴ ταῖς Διὸς φρεσίν.

Βέραιδον, ξύλον.

* Βέρβερι, ὄστρακον φέρον τὸν μαργαρίτην λίθον.

Βερβίνια, ξύλα καθηλωμένα. ἐξ ὧν τὰς ληκύθους ἐκκρέμων. οἱ δὲ, γένος τι Ἀρκαδικὸν τοὺς Βερβενίους.

Βεργαῖος, ὁ ἀπὸ πόλεως Βέργης.

Βέρεδον, τὸ κοβύτερον.

Βέρεθρον, βάθος, βάραθρον κατώτατον, ἔχατον. ἢ πηλώδης τόπος, ἢ κοίλωμα καταχθόνιον. καὶ βέρεθρον, κοινῶς μὲν βάραθρον. κατὰ Μακεδόνας δέ φασι, καὶ ζέρεθρον λέγεται. τροπὴν δὲ τὸ βέρεθρον ἔχει ἐκ τοῦ βαράθρου, ὁποίαν καὶ τὸ πένθος ἐκ τοῦ πάθους, καὶ βένθος ἐκ τοῦ βάθους, οἷον ἀνάλογον κατά γε φωνήν. τὸ βένθος ἐπὶ ὑπερηφανίας παρὰ τῷ κωμικῷ. ἐξ οὗ τὸ βρένθιον, μῦρόν τι ἐκεῖνο περιᾳδόμενον. ἐξ ὧν ῥῆμα τὸ βρενθύεσθαι, ἤγουν κατατρυφᾶν ἀλαζονικῶς.

Βερεκύνδαι, δαίμονές τινες, καὶ ῥόμβοι.

Βερεκῶται, Φρυγῶν τι γένος. πρότερον γὰρ Βερεκυντία ἡ Φρυγία, καὶ αὐλὸς Βερεκύντιος. καὶ Βερεκυντίας, ἄνεμος οὕτω καλούμενος.

Βερενίκη, ἡ γυνὴ τοῦ πατρὸς Πτολεμαίου.

Βερέχεθοι, οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις.

Βέρεπα, τόπος.

* Βερτέρη, κατὰ γλῶσσαν ἡ παρ' Ὁμήρῳ ὑπερτερία, ὅ ἐστι τῶν ἁμαξῶν κιβωτοειδὲς πλινθίον.

Βέρης, ὁ δραπέτης. καὶ βερηδεύει, δραπετεύει.

Βέρκιος, ἡ ἔλαφος, ὑπὸ Λακώνων.

Βερκνὶς, ἀκρίς.

Βέρκται, φυσῆται.

Βερνώμεθα, κληρωσώμεθα. Λάκωνες.

Βερόη, πόλις, καὶ ἑτέρα διὰ τοῦ ε ψιλοῦ γράφεται.

Βερονικίδαι, δῆμος Πτολεμαΐδος φυλῆς.

Βερονικίδες, εἶδος ὑποδήματος γυναικείου.

Βερονίκης πλόκαμος, τοῦτον κατηστερίσθαι φησὶ Κόνων. καὶ βόλος δέ τις ἀστραγάλων οὕτω καλεῖται. καὶ Βερονίκη, πόλις.

Βερονίκιον, εἶδος βοτάνης.

Βερρέαι, κληρῶσαι.

Βερρεύει, δραπετεύει.

Βέρρης, δραπέτης.

Βέρροια, πόλις Μακεδονίας. ἄλλοι δὲ δι' ἑνὸς ρ.

Βέροια, πόλις Μακεδόνων.

Βερρὸν, δασύ.

Βέσκεροι, ἄρτοι ὑπὸ Λακώνων.

Βεσὸν, ἔθος, καὶ ὁ τῶν ἐθῶν ἔμπειρος. Λάκωνες δὲ, βεστικόν.

Βέστια, τὰ θηρία κατὰ τὴν Ῥωμαίων διάλεκτον.

Βεστῖνοι, ἔθνος ἐν Ἰταλίᾳ, θηριῶδες τὸν τρόπον.

Βέστον, τὸ ἱμάτιον ὑπὸ Λακώνων.

Βεστιοπράτης, ὁ ῥάπτης. βίστια γὰρ παρὰ Ῥωμαίοις τὰ ἱμάτια.

Βεστιάριον κυρίως, ἐν ᾧ τὰ βασιλικὰ ἐνδύματα φυλάσσονται, ἢ ἡ ἀναγκαία ἐσθής.

Βέτης, τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ.

Βέρεθρον, βάθος.

Βεθερανὸς, ὁ ἀπολυθεὶς τῆς στρατείας. ἐπὶ εἰκοσαετίαν δὲ οὗτοι ἐδούλευον.

Βέτων, ὁ πάνυ εὐτελής.

Βένετον, τὸ ποικίλον ἱμάτιον, ἢ τὸ πορφυροῦν.

Βέχερ, ἔθνος Σκυθικόν.

ΤΟ Β. ΜΕΤΑ ΤΟΥ Η.

Βῆ δ' ὁ γέρων, ἀντὶ τοῦ ἔβη δὲ, ἐπορεύθη. οἱ Ἴωνες εἰώθασι ποιεῖν τοὺς παρῳχημένους συναρχομένους τοῖς ἰδίοις ἐνεστῶσιν. οἷον τύπτε ἀντὶ τοῦ ἔτυπτε, θῆκεν ἀντὶ τοῦ ἔθηκε, δῶκεν ἀντὶ τοῦ ἔδωκε, καὶ ἄλλα πολλὰ παραπλησίως.

Βήθυλος, εἶδος ὀρνέου, δήθυλος ἦν. τρέπει γὰρ τὸ δ εἰς β. ὡς τὸ, δελφοὶ βελφοὶ, ἐνδύσαι ἐνβύσαι.

Βήζει, φωνεῖ.

* Βὴ, βὴ, μίμημά ἐστι φωνῆς προβάτου.

Βῆκα, ἀναδενδράς.

Βῆθι, βάδιζε, μέτρει.

Βηθλεεμίτης, ὁ ἀπὸ τῆς Βηθλεὲμ πόλεως.

Βήκη, χίμαιρα.

Βηκίοις, προβατίοις, παρὰ τῷ Ἱπποκράτει.

Βηκώνιον, εἶδος βοτάνης.

Βήλγει, βληχᾶται, ἢ θύει.

Βήλθης, ἡ Ἥρα. ἢ ἡ Ἀφροδίτη.

Βηλὸς συνήθως, ὁ τῆς οἰκίας βατὴρ, παρὰ τὸ βαίνεσθαι. ὡς καὶ οὐδὸς, παρὰ τὸ ὁδεύεσθαι. ὅθεν καὶ τόποι ἀβέβηλοι μὲν, οἱ ἱεροὶ καὶ ἄβατοι. βέβηλοι δὲ, οἱ βατοὶ καὶ τοῖς τυχοῦσι.

Βηλὸν δέ τινες τῶν ἀρχαίων φασὶ, τὴν περίοδον τοῦ αἰθέρος, τῶν ἄστρων. ἕτεροι δὲ, τὸν ἀνωτάτω καὶ πάντα περιέχοντα ἀέρα. τινὲς δέ φασι τὸν τοιοῦτον βηλὸν κατὰ Δρύοπας μὲν Ὄλυμπον εἶναι, κατὰ δὲ Χαλδαίους οὐρανόν. ὀξύνεται δὲ ὁ ῥηθεὶς βηλός. τὸ δὲ κύριον καὶ τὸ ποταμοῦ, περισπᾶται. θεσπέσιος δὲ βηλὸς εἴρηται πρὸς διαστολὴν τῶν μὴ θείων, ἀλλὰ βεβήλων.

Βηλοῦ. Ἰστέον ὅτι ὁ Κράτης (ὥς φασιν οἱ παλαιοὶ) τὸ βηλοῦ ὅ ἐστι βαθμοῦ, βαρυτόνως ἀναγινώσκει βήλου, ὡς ἥλου. κοινὸν δέ φασιν οὐδὲν ἐν οὐρανῷ βηλὸν εἶναι, ὅπου καὶ πύλαι. δῆλον δὲ, ὡς ἀπὸ τοῦ βῶ βήσω, παρῆκται ὁ βηλός. ἐξ οὗ καὶ βέβηλος κυρίως, ὁ καὶ τῷ τυχόντι βάσιμος. καὶ ἀνάπαλιν ἀβέβηλος, ὁ μὴ τοιοῦτος.

Βηλῷ, βαθμῷ, βατῆρι, οὐδῷ.

Βῆ, περιπατᾶται. βῆ δ' ἀκέων, ἀντὶ τοῦ ἐπορεύθη. παρὰ τὸ βῶ βῆμι, ὁ δεύτερος ἀόριστος ἔβην.

Βῆμα, παράγεται ἀπὸ τοῦ βῶ βέβηκα βέβημαι, βῆμα, ὁ λίθος τοῦ δικαστηρίου, καὶ ὁ τόπος ἐν ᾧ κάθηται βασιλεὺς ἢ κριτὴς, τοῦ πλήθους παρισταμένου, καὶ ἡ τοῦ ποδὸς βάσις.

Βῆλα, πρόβατα.

Βῆμα, δικαστικὴ τράπεζα. οὐ μακρὰν δὲ τῶν πυλῶν, τὸ δικαστικὸν βῆμα προσέταξε δοθῆναι.

Βηματίζει, τὸ τοῖς ποσὶ μετρεῖν. ἔστι δέ πως ἡ λέξις Μακεδονική.

Βήμεναι, ἀντὶ τοῦ βῆναι λέγουσι Δωριεῖς.

Βῆ, ἐπορεύθη.

Βῆν. Ἰστέον ὅτι τὸ βῆν ἡ μονοσυλλαβία περιέσπασεν. ἄλλως γὰρ τὸ πλῆρες αὐτοῦ, ἤγουν τὸ ἔβην βαρύνεται. ἀμήχανον γὰρ κατὰ Ἡρακλείδην, ὁριστικὸν εὑρέσθαι εἰς ην λῆγον, μὴ πάντως βαρυνόμενον ἐν πρώτῳ προσώπῳ, εἰ μὴ μονοσύλλαβον εἴη. μονοσύλλαβον μέντοι περισπᾶται. οἷον βῆν ἔβην, στῆν ἔστην. οὐκοῦν ὡς εἰκὸς καὶ τὸ χρῆν προσλήψει τοῦ ε, ἦν ἂν ἔχρην, εἴπερ ἦν ὁριστικὸν ῥῆμα. ἔστι δὲ οὐ τοιοῦτο κατ' αὐτὸν, ἀλλὰ Δωρικὸν ἀπαρέμφατον κατὰ τὸ ζῆν, καὶ τὰ ὅμοια. πᾶν γάρ φασι ῥῆμα εἰς ην λῆγον καὶ περισπώμενον, ἀλλ' ὅτι ἐστὶν ἢ ἀπαρέμφατον. καὶ τοῦτο παρὰ Δωριεῦσιν, οἱ φιλῆν καὶ νοῆν διὰ τοῦ η φασίν. οὐκοῦν φησι καὶ ἐχρῆν.

Βῆνος, κηβωτός.

Βήωσα, ἡ φωνὴ τῶν προβάτων.

Βὴξ, καὶ λὺξ, καὶ βράγχος, νόσημα τῶν ἐντὸς τοῦ στόματος. καὶ βραγχᾶν, καὶ ἕλκωσις, καὶ φλεγμονὴ, καὶ συνάγχη.

Βὴξ, ἡ περὶ τὸν φάρυγγα νόσος. καὶ βὴξ ἀντὶ πορδῆς, ἐπὶ τῶν ἀπορίᾳ προσποιουμένων τι πράττειν. παρ' ὅσον οἱ πέρδοντες λανθάνειν πειρώμενοι, προσποιοῦνται βήττειν. καὶ παροιμία νέα, ἀπορία ψάλτου βήξ.

Βηράνθεμον, νάρκισσος. οἱ δὲ, τηράνθεμον.

Βήραξ, μάζα μεγάλη.

Βήρβη, κωδία μήκωνος.

Βὴρ, τὸ φρέαρ παρὰ Φοίνιξι.

Βήρηκες, μάχαιραι ὀρθαί. οἱ δὲ, ἁπλῶς μαχαίρας. ἄλλοι, μάζας ἄνωθεν κέρατα ἐχούσας.

* Βήρηξ, τολύπη ἐρίου, καὶ φύραμα μάζης.

Βηρίδες, ὑποδήματα, ἃ ἡμεῖς ἐμβάδας λέγομεν.

Βήριον, ἔνδυμα μοναχικόν.

Βηρίμεναι, ὥρμησεν ἰέναι·

Βῆρος, στρατηγὸς Ῥωμαίων. οὗτος οὐκ ἦν κατεσπουδασμένος, ἀλλὰ μέθης νόσῳ ἀνειμένος ἐκ τοῦ ἐπιπλεῖστον, καὶ ἀπ' αὐτοῦ θράσει ἀπερισκέπτῳ ἐσαεὶ εἴχετο.

Βηρίχαλκον, τὸ μάρανθον· Λάκωνες.

Βηρσαβεὲ, μύρον Σολομῶντος, καὶ τόπος περὶ τὴν ὀρεινὴν τῆς Παλαιστίνης.

Βηρυσσεύειν, σπείρειν.

Βῆρυς, ἰχθύς.

Βήρυλλος, εἶδος λίθου, ἢ βοτάνης εἶδος.

Βησᾶς, ἀχωνὴς, καὶ ὑπέμωρος. οἷον βησᾶς ἕστηκεν.

Βήσεαι, πορεύσῃ.

Βῆσε ἐξ ἵππων, ταυτόν ἐστι τῷ ἔκβαλε δίφρου. καὶ βῆσε προστακτικὸν, ἐκ τοῦ βήσω ἐνεστῶτος. ὁ παρατατικὸς, ἔβησον ἔβησες, ἔβησε. τὸ προστακτικὸν, βῆσε. ὡς τύπτε, ὁμοίως ἶζε.

Βήσιον, ποτήριον.

Βῆσσα, ἡ μὲν τοῦ ὄρους ἐν δυσὶ σσ. πόλις δέ τις Βῆσα ἐν τῇ Βοιωτίᾳ γράφεται δι' ἑνός. καὶ Βῆσσα, δῆμος τῆς Ἀντιοχίδος.

* Βῆσσοι, ἔθνος Θρακικόν.

Βῆσσα, κατά τινας δι' ἑνὸς γράφεται σ. Ἡρωδιανὸς δὲ διὰ δύο σσ γράφει. ὠνομάσθαι δέ φασιν ἀπὸ τῆς τοῦ τόπου φύσεως ναπώδους οὔσης. ἦν

δὲ καὶ

Digitized by Google

τῆς τοῦ τόπου φύσεως ναπώδους οὔσης. ἔστι δὲ καὶ ἔθνος Θρακικὸν οἱ Βῆσσοι. ἀρέσκει δὲ καὶ τῷ Γεωγράφῳ ἡ διὰ δύο σσ γραφὴ τῆς βήσσης. ἀπὸ γὰρ τοῦ αὐτόθι δρυμώδους φησὶν ὠνόμασται ὁμωνύμως. ὁ δὲ ἐν τῇ Ἀττικῇ φησι δῆμος, ἡ βῆσσα ἐν τῷ ἑνὶ σ. ἐξ οὗ οἱ δημόται Βησαιεῖς.

Βῆσσα, ὁ βασιμώτατος καὶ ὑψηλὸς καὶ ἔκδηλος τόπος.

Βῆσσαν, κοιλάδα ὕδωρ ἔχουσαν, καὶ μεσόγαια ὀρῶν τὴν συνάγκειαν. ἄλλοι, τὸ ἔνυδρον.

Βήσατο, ἐπέβη.

Βησήσεις, τόπους βασίμους τῶν ὀρέων.

Βησσόεντα, βάσιμα.

Βήσωμεν, ἐπιβιβάσωμεν, ἐμβιβάσωμεν.

Βητάγων, ὁ Κρόνος ὑπὸ Φοινίκων.

Βητάρμονες, ὀρχησταὶ οἱ διὰ τῶν ποδῶν ὀρχούμενοι, ἀπὸ τοῦ ἡρμοσμένως βαίνειν.

Βηταρμὸν λέγουσι τὴν ὄρχησιν, παρὰ τὴν ἁρμόδιον βάσιν. Ἀπολλώνιος δὲ λέγει, τὴν πυρρίχην ὄρχησιν. ὅθεν βητάρμονες, οἱ ἀγαθοὶ ὀρχησταί. παρὰ τὸ βαίνειν ἁρμονίως.

Βύτειος, πίναξ.

Βήττω, ἀμεταβάτως, ὁ μέλλων βήξω.

Βήχιον, βοτάνης εἶδος.

Βηχμός, νυσταγμός.

ΤΟ͂ Β΄. ΜΕΤΑ͂ ΤΟΥ͂ Ι΄.

ΒΙ΄α, σημαίνει δύο. τὴν δύναμιν ἢ ἰσχὺν, ὡς τὸ, Σὴ δὲ βίη λέλυται. καὶ τὴν ἐκ δυναστείας αἰκηδίαν, ὡς τὸ, Τὴν γὰρ βίῃ ἀέκοντος ἀπηύρων. καὶ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, οὔτε βίας Τρώων ὑπεδείδισαν, οὔτε ἰωκάς. ἀμφότερα παρὰ τὴν ἶαν, ὃ σημαίνει τὴν δύναμιν. τὸ γὰρ μετὰ δυνάμεως καὶ βιαστικῶς πράττειν τὶ, βία εἴρηται.

Βιάζεται, βιαίως κρατεῖται.

Βιάζομαί σε παρὰ γνώμην ποιεῖν. καὶ βιάζομαι ὑπὸ σοῦ. εἴρηται καὶ βιάζω, ὥσπερ καὶ ἄλλα πολλὰ ἐν ἑτέρᾳ φωνῇ ἐνεργητικῇ καὶ παθητικῇ. οἷον βιάζω σε, καὶ βιάζομαί σε. ποιῶ τόδε τι, καὶ ποιοῦμαι.

Βιάζω καὶ βιάζομαι, παρὰ τοῖς Ἀττικοῖς ἐπὶ ἐνεργείας τίθεται. παρὰ δὲ τοῖς κοινοῖς, λαμβάνεται τὸ βιάζομαι ἐπὶ πάθους.

Βιάθω, τὸ πορεύομαι. καὶ ἀμυνάθω, τὸ βοηθῶ. τὰ εἰς θω λήγοντα ῥήματα μέχρι τοῦ παρατατικοῦ κλίνεται.

Βίαιος παράνομος.

Βιαιότερον, ἐπικρατέστερον. ὡς τὸ, Τῆς τῶν ἰατρῶν ἐπιστήμης βιαιότερον ἦν τὸ νόσημα.

Βιαίων, ὄνομα δίκης κατὰ τῶν βίᾳ πραττόντων ὁτιοῦν. Ὁ δὲ ἁλοὺς ἀποτίνει εἰς τὸ δημόσιον ἴσον τῷ ἑλόντι. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. εἰσὶ δὲ καὶ ἐν τοῖς Λυσιακοῖς φερόμενοι λόγοι βίαιοι. καὶ δῆλον, ὅτι οὐκ ἐπὶ φθορᾷ παρθένων οὔτε τὸ ὄνομα οὔτε ἡ δίκη ἐλέγετο μόνον, ἀλλὰ καὶ ἐπ᾽ ἄλλων.

Βιαρκέος, τῆς εἰς τὸ ζῆν ἐπαρκούσης.

Βιασάμενος κόρην λέγε, μὴ φθείρας. καὶ βιασαμένη, οὐκ ἐφθαρμένη.

Βιᾶσθαι, πρωτότυπόν ἐστι τοῦ βιάζεσθαι. δῆλον δὲ, ὡς οἱ μεθ᾽ Ὅμηρον, ἐπὶ γυναικείας πείρας τὴν λέξιν ἐτίθεντο.

Βιάτωρ, κυάθιον μικρὸν, ἤγουν κοχλιάριον.

Βιᾶται, γυναῖκας βιάζεται.

Βιβάζει, ὀχεύει, συζευγνύει. καὶ βιβάζει, τὸ ταῖς χερσὶ διαθλίβειν. καὶ τὸ τὰ κηρία θλῖψαι, βλίσαι λέγεται.

Βιβάζειν, πορεύεσθαι, περιπατεῖν.

Βιβάντα, διαβαίνοντα.

Βιβάοντα, ὡς τὸ, Μακρὰ βιβῶντα, μεγάλα διαβαίνοντα.

Βιβάς, ἀναδίπλωσιν ἔχει Ἰωνικήν. βὰς γὰρ ἦν, ἀπὸ τοῦ βίβημι εἰς δεύτερον ἀόριστον, ἢ καὶ εἰς παρατατικόν.

Βιβάσθων, παρὰ τὸ βιβάζω γίνεται βιβαστὸς, καὶ ἐξ αὐτοῦ ῥῆμα βιβάσθω. καὶ μετοχὴ βιβάσθων, ἀντὶ τοῦ περιπατῶν, διαβαίνων.

Βιβάσθων μακρὰ, πάνυ καίριον ἐπὶ πλατέων διαβημάτων τοῦ ἥρωος. ὥσπερ δὲ αἴθω αἴσθω αἴσσω, ἐξ οὗ καὶ τὸ αἴθω, καὶ βιβῶ βιβάσω βιβάσθω.

Βιβάς, βαίνων, ἕρπων, διαβαίνων.

Βίβασις, κοίτη, στιβάς.

Βιβάσσων, βίᾳ βαίνων.

Βιβάω βιβῶ, ὁ μέλλων βήσομαι, ση, ται. γίνεται ἐκ τοῦ βῶ τὸ βαίνω, δευτέρας συζυγίας τῶν περισπωμένων. ἐξ οὗ βίβημι, ὁ δεύτερος ἀόριστος ἔβην. Ἀνδ᾽ ἄρ᾽ ἔβη Πρίαμος. βαίνειν λέγεται, τὸ ἁπλῶς διὰ σκελῶν βαδίζειν. ἀναβαίνειν δὲ, ἡ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω ἀνάδοσις. ὁ μέλλων βήσω.

Βιβίξαντες, ἐμβιβάντες.

Βιβλιαγράφος, οὕτω λέγουσιν ἐν πέντε συλλαβαῖς, καὶ διὰ τοῦ α. οὐχὶ τετρασυλλάβως διὰ τοῦ ο βιβλογράφος.

Βιβλίδες, τὰ βιβλία. ἢ χοινία, τὰ ἐκ βίβλου πεπλεγμένα.

Βιβλιοπώλην, οὐχὶ βιβλιοπῶλον λέγομεν· Θεόπομπος, Τοὺς βιβλιοπώλας λεύσσομαι.

Βιβλιαφόρος, ὁ γραμματοφόρος. Ὁ δὲ πέμπει βιβλιαφόρον μὴ θορυβεῖσθαι παρακελευόμενος. καὶ πᾶσα γραφὴ, βιβλιαφόρος λέγεται, οὐ βιβλιοφόρος.

Βιβλίον, ἡ ἐπιστολή. ἡ γνῶσις αὐτὴ, καὶ ἄληστος μνήμη. Ἐπὶ τῷ βιβλίῳ σου πάντες γραφήσονται. βιβλίον διὰ τοῦ ι Ἀττικῶς, διὰ τοῦ υ ψιλοῦ Ἰωνικῶς.

Βίβλινος οἶνος, ὁ αὐστηρός. οἷον, Ὕδωρ δὲ πίνει, τὸν δὲ βίβλινον στυγεῖ. ἀπὸ Βιβλίνης οὕτω καλουμένης Θρακίας ἀμπέλου. ἥτις διὰ τὸ εὔθαλος εἶναι, ἐν Ἑλλάδι μετετέθη, καὶ ἐν Σικελίᾳ ὑπὸ Πόλιδος τοῦ Σικυωνίου τυράννου. ἔνθεν τινὲς αὐτὴν καὶ Πόλιον καλοῦσιν. Ἐπίχαρμος δὲ ἀπὸ βιβλίνων ὀρῶν τῆς Θράκης, ἔνθεν φύεται, λελέχθαι αὐτὴν οἴεται.

Βίβλον, ἢ βιβλίον οὐδετέρως, ἀπὸ τοῦ φυτοῦ τῆς βίβλου λέγουσι, κατὰ ἐναλλαγὴν γράμματος, ὡς καὶ τῆς τοιαύτης βίβλου κατεργαζομένης ποτὲ, εἰς ὑποκείμενον γραμμάτων, καθὰ καὶ ὁ ἀπὸ ξύλου πίναξ. ὡς εἶναι τῆς παλαιοτάτης χρήσεως καὶ τὴν βίβλον ὁμοίως τῷ πίνακι, καὶ τῇ πυξίδι. πιττάκιόν ἐστιν ἰδιωτικώτερον διὰ τὸν τρόπον καὶ αὐτὸ τῆς πτύξεως, ἤτοι διπλώσεως. ὡς γὰρ δέλτος διὰ τὸ δελτωτὸν σχῆμα, οὕτω πιττάκιον διὰ τὸ τετραγωνίζεσθαι πτυσσόμενον. ὁμοίως πως, τῷ τῆς χυτῆς πίττης σχηματισμῷ. οἱ δὲ παλαιοὶ, καὶ ἐν τῇ κατ᾽ Εὐριπίδην Φαίδρᾳ, ἔνθα μνήμη πεύκης κεῖται, φασὶ πεύκην ἐκεῖ ῥηθῆναι τὴν ἐν τῇ χειρὶ τῆς Φαίδρας δέλτον, τὴν τῶν τοῦ Ἱππολύτου, ὡς ξυλίνην οὖσαν, καὶ ἴσως ἐκ πεύκης, διὰ τὸ τῆς γραφῆς ἐν τοιούτῳ ξύλῳ εὐτύπωτον.

Βίβλος, ἁπλοῦν. βιβλίον δὲ, ὑποκοριστικόν. λέγεται βιβλίον, καὶ τὸ μὴ γεγραμμένον χαρτίον, καὶ τὸ πιττάκιον. καὶ Βύβλος νῆσος, διὰ τοῦ υ ψιλοῦ.

Βιβρώσκω, τὸ ἐσθίω.

Βιβῶντα, μακρὰ, ἤτοι βαίνοντα. ἐοικότως πρὸς τὸ διαβαίνειν, ὃ καὶ παρ᾽ Ὁμήρῳ κεῖται. εὖ διαβὰς, ἤγουν διαστήσας τὰ σκέλη. καὶ παρὰ τῷ Κωμικῷ, ἐν τῷ τόσον δι᾽ αὐτοῦ βῆμα διαβεβηκότος. ἐκ τοῦ βιβάω, ῶ. ἡ μετοχὴ, βιβάοντα, ῶντα.

Βίδην, εἶδος χρύσματος. Σοφοκλῆς.

Βιζακίων, μικρῶν λίθων.

Βιζῆαι, κοῖται, στιβάδες.

Βίη ἡρακληείη, πεντασυλλάβως. ταυτὸν μέν ἐστι τῷ βίῃ ἡρακλείῃ τῷ τετρασυλλάβῳ. γίνεται δὲ ἐκ τῆς Ἡρακλῆος γενικῆς, οὗ κτητικὸν ἀρσενικὸν ἡρακλείηος, θηλυκὸν ἡρακληείη. ἤγουν βίη Ἡρακλέους, ὅ ἐστιν ὁ Ἡρακλῆς αὐτός.

Βίηφι, δύναμις, βία. ὡς Πολέμων ἐν Ἐρατοσθένους ἀποδημίᾳ.

Βίη φρεσί. βίαν φρενῶν λέγει ὁ ποιητὴς τὴν φρόνησιν. ὅτε μέντοι συνθέτως ἐκ φρενῶν καὶ ἀλκῆς ὁ ἀλκίφρων ῥηθείη, τότε συντομίας λόγῳ ἡ λέξις, τὸν καὶ ἀνδρεῖον καὶ φρόνιμον ὑποδηλοῖ.

Βιθυνίαι διτταί εἰσιν, ἡ μὲν ἐπὶ τῆς Εὐρώπης, ἡ δὲ ἐπὶ τῆς Ἀσίας. καὶ ἡ μὲν ἐπὶ τῆς Εὐρώπης, περὶ Σαλμυδησσὸν κεῖται ἐπὶ τῆς Θράκης. ἡ δὲ ἑτέρα, καθήκει ἐπὶ τὸν Βόσπορον, καὶ ἐπὶ τὸ στόμα τοῦ πόντου. ἔστι δὲ καὶ τρίτη Βιθυνία νῆσος, περὶ τὸν Πόντον.

Βίκας, σφίγγας.

Βίκος, στάμνος ὦτα ἔχων.

Βικάριος, ὁ διάδοχος παρὰ Ῥωμαίοις.

Βίκος, τὸ ἀγγεῖον, καὶ τὸ σπέρμα.

Βιμβικίζεται, παρακρούεται.

Βινεῖν, συνουσιάζειν, γαμεῖν. καὶ βινῶ, τὸ συνουσιάζω.

Βιοδώρα, ἡ γῆ.

Βιοῖο, τῆς τοῦ τόξου νευρᾶς.

Βίνη, πόλις.

Βιορρός, δουλεία.

Βιώσαο, τὸ ζῆν ἔδωκας, βιῶσαι ἐποίησας.

Βίος, ἡ τοιάδε ζωὴ, καὶ ὁ περιεκτικὸς τῶν τοιῶνδε ζώων. οἷον, Ποίην τις βιότοιο τάμοι τρίβον; καὶ ἡ ἀντικειμένη ζωή. ὡς παρ᾽ Εὐριπίδῃ, ἢ δ᾽ ἡμέρα θάνατον, ἢ βίον φέρει, ἤγουν ζωήν. καὶ βιὸς ὀξυτόνως τὸ τόξον. καὶ βιωτὸς βίος, ὁ βεβιωμένος. βιόω βιῶ, τὸ ζῶ. καὶ ἀπὸ τούτου ῥῆμα εἰς μι ἕτερον βίωμι, ἄχρηστον μὲν ἐν τῷ ἐνεστῶτι. κανονίζεται δὲ ἀπὸ τούτου τὸ ἐβίων, καὶ βιῶναι, καὶ ὁ βιούς. ὥσπερ ἀπὸ τοῦ γνῶμι ἀχρήστου, τὸ ἔγνων, καὶ γνῶναι, καὶ ὁ γνούς. ἔστι δὲ βιῶναι μὲν τὸ ζῆν, βιοτεύειν δὲ τὸ πορίζειν τὰ πρὸς τροφήν. πᾶς ὁ βίος μετὰ ἄρθρου, δηλοῖ ἕνα βίον ὁλόκληρον. πᾶς δὲ βίος χωρὶς τοῦ ἄρθρου, πάντας ὁμοῦ τοὺς διαφόρους βίους. καὶ βιοῦν μέν ἐστι τὸ ζῆν, ἀποβιοῦν δὲ τὸ τεθνηκέναι. Ἄλλος.

Βίος βαρυτόνως, ἐπὶ τῆς ἀνθρωπίνης διαγωγῆς, ἢ ζωῆς. βιὸς δὲ ὀξυτόνως, τὸ τόξον σημαίνει. ὅπερ ἢ ἀπὸ τῆς βίας γίνεται, κατὰ τοὺς παλαιοὺς, ὅ ἐστι δυνάμεως. βίας γὰρ χρεία εἰς τὴν τόξου τάσιν. ἢ παρὰ τὸν βίον, δι᾽ αὐτοῦ γὰρ δοκοῦσιν οἱ παλαιοὶ πορίζεσθαι τὰ εἰς τὸ ζῆν. διὸ καὶ ἀστείως ὁ Σκοτεινὸς Ἡράκλειτος ἔφη, ὡς ἄρα τοῦ βιοῦ ἤτοι τοῦ τόξου, τὸ μὲν ὄνομα βίος, τὸ δὲ ἔργον θάνατος. παρωνόμασται γὰρ ἐκ τοῦ βίου, ὡς τοῦ ζῆν αἴτιος. θανατοῖ δὲ τοὺς βληθέντας, καὶ στερίσκει τοῦ ζῆν. ἢ βίος, παρὰ τὸ μετὰ βίας καὶ ἀνάγκης ζῆν. ὥς φησιν Ὅμηρος, Θεοὶ ῥεῖα ζώοντες, οὐχ οὕτως οἱ ἄνθρωποι, Ὣς γὰρ ἐπεκλώσαντο ζώειν ἀχνυμένους, αὐτοὶ δέ τ᾽ ἀκηδέες εἰσίν.

Βίος ἀκανθώδης, ὁ τραχὺς καὶ σκληρὸς, καὶ παλαιός. καὶ βίος ἀληλεσμένος, ὁ εὐχερὴς, καὶ ἡδὺς, ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων. καὶ βίος ἐξηυλημένος, ἐπὶ τῶν ἀχρήστων, ἐκ μεταφορᾶς τῶν ἀχρείων αὐλῶν. καὶ βίος μεμαγμένος, ἐπὶ τῶν ἐξ ἑτοίμου καὶ ἀπόνως τρεφομένων.

Βιοτεύειν, τὸ πορίζειν τὰ πρὸς τὸν βίον.

Βιοτὴ θηλυκὸν, ἐκ τοῦ βιότου. ὀξύνεται δὲ, ὁμοίως τῷ χολὸς χολὴ, ὦνος ὠνή.

Βίολα, πέδιλα, ὑποδήματα.

Βίοτον πολὺν ἄλφοι, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας ρ. ταυτόν ἐστι τῷ, ὦνον μυρίον ἄλφοι.

Βίοτος, καὶ ἐπὶ τῆς ζωῆς τίθεται, καὶ ἐπὶ τοῦ πλούτου.

Βιοῦν, ἐπὶ μόνων ἀνθρώπων λέγεται, ζῆν δὲ ἐπὶ ἀνθρώπων καὶ ἀλόγων. ὁμοίως διαφέρει βίος καὶ ζωή.

Βιοῦται, ἀντὶ τοῦ ζῇ, ἢ ζήσεται. οὕτως Ἡρόδοτος.

Βιόωνται, καταπονοῦσι, βιάζονται.

Βιόω, ῶ, καὶ ἀπ᾽ αὐτοῦ βίωμι, ἄχρηστον μὲν ἐν τῷ ἐνεστῶτι. ἀπὸ τούτου ἐβίων, βιῶναι, καὶ ὁ βιούς. ὥσπερ ἀπὸ τοῦ γνῶμι ἀχρήστου, ἔγνων, καὶ γνῶναι, καὶ γνούς. ἔστι δὲ τὸ βιῶναι, καὶ βιοῦν, καὶ βιοτεύειν, τὸ ζῆν, ὡς ἐμοὶ δοκεῖ. ἄλλοι δὲ λέγουσι, τὸ βιοτεύειν σημαίνειν, τὸ πορίζειν τὰ πρὸς τὴν τροφήν.

Βιόω, ῶ, βιώσω, βιώσομαι βιώσῃ βιώσεται,

Βιπτάζειν, ἐπιβάπτειν.

Βιπαίζω. Σώφρων καὶ Ἐπίχαρμος τὸ βαπτίζω, βιπαίζω λέγουσιν. οὕτως Ἡρωδιανός.
Βίῤῥον, ἱμάτιον ῥωμαϊκόν.
Βίῤῥη, πυράγρα. οἱ δὲ, δρέπανον.
Βίῤῥοξ, δασύ. Μακεδόνες.
Βιῤῥωθῆναι, σπειρωθῆναι.
Βίσβη, δρέπανον ἀμπελοτόμον λέγουσι Μεσάπιοι. καὶ ἑορτὴν Βισβαίαν, ἣν ἡμεῖς κλαδευτηρίαν λέγομεν.
Βίσεξτον, ἐπινέμεσις, περισσεία.
Βίσαιος, ὄνομα ἐν Ἰλίῳ πολεμιστοῦ.
Βίσκαφις, εἶδος βοτάνης.
Βιστάκια, τὰ πιστάκια.
Βίσταξ, ὁ βασιλεὺς παρὰ Πέρσαις.
Βιστῶν, ἡ καρδία.
Βιστιάριον, τόπος ἐν ᾧ τὰ χρήματα τίθενται, καὶ τὰ ἱμάτια τοῦ κοινοῦ.
Βίστονες, ἔθνος Θρακῶν. ὠνομάσθη δὲ ἀπὸ Βίστονος τοῦ Κίκονος, ὡς Φιλοστέφανος ἱστορεῖ.
Βιστονὶς, λίμνη Θρακική.
Βισύρας, ἥρως Θρᾷξ. Θεόπομπος δὲ, χερσονήσιον λέγει τὸν Βισύραν.
Βισχυὶ, ἰσχυὶ σφόδρα ὀλίγον. Λάκωνες.
Βιστώνιος φόρμιγξ, ἀπὸ Βίστονος τοῦ Τερψιχόρου. φόρμιγξ δὲ, ἡ κιθάρα.
Βίτιννα, σάνδαλα μὲν τὰ ποδῶν θαλπτήρια. Ταῦτα βίτιννα διέπεχνον ἐραστοῦ, σκυτοτόμων καμάτων.
Βιττίον. Τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ, βιττίον εἰργάσατο. πέζα γὰρ, ὕφασμα.
Βιῷ, τῷ τόξῳ, ἢ τῇ ζωῇ.
Βιώατο, δευτέρας συζυγίας ῥῆμα εἶναι φαίνεται. τὸ γὰρ κοινὸν βιῶντο, ὡς βοῶντο.
Βιώατο, ὡς βοώατο. βιῶ, βιάομαι βιῶμαι, βιαοίμην βιώμην, βιάοιο βιῷο, βιάοιτο βιῷτο. καὶ πλεονασμῷ τοῦ α, βιώατο.
Βιώην. βίωμι, ἐβίων, βιοὺς, βιόντος, βιοίην καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ ο εἰς ω, βιώην. ὥσπερ τὸ δοὺς δόντος δοίην, δώην.
Βιωμένων, βιαζομένων, βιῶ, βῶ, τορευθῶ.
Βιῶναι. βίωμι ἐβίων. τὸ πρῶτον τῶν πληθυντικῶν, ἐβίωμεν. τὸ ἀπαρέμφατον βιῶναι, τὸ ζῆν.
Βιῶνται, μετὰ βίας εἰσελεύσονται. ὡς τὸ, Ὅτι βιῶνται διὰ τοῦ πτώματος τοῦ τείχους.
Βιώνης, ὁ τὰ δημόσια ἀγοράζων.
Βίωρ, ἴσως, σχεδόν. Λάκωνες.
Βιώσιμος, ἐλπίδα ἔχων τοῦ ζῆσαι. Ὁ δὲ ἀνέβλεψέ πως, καὶ ἔφη, ὅτι βιώσιμος εἴη. βιώσιμος, ὁ ζῆσαι ἐν βίῳ δυνάμενος.
Βιώτω, ζησάτω. βίωμι, ἐβίων, βιοὺς, βιόντος. τὸ προστακτικὸν, βίωθι βιώτω, ὡς γνώτω. ἢ Βιόω, ἢ βίωμι, μέλλων βιώσω ἐβίωσα, τὸ προστακτικὸν βίωσον βιωσάτω. κατὰ συγκοπὴν τῆς σα συλλαβῆς, βιώτω. ἢ βιώτω, δοκεῖ βιούτω εἶναι, ὡς χρυσούτω. καὶ μεταβολῇ ἐθίμῳ τῆς ου διφθόγγου εἰς ω μέγα, βιώτω.

ΤΟ Β΄. ΜΕΤΑ ΤΟΥ Λ΄.

Βλαβεῖμεν βλαβεῖτε βλαβεῖεν, οὐχὶ βλαβείημεν βλαβείητε βλαβείησαν, καὶ βλαβείησαν. οἱ γὰρ Ἀττικοὶ τοῖς πληθυντικοῖς τῶν εὐκτικῶν βαρυτόνων τε καὶ περισπωμένων, καὶ τῶν εἰς μι παραληγομένοις τὸ η, ἀποβάλλουσιν αὐτό. οἷον τυφθοῖμεν, ποιοῖμεν, βαῖμεν. πλὴν φυλάττεσθαι δεῖ τὸ κακόφωνον, ἔνθα ἂν τύχῃ. ὡς ἐπὶ τοῦ βαῖτε, καὶ σταῖτε, καὶ τῶν ὁμοίων.
Βλάβεν, ἐσφάλησαν, ἐστέροντο, ἐβλάβησαν.
Βλάβεται, βλάπτεται.
Βλάβη, λύμη, φθορά. ἀπὸ τοῦ βλάβω, βλάβη. ὡς τὸ, βλάβεται δέ οἱ γούνατ᾽ ἰόντι. ἔνθεν καὶ τὸ βλάβος. εἰ γὰρ ἦν ἀπὸ τοῦ βλάπτω, ὤφειλεν εἶναι βλαφὴ, ὡς σκάπτω σκαφή. καὶ βλάβη, βλάβος, ἀπωφέλεια, βλάμμα, ζημία. ζημιῶδες, ἐπιβλαβὲς, ἐπιζήμιον. βλαβερῶς, ἐπιβλαβῶς, ἐπιζημίως, ζημίως. ζημιώδης, ἐπιζήμιος, βλαβερὸς, ἐπιβλαβής. βλάψαι, ζημιῶσαι. τὰ ἐναντία ζήτει ἐν τῷ ὄφελος.
Βλάβος ἐστὶ οὐδετέρου δοκιμώτερον, ἢ βλάβη.

Βλαβύρει, περιρύσσεται.
Βλαβυρίαν, εἰκαιολογίαν.
Βλαβύσσειν, βλάπτεσθαι.
Βλαγὶς, κιλίς. Λάκωνες.
Βλαδὰ, ἄωρα, μωρὰ, ὠμά.
Βλαδαρὸν, ἐκλελυμένον, χαῦνον.
Βλαδὴν, νωθρῶς.
Βλαδὸν, ἀδύνατον.
Βλάζειν, μωραίνειν.
Βλάθρον, φυτὸν, πτερίῳ ὅμοιον. ὅπερ ἔνιοι βλάχρον λέγουσι.
Βλαῖκος, ὁ δειλὸς, κλάδος, ὄζος.
Βλαιμάζειν, ψηλαφᾶν, δοκιμάζειν, πειράζειν.
Βλαισὸς, παραλυτικός. οὕτως εἰς τὸ ῥητορικόν. ὁ δ᾽ ἐτυμολόγος, ὁ τοὺς πόδας ἐπὶ τὰ ἔξω διεστραμμένος, καὶ τῷ λ στοιχείῳ ἐοικώς. διὰ τοῦτο καὶ λ ἐκαλεῖτο, ἡ γυνὴ μὲν Ἡστίωνος, μήτηρ δὲ Ψέλου τοῦ Κορίνθου τυράννου, εἴρηται δὲ βλαισὸς, ὁ βεβλαμμένος τὸ ἴσον τῶν ποδῶν. τὸ ἐναντίον γοῦν ὁ ἐπὶ τὰ ἔσω ἔχων τοὺς πόδας, καλεῖται ῥαιβός.
Βλαιτὴ, βλητὴ, Λάκωνες.
Βλαιτόπους, ὁ βλαισόπους.
Βλάκακα, βλακεύει. καὶ τὸν ἄρτον Ἀργεῖοι, Ἀθηναῖοι. ἔνιοι προβατίδην.
Βλάκα, μωρόν.
Βλακεία, ἔκλυσις, μωρία, χαυνότης, μαλακότης, ῥαστώνη. Οὐ γὰρ στρατηγῶν βλακείαις τὰ πράγματα ἐπέτρεψε.
Βλακείας, ἰχθύς ποιός.
Βλακεύει, διατρίβει, ληρεῖ, μωραίνει, νωθρῶς τι ποιεῖ, ῥαθυμεῖ.
Βλακεύεται, μαλακίζεται. Ξενοφῶν, εἴτις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν.
Βλακεύειν, ὀλιγωρεῖν. παρὰ τῷ Ἱπποκράτει.
Βλακικῶς, ἀντὶ τοῦ βραδέως. Ἀριστοφάνης.
Βλακικώτερα, εὐηθικώτερα.
Βλακὸν, ἀντὶ τοῦ στυφερὸν λέγουσιν Ἴωνες.
Βλάνος, τυφλώδης.
Βλὰξ, μωρὸς, μὴ εἰδὼς τὰ πράγματα διακρῖναι, ἐκλελυμένος, μαλακὸς, εὐήθης, ἀνόητος, βραδύς. Ἀριστοφάνης, βλάκες φιλεργοί. εἴρηται δὲ ἀπὸ τοῦ μαλακὸς, καὶ τὸ ὑποκοριστικὸν μάλαξ, ὡς βωμολόχος βώμαξ, πλούσιος πλούταξ. μάλαξ οὖν, καὶ κατὰ συγκοπὴν, βλάξ. ὡς βλακεύειν, τὸ βραδύνειν. οἱ λέγοντες δὲ βλάκα τὸν ἀλαζόνα, σφάλλουσι.
Βλάπτεται φρένας, τὸν παρ᾽ ἑτέροις βλαψίφρονα συντίθησι, καὶ φρενοβλαβῆ. καὶ διαστολὴν ἔχει πρὸς ἄλλα βλαπτόμενα, οἷον βέλεμνα, καὶ τὰ λοιπά.
Βλάπτειν κυρίως, τὸ ἐμποδίζειν τὸν τρέχοντα. καὶ οἱονεὶ βάλλειν, ὅ ἐστι ῥίπτειν, καὶ οὕτως ἰάπτειν. ἐξ ὧν δοκεῖ τὸ βλάπτειν συγκεῖσθαι. καὶ ἔστιν ὅμοιον βλάπτειν εἰπεῖν, καὶ σφάλλειν. οὗ τὸ ἀνάπαλιν, ἀνασφάλλειν, ἤγουν ἀνίστασθαι, καὶ ὀρθοῦσθαι. καὶ Ὅμηρος οὖν οὐχ ἁπλῶς εἶπε βλάπτουσι κελεύθου, ἤτοι ἐμποδὼν γίνονται εἰς ὁδόν.
Βλάπτειν ὁδοῦ, ἢ κελεύθου, τὸ κατέχειν καὶ κωλύειν· ἔστι δὲ βλάβω, σεσιγημένος ἐνεστώς. ἐξ οὗ τὸ βλάβεται, καὶ ἐβλάβη. καὶ ὄνομα ἡ βλάβη. καὶ τὸ ἀπ᾽ αὐτοῦ βλάβος παρὰ τῷ κωμικῷ. πρὸς ὁμοιότητα τοῦ δίψα, δίψος.
Βλάπτεσθαι καὶ βλαφθῆναι, κυρίως ἐπὶ τοῦ προσκόπτειν καὶ ἐμποδίζεσθαι. οἷον, ὄζῳ ἔνι βλαφθέντι μυρικίνῳ. ἐξ αὐτοῦ δὲ καὶ τὸ πτώματος ἢ νόσου ἀναστῆναι, ἀνασφαλῆναι λέγεται. ἀντίκειται δὲ τῷ σφάλλεσθαι, τὸ ὀρθοῦσθαι. ταυτὸν δ᾽ εἰπεῖν κατορθοῦσθαι, ὡς δηλοῖ καὶ Σοφοκλῆς εἰπὼν, Ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς. εὐχρηστότερον δὲ πολλάκις ποιηταῖς τὸ βλαφθῆναι, ἤπερ τὸ βλαβῆναι.
Βλασφημίαι. εἰσὶ καὶ ἀπὸ ἐθνῶν καὶ πόλεων καὶ δήμων πολλαὶ ῥηματικῶς πεποιημέναι. ἐθνῶν, οἷον κιλικίζειν. καὶ αἰγυπτιάζειν, τὸ πονηρεύεσθαι. καὶ κρητίζειν, τὸ ψεύδεσθαι. ἐκ πόλεων δὲ, οἷον λεσβιάζειν, τὸ αἰσχροποιεῖν. εἶτα παραγαγόντος Φερεκράτους ῥῆσιν ἐν ἰάμβῳ, τὸ, Δώσει δέ σοι γυναῖκας, ἑπτὰ λεσβίας. ἐπάγουσιν ἀμοιβαῖον, τὸ, Καλόν γε δῶρον ἑπτ᾽ ἔχειν λαικαστρίας. ὡς τοιούτων οὐσῶν τῶν λεσβίων γυναικῶν. ἐκ δήμων δὲ βλασφημία, τὸ αἰξωνεύεσθαι, ἤγουν κακολαλεῖν. Αἰξωνεῖς γὰρ δημόται ἀττικοὶ, σκωπτόμενοι ὡς κακολόγοι. καθὰ καὶ οἱ Σφήττιοι ἐπὶ ἀγροικότητι. ὅθεν Χαιρεφῶν Σφήττιος ἐσκώπτετο. Ἔτι ἰστέον, καὶ ὅτι αἱ ῥηθεῖσαι λαικάστριαι, τουτέστι πόρναι ἐκ τοῦ ῥήματος προάγονται τοῦ λαικάζειν. αὐτὸ δὲ παρὰ τὸ λα ἐπιτατικὸν γίνεται, καὶ τὸ κάζειν, ὅ ἐστι κοσμεῖν. σκώπτεται γὰρ καὶ τὸ ἀκαίρως, ὡς ἐπὶ φαύλῳ ἔρωτι κοσμεῖσθαι. διὸ καὶ κασωρὶς ἐλέγετο ἡ πόρνη, διὰ τὸ κάσαι, ὅ ἐστι κοσμῆσαι τὴν ὥραν οὐ δεόντως. Ἀντιφάνης δέ φασι κασωρίτιν ἔφη, τὴν ἐπὶ τοῦ στέγους προεστῶσαν. οὕτω δὲ καὶ Ἱππῶναξ. τὴν δὲ αὐτὴν καὶ κασωρίδα καὶ κασωρίτιν ἔλεγόν τινες, καὶ κασαυβάδα, παρὰ τὸ κάσαι, καὶ τὸ ἄλλος, καὶ τὸ βάζειν. οἱονεὶ, ἡ ἐν τῷ κοσμεῖσθαι, ποτὲ μὲν ἄλλον, ποτὲ δὲ ἕτερον βάζουσα, ἤγουν φωνοῦσα καὶ καλοῦσα εἰς ἑαυτήν. ἐλέγετο καὶ τὸ λοιδορεῖν διὰ ταύτην, κασαυβάζειν. οἱ δὲ γράφοντες κασαυβὰς, φασὶν ὅτι ἴσως ἀπὸ τοῦ καλεῖν εἰς ἑαυτὴν καὶ σοβεῖν τοὺς ἐραστάς. Ἰστέον δὲ, καὶ ὅτι ἱμερτὴ καὶ πελασγία, καὶ αὐτὴ Λέσβος ἐκλήθη ποτὲ, κατὰ τὴν παλαιὰν ἱστορίαν. καὶ ἔτι ἀπ᾽ αὐτῆς τὰ λεσβιακὰ περιᾴδονται, περὶ ὧν πολλοὶ ἔγραψαν. καὶ ὅτι ὥσπερ Λέσβος, οὕτω Ἴσσα ἡ αὐτὴ νῆσος, ἐκ μιᾶς τῶν περὶ αὐτὴν πέντε πόλεων. ὡς καὶ ὁ Λυκόφρων ἐμφαίνει.
Βλάπτω. ἐστι βρῶ τὸ ἐσθίω. κατὰ τροπὴν γίνεται βλῶ, καὶ κατὰ παραγωγὴν βλάπτω ἀπὸ μεταφορᾶς τῶν ἐσθιομένων, καὶ μηκέτι ὑγιῶν ὄντων.
Βλάπτω τὸ βλάβην ποιῶ, καὶ τὸ ἐμποδίζω.
Βλάσκει, λέγει καπνίζει.
Βλάστα, βλαστήματα, πλαταγώνια. Σικελοί.
Βλαστάζειν, βλιμάζειν, οἱ αὐτοί.
Βλαστάνει, βλαστήσει. Κύπριοι.
Βλασταρίζουσα, ἐπικροτοῦσα.
Βλάστη, τὸ βλάστημα.
Βλαστὸς, παρὰ τὸ βλώσκειν τὸ αὔξειν.
Βλασφημῶ, ἤγουν οὐ τὰ δέοντα λέγω, καὶ κατὰ τοῦ δεῖνος αἰσχρὰ λέγω. κυρίως ἐπὶ θείων ταττόμενον. καὶ ἐξ αὐτοῦ βλασφημία, τὸ πρᾶγμα. καὶ βλάσφημος, ὁ διαπραττόμενος καὶ λέγων τὴν βλασφημίαν. ὥσπερ δὴ καὶ εὔνους, καὶ εὔνοια, καὶ εὐνοῶ, καὶ τὸ κακόνους, καὶ δύσνους, καὶ δύσνοια.
Βλάτταιον, χόρτος, ἢ λάχανον.
Βλαττοῖ, παιδαριεύεται.
Βλαῦδες, ἐμβάδες, κρηπῖδες, σανδάλια, ὑποδήματα. οἱ δὲ, βλακεῖς.
Βλαύτη, εἶδος ὑποδήματος, εὐθὺ δὴν ἀπὸ ῥυτῆρος, τουτέστιν ἀπὸ βλαύτης. καὶ βλαυτία, τὰ ὑπὸ τοὺς πόδας σανδάλια. καὶ τόπος Ἀθήνησι βλαύτη.
Βλαύρια, σανδάλια. ἄλλοι δὲ βλαύσια, σανδάλια ἰχνιὰ λέγουσι.
Βλαυτοῦν, ὑποδεῖν, ἢ πλήσσειν σανδαλίῳ. οἱ δὲ, ὑποδήματα.
Βλαφθέντες, δοκιμώτερον ἢ βλαβέντες. ὡσαύτως καὶ βλαφθῆναι, ἢ βλαβῆναι.
Βλαχὰν, ὁ βάτραχος.
* Βλάχνον ἢ καὶ πτέρις, βοτάνη τις.
Βλαχὸν, πόα τις.
Βλεέρει, οἰκτείρει. Βοιωτοί.
Βλεθράνασιν, ἰχθῦν.
Βλεῖ, βλίσσει, ἀμέλγει, βαδίζει.
Βλείμην βλεῖο, εὐκτικόν.
Βλείεται καὶ μαχησόμενος, παρ᾽ Ὁμήρῳ. οὐκ ἄν τις μὴ μετρικῶς γράφων αὐτοῖς χρήσεται.
Βλεῖο, εὐκτικὸν, μέσου ἀορίστου β. ἀπὸ τοῦ βλῆμι ἀχρήστου θέματος. οὗ β΄. ἀόριστος, ἔβλην. ὁ μέσος ἐβλήμην, καὶ τὸ εὐκτικὸν βλείμην βλεῖο. οὐ προσιτὰ λόγῳ πεζῷ.
Βλεὶς, οἱ μὲν ἀπὸ τοῦ βληθεὶς, κατὰ συγκοπὴν τοῦ η καὶ θ. οἱ δὲ ἀπὸ τοῦ βλῆμι, ὁ δεύτερος ἀόριστος ἔβλην, καὶ ἡ μετοχὴ βλείς.
Βλεχίμυξος, βλακώδης, μυξώδης, εὐαπάτητος.
Βλεμεαίνειν, Ὅμηρος Ἰλιάδος υ. ἢ τὸ ἀποβλέπεσθαι καὶ περίβλεπτον εἶναι. ἢ τὸ θυμοῦσθαι, καὶ ἀγριοῦσθαι κατὰ λέοντα ἐκφοβοῦντα βλέμματι, καὶ ὄψεως βλοσυρότητι. ἢ κατὰ τοὺς παλαιοὺς τὸ βρέμειν, ἐναλλαγῇ ἀμεταβόλου εἰς ἀμετάβολον.

Digitized by Google

Βλεμεαίνων, γαυριῶν, ἐπαιρόμενος, ἢ μαργαίνων, καὶ ἐνθυσιῶν. παρὰ τὸ βρέμω, βλεμαίνω. τροπῇ τοῦ ρ εἰς λ, καὶ πλεονασμῷ τοῦ ε. Γλιάδος ο, Σθένει βλεμεαίνων, τῇ ἑαυτοῦ δυνάμει γαυριῶν καὶ ἐπαιρόμενος. κυρίως ἐπὶ λέοντος. δηλοῖ δὲ τὸ, καὶ μόνῳ βλέμματι ἐκφοβεῖν. ἢ τὸ ἐνταῦθα καὶ ἐκεῖ ἐπιστροφῶς περιβλέπειν. οἱ δὲ, ἀπὸ τοῦ βρέμειν τὴν λέξιν παράγουσι, λέγοντες προϋπεῖναι τὸ βρεμαίνειν, καὶ ἐξ αὐτοῦ γίνεσθαι τὸ βλεμεαίνειν. ὁμοίως τῷ, κρίβανος κλίβανος.

Βλέμυες, ἔθνος αἰθιοπικὸν μελανόχροον. οἱ αὐτοὶ δὲ τοῖς τρωγλοδύταις. ἢ κατά τινας ἔθνος βάρβαρον Λιβικὸν, ἀπὸ Βλέμμυος ἑνὸς τῶν Δηριάδου τριῶν ὑποστρατηγῶν. ἔστι δὲ Ὀρόντης, Ὀρυάνδης, καὶ Βλέμμυς. καὶ Βλέμμυας, τοὺς κατερράκτας φασὶ, τοὺς περὶ Συήνην. Τῆς πάρος αἰθαλέων Βλεμμύων ἀνέχουσα κολῶναι.

Βλέννα, μύξα. οἱ δὲ διὰ τοῦ π, πλέννη. καὶ πλέννα τὰ ἀσθενῆ καὶ δυσκίνητα.

Βλεννὸν, νωθῆ, μωρόν.

Βλέορον, βάθος, δεσμωτήριον.

Βλεπάζοντες, βλέποντες.

Βλεπεδαίμων, ὁ διεστραμμένος τὰς ὄψεις ὑπὸ δαίμονος.

Βλέπει πῦρ, ὁ πυρώδεις ἔχων τοὺς ὀφθαλμούς. καὶ βλέπει μάχην ὁμοίως, ὁ μαχίμους αὐτοὺς ἔχων.

Βλέπετε, ἐπισκέψασθε, προσέχετε, ἀποστολικὴ ἡ λέξις. ὡς τὸ, βλέπετε τὴν κλῆσιν ὑμῶν ἀδελφοί.

Βλεπετύζει, σκαρδαμύττει, βλέπει.

Βλέπησις, βλέψις.

Βλέποντες, ἀντὶ τοῦ ζῶντες. οὕτω Σοφοκλῆς.

Βλέπος. Ἀριστοφάνης Νεφέλαις, ἐπὶ τοῦ προσώπου τέστιν Ἀττικὸν βλέπος, ἀντὶ τοῦ κακοῦργον βλέμμα, καὶ δραστικόν. οἱ γὰρ Ἀττικοὶ ἐπὶ ἀναιδείᾳ διεβάλλοντο. καὶ βλέπος Ἀττικῶς, βλέμμα κοινῶς. Ἀριστοφάνης, ὡς ἐστι τοῦτο Ἀττικὸν βλέπος.

Βλέπω, ὁρῶ, ἀθρῶ, θεωρῶ, καθορῶ, θεῶμαι, εἶδον. καὶ βλέπω, τὸ ἁπλῶς ὁρῶ, καὶ τὸ ἐλπίζω, οἷον εἰς σὲ βλέπω. καὶ τὸ προορῶ· ὅθεν προβλέποντες λέγονται, οἱ προφῆται. βλέπω καὶ τὸ θαρρῶ. βλέπω τόδε, καὶ εἰς τόδε. ἐνίοτε δὲ σημαίνει τὴν ἐλπίδα, οἷον βλέπω εἰς σὲ, ἀντὶ τοῦ εἰς σὲ ἐλπίζω. ἐνίοτε δὲ μίμησιν, οἷον, εἰς σὲ βλέπων τόδε ποιῶ. ἀντὶ τοῦ σὲ μιμούμενος. βλέπω καὶ τὸ θεῶμαι, ταὐτὸν τῷ ὄψομαι καὶ θεάσομαι, μέλλοντες. ἐθεασάμην, καὶ εἶδον, ἀόριστοι. καὶ ἐθεάθην ἐγὼ ὑφ᾽ ἑτέρου.

Βλέπω σε τοῖς ὀφθαλμοῖς. πάντα τὰ ῥήματα καὶ μεταβατικὰ καὶ ἀμετάβατα, ὧν αἱ ἐνέργειαι ὀργάνοις τισὶ γίνονται, ἐάνπερ καὶ τὰ ὄργανα ἔχωσιν ἐν τῇ συντάξει, δοτικῇ ταῦτα ἔχουσι προφερόμενα. μεταβατικὰ, οἷον βλέπω σε ὀφθαλμοῖς, τύπτω σε τῇ χειρὶ ἢ τῇ ῥάβδῳ, ἰατρεύω σε φαρμάκοις. ἀμετάβατα δὲ, ἀγάλλομαι τῇ ψυχῇ, ἀστράπτω πυρὶ, μεθύω οἴνῳ.

* Βλέπειν νάπυ ἢ ὀρίγανον λέγονται, οἱ δριμεῖς ὄντες. καὶ βλέπειν ἄρην, ἀντὶ τοῦ πολεμικὸν καὶ ἄγριον βλέπειν.

* Βλεπῶ, δεύτερος μέλλων, ἀναγόμενος εἰς ἐνεστῶτα.

Βλέπενον, βληπώδη.

Βλέτυγες, φλυαρίαι. οἱ δὲ βλέχυγες καὶ βλέτυες, αἱ βδέλλαι.

Βλέφαρα κοινῶς, γλέφαρα Δωρικῶς.

Βλεφαρίδες, αἱ ἐν τοῖς βλεφάροις τρίχες.

Βλέφαρον, τοῦ βλέποντος φάρος. ἢ παρὰ τὸ ἐν τῷ βλέπειν αἴρεσθαι. ἢ αἰρομένων αὐτῶν ἡμεῖς βλέπομεν. ἢ παρὰ τὸ βάλλειν τοὺς ὦπας.

Βλήδας, ὄνομα Σκύθου.

Βλήδην, μετὰ τοῦ βάλλειν.

Βλῆθα, ἄρτος ἐντεθρυμμένος.

Βληθρὴν, τραχεῖαν. οἱ δὲ, ἁπαλήν.

Βλημάζειν, ὑποθλίβειν τοὺς μαστούς.

Βλημένος, ἀντὶ τοῦ βεβλημένος. κατὰ ἄρσιν, ἥτις ἐστὶ τῶν Ἰώνων.

Βλῆθος, ὁ τύραννος. βλῆνος δὲ, ὁ ἰχθῦς, ῑ.

Βλὴρ, Αἰολικῶς τὸ δέλεαρ. οἱ Αἰολεῖς τὸ δ εἰς β τρέπουσι. τοὺς γὰρ δελφῖνας, βελφῖνάς φασι. καὶ τοὺς δελφοὺς, βελφούς. οὕτως οὖν δέλεαρ, βέλεαρ. καὶ κατὰ συγκοπὴν καὶ συναλοιφὴν, βλὴρ πεποίηται. οὕτω καὶ οἱ Βοιωτοὶ ποιοῦσι.

Βλῆραι, αἱ κνίδαι, ἄλλοι χόρτον. οἱ δὲ τῶν ὀσπρίων τὴν καλάμην.

Βληρὸν, τὸ δέλεαρ. τὸ δ᾽ ἑαυτὸ, καὶ ἄσθμα, παρὰ Ἀλκμαίωνι.

Βλῆσθαι, ἐκ τοῦ βεβλῆσθαι κατὰ ἀφαίρεσιν. καὶ βλῆσθαι, βληθῆναι, τρωθῆναι.

Βλήσαν, βότρυν ἡμιπέπειρον.

Βλήσανον, φυτὸν χίνῳ ὅμοιον.

Βλήσας, ὁ χερσαῖος σκορπίος.

Βλησύριμος, ὁ ἱππασμός.

Βλητιᾷ, καταβάλλει.

Βλητιεῖ, καταβαλεῖ, νικήσει.

Βλητοὶ, οἱ τῆς ἁμάξης τροχοὶ, σφῆνες, ἐμβλήματα. οἱ δὲ, γόμφους, καὶ συμβολὰς ἀξόνων.

Βλητὸς, ὁ ἀπόπληκτος, ὁ ὑπὸ τῶν ὀξέων νοσημάτων αἰφνιδίως πληττόμενος.

Βλῆτο, ἐκ τοῦ ἐβεβλήμην ἐβέβλησο ἐβέβλητο, καὶ κατὰ συγκοπὴν ἔβλητο, καὶ ἀφαιρέσει τοῦ ε βλῆτο. ἐκ τοῦ βλῶ βλήσω.

Βλήτροισι, τοῖς βεβλημένοις, τοῖς κεκολλημένοις. βλῶ, βλήσω, βλῆτρον.

Βλῆτρον, βαρύνεται κατὰ τοὺς παλαιοὺς, κανόνι τούτῳ. τὰ εἰς τρον λήγοντα μονογενῆ οὐδέτερα, βαρύνεται. σεσημείωται τὸ λουτρὸν, πρὸς διάφορον σημασίαν. ἔστι γὰρ καὶ λοῦτρον Ἀττικῶς παρὰ τῷ κωμικῷ, τὸ ἀπόλυμα. οἷον, Κάκτου βαλανείου πίεται τὸ λοῦτρον. ἔστι δὲ βλῆτρον, ὁ σιδηροῦς κύκλος, δι᾽ οὗ τὰ δύο ξυστὰ εἰς ἓν συμβάλλονται. καὶ βλῆτρον, τὸ σύμβαλμα.

Βλήτυρι, ὄργανον μουσικόν φησιν Οἰόμβας. σκινδαψὸν δὲ, μίμημα χορδῆς.

Βλητρώσας, ἐμβαλών.

Βληχᾶσθαι, ἐπὶ τῶν οἰῶν λέγεται, τὸ τὰ πρόβατα ποιᾷ φωνῇ χρῆσθαι.

Βλήχημος, μωρὸς, προβατώδης.

Βλήχρα, πτερίς.

Βληχρὰ, ἀσθενής.

Βληχρὸν, ὄσπριον, παρὰ τῷ Ἱπποκράτει.

Βληχρὸς, ὁ ἀσθενὴς, παρὰ τὸ τὴν βληχὴν τῶν προβάτων τὴν φωνὴν οὐδὲν οὖσαν. βληχρὸν οὖν καὶ ἀβληχρὸν, τοῦ αὐτοῦ σημαντικὸν ὀνόματος, ὡς στάχυς, ἄσταχυς. εἴρηται δὲ τὴν λέξιν, ἐπὶ μὲν τοῦ ἀσθενοῦς, ἀπὸ τοῦ βέβληται βληχρὸς, καὶ ὁ καταβεβλημένος καὶ πεπτωκὼς, ἀπὸ τῶν παλαιόντων. ὁ δὲ Πίνδαρος ἐπὶ τοῦ ἰσχυροῦ λέγει αὐτὸ, ἀπὸ τοῦ βέβληκα, ὁ καταβάλλων.

Βληχώδης, προβάτοις τὸν νοῦν ὅμοιος. μωρὸς δὲ ποιμὴν, καὶ τὰ πάντα βληχώδης πέμπειν ἔμελλε.

Βλήχων, εἶδος βοτάνης. λέγεται καὶ ἡ γλήχων.

Βλίαρ, φύλλα συκῆς.

Βλιαρὸν, ἀντὶ τοῦ λαῦρον, ἀβλαβές.

Βλιβρὸν, λαγαρόν.

Βλίδες, ψεκάδες.

Βλινχῶνες παρὰ Ἱπποκράτει, τὸ λελεπισμένον καὶ καθαρόν.

Βλίκανον, βάτραχον, καὶ βλίχαν.

* Βλικὰς, σύκου φύλλον.

Βλιμάζειν, ἀντὶ τοῦ ἐκθλίβειν λέγουσιν Ἴωνες. καὶ τὸ πτθολαβεῖν, ἤγουν ψηλαφᾶν τὰ στήθη, καὶ τοὺς μαζοὺς καταλαμβάνειν τῇ ἀφῇ. καὶ ἅπτεσθαι τῶν ἀπορρήτων μελῶν τῶν γυναικείων, καὶ διεγείρειν τὰς ἐπιθυμίας. λαμβάνεται καὶ ἐπὶ τοῦ τὰ κηρία τῶν μελισσῶν τρυγᾶν. καὶ βλιμάζειν, ἀποστάζειν τοῦ μέλιτος.

Βλιμάζοντες, νεωτερικὴ ἡ λέξις. Καλλίστρατος ἀντὶ τοῦ ψηλαφᾶν. ἔοικε δὲ πλέον τι σημαίνειν τὸ μετὰ συνουσίας. βλιμάζειν δὲ κυρίως τὸ τοῦ ὑπογαστρίου καὶ τοῦ στήθους ἅπτεσθαι, ὅπερ ἐποίουν οἱ τοὺς ὄρνιθας ὠνούμενοι, οἱονεὶ θλιβομάζειν. Δίδυμος δὲ βλιμάζοντες, ἀντὶ τοῦ κακοῦντες. ἀποτίλλουσι γὰρ καὶ κατεσθίουσι.

Βλιμαίνειν, τὸ στριγᾶν.

Βλιμάξαι, βαστάσαι, ἀτιμάσαι.

Βλιμάττομεν, ψηλαφῶμεν, ἐπιθυμοῦμεν.

Βλίμη, προπηλακισμὸς, ὕβρις.

Βλινὸν, δαλόν.

Βλὶξ, συνεχῶς.

Βλίσαι, καπνίσαι μελίσσας, καὶ ἐξελάσαι τῶν σμηνῶν, ὑπὲρ τοῦ τὸ μέλι τρυγῆσαι. καὶ βλίσαι, τὸ βαστάσαι. καὶ βλίσαι, τὸ τὰ κηρία θλίψαι τῶν μελισσῶν. ἀπὸ τοῦ μέλι, μελίζω. καὶ κατὰ συγκοπὴν καὶ τροπὴν, βλίζω.

Βλίσσιοι. οἱ Βοιωτοὶ πρότερον οὕτως ἐκαλοῦντο.

* Βλισσὴ πέτρα, ἀκρωτήριον τῆς Γορτυνίας. ἢ καὶ βλησσὴν ἀρσενικῶς, ὡς σωλήν.

Βλιτάδας οἱ παλαιοὶ, τὰς ἀσθενεῖς γυναῖκας ἔλεγον.

Βλιτάχεα, παρὰ Ἐπιχάρμῳ, οἱ μὲν τὰ κογχύλια, οἱ δὲ τὰ ὑφ᾽ ἡμῶν σελάχια.

Βλίτας, καὶ βλίτωνας, τοὺς εὐήθεις.

Βλιτομάμαν, μωρὸν λέγει Ἀριστοφάνης. τὸ γὰρ βλίτον, μωρὸν εἶναι δοκεῖ λάχανον.

Βλιμασὶς, ἡ τῶν τιτθῶν ἄληψις.

Βλίττης, ἀμέλγεις. παρὰ τῷ Ἀριστοφάνει, βλίττειν ἐστὶ τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων, καὶ πειράζειν. καὶ τὸ ψηλαφᾶν, καὶ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν, καὶ θλίβειν.

Βλιττομάμμας. καί σε καλοῦσι βλιττομάμμαν, τουτέστι μωρόν. καὶ γὰρ τὸ βλίττον, μωρόν ἐστι λάχανον.

Βλίττον. εἶδος βοτάνης.

Βλίττειν, τὸ μέλι ἀπὸ τῶν κηρίων ἀφαιρεῖν, καὶ τὰ κηρία τῶν μελισσῶν θλίβειν.

Βλίτυρι, χορδῆς μίμημα. καὶ βλίτυρι, καὶ σκινδαψὸς, ἄλογον. γέγονε δ᾽ ἤδη παροιμιῶδες, ὡς καταριθμεῖσθαι ἐν καταλόγῳ φαρμάκων. Ἴόβας δὲ τὸν σκινδαψὸν, ὄργανον μουσικὸν ἀποδίδωσι. τὸ δὲ βλίτυρι, χορδῆς μίμημα, οὐκ εὖ.

Βλίφυλλον, σύκινον.

Βλοσυρὸν, ἀπὸ τοῦ βάλλειν, καὶ τιτρώσκειν τοῖς ὄσσοις, καὶ τοῖς ὀφθαλμοῖς.

Βλοσυρὸν ὄμμα, τὸ παρασεσυρμένον, καὶ ταυρηδὸν βλέπον. καὶ καταβλοσυρὰν ἄκρην, παρὰ τῷ Ἀπολλωνίῳ, τὴν λαμπρὰν ἴσως σημαίνει.

Βλοσυρὸς, ἔχει τι ὅμοιον πρὸς τὸν παραβλῶπα. εἴγε καθάπερ ἐκεῖνος παραβάλλει τὰς ὦπας, οὕτω καὶ αὐτὸς τὸ βλέμμα παρασύρει. ἔστι μέντοι ὁ βλοσυρὸς, οὐκ ἐφ᾽ ὕβρει, ὡς ὁ κυρίως παραβλώψ. καὶ βλοσυρὸς, ἀξιωματικὸς, καταπληκτικὸς, φοβερὸς, σεμνός.

* Βλὸψ, ὁ τῆς κλεψύδρας ἦχος μιμητικῶς.

Βλοστρισμὸς, ἡ ἀπορία, παρὰ τῷ Γαληνῷ. γράφει καὶ ὁ Ψελλὸς, ἐκχύμωμα, παρέκχυσιν, τὴν ἐφελκίδα μύκην, ὑπέρυθρος, κατάξηρος. καὶ βλοστρισμὸν, ἀπορίαν, ἔκφυμα, τὸ ἐξάνθημα. τὸ βλάπτεσθαι, καὶ τὸ γεῦσθαι.

Βλυβάζει, ψηλαφᾷ τὰ στήθη καὶ τοὺς μαζούς.

Βλύδιον, ὑγρὸν, ζέον, ἢ ὑπόδημά τι.

Βλύειν, τὸ ἀναβάλλειν, καὶ τὸ ἀναδιδόναι.

Βλύζειν, καὶ τὸ βρύειν, ποιαὶ λέξεις εἰσὶν, ἀπὸ τοῦ γενομένου ἤχου ἐν ταῖς ἀναβλήσεσι τῶν ὑδάτων πεποιημέναι.

Βλωθρὰ, χλωρὰ, ἁπαλά. ἢ μακρὰ καὶ μεγάλα.

Βλωθρὴ πίτυς, ἡ ἐλάτη λέγεται, παρὰ τὸ εἰς αἰθέρα μολεῖν. καὶ βλωθρὴ ἐν Ὀδυσσείας ω, ἡ ὄγχνη. ἐν Ἰλιάδι δὲ, πίτυς. ὥς φασιν οἱ παλαιοὶ, κατὰ Τυρρηνοὺς μὲν, ἡ ηὐξημένη ἢ διαυξής, ὑψηλὴ δὲ κατὰ Βοιωτούς. ἀπὸ τοῦ μολεῖν εἰς αἰθέρα, μολοεθρῆτις οὖσα. καὶ ἐν συγκοπῇ, καὶ ἐκβολῇ τοῦ μ, ἀντεισβολῇ δὲ συνήθει τοῦ β, διὰ τὸ ἄφωνον, βλωθρή. Ἀρκάδες δὲ βλωθρὴν, τὴν ἁπαλήν φασι. Μάγνητες τὴν ὁλοιοβαρῆ, Δρύοπες τὴν τραχεῖαν, Καρύστιοι τὴν σκληράν. παρατετηρημένως δέ φασιν Ὅμηρος, καὶ οἰκείως ἑκάστοις τὰς κλήσεις ἐπιτιθεὶς, λέγει δρῦς ὑψικόμους, ἰτέαν ὠλεσίκαρπον, πίτυν βλωθρὴν, μελίας ταναήκεας ὄζους, αἰγείρους ὑδατοτροφέας, τανύφλοιαν κράνειαν.

Βλωμοὶ, στραβοί.

Βλωμὸς, κλάσμα ἄρτου. ἀπὸ τοῦ ψωμὸς, τοῦ ψ εἰς β τραπέντος. ἢ παρὰ τὸ φλωμὸς, ὅ ἐστι κλάσμα τοῦ ἄρτου, καὶ κατὰ τροπὴν βλωμός. ἢ παρὰ τὸ βρῶ τὸ ἐσθίω, βρομὸς καὶ βλωμός. ὡς καὶ παρὰ τὸ βῶ, βωμός. οἱ δὲ, παρὰ τὸ βάλλειν εἰς τὸ στόμα. Ἡσίοδος ὀκτάβλωμον.

Βλωρὸς, σύκου φύλλον.

Βλῶσις, οἷον δίφρου τέτυκται βλῶσις, ἡ ἕδρα. σημαίνει δὲ καὶ τὸ πορευτικόν. ἴσως μόλησις οὖσα, κατὰ τροπὴν τοῦ μ εἰς β, ἡ παρουσία.

Βλώσκειν, ἀντὶ τοῦ μολεῖν, καὶ μετὰ προθέσεως μέντοι Ὅμηρος, οἷον δμώας δ' οὐκ εἴας προβλωσκέμεν, ἕρπειν, βοᾶν, κραυγάζειν.

Βλώσκοντα, γίνεται ἀπὸ τοῦ μολῶ μολήσκω, ὡς θνήσω θνήσκω. καὶ τὰ ὅμοια. καὶ τροπῇ συνήθει μακροῦ εἰς μακρὸν, ἤγουν τοῦ η εἰς ω, μολώσκω. καὶ συγκοπῇ τοῦ ο τῆς ἀρχούσης, καὶ ἀποβολῇ μὲν τοῦ μ, ἐνθέσει δὲ τοῦ β, βλώσκω. Ἰστέον δὲ, καὶ ὅτι ἐν μέσῳ λέξεως τὴν ἀπὸ συγκοπῆς κακοφωνίαν τοῦ μ καὶ λ, θεραπεύουσιν οἱ παλαιοὶ ἐπεμβαλόντες τὸ β, καὶ φυλάσσοντες τὸ μ, ὡς ἐν τῷ παρέμβλωκε.

Βλώσκω, τὸ αὐξάνω.

ΤΟ' Β'. ΜΕΤΑ' ΤΟΥ͂ Ο'.

ΒΟᾶ, βοάω βοῶ. ἐκ τοῦ βοὴ, γίνεται βοῶ βοᾷς, τὸ παθητικὸν βοῶμαι. τὸ δεύτερον βοᾷ σὺ, καὶ πειρᾷ σύ, ἔχει τὸ ι προσγεγραμμένον. τὸ δὲ βοᾶν καὶ γελᾶν ἀπαρέμφατα, οὐκ ἔχει τὸ ι προσγεγραμμένον. ὅτι ἀπὸ τοῦ παρατατικοῦ γέγονε, τοῦ ἐβόα καὶ ἐγέλα. καὶ ὁ παρατατικὸς οὐκ ἔχει τὸ ι προσγεγραμμένον. ἢ ὅτι τὰ εἰς ν λήγοντα ῥήματα, οὐδέποτε ἔχει πρὸ τοῦ ν τὶ ἀνεκφώνητον. Δεῖ δὲ γινώσκειν, ὅτι τὸ βοᾶς καὶ γελᾶς, οἱ Δωριεῖς βοῆς καὶ γελῆς λέγουσι. καὶ μηδεὶς οἰέσθω ἀπὸ τοῦ βοᾶς καὶ γελᾶς γεγονέναι, κατὰ τροπὴν τοῦ α εἰς η, ἀλλ' ἀπὸ τοῦ βοάεις καὶ γελάεις, κατὰ κρᾶσιν. οἱ γὰρ Δωριεῖς τὸ α καὶ ε εἰς η κιρνῶσιν, οἷον τὰ ἐμὰ, τήμά.

Βοάγρια, τὰ ἐκ βοῆς ἀγρευόμενα λάφυρα, καὶ ἀσπίδες ἐκ βοῶν ἀγρίων.

Βοάγριον, ἀσπίδα ἐκ δέρματος βοὸς ἀγρίου γεγονυῖαν.

Βοάγριος παραῤῥέων· θρόνιον, τὸ κατὰ τὴν μεσόγαιαν τῆς κνημῖδος. τῶν ἐπικνημιδίων γάρ ἐστι Λοκρῶν.

Βόαγρος, ὄνομα ποταμοῦ.

Βοάδει, ὀκνεῖ.

Βοαδρόμος, ὁ βοηθὸς, ἀπὸ τοῦ εἰς βοὴν θεῖν. βοὴ γὰρ κυρίως ἡ μάχη, ὡς παρὰ τὸ βοὴ καὶ τὸ θοὸς, ὁ εἰς τὴν βοὴν θοὸς καὶ ταχύς.

Βοαῖς, γελαῖς. Αἰολεῖς εἰώθασιν ἐκφωνεῖν τὸ ἀνεκφώνητον ι ἐπὶ τοῦ τρίτου καὶ δευτέρου προσώπου τοῦ βοᾷ, καὶ γελᾷς. οἷον βόαι, καὶ γελαῖς.

* Βοᾶν, ἠπύειν, αὔειν, φωνεῖν, ἐπὶ τοῦ αὐτοῦ συνωνύμως. Ὅμηρος.

Βοᾶν, τὸ κατ' ἐξαίρετον φωνεῖν. κικλήσκειν δὲ, ὅ ἐστι τὸ καλεῖν ἠρέμα. τοῦ δὲ κλῆσιν ἡ διάθεσις, κατὰ τὸ τμῆσιν. ὃ δηλοῖ τὸ τμητικῶς. Ἀττικὸν δὲ καὶ ἅμα ἐτυμολογικὸν τὸ κλῆσιν κικλήσκειν· ὃ σαφέστερον, καὶ ἐξονομακλήδην λέγεται.

Βοᾶν, καὶ φωνεῖν, καὶ ποιητικῶς βοστρεῖν, ἐπὶ τῆς ἐνάρθρου τῶν ἀνθρώπων. καὶ ἀπὸ τούτου ἐπὶ τῶν μεγάλῃ φωνῇ καλούντων τινάς. λέγει δὲ καὶ φθέγγεσθαι καὶ διαλέγεσθαι καὶ λαλεῖν καὶ αὐδᾶν, ποιητικῶς τὸ ἐνάρθρως λέγειν, ἤγουν τῷ προφορικῷ λόγῳ χρῆσθαι.

Βοάνθεμον, βούφθαλμον, παρὰ τῷ Ἱπποκράτει. τὸ δ' αὐτὸ, καὶ χρυσάνθεμον.

Βοαρμία, Ἀθηνᾶ, παρὰ τὸ συναρμόσαι καὶ ζεῦξαι εἰς ζυγὸν καὶ ἄροτρον βόας. ἡ γὰρ αὐτή ἐστιν, ὡς ἴσμεν τῇ φρονήσει. οὕτω δὲ τιμᾶται παρὰ Βοιωτοῖς, καὶ ἡ Λογγᾶτις ὁμοίως. Λογγὰς γὰρ χωρίον Βοιωτίας. Ὁμωλωῒς δὲ τιμᾶται παρὰ Ἀθηναίοις. ὁμωλωΐδες γὰρ πύλαι Θηβῶν, ἀπὸ Ὁμωλωΐδος τῆς Νιόβης θυγατρός. βία, ἡ δύναμις.

Βόας βουκολεῖν, ταυτολογίαν ἔχει περιττήν. ἤρκει γὰρ μόνον τὸ βουκολεῖν καὶ λειπόντων τῶν βοῶν. καὶ ἔστιν ὅμοιον τῷ, οἶνον οἰνοχοεῖν, καὶ τῷ κυνυλαγμὸς, καὶ τοῖς τοιούτοις. ἐπὶ τούτων γὰρ περισσὸν ὁ οἶνος, καὶ ὁ κύων, διὰ τὸ συνυπακούεσθαι τῇ οἰνοχοΐᾳ καὶ τῷ ὑλαγμῷ. καὶ βόας βουκολεῖν τὸν Ἀπόλλωνα. τῶν δὲ μεθ' Ὅμηρον οἱ μὲν τὴν αἰτίαν τῆς θητείας ἀπέδωκαν τὴν ἐκ τοῦ διὸς ποινὴν, ὅτε συνδῆσαι αὐτὸν ἐβουλεύσαντο. ἕτεροι δέ φασιν, ὅτι οὐχὶ ἄκοντες, ἀλλὰ ἑκόντες ἐθήτευσαν ξένοις ἐοικότες, ἵνα τὴν Λαομέδοντος ὕβριν πειράσωσιν. ὃ καὶ ἐν Ὀδυσσείᾳ ὁ ποιητὴς διδάσκει, ἔθιμον εἶναι τοῖς θεοῖς. ὅθεν φασὶ, θανόντος τοῦ ὑβριστοῦ Λαομέδοντος, βοηθεῖ τοῖς Τρωσὶν Ἀπόλλων ἀντισηκούμενος τιμαῖς. ἐτιμᾶτο γὰρ, ὥσπερ ἐν Χρύσῃ, καὶ Κίλλῃ, καὶ Τενέδῳ, οὕτω καὶ ἐν Ἰλίῳ. Ποσειδῶν δὲ ἀγέραστος μείνας, μνησικακεῖ τοῖς ἀπογόνοις τοῦ ὑβριστοῦ. ταῦτα οὖν φασί τινες, καὶ ὅτι ἀμφότεροι τὸ Τρωϊκὸν τεῖχος ἔδειμαν. τοῦτο δὲ, οἱ μὲν αὐτοχειρίᾳ γενέσθαι μυθεύονται. οἱ δὲ, οὐκ αὐτοὺς θητεῦσαί φασιν, ἀλλὰ ἱερὰ τούτων χρήματα δαπανηθῆναι εἰς ἀνέγερσιν τοῦ Ἰλίου. κἀντεῦθεν ἀστείως πλασθῆναι, ὡς Ἀπόλλων καὶ Ποσειδῶν αὐτὴν ἐδείμαντο. ἕτεροι δέ φασί, τινας τεχνίτας ἀμισθὶ ἐργασαμένους, ἀναθέσθαι τὸ ἔργον Ἀπόλλωνι καὶ Ποσειδῶνι· ὅπερ ὁ μῦθος μεταβιβάζει ἐντεῦθεν εἰς αὐτούς.

Βοατίδας, ὁ Ἡρακλῆς. ὁ τοὺς βόας τοῦ Γηρυόνου ἄγων τῷ Διΐ.

Βόαυλα, ἡ βούστασις.

Βόεια ῥήματα, μεγάλα, καὶ κτύπου πλέα. Ἀριστοφάνης, ὀφρῦς ἔχοντα, ὑψηλὰ καὶ ὑπερήφανα.

Βοείαισιν, ἱμᾶσι βοείοις.

* Βοέη, ἡ τοῦ βοὸς βύρσα.

Βοείας, βύρσας, ἀσπίδας. ἀπὸ τοῦ βεβυρσῶσθαι τοῖς βοείοις.

Βόες αἱ τέλειαι. δαμάλεις, καὶ πόρτιες, αἱ μήπω ὑπὸ ζυγὸν ἐλθοῦσαι, μηδὲ ὀχευθεῖσαι. αἱ πόρτιες δὲ, αἱ ἔτι ἀτελέστεραι τῶν δαμάλεων. ἐπὶ δὲ τῶν ἀῤῥένων, μόσχοι τὰ νεογνὰ, καὶ τὰ ὑπὸ ταῖς μητράσιν ἔτι. ταῦροι δὲ, οἱ τέλειοι. ἔστι δὲ ἡ δάμαλις τῆς δαμάλεως. οἱ ποιηταὶ δὲ, ἡ δαμάλη τῆς δαμάλης λέγουσιν. ἀφ' οὗ παρὰ Θεοκρίτῳ, αἱ δαμάλαι. καὶ βόες οἴνοπες, οἱ μέλανες.

* Βόες αὖαι, αἱ ἀσπίδες παρ' Ὁμήρῳ.

* Βοεὺς βοέως, ὁ ἐκ βοείου δέρματος ἱμάς.

Βοηδρομεῖν, τὸ μετὰ σπουδῆς παραγίνεσθαι. καὶ ἀντὶ τοῦ βοηθεῖν, τουτέστιν ἐπὶ μάχην δραμεῖν.

Βοηδρομία, ἑορτή τις Ἀθήνησιν, οὕτω καλουμένη. ἥν φησι Φιλόχορος, ὅτι ἐτιμᾶτο βοηδρόμιος Ἀπόλλων. ἐκλήθη δὲ καὶ ἡ θυσία καὶ ὁ μὴν, καὶ τὰ βοηδρόμια.

Βοηδρομίαις, βοηθείαις, συμμαχίαις.

Βοηθεῖν, ἐπικουρεῖν, ὑπερμαχεῖν, τῷ ἀδυνάτῳ χρησιμεύειν. ἀμύνει δὲ, ὁ ὑπὲρ τοῦ πεπονθότος κακῶς.

Βοηθεῖν ἐλέγετο κυρίως, ἐπὶ μάχης. ὥσπερ τὸ βοηδρομεῖν, ἀπὸ τοῦ ἐπὶ τὴν βοὴν θεῖν, ἤγουν τὴν μάχην. ὡς παρ' Ὁμήρῳ, βοὴν ἀγαθὸς Μενέλαος.

Βοηθός ἐστιν, ὁ ἐφαπτόμενός τινι εἰς πᾶν ἔργον. τιμωρὸς δὲ, ὁ αὐτός. κυρίως ὁ ἐκδικητὴς, ὁ τινὰ παθόντα κακῶς παρά τινος ἐκδικῶν.

Βοηθῶ, δοτικῇ συντάσσεται. Ἀριστοφάνης, φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις. καὶ βοηθῶ, ἀμύνω, ἐπαμύνω, ἀρήγω, ἐπαρκῶ, συναίρομαι, συνεφάπτομαι, συλλαμβάνω, ἐπικουρῶ, ἀντιλαμβάνομαι.

Βοηλασίη, Ὅμηρος, ἀμφὶ βοηλασίῃ. ἔχει μὲν τὴν ἀμφὶ πρόθεσιν δοτικῇ συνταχθεῖσαν, συνήθως τῷ ποιητῇ. καὶ εἴληπται ἀντὶ τοῦ περὶ βοηλασίην. δηλοῖ δὲ ἀπὸ μέρους, καὶ ἑτέρων ζώων ἀπέλασιν κατὰ τὸ Ὁμηρικὸν ἐλάσιον. διάλυσις δήπου ἦν βοηλασίας, τὸ, οὐ γὰρ ἐμὰς βοῦς ἤλασσαν, ὅθεν ἡ βοηλασία σύγκειται. καὶ ἑτέρα δὲ λέξις καὶ ἐν τούτοις ἡ ἀπέλασις, ῥύσια ἐλαυνόμενος, καὶ ληΐδα συνηλάσαμεν, καὶ τὰ μὲν ἠλασάμεσθα εἰς Πύλον.

Βοὴν ἀγαθὸς, ὅ ἐστι μάχην, ἢ κραυγήν. ὅθεν καὶ τὸ αὐτοβοεὶ ἐπίῤῥημα γίνεται. ἢ βοὴν ἀγαθὸς Μενέλαος, ὁ πολεμιστής. βοὴ γὰρ ἐκ τοῦ παρακολουθοῦντος ἡ μάχη. ὥσπερ καὶ αὐτὴ, ἀπὸ τοῦ αὔω τὸ βοῶ. καὶ φύλοπις, ἐκ τῆς ὀπὸς, ἤτοι βοῆς τῶν φύλων. ἢ βοὴν ἀγαθὸς, ὁ εὐρυβόας. ἀρετὴ γὰρ τοῦτο στρατηγοῦ, καὶ χρήσιμον ἐν μάχαις τὸ μεγαλόφωνον. μήπω γάρ φασι σάλπιγγος εὑρεθείσης, τῇ βοῇ ἐδιοίκουν οἱ παλαιοὶ, τὰς τῆς μάχης ἐπιθέσεις τε καὶ ἀνακλήσεις. καὶ ἱστοροῦνται πολλοὶ τῶν στρατηγῶν ἐπαινετοὶ, διὰ τὴν εὐρυφωνίας. ἔτι δέ φασι, καὶ σημεῖον θάρσους τὸ βοᾶν. διὸ πολλαχοῦ ὁ ποιητὴς τοὺς ἥρωας, βοῶντας παρεισάγει, οἷον σμερδαλέον ἐβόησε, καὶ ἤϋσε διαπρύσιον. καὶ βοὴν ἀγαθοὺς ἀποκαλεῖ, τόν τε Ἕκτορα καὶ τὸν Αἴαντα καὶ τὸν Διομήδην, καὶ ἄλλους ἀνδρείους. τὸ μέντοι δειμαίνειν, ταρβεῖν λέγεται. καὶ ἡ δειλία, τάρβος. παρὰ τὸ τεράσσεσθαι τὴν βοὴν τοῖς δειλιῶσιν. ἢ βοὴ, ἡ μεγάλη φωνὴ, καὶ ἡ μάχη. κυρίως δὲ ἡ μάχη· ὡς τὸ, βοὴν ἀγαθὸς Μενέλαος.

Βοῆς, ἀντὶ τοῦ βοᾶς. ἔστι δὲ Δωρικόν. καὶ μηδεὶς οἰέσθω ἀπὸ τοῦ βοᾶς γεγονέναι, ἀλλ' ἀπὸ τοῦ βοάεις, κατὰ κρᾶσιν τοῦ α καὶ τοῦ ε εἰς η. ὡς γελῆς ἀπὸ τοῦ γελάεις, οὐκ ἀπὸ τοῦ γελᾶς.

Βοήσω. ἐν τῇ δευτέρᾳ συζυγίᾳ τῶν περισπωμένων, πέντε παραλήγονται τῷ ο, βοῶ, γοῶ, ἀκροῶ, μακοῶ, ἀλοῶ. καὶ τὰ μὲν δύο διὰ τοῦ η ἔχει τὸν μέλλοντα, βοήσω καὶ γοήσω. τὰ δὲ δύο διὰ τοῦ α. ἀκροάσω καὶ μακοάσω. τὸ δὲ ἓν διφορεῖται, ἀλοῶ, καὶ ἀλοάσω καὶ ἀλοήσω. ἡ γὰρ δευτέρα ἐπὶ τοῦ μέλλοντος ἔχει τὸ η ἢ τὸ α, ἐάσω. εἶθ' ἡνίκα καθαρεύῃ ὁ ἐνεστὼς, τότε ὁ μέλλων διὰ μακροῦ τοῦ α ἐκφέρεται, οἷον ἀνιῶ ἀνιάσω, θεῶ θεάσω, ἰῶ ἰάσω. καὶ ἡνίκα ἔχῃ τὸ ρ διὰ μακροῦ τοῦ α ὁ μέλλων, οἷον γηρῶ γηράσω, φυρῶ φυράσω. ἡνίκα δὲ ἔχῃ τὸ λ, τότε ὁ μέλλων διὰ βραχέος τοῦ α, οἷον θλῶ θλάσω, γελῶ γελάσω. τὰ δὲ ἔχοντα ἐν τῷ ἐνεστῶτι σύμφωνον χωρὶς τοῦ λ καὶ τοῦ ρ, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. οἷον ζῶ ζήσω, νικῶ νικήσω, πεινῶ πεινήσω, διψῶ διψήσω. τὸ δὲ πεινάσω καὶ διψάσω, κατὰ τροπὴν Δωρικὴν γέγονε τοῦ η εἰς α. τὰ δὲ ποιοῦντα παράγωγα εἰς μι, κἄντε λ ἔχῃ, κἄντε ρ, διὰ τοῦ η ἔχει τὸν μέλλοντα, οἷον πλῶ πιμπλῶ πέμπλημι πλήσω, χρῶ κιχρῶ κίχρημι χρήσω, στῶ ἱστῶ ἵστημι στήσω.

Βόθροι, οἱ πλυνοὶ, τουτέστιν ὀρύγματα. διὸ ἐπηετανοὺς αὐτοὺς εἶπεν, ὡς δι' ὅλου ἔτους κοίλους μένοντας, καὶ μὴ ἀναπληρουμένους, οἷα εἰκὸς πάσχειν τὰ βεβοθρευμένα δι' ὀρύξεως. καὶ περὶ τούτων Ὅμηρος ἐν Ὀδυσσείᾳ.

Βόθρος, δῆλον τὸ σημαινόμενον.

Βόθυνος, τόπος τὶς ἰδίως οὕτω καλούμενος, ἐν τῇ ἱερᾷ ὁδῷ. οὗ μνήμην Ἰσαῖος καὶ Καλλισθένης ποιεῖται. καὶ ὁ βόθρος, καὶ ὁ λάκκος, καὶ τὸ ὄρυγμα. ὥσπερ παρὰ τὸ θρασὺς γίνεται θράσυνος καὶ θάρσυνος, οὕτω καὶ παρὰ τὸ βαθὺς, βάθυνος. καὶ βόθυνος, εἶδος ἀστέρος.

Βοίας, εἶδος ὀρνέου νυκτερινοῦ.

Βοιβηὶς, λίμνη Θετταλικὴ κατὰ τὸν Γεωγράφον, ἐλάττων τῆς Νεσωνίδος, καὶ πλησιεστέρα τῇ παραλίᾳ. λέγει δὲ ὁ αὐτὸς, καὶ ὅτι Βοιβηὶς λίμνη πλησιάζουσα Φεραῖς. καὶ Βοίβη χωρίον ἐπὶ τῆς λίμνης κείμενον. εἴρηται δέ φασι Βοίβη, ἀπὸ Βοίβου υἱοῦ Γλαφύρου, τοῦ τὰς Γλαφύρας κτίσαντος, ὡς ἱστορεῖ ὁ ἀπογραψάμενος τὰ ἐθνικά.

* Βοίδης, ὁ πρᾶος καὶ εὐήθης.

Βοΐδιον, βοΐδιον.

Βοιωτία, ἡ Εὔριπος, καὶ Βοιωτεῖς.

Βοιωτὸς, καὶ βοωτὸς, ἐκλήθη παρὰ τὸ μετὰ βοῶν ἀροτριᾶν.

Βολάων, βόλων, ἢ πληγῶν.

Βόλβιτον, ἀφόδευμα βοός. καὶ βόλουνθον τὸ αὐτό. ἢ βόλβιτον, τὴν παντοδαπῆ κόπρον.

Βολβεῖται, μεγαλοῤῥημονεῖ.

Βολβοὶ, εἶδος ὀσπρίου, ἢ καὶ κρομμύου.

Βολβὸς, ὕδνος, τὸ κατὰ γῆς κρομμυῶδες. ὁ βίᾳ γῆθεν ἀναβαλλόμενος, κατὰ Ἡρωδιανόν.

Βολβοὺς λέγουσι, τὰ λεγόμενα ὕδνα, ἅτινα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν οἱ ἄνθρωποι.

Βολεῶν Ἀττικῶς, ὅ ἐστι κοπρὼν, ἤτοι κοπροβολεῖον. οὗ κόπρος δηλαδὴ ζώων βάλλεται, ἤγουν ῥίπτεται. ἀκόλουθον δὲ τοῖς βολεῶσι, καὶ τὸ βόλιτον ἢ βόλβιτον ἐπὶ κόπρου νοούμενον. ἔτι βολὴ καὶ τὸν βόλον παράγει, τόν τε κυβευτικὸν, καὶ τὸν κατὰ θαλάσσης ἀφιέμενον, εἴτε διὰ δικτύου, εἴτε διὰ μολίβδου, ἢ λίθου.

ἀφ' οὗ

Digitized by Google

ἀφ' οὗ καὶ βολίζειν, τὸ σημειοῦσθαι διὰ καθέσεως βόλου, εἰ βαθὺ τὸ ὕδωρ. καὶ οὐ τὸ βολίζειν μόνον ἐκεῖθεν, ἀλλὰ καὶ τὸ βολῶ βολήσω. ἐξ οὗ τὸ, τένθει ἀτλήτῳ βεβολήατο, ἤγουν βέβληντο κατὰ συγκοπήν.

Βολῆσι, τουτέστι βολαῖς ταῖς διὰ ὀστέων καὶ ξύλων. Ὅμηρος ἐν Ὀδυσσείᾳ.

Βολίδες, ἀκόντια, λογχάρια.

Βόλιμος, μόλιμος, καὶ κατὰ ἐναλλαγήν, βόλιμος.

Βόλινον, Κώμη τῆς Ἀχαΐας, πλησίον Πατρῶν.

Βολὶς, ἀκόντιον, βέλος, λογχάριον. καὶ βόλος, τὸ βαλλόμενον εἰς ἄγραν ἰχθύων.

Βολίσι, τρώσεσι, πληγαῖς.

Βόλιτον, βόλβιτον δὲ Ἴωνες, οἵτε ἄλλοι, καὶ Ἱππῶναξ. βολβίτῳ κασιγνήτην, καὶ βολίτιον κατὰ παραγωγήν. εἴρηται δὲ οἱονεὶ βοὸς λιτὸν, τὸ ἁμάρτημα τὸ κοπρῶδες. καὶ πλεονασμῷ τοῦ β, βόλβιτον.

* Βολεὼν, κοπρὼν, εἴτουν κοπροβολεῖον· ὅπου δηλονότι κόπρος ζώων βάλλεται.

Βόλιτος, καὶ βόλβιτα, τὰ κόπρα.

Βόλος, ὁμωνύμως λέγεται καὶ ἐπὶ τοῦ πεττευτικοῦ, καὶ ἐπὶ τοῦ κατὰ δίκτυον. ὅθεν καὶ ῥῆμα σπουδαῖον ἐν χρήσει, τὸ βολίζειν, ἤγουν βάθος θαλάσσης μετρεῖν μολιβδίνῃ καθέτῳ. καὶ βόλος, ἡ δρόσος.

Βολωσία, ἡ εἰλείθυια. βολὰς γὰρ τὰς ὠδῖνας ὠνόμαζον. βόλος ὑπὸ Κρητῶν, καὶ ἡ διὰ σαγήνης ἄγρα, καὶ ὁ τῶν κύβων καὶ ἀστραγάλων.

Βομβάζειν, φθέγμα ἐπὶ τῷ διασύρειν καὶ τωθάζειν λεγόμενον.

Βομβαύλιοι, αὐληταί. τὸ δὲ βομβίλιος, ἐν προθέσει τοῦ α ἔφη βομβαύλιος παίζων Ἀριστοφάνης, παρὰ τὸν αὐλόν. βομβύλιος δὲ, εἶδος μελίσσης. καὶ εἴρηται παρὰ τὸ βομβεῖν.

Βομβεῖν, ὠνοματοπεποιημένον ὂν, καὶ ἐπὶ λίθου ἀφειμένου κεῖται ἐν Ὀδυσσείᾳ. βομβεῖν δέ τις ῥήτωρ φησὶ καὶ ἐπὶ βροντῆς. καὶ ὁ βομβύλιος δὲ, ἐκ τῆς τοιαύτης παρῆκται λέξεως, ζωΰφιον ὢν αὐτὸς, βομβητικὸν ἐν τῷ πέτεσθαι, κολεόπτερον.

* Βομβὰξ, ἐπίρρημα παικτικῶς πλασθὲν παρὰ τῷ κωμικῷ ἀπὸ τοῦ βομβεῖν.

Βομβεῦντι, ἀντὶ τοῦ βομβοῦσι, Δωρικῶς. βομβηδὸν, ἀντὶ τοῦ μετὰ ἤχου καὶ βόμβου. βόμβος δέ ἐστιν, ὁ τῶν μελισσῶν ἦχος. ἔνιοι δὲ τῆς βοξωίου μελίττης λεγομένης.

Βομβῆσαι, ὡς περιστερὰ φωνῆσαι.

Βόμβησεν, ἐψόφησεν.

Βομβοία, ἡ κολυμβὰς ἐλαία, παρὰ Κυπρίοις.

Βομβοιλαδόνας, ἐνιαυτούς.

Βόμβος, ψόφος. δῆλον ὡς ὠνοματοπεποίηται, κατὰ μίμησιν τῆς γινομένης φωνῆς. λεγόμενος ποτὲ καὶ ἐπὶ βροντῆς, καὶ ἐπί τινων ἄλλων, ὡς δηλοῖ καὶ τὸ ζωΰφιον ὁ βομβύλιος, κληθεὶς οὕτω, διὰ τὸ βομβητικὸς εἶναι. βομβεῖν ἐξ αὐτοῦ, τὸ ἠχεῖν.

Βομβόλυξ, πομφόλυξ.

Βομβρύζων, τονθορύζων, βοῶν.

Βομβρωάζειν, βρενθύεσθαι.

Βόμβυκες, γένος αὐλῶν. ἢ εἶδος ζώου πτερωτοῦ, κατὰ σφῆκα.

Βομβύλην, λήκυθον.

Βομβυλίας, βομβύλιόν ἐστι ζωΰφιον, ὅμοιον μελίσσῃ, μέλαν δὲ τῇ χροιᾷ, ἐκ πηλοῦ κηροπλαστοῦν. λέγεται δὲ βομβυλίας, παρὰ τὸ βομβεῖν. ὥσπερ καὶ τὸ πινόμενον κοντρύβιον, καὶ ἡ ῥόμβα ἢ στέμβα, βομύλιος καὶ βέβρυξ καλεῖται. βομβύλιος δὲ καὶ βομβίλιον, πόλις, καὶ ὄρος Βοιωτίας. γράφεται δὲ διὰ τοῦ ι. εἰ δὲ εἴποις βελβύλειος κλιτὺς, καὶ ἀκρώρεια, ὡς κτητικὸν, τότε διὰ διφθόγγου γράφεται. βομβυλίας δὲ, καὶ διὰ τοῦ ι, καὶ διὰ διφθόγγου γραφήσεται. οἷον, ἡ βομβυλία τῆς βομβυλίας, καὶ ἡ βομβυλεία τῆς βομβυλείας. τιμᾶται καὶ Ἀθηνᾶ βομβυλεία.

Βομβυλίδας, πομφόλυγας.

Βομβύλιον, ἔκπωμα μικρὸν ἔχον στόμα. ἢ πῶμα παρὰ τῷ Ἱπποκράτει.

Βομβύλον, σκεῦος στρογγυλοειδές.

Βόμβυξ, εἶδος σκώληκος.

Βόμβυρ, ἄμμος, Λάκωνες. καὶ αὐλοῦ εἶδος, καὶ ζῶον. ἀφ' οὗ τὰ βομβύκινα ὑφάσματα συντελεῖται. ἔνιοι δὲ βομβύλιον λέγουσιν, οἱ δὲ ῥυμὸν, ἢ ἦχος βομβυλίου.

Βομβῶνας, βουβῶνας.

Βόρμιος, ἦχος, ψόφος.

Βοοθύτης, ὁ τοὺς βόας βάλλων πελέκει.

Βοονόμος, ὁ τοὺς βοῦς νέμων, καὶ βόσκων.

Βοοπόρους, ὀβελοὺς μεγάλους.

Βοὸς βοεὶν παρ' Ὁμήρῳ, περιττολογεῖται. ἤρκει γὰρ βοείην μόνον εἰπεῖν.

Βοὸς πόδα, οἱ μὲν Ἀττικοὶ ἐπὶ ζῶντος λέγουσιν. ἐπὶ δὲ τῶν τεθνηκότων, βόειον πόδα φασί.

Βοοσκέρας, τὸ περιτιθέμενον τῇ ὁρμιᾷ κέρας κατὰ τὸ ἄγκιστρον. οἱ δὲ, τρίχα.

Βόοσκον, βούφορβον, ὀρεινόμον.

* Βοόω, τὸ εἰς βοῦν μεταποιῶ. βοάω δὲ τὸ τρανῶς φωνῶ.

Βοοστόφῳ, μάστιγι, ἢ βούτῃ.

Βορὰ, θοίνη, βρῶσις, σῖτος, τροφὴ, παρὰ τὸ βῶ, τὸ τρέφω.

Βοράζειν, τρέφειν. ὥσπερ παρὰ τὸ ἀγορὰ ἀγοράζω, οὕτω καὶ βορὰ βοράζω.

Βορβοροτάραξ, ταραχωδέστατε, ταράττων ἡμῶν τὴν πόλιν, ὡς βόρβορον. θορύβου πληρώσας τὴν πόλιν, καὶ βορβόρου. Ἀριστοφάνης.

Βορβορίζει, γογγύζει, μολύνει.

Βορβόροπιν, κῆπον σημαίνει, καὶ τὸ μόριον.

Βόρβορος, παρὰ τὸ βάρος, βάρβαρος, καὶ τροπῇ τοῦ α εἰς ο, βόρβορος, ὅ ἐστι τὸ περίττωμα τῆς γαστρός. τοῦτο γὰρ ἐν τῷ ἄνω κείμενον, βάρος ἐμποιεῖ. ἢ παρὰ τὸ βορᾶ, βορὸς, καὶ βόρβορος, ἡ ἐκ τῆς τροφῆς ὕλη.. καὶ βόρβορος, ὀχετὸς δυσώδης.

Βορβορυγμὸς, ὁ ἐπιφερόμενος ἦχος τοῦ ὕδατος. ἢ ἦχος ἐκ τοῦ στόματος τῆς Καμήλου. συνήθημα δέ ἐστι ταῖς καμήλοις καθεζομέναις, ὁ τοιοῦτος ἦχος.

Βορβορωπὸν, αἰσχρὸν, βορβόρῳ ἐμφερές.

Βορέας, παρὰ τὴν βορὰν ἐτυμολογεῖσθαι δοκεῖ, ὡς τροφῆς ὢν αἴτιος, διὰ τὸ ἀδρύνειν τοὺς στάχυας. καὶ οὕτω γίνεται ἡμῖν αἴτιος, καθὰ καὶ ὁ ἐαρινὸς ζέφυρος. ἢ βορέας, παρὰ τὸ βάρος. ἢ παρὰ τὸ βορὰ, ὃ σημαίνει τὴν τροφήν. βορᾶς γὰρ ἡμῖν αἴτιος, αὔξων τοὺς καρπούς. καὶ βορέας, σκολιόν τι οὕτως ᾀδόμενον ἔλεγον, καὶ ὁ ἄνεμος.

Βορεασμοὶ Ἀθήνησιν, οἱ ἄγοντες τῷ Βορέᾳ ἑορτὰς, καὶ θοίνας, ἵνα ἄνεμοι πνέωσιν. ἐκαλοῦντο δὲ βορεασμοί.

Βορίην, τὴν φύσαν, γράφεται δὲ καὶ βοίη.

Βορεῖον, γαστὴρ ἰσκευαμένη πως.

Βορθαγορίσκια, χοίρεια κρέα. καὶ μικροὶ χοῖροι, βορθάκειοι. Λάκωνες.

Βορίω, ἐκ τοῦ βορίας βορέου, βορέεω, συγκέκοπται. ὁμοίως τῷ Ἑρμείῳ καὶ εὐμμελίῳ Πριάμου, καὶ τοῖς τοιούτοις.

Βορνὰ, βοτάνη πᾶσα.

Βορκύλα, πέμμα στρογγύλον διὰ μήκωνος, καὶ σησαμὶς ἢ ἐπὶ εὐμεγέθους ἄρτου.

Βόρμαξ, μύρμηξ.

Βόρμος, βρόμος, καὶ καθ' ὑπέρθεσιν, βόρμος καὶ βόρμοξ. ἔστι δὲ τροφὴ τετραπόδων.

Βορὸν, βρωτικὸν, ὀξύτατον.

Βορὸς, πολυφάγος, ἄπληστος.

* Βορὸν ὕδωρ, τὸ βοροποιὸν διὰ ψυχρότητα. ὅθεν συμπίλισις ἕπεται τοῦ αἵματος. ἐκεῖθεν δὲ κενεαγγία.

Βορράζων, ψοφῶν.

Βορρᾶς, ἄνεμος ψυχρός. τινὲς ἐν ρ̄ γράφουσι. καὶ βορᾶς, βρώσεως, ἢ τροφῆς.

Βορσὸν, σταυρὸν, Ἠλεῖοι.

Βόρταχος, βάτραχος, βορμός. ἔνιοι δὲ τὴν ἱππικλὼ καὶ σιτώδη πόσιν.

Βορυσθένης, ὁ Ἑλλήσποντος. ἔστι δὲ καὶ ποταμός.

Βόσις, ἡ τροφή.

Βοσκὰς, ὄρνεον, ἐκ τοῦ βόσκειν. καὶ προβοσκὶς ἐλεφάντων, ἡ καὶ προνομαία ὁμοίως. κυριολεκτουμένη καὶ ἐπὶ μυῶν, καὶ τευθίδων, ὡς λέγει Ἀθήναιος.

Βόσκημα, καλεῖται ἐπὶ χοίρων. Ξενοφῶν δὲ ἐν ἑβδόμῳ τῆς παιδείας, καὶ ἐπὶ ἵππων τέθεικε τὴν λέξιν.

Βόσκειν, ἐπὶ τῶν ἀλόγων ζώων τίθεται.

Βοσκημάτων, θρεμμάτων.

Βοσκήσεις, ἐπὶ ἀλόγων λέγεται, ἀπὸ πεπλασμένου ῥήματος, τοῦ βοσκῶ βοσκήσω. ἀφ' οὗ καὶ τὸ βόσκημα, καὶ ὁ βοσκηματώδης ἄνθρωπος.

Βοσκόμενος, δαπανῶν.

Βόσκω, παρὰ τὸ βῶ τὸ τρέφω, ὁ μέλλων βόσω, καὶ πλεονασμῷ βόσκω. ὡς τιτρώσω τιτρώσκω, θνήσω θνήσκω. ἐξ οὗ βόσις ἡ τροφὴ, καὶ συβώτης.

Βοσὸν παρ' Ἑβραίοις, τὸ ἀπὸ κόκκου βεβαμμένον ἱμάτιον.

Βόσπορος, τὸ τῆς Προποντίδος στενόν. οὕτω κληθὲν, ἀπὸ τῆς διανηξαμένης βοὸς τῆς Ἰοῦς. ἢ βόσπορος, οἱονεὶ βοὸς πόρος. ὠνόμασται γὰρ ἀπὸ τῆς Ἰοῦς τῆς θυγατρὸς Κάδμου. ταύτῃ γὰρ ἡ Ἥρα κατὰ ζῆλον οἶστρον ἔπεμψεν, ἥτις ἐλαυνομένη ὥσπερ πόρτις, τοῦτον παρῆλθε τὸν τόπον, ὥς φησι Διονύσιος. Τόδ' ἐπὶ Θρηϊκίου στόμα Βοσπόρου, ὅν πάρος Ἰὼ, Ἥρης ἐννεσίῃσιν ἐνήξατο πόρτις ἐοῦσα. Φίλαρχος δὲ, ὅτι οἱ ἐντὸς τοῦ Εὐξείνου Πόντου ἦσαν ἄπειροι γεωργίας, οἱ δὲ ἐκτὸς ἔμπειροι. διὸ καὶ βόσπορος ἐκεῖνο τὸ μέρος ἐκαλεῖτο τοῦ πελάγους, ὅτι ἐσπείρετο. τινὲς δὲ τοὺς στενοὺς πορθμοὺς, βοσπόρους εἰρῆσθαί φασιν. ἢ ὅτι τὸ παλαιὸν, εἴποτέ τινες ἤθελον εἰς τὸ πέραν διαβῆναι, σχεδίας πηγνῦντες, καὶ βοῦς ὑποζεύξαντες, ἐπὶ τούτων διεπεραιοῦντο. ὅθεν ἡ ἐπωνυμία. Ἄλλως.

Βόσπορος ὀνομάζεται διὰ τὸ δοκεῖν τὴν Ἰὼ βοῦν οὖσαν, διαπορεύεσθαι τὸ Βυζαντίου καὶ Καλχηδόνος διάστημα. ἢ διὰ τὸ πάντας τοὺς στενοὺς πορθμοὺς, βοσπόρους καλεῖσθαι. ἔνιοι δέ φασι, τοὺς ἐπὶ τοῦ στόματος οἰκοῦντας τὸ παλαιὸν, εἴποτε ἐθέλοιεν εἰς τὸ πέραν διαβαίνειν, σχεδίας πηγνῦντας καὶ βόας ἐπιζεύξαντας, ἐπὶ τούτων διαπεραιοῦσθαι, ὅθεν καὶ ὠνομάσθαι τὴν θάλασσαν. ἔστι δὲ ἕτερος βόσπορος τῆς σκυθικῆς, κιμμερινὸς προσαγορευόμενος, διὰ τὸ Κιμμερίους ἔθνος σκυθικὸν περὶ ἐκείνους οἰκῆσαι τοὺς τόπους. οἱ δέ φασι στόμα τῆς Μαιώτιδος λίμνης, στενὸν καὶ ἐπίμηκες, ἐμφερὲς τῷ κατὰ τὸ Βυζάντιον Βοσπόρῳ. Ἄλλως. Ἡ ἱστορία παρὰ τοῖς παλαιοῖς διαφόρως λέγεται. Νύμφις μὲν γάρ φησιν ἱστορεῖν Ἀκαρίωνα, ὡς ἄρα Φρύγες διαπλεῦσαι βουλόμενοι τὸν πορθμὸν, κατεσκεύασαν ναῦν ἔχουσαν ἐγκεχαραγμένην προτομὴν Ταύρου. διαπλευσάντων δὲ αὐτῶν, ἀπὸ τοῦ εἴδους τοῦ περὶ τὸ σκάφος προσαγορευθῆναι τὸ πέλαγος Βόσπορον. Ἔφορος δέ φησιν, ἡρπάσθαι τὴν Ἰὼ ὑπὸ Φοινίκων, καὶ διακομισθῆναι εἰς Αἴγυπτον. ἀνθ' ἧς τὸν βασιλέα τῶν αἰγυπτίων πέμψαι Ἰνάχῳ ταῦρον. τετελευτηκότος δὲ ἐκείνου, περιϊέναι αὐτοὺς παραδεικνῦντας, καθὸ πρότερον οὐκ ἐγίνωσκον τὸ ζῶον. τὸν δὲ τόπον προσηγορεῦσθαι, δι' οὗ οἱ τὸν ταῦρον ἔχοντες ἔπλευσαν τὸν Βόσπορον.

Βοστρύχια, στέμφυλα.

Βοστρυχιδῆ, πολυκαμπῆ.

Βοστρυχίζεται, κοσμεῖται.

Βοστρυχίνδες, τὸ θάλπον, ἢ θάλλον.

Βόστρυχος, ὁ πλόκαμος παρὰ τὸ βότρυχον, βόστρυχος, ὁ βοτρυοειδής. μετὰ σχήματος γὰρ βοτρυοειδοῦς ἀπήρτηται.

Βοτὰ, βοσκήματα. κατὰ πάντων δὲ καὶ χερσαίων, καὶ ἀγρίων ζώων. λέγεται δὲ ἀπὸ τοῦ βόσκεσθαι.

Βοτάνη, παρὰ τὸ βίᾳ τείνεσθαι, ἤγουν αὔξειν.

Βοτεῖν, βόσκειν.

Βοτῆρα, ποιμένα.

Βοτηρικὰ κύπελλα, ποτήρια ποιμενικά.

Βοτὶς, βόλτιον.

Βοτὸς, τροφὴ, ἢ βοσκή. καὶ βροτὸς, ὁ ἄνθρωπος.

* Βοτὴρ, τὸ βο̄ μικρόν. βώτωρ δὲ, τὸ βω̄ μέγα.

Βοτράχου, ἀντὶ τοῦ βατράχου, παρὰ τῷ Ἱπποκράτει.

Βοτροιδία, ἐνωταρίων εἶδος. οἱ δὲ βότρυς, ἐν Θεσμοφοριάζουσι.

Βότρυν, τὴν ὀπώραν, οὐχὶ τὴν σταφυλὴν μόνον. καὶ μήποτε τὴν βοτρυΐαν ὀπώραν.

Βοτρυμὸς, τρυγητός.

v Βοτρυ-

Digitized by Google

Βοτρυδὸν, ἡ ἑτέρα τῆς ἑτέρας ἐχομένη, ὡς ῥᾶγες τῶν βοτρύων.

Βοτρύδιον, κατὰ συντροφίαν.

Βοτρυόδωρος, βότρυς δωρουμένη. Ἀριστοφάνης, ὦ πότνια βοτρυόδωρε.

Βότρυς, παρὰ τὴν πόσιν πότρυς, καὶ βότρυς, ὁ τὴν πόσιν καὶ τὸ ποτὸν ῥέων. ἢ παρὰ τὸ βῶ τὸ πατῶ, ὁ τοῖς ποσὶ τριβόμενος, πατεῖσι πατούμενος.

Βόττια, πόλις Μακεδονίας.

Βοτῶν, θρεμμάτων.

Βοῦ, τὸ μέγα καὶ πολὺ δηλοῖ. Λάκωνες.

Βοῦα, ἀγέλη παίδων.

Βουαγετὸν, τὸ ὑπὸ βοῶν εἱλκυσμένον ξύλον. Λάκωνες.

Βουάγορ, ἀγελάρχης, ὁ τῆς ἀγέλης ἄρχων παῖς.

Βουάκραι, οἱ Φοίνικες, ὑπὸ Λακώνων.

Βουβάλιον, κόσμος χρυσοῦς, περιτιθέμενος τῷ καρπῷ. Δίφιλος ἐν Παλλακῇ, βουβάλια καρπῶν, παρθένου φρονήματα.

Βουβάλιον, τὴν ἀγριοσυκῆν, παρὰ τῷ Ἱπποκράτει. καὶ βουβάλιον, τὸ τῆς γυναικὸς μόριον.

Βουβαλὶς, οἱ βούβαλοι, ἢ ἀστράγαλοι.

Βούβαλος, δορκάδιον, καὶ μέγα καὶ πολύ.

Βουβάρας, εἴρηται διὰ τὸ ἔχειν ἐπὶ τοῦ ἄκρου προτομήν τινα βουβάλου ἐξέχουσαν. καὶ βούβαλον, μέγα καὶ πολύ. ὁ μεγαλοναύτης, ἢ ὁ μεγάλως βαρύς. παρὰ τὸ βου ἐπιτατικὸν, καὶ τὴν βάριν εἶδος πλοίου. ἢ παρὰ τὸ βάρος ἔχοντα, καὶ καυχητιῶντα. περὶ ἀλαζόνος γὰρ λέγεται, ὃν καὶ βαργέταν εἰρήκασι.

Βουβάρτις, νεὼς ὄνομα παρὰ Φιλίσκῳ.

Βούβασις, κώμη τῆς Αἰγύπτου, καὶ θεός, καὶ Βούβαστος, πόλις.

Βούβελα, κρέα βόεια.

Βουβίλιξ, σιταποχία.

Βούβοσις, πολυφαγία.

Βούβροσις. εἴρηται δὲ, ὅτι καὶ τοὺς βοῦς λυμαίνεται, καὶ βοῦς βρῶσιν ποιεῖ·

Βούβρωστις κυρίως, κατὰ τὸ τῆς λέξεως ἔτυμον, ὁ μέγας λιμὸς, ἡ μεγάλη πεῖνα. καὶ ὡς εἰπεῖν βούπεινα, ἡ πολλὴ τῆς βρώσεως ἔφεσις δηλοῖ καὶ ἁπλῶς τὴν μεγάλην ἀνίαν, ὑφ᾽ ἧς ἄσιτοι πολλοὶ γίνονται. ἢ σύντονον ὀδύνην, κατὰ τοὺς παλαιοὺς, ὡς ἀναλωτικήν. ὑπὸ λύπης γὰρ ἑαυτοὺς ἐσθίομεν, κατὰ τὸ, ὃν θυμὸν κατέδων. εἰ δὲ καὶ βούλιμος καὶ τὸ βουλιμιᾶν παρέοικε τοῖς ῥηθεῖσι, δηλοῖ ὅμως ὁ Χαιρωνεὺς σοφὸς τὴν ἑαυτοῦ πρὸς ταῦτα διαφορὰν, ἐν τοῖς αὐτοῦ συμποσιακοῖς. οἱ δὲ βούβρωστόν φασι, δαίμονα Ἰώνων, παρ᾽ ᾗ κατηρῶντο τοῖς πολεμίοις. ἧς ἱερόν φασιν ἐν Σμύρνῃ.

Βουβὼν, ἐστὶ τόπος σώματος, οὗ ὁμώνυμον τὸ ἐκεῖ γινόμενον πάθος. ὡς τὸ βουβὼν ἐπήρθη. ἢ βουβὼν, τὸ παρ᾽ ἑκάτερα τῆς ἥβης μέρος ἐν ἀρχῇ τῶν μηρῶν κείμενον. εἴρηται δὲ, ὅτι τοῦ βαίνειν ἐστὶν ὑπηρέτης. παρὰ γὰρ τὸ βῶ, γίνεται βών. καὶ συνθέσει τοῦ ἐπιτατικοῦ βου, γίνεται βουβὼν, ὁ μεγάλως βαίνων, ἢ δι᾽ οὗ μεγάλως βαίνομεν. βουβὼν λέγεται καὶ τὸ πάθος τὸ εἰς ὕψος βαῖνον, ἀπὸ τοῦ ἐπαίρεσθαι καὶ μεγάλως βαίνειν εἰς οἴδημα. ὅπερ τινές φασι βομβῶνα, ὡς λέγει Ἡρωδιανός.

Βουβωνία, κόπος.

Βουβωνιῶ, φλεγμαίνω τοὺς βουβῶνας. Ἐγὼ μὲν οὖν εἰς τὸ βαλανεῖον βούλομαι ἀπελθεῖν, βουβωνιῶ γὰρ τὰ νεφρὰ ὑπὸ τῶν κόπων.

Βουγάϊον εἰπὼν Ὅμηρος τὸν Αἴαντα, ἀργίαν ὀνειδίζει, καὶ βραδυκινησίαν τῷ ἥρωϊ. ἢ βουγάϊον λέγουσι, τὸν ἐργάτην βοῦν. οἱ δὲ μεγάλαυχον, ἀμαθῆ, ἀλαζόνα, βοώδη, καὶ ἀναίσθητον.

Βουγάϊος, ὁ μεγαλόσωμος. ἢ ὁ δυσκίνητος, καὶ μὴ ποδώκης, ἀλλ᾽ οἷον βοῦς τις πονῶν περὶ γῆν. ἢ ὁ ἐπὶ βοῇ ἤτοι ἀσπίδι γαίων. Αἴαντος γὰρ παράσημον ἡ ἀσπίς. ἢ βοῦς ἐργάτης, ἢ αὐτόσχημα βοῦς. καὶ γοῦν μὲν, διὰ τὸ βαρὺ τοῦ σώματος, καὶ δυσκίνητον. βοῦς δὲ, διὰ τὸ ἔμψυχον μὲν, πολὺ δὲ τοῦ μεγέθους. ὅτι δὲ καθάπερ ὁ ἵππος, οὕτω δὴ καὶ ὁ βοῦς πολὺ μέγεθος παρεμφαίνει ἐν ταῖς συνθέσεσι, δηλοῖ ἡ βοῦ ἐπίτασις, ἣν ἐκ τοῦ ζώου τούτου εἰλῆφθαι λέγουσιν. ἐξῆς ἐπιτάσεως καὶ ἡ βούβρωστις, καὶ ἡ βούπεινα, καὶ ὁ βούλιμος, καὶ ὁ βουθοίνας, καὶ ὁ βούπαις. οὗπερ ἀκολουθία τοιαύτη· βρέφος ὡς ὁ γραμματικὸς Ἀριστοφάνης φησὶ, τὸ ἄρτι γεγονὸς παιδίον, ὃ ἡ τιθὴ τρέφει. παιδάριον, τὸ περιπατοῦν, καὶ ἤδη λέξεως ἀντιποιούμενον. παιδίσκος, ὁ τῆς ἐχομένης ἡλικίας. παῖς, ὁ διὰ ἐγκυκλίων ἤδη μαθημάτων δυνάμενος ἰέναι. ὁ δὲ μετ᾽ αὐτὸν, πάλλαξ, καὶ βούπαις, καὶ ἀντίπαις, καὶ μελλέφηβος. οἱ δέ φασιν, ὡς Δουλιχιῶται καὶ Σάμιοι, τοὺς γαλακτοφαγόντας καὶ μηδὲν ἰσχύοντας, βουγαίους καλοῦσιν. ἄλλοι δὲ βουκάκιε γράφουσιν, ὅ ἐστιν ἄγροικε, παραφέροντες καὶ χρῆσιν, βοῦκον, καὶ βουκαῖον, τὸν ἄγριον λέγουσι, παρά τε Νικάνδρῳ, ἐν τῷ βουκαῖος, ὀρείτυπος. καὶ παρὰ Θεοκρίτῳ. Ἱστέον δὲ, ὡς καὶ ἐν Ὀδυσσείᾳ ὁ Ἶρος βουγάϊος ὑπὸ τῶν μνηστήρων προσερρέθη σκωπτικῶς. καὶ ὅτι Ἀριστάρχου γράφοντός φασι βουγάϊε, Ζηνόδοτος βουγήϊε γράφει. καὶ ὅτι ὁ διὰ βάρος προσρηθεὶς βουγάϊος, ῥηθείη ἂν καὶ βουβάρας, ὅ ἐστι μέγας, καὶ ἀναίσθητος. καθὰ βουκόρυζα ἡ μεγάλη κόρυζα. καὶ εἴη ἂν ὁ ῥηθεὶς βουβάρας, προσήκων διὰ τὸ κατ᾽ αὐτὸν βάρος προσρηθῆναι, καὶ γῆς ἐτώσιον ἄχθος. ἐπιτυχὴς δὲ μάλιστα ἐν τοῖς ἑρμηνεῦσιν ὁ μεταλαβὼν τὸν βουγάϊον εἰς βόσχημα ἀναίσθητον. ὅτι δὲ καὶ εἰς ἀναισθησίας σκῶμμα λαμβάνεται ὁ βοῦς, δηλοῖ καὶ ὁ παρὰ Μενάνδρῳ βοίδης, ὅ ἐστι πρᾶος, εὐήθης, καθ᾽ ὁμοιότητα τοῦ ἀμνοκῶν, ὅ ἐστι νοῶν, ὡς ἀμνὸς κατὰ τὸ κωμικόν. παροιμιάζεται δὲ ὁ βοῦς, ὥσπερ ἐπὶ βουγλώσσων, ἐν τῷ βοῦν ἐπὶ γλώσσης φέρεις. οὕτω κατὰ Παυσανίαν καὶ ἐπὶ ἀχρηστίας, ἐν τῷ βοῦς ἐν αὐλείῳ κάθῃ. καὶ ταῦτα μὲν περὶ τῆς κατάρχουσης λέξεως ἐν τῷ βουγάϊος, εἴτε παρὰ τὴν βοῦ ἐπίτασιν γίνεται, εἴτε παρὰ τὸν βοῦν. εἰς δὲ τὸ ἐφεξῆς, ἤγουν τὸ γάϊος, χρήσιμον καὶ τὸ τοῦ Αἰλίου Διονυσίου, εἰπόντος, ὅτι γεώλοφον οἱ παλαιοὶ καλοῦσι, τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον.

Βουγενέων, τῶν μελισσῶν. Καλλίμαχος, Ἅρμενα πὰρ Δαναοῦ γῆς ἐπὶ βουγενέων. λέγεται δὲ βουγενὴς ἡ μέλισσα, ὅτι ἐκ βοείων ὀστέων γεννᾶται.

Βούγλωσσις, ἰχθῦς ποιός, καὶ βοτάνης εἶδος.

Βουδάκη, ἡ βούπρηστις.

Βούδειον, πόλις φασὶ Βοιωτική. ἀπὸ Βουδείας Βοιωτείας μητρὸς Ἐργίνου, τοῦ καὶ Πινδάρου περιαδομένου. ἄλλος δέ τις, Βούδειαν ἱστορεῖ πόλιν ἐν Μαγνησίᾳ τῇ κατὰ Εὐρώπην, ἀπὸ τοῦ οἰκήσαντος Βουδείου. καὶ Βουδείαν λέγουν Ἀθηνᾶν ἐν Θεσσαλίᾳ, εἰς ὃ καὶ παραφέρει τὸν Λυκόφρονα μάρτυρα. ὁ δ᾽ αὐτὸς καὶ ἑτέραν Βούδειαν ἱστορῶν πόλιν Φρυγίας, λέγει ὡς καὶ ἔθνος ἐστί τι Μηδικὸν οἱ Βούδειοι. ὧν ἡ γραφή, ὡς οἱ Ὁμηρικοὶ κτῆσιοι. τινὲς δέ φασι Βούδειον πόλιν Φθίας, ἀπὸ Βουδείου υἱοῦ Ἄργου. ἀρέσκει δὲ τοῦτο οὐ πάνυ τοῖς παλαιοῖς. ὁ γὰρ Βουδεύς φασιν, οὗ ἐνταῦθα μέμνηται Ὅμηρος, πόρρωθέν ποθεν εἰς τὸν Πηλέα ἱκετεύσας φαίνεται, καὶ οὐκ ἀπὸ Θεσσαλοῦ τόπου. ἄλλως μέν τοι δοκεῖ καὶ πόλις εἶναι θεσσαλικὴ τὸ Βούδειον.

Βουδέψιον, τὸ βυρσίον.

Βούδιος, παρὰ Λυσίππῳ τὸ ὄμμα, Κύων δέ τις ἐβόα δεδεμένος. ὥσπερ βούδιος Σέλευκος ἀποδίδωσιν, ἄφρων, ἀνόητος.

Βούδορα ἤματα, προπαροξυτόνως κατὰ παθητικὴν σημασίαν, ἐν οἷς βόες ἀποδέρονται. ἢ κατὰ ἐνέργειαν παροξυτόνως, τὰ τοὺς βοῦς δέροντα. διὰ τοῦ μέρους τῶν βοῶν δηλαδὴ, πάντα τὰ ζῶα ἐδήλωσε.

Βουδρομεῖν, μετὰ σπουδῆς παραγίνεσθαι.

Βουζύγης, ὁ Ἡρακλῆς, ὅτι βοῦς ζεύξας, τὴν γῆν ἤροσεν. ἀφ᾽ οὗ γένος βουζυγία.

Βουθέρη, ἐν ᾧ τόπῳ βόες θέρους νέμονται.

Βουθοίη, πόλις τῆς Ἰλλυρίδος

Βουθὸς περιφοιτᾷ, παροιμία ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων. ἀπὸ Βούθου τινὸς μετενεχθεῖσα, τοῦ Πύθια νικήσαντος.

Βουθυτεῖ, μεγάλην θυσίαν ποιεῖ. ὡς παρ᾽ Ἀριστοφάνει, Ἔνδον βουθυτεῖ, ὑν καὶ τράγον καὶ κριὸν, ἐστεφανωμένος. καταχρηστικῶς δὲ εἴρηται παρὰ τῷ Ἀριστοφάνει ἡ βουθυσία, δηλοῦσα τόν τε ὄγκον τοῦ μεγέθους, καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσιν. ἐντελὴς δὲ θυσία, ἡ ἐξ ὑὸς ταύρου τράγου καὶ κριοῦ, ἣν καλοῦσι τριττύν. τριττὺς δὲ παρ᾽ Ἀθηναίοις, ἡ ἐξ ὑὸς καὶ κριοῦ καὶ τράγου θυσία.

Βούθυτον, ὅ τινὲς ἀμέμαρον, Ἀχαιοὶ δὲ ἰσόχειρον. ὡς Ἀριστοφάνης.

Βουθοίνης, βούχειλος.

Βουϊέρουσι, βοῦν ἔθυε.

Βουκαῖος παρὰ Θεοκρίτῳ, οἱ μὲν τὸν θεριστήν. ἀπὸ τοῦ βοῦ ἐπιτατικοῦ, καὶ τοῦ καίνω τὸ κόπτω καὶ θερίζω. τινὲς δὲ βουκόλον. βέλτιον δὲ τὸν ἀροτῆρα ἀκούειν, τὸν σὺν βουσὶ καίνοντα τὴν γῆν. Δίφιλος δὲ ἐν Νικάνδρου Θηριακοῖς, κύριον ὄνομα τὸν Βουκαῖον λέγει.

Βουκανῆ, ἀνεμον, ἢ τὸ ἄνθος. Κύπριοι.

Βουκάπη, ἡ φάτνη τῶν βοῶν, ἐν ᾗ οἱ βόες κάπτουσιν. ἀπὸ γὰρ τοῦ κάπτω τὸ ἐσθίω, γίνεται κάπη.

Βουκελάτου, ἄρτου ἐλατοῦ, ὃς λέγεται κολλίκιον.

Βουκελλάριοι, οἱ ἐλληνογαλάται ὀνομάζονται. καὶ ἡ τῶν βουκελλαρίων χώρα, Γαλογραικία.

Βουκένται, βοηλάται.

Βουκέρα, λίμνη τὶς ποτὲ μὲν καλουμένη. νῦν δὲ εἶδος βοτάνης.

Βουκέρας, ἡ πόλις, τὸ σπερμάτιον. Διότιμος, βουκεραῖς, Κρήνη ἐν Πλαταιαῖς, ἥτις ὠνόμασται Πόλυβος.

Βουκεφάλας ἵππος, μόνον Ἀλέξανδρον ἤθελε φέρειν ἐποχον.

Βουκινῆσαι, τοὺς βοῦς ἐξελάσαι.

Βουκόλεα, ἀγέλη βοῶν.

Βουκολεῖν, τὸ τρέφειν. ἀποβουκολεῖν δὲ, τὸ ἀποπλανᾶν. ὡς ἔφη τὶς τῶν σοφῶν, Φθάνει τὶς ταῖς ἐλπίσιν ἡμᾶς ἀποβουκολῶν. Λουκιανὸς, Εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐπελπίζει, ἤγουν ἀπατᾷ καὶ εἰς ἐλπίδας ἄγει. βουκολεῖν ἐστι, τὸ ἐπὶ πλεῖστον ἀεὶ παραλογίζεσθαι. Ἄλλως.

Βουκολεῖν. ὅρα καὶ ὅπερ ὁ ποιητὴς τὴν λέξιν τοῦ βουκολεῖν ἐπὶ ἵππων παρεχρήσατο. ἐν τῷ, Τρισχίλιαι ἵπποι ἐβουκολοῦντο. ὡς καὶ τῇ τοῦ οἰνοχοεῖν ἐπὶ τοῦ νέκταρος. ἐν τῷ, Νέκταρ ἐῳνοχόει. οὗ πρὸς μίμησιν ἔγραψέ τις καὶ τὸ, Οἶνος ᾠνοχοεῖτο. φησὶ δὲ Εὐριπίδης, Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι. εἶποι δ᾽ ἄντις, ὡς καὶ προσγράφει κατὰ σχῆμα συντομίας τὸν ποιητὴν οὕτως εἰπεῖν. ὡς ἂν ὁ ἀκροατὴς τοῖς ἵπποις καὶ βόας συνυπακούσῃ, καὶ ἄλλα ζῶα. τοιοῦτο τούτου καὶ τὸ πίνειν ἐξ ἀργυρίδων χρυσῶν παρ᾽ Ἀναξίλᾳ, ὥς φησιν Ἀθήναιος. οὐ γάρ ἐστι κοινολεκτεῖσθαι τὸ χρύσεων ἐπὶ ἀργυρίδων, εἰ μὴ ἄρα καθότι ἀργύριον καὶ ὁ χρυσὸς λέγεται, διὰ τιμιότητα παλαιοτέρας εὑρέσεως. ὅμοιον δὲ καὶ τὸ ὠῶν ἑκατόμβη παιχθὲν παρά τινι παλαιῷ. τί γὰρ κοινὸν ὠοῖς, καὶ τῇ ἐκ βοῶν παρωνύμῳ ἑκατόμβῃ. τοιοῦτον καὶ τὸ τοῦ Σοφοκλέους, τὸ ἵπποισιν ἢ κύμβαισι ναυστολεῖς χθόνα. ταυτέστιν, ἱππότης ἥκεις ἢ διὰ πλοίου. κἀνταῦθα γὰρ τὸ ναυστολεῖν ἵπποις μὲν, οὐ κύμβαις δὲ ᾠκείωται.

Βουκόλια, αἰπόλια, ποίμνια. ταῦτα μέρη ἐστὶ τῶν κατ᾽ ἀγρούς. καὶ οὗ οἱ μὲν βόες ἵστανται, βούσταθμα, βουαύλια, βουστάσεις. οὗ δὲ αἱ ὄϊς, καὶ αἶγες, αὐλὴ καὶ σηκός. καὶ ὁ μὲν βουκόλος, λέγεται καὶ βουτρόφος, καὶ βουφορβός. ὥσπερ καὶ ὁ ὑποζευγνὺς αὐτοὺς, βοηλάτης. ὁ δὲ τῶν προβάτων ἡγεμὼν, ποιμὴν, ὥσπερ ὁ τῶν αἰγῶν αἰπόλος. οἱ δὲ πάντων τῶν τετραπόδων, νομεῖς.

Βουκολεῖσθαι χρησταῖς ἐλπίσιν, ἀντὶ τοῦ ἀπατᾶσθαι.

Βουκόλημα, θέλγητρον, ἀποπλάνημα, ἀπάτημα.

Βουκολήσεται, ἀπατήσεται. καὶ βουκόλημα, τὸ θέλγητρον.

Βουκολήσομεν, μεριμνήσομεν, ἀπατήσομεν.

Βουκολιασμὸς, μελοποιΐας τινὸς εἶδος, καὶ ὀρχήσεως. ἀμφότερα δὲ ἀγροικικά, καὶ Θεοκρίτῳ γέγραπται.

* **Βουκολισμὸς**, ἡ τῶν βοσκόντων ᾠδή.

Βουκολίη, κακολογία.

Digitized by Google

Βουκολίνη, Κίγκλος, τὸ ὄρνεον.

Βουκόλοι, οὐ μόνον οἱ τῶν βοῶν νομεῖς, ἀλλὰ καὶ ζῶά τινα οὕτω καλοῦνται.

Βουκόλος, βουνόμος, βοσκός.

Βουκολιώ, Φαρσαλίας πόλις, ἢ Θρᾴκης.

Βουκόρυζαν, τὴν μεγάλην κόρυζαν.

Βουκόρυζας, ἀναίσθητος, ἀσύνετος.

Βούφρισις, φυσητική.

Βούλαια, τὰ βεβουλευμένα.

Βουλαῖος, διὸ οὗ καὶ τὸ βουλεύειν τοῖς ἀνθρώποις ἐστί.

Βούλακα, βόλου ὄνομα.

* Βουλγαρία ἡ καὶ Παννονία.

Βουλὰς βουλεύειν Ἀττικόν ἐστιν, ὡς τὸ ξείνους ξενίζειν, καὶ ἕτερα μυρία.

Βουλὰς βουλεύσομαι, Ἀττικῶς ἐσχημάτισται.

Βουλὰς ἐξάρχων ἀγαθάς, παρ' Ὁμήρῳ, ἔλλειψιν ἔχει προθέσεως. ἵνα ᾖ, εἰς βουλὰς ἐξάρχων ἀγαθάς, ἄλλως γὰρ τὸ ἐξάρχειν, γενικῇ συντάσσεται. ἔφη γοῦν πρὸ μικροῦ, βουλῆς ἐξῆρχε νέεσθαι.

Βουλὰς ὑφαίνειν, ἐκ μεταφορᾶς εἴρηται συνθέσεως ὑφαινομένου ἐστί. ὡς γὰρ ἡ τῆς κρόκης ἐκεῖ τῷ στήμονι ἐπισύνθεσις ἀποτελεῖ ὕφασμα, οὕτω καὶ λόγον ἡ συνθήκη τῶν λέξεων.

Βουλεία, ὁ χρόνος τοῦ βουλεύειν. ὥσπερ στρατηγεία ἐστίν, ὅπου στρατηγεῖ.

Βούλει, καὶ βούλῃ, διαφέρει. τὸ βούλει μὲν γὰρ ὁριστικόν. οἷον βούλει κολάσαιμι, τὸ βούλῃ δὲ διστακτικῶς, οἷον βούλῃ πορευσώμεθα.

Βούλεσθαι ἐστὶ μόνου λεκτέον τοῦ λογικοῦ. τὸ δὲ θέλειν, καὶ ἐπὶ ἀλόγου ζώου.

* Βούλεσθαι, ἐπίτασιν δηλοῖ τοῦ θέλειν.

Βουλεύεσθαι, ὁ ποιητὴς ἐν τῇ Ἰλιάδι, καὶ τῇ Ὀδυσσείᾳ, κατὰ ἐνεργητικὴν προάγει φωνήν. ὡς ἐν τῷ, βουλὰς βουλεύει, καὶ βούλευε φρεσί. καὶ ἐν ἄλλοις πολλοῖς· ὁμοίως δὲ καὶ τὸ συμβουλεύειν, κατὰ φωνὴν ἐνεργητικὴν οἱ παλαιοὶ τῶν ῥητόρων προάγουσιν. ὕστερον δὲ τὸ παθητικὸν ἐπεπόλασεν. οὕτω καὶ τὸ σέβεσθαι, καὶ μεταχειρίζεσθαι, καὶ δρέπεσθαι, οἱ παλαιοὶ ἐνεργητικῶς προέφερον.

Βουλεύομαι, καὶ βουλεύω λέγεται. βουλεύω, ἀντὶ τοῦ βουλευτής εἰμι· βουλεύομαι δέ, ἀντὶ τοῦ σκέπτομαι· Εὐριπίδης, Ἄκουσον δ' ὡς καλῶς βουλεύομαι· καὶ βουλεύομαι, ἀντὶ τοῦ βουλὰς δέχομαι. οὐ ἀντὶ τοῦ βουλὰς δίδωμι, Ἀττικῶς.

Βουλεύομαι, περὶ εἰρήνης.

Βουλεύομαι, μήδομαι.

Βουλεύοντι, ἀντὶ τοῦ συμβουλεύοντι.

Βουλεύσας, ἀντὶ τοῦ βουληθείς. καὶ τοῦτο μὲν ἐνεργητικῶς παρ' Ὁμήρῳ ἐρρέθη, ὅπερ οὐκ ἂν γράψῃ Ἀττικίζων ἀνήρ.

Βουλεύσασθαι ἐστί, ταυτὸν τῷ σκέψασθαι. βουλεῦσαι, τὸ ἐνθυμηθῆναί τι, καὶ συμπλέξαι κακόν. οἷον βουλεῦσαι φόνον, ἢ ἱεροσυλίαν.

Βουλεύσεως, ἐγκλήματός ἐστιν ὄνομα, ἐπὶ δυοῖν πραγμάτοιν τατττόμενον. τὸ μὲν γάρ ἐστιν, ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθείς, ἐάν τε καὶ μή. τὸ δὲ ἕτερον, ὅταν τὶς ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ δικάζηταί τινι, ὡς οὐ δικαίως αὐτὸν γεγραφότι.

Βουλευτήριον, οὐ βουλεῖον. ἔστι δὲ βουλευτήριον, οὐ μόνον ὁ τόπος ἐν ᾧ βουλεύονται, ἀλλὰ καὶ αὐτοὶ οἱ βουλευταί.

Βουλευτικὸς τόπος τοῦ θεάτρου, ὁ ἀνειμένος τοῖς βουλευταῖς. ὡς καὶ ὁ τοῖς ἐφήβοις, ἐφηβικός.

Βουλευτόν, οὐ τὸ τέλος, ἀλλὰ τὸ πρὸς τὸ τέλος. ἢ τῶν πραττομένων ἐφ' ἡμῖν ἐστι.

Βουλεύω καὶ βουλεύομαι, βουλεύσω καὶ βουλεύσομαι, βεβούλευκα καὶ βεβούλευμαι, ἐβούλευσα καὶ ἐβουλευσάμην.

Βουλεύω, τὸ θέλω, ἤτοι τὸ βουλὴν ἔχω. συμβουλεύω δέ, τὸ περαίνω. ὡσαύτως καὶ βουλεύομαι τὸ σκέπτομαι περί τινος πράγματος. συμβουλεύομαι δέ, τὸ σκεπτόμενον ἄλλοις κοινοῦμαι.

Βουλεύων, ἀντὶ τοῦ βουλὰς λέγων. Ἀριστοφάνης, Νικᾶν πράττων καὶ βουλεύων· καὶ Ἀριστείδης, Ταῦτα οὐχ ὡς βουλεύων εἶπον, οὐδ' ὡς ἀγνοοῦντας διδάσκων. καὶ βουλεύων, ἀντὶ τοῦ ὑποθέμενος. οὐ πράξας, ἀλλὰ βουλεύσας τὸν φόνον.

Βουλεψίη, ἡ λέξις παρὰ Ξάνθῳ. λέγει δὲ τὰς Ἀμαζόνας, ἐπειδὰν τέκωσιν ἄρρεν, ἐξορύσσειν αὐτοῦ τοὺς ὀφθαλμούς, αὐτοχειρίᾳ.

* Βουλή, ἡ σύγκλητος παρ' Ὁμήρῳ, ἀγορὰ δὲ ἡ κοινὴ συνάθροισις.

* Βουλή, τρία ταῦτα σημαίνει, τὸν τόπον ἤγουν τὸ συνέδριον τῶν ἐντίμων, ὃ καὶ σύγκλητος λέγεται, τοὺς βουλευτάς, καὶ τὸ περὶ οὗ ἡ σκέψις.

Βουλὴ ἁγίων, ὁ σύλλογος τῶν ἁγίων.

Βουλή, γνώμη, καὶ βουλευτήριον. βουλὴ ὄρεξις ζητητική, περὶ τῶν ἐφ' ἡμῖν πρακτέον γινομένη. βουλεύεται γάρ τις, εἰ ὀφείλει μετελθεῖν τὸ πρᾶγμα, ἢ οὔ.

Βούλησις, ποιὰ φυσικὴ θέλησις, ἤγουν φυσικὴ καὶ λογικὴ ὄρεξις τινὸς πράγματος. διαφέρει δὲ βούλησις καὶ προαίρεσις. προαίρεσις μὲν γὰρ οὐκ ἔστι τῶν ἀδυνάτων, βούλησις δὲ ἐστὶ τούτων. οἷον εἴ τις εἴπῃ, βούλεσθαι ἐν τῷ παρόντι αἰῶνι ἀπαθανατισθῆναι. τοῦτο γὰρ ἡμῖν ἀρτίως ἀδύνατον. καὶ ἡ μὲν βούλησις, καὶ περὶ τὰ μὴ δι' ἡμῶν πραττόμενα. ὥσπερ ἄν εἴ τις εἴπῃ, βούλεσθαι τόνδε τὸν ἀθλητὴν νικῆσαι, προαιρεῖσθαι δέ, οὐκ ἄν τις ἐρεῖ τοῦτο. ἡ γὰρ προαίρεσις, ἐπὶ τῶν δι' ἡμῶν ἀεὶ πραττομένων λέγεται. ἔτι ἡ μὲν βούλησις, μᾶλλον ἐστὶ τοῦ τέλους. ἡ δὲ προαίρεσις, τῶν περὶ τὸ τέλος. οἷον ὑγιαίνειν βουλόμεθα, προαιρούμεθα δὲ τὰ δι' ὧν ὑγιανοῦμεν.

Βουλὴ τὸ τῶν βουλευτῶν ἄθροισμα. καὶ τὸ σκέμμα, ὃ καὶ βούλευμα λέγεται, μετὰ τὴν ψῆφον παυσαμένων τοῦ βασιλεύεσθαι τῶν βουλευτῶν. βούλημα δέ, ἡ θέλησις. βουλευτήριον ὁ τόπος, ἐν ᾧ βουλεύονται. καὶ αὐτοὶ οἱ βουλευταί. βουλεῖον καὶ τὸ σχολεῖον, ἐν ᾧ διδάσκαλοι ἠγωνίζοντο. λέγεται δὲ βουλεῖον δῆθεν ἀπὸ τοῦ βουλή. ἀλλὰ ἀδόκιμον.

Βουλὴ Διὸς ἐτελείετο, παρ' Ὁμήρῳ. ἐνταῦθα τοῦ Ἀχιλλέως ὑπεραπολογεῖται. οἱονεὶ λέγων, μὴ δι' ἐκεῖνον, ἀλλὰ διὰ τὸ εἱμαρμένον ἐξ ἀνάγκης ταῦτα γενέσθαι. βουλὴν γὰρ Διὸς τὴν εἱμαρμένην φασί. Διὸς λεγομένη, καθὰ καὶ τοῖς στωϊκοῖς ἔδοξεν.

Βούλημα, καὶ βούλευμα. τὸ βούλευμα μέν, τὸ ἴδιον. βούλημα δέ, τοῦ δημοσίου ἡ γνώμη.

Βουλὴν πιθών, ἀντὶ τοῦ πείσας. ὅσα δὲ τῇ βουλῇ δόξει, ταῦτα ἐπὶ τὸν δῆμον ἀναφέρεται. καὶ ἐκ τοῦ ἐναντίου, τὰ ὑπὸ τοῦ δήμου ψηφιζόμενα, ὑπὸ τῆς βουλῆς κυροῦται.

Βουλῆς λαχεῖν, τὸ λαχεῖν βουλευτήν, καὶ δραχμὴν τῆς ἡμέρας λαβεῖν.

Βουλυτὸν τὴν δείλην ὥραν, ἐν ᾗ τὸ ἄροτρον λύεται τῶν βοῶν.

Βουληφόροι παρὰ τῷ ποιητῇ, οὓς νῦν τῆς συγκλήτου φαμέν. Ἱστέον γάρ, ὅτι ἡ μὲν ἀγορά, παντὸς ἦν τοῦ δήμου κοινή. καὶ κηρύγματι ἐξακουστῷ ἠθροίζοντο. ἡ δὲ βουλή, τῶν ἐκκρίτων μόνων συγκαλουμένων ἰδίᾳ, καὶ οὐ μετὰ τοῦ πλήθους.

Βουληφόρος, ἡγεμών, ἄρχων, βουλευτής.

Βούλια, ἢ ἀβουλία, τὸ ἐκ τῆς βουλῆς ὄντα πράττειν, ἃ τοῖς βουλευταῖς προσήκει. Δείναρχος, καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.

Βουλιμιᾷ, μεγάλως λιμώττει. ὥσπερ βούπαιδα, μέγαν παῖδα. οὕτω καὶ βουλιμιᾶν, τὸ μεγάλως λιμώττειν καὶ πεινᾶν. ἡ βουλιμιᾷ, πάνυ λιμώττει, καὶ πεινᾷ λίαν. ἀπὸ τοῦ βοῦ ἐπιρρήματος, ὅπερ ἐπιτάσεώς ἐστι δηλωτικόν, ἀντὶ λίαν. ὥσπερ καὶ ἐν τῷ βούπεινα, ἡ μεγάλη πεῖνα. καὶ βουγάϊος, καὶ βούγλωσσος.

Βούλιμος, μέγας λιμός.

Βουλιμώττει, πεινᾷ λίαν. παρὰ τὸ βοῦ ἐπιτατικὸν μόριον, καὶ τὸ λιμώττω.

Βουλίς, γωνὴ οὕτω καλουμένη.

Βούλομαι, θέλω, χρήζω, αἱροῦμαι, καταινεύω.

Βούλομαι, καὶ θέλω πλουτεῖν, καὶ πλουτεῖν. βούλομαι πλουτῆσαι, βουλεύομαι περὶ εἰρήνης.

Βούλομαι ἐνεστώς, ἐβουλόμην παρατατικός, βουλήσομαι μέλλων, ἐπιρροχλίτως. ἐβουλήθην ἀόριστος, βέβουλα μέσος παρακείμενος. καὶ μετὰ τῆς πρὸ προθέσεως, προβέβουλα.

Βούλομαι, μετὰ παρῳχημένου καὶ ἐνεστῶτος μόνον τίθεται, οὐδέποτε μετὰ μέλλοντος. Ὅμηρος, βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι. Θουκυδίδης, βουλόμενοι ἐκ τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον. ὡσαύτως καὶ τὸ θέλω, καὶ τὸ ἀναγκάζω, καὶ τὸ βιάζω, καὶ τὸ ἐπιθυμῶ, καὶ τὸ ἀξιῶ, καὶ τὸ δέομαι, καὶ τὸ ἱκετεύω, καὶ τὸ ποθῶ, καὶ τὸ μαντεύομαι, καὶ τὸ ἐῶ, καὶ τὸ παραιτοῦμαι, καὶ τὸ ὀρέγομαι, καὶ τὸ κελεύω, καὶ τὸ δύναμαι, καὶ τὸ ζητῶ, καὶ τὸ ὀφείλω, καὶ τὸ κινδυνεύω, καὶ τὸ εἴπω, καὶ τὸ λέγω, καὶ τὸ ἐπείγομαι, καὶ τὸ ὁρμῶ, καὶ τὸ αἰδῶ, καὶ τὸ διανοοῦμαι, καὶ τὸ ἔχω, καὶ τὸ ἐπιστέλλω, καὶ τὸ πράσσω, καὶ τὸ κωλύω, καὶ τὸ ψηφίζομαι, καὶ τὸ ὀκνῶ, καὶ τὸ σπεύδω. ὡσαύτως καὶ τὸ ἐχρῆν, τὸ ἔδει, τὸ εἰκός ἐστι, τὸ ἀνάγκη ἐστί, καὶ τὸ ἔξεστι. Θουκυδίδης, ἔξεστι καλῶς θέσθαι. καὶ οὐκ εἰκὸς εἰς νῆσον γε αὐτοὺς περαιωθῆναι.

Βούλομαι ἀγαθὸς εἶναι, καὶ βούλει ἀγαθὸς εἶναι, καὶ βούλεται ἐκεῖνος ἀγαθὸς εἶναι. οὐδέποτε δὲ βούλομαι εἶναί με τοιόνδε, ἀλλὰ βούλομαι εἶναί σε τοιόνδε, ἢ ἐκεῖνον τοιόνδε.

Βούλομαι γράφειν, καὶ βούλομαι ἀναγινώσκειν.

Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. οὐ σεμνῶς, ἀλλ' ὡς οἱ παλαιοί φασιν εὐήθως, ἤγουν ἁπλοϊκῶς καὶ ἀφελῶς εἶπεν ὁ Ἀγαμέμνων, ὃ καὶ Πρίαμος εἴποι ἂν ὁ τοῖς Ἕλλησιν ἔχθιστος. κἀκεῖνος γὰρ διὰ τὸ φύσει καλὸν ἕλοιτ' ἂν σόον εἶναι τὸν Ἑλλήνων στρατόν, εἰ μόνον ἀπόσχοιντο τοῦ πολιορκεῖν. οὐκ ἔχει οὖν ὑψηλόν τι καὶ σεμνὸν ὁ λόγος, ἀλλὰ καὶ τοῦτο καθὰ καὶ ἄλλα τινὰ πρὸ τούτου, ἠθικῶς ὁ βασιλεὺς καὶ οὕτως αὐτὸ ἐπελθὼν αὐτῷ εἴρηκεν, ὡς ἐν ἀγωνίᾳ καὶ θυμομαχίᾳ. τινὲς δὲ οὕτω θεραπεύουσι τὸ βούλημα, βούλομαι σόον εἶναι τὸν λαόν. οὐ εἰ μὴ τοῦτο γένοιτο, ἀπολέσθαι ἂν ἐβουλόμην αὐτός. ἐνταῦθα δέ φασιν οἱ παλαιοί, ὡς εἰ μὲν νοηθείη τὸ ἢ ἀπολέσθαι ἀντὶ τοῦ ἤπερ, διασαφητικός ἐστιν ὁ ἢ σύνδεσμος. ἐὰν δὲ καὶ ἀντὶ τοῦ ἀπολέσθαι ἐμέ, παραδιαζευκτικόν. κατὰ τὸν Πορφύριον, νοῦσε δὲ οἱ λαὸν σόον ἔμμεναι, οὐδ' ἀπολέσθαι. καὶ σημαίνει τὸ οὐδ' ἀπολέσθαι, ὡς συντελοῦντι, πρὸς τὸ βούλομαι λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.

Βουλομένῳ, γλιχομένῳ, ἐπιθυμοῦντι.

Βουλυτός, ὁ πρὸς ἑσπέραν καιρός, ὁ δειλινός, ὅτε τοῦ ἐργάζεσθαι τοὺς βόας λύομεν.

Βούλω, βαρύνεται. ἐπειδὴ τὰ εἰς λω λήγοντα καθαρὰ δισύλλαβα παραληγόμενα τῇ ου διφθόγγῳ, τὰ μὲν δύο βαρύνονται, τὰ δὲ δύο περισπῶνται. βαρύνονται, τὸ βούλω καὶ οὔλω. Ὅμηρος, οὖλέ τε, καὶ μέγα χαῖρε. περισπῶνται, τὸ οὐλῶ παρὰ τὸ οὐλὴ τὸ τραῦμα, ἔνθεν κατούλωσας. καὶ δουλῶ, παρὰ τὸ δοῦλος.

Βουμανές, καὶ βούπαστον, εἴδη βοτανῶν.

Βουμέστης, ὁ ἐπὶ θυσιῶν τεταγμένος, παρὰ Αἰτωλοῖς.

Βουμολγός, ὁ τὰς βοῦς ἀμέλγων.

Βουμυκαί, φωναὶ μυκηθμῶν.

Βοῦ ἐπικόψων, ἀντὶ τοῦ ἐπάνω τοῦ τραχήλου πλήξων. ὅθεν καὶ ἐπίκοπον παρὰ τοῖς παλαιοῖς τὸ ἐπίξηνον. ὅπερ ἰδιωτικῶς, ἐπικόρμιον λέγεται.

Βοῦ, ἐπιτατικὸν μόριον.

Βοῦ ἐπὶ γλώττης φέρει, ἤγουν δῶρα λαβὼν σιωπᾷ.

Βουῶνις, ἡ βουνώδης γῆ, παρὰ τὸ βουνός. βουνὸς δέ ἐστιν, ὁ ὀρώδης καὶ γεώλοφος τόπος.

Βουώνιον. πόας εἶδος.

Βουνόμαι, αἱ ἐλάσεις λέγονται.

Βουώνης, ὁ βουκόλος, ὁ βοηλάτης. ὁ βουνός, ὁ ὀρώδης, καὶ γεώλοφος τόπος.

Βοῦ σίτου ὠνοῦμαι, ἢ ἀποδίδομαι. λείπει ἡ διά. μάχιμος τὸ σχῆμα, πολὺς τὸν λόγον, λείπει ἡ κατά. οἱ χαρίεντες τῶν ἀνθρώπων, λείπει ἡ ἀπό. ὁμοίως καὶ ἡδὺ ἀναπνεῖ τῶν φυτῶν, ἐλλυχνίου ὄζει, δρέπου τῶν φύλλων, πίε τοῦ ὕδατος. ὅταν μὴ πάντα τὰ φύλλα τὶς μέλλει δρέπεσθαι, μὴ δὲ ὅλον τὸ προκείμενον ὑδροπιεῖν, ἀλλὰ μέρος, τηνικαῦτα αἰτιατικῇ συντακτέον.

Βουνοί, βωμοί.

Digitized by Google

Βουνόμοι, αἱ ὑπὸ βοῶν κατανεμόμεναι.

Βουνὸς, στιβάς. Κύπριοι.

Βουόα ἀλγεῖ τις, πάχαθ' αἱ βουσόαι. ἔλλειψις τοῦ ς.

Βούπαις, μέγας παῖς, οὔπω τέλειος ἀνήρ. καὶ βούπαις ὄνομα ἡλικίας, ὁ νεός, ἔφηλιξ, ἢ ἰχθύς.

Βούπαλος, ὄνος.

Βουπαλίδες, περισκελίδες.

Βούπεινα, ἡ μεγάλη πεῖνα.

Βουπελάται, οἱ βουκόλοι. εἴρηται ἤτοι παρὰ τοῦ περισπῶντος. βουελάται γάρ εἰσιν. ἢ παρὰ τὸ πέλας τῶν βοῶν εἶναι. ὃ καὶ βέλτιον.

Βούπλευρον, λαχάνου εἶδος.

Βούπληγες, οἱ πληγέντες ὑπὸ τῶν βοῶν. βουπλῆγες δὲ, οἱ πλήσσοντες τοὺς βόας.

Βουπλήξ. βούκεντρον, ἡ πέλεκυς βοὸς ἀναιρετικός. ἢ μάστιξ, γινομένη ἀπὸ τμήματος βύρσης. ὀξύνεται δὲ κανόνι τοιούτῳ. τὰ κατὰ παρακείμενον συντεθειμένα ὀνόματα εἰς ης, ἢ εἰς ξ λήγοντα, ὀξύνεται, κἂν μίαν φυλάττῃ τοῦ ῥήματος συλλαβήν. οἷον ἀδμής, ἀβλής, ἡμιθνής, κυαμοτρώξ, βουπλήξ. σεσημείωται τὸ ὕσπληξ. ἐν δὲ ῥητορικῷ λεξικῷ, εὕρηται καὶ ὀρθοπλὴξ ἵππος, ὁ ὀρθὸς αἰρόμενος καὶ πλήσσων. προφέρεται δὲ καὶ ἀκανθοπλήξ, καὶ νωτοπλήξ, καὶ οἰστροπλήξ. ὡς τὸ, Τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης. καὶ μεθυπλήξ, ὡς Καλλίμαχος, τοῦ μεθυπλῆγος φροίμιον Ἀντιλόχου. περίεργον οὖν φασὶ λέγειν, ὅτι τὰ δραστικὰ μὲν ὀξυτονεῖται.

Βουπόλον, βουκόλον.

Βουπόρους, ὀβελοὺς μεγάλους, ὀβελίσκους.

Βουπράσιον, ὁ Γεωγράφος χωρίον τῆς Ἠλείας φησί. καὶ τοὺς Βουπρασιεῖς Ἐπειοὺς πάλιν λέγει. ὅτι κατοικία τῆς Ἠλείας τὸ Βουπράσιον ἀξιόλογος, ἢ νῦν οὐκ ἔτι ἐστί. καὶ ὅτι ὑπεροχὴν δοκεῖ ἔχειν τό, τε τὸ Βουπράσιον παρὰ τὴν Ἦλιν, καὶ οἱ Ἐπειοὶ παρὰ τοὺς Ἠλείους. καὶ ὅτι ὕστερον ἀντὶ Ἐπειῶν Ἠλεῖοι ἐκλήθησαν. καὶ ὅτι καὶ μέρος Ἤλιδος τὸ Βουπράσιον. ὁ δὲ τὰ ἐθνικὰ γράψας, καὶ πόλιν Ἤλιδος λέγει, καὶ ποταμὸν, καὶ χωρίον. καὶ κατοικίαν ἀξιόλογον, τὸ Βουπράσιον. κληθὲν οὕτω ἀπὸ Βουπρασίου τινὸς, ἄρξαντος ἐκεῖ. τὸ ἐθνικὸν αὐτοῦ, Βουπρασιεὺς, καὶ Βουπράσιος. καὶ Βουπρασίων δὲ, ὡς Καδμείων.

Βούπρασις, λαχάνου ἀγρίου γένος, ὅμοιον τῷ σινήπι.

Βουπρῆσαι, ὄνομα ὄφεων.

Βούπρηστις, ζῶόν τι κανθαρίδι ὅμοιον. ἢ ἄγριόν τι λάχανον, παρὰ τῷ Ἱπποκράτει.

Βουπρίονες, κρημνοὶ μεγάλοι, καὶ λόφοι.

Βούπρωρον, θυσία τις ἐξ ἑκατὸν προβάτων, καὶ βοὸς ἑνός. οἱ δὲ τὴν ἥβωσαν, ἢ βουάρχην. σημαίνει δὲ καὶ τὴν βουπρόσωπον.

Βούπρως, ἀσθένεια.

Βούπτινον, βοτάνη λεγομένη τρίφυλλον.

Βοῦρα, πόλις τῆς Ἀχαΐας.

Βουργάων, ὄρος ἑσπέριον. ἔνθα Βελισάριος διαφόρους πολέμους διήνεγκε.

Βούρειαν, κρήνην λέγει Θεόκριτος. ὅτι ἀπὸ κεφαλῆς βοὸς ἐκλήθη πεποιημένης, ἐφ' ἧς ἐδόκει τὸ ὕδωρ ἐκρεῖν. οὕτω τοῦ Χάλκωνος μηχανησαμένου τε καὶ κατασκευάσαντος. ἢ Βούρεια, ἡ πολύρρους, ἀπὸ τοῦ βου ἐπιτατικοῦ μορίου, καὶ τοῦ ῥέω. βούπαις γὰρ καὶ βουγάϊος, ὁ μέγας παῖς. Ὅμηρος ἤδη νῦν βουγάϊε. Νικάνωρ ὁ Κῷος ὑπομνηματίζων Βούρριν καλεῖ. συμβῆναι γάρ φησιν ἐξ αὐτομάτου καὶ αὐτοφυοῦς, βοὸς ῥινὶ παραπλήσιον εἶναι τὸν τόπον. ἐξ οὗ τὴν κρήνην ἐκρηγνῦσαι ὁ Χάλκων ἐποίησεν. ἄλλοι δέ φασιν, ὅτι ὁ Χάλκων ἀνδριάντα ἔστησεν εἰς τὸν τόπον, ἐν ᾧ τὸ ὕδωρ εὑρέθη. καὶ ἐκ τοῦ ποδὸς τοῦ ἀνδριάντος τὸ ὕδωρ ἐξήρχετο. καὶ νοοῦσι, τὸ ὃς ἐκ ποδὸς ἄνυεν, ἢ ἄνυσε κράναν, εὖ γ' ἐνερεισάμενος πέτρῃ γόνυ. καὶ ἄλλοι ἄλλως.

Βούρυγχος, ἰχθὺς κητώδης.

Βούρυτος, ποταμὸς μέγας, ῥεῦμα ἔχων.

Βοῦς, ἰχθῦς, τὰς αἰτιατικὰς τῶν τοιούτων μὴ διαιρεῖν εἰώθασιν οἱ Ἀττικοί.

Βοῦς, θηλυκῶς Ἴωνές φασι, καθὰ καὶ ἀλλαχοῦ ῥηθήσεται. ἤδη δὲ καὶ Ἀττικοί. ὥσπερ καὶ οἷς, καὶ τοὺς ἵππους, καὶ τοὺς ἡμιόνους, καὶ τοὺς κύνας.

* Βοῦς, ἡ βύρσα, ἀπὸ τοῦ ὅλου τὸ μέρος.

Βοῦς, τοῦ βοός. καὶ βοῦ ποιητικῶς. τῷ βοΐ, τὸν βόα καὶ βοῦν, ὦ βοῦ. δυϊκὰ, τὼ βόε, τοῖν βοοῖν, ὦ βόε. πληθυντικὰ, οἱ βόες καὶ βοῦς, τῶν βοῶν, τοῖς βουσὶ, τοὺς βόας καὶ βοῦς, ὦ βόες καὶ βοῦς.

Βοῦς παρὰ τοῖς παλαιοῖς, ὅτι ἐλέγετο καί τι πέμματος εἶδος. ἀφ' οὗ παροιμία τὸ, βοῦς ἕβδομος, ἔχουσα λόγον τοιόνδε. σελῆναι, πέμματα ἦσαν πλατέα, κυκλοτερῆ. ἐπὶ δὲ ἓξ σελήναις τοιαύταις, βοῦν φασιν ἕβδομον ἔπεπτον, κέρατα κατὰ μίμησιν πρωτοφυοῦς σελήνης ἔχοντα. ἔθυον μὲν οὖν καὶ ἐπὶ τέσσαρσι ποπάνοις τοῦτον τὸν βοῦν, καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν. μᾶλλον μέντοι ἐπὶ ταῖς ἓξ ἔθυον αὐτόν. ὃς καὶ ἐκαλεῖτο διὰ τοῦτο ἕβδομος βοῦς. ὁ δὲ ταῦτα ἱστορήσας Παυσανίας, λέγει καὶ ὅτι αἱ ῥηθεῖσαι σελῆναι τὰ πέμματα, καὶ πέλανοι ἐλέγοντο. καὶ ὅτι πεμμάτων εἶδος καὶ οἱ ἀνάστατοι πλακοῦντες, καὶ οἱ χαρίσιοι, καὶ οἱ ἀμφιφῶντες. καὶ φθοῖς δέ φησι πέμματα μετὰ σπλάγχνων ἐσθιόμενα. καὶ ὅτι οἱ ῥηθέντες ἀμφιφῶντες, ἄλλως τε οὕτως ἐκαλοῦντο ἀπὸ ἡλίου καὶ σελήνης. καὶ διότι ἐκόμιζον αὐτοὺς, δᾳδία ἡμμένα παραπηγνῦντες ἐπ' αὐτούς. ἀλλαχοῦ δέ φησιν ὁ αὐτὸς, καὶ ὅτι ἀμφιφῶν προσηγορεύθη πλακοῦς, διὰ τυροῦ. ἀφ' οὗ δᾷδα πήσσοντες, ἅπτουσι τοῦ φωτὸς χάριν.

Βοῦς θηλυκῶς, τὸ, τε ζῶον, καὶ τὸ βοῶν ἄθροισμα. βοῦς δὲ ἀρρενικῶς, ὁ τῆς παροιμίας. μεταφορικῶς, ἐλέγετο καὶ νόμισμα βοῦς, ὡς βοῦν ἔχον ἐντετυπωμένον. διὸ ἐλέγετο καὶ παροιμία ἐπὶ τῶν δωροδοκουμένων κριτῶν, ὡς βοῦν ἐπὶ γλώττης ἔχει, δηλονότι νόμισμα λαβὼν σιωπᾷ.

Βοῦς Κύπριος, ἐπὶ κοπραγωγοῦ, εἰκαίου, καὶ ἀκαθάρτου. ἀφηγεῖται γὰρ ὁ Εὔδοξος τοὺς Κυπρίους βόας, κοπροφαγεῖν.

Βοῦς πετηνὸς, ὁ ἀναπεπταμένα τὰ κέρατα ἔχων.

Βούσβατον, τὴν Ἄρτεμιν. Θρᾷκες.

Βουσὴ, δούλη.

Βουσία, γογγυλίδι ὅμοιον. Θετταλοί, βοσκηπήριον.

Βούσιρις, ὁ τῆς Αἰγύπτου βασιλεύς. ἀφ' οὗ καὶ ἡ πόλις καλεῖται.

Βουστάθμιον, τὸ βουστάσιον.

Βουστάνη, βοοστασία. ἡ τῶν βοῶν στάσις, ἢ μάστιξ καὶ πληγή.

Βουστροφηδόν. οὕτως ἔλεγον ἐπὰν ὁμοίως τοῖς ἀροτριῶσι βουσὶ τὰς ἀντιστροφὰς ποιοῦντες. ἔλεγον δὲ ἐπὶ τοῦ γράφειν τρόπῳ τοιούτῳ.

Βούσυκα, τὰ μεγάλα σῦκα.

Βούσυκον, εἰώθασι τῇ προσθήκῃ τοῦ βοὸς ἢ τοῦ ἵππου, τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν, ἀπὸ μὲν τοῦ βοὸς, βούσυκον, βούπαις, βούλιμος. ἀπὸ δὲ τοῦ ἵππου, ἱπποσέλινον, καὶ ἱππογνώμονα, τὸν μεγαλογνώμονα.

Βουτάδης. δῆμός ἐστι τῆς Οἰνηΐδος Βουτία. ἀφ' ἧς Βουτάδαι, οἱ δημόται.

Βουτάνη, μέρος τι τῆς μακρᾶς νεώς, ἢ μάστιξ. ἢ στάνασις τῆς βοείας. μέρος δὲ τῆς νεὼς, πρὸς ὃ τὸ πηδάλιον δεσμεύεται. δηλοῖ δὲ καὶ μάχην ἀηδίαν.

Βούταρος, ὁ ταχύς. ἢ ὁ παχύς.

Βούτας, βουκόλους, βοσκήματα. καὶ βούτας, ὁ τῶν βοῶν νομεύς. Ἀττικῶς δὲ εἴρηται.

Βουτελέειν, θύειν.

Βούτης, οὗτος τὴν ἱερωσύνην εἶχε, καὶ οἱ ἀπ' αὐτοῦ Βουτάδαι ἐκλήθησαν. καλοῦνται δὲ Ἐτεοβουτάδαι, οἱ ἀπόγονοι τοῦ Βούτου. τὸ γὰρ ἐτεὸν, ἀληθὲς δηλοῖ. καὶ Βούτης, ὀρίγανον ὑπὸ Κυδωνιατῶν, καὶ βουκόλος. καὶ παροιμία ἐπὶ τῶν ῥᾳδίως συντελουμένων. καὶ ὁ τοῖς Διιπολίοις τὰ βουφόνια δρῶν.

Βουτιάνειρα, ἡ τροφὴν ἀνδράσι παρέχουσα.

Βουότιμοι, βοώνητοι, ὥσπερ Ἀλφεσίβοιαι.

Βουτοὶ, τόποι παρ' Αἰγυπτίοις, εἰς οὓς οἱ τελευτῶντες τίθενται.

Βούτομον, εἶδος χόρτου.

Βούτορα, τὰ πλήττοντα τοὺς βόας.

Βούτορον, ψάκαστρον, ὁδὸν, ἀτραπόν.

Βούτροκτον, ὄροβον.

Βουτρωτὸς, ἢ βουθρωτὸς, πόλις τῆς Ἠπείρου.

Βουτύπος ἐστὶν, ὁ τοὺς θυομένους βοῦς τῷ πελέκει τύπτων κατὰ τοῦ αὐχένος. οὗτος δὲ ἐπ' ἄκροις τοῖς ὄνυξιν ἱστάμενος, μᾶλλον κρούει.

Βούτυρον, τὸ λιπῶδες τοῦ γάλακτος.

Βούτυρος, βοτάνης εἶδος. Διονύσιος.

Βουφάγος, πολυφάγος.

Βουφάρας, γεφύρας.

Βούφαρον, τὴν εὐάροτον γῆν. φάρος γὰρ ἡ ἄρωσις. καὶ ἐπίθετον βοός.

Βούφθαλμον, βοτάνη τις ὑφ' ἡμῶν ἐσθιομένη.

Βουφόνειον, ἐβουθύτουν, βοῦς ἔθυον.

Βουφόνια, παλαιὰ ἑορτή. ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια, ὅτε καὶ βοῦν θύουσιν, εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει, ἁψαμένου τοῦ πελάνου ἐν τῇ ἑορτῇ τῶν Διονυσίων. Ἄλλως. Ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς Διιπολίοις φασὶ βοῦν τὸ πόπανον καταφαγεῖν, τὸ παρεσκευασμένον πρὸς τὴν θυσίαν. Βαύλωνα δέ τινα ὡς εἶχε τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν, καθὰ καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης.

Βουφορβὸς, βοῦς τρέφων.

Βουφόρτων, πολυφόρτων.

Βοῦφος, ὄνειο, Βοῦφος ἐπιφοιτᾷ. ἐπὶ τῶν ἀσυνέτων καὶ παχυφρόνων εἴρηται.

Βουχανδέα, πολυχώρητα.

Βουχανδὴς λέβης, ὁ βοῦν χωρῶν. ἐν ἐπιγράμματι.

Βούχεται. Δημοσθένης ἐν Φιλιππικοῖς. πόλις ἐστὶ τῆς ἠπείρου, πληθυντικῶς οὐδετέρως λεγομένη. ἥν Φιλοστέφανος ἐν τοῖς Φιλιππικοῖς ὠνομάσθαι φησὶ, διὰ τὸ τὴν Θέμιν ἐπὶ βοὸς ὀχουμένην ἐλθεῖν ἐκεῖσε, κατὰ τὸν Δευκαλίωνος κατακλυσμόν.

Βουχίλου, ὀνόματος τόπου. ἡ εὐθεῖα, βούχιλον. Πᾶνες Βουχίλου κράντορες Ἀρκαδίης, τουτέστι εὐτρόφου.

Βουχώστις, ἰσχυρὸς, ἢ ὀξηρός,

Βούχωμα, φρόνημα.

Βοῷεν. βοάοιμι, καὶ κράσει βοῷμι. τὸ εὐκτικὸν τὸ τρίτον τῶν πληθυντικῶν, βοάοιεν, βοῷεν.

Βοῶμεν, ὁμόσωμεν.

Βοώμενον, ἐπικαλούμενον.

Βοῶν, ἐπιβουκόλος ἀνήρ. περιττεύει τὸ βοῶν. ὁμοίως καὶ ἐν τῷ οἶνον οἰνοχοεῖ, περιττεύει τὸ οἶνον. καὶ ἐν τῷ αἰπόλος αἰγῶν, τὸ αἰγῶν. αἰπόλος γὰρ οὐδενὸς ἄλλου ζώου λέγεται, ἀλλὰ μόνον αἰγῶν. καὶ βοῶν ἐπιβουκόλος ἀνὴρ, ἐκ περισσοῦ κεῖται τὸ βοῶν. ὡς, οἶνος ἐν τῷ οἶνον ἐνοινοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσι.

Βοῶν, σημαίνει τρία. τὴν μετοχὴν, Αὐτὰρ ὁ μακρὰ βοῶν. καὶ τὸ ζῶον, Μυκηθμοῦ δ' ἤκουσε βοῶν. σημαίνει καὶ τὴν ἀσπίδα, Χαλκοῦ τε ῥινοῦ τε βοῶν τ' εὐποιητάων.

Βοῶναι, οἰκίαι.

Βοῶνα, ὁδόν.

Βοῶνας, ἀγροικίας.

Βοώνητα, ἐπὶ ὠνῇ βοῶν δοθέντα.

Βοωνήτων, τιμῆς βοῶν ἠγορασμένων, ἢ ἀνοσίων. παρὰ Κυπρίοις γὰρ, ἀνοσίων.

Βοωνία, αὔλιος θύρα. Κρῆτες.

Βοῶπις Ἥρα, ἡ μετεώρους καὶ κυκλοτερεῖς ἔχουσα ὀφθαλμοὺς, ὥσπερ οἱ βόες. τοῦτο γὰρ ἐξαίρετον, τὴν Ἥραν λέγειν οὕτως, ἤτοι τὸν ἀέρα, ἅτε διαφανῆ ὄντα, μάλιστα πάντων.

Βοῶπις Ἥρα, ὡς μὲν ἀνὴρ καὶ αὐτὴ, ἔοικε τῇ βοῇ παρωνομάζεσθαι, διὰ τοὺς ἀερίους ἤχους. μυθικῶς δὲ ἔπαινός ἐστιν αὐτῆς, ὡς γυναικὸς, διὰ τὸ κατὰ βοῦν μεγαλόφθαλμον. ἐξ οὗ καὶ κύριον ὄνομα Εὐρώπῃ τέθειται.

Βοωτεῖν, βοηλατεῖν.

Βοώτης. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, ὅτι λαμπρὸς ἦν ὁ βοώτης. καὶ αἱ μέγισται ἀρχαὶ ἐπὶ τούτῳ ἐχειροτονοῦντο. καὶ βοώτης, ἄστρον πλησίον τῶν ἄρκτων. ὁ δ' αὐτὸς καὶ ἀρκτοφύλαξ καλεῖται.

Digitized by Google

ΤΟ Β. ΜΕΤΑ ΤΟΥ Ρ.

Βραβεῖον, ἐπινίκιος ἀμοιβὴ, ἢ ὁ παρὰ τῶν βραβευτῶν. ἢ μᾶλλον τῶν βραβείων διδόμενος στέφανος τῷ νικῶντι.

Βραβεῖς, καὶ οἱ βραβευταὶ, καὶ οἱ διοικηταὶ τοῦ ἀγῶνος, οἱ τὰ ἆθλα διδόντες. ἀφ' οὗ βραβεῖον, τὸ ἆθλον λέγεται, καὶ τὸ βασιλικὸν σκῆπτρον.

Βράβετον, δρέπανον, κλαδευτήριον. οἱ δὲ, πλῆθος.

Βραβεύει, διανέμει, ἐπιψηφίζεται. καὶ βραβευτὴς, διοικητὴς, ὁριστής. βραβευταὶ δὲ κυρίως λέγονται, οἱ τὴν ῥάβδον ἀπὸ Φοίνικος ἢ τινὸς ἄλλου διδόντες, σύμβολον τῆς νίκης, ῥαβδευταί τινες ὄντες, καὶ ὑπερθέσει τοῦ ρ. ἢ οἱ διαλλάκται. καὶ βραβεῖα, αἱ διαλλαγαί.

Βραβευέτω, μεσιτευέτω, μηνυσάτω, ἰθυνέσθω.

Βραβεὺς, ὁ βραβευτὴς, ἐστὶν ὁ ἀγωνοθέτης, ὁ διδοὺς τὰ βραβεῖα τοῖς νικῶσιν. ὡς τὸ, βραβεύσωσοι τὸν ἔπαθλον.

Βραβευτὴς, διαλλακτής.

Βράβυλλα, τὰ καλούμενα δαμάσκηνα. τὰ αὐτὰ καὶ κοκκύμηλα, καὶ μάδρυα, βοράβηλα τινὰ ὄντα, τὰ τὴν βορὰν ἐκβάλλοντα. εἰσὶ γὰρ μαλακτικὰ τῆς γαστρός.

Βραβὼν, πόλις τῆς Ἀττικῆς. ἐν ᾗ τὰ Διονύσια ἤγοντο καὶ μεθύοντες, πολλὰς πόρνας ἥρπαζον.

Βραγὸς, ἕλος.

Βραγχᾶν, οὐ βραγχιᾶν. καὶ βράγχος, οὐδετέρως.

Βραγχιάζεσθαι, πνίγεσθαι.

Βραγχίον, τῆς καταφράκτου νεὼς τὸ κῦτος.

Βράγχοντος, βρόχοις ἁλόντος.

Βράγχος, νόσημά τι τῶν ἐν τῷ σώματι γινομένων, ὅταν ὗς μάλιστα διαφθείρηται.

Βραγχῶν, φλεγμῶν, ἢ πνευμόνων.

Βραδανίζει, ῥιπίζει, τινάσσει.

Βραδέως, μελλητικῶς.

Βράδιον. καὶ Ἡσίοδος λέγει, βράδιον δὲ πανελλήνεσσι φαείνει. Πλάτων καὶ Θουκυδίδης καὶ οἱ δοκιμώτεροι, βραδύτερον.

Βραδύνω ἀμεταβάτως, ἀντὶ τοῦ βραδὺς γίνομαι. καὶ βραδύνεται, ἀντὶ τοῦ βραδυτῆτα λαμβάνει. ἡ δ' ὁδὸς βραδύνεται.

Βραδύνω, μέλλω, δηθύνω, διάγω. καὶ βραδύνω ἐλθεῖν.

Βραδὺς ὁ ἀργὸς, ὁ μὴ ἀγχίνους κἀπιλίσμων. καὶ βραδὺς, παρὰ τὸ βάρος βαρύς. καὶ ἐν ὑπερθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ δ βραδύς.

Βραδύς. ἔχει ἐναντίον τὸ ταχὺ, ἢ τὸ ὀξύ. λέγεται ὀξὺ καὶ ἐπὶ μαχαίρας, καὶ ὀφθαλμῶν. καὶ ἔχει ἐναντίον τὸ ἀμβλύ. λέγεται καὶ ἐπὶ τῶν μετεχόντων ὀξώδους ποιότητος, καὶ ἔχει ἐναντίον τὸ γλυκύ. λέγεται καὶ ἐπὶ φωνῆς, καὶ ἔχει ἐναντίον τὸ βαρύ. λέγεται πάλιν τὸ βαρὺ καὶ ἐπὶ ὄγκου, καὶ ἔχει ἐναντίον τὸ ἐλαφρόν.

Βραδυτέραν, οὐ βράδιον, ποιητικὸν γάρ. Λιβάνιος, Καί σε εἰ καὶ βραδύτερον, ἀλλὰ σεμνότερον ὄψομαι. καὶ βραδύτερον, οὐ βράδιον λέγουσιν, ὅτι μὴ Ἡσίοδος μόνος εἴρηκε βράδιον συνεσταλμένως, βράδιον δὲ πανελλήνεσσι φαείνει.

Βράδων, ἀδύνατος.

Βράζει, τὸ ὕδωρ θερμαινόμενον. ἀναβράζω δὲ τὸ ὕδωρ, μεταβατικῶς.

Βράζειν, τὸ ἡσυχῇ ὀδύρεσθαι.

Βράζω, ζέω, θέρω, θερμαίνω.

Βραθὺ, πόα τις θεοῖς θυομένη.

Βραΐδιον, ῥαΐδιον. Αἰολεῖς.

Βράκαλον, ῥόπαλον.

Βράκανα, ἄγρια καὶ δύσπλυτα λάχανα.

Βρακείας, τραχεῖς τόπους.

Βρακεῖν, συνιέναι.

Βρακεὶς, συνιείς.

Βράκες, ἀναξυρίδες.

Βρακὸς, κάλαμος, ἱμάτιον πολυτελές.

Βράκος, ἀντὶ τοῦ ῥάκος. καὶ βρυτὴρ, ἀντὶ τοῦ ῥυτήρ. καὶ βρόδον, ἀντὶ τοῦ ῥόδον. οἱ Αἰολεῖς τὸ β τῷ ρ προσνέμουσιν, ὅταν ἐπιφέρηται κ, ἢ τ, ἢ δ.

* Βράκα, ῥωμαϊκῶς τὸ κάλυμμα τῶν αἰδοίων.

Βράξαι, συλλαβεῖν, δακεῖν, καταπιεῖν.

Βράττειν, ἐσθίειν, κρύπτειν, ἀφανίζειν, τῷ στόματι ἕλκειν, ἢ στενάζειν.

Βρασίδας, ἐγένετο Λάκων τὸ γένος. ὁ δὲ Βρασίλας, Κῷος. ὁ Λακεδαιμόνιος δὲ Βρασίδας, οὐ θάπτεται ἐν Κῷ, ἀλλὰ ἐν Ἀμφιπόλει. παρὰ δὲ Θεοκρίτῳ τίθεται ὁ Βρασίδας.

Βράσκη, κράμβη. Ἰταλιῶται.

Βρασμὸς γῆς, ὅταν καχλάζῃ μετὰ κινήματος. ἐκτινασμὸς δὲ, ὅταν ἀναρριπτῆται.

Βρασσιόστοχος, κεραμικὸς, ὁ μὴ ἐρρωγώς.

Βρᾶσσον, βραδύτερον, ἀσθενέστερον. ἢ εὐπροκλινὲς, ἐπὶ τροχοῦ. ἔνιοι βράσσονας, ταπεινοτέρας.

Βράσσω, τὸ ζέω. ὅπερ καὶ ἀναβράσσω λέγεται Ἀττικῶς.

Βράσσων, παρὰ τὸ βραδὺς βραδύτερος, βραδίων, βράσσων. ἅπαξ δὲ εἴρηται τῷ ποιητῇ. δηλοῖ δὲ κατὰ τοὺς γλωσσογράφους, τὸν βραδὺν, ἢ τὸν βραχύν. ἀπὸ τοῦ βραδὺς βραδίων βράσσων. ἢ ἀπὸ τοῦ βραχὺς βραχίων βράσσων. ὡς ἐλαχὺς ἐλαχίων ἐλάσσων, ταχὺς ταχίων τάσσων. κατὰ δὲ ἑτέρους βράσσων, ὁ βρασσόμενος. καὶ οὐχ ἑστηκὼς ἐφ' ἑνὸς, διὰ τὴν ἀγωνίαν. καὶ μετενήνεκται ἡ λέξις ἀπὸ τῶν βρασσομένων ὑδάτων. εἴτε δὲ βραχὺς, εἴτε βραδὺς, εἴτε βρασσάμενος, ἐκεῖνος ὁ εἷς. καὶ βράσσων, ἐλάσσων, ἢ ἄτακτος, ἀπὸ τοῦ βρασμοῦ, ὁ οὐ σταθερός. βράσσων τε νόος, οἷον ἀκατάστατος, ἀσθενέστερος ὤν.

Βραταίναν, τορύνην. Ἠλεῖοι.

Βραταίνει, ῥαίζει ἀπὸ νόσου, Ἠλεῖοι.

Βρατάχους, βατράχους.

Βράττειν, πληθύνειν, βαρύνειν.

Βραυκανᾶσθαι, ἐπὶ τῶν κλαιόντων παιδίων λέγεται, ὡς μίμημα φωνῆς.

Βραύκας, ἀκρίδας.

Βραύλα, φθείρ.

Βραῦλον, κοῖλον.

Βραυνία, κοιλώματα τῆς γῆς.

Βραυρὼν, τόπος τῆς Ἀττικῆς.

Βραυρωνίοις, τὴν Ἰλιάδα ᾖδον ῥαψῳδοὶ, ἐν Βραυρῶνι τῆς Ἀττικῆς. καὶ Βραυρωνία ἑορτὴ, Ἀρτέμιδι Βραυρωνίᾳ ἄγεται, καὶ θύεται αἴξ.

Βραυῶσα, κεκραγυῖα.

Βράχαλον, χρεμετισμόν.

Βραχεῖν, ἠχῆσαι, ψοφῆσαι.

Βραχεῖα, ἡ περιτράχηλος ἀλγηδών.

Βραχεῖς, ὀλίγοι·

Βράχειν, τίθεται ἐνίοτε ἐπὶ μεγάλης βοῆς ὁ πλιτῶν.

Βράχεν χθών. ἔστι μὲν κατὰ τὸ βράχεν ὕδατα, καὶ ὅσα τοιαῦτα. δηλοῖ δὲ ἦχον, ὁποῖοι πολλοὶ ἐκπίπτουσι γῆθεν δεινοὶ, ὧν καὶ οἱ Τυφωνικοί.

Βραχέως, δι' ὀλίγου.

Βραχιόλια, ἃ παρ' ἡμῖν χλιδόνες καλοῦνται.

Βράχιστον, ἐλάχιστον.

Βραχιτελὲς, σύντομον, μικρόν.

Βραχίων, ὅτι βραχύτερός ἐστι τοῦ λοιποῦ μέρους. βραχίων τροπικῶς, καὶ ἡ δύναμις.

* Βραχίων, θηλυκῶς ἡ ὅλη χεὶρ, ἀρσενικῶς δὲ μέρος οὕτω καλούμενον ὁμωνύμως τῷ ὅλῳ.

Βραχμᾶνες, οἱ παρ' Ἰνδοῖς γυμνοσοφισταὶ καλούμενοι.

Βραχὺ, ἐναντίον ἔχει τὸ μακρόν. καὶ τὸ βραχὺ ἐπίρρημα, τὸ μακρῷ ἔχει ἐναντίον. τὸ βραδὺ ἐναντίον τῷ ταχὺ, ἢ τὸ ὀξύ. καὶ ἔχει ἐναντίον τὸ ἀμβλύ. λέγεται καὶ ἐπὶ τῶν μετεχόντων ὀξώδους ποιότητος, καὶ ἔχει ἐναντίον τὸ γλυκύ. λέγεται καὶ ἐπὶ φωνῆς, καὶ ἔχει ἐναντίον τὸ βαρύ. λέγεται πάλιν τὸ βαρὺ ἐπὶ ὄγκου, καὶ ἔχει ἐναντίον τὸ κοῦφον, ἤτοι τὸ ἐλαφρόν.

Βραχὺ, ἀντὶ τοῦ οὐδὲν, ὀλίγον, μικρόν.

Βραχυκατάληκτον μέτρον ἐστὶν ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμὸν, οἷον τὸ φεῦ φεῦ, ἢ τὸ ἰὼ, ἢ τὸ ἔα. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα, διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα, τοῦ ἑτέρου δὲ λείπεσθαι.

Βραχύλογος, λέγεται ὁ ὀλίγα λέγων μετὰ κρίσεως. καὶ ὁμοίως βραχὺς, σύντομος, αὐτάρκης, ἀρτιεπὴς, σαφὴς, ἀποχρῶν, ὑπεραποχρῶν, σύντονος, ἀρτίστομος, πολύνους μᾶλλον ἢ πολύλογος, καὶ ἄλλα. καὶ τὰ πράγματα, τάχος, συντομία, αὐτάρκεια, βραχυλογία, σαφήνεια, ἀρτιφωνία, ἀρτιλογία, ἀκρίβεια, βάσανος. καὶ τὰ ἐπιρρήματα, ταχέως, συντόμως, αὐτάρκως, βραχέως, σαφῶς, ἀρτιφώνως, ἀρτιλόγως, ἀρτιστόμως, πολύνως, ἀκριβῶς.

Βραχυλογῶ, ἀμεταβάτως.

Βραχμάζουσαι, χρεμετίζουσαι.

Βραχυμυθίας, ἤτοι βραχυλογίας.

Βραχὺς, κατὰ τροπὴν τοῦ λ εἰς τὸ ρ. παρὰ γὰρ τὸ ἀποβεβλῆσθαι μέρος, καὶ ἐλάσσονα γενέσθαι.

Βραχυτελὲς, μικρόν.

Βραχύτης ἐστὶ, φράσις πλέον τοῦ ἀκουομένου νοούμενον ἔχουσα. οἷά εἰσι τὰ Δελφικὰ ἀποφθέγματα. ὡς λέγει, γνῶθι σαυτὸν, χρόνου φείδου, μηδὲν ἄγαν, καὶ τὰ ὅμοια.

Βραχυφεγγίτης, ὁ ὀλιγοφαής. καὶ βραχυφεγγίτου, λύχνου σέλας.

Βράχω, τὸ ἠχῶ, ὀνοματοποιΐα ἡ λέξις ἐστί.

Βραχώδης, τραχύς.

Βράψαι, συλλαβεῖν, ἀναλῶσαι, κρύψαι, θηρεῦσαι.

Βρέα. Κρατῖνος μέμνηται τῆς εἰς Βρέαν ἀποικίας. ἔστι δὲ πόλις Θρακίας, εἰς ἣν Ἀθηναῖοι ἀποικίαν ἐξέπεμπον.

Βρέγμα, καὶ βρεγμὸν, τὸ ὑπὲρ μετώπιον μέρος.

Βρέδον, ἔλαφον, ἢ κεφαλὴν ἐλάφου.

Βρεκεκεκὲξ, κοὰξ, κοὰξ, ἐφύμνιον ἐν Βατράχοις. οὕτως Ἀριστοφάνης, μίμημα φωνῆς Βατράχων.

Βρέκος, ἡ μικρὰ ἀκρίς.

Βρέκυν, τὸν βρέκυντα τὸν βρίγα. βρίγες γὰρ οἱ Φρύγες.

Βρεκύνδαι, δαίμονες, οἱ Φρύγες.

Βρέμβος, ἔμβρυον.

Βρεμεαίνων, ἠχῶν.

Βρέμει, ἠχεῖ, ἐπὶ πυρὸς κυρίως λέγεται. καὶ ὁ βρόμος, ὁμοίως. Ὅμηρος ἐπὶ τοῦ ἤχου τῶν κυμάτων λαμβάνει. σημαίνει καὶ τὸ ὁρμᾶν. προσαρμόττει δὲ καὶ πυρὶ καὶ ἀνέμοις. κεῖται καὶ ἐπὶ κύματος. τροπικῶς δέ ποτε, καὶ ὁ ἀλαζὼν, καὶ ὁ ἀπειλητὴρ, βαρὺ βρέμειν λέγεται.

Βρέμεται, ἐπὶ τοῦ ἤχου τῶν κυμάτων. ὡς τὸ, αἰγιαλῷ μεγάλα βρέμεται. καὶ βρέμεται, ἐπὶ θαλάσσης λέγεται. οὕτω καὶ ὁ βρόμος, ἐκ τοῦ βρέμειν γινόμενον.

Βρέμω, βρεμῶ, βεβρέμηκα. πόσοι εἰσὶ παρακείμενοι ἡμαρτημένοι; τέσσαρες. νέμω νεμῶ νενέμηκα, τέμω τεμῶ τετέμηκα, δέμω δεμῶ δεδέμηκα, ὃ σημαίνει τὸ οἰκοδομῶ. βρέμω βρεμῶ βεβρέμηκα, ὃ σημαίνει τὸ κτυπῶ. ἐξηκολούθησε δὲ αὐτοῖς καὶ τὸ μένω μενῶ μεμένηκα, διὰ καλλιφωνίαν. καὶ διὰ τοῦτο τοῦ τέμω, νέμω, δέμω, βρέμω, οὐ γίνονται οἱ παρακείμενοι δι' ἀμεταβόλου καὶ τοῦ κ, διὰ τὸ μηδέποτε εὑρίσκεσθαι τὸ μ πρὸ τοῦ κ, μήτε κατὰ σύλληψιν, μήτε κατὰ διάστασιν.

Βρενεᾶται, δυσχεραίνει, προσποιεῖται.

Βρένδον, ἔλαφον.

Βρενθικῷ, ἀνθινῷ.

Βρένθειον, μύρον τῶν παχέων, ὡς ἡ βάκχαρις. οἱ δὲ ἀνθινὸν μύρον. καλοῦσι δὲ καὶ ὄρνεόν τι βρένθον, ὃ ἔνιοι κόσσυφον καλοῦσι. Κύπριοι δὲ, βρενθισίτην θρίδακα λέγουσι.

Βρενθία, ῥίζια τινὰ, οἷς ἐρυθραίνονται τὰς γνάθους αἱ γυναῖκες. οἱ δὲ φυκὸς ἄγχουσαν, οὐκ εὖ.

Βρένθιξ, θριδακίνη. Κύπριοι.

Βρενθύῃ, ἀποσεμνύνεις σεαυτὸν ἐκ σχήματος, καὶ ταυρηδὸν ὁρᾷς. Ἀριστοφάνης.

Βρενθύεται, ἀντὶ τοῦ ἐπαίρεται. ἀπὸ τοῦ βρένθον, τὸ μύρον. οἱ γὰρ ἀλαζονευόμενοι, μύρῳ χρίεσθαι εἰώθασι. μεγαλοφρονεῖ, ἢ προσποιεῖται, ὀργίζεται. Ἀριστοφάνης, Σοὶ δὲ ὅτι βρενθύῃ ἐν ταῖσιν ὁδοῖς, ἤγουν κομπάζεις, καὶ ὑπεροπτικῶς βαδίζεις.

Βρενθύεται, ἀναξιοπαθεῖ, βαρεῖται, σεμνύνεται.

Βρενθυόμενοι, δυσχεραίνοντες, ὀργιζόμενοι, θυμούμενοι. καὶ βρενθύεσθαι, τὸ διὰ θυμὸν μετεωρίζεσθαι, προσποιεῖσθαι, ὀργίζεσθαι. ἢ ἐναβρυνόμενοι, τυφῶντες.

* Βρένθος, ὑπερηφανεία, ἀλαζονεία.

Βρενὸς, πυθμὴν, τύμβος. καὶ ὄρνεον, ὃ καὶ βρένθον.

Βρενθήσιον, χωρίον τῆς Ἰταλίας.

Βρεντάγιορ, εἰκὼν, ὁμοίωμα.

Βρενταὶ, βρονταί.

Digitized by Google

Βρέτας, εἴδωλον, ἄγαλμα. παρὰ τὸ βροτὸς, βρέτας κατὰ τροπήν. κυρίως δὲ τὸ ἀπὸ ξύλου πεποιημένον ἀνθρώπου. ἢ βρέτας, ἄγαλμα θεῶν, τὸ βροτῷ ἐοικός. καὶ Εὐφορίων ἐκ τούτου κινηθεὶς, τὸ ξόανον τῆς μητρὸς τῶν θεῶν φησὶν ἀμπέλινον εἶναι. διὰ τὸ τὴν ἄμπελον ἴσως, ἱερὰν εἶναι τῆς Ῥέας.

Βρέται, ἀπηκονίσματι.

Βρέτταινα, φοβερὰ, ἀκρὶς μικρά, ὑπὸ Κρητῶν.

Βρεττία, μέλαινα πίσσα, ἢ νῆσος ἡ περὶ τὸν Ὠκεανόν.

Βρέφος, παρὰ τὸ φέρβω τὸ τρέφω, γίνεται φέρβος, καὶ κατὰ μετάθεσιν τῶν στοιχείων, βρέφος. καὶ λέγεται βρέφος, ἀπὸ γεννήσεως ἕως τεσσάρων ἐτῶν. ἢ βρέφος, τὸ ἄρτι γεγονός. παιδίον τὸ τρεφόμενον ὑπὸ τιθήνης, παιδάριον τὸ περιπατοῦν, καὶ ἤδη λέξεως ἀντιλαμβανόμενον. παιδίσκος, ὁ τῆς ἐχομένης ἡλικίας. παῖς, ὁ διὰ ἐγκυκλίων ἤδη μαθημάτων δυνάμενος ἰέναι. τὴν δὲ ἑξῆς ἡλικίαν, πάλληκα καὶ βούπαιδα καὶ ἀντίπαιδα καὶ μελλέφηβον καλοῦσι. τοὺς δὲ μετ' αὐτοὺς ἐφήβους, Κυρηναῖοι μὲν τριακάτιους καλοῦσι, Κρῆτες δὲ ἀποδρόμους, οὐ διὰ τὸ πεπαῦσθαι τῶν δρόμων, (καθ' ὃ δὴ σημαινόμενοι τῆς ἀπὸ προθέσεως ἄπιχθυς λέγεται, ὁ μὴ ἐσθίων ἰχθῦς. καὶ ἄποινος θυσία, ἡ νηφάλιος. καὶ ἀποβώμια, ἱερὰ τὰ μὴ ἐπὶ βωμοῖ, ἀλλ' ἐπὶ ἐδάφους καθαγιαζόμενα. καὶ ἀπύμυσος, ὁ ἄμυσος. καὶ ἀπότριχες παρὰ Καλλιμάχῳ, οἱ ἄνηβοι.) ἀλλὰ δηλαδὴ ἀπόδρομοι ἐν Κρήτῃ, οἱ μήπω τῶν κοινῶν δρόμων μετέχοντες ἔφηβοι. μεθ' οὓς φασὶ τὸ μειράκιον, εἶτα μεῖραξ, καὶ νεανίσκος, καὶ νεανίας ὁ αὐτός. Λάκωνες δὲ τούτους, ἱππεῖς ἐκάλουν. καὶ τοὺς προεστῶτας αὐτῶν, ἱππαγρέτας. ἔχεται δὲ τῶν τοιούτων ἱππέων ἡλικία, ἡ τοῦ ἐν καιρῷ νυμφίου. μεθ' ὃν ὁ κατὰ τὸ εἰκὸς πατὴρ, εἶτα ἀνὴρ νέος, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκὼς, ὑποπόλιος, ὁ καὶ ὠμογέρων. εἶτα γέρων, ὁ καὶ πρεσβύτης, εἶτα ὁ ἐσχατόγηρως. πολιοκρόταφοι δὲ, οἱ ἐκεῖθεν, ὡς τὰ πολλὰ πολιοῦσθαι ἀρχόμενοι. ὡς παρασημειοῦται Θεόκριτος εἰπὼν, ἀπὸ κροτάφων πελόμεθα πάντες γηραλέοι. Ἄλλως. Περὶ ἡλικιῶν.

Βρέφος, τὸ γεννηθὲν εὐθέως. παιδίον δὲ, τὸ τρεφόμενον ὑπὸ τῆς τιτθῆς. παιδάριον, τὸ ἤδη περιπατοῦν, καὶ λέξεως ἀντεχόμενον. παιδίσκος δὲ, ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ. παῖς δὲ, ὁ διὰ ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι. τὴν δὲ ἑξῆς ἡλικίαν, οἱ μὲν πάλληκα, οἱ δὲ βούπαιδα, οἱ δὲ ἀντίπαιδα, οἱ δὲ μελλέφηβον καλοῦσιν. ἐν Κρήτῃ ἀποδρόμους, διὰ τὸ μήπω τῶν κοινῶν δρόμων μετέχειν. Ἀχαιοὶ δὲ κούρας, Θρᾷκες ἀγούρους. ὡσαύτως καὶ Ἀττικοί. ὁ δὲ μετὰ ταῦτα, μειράκιον ἢ μεῖραξ, εἶτα νεανίσκος, εἶτα νεανίας, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκώς. ὃς καὶ ὠμογέρων. εἶτα πρεσβύτης, εἶτα ἐσχατόγηρως.

Βρέχη, οὐδεὶς τῶν ἀρχαίων εἶπεν ἐπὶ τοῦ ὑετοῦ, ἀλλὰ ὕειν. βρέχειν δὲ ἐπὶ τῶν ἀπαλυνομένων ὑπὸ τοῦ ὕδατος φασι. σημείωσαι δὲ, ὡς ἐπὶ παθητικοῦ παρακειμένου καὶ τῶν ἐξ αὐτοῦ πάντων χρόνων, χώραν ἔχει τὸ βρέχω, καὶ ἐπὶ τοῦ ὑετοῦ λαμβάνεσθαι. διὰ βρέχω δὲ ἱμάτιον, ἀντὶ τοῦ ὑγραίνω μεταβατικῶς. ἢ βρέχειν, ἐπὶ τοῦ πίνειν λέγεται. καὶ ὑποβεβρεγμένος, ὁ μέθυσος. τὸ δὲ βρέχειν, ἀπὸ τοῦ ἤχου τῶν ὑδάτων, ὀνοματοποιΐα ἡ λέξις. καὶ Ὅμηρος, ἀμφὶ δέ οἱ βρέχεν. ἢ παρὰ τὸ βάλλω βαλῶ, καὶ βρῶ βρέχω.

Βρίχμα καὶ βρέγμα, τὸ ὑπερμετώπιον μέρος, ὅπερ ὁ ποιητὴς βρεχμὸν καλεῖ. λέγει δὲ τὸ τῆς κεφαλῆς ἄκρον κράνιον. ὥσπερ παρὰ τὸ ἔχω γίνεται ἐχμὸς, καὶ συνεοχμὸς, οἷον καὶ αὐχένος ἐν συνεοχμῷ. οὕτω καὶ παρὰ τὸ βρέχω βρεχμὸς, καὶ βρέχμα. τοῦτο γὰρ πρῶτον βρέχεται.

Βρεχμὸς, διὰ τοῦ χ, τὸ ἄνω τοῦ μετώπου. λέγεται δὲ καὶ κοινῶς βρέγμα, διὰ τοῦ γ. καλεῖται δὲ οὕτω, διὰ τὸ οἷον βεβρέχθαι τοῦτο τὸ μέρος, καὶ ὑγρότατον εἶναι καὶ ἁπαλὸν τοῖς βρέφεσιν. οὕτω καὶ ῥῆγμα λέγομεν διὰ τοῦ γ, καὶ ῥωχμὸν διὰ τοῦ χ. καὶ διωγμὸν, καὶ ἰωχμὸν, καὶ ἄλλα.

Βρέχω, τὸ παρὰ τοῖς Ἀττικοῖς ὕω. μέλλων βρέξω.

Βρῆγμα, τὸ μετὰ βηχὸς ἀναπτυόμενον. τινὲς δὲ ἀντὶ τοῦ ρ τιθέασιν, παρὰ τῷ Ἱπποκράτει. καὶ βρῦγμα, ἀπόπτυσμα ἀπὸ θώρακος, παρὰ Ἱπποκράτει.

Βρησαῖος, ὁ Διόνυσος.

Βρήσσουσι, βρηχῶνται, φωνεῖ τὰ πρόβατα.

Βρητὸς, ἀλεκτρυὼν ἐνιαύσιος.

Βρηχανόμενοι, φωνοῦντες, ἢ χασμώμενοι.

Βρι, ἐπιτατικὸν μόριον. ἐξ οὗ καὶ βριαρὸς, ὁ ἰσχυρός. γίνεται κατὰ πλεονασμὸν καὶ παραγωγὴν ὄβριμος. ὅθεν καὶ ὀβριμοεργὸς ἐκεῖθεν. καὶ ὀβρίκαλα παρὰ Αἰσχύλῳ, λεόντων σκυμνία, τὰ δηλαδὴ ὄβριμα καὶ καλά. ἕτεροι δέ φασιν, ὅτι τὰ ὄβρια, καὶ ὀβρίκαλα, λεόντων καὶ λύκων σκυμνία. καὶ ὅτι βρίκελοι, διὰ δικόνου τὰ μορμολύκεια. Παυσανίας μέντοι περὶ τούτων φησὶν, ὅτι βρίκελα προσωπεῖα βροτῷ ἴκελα, ἢ βριξὶν ἴκελα. ὁ δ' αὐτὸς καὶ βριμοῦσθαι λέγει, τὸ μετά τινος ἀπειλῆς ἐκφοβεῖν. καὶ Αἴλιος Διονύσιος δὲ, βριμοῦται φησιν, ἀντὶ τοῦ ἀπειλεῖ. ἄλλοι δέ φασι βριμᾶσθαι, ἐν δευτέρᾳ συζυγίᾳ τῶν περισπωμένων. ταῦτα δὲ πάντα, ἐκ τοῦ βρι ἐπιτατικοῦ παράγονται. ὅθεν καὶ Βριμώ, πεπλασμένον τι δαιμόνιον φοβερόν. ὅτι βρίγες, φρίγες ἐλέγοντο, ὁ Γεωγράφος δηλοῖ. καὶ Βριάρεως κύριον, καὶ τὸ βρίθω, καὶ τὸ βρῖθος, καὶ ὀβριθύς, ἀπ' αὐτοῦ παράγονται.

Βριαγχύνην, βάτραχον, Φωκεῖς.

Βριάει παρ' Ἡσιόδῳ, ἐνισχύει, κρατυνεῖ.

Βρίακχος θηλυκῶς, ἡ βάκχη, ἡ βριαρῶς ἰαχάζουσα.

Βρίαν, τὴν ἐπ' ἀγροῖς κώμην.

Βριαβά, βαρεῖα, ἰσχυρά.

Βριάρεω στῆλαι, αἱ Ἡράκλειοι λεγόμεναι.

Βριάρεως, ὁ ἑκατόγχειρ θεός.

Βριαροὶ, ἰσχυροὶ, βαρεῖς, στερεοί.

Βριαρὸν, ἰσχυρὸν, βαρύ. παρὰ τὸ βία βιαρὸν, καὶ πλεονασμῷ τοῦ ρ βριαρόν. ἔνθεν τὸ βριάρεως. ἢ παρὰ τὸ βρίω, ἀφ' οὗ καὶ βρίθω.

Βριαρόχειρ, ὁ δυνατὸς καὶ ἰσχυρὸς τὴν χεῖρα.

Βρίγες, οἱ μὲν φρύγες, οἱ δὲ βάρβαροι, οἱ δὲ σολοικισταί. Γέβας δὲ, ὑπὸ Λυδῶν φαίνεται βρίγα λέγεσθαι, τὸν ἐλεύθερον.

Βρίγκος ἰχθῦς κητώδης.

Βριγκώμενον, ὀργιζόμενον, μυκώμενον.

Βρίζειν, τὸ ἀπονυστάζειν. κυρίως δὲ τὸ βαρέως ἢ μετὰ τὴν βορὰν ἵζειν. τὸ μὲν βρίζειν, τὴν παντελῆ ἀμέλειαν ἀποφάσκει τοῦ βασιλέως παρ' Ὁμήρῳ.

Βριζομάντις, ἐνυπνιομάντις.

* Βρίζα, Αἰολικῶς ἡ ῥίζα.

Βρίζω, τὸ κοιμῶμαι. εἴρηται δὲ βρίξαι, τὸ μετὰ βορὰν καὶ τροφὴν καθεύδειν. βρι ἐπιτάσεώς ἐστιν, ὡς τὸ Βριήπυος. καὶ Ὅμηρος, ἔνθ' οὐκ ἂν βρίζοντα. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ ἀμελείας. κυρίως βρίζειν ἐστὶ, τὸ βαρέως ἵζειν, καὶ μετὰ βορὰν ἵζειν.

Βριήπυον, τὸν Ἄρην φησὶν Ὅμηρος, ὡς μεγαλόφωνον. ὅπερ ἀλλαχοῦ προκατεσκεύασεν, εἰπὼν αὐτὸν βοῆσαι, ὡς ἐννεάχιλοι, ἢ δεκάχιλοι. καὶ τοῦτο μὲν μυθικῶς. ἄλλως δὲ βριήπυος λέγεται, διὰ τὰς ἐν μάχῃ βοάς. ὅθεν καὶ βοὴ, καὶ φύλοπις, καὶ αὐτὸ ὁ πόλεμος λέγεται. δῆλον δὲ, ὅτι τὸ ἠπύειν, ἤγουν φωνεῖν. ἐξ οὗ καὶ ὁ διὰ τοῦ η ἠπυτίδης, ἢ κατὰ κυριολεξίαν, ἢ παρωνυμικῶς. καὶ διὰ τοῦ α λέγεται ἀπύειν. ὅθεν καὶ τὸν κήρυκα, ἀπύτην ἔφη τις τῶν παλαιῶν, οὐ κατὰ κύριον, ἀλλ' ἐπιθετικῶς.

Βριηρὸν, μεγάλως κεχαρισμένον.

Βρίθει, βαρύνει, αὔξει, ἢ εὐθύνει, διατρέφει. καὶ βρίθει, ἀντὶ τοῦ βαρύς ἐστι. βρίθει δὲ καὶ τὸ δένδρον τοῖς καρποῖς, ἀντὶ τοῦ βαρύνεται. βρίθει, βαρεῖ. ἀφ' οὗ βριθοσύνη. καὶ βριθὴς, ὁ ἐμβριθής.

Βρίθειν καρπῷ, τὴν πολλὴν εὐθηνίαν τῶν καρπῶν δηλοῖ. καὶ βρίθειν, γέμειν.

Βρῖθον, ἀντὶ τοῦ ἔβριθον.

Βρῖθος, βάρος. * καὶ βριθοσύνη.

Βρίθουσαν, λάμπουσαν, βαροῦσαν.

Βριθὺ, ἰσχυρὸν, μέγα, βαρύ.

Βριμάζει, ὀργῇ εἰς συνουσίαν.

Βρίκα, τὸ μικρόν. Κύπριοι.

Βρίκελοι, οἱ μὲν τοὺς ἰσόποδας, ἀπὸ τοῦ βάρους καὶ τοῦ ξύλου. οἱ δὲ, βαρβάρους. Δίδυμος δὲ τὰ τραγικὰ προσωπεῖα παρὰ Κρατίνῳ. οἷον βροτοΐκελοι, ἐν Σερίφοις.

Βρικίνη, εἶδος βοτάνης.

Βρικίσματα, ὄρχησις φρυγιακή.

Βρικοὶ, πονηροί.

Βρικὸν, ὄνον. Κυρηναῖοι, βάρβαρον.

Βριλησὸς, ὄνομα τόπου τῆς Ἀττικῆς.

Βριμὰ, ἰσχυρά.

Βριμάζει, λέοντος χρῆται φωνῇ.

Βριμαίνειν, σημαίνει τὸ ὀργίζεσθαι, καὶ θυμοῦσθαι. καὶ βρι τὸ ὑπὸ ὀργῆς βαρύνεσθαι. λέγεται καὶ Βριμῶ, ὅθεν καὶ βριμοῦσθαι καὶ βριμῆσαι.

Βριμᾶσθαι, τὸ ὀργίζεσθαι καὶ ἀπειλεῖν. παρὰ δέ τισι καὶ τὸ ἦχον ἀποτελεῖν.

Βρίμη, ἡ ἰσχύς. Ἀπολλώνιος Ἀργοναυτικοῖς, Μηδείης ποτὲ βρίμη φαρμάκου. παρὰ τὸ βρι γέγονε ῥῆμα βρίθω, ὁ μέλλων βρίσω. ὅθεν ὄνομα ῥηματικὸν βρίμη. καὶ βαρύνεται. Τὰ γὰρ εἰς μη λήγοντα ὀνόματα ἑνὶ φωνήεντι παραληγόμενα, βαρύνεται. οἷον χρίμη, φήμη, πλὴν τοῦ τιμή. τὰ δὲ ἔχοντα πρὸ τοῦ μ ἕτερον σύμφωνον, ὀξύνεται, οἷον γραμμή.

Βρίμημα, ἐπίπληξις.

Βριμήσασα, χαλεπήνασα, ὀργισθεῖσα.

Βριμῆσαι, ὀργισθῆναι.

Βριμούμενος, ὀργιζόμενος.

Βριμὸς, δυνατὸς, ἰσχυρὸς, γενναῖος.

Βριμὼ, καὶ ὀβριμὼ, ἡ Περσεφόνη. Ἀπολλώνιος, Βριμὼ νυκτίπολον χθονίην ἐνέροισιν ἄνασσαν. φασὶν Ἑρμῆν ἐρασθέντα ἐπὶ κυνηγεσίαν ἐξιοῦσῃ θελῆσαι βιαίως μιχθῆναι, ἡ δὲ ἐνεβριμήσατο αὐτῷ. ὁ δὲ φοβηθεὶς, ἀπετράπη. καὶ ἐντεῦθεν Βριμὼ προσηγορεύθη. ἢ διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν τῆς δαίμονος, καὶ φάσματα ἐπιπέμπειν τὰ καλούμενα ἑκαταῖα. καὶ πολλάκις αὐτὰ μεταβάλλειν τὸ εἶδος, διὰ τὸ ἔμπουσαν καλεῖσθαι. ἢ παρὰ τὸν βρόμον, τὸν τοῦ πυρὸς ψόφον. τοῖος γὰρ πέλεται βρόμος. ἡ γὰρ θεὸς λαμπαδοῦχος. τὸ δὲ βρι ἐπιτάσεώς ἐστιν. ὡς τὸ βριήπυος, ὄβριμος ἄρης. ἢ Βριμὼ ἡ ἡ μεγάλην ἔχουσα μῆνιν, βριμήεις τις οὖσα.

Βριμῶν, ἀπειλῶν.

Βρίννια, τὰ ἀρνεια κρέα.

Βρινδεῖν, θυμοῦσθαι, ἐρεθίζειν.

Βρινοὶ, οἱ βάτραχοι.

Βριντοιὸς, μεγαλόφωνος, μέγας, δεινός.

Βρὶξ, θριδακίνη, καὶ εἶδος ἄνθους. οἱ δὲ, περιστερεῶνα.

Βρίξαι, τὸ μετὰ βορὰν καὶ τροφὴν καθευδῆσαι, βορίξαι τι ὄν. σημαίνει δὲ τὸ ἀναπαύεσθαι, καὶ καθεύδειν

* Βρῖσαι ἔδνοις λέγεται, ὁ νικήσας τῷ βάρει τῶν δώρων τοὺς συμμνηστευτὰς τινὸς γυναικός.

Βρῖσαι, νύμφαι οὕτω καλούμεναι, ἢ ὅτι βλίσαι. καὶ γὰρ μελισσουργίαν αὗται τὸν Ἀρισταῖον ἐδίδαξαν, τροπῇ τοῦ λ εἰς ρ. ἢ παρὰ τὸ βρύειν, ὅ ἐστιν ἀνθεῖν τὴν ἐλαίαν. ἧς τὴν ἐργασίαν καὶ αὐτὴν ὑπέδειξεν Ἀρισταίνετος, τὴν διὰ τῆς ἀμβροσίας. ἢ ἀπὸ τοῦ βρίξαι, καὶ κατακοιμίσαι αὐτὸν, καὶ καταβαυκαλίσαι.

Βρίσαντα, ἰσχύσαντα, βαρύναντα.

Βρίσει, θρασύνει.

Βρισεὺς ὁ ἥρως. οἷον κούρην Βρισῆος. παρὰ τὸ βρίθω, τὸ βαρῶ, βρίσω, βρισεύς. καὶ παρωνυμικῶς, βρισηΐς. παρὰ τὸ βρίθειν, ἤγουν βαρεῖν τῷ κάλλει πάσας τὰς γυναῖκας. ἢ παρὰ τὸ βαρεῖν τοὺς ἕλληνας ἐβάρησε γὰρ καὶ ἔβλαψε τοὺς ἕλληνας, διὰ τὸ λαβεῖν αὐτὴν τὸν Ἀγαμέμνονα.

Βριτόμαρτις, καὶ ἄρτεμις, καὶ νύμφη. Καλλίμαχος, Ἐλλόφονον βριτόμαρτιν εὔσκοπον. τῆς δὲ θεοῦ Βριτομάρτιδος, ὅτι ταῖς βρίσαις νύμφαις ὁμαρτεῖ, καὶ Νεάνθης ἐν τῷ πρώτῳ περὶ τελετῶν, φησὶ χρησμὸν Διῒ δοθῆναι, ὁ ἐκ τῆς μήτρας τῆς Ἑκάτης γεννησόμενος, μεταστήσει τῆς βασιλείας αὐτόν. γεννώσης δὲ τῆς Ἑκάτης, τὰς συμπαρούσας κόρας τῇ λεχοῖ ἀναβοῆσαι βρίτον, τουτέστιν ἀγαθόν. παρὰ τοῦτο δὲ τὸ ἐπίφθεγμα ὀνομάσθαι τὴν θεόν.

Digitized by Google

Βρῖτος, ἶτος.

Βριτὺ, γλυκύ. Κρῆτες.

Βρόαγχος, βάτραχος.

Βρογχιάζει, καταπίνει.

Βρόγχος, ὁ λαιμὸς, ὃν καὶ φάρυγγα καλοῦσι. καὶ ἐπὶ τῶν ἰχθύων τῶν τὰ βράγχια ἐχόντων. εἴρηται δὲ παρὰ τὸ βρέχω, βρέχος τὶς ὤν, ὁ ἐν τῷ σιτεῖσθαι καὶ πίνειν βρεχόμενος. καὶ ἡ μὲν συνήθεια βρόγχον λέγει, οἱ δὲ ἀρχαῖοι βράγχον. ὅθεν καὶ βραγχιᾶν, τὸ παθητικὸν εἴρηται. πεποίηται δὲ ἡ λέξις τοῦ βρόγχου, ἀπὸ τοῦ γινομένου ἤχου ἐν τῷ καταπίνειν.

Βρόδα Αἰολεῖς, τὰ ῥόδα.

Βρόκοι, Ἀττέλεβοι, Ἀκρίδες.

Βροκὸς, μωρὸς, ἠλίθιος.

Βρόκων, ἀμαθὴς, ἀπαίδευτος, οἷον βόσκημα.

Βρομέον, ὀζόμενον.

Βρομέωσιν, ἠχῶσι.

Βρομήσει, φυσήσει, ψοφήσει.

Βρομία χάρις, παρὰ τῷ Ἀριστοφάνει ἐν ταῖς Νεφέλαις, οἱ Διονυσιακοὶ ἀγῶνες, ἐν οἷς ἅμιλλα τῶν χορῶν.

Βρόμιος, ὁ Διόνυσος παρὰ τὸν βρόμον. καὶ γὰρ τῆς Σεμέλης κεραυνωθείσης, ἡρπάγη ὑπὸ τοῦ Ἑρμοῦ κατὰ βούλησιν τοῦ Διὸς, ἐκ μέσου τοῦ πυρός, βρόμῳ καὶ ἤχῳ βροντῆς. ἢ ὅτι μετὰ τυμπάνων καὶ βρόμων, ἤγουν ἤχων, ἐν ὄρεσι σὺν Βάκχαις καὶ Σατύροις καὶ Σειληνοῖς ἐπόμπευον.

Βρόμος κυρίως, ἐπὶ ἀνέμου, καὶ ἐπὶ πυρός. ἀφ' οὗ καὶ τὸ βρέμειν. Παυσανίας δὲ καὶ τὸν βρόμον λέγει. καὶ σπέρμα λεπτῇ κριθῇ ὅμοιον, τὸ κοινῶς δηλαδὴ λεγόμενον βρόμιον. τὸ μέντοι βρωμᾶσθαι, ὃ καὶ ἐκτείνεται, φησὶν αὐτὸς ἐπὶ ἀρσένων ὄνων τίθεσθαι, ὅτε λιμώττουσιν, ἵνα ἡ φησὶ βρωμᾶσθαι, τοῦ βρώμης, ὅ ἐστι τροφῆς δεῖσθαι.

Βρόμος, βοτάνη ὁμοία σίτῳ, μὴ ἔχουσα γόνατα. καὶ βρόμος, ἰδίωμα ἤχου, ἦχος. καὶ ὁ τόπος, εἰς ὃν ἔλαφοι οὐροῦσι, καὶ ἀφοδεύουσι. καὶ σπέρμα λεπτῆς κριθῆς, καὶ ὀσμὴ, καὶ χόρτος.

Βρόνδον, εἶδος διαλέξεως.

Βροντᾷ, ἐπὶ βροντῆς.

Βροντεῖον, μηχανή ἐστιν ὃ καλεῖται βροντεῖον ὑπὸ τὴν σκηνήν. ὃ ἦν ἀμφορεῦς, ἔχων ψηφίδας θαλασσίας. ἦν δὲ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψῆφοι κατήρχοντο. καὶ κυλιόμενοι, ἦχον ἀπετέλουν.

Βροντὴ, ἡ ὑπὸ πνεύματος ἐν τοῖς νέφεσι γινομένη ἔκρηξις. ἥτις πρὸς τὴν τῶν νεφῶν πυκνότητα βίᾳ φερομένη, ποιεῖ ἐν τῇ πληγῇ ψόφον. ἢ ὅταν πνεῦμα ξηρὸν καὶ βίαιον κοιλότησι νεφέλης ἐναπολειφθὲν, καὶ ὑπὸ ἀπνοίας τοῖς κοιλώμασι τῶν νεφῶν ἐνστρεφόμενον, ζητεῖ διέξοδον πρὸς τὰ ἄνω. ἀντέχουσαι μὲν οὖν ἐπὶ τῆς ἄγαν πιλήσεως αἱ νεφέλαι, τὸν τραχὺν ἐκεῖνον ἐκ τῆς τοῦ πνεύματος παρατρίψεως ἀποτελοῦσιν ἦχον. ἐπειδὰν δὲ ὥσπερ πομφόλυγες περιπαθεῖσαι τῷ πνεύματι, ἐπιπλέον ἀντέχειν καὶ στέγειν ἀδυνατήσωσι, βιαίως ἀπορρηγνύμεναι, καὶ πρὸς τὴν ἔξω ἀναπνοὴν διϊεῖσαι τὸ πνεῦμα, τὰς κατὰ τὰς βροντὰς ἀποτελοῦσι ψόφους, καὶ ἀστραπὴν ἐργάζεσθαι πέφυκεν. εἴρηται δὲ παρὰ τὸν βρόμον, ὃ σημαίνει τὸν τοῦ πυρὸς ἦχον. ἔμπυρος γὰρ ἡ βροντή.

Βρόντημα, ὁ ἐμβρόντητος.

Βρόξαι, ῥοφῆσαι.

Βρόσσομος, βραχύτερος.

Βρόταχον, τὸν βάτραχον, Ἴωνες.

Βροταὶ, γυναῖκες.

Βροτίεια, ἀνθρώπεια, καὶ ἀνθρώπινα.

Βροτοδαίμων, ἡμίθεος.

Βροτοειδέσιν, ἀνθρωπίναις.

Βροτόεντα, αἱματώδη. βρότος γὰρ, τὸ μετὰ κόνεως αἷμα. ἢ βροτόεντα, ἡμαγμένα. βρότος γὰρ τὸ μετὰ κονιορτοῦ αἷμα τοῦ ἀνθρώπου.

Βροτολοιγὸς, κοινότερον μὲν ὁ ἀνδροφόνος. δύναται δέ ποτε σκωφθῆναι, καὶ ὁ ἄτεχνος ἰατρός. ὁ δὲ κωμικός φησι, βροτολοιγὸν ἰδίως που ἔφη τὸν καὶ αἰσχρολοιγὸν λεγόμενον, κατὰ ἀναλογίαν τοῦ ματιολοιχοῦ. διὰ τὸ τοὺς τοιούτους παραιτίους γίνεσθαι, τοῦ μὴ κύειν τὰς γυναῖκας, καὶ οὕτως ἐπ' ὀλέθρῳ βροτῶν εἶναι.

Βροτολοιγῷ, ἀνθρωποφθορεῖ.

Βρότον μέλανα λέγει, ὡς εἴπερ εἶπε μέλαν αἷμα.

Βρότος κυρίως, ὁ ἐξ αἵματος μολυσμός. οὐχ ἁπλῶς μέντοι αἵματος, ἀλλὰ βροτέου, ὅ ἐστιν ἀνθρωπίνου. καὶ βαρύνεται πρὸς διαστολὴν τοῦ βροτὸς, τοῦ κατ' ἄνθρωπον. οὕτω κακὸς μὲν τὸ ἐπίθετον ὀξυτόνως. Κάκος δὲ βαρυτόνως, λῃστὴς Λατῖνος.

Βροτὸς, γράφουσιν οἱ παλαιοὶ, ὁ οἷον μορτὸς, ἤγουν μεμορμένος, καὶ τῇ εἱμαρμένῃ ὑποπεπτωκώς. ὁ δὲ μῦθος παρὰ τὸν βρότον παράγει τὴν λέξιν. ὅπερ ἐστὶ μολυσμὸς αἵματος, ἤτοι λύθρον, τὸ ἐκ τῶν μυθευομένων γιγάντων. ἄλλως δὲ κοινότερον, παρὰ τὸ ῥέω γίνεται ῥοτὸς, ὁ τῇ ῥοῇ ὑποκείμενος. καὶ πλεονασμῷ τοῦ β Αἰολικῶς, βροτός. ὁμοίως τῷ ῥάδιον βράδιον, ῥάκος βράκος, ῥάδον βρόδον, ῥίζα βρίζα. ἴσως δὲ καὶ ῥῶ βρῶ, ἐξ οὗ βρῶσις. ἡ οἷον ῥῶσις τῷ ζῶντι· ῥυτὴρ βρυτὴρ, ὁ χαλινός. ταῦτα πάντα Αἰολικὰ, δηλοῦσιν οἱ παλαιοὶ φάμενοι, ὅτι προστιθέασιν οἱ Αἰολεῖς τὸ β τῷ ρ, ἡνίκα ἡ ἐφεξῆς συλλαβὴ ἔχει ἢ τὸ κ, ἢ τὸ δ, ἢ τὸ ζ, ἢ τὸ τ. τὸ δὲ βροτὸς ἐν ταῖς συνθέσεσι, προσλαμβάνει τὸ μ. οἷον, τερψίμβροτος, φαεσίμβροτος, κλεόμβροτος, ἐναρίμβροτος αἰχμὴ, πλησίμβροτος ἀγορά. δίχα δὲ τοῦ μ, ἀμβιβρότη, καὶ ἀβρότη νύξ.

Βροτὸς τὸ ἐπίθετον, ἀντὶ τοῦ ἀνθρώπου, οὐκ ἔστιν ἐπίθετον. ὁμοίως ἀήτης ἀνέμου ὤν, ἀήτης ἀντὶ ἁπλῶς ἀνέμου λαμβάνεται.

Βροτοῦ ἀνέρος, ἐντελῶς πέφρασται. βροτὸν δέ γε μόνον εἰπεῖν, ἐλλιπῶς ἔχει.

Βροτόφιλος, ἀνθρώπους φιλῶν, τουτέστιν ἀπατῶν.

Βροτῶν πόλιν παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἢ παρέλκον ἔχει τὸ βροτῶν, ἢ τὴν κατοικουμένην δηλοῖ, καὶ μὴ ἁπλῶς οὕτω, καὶ ὁμωνύμως πόλιν.

Βρυλὸς, πονηρός.

Βροῦς πιεῖν, βροῦτος ἐκ κριθῶν πόμα.

Βρυμάλιον, παρὰ τὸ ἐξ ἀλλοτρίων βρωμάτων τρέφεσθαι ἅλις. ἔστι δὲ ἡ λέξις Ῥωμαϊκή.

Βροῦνος, ἐννεὸς, ἢ μαινόμενος.

Βροὺξ, τράχηλος, βρόγχος.

Βρούτιδες, γυναῖκες οὕτω καλούμεναι, οἱονεὶ σιβύλλαι καὶ προφήτιδες.

Βροῦχαλ, θερμός.

Βρούχετος, βάραθρος. βάτραχον δὲ Κύπριοι.

Βρουχέως, σαφῶς, συντόμως, Αἰολεῖς.

Βροῦχος, εἶδος ἀκρίδος. παρὰ τὸ βρύκειν τὸ ἐσθίειν. τὸ αὐτὸ δὲ καὶ μάσταξ καλεῖται, παρὰ τὸ μασᾶσθαι. καὶ βροῦχος, ἡ κάμπη, ἢ ἡ νεογενὴς καὶ ἄπτερος ἀκρίς. βροῦχος δὲ παρὰ τὸ βρύκειν, ὃ σημαίνει τὸ ἐσθίειν.

Βροχθίζω ποιητικῶς. καὶ καταβροχθίζω, τὸ καταπίνω, καὶ ἀθρόως καὶ ἀπλήστως ἐκροφῶ.

Βρόχθος, τὸ ὀλίγον πόμα, καὶ ἡ φάρυγξ, δι' ἧς καταπίνομεν. εἴρηται δὲ παρὰ τὸ βρέχω, βέβροχα.

Βροχμώδης, ἡ νοτερὰ καὶ ἁπαλή. Δημόκριτος.

Βροχμὸν, τὸ βρέγμα.

Βρόχοι, ἅμματα.

Βρόχος λέγεται, ἡ κοινῶς λεγομένη θηλέα. ὡς Εὐριπίδης, βρόχον κρεμαστὸν ἀρτάνης ἀνήψατο. λέγεται δὲ βρόχος κοινῶς, καὶ πᾶς ὁ τισὶν ἐπικρεμάμενος κίνδυνος.

Βρύα, ἃ γίνεται μὲν ἐπὶ πετρῶν. λέγεται δὲ καὶ σκάφος, ἢ σκαφίς. ἐπετίθετο δὲ ἁγισμοῦ χάριν.

Βρυάζει, θάλλει, γαυριᾷ, ἥδεται τροφῇ.

Βρύαθον, βρυασμόν.

Βριαλιγμὸν, ψῆφον, ἦχον.

Βρυαλίκται, πολεμικοὶ, ὀρχησταί.

Βρυαλύζων, διαῤῥήσσων.

Βρυανίων, μετεωριζόμενος, καὶ κορωνῶν.

Βρυάσομαι, ἀναβακχεύσομαι, μετά τινος κινήσεως.

Βρυγοὶ, ἔθνος Ἰλλυρίας.

Βρυγκὸς, ἄφωνος, νεκρός.

Βρυγμὸς, καταναλωσις, καὶ νόσος. ἀπὸ τοῦ βρύχειν, ὅ ἐστι τοῖς ὀδοῦσι πιέζοντα, ψόφον ἀποτελεῖν, ὡς ἐν ῥίγει συμβαίνει. καὶ βρυγμὸς, ἡ σύντομος ἐδωδή. ἢ τρισμὸς ὀδόντων, ἢ μύλων ἀκόνησις. παρὰ τὸ βρύκω, ὃ σημαίνει τὸ ἐσθίω. ὡς γὰρ νύσσω νυγμὸς, οὕτω καὶ βρύκω βρυγμός.

Βρυγχὸς, βρόχος.

Βρυδακίζειν, ἐκτείνειν.

Βρυδαλίχα, πρόσωπον γυναικεῖον. παρὰ τὸ γελοῖον καὶ αἰσχρόν.

* **Βρύειν**, τὸ αὐξάνεσθαι τὸ ἔμβρυον. βρύκειν δὲ λέγονται κολοιοὶ, ἤγουν ποιὸν ἦχον ἀποτελεῖν.

Βρύει καρποῖς τὸ δένδρον. βρύει ἀγαθὰ, ἀντὶ τοῦ πηγάζει. βρύει ὁ λειμὼν ἄνθεσιν, ἀντὶ τοῦ θάλλει. καὶ βρύει, ἐπὶ τοῦ ἀνθεῖν. βλύειν δὲ, ἐπὶ τοῦ ἀναβάλλειν. βλύζειν, ἐπὶ τοῦ ἀναπέμπειν ὕδωρ.

Βρύελλα, τὰ βροῦλλα, καὶ βρύλλια. βρυλλίῳ δέδεται.

Βρύθακες, χιτῶνες βομβύκιοι. ἢ γένος ἰθαγενῶν.

Βρύκαι, αἱ ἱεραὶ ὑπὸ Δωριέων.

Βρυκανήσομαι, βοήσομαι.

Βρυκάω, ἐσθίω.

Βρυκέδανος, πολυφάγος. οἱ δὲ, μακρός.

Βρύκος, κήρυξ. οἱ δὲ, βάρβαρος. οἱ δὲ, ἀττέλεβος.

Βρήκουσα, τρώγουσα, κατεσθίουσα, τοὺς ὀδόντας τρύζουσα.

Βρυκταία, εἶδος βοτάνης.

Βρύκω, τὸ ἐσθίω. παρὰ τὸ βορὰν, βορύκω, καὶ βρύκω.

Βρύκων, συνερείδων τοὺς ὀδόντας μετὰ ψόφου.

Βρῦλλαι, πιεῖν.

Βρύματα, μυρήματα.

Βρυλλοχισταὶ, οἱ αἰσχρὰ προσωπεῖα περιτιθέμενοι γυναικεῖα, καὶ ὕμνους ᾄδοντες.

Βρύλλων παρὰ τῷ Ἀριστοφάνει, ἐξαπατώμενος ὑπό τινων καὶ μεθύων. Σύμμαχος δὲ, ὑποπίνων ἐκ μιμήσεως τῆς τῶν παίδων φωνῆς.

Βρυωθαλλὸν, βρύσμα.

Βρυωχὸν, κιθάραν. Θρᾶκες.

Βρύξαι, δακεῖν, καταπιεῖν.

Βρύοικος, ἡ ἄγκυρα, ἡ τὸν βυθὸν οἰκοῦσα.

Βρύον, τὸ ἐκ τῆς θαλάσσης ἀχυρῶδες ἐκφερόμενον, καὶ τὸ προχεόμενον.

Βρυόχον, κήρυκα.

Βρυσειαὶ, καὶ αὐγειαὶ, πόλεις οὐ περιλαλοῦνται, πολίτης δὲ τῶν Αὐγειῶν, Αὐγεάτης. τάχα γοῦν Βρυσεάτης ὁμοίως. ἔστι δέ φασι καὶ Λοκρίδος πόλις αὐγειαί. δοκεῖ δὲ πρωτότυπα εἶναι τὸ βρυσειαὶ, καὶ αὐγειαί.

Βρύσις, πηγὴ διαυγὴς, ἡ τὰς τοῦ νοῦ λύει λύπας.

Βρύσαι, κρημνοί. καὶ πόλις κρημνώδης.

Βρυτίδαι, ὄνομα γένους Ἀττικοῦ. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Βρύτανα, κονδύλους.

Βρύτια, τὰ τῆς σταφυλῆς πιέσματα, παρὰ τὸ τοὺς βότρυς βρύτια. οἱ δὲ Ἀττικοὶ, τὰ τῶν ἐλαιῶν ἀλέσματα.

Βρυτιγγοὶ, χιτῶνες.

Βρύτιγγοι, βάτραχοι μικροὶ, ἔχοντες οὐράς.

Βρυτονία, ῥίζα τὶς, οὕτω καλουμένη.

Βρύττειν, ἐσθίειν.

Βρυττία στέμφυλα, ἔνιοι εἶδος σκορόδου.

Βρύττιον, πόμα ἐκ κριθῆς.

Βρύττοντες, πυρέττοντες. οὕτως οἱ Ἀθηναῖοι, παρὰ τὸ βρύχετον, ὃ σημαίνει τὸν πυρετόν.

Βρυττὸν, πᾶν τὸ ἐκ τρυφῆς ποτόν.

Βρύττος εἶδος ἐχίνου πελαγίου, ὥς φησιν Ἀριστοτέλης. οἱ δὲ, ἰχθύν. οἱ δὲ τρισυλλάβως, βρυγγόνην.

Βρύχα, ἡ ὑποβάθρα. ποιητικῶς ὑποβρύχιον γράφεται, τὸ ὑπὸ τῶν κυμάτων καλυπτόμενον.

Βρυχάνα, σάλπιγξ καμπύλη.

Βρυχᾶσθαι, ἐπὶ λέοντος λέγεται, καὶ ἐφ' ὧν οὐκ ἔστιν ἴδιον ὄνομα τῆς φωνῆς. δῆλον ὅτι, ἐπὶ ἄρκτου, καὶ παρδάλεως.

Βρύχει τὶς τοὺς ὀδόντας, μεταβατικῶς αἰτιατικῇ, ὅταν κατά τινος ὀργὴν ἔχῃ, καὶ σφίγγει αὐτοὺς ὡς συντριβομένων ἀλλήλοις, ἀποτελεῖν κτύπον. λέγεται βρύχειν, καὶ ἐπὶ ποταμοῦ. καὶ βρύχει τοὺς ὀδόντας, οὐ τρύζει.

Digitized by Google

Βρυχετὸν, πυρετόν.

Βρυχηθμὸς, στεναγμὸς, οἰμωγή.

Βρύχιον, βυθιζόμενον. καὶ βρύχια ὕδατα, τὰ ὑπὸ γῆς ἐσφιγμένα. καὶ διερχόμενα, ἦχον ἄνωθεν ἀποτελοῦντα.

Βρυχὶς, κλῦμα.

Βρυχμοὶ, ψόφοι.

Βρύχος, ποταμός.

Βρυχὸς, κήρυξ.

Βρύω τὸ θάλλω, δοτικῇ συντάσσεται. βρύειν κυριολεκτεῖσθαι λέγεται, ἐπὶ τοῦ τὴν ἐλαίαν ἀνθεῖν. ἐκ δὲ τοῦ τοιούτου ῥήματος, ἔοικε λέγεσθαι καὶ ἔμβρυον, τὸ ἔνδον γαστρὸς βρύον, ἤτοι ἀνθοῦν. ὅτι δὲ βρύειν παρὰ τοῖς ὕστερον καὶ ἐπὶ ὑδάτων λέγεται πηγαίων, καθὰ καὶ τὸ βλύζειν, ἐξ οὗ καὶ τὸ οἶνον ἀποβλύζων, δηλοῖ καὶ ἡ βρύσις. ἧς πρωτότυπόν ἐστι τὸ βρύω. ἀφ' οὗ καὶ τὸ ἀναβέβρυχεν, ὃ καὶ ἀναπιδύειν λέγεται κοινότερον. ἄλλως δέ γε χωμικῶς, τονθολυγεῖν καὶ κοχυδεῖν, ὡς αἱ παρὰ τῷ Ἀθηναίῳ χρήσεις δηλοῦσιν, οἱ ποταμοὶ ἀθάρας καὶ μέλανος ζωμοῦ πλέοι, διὰ τῶν στενοπῶν τονθολυγούντων ἔρρεον, οἷον ποιὸν ἦχον ἀποτελοῦντες, ὅθεν ἴσως τονθορύζειν.

Βρυῶδες, δυσῶδες.

Βρῶμα, ἡ φωνὴ τοῦ ὄνου.

Βρωμᾶσθαί ἐστι, τὸ πεινῶντα τὸν ὄνον ὀγκᾶσθαι. καὶ βρωμᾶσθαι, ὀγκᾶσθαι.

Βρώματα πληθυντικῶς, οὐ βρῶμα, οὐδὲ βρῶσις.

Βρώμη, τροφή. ἐκ τοῦ βέβρωμαι βέβρωσαι, βρῶσις. οὕτως ἐκ τοῦ τέτρωμαι, τρώμη Ἰωνικῶς, ἤγουν ἡ τρῶσις. ὡς ἐκ τοῦ ἔρρωμαι, ῥώμη.

Βρώμησις, ἡ φωνὴ τῶν ὄνων. καὶ βρωμᾶσθαι, καὶ βρωμώμενοι. τὸ δὲ αὐτὸ καὶ ἐπὶ ἡμιόνων ἐρεῖς. εἴρηται καὶ ὀγκώμενοι. καὶ ὀγκηστὰς ἔνιοι τῶν ποιητῶν, τοὺς ὄνους ἐκάλεσαν.

Βρωμηστὴς, χορτοφάγος. καὶ ὄνος διὰ λιμὸν ὀγκούμενος.

Βρωμὸν, θυμιατήριον καὶ ἑστίαν λέγομεν, ἐφ' ὧν τοῖς θεοῖς θύομεν, ἢ πῦρ ἀνακαίομεν. βωμὸν, οὕτως ἂν καλοίης κυριώτατα, ἐφ' ἧς τὸ πῦρ τὸ ἄσβεστον ἀνάπτεται.

Βρῶμος, τὸ φυτόν. καὶ βρῶμος, πάνυ ἐξίτηλον, εἰ χρὴ λέγεσθαι ἐπὶ τῆς δυσωδίας. μέχρι νῦν διαφέρεται ἐπὶ δυσωδίας.

Βρωμώμενοι, βρῶμον ἐσθίοντες.

Βρῶσις, ἡ τροφή.

Βρώσομαι, κακῶς ὁ Φαβωρῖνος οἱ γὰρ Ἀττικοὶ ἀντ' αὐτοῦ τῷ ἔδομαι χρῶνται, καὶ κατέδομαι.

Βρωτὸν, βρῶσιν, τροφήν.

* Βρωτὺς, ἡ βρῶσις, ὅτι ἐκ τοῦ βέβρωται τρίτου προσώπου λέγεται, ὡς ἐκ τοῦ βέβρωμαι τὸ βρῶμα, καὶ ἐκ τοῦ βέβρωσαι ἡ βρῶσις.

ΤΟ' Β'. ΜΕΤΑ' ΤΟΥ' Υ'.

Βύας, εἶδος ὀρνέου νυκτερινοῦ, Δίων. καὶ βύας ὤφθη, καὶ βυαὶ ὤφθησαν.

Βυβλίον καὶ βιβλίον, διαφέρουσι. βυβλίον λέγεται τὸ ξυλοχάρτιον, καὶ τὸ ἄγραφον. ὡς τὸ, Ἐπὶ τῷ βυβλίῳ σὺμπάντες γραφήσονται. βιβλίον δὲ, τὸ γεγραμμένον.

Βύβλινον παρ' Ὁμήρῳ, Ὦ ἐπέδησε θύρας, ἐν Ὀδυσσείας φ, σχοινίον ναυτικὸν, εἴτε καινὸν ἐκεῖνο, εἴτε καὶ τέτριπται.

Βύβλινον δὲ, οὐ τὸ ἐκ βίβλου, ὅ ἐστι Παπύρου Αἰγυπτίας, ἀλλὰ βοτάνης τινὸς ἐμφεροῦς Παπύρῳ. οἱ δὲ, καννάβιον φασιν. ἕτεροι δὲ τὸ ἐκ Φιλύρας. διφορεῖται ἡ ῥηθεῖσα βίβλος κατὰ τὸ δίχρονον, ὅτι βίβλινον καὶ βύβλινον, διχῶς οἱ παλαιοὶ γράφουσιν. ὡς δὲ ἡ βύβλος τὸ φυτὸν συντελεῖ καὶ εἰς τὸ ὑποδεῖσθαι, ὁ βυβλινοπέδιλλος δηλοῖ· οὗ χρῆσις παρὰ τοῖς παλαιοῖς.

Βυγὴ, πυγή.

Βυδοὶ, οἱ μουσικοὶ, ἢ χρῦμά τι. Σοφοκλῆς.

Βύειν, ἐπὶ ὤτων. καὶ τὸ μύειν ἐπὶ ὀφθαλμῶν, συμμύειν ἐπὶ στόματος.

Βύειν ἀντὶ τοῦ ἐμφράττειν, οὐ μόνον ἐπὶ ἀκοῶν λέγεται, ἀλλὰ καὶ ἐπὶ στόματος. Λιβάνιος, συστρέψας τὸ ἡμιτύβιον, ἔβυσα τὸ στόμα.

Βύζα, ἡ Κωνσταντινούπολις.

Βύζαντες, πλήθοντες.

Βυζάντιον ἡ πόλις, διὰ τὸν βύζαντα τὸν Θρᾴκης βασιλέα.

Βύζειν, τὸ πεπιεσμένως μετέχειν.

Βύζην, ἀθρόως, πυκνῶς, ἐπαλλήλως, πεπυκνωμένως. ὥστε τὸ, ὁ δὲ τὰ φρέατα φορυτοῦ, καὶ τῇ ἐπιτυχούσῃ ὕλῃ βύζην ἐνέπλησε. καὶ βύζην τὰς τριήρεις ὁρμίζοντες.

Βύθαλον, βύσμα.

Βυθίζων, ποντίζων ἐν βυθῷ. καὶ βυθίζω, αἰτιατικῇ.

Βύθιος, ὁ ἐν τῷ βυθῷ.

Βυθμὸς, ἄντρον, πυθμήν, καὶ βυθμήν.

Βυθὸς, τὸ ἄφατον βάθος.

* Βύκανα, ὄργανα βοῆς ἐν πολέμῳ. καὶ βυκανισταὶ, οἱ ἐκείνοις χρώμενοι.

Βυκάνη, ὄργανον μουσικόν.

Βυκανῆται, σαλπιγκταί.

Βυκηνίζω, σαλπίζω.

Βύκην, ἡ σάλπιγξ.

Βυκηνισταὶ, εἰκασταί.

Βυκὸς, δασμοφόρος.

Βυκταὶ, σχέτλια, δείλαια.

Βυκτάων, πνεόντων, φυσητῶν.

Βύκτης, ἠχητικός. Ὅμηρος, ἔνθεν βυκτάων ἀνέμων. παρὰ τὸ βύω, ἔνθεν τὸ βεβυσμένος, οὗ παράγωγον βύζω, βέβυκται. παρὰ γοῦν τὸ βέβυκται, βύκτης.

Βυλλὰ, βεβυσμένα.

Βυλλίχαι, χοροί τινες ὀρχηστῶν παρὰ Λάκωσι. καὶ βυλλίχης, χορευτής.

Βυλλιχίδες, ῥαχίδες.

Βυνεῖν, τὸ ἐν τῷ στόματι κατέχειν τί.

Βυνεὺς, σχεδιασμάτιον χελιδόνιον.

Βυνὴ, ἡ Λευκοθέα, παρὰ Λυκόφρονι, ἡ Ἰνώ. οἷον, Βυνῆς καταλέκτριας καὶ αὐδηέσσης. εἴρηται δὲ, παρὰ τὸ εἰς βυθὸν δύειν, βυθοδυνή. καὶ κατὰ συγκοπὴν, Βυνή. ἢ παρὰ τὸ δύω, δυνή, ἡ καταδῦσα εἰς θάλασσαν, καὶ Βυνὴ κατὰ τροπήν. ἢ παρὰ τὸ βύω, τὸ κολυμβῶ, ὡς ἕτεροί φασιν. ἐγὼ δὲ, παρὰ τὸ βύω τὸ κρύπτω. ὅθεν καὶ ἡ αὐτὴ, Βυνή. Ἡ δὲ τῆς Ἰνοῦς ἱστορία, τοιαύτη. Ἱστορία. Φεύγουσα μετὰ τοῦ παιδὸς αὐτῆς Παλαίμονος, διὰ τὸ διώκεσθαι ὑπ' Ἀθάμαντος, εἰς θάλασσαν ἀπέπτη. ἐξεχύθη δὲ περὶ Κόρινθον ὑπὸ δελφῖνος. Ἀμφίμαρχος δὲ καὶ Δονακῖνος ἀνελόμενοι τὸ σῶμα, ἄγουσιν εἰς Κόρινθον. Σίσυφος ἀδελφὸς ὢν Ἀθάμαντος, βασιλεύων Κορίνθου, ἀγῶνα καὶ θυσίαν ἐπ' αὐτοῖς ἐτησίως ἐκέλευσε γενέσθαι. ὅθεν καὶ θεοὺς αὐτοὺς κεκλήκασι. καὶ Λευκοθέαν ἀπὸ τοῦ τῆς θαλάσσης ἀφροῦ, τὴν Ἰνὼ ὠνόμασαν. ἣν δὲ τῆς Ἰνοῦς θυγάτηρ, Εὐρύκλεια.

Βὺξ, βυθός.

Βύουσαν, κρύπτουσαν.

Βύουσι, φράττουσι, καλύπτουσιν. ἔνθεν καὶ ἀκρόβυστος, ὁ τὸ ἄκρον βεβυσμένον ἔχων. Πισίδης, Ἐρῶ δέ σοι νῦν εἴπερ οὐ βύειν θέλεις.

Βυττεῖν, βαπτίζειν.

Βύρθακος, βάτραχος.

Βυρικόμενος, πνιγόμενος, τραχηλιζόμενος.

Βυριόθεν, οἴκοθεν.

Βύριον, οἴκημα.

Βύρμακας, μύρμηκας.

Βυρμὸς, σταθμός.

Βυῤῥὸς, κάνθαρος, Τυῤῥηνός.

Βύρσα, παρὰ τὸ δέρω τὸ ἐκδέρω, ὁ μέλλων Αἰολικῶς δέρσω. καὶ δέρσα, ἡ βύρσα, ἡ ἐκδερομένη τοῦ σώματος. ἢ παρὰ τὸ ῥύω ῥύσα. καὶ βύρσα, ἡ περιῤῥεομένη τῷ ἱδρῶτι.

Βυρσαίετον, τὸν Κλέωνα λέγει Ἀριστοφάνης, διαβάλλων αὐτόν. συνέθηκε δὲ τὴν λέξιν ἀπὸ τῆς βύρσης, καὶ τοῦ ἀετοῦ. ἁρπακτικὸν γάρ ἐστι τὸ ζῶον ὁ ἀετός. τὸ δὲ ἀγκυλοχείλης, ἐπίθετον τοῦ ἀετοῦ, ὁ ἐπικαμπεῖς τὰς χηλὰς ἔχων. ἐπὶ δὲ Κλέωνος, τὰς χεῖρας ἀγκύλας ἔχων, πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν, διὰ τοῦτο ἀετῷ αὐτὸν ἀπείκασε.

* Βυρσότονον κύκλωμα, τὸ τύμπανον περιφραστικῶς.

Βυρσάτονος, τοῦ τυμπάνου.

Βυρσίνης, Μυρσίνης. ἦν δὲ αὕτη γυνὴ Ἱππίου τοῦ τυράννου.

Βυρσοδεψεῖ, ἐργάζεται βύρσας. ὅθεν βυρσοδέψης, ὁ βυρσεύς.

Βυρσοδέψην, παφλαγόνα λέγει Ἀριστοφάνης, ἐπεὶ ὁ πατὴρ αὐτοῦ Κλεώνυμος, ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν. ἢ τὴν ἀπειλὴν δείκνυσι τοῦ Κλέωνος, ἀφ' οἵας τύχης ὁρμώμενος, ἐστρατήγευσε τῶν Ἀθηναίων. καὶ βυρσοπαφλαγόνα λέγων αὐτὸν, συνέμιξε τὸ γένος καὶ τὴν τέχνην.

Βυρσόκαπτον, τὸν Κλέωνα.

Βύρτη, λύρα.

Βυρώδης, δυσώδης.

Βῦσαι, ἐπιθεῖναι, γυρτῶσαι, κρύψαι.

Βυσσαλεύοντι, τῷ βυσσῷ ἐφικνουμένῳ.

Βύσσαλοι, βόθροι.

Βύσας, πλήσας, φράξας.

Βυσαύχην, ὁ συνέλκων τὸν τράχηλον καὶ τὸν αὐχένα μικρὸν ποιῶν, καὶ τοὺς ὤμους ἀνέλκων.

Βύσσινα, ἡ βύσσος, καὶ λίνου τι εἶδος παρ' Ἰνδοῖς. ἤδη καὶ παρ' Αἰγυπτίοις, ἀπὸ ξύλου τὸ ἔριον γίγνεται. ἐξ οὗ τὴν ἐσθῆτα λινῷ ἄντις μᾶλλον φαίη προσεοικέναι πλὴν τοῦ πάχους. ἔτι γὰρ παχύτερος τῷ δένδρῳ ὁ καρπός. καὶ βύσσινα, πορφυρᾶ.

Βύσσινον, κόκκινον.

Βυσσοβαρῆ, μεγάλα, ἀπὸ τῶν καταφερομένων εἰς βυθὸν, διὰ τὰ βάρη.

Βυσσοδομεῖν, τὸ ἐν βυθῷ τινι οἰκοδομεῖν, καὶ κατασκευάζειν.

Βυσσοδομεύων, ὁ ἐν ἑαυτῷ ἐν βάθει διαλογιζόμενος, καὶ κεκρυμμένα βουλευόμενος, ἢ ἐνθυμούμενος.

Βυσσοδομοῦντες, ἐκ βάθους σκεπτόμενοι. καὶ βύσσωμα θινῶν ἀκλύστοιο λίνοιο, βυσσώμασι ῥόμβου φράξαντες γλαυκαῖς ἐν παρόδοις πελάγους.

Βυσσὸν, βάθος, ὀξυτόνως. βαρυτόνως δὲ, σημαίνει βαφὴν ἐκ πορφύρας.

Βυσσὸς, βυθὸς, ἄντρον, πυθμήν. καὶ χρῶμα, ἀντὶ τῆς ὕσγης παραλαμβανόμενον. ἢ πλεονασμῷ, ἢ ἐπιτάσει, γίνεται ἄβυσσος. ὀξύνεται δὲ κανόνι τοιούτῳ. Τὰ εἰς ος ὀνόματα δισύλλαβα, μὴ ἀπὸ φωνήεντος ἀρχόμενα, διπλοῦν ἔχοντα τὸ σ, ὀξύνεται. κισσὸς, πεσσὸς, βυσσός. ἀντιπίπτει τὸ Νέσσος, κύριον ὄνομα.

Βυσσοφαρεῖ, μεγαλοφαρεῖ.

Βυσσόφρων, κάτωθεν ἐκ σπλάγχνων βουλευόμενος, καὶ ἐκ βυθοῦ φρονῶν.

Βυστάγα, πώγωνα.

Βυστίχοις, τοῖς ἐν θαλάττῃ βρόχοις.

Βύστραι, αἱ τῶν λαχάνων ἐνθέσεις. ἔνιοι δὲ, τοὺς ἐκ τῶν λαχάνων ἑψομένους.

Βύτανα, κόνδυλοι. οἱ δὲ, βρύτανα.

Βύτθαν, τὸν ψάρα.

Βυτθὶν, πλῆθος.

Βυτίνη, λάγυνος, ἢ ἀμὶς, Ταραντῖνοι. ἤγουν σταμνίον.

Βύττος, γυναικὸς αἰδοῖον.

Βύω, τὸ κλείω.

Βύσωσι, φράξωσι.

Βύω, τὸ ἀποσφραγίζω.

Βύων, τὰ ὦτα ἐπιφράττων.

Βυώσης, πληρούσης, καλυπτούσης, κωφωθείσης.

Βυωτὴν, τὴν ἄρσιν.

ΤΟ' Β'. ΜΕΤΑ' ΤΟΥ' Ω'.

Βῶ, σημαίνει τρία. τὸ τρέφω. βῶ τὸ πατῶ. βῶ τὸ βαίνω. ἐξ οὗ ὁ μέλλων βήσω. καὶ βίβημι τὸ πορεύομαι, καὶ βῆμα, καὶ βῆσα.

Βῶ, τὸ λέγω. ἐξ οὗ καὶ βάζω.

Βωβὸς, πηρός.

Βωβὺς, χωλύς.

Βωμβίζειν, σαλπίζειν.

Βώδιον, βοΐδιον.

Βωθεῖν, ὁμιλεῖν, βοηθεῖν.

Βωθεύοντας, βοηθοῦντας.

Βωθύσσειν, ὁρμᾶν.

Βωθύσω, ἀντὶ τοῦ βοηθήσω.

Βωκάθωνον, βωκὸς, τρυφερὸς χιτών.

Βώκα-

Digitized by Google

Βώκαρος, τὸ ἔαρ, ὑπὸ Τροιζηνίων, παρὰ τὸ τῷ βίῳ χαρὰν φέρειν.

Βωκολικᾶς ἀοιδᾶς, Δωρικῶς ἀντὶ τοῦ βουκολικῆς ἀοιδῆς. ὁμοίως μώσας, ἀντὶ τοῦ μούσης.

Βωλάκιον, χωρίον, βώλους ἔχον.

Βῶλαξ, βῶλος, γῆ.

Βωλία, βολὶς, μάζη. εἶδος τι ἐν ταῖς θυσίαις.

Βωλίνας καλιὰς, ἢ πλινθίνας οἰκίας.

Βώλιον, ἡ βῶλος ὑποκοριστικῶς.

Βωλόναι, οἱ μὲν κολώνας, οἱ δὲ τὸ Κίλαιον ἀκούουσι, διὰ τὸ ἀνακεχῶσθαι, παρὰ Σοφοκλεῖ.

Βῶλος, ἡ γῆ. καὶ βῶλος ἄγρα, ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων. ὁμοίως τῷ, Θαλάττῃ ἐκ χαράδρας ὕδωρ.

Βωλώρυκα, τὴν σιὼ Λάκωνες.

Βωμακεύματα, τὰ βωμολοχεύματα. οἱ δὲ, τὰ εὐτράπελα καὶ γελωτοποιὰ, ἢ τὰ κολακικά. ἄλλοι δὲ τὰς συκοφαντίας, ἢ τὰ πανουργεύματα.

Βῶμαξ, ὁ βωμολόχος, ἀπὸ τοῦ βωμοῦ. τάσσεται δὲ, καὶ ἐπὶ τῶν μαλακιζομένων.

Βώμενοι, οἱ περὶ τοὺς βωμοὺς λόφους καλουμένους κατοικοῦντες.

Βώμασις, βωμοῦ ἵδρυμα.

Βώμησεν, ὤμοσε.

Βωμίνας, ἀναβάσεις.

Βωμίσκοι, ἀριθμοὶ ἄνισοι.

Βωμοὶ, οὐ μόνον ἐφ' ὧν ἔθυον, ἀλλὰ καὶ κτίσμα τι ἁπλῶς καὶ ἀνάστημα, ἐφ' οὗ ἐστι βῆναί τι καὶ τεθῆναι. οὕτω γοῦν ἀγαλμάτιά τινα δᾷδας ἐν χερσὶν ἔχοντα, ἱστάμενα ἐπὶ βωμῶν, ἤτοι βάσεων τινῶν ἔφαινον τοῖς δαιτυμόσι. καὶ βωμοὶ ἱεροὶ, πρὸς διαστολὴν ἑτέρων μὴ τοιούτων, ὁποῖοι ἐφ' ὧν ἅρματα τίθενται. καὶ βωμοὶ, ἔμβολοί τινες, οὕτω λεγόμενοι.

Βωμοῖς, βαθμοῖς.

* **Βωμὸς**, παρὰ τὸ προβάσεις ἔχειν οὕτω λέγεται. καὶ βωμοὶ μὲν δαίμοσι, ἐσχάραι δὲ ἥρωσιν ἱδρύοντο. καὶ βωμὸς ὁ ναὸς, ἀπὸ μέρους τὸ ὅλον.

Βωμολοχία λέγεται καὶ εὐτραπελία, ἐπὶ τῶν ἐπιτηδευόντων παίγνια, δι' ὧν κινήσουσι τοὺς ὁρῶντας, ἢ ἀκούοντας εἰς γέλωτα.

Βωμολοχεύεσθαι, κυρίως ἐλέγοντο βωμολόχοι, οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες, καὶ μετὰ κολακείας προσαιτοῦντες. ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταί τε καὶ μάντεις. καὶ Φερεκράτης τυραννίδι, Καὶ ἔπειτα ἵνα, μὴ πρὸς τοῖς βωμοῖς πανταχοῦ ἀεὶ λοχῶντες βωμολόχοι καλώμεθα, ἐποίησεν ὁ Ζεὺς καπνοδόκην μεγάλην πάνυ. ἐκ μεταφορᾶς δὲ τούτου ἐλέγοντο βωμολόχοι, εὔκολοί τινες ἄνθρωποι, καὶ ταπεινοὶ, καὶ πᾶν ὁτιοῦν ὑπομένοντες ἐπὶ κέρδει, διὰ τοῦ παίζειν τε καὶ σκώπτειν. Ἀριστοφάνης Γηρυτάδῃ, Χαριεντίζῃ, καὶ καταπαίζεις ἡμῶν, καὶ βωμολοχεύει.

Βωμολοχεύμασι, κολακεύμασιν, ἢ ἀπάταις. βωμολόχοι δέ εἰσι, οἱ περὶ τοὺς βωμοὺς λοχῶντες, καὶ κρυφίως ὑποκαθήμενοι, ἐπὶ τῷ ἁρπάζειν τὰ ἐπιτιθέμενα θύματα.

Βωμολοχεύματα παρ' Ἀριστοφάνει, τουτέστι βωμολόχα σκώμματα, ὅ ἐστι σκώπτοντας εὐτελεῖς τινὰς καὶ ἀσθενεῖς ἄνδρας.

Βωμολόχος, κακοῦργος, ἀσεβής. παρὰ τὸ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα, ἢ τοὺς θύσαντας, ἵνα αἰτήσαντες λάβωσί τι. βωμολοχία δὲ κυρίως, ἡ περὶ τὸ ἐν παιδιᾷ ἡδὺ, ὡς Ἀριστοτέλης ἐν δευτέρῳ ἠθικῶν. ὑπερβολῇ βωμολόχοι τοίνυν, οἱ ἐν τοῖς βωμοῖς ἐρχόμενοι, καὶ ἀντὶ τοῦ τὸ θεῖον εὐχαῖς ἐξιλεοῦν, πολλοῖς τισὶ λόγοις χρώμενοι ματαίοις.

Βωμὸς, τὸ οἰκοδόμημα, ἐν ᾧ ἔθυον. ἀπὸ τούτου βωμὸς καὶ ὁ περιέχων τοῦτον ναός. καὶ βωμὸς, ἐν ᾧ τὰ ἅρματα ἐτίθετο, ὡς παρ' Ὁμήρῳ, Ἅρματα δ' ἂμ βωμοῖσι τίθει. ναὸς καὶ ἱερὸν πᾶν τὸ οἰκοδόμημα, ὑφ' οὗ περιέχεται ὁ βωμός. πρόναον, τὸ ἔμπροσθεν τοῦ ναοῦ τέμενος, ἐν ᾧ καθιδρύεται τὸ ἄγαλμα. λέγεται δὲ τέμενος ἁπλῶς, καὶ ὁ ἀποκεκομμένος καὶ ἀνατεθημένος τόπος τινί. ἢ βωμὸς, ὑψηλὸς τόπος. καὶ βωμὸς ἑρκείου Διὸς, ἔξω τοῦ περὶ τὴν αὐλήν. αἴθριος εἶναι δοκεῖ, ὁποῖοι πολλοὶ φαίνονται. ἐν ᾧ ἔθυον Διὶ ἐφόρῳ τοῦ ἕρκους, ὅ ἐστι περὶ τὴν αὐλὴν τοῦ τείχους. ὥσπερ αὖ πάλιν ἐν τῇ κατ' οἶκον ἑστίᾳ, Διὶ ἐγίνοντο θυσίαι, ὃν οἱ μὲν ἄλλοι ἐφέστιον, Ἡρόδοτος δὲ Ἰωνικῶς λέγει ἐπίστιον, τὸν αὐτὸν ὄντα τῷ ἑστιούχῳ. καὶ ἔστι τὸ ἑρκεῖος, ὅμοιον τῷ ἑταιρεῖος, κατὰ τὴν γραφὴν τῆς παρεληγούσης, ὡς ἀπὸ τοῦ ἕρκος ἕρκεος ἑρκέϊος ἑρκεῖος. καθὰ κέϊος κεῖος, ὁ ἀπὸ τῆς Κέω τῆς νήσου. καὶ βωμὸς αἰδοῦς καὶ ἀφελείας, Ἀθήνησιν ἦν κατὰ τοὺς παλαιοὺς, περὶ τὸν τῆς πολιάδος Ἀθηνᾶς ναόν. καθὰ καὶ Παυσανίας ἱστορεῖ. ἃς οἱ μὲν παιδαγωγοὺς, οἱ δὲ τροφοὺς τῆς θεᾶς φασι γενέσθαι. ἐστὶ δὲ αὐτὸ αἴνιγμα τοῦ χρῆναι τὸν διδασκόμενον, ἢ τὰ πρὸς φρόνησιν Ἀθηνᾶς, ἢ τὰ πρὸς ἄλλας τέχνας, ὧν Ἀθηνᾶ ἐπιστατεῖ. αἰδῶ τε τηρεῖν, εἰς τοὺς διδασκάλους καὶ ἀφελῶς αὐτοῖς προσφέρεσθαι καὶ ἀπεριέργως, οἷα μὴ εἰδότας. τὸ γὰρ ἔξω τοῦ δέοντος περίεργον, πονηρίαν τε ἔχει ἀφορητὴν, καὶ τοὺς διδασκάλους λυπεῖ.

Βωμοὺς, ἓξ λέγει Ἡρόδωρος τὸν Ἡρακλέα ἐν Ὀλύμπῳ ἱδρύσασθαι, καὶ δώδεκα θεῶν ἀγάλματα. συμβώμους δὲ αὐτοὺς ποιῆσαι, ἓξ βωμοὺς κατασκευάσας. Ἄλλως.

Ὀλυμπιάσι βωμοί εἰσιν ἓξ δίδυμοι τοῖς θεοῖς ἐνιδρυμένοι. ἑνὸς ἑκάστου βωμοῦ δύο θεοῖς καθοσιουμένου. τὸν πρῶτον, Διὸς καὶ Ποσειδῶνος. τὸν δεύτερον, Ἥρας καὶ Ἀθηνᾶς. τὸν τρίτον, Ἑρμοῦ καὶ Ἀπόλλωνος. τὸν τέταρτον, Χαρίτων καὶ Διονύσου. τὸν πέμπτον, Ἀρτέμιδος καὶ Ἀλφειοῦ. τὸν ἕκτον, Κρόνου καὶ Ῥέας, ὥς φησιν Ἡρόδωρος. οὓς βωμοὺς ἐγέραιρεν ὁ νικήσας, ἵπποις τεθρίπποις, καὶ ἡμιόνοις κέλητι.

Βωμώ, οὕτως ἡ Μάκρις ὠνομάζετο.

Βῶν, βοῦν, ὅπλον.

Βώνημα, εἴρημα. Λάκωνες.

Βωνίτης, ὁ βουκόλος, ἢ ἄγροικος.

Βώνυσοι, ἄποικοι.

Βὼξ, ὁ βάτραχος, ἢ εἶδος ἰχθύος, ὃς ἱστορεῖται ἔχειν φωνήν. παρὰ τὸ βοὴ γίνεται βόαξ, καὶ κράσει βῶξ. φασὶ δὲ καὶ δισυλλάβως λέγεσθαι. Ἀριστοφάνης, Ἀλλ' ἔχουσι γαστέρα μεστὴν βοάκων. καὶ Φερεκράτης, οὐκ ἔστιν ἄλλος οὐδεὶς ἢ βόαξ.

Βώσσον, βοήθησον. οὕτω Κρατῖνος.

Βωρθία, ὀρθία.

Βῶρμον, θριῶον. ἐπὶ βώρμου νυμφολήπτου Μαριανδυνοῦ.

Βῶροι, ὀφθαλμοί.

Βῶρος, ὄνομα κύριον.

Βῶς, ἀσπὶς, πέλτη, βύρσα, καὶ ποιὸς ἰχθύς.

Βώσαντι. ἐκ τοῦ βοήσαντι κέκραται. ὡς καὶ ὁ βῶξ ἰχθὺς, ἐκ τοῦ βόηξ. εἴρηται δὲ καὶ διὰ τοῦ η. καὶ οὐ μόνον διὰ τοῦ α βόαξ.

Βωσάτω, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ βοησάτω.

Βώσεσθε, σημαίνει τὸ βιώσεσθε. ὡς τὸ, Πῶς τύμος βώσεσθε δυσάμμοροι. καὶ βώσεσθε, ἀντὶ τοῦ βιώσεσθε, ζήσεσθε.

Βώσομαι, βοήσομαι, ἐπικαλέσομαι.

Βῶν ἀζαλέην, ἤγουν ξηρὰν, πρὸς διαστολὴν τῆς ὑγρᾶς, ἤτοι ζώσης βοός. ὥσπερ καὶ ἀλίβαντες μὲν οἱ νεκροί. διερὸς δὲ βροτὸς, ὁ ζῶν. Ἱστέον δὲ, ὅτι οὐχ ἁπλῶς οὕτως ἐπὶ βύρσης τέθειται τὸ βοῦς ὄνομα, ἀλλὰ μετὰ προσθήκης τινὸς, ὡς ἔχει τὸ βόας αὔας, ὃ ταυτόν ἐστι τῷ βῶν ἀζαλέην, καὶ τῷ βοῶν ἐυποιητάων, ἤγουν εὐτεχνιτευμένων. ὃ πρὸς διαστολὴν τῶν ὁμοβοείων εἴρηται.

Βωμὸν περικαλλέα λέγει ὁ ποιητὴς, ἐπεὶ κοσμίως καὶ αὐτὸν ἔχειν ἐφιλοτιμοῦντο οἱ παλαιοί. ᾄδεται γοῦν καὶ Παριανὸς βωμὸς ἐπὶ μεγέθει, καὶ Ἐφέσιος δὲ, κεράτινος.

Βῶσιν ἐν ὀδυσσείᾳ, ἀντὶ τοῦ ἐπιβῶσι.

Βώσκειν, ἐπὶ ἀλόγου ζώου λέγεται.

Βωσόμεθα, βοησόμεθα, κράσει τοῦ ο καὶ η εἰς ω. σημαίνει δὲ τὸ ἐπικαλεσόμεθα.

Βῶς, ἡ βύρσα. ὡς τὸ βῶν ἀζαλέην. βῶν δὲ, τὸ σκουτάριον λέγει. ἀζαλέην δὲ, τὴν κατάξηρον.

Βωτοῦσι, βομβοῦσιν, ἠχοῦσι.

Βωστῆρες, νομεῖς.

Βωστρεῖν, καλεῖν, βοᾶν. παρὰ τὸ βοῶ, βοάζω, βοαστὴς, βοαστρῶ, καὶ κράσει βοστρῶ. ἢ ἀπὸ τοῦ βοῶ βοήσω, βοητῶ, καὶ κατὰ κρᾶσιν βωτῶ. ὅθεν τὸ ἐπιβοτᾶ παρὰ Ἡροδότῳ. πλεονασμῷ δὲ τοῦ σ καὶ ρ, βωστρῶ.

Βώσαντι, κράξαντι.

Βώσεσθε, βιώσεσθε.

Βώσω, ἀντὶ τοῦ βοήσω.

Βωτάζειν, βάλλειν.

Βωτιάνειρα γῆ, ἡ βόσκουσα τοὺς ἄνδρας. ἢ ἡ θρεπτικὴ ἀνδρῶν. Παρὰ τὸ βοῶ, βώσω, βώτης, καὶ τὸ ἀνὴρ ἀνέρος. Ἱστέον δὲ, ὡς τοῦ βώτης προϋπόκειται ὁ βούτης, καὶ Ἰωνικῶς βώτης. ὡς ὑποδηλοῖ καὶ ὁ παρ' Ἡσιόδῳ βούτης ἀνήρ. Δωριεῖς δὲ τοῦ βούτης τὸ ου εἰς ω μέγα τρέψαντες, κατὰ τὸ μοῦσα, βώτης εἴποιεν ἄν. οὗ θηλυκὸν ἡ βῶτις, τῆς βώτιδος. ὅθεν γῆ βωτιάνειρα, ἢ παμβῶτις παρὰ Σοφοκλεῖ λέγεται, ἡ πάντων τροφός. καὶ ἔστι τοῦτο καθολικώτερον. ἡ γάρ τοι βωτιάνειρα, πρὸς εἶδος ἓν λαλεῖται τὸ τῶν ἀνθρώπων. ὥσπερ πρὸς ἕτερα ζωϊκὰ εἴδη, τὸ ἱππόβοτον πεδίον, τὸ αἰγίβοτον, τὸ μηλόβοτον, τὸ βούβοτον. Ἄλλως.

Βωτιάνειρα. Ἱστέον, ὅτι γῆς ἐπιθέτων ὄντων τοῦ πολυβότειρα, βωτιάνειρα, καὶ παμβῶτις, τοῦτο μὲν καὶ καθολικώτερον, σέμνωμα τῆς γῆς, πάντα τρεφούσης, οὕτω δέ πως καὶ τὸ βότειρα. μερικὸν δὲ ἡ πολυβότειρα. ἔτι δὲ μερικώτερον ἡ βωτιάνειρα, ἧς πρωτότυπον ἡ βῶτις. ἀφ' ἧς κατὰ συνθεσιν, ἡ παμβῶτις, ἐκτείνουσα διὰ τὸ μέτρον τὸ ω. καθὰ καὶ ἡ βωτιάνειρα, καὶ ὁ βώτωρ. τοῦτο μέντοι, ὡς ἀπὸ τοῦ βούτης Δωρικῶς ἐξέτεινε τὴν ἀρχουσαν. ἐξ οὗ καὶ ἡ βῶτις εἶναι δοκεῖ. ὡς γὰρ δεσπότης, καὶ δεσπότις, οὕτω καὶ ὁ βούτης, ἤτοι βῶτις. ὅθεν καὶ ἡ παμβῶτις, καὶ ἡ βατιάνειρα. Ἱστέον δὲ, ὅτι τῶν τῆς γῆς ἐπιθέτων, τὸ μὲν ζείδωρος καὶ πολυβότειρα, κοινὰ γῆς ἐπίθετα φασιν οἱ παλαιοί. δῆλον δὲ, ὅτι οὕτω κοινὸν καὶ τὸ παμβῶτις. καὶ πρὸ πάντων, τὸ ἀπείρων καὶ ἄσπετος.

Βωτεῖν, ἀντὶ τοῦ ἀροῦν. οὕτω Λάκωνες.

* **Βωτῶ**, τὸ ἐπικαλοῦμαι, καὶ ἀναβοῶ ὃ καὶ βωστρῶ λέγεται, ὅτι ἀπὸ τοῦ βοῶ βοήσω, βοητῶ γίνεται, καὶ κατὰ κρᾶσιν βωτῶ.

* **Βώτωρ**, τὸ βο μέγα, βοτὴρ δὲ τὸ βο μικρόν.

Βωτίον, σαμνίον.

Βώτιον, χωρίον περὶ τὸ Ἴλιον.

Βώτορες οἱ νομεῖς, παρὰ τὸ βῶ βώσω βέβωται, βοτὴς, καὶ βοτήρ. ὡς ἐλάστης, ἐλαστήρ. καὶ ἐπεκτάσει βώτωρ. ὡς Μέντης Μέντωρ. ἢ βώτορες, βωτῆρες, νομεῖς, ποιμένες, βοσκήτορες.

Βὼχ, βοτάνης εἶδος.

Τέλος τοῦ β' στοιχείου.

ἈΡΧῊ ΤΟΥ͂ Γ'. ΣΤΟΙΧΕΊΟΥ. ΤΟ͂Υ ΑΥ̓ΤΟΥ͂ ΜΕΤᾺ ΤΟΥ͂ Α'.

ΓΆμμα τὸ στοιχεῖον, παρὰ τὸ ἀμᾶν τὴν γῆν, ὅ ἐστι θερίζειν, δρεπανῶδες γάρ ἐστιν. ᾧ καὶ ὁ τύπος τοῦ γράμματος ὅμοιός ἐστι. καὶ στοιχεῖον γέμα φασὶν Ἴωνες, καὶ μάλιστα Δημόκριτος, ὃς καὶ τὸ μῦ, μῶ, λέγει. ὡς ἐν τῷ ῥητορικῷ λεξικῷ εὕρηται.

Γάαθον, ἧσσον.

Γαβαθὸν, τρυβλίον.

Γαβαλὰν, ἐγκέφαλον, ἢ κεφαλήν.

Γάβενα, ὀξύβαφα, ἤτοι τρυβλία.

Γαβεργὸς, ἐργομισθωτός. Λάκωνες.

Γαγγαίνειν, τὸ μετὰ γέλωτος προσπαίζειν.

Γαγγαλεὺς, ἁλιεὺς, ὁ τῇ γαγγάμῃ ἐργαζόμενος.

Γαγγαλιᾶν, γαγγαλίζεσθαι, ἥδεσθαι.

Γαγγαλιειδέων, γαγγαλίοις ἐοικότων. γαγγάλων

Digitized by Google

λιον δὲ, νεάρυσυσοφή.

Γαγγαλίζω, παρὰ τὸ γελῶ γελίζω, καὶ τροπῇ τοῦ ε εἰς α γαλίζω, καὶ κατὰ ἀναδιπλασιασμὸν ἑτέρου γ, γαγγαλίζω, τὸ εἰς γέλωτα ἄγω.

Γάγγαλος, ὁ ἀμετάθετος, καὶ ἀρίπιστος τῇ γνώμῃ, καὶ ἀμετάβολος.

Γαγγάμων, γαγγάμονος, σημαίνει τὸ λαμβάνον δίκτυον. ἔστι δὲ κυρίως γαγγάμη, σαγήνη, ἢ δίκτυον. ὅθεν καὶ οἱ σαγηνευταὶ, γαγγαμουλκοὶ, οἱ σαγηνεύοντες.

Γαγγάνη, σαγήνη, τὸ δίκτυον.

Γάγγης, βασιλεὺς Αἰθιόπων, ὃν ἀπέκτεινεν Ἀλέξανδρος, δεκάπηχυν τὸ μῆκος, τὴν δὲ ὥραν οἷος οὔπω τὶς ἀνθρώπων, ποταμοῦ δὲ Γάγγου παῖς.

Γάγγραινα, ἕλκους εἶδος σηπτικοῦ, καὶ νεμομένου τὸν τόπον. ἕρπην τινὲς αὐτὴν εἶναί φασιν, ἢ ἐρυσιπέλαν. καὶ πάθος διαβρωτικὸν σαρκὸς, ἢ καρκῖνος, ἢ πολυδιάχυτον πάθος ἐν τῷ σώματι. παρὰ τὸ γραίνω, ὃ σημαίνει τὸ ἐσθίω, γίνεται γραῖνα, καὶ ἐν διπλασιασμῷ γάγγραινα.

Γαγδαὶ, γλυκεῖαι.

Γαγεδᾶν, χαίρειν.

Γάδειρα, νῆσος ἔξω τῶν Ἡρακλείων στηλῶν. λέγονται τὰ Γάδειρα πληθυντικῶς, ἀπὸ τοῦ γῆ καὶ τοῦ δειρὰ, οἱονεὶ γῆς δειρά. τὰ γὰρ γάδειρα τῆς γῆς ἐξοχή ἐστιν, εἰς τὸ γάλλος.

Γάδεσθαι, ἥδεσθαι.

Γαδὴ, κιβωτός.

Γάδιξ, ὁμολογία.

Γάδονται, εὐφραίνονται.

Γάδυα, ἴδιον.

Γαδύπησιν, ἐψόφησεν.

Γάζα, θησαυρός. καὶ ὄνομα πόλεως.

Γαζῆται, οἱ Γαλάται, παρὰ τὸ γῆν ζητεῖν· ἐκπεσόντες γὰρ τῆς ἑαυτῶν χώρας, πολλὴν γῆν περιῆλθον, ζητοῦντες ὅπου οἰκήσουσι.

Γαζοφυλάκιον, θησαυροφυλάκιον.

Γάια, ἡδέως.

Γαθεῖν Δωριεῖς, γηθεῖν κοινῶς.

Γάθαδον, ἐκ γῆς ῥέον.

Γαθία, ἀλλαντία.

* Γαθυλλὶς καὶ γηθυλλὶς, τὸ καὶ γήτειον, ὅ ἐστιν εἶδος ἀγρίου λαχάνου.

Γαῖα συγερὴ, ἡ κατὰ ᾅδην. ἡ γὰρ ἄνω, φίλη μήτηρ, καὶ διὰ τοῦτο Δήμητρος τόπος. ἢ καὶ ἄλλως, ὁ περὶ ὃς εἶπεν ἂν, γαῖα συγερὴ, ὡς καὶ Ἐριννύες συγεραί.

Γαῖα, ἡ γῆ, παρὰ τὸ γῶ τὸ τίκτω, ἐξ οὗ γίνεται, γέα διὰ τοῦ ε ψιλοῦ, οἱονεὶ ἡ γεννητική. ἐκ ταύτης γίνεται γεωμετρία, γεωργός. τοῦτο τὸ γέα, γίνεται κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η, γῆ. ἐξ οὗ γήπεδον, καὶ γηγενής. ἐκ τοῦ γῆ γίνεται ἄλλη παραγωγὴ, διὰ τῆς αι διφθόγγου, γαῖα. ὥσπερ ἀπὸ τοῦ Σελήνη σεληναία. ἀλλὰ Σέργιος ὁ γραμματικὸς λέγει, ἀπὸ τοῦ γαίω τὸ γαυριῶ γίνεται γαῖα, οὐκ ἀπὸ τοῦ γῆ. ἐξ οὗ καὶ γηγάϊος καὶ γαιήοχος. ἀπὸ γὰρ τοῦ γαῖαν ἔχειν, γίνεται γαίοχος, καὶ πλεονασμῷ τοῦ η γαιήοχος, ὁ ἐπὶ τῆς γῆς ὀχούμενος. περιλαμβάνει γὰρ αὐτὴν ὁ Ὠκεανός.

Γαιάδας, ὁ δῆμος ὑπὸ Λακώνων.

Γαῖα χάνοι, καταποίη ἡ γῆ.

Γαιάλοχος, ἠπειρώτης.

Γαῖαν καὶ οὐρανὸν ἔχουσιν, ἀντὶ τοῦ ἀνέχουσι καὶ ἀναβαστάζουσι, πολλαχοῦ τοιαῦτα ποιεῖ ὁ Ὅμηρος.

Γαιᾶται, κερτομεῖ, καταμωκᾶται.

Γαίη, ἀντὶ τοῦ γῆ.

* Γάϊος, ὁ μίσθιος, καὶ παχὺς καὶ ἀναίσθητος, ὅτι παρὰ τὸ γαῖα λέγεται.

Γαίηθεν. πρῶτον ἡ ἤπειρος μοίρας ἔχει τέσσαρας, Θεσπρωτοὺς, Χάονας, Μολοττοὺς, καὶ Κασσωπαίους.

Γαιήϊδα, τὴν φοίβην, Ἀντίμαχος.

Γαιήϊον, κτητικοῦ τύπου· ἔστι γὰρ ἀπὸ τοῦ γαῖα τὸ κτητικὸν γαίηος, καὶ κατὰ διάλυσιν γαιήϊος, ὁ κατὰ μῦθον μὲν γῆς υἱὸς, οἷα ἐκεῖθεν ἀναδοθείς. ἄλλως δὲ, πολυπέλεθρος, καὶ εἰς σῶμα περιττός.

Γαιήοχος, ἀπὸ τοῦ τὴν γαῖαν ἔχειν, γίνεται γαίοχος, καὶ πλεονασμῷ τοῦ η, γαιήοχος, ὁ ἐπὶ τῆς γῆς ὀχούμενος. περιλαμβάνει γὰρ αὐτὴν ὁ Ὠκεανός. δεσπότης γάρ ἐστι τῶν ὑδάτων. ἢ ὁ συνέχων καὶ βαστάζων τὴν γῆν. φασὶ γὰρ ἐπὶ ὕδατος αὐτὴν ἐστηρίχθαι. καὶ ἐννοσίγαιος λέγεται. τῇ γὰρ τοῦ ὕδατος παρὰ χρόνον τινὰ μεταστάσει, γίνεται ὁ σεισμός. ἢ ὁ χαίρων τοῖς ἅρμασιν. ἵππιος γὰρ ὁ Θεός. γαίειν γὰρ τὸ χαίρειν καὶ σεμνύνεσθαι. καὶ γαιήοχος, οὐ μόνον διὰ τὸ ἐπὶ γαίης ὀχεῖσθαι, ἢ διὰ τὸ συνέχειν τὴν γαῖαν, ἀλλὰ καὶ ἀπὸ τοῦ τοῖς ὄχοις γαίειν. ἢ γαιήοχος, καὶ ἐννοσίγαιος, ἐπίθετα Ποσειδῶνος. καὶ τὸ μὲν ἓν δηλοῖ, ὁ τὴν γῆν συνέχων. τὸ δὲ ἕτερον, ὁ κινῶν αὐτήν.

Γαιθυλάδη, ἀμπελόπρασα.

Γαίνεται. ἀνύει.

Γαῖντα, σπλάγχνα.

Γαιογράφοι, οἱ τὰ ἐν τῇ γῇ γράφοντες.

Γαιοδόται, οἱ ἀρχιτέκτονες, ἢ οἰκονόμοι. παρὰ τὸ δεῖν, ὃ σημαίνει τὸ μερίζειν, οἱ τὴν γῆν διαμερίζοντες, ὅ ἐστι διαγράφοντες εἰς οἰκήματα.

Γαιὸν, τὸν ἐργάτην βοῦν.

Γαῖον, τὸν μισθὸν λέγουσι.

* Γαῖος, ἄνεμος ὁ ἀπόγειος, καὶ γαῖος βοῦς, ὁ ἐργατικὸς, ἀμφότερα παρὰ τὸ γαῖα λέγονται.

Γαιὸς, μακροκέντης, ἢ κοντοὺς λαμβάνων. καὶ γαιὸς, ὁ ἐπίγειος ἄνεμος.

* Γαῖος, ἢ γαῖον οὐδετέρως, δόρυ ὁλοσίδηρον κατὰ γλῶσσαν.

Γαῖσος, ἐμβόλιον σιδηροῦν. στηρῶν δὲ τὴν φωνὴν, τὰ ἐπὶ τῶν ἀκοντίων, ἃ οἱ Ῥωμαῖοι καλοῦσι νύσσους. καὶ γαισὸς, τὸ κοντάριον.

Γαῖται, γεωργοί.

Γαίουσα, ὑπερφρονοῦσα.

Γαίω, τὸ γαυριῶ, παρὰ τὸ γαῖα. σημαίνει καὶ τὸ διαχέομαι, καὶ λαμπρύνομαι.

Γαιὼν, καὶ Φεισὼν, ὀνόματα ποταμῶν.

Γαίων, ἱλαρὸς, γαυριῶν, τερπόμενος. γαίουσα δὲ, ὑπερφρονοῦσα. γαίεσκον δὲ, ἔχαιρον.

Γάκινος, ὁ σεισμὸς, κατὰ Ἀθηναίους, ὁ τὴν γῆν κινῶν.

Γακόνδια, ἡδύσματα.

Γακοντάνης, ἡδυποτιστής.

Γακτὸς, κλάσμα.

Γάκυ, ἡδὺ, γλυκύ.

* Γακίνας, ὁ σεισμὸς, παρὰ τὸ τὴν γῆν κινεῖν.

Γαλαὰδ, παλαιὸν ὄνομα, ἢ μέτοχος.

Γάλα, ἡ πρώτη τροφὴ τοῦ ζώου, ὃ ἐκ μεταβολῆς αἷμα γίνεται. ἢ αἷμα πεπεμμένον, οὐ διεφθαρμένον, λευκαινόμενον ἐν τοῖς οἰκείοις αὐτοῦ καὶ ψυχροτέροις τοῦ ζώου μορίοις. παρὰ τὸ καλὸν εἰς ἀνατροφὴν εἶναι, κάλα, καὶ γάλα. καὶ γάλα, σκεδάζει δυσμενῶν συμβουλίας, καὶ γάλα γαληνῶν πρόξενον πόλει τρόπων. * Στίχοι ὀνειροκριτικοί.

Γαλαθηνὸς, ἐκ τοῦ γαλαθῆσθαι συντέθειται. γαλαθηνὸς δὲ, ὑπομάζιος παρὰ τὸν θήσω μέλλοντα, ὃ δηλοῖ τὸ θρέψω. ὡς τὸ ἐπιεστανὸν τὸ γαλαθῆσαι, τουτέστι τρέφεσθαι, γίνεται θηνός. ὥσπερ παρὰ παρὰ τὸν κλείσω μέλλοντα γίνεται κλεινός. καὶ ἐν συνθέσει, γαλαθηνός.

Γαλακτιῶντες, γάλακτος μεστοί.

Γαλακτοκόμος, ποιμήν.

Γαλακτοποτεῖν, καὶ ὑδροποτεῖν.

Γάλακτος, πλεονασμὸν ἔχει τοῦ κ. οὐ γάρ ἐστιν εὐθεῖαν εἰπεῖν τὸ γάλαξ.

Γαλακτοφάγους, ἀπὸ γάλακτος τρεφομένους. καὶ γαλακτοπότας πρός τινων δι' αὐτὸ λεγομένους, ἀφ' ὧν καὶ Ἱππάκης κατὰ Αἴλιον Διονύσιον, βρῶμα σκυθικὸν, διὰ γάλακτος ἱππείου σκευαζόμενον.

Γαλακτοφάγων, ἀβίων, γάλα ἐσθιόντων, καὶ τόξα μὴ ἐχόντων.

Γαλακτώδης, οἶνός τις.

Γαλαξία, ἑορτὴ, ἐν ᾗ ἕψουσι γαλαξίαν. ἔστι δὲ πολτὸς κρίθινος, ἐν γάλακτι.

Γαλαξίας, τὸ ἐν τῷ οὐρανῷ φῶς κατὰ τὴν νύκτα. ὅπερ ἐστὶν ἀνάκλασις φωτὸς ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἀστέρων.

Γάλα ὀρνίθων, ἐπὶ τῶν λίαν εὐδαιμονούντων, καὶ πάντα κεκτημένων.

Γαλάριμα, πόλις Σικελίας.

Γαλαρίας, ἰχθὺς ὁ ὀνικός.

Γάλας, γῆ, παρὰ Εὐκλίτῳ.

Γαλάσιον, ἐνηρόσιον.

Γαλάττεια, εὐειδοῦς ὄνομα Νηρηΐδος, ἡ λευκότης τῶν κυμάτων. λέγεται ὅτι μετρίαις αὔραις περιπνέεται θάλασσα, καὶ ἡ ὄψις αὐτῆς ἡ χαρίεσσα. τοῦτο δὲ τὸ ἐπίθετον ἀφορμὴν παρέχει τοῖς νεωτέροις, τὸν Κύκλωπος καὶ Γαλατείας κατασκευάσαι ἔρωτα.

Γαλατμὸν, λάχανον ἄγριον.

Γαλέα, ὄνομα ἰχθύος. καὶ γαλεὸς ὁμοίως.

Γαλεάγρα, ὄργανον τιμωρητικὸν, ἡ τῶν θηρίων ὑποδοχή.

Γαλεοὶ, μάντεις. οὗτοι κατὰ τὴν Σικελίαν ᾤκησαν. καὶ γένος τὶ, ὥς φησι Φανόδημος.

Γαλεὸς, καὶ γαλεώτης, ὁ ἀσκαλαβώτης.

* Γαλεῶται, οἱ καὶ ξιφίαι καὶ κύνες, κήτη τινὰ θαλάσσια.

Γαλερὸν, φαιδρὸν, ἡδὺ, πρᾶον, ἱλαρόν.

Γαληρὸν, γαληνὸν, ὅ ἐστιν ἥσυχον, καὶ προσηνές.

Γαλερωπὸς, ὁ ἐπιτερπὲς βλέπων.

Γαλῆ θαλασσία, ἐκ τοῦ τραχήλου γεννᾷ. οὕτως εἶπε Λυκόφρων, τὴν Μέδουσαν Γοργόνα, διὰ τὸ μετὰ τὴν καρατομίαν τεκεῖν Χρυσάορα, καὶ τὸν Πήγασον.

Γαλῆ, τὸ ζῶον. καλεῖται δὲ πρός τινων κερδὼ, καὶ ἱλαρία. ἔστι δὲ τὸ ὄνομα ἰσόψηφον, δίκη, γαλῆ, ἀργῆ, ἀπὸ τῶν αὐτῶν γὰρ σύγκεινται γραμμάτων. καὶ γαλῆ Ταρτησία, ἡ Ταρτησσὸς πόλις, ἔξω τῶν Ἡρακλείων στηλῶν πρὸς τῷ Ὠκεανῷ, ἔνθα μέγισται γίνονται γαλαί.

Γάλη, ἐξέδρας εἶδος. καὶ ἐν ᾗ γαλαία τὸ ζῶον.

Γαληδέα, Κρατῖνος λέγει τὸν εὐτελῆ, καὶ ὡς Γαλὸν παῖδα.

Γαληναίη, ὄνομα Νηρηΐδος. λέγεται ἡ στέρησις, καὶ ἡσυχία τῶν ὑδάτων.

Γαλήνη. παρὰ τὸ γάλα, γαλήνη. ἢ παρὰ τὸ γελῶ, γελάνη τὶς οὖσα. καὶ γαλήνη, ἡ πρᾶον ἔχουσα καὶ ἡδύ. ἢ γαλήνη, τὸ ἐπιπολάζον ἐν τῇ μεταλλείᾳ, τοῦ ἀργύρου χωνευομένου. καὶ γαληνὴν, ἀντὶ τοῦ γαληνῶς κεῖται παρ' Ὁμήρῳ. ὁμοίως ἀληθείην, ἀντὶ τοῦ ἀληθῶς.

Γαληνιᾷ ἡ θάλαττα. καὶ γαληνιᾶν, γάννυσθαι, χαίρειν, διαχεῖσθαι.

Γαληνὸν, ἥσυχον, ἥμερον.

Γαλήσιον, ὄνομα τόπου, καὶ ὄρος ἐγγὺς Ἐφέσου.

Γάληψος, πόλις Θράκης. ὠνομάσθη δὲ ἀπὸ τοῦ Γαλήψου, τοῦ ἐκ Θάσου καὶ Τηλέφης, ὡς Μαρσύας ὁ νεώτερος. ἔστι δὲ καὶ βοτάνης εἶδος.

Γαλιάκων, ὁ τὸν βραχίονα ἐλάττω ἔχων.

Γαλίαι, οἱ ὀνίσκοι.

Γαλιλαία, κατακυλιστὴ ἑρμηνεύεται, τῇ Ἑλλάδι γλώσσῃ. διὸ καὶ γελγὲλ ὁ τροχὸς ὀνομάζεται. ἢ ἀνακυκλησμὸς καὶ ἀνάκαμψις.

Γάλινθοι, ἐρέβινθοι.

Γαλιὸς, παράδεισος.

Γαλιώσης, ἀκολασταινούσης.

Γάλλαρος, Φρυγιακὸν ὄνομα.

Γάλλια, ἔντερα.

Γάλλιον, κεκερωμένον, ἤγουν κέρατι παρεμφερές.

Γάλλοι, ἧλοι.

Γάλλος, ὁ ἀπόκοπος, ἤτοι ὁ εὐνοῦχος. καὶ Γάλλος, ὄνομα ποταμοῦ.

Γαλλογραικία, ἡ τῶν Βουκελλαρίων χώρα. οἱ αὐτοὶ καὶ Ἑλληνογαλάται ὀνομάζονται.

Γαλονὶς, χρῶμα ἵππων τὸ ὀνοειδές.

Γαλουχεῖ, ἀντὶ τοῦ γαλακτοτροφεῖ.

Γαλόῳ καὶ εἰνάτερες, αἱ ἀνδράδελφοι καὶ αἱ σύνυμφοι.

Γάλονες, χρῶμα ἵππων ὀνοειδές. τὰ περιφράγματα, φοίνικες.

Γάλως, βαρύνει Ὅμηρος. ἐπειδὴ τὰ εἰς ως θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν βραχεῖα παραληγόμενα, βαρύνεται. ὡς ἄλως, κέως, ἕως. οὕτω καὶ γάλως, καθὰ καὶ Τρύφων φησὶν ἐν τῷ περὶ ἀρχαίας ἀναγνώσεως. τοῦ δὲ γάλως ἡ δοτικὴ γάλῳ. καὶ πλεονασμῷ τοῦ ο, γαλόῳ. οἷον εἰδομένη γαλόῳ, παρ' Ὁμήρῳ. τοιοῦτόν τι ἔπαθε καὶ ἡ τοῦ Ἄθω γενικὴ, ἐν τῷ, Ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐδύσατο. ὅτι δὲ διφορεῖται ἡ

τοιαύ-

Digitized by Google

[illegible] Λήδα, γάλως τὸ δισυλλάβως λεγόμενον, καὶ γαλόως τρισὶ συλλαβαῖς, πολλοῖς εἴρηται. ὅρα δὲ, καὶ ὅτι σαφῶς ἑρμηνεύων ὁ ποιητὴς, γάλων τὴν ἀνδραδέλφην λέγεσθαι ἱστορεῖ, ὡς τῇ Ἑλένῃ γάλως. Λαοδίκην νύμφην καλεῖ τὴν Ἑλένην, τῷ λόγῳ τῶν πρός τι. ἡ γάλως γὰρ, νύμφης ἐστὶ γάλως. καὶ ἡ νύμφη γαλόως ἐστὶ νύμφη. ἡ γάλως, καὶ ἡ εἰνάτηρ παρ᾽ Ὁμήρῳ. ὥσπερ τὸ δαὴρ, καὶ τὸ ἑκυρὸς, καὶ τὸ πενθερός. ἡ μὲν γάλως, δηλοῖ τὴν τοῦ ἀνδρὸς ἀδελφὴν, ὁποία ἐστὶ τῇ Ἑλένῃ ἡ Κασάνδρα. κατὰ δὲ Αἴλιον Διονύσιον, καὶ τὴν τοῦ ἀδελφοῦ γυναῖκα. πρὸς ἀλλήλας γάρ φησι λέγονται. κλίνεται δὲ ἡ γάλως, ἢ ἰσοσυλλάβως ἀποβολῇ τοῦ σ, ἢ περιττοσυλλάβως, ὡς ἥρωος. παράγεται δὲ, ἢ παρὰ τὸ γάλα διὰ τὸ γαλήνιον, καὶ προσηνὲς τῆς κατὰ ἀγχιστείαν ἐγγύτητος. ἢ παρὰ τὸ καλεῖν, ἡ μάλιστα τῶν ἀγχιστευόντων καλουμένη.

Γαμάλη, κάμηλος, παρὰ Χαλδαίοις.

Γάμβορος, ἢ γάμμορος, ὁ γῆς ἀμέτοχος.

Γαμβρεία, δῶρα. ἢ δεῖπνα γαμβροῦ.

Γάμβρειον, ξυλίον.

Γαμβρὸς, παρὰ τὸ γάμος, γαμηρὸς, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ β, γαμβρός. καὶ γαμβροί εἰσιν, οἱ ἄνδρες τῶν θυγατέρων. γαμβρὸς καλεῖται ὁ γήμας, ὑπὸ τῶν οἰκείων τῆς γαμηθείσης.

Γαμεῖ, ὁ ἀνήρ. γαμεῖται δὲ, ἡ γυνή. καὶ γαμεῖ ὁ δεῖνα Ἀττικοὶ, ἀντὶ τοῦ εἰπεῖν, ἔρχεται ὁ δεῖνα εἰς γάμον. καὶ γαμεῖ τις ἀμεταβάτως, ἀντὶ τοῦ γάμον ἔχει, τουτέστι συνημμένος ἐστὶ γυναικί. καὶ γαμεῖ τήνδε μεταβατικῶς, ἀντὶ τοῦ εἰς γάμον λαμβάνει, ἤγουν λαβὼν ἔχει.

Γαμέοντί τε, γινομένῳ τε, τὸ πεπρωμένον παραλαλεῖ, διά τε τὰ γενεθλιακὰ, καὶ τὴν μετὰ τὸν γάμον ζωήν. καὶ ἐστὶ πρωθύστερον. πρῶτον γάρ τις γεννηθεὶς, εἶτα εἰς γάμον ἥκει. κρεῖττον δὲ κατὰ τοὺς παλαιοὺς νοεῖν τὸ γινομένῳ, ἀντὶ τοῦ γεννῶντι, τεκνοποιοῦντι.

Γαμέτης, ὁ ἀνήρ, ὁ σύζυγος. ὡς τὸ, Ἡ δὲ σὺν τῷ κωρυδίῳ γαμέτῃ ἐς Ἔφεσον ἦλθε.

* Γαμετὴ, ἡ γυνή.

Γαμήλια, ἡ εἰς τοὺς φράτορας διδομένη ἐγγραφὴ, καὶ εἰσαγωγὴ ἐπὶ γάμον. ἣν ὠνόμαζον καὶ κουρεῶτιν.

* Γαμηλία ἡ Ἥρα, ἡ τοῖς γάμοις ἐπιστατοῦσα.

Γαμήλιος, γαμικὸς, ὁ εἰς τοὺς γάμους πεσσόμενος πλακοῦς.

* Γαμήλιον, πᾶν δῶρον ἐν γάμῳ διδόμενον.

Γαμηλίων, ὁ τῶν μηνῶν τῆς Ἥρας ἱερός.

Γαμῆσαι διὰ τοῦ η, εἰς γάμον ἐλθεῖν, ἤτοι γυναῖκα λαβεῖν. γαμέσαι δὲ διὰ τοῦ ε, τὸ γυναῖκα δοῦναι. ὡς δηλοῖ τὸ, Πηλεύς δήμοι ἔπειτα γυναῖκα γαμέσσεται. τοῦτο δὲ ἐκγαμίζειν οἱ ὕστερον λέγουσι. ὡς ἄν τις εἴποι, ἐμπροικίζειν.

Γαμησείω. ἀπὸ τοῦ γαμήσω γίνεται γαμησείω, διὰ διφθόγγου. τὰ γὰρ ἀπὸ ἐνεστώτων καὶ μελλόντων διὰ τοῦ ιω γινόμενα παράγωγα ὑπὲρ δύο συλλαβὰς, διὰ τῆς ει διφθόγγου γράφεται. ἀπὸ ἐνεστώτων, οἷον, ὀλῶ ὀλείω, κιχῶ κιχείω, κρατῶ κρατείω. ἀπὸ μελλόντων, ὄψω ὀψείω, βρώσω βρωσείω. πολεμήσω πολεμησείω. οὕτως οὖν καὶ γαμῶ γαμήσω γαμησείω.

Γαμηλιῶνος, ὄνομα μηνὸς τοῦ Ἰανουαρίου.

Γάμοι, ἡ πρώτη ἡμέρα τῶν γάμων. ἡ δὲ δευτέρα, ἐπαυλία.

Γάμον. Ὅμηρος οὐ τὸ ἔργον μόνον, ἀλλὰ καὶ τὴν ἑστίασιν γάμον καλεῖ. εἰλαπίνη ἠὲ γάμος, ἐπεὶ οὐκ ἔρανος τάδε ἐστίν. ὁ δὲ γάμος καλοῖτ᾽ ἂν καὶ συνδυασμὸς, καὶ σύνοδος ἀνδρὸς καὶ γυναικὸς, καὶ συνοίκησις, καὶ σύνερξις, καὶ κοινωνία ἐπὶ παίδων σπορᾶς. γαμέτης μὲν, ὁ γήμας, καὶ ἀνὴρ, νυμφίος, καὶ ὁ συνοικῶν, καὶ ὁ πρὸς γάμον ἠγμένος· ἡ δὲ νύμφη, γαμετὴ, καὶ γυνὴ, καὶ συνοικοῦσα, καὶ γεγαμημένη.

Γάμοροι, οἱ περὶ τὴν γῆν πονούμενοι, ἢ μοῖραν εἰληχότες τῆς γῆς. ἢ οἱ ἀπὸ τῶν ἐγγείων τιμημάτων τὰ κοινὰ διέποντες. ἢ γάμοροι, ἀμέτοχοι, ἐστερημένοι.

Γάμος, δῆλον ὅτι ὁμιλοῦ ἐστὶ συνέλευσις, ἐπὶ νυμφίων συναρμογῇ. παρὰ τὸ δαμῶ τὸ δαμάζω, γίνεται δαμὸς, καὶ γάμος. ὅθεν καὶ Ὅμηρος ἀδαμάστους λέγει τὰς παρθένους, παρθένος ἀδμής. οἱ δὲ, παρὰ τὸ γεννᾶν, γάμος.

Γαμοστολεῖν, γάμους ἐπιστέλλειν.

Γάμους ποιεῖν λέγουσιν οἱ Ἀττικοὶ, οὐχὶ γάμον. καὶ γῆμαι, οὐ γαμῆσαι.

Γαμφηλὴ, ἡ γνάθος, ἡ σιαγὼν, παρὰ τὸ κάμπτω, γάμπτω, ὥσπερ παρὰ τὸ θάπτω ταφή. οὕτω καὶ παρὰ τὸ γάμπτω γαμφὴ, καὶ γαμφηλή.

Γαμφῆσι, γαμφηλαῖς, σιαγόσι.

Γαμψὸν, ἐπικαμπές.

Γαμψὸς, ὁ κεκαμμένος. κάμψω, καμψὸς, καὶ γαμψὸς τροπῇ τοῦ κ εἰς γ. ὡς τὸ ἔκαμψεν ἔγαμψε. καμψώνυχες γαμψώνυχες, ὅ ἐστιν ἐπικαμπεῖς ὄνυχες.

Γαμψοὺς οἰωνοὺς λέγει Ἀριστοφάνης, ἤτοι τὰς καμπτούσας καὶ πλαγίους νεφέλας, ἢ τὰς ὄψεσιν ὀρνίθων εἰκασμένας. γαμψοὺς γὰρ ἐκάλουν τοὺς ἐν νεφέλαις ὄρνιθας.

Γαμψωλὴ, ἡ ἐπίκαμψις.

Γαμψώνυχες, ἐκ τοῦ γνάμπτω γινόμενον, ἔλληψιν ἔχει τοῦ κατ᾽ ἀρχὰς ν, διὰ τὸ εὐφωνότερον.

Γαμῶ, γυναῖκα ἄγομαι, ἐγγυῶμαι.

Γαμῴη μὴ λέγε, ἀλλὰ γαμοίη διὰ τῆς οι διφθόγγου. ὡς νοοίη, φιλοίη. τὰ γὰρ τῆς πρώτης συζυγίας καὶ τρίτης τῶν περισπωμένων ῥημάτων εὐκτικὰ, διὰ τῆς οι διφθόγγου λέγεται. τὰ δὲ τῆς δευτέρας, διὰ τοῦ ω. οἷον, νικῴη, γελῴην γελῴης γελῴη. Φρύνιχος.

Γάνα, ἀγγεῖον σκύφῳ παραπλήσιον, καὶ χέρσος γῆ.

Γάναι, περιπτύξαι.

Γανάσαι, σμῆξαι, ἡδῦναι. ὡς τὸ, γανάσσας καλῶς.

Γαναυγέας, τελείους ἐν τῷ ὁρᾶν.

Γανδᾶν, ἢ γανᾶν, λάμπειν.

Γανδάνειν, ἀρέσκειν.

Γάνδαρος, ὁ ταυροκράτης παρ᾽ Ἰνδοῖς.

Γάδιον, κιβώτιον.

Γανδόμην, ἄλευρα.

Γάνδος, ὁ πολλὰ εἰδὼς, καὶ πανοῦργος. τινὲς δὲ γάδος.

Γάνδωμα, πυροί.

Γάνεα, κόποι.

Γανεῖν, λευκαίνειν.

Γανιταὶ, δαπανιταὶ, ἄσωτοι.

Γάννυμαι, χαίρω. καὶ γάννυσθαι, φαιδρύνεσθαι, χαίρειν, καὶ διαχεῖσθαι.

Γάνος, ἡ χάρις. καὶ γανοῦμαι, τὸ ἡδονῆς καὶ χάριτος πληροῦμαι. καὶ γεγανωμένα πρόσωπα, τὰ χάριτος γέμοντα.

Γανόω γανῶ ῥῆμα παρ᾽ Ἀριστοφάνει, ἐγανώθην. καὶ ἕτερον ῥῆμα ἐξ αὐτοῦ γάνυμι. ἀλλ᾽ ἀχρεῖον, ἐνεργητικῶς γραφόμενον. παθητικῶς δὲ, εὔχρηστον, τὸ γάνυται.

* Γανοῦσθαι τὰ χαλκώματα χυδαϊκῶς λέγονται, ἀντὶ τοῦ καυτῆρι χρίεσθαι, ἤτοι ἀλείφεσθαι, ἃ καὶ γεγανωμένα λέγονται.

Γανύσκεται δὲ ποιητικόν. καὶ γάνυνται, χαίρουσιν. ἢ γάνος, παρὰ τὸ γανῶ τὸ λαμπρύνω γίνεται γάνος. ὡς τὸ, Λαμπρὸν γανόωντες. καὶ γεγανωμένος. καὶ γάνυται δέ γε τοῖς Ἐνοσίχθων, ἤγουν χαίρει, καλλωπίζεται. παρὰ τὴν γῆν, γῶ γανῶ, τὴν θάλλουσαν τοῖς φυτοῖς, τὴν λαμπρὰν, καὶ χαρᾶς ἡμῖν αἰτίαν γενομένην. καὶ γάνος, ὄρους ὄνομα ἐν Θράκῃ. γάνος καὶ ὁ οἶνος. ἔτι ὁ παράδεισος, καὶ χάρμα, φῶς, αὐγὴ, λευκότης, λαμπηδὼν, ἡδονή. καὶ ὑπὸ Φρυγῶν καὶ Βιθυνῶν, ἡ ὕαινα.

Γανόων, χαίρων, λελαμπρυσμένος.

Γάννυμαι, χαίρω.

Γανυμήδης, ἀναλόγως δι᾽ ἑνὸς ν γράφεται. ὡς ἐκ τοῦ γάνος, ἐξ οὗ τὸ γανύειν, καὶ τὸ γανύσκεσθαι. ἵνα ᾖ Γαννυμήδης, ὁ ἡδὺς βουλεύεσθαι. Ἱστορία.

Γανυμήδους ἡ ἁρπαγὴ, ἄωρον αἰνίττεται τοῦ παιδὸς θάνατον, ὁποῖα πολλὰ οἱ μῦθοι πλάττουσι. τινὲς δέ φασιν ἀπὸ τοῦ Ταντάλου αὐτὸν ἁρπαγῆναι, καὶ ἐν κυνηγεσίῳ πεσεῖν, καὶ ταφῆναι ἐν τῷ Μυσίῳ Ὀλύμπῳ. οἱ δὲ ἱστοροῦσιν, ὑπὸ Μίνωος ἁρπαγῆναι, καὶ τὸν τῆς ἁρπαγῆς τόπον ἁρπαγὴν κληθῆναι. φασὶ δὲ, καὶ ὅτι βιαζόμενος, κατεκρήμνισεν ἑαυτόν. τῷ δὲ πατρὶ ἐπέμφθη πλάσμα, ὅτι θύελλα καὶ νέφος ὑφήρπασαν αὐτὸν οἰνοχόον τῷ Διΐ. ὅτι δὲ καὶ ἄνδρες ᾠνοχόουν, δηλοῦσι καὶ οἱ τῶν μνηστήρων κοῦροι. ἄλλως δὲ ἀκριβέστερον φάναι, ᾠνοχόουν παρὰ τοῖς παλαιοῖς εὐγενέστατοι παῖδες, ὡς ὁ τοῦ Μενελάου υἱός. παρὰ Ῥωμαίοις δέ φασι τοιοῦτοι παῖδες τὴν λειτουργίαν ταύτην ἐξετέλουν, ἐν ταῖς δημοτελέσι θυσίαις. οὐκοῦν καὶ ὁ μῦθος οὕτω τὰ κατὰ τὸν Γανυμήδην ποιεῖ Διῒ κιρνῶντα. Σαπφὼ δὲ ἡ καλὴ, τὸν Ἑρμῆν οἰνοχοεῖν φησὶ θεοῖς, ἐμφαίνουσα τῷ μύθῳ εὐλόγως χρῆναι προβαίνειν τὰ συμπόσια. καὶ μὴν καὶ κατὰ δίκην, ἣν ἡ Ὁμηρικὴ Θέμις ἐμφαίνει συμπαροῦσά που τοῖς οὐρανίοις δαιταλεῦσιν. ἡ δ᾽ αὐτὴ Σαπφὼ, καὶ τὸν Λάριχον ἀδελφὸν αὐτῆς ἐπαινεῖ, ὡς οἰνοχοοῦντα τῷ πρυτανείῳ τῆς Μιτυλήνης. καὶ Εὐριπίδης δὲ, ὃν κατάχρυσον ὁ Δίφιλος εἶπε, λέγεται οἰνοχοεῖν Ἀθήνησι τοῖς καλουμένοις ὀρχησταῖς. μυθεύεται δὲ οἰνοχόος θεοῖς Ἥβη. τοῦτο δὲ ἴσως διὰ τὸ ἡβητήρια καλεῖσθαι τὰ συμπόσια. εἰ καί ποτε ἄσημον συναγωγὴν οἱ τοιαύτη λέξις δηλοῖ. ὅτι δὲ παρὰ τοῖς Ἐφεσίοις οἱ ἐν τῇ τοῦ Ποσειδῶνος ἑορτῇ οἰνοχοοῦντες ἠΐθεοι ταῦροι ἐκαλοῦντο, ἐν τοῖς τοῦ Ἀθηναίου καὶ αὐτὸ κεῖται.

Γανύρματα, ἀρτύματα.

Γανυρὸν, λευκὸν, ἡδὺ, ἱλαρόν.

Γανύσεται, χαρήσεται, διαχυθήσεται, αὐξηθήσεται, εὐφρανθήσεται.

Γανύσσεται, ὅ ἐστι χαρείη. ὡς ἀπὸ τοῦ γανύω, ἐξ οὗ καὶ τὸ γανύσκω, οὐ μὴν ἐκ τοῦ γάνυμι· αὐτοῦ γὰρ οὐκ ἔστι μέλλων.

Γάνυται, χαίρει, εὐφραίνεται, λαμπρύνεται, καὶ γελᾷ, ἥδεται.

Γανυτελεῖν, γανυπετεῖν, ἡδύσματα ποιεῖν.

Γανωθεὶς, λαμπρυνθείς.

Γανῶσαι, λαμπρῦναι.

Γάπεδαι, ἄγροικοι, καὶ οἰκῆται.

Γαπελεῖν, ὁμιλεῖν.

Γάπος, ὄχημα, Τυῤῥηνοί.

Γὰρ σύνδεσμος, παντὶ μέρει λόγου ὑποτάσσεται, καὶ ἀρκτικὸς οὐδαμοῦ ἐστιν. ἢ γάρ. οὐδὲ γὰρ Δρύαντος υἱός. καὶ κείμενος ἐπὶ ἐρωτήσεως, ἀντὶ τοῦ δὲ κεῖται. ὡς παρὰ Σοφοκλεῖ, Τίς γάρ σ᾽ ἀνάγκη τῆσδε προτρέπει βροτῶν·

Γὰρ σύνδεσμος, εὕρηται ἀργὸς κείμενος παρ᾽ Ὁμήρῳ ὡς ἐν τῷ, Ἄντισω γὰρ ἐγὼ τοῦ δ᾽ ἀνέρος, ὄφρα δαείω. ἐν τῷ π τῆς Ἰλιάδος.

Γάραβος, ὀλολυγών.

Γάργα, αἴγειρος.

Γαργαίρειν, λάμπειν, πληθῦναι, κινεῖσθαι, σπαίρειν.

Γαργαλίζει, ἐρεθίζει, κινεῖ, ὑποσαίνει. προτρέπει ἀπὸ τοῦ στόματος, ὥστε ἐμεῖσθαι. ὅθεν γαργαλὸς, οὐ γαργαλισμός. Ἀριστείδης, τὰ ὦτα γαργαλίζουσι.

Γαργαλίζειν διὰ τοῦ γ λέγε, ἀλλὰ μὴ διὰ τῶν δύο γγ. γαγγαλίζειν. Φρύνιχος.

Γαργαλισμὸς, κίνησις σώματος.

Γάργαρα, ἐπὶ πλῆθος λαμβάνεται. εἴρηται δὲ, ἀντὶ τοῦ ἄφατα καὶ ἀναρίθμητα. ζήτει Ψαμμοκοσιογάργαρα.

Γαργαρεὼν, ὡς Ἱπποκράτης, ἡ λεγομένη σταφυλή. ἀπὸ τοῦ ἤχου τοῦ γινομένου ἐν τῇ θεραπείᾳ αὐτῆς. ὡς δὲ Σωρανὸς, τὸ ἄκρον τῆς λάρυγγος, ἀπὸ τοῦ ὁμοφραδοῦς ἤχου, τοῦ ἐν τῇ καταπόσει γινομένου.

Γαργαρὴς, θόρυβος.

Γάργαρον. Ὅμηρος, Ἴδην δ᾽ ἵκανε πολυπίδακα μητέρα θηρῶν Γάραρον. τῷ μέρει τὸ ὅλον συμπεριείληπται. καὶ ἐστι πλατὺς τρόπος ποιητικός. ὅλον μὲν Ἴδη, ὅλον δὲ τὸ Γάργαρον, καὶ μέχρι νῦν τηροῦν τοὔνομα. κληθὲν οὕτω διὰ τὰ ἐκεῖ ἀναδιδόμενα ὕδατα, καὶ τὸν ἐντεῦθεν ποιὸν ἦχον. ἐξ οὗ καὶ ἐφ᾽ ἡμῶν τὸ ἀναγαργαρίζειν λέγεται, καὶ ὁ γαργαρεών. οἱ δέ φασι, τρία εἶναι τῆς Ἴδης ἀκρωτήρια. Γάργαρον, Λεκτὸν, Φαλάκραν. τοῦ δὲ Γαργάρου τοὺς οἰκήτορας, Γαργαρεῖς καλεῖσθαι. αὐτὸ δὲ οὕτω κληθῆναι, καθ᾽ ὁμοιότητα τοῦ ἐν ἡμῖν Γαργαρεῶνος,

Digitized by Google

ρεῶνος, λήγοντος ἀπὸ παχέος εἰς ὀξύτερον. ὁ δὲ Γεωγράφος οἶδε Γάργαρα πόλιν, εἰπὼν, Γάργαρα τόπος ἐν τοῖς ἄνω μέρεσι τῆς Ἴδης. ἀφ' οὗ Γάργαρα πόλις Αἰολική. Ἄλλως.

Γάργαρον, οὐ μόνον ἄκρον Ἴδης, ἀλλὰ καὶ πόλις Τρωάδος, κατὰ τοὺς παλαιούς, ἣν Αἰολικήν τινες εἶναί φασι. λέγοντες καὶ τὴν πόλιν θηλυκῶς, ἧς οἱ πολῖται Γαργαρεῖς. οὐδετέρως δὲ τὸ ἀκρωτήριον. ὅτι δὲ Γαργαρεῖς ἔθνους ὄνομα, μιγνυμένου ταῖς Ἀμαζόσιν, ἡ αὐτὴ ἱστορία φησί. περὶ δὲ τὴν ῥηθεῖσαν Αἰολικὴν Γάργαρον, ἐπὶ τῇ ἄκρῃ τῆς Ἴδης φασὶ Διότιμον τὸν Ἀδραμυτινὸν διδάσκειν γράμματα. καὶ ὅτι δὲ Γάργαρον ἢ Γάργαρα πληθυντικῶς λέγεται, διὰ τὴν ἐκεῖ τῶν ὑδάτων ἀνάδοσιν, κατὰ ὀνοματοποιΐαν. ὡς πολλῶν ἐκεῖ ἀναβραττομένων, καὶ ὡς εἰπεῖν ἀναγαργαρίζόντων. καὶ ὅτι Γάργαρα διὰ τοῦτο ἁπλῶς ποιητικώτερον τὰ πολλά. ὅθεν καὶ ψαμμοκοσιογάργαρα ὁ κωμικὸς, τὰ πάνυ πολλὰ ἔφη, δηλοῦσιν οἱ παλαιοί. ὁ δὲ Γεωγράφος λέγει, καὶ ὅτι γάργαρον ἀπ' ἄκρας κεῖται, ποιούσης τὸν ἰδίως Ἀδραμυτινὸν λεγόμενον κόλπον, τὸν κλειόμενον ὑπό τε τοῦ δεῖνος τόπου, καὶ τῆς ἄκρας, ἐφ' ᾗ τὰ γάργαρα, καὶ προσαγορευομένης πυῤῥᾶς ἄκρας. οὗ πλάτος ἀπὸ ἄκρας φησὶν ἐπὶ ἄκραν, διάστημα ἑκατὸν σταδίων, ἐντὸς δὲ αὐτοῦ πόλις. ἧς ὑπέρκειται ὄρος, ὃ καλοῦσιν Ἀλεξάνδρειαν, ὅπου τὰς Θεὰς κριθῆναί φασιν ὑπὸ τοῦ Πάριδος. καὶ ὅρα τὴν τοιαύτην Ἀλεξάνδρειαν, οὐκ ἂν τῷ μεγάλῳ Ἀλεξάνδρῳ παρωνυμουμένην, ἀλλὰ τῷ ἅρπαγι Πάριδι.

Γάργασις, γαργαλέη, ὑποστάθμη.

Γαργάρται, λίθοι αὐτοφυεῖς.

Γαργηττὸς, δῆμος Ἀθήνησι τῆς Αἰγηΐδος φυλῆς, ὅπου δοκεῖ κεῖσθαι τὸ σῶμα Εὐρυσθέως.

Γαργίττος, ὄνομα κυνὸς Γηρυόνου, ἀδελφὸς τοῦ Κερβέρου, ὃς τὰς βοῦς φυλάττων ἀνῃρέθη ὑφ' Ἡρακλέους. καὶ ἔχει μνῆμα ἐν Ἰβηρίᾳ. γνώριμος δὲ καὶ στιακὰς ἡ Παιωνικὴ ἀνθρώπων Πάνης δὲ αὐτὴν ὁ Παιωνίας Σαστάπης, δῶρον ἔδωκεν Ἀλεξάνδρῳ τῷ βασιλεῖ. οὐ μὴν οὐδὲ ὁ Μάγνης ὁ κύων, τὸ Ῥυππάμωνος κτῆμα, ᾧ λήθαργος ἐπώνυμον, οὐκ ἀνώνυμος. ὃς τῷ δεσπότῃ συντέθαπται, καθάπερ μηνύει τοὐπίγραμμα. Ἀνδρὶ μὲν Ἱππάμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος, Καὶ κυνὶ Λήθαργος, καὶ θεράποντι Βάβης. τὰ μὲν δὴ τῶν Ἀκταίωνος κυνῶν ὀνόματα κατὰ τὴν Αἰσχύλου δόξαν, Κόραξ, Ἅρπυια, Χάρων, Λυκιστάς.

Γάρελον, γάρος, καὶ ἔλαιον.

Γαριζὶμ, τόπος καὶ ὄρος.

Γαριζὶν δὲ, διὰ τοῦ ι, τὸ Γάρκον.

Γαριμάντας, τοὺς βαρβάρους. οἱ δὲ, ἔθνος Λιβυκόν.

Γαρίμας, ἐκ τοῦ μαρίκας. ἢ ἐκ τοῦ γαρίκας τὸ μαρίκας, βάρβαρον ὄνομα, καὶ ἡ κλίσις καὶ ὁ τόνος. Ἡρωδιανὸς περὶ παθῶν.

Γάρκαν, ῥάβδον, Μακεδόνες.

Γάρκον, τὸ ἔσω τῆς πλήμνης σιδήριον, ὃ τὸν ἄξονα τρίβει.

Γαρμαφὼ, λευκότης, λαμπηδών.

Γάρος, ἀρσενικῶς λέγουσιν. ἔστι δὲ οὐδὲν ἄλλο ὁ γάρος, ἢ σηπεδών.

Γάρα ῥάβδος.

Γάῤῥης, ἄγρης.

Γαῤῥίαι, γάμοι.

Γαῤῥιώμεθα, λοιδορούμεθα.

Γάρσανα, φρύγανα. Κρῆτες.

Γαρύειν, φωνεῖν, καταλέγειν, διακρίνειν, ὑμνεῖν. Δωρικῶς δὲ τὸ γαρύεν, τοῦ ι ἀποβολῇ, ὅπερ ἔθος Δωριέων. ἡ δὲ γῆρυς, ἐπὶ τῆς φωνῆς λέγεται. Ὅμηρος, Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' οἶα γῆρυς.

Γαρύεται παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ μυκᾶται.

Γᾶς, χώρας, γῆς.

Γάστος, ὁ ἀπατεὼν, ὁ πολλὰ εἰδὼς, καὶ πανοῦργος. ὡς Ἡσίοδος ἐν τῇ Θεογονίᾳ.

Γάσαν, ἡδονήν.

Γασταία, ἡ γογγυλίς. Λάκωνες.

Γαστερόχειρες, καὶ ἐγχειρογάστορες, οἱ ἀπὸ χειρῶν ζῶντες. καὶ γαστέρες, οἱ τροφῆς μόνης ἐπιμελούμενοι. καὶ γαστρίδες, οἱ τὰς ἕλμινθας ἔχοντες.

Γαστέρες, οἱ τροφῆς μόνης ἐπιμελούμενοι.

Γαστέρι μάργῃ, τῇ γαστριμάργῳ.

Γαστὴρ, ἡ κοιλία. καὶ κλίνεται τῆς γαστρὸς, κατὰ συγκοπήν. ἀπὸ τούτου κατὰ σύνθεσιν, γαστριμαργία, καὶ γαστρίμαργος, ἤγουν μαινόμενος καθ' Ὅμηρον. ὡς τὸ, Διέπρεπε γαστέρι μάργῃ. ἢ ὁ ἀργὸς αὐτὴν, κατ' ἀντίφρασιν. κατὰ τὸν εἰρηκότα τοὺς Κρῆτας γαστέρας ἀργοὺς, ἤγουν γαστριμάργους. ὡς καὶ λαίμαργος, ὁ τὸν λαιμὸν ἀργός.

Γαστρὶς, γογγυλὶς, ἢ κράμβη.

Γάστρα. παρὰ τὸ γαστὴρ γίνεται γάστρα, ἡ εἰς κύτος γεννηθεῖσα τοῦ λαιμοῦ. καὶ ἐγγαστρίμαντις, καὶ ἐγγαστρίμυθος, τὸ ὑπὸ τῇ γαστρὶ, στάχυς καλεῖται. τὸ δὲ κατὰ μέσην γαστέρα κοῖλον, ὀμφαλός, καὶ μεσομφάλιον. καὶ ὁ γαγγαμὸς, περὶ αὐτὸν τόπος γαγγαμών. ἐπεὶ νεύρων ἐστὶ πλέγμα, καθάπερ τὸ δικτυῶδες, ὃ καλεῖται νῦν γαγγαμών. ἢ ὡς οἱ πολλοὶ, σαγήνη. ὀμφαλοῦ δὲ τὸ ἐν μέσῳ, ἀκρομφάλιον. τὸ δὲ ὑπὲρ αὐτοῦ, ἐπομφάλιον. καὶ μεσόμφαλοι καλοῦνται, πλακούντων τι εἶδος. καὶ ὀμφαλοτόμος, ἡ μαῖα. καὶ ὁ ἀποτέμνων τῶν βρεφῶν τοὺς ὀμφαλοὺς, ὀμφαλιστήρ. οἱ δὲ Ἀττικοὶ, καὶ τῶν σύκων πυθμένα, ὀμφαλὸν ὀνομάζουσι.

* Γάστρα νεὼς, ἰδιωτικῶς τὸ ἔδαφος αὐτῆς.

Γάστραι, τὰ ὀπίσθια τῶν μηρῶν.

Γάστρη, τρίποδος ὁ πυθμήν. παρηγμένη καθ' ὁμοιότητα τοῦ πάτρη καὶ μήτρη.

Γάστρια, τὰ σπαρθέντα πρὸς τὸ ληστρευθῆναι. οἱ δὲ, κύαμοι, ἢ ῥάφανοι, οἷς ἀντὶ κόπρου χρῶνται, ὅταν αὐξηθέντα ληστρευθῇ.

Γαστρίαν, στρόφον, ἢ διάνοιαν.

Γαστρίδες, οἱ τὰς ἕλμινθας ἔχοντες. γίνονται δὲ ἐν ταῖς κοιλίαις αὗται, ὥσπερ τὰ θηρία.

Γαστρίδουλος μὴ εἴπῃς, ἀλλὰ γαστρὸς δοῦλος, ἢ γαστριδουλεύων, ἢ γαστρὸς ἥττων.

Γαστρίζειν, ἐπὶ τοῦ ἐμπίπλασθαι λέγουσιν Ἀθηναῖοι, οὐκ ἐπὶ τοῦ τὴν γαστέρα τύπτειν.

Γαστρίζεσθαι, τὸ κορέννυσθαι, τὸ λαμπρότερον τρέφεσθαι. καὶ ὡς ἄν τις εἴπῃ, ὑπὲρ τὴν χρείαν γαστριμαργεῖν. ἢ γαστρίζεσθαι κατὰ τοὺς παλαιοὺς οὐ μόνον τὸ χορτάζεσθαι, ἀλλ' ἔστιν ὅτε καὶ τὸ κατὰ γαστρὸς τύπτεσθαι.

Γαστρίζομαι. Ἀριστοφάνης, ἀντὶ τοῦ τὴν γαστέρα τύπτομαι.

Γαστριμαργία, ὄρεξις γαστρὸς ἐπὶ πλήθει βρωμάτων, ἀκρατῶς μαινομένη.

Γαστρίμαργος, τὴν γαστέρα μανιώδης. μαργαίνω γὰρ, τὸ μαίνομαι.

* Γάστρις, ὁ γαστρίμαργος.

Γάστριον, πέμμα τι σησαμῶδες, παρὰ Κρησί.

Γάστριος, ὁ περὶ τὴν γαστέρα ἀκρατής. καλοῦσι δὲ, καὶ τὸν ἕλμινθας ἔχοντα.

Γαστρίσαι, εἰς τὰ στέρνα πλῆξαι, ἢ χορτάσαι.

Γαστροειδὴς, προγάστωρ, καὶ γαστροποιῶν.

* Γαστροειδὴς, πᾶς τις τὴν γαστέρα ἐξωγκωμένος.

Γαστρόπης, σκεῦός τι μαγειρικόν.

Γάστρων παρὰ τῷ Ἀριστοφάνει, γαστρίμαργε. εἰσάγει γὰρ τὸν Διόνυσον, προγάστορα καὶ οἰδαλέον, ἀπὸ τῆς ἀργίας καὶ οἰνοφλυγίας.

Γατάλαι, ὗλαι.

Γαυλοὶ καὶ σκαφίδες, ἄγγεα εἰς τὸ ἀμέλγειν χρήσιμα. γαυλοὶ παρὰ τὸ γάλα γίνονται, πλεονασμῷ τοῦ υ, ὀξυτόνως προφερόμενοι. βαρυτόνως γὰρ, εἶδός φασι πλοίου στρογγύλου. οὗ χρῆσις καὶ παρὰ τῷ κωμικῷ. ἔτι δὲ καὶ ἡ ἀντλία.

Γαῦλος, Φοινικὸν σκάφος. καὶ παρὰ Ἀριστοφάνει προπερισπώμενον. ἐπὶ δὲ τοῦ ἀγγείου, ὀξυτόνως: Καλλίμαχος, Κυπρόθεος Σιδώνιός με κατήγαγεν ἐνθάδε γαῦλος. Ἄλλως.

Γαῦλος πλοῖόν τι φορτικόν. ὡς καὶ σκάφη, ἀπὸ τῶν σκευῶν. Ὅμηρος, γαυλοί τε σκαφίδες τε. Ἄλλως.

Γαῦλος, ὁ ἐξαπάτης, ὁ ἐξ ἀλλοτρίων ζῶν. γαυλὸς δὲ ὀξυτόνως τὸ ποιμενικὸν ἀγγεῖον, εἰς ὃ τὸ γάλα δέχονται. παρὰ τὸ γῶ τὸ χωρῶ, καὶ λαμβάνω, γίνεται καὶ γαυλός. καὶ οὐ πάντως δὴ παρὰ τὸ γάλα λαμβάνειν. λέγεται δὲ καὶ τριήρης γαυλὸς, διὰ τὸ πλεῖστα δέχεσθαι, ὥς φησιν Ἡρόδοτος ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν. ἔστι δὲ καὶ εἶδος πλοίου λῃστρικοῦ, ἥτις καὶ Λιβυρνὸς καλεῖται. ἢ γύαλός τις ὢν, τουτέστι κοῖλος. Ἡρόδοτος, γαυλούς τε ἐνταῦθα καταδύσας. καὶ ἐν ἐπιγράμματι, γαυλούς τε γαλαγόπηγας. ἢ γαυλὸς, ὁ τοῦ φρέατος ἀντλητήρ. ἢ γαυλὸς, ναῦς, ἄκατος.

Γαύρηξ, ὁ γαυριῶν. γαύρης, ὁ σεμνυνόμενος.

Γαυριᾷ, ἀγάλλεται, θρασύνεται, ἐπαίρεται.

Γαυρίαμα, καύχημα, ἔπαρμα, φρύαγμα.

Γαυροειδὴς, ὁ ὑπερήφανος.

Γαῦρον, τὸ ἐπηρμένον. Ἀριστοφάνης δὲ, τὸ στεῤῥὸν καὶ μέγα, καὶ ἀκλινὲς, καὶ ἀκατάπληκτον, γαῦρον λέγει.

Γαῦρος, θρασὺς, ὑπερήφανος, αὐθάδης, σεμνὸς, μεγαλοπρεπὴς, ἢ μετέωρος, ἀλαζὼν, ἐπαιρόμενος.

Γαύρῳ, μεγάλῳ, ἀκαταλήπτῳ.

Γαυσάδας, ψευδής.

Γαυσαλίτης, ὄρνεον παρὰ Ἰνδοῖς.

Γαυσὸν, σκαμβὸν, χωλὸν, στρεβλὸν, διεστραμμένον.

Γαυσὸς, κυρτὸς εἰς τὰ ἔξω, παρὰ τῷ Ἱπποκράτει.

Γαυσῶσαι, προσελάσαι, κάμψαι.

Γαφάγας, σκώληξ, ὑπὸ Συρακουσίων, ὃν ἡμεῖς ἔντερον.

Γάφυτον, τὸ ἐκ γῆς ῥέον, ἢ γηγενές.

ΤΟ' Γ'. ΜΕΤΑ' ΤΟΥ Ε'.

ΓΕγάασι, γεγένηνται. ἀπὸ τοῦ γείνω, ὁ μέλλων γενῶ, ὁ παρακείμενος γέγαγκα, μέσος γέγονα. τὸ τρίτον τῶν πληθυντικῶν, γεγόνασι. καὶ κατὰ συγκοπὴν, καὶ πλεονασμῷ τοῦ α, γεγάασιν. ἢ γείνω γενῶ, παρακείμενος γέγακα, κατὰ συγκοπὴν γέγαα, καὶ γεγαυῖα μετοχή. τὸ ῥῆμα, γῶ. ἐξ οὗ καὶ τὸ γείνω, ὁ παρακείμενος γέγηκα. καὶ οἱ Ἴωνες ἐπὶ τοῦ παρακειμένου ἡνίκα ἔξωσιν ποιήσωσι τοῦ συμφώνου, τότε καὶ συστολὴ τοῦ φωνήεντος ἐπακολουθεῖ, οἷον βεβήκασι, βεβάασιν. οὕτως οὖν καὶ γέγηκα γέγαα, ἡ μετοχὴ γεγαὼς γεγαότος. αἱ μετοχαὶ, εἰ μὲν ὦσιν ἀπαθεῖς διὰ τοῦ ο κλίνονται, καὶ τὸ θηλυκὸν ἔχουσι διὰ τοῦ υια. εἰ δὲ κατὰ πάθος, τὴν κλίσιν μὲν ἔχουσι διὰ τοῦ ω, καὶ τὸ θηλυκὸν μεταποιοῦσιν εἰς α. οἷον ἑστὼς ἑστῶσα, γεγὼς γεγῶσα.

Γεάγια, κουράλια.

Γέαρ, ἔαρ.

Γίβουτον, ψόφον.

Γέβους, ζυγά.

Γεγάλημαι, γεγλώισμαι, διακέχυμαι.

Γεγαλλά, γεγεννημένη.

Γεγάμεν, γεγενῆσθαι. παρὰ τὸ γῶ γήσω, γέγημαι, ἀπαρέμφατον γεγάναι. καὶ Δωρικῶς γεγάμεν, ὡς τιθέναι τιθέμεν.

Γεγανωμένη, λελαμπρυσμένη. ἢ χαίρων, ἢ διακεχυμένος. ἢ κεκαλλωπισμένος. καὶ γανωθεὶς, οἷον καλλωπισθείς. καὶ γανῶσαι, ἐπὶ τοῦ λαμπρῦναι. καὶ γανεῖν, λευκάναι. καὶ γαυρὸν, λαμπρὸν, λευκόν. καὶ γάνος, ὕδωρ, χάρμα, φῶς, λῖπος, αὐγὴ, λευκότης, λαμπηδών. ὑπὸ δὲ Κυπρίων, παράδεισος.

γεγαὼς, γεγονὼς, ὑπάρχων.

Γέγγει, βρέχει.

Γέγειαι βόες, αἱ ἀρχαῖαι.

Γέγειος, παρὰ τὸ γέα, γένος. ὡς βαθύγειος, εὔγειος, ἔγγειος. οὕτως οὖν καὶ γέγειος, πλεονασμῷ τοῦ γ.

Γεγένημαί σοι φίλος. καὶ ἐξεγένετό μοι τόδε, ἤγουν ἄδεια ἐγένετό μοι.

Γεγενῆσθαι ἐπὶ μόνων ἐμψύχων λέγεται. τὸ δὲ γεγονέναι, καὶ ἐπὶ ἀψύχων. καὶ γεγένηται, ἐκ τοῦ γενάω γενήσω, γεγένηκα, γεγένημαι γεγένησαι γεγένηται.

Γέγηθε, χαίρει, ἥδεται, γελᾷ.

Γεγηθὼς κατὰ συγκοπὴν ἐκ τοῦ γεγηθηκὼς, ἢ ἐκ τοῦ γέγηθα.

Γεγιώτας, τρίγλας. οἱ δὲ, τράγους.

Γέγκαλον, ἥσυχον.

Γέγλανται, κεκοίλανται.

Γεγλύπωνται, ἀνεγλείονται.

Digitized by Google

Γέγονα, ἐκ τοῦ γείνω ἀρχῆς, μέλλων γενῶ. μέσος παρακείμενος γέγονα.

Γέγονε καλῶς, καλῶς ἐπράχθη.

Γεγονὼς, ἀντὶ τοῦ ὑπάρξας, καὶ ἀντὶ τοῦ γεννηθείς.

Γεγραμμένοι, ἐξωστρακισμένοι, ἢ ζωγραφημένοι.

Γέγραπται, ὥρισται, δέδοκται, διώρισται, τέτακται, διατέτακται, κεχειροτόνηται, ἐπικεχειροτόνηται, πέπισται, δεδοκίμασται, ἐξήτασται, κέκριται, προβεβούλευται, βεβούλευται, κεκύρωται, πάλαι πεφύλακται. ταῦτα φαίης δ᾽ ἂν, ἐπὶ τῶν ἤδη γεγραμμένων νόμων καὶ ψηφισμάτων.

Γέγραφα, διὰ τί τοῦ γράφω ὁ παρακείμενος ἀναδιπλασιάζεται; Ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ ἔχοντα ἐν τῷ παρατατικῷ ἄφωνον πρὸ τοῦ ἀμεταβόλου, τῷ λόγῳ τῆς κοινῆς ἀναδιπλασιάζουσι τὸν παρακείμενον, χωρὶς τῶν ἐχόντων τὸ γν. ταῦτα γὰρ οὐκ ἀναδιπλασιάζεται κατὰ τὸν παρακείμενον. οἷον ἔγνων, ἔγνωκα, καὶ ἀνέγνωκα.

Γεγραφὼς, γεγραφότος. τὰς εἰς ως τῶν παρακειμένων ἀπαθεῖς μετοχὰς, διὰ τοῦ ο μικροῦ κλίνουσιν αἱ διάλεκτοι πᾶσαι. ποιηταὶ δὲ, καὶ γὰρ ἡ τούτων διάλεκτος ἄλλη πρὸς ἐκείνας γινώσκεται, τὸ πρὸ τοῦ ως σύμφωνον ἀναιροῦντες συστέλλοντές τε τὴν παραλήγουσαν, διὰ τοῦ ω μεγάλου κλίνουσιν. οὕτω τὸ μὲν μεμηκὼς, μεμαὼς μεμαῶτος λέγουσι. καὶ τὸ τεθνηκὼς, τεθνεὼς τεθνεῶτος. καὶ τὸ βεβηκὼς, βεβαὼς βεβαῶτος. τὸ γεμὴν ἑστηκὼς, ἑσταὼς ποιοῦντες, οὐχ ἑσταῶτος, ἀλλ᾽ ἑσταότος λέγουσι πάντως, διὰ τὸ δύνασθαι δακτυλικὸν μέτρον δι᾽ ἐκείνου ποιεῖν. ἦν γὰρ ἀμφίμακρος ἐν αὐτῷ ἐποποιοῖς ἄχρηστος. τοῦ δὲ δὴ τεθνεὼς τὴν παραλήγουσαν, αὖθις οἱ αὐτοὶ τῇ προσθέσει τοῦ ι ἐκτείνοντες, καὶ τεθνειὼς ποιοῦντες, ὁτὲ μὲν τεθνειῶτος, ὁτὲ δ᾽ αὖτε τεθνειότος (ὡς ἂν αὐτοῖς πρὸς τὸ μέτρον λυσιτελεῖ) κλίνουσι. Τούτων οὕτως ἐχόντων, τίνα τρόπον μεμαὼς μὲν καὶ βεβαὼς, μαυῖα καὶ βεβαυῖα τὸ θηλυκὸν ποιεῖ, τὸ τεθνεὼς δὲ καὶ ἑσταὼς οὐχ οὕτως, ἀλλὰ τεθνεῶσα καὶ ἑστῶσα; Ὅτι τοῦτο τοῖς ποιηταῖς ἔθος γέγονε, τὰς μὲν μόνου τοῦ κ στερηθείσας μετοχὰς, ὁμοίως ταῖς ἀπαθέσι κατὰ τὸ θηλυκὸν προφέρειν. ὡς τὸ γεγακυῖα, καὶ βεβηκυῖα, καὶ μεμηκυῖα· οὕτω δὲ καὶ τὸ γεγαυῖα, καὶ βεβαυῖα, καὶ μεμαυῖα. τὰς δὲ πρὸς τοῦτο καὶ φωνήεντος στερηθείσας, ἑτέρως ἐκφέρειν. τὰ γὰρ ἀπὸ τοῦ γεγὼς καὶ βεβὼς καὶ ἑστὼς θηλυκὰ, γεγῶσά φασι, καὶ βεβῶσα, καὶ ἑστῶσα. οἷς δὴ συνηκολούθησε καὶ τὸ τεθνεῶσα. ἤλλακται γὰρ ἐν τούτοις τὸ θηλυκὸν, ἵνα ᾖ δῆλον, ὡς συγκοπῆς ἐν τούτοις προέβη πάθος.

Γεγειφὼς, ὁ ταῖς χερσὶν ἀλλοῶν.

Γεγύμνασο, τῆς ἀττικιζούσης λέξεως. ἔστι καὶ πάλιν ἄνδρα γεγυμνασμένον τῆς τοιᾶσδε ἰδέας, ἔστι καὶ τῆς ῥητορικῆς.

Γεγυναικωμένα, πέμματά τινα ὧν γυνὴ ἥψατο, καλεῖται οὕτω.

Γέγυραν, αὐλὴν, ἢ δεσμωτήριον.

Γεγυρωμένους, ἠτονηκότας, σώμασι κεκαμμένους.

Γέγωνε βοήσας, ἀντὶ τοῦ ἐξάκουστον ἐβόησεν· ἵνα λέγῃ, ὅτι βοήσας, ἐγνώσθη ἄν. οὐ γὰρ τὸ γεγωνέναι, καὶ τὸ γεγωνεῖν, καὶ γεγωνίσκειν καὶ τὰ τούτοις σύστοιχα, βοὴν ἁπλῶς δηλοῖ, ἀλλὰ τὸ ἀκουσθῆναι. καὶ ἄλλως δὲ εἰπεῖν, τὸ γέγωνεν οὐκ αὐτὸ μόνον δι᾽ ἑαυτοῦ δηλοῖ τὸ ἀκουσθῆναι, ἀλλὰ καὶ ὁμοῦ μετὰ τοῦ βοήσας. καὶ βοῆσαι μέν ἐστι τὸ κραυγάσαι, γεγωνέναι δὲ τὸ γνωστῶς κραυγάσαι. ἔστι γὰρ παρακείμενος μέσος τὸ γέγνωα, ἐξ οὗ κατὰ μετάθεσιν τοῦ ω γέγωνα κατὰ τοὺς παλαιούς. ἐκ τούτου δὲ μόνον ἐπίρρημα τὸ γεγωνὸς, ἀντὶ τοῦ μέγα. ἀλλὰ καὶ λόγος ὁ προφορικὸς, παρὰ τῷ Φίλωνι· ὃν καὶ κλίνας ἐκεῖνος εἰς γενικὴν, τοῦ γεγωνοῦ λόγου φησί. καὶ γέγωνε θεοῖσι παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἐγνώσθη, ἐφ᾽ οἷς ἐβόησε.

Γεγωνὴν, γνωστὴν φωνὴν σημαίνει, καὶ ἐξάκουστον. καὶ γεγωνεῖν, ἐξάκουστον βοᾶν· ἐπὶ τοιούτου γὰρ σημαινομένου τὸ γεγωνέναι εἴωθε τίθεσθαι. γνόω γάρ φασι, τὸ νοῶ. οὗ μέσος παρακείμενος γέγνωα, καὶ μεταθέσει γέγωνα, τὸ γνωστῶς βοῶ· ἐξ οὗ τὸ γεγωνέναι, καὶ γεγωνώς. καὶ τὸ γεγώνω παρὰ Σοφοκλεῖ, οἷόν τι γεγώνω. ὅτι δὲ καὶ γεγωνῶ περισπώμενον ῥῆμά ἐστιν, ἐξ οὗπερ οὐ μόνον τὸ γεγωνεῖν, ὅθεν τὸ γεγωνέμεν ἀναλόγως, καὶ μετοχὴ ἄρρητος γεγωνηκὼς, ἐν συγκοπῇ γεγωνὼς, δι᾽ εὐφωνίαν, ἥτις εὐφωνία ἐπραγματεύθη καὶ ἐν τῷ δέδοικα, καὶ δεδοικὼς, ἐκ τοῦ δέδοιδα δεδοιδὼς, πολλαχοῦ φαίνεται.

Γεγωνέμεν, ἀπὸ τοῦ φωνῶ, τροπῇ τοῦ φ εἰς γ, γωνῶ. καὶ κατὰ ἀναδιπλασιασμὸν, γεγωνῶ, τὸ ἀπαρέμφατον γεγωνεῖν, καὶ ποιητικῶς γεγωνέμεν. ἢ ἀπὸ τοῦ γωνῶ γεγωνῶ γεγωνεῖν καὶ γεγωνέμεν, ἤγουν ἐξάκουστον βοᾶν.

Γεγωνεῦν. γνόω, γνώσω, γέγνωκα, μέσος γέγωνα, καὶ καθ᾽ ὑπέρθεσιν γέγνωα. ὅθεν κατ᾽ ἀναδρομὴν τὴν εἰς ἐνεστῶτα συνήθη τοῖς παλαιοῖς, γεγωνέω γεγωνῶ.

Γεγωνητέον, ὑμνητέον. Πίνδαρος, γεγωνητέον ὁπὶ δίκαιον ξένον.

Γεγωνῶ, τὸ φωνῶ. τοῦ μέσου παρακειμένου ἡ μετοχὴ γεγωνώς. καὶ γεγωνῶ, σημαίνει τὸ τὴν φωνὴν ἐξάκουστον ποιεῖν. παρὰ τὸ γνόω, καὶ ἐν ὑπερθέσει γωνῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν γεγωνῶ. σημαίνει καὶ τὸ βοᾶν, κράζειν. ὃ καὶ γεγωνίσκειν εἴρηται ὑπὸ Θουκυδίδου.

Γέγωνα καὶ γεγωνεῖν, καὶ ὅσα τούτοις σύστοιχα, οὐχ ἁπλῶς ἐπὶ τοῦ βοᾶν Ὅμηρος τάσσει, ἀλλ᾽ ἐπὶ τοῦ ἀκούεσθαι, ἢ μᾶλλον ἐπὶ τοῦ μέγα καὶ ἐξάκουστον βοᾶν, καὶ ὡς εἰπεῖν γνωστόν. ἀπὸ γὰρ τοῦ γεγωνῶ, τὰ τοιαῦτα ῥήματα. φησὶ γοῦν Ὅμηρος, Ἀλλ᾽ οὔπως ἦν βάσαντι γεγωνεῖν, τουτέστιν, οὐκ ἦν δυνατὸν βοήσαντι ἀκουσθῆναι. σημειοῦνται δὲ οἱ παλαιοὶ διφορεῖσθαι τὸ ῥῆμα. καὶ παρὰ μὲν τῷ ποιητῇ περισπᾶσθαι, ὡς δηλοῖ τὸ γεγωνεῖν, καὶ τὸ ἐγεγώνευν, καὶ τὸ γεγωνέμεν. οἱ δὲ μετὰ τὸν ποιητὴν καὶ βαρυτόνως φασὶν αὐτὸ ἔκλισαν. ἔστι γὰρ τὸ γέγωνα, οἱονεὶ γέγνωα, μέσος παρακείμενος ἐκ τοῦ γνόω. τούτου τὸ ὑποτακτικὸν, γεγώνω βαρύτονον. ἐξ οὗ θέματος, αἱ βαρύτονοι κινήσεις. ἀπ᾽ αὐτοῦ δὲ τὸ γεγωνῶ, καὶ αἱ κατ᾽ αὐτὸ κλίσεις. οἱ δὲ παλαιοὶ, καὶ γεγωνίσκειν φασὶ, τὸ φθέγγεσθαι ἐξάκουστον. γεγωνὸν δὲ φθέγμα παρ᾽ αὐτοῖς, τὸ λαμπρόν. Φίλων δὲ καὶ ἀρσενικὸν οἶδε γένος τοῦ γεγωνοῦ λόγου, ὅ ἐστι τοῦ τρανοῦ, καὶ προφορικοῦ. ὅθεν δηλαδὴ γεγωνότερον ἐπίρρημα. περὶ δὲ γεγωνοκώμου φέρεται, καὶ ὅτι λέγεται ὑπὸ διὰ τὸ ἐν ταῖς κώμαις, τουτέστι ταῖς ἀμφόδοις γεγωνίσκειν, ἤγουν περιβόητος εἶναι.

Γεγωνοκῶμαι γυναῖκες, αἱ τὰς κώμας ἐμπιπλῶσαι βοῆς.

Γεγῶσα, καὶ γεγὼς, ἀπὸ τοῦ γενῶ τὸ γίνομαι, ὁ μέλλων γενήσω, ὁ μέσος παρακείμενος, γέγονα, ἀποβολῇ τοῦ ν γέγηα, καὶ τροπῇ τοῦ η εἰς α γέγαα. ἡ μετοχὴ, γεγαὼς γεγαότος, καὶ κατὰ κρᾶσιν, γεγὼς γεγῶτος, ὡς μεμὼς μεμῶτος, βεβὼς βεβῶτος, ἑστὼς ἑστῶτος. καὶ τὰ θηλυκὰ, γεγῶσα, μεμῶσα, βεβῶσα. καὶ τὰ οὐδέτερα, διὰ τοῦ ω μεγάλου, τὸ γεγὼς, τὸ μεμώς.

Γέεννα, ἡ καταδίκη.

Γέῃ, τῇ γῇ.

Γεηκόνος, γεωργός.

Γεηρὸν, τὸ γήϊνον.

Γητνιεῖ, γειτονεῖ.

Γεῖθρον, ἔνδυμα.

Γειναμέναις, γεννηθείσαις. ὡς τὸ, Δάκρυα μὲν Ἑκάβῃ τε, καὶ Ἰλιάδεσσι γυναιξὶ, Μοῖραι ἀπεκλώσαντο δή ποτε γειναμέναις.

Γείνατο, ἐγέννησε. καὶ γείνηται, γεννᾷ.

Γεινεᾶ, γεννήσει.

Γειοκόμον, τὸ γειτνίαμα, ἢ καὶ γεωργόν.

Γεομόροι, οἱ περὶ τὴν γῆν κακοπαθοῦντες.

Γειότομον, τὸ ἄροτρον, ἡ γῆ, καὶ ἡ εὐθεῖα τῶν δυικῶν οὐκ ἔχει.

Γεῖσα, τὰ θεμέλια, καὶ πᾶν τὸ ἐξέχον μέρος. καὶ τὰ πρὸ τῶν θυρῶν στεγάσματα. παρὰ τὸ γέα, γέϊσον, καὶ γεῖσον. καὶ γεισίποδες, αἱ ἐγκείμεναι δοκίδες, ἐφ᾽ αἷς τὰ γεῖσα, παρὰ τὸ εἶναι βάσις τῶν θεμελίων. τινὲς δὲ διὰ δύο σσ γράφουσι τὸ γεῖσσα.

Γείσιον, καὶ γεῖσος, τὸ ἄκρον τοῦ τοίχου, ἢ στεφάνωμα οἴκου. καὶ γεῖσα, τοίχων ἄκρα. ἢ γείσος, ὁ γεωργός.

Γῆσον, στεφάνωμα οἴκου.

Γεισσίπους, καὶ γεισσιπόδισμα, καὶ γεισσιποδίζειν, τὸ ἐξέχειν τῆς δοκοῦ, ἐφ᾽ οὗ τὸ γεῖσσόν ἐστι, γεισσίπους καλεῖται καὶ γεισσιπόδισμα. καὶ γεισσιποδίζειν, τὸ τοῦτο ποιεῖν. Ἰσαῖος ἐν τῷ πρὸς Ὀργεῶνα.

Γείσωσις, τὸ τῆς στέγης ἐξέχον.

Γεῖτα, βάμμα ἐξ ἐρίων.

Γειτνιῶν. ἐγγίζων.

Γειτνιῶ, τὸ γειτονῶ. ὡς ἀπὸ τοῦ εὐδαίμων εὐδαίμονος εὐδαιμονῶ, οὕτω καὶ ἀπὸ τοῦ γείτων γείτονος γειτονιῶ, καὶ κατὰ συγκοπὴν γειτνιῶ. ὥσπερ καὶ ἀπὸ τοῦ μειδῶ, μειδιῶ.

Γειτοίαι, γειτωνίαι.

Γείτονας ἐροῦμεν, ἀστυγείτονας, ὁμόρους, προσχώρους, πλησιοχώρους, προσοίκους, περιοίκους. καὶ περιοικίδας πόλεις, γειτνιῶντας, προσοικοῦντας, ὑποικοῦντας, παρακατοικοῦντας, συνόρους, καὶ προσόρους.

Γείτονες, οἱ πλησιασταὶ μόνοι. ἔται δὲ, οἱ καὶ ἄλλως συνήθεις. ψιλοῦται δὲ τὸ ἔτης, κατὰ τοὺς παλαιούς. εἴτε ἐπὶ πολίτου, εἴτε ἐπὶ ἑτέρου λέγεται. δῆλον δὲ καὶ ὅτι ἀπὸ τοῦ ἔθους, οὐ μόνον ὁ ἑταῖρος καὶ ἔτης, ἀλλὰ φανερῶς καὶ ὁ ἐθὰς λέγεται.

Γείτων, παρὰ τὸ γέα γεΐτων, καὶ κατὰ συναίρεσιν γείτων.

* Γείταινα, θηλυκὸν τοῦ γείτων, ὡς καὶ τέκταινα τοῦ τέκτων.

Γεῶραι, ὡς τὴν γῆν φυλάσσοντες. ἢ οἱ ἐξ ἄλλου ἔθνους προσκολλώμενοι. τὸ δὲ κύριον ὄνομα ι.

Γεκαθὰ, ἑκοῦσα.

Γέλα, πόλις Σικελίας.

Γελαιὼς, ὁ γέλως.

Γελᾶν, ἐλᾶν, ἀντὶ τοῦ γελῶν, ἐλῶν μετοχῶν, Δωριεῖς λέγουσι.

Γελανδρὸν, ψυχρόν.

Γέλαν, αὐγὴν Ἡλίου.

Γέλανοι, εἶδος ἵππων δυσγενῶν, καὶ εἰς πόλεμον οὐκ εὐθέτων.

Γελάοισα, ἀντὶ τοῦ γελῶσα. Δωρικῶς.

Γελαρὴς, γαλήνη. Λάκωνες.

Γέλαρος, ἀδελφοῦ γυνή. Φρυγιστί.

Γελασείω, ἐπιθυμητικῶς ἔχω τοῦ γελᾶν.

Γελασίμοις, γραμμαῖς, ταῖς ἐκ τοῦ γελᾶν γενομέναις.

Γελάσιμον, μὴ λέγε, ἀλλὰ γελοῖον.

Γαλαστὰ, καθὰ καὶ τὸ ἀγέλαστα, εἰκὸς γενέσθαι ἀπὸ τοῦ γελῶ γελάζω, ἀρρήτου θέματος. ὁμοίως τῷ ἀγῶ, ἀγάζω, ὅθεν τὸ ἀγαστόν. καὶ ἀποβολῇ τοῦ σ, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, ἀγαθόν.

Γελαστὴς, ὁ ἐπεγγελῶν.

Γελαστός. γελάω γελῶ γελάσω, γεγέλακα, γεγέλασμαι, γελαστός. ὅτε γὰρ ἔχει βραχὺ τὸ α ὁ μέλλων, προσλαμβάνει τὸ σ ὁ παρακείμενος, καὶ ἐξ αὐτοῦ ἀγέλαστος.

Γελάσω, καὶ ὅσα δευτέρας συζυγίας τῶν περισπωμένων πρὸ τοῦ α σύμφωνον ἔχουσι πλὴν τὸ ρ, βραχὺ τοῦ α ἔχουσιν. ὅσα δὲ πρὸ τοῦ α φωνῆεν ἢ τὸ ρ, μακρὸν ἔχουσι τὸ α, οἷον ἐῶ ἐάσω ἐᾶσαι, περῶ περάσω περᾶσαι.

* Γελᾶν χείλεσιν, τὸ παρασύραι τὰ χείλη καὶ σεσηρέναι, κατὰ τοὺς σαρδώνιον γελῶντας. καὶ γελᾶν λέγεται ἡ γῆ, ἀντὶ τοῦ περιαστράπτεσθαι τῇ διαχύσει καὶ ἱλαρότητι τοῦ ἀέρος. ὁμοίως καὶ ἀὴρ καὶ ἡμέρα, καὶ θάλασσα γελᾶ λέγονται τροπικῶς.

Γέλγιθες, σκορόδων κεφαλαί.

Γεγὲλ, ὁ τροχὸς ὀνομάζεται. ἢ ἀνακυκλισμὸς, καὶ ἀνάκαμψις. τινὲς δὲ, γὲλ λέγουσι.

Γέλγει, βαπτίζει, χρωματίζει.

* Γέλγη, ὁ λεπτὸς καὶ εὐτελὴς φόρτος, ὅθεν γελγοπώλης.

Γέλγη, ὁ ῥῶπος, καὶ βάμματα, καὶ ἄτρακτοι, καὶ κτένες.

Γελγηθεύειν, ἀπατηλογεῖν.

Γέλγια, πίνη, στάθη, κυλάρια.

Γέλεα, τέλεα.

Γελεῖν, λάμπειν, ἀνθεῖν.

Γέλενος, ἀσφοδελὸς, νάρκισσος.

Γέλιν, ὁρμιάν·

Digitized by Google

Γέλινθοι, ἐρέβινθοι.

Γελίκη, ἕλιξ.

Γέλλαι, τῖλλαι.

Γελλίζειν, γαργαρίζειν.

Γελλίξαι, συνειλῆσαι.

Γελλὼ, δαίμων, ἥν γυναῖκες τὰ νεογνὰ παιδία φασὶν ἁρπάζειν.

Γελοδυτία, ὀλιγοδυσία.

Γελοίϊον, πλεονασμὸν ἔχει τοῦ δευτέρου ι. ὡς καὶ τὸ ὁμοίϊον, ποδοίϊν, ἱπποίϊν, ὠμοίϊν, τοῖϊν, ἀλλήλοιϊν.

Γελοῖον περισπωμένως, τὸν γελωτοποιὸν λέγουσιν, οἷον τὸν μῖμον. γέλοιον δὲ τὸν καταγέλαστον. δοκεῖ δέ φασι τῶν παλαιῶν Ἀττικῶν εἶναι, περισπᾶν τὰ τοιαῦτα, ὁμοῖον, ἑτοῖμον, γελοῖον. τὸ δὲ γελοίων, πλεονασμὸν ἔχει τοῦ ι, ὡς ἀπὸ τοῦ γελόων, ἤγουν ἐγέλων, γενόμενον. ἔστι γὰρ γελόω, ὡς ὀρύω, βοόω, καὶ τὰ τοιαῦτα. διὸ καὶ γελόωντες ἐρεῖ, ἐν τοῖς ἑξῆς. καὶ, Αὐτὰρ ἐγὼ γελόω καὶ τέρπομαι. καὶ προϊὼν δὲ αὖθις, γελοόωντες εἶπον, κατὰ ὅμοιον πλεονασμόν. οἷα μὴ ἔχων εἰπεῖν γελώωντες μετὰ ἐκτάσεως τῆς λοιπῆς συλλαβῆς. τὰ γὰρ διὰ τοῦ οω ὑπὲρ δύο συλλαβὰς βαρύτονα, μακρὰν θέλει ἔχειν τὴν προπαραλήγουσαν. ὡς τὸ μαιμόω. ἠβόω. τὸ δὲ γελόω, βραχείᾳ συλλαβῇ προπαραλήγεται. ὅθεν διὰ προσθήκης τοῦ ἰῶτα ἡ τῆς παραληγούσης ἔκτασις γίνεται. ὁμοίως τῷ, ἠγνόησαν ἠγνοίησαν, καὶ τῷ ἀλοῶ ἀλοιῶ.

Γελοῖος, κοινῶς. γέλοιος Ἀττικῶς. γελοῖος, ὁ καταγέλαστος. γέλοιος δὲ, ὁ γελωτοποιός. γελοῖον δὲ οὐδετέρως, τὸ γέλωτος ἄξιον. γελοῖος, ἱλαρὸς, γελαστής. καὶ ὁ καταγέλαστος ἄνθρωπος, καὶ λοίδορος.

Γελοίωντες τετύκοντο, βέλτιον οὕτω γράφειν παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ω. εἰ δέ που γράφεται γελώωντες διὰ τῶν δύο ω μεγάλων, νοητέον τὴν οι δίφθογγον τοῦ γελοίωντες τραπῆναι εἰς ω. ὁμοίως τῷ, ἀγκώνη ἡ ἀγκοίνη, καὶ τοῖς ἄλλοις.

Γέλυτρον, ἔλυτρον, ἤγουν λέπυρον.

Γελόω, ἐκ τοῦ γελῶ, ᾷς, γίνεται πλεονασμῷ ποιητικῷ τοῦ ο. ὥσπερ γίνεται ὁρόω, ἐκ τοῦ ὁρῶ ὁρᾷς.

Γελσεοπωλεῖν, ῥωποπωλεῖν, παντοπωλεῖν.

Γελσὸν, ἀτυχές.

Γελωιμάξαι, γελοιάσαι.

Γελχάνος, ὁ Ζεὺς παρὰ Κρησίν.

Γελὼ, εἴδωλον Ἐμπούσης, τὸ δῶρον τῶν παρθένων.

Γέλῳ ἔκθανον. ἄδηλον εἴτε κατὰ ἰσοκατάληκτον κλίσιν ἡ δυσυλλαβία τῷ γέλῳ, εἴτε καὶ κατὰ ἀποκοπὴν ἐκ τοῦ γέλωτος, ὅτι οὐδ' ἂν ἔχει τὸ ι προσγεγραμμένον. ἡ δὲ ἀδηλία καὶ ἐπὶ τοῦ ἥρῳ ἀντὶ τοῦ ἥρωϊ. δῆλον ὡς ἀφελῶς καὶ γλυκέως τὸ ἄγαν γελάσαι, γέλῳ ἐκθανεῖν λέγεται. ἤγουν ἔξω, καὶ ὡς εἰπεῖν ἐπιπολαίως θανεῖν, καὶ οὐ κατὰ τὸ κυρίως θανεῖν, ὃ διὰ βάθους χωρεῖ. ἐνταῦθα δὲ σημαίνει τὸ ὑπὸ ἡδονῆς ἐκλύεσθαι θανάτῳ, καὶ αὐτὸ ἔοικε.

Γελῶ, ἐπὶ τοῦ κατὰ φύσιν γέλωτος. γελῶ δὲ ἐγὼ, καὶ καταγελῶ ἕτερον ἢ ἑτέρου, μεταβατικῶς. Ἀριστοφάνης, Οὔτοι μὰ τὴν Δήμητρα δύναμαι μὴ γελᾶν, καὶ γελῶ τούτῳ, καὶ τόνδε. ἐπιγελῶ σοι, καὶ ἐπιγελῶ σε.

Γέλως, ὁ διὰ τῶν παρειῶν ἐμπίπτων ψόφος ἐν τῷ τοῦ αἵματος ἀναβρασμῷ. ἢ παρρησίας βράσμα. ἢ παλμὸς καρδίας, καὶ ἡ ἄκρατος καὶ ἀμιγὴς παντὸς σκυθρωποῦ ἱλαρότης. ὡς τὸ μακάριοι οἱ κλαίοντες, ὅτι αὐτοὶ γελάσονται. γέλως δὲ εἴρηται, παρὰ τὸ τὰ γυῖα καὶ τὰ μέλη λύειν. οἱ γὰρ γελῶντες, ἐκλελυμένην ἔχουσι τὴν ψυχήν. ἢ παρὰ τὸ, τὸ γένειον εἰλεῖν καὶ συστρέφειν. περὶ γὰρ τὸ γένειον μύες τινὲς κινούμενοι, ποιοῦσι τὸν γέλωτα. ἢ παρὰ τὴν ἕλην, ἀπὸ μεταφορᾶς τοῦ καταστήματος. τὸ γοῦν ἐναντίον, στυγνός.

Γέλως συγκροτούσιος, ὁ ἄτακτος καὶ ἄσεμνος. ἐκ μεταφορᾶς τοῦ μετὰ κρότου χειρῶν καὶ ποδῶν γενομένου γέλωτος. καὶ ἐρεῖς γέλως, καὶ μειδιασμὸς, καὶ μειδίασμα, καὶ μειδίασις, φαιδρότης, ὀφθαλμῶν ἄνεσις, προσώπου καγχασμός. γελᾶν, μειδιᾶν, ὑπομειδιᾶν, ἐπιμειδιᾶν, ἀνιέναι τὸ πρόσωπον, φαιδρύνεσθαι.

Γέλωτα κοινῶς, καὶ γέλων Ἀττικῶς. Ἀριστοφάνης, Οὐχ οἷός τε εἰμ' ἀποσοβῆσαι τὸν γέλων.

Γελώωντες, διὰ δύο ω μεγάλων, νοητέον τὴν οι δίφθογγον τοῦ γελοίωντες τραπῆναι εἰς ω μέγα. ὁμοίως τῷ ἀγκοίνῃ, καὶ τοῖς ὁμοίοις.

Γεμεῖν, κύειν.

Γέμεν, ἐγένοντο. Ἡσίοδος, Ὀγδοάτη δ' ἐννάτη τε, δύο γέμεν ἤματα μηνός.

Γεμίζω, πλήθω, πληρῶ, ἐμπιπλῶ, ἐμφορῶ, καὶ τὸ ἀντλῶ.

Γεμίζω, τὸ πλοῖον σίτου, καὶ κεκορέννυμί σε τροφῆς, καὶ ἐμπιπλῶ σε ἀγαθῶν, καὶ πληρῶ τὸν οἶκον εὐωδίας, φύσει τοιαύτην σύνταξιν κέκτηνται. τὸ δὲ ἐπριάμην δοῦλον εἴκοσι μνῶν, καὶ ὠνοῦμαι οἶνον σίτου, καὶ πωλῶ, καὶ πιπράσκω, τὴν διὰ πρόθεσιν ἔχει λαμβανομένην.

* Γέμμα, τὸ γάμμα στοιχεῖον, Ἰωνικῶς.

Γέμματα, ἱμάτια.

Γέμος, γέμισμα, πλήρωμα.

Γεμπὸς, κοιλός.

Γεμπύλους, τοὺς ἰχθῦς τὰς πηλαμίδας.

Γέμω, τὸ πλήθω. καὶ γεμέωσιν, οἷον γεμέωσι δὲ πατάδα. γέμωσι, καὶ πλεονασμῷ τοῦ ε γεμέωσι. καὶ συντάσσεται γενικῇ. Ἀριστοφάνης, Αἱ δὲ λήκυθοι μύρου γέμουσι.

Γενάδας, εὐγενεστάτους, ἢ γενναιοτάτους.

Γενάρχου, πατρός.

Γένατο, ἐγέννησε. γέω τὸ τίκτω. ἐκ τούτου γέα, διὰ τοῦ ε ψιλοῦ, ἡ γεννητική. τοῦτο τὸ γέω, γίνεται κατὰ πλεονασμὸν τοῦ ν, γένω. καὶ πλεονασμῷ τοῦ ι γείνω. ὁ μέλλων γενῶ, ὡς κείρω κερῶ. ὁ ἀόριστος ἔγεινα, ὡς ἔμεινα, ἢ ἔκειρα. ὁ μέσος ἐγεινάμην, τὸ δεύτερον ἐγείνω, τὸ τρίτον ἐγείνατο, καὶ κατὰ συγκοπὴν γείνατο.

Γενεὰ κατὰ τοὺς παλαιοὺς, τριάκοντα χρόνοι. μεθ' οὓς τελευτᾷ ὁ ἄνθρωπος, ὡς δοκεῖ Ἡσιόδῳ ἐν τῷ, Μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων. τῷ τοίνυν Νέστορι δύο γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο, τουτέστι παρῆλθον. ἤνασε δὲ τῇ τρίτῃ γενεᾷ, καὶ τῶν ἐν αὐτῇ ὄντων, τουτέστιν ὑπερέβη τὰ ἑξήκοντα ἔτη. γενεὰ ὅτι πολυσήμαντόν ἐστι, δηλοῦσιν οἱ παλαιοί. Ἄλλως.

Γενεὰ, τέσσαρα σημαίνει. οἷον γενεὰ ἡ ἡλικία. γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων. ἡ εὐγένεια, γενεῇ μὲν ὑπέρτατός ἐστιν Ἀχιλλεύς. ἡ φυλὴ, οἵηπερ φύλλων γενεή. καὶ τὰ εἰκοσιεννέα ἔτη. ὡς τὸ, τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων.

Γενεαῖς γενεῶν, τουτέστιν ἀπείροις τισὶ γενεαῖς.

Γενεὴ φύλλων παρ' Ὁμήρῳ, περιφραστικῶς νοεῖται ἀντὶ τοῦ φύλλα πληθυντικῶς οὐδετέρου ὀνόματος. ὅτι δὲ πολλαχῶς ἡ γενεὰ, δηλοῦσιν οἱ παλαιοί. δῆλον δὲ, ὅτι οὐκ ἐπὶ μόνων ἀνθρώπων λέγεται, εἴγε καὶ ἵππων ἔφη γενεὰν ἐν τοῖς πρὸ τούτου. καὶ νῦν δὲ φύλλων λέγει γενεάν. φύλλοις γὰρ τὴν τῶν ἀνθρώπων εἰκάζει γενεάν. καὶ πᾶσι μὲν ἴσως, μάλιστα τοῖς τῶν ἀειθαλῶν. ὧν ἔτι προσισχομένων τῷ δένδρῳ, ἄλλα νέα ἐν ὥρῃ ἔαρος, καὶ ὅ φασι καθ' ὥραν φύεται. ὥσπερ Ὅμηρός φησιν, ἐπιγίνεται. ἀφ' οὗ ῥήματος καὶ ὁ ἐπίγονος παράγεται, ὅ ἐστιν ἀπόγονος. οὕτω δὲ καὶ γονέων οὐ πάντων ἐπιλειπόντων, ἀλλά τινων ἔτι παραμενόντων, οἱ ἐπίγονοι γίνονται κατὰ τὴν τῶν ἀειθαλῶν ὁμοιότητα. ἣν ὑποδηλοῖ καὶ τὸ ὕλη τηλεθόωσα, ἤτοι θάλλουσα.

Γενεῇ πρότερος, ἤγουν τῷ τῆς ἡλικίας χρόνῳ. γενεὴ Διὸς, ὅμοιον εἰ καί τις παῖδας εἴπε Διός.

Γένεθλα, γεννήματα.

Γενέθλη, ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τῷ τεχθέντι ἡμέρα, παρὰ τὸ γεννῶ. ἀφ' οὗ ὁ μέλλων γεννήσω, γενέθρα, καὶ Ἰακῶς γενέθρη, ὡς κολυμβῶ κολυμβήθρα, καὶ κατὰ τροπὴν γενέθλη. ἐκ τούτου καὶ τὸ γενέθλιον λέγεται. καὶ γενεθλιαλογία, ἡ περὶ τῆς γεννήσεως μαντεία.

Γενέθλια, τὰ ἐπὶ τῇ πρώτῃ ἡμέρᾳ δῶρα, καὶ ἡ εὐωχία. ἢ γενέθλια λέγουσι, καὶ οὐ γενέσια, τὴν ἡμέραν τῆς γεννήσεως. Πλάτων, Βασιλέως ἦν γενέθλια. οἱ δὲ Ἀθηναῖοι, καὶ γενέσια λέγουσι.

Γενέθλιος ἡμέρα, ἐπὶ τῶν ζώντων, ἐν ᾗ ἕκαστος ἐγεννήθη. γενέσιος δὲ ἡμέρα, ἐν ᾗ τις ἀπέθνηκε. γενεσία γὰρ, ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος μνήμη. καὶ γενέθλια πληθυντικῶς, ἡ ἐν γενέσει τινὸς τελουμένη ἑορτή. ὥσπερ γαμήλια, ἡ ἐν γάμῳ. καὶ ἐγκαίνια, ἡ ἐν ἐγκαινισμῷ. κατὰ ταῦτα ἐλέγοντο Κρόνια, ἑορτὴ τοῦ Κρόνου, καὶ Διάσια ἡ τοῦ Διός, καὶ Τιτάνια ἡ τῶν Τιτάνων, καὶ ἕτερα.

Γένεια, ὡς λέγει Αἴλιος ὁ Διονύσιος, αἱ τρίχες. γένειον δὲ, ὁ τόπος. ἀλλ' ὅμως εὕρηται πολιὸν γένειον παρ' Ὁμήρῳ, ὥσπερ πολιὸν κάρη. τὸ δὲ γενειήσαντα, οὐκ εὔδηλον εἴτε γενειῶ ἐστιν ἐνεστὼς, εἴτε καὶ γενειάζω παράγωγον.

Γενεῇ ὕστερος ἦεν, ἤτοι νέος νεώτερος. τὸ γὰρ γενεῇ ὕστερος ἦν, οὕτω διασαφοῦσιν οἱ παλαιοί, ὡς τὸ εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν, ἀντὶ τοῦ εἰ καὶ ἐγὼ αἰχμητής εἰμι.

Γένειον, παρὰ τὸ γένος γένειον, ὡς δάνος δάνειον. ἀπ' αὐτοῦ γὰρ τὰ γένη διαστέλλονται. καὶ διακρίνει τὰ γένη, λέγεται ἀπὸ ἱστορίας. ἔθνος γὰρ εἴκοσι καὶ πέντε χιλιάδων, ἐπελθὸν παρεκάθετο τοὺς ῥωμαίους. ἐκεῖνοι δὲ ὀλίγοι ὄντες, ἀνοίξαντες ἑτέρας πύλας ἔφερον τὰς σκλαβηνίας. ἔτι δὲ οἱ σκλάβοι ὀλίγοι ὄντες, ἔφερον τὰς γυναῖκας αὐτῶν, περιθέμενοι αὐταῖς σχῆμα ἀνδρεῖον καὶ γενειάδας, ἐξήρχοντο. ἰδόντες δὲ τὸ πλῆθος τὰ ἔθνη, ἠρώτων τοὺς Ῥωμαίους, τίνες εἰσὶν οὗτοι; ἔλεγον λογγίβαρβοι, τουτέστι βαθεῖαν ὑπήνην καὶ μακρὰν ἔχοντες.

Γένειον, οὐ μόνον ἐπὶ ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ ἀλόγων κεῖται. λὶς γὰρ ἠϋγένειος, καὶ Πάρδαλις ἠϋγένειος λέγεται.

Γέννειον ὁ τόπος, τὸ μέρος τοῦ σώματος. ὡς τὸ, Ἐκ δὲ δασκίου γεννειάδος, κρουνοὶ διερραίνοντο κρηναίου ποτοῦ. σημείωσαι δὲ, ὅτι ἡ τοῦ ἄνω χείλους τρίχωσις, λέγεται μύσταξ. τὸ δὲ κάτω, πάππος.

Γενεὸς, εἶδός τι πελέκεως, γενεολογία.

Γενέσθαι. γείνω ἄχρηστον, ὁ μέσος ἀόριστος δεύτερος, ἐγενόμην, ου, ετο. καὶ ἀπαρέμφατον, γενέσθαι.

Γενέσια, οὐκ ὀρθῶς τίθεται ἐπὶ τῆς γενεθλίου ἡμέρας. γενέσια γὰρ Ἀθήνησιν ἑορτή. λέγειν οὖν δεῖ τὰς γενεθλίους ἡμέρας, ἢ γενέθλια. Φρύνιχος. καὶ γενέσια, ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος μνήμη.

Γένεσιν θεῶν καλεῖ Ὅμηρος, τὸν Ὠκεανὸν, διὰ τὸ ἐξ αὐτοῦ ἀλληγορουμένου εἰς τὸ στοιχειακὸν ὕδωρ, δοκεῖν τὰ ἄλλα στοιχεῖα γίνεσθαι. τὸ γὰρ ὕδωρ ἀρχήν τινες πάντων ἔθεντο. ἢ καὶ ἄλλως, διὰ τὸ τὴν ὑγρὰν οὐσίαν τῆς φυσικῆς γενέσεως αἰτίαν εἶναι. ὅπου γε φασὶ καὶ τὸ σπέρμα πνεῦμά ἐστιν ὑγρῷ συγκραθέν. διὸ καὶ τοὺς ποταμοὺς ὡς κουροτρόφους ἐτίμων οἱ παλαιοί. καὶ ὡς συστατικοὺς γενέσεως, καθὰ καὶ ὁ ποιητὴς ἐν τοῖς περὶ Ἀχιλλέως φησί. τὸ δὲ θεῶν, ἢ ἀντὶ στοιχείων ἀπὸ τῆς θέσεως, ἢ καὶ ἄστρων ἀπὸ τοῦ θέειν. ἢ πάντων ὡς ἀπὸ μέρους, ὡς ἀλλαχοῦ σαφέστερον. Ὠκεανὸς, ὃς γένεσις πάντεσσι τέτυκται. οἷα δὲ τὰ τοῦ ὕδατος σεμνὰ, δηλοῦσι καὶ οἱ ὑπομνηματισταὶ τοῦ Πινδάρου, ἐν τῷ, Ἄριστον μὲν ὕδωρ.

Γένεσις, ἡ ἀρχὴ καὶ ἡ εἱμαρμένη. ἔστι δὲ πρεσβύτερον τῆς εἱμαρμένης, ἔννοια καὶ αὐτεξουσιότης. ἢ γένεσίς ἐστι, κίνησις κατ' οὐσίαν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. γένεσις καὶ ὁ κόσμος, περὶ τὴν γένεσίν τε πλανᾶται λήθῃ βαρούμενος καὶ κακίᾳ. γένεσίς ἐστι, καὶ ἡ ἐκ θεοῦ πρώτη πλάσις, ἡ ἐκ τοῦ μὴ ὄντος παραγωγή. ἢ γένεσις, ἡ τοῦ παντὸς διακόσμησις.

Γενέσκετο ἀσυνήθως παραχθὲν, ἐκ τοῦ ἀχρήστου μέλλοντος γενέσω. ἐξ οὗ καὶ ἡ γένεσις.

Γενέτας, ἔκγονος.

Γενέτειραν, μητέρα ποιητικῶς.

Γενετὴ, πατρία ἢ γενέσια. γενέτης γὰρ ὁ πατήρ.

Γενετυλὶς, ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη.

Digitized by Google

Γεννῆδα, ἀξίνην, πέλεκυν.

Γεννησαρὲτ, ὄνομα τόπου.

Γενήσεται, ἐκ τοῦ γενάω γενήσω, γενήσομαι. ἢ ἐκ τοῦ γενέω, γενήσω.

Γεννηταίην ὑπὲρ ἄκραν, γεννηταία ἄκρα κυρίως οὕτω λεγομένη, ἀπὸ Γέννητος ποταμοῦ, ἔνθα Διὸς Ξενίου ἱερόν ἐστι.

Γεννῆται, ἐπὶ γένους σύστημα, ἐκ τριάκοντα ἀνδρῶν συνεστώς. οὗ οἱ μετέχοντες ἐκαλοῦντο γεννῆται. οὐ κατὰ γένος ἀλλήλοις προσήκοντες, οὐδὲ ἀπὸ τοῦ αὐτοῦ αἵματος, ἀλλ' ὥσπερ οἱ δημόται, καὶ οἱ φράτορες ἐκαλοῦντο, νόμων κοινωνίαν τινὰ ἔχοντες, οὕτω καὶ οἱ γεννῆται, συγγενικῶν ὀργίων, ἢ θεῶν, ἀφ' ὧν ὀργεῶνες ὠνομάσθησαν. ἢ οἱ τοῦ αὐτοῦ γένους μετέχοντες, ἢ ἀπ' ἀρχῆς κοινὰ ἱερὰ ἔχοντες. οἱ δὲ, ὁμογαλάκτους, φράτορας, συγγενεῖς, τοὺς γεννήτας.

Γεννητικὸν, ἡ γένεσις.

Γεννητόν ἐστι, τὸ ἔκ τινος, ὡς πατρὸς γεννηθέν. γενητὸν δὲ, τὸ ἔκ τινος, ὡς δημιουργοῦ σοιηθέν.

Γενικαὶ ἀρεταὶ, τέσσαρες, φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη. καὶ ζήτει τὰς ἀντικειμένας αὐτῶν, ἐν τῷ ὑπερήφανος.

• Γενικὴ, ἀντὶ αἰτιατικῆς, ἐν τῷ ἧσε βίῃ ἀέκοντος ἀπηύρατο ζεῦγνα μέλαιναν, Ὀδυσ. δ. ἀντὶ τοῦ ἄκοντα. καὶ ἐλλειπτικὴ τῆς διὰ προθέσεως, ἐν τῷ φύρσω αἵματος. Ὀδυσ. σ. καὶ ἐλλειπῶς ἔχουσα αἰτιολογικοῦ συνδέσμου, καὶ τῆς ὑπὲρ προθέσεως, ἐν τῷ χωόμενον εὐζώνοιο γυναικὸς, Ἰλιάδος, α. καὶ ἐλλιπὴς τῆς κατὰ προθέσεως, ἐν τῷ ἀκόντισεν Ἰδομενῆος. Ἰλιά. ν. καὶ ὅτι τοῦ μέρους ἐστὶ δηλωτικὴ, ἐν τῷ πιεῖν οἴνου, καὶ τοῖς ὁμοίοις.

Γενικὴν, εἰς ους λήγουσαν δίχα τοῦ σ ἐκφέρουσι Δωριεῖς. οἷον Διομήδους διομήδου, Σωκράτους Σωκράτου, Σοφοκλέους Σοφοκλέου.

Γενικὴν ἀντὶ αἰτιατικῆς λαμβάνουσιν οἱ Ἀττικοί. ὡς Ἀριστοφάνης, Ἕως συνέτριβη τῆς κεφαλῆς, ἀντὶ τοῦ τὴν κεφαλήν. ἐστι παλαιὰ παρατήρησις τοιαύτη τῆς γενικῆς. τὰ ας καὶ εἰς ης ὀνόματα ἰσοσυλλάβως κλινόμενα, κοινῶς μὲν καὶ Ἀττικῶς εἰς ου ἔχει τὴν γενικήν. οἷον Αἰνείας αἰνείου, Πηλείδης πηλείδου, Ἀτρείδης ἀτρείδου. Δωρικῶς δὲ εἰς α μακρὸν περαίνει τὴν γενικήν, οἷον τοῦ Αἰνεία, τοῦ Πηλείδα, τοῦ Ἀτρείδα. Ἰωνικῶς δὲ, διὰ τοῦ εω. οἷον Αἰνείεω, Πηλείδεω, Ἀτρείδεω. Βοιωτικῶς καὶ Αἰολικῶς δὲ, διὰ τοῦ αο, οἷον Αἰνείαο, Πηλείδαο, Ἀτρείδαο. Ἰστέον, ὅτι αἱ οὕτω χασμώμεναι γενικαὶ, ἐν διαλύσει οὐδέποτε τὴν παραλήγουσαν ἰσόχρονον ἔχουσι τῇ ληγούσῃ. ἐὰν μὲν ἡ λήγουσα μακρὰ ἦ, βραχεῖά ἐστιν ἡ παραλήγουσα, ὡς ἐπὶ τοῦ Αἰνείεω, Πηλείδεω, Ἑρμείεω. ἐὰν δὲ τὸ λῆγον βραχύνεται, μακρὸν ἔσται τὸ παραλῆγον. ὡς ἐν τῷ Αἰνείαο, Ἑρμείαο, Πηλείδαο. οὕτω καὶ Πριάμοιο, Δένδροιο, καὶ τὰ τοιαῦτα, Θετταλικὰ ὄντα κατά τινας, ἀνομοιόχρονον ἔχουσι τῇ παραληγούσῃ τὴν λήγουσαν. διὸ καὶ τὸ ἐμέο καὶ σέο, καὶ ἕο, ἀναλογώτερον ἔχει, προσλαβόντα τὸ ι ἐν τῇ παραληγούσῃ, καὶ γενόμενα ἐμεῖο, σεῖο, εἷο, καὶ ἀνόμοιον ποιήσαντα τῇ ληγούσῃ τὴν παραλήγουσαν. Πολλαὶ τῶν εἰς ος ληγουσῶν γενικῶν ἀναδρομὴν πάσχουσιν εἰς εὐθεῖαν, οἷον Τρὼς, τρωὸς, ὁ τρωὸς, ἤγουν τρωϊκός. ἐξ οὗ καὶ τρωαὶ ἵπποι, αἱ τρωϊκαί. δμὼς δμωὸς, ὁ δμωὸς, δοῦλος. ἀφ' οὗ καὶ δμωαὶ, αἱ δουλίδες. ὁ φύλαξ φύλακος, ὁ φύλακος. ἑκατόγχειρ ἑκατόγχειρος, ὁ ἑκατόγχειρος. οὕτω καὶ ἡ μάρτυρος γενικὴ ἀναδραμοῦσα εἰς εὐθεῖαν, ὁ μάρτυρος. Ἡρωδιανὸς δὲ εἰπὼν, ὅτι καὶ μάρτυροι καὶ μάρτυρες ἑκατέρως, ἐπάγει, ὅτι πέτρεπται καὶ καὶ μάρτυρες, ἀπὸ τῆς μάρτυς εὐθείας, ἣν ἡ Ἠλείων διάλεκτος διὰ τοῦ ρ προφέρει. ἐκεῖνοι γάρ φησι, τὸ σ εἰς ρ μεταβάλλουσι, τὸ οὗτος, οὗτορ λέγοντες, καὶ τὸ ἵππος, ἵππορ. εἰς ὃ ζητητέον καὶ χρῆσιν ἐν τοῖς Ἰαμβλίχου εἰς τὰ κατὰ Πυθαγόραν. οὕτως οὖν φησι, καὶ μάρτυρ, ἀφ' ἧς ἐκπίπτει πληθυντικὸν, οἱ μάρτυρες παρά τε τοῖς κωμικοῖς, καὶ Ἱππώνακτι. οἱ δέ γε μάρτυροι, ἀπὸ τοῦ ὁ μάρτυρος εὐθείας.

Γενικὸν, τὸ ἐν αὐτῷ τὸ γένος περιέχον.

Γενικῶς, γενναίως, ἰσχυρῶς.

Γένυς, καὶ γένυος, ὁ τόπος τῶν σιαγόνων. γένειον δὲ, ὁ τόπος ἔνθα αἱ τρίχες. γενειὰς δὲ, αἱ τρίχες.

Γεννᾷ ὁ ἀνὴρ παῖδα. καὶ γεννᾷ ὁ Πλάτων τὸν οὐρανὸν, ἀντὶ τοῦ γεννᾶσθαι λέγει. τεκεῖν ἐπὶ γυναικὸς, ἐνίοτε δὲ καὶ ἐπὶ ἀνδρὸς λέγομεν.

Γέννα μὲν, καὶ γενναῖος, καὶ ἀγεννὴς, καὶ γεννάω γεννῶ, διὰ δύο νν. γένος δὲ, δι' ἑνὸς ν. Ἴσθι δὲ, ὅτι τὸ γεγεννῆσθαι, ἐπὶ μόνων ἐμψύχων λέγεται. τὸ δὲ γεγονέναι, καὶ ἐπὶ ἀψύχων. γεγένημαί σοι φίλος. καὶ περιεγένετό μοι τόδε, ἤγουν ἄδεια ἐγένετό μοι.

Γεννάδας, γενναῖος, ἀνδρεῖος, εὐγενὴς, συγγενὴς, μέγας.

Γενναῖον παρ' Ὁμήρῳ, ὡς τὸ, Οὐ μὴν γενναῖον ἀλυσκάζοντι, ἤγουν κατὰ τοὺς παλαιοὺς τὸ συγγενὲς, καὶ ἔμφυτον. καὶ κατὰ Πίνδαρον εἰπεῖν, ἐμφυές. ἔστι δὲ τὸ μὲν γενναῖον, ἀσυνήθες ἐπὶ ἰσχυροῦ κεῖσθαι, ὡς οἱ νῦν βούλονται. οἱ δὲ παλαιοί, ἐπὶ τοῦ ἐκ γένους, ἢ μᾶλλον ἀπὸ γέννης. ἵνα λέγῃ, ὅτι οὐ προγονικόν μοι τὸ δειλαίνεσθαι.

Γενναῖος, ὁ εὖ γεγονώς. καὶ γενναῖος εἶ ἐκ βαλαντίου, ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων. ὅτι χρημάτων κρείττων, γενναῖος ἀνήρ.

* Γενναιέστατος, ἀντὶ τοῦ γενναιότατος.

Γενναιότατος, Ὤμοι τάλαινα ὡς κακῶς διάκεισαι, γενναιότατος περὶ ἐμὲ γενόμενος, καὶ θανάτου με ῥυσάμενος.

Γέννας, ὁ μητρὸς ἀδελφός.

Γέννατο, τὸ ἐγέννησεν. ἢ ἀπὸ τοῦ γείνω, ἐγείνατο, καὶ τροπῇ Αἰολικῇ τοῦ ι εἰς ν, γένατο, ἀφαιρέσει Ἰωνικῇ τοῦ ε. οἱ γὰρ Αἰολεῖς, τὸ φθείρω φθέρρω, καὶ σπείρω σπέρρω φασίν. ἢ ἀπὸ τοῦ ἐγενήσαντο κατὰ συγκοπὴν, καὶ ἀφαιρέσει, γέννατο.

Γέννημα, παιδίον.

Γεννήματα, πολλαχοῦ ἀκούω τὴν λέξιν τιθεμένην ἐπὶ τῶν καρπῶν, ἐγὼ δὲ οὐκ οἶδα ἀρχαίαν καὶ δόκιμον οὖσαν. χρὴ οὖν ἀντὶ τοῦ γεννήματα, καρποὺς λέγειν ξηροὺς, καὶ ὑγρούς.

Γεννησιουργὸς, δημιουργός.

Γέννησις, ἡ ἐκ καταδίκης τοῦ θανάτου διὰ τὴν παράβασιν ἐξ ἀλλήλων διαδοχή. ἥ ἐστι καὶ παθητικὴ καὶ ἁμαρτητική. ὁ οὖν Κύριος τὸ παθητὸν τῆς γεννήσεως εἰληφὼς, τὸ ἁμαρτητικὸν οὐ προσείληφε. καὶ γέννησις, προσθήκη ὑποστάσεως ἐναρίθμιου.

Γεννηταὶ, οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες. διῃρημένων γὰρ ἁπάντων τῶν πολιτῶν κατὰ μέρη, τὰ μὲν πρῶτα καὶ μέγιστα μέρη ἐκαλοῦντο φυλαί. ἑκάστη δὲ φυλὴ, τριχῇ διῄρητο. καὶ ἐκαλεῖτο ἕκαστον μέρος τούτων, τριττὺς, καὶ φατρία. πάλιν δὲ τῶν φατριῶν, ἑκάστη διῄρητο εἰς γένη, λ'. ἐξ ὧν αἱ ἱερωσύναι, αἱ ἑκάστοις προσήκουσαι ἐκληροῦντο. ἔστι δὲ παρὰ πολλοῖς τῶν ῥητόρων τοὔνομα.

Γεννητὸς, γνήσιος υἱός.

Γεννητὸν, τὸ ἔκ τινος ὡς ἐκ πατρὸς γεννηθέν.

Γεννικῶς, ἰσχυρῶς, γενναίως.

Γεννισαρὲτ, πατρὶς ἀρχόντων.

Γεννοὶ, οἱ Γυμνοσοφισταί.

Γεννὸν, ἀρχαῖον, κοῖλον.

Γέννου, Κύπριοι ἀντὶ τοῦ λάβε, καὶ κάθιζε.

Γεννούστης, οἷον γεννήτης, ἢ συγγενὴς, ἢ ἔκγονος, τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον.

Γεννῶ, τὸ τίκτω, παρὰ τὴν γῆν τὴν πάντων μητέρα. ἔστι γὰρ γέα, ἐξ οὗ ῥῆμα γέω, καὶ πλεονασμῷ τοῦ ν γενῶ. ἢ παρὰ τὸ γείνω γεννῶ. ἐπὶ μὲν τῆς γενήσεως διὰ δύο νν. ἐπὶ δὲ τῆς ποιήσεως, καὶ κτίσεως, δι' ἑνός. ἐξ οὗ καὶ γενητὸς, ὁ κτιστός. τὰ δὲ ἀπὸ τοῦ γινῶ γινόμενα ὀνόματα, δι' ἑνὸς ν ἐκφέρονται. οἷον γένεσις, γενέθλιον, γενοίατο, γένοιντο. καὶ γενόμενος ἐξ ὀφθαλμῶν, αὐτὸς εἶχε τὰ ἐπίχειρα τῆς ἀγνοίας. γεννώμενος δὲ διὰ δύο νν, ὁ τικτόμενος.

Γένος, τὸ καθ' ἑαυτὸ θεωρούμενον πρᾶγμα. ἢ γένος ἐστὶ, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ τί ἐστι κατηγορούμενον. σημαίνει δὲ καὶ τὴν πατρίδα. ὡς ὅταν λέγωμεν, τὸν Πέτρον Γαλιλαῖον τὸ γένος. σημαίνει δὲ καὶ τὴν ἀρχὴν τῆς τινῶν γενέσεως. ὡς ὅταν τοὺς ἐξ Ἰσραὴλ, Ἰσραηλίτας τὸ γένος. καὶ γένος ἐστὶ πτωτικῆς λέξεως χαρακτὴρ, σημαίνων τὸ ἐν φωνῇ ἄρσεν. ἢ θῆλυ, ἢ οὐδέτερόν τι διακρίνων. γένος δὲ εἴρηται, παρὰ τὸ γείνω τὸ γεννῶ. γένος ἐκ τοῦ γένω τὸ τίκτω, ὡς θένω θένος, νείφω νίφος. καὶ γένος, ἐπὶ ἔθνους τάσσεται, καὶ ἐπὶ πόλεως, καὶ ἐπὶ συστήματος, καὶ ἐπὶ τέκνου, καὶ ἐπὶ σπέρματος.

Γενούστης, ἐπὶ τῆς θεοῦ ἐννοίας, ὁ γεννητικός.

Γένται, τὰ μέλη. γένται βοὸς μέλδοντες. Καλλίμαχος.

Γεντελισταὶ, οἱ ἐργάζοντες καὶ παίζοντες.

Γέντερ, ἡ κοιλία.

Γεντιανὴ, ῥίζα τὶς οὕτω καλουμένη, χωροῦσα εἰς τὰς ἀντιδότους.

Γέντινοι, οἰκεῖοι.

Γέντινος, ὕπνος.

Γέντο, Δωρική ἐστιν ἡ λέξις. γίνεται δὲ ἀπὸ τοῦ ἕλετο, κατὰ συγκοπὴν ἕλτο. ὡς ἥλατο, ἆλτο. καὶ τροπῇ Δωρικῇ τοῦ λ εἰς ν ἔντο. καθὰ καὶ τὸ Φίλτατος κύριον, Φίντας παρὰ Πινδάρῳ κεῖται. καὶ τὸ φίλτατος δὲ, φίντατος εἴρηται Δωρικῶς. προσθήκῃ τοῦ γ, γέγονε γέντο. ἀπόθετον εἰς μόνην ποίησιν. οὐδὲν ἧττον τοῦ γένται, ὃ δηλοῖ Θραξὶ τὰ κρέα, ὡς οἱ τῶν γλωσσῶν ἱστορηταί φασι. γέντο, σημαίνει τὸ ἔλαβεν.

Γένυς, ἡ σιαγών. οἱονεὶ κένυς τίς ἐστιν, ὅτι κενόν ἐστι τὸ κατ' αὐτὴν μέρος ὀστέων. ἔστι δὲ γένυς καὶ εἶδος πελέκεως.

Γενύεσσι, ταῖς σιαγόσιν, ἢ γνάθοις, ἢ μητέρες.

Γένυξ, πέλεκυς.

Γενύων, τῶν παρειῶν.

Γενῶ, τὸ πράττω, ὁ μέλλων γενήσω.

Γεοῦχος, ὁ τὴν γῆν ἔχων, γεοῦχος Ποσειδῶν.

Γέρα, τιμαὶ, ἀμοιβαὶ, ἀνταποδόσεις.

Γέραδος, αἰγιαλός.

Γεραιαὶ, αἱ τῷ Διονύσῳ ἱερωμέναι γυναῖκες. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Γεραιὸς, ἢ φύσει ἔχει τὸ ι, ὡς ἀπὸ τοῦ γέρας. γεραροὶ γὰρ καὶ τίμιοι οἱ γέροντες, ἢ ἀπὸ τοῦ γηραιὸς συνέσταλται. ὥσπου καὶ ὁ μὴν σύνδεσμος μὲν λέγεται κατὰ συστολήν. καὶ τὸ ξηρὸν, ξερὸν, ἐν Ὀδυσσείᾳ. τὸ μέντοι μὴν καὶ διὰ τοῦ α λέγεται μάν. καὶ ὁ ἔντιμος, καὶ ὁ ῥυτίδων ἀνάπλεως. ἢ γεραιὸς, ὁ πρεσβύτης. ἀπὸ τοῦ γέρας γεραὸς, καὶ γεραιός.

Γεραίρειν, τιμᾶν, ὑμνεῖν, δοξάζειν.

Γεραίροντες, τιμῶντες, εὐφημοῦντες.

Γεραιστιάδες, οὕτω νύμφαι καλούμεναι, ἐν Γορτύνῃ τῆς Κρήτης.

Γεραίστιον, χωρίον τῆς Ἀρκαδίας.

Γεραιστὸς, ἀκρωτήριον τῆς Εὐβοίας. τῇ μὲν, Κρημνίτην ἔχον, τῇ δὲ, Λέχαιον. ἱερὰ δέ εἰσι τοῦ Ποσειδῶνος, ἔνθα ὁ Εὔριπος.

Γεραίτερος, οὐ παρὰ τὸ γέρων ἐσχημάτισται, ἀλλὰ παρὰ τὸ γεραιὸς, γίνεται γεραιότερος, ὡς παλαιότερος, καὶ κατὰ συγκοπὴν, γεραίτερος, καὶ γεραίτατος.

Γεραλέον, γέροντα, ἢ ἀσθενῆ.

Γεράνδρυον, τὸ παλαιὸν ξύλον. καὶ γεράδρυον, παλαιὸν φυτὸν, καὶ γεγηρακὸς, ἢ τὸ ἐν τῇ ῥίζῃ συμφυὲς, ἐξηραμένον. εἴρηται παρὰ τὴν δρῦν. δοκεῖ γὰρ πρῶτον φυτὸν γενέσθαι δρῦς. ὅθεν δρυμοὺς ἐκάλουν τοὺς δασεῖς τόπους, ἐφ' οἱωνδήποτε ὄντας φυτῶν. καὶ δρυφάκτους, τοὺς ἀπὸ ξύλων περιωρισμένους, καὶ πᾶν φυτευόμενον ἐπὶ τοῦ ἀδυνάτου.

Γεραίνεια, ὅροι Μεγαρέων.

* Καὶ γεράντεια κατά τινας τὰ λεγόμενα ὕδνα.

Γερανεῖδαι, οἱ τὴν Φωκικὴν οἰκοῦντες.

Γεράνιος, βοτάνης εἶδος.

Γέρανοι, λίθους καταπεπωκυῖαι, ἐπὶ τῶν προνοητικῶς τι ποιούντων. αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει πέτεσθαι, καὶ τῇ εἰς εὐθὺ ὁρμῇ, τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι, λίθους βαστάζουσιν, ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτοιεν, καὶ αἴσθοιντο, πότερον ἐπὶ γῆς ἢ θαλάττης φέρονται. καὶ εἰ μὲν ἐπὶ θαλάττης ἦκει ὁ λίθος, ἀνύουσι τὴν ὁδόν. εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται, τοῦτό φησιν Ἀριστοφάνης, γέρανοι λίθους καταπεπωκυῖαι.

Γέρανος, τὸ ζῶον, ἐτυμολογεῖται ἀπὸ τοῦ τὴν γῆν ἐρευνᾶν. κύκνος δὲ ἀπὸ τοῦ κυκᾶν καὶ ταράσσειν

Digitized by Google

τὴν ἰλὺν, οἱονεὶ γήρανός τις οὖσα. ἀπὸ τοῦ τὰ τῆς γῆς ἐρανᾶν σπέρματα, ἥτις καὶ σπερμολόγος καλεῖται. ὅσα γὰρ ὁ γεωργὸς σπείρει καὶ οὐ χωννύει αὐτὰ, ἐκείνη συλλέγουσα ἐσθίει. ἔστι δὲ καὶ ὑδατηρὸς ὁ γέρανος. ἔστι καὶ ποιά τις ὄρχησις, καὶ ὄργανον ξυλικὸν, ἐν ᾧ κόπτουσιν οἱ ἀλφιτοποιοὶ τὰ ἄλφιτα. ὅθεν καὶ γεράνια, τὰ ἄλφιτα καλοῦσι. γέρανος καὶ ὁ ἐν τῇ σκηνῇ ἅρπαξ κατεσκευασμένος ὑπὸ τοῦ μηχανοποιοῦ. ἐξ οὗ ὁ ἐσκευασμένος ὑποκρίνεται τὰς τραγῳδίας. καὶ γέρανος ὑπὸ Κυρηναίων ὁ ὄμβρος, παρὰ τὸ τὴν γῆν ῥαίνειν.

Γεράνους θηλυκῶς, ἀεί ποτε γράφει, καὶ οὐχὶ τοὺς γεράνους, Ἀττικίζειν βουλόμενος. οὕτω καὶ τὰς ἵππους.

Γερανουλκὸς, ὁ τοῦ χοροῦ τοῦ ἐν Δήλῳ ἐξάρχων.

Γέραντας, Αἰθίοπας.

Γεραρὸς, ὁ ἔντιμος καὶ καλός. καὶ γεραρὸς, ὁ ἐκ μόνης θέας τὸ τίμιον ἔχων. τὸ δὲ καλὸς, ταυτὸν τῷ ἀειδής.

Γέρας. Ἰστέον ὅτι λείας ἐπισυναχθείσης πολλῆς, ἐμερίζοντο ἐπίσης τὰ λάφυρα διά τινος λαχμοῦ. ἐδίδοντο δὲ ἰδίᾳ τοῖς βασιλεῦσι, καὶ ἀριστεῦσι κατ᾽ ἐξαίρετον ἀπόμοιραί τινες, αἳ δὴ γέρας ἐλέγοντο. καὶ γέρας, ἀμοιβαὶ, τιμαὶ, ἀνταποδόσεις, θέαμα, δωρεά.

Γεράσμιον, τίμιον.

Γερασφόρος, ὁ τὰς τιμὰς φέρων.

Γέργανα, ἐργαλεῖα.

Γεργέλοψ, ζῶον.

Γέργεννα, πολλά.

Γεργέρινος, ὁ διάβολος.

Γεργέριμος, ἡ ἐν τῷ δένδρῳ πεπανθεῖσα ἐλαία.

Γέργερος, βρόγχος.

Γέργιθος, πόλις.

Γέργυπες, νεκροί.

Γεργύρα, ὁ ὑπονόμος δι᾽ οὗ τὰ ὕδατα φέρεται τὰ ὄμβρια, γεώρυγά τινα ὄντα, τὰ ὑπὸ τὴν γῆν ὀρύγματα. καὶ γέργυρα, αὐλὴ, δεσμωτήριον.

Γερδία, ἡ ὑφάντρια. εἴρηται παρὰ τὸ ἐπὶ τῆς γῆς ἔχειν ἕδος, ὅ ἐστι καθέζεσθαι. καὶ φέρδιος, ὁ ὑφάντωρ.

Γεραιὰ, ἡ γραῦς. καὶ γεραιαὶ, αἱ τῷ Διονύσῳ ἱερωμέναι γυναῖκες.

Γέρην, ἔντιμος. οἱ δὲ, γεραυός.

Γερήνιος Νέστωρ, ἢ ὁ ἔντιμος παρὰ τὸ γέρας, ἢ ὅτι ὁπηνίκα ἡ Πύλος ἀφ᾽ Ἡρακλέους ἑάλω, αὐτὸς ἐν Γερηνίοις ἔτυχε τρέφεσθαι, ἢ ἦχθη φυγάς. καὶ Γερήνιος, τόπος περὶ τὴν Πελοπόννησον. ἥτις πόλις Μεσσηνιακὴ, ἡ λεγομένη καὶ Γερηνία. λέγεται δὲ ἡ πόλις αὕτη καὶ ἑνικῶς Γέρηνον, ὡς Ἡσίοδος. Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ. ὁ δὲ γεωγράφος λέγει, καὶ ὅτι δεικνύουσι παρ᾽ αὐτοῖς οἱ τῆς κοίλης Ἤλιδος Γερήνιον τόπον, καὶ γέροντα ποταμὸν, καὶ ἄλλον Γερήνιον.

Γέρηρα, ἐτίμησα.

Γερηστρεία, ἀπώλεια.

Γερθιδάρες, αἱ τῶν ἀρίστων ἀνδρῶν γυναῖκες.

Γερθυρεὸν, ἱλαρόν.

Γέρινθοι, ἐρέβινθοι.

Γερμανικοὶ, ἔθνος.

Γεροάκται, οἱ δήμαρχοι, παρὰ Λάκωσι.

Γεροίταν, πάππον, Κρῆτες.

Γεροντίας, πάππος.

* Γέρον, προσφώνησις ποτὲ μὲν ἐπὶ τιμῇ λέγεται, ποτὲ δὲ ἐπὶ ἀτιμίᾳ, ποτὲ δὲ ἐπὶ οἴκτῳ. καὶ γέρον προσηγορικῶς, ξύλον τι στυλίδι παραπλήσιον, ἔχον κεφαλὴν γεροντοειδῆ πλαστὴν, καὶ χεῖρας, ἐξ ὧν ἐκρέματο τὰ νηθόμενα.

* Γεροντικῆς ἡλικίας σκωπτικαὶ προσηγορίαι, κρόνος, ἰαπετὸς, τιθωνὸς, σαπρὸς, βεκκεσέληνος, προσέληνος, τυμβογέρων, παρεξηυλησμένος, σορόπληκτος, σοροπλὴξ, καὶ σορέλλη.

* Γερόντοις, ἀντὶ τοῦ γέρουσι, κατὰ γλῶσσαν Αἰτωλῶν λέγεται.

Γερούσιον ὅρκον λέγει Ὅμηρος, τὸν τοῖς γέρουσι πρέποντα.

Γερούσιος ὁ ἔντιμος, παρὰ τὸ γέρων, γερούσιος. ὡς ἑκὼν ἑκούσιος, καὶ ἐθέλων ἐθελούσιος. καὶ γερούσιος οἶνος, ἤγουν ὁ ἔντιμος, ὁ τοῖς ἐντίμοις διδόμενος ἐν συμποσίῳ κοινῷ. αἴθωψ δὲ, ὁ μέλας, ἢ θερμός.

Γέῤῥα, τὰ σκεπάσματα πάντα, ἢ τὰ δερμάτια σκεπάσματα. γέῤῥα λέγονται καὶ αἱ σκηναὶ, ἐν αἷς τὰ ὤνια ἐπιπράσκετο. δέῤῥα ἐστὶ, τροπῇ τοῦ δ, εἰς γ, γέῤῥα, τὰ γυναικεῖα καὶ ἀνδρεῖα αἰδοῖα. καὶ γέῤῥα, τὰ κοντάρια. Θεοδώρου τοῦ Προδρόμου. πάλιν ἐπὶ τῶν γεῤῥοφόρων. κυρίως δὲ γέῤῥα, Περσικὰ ὅπλα. καταχρηστικῶς δὲ, καὶ ἅπαν σκέπασμα. καὶ γέῤῥα, τὰ ἀπὸ καλάμων ἢ παπύρων ἐργαστήρια.

Γεῤῥάδια, στρωματίδια.

Γέῤῥον, ὅπλον. Ξενοφῶν, γέῤῥον ἐς τὴν ἀριστεράν. κοπὶς, ἢ σάγαρις εἰς τὴν δεξιάν. καὶ αὖθις, οἱ δὲ, γέῤῥα ἔλαβον δασέων βοῶν ὠμοβόινα, ἀμφὶ τὰ εἴκοσι.

Γεῤῥῶ, ἀπόλωλα.

Γέρσυμον, ἄκρον ἁλιευτικοῦ καλάμου.

Γέρυς, γέρων.

Γερῶα, γερόντια. ἢ γὰρ σύστημα γερόντων.

Γέρων, πρόγηρος, γηραιὸς, ἐσχατόγηρος. ὡς Θουκυδίδης, βαθύγηρως. καὶ τὸ συνέδριον αὐτῶν, γερουσία. καὶ γεροντικὰ λουτρὰ παρὰ Πλάτωνι. γεροντεῖα παλαίστρα, καὶ γερόντια παλαίστραι.

Γέρων, τρία σημαίνει, ὁ προβεβηκὼς τὴν ἡλικίαν. ὡς τὸ, Παῖδας πρωθήβους, πολιοκροτάφους τε γέροντας. καὶ ὁ ἔντιμος, ὡς τὸ, Δαίνυ δαῖτα γέρουσι. καὶ ὁ παλαιός. ὡς τὸ, Εἵλετο δὲ σάκος αὐτοῦ γέροντος. γέρων δὲ εἴρηται, παρὰ τὸ εἰς γῆν ὁρᾶν, οἱ δὲ, παρὰ τὸ εἰς γῆν ἔῤῥειν, διὰ τὸ ἐγγὺς εἶναι θανάτου, ἔρων, καὶ πλεονασμῷ τοῦ γ, γέρων. ἢ παρὰ τὸ εἴρω τὸ λέγω, εἴρων, καὶ γέρων. καὶ κλίνεται γέροντος. Τὰ εἰς ρων δισύλλαβα, διὰ τοῦ ω κλίνονται ὁπότε μὴ κοινὰ εἴη, Μάρων μάρωνος, κοινὰ δὲ διὰ τὸ σώφρων, σώφρονος. χείρονος. ἐξέφυγε τὴν κλίσιν τὸ γέρων γέροντος, ἀνεδέξατο γὰρ παρασχηματισμὸν διὰ τοῦ σ.

Γερώννιον, κοῖλον, κενόν.

Γέσμα, γεῦμα.

Γέστα, γογγυλίς.

Γεστία, ἔνδυσις, μέλη, ἱμάτια.

Γέστρα, στολή.

Γέστις, ἐλπίς.

Γέτορι, ἔτει.

Γετὸς, ἐνιαυτός.

Γευγωνὸν, τιάρα.

Γεύλοφα, ἢ γεώλοφα, ὄχθαι τινὲς, ὄρη γεώδη.

Γεῦμα, γεῦσις, ἔδεσμα.

Γευνῶν, γονάτων.

Γεύομαι, καὶ γεύω ἕτερον ἐνεργητικῶς. Γμερίος, Ἀττικῆς ὑμᾶς σύριγγος γεύσωμεν.

Γεύσεται δουρὸς, ἀντὶ τοῦ ἀποπειράσεται. ὁμοίως γευσόμεθα ἀλλήλων ἐγχείῃσι, παρ᾽ Ὁμήρῳ.

Γεῦσίς ἐστιν, αἴσθησις ἀντιληπτικὴ τῶν χυμῶν, καὶ χυλῶν. ἢ γεῦσις κυρίως, ἡ ἐπὶ τῶν ὑγρῶν προσφορὰ, δεῦσίς τις οὖσα, παρὰ τὸν δεύσω μέλλοντα. ὡς γνώσω, γνῶσις. οὕτω καὶ δεύσω, δεῦσις, καὶ γεῦσις.

Γευστὴ, γλῶττα.

Γευστήριον, γαῦλον.

Γευσώμεθα ἀλλήλων, πεῖραν λάβωμεν.

Γεύωσε γνώσεως, ἀπὸ αἰτιατικῆς εἰς γενικὴν μεταπίπτον. τὸ μὲν πρόσωπον, αἰτιατικῇ. τὸ δὲ πρᾶγμα γενικῇ. καθὸ λέγεται τὸ, πληρῶ τὸν ἀσκὸν οἴνου. γεύομαι δὲ ἐγὼ πλούτου. ὁμοίως, καὶ τὸ πληροῦμαι.

Γέφυρα, πᾶσα ἡ ἐφ᾽ ὑγροῦ διαβάσεως λέγεται. καὶ γέφυρα, ἡ κατὰ ποταμὸν οἰκοδομὴ, δι᾽ ἧς οἱ ὁδοιπόροι πορεύονται. εἴρηται ἡ ἐφ᾽ ὑγροῦ γῆ, οἱονεὶ γέφυγρά τις οὖσα. ἢ ἡ τῇ γῇ φυραθεῖσα, γηφυρά τις οὖσα, καὶ ἐφ᾽ ὑγρῷ τόπῳ κειμένη. ἢ παρὰ τὸ ἀπὸ γῆς εἰς γῆν μεταφέρειν.

Γέφυραι ἐεργμέναι, ἤγουν κατησφαλισμέναι. ἰσχανόωσιν, ἤτοι ἐπέχουσι, κωλύουσιν. οὐ πάλιν ἑρμηνευτικὸν τὸ, Οὔτ᾽ ἄρα ἕρκεα ἴσχει ἀλωάων. ταυτὸν γὰρ τὸ ἴσχει καὶ ἰσχανόωσιν τῶν δύο στίχων, ὅπως διὰ ἐκείνης καὶ προελθεῖν δύνωνται βουλόμενοι, καὶ ὑποστρέψαι πάλιν. ταύτας δὲ τὰς μεταξὺ ὁδοὺς γεφύρας ὁ ποιητὴς καλεῖ.

Γεφυρίζων, χλευάζων, ἐξευτελίζων. γράφεται. καὶ γεφυρῶν.

Γεφυρεὺς, ξένος καὶ ἐπίσακτος. οἱ γὰρ Γεφυραῖοι, ξένοι καὶ ἐπήλυδες ὄντες, Ἀθήνησιν ᾤκησαν, ὥς φησιν Ἡρόδοτος. καὶ Γεφυρὶς, πόρνη τις ἐπὶ Γεφύρας, ὡς Ἡρακλέων. ἄλλοι δὲ οὐ γυναῖκα, ἀλλὰ ἄνδρα.

Γεφυρισταὶ, οἱ σκῶπται.

Γεφύρωσε, διαβατὴν ἐποίησε τὴν ὁδόν.

Γεωγραφία, περιήγησις.

Γεώδης, πηλώδης.

Γεώλοφον Αἰλίου Διονυσίου εἰπόντος, οἱ παλαιοὶ καλοῦσι τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον, οἷα τῆς γῆς χρησίμης φαινομένης, εἰς τὸ τοιαῦτα σκώπτεσθαι τοὺς μεγαλοσωμάτους, οἳ καὶ πολλοὶ τὸ ἐνεργὸν ἄλλως ἔχουσι. ζήτει εἰς τὸ βουγάϊον.

Γεώλοφος, ὁ ἐν τῷ ὁμαλῷ πεδίῳ ὑπερανεστηκὼς ὄχθος, ὃς καὶ κολωνὸς καλεῖται. Πῶς τῆς γαίας διφθογγογραφουμένης ψιλογραφεῖται τὸ γεώλοφος, ὡς τὸ ἀνώγεον καὶ κατώγεον; ὅτι παρὰ τοῖς παλαιοῖς γαῖα ἐψιλογραφεῖτο, ὡς καὶ τὰ παρ᾽ αὐτοῖς συγκείμενα, νῦν δὲ οἱ νέοι διφθογγογραφοῦσι.

* Γεώλοφοι, σκῶμμα κατὰ παχέως καὶ ἀναισθήτου ἀνθρώπου.

Γεωμετρία ἐστὶ τέχνη συμμετρίας τε, καὶ ἀσυμμετρίας, μεγεθῶν τε, καὶ σχημάτων. ἢ τέχνη ἐπιπέδων μετρική.

Γεωμέτρης, ὁ τὴν γῆν μετρῶν. γῶ τὸ τίκτω, ἐξ οὗ γίνεται γέα διὰ τοῦ ε ψιλοῦ, οἱονεὶ ἡ γεννητική. ἐκ τούτου γεώλοφος, γεωμέτρης.

Γεωμόριον, τὸ γεώργιον, καὶ γημόριον.

Γεωμόρος, ὁ περὶ τὴν γῆν κοπιῶν.

Γεὼν, ὄνομα ποταμοῦ.

Γεῶνα, ὗς θήλεια. Λάκωνες.

Γεωνόμαι, οἱ ἐν ταῖς ἀγροικίαις διατριβόμενοι Γελοῦχοι, καὶ νέμοντες τὴν γῆν.

Γεωπεῖναι, οἱ μικρὰν καὶ λυπρὰν καὶ ὀλίγην ἔχοντες γῆν, οἱονεὶ οἱ πεινῶντες τὴν γῆν.

Γεωπείνης, ὁ περὶ γῆν πονούμενος.

Γεωπόνος, ὁ γεωργός.

Γεωργικὰ ὀνόματα, γῆ, γεωργία, γεώργιον, ἀγροικία, ἀγροὶ, ἐσχατιαὶ, ἄλσοι, δρυμοὶ, δρυμῶνες, ὗλαι, ἕλη, νάπαι, ἴδαι, γεωργοί. γῆς ἐργάται, ἢ ἐργαστῆρες. ὡς Ξενοφῶν, οὓς Ὅμηρος ἐρίθους καλεῖ. εἶτα φυτουργοὶ, νεοποιοὶ, νεοῦντες, ἢ νεάζοντες, ἢ νεοποιοῦντες, ὀχετηγοί. οἱ δὲ ἀμῶντες, ποιητικώτερον. θερισταὶ, τρυγηταὶ, τρυγήτριαι, καλαμητρίδες, καὶ ἀμητρίδες, ἀμοργεῖς, ἐλαιοκόμοι, ἀμαλλοδετῆρες, ὀχετηγοὶ, σκαφεῖς, σκαπανεῖς, λικμηταὶ, ἀλσοκόμοι, ὀρχοκόμοι, κηπωροί. σπέρματα, φυτὰ, φυτευτήρια. μάλιστα δὲ ἐπὶ ἐλαιῶν οὕτως ὀνομάζεται. εἶτα, δράγματα, ἀμάλλαι, φυτεύματα, μοσχεύματα, κηπεύματα. καὶ νεοῦν, καὶ νεάζειν, καὶ νέον ὑπεργάζεσθαι. πολῆσαι, ὅ ἐστι ταυτὸν τῷ ἀρόσαι. ὅθεν καὶ ἡ δὶς ἀροθεῖσα, δίπολος. Ὅμηρος νειὸν τρίπολον. Ἡσίοδος, ἔαρι πολεῖν, ἀρόσαι, σπεῖραι.

Γεωργέω, τὸ γαῖαν ἐργάζομαι. γέα παρὰ τοῖς ποιηταῖς ἐν χρήσει. καὶ ἀπὸ τοῦ γῆ κοινῶς, ἀφ᾽ οὗ γαῖα πάλιν ποιητικῶς, διὰ διφθόγγου. καὶ Γεώργης, ὁ Ἡρακλῆς. καὶ γεωργοὶ, φυτουργοὶ, ἀμπελουργοὶ, κηπωροὶ, κηπεῖς, ἀλσοκόμοι, ἐλαιοκόμοι, βριασταὶ, συκωροί. γεωργικὴ φυτεία, φυτευτικὴ, φυτουργία, φυτουργικὴ, ἀμπελουργία, κηπωρία, ἀλσοκομία, ἀλσοκομικὴ, ἀλσοποιΐα, ἐλαιοκομία, ἐλαιοκομική. καὶ τὰ πράγματα, γεωργήματα, φυτεύματα, φυτουργήματα, ἀμπελουργήματα, κῆποι, κηπεύματα, παράδεισοι, ἄλση. καὶ γεωργικοὶ, κηπουργικοὶ, φυτουργικοὶ, ἀμπελουργικοὶ, ἀλσοκομικοί. καὶ τὰ ἐπιῤῥήματα, γεωργικῶς, ἀμπελουργικῶς, κηπουργικῶς, ἀλσοκομικῶς. καὶ ῥήματα, γεωργῆσαι, φυτουργῆσαι, ἀμπελουργῆσαι, καὶ ἀμπελουργεῖν, ἀμπελοστατεῖν, κηπωρεῖν, ἀλσοκομεῖν, ἐλαιοκομεῖν. καὶ βωλοκοπεῖν δὲ Ἀριστοφάνης εἴρηκε.

Γεωρ-

Digitized by Google

Γεωργὸς, κοινόν, γήτης δὲ ποιητικόν. γεωργὸς δέ ἐστι κοινὸν ὄνομα, καὶ διαιρεῖται, εἰς ἀμπελουργὸν, φυτοκόμον, κηπουρὸν, καὶ ὕπερα.

Γεῶρες, οἱ γεωφύλακες.

Γεωφάνιον, χωρίον, ἐν ᾧ μέταλλον. ἡ δὲ γῆ ἣν ξανθοτέρα πεποιημένη τοῖς ζωγράφοις εἰς τὰς γραφὰς, τάχα δὲ ἡ Μίλτος ἐστιν.

ΤΟ' Γ'. ΜΕΤΑ' ΤΟΥ' Η'.

Γῆ ἐστι, πῆξις ὕλης τῷ πόλῳ κυκλουμένης. ἢ σῶμα τὸ ξηρότατον καὶ βαρύτατον. ἐπεὶ δὲ ἕδρα πάσης πόλεώς ἐστιν ἡ γῆ, ὡς βαστάζουσα τὰς πόλεις, πλάττεται πυργοφόρος. λέγεται δὲ γῆ, ἀπὸ τοῦ γῶ τὸ χωρῶ, καὶ τίκτω. γία δὲ διὰ τοῦ ε ψιλοῦ, ὅθεν κατὰ κρᾶσιν τὸ γῆ. ἔτι δὲ καὶ γαῖα διὰ διφθόγγου, ὡς τὸ μῶ, μαῖα, δηλοῦσιν οἱ παλαιοί. παρ' οἷς καὶ ὅτι γαιζῆται παρὰ τὴν γαῖαν οἱ Γαλάται, οἱ τῆς οἰκείας ἐκπεσόντες, γαῖαν ἐζήτουν ἐφ' ἧς οἰκήσουσι. καὶ ὅτι ὁ ἐκ τῆς γαίας ἀπόγειος ἄνεμος. καὶ βοῦς γαῖος, ὁ ἐργατικός. καὶ ὅτι ἐκ τοῦ γία, ὃ γράφεται διὰ τοῦ ε ψιλοῦ, γέϊος. οὐ καὶ ἄλλως, γάϊος παρὰ Γελῴταις καὶ Ταραντίνοις, ὁ μίσθιος. ἔστι δ' ὅτε καὶ ὁ παχὺς καὶ ἀναίσθητος ἄνθρωπος. τὸ δὲ παρῆχθαι τὴν γαῖαν ἀπὸ τῆς γῆς, ἵνα ᾖ ὡς σελήνη σεληναία, οὐκ ἀρέσκει τοῖς παλαιοῖς. καὶ γῆ μὲν καλεῖται καθόλου, ἡ ἁπλῶς γῆ. χέρσος δὲ, ἡ ἀνήροτος, οὐκ ἠροτριασμένη. χοῦς, ἡ λεπτὴ κόνις. καὶ ἔτι ἰδίως λέγεται κόνις, τὸ λεπτότατον αὐτῆς.

* Γῆ, διὰ τὸ μονῆρες τι σημαίνειν οὐ κινεῖται εἰς πληθυντικὸν ἀριθμὸν ἡ λέξις. τὸ δὲ γαιάων παρ' Ὁμήρῳ, ἀντὶ τοῦ νήσων ἀκούεται.

Γηγγήλιξ, γήλιγρος, ὁ ἄγριος μῦς.

Γηγενεῖς, λέγει Ἀριστοφάνης ἐν ταῖς νεφέλαις, διὰ τὸ ὠχροὺς καὶ νεκρώδεις εἶναι. ἢ ἀσεβεῖς καὶ θεομάχους διὰ τοὺς γίγαντας.

Γηγενέται, γῆς αἱρεταί.

Γηγενέτης, ὁ γηγενής.

Γηγενὴς, ὁ ἐκ γῆς ἔχων τὴν γένεσιν. ἢ ὁ τὰ γήϊνα ἐργαζόμενος.

Γηγερίδαι, οἰκτροί.

Γήδιον, ὑποκοριστικῶς τὴν γῆν λέγει Ἀριστοφάνης. καὶ γήδιον, ἡ μικρὰ γῆ, ὡς τὸ, γήδιον ὑπεδέξατο αὐτοὺς ἄγροικος πένης, γήδιον λεπτὸν κακῶς γεωργῶν. τριῶν ὄντων τῶν πρωτοτύπων ἀπὸ τοῦ γῆ, καὶ τοῦ γαῖα, καὶ τοῦ γία, διὰ τοῦ ε ψιλοῦ, ἐκ ποίου τούτων γέγονε τὸ γήδιον; λέγει δὲ ὁ Δύδιμος, ὅτι γία διὰ τοῦ ε ψιλοῦ καὶ κλίνεται γίας, καὶ ἐκ τούτου γίνεται γείδιον, διὰ τῆς ει διφθόγγου, καὶ κατ' ἔκτασιν Ἀττικὴν τοῦ ε εἰς η, γήδιον, ὡς τὸ εἰκάζω, ᾔκαζον. καὶ γήδιον δίκαιον καλεῖ Μένανδρος, ὃ μηδὲν πλέον τοῦ σπέρματος ἐκφέρῃ. καὶ γῆ ζώντων ὁ προσδοκώμενος βίος, ὡς τοῦ θανάτου κεχωρισμένος, καὶ ἐλεύθερος λύπης.

Γῆ θάλατταν συναναμίγνυσιν, ἐπὶ τῶν σφόδρα ὀργιζομένων, ἡ παροιμία.

Γηθεῖ, θέμα τοῦ γηθήσειν. δῆλον δὲ ὅτι καὶ βαρυτόνως τὸ τοιοῦτον ῥῆμα προφέρεται, ὡς δηλοῖ καὶ τὸ γηθόμενος.

Γήθειν, χαίρειν.

Γηθῆσαι. χαίρω κοινόν, γηθῶ ποιητικόν. παρατατικὸς μὲν κοινὸς ἔχαιρον, ποιητικῶς δὲ, ἐγήθεον. μέλλων κοινῶς μὲν, χαιρήσω, ποιητικὸς δὲ γηθήσω. ἀόριστος ἐγήθησα, καὶ ἐχηράμην, καὶ ἀμφότεροι παρὰ ποιηταῖς ἐν χρήσει. καὶ ἔτι ἐχαρόμην, μέσος δεύτερος ἀόριστος, ἀφ' οὗ χαροίμην, χάροιντο χαροίατο, καὶ κατὰ ἀναδιπλασιασμὸν κεχαροίατο. ἐχάρην δὲ κοινὸν, ἀπὸ τοῦ ἐγήθησα. γηθήσαιμι εὐκτικὸν, τὸ τρίτον, γηθῆσαι.

Γήθησεν, ἐχάρη.

Γηθία, ἤθη.

Γηθοσύνη, ἡ χαρὰ, παρὰ τὸ γῆ γίνεται γηθῶ, καὶ γηθήσω, γηθόσυνος, γηθοσύνη. ἐπεὶ ἡ γῆ θάλλουσα τοῖς καρποῖς χαίρειν ἡμᾶς ποιεῖ.

Γηθοσύνως, μετὰ χαρᾶς.

Γηθυλλὶς, λάχανον πράσῳ ὅμοιον, ὅ τινες λέγουσιν ἀμπελόπρασον.

Γηΐνως, φθαρτῶς.

Γήϊνον, λεκτέον διὰ τοῦ η, καὶ μὴ διὰ τοῦ ε γέϊνον.

Γηΐτης, ὁ τὴν γῆν ἐργαζόμενος, γεωργός.

Γηλεχέες, χαμαικοῖται.

Γηλιᾶσθαι, κατέχεσθαι.

Γηλυμένους, συνειλημμένους.

Γήλοφος, ὁ ὑψηλὸς τόπος. γεώλοφος δὲ διὰ διφθόγγου.

Γῆμα, ἱμάτιον.

Γῆμαι, ἐπὶ τοῦ ἀνδρός. γήμασθαι δὲ, ἐπὶ τῆς γυναικός. καὶ γῆμαι, οὐ γαμῆσαι. Λιβάνιος, ἔδει μὲν τεθνάναι με, πρὶν γῆμαι. καὶ ἔγημεν ὁ ἀνὴρ, ἐγήματο δὲ, ἡ γυνή.

Γῆμεν, ἀντὶ τοῦ ἔγημεν, ἢ καὶ ἀντὶ τοῦ ἐχαύνωσε.

Γῆμ' ἐπῆρεν, ἀντὶ τοῦ γῆμαι ἀνέπεισε. κυρίως δὲ τὸ ἐπῆρεν, ἀντὶ τοῦ ἐχαύνωσε, καὶ ἀνεκούφισεν. Ἀριστοφάνης Νεφέλαις, ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.

Γῆν ἰλλοσμένην, συγκεκλιμμένην. ἰλλάδες γὰρ, οἱ δεσμοί.

Γήϊνα, ὅσα ἐκ τῆς γῆς ὠφέλιμα.

Γήϊεσθαι, κατέχεσθαι.

Γήοχος, ὁ τὴν γῆν συνέχων.

Γήπαιδες, οἱ λεγόμενοι Λογγίβαρδοι, οἱονεὶ Γετίπαιδες, οἱ Γετῶν παῖδες.

Γηπέδων, Δείναρχος ἐν τῷ περὶ Στεφάνου, γηπέδων ἔφορος καὶ χωρίων. Πλάτων γοῦν ἐν τῷ πέμπτῳ τῶν νόμων φησὶν, ὧν ἔλαχεν οἰκοπέδων, ἢ γηπέδων.

Γηπόνος, γεωργὸς, γεωμόρος.

Γήραϊ, τῷ γήρᾳ.

Γηραιὸς, ἀπὸ ἐτῶν τεσσαρακονταεπτὰ, ἕως ἐτῶν ἑξηκονταοκτώ.

Γηραλέα, ἡ γραῦς. καὶ γηραλαῖος ὁ γέρων. καὶ γηραλέον, οὐδετέρως.

Γηράλιον, δριμὺ, μέλαν.

Γηράμων, γραῖα.

Γηράντεσσι τοκεῦσι, δηλωτικόν ἐστι τοῦ καὶ ἐκ τοῦ γηρῶ γενέσθαι τὸ γήρημι. οὗ μετοχὴ γηράντος, καὶ γηράντεσσι. γηρὰς, γηράω, γηρῶ, γηράσω, ἐγήρασα, ὁ γηράσας, τοῦ γηράσαντος. καὶ κατὰ συγκοπὴν, γηράντες. ἀφ' οὗ γηράντε, εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν. καὶ γηράντεσσιν, δοτικὴ τῶν πληθυντικῶν.

Γήραος οὐδὸν, ἢ τὴν ὁδὸν λέγει. ἢ ὡς ἐπὶ οἴκου γήραος οὐδὸς, ἡ εἰς τὸ γῆρας εἴσελευσις.

Γῆρας, ὄφεως δέρμα.

Γηρὰς, κεῖται παρ' Ἡσιόδῳ ἐν τῷ, γηράντεσσι τοκεῦσι. γίνεται δὲ τὸ γηρὰς ἐκ τοῦ γηράσας κατὰ ἀποκοπὴν, ὁμοίως τῷ ἐπιπλώσας ἐπίπλως. ἢ ἀπὸ ἀρρήτου ἐνεστῶτος τοῦ γήρημι. ἐξ οὗ ἴσως καὶ τὸ ἐνέντεσσι παρ' αὐτὸς ἐγήρα. ὡς γὰρ ἵστην, ης, η, οὕτω γήρημι, ἐγήρην, ης, η, καὶ τρίτῳ ἐγήρα· οἱ δὲ, ἀπὸ τοῦ γηράω, ῶ, τὸ ἐγήρα. ὅρα καὶ στίχῳ ἐνὶ κεῖται, καὶ καινὸν τὸ γηρὰς, καὶ τὸ κοινὸν, τὸ ἐγήρα.

Γῆρας λιπαρὸν, τὸ δίχα νόσου καὶ τὸ ἐκεῖθεν σκεδόνος. καὶ ἄλλως, τὸ εὔδαιμον, οὗ ἐναντίον τὸ χαλεπόν. καὶ γῆρας, ἡ παρακμὴ τοῦ σώματος, ἢ φθίσις σώματος, φυσικῶς ὑπὸ χρόνου γινομένη. παρὰ τὸ γέρας, ἕπεται γὰρ τοῖς γέρουσιν ἡ τιμή.

Γῆρας γαλεώτου, τὸ δέρμα νοητέον, ἔοικε δὲ τὸ ζῶον κατὰ τοὺς ὄφεις εἶναι. καὶ γὰρ ἐπὶ τούτων φαμὲν γῆρας ὄφεων, γηράσκοντες γὰρ οἱ ὄφεις, ἀποξύουσι τὸ τῆς λεβηρίδος πάχος.

Γηράσκει, φθίνει, λήγει.

Γηράσκοντα, κομίζοντα, γηροκομοῦντα.

Γηράω, ῶ, γηράσω, ἐγήρασα, ὁ γηράσας τοῦ γηράσαντος. καὶ κατὰ συγκοπὴν γήραντες, ἀφ' οὗ γήραντε, εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν. καὶ γηράντεσσι, δοτικὴ τῶν πληθυντικῶν.

Γηράω, ῶ, ἀντὶ τοῦ γέρων εἰμί. γηράσκομαι, ἀντὶ τοῦ γήρως ἅπτομαι, γηράναι, καὶ καταγηράναι, ἀρχαιότερον. οἱ δ' ὕστερον, γηράσαι καὶ καταγηράσαι.

Γήρεια, τὰ τῶν κινάρων ἄνθη.

Γήρειον, τόπος καὶ γήρειον, ἔτος τὸ παλαιόν.

Γήρεια, τὰ τῆς ἀκάνθης ἐξανθήματα, ἅπερ ἔνιοι πάππους λέγουσι.

Γηρύνιος, βοῦς.

Γηροὶ, γεωλόχοι.

Γηροτροφεῖν, προσήκει τῷ γήρᾳ. ὁμοίως γηροτροφεῖσθαι, γηροκομεῖν, γηροτραφηθῆναι. καὶ γηροτρόφοι. καὶ ἐγγηράναι, καὶ καταγηράναι. Ὑπερίδης, γηροβοσκεῖν εἴρηκε. Ξενοφῶν, τὴν ἀγήραον δόξαν. Ὑπερίδης δὲ, τὸν ἀγήραον χρόνον. Σοφοκλῆς, τὸν ἀγήρω. καὶ Πλάτων τὸν ἀγήρω κόσμον. Εὐριπίδης δὲ κόσμον ἀγήρω. καὶ ἄλλοι πολλοί. Θουκυδίδης, τὸ ἀγήρων. ὡς καὶ Εὐριπίδης τὴν ἀγήρων ἀρετήν. καὶ Δημοσθένης, τὰς ἀγήρως τιμάς.

Γηρυχεῖται, ὑπὸ γήρως ὀχεῖται. ἢ γέρας τῆς ἀρχῆς ἔχει.

Γηρύεσθαι, φθέγγεσθαι, λέγειν.

Γηρυόνης, γέγονε Χρυσάορος παῖς, καὶ θυγατρὸς Ὠκεανοῦ Καλλιρόης. δύο δένδρα περὶ τὸν τάφον ἐκείνου ἑστῶτα καταλείβεται αἵματος. ἦν δὲ τρικέφαλος τὸ σῶμα, ὁ Γηρυόνης.

Γῆρυς, ἡ φωνή. καὶ γηρύω, τὸ φωνῶ. γῆρυς δὲ, παρὰ τὸ γέρας. ἡ γὰρ φωνὴ, τοῖς γέρουσιν ἕπεται.

Γηρύοντες, φωνοῦντες, λέγοντες.

Γηρυὼν, ὁ ἥρως ὁ ἐν Ἐρυθείᾳ τὰς βοῦς ἔχων.

Γηρυόνεια δένδρα. καὶ γηρυόνειον μνῆμα.

Γηρύω, τὸ φωνῶ. ὅθεν γῆρυς, ἡ φωνή.

Γηρῶ, γηράσκω. γηρῶ, καὶ γηράσκω, ἀμεταβάτως.

* Γηροβοσκεῖν καὶ γηροτροφεῖν, οὐκ ἐκ τοῦ γῆρας, ἀλλ' ἐκ τοῦ γῆρος ἔχουσι τὴν ρο συλλαβήν. γηρωβοσκὸς δὲ καὶ γηρωβοσκεῖν, ἐκ τῆς γήρως γενικῆς.

Γηρωβοσκεῖ, γηρωτροφεῖ, γηράναι, καὶ γηράσαι.

Γηρωκομῶ, τὸ τοῦ γήρως ἐπιμελοῦμαι. ὅθεν γηρωκομεῖον.

Γηρωκομῶ, τὸ ρω, μέγα. ἐκ τοῦ γῆρας γήραος, γήρως, καὶ τοῦ κομῶ, τὸ ἐπιμελοῦμαι. τὰ δὲ παρὰ Ἀττικῶν γενικῶν σύνθετα, διὰ τοῦ ω μεγάλου γράφεται, οἷον ἡρωφόρος γηρωκόμος, καὶ παροξύνονται.

Γηρωκομεῖον, μέγα· γηροτροφεῖον, μικρόν.

Γηρωτίζεται, γεροντεύεται.

Γηρωτροφῶ, τὸ ἐν γήρᾳ τρέφω τινά. καὶ γηρωβοσκῶ, τὸ αὐτό. ἀπὸ μεταφορᾶς τῶν βοσκομένων ζώων, γηρωτροφῶ, γηρωβοσκῶ, γηρωκομῶ.

Γῆς βάρος, ἐπὶ τῶν εἰς μηδὲν συντελούντων.

Γῆς ἄγαλμα, γυναῖκα πλάττουσι τὴν ἑστίαν, οἱονεὶ τὴν γῆν, τύμπανον βαστάζουσαν, ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει.

Γῆς ὀμφαλὸς, ὁ νεὼς τοῦ Ἀπόλλωνος.

Γῆς ἄλλως ἄχθη. ἀλλὰ δεῖ ἐπιτιμᾶν αὐτοῖς φησι τὸ ὁμηρικὸν, ἐτώσιον ἄχθος ἀρούρης. τὸ γὰρ φυσικὸν βάρος, καλόν. τὸ δὲ ἄλλως, μάταιον, κακόν.

Γῆς Μηκτίδι, τῇ Κιμωλίᾳ, παρὰ τῷ Ἱπποκράτει.

Γήτεια, εἶδος λαχάνου ἀγρίου, παρεοικὸς τοῖς λευκοῖς πράσοις. καὶ τοῦτο ἥδυσμα, ὡς τὸ ἀμπελόπρασον.

Γήτειον, τὸ χλωρὸν κρόμμυον.

Γητικὰ τοπεῖα, αἱ παρὰ Ἀλεξάνδρου ἐπιστολαὶ, οὕτω καλούμεναι.

Γηφάγοι, πένητες, ἄποροι. ὡς τὰς ἐκ γῆς βοτάνας σιτίζεσθαι, τροφῆς ἀμοιροῦντες.

Γήχυτον, τὸ ἔξωθεν μέρος τῆς γῆς, τὸ μαλακὸν καὶ οὐ λιθῶδες, παρὰ τῷ Ἱπποκράτει.

Γηῶραι, ἐπίμικτοι, πρυταὶ τόπων.

Γηώρας, ὁ ἀλλότριος, τοῦ Ψελλοῦ. καὶ γέρδης ὁ ὑφάντης.

ΤΟ' Γ' ΜΕΤΑ' ΤΟΥ' Ι'.

Γῖα, ἄνθη.

Γίαι, ὀδύναι.

Γίαρες, ἔαρ.

Γιγαλία, ἡ γῆ.

Γιγαντιᾶ, τὰ τῶν Γιγάντων φρονεῖ.

Γίγαντος, μεγάλου, ἰσχυροῦ.

Γιγαντία, ἡλικία. καὶ γίγαντες, οἱ οἰκοῦντες.

Γίγαρτα λέγονται, τὰ ἔνδον τῶν σταφυλῶν, καὶ ῥοιῶν σπέρματα. στέμφυλα, τὰ ἔξω τῶν σταφυλῶν δέρματα.

Γίγας, παρὰ τὸ γῆ γίνεται γᾶς, καὶ κατὰ ἀναδιπλασιασμὸν Γίγας. ἢ παρὰ τὸ γῶ τὸ χωρῶ,

καὶ λαμ-

Digitized by Google

καὶ λαμβάνω καὶ δέχομαι, τὸ γι ῑ. πᾶς γὰρ ἀναδιπλασιασμὸς, διὰ βραχέως ἐκφέρεται. τί ἐστιν ἀναδιπλασιασμός; ὅταν τὸ ἐξῆς τῆς λέξεως δὶς τῷ αὐτῷ συμφώνῳ παραλαμβάνηται.

Γίγας, παρὰ τὸ ἐκ γῆς ἰέναι. ὡς ὁ Δαβὶδ, Ὡς Γίγας δραμεῖν ὁδὸν ἀπ' ἄκρου τοῦ οὐρανοῦ, λέγει δὲ τὸν Ἥλιον. καὶ γίγας, δυνάστης, ἰσχυρός.

Γιγάχαλα, καὶ γίχαλα, ὀνόματα τόπων.

Γιγγιλισμὸς, γαργαλισμὸς, ἀπὸ χηρῶν γέλως.

Γιγγλίαν, κάλυμμα κεφαλῆς.

Γίγγος, νάνος.

Γιγγρασμὸς, ἦχος.

Γίγγη, ἐπιφώνημά τι ἐπὶ κατακώμων λεγόμενον. καὶ εἶδος αὐλοῦ.

Γιγγρίαι, αὐλοὶ μικροὶ, ἐν οἷς πρῶτον μανθάνουσιν.

Γιγλιμὸς, κιχλισμὸς, ἀπὸ χηρῶν γέλως, ἢ γαργαλισμός.

Γίγλυμοι, ἀντεμβολαί τινῶν ἐξοχῶν πρὸς κοιλότητας, οἵα περ ἡ κατὰ τὸν πῆχυν πρὸς τὸν βραχίονα συμβολή.

Γίγλυμος, ὁ στρεφόμενος γόμφος ἐπὶ τῶν θυρῶν. καὶ ἐπὶ τοῦ θώρακος, οἱ στροφεῖς. καὶ φιλήματος εἶδός τι.

Γίγνομαι, τέτταρας ἔχει χρόνους ἐν χρήσει, δηλονότι, ἐνεστῶτα, παρατατικὸν, ἀόριστον, καὶ μέλλοντα. ἐνεστὼς, γίγνεται. παρατατικὸς, ἐγίγνετο. ἀόριστος δὲ ἐγένετο. μέλλων γενήσεται.

* Γίνεσθαι, καὶ γινώσκειν, φύσει μακρὸν ἔχουσι τὸ γι.

Γιγνῶν, οἱ δὲ Γιγῶν, Παταϊκὸς, ἐπιπαταϊκὸς, τραπέζιος. οἱ δὲ, Αἰγύπτιον Ἡρακλέα.

Γιγνώσκει, γινώσκει.

Γιγωνὶς ἄκρα, μεταξὺ Μακεδονίας καὶ Πελλήνης. καὶ Γιγγὼν ἐντεῦθεν ὁ Διόνυσος εἴρηται, ἀπὸ τῶν Γιγάντων. ἢ ἀπὸ τοῦ ῥέοντος ποταμοῦ Γίγαντος.

Γιλὸς, ἑτερόφθαλμος.

Γιμβάναι, ζάγανα.

Γίνεται τὸ ἁρμόττει, παρὰ ῥήτορσι δοτικῇ συντάσσεται.

Γίνεται, σημαίνει τὸ ἀποτελεῖται. καὶ διὰ τοῦ ῑ γράφεται, πρὸς ἀντιδιαστολὴν τοῦ γείνεται τοῦ γεννᾶται. καὶ γίνεται παρ' ἐμοὶ ὁ δεῖνα, παραγίνεται εἰς ἐμέ. γίνομαι δὲ ἐν τῇ οἰκίᾳ. καὶ γίνεται εἰς ἐμὲ, κατὰ τὸν Χριστόν.

Γινὶς, γερανὸς, Τυῤῥηνοί.

Γίννος, οὗ ὁ πατὴρ ἵππος, ἡ δὲ μήτηρ ὄνος.

Γίνομαι, ἀντὶ τοῦ εἰμὶ παρὰ τοῖς ποιηταῖς. καὶ παρά τισι τῶν λογογράφων. ὡς παρὰ Φιλοστράτῳ, νυμφῶν γὰρ δὴ παῖδες οὗτοι γίνονται, ἤγουν εἰσί. καὶ γίνεταί τι ἐν τῷ κόσμῳ, ἤγουν τὸ αὐτὸ πολλάκις εἰς τέλος ἐνεργεῖται. ὡς εἶναι τὴν παράτασιν ἐν τούτῳ τῷ σημαινομένῳ, οὐκ ἐν τῇ κινήσει, τῇ πρὸς τὸ γενέσθαι ἤδη καὶ ἀποτελεσθῆναι, ἀλλ' ἐν τῷ μὴ λήγειν τὸ αὐτὸ πολλάκις ἀποτελεῖσθαι. καὶ γινόμενον, τὸ ἐνεργούμενον εἰς τέλος. τὸ αὐτὸ καὶ ἐνδεχόμενον γίνεσθαι, καὶ μὴ ἀνάγκην ἔχον πεπαῦσθαι.

Γίνομαι, ἀμεταβάτως. καὶ συγγίνομαι τῷ δεῖνι. περιγίνομαι τοῦδε, ἀντὶ τοῦ νικῶ, μεταβατικῶς.

Γινόμενα, καὶ γενόμενα, διαφέρει. τὰ μὲν γὰρ γινόμενα ἢ ἀπέβη, ἢ οὔ. τὰ δὲ γενόμενα, πάντως ἀπέβη.

Γίνονται, ἀντὶ τοῦ ὑπάρχουσι, καὶ τελοῦσιν ἀμεταβάτως. οἷον, πάντες ἐπὶ τὴν ὁδὸν συνθέουσι καὶ ἀκούουσι, καὶ γίνονται τεῖχος.

Γίνωσκε, καὶ ἁπλῶς τὸ γινώσκειν. οἱ μὲν ὕστερον Ἀττικοὶ μετὰ καὶ δευτέρου γ γιγνώσκειν φασὶν, ὡς καὶ ὁ κωμικὸς δηλοῖ, καθὰ καὶ τὸ γίγνεσθαι. Ὅμηρος μέντοι ἀρχαϊκώτερος ἀγνοεῖ καὶ ἐν ἀμφοῖν τὸ δεύτερον γ. ἔστι δὲ ὅμως ἀκριβέστερον τὸ τῶν ὕστερον, εἰ καὶ εὐφωνότερον τὸ τοῦ Ὁμήρου. ὡς γάρ φησιν Ἡρακλείδης, καθὰ τελῶ τελίσκω Ἰακῶς, καὶ θορῶ θορίσκω, καὶ μολῶ μολίσκω, ἐξ ὧν τὸ θρώσκω, ἔτι δὲ καὶ βλώσκω. οὕτω καὶ ἐκ τοῦ νοῶ, γίνεται νοίσκω, καὶ κατὰ συναίρεσιν, νώσκω, καὶ προσθέσει τοῦ γ Αἰολικῶς, γνώσκω. ἐπεὶ καὶ τὸ νοῶ, γνοῶ φασὶν οἱ Αἰολεῖς, ἔνθεν καὶ ἡ στέρησις ἀγνοῶ. ἐκ δὲ τοῦ γνώσκω πάντως κατὰ ἀναδιπλασιασμὸν, τὸ γιγνώσκω. λέγει δὲ ὁ αὐτὸς, καὶ ὡς οἱ Ἠπειρῶται προστιθέασι καὶ αὐτοὶ τὸ γ ταῖς λέξεσι, τὸν δοῦπον, γδοῦπον λέγοντες, ὅθεν καὶ ἐριγδουπος πόσις Ἥρης. καὶ ἀπὸ τοῦ νέφος νόφος, καὶ γνόφος. λέγει δὲ καὶ ἐν τῇ γνώμῃ πλεονάζειν τὸ γ, ὡς ἀπὸ τοῦ νοῶ, νοήσω, νώμη καὶ γνώμη. οὕτω δέ πως καὶ ὁ παρὰ τῷ κωμικῷ γλάμων, πλεονασμὸν ἔχει τοῦ γ. λήμη γὰρ, καὶ ἐκεῖθεν λήμων, ὁ λημῶν τοὺς ὀφθαλμοὺς, καὶ πλεονασμῷ τοῦ γ, καὶ συστολῇ, γλάμων.

Γινώσκω γινώσκεις γινώσκει. τὰ δυϊκὰ, ἴστον, ἴστον κατὰ συγκοπήν. τὰ πληθυντικὰ, ἴσμεν, ἴστε, ἴσασι. γινώσκω ἐνεστὼς, ἐγίνωσκον παρατατικὸς, γνώσομαι μέλλων. καὶ εἰδήσω, καὶ εἴσομαι, καὶ ἔγνων ἀόριστος, ἔγνωκα παρακείμενος, καὶ οἶδα, τὸ δεύτερον οἶδας, καὶ πλεονασμῷ τῆς θα συλλαβῆς, οἶδαθα, καὶ συγκοπῇ, οἶσθα. γινώσκω οὖν τὸ νοῶ. διαγινώσκω δὲ, τὸ διακρίνω. καὶ καταγινώσκω, ἐπὶ κατηγορίας. καὶ γινώσκω ἐγώ τινα. καὶ γίνωσκε τῶν καλῶν τὰ δράματα, ἀντὶ τοῦ πράττε καλά. γνωρίζω ἕτερον ἑτέρῳ, ἀντὶ τοῦ γνώριμον ποιῶ. καὶ γνωρίζει ἡ ὗς τὴν τοῦ συβώτου φωνὴν, ἤγουν ἀναγνωρίζει. ὅπερ κυρίως ἐπὶ τῶν ἀπὸ νόσου ἀνασφηλάντων λέγεται, καὶ ἀναγινωσκόντων τοὺς γνωρίμους, οὓς ἐν τῇ νόσῳ ἠγνόουν.

Γινώσκω σοι χάριν, ὁμοίως καὶ οἶδα, καὶ ἐπίσταμαι, ἀντὶ τοῦ χάριν ἔχω, καὶ γινώσκω γράφειν. ὅταν δὲ ἁπλῶς σημαίνῃ τὸ εἰδέναι, πρὸς μετοχὴν ἡ σύνταξις γίνεται. οἷον, οἶδά σε γράφοντα, γινώσκω σε χρηστὸν ὄντα. καὶ γινώσκω τὴν γραφὴν, καὶ οἶδα, καὶ ἐπίσταμαι, ἀντὶ τοῦ γνῶσιν ἔχω. ἢ γινώσκω, ἐπίσταμαι, δαίω, καταμανθάνω, οἶδα.

Γίξαι, χωρῆσαι.

Γίο, αὐτοῦ.

Γίπον, εἶπον.

Γὶς, ἱμὰς, καὶ γῆ, καὶ ἰσχάς.

Γισάμεναι, εἰδέναι.

Γίσας, φθείρας.

Γισγὸν, ἴσον.

Γίσιον, μικρὸν τεῖχος.

Γιστία, ἐσχάτη.

Γιστίαι, ἱστουργοί.

Γιστιῶ, παύσομαι.

Γισχὼ, ἰσχώ.

Γιτέα, ἰτέα.

Γίτονας, τὰ δύο αἰδοῖα.

ΤΟ Γ. ΜΕΤΑ ΤΟΥ Δ.

ΓΛάγος, τὸ γάλα. ἐκ δὲ τῆς γάλακτος γενικῆς γίνεται γλάκος. καὶ γλάγος, ἀντὶ τοῦ λευκός.

Γλαγέας, γεγαλακτωμένας.

Γλαγκάζει, κράζει, πτερύσσεται.

Γλάζει, πτερύσσεται, κέκραγε.

Γλαινοὶ, τὰ λαμπρύσματα τῶν περικεφαλαιῶν, οἷον ἀστέρες.

Γλαισμοὶ, λόφοι.

Γλακερὸς, λευκὸς, ἐκ τῆς γάλακτος γενικῆς. γλάκος, καὶ γλάγος. ἄρκιωστε γλαγερῶν λαιμοπέδαν γεράνων.

Γλακκὸν, γαλαθηνόν.

Γλακῶντες, μεστοὶ γάλακτος.

Γλάματα, ἀστράγαλοι.

Γλάμιξα, ὄμματα, ὧν οἱ κανθοὶ ψωρώδεις. καὶ γλαμυξιᾶν, τὸ γλαμᾶν, ὅπερ ἐστὶ λημᾶν.

Γλαμία, πόλις Κρήτης.

Γλαμὸς, μύξα.

Γλάμπτειν, πίνειν.

Γλαμυρὸν, καὶ γλαμῶδες, ὑγρὸν καὶ καιόμενον δακρύοις ὄμμα. καὶ γλαμυροὺς, ἐνυγροβίους.

Γλαμψοὶ, χαλινοὶ στόματος.

Γλάμων, ὁ ἔχων λήμας, ὁ ἀκάθαρτος, Καλλίστρατός φησιν, ὅτι οὕτως ἐκαλεῖτο γλάμων, ὡς χάρων. ἄλλοι δὲ τὸν λημῶντα καὶ δίυγρον τοὺς ὀφθαλμούς. Σοφοκλῆς ἐν Μάντεσιν, ἐπί τινων ὀρνέων τοὺς γλαμυροὺς καταφορβᾶν.

Γλάνυς, ποταμὸς Ἰταλίας, καὶ Κύμης. ἔνθα καὶ ὁ ὁμώνυμος ἰχθὺς ὁ γλάνυς, εἶδος ἰχθύος.

Γλανοὶ, ἀχρεῖοι.

Γλάξ, βοτάνης εἶδος γαλακτοποιητικῆς, παρὰ τὸ γάλακτος εἶναι αὐξητικὴν ταῖς ἐσθιούσαις, γάλαξ, καὶ γλάξ.

Γλάπτω, τὸ κοιλαίνω, ὁ μέλλων γλάψω, ὁ παρακείμενος γέγλαφα. ὁ παθητικὸς, γέγλαμμαι.

Γλαρὶς, λιθοξοϊκὸν ἐργαλεῖον, παρὰ τὸ γλάπτω τὸ κοιλαίνω. καὶ γλαρὶς, ὄρος.

Γλάσσων, μωρὸς, ἀνόστατος.

Γλαῦκας εἰς Ἀθήνας, περὶ Γλαυκός φασιν οἱ παλαιοὶ, ὡς ἐνεργὸς διὰ σκότους οὖσα, ἤγουν ἐκ σκότει καὶ νυκτὶ, μεθ' ἡμέραν, ἤγουν κατ' αὐτὴν τὴν ἡμέραν ἀποτυφλοῦται, ξηρότητι καὶ λεπτότητι τῆς περὶ τὸν ὀφθαλμὸν ὑγρότητος, μὴ φερούσης τὴν πρὸς τὸ φῶς σύγκρασιν. ἡ δὲ περὶ Γλαυκὸς παροιμία ἡ λέγουσα γλαῦξ εἰς Ἀθήνας, ἐμφαίνει μὲν καθ' ἱστορίαν καὶ αὐτὸ, φίλον εἶναι πτηνὸν Ἀθηνᾷ τὴν Γλαῦκα. λαμβάνεται δὲ, ἐπὶ τῶν συμβαλόντων, ἔνθα μὴ χρεία συμβολῆς. ἢ ἐπὶ τῶν θαμιζόντων, ἔνθα πολὺ τοιοῦτον πλῆθος. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι τὸ γλαῦκα ἀθήναζε, ἁρμόττει ἐπὶ τῶν ἄλλοθεν μάτην, ὡς σπάνιά τινα ἐμπορευομένων. ὃ καὶ εἶναι ὅμοιον τῷ, πυρὸν ἐς Κύπρον ἤγαγες, ἢ ἰχθὺν εἰς Ἑλλήσποντον. ὅτι δὲ ἡ γλαῦξ οὐ μόνον ὀξύνεται κοινότερον, ἀλλὰ καὶ περισπᾶται Ἀττικῶς, δηλοῦται ἀλλαχοῦ.

Γλαῦκες, ἀντὶ τοῦ νομίσματα κεῖται παρὰ τῷ Ἀριστοφάνει. ἡ γὰρ γλαῦξ ὄρνεόν ἐστιν Ἀθηνᾶς, ὅπερ πάνυ τιμῶντες Ἀθηναῖοι διὰ τὴν θεὸν, ἐν τοῖς τετραδράχμοις ἐνεχάραξαν νομίσμασι.

Γλαυκὴ, ἰσχυρὰ, φοβερὰ, λευκή.

Γλαυκὴν θάλασσαν λέγει Ὅμηρος. σημειοῦνται οἱ παλαιοὶ, ὅτι ἅπαξ γλαυκὴν εἶπε τὴν θάλασσαν ὁ ποιητὴς, ἐπιθετικῶς.

Γλαυκία, ἢ γλαύκιον, βοτάνη τίς.

Γλαυκίζειν, τὸ ἀμβλυώττειν.

Γλαύκιος, ὁ τὸ γλυκὺ ἔχων ἐν τῷ ὀφθαλμῷ, παρὰ τὸ γλαύσσω, ὅ ἐστι λάμπω.

Γλαυκιόων, ἀντὶ τοῦ ἔμπυρον βλέπων, κατὰ τοὺς παλαιοὺς, παρὰ τὸ γλαύσσω. ἀφ' οὗ καὶ γλαῦξ, ἣν μόνον τῶν γαμψωνύχων καὶ σαρκοφάγων, φασὶ μὴ τίκτειν τυφλὰ, διὰ τὸ περὶ τοὺς ὀφθαλμοὺς πυρῶδες. ὃ τμητικὸν ὂν, διαιρεῖ τὴν θέαν, διὸ καὶ ἐν τῇ σκοτομήναις ὁρᾷ. τινὲς δὲ γλαυκιᾶν φασὶ, τὸ στρέφειν τοὺς ὀφθαλμοὺς, καὶ τὸ γλαυκὸν αὐτῶν ὑποφαίνειν.

Γλαυκόπιον, τὴν ἀκρόπολιν οἱ ἀρχαῖοι, ἢ τὸ ἐν ἀκροπόλει τῆς Ἀθηνᾶς ἱερὸν, ἀπὸ Γλαύκου τινὸς αὐτόχθονος, ἐν τῷ τόπῳ τούτῳ κατοικήσαντος.

Γλαῦκος, πρὸς διάφορον σημασίαν βαρύνεται, πρὸς διαφορὰν γὰρ τοῦ γλαυκὸς ἐπιθέτου. τοιοῦτον δὲ ἐγνώσθη καὶ τὸ λεῦκος πρὸς τὸ λευκὸς, ὁμοίως καὶ ἀρητὸς, καὶ ἄῤῥητος, καὶ ἄλλα μυρία. ἐν οἷς καὶ τὸ Διηνεκὴς, κύριον καθ' Ἡρόδοτον, Σπαρτιάτης ἄριστος γενόμενος ἐν τῇ μάχῃ τῶν Θερμοπυλῶν. καὶ δρυμὸς δὲ ὁ δρυωτὸς τόπος. καὶ Δρύμος πόλις. διαφόρου δ' εὐλόγου τονώσεως καὶ τὸ πυῤῥὸς, ὁ πυρσόθριξ, καὶ Πύῤῥος κύριον. καὶ γύρος, ὁ κατὰ κύκλον, καὶ ὁ γυρὸς ὤμοις, ἐν Ὀδυσσείᾳ, ὅθεν καὶ πέτραι γυραί. καὶ κυρτὸς ὁ κατὰ πάθος. καὶ κύρτος ὁ ζωγρητικός.

Γλαῦκος, παρὰ τοῖς Ἴβηρσι τιμᾶται γέρων καλούμενος. καὶ Γλαῦκος, τὸ γένος Καρύστιος, καὶ ὄνομα κύριον. κατὰ δέ τινας, ὁ Γλαῦκος, Ἀθηναῖος ἦν, καὶ ἁλιεὺς, ὃς ἐμμανὴς γενόμενος, ἥλατο εἰς τὴν θάλασσαν. ἰχθὺν γὰρ ἁλιεύσας καὶ ῥίψας νεκρὸν εἰς γῆν, ἶδε προσεγγίσαντα βοτάνῃ καὶ ἀναζήσαντα. φαγὼν δὲ καὶ αὐτὸς, γέγονεν ἀθάνατος, ἀλλ' οὐκ ἀγήρως, καὶ ἥλατο εἰς τὴν θάλασσαν. μαντεύεται δὲ, ὡς παρ' Ὁμήρῳ Πρωτεὺς, καὶ παρὰ Πινδάρῳ Τρίτων τοῖς Ἀργοναύταις. τὴν δὲ βοτάνην, ἧς ἐγεύσατο φασί τινες, ἀείζωον εἶναι. καὶ Γλαύκη, ὄνομα Νηρηΐδος λέγεται, διὰ τὴν ὄψιν τῶν ὑδάτων.

Γλαῦκος, τὸ κύριον διαστελλόμενον τοῦ ἐπιθετικῶς λεγομένου γλαυκοῦ κατὰ τὸ προπερισπᾶσθαι. ἀκό-

Digitized by Google

λευκὸν δὲ τῷ γλαυκῷ, καὶ τῷ γλαύκῳ καὶ ἡ γλαυκὴ θάλασσα. καὶ ἡ Γλαύκη τὸ κύριον. ὅμοιον καὶ κοινὸς τὸ ἐπίθετον, καὶ Κοῖνος κύριον. καὶ φαιδρὸς, καὶ Φαῖδρος ὁ παρὰ Πλάτωνι. καὶ Κάκος δὲ ὁ φθόμενος Ἰταλὸς λῃστὴς, τόνῳ διενήνοχε τοῦ κακοῦ. ὁμοίως καὶ Λάγος ὁ Ἀλεξανδρεὺς, τοῦ ζώου λαγοῦ. εὕρηται γὰρ καὶ τοιαύτη κλίσις τοῦ ζώου. οὕτω καὶ Ἄργης εἷς τῶν παρ' Ἡσιόδῳ Κυκλώπων, τοῦ ἀργὴς ὁ κεραυνός. καὶ Λάρος τὸ ζῶον, τοῦ λαρὸς ὁ ἡδύς. καὶ οὖρος ἄνεμος, τοῦ οὐροῦ τοῦ ὑπὸ τὰς νῆας, ὡς τὸ οὐροὺς ἐξεκάθαιρον. καθ' ὅμοιον δὲ τρόπον καὶ ὁ Ἄρατος τὸ κύριον, τοῦ ἀρατὸς τοῦ ὑπὸ ἀρὰν ἤτοι ἐπάρατος. καὶ τῆς ἁρπαγῆς δὲ, ἤτοι διαρπαγῆς, ἡ ἁρπάγη. σκεῦος αὕτη, ᾧ τοὺς κάδους ἀνέλκομεν. ὁμοίως καὶ θαλάμαι μὲν βαρυτόνως, ζωϊκαὶ καταδύσεις. θαλαμαὶ δὲ, τόποι ἱεροὶ Διοσκούρων, ὡς Αἴλιος Διονύσιος παρεσημειώσατο. ἔχει δὲ παρασημειώσεις τοιαύτας, καὶ ὁ Φιλόπονος. ἐν αἷς καὶ ὅτι γελοῖος μὲν, ὁ καταγέλαστος προπερισπωμένως, γελοιὸς δὲ ὀξυτόνως ὁ γελωτοποιός. καὶ Δολίχη μὲν, ἡ πόλις Πιερίας. δολιχὴ δὲ, ἡ μακρά. καὶ ζωὴ μὲν ἡ τοῦ ζώου σύστασις, ζώη δὲ, τὸ ἐπάνω τοῦ μέλιτός φασιν ἐφιστάμενον, καὶ γάλακτος, ὃ καλεῖται γραῦς. καὶ θάμβος μὲν ἡ ἔκπληξις, θαμβὸς δὲ κατὰ ὀξεῖαν τάσιν ὁ ἐκπλαγείς. καὶ Μύλλος μὲν κύριον, μυλλὸς δὲ ὁ διεστραμμένος τὴν ὄψιν. καὶ Ῥίπη μὲν, πόλις· ῥιπὴ δὲ ἡ πνοή. καὶ Ῥόδιος μὲν τὸ ἐθνικὸν, Ῥοδίος δὲ, ποταμὸς Τρωάδος καθ' Ὅμηρον. καὶ Σίμος μὲν, ἰχθύς, σιμὸς δὲ, τὸ ἐπίθετον. καὶ Σταφύλη μὲν, τεκτονικὸν σκεῦος βαρυτόνως. σταφυλὴ δὲ, ὁ καρπὸς, καὶ ἡ περὶ τὸ στόμα δὲ κιονίς. καὶ ἅλις μὲν, ἀρκούντως, ἁλὶς δὲ, ἡ ἁλμυρίς. ὅθεν ἔοικε γίνεσθαι καὶ ἅλις. καὶ Ἄκρις μὲν, πόλεως ὄνομα, καὶ ὄρους ἐξοχή· ἀκρὶς δὲ ζωΰφιον. τοιούτου δὲ πάντως τρόπου, καὶ ἀσφόδελος μὲν τὸ φυτὸν, ἀσφοδελὸς δὲ, ὁ τόπος αὐτοῦ. καὶ ὀρὸς ὀξυτόνως δι' ἑνὸς ρ̄ γάλακτος ὑπόστημα καθ' Ὅμηρον, οὕτω γὰρ ἐκεῖνος γράφει. ὄρος δὲ, οὐ μόνον γῆς ὑψηλὸν συνήθως ἐπανάστημα, ἀλλὰ καὶ ὁ παρὰ τοὺς γλουτοὺς τόπος, ὅν τινες ταῦρόν φασιν, ὥς φησιν Ἑρέννιος Φίλων ἐν τῇ περὶ διαφόρων σημαινομένων. ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος φησὶν οὗτος, οὐροπύγιον καλεῖται, ὡς ὄρος ὢν τῆς πυγῆς, καὶ οἷον ὀροπύγιον· ὅπερ ὑποστέλλουσι τὰ ἄλογα ζῶα ἐν τῷ εὐλαβεῖσθαι. ὅθεν ἐκ τοῦ παρακολουθοῦντος ὀῤῥωδεῖν, τὸ φοβεῖσθαι. καὶ ἐπὶ ἀνθρώπων, ἐπεὶ καὶ αὐτῶν οἱ εὐλαβούμενοι, περί τι ἀνασπᾶν εἰώθασι τὸ αἰδοῖον. ὁμοίως δῆλον, καὶ ὅτι τὸ ὀῤῥωδεῖν καὶ ἀῤῥωδεῖν ἔγραψαν, πρὸς ὁμοιότητα τοῦ ἀσαφὶς ἢ σαφίς. ὁ δὲ ῥηθεὶς Ἑρέννιος ἄλλο τι λέγων, φησὶν ὅτι, ἀῤῥωδεῖν κατὰ στέρησιν λέγεται τὸ μὴ ὀῤῥωδεῖν, ἤτοι εὐλαβεῖσθαι, ἀλλὰ καταφρονεῖν καὶ τεθαῤῥηκέναι. ἔτι τῶν διαφόρως τονουμένων ἐστὶ, καὶ ὁ ἐπὶ τῶν ὑγρῶν ἀφρός. καὶ Ἄφρος τὸ ἐθνικὸν, καὶ ὁ ἐπὶ οἰκημάτων θόλος, καὶ ὁ τῆς σηπίας θολός. καὶ ὁ κατὰ πάθος κυρτὸς, καὶ ὁ τῶν ἁλιέων κύρτος. καὶ ὁ τοπικὸς γύρος, ἢ ὁ ἁπλῶς κύκλος, καὶ ὁ τοὺς ὤμους γυρός. ναὶ μὴν καὶ ἡ κατ' ἐνέργειαν πρωτοτόκος γυνή. καὶ ἡ παθοῦσα τὸν τόκον, πρωτότοκος παῖς, καὶ ὅσα τῆς συστοιχίας ταύτης εἰσίν. ἔτι διαφόρου ὥσπερ σημασίας, οὕτω καὶ τόνου ὁ Κάρπος τὸ κύριον, καὶ ὁ τῆς χειρὸς καρπὸς, καὶ ὁ ἐσθιόμενος. καὶ Πύῤῥος ὁ Ἠπειρώτης καὶ ὁ τοῦ Ἀχιλλέως, καὶ πυῤῥὸς ὁ ξανθός. καὶ μυρία μὲν, τὰ ἁπλῶς πολλά. μύρια δὲ, τὰ ἐν δέκα χιλιάσι. καὶ ἴλλος μὲν, ὁ ὀφθαλμὸς, ἰλλὸς δὲ, ὁ στραβός. καὶ Ξάνθος μὲν, τὸ κύριον καὶ ποταμός. ξανθὸς δὲ, ὁ κατὰ τὰς τρίχας πυῤῥός. καὶ βροτὸς μὲν ὁ ἄνθρωπος, βρότος δὲ μολυσμὸς ὁ ἐξ αἵματος. καὶ Τύρος μὲν πόλις, τυρὸς δὲ τὸ πεπηγὸς γάλα. καὶ Λεῦκος μὲν κύριον, λευκὸς δὲ, τὸ ἐπίθετον, οὗ θηλυκὸν λευκὴ, ἄλλως τονουμένη παρὰ τὴν λεύκην τὸ φυτόν. καὶ Βόηθος μὲν κύριον, βοηθὸς δὲ ὁ σύμμαχος. καὶ φροντὶς μὲν, ἡ μέριμνα, Φρόντις δὲ, κύριον, θηλυκὸν ἐν Ἰλιάδι, ἄῤῥεν δὲ ἐν Ὀδυσσείᾳ. οὕτω δὲ καὶ ἐπὶ χρόνου μὲν ὀξύτονον, ὁ καιρὸς, ἄλλως δὲ προπερισπωμένως καῖρος, τὸ μίτωμα. καὶ τόρος μὲν, ἐργαλεῖον τεκτονικὸν, ὁ καὶ τόρνος, τορὸς δὲ, ὁ σαφής. ἐξ οὗ καὶ διάτορος. καὶ ταῦτα μὲν οὕτω βραχέα μὲν ἐκ μάλα μυρίων.

Γλάξ, βοτάνη γάλακτος ποιητική, παρὰ τὸ γάλακτος εἶναι αὐξητικὴ ταῖς ἐσθιούσαις, γάλαξ, καὶ γλάξ.

Γλαῦξ. Ἰστέον ὅτι οὐ μόνον γλαῦξ ἱερωται Ἀθηνᾷ, ὡς καὶ ἀλλαχοῦ εἴρηται, ἀλλά καί τι εἶδος Ἐρωδιοῦ, καθὰ δηλοῖ καὶ ὁ ποιητὴς ἐν τῷ, Τοῖσι δὲ δεξιὸν ἧκεν Ἐρωδιὸν ἐγγὺς ὁδοῖο, Παλλὰς Ἀθήνη. εἰ καὶ ἄλλως ἀφροδίσιον ὄρνεον ὁ Ἐρωδιὸς εἶναι δοκεῖ, κατ' ἄλλο εἶδος Ἐρωδιοῦ. διὸ οὐ μόνον ἀπὸ τοῦ ἕλος γίνεται ἑλοδιὸς, καὶ ἐκπίσει τοῦ ο̄ εἰς ω̄, καὶ τροπῇ τοῦ λ̄ εἰς ρ̄. κατὰ τὸ θλῶ θλαύω καὶ θραύω, ἐρῳδιὸς μετὰ προσγεγραμμένου τοῦ ῑ, ὡς ἐν ἄλλεσι διάγων. εἰ καὶ Κλαυδιανός φασιν ὁ φιλόσοφος ἀντιλέγει, ἐν οἷς καταλέγει τῆς ὀρθογραφίας· ἀλλὰ καὶ ὑπὸ τοῦ ἔρως ἔρωτος ἐρωτίδιος, καὶ ἀποβολῇ τοῦ τ̄, ἐρωΐδιος καὶ συναιρέσει ἐρῴδιος. καὶ κατὰ ἀκολούθησιν τὴν ἐπὶ ὀρνέων τοῦ Αἰγύπτιος, Χαραδριός, οὕτω καὶ Ἐρωδιὸς κατὰ τόνον ὀξύν.

Γλαὺξ, πετεινὸν νυκτερινὸν, ὃ καὶ τῇ Ἀθηνᾷ προσανατίθεται. παρὰ τὸ γλαύσσω τὸ λάμπω, γλαύξω, κατὰ ἀφαίρεσιν τοῦ ω̄, γλαύξ. ὡς θήσω, θής· αἴσσω, αἴξ. ἔστι γὰρ ὀξυπέστατον τὸ ζῶον, ἐν νυκτὶ ὁρᾷν δυνάμενον. Δημόκριτος δὲ ἱστορεῖ ὅτι μόνον τῶν γαμψωνύχων καὶ σαρκοφάγων, μὴ τυφλὰ τίκτειν, ὅτι πολὺ πυρῶδες καὶ θερμὸν περὶ τοὺς ὀφθαλμοὺς ἔχει· ὃ σφοδρῶς ὀξὺ καὶ τμητικὸν ὑπάρχον, διαιρεῖ καὶ ἀναμίγνυσι τὴν ὅρασιν. διὸ καὶ ἐν ταῖς σκοτομήνῃσιν ὁρᾷ, διὰ τὸ πυρῶδες τῶν ὄψεων.

Γλαὺξ, ἱερὸν ὄρνεον Ἀθηνᾶς, ἐπιχωριάζον ἐν Λαυρείῳ τῆς Ἀττικῆς, ὅπου γίνονται χρυσᾶ μέταλλα. ταύτης ἡ πτῆσις εἰς νίκης σύμβολον ἐλογίζετο. ὅθεν καὶ παροιμίαι, γλαῦκας εἰς Ἀθήνας, γλαῦκες Λαυριωτικαὶ, καὶ γλαὺξ ἵπταται. ἐνετετύπωτο δὲ τῷ Ἀττικῷ χρυσῷ νομίσματι, καὶ γλαὺξ ὄνομα. Εὐφρόνιός φησιν, Ἀττικοὶ μὲν περισπῶσιν, οἱ δὲ Δωριεῖς ὀξύνουσι. γλαῦκα δὲ τὴν Ἀθηνᾶν. φασὶ δὴ κατὰ τὸ ἀληθὲς, γλαῦκα διαπτᾶσθαι, τὴν νίκην ταῖς Ἀθηναίοις ἀπαγγέλλουσαν. Ἄλλως.

Γλαὺξ ἵπταται παροιμία, ὅτι ἡ πτῶσις τῆς γλαυκὸς, εἰς νίκης σύμβολον ἐλογίζετο. Καὶ ἑτέρα παροιμία, γλαῦκες Λαυριωτικαὶ, ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων. παρ' ὅσον ἐν Λαυρείῳ τῆς Ἀττικῆς, γίνονται χρύσεια μέταλλα. ἐνεχάραττον δὲ γλαῦκας ἐν τοῖς χρυσοῖς νομίσμασι. Καὶ ἑτέρα παροιμία, Γλαύκου τέχνη, ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων, ἀπὸ Γλαύκου τινὸς Σαμίου· ὃς πρῶτος σιδήρου κόλλησιν ἐξεῦρε. λέγεται δὲ ἡ γλαῦξ καὶ χαλκίς.

Γλαυκόπιον, τὴν ἀκρόπολιν οἱ ἀρχαῖοι, ἢ τὸ ἐν ἀκροπόλει τῆς Ἀθηνᾶς ἱερόν. ἀπὸ Γλαύκου τινὸς αὐτόχθονος, ἐν τῷ τόπῳ τούτῳ κατοικήσαντος.

Γλαύσσιν, ἀντὶ τοῦ λάμπουσιν. ὡς τὸ, διαγλαύσσι δ' ἀταρποί. ἐξ οὗ γλαυκῶπις, καὶ γλαύσσειν, φαύσκειν. καὶ γλαυκὸς τὸ ἐπίθετον, σημαῖνον τὸν ἔχοντα πυρώδη τὰ ὄμματα, παρὰ τὸ γλαύσω γλαυκὸς, ὡς λεύσω λευκός. παρὰ δὲ τὸ γλαυκὸς, γίνεται ῥῆμα παράγωγον, γλαυκῶ, καὶ γλαυκιῶ. γλαυκὴ, ἰσχυρὰ, καὶ λευκή. γλαυκὸν γὰρ λαμπρὸν, θρασὺ, ἰταμόν.

Γλαυκῶπις, ἤτοι γλαυκόφθαλμος, καλή. ἢ γλαυκοὺς, καὶ καταπληκτικοὺς τοὺς ὦπας, ὅ ἐστι τοὺς ὀφθαλμοὺς ἔχουσα. ἢ ἀπὸ τοῦ δεινὸν γλαύσσειν τοῖς ὀφθαλμοῖς, ὅ ἐστιν ἀπαυθύασειν. ἢ ἀπὸ τοῦ γλαυκὰ ὀπίζεσθαι, τουτέστιν ἐντρέπεσθαι. ἢ ἀπὸ τοῦ γλαυκοποιοῦ ὄρους, ὃ Λυκαβηττὸς καλεῖται. ἢ παρὰ τὸ γλαύσσω γλαύξω. ἐξ οὗ καὶ ἡ γλαὺξ, καὶ γλαυκῶπις Ἀθηνᾶ, οὐ μόνον γραφικῶς ὡς ἁπλῶς γλαυκοὺς ἔχουσα τοὺς ὀφθαλμοὺς, ἀλλὰ καὶ ὡς ἂν εἴποι τὶς δεινὴ τὴν ὄψιν καὶ ἐκπληκτικὴ, κατὰ τὰ γλαυκωπὰ τῶν θηρίων. γλαυκοὶ γὰρ καὶ οἱ λέοντες οἱ βασιλικοὶ, καὶ ἰδεῖν δεινοί. καὶ δράκοντας δέ τις τῶν ποιητῶν γλαυκώπας καλεῖ. γλαυκῶπις οὖν καὶ ἡ φοβερά. τὸ δὲ γλαυκὸν, ἀπὸ τοῦ γλαύσσω παρῆκται τὸ θεωρῶ. καὶ δηλοῖ τὸ ὑπόλευκον καὶ εὐόρατον. εἰ τοίνυν ταυτὰ τὸ γλαύσσειν καὶ τὸ ἀθρεῖν, ἔχει πως συγγενῆ, κατ' αὐτὰ καὶ τὰ παραγόμενα ἐξ αὐτῶν. διὸ τὸ γλαυκωπὸν οἰκειοῦται τῇ Ἀθηνᾷ ὡς ἀθροικὴ τὸ βλεπτικόν. διὰ τοῦτο δὲ καὶ ἡ γλαὺξ, οἰκεία τῇ Ἀθηνᾷ, οὐ μόνον ὡς νυκτὸς ὁρῶσα, ὥσπερ καὶ ἡ σύνεσις, κατὰ τὸν εἰπόντα ὀρθῇ κελεύθῳ ἐν ταῖς βουλαῖς τὰ ἐν σκότει ποδηγετεῖ, ἀλλὰ καὶ διὰ τὴν ἀπὸ τοῦ γλαύσσω παραγωγὴν, ὅπερ ἐστὶ ταυτὸ τῷ ἀθρεῖν.

* Γλαυκιᾶν, λέγεται ὁ λέων, ἤγουν ἔμπυρον βλέπειν, παρὰ τὸ γλαύσσω. ἢ στρέφειν τοὺς ὀφθαλμοὺς, καὶ τὸ ἐν αὐτοῖς γλαυκὸν ὑποφαίνειν.

Γλαυρὸν, σεμνόν.

Γλαύσουσιν, ἀντὶ τοῦ λάμπουσι.

Γλαύσω, τὸ λάμπω.

* Γλαύσσειν, ταυτὸ τῷ ἀθρεῖν.

Γλάφει, γλύφει, ὀρύσσει, κοιλαίνει.

Γλαφυρὴ φόρμιγξ, ἡ κοίλη. καὶ ἔστι τοῦτο αὕτη κυρίως λεγομένη, ἤπερ ναῦς, καὶ τὸ σπήλαιον.

Γλαφυρὴν πέτραν, τὸ σπήλαιον λέγει Ὅμηρος. Ἰστέον δὲ ὅτι τὸ πέτρα γλαφυρὴ, καὶ τὸ παρ' Ἡσιόδῳ γλάφει πέτρῃσιν, ταυτὸ δηλοῦσιν. ἀλλὰ τούτων μὲν ἐπὶ αὐτοφυοῦς πράγματος τὸ γλάφειν, ἐξ οὗ τὸ γλαφυρόν. κυρίως δὲ ἐπὶ χειροκμητῶν τὸ τοιοῦτον τίθεται ῥῆμα, κατὰ ὀνοματοποιΐαν, ὡς καὶ τὸ γράφειν. καὶ δηλοῖ ὁ ποιητὴς τοῦτο ἐν Ὀδυσσείᾳ εἰπὼν, θῖνας ἐν ψαμάθοισι διαγλάψασ' ἁλίῃσιν, ὅ ἐστι κοιλάνασα. οὕτω καὶ τὸ σκάπτειν ἀπροσφυὲς ὂν τῷ πλοίῳ, ὅμως ἐποίησε σκάφος αὐτὸ λέγεσθαι, ὅπερ μᾶλλον ἐπὶ γῆς ἁρμόττει. ὡς τὸ, σκάφος οὐκ ἔτι οἰνέων. οἰκειότερον δὲ μᾶλλον ἐπὶ νηὸς τὸ γλαφυρὸν, καθὰ καὶ ἡ κοιλότης, δι' ἣν καὶ κοῖλαι νῆες λέγονται.

Γλαφυρὸν, κυρίως μὲν ἐπὶ χειροκμήτου κοιλότητος, οἵαν οἱ λιθοξόοι καὶ οἱ ξοανογλύφοι ἐντυποῦσι, παρὰ τὸ γλάφω, τὸ κοιλαίνω γενόμενον. ἐπὶ δὲ σπηλαίου μεταφορικῶς λέγεται καὶ ἐπὶ νηὸς, διὰ τὸ ἁπλῶς κοῖλον, ὃ καὶ τοῖς γλυφομένοις παρέπεται. ἤδη δὲ ἡ λέξις μετῆκται καὶ ἐπὶ νοημάτων, διὸ καὶ νοήματα λέγονται γλαφυρὰ, τὰ ἔχοντα βαθὺ, πλὴν μετὰ χάριτός τινος, καὶ λαμπρότητος, ὡς μὴ πάνυ εἶναι διὰ τὸ βάθος σκοτεινά.

Γλάχωνα, τὴν ὀρίγανον. κλίνεται καὶ γληχὼ, ὡς Σαπφώ. καὶ γληχὼ ἢ γλαχὼ, τῆς γλαχοῦς, Ἀττικοὶ βλαχώ φασι.

Γλάψαι, κοιλάναι, γλύψαι, ἐκτρίψαι, σκαλεῦσαι, βαθῦναι.

Γλέβα, ἀξίωμα συγκλήτου.

Γλευήστας, ὑπὸ τοῦ γλεύκους γενόμενος ἔκλυτος καὶ παρειμένος ἀπὸ τῶν οἴνων.

Γλεῦκος τὸ ἀποστάλαγμα τῆς σταφυλῆς, πρὶν πατηθῇ. ἢ γλεῦκος, ὁ νέος οἶνος, ὁ κοινῶς λεγόμενος μοῦστος. ἀνθοσμίας δὲ, ὁ εὐώδης οἶνος. ἐκτροπίας δὲ καὶ ὀξίνης, ὁ παρατραπεὶς καὶ ὀξώδης γενόμενος.

Γλεῦξις, οἶνος, ἕψημα.

Γλέφαρα, βλέφαρα, ὀφθαλμοί.

Γλήνεα, εἴτε γλῆνος ἔχει τὴν εὐθεῖαν, εἴτε μᾶλλον γλήνειον, καὶ Ἰωνικῶς γλήνεον, ὡς δαιδάλειον δαιδάλεον, καὶ νήλειον νήλεον. Ὅμηρος, γλήνεα πολλὰ κεχάνδει, ἤγουν πολλὰ ἐχώρει κειμήλια, γλήνης ἄξια. γλήνη δέ φασιν οὐ μόνον ἡ τοῦ ὀφθαλμοῦ κόρη καὶ ἡ πρόσοψις, ἀλλὰ καὶ κηρία μελισσῶν, καὶ παίγνιον. οἱ δὲ, τὸ οὐδενὸς ἄξιον· ὡς δὲ καὶ διὰ τοῦ ῑ γλίνη εὕρηταί που, ὁ ῥύπος, ὅ ἐστι γλοιὸς, ἕτεροι δηλοῦσιν. ἄλλοι δὲ γλήνεα ἑρμηνεύουσι, τὰ ποικίλα. οἱ δέ τινες ζώδια, καθάπερ ὑποδηλοῦται, ἐν τῷ τρίγληνα μορόεντα.

Γλήνεα, ἀξιοθέατα, καὶ πολλῆς θέας ἄξια. παρὰ τὸ τὴν αἴγλην, ἢ παρὰ τὸ γλαύσειν τὸ λάμπειν. οἱ δὲ ποικίλ' ἄττα. καὶ γληνὸν, τὸ ποικίλον. καὶ ζώδια, ἀγάλματα.

Γλήνη, ἡ κόρη τοῦ ὀφθαλμοῦ, οἱονεὶ γαλήνη τὶς

οὖσα,

Digitized by Google

ὖσα, καὶ κατὰ συγκοπὴν, γλήνη. γαληνιᾷ γὰρ ὁ νοῦς δι' αὐτῆς τῇ τῶν ὁρατῶν ποικιλίᾳ. ἢ παρὰ τὴν αἴγλην αἰγλήνη, καὶ ἀποβολῇ τοῦ αι, γλήνη.

Γλῆνος, φάος.

Γληνωπὰ, πονηρά.

Γλῆσχαι, κνῆμαι.

Γληχονοειδὲς, δίκταμον.

Γληχυρὶς, πονηρά.

Γληχὼ, θηλυκῶς Ἀττικοὶ τὴν ὀρίγανον λέγουσιν. οἱ δὲ, βληχώ.

Γλία, ἡ κόλλα.

Γλιᾶται, παίζει, ἀπατᾷ.

Γλίον, εὔτονον, ἰσχυρόν.

Γλίδου χοάναι, εἰς οὓς τύπους κατέρχεται τὸ ἐν τῇ χώνῃ διὰ τῶν κενωμάτων· ἦσαν δὲ πήλινοι, Σοφοκλῆς.

Γλίνη, ὁ ῥύπος ἐστί.

Γλίσας, κατοικίαν τινά φασι Θηβαϊκὴν, ἐν τῷ Ὑπάτῳ ὄρει, ἀπὸ Γλίσσωνος ὠνομάσθαι. ἢ Γλίσαντος ὥς φησιν ὁ γράψας τὰ ἐθνικά. τῷ δὲ τόνῳ, Γλίσας γλίσαντος, ὡς γίγας γίγαντος. οἱ σχολιασταί φασιν, ὅτι ἡ μὲν συνήθεια περισπᾷ, Γλισᾶντα λέγουσα. ἡ δὲ ἱστορία προπαροξύνει τὸ ὄνομα. Ἰστέον δὲ, ὡς τὴν δευτέραν ταύτην κλίσιν οὐκ οἶδεν ἡ ἀκρίβεια, τὴν περισπῶσαν τὸν Γλισᾶντα, εἰ μὴ ἄρα ἐκ τοῦ γλισάεις κλίνεται, καὶ συναιρεῖται, ὡς τὸ αἰγλήεντα. ὁ δὲ Χοιροβοσκὸς, οὐ προπερισπωμένως Γλισσᾶντα, ἀλλὰ περισπωμένως Γλισσᾶν, ὡς Θωμᾶν. ἀλήθεια δὲ τούτου κατ' αὐτὸν ὁ Γλισᾶς. οἱ δὲ περὶ τὰ ἀντίστοιχα πονησάμενοι, Γλίσαν πόλιν ἀναγράφουσιν, ἴσως μὲν τὴν Ὁμηρικὴν, ἴσως δὲ ἑτέραν τινά.

Γλισχραντιλογεξεπιτετριπτου, ἐκ τοῦ γλίσχρου, καὶ ἀντιλογίας πεποιημένου, τοῦ καὶ δυναμένου ἐπιτρίψαι.

Γλίσχρον, τὸ κολλῶδες, καὶ ὀλισθηρόν, καὶ τὸ λαίμαργον, καὶ ἡδύ. ἢ γλίσχρον ἀκριβῶς, τὸ ἐχέκολλον, καὶ μὴ διασπώμενον· γλίσχρως δὲ, τὸ ἀτελῶς καὶ λεπτῶς διαιρεῖσθαι.

Γλίσχρος, παρὰ Ἀριστοφάνει κεῖται, ἀντὶ τοῦ ταπεινὸς, κόλαξ. ἢ γλίσχρος, φειδωλὸς, σκνιφὸς, ὀλιχνὸς, καὶ ἐπιθυμῶν ἐφυβρίστων. εἴρηται δὲ καὶ ὀλίαν καὶ ἐπιπολὺ ἐχόμενος, πλεονασμῷ τοῦ γ. ἢ ὁ γλιχόμενος τροφῆς ὑπὲρ τὸ δέον, λέγεται καὶ ὁ ὀλισθηρός.

Γλὶ, τὸ ἰσχυρόν.

Γλιττὸν, γλοιόν.

Γλίχη, ἐπιθυμεῖς.

Γλιχόμενος, καρτερῶν, ἢ ἐπιθυμῶν.

Γλίχομαι, τὸ ἐπιθυμῶ, καὶ ἱμείρομαι, καὶ ὀρέγομαι ἡγεμονίαν. καὶ γλίχομαι ἡγεμονεῦσαι. συντάσσεται δὲ γενικῇ.

Γλιχύτης, ἀτυχὴς, ἢ ἐπίπονος, ἢ ἐρωτική.

Γλιχὼ, ἡ φειδωλὸς, ἢ ἡ περίεργος.

Γλιάζειν, τὸ τοῖς ὄμμασιν ἐπιμύοντα μυκτηρίζειν.

Γλοιὰς, ἡ κακοήθης ἵππος. καὶ Πολυδίκη παρὰ Σοφοκλεῖ. καὶ γλοίης τὸ αὐτό.

Γλοίης, ὁ νωθρός. καὶ γλοίητα τὸν λιπαρὸν, καὶ μοχθηρὸν τῷ ἤθει.

Γλοιὸς, τὸ αὐτὸ δηλοῖ τῷ μάθλης. εἴληπται δὲ ἡ μεταφορὰ, ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοῦ ἐπιλαμβανομένου διολισθαίνειν πέφυκε. καὶ τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν σταθερὸν φρονοῦντας, ἀλλὰ ἄλλα μὲν ἐπαγομένους, ἄλλα δὲ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον, γλοιοὺς καλοῦμεν. ἢ γλοιὸς λέγεται, ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους ὁ Ἀριστοφάνης. Ἄλλως.

Γλοιὸς, ἐπὶ τοῦ ῥυπαροῦ καὶ μιαροῦ, καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν, συνεγγύς πως τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν, τὸν μοχθηρὸν δηλοῖ καὶ ὀλισθηρὸν, καὶ ἀμετάβολον.

Γλοιῶδες, ἐπὶ τῶν παχέων ὑγρῶν, καὶ κολλητικῶν, διὰ διφθόγγου.

Γλοιώδης, ῥυπαρός. καὶ γλοῖος, ὁ ῥύπος.

Γλοιῶς, ναυστακτικῶς.

Γλύρεα, χρύσεα, Φρύγες.

Γλυρὸς, χρυσός.

Γλουτὸς κατὰ τοὺς παλαιοὺς, τὸ σφαίρωμα τῆς κοτύλης κατὰ τὸν μηρόν. Ῥοῦφος δὲ, τὰ κατὰ ὀσφὺν σαρκώδη, ἐφ' ὧν καθίζομεν, πυγὰς εἰπὼν, ἐπάγει, ἄλλοι δὲ γλουτοὺς καλοῦσι. διὸ καὶ οἱ ἐτυμολόγοι παρὰ τὸ γλοιὸν ἐτυμολογοῦσιν αὐτοὺς, διὰ τὸ ἐν αὐτοῖς στυφερόν. ὃ καὶ ἁπαλόν φασι καὶ γλοιῶδες. κατὰ δέ τινας, λαγόνα φασὶν, ὁ γλουτὸς σημαίνει. Ὅμηρος δὲ, διασαφεῖ τὸ μετάφρενον, ἐκ τοῦ ἀντικρὺ τόπου, ὅς ἐστι τὰ στήθη, οὕτως καὶ τὸν γλουτὸν εἰπών· βεβλήκει γλουτὸν κατὰ δεξιόν, ἡ δὲ διαπρὸ, ἀντικρὺ κατὰ κύστιν ὑφ' ὀστέον ἤλυθ' ἀκωκή. δοκεῖ γὰρ λέγειν ἀντικρὺ, ἑτέρωθεν τοῦ ῥηθέντος γλουτοῦ κεῖσθαι τὴν κύστιν.

Γλυκεῖαν ᾠδήν. καὶ γλυκεῖα, ἡ γλυκύρριζος.

Γλυκεῖ' ὀπώρα, φύλακος ἐκλελοιπότος, ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀλλότρια καρπουμένων.

Γλυκέρα, ἑταίρα τίς.

Γλυκερῷ Σιδωνίῳ, δρᾶμα δέ ἐστιν, ἐν ᾧ τῆς θυμέλης ἄρχεται οὕτω, Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν Ἀγήνορος παῖς. διεβεβόητο δὲ τὸ μέρος τοῦτο.

Γλύκη, βοτάνη τὶς ἐδώδιμος.

Γλυκίνας, ὁ διὰ γλυκέος οἴνου πλακοῦς.

Γλύκιον, ἥδιον.

Γλύκιστον, τὸ συγκριτικόν ἐστι. καὶ γλύκιστος, ἐπὶ ἀρσενικοῦ. τὰ εἰς υς τριγενῆ ποιοῦσι συγκριτικὰ, καὶ ὑπερθετικά. τριγενῆ δὲ λέγω, βραδὺς, βραδεῖα, βραδύ. τὸ συγκριτικὸν, βραδύτερος, βραδίων, βράδιστος, οὕτω καὶ γλυκύτερος, γλυκίων, γλύκιστος, γλυκίων, ἡ κλητικὴ, ὦ γλύκιον. τὰ εἰς ων συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς, ἀναβιβάζουσι τὸν τόνον ἐπὶ τῆς κλητικῆς, οἷον ἀρείων ἄρειον, βελτίων βέλτιον, γλυκίων γλύκιον.

Γλύκκα, ἡ γλυκύτης.

Γλυκυθυμία, ἡ ἐπὶ τὸ ζῆν ἡδονὴ, καὶ οἷον φιλοψυχία λέγεται. ἁπλῶς δὲ πᾶσα ἡδονή.

Γλυκὺ ἦπαρ καὶ πνιξάτω. Τερπάνδρου ᾄδοντος, καὶ κεχηνότος πρὸς τὴν ᾠδὴν, βαλών τις εἰς τὴν φάρυγγα σῦκον, ἀπέπνιξε.

Γλυκυδερκὲς, τὸ ἡδὺ ἐν τῷ ὁρᾶν.

Γλυκύθυμος, ἁπαλόψυχος.

Γλυκὺς, παρὰ τὸ γλεῦκος, ὅ ἐστιν ὁ νεωστὶ ἀποστάζων ἐκ τῆς ληνοῦ οἶνος. τὰ δὲ εἰς υς τριγενῆ ποιοῦσι συγκριτικὰ, καὶ ὑπερθετικὰ, οἷον, ὁ βραδὺς, ἡ βραδεῖα, τὸ βραδύ. τὸ συγκριτικὸν, βραδύτερος, βραδίων, βράδιστος. οὕτως οὖν καὶ γλυκὺς, γλυκεῖα, τὸ γλυκὺ, καὶ τὸ συγκριτικὸν, γλυκύτερος, γλυκίων, γλύκιστος. ὅθεν τὸ πρεσβύτερος, καὶ νεώτερος παραλόγως, ἀπαρασχημάτιστα γὰρ τοῖς τρισὶ γένεσιν. ἀλλὰ μήποτε ὁμοτυπίᾳ συγκριτικῶν ταῦτα ὑπάγονται. ἐξ οὗ γλυκαίνω, καὶ γλυκασμός.

Γλυκέρα ἑταίρα τὶς, καὶ Γλυκέριος, ὄνομα κύριον.

Γλυκυσίδη, ἥτις καὶ Παιονία καλεῖται. ἔστι δὲ ῥίζα φαρμακὸς, κατὰ ἰατροὺς χαλαστικὴ, συντελοῦσα πρὸς ἀπόπημά τι τῶν γυναικῶν.

Γλυκύφαιον, τὸ ἐρυθρόδανον, Κρῆτες.

Γλυκύφρουροι, οἱ τὰ ἐν οἴκῳ φρουροῦντες, καὶ ἔνδον μέλιτος ὄντες.

Γλυκὺς ἀπείρῳ πόλεμος, ἐπὶ τῶν ὑπὸ ἀπειρίας πρὸς τὰ ἐπικίνδυνα προθυμουμένων.

Γλύξις, ὁ ἀνειμένος οἶνος, καὶ ἄγονος. ὃν ἔνιοι μὲν, ἁπαλόστομον. οἱ δὲ, γλεῦξιν.

Γλυπτὸν, παρὰ τῷ Δαβὶδ τὸ εἴδωλον. ἢ γλυπτόν ἐστιν ἄψυχον κατασκεύασμα, ἀπὸ γλύψεως τεχνίτου μεμορφωμένον. ἢ καὶ τὸ προσκαθεζόμενον αὐτῷ δαιμόνιον.

Γλυφίδες, τὸ γλύμμα τοῦ ἀτράκτου, τὸ ἐντιθέμενον τῇ νευρᾷ. ἢ γλυφίδες, αἱ τοῦ οἰστοῦ, αἷς ἐνίεται ἡ νευρὰ οὕτω καλουμένη ἀρχαιολογικῶς. ὕστερον δὲ ἐκ δερμάτων βοός, οὐ μὴν ἐκ νεύρων, αἱ τῶν τόξων νευραί.

Γλυφίδεσσι χαλκείαις, τρυπήμασι χαλκοῖς.

Γλυφὶς, ἡ χηλὴ τῆς ἀκίδος, ἤγουν ἡ ἐκκοπὴ τοῦ βέλους, ἡ ἐντιθεμένη ἐν τῇ νευρᾷ τοῦ τόξου, παρὰ τὸ ἐγγεγλύφθαι, ὅ ἐστι κοιλᾶναι. καὶ ἡ κεφαλὴ τοῦ κίονος. γλάπτω γλαφὶς, καὶ τὸ γλυφικὸν ἐργαλεῖον.

Γλύφιον, ἄντρόν τι, καὶ ὄρος. ὅθεν καὶ νύμφαι γλυφίαι.

Γλύψαι, ξύσαι, χαράξαι.

Γλώνυ, οὐδενὸς ἄξιον.

Γλωρεῖν, χρονίζειν.

Γλωρὸν, νομόν.

Γλῶσσα, ἐνίοτε καὶ διάλεκτον δηλοῖ, ὡς παρ' Ὁμήρῳ ἐν τῷ, ἄλλη ἄλλων γλῶσσα, τὴν διάλεκτον γλῶσσαν λέγει, ἐκ τοῦ ὀργάνου αὐτῆς.

Γλῶσσα, τὸ τῆς φωνῆς ὄργανον. δηλοῖ δέ ποτε καὶ ἐπεξενωμένην διάλεκτον, ὡς τὸ γλῶσσ' ἐμέμικτο. καὶ ὡς ὅτε εἴπωμεν, ὅτι τὸ μὲν λοιμοῖο καὶ δένδροιο καὶ ἵπποιο Θετταλῶν γλώσσης ἐστὶ, Συρακουσίων δὲ γλῶσσα τὸ πίσυνος. Κρητῶν δὲ γλώσσης, τὸ θεράπων.

Γλῶς, ὄνομα Αἰγυπτίου τινός.

Γλῶσσα ταμιείου, ἣν εἶχε Κυρῖνος ὁ σοφιστὴς ἐκ βασιλέως.

Γλωσσαλγία, ἡ φλυαρία, καὶ τὸ διὰ κενῆς λαλεῖν.

Γλώσσαργον ἦθος, ἀντὶ τοῦ στωμύλον, καὶ ταχύ.

Γλώσσας θύειν Ἑρμῇ. ἔθος ἦν τοῖς παλαιοῖς κρατῆρα κιρνᾶν, ὅτε μέλλοιεν καθεύδειν, καὶ τὰς γλώσσας τῶν ἱερείων ἐπιθύειν τῷ Ἑρμῇ, καὶ ἐπισπένδειν οἶνον. καὶ ἴσως φυσικῶς· ἐπεὶ γὰρ Ἑρμῆς λόγος εἶναι παραδέδοται, ὄργανον δὲ αὐτοῦ ἡ γλῶσσα, ἥτις ὕπνου ἐπιπεσόντος ἠρεμεῖ, εἰκότως τῷ Ἑρμῇ αὐτὴν θύουσι. καὶ Ὅμηρος, γλώσσας δ' ἐν πυρὶ βάλλον. Φιλόχορος δὲ ἐν τῷ περὶ θυσιῶν φησὶν, ὅτι τὸ κάλλιστον τοῦ στόματος καὶ πρωτεῖόν ἐστι. καὶ Ὅμηρος, ἀλλ' ἄγε τάμνετε γλώσσας, ἀντὶ τοῦ παύετε τοὺς λόγους. καὶ γλώσσας οὐκ ἐμπήξεται, οὐκ ἂν διαφάγοιτο, οὐκ ἂν γεύσοιτο.

Γλῶσσ' ἐμέμικτο, ἢ πληθυντικῶς νοητέον ἀντὶ τοῦ γλῶτται πολλαὶ μεμιγμέναι ἦσαν, ὡς τῆς αι διφθόγγου ἐκθλιβείσης, ἵνα ᾖ τὸ πλῆρες, ὅτι γλῶσσαι ἐμέμικτο, ὁποῖον ἀλλαχοῦ, τὸ κνῆμαι παλάσσετο, ἑνικοῦ ῥήματος ἐπαγομένου πληθυντικῷ ὀνόματι. ᾧ δὴ σχήματι πλεονάζει μάλιστα Πίνδαρος. ἢ καὶ ἄλλως λόγῳ προσηγορίας ἑνικῶς ῥητέον, γλῶσσα ἐμέμικτο.

Γλώσσασπις, ὁ τῇ γλώσσῃ οἷον ἀσπίδι καὶ προβολῇ κεχρημένος, ἀπὸ μεταφορᾶς τῶν πολεμούντων.

Γλωσσόκομον, τὸν μὲν τύπον καὶ τὴν θέσιν ὑπ' ἀρχαίων ἔχει. διεφθαρμένως δὲ λέγεται ὑπὸ τῶν πολλῶν. ἐχρῆν γὰρ γλωττοκομεῖον λέγειν, ὥσπερ ἀμέλει καὶ οἱ ἀρχαῖοι.

Γλωσσόκομον, βαλάντιον, ἢ ξυλίνη θήκη λειψάνων.

Γλωσσοστροφεῖν, περιλαλεῖν, καὶ στωμύλλεσθαι.

Γλωσσώδης, ἐστὶν ὁ λοίδορος ἄνθρωπος. ἀνὴρ γὰρ γλωσσώδης, οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς.

Γλωσσίδας αὐλῶν, ἢ ὑποδημάτων, μὴ λέγε. ἀλλ' ὡς οἱ δόκιμοι, γλώττας αὐλῶν, καὶ γλώττας ὑποδημάτων.

* Γλωσσὶς, μέρος τοῦ αὐλοῦ. καὶ γλωσσοκηλόμπης, ὁ γλώσσῃ καὶ κόμποις κηλῶν.

Γλῶττα τῷ κήρυκι, παρὰ τῷ Ἀριστοφάνει διχῶς νοεῖται, ἡ γλῶττα τῶν θυομένων τῷ Ἑρμῇ δίδοται, ἐπειδὴ τῶν θυομένων δεσπότης ἐστίν. ἢ τῶν καταρχομένων, ἀπ' αὐτοῦ ἡ ἀρχή. Καλλίστρατος δὲ τῶν θυομένων φησὶ τὰς γλώττας τοῖς κήρυξιν ἀπονέμεσθαι, διὸ καὶ τὸν ποιητὴν ποιεῖν τῷ Ἑρμῇ τεμνομένας αὐτάς. καὶ τοῦτο δὲ πρὸς τὸν Ἑρμῆν λέγει ἥκοντα παρὰ Διός. κολακεύων δὲ αὐτόν φησιν, ὅτι τῶν ἱερείων ἡ γλῶττα τῷ Ἑρμῇ δίδοται, ἐν ταῖς δημοτελέσι θυσίαις.

Γλώττης ἔργα ἐστὶ, γεῦσις, καὶ φωνὴ καὶ λόγος. καὶ ὀνόματα ἀπὸ γλώττης, ἄγλωττος, ἀγλωττία, θρασυγλωττία, καὶ γλωσσαλγία. καὶ δίγλωττος, πολύγλωττος, ἀλλόγλωσσος, ὁμόγλωσσος. ἔστι δὲ καὶ ὑπογλωσσὶς στεφάνου εἶδος. καὶ γλωσσογάστορας εἶπον οἱ κωμικοὶ, τοὺς ἀπὸ τῆς γλώττης βιοῦντας. καὶ αὐλοῦ γλῶτται. καὶ γλωττοκομεῖον τὸ τὰς γλώττας ὑποδεχόμενον ἀγγεῖον. καὶ γλωττοποιὸς, ὁ τεχνίτης. καὶ αὐλὸς ἄγλωττος. Ἀριστοφάνης δὲ ἄγλωττον,

τὸν

Digitized by Google

τὸν εἰπεῖν ἀδύνατον ἔφη. Σοφοκλῆς δὲ ἄγλωττον, τὸν βάρβαρον. ἀγλωττίαν δὲ Ἀντιφῶν εἴρηκε. παρὰ δὲ Εὐπόλιδι, ὁ ἀθυρόγλωσσος. οἱ δὲ κωμικοὶ, καταγλωττίζειν ἐν φιλήματι. καὶ καταγλωττισμός. καὶ καταγλωττισμένον. καὶ ἐπιγλωττωμένων, οἷον λοιδορουμένων. καὶ παλίγλωσσον, τὸν δύσφημον. καὶ οὐκ ἐπιγλωττίσομαι, οὐ λοιδορήσομαι. καὶ γλώττας δὲ, τὰς τῶν ὑποδημάτων ἔλεγον, ὡς Ἰσαῖος ὁ Σωκρατικός.

Γλώττῃ πολεμίζων, οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ τῇ γλώττῃ, καθάπερ ὅπλῳ χρώμενος.

Γλωττοδεψῶν, αἰσχρουργῶν.

Γλωττοποιός, ὁ τὰς αὐλητικὰς γλώττας ποιῶν.

Γλωττοστροφεῖν, περιλαλεῖν, καὶ στωμύλλεσθαι.

Γλωττοκομεῖον, εἰς ὃ οἱ αὐληταὶ ἀπετίθεσαν τὰς γλώττας. εἴρηται δὲ καὶ τὸ γυναικεῖον αἰδοῖον ὑπὸ Εὐβούλου, Φοινικίσκου σκώπτοντος.

Γλωχὶν, ἡ γωνία. καὶ οἰσῷ τριγλώχινι, τρεῖς ἀκίδας ἔχοντι, ὅ ἐστι τριγώνῳ, παρὰ τὸ γλύψαι καὶ κοιλᾶναι. ἢ παρὰ τὸ γωνίας ἔχειν, ἢ παρὰ τὸ γλάφω, γλωχὶν. ἡ γλωχῖνα τὴν ἄκραν γωνίαν λέγουσιν, ἤγουν τὸ τῆς αἰχμῆς τμητικὸν, ὅ ἐστι τὸ ἔμπροσθεν ὀξύ. ὡς τὸ, μελίαν χαλκογλώχινα.

Γλωχῖνας, γωνίας ὑπὸ τὸ ἔνδον παρατεινομένην τῆς θαλάσσης γλωχῖνα, εἰς ἕδραν. καὶ πάλιν ἐν τριγλώχινι, ὅ ἐστι τριγώνῳ, παρὰ τὸ γλύψαι, ἢ γλάψαι τὸ κοιλᾶναι.

ΤΟ Γ. ΜΕΤΑ ΤΟΥ Ν.

ΓΝάθος, καὶ γναθμὸς, καὶ σιαγὼν, καὶ γαμφηλὴ ταυτά τινα, κατὰ πολυωνυμίαν εἰσίν. ἡ γνάθος, ἡ παροιμία παρὰ τὴν γνάμψιν καὶ κάμψιν, ἢ κλάσιν, ἡ καμπτομένη σιαγών. οἷον, φυσίγναθος ἀντίον ηὔδα.

Γνάθοι, βόθροι, κοιλώματα, σπήλαια, θαλάμαι. καὶ τὰ ἐν τῷ βαδίζειν προσκόμματα. ἔνιοι γνυθές.

Γνάθος, θηλείας, ἢ γυναίκας.

Γναθοῦν, τὸ εἰς γνάθους τύπτειν.

Γνάθων, παράσιτος.

Γναθμὸν, τιμιώτατον, καὶ αἱρετικώτατον. παρὰ τὸ γνάπτω, γέγναπται, γναπτὸς, καὶ γναθμός.

Γναθμοὶ, γνάθοι, σιαγόνες. ὡς τὸ γναθμοὶ ἐπίνυσθεν, ἀντὶ τοῦ ἐπαχυώθησαν, οἱ πρὸ τοῦ δηλαδὴ ῥυσοί. παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας π.

Γναθμοῖσιν ἐγέλων ἀλλοτρίοις, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας υ. Ἴσιον δ' ὅτι, τὸ γναθμοῖς γελᾶν ἀλλοτρίοις, καὶ νῦν ἐπιπολάζει λέγεσθαι παροιμιακῶς. τὰς γάρτοι, ἐφ' οἷς μὴ ἄξιον γελῶντας ἐκ θυμοῦ, ἢ ἀμηχανίας τινὸς, ξέναις φαμὲν γελᾶν παρειαῖς. ὥσπερ καὶ τοὺς πρὸς βίαν ἐσθίοντας, ἀλλοτρίοις ἐσθίειν γναθμοῖς, ὡς τῶν οἰκείων δηλονότι ὀκνούντων. καὶ ἔστιν ὁ τοιοῦτος γέλως, ἕτερός τις παρὰ τὸν σαρδόνιον. καὶ ἄλλως δὲ φράσαι, τὸ μὴ κατὰ προαίρεσιν, μηδὲ ἡδέως ἐνεργοῦν μόριον, οὐδὲ μέρος οἰκεῖον εἶναι λογιζόμεθα, ὃ καὶ οἱ μνηστῆρες πάσχουσιν. ἔτι καὶ ἄλλως, σύμβολόν ἐστι τὸ ῥηθὲν τοῦ ἐξεστηκέναι τοὺς μνηστῆρας ἑαυτῶν, ὡς οἷον μηδὲ ἐν σώμασιν εἶναι. διὸ καὶ ἀπηλλοτριῶνται αὐτοὶ τῶν οἰκείων σωμάτων, καὶ αὐτὰ ἐκείνων, ὡς δοκεῖν ἀλλοτρίοις γελᾶν γναθμοῖς. ᾤοντο γὰρ ἤδη θάνατον αὐτοῖς αἱ ψυχαὶ, καὶ ἁρμονίας φυσικῆς παράλυσιν, καὶ μελῶν καὶ μερῶν ἀποξένωσιν. οὕτω καὶ τῆς μὴ κατὰ ἐπιθυμίας ἐσθιόντων, σώματι ἀλλοτρίῳ φαμὲν ἐσθίειν. καὶ ὁ ἐν λόγοις δὲ παρήκοος, ὅμοιόν τι σχοσθείη ἂν κατὰ ἀκοῆς. οὕτω δὲ καὶ ὁ δι' ἐλπίδα κακοῦ τινος βαδίσας περιπατοῦ, οὐκ ἂν ἐθέλῃ. καὶ χεῖρα δέ τις ἐπιβάλλων ἔργῳ πρὸς βίαν, ἀλλοτρίᾳ ἂν εἴποι χειρὶ πρᾶξαι. οὐκ ἀφέξεται δὲ τοιαύτης ἐννοίας οὐδὲ ὀφθαλμοῦ, ὅτε βλέπει, ἃ μὴ βούλεται. ἴσως δὲ τὸ γναθμοῖς ἐγέλων ἀλλοτρίοις, ὅμοιόν ἐστι τῷ, ἀχρεῖον ἐγέλασαν, ὅ ἐστι τῇ Πηνελόπης εἴρηται.

Γναμπτὰ, καμπύλα, πλεκτὰ, ὑγρά.

Γναμπτὰς, ἕλικας, τὰ καμφθέντα ψέλλια.

Γνάμπτει, κάμπτει.

* Γναμπτὰ μέλη, τὰ καμπτόμενα κατὰ τὰς κινήσεις. καὶ γναμπτὸν ἄγκιστρον, τὸ κεκαμμένον, παρὰ τὸ γάμπτω, ὅ ἐστι κάμπτω.

Γνάμπτω, ἐκ τοῦ γνάμπτω, ὅ ἐστιν ἡ καμπτή. ὅθεν γνάμπτω πλεονασμὸν ἔχει τοῦ μ, πρὸς διαστολὴν τοῦ γνάπτω, ὡς κάπτω τὸ καὶ κνάπτω λεγομένου. ὧν ἐκ τοῦ γνάπτω μὲν, τὸ γναφεῖον κοινότερον, καὶ ὁ γναφεύς· ἐκ δὲ τοῦ κνάπτειν, τὸ κναφεῖον καὶ ὁ κναφεὺς, τῶν ὑφαινομένων, ἢ πλεκομένων. ἤδη δὲ καὶ ὁμώνυμος αὐτῷ ἰχθῦς, ἱστορεῖται γὰρ ἰχθῦς κναφεύς. οὐ τὸ ἐκ τοῦ σηπίας ὑγρὸν, φασὶ πάντα ῥύπον καθαίρειν.

Γναμπτὸν, ἀπηνὲς, ἔνυγρον, εὔγναπτον, ἀμφίβολον. καὶ γναμπτὸν ἄγκιστρον, καθ' ὅμοιον λόγον. ὃ καὶ περιηγεῖται λέγεται. περιάγεται γὰρ, ἤτοι περικλᾶται καὶ γνάμπτεται, ὅ ἐστι, κάμπτεται.

Γναμπτοὺς, χαλινούς.

Γνάμπτω, ἐκ τοῦ κάμπτω. σύνηθες δὲ τοῖς παλαιοῖς λέγειν γνάπτω. ἀνεγνάφθη δὲ οἱ αἰχμὴ, ἀνὰ τοῦ μ. καὶ ἐπέγναψε γὰρ ἅπαντας, ἄνευ τοῦ μ, ἐν τῇ συνηθείᾳ. μετὰ δὲ τῆς προθέσεως ἀνὰ, λέγομεν ἀναγνάμπτω. ἡ δὲ ἀνὰ, σημαίνει τὴν ἐξ ὑστέρου ἐπάνοδον.

* Γνάπτω, ταυτὸ ὅπερ κνάπτω. καὶ γναφεὺς, ταυτὸ ὅπερ κναφεύς.

Γνάμψαι, κάμψαι, κλάσαι, πέσαι.

Γνάμψεν, ἔξεσεν, ἤμυξεν.

Γναταὶ, ἀκταί.

Γναφάλιον, γναφάλλιον βοτάνη.

Γνάφαλον, τύλη. λέγεται δὲ καὶ διὰ τοῦ κ, κνάφαλον. καὶ ὁ γναφεὺς, κναφεύς. φάρυς γνάψις, ἥτις ἐστὶ παρὰ τὸ γάνος τὸ λαμπρόν.

Γναφεὺς, ὁ πλύνων τὰ ἱμάτια, κναφεὺς δὲ ὁ τὰ δέρματα ξύων, ὅ ἐστι βάπτων. ἔστι δὲ καὶ κνάφος, τι ἀκανθῶδες ᾧ ξύουσι τὰ ἱμάτια. τοῦτο οἱ νεώτεροι διὰ τοῦ γ λέγουσι παρὰ τὴν γνάψιν. κναφεὺς μὲν παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. ἔστι δὲ καὶ εἶδος ἰχθύος.

Γναφέως, τοῦ καθαίροντος τὸν ῥύπον.

Γναφθῆναι, κλασθῆναι, καμφθῆναι.

Γνήσιος, ὁ μὴ νόθος, ὁ ἐκ τοῦ αὐτοῦ γεννηθείς. ἐκ τοῦ γενοῦ γενήσιος, γενήσιος καὶ κατὰ συγκοπὴν γνήσιος. καὶ γνήσιος, ὁ ἐξισονομῶν, ἴδιος, οἰκεῖος.

Γνοίεν, μάθοιεν. ἐκ τοῦ γνῶμι, ἡ μετοχὴ γνοὺς, γνόντος. τὸ ἀττικὸν γνοίην.

Γνοίη, δοίη, ἁλοίη, διὰ τῆς διφθόγγου δεῖ γράφειν. καὶ οὐχὶ ἁλώη, γνώη, δώη.

Γνοίησαι, γνῶναι.

Γνοίησκεν, εἰδείης ἄν.

Γνόφος, συνέφεια, ἢ ζοφώδης ἀήρ. παρὰ τὸ κενὸς φάους εἶναι, κνόφος, καὶ γνόφος. ἡ γνόφος ἐστὶ, νοητὴ θεωρία, πνευματικὴ, τῆς περὶ κρείσσονος καὶ προνοίας τῆς ἐπὶ γῆς περιέχουσα λόγους.

Γνὺξ ἐριπὼν ἔστη. ἐκ τοῦ γόνυ κατὰ συγκοπὴν γίνεται. μὲν. ἐπεὶ γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο, τοῦτον μένει, τῷ γουνασαμένη τὸν ἀδελφόν. πλὴν οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πάθους, ὡς καὶ ἑαυτὴν προσεῖψαι τοῖς ἐκείνου γόνασιν. οὐκ ἄδηλον δὲ, ὡς καὶ οἱ ἐν πολέμῳ καταρριφθέντες, γνὺξ ἐριπεῖν λέγονται.

Γνύπετοι, εὐγνοὶ, καὶ οἷον νενυγμένοι.

Γνύπετον, ἀργὸν, ἔκλυτον.

Γνυπετοὶ, ἐκπεπαμένοι δηλοῖ, ἄλλοι δὲ κατηφεῖς. καὶ καταγνυπωθῆναι, μεπεγγυμνάσθαι.

Γνυπτᾶν, ἀσθενεῖν, μαλακίζεσθαι.

Γνυπήσῃ, γονυπετήσει.

Γνυπόνες, εὐγνοὶ, κατηφεῖς, ἄτολμοι, παρειμένοι, καὶ μαλακοὶ, ἐπὶ τοῦ εἰς γόνυ πεπτωκέναι.

Γνυφαὶ, νάπαι.

Γνύων, νωθρῶν.

Γνῶ χωομένοιο, σύνοιχόν ἐστι, τῆς πολέμων ἀείδας πυγμαχίης. διὸ γενικὴ κατ' ἐκεῖνο σωπάσεται. ἵνα τὸ γνῷ χωομένου, ἀντὶ τοῦ γνῶσιν καὶ εἰδήσιν ἔχοι ὀργιζομένου. τοιοῦτον δὲ καὶ ἐν Ὀδυσσείᾳ τὸ, γνώτην ἀλλήλων.

Γνῶθι, ἐκ τοῦ γνῶμι γνώσω, ἀόριστος ἔγνων. ἡ μετοχὴ ὁ γνοὺς τοῦ γνόντος. τὸ προστακτικὸν γνῶθι κατὰ ἐπέκτασιν. καὶ γνῶθι σαυτὸν, ἀπόφθεγμα Χείλωνός φασι.

Γνῶμα, τὸ βαλλόμενον ὀδόντα, δι' οὗ τὰς ἡλικίας ἐγνώριζον τῶν τετραπόδων, καὶ ὁ καταρτηκὼς ἤδη λιπογνώμων. λέγεται δὲ καὶ γνῶσις.

Γνῶμαι, τὰ ψηφίσματα.

Γνωμάτευμα, διάκρισις, διάγνωσις ἀκριβής, ἢ τὸ βούλευμα. ἕτερα διαλεγόμενοι, ἕτερα γνωματεύματα γνωματεύουσι.

Γνωματεύω, σημαίνει τὸ διακρίνω, καὶ διαγινώσκω ἀκριβῶς.

Γνώμη, ἡ συνείδησις, ἡ σκέψις, ποιά τις διάθεσις, ἡ βουλὴ, ἡ προαίρεσις, ἡ οἴησις.

Γνώμη καὶ ἡ δημηγορία. καὶ γνώμας οὐδεὶς νικήσει πλείονας, ἢ σύ. γνώμη, καθ' ἣν λέγομέν τινα ἔχειν γνώμην. καὶ ἡ ἐπιεικὴς κρίσις ὀρθή, ἡ ἀπόφασις καθολικὴ περὶ τῶν πρακτέων, καὶ ὡς αἱρετέα, ἡ φευκτέα ἐστὶ πρὸς τὸ πράττειν. ἡ συμπέρασμα, ἡ πρότασις ἐνθυμημάτων. ἡ ὄρεξις ἐνδιάθετος τῶν ἐφ' ἡμῖν. ἡ διάθεσις ἐπὶ τοῖς ἐφ' ἡμῖν ὀρεκτικῶς βουλευθεῖσιν. ἡ τρόπος ζωῆς.

* Γνώμη, ἀπὸ τοῦ νοῶ, γίνεται νώμη, καὶ προσθέσει τοῦ γ γνώμη.

Γνώμην ἐμὴν Ἀττικῶς, ἤγουν κατὰ γνώμην ἐμήν. γνώμη δὲ εἴρηται, παρὰ τὸ νοῶ νοήσω, νοήμη. καὶ κατὰ κρᾶσιν νώμη, καὶ πλεονασμῷ τοῦ γ, γνώμη.

Γνώμης ἁμαρτάνει, ἀντὶ τοῦ ἐκπίπτει γνώσεως, οὐ νοεῖ. Θουκυδίδης, Τὸν δὲ πόλεμον, δι' ὅντερ χρήσιμοι ἂν εἴημεν, ὅστις ὑμῶν μὴ οἴηται ἔσεσθαι, γνώμης ἁμαρτάνει. καὶ γνώμη ὁ τρόπος καὶ ὁ λογισμός.

Γνωμίδιον, τὸ μικρὸν ἐνθύμημα.

Γνωμοδοτῶ, γνώμην δίδωμι.

Γνωμοτυπικῶς, ἤτοι γνωμολογικῶς.

Γνώμων, ὁ συνετός. καὶ κανόνιόν τι μηχανικὸν, καὶ σχῆμα γεωμετρικόν. καὶ διοπτρικοῦ ὀργάνου μέρος, καὶ δὴ καὶ ἀστρονομικοῦ. καὶ τὸ ἐν τοῖς ἡλιοσκοπίοις πηγνύμενον, ὅπερ ἐφεῦρεν Ἀναξίμανδρος, καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων. γνώμων καὶ ὁ οὖς τῶν ἀλόγων ζώων. ἔνθεν καὶ προβατογνώμων, ὁ ἤδη βεβληκὼς τοὺς ὀδόντας.

Γνώμων λέγεται καὶ ὁ ἀποπίπτων ὀδοὺς, τῆς ἡλικίας ὢν γνώριμος. ὅθεν ἀγνώμονες, καὶ λειπογνώμονες.

Γνωμοτύπων, τῶν τὰς οἰκείας γνώμας διὰ τῶν λόγων τυπούντων, ἢ τοὺς τύπους αὐτῶν, τοῖς ὕστερον καταλιμπανόντων, ἢ διὰ ταῖς γνώμαις ἀλλήλους τυπτόντων, Ἀριστοφάνης.

Γνῶναι, ἀντὶ τοῦ νοῆσαι, καὶ ἀντὶ τοῦ διαγνῶναι, Ἀττικῶς συμπάσσεται ἀπαρεμφάτῳ συζυγίας τρίτης τῶν περισπωμένων, τὸ θέμα, γνώω γνῶ. ἐκ τοῦ ῥῆμα εἰς μι, γνῶμι. ὁ μέλλων, γνώσω. ὁ δεύτερος ἀόριστος ἔγνων. ἡ μετοχὴ, ὁ γνοὺς τοῦ γνόντος. καὶ τὸ ἀπαρέμφατον γνῶναι. ὁ κανών. πᾶσα μετοχὴ τῶν εἰς μι ῥημάτων διὰ τοῦ ντ κλινομένη, εἰς ναι τὸ ἀπαρέμφατον ποιεῖ. καὶ ὤφειλε μικρογραφεῖσθαι, ὡς ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς γεγονός. ἀλλ' ἐνίκησεν ὁ κανὼν ὁ λέγων, ὅτι τὰ εἰς δι προστακτικὰ, καὶ τὰ εἰς ναι ἀπαρέμφατα ἀορίστου ὄντα, καὶ φύσει μακρᾷ παραλήγεται. τὸ γνῶ, μέγα. ὁμοίως, τὰ εἰς δι προστακτικά.

Γνωρίζω, τὸ ὑπομιμνήσκω παρὰ τῷ ἀποστόλῳ. ὡς τὸ, γνωρίζω ὑμῖν ἀδελφοὶ τὸ εὐαγγέλιον. καὶ γνωρίζω ἕτερον ἑτέρῳ, ἀντὶ τοῦ γνώριμον ποιῶ. καὶ γνωρίζει ἡμᾶς τὴν τοῦ συζῶντος φωνήν, ἤγουν ἀναγνωρίζει. ὅπερ κυρίως ἐστὶ τῶν ἀπὸ νόσου ἀνασφηλάντων λέγεται, καὶ ἀναγινωσκόντων τοὺς γνωρίμους, οὓς ἐν τῇ νόσῳ ἠγνόουν. καὶ γνωρίζω, ἀντὶ τοῦ γινώσκω. ὡς ὁ Θεολόγος Γρηγόριος. οἷον, γνωρίσωμεν ἡμῶν τὸ ἀξίωμα, καὶ ὑπέρ τινος Χριστὸς ἀπέθανε. καὶ γνωρίζω, τὸ γνώριμον καὶ δῆλον ποιῶ. Προκόπιος, Ἐγνώρισε γάρ μοι τοῦτον ἡ πεῖρα. καὶ Ἱμέριος. Καὶ Φρυγίαν Αἴσωπος, εἰς μόνον τὸν μῦθον ἐγνώρισε.

Γνώριμος, οὐχ ὁ μαθητὴς, ἀλλ' ὁ γινωσκόμενός τινι, ἢ ἁπλῶς, ὁ ἔνδοξος. Δημοσθένης, καὶ γνωρίμως ἔχω τοῖς πλείοσι τῶν πλεόντων τὴν θάλασσαν. καὶ γνωρίσαι, τὸ συστῆσαι καὶ ποιῆσαι γνώριμον. γνώριμοι, καὶ οἱ φοιτηταί.

Digitized by Google

Πυθαγόρας ὁ Σάμιος. γνωρίμους ἔχει πλείους, ἢ ἑξακοσίους. τὸ δὲ γνώριμος, παρὰ τὸν γνώσω μέλλοντα γίνεται γνώσιμος. ὡς ὀνήσω, ὀνήσιμος. καὶ τροπῇ τοῦ σ εἰς ρ, γνώριμος.

Γνωριμώτερον, τοῦτο διχῶς λέγεται. ἢ ἁπλῶς, οἷον τὸ πρότερον τοῦ ὑστέρου, ἢ ἡμῖν, ὅ ἐστι τῇ φύσει ἔσχατον, τουτέστι τὸ σύνθετον, ἤτοι τὸ μερικόν.

Γνωρίσαι, φανεροποιῆσαι.

Γνώσεαι Ἰωνικῶς, ἐκ τοῦ β΄ προσώπου γνώσεται, ἀποβολῇ τοῦ τ, γίνεται γνώσεαι. οὕτω καὶ βούλεται βούλεαι. καὶ τὰ ἄλλα πάντα, ἐπὶ τῶν παθητικῶν.

Γνωσιμαχῆσαί ἐστι, τὸ γνόντα ὅτι πρὸς κρείττονας αὐτῷ ἡ μάχη, ἡσυχάσαι. ἢ γνωσιμαχεῖν, τὸ ἐπίστασθαι τὴν πρὸς κρείττονας μάχην.

Γνωσιμαχῶ, τὸ διά τι προγεγονὸς ἐμαυτῷ μάχομαι, καὶ ὅτι τοῦτο εἰργασάμην. λέγει οὖν γνωσιμαχῶ, καὶ μὴ ἐμαυτῷ κατὰ νοῦν μάχομαι.

Γνωρίσματα, τὰ συνεκτιθέμενα τοῖς παισὶν, ἔξω τῶν περιδεῤῥαίων.

Γνῶσις ἐμοί ἐστι τῆς γραμματικῆς. ἔστι δὲ γνῶσις, διὰ προηγουμένων, καὶ οὐ κατὰ συμβεβηκὸς γεγονότων παρὰ θεοῦ. Ἄλλως.

Γνῶσις, ἡ διὰ τῆς τοῦ πνεύματος χάριτος ἐν ταῖς καρδίαις τῶν ἀξίων γινομένη ἔλλαμψις. γνῶσις, καὶ ἡ διὰ τῆς τῶν ἐντολῶν πράξεως ἐγγινομένη τῷ πράττοντι πεῖρα. γνῶσις, καὶ ἡ τῶν θείων γραφῶν διὰ λόγων ψιλὴ κατανόησις. γνῶσις, καὶ ἡ τοῦ πρώην μὴ ὄντος ἐν τῷ νοΐ, νεοφανὴς ἔμφασις. γνῶσις, καὶ ἡ τῶν κατειλημμένων περίεργος συγκατάθεσις, ὡς ὁρωμένων ἔλεγχος. γνῶσις, καὶ ἡ θεωρία τῆς ἁγίας Τριάδος. γνῶσις, καὶ ἡ κρίσις. γνῶσίς ἐστιν ἀληθὴς, τὸ διακρίνειν ἀπταίστως τὸ κακὸν ἐκ τοῦ καλοῦ. γνῶσίς ἐστι, καθαρότης ψυχῆς θεία, τῶν ἀσωμάτων ἐξουσιῶν καὶ δυνάμεων. γνῶσίς ἐστι, νοῦ καθαροῦ, καὶ εἰλικρινοῦς μὲν πάντη ἀΰλου διαύγεια, καὶ φανότης, ἐνόρασίς τε, καὶ καταφάνεια πάντων τῶν νοητῶν πραγμάτων. γνῶσίς ἐστι, πάντων τῶν ἀρχαιτύπων καὶ τῶν παραδειγμάτων, ὧν ὧδε ὁ κόσμος τὰ σύμβολα καὶ τὰς εἰκόνας περιέχει. σκοπὸς γὰρ τῆς γνώσεως, οὐ τὰ αἰσθητὰ γνῶναι, ἀλλὰ τί ταῦτα σημαίνουσι.

Γνωσόμεθα ἀλλήλων, γενικῇ συνταχθὲν παρ' Ὁμήρῳ. ὡς καὶ τὸ, Τραπέζῃ γνώτην ἀλλήλων.

Γνωστικὰ ῥήματα, μετὰ μετοχῆς συντάσσονται. οἷον, οἶδα τὸν δεῖνα ποιοῦντα τόδε.

Γνωστικός ἐστιν, ὁ αὐθημερινὸς μίσθιος. ἢ ὁ τῇ ἀληθείᾳ ποιηθεὶς τέλειος.

Γνωστὸς, ὁ γνωτὸς καὶ γνώριμος. καὶ γνωστὰ, καὶ γνωτὰ, οὐκ ἄγνωτα. ἐκβολῇ τοῦ ἡμιφώνου γνωτὰ γὰρ, οὐκ ἄγνωτα. οὕτω δὲ καὶ νήριστον ὄρος κατὰ τὸ ἀμφήριστον, ἐκδρομῇ τοῦ σ νήριτον.

Γνῶτε, ἐκ τοῦ γνῶμι, γνώσω. ὁ δεύτερος ἀόριστος, ἔγνων. ἡ μετοχὴ, ὁ γνοὺς τοῦ γνόντος. καὶ τὸ προστακτικὸν γνῶθι, γνώτω. γνῶτον, γνώτων. γνῶτε γνώτωσαν.

Γνώτην ἀλλήλων παρ' Ὁμήρῳ, τὰ τῶν ἀντιγράφων ἀκριβέστερα κατὰ πτῶσιν γενικὴν τῶν πληθυντικῶν γράφουσιν ἀλλήλων, ἵνα λέγῃ ὅτι γνῶσιν ἔχον ὁ εἷς τοῦ ἑτέρου· οὕτω καὶ τὸ εἰδέναι γενικῇ συντάσσεται μετὰ τοῦ εὖ. οἷον τόξων εὖ εἰδώς.

Γνωτοὶ οἱ ἀδελφοὶ, δίχα τοῦ σ καλῶς. οὗτοι γὰρ καὶ ἀλλόγνωτοι λέγονταί τινες, καὶ πολύγνωτοι. καθ' ὁμοιότητα δὲ καὶ τὸ γνωτὰ οὐκ ἄγνωτά μοι τὸ τραγικόν. τὸ γὰρ μετὰ τοῦ σ λέγειν γνωστὸς, καὶ τὰ κατ' αὐτὸ, οὐκ ἀπὸ τοῦ γνῶ γνώσω γίνεται ἀπαθῶς, ἀλλὰ ἐπένθεσιν ἔχει τοῦ σ. ἢ καὶ ἀπὸ ἐνεστώτων ἀῤῥήτων δοκεῖ γίνεσθαι τοῦ γνώθω, ἢ γνώζω, ἢ γνωτοί. καὶ γνωταὶ, οὐκ ἐξ ἀνάγκης ἔλλειψιν ἔχουσι τοῦ σ, ἐκ τοῦ γνωστοὶ καὶ γνωσταί. ἀλλὰ δύναται εἶναι καὶ ἀπὸ τῆς τρίτης συζυγίας τῶν περισπωμένων, ὁμοίως τῷ ἐδνωταὶ καὶ τοῖς τοιούτοις. ἴσως δὲ καὶ ὥσπερ ἀπὸ τοῦ γεννήσω, συγκέκοπται ὁ κασίγνητος, οὕτως ἐκεῖθεν καὶ ὁ γνητὸς καὶ ἡ γνητή. ἐξ ὧν τοῦ η εἰς ω τραπέντος, οἱ γνωτοὶ, καὶ αἱ γνωταί. καὶ γνωτοὶ, οἱ συγγενεῖς.

* Γνόω, τὸ νοῶ Αἰολικῶς. ὅθεν τὸ ἀγνοῶ.

Γνώωσιν. ἔστι γνώω, ἐκ τῆς συζυγίας τῶν περισπωμένων. ἐξ οὗ, γνῶ γνῶμι, ὁ δεύτερος ἀόριστος ἔγνων. ἡ μετοχὴ ὁ γνοὺς, τοῦ γνόντος. καὶ τὸ ὑποτακτικὸν, ἐὰν γνῶ. τὸ τρίτον τῶν πληθυντικῶν, ἐὰν γνῶσι. καὶ ἐὰν γνώωσι, προσθήκῃ τοῦ ω μεγάλου. τὰ γὰρ διὰ τοῦ ων καθαρὰ δισύλλαβα, διὰ τοῦ ω μεγάλου γράφεται. οἷον σώω, ζώω, χώω, ῥώω, πλώω. οὕτω καὶ γνώω. ἐκ τοῦ γνώω, ὁ παρακείμενος ἔγνωκα. ὁ παθητικὸς, ἔγνωσμαι. ἐξ οὗ καὶ τὸ ἐγνώσθην.

ΤΟ' Γ'. ΜΕΤΑ' ΤΟΥ Ο'.

Γοβρίαι, φονοὶ, λαμπτῆρες.

Γογγίζειν, ἐπὶ περιστερᾶς λέγεται. σημαίνει δὲ τὸ τονθορίζειν.

Γογγίζω, τονθορίζω, ψιθυρίζω.

* Γοᾶσθαι, ἐν ἴσῳ τῷ θρηνεῖν.

Γόγγρος, εἶδος ἰχθύος. παρὰ τὸ γρῶ, τὸ ἐσθίω. Καλλίμαχος, ὃς ἔγραε κηδεμόνα, ἀντὶ τοῦ ἤσθιεν. ἀφ' οὗ ῥήματος, ὄνομα γρὸς, καὶ ἐν διπλασιασμῷ, γόγγρος. ἐσθίει γὰρ τῶν πολυπόδων τοὺς πλοκάμους.

Γογγρῦσαι, ὡς χοῖρος φωνῆσαι. γόγγρωνα, βρογχοκήλη, παρὰ τῷ Ἱπποκράτει.

Γογγρώνη, ἀπόστημα ἐν φάρυγγι.

Γογγύζω, ἀπὸ τοῦ γρύζω, τὸ τῇ φωνῇ ὑποκλέπτω, καὶ χαλῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν, γογγρύζω, καὶ γογγύζω.

Γογγύλαι, εἶδος λαχάνου εἰσί. καὶ γογγυλίζειν, τὸ μεταστρέφειν. ἔστι δὲ καὶ γογγύλος λίθος.

Γογγύλη, καὶ ἐνταῦθα ἁμάρτημα. οἱ γὰρ παλαιοὶ ἐπὶ τοῦ στρογγύλου τιθέασιν. οἱ δὲ νῦν ἐπὶ τῆς ὑπὸ τῶν Ἑλλήνων γογγυλίδος καλουμένης. λέγε οὖν ἐπὶ τοῦ λαχάνου γογγυλὶς, ἀλλὰ μὴ γογγύλη.

Γογγύλια, σφαιρία τινά. ὥσπερ καταπότια, παρὰ τῷ Ἱπποκράτει.

Γογγύλιον, στρογγύλον.

Γογγυλόσκηνος, ὁ στρογγύλον τὸ σῶμα ἔχων.

Γογγυλωτὰ, στρογγύλα, εὔτονα, γοργά.

Γόγγων, μωρός.

Γογγρύζειν, τονθορύζειν, τὸ τὰς ὗς φωνεῖν. ὅπερ ἔνιοι γογγυλίζειν. τὸ αὐτὸ καὶ γρυλίζειν λέγεται.

Γόδα, ἔνθερα. Μακεδόνες.

Γοδᾶν, κλαίειν, Κύπριοι.

Γόδατος, θήρα.

Γοδὸν, γόητα.

Γοερὸν, θρηνῶδες, λυπηρὸν, κατανυκτικόν.

Γοήμεναι, ἀπὸ τοῦ γοῶ γοαίνω, ὡς ἀπὸ τοῦ φορῶ, φοραίνω. ἴσως δὲ καὶ ἀπὸ τοῦ γοῶ γόημι. ὡς ἱστάω ἱστῶ ἵστημι.

Γόης, ὁ πλάνος, ὁ ἀπατεὼν, ὁ φαρμακὸς, ὁ μάγος, ὁ ψεύστης.

Γοητεία, φαρμακεία, καὶ μαγεία, ἡ δι' ἐπικλήσεως ἀνάγουσα τὸν νεκρόν. εἴρηται δὲ, ἀπὸ τῶν γόων καὶ τῶν θρηνῶν, τῶν περὶ τοὺς τάφους γινομένων.

Γοητεία ἐστὶν, ἡδονὴ δι' ὄψεως κατὰ ἀπάτην.

Γόητες κυρίως, οἱ ἐπῳδαῖς τισὶ χρώμενοι, ἐπὶ ἀνακλήσει τῶν κατοιχομένων. καὶ γοητεία, ἡ ἐπὶ ἀναγωγῇ τῶν νεκρῶν γινομένη, ἀπὸ τοῦ γόος ὁ θρῆνος· ὥσπερ καὶ μαγγανεία, ἡ ἐπίκλησις δαιμόνων τινῶν ἀγαθοποιῶν, πρὸς ἀγαθοῦ τινος σύστασιν.

Γοητεύω, τὸ ἀπάγομαι, καὶ ἀπατῶ καὶ φενακίζω, αἰτιατικῇ συντάσσεται. καὶ γοητεύω τὸ διὰ μαγγανείας ἐπάδω, δοτικῇ συντάσσεται.

Γοιαῦτις, οἰνοχόη.

Γοιαυτὼ, φάρυγξ.

Γοῖδα, οὐκ οἶδα.

Γοίδημι, ἐπίσταμαι.

Γοιδύες, ῥυτῆρες.

Γοίνακες, βλαισοί.

Γοινὲς, κόρακες.

Γοῖνος, οἶνος.

Γοῖσος, μέλαν, πλατύ.

Γοισοῦται, πλατύνεται, ἐλαύνεται, χαλκεύεται, κάμπτεται, κοιλαίνεται, μελαίνεται.

Γοῖτα, οἶς.

Γοιταὶ, κριθαὶ, γραστίς.

Γοῖτος, ῥύπος, πάθος.

Γοιτόσυρον, τὸν Ἀπόλλωνα. Σκύθαι.

Γόλαμος, διωγμός.

Γόλανα, ἀγκύλη, ἀντιλαβεύς.

Γόλησις, κακοδαιμονία.

Γόλλακα, λάκκον.

Γόλμις, ψὰρ, τὸ ὄρνεον.

Γολμοὶ, στολμοί.

Γολοινὰ, χῶρα, ἢ γολονά.

Γολομένη, βοτάνη.

Γολύριον, κέλυφος, οἰκεῖον Ταραντίνοις.

Γόμνη, ὀρίγανον.

Γόμος, ζωμός.

* Γόμος, ὁ φόρτος, εἴτουν τὸ ἄχθος.

Γομὸρ, εἶδος μέτρου Ἑβραϊκοῦ.

Γομφιασμὸς, συγκλασμός.

Γομφίους, ὀδόντας, κληδώσεις. οἱ ἔμπροσθεν δὲ ὀδόντες εἰσί.

Γόμφοις, ταῖς τῶν ξύλων ἁρμογαῖς.

Γομφοπαγῆ ῥήματα παρὰ τῷ Ἀριστοφάνει, ἀκριβέστατα, πολυσύνθετα, σκληρὰ, καὶ ἦχον ποιοῦντα, ὥσπερ αἱ κεκαρφωμέναι σανίδες.

Γόμφος κυρίως, τὸ ξύλινον καρφίον.

Γομφούμενα, σφηνούμενα. γόμφοι γὰρ οἱ σφῆνες, οἱ συνείροντες τὰς σανίδας, καὶ συναρμονιοῦντες, καὶ συνέχοντες.

Γομφῶσαι, συμπῆξαι.

Γομφωτήρια, ἧλοι.

Γονὰ, κύει, γεννᾶ, φύει. καὶ γυναικεῖον αἰδοῖον.

Γονάδες, μητέρες.

Γόναρ, μητέρα. Λάκωνες.

Γονὰς, τέκνα.

Γονὴς, νάρκισσος τὸ φυτόν.

Γονιαγμὼν, γονοτύλη, τὸ τετυλωμένον τῷ γόνατι. τύλας γὰρ λέγουσιν, ἃ ἡμεῖς τυλώματα.

Γονίας, δυσχερής· Αἰσχύλος Ἀγαμέμνονι.

Γονίμη ἡμέρα, ἡ περισσὴ καὶ μὴ ἄρτιος.

Γόνιμον ποιητὴν λέγουσι, φυσικόν τινα, καὶ μὴ βεβιασμένον ἢ γεννητικόν.

Γόνιμον, εὔκαρπον.

Γονναζέσθην, ἐλιτάνευον·

Γόννος, ἧς ὁ Λυκόφρων μέμνηται, πρὸς τῷ Ὀλύμπῳ κειμένη. ὡς καὶ Ἡλώνη. ὁ τοῖς ἐθνικοῖς ἐνδιατρίψας, Μαγνησίας πόλιν λέγει αὐτήν.

Γονοειδὲς, γόνῳ ἐοικός.

Γονόεσσα, ἀκρωτήριον Πελλήνης. αἰπεινὴν δὲ αὐτὴν ὁ ποιητὴς καλεῖ, διὰ τὸ τῶν ἀκρωτηρίων ὑψηλόν. ὡς ἐπὶ πολὺ γονοῦσα μέντοι τρισυλλάβως πόλις Περραιβίας. ὥσπερ καὶ γόννος ἐν δυσὶ ν, ὁ καὶ παρὰ Λυκόφρονι. οἱ δὲ γονεῖς, οὐδὲ αὐτοὶ ὁμηρικοί εἰσιν, ἀλλὰ πόλις Θράκης κατὰ τοὺς παλαιούς.

Γόνον ἐξ ἐμοῦ ποιεύμην, ἀντὶ τοῦ γνήσιον υἱὸν, ὃς ἀντίκειται τῷ θετῷ, ὃν ποιεῖταί τις κατὰ τὸν ποιητὴν εἰπεῖν. κατὰ δὲ τοὺς ὕστερον, καὶ εἰσποιεῖται. καθ' ὃ σημαινόμενον κεῖται, ἐν τῇ γ ῥαψῳδίᾳ τὸ, Εἰσόκεσ' ἄλοχον ποιήσεται, ἤ ὅγε δούλην.

Γονορροία ἐστὶ, ῥαθυμία λογικῆς ψυχῆς, καθ' ἣν ἀποβάλλειν τοὺς τῆς πνευματικῆς διδασκαλίας εἴωθε λόγους.

Γονοῤῥύα, πάθος περὶ τὴν γονήν.

Γονοῤῥύης, οὗ ἡ γονὴ φέρεται ἀκουσίως.

Γόνος καὶ γονὴ, τὸ σπέρμα τοῦ ἀνδρός. ὃ λαβοῦσα ἡ γυνὴ, καὶ θάλψασα ἐν ὡρισμένῳ χρόνῳ, ἀποτίκτει. ἐκ δὲ τούτου, ἔμβρυον, κύημα. ἀμβλωθρίδιον, τὸ ἀτελὲς ἐκπεσὸν τῆς μήτρας. ἐκ δὲ τούτου, βρέφος ἄῤῥεν καὶ θῆλυ. ὀνομάζεται δὲ γυνὴ, ὅ τε θῆλυς ἄνθρωπος, καὶ ἡ ἔχουσα ἄνδρα. ὡσαύτως ἀνὴρ καλεῖται ὁ ἀντιδιαστελλόμενος πρὸς τὴν γυναῖκα, καὶ ὁ ἀνδρικὸν ἔχων φρόνιμα, καὶ ὁ ἐν πέμπτῃ ὢν ἡλικίᾳ, ἧς μόνης μέχρις αὔξάνεται ἄνθρωπος. ἀνὴρ, καὶ ὁ λαβὼν γυναῖκα, ὅταν συγγένηται αὐτῇ. ἀφ' οὗ ἀνδρεῖος, ὁ γενναῖος, καὶ ὁ ἀνδρικὸν ἔχων φρόνημα. ἀνδρία δὲ ἡ τῆς ψυχῆς ἀρετή. καὶ Ἀνδρία γυνὴ, ἡ ἀπὸ τῆς Ἄνδρου. καὶ Ἄνδριος, ὁ ἀπὸ ταύτης ἀνήρ.

Γονοῦσά ἐστι πόλις Θετταλική. παρὰ δὲ Λυκόφρονι, λίμνη Σικελίας.

Γόνος, ἡ λεγομένη Γονοῦσα. ἔστι δὲ καὶ πόλις Περαιβίας. οἱ δὲ Περαιβοὶ, ἔθνος ἠπειρωτικόν.

Γόνυγρα, τὰ ἄκαρπα καὶ ξηρὰ πεδία. ἡ μεταφορὰ, ἀπὸ τῶν γερόντων, τῶν μηκέτι σθένειν δυναμένων τοῖς γόνασι.

Γονυ-

Digitized by Google

Γονυκάμψαι, ἀναπαύεσθαι.

Γονυκλινὴς, ἐπὶ γόνυ πεσών.

Γονύκροτοι, ἤτοι βλαισοὶ, ἢ οἱ τὰ γόνατα συγκρούουσι δηλοῖ. ὑπὸ γὰρ δέους ἐσθ' ὅτε συγκρούουσι τὰ γόνατα.

Γόνυ, παρὰ τὸ κονῶ τὸ ἐνεργῶ, οἱονεὶ κόνυ ὄν. ἢ παρὰ τὸ εἰς γῆν νεύειν.

Γουνπετεῖ, παρακαλεῖ, ἱκετεύει, προσκυνεῖ τοῖς γόνασιν. κυρίως δὲ, τὸ τῶν γονάτων ἁπτόμενον προσπίπτειν, ἀπὸ τοῦ γουνῶ, τὸ γουνοῦμαι. ἀπὸ δὲ τοῦ γονάζομαι, τὸ γουνάσομαι.

Γονύων, γονάτων. Εὐνῆσαν δὲ καὶ κάλαμοι, γόνυα οὐκ ἔχοντες.

Γονώνη, ὀρίγανος.

Γόος, ὁ θρῆνος, παρὰ τὸ βοὴ βόος. καὶ τροπῇ τοῦ β εἰς γ, γόος.

Γοράπιες, ῥάφανοι.

Γοργάδων, ἁλιάδων. Σοφοκλῆς Δαιδάλῳ.

Γοργεῖα, τὰ τραγικὰ προσωπεῖα. ἔνιοι μορμολύκεια.

Γόργευσον, τάχυνον, σπεῦσον.

Γοργυλὼν, δεσμωτήριον ὑπόγειον, ἢ ἀπὸ δήμου τῆς Ἀττικῆς κακοπράγμονος.

Γόργια, τὰ τῶν ὑποκριτῶν προσωπεῖα.

Γοργίας λέγεται ὁ Λεοντῖνος, ἐν βαθεῖ γήρᾳ ζήσας μετ' αἰσθήσεως, ἤγουν ἐν τῷ καὶ τῶν αἰσθήσεων ὑγιῶς ἔχειν, καὶ ἐρωτηθεὶς τίνι διαίτῃ χρώμενος, οὕτω βιώσοι; φάναι, ὡς οὐδὲν πώποτε ἡδονῆς ἕνεκα πράξας. Τιθωνὸς μέντοι ἐπιθυμίαις οὕτω ἐμπεφλεγμένος, ὡς ἀπὸ τῆς ἕω μὲν κοιμᾶσθαι μέχρι δύσεων, πρὸς ἑσπέραν δὲ τῇ ἐπιθυμίᾳ ἐπεγείρεσθαι, λόγον ἕτερον ἤτοι συγκοιμᾶσθαι.

Γοργολόφασα, ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα.

Γοργόλοπος, ἐπιθετικός.

Γοργολόφας, ἀπὸ τοῦ λόφου τῆς περικεφαλαίας, καὶ τῆς ἀσπίδος.

Γοργόνα, ἣν ἐπ' αὐτῆς εἶχεν ὁ Λάμαχος, ἵνα τὸν Λάμαχον εἴπῃ.

Γοργὸν, δεινόν. οἱ δὲ, φαιὸν ἱμάτιον.

Γοργόνες, τρεῖς γυναῖκες, αἳ τοσοῦτον εἶχον τὰ πρόσωπα φρικτὰ καὶ φοβερὰ, ὡς τοὺς ὁρῶντας θνήσκειν. ἡ Γοργὼ, ἡ Γοργόνη, καὶ ἡ Γοργώς. διὰ γὰρ τῆς γοργότητος, ἀπελίθουν φερωνύμως τοὺς ὁρῶντας.

Γοργόνωτον, περιφραστικῶς λέγει ὁ Ἀριστοφάνης τὴν ἀσπίδα. γοργόνωτον δὲ, τὴν ἔχουσαν γοργόνα.

Γοργὸς, ὁ ταχύς. εἴρηται δὲ ἀπὸ τῆς ὀργῆς, ὀργὸς, καὶ γοργός. οἱ Ἀττικοὶ δὲ γοργὸν, οὐ τὸ πρακτικὸν καὶ κεκινημένον λέγουσιν, ἀλλὰ τὸ φοβερόν. Ξενοφῶν, γοργότεροί θ' ὁρᾶσθαι, καὶ φοβερώτεροι φθέγγεσθαι.

Γοργοῦς κλίσις, πολλαχῶς. εἰ καὶ ἡ κοινῶς εὐθεῖα ταύτης, ἡ Γοργὼν, ὡς τρυγών. οὕτω καὶ ἀοιδῶν μέντοι τὸ κοινόν· εἴρηται δὲ καὶ ἀηδοῦς γενικὴ, ὡς Λητοῦς. καὶ κλητικὴ ἀηδοῖ, ὡς χελιδοῖ, παρὰ τῷ κωμικῷ.

Γόργυρα, τὸ κατὰ γῆς ὄρυγμα. οἶμαι δὲ γέργυρα λέγεται, ἢ γεργύρα. οὕτω Δείναρχος, καὶ Ἡρόδοτος, καὶ ἄλλοι.

Γόργυρος, ὁ Διόνυσος. ἀπὸ Γοργύρας τόπου τῆς Σάμου.

Γόργυρον, δεσμωτήριον.

Γοργυρὰ, ὑπόνομος, βορώδης. καθόλου δὲ ἔλεγον οὕτω, τὰς δυσεξιτήτους κατασκευὰς, καὶ μὴ ἐπ' εὐθείας, εἰς τὸ Γέργυρα.

Γοργῶ, τὸ τερατῶδες ζῶον. καὶ πληθυντικῶς γοργόνες. τρεῖς γὰρ ἱστοροῦνται καθ' Ἡσίοδον. κατάπληξις, φόβος, πικρία, αὐστηρία· καὶ γοργὼ δυϊκῶς.

Γοργὼ, γοργοῦς, Ἀττικοί· ὡς Σαπφὼ, σαπφοῦς. Γοργὼν δὲ, γοργῶνος, ἁπλῶς Ἕλληνες, οὕτω καὶ ἀηδόνος ἀηδοῦς, καὶ χελιδόνος χελιδοῦς.

Γοργωπὸν, πικρὸν τὴν βλέψιν, αὐστηρόν. καὶ γορδελίζειν, ἀδολεσχεῖν.

Γοργωπὸς, ὁ γοργόφθαλμος. καὶ γοργωπὸς θηλυκὸν, ἕδρα, ἡ καθέδρα, ἡ φοβερά. καὶ γοργῶπις λίμνη ἐν Κορίνθῳ, Κρατῖνός φησιν.

Γορπιαῖος, ὁ σεπτέμβριος μὴν, κατὰ Μακεδόνας.

Γορρὸς, ὁ κυρτός.

Γόρτυνα τειχιόεσσαν λέγει ὁ ποιητής. ὥσπερ Τίρυνθα, διὰ τὸ ἐρυμνὸν κατὰ τὸν Γεωγράφον, ἐν πεδίῳ ἡ τῶν Γορτυνίων. ἣν παραρρέει ὁ Ληθαῖος ποταμός.

Γόρτυξ, ὄρτυξ.

Γορυτὸς, ἡ τόξου θήκη. ὡς χωροῦσα τὸ ῥυτὸν, ὅ ἐστιν ἑλκυστὸν τόξον. ἵνα ᾖ χωρυτὸς, καὶ μεταλήψει τοῦ γ γωρυτός. δῆλον δὲ ὡς προϋπόκειται, τοῦ ῥύσαι τόξον, τὸ ἐρύσαι. ὡς Ἀγαθίας, Κραταιαὶ αὐτῷ ἐρύσαι τόξον χεῖρες. οὕτω καὶ τοῦ ῥυτοῦ, τὸ ἐρυστόν. ὅθεν ἀφαιρέσει μὲν ῥυστὸν, ἀπειλεύσει δὲ τοῦ σ ῥυτόν.

Γοῦν, καὶ ἀντὶ τοῦ οὖν, καὶ ἀντὶ τοῦ κἂν, καὶ ἀντὶ τοῦ γάρ. ὡς Ἀριστοφάνης ἐν πλούτῳ. κρατοῦσι γοῦν κἂν τοῖς πολεμίοις ἑκάστοτε. καὶ ἀργὸν δὲ τοῦτο χάριν κόσμου τιθέασιν οἱ ποιηταί.

Γοῦνα, γόνυ, γόνυος. τὸ πληθυντικὸν, γόνυα, ἐν ὑπερθέσει τοῦ υ γοῦνα. ἢ γοῦνατα, πλεονασμῷ τοῦ υ. καὶ κατὰ ἀποκοπὴν, γοῦνα. καὶ γούνων ἀπὸ τῶν γουνάτων, ἢ ἀπὸ τῶν γονύων, ἐν ὑπερθέσει τοῦ υ. ἢ ἐκ τοῦ γοῦνατα ἀποκέκοπται, ἢ ἐκ τοῦ γουνὸς κλίνεται. καὶ ἔτι τοιοῦτον καὶ τὸ δοῦρα, ἢ ἐκ τοῦ δουρὸς, ἢ ἐκ τοῦ δούρατα.

Γουνάσομαί μιν. ἔθος τοῖς παλαιοῖς ἦν, ὁπηνίκα ἱκέτευον, κεφαλῆς τε λαμβάνεσθαι τοῦ ἱκετευομένου, καὶ χειρὸς δεξιᾶς, ἢ καὶ γουνάτων. κεφαλῆς μὲν, διὰ μέσης γενειάδος κατὰ Εὐριπίδην, ἢ ἀνθερεῶνος. καθ' Ὅμηρον διὰ τὸ ἡγεμονικὸν, ἐν αὐτῇ γὰρ τὸ λογιστικόν. δεξιᾶς δὲ, διὰ τὸ πρακτικόν. γουνάτων δὲ, διὰ τὸ κινητικὸν, καὶ βαδιστικόν. καὶ ἤθελον τοὺς ἱκετευομένους συμβολικῶς παρακαλεῖν. διὰ μὲν τῆς κεφαλῆς, εἰς τὸ συνθέσθαι καὶ κατανεῦσαι. διὰ δὲ τῆς δεξιᾶς, εἰς τὸ πρᾶξαι. διὰ δὲ γουνάτων, εἰς τὸ κινηθῆναι πρὸς ἃ ζητοῦνται. ἢ καὶ ἐπικλιθῆναι τὴν ψυχὴν καὶ καμφθῆναι, οἷς ἱκετεύονται. καὶ γὰρ ἐν τοῖς γόνασι μάλιστα κλᾶται τὸ σῶμα. καὶ ἦσαν ταῦτα σύμβολά τινα· καὶ οἷον οἰωνισμοὶ, τοῦ τῆς ἱκετείας τέλους. σκαιᾶς μέντοι, ἤτοι ἀριστερᾶς χειρὸς οὐ προσήπτοντο, διὰ τὸ δυσοιώνιστον· οὐ γὰρ προσεῖχον τοῖς ἀριστεροῖς. ὅπου γε καὶ τὰ μὴ αἴσια, σκαιὰ καὶ ἐπαρίστερα ἔλεγον. ὥσπερ τὰ δεξιὰ, ἀγαθά. τύχην λέγοντες δεξιὰν, καὶ νόημα δεξιόν. καὶ δεξιοῦσθαι, τὸ φιλοφρονεῖσθαι. κεφαλῆς δὲ οὐ τῆς ὅλης ἥπτοντο, ἀλλὰ τοῦ ἀνθερεῶνος, καὶ τοῦ γενείου. ὡς καὶ Εὐριπίδης δηλοῖ λέγων, Ὁρῶ σε δεξιὰν κρύπτοντα, καὶ πρόσωπον ἔμπαλιν στρέφοντα, ὡς μή σου προθίγω γενειάδος· τοῦτο δὲ δηλωτικὸν, τὸ, Μὴ πρὸς γενείου μ' ἔξελε τὰ φίλτατα. καὶ τὸ, Ἀλλ' ὦ φίλον γένειον αἰδέσθητί με. Ἰστέον δὲ, ὅτι εἰ καὶ κεφαλῆς καὶ χειρὸς καὶ γουνάτων οἱ ἱκέται ἥπτοντο, τὴν ὅλην ἱκετείαν γουνάζεσθαί φασιν ἐκ μέρους οἱ παλαιοί. διότι τοῖς ἱκετεύουσιν εἰ καὶ μὴ κεφαλῆς ἢ χειρός ἐστι λαβέσθαι, τῆς μὲν ἔμπαλιν τυχὸν στρεφομένης, τῆς δὲ κρυπτομένης, ἀλλὰ γούνατος γοῦν οὐ πάνυ δυσχερὲς ἅπτεσθαι. οἱ δὲ μεθ' Ὅμηρον, τὴν τοῦ γουνπετεῖν λέξιν ἐντεῦθεν ἐφεῦρον συνθέντες ἐκ τοῦ γόνυ καὶ τοῦ πετεῖν. ἐξ οὗ τὸ πίπτειν παράγεται, ὡς τὸ ῥίπτειν ἀπὸ τοῦ ῥέπειν.

Γοῦνατα ἔλυσε, περίφρασίς ἐστι, ἐθανάτωσεν. ὅλον δὲ τὸ, Πολλῶν δαναῶν ὑπέλυσε γοῦνατα, ὅμοιον τῷ, Πολλέων κατέλυσε κάρηνα, ἠδ' ἔτι λύσει.

Γουνεὺς, οὗτος ἕτερός ἐστι, παρὰ τὸν ἐν τῷ Λυκόφρονι ἐργάτην. Τῆς δίκης γουνέα, ἤτοι τὸν δίκαιον. ἐκεῖνος γὰρ Ἄραψ τὸ γένος, προσηγορίαν ἔχων τὸ δίκαιος, ὡς καὶ ὁ Ἀριστείδης παρ' Ἕλλησι, τοῦ Ὁμηρικοῦ γουνέως.

Γουνᾶσιν ἐλευθῆρος, ἤγουν τοῖς γονιμωτάτοις τόποις τοῦ ἐλευθῆρος. ὁ δὲ Ἐλευθὴρ, ὄνομα πόλεώς ἐστι τῆς Βοιωτίας, ἀπό τινος βασιλέως αὐτῆς τῆς πόλεως οὕτως ὠνομασμένου, υἱοῦ Ἀπόλλωνος, καὶ Αἰθούσης τῆς Ποσειδῶνος. ἔστι καὶ ὄρος, ὥς φασιν, ἐπὶ ὀνόματι τοῦ ἥρωος. οὕτω δὲ λέγεται, ὅτι ἐκεῖ ὁ Διόνυσος τῆς μανίας ἐπαύσατο, καὶ ἐλευθερώθη.

Γουνὸς, ὁ γόνιμος τόπος καὶ κάρπιμος, ἀπὸ τοῦ γονὸς ὀξυτόνου ὀνόματος, Ἰωνικῇ ἐπενθέσει τοῦ υ. γόνος μὲν γὰρ βαρυτόνως, ὁ γεννώμενος. γονὸς δὲ πρὸς διάφορον σημασίαν ὀξυτόνως, ὁ γόνιμος.

Γουνοῦμαι, καὶ γουνάζω, κυρίως τὸ γονάτων ἅπτομαι. καὶ γουνάζω, τὸ ἱκετεύω. καί μιν γουνάσομαι, ἤγουν γουνπετήσω, λιπανεύσω αὐτὸν. λαβεῖν γούνων Ὅμηρος λέγει, τὸ ἅψασθαι, ἢ ἔχεσθαι.

Γουνία, Σάμψυχος.

Γοῦτθος, ὁ ἄρχων Σκυθῶν τῶν καλουμένων Γούτθων. ἔοικε γὰρ ἀπὸ τοῦ ἡγεμόνος αὐτῶν κληθῆναι, τὰ γὰρ πολλὰ ἔθνη, ἀπὸ τῶν ἡγεμόνων καλοῦνται, οὕτως Ὧρος.

Γοῦτος, ληκύθου εἶδος, παρὰ τὸ γοῖτον, ὅ ἐστι ῥύπος.

Γουνῷ ἀλωῆς, ἐν τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ τῆς γῆς. λέγεται δὲ γουνὸς, ὁ ὑψηλὸς τόπος, ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ σώματι γονάτων, ἃ ἐξέχει. ὡς δέ τινες, ὁ τραχύτατος τόπος, ὁμοίως ἀπὸ τῶν γονάτων, ὀστωδῶν καὶ τραχέων ὄντων. πλεῖον γὰρ ἐν τοῖς ὀρεινοῖς καὶ πετρώδεσι τόποις τὰ φυτὰ αὔξεται. παρὰ τὸ γένω ῥῆμα, γίνεται γόνος βαρύτονον. ὡς λέγω λόγος, ὅπερ σημαίνει τὸ γεγεννημένον. ὁ δὲ γεννητικὸς, γονὸς ὀξυτόνως πλεονασμῷ τοῦ υ γουνός. ὁ γεννητικὸς τόπος, ὁ γόνιμος, καὶ κάρπιμος, Ἡρωδιανός.

Γοῶ, τὸ θρηνῶ ἀμεταβάτως, καὶ γογγίζω ἀμεταβάτως.

ΤΟ' Γ'. ΜΕΤΑ' ΤΟΥ Ρ'.

ΓΡὰ, φάγε, Κύπριοι.

Γραβὰν, σκαφίον, βόθρον.

Γράβδην, ἐπίρρημα ἀπὸ τοῦ γράφειν. καὶ γραπτύες αἱ τῶν μελῶν γραφαὶ, τουτέστιν ἀμυχαὶ, ξεσμοί.

Γραβδὶς, ἡ λαμπὰς, παρὰ τὸ γράφω τὸ ξύω, ἡ κατεξυσμένη καὶ διεσχισμένη. ἢ παρὰ τὸ γράφεσθαι τὸ ξέεσθαι γράβδις, ἡ κατεξεσμένη λαμπάς.

Γραῖά ἐστι κατά τινας, ἡ καὶ Τάναγρα. οἱ πολῖται, Γραῖος καὶ Ταναγραῖος, κατά τινας οὐκ εἰσὶν αἱ αὐταί. ὅτι Τάναγρα πόλις Βοιωτίας, ἣν Ὅμηρος γραῖαν καλεῖ, διὰ τὸ πλησίον εἶναι. Στράβων δέ φησιν ὅτι Γραῖα τόποι πλησίον Ὠρωποῦ. ἔνθα ἱερὸν Ἀμφιαράου. καὶ μνῆμα Ναρκίσσου τοῦ Ἐρετριέως, ὃ καλεῖται Σιγηλοῦ ἐπεὶ σιγῶσιν οἱ παριόντες ἐκεῖ, τὴν δὲ αἰτίαν οὐ λέγει.

Γραῖα, ἡ παλαιὰ, καὶ πόλις, γῆ, καὶ Δημήτηρ. γραῖαν κάρδοπον.

* Γραῖα, κοινῶς. γραῦς δὲ Ἀττικῶς.

Γραιβία, ἡ γραιτία πανήγυρις, Ταραντῖνοι.

Γραικῶν ἄριστος, ὁ Πρωτεσίλαος, παρὰ Λυκόφρονι. γραικοὶ γὰρ πρότερον οἱ τῆς ἑλλάδος ἐκαλοῦντο. ὕστερον δὲ ἀφ' Ἕλληνος, ἐκλήθησαν ἕλληνες.

Γραίνειν, ἐσθίειν.

Γραιολέας, πονηρὰς, ἢ ὀλεθρίας γραίας.

Γραιοσόβαι, οἱ ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραίας, ὡς μὴ ἀγοράζειν. ἢ οἱ γραίσι συγκοιμώμενοι πόρναις. σοβὰς γὰρ ἡ πόρνη.

Γραιούδια, οἱ παρ' ἡμῖν ἑφθοὶ ὄμφακες.

Γραιωπίας, γραίᾳ ἐμφερής.

Γράμμα, ὁ τόνος, ὁ χαρακτὴρ, ἡ ἐπιστολὴ, αὐτὸ τὸ γράμμα, τὸ σύγγραμμα, τὸ ζωγράφημα, καὶ ἡ τῶν παίδων ἀγωγὴ, ἥτις περὶ ψήφους καὶ χαρακτῆρας τῶν στοιχείων γίνεται. καὶ γράμμα πεζὸν, τὸ Ἰουδαϊκὸν καὶ σκιῶδες, ὡς μὴ ἐπαγγελλόμενον βασιλείαν οὐρανῶν.

Γραμματέπτα, δραπέτα.

Γραμματικὸς, πεπαιδευμένος.

Γράμματα, οἱ χαρακτῆρες τῶν στοιχείων, παρὰ τὸ γράφεσθαι, ὅ ἐστι ξύεσθαι. γράμματα δὲ ὅτε γράφονται, διὰ τὸ τυποῦσθαι γραμμαῖς, καὶ ξυσμοῖς. στοιχεῖα δὲ, ὅτε ἀναγινώσκονται.

Γραμματείας, ἐξαριθμήσεως. γραμματείας δὲ, τὰς γραμματέας, ἤ.

Γραμματείδιον, καὶ γραμματεῖον, τὸ συμβόλαιον.

Γραμματικὴ, λέξις διδάσκουσα ἡμᾶς, τὰ νοούμενα γράφειν, καὶ τὰ ὡς πρός τινα ἐμμέτρως ἢ ἐρρύθμως πραγματευθέντα, μετὰ κρίσεως διηγουμένη. ἢ τέχνη θεωρητικὴ καὶ λογικὴ, τὸ

Digitized by Google

διαλέγειν, καὶ τὸ διαπράττειν, ἤγουν γράφειν, διδάσκουσα ἡμᾶς· οὐ γὰρ πᾶς ὁ γράφων, ἢ ὁ ἀναγινώσκων λέγεται γραμματικὸς, ἀλλ᾽ ὁ τὸν κανόνα καὶ τὸν ὅρον ἀποδιδούς. ἡ τέχνη λογική, περὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου καταγινομένη. ὀκτὼ δὲ μέρη τοῦ λόγου εἰσί, ταῦτα, ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, καὶ σύνδεσμος. ἡ τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν. ἡ ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν, ὡς ἐπὶ τὸ πολὺ λεγομένων. τέλος δὲ τῆς γραμματικῆς, τὸ μηδέποτε ἁμαρτάνειν, μήτε περὶ μίαν λέξιν, μήτε περὶ πλείονας. τὸ γὰρ ἁμαρτάνειν περὶ μίαν λέξιν, βαρβαρισμός ἐστι, τὸ δὲ περὶ πλείονας, σολοικισμός.

Γραμμάτιον, τὸ μικρὸν γράμμα, ἰῶτα.

Γραμματεῖς, οἱ κράσπεδά τινα ἔχουσι σημαντικὰ τῆς αὐτῶν πολιτείας. ῥοΐσκους γάρ τινας ἐπὶ τὰ δύο πτερύγια τοῦ τρίβωνος εἶχον, ἐξ αὐτοῦ τοῦ στήμονος καταδεδεμένους, ἐν ᾧ χρόνῳ ἐνεγκρατεύοντο, ἢ παρθενίαν ἤσκουν. ἐπιτηδεύοντο δὲ ταῦτα, ὥστε ἐμφαίνειν τοῖς ἀνθρώποις τὰ παρ᾽ αὐτῶν ἐπαγγελλόμενα, ἵνα μηδεὶς ἅψηται δῆθεν τῶν ἡγιασμένων. φυλάττουσι δὲ καὶ ξεστῶν βαπτισμοὺς, καὶ ποτηρίων καὶ τῶν ἄλλων σκευῶν τὴν ὑπηρεσίαν. καὶ τοὔνομά εἰσι δευτερωταί, ὡς γραμματικήν τινα ἐπιστήμην ὑφηγούμενοι, καὶ περιττὴν δῆθεν σοφιστικὴν εἰσηγούμενοι.

Γραμματιστὴς, ὁ τὰ πρῶτα στοιχεῖα διδάσκων.

Γραμματοφόρος, ὁ βιβλιαφόρος, καὶ οὐχὶ ὁ βιβλιοφόρος.

Γραμματοκύφων, ἀντὶ τοῦ, ὦ ταπεινὲ γραμματεῦ, διότι οἱ γραμματεῖς προσκεκυφότες γράφουσιν. ἢ ὁ ἐν ἀγρῷ γραμματεύς, οἱ γὰρ ἀγοραῖοι τῷ κύφωνι μαστιγοῦνται. κυρίως δὲ κύφων, τὸ ξύλον καλεῖται.

Γραμμὴ, ἐφ᾽ ἧς εἱστήκεισαν οἱ σταδιοδρομοῦντες, ἕως ἂν ἀποσημανθῇ ὁ δρόμος αὐτῶν. ἢ γραμμή, μῆκος ἀπλατές. καὶ ἡ λεγομένη βαλβίς. Ἀριστοφάνης, Πρόβαινε δὴ νῦν ὦ θυμέ, γραμμὴ δ᾽ αὐτηί, ἀντὶ τοῦ ἀρχή.

Γραυθέντα, γέροντα.

Γραύς, γραῦς, γυνὴ γηράσασα.

Γρέπιν, γῆρας τέττιγος, ἢ ὄφεως, καὶ τῶν ἐκδυομένων. καὶ εἶδος ὀρνέου, καὶ ῥυσσόν, ἀπὸ τοῦ γραμμὰς ἔχειν τὰς ῥυτίδας. ὅθεν καὶ ἡ γραῦς ἐτυμολογεῖται, παρὰ τὸ εἰς γῆν ῥέειν.

Γραπῖνος οἶνος, τραχύς.

Γραπὶς, ἡ ἐρρυτιδωμένη, ἀπὸ τοῦ καταγεγράφθαι ταῖς ῥυτίσι.

Γραπτέον ἡμῖν, καὶ ἡμᾶς λεκτέον, καὶ ἀναγνωστέον ἡμῖν, καὶ ἡμᾶς τὰ ἐπιγράμματα. τὰ θετικὰ ἐπιρρήματα πρὸς δοτικὴν καὶ αἰτιατικὴν συντάσσονται. ἔσθ᾽ ὅτε καὶ χωρὶς ἐπιφορᾶς πτώσεως λεγόμενα ἀπολύτως. οἷον ἰστέον, ἀντὶ τοῦ δεῖ εἰδέναι.

* Γράπτης, ὁ ῥυσσὸς παρὰ τὸ γράφειν, ὅ ἐστι ξέειν.

Γραπτύας, ἐν συναιρέσει γραπτῦς, λέγει Ὅμηρος ἐν Ὀδυσσείᾳ, τὰς ἐξ ἀκανθῶν, ἢ ἀκανθωδῶν τινων γραφάς, ἤγουν ξέσεις, καὶ ἀμυχάς, ἀπὸ τοῦ γράφω τὸ ξέω, ὃ καὶ ἀμύσσειν λέγεται. ὅθεν καὶ ἀμυχή. πολλῶν δὲ παρηγμένων ἐκ τοῦ γράφειν, ὡς τὸ γράμμα. ὃ καὶ στοιχεῖον σημαίνει συνήθως, ἔτι δὲ καὶ σύγγραμμα. ἐξ οὗ καὶ πολλὰ γράμματα εἰδέναι φαμέν. καὶ γραμματικὸν εἶναι, τὸν τῶν πολλῶν συγγραμμάτων ἔμπειρον.

Γραῦς καλεῖται, ὁ ἀφρὸς ὁ ἀνωτάτω. ἢ τὸ πηγνύμενον ἐλαιῶδες τῷ ζωμῷ, ἡ ἐπιφάνεια τῆς ἀθάρας, ὡς παρὰ τῷ Ἀριστοφάνει, ἐν τῷ τέλει τοῦ Πλούτου. καὶ γραῦς, ἡ τῶν μασχαλῶν δυσωδία. λέγεται καὶ ἡ γράσος.

* Γράσος, ἡ τῶν αἰγῶν ὀσμὴ οὕτω λέγεται.

Γράσος, τὸ λιπαρὸν καὶ πιμελῶδες, παρὰ Ῥωμαίοις.

Γραστὶς, χλωρὰ κριθή, παρὰ τὸ γράω τὸ ἐσθίω, τούτου ὁ μέλλων γράσω.

* Γράστις, ὁ ἡμίξηρος χόρτος, παρὰ τὸ γράω, ὅ ἐστι τὸ ἐσθίω.

Γράσων, μωρέ, ἀνύστατε. καὶ γράσος, δυσοσμία.

Γραυδὶς, λαμπὰς κατεσχισμένη καὶ κατεξυσμένη. παρὰ τὸ γράφω, ὃ σημαίνει τὸ ξύω.

Γραύκαλος, ὄρνις τεφρός.

Γραῦς καὶ κλίνεται γραός, ἔστι καὶ ἡ γραῖα τῆς γραίας. Εὐριπίδης, γραῖα μὴ τρέσῃς τόδε. εἴρηται παρὰ τὸ ῥαία ῥαῦς, καὶ γραῦς, ἡ κατεξυσμένη τὸ σῶμα. ἀπὸ δὲ τοῦ γραῖα γέγονε γραΐς, γραΐδος, γραΐδιον, καὶ κατὰ συγκοπὴν τῶν δύο ιι γράδιον, ἀπὸ τοῦ γραίω.

Γραῦς, τὸ συναγόμενον καὶ ἐπιπηγνύμενον ἐπάνω, ὅταν γάλα ἕψηται, ἤ τι τοιοῦτον ὑγρόν. καὶ ἡ ἐν τοῖς χείλεσι τῶν ποταμῶν γραμμή, καὶ βόλος τις ἀστραγάλων.

Γραῦς ἔριφος, Ἀπολλόδωρός φησιν ὅτι ἔστι τις παροιμιώδης λεγομένη ἐριφία γραῦς, εἶναι δὲ τὴν οἷον γραῦν ἔριφον, τὴν ἐν παρθενίᾳ καταγεγηρακυῖαν. οἱ δὲ ἀπὸ τῆς ἀκρίδος· τὴν γὰρ ἀρουραίαν ἀκρίδα, ὑπό τινων μάτην λέγομεν.

Γράφειν, τὸ συγγράφειν λόγον καὶ ἄλλην τινὰ ἱστορίαν, αἰτιατικῇ συντάσσεται. γράφειν καὶ λέγειν Ὅμηρος φησί, γράμματα καὶ λόγον οὐχί. ἢ γράφειν τὸ διὰ δόνακος γράφειν, αἰτιατικῇ συντάσσεται. καὶ γράφειν τὸ νύσσειν ποιητικῶς, αἰτιατικῇ ὁμοίως. γράφειν καὶ τὸ χαράσσειν, ἐξ ὀνοματοποιΐας παρεισῆχθαι δοκεῖ ἐπὶ σημασίας ὁμοίας. ὡς τὸ τόδε μοι χαράσσου, ἀντὶ τοῦ ἐπίγραφε, ἑρμηνεύουσιν οἱ παλαιοί. καὶ ἔοικεν ἀπ᾽ αὐτοῦ καὶ ὁ χάρτης εἶναι. καὶ ὁ κατὰ πρόσωπον δὲ χαρακτήρ, ἐκεῖθεν μετῆκται. φασὶ δὲ οἱ παλαιοί, καὶ ἐκ τοῦ γρῶ τὸ ἐσθίω καὶ φθείρω εἶναι τὸ γράφειν. καὶ ἐκ τοῦ γρῶ, τὸ γράφειν καὶ γλύφειν. οἱ δ᾽ αὐτοί, καὶ τὸ δίκτυον τὸν γρῖπον τὸν καὶ γρῖφον ἐκ τοῦ αὐτοῦ παράγουσι γρῶ. ἑλκόμενος γὰρ καὶ αὐτὸς ξύει τὰ ὑπ᾽ αὐτόν. ἐκ δὲ τοῦ αὐτοῦ γρῶ, καὶ ἡ παρὰ Λυκόφρονι γρώνη πέτρα, καὶ ἡ χρόνῳ διεφθαρμένη γραῦς, καὶ ἡ τοῖς ἀλόγοις φίλη γράστις, ἣν καὶ κράστιν γράφουσιν οἱ παλαιοί, φάμενοι τὸν ἡμίξηρον χόρτον οὕτω καλεῖσθαι, ὅθεν καὶ ῥῆμα κρατίζεσθαι. ὅτι δὲ τοῦ γρῶ προϋπάρχει τὸ ῥῶ, ῥαίω, τὸ φθείρω, καὶ ὅτι κατὰ τὸ δουπῶ πλεονασμῷ τοῦ γ, γδουπῶ. ὡς τὸ ἐγδούπησαν Ἀθηναίη καὶ Ἥρη, οὕτω καὶ ῥῶ γρῶ. οὕτω καὶ τοῦ γραικὸς, προϋπάρχει τὸ ῥαικὸς κατὰ τοὺς παλαιούς.

Γραφεὺς κάλλιον, ἢ ζωγράφος.

Γραφὴ ἡ κατηγορία. ὅθεν καὶ γράφομαι παθητικῶς, τὸ κατηγορῶ. εἴρηται δὲ ὅτι πᾶς ἐγγράφως τοὺς κατηγοροῦντας κατηγορεῖ. φεύγω τὸ κατηγοροῦμαι, καὶ συντάσσεται γενικῇ. οἷον φεύγω φόνου, ἤγουν κατηγοροῦμαι ἕνεκεν φόνου. οἷον, ὡς φονεύσας. καὶ γράφομαί σε ἀδικίας, ἀντὶ τοῦ κατηγορῶ. καὶ γράφομαί σε φόνου. Ἄλλως.

Γραφὴ, ἡ περὶ τῶν δημοσίων ἀδικημάτων κατηγορία, καὶ περὶ τῶν ἄλλων ἁμαρτημάτων. γίνονται δὲ γραφαὶ καὶ νόμων καὶ ψηφισμάτων, οὐκ ἐπιτηδείων εἰσκομίζεσθαι δοκούντων, αἵτινες γραφαὶ παρανόμων καλοῦνται. καὶ γραφὴ ἡ ζωγραφία, ἡ κατηγορία, καὶ ἡ ἐπὶ γράμμασι, γραφή. καὶ ἐγκλήματα, κατηγορίαι, καὶ ἐγκλήματα. καὶ γράφω τὸ ἐπιστέλλω, δοτικῇ.

Γράφομαι ἀντὶ τοῦ κατηγορῶ παθητικῶς προφερόμενον, ἔχει ἐνεργητικὴν σημασίαν. καὶ αἰτιατικῇ συντάσσεται. οἷον γράφομαί σε γραφὴν ἀσεβείας. καὶ γράφομαί σε τοῦ φόνου.

Γραφύρας, βαρύνουσιν οἱ ἀκριβέστεροι, πρὸς διαστολὴν τοῦ ἐπιθέτου, κληθείσας ἀπὸ τοῦ γραφύρα ὡς ὁ ἐθνικογράφος ἱστορεῖ. παρ᾽ ᾧ φέρεται, ὅτι καὶ κώμη Κιλικίας ἐστὶ γλαφύραι καλούμεναι, ἀπέχουσαι Ταρσοῦ τριάκοντα σταδίους εἰς δύσιν· ἐν ᾗ πηγὴ ἀπὸ Ῥωγάδος καταρρέουσα, καὶ συνιοῦσα τῷ εἰς Ταρσὸν εἰσβάλλοντι ποταμῷ. περὶ ἧς Παρθένιος γράφων, ἄλλα τε λέγει, καὶ ὅτι παρθένος Κιλίκων ἀνακτορίην ἔχουσα, ἀγχίγαμος τέλε, καθαρῷ δ᾽ ἐπεμαίνετο Κύδνῳ Κύπριδος, ἐξ ἀδύτων πυρσὸν ἀναψαμένη. εἰς ὃ κέμιν Κύπρις πηγὴν θέτο, μῖξε δ᾽ ἔρωτι Κύδνου, καὶ νύμφης ὑδατόεντα γάμον.

Γράφω. Ἰστέον ὅτι τὸ γράφω πρὸς διάφορον σημασίαν, διάφορον ἔχει καὶ τὴν σύνταξιν. καὶ εἰ μὲν γράφω σοι ἐστί, δοκεῖ σημαίνειν τὸ, τὸ ἐκτυπώματά σου ποιῶ. ὡς τὸ οἱ τὰς μορφὰς γράψαντες, καὶ τὰ γράμματα. εἰ δὲ γράφομαί σε, σημαίνει τὸ κατὰ σοῦ ἐγγραφὰς ποιῶ, εἰς δικαστήρια ἐκτίθεμαι. ὡς τὸ γράφομαί σε φόνου, καὶ παρανόμων, ἐπὶ τοῦ Ῥαδαμάνθυος.

Γράφω, τὸ τύπους γραμμάτων χαράσσω, καὶ τὰ ζωγραφῶ, καὶ τὸ ἐπιστέλλω, ἀφ᾽ οὗ καὶ γράμματα αἱ ἐπιστολαί. γράφω τὸ ξέω, γράφομαι δέ σου παθητικῶς τὸ κατηγορῶ. καὶ γράφομαί σε τοῦ δεῖνος. παραγράφει τις, ὡς ἐν βιβλίῳ παρὰ τὴν σελίδα γράφων. παραγράφεται δὲ μάρτυρα, ἀντὶ τοῦ παρακρούεται. ἐπιγράφει τις, ἐπιγράμματα γράφων. ἐπιγράφεται δὲ τὸν δεσπότην, ἤγουν ὁμιλεῖ. συγγράφει τις τινί, κοινωνῶν αὐτῷ τοῦ γράφειν. συγγράφεται, ὁ τὰ καθ᾽ ἑαυτὸν γινόμενα γραφῇ παραδιδούς. διαγράφω δέ, τὸ διαχωρίζω. περιγράφω, τὸ περιορίζω.

Γράφω σοι τὰ πραχθέντα, καὶ ἀντιστρόφως, γράφω σε τοῖς πολίταις.

Γράφω τὸ ποικίλλω, αἰτιατικῇ συντάσσεται, οἷον αἱ ὧραι τοὺς λειμῶνας γράφουσι.

Γράφω τὸ ἐπιστέλλω ἐπὶ πρόσωπον, χωρὶς προθέσεως, δοτικῇ. μετὰ δὲ προθέσεως τῆς πρὸς, ἀεὶ αἰτιατικῇ. ἐπὶ δὲ τόπου μετὰ τῆς πρός, ἢ μετὰ τῆς εἰς. καὶ τότε ἀεὶ αἰτιατικῇ. γράφω εἰς τόνδε τὸν τόπον, ἢ πρὸς τόνδε τὸν τόπον. μετὰ δὲ τῆς ἐπί, ἀεὶ γενικῇ. Συνέσιος, τοιγαροῦν ὅμως ἐπὶ Θράκης γράφω.

Γραψάμενος, ἐπὶ μέσου ἀορίστου, ἀντὶ τοῦ κατηγορήσας. Συνέσιος, ἐγράψατο τις αὐτόν. καὶ πάλιν, γράφω παρ᾽ Ὁμήρῳ, τὸ ξύω.

Γράψαι, κοιλᾶναι, διασκάψαι, ξῦσαι, χαράξαι, ἀμύξαι. καὶ γράψαι μὲν παρ᾽ Ὁμήρῳ εἴρηται, τὸ δὲ ἐξ αὐτοῦ ὄνομα τὸ γράμμα, οὐκ οἶδεν ὁ ποιητής. οὕτω καὶ λέγειν μέν, εἰ καὶ σπανίως πού φησιν ὁ ποιητής. λόγον δέ φασι τὸ ἐξ αὐτοῦ ὄνομα, οὐδαμοῦ.

Γράψομαι, κατηγορήσω. Ἀριστοφάνης, γράψομαι Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.

Γρηγορῶ, παρὰ τὸ ἐγείρω, οὗ ὁ μέλλων ἐγερῶ, καὶ τροπῇ τοῦ ε εἰς ο, ἐγορῶ, καὶ πλεονασμῷ τοῦ γ καὶ ρ γρηγορῶ, καὶ τροπῇ τοῦ ε εἰς η, γρηγορῶ.

Γρηΐ, ἐν Ὀδυσσείας ρ, καμινοῖ ἶσος. οἱ μὲν κατὰ τὸ πολύλαλόν φασιν. ἕτεροι δέ, τὸ μὲν γρηῒ διὰ τὸ ῥυσὸν τοῦ προσώπου εἶπον, τὸ δὲ καμινοῖ, διὰ τὸ ἐπιφαινόμενον μέλαν, ὡς οἷον ἔκ τινος ἀσβόλης. Ἀρίσταρχος καὶ Ἡρωδιανὸς καμινὼ φασὶ τὴν καμινεύτριαν, ἤτοι τὴν φρύττουσαν κριθὰς πρὸς εὐχερεστέραν ἀλευροποιΐαν. αἱ δὲ τοιαῦται κριθαί, καὶ κάγχρυς δισυλλάβως καὶ ἐκτεταμένως ἐλέγοντο κατὰ Αἴλιον Διονύσιον θηλυκῶς. ὅθεν καὶ καταχρῦσαι παρὰ Παυσανίᾳ μεταφορικῶς, τὸ καταφρύξαι καὶ συντρῖψαι. σύνθετον τὴν λέξιν τῆς καμινοῦς νοῶν, φησὶν οὕτω καλεῖσθαι, διὰ τὸ καμεῖν τὰς ἶνας ὑπὸ γήρως. ἐν δὲ τῷ κόπτων, ἤτοι πλήττων ἀμφοτέραις, λείπει τὸ χερσίν, ὡς ἐν τῷ ἀμφοτέρῃσιν ἐδέξατο.

Γρήϊον, παλαιόν.

Γρηνή, ἄνθη σύμμικτα.

Γρήνικος, ποταμός. ἐν ἐκείνῳ γὰρ τῷ ποταμῷ οἱ Γραικοὶ τοὺς βαρβάρους ἐνίκησαν.

Γρήτης, ὁ βυρσεύς.

Γρηῢς, ταυτὸν μέν ἐστι τῷ νηῦς, κατὰ τὴν προφορὰν καὶ τὴν κλίσιν. οὐ πάντα δὲ ἔχει ὡς ἐκεῖνο. τοῦτο μὲν γὰρ διαλύεται ὡς καὶ ἐνταῦθα παρ᾽ Ὁμήρῳ. οἷον γρηῢς δ᾽ εἰς ὑπερῷ᾽ ἀναβήσετο. ἡ δὲ νηῦς οὐ διαλύεται. καὶ ἡ ναῦς, ἔχει καὶ Ἀττικόν. τὸ νεὼς γάρ, ἡ δὲ γρηῢς οὔ. τὰ δὲ λοιπὰ ὡμοίωνται. ναῦς γὰρ καὶ ναὸς καὶ νηός. καὶ γραῦς, γραός, καὶ γρηός.

Γρῖνος, τὸ δέρμα.

Γρίντης, ὁ ὑβριστής.

Γριπεὺς, ὁ ῥάπτων ἁλιευτικὰ δίκτυα. καὶ γρῖφος, δύσκολον ζήτημα, ὃ ἐν συμποσίοις ἔλεγέ τις, προκειμένης φιάλης οἴνου γεμούσης. καὶ ὁ ἀπολυσάμενος τὸ ἀπορηθέν, ἐξέπινεν. εἰ δὲ μή, ὁ ἀπορήσας, ἐνεφορεῖτο τῆς φιάλης.

Γριπεῦσαι, ἰχθῦς θηρεῦσαι. καὶ γριπεὺς, ὁ ἁλιεύς, καὶ γρι-

Digitized by Google

καὶ γρῖφος τὸ δίκτυον. λέγεται δὲ, καὶ ὁ δύσκολος καὶ συμπεπλεγμένος λόγος, ὁ ἔχων πάθος ἐν ἑαυτῷ μὴ φαινόμενον.

Γριπίζω, τὸ κερδαίνω.

Γρίπισμα, ποτικὸν ζήτημα, ἢ ἐπὶ στασίζιον ᾆσμα.

Γρῖπος, τὸ δίκτυον, παρὰ τὸ ἀγρεύειν, ἐνδείᾳ τοῦ α. τὸ αὐτὸ δὲ καὶ γρῖφος καλεῖται, παρὰ τὸ γράφειν, ὅ ἐστι ξύειν. ὁ τὴν γῆν ξύων, γράφος, καὶ γρῖφος.

Γριπώμενα, συνελκόμενα, καὶ σπασμωδῶς συμπαθοῦντα. οἱ δὲ, συνελίζοντα.

Γρίσων, ὁ χοῖρος.

Γριστὼν, ὗς. Ἀριστοφάνης δὲ, ὄνομα δρομέως νενικηκότος ἐν Ὀλυμπίᾳ στάδιον.

Γριφᾶσθαι, γράφειν. οἱ δὲ, ξύειν, καὶ ἀμύσσειν Λάκωνες.

Γριφεύειν, αἰνίττεσθαι.

Γριφοειδὲς, δυσάρεστον.

Γρῖφοι λέγονται, τὰ ἐν τοῖς συμποσίοις προβαλλόμενα αἰνιγματώδη ζητήματα. ἑπτὰ δὲ ἀναγράφει αὐτῶν γένη ὁ Κλέαρχος ἐν τῷ περὶ γρίφων συντάγματι. ἐν τοῖς συμποσίοις δὲ προεβάλλοντο οἱ γρῖφοι, πρὸς λύσιν.

Γριφόμενα, γραφόμενα, ἢ ἐπανειλέμενα.

Γρῖφον, δύσκολον, ἢ ζήτημα αἰνιγματῶδες. ἔνθεν καὶ τὸ κέρδος γρίπισμά φασι, παρὰ τὸ ἀγρεύειν ὅ ἐστι ζητεῖν, ὅπερ παρακολουθεῖ τῇ ἄγρᾳ. λέγεται οὖν καὶ γρίφος ἀρσενικῶς, τὸ δύσκολον αἴνιγμα. ἴσων γὰρ φιάλην γέμουσαν οἴνου, καὶ ἔλεγον αἰνίγματα ἐν τοῖς συμποσίοις ἀλλήλοις, καὶ εἰ ἐπελύσατο ὁ ἀπορηθεὶς ἔπινε τὴν φιάλην. καὶ γρῖφος, ὁ ἀσαφὴς λόγος. καὶ γριφώμενα, ἐπανειλέμενα παρὰ τῷ Ἱπποκράτει.

* Γρῖφος, ταυτὸ ὅπερ γρῖπος, ὅ ἐστιν εἶδος δικτύου.

Γρομφῆς, οἱ ζωγράφοι.

Γρόμφις, ἢ γρομφὶς, ὗς, ἡ παλαιὰ σκρόφα. τὰς ὗς δὲ πληθυντικῶς.

Γρονθονεύεται, θυμοῦται.

* Γρόνθος, ὁ κόνδυλος.

* Γρόσφος, ἢ κρόσφος, ὁ τοῦ δόρατος σαυρωτὴρ, ἢ εἶδος ἑλεπόλεως. γρόσφοι δὲ, μικρὸν ἀκόντιον.

Γρόνθων, ἀναφύσησις, ἣν πρώτην μανθάνουσιν αὐληταὶ, καὶ κιθαρισταί.

Γροῦμος, στρόβιλος.

Γρουνοὶ, κορμοὶ, δρύϊνοί τινες ὄντες κατ' ἐναλλαγὴν τοῦ δ εἰς γ. οἷον, γρουνοὶ μὲν δαίοντο, μέγας δ' Ἥφαιστος ἀνέστη. ἢ γρουνοὶ τὰ τῶν γεράνδρυων ξύλα, ὡς τὸ γέροντα γέρουσα, κλίνεται γέρουνος.

Γρουνὸς, στέλεχος, δαλός.

Γρύσσεται, μηνύεται, ἤγουν ἐκτείνεται.

Γρόσσωνον, τάραξον.

Γρύ. Ἀριστοφάνης, οὐδὲ γρὺ, βραχύ. ἔστι δὲ ὄνυχος ῥύπος. τινὲς δὲ παρὰ τὸν γρυλισμὸν, τουτέστι τὴν φωνὴν τῶν χοίρων. ἢ εἶδος μικροῦ νομίσματος, γρὺ γὰρ τὸ μικρὸν καὶ βραχύτατον. ὅθεν καὶ γρύτη, τὰ λεπτὰ σκεύη. καὶ γρυτοπώλης, ὅπερ οὐκ εἴρηται παρὰ τοῖς παλαιοῖς, ἀλλ' ἀντὶ τούτου, ῥωποπώλης καὶ γρυπάρης. κέχρηται δὲ τῇ λέξει, ἐπιτείνων τὸ στεγανὸν τῆς ἀποχρήσεως, ἀπὸ τοῦ πρὸς τοὺς ὄνυχας ῥύπου, ὃς μικρὸς καὶ εὐτελής. ὅταν δὲ θέλωμεν ἐκφαυλίσαι τινὰ, φαμὲν, οὐ γρὺ φθέγγεσθαι, ἀντὶ τοῦ οὐδὲ τὸ τυχόν.

Γρυβὸς, γρύξ.

Γρύζειν, κυρίως ἐστὶ τὸ τοὺς μικροὺς χοίρους φωνὴν προΐεσθαι. Ἀριστοφάνης, μὴ γρύζῃς, ἤγουν μὴ φθέγγῃ.

Γρύζειν, τὸ θρηνεῖν, καὶ τὸ τῇ φωνῇ ὑποκλέπτειν καὶ λαλεῖν.

Γρυλίζειν, καὶ γρυλισμὸς συῶν, δι' ἑνὸς λ, οὐ γρυλλισμὸς διὰ δύο, ὡς Φρύνιχος.

Γρυλλάζειν, γογγύζειν.

Γρύλλη, ὑῶν φωνή.

Γρυλίζειν ἐπὶ χοίρου, Ἀττικοὶ δι' ἑνὸς λ. Ἀριστοφάνης, ὑμεῖς δὲ γρυλίζοντες ὑπὸ φιληδίας.

Γρυλλίζειν, διττὴν ἔχει τὴν ἁμαρτίαν, ἔν τε τῇ προφορᾷ, καὶ τῷ σημαινομένῳ. ἐν μὲν τῇ προφορᾷ, διὰ τὸ γράφεσθαι διὰ δύο λ, ἐν δὲ τῷ σημαινομένῳ, ὅτι παρὰ τοῖς ἀρχαίοις τὸ γρυλλίζειν ἐστι τιθέμενον ἐπὶ τῆς τῶν ὑῶν φωνῆς. οἱ δὲ νῦν, τάττουσιν ἐπὶ τῶν φορτικῶς καὶ ἀσχημόνως ὀρχουμένων.

Γρυλλίων, ὁ χοῖρος.

Γρυμαία, ἡ σκευοθήκη.

Γρυμναία, ἐσθής. καὶ ἀγγεῖον, σκευοθήκη, ἐν ᾧ ἡ γρύτη. ἤδη δὲ καὶ τὰ λεπτὰ σκευάρια, ἃ καὶ γρύτην λέγομεν.

Γρύμνη, ἄνοικος.

Γρυμπάνειν, γρυποῦσθαι, συγκάπτειν.

Γρουνοὶ, κορμοὶ δρύϊνοι, κατ' ἐναλλαγὴν τοῦ δ εἰς γ. ἢ τὰ τῶν γεράνδρυων ξύλα.

Γρουνὸς, ὁ γρύψ.

Γρὺξ, ὁ ῥύπος τοῦ ὄνυχος.

Γρύξαι, ἀντὶ τοῦ κράξαι.

Γρυπαὶ, αἱ νεοσσιαὶ τῶν γυπῶν. οἱ δὲ, γυπαί.

Γρυπαίνειν, τὸ γρυποῦσθαι, οἷον ἐπὶ τῶν ἁπλῶν ξυλυφίων, ὅταν κάμψαντες ἀφῶμεν αὐτά.

Γρυπάλιον, γερόντιον, ἢ γρυπαίνιον.

Γρύπευ, μέρος τῶν τῆς νεὼς σκευῶν καὶ ἄγκυραι. καὶ εἶδος ζώου πτερωτοῦ, ὃ καλοῦσι γύπον.

Γρυπανίζειν, σείεσθαι τὴν γῆν βαλλομένην, καὶ ὥσπερ ῥιπτοῦσθαι ὑπὸ σεισμοῦ.

Γρυποῦσθαι, συγκάπτεσθαι. γρυπαίνειν γὰρ τὸ ῥυποῦσθαι λέγεται.

Γρυπνὸν, στυγνὸν, κατηφές.

Γρυπὸν, καμπυλόρρινον, ὀξύρρινον.

Γρυπὸν καὶ γρυπὸς, τὸ ἐπικαμπὲς παρ' Αἰολεῦσιν, ἤτοι ῥυβὸς, καὶ τροπῇ τοῦ β εἰς π καὶ πλεονασμῷ τοῦ γ, γρυπός. ἢ παρὰ τὸ ῥέπω, ῥεπὸς καὶ γρυπὸς, ἡ ἐφ' ἓν ἰμέρει ἐπουσαρίς.

Γρυπὸς λέγεται, ὅς τις ἔχει τὴν ῥῖνα ἐκκεκαρμένην.

Γρυποῦσθαι, συγκάπτεσθαι, καὶ γρύπτειν ὁμοίως.

Γρῦται, σκεύη.

Γρυτεύεται, παρασκευάζεται.

Γρύτη, καὶ τοῦτο τῶν παραπεποιημένων, τὸ γὰρ τοιοῦτον ἅπαν, γρυμέαν συμβέβηκε καλεῖσθαι.

Γρύψαι, ἤμερα κράξαι, ἢ ἠρέμα φθέγξασθαι, ἢ ὑλακτῆσαι.

Γρύττων, ἐξαλείψας παρὰ τῷ Ἀριστοφάνει, οἱ μὲν ἀντὶ τοῦ τὸ τυχὸν τῆς πορνείας ἐξαλείψας. παρὰ τὸν ἐν τοῖς ὄνυξι ῥύπον, ὃν λέγουσι γρύ. οἱ δὲ, Γρύττων τινὰ ἐπὶ κιναιδίᾳ διαβάλλουσι. τῶν ἐπὶ μαλακίᾳ γὰρ διαβαλλομένων ἦν ὁ Γρύττων.

Γρυῶ, προσφωνῶ.

Γρῶ, τὸ ἐσθίω.

Γρωθύλοι, γωλιοὶ, σπήλαια.

Γρωθώνη, σαπρὰ γραῦς. οἱ δὲ, τὸν παλαιὸν ὄνον.

Γρωνάδες, θήλυαι σύες.

Γρώνης, κοίλης πέτρας, παρὰ τὸ γρῶ, τὸ ξέω καὶ ἐσθίω, γρόνη καὶ γρώνη.

Γρώνους, τοὺς ἀκούοντας καὶ μὴ λαλοῦντας. καὶ παλαιὸν ἀγγεῖον σκύτινον. καὶ τὸ κενὸν τοῦ δίφρου, οὗ αἱ λόγχαι κεῖνται. ἄλλοι δὲ, τὴν ὀπὴν τῆς πέτρας. δι' ἧς τὰ χοινία πρὸς τὴν τῶν νεῶν στάσιν ἠσφαλίζοντο.

ΤΟ Γ. ΜΕΤΑ ΤΟΥ Υ.

Γύαλα, ἢ τὰ μέλη λέγονται. ὅθεν καὶ ἐγγυαλίζειν τὸ εἰς χεῖρας διδόναι. ἢ τὰ κοιλώματα τοῦ θώρακος. ἢ γύαλα, τὰ ἄκρα καὶ τὰ πέρματα, ζώνας, πέμπη, πτερύγια, ποτήρια, πτυχὰς, στολισμοὺς, περιβόλους. καὶ γύαλα, θησαυροὶ, ταμιεῖαι.

Γυάλας, εἶδος ποτηρίου παρὰ Μακεδόσι.

Γύαλον θώρηκος λέγει Ὅμηρος, τὸ περὶ τοὺς ὤμους καὶ τὰ στήθη κοίλωμα, πρὸς ἀντιδιαστολὴν τῆς τῶν χειρίδων στενότητος. οὐ θώρακι δὲ μόνον ᾠκείωται τὸ γύαλον, ἀλλὰ καὶ τισιν ἄλλοις, ὡς δῆλον καὶ ἐκ τοῦ, ὦ κοίλης πέτρας γύαλον. Ἀππίων δὲ καὶ Ἡρόδωρός φασι γύαλον μὲν θώρηκος προπαροξύνεσθαι, γυαλὸν δὲ λίθον, ὀξυτόνως λέγεσθαι, οἷον γυαλὸν λίθον ἀγκάσασθαι.

Γύαλος, κύβος, τετράγωνος λίθος.

Γυῖα δὲ θῆκεν ἐλαφρὰ πόδας, καὶ χεῖρας ὕπερθεν. προσυπακουστέον δὲ εἰς τὸ πόδας, τὸ ἔνερθεν, ἐλλιπῶς γὰρ εἴρηται διὰ συντομίαν. δῆλον δὲ ὅτι παρὰ τὰ γυῖα, ὃ τὰς χεῖρας ἰδίᾳ δηλοῖ, πολλαχοῦ γίνεται καὶ ἐγγύη, ἡ ὡσανεὶ ἐν χερσὶ τιθεῖσα τὸ κατεγγυηθέν. καὶ τὸ ἐγγαλίζω, ἤγουν ἐν χερσὶ τίθημι. καὶ γὰρ ὑπόγυον ὃ καὶ ἐξ ὑπογύου λέγεται, τὸ ἐγγύς φασι προσδόκιμον. ἢ παραυτίκα γεγονὸς, καὶ ὡς εἰπεῖν πρόχειρον μᾶλλον ἢ ὑποχείριον, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται. ἢ γυῖα ἐπ' ἀνθρώπων, αἱ χεῖρες καὶ οἱ πόδες. ἀφ' οὗ παρ' Ὁμήρῳ ἀμφιγυήεις, ὁ περὶ τοὺς πόδας βεβλαμμένος. ἐπὶ δὲ τετραπόδων, οἱ πόδες. Ἄλλως.

Γυῖα παρ' Ὁμήρῳ, αἱ χεῖρες καὶ οἱ πόδες, καὶ ἀπὸ τούτου ἁπλῶς τὰ μέλη. ἀφ' οὗ γυιοκόροι μελεδῶνες παρ' Ἡσιόδῳ, ἤγουν αἱ κοσμοῦσαι τὰ μέλη. κορεῖν γὰρ, τὸ κοσμεῖν. ἀφ' οὗ νεωκόρος, ὁ τὸν ναὸν κοσμῶν. ἢ γυῖα κυρίως, αἱ χεῖρες, παρὰ τὸ γῶ, τὸ χωρῶ καὶ ὑποδέχομαι. καταχρηστικῶς δὲ, καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος, γυῖα καλοῦνται.

* Γυιὸς, γυιὰ, γυιὸν, ἀντὶ τοῦ χολὸς, χολὴ, χολόν.

Γυιαὶ μοῖραι, αἱ χωλαί. καὶ κατ' ἐμὲ χωλοποιαὶ, καὶ βλαπτικαί.

* Γυιῶσαι ἵππον, χολῶσαι.

Γυιοῦν, τὸ τὰ σκέλη βλάπτειν, ἀπὸ τοῦ γυῖα.

Γύαι, ὁδοὶ, πλέθρα, ἄπογυα, χοινία τὰ πρυμνήσια, περίγυα, ποτήρια, πτυχαί.

Γύαλον θώρακος, τὸ κατ' αὐτὸ κύτος λέγει, καθὰ τὰ κεκοιμωμένα ἄντρα, γύαλα καλοῦνται, ὡς παρὰ Σοφοκλεῖ, ὦ κοίλης πέτρας γύαλον. καὶ φασί τινες τὴν πολλὴν τοῦ θώρακος καὶ πλατεῖαν κοιλότητα οὕτω καλεῖσθαι, πρὸς διαστολὴν τῆς ἐν ταῖς χερσὶ καὶ τῷ τραχήλῳ στενότητος.

Γύαρος, νῆσος μία τῶν Σποράδων. λέγεται δὲ ὅτι ἐν ταύτῃ οἱ μῦες κατατρώγουσι τὸν σίδηρον.

Γύας, γῆς.

Γυβᾶ, κολύμβα.

Γυγᾶ Ἀθηνᾶ, ἐγχώριος.

Γυγαίη, λίμνη ἐν Λυδίᾳ. καὶ γυγαίη νὺξ, ἡ σκοτεινὴ γῆ.

Γύγης, κύριον ὄνομα, ὃν οἱ Ἕλληνες ἐμυθεύοντο τῇ στροφῇ τῆς σφενδόνης ἣν ἐφόρει, ἀφανίζεσθαι καὶ μὴ ὁρᾶσθαι παρόντα, καὶ εἰς ὄψιν ἔρχεσθαι, ὃ κλίνεται Γύγου.

Γύγου δακτύλιος, ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων.

Γυέλιον, κόλπον.

Γύη, ὄρυξ, ὀργυιὰ, χωλὴ, ἀσθενής. καὶ γύη, μέτρον πλέθρου.

Γύης, τὸ γονάτιον τοῦ ἀρότρου, ἀπὸ τοῦ ἐν τῇ γῇ χώννυσθαι, καὶ γράφεται διὰ τοῦ ν.

Γυήτης, χωλός.

Γύης, τὸ κατώτατον μέρος τοῦ ἐν τῷ ἀρότρῳ ἱστοβοέως. αὐτόγυον δὲ, τὸ μὴ συνθετὸν ἀλλ' ἐξ ἑνὸς ξύλου. δηλοῖ δὲ καὶ μέτρον γῆς δίγυον, καὶ πεντηκοντόγυον, καὶ αὐτὴν τὴν γῆν. ἔτι δὲ, καὶ τὴν τῶν ἀστραγάλων σύνθεσιν. τὴν αὐτὴν δὲ γύλην Διονύσιος, γύτιν εἴρηκε.

Γυθίσσων, διορύσσων.

Γυλιαύχενας, μακροτραχήλους.

Γύλιον, ἀγγεῖον πλεκτὸν ἀπὸ φοινίκων. ἢ γύλιον, σκεῦός τι στρατιωτικὸν πλεκτὸν, εἰς ὃ ἐνετίθετο τὰ ἐπιτήδεια. καὶ Γύλων, ὄνομα κύριον. καὶ Γύλιππος, οὗτος δὲ ἦν Λακεδαιμόνιος. καὶ γύλιον, χοῖρον, ἢ λέοντα. σημαίνει δὲ καὶ τὸν Ἡρακλέα.

Γύλιος, σπυριδῶδες πλέγμα, ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον. Ἄλλως.

Γύλιος πλέγμα ἐστὶ στρατιωτικὸν, ἐπίμηκες, τὸ πέσιν εἰς ὀξὺ λῆγον. ἢ γύλιος πλεκτόν τι σκεῦος, στρατιωτικὸν, στενόστομον, ἐν ᾧ τὰ σιτία ἐμβάλλουσι.

Γύλιππος, ὄνομα Λακεδαίμονος.

Γυλλὰς, εἶδος ποτηρίου παρὰ Μακεδόσι.

Γύλλινα, ἐρείσματα, γεισοί.

Γυλλίσκοι, ἰχθύες ποιοί.

Γύλον, ὄνομα κύριον.

Γυλὸς, μένος.

Γύμναζε, ἀντὶ τοῦ ἔθιζε. ὡς ὁ ἀπόστολος, γύμναζε δὲ ἑαυτὸν πρὸς εὐσέβειαν.

Γυμνά-

Γυμνάζω, καὶ γυμνάζομαι, ἐπὶ τῶν ἀγωνιζομένων γυμνῶν. καὶ γυμνάσιον, ὁ τόπος ἐν ᾧ γυμνοὶ ἠγωνίζοντο. καὶ ἀπὸ τούτου γυμνάζεσθαι ἁπλῶς, τὸ ἀσκεῖν καὶ παιδεύεσθαι.

Γυμνάζω, καὶ διδάσκω τὰ περὶ τοῦ πολέμου.

Γυμνασθῆναι, τὸ ὑφ᾽ ἑτέρου· γυμνάσασθαι δὲ, τὸ ὑφ᾽ ἑαυτοῦ.

Γυμνάσια, κινήσια, ἀλειπτήρια, λουτήρια, ἢ ἱππικόν. τρία γυμνάσια τῆς Ἀττικῆς, Ἀκαδημία, λύκειον, Κυνόσαργες.

Γυμνάσιον, ἀποδυτήριον, παλαίστρα, κονίστρα. λέγεται τὰ χωρία τῆς ἀσκήσεως, καὶ ὁ ἐφεστηκὼς, παιδοτρίβης τε, καὶ γυμναστής. παρὰ δὲ Πλάτωνι καὶ Ξενοφῶντι, προγυμναστὴς, συγγυμναστὴς, ὁ δὲ ἀλείπτης ἀδόκιμον. παιδοτρίβην δὲ τέχνην Ἰσοκράτης εἴρηκε. τὴν δὲ παιδοτριβίαν, Ἄρχιππος ὁ κωμικός. εἴη δ᾽ ἂν ἐκ τούτων, ξηραλοιφεῖν, σωμασκεῖν, σωμασκίας, σεσωμασκηκὼς, ἀσκητὴς, ἀσκήματα, ἄσκησις. Πλάτων δὲ, καὶ ἄσκην εἴρηκε φαῦλον ὄνομα. καὶ λήκυθον ἂν εἴποις, καὶ στλεγγίδα. ἐκαλεῖτο δὲ καὶ πλεγρὶς, καὶ ξύστρα, καὶ σπαθίς. καὶ τὸν παῖδα ἐρεῖς, ληκυθοφόρον. πονηρὸν γὰρ, ὁ στλεγγιδολήκυθος. τὸν δὲ θύλακον τῶν ἀσκητῶν, σάκταν καλοῦσιν, ἢ σάκκον. ἀθληταῖς δ᾽ ἂν προσήκοιεν καὶ ἐνδρομίδες. οὕτω δὲ ἐκαλοῦντο τὰ τῶν δρομέων ὑποδήματα. Κράτης δ᾽ ἔφη ἐν Ἥρωσι, ἀλτῆρσι θυλακοῖσι χρῆται. ἄγχειν, στρέφειν, ἀπάγειν, λυγίζειν, ἀγκοινίζειν, ἀγκυρίζειν, ἀνατρέπειν, δράσσειν, ὑποσκελίζειν. καὶ πλαγιάζειν δὲ, καὶ κλιμακίζειν, παλαισμάτων ὀνόματα. μοχθηρὸν δὲ, τὸ μέσον πέρδειν ἐν τῇ κωμῳδίᾳ. σχῆμα παλαίσματος, τὸ πέρδειν. ἤδη δέ τινες τοὺς γυμνικοὺς ἀγῶνας σεμνότερον, Ἡρακλείους ἀγῶνας ἐκάλεσαν.

Γυμνασταὶ, νόμος ἦν γυμνοὺς εἰς τὸν ἀγῶνα εἰσέρχεσθαι. καὶ διὰ τοῦτο λέγονται γυμνασταί.

Γυμναστική ἐστι τέχνη ποιητικὴ, σωματικῆς εὐεξίας.

Γυμνηλοὶ, οἱ ἀκτήμονες, πένητες.

Γυμνῆται καὶ γυμνῆτες, τάξις πεζῶν. ἢ γυμνῆτες, οἱ μὴ ἔχοντες ὅπλα. οἱ δὲ, τοὺς σφενδονητάς. οἱ δὲ, τοὺς γυμνοὺς μαχομένους.

Γυμνῆτις, γυνή.

Γυμνιτεία, γυμνασία, ἡ τριβή.

Γυμνιτεύω, γυμνάσαι, τὸ εἰς φῶς ἀγαγεῖν.

Γυμνὸν, ἀνυπόδητον, ἢ ἀπεσκυθισμένον, ὡς Ἀρχίλοχος.

Γυμνοπαιδιά. ἔνιοι μὲν ἑορτήν φασι Σπαρτιατικὴν, ἐν ᾗ τοὺς ἐφήβους κύκλῳ περιθεῖν τὸν ἐν Ἀμυκλαίῳ βωμὸν, τύπτοντας ἀλλήλων τὰ νῶτα· ταῦτα δέ ἐστι ψευδῆ· ἐν γὰρ ἀγορᾷ ἑορτάζουσι· πληγαὶ δὲ οὐ γίνονται, ἀλλὰ πρόσοδοι χορῶν γεγυμνωμένων.

Γυμνοποδεία, ἡ παλαίστρα. καὶ γυμνοπόδης, ὁ ἀνυπόδητος. καὶ γυμνοποδῶ, γυμνὸς βαίνω.

Γυμνὸς τῇ κεφαλῇ, καὶ τὴν κεφαλὴν λέγομεν.

Γυμνὸς, ὁ ἄνευ ἱματίων. ὥσπερ παρὰ τὸ σκύζω τὸ ὀργίζομαι γίνεται σκύμνος, καὶ παρὰ τὸ σέβω σεμνὸς, οὕτω καὶ κύπτω κυπτὸς, καὶ γυμνός. ὁ γὰρ τοιοῦτος, κύπτει κρύπτων τὰ αἰδοῖα ὑπὸ αἰδοῦς. ἢ παρὰ τὸ τὰ γυῖα μόνα ἔχειν, τουτέστι τὰ μέλη.

Γυμνὸς τριχῶν, ἐξηγεῖται τὸ Γυμνὸς, ἐπὶ τῆς τοῦ Ἀδὰμ γυμνότητος, γυμνὸς κατὰ τὴν ἁπλότητα τοῦ τρόπου. οὔπω γὰρ ἡ διπλόη ἐπεπόλαζεν καὶ ἡ πονηρία. γυμνὸς κατὰ τὴν ἄτεχνον ζωήν. ὕστερον γὰρ αἱ τέχναι εὑρέθησαν. γυμνὸς καὶ κατὰ τὰ ἄμφια, ὕστερον γὰρ καὶ ταῦτα ἐπενοήθησαν.

Γυμνοσοφισταὶ, οἱ φιλόσοφοι παρὰ Βαβυλωνίοις.

Γυμνότερος λεβηρίδος. Ἀριστοφάνης φησὶ, τυφλότερος λεβηρίδος. ἔστι δὲ λεβηρὶς, τὸ τοῦ ὄφεως γῆρας, διὰ τὸ λεπτὸν εἶναι. κενὸν δὲ τελέως ἐστὶ τοῦτο καὶ τυφλόν. τὰς γὰρ ὀπὰς μόνας ἔχει τῶν ὀφθαλμῶν. τάττουσι δὲ τὴν λέξιν, ἐπὶ τέττιγος, καὶ συνόλως ἐπὶ τῶν ἀποδυομένων τὸ γῆρας. τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν. καὶ οἱ μὲν τυφλότερον λεβηρίδος, οἱ δὲ, κενώτερος, οἱ δὲ γυμνότερος.

Γυμνότερος παττάλου, ἐπὶ τῶν σφόδρα ἀπορωτάτων.

Γυμνῷ φυλακὴν ἐπιτάττειν, παροιμία ἐπὶ τῶν μὴ δεομένων προστάξεως, διὰ τὸ ἀναγκαίως καὶ χωρὶς ἐπικελεύσεως τοῦτο πράττειν.

Γυμνώθη τὸν βραχίονα ὁ Γλαῦκος. καὶ γυμνώθη ῥακέων Ὀδυσσεὺς, ἐκ τοῦ γυμνόω γυμνώσω.

Γυμνῶσαι τῆς ἀρχῆς, ἀντὶ τοῦ γυμνὸν ποιῶ.

Γύμνωσις, ἡ τῶν γυίων μόνωσις.

* Γύναι κλητικὴ, ἐκ τῆς γύναιξ εὐθείας, ἀποβολῇ τοῦ ξ.

Γυναίσκιον, παιδίσκιον.

Γυναικεῖα φύσις, καὶ τὰ ἔμμηνα, καὶ οἱ γυναίκειοι ἵπποι.

* Γυναικεῖον αἰδοῖον, καὶ ἄμβων, καὶ χοῖρος, καὶ ἐσχάρα, καὶ δέλτα καὶ κέλης συνωνύμως λέγεται.

Γυναῖκες εἰλίποδες, διὰ τὴν δέσιν τῶν σκελῶν, καὶ πλοκὴν τὴν κατὰ τὴν συνουσίαν. καὶ Ἀνακρέων. Πλέξαντες μηροῖσι πάρα μηρούς.

Γυναικίας, καὶ γυναικιζομένους, τοὺς ἐν πολέμῳ ἀτόλμους φασὶν οἱ μεθ᾽ Ὅμηρον, παραποιήσαντες τόδε, ἐκ τοῦ γυναικός. ἢ γυναικίας, ὁ θηλυμανὴς ἀνήρ.

Γυναιζόμενος, θηλυνόμενος.

Γυναίκισις, ἡ γυναικεία μίμησις, ὡς τὸ, Πρὶν τῆς ἑτέρας γυναικίσεως δίκην δοῦναι.

Γυναικοϊέρακες, οἱ περὶ ἔρωτας ἐπτοημένοι.

Γυναικὸς ἄρα ἀντετέτυξο, ἀντὶ γυναικὸς ἄρα γεγένησο.

Γυναικώδης, οἱ εὐνοῦχοι.

Γυναικωνῖτις, οἰκία τῶν γυναικῶν.

Γυναικωνῖτιν φάλαγγα, τῶν εὐνούχων Οὐάλεντος.

Γυναιμανὴς, ἢ ἐκ τοῦ γυναικομανὴς συγκέκοπται, ἢ ἐκ τοῦ γυνομανὴς γίνεται, ὁμοίως τὸ μεσαιπόλιος. δῆλον δὲ ὅτι ὁ ἄκρατος ἔρως, μανίᾳ ἔοικε. διὸ τὸν τοῦτο πάσχοντα, γυναιμανῆ λέγει. ὁμοίως τῷ, ἱππομανὴς, χρυσομανὴς, ὧν πρὸς ὁμοιότητα, καὶ ἡ ἑρμηνεία εἴρηται. δῆλον δὲ ὅτι ταυτὸν γυναιμανῆ τινα, καὶ θηλυδρίαν, καὶ λάγνον, καὶ γυναιξὶ προσηπῆ. καθολικώτερον δὲ τὸ γυναιμανὴς, τοῦ παρθενόπιπος, ὃς ἐν ἄλλοις κεῖται. καὶ τοῦ πυρροπίπης, ὁ παιδοφίλης, οἳ σκώπτονται σφοδρότερον. καθὰ καὶ ὑπὸ Πριάμου, οἱ τῶν ἀρνῶν, καὶ τῶν ἐρίφων ἁρπακτῆρες. Ἐκ μὲν γυναικὸς ῥήματα, τὸ γυναικίζω, καὶ ὄνομα ὁ γυναικίας, ἐκ τοῦ γυνή. δηλοῖ δὲ αὐτὸς οὐ μόνον τὸν λάγνον, ἔτι δὲ καὶ τὸν δειλὸν, ἀλλὰ καὶ τὸν ἱκανὸν δι᾽ ἀτονίαν ῥηθὲν, ἀντὶ τοῦ διὰ τὸ μὴ ἔχειν ἐντείνειν τὸν καυλόν. λέγεται ἔτι, οὐ δύναμαι τανύσαι.

Γυναιμανῶ, ἀκολασταίνω.

Γύναιξ, γύναι.

Γύναιον, γυνή.

Γυναίων, εἵνεκα δώρων, διὰ γυναικῶν δωροδοκίαν.

Γυνὴ, παρὰ τὸ γῶ τὸ λαμβάνω καὶ δέχομαι, γίνεται γυνὴ, ἡ δεκτικὴ τοῦ σπέρματος. ἢ παρὰ τὸ τίκτω, γίνεται γονὴ, καὶ τροπῇ τοῦ ο εἰς υ Αἰολικῶς, γυνή. ὡς ὄμοιον ὕμοιον. τὸ δὲ γυνὴ, ἄκλιτόν ἐστι, συστέλλει δὲ τὸ υ. εἰκότως οὖν ὡς μονήρες ἄκλιτον ἔμεινεν. εὕρηται δὲ καὶ τὴν γυνὴν, οἷον ὡς ἄτοπόν ἐστι, καὶ μητέρα εἶναι καὶ γυνήν. γυνή ἐστιν ἀφροσύνη, λογικὰς ψυχὰς ἐπὶ ἀκαθαρσίαν προσκαλουμένη. γυνὴ, εὔχρηστος ἡ εὐθεῖα. πᾶσα δὲ ἡ ἀπ᾽ αὐτῆς κλίσις οἷον τῆς γυνῆς καὶ τὰ ἄλλα εἰσὶν ἄχρηστα. ἡ γύναιξ δὲ πάλιν εὐθεῖα, ἄχρηστος. ἡ δὲ ἀπ᾽ αὐτῆς κλίσις, οἷον τῆς γυναικὸς, καὶ τὰ ἄλλα, εἰσὶν εὔχρηστα, πλὴν μόνης τῆς κλητικῆς, γράφεται γὰρ ὦ γύναι.

Γυνὴ λέγεται, καὶ ἐπὶ τοῦ θήλεος ἁπλῶς. λέγεται δὲ, καὶ ἐπὶ τῆς ἐχούσης ἄνδρα. Ἰστέον δὲ ὅτι, γυνὴ μὲν, καὶ γύναιον. καὶ γυναικωνῖτις, ὁ εἰς ὑποδοχὴν γυναικῶν τεταγμένος οἶκος, καὶ κλίνεται γυναικωνίτιδος. ὅπερ δὲ ἐπὶ γυναικῶν ἡ γυναικωνῖτις, τοῦτο ἐπ᾽ ἀνδρῶν ὁ ἀνδρὼν, ὃ κλίνεται ἀνδρῶνος. καὶ γυνὴ, ἡλικία τὶς παρὰ Πυθαγόρᾳ. ὁ ἄνθρωπος γυνὴς, δειλὸς, ἄνανδρος, γυναικώδης. Ἀριστοφάνης, γύννιδας, μαλακός.

Γύννις, μαλακὸς, γυναικώδης, ἀνδρόγυνος, παρὰ τὸ γυνὴ παρωνύμως. ὡς δάφνη, δαφνὶς· νύμφη, νυμφίς. οὕτω καὶ γυνὴ γύννις.

Γυιοκόρους, τοὺς καταδιώσας τὰ μέλη μέχρι κόρου. Ἡσίοδος, Καὶ γυιοκόρους μελεδῶνας.

Γυπάνειν, τὸ συσπᾶσθαι, καὶ φρίττειν, καὶ τρομαίνειν. καὶ οἴεσθαι τὴν γῆν παλλομένην, καὶ ὥσπερ ἅλλεσθαι ὑπὸ σεισμοῦ.

Γυπαρίοις παρὰ τῷ Ἀριστοφάνει, εἶδος ὀρνέου. ἔπαιξε δὲ τὸ ὄνομα διὰ τὸ ἐπιφερόμενον. δοκεῖ γάρ πως παρόμοια τὰ ὀνόματα ταῦτα εἶναι γυπαρίοις, καὶ πυργιδίοις. ἢ διὰ τὸ τοὺς ὄρνις τούτους μάλιστα τοῖς πύργοις ἐπικαθῆσθαι, καὶ τοῖς τείχεσιν. εἰς οὓς οἱ Ἀθηναῖοι ἐκάθευδον διὰ τὸν πόλεμον, φρουροῦντες τὴν πόλιν. ἢ ἀντὶ τοῦ ἐν φωλεοῖς, καὶ καλιαῖς, καὶ στενοῖς χωρίοις.

Γύπας, καλύβας, καὶ θαλάμας. οἱ δὲ, γυπῶν νεοσσιάς. ἄλλοι, ὀδοὺς εἰς ὀδούς. οἱ δὲ, τὰς κατὰ γῆν οἰκήσεις. οἱ δὲ, σπήλαια, καὶ ὕπαιθρα τὰ αὐτά. οἱ δὲ ἀζώστους, ἀνασεσυρμένας.

Γῦπες καὶ κόρακες, περὶ νεκροὺς νέμονται. οἱ δὲ λάροι, τὴν θάλατταν.

Γύπη, κοίλωμα γῆς, θαλάμη, γωνία.

Γυπὸν, μακρόν.

Γυπὸς σκιὰ, ἐπὶ τῶν μηδενὸς λόγου ἄξιον, ὑπὸ φθόνου πραττόντων.

Γυραὶ πέτραι, ἐν τῷ Ἰκαρίῳ πελάγει.

Γύρας, ὄρος ἐν Τήνῳ.

Γύργαθον, σκεῦος πλεκτὸν, ἐν ᾧ βάλλουσι τὸν ἄρτον οἱ ἀρτοποιοί.

Γύργαθος, τὸ δίκτυον.

Γυρῖσι, πέτρησιν, οὕτω καλοῦνται.

Γυρία, πάλη, καὶ στολίς.

Γυρίτας, αὐτοπύρους ἄρτους.

Γυρίνης, περιφεροῦς. Ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦλθον γυρίνης.

Γυρῖνοι, οἱ μικροὶ βάτραχοι. Ἀριστοφάνης, οἷον πατέρες βοῶσι Γυρίνων.

Γύροι, βόθροι.

Γυρὸν, κατακεκλιμένον, κυρτόν.

* Γυρὸς λέγεται ὁ φύσει, κυφὸς δὲ ὁ διὰ γῆρας, ἢ πάθος τοιοῦτος γεγονώς.

Γύρος, ἡ κατὰ κύκλον στροφή.

Γυρὸς, ὁ στρογγύλους ἔχων ὤμους, ὑπόκυρτος, οὐκ εὐμήκης. οἱ δὲ παλαιοί φασιν, ὅτι γυροὶ λέγονται, καὶ οὗ τὰ φυτὰ ἐμβάλλουσι. καὶ ὅτι ἐκ τοῦ γυρὸς ὀξυτόνου, καὶ γυροῖν βατράχοιν. γυροὶ τὸ σχῆμα παρ᾽ Ἀττικοῖς, οἱ μὴ πόδας ἔχοντες. Ἴωνες δὲ κατὰ Παυσανίαν, γερύνους τοὺς τοιούτους φασίν. ὅτι δὲ γύρος βαρυτόνως οὐ μόνον κοινώτερον ὁ κύκλος, ἀλλὰ καί τι πλακοῦντος εἶδος, δηλοῖ καὶ Ἀθήναιος, ἐν τῷ γύρος πλακοῦς τῷ σχήματι μαστοειδὴς, (ἢ πλακοειδὴς) ᾧ ἐχρῶντο Λάκωνες πρὸς γυναικῶν ἑστιάσεις.

Γυρόω γυρῶ, γυρώσω, τὸ κατὰ κύκλον στρέφω.

Γυρτεὺς, ἀνακρωτόφωνος.

Γυρτὸν, σκυφόν.

Γυρτὼν, ἣν Γυρτώνην φησὶν Ὅμηρος, ἔστι πόλις Θεσσαλίας, ἢ Περαιβίας. ὠνομάσθη δὲ, ἀπὸ Γυρτώνης τοῦ Φλεγίου.

Γυρτώνη, παρὰ μὲν τῷ ποιητῇ, τρισυλλάβως. παρὰ δὲ τῷ γεωγράφῳ, εὕρηται δισυλλάβως. ἔνθα φησὶ τοὺς Περραιβοὺς κεῖσθαι, μέχρις ἐκβολῆς Πηνειοῦ, καὶ Γυρτῶνος πόλεως Περραιβίδος. καὶ ὁ τῶν ἐθνικῶν δὲ συναγωγεύς φησι, Γυρτὼν πόλις Θεσσαλίας, καὶ Περραιβίας ἀπὸ τοῦ κτίσαντος αὐτὴν Γύρτωνος, ὃς ἦν ἀδελφὸς Φλεγύου. ὅτι δὲ τοὺς Γυρτωνίους Φλεγύας ἐκάλουν ἀπὸ τοῦ ῥηθέντος Φλεγύου ἀδελφοῦ Ἰξίονος, ἱστορίαι δηλοῦσι συχναί.

Γυρῶν, περιφερῶν.

Γυρῶσαι, σημαίνει τὸ κατὰ κύκλον στρέψαι καὶ περιφράξαι. ἢ βόθρον ὀρύξαι, ἐν ᾧ τὰ φυτὰ κατατίθεται, παρὰ τὸ γῦρον ποιεῖν ἐν τῷ περιφράσσειν. καὶ γυρῶσαι, πληρῶσαι, φιαλῶσαι.

Γὺψ, γυπὸς ὄρνεον, παρὰ τὸ γυρεύειν τὰ ἐν ἕλει.

Γύψος, οἱονεὶ γύψος τὶς οὖσα, ὅ ἐστιν, ἡ ἑψηθεῖσα γῆ.

Γυῶσαι, τὸ χωλῶσαι λέγεται, ἀφ᾽ οὗ καὶ γυὸν ὀξυτόνως, τὸ χωλόν. ὡς παρὰ Λυκόφρονι, γυαὶ μοῖραι, αἱ χωλαί. καὶ Ἥφαιστος ἀμφιγυήεις, ὁ ἀμφοτέρους τοὺς πόδας χωλός.

Digitized by Google

Γυώσω, βλάψω, χωλώσω, κυρίως τὸ τὰ γυῖα, τουτέστι τὰ μέλη βλάπτειν.

Γυῶ, ἐξ οὗ καὶ τὸ γυώσει μὲν σφῶϊ.

ΤΟ' Γ'. ΜΕΤΑ' ΤΟΥ Ω'.

Γῶ, σημαίνει τέσσαρα, τὸ χωρῶ. ἐξ οὗ γῆ, ἡ χωρητικὴ πάντων. τὸ λαμβάνω, καὶ δέχομαι. τὸ γεννῶ, ἐξ οὗ γυνή. τὸ φωνῶ, ὅθεν γεγωνώς. καὶ ἔτι σημαίνει ἑαυτῷ, ἰδίῳ, καὶ σῷ.

Γωνάμη, ἐν ᾧ οἱ ἁλιεῖς συνάγουσι τὰ ὄστρεα. εἴρηται καὶ γαγγάμη.

Γωγώνη, φάρυγξ.

Γωλεός, φωλεός, σπήλαιον. καὶ αἱ πρὸς θαλάσσαις καταδύσεις.

Γωλειά, καὶ Φόρκυνος, αἱ πρὸς τὴν θάλασσαν καταδύσεις. Φόρκυνος οἰκητήριον, ἡ θάλασσα.

Γωνία, τὸ νι, ἰῶτα. διατί; Κανών. Τὰ διὰ τοῦ εια θηλυκὰ μονογενῆ, πρὸ μιᾶς τὸν τόνον ἔχοντα ὑπὲρ δύο συλλαβάς, μὴ ὄντα ἀπὸ τῶν εἰς υς ὀνομάτων, ἢ ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, μήτε σύνθετα ἀφ' ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον, μήτε λεγόμενα καὶ εἰς ον οὐδέτερα, μήτε ἀπὸ παροξυτόνου κατὰ κρᾶσιν γινόμενα, μήτε κατὰ διάστασιν εὑρισκόμενα, μήτε Ἀττικῶς ἐκτείνοντα τὸ α καὶ παροξυνθέντα, διὰ τοῦ ι γράφεται. οἷον, ἀνία, ἀξία, μανία, ἠρεμία. πρόσκειται μονογενῆ, διὰ τὸ πολυδευκεία χείρ, ἀγαμεμνονεία. ὁ Αγαμεμνόνειος γάρ, καὶ τὸ ἀγαμεμνόνειον. πρόσκειται πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τὸ ἀσέβεια. πρόσκειται ὑπὲρ δύο συλλαβάς, διὰ τὸ μνεία, καὶ χρεία. πρόσκειται μὴ ἀπὸ τῶν εἰς υς, μήτε ἀπὸ διὰ τῶν τοῦ ευω ῥημάτων, διὰ τὸ ταχύς ταχεῖα. δουλεύω, δουλεία. πρόσκειται μὴ σύνθετα ἀφ' ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον, ἐπειδὴ ἀπὸ τοῦ δεία τοῦ σημαίνοντος τὴν ἔνδειαν, γέγονε σιτοδεία. πρόσκειται μὴ λεγόμενα εἰς ον οὐδέτερα, διὰ τὸ ἐλεγεῖον, ἐλεγεία. πρόσκειται μὴ κατὰ διάστασιν, διὰ τὸ ἀνδρεία, ἢ ἀνδρία, τὸ ἐπὶ ἀρετῆς. ὅπερ ὁ μὲν Ἀπολλώνιος, διὰ τοῦ ι γράφει, ὁ δὲ Ὦρος, διὰ διφθόγγου. εὕρηται γὰρ κατὰ διάστασιν ἀνδρεΐα. πρόσκειται μὴ Ἀττικῶς ἐκτείνοντα τὸ α καὶ παροξυνθέντα, ἐπειδὴ τὸ ἱέρεια, καὶ εὔκλεια, Ἀττικῶς καταβιβάζουσι τὸν τόνον καὶ τὸ α ἐκτείνουσι. τοιοῦτον καὶ τὸ θυεία, ὃ σημαίνει τὴν ἴγδην, Ἀττικῶς. οἱ γὰρ Ἀττικοὶ ἐκτείνοντες τὸ α καὶ καταβιβάσαντες τὸν τόνον, καὶ τὴν αὐτὴν γραφὴν ἐφύλαξαν. τὸ δὲ νωθεία ἡ ἀργία, οὐκ ἔστιν ἀπὸ τοῦ νωθεύω. ἐκεῖνο γὰρ διὰ τοῦ ο μικροῦ, ἀλλ' ἴσως ἀπὸ τοῦ νωθρός, νωθρεύω, νωθρεία. καὶ κατὰ ἀποβολὴν τοῦ ρ, νωθεία. καὶ γωνία, ἡ τοῦ οἴκου, καὶ γωνιασμός.

Γωνίᾳ πορθμῶσαι, τὸ ἐν γωνίᾳ ὑπό τινος περαιωθῆναι. γωνία παρὰ τὸ γόνυ, τὸ κτητικόν, γωνία, κατὰ ἔκτασιν τοῦ ο, εἰς ω. ὅπερ ἐπικάμπτει τε, καὶ κεκλασμένῳ σχήματι μεταπεποίηται.

Γωνιασμούς, ἀποφυγάς, ἀπαγωγάς. ἔδειξα τοῖσι λεπτῶν κανόνων εἰσβολάς, ἐπῶν τε γωνιασμούς. καὶ γωνιασμούς, πλαγιασμούς, ἀπάτας.

Γῶνορ, γωνία. Λάκωνες.

Γωνορίσματα, γνωρίσματα, τοποθεσίαι.

Γῶνος, γουνός, ἔδος, καὶ παιδιά τις παλαιστρική. οἱ δέ, χώπη.

Γώνυμος, ὁ φερώνυμος.

Γῶος, μνημεῖον.

Γῶπας, καὶ κολοιούς, Μακεδόνες.

Γωροῦται, σαρκοῖ. Λάκονες.

Γωρυτός, ἡ τοῦ τόξου θήκη, ὡς χωροῦσα τὸ ῥυτόν, ὅ ἐστιν ἑλκυστὸν τόξον, ἵνα ᾖ χωρυτός, καὶ μεταλήψει τοῦ γ γωρυτός. καὶ γωρυτὸς καλεῖται τὸ ὅπλον, ἐν ᾧ ἐμβάλλεται τὸ τόξον. ἀπὸ τοῦ γῶ τὸ χωρῶ καὶ τοῦ ῥυτὸν τὸ χωροῦν δηλαδὴ τὸ ἑλκυστόν, ἤγουν τὸ τόξον,

Τέλος τοῦ γ' στοιχείου.

ΑΡΧΗ' ΤΟΥ Δ'.

ΣΤΟΙΧΕΙ'ΟΥ. ΤΟ' ΑΥ'ΤΟ' ΜΕΤΑ' ΤΟΥ Α'.

Δαβαινίτης, ἀπὸ Δαβαίνης τόπου.

Δαβεῖ, κάθηται. Λάκωνες.

Δάβελες, δαλός. Λάκωνες.

Δαβήρ, τὰ ἅγια τῶν ἁγίων ὀνομάζεται.

Δαβίδ, ὁ βασιλεὺς ἰσραήλ, ὁ προφήτης καὶ προπάτωρ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ. ὃς μετὰ τὸ βασιλεῦσαι, ἐπορεύετο μεγαλυνόμενος. καὶ Κύριος ὁ παντοκράτωρ, ἦν μετ' αὐτοῦ.

Δαβίδειος σορός. καὶ δαβίδειον μέλος, τὸ τοῦ Δαβίδ.

Δαβουλή, ἄρκτος, Χαλδαῖοι.

Δαγκάνω, ἐκ τοῦ δήκω παράγεται.

Δάγκολον, δρέπανον.

Δάγμνος, οἰκτρός, πένης, ἐλεεινός.

Δαγνόν, πυκνόν.

Δαγομένον, ἐρρωμένον.

Δαγύδι παρὰ Θεοκρίτῳ. ὡς τό, Ἀλλ' ἐπάγην δαγύδι, ἀντὶ τοῦ ἄφωνος γέγονα, ὁμοία δαγίδι, ᾧ αἱ παρθένοι κοσμοῦνται. δαγὺς γάρ ἐστι, κοροκόσμιόν τι. καλοῦσι δὲ αὐτὸ καὶ νύμφην. οἱ δὲ πλαγόνα, ὡς οἱ Ἀττικοί, ἀπὸ τοῦ πεπλάσθαι ἐκ κηροῦ. οἱ δέ, κόσμον ἐγκράρσιον γυναικῶν τὴν δαγύδα φασί, καὶ στέφανον περισφίγγοντα τὴν κεφαλήν. ἢ δαγύδι, ἀντὶ τοῦ κρυστάλλῳ ὁμοία. ἢ στήλῃ, ὡς παρ' Ὁμήρῳ, ἀλλ' ὥστε στήλη ἔμπεδος μένει. λέγεται καὶ δαγύς, ἀπεικόνισμά τι Ἀφροδίτης, ἢ εἴδωλον.

* Δ στοιχεῖον, πλεονάζει πολλαχοῦ, οἷον πολύιψιον, πολυδίψιον. καὶ ἐπεντιθέμενον δασυνομέναις λέξεσι, αἴτιον τοῦ ψιλοῦσθαι αὐτάς· οἷον ἔλω ἔλδω. καὶ ἐπιφερόμενον βραχεῖ φωνήεντι, ἐν τέλει λέξεων κειμένῳ δύναταί ποτε ἐκτείνειν αὐτό. καὶ συγγενεύει τῷ θ, καὶ εἰς αὐτὸ τρέπεται κατὰ τὰς παραγωγάς, οἷον ἐν τῷ Προμηθεὺς ἐκ τοῦ μήδω. καὶ τῷ τ συγγενεύει, οἷον τοῦδες, ἀντὶ τοῦτες.

Δᾷδα, λαμπάδα.

Δᾷδας, λαμπηδόνας.

Δαδαίνειν, ἀντέχειν, ἀτενίζειν, μεριμνᾶν, φροντίζειν.

Δᾷδες, λαμπάδες. ἔχει τὸ ι, ἐπειδὴ εὕρηται κατὰ διάστασιν δαΐδων. γίνεται δὲ ἐκ τοῦ δαίω, τὸ διακόπτω καὶ καίω, ὁ μέλλων δαίσω. καὶ λοιπόν, ἐκ τοῦ δαΐς, καὶ δᾷς κατὰ συναίρεσιν. ἔμεινε δὲ τὸ ι ἀνεκφώνητον. καὶ δᾷδες, λαμπραί.

Δατεῦνται, διαιροῦσιν, διασχοῦνται.

Δαδουχεῖ, ἤγουν φαίνει, λάμπει, φέγγει, φωτίζει, φαείνει.

Δαδοῦχος, λυχνάπτης, λαμπαδηφόρος.

Δαδουχοῦνται, φαίνονται.

Δαδύσσεσθαι, ἕλκεσθαι, σπαράσσεσθαι.

Δαδύσσω, τὸ ταράσσω.

Δαεγῶ, οἶδα, ἐπίσταμαι.

Δάειν, κακουργεῖν.

Δάεινον, κλαύσιμον.

* Δαείω, ἀντὶ τοῦ δαῶ, ὅ ἐστι μάθω.

Δάειρα, δάερα γὰρ εἶναι τὸν τοῦ ἀνδρὸς ἀδελφὸν δηλοῖ. καὶ δαήμων, ἔμπειρος. καὶ δάειρα, ἡ Περσεφόνη, παρὰ Ἀθηναίοις, παρὰ τὴν δᾷδα, ἐπειδὴ μετὰ δᾴδων ἐπιτελεῖται αὐτῇ τὰ μυστήρια, ἢ ὅτι δᾷδα φορεῖ.

Δαείς, καείς, καὶ ἀντὶ τοῦ μαθών.

Δάελον, διάδηλον.

Δᾶεν, ἐδίδαξε.

Δαείω δαῶ, τὸ κόπτω.

Δάερ, ἀνδράδελφε.

Δαερόν, μέλαν, καὶ τὸ καιόμενον.

Δάζω, τὸ μερίζω, καὶ δάσω, ἐξ οὗ δαστός. ἄδαστος, καὶ κατ' ἔλλειψιν, ἄδατος. καὶ ἄδαστα παρὰ Σοφοκλεῖ ἐν Αἴαντι, τὰ μὴ μεριζόμενα.

Δάκε, ἐλύπησε.

Δαηθμόν, ἐμπρησμόν.

Δαήλης, ἱερεὺς Ἀρτέμιδος.

Δαήμων, ἐπιστήμων, ἔμπειρος. παρὰ τὸ δαίω δαῶ, δαήσω, δεδάηκα, δεδάημαι, δαήμων. καὶ δαημονέστερος, ἐμπειρότερος. δαημονέστατος, ἐμπειρότατος.

Δαῆναι, μαθεῖν.

Δαήρ ἐστιν, ὁ τοῦ ἀνδρὸς ἀδελφός. καὶ παρῆκται ἀπὸ τοῦ δαίω, τὸ μανθάνω, ὃν μᾶλλον τῶν ἄλλων ἀγχιστέων δέδαεν, ἤτοι μεμάθηκεν ἡ γυνή. δαήρ, συγγενικὴ λέξις· δηλοῖ δὲ τὸν τοῦ ἀνδρὸς ἀδελφόν. οὐ γάλως τὸ θηλυκόν.

Δαηρόν, λαμπρόν, ξηρόν, καυματηρόν, θερμόν.

Δάης, μάχης μεγάλης.

Δαῆσαι, χορτάσαι σιτίων.

Δαήσεαι ἐμεῦ, καινῶς συνέταξε γενικῇ. ποιεῖται τοῦτο καθ' ὁμοιότητα τοῦ εἰδέναι, ὃ καὶ αὐτὸ γενικῇ ποτὲ συντάσσεται.

Δαῆται. καίεται.

Δάθεα, ἄρτη, φρεάτια, Ταραντῖνοι.

Δαί, σύνδεσμος προηγούμενος κατὰ πευστικῶν μορίων, ὃς καὶ διὰ διφθόγγου γράφεται.

Δαιάζω, ἀναβοῶ, στενάζω.

Δαίαν, ὁδόν. Ἀριστοφάνης, ἀγωνιστικήν, ἔμπειρον, ἀπὸ τοῦ δαῆναι. ἐπὶ τούτοις δὲ δαΐαν ὁδόν, ἔμπειρον, ἢ ἀντὶ τοῦ φιλόνεικον.

Δαὶ δαί, τί δαί;

Δαίδαλα, ἀπὸ τοῦ δαιδάλεα συγκέκοπται, ἀπὸ τοῦ Κρητὸς Δαιδάλου, ἢ γυναικὸς Δαιδάλης, αἱ τοιαῦται λέξεις εἰσί. καὶ ὅτι πλεονάζει ἐν τοῖς τύποις τὸ δεύτερον δ. ἐκ τοῦ δαίω γὰρ τὸ μανθάνω, καὶ ὁ δαίδαλος, καὶ τὰ κατ' αὐτόν.

Δαίδαλα, συνεκόπη ἐκ τοῦ δαιδάλεα. δηλοῖ δὲ ἡ λέξις τὰ καλά. δαιδάλου γὰρ ἐκάλουν ἔργον, πᾶν καλόν. διὸ καὶ Ἄλεξίς φησιν, ὡς ἔψηποί τινες παροῦσαν δαιδάλοιπως, ἤγουν καλοί.

Δαιδάλειον, τὸν ὑπὸ Δαιδάλου κατασκευασθέντα ἀνδριάντα. καὶ δαιδάλαιον, τὸ ποικίλον τῇ κατασκευῇ. ἔστι δὲ ἀπὸ τοῦ δαιδάλειος, κατὰ ἀποβολὴν τοῦ ι.

Δαίδαλον, τὸ δαίδαλμα, τὸ ποίκιλμα, συγκοπέν, ἐκ τοῦ δαιδάλεον. δαίδαλον ποίημα, καὶ τὸ κοσμούμενον ὑποπλάταιον ξύλον.

* Δαίδαλα, ἐκ τοῦ δαιδάλεα συνεκόπη.

Δαίδαλος, τὸ κύριον ὄνομα τοῦ Ἥρωος. παρὰ τὸ δαίω, σημαίνει τὸ ἐπίσταμαι. δαίαλος ὁ ἐπιστήμων, καὶ πλεονασμῷ τοῦ δ δαίδαλος. ἢ παρὰ τὸ δαίω τὸ μαθάνω. καὶ δαίδαλα, ποικίλα κατασκευάσματα, τὰ ἐκ δαήσεως καὶ ἐμπειρίας ὄντα. ἢ παρὰ τὸ δαῆναι, τὰ ἐκ μαθήσεως γεγονότα. ἢ ἀπὸ τοῦ Δαιδάλου, τοῦ ποικίλλοντος τὰ ἴδια ἔργα. ἢ ἀπὸ Δαιδάλης Ἀθηνᾶς, μάμμης ἢ τροφοῦ. πᾶν δὲ τὸ ὑπὸ τῆς παρθένου δημιουργούμενον, ἐπ' αὐτὴν ἀναφέρεται.

Δαιδαλόχειρ, ὁ ποικίλα καὶ ἐξαίσια ταῖς χερσὶν ἐργαζόμενος.

Δαιδαλωσέμεν, κοσμήσειν, παρὰ τῷ Πινδάρῳ.

Δαΐδες, λαμπάδες, λύχνοι.

Δαιδήσσουσι, βασανίζουσι.

Δαιδύσσεσθαι, ἕλκεσθαι.

Δαΐδων, ἐντελοῦς ἐστι τοῦ δᾴδων, ἀπὸ γὰρ τοῦ δαίω, τὸ καίω, δαΐς, καὶ δαΐς. ὀξύνεται δὲ τὸ δᾴς, ὅτι τὰ ὀξυνόμενα ἐν τῇ συναιρέσει, πάλιν ὀξύνεται, ἑαώς, ἑώς, δαΐς, δᾴς, καὶ τὰ τοιαῦτα.

Δαῖε πῦρ, τουτέστιν ἄναπτε.

Δαίειν, καίειν, φλέγειν.

Δαίελε μῦθον, δίελε, σαφήνισον.

Δαιέλιξι, τοῖς πεπυρακτωμένοις ξύλοις. κατὰ τὸ ἀρχαῖον, μετὰ προσβολῆς πυρσῶν, παρὰ Ἀργείοις.

Δαιεμῶν, Δαιμόνων.

Δαιέοι, διαμερίζει.

Δαίεται ἦτορ, ἀντὶ τοῦ μερίζεται, ὅπερ καὶ μερμηρίζειν λέγεται. Κρέα δαίετο παρ' Ὁμήρῳ, καὶ νέμε μοίρας. τὸ μὲν νέμε, τὸν ὕστερον νομὸν ὑποβάλλει νοεῖν. τὸ δὲ δαίετο, τὸν δαιτρὸν παρετυμολογεῖ. συστέλλει δὲ τὸ κρέα, τὴν λήγουσαν ἐνταῦθα, ὡς ἀποκοπὴν παθὸν ἐκ τοῦ

κρέα-

Digitized by Google

κρέατα, διὸ καὶ δάκτυλον ἀπαρτίζει.

* Δαίεσθαι, ὅστε λέγεται λέων παρ' ὁμήρῳ, ἀντὶ τοῦ πυρόεν βλέπειν.

Δαϊζόμενος, κατακοπτόμενος, κατακαιόμενος.

Δαΐζων, διακόπτων, παρὰ τὸ δαίω, τὸ κόπτω. ἢ παρὰ τὴν δαΐδα, ὃ σημαίνει τὴν μάχην.

Δαιημὸς, διαίρεσις, μερισμός.

Δαιῆσαι, διδάξαι.

Δαϊκταμένοις, ἀναιρουμένοις.

Δαῖμα, σπιθαμήν. καὶ τὸ ἔγκολον τοῦ χοινίου. στήμονα δὲ Ταραντῖνοι.

Δαιμοὶ, οἱ καταδικασθέντες τὰς οὐσίας, εἰς βασιλέως.

Δαίμονας, καὶ θεοὺς ποιητικοὺς, τὰ μὲν ἄλλα σεμνυνεῖ ἡ ποίησις, αἰὲν ἐόντας ἀποκαλοῦσα. καὶ αἰειγενέτας, καὶ ἀφθίτους, καὶ ἀθανάτους, καὶ πάντα δυναμένους, δίχα τοῦ τὴν εἱμαρμένην ἀναλύειν, καὶ μηδὲ ὁρωμένους, εἰ μὴ ἄρα ἐν μεταμορφώσει διὰ ἐνέργειαν. τὰ δ' ἄλλα σωματώδεις αὐτοὺς πλάττει, καὶ ἀνθρωποπαθεῖς, εἴγε καὶ τιτρώσκονται, ὡς Ἀφροδίτη καὶ Ἄρης, καὶ ἅδης. καὶ κεραυνῷ βληθέντες, οὐδὲ εἰς δεκάτους ἐνιαυτοὺς τὰ ἕλκη θεραπεύσονται. βάλλονται καὶ ὑπὸ ἔρωτος, Ἀθηνῆς δίχα, καὶ Ἀρτέμιδος· αὗται γὰρ τὴν παρθένον πλάττονται. καὶ δέος πάσχουσιν, ὡς οἱ δείσαντες ὑπὸ τοῦ Βριάρεω, καὶ τρόμον ἐπὶ τῷ δέει, ὡς ἡ Ἀφροδίτη. καὶ φθονοῦσιν, ὡς ἡ Καλυψὼ αὐτοὺς αἰτιωμένη λέγει. καὶ ἐσθίουσι, καὶ πίνουσι, καὶ ὑπνοῦσι, καὶ ὅλως πάντα πάσχουσιν, ὅσαπερ οἱ ἄνθρωποι.

Δαιμοδία, ἡ τῶν ἀρίστων ἐπιβολή.

Δαιμονᾶν, ὑπὸ Δαίμονος κατέχεσθαι, καὶ μαίνεσθαι.

Δαιμονίζειν, τὸν δαίμονα ἡγεῖσθαι, καὶ ἀποθεοῦσθαι.

Δαιμονίη παρ' Ὁμήρῳ ἐν πρώτῃ ῥαψωδίᾳ, ἀντὶ τοῦ δαιμονίως, ἤτοι σφόδρα περίεργε λαμβάνεται. ἐν δὲ τῷ, δαιμόνιε φθίσει σε τὸ σὸν μένος, τὸ ἔνθεον τῆς ὁρμῆς καὶ ἀνδρείας, τοῦ Ἕκτορος θέλει δηλοῦν τοὔνομα. ἐν δὲ τῷ, δαιμόνιε, οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν ἀπτολέμους τ' ἔμμεναι, καὶ ἀνάλκιδας ὡς ἀγορεύεις, τὸ βασιλικὸν, καὶ ἔνθεον τοῦ Ἀγαμέμνονος. ἐν δὲ τῷ, δαιμονίη τί λέληκας, τὸ μουσικὸν καὶ ἱερὸν τῆς ἀηδόνος. ἐν δὲ τῷ, δαιμόνιοι χλούνην μὲν ὀρίτροφον, τὸ καρτερικὸν καὶ ἐμμόνον τῶν ἁλιέων, ὃ πρόσεστιν αὐτοῖς, ὡς ἀπὸ μοίρας δαίμονος. ἔστι δὲ εὔφημον ὄνομα τὸ δαιμόνιε, διὰ καρτερίαν ἢ ἀνδρείαν, ἢ κράτος βασιλικὸν καὶ ἔνθεον, ἢ ἄλλην τινὰ ἀρετὴν λεγόμενον. ἐνίοτε δὲ, καὶ μετρίως καθάπτεται εἰς περιεργίαν, ἢ τοιοῦτόν τι σκῶπτον. ἐνίοτε δὲ καὶ εἰρωνικῶς λέγεται, ἐπὶ τοῦ νομίζοντος ἔνθεον ἑαυτὸν καὶ ἀνδρείας μέτοχον. ὡς ἐν τούτοις, δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵστασ' ἐμεῖο. καὶ δαιμόνιε, ἤγουν μακάριε.

Δαιμονητιᾶ, δαιμονίζει, Κρῆτες.

Δαιμονίως, παραδόξως, ὑπερφυῶς, μακαρίως.

Δαιμόνιε ξένων, συνταχθὲν, ὡς οἷον ὑπερθετικόν. καθὰ καὶ τὸ, ἆ δειλὸς ξένων.

Δαιμόνιον, θεῖον, καὶ θαυμαστόν.

Δαιμόνιος, μέση λέξις, διὸ καὶ τὸν βασιλέα δαιμόνιον καλεῖ, καὶ τὸν δημότην ὁμοίως. δαιμόνιον ἐκεῖνον μὲν γὰρ, ὡς εὐδαίμονα, τοῦτον δὲ, ὡς δυσδαίμονα. τῶν μέσων γάρ ἐστι, καὶ ὁ δαίμων καὶ ἡ τύχη, καὶ ἀμφιρεπῶς ἔχουσιν αἱ λέξεις, πρὸς ἔννοιαν ἀγαθὴν τε καὶ μὴ τοιαύτην. ὅτε μέντοι τὸ εὖ, ἢ τὸ δυς προσλάβωσι, τότε σαφῶς διακρίνονται. ἀεὶ τοίνυν παρὰ τῷ ποιητῇ ἐπαμφοτερίζει τὸ δαιμόνιος, ἀναλόγως τοῖς ὑποκειμένοις προσώποις, ποτὲ μὲν οὕτως, ποτὲ δὲ ἄλλως λαμβανόμενον. οὕτω καὶ συμφορὰ, καὶ ὁ οἰωνός.

Δαίμονος, τοῦ δαίμονος.

Δαίμων, ἡ ἑκάστου τύχη. Ἀριστοφάνης ἐν πλούτῳ, τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον. ἢ δαίμων ἐστὶ, φύσις λογικὴ δι' ἐπικράτειαν θυμοῦ πρακτικῆς ἐκπεσοῦσα. καὶ δαίμων, δαήμων, θερμόφρων, ἢ Θεός.

Δαινὸν, πυκνόν, καύσιμον.

Δαίνυ. δαινύω, ὁ παρατατικὸς, ἐδαίνυον, ες, ε, καὶ τὸ προστακτικὸν, δαίνυε, καὶ ἀποκοπῇ τοῦ ε, δαίνυ. ἢ οὕτως, δαίνυμι, ὁ παρατατικὸς, ἐδαίνυν, υς, υ. ἡ μετοχὴ ὁ δαινὺς, τοῦ δαινυῦτος. τὸ προστακτικὸν, δαίνυθι, καὶ ἀποκοπῇ τοῦ θι, δαίνυ. δαίνυμαι, τὸ εὐωχοῦμαι.

* Δαίνυτο, τρίτον πρόσωπον εὐκτικὸν, ἐκ τοῦ δαινύοιτο συγκέκοπται.

Δαίνυντο, εὐωχοῦντο, ἀπὸ τοῦ δαίνυμι, τὸ παθητικὸν, δαίνυμαι, ὁ παρατατικὸς, ἐδαινύμην, σο, το, τὸ πληθυντικὸν ἐδαίνυντο.

Δαίνυ δαῖτα, ἐκ τοῦ δαίνυε κέκραται. ἢ καὶ τρίτον ἐστὶ πρόσωπον παρατατικοῦ, τοῦ ἐκ τοῦ δαίνυμι. δαίνυ δαῖτα γέρουσιν, ἀντὶ τοῦ ἴστα κρατῆρα, καὶ τίθει δαῖτα γέρουσι.

Δαίνυνται, ἑστιῶνται, θερμαίνονται.

Δαίνυσθαι, εὐωχεῖσθαι, τρέφεσθαι. ἢ δαίνυσθαι παρ' Ὁμήρῳ ἐν τῷ ω, τὸν τάφον δηλοῖ, τουτέστι τὸ ἐπὶ νεκρῷ περίδειπνον, ὃ καὶ αὐτὸ δαῖτά ἐστι λέγειν γενικῶς.

Δαΐξας, διακόψας. καὶ δαῒ, τῇ μάχῃ.

Δαιόμενος, διακοπτόμενος, μεριζόμενος.

Δαῖον, τέρας, πολεμικὸν σημεῖον.

Δάϊον, ἰσχυρὸν, ἀγαθόν.

Δαῖρα, ἡ αὐτὴ τῇ δαείρᾳ.

Δαῖραν μουνογένειαν λέγει Ἀπολλώνιος, τὴν Περσεφόνην, ὡς δηλοῖ διὰ τὸ μουνογένειαν. νυχίαν δὲ εἶπεν, ἤτοι διὰ τὸ χθονίων βασιλεύειν. νύκτα γὰρ τὸν ἀφώτιστον τόπον φασὶν, ἢ ἣν νυκτὸς οὔσης ἐξιλάσκονται. εὔλογον γὰρ τὴν τῶν νυχίων τόπων κρατοῦσαν, κατὰ τὴν τῆς νυκτὸς ὥραν ἱλάσκεσθαι. ὅτι δὲ τὴν Δαῖραν Περσεφόνην καλοῦσι, Δημοσθένης τε, καὶ Αἰσχύλος μαρτυροῦσι.

Δαῖροι, θάσιοι.

Δαίρω, τὸ τύπτω. δέρω δὲ τὸ ἐκδέρω, ψιλόν.

Δαὶς, δαιτὸς, ἡ εὐωχία, ποιητικόν ἐστι, καὶ δαίτη δαίτης, ὡς ἐν Ὀδυσσείᾳ. ἢ δαὶς, ἡ ἁπλῶς εὐωχία, ὡς ὄνομα κοινὸν καὶ γενικόν. ἡ δὲ εἰλαπίνη καὶ ὁ γάμος, καὶ ὁ ἔρανος, εἴδη εἰσὶ τῆς δαιτός. διὸ καὶ ἡ ἐρώτησις παρ' Ὁμήρῳ οὕτω προάγεται. τίς ἡ παροῦσα δαίς; ἆρα γε εἰλαπίνη, ἢ γάμος, ἢ ἔρανος;

Δαὶς, ἡ εὐωχία, ἀφ' ἧς καὶ δαιτυμὼν, ὁ ἑστιώμενος. καὶ δαιτρὸς, ὁ μάγειρος. καὶ δαιτρεῦσαι παρ' Ὁμήρῳ. καὶ κατεδαίσαντο παρ' Ἡσαΐᾳ, καὶ πανδαισία. καὶ δαὶς, ἡ λαμπὰς, παρὰ τὸ δαίω, τὸ καίω. ἔστι καὶ δαὶς, ἡ μάχη, παρὰ τὸ δαίω, τὸ διακόπτω.

Δαὶς, ἡ μάχη, παρὰ τὸ δαίω τὸ καίω, ὁ μέλλων δαίσω, ἀποβολῇ τοῦ ω, δαὶς, καὶ κατὰ διάλυσιν δαῒς, ἐν δαῒ λυγρῇ. ἢ παρὰ τὸ δαίω, τὸ κόπτω, κατὰ διάλυσιν δαΐω, πλεονασμῷ τοῦ ζ, δαΐζω, ὁ μέλλων δαΐσω, ἀποβολῇ τοῦ ω, δαΐς.

Δαισάνη, ἡ πτισάνη, ἀπὸ σίτου ἐπτισμένου ἑψηθεῖσα. εἴρηται δὲ παρὰ τὸ δαίσασθαι. τὴν γὰρ πρώτην τροφὴν πρὸ τῆς εὑρέσεως τῶν ἄρτων, οὕτως ἐποιοῦντο.

Δαίσιμον, τὸ ἐδώδιμον.

Δαισιανὸς, δρομεύς ἐστιν, ἐπὶ βραδυτῆτι καὶ πενίᾳ κωμῳδούμενος.

Δαιταὶ, λαμπάδες.

Δαιταλεὺς, ὁ εὐωχητής.

Δαιταλεῖς, οἱ δαιτυμόνες, καὶ θιασῶται. Ἀριστοφάνης, ἐπιδείπνιον θέαν τοῖς δαιταλεῦσιν, ὁ βασιλεὺς χαριζόμενος.

Δαιταλουργία, ἡ μαγειρικὴ τέχνη.

Δαιτήριον, μεριστήριον, ἀπὸ τοῦ δαίσαι, τὸ μερίσαι.

Δαίτης ἠντήσατε, ὅ ἐστιν ἐτύχετε, ἀντὴν ἤλθετε. τοιοῦτον καὶ τὸ ἤντησε, δοτικῇ συντάττεσθαι εἰωθὸς, μετὰ γενικῆς συνέταξεν εἰπὼν ἤντησας ὁπωπῆς. δαίτην συνήθως, καὶ βαρυτόνως δαῖτά φησι.

Δαιτίδα, μικρὰν λαμπάδα. σημαίνει δὲ καὶ τὴν τοῦ σκορόδου κεφαλὴν, παρὰ τῷ Ἱπποκράτει.

Δαιτὶς, τόπος ἐν Ἐφέσῳ. εἴρηται ἀπὸ τοῦ Λυδὸν τὸν κάπηλον, τὸν αὐτόθι κατοικήσαντα παρέχειν τὰ πρὸς δαῖτα τοῖς ἐπιξενουμένοις. ἦν δὲ τὸ κύριον αὐτοῦ ὄνομα, Ἔφεσος, ἀφ' οὗ καὶ ἡ πόλις.

Δαιτρεύειν, τὸ διαμοιρᾶσθαι καὶ δαΐζειν. ἐξ οὗ καὶ ὁ δαιτρός. παρὰ τὸ δαίω γίνεται δαιτρεύειν, τὸ μερίζειν λόγῳ δασμοῦ. καὶ δαιτρὸς ὁ μερίζων καὶ δαιτρὸν πίνειν ἐπιρρηματικῶς, ἀντὶ τοῦ μεμερισμένως. ἡ δὲ μεταφορὰ, ἐκ τοῦ τὰ κρέα μερίζοντος δαιτροῦ.

Δαιτροπόνος, σιτοπόνος, σιτοποιός.

Δαιτυμόνες ἐν Ὀδυσσείας φ, οἱ ἁπλῶς δαινύμενοι. ἐν μέντοι τῇ δ ῥαψωδίᾳ, ἐπὶ τῶν τὴν δαῖτα παρασκευαζόντων, ἤγουν οἱ δαιτυμόνες, οἱ εὐωχηταὶ, οἱ ἀριστηταί.

* Δαιτὺς, ἡ δαὶς, ἀναλόγως τῷ βρωτὺς, καὶ ἐδητύς.

Δαίτωρ, ὄνομα Κύριον. καὶ ὁ εὐωχητὴς, παρὰ τὸ δαίω, τὸ μερίζω δαίτωρ, ὡς πράξω πράκτωρ.

Δαΐφρονι δαίεται ἦτορ, τρόπος ἐτυμολογίας ἐστὶν, ἵνα καὶ ἀναπτύσσηται τὸ δαΐφρων, διὰ τοῦ δαίεται ἦτορ, καὶ εἰς ταυτὸν ἄγηται ἡ φρόνησις Ἀθηνᾶ, τῷ φρονίμῳ ἀνδρί. καὶ γὰρ Ὀδυσσεὺς ὁ συνετὸς δαίεται, τὸ φρονοῦν τῆς ψυχῆς μερμηρίζων καὶ μεριμνῶν. καὶ Ἀθηνᾶ ὁμοίως, δαίεται ἦτορ, πολύβουλος οὖσα.

Δαΐφρων, παρὰ τὴν δαΐ δοτικὴν, καὶ τὸ φρὴν, ὁ πολεμικὸν φρόνημα ἔχων, ἢ ὁ τὰ περὶ πόλεμον φρονῶν. σημαίνει καὶ τὸν συνετὸν, παρὰ τὸ δαίω, τὸ γινώσκω, ἵνα ᾖ, ὁ δεδαηκὼς φρόνησιν. ἢ παρὰ τὸ δα ἐπιτατικὸν, ὁ μεγάλως φρονῶν. τὰ δὲ ἐκ δύο πλειόνων συγκείμενα ὀνόματα, ἢ ἀπὸ εὐθείας συντίθεται, ὡς τὸ ἕως, ἑωσφόρος. ἢ ἀπὸ γενικῆς, ὡς τὸ οὐδεὶς, οὐδενὸς, καὶ τὸ ὥρα, ἡ φροντὶς, οὐδενόσωρα. καὶ Ἕλλη, Ἕλλης, Ἑλλήσποντος. ἢ ἀπὸ δοτικῆς, ὡς ἄρηϊ, ἀρηΐφιλος. καὶ δουρὶ, δουρικλυτός. ἢ ἀπὸ αἰτιατικῆς, ὡς τὸ, νοῦν, νουνεχής, καὶ πόδα, Ποδαλείριος. ἀπὸ δὲ κλητικῆς μόνον οὐ συντίθεται. ἐπὶ δὲ τοῦ δαΐφρονος Πηνελόπης, οὐ σημαίνει τὴν πολεμικὴν, ἀλλὰ τὴν σώφρονα καὶ συνετὴν, παρὰ τὸ δαῶ, τὸ μανθάνω, δαίσω. καὶ ἐξ αὐτοῦ δαΐφρων. τὰ γὰρ ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα, ἢ τῷ ε παραλήγουσιν, ὡς τὸ ἁμαρτῶ, ἁμαρτοεπής. ἢ τῷ υ ψιλῷ, ὡς τὸ μισῶ, μισογυνής. ἢ τῷ ἰῶτα, ὡς τὸ, εἰλῶ, εἰλίπους, οἰδῶ, οἰδίπους. ἢ τῷ ο, ὡς τὸ ἁμαρτῶ, ἁμαρτίνοος, οὕτω καὶ τὸ δαῶ, δαήσω, δαΐφρων. ἢ παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ φρὴν, διάφρων, σημαινούσης ἐπίτασιν, καὶ ἐν ὑπερβιβασμῷ, δαΐφρων, σώφρων. ἐχθρόφρων δὲ, πολέμιος.

Δαίω, τὸ ἐπίσταμαι, τὸ μανθάνω, καὶ τὸ καίω καὶ ἐξάπτω. ἀφ' οὗ, δαίμων, ἡ τύχη. καὶ δαίμονες, οἱ παρ' Ἕλλησι θεοί. καὶ δαίω, τὸ μερίζω. ἀφ' οὗ δαὶς τὸ φῶς. καὶ δᾷδες, αἱ δεκτικαὶ τοῦ φωτός. καὶ δαίω, τὸ εὐωχοῦμαι, ἀφ' οὗ δαὶς, ἡ εὐωχία. καὶ δαίνυμαι, τὸ εὐωχοῦμαι. καὶ δαιτυμόνες, οἱ εὐωχούμενοι. καὶ Δαίδαλος, ὄνομα Κύριον, ἦν δὲ μηχανικός. καὶ ἀπὸ τούτου δαιδάλεον τὸ ποικίλον. καὶ δαιτρὸς, ὁ μάγειρος. καὶ δαιτρεύω, δαιτρία, καὶ ἕτερα, διὰ διφθόγγου.

Δακέθυμον, λυποῦντα τὴν ψυχήν.

Δάκες, οἱ νῦν πατζινακίται λεγόμενοι.

Δάκετον, θηρίον ἑρπετόν. παρὰ τὸ δάκνω, δάκνετον, καὶ δάκετον, καὶ δάκετος. καὶ δάκια, τὰ μικρὰ θηρία.

Δάκια, τὰ ἄγρια ὀρνιθάρια.

Δάκνει, λυπεῖ.

Δακνὶς, ὀρνέου εἶδος.

Δακνω, αἰτιατικῇ συντάσσεται. οἷον, οὗτοι ὥσπερ κύνες δάκνουσιν ἀλλήλους. δάκνω δήξομαι, ἔδακον, δάκνομαι, δηχθήσομαι, δέδηγμαι, ἐδήχθην.

Δάκνω, παρὰ τὸ δα ἐπιτατικὸν καὶ τὸ καίνω, γίνεται δακαίνω. ἐξ οὗ καὶ δαγκάνω κατὰ ἀποβολὴν τοῦ ι καὶ πλεονασμὸν τοῦ γ.

Δάκος, καὶ δάκετα, θηρία ἰοβόλα, ἑρπετά. ἡ εὐθεῖα, τὸ δάκος. ἐμὲ δεῖ φεύγειν δάκος ἀδινὸν, καὶ κατηγορίαν. τὸ δὲ δάκετον, παρὰ

τὸ

τὸ δάκνω, δάκνειν, καὶ δάκειν. σημαίνει δὲ τὸ δάκος, καὶ δῆγμα. οἷον, σῆμα δέ τι δάκεος αἱμορρόου.

Δακῶσαι, πορθῆσαι.

Δάκρυ, ἀποκοπὴν παθὸν ἐκ τοῦ δάκρυον, οὐκέτι κινεῖται εἰς κλίσιν. καὶ δάκρυσι λέγε, μὴ δακρύοις, ποιητικὸν γάρ.

Δάκρυα, γίνεται παρὰ τὸ δάκνω, δακνομένης γάρ οἷον τῆς ψυχῆς προχέουσι δάκρυον.

Δακρυόεσσα, ἀπὸ τοῦ δάκρυον, ἤγουν μετὰ δακρύων.

Δάκρυον γίνεται, ὅταν τὰ κοῖλα τοῦ ἐγκεφάλου τῶν ἐκ τῆς λύπης ἀναθυμιάσεων πληρωθέντα, διὰ ὀχετῶν τινῶν, τῶν κατὰ τοὺς ὀφθαλμοὺς πόρων, τοῦ ὑγροῦ τὸ βάρος ἀποσκεδάζηται.

Δάκρυον θαλερὸν, ἢ ἀκμαῖον, ἢ τὸ ἔνικμον. ἐκ μεταφορᾶς τῶν θαλλόντων φυτῶν. Ἰστέον δὲ ὅτι, ἐπεὶ τὰ κυρίως θάλλοντα καὶ ἁπαλά εἰσι, καὶ διὰ τοῦτο καὶ τέρεν δακρύοντι λέγεται τὸ ἁπαλόν. ἐπεὶ δὲ χλωρά εἰσι τὰ θάλλοντα καὶ ὑγρότητα ἔχει πλείω, διὰ τοῦτο καὶ ὑγρὸν δάκρυον καὶ χλωρὸν ὁ Εὐριπίδης φησί. Σοφοκλῆς δὲ ἐν Τραχινίαις, χλωρὰν ἄχνην δακρύων ἔφη. Ἰστέον δὲ ὅτι τὸ δάκρυ, ἀποκοπὴν παθὸν ἐκ τοῦ δάκρυον, οὐκ ἔτι κινεῖται εἰς κλίσιν ὡς εἴρηται. ὡς οὐδὲ τὸ δῶ, ἤτοι δῶμα, οὐδὲ τὸ κρῖ, ὅ ἐστι κρίμνον· οὐδὲ τὸ ἧλ, ὅ πέρ ἐστιν ἧλος. Ἄλλως.

Δάκρυον, φθαρτῆς φύσεως ἰδίωμα. ὅπερ Ἀδὰμ πρὸ τῆς παραβάσεως, οὐκ ἐκέκτητο. παρὰ τὸ δάκνω, δάκνυον, καὶ δάκρυον· δακνομένης γὰρ τῆς ψυχῆς, ἐξέρχεται τὸ δάκρυον. ἢ ἀπὸ τοῦ δήκω ἔνθεν ἔδακον, θυμοδακὴς γὰρ μῦθος. τὸ δάκρυον, τὸ πληθυντικὸν δάκρυα, ἡ δοτικὴ δακρύοις. πόθεν οὖν τὸ δάκρυσιν; ἡ ἐπὶ τέλει συλλαβὴ, εἰς σι τρέπεται, ὥσπερ καὶ ἐν τῷ προβάτοις πρόβασιν. ἐγκάτοις ἔγκασι. πετάλοις, πέταλσι, κατὰ μετασχηματισμόν.

Δακρυόφιν, κατὰ μεταπλασμὸν, ἀντὶ τοῦ δακρύοις. Ὅμηρος Ὀδυσσείας ε, οὐδέποτε ὄσσε δακρυόφιν τέρσοντο, ἀντὶ τοῦ δακρύοις. καὶ Ἰλιάδος η, Δαρδανίδης Πρίαμος θεόφιν μήστωρ ἀτάλαντος, ἀντὶ τοῦ θεοῖς.

Δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ παρ' Ὁμήρῳ, ἐν Ὀδυσσείας τ, τουτέστι τοῖς δάκρυσι πλήθειν, διὰ τὸ ἐξ οἴνου βάρος. ἢ καὶ ἄλλως εἰπεῖν ἀστειότερον, μήτις εἴποι διὰ δακρύων πλώειν ἔμφορτον ὄντα οἴνου βάρει, ὡς καὶ ναῦς οἰνοφόρος, εἴτ' οὖν οἰνοβαρὴς πλώει διὰ ὕδατος.

Δακρυρροεῖν, δάκρυα ῥέειν.

Δάκρυσι πεφυρμένη, ἀντὶ τοῦ ἠχρειωμένη. καὶ ἔχεταί πως ἡ λέξις τοῦ χείλεα φύρσω αἵματος.

Δακρύω σε τῆς ἀναισθησίας, νοεῖται ἕνεκα. καὶ ἀντιστρόφως, δακρύω σου τὴν ἀναισθησίαν.

Δακρυώτατον, ἀτυχέστατον.

Δακρύω τὸν ἀποθανόντα μεταβατικῶς, αἰτιατικῇ συντάσσεται.

Δακρύω ἐπὶ τοῖσδε, καὶ ἐπιδακρύω τοῖσδε, ἤγουν διὰ ταῦτα.

Δακτυλήθρα, ἡ τοῦ δακτύλου σφενδόνη. καὶ δακτυλήθρας ἔχων, ἐσθίειν λέγεται τὸ ὄψον.

Δακτύλιος, ἡ σφραγίς. ὡς τὸ τὸν δακτύλιον αὐτοῦ περιελὼν, ἐτύπωσεν ἐπιστολὴν, ἀπὸ τοῦ περὶ τὸν δάκτυλον εἶναι. δακτύλιοι, καὶ οἱ τετρημένοι λίθοι, ἀφ' ὧν τὰ ἀπόγεια σχοινία ἀνάπτουσι. καὶ δακτύλιος, τροχίσκος παρὰ τῷ Ἱπποκράτει.

Δάκτυλοι ἰδαῖοι ἓξ καὶ πέντε φασὶν εἶναι, δεξιοὺς μὲν τοὺς ἄρσενας, ἀριστεροὺς δὲ τὰς θηλείας. Φερεκύδης δὲ τοὺς μὲν δεξιοὺς εἴκοσι λέγει. τοὺς δὲ εὐωνύμους τριάκοντα δύο. γόητες δὲ ἦσαν, καὶ φαρμακεῖς, καὶ δημιουργοὶ σιδήρου. λέγονται πρῶτοι, καὶ μεταλλεῖς γενέσθαι, ὠνομάσθησαν δὲ ἀπὸ τῆς μητρὸς Ἴδης. ἀριστεροὶ μὲν, ὥς φησι Φερεκύδης, οἱ γόητες αὐτῶν. οἱ δὲ ἀναλύοντες, δεξιοὶ, ὡς Ἑλλάνικος. οἱ δέ φασιν, ὅτι Ἰδαῖοι δάκτυλοι ἐκλήθησαν, ὅτι ἐντὸς Ἴδης ἐντυχόντες τῇ Ῥέᾳ, ἐδεξιώσαντο τὴν θεὸν, καὶ τῶν αὐτῆς ἥψαντο. ὡς δὲ Μνασέας ἐν πρώτῳ περὶ Ἀσίας, Ἰδαῖοι δάκτυλοι λέγονται ἀπὸ τοῦ πατρὸς Δακτύλου, καὶ τῆς μητρὸς Ἴδης. ὁ δὲ τὴν Φορωνίδα συνθεὶς, γράφει οὕτως. Ἔνθα γόητες Ἰδαῖοι Φρύγες ἄνδρες ὀρέστεροι οἰκί' ἔναιον, Κέλμις Δαμναμενεύς τε μέγας, καὶ ὑπέρβιος Ἄκμων, εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης· οἳ πρῶτοι τέχνην πολυμήτιος Ἡφαίστοιο εὗρον ἐν οὐρείῃσι νάπαις, ἰόεντα σίδηρον. καὶ δάκτυλοι, οἱ βάλανοι τοῦ φοίνικος.

Δάκτυλος, καὶ ἀπ' αὐτοῦ Ῥοδοδάκτυλος. καὶ δακτυλίδια, τὰ γυναικεῖα.

Δακτυλιογλύφος, καὶ δακτυλιογλυφία, παρὰ Πλάτωνι. καὶ δακτυλοδεικτεῖται, ὡς Δημοσθένης. δακτυλήθρα, ὡς Ξενοφῶν. καὶ ἐπὶ δακτύλων θεῖναι, τὸ λογίσασθαι. καὶ δάκτυλος ὁ ἀριθμός. καὶ τοὺς δακτύλους Ἰδαίους κεκλῆσθαι λέγουσιν οἱ μὲν κατὰ τὸν ἀριθμὸν, ὅτι πέντε. οἱ δὲ κατὰ τὸ τῇ Ῥέᾳ πάνυ ὑπουργεῖν, οἱ τῆς χειρὸς δάκτυλοι τεχνῖταί τε καὶ πάντων ἐργῆται. τὰ δ' ἐν τοῖς δακτύλοις, δακτύλιον, δακτυλίδιον, σφραγίδιον, σφραγίδας. οὕτω γὰρ τοὺς ἐπισήμους δακτυλίους ὠνόμαζον, τοὺς τὰ σήμαντρα, ἢ λίθους ἐν αὐτοῖς ἔχοντας. περὶ δὲ τῷ σμικρῷ δακτύλῳ ἐφόρουν, ὃ ἀκαρὲς ἐκάλουν διὰ σμικρότητα. καὶ ἕτερον κορίανον, τῷ λιχανῷ περιηρτημένον. καὶ δάκτυλος, ἐκ μακρᾶς καὶ δύο βραχέων, τετράχρονος. οἷον ἥλιος. καὶ δάκτυλος καλεῖται ἀπὸ μεταφορᾶς τῶν ἁρμονιῶν τῶν δακτύλων. ἀπὸ γὰρ μακρᾶς ἐπὶ τὰς βραχείας κατέρχεται. ἢ δάκτυλος ὁ μικρὸς, ὁ μετ' αὐτὸν παράμεσος. εἶτα μέσος· ὁ μετὰ τοῦτον, λιχανός· εἶτα ἑξῆς, ὁ ἀντίχειρ. ὡς ἀντὶ ὅλης τῆς χειρὸς δυνάμενος, καὶ δάκτυλος, παρὰ τὸ δράσσω. δράκτυλός τις ὤν. ἢ, παρὰ τὸ δέχω δέξω. δέδεχα, δέδεγμαι, δέδεκται, δάκτυλος. οἱ δεκτικοὶ ὄντες τῶν δεδομένων. ἢ παρὰ τὸ δείκω τὸ δεικνύω, δείκτυλοι, καὶ δάκτυλοι. δι' αὐτῶν γὰρ ἡ δεῖξις γίνεται.

Δάλα, ἄμπελος.

Δαλάγχαν, θάλασσαν.

Δάλαν, λίμνην.

Δάλεσον, ὄνομα Κρῆτες.

Δαλῇ, κακουργῇ.

Δαλήσασθαι, λυμήνασθαι, ἀδικῆσαι.

Δαλίδας, τὰς μεμνηστευμένας.

Δάλιον, δαλόν. ἐν ταῖς ἱεροποιίαις εἰώθασι τὸν δαλὸν ἐμβάλλειν εἰς τὴν χέρνιβα, καὶ περιῤῥαίνειν τὸν βωμόν.

Δαλιοχεῖν, τὸ παιδὶ συνεῖναι, Ἀμπρακιῶται, τινὲς δὲ τὸ μοιχεύειν.

Δαλιοχός, μοιχός.

Δαλίς, μωρός.

Δάλκιον, πινάκιον, οἷον γραμματίδιον.

Δάλλει, κακουργεῖ.

Δαλλὼ, ἡ ἀπόπληκτος. οἱ δὲ, τὴν ἔξωρον παρθένον, ἢ γυναῖκα. καὶ πρεσβυτέραν, ὅταν συμπαίζῃ ταῖς παρθένοις, ὑπερῆλιξ.

Δαλμάναι, εἰκάσαι.

Δαλὸς, λαμπὰς, ἢ ξύλον καιόμενον. παρὰ τὸ δαίω δαλός, καὶ δαυλός. ἢ παρὰ τὸ δαίω δαίσω, δαυλός. ὡς αὔω, αὔσω, αὐλός. καὶ δαλὸς, ὁ πεπυρακτωμένος ἄνθραξ. δαλός, καὶ ὁ μελάνουρος ἰχθύς.

Δαλοῦν, σύντομον.

Δαλὼ, ὑπερῆλιξ, νεώτερος.

Δαμᾷ, δαμάζει. δαμάζειν κυρίως, τὸ πληγαῖς μαλάσσειν. καὶ δαμάζει, καταπονεῖ. ἢ δαμάζειν, παρὰ τὸ δέμας ἄζειν, ὅ ἐστι ξηραίνειν.

Δαμάζω, τήκω, τείρω, τρύχω, πιέζω, προνομεύω.

* Δαμάζειν, ταπεινοῦν, ὑποτάττειν.

Δαμὰλ, τὸν ἔρωτα, ἤτοι τὸν δαμάζοντα, ἢ ἀγέρωχον.

Δαμάλεις, καὶ πόρτιες, αἱ μήπω ὑπὸ ζυγὸν ἐλθοῦσαι, μηδὲ ὀχηθεῖσαι. αἱ πόρτιες δὲ, καὶ ἔτι ἀτελέστεραι τῶν δαμάλεων. ἐπὶ δὲ τῶν ἀῤῥένων, μόσχοι τὰ νεογνά. καὶ τὰ ὑπὸ ταῖς μητράσιν ἔτι. ταῦροι δὲ, οἱ τέλειοι. ἔστι δὲ ἡ δάμαλις τῆς δαμάλεως. οἱ ποιηταὶ δὲ καὶ ἡ δαμάλη τῆς δαμάλης λέγουσιν. ἀφ' οὗ παρὰ Θεοκρίτῳ, αἱ δαμάλαι.

Δαμάγη, ὁ ἄῤῥην μόσχος. δάμαλις ἡ θήλεια. μόσχος δὲ ἐπ' ἀμφοῖν. ταῦρος δὲ, ὁ ἄγριος βοῦς.

Δάμαλις, τὸ νεογνὸν τῆς βοὸς γέννημα, πόρις τε λέγεται. οἷον αὔγραυλοι πόριες, παρὰ τὴν πορείαν, σκιρτητικὴ γὰρ ἡ δάμαλις. ἡ δ' αὐτὴ καὶ πόρτις πλεονασμῷ τοῦ τ. ἀφ' ἧς παρ' Ἡσιόδῳ ὑπόπορτις ἔριθος, ἤγουν πόρτιος ἡ ἐκ βοός. ἔτι δὲ καὶ πόρταξ ὑποκοριστικῶς. καθ' ὁμοιότητα τοῦ λείμαξ, καὶ μύλαξ, καὶ λίθαξ, καὶ τίδαξ, καὶ σκύλαξ.

Δαμάλλοντες, δαρδάπτοντες.

Δάμαρ ἱππέως, εἶδος ἰσχάδων, Εὔπολις.

Δάμαρ, γυνὴ, γαμετή. παρὰ τὸν γάμον γάμαρ, καὶ δάμαρ. λέγεται καὶ δάμαρις. ἔνθεν καὶ ἡ δάμαρτος γενικὴ εἰ μὴ ἄρα πλεονασμῷ τοῦ τ, ἀπὸ τῆς εἰς ρ εὐθείας.

Δαμάρης, ὀχετός.

Δαμαθούσιος ὀχετὸς, δημόσιος.

Δάμαρτι, γυναικὶ, γαμετῇ.

Δαμάσδει, ἀντὶ τοῦ δαμάζει Δωρικῶς.

Δαμασικόνδυλον εὔπολιν, ὡς ἂν τὸν δαμασίστρατον ὄντα Χῖον παλαιστὴν, οὕτω λέγει.

Δαμασίφρων, ὁ ἀπατῆσαι δυνάμενος. Πίνδαρος, δαμασίφρονα χρυσόν.

Δαμάσκιος, στωϊκὸς φιλόσοφος Σύρος.

Δαμασκὸς, ἅμμα σάκκου.

Δάμασσεν, ἀνεῖλεν.

Δαμάσσετο, ἐδάμασε.

Δαμάσσῃ, ἀποκτείνῃ.

Δαμαστὴς, οὕτως ὁ Προκρούστης ἐκαλεῖτο.

Δαμάστωρ, ἐκ τοῦ δεδάμασται. ὡς τετέλεσται τελέστωρ.

Δαματρίζειν, τὸ συναγαγεῖν τὸν δημητριακὸν καρπόν.

Δάμενα, ἑορτὴ παρὰ Ταραντίνοις.

Δαμεῖεν, δαμῶ, τὸ ὑποτάσσω· ὁ μέλλων, δαμήσω. ὁ δεύτερος ἀόριστος ἔδαμον, ὁ παθητικὸς, ἐδάμην. ἡ μετοχὴ, ὁ δαμείς. τοῦ δαμέντος τὸ εὐκτικὸν δαμείη. τὸ πληθυντικὸν δαμείημεν, καὶ κατὰ συγκοπὴν δαμεῖεν.

Δαμεῖσα, δαμασθεῖσα.

Δαμεὶς, δαμασθεὶς, ἐν πολέμῳ ἀναιρεθείς.

Δάμεν, ἀντὶ τοῦ ἐδαμάσθησαν.

Δαμέντες, φονευθέντες, δαμασθέντες.

Δαμεῦσαι, αἰσχῦναι, κοινοποιῆσαι.

Δαμῆναι ἐπὶ γυναικὸς, ἀναιρεθῆναι ἐπὶ ἀνδρός.

Δαμήμεναι, ὑποταχθῆναι.

Δαμιουργοὶ, οἱ πόρναι.

Δάμις, ὄνομα κύριον. ἔστι δὲ παρώνυμον Δωρίδι διαλέκτῳ, παρὰ τὸ δῆμος γίνεται δῆμις, καὶ Δᾶμις δωρικῶς. ὥσπερ ἀπὸ τοῦ δουρὸν γίνεται Δοῦρις, ὄνομα κύριον.

Δάμνα, ἐδάμαζε.

Δαμναίμαν, δαμνάζοιμι.

Δαμνάμενοι, δαμαζόμενοι, βιαζόμενοι.

Δαμνᾶται, ἕλκει, βιάζεται, φθείρει.

Δαμνεῖ, δαμάζει.

Δάμνημι, δαμάζω.

Δάμνησι, δαμάζει, ἀναιρεῖ, ὑποτάσσει. ἀπὸ τοῦ δάμνημι, ης, ησι.

Δαμνῆτις, δαμάζουσα, τιμωρός.

Δάμνα, θύματα, σφάγια.

Δαμνὸν, δεινόν.

Δάμνος, ἵππος Τυῤῥηνοί.

Δαμνῶ, καὶ δάμνημι, δαμάω δαμῶ, καὶ πλεονασμῷ τοῦ ν, δαμνῶ, καὶ εἰς μι, δάμνημι.

Δαμνῶμαι, δαμνᾷ. οἷον ὅτε σὺ πάντας δαμνᾷ ἀθανάτους, ἤγουν δαμάζεις, πρωτότυπόν ἐστι τοῦ δάμνημι. ἀφ' οὗ τὸ δάμναται, καὶ τὸ δάμνασθαι, καὶ τὰ ὅμοια.

Δαμοσόνιος, εἶδος Βοτάνης.

Δαμοῦαι, οἱ ἐπὶ Μελαντίας πεμπόμενοι Λάκωνες.

Δαμοῦχοι, οἱ τὸν δῆμον ἔχοντες. ἦσαν δὲ κατά τινας πόλεις αἰγαὶ, ἀποδεδειγμέναι δημούχων.

Δαμοφανής. τὸ ἱμάτιον οἱ Λάκωνες.

Δαμπὸν, πυρίεφθον, Λάκωνες, Κρῆτες.

Digitized by Google

Δαμώματα, τὰ δημοσίᾳ ᾀδόμενα. ἢ δαμώματα, κοινώματα, δημοσιώματα.

Δαμώμενος, ἀγαλλόμενος. οἱ δὲ, παίζων.

Δάμων, ὄνομα, διδάσκαλος τοῦ Περικλέους.

Δαμώσιον, δεδοκιμασμένον, Λάκωνες.

Δαμώσεις, δημόται, ἢ οἱ ἐντελεῖς παρὰ Λάκωσι.

Δανάη, θυγάτηρ Ἀκρισίου Ἀργείων βασιλέως καὶ Εὐρυδίκης, τῆς Εὐρώπης θυγατρὸς γέγονεν· ἣν Ἀκρίσιος ὁ πατὴρ σιδηροῦν ποιήσας θάλαμον ἐνέκλησεν, ὅπως αὐτῷ τῷ τρόπῳ μείνῃ παρθένος. ἐκ χρησμοῦ γὰρ ἠκηκόει ἀναιρεθῆναι ὑπὸ τοῦ ἐξ αὐτῆς γεννηθέντος. Ζεὺς δὲ ὡς λήρουσιν εἰς χρυσὸν μεταστραφεὶς ἀχθεὶς διά τινος ὀπῆς, ἐμίγη αὐτῇ. ἡ δὲ ἐν γαστρὶ ἔσχε τὸν Περσέα· ὅπερ γνοὺς ὁ ταύτης πατὴρ ἀνέμεινε ταύτην τεκεῖν. καὶ τεκοῦσαν σὺν τῷ βρέφει ἐμβάλλει λάρνακι ξυλίνῳ, καὶ εἰς τὴν ὑποκειμένην ἔρριψε θάλασσαν· ἥτις περὶ Σέριφον νῆσον ἐξηνέχθη μίαν τῶν Κυκλάδων, ἧς ἐβασίλευε Πολυδέκτης υἱὸς Ποσειδῶνος, καὶ Κηρεμίας, ἀδελφὸν ἔχων Δίκτυν. ὃς Δίκτυς ὡς ἴδιον παῖδα τὸν Περσέα ἐπαιδαγώγει, καὶ τῆς Δανάης ἐπιμελεῖτο. ὁ δὲ Πολυδέκτης, ἐβιάζετο τὴν Δανάην. μὴ δυνάμενος δὲ συγγενέσθαι αὐτῇ, τοῦ Περσέως ἤδη πρὸς ἥβην ἐλαύνοντος, πλάττεται ὡς ἔδνων χρείαν ἔχει πρὸς γάμον Ἱπποδαμείας τῆς Οἰνομάου, καὶ ἄλλον ἄλλο τῶν φίλων αἰτεῖ. Περσέα δὲ πέμπει ἐπὶ Γοργόνας, δειροτομῆσαι τὴν Μέδουσαν. καὶ τὴν κεφαλὴν αὐτῷ ἐνεγκεῖν, ὅπως τῇ Ἱπποδαμείᾳ δοίη. τοῦτο δὲ ἐπραγματεύετο, ὅπως τοῦ Περσέως ὑπὸ Γοργόνων ἀναιρεθέντος, αὐτὸς ἀδεῶς τῇ Δανάῃ συγγένοιτο. τοῦτο δὲ λῆρος. Πολυδέκτης γὰρ τρεῖς γενεὰς πρότερος ἦν Ἱπποδαμείας. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. τέως μυθικώτερον εἶπον κατ᾽ ἀρχὰς, ὅτι μὲν ἐβιάζετο Πολυδέκτης Δανάην, ἤδη καὶ πρεσβεύς. ἐπεὶ ἡ Μέδουσα θυγάτηρ οὖσα Πεισίδου, τῇ Ἀθηνᾷ περὶ κάλλους ἀντήριζεν. Ἀθηνᾶ δὲ τὸν Περσέα κατ᾽ αὐτῆς ἔπεμψεν ὑπογράψασα καὶ ὑποδείξασα αὐτῷ ἐν ζωγραφίαις τὴν Γοργόνην, περὶ πόλιν τῆς Σάμου Δεικτήριον κληθεῖσαν, ὑπὸ τοῦ ὑποδειχθῆναι ταύτην αὐτῷ. ἐλθὼν δὲ περὶ τὰς Φορκίδας, πρῶτον τήν τε Πεφρηδὼ, καὶ τὴν Ἐνυὼ τὰς ἐκ γενετῆς Γραῦς, ἀδελφὰς δὲ τῶν Γοργόνων, ἔλαβε παρ᾽ αὐτῶν τὸν ἕνα ὀφθαλμὸν αὐτῶν, καὶ τὸν ἕνα ὀδόντα, ὃν μόνον εἶχον κατ᾽ ἀμοιβὴν, καὶ οὐ πρότερον αὐταῖς ταῦτα ἔδωκεν, ἕως ὡδήγησαν αὐτὸν εἰς νύμφας. καὶ λαβὼν τὰ πτερωτὰ τῶν νυμφῶν πέδιλα, καὶ κίσιβιν, ἤτοι πήραν καὶ κυβωτὸν, καὶ τὴν κυνέην τοῦ ᾅδου, καὶ παρ᾽ Ἑρμοῦ ἀδαμαντίνην ἅρπην, ἔχων παρὰ τῆς Ἀθηνᾶς τὸ κάτοπτρον, πετόμενος ἦλθεν ἐπὶ Γοργόνας αὐτὰς, ἐπ᾽ ὠκεανὸν οὔσας περὶ πόλιν Ἰβηρίας τὴν Ταρτησσόν. αἵ τινες δράκοντος φολίδας εἶχον, κεφαλὰς συῶν, μεγάλους ὀδόντας, χεῖρας χαλκᾶς καὶ πτέρυγας, αἷς ἐπέτοντο. οὕτω γοῦν πετόμενος ἐπ᾽ αὐτὰς ἐλθὼν, καὶ κοιμωμένας εὑρὼν, καρατομεῖ τὴν Μέδουσαν ἐν τῷ κατόπτρῳ βλέπων οὐ πρὸς αὐτὴν, ἢ γὰρ ἀπελιθώθη ταύτην ἰδών. αἱ δὲ λοιπαὶ αὐτῆς ἀδελφαὶ θρῆνον μὲν ἐκώλυον ἐκ τῶν πολλῶν ὀφιωδῶν αὐτῶν κεφαλῶν, ἐκπέμπουσαι συριγμόν. ἐξ ὧνπερ Ἀθηνᾶ κατὰ Πίνδαρον τὸν αὐλητικὸν καλούμενον πολυκέφαλον εὗρε νόμον. Περσεὺς δὲ τῇ πήρᾳ τὴν κεφαλὴν θεὶς, καὶ κατὰ νώτων φέρων αὐτὴν, ἐπορεύετο. ἐλθὼν δὲ καὶ πρὸς Αἰθιοπίαν ὡς ἔφην, τὴν Ἀνδρομέδαν τοῦ κήτους ἐρρύσατο. καὶ λαβὼν γυναῖκα, ἐξ αὐτῆς ἔσχε παῖδα τὸν Πέρσην, καὶ καταλείπει παρὰ Κηφεῖ. τὸν δὲ Κηφέως ἀδελφὸν Φινέα προμνηστευόμενον Ἀνδρομέδαν καὶ αὐτοῦ ἐπιβουλεύοντα ἀπελίθωσε, δείξας τὴν Γοργόνα. αὐτὸς δὲ σὺν Ἀνδρομέδᾳ ἦλθεν εἰς Σέριφον. εὑρὼν δὲ τὴν μητέρα μετὰ τοῦ Δίκτυος προσπεφευγυῖαν ἐν τῷ ναῷ διὰ Πολυδέκτην ἐλθὼν περὶ τὴν Γοργόνα, πάντας ἐλίθωσε. τὴν δὲ βασιλείαν Δίκτυϊ δίδωσι. τὰ τὰ δὲ τῶν νυμφῶν πέδιλα καὶ τὴν ᾅδου κυνῆν Ἑρμῆς παρ᾽ αὐτοῦ λαβὼν, τοῖς ἰδίοις δεσπόταις παρέδωκε. τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Περσεὺς παρέσχε τῇ Ἀθηνᾷ. ἡ δὲ, πρὸς τὸ μέσον τῆς ἰδίας ἀσπίδος ταύτην ἐνέπηξεν. ἄλλοι δέ φασιν, ἐπὶ τοῦ κόσμου, οὗ περὶ τὸ στῆθος εἶχε, ταύτην ἐνέπηξεν. ὅθεν ἀπὸ τῆς Γοργόνος καὶ ὁ ἐπιστήθιος ἐκεῖ τῆς Ἀθηνᾶς κόσμος, Γοργόνιον ἐκλήθη. Περσεὺς δὲ σὺν Ἀνδρομέδᾳ καὶ τῇ μητρὶ Δανάῃ, ἔσπευδεν εἰς Ἄργος ἐλθεῖν, πρὸς θέαν Ἀκρισίου. Ἀκρίσιος δὲ τὸν χρησμὸν δεδοικὼς, εἰς Πελασγίαν ἀνεχώρησε. Τευταμίδου δὲ τοῦ βασιλέως Λαρισσαίων πένταθλον θέντος, ἐπὶ τῇ τοῦ πατρὸς τελευτῇ, Περσεὺς ἀγωνιζόμενος, δίσκῳ βαλὼν τὸν Ἀκρισίου πόδα ἄκων αὐτὸν ἀναιρεῖ, καὶ πενθήσας ἔθαψεν ἔξω τῆς πόλεως. πρὸς δὲ Μεγαπένθην τὸν Προίτου ἐλθὼν, αὐτῷ μὲν ἔδωκε τὴν ἰδίαν βασιλείαν τὴν Ἄργους ἀρχὴν, αὐτὸς δὲ ὁ Περσεὺς τὴν Τίρυνθα κατέσχε, καὶ τὴν ἐκείνου βασιλείαν προσέκτησε, Μήδειαν καὶ Μυκήνας. ἔνθα καὶ ἑτέρους παῖδας ἐξ Ἀνδρομέδας, Ἀλκαῖον καὶ Σθένελον, Ἕλειον, Μήστωρα, Ἠλεκτρύονα, καὶ Γοργοφόντην, τοῦ ἑτέρου υἱοῦ αὐτοῦ Πέρσου καταληφθέντος, ὡς εἴπομεν ἐν Αἰθιοπίᾳ, παρὰ τῷ πάππῳ Κηφεῖ τὸν χρυσόπατρον. εἶπον τὴν ἱστορίαν.

Δάνειαι, δύεσθαι ὅσον εἰς τὴν χρείαν τοῦ στήμονος μεριζόμενον, καθάπτεσθαι.

Δαναΐδαι, αἱ δοῦλαι. Ταραντῖνοι.

Δάνακες, θαυμαλῶπες.

Δανάκη, ὄνομα νομίσματος, ὃ ἐδίδοσαν τοῖς νεκροῖς πάλαι, λόγῳ περάματος, ἐν Ἀχερουσίᾳ, ἥτις ἐστὶ λίμνη ᾅδου.

Δάνας, μερίδας.

Δανὰς, μέλαινας καὶ πονηράς.

Δανδαλίδες, κάγχρυες, κριθαὶ, ἢ σῖτος πεφρυγμένος.

Δάνδαλος, ὁ Ἐριθακὸς τὸ ὄρνεον·

Δανδαρίκαι, οἱ βολευταί.

Δανδαίνειν, ἀτενίζειν, φροντίζειν, μεριμνᾶν.

Δανὰ ξύλα κεάσαι, τουτέστι ξηρὰ, καὶ ἐπιτήδεια εἰς τὸ δαίεσθαι. γράφεται καὶ ξύλα πολλὰ κεάσαι.

Δαναοὶ οἱ Ἕλληνες, ἀπὸ Δαναοῦ ἀδελφοῦ Αἰγύπτου, δίδυμοι δὲ οὗτοι παῖδες. Βήλῳ τῷ Λιβύης πολλοὶ παῖδες ἐκ διαφόρων γυναικῶν. Αἴγυπτος μὲν υἱοὺς πεντήκοντα, Δαναὸς δὲ θυγατέρας τοσαύτας. τούτων Δαναὸς μὲν θανόντος τοῦ πατρὸς, ἦρξε Λιβύης, Αἴγυπτος δὲ Ἀραβίας. ἔνθα καὶ καταστρεψάμενος τὴν τῶν Μελαμπόδων φασὶ χώραν, ἀφ᾽ ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. ἐπεὶ δὲ χρησμὸς ὑπέπτησε τὸν Δαναὸν ἐπὶ τοῖς τοῦ Αἰγύπτου παισὶ, φεύγει ἐκεῖθεν, πρῶτος ναῦν κατασκευάσας Ἀθηνᾶς ὑποθήκῃ, κληθεῖσαν πεντηκόντορον, κατὰ τὸν ἀριθμὸν τῶν αὐτοῦ θυγατρῶν, ἃς καὶ ἐνθέμενος τῇ νηῒ ἔφυγε, καὶ εἰς Ἄργος ἐλθὼν, βασιλεύει. καὶ ἀπ᾽ αὐτοῦ οἱ Ἕλληνες Δαναοί. οἷα δὲ ὕστερον ἔπαθεν ὁ Αἴγυπτος ἐλθὼν καὶ αὐτὸς, καὶ ὡς αἱ Δαναΐδες πᾶσαι πάντας τοὺς ἐκείνου κατέσφαξαν ἀφυλάκτως, ὡς ἐν γάμῳ νυμφίους οὔσαι, δίχα μιᾶς ἢ δύο τινῶν, αἱ ἱστορίαι δηλοῦσιν. Ἰστέον δὲ ὅτι, οὐχ ἁπλῶς οὕτω Δαναὸς κατέσχε τοῦ Ἄργους ἀπόνως, ὑποχωρήσαντος αὐτῷ τοῦ τότε κρατοῦντος Ἑλλάνορος, ἀλλὰ διότι μετῆν τοῦ Ἄργους ἀνέκαθεν, διὰ τὴν τοῦ Ἰνάχου θυγατέρα Ἰὼ, ἧς πέμπτη γέννα. πεντηκοντόπαις κατὰ τὸν Αἰσχύλον ἦν ὁ Δαναὸς, καθὰ καὶ ὁ Αἴγυπτος.

Δανείζει, μεταδίδωσι τοῖς ἐνδεέσιν, ἢ κιχρᾶ.

Δανειζόμενοι, οὐ μόνον οἱ λαμβάνοντες, ἀλλὰ καὶ οἱ δανεισταί.

Δανείζωσοι τὰ χρήματα, ὁμοίως καὶ παρέχω, καὶ προτείνω, καὶ ὑποτείνω, καὶ ἐγχειρίζω, καὶ ὑπέχω σοι δίκην.

Δάνειν, κοιμᾶσθαι.

Δάνειον, ὄφλημα, χρέος, δῶρον. ἢ δάνειον, παρὰ τὸ τὸ δάνος, ὃ σημαίνει τὸ δῶρον, ὡς τέλος, τέλειον. Δίδυμος, τὸ χρονίζον λέγει χρέος, ὡς παρὰ τὸ δὴν, δάνος καὶ δάνειον.

Δανειστὴν, καὶ τὸν δανεισάμενον, καὶ τὸν δανείζοντα.

Δανὲς, ἀληθὲς, ἢ δῶρον, ἢ μερίδα, ἢ ἰσχὺν, ἢ γέρας, ἢ δάνειον.

Δανήλοφα, μακροτράχηλα, ἐκτεταμένους ἔχοντας τοὺς λόφους, ἢ ὑψηλοτράχηλα, μετεώρους ἔχοντας τοὺς λόφους, ἢ πίονας.

Δανεῖν, κακουργεῖν. οἱ δὲ, δανείζειν.

Δαπάνη, παρὰ τὸ δάπτω, ὃ σημαίνει τὸ μετὰ σπαραγμοῦ ἐσθίω.

Δανιὴλ, ὄνομα κύριον. καὶ ἑρμηνεύεται ἑβραϊστὶ, κρίσις Θεοῦ.

Δανὸν, ξηρὸν, τὸ δὰ, μακρόν. Καλλίμαχος, δανὰ ξύλα κεάσαι, τουτέστι σχίσαι.

Δάνος, ἤτοι δῶρον, καὶ ἀνάθημα, τίνι, τῇ δαείρᾳ, καὶ τῇ κοπτικῇ καὶ ἀναιρετικῇ· τῇ Περσεφόνῃ, καὶ τῷ συνεύνῳ ταύτης ᾅδῃ, τὸ δάνος θήσει, παρὰ Λυκόφρονι.

Δὰξ λαζοίατο γαῖαν, τοῖς ὀδοῦσι τὴν γῆν δάκοιεν. γίνεται δὲ ἐκ τοῦ δάκω, δάξω, δάξ. τοῦτο δὲ συμβαίνει αὐτοῖς ὀδυνωμένοις. τὸ δὲ γαῖαν, ἀντὶ τοῦ γαίης.

Δάξα, θάλασσα, ἠπειρῶται.

Δαξισμός. ὑπὸ δὲ πόνου τινὸς δαξισμοῦ τῆς καρδίας, παύσασθαι ἱπτάμενον.

Δάνιον, πόλις Θράκης.

Δάον, πολυχρόνιον.

Δάος, λαμπὰς, παρὰ τὸ δαίω. ὡς τὸ, δάος μετὰ χερσὶν ἔχουσα. τὰ εἰς ος οὐδέτερα ἔχοντα πρὸ τοῦ τέλους τὸ α, συστέλλει αὐτὸ, φάος, χάος, πλὴν τοῦ φᾶρος, πρᾶγος. ἢ δάος, φῶς, δᾶδα, πῦρ, φλὸξ, φέγγος, αὐγή. ὑπὸ Φρυγῶν δὲ, λύκος. καὶ δάος, ὁ ἀγγάρειος, δούλου ὄνομά τι. ἢ καὶ ἐλεύθερος, καὶ εἰς κωμῳδίαν εἰσαγόμενος.

Δάοχος, μοιχός.

Δαπανὰ, ἀναλωτικὰ, ἢ τὰ δαπανώμενα.

Δαπανᾶσθαι, ἀναλίσκεσθαι. Ἀριστοφάνης, βουλόμενος τέως μηδὲν δαπανᾶσθαι.

Δαπάνη, τροφή.

Δάπεδον, τὸ τοῦ μεγάρου ἔδαφος. ἢ τόπος ἐγγὺς οἰκημάτων, αὐτὸς μὴ ἔχων οἰκήματα. ἢ τόπος ἐν πόλει ψιλὸς οἰκημάτων, ὡς δηλοῦται παρά τινι. καὶ περιφέρων τὴν ἀσπίδα ἐπίχαλκον οὖσαν, προσεῖχε τῷ δαπέδῳ ἐντὸς τοῦ τείχους. ἢ χωρίον ὁμαλὸν εἰς διατριβὴν ἀνεθὲν, ὅπερ ἐν Ὀδυσσείᾳ Ὅμηρος λέγει, τυκτὸν δάπεδον, ἐν ᾧ μνηστῆρες γυμνάζονται. δύναται καὶ τὸ ἐντὸς οἰκίας ἐμβαδὸν, δάπεδον λέγεσθαι, ὡς μὴ μόνον αἴθριον, ἀλλὰ καὶ ὑπερωρόφιον εἶναι δάπεδον. γίνεται δὲ παρὰ τὸ δα, ὃ δηλοῖ Δωρικῶς τὴν γῆν, καὶ τὸ πέδον. γήπεδον μέντοι τὸ ἐν πόλει προκείμενον οἰκείως, οἷον κηπίδιον. οἰκόπεδον δὲ, οἰκίας καταρριφείσης ἔδαφος, ὅπερ κοινότερον καὶ ἐρείπιον οἱ ὕστερόν φασι.

Δάπης, τάπης.

Δάπιδας, τὰς ψιλὰς καὶ μὴ μαλωτὰς δάπιδας λέγουσι. καὶ δάπισι, τοῖς τάπησιν. ἐν δέ τισι τῶν ἀντιγράφων, δάπησιν εὕρηται ὡς ἐν Πλούτῳ, οὐδ᾽ ἐν δάπησιν ἔσται καταδαρθεῖν, ἀντὶ τοῦ τάπησι. καὶ δαπίδων, τῶν ταπήτων.

Δάπτειν, πρωτότυπόν ἐστι τοῦ δαρδάπτειν, ὡς τὸ μέρειν τοῦ μαρμαίρειν. ἀπ᾽ αὐτοῦ δὲ καὶ δάπται αἱ μυῖαι παρὰ Λυκόφρονι. καὶ τίθεται τὸ δάπτειν, ἐπὶ τῶν ἀπλήστως καὶ θηριωδῶς ἐσθιόντων.

Δάπτης, δεινός.

* Δαπταὶ, αἱ δακνηραὶ μυῖαι, παρὰ τὸ δάπτειν.

Δάπτω, τὸ κόπτω, καὶ τέμνω, καὶ τὸ διὰ στόματος σπαράττειν. ἐξ οὗ δαρδάπτειν, καὶ δαπταὶ αἱ μυῖαι, πρωτότυπον ἔχει τὸ δῶ, ἐξ οὗ τὸ δαίω, καθ᾽ οἷον ἄντις ἐρεῖ σημαινόμενον. ὡς γὰρ βῶ βάπτω, ῥῶ ῥάπτω, κνῶ κνάπτω, οὕτω καὶ δῶ δάπτω. καὶ τὸ μετὰ σπαραγμοῦ ἐσθίω.

Δάρας, παρὰ τὸ ἐν τῷ αὐτῷ χωρίῳ συλληφθῆναι Δαρεῖον ὑπὸ Ἀλεξάνδρου. ὑπὸ δὲ Ἀναστασίου κτισθὲν ἐκλήθη Ἀναστασιούπολις.

Δ᾽ ἄρ, δή.

Δάρα, θυμῷ.

Δάρδα, μέλισσα.

Δαρδαίνει, μολύνει.

Δαρδανίαν ἠνεμόεσσαν, ἤγουν ὑψηλὴν, ὡς ἀπὸ μέρους τῆς ὑψηλῆς Δαρδανίας, ἢ καὶ ὡς ἐπὶ γεωλόφου

τινὲς

Digitized by Google

τινὸς ἱδρυμένη. ὁ ποιητὴς δὲ ἐν τῷ υ΄ τῆς Ἰλιάδος, σαφῶς δηλοῖ διαφορὰν τῶν πολλαχοῦ λεγομένων. καὶ Δαρδάνων, ὡς δαρδάνων μὲν ὄντων κυρίως τῶν ἀρχόθεν ἐν τῇ ὑψηλοτέρᾳ Δαρδανίᾳ, περί που τὰς ὑπωρείας τῆς Ἴδης. Τρώων δὲ ταυτὸν δ' εἰπεῖν Ἰλιέων, τῶν ἐν τῇ πεδινῇ Ἰλίῳ. περὶ δὲ Δαρδάνου φασὶν οἱ παλαιοὶ, ὅτι ἐν τῷ κατακλυσμῷ κατὰ τὸν Δευκαλίωνα, ἐκ τῆς Σαμοθράκης ἀσκὸν ἢ σχεδίαν μετὰ δερμάτων σκευάσας, καθὰ καὶ τῷ Λυκόφρονι δοκεῖ, καὶ ὑποδὺς, καὶ τοῖς ὕδασιν ἑαυτὸν ἐπιδοὺς, προσοκείλας τε τῇ Τροίᾳ μετὰ τὸ ξηρανθῆναι τὸ ὕδωρ, τὴν Δαρδανίαν ἔκτισεν ὑψηλοτέραν κειμένην τῆς ὕστερον Ἰλίου, φόβῳ τῆς ἐξ ὑστέρου κατακλύσεως, ἧς αὐτὸς ἐπειράθη. καὶ σημείωσαι, εἰ καὶ ἐν πεδίῳ πεπόλισται ἡ Ἴλιος, οὐδὲν κωλύει καὶ ἠνεμόεσσαν αὐτὴν λέγειν, ἤγουν ὑψηλὴν, ὡς ἀπὸ μέρους τῆς ὑψηλῆς Δαρδανίας, ἢ καὶ ὡς ἐπὶ γεωλόφου τινὸς ἱδρυμένην.

Δάρδανος, ὁ Διὸς υἱὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος θυγατρὸς, ἐκ Σαμοθράκης ἐν τῷ κατακλυσμῷ, εἰς τὰ κατὰ Τροίαν μέρη ἐλθὼν, κτίζει τὴν Δαρδανίαν, κἀκεῖ τελευτᾷ. καὶ ὁ τάφος αὐτοῦ κεῖται περὶ τὴν Τροίαν, ἐν τῷ μέρει τῆς Δαρδανίας. ὕστερον ἡ Δαρδανία καὶ Ἴλιος, μία πόλις γεγόνασιν. Ἄλλως.

Δάρδανος ἀνὴρ, πρὸς διαστολὴν Τρωϊκοῦ κεῖται, εἴπερ οἱ Ἰλιεῖς εἰς Τρῶας καὶ Δαρδάνους διῄρηνται. γενεαλογίαν ὁ ποιητὴς τῶν Τρωϊκῶν ἐκτιθέμενος βασιλέων, φησὶ, Δάρδανον πρῶτον τέκετο Ζεὺς, κτίσσε δὲ Δαρδανίην. ἐπεὶ οὔπω Ἴλιος ἱρὴ, ἐν πεδίῳ πεπόλιστο πόλις μερόπων ἀνθρώπων.

Δάρδανος αὖ, τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα, Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα. Τρωὸς δ' αὖ, τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο, Ἶλός τ' Ἀσσάρακός τε, καὶ ἀντίθεος Γανυμήδης· ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων. τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν, κάλλεος οὕνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη. Ἶλος δ' αὖ, τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα. Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε, Λάμπον τε Κλυτίον θ' Ἱκετάονα ὄζον Ἄρηος, τοὺς ἐν τῇ γ΄ ῥαψῳδίᾳ, δημογέροντας. Ἀσσάρακος δὲ Κάπυν, ὁ δὲ Ἀγχίσην τέκε παῖδα. αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δ' ἔτεχ' Ἕκτορα δῖον. ὡς εἶναι πέμπτον τὸν Αἰνείαν ἀπὸ τοῦ Τρωὸς, καθὰ καὶ τὸν Ἕκτορα. καὶ σημείωσαι, ὡς ἐνταῦθα ἐπλεόνασε τοῖς ῥήμασι τοῦ τεκεῖν, διὰ τὸ τῆς λέξεως καίριον, δὶς μὲν εἰπὼν ἐνεργητικῶς τὸ τέκε, τετράκις δὲ παθητικῶς τὸ τέκετο, ἅπαξ δὲ περιφράσας αὐτὰ, ἐν τῷ, Τρωὸς δὲ παῖδες ἐξεγένοντο.

Δαρδάπτω, αἰτιατικῇ συντάσσεται. τοιουτοσὶ τοίνυν με δαρδάπτει πόθος Εὐριπίδου, Ἀριστοφάνης Βατράχοις, ἤγουν κατεσθίει, ἀφανίζει.

Δαρδάπτω, ἀπὸ τοῦ δάπτω, κατὰ ἀναδιπλασιασμὸν, δαδάπτω, καὶ πλεονασμῷ τοῦ ρ΄, δαρδάπτω, τὸ κατεσθίω.

Δαρδῶσαι, ῥίψαι, σπαράξαι, ταράξαι.

Δαρεικούς. Ἀριστοφάνης, εἰσὶ μὲν χρυσοῖ στατῆρες οἱ δαρεικοὶ, ἠδύνατο δὲ ἕκαστος αὐτῶν, ὅπερ ὁ παρὰ τοῖς Ἀττικοῖς ὀνομαζόμενος χρυσὸς, οὐκ ἀπὸ Δαρείου τοῦ Ξέρξου πατρὸς, ἀλλ' ἀφ' ἑτέρου τινὸς βασιλέως ὠνομάσθησαν. λέγουσί τινες δύνασθαι τὸν δαρεικὸν, δραχμὰς ἀργυρίου εἴκοσιν, ὡς τοὺς πέντε δαρεικοὺς, δύνασθαι μνᾶν ἀργυρίου.

Δαρεῖος, βασιλεὺς ἦν. καὶ Δαρεῖος, ὑπὸ Περσῶν, ὁ φρόνιμος. ὑπὸ δὲ Φρυγῶν, Ἕκτωρ. καὶ ἀστραγάλων δέ τινων βόλος, οὕτω καλεῖται.

Δάρειρ, τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου, ἐπὶ τὸν μιμικρὸν διάστημα.

Δαρετίου. ὡς τὸ, τὸν τρίποδα δ' ἀνθέμεναι, ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων, δαρετίου χρυσοῦ τὰς δεκάτας.

Δάρητες, δέσμαι.

Δάρην, σπιθαμὴν, Ἀρκάδες.

Δάρης, κύριον ὄνομα κατὰ τοὺς παλαιούς. ἐὰν ὀξύτονον ᾖ, ὥς τινες οἴονται, εἰς οῦ ἂν εἶχε τὴν γενικὴν. τὰ γὰρ εἰς ης φασὶ δισύλλαβα ὀξύτονα ἐν ἔχοντα πρὸ τοῦ η σύμφωνον, εἰς ους περατοῦται κατὰ γενικὴν, σαφοῦς, πρηνοῦς, πυλλοῦς, φραδοῦς. οἷον, φραδέος νόου ἔργα τέτυκται. τὸ Ψιλὴς, ψιλῆτος, παρ' Ἀσχύλῳ. καὶ τὸ Κουρῆτες ἐμάχοντο παρὰ τῷ ποιητῇ, καὶ τὸ κρητὸς, ἔχουσιν ἄλλον λόγον, ὃν ζητητέον, παρὰ τοῖς παλαιοῖς.

Δάρητα, τινὰ λέγει Ὅμηρος ἱερέα, καὶ υἱὸν αὐτοῦ ἱστορεῖ Φηγέα. ἐκδέρειν γὰρ δεῖ τὰ θυόμενα, καὶ φυγοῖς καίειν, ὅ ἐστι ξύλοις.

Δαρθάνω, τὸ ἀποκοιμῶμαι.

Δαρθεῖν, τὸ κοιμηθῆναι, καὶ κατὰ ὑπέρθεσιν δραθεῖν. κυρίως, τὸ ἐπὶ δερμάτων καθευδῆσαι, ἐκ τοῦ δρήθω, δρήσω, ἔδρησα. ὁ δεύτερος ἀόριστος ἔδραθον, ὁ μέλλων δραθῶ, τὸ ἀπαρέμφατον, δραθεῖν.

Δαρὸν, μακρὸν χρόνον, καὶ ἐπιπολὺ, καὶ ἑορτὴν, καὶ ἄρτον τινὲς τὸν ἄζυμον.

Δάροσος, τὸ βουτύπιον.

Δάρπακες, θαυμαλῶπες.

Δάρπη, σαργάνη, κόφινος.

Δάρρων, Μακεδονικὸς δαίμων, ᾧ ὑπὲρ τῶν νοσούντων εὔχονται.

Δάρτινον, πέπλον λινοῦν.

Δάρυλλος, ἡ δρῦς ὑπὸ Μακεδόνων.

Δαρχμὰς, δραχμάς.

Δᾷς, λαμπὰς, ἢ λαμπρὰς.

Δασάσκετο, ἐμερίζετο. ἐκ τοῦ δάζω δάσω, δασάσκω, ὅθεν δασμός.

Δάσαντο, ἐμερίσαντο, ἀπὸ τοῦ δαίω δαίσω δάσω, ὅθεν καὶ δάξ.

Δάσασθαι παρ' Ὁμήρῳ, οἷον δώῃ κυσὶν ὠμὰ δάσασθαι, τὸν σπαραγμὸν δηλοῖ τῶν κυνῶν. δάσασθαι δὲ εἶπεν, ἐπεὶ τὸ μέτρον οὐκ ἐπιδέχεται εἰπεῖν δαίσασθαι. δῆλον δὲ, ὅτι ἀπὸ τοῦ τοιούτου δάσασθαι καὶ ὁ δασμός. καὶ δάσασθαι, τὸ σπεῖραι παρ' Ἡσιόδῳ, σπέρματα δάσασθαι, φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη. καὶ δαίσασθαι, συμμερίσασθαι.

Δασάσκετο, διενείματο, ἔτρωγεν, ἔφαγε.

Δασεῖα, ποιότης συλλαβῆς, ἐκ τοῦ θώρακος πεμπομένη. ἢ παρὰ τὸ δα ἐπιτατικὸν μόριον, καὶ καὶ τὸ σεύω ῥῆμα, ὃ σημαίνει τὸ ὁρμῶ. ἢ παρὰ τὸ μεγίστην καὶ σφοδρὰν εἶναι, πρὸς σύγκρισιν τῆς ψιλῆς.

* Δασέα σύμφωνα, δασέων ἡγοῦνται. διὸ καὶ δυοῖν ψιλῶν συναληλιμένων, ὅταν φθάσῃ τὸ ἓν δασὺ τραπῆναι, εὐθὺς καὶ τὸ λοιπὸν εἰς τὸ ἑαυτοῦ ἀντίστοιχον τρέπεται, οἷον ἑφθὰ ἐκ τοῦ ἑπτὰ, ὃ παρὰ τὸ ἕπω. καὶ οὐδέποτε δασέα σύμφωνα ἐν ἑλληνικῇ λέξει διπλάζονται. ἀλλ' εἴπου δέοι διπλάζειν, εἰς τὸ ἀντίστοιχον ψιλὸν μεταπίπτει θάτερον αὐτῶν, οἷον βακχοι, ἀντὶ βάχχος. καὶ κατθανεῖν ἀντὶ τοῦ καθθανεῖν. καὶ δασέα, ἐκ δύο ψιλῶν τρέπονται δι' ἐπαγωγὴν δασείας. οἷον, ἐν τῷ τίπτε οὕτως, τίφθ' οὕτως.

Δασεῖται, νεμεῖ, διαιρήσει.

Δάσιος, ὁ δασύς.

Δασκάζει, ὑποφεύγει.

Δάσκιον, μεγάλως σκιάζον, διὰ τὸ συνδενδρον καὶ δασύ.

Δάσκιος ὕλη, ἡ πολύσκιος. ἢ κατὰ συγκοπὴν ἡ δασύσκιος.

Δασκὸν, δασύ.

Δασκύλειον, τόπος ἐν τῷ κόλπῳ Νικομηδείας.

Δάσκληρα, ὄνομά ἐστι λίμνης καὶ βρυσμός. ἔστι δὲ καὶ ὄνομα βασιλέως.

Δασμολόγοι, φορολόγοι, ἀπαιτηταί.

Δασμολογῶ, συνάγω. Σὺ δὲ δασμολογεῖς, καὶ παρ' ἑκόντων καὶ ἀκόντων λαμβάνεις.

Δασμὸς, ὁ φόρος, καὶ ἀπὸ τούτου δασμοφορία, τὸ αὐτό. ἀναδασμὸς, ἡ ἀναμέτρησις, ἢ δασμὸς, ὁ μερισμὸς, παρὰ τὸ δάζω. ὡς σκεδάζω, σκεδασμός.

Δασμοφορεῖν, συμμερίζειν.

Δάσονται, διασπάσονται, κατὰ μέρη φαγοῦνται, καὶ μεριοῦνται.

Δάσος, σύνδενδρος τόπος, ὑλώδης, δασύτης.

Δασοφόροι, μερισταί.

Δασπέταλον, πολύφυλλον.

Δασπλῆτα, πολυμιγῆ, καὶ τολμηρόν.

Δασπλῆτις ἐριννὺς, κατὰ πλεονασμὸν τοῦ σ΄, ἡ ἄγαν πελάζουσα. ἢ δασπλῆτις, ἡ μεγάλων κακῶν ἀναπιμπλαμένη, πολλοῖς πλησιάζουσα. οἱ δὲ, ἄπληστος, τιμωρητικὴ, καὶ χαλεπὴ, ἐπὶ τῆς Ἐριννύος. καὶ δασπλῆτις, δυσχερὴς τοῖς προσπελάζουσι, δυσπρόσπελαστος, πολλοὺς μισοῦσα, τολμηρὰ, θρασεῖα.

Δάσσα, λάχανα.

Δασὺ, τραχὺ, πυκνὸν, συνεχές.

Δασυλίδες, αἱ δασεῖαι.

Δασύλλιος, ὁ Διόνυσος, παρὰ τὸ δασύνειν τὰς ἀμπέλους.

Δασύπους, λαγωός.

Δασὺς, παράγωγος.

Δατέεσθαι, δατεῖσθαι, ὅ ἐστι μερίζειν. παρὰ πολλοῖς κεῖται.

Δατεῖσθαι χθόνα ποσὶν, ἐν τῷ ἀτάκτως βαδίζειν. καὶ ὡς ἐν μερισμῷ, τοὺς μὲν τῇδε, τοὺς δὲ ἑτέρωσε βαίνειν. καὶ δατεῖσθαι, τὸ μερίζεσθαι. οἱ δὲ δατταί, οἱονεὶ μερισταί. τὸ δὲ εἰς δατητῶν αἵρεσιν, εἶδός τι δίκης ἐστίν. ὁπότε γὰρ κοινωνοῖεν τινὲς ἀλλήλοις, καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινὰ, οἱ δὲ μὴ, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς βουλομένοις προσκαλούμενοι εἰς δατητῶν αἵρεσιν. Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον. Ἀριστοτέλης εἰ γνήσιος, ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Δατεῖν, ζητεῖν.

Δατεῦντο, τουτέστι δατέοντο, ἐμέριζον. ἀφ' οὗ ὁ δαιτρός.

Δατεώμεθα, ἐκ τοῦ δατέωμαι. ὡς τὸ, Ὅττι κεν δατεώμεθα ληΐδ' Ἀχαιοί.

Δατηταὶ, οἱ διανεμηταὶ, ἐκ τοῦ δατῶ, καὶ δατούμεθα, ὃ σημαίνει τὸ μεριζόμεθα. οἷον χθόνα ποσὶ δατεῦντο. καὶ δατεώμεθα ληΐδ' Ἀχαιοί, ἀπὸ τοῦ δαίω τὸ μερίζω. ἀφ' οὗ τὸ δάζω, καὶ δάσω, γίνεται δαστὸς, δαστῶ, καὶ ἐνδείᾳ τοῦ σ΄ δατῶ. καὶ ἐκ τοῦ δατῶ, δατήσω, δεδάτηκα, δεδάτημαι, δεδάτηται, δατητής. καὶ κλίνεται δατητοῦ.

Δάτις, σατράπης, Περσῶν βασιλεὺς εὐδοκιμήσας κατά τινα χρόνον πολεμῶν.

Δατοῖς, δόλοις, πανουργεύμασι.

Δατὸν, παρὰ Ῥωμαίοις σημασία τῆς ἡμέρας τοῦ καιροῦ, ὅτε τις ἐκ πόλεως, ἢ ἔκ τινος τόπου ἀποσταλῇ.

Δατὸς, πόλις ἐστὶ Θράκης, σφόδρα εὐδαίμων. ἀπὸ ταύτης γοῦν ἐλέγετό τις καὶ παροιμία.

Δάτριον, ἄνθος ὅμοιον κιστῷ.

Δατύλλου ἡμέρα, ἐπὶ Πανδύονός φασι.

Δατὺς, κουράλλινον, νύμφη, λευκόκηρως.

Δατύσσειν, λαφύσσειν, ἐσθίειν.

Δατῶ, τὸ μερίζω, καὶ δατούμεθα, τὸ μεριζόμεθα. οἷον δατεώμεθα ληΐδ' Ἀχαιοί, καὶ χθόνα ποσί.

Δατῶναι, ζειαί.

Δαῦχος, ὁ θρασὺς, καὶ βοτάνη τίς.

Δαυλία, δασεῖα. καὶ δαυλία, κορώνη καὶ ἀηδών.

Δαυλὶς, ὀξύνεται, καθὰ καὶ ἡ αὐλὶς, τὸ τοπικόν. ἡ γὰρ αὖλις Αἰολικῶς βαρύνεται. δασεῖα δὲ, πόλις καὶ σύμφυτος. ὅθεν καὶ τὴν κλῆσιν ἔλαχε. δαῦλον γὰρ τὸ δασὺ ἔλεγον πεπλασμένως. ὡς δηλοῖ Παυσανίας εἰπὼν, δαῦλον τὸ δασύ. ἡ προτέρα πειρᾶται, Αἰσχύλος.

Δαῦλις, ἑορτὴ ἐν Ἄργει, μίμημα τῆς Προίτου πρὸς Ἀκρίσιον μάχης, καὶ δαῦλος δ' ὑπ' αὐτῶν. κατὰ δὲ ἑτέρους. ἀπὸ Δαυλιέως τυράννου ἐκλήθη οὕτως. οἱ δὲ ὕστερον, δαυλείαν αὐτὴν φασὶ προπαροξυτόνως, καὶ διὰ διφθόγγου ὡς ὁ τὰ ἐθνικὰ γράψας λέγει. Παυσανίας δέ φησιν ἐν τῇ δεκάτῃ. διὸ ὁ πολίτης αὐτῆς, δαυλιεὺς, καὶ δαύλιος, καὶ δαυλίδιος. ὁ δὲ γεωγράφος, παρ' ᾧ κεῖται καὶ ὅτι δαῦλοι τὰ δάση, ἱστορεῖ ὅτι Δαυλὸς, ἐν μεσογαίᾳ μετὰ Δελφοὺς, ὡς πρὸς ἕω πολίχνιον. ὅπου τῇ Ῥέᾳ τὸν Θρᾶκα φασί τινες δυναστεῦσαι, καὶ τὰ περὶ Φιλομήλαν καὶ Πρόκνην, ἐκεῖ μυθεύονται γενέσθαι. ἢ ἐν μεγάροις, κατὰ Θουκυδίδην.

Δαῦλος, ὁ δασὺς, παρὰ τὸ δάσος γίνεται δασῶ ῥῆμα. ὡς τεῖχος, τειχῶ. ἀφ' οὗ Πίνδαρος, τετείχηται, καὶ κατὰ παραγωγὴν, δασαύνω. ὡς χῶ, χαύω, καὶ ψαύω. εἶτα κατὰ συγκοπὴν, δαύω, ὁ μέλλων δαύσω. καὶ ὡς παύσω γίνεται Παῦλος, οὕτω καὶ

δαυσωδαῦλοι, ὁ δασύς.

Δαυλὸς, ἀντὶ τοῦ δαλὸς Αἰολικῶς. Αἰολεῖς γὰρ προστιθέντες τῷ α τὸ υ, λέγουσι δαυλός, ἀντὶ τοῦ δαλός. ὁμοίως αὐτὴρ, ἀντὶ τοῦ ἀήρ.

Δαυμάσαι, ἐκκαῦσαι.

Δαῦκα, λάχανα. οἱ δὲ, χλωρά.

Δαυχμὸν, εὔκαυστον ξύλον δάφνης.

Δαύω, τὸ κοιμῶμαι, ἅπαξ ἡ λέξις παρὰ Σαπφοῖ εἴρηται. λέγει Ἡρωδιανὸς, κυρίως τὸ δεσμοῦ. εἴρηται καὶ ἐπὶ τοῦ καθεύδειν, δαύω παρὰ Σιμωνίδῃ, τὸ καίω. Ἱστορία.

Δάφνη, Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ ὑπῆρχε θυγάτηρ διαπρεπεστάτη. ἐρασθεὶς δὲ αὐτῆς Ἀπόλλων, καὶ βουλόμενος συγγενέσθαι, ἐδίωκε. καταλαμβανομένης δὲ αὐτῆς ὑπὸ τοῦ Θεοῦ, εὔξασθαι τῇ μητρὶ γῇ, χάσματι αὐτὴν δεχθῆναι. γενομένου δὲ τούτου, καὶ τῆς γῆς ἀναδούσης ὁμώνυμον φυτὸν, Ἀπόλλων θεασάμενος, ἐξεπλάγη. καὶ τὸ μὲν δένδρον ἀπὸ τῆς παρθένου, δάφνην προσηγόρευσεν ὁμωνύμως. λαβὼν δὲ κλάδον αὐτῆς ἐστέψατο.

Δάφνη, ἰστέον ὅτι ὁ σίδηρος ἄρης, καὶ αἴνιγμά τι ποιεῖ ἀστεῖον βραχυλογικὸν τοιοῦτον. ὑπόκειταί τις δρυτόμος τέμνων δάφνινον θάλος. ἐπεὶ δὲ ἡ δάφνη τὸ φυτὸν ὁμωνυμεῖ κόρῃ ἐρωμένῃ Ἀπόλλωνος, ἐκδέδωκέ τις αἰνιγματοποιὸς τὸ, ποῖ Φοῖβος πεπόρευται, ὅτ᾽ ἄρει μίγνυται δάφνη. καὶ ἐστι πᾶν ἀστεῖον ἐνταῦθα ἐν τῷ μίγνυται. τὸ γὰρ ὁμοῦ εἶναι ἡ λέξις δηλοῖ, ὃ καὶ σίδηρος ἔχει κόπτων ξύλον, καὶ ὁ συνὼν σώματι.

Δάφνῃ ἐστεφανωμένοι. οἱ ἱεροῖς καὶ οἱ μάντεις, δάφνῃ ἐστεφανοῦντο εἰς γνώρισμα τῆς τέχνης.

Δαφνηφάγων, ἢ μάντεων, ἢ μαντικῶν ἐκ λαιμῶν. λέγουσι δὲ ὅτι οἱ μάντεις δάφνας ἐσθίοντες ἐμαντεύοντο, ἵνα τῇ ὀπωπῇ καὶ τῇ ὀσφρήσει γαννύμενος ὁ Θεὸς, ἀντιδώσῃ αὐτοῖς καὶ τὰς θεοπροπίας.

Δαφνίνην φορῶ, βακτηρίαν τοῦτο λέγει.

Δαφνίτας, ὁ Ἀπόλλων παρὰ Συρακουσίοις.

Δαφοινεὸν, ὀξύνεται ὁμοίως τῷ ἀδελφεός, καὶ τοῖς τοιούτοις, πλεονασμὸν γὰρ ἔχει τοῦ ε κατ᾽ ἐκεῖνα.

Δαφοινὸν, τὸ πάνυ φοινίεσσον, ἢ τὸ φοινικὸν, ἢ τὸ πυρρόν.

Δαφοινὸς, ὁ ἄγαν φόνιος, ἢ πυρὸς κατὰ τὰ νῶτα. δαφοινὴν ἀσπίδα, παρὰ τὸ δαίω τὸ καίω. ἢ παρὰ τὸ δα καὶ τὸ φόνος. ἢ δαφοινὸς τὰ νῶτα, ὁ μέλας. παρὰ τὸ δα ἐπιτατικὸν, καὶ τὸν φόνον, ὃ δηλοῖ τὸ αἷμα. μέλαν δὲ τὸ αἷμα.

Δαφνοπώλην, τὸν Ἀπόλλωνα λέγουσιν, ὡς Ἀριστοφάνης.

Δαφνὼν, παρὰ τὸ δάφνη. τὸ δὲ δάφνη, παρὰ τὸ δαίω, τὸ καίω, ἡ φωνοῦσα ἐν τῷ δαίεσθαι, ὅ ἐστι καίεσθαι.

Δάψαι, σπαράξαι, καταφαγεῖν μετὰ σπαραγμοῦ. τὸ δὲ αὐτὸ, καὶ δαρδάψαι, καὶ διακόψαι, καὶ ῥῆξαι.

Δάψει, ἐξ οὗ καὶ δάπται παρὰ Λυκόφρονι αἱ μυῖαι. καὶ τὸ δαρδάπτειν.

Δαψίλεια, πλουσιότης, ἡ πολυτέλεια. καὶ δαψιλὴς, ὁ πολυτελής. ἡ δαψίλεια, λαμπρότης, ἀφειδωλεία, μεγαλοπρέπεια, φιλοτιμία, φιλοδωρία, μεγαλοδωρία, πολυδωρία, ἐλευθεριότης. καὶ τὰ ἐπιρρήματα, δαψιλῶς, ἐκτενῶς, ἀφθόνως, μεγαλοπρεπῶς, ἀνέδην, χύδην, ἐλευθεροπρεπῶς, ἐλευθερίως, φιλοτίμως, φιλανθρώπως, φιλοδώρως, μεγαλοδώρως, λαμπρῶς. ῥήματα, λαμπρύνεσθαι, ἐπιδαψιλεύεσθαι, φιλανθρωπεύεσθαι, ἐπιδιδόναι τοῖς χρήζουσιν, ἐπικουρεῖν τοῖς δεομένοις, φιλοτιμᾶσθαι.

Δαψιλέστατος, πολυτελέστατος, πλουσιώτατος. λέγεται δὲ καὶ ἐπὶ ῥευμάτων, καὶ ἐπὶ τῶν μεγαλοψυχούντων.

Δαψιλῶς, ἀφθόνως.

Δάωμεν, μάθωμεν.

Δαῶμεν, δαίω, μέλλων δαίσω, ἀόριστος ἔδαισα, δεύτερος ἔδαον, ὁ παθητικὸς, ἐδάην, ὑποτακτικὸν, ἐὰν δαῶ, ῇς, ῇ, τὸ πρῶτον τῶν πληθυντικῶν, ἐὰν δαῶμεν. ταυτὸν τῷ γνῶμεν, μάθωμεν, πρὸς ὁμοιότητα τοῦ ἐτύφθην, τυφθῶμεν.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Ε.

ΔΕ, ἀντὶ τοῦ γὰρ, καὶ ἀντὶ τοῦ δή. πολλάκις χρῶνται οἱ Ἀττικοὶ, ἀντὶ τοῦ γὰρ, παρ᾽ Ὁμήρῳ. οἷον, Δία δ᾽ οὐκ ἔχε νήδυμος ὕπνος. καὶ παρὰ Ἀριστοφάνει, ποῖος Ζεὺς, οὐ μὴ ληρήσῃς, οὐδ᾽ ἔστι Ζεύς. δὲ ἀντὶ τοῦ γὰρ λαμβάνεται. τὸ δὲ ἀντὶ τοῦ δὴ κεῖται παρ᾽ Ὁμήρῳ πολλάκις. ὡς καὶ ἐν τῷ, Μὴ δ᾽ οὕτως ἀγαθός περ ἐὼν κλέπτε νόῳ. εἰς γὰρ ὢν εἴληπται ἀντὶ δή. ὁμοίως, ἦλθε δ᾽ Ἀθήνη. ἢ γὰρ ἐν τῷ ἦλθε δὲ, ἀναγκαίως ἀντὶ τοῦ δὴ, ληφθήσεται. καὶ ἐν τῷ, ἔνθα δὲ Σίσυφος.

Δέα, ῥέα, ὑπὸ Τυρρηνῶν. καὶ δείματα, φόβοι.

Δέαται, φαίνεται, δοκεῖ.

Δεάμην, ἐδοκίμαζον, ἐδόξαζον.

Δέατος, δέος, Σοφοκλῆς.

Δεβιστὴρ, τὸ δέρμα, παρὰ τὸ δέρος, δεριστὴρ, καὶ πλεονασμῷ τοῦ β. πλεονάζουσι δὲ τὸ β Συρακούσιοι, ὡς ἐπὶ τοῦ ὀλβάχνιον. ὀλάχνιον γάρ ἐστι τὸ ἀπαθὲς, τὸ τὰς οὐλὰς ἔχον. σημαίνει δὲ τὸ κενοῦν, ἐν ᾧ ἀπετίθεντο τὰς οὐλὰς, ἢ τὰς ὀλάς.

Δεβρωτὲν, δεῖπνον.

Δέγμα, νόμιμον.

Δέγμενος, ἀντὶ τοῦ δεδεγμένος, κατὰ ἀφαίρεσιν, ἢ κατὰ συγκοπὴν, δέγμενος, προσδεχόμενος.

Δεγμὸν, ὁδόν.

Δεγμὼν, χρόνος.

Δέδαε, ἀντὶ τοῦ ἐδίδαξεν. ὥσπερ γὰρ δέδαεν, οὐ μόνον τὸ ἐδιδάχθη, ἀλλὰ καὶ τὸ ἐδίδαξεν, οὕτω καὶ τὸ μανθάνειν, ἄμφω ταῦτα δηλοῖ.

Δεδάεσθαι, τὸ μανθάνειν· ἐξ οὗ ἀόριστος, τὸ δεδάασθαι. γέγονε δὲ κατὰ ἀναδιπλασιασμὸν καὶ ἀπέλευσιν διχρόνου, ἐκ τοῦ δαίεσθαι, ὅ ἐστι μανθάνειν.

Δεδαημένος, ἐκ τοῦ δαέω, δαήσω, δεδάημαι.

Δεδαηκέναι ἀλκὴν, τὸ χρῆν ἐκ μαθήσεως. διδακταὶ γὰρ αἱ ἀρεταὶ, ὧν μία καὶ ἡ ἀλκὴ, ὅ ἐστιν, ἡ ἀνδρεία.

Δεδαηκότες, μαθόντες. Ὅμηρος, λευγαλέοι τ᾽ ἐσόμεσθα, καὶ οὐ δεδαηκότες ἀλκήν. τὸ λευγαλέοι ἐνταῦθα, ἀντὶ τοῦ ἀσθενεῖς. Δεδαίαται, δαίω, μέλλων δαίσω, παρακείμενος δέδαικα, ὁ παθητικὸς παρακείμενος, δέδαιμαι, τὸ τρίτον τῶν πληθυντικῶν, δέδαινται, καὶ Ἰωνικῶς δεδαίαται. ὁ ὑπερσυντέλικος, ἐδεδαίμην, καὶ δεδαίατο Ἰωνικῶς.

Δεδαϊγμένος, ἀνῃρημένος.

Δέδαλοι, προμαχῶνες.

Δεδάλας, δεσμάς.

Δεδάμασαι, ὑποτέτακται.

Δεδάμανται, ἐπιτετήδευται.

Δέδαον, ἔδειξαν, ἐδίδαξαν.

Δεδάρδαφε, καταβέβρωκε.

Δέδασαι, δάζω ἐνεστὼς ἄχρηστος, ἀντὶ τούτου δὲ λέγεται, τὸ δατεύω. τὰ δ᾽ ἄλλα ἐς δῆμον ἔδωκεν δατεύειν. καὶ τὸ δατέομαι, ὃ διὰ τὸ ἐφεξῆς ἔχειν τρία βραχέα, δατεῦμαι λέγεται. ἀφ᾽ οὗ, τὸ δατεώμεθα ληΐδ᾽ Ἀχαιοί. δάσομαι μέλλων, ἐδασάμην ἀόριστος, δέδασαι, παθητικὸς παρακείμενος, τὸ τρίτον δέδασται. ἢ δέδασαι, μεμέρισαι, διῄρηται.

Δεδαυμένον, περιπεφλεγμένον.

Δεδέαται, δέω, δέσω, δέδεκα, δέδεμαι, ἐδεδέμην, ἐδέδεντο τὸ πληθυντικὸν, καὶ Ἰακῶς, δεδέατο, ἀπὸ τοῦ παρακειμένου δεδέαται, γίνεται.

Δέδεγμαι τὴν σὴν ἐπιστολὴν ποθεινοτέραν μοι γενομένην, ὅτι ταῖς ἡμετέραις χερσὶν ἐγράφθη. ἐκ τοῦ δέχω, δέξω, δέδεχα, ἄχρηστα, δέδεγμαι εὔχρηστον, ἀντὶ τοῦ ἔλαβον. καὶ δεδεγμένος, μετοχή.

Δεδεγμένος, διακεκομμένος, ἐπιτηρήσας, ἐκδεχόμενος.

Δεδεγμένος ἐν προδοκαῖς, τρόπος ἐτυμολογικός. προδοκὴ γάρ ἐστι τόπος στενὸς, ἐν ᾧ δοκεύει τις ὁδοιπόρου δίκην, καὶ δέδεκται τὸ θηρώμενον.

Δεδέεσθαι, εὐλαβεῖσθαι, φοβεῖσθαι.

Δεδίημαι, δέομαι, ἐδεήθην, δεδίξομαι, ἐνεδρεύσω.

Δεδίενται, ἐν χρείᾳ καὶ ἐν ἐνδείᾳ γεγένηνται.

Δεδίαι, δειλίαι.

Δίδει, φοβοῦ.

Δεδειχότας, δείξαντας. δεδηχότας, δὲ, δακόντας.

Δεδείκελον, ἀεὶ φοβούμενον, δειλόν.

Δέδαχα, ἔδειξα.

Δεδεμένος κάλλιον, ἢ δεθείς. καὶ δέων, ἢ δεσμῶν.

Δεδέξεται, ἀντὶ τοῦ δέξεται λέγουσιν οἱ Ἴωνες, οἳ διπλασιάζουσι ῥήματα τὰ ἀρχόμενα ἀπὸ συμφώνου.

Δέδεξο, ἀντὶ τοῦ ἀντίστηθι. καὶ δέδεξο, ὑπόμεινον.

Διδέξομαι, δέξομαι.

Δέδευκε, πεφύρακε.

Δεδέχαται, ἐκ τοῦ δέχω, δέξω, δέδεγμαι, δέδεκται, καὶ Ἰακῶς, δεδέχαται. καὶ πλεονασμῷ τοῦ ἰῶτα, δειδέχαται, ὡς τὸ δειδέχαται μύθοισι.

Δεδέχατο, ἐδεξιοῦντο, ἐφιλοφρονοῦντο.

Δέδηγμαι, ἠνίαμαι, λελύπημαι. Ἀριστοφάνης, ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν, λείπει ἡ κατὰ πρόθεσις, ἤγουν κατὰ τὴν ἐμαυτοῦ καρδίαν. καλῶς ἔφη δέδηγμαι τὴν καρδίαν, παρόσον περὶ τὴν καρδίαν συνίσταται τὰ τοῦ θυμοῦ, καὶ τὰ τῆς ἡδονῆς. ἔστι δὲ ἡ ἀρχὴ τοῦ ῥήματος ἄχρηστος, καὶ οἱ ἐξ αὐτοῦ χρόνοι γενόμενοι εὔχρηστοι. μόνος ὁ παθητικὸς παρακείμενος, καὶ ὁ ἀόριστος, ἐδήχθην· καὶ ὁ μετ᾽ ὀλίγον μέλλων, δεδήξομαι.

Δεδηγμένος, βεβλημένος.

Δέδηε, φλέγει. Ὅμηρος, οἰμωγὴ δέδηε, τὸν ἐκ πολέμου δηλοῖ θρῆνον, ἀπὸ τοῦ δαίω γὰρ τὸ δέδηεν. ὅθεν καὶ δαῒς καὶ δηΐς, ὁ καυστηρὸς πόλεμος, εἴπου τηρόεις, ἤδη καὶ πύρινος. κατὰ τὸ, πύρινος πόλεμος σφοδρὸς πάνυ Ῥωμαίων πρὸς Κελτίβηρας, καὶ ἀδιάλειπτος.

Δεδήει, ἐξῆπτο διεγήγερτο ἀπὸ μεταφορᾶς τοῦ πυρός. δαίω, τὸ ἀνάπτω καὶ φλέγω, ὁ μέσος παρακείμενος, δέδαια, ὡς εἶα, ἀπὸ τοῦ εἴω, τὸ πορεύομαι, καὶ τροπῇ τοῦ α εἰς η, καὶ προσγραφομένου τοῦ ι δέδηα. ὁ ὑπερσυντέλικος, ἐδεδήειν, ὡς ᾔειν. ἢ δεδήει, ἀντὶ τοῦ ἐμερίζετο. κανονίζεται δὲ οὕτω, δαίω, τὸ μερίζω. ὁ μέλλων, δαίσω. ὁ παρακείμενος, δέδαικα. ὁ μέσος, δέδαια, καὶ δέδηα κατὰ τροπὴν τοῦ α εἰς η. ὁ ὑπερσυντέλικος ἐδεδήειν, εις, ει. Ὄσσα δεδήει, ἀντὶ τοῦ ἔλαμπε, καθ᾽ ὁμοιότητα φρασθὲν τοῦ ἐνοπή, ὅ ἐστι μάχη δεδήει, ὡς ἀπὸ τοῦ δαίω, τὸ καίω. ἴσως δὲ καὶ ἀπὸ τοῦ δαίω, τὸ μερίζω, πολλοὶ γὰρ οἱ βοῶντες. ἢ ἀπὸ τοῦ δαίω τὸ μανθάνω, ἀφ᾽ οὗ ὁ διδασκόμενος, ἵνα δηλοῖ τὴν διδάσκουσαν τοὺς ἀκούοντας τὸ ποιητέον. ποιηταῖς δὲ μόνοις ἡ λέξις αὕτη χρησιμεύει. ὡς δὲ θεία λέξις παρὰ ποιηταῖς ὄσσα, δηλοῦσά ποτε καὶ μαντείαν, πολλαχοῦ φαίνεται.

Δέδηεν, ἐκκαίεται. ἐκ δὲ τοῦ δέδηεν, ἡ δηΐς γίνεται. δῆλον γὰρ ὅτι δηΐς ἐστι, δεομένη ἔρις πολέμου.

Δέδηεν, ἀντὶ τοῦ περιεκύκλωσεν, ἢ ἐδέσμευε. πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηε.

Δεδημευμέναι, ἀπηγορευμέναι. ἡμέραι δὲ ἦσαν αἱ δεδημευμέναι.

Δεδήμναντο, δεδαμνασμένοι ἦσαν, κατεσκευασμένοι.

Δεδηνῶσθαι, ἐνεχυράσασθαι, ἐνδήσασθαι ἐνεχύροις.

Δεδήομεν, ῥέξομεν.

Δεδῆσθε, δεδεμένοι εἶητε.

Δεδήσομαι, οὐ δεθήσομαι. ἀπορήσειε δ᾽ ἄν τις, πῶς ἀπὸ τοῦ δέδεμαι, δέδεσαι, τὸ δεδήσομαι γινόμενον, οὐ δεδέσομαι γράφεται; φαμὲν οὖν ὅτι τοῦ δέω δῶ, τὸ δεσμῶ, οἱ μέλλοντες διὰ τοῦ η ἐκφέρονται, δήσω γὰρ, καὶ δήσομαι. διὰ τοῦτο καὶ δεδήσομαι. οἱ δὲ ἄλλοι χρόνοι διὰ τοῦ ε, δέδεκα, δέδεμαι, ἐδέθην. καὶ οἱ ἐξ αὐτοῦ πλὴν τοῦ ἐνεργητικοῦ ἀορίστου, τοῦ ἔδησα, καὶ τῶν ἐξ αὐτοῦ. τοῦτο δὲ γίνεται διὰ τὸ τὴν πρώτην συζυγίαν ἐπὶ τοῦ μέλλοντος ἔχειν τὸ η, ἢ τὸ ε.

Δεδη-

Digitized by Google

Δεδηχότες, δακόντες. δεδηχότας δὲ ἀντὶ τοῦ δείξαντας, δίφθογγον.

Δεδήωται, πεπόρθηται.

* Δέδηε μάχη, ἤγουν ἐκκαίεται, καὶ ἀνάπτεται. καὶ δεδήει, ἀντὶ τοῦ ἀνήπτετο.

Δέδια, ας, ε, τὸ πρῶτον τῶν πληθυντικῶν οὐ δεδίαμεν, ἀλλὰ δέδιμεν. ὡσαύτως καὶ τὸ δεύτερον, τὸ δὲ τρίτον δεδίασιν. ὁ ὑπερσυντέλικος, ἐδεδίειν. τὸ πρῶτον τῶν πληθυντικῶν, οὐκ ἐδεδίημεν, ἀλλ' ἐδέδιμεν, ἐδέδιτε. τὸ τρίτον ὁμοίως, ἐδέδισαν. ἡ δέδια καὶ δεδιώς. ἔστι δέω τὸ φοβοῦμαι, ὁ μέλλων δέσω, ὁ παρακείμενος δέδεκα, ἀποβολῇ τοῦ κ δέδεα, καὶ τροπῇ τοῦ ε εἰς ι, δέδια. καὶ δεδιὼς μετοχή, καὶ δέδια ὁ παρακείμενος, δέδοικα ὁ μέσος, δέδιας δέδιε. τὰ δυϊκά, δέδιτον, δέδιτον. οὐκ ὡς τὰ τοῦ μέσου κατὰ παρασυλλαβίαν γραφόμενα. οἷον, δεδοίκατον, δεδοίκατον. δέδιμεν, δέδιτε, οὐχ ὡς τὰ τοῦ μέσου καὶ αὐτά, οἷον, δεδοίκαμεν, δεδοίκατε, δεδίασι δὲ τὸ τρίτον. παρακείμενοι μὲν ὄντες οὗτοι, μετάγονται εἰς ἐνεστῶτα, καθὰ καὶ τὸ γέγηθα, καὶ εἴωθα, καὶ οἶδα. συμβαίνει δὲ ἐναντίον τι ἐν τῷ δέδια. τῶν μὲν ἄλλων ῥημάτων, ὅσα τε ἀπὸ βαρυτόνων καὶ περισπωμένων καὶ τῶν εἰς μι συζυγιῶν κανονίζεται παραγόμενα, τοὺς μὲν μέσους παρακειμένους καὶ τοὺς δευτέρους ἀορίστους, κατ' Ἀττικὴν συνήθειαν γράφουσιν ἀεί. τοὺς δὲ πρώτους ἐῶσιν, εἰ καὶ τύχοιεν εὐχρήστους ἔχοντας τύπους, οἷον πέπληγα, καὶ κατεπλάγην. καὶ καταλέλοιπα, καὶ ἀπολέλοιπα, καὶ καταλιπών, καὶ ἀπολιπών· ἐνταῦθα δ' ἐναντίον, δέδοιμεν γὰρ καὶ δέδιμεν, καὶ δεδίασι γράφεται Ἀττικῶς. δέδοικα δὲ καὶ δεδοίκαμεν, καὶ δεδοίκασι κοινῶς.

* Δείδια, ἐκ τοῦ δίω, ὅ ἐστι φοβοῦμαι. τὸ ἀπαρέμφατον, δεδιέναι.

Δεδαλμένον, κεκοσμημένον, πεποικιλμένον.

Δεδιακόνηκε, διώκηκε, διηκόνησε.

* Δεδιητημένος, κατὰ διπλῆν αὔξησιν λέγεται. ὁμοίως καὶ δεδιοίκηται, καὶ δεδιοίκηται.

Δέδιθι, φοβήθητι. δείδω, ὁ μέλλων δείσω, ὁ παρακείμενος δέδεικα, ὁ μέσος δέδοικα, δέδια, ας, ε, τὸ προστακτικὸν, δέδιθι, κατὰ μεταπλασμὸν τροπῇ τοῦ ε εἰς θι.

Δεδικαίωται, ἀντὶ τοῦ δίκαιον ἐκρίθη, καὶ ἔδοξε. ἢ δεδικαίωται, ἀπήλλακται, ἠλευθέρωται. οὕτως ὁ ἀπόστολος, ὁ γὰρ ἀποθανὼν, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. τινὲς τοῦτο περὶ τοῦ βαπτίσματος ἐδέξαντο, ἐν ᾧ συνεστάφημεν τῷ Χριστῷ.

Δεδικώς, δείσας.

Δεδίνηται, εἴληται.

Δεδιξάμενοι, φοβηθέντες. καὶ δεδίξεσθαι, ἐκφοβῆσαι, διῶξαι.

Δεδίσκετο, δίδωσι ἐκφοβεῖν.

Δεδίσκεπται, ἔρριπται.

Δεδισκόμενος, λέξις ποιητική, ὅ ἐστι δεξιούμενος, ὃ ἐν ἄλλοις δειδισκόμενος ἔφη ὁ ποιητής. ὡς ἀπὸ τοῦ δέχω δέκω δίσκω, δεδίσκω, καὶ δειδίσκω, κατὰ διχρόνου ὑπερένθεσιν.

Δεδίσσεσθαι, εὐλαβεῖσθαι, φοβεῖσθαι.

Δεδίσσομαι τὸν δεῖνα, ἤγουν ἐκφοβῶ, καὶ παρὰ ποιηταῖς, καὶ παρὰ λογογράφοις. ἀντὶ δὲ τοῦ ἐκφοβοῦμαι, παρὰ ποιηταῖς μόνοις.

Δεδίττω, φοβοῦμαι.

Δεδιώς, φοβούμενος. καὶ δειδιώς, πλεονασμῷ τοῦ ι. ἢ δεδιώς, ὁ φοβούμενος, καὶ δεδιότες.

Δεδμάων, κριός, ἡγεμών.

Δεδμήαται, κρατοῦνται.

Δεδμήατο, δμάω δμῶ, δμήσω, δέδμηκα, δέδμημαι, ἐδεδμήμην, ἐδέδμηντο, καὶ Ἰωνικῶς δεδμέατο, ὡς πεποιέατο, καὶ ἐκτάσει τοῦ ε εἰς η δεδμήατο, ὡς πεφοβήατο, καὶ δεδμήατο, ὑποτεταγμένοι εἰσί.

Δεδμήμεθα, ὑποτετάγμεθα.

Δεδμημένοι, δεδαμασμένοι, καὶ δέδμηνται.

Δεδμηκότες, δαμάσαντες.

Δεδμῆσθαι, κρατεῖν, οἰκοδομεῖσθαι, ὑποτετάχθαι.

Δέδμηταί σοι κοῦροι, Ζαξίλεως, εἴρηται παρὰ τοῖς μεθ' Ὅμηρον ὁ βασιλεύς, ᾧ ὑπέζευκται λεώς. ταυτὸν δὲ εἰπεῖν, δέδμηται κοῦροι.

Δέδοιγμεν, ἐκ τοῦ δεδοίκαμεν κατὰ συγκοπήν, καὶ τροπὴν τοῦ κ εἰς γ, δέδοιγμεν.

Δέδοικα, ἐκ τοῦ δείδω, τὸ δειλιῶ. ἔχει ἀπορίαν πῶς διὰ τοῦ κ ἐκφέρεται καὶ μὴ διὰ τοῦ θεματικοῦ δ, διὰ τὸν κανόνα, δι' οὗ ὥρισται καθολικῶς, ὅτι ἐπὶ τῶν βαρυτόνων, δι' οὗ συμφώνου ἐκφέρεται ὁ ἐνεστώς, δι' αὐτοῦ καὶ ὁ μέσος παρακείμενος, οἷον λείβω λέλοιβα, λέγω λέλογα, κατὰ τὸν Ἡρωδιανόν, καθ' ὃν ἔδει ἀπὸ τοῦ δείδω δέδοιδα εἶναι τὸν μέσον παρακείμενον. ταύτης δὲ τῆς ἀπορίας λύσις, τὸ μὴ χρῆναι τρία παράλληλα δ παραλαμβάνεσθαι, τὸ γὰρ τοιοῦτον ψελλισμῷ φησὶν ὑποπίπτει. διὸ ἀντεισῆλθε τοῦ τρίτου δ τὸ κ, τοῦ ἐνεργητικοῦ παρακειμένου, τοῦ δείδω δείσω δέδεικα, ὡς ἐστιγήθη, διὰ τὸ τοῦ μέσου παρακειμένου πολύχρηστον. τὸ δὲ δέδοικα, πέφρικα, δέδορκα, ἀντὶ ἐνεστώτων λαμβάνονται. καὶ πεποίημαί τινα φίλον, ἀντὶ τοῦ ποιοῦμαι, οὐκ ἐποιησάμην. ἢ δέδοικα, ἀντὶ τοῦ φοβοῦμαι, δέδοικά σε, καὶ δέδοικα περὶ σοῦ, καὶ περὶ σοί. καὶ ὀφείλει τὸ δ ἔχειν ἀπὸ τοῦ ἐνεστῶτος δείδω, τοῦτο δὲ γίνεται διὰ τὸ κακόφωνον. τὰ γὰρ τρία δ ἐφεξῆς κακόφωνον ἐποίουν λέξιν. ἀντὶ γοῦν κλιτικοῦ δ, τὸ κ λαμβάνει οἰκείως, καὶ τοῦτο γὰρ παρακειμένου.

* Δέδοικα, πέποιθα, οἶδα, λέλοιπα, Αἰολέων ἐστὶ τῶν τοιούτων παρακειμένων ἡ διὰ τοῦ οι γραφή, κοινῶς δὲ τῷ ει γράφοιτ' ἄν.

Δέδοικα νυκτὸς βαδίζειν, καὶ φοβοῦμαι, καὶ εὐλαβοῦμαι, καὶ ὀκνῶ, καὶ φρίττω, καὶ φυλάττομαι ὡσαύτως, καὶ δέδοικα, καὶ φυλάττομαι τὴν θάλατταν.

Δεδοίκω, ἐκ τοῦ δέδοικα. Δωριεῖς χρῶνται τοῖς ὑποτακτικοῖς ἀντὶ τῶν ὁριστικῶν. Θεόκριτος, ἵππον καὶ τὸν ψυχρὸν ὄφιν μάλιστα δεδοίκω, ἀντὶ τοῦ δέδοικα.

Δεδοκημένος, παθητικὸς παρακείμενος, ἀπὸ τοῦ δοκῶ, ἀντὶ τοῦ δοκεύω, καὶ ἐπιτηρῶν. ἢ τὸ δεδοκημένος, κυνηγετικὴ κυρίως λέξις, ὅτε ζῷον ἐπιὸν δέχονταί τινες, ὅταν καὶ προδόκη τενὸς τόπος, τούτῳ ἔργῳ ἐπιτήδειος, ἀφ' οὗ, τὸ δεδεγμένος ὀξέϊ χαλκῷ. καὶ δεδοκημένος, ἐνεδρεύων, ἐκδεχόμενος, ἐπιτηρῶν, ἀπὸ τοῦ δοκῶ, ἔστι δὲ παρακείμενος παθητικός.

* Δεδοκημένος, λέγεταί τισι ἵστασθαι, ὅτε θηρίον ἐπιὸν δέχεται, καὶ ἔστι κυνηγετικὴ λέξις.

Δεδόκητο, ἐπεθύμει, προσεδόκα, ἐσκοπεῖτο.

Δεδοκιμασμένα, κεκριμένα.

Δέδοκται, ἔδοξε, ἐφάνη, ἐψηφίσατο, διέγνωστο.

Δεδοξοποιημένον, δόξῃ κοσμούμενον.

Δέδορκα, δέρκω, δέρξω, δέδερχα, καὶ ὁ μέσος δέδορκα παρὰ Πινδάρῳ, ἀντὶ τοῦ παθητικοῦ λαμβάνεται, ὁρᾶται, βλέπεται.

Δεδουπώς, πεπτωκώς, τεθνηκώς.

* Δέδουπα, ἐκ τοῦ δεδούπηκα συγκέκοπται. καὶ δεδουπέναι ἀντὶ τοῦ ἀποθανεῖν, ἐκ τοῦ παρακολουθοῦντος κτύπου τοῖς ἐν πολέμῳ πίπτουσι.

Δεδραγμένος, πεφραγμένος.

Δέδρακας, ἐποίησας.

Δεδράμηκά σοι δρόμον, ἐκ τοῦ δραμῶ περισπωμένου γίνεται.

Δέδραται, ἀντὶ τοῦ δέδαρται. καὶ Ὅμηρος, περιδέδραται τὰ σώματα.

Δεδροικώς, δεδοικώς.

Δεδρυγμένον παρὰ Λυκόφρονι, ἀντὶ τοῦ ἐντετυλιγμένον.

Δέδυκα, ὑπεισῆλθον. δέδυκε δὲ, εἰσῆλθε.

Δεδύκει Δάφνις παρὰ Θεοκρίτῳ, ἤγουν ἐκλείπει, καὶ ἀποσβέννυται.

Δεδυημένη, κεκακωμένη.

Δέει, φόβῳ, χρείᾳ.

Δεεινός, ὁ δεινός.

Δέεις, ἐπέχεις.

Δέελον, τὸ δῆλον κατὰ διάλυσιν. ἐξ αὐτοῦ δὲ ὡς καὶ ἐν Ὀδυσσείᾳ τὸ εὐδείελον, ἐπενθέσει τοῦ ι.

Δίελος, δεσμός, ἄμμα.

* Δέεσθαι, ἐν ἴσῳ τῷ δέειν, ὅ ἐστι δεσμεῖν.

Δέετε, ὅ ἐστιν εὑρήσετε τέκμωρ, ἤγουν τέλος. τοῦ δὲ δήετε παραγωγὴ ἡ τοῦ μύθου Δηώ, ἐπεὶ ἁρπαθεῖσάν φασι τὴν θυγατέρα κόρην, ζητοῦσα ἥκει πρὸς τῶν ἐντυγχανόντων ἐπὶ παραμυθίᾳ, τὸ δήεις, ὅ ἐστιν εὑρήσεις.

Δεηβών, ῥύσις ἑρμηνεύεται. ἔστι δὲ τόπος ἔνθα ἵδρυται ἱερὸν Μααβητῶν.

Δεήλαδες, φύλακες.

Δέημα, ἐρώτημα, ἀπὸ τοῦ δεῖσθαι.

Δέημος, νόμος, ἢ δεσμός.

Δεήσει, ἀντὶ τοῦ χρεία γενήσεται.

Δέησις, ἡ παράκλησις. καὶ παρ' Ἀντιφῶντι, ἡ ἔνδεια. καὶ δέηρα, τόπος. καὶ δέκα, καὶ λύκου δεκάς, ὃ εἴρηται ἀπὸ Λύκου τινὸς ἥρωος, ὃς ἦν πρὸ τοῦ ἐν Ἀθήναις δικαστηρίου, τοῦ θηρίου μορφὴν ἔχων, πρὸς ὃν οἱ δωροδοκοῦντες, κατὰ δέκα γενόμενοι συνεστρέφοντο. καὶ δεκάζω ἀπὸ τούτου, τὸ παρὰ τὸ δίκαιον κρίνω. καὶ δεκαρχία, παρὰ Λακεδαιμονίοις· οὗτοι γάρ φησι ἑκάστης πόλεως ἄνδρες δέκα κυρίους ἐποίουν. καὶ δεκάτη τελώνιον, παρ' Ἀθηναίοις. καὶ δεκατεύειν, τὸ τὴν δεκάτην ἐκλέγειν. καὶ δεκατευτὴς καὶ δεκατολόγος, ὁ τὴν δεκάτην εἰσπραττόμενος. ἐδεκατεύοντο δέ φασι τὰ ἐκ τῶν πολεμίων ληφθέντα. οἱ δὲ, ἔθος ἦν φασιν ἑλληνικόν, τὰς δεκάτας τῶν περιγινομένων, καθιεροῦν τοῖς θεοῖς. ἔστι δὲ ὄνομα ῥηματικόν, καὶ γίνεται ἐκ τοῦ δέω δεήσω, δεδέηκα, δεδέημαι, δεδέησαι, δέησις. τὰ γὰρ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου γινόμενα ὀνόματα, συνάρχεσθαι θέλει. Ἰστέον δὲ ὅτι τὸ δέω, οὐχ εὕρηται ἐν χρήσει. ἀλλ' οὐδὲ τὸ δέω βαρύτονον, ἀλλὰ τὰ παθητικὰ μόνον. οἷον δέομαι, ἐδεόμην. καὶ κλίνεται δεήσιος. ὁ κανών. τὰ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου δευτέρου προσώπου γινόμενα ὀνόματα, διὰ καθαροῦ τοῦ ος κλίνεται. καὶ τὸ Ἀττικόν, δεήσεως. ὁ κανών. οἱ Ἀττικοὶ τῆς γενικῆς ταύτης τρέπουσι τὸ ο μικρὸν εἰς ω μέγα, καὶ τὰ παραλήγοντα τῶν φωνηέντων, εἰς ε μεταβάλλουσι.

Δέησίς ἐστιν, ἡ ὑπὲρ ἀπαλλαγῆς τινὸς λυπηροῦ ἱκετηρία προσαγομένη. δέησίς ἐστιν, ὁμιλία νοῦ πρὸς Θεὸν μεθ' ἱκεσίας, βοήθειαν ἢ αἴτησιν ἀγαθῶν περιέχουσα. δέησίς ἐστιν ἐλλείποντός τινος μεθ' ἱκεσίας πρὸς τὸ ἐκείνου τυχεῖν ἀναπεμπομένη εὐχή. δέησίς ἐστι, φόβος δεινή, ἡ ἀναπεμπομένη εὐχή. ἢ αἴτησις δεομένου, ὧν δεῖται ἀξιοῦντος δωρηθῆναι αὐτῷ, ὧν ἐνδεής ἐστι.

Δεθέντα, δεσμευθέντα.

Δεία, ἔνδεια.

Δείαθεν, ἐδόκουν.

Δεῖ, μετὰ ἀπαρεμφάτου συντάσσεται, οἷον δεῖ γράφειν, δεῖ εὐεργετεῖν. καὶ μετὰ γενικῆς, δεῖ χρημάτων, ἀντὶ τοῦ χρεία ἐστί. καὶ πολλοῦ γε δεῖ γενέσθαι τοῦτο, ἤγουν ἐλλείπεται.

Δεῖ, ἀντὶ τοῦ ἐνδέχεται. καὶ δεῖ, ἀντὶ τοῦ πρέπει. καὶ δεῖ ῥῆμα ἀντὶ τοῦ ἐλλείπεται, ὡς τὸ πολλοῦ γε καὶ δεῖ. καὶ δεῖ, ἀντὶ τοῦ ἀπόκειται.

Δεῖ, ἀντὶ τοῦ πρέπει, μετὰ ἀπαρεμφάτου.

Δεῖ τῷ φίλῳ βοηθεῖν, δεῖ βαδίζειν, καὶ χρὴ ποιεῖν, ὁμοίως.

Δεῖ μοι τοῦδε, ἤτοι χρεία ἐμοὶ τοῦδε. ἐνδεῖ μοι τοῦδε, ἤτοι ἔνδειά μοι τοῦδε ἐστί. καὶ ἔδει, καὶ ἐνέδει μετοιῆσαι, μετὰ ἀπαρεμφάτου.

Δεῖ, χρή, προσήκει, καὶ πρέπει, ῥήματά ἐστιν, ἃ μηδαμῶς ἐμφαίνει τὶ πρόσωπον, ἃ καὶ ἀπρόσωπα εἰώθαμεν ὀνομάζειν. εἰσὶ δὲ καὶ ἄλλα, δηλονότι τὸ ἐνδέχεται, τὸ δοκεῖ, τὸ συμφέρει, τὸ ἐπέρχεται, τὸ ἔνεστι, τὸ ἔξεστι, τὸ μέτεστι, τὸ πάρεστι, καὶ εἴ τι τούτοις ὅμοιόν ἐστιν. οὐ γὰρ πολὺς ἀριθμὸς τούτων. ταῦτα πάντα ἀπρόσωπα καλεῖν εἰώθαμεν, ἔχοντα μὲν χαρακτῆρα καὶ τύπον τρίτου προσώπου, ὄντα δὲ οὐδενός. τοῦτο δὲ δῆλον πᾶσιν, ὅτι μηδὲ πρῶτα καὶ δεύτερα ἔχει. ἐκείνων γὰρ ὄντων, καὶ ταῦτα ἐνέφαινε τρίτον πρόσωπον. ἀπολειπόντων δὲ, καὶ ταῦτα ἐστερήθη τῆς οἰκείας ἐπὶ τῷ προσώπῳ μέρος δυνάμεως, ὃ δὴ καὶ αὐτὸ μέγα πρὸς παράστασιν τῆς ἀσθενείας τοῦ τρίτου προσώπου.

Δεῖγμα κυρίως, τὸ δεικνύμενον ἀφ' ἑκάστου τῶν πωλουμένων. ἤδη δὲ καὶ τόπος τὶς ἐν τῷ Ἀθήνησιν ἐμπορίῳ, εἰς ὃν τὰ δείγματα ἐκομίζετο, οὕτως ἐκαλεῖτο. ἔστι δὲ τὸ ἔθος Ἀττικόν, τὸ σημαίνειν ἀπὸ τῶν ἐν τόπῳ, τοὺς τόπους αὐτούς, Δημοσθένης ἐν τῷ περὶ τοῦ διαπαρχήματος, καὶ

Λυ-

Digitized by Google

Λυσίας. καὶ δεῖγμα, σύμβολον, μαρτύριον, σημεῖον, τεκμήριον. εἰ διάφορα δοκεῖ τισὶν εἶναι, ἀλλ' οὖν παρ' Ἀττικοῖς ταυτά, καὶ ἐπὶ ταυτοῦ λαμβάνεται.

Δείδεκτο, ἐδεξιοῦτο, δέδεκτο, καὶ πλεονασμῷ τοῦ ι, δείδεκτο, ὡς τό, δείδεκτ' Ἀχιλῆα.

Δεῖν, ἀντὶ τοῦ δεσμεῖν.

Δεῖν φήθειν γράψαι λέγεται, καθὰ δέον φήθην γράψαι.

Δεῖν καὶ δοκεῖν, ἀντὶ τοῦ δέον καὶ δοκοῦν γράφεται παρ' Ἀττικοῖς.

Δειδέχαται, τοῦ δέδεκται παθητικοῦ παρακειμένου ἐστί, τρίτον Ἰωνικὸν πληθυντικόν, κατ' ἐπένθεσιν τοῦ ι ἀναγκαίαν τῷ μέτρῳ. ἐκ τοῦ δέχω δέξω, δέδεχα, δέδεγμαι, ξαι, κται, καὶ Ἰωνικῶς δειδέχαται.

Δειδέχατο, ἤγουν ἐδεξιοῦτο, ῥῆμα συνῆθες Ἰωνικόν, τὴν παρὰ τοῖς ὕστερον πρόποσιν δηλοῖ. προπίνουσι γὰρ ἀλλήλοις, καθὰ παρὰ Ῥωμαίοις ἔθος, οἱ ἀλλήλοις δεπάεσσι δεξιούμενοι. καὶ δειδέχατο, ἐδεξιοῦντο, προσεδέχοντο. ἀπὸ τοῦ δέχομαι, δέξομαι; δέδεγμαι, ὁ ὑπερσυντέλικος ἐδεδέγμην. τὸ τρίτον τῶν πληθυντικῶν Ἰωνικῶς, ἐδεδέχατο. καὶ πλεονασμῷ τοῦ ι, καὶ ἀφαιρέσει, δειδέχατο.

Δείδηθι. ἔστι δειδῶ, ὁ μέλλων δειδήσω, ἐκ τούτου δείδημι, ὁ παρατατικὸς ἐδείδην, τὸ πρῶτον τῶν πληθυντικῶν ἐδείδημεν, τὸ προστακτικὸν δείδηθι.

Δειδήμονες τρῶες, ἤτοι εὐλαβεῖς τὸ ἦθος.

Δειδήμων, ἀπὸ τοῦ δειδῶ δειδήσω, τὸ φοβοῦμαι. ὡς τὸ φιλῶ φιλήσω, φιλήμων.

Δείδιε, φοβῇ, δειλαίνῃ.

Δειδία, ἡ σκοτεινὴ νύξ, παρὰ τὸ δέος, ἡ φόβου ἐμποιητική.

Δείδιθι, εὐλαβοῦ, φοβοῦ.

* Δείδιθι, προστακτικὸν ἐκ τοῦ δέδια, γίνεται δέδιθι, καὶ κατὰ μεταπλασμόν, καὶ ἐπενθέσει τοῦ ι δείδιθι.

Δείδιμεν, εἰ μὲν ἐστὶν ὑπερσυντέλικος, διὰ τῆς ει διφθόγγου γράφεται. ἀπὸ γὰρ τοῦ δείδω, οὗ ὁ ὑπερσυντέλικος ἐδείδειν, ἐδείδειμεν, καὶ κατὰ συστολὴν δείδιμεν. εἰ δ' ἐστὶ μέσος παρακείμενος, διὰ τοῦ ι γράφεται. ἀπὸ γὰρ τοῦ δεδίαμεν, καὶ πλεονασμῷ τοῦ ι κατὰ τὴν ἀρχήν, καὶ συγκοπῇ, δείδιμεν.

Δειδίξασθαι, ἐκφοβῆσαι. δειδίω, καὶ δειδίσσω, καὶ δειδίξω μέλλων. ἢ ἐκ τοῦ δεδίσσω, πλεονασμῷ τοῦ ι, ὁ μέλλων δειδίξω, ἐδείδιξα, ἐδειδιξάμην, ἐδειδίξω, ατο, τὸ ἀπαρέμφατον δειδίξασθαι.

Δειδιότες. δίω θέμα, ἀφ' οὗ γίνεται καὶ τὸ διώκω, δίσω, δέδικα, ὁ μέσος δέδια. ἡ μετοχή, ὁ δεδιώς, καὶ δειδιώς.

Δειδίσκετο, ἐδεξιοῦτο.

Δειδισκόμενος, δεξιωσάμενος.

* Δειδίσκω, τὸ δεξιοῦμαι παρ' Ὁμήρῳ, ἀπὸ τοῦ δέκω Ἰωνικοῦ, δέσκω, καὶ δεδίσκω, καὶ ἐπενθέσει τοῦ ι δειδίσκω.

Δειδίσκω, δεικνύω.

Δειδίσσεσθαι, Ὅμηρος ἐνίοτε μὲν ἐπὶ τοῦ ἐκφοβεῖν τίθησιν, ἐνίοτε δὲ ἐπὶ τοῦ φοβεῖσθαι. οἱ δὲ μετ' αὐτὸν λογογράφοι καὶ ῥήτορες, ἀεὶ ἐπὶ τοῦ ἐκφοβεῖν αὐτὸ τάττουσι.

Δειδίσσω, ἐκφοβῶ.

Δειδιώς, φοβούμενος. καὶ δείδω, τὸ φοβοῦμαι.

Δείεμα, βρῶμα.

Δειδυῖαν. τοῦ δείδω ῥήματος παρακείμενος δείδια. ἀφ' οὗ μετοχὴ κατὰ συγκοπὴν δειδώς, τὸ θηλυκὸν δειδυῖα.

Δειελιήσας, ἀντὶ τοῦ ἕως δείλης διατρίψας. ἐνταῦθα παρ' Ὁμήρῳ ἐν ρ τῆς Ὀδυσσείας τὸ δειελιήσας, ἀντὶ τοῦ βρωματισάμενος τροφὴν δειλινήν. ἀλλ' οὐκ ἀρέσκει τοῖς παλαιοῖς. ἢ δειελιήσας, ἀντὶ τοῦ πρὸς δειλινὴν ὥραν γενόμενος, κατὰ τοὺς παλαιούς, ἤγουν βαθεῖαν μεσημβρίαν ἰδών. οἱ δέ, ἐπὶ τροφῆς δειλινῆς τὴν λέξιν νοοῦντες, προφέρουσι Καλλιμάχου τό, δειελίην αἰτίζουσιν. ἄγουσι δὲ χεῖρας ἀπ' ἔργου, τὴν πρὸς δείλην δηλαδὴ τροφὴν αἰτοῦντες.

Δειελήσας, τὴν δείλην διεξαγαγών, δειπνήσας.

Δειελινόν, τὸ δειλινόν. συνήθεια Ἰώνων, τὸ ε πλεονάζειν, ἥλιος, ἠέλιος, οἷον, Δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο.

Δειελίων, δόλιον, κακοῦργον, καὶ πανταχοῦ διερχόμενον.

* Δειελίη, τὸ δειλινὸν βρῶμα, παρὰ τὴν δείλην.

Δείελος, ὀψὲ δύων, ὁ ἑσπέριος ἀστήρ, ἀπὸ τοῦ ὑστερεῖν καὶ δεῖσθαι αὐτὸν τοῦ ἡλίου, ἀπολειπόμενον ἐν τῇ δύσει. οὕτω γὰρ καὶ ἡ ἑσπέρα, δειλινὴ καὶ δείλη ὠνόμασται. ἢ δείελος, δείλη ὀψία.

* Δείελον ἦμαρ, ἡ δείλη περιφραστικῶς, ὡς μέσον ἦμαρ, ἡ μεσημβρία.

Δείδηθι, φοβήθητι. ἔστι δειδῶ τὸ φοβοῦμαι, καὶ μεταθέσει τοῦ τόνου δειδῶ, ὁ μέλλων δειδήσω, ἐξ οὗ καὶ τὸ δειδήμων. Ἀλλὰ μάλα τρῶες δειδήμονες. ἐκ τοῦ δειδῶ δείδημι, ὁ παρατατικὸς ἐδείδην, τὸ πληθυντικὸν ἐδείδημεν. τὸ προστακτικόν, δείδηθι.

Δεικανᾶται, προσαυδᾷ, προσασπάζεται, φιλανθρωπεύεται.

Δείκανα, τὰ ποικίλα ὑφάσματα, καὶ μορφὰς ἔχοντα. καὶ γὰρ τὰ πρόσωπα, δείκανα καὶ δείκηλα λέγεται.

Δεικανόωντο, ἐκ τοῦ δέκω ῥήματος Ἰωνικῶς, καὶ δείκω καὶ δεικανᾶσθαι γίνεται. οἷον δεικανόωντ' ἐπέεσιν, ἤγουν ἐδεξιοῦντο.

Δεικελισταί, μιμηταί, παρὰ Λάκωσι.

Δεικές, λαμπρόν, περιφανές, ὅμοιον.

Δεικεῖν, ἀφεῖναι, ῥῖψαι.

Δείκηλα, εἴδωλα, φαντάσματα. Ἀπολλώνιος. καὶ μιμήματα, εἰκάσματα.

Δείκηλον, ἄγαλμα, ἢ ὁμοίωμα.

Δείκνυ. δεικνύω, δείκνυμι, ὁ παρατατικὸς ἐδείκνυν, υς, υ, καὶ ἀφαιρέσει τοῦ ε, δείκνυ. ἔστι δὲ καὶ προστακτικὸν δείκνυ, ὥσπερ ἵστη.

Δεικνύμενος, ἀντὶ τοῦ δεξιούμενος, φιλοφρονούμενος, ξενοδοχῶν. ἀπὸ τοῦ δέκω Ἰωνικοῦ ῥήματος, ἐξ οὗ δέκνω, δεκνύω, δέκνυμι, καὶ πλεονασμῷ δείκνυμι. ἀφ' οὗ δείκνυσθαι λέγεται, καὶ τῷ δακτύλῳ, ἢ ἄλλως ὁπωσοῦν, γνώριμόν τι ποιεῖν. ἐκ δὲ τοῦ ῥηθέντος δέκω, καὶ τὸ δεικανᾶσθαι γίνεται. οἷον δεικανόωντ' ἐπέεσσιν, ἤγουν ἐδεξιοῦντο.

Δεικνύμενος, δεξιούμενος λόγοις. Τὰ καὶ δεικνύμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς. καὶ ἀντὶ τοῦ φιλοφρονούμενος, ξενοδοχῶν, ἐκ τοῦ δέκω, δέκνω, δεκνύω, δέκνυμι, καὶ πλεονασμῷ δείκνυμι. ἀφ' οὗ μεταφορικῶς, δεικνύναι λέγεται, καὶ τὸ δακτύλῳ, ἢ ἄλλως ὁπωσοῦν γνώριμόν τι ποιεῖν.

Δείκνυμί σοι τὸν ἄνθρωπον, ὁμοίως καὶ δηλῶ, καὶ παραδηλῶ, καὶ ἐμφανίζω, καὶ φανερῶ, καὶ σημαίνω. σημαίνω δὲ παρ' Ὁμήρῳ τὸ ἄρχω σημαίνων, μόνῃ γενικῇ συντάσσεται. ὁμοίως καὶ φαίνω καὶ ἐκφαίνω σοι τὰ κεκρυμμένα. ἀποφαίνομαι δὲ τόδε, αἰτιατικῇ μόνῃ.

Δείκνυμι καὶ δεικνύω, μίγνυμι καὶ μιγνύω, καὶ ὅσα ἄλλα τοιαῦτα, κατὰ διαφόρους συζυγίας γράφεται. ὅσα δὲ κατὰ τὰς εἰς μι συζυγίας ἐκφέρεται, ταῦτα καὶ παρ' Ἀττικοῖς μᾶλλον χρησιμεύουσιν. οἷον, δείκνυμι κατ' Ἀττικούς, δεικνύω δὲ κοινῶς. μίγνυμι, μιγνύω, ὁμοίως. καὶ τὸ σβέννυμι μᾶλλον, ἢ σβεννύω. δείκνυμι μὲν οὖν τὸ πρᾶγμα. δείκνυμαι δὲ αὐτός, ἀντὶ τοῦ φανερὸς καθίσταμαι. ἐνδείκνυμαι δέ, καὶ ἐπιδείκνυμαι, ταυτόν. ὅταν ἐπὶ τῇ ἑαυτοῦ ἀρετῇ τις, ἢ λόγῳ φιλοτιμούμενος δῆλος εἴη γηθόμενος. ἔστι δ' ὅτε καὶ τὸ δείκνυμαι λαμβάνεται, ἀντὶ τοῦ ἐπιδείκνυμαι, Ἀττικῶς.

Δείκνυμι, καὶ μετὰ τῆς ἐν προθέσεως, ἐνδείκνυμι, ἤγουν ἐν ἐμαυτῷ τὴν δεῖξιν ἐργάζομαι, ἀντὶ τοῦ ἐμαυτὸν φανερὸν καθιστῶ. εἰσί τινα ῥήματα ἐνεργητικά, ἃ λαμβάνουσι προθέσεις καὶ μεταφέρονται εἰς παθητικά, ἔχοντα μέντοι δύναμιν ἐνεργητικήν, ἐπαναστρεφομένην δὲ εἰς τὸ ἐνεργοῦν πρόσωπον, κατὰ τὴν τῶν προθέσεων δύναμιν.

* Δεικνύειν, ἀντὶ τοῦ ἐκφαίνειν, καὶ εἰς φῶς ἄγειν. καὶ δείκνυμαι, τὸ δεξιοῦμαι, καὶ φιλοφρονοῦμαι, καὶ τὸ ξενοδοχῶ. καὶ δεικανᾶσθαι, τὸ δεξιοῦσθαι.

Δείκνυσθαι, ἀντὶ τοῦ δεξιοῦσθαι. ἀπὸ τοῦ δέκω δείξω, ὅθεν καὶ ἡ δεξιά. φησὶ γάρ, Τὼ καὶ δεικνύμενος, προσέφη Μενέλαος.

Δεικνύω, δείκνυμι, φαίνω, ἑρμηνεύω, φαύξω, δηλῶ, σημαίνω.

Δεικτήριον, τὸ τῆς Σάμου. ὅτι ἐν αὐτῷ ἡ Ἀθηνᾶ διέγραψε τὴν κεφαλὴν τῆς Γοργόνος, δεικνύουσα τῷ Πέρσῃ, ὅτι αὐτὴν ἀπέστειλεν ἐπὶ τὴν Γοργονίαν.

Δείκω, τὸ δεικνύω, ὃ παρενθέσει τοῦ ν γέγονε δείκνω. καὶ κατὰ παραγωγήν, δεικνύω ἄχρηστον. καὶ καθ' ἑτέραν αὖθις παραγωγὴν εἰς μι, δείκνυμι, εὔχρηστον. ἔστι καὶ δίκω, τὸ βάλλω. καὶ δήκω, τὸ δαγκάνω.

Δείλαιοι, μάταιοι, ἄθλιοι.

Δειλαίνω, δειλία. δείλαιος, ὁ ἄθλιος, μάταιος, αἰσχρός, δειλός, ἀνάλκης.

Δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι, ἀντὶ τοῦ τῶν κακῶν καὶ ἐγγύαι κακαί, ὡς τὸ ἐγγυᾶσθαι. ὡς οὐ δέον ὂν οὐδὲ νῦν ἐγγύας δοθῆναι, ὑπὲρ τοῦ φαυλοτάτου ἄρεος.

Δειλακρίων, ὁ ἄκρως δειλός, ὁ ἄθλιος, ὁ ἐλεεινός, ὁ ταλαίπωρος, ἢ ὁ ἐπίπονος. καὶ ὁ Ἑρμῆς οὕτως ἐλέγετο. ἢ δειλακρίων, ἀπὸ τῶν κρεῶν συνῆψε τὸ ὄνομα, ἄκρως δειλέ, ἢ ὦ πέπονε.

Δειλανθείς, κλεφθείς, ἀπατηθείς.

Δειλάσαι, δειλιάσαι.

Δείλη κατὰ τοὺς παλαιούς, διττή ἐστιν, ἡ μὲν ὀψία δείλη, ἑτέρα δὲ καὶ δείλη πρωΐα.

Δείλης ἑῴας, καὶ δείλης μεσημβρίας, καὶ δείλης ὀψίας, Ἀττικοί. τὸ δὲ ἀντὶ τοῦ δείλης ὀψίας, δείλης μόνον λέγειν ἁπλῶς, Ἑλληνικόν.

Δειλήμονες, εἰδήμονες, εὐλαβεῖς. ἢ δειλοί, καὶ ἄτολμοι.

Δειλία ἐστίν, ἀντιληπτικὴ ὁρμῆς, πρώτη τοῦ εἶναι αἰτία. ἡ συστολὴ τόλμης, καὶ προσδοκία τινὸς πράγματος οὐκ ἀγαπωμένου. ἢ νηπιῶδες ἦθος, καὶ ἐκτροπὴ πίστεως.

Δειλίην, δειλότητα.

Δειλινήσας, δείλης τοῦτο ποιήσας.

Δειλιῶ, ὁμοίως καὶ δειλαίνω καὶ δειματῶ, καὶ ἐκδειματῶ, τὸ ἐκφοβῶ.

Δειλοκομπήσας, ἐξαπατήσας, ἐκφοβήσας.

Δειλός, ὁ δεδιὼς τὰς ἴλας, ὁ καὶ φύξιλις. ἐξ οὗ καὶ ἡ δειλία. καὶ τὸ δειλαίνεσθαι παρὰ τοῖς μεθ' Ὅμηρον, μάλιστα ἐπλεόνασεν. παρὰ τὸ δέος, δειλός. ὥσπερ γὰρ ἀπὸ τοῦ βήσω μέλλοντος γίνεται βηλός, οὕτως ἀπὸ τοῦ δείσω γίνεται δειλός. ἀφ' οὗ σύνθετα πρὸς τοῖς ἄλλοις, καὶ ὁ θρασύδειλος, καὶ ὁ χερσαῖος Κροκόδειλος, ὃς κρόκον δεδιώς, δι' αὐτοῦ ἀποσοβεῖται τῶν σμήνων, ὥς φασιν οἱ εἰδότες. ἔτι δὲ καὶ ὁ ἔνυδρος Κροκόδειλος, ὁ τὰς κρόκας δειλιῶν, ὅ ἐστι τὰς αἰγιαλιττίδας ἄμμους, αἳ λέγονται καὶ κροκάλαι. χαίρει γὰρ τῇ καθύγρῳ διαίτῃ μάλιστα. εἰ δὲ καὶ Κροκόδειλος προπαροξυτόνως, ἢ Κροκοδειλὸς ὀξυτόνως, μικρὸν αὐτὸς ζωΰφιον παρ' Ἱππώνακτι, τοιαύτην τινὰ ἐτυμολογίαν ἔχειν, εἰδοῖεν ἂν οἱ παλαιοί. ἢ δειλός, ὁ ἐναντίος τῷ ἀνδρείῳ ποιητικῶς. ὁ μὲν ἀνδρεῖος, λέγεται ἐσθλός. ὁ δὲ δειλός, κακός. δειλός ἐστιν ἐν τοῖς πρακτέοις καὶ πράττειν.

Δειλῶν ἑταίρων παρ' Ὁμήρῳ, ἀντὶ τοῦ δειλαίων.

Δειμά ἐστι, φόβος ἐκ λόγου, φόβητρον.

Δεῖμαι, οἰκοδομῆσαι.

Δειμαίνω, φοβοῦμαι.

Δειμαλέος, κατάφοβος. ὥσπερ ἀπὸ τοῦ τάρβος γίνεται ταρβαλέος, οὕτω καὶ ἀπὸ τοῦ δεῖμος, δειμαλέος. δεῖ δὲ γινώσκειν, ὅτι τὰ διὰ τοῦ αλεοι, ὑπὲρ δύο συλλαβάς, πρὸ μιᾶς τὸν τόνον ἔχουσιν. οἷον ἀργαλέος, νηφαλέος. σεσημείωται τὸ δαιδάλεος, ἀπὸ τοῦ δαιδάλειος, κατὰ ἀποβολὴν τοῦ ι. καὶ κονισάλεος, ἀπὸ τοῦ κονισάλειος. αἰθάλεος, τούτου διαφέρει. πρὸ μιᾶς γὰρ ἔχει τὸν τόνον, καὶ πρὸ δύο. πρὸ μιᾶς γὰρ ὑπάρχει ἀπὸ τοῦ αἴθω. ὡς νήφω, νηφάλεος. ἡνίκα δὲ πρὸ δύο ἔχει τὸν τόνον, ἀπὸ τοῦ αἰθάλειος γέγονε, κατὰ ἀποβολὴν τοῦ ι. ὥσπερ Ἀπολλώνιος, αἰθαλέοι πρηστῆρες. ἀπαθάλεος, ἀπὸ τοῦ ἀπαθάλιος, κατὰ τροπὴν τοῦ ι εἰς ε. ἢ ἀπὸ τοῦ ἀπαθάλειος, κατὰ ἀποβολὴν τοῦ ι.

Digitized by Google

Δειμαλέος, εὐλαβής. καὶ ὁ δειλίας, καὶ φόβου ἐμποιητικός.

Δειμάλεοι, αἱ λεπταὶ τῶν βοσκημάτων. οἱ δὲ Λάκωνες, νεκρά.

Δειμάμενοι, οἰκοδομήσαντες. καὶ δείμασθαι, οἰκοδομῆσαι.

Δείμασι, φόβοις.

Δειματοῦται, φοβερὰ λέγει, ἢ ἀκούει, ἢ φοβεῖται.

Δειματῶ, ἐκφοβῶ. ἀπὸ τοῦ δεῖμα δείματος. καὶ δειματώδης, ὁ φοβερός.

Δεῖμος, ὁ φόβος. ὡς ἀπὸ τοῦ ἄνθος γίνεται ἄνθιμος, καὶ ἀπὸ τοῦ κῦδος κύδιμος, οὕτω καὶ ἀπὸ τοῦ δέος δεῦμος, καὶ δεῖμος.

Δειμῶμεν, οἰκοδομῶμεν.

Δεινά, καταπληκτικά, φοβερά. ὡς τό, Οὐχὶ δεινὰ τοῦτον τύπτειν τουτονί, ἀντὶ τοῦ μεγάλα.

Δεινάζειν, λοιδορεῖν.

Δεῖν, δεσμεύειν. καὶ δεῖν Ἀριστοφάνης, ἀντὶ τοῦ δεῖσθαι. δεῖν δ' ἔοικε καὶ ἀντὶ τοῦ ὀφείλειν. καὶ μικροῦ δεῖν, ἀντὶ τοῦ παρ' ὀλίγον.

Δεῖ, χρή, ἀναγκαῖον, πρέπον, ἢ προσῆκον.

Δεῖναι, αἱ τῶν ὑδάτων συστροφαί.

Δεινεύει, κυκλεύει.

Δεινεύειν, βουλεύεσθαι κακά.

Δεινὴ Θεός, παρ' Ὁμήρῳ, ἴσως φοβερά. μάλιστα δὲ ἡ δεξιὰ κατὰ φρόνησιν. καὶ διὰ τοῦτο Δολόεσσα ἐπίκλησις. δῆλον γάρ, ὡς φρονήσεως μήτηρ ἡ δεινότης οὖσα, ὑποτίθησιν ἐν καιρῷ καὶ τὸ λόγοις τε, καὶ ἔργοις δολιεύεσθαι.

Δεινιάδες, ὑποδημάτων εἶδος ἀνδρείων.

Δείνη, συστροφή, κίνησις.

Δεινήεντα, περιστρεφόμενα, φοβερά.

Δεινῆς ἀνάγκης, οὐδὲν ἰσχυρότερον. ἀνάγκῃ γάρ, καὶ Θεοὺς βιάζεται.

Δεινοί, σπουδαῖοι περὶ τὰ πράγματα.

Δεινοῖο, ποταμοῖο, διὰ τοῦ ι γράφουσι, λέγοντες δινὸν ποταμόν, τὸν δίνας καὶ συστροφὰς ἔχοντα.

Δείνοις, κινήσεσι.

Δεινὸν σάκκος, τινὲς διὰ τοῦ ι γράφουσιν. ἵνα λέγῃ δινὸν σάκος, τὸ δινωτόν. ὡς τό, δινωτὴν φορέεσκε κανόνεσσιν. ἐκ τοῦ δῖνος δὲ ἀρσενικοῦ ὀνόματος, ὃ τόρνον δηλοῖ, ἐκ τοῦ δινῶ δινώσω γίνεται. δῖνος δὲ οὐ μόνον τόρνος, ἀλλὰ καὶ ποδονιπτήρ, κατὰ Κυρηναίους. παρὰ δὲ τῇ Τελεσίλλῃ καὶ ἡ ἅλως, ὥς φησιν Ἀθήναιος καὶ τὸ ποτήριον. ὃ καὶ δεινιὰς λέγεται, ἀπὸ τοῦ σκευάσαντος Δεινίου. καθὰ καὶ θηρίκλειον, ἀπὸ Θηρικλέους. διφορεῖται γὰρ τὰ πλείω διὰ διφθόγγου. καὶ δεινὸν μέν, τὸ πάλαι κείμενον ἤδη κακόν, οὐ ξεῖνε ἐπεγείρειν καὶ ἀνακινεῖν δεῖ.

Δεινοπαθεῖ, δεινῶς ἔχει, χαλεπὰ πάσχει.

Δεινόπους ἀρά, ἡ διὰ τῶν ποδῶν δέος ἐμποιοῦσα.

Δεινός, ὁ χαλεπός, ἀπὸ τοῦ δέος ὁ φόβος. δεινὸς ὁ ἐπιτήδειος, ἀπὸ τοῦ δέον τὸ πρέπον. καὶ δεινὸς εἰς ὦπα ἰδέσθαι, δέδωκε τοῖς ὕστερον γράφειν τὸ δεινὸς ἰδεῖν, καὶ φοβερὸς ἰδέσθαι. λέγεται δὲ ὁ πανοῦργος, καὶ ὁ ἱκανός, καὶ ὁ ἀκολάκευτος, καὶ ὁ σοφός, καὶ ὁ ἔμπειρος. λέγεται δεινός, καὶ κατὰ τὴν τῶν λόγων δύναμιν.

Δεῖνος, προπερισπωμένως, τὸ παρ' ἡμῖν ψυκτήριον.

Δεινότητα, τήν τε τῶν λόγων δύναμιν δηλοῖ, καὶ τὴν πανουργίαν.

Δεινότατος, πάνυ φρόνιμος.

Δεινότης ἐστὶ διάθεσις, καθ' ἣν ὁ ἔχων στοχαστικὸς ἐστὶ τοῦ ἰδίου τέλους.

Δεινότης ἐστί, τὸ παρ' ὃ δεῖ νοεῖν, ὡς φρονήσεως ἕνεκα τὰς τῶν πραγμάτων φύσεις τε καὶ νοήσεις.

Δεινουμένη, πατουμένη. δεινουμένην, ὑπὸ βουσὶν ἐμὴν φύλασσε ἅλωνα.

Δεινοῦσι, φοβοῦσι.

Δεινῷ, ἀντὶ τοῦ δεινήσει, Ἀντιφῶν ἀληθείας δευτέρῳ.

Δεῖν ᾠήθην, δέον ὑπέλαβον, ἀναγκαῖον ἐνόμισα.

Δεινωποί, δειματώδεις, φοβεροί, ἔμπειροι.

Δείνωσις, δεινότης, σκότωσις.

Δεινωτήν, πεποικιλμένην ἐν κύκλῳ, ἢ τετορνευμένην, ἢ τοῖς ἱμᾶσι διειλημμένην.

Δεῖξαι, δηλῶσαι, φανερῶσαι.

Δειομένη, δεισομένη.

Δειπάτυρος, θεὸς παρὰ Στυμφαλίοις.

Δειπνηστός, ἢ δείπνηστος ἦν. ἐστὶ δὲ δειπνηστὸς ἢ δείπνηστος, ὁ τοῦ δείπνου καιρός. ἄλλως δὲ σαφέστερον εἰπεῖν, δειπνηστὸς ὀξυτόνως αὐτό φασι τὸ δεῖπνον. βαρυτόνως δέ, ἡ ὥρα τοῦ δείπνου. ὃ δὴ καὶ ἐπὶ τοῦ ἀμητὸς καὶ ἄμητος παρατετήρηται.

Δείπνημι, καὶ ἀρίστημι. ἐκ τοῦ δειπνέω, ῶ. καὶ ἀριστάω, ῶ, καθὰ ἐκ τοῦ διζῶ διζήσω, δίζημι, καὶ φιλῶ φίλημι, καὶ αἰτῶ αἴτημι, καὶ αἰνῶ αἴνημι. ἐκ τοῦ δείπνημι, δείπναμεν, καὶ δειπνάναι, καὶ ἀρίσταμεν, καὶ ἀριστάμεν παρ' Ἀθηναίῳ.

Δειπνήεντα, δειπνοφόρα, τὰ δυνάμενα φέρειν ἡμᾶς.

Δειπνίζω ἕτερον. Λιβάνιος, ὅταν ἐπιλίπωσι μὲν οἱ δειπνίζοντες, ἤγουν οἱ τὸ δεῖπνον παρέχοντες.

Δειπνολογία, οἱ περὶ δείπνου λόγοι.

Δειπνολόχου, κλεπτοτρόφου, τῆς λαθραίως ἐσθιούσης, καὶ μὴ φανερῶς. Ἡσίοδος, Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ λογίζετ' ἄμεινον τῆς ἀγαθῆς. τῆς δ' αὖτε κακῆς, οὐ ῥίγιον ἄλλο δειπνολόχου.

Δεῖπνον, τὸ ἑωθινὸν ἄριστον, ὥς φασιν οἱ παλαιοί, ὃ κατὰ ἀνάγκην πρὸ τοῦ δέοντος ποιοῦνται καιροῦ, ὡς ἂν ἐν τῷ πονεῖν στηρίζοιντο τῇ τροφῇ. ὅθεν καὶ δεῖπνον, τὸ τοιοῦτον πρωϊνὸν ἔμβρωμα λέγεται. ἐπί τε ἀνθρώπων, ὡς τὸ ἔρχεσθαι ἐπὶ δεῖπνον, καὶ ἐπὶ ἀλόγων, ὡς τό, δ᾽ ἔστις ἵπποισι δεῖπνον δότω, παρὰ τὸ δεῖ πονεῖν. δῆλον δέ, ὅτι δεῖπνον καὶ τὸ πρὸς ἑσπέρας ἐλέγετο. καὶ ἁπλῶς δὲ πᾶσα τροφή. ἢ δεῖπνον, τὸ ἑωθινόν. ἐπεὶ τότε δεῖ ὅ ἐστι χρεία πόνου, ἐργαστικοῖς. καὶ δεῖπνον ἱρεύσατε, ἀντὶ τοῦ διὰ δεῖπνον σφάζετε, ἐν Ὀδυσσείας ψ. οὐ γὰρ ἄλλως ἐνταῦθα ἱρεύσεται κατὰ θυσίαν ὁ σῦς. ἢ δεῖπνον, ὡς ἐκ μέρους τοῦ πρωϊνοῦ ἐμβρώματος, καὶ τὸν δόρπον φησὶν Ὅμηρος.

Δεῖπνον καὶ ἄριστον, ταυτὸν ἐνίοτε συνωνυμίας λόγῳ γενόμενα, τὸ μὲν παρὰ τὸ δεῖ πονεῖν, τὸ δὲ παρὰ τὸ Ἄρην τηνικαῦτα συνίστασθαι. ὥσπερ αὖ πάλιν, ἑσπέρας δόρυ παύεται, τουτέστι, πόλεμος, κατὰ τὸ ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι. σημειοῦνται δὲ οἱ παλαιοί, ὅτι ἅπαξ ἡ τοῦ ἀρίστου λέξις, ἐν Ὀδυσσείᾳ, καὶ ἅπαξ ἐν Ἰλιάδι ἄρηται.

* Δεῖπνον ἱρεύειν σῦν, ἀντὶ τοῦ εἰς δεῖπνον σῦν θύειν.

Δειπνοσοφισταί, βιβλίον ἐστὶν οὕτως ἐπιγραφόμενον. Ἀθήναιος δὲ ὁ γεγραφὼς ὄνομα, ὅ ἐστιν ἐπωφελές. Οὐλπιανός, εἷς τῶν Δειπνοσοφιστῶν.

Δειπνοφόροι, αἱ φέρουσαι τοῖς κατακεκλιμένοις ἐν τῷ τῆς Ἀθηνᾶς ἱερῷ τὰ δεῖπνα.

Δειρά, δίμοιρα, τράχηλος, διαίρεσις.

Δειράζειν, κλέπτειν.

Δειράδες, αἱ ἐξοχαὶ τῶν ὀρῶν, ἢ τῶν ναπῶν, ἢ τῶν φαράγγων.

Δειραδιώτης, δῆμος τῆς Λεοντίδος. δειράδης, ἀφ' οὗ ὁ δημότης, δειραδιώτης.

Δείραντες, ἐκδείραντες.

Δειραχθές, τὸ τὴν δειρὴν ἀγχόνιον καὶ λυπεῖν. ὡς τό, δειραχθὲς βρόχον ἄμμα πετεινῶν. ἄμμα δέ, τὸ σχοινίον λέγει.

* Δείρη, πόλις Αἰθιόπων. δειρὴ δέ, ὁ τράχηλος. καὶ δειρὴ ὄρους, μεταφορικῶς ἡ ἐξοχή, ὅθεν πολυδειρὰς Ὄλυμπος ἐπιθετικῶς. καὶ δειρή, ὀξυτόνως, δέρη δὲ βαρυτόνως, διὰ τὴν ἀποβολὴν τοῦ ι.

Δειρή, ὁ τράχηλος, παρὰ τὸ ἐκδέρεσθαι. καταχρηστικῶς δέ, καὶ ἐπὶ ἀνθρώπων.

Δειριᾶν, λοιδορεῖσθαι, Λάκωνες.

Δειρὸς λόφος, ὁ ἀνάντης τόπος.

Δειροτομῆσαι, τὸν τράχηλον διατεμεῖν, διατεμῆσαι.

Δεῖσα, ὁ ὑγρὸς καὶ βοτανώδης τόπος, παρὰ τὸν δεύσω μέλλοντα, ὃ σημαίνει τὸ βρέχω, δεῦσα καὶ δεῖσα.

Δεισαλέα, δίυγρος, βοτανώδης, ἢ κοπρώδης. δεῖσα γὰρ ἡ κόπρος.

Δείσαντες, φοβηθέντες.

* Δείσεσθαι, ἀντὶ τοῦ δείσειν, ἤγουν φοβηθήσεσθαι. καὶ δείσεται, ἤγουν φοβηθήσεται.

Δείσας, φοβηθείς. δήσας δὲ διὰ τοῦ η, ἀντὶ τοῦ δεσμεύσας.

Δεισιάδα, τὴν μοῖραν. οἱ δέ, διμοιρίαν.

Δεισιδαιμονία ἐστί, φόβος θεοῦ, ἢ δαιμόνων. ἢ δεισιδαιμονία ἐστί, τὸ πάντα σέβειν, καὶ τὰ μὴ σεβάσμια. ἢ δεισιδαιμονία, εὐλάβεια, περὶ τὸ θεῖον δειλία, ἢ ὁ ἄλογος φόβος τῶν Θεῶν.

Δεισιδαίμων, ὁ εὐσεβής. ὡς ὁ θεῖος Παῦλος, δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. λέγεται καὶ ὁ ἀμφίβολος περὶ τὴν πίστιν, ἢ καὶ ὁ δεδιὼς τοὺς δαίμονας.

Δεισιλός, δειλός.

Δεῖσοι, πρέπει σοι.

Δεῖται, προσδεσμεύεται, ἢ χρήζει, ἢ δέεται.

Δειφήσαντες, ψηλαφήσαντες.

Δειφῶν, ζητῶν δίκην τοῦ προσήκοντος.

Δειχθείς, ἀντὶ τοῦ φανείς. ἐκ τοῦ δείκω τὸ δεικνύω, ὁ μέλλων δείξω, ὁ παρακείμενος δέδειχα, ὁ παθητικὸς δέδειγμαι, ὁ ἀόριστος ἐδείχθην, ἡ μετοχὴ ὁ δειχθείς.

Δέκα, καὶ δεκαδοῦχος. ἦρχον μὲν οἱ δέκα, οἱ μετὰ τοὺς τριάκοντα καταστάντες, περὶ τῶν κατὰ τὴν κατάλυσιν τῶν λ Ἀθήνησι χειροτονηθέντων ἀνδρῶν δέκα, καὶ τῶν ἑξῆς. ἐκαλεῖτο μέντοι τούτων ἕκαστος τῶν ἀρχόντων, δεκαδοῦχος. ὡς δῆλον ποιεῖ Λυσίας, ἐν τῷ περὶ τοῦ Διογένους κλήρῳ.

Δεκαβοίων, ἀριθμὸς ποσός, ἐφ' ᾧ τετύπωτο βοῦς. ἔνιοι δέ, δεκαβοίων βοῶν νόμισμα εἶναί φασι.

Δεκάδες, εἰς δεκάδας διαιρεῖ τοὺς δαιτυμόνας ὁ βασιλεὺς παρ' Ὁμήρῳ, ἐπεί φασιν, ἔθος ἦν μὴ πλέονας τῶν δέκα συνεσθίειν. ἱστορεῖ γοῦν καὶ ὁ σοφώτατος Ἰάμβλιχος, τὰ Πυθαγορικὰ συσσίτια μὴ ἔχειν πλείους ἢ δέκα ἀνθρώπους εὐωχουμένους.

Δεκάδρομοι, οἱ δέκα ἐν τοῖς ἀνδράσιν ἐσχηκότες, ὑπὸ Κρητῶν.

Δεκαδώρῳ ἁμάξῃ, ἧς ἡ διάμετρος τῶν τροχῶν δεκάδωρος. δῶρον δέ, ὡς μέν τινες ἡ παλαιστή. ὡς δὲ ἕτεροι, ὅταν τοὺς τέσσαρας δακτύλους στρέψας, ἐγείρῃς τὸν ἀντίχειρα, ὡς Πλούταρχος.

Δεκαετὲς παιδίον κάλλιον εἰπεῖν, ἢ δεκέτες. καὶ δεκέτης πόλεμος, ἢ δεκαέτης. δεκαετὲς μέντοι διάστημα χρόνου, οὐ δεκετές. καὶ δεκαετὴς χρόνος, οὐ δεκέτης.

Δεκάζειν, τὸ ἀπὸ τῶν δέκα λαμβάνειν ἕν, καὶ τὸ παρακρίνειν. δεκάζω γάρ, τὸ παρὰ τὸ δίκαιον κρίνω, καὶ διαφθείρω τοὺς δικάζοντας χρήμασι, καὶ δώροις.

Δεκάζεσθαι, δωροδοκεῖσθαι. καὶ δεκάζειν, διαφθείρειν.

* Δεκάμνους σταθμός, ὁ δέκα μνᾶς ἕλκων.

Δεκανᾶται, ἀσπάζεται.

Δεκάπαλαι, τὸ πρὸ πολλοῦ πάνυ, λέγουσιν Ἀττικοί.

Δεκάπουν σκιάν. Ἀριστοφάνης, Σοὶ δὲ μελήσει, ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖον λιπαρῶς χωρεῖν εἰς δεῖπνον. περὶ ἡλίου τροπάς φησι, τουτέστιν ὅταν ἡ τοῦ ἡλίου σκιὰ ᾖ δέκα ποδῶν, ἤγουν ὅτε γίνεται ὄψιμον. καὶ δεκάπους σκιά, τὸ παλαιὸν οἱ καλοῦντες ἐπὶ δεῖπνον καὶ καλούμενοι, παρεσημαίνοντο τὴν σκιάν. καὶ οὕτως οἱ μὲν ἔμενον τοὺς κληθέντας, οἱ δὲ ἀπῄεσαν ἐπὶ τὰς ἑστιάσεις. οὐδ' ὑποτηρήσεως οὔσης αἰτίας, ἐφ' οἷς οἷόν τε ἦν τεκμήρασθαι, εἰς πόσας ὥρας προήκει.

Δεκάσαι, τὸ διαφθείρειν.

Δεκασθείς, δωροδοκηθείς, ἐπιτιμηθείς, ἐν τραπείς.

Δεκάσκαλμος, ναῦς.

Δεκάς, ὁ ἀριθμός. παρὰ τὸ δέχομαι, δεχάς.

Δεκασμός, δωροδοκία.

Δεκάτη, τάξις, ἄθροισμα, καὶ ἡ τῶν ὀκτὼ ἁρμάτων τάξις.

Δεκατευταί, τελῶναι, οἱ τὴν δεκάδα, ἢ δεκάτην ἐκλέγοντες. ὡς τὸ δεκάζειν, δεκατεύειν.

Digitized by Google

Δεκατεύειν, τὸ τὴν δεκάτην ἐκλέγειν. καὶ δεκατευτὴς, καὶ δεκατηλόγος, ὁ τελώνης, ὁ τὴν δεκάτην εἰσπραττόμενος.

Δεκατευτήριον, τὸ ἐν τῇ Ἀβύδῳ πορθμεῖον.

Δεκάτη προτέρα, ἡ πρὸ εἰκάδος. ὡς ὑστέρα, ἡ μετ' εἰκάδα.

Δεκάτῃ θύομεν, τῇ δεκάτῃ ἡμέρᾳ τὰ ὀνόματα τοῖς βρέφεσιν ἐτίθεσαν. ὁ δὲ Ἀριστοτέλης, τῇ ἑβδόμῃ φησί. καὶ δεκάτη, τὸ δέκατον μέρος τῆς οὐσίας. καὶ δεκάτη, οἷον, Τῇ δεκάτῃ δ' ἀγορὴνδε καλέσατο λαὸν Ἀχιλλεύς. ἀπὸ τοῦ δέκατος, δεκάτη. τοῦτο παρὰ τὸ δεκὰς, τοῦτο παρὰ τὸ δέχομαι, δεχὰς καὶ δεκὰς, ἡ ἔχουσα ἐν ἑαυτῇ πάντα ἀριθμόν.

Δεκατηλόγος, ὁ αὐτὸς τῷ δεκατευτῇ. καὶ δεκατηλόγοι, τελῶναι.

Δεκάτου βόλου, οὐδενὸς ἀξίου. βέλτιον δὲ εἰς μικρότητα τίθεσθαι αὐτό.

Δεκαφυΐα, τὰ δεκαπλάσια.

Δεκαδάρχαι, οἱ τῶν δεκάδων ἡγεμόνες, οὓς καὶ δωδεκάρχους ἔλεγον. ἦσαν γὰρ σὺν τῷ δεκάρχῳ δώδεκα.

Δεκάχιλαι, δεκακισχίλιοι.

Δεκάχηλον, τὸ πρὸς ἀποδοχὴν ἐπιτήδειον.

Δεκάχια, δεκαπλάσια.

Δεκαχόρδῳ, παρὰ τὸν δέκα ἀριθμὸν καὶ τὸ χορδή. τοῦτο παρὰ τὸ χέω, σημαίνει τὸ κενῶ. χεορδὴ, τὸ χέον ᾠδήν.

Δεκελεικὸς πόλεμος, ὁ Πελοποννησιακός, ἀπὸ μέρους τοῦ τελευταίου.

Δεκετὲς, δεκαετές.

Δέκευ, ἀντὶ τοῦ δέχου, Ἰωνικῶς, καὶ Δωρικῶς.

Δεκτέον, δεῖ δέχεσθαι.

Δεκτὴ, χλαῖνα, χλανίς.

Δεκτῆρες, ὑποδοχεῖς.

Δεκέτης, ὁ δεκαετής. θηλυκῶς δὲ, διὰ τοῦ ιῶτα.

Δέκτης, πτωχὸς, ἐπαίτης, ἀπὸ τοῦ δέχεσθαι.

Δέκτο, ἐκ τοῦ δέχω δέξω δέδεχα. ὁ παρακείμενος δέδεγμαι, ξαι, κται. τὸ ἀπαρέμφατον δεδέχθαι. ὁ ὑπερσυντέλικος ἐδεδέγμην, τὸ τρίτον ἐδέδεκτο. καὶ δέκτο, ἀφαιρέσει.

Δεκτὸν, εὐαπόδεκτον, εὐπρόσιτον.

Δεκτὸς, ἀρεστός.

Δεκὼν, ὁ δεκαζόμενος.

Δελεάζοντες, ἐπικρύπτοντες. οἱ δὲ Σκυθοπολῖται ἠρέμησαν, δελεάζοντες τὴν πίστιν αὐτῶν.

Δελεάζω τὸ ἄγκιστρον, ἀντὶ τοῦ δέλεαρ αὐτῷ ἐπιτίθημι. καὶ δελεάζω τοὺς ἰχθῦς, ἀντὶ τοῦ ἀπατῶ. δελεασθεὶς, ἀπατηθεὶς, πλανηθείς.

* Δέλεαρ, ἐκ τοῦ δέλος. ὡς ἐκ τοῦ μῆχος, τὸ μῆχαρ. ἄλλοι δὲ, παρὰ τὸ δέλω ῥῆμα.

Δελεάσῃ, ἀντὶ τοῦ ἐξαπατήσει. καὶ δελεάσει, ἀντὶ τοῦ δέλεαρ θήσει.

Δελέαστρα, παγίδες.

Δελεδώνη, ὁ Μυλαῖος ἰχθύς.

Δέλετρον καλεῖ, τὸν φανόν. ὃν οἱ νυκτερεύομενοι τῶν νέων ἔχουσι. Νεάνθης δέ φησιν ἐλάνας τὰς λαμπάδας, παρὰ τὴν ἕλην, ἥτις ἐστὶν εἵλη. ἀφ' ἧς πολλὰ γίνεται, ὧν καὶ τὸ εἱληθερεῖν, καὶ εἱλόπεδον.

Δέλεστραι, βατίδες.

Δέλετρον, φανὸς, ὃν οἱ νυκτερεύοντες φαίνουσι.

Δελέφατ, ὁ τῆς Ἀφροδίτης ἀστὴρ, ὑπὸ Χαλδαίων.

Δελήτιον, τὸ δέλεαρ. καὶ δέλητι, δελέατι.

Δελία, δάφνη.

Δέλιθες, τὰ σφηκία.

Δέλιχα, τὰ ἡμίχοιρα.

Δέλκος, λίμνη ἰχθυοφόρος, περὶ τὴν Θράκην.

Δέλλει, καλεῖ.

Δέλλιθες, σφῆκες, ἢ ζῶον ὅμοιον μελίσσῃ.

Δελλίθια, δενδρίνια. οἱ δὲ, κηρία.

Δέλτον, λέγουσι διὰ τὸ κατὰ σχῆμα τοῦ δ γράμματος. καὶ τῶν λεγομένων δελτωτῶν, ἐστὶν ὅτε τὰ τοιαῦτα σχηματίζεσθαι πτυσσόμενα τριγωνοειδῶς, ὅπερ ἐν πολλοῖς ὁρῶμεν εἰς ἔτι γινόμενον.

Δέλτος, πινακίδιον, σχεδάριον, πιττάκιον.

Δελτωτὸν, ἐν τῷ ἔμβολον ζήτει. σημαίνει δὲ, τὸ γυναικεῖον αἰδοῖον.

Δελφακοῦσθαι, τελειοῦσθαι τὰς ὗς.

Δελφάκια, οἱ μικροὶ χοῖροι, οἱ γαλαθηνοί. οὕτως ἔλεγον καὶ τὸ γυναικεῖον αἰδοῖον.

Δέλφαξ, ὁ γαλαθηνὸς χοῖρος. Ἐπίχαρμος, δέλφακά τε τὴν γείτονα τοῖς Ἐλευσινίοις φύλασσε. παρὰ τὴν δελφύν. κυρίως γὰρ ἐπὶ τῆς θηλείας λέγεται δέλφαξ, ἡ δελφὺν ἔχουσα. τινὲς δὲ, τοὺς μεγάλους χοίρους δέλφακας λέγουσιν. οἱ δὲ, καὶ τοὺς μικρούς.

Δέλφικα, τὸν τρίποδα Ῥωμαῖοι, ἐπεὶ πρῶτον ἐν Δελφοῖς γέγονεν. ἢ τρίποδα τὸν Διόνυσον, οἷον ἀδελφικόν. καὶ δελφικὸν, καὶ δελφὶς, παρὰ τὸ δέλφω.

Δελφικὴ μάχαιρα, ἀπὸ κατασκευῆς λαμβάνουσα ἔμπροσθεν μέρος σιδηροῦν, ὡς Ἀριστοτέλης.

Δελφικὸν τρίποδα, τὸν τοῦ Ἀπόλλωνος τὸν ἐν Δελφοῖς.

Δελφὶν, σιδηροῦν κατασκεύασμα, ἢ μολύβδινον.

Δελφῖνα νήχεσθαι διδάσκεις, ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδοτριβούντων, ἅπερ οὐκ ἀγνοοῦσιν.

Δελφίνης, παρὰ τὸ δελφὺς, ὃ σημαίνει τὴν μήτραν, ἐξ οὗ καὶ ἀδελφὸς, ὁ ἐκ τῆς αὐτῆς δελφύος, ἤγουν μήτρας.

Δελφίνιον, ἱερὸν Ἀπόλλωνος Ἀθήνησιν οὕτω καλούμενον. ἔνθα ἦν τὸ ἐν Δελφινίῳ δικαστήριον, καὶ χωρίον ἐν Χίῳ.

Δελφίνιος καὶ κερδῷος θεὸς, ὁ Ἀπόλλων· δελφίνιος μὲν, ἢ ὅτι ἐν Πυθῶνι δελφῖνα δράκοντα τοξεύσας ἀνεῖλε Λητὼ βιάζουσαν, ὥς φησιν Ἡλιόδωρος. Ὅς ποτε πετραίῃ ὑπὸ δειράδι δελφῖνα τόξοισι πελώριον ἐξενάριξεν. ἢ ὅτι ἐπὶ δελφῖνος ὀχούμενος, ἢ δελφῖνι ὁμοιωθείς. κερδῷος, ὅτι διὰ χρησμῶν τὰ συμφέροντα ἐπικερδῆ δείκνυσι. καὶ δελφίνιος, εἶδος βοτάνης. Ἄλλως.

Δελφίνιος ὁ Ἀπόλλων, ὅτι Κασταλίῳ τῷ Κρητὶ ἀποικίαν στελλομένῳ, ὁ Ἀπόλλων ὁμοιωθεὶς δελφῖνι, προηγήσατο τῆς νεὼς, ἕως τοῦ Κροσιαίου κόλπου, καὶ ἐκεῖ κατοικήσας, ἐκράτησε τὸν τόπον. καὶ ἀπ' αὐτοῦ Δελφοὺς ἐκάλουν τοὺς ἐνοικοῦντας, καὶ Δελφινίου Ἀπόλλωνος ἱερὸν ἱδρύσατο. τινὲς δέ φασιν, ὅτι ὁ δελφὶς εἰς τὴν ναῦν ἦλθε, καὶ κατὰ τοῦτον τὸν τόπον ἐπήδησεν εἰς τὴν θάλασσαν. καὶ δελφῖνες οἱ ἰχθύες, καὶ μέρος νεώς. διὰ τοῦτο δελφινοφόρους λέγουσι ναῦς, ὡς σχῆμα ἐχούσας δελφῖνος.

Δελφινόσημον. Στησίχορός φησιν Ὀδυσσέα, ἐπὶ τῆς ἀσπίδος φέρειν δελφῖνος τύπον. καὶ Εὐφορίων, ὁμοίως.

Δελφὶς, ὄργανον ναυτικόν. Ἀριστοφάνης, τοὺς δελφῖνας μετεωρίζειν, τουτέστιν, εἰς ὕψος αἶρε. ἡ δελφὶς, ἐξάρτημα, τὰ τῶν νεῶν ἀγκυρώματα. ἢ σιδηροῦν κατασκεύασμα, ἢ μολύβδινον, εἰς δελφῖνα ἐσχηματισμένον. τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι ἠφίεσαν εἰς τὰς τῶν πολεμίων, καὶ κατεδύοντο. δηλοῦται δὲ ὑπὸ Φερεκράτους ἐν τοῖς ἀγροῖς, ὅταν λέγῃ. ὁ δὲ δὴ δελφίς ἐστι μολυβδοῦς δελφινοφόρος τε, κέρδος διακόψαι τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων. καὶ Θουκυδίδης, δελφινοφόρον εἴρηκε τὴν ναῦν ἐξηρτῆσθαι, τὴν ἐξηρτημένον ἔχουσαν δελφῖνα τοιοῦτον. παρὰ δὲ τῷ Παυσανίᾳ, δελφὶς φέρεται ὄργανον πολεμιστήριον πρὸς ναυμαχίαν. ὅθεν καὶ δελφινοφόρος ναῦς παρὰ Θουκυδίδῃ. καὶ δελφῖνα δὲ ναύτην φασὶν, ὃς πρὸς τοῖς ἱστοῖς ἐκρέματο, τοῖς μὲν σιδηροῦς, τοῖς δὲ μολιβδοῦς, καταράκτης εἰς τὰ λῃστρικὰ πλοῖα. μνεία δὲ τούτου δελφῖνος, τῷ κωμικῷ, καὶ ἑτέροις. ἀλλαχοῦ δὲ περὶ αὐτοῦ γράφει ὁ ῥηθεὶς, ὅτι ὁ δελφὶς, ὁ καλούμενος κερκέτης, ἐστὶ μηχάνημα σιδηροῦν, ὃ ἐξαρτᾶται τῆς νεὼς, ὅταν ἦν ἄνεμος πρὸς τὸ ἀντέχειν. ἄλλοι δέ φασιν, ὄργανον μολυβδοῦν πρὸς ναυμαχίαν. τοῦ δελφῖνος δὲ παρώνυμον, καὶ δελφίνιον δικαστήριον Ἀθήνησιν, ἐπὶ τῶν ὁμολογούντων φασὶ δεδρακέναι μὲν φόνον, κατὰ νόμους δὲ, ὃ καὶ ἐπὶ Δελφινίῳ ἐκαλεῖτο, ὁμωνύμως τῷ ἐπὶ Δελφινίῳ δικάσασθαι.

Δελφίσι Βάκχαις, ταῖς τὴν Δελφικὴν χώραν κατοικούσαις. κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ Διόνυσος.

Δελφύνην παρὰ τῷ Ἀπολλωνίῳ τὸ ὄνομα τοῦ δράκοντος. οἱ μὲν ἀρσενικῶς, οἱ δὲ θηλυκῶς εἶπον, ὃ καὶ βέλτιον. ἄλλως. οἱ μὲν, ὁ δελφύνης κλίνουσιν ἀρσενικῶς. οἱ δὲ, ἡ δελφυνὴ θηλυκῶς. ὅτι δὲ δελφύνης ἐκαλεῖτο ὁ φυλάσσων τὸ ἐν Δελφοῖς χρηστήριον, Λέανδρος καὶ Καλλίμαχος εἶπον. δράκαιναν γὰρ αὐτὴν φησιν εἶναι, θηλυκῶς καλουμένην δελφύνην, αὐτὸς ὁ Καλλίμαχος.

Δελφὺς, ἡ μήτρα, ἡ γαστὴρ, ἡ ἀδελφὰ ποιοῦσα τὰ τικτόμενα. ὅθεν εἴρηται ὁμόδελφος, ὁ ἀδελφός.

Δέμας. Ἰστέον ὅτι σεσημείωται παρὰ τοῖς παλαιοῖς τὸ δέμας, τὸν μὲν ποιητὴν ἐπὶ ἐμψύχου ἀεὶ τιθέναι σώματος, ὡς συνδεδεμένου τῇ ψυχῇ, καὶ δι' αὐτῆς συνεστῶτος. τὸ δὲ σῶμα, ἐπὶ ἀψύχου, τουτέστιν ἐστερημένου τῆς ψυχῆς, διὰ τὸ σῆμα, καὶ ὡς ἄν τις εἴποι μνῆμα γενέσθαι τοῦ ζῶντός ποτε. τοὺς δὲ μετὰ τὸν ποιητὴν, ἐν οἷς καὶ ὁ Εὐριπίδης, ἀδιαφόρως χρῆσθαι τῇ λέξει φασί. δεῖ δὲ εἰδέναι καὶ ὅτι αὐτὸς ὁ ποιητὴς, τὸ δέμας ἐπὶ ἀψύχου ποτὲ τίθησι. καὶ δέμας, σχοινίον. καὶ δέμας πυρὸς αἰθομένοιο, ἀντὶ τοῦ τρόπον πυρὸς αἰθομένου.

Δεμβλεῖς, βδέλλαι.

Δεμεῖ, οἰκοδομεῖ.

Δέμη, ὁδός.

* Δέμα ὁδοῦ, ἰδιωτικῶς λέγεται, ὅπου ὕλη τεθεῖσα, κωλύει τοὺς ὁδεύοντας.

* Δέμας πυρὸς, ἀντὶ τοῦ δίκην πυρός. καὶ δέμας πυρὸς μάχεσθαι λέγονται, οἱ εὐκινήτως καὶ κούφως καὶ ἰταμῶς, καὶ θερμῶς μαχόμενοι.

Δεμεναὶ, χώρα τῆς Σικελίας, ὅτι ἐν αὐτῷ δέδεται ὁ Τυφῶν, ὑπὸ τὴν Αἴτνην.

Δέμνια, τὰ ἐγκοίτια στρώματα, ἀπὸ τοῦ τὸ σῶμα ἐν αὐτῷ μένειν. ἢ παρὰ τὸ δέω ῥῆμα, ὡς παίζω, παίγνιον. οὕτω δέμω, δέμνιον, τὸ εἰς σώματος ἀνάπαυσιν οἰκοδομηθὲν, ἢ συνδεθέν.

Δέμνιον, ἡ κοίτη.

Δεμνιοτήρην, ἔγκοιτον, τὰ δέμνια τηροῦντα.

Δεμνιοτήρη πόνον, Αἰσχύλος Ἀγαμέμνονι, καθόσον οἱ νοσοῦντες ἔτι τοιοῦτοί εἰσιν, ὡς τὰ δέμνια τηρεῖν καὶ κατέχειν μηδέπω πέτεσθαι δυνάμενοι. πόνον δὲ, τὰ περὶ τὴν τροφὴν αὐτῶν.

Δέμω, τὸ οἰκοδομῶ, μέλλων δεμῶ, παρακείμενος δεδέμηκα.

Δεμῶν, χρόνος.

Δενάζειν, λοιδορεῖν, βλασφημεῖν.

Δενδαλίδες, ἱεραὶ κριθαί.

Δενδαλίδας, οἱ μὲν ἄνθος τι, ἄλλοι τοὺς λευκὰς χάχρυς. οἱ δὲ, τὰς ἐπτισμένας κριθὰς, πρὸ τοῦ φρυγῆναι. οἱ δὲ, τὰς ἐκ κριθῶν μάζας γενομένας.

Δενδίλλει, σκαρδαμύττει, διανεύει, σημαίνει, καὶ ἀτιμάζει, σκώπτει.

Δενδίλλων ὀξέα, παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ συστρέψας ἑαυτὸν, καὶ ἀποκαλύψας ὀξέως παρεπιστρεφόμενος, καὶ εἰς αὐτὸν τοῖς ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος δὲ, ἐπὶ τοῦ στρέφειν τέθηκε τὴν λέξιν, τὸ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρακλίνοντα, τοῖς ὀφθαλμοῖς ἐπινεύειν, καθάπερ Ἀπολλόδωρος. Σοφοκλῆς δὲ, ἐπὶ τοῦ βλέπειν τέθηκε τὴν λέξιν.

Δένδρεον καὶ δένδρον, γράφεται παρὰ τῷ Αἰλίῳ Διονυσίῳ. ἐξ οὗ καὶ τὸ δενδριάζειν, τὸ δρυσὶ σκέπεσθαι. τὸ δένδρον τοῦ δένδρου, καὶ τὸ δένδρος τοῦ δένδρεος. ὡς τὸ ἀνδράποδον, καὶ τὸ ἀνδράποδος, καὶ τὸ κτέανον, καὶ τὸ κτέατος. ταῦτα τὰ ὀνόματα καὶ ἄλλα πλείω διπλῆν ἔχουσι κλίσιν, ὡς παρ' Ὁμήρῳ καὶ ἄλλοις ἐστὶν εὑρεῖν.

Δένδρεσιν, ὡς Θουκυδίδης, καὶ ἕτεροι, οὐ δένδροις.

Δενδρέῳ ἐφεζόμενοι, τὸ δενδρέῳ, πλεονασμὸν ἔχει τοῦ ε, καὶ πάθος πάσχει συνιζήσεως. ὡς τὸ χρυσέῳ ἀνὰ σκήπτρῳ, παθὸν οὕτω καὶ αὐτὸ, διὰ πλείονα χασμῳδίαν καὶ σεμνότητα φωνῆς. ἐνεχώρει γὰρ ἄλλως εἰπεῖν δένδρῳ ἐφεζόμενοι. ὥσπερ καὶ τὸ Πηληϊάδεω Ἀχιλλῆος, ἦν μὲν καὶ Πηληϊάδου εἰπεῖν Ἀχιλλῆος. τὸ δενδρέῳ ἐφεζόμενοι προκέφαλός ἐστι, καθὰ καὶ τὸ χρυσέῳ ἀνὰ σκήπτρῳ. Ἰστέον δὲ, ἐν τῷ Αἰλίου Διονυσίου λεξικῷ φέρεται, ὅτι λέγεται οὐ μόνον δένδρον,

Digitized by Google

δρον, ἀλλὰ καὶ δένδρεον, καὶ δένδρος. φησὶ γοῦν ὅτι δένδρον μᾶλλον ἢ δένδρος, καὶ δένδρα μᾶλλον ἢ δένδρη. καὶ αἱ πτώσεις, δένδρου. καὶ Δένδρῳ μᾶλλον, ἢ δένδρει. καὶ δένδρος. Ξενοφῶν δέ φησιν, ἐκείνως μᾶλλον ὀνομάζειν δένδρος καὶ δένδρει, καὶ δένδρεσι, καὶ δένδρη, καὶ δένδρεα. Ὅμηρος δὲ, ἔνθα μὲν δένδρεα λέγει. ἔνθα δὲ, δενδρέῳ ἐφεζόμενοι. ὅτι δὲ ἐκ τοῦ δένδρον καὶ τὸ δενδρυάζειν τὸ δρυσὶ σκέπεσθαι, καὶ τὸ καθ᾽ ὕδατος δύεσθαι, τὰ ῥητορικὰ λεξικὰ δηλοῦσιν. ὁ δὲ ῥηθεὶς Διονύσιός φησιν, ὅτι φωλεὺς τινὰ καλοῦσιν οἱ φωνάσκοι δενδρυάζουσαν.

* Δενδρῆεν ἄλσος, τὸ πολύδενδρον.

Δενδρίτης, κροκόδειλος.

Δένδρου τὸ μὲν λέγεται ῥίζα, τὸ δὲ ἐξ αὐτῆς, στέλεχος. τὸ δὲ τεμνόμενον ἐκ τούτου εἰς πλείονα, ἀκρέμονες, καὶ κλῶνες, καὶ φύλλα, καὶ καρποί.

Δένδροις, γράφεται κοινῶς, τοῖς δένδρεσι δὲ Ἀττικῶς. ὡς δάκρυ μὲν Ἀττικῶς, δάκρυον δὲ κοινῶς.

Δενδροκόμους, τὰς κομώσας τοῖς δένδροις. Ἀριστοφάνης νεφέλαις, δενδροκόμους κορυφάς.

Δενδρότης, ἡ τῶν δένδρων αὔξησις.

Δενδρυάζειν, τὸ καταδύειν καὶ κρύπτεσθαι. κυρίως δὲ εἰς δρῦς καταδύεσθαι. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τοῦ ἁπλῶς καταδύειν, καὶ κρύπτεσθαι, ἀπὸ τοῦ τῶν παλαιῶν τοῖς δρυσὶ σκέπῃ χρωμένων. πρὶν γὰρ τὰς οἰκήσεις εὑρεθῆναι, ἐν τοῖς κοιλώμασι τῶν δένδρων καταδύοντες ᾤκουν. εἴρηται δὲ καὶ τὸ καθ᾽ ὕδατος δύεσθαι, καὶ ἀποκρύπτειν ἑαυτόν.

Δενέμορ, γῆ τις πετρώδης, εὔθρυπτος, παρὰ Λάκωσιν.

Δένθις, οἶνος, Λάκωνες.

Δεννάζει, ὑβρίζει, βλασφημεῖ.

Δεννάζειν, παρὰ τῷ Σοφοκλεῖ, τὸ Δεινοπαθεῖν. ἀπὸ τοῦ δεινὸν δεινάζειν. καὶ δεννάζειν, καὶ δεννάζων, ἤγουν μετὰ δεινοπαθείας λέγων, ὡς φάος φαεννός.

Δεξιὰ χείρ. καὶ ἀπὸ τούτου δεξιὸν, τὸ ἐπιτήδειον καὶ τὸ συμφέρον. καὶ δεξαμενὴ, ἡ λεκάνη.

Δεννάζων, λοιδορῶν.

Δεννασὸν, καταγέλαστον, λοιδορούμενον μετὰ καταγέλωτος.

Δέννος μέγιστος, ἤγουν ὕβρις. ἐξ οὗ τὸ δεννάζειν, παρὰ Σοφοκλεῖ.

Δέννοις κολασθεὶς παρὰ Λυκόφρονι, ἤγουν λοιδορίαις καὶ ὕβρεσι.

Δεννὸν, κακολόγον.

Δεντὸ, δέλεαρ.

Δεξαμεναὶ, ὑδάτων δοχεῖα. καὶ ἐν τῷ σώματι φλέβες. Δημόκριτος, καὶ ἐπισκίαι.

Δεξαμενὴν φασὶ Πλάτωνα ἐπὶ τῆς κολυμβήθρας εἰρηκέναι. ἐγὼ δὲ οὔ φημι, ἀλλὰ δεξαμένη τῷ πόνῳ εἶπεν, ὡς ποιουμένη. χρὴ οὖν καὶ ἡμᾶς κολυμβήθραν λέγειν, Φρύνιχος.

Δεξάμενος, ἀντὶ τοῦ λαβὼν, Ἡρόδοτος.

Δέξασθαι, οὐ μόνον τὸ λαβεῖν παρ᾽ Ὁμήρῳ. οἷον μάστιγα καὶ ἡνία σιγαλόεντα δέξαι. ἀλλὰ καὶ τὸ ἀπαντῆσαι, καὶ ἀντιστῆναι. οἷον ἠὲ σύ τόν γε δέδεξο, μελήσουσι δέ μοι ἵπποι. καὶ τὸν δ᾽ ἐγὼ ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί. ἡνία σιγαλόεντα, τὰ τεχνικῶς καὶ εἰς κάλλος εἰργασμένα. ἐφ᾽ οἷς οὐκ ἔχοι ἄντις εἰπεῖν, ἀλλ᾽ ἑστήξεται ἄφωνος, σιγῇ ἀφοσιούμενος τὰ τοῦ θαύματος. οἱ δὲ σιγαλόεντά φασι κατ᾽ ἔλλειψιν τοῦ τ, τὰ κατεστιγμένα ποικίλμασιν. ἢ τὰ ἀμάλακτα, κατὰ τοὺς λεγομένους μάθλητας. καὶ ἄλλως οὕτω σιγιλὰ καὶ μὴ θορυβοῦντα ψόφῳ ἤχου, κατὰ τοὺς ἀδεψήτους ἱμάντας. ὅθεν ἀστείως, καὶ ἀμύγδαλά τις ἔφη σιγαλόεντα, τὰ μὴ ψοφητικὰ ἐν τῷ κλᾶσθαι, ἀλλὰ πιεσμῷ δακτύλων ἐνδιδόντας εἰς θραῦσιν.

Δεξιάδην, ἢ Δεξίου τινὸς υἱὸν δηλοῖ παρωνυμικῶς, ἢ ἐπίρρημά ἐστι τὸ δεξιάδην, ἀντὶ τοῦ κατὰ δεξιά, ἢ δεξιῶς.

Δεξιὰ, τὰ συνετὰ ἔλεγον οἱ παλαιοί. ἀριστερὰ δὲ, τὰ μωρά.

Δεξιὰ κυρίου, ἡ ἄνωθεν ῥοπή. καὶ ἀγαθὴ ἐνέργεια, παρὰ τῇ Θείᾳ γραφῇ.

Δεξιὰ, ἡ χεὶρ, καὶ ποιητικῶς δεξιτερή. ἀπὸ τοῦ δέχεσθαι δι᾽ αὐτῆς τὰ διδόμενα. ἢ δεξιά τις οὖσα ἀπὸ τοῦ τὰς πλείονας δι᾽ αὐτῆς ἐξιέναι πράξεις. καὶ ἀπὸ τοῦ δεκτὸς δεξιὰ, ὡς ἀνόρεκτος ἀνορεξία.

Δεξιὰς, συνθήκας. Ὁ δὲ πέμπει χιλίαρχον, δεξιὰς τῷ Ἰωσήππῳ δοῦναι κελεύσας.

* Δεξιὰ κόσμου, τὰ ἀνατολικὰ μέρη. ἀριστερὰ δὲ, τὰ δυτικά. καὶ δεξιὰ, τὰ ἀγαθὰ καὶ αἴσια. οἷον τύχη δεξιὰ, καὶ νόημα δεξιόν. ἀριστερὰ δὲ τὰ ἀπαίσια.

Δεξιαῖς πεποιθέναι λέγει Ὅμηρος, ἐπειδὴ ἐν τοῖς ὅρκοις οὐδὲν ἔλαττον εἰς πίστιν ἐλογίζετο, καὶ τὸ τῶν δεξιῶν χειρῶν ἅπτεσθαι. ἣν γὰρ ἡ δεξίωσις αὕτη, καὶ τὸ δεξιοῦσθαι σημεῖον φιλονεικίας, καὶ εἰς ἓν ἀποκαταστάσεως, καὶ οἷον ἑνώσεως. πρωτότυπον δὲ τῆς τοιαύτης ἐννοίας, τὸ δέχω, ἐξ οὗ καὶ τὸ δέχθαι, καὶ τὸ δέχεσθαι, καὶ τὸ δειδέχατο. ἔτι καὶ τὰ τῆς δεξιώσεως. δέχω γὰρ, ὁ μέλλων δέξω, ὅθεν δέξα, ὡς δόξα, καὶ πλεονασμῷ τοῦ ι δεξιά. ὡς ἀχυρμιὰ, καὶ πυρκαϊά. καὶ ἀπ᾽ αὐτοῦ ῥῆμα δεξιῶ.

Δεξιμήλοις, ἐπηκόοις, καὶ ἱλαροῖς θεοῖς, ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα. καὶ δεξίμηλοι, ἐσχάραι.

Δεξίδωροι, δωροδόκοι.

Δεξιοὶ ὄρνιθες εἰπεῖν καὶ ἐσθλοὶ, ταυτόν ἐστι. καὶ δεξιοὶ, οἱ ἀπαίδευτοι.

Δεξιοὶ ἤϊξαν, ἀντὶ τοῦ ἀνατολικοί. ὡς αἴσιοι, ἐν β Ὀδυσσείας.

Δεξιὸν, δῆλον ὅτι πανταχοῦ χρηστόν ἐστι, καὶ αἴσιον. διὸ καὶ χειρὶ δεξιτερῇ, τὸ δέπας Ἑκάβη ἔχει. καὶ οἰωνὸν δεξιὸν λέγει Ὅμηρος.

Δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδονίπτραν, Ἀριστοφάνης.

Δεξιότερον, δεξιόν.

Δεξιοστάχοι ἐρέται, οἱ κατὰ τὸ δεξιὸν μέρος. τίθεται δὲ καὶ ἐπὶ χορευτῶν.

Δεξιόλαβος, παραφύλαξ.

Δεξιὸς, εὔνους, ἀγαθὸς, ἐπιτήδειος, ἀπαίδευτος, καὶ ὁ ἀχερής.

Δεξιοῦμαι, ὑποδέχομαι, φιλοφρονοῦμαι, ἀμείβομαι, ξενίζω. καὶ δεξιοῦμαί σε τραπέζῃ. δεξιοῦται, προσάγεται, ξενοδοχεῖται, φιλοφρονεῖται. καὶ τὰς χεῖρας ἀναβάλλω. Ἀριστοφάνης, καὶ ἐδεξιοῦντο ὑπὸ τῆς ἡδονῆς.

Δεξιοῦται, προσάγεται, φιλοφρονεῖ.

Δεξιοὺς ἔλεγον οἱ παλαιοὶ, καὶ τοὺς ἐστρατευμένους, καὶ ἐπαίνου ἀξίους. τοὺς δὲ διαδιδράσκοντας στρατιώτας, φιλοδίκους, καὶ συκοφάντας.

Δέξιππος, Κῷος ἰατρὸς, Ἱπποκράτους μαθητής.

Δεξὶς, τῶν ἐν τῷ ἥπατι μερῶν ἡ παρὰ τοῖς θύταις καλουμένη δοχή.

Δεξιτερός. πᾶν ὄνομα συγκριτικὸν εἰς νος λῆγον, βαρύνεται. ζητητέον δὲ περὶ τῆς δεξιτερὸν κατὰ μαζόν. εἰ γάρ ἐστι δεξιὸς, ὤφειλεν εἶναι δεξιώτερος, ὡς λογιώτερος. ἔστιν οὖν παρώνυμος ὁ χαρακτὴρ, παρὰ τὸ δεξιὸς, γίνεται δεξιερός. ὡς ἄριστος ἀριστερὸς, φθόνος φθονερὸς, μόγος μογερός. καὶ πλεονασμῷ τοῦ τ, δεξιτερός.

Δεξιώσασθαι, ἐγγίσασθαι γυναικί.

Δεξιῶς, ἀπαιδεύτως.

Δεξίωσις κυρίως, ὅταν ὑποδέχηταί τις τινὰ τὴν δεξιὰν αὐτοῦ χεῖρα προτείνων. καὶ ἀπὸ τούτου ἁπλῶς, ἐπὶ τῶν χάριν ποιούντων πρός τινας.

Δέξο, ἀντὶ τοῦ δέδεξο, παρὰ τῷ ποιητῇ προκέκριται τοῦ δέξαι, ὡς ποιητικώτερον.

Δοξὼ, ὁ Κρατῖνος ὀνοματοποίησιν, ἀπὸ τοῦ δέχεσθαι δῶρα.

Δέοιτο, χρήζοι.

Δέομαι, τὸ χρήζω, καὶ ἱκετεύω, γενικῇ συντάσσεται. Ἀριστοφάνης, ἔπειτα τοῦ δέῃ; ἤγουν τίνος χρήζεις; δέομαι ὑμῶν, τουτὶ πάνυ σμικρὸν, ἤγουν παρακαλῶ, καὶ ἱκετεύω. δέομαι ποιητοῦ δεξιοῦ, ἤγουν χρείαν ἔχω. δέομαι τὸ παρακαλῶ. καὶ δέομαι, δοῦμαι, ἀντὶ τοῦ δεσμοῦμαι. καὶ δέω ἀντὶ τοῦ λείπομαι. οἷον πολλοῦ δέω ποιεῖν τόδε. δέω, ἐπὶ μὲν πρώτου προσώπου, σημαίνει τὸ ἐλλείπομαι, καὶ τὸ δεσμῶ. ἐπὶ δὲ δευτέρου, τὸ δεσμεῖς. ἐπὶ δὲ τοῦ τρίτου, τὸ ἐλλείπει, καὶ τὸ δεσμεῖ, καὶ τὸ πρέπει, καὶ τὸ χρεία ἐστί. καὶ τὸ μὲν δεῖ ἀντὶ τοῦ πρέπει, μετὰ ἀπαρεμφάτου. τὸ δὲ δεῖ ἀντὶ τοῦ λείπεται, μετὰ γενικῆς. οἷον, πολλοῦ γε καὶ δεῖ. δέομαι δὲ παθητικῶς, τὸ χρήζω, καὶ ἱκετεύω. καὶ κανονίζεται οὕτω, δέω δῶ, τὸ δεσμῶ ἐνεστώς. ἔδεον παρατατικὸς, δήσω μέλλων, ἔδησα ἀόριστος. δέομαι δοῦμαι, παθητικὸς ἐνεστώς. ἐδεόμην ἐδούμην παρατατικὸς, δεθήσομαι μέλλων, ἐδέθην ἀόριστος, δέδεμαι παρακείμενος. τὸ δὲ δέομαι τὸ παρακαλῶ οὕτω, δέομαι ἐνεστὼς, ἐδεόμην, δεήσομαι, δεδέημαι, καὶ ἐδεήθην.

Δέομαι, ἀξιῶ, ἱκετεύω, λίσσομαι, ποτνιῶμαι, πρεσβεύω, προστρέπομαι, παρακαλῶ, ἀντιβολῶ, λιπαρῶ, προσλιπαρῶ, λιτανεύω.

Δεόμενος, νόμος, δεσμός.

Δέον καὶ δοκοῦν καὶ πάντα τὰ μετοχικὰ οὐδέτερα, δύνανται ἐν τῇ συντάξει λαμβάνεσθαι ἀντὶ γενικῆς. ὡς τὸ, ὃν δέον γενέσθαι, ἀντὶ τοῦ δέοντος ὄντος.

Δέονις, δέησις, δέον. οὕτω Περικλέα φασὶ λογιζόμενον, εἰς τὸ δέον προσγράφειν. ὃ σημαίνει, τὸ εἰς προδοσίαν δεδόμενον χρῆμα, ἤγουν πρέπον, καὶ ἀναγκαῖον.

Δέον ὂν, καὶ ἐξὸν, καὶ παρὸν, καὶ ἐνὸν, καὶ ὅσα ἄλλα οὐδέτερα μετοχικὰ, οὐδέποτε πλαγιάζονται κατὰ γενικὴν, κατὰ ἀπαρέμφατον, εἰ καὶ πλαγιασμὸν ἡ σύνταξις ἀπαιτεῖ. οἷον οὐκ ἐρεῖς, δέοντος ὄντος γενέσθαι τόδε, ἐγένετο τοὐναντίον. ἀλλὰ δέον ὂν, ἢ δέον χωρὶς τοῦ ὄν. ὡς καὶ Λιβάνιος, Καὶ δέον τὴν Εὐθυκράτους ζηλῶσαι προαίρεσιν, ἐμισοῦμεν. καὶ δέον πρὸς τῷ Πειραιεῖ ποιήσασθαι συμβολὴν τοῦ πολέμου, ἔπεισα ὑμᾶς. ὡσαύτως καὶ τὸ δεῆσαν, καὶ τὸ οὐδοτιοῦν συμβαῖνον δυσχερές. καὶ παρὰ Ἀριστοφάνει, ἐν τῇ σορῷ, νυνὶ λαχὸν τὸ γράμμά σου, ἀντὶ τοῦ λαχόντος τοῦ γράμματος.

Δέον, καὶ πρέπον, ἀντὶ τοῦ δεόντως, καὶ πρεπόντως. Ἀττικοὶ τὰ εἰς ως ἐπιρρήματα, εἰς ον περατοῦσι.

Δέον, τὸ πρέπον, καλὸν, συμφέρον, ἀναγκαῖον.

Δέοντο, ἐδεσμεύοντο.

Δεόντων, δεσμευέτωσαν.

Δεόντως, προσηκόντως.

Δέος, ὁ φόβος, παρὰ τὸ δείω τὸ φοβοῦμαι, δέος. ὡς νείφω νέφος. λέγεται καὶ δείδω, τὸ φοβοῦμαι. οἷον, δείδω μή τι πάθῃσι κατὰ πρώεσιν. ἐξ οὗ καὶ δίω. περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν. ἢ παρὰ τὸ δέω τὸ δεσμεύω. ὁ γὰρ φόβος δεσμεῖ τοὺς πόδας, καὶ τὰ μέλη τοῦ σώματος. καὶ δείους, ἀπὸ τοῦ δέους καὶ σπέους, γίνεται κατὰ πλεονασμὸν τοῦ ι, δείους καὶ σπείους. καὶ δέος χλωρὸν, τὸ χλωροποιόν.

* Δέος, ἐκ τοῦ δείω τοῦ διφθογγογραφομένου δοκεῖ παρῆχθαι.

Δέουσι, δεσμεύουσιν, ἀπέχουσι.

Δέπας, οἱ μὲν οὕτω ῥηθῆναί φασιν, ὅτι δίδοται πᾶσι σπένδειν, εἴτε καὶ πίνειν. οἱ δὲ, ὅτι δύο ὦτας, ἢ ὀπὰς εἶχεν ὡς ἄμφωτον. οὗ δὴ ἀμφώτου παρώνυμον, ἡ ἄμφωτις. ξύλινόν φασιν αὐτὸ ποτήριον, ᾧ χρῆσθαι τοὺς ἀμέλγοντας εἰς αὐτὸ, καὶ οὕτω πίνοντας. ἀνάπαλιν δὲ τῷ ἀμφώτῳ τὸ ἄωτον ποτήριον, ὁποῖον καὶ τὸ ἀμφικύπελλον. ὁ δέπας, ποτήριον. παρὰ δὲ τοῖς ὕστερον εὕρηται, ὅτι δέπας οἰνήρυσις, κοτύλη, οἰνοχόη. καὶ ὅτι οἰνιαστήρια, σπονδὴ τελουμένη τῷ Ἡρακλεῖ ὑπὸ τῶν ἐφήβων, πρὶν ἀποκείρασθαι. ἢ δέπας, ἔκπωμα οἱ μεθ᾽ Ὅμηρον ἔλεγον μᾶλλον, ἢ ποτήριον. Τραγικοὶ δέ φασι, καὶ οἱ Ἴωνες, καὶ πόμα τὸ αὐτό.

Δεπίφρονα, κοῦφον ταῖς φρεσί.

Δέπτω, τὸ κνάπτω. ἐξ οὗ βυρσοδέψης.

Δέρα ὑπερβολὴ ὄρους. οἱ δὲ, τὰ σιμὰ τῶν ὀρέων.

Δεραγχέας, τὰς τὴν δέρην ἀγχούσας καὶ πνιγούσας, δεραγχέας πάγας.

Δέραια, ἐπιτραχήλιος κόσμος.

Δεραὶ, αἱ συνιάσχιαι. Λάκωνες.

Δεραιοπέδη, τὸ ἱστευτικὸν λίνον.

Δέρας τοῦ κριοῦ, πολλοὶ χρυσοῦν εἰρήκασιν, οἷς Ἀπολλώνιος ἠκολούθησεν. ὁ δὲ Σιμωνίδης, ποτὲ δὲ πορφυροῦν. Διονύσιος δ᾽ ὁ Μιτυληναῖος, ἄνθρωπόν φησι γεγενῆσθαι παιδαγωγὸν τοῦ Φρίξου, ὀνόματι Κριόν. καὶ δέρας χρυσόμαλλον, οὐχ ὡς ποιητικῶς φέρεται,

ἀλλὰ βιβλίον ἦν ἐν δέρμασι γεγραμμένον, περιέχον ὅπως δεῖ γίνεσθαι διὰ χυμείας χρυσόν. εἰκότως οὖν οἱ τότε, χρυσοῦν ὠνόμαζον αὐτὸ δέρας, διὰ τὴν ἐνέργειαν τὴν ἐξ αὐτοῦ.

Δερβιστήρ, τὸ δέρμα. παρὰ τὸ δέρος δεριστήρ, καὶ πλεονασμῷ τοῦ β δερβιστήρ. πλεονάζουσι δὲ τὸ β οἱ Συρρακούσιοι, ὡς καὶ ἐπὶ τοῦ ὀλβάχνιον, ὀλάχνιον, τὸ τὰς ὀλὰς ἔχον. σημαίνει δὲ τὸ κανοῦν, ἐν ᾧ ἀπετίθουν τὰς ὀλάς.

Δέργμα, τὸ βλέμμα, ἐκ τοῦ δέρκω τὸ βλέπω. καὶ δέργματα, τὰ ὄμματα.

Δεργμάτων, ὄψεων, ὀμμάτων, καὶ δεργμῶν.

Δέρεθρον, λίμνη ἀποχώρησιν ἔχουσα.

Δέρη, ὁ τράχηλος, ὃς καὶ δειρὴ λέγεται. ἀφ' οὗ καὶ περιδέραιος κόσμος, ὁ περιτραχήλιος.

Δερηστήρ, ὁ συνέχων περιτραχήλιος.

Δερίαι, λοιδορίαι.

Δερίπιον, φλοιόν.

Δέρις, τράχηλος, δέρμα. ἢ τρίχινον παραπέτασμα.

Δέρκειν, βλέπειν.

Δερκευνέος ἐπίθετον τοῦ λαγωοῦ. ἐπειδὴ δοκεῖ κοιμώμενος βλέπειν. Νίκανδρος εἰς τὰ ἀντιφάρμακα, ἢ σκίλακος δερκευνέος.

Δέρκομαι ποιητικῶς, τὸ βλέπω. καὶ ἐνεργητικῶς, καὶ παθητικῶς λέγεται. ὥσπερ τὸ βιάζομαι, τὸ λοιδοροῦμαι, τὸ τιμωροῦμαι, καὶ τὸ δεδίσσομαι.

Δέρκομαι ποιητικῶς, τὸ βλέπω, ἐξ οὗ δέδορκα. καὶ δράκων λέγεται, ὡς τῇ ὄψει καταπλήττων. ἴσως δὲ καὶ ὀξὺ βλέπων. τῷ λόγῳ καὶ δορκάς, ἧς ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε. ἡ δ' αὐτὴ καὶ δόρκων, καὶ ζόρκων δέ, μεταχωρήσει ἐθίμῳ τοῦ δ εἰς ζ.

Δερκύλλειν, αἱμοποτεῖν. ἄλλοι δερμύλλειν διὰ τοῦ μ.

Δερκυλλίδας, Λακεδαιμονίων βασιλεύς.

Δέρκυλος, κωμικὸς ὑποκριτής.

Δέρκω τὸ ὁρῶ, παρὰ τὸ δρῶ τὸ πράττω, δρέκω, καὶ καθ' ὑπέρθεσιν δέρκω.

Δέρμα τέμνων, συνέθετο παρὰ τοῖς ὕστερον, τὸ σκυτοτομεῖν. δῆλον δέ, ὅτι ἄλλο δέρμα, καὶ ἄλλο κῶας, ἢ κῶος. δέρμα μὲν τὸ ἁπλῶς ἐκδερόμενον. κῶας δέ, ἐν ᾧ καὶ κεῖταί τις, ἢ κοιμᾶται, ἀπὸ τοῦ κῶ ῥήματος. ὅθεν οὐ μόνον σὺν ἄλλοις καὶ ὁ κῶμος, καὶ τὸ κωμάζειν, ἀλλὰ καὶ ἡ κώμη, καὶ ὁ κωμήτης, καὶ ὁ κώμαξ, ὃς δηλοῖ φλύαρον. τὸν δὲ κόπιν κατὰ τοὺς παλαιούς, καὶ βωμολόχον φασίν.

Δέρμα τὸ φυλαττόμενον ἐν Κολχίῃ, οὐκ ἦν χρυσοῦν ἀληθῶς. τοῦτο γὰρ ποιητικευόμενόν ἐστιν, ἀλλὰ βιβλίον ἐν δέρμασι γεγραμμένον, περιέχον ὅπως δεῖ γίνεσθαι διὰ χυμείας χρυσόν.

Δέρμα, πήρα, καὶ δέσμη.

Δέρμα, δῶρα.

Δέρμη, ὁδός.

Δέρματα πυκινὰ λέγει Ὅμηρος, ἢ ἁπλῶς τὰ στερεά, ἢ τὰ συνερραμμένα καλῶς. κακορραφία μὲν γάρ, τὸ μὴ πυκινὸν δηλοῖ. πυκινὸν δέ, τὸ ἀρραφές· διὸ ἀρραφέα δέρματα λέγει, τὰ ἀνάρμοστα. καὶ δέρμασι πυκινοῖς λέγει, ἀρραφέσι δορῇσιν. ἅπερ ἐν μιᾷ λέξει κωρυκὸς λέγεται, παρὰ τὸ χωρεῖν.

Δερματικόν, Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ ἀπολογισμὸς ὧν πεπολίτευται, δερματικὸν ἂν εἴη λέγων ὁ ῥήτωρ, τὸ ἐκ δερματίων τῶν πιπρασκομένων περιγενόμενον ἀργύριον.

Δερματοφορεῖν, συνήθες τοῖς ἥρωσι.

Δέρμηστες, αἱ ἐξ ἡμῶν περιουσίαι.

Δερμηστής, Λυσίας ὁ ῥήτωρ, τὸν σκώληκά φησιν. Ἀρίσταρχος δέ, τὸν ὄφιν. δερμηστὴς δὲ εἴρηται, ὁ ἐσθίων τὰ ὠμὰ δέρματα. παρὰ τὸ ἔδω, ἔσω, ὁ παρακείμενος ἧσμαι, τὸ τρίτον ἧσται. καὶ ὄνομα ἥστης, ὁ ἐσθίων. ἀφ' οὗ νῆστις, ὁ ἐστερημένος τῶν σιτίων, καὶ μὴ ἐσθίειν. καὶ ὠμηστής, καὶ δερμηστής.

Δερμόπτερα, οἷον νυκτερίς. ἥτις μόνη τῶν πτηνῶν ζώων ζωοτοκεῖ, καὶ ἐν μαστοῖς γάλα ἔχει, καὶ θηλάζει τὸ γεννώμενον.

Δερμύλλειν, αἱμοποτεῖν, ἢ ἐκδέρειν.

Δέρξιος, ὄψεως.

Δέρος, τὸ κώδιον, οἷον δέρος δὲ οἱ ἶσον ὀνείρῳ. αἱ τοιαῦται λέξεις, ἢ Ἰωνικαί εἰσιν, ἢ Δωρικαί, οἷον δέρος, κῶος. ἀπὸ γὰρ τοῦ δέρας, καὶ τοῦ κῶας πεποίηται. ἢ παρὰ τὸ δείρω δέρω, ὡς μείρω μέρος, φθείρω φθόρος.

Δερρίδιον, σκιάδειον, δερμάτιον. καὶ δέρρις, δέρμα, βύρσα, ἢ τρίχινον παραπέτασμα.

Δερριδόγομφοι πύλαι, δέρρεις ἔχουσαι παραπετάσματα.

Δέρριον, τρίχινον, σάκκιον.

Δέρρις, ἱμάτιον παχύ.

Δερριστήρ, περιδέρραιον ἵππου.

Δερριστής, κυνάγχης περιαυχένιος.

Δέρρω, Αἰολεῖς φασί. τὰ εἰς ρω βαρύτονα ἔχοντα τὴν ει δίφθογγον παραπέλευτον, μετατιθέντες τὸ ι εἰς ἕτερον ρ προφέρονται, τὸ χείρω χέρρω λέγοντες, καὶ τὸ δείρω δέρρω. οὕτω καὶ τὸ φθείρω φθέρρω, καὶ ἄρσει τῶν δύο προτάτων συμφώνων ἔρρω.

Δέρτρα, τύμπανα.

Δέρτρον, τὸ δέρμα, οἷον δέρτρον ἔσω δύνοντες. παρὰ τὸ δέρω δέρτρον, ὡς φέρω φέρτρον, μείρω μέτρον. ἀλλαχοῦ σημαίνει ἡ λέξις, τὸ ἐπίπλουν. ὁ δὲ Ἀρίσταρχος, τὸ δέρμα καὶ πάντα τὸν χιτῶνα τὸν πρὸ τοῦ ἥπατος. ἄμεινον δὲ τὸ ῥάμφος, ἀπὸ τοῦ δέρρειν, ὅ ἐστι κρούειν. τούτῳ δὲ διερήσουσιν, ἃ ἂν ἐσθίωσιν οἱ γῦπες, τῇ κρούσει τοῦ ῥάμφους. καὶ ἔστιν ὄνομα ῥηματικόν, ὡς παρὰ τὸ πλήσσω πλῆκτρον, οὕτω καὶ παρὰ τὸ δέρω δέρτρον.

Δέρτρον, τὸ ἐντέρου τὸ λεπτὸν λέγει ὁ Ἱπποκράτης. φησὶ καὶ ὁ Ψελλός. τοῦ δὲ ἐντέρου τὸ λεπτόν, κατονομάζει δέρτρον. τὸ δὲ ἀνδρεῖον μόριον, τιρνάτον καλοῦσι.

Δέρω, τὸ τύπτω. καὶ δέρω, τὸ ἐκδέρω. ἀφ' οὗ δέρμα. καὶ δερματικὸν παρ' Ἀθηναίοις, τὸ ἐκ τῶν δερματίων τῶν πιπρασκομένων περιγενόμενον ἀργύριον. καὶ δειρή, ὁ τράχηλος.

Δερῶ σε θύλακον, Ἀριστοφάνης, ἐκδερῶ σε. τὸ γὰρ ἐκδέρειν μᾶλλον τῶν μαγείρων τέχνη. ἐκδερῶ σέ φησιν, ὥστε ἀπὸ τοῦ σώματός σου θύλακον ποιῆσαι, εἰς ὑποδοχὴν κλέμματος.

Δεσαυχένες ἀσκοί, διὰ τὸ ἐκ τῶν αὐχένων δεδέσθαι.

Δέσιος, ὁ ἰούνιος μήν.

Δεσμά, πέδαι. καὶ δεσμὰ τῆς ψυχῆς, κατὰ μὲν τὸ πρόχειρον, αἱ φλέβες, αἱ ἀρτηρίαι, τὰ νεῦρα. κατὰ δὲ τὸ νοούμενον, τὰ ἔργα πρὸ τοῦ λόγου. καὶ δεσμὰ κάλλιον, ἢ δεσμοί. εἴρηται δεσμὸς καὶ δέσμα, καὶ δέσμη. δεσμαί τινες θυμοῦ Ἀλέξιδος.

Δέσμα σιδήρεον, ταυτὸν ἐστι τῷ σιδηροπέδῃ.

Δέσματα, ἐπιδέσμια.

Δεσμάω, δεσμῶ, τὸ πεδῶ. δεσμόω, ῶ, τὸ εἰς εἱρκτὴν εἰσάγω. δεσμὸς ἑνικῶς, τὰ δεσμὰ πληθυντικῶς. ὁμοίως ὁ μοχλὸς ἑνικῶς, τὰ μοχλὰ πληθυντικῶς. ὁμοίως κύκλος, τὰ κύκλα. ὁ χαλινός, τὰ χαλινά. ὁ ζυγός, τὰ ζυγά. ὁ σταθμός, τὰ σταθμά. εἰσὶ πολλὰ ὀνόματα, ἃ ἐν τοῖς ἑνικοῖς ἀρσενικῶς προφέρονται. ἐν δὲ τοῖς πληθυντικοῖς, οὐδετέρως.

Δεσμεῖν, τὸ τὰς δεσμὰς τῶν σταχύων δεῖν.

Δεσμή, ὁδός.

Δέσμη, ἀμάλλη.

Δεσμίης, ἄξιός ἐστι δεσμῶν.

Δεσμοί, ἧλοι. καὶ δεσμοὶ τυραννικοί, οἷς ἐχρήσαντο Ἀθηναῖοι.

Δεσμόν, οὐδετέρως Ἀττικοί. καὶ σημεῖον παρὰ τοῖς θύταις.

Δεσμός, σῶμα, μορφή, ἧλος, εἶδος.

Δεσμωτήριον, ἡ φυλακή.

Δεσμώτης. πᾶν ῥῆμα τῆς τρίτης συζυγίας τῶν περισπωμένων ἐν τοῖς ὀνόμασιν, ἢ διὰ τοῦ ω ὀξέως ἐκφέρεται, οἷον χρυσῶ χρυσωτής, μισθῶ μισθωτής, ἢ τοῦ ο βαρέως. οἷον, ὁμόσω, ὁμότης, ἀρόσω, ἀρότης. οὐκ ἄρα οὖν τὸ δεσμώτης, διὰ τοῦ ω μεγάλου, ἀλλ' ἀπὸ τοῦ δεσμός, ὅθεν καὶ διὰ τοῦ ο μικροῦ γράφεται. ἡ δὲ συνήθεια διὰ τοῦ ω μεγάλου γράφει τὸ δεσμώτης. καὶ αὐτὸς ὁ δέσμιος, καὶ ὁ Προμηθεύς.

Δεσπόζω γενικῇ. οἷον, γυναῖκες δεσπόζουσι τῶν ἀνδρῶν. ὅθεν δεσπότης, δεσποτεύω, δεσποτεία.

Δέσποινα, ὥσπερ ἀπὸ τοῦ ἀρύω, γίνεται Ἀρύταινα, καὶ τοῦ βαίνω ἀμφίσβαινα, οὕτω καὶ παρὰ τὸ δεσπόζω δεσπόζαινα, καὶ κατὰ συγκοπὴν τοῦ ζα, καὶ συναιρέσει τοῦ ο καὶ ι εἰς τὴν οι δίφθογγον, δέσποινα. οὐ γὰρ παρασχηματίζεται ἀπὸ τοῦ δεσπότης ἀρσενικοῦ, ἐπεὶ δεσπότις ἔμελλεν εἶναι, καὶ οὐ δέσποινα. δέσποινα δέ, σύνθετον δεσποία, ἡ δέος ἐμποιοῦσα, ἀπὸ τοῦ δεσποιὸς ἀρσενικοῦ, κατὰ συγκοπὴν δέσποινα. ὡς θεόφατον, θέσφατον. καὶ πλεονασμῷ τοῦ ν, δέσποινα. ὅτι γὰρ πέπονθε, δηλοῖ ἡ παραλήγουσα. καὶ γὰρ τὸ ἀγκοίνη οὐ φύσει τὸ οι ἔχει, ἀλλ' ἐκτροπῇ τοῦ ω ἀπὸ τοῦ ἀγκῶνος ἀγκώνη, καὶ ἀγκοίνη. λέγεται δὲ οὐ μόνον ἡ βασιλὶς δέσποινα, ἀλλὰ καὶ ἡ τοῦ οἴκου δεσπότις. ἣν ἰδιωτικῶς κυρίαν φαμέν.

Δεσποτεία ἐστίν, ἀρχὴ ἀνυπεύθυνος, δυναστεία. καὶ δεσποτεία, ἡ κυρίευσις.

Δεσπότης ὤν τις, ὁ δέος ἐμποιῶν. ἢ ὁ δέους ἔχων ὄπα. καὶ δεσπότης μὲν λέγεται πρὸς δοῦλον. κύριος δέ, πρὸς ἐλεύθερον.

Δεσπόσυνος παῖς, ὁ τοῦ δεσπότου.

* Δεσπόσιοι καὶ δεσπόσυνοι, οἱ ὑπὸ δεσποτῶν τραφέντες δοῦλοι.

Δεταί, δεσμοὶ δᾴδων, τουτέστι λαμπάδων, ἃς ὀλίγων ποιοῦνται. οὐχ ἁπλῶς δὲ αἱ λαμπάδες δεταί, ἀλλὰ ὁμοῦ αἱ καιόμεναι δεταί. ἄλλως γὰρ κατὰ τοὺς παλαιούς, δεταὶ αἱ συνδεδεμέναι φρυγάδες, αἳ ῥᾳδίως ἐξαπτόμεναι, καὶ ἐπιρριπτόμεναι, φοβοῦσι τὸν λέοντα.

Δετάς, τὰς λαμπάδας λέγουσιν. ὡς ἀπὸ τοῦ δέω γάρ, τὸ δεσμῶ, δετὴρ ῥηματικῶς, ἡ συνδεδεμένη ἐκ παπύρων. καὶ Ὅμηρος, δαιόμεναί τε δεταί.

Δετή, ἡ ἐκ δεδεμένων δᾴδων λαμπάς. οἷον, καιόμεναί τε δεταί, Ἡρόδοτος. ἀπὸ τοῦ δίδημι ῥήματος, δετός, καὶ δετή. ὡς ἀπὸ τοῦ τίθημι, θετός, καὶ ἄθετος σύνθετον, καὶ ἱτὸς καὶ ἄφετος. ὡς τό, ἱτός εἰμι. καὶ δίδωμι δοτός. ὡς καὶ Ὅμηρος, ἀπὸ τοῦ δίδημι ῥήματος εἶπε τὸ παρατατικόν, δίδη μόχθοισι λυγροῖσι.

Δέτρον, τὸ δέρμα τοῦ ἥπατος. ἢ διάπυρον, διαφανές.

Δευάδαι, οἱ Σάτυροι, παρὰ Ἰλλυρίοις.

Δευάς, τοὺς ἀκάκους θεούς, Μάγοι.

Δεύασθαι, γεύσασθαι.

Δεύειν, μαλάττειν, τύπτειν.

Δεύει, βρέχει, φύρει, ἐνδεῖ.

Δεύεσθαι δάκρυσι κόλπους, δαψιλείαν δακρύων δηλοῖ. καὶ δεύεσθαι, βρέχεσθαι, ἐπιδεῖσθαι.

Δευθέντα, βραχέντα. καὶ δευόμενος, βρεχόμενος.

Δευκαλίδης, ἀντὶ τοῦ Δευκαλιωνίδης. Δευκαλίωνος γὰρ οὐ μὴν Δευκάλου υἱός, ὁ Ἰδομενεύς, συγκοπῇ δύο συλλαβῶν. ταύτῃ δὲ τῇ συγκοπῇ, χρῶνται οἱ Αἰολεῖς.

Δευκαλίδαι, οἱ Σάτυροι.

Δευκαλίων, ὅτι Προμηθέως καὶ Πανδώρας υἱός, Ἡσίοδος ἐν πρώτῳ καταλόγων φησί. καὶ ὅτι Προμηθέως καὶ Πύρρας Ἕλλην. ὅτι δὲ καὶ ὁ Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικος ἐν τῷ πρώτῳ τῆς Δευκαλιωνείας. καὶ ὅτι δώδεκα θεῶν βωμοὺς ὁ Δευκαλίων ἱδρύσατο, Ἑλλάνικος ἐν τῷ αὐτῷ φησι συγγράμματι.

Δεύκει, φροντίζει.

Δευκές, λαμπρόν, ὅμοιον.

Δεύνυσος, ὁ Διόνυσος, ἀπὸ τοῦ Διόνυσος, τοῦ ι τραπέντος εἰς ε Δεόνυσος. οὕτω γὰρ Σάμιοι προφέρονται. συναιρέσει δὲ Ἰωνικῇ, Δεύνυσος. ὡς Θεόδοτος, Θεύδοτος. ἐνίοτε δὲ αὐτὸν Δεύνυσον ὀνομάζεσθαί φασιν, ἐπειδὴ ἐβασίλευσε Νύσσης. κατὰ γὰρ τὴν τῶν Ἰνδῶν φωνήν, Δεῦνος ὁ βασιλεύς.

Δευοίατο, ἀπὸ τοῦ δέοιτο, δεοίατο Ἰωνικῶς, καὶ πλεονασμῷ τοῦ υ, δευοίατο. ἢ ἐκ τοῦ δεύομαι, τὸ εὐκτικὸν δευοίμην, τὸ τρίτον τῶν πληθυντικῶν δεύοιντο, καὶ δευοίατο Ἰωνικῶς.

Δευόμενα, δεόμενα.

Δευόμενον, χρῄζοντα.

Δεῦρ' ἀεί, ἀντὶ τοῦ ἕως τούτου.

Δεῦρ' ἴξα θᾶσσον, ἢ καθ' ἡδονὴν ποδός, ἀντὶ τοῦ ταχύτερον ἢ ὡς ἔθει βαδίζειν.

Digitized by Google

Δεῦρ᾽ ἴθι. Ἀριστοφάνης, δεῦρ᾽ ἴθ᾽ ἵνα κλάῃς, τὸν παῖδά φησιν ἐλθεῖν πλησίον τῆς κλίνης, ἐφ᾽ ἧς ἀνέκειτο ὁ δεσπότης τύψειν αὐτὸν ἀπειλῶν. δεῦρο ἐνθάδε, ἐπὶ τοῦ παρόντος. καὶ δεῦρο ἀεὶ, ἀντὶ τοῦ μέχρι τοῦ παρόντος. σημαίνει δὲ καὶ τὸ ἐλθὲ, δεῦρο νῦν πρόσελθε, ἀντὶ τοῦ πλησίον, ἐγγὺς ἐλθέ. καὶ παρ᾽ Ὁμήρῳ, δεῦρ᾽ ἴθι. λέγεται δὲ καὶ δευρὶ, παρὰ Ἀριστοφάνει. Ταχέως ἥκειν ὡς ἐμὲ δευρὶ, καὶ μὴ μέλλειν. κἂν μὴ ταχέως ἥκωσιν, ἐγὼ μὰ τὸν Ἀπόλλωνα κατὰ γῆς ἀποπέμψω.

Δεῦρο, ἄγε, ἄγετε, φέρε, εἷα, ἀντὶ ἐπιρρημάτων λαμβάνονται. οἷον ἄγε λέγωμεν, φέρε εἰπέ. δεῦρο σημαίνει καὶ τὸ ἄγε. ὥσπερ καὶ τὸ ἴθι ἀντὶ τοῦ ἄγε εὕρηται. ἡ δεῦρο, λαμβάνεται ἀντὶ τοῦ ἄγε. οἷον δεῦρο ποίησον τόδε, ἤγουν ἄγε. καὶ ἀντὶ τοῦ ἐνταῦθα, οἷον δεῦρ᾽ ἴθι. λέγεται καὶ μόνον, καὶ νοεῖται ἔξωθεν τὸ ἐλθὲ, οἷον δεῦρο ποιήσωμεν τόδε, ἀντὶ τοῦ ἐλθὲ δεῦρο ἵνα ποιήσωμεν τόδε. δεῦρο Ἀμμωνία, ἀντὶ τοῦ ἐλθὲ δεῦρο. δηλοῖ κίνησιν καὶ στάσιν. δεῦρο ἀντὶ τοῦ ἐκεῖσε. Ἀριστοφάνης, Φράσαι δὲ οὔπω τετόληκας ἡμῖν, ὅτου χάριν ὁ δεσπότης ὁ σὸς, κέκληκεν ἡμᾶς δεῦρο. καὶ δεῦρο παρακελευσματικὸν, ἀντὶ τοῦ ἐλθέ.

Δευρόλαος, ὁ ἐξ ἐφήβων Ἀθηναίων.

Δεῦρο πάροιθ᾽ ἐλθοῦσα, παρ᾽ Ὁμήρῳ ἐν γ τῆς Ἰλιάδος, τὸ ἐλθὲ δηλοῖ. ἀλλαχοῦ δέ ποτε τὸ ἐνθάδε. ὡς καὶ Αἴλιος Διονύσιός φησι.

Δεῦρο, ἄγε, τὰ παρακελευσματικὰ ἐπιρρήματα πρὸς τὰ προστακτικὰ συντάσσονται. Ὅμηρος, δεῦρο πάροιθ᾽ ἐλθοῦσα φίλον τέκος ἵζευ ἐμεῖο. καὶ πρὸς ὑποτακτικά. καὶ κατὰ ἔλλειψιν αἰτιολογικῶν συνδέσμων. οἷον, δεῦτε ποιήσωμεν, ἄγε εἴπωμεν, τὸ ἵνα ἔξωθεν ὑπακούεται. λέγεται δὲ τὸ ἄγε, καὶ τὸ φέρε, κατὰ ἐπέκτασιν τοῦ τε ἄγετε, καὶ φέρετε.

Δεῦς, ζεῦς.

Δεύσας, βρέξας. ὡς τὸ, Ὁ δὲ δεύσας τοῦ αἵματος τοὺς δακτύλους, προσέγραψεν.

Δευσοποιὸς, κυρίως μὲν ἐπὶ τῆς πορφύρας λέγεται τοὔνομα, καὶ τῆς ἔμμονον καὶ ἀνέκπλυτον ἐχούσης τὸ ἄνθος τῆς βαφῆς. ἐκ μεταφορᾶς δὲ, καὶ ἐπὶ τῶν ἄλλων πάντων τῶν ἐχόντων τὸ χρῶμα ἔμμονον, καὶ πολυχρόνιον, τὸ δευσοποιὸν λέγεται παρὰ τοῖς παλαιοῖς. ὡς καὶ Πλάτων διασαφεῖ ἐν δεκάτῳ πολιτείας.

Δεύτατος, τουτέστιν ὕστατος. γίνεται ἀπὸ τοῦ δεύω, τὸ ἐλλείπω. ἐξ οὗ συγκριτικὸν δεύτερος, ὁ ἐλλιπέστερος. καὶ ὑπερθετικὸν δεύτατος, ὁ ἐλλιπέστατος· ὥσπερ βασιλεύτερος βασιλεύτατος, καὶ ὁ ἔσχατος.

Δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν, ἤγουν ὁ μὴ δεύτερος, ἀλλὰ πάντων ὕστερος, ἐκ τοῦ δεύω, καθ᾽ ὁμοιότητα τοῦ βασιλεύτατος.

Δεῦτε, ἐπίρρημα παρακελευσματικὸν, ἀντὶ τοῦ ἄγετε.

Δεύτερα ἄλφιτα, τὰ δευτερεῖα καὶ εὐτελῆ.

Δευτεραγωνιστὴς, δεύτερος ἀγωνιζόμενος.

Δευτέρα φθίνοντος, ἀπὸ τῆς τριακάδος.

Δευτερείας, Κάλλιπος, οἶνος εὐτελής.

Δευτεριάζειν, τὸ ὕστερον διαπράττεσθαι. ἐγὼ ἤδη διαπραξάμενος, παραδώσω σοι δευτεριάζειν.

* Δεύτεροι μέλλοντες εἰς ἐνεστῶτα αναδεδραμηκότες. οἷον ἔδραμον δραμῶ, ὅθεν τὸ δραμῶ δραμήσω θέμα.

Δευτερίνας, ὁ μετὰ τὸ ὕδωρ ἐπιχυθεὶς εἰς τὰ στέμφυλα οἶνος.

Δεύτερον, ἐνίοτε μὲν ἐπὶ τάξεως λέγεται, ἐνίοτε ἐπὶ ἀριθμήσεως. καθὰ καὶ τὸ πρῶτον, καὶ τὸ τρίτον, καὶ τὰ τῆς ἀκολουθίας ταύτης.

Δευτερόποτμος, ὁ ὑπό τινων ὑστερόποτμος. οὕτω δὲ ἔλεγον, ὁπόταν τινὶ ὡς τεθνεῶτι τὰ νομιζόμενα ἐγένετο, καὶ ὕστερον ἀνεφάνη ζῶν. οἱ δὲ, καὶ ἀπειρῆσθαι τοῖς τοιούτοις εἰσιέναι εἰς τὸ ἱερὸν τῶν σεμνῶν φασὶ θεῶν. ἢ ὁ φημισθεὶς ἐπὶ ξένης τετελευτηκὼς, ἔπειτα ἐπανελθών. ἢ ὁ δεύτερον διὰ γυναικείου κόλπου διαδὺς, ὡς ἔθος ἦν παρὰ Ἀθηναίοις, ἐκ δευτέρου γεννᾶσθαι.

Δεύτερος πλοῦς, ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων. καθόσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν, ἀσφαλῶς παρασκευάζονται κατὰ τὸν δεύτερον. ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῶν ἠθικῶν.

Δευτέρων ἀμεινόνων, παροιμία ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καλὰ ὀφθῇ, καὶ ἐπιδεύτερα θύωσι λέγοντες, δευτέρων ἀμεινόνων.

Δεύω, τὸ βρέχω. ὡς τὸ, δεύοντο δὲ δάκρυσι κόλποι. σημαίνει δὲ καὶ τὸ ἐνδεοῦμαι. ὡς τὸ, ἐδεύησε δὲ οἰκήϊον ἄκρον ἱκέσθαι. ἐκ τοῦ δέω τὸ χρήζω, καὶ ποιητικῶς πλεονασμῷ τοῦ υ, δεύω.

Δεφόμενοι, οἱ ταῖς χερσὶν ἀσελγαίνοντες· ὧν ἡ ἀσέλγεια καὶ χειρουργία λέγεται.

Δεφόμενος, ἀντὶ τοῦ ἀποδέρων τὸ αἰδοῖον. Ἀριστοφάνης, οἱ γὰρ ἁπτόμενοι τῶν αἰδοίων, οὐχ ὡς ἤρξαντο, ἀλλὰ σπουδαιότερον κινοῦσιν, ἐκπυρούμενοι τῇ συνεχείᾳ τῆς κινήσεως, πρὸς τὴν τῆς γονῆς ἐκκρίσει.

Δέχαται Ἰωνικῶς, ἀπὸ τοῦ δέδεκται δεδέχαται, καὶ συγκοπῇ δέχαται. ἢ ἀφαιρέσει, ὡς δεδεγμένος, δέγμενος.

Δέχεσθαι, τὸ λαμβάνειν, καὶ ἀσπάζεσθαι. καὶ δέχεσθαι μύθοις, ταὐτὸν πάντως τῷ εὐφημεῖν καὶ εὐλογεῖν.

Δέχθαι, ἀντὶ τοῦ δεδέχθαι Ἰωνικῶς, ἐκ τοῦ δέδεκται τρίτου προσώπου. ἢ δέχθαι, ἀντὶ τοῦ δεδέχθαι. ἔστι δὲ τῶν Ἰώνων. παρ᾽ αὐτοῖς γὰρ οὐδὲν ῥῆμα ἐπὶ τῶν παρῳχημένων τὴν ἀρχουσαν αὔξει.

Δεχνύμεναι, ἐκ τοῦ δέχω, δέχνω, δεχνύω, δέχνυμι, δέχνυμαι. καὶ δεχνύμενος, ὡς ὀρνύμενος, καὶ ἀχνύμενος.

Δέχμενος, προσδιαδεχόμενος.

Δέχομαι, ὁμολογῶ. καὶ δέχομαι ἁπλῶς, τὸ ἐρχόμενον εἰς ἐμὲ λαμβάνω. εἰσδέχομαι δὲ, ἐπὶ οἰκίας, ἢ λιμένος, ἢ τοιούτου τινός. ἢ δέχομαι ἁπλῶς, τὸ διδόμενόν μοι λαμβάνω. μετὰ δὲ προθέσεων, ἐνδέχεται τόδε γενέσθαι, ἤγουν ἐγχωρεῖ. κατὰ μεταφορὰν ἀπὸ τῶν διακένων ἀγγείων, καὶ δυναμένων δέξασθαί τι. εἰσδέχομαι, τὸ ἐντός τινος δέχομαι. καὶ εἰσδέχεται οἰκία τινὰ, ἢ λιμὴν, ἢ τοιοῦτό τι. ἐκδέχομαι δὲ, ἐπὶ πλειόνων. λέγεται γὰρ καὶ ἐπὶ τοῦ μήπω ἀφιγμένου, προσδοκωμένου δὲ ἀφίξεσθαι. καὶ ἐπὶ τοῦ ἤδη παραγενομένου. ἐκδέχομαι γάρ τινα, ἀντὶ τοῦ ἀπό τινος τόπου προσδοκῶ δέξασθαι αὐτὸν παραγεγονότα. ἐκδέχομαι ἀπό τινος βοήθειαν, ἤγουν προσδοκῶ βοήθειαν ἐξ ἐκείνου δέξασθαι.

Δέχομαι, αἰτιατικῇ συντάσσεται, διαδέχομαι ὁμοίως αἰτιατικῇ. καὶ ἀποδέχομαί σε τῆς σπουδῆς, καὶ ἀποδέχομαί σου τὴν σπουδήν.

Δέχομαι, θεῶμαι, λυτροῦμαι, ῥύομαι. ῥήματα παθητικῶς προφερόμενα, ἐνεργητικὴν σημασίαν ἔχοντα, ἐν μόνοις ἀορίστοις παθητικὴν ἔχουσι σημασίαν. οἷον ἐδέχθη, ἐθεάθη, ἐλυτρώθη, ἐρρύσθη.

Δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ, ἤγουν τὸ μαντικὸν σύμβολον. ἔτι δὲ σὺν ἄλλοις καὶ Σοφοκλῆς, ἐν τῷ Ὀρνιθαισίῳ, τουτέστιν εὐτυχεῖ· ταὐτὸν δὲ εἰπεῖν ἐναισίμῳ, κατὰ τὸ ἐναίσιμα σήματα φαίνων, ἤγουν αἰσίους οἰωνοὺς, εἴτουν ὄρνιθας. ἴσον γὰρ οἰωνὸν τοιοῦτον εἰπεῖν, καὶ ὄρνιν, καὶ σῆμα καὶ σύμβολον. καὶ συμβόλαιον δὲ τετρασυλλάβως· ὡς καὶ οἱ σύμβολοι, ἀρσενικῷ γένει, οἱ ἐν συναντήμασιν οἰωνοὶ τοιοῦτοί εἰσι.

Δέψα, ἡ βύρσα.

Δεψῆσαι κηρὸν, τὸ μαλάξαι. ἀπὸ τοῦ δέφω, δέψω, ἐξ οὗ καὶ βυρσοδέψης.

Δεψοποιὸς, βαφεὺς, ἁπαλυντής.

Δέω, τὸ δεσμεύω, σφηνῶ, τὸ φοβοῦμαι, τὸ πρέπω. ἐξ οὗ ἔδεον, εες, εε. καὶ κράσει, ἔδει, τὸ ἔπρεπε. τὸ ἱκετεύω, ἐξ οὗ καὶ δέησις.

Δέω, ἐπὶ μὲν τοῦ πρώτου προσώπου, σημαίνει τὸ ἐλλείπομαι. ὡς τὸ, πολλοῦ δέω, καὶ τὸ δεσμῶ. ἐπὶ δὲ τοῦ δευτέρου, τὸ δεσμεῖς. ἐπὶ δὲ τοῦ τρίτου, τὸ ἐλλείπει, καὶ τὸ δεσμεῖ, καὶ τὸ πρέπει, καὶ τὸ χρεία ἐστί. καὶ τὸ μὲν δεῖ ἀντὶ τοῦ πρέπει, μετὰ ἀπαρεμφάτου. τὸ δὲ δεῖ ἀντὶ τοῦ λείπει, μετὰ γενικῆς, οἷον πολλοῦ γε καὶ δεῖ, καὶ ἐνδεῖ ἀμεταβάτως. καὶ ἐνδεῖ μεταβατικῶς, ἀπὸ δοτικῆς εἰς γενικήν.

ΤΟ Δ. ΜΕΤΑ ΤΟΥ Η.

ΔΗ, καὶ δήπουθεν, δῆτα. τὸ μὲν δῆτα, καὶ δήπουθεν, ἐστὶ μὲν καὶ ἀργά. λαμβάνεται δὲ παρ᾽ Ἀττικοῖς, καὶ ἀντὶ τοῦ ὡς ἀληθῶς, καὶ φανερῶς. τὸ δὲ δὴ, λαμβάνεται καὶ ἀργόν. κυρίως δὲ, καὶ ἀντὶ τοῦ ἰδού. ὡς παρ᾽ Ἀριστοφάνει, καὶ δὴ βαδίζω, ἀντὶ δὲ τὸ κρεάδιον.

Δὴ, κεῖται ἐνίοτε συμπαραπληρωματικὸν, καὶ αὔξησιν δηλοῖ. ἐχρήσατο Ἀριστοφάνης, ὡς τὸ, Ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν. καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ.

Δὴ, ἀντὶ τοῦ νῦν.

Δὴ οὖν, σύνδεσμος.

Δηαπάχα, φθορὰ τῶν δένδρων.

Δήβοιλοι, κιθαρῳδοί.

Δὴ γὰρ, ἤδη γάρ.

Δηγῆ, ἤγουν σιωπᾷ.

Δῆγμα, παράδειγμα, καὶ σπάραγμα ὀδόντων.

Δήγηρες, οἱ στρουθοί.

Δηγοῖ, πληροῖ.

Δηεῖν, πολεμεῖν, φονεύειν.

Δήετε, εὑρίσκετε. καὶ δήεις, εὑρίσκεις. γίνεται παρὰ τὸ δέω, τὸ σημαῖνον τὸ εὑρίσκω. ἐξ οὗ τινὲς καὶ τὴν Δήμητρα Δηὼ λέγουσι, διὰ τὸ τοὺς ἐντυγχάνοντας αὐτῇ ζητούσῃ τὴν θυγατέρα λέγειν, δήεις, ὅ ἐστιν εὑρήσεις.

Δηεφένσωρ, ὁ ἔκδικος, χαρίεις.

Δηθὰ, ἤγουν ἐπὶ πολὺν χρόνον καὶ συχνά. ἢ, καὶ ἀεί.

Δηθαγόρον, ἐπιπολὺ λέγουσαν.

Δηθὰ ματεύσωμεν, ἐπιπολὺ ζητήσωμεν.

Δηθαιῶνες, οἱ μακρόβιοι, μακραίωνες.

Δηθάκις, πλειστάκις, πυκνῶς.

Δῆθεν, ὡς δὴ φησὶν, ἢ ἐντεῦθεν.

Δῆθεν, ὡς μάλιστα, ὡς δῆλον, ἐξεπίτηδες.

Δηθύνειν, ἐγχρονίζειν.

Δηθύνω, τὸ βραδύνω. παρὰ τὸ δηθὰ ἐπίρρημα, δηθύω, καὶ δηθύνω. Ὅμηρος, Οὐδὲ Πάρις δήθυνεν, ἤγουν δηθὰ, ἢ ἐπὶ πολὺ διέτριψε, καὶ ὡς εἰπεῖν ἐβράδυνεν.

Δηΐα, πεπονθυῖα, καταπεπολεμημένη, κατακεκαυμένη, πολεμία, δύστηνος.

Δηϊάλωτοι, αἰχμάλωτοι.

Δηΐεσθαι, διώξασθαι.

Δηΐοισι, τοῖς πολεμίοις.

Δήϊον πῦρ λέγει, πρὸς διαστολὴν τοῦ θυτικοῦ καὶ θείου, καὶ τοῦ γαμηλίου, καὶ τῶν τοιούτων.

Δήϊον, μάχης ἐπίθετον ὂν, ἐν τῷ δηΐου ἐκ πολέμου, εἰς ὄνομα γέγονεν αὐτῇ, ἐν τῷ, καὶ αἰνῆς δηϊοτῆτος.

Δήϊος πόλεμος, καὶ ἡ αἰνὴ δηϊότης, ταὐτὸ σημαίνουσι.

Δηιοτῆτος, μάχης.

Δηϊοῦν, ἐμάχοντο, ἐπορθοῦντο.

Δηϊόωντες χαλκῷ, ἤτοι δαίοντες, μερίζοντες, κόπτοντες.

Δηῒς, ἡ μάχη.

Δηϊώσας, ἐστὶ δαίω, τὸ καίω, καὶ κόπτω. ἐκ τούτου γίνεται δάϊος, καὶ δήϊος. καὶ ῥῆμα δηϊόω, καὶ συναιρέσει δηϊῶ. μέλλων, δηϊώσω. ἀόριστος, ἐδηίωσα. ἡ μετοχὴ, ὁ δηϊώσας, ὃ καὶ δηώσας γράφεται. καὶ δηωθῆναι, τὸ φθαρῆναι. καὶ δηϊωθέντων, αἰκισθέντων.

Δήκω, τὸ δάκνω, καὶ λυπῶ, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, Τί τὸν δάκτυλον δακὼν ζητεῖς; ὁ μέλλων, δήξω. ὁ παρακείμενος δέδηχα. ὁ παθητικὸς, δέδηγμαι. ὁ ἀόριστος, ἐδήχθην. ἡ μετοχὴ, ὁ δηχθείς.

Δηλαδή. τὰ τῆς βεβαιώσεως ἐπιρρήματα, τοῖς ὁριστικοῖς συντάσσονται. οἷον, δηλαδὴ τοῦτο ποιήσω, καὶ ἀντὶ τοῦ φανερῶς.

Δηλαινομένη, βλαπτομένη.

Δηλαίνουσι, παίζουσι.

Δηλαιστὴ, ἀθλία, ἐλεεινή.

Δηλάτωρ, ὁ κατήγορος.

Δηλατωρίαι, αἱ τῆς καταστάσεως τοῦ δημοσίου φόβου, παρὰ Ῥωμαίοις, αἱ εἰσαγγελίαι.

Δηλαυγῶς, ἄγαν φανερῶς.

Δήλεσθαι, θέλειν, βούλεσθαι.

Δηλὴ, βουλή.

Δηληγατίων, κατὰ Ῥωμαίους ἡ ἐκπαγὴ τοῦ σιτοπομπίου. καὶ ἡ ἀνόννα, μετακομιδή.

Δηληθήσονται, θεωρηθήσονται.

Δήλημα, βλάβη.

Δηλήμων, βλαπτικός. καὶ δηλήμων, κακοῦργος, λυμαντὴρ, λυμεὼν, κακῶς διαπραττόμενος.

Δηλήσασθαι ὅρκια, ψεῦσαι, βλάψαι. περιφραστικῶς τὸ ἐπιορκῆσαι, ὅπερ ἐστὶ βλάβη ὅρκων. καὶ δηλήσασθαι, ἤγουν βλάψαι, οὗ ἡ χρῆσις ἐστὶ καὶ παρ' Ἡροδότῳ. δηλέοντο γάρ φησιν, ἀντὶ τοῦ ἔβλαπτον. ἐκεῖθεν δὲ καὶ τὸ δηλητήριον. Σημείωσαι δὲ, ὅτι Ἡρωδιανὸς συζυγίας τῶν ῥημάτων διαφόρους, πολλάκις σημασίας ποιεῖ. δηλῶ μὲν γὰρ δηλώσω, τὸ φανερὸν ποιήσω. δηλῶ δὲ, δηλήσω, τὸ βλάψω. οὕτω καὶ νοῶ νοήσω, τὸ εἰς νοῦν λήψομαι. νοώσω δὲ, τὸ ἐμβαλῶ νοῦν. καὶ πολεμήσω μὲν, τὸ μαχήσομαι. πολεμώσω δὲ, τὸ κινήσω ἕτερον εἰς πόλεμον, καὶ εἰς μάχην. καὶ σταθμῆσαι, τὸ ζυγοστατῆσαι. σταθμώσασθαι δὲ, παρὰ Ἡροδότῳ, τὸ στοχάσασθαι. καὶ κηλήσω μὲν, τὸ θέλξω. ἐξ οὗ ἐν Ὀδυσσείᾳ κηληθμός. κηλώσω δὲ, ῥῆμα οὐ σεμνόν. ἐξ οὗ κηλωτὴ, ἡ πορνεία παρὰ Λυκόφρονι. καὶ βοήσω μὲν, τρανῶς φωνήσω. βοώσω δὲ, τὸ μεταμορφώσω εἰς βοῦν. καὶ τὸ σκηνῶ δὲ, σκηνώσω, ἐξ οὗ σκήνωμα. καὶ τὸ σκηνῶ δὲ σκηνήσω, ἀφ' οὗ οἱ σκηνῖται, διαφορὰν ἔχουσι φανεράν. ὁμοίως καὶ τὸ ζηλῶ, ζηλώσω, τὸ πρωτότυπον τοῦ ζηλῶ, τοῦ καὶ ζηλῶ ζηλήσω, τὸ τοῦ ζηλήμονος, ὃ ἐν Ὀδυσσείᾳ κεῖται. καὶ τὸ κυκλῶ κυκλώσω καὶ κυκλήσω, καὶ ῥῶ ῥύσω, ὅθεν ῥῆμα. καὶ ῥῶ ῥώσω, ἀφ' οὗ ῥῶσις. εἰ δὲ καὶ τὸ καὶ φηλῶ φηλήσω, καὶ φηλώσω, ὡς τὸ φηλώσας πρόμον παρὰ Λυκόφρονι, οἴδασι διαφοράν, χρὴ ζητῆσαι. γίνεται δὲ τὸ δηλῶ τὸ βλάπτω, ὅθεν καὶ ὁ δαλός. ὡς γὰρ ἀπὸ τοῦ πρήθω, τὸ καίω, μεταθέσει τοῦ ρ, καὶ τροπῇ τοῦ η εἰς ω γίνεται πέρθω, διὰ τοὺς ἑπομένους ἐμπρησμοὺς ταῖς πορθήσεσι. καὶ ὡς παρὰ τὸ δαίω τὸ καίω δῆρις ἡ μάχη, ἔτι δὲ καὶ δηΐς, οὕτω παρὰ τὸ δαίω δηλεῖσθαι, τὸ καυστικῶς βλάπτειν, ὡσεὶ καὶ δαλοῦ καίοντος.

Δηλήσας, κάμων, διαπραξάμενος.

Δηλήσεις, στάσεις.

Δήλησις, ὀργή, λώβησις, κακουργία, φθορά.

* Δήλημα, ἡ βλάβη, καὶ ὁ ὄλεθρος, παρὰ τὸ δηλῶ δηλήσω. καὶ δηλήμων, ὁ βλαπτικός. καὶ δηλήσασθαι τὸ βλάψαι. καὶ δηλήσασθαι ὅρκια, ἀντὶ τοῦ ἐπιορκῆσαι.

Δηλητήριον, φάρμακον ὀλέθριον.

Δηλιάς, ἡ ναῦς, καὶ ἡ Δημήτηρ. καὶ ὄνομα κύριον.

Δηλιασταὶ, οἱ εἰς Δῆλον ἐξελθόντες θεωροί.

Δήλιος, ὁ ἀπὸ τῆς Δήλου. Δῆλος γὰρ, ἡ νῆσος τοῦ Ἀπόλλωνος.

Δηλίου. Δήλιον, χωρίον τῆς Βοιωτίας.

Δήλιοι, οἱ ἀδελφὰς γεγαμηκότες.

Δηλονότι, παρὰ τὸ δῆλον τὸ φανερὸν, καὶ τὸ ὅτι ἐπὶ ἐπιστάσεως, σημαίνει τὸ πάνυ. δηλονότι γὰρ, τὸ πάνυ φανερόν.

Δήλονται, θέλουσι.

Δῆλον, ὁρατὸν, φανερόν. καὶ τὸ τοῦ Ἀπόλλωνος ἱερόν.

Δῆλος, νῆσος ἱερὰ τοῦ Ἀπόλλωνος, ὃ ἐστιν Ἡλίου. διὸ οὐ δῆλα γίνεται τὰ περὶ γῆν, ἀλλαχοῦ ἐγράφη. ἡ Δῆλος, μία τῶν Κυκλάδων νήσων, ἱερὰ Ἀπόλλωνος. ἡ πρὶν μὲν δῆλος, ὕστερον δὲ Ἀστερία, διὰ τὸ σχῆμα. πάλαι δὲ Ὀρτυγία, ἀπὸ τῆς ἀδελφῆς τῆς Λητοῦς.

Δήλου κακὸς βωμὸς, τὸ περιτρέχειν κύκλῳ τὸν ἐν Δήλῳ βωμὸν, καὶ τύπτεσθαι. ἤρξατο τούτου Θησεὺς διὰ χαριστήρια, τῆς ἀπὸ τοῦ Λαβυρίνθου φυγῆς.

Δηλῶ δηλήσω, τὸ βλάψω. ἐξ οὗ δηλήσονται καὶ ἐδηλήσαντο. δηλῶ δὲ δηλώσω, τὸ ἑρμηνεύω καὶ σαφηνίζω, δηλῶ σοὶ τοῦτο. Ἀριστοφάνης, Τούτῳ δήπου δηλοῖ τιμῶν τὸν πλοῦτον ἐκεῖνος.

Δήλων, ὁράσεων. καὶ δῆλοι, ὁράσεις, ἐνύπνια.

Δηλῶσαι, φράσαι, σαφηνίσαι, δεῖξαι, σημᾶναι, ἐκ τοῦ δηλῶ.

Δῆμα, διὰ τοῦ η, τὸν δεσμὸν σημαίνει. τὸ δὲ διὰ διφθόγγου, τὸν φόβον.

Δήλους, ἀπερικαλύπτους.

Δημαγωγεῖ, στρατηγεῖ, ἄρχει τοῦ δήμου.

Δημαγωγίας, ὀχλοποιήσεις.

Δημαγωγός, ὁ ἄρχων τοῦ δήμου. ὃς κατὰ χώραν δήμου τινὸς προεστάμενος, ἐπέγραφε τὰς οὐσίας ἑκάστῳ πρὸς τὰ δημόσια ὀφλήματα. οὕτω Χρύσιππος.

Δημαγωγοῦνται, στρατηγοῦνται.

Δημαγωγῶ, τὸ καθομαλίζω. ἐξ οὗ δεινὸς ῥήτωρ εἰς τὸ δημαγωγῆσαι τὸν δῆμον. καὶ τὸν δῆμον διοικεῖν σημαίνει.

Δημαίνετος, ὄνομα κύριον.

Δημαρέτιον νόμισμα ἐν Σικελίᾳ, ὑπὸ Γέλωνος κοπὲν, ἐπιδούσης αὐτῷ Δημαρέτης τῆς γυναικὸς εἰς αὐτὸ τὸν κόσμον.

Δημαρχία, ὅτε δῆμος ἄρχει, καὶ ὄνομα ἀξιώματος.

Δήμαρχος. Δείναρχος ἐν τῷ κατὰ Μόσχου, ἄρχων τίς ἦν ὁ δήμαρχος. οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρὰ τούτοις ἦν καὶ συνῆγον τοὺς δήμους ὁπότε δεήσειεν, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν. τούτους δέ φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ὑπὸ Κλεισθένους κατασταθῆναι, τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράτοις. ὅτι δὲ ἐνεχυρίαζον οἱ δήμαρχοι, δηλοῖ Ἀριστοφάνης, ἐν σκηναῖς καταλαμβανούσαις. καὶ δήμαρχος, ὁ ἐνεχυριαστής.

Δημαστεύεσθαι, ἐπιπολὺ ὑπερτίθεσθαι.

Δημεῖαι, αἱ τῶν δήμων συστάσεις.

Δημελέητος, ἐλεεινός.

Δημεύσας, δημοσιεύσας.

Δήμευσις, ἡ ἁρπαγή.

Δημεύειν, τὸ τινὸς οὐσίαν δημοσιεῦσαι. καὶ τὸ ἐνδημεῖν, ἔνιοι τὸ δημαγωγεῖν.

Δημεχθηλός, μισούμενος ὑπὸ τοῦ δήμου.

Δημήτηρ, εἰς γῆν ἀλληγορεῖται, ὡς οἱονεὶ γῆ μήτηρ οὖσά τις. ὅθεν καὶ πιθανῶς ὁ Ζεὺς αὐτῆς ἐρᾷ. ὃν τρόπον καὶ ὁ οὐρανὸς γῆς, καθ' ἕτερον μῦθον. καὶ ὅτι καλλιπλόκαμος λέγεται, διὰ τὰς τῶν φυτῶν τροπικῶς λεγομένας κόμας.

Δημηγορῶ ἀμεταβάτως, τὸ εἰς μέσον τοῦ δήμου ἀγορεύω. καὶ δημηγόρος, ὁ ῥήτωρ. καὶ δημαγωγὸς αὐτός. καὶ καταδημαγωγῆσαι τὸν δῆμον, ἀντὶ τοῦ καθομαλίσαι.

Δημητριάς, κριθὴ ἑξάστιχος.

Δημήτερος ἀκτὴ, τὸ ἀκρότατον καὶ ἐξοχώτατον τῶν δημητριακῶν καρπῶν, τῶν πυρῶν. μεταφορικῶς ἀπὸ τῶν ἀκρωτηρίων, καὶ τῶν ἐξεχόντων τόπων, τῶν παραθαλασσίων, ἢ ἄλευρον.

Δημήτριος, ὁ πύκτης. τοιοῦτοι δέ εἰσι καὶ οἱ πύκται, ἢ ἐπειδὴ ἐν ταῖς ἀμφισβητήσεσιν ἔτυπτον τοὺς ἀμφισβητοῦντας.

Δημιάσι πύλαις, κοιναῖς. ἐπεὶ προεστήκεσαν ἐν ταῖς πύλαις αἱ πόρναι. ὁ δὲ Ἀντίπατρος τὸ γυναικεῖον μόριον δημόσιον ἔφη. οἱ δὲ τὰς κεραμικὰς πύλας. πρὸς γὰρ αὐταῖς φασιν ἑστάναι τὰς πόρνας. μήποτε οὖν ἀντὶ τοῦ διομῆσι πύλαις, δημιάσιν εἶπε, διὰ τὴν ἐγγύτητα τῶν ὀνομάτων.

Δημίην, πόρνην. Κύπριοι.

Δήμιον, κοινὸν, δημόσιον, πολιτικόν.

Δήμιος οἶκος. καὶ δημόσιος, ὁ μὴ ἴδιος. ἢ δήμιος, ὁ τοὺς καταγνωσθέντας ἀναιρῶν. ἢ ὁ ὑπηρέτης τῶν βασάνων, καὶ κολαστὴς καθ' Ὅμηρον.

Δημιόπρατα, ἃ ὁ δῆμος ἐπιπράσκετο.

Δημιουργέω, μέλλων δημιουργήσω. ὅθεν δημιουργός.

Δημιουργεῖον, ἐργαστήριον.

Δημιουργός, οὐ μόνον μάντις, καὶ ἰατρὸς, καὶ τέκτων, ἀλλὰ καὶ κῆρυξ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας τ. καὶ ἰστέον, ὅτι δημιουργοὶ οὐ μόνον οἱ ῥηθέντες ἐλέγοντο, ἀλλ' ὕστερον καὶ οἱ τὰ πέμματα καὶ τοὺς πλακοῦντας ποιοῦντες. καὶ δηλοῖ αὐτὸ Ἀθήναιος ἐν τῷ, προὐνοοῦντο πεμμάτων αἱ δημιουργοὶ γυναῖκες. καὶ ἐν τῷ, δημιουργοὶ μέλιτος.

Δημιουργοὶ, ἢ οἱ κατὰ τὸ δημόσιον χειροτέχναι, οἳ καὶ κλυτοὶ εἰσι. διότι καλοῦνταί ποτε ἄλλοθεν, ὡς ἐτυμολογεῖ ὁ ποιητής. ἢ τεχνῖται δημόσια ἐργαζόμενοι, οὓς ὁ ποιητὴς καὶ πρὸς ὄνομα λέγων φησὶ, Μάντιν ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων, ἢ καὶ θέσπιν ἀοιδόν. Αἴλιος δὲ ὁ Διονύσιός φησιν, ὅτι δημιουργὸν Ἀττικοὶ λέγουσιν, οὔτε τὸν δημοσίᾳ μισθαρνοῦντα, ὡς Ὅμηρος. οὔτε τὸν δήμου προεστῶτα, ὡς οἱ Δωριεῖς, ἀλλὰ γυναῖκα πέσσουσαν πέμματα. Παυσανίας δὲ λέγει, ὅτι δημιουργοὶ αἱ τοῖς γάμοις τὰ σύμφορα πράττουσαι, αἳ τὰς νυμφίους φασὶν εἷλκον, καὶ ἱερουργίας ἐν γάμοις ἐποίουν, καὶ πόπανα παντοδαπὰ καὶ ἄρτους ἔπεσσον, καὶ τὰς κόμας διεθέτιζον. ὅτι δὲ καὶ Ἀττικὴ λέξις ὁ δημιουργός, δηλοῖ καὶ Ἡρωδιανός.

Δημιουργοὶ, σκευοποιοὶ τῶν κεραμίων. δημιουργοὺς δὲ ἐκάλουν, καὶ τὰς νῦν καλουμένας ὑπονυμφίδας, τουτέστι τὰς παρεστώσας τῇ νύμφῃ γυναῖκας. ὅθεν ἐστὶ καὶ Μενάνδρῳ δημιουργός. κοινῶς δὲ ἔλεγον δημιουργοὺς, τοὺς τὰ δημόσια ἐργαζομένους. ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας, ὡς ἐν εἰρήνῃ. καὶ δημιουργικῶς, ἀντὶ τοῦ τεκτονικῶς.

Δημιουργός, ὁ ἥλιος, ὅτι πάντα πέσσει, καὶ ἱερεῖ.

Δημιῶν, τὸν δῆμον διοικῶν.

* Δημιωστὶ, καὶ ἱερωστὶ, ἐπιρρήματα. ἐκ τοῦ δημίως καὶ ἱερῶς, πρὸς ὁμοιότητα τοῦ νεωστὶ καὶ τῶν ὁμοίων.

Δημοαλῆ, περιβόητον.

Δημοβόρον τὸν Ἀγαμέμνονα λέγει Ἀχιλλεὺς, ὡς αὐτὸν ἑαυτῷ τὰ κοινὰ δαπανῶντα.

Δημοβόρος, ὁ τὰ δημόσια ἐσθίων.

Δημογέροντες, οἱ τοῦ δήμου ἐντιμότατοι.

Δημοδέστερος, ἀσχημονέστερος.

Δημοδόκος, ἀοιδός.

Δημοειδέος, δημώδους, ὀχλικῆς.

Δημοθεῖς, θεωρόν.

Δημόθυσα, ἡ τοῦ δήμου θυσία.

Δημοθοινία, ἡ τοῦ δήμου εὐωχία, ἢ ἡ θυσία.

Δημόκοινον, δημόσιον, βασανιστὴς πόρνος, καὶ δήμιος.

Δημόκομπος, στωμύλος.

Δημοκοπεῖν, ἀντὶ τοῦ παίζειν.

Δημοκόλακας, τοὺς περὶ τὰ δημόσια ἀναστρέφοντας.

Δημοκλείδας, ξένος καὶ μοιχός. τοιοῦτος γὰρ ὁ Δημοκλῆς.

Δημοκώκυτος, ἀθρήνητος, ἀνελεήμων.

Δημοκόμπος, δημηγόρος, δήμῳ ἐπαιρόμενος.

Δημόκοινος, καὶ βασανιστὴς, καὶ δημόσιος, ὁ στρεβλῶν καὶ βασανίζων. ἔνιοι δέ φασι βασανιστὴν, τὸν ἐνεργοῦντα πρὸς τὴν βάσανον.

Δημολάλητος, περιβόητος.

Δημὸν, λίπος ἢ ὄχλον.

Δῆμον ὀνείρων, ὡς ἐπὶ ἐμψύχων καὶ σωματοειδῶν εἶπεν Ὅμηρος ἐν Ὀδυσσείας ω. νύκτωρ ἡμῖν ἐκεῖθεν δῆθεν ἐπιφοιτώντων. οἰκεῖον δὲ καὶ αὐτοῖς αἱ δυσμαὶ, οὐ μὴν αἱ ἀνατολαί. τοῖς γὰρ νυκτὸς, καὶ ἁπλῶς ἐν ὕπνῳ φαινομένοις, προσφυὲς καὶ τὸ νυκτῶδες τοῦ τόπου. δοκεῖ δὲ ὁ μῦθος διαιτικῶς τοπογραφεῖν, τάττων μετὰ τὸν Ὠκεανὸν τὴν Λευκάδα πέτραν, μεθ' ἣν τὰς ἡλίου πύλας, εἶτα τοὺς ὀνείρους, καὶ μετ' αὐτοὺς τὸν ἀσφοδελὸν λειμῶνα, περὶ ὃν αἱ ψυχαὶ ὁμοιότητά πως κατὰ τὸν μῦθον σώζουσαι τοῖς ὀνείροις. κατὰ τὸ, ψυχὴ δ' ἀποπταμένη, ἠΰτ' ὄνειρος πεπότηται.

Δημὸν ἐόντα ὀξυτόνως, δημώτην, καὶ ἕνα τῶν πολλῶν.

Δημονέστερον, ἀσχημονέστερον, διὰ τὸ ἐν ὄψει πάντων γινόμενον.

Δῆμον Ἐρεχθῆος, τὰς Ἀθήνας περιφραστικῶς.

Δημονήσιος χαλκός. δύο εἰσὶ πρὸς τῷ Βυζαντίῳ νῆσοι, κοινῇ μὲν δημόνησοι λεγόμεναι, ἰδίᾳ δὲ διαλλάττουσαι. ἡ μὲν γὰρ Χαλκῖτις, ἡ δὲ Πιτυοῦσα.

Δημοσιεύειν, τὸ δημόσια ὑπηρετεῖν ἐπὶ μισθῷ.

Δημοποίητος, ὁ ξένος μὲν ὢν τῇ φύσει, ὑπὸ δὲ τοῦ δήμου πολίτης γεγενημένος. ὃν δὲ τρόπον γίνονταί τινες δημοποίητοι, δεδήλωκε Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος.

Δῆμος, τριχῶς παρὰ τοῖς παλαιοῖς, πλῆθός τε γὰρ ἁπλῶς, καὶ πολιτικὸν σύστημα. ἐξ οὗ τὸ δημοκρατεῖσθαι εἴρηται. καὶ τόπος τις ἐν Ἰθάκῃ, οὕτω καλούμενος, ἔνθα τὰ τοῦ Ὀδυσσέως βασίλεια. τὸ, Ἰθάκης ἐνὶ δήμῳ, παρὰ Ὁμήρῳ, δύναται νοηθῆναι ἀντὶ τοῦ ἐκ τοῖς Ἰθακησίοις. ὥσπερ Τρώων ἐνὶ δήμῳ, ἤγουν ἐν τοῖς Τρωσίν. ἢ δῆμος, ὄχλος, πλῆθος, χορός.

Digitized by Google

τὰ συλληπτικὰ ὀνόματα, ὡς μὲν ἑνικὰ ἑνικοῖς συντάττονται ῥήμασιν. ὡς δὲ πλῆθος δηλοῦντα, δύνανται καὶ πληθύνεσθαι τῷ ῥήματι, οἷον ὁ δῆμος ἐστασίασαν, ὁ ὄχλος ἐξεβόησαν, τὸ πλῆθος ἠλάλαξαν, ὁ χορὸς ἔμελψαν. ὡς παρ' Ὁμήρῳ, ὡς φάσαν ἡ πληθύς. καὶ ἔστιν Ἀττικὸν σχῆμα. καίτοι εἶχεν ὁ ποιητὴς εἰπεῖν, ὡς ἔφαθ' ἡ πληθύς, ἀλλ' οὐκ ἠθέλησεν. ἐκ δὲ τοῦ δῆμος, πάνδημος, ἀπόδημος, συνέκδημος, παρεπίδημος, ἐπίδημος. Ἰστέον, ὅτι ὁ τῶν Ἀθηναίων δῆμος τὸ παλαιὸν εἰς τρία μέρη διῄρητο, εἰς τοὺς πεντακοσιομεδίμνους καλουμένους, οὓς διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα οὕτως ὠνόμαζον. καὶ τοὺς ἱππέας, καὶ τοὺς θῆτας. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι, ἦσαν εὔποροι. οἱ δὲ ἱππεῖς, ἧττον μὲν πεντακοσιομεδίμνων, μείζους δὲ τῶν τριακοσίων ἐγεώργουν μέτρων. ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον, διὰ τὸ δύνασθαι ἤν ποτε αὐτοῖς χρεία γένηται ἵππων, ἕκαστος ἵππον τρέφειν. ἦσαν δὲ τὸ μὲν πρότερον ἑξακόσιοι τὸν ἀριθμὸν οὗτοι, μετὰ δὲ ταῦτα τῆς πόλεως πληθυνθείσης, ἐγένοντο διακόσιοι πρὸς τοῖς χιλίοις. ὅθεν καὶ τὰς θυσίας, ἃς αὐτοὶ τέμποιεν ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας. ἐξῆν δὲ αὐτοῖς καὶ κομᾶν. ἡ δὲ τρίτη τάξις, ἦσαν οἱ θῆτες παρ' αὐτοῖς, οἷς οὐδὲ ἄρχειν ἐφεῖτο, ἢ δικάζειν, ἢ ἐκκλησιάζειν, μόνον ἵνα ἔχωσι τοῦ δικαστικοῦ, καὶ ἐκκλησιαστικοῦ τρέφοιντο.

* Δῆμος, τὸ πλῆθος τῶν ἀνθρώπων, καὶ τὸ πολιτικὸν κατάστημα, ἐξ οὗ τὸ δημοκρατεῖσθαι λέγεται. καὶ δῆμος μέρος τι τῆς Ἰθάκης οὕτω καλούμενον παρ' Ὁμήρῳ. καὶ δῆμος γαμῆ, ἡ πάνδημος πόρνη. δημὸς δὲ, κνίσσα, ἐπίπλους, τουτέστι τὸ λίπος, ὅτι παρὰ τὸ δαίω λέγεται.

Δημὸς, τὸ λίπος. ὀξύνεται μὲν πρὸς διαστολὴν τοῦ κατὰ ἀνθρώπους δήμου. πρὸς ὃ καὶ παίζει πού ὁ κωμικὸς δημὸν βοηόν, ὡς ἐν παρῳδίᾳ φράσας τὸν Ἀττικὸν δῆμον, οὐ διά τι βυγαῖον, ἀλλὰ διὰ τὸ ἁπλῶς ἀλόγιστον. καὶ οὕτω μὲν ὀξύνεται. γίνεται δὲ παρὰ τὸ δαίω, τὸ καίω. εὐέξαπτον γὰρ τὸ λίπος.

Δημοσθένης σοφὸς ἦν, καὶ Δημοσθένης τῶν σοφῶν ἦν. τὰ ἐπίθετα, τὰ χωρὶς ἄρθρων προφερόμενα, καὶ τῷ ὑπαρκτικῷ ῥήματι συμπιπτόμενα, δύνανται ἐπὶ πάσης πτώσεως καὶ παντὸς ἀριθμοῦ πληθυντικῇ γενικῇ μετὰ ἄρθρου προφέρεσθαι. οἷον ἀντὶ τοῦ εἰπεῖν, Δημοσθένης σοφὸς ἦν, λέγομεν Δημοσθένης τῶν σοφῶν ἦν, τουτέστιν εἷς ἀπὸ τῶν σοφῶν ἦν. ἀντὶ τοῦ εἰπεῖν, Δημοσθένους δὲ σοφοῦ ὄντος, Δημοσθένους δὲ τῶν σοφῶν ὄντος. ὁμοίως δὲ τὰ ῥήματα ἀναλύονται πρότερον εἰς τὸ ὄνομα ἐπίθετον, καὶ ὑπαρκτικὸν ῥῆμα, εἶτα τῇ αὐτῇ συντάξει δυνάμεθα χρῆσθαι. οἷον οἱ Λύκιοι συνεμάχουν τοῖς Τρωσί. πρότερον γὰρ ἐροῦμεν κατὰ ἀνάλυσιν, ὅτι οἱ Λύκιοι σύμμαχοι τοῖς Τρωσὶν ἦσαν. εἶθ' ὅτι οἱ Λύκιοι τῶν συμμάχων ἦσαν. ἢ καὶ μετοχῇ, τῶν συμμαχούντων τοῖς Τρωσὶν ἦσαν.

Δημοσθένης, ἢ Ἀντισθένης. τὰ παρὰ τὸ σθένος καὶ γένος ὀνόματα σύνθετα, κύρια μὲν ὄντα, παροξύνεται. οἷον Δημοσθένης, Ἀντισθένης, Διογένης, Θεαγένης. ἐπίθετα δὲ, ὀξύνεται, οἷον μεγασθενής, ἀσθενής, μονογενής, εὐγενής. κατὰ ταῦτα καὶ Ἀριστοφάνης καὶ Μητροφάνης, παροξύνεται κύρια ὄντα. ἀφανὴς δὲ, καὶ προφανὴς, καὶ διοφανὴς, ὀξύνεται ἐπιθετικῶς λεγόμενα.

Δημοσθένην, Ἀριστοφάνην, τὸν ἀληθῆ, τὸν ψευδῆ. τῶν ἐπιθέτων τὰς συνῃρημένας αἰτιατικὰς δίχα τοῦ ν Ἀττικοὶ καὶ πάντες Ἕλληνες προφέρουσι. τὰς δὲ τῶν κυρίων, μόνοι οἱ Ἀττικοὶ διὰ τοῦ ν προφέρουσι. καὶ ἐπ' αὐτοῖς μόνοις τὸν κανόνα ἐφύλαξαν, τὸν λέγοντα, δεῖν τὴν αἰτιατικὴν ἰσοσυλλαβοῦσαν τῇ εὐθείᾳ, διὰ τοῦ ν ἐκφέρεσθαι.

Δημοτιδάω, δωρεὰν ἐργάζομαι. Ἀριστοφάνης, ἀλλ' ὦ πόνηρε οὐ δημοτιδάων τυγχάνω. αἰτιατικῇ συντάσσεται.

Δημόσιον, δεσμωτήριον.

Δημόσιος, ὁ τῆς πόλεως δοῦλος, ὃς ὑπηρετεῖ τοῖς δικαστηρίοις καὶ τοῖς κοινοῖς ἔργοις. παρὰ τὸ δῆμος, δημόσιος καὶ δημόσιος.

Δημοσίων πραγμάτων διοικητὴς, οἷον φροντιστής.

Δημοσιώνης, εὐτελής.

Δημοστροφεῖν, ἐν δήμῳ ἀναστρέφειν.

Δημόσωσας, ὁ τὸν δῆμον σώζων, ἢ δημοδίωκτος.

Δημοτελὴς, ἡ δημοσία τελετὴ, καὶ ἡ δημοσία φορολογία.

Δημοτελῆ, καὶ δημοτικὰ ἱερὰ, διέφερον ἀλλήλων, καὶ ὀργεωνικῶν, ὡς Δείναρχος δηλοῖ ἐν τῷ κατὰ Στεφάνου.

Δημοτελῶς, παντὶ τῷ δήμῳ. καὶ δημοτευόμενος, ὁ μετὰ τῶν δημοτῶν.

Δημοτευόμενοι, δημοτεύεσθαί ἐστι, τὸ τοῦ δέ τινος δήμου κοινωνεῖν, καὶ χρηματίζειν ἀπ' αὐτοῦ. Ἀντιφῶν ἐν τῇ πρὸς Φίλιππον ἀπολογίᾳ, εἰ γνήσιος.

Δημότης, ὁ εἷς τοῦ δήμου. δημοτικὸς, ὁ φροντίζων ὑπὲρ τοῦ δήμου. δημόσιος, ὁ τὸν φόρον ἔχων εἰς δῆμον. δήμιος, ὁ τοῖς προστεταγμένοις ὑπὸ τῶν νόμων ὑπηρετῶν. καὶ δήμιος, ὁ ὑπηρέτης τοῦ δήμου. δημότης δὲ, ὁ μετέχων τοῦ δήμου.

Δημότης, Ἀττικοὶ ἄνευ τῆς σύν. ὡσαύτως καὶ πολίτης, καὶ ἡλικιώτης, καὶ γαστιώτης. ἡ δημότης δηλοῖ Ἀττικῶς, τὸν τοῦ αὐτοῦ δήμου μετέχοντα. καὶ Ἴωνες δὲ δημότας φασὶ τοὺς δημοτικούς. ἐπεὶ δὲ ἡ σύλληψίς τις τῷ δήμῳ συνυπακούεται, ἤγουν τῷ ῥηθέντι δημότῃ ἀνδρὶ, δοκεῖ ἐντεῦθεν δημοῦσθαι ῥηθῆναι παρὰ τῷ φιλοσόφῳ Πλάτωνι τὸ παίζειν, ὡς ἑρμηνεύει Αἴλιος Διονύσιος. δῆλον δὲ, ὅτι ἐκ τοῦ δημότης γίνεται Δωρικῇ τροπῇ τοῦ η εἰς α, καὶ ἐπενθέσει τοῦ ι ἐν τῇ παραληγούσῃ, ὁ Δαμοίτας τὸ κύριον, παρὰ Θεοκρίτῳ. καὶ δημότης, οὐ συνδημότης, ἤγουν ὁ τοῦ αὐτοῦ ὄντος καὶ δήμου ὤν. ὡσαύτως καὶ πολίτης, οὐ συμπολίτης. ἄνευ γὰρ τῆς σὺν δόκιμον. ὡσαύτως καὶ ἡλικιώτης, καὶ γαστιώτης. συμπότης δὲ, οὐ χωρὶς τῆς σὺν, ἀλλὰ μόνως τὸ πότης, λέγεται ἐπὶ μεθύσου, καὶ ἐπὶ λύχνου τοῦ ἀναλίσκοντος πολύ τι ἔλαιον.

Δημοτικὰ, τὰ τοῖς πολλοῖς ἐμπρέποντα.

* Δημοτικοὶ στίχοι οἱ καὶ πολιτικοὶ, ἐκ πεντεκαίδεκα συλλαβῶν συνίστανται, καὶ τροχαϊκῶς ποδίζονται.

Δημοτικῶς, πολιτικῶς.

Δημοῦσθαι, παίζειν, εὐφραίνεσθαι δημοσίᾳ. οὕτω Πλάτων. καὶ δημώτατα, παίγνια.

Δήμου ἄνδρα, δημώτην ἄνδρα.

Δήμου, πόλεως.

Δημούμενον, δημοκοποῦντα, παίζοντα, θωπεύοντα.

Δημοφάλιον, ἱερεῖον, ἀλλοῖον.

Δημόφαντον, δημόσιον.

Δημωφελεῖν, δῆμον ὠφελεῖν.

Δημώδης, παιδιώδης.

Δήμῳ, δημοσίᾳ.

Δημοδέστερος, ἀσχημονέστερος.

Δήμω ἀρίστω, ἀντὶ τοῦ δημώτας ἀρίστους, δυϊκῶς.

Δὴν, ἐπίρρημα σημαῖνον τὸ ἐπὶ πολὺν χρόνον. καὶ δὴν ἦν, ἀντὶ τοῦ ἐπὶ πολὺ ἔζη ἐπίρρημα. συντάσσεται τὸ δὴν, μετὰ ῥήματος ὑπαρκτικοῦ, καὶ οὕτως ἐμφαίνει δυνατὸν εἶναι. καὶ ἐν τῷ, ἤτοι Ἀθήνη ἀκέων ἦν, νοεῖται τὸ ἀκέων ἀντὶ ἐπιρρήματος. τοιοῦτον δέ ἐστι καὶ τὸ, ὄφρα δὲ Κουρήτῃ κακῶς ἦν.

Δὴν δ' ἄνεω, ἐπὶ πολὺ ἀχανεῖς, ἥσυχοι, ἄφωνοι.

Δὴν ἧστο, ἐπὶ πολὺ ἐκαθέζετο.

Δηναίριον, εἶδος ἀργυρίου, ὁλοκοτίνου ἴσην ἔχον ἰσχύν.

Δηναδείπτρα κατὰ Ῥωμαίους, δωρεὰ βασιλικὴ, στρατιώταις δεδομένη.

Δηναιὰ, ἀρχαῖα, καὶ ἄφορα δένδρα.

Δηναιὰν θάλασσαν, τὴν πολυχρόνιον. καὶ ἐξ αὐτοῦ δηναιὸς καὶ δηναιά. πολυχρόνιον καὶ παλαιὰν τὴν θάλασσαν λέγει, διὰ τὸ πρῶτον εἶναι στοιχεῖον, κατὰ Φερεκύδην, καὶ Θαλῆ.

Δηνάσας, διεξελθὼν, διεξῆλθες.

Δήνεα, τὰ βουλεύματα, παρὰ τὸ δὴν, ὃ σημαίνει τὸ ἐπὶ πολὺν χρόνον. ἀφ' οὗ καὶ δηναιὸς, ὁ πολυχρόνιος. χρόνου γὰρ χρεία τοῖς ὀρθὰ βουλευομένοις. κατὰ γὰρ τὴν τραγῳδίαν, φρονεῖν οἱ ταχεῖς, οὐκ ἀσφαλεῖς.

Δηξίθυμος ἅλμη. δηξίθυμος, ταυτόν ἐστι τῷ δακεθύμῳ, οἷον, δακέθυμος ἄτη.

Δήξω, λυπήσω, διὰ τοῦ η. δείξω δὲ ἀντὶ τοῦ φανερώσω, δίφθογγον.

Δήοιμεν, εὕροιμεν.

Δηὸς, βωβὸς, Κρῆτες.

Δηουμένη, ἀπολλυμένη, ἠρημωμένη, καταστρεφομένη, πορθουμένη.

Δηουμένων, ἀναιρουμένων.

Δὴ οὖν, χρὴ δὴ, ἢ χρὴ οὖν.

Δηοῦν, πορθεῖν, καταστρέφειν, κόπτειν, ἐκ τοῦ δηῶ.

Δηοῦς, Δήμητρος.

Δηπόρταος, ἐξορισμαῖος.

Δήπου, βεβαιωτικὸν ἐπίρρημα.

Δήπου, ποιητικῶς παρ' Ὁμήρῳ ἐν α Ὀδυσσείας κεῖται. ἄλλως δὲ παρὰ τοῖς ὕστερον Ἀττικοῖς, καὶ καὶ αὐτὸ καὶ τὸ δήπουθεν βεβαιωτικά εἰσιν, ὥσπερ δηλαδὴ καὶ τὸ πάντως, καὶ τὸ ἀμέλει.

Δήπουθεν, καὶ δῆτα. ἔστι μὲν ἀργὰ, λαμβάνεται δὲ παρὰ Ἀττικοῖς, καὶ ἀντὶ τοῦ ἀληθῶς, καὶ φανερῶς.

Δὴ ῥα, ἄρα δὴ ἤδη.

Δηράδες, βουνοί.

Δήρη, ἡ μάχη. καὶ δηρὴ, ὁ τράχηλος.

Δηρήσασθαι, μαχήσασθαι.

Δηριγένεια, ἡ ἡμέρα.

Δηριγευόμενος, ὀψικευόμενος. ἔστι δὲ ἡ λέξις Ῥωμαϊκή.

Δηρινθῆναι, ἀπὸ τοῦ δηρίνομαι.

* Δηρινθῆναι, χωρὶς τοῦ ν γραφόμενον, ἐκ τοῦ δηρίω δηρίσω κεκίνηται.

Δηριόωντες, ἀγωνιζόμενοι.

Δῆρις, ἡ μάχη, ἀπὸ τοῦ δαίρω τὸ τύπτω. ὡς τὸ, δῆριν ἀπηρεσίην.

Δηρίττειν, ἐρίζειν.

Δηρὸν, ἀντὶ τοῦ διὰ μακροῦ, ἀντὶ τοῦ ἐπὶ πολύ. ὡς τὸ, αὐτὰρ Ἀχαιοὺς δηρὸν ἐμοῖο, καὶ σῆς ἔριδος μνήσασθαι οἴω. ἡ δηρὸν ἐπιρρηματικῶς, τίθεται κατ' ἔλλειψιν τοῦ χρόνου. τὸ δὲ ἐντελὲς παρ' Εὐριπίδῃ ἐν τῷ, δηρὸν ἐκ Τροίας χρόνον πλαγχθείς. καὶ πολλῷ με δηρόν τε δὴ, κατείχετε χρόνον. ἄλλως δὲ καὶ πρὸς διαστολὴν ἐρρέθη, τοῦ ἁπλῶς χρόνου, ὃς καὶ ἐπὶ ὀλίγου λαμβάνεται. ὡς δηλοῖ ἐν τῇ β ῥαψῳδίᾳ τὸ, μείνατ' ἐπὶ χρόνον. φαίνεται γὰρ ἐκεῖ χρόνον, τὸν ὀλίγον λέγειν.

Δηρόπω, κακουργία.

Δῆσαι, ῥίψαι, βασανίσαι ἐν τῷ δεσμωτηρίῳ.

Δησάντων, ἀντὶ τοῦ δησάτωσαν.

Δήσας, ἀντὶ τοῦ δεσμεύσας, ἐκ τοῦ δέω, ῶ, τὸ δεσμῶ, ὁ μέλλων δήσω, ὁ ἀόριστος, ἔδησα. ἡ μετοχὴ, ὁ δήσας.

Δῆτα, λοιπὸν, ἢ οὕτως.

Δητὸς, ὕστερος.

Δητταὶ, αἱ ἐπτισμέναι κριθαί.

Δηὼ, Δηοῦς, ἡ γῆ, ἡ Δημήτηρ. καὶ διφορεῖται, ὥς φησιν ὁ Τεχνικὸς, οἶδε γὰρ ἡ παράδοσις, τὸ η μετὰ τοῦ ι καὶ χωρίς. εἰ μὲν μὴ ἔχει τὸ ι, λέγει ὅτι ἐστὶ παρὰ τὸ δύω, τὸ εὑρίσκω. καὶ γὰρ ἡνίκα περιήρχετο ἡ Δημήτηρ εἰς ζήτησιν τῆς θυγατρὸς αὐτῆς κατ' εὐφημισμὸν ἔλεγον πάντες, δήεις, τουτέστιν εὑρήσεις. ἢ ἐπειδὴ αὕτη ἐφεῦρε τὸν σῖτον καθ' Ἕλληνας. εἰ δὲ ἔχει τὸ ι, λέγει ὅτι γέγονε παρὰ τὸ δαίω τὸ κόπτω, κατὰ τροπὴν Ἰωνικὴν τοῦ α εἰς η, καὶ γὰρ ἡ Δημήτηρ γῆ ἐστιν, ἡ δὲ γῆ διακόπτεται ἐν τῷ ἀροτριοῦσθαι. ἢ ὅτι πολλὴν ἐδῄωσε γῆν, τουτέστι διέκοψε ζητοῦσα τὴν θυγατέρα αὐτῆς. ἢ παρὰ τὸ δαίω, τὸ καίω, ὅτι μετὰ λαμπάδων περιήρχετο ζητοῦσα τὴν θυγατέρα. τινὲς δὲ φασιν, ὡς λέγει ὁ Τεχνικὸς, ὅτι ὑποκοριστικόν ἐστιν ἀπὸ τοῦ Δημήτηρ Δηὼ, ἀγνοοῦντες τὸν σχηματισμὸν τῶν τοιούτων ὑποκοριστικῶν, τὰ γὰρ τοιαῦτα ὑποκοριστικὰ, θέλει φυλάττειν τὸ σύμφωνον τῆς δευτέρας συλλαβῆς τῶν ἰδίων πρωτοτύπων. οἷον Ὑψιπύλη, Ὑψώ. Εἰδοθέα, Εἰδώ. ἡ οὖν Δημήτηρ, Δημὼ ὤφειλεν εἶναι,

εἶναι, ἀλλ' οὐκ ἔστιν ὑποκοριστικὸν, ἡ Δηώ. ἢ Δηὼ τίς ἐστι κατὰ στοιχεῖον τοῦ γ, εἰς δ. ἢ ὅτι λυπουμένη διὰ τὴν θυγατέρα ἐδαίετο τὴν ψυχήν. ἢ Δηὼ, παρὰ τὰς δηάς. οὕτω γὰρ δηαὶ, προσαγορεύονται ὑπὸ Κρητῶν, αἱ κριθαί.

Δηῶ, τὸ τοὺς ἀγροὺς ἀφανίζω.

Δηωθέντων, ἀναιρεθέντων, καυθέντων·

Δηώσειαν, συμπλέξειαν, πολεμήσειαν, καταστρέψειαν, παρὰ Ἀπολλωνίῳ.

Δηώσωσι, κατακόψωσι, φονεύσωσι, καταπολεμήσωσιν.

ΤΟ Δ. ΜΕΤΑ ΤΟΥ Ι.

Δία, ἤγουν τὸν ἀέρα, ζωῆς εἶναι αἴτιον. τοιοῦτον δὲ καὶ τὴν δρῦν παλαίποτε χρηματίσαι, ὅτι οἱ ἄνθρωποι δρυκάρποις ἀπετρέφοντο. διὸ καὶ φηγὸς καὶ δρῦς λέγεται, παρὰ τὸ φαγεῖν. διὰ τοίνυν ταῦτα τῷ Διῒ τὴν δρῦν ἀνιέρωσαν, τὸ ζωοτρόφον φυτὸν τῷ ζωογόνῳ. ἦν τοίνυν καὶ πρὸ Τροίας, ἱερὰ τῷ Διΐ.

Διὰ, πρόθεσις. ὅτε μὲν συντάσσεται γενικῇ, δηλοῖ μεσιτείαν. οἷον, διὰ σοῦ ἐποίησα τόδε, μεσιτεύοντός σου δηλονότι. ὅτε δὲ αἰτιατικῇ, αἰτίαν. οἷον διὰ σὲ ἐποίησα τόδε. σημαίνει δὲ ἐν τῇ συνθέσει μερισμὸν, καὶ πλείονα ἔμφασιν. οἷον, διεγείρομαι, διανίσαμαι. καὶ ἐπὶ ἄλλης ἐννοίας, διῆλθον τὸ γράμμα, διέρχομαι τὸν δεῖνα τόπον. διὰ τέλους, καὶ εἰς τέλος, ἀντὶ τοῦ μέχρι τέλους Ἀττικοί. τὸ δὲ μέχρι καὶ εἰς τέλος, βάρβαρον.

* Διὰ πρόθεσις, ἀντὶ τῆς κατὰ. οἷον διὰ δῶμα ἰέναι. καὶ δι' ἄκριας, ἀντὶ τοῦ κατὰ τὰς ἄκρας τῶν ὀρῶν. καὶ διὰ νύκτα, ἀντὶ κατὰ νύκτα. καὶ διὰ στόμα, ἀντὶ τοῦ κατὰ στόμα.

Δία, ἡ Νάξος οὕτω πρότερον καλουμένη. Ὅμηρος, Δίᾳ ἐν ἀμφιρύτῃ. ἀπὸ τῆς Διὸς γενικῆς· διότι ἐν αὐτῇ ἐτράφη ὁ Ζεύς. Καλλίμαχος, ἐν Δίᾳ. τὸ, γὰρ ἔσκε παλαιότερον οὔνομα Νάξῳ. καὶ δῖα ἡ ἔνδοξος.

Δι' ἅλα, διὰ τῆς θαλάσσης. καὶ δίαλα, πορφυροειδῆ, ἢ διὰ τῆς μελαίνης θαλάσσης.

Διὰ ἁμαρτίας, τοῦτο ἐγένετο. διὰ σὲ, οὐδεὶς ἡμῶν βούλεται εὐφημεῖν. διὰ σοῦ ταῦτα πέπονθα. διὰ πόλεως πορεύομαι.

Διαβάθρα, εἶδος ὑποδήματος γυναικείου.

Διαβαίνει, κυρίως ἐπὶ ποταμοῦ. οἷον διαβαίνω τὸ ὕδωρ τοῖς ποσὶ, καὶ ποταμούς. καὶ ἀπὸ τούτου διάβασις. καὶ παρὰ Ἀριστείδῃ, οἱ μὲν ἄλλοι πάντες Ἕλληνες καὶ πάλαι τὴν διάβασιν, καὶ τότε ὁρῶντες.

Διαβαίνει, τὸ ἁπλῶς ἔρχεται. τὸ μεθίσταται, καὶ μεταβαίνει, τὸ μετατιθέναι ἀμεταβάτως. καὶ διαβαίνει, διεκπερᾷ. καὶ διαβὰς, ἐλθών.

Διαβάλλει τινά τις, ἤγουν ὡς κακὸν ἀποδείκνυσιν. οὐ μόνον δὲ τοῦτο συκοφαντικὸν ἔχει νῦν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἀπατᾶν καὶ παραλογίζεσθαι τίθεται παρὰ Θουκυδίδῃ. καὶ παρὰ τῷ κωμικῷ δὲ, ἐν τῷ, διέβαλλέ με γραῦς. καὶ διαβάλλειν, τὸ διασύρειν, καὶ ψέγειν, καὶ καταρᾶν, τινὸς μὴ παρόντος, αἰτιατικῇ συντάσσεται. ὅθεν διασυρμός. καὶ εὐδιάβολον παρὰ Πλάτωνι, τὸ εὐκόλως διαβαλλόμενον. διαβάλλω καθ' ἕτερον σημαινόμενον, τὸ διαστρέφω, καὶ μεταποιῶ ἀπὸ τοῦ κρείττονος πρὸς τὸ χεῖρον, καὶ συκοφαντῶ. ὅθεν διάβολος.

Διαβάλανα, κάρυα ποντικά.

Διάβαλον, μέλι καὶ μελίκρατον.

Διαβάλλεται, χρῶνται ἐπὶ τοῦ ἐξαπατᾶν, καὶ παραλογίζεσθαι.

Διαβάλλω, βασκαίνω, προσγελῶ, συκοφαντῶ. ὅθεν διαβολὴ, καὶ παρὰ Πινδάρῳ, διάβολος ἄνθρωπος. ὁμοίως παρὰ τῷ Δειπνοσοφιστῇ. οἱ πολλοὶ τῶν τοῦ Πλάτωνος μαθητῶν, διάβολοι γεγόνασι. καὶ ἐν τῷ, ὢν εἰσέβασιλεύε, φαῦλος ὢν καὶ διάβολος. καὶ διαβάλλω, ἀντὶ τοῦ ψευδῶς κατηγορῶ. καὶ διαβάλλω, ἀντὶ τοῦ ἀναγγέλλω. Ἀριστείδης, τοῦτο δ' ἐγὼ μὲν οὐδέποτ' ἂν φήσαιμι, ἄλλος δ' ἄντις εἴποι διαβάλλων.

Διαβάλλω, τὸ διαβαίνω, καὶ διαπερῶ, αἰτιατικῇ συντάσσεται. ὡς τὸ, μακρὰ πελάγη διαβαλόντες. ὥσπερ ὑπερβάλλω, τὸ ὑπερβαίνω.

Διάβασις, πορεία, γέφυρα, πέραμα.

Διαβάσκει, περιέρχεται, περιέπει.

Διαβασιλίζεται, τῆς βασιλείας ἀντιποιεῖται. διαβὰς, διελθών.

Διαβασταχθεὶς, διακομισθείς.

Διαβεβαιοῦνται οὐδὲν, ἀντὶ τοῦ ἀσύμφωνον.

Διαβέβλημαι ὑπὸ σοῦ, καὶ διαβέβλημαί σοι, καὶ πρὸς σὲ, ἀντὶ τοῦ διεβλήθην ὑπὸ σοῦ. καὶ ἀντὶ τοῦ διαβεβλημένως ἔχω πρὸς σε. Δημοσθένης, χαριεῖται μὲν οὐδετέροις, διαβεβλήσεται δὲ πρὸς ἀμφοτέρους. Φιλόστρατος, διαβέβληται πρὸς τὸν υἱὸν, ἀντὶ τοῦ κακὸν αὐτὸν ἡγεῖτο. καὶ διαβόλως, ἀντὶ τοῦ κακῶς, καὶ ἐπὶ διαβολῇ.

Διαβεβλημένος, ἀντὶ τοῦ καταπαιχθείς. καὶ γελασθεὶς λέγουσιν Ἴωνες.

Διαβεβόηντο, διατεθρύλληντο διὰ μέσον πάντων.

Διαβήματα, πορείας, περιπατήματα.

Διαβησείοντας, ἐρωτικῶς ἔχοντας διαβῆναι.

Διαβιασάμενος, παραναγκασθείς.

Διὰ βίου, διὰ παντὸς, ἀεί.

Διαβήτης, ἐργαλεῖον τοῖς τέχναις τῶν τοῦ λ στοιχείῳ παρεοικός. τούτου τὸ ἓν ἐντιθέντες μέρος, καὶ τὸ ἕτερον περιάγοντες καὶ χαράσσοντες, τὸ ὑποκείμενον ἴσον τηροῦσι διάστημα τοῦ κύκλου, ἐκ τοῦ κέντρου.

Διαβιῶσαι, ζῆσαι.

Διαβόητος, ὁ ἐπὶ κακίᾳ ἁπλῶς φημιζόμενος. ἐπιβόητος, ὁ ἐφ' ἑνί τινι κακῷ περιβόητος, ὁ ἐπὶ ἀρετῇ ἐγνωσμένος.

Διαβολή ἐστιν, ἡ λαθραίως κατηγορία.

Διαβολίαν, διαβολήν.

Διάβολος, ἐν τῷ Σατανᾶς. καὶ διάβολος διὰ τοῦτο, ὡς δυνάμενος βάλλειν καὶ ἐχθροὺς ποιεῖν τοὺς φίλους. καὶ ἔστιν ἐν τῷ δύναμις.

Διαβούλια, τὰ ἐκ λογισμῶν ἀτόπων πταίσματα.

Διαβούλιον, ὁ διαλογισμός.

Διάβουλοι, διπλοῖ, δίβουλοι.

Διαβουλία, ἀμφιβολία. ἐνθυμήματα, διαλογισμοί.

Διαβουλεῖρ, ὁ ἐν τοῖς ἴσοις πρόβολος. Λάκωνες.

Διαβούλομαι, ἀναπείθω, Θουκυδίδης.

Διαβυνὴν, τὸ ἐν τοῖς πότοις τράγημα, ὃ μεταξὺ ἐσθίομεν.

Διαβραχέος, ἀντὶ τοῦ συντόμως. Θουκυδίδης, Καὶ πέντε ναῦς τὰς ἄριστα πλευσάσας ὅπως ἐκπλώοιεν, διαβραχέος παραγενόμενοι.

Διαβρίθει, βαρύνει.

Διαβριθοῦς, ἰσχυρᾶς.

Διάβροχος, οἰνωμένος. Ὡς δὲ ἐμέθυεν ὁ πορνοβοσκὸς, καὶ διάβροχος ἦν πάνυ, τί μέλλομεν ἔφη;

Διαβρόχους, βεβρεγμένους.

Διαβύσσει, διακαμύσσει.

Διάγγαρον, διακέφαλον.

Διαγγελθῇ, κηρυχθῇ, διαδράμῃ.

Διαγγελλομένους, ἀντὶ τοῦ κελευομένους. Ξενοφῶν, Ἐγίνωσκον αὐτοὺς ἀπιέναι βουλομένους, καὶ διαγγελομένους.

Διαγγέλλει, ἀπαγγέλλει, διαδράμει.

Διαγγέλλω, ὥσπερ καὶ τὸ διακρύω, καὶ διανοίγω. ἡ διὰ τὸ διόλου καὶ μέχρι τέλους δηλοῖ.

Διαγεγονότος, παρελθόντος.

Διαγέγραπται, ἀντὶ τοῦ ἀνῄρηται, ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἐγράφοντο. Ἀριστοφάνης, Ὡς ἥδομαι, ὅτι πεντετάλαντός μοι δίκη διαγέγραπται, ἀντὶ τοῦ κατέξυσται, ἀνῄρηται.

Διάγει, τὸ διατρίβει ἀμετάβατον. καὶ παρὰ Ξενοφῶντι, Μετὰ δὲ τὴν μάχην εἰς Ἰταλίαν ἐλθὼν διῆγεν ἡσυχῇ. διάγει καὶ τὸ διαβιβάζει μεταβατικῶς, αἰτιατικῇ συντάσσεται. οἷον, διάγει τὸ στράτευμα ὁ στρατηγός. καὶ Λιβάνιος, διῆγε μὲν οὖν ὁ βασιλεὺς ἐπὶ τοὺς Πέρσας τὸ στράτευμα. διάγειν, παρέλκειν, καὶ ἐξαπατᾶν.

* Διάγειν τινὰ λέγεται ὁ πορθμεὺς, ἤγουν διαπεραιοῦν.

Διαγενὴς, εὐγενής.

Διαγίνεσθαι, ἀντὶ τοῦ διάγειν, καὶ ἁπλῶς διατρίβειν. καὶ μετὰ προθέσεως συντάσσεται. οἷον, διαγίνεται εἰς τὸν δεῖνα τόπον. καὶ λέγεται τὸ διέρχεσθαι, καὶ παρέρχεσθαι, ἀμεταβάτως. ὡς τὸ διαγενομένων ἡμερῶν, ἀντὶ τοῦ παρελθουσῶν. διαγίνεσθαι, καὶ τὸ διὰ τέλους καρτερεῖν. καὶ διαγίγνεται, ἀντὶ τοῦ διὰ τέλους ὑπέμεινεν. ὡς παρ' Ἀριστείδῃ, Μόνη γὰρ ὡς εἰπεῖν διαγέγονε πρὸς τὴν ἁπάντων τύχην διαγωνιζομένη, ἀντὶ τοῦ ἐκαρτέρησε διὰ τέλους.

Διαγινώσκω, τὸ διακρίνω. οἷον διαγινώσκειν ἕκαστον οὐ πάνυ ῥάδιον.

Διαγκωνισάμενος, ἐπ' ἀγκῶνος καθίσας. Ὁ δὲ διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος, καὶ ἀποβλεψάμενος εἰς τὸ ἄγαλμα τοῦ Ἀσκληπιοῦ, εἶπεν, ὦ δέσποτα τί ἐκέλευσας;

Διαγλαίνειν, διαλυμαίνεσθαι.

Διαγλαύσσουσιν, ἀντὶ τοῦ φωτίζουσιν, ἢ διαλάμπουσιν. ὅθεν καὶ ἡ Ἀθηνᾶ γλαυκῶπις. καὶ γλήνη, ἡ κόρη τῶν ὀφθαλμῶν, παρὰ τὸ γλαύσσειν, ὅ ἐστι λάμπειν. καὶ Εὐριπίδης ἐπὶ τῆς Σελήνης ἐχρήσατο, Γλαυκῶπις περιστρέφεται μήνη.

Διαγλάψας, διαγλύψας, διασκαλεύσας.

* Διαγλάψασα, κοιλάνασα.

Διάγματα, διασκεδάσματα.

Διαγνοὺς, διακρίνας, αἰσθόμενος, ἐπιγνοὺς, συνιεὶς, νοήσας.

Διάγνωθι, νόησον.

Διαγνώμη Ἀττικοὶ, οὐ διάγνωσις λέγουσι.

Διαγνῶναι, ἐπιγνῶναι.

Διαγόρας μετὰ τὴν ἅλωσιν Μήλου, ἐν Ἀθήναις ᾤκει. τὰ δὲ μυστήρια ηὐτέλιζεν, ὡς πολλοὺς οὖν ἐκτρέπειν τελετῆς. τοῦτο ἐκήρυξαν Ἀθηναῖοι κατ' αὐτοῦ, καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθης ἐν τῷ περὶ μυστηρίων, καὶ ἄλλοι. οὕτω μὲν ἐκήρυξαν, τὸν μὲν ἀποκτείναντα αὐτὸν, τάλαντον λαμβάνειν. τὸν δὲ ἀγαγόντα, δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο, κοινοποιῶν αὐτὰ, καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων, καθάπερ Κρατερὸς ἱστορεῖ. ἐκκεκήρυκται δὲ μάλιστα ὑπὸ τὴν ἅλωσιν τῆς Μήλου. οὐδὲν γὰρ κωλύει πρότερον. Μένανδρος δ' ἐν τῷ περὶ μυστηρίων, προφέρεται τῆς χαλκῆς στήλης ἀντίγραφον, ἐν ᾗ ἐπεκήρυξαν καὶ αὐτὸν, καὶ τοὺς ἐκδιδόντας Πελληνεῖς, ἐν ᾗ γέγραπται καὶ ταῦτα. Ἐὰν δέ τις ἀποκτείνῃ Διαγόραν τὸν Μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον. ἐὰν δέ τις ἀγάγῃ, λαβεῖν δύο. ἢ Διαγόρας, μελῶν ποιητὴς ἄθεος· ὃς καὶ κατὰ δαιμόνια εἰσηγεῖτο. καὶ ὁ μὲν Ἀρίσταρχος λέγει, Ἀριστοφάνην αὐτοῦ μνημονεύειν, ὡς ἐν εἰρωνείᾳ κειμένου καὶ χλευάζοντος. Ἄλλως.

Διθυραμβοποιὸς ὁ Διαγόρας ποιητὴς, συνεχῶς ἰακχεάδων. ἢ κωμικὸς, διθυραμβικὰ, τουτέστι διονυσιακὰ δράματα ποιῶν.

Διαγορεύει, ὁρίζει, θεσπίζει, διαγγέλλει, δημηγορεῖ, διάφορα λέγει.

Διάγραμμα, διάταγμα, ψήφισμα. Ὑπερείδης ἐν τῷ πρὸς Ἐπικλέα. τὸ ταττόμενον ἐν ταῖς συμμορίαις, ὁπόσον ἕκαστον ἄνδρα εἰσφέρειν δεῖ. ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τίμησιν τῆς οὐσίας. περὶ δὲ τούτων σαφέστατα δεδήλωκεν Ὑπερείδης, ἐν τῷ κατὰ χειροτονίας ἐν πλήθει γινομένης. Δημοσθένης ἔν τε τῷ κατὰ Τιμοκράτους, καὶ κατὰ Ἀνδροτίωνος.

Διαγραμμισμὸς, παιδιά τις ἑξήκοντα ψήφων λευκῶν καὶ μελαινῶν, ἐν χώραις ἑλκομένων. τὸ δὲ αὐτὸ, καὶ γραμμὰς ἐκάλουν.

Διάγραπτος δίκη, ἥτις καὶ ἐξεσμένη ἐλέγετο.

Διαγραφάριος, ὁ ἀπαιτῶν τὰ δημόσια.

Διαγράφει, ἀφανίζει, παρὰ τῷ Φιλοστράτῳ.

Διαγραφεὺς, ὁ καθισάμενος ἐν ταῖς συμμορίαις, ἐπὶ τῷ διακρῖναι πόσον ἕκαστος εἰσενεγκεῖν ὀφείλει.

Διαγραφὴ, ἡ συνθήκη, καὶ ἐπὶ ζωγραφικοῦ πίνακος.

Διαγραφὴ δίκης, ἡ διατύπωσις, ὅταν ἀπαλλαγῇ τοῦ ἐγκλήματος ὁ φεύγων. ἢ κατὰ συγχώρησιν τοῦ διώκοντος, ἢ κατὰ διάγνωσιν τοῦ

τυχόντος, καὶ μηκέτι παρὰ μηδενὸς ἐγκαλῆται, διαγραφὴ δίκης λέγεται.

Διαγράφων, ἀντὶ τοῦ σημειούμενος, καὶ ἀντὶ τοῦ παραλογιζόμενος. Ἀριστείδης, Οὐκ ἂν φθάνῃ διαγράφων πάσας ἀρχάς τε καὶ δυνάμεις ἁπλῶς.

Διαγράφω, τὸ ἐξαλείφω λέγομεν, οὐκ ἀπαλείφω. διαγράφω, τὸ περιλαμβάνω, αἰτιατικῇ συντάσσεται. οἷον, τοὺς νομιζομένους θεοὺς πάντας ὁμαλῶς διαγράφων.

Διαγράψαι, ἀντὶ τοῦ ἀνελέσθαι τὸ ἔγκλημα. λέγεται δὲ διαγράψαι, καὶ τὸ διαξῦσαι, ἀπὸ τῶν περιγεγραμμένων καὶ παρανομένων.

Διαγράψαντος, τινὲς μὲν ἀντὶ τοῦ καταβαλόντος, καὶ καταθέντος. ἔνιοι δὲ ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ.

Διάγω, τὸ διατρίβω, καὶ διάγω τὸ διεξάγω. οἷον, διῆγε τὰς βασιλείους φροντίδας. καὶ διάγω στάσιν, ἀντὶ τοῦ ἀφιστῶ. διάγω, καὶ τὸ βραδύνω. Θουκυδίδης διῆγε καὶ προφασίζετο. καὶ διάγω, τὸ διαβιβάζω. ὡς αὐτὸς διάγειν ἑαυτὸν καὶ τὴν στρατιάν. καὶ διάγω τὸ διαζῶ. καὶ διάγω ἐγώ, καὶ διάγω ἕτερον.

Διαγωγὴν, διαίρεσιν, διανομὴν, διέλευσιν.

Διαγωγὴ, ἀναστροφή.

Διαγωνιάσαντες, διενθυμηθέντες.

Διαδέδειν, διασπᾶν.

Διαδέχομαι, τὸ διὰ πολλῶν ἐρχόμενον ἀφ' ἑτέρου εἰς ἑτέραν ἐπ' ἐμὲ ἧκον δέχομαι. καθὸ διαδέχεταί τις τόνδε τὸν ταξιάρχην, ἀντὶ τοῦ, τὸ ἀξίωμα τοῦ ταξιάρχου, ὃ νῦν αὐτὸς ἔχει. τὸ γὰρ ἀξίωμα διαδόσιμον, οὐχ ὁ τὸ ἀξίωμα ἔχων. παραδέχομαι, τὸ πλησιάσαι δέχομαι, ἀποδέχομαι. καὶ ἀποδέχομαι, τὸ ἀσπασίως δέχομαι.

Διαδεῖ, δι' ὅπερ διαδέχεται.

Διάδηλον, καὶ φανερώτατον, ὅμοια, καθότι συγγενῆ ἀλλήλοις, καὶ τὸ δαίειν, καὶ τὸ φαίνειν. ὧν ἐκ μὲν τοῦ δαίειν, ὁ δῆλος. ἐκ δὲ τοῦ φαίνειν, ὁ φανερός. ὁ καὶ καλὸς διὰ τὴν φαῦσιν. ὡς ταυτίζεσθαι οὕτω τὸ καλὸν ἀστέρα καθ' Ὅμηρον, καὶ φανερώτατον ἀστέρα.

Διάδημα, τὸ βασιλικὸν ἔνδυμα. τάχα δὲ ἔνδυμα τὸ στέμμα τὸ τοῦ βασιλέως σύμβολον.

Διαδιδράσκει τὶς φυλακήν. ἀποδιδράσκει, ὅταν ἀφύλακτος ᾖ. καὶ διαδιδράσκει αἰτιατικῇ, διαφεύγειν καὶ διαδρᾶναι.

Διαδικασάμενος, ὀνειδίσας, διελέγξας. Ὃς διαδικασάμενος αὐτῷ περὶ τῆς ἀποστασίας, ἀπέκτεινε.

Διαδικαιοῦν, φανερῶς ἀποφέρεσθαι.

Διαδικασία, οὐχ ἁπλῶς πᾶσα δίκη, ἀλλ' ἐν αἷς περί τινος ἀμφισβήτησίς ἐστιν. ἢ διαδικασία ἐστὶν, ἣν ποιοῦνταί τινες τοῖς μέλλουσι χορηγεῖν. οὓς ἂν ὁρισθῆναι βούλωνται, πόσα χρὴ λειτουργεῖν αὐτούς.

Διαδοιδικίζειν, ὀρχεῖσθαι ἀσχημόνως.

Διαδοχὶς, οἱ μὲν ὑπόθεμα τῶν δοκῶν πλάγιον, ἡ τὰς ἄλλας δοκοὺς ἀναδεχομένη. οἱ δὲ, δοκῶν πλάγιον ὑπόθεμα.

Διαδόσεις, τὰς ἐκ διαιρέσεως ἴσας ἐπιβαλούσας δόσεις. Λυσίας.

Διαδοῦναι δίκας, τὸ τοῖς ἀδικουμένοις ἀποδοῦναι τὸ δίκαιον ὑπὸ τῶν ἀδικησάντων.

Διὰ δουρὸς, διὰ ξύλου, καὶ δέρματος.

Διαδράκοι, θεάσοιτο.

Διαδρᾶσα. ἀπὸ τοῦ δρῆμι, δρὰς δράντος, δρᾶσα, δράν.

Διαδρασιπολίτας, ἀντὶ τοῦ δειλοὺς, ἀποδιδράσκοντας τὴν πολιτείαν.

Διαδρᾶναι, διαφυγεῖν.

Διὰ δρυμὰ, δι' ὕλην.

Διαδύει, διαφθείρεται.

Διαδυώην, διαφυγεῖν.

Διὰ δώμασι, διὰ τὰ οἰκήματα.

Διὰ ἐπαίνου ἔρχεται ὁ δεῖνα Ἀττικοὶ, ἀντὶ τοῦ ἐπαινεῖται. καὶ διὰ ψόγου ἥκει, ψέγεται.

Διαείδεται, γνωρίζεται, φαίνεται.

Διαειπέμεν, διαλεχθῆναι.

Διαείσεται, ὃ παρισοῦνται, τὸ κείσεται. τὸ μὲν πρῶτον πρόσωπον ἁπλοῦν κείσομαι. τοῦτο δὲ πρόσθεσιν ἔχει καθὰ τὸ εἰπὲ, δίειπε.

Διαείσεται, γνωρίσει, διαγνώσεται, γνώσει, δείσεται.

Διάζει, φλυαρεῖ, ἀλογεῖ.

Διαζάγνυω, τὸ διαζάγνυμι.

Διάζαξις, διαχώρησις.

* Διαζύγιον, ὁ χωρισμὸς τοῦ κατὰ γάμον ζυγοῦ.

* Διάζαγμα, τὸ διάφραγμα.

Διαζηλοτυπούμενοι, φθονερῶς διακείμενοι.

Διάζωμα, τὸ περὶ τὰ αἰδοῖα σκέπασμα.

Διαζωννύω, διαζώννυμι.

Διαήσει, διαπνεῖ. καὶ διαήσει, διατέμψει. διάησι δὲ, διέρχεται παρ' Ἡσιόδῳ.

Δῖα θεάων, ἀντὶ τοῦ διοπέτη.

Διαθέει, διαφεύγει, διατρέχει.

Διαθέῃ, διορύξοι.

Διαθέλοιμεν, διαγωνιζοίμεθα, κάμοιμεν, ἐργαζοίμεθα. ἆθλος δὲ τὸ ἔργον, καὶ τὸ ἀγώνισμα, καὶ τὸ ἔπαθλον.

Διαθέουσα, διατρέχουσα.

Διαθέσθαι, ἀντὶ τοῦ ἀποδόσθαι.

Διαθέσει, διακοσμήσει. καὶ διαθέσει, τιμωρήσεται, κολάσεται, ἢ πράξει.

Διάθεσίς ἐστιν, ἡ κατὰ συμβεβηκὸς τοιάδε ἑκάστου ποιότης εὐκίνητος, ἀγάπη.

Διαθέτης, διοικητὴς, ἐπιμελητής.

Διαθεῶ, ἀντὶ ὅρα, προστακτικὸν, ἐκ τοῦ θεάομαι, ὦμαι.

Διαθέων, διατρέχων.

Διαθήκας γράφειν τὶς λέγεται, οὐ διαθήκην. καὶ διαθήκη, ὁ νόμος. Δαβίδ.

Διαθήκη, συνωμοσία, ἑνικῶς οὐ πληθυντικῶς, τὰς διαθήκας ἔλεγον. δηλοῖ δὲ καὶ διάστασιν, διαίρεσιν, διάκρισιν, διάθεσιν.

Διαθήσομαι, συντελέσω.

Διαθλίβειν, ἔστιν ἐν τῷ βλιμάζειν.

Διαθλοῦντες, πονοῦντες.

Διαθρόντα, διαθρήσαντα, διιδόντα.

Διαθρύπτει ἐνεργητικῶς, ἀντὶ τοῦ ἄρτον διαμερίζει. ὡς ὁ Θεολόγος, Καὶ διαθρύπτει πεινῶσι πνευματικὸν ἄρτον.

Διαθρύπτεται, παθητικῶς, ἀντὶ τοῦ ἑταιρικῶς σχηματίζεται. καὶ διαθρύπτεται, διαῤῥεῖται ὑπὸ τρυφερότητος.

Διαθρύψεις, συγκόψεις.

Διαθῶ, ἀντὶ τοῦ διέλθω, ἐκφράσω.

Δίαιθρον, διαφανὲς, καθαρὸν, δίυγρον.

Διαίνεσθαι, βρέχεσθαι. διαίνω γὰρ τὸ ὑγραίνω. καὶ διαίνεσθαι, ἀντὶ τοῦ διαπολλᾶν, ἐξαπατᾶν, ποικίλλειν.

Διαίνω, τὸ βρέχω παρὰ τὸν Δία. κυρίως γὰρ τὸ ἐκ Διὸς βρέχεσθαι. διός, διῶ, διαίνω, ἤγουν ὑγραίνω. καὶ διαίνω, τὸ ὑγραίνω. οὕτω καὶ Ζάς, καὶ δαίω. τὸ μὲν δαίω τὸ ἐλλείπω, ἄλλως ἔχει. ἐκ τοῦ δέω γὰρ ἐκεῖνο, αἰολικῇ ἐπενθέσει τοῦ υ γίνεται. ἀπ' αὐτοῦ δὲ ὁ δαίτερος, καὶ ὁ δαίτατος.

Διαίρεσίς ἐστι, συλλαβῆς δίφθογγον ἐχούσης ἀνάλυσις. ἢ διάλυσις εἰς δύο συλλαβάς. τὸ δὲ πάθος Ἰώνων καὶ Θετταλῶν, οἷον κοῖλον κόϊλον. οἰωνὸς ὀϊωνὸς, παῖς πάϊς, καὶ βέλεος ἀντὶ τοῦ βέλους. τινὲς δὲ καὶ τὸ Διομήδεος, καὶ τὸ Δημοσθένεος, διαίρεσιν λέγουσι.

Διαίρω, τὸ διανοίγω ἐπὶ χειλέων, ἢ ἐπὶ ὀφθαλμῶν λεγόμενον. ὡς Δημοσθένης, διάρας τὰ χείλη. καὶ ὁ Θεολόγος, καταδιάρας τοὺς ὀφθαλμοὺς, ἀντὶ τοῦ διανοίξας, καὶ ἀναπετάσας. διαίρω ἐπὶ τοῦ στόματος, ὡς τὸ διάραι στόμα.

Διαιρῶ, τὸ τὰ ἡνωμένα χωρίζω, καὶ διακρίνω. Ἀριστοφάνης, χαλεπὸν οὖν ἔργον διαιρεῖν.

Διαιρεῖται, διαμερίζεται, τὰ διὰ τοῦ αιρῶ ῥήματα, καθόλου περισπᾶται. οἷον διαιρῶ. ἢ διαιρῶ μὲν, τὸ τέμνω. καὶ διαιρεῖσθαι τὸ παθητικὸν, καὶ διαιρῶν, αἰτιατικῇ, ἀναπτύσσων, δοκιμάζων, καὶ διακρίνων τὰ πράγματα, καὶ οἷον διαίρεσιν αὐτῶν ποιῶν. καὶ διαιρῶν ἀκριβῶς, ἀντὶ τοῦ ἐπιμελῶς καταμερίζων.

Δίαιτα τοῦ οὐρανοῦ, τὸ φαγεῖν τὸ ποιεῖν.

Δίαιτα, ἡ ἀναστροφὴ, καὶ ἡ παρὰ τῶν ἰατρῶν ὁριζομένη τροφή. ἐκδεδιῃτημένος δὲ λέγεται, ὁ ἀκόλαστος, καὶ ἔξω διαίτης. καὶ συνδιαιτῶμαι, τὸ συνδιάγω τινὶ, καὶ συναναστρέφομαι. ἡ δίαιτα κοινῶς, ἡ διατριβὴ καὶ διαγωγή. καὶ διαιτῶμαι ῥῆμα, τὸ μετὰ διαίτης ζῶ. δίαιτα Ἀττικῶς, καὶ ἡ καθ' αἵρεσιν κρίσις. καὶ διαιτῶ ῥῆμα, τὸ καθ' αἵρεσιν κρίνω. ἐξ οὗ καὶ διαιτηταί. δίαιτα, καὶ αὐτὴ ἡ ψῆφος καὶ ἀπόφασις, ἡ παρὰ τῶν δικαστῶν. δίαιτα καὶ ἡ καταγωγὴ, καὶ ἡ ἀναστροφή.

Διαιτητὴς, κριτὴς, βασανιστής.

Διαιτεῖν, διατρέχειν, διανύειν.

Διαιτηταὶ, οἱ ὑπεράνω τῶν πεντήκοντα νομισμάτων δίκας κρίνοντες. ὡς εἶναι τοὺς διαιτητὰς, μεγίστους κριτάς. ἢ οἱ ὑπὲρ πεντήκοντα ἔτη γεγονότες, καὶ καθαροὶ πάσης αἰτίας ὑπειλημμένοι.

Διαιτητήριον, ἐν ᾧ διαιτῶνται.

Διαιτητὸς, ὁ μὴ κατὰ κλῆρον δικαστής.

Δίαιτρον, δίοπτρον, διαφανές.

Διαιτῶ, τὸ τρέφω. καὶ διαιτῶμαι, τὸ τρέφομαι. καὶ ἐνδιαιτῶμαι τῷδε τῷ τόπῳ, ἤγουν διάγω, καὶ ἐνδιατρίβω. καὶ διαιτῶ κατὰ ἰατροὺς, τὸ τοῖς ἀσθενοῦσι σῖτα παρακελεύω προσφέρειν, τοιάδε, ἢ τοιάδε, δηλαδὴ θερμὰ ἢ ψυχρά. καὶ διαιτῶ, τὸ διαιρετῶς κρίνω. καταδιαιτῶ δέ σου, ἀντὶ τοῦ καταψηφίζομαί σου.

Διαιτῶν, δικάζων. καὶ διαιτῶν, τὸ ἴσον νέμων, δοτικῇ.

Διαιωνιεῖ, δι' αἰῶνος παραμενεῖ.

Διακαλαμάσαρκες, παρὰ Ῥοδίοις οἱ ἔριφοι, οὕτως ἄρηνται. ἐν νομῷ τινὶ, οἱ τὴν καλάμην τῶν σπερμάτων ἐπιβεβοσκημένοι.

Διακαυνιάσαι, ἤγουν διακληρώσασθαι. ἄλλως καυνιᾶσαι, κληρωθῆναι.

Διακαυνιῶσαι, διακληρῶσαι. καῦνος γὰρ λέγεται ὁ κλῆρος.

Διακεισομένων, διακειμένων.

Διάκειται, τὸ διάθεσιν ἔχει. καὶ ἀντὶ τοῦ συμβαίνει, καὶ ἀντὶ τοῦ ἁπλῶς ἐστιν. ὡς Ἀριστοφάνης, Ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος διάκειται. καὶ καλῶς διάκειμαι, καὶ κακῶς διάκειμαι λέγομεν.

Διακεκναισμένος τὸ χρῶμα, ποιηταί. διεφθαρμένος, λογογράφοι

Διακέκοπται. οἷον ἀδόκιμόν ἐστι. διέκοπτον γὰρ τὸ ἀδόκιμον νόμισμα οἱ παλαιοί.

Διακεκορῆσθαι, διαπεπαρθενεῦσθαι, τετμῆσθαι τῇ μίξει.

Διακεκριμένως, διακεχωρισμένως.

Διακεκρίσθω, ἀφοριζέσθω.

Διακέκοπται, ἀντὶ τοῦ δεδοκιμάσθαι. ἡ μεταφορὰ ἀπὸ τοῦ διακοπτομένου ἀδοκίμου νομίσματος.

Διακενῆς, ματαίως.

Διάκενος, ἡ κενή.

Διακεντήσει, προσηλώσει.

Διακένῳ, κούφῳ.

Διακέρσαι, διακόψαι, παραβῆναι.

Διακεχαραγμένος, ξίφεσι πεπληγμένος. Ὁ δὲ διεσώθη εἰς τὸν Ναρσῆν, διακεχαραγμένος τὸ σῶμα.

Διακεχειρεῖσθαι, πορθεῖσθαι.

Διακεχληδὼς, διαῤῥέων ὑπὸ τρυφῆς.

Διακεχλιδέναι, θρύπτεσθαι.

Διακεχρημένον, ἀντὶ τοῦ κατὰ μέρος δεδανεισμένον. Δημοσθένης.

Διακεχυμένοι, ἐκλελυμένοι τὴν ψυχὴν ὑπὸ χαρᾶς.

Διακέχωσται, ἤγουν ἀνέστηκεν, ἐν ὕψει ἐσκάφθαι. ὅθεν χώματα πάντα, ὅσα σωρεύοντες, τὴν γῆν ἀνεστηκέναι ἐποίουν, εἴτε ἐπὶ νεκροῖς, εἴτε ἐπὶ ἄλλοις τισί.

Διακηρυκεύεται, διὰ κηρύκων συνθήκας, ἢ πρεσβείας ποιεῖται. παρὰ τὸ κήρυξ κήρυκος, κηρυκεύω, καὶ διακηρυκεύω.

Διακίγκλισον, διάσεισον. κίγκλος δὲ ὄρνεον, ἡ καὶ σεισοπυγίς.

Διακίνει τὸν νοῦν, παρὰ Ἀριστοφάνει, ἤγουν γύμναζε.

Διάκινον, δυσκίνητον. Κρῆτες.

Διακλάσας παρ' Ὁμήρῳ, ὠνοματοπεποίηται. καὶ ἔστι λειότερον ἤπερ ἡ θραῦσις. οὕτω δὴ καὶ τὸ λακεῖν, καὶ λακίζειν, εὐφωνότερόν ἐστι τῆς θραύσεως. καὶ τὸ φλᾶν δὲ καὶ θλᾶν,

ἀφ' οὗ

Digitized by Google

ἀφ' οὗ καὶ τὸ θλάσμα, κατὰ τὸ κλάσμα. καὶ θλασίας βοῦς. ὥσπερ καὶ ἀπὸ τοῦ κλῶ κλάζω, καὶ πλεονασμῷ ὀχλάζω, καὶ δίφρος ὀχλαδίας.

Διακληθέντες, ἐξαπορήσαντες, κωλυθέντες, εἰρχθέντες, καὶ πάσης ἀθρόον ἀγορᾶς ἀποκληθέντες, ἐν ἀκαρεῖ χρόνῳ ἐκινδύνευον διαφθαρῆναι.

Διακλιμακίσας, διαπαλαίσας. κλίμαξ γὰρ καὶ κλιμακισμὸς, πάλαισμα ποιόν.

Διακλονῶν, διασείων, δονῶν.

Διακλῶν, διαθρύπτων.

Διακναίη, ἀποκναίη, παρὰ τῷ Ἱπποκράτη.

Διακναιόμενον, διαπονούμενον, καὶ φθειρόμενον.

Διακναιόμενος, ξεόμενος. καὶ διακεκναισμένη, διεφθαρμένη.

Διακναισθήσεται, διαφθαρήσεται. ὡς ἐπὶ τυροῦ τοῦτο λέγει Ἀριστοφάνης. Ὅμηρος, ἐπὶ δ' αἴγειον κνῆ τυρόν. κναίειν γάρ ἐστι κυρίως, τὸ τὸν τυρὸν ξύειν τῇ κνήστῃ.

Διακοινώνησον, διαστείθησον ἐν τῇ πορείᾳ. ἔνιοι, πόνησον.

Διακοιρανέοντα, βασιλικῶς ἐπερχόμενον. ὑῶς κοίρανον διαπορθούμενον διέποντα.

Διακομισθεὶς, διελθὼν, βασταχθείς.

Διακονῆσαι, κατεργάσασθαι, ἀπολέσαι, βλάψαι.

Διακονὶς, ἐπὶ ὑφῆς ἱματίου ἀνωμάλου, ὃ φαμὲν κονίζειν, καὶ ἄνθρωπος ὁ μὴ πυκνός. καὶ διακονὶς, διακόσμησις.

Διακονίσαι, διακαῦσαι, ἀπὸ τοῦ κονίσαι. ὅπερ ἐστὶ, πίσσῃ χρῖσαι.

Διακόνιον, οἱ μὲν τὴν τοῦ πλακοῦντος κρηπῖδα. ἢ μάζαν, ἢ ζωμόν.

Διάκονος, παρὰ τὸ ἐνέγκω, τὸ προσενέγκω, καὶ ἐν συνθέσει διενέγκω, διαένοκος, καὶ καθ' ὑπερβιβασμὸν διάκονος. καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς α μακρὸν, διάκονος, ὁ διαφέρων τὰ κελευόμενα. τινὲς παρὰ τὸ κονεῖν, τὸ ὑπηρετεῖν.

Διακονοῦμαι λέγομεν, οὐ διακονῶ. καὶ συντάσσεται δοτικῇ.

Διακονουμένων, ὑπηρετούντων, ἢ ἀποκρίσεις τινὰς ἐκπληρούντων.

Διακοπὴ, διαίρεσις, διαχωρισμός.

Διακορεῖς, πεπληρωμένους. ὡς τὸ, Ἰδὼν αὐτοὺς διακορεῖς μέθης ὄντας. καὶ διακορεῖς, μεμεστωμένοι.

Διακορεῦσαι, διαπαρθενεῦσαι, οἱονεὶ διαπτεμεῖν.

Διακορής εἰμι, ἀντὶ τοῦ ὑπερκορὴς, εἰς κόρον ἦλθον. διάκορός εἰμι, πέρα κόρου προελήλυθα, κατάπλεώς εἰμι.

Διακρίζεσθαι, βλέπειν, ἀτενίσαι.

Διακορῶ, κόρην διαφθείρω.

Διακοσμηθεῖμεν, ἐκ τοῦ κοσμηθείημεν, κατὰ συγκοπήν.

* Διακοσμεῖν, τὸ εὐκόσμως τάττειν. καὶ διακοσμηθῆναι τὸ διόλου κόσμιον γενέσθαι.

Διακόσμησις, τοῦ παντὸς ἡ διάθεσις, μέση ἡ γῆ, κέντρου λόγον ἔχουσα. μεθ' ἣν τὸ ὕδωρ σφαιροειδὲς, ἔχον τὸ αὐτὸ κέντρον τῇ γῇ, ὥστε τὴν γῆν ἐν ὕδατι εἶναι. μετὰ τὸ ὕδωρ δὲ ἀέρα ἐσφαιρωμένον. κύκλους δὲ εἶναι ἐν τῷ οὐρανῷ, πέντε.

Διακόχλῳ, ὁ μεταξὺ χρόνος, καὶ διάστημα χρόνου.

Διακραδαίνοιντο, κινοῖντο. κραδαίνειν γὰρ, τὸ κινεῖν.

Διακρεῖς, οὐ μόνον Εὐβοέων τινὲς, ἀλλὰ καὶ Ἀθῆναι, καὶ τόπος τῆς Ἀττικῆς, καὶ ἡ χώρα.

Διακρία, ἡ Εὔβοια. καὶ Διακριεῖς, οἱ Εὐβοεῖς, ἀπὸ ὄρους τῆς Εὐβοίας. εἴρηται ὅτι ἔν τινι ὄρει τῆς Εὐβοίας διεκρίθησαν πρὸς ἀλλήλους περὶ τοῦ καλλίστου τῶν γεγονότων, Ἥφαιστος καὶ Ἑρμῆς καὶ Ἀθηνᾶ. καὶ Ἥφαιστος μὲν, ὅτι ἄνθρωπος θαυμάσιον θεῶν ἔργον. Ἑρμῆς δὲ, οἰκίαν χρησιμώτατον. Ἀθηνᾶ δὲ, βοῦν. ἀπὸ τῆς διακρίσεως οὖν, τό, τε χωρίον, καὶ οἱ Εὐβοεῖς, ἀπὸ μέρους ὠνομάσθησαν. καὶ διακρία, ἡ ἀπὸ Πάρνηθος εἰς Βαβυλῶνα.

Διακριβοῦν, ἀκριβῶς ἐξετάζειν.

Διακριδὸν, ἤγουν κατὰ ἐπίκρισιν, καὶ ἐπιλεγδην.

καὶ ὡς ἐξαίρετον, μετὰ διακρίσεως. ὥσπερ δὲ ἀπὸ τοῦ παρακλίνειν τὸ παρακλιδὸν, οὕτω καὶ ἐκ τοῦ διακρίνειν τὸ διακριδόν. ἢ διακριδὸν, ἤγουν ἐκκρίτως. ἀναλογίας ἐστὶ, τῆς τοῦ παρακλιδὸν, ὃ ἐν Ὀδυσσείᾳ κεῖται. καὶ τῆς τοῦ νοσφιδόν. διακριδὸν παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ διωρισμένως καὶ ἐκτεταμένως κεῖται.

Διακριθὲν, διαχωρισθὲν, διϋλισθέν.

Διακριθήμεναι, χωρισθῆναι. καὶ διακριθῆναι, ὁμοίως.

Διακρίνασθαι, διαχωρίζεσθαι.

Διακρίνειν ἐστὶ, τὸ πρᾶγμα τοῦ πράγματος διϊστᾶν, καὶ χωρίζειν.

Διακρίνεται, ἀμφιβάλλει, ἀπιστεῖ.

Διακρινθεῖτε, ἀντὶ τοῦ διαχωρισθείητε. τὸ θέμα διακρίνω διακρινῶ, διακέκρικα, διακέκριμαι, διεκρίθην. καὶ ποιητικῶς, διεκρίνθην. ἡ μετοχὴ ὁ διακρινθεὶς, εντος. τὸ εὐκτικὸν, διακρινθείην. τὸ πληθυντικὸν, διακρινθείημεν, διακρινθείητε. καὶ συγκοπῇ, διακρινθεῖτε. ἔχει τὸ ν κατὰ πλεονασμὸν ποιητικόν. ὁμοίως δὲ καὶ διακρινθεῖεν, τὸ τρίτον πρόσωπον.

Διακριθῆναι, τὸ λυθῆναι καὶ χωρισθῆναι. καὶ κεῖται ἡ λέξις αὕτη πολλαχοῦ παρά τε Ὁμήρῳ, καὶ ἑτέροις. ὡς τὸ, Φρονέω δὲ διακριθῆναι ἤδη ἡμᾶς. καὶ μετ' ὀλίγα, ἄλλοι δὲ διακρινθεῖτε τάχιστα. ἔστι δὲ τὸ μὲν διὰ τοῦ ν ὀρθότερον, εἰ καὶ ποιητικώτερον. ὡς καὶ τὸ κλινθῆναι, καὶ τὸ ἀνάκλινθον. τὸ δὲ δίχα τοῦ ν, κοινότερον καὶ Ἀττικώτερον. ἐναντίον δὲ τὸ διακρίνειν, πρὸς τὸ συγκρίνειν, ὅ ἐστι συγχέειν. Σημείωσαι δὲ, ὅτι τὸ διακρινθεῖτε διὰ διφθόγγου ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων, φέρει τὴν παραλήγουσαν, οἷα συγκοπὲν ἀπὸ εὐκτικοῦ τοῦ διακρινθείημεν, ἵνα τὸ ἀκόλουθον τῆς συγκοπῆς εἴη τοιοῦτον, διακρινθεῖμεν, διακρινθεῖτε, διακρινθεῖεν.

Διακρινομένω, διακρινόμενοι δυϊκῶς. καὶ διακρινομένων, μαχομένων.

Διακρίνουσι, διαχωρίζουσι, μεσιτεύουσι.

Διάκρισίς ἐστιν, ἐπιστήμη διακριτικὴ τῶν κατὰ διάνοιαν τυπουμένων, ἀληθῶν ἢ ψευδῶν νοημάτων. καὶ διάκρισις, διαίρεσις, φθορὰ, διάλυσις.

Διακρότως, σκληρῶς, ἀποκρότως.

Διακρούεσθαι, ἐξωθεῖν, ἢ ὑπερτίθεσθαι, καὶ ἄλλοτε ἄλλως διαναβάλλεσθαι. καὶ συντάσσεται αἰτιατικῇ.

Διακρουόμενοι, διαφεύγοντες.

Διακρούοντες, ἐκ μεταφορᾶς τῶν διακωδωνούντων τὰ κεράμια εἰ ἀκέραιά εἰσιν, ἔμπειροι, ἀλλ' οὐκ ἐπιστήμονες, διὰ τὸ ἄστατον τῶν ἀεὶ κινουμένων.

Διακρούσασθαι, ἀπορρίψαι.

Διάκτοσιν δατέοντο, τὴν θυσίαν διεμερίζοντο.

Διάκτορος ἀργειφόντης, ὁ διάγων τὰς ἀγγελίας, καὶ ἐναργῶς καὶ σαφῶς φαίνων τὰ ἐξαγγελλόμενα. ὥσπερ φύλαξ φύλακος, καὶ ἐξ αὐτοῦ εὐθεῖα ὁ φύλακος, ἀναδραμούσης εἰς εὐθεῖαν τῆς γενικῆς. καὶ τρῶς τρωὸς ὁ τρωὸς, καὶ δμὼς δμωὸς ὁ δμωός. οὕτω καὶ διάκτωρ διάκτορος, ὁ διάκτορος. ἕτεροι δὲ διατορόν φασι, καὶ πλεονασμῷ τοῦ κ διάκτορον, ἤτοι τορὸν καὶ σαφῆ ἄγγελον. καὶ διάκτορος, ἢ ὁ διάτορος, ὅ ἐστι σαφὴς ἐν ταῖς ἀγγελίαις. τορὸν γὰρ, τὸ τρανὲς καὶ σαφές· ἢ ὁ αὐτὸ τοῦτο ἄγγελος, ἀπὸ τοῦ ἄγω. ἐξ οὗ καὶ ὁ ἄγγελος. ἄγγελός τε γὰρ ἀπὸ τοῦ ἄγειν φαίνεται γίνεσθαι, καὶ διάκτωρ ὁμοίως ἀπὸ τοῦ ἄγω. ὥσπερ ἀπὸ τοῦ λέγω λέκτωρ, καὶ ἀλέκτωρ.

Διάκτορσιν, ἡγεμόσι, βασιλεῦσι.

Διακτόρως, εἰρηνικῶς.

Διακυδόμεναι, διαχεόμεναι.

Διακυνοφθαλμίζεται, διυποβλέπεται, διαναιδεύεται, ἀναιδῶς ἀνθίσταται.

Διακυκῶσι, διαταράττουσι.

Διακυρίττεσθαι, ἀντιμάχεσθαι. κυρίως δὲ ἐπὶ κριῶν.

Διακωδωνίζω, τὸ δοκιμάζω, καὶ διαφημίζω, καὶ διακωδωνισθέντες. ὡς ἐπὶ τὸ πλεῖστον δὲ, ἐπὶ τῶν ἐμπαιζομένων λαμβάνεται.

Διακωδωνίσαντες, δοκιμάζοντες.

Διακωδωνίσω, οἷον δοκιμάσω.

Διακωλύω, αἰτιατικῇ.

Διακωμωδῶ, διατραγωδῶ.

Διακωχὴ, διάστασις χρόνου τινὸς, ἢ διάληψις.

Διάλ, τὴν ἔλαφον, Χαλδαῖοι.

Διαλαβεῖν, παλαιστρικόν τι ποιεῖν.

Διαλαβὼν, προκαταλαβών. ὡς τὸ, Ὁ δὲ διαλαβὼν τὰς ὁδοὺς φυλακαῖς. ἢ διαδεξάμενος, διαγινώσκων.

Διαλαγχάνειν, διαμερίζεσθαι, διακληροῦσθαι, τὸ διαιρεῖσθαι κλήρῳ. διάληξις δὲ, τὸ πρᾶγμα.

Διαλακήσασα, διαρραγεῖσα. λακὶς γὰρ, τὸ σχίσμα.

Διαλαμβάνεται ἡ ὑπόθεσις, καὶ περιλαμβάνεται ὁ λειμὼν, ἑκάτερον ἐπὶ πάθους. καὶ αἰτιατικῇ καὶ δοτικῇ συντάσσεται. καὶ διαλαμβάνει, ὑπονοεῖται. καὶ διαλαμβάνων, ὑπομνηματίζων, συγγράφων.

Διαλαμβάνω, τὸ περιλαμβάνω. οἷον διαλαμβάνει τὸ βιβλίον τὴν τοῦ Ἀχιλλέως ὑπόθεσιν, ἀντὶ τοῦ περιέχει. καὶ διέλαβε τὸν λειμῶνα τῷ περιβόλῳ, ἀντὶ τοῦ περιέφραξε.

Διαλλαγαὶ, μεταβολαὶ, καὶ διαλέξεις.

Διαλλαγῆναι, τὸ δι' αὐτοῦ τοῦ ἐχθροῦ παρακληθῆναι, καὶ φιλιωθῆναι. ἐναλλαγῆναι δὲ, τὸ ἀπὸ φιλίας εἰς φιλίαν ἄλλου μεταπηδῆσαί τινος, ἐχθροῦ ὄντος τὸ πρότερον.

Διαλλαγὴ, εἰρήνη. Ὦ Κύπριδι τῇ καλῇ, καὶ Χάρισι ταῖς φίλαις ξύντροφε διαλλαγή.

Διαλλαγῶ, διαχωρισθῶ.

Διαλλάκτης, συμβιβαστὴς, φιλιωτής.

Διάλλασσε, διάλυε.

Διαλλάττεσθαί ἐστι, τὸ ὑπὸ μέσου τινὸς πρὸς τὴν προτέραν ἐπανιέναι φιλίαν. καταλλάττεσθαι δὲ, τὸ χωρὶς μέσου. ὅθεν καὶ διαλλακτὴς μέν ἐστι, καταλλακτὴς δὲ οὔ.

Διαλλάττω τὸ διαφέρω, γενικῇ. διαλλάττω δὲ τὸ φιλιοῦμαι, δοτικῇ. ὡς τὸ, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ διαλλάττομαι τοῖς φίλοις.

Διαλλαχθήσομαι κάλλιον, ἢ διαλλαγήσομαι. ὡς ἐπὶ πολὺ γὰρ οἱ πρῶτοι μέλλοντες, προτιμῶνται τῶν δευτέρων μελλόντων.

Διαλάμπει, ὡραΐζεται.

Διαλαὸς, οἱ μὲν ἐπιμυλίδιον δαίμονα. ἄλλοι δὲ παιδιᾶς εἶδος, ἐν ᾗ διαλέγουσι τὰς ψήφους. βούλεται δὲ λέγειν ὁ Κρατῖνος, τὸν ἔσχατον τῶν πόρνων.

Διάλας, τὰς δήλας καὶ φανεράς.

Διάλαυρος οἰκία, μεγάλη πανταχόθεν, λαύραις διειλημμένη, ἡ λεγομένη περιάμφοδος.

Διαλαχεῖν, τὸ διανεμεῖσθαι, οἱ ῥήτορες εἰρήκασιν. ἀπολαχεῖν δὲ, τὸ διανείμασθαι τὰ πατρῷα. ὅ ἐστιν ἐν τῷ ἀπολαχεῖν.

Διαλαχόντα, κληρωσάμενα.

* Διάλαυρος, ὁ ἐν τῷ πέραν λαύρας τινὸς ὅ ἐστιν ἀμφόδου κατοικῶν, καὶ οἷον ἀντίθυρος.

Διαλεγδὸν, διαφερόντως.

Διαλέγεσθαί ἐστι, τὸ ἀμείβεσθαι, καὶ λόγον ἀντὶ λόγου παραδιδόναι πρὸς τὸν ἀντιλέγοντα. καὶ τοὺς λόγους κατ' ἐρώτησιν καὶ ἀπόκρισιν ποιεῖσθαι. καὶ διαλέγεσθαι, τὸ συνουσιάζειν.

Διαλέγεσθαι, καὶ τὸ χρηματίζειν. ὥσπερ τὸ χρηματίζειν λέγεται ἐπὶ θεῶν, τὸ δὲ διαλέγεσθαι ἐπὶ ἀνθρώπων. οὕτω καὶ δίκη μὲν ἐπὶ ἀνθρώπων, θέμις δὲ ἐπὶ θεῶν. δίκη γάρ ἐστι κρίσις, ἣν οἱ ἄνθρωποι κρίνουσιν. θέμις δὲ δίκη, ἣν οἱ θεοὶ δικάζουσιν. ἔστιν οὖν τὸ μὲν δίκαιον ἐπὶ ἀνθρώπων, τὸ δὲ θεμιτὸν ἐπὶ θεοῦ. τὸ δὲ ὅσιον ἐπὶ ἀνθρώπων ἁγίων.

Διαλέγοντο γυναιξὶν, ὁμιλοῖεν, ἢ συνουσιάζοιεν. οὕτως Ἱεροκλῆς.

Διαλέγομαι, διαλέξομαι, διείλεγμαι, διελέχθην. διαλέγομαι, ὁμιλῶ, σύνειμι, αὐτοσχεδιάζω, χρηματίζω. τοῦτο δὲ, ἐπὶ ὑπερέχοντος.

Διαλέγουσαν, διοικοδομοῦσαν. λέγειν γὰρ, τὸ οἰκοδομεῖν. καὶ διαλέγου, διορύττου. Θουκυδίδης.

Διάλειμμα, διάστημα. καὶ διαλείποντα, τὰ διαχωρήματα. καὶ διαλείμματος, διαχωρισμοῦ.

Διαλείπειν, ἀντὶ τοῦ παύσασθαι τοῦ ἔργου καὶ καιροῦ. ὅσον οὖν διαβιβάσαι, εἶτ' αὖθις τοῦ ἔργου ἅψασθαι.

Διαλειπούσαι, ἀλλήλων ἀπέχουσαι.

Διαλειπούσῃ, διακοπτομένῃ, ὑφειμένῃ.

Διαλεκμᾶσθαι, διασύρειν, διαμωκᾶσθαι.

Δια-

Διαλεκτική, ἡ ἀποδεικτικὴ ἐπιστήμη ἐστὶν, ἀληθῶν τε καὶ ψευδῶν. ἡ ἐπιστήμη ἐρωτήσεως καὶ ἀποκρίσεως.

Διαλεκτικὸς, πολύλαλος.

Διάλεκτος, ἤτοι καθ' ἣν ἕκαστοι ἄνθρωποι διαλέγονται πρὸς ἀλλήλους, κατὰ τὴν ἰδίαν συνήθειαν. ἢ ἀπὸ τοῦ διαλελέχθαι, καὶ διακεκρίσθαι ἀπὸ τῶν ἄλλων. ἑκάστη γὰρ αὐτῶν διακέκριται τῆς ἑτέρας.

Διάλεκτός ἐστι, φωνὴ ἀνθρώπου ἐγγράμματος. καὶ σημεῖόν τι κοινὸν ἑρμηνευτικόν, ἄνευ μέλους.

Διαλελημμένων, διαδεδεμένων. ἢ διακρατουμένων ἑκατέρων.

Διαλελοίπασιν, ἐπαύσαντο.

Διαλέξαι, διορύξαι.

Διάλεξις, λόγων ἐμπειρία, νοῦς, σύνεσις, ὥστε τὰ νοηθέντα δύνασθαι ἑρμηνεύειν. διαφέρει δὲ διάλεκτος, καὶ διάλεξις. διάλεκτος μὲν γάρ ἐστι, ἰδίωμα γλώττης, ἢ φωνῆς χαρακτὴρ ἐθνικός. διάλεξις δὲ, τῆς συνήθους φωνῆς ἐπὶ τὸ σεμνότερον ἐκτροπή. καὶ ἐπὶ τὸ ἀγροικότερον. ἡ διάλεξίς ἐστι λόγος κατ' ἐρώτησιν καὶ ἀπόκρισιν προϊών. διάλεξίς ἐστιν, ἥτοι διαλεκτική ἐστιν, ἡ δι' ἐρωτήσεως καὶ ἀποκρίσεως κατορθουμένη ζήτησις. ἡ ἕξις ζητητικὴ διαπεύσεως καὶ ἀποκρίσεως, ὑπὸ δύο προσώπων ἀνυομένη.

Διαλεπτολογοῦμαι παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ λεπτά τινα φροντίζω καὶ διαλέγομαι.

Διαληλιμμένη, ἠλιμμένη, κεχρισμένη.

Διάλημμα, διάστημα.

Διάληξις. διαλαγχάνειν μέν ἐστι, τὸ διαιρεῖσθαι κλήρῳ. διάληξις δὲ, τὸ πρᾶγμα.

Διάληψις, ἐνθύμησις, ἡ γνῶσις. Πολύβιος.

* Διαληκᾶσθαι, τὸ διαμωκᾶσθαι καὶ διαπαίζειν.

Διάλληλος δεῖξίς ἐστιν, ὅταν δύο τινῶν ἀμφιβαλλομένων πραγμάτων, ἑκάτερον διὰ τοῦ λοιποῦ θελήσωμεν πιστώσασθαι. οἷον ἐρωτηθεὶς ποῦ μένει Παῦλος, εἴποις ὅπου Πέτρος.

Διάλλους, ὁ ἀντὶ ἄλλου διακονῶν.

Διαλογὴ, διάλεξις, ὁμιλία.

Διαλογισμοὶ, ἀδολεσχίαι.

Διάλογος, λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος.

Διαλαιδορεῖται, καὶ λοιδορεῖται κάλλιον, ἢ λοιδορεῖ. συντάσσεται δὲ ἀεὶ τὸ παθητικὸν πρὸς δοτικήν. εἰ καί τινες αἰτιατικὴν, πλὴν ἀδοκίμως.

Δίαλον, φανερόν.

Διαλουφῶν, διατίλλων. ὀλούφειν γὰρ οἱ Ἀττικοὶ τὸ τίλλειν. οἱ δὲ, τὸ ἐκλέγειν τῶν ποειμῶν τὴν πόαν.

* Διαλινήσασθαι λέγεται λαγὼς ἐκφυγὼν τὰ λίνα, ἤγουν τὰ δίκτυα.

Διαλύγισμα, διαπλοκή.

Διαλυμαίνεται, καὶ λυμαίνεται, αἰτιατικῇ καὶ δοτικῇ συντάσσεται. Ἀριστοφάνης, Ἢ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται, ἤγουν βλάπτει, καὶ ζημιοῖ.

Διάλυσις στοιχείου, οἷον ἦγε ἔαγε. διάλυσις συλλαβῆς, οἷον Πηλείδου πηλείδαο. διάλυσις λέξεως, οἷον κατὰ ταῦρον ἐδηδώς, ἤγουν κατεδηδὼς ταῦρον.

Διάλυσις, διάκρισις, φθορὰ, διαχωρισμός.

Διαλυτίσαντες, κάμψαντες, περικλάσαντες.

Διαλύω τὰ ἡνωμένα ἐπὶ τῆς φιλίας καὶ ἐπ' ἄλλων, αἰτιατικῇ συντάσσεται.

Διαλφιτώσουσι, παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ τοῖς ἀλφίτοις περιπάσω.

Διαμαδῶντες, διαβρέχοντες.

Διαμαρτάνω, ἀποτυγχάνω. μετὰ τῆς διὰ προθέσεως ἀποτυχεῖν σημαίνει, καὶ γενικῇ συντάσσεται. ὡς τὸ, δοκοῦσιν ἔμοιγε διαμαρτάνειν τοῦ σκοποῦ.

Διαμάρτυραι, βεβαίωσαι. καὶ διαμαρτυρεῖν, τὸ προλέγειν τῆς ἀπειθείας τὴν τιμωρίαν. καὶ τῆς εὐπειθείας τὴν ὠφέλειαν.

Διαμαρτυρία, δίκη τὶς, ὁμοία τῇ περιγραφῇ. ταύτῃ δὲ ἐναντία, ἡ εὐθυδικία.

Διαμαρτυρομένους, προλέγοντας, ἀποστέποντας.

Διάμαστος, Θεὸς, καὶ διάματος.

Διαμάττειν, διαφυρεῖν τὰ ἄλφιτα, πρὸς τὸ ποιῆσαι μάζας.

Διαμάχη, μάχη.

Διαμαψαμένη, διασμηξαμένη, διαψησαμένη.

Διαμείνης, αὐθυπόστατον.

Διαμέλλει, ἀναβολῇ χρῆται.

Διαμελοὶ, οἰκέται.

Διαμέλλω, τὸ βραδύνω. ὡς τὸ, Τί διαμέλλομεν καὶ οὐκ ἄπιμεν ἐς τὴν πόλιν;

Διαμένω τοῖς κακοῖς, καὶ ἐν τοῖς κακοῖς.

Διάμεσοι. οὕτως ἐλέγοντο παρὰ Ἀθηναίοις, οἱ μέσοι τῶν πλουσίων καὶ πενήτων.

Διαμετρητῷ, διαμεμετρημένῳ.

Διαμεμετρημένη ἡμέρα. μέτρον τι ὕδατός ἐστι προσμεμετρημένον, ἡμέρας διάστημα ῥέον. ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί. ὡς δὴ τούτῳ ἠγωνίζοντο οἱ μέγιστοι, καὶ περὶ τῶν μεγίστων ἀγῶνες. διενέμετο δὲ εἰς τρία μέρη τὸ ὕδωρ. τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι. τὸ δὲ τρίτον, τοῖς δικάζουσι. ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν. ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ, διδάσκει περὶ τούτων. σκεπτέον δ' ἐν τῷ παρ' Ἰσαίῳ ἐν τῷ κατ' Ἐλπαγόρα καὶ Δημοφάνους. πῶς μεμετρημένης τῆς ἡμέρας, ὅτε μὲν χωρὶς ὕδατός φησι γίγνεσθαι τοὺς ἀγῶνας, ὅτε δὲ πρὸς ὕδωρ.

Διάμετρος, ἡ τὸ ἐν τῷ κύκλῳ κέντρον τέμνουσα μέσον γραμμὴ, καὶ ὄργανον γεωμετρικόν. καὶ τὸ διδόμενον εἰς ἀπουσίας λόγον, τοῖς τοὺς σιτικοὺς μετροῦσι. καὶ διάμετρον, τὸ ἐλλεῖπον ἀπὸ τοῦ δικαίως μετρηθέντος, Δείναρχος ἐν τῇ καλλισθένους εἰσαγγελίᾳ.

Διαμέτης, ψεύστης, ἀπατεών.

Διαμεύστας, ἀλαζῶνας.

Διαμηρίσαι, τοῦτο καὶ ἐπὶ παίδων ἀρρένων, καὶ θηλειῶν ἔλεγον.

Διαμησάμενος, διορύξας.

Διάμησε χιτῶνα ἔλεγον, ἤτοι ῥᾶον διέκοψε, καὶ οἷον ἐθέρισε. κυρίως γὰρ ἐπὶ θέρους τὸ ἀμᾶν. ὅθεν ἀμᾶσθαι τροπικῶς, καὶ τὸ δρακὶ συνάγειν. ὡς τὸ, κόνιν ἀπαμησαμένη.

Διὰ μνήμης ἔχω τὸν δεῖνα, Ἀττικῶς. κοινῶς, μνημονεύω τοῦ δεῖνος. ὁμοίως διὰ φροντίδος ἔχω τὸν δεῖνα, καὶ διὰ ἀγάπης, καὶ διὰ ἀμελείας, καὶ διὰ ἐπαίνου, καὶ διὰ ψόγου. ἀντὶ τοῦ φροντίζω, καὶ ἀγαπῶ, καὶ ἀμελῶ, καὶ ψέγω, καὶ ἐπαινῶ.

Διαμνημονεύει, ἀντὶ τοῦ διὰ λόγου μνημονεύει. τὸ μνημονεύειν δὲ, χωρὶς τοῦ διά. ἔστι καὶ χωρὶς, τὸ τοῦ προφορικοῦ λόγου ἐνθυμεῖσθαι.

Διάμονος, ὁ ἀντ' ἄλλου διακονῶν.

Διαμοιράσαι, διαμερίσαι.

* Διαμοιρᾶσθαι, τὸ μερίδας νέμειν.

Διαμοιρωμένη, δαιροῦσα καὶ μερίζουσα, ἢ τὰς μοίρας μεμφομένη.

Διαμπὰξ, διόλου διαπαντὸς, διηνεκῶς, ἐξεναντίας. ἀπὸ τοῦ διαρπάζω διαρπάξω, ἀποβολῇ τοῦ ω, καὶ τροπῇ τοῦ ρ εἰς μ.

Διαμπείρας, διακεντήσας.

Διαμπερὲς, διαπαντὸς, διατέλους. ἀπὸ τοῦ πέρας, τὸ τέλος. πλεονάζει δὲ ἐν αὐτῷ τὸ μ. διαμπερὲς, ἤματα πάντα, ἐκ παραλλήλου κεῖται παρ' Ὁμήρῳ.

Διαμπερέως, σαφῶς, τελείως.

Διαμπερονήσει, διατρήσει, διατμήσει, διακόψει.

Διαμπραθέειν, διαπορθῆσαι.

Διαμυδαίνεται, διαπηδᾷ, καὶ διαρρεῖ, καὶ διηθεῖται.

Διαμύθησις, παραλογισμός.

Διαμυλλαίνειν, διαμωκᾶσθαι τοῖς χείλεσιν, ἀπὸ τῶν μύλλων. μύλλαι γὰρ τὰ χείλη. καὶ διαμυλλαίνῃ, αἰσχρῶς πράττεις. ἢ τὸ ἐσθίειν καὶ διακόπτειν, καὶ διαστρέφειν τὰ χείλη.

Διαμφάδιον, ἀλλοῖον.

Διαμφίδιον, μέλος ἀλλοῖον, διαπαντὸς κεχωρισμένον. ἀμφὶς γὰρ, τὸ χωρίς. Αἰσχύλος, Προμηθεῖ δεσμώτῃ.

Διαμφοδῆσαι παρὰ τοῖς παλαιοῖς, ἀντὶ τοῦ τῇδε καὶ ἐκεῖσε τρέπεσθαι, καὶ ἀποσχίσαι τῆς ὀρθῆς ἀμφόδου. καὶ ἔοικε παρῆχθαι τὸ διαμφοδεῖν, ὁμοίως τῷ διαφωνεῖν.

Διαμῶσαι, ζητῆσαι.

Διαμῶ, τὸ θερίζω, χήματος συνθέτου. ἐκ τῆς διὰ προθέσεως, καὶ τοῦ ἀμῶ, τὸ θερίζω. μέλλων διαμήσω, διάμησε.

Δῖαν ἅλα, οὐ τὴν μεγάλην κατὰ τοὺς παλαιοὺς, ἢ ὑγράν τινα, παρὰ τὸ διαίνω. ἢ φοβεράν, παρὰ τὸ δέος, οὐ παρὰ τὸ δείω, τὸ φοβοῦμαι. ὡς καὶ δῖά φασι Χάρυβδις, ἡ δεινή.

Διάναι, σμῆξαι, πλῦναι.

Διαναῦσαι, διαπλεῦσαι.

Διανδὴς, πολυχρόνιος.

Διάνδιχα ποιητικὸν, δίχα κοινὸν, ἤγουν διχῆ. γίνεται δὲ ἐκ τῆς διά, καὶ ἀνὰ προθέσεων. ὧν ἡ μὲν διὰ διασμόν τινα σημαίνει. ὡς δῆλον ἐκ τοῦ διαιρεῖσθαι, καὶ διαφωνεῖν, καὶ διΐστασθαι. ἢ ἐκ τοῦ διαζυγίου, καὶ τῆς διαφορᾶς. ἡ δὲ ἀνὰ πρόθεσις, δεύτερωμά τι δηλοῖ. ὡς ἐν τῷ ἀναβαπτίζειν. φαίνεται καὶ ἐκ τοῦ ἀνακρίνειν καὶ ἐπανερωτᾶν, καὶ τοῖς τοιούτοις. ἵνα ᾖ, διάνδιχα βούλεσθαι, τὸ διάζειν βουλὴν, οὕτω καὶ ἀναβουλεύεσθαι.

Διανείμαντε, διανείμαντες, δυϊκῶς.

Διανεῖμαι, διαδοῦναι, μερίσαι.

Διανεκὲς, διαπαντός.

Διανεμεθῇ, διαδοθῇ.

Διανέμω, διαμερίζω, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης διανέμει ἔτ' ἴσον ἑαυτόν.

Διανενέμητο, ἀντὶ τοῦ διαμεμέριστο.

Διανεύει, στρέφει, κυκλεῖ.

Διανενεύκαμεν, ἀντὶ τοῦ ἐπερειώθημεν.

Διανεῦσαι, διακολυμβῆσαι. ὡς τὸ, διανεῦσαι ἐθελήσαντες ἐβαπτίζοντο ὑπὸ τῆς πανοπλίας.

Διανηξάμενος, διακολυμβήσας, διαπεράσας.

* Διανηστισμὸς, τὸ πρωϊνὸν ἔμβρωμα, καὶ ἀκρατισμὸς ἐλέγετο.

Διανθίζω, τὸ τὰ ἄνθη συλλέγω. καὶ διηνθισμένας.

Διανίζει, κρουνίζει, διακλύζει, πλύνει.

Διανίζεται, διανίπτεται, καθαρίζεται.

Διάνιον, κονία, διανηκτικόν.

Διάνοια, ἐνθύμησις διάνοά τις οὖσα, ἡ διανοουμένη. ἡ ἕξις λογικῆς ψυχῆς ἀπὸ ἀρχῶν τὰς ἐπιστημονικὰς ἀποδείξεις μετὰ τὸ συμπέρασμα συλλογιστικῶς ποιουμένη. οἷον, ὁ νοῦς ἁπλῇ προσβολῇ ἐπιβάλλων τοῖς πράγμασιν, οἶδεν ὅτι ἀθάνατος ἡ ψυχή. ἡ διάνοιά ἐστι, δύναμις τῆς ψυχῆς, καθ' ἣν μετὰ συλλογισμοῦ δύναται γινώσκειν τὰ πράγματα· διὸ λέγεται διάνοια, παρὰ τὸ ὁδόν τινα διανύειν.

Διάνοιά ἐστι, νοῦ οἰκεία κίνησις. καὶ διάνοια ἄτριπτος, ἐπὶ τῶν ῥᾶστα μεταβαλλομένων, καὶ ἀσταθμήτων ἀνθρώπων.

Διανοεῖσθαι, τοῦτο ἐνέργειά ἐστι καὶ διέξοδος τῆς ψυχῆς.

Διανοηθεὶς, μεταμεληθεὶς, ἐνθυμηθείς.

Διανοοῦμαι, λογίζομαι.

Διαντεθῆναι, τελειωθῆναι.

Διάντιον, πεδίον Θερμώδοντος.

Διανυκτερεύει, καὶ διαγρυπνεῖ, καὶ διημερεύει περί τι λέγουσιν Ἀττικοί. ἀντὶ τοῦ εἰπεῖν πᾶσαν τὴν νύκτα ἀναλίσκει, καὶ πᾶσαν τὴν ἡμέραν. ἢ διαβιβάζειν, ἀμεταβάτως.

Διανυσθῆναι, τελειωθῆναι.

Διαξαίνειν, ἀναιρεῖν, διακόπτειν.

Διαξῆναι, διαλῦσαι.

Διαξιφίσασθαι, ξίφεσι διαγωνίσασθαι κυρίως. ἤδη καὶ τὸ μάχεσθαι.

Διαπαίζει, οὐ καταπαίζει.

Διαπαντὸς ᾄδεται στόματος λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ εἰπεῖν παρὰ πάντων φημίζεται. καὶ διαπαντὸς, ἐπίρρημα τοπικόν.

Διαπαρατριβαὶ, ἐντελέχειαι.

Διαπαρθένια δῶρα, τὰ ὑπὲρ τοῦ τὴν παρθενίαν ἀφελέσθαι ὠνόμασεν Ἀγίας ὁ κωμικός. ἢ διαπαρθενεύεται, τὴν παρθενίαν ἀπόλυσιν. Ἡρόδοτος, Ἡ δὲ ὑπὸ τούτῃ διαπαρθενεύεται.

Διαπατταλευθήσει, ἐκταθήσῃ χαμαί. τὰς γὰρ βύρσας ἐκτείνοντες ἐπὶ τῆς γῆς, ἵνα μὴ συνάγοιντο καὶ συστέλλοντο ἐκ τῆς τοῦ ἡλίου καύσεως κατὰ τὰ ἄκρα πατταλοις καταπκρούοντες ἐκτείνουσιν. Ἄλλως.

Χαμαὶ ἐπὶ τῶν παττάλων ἐξέδερον τὰ δέρματα. Ἀριστοφάνης, διαπατταλευθήσῃ, ἀντὶ τοῦ τόπῳ βύρσης διαταθήσῃ πατταλοις.

Διαπατταλεύειν, τὸ διερευνᾶν καὶ ζητεῖν ἐπιμελῶς. ἢ τὸ διατείνεσθαι τόπῳ βύρσης, ἀπὸ τῶν τὰς βύρσας διατεινόντων.

Διάπειρα κρέσσων, ἡ πεῖρα. Πίνδαρος, διάπειρά τοι βροτῶν ἔλεγχος.

Διαπείραντες, διακεντήσαντες.

Διαπεπαρμένον, τοῖς ἥλοις πεπηγμένον.

Διαπεπλέχθαι, διηλλάχθαι τὰ σκέλη, καὶ ἀντιβαίνειν.

Διαπεπληχώς, διεστὼς, κεχηνώς.

Διαπέπληχε, διαβέβηκε. πλήγματα γάρ, τὰ βήματα.

* Διαπεπλίχθαι, τὸ περιπλέκειν τοὺς πόδας, ἀπὸ τοῦ πλίσσειν, ὅ ἐστι βηματίζειν, καὶ μεταφέρειν σκέλος παρὰ σκέλος.

Διαπεπονημένης, κατορθωθείσης.

Διαπεράναι, τελειῶσαι.

Διαπεράκαντες, διακεντήσαντες.

Διαπερδικῆσαι, διαλαλῆσαι, διαψογεῖν.

Διὰ περιόδων, διὰ κύκλων.

Διαπεριτετριβαὶ, ἐνδελεχισμοὶ, ἐνδελέχειαι.

Διαπεσεῖν, τὸ ἐκ πολεμίων διασωθῆναι.

Διαπέσοιμι, οἷον διαμαρτήσαιμι τῆς ἐλπίδος. Ἀριστοφάνης.

Διαπεττεύεσθαι, τὸ πεττοῖς ἀποπαῖξαι. ἤδη δὲ καὶ τὸ συντελέσαι.

Διαπεττεύων, μεταφέρων. μετῆκται δὲ ἀπὸ τῶν πεττῶν.

Διαπέφλοιδεν, διακέχυται.

Διαπεφρούρηται βίος, Αἰσχύλος Φρυξίν. οἷον ἡ διὰ τοῦ βίου φθορὰ συντετέλεσται. ἢ διελήλυθεν ὁ χρόνος.

Διαπέφρυδεν, ἐγείρει, διακέχυται.

Διαπεφρυκέναι, διεσκάφθαι, καὶ καθεωρακέναι.

Διαπεφώνηκεν, ἀντὶ τοῦ ἐσχάτην καὶ τελευταίαν φωνὴν ἀφῆκε, τουτέστιν ἀπέθανε.

Διαπηδύει, διαπηδᾷ.

Διαπεσεῖσθαι, δὶς τεθνήξεσθαι. Ἀριστοφάνης.

Διαπηνηκίζω, ἀπατῶ. εἴρηται ἀπὸ τῆς πηνίκης, ἥ ἐστι περίθετος κόμη, καὶ περικεφαλαία ἐκ τριχῶν. οὐ μόνον γυναιξὶν, ἀλλὰ καὶ γυναικιζομένοις ἀνδράσι χρηστή. ὡς ἡ φενάκη, ἢ τοὺς ὁρῶντας ἀπατᾷ.

Διαπιθηκίσαι, τὸ διαπαῖξαι, ἀπὸ τῶν πιθήκων. φιλοπαιγμονέστατον γὰρ τὸ ζῶον.

Διαπίνειν, προπίνειν, Περιγένης.

Διαπλέκειν, ἢ διαποικίλλειν, ἢ διάγειν. Ἀριστοφάνης.

Διαπληκτίζονται, διαμάχονται.

Διαπλήσσειν, διέλκειν, διαπλέκειν, ἢ τὸ εἰς μικρὰ τέμνειν, φησὶν Ὅμηρος. ὅπερ ὁ Παυσανίας κατακορμίσαι λέγει. ἕτεροι δὲ ἀντὶ τοῦ διαπλήσσοντες, διαρρήσσοντες γράφουσι.

Διαπλώσας, διαπλεύσας, διελθών.

Διαπνέει, ἀντὶ τοῦ θνήσκει, καὶ τὰ λοιπὰ διαπνέει. καὶ διαπνεῖ ὁ ζέφυρος τὸν λειμῶνα.

Διαπνεῖν, τὸ ἀποπνεῖν, καὶ πέρδεσθαι. εὐσχημονέστερον τοῦ ἀποψοφεῖν.

Διαπνεύσας, περιλογιστικός.

Διαπυδαρίζει, διαναβάλλεται, διαναρρίπτεται.

Διαποδίζων, βασανίζων, καὶ ἐπιμελῶς ἐξετάζων.

Διαποδισμός, εἶδος ὀρχήσεως, ἢ ἁλμοῦ.

Διαπονεῖσθαί ἐστι, τὸ περί τι γίνεσθαι καὶ ἐνεργεῖν, ἢ ἀρκεῖσθαι.

Διαπονηθεὶς, λυπηθείς.

Διαπορεία, ἡ διαπόρευσις. διαπορία δὲ, ἡ ἀμφιβολία.

Διαπορηθέντες, διαποροῦντες, ἀμφιβάλλοντες.

Διαπόρρησις, ἀμφιβολία, ἀπορία.

Διαπορθμεύει ναῦς ἀπὸ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν, ἤγουν διαπεραιοῖ. καὶ Χάρων αὐτὸν ἀποθανόντα διεπόρθμευσεν, αἰπαπαῖ.

Διαπορθμεύεται, διακομίζεται, διαπερᾷ.

Διαπορπακίσαι, τὸ διὰ τοῦ πόρπακος τῆς λαβῆς διενεῖραι τὴν χεῖρα.

Διαπραθέειν, διαπραθεῖν. τὸ θέμα πέρθω. οἷον ἐκπέρσαι πόλιν. ὁ μέλλων πέρσω, ἔπερσα. ὁ δεύτερος ἀόριστος, ἔπαρθον. ὡς ἔτραφον, καθ᾽ ὑπέρθεσιν ἔπραθον. ὁ μέλλων πραθῶ, καὶ τὸ ἀπαρέμφατον πραθέειν, καὶ διαπραθέειν.

Διαπραξάμενον, ἐλευθερίαν κατασκευασάμενον.

Διαπράττομαι, τὸ φονεύω. καὶ διαπράττομαι, τὸ ἐνεργῶ. Ἀριστοφάνης, κἂν δέῃ μ᾽ ἀποθανεῖν, αὐτὸς ταῦτα διαπράξομαι. καὶ τὸ, τὰ μὲν οὖν πρὸς τὴν πόλιν οὐ χαλεπῶς διεπράξαντο, καὶ γὰρ ἦν οὐδὲ παντελῶς ἐργώδη. διαπεπραγμένον, καὶ τὸ γεγενημένον, καὶ τὸ ἠφανισμένον. Αἰσχύλος ἐν τῷ ἑπτὰ ἐπὶ Θήβαις, διαπεπραγμένου στρατοῦ.

Διαπρέπει, ἀντὶ τοῦ διαλάμπει. ἐμπρέπει τις τινὶ, ἀντὶ τοῦ περιφανής ἐστιν ἐν ἐκείνῳ.

Διαπρεπὴς ἐν ἀρετῇ, καὶ διαπρεπὴς ἐν κακίᾳ, ἐπίσημος, ἔκδηλος.

Διαπρέπω τούτοις, ἀντὶ τοῦ κάλλιστα καὶ πρεπόντως διάγω. ὡς τὸ διέπρεψε τῇ ἀρχῇ. καὶ διαπρέπω τὸν δεῖνα, ὑποκαλλωπίζω. Πλάτων ἐν Γοργίᾳ, Φύσιν ψυχῆς οὐδὲ γενναίαν, μειρακιώδει τινὶ διαπρεπεῖ μορφώματι.

Διαπρέψας, λαμπρὸς φανεὶς, εὐδοκιμήσας.

Διαπρήσσειν, κυρίως μὲν ἐπὶ περάματος θαλάσσης. καταχρηστικῶς δὲ καὶ ἐπὶ γῆς, οἷον διέπρησσον πεδίοιο. λέγει καὶ Ὅμηρος, τὸ ἁπλῶς διανύειν, καὶ οἷον διεξοδεύειν.

Διαπρήσσουσα κέλευθα, παρ᾽ Ὁμήρῳ. περῶ περάσω, καὶ πρήσω. καὶ ἀπὸ τούτου ἐνεστὼς, πρήσσω, διὰ δύο σσ, ὡς βήσσομαι. ἀφ᾽ οὗ τὸ διαπρήσσουσα. λέγεται μὲν οὖν τοῦτο ἐπὶ θαλάττης κυρίως. ἀπὸ τούτου δὲ καὶ ἐπὶ ξηρᾶς, διέπρησσον πεδίον. καὶ ἔτι ἐπὶ χρόνου, ἤματα δ᾽ αἱματόεντα διέπρησσον, ἀντὶ τοῦ διετέλουν.

Διαπρίεται, διαγοράζει, μαίνεται.

Διαπρισθεῖσαν, εἰς μέρη λαοτομηθεῖσαν.

Διὰ πρὸ δὲ εἴσατο καὶ τῆς, ἤγουν προῆλθε ἐντὸς καὶ διὰ ταύτης.

Διαπρὸ δὲ, διαμπὰξ, δι᾽ ὅλου.

Διαπρύσιον, ἢ τὸ φανερὸν καὶ διάδηλον. ὡς ἐκ τοῦ πυρσοῦ, ἢ φανοῦ, κατὰ μετάθεσιν τοῦ ρ. ἢ τὸ εἰς μακρὸν διῆκον, καὶ διαπεράσιμον. ἐκ τοῦ περῶ περύω, περύσω, κατὰ συγκοπήν. δῆλον δὲ, ὅτι ἐριβόας ἦν, ὁ οὕτω βοῶν διαπρύσιον, παρὰ δὲ τῷ ποιητῇ ἐν τῷ τῆς Ἰλιάδος ρ, οὐκ ἐπὶ φωνῆς, ἀλλὰ ἁπλῶς ἀντὶ τοῦ δι᾽ ὅλου. καὶ οἷον διαπεράσιον, καὶ ἀπό τινος πέρατος, εἴς τι ἔτι πέρας.

Διαπρύσιος, μέγας, διαβόητος.

Διαπταίντος, πεπταθέντος.

Διαπτεῖν, ὁρμᾶν.

Διαπτερῶσαι, ἀνδρῶσαι, διαστῆσαι.

Διάπτυε, διάπτυσον.

Διὰ πυλῶν, τέλος τι παρ᾽ Ἀθηναίοις οὕτως ἐκαλεῖτο.

Διαπυνθάνεται, ἐρωτᾷ.

Διαπυρωθέντα, διοργισθέντα.

Διάπυρος, θερμός. καὶ διάπυρος ἐραστής.

Διὰ ῥᾳθυμίας καὶ ἀμελείας ὁμιλεῖ, ἀντὶ τοῦ ῥᾳθύμως, καὶ ἀμελῶς.

Διάρας τὸ ὄμμα εἰς οὐρανὸν, ἀντὶ τοῦ διατείνας.

Διάργεμοι, πῇ μὲν λευκοί, πῇ δὲ μέλανες. ἀλλ᾽ οἱ μὲν ὑμῶν, μέλανες. οἱ δὲ, τεφρώδεις. ἕτεροι, ξανθοί. καὶ διάργεμοι στήθη.

Διαρθρούμενον, ἀκριβούμενον.

Διαρθροῦν, διαδηλοῦν, ὁμολογεῖν.

Διαρθρώσας, διατυπώσας.

Διαριθμουμένην, διαλογιζομένην.

Διάρινον, τὰ σίνηπι.

Διαριπίζεσθαι, διακοντίζεσθαι.

Διαρκεῖ μοι τὰ δέοντα, ἀντὶ τοῦ ἐν χειρὶ παρ᾽ ἐμοὶ κεῖται, ἤτοι μένει. καὶ διαρκὲς ἀπὸ τούτου, τὸ μόνιμον ἁπλῶς. ἐξαρκεῖ μοι δὲ, τὸ ἱκανοῖ, καὶ τελέως ἀρκεῖ.

Διαρκεῖς, ἀρκέσαι μὴ δυνάμενοι.

Διαρκέονται, ἐπὶ πολὺ ἀρέσκονται.

Διαρκέστατοι, πλήρεις, ἀνενδεεῖς.

Διαρκῆ, ὠφελοῦσαν, ἢ ἐξαρκοῦσαν.

Διαρκῆσαι, βοηθῆσαι.

Διαρκῶς, ἀσφαλῶς, δι᾽ ὅλου, ἀρκούντως, δαψιλῶς, ἱκανῶς.

Δίαρμα. Πολύβιος, ἅμα δὲ πρὸς τὸν ἀπὸ Λιβύης πλοῦν, καὶ πελάγιον δίαρμα λίαν εὐφυῶς. καὶ δίαρμα, κούφισμα.

Διάρμαστος, τόπος ἐν Πάρνηθι τῆς Ἀττικῆς.

Διαρόγχας, τὰ μεταξὺ τῶν ἐπιδέσεων διαστήματα.

Διαροθιοῦντα, διασοβοῦντα.

Διαρραγείης, ἐκ τοῦ διαρρήγνυμι. ἡ μετοχὴ διαρραγεὶς, διαρραγέντος. τὸ εὐκτικὸν διαρραγείην, είης, είη.

Διαρραῖσαι. ἔστι ῥαίω τὸ φθείρω, μέλλων διαρραίσω. τὸ ἀπαρέμφατον τοῦ ἀορίστου, διαρραῖσαι. γίνεται δὲ, ἀπὸ τοῦ φθαίρω δωρικοῦ. τοῦτο, ἀπὸ τοῦ φθείρω. οἱ γὰρ Δωριεῖς τὴν ει δίφθογγον εἰς αι τρέπουσι.

Διαρρέειν, διαπορθεῖν.

Διαρρεῖν, διαχεῖσθαι, χαυνοῦσθαι.

Διαρρέουσα, ξυφηλή.

Διαρρέοντες, χαῦνοι, καὶ διαλελυμένοι.

Διαρρήγνυνται, ἐκ τοῦ ῥηγνύω ῥήγνυμι. τὸ παθητικὸν ῥήγνυμαι ῥήγνυσαι ῥήγνυται. τὸ τρίτον τῶν πληθυντικῶν, ῥήγνυνται. καὶ μετὰ τῆς διὰ προθέσεως, διαρρήγνυνται.

Διαρρήδην, φανερῶς, σαφῶς. διαρρήδην ἀπειπὼν, μήτε μάχην συνάπτειν, μήτε περαιτέρω ἰέναι, μήτε ἄλλο πράττειν μηδέν.

Διαρρήκτης, ἐπιβουλεύς.

Διαρρίξωμεν, ἀπορρίψωμεν, διακόψωμεν, συντρίψωμεν.

Διαρρικνοῦσθαι, τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν.

Διάρροια, πάθος περὶ τὰς ὗς γινόμενον. τρία δέ εἰσι πάθη, βράγχη, κραῦρα, διάρροια. ἡ μὲν οὖν βράγχη, μέρους τινὸς τοῦ σώματος. ἡ δὲ κραῦρα, πυρετὸς σὺν κεφαλῆς πόνῳ. σημειοῦται δὲ τοῦτο, τὸ καταβεβλῆσθαι τὰ ὦτα, καὶ κατωφερῆ εἶναι τὰ ὄμματα. ἡ μὲν οὖν διάρροια, ἐστὶν ἀθεράπευτος. τὸν δὲ κραῦρον οἱ νομεῖς ἐγχυματίζουσι. τῆς δὲ βράγχης, περιτέμνουσι τὰ σηπτόμενα τῶν σαρκιδίων.

Διαρρυῆναι, διαφθαρῆναι, ἀφανισθῆναι.

Δίαρσις, ἔπαρσις εἰς ὕψος, Πολύβιος.

Διαρτᾷ, κρεμᾷ, διαρμόζει.

Διαρταμῆσαι, διελεῖν, κατακόψαι.

Διαρτᾶν, διασείειν. καὶ ἀπαρτᾶν κυρίως, ἀντὶ τοῦ διαιρεῖν. καὶ τὸ ἀρτῆσαι, ἐπὶ τοῦ ἀνακρεμάσαι.

Διάρτασον, διάστηλον.

Διαρτῆσαι, ἀναπλῶσαι, τελειῶσαι, ἐξαπατῆσαι. οὕτω Μένανδρος.

Διαρτία, ἡ διάπλασις. ὡς τὸ, εὐτελοῦς διαρτίας χερσὶ γεγονώς.

Διαρτίζεται, ὁρμᾷ.

Διαρτίζω, ὁ μέλλων διαρτίσω, ὁ ἀόριστος διήρτισα. γίνεται ἀπὸ τοῦ ἄρτιον, τὸ ὁλόκληρον.

Διαρτίζων, ἄρτια καὶ συνετὰ φθεγγόμενος.

Διαρτωμένων, καταρτιζομένων.

Διαρύττειν, διαρύειν, διαντλεῖν. ὡς ἀρύτειν, τὸ ἀντλεῖν.

Δίαρχοι, οἱ ἑλλανοδίκαι.

Διὰ ῥωπήϊα πυκνὰ, διὰ χωρίων ἐν οἷς ῥῶπες φύονται πολλοί. οἱ δὲ ῥῶπες, εἶδος φυτοῦ ἱμαντώδεις, διὰ τῶν συμφύτων τόπων. ἢ τὰ παρ᾽ ἡμῖν ῥωπάκια.

Διαρωχμίας, διαστάσεις.

Δίας, ὁ ἥρως, εἷς τῶν Τιτάνων. παρὰ τὴν Διὸς γενικὴν, Δίας. ἢ εἷς τῶν Πελοπιδῶν. γίνεται παρὰ τὸ δέος, δείδας, καὶ ἐν συναλοιφῇ δείας, διὰ τῆς ει διφθόγγου, ὁ δέος ἐμποιῶν.

Διασαλακώνισον, ἀντὶ τοῦ διαθρύψαι, διαγαυρίασον. Ἀριστοφάνης, Τρυφερόν τι διασαλακώνισον. σαλάκωνας γὰρ ἐκάλουν τοὺς διαθρυπτομένους, ἀπὸ τοῦ σαλεύεσθαι, ὅ ἐστιν ἀκριβῶς διαβαίνειν, καὶ οἱονεὶ σείεσθαι, παρὰ τὸν σάλον.

Διασαλπίζω τὰ πεπραγμένα, ἀντὶ τοῦ διαφημίζω.

Διασαρκώνισμα, ἀσελγές τι σχῆμα.

Διασαρκωνίσαι, τὸ προσποιητῶς γελάσαι. τὸ δ᾽ αὐτὸ καὶ σαρκωνίσαι.

Διασάττειν, διαπαίζειν.

Διασαυλούμενος, ἁβρυνόμενος, καὶ διαθρυπτόμενος. ἢ διακινούμενος, ἢ διασειόμενος.

Διασαφεῖ, διασαφηνίζει, ἀγγέλλει.

Διασαφηνίζειν, τὸ τῇ γλώττῃ ἀκριβοῦν.

Digitized by Google

* Διασαφητικὸς σύνδεσμος, μεταξὺ δύο λόγων τιθέμενος, καὶ ἐκλεγόμενος τὸ ἕτερον, καὶ τὸ μᾶλλον ἐνίοτε προσλαμβάνει εἰς ἐπίτασιν, οἷον μᾶλλον ἤ.

Διασαφῆσαι, ἑρμηνεῦσαι.

Διασαφύσης, ἀντὶ τοῦ φωτιζούσης. Σελήνης τὸν ζόφον διασαφύσης. καὶ διασαφῶ σοι τὰ γεγραμμένα.

Διασείστους. Αἰσχίνης κατὰ Τιμάρχου. ἐοίκασιν ὠνομάσθαι, παρὰ τὸ κινεῖσθαι, καὶ διασείεσθαι πρότερον, εἶτα βάλλεσθαι. ἵν᾽ ἀκακούργητοι μᾶλλον ὦσι. Μένανδρος πολυμένοις.

Διασεσοβημένος, τεταραγμένος, ἄπικτος, τεθορυβημένος. σοβεῖν γὰρ, τὸ τρέχειν, παρὰ τὸ σεύω ῥῆμα. ἢ σῶ, ὃ σημαίνει τὸ ὁρμῶ.

Διασήθειν, διαχύειν, ἀπαλείφειν, παράπτεσθαι.

Διασηκῶσαι, βαστάσαι. οὐ τὸ ἆραι δηλοῖ παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ ψηλαφῆσαι. καὶ διασηκῶσαι, τὸ διασκέψασθαι τῇ χειρὶ τὴν ὁλκήν.

Διάσημος, ὁ λαμπρός. καὶ διασημότατος.

Διάσια, ἑορτὴ Διὸς Ἀθήνησιν, ἐν ᾗ πανδημεὶ ἔξω τείχους συνόντες ἑορτάζουσι.

Διασιλλοῦν, διασύρειν.

Διασιμοῦσι, διακωμωδοῦνται.

Διὰ σκαιῶν, διὰ τῶν ἀριστερῶν. ἢ τῶν πυλῶν, τῶν οὕτω καλουμένων.

Διασκανδικίσας, τὸ διευριπιδίσας. σκάνδιξ γὰρ λάχανον. ἡ δὲ μήτηρ Εὐριπίδου σκάνδικας ἐπίπρασκεν. ἢ διασκανδακίσης, διευριπιδίσης. Ἄλλως. μὴ ἀποδηλιάσῃς, μὴ μεταμελήσῃς. σκώπτει δὲ τὸν Εὐριπίδην, ὡς λαχανοπώλιδος υἱόν. σκάνδιξ γὰρ εἶδος λαχάνου.

Διασκαριφῆσαι, ἐπὶ ὀρνέων τῶν τοῖς ὄνυξι σκαλευόντων τὴν γῆν, κυρίως λέγεται.

Διασκεδαννύουσι, διασκορπίζουσι. λέγεται γὰρ καὶ διασκίδνησις.

Διασκελίδα, πυρίδα. ἣν ἔνιοι διασκάλον.

Διασκέπτεται, διαλογίζεται.

Διασκευάζω, τὸ λεπτομερῶς διηγοῦμαι. καὶ διασκευή. καὶ ἐνδιάσκευος λόγος.

* Διασκευή, ἡ κατὰ λεπτὸν ἀφήγησις.

Διασκευάσασθαι, συσκευάσασθαι, κατασκευάσασθαι.

Διάσκεψις, λογισμός.

Διασκηνωτέον, καταλυτέον.

Διασκηνῆψαι, διαφορῆσαι, διασπεῖραι. διεσκηνίφθη δὲ, διεσωματίσθη.

Διασκίδναται, σκορπίζεται, διασκεδάννυται.

Διασκοπιᾶσθαι, συνήρηται ἐκ τοῦ σκοπιάσθαι.

Δίασμα, ἡ πρώτη τοῦ ἱματίου ἐργασία.

Διασμηχθεὶς ἁλσί. οἱ σμηχόμενοι ἁλσὶ, βελτίονες γίνονται. ἅμα καὶ ὅτι τοὺς παραφρονοῦντας ἁλσὶ καὶ ἐλαίῳ ἔβρεχον, καὶ ὠφελοῦντο. φησὶν οὖν ὠφεληθείης διαβρεχθεὶς ἁλσίν. Ἀριστοφάνης.

Διασμήχων, διαξύων, διακαίων, διαξέων.

Διασμώμενος, ἐρευνῶν.

Διασπαθᾶν, ἀφειδῶς δαπανᾶν. ἢ ἀσελγῶς ἀναλίσκειν.

Διασπάσαι, διαιρεῖν, διασπαράξαι, διαχίσαι. σφαλῆναι, καὶ διασπᾶσθαι ὁμοίως.

Διασπαράττει, διασπᾷ, διαιρεῖ, διαμερίζει.

Διασπεύσας, διεγείρας, παρορμήσας.

Δι᾽ ἀσπίδεος. Κράτης λέγει, ὅτι τινὲς μὲν ἀπὸ τοῦ α ποιοῦνται τὴν διαστολὴν, ἵν᾽ ᾖ δι᾽ ἀσπίδεος πεδίον. ἀσπίδα τὸ πεδίον εἰρηκότες, τουτέστιν ἐπιμήκους καὶ μακροῦ, ἢ πλατέος καὶ περιφεροῦς. ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος, διὰ τὸ τὰ μακρὰ τῶν πεδίων καὶ εὐρέα περιφερῆ φαίνεσθαι, μηδενὸς ἄλλου ὁρωμένου πέρματος, ἀλλὰ τοῦ ὁρίζοντος ἀέρος. ἄλλοι δὲ ἐκδέχονται, οἱονεὶ τοῦ ἔχοντος πολλὰς ἀσπίδας ἐκ τῶν νεκρῶν. καθότι ἐπιφέρει, Ἀνάστ᾽ ἔντεα καλά. λέγων ἐν ᾧ τῶν ἀνῃρημένων αἱ ἀσπίδες ἔκειντο. οἱ δὲ φασὶ σπιδέος, ἀντὶ τοῦ πολλοῦ, καὶ μακροῦ. καὶ γὰρ Αἰσχύλος πολλάκις οὕτως ἔχειν τὴν λέξιν τίθεται. οἷον σπίδιον μῆκος ὁδοῦ. καὶ Ἀντίμαχος, οὐδὲ σπιδόθεν προνοῆσαι, ἀντὶ τοῦ μακρόθεν. καὶ ταῦτα μὲν ὁ Ἀρίσταρχος. Κράτης δὲ προκρίνει τὴν δίχα τοῦ α γραφὴν, καὶ Ζηνόδοτος δέ φησι σπιδέος, τουτέστιν ἀπόρου, καὶ τραχέος, καὶ μεγάλου. κἀγὼ γὰρ συγκατατίθεμαι τοῖς ἀνδράσιν, ὁρῶ γὰρ πολλὴν τὴν χρῆσιν παρὰ ἀρχαίοις.

Διὰ σπουδῆς ἔχω τόδε λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ σπουδάζω περὶ τόδε. ὁμοίως δὲ καὶ μελέτης ἔχω τὸν δεῖνα, ἀντὶ τοῦ μελέτην ἔχω περὶ τοῦ δεῖνος.

Διασπώμενος, συντρίβων καὶ κατακλῶν.

Διασταδὸν, ἐν τῇ διαστάσει. ἢ διασταδὸν, ἀντὶ τοῦ κεχωρισμένως, πόῤῥω, μακράν.

Διασταθμῆσαι, διελεῖν.

Διασταλήσονται, ἀφορισθήσονται.

Διαστάντες, κεῖται ἐνίοτε ἀντὶ τοῦ διαχωρισθέντες, καὶ ὧδε καὶ ἐκεῖσε στάντες. διὸ ἐν τῇ ἄλφα ῥαψῳδίᾳ, τὸ διαστήτην, οὐκ ἂν ἐδήλου φιλονεικίαν, εἰ μὴ τὸ ἐρίσαντε προσέκειτο.

* Διάστασις, ἡ ἁπλῶς διαχώρησις, καὶ ἡ ἐπὶ ἔριδι.

Διάστασις, Ἀντιφῶν, ἀντὶ τοῦ διακόσμησις.

Διαστείχειν, διέρχεσθαι.

Διαστείχονται, διαπορεύονται.

Διαστέλλειν, ἀντὶ τοῦ ἀποστέλλειν. οἷον ἐν τῷ, διαστέλλειν τὸν ἐπουράνιον βασιλεῦς.

Διαστελλόμενοι, διαμεριζόμενοι, χωριζόμενοι.

* Διαστολῆς χρεία, πρὸς ἔκκλησιν ἀμφιβολίας.

Διαστῆσαι, ἀντὶ τοῦ διαταράξαι, καὶ οἷον ἀδύνατον ποιῆσαι. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. Μένανδρος, Χηραιβῶν ποιείτω, τὴν πόλιν διαστατῶν.

Διαστησαμένω, διαχωρίσαντες, δυϊκῶς.

Διαστήκοντι, διαστήσαντι.

Διάστησις, ἡ μέν ἐστι φιλούντων. ὡς ὅτε ἀλλήλοις συνταξάμενοι ἄλλην ἄλλος ἐτράποντο. οἱ δὲ, ἐπὶ ἔχθρᾳ. ὡς ὅτε τὸν τῆς φιλίας ζυγόν τινες ἀποφορτισάμενοι, καὶ τὸν σύνδεσμον διαλύσαντες, διαστῶσιν. οὕτω δὲ καὶ συμπλοκὴ, ἡ μέν τίς ἐστιν ἐπὶ φιλίᾳ καὶ ἑνώσει, ὅπερ καὶ εἰρήνη λέγεται παρὰ τὸ εἰς ἓν εἴρεσθαι. οἱ δὲ, ἐπὶ ἐχθραινόντων, ὅπερ καὶ ἐρίζειν ἐστί. καὶ σημείωσαι, ὅπως ἐκ τοῦ εἴρειν καὶ τοῦ ἐρίζειν, καὶ ἡ εἰρήνη λέγεται. ὥσπερ καὶ τὸ συμβάλλειν, ποτὲ μὲν ποιεῖ τὴν ἐπὶ κακῷ συμβολὴν, ποτὲ δὲ τὸ ἀνάπαλιν. ταῦτα εἰδὼς ὁ ποιητὴς, φησὶ διαστῆναι τοὺς βασιλεῖς ἐρίσαντας, πρὸς διαστολὴν εἰπὼν τοῦτο τῆς φιλικῆς διαστάσεως.

Διαστήτην ἐρίσαντε, ἀνάπαλιν εἴρηται, πρὸς τὸ ἔριδι ξυνιόντας. σημαίνει δὲ, τὸ διεχωρίσθησαν, ἀπὸ τοῦ ἵστημι. ὁ δεύτερος ἀόριστος, ἔστην, ης, η. τὸ τρίτον τῶν δυϊκῶν, ἐστήτην. ἡ χρῆσις, Ἀττικοῖς.

Διαστοιχισάμενος, διαταξάμενος, ἀκολούθως διαθέμενος.

Διαστολὴ, διαχώρησις, ἐξοχὴ, διάκρισις, διαίρεσις.

Διὰ στόμα, ἤτοι κατὰ τὸ στόμα. ἢ ἀντιπτωτικῶς διὰ στόματος ἄγοιτο. δηλοῖ μὲν τὸ προάγοιτο, καὶ προφέροιτο, παρ᾽ Ὁμήρῳ.

Διαστομωτρίδα μήλην, τὴν διαστέλλουσαν. διάφυξις, ὑπέρβλυσις, παρὰ τῷ Ἱπποκράτει.

Διὰ στρεπτοῖο, ἁλυσιδωτοῦ, ἐκ συνεστραμμένων τινῶν γεγονότος ὑφαντοῦ.

Διαστρεφομένη, διαπορθουμένη.

Διάστροφοι ὀφθαλμοὶ, οἱ τοῦ μαινομένου. καὶ οἱ ἐπ᾽ ἄλλο βλέποντες, εἶτα ἐπ᾽ ἄλλο δοκοῦντες βλέπειν. ἀπόστροφοι δὲ, οἱ ὄπισθεν ἐστραμμένοι.

Διασύρακοι, οἱ τὴν μὲν κόρην καὶ τὴν ἄλω μέλαινα ἔχοντες. τὴν δὲ ἶριν ὤχρον.

Διασυκάσαι, διασκεδάσαι.

Διασύρω, διαπαίζω, αἰτιατικῇ συντάσσεται. Λιβάνιος, Τὸ μὲν τοὺς σοφιστὰς διασύρειν, εἰωθός σοι καὶ παλαιόν. καὶ τὸ κατηγορῶ καὶ περισύρω, ἀπὸ μεταφορᾶς τῶν ἑλκόντων βίᾳ τινάς. καὶ διασύροντες, χλευάζοντες.

Διασφὰξ, ὁ διεστὼς τόπος, διατομὴ ὄρους. καὶ διασφάγες, αἱ διεστῶσαι πέτραι τῶν ὀρῶν.

Διασφόρον, στραβόν.

Διασφηδῶσαι, αὐξῆσαι, ἀπὸ τοῦ σφύζειν.

Διασχὼν, διελθὼν, διαστήσας. Πολύβιος, Ὁ δὲ διασχὼν τῶν πολεμίων ὡς τρία στάδια, κατεστρατοπέδευσε μεταξὺ λαβὼν τὸν ποταμόν.

* Διασχεῖν, ἀντὶ τοῦ διαπεράσαι, καὶ διασχίσαι καὶ διελθεῖν. καὶ διασχεῖν λέγεται πλῆθος τὶ ἀνθρώπων, ἀντὶ τοῦ διαχεῖ διαστῆναι, ὃ ἐστι χωρισθῆναι.

Διασῴζομαι ὑπὸ σοῦ, καὶ διασῴζομαί σε. Θουκυδίδης, Εὐδαιμονίαν διασῴζονται.

Διαταξαμένω, διαθέμεναι δυϊκῶς.

Διατάξεων, διοικήσεων.

Διατάττω, τὸ διαθήκας γράφω τοῖς παισὶ θνήσκων. ἀφ᾽ οὗ κοινῶς λέγεται διάταξις, ἡ διαθήκη.

Διατάττομαι δὲ, τὸ διορίζομαι καὶ προστάττω. οἷον ὁ βασιλεὺς διατάττεται τοῖς ὑφ᾽ ἑαυτοῦ ὑπηκόοις, φυλακὴν ἔχειν. ἐξ οὗ κυρίως καὶ διάταγμα, ἡ τοῦ βασιλέως προσταγή.

Διατάττει, διακοσμεῖ, καθηγεῖται.

Διαταφρεύει, διασκάπτει.

Διατάχους, ἐπίῤῥημα ἐπιτάσεως. καὶ διατάχους, συντόμως.

Διατέθεικεν, εἰς συνήθειαν ἤγαγε.

Διατεθρυλλημένος τὰ ὦτα, κατηδολεσχημένος, διὰ τὸ πλειστάκις περὶ τῶν αὐτῶν ἀκηκοώς.

Διατεθρυμμένος, διακεκλασμένος.

Διατεθώκηται, τεθρόνισται, διακεχώρισται.

Διατείνει, τὸ διπλοῖ. ὡς τὸ διατείνει ὁ ἀράχνης τὸ ἴδιον ὕφασμα.

Διατείνειν, διαῤῥήδην λέγειν, λογίζεσθαι.

Διατείνεται, διαβεβαιοῦνται.

Διατειχίζειν, ὅταν πολέμου ὄντος συγκλεισθῶσι, τὰς ῥύμας διατειχίζουσιν, ἵνα μὴ εὐκατάληπτοι ὦσι.

Διατεκμαίρεται, στοχάζεται, σημειοῦται.

Διατέλους, διαπαντός.

Διατελῶ ποιῶν τὰ δέοντα. καὶ διατελῶ ἐργαζόμενος ἀρετὴν, καὶ διατελῶ ἀπεργαζόμενος. ὁμοίως καὶ τὸ ἔφθην ποιήσας, ἀντὶ τοῦ ἐποίησα. καὶ μαθὼν ἔχω, ἀντὶ τοῦ ἔμαθον. καὶ ὅσα ἕτερα τοιαῦτα ἀττικὰ, μετὰ μετοχῆς ἐκφερόμενα, ἀντὶ τοῦ ῥήματος τῆς ἰδίας μετοχῆς τίθεται. οἷον διατελῶ ἐργαζόμενος ἀρετὴν, ἀντὶ τοῦ ἐργάζομαι ἀρετήν. καὶ θαυμάσας εἰμὶ, ἀντὶ τοῦ ἐθαύμασα. τὸ δὲ διατελῶ, καὶ τυγχάνω, ἔστι μὲν καὶ μετοχῆς, ἔστι δὲ καὶ ἀναπόλυτον. μετὰ μετοχῆς μὲν, ὡς ὁ Δημοσθένης, Ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ, τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ᾽ ὑμῖν. ἀναπόλυτον δὲ, παρὰ Ξενοφῶντι, Σὺ δὲ ὦ Σώκρατες ἀνυπόδητός τε καὶ ἀχίτων διατελεῖς, ἀντὶ τοῦ διάγεις, καὶ διατρίβεις. τὸ τυγχάνω μετὰ μετοχῆς μὲν, ὡς παρὰ Πλάτωνι, Ἔτυχον δὲ ὦ Φαίδων τινὲς παραγενόμενοι τῶν γνωρίμων, ἢ τῶν οἰκείων. ἀναπόλυτον δὲ, ὡς παρὰ τῷ Θεολόγῳ, Καὶ δύσνους μὲν τοῖς ἐκείνου, εὔνους δὲ τοῖς Ῥωμαίων πράγμασι διὰ τοῦτο τυγχάνων. καὶ παρὰ Πλάτωνι, ἀντὶ τοῦ ἁπλῶς ἐστι, μετὰ δοτικῆς λεγόμενον. εἰς τοῦτο μόνον ἀπλοῦν, καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ. πλὴν ἀλλὰ εἰ καὶ ἀναπόλυτα ταῦτα δοκοῦσιν, ἀλλ᾽ ἡ ἀλήθεια τὴν τῆς μετοχῆς δύναμιν ἐνταῦθα ἔχει. οἷον διατελεῖς ἀχίτων, ἀντὶ τοῦ μὴ χιτῶνα ἔχων. καὶ διατελεῖς δύσνους τῇ πόλει, ἀντὶ τοῦ δύσνοιαν ἔχων τῇ πόλει.

Διατέμνεται, διασπᾶται, διακόπτεται.

Διατερσαίνω, ξηραίνω.

Διατετριφὼς, ἀντὶ τοῦ διατρίψας. Ἐν Σπάρτῃ διατετριφώς.

Διατεύονται, μερίζονται.

Διατίθεμαι παθητικῶς, διάκειμαι, καὶ τὸ πωλῶ. διατίθημι δὲ ἐνεργητικῶς, τὸ Καθιστῶ, καὶ οἰκονομῶ. καὶ διαθέτης ὡσαύτως, ὁ καθιστῶν καὶ οἰκονομῶν.

Διατίθεμ᾽ ἐγὼ, ὑπισχνοῦμαι, συντίθεμαι.

Διατίθημι, τὸ καλῶς τίθημι. καὶ διοικῶ, καὶ οἰκονομῶ. καὶ ἐπὶ λόγων καὶ πραγμάτων ἑτέρων.

Διατιμητικὸς, δοκιμαστικός.

Διατινθαλέω, διαθέρμω, παρὰ τῷ Ἀριστοφάνει.

Διατιτρᾶν, διατρυπᾶν.

Διατλὰς, ὑπομείνας, καρτερήσας, κακοπαθήσας.

Διατμῆξαι, διατεμεῖν, διακόψαι.

* Διατμαγῆναι, τὸ διακοπῆναι, καὶ ἀποτμηθῆναι καὶ ἀντὶ τοῦ χωρισθῆναι τοπικῶς. καὶ διατμήγειν, τὸ διακόπτειν καὶ διαιρεῖν, καὶ διατμῆξαι κῦμα, ἀντὶ τοῦ πλεῦσαι καὶ διανήξασθαι.

Διάτονον, ὀξύτονον.

Διάτονον, ἐξάκουστον, ὀξύτερον, μεγαλόφωνον.

Διάπορος, ὁ διασαφηνίζων. παρὰ τὸ πορῶ, τὸ σαφηνίζω. Ἀριστοφάνης, Εἰ μή τι πορίσω τούτων καὶ βουλήσομαι.

Διατορώτατον, τρανώτατον.

Διὰ τοὺς χρηστοὺς, παρὰ τῷ Ἀριστοφάνει. Ἰστέον, ὅτι ἡ διὰ πρόθεσις οὐ μόνον γενικῇ συντάσσεται, ὅταν δηλοῖ ἐνέργειαν, ἀλλὰ καὶ αἰτιατικῇ, ὡς ἐνταῦθα. εὕρηται δὲ τοῦτο καὶ ἐν πολλοῖς τῶν λογοποιῶν. καὶ μὴν ὅταν δηλοῖ αἰτίαν, αἰτιατικῇ μὲν ὡς ἐπὶ πολὺ συντάσσεται, ἀλλὰ πρὸς γενικὴν εὕρηται σπανίως.

Διὰ τοῦτο, δεικτικὴ ἀντωνυμία. ἢ μᾶλλον, ἐπίρρημα δεικτικόν.

Διατράμις, διερρωγὼς τὴν τράμιν, τὸν ὑπὸ ὀχὶν ἐπὶ τὰ ἰσχία τόπον. τράμις γὰρ τὰ ἰσχία. καὶ φωνὴ δέ τις οὕτω καλεῖται ὑπὸ τῶν φωνασκῶν.

Διατρανοῦν, σαφηνίζειν.

Διατρέχοντες, οἱ διάττοντες, οἱ ἀποσπινθηρίζοντες.

Διατρίβειν, τὸ ὑπερτίθεσθαι, καὶ μέλλειν. ἢ τὸ διατρίβειν, ἐπὶ ἀργίας κεῖται, ὡς παρ' Ὁμήρῳ, μή τοι διατρίβειν τὸν ἐμὸν χόλον. καὶ ἐν Ὀδυσσείᾳ, διατρίβειν τὸν τῆς Πηνελόπης γάμον. καὶ διατρίβειν, τὸ παρατείνειν καὶ ὑπερβιβάζειν. οὕτω καὶ Πηνελόπη διατρίβειν λέγεται τοῖς μνηστῆρσι τὸν γάμον.

Διατρίβειν, παρασύρειν, περιέλκειν, ἀναβάλλεσθαι, ἐμποδίζειν, κωλύειν. καὶ διατρίβειν γάμον, σημαίνει τὸ χρονοτριβεῖν καὶ ἀναβάλλεσθαι. καὶ Ὅμηρος, τὰ δὲ πάντα διατρίβουσιν Ἀχαιοί. καὶ γενικῇ συντάσσει τὸ ῥῆμα. ὡς ἐκεῖνο, Ἀλλ' ἄγε δὴ μὴ διατρίβωμεν ὁδοῖο. καὶ ὥσπερ λέγομεν χρονοτριβεῖν, οὕτω καὶ τριψημερεῖν, τὸ στραγγεύεσθαι, καὶ περιέλκειν τὴν ὥραν.

Διατριβὴ, ἐπιτήδευμα, ἀσχόλημα, δίαιτα, διαγωγὴ, πρόφασις, ἀφ' ἧς μέλλομεν περὶ τὰ πράγματα διατρίβειν.

Διατριβῆναι, ἀπολέσθαι.

Διατρίβοιτε, παίζοιτε.

Διατρίβω, τὸ βραδύνω. Ἀριστοφάνης, μὴ διατρίβωμεν. καὶ διατρίβω εἰς τόνδε τὸν τόπον, μετὰ προθέσεως. καὶ διατρίβω, τὸ κοινῶς παίζω ἀμεταβάτως. ὅθεν διατριβὴ, τὸ παίγνιον. ἐνδιατρίβω, δοτικῇ συντάσσεται.

Διάτριχα κοσμηθέντες, παρ' Ὁμήρῳ ἐν καταλόγῳ, οὐ βούλονται οἱ παλαιοὶ προπαροξύνεσθαι τὸ διάτριχα. ὑπερβαίνουσα γὰρ ἡ πρόθεσις εἰς τὴν μετοχὴν, καθίστησι τὴν ἀνάγνωσιν. οὕτω διακοσμηθέντες τρίχα, ἤγουν τριχῶς, τουτέστιν εἰς μέρη τρία. τοὺς δὲ τρίχα; εἰς Λίνδον, εἰς Ἰήλυσον, καὶ εἰς Κάμιρον. τὸ δὲ τρίχα διακοσμηθῆναι, ὁ ποιητὴς τριχθὰ οἰκῆσαί φησι.

Διατροπὴ, συμπάθεια, οἶκτος.

Διατροφὰς, βρώματα.

Διατροχάδες, εἶδος ποιήματος. ὡς ἱστορεῖ Πραξιφάνης.

Διατρύγιος, ἅπαξ μὲν εἴρηται τῷ ποιητῇ. σημαίνει δὲ ἄμπελον, ἧς οἱ καρποὶ ἐν διαφόροις καιροῖς πεπαίνονται. διὸ ἔφη ἔνθα σταφυλαὶ παντοῖαι. ἕτεροι δὲ διατρυγίους φασὶν ὄρχους, οὐ μόνον οἰνικοὺς, ἀλλὰ καὶ δενδρικοὺς, τοὺς μὴ πάνυ πυκνοὺς, ἀλλὰ τοιούτους, ὡς μεταξὺ τῶν κατὰ τὰ φυτὰ στοίχων παρεσπάρθαι τι τῶν σπορίμων, καὶ οἷον τρυγᾶσθαι.

Διατρυφὲν, κλασθὲν, ἀνατρυφθέν, ἐκ τοῦ θρύπτω γίνεται ὀνοματοπεποιημένου ῥήματος. καὶ ἔστι μετοχὴ δευτέρου παθητικοῦ ἀορίστου. ἐντεῦθεν δὲ καὶ τὸ τρύφος παρῆκται. ἔτι δὲ καὶ ἡ τρυφὴ, ὡς τὸν σπαταλῶντα θρύπτουσα.

Διαττᾶν. σήθειν.

* Διαττᾶσθαι, σήθεσθαι.

Διάττειν, ὁρμᾶν, διατρέχειν. ἢ διάκνειν, οἷον διάθειν. ἀπὸ τοῦ θέω, τὸ τρέχω, τροπῇ τοῦ θ, καὶ πλεονασμῷ ἑτέρου τ.

Διατρέσαι, διαδρᾶναι.

Διαττοῖεν τρίβον, ὁρμήσουσιν ὁδόν.

Διάττουσι, διατρέχουσι.

Διαττοίειν, βαδίζειν.

Δίαττος, ἡ ἀλευρότησις, τὸ κόσκινον.

Διάττω λέγουσιν οἱ Ἀττικοὶ, παρὰ τὸ σῶ, ἤγουν σῶ, σώθετον, καὶ πλεονασμῷ τοῦ τ, διάττω.

Διάττων ἐστὶ, πυρὸς διάχυσις ἐν τῷ μετεώρῳ, καὶ σκέδασις.

Διατυπῶν, διατιθέμενος ἐπὶ τὸ βέλτιον. καὶ διατυπῶν τὸ ἀτύπωτον, καὶ μεταπλάττων πρὸς εὐσχημοσύνην, τὸ ἄτακτον.

Διατύψαι, διὰ στενοῦ διελθεῖν.

Διαυανθῆναι, ξηρανθῆναι.

Διαυγάσαι, φωτίσαι.

Διαύγεια, ἡ ἔλλαμψις.

Διαυγεῖσθαι, διορᾶσθαι.

Διαυγὲς, λαμπρὸν, φωτεινόν.

Διαυλία, ὅταν δύο ᾄδωσι.

Διαυλίζων, βαθύνων, ἢ μυχεύων.

Διαύλιον, ὁπόταν ἐν τοῖς μέλεσι μεταξὺ παρεμβάλλῃ μέλος τι ὁ ποιητὴς, παρασιωπήσαντος τοῦ χοροῦ. παρὰ δὲ τοῖς μουσικοῖς τὰ τοιαῦτα, μεσαύλια.

Δίαυλος, διαυλοδρομοῦντες μεθ' ὅπλων τρέχουσιν, ἔχοντες λόφον ἐπὶ τῆς κεφαλῆς. Ἄλλως.

Δίαυλος ὁ διττὸν ἔχων τὸν δρόμον ἐν τῇ πορείᾳ, τὸ πληρῶσαι τὸ στάδιον, καὶ ὑποστρέψαι. δολιχόδρομοι δὲ, οἱ ἑπτὰ τρέχοντες, διὸ καὶ δολιχόδρομοι. οἱ γὰρ σταδιοδρόμοι, διπλοῦν ποιοῦνται τὸν δρόμον. ἄλλως, ὁ πλείστων δρόμων. μετὰ ὅπλων γὰρ ἠγωνίζοντο. ἄλλως. Δίαυλος, ὁ διστάδιος τόπος, ἢ μέτρον πήχεων διακοσίων. δίαυλος καὶ ἡ μακρὰ περίοδος. ὀκτὼ δὲ εἰσὶν ἀγωνίσματα, στάδιον, δίαυλος, δόλιχος, ὁπλίτης, πυγμὴ, παγκράτιον, πάλη, καὶ ἅλμα.

Διαυλωνίζειν λέγουσι τοὺς ἀνέμους, ὅταν διὰ τόπου ὁμαλοῦ καὶ στενοῦ διαπνέωσι.

Δίαυρος, δαλὸς διάπυρος.

Διαύχην, ἀεξίαν.

Διαφαίκειν, διαφαίνειν.

Διαφάσσειν, διασιλλαίνειν.

Διαφαίνει, διαδείκνυσι.

Διαφανὲς, λαμπρὸν, διάπυρον. εἴρηται ἐπὶ τοῦ ὕδατος, καὶ ἐπὶ τοῦ ὑέλου, δι' ὧν ἡ ὄψις δίεισι.

Διαφανῆ χιτώνια, οὐ τὰ λαμπρὰ, ἀλλὰ τὰ ἰσχνὰ, δι' ὧν διαφαίνεται τὰ σώματα τῶν γυναικῶν.

Διαφανὴς, ἐπιφανὴς, ἐπίσημος.

Διαφανῶς, σαφῶς, ἢ συμφώνως.

Διαφεῖναι, διαλῦσαι. καὶ διαφεὶς, ἀντὶ τοῦ ἀπολύσας, ὁρίσας.

Διαφέρει Ἥλιος Σελήνης. διαφέρεται δέ τις πρὸς τὸν ἀδελφὸν, περὶ πατρῴου κλήρου. καὶ διαφέρει τόδε τοῦδε, ἤγουν διάφορόν ἐστιν. ὁ ἐχθρὸς διαφέρεται, ἀντὶ τοῦ μάχεται. διάφορα φρονεῖ, ἀντὶ τοῦ μάχεται. καὶ διαφέρει τοὺς κινδύνους τις, ἤγουν ὑπομένει. καὶ διαφέρει μοι ὁ δεῖνα, ἤγουν ἐπιτήδειός ἐστί μοι, καὶ προσήκει μοι. ἀφ' οὗ ἀδιάφορος, ὁ μὴ προσήκων, μηδὲ οἰκειότητά τινα ἔχων. καὶ διαφέρει, ἀντὶ τοῦ διαλλάσσει. ἐπὶ τῶν μὴ σφόδρα κατὰ πολὺ διϊσταμένων πραγμάτων λεγόμενον. καὶ διαφέρει, ἀντὶ τοῦ συντελεῖ. Συνέσιος, Ἐμοὶ δὲ καὶ ἰδίᾳ διαφέρει τὸ παρ' αὐτά σε πράττειν εὖ τὰ βασίλεια. καὶ Ἡρωδιανὸς, Ἐπεὶ μηδὲ αὐτοῖς διέφερε τοῦτο εἰδέναι. καὶ διαφέρει, ἀντὶ τοῦ κεκλήρωται. ὡς ὁ Θεολόγος, ὥσπερ ἂν εἰ καὶ τῶν τεχνῶν ἀπεῖρξεν ἡμᾶς ὅσαι παρ' Ἕλλησιν εὕρηνται, καὶ τοῦτο διαφέρειν αὐτοῖς, διὰ τὴν ὁμωνυμίαν ἐνόμισε. καὶ διαφέρει, ἀντὶ τοῦ οἰκονομεῖ. ὁ αὐτὸς, Μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφέρειν, καὶ τὴν τῶν αἱρετικῶν δυναστείαν. καὶ διαφέρει, ἀντὶ τοῦ διέρχεται. καὶ διαφέρειν, τὸ διαφορὰν ἔχειν. καὶ συντάσσεται ἀπὸ αἰτιατικῆς εἰς δοτικήν. καὶ τὸ ὑπομένειν, ὃ μετὰ τῆς συν λέγεται, καὶ δηλοῖ μετὰ πόνου ὑπομένειν. καὶ τὸ ἐπιτηδείως ἔχειν, καὶ φιλικῶς πρός τινα. οἷον, ὁ σπουδαῖος ὀφείλει προνοεῖσθαι καὶ ἑαυτοῦ καὶ τῶν διαφερόντων αὐτῷ. ἀπὸ τούτου διαφορὰ, καὶ διάφορος, ἐπὶ τοῦ ἐχθρωδῶς διακεῖσθαι.

* Διαφέρεσθαι, τὸ διαφόρως ἔχειν. ὅθεν διάφορός τινι ὁ πρός τινα ἐχθρῶς διακείμενος. καὶ διαφέρειν κόρας ὀμμάτων ἀντὶ τοῦ διακομίζειν. καὶ διαφορὰ, ἡ ἑτεροιότης καὶ ἡ μάχη.

Διαφέρεις οὐδὲν τῶν τυφλῶν, ἀντὶ τοῦ διαλλάσσεις. καὶ κατ' οὐδὲν ἀλλήλων διαφερόμεθα. μηδὲν διαφέρω τοῦ πλησίον.

Διαφέρεσθαι, ἐρίζειν, φιλονεικεῖν, βαστάζειν, ἀμφιβάλλειν.

Διαφέρεται παθητικῶς, ἀντὶ τοῦ μάχεται. καὶ ἀντὶ τοῦ διά τινος φέρεται. Δημοσθένης, διεφέρετο κατατριβόμενος. καὶ ἀντὶ τοῦ αἴτιόν ἐστιν. Εὐριπίδης, ἄρα αἱ τρυφαὶ διαφέρουσιν. ὅθεν διαφορὰ, ἡ μάχη. ἐξ οὗ διάφορος, ὁ ἐχθρός. καὶ διάφορον, τὸ διαφορὰν ἔχον. διάφορα φρονεῖ, ἀντὶ τοῦ μάχεται. ὡς ἔχει τὰ τῶν πατέρων τῶν φαύλων ἕτερα μὲν τὰ ἐνθυμήματα, ἕτεραι δὲ αἱ πράξεις, διάφορα δὲ πάντα καὶ μαχόμενα. διαφέρει τοὺς κινδύνους τις, ἤγουν ὑπομένει. καὶ διαφέρει τὰς ἐκκλησιαστικὰς φροντίδας. καὶ διαφέρει μοι ὁ δεῖνα, ἤγουν ἐπιτήδειός ἐστιν ἐμοὶ, καὶ προσήκει μοι. ἀφ' οὗ ἀδιάφορος, ὁ μὴ προσήκων, μηδὲ οἰκειότητά τινα ἔχων. καὶ διαφέρει ἥλιος σελήνης. διαφέρεται δέ τις πρὸς ἀδελφὸν περὶ πατρῴου κλήρου.

Διαφέρονται, μάχονται.

Διαφερόντως, ἐξαιρέτως.

Διαφερούσῃ, πληθυούσῃ.

Διαφέρω, τὸ ὑπερφέρω, γενικῇ. διαφέρω δὲ, τὸ ὑπομένω, αἰτιατικῇ. διαφέρομαί σοι, ἀντὶ τοῦ διαμάχομαί σοι, δοτικῇ.

Διαφερώμεθα, φιλονεικήσωμεν.

Διαφέρων, παρασκευάζων. Παρέργως τὰ πρότερα τὸν πόλεμον διαφέρων.

Διαφεύγει τι, ὅταν παραδράμῃ διωκόμενον. ἢ ὅταν προοραθῇ λαθὸν, ἢ ὅταν κρατηθῇ διολισθήσῃ.

Διαφεύγω, αἰτιατικῇ. ἐκφεύγω, γενικῇ συντάσσεται.

Διαφῆκε δοκιμώτερον, ἢ ἀφῆκε. καὶ διακούει, ἢ ἀκούει.

Διαφημίζω, διασαλπίζω.

Διαφθείρομαι, ὁ μέλλων διαφθεροῦμαι. ὁ παρακείμενος, διέφθορα. ἀλλὰ καὶ διέφθαρμαι, διαφθείρεται ὁ δεῖνα μετὰ τοῦ δεῖνος. Χρυσόστομος, Μήποτε διαφθείρονται μετ' αὐτῶν. τὸ γὰρ κοινὸν, διαφθείρεται ὁ δεῖνα τῷ δεῖνι λέγεται.

Διαφθείρω, μέλλων διαφθερῶ, παρακείμενος διέφθαρα. Ἀριστοφάνης, Τοὺς προλόγους διαφθερῶ ἀπὸ ληκυθίου.

Διαφθέρσει, διαφθείρει.

Διαφθορὰ, θάνατος, διάλυσις τοῦ συνθέτου σώματος.

Διάφλοισβοι, τεταραγμένοι.

Διαφοιγοιμὸρ, ὑπὸ Λακώνων ἐπὶ πάσῃ ἡμέρᾳ, τῆς τῶν φιτιδίων σιτήσεως.

Διαφορά ἐστι λόγος, καθ' ὃν ἡ πρὸς ἄλληλα τῶν σημαινομένων ἑτερότης σώζεσθαι πέφυκε, καὶ τοῦ πῶς εἶναι δηλωτικός. διαφορά ἐστι λόγος, καθ' ὃν ἀλλήλων διαφέρεται τὰ ὑποκείμενα, καὶ τοῦ πῶς εἶναι δηλωτικός. τουτέστι τοῦ τὴν σάρκα τῇ φύσει καὶ τῇ οὐσίᾳ, ὅπερ ἐστὶ καὶ τοῦ εἶναι πάλιν τὸν Θεὸν λόγον τῇ φύσει καὶ τῇ οὐσίᾳ, ὅπερ ἐστί. διαφορά ἐστιν, ἡ παρὰ τοῖς φιλοσόφοις καλουμένη ἰδιαιτάτη. ἥτις καὶ οὐσιώδης ὑπάρχει διαφορὰ, ἥ τινι περιουσιάζει τὸ εἶδος τοῦ γένους. καὶ πάλιν. διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορουμένη. ὁμοίως διαφορά ἐστι, τὸ χωρίζεσθαι πεφυκὸς, τὰ ὑπὸ τὸ αὐτὸ γένος οὐσιωδῶς. διαφορά ἐστιν, ᾧ διαφέρει ἕκαστος οὐσιωδῶς. διαφορά ἐστιν, ἡ ἕτερον ποιοῦσα εἶδος, καὶ ἐν τῷ ὅρῳ παραλαμβανομένη. αὗται αἱ ὑπογραφαὶ τῆς ἰδιαιτάτης διαφορᾶς. διαφορά ἐστιν, ἡ λεγομένη κοινῶς, τὸ χωριστὸν συμβεβηκός. διαφορά ἐστιν, ἑτερότης πρὸς ἄλληλα πραγμάτων. τριχῶς δὲ αὕτη λέγεται. κοινῶς, καὶ ἰδίως, καὶ ἰδιαίτατα. καὶ ἔστι κοινῶς διαφορὰ, τὸ καθέζεσθαι, τὸ ἵστασθαι, τὸ λούεσθαι καὶ μὴ λούεσθαι, κάμνειν καὶ μὴ κάμνειν. ἰδίως δὲ διαφορά ἐστιν, ὥσπερ τὸ γλαυκὸν, τὸ σιμὸν, τὸ γρυπὸν, καὶ ἁπλῶς ὅσα χαρακτηρίζονται τὸ ἄτομον. ἰδιαίτατα δὲ διαφορά ἐστιν, ὡς λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, τὸν ἄνθρωπον, τὸ χρεμετιστικὸν, τὸν ἵππον,

τὸ ὑλακ-

Digitized by Google

τὸ ὑλακτικὸν, τὸν κύνα. καὶ διαφορὰ, ἔχθρα, βδελυρία.

Διαφοραὶ, ἐγκλήματα.

Διαφορέουσι κλέος, ἀντὶ τοῦ διαφέρουσι, διακομίζουσι πανταχοῦ. ὅθεν καὶ συνδιαφέρειν, τὸ συνυπομένειν. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν φορτηγῶν.

Διαφορηθῶ, διασπασθῶ. καὶ διαφορηθῆναι, ἀντὶ τοῦ διασπασθῆναι. Ἀριστοφάνης, διαφορηθῆναί θ' ὑφ' ὑμῶν.

Διαφόρημα, τὸ παίγνιον.

Διαφορήσω σ' ἔτι γρύξεις. Ἀριστοφάνης, διασπάσω, διολίσω, χίσω, ἐκφορήσω καλῶς, ὡς ἐπὶ μαγείρου.

Διαφρήσετε, διαφορήσετε, διαπέμψετε.

Διάφοροι, ἐχθροί. καὶ διάφορον πρᾶγμα, τὸ τίμιον. καὶ διάφορον κατασκεύασμα, ἢ ἄλλο τι, τὸ πλείονος ἄξιον.

Διάφορον, ἀμφίλεκτον, καὶ ἀνάλωμα.

Διαφοροῦντές τε, παίζοντές τε.

Διαφορώτερον, κρεῖττον, ὑψηλότερον.

Διαφράγιον, ἀλαῖον, καὶ διάφραγμα.

Διαφροντίων, διανοούμενος.

Διὰ φροντίδος ἦν αὐτῷ, ἀντὶ τοῦ ἐβουλεύετο, ἐσκέπτετο.

Διάφρυκτος κλῆρος, κύαμος. ὁ γὰρ κύαμος παρὰ Ἀθηναίοις φρυκτός. ἐλάμβανον δὲ οἱ δικάζοντες αὐτὸν ἀντὶ ψήφου.

Διαφρυκτοῦν, τὸ διαψηφίζειν, ἢ διακληροῦν. εἴρηται ἀπὸ τῶν κυάμων, δι' ὧν τὸ παλαιὸν ἐψηφίζοντο. τοὺς γὰρ κυάμους φρυκτοὺς ἐκάλουν.

Διαφρυξίαι, ὑπερφλοισμοὶ ὑγροί.

Διαφρῶ, σημαίνει τὸ διακομίζω. σημαίνει καὶ τὸ εἰσιέναι καὶ ἀφιέναι ποιῶ. εἴρηται παρὰ τὸ ἵω, τὸ ἀφίημι, ὅπερ καὶ ἀφῶ λέγεται, καὶ προῶ. εἶτα κατὰ συγκοπὴν πρῶ, φρῶ. καὶ κατὰ διαστέραν σύνθεσιν διαφρῶ, καὶ εἰσφρῶ. Ἀριστοφάνης, τῶν μηρίων τὴν κνίσσαν οὐ διαφρήσετε.

* Διάφραγμα, νευρώδης ὑμὴν, τὰ σπλάγχνα διαζωννύς.

Διαφυγετέον, παρ' ἐλπίδα σωθῆναι.

Διὰ φυλακῆς ἔχοντες, ἀντὶ τοῦ φυλάσσοντες. Θουκυδίδης, Καὶ οἱ μὲν ἄλλως τεταγμένοι τε προσῄεσαν, καὶ διὰ φυλακῆς ἔχοντες.

Διαφυλαὶ, διακοπαὶ, διαλογαί.

Διαφῦσαι, διελεῖν.

Διάφυσος, φασκίς.

Διαφύσσειν, διαντλεῖν, καὶ χωρίζειν.

Διαφωνεῖν λέγεται, τὸ μὴ ὁμονοεῖν, μηδὲ συμφωνεῖν. καὶ δηλοῖ ἡ διὰ ἐνταῦθα, τὸν χωρισμόν. ὡς ἐν τῷ διεγράφης, ἀντὶ τοῦ διεχωρίσθης. διαφωνεῖν λέγεται, καὶ ὅταν ἐπιχειρήσῃ τις ὑπὲρ δύναμιν βοῆσαι, εἶτα μείνῃ ἄφωνος, οἷα πάσχουσιν οἱ παρὰ τὴν δύναμιν ἐπιχειροῦντες βοᾶν. καὶ δηλοῖ ἐνταῦθα ἡ διὰ, πλείονα ἔμφασιν.

Διαχασκουσῶν ἁρμονιῶν, κεχηνυιῶν, διεσκορπισμένων, καὶ μὴ ἐχουσῶν εὐέτειαν, παρὰ τῷ Ἀριστοφάνει.

Διαχέαι, διαμελίσαι. διαχεθῇ, διαχεθεῖ.

Διαχειρήσας, δεξάμενος.

Διαχειρίζω τὰ πράγματα, τουτέστι διὰ χειρὸς ἔχω, καὶ οἰκονομῶ, καὶ διοικῶ. παθητικῶς δὲ διαχειρίζομαι, τὸ φονεύω. μεταχειρίζομαι παρὰ τούτοις, τὸ οἰκονομῶ.

Διὰ χειρὸς ἔχειν, τὸ φυλάττειν.

Διαχειροτονία, ἡ τῆς χειροτονίας διάκρισις, ἐν πλήθει γινομένης.

Διαχεῖται, ὑπὸ ὄμβρου βρέχεται.

Διαχέομαι, ἥδομαι, εὐφραίνομαι. ὅθεν διάχυσις, ἡ τέρψις.

Διαχεύειν, τὸ μελίζειν. Ὅμηρος, Καί μιν διέχευαν ἅπαντα.

* Διαχεύειν ζῶον ἐσφαγμένον, ἤγουν εἰς ἁδρὰ μέλη διατέμνειν.

Διαχεῖ, διαχώνευε.

Διαχλον, χλιαρόν.

Διὰ χρόνου, ἀντὶ τοῦ μετὰ πολὺν χρόνον. Ἄρ' ἂν βλαβείης διὰ πολλοῦ χρόνου.

Διαχρῶμαι τὸν δεῖνα, καὶ διαχειρίζομαι, καὶ διεργάζομαι, κρεῖττον ἢ φονεύω. Λιβάνιος, διαχρησάμενος τὸν δεσπότην. καὶ πάλιν ἀλλαχοῦ, διεχειρίσατο ἑαυτόν. Εὐριπίδης ἐν Ἑκάβῃ, Ἄγουσ' Ὀδυσσεῦ καὶ διαχείρισαι μ' ἄγων. ὡσαύτως καὶ διαχείρησις. διέργασις μέντοι καὶ διεργασμὸς, οὐχ εὕρηται. ἔστι δὲ καὶ διαχείρησις, ἡ διοίκησις. καὶ διαχειρίζω, τὸ διεξάγω, καὶ καταχρῶμαι, ἀντὶ τοῦ φονεύω λέγει ἐν πρώτῃ Ἡρόδοτος. οἷον καταχρήσασθαι ἑωυτόν. ὁ αὐτὸς καὶ διαχρῶμαι πρὸς δοτικὴν λέγει.

* Διαχρήσασθαι, ἀντὶ τοῦ διαχειρίσασθαι, ἐξ οὗ καὶ συνεκόπη.

Διαχρώμενοι, ἀναιροῦντες.

Διαχύσει, ἁπλώσει.

Διάλυσις λέγεται, τὸ διαχεῖσθαι ἐπὶ ψυχῆς. ὅταν ἐλευθεριάζῃ καὶ χαίρῃ. ἡ χαρὰ, τέρψις, καὶ ἔκστασις ὕδατος.

Διαχύτλαζε, διακίνει, πλάτυνε, ἢ διάχει. ἢ διακάθαιρε, ἢ διάκρινε, ἢ διύγραινε.

Διαχωρήματα, τὰ διαλείποντα.

Διαχωρήσαντα, διαχωρήσαντες δυϊκῶς.

Διαχωρεῖν, ἀπὸ διαστήματος.

Διαχώρους, τὰ διαστήματα τῶν λόχων. Οὕτω τε ἀνεπλήρωσε τῇ πυκνότητι τοῦ στρατοῦ τοὺς διαχώρους.

Διαχωρῶ, τὸ διέρχομαι. καὶ δίειμι, τὸ διαπορεύομαι, τῆς διὰ ἐπὶ μεσότητος λαμβανομένης. ὡς καὶ παρὰ Ἡροδότῳ, οἱ μὲν Πέρσεες σὺν Κύρῳ διεχώρησαν κατὰ τὴν Βαβυλωνίην, μὴ πολεμέοντες.

Διαψαθάλλειν, διαστέλλεσθαι πρὸς ἔρευναν.

Διαψαίρουσιν, ἡσυχῇ διακινοῦνται, κινοῦνται, ἢ διαπνέουσι, ψαίρειν γὰρ τὸ πνεῖν, οἱ ναυτικοὶ λέγουσι. καὶ διαψαίρουσα, διασύρουσα. Εὐριπίδης, ἐπὶ τοῦ καθαίρειν λαμβάνει. οἷον, Γλώσσῃ διαψαίρουσα μυκτήρων τύπους. καὶ ψαίρειν ἰστίον λέγομεν.

Διάψαλμα, μέλους ἐναλλαγή.

Διαψᾶν, διορύττειν, διασκαλεύειν. ὡς τὸ, Κελεῦσαι πάντας διαψᾶν τὴν ἄμμον, καὶ ποιεῖν βοθύνους εὐμεγέθεις.

Διαψηφίζεσθαι, τὸ ψηφοφορεῖν ἐν δικαστηρίοις.

Διαψεύδονται, ἐκπίπτουσιν, ἀποτυγχάνουσι.

Διαψήφισις ἰδίως λέγεται, ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γίνονται περὶ ἑκάστου τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης καὶ δημότης ἐστὶν, ἢ παραγέγραπται ξένος ὤν, Αἰσχίνης κατὰ Τιμάρχου. ἐντελέστατα δὲ διείλεκται περὶ τῶν διαψηφίσεων, ὡς γεγόνασιν ἐπὶ Ἀρχίου ἄρχοντος, Ἀνδροτίων ἐν τῇ Ἀτθίδι. καὶ Φιλόχορος, ἐν τῷ τῆς Ἀτθίδος.

Δίβαν, τὸν ὄφιν. Κρῆτες.

Διβητήσια, διαβίκια.

Διβόλους χλαίνας, οἱ μὲν διμίτους, οἱ δὲ διπλᾶς.

Δίγαμμα, στοιχεῖόν τι.

Διγῆρες, οἱ λαμπροί. ἢ οἱ στρυθοί.

Δίγλωσσον, διχόμυθον.

Δίγλωσσος, ὁ δύο γλώσσας ἐπιστάμενος.

Δίγνωμος, ὁ ἐπαμφοτερίζων τῇ γνώμῃ.

Δίγονος μάσθλης, διπλοῦς ἱμάς. ἢ ὅτι οὐ μόνον κατὰ τὴν βαφὴν ἦν τοιοῦτος, ἀλλὰ καὶ ἀπὸ τοῦ αἵματος ἐκέχρωστο. Σοφοκλῆς Ἀνδρομέδᾳ, Ἰδοὺ δὲ φοινὸν μάσθλητα δίγονον. ἐκ τοῦ ῥητορικοῦ, ὁ δύο χρώμασι κεχρωσμένος.

Δίγονος, ἡ περιστερά.

Διδασκαλεῖον, τὸ σχολεῖον. διδασκάλιον δὲ, αὐτὸ τὸ μάθημα.

Διδασκαλία ἐστὶ, τύπωσις ἔργου καὶ λόγου, ἐπὶ μίμησιν ἄγουσα τοὺς διδασκομένους.

Διδάσκαλον, οὐ καθηγητὴν λεκτέον. ἰδίως δὲ διδασκάλους λέγουσιν οἱ Ἀττικοὶ τοὺς ποιητὰς τῶν διθυράμβων, ἢ τῶν κωμῳδιῶν, ἢ τῶν τραγῳδιῶν, ἢ τοὺς μουσικούς. ἐκ τοῦ δαίω δαίσω, δαίσκω τὸ μανθάνω. ὡς ὀλέσω ὀλέσκω. καὶ ὅτι τὰ εἰς κω ῥήματα οὐ θέλουσι παραλήγεσθαί τινι ἀνεκφωνήτῳ, γίνεται δάσκω. καὶ μετάγεται εἰς ἐνεστῶτα, καὶ διπλασιασμῷ διδάσκω.

Διδασκέτωσαν, διδαξάτωσαν.

Διδάσκομαι παρ' ἄλλου. καὶ διδάσκομαι ἕτερον, ἀντὶ τοῦ διδάσκω.

Διδασκῆσαι, διδάξαι.

Διδασκόμενος πολέμοιο, ἀσυνήθως τοῖς πολλοῖς, ὁποῖόν τι καὶ τὸ ἐπειγόμενός περ ὁδοῖο. γίνεται δὲ ἡ τοιαύτη σύνταξις ἢ κατὰ ἔλλειψιν, ἵνα ᾖ διδασκόμενος περὶ πολέμου, ὥσπερ καὶ ἐπειγόμενος ἐπὶ ὁδοῦ. ἢ καὶ ἄλλως καθ' ὁμοιότητα τοῦ εἴδους. ὡς γὰρ ἐκεῖνο γενικὴν ἔχει σύνταξιν, ὅτε ληφθῇ ἀντὶ τοῦ εἴδησιν ἔχον, οὕτω καὶ τὸ διδασκόμενος συντάσσοιτο ἂν γενικῇ, ἀναλυθὲν εἰς τὸ διδασκαλίαν ἔχων.

Διδάσκω, εἰσηγοῦμαι, ὑφηγοῦμαι, παιδεύω, μυῶ καὶ διδάσκω, καὶ νουθετῶ σε τὴν ταπεινοφροσύνην. καὶ διδάσκω σε ταπεινὰ φρονεῖν, καὶ διδάξω σε καλῶς. μεταδιδάσκω δὲ τὸ ἀναπείθω, ἐκδιδάσκω ὁμοίως, αἰτιατικῇ. διδάξω δι' ἐμαυτοῦ, διδάξομαι δὲ δι' ἑτέρου.

Διδάσκω καὶ διδάσκομαι, διαφέρει. διδάσκω μὲν, τὸ ἐκπονῶ ἄλλον περί τι, ἤτοι παιδεύω, καὶ ἀνάγω. διδάσκομαι δὲ, κατὰ τὴν ἰδίαν παθητικὴν σημασίαν προφερόμενον λαμβάνεται. σημαίνει δὲ τοῦτ' αὐτὸ καὶ ἐνέργειαν. ἀντὶ τοῦ, εἰς διδασκάλου πέμπω διδαχθησόμενον. ὡς καὶ Ἀριστοφάνης, Ἐδιδαξάμην μέν σ' ὦ μέλεε, τοῖσι δικαίοις ἀντιλέγειν.

Διδαχὴ, ἀντὶ τοῦ διδασκαλία. Ἡρόδοτος ἐν τρίτῃ.

Διδέασι, δεσμεύουσι.

Διδεῖεν, ἔδειισαν.

Δίδη, δηλοῖ τὸ ἐδέσμει. ἔστι δὲ ὅμοιον τῷ ἵστη. ὡς γὰρ αὐτὸ ἀπὸ τοῦ ἱστῶ ἵστημι, οὕτω τὸ δίδη ἀπὸ τοῦ διδῶ δίδημι. ὅπερ οὕτω φράζεται, πρὸς διαστολὴν τοῦ διδῶ δίδωμι, ὃ δηλοῖ τὸ δωροῦμαι. Ἰστέον γὰρ, ὅτι ὥσπερ ἐκ τοῦ δῶ δώσω, ἐξ οὗ τὸ δῶρον γίνεται, τὸ δίδωμι, οὕτως ἐκ τοῦ δῶ δήσω, καὶ δέσω, παρῆκται τὸ δίδημι.

Δίδη μόσχοισι λύγοισι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἔδει, ὅ ἐστιν, ἐδέσμει. τὰ τρίτα πρόσωπα τὰ λήγοντα παρὰ τοῖς ἄλλοις εἰς τὴν ει δίφθογγον, διὰ τοῦ η παρὰ τοῖς Αἰολεῦσιν ἐκφέρεται. ὡς ἐν τῷ ἐφίλη, ἐνόη. ἢ ἀπὸ τοῦ δέω, διδῶ, παράγωγον εἰς μι δίδημι, τὸ δεσμῶ· ὁ παρατατικὸς, ἐδίδην, ης, η. ὅθεν καὶ δίδη μόσχοισι λύγοισιν, ἀντὶ τοῦ ἔδησε ταῖς ἁπαλαῖς λύγοις.

Δίδημι, τὸ δεσμεύω.

* Δίδιμεν, ἐκ τοῦ δεδίαμεν γέγονεν.

Διδήμονες, δειλοὶ, ἄθλιοι.

Διδίσκετο, ἠσπάζετο.

Διδίσσεται, φοβεῖ.

Διδόαμεν, πλεονασμὸν ἔχει τοῦ α, ἀντὶ τοῦ δίδομεν.

Διδόασι λέγε, οὐ διδοῦσιν. ὡς Φαβωρῖνος ἐν τῷ περὶ ἀρχῆς. τὸ γὰρ διδοῦσι λέγειν, τὸ δεῖν σημαίνει.

Διδοῖ ποιητικὸν, δίδωσι κοινόν. συζυγίας τρίτης τῶν περισπωμένων, πρωτότυπον τοῦ δίδωμι.

Διδοῖσθα, ἐκ τοῦ διδῶ, διδοῖς, κατὰ πλεονασμόν. ὁποιόν ἐστι καὶ ἐν τῷ ἔφησθα, καὶ οἶσθα, καὶ τοῖς ὁμοίοις.

Διδόναι. τὰ εἰς ναι ἀπαρέμφατα τῶν εἰς μι ῥημάτων, φυλάττουσι τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν. οἷον, τίθημι τιθέναι, ὅτι τίθεμεν. δίδωμι διδόναι, ὅτι ζεύγνυμεν. συνεσταλμένως, χωρὶς τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου.

Δίδοταί τι, ὑπό τινος ἁπλῶς. ἀποδίδοται δὲ, τὸ χρεωστούμενον. καὶ ἀποδίδομαι τὸν ἵππον, ἐπὶ ἐνεργητικῆς σημασίας, ἤγουν πιπράσκω.

Διδοὺς διδόντος, καὶ δοὺς δόντος. τῶν μετοχῶν πασῶν τῶν εἰς ους ληγουσῶν ὀξυνομένων, τὰ ὀνόματα οὐδέποτε ὀξύνονται. καὶ διὰ τοῦτο παράλογα, τὸ ποὺς καὶ ὀδούς.

Διδοῦσι, περισπωμένως. ὅτι ἐκ τοῦ διδόω διδῶ.

* Διδοῦναι, ἀντὶ τοῦ διδόναι ἐπενθέσει τοῦ υ, ὡς καὶ τιθεῖναι, ἀντὶ τοῦ τιθέναι.

Διδράσκει τὶς φυλακήν. ἀποδιδράσκει δὲ, ὅταν ἀφύλακτος ᾖ.

Δίδραχμον, συντέλεσις, εἰσφορὰ, λειτουργία. ἔχει δὲ τὸ δίδραχμον οὐγγίας ἕξ, εἴκοσι ὀβολοὺς, γράμματα ἕξ.

Δι-

Digitized by Google

Διδυμάονες, διδύμων διαφέρουσι. καθό τι οὗτοι μὲν ἀδελφοὺς δηλοῦσιν. οἱ δὲ δίδυμοι, οὐκ ἐξ ἀνάγκης. κεῖται γὰρ ἡ λέξις καὶ ἐπὶ ἁπλῶς δυάδος. διδύμους γοῦν ἀνεψιοὺς ἡ τραγῳδία. οἱ δὲ τοὺς ἁπλῶς οὕτω δύο. τοιοῦτον καὶ τὸ διδύμην Ἐριννύν. καὶ οἱ ὄρχεις δίδυμοι. ἐκτείνει δὲ ὁ διδυμάων τὴν παραλήγουσαν ἀναγκαίως, διὰ μέτρου χρείαν. διὸ καὶ διὰ τοῦ ο μικροῦ κλίνεται, ὁμοίως τῷ Μαχάων, ονος.

Δίδυμον ξύλον, ἡ παρὰ Ῥωμαίοις φοῦρκα.

Δίδυμος, ὁ μεθ' ἑτέρου τεχθεὶς, ἐκ μιᾶς συλλήψεως.

* Δίδυμοι, οἱ διπλοῖ, ἢ συμφυεῖς τοῖς σώμασιν, ὁποῖοι μυθεύονται οἱ Ἀκτορίωνες.

Διδυμίου ῥίζα, βοτάνης εἶδος. καὶ ὁ ὄρχις δὲ οὕτω λέγεται.

Διδῶ διδοῖς διδοῖ, Ἀττικῶς. δίδωμι δίδως δίδωσι, κοινῶς.

Διδὼ, ἡ ἐρασθεῖσα Αἰνείου ἥρωος. φασὶ δὲ αὐτὴν, Ἐλέσσαρ, ἤτοι Ἐλίσσαν ὀνομαζομένην. κληθῆναι ὕστερον τῇ Τυρίων φωνῇ Διδὼ, διὰ τὸ πολλὰ πλανηθῆναι, ἀπὸ Φοινίκης ἀπάρασαν ἐπὶ Καρχηδόνα. τῇ γὰρ Φοινίκων φωνῇ τὴν πλανῆτιν Διδὼ προσαγορεύουσι. πυρὰν γὰρ αὐτὴν ἀνάψασαν, καὶ ἑαυτὴν τῷ πυρὶ ἐμβαλοῦσαν, οἱ Τύριοι κλαίοντες, καὶ τὴν πυρὰν περιερχόμενοι, Διδὼ ἀνεκάλουν, ὅ ἐστι πλανῆτιν.

Διδώη, καὶ δώη Ἀττικῶς, φησὶ Φρύνιχος, οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλὰ διδοίη, καὶ δοίη. τὸ μέντοι διδώη καὶ δώη, ἐπὶ ὑποτακτικοῦ τιθέασι. τεκμηριοῖ δὲ Ὅμηρος, ἐὰν μὲν ὑποτακτικῷ χρῆται διὰ τοῦ ω μεγάλου ἐκφέρων. οἷον, εἰ δέ κεν αὐτὸς δώῃ κῦδος ἀρέσθαι. ἔστι γὰρ εἰ δ' ἄν σοι δῷ αὐτὸς, ἤγουν ὁ Ζεύς. εἰ δὲ εὐκτικῷ, οὕτω, σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς. οὐ καλῶς δέ φησι ταῦτα ὁ Φρύνιχος. ὥσπερ γὰρ ἀπὸ τοῦ βιοὺς βιόντος, οὐ βιοίη φαμὲν, ἀλλὰ βιώη, Ἰωνικῷ ἔθει (ἐκεῖνοι γὰρ τὴν οι δίφθογγον εἰς ω μέγα τρέπουσιν) οὕτω καὶ ἀπὸ τοῦ δοὺς δόντος δοίη, καὶ δώη. ὡς ἁλοὺς ἁλόντος, ἁλοίη καὶ ἁλώη.

Δίδοθι. τὰ εἰς θι προστακτικὰ, φυλάττουσι τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου. οἷον τίθετι, ὅτι τίθεμεν. ἵσταθι, ὅτι ἵσταμεν. δίδοθι, ὅτι δίδομεν. ζεύγνυθι, ὅτι ζεύγνυμεν.

Δίδωθί μοι κλέος. διατί μακρᾷ παραλήγεται τὸ δίδωθι; λέγων ὁ κανὼν, τοῦ ἰδίου ὁριστικοῦ βραχείᾳ παραληγομένου, ὀφείλει καὶ τὸ προστακτικὸν βραχείᾳ παραλήγεσθαι; λέγομεν, ὅτι ποιητικῶς ἐξετάθη συνήθως, τὸ ο εἰς ω, διὰ τὸ μέτρον.

Δίδωμι, βραβεύω, καταβάλλω, παρέχω, ὑπέχω, πορίζω, νέμω, ἐκπορίζω, προτείνω, τελῶ.

Δίδωμί σοι, τὸ αἰτούμενον. δίδωμι δίκην, ἀντὶ τοῦ κολάζομαι. καὶ δοῦναι ποιήσω δίκην. ὡς Ἀριστοφάνης, ποιήσω τήμερον δοῦναι δίκην. μεταδίδωμί σοι τοῦ πλούτου, ἀπὸ δοτικῆς εἰς γενικήν. παθητικῶς δὲ ἀποδίδομαί σοι τὸν ἵππον, ἀντὶ τοῦ πιπράσκω. ὁμοίως καὶ ὅσα τὸ δίδωμι ἢ δωροῦμαι σημαίνει, οἷον ἀφίημί σοι τὴν οὐσίαν. ἀφίημι δέ σε τοῦ χρέους, ἀντὶ τοῦ ἀπολύω, ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

Δίδωμί σοι θάρρος, καὶ δίδωμί σοι θαρρεῖν.

Δίδωμι, τὴν σύνταξιν ἔχει, ἣν τὸ δῶ δᾶς παρὰ τοῖς Λατίνοις. οἷον, ᾧ ἔδωκα τὴν πρὸς σὲ ἐπιστολὴν, ἄγγελος ὁ Κολώτιος ὀνομάζεται.

Δίδωμι. ποσοσύλλαβα θέλει εἶναι τὰ εἰς μι ῥήματα; τρισύλλαβα. οἷον τίθημι, ἵστημι, ζεύγνυμι, δίδωμι. χωρὶς τῶν τεσσάρων δισυλλάβων, οἷον εἰμὶ, τὸ ὑπάρχω. φημὶ, τὸ λέγω. καὶ κατὰ ἀποβολὴν τοῦ φ, ἠμί. καὶ εἶμι, τὸ πορεύομαι. καὶ πόσα ῥήματα εἰς μι εἰσὶ τὰ ὑπερβαίνοντα τὴν τρισυλλαβίαν, ἕξ. κεράννυμι, πετάννυμι, ὀμόργνυμι, ὀρέγνυμι, ὀνίνημι. καὶ δοκίμημι, ὅ ἐστιν Αἰολικὸν, σημαῖνον τὸ δοκιμάζω.

Διδώσειν, ἤγουν δοῦναι, ἀπὸ τοῦ διδῶ, διδώσω, πρωτοτύπου. ἐξ οὗ τὸ δίδωμι.

Διδώσομεν, κατὰ ἀναδιπλασιασμὸν, πρωτότυπόν ἐστι τοῦ δίδωμι. δῆλον γὰρ, ὡς ἐκ τοῦ διδῶ διδώσω, τὸ δίδωμι.

Δίε. δείω; τὸ φοβοῦμαι. ὁ δεύτερος ἀόριστος, ἔδιον, ἔδιες, ἔδιε, καὶ δίε. περὶ γὰρ δίε ποιμένι λαῶν. καὶ δίε πειρήνυσιν ὅ ἐστιν ἐφοβεῖτο. ἐνεστὼς τὸ δίω, διὰ μόνου διχρόνου. ἐξ οὗ κατὰ ἀναδιπλασιασμὸν, τὸ δεδίεναι, καὶ ἡ δειδία, καὶ ὅσα τοιαῦτα. εἰ δὲ ἐπὶ τρέχειν, τῷ κατὰ δέος φεύγοντι διώκειν, λέγεται παρὰ τὸ δίειν ὦκα. ὁμώνυμοι ἄρα τὸ δίειν, δηλοῦν καὶ τὸ φεύγειν, καὶ τὸ κατατρέχειν τῶν δειλαινομένων. δοκεῖ δὲ διφορεῖσθαι τὸ δίειν, καθὰ καὶ τὸ φθίειν. καὶ τοῦ μὲν γραφομένου ἐν μόνῳ διχρόνῳ, ἰδοὺ ἡ χρῆσις πέφηνεν. ὡς ἐν διφθόγγῳ γράφεται δείω, φαίνεται ἐκ τοῦ δέος, ἐν ᾧ ἀπὸ διφθόγγου ἀνεφάνη τὸ ε, καθὰ ἐκ τοῦ νείφω, τὸ νέφος. ἔτι δὲ καὶ ἐκ τοῦ δείδω, πλεονασμῷ τοῦ δ, ἐκ τοῦ δείω. καὶ ἀπὸ τοῦ δείμου δὲ, τοῦ δηλοῦντος τὸν φόβον.

Διέβαλεν, ἐξηπάτησε.

Διέβη, παρῆλθεν, ἐπέρασε.

Διεβίβων, καὶ Διεβίβαζον. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ, Καὶ διεβίβαζεν εἰς τὴν Ἀσίαν τὰς πολλὰς καὶ μεγάλας ἀποικίας.

Διεβίω, ἐκ τοῦ βιόω βιῶ, παράγεται ῥῆμα εἰς μι βίωμι. καὶ μετὰ τῆς διὰ προθέσεως ἐν συνθέσει, διαβίωμι. ὁ μέλλων βιώσω, ὁ ἀόριστος ἐβίωσα. ὁ δεύτερος, ἐβίων, ως, ω. καὶ διεβίω, ἐν συγκοπῇ, ἀντὶ τοῦ ἔζη.

Διεβλήθη, ἐξηπατήθη.

Διεβλήθησαν, ἐξηπατήθησαν, παρὰ τῷ Ἱπποκράτει.

Διεβοήθη, ἐνεφανήθη.

Διεγαλλώνησε πρόσωπα, προσηνῆ καὶ πρᾶα καὶ ἥμερα ἐγένοντο. Ἀριστοφάνης.

Διεγείρω, ἐξυπνίζω.

Διεγείρωμεν, παροξύνωμεν.

Διεγγύησιν, ἀντὶ τοῦ καθίστασιν ἐγγυητάς. Δημοσθένης κατὰ Τιμοκράτους. ἐν δὲ τῷ κατὰ Νεαίρας (εἰ γνήσιος ὁ λόγος) φησὶν ἐγγυηθεῖσα ὑπὸ τοῦ στεφάνου.

Διέγνωκα, κέκρικα, διέγνων.

Διεγκρινησάμενοι, διακρίνοντες.

Διέγραφε, διέξυε.

Διεγίνετο, λαμβάνουσιν οἱ Ἀττικοὶ ῥήματά τινα μετὰ τῆς διὰ προθέσεως, ἀργῆς οὔσης. ὡς τὸ διεγίνετο, διαφῆκεν, ἐκπιεσεῖν, διαφῆναι.

Διέδην, ἀντὶ τοῦ διατελοῦς.

Διεδοικίκησε, διέγραψε τῇ χειρὶ, στρογγύλην αὐτὴν ποιήσας ὡς δοίδυκα, ἢ διέτριψε.

Διέδρα, ὅταν ἐν φυλακῇ τις ᾖ. ἀπέδρα, ὅταν ἀφύλακτος ᾖ.

Διέδριον, τὸ καθέδριον.

Δίεδρος, ὁ διαφανὴς, παρὰ τῷ Ἱπποκράτει.

* Δίεδρος, ταυτὸ ὅπερ δίφρος.

Διεζευγμένον ἐστὶ, πρότασις ἐκ μαχομένων. ὧν καὶ τὰ ἀντικείμενα μάχεται. ὡς τὸ, ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ.

Διέζευξε, διεχώρισε. καὶ παρὰ τοῖς μουσικοῖς διεζευγμένον λέγεται, τὸ τετράχορδον. καὶ συνεζεῦχθαι λέγουσι, τὸ ἐν τῷ αὐτῷ εἶναι.

Διεθάψαλλε, διέφθειρε.

Διέθεε, διέτρεχε.

Διέθει, διέτρεχε.

Διέθηκεν, ἐτιμωρήσατο.

Διεθρόησαν, ἀντὶ τοῦ διελάλησαν, διεθορύβησαν.

Διεθρύβη, ἐκλάσθη, διέτριβε.

Δίει, διελεύσῃ. παρὰ τῷ Ἀριστοφάνει, χλαῖναν δὲ φαύλην ἔχων δίει κοὐξωστυχὼν Ὑπέρβολος.

Διειδέναι, τὸ ἀκριβῶς γινώσκειν. Ἀριστοφάνης, ὥστ' ἤδη νοεῖν ἅπαντα καὶ διειδέναι.

Διειδὲς, λαμπρὸν, διαυγὲς, καὶ καθαρὸν ὕδωρ.

Διείδεται, διαλίζεται.

Διεῖλεν, ἐχώρισε.

Διειληφότες, ἀντὶ τοῦ νομίσαντες.

Διειλοκομπάσας, σκιᾷ καὶ κόμπῳ ἐξαπατήσας.

Διειλυθεῖσα, λάθρα διεξελθοῦσα τοῦ δρόμου, ἀποδράσασα, φυγοῦσα.

Δίειμι, διεξέρχομαι, καὶ διέρχομαι αἰτιατικῇ. καὶ δίειμί σοι τὴν ἐμὴν γνώμην.

Διεῖναι ἐλαίῳ, ἢ ὄξει, ἢ ἄλλῳ τῷ, οὐκ ἀνεῖναι, ὡς ἰατροὶ λέγουσι. καὶ διεῖναι, ἀντὶ τοῦ ἀφεῖναι.

Δίειξις, διάστασις.

Διεῖπε, διώκει, περιείρχετο, περιεῖπε, μετήρχετο, διέπει.

Διειπεῖν, κατὰ περιττότητα προθέσεως, τὸ διασαφῆσαι, διηγήσασθαι, διαλεχθῆναι εἰς μάθησιν. φησὶ γάρ, δίειπέ μοι ὄφρα δαείω.

Διειπετέος χειμάρρου, πληροῦντος διὰ τοῦ Διὸς ὄμβρου.

Διειργάσατο, ἐφόνευσεν, ἀπέκτεινεν. Ὁ δὲ καὶ τῶν ἄλλων ἑκάτερον διειργάσατο.

Διείργων, κωλύων.

Διείρεο, ἐρώτα.

Διείρηται, διήγγελται.

Διειρομένουσι, διερευνῶσιν, ἢ λέγουσι. Ἀπολλώνιος.

Διείρουσι, τὸ ἐπιβάλλουσι.

Διειρῦσαι, διαστῆσαι, διελκύσαι.

Διειρωνόξενοι, οἱ ἐξαπατῶντες τοὺς ξένους, καὶ ψευδόμενοι δι' εἰρωνείας καὶ ὑποκρίσεως.

Διεὶς, ἐκτείνας, ἁπλώσας. ὡς τὸ, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς.

Δίεισι, διέρχεται, προέρχεται.

Διεισόμεθα, διαπορευσόμεθα, διαγνωσόμεθα.

Διεῖχον, ἀντὶ τοῦ διΐσταντο. Θουκυδίδης, διεῖχον πολὺ ἀπ' ἀλλήλων.

Διεκάνεσε, διέσεισε, διεσάλευσε.

Διεκαρανώσατε. καρανῶ, καὶ διακαρανῶ. δοκεῖ γὰρ τῶν πίθων ἡ ἀλοιφὴ, κάρα εἶναι.

Διεκβάδην, δίοδον.

Διεκδικεῖ, διεξέρχεται, τιμωρεῖται.

Διέκδυσιν, ἀπόδρασιν, διεξέλευσιν τῶν δεσμωτῶν.

Διεκτελέστερον, ἀκριβέστερον.

Δι' ἐκ θυρῶν, τοὺς νεκροὺς οὕτω φασὶν ἑδράζεσθαι, ἔξω τοὺς πόδας ἔχοντας, πρὸς τὰς αὐλίους θύρας.

Διεκλύθη, ἀπώλετο.

Διεκνημάσατο, διέφθειρε.

Διεκομισάτην δυϊκῶς, ἀντὶ τοῦ διεκόμισαν.

Διεκορήσατό τις παρθένον, ἀντὶ τοῦ διέφθειρε.

Διεκορκορύγησε παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἤχησε. κορκορυγεῖν γάρ ἐστι, τὸ τὴν γαστέρα λαλεῖν μόνον. ἢ ἐμιμήσατο τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον.

Διεκοσμήθησαν, διετάχθησαν.

Διεκωδώνισεν, ἀντὶ τοῦ διεπείρασε, καὶ ἐξήτασε.

Διεκπατῆσαι, τοῦ πάνυ παρεξελθεῖν.

Διεκπερδικίσαι, διαδρᾶναι, ἐκφυγεῖν, ἐξαπατῆσαι.

Διεκπίσαντες, διεκτρυπήσαντες, διεκδραμόντες.

Διέκπλοι, τὸ ἐμβάλλειν καὶ διασχίζειν.

Διεκπροαλὲς, κατωφορον, κατωφερές.

Διεκρανώσατε, σημαίνει τὸ ἀνεῴξατε. παρὰ τὸ κάρα, διεκρανώσατε κατὰ ἀντίφρασιν, ἀντὶ τοῦ ἐκεράσατε, ἢ μᾶλλον ἐμεθύσατε, ἢ ἀποκαλυφθῆναι ἐποιήσατε. Θεόκριτος.

Διεκρίθη, ἐμερίσθη, ἐδίσταξεν, εὐλαβήθη.

Διεκρινάμην, διέστησα, διεχώρισα, ἐδοκίμασα.

Διέκριναν, διεκρίθησαν, ἀπελύθησαν, ἐπαύσαντο.

Διεκρουσάμεθα, ἐξεβάλομεν.

Διεκτελέστερον, ἀκριβέστερον.

Διεκύλλαινε, τὰ χείλη διέστρεφεν, ὡς χλευάζων.

Διεκωδώνισεν, ἀντὶ τοῦ διεπείρασε καὶ ἐξήτασεν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν περιπολούντων σὺν κώδωσι νυκτὸς τὰς φυλακάς. Εὐριπίδης Παλαμήδει. ἢ ἀπὸ τῶν δοκιμαζόντων τοὺς μαχίμους ὄρτυγας, τῷ ἤχῳ τοῦ κώδωνος. ὡς Ἀρίσταρχος.

Διελάφυξας, διεφόρησας, ἀνήλωσας. λαφυγμὸς γὰρ ἡ διαφόρησις, ἡ διακένωσις.

Διελέγχοντος, αἰσχύνοντος, μεμφομένου.

Διελέγχωμεν, εἰς ἔλεγξιν ἀλλήλων ἔλθωμεν.

Διελεῖ, μερίζει, ἐπικρίνει.

Διέ-

Digitized by Google

Διέληπεν, ἐπαύσατο, διελέξατο, ἀφῆκεν.

Διελέτην, διεῖλον, δυϊκῶς.

Διελέσθαι, διαμερίσαι.

Διελευσόμεθα, παρελευσόμεθα.

Διελέχθη κάλλιον, ἢ διελέξατο.

Διέλθατε, κυκλώσατε.

Διελθεῖν οὐκ ἔχω σοι πάντα, ἤγουν διηγήσασθαι.

Διέλθῃ, διαπεράσῃ.

Διέλθοις, διάμφοδος.

Διελκυστίνδα, παιδιά τις οὕτω καλεῖται ὑπὸ τῶν παίδων, ἐν τῇ παλαίστρᾳ.

Διελκύω, αἰτιατικῇ συντάσσεται. ὡς παρὰ Ἀριστοφάνει. διὰ δακτυλίου μὲν οὖν ἐμέ γ᾽ ἂν διελκύσαις.

Διελομένου, ἐπικρίναντος, διαχωρισαμένου.

Διελὼν, διαμερίσας, διανείμας.

Δίεμαι, τὸ βρέχω, ὑγραίνω. Ἀριστοφάνης, ὄξει διέμενος σφηττίῳ.

Διέμενος, διυγραίνων, ἃ νῦν χυματίζειν φασί.

Διεμοιρήσαντο, διεμερίσαντο.

Διέμπλωντο, ἐνεφόρβωντο.

Διεμπολᾶν, τὰ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν.

Διεμύλλαινε, τὰ χείλη διεκίνει, καὶ διέστρεφε μυσαττόμενας.

Δι᾽ ἐναντίας, δι᾽ ἔχθρας.

Δι᾽ ἔνδειαν φρενῶν, διὰ μωρίαν.

Διενεγκεῖν, τὸ διαφέρειν.

Διενεγγυήσαμεν, ἐνεχυρισάμεθα.

Διενεγκόντα, κράττονα φανέντα, ἢ διαφέροντα.

Διενεμέμην, καὶ ἐνεμέμην, οὐ διενεμόμην. Ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ, Πρὸς δὲ τοὺς στρατιώτας τὰς χιλίας ἐνείματο.

Διενειμάτην, διενείμαντο, δυϊκῶς.

Διένειμε, διεμέρισε. καὶ διένειμε τὸν χρυσὸν, ἀντὶ τοῦ πρὸς πολλοὺς τοῦτον ἐξέχεε. καὶ διένειμε τὸν πλοῦτον, καὶ τὸν κλῆρον τοῖς πτωχοῖς, ἀντὶ διασκορπίσας ἔδωκε.

Διενήνοχε, διαφέρει. ἐνέχω, ὁ μέλλων ἐνέξω, ὁ παρακείμενος ἤνεχα. καὶ τροπῇ τοῦ ε εἰς ο Ἀττικῶς, ἤνοχα, ὡς κέκλοφα. καὶ προθέσει τοῦ ε, καὶ ν ἐνήνοχα. καὶ μετὰ τῆς διὰ προθέσεως, κατὰ συγκοπὴν διενήνοχε.

Διενηνοχὼς, ὑπερέχων.

Διενήξατο, ἐξέφυγε.

Δι᾽ ἐνιαυτοῦ, ἀντὶ τοῦ δι᾽ ὅλου ἐνιαυτοῦ. Ἀντιφῶν περὶ τοῦ Λινδίων φόρου. Τηλεκλείδης δ᾽ ἐν τῷ πρυτανείῳ δι᾽ ἡμέρας εἶπεν, ἀντὶ τοῦ δι᾽ ὅλης τῆς ἡμέρας.

Δίεννος, διέως.

Δίενται, ὅ ἐστι διώκουσι. τὸ θέμα δίημι, ἐκ τοῦ διῶ δίημι δίεμαι. τὸ τρίτον τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ἐδίεντο. καὶ ἀφαιρέσει τοῦ ε, δίεντο.

Διεντέρευμα, τὸ ἐρώτημα.

Δι᾽ ἐντεύξεως, διὰ παρακλήσεως.

Διεξαγάγῃ, διεξενέγκῃ.

Διεξάγονται, διοικοῦνται.

Διεξάγω, ὁδηγῶ.

Διεξάτην, διεπράξαντο, δυϊκῶς.

Διεξάγειν, ἀπείργειν. οὕτω γὰρ διεξεῖν τὰς χεῖρας, καὶ φροντίζειν τοῦ μηδὲν ἀδίκημα ποιῆσαι, τὸν Προυσίαν εἰς αὐτούς.

Διέξεισι, διέρχεται.

Διεξελθόντες διὰ πάντων, ἀντὶ τοῦ τελέσαντες πάντα. Ἡρόδοτος, κατὰ ἕνα ἕκαστον τῶν πάντων ἔσφαζον ἐς τὸν κρατῆρα, διὰ πάντων διεξελθόντες τῶν παίδων.

Διεξέπεσεν. ὡς τὸ, τὰ ὅπλα ἀνελόμενος, διεξέπεσε διὰ τῶν πολεμίων. τουτέστι διήλασε, διῆλθε, διέφυγε.

Διεξερέεσθαι, διερωτᾶσθαι.

Διεξέρχομαι, τὸ διηγοῦμαι. ὁμοίως ὑπεξέρχομαι, τὸ διηγοῦμαι, τὸ μὲν πρόσωπον δοτικῇ, τὸ δὲ πρᾶγμα αἰτιατικῇ συντάσσεται.

Διεξίην, τὸ μέχρι τέλους δηλοῖ. καὶ ἔξω τέλους πορευθῆναι.

Διεξιέμεναι, διεξελθεῖν. ἀπὸ τοῦ διέξειμι, ἡ μετοχὴ ὁ διεξιεὶς διεξιέντος, διεξιέναι, ὡς τιθέναι. προσθέσει τοῦ μαι, διεξιέμεναι.

Διεξίοιμεν, ἤγουν διερχοίμεθα, ἐκφράζοιμεν.

Διεξιφίσω, τοῖς ξίφεσιν ἐχρήσω, ἢ διεμαχέσω περὶ τὰς χεῖρας.

Διεξιὼν, λέγων, διηγούμενος.

Διεξοδικῶς, πλατέως, λεπτομερῶς. καὶ διεξοδικώτερον, λεπτομερέστερον.

Διέξοδον, διεξέλευσιν, ἐκπνοὴν, ἔκβασιν, ὅθεν ἐκπορεύονται.

Διέπαυσέ τις τινα, καὶ διεπαύσατο αὐτός. καὶ ἔπαυσε καὶ ἐπαύσατο, καὶ ἀνέπαυσε καὶ ἀνεπαύσατο.

Διεπαλαμήσατο, διεπράξατο.

Δίεπε, διέπρασσεν, ἐδίωκεν, ἢ διεκόσμει.

Διέπειν παρ᾽ Ὁμήρῳ, τὸ ἐνεργεῖν. ὅθεν καὶ δίοπτας, ὁ οἰκονόμος παρ᾽ Αἰσχύλῳ. ἢ τὸ διοικεῖν, διατιθέναι. περιέπειν δὲ, τὸ φίλον τινὰ κυβερνᾶν καὶ θάλπειν. ἢ διέπειν, τὸ πράσσειν, ἀπὸ τοῦ ἔπω τὸ λέγω. ἢ καὶ ἐκ τοῦ ἕπω, τὸ ἀκολουθῶ. ἀκολουθίᾳ γάρ τινι χρώμενος, προστάττει τῷ λαῷ. ἐκ δὲ τούτου, οὐ μόνον δίοποι οἱ ἄρχοντες, ἀλλὰ καὶ ἀδίοποι οἱ μὴ ἀρχόμενοι. ἀδίοπον γάρ φησιν ὁ Αἰσχύλος, τὸν ἄναρχον, καὶ ἀφύλακτον. ἐπειδὰ δίοποι οἱ βασιλεῖς, καὶ οἱ διέποντες. Αἴλιος δὲ ὁ Διονύσιός φησιν, ὅτι δίοπος ὁ ναυφύλαξ, ὡς ἐπισκοπῶν αὐτὴν καὶ ἐφορῶν. ὥστε αὐτὸς οὐκ ἐκ τοῦ διέπειν, ἀλλὰ καὶ ἐκ τοῦ ὄπτω τὸ βλέπω δοκεῖ ἐτυμολογεῖν τὸ δίοπον.

Διεπέμφρακτο, διέφθαρτο.

Διεπεραιώθη ξίφη, ἀντὶ τοῦ ἐγυμνώθη.

Διεπέρασας, ἐπόρθησας.

Διεπεραίνετο, εἰς πέρας ἤρχετο, ἠνύετο.

Διέπεσεν, ἀπέτυχεν, ἀπέθανε.

Διεπέφραδε, καί μοι ἔειπε, τοῦτο κατὰ τοὺς παλαιοὺς ταυτόν ἐστι τῷ, Ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν, ἐκ παραλλήλου γὰρ καὶ ἐκεῖ καὶ ὧδε ταυταὶ αἱ λέξεις δηλοῦσιν.

Διεπέφραδεν, ἐνετείλατο, διεσήμανε.

Διεπληκτίζετο, διεμάχετο, ἐφιλονείκει.

Διέπλωσεν, διεῤῥαντίσθη.

Διεπόρθμευε, διὰ σκαφιδίου ἔπλει.

Διέπουσιν, ἐνεργοῦσι, κατορθοῦσι, διαπονοῦσι.

Διεπράθομεν, ἐπορθήσαμεν.

Διέπρησσον πεδίοιο, ἴσον τῷ ἐπέρων διὰ τοῦ πεδίου. ἢ διέπρασσον, διεπορεύοντο, διήνυον, διεπέρων.

Διεπρίοντο, ἐθυμοῦντο, ἔτριζον τοὺς ὀδόντας.

Διέπτατο οἰστὸς παρ᾽ Ὁμήρῳ, τὸ τάχος δηλοῖ τοῦ πτερόεντος οἰστοῦ, τὸ μετὰ τὴν ἐκ τόξου ὁρμὴν, ἐκεῖθεν πτάμενος. τὸ δὲ ἀναλογίας τοῦ διέπτατο, καὶ τὸ, πολιὸν αἰθέρ᾽ ἀμπτάμενος, καὶ τὸ διεκπτάσθαι. ἔστι δὲ καὶ δεύτερος ἐν τούτοις μέτρος ἀόριστος. οἷον, περιχαρὴς δ᾽ ἀνεπτόμην. ἐξ οὗ καὶ τὸ πτέσθαι. ὡς τὸ, μηδέπω πτέσθαι σθένοντες. κατὰ δὲ τὸ διέπτατο, ἔστι καὶ τὸ, Τίς γάρ ποτ᾽ ἀρχὴ τοῦ κακοῦ προσέπτατο,

Διεπτόησεν, εἰς φόβον ἐνέβαλε.

Διεπτοίησεν, ἐθορύβησεν, ὥστε θλίγειν. Ἀπολλώνιος.

Διέπτυξε, διεσάφησε.

Διεπυνθάνετο, ἠρώτα.

Διέπω, τὸ διατρεπίζω, ἢ ἐνεργῶ, κατορθῶ, διαπονῶ. ὁ μέσος παρακείμενος, διέοπα.

Δίερα, τὰ χείλη τῶν ποταμῶν. ἃ καὶ ἄνδηρα λέγονται, διὰ τὸ εἶναι ἔνικμα καὶ διερά. ἢ διερὰ, τὰ ὑγρὰ καὶ σεσηπότα.

Διεργάζεται, ἀναιρεῖ, κτείνει.

Διεργάθοι, διαλύσεις.

Διέργασαι, φόνευσον.

Διερειδόμεθα, στηριζόμεθα.

Διερεισμένη, διαπηξαμένη, ἀσφαλισμένη, Ἀριστοφάνης.

Διερέσσοντας, διασείοντας, διασχίζοντας, διαπερῶντας.

Διερέττοντα, διακωπηλατοῦντα.

Διερευνάομαι διερευνῶμαι, τὸ ἐξετάζω, καὶ ἀναζητῶ.

Διερὴ κυρίως, ἡ ἐκ Διὸς γινομένη κάθυγρος γῆ. ἐξ οὗ καὶ διαίνω, τὸ βρέχω.

Διερικνοῦντο, διεκαμπυλοῦντο, ἐκάμπτοντο. ἡ γὰρ ῥικνότης, καμπυλότης ἐστί. διὸ καὶ τὸ γῆρας, ῥικνὸν λέγεται.

Διερμηνεύων, σαφηνίζων.

Διεροῖς, διύγροις.

Διερὸν, ὑγρὸν, χλωρὸν, ζῶον, ἔναιμον.

Διερὸν πόδα παρ᾽ Ὁμήρῳ, τὸ πλοῖον σημαίνει. καθά τινες καὶ ἁλὸς ἵππον, ἐκάλεσε τὸ πλοῖον.

Διερὸς, ὁ ὑγρός. Καλλίμαχος, διερὴν δ᾽ ἀπεσείσατο λαίφην. λέγεται διερὸς ἐκ μεταλήψεως καὶ ὁ ζῶν. Ὅμηρος, οὐκ ἔστιν οὗτος ἀνὴρ διερὸς βροτός. τουτέστι, ζῶν καὶ ἐῤῥωμένος, Ὀδυσσείας ζ. οἱ γὰρ ζῶντες ὑγροὶ, αὖοι δ᾽ οἱ τεθνεῶτες. παρὰ τὸ διαίνω, τὸ ὑγραίνω, γίνεται διερὸς, ὡς μιαίνω μιαρὸς, καὶ λιπαίνω λιπαρός. καὶ τροπῇ, διερός. διερῷ ποδὶ, Ὀδυσσείας ι, μεταφορικῶς τῇ νηΐ. καὶ γὰρ ἁλὸς ἵππους, τὰς ναῦς καλεῖ τροπικῶς. οἱ δὲ τῷ ὀξεῖ καὶ ταχεῖ, ἢ τῷ θαλασσίῳ. διερὸν γὰρ, χλωρὸν, βεβρεγμένον. Ἄλλως.

Διερὸς βροτὸς, ὁ ζῶν, καὶ ἐῤῥωμένος, λαμπρὸς, περιφανής. τὴν μὲν γὰρ ζωὴν ὑγρότης καὶ θερμότης συνέχει, τὸν δὲ θάνατον, τὰ ἐναντία ποιεῖ. ὅθεν ἀλίβαντες οἱ νεκροὶ, οἱ ζωτικῆς λιβάδος ἄμοιροι. καὶ ὁ κωμικὸς παίζων, αὐαίνου λίθον ἐν ἅδου εἶναι πλάττει. ἀπὸ τοῦ αὐαινωθεὶς, τοὔνομα. Πλούταρχος ἐν τοῖς συμποσιακοῖς οὕτω φησὶν, ὑγρότητι καὶ θερμότητι τεθήλασι τὰ ζῶα. ἡ δὲ ψυχρότης καὶ ξηρότης, ὀλεθρία. διὸ χαριέντως Ὅμηρος διερὸν βροτὸν καλεῖ, καὶ τὸ μὲν χαίρειν ἰαίνεσθαι λέγει. ὡς καὶ χαλκὸς ἰαίνεται πυρί.

Διέρπει, διέρχεται.

Διέῤῥει, δύο σημαίνει, τὸ διεφθείρετο. καὶ ἀντὶ τοῦ ἐπεφήμιστο.

Διεῤῥίπισε, διεσκέδασεν. ὡς ἐκ τῆς ῥιπῆς, ἥτις τὸν ἄνεμον δηλοῖ.

Διεῤῥύη, διέδραμε, διῆλθε.

Διεῤῥυηκόσι χείλεσιν, ἀντὶ τοῦ κεχαλασμένοις, καὶ κεχηνόσι, καὶ οὐ συνεστραμμένοις.

Διεῤῥωγὼς, διεσχισμένος. καὶ διεῤῥωγότα.

Διερυμβονήσατε, διεφορήσατε.

Διέρχεσθον, ἀντὶ τοῦ διέρχεσθε δυϊκῶς, ἤγουν ἀναγινώσκετε.

Διερχόμενος, περιερχόμενος, περιάγων.

Διερῷ ποδὶ, ὑγρῷ ἔτι ἀπὸ τῆς βάσεως. οἱ δὲ ζῶντος, ἐνεργοῦς.

Διεσαρδάνωσε, διεγέλασεν. οὐκ ἐπὶ διαχύσει, ἀλλ᾽ οἱονεὶ σαρδόνιον γέλωτα.

Διεσαρώνησε, διέσυρε, κατεγέλασεν. οἱ δὲ, διέχανε.

Διεσάφησαν, ἡρμήνευσαν.

Διέσεισε, διήγειρε, διεσάλευσε.

Διεσήμηνε, διεχλεύασε.

Δίεσθαι, τουτέστι διῶξαι. Ὅμηρος, προτὶ ἄστυ δίεσθαι, ἀπὸ τοῦ δίω τὸ διώκω, δίημι παράγωγον. τὸ παθητικὸν δίεμαι, τὸ τρίτον δίεται, καὶ τὸ ἀπαρέμφατον δίεσθαι.

Δίεσις, διαχωρισμὸς, ἄνεσις, καὶ μέρος τι τόνου παρὰ τοῖς μουσικοῖς. ἢ καὶ ἡ πρὸ μουσικῆς ᾠδῆς κίνησις. δίεσις λέγεται, καὶ τὸ ἐλάχιστον μέτρον τῶν ἐναρμονίων διαστημάτων.

Διεσκαρφησάμεθα, ἀντὶ τοῦ διελυσάμεθα. σκάρφον γάρ ἐστι τὸ κάρφος, καὶ φρύγανον. ἔστι δὲ τὰ τοιαῦτα εὐδιάλυτα καὶ εὔφυσητα.

Διεσκεδασμένον, διαπετυπωμένον. καὶ διεσκέδασε, διεσκόρπισε.

Διεσκέδασαν, ἀπέῤῥιψαν.

Διεσκευασμένην, μετὰ δόλου γεγραμμένην. Πολύβιος, Ἐκπέμπουσι τῶν κρατίστων τινὰς ὡς ἐπὶ λῃστείαν, δόντες ἐπιστολὴν διεσκευασμένην.

Διεσκευασμένοι, ἡτοιμασμένοι. ὡς τὸ, διεσκευασμένοι ἔνοπλοι ξιφήρεις εἰς πόλεμον.

Διεσκήριπτεν, ἐπεστήριξεν. ὡς τὸ, Ἦλθέ ποθ᾽ ἑρπύζουσα σὺν δρυὸς ξύλῳ, τό μιν διεσκήριπτε τὴν στρωμένην.

Διεσκίασται, ἀποκέκρυπται.

Διεσμιλευμένον, διεσχισμένον, ἠκριβωμένον, ἐξεσμένον, περικεκαθαρμένον.

Διεσσοῦτο, διήρχετο.

Διεσπαθηκότα, διεῤῥιφότα.

Διεσπάρησαν, διεσκορπίσθησαν.

Διεσπάσθησαν, διεχωρίσθησαν.

Διεσπευσάμην, ἀντὶ τοῦ διὰ σπουδῆς ἐποιησάμην. ἢ ἀντὶ τοῦ διεπραξάμην.

Διε-

Digitized by Google

Διεσπεκλωμένη παρὰ τῷ Ἀριστοφάνει, ἐν Πλούτῳ, Οὐκ ἂν διαλεχθείην διεσπεκλωμένῃ ὑπὸ μυρίων ἐτῶν, καὶ τρισχιλίων. ἀντὶ τοῦ ἐξηραμμένη, γαμηθεῖσα, ἐν τῇ συνουσίᾳ καταπεπριμμένη. ἢ ἄχρηστος πρὸς συνουσίαν, διὰ τὸ γῆρας. σπεκλοῦν γὰρ τὸ συνουσιάζειν, παρὰ τὸ πλέκεσθαι. ἢ σπέκλωμα γὰρ ὁ ἦχος τῆς συνουσίας, ἢ διαλελυμένη. κυρίως ὡς ἐπὶ χοινίων τῶν πλακέντων, εἶτα διαλυθέντων ἐν χρόνῳ. ἢ ὑπεσπληνισμένη. κατὰ διεσπεκλωμένη πρὸς συνουσίαν, καὶ ἄχρηστος γενομένη, καὶ πεπαλαιωμένη, καὶ ὑπὸ πολλῶν ἐν συνουσίᾳ πεπριμμένη. τὸ δὲ σπεκλοῦν, ἐπὶ τὸ συνουσιάζειν τάττουσι.

Διεσποδημένη, διακεκρυμένη.

Διεσποδήσατε, διεσείσατε, διετινάξατε.

Διεσπεύδετο, διήρχετο.

Διέσσυτο, διεπορεύετο. τὸ θέμα ἔσσυμαι. ὃ γίνεται ἀπὸ τοῦ σεύομαι, τὸ ἐσπουδασμένος ὁρμῶ.

Διεσταλμένα, κατεσκευασμένα.

Διεστείλατο, διεσαφίσατο.

Διέστη, διεχωρίσθη.

Διέστησε, διεχώρισε.

Διεστοιχίζετο, διετίθετο ἐν στοίχῳ, καὶ τάξει διῄρει. ἀπὸ τῶν εἰς τοὺς σηκοὺς εἰσαγόντων τὰ ποίμνια, καὶ διακρινόντων ἐκ τῆς νομῆς ἑκάστῳ τὰ ἴδια.

Διεστομαλίζετο, ἐλοιδόρησε, κακῶς εἶπε.

Διεστῶτα, κεχωρισμένα, πόῤῥω ὄντα.

Διεσφαιρίσθη, ὥσπερ σφαῖρα κατηνέχθη.

Διεσφηκωμένον, εἰς σφῆκας διεσκευασμένον, διαδεδεμένον.

Διέσχεν ἀντικρὺ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ διέστησε, διέσχισε, διῆλθε, διήλασε. τοιοῦτον δὲ καὶ τὸ διασχὼν τὴν νεφέλην. καὶ κεῖται ἡ λέξις παρὰ πολλοῖς. ὁ δὲ κωμικὸς, δίχα προθέσεώς φησιν, οὐκ ἔχον τὴν γαστέρα ὀπτωμένην, ἤγουν οὐκ ἔχασα, οὐ διέῤῥηξα. καὶ ἔστι τοῦτο πρωτότυπον τοῦ χάζω. ἔχει δὲ πολλὴν διαφορὰν τὸ ἔσχον, καὶ διέσχον. τὸ μὲν γὰρ ἁπλῶς δηλοῖ χάσμα. τὸ δὲ διασχεῖν, πλέον τι σημαίνει. τὸ διαμπερὲς γάρ, διὸ καὶ ὁ ποιητής φησιν, ἀντικρὺ δὲ διέσχε. καὶ ἔστι λέξις καιριωτάτη Ἀττική, ταυτὸν δυναμένη τῷ διαμπερὲς ἐλθεῖν. οὕτω καὶ τὸ, ἅμαξα διασχοῦσα λαὸν ἔρχεται. καὶ τὸ βέλος ἀντικρὺ διέσχε.

Διεσχοινισμένοι, διεσκορπισμένοι.

Δίεται, διέρχεται, διώκει.

Διετάκη, διέτριβε, διῆγε.

Διεταιρίστριαι γυναῖκες, αἱ τετραμμέναι πρὸς τὰς ἑταίρας ἐπὶ συνουσίᾳ. ὡς οἱ ἄνδρες, οἷον τριβάδες.

Διετηνάτην, διέτηναν, δυϊκῶς.

Διέτηνε, διαῤῥήδην εἶπε.

Διετείνοντο, ἰδίως Ἀντιφῶν τοῦτ' ἔταξεν, ἐν τῷ περὶ τοῦ Ἡρώδου φόνου, ἀντὶ τοῦ διὰ συντόνου φωνῆς ἀπηρνήσαντο.

Διετεκτήνατο, διεμηχανήσατο.

Διετελέσω, διέμεινας.

Διετεμέμην, διέκοψα, διῆλον.

Διέτους, διόλου τοῦ ἔτους.

Διετητής, ὁ αἱρετὸς κριτής.

Διετίβει, διέτριβε. ὡς τὸ, Τῶν Λιβύων τὰ σκάφη μικρὰ ὄντα, ταῖς Ῥωμαϊκαῖς ναυσὶν ὑποτρέχοντα, διετίβει τὰς πρύμνας, καὶ τὰ πηδάλια ἐξέκοπτε.

Διέτμαγεν. τμήγω τὸ κόπτω, ὁ μέλλων τμήξω, ἔτμηξα. ὁ δεύτερος ἀόριστος, ἔτμαγον. ὁ παθητικὸς, ἐτμάγην. τὸ τρίτον τῶν πληθυντικῶν κατὰ συγκοπὴν, ἔτμαγεν, διὰ τοῦ ε. καὶ ἐν συνθέσει, διέτμαγεν, ἀντὶ τοῦ διεχωρίσθη, διεσχίσθη. λέγεται δὲ παρ' Ὁμήρῳ κατὰ μεταφορὰν ἀπὸ τῶν τεμνομένων σωμάτων. τμήγω γὰρ καὶ τέμνω, ταυτὸν, πλὴν ὅτι τὸ μέν ἐστι ποιητικὸν, τὸ δὲ τέμνω κοινόν.

Διέτους, ἀντὶ τοῦ διόλου τοῦ χρόνου. οὕτω καὶ διὰ χειμῶνος, καὶ διὰ θέρους, καὶ τὰ ὅμοια.

Διέτρεσαν, τὴν μετὰ δέους φυγὴν δηλοῖ. Ἰστέον δὲ, ὅτι ἐμφαντικώτερον τὸ διέτρεσαν, ἤπερ τὸ ἔτρεσαν. ἡ γὰρ διὰ πρόθεσις, καὶ σκεδασμὸν δηλοῖ τῶν τρεσάντων. φύσις γὰρ αὕτη τῆς προθέσεως ταύτης πολλαχοῦ, διχασμὸν ὑποδηλοῦσα καὶ σκεδασμὸν καὶ διαίρεσιν. ὡς δῆλον ἐκ τοῦ διασχὼν τὴν κεφαλὴν, καὶ ἐκ τοῦ διαφωνεῖν. ὅπερ ἐστὶν ἐναντιοῦσθαι κατὰ φωνὴν, καὶ ὡς εἰπεῖν ἀντιλογεῖν, ἢ ἀμφιλογεῖν. ὅμοιον δέ τι καὶ τὸ διείπασθαι, καὶ τὸ δίειπέ μοι ὄφρα δαείω, ἤγουν εἰς πλάτος λάλησον, ὡς διαιρεῖσθαι τὸ ἔπος εἰς πολλὰ μέρη λόγου. οὕτω καὶ τὸ διακρίνειν, μερισμὸν δηλοῖ σαφέστερον, ἤπερ τὸ κρίνειν καὶ τὸ διανέμειν, τοῦ νέμειν.

Διέτριψε, κατέσχε.

Διευθετῶ, τὸ καλῶς διατίθεμαι.

Διευθύνεται, κυβερνᾶται.

Διευθύνω, κυβερνῶ.

Διευκρινῆ σαφῆ. καὶ διευκρίνησις, ἡ σαφήνεια.

Διευκρινήσας, σαφηνίσας, καὶ διαχωρίσας.

Διευκρινησάμενοι, διαλυσάμενοι. ἀπὸ τοῦ εὖ καὶ τοῦ διακρῖναι.

Διευλαβοῦντο, ἐφοβοῦντο.

Διευφρόνης, διὰ τῆς νυκτός.

Διεφαίνετο. Ὅμηρος, Ἔνθα διεφαίνετο νεκύων ὁ χῶρος, ἤγουν ἔνθα καθαρὰ νεκρῶν ἦν ἡ γῆ, ἢ ἔνθα ὁ τόπος ἦν καθαρεύων νεκρῶν. συντάσσεται δὲ καθ' ὑπερβατὸν, οἷον ἐν καθαρῷ νεκύων, ὅπου διεφαίνετο χῶρος, ἤτοι διαφανὴς ἦν. ἕτεροι δὲ οὕτως, ὅθι νεκύων, ἤγουν ἔνθα τῆς τῶν νεκρῶν πτώσεως ἦν διαφαινομένη, ὅπερ ἐστὶν ἑρμηνεία τοῦ ἐν καθαρῷ. σημείωσαι, ὅτι πολλαὶ κοιναὶ συντάξεις καινοτροποῦνται παράστασιν. Ἀττικοὶ γοῦν τὸ ὑπερορᾶν, αἰτιατικῇ ἀσυνήθως συντάσσουσιν. οὕτω καὶ τὸ ἀνέχεσθαι. οἱ δ' αὐτοὶ καὶ τὸ ἀρέσκειν δοτικῇ φιλοῦν συνεῖναι, κατὰ αἰτιατικὴν προάγουσι.

Δίεφρε, διῆγε.

Διέφερον παρὰ Θουκυδίδῃ, ἀντὶ τοῦ διήνυον, ἢ ὑπέμενον, ἢ ἐπιμελῶς ἐξήνυον. οἱ δὲ Ἀθηναῖοι, τὸν πόλεμον διέφερον.

Διεφέροντο, διεμάχοντο.

Διεφθαρμένος, ὁ τοῦ πρέποντος παραβατεὶς τὸν νοῦν. ὡς τὸ, Ἤδη γὰρ Ἀντώνινος τῷ Κλεοπάτρας ἔρωτι διεφθαρμένος, ἥττων ἦν ἐν πᾶσι τῆς ἐπιθυμίας.

Διέφθαρταί τις ὑφ' ἑτέρου, διέφθορε δ' ἕτερον.

Διέφθειρε, διῆγεν. Εὐριπίδης Αὔγῃ.

Διέφθορα τὸν νοῦν, ἤτοι κατὰ τὸν νοῦν διεφθάρην.

Διέφθορας, ἀπὸ τοῦ φθείρω φθερῶ ἔφθαρκα. ὁ μέσος παρακείμενος, ἔφθορα, ας. ἀντὶ τοῦ διέφθαρσαι. Ἀττικῶς δὲ, καὶ ἀντὶ τοῦ διέφθειρας ἐνεργητικῶς.

Διεφθορὸς ἦθος, τὸ διαφθεῖρον, οὐ τὸ διεφθαρμένον. Ἀριστοφάνης ἐν κόραις, διέφθειρας τὸν ὅρκον ἡμῶν. Μένανδρος ἀδελφοῖς, εἰ δέ τις τὴν κόρην διεφθορώς.

Διεφοβεῖτο, ἐδεδοίκει.

Διεφόρησαν, μετεκόμισαν, διεσκόρπισαν.

Διέφρασαι, παρὰ Ἴβυκι ἐστὶν ἀντὶ τοῦ ἔφθαρσαι, καὶ κατὰ πάθος ἔφαρσαι. καὶ καθ' ὑπέρθεσιν, ἔφρασαι καὶ διέφρασαι.

Διεφύγγανον, διέφυγον.

Διεφύλαξας, διετήρησας, ἐσκέπασας.

Διέφυλλε, διέτιλλε, διέτεμε.

Διέχει δοκιμώτερον, ἢ ἀπέχει, οἷον δέκα σταδίοις διέχει. Θουκυδίδης, διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων. καὶ διέχω, τὸ διΐστω.

Διέχει, παρακλίνει, διέλκει.

Διέχειν, τὸ διεστάναι, καὶ διαλείπειν, καὶ ἀφίστασθαι.

Διεχεῖτο, διεχέετο, ἔχαιρε.

Διέχευαν τὴν βοῦν, ἀντὶ τοῦ εἰς μέλη ἁδρὰ τὴν βοῦν διέτεμον, συνεχῆ οὖσαν. οἱονεὶ, ἔχεον τῇ εἰς πολλὰ τομῇ.

Διεχής, διμερής.

* Διεχὲς, ἀντίκειται τῷ συνεχεῖ.

Διέχουσαν, ἀπῳκισμένην οὖσαν. Ἐς Σελεύκειαν πόλιν ἐπιθαλασσίαν ἀφίκετο, Ἀντιοχείας ἑκατὸν τριάκοντα σταδίους διέχουσαν.

Διεχρήσατο, ἀντὶ τοῦ ἐφόνευσε. καὶ ἀντὶ τοῦ ἁπλῶς ἐχρήσατο.

Διεχώλευον, διώδευον.

Διεψευσμένοι, ἠγνοηκότες.

Διέψευσται, διεφθάρη, διεσφάλη.

Διεψήσατο, διεκάθαρε, διεψώμισε.

Δίζα, αἴξ. Λάκωνες.

Δίζειν, φροντίζειν, ἐρευνᾶν, ζητεῖν.

Δίζετο, ἐπεζήτει.

Δίζηαι, ἐκ τοῦ δίζεαι, κατὰ ἔκτασιν τοῦ ε εἰς η.

Διζημένη, ζητοῦσα.

Διζήμενος, ζητῶν, ἀπὸ τοῦ διζῶ δίζημι παράγωγον. ἐξ οὗ παρὰ Ἡροδότῳ δίζηνται, ἤτοι ψηλαφῶσι.

Δίζομαι ποιητικῶς, τὸ ζητῶ.

Δίζυγες, ἐζευγμένοι.

Δίζω, καὶ δίζομαι, τὸ ζητῶ. καὶ διζημένη, ζητοῦσα, παρὰ τὸ δὶς ἐπίῤῥημα, ἀφ' οὗ τὸ διστάζειν. καὶ ἀπὸ τοῦ δοιὸς, δοιάζειν. ὀρθῶς οὖν τὸ δίζω παρὰ τὸ δίς. ὁ γὰρ ζητῶν, ἐν διχονοίᾳ ὢν ζητεῖ. ὁ γὰρ εἰδὼς οὐ διχονοεῖ, ἀλλ' ἁπλῇ χρῆται γνώμῃ.

Διηγανὲς, λαμπρόν.

Διῆγε, παρεξέτεινε.

Διηγέομαι, οῦμαι, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. οἷον, σοί τι γελοῖον διηγήσομαι.

Διήγημα, ἱστορία.

Διήγησις, τύπωσις ἔργου καὶ λόγου, ἐπὶ μίμησιν ἄγουσα, ἢ ἐξήγησις τοῦ γεγονότος. ἢ διδασκαλία τοῦ ἀμφισβητουμένου.

* Διηγήσεων διαφοραὶ, ὁμιλητικὴ, ἀπαγγελτικὴ, καὶ ὑποστατική. καὶ Διήγησις κατὰ τάξιν ἀλλότριόν ἐστι τῆς ποιήσεως.

Διηγκυλημένον, τὸ ἀκόντιον μεταχειριζόμενον. ἢ ἀντὶ τοῦ ἐν μεσάγκυλῃ κρατῶν τὸ δόρυ, Ξενοφῶν.

Διηγκυλίσθαι, τὸ ἐνεῖραι τοὺς δακτύλους τῇ ἀγκύλῃ τοῦ ἀκοντίου, τίθεται καὶ ἐπὶ τοῦ ἕτοιμον εἶναι.

Διηγορευμένοις, παραγγελθεῖσι.

Διηγῶ, ὁ μέλλων διηγήσω. ἐκ τῆς διὰ προθέσεως, καὶ τοῦ ἄγω. τὰ δὲ παρὰ τὸ ἄγω συντεθειμένα, διὰ τοῦ η γράφεται. ξεναγῶ (?), στρατηγῶ, ὁδηγῶ, διηγῶ.

Διήειν τὴν ὁδὸν, ἤγουν διατέλους ἐπορευόμην. καὶ διῆλθον καὶ διήειν τὸν λόγον. διεξῄει δὲ, τὸ μέχρι τέλους δηλοῖ.

Διηθεῖν, διϋλίζειν. καὶ διηθεῖται, ἀφυλίζεται. διήθησις, καὶ ἡ διΰλησις.

Διηθήσεως, σειρώσεως, ἐκπιέξεως.

Διηθῶ, ἐκθλίβω.

Διῆκαν, διέπεμψαν.

Διήκει, διέρχεται.

Διήγειν, φθάνειν.

Διήκουσαν, διελθοῦσαν, διερχομένην.

Διήκουσεν, ἠκροάσατο.

Διήλαξεν, ἀντὶ τοῦ μετήλαξεν, ἐτελεύτησε. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας, καὶ ἀντὶ τοῦ ἤμειψεν.

Διήλασε, διεπέρασεν, εἰσῆλθεν.

Διηλασίην, δίοδον.

Διῆλθεν, ἀντὶ τοῦ ἐνήργησεν. ὡς τὸ, Καὶ ταῦτα μέντοι τὰ τοσαῦτα καὶ τοιαῦτα διῆλθε, σὺν πολλοῖς δ' ὅμως ἐναντιώμασι τῶν Ἑλλήνων.

Διηλλαγὴ δοκιμώτερον, ἢ κατηλλαγή. καὶ διαλλαγαὶ πληθυντικῶς, ἢ διαλλαγή.

Διηλίσθη, διεφθάρη, διῆλθε, διέβη, διεπέρασε.

Διηλίτης, κακοῦργος, ἀπατεών.

Διηλκύσασθον, διετρέψασθε, δυϊκῶς.

Διήλυσις, ἡ διεξέλευσις, καὶ ἔξοδος, καὶ ὁ χωρισμὸς, καὶ ἡ ἐκδρομή.

Διημερεύειν, τὸ διαβιβάζειν τὴν ἡμέραν πᾶσαν. καὶ διανυκτερεύειν, τὸ τὴν νύκτα διαβιβάζειν.

Διημερεύω, ἀντὶ τοῦ ἅπασαν τὴν ἡμέραν ἔν τινι τόπῳ ἢ ἔργῳ ἐπιμένω.

Διηνέγκαν, γενικῇ, ὑπέμειναν, ἐκαρτέρησαν. ἢ διήνυσαν, διέτριψαν.

Διηνεκεῖς ῥίζαι, αἱ διὰ πολλοῦ τόπου ἐνηλλαγμέναι καὶ τεταμέναι, καὶ οὕτως αἴτιαι ταῖς δρυσὶ τοῦ μίμνειν.

Διηνεκέεσσι νώτοισιν Αἴαντα γέραιρε, φησὶν Ἡρόδοτος, γέρα εἶναι τοῖς ἐν Σπάρτῃ βασιλεῦσι τῶν θυομένων τὰ δέρματα, καὶ τὰ νῶτα λαμβάνειν, καὶ πρῶτος ἵζειν ἐπὶ τῷ δείπνῳ, καὶ διπλάσια νέμειν αὐτοῖς τὰ πάντα. ὅρα δὲ καὶ νῦν οἷα εὐτελῆ τὰ τῆς ἀνδραγαθίας ἔπαθλα τοῖς Ἥρωσιν, ὅπου γε καὶ τοῖς ὕστερον πίτυς, καὶ σέλινον,

Digitized by Google

τον, ὁ κότινος, ἀγώνων μεγάλων ἦσαν ἔπαθλα. ὅλως δὲ πολλαχοῦ παρά τε ἄλλοις καὶ ἱστορικοῖς καὶ ποιηταῖς, κατὰ τὰ δεῖπνα τιμαὶ ἦσαν τοῖς ἀρίστοις, καὶ παρ' Ὁμήρῳ. δῆλον δὲ ἐκ τε Σαρπηδόνος, ὃς παρὰ Λυκίοις ἕδρῃ καὶ κρέασι τιμᾶται, καὶ ἐκ τοῦ κρέασι τὸν Τυδείδην, καὶ πλείοις δεπάεσσι δεξιοῦσθαι. καὶ ἐκ τοῦ τὸν Μενέλαον νῶτα βοὸς χαρίζεσθαί τινι, τά ῥά οἱ πάρθεσαν αὐτῷ. ἐπεχωρίαζε δὲ τοῖς τόσε τιμῆς χάριν, καὶ ὁ διὰ προπόσεως ἀσπασμός. καὶ διηνεκέσι δεπάεσσιν, ἀντὶ τοῦ διόλου, ἢ καθ' ὅλον τὸν τοῦ συμποσίου καιρόν. ἢ ἀντὶ τοῦ ἀκεραίοις, ἢ ἐπιμήκεσιν. ᾧ λόγῳ καὶ διηνεκεῖς τοὺ λέγονται, ἄτομοι.

Διηνεκὲς, τὸ ἐπίμηκες καὶ ἀδιάλειπτον, παρὰ τὸ ἓν τὸ ἀριθμητικὸν ἐνεκὲς, τὸ ἡνωμένον καὶ ἀδιάστατον, μετὰ ἐκτάσεως καὶ συνθέσεως διηνεκές. ἢ παρὰ τὸ ἐνέκω, ἐνεκὲς, καὶ διαενεκές. καὶ μεταθέσει τοῦ ε εἰς η, διηνεκές. ἢ παρὰ τὸ διήκω, τὸ ἐκτείνω, διηκής. καὶ πλεονασμῷ τῆς νε συλλαβῆς.

Διηνεκῶς, ἀεὶ, διαπαντὸς, τό, τε διόλου, διὰ βίου. καὶ διηνεκῶς ἀγορεύεις, ἀντὶ τοῦ μακρηγορεῖς.

Διηνέχθη, ἐμαχέσατο.

Διηώσατο, διάζετο ἱστόν.

Διηώυσαν, διῆλθον.

Διηρέθην, ἐκ τοῦ διήρημαι ὤφειλεν εἶναι διηρήθην, ἀλλὰ ζήτει τὸ κανόνα ἐν τῷ καθηρέθην.

Διηρέθιζεν, ἀνεκίνει, ἀνεπείρατεν, ἀνερρίπιζε.

Διῄρει, διέτεμε, διεμέριζε.

Διήρεσα χερσὶν ἐμῇσιν. ἀπὸ τοῦ ἐρέσσω γίνεται ἐρέσω μέλλων, καὶ ὤφειλον εἶναι ἐρέξω. τὰ γὰρ διὰ δύο σσ ἐκφερόμενα ῥήματα κατὰ τὸν ἐνεστῶτα, διὰ τοῦ ξ ἐκφέρονται κατὰ τὸν μέλλοντα. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι τοῦτο ἕν ἐστι τῶν παρασεσημειωμένων.

Διήρεσαν, διενήξαντο.

Διήρη, διπλᾶ. τὰ ἐπαμπεχόμενα ζωστά ἐστιν. οἷον τὰ δι' ὅλου τοῦ σώματος ἡρμοσμένα ἢ ἀναλόγως τῷ ποδήρει.

Διήρηκε, διεχώρισε.

Διήρης, ὁ ὑπερῷος οἶκος, ὁ δίστεγος. Εὐριπίδης, μελάθρων ἐς διήρες ἔσχατον. παρὰ τὸ δὶς διήρης, ἵν' ᾖ ὁ δίστεγος. Ἀπολλόδωρος δὲ καὶ τὰς ναῦς τὰς ἐχούσας δύο καὶ τρεῖς στέγας, διήρεις λέγει. ἢ τὰς ὑπὸ δύο ἐρετῶν ἐλαυνομένας.

Διήρησαι, δέδεσαι, διηρημένος εἶ.

Διηρθρωμένον, δεδηλωμένον, ἠκριβωμένον.

Διήρικον, διηρεῦντο, ἐρράγωντο.

Διήρκεσε, διέμενε, παρέμηνεν, ἀντέσχε.

Διῆρξα, ἀντὶ τοῦ διατέλους ἦρξα. Λυσίας ἐν τῇ πρὸς τὴν Μαξίμου γραφὴν ἀπολογίᾳ.

Διήρπασαι, δέδεσαι.

Διήρπασεν, ἐξηπάτησεν, ἐπλάνησε.

Διήρχθην, ἐκωλύθην.

Διῆσαι, διασεῖσαι.

Διαγλυκυθεῖσα, διαχυθεῖσα, διϋγρανθεῖσα, παρὰ τῷ Ἱπποκράτει.

Διῆσαν, διήρησαν.

Διήσειν, διαφήσειν.

Δίηται, διωχθείη, καὶ πεισθείη, παρὰ Ἀπολλωνίῳ. καὶ Ὅμηρος, Πεδίον δὲ δίηται. ἤγουν, διώκη κατὰ τὸ πεδίον.

Διηπανὲς, λιπὸν, διαπεπαμένον.

* Διηττημένον ἄλευρον, τὸ σεσησμένον.

Διηττία, ἡμιμέδιμνον.

Διηύθυνεν, ἐκώλυσε.

Διηυλίσθη, διεφθάρη.

Διηυχενίζετο, ὑψηυχένει, Ἕτερα δὲ οὐ πολύ τι μεῖον ἀνωρθοῦτο καὶ διηυχενίζετο. ἀλλὰ τούτων βαρύτερα, καὶ κεραυνῷ προσεμφερῆ.

Διήφυσε, διέκοψεν. ἀπὸ τοῦ δια καὶ φύσσειν, ὅ ἐστιν ἀντλεῖν. ὁ γὰρ ἀντλούμενος, ἢ ἀντλῶν, διακόπτει τὸ ἀντλούμενον.

Διηχὴ, ἡ τῶν ἤχων διαπορθμευτικὴ δύναμις, ἢ διὰ τῶν μηνίγγων καὶ τοῦ ἔνδοθεν πνεύματος ἐνεργεῖται.

Διηχήτης, ἄρτου εἶδος.

Διήχθη, ἐκ τοῦ διάγω, διάξω, δίηχα, διῆγμαι, διήχθην, ης, η.

Διθυμία, διχοστασία.

Διθύραμβος, ὁ Διόνυσος. ὅτι ἐν διθύρῳ ἄντρῳ τῆς Νύσσης ἐτράφη.

Διθυραμβίτης, ὄνομα ἄστρου. διὰ τοῦτο διθύραμβος ὁ Διόνυσος ἐκλήθη, διὰ τὸ δύο θύρας ἔχειν τὸ ἄντρον.

Διθύροις, διπτύχοις, διπλαῖς θύραις.

Δίθυρον. γραμματίδιον, δίπτυχον.

* Διθυμία, ἡ διχοστασία.

Δίϊαμβος, ἐκ βραχείας καὶ μακρᾶς, καὶ βραχείας καὶ μακρᾶς, ἑξάχρονος. οἷον Ἀνακρέων.

Διϊᾶσι, τὸ συγχωροῦσι καὶ ἐπιτρέπουσι διελθεῖν, ἤτοι διαβῆναι, αἰτιατικῇ συντάσσεται. καὶ διϊᾶσι, διέρχονται.

Διεῖλεν, ἐμέρισε.

Διϊέντα, διαπέμποντα.

Διΐεται, διέρχεται.

Διϊεὶς, διαπέμψας.

Δίϊημι, διέρχομαι. καὶ διίησι.

Διϊθυνόμενοι, διοικούμενοι, κυβερνώμενοι.

Διϊθύντης, ὁ διευθύνων. (το.)

Διϊκαδία, ἐπὶ ὁμοίων καὶ ἀπαραλλάκτων ἐτίθετο τοῦ-

Διΐκεο, ταυτόν ἐστι τῷ διῆλθε.

Διϊκνεῖσθαι, γενικῇ, φθασάτω.

Διϊκνούμενος, διερχόμενος, διαδυόμενος.

Διϊκνεῖται, διήκει, χωρεῖ διὰ πάντων, διὰ καθαρότητος.

Διΐος ὀργὴ, καὶ δῖος βωμός.

* Διΐ ὅμοιοι λέγονται, οἱ συνετοὶ καὶ οἱ βασιλικοὶ ἄνθρωποι.

Διϊπετεῖς ποταμοὶ, οἱ χείμαρροι. ὅτι ἐκ Διὸς πίπτον τὸ ὕδωρ, πληροῖ τούτους. καὶ παιδίον δὲ διϊπετὲς, νοτερὸν καὶ δροσῶδες. οἱ δὲ, τὸ διηνεκὲς, ἄλλοι διαυγές. καὶ ὁ κεραυνὸς διϊπετὴς, ὡς ἀπὸ Διὸς πίπτων, ἢ πετόμενος. ὅθεν καὶ διϊπετεῖς συμφοραί. καὶ διϊπετὴς γυνὴ, διαυγής.

Διϊπετέος, τοῦ ὑπὸ τοῦ Διὸς πληρουμένου.

Διϊπετὴς κυρίως μὲν, ὁ χείμαρρος, ὁ αὐτόθεν ἐκ Διὸς ἀέρος πίπτων, ἤτοι γεννώμενος. καταχρηστικῶς δὲ, καὶ ὁ ἀέναος. ἀέναοι γὰρ ἠρεμαιότεροι.

Διϊπετὴς, ὁ Νεῖλος καὶ ὁ Ξάνθος. παρὰ τὴν Διῒ δοτικὴν γέγονε, καὶ τὸ πεσεῖν, οἱονεὶ ὁ ἀπὸ τοῦ Διὸς πεπτωκώς. καὶ Διϊπετέος ποταμοῖο, τοῦ διαφανοῦς καὶ μεγάλου, ἢ κατωφεροῦς, ἢ ὑπὸ τοῦ Διὸς πληρουμένου. ἐπειδὴ διαυγέστατον τὸ ὕδωρ ἔχει. καὶ τὸν ἀέρα διϊπετῆ καλοῦσιν. Εὐριπίδης, Λαμπρότερος ἢ πρὶν, καὶ διϊπετέστερος, ἀντὶ τοῦ διαυγέστερος.

Διϊπόλεια ἑορτὴ Ἀθήνησι, τῶν ἀρχαιοτάτων, ἐν ᾗ πολιεῖ Διῒ θύουσι, τὰ καὶ διάσια λέγονται.

Διϊπόλεια, τῷ Διῒ τελεταί. ἀδώνια δὲ, τὰ τῷ Ἀδώνιδι, καὶ τῇ Ἀφροδίτῃ. Ἀριστοφάνης, μυστήρια Ἑρμῇ, διϊπόλεια ἀδώνιδι.

Διϊππασία, καὶ ἀνιππασία, ἡ τῶν ἵππων ἅμιλλα. ὥσπερ δὴ διωμοσία, καὶ ἀντωμοσία, τὸ αὐτὸ ἄμφω δηλοῖ.

Διϊσθμήσαντα, τὸν ἰσθμὸν διαβιβάσαντα.

Διϊσθμονίσαι, τὸ διὰ τοῦ ἰσθμοῦ ἕλκειν τὴν ναῦν, ὅπερ ἐποίουν ἐν τῷ Ἰσθμῷ οἱ Κορίνθιοι.

Διΐσταμαι, τὸ διαχωρίζω. ἐξ οὗ διάστασις. καὶ διασταδὸν ἐπίρρημα, ἀντὶ τοῦ ἐκ διαστάσεως.

Διϊστᾶν ἔφη Ὅμηρος, ἐν τῷ διεστήτην ἐρίσαντε. τοῦτο καὶ διατμήγειν φασὶν, ὅ ἐστι διακόπτειν, διαιρεῖν. καὶ διέτμαγεν, ἤτοι διεχωρίσθησαν.

Διϊστάνειν, διϊστάναι, διαχωρῆσαι.

Διΐσταται, ἀντὶ τοῦ χωρίζεται.

Διΐστημί σου, τὸν φίλον.

Διϊστῶ τόδε τοῦδε, καὶ τόδε πρὸς τόδε, Ἀττικῶς. Μάξιμος, διαστήσαντες αὐτῷ τὰς φύσεις, καθάπερ ἡμέρας πρὸς νύκτα, καὶ φωτὸς πρὸς τόδε τὸ ζόφος.

Διῒ συκασίῳ, παραπεποίηται παρὰ τὸ συκοφαντεῖν.

Διϊσχυρίζομαι ταῦτα οὕτως ἔχειν. καὶ διϊσχυρίζομαι, τὸ ἀνθίσταμαι, ἀμφιβάλλω.

Διΐσχω σου, καὶ διϊσχύω γενικῇ, τὸ κρατῶ σου, καὶ ἄρχω σου.

Διϊτρέφης, πετεινὰ ἔχων πτερά. καὶ διϊτρέφης, ἀνεπτέρωκε.

Διῒ φίλε, προσφιλέστατε.

Διῒ φίλους κήρυκας, ἤγουν ἀεὶ φησὶν Ὅμηρος. φωνητικοὶ γὰρ οἱ κήρυκες. ὅθεν καὶ ἱερόφωνοι, κατὰ τὴν ποίησιν. οἱ καὶ ἀπὸ τοῦ γαρύω, τὸ φωνῶ, τὴν ἐτυμολογίαν ἔχουσι.

Διΐχθαι, διέρχεσθαι.

Δικάζειν παρ' Ὁμήρῳ λέγεται, τὸ σεμνῶς καὶ βασιλικῶς οἰκονομεῖν, καὶ ἐπικρίνειν.

Δικαζέμεν, δικαιοῦν, δικάζειν.

Δικάζομαι, τὸ μετά τινος εἰς δίκην ἔρχομαι.

Δικάζω σοι, καὶ ἀντὶ τοῦ κρίνω, καὶ ἀντὶ τοῦ μετὰ σοῦ εἰς δικαστήριον ἀπέρχομαι. παραδικάζω δὲ, οὐ γράφεται. ἀντὶ δὲ τούτου χρώμεθα δικάζω. καὶ καὶ δικάζω σε, ἀντὶ τοῦ κρίνω. δικάζομαι δέ σοι, ἀντὶ τοῦ μετὰ σοῦ κρίνομαι.

Δικάζω φόνον. Εὐριπίδης, φόνον δικάζων.

Δίκαια, ἔννομα.

Δικαιαρχία, ἀρχὴ δικαία.

Δικαιογένης, τραγῳδίας οὗτος ποιητής. καὶ διθυράμβους ἔγραψε.

Δικαιοδότης, ὁ δικαστής.

Δίκαιόν ἐστι, τὸ πρὸς ἀξίαν ἑκάστῳ νεμητικόν. δίκαιόν ἐστι, νόμου πρᾶγμα, ποιητικὸν δικαιοσύνης. καὶ δίκαιον, τὸ εὔλογον, ἴσον, ὅμοιον, παρὰ Ἱπποκράτει.

Δικαιόπολις, Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος, πόλις ἐν τῇ Θράκῃ πλησίον Αὐδήρων. τυχὸν δὲ, καὶ ἑτέρα τίς ἐστι Δικαιόπολις.

Δικαιοπραγεῖν, δίκαια πράττειν.

Δίκαιος, ὁ πᾶσαν ἰσότητα τοῖς ὁμοειδέσι παρέχων, καὶ ὁ πᾶσαν ἀρετὴν ἔχων. φησὶ γὰρ ὁ Ἀπόστολος, Δικαίῳ νόμος οὐ κεῖται. δίκαιος κατὰ τὸν Αἰσχύλον, ὁ οὐ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλων, βαθεῖαν τῷ ὄντι, καὶ αὐτὸς αὔλακα διὰ φρενῶν καρπούμενος. ἡ κωμῳδία τὸν δίκαιον, οὐ πολιτικὸν, οὐδ' ἥμερον καλεῖ.

* Δικαιόσσυνος, ἐπιθετόν ἐστιν ὄνομα. δικαιοσύνη δὲ, προσηγορικόν. καὶ δίκαια, τὰ ξένια, κατὰ γλῶσσαν.

Δικαιοσύνη ἐστὶν, ἕξις ἀπονεμητικὴ ἰσότητος. ἢ ἕξις ἀπονεμητικὴ τῶν κατ' ἀξίαν. ἡ δικαιοσύνη ἐστι, τὸ πρὸς ἀξίαν ἑκάστῳ νεμητικόν. ἢ τὸ μὴ πλέον αἰτεῖν ἔχειν, ἀλλὰ τοῖς ὁμοειδέσι φυλάττειν ἰσότητα. ἢ δικαιοσύνη ἐστὶν, ἡ μέν τις ἐν ἡμῖν στρεφομένη, ἡ τοῦ ἴσου διανομή. ἐὰν γὰρ καὶ μὴ τυγχάνωμεν αὐτοῦ κατὰ ἀκρίβειαν, ἀλλὰ γνώμῃ τῇ δικαιοτάτῃ ποιοῦντες, οὐκ ἀποπίπτομεν τοῦ σκοποῦ. ἡ δέ τις οὐρανόθεν ἐπαγομένη, παρὰ τοῦ δικαίου κριτοῦ, ἥ, τε ἐπανορθωτικὴ καὶ ἀνταποδοτική. ἧς πολὺ τὸ δυσθεώρητον, διὰ τῶν ἀποκειμένων αὐτῇ δογμάτων. τοῦτο γὰρ οἶμαι λέγειν τὸν ψαλμὸν, Ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ. διαφέρει δὲ ὅσιος δικαίου. καὶ γὰρ δίκαιος μὲν λέγεται, ὁ τὴν ἰσότητα τοῖς ὁμοειδέσι φυλάττων. ὅσιος δὲ, ὁ περὶ τὰ θεῖα ἐσπουδακώς. ἢ κατά τινας δικαιοσύνη ἐστὶ, ἐπιστήμη ὧν αἱρετέον καὶ ἀλαβητέον, καὶ οὐδετέρων. δικαιοσύνη οὖν ἡ κοινὴ ἀρετὴ, καὶ ἡ ἀντιδιαιρουμένη ταῖς ἄλλαις ἀρεταῖς ὁμωνύμως. διαφέρει δὲ ἀνδρεία καὶ δικαιοσύνη, ὁμογενεῖς οὖσαι ὑπὸ τὸ αὐτὸ γένος τὴν ἀρετήν. οἷον, ἄλλως μὲν ἀνδρία μεσότης, ἄλλως δὲ ἡ δικαιοσύνη. ἡ μὲν γὰρ δύο κακῶν, θρασύτητος καὶ δειλίας. ἡ δὲ, πλεονεξίας καὶ μειονεξίας. ἐξ ὧν ἡ ἀδικία. ἐν γὰρ τούτοις τῇ ἀδικίᾳ τὸ εἶναι. καὶ περὶ ἄλλα μὲν ἡ ἀνδρεία. περὶ γὰρ τὰς τῶν κινδύνων ὑπομονάς. περὶ ἄλλα δὲ ἡ δικαιοσύνη. περὶ γὰρ τὸ ἴσον, τότε ἐν τῇ διανομῇ, καὶ ἐν τοῖς συναλλάγμασι. καὶ οὕτω μὲν τὰ ὁμογενῆ. ἡ δικαιοσύνη, οὐχ ἡ πολιτικὴ ἀρετὴ, ἀλλ' ἡ μείζων. δικαιοσύνη καὶ ἡ τελεία ἀρετὴ, καὶ ἡ δικαία αἴτησις.

Δικαιοτάτην, δικαιοσύνην.

Δικαιότατος Κενταύρων, ἀντὶ τοῦ ὁ ἐν τοῖς Κενταύροις δίκαιος.

Δικαιότερον σαχάνης, ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. σαχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν. ἴσως παρὰ τὴν στάσιν. καὶ ἑτέρα παροιμία, δικαιότερος τρυτάνης.

Δικαιούμενος, κολαζόμενος, δίκης τυγχάνων.

Δικαιοῦν, δύο δηλοῖ. τό, τε κολάζειν, καὶ τὸ δίκαιον νομίζειν. οὕτως Ἡρόδοτος. καὶ δικαιοῦν, ἀντὶ τοῦ μαστιγοῦν, νουθετεῖν.

Δικαιοῦσαν, αἰτιατικῇ, καταδικάζουσαν.

Digitized by Google

Δικαιῶ, τὸ εὐθύνω. καὶ δικαιῶ, τὸ καταδικάζω, καὶ τὸ ἀξιῶ.

Δικαιώμασι θεοῦ εἰσιν, οἱ περὶ τῆς γνώσεως τῶν θείων μυστηρίων, καὶ οἱ τῆς δικαίας ἀνταποδόσεως αὐτοῦ λόγοι.

Δικαιώσεις, Λυσίας τὰς δικαιολογίας. Θουκυδίδης δὲ, τὰς κολάσεις λέγει.

Δικαίωσις, κατάκρισις.

Δικαιωτήρια, ἤγουν δικαστήρια.

Δικαμπτίας οἶνος, ὁ δύο τροπὰς ὑπομείνας.

Δίκανα, ποικίλα ἱμάτια.

Δικανικὴ, δικαστικὴ ἀδικοῦντων τε, καὶ μή.

Δικανοὺς, τοὺς περὶ τὰς δίκας διατρίβοντας.

Δικανόωνται, ἐνδείκνυνται λέγουσι.

Δίκαρ, τοὺς κριτὰς, Ἠλεῖοι.

Δικάσιμοι μῆνες, οὕτως ἐλέγοντο, ἐν οἷς ἐδίκαζον.

Δικασπόλοι λέγονται, οἱ περὶ δίκας πολοῦντες. ὡς οἰωνοπόλοι καὶ ὀνειροπόλοι, οἱ περὶ οἰωνοὺς καὶ ὀνείρους. δίκη δὲ καὶ θέμις, ταυτόν ἐστι. διὸ καὶ ὁ ποιητὴς ἑρμηνεύων φησὶ, δικασπόλοι, οἵ τε θέμιστας, πρὸς Διὸς εἰρύατο, φυλάσσουσι. θεσμοφύλακες οὖν οἱ δικασπόλοι. ἄμφω δὲ ταῦτα ἦσαν οἱ βασιλεῖς, οἷς τὸ σκῆπτρον ἦν σύμβολον δίκης, ὥσπερ ἀνδρείας δόρυ. σκοπητέον δὲ, ὡς τὸ μὲν δικαστπόλος, καὶ τὰ κατὰ αὐτὸ παροξύνεται. ἀμφίπολοι δὲ καὶ πρόσπολοι, τὰ μετὰ προθέσεων προπαροξύνονται.

Δικαστήρια, ἔνθα δικάζουσιν οἱ κριταί. ἐν ταῖς Ἀθήναις πολλὰ ἦν δικαστήρια. καὶ ἐν τισὶ μὲν ἐδίκαζον περὶ φονικῶν πραγμάτων, ἐν τισὶ δὲ περὶ δημοτικῶν. καὶ ἕκαστον τούτων εἶχεν ἔν τι τῶν στοιχείων, εἰδικὸν ὄνομα. οἷον ἦν τι τῶν δικαστηρίων λεγόμενον ἄλφα. ὁμοίως, ἄλλο λεγόμενον β̄, ἄλλο γ̄, καὶ ἑξῆς τὸ δ̄, καὶ τὸ ε̄, καὶ ἕως τοῦ κ̄. δέκα γὰρ ἦν δικαστήρια τὰ ἐν Ἀθήναις. καὶ πρὸ θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον, ᾧ τινι τὸ δικαστήριον ὠνομάζετο. ὅσοι δὲ δικασταὶ ἦσαν ἐν Ἀθήναις, ἕκαστος καθ᾽ ἕκαστον δικαστήριον εἶχε δέλτον, τουτέστι πινακίδιον, ἐν ᾧ ἐγγεγραμμένον ἦν τὸ ὄνομα αὐτοῦ, καὶ τοῦ δικαστηρίου. εἶχε δὲ καὶ ῥάβδον ἅμα τῷ πινακιδίῳ, καὶ ἐν αὐτῇ δὲ τῇ ῥάβδῳ ἦν τὸ ὄνομα τοῦ δικαστηρίου ἐγγεγραμμένον. ὅτε οὖν συνέβαινε καιρὸς τοῦ δικάζειν, ἤρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγορὰν, κἀκεῖ κλήρους ἔβαλλον. καὶ ὅς τις ἂν ἐκληροῦτο κλῆρον, ἔχων τὸ ᾱ, ἀπήρχετο εἰς τὸ ᾱ δικαστήριον. ὁμοίως εἰς τὸ β̄, καὶ τὰ ἐφεξῆς. καὶ πρῶτον μὲν ἐδείκνυε τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου. ὁ δὲ κῆρυξ λοιπὸν, ἐδίδου αὐτῷ τὸ πινάκιον αὐτοῦ, καὶ τὴν ῥάβδον, εἶτα οὕτως ἐδίκαζεν. εἰ δέ τις δικαστὴς εἰσῄει, μὴ κληρωθεὶς εἰς τὸ δικαστήριον, διαφόρως ἐζημιοῦτο. Ἄλλως. Ἔρχεται ἕκαστος εἰς τὸ πινάκιον, ἔχων ἐπιγεγραμμένον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ πατρόθεν, καὶ τὸ τοῦ δήμου, καὶ γράμμα ἕν τι μέχρι τοῦ κ̄, διὰ τὸ πάλαι δέκα φυλὰς εἶναι Ἀθήνησι. διῃροῦντο γὰρ κατὰ φυλάς. εἶτα οἱ θεσμοθέται κατὰ φυλὴν ἕκαστος, καὶ ἑνδέκατος ὁ γραμματεὺς, ἐκλήρουν τὰ γράμματα, μέχρι τοῦ κ̄. καὶ τὸν λαχόντα ἴσα τὸν ἀριθμὸν τοῖς μέλλουσι κληροῦσθαι δικαστηρίοις, ὑπηρέτης φέρων ἐτίθει καθ᾽ ἕκαστον δικαστήριον ἕν. εἶτα πάλιν ἀπεκληροῦντο οἱ τὰ εἰληχότα γράμματα ἔχοντες, τίνες δικάσουσι, καὶ τίνες οὔ. παρὰ τοῖς Ἀθηναίοις δέκα ἦσαν φυλαί. ἔθος οὖν ἀπὸ πασῶν τῶν φυλῶν δικαστὰς καθίζειν. εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε, τοὺς ἐπισημοτέρους. καὶ πάλιν ἀπὸ τῶν πέντε τὸν ἕνα, τῷ κλήρῳ λαχόντα, ἐποίουν δικάζειν.

Δικαστήρια Ἀθήνησιν, ἄρειος πάγος, κρίνει τὰ φονικά. εἶτα ἡ βουλὴ τῶν πεντακοσίων. ἐπὶ Παλλαδίῳ δὲ, τῶν ἀκουσίων ἐδικάζοντο. εἶτ᾽ ἐπὶ Δελφινίῳ ἐδικάζετο τοῖς ὁμολογοῦσιν ἀνῃρηκέναι μὲν, λέγουσι δὲ ἐννόμως. καὶ τὸ ἐν πρυτανείῳ.

Δικαστήριον, ὁ τόπος ἐν ᾧ αἱ δίκαι καλοῦνται, καὶ αὐτοὶ οἱ δικάζοντες, καὶ ὁ τῆς πόλεως ἄρχων. ἀπὸ τοῦ τὰς δίκας ἐν αὐτῇ διοικεῖν.

Δικαστικὸν, Ἀριστοφάνης ἐν ὥραις. τριώβολόν φησιν εἶναι· οὐ μέντοι ἔστηκεν, ἀλλ᾽ ἄλλοτε ἄλλως ἐδίδοτο.

Δικαστικός ἐστιν, ἐπιστήμων δίκης.

Δίκειν, βάλλειν, ῥίπτειν. ὅθεν καὶ δίσκον, καὶ δίσκον, καὶ δίκελλον.

Δίκελλα, γεωργικὸν ἐργαλεῖον. ὡς τὸ, οὐ βουσὶ καὶ δικέλλῃ ποριζομένοις τὸν βίον, ἀλλ᾽ ἵππῳ καὶ μαχαίρᾳ. καὶ δικελλίτης.

Δικέντρων, βόλος τις ἀστραγάλων, οὕτως ἐκαλεῖτο.

Δικέραιον, δύο κέρατα ἔχουσαν.

* Δίκη, τὸ πρόστιμον.

Δίκη, ἐπὶ ἀνθρώπων, θέμις δὲ ἐπὶ θεῶν. καὶ δίκη θεοῦ, πρὸς διαστολὴν ἐρρέθη παρ᾽ Ὁμήρῳ, τῆς κατὰ ἀνθρώπους. διαφέρει δὲ δίκη, γραφῆς. δίκη μὲν λέγεται, ἣν ἐπάγει τὶς κατά τινος ὑπὲρ ἰδίων οὐσῶν πραγμάτων. γραφὴ δὲ λέγεται κοινῶς, πᾶσα κατηγορία. ἰδίως δὲ λέγεται γραφὴ, ἡ ὑπὲρ δημοσίων δικαζομένη κρίσις. καὶ ὅταν μὲν κατηγορῇ τις, ψηφίσματος, ἢ νόμου γραφὴν ἀποφέρῃ, γράφεσθαι λέγεται. ὅταν δ᾽ ἐπὶ δημοσίοις ἀδικήμασιν ἢ ἰδίοις, ἐγκαλεῖν λέγεται. σημαίνει μὲν καὶ ἄλλα τοὔνομα. ἰδίως δὲ λέγεται, ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων. ὅσα φησὶ ποιεῖ Δημοσθένης, ἐν τῷ κατὰ Κόνωνος. ἢ καὶ ἄλλως.

Δίκη ἐστὶν, ἀνταπόδοσις τοῦ κατ᾽ ἀξίαν. δίκη ἐστὶν, ἡ τῆς θείας διοικήσεως ἐπιμέλεια εἰς τοὺς κατ᾽ ἀξίαν κολαζομένους, ἀδεκάστως γινομένη τιμωρία. ἡ δίκη ἐστὶν ἀπόφασις κυρία, περὶ ἀμφισβητουμένου πράγματος. καὶ δίκη πρόδικος, ἡ πρὸ τοῦ ἀχθῆναι εἰς δίκην ὁμολογουμένη.

Δίκηλα, μιμήματα, εἰκάσματα, ὁμοιώματα τὰ εἴκελα τῷ Διί. καταχρηστικῶς δὲ πᾶν ὁμοίωμα.

Δικηλιστῶν, καὶ μιμηλῶν, εἶδός ἐστι κωμῳδίας. ὥς φησι Σωσίβιος ὁ Λάκων.

Δίκηλον κυρίως, τὸ τῷ Διῒ ἐοικὸς ἄγαλμα. καταχρηστικῶς δὲ, καὶ πᾶν ὁμοίωμα. καὶ δικηλίστας δὲ, τοὺς σκωπτικοὺς, τοὺς ἐν τῷ σκώπτειν ἄλλον τινὰ μιμουμένους.

Δίκην, τετραχῶς τίθησιν Ἡσίοδος. ἐπὶ τῆς σωματοειδοῦς θεᾶς, ἣν καὶ παρθένον ὀνομάζει. ἐπὶ τοῦ δικαίου, ἐπὶ τῆς κρίσεως, καὶ ἐπὶ τῆς τιμωρίας. καὶ δίκην τροχοῦ, καθάπερ, ὥσπερ, ὁμοίως. ἢ δίκην, τρόπον, ὁμοίωσιν, ἢ κρίσιν. καὶ δίκης, δικαιοσύνης, ἢ τιμωρίας, καὶ δίκους ἀνάκρισις.

Δικιδίοις, ὑποκοριστικῶς ταῖς δίκαις.

Δίκλειδος, διφυής. ὡς δύνασθαι τοῦ κάτω μέρους κεκλεισμένου ἀνοῖξαι, παρὰ τῷ Ἱπποκράτει.

Δικλίδες, διχόθεν κλειόμεναι, δίθυμοι. κλεισταὶ σανίδες, αἱ θύραι, πρὸς διαστολὴν τῶν ἁπλῶς σανίδων. ἴσως μὲν καὶ αἱ δὶς κλειόμεναι, ὡς ὑψηλαὶ, τουτέστιν ὑπὸ δύο ὀχέων. ὡς δηλοῖ τὸ ὀχῆες ἐχέθεντο. μάλιστα δὲ ὥσπερ δίζυγες ἵπποι, ἀγόμενοι δύο ὑφ᾽ ἓνα ζυγόν. οὕτω καὶ πύλαι δικλίδες, αἱ ἀγόμεναι δύο ὑπὸ μίαν κλεῖδα, ὅ ἐστιν αἱ δίθυροι. διὸ καὶ Ὅμηρος λέγει, μία δὲ κληῒς ἐπαρήρει. δῆλον δὲ ὡς εἰ καὶ ἐκ τοῦ κλεὶς γέγονε τὸ δικλὶς, ἀλλ᾽ ἀποβολῇ τοῦ ε τὴν διὰ τοῦ ε ἔχει γραφὴν, ὡς καὶ τὸ κιγκλίς. αἱ δὲ ὑψηλαὶ πύλαι, καὶ ἱππήλατοί εἰσιν, οὐ μὴν κατὰ τὰς πυλίδας.

Δίκολον φάρος, διπλοῦν.

Δικοστοπεῖ, φυγαδεύει.

Δικορραφεῖν, δίκας συρράπτειν, ἐν τοῖς δικαστηρίοις ἀναστρέφεσθαι.

Δίκορσον, κόρυφον.

* Δίκορσον, δικέφαλον, δικόρυφον, δικραές.

Δίκουρος, δικέφαλος.

Δίκρα, ὄψις, ἢ διπλῆ. Αἰσχύλος Τροφοῖς.

Δικράδεστος, ξένος, δύο κλάδους ἔχων.

Δικραές, δικέφαλον.

Δικραίρα, ἀλκαία, διπλῆ. τοιαύτη γὰρ ἡ Τρίτωνος οὐρὰ διῃρημένη εἰς δύο. ἀλκαία δὲ τὴν οὐρὰν σημαίνει. ζήτει τὴν λέξιν παρὰ τῷ Ἀπολλωνίῳ.

Δίκρανον, τοῦτο οἱ ἀρχαῖοι δίκρουν καλοῦσι.

Δικράνους, τὰς στιβάδας. δεῖ δὲ νοεῖν δικράνους τὰς ἀπὸ μιᾶς ἀρχῆς ἐπὶ δύο ἐκνευούσας. οἷον, δύο τέλη ἐχούσας.

Δίκρατον, ἢ δίκρανον νόμισμα.

Δικρόα, ξύλα, ὁμοίως διχιδῆ.

Δικροῖς, διφυέσι ξύλοις, δικρανίοις. Ἀριστοφάνης, δικροῖς ὤθουν τὴν θεὸν κεκραγμάσι, τὴν εἰρήνην λέγων. ἔδει δὲ εἰπεῖν ξύλοις. καὶ εἶπε κεκράγμασιν, ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες, τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι εἰρήνην.

Δίκροτα, διήρη, πλοῖα μονήρη ἐστιν, ἃ καὶ δίκροτα κατεσκευάσαντο. τινὰ δὲ καὶ ἐκ τῆς πρύμνης καὶ ἐκ τῆς πρώρας ἑκατέρωθεν πηδαλίοις ἤσκηντο. ὅπως αὐτοί τε μὴ μεταστρεφόμενοι, καὶ ἐπιπλέωσι καὶ ἀναχωρῶσι, καὶ τοὺς ἐναντίους ἐν τῷ προσπλῷ καὶ ἀπόπλῳ αὐτῶν σφάλλωσι.

Δίκροτος ναῦς, ἡ δύο τοίχους ἐρετῶν ἔχουσα. ὥσπερ τριήρης, ἡ τρεῖς.

Δικροῦν, οὐ δίκρουν. ἀπὸ τοῦ δικρόον γάρ. σημαίνει δὲ τὸ δίκρανον, ἢ διχιδὲς, παρὰ τῷ Ἱπποκράτει.

Δικταίῃσι, Κρητικαῖς,

Δικταῖον σπήλαιον, τὸ κρητικόν. Δίκτη γὰρ, ὄρος Κρήτης.

Δίκτη, ὄρος Κρήτης, καὶ ἄκρα κειμένη κατὰ τὸ Λιβυκὸν πέλαγος. καλεῖται δὲ καὶ ὑδατηρὸς, Ἄρατος, Δίκτῃ ἐν εὐώδει, ὄρεος σχεδὸν Ἰδαίου, ἀπὸ τούτου τὸ Δίκτον. εἴρηται παρὰ τὸ τέκω τέκτω, τικτικὴ τὶς οὖσα, ἀπὸ τοῦ ἐκεῖ τεχθῆναι τὸν Δία. Ἀγαθοκλῆς δὲ θηλυκὸν ὄνομα εἶναι τὸ Δίκταιον ὄρος. οἱ δὲ, νῆσόν φασιν εἶναι τὴν Δίκτην. καὶ ὄνομα, ἀπὸ τῶν ἁλιευτικῶν δικτύων. ἐνταῦθα δὲ Διὸς ἄγαλμα ἀγένειον ἵστατο. λέγεται καὶ Δίκταιον.

Δικταμοειδὲς, γλήχων τινές. οὐκ ἔστι γὰρ βοτάνη δίκταμος.

Δικτατορία, ἀρχὴ ἀνυπεύθυνος.

Δικτάτωρ, ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων. ὃ παρὰ Ῥωμαίοις καὶ δισύπατος καλεῖται. ἀρχὴ δὲ ἦν πρόσκαιρος, οὐ διὰ βίου, καὶ ἀνεύθυνος. ἢ ὁ μονάρχης, πάντων κρατῶν.

Δίκτυα λέγεται, πάντα τὰ θηρευτικὰ πλέγματα. Φερεκράτης δὲ αὐτὰ καὶ ἕρκη εἶπε, καὶ ἐνόδια. δίκτυα μὲν καλεῖ, τὰ ἐν τοῖς ὁμαλοῖς καὶ ἰσοπέδοις ἱστάμενα· ἐνόδια δὲ, τὰ ἐν ταῖς ὁδοῖς. λέγονται καὶ ἄρκυες.

Δίκτυννα, ἡ Ἄρτεμις παρὰ Κρησίν. ἥτις Ὀρθωσία, παρὰ Ἀρκάσιν, ἀπὸ ὄρους Ὀρθωσίου Ἀρκαδικοῦ. ἡ Δίκτυννα λέγουσι τὴν Ἄρτεμιν, διὰ ταῦτα, ἐπειδὴ τῶν κυνηγετῶν ἐστιν τὸ δίκτυα φέρειν. ἔφορος δὲ κυνηγεσίας ἡ Ἄρτεμις. φασὶ δὲ, ὅτι νύμφη τὶς Βριτόμαρτυς καλουμένη, θηρεύουσα ποτὲ, δικτύοις τισὶ κατὰ τύχην ἐνέπεσε, καὶ ὑπὸ Ἀρτέμιδος ῥυσθεῖσα, Δικτύννης Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. Ἑκάτην δὲ καὶ Ἄρτεμιν, οἱ μὲν τὴν αὐτὴν φασιν, οἱ δὲ ἄλλην καὶ ἄλλην.

Δικτυεὺς, ὁ ἁλιεύς.

Δίκτυον, παρὰ τὸ δίκεσθαι τοὺς ἰχθύας ἐν αὐτῷ, ὅ ἐστι βάλλεσθαι. δίκω γὰρ τὸ βάλλω. ἐξ οὗ δίκυον, καὶ δίκτυον κατὰ πλεονασμόν. ἢ παρὰ τὸ δίκω τὸ ῥίπτω, δίκος ὁ ῥιπτόμενος.

Δίκτυς, ὁ ἰκτῖνος ὑπὸ Λακώνων.

Δικτυωτὴ, καγκελωτή.

Δικτυωτὸν ὑπερῷον, τὸ πολλὰς θυρίδας ἔχον.

Δικτυωτὸς, πολύπλοκος.

Δικύλωται, ἠχρείωται. λέγεται δὲ καὶ ἐκκύλωται, ἀπὸ τῶν γλωσσίδων τῶν ἐν τοῖς αὐλοῖς.

Δικῦμα, τὰ διδυμοτόκα πρόβατα.

Δίκω, τὸ τιτρώσκω καὶ βάλλω.

Δίκων, βάλλων.

Δίλαξ, ἡ αἰγεία τὸ φυτόν. Λάκωνες.

Δίλημμα, τὸ διττῶς λαμβανόμενον φρόνημα.

Διλήμματον, διχῶς νοούμενον.

Δίλογχον, τὴν Βένδιν οὕτω Κρατῖνος ἐν Θρᾴτταις ἐκάλεσεν. ἤτοι ὅτι δύο τιμὰς ἐκληρώσατο, οὐρανίαν τε καὶ χθονίαν. λόγχας γὰρ ἐκάλουν τοὺς κλήρους. ἢ ὅτι δύο λόγχας φέρει, κυνηγετικὴ οὖσα. οἱ δὲ, ὅτι δύο φῶτα ἔχει, τὸ ἴδιον, καὶ τὸ τοῦ ἡλίου. τὴν γὰρ σελήνην, Βένδιν καὶ Ἄρτεμιν νομίζουσι.

Διμά-

Digitized by Google

Διμάχαι, οἱ λεγόμενοι ἅμιπποι. οἵτινες ὁτὲ μὲν πεζῇ, ὁτὲ δὲ ἐφ' ἵππων μάχονται.

Διμέδιμνον, μέτρον χωροῦν δύο μοδίους.

Διμήτωρ, ὁ Διόνυσος.

Διμοιρίτης, διμοιραῖος.

Διμίτριος, ὁ δύο μίτρας ἔχων, ὅ ἐστι πολεμικὰς ζώνας, ὑφαινομένας διὰ μίτου. ἐφοροῦντο δὲ αὐτὰς ἐσώτερον τῆς λαγόνος, χάριν ἀσφαλείας. ἢ χαλκαῖ λεπίδες.

* Δίμυξος λύχνος, παρὰ τὸν μύξαν εἴρηται. ἢ καὶ μύκης λέγεται.

Δῖναι, αἱ τῶν ὑδάτων συστροφαί εἰσιν.

Δινδυμίνην ῥέαν, τὴν ἐν τῷ Δινδύμῳ ὄρει τιμωμένην λέγουσι.

Δίνδυμον, ὄρος Κυζίκου, ἱερὸν τῆς Ῥέας, διὰ τὸ διδύμους μαστοὺς ἐν αὐτῷ ἀνήκειν, ὥς φησι Φιλοστέφανος, οὕτω προσαγορευθῆν. σύμπασα δὲ ἡ Φρυγία ἱερὰ τῇ θεῷ. ἢ διὰ τὸ δύο ἔχειν, οὕτω καλεῖται.

Δινεῖν, τὸ στρέφειν. καὶ δινεύειν ταυτόν.

Δινεύεσκον, ἀντὶ τοῦ ἔστρεφον, περιέστιβον.

Δινεύοι, ἀναστρέφοιτο. ἐκ τοῦ δινῶ δινεύω.

Δινεύοντες, στρέφοντες.

Δίνη ἐπὶ ποταμοῦ λέγεται. ὅθεν καὶ δινήεις Ξάνθος, καὶ ἀργυροδίνης ποταμὸς, καὶ χρυσοδίνης, καὶ βαθυδίνης. καὶ τὸ ῥεῦμα, ἐπὶ ποταμοῦ λέγεται, καὶ ἐπὶ ὕδατος ῥέοντος. ῥεῖθρον δὲ καὶ ῥόθιον, ἐπὶ θαλάττης. κῦμα κυρίως, ἐπὶ θαλάττης. ἐνίοτε δὲ καὶ ἐπὶ ποταμοῦ.

Δινήεντα τὸν Ξάνθον λέγει Ὅμηρος. καὶ ἀργυροδίνην τὸν αὐτὸν, καὶ βαθυδίνην. καὶ ἐν διαλύσει, βαθείας καὶ μεγάλας δίνας ἔχοντα. περὶ οὗ ῥυθὲν τὸ αἰπὺ ῥέεθρα, ὅ ἐστιν ὑψηλά. τὸ τοιοῦτο βάθος ἐστὶ δηλωτικόν. ὥσπερ καὶ τὸ βαθύρροον, καὶ τὸ βαθυδίνην.

Δινήεντος, τοῦ συστροφὰς ῥευμάτων ἔχοντος.

* Δινέω δινῶ, τὸ δίχην δίνης ἀφίημί τι φέρεσθαι, ὃ καὶ δινόω δινῶ κατὰ τὴν τρίτην λέγεται.

Δινήσας, στρέψας, κινήσας.

Δῖνός ἐστιν, ἀγγεῖόν τι κεραμεοῦν, βάσιν οὐκ ἔχον, ἀλλὰ στρογγύλον κάτω.

Δῖνος, αἰθέριος. δίνησις, αἰθερία. καὶ δῖνος, κεραμεοῦν ἐστιν ἀγγεῖον, τουτέστι βαθὺ ποτήριον. ὃ καλεῖται δῖνος, ὅπερ ἄνω εὐρύτερον ὂν, κάτω εἰς ὀξὺ λήγει.

Δῖνος, ἡ περιδίνησις, ἡ αἰθερία συστροφή.

Δῖνος, σημαίνει εἶδος ὀρχήσεως. καὶ εἶδος ποτηρίου, καὶ συστροφὴν, καὶ τόρνον, παρὰ τὸ δινεῖσθαι. λέγεται δὲ ἀρσενικῶς.

Δῖνος, ἡ κύκλῳ στροφή. ἀπὸ τούτου καὶ τὸ κύκλῳ στρεφόμενον σῶμα, δῖνος λέγεται. καὶ τὸ κυκλικὸν μὲν σῶμα οὐ μὴν διαστρεφόμενον κύκλῳ, δῖνος λέγεται, διὰ τὸ κυκλικῶς τὰ ἄλλα στρέφεσθαι ἐν αὐτῷ.

* Δινὸν, σάκκος δινωτόν. δινὸς δὲ ποταμὸς, ὁ δίνας ἤγουν συστροφὰς ἔχων. δῖνος δὲ ὁ τόρνος.

Δινῶ, τὸ συστρέφω. Θεόκριτος, χ' ὡς δινεῖθ' ὅδε ῥόμβος, ἤγουν στρέφεται. δινῶ δινήσω, τὸ συστρέφω. δινῶ δὲ δινώσω, ἀντὶ τοῦ τορνεύσω. ὅθεν καὶ δινωτὸν, τὸ τορνευτόν.

Δινωτή. ἴσως μὲν καὶ ἡ τορνευτὴ κατά τινα μέρη. μάλιστα δὲ ἡ κύκλῳ κεκοσμημένη ἐλεφαντίνοις ὀστοῖς καὶ ἀργύρῳ. καθάπερ καὶ κολεὸν ἐλέφαντος, ἀμφιδεδινῆσθαι εἶπεν ὁ ποιητής.

Δινωτοῖσι λεχέεσσι κάλλεΐ τε στίλβων καὶ εἵματι νυμφίῳ, ἢ ἄλλως τρυφῶντι ἀνδρὶ ἐπιλεχθήσεται. δινωτοῖσι δὲ λέγει, τοῖς τορνωτοῖς. δῖνος γὰρ ὁ τόρνος. ἐξ οὗ μεταφορικῶς καὶ οὐρανοῦ δῖνος, παρὰ τῷ κωμικῷ. ὅτι δὲ διχῶς λέγεται καὶ δινῶ δινήσω, καὶ δινῶ δινώσω, δεδήλωται.

Διξὸς, διττός.

Διὸ, σύνδεσμος.

Διόβλητοι, κεραυνόβλητοι. καὶ ἐγίνοντο διόβλητοι ἅπαντες.

Διογενὲς, ἀγένεστατον.

Διογενίδαι, γένος Ἀθήνησιν ἰθαγενῶν.

* Διογενὴς τὸ δι μακρὸν, ὡς ἀπὸ τοῦ δῖος. διοτρεφὴς δὲ βραχύ, ὡς ἀπὸ τῆς Διός γενικῆς.

Διόγνητος, συγκοπὴν ἔχει ἀπὸ τοῦ διογένητος. ἢ ὁ γνωτὸς, ἢ γνωστὸς τῷ Διΐ. γίνεται οὖν διόγνωτος, καὶ τροπῇ συνήθει τοῦ ω μεγάλου εἰς η, διόγνητος.

Διοδεία, ἡ διέλευσις.

Διόδευσον, πέρασον.

Διοδεύω, τὸ διὰ τῆς ὁδοῦ ἔρχομαι.

Διόδους ὁδοὺς, ἀπὸ τοῦ διοδεύειν λέγει ὁ Ἀριστοφάνης.

Διοιγνῦντες, ἀνοίγοντες.

Δίοιδε, λεπτῶς οἶδεν. Ἀριστοφάνης, ὅστις δίοιδε πρότερον τῆς ἐμπίδος.

Διοιδούντων, ἐκφυσώντων.

Διοιδοῦσα, ἀντὶ τοῦ ὀγκουμένη.

Διοικεῖν, ἀντὶ τοῦ διαιρήσειν, ὥστε μὴ ἐν ταυτῷ πάντες οἰκεῖν, ἀλλὰ τὶς καὶ κατὰ μέρος. Δημοσθένης ἐν πέμπτῳ Φιλιππικῶν.

Διοίκησις, ἡ ἀνάλωσις τῶν χρημάτων.

Διοικίζω, τὸ διαχωρίζω. καὶ διοικίζεσθαι, χωρίζεσθαι. διοικῶ δὲ, τὸ πολεῶ.

Δι' οἶκτον οἰκτιρμῶν, δι' ἔλεον.

Διοικῶ, πολιτεύομαι, νέμω, διέπω, διαχειρίζω, ἡγεμονεύω, διεξάγω.

Διοίξας, ἀνοίξας.

Διοίσασα, διαπεράσασα.

Διοίσει, παραλλάξει, ἢ κάλλιον ἔσται, ἢ συμφέρον, ἢ διαφέρῃ.

Διοίσεται, ἀντὶ τοῦ διαφορὰν ἕξει. καὶ ἀντὶ τοῦ διάξει, βιώσεται. Σοφοκλῆς, Τροφῆς στερηθεὶς σοῦ διοίσεται μόνος.

Διοϊστεῦσαι σιδήρου παρ' Ὁμήρῳ, τῶν πελέκεων δηλαδὴ, ἐν τῷ τ τῆς Ὀδυσσείας.

Διοίσω, ἀντὶ τοῦ διακομίσω, καὶ ἐπάξω. Εὐριπίδης, Ψῆφον διοίσουσιν, ἔνθα νικῆσαί σε χρή. καὶ διοίσει, ἀντὶ τοῦ διαφορὰν ἕξει. Ἀριστοφάνης, Οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν.

Δίοιτο, ἤγουν διώκοι. οὗ τὸ ἀπαρέμφατον δίεσθαι, παρ' Ὁμήρῳ Ὀδυσσείας ρ, εὕρηται ἴδοιτο, ἀλλὰ κρεῖττόν φασι γράφειν δίοιτο. ἵνα λέγῃ, ὡς οὐκ ἐξέφυγεν αὐτὸν θηρίον ὅπερ ἂν δίοιτο, τουτέστι διώκοι. τὸ γὰρ ἴδοιτο, περιαιρεῖ κυνὸς τὴν ἰχνευτικὴν φασιν αἴσθησιν. ὁ γὰρ τοιοῦτος ῥινηλατῶν ἐνεργεῖ. Ἰστέον δὲ, ὅτι ἐκ τοῦ τοιούτου ῥινηλατεῖν, τοῦ ἀπορθοῦντος τοὺς κύνας, δοκεῖ ῥινᾶν λέγεσθαι τὸ ἐξαπατᾶν. ὅτε δηλαδὴ αἱ ῥῖνες ἀπατῶσι κύνα.

Διοίχνει παρὰ Λυκόφρονι, ἀντὶ τοῦ πορεύου, διέρχου. τροπικὴ δὲ ἡ λέξις ἐστί.

Διοκλῆς, Ἀθήνηθεν φεύγων εἰς Μέγαρα, φιλόπαις ὑπερφυῶς ὢν, ἔν τινι μάχῃ ἠρίστευσε. καὶ ὑπερασπίζων τινὸς ἐρωμένου, ἐκεῖνον μὲν ἔσωσεν, αὐτὸς δ' ἐτελεύτησεν. ὅθεν τοὺς Μεγαρεῖς θάψαι αὐτὸν, καὶ τιμᾶν ὡς ἥρωα. ἀγῶνά τε ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλημάτων ἀγωνίζεσθαι. τὸν δὲ καταφιλήσαντα αὐτῶν ἥδιστα, τοῦτον ὑπ' αὐτῶν ὡς κρείττω στεφανοῦσθαι. Ἄλλως. Ὦ Μεγαρεῖς, οἱ τὴν Νίσαν κατοικοῦντες, καὶ τὰ ναυτικὰ ἀριστεύοντες, εὐτυχέοιτε ὀλβίως τὴν ἑαυτῶν κατοικοῦντες πατρίδα. ἐπεὶ τὸν Ἀθηναῖον Διοκλῆν, περισσότερον τῶν ἄλλων τετιμήκατε, ἐραστὴν παιδὸς γεγονότα, καὶ ἐπ' αὐτὸν ἀγῶνα φιλημάτων τεθείκατε. ἐν ᾧ ὁ γλυκύτατα φιλήσας, καὶ τὰ ἑαυτοῦ χείλη τοῖς τοῦ ἀντιφιλοῦντος χείλεσι προσκολλήσας, βαρεῖ στεφάνῳ στεφανωθεὶς, χαίρων ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ μητέρα.

Δίοκλος, τόπος.

Δι' ὅλης τῆς νυκτὸς ἀνέγνωκα, καὶ ὅλην τὴν νύκτα σπουδάζω, καὶ ἀναγινώσκω.

Δι' ὀλίγου, ἀντὶ τοῦ μετ' ὀλίγον.

Διολισθεῖν, ἐκφυγεῖν. Ἀριστοφάνης, Καὶ τοὺς χρήστας διολισθεῖν. ἤγουν, τοὺς δανειστὰς ἐκφεύγειν.

Διολκὸς, ὁ ἀπὸ Λεχαίου ἕως Κεγχρειῶν τόπος.

Διολλύει, διαπολλύει, ἀφανίζει, φθείρει.

Διολυφεῖν, διατίλλειν, ἢ διασυλλαίνειν.

Διομανεῖς, ὑπὸ Διὸς μαινόμεναι. ἢ τῷ Διῒ βουλόμεναι μάχεσθαι διὰ μανίαν.

Διομήδειος ἀνάγκη, παροιμία. ὅτι Διομήδης ὁ Θρᾷξ πόρνας ἔχων θυγατέρας, τοὺς παριόντας ξένους ἐβιάζετο αὐταῖς συνεῖναι, ἕως οὗ κόρον σχῶσι, καὶ ἀναλωθῶσιν οἱ ἄνδρες. ἃς καὶ ὁ μῦθος ἵππους ἀνδροφόνους εἶπεν. Ἄλλως.

Διομήδειος ἀνάγκη, παροιμία. Κλέαρχος μέν φησι, Διομήδους θυγατέρας γενέσθαι πάνυ μοχθηράς. αἷς ἀναγκάζειν πλησιάζειν τινὰς, καὶ εὐθὺς αὐτοὺς φονεύειν. ὁ δὲ τὴν μικρὰν Ἰλιάδα γράψας, φησὶν ἐπὶ τῆς τοῦ Παλλαδίου κλοπῆς γενέσθαι.

Διομήδης. Ὅμηρος ἐν τῷ ι φησὶ, Τῷ δ' ἄρα παρκατέλεκτο γυνὴ, τὴν Λεσβόθεν ἦγε Φόρβαντος θυγάτηρ Διομήδη καλλιπάρηος. ἐφ' ᾗ καὶ αἴνιγμα σύγκειται, οὕτω πῶς ἔχον εἰς νοῦν, ὅτι τὸν Ἕκτορα Διομήδης ἔκτανεν ἀνήρ. ὅ ἐστιν, Ἀχιλλεὺς τῆς Διομήδης ἀνήρ.

Διομήδης, μετὰ τὴν τῆς Ἰλίου πόρθησιν καταπλεύσας εἰς Ἄργος τὴν ἑαυτοῦ πατρίδα, καὶ εὑρὼν τὴν ἑαυτοῦ γαμετὴν Αἰγιάλειαν συμφθειρομένην Κομήτῃ τῷ υἱῷ Σθενέλου, διὰ τὸ αὐτὸν ἐν Τροίᾳ τρῶσαι τὴν Ἀφροδίτην, καὶ μέλλων ὑπὸ τῆς αὐτῆς Αἰγιαλείας ἀναιρεθῆναι, τότε μὲν εἰς τὸν τῆς Ἀργείας Ἥρας βωμὸν καταφυγὼν, σώζεται. ὕστερον δὲ, εἰς τὸ Δαύνιον ᾤχετο ἔθνος, οὗ ἐβασίλευσε Δαῦνος. ὃς πολιορκούμενος, ἐδεήθη τοῦ Διομήδους βοηθῆσαι αὐτῷ, ὑπισχνούμενος δώσειν τῆς γῆς μέρος. ὁ δὲ βοηθήσας, καὶ νίκην παρασχὼν Δαυνίοις, ἔκτισε πόλιν Ἀργυρίππαν, ἤτοι ἵππειον Ἄργος. ὕστερον δὲ Δαῦνος αἵρεσιν αὐτῷ ἐδίδου, ἢ ὅλην τὴν λείαν λαβεῖν τοῦ πολέμου, ἢ τὴν γῆν πᾶσαν. κριτὴς δὲ αὐτῶν γέγονεν Ἄλαινος, ἀδελφὸς νόθος τοῦ Διομήδους, ἐρῶν Εὐίππης τῆς θυγατρὸς τοῦ Δαύνου. ὃς ἔκρινε τὸν Δαῦνον ἔχειν τὴν γῆν, Διομήδην δὲ τὴν λείαν λαβεῖν τοῦ πολέμου. γνοὺς δὲ ὁ Διομήδης, κατηράσατο μὴ δύνασθαι σπείρειν γῆν. τὴν δὲ σπειρομένην μὴ ἀναδιδόναι καρπὸν, εἰ μή τις αὐτὴν σπείρῃ τῶν αὐτοῦ συμπολιτῶν. ὕστερον δὲ πρὸς Δαύνου ἀναιρέθη ὁ Διομήδης. οἱ δὲ φίλοι αὐτοῦ θρηνοῦντες αὐτὸν, μετεβλήθησαν εἰς ὄρνεα, ὅμοια κύκνοις. ἃ τοὺς βαρβάρους φεύγει, φοιτᾷ δὲ παρ' Ἕλλησιν. ὥστε καὶ ἐκ τῶν χειρῶν αὐτῶν ἁρπάζειν τροφὰς, καὶ δύνειν εἰς τοὺς κόλπους αὐτῶν. οἰκεῖ δὲ ταῦτα ἐν τῇ ἀπὸ Διομήδους καλουμένῃ νήσῳ. κεῖται δὲ ἡ νῆσος περὶ τὸν Ἰόνιον κόλπον, καὶ τὸν Ἀνδρείαν. οἱ γὰρ Ἰάπυγες καὶ Ἀποῦλοι περὶ τὸν Ἰόνιον κόλπον οἰκοῦσιν. Ἀπούλων δὲ ἔθνη κατὰ τὸν Δίωνα, Πευκέτιοι, Ἀποῦλοι, καὶ Δαύνιοι, καὶ Ταραντῖνοι, καὶ Κάναι. Διομήδους δὲ πεδίον ἐστὶ, περὶ τὴν Ἀπουλίαν τῶν Δαυνίων. ἡ δὲ Μεσαπύγη, καὶ Ἰαπυγία, ὕστερον Καλεντία, εἶτα Καλαβρία ἐκλήθη. ἡ δὲ Ἀργυρίππου πόλις τοῦ Διομήδους, μετεκλήθη Ἄπουλις Ἄρπους.

Διομεῖς, δῆμος Ἀθήνησιν, ἀπὸ τοῦ Διόμου τοῦ Κολύττου παιδός.

Διόμνυται, ὀμνύει.

Διομνῦς, ὁ γυναικείας, καὶ πάνθηλυς.

Διομολογεῖ, σαφῶς ὁμολογεῖ.

Δῖον, ἔνδοξον, δῖον, ἐδιώχθην. ἢ πολὺ θεῖον. ἢ τῶν ἐκ Διὸς γενομένων ἀγαθῶν.

Δίονται, διώκονται.

Δίοντο, ἀνεπορεύοντο.

Διονύσια, ἑορτὴ Διονύσου, ἣν ἦγον Ναυπάκτιοι.

Διονῦς, ὁ θῆλυς λέγεται.

Διονυσιάδες ἐν Σπάρτῃ παρθένοι, αἱ ἐν τοῖς Διονυσίοις δρόμον ἀγωνιζόμεναι.

Διονυσοκουροπυρώνην. Κρατῖνος ἐν Σερίφιοις, αἰσχρὸν Ἀνδροκλέα Διονυσοκουροπυρώνην. εἰσὶν, οἵ φασιν ἐν τῷ αὐτῷ πέντε κωμῳδεῖσθαι, αἰσχρὸν, Ἀνδροκλέα, Διονύσιον, Κῦρον, πυρώνην, ἁμαρτάνοντες. οὐδεὶς γὰρ Ἀθηναίων ἀναγράφεται Κῦρος. δεῖ οὖν γράφειν, διονυσοκουροπυρώνην. τὸν γὰρ Διόνυσον ὄντα, κωμῳδεῖ. κουρεὺς δὲ ἦν πρὸς Πάππου, ὡς δηλοῖ ὁ τοὺς Ἀταλάντας συνθείς.

Διόνυσος ὁ μυθικὸς, εἰς οἶνον ἀλληγορεῖται. καὶ καθ' ἱστορίαν δοτὴς οἴνου, ἢ ἐφευρετὴς λέγεται. καὶ ὅτι διάφοροι Διόνυσοι, ἀλλαχόθεν ἐστὶ γνῶναι. Ἡρόδοτος δὲ λέγει, καὶ ὅτι Ὄσιρις

Digitized by Google

καθ' Ἑλλάδα γλῶσσαν ὁ Διόνυσος. θηλὸν δὲ Διόνυσον πλάττει Ὅμηρος, καὶ θηλυσολοῦντα. ὅθεν καὶ Διονυσὺς παρὰ τοῖς μεθ' Ὅμηρον, ἡ γυναικεία καὶ θηλὺς ἐσθὴς, ἢ ἄλλο τι.

Διόνυσος, ταύρῳ καὶ παρδάλει εἰκάζεται, διὰ τὸ τῶν μεθυόντων θηριῶδες.

Διονύσια, ἀρχομένου τοῦ ἦρος, ἄρχεται καὶ ἡ πανήγυρις.

Διόνυσος, οἱ μὲν Διόνυξον αὐτὸν καλοῦσι, διὰ τοῦ ξ. ὅτι κέρασι γεννώμενος, ἔνυξε τὸν Διὸς μηρόν. ἢ Διόνυσος, ὁ ἐκ τοῦ Διὸς γεννηθεὶς, καὶ ἐν Νύσῃ τραφείς.

* Διονυσιάζειν, τὸ περὶ οἶνον ἀσχολεῖσθαι.

Διόπαι, εἶδος ἐνωτίων. τινὲς δὲ, ὑποδημάτων.

Διοπετὲς, ἐξ οὐρανοῦ ἐρχόμενον.

Διοπετὴς, ἀπὸ τοῦ Διὸς πληρούμενος.

Διοπτεύειν, τὸ ἐπιμελεῖσθαι.

Διοπτεύω, κατασκοπῶ, ἀπὸ τοῦ ὄπτω. καὶ διοπτῆρα, τὸν σκοπόν. καὶ διοπτεύων, ἐποπτεύων, ἐφορῶν, ἐπισκοπῶν. καὶ διοπομπέας, τοὺς βασιλεῖς.

Διοπλήκτου, ἰσχυροπλήκτου.

Διοπομπεῖσθαι, ἀποτροπιάζεσθαι, καὶ ἀποκαθαίρεσθαι, καὶ ἀποδιοπομπεῖσθαι.

Διοπός, ὁ διέπων καὶ ἐποπτεύων, ὁ τῆς νεὼς ἐπιμελητής. καὶ διοποὶ, οἱ βασιλεῖς, παρὰ τὸ διοπεῖν, ἢ διοπτεύειν.

Διοπτεύσων, ὁ διοψόμενος, κατασκοπήσας.

Διοπτεύων. Δημοσθένης ἐν τῷ κατὰ Λακρίτου. διοπὸς λέγεται νεὼς, ὁ διέπων καὶ ἐποπτεύων τὰ κατὰ τὴν ναῦν, ὁ καθ' ἡμᾶς λεγόμενος ἐπίπλους.

Διόπτης, παντεπόπτης.

Διοπτῆρα, κατάσκοπον, οἰκονόμον. διοπτὴρ, καὶ μηχανικόν τι ὄργανον, δι' οὗ ἐστοχάζοντο ὕψος ἐπάλξεων, ἢ διόπτρα.

Διοπτῆρες, οἱ ἐπιτηρηταὶ, οἱ προφύλακες.

* Διοπτὴρ ὁ κατάσκοπος, ὁ καὶ ὀπτὴρ ἀσυνθέτως.

Δίοπτον, τὸ διαφαινόμενον, παρὰ τῷ Ἱπποκράτει.

Διόπτρα, γεωμετρικὸν ὄργανον, καὶ σημεῖον ἐν θυτικῇ.

Διοργανώσεως, κατασκευῆς.

Διορθοῦμαι, ἀνορθῶ.

Διορθοῦν κυρίως, ἐπὶ δοράτων βολῆς. ἐπανορθοῦν δὲ ἐπὶ λόγων.

Διορθῶ, ἐπὶ τῶν διεστρόφων. οἷον, διορθῶ τὸν λόγον, ὡς ἡμαρτημένον ὄντα, καὶ μὴ κατὰ τὸ προσῆκον τεθέντα. καὶ διορθῶ, τὸ ἐπ' εὐθείας ἄγω.

Διορίαν, προθεσμίαν. ἐὰν δὲ διὰ τοῦ ω μεγάλου, καιρὸν σημαίνει.

Διορίζει, διακρίνει.

Διορίσαι, ὃ καὶ ἐξορίσαι λέγουσι, τὸ φυγαδεῦσαι.

Διορισμένα ἐστὶ, τὰ ἔχοντα μέρη κεχωρισμένα. ἢ πάλιν διορισμένον ἐστὶν, ἐφ' οὗ οὐκ ἔστι λαβεῖν κοινὸν ὅρον, πρὸς ὃν συνάπτει τὰ μόρια.

Διοριστέον, διαχωριστέον.

Δίορον, διαστάτην.

Διόροφα, δίστεγα.

Διορύττω, τὸ τοῖχον διακόπτω. Ἀριστοφάνης, τοὺς τοίχους διορύττειν.

Δῖος, ὅ ἐστιν ἔνδοξος, ἐπὶ ἀνθρώπων ὑπερεχόντων λέγεται. ἐκ τοῦ δίϊος, καὶ κράσει δῖος. ὡς Χῖος ἡ νῆσος, καὶ ἀπ' αὐτῆς χίϊος, καὶ Χῖος ἀνήρ. φέρουσι δὲ κατὰ τοὺς παλαιοὺς οἱ δῖοι τὰς ὑπεροχὰς οὕτως. οἷον Ἀχιλλεὺς δῖος, χάριν ἀνδρείας. Ὀδυσσεὺς, χάριν συνέσεως. Ἀλέξανδρος, καὶ Κλυταιμνήστρα δῖοι, διὰ κάλλος. Εὔμαιος, δι' εὔνοιαν. θάλασσα, διὰ μέγεθος. Ἄλλως.

Δῖος, σημαίνει τρία. τὸν ἔνδοξον, ὡς τὸ δῖος Ἀχιλλεὺς, καὶ δῖος Ὀδυσσεύς. τὸν μέγαν, ὡς τὸ, εἰς ἅλα δῖαν, ἤγουν θαυμαστήν. τὸν ἀγαθὸν, ὡς ἐν Ὀδυσσείᾳ, τὸ δῖος συβώτης. τὸ δῖ ι. τέσσαρα γάρ εἰσι δισύλλαβα κτητικά. θεῖος καὶ κεῖος, διὰ διφθόγγου. δῖος δὲ καὶ χῖος, διὰ τοῦ ἰῶτα.

Διὸς, ἐκ τοῦ δὶς, δασείας σεσιγημένης. τὸ δὶς γὰρ, συνεμπίπτει τῷ δὶς ἐπιρρήματι.

Διὸς ἐκποτέονται, ἀντὶ τοῦ ἐξ ἀέρος. οὐ βέλη, νιφάδες, χάλαζαι, καὶ τὰ τοιαῦτα.

Διὸς ἄγγελοι, ἠδὲ καὶ ἀνδρῶν. ὧν τὸ γένος ἄγγελοι, ἴδιον καὶ ἀνδράσι.

Διὸς ἄνθος, φυτὸν ἀκανθῶδες.

Διὸς αὐγὰς, τὰς ἡμέρας, τὸ φῶς.

Διὸς βάλανοι. Ἕρμιππος Φορμόροις, Τὰς Διὸς βαλάνους, καὶ ἀμύγδαλα σιγαλόεντα, τὰ καστάνια, τινὲς δὲ ποντικὰ λέγουσιν ἡρακλεωτικά.

Διὸς φήμη, ἡ μαντεία.

Διὸς βοῦς, ὁ τῷ Διὶ ἄνετος βοῦς, ὁ ἱερός. ἔστι δὲ ἑορτὴ Μιλησίων.

Διὸς θᾶκοι, καὶ πεσσοί. τινὲς γράφουσι ψῆφοι. φασὶ δὲ ἐν τῇ τῶν Ἀθηναίων διαψηφίσει, ὅτε ἠμφισβήτει Ἀθηνᾶ καὶ Ποσειδῶν, τὴν Ἀθηνᾶν Διὸς δεηθῆναι ὑπὲρ αὐτῆς τὴν ψῆφον ἐνεγκεῖν, καὶ ὑποσχέσθαι ἀντὶ τούτου τῆς πολιέως ἱερὸν πρῶτον θύεσθαι ἐπὶ βωμοῦ.

Διὸς ἐγκέφαλος, παροιμία, ἣν Κλέαρχός φησιν εἰρῆσθαι, οἷον ἐπὶ τῶν ἄγαν θείων. ἢ Διὸς ἐγκέφαλος, τὸ κάλλιστον βρῶμα. οὕτω λέγουσι Πέρσαι ἐπὶ τῶν ἡδυπαθούντων. ἢ βασιλέως ἐγκέφαλος.

* Διὸς ὀφρῦς, τὰ περὶ τὸν ἀέρα καταιγιδώδη παθήματα.

Διὸς μάστιγι, τῷ κεραυνῷ.

Διοσδότους, ὑπὸ Διὸς δεδομένους.

Διοσημεῖον, τεράστιον, σημεῖον.

Διοσημία, τὰ ἐκ τοῦ ἀέρος σημεῖα.

Διοσημία ἐστὶν, ὁ παρὰ καιρὸν χειμών. Ἀριστοφάνης, διοσημία ἐστὶ, καὶ ῥανὶς βέβληκέ με. καὶ διοσημία, θεομηνία.

Διόσκειν, διαβλέπειν, συνεχῶς τὴν ὅρασιν μεταβάλλοντα. τίθεται δὲ καὶ ἐπὶ τοῦ διαφορεῖσθαι τῷ σώματι καὶ τῇ ψυχῇ. καὶ τὸ διαπολέσαι, καὶ τὸ διαφθεῖραι.

Διόσκουροι, ἐν τῇ Λακωνικῇ τραφέντες ἐπιφάνειαν ἔσχον, φιλαδελφίᾳ δὲ ὑπερήνεγκαν πάντας. οὔτε γὰρ περὶ ἀρχῆς, οὔτε περὶ ἄλλου τινὸς ἤρισαν. μνήμην δὲ αὐτῶν Ζεὺς θέσθαι βουλόμενος τῆς κοινότητος, διδύμους ὀνομάσας, εἰς τὸ αὐτὸ ἀμφοτέρους ἔστησεν ἐν τοῖς ἄστροις.

Διόσκουροι, οἱ Ἑλένης ἀδελφοὶ, Ζῆθος καὶ Ἀμφίων, λευκόπωλοι καλούμενοι. καὶ ἀστέρες, οἱ τοῖς ναυτιλλομένοις φαινόμενοι, καὶ σημεῖον ἐν θυτικῇ.

Διοσκώλιον, οὕτως ἔλεγον, οὗ τὸ ἱερεῖον ἐτίθετο. ἢ ἐφ' οὗ οἱ καθαιρόμενοι ἑστήκεσαν τῷ ἀριστερῷ ποδί. τινὲς δὲ, τὸ μέγα καὶ τέλειον. ὁ δὲ Πολέμων, τὸ ἐκ τοῦ Διὸς τεθυμένον ἱερεῖον.

Διότιμος, ὄνομα κύριον, ναύαρχος Ἀθηναίων.

Διοτρεφεῖς λέγει τοὺς βασιλεῖς, ὡς μαθητὰς τοῦ Διὸς, καὶ ὑπ' αὐτοῦ πεπαιδευμένους τὴν βασιλικὴν παιδείαν. τὸ τρέφειν γὰρ ἐνταῦθα, ταυτὸν δύναται τῷ παιδεύειν, οὐκ ἔξω λόγου. τροφὴ γὰρ ἡ παιδεία τῇ ψυχῇ, ὡς τὰ βρώματα τῷ παιδὶ, ἢ τῷ σώματι.

Διοτρεφίας αἰζηῶν, ταυτόν ἐστι τῷ βασιλικῶν ἀνδρῶν, οἷς δηλαδὴ πόλεις ἀνάκειντο.

Δίου πτολίεθρον αἰπὺ, τὸ Δῖον λέγει περιφραστικῶς, τὸ ἐφ' ὑψηλοῦ ὡς εἰκὸς ἱδρυμένον. κεῖται δέ φασι τὸ Δῖον τοῦτο, περὶ τὸ Κήναιον τῆς Εὐβοίας ἀκρωτήριον. ὁ πολίτης αὐτοῦ, Διεὺς ἦν, καὶ φασὶ Μακεδονικόν. φασὶ Δῖον, ἔνθα καὶ ὁ ὀλυμπιακὸς ἀγὼν ἐτελεῖτο. καὶ ἄλλαι δὲ πόλεις τὴν τούτου τοῦ Δίου κλῆσιν εἶχον, ὡς ὁ τὰ ἐθνικὰ γράψας φησίν. ἐν αἷς καὶ κατὰ κοίλην Συρίαν Ἀλεξάνδρου κτίσμα, ἧς τὸ ὕδωρ νοσηρὸν, ἐφ' ᾧ καὶ ἐπίγραμμα. Νᾶμα τὸ δινὸν γλυκερὸν ποτόν. ἣν δὲ πίῃς, παύσῃ μὲν δίψης, εὐθὺς δὲ καὶ βιότοιο. ὁ δὲ Γεωγράφος λέγει, καὶ ὅτι τὸ Δῖον ἐν τῷ ῥηθέντι Ὠρεῷ. καὶ Ἀθηναῖοι διάδες αὐτόθι, κτίσμα Ἀθηναίων.

Διόφαντος, ὄνομα κύριον.

Διοχετεύειν, τὸ δι' αὔλακος ὕδωρ κομίζειν.

Διοχλεῖ, ἐκταράττει.

Διοχλίζει, ἀνακινεῖ.

Δίοψ, οἰκονόμος.

Δίοψιν, κατασκοπὴν, ἢ δι' ὅλου ὄψιν γινομένην καὶ διαύγειαν.

Δίπαλτος, ἀμφοτέραις ταῖς χερσὶ περιδέξιος, οἷον παντὶ σθένει. Σοφοκλῆς, Πᾶς δὲ στρατὸς δίπαλτος ἄν με χειρὶ φονεύοι. καὶ δίπαλτα δοράτα.

Διπάνας, τοὺς διδύμους γεγεννημένους.

Δίπλακα μαρμαρέην, παρ' Ὁμήρῳ κατ' ἔλλειψιν λέγεται, λείπει γὰρ τὸ ἱστουργίαν, ἢ ὑφὴν, ἤτι τοιοῦτον. τινὲς δὲ, τὸ χλαῖναν λείπειν φασὶ, νοοῦντες δίπλακα τὴν μεγάλην, ἣν ἔστι διπλῆν ἀμφιέσασθαι. καὶ μὴν οὐ ταυτὸν χλαῖνα καὶ ἱστός. ἀλλὰ ἴσως γενικὸν μέν ἐστιν, ἢ ὅλον ὁ ἱστός. εἶδος δὲ ἢ μέρος, ἡ πλάξ. μᾶλλον δὲ ὁ μὲν ἱστὸς τὸ ἐργαλεῖον δηλοῖ. δίπλαξ δέ ἐστιν, ἡ ἱστουργουμένη, ὡς ἐρρέθη, ὑφή. ἵνα λέγῃ, ὅτι περὶ μέγαν ἱστὸν μεγάλην δίπλακα ὕφαινε. μαρμαρέην δὲ, λάμπουσα. ἐκ τοῦ μαρμαίρω, ἐξ οὗ ὁ μάρμαρος λίθος. οὗ κτητικὸν μαρμάρεος, θηλυκὸν μαρμαρέα. καὶ Ἰωνικῶς καὶ Ἀττικῶς μαρμαρέη. ἔστι δὲ καὶ θαλάσσης γαληνιώσης ἐπίθετον ἡ μαρμαρέη.

Δίπλακα, Ἰλιάδος γ'. σημαίνει δὲ διπλοΐδα, διπλοῦν ἱμάτιον. ὅ ἐστι, χλανίδα δίπτυχον, διπλῆν. ἡ εὐθεία, δίπλαξ.

Διπλᾶ πᾶσαι, διπλᾶ ποιῆσαι.

Διπλασιασμὸς στοιχείων, παρὰ ποιηταῖς:

Διπλασιάζουσιν οἱ ποιηταὶ τὰ σύμφωνα. ἀλλ' οὔτε πανταχοῦ, οὔτε πάντα. ἐν μὲν γὰρ τοῖς ῥήμασι τοῖς ἀπὸ δ ἢ σ, ἢ τῶν τεσσάρων ἀρχομένοις ἀμεταβόλων, κατὰ τοὺς παρεληλυθότας αὐτῶν παρατατικοὺς λέγω, καὶ ἀορίστους τοὺς ἀπὸ τοῦ ε ἀρχομένους, τὰ καταρχὰς τοῦ ἐνεστῶτος διπλασιάζουσι σύμφωνα ἐστὶν ὅτε. οἷον τὸ ἔδδεισε, καὶ ἔσσυτο, καὶ ἔλλαχε, καὶ ἔμμορε, καὶ ἔννεπε, καὶ ἔρρεε. τὸ μέντοι ρ, ἐν τοῖς τοιούτοις οὐ ποιηταὶ μόνοι, ἀλλὰ καὶ πᾶσαι διάλεκτοι διπλοῦν λέγουσι. τὸ κάββαλε δὲ, καὶ κάππεσεν, οὐ διπλασιάζεται ὥσπερ ἐν ἐκείνοις, ἐνικαμέρου, ἀλλὰ τὸ τ ἦν ἐν ἑκατέροις. ὃ πρὸς τὸ μετ' αὐτὸ σύμφωνον ἐτράπη, ἀποκοπέντος τοῦ α. οὐ γὰρ ἐνεχώρει τὸ τ τοῦ β ἢ π προηγεῖσθαι. τραχεῖα γὰρ ἐν αὐτοῖς ἦν ἡ ἐκφώνησις, καὶ Ἑλληνικῇ οὐδετέρᾳ προσήκουσα. ἐν δὲ τοῖς εἰς ω λήγουσι μέλλουσι τῶν ῥημάτων, τοῖς βραχεῖ παραληγομένοις, καὶ τοῖς ἐξ αὐτῶν ἀορίστοις, ἔνθα χρὴ τὴν παραλήγουσαν ἐκταθῆναι, τὸ σ μόνον διπλασιάζουσιν. ὡς τὸ σβέσσω ἔσβεσσα, γελάσσω ἐγέλασσα, ἐρύσσω ἔρυσσα. ἐν δὲ τοῖς ὀνόμασι μόνα τὰ τέσσαρα διπλασιάζουσιν ἀμετάβολα, καὶ τὸ σ. ὥσπερ τὸ ἄλληκτον, καὶ δυσέμμορος, καὶ ἐννοσίγαιος, καὶ ἀννέφελος, καὶ παρραλίη, καὶ ἀρραβίη, καὶ ὅσσον, καὶ μέσσον. καὶ ἐν ταῖς δοτικαῖς τῶν πληθυντικῶν, ταῖς ἀπὸ τῶν εὐθειῶν τῶν πληθυντικῶν παρεσχηματισμέναις, μόνον τὸ σ. ὡς τὸ δημοσθένεσσι, καὶ αἰάντεσσι. καὶ γὰρ ἐν τῷ ἄνδρασι ἐκτεῖναι βουληθέντες τὴν παραλήγουσαν, οὐκ ἐν τούτῳ τὸ σ ἐδιπλασίασαν, ἄνδρασσιν λέγοντες, ἀλλὰ ἀπὸ τοῦ ἄνδρες ἄνδρεσι ποιήσαντες, εἶτα προσήνεγκαν ἄνδρεσσι· σπανίως μέντοι καὶ ταῦτα, κἂν μόνοις οἶμαι τοῖς ῥηθησομένοις, τότε δ ἐν τῷ ἄδδην, καὶ τὸ κ Δωριεῖς ἐν τῷ ὄκκα, καὶ τὸ π ἐν τῷ ὀππότε, καὶ ὅππως, καὶ ὁππόσα. καὶ τὸ τ, ἐν τῷ ὅττι. διπλοῦν μέντοι δασὺ, οὐδέποτε κατὰ τὴν τῶν Ἑλλήνων διπλασιάζεται γλῶσσαν. Ἐκ δὴ τούτων πάντων καταλαμβάνεται, ὡς ἐπεὶ τό, τε Ἀχιλλεὺς καὶ τὸ Ὀδυσσεὺς, ἔστι μὲν οὗ δι' ἑνὸς συμφώνου προσφέρει ὁ ποιητὴς, ἔστι δὲ οὗ διὰ δύο, τὸ δι' ἑνὸς μᾶλλον δεῖ λέγειν πρωτότυπον. τὸ δὲ διὰ δύο, προσθέσει τοῦ ἑτέρου συμφώνου γίνεσθαι, καὶ οὐκ ἀφαιρέσει τοῦ λ λέγομεν κειμένου, καὶ ἕτερον ἐπιφέρουσι, καὶ ὡς πολλάκις δὴ ἀποδέδεικται. διὸ οὐκ ἔστιν ὅτε θάτερον ἀποβάλλουσιν, οὔτε τὸν ἀλλὰ σύνδεσμον, ἢ τὸ πολλὰ ὄνομα, ἢ τὸ μᾶλλον. οὔτε ἡ θάλασσα, ἢ γλῶσσα δι' ἑνὸς συμφώνου προάγεται.

Διπλασμὸς, ἡ διπλῆ εἰς πόνον.

* Διπλασιασμὸς συμφώνων βραχύτητα καταφορεῖ τοῦ πρὸ αὐτῶν φωνήεντος. οἷον ἄμμες Αἰολικῶς. καὶ οὐδέποτε γίνεται διπλασιασμὸς συμφώνων, ἐν καταλήξει Ἑλληνικῆς λέξεως.

Digitized by Google

Διπλῆ, ὀρχήσεως εἶδος, ἢ κρούματος.

Διπλῆν, διπλασίονα καὶ μεγάλην.

Διπλόη, ἡ πανουργία, ἡ ἀπάτη. καὶ διπλόη ἡ ἔξωθεν ἀρετὴ φαινομένη, ἔσωθεν δὲ γέμουσα κακίας.

Διπλοῦ, ἐπὶ μεγέθους. διπλάσιον, ἐπὶ ἀριθμοῦ καὶ μεγέθους.

Διπλοΐζειν, διπλασιάζειν.

Διπλοῦν κάππα, ἀντὶ τοῦ κακά. καὶ διπλῆν ἑορτήν.

Διπλοῦς ἄνδρας, τὰ δισύλλαβα ἀνδρῶν ὀνόματα. οἱ δὲ, παλιμβόλα.

Δίπνοια θαύματα, εἰς καινὰ θαύματα.

Διποδία, ὀρχήσεως εἶδος. οἱ δὲ, διποδισμός.

Διπολία, ἑορτὴ Ἀθήνησιν. οἱ δὲ, Διιπολία, ὡς προδεδήλωται, καὶ εἶδος Λακωνικῆς ὀρχήσεως.

Δίπολις ἐστὶν ἡ Λῆμνος. ἔχει γὰρ ἐν αὐτῇ Ἡφαιστίαν καὶ Μύριναν.

Δίπολοι, Αἰσχύλος, διπλαῖ, προπομπεῖς.

Διπρόσωπος, ὁ δύο πρόσωπα ἔχων. καὶ τρίπους, ὁ τρεῖς πόδας ἔχων.

Διπτύδιξον, δίπλωσον.

Δίπτυον, Κύπριοι μέτρον. οἱ δὲ, τὸ ἡμιμέδιμνον.

Δίπτυχα ποιῆσαι, λέγεται μὲν καὶ ἄλλως. Ἀρέσκει γὰρ τοῖς παλαιοῖς μάλιστα νοεῖν, ἀντὶ τοῦ τὰ κνίσση φασὶ διπλὰ θέντες, ἐν ἄνω τῶν μηρῶν, καὶ ἐν κάτω. ἐφ᾽ ὧν ὠμοθέτουν, τῶν λοιπῶν μηρῶν ἀπαρχόμενοι.

Δίπτυχα ποιήσαντες, ἤγουν δίπλωμα, τῇ πρὸς ἀλλήλους ἐπιθέσει τῶν μηρῶν. ἢ μάλιστα διπλώσαντες ἐν αὐτοῖς τὴν κνίσσαν. ἦν γὰρ συνήθη ὁλοκαυτοῦσθαι τοὺς μηρούς, λαμπρῷ καταφλεχθέντας πυρί. ὡς ἄγε μὴ τοῦτο ἀπέβαινεν, ἀπαίσιον τοῖς Ἕλλησι τὸ γινόμενον, καὶ οὐκ ἐδόκουν καλλιερεῖν, ὁπηνίκα κατὰ τὴν τραγῳδίαν οἱ μηροὶ καταρρυεῖς καλυπτῆς ἐξέκειντο πιμελῆς. καὶ οὕτω μὲν τοὺς μηρούς, ὥς τι τίμιον ὡλοκαύτουν, ἐξαιροῦντες ἀπὸ τῶν ἄλλων τοῦ ζώου μερῶν, διὰ τὸ συντελεῖν τοῖς ζώοις, εἰς βάδισίν τε καὶ γένεσιν τῇ προθέσει τοῦ σπέρματος. τῶν δὲ λοιπῶν τοῦ ζώου μερῶν, μικρά τινα ἐκτέμνοντες, οἱόν τινας ἀπαρχὰς τοῦ ὅλου ζώου, ἐπετίθουν αὐτὰ τοῖς διπτύχοις. καὶ τοῦτο ὠμοθετεῖν ἐκάλουν, τὸ τοῖς μηροῖς ὠμὰ πάντοθεν ἀκρωτηριάζοντας κρεάτων ἐπιτιθέναι τμήματα, ὡς δοκεῖν κατὰ τοὺς παλαιοὺς ὅλα οὕτω τὰ μέρη τοῦ ἱερείου καρποῦσθαι. τινὲς μέντοι τὸ ὠμοθετεῖν ἄλλως εἶπον, ὡς ἀπὸ τοῦ ὤμου. ἐν γοῦν ῥητορικῷ λεξικῷ εὕρηται οὕτως. ὠμοθέτησαν, τὸ ἀφ᾽ ἑκάστου μέλους τοῦ ἱερείου ἀπετέμοντο, καὶ ἀπήρξαντο ἀπ᾽ ὤμου, καὶ ἐνέβαλλον εἰς τὰ μηρία κατὰ τὴν θυσίαν. καὶ οὕτω μέν πως ὠμοθέτουν θύοντες. κατακαυθέντων δὲ τῶν μηρῶν, τὰ δὴ πρὸ τοῦ φαγεῖν ἐμερίζοντο ἑαυτοῖς εἰς βρῶσιν, τὰ τῷ σπλάγχνῳ παρομοιούμενα. τὸ δὲ δίπτυχα θέμα, τὸ πτύσσω. καθὰ καὶ τὸ πτὺξ πτυχός, καὶ τὸ πολύπτυχος. πρωτότυπον δὲ τοῦ πτύσσω, τὸ κατὰ φόβον συστέλλομαι.

Δίπυλον, ὑπερῷον.

Δίπυρος ἄρτος, ὁ παρὰ Ῥωμαίοις λεγόμενος παξαμᾶς.

Δίρηγες, στρουθοί.

Δίρκη, ἡ πηγή, καὶ κύριον ὄνομα.

Δίσαλα, ἀκαθαρσία.

Δισαλέος, ῥυπαρός.

Δίσδημαι, ζητῶ.

Δὶς ἡβήσαντα, τοὺς ἔτι ἀναζήσαντα.

Διασκάζεται, διαφέρεται.

Δισκέλλα, πυρίς.

Δίσκην, ἢ δίκην, ὑπερβάλλειν.

Δισκεύειν, τὸ λίθον ἀφιέναι καὶ ῥίπτειν.

Δίσκοι, λίθοι στρογγύλοι. οὓς χειριζόμενοι ἐρρίπτουν εἰς μῆκος οἱ γυμναζόμενοι. εἰ δὲ ἦν ἐκ σιδήρου, σόλος τὸ τοιοῦτον ἐλέγετο. λέγεται δὲ καὶ δίσκος ἀπὸ τοῦ δίκω τὸ βάλλω καὶ ἀφίημι, πλεονασμῷ τοῦ σ. ἐκ τούτου δὲ καὶ δίκτυον, τὸ κατὰ ὑγροῦ ἀφιέμενον. ὡς καὶ βόλος, ἀπὸ τοῦ βάλλειν.

Δίσκοι, λίθινοι μεσόθι ἔχοντες ὀπήν, ἧς διήρητο τὸ καλώδιον, ἐξ οὗ μετεωρίζοντες ἐρρίπτουν αὐτόν.

Δίσκος, ἐκ τοῦ δίκειν, ὅ ἐστιν ἀφιέναι καὶ βάλλειν. ἢ δίσκος, ὁ τοῦ Ἡλίου κύκλος.

Δίσκος ἐκ σιδήρου, ὁποῖος ὁ ἐν Ἰλιάδι σόλος, ἢ ξύλινος. Ἴσως δὲ καὶ χαλκοῦς, καίτοι καὶ λίθινος ἐν Ὀδυσσείᾳ. λίθος τετρημένος, καὶ ἔχων ἐν μέσῳ καλώδιον. οὗ ἐχόμενοι οἱ ἀγωνιζόμενοι ἔδικον, ὅ ἐστιν ἔβαλλον, ἔρριπτον. ὅθεν ὁ δίσκος γίνεται. τὸ δὲ ῥῆμα τοῦτο δισκέω. ὡς δηλοῖ τὸ, ἐδίσκευον ἀλλήλοις. ἐξ αὐτοῦ δὲ τὸ δισκεύω.

Δίσκουρα, ὅσον ἂν λάβοι δὶς δίσκῳ.

Δισκούρια, ὅσον ἄν τις βάλλοι δισκεύων.

Δὶς παῖδες οἱ γέροντες. παῖδές τε γὰρ τὴν ἀρχὴν ἦσαν ἄφρονες, καὶ νῦν ὑπὸ τοῦ τῶν ἐτῶν πλήθους παρατραπέντος αὐτοῖς τοῦ λογισμοῦ, παῖδές εἰσι, τῷ νῷ πάλιν ληροῦντες.

Διπονδεῖος, ἐκ τεσσάρων μακρῶν. οἷον Ἡρακλείδης. καὶ διπονδία, εἶδος ὀρχήσεως.

Διστά, διττά.

Διστῶς, δύο τρόπους ἔχων, διπλῶς.

Διστάζει, ἀμφιβάλλει, καὶ δύο στάσεις ἔχει κατὰ διάνοιαν, καὶ διχῶς βουλεύεται.

Δὶς, τρὶς, ἀπὸ τοῦ διάκις, τριάκις, γίνεται κατὰ συγκοπήν.

Διστάζω, ἐνδιστάζω, ἀμφιγνοῶ, ἀμφισβητῶ, ἀμφιβάλλω, ἐνδοιάζω, ταλαντεύομαι τὴν γνώμην.

Διστάσιον, τὸ πρὸς διπλῆν ἱστάμενον τὴν τιμὴν χρυσίον, ἢ ἀργύριον. ὡς ἰσοστάσιον, τὸ πρὸς τὴν ἴσην.

Δίστομος, οὕτως ἡ Ἐπίδαυρος ἐκαλεῖτο ἐπεὶ ἀμφιστόμοις λιμέσιν ἐκέχρητο συγγραφῇ.

Δὶς τοσαῦτα, κοινόν. δὶς ἡ τοσαῦτα, Ἀττικόν. Κύπριος πρὸς ἄλλον μὲν, καὶ δὶς τοσαῦτα ἔχοντες, οὐκ ἂν ἠρνούμεθα πέμπειν.

Διτάλαντον καταστήσαντες. διτάλαντον, πετρόβολον. τὰ μὲν κατέβαλλον τῶν τειχῶν, τὰ δὲ διέσειον.

Δίτοιχος, ἀναίσθητος.

Διτροχαῖος, ἐκ μακρᾶς καὶ βραχείας, καὶ μακρᾶς καὶ βραχείας. ἐξάχρονος, οἷον ἀρχέδημος.

Διττάμενον, ἀρνούμενον. Κρῆτες.

Διτταχῶς, διχῶς.

Διττολογέω, ἀμφιβόλως λέγω.

Δίυγρος, ὁ ἀσθενής.

Διύλησις, ἡ διήθησις.

Διυλίζοντες, διηθμίζοντες, διηθοῦντες.

Διυπνίζω, ἐξανιστῶ. καὶ διύπνισεν, ἐξύπνισεν.

Διυπνισθείς, ἀποστὰς τοῦ ὕπνου.

Διφαδεύει, ἐξελεῖται.

Διφαλαγγία, ἀντίστομος, ἥτις μὲν ἡγεμόνας ἔχει μέσους τεταγμένους. τοὺς δὲ οὐραγοὺς ἔξω ἔχουσα ἐξ ἑκατέρων τῶν μερῶν, ἐν παραγωγαῖς τεταγμένους. οὓς μὲν ἐν δεξιᾷ, οὓς δὲ ἐν εὐωνύμῳ. τοὺς δὲ οὐραγοὺς ἐν μέσῳ τεταγμένους. καὶ διφαλαγγίαι, αἱ δύο φαλαγγαρχίαι, ἄνδρες ὀκτακισχίλιοι, καὶ ἑκατὸν ἐνενήκοντα καὶ δύο. τοῦτο δὲ καὶ μέρος ὑπ᾽ ἐνίων καλεῖται. ἀλλὰ καὶ κέρας, καὶ ὁ ἡγούμενος κεράρχης.

Δίφακος, εἶδος βοτάνης.

Διφᾶν, ζητεῖν, ψηλαφᾶν, ἐρευνᾶν.

Δίφατον, τὸν ὄφιν Κρῆτες. καὶ δίφατον, διφάσιον, διττῶς λεγόμενον.

Διφθέρα, ποιμενικὸν περιβόλαιον. Ἀττικοὶ δὲ λέγουσιν, ἣν νῦν ἰσάλην καλοῦμεν. ἔστι δὲ ἐκ δέρματος.

Διφθεράλοιφος, γραμματοδιδάσκαλος, παρὰ Κυπρίοις.

* Δίφθογγοι, οὐκ ἄλλως βραχύνονται, ἢ περιαιρέσει τοῦ ὑποτακτικοῦ φωνήεντος.

Διφρεία, ἡ τοῦ ἅρματος περιφέρεια. καὶ διφρηλατῶν, ἁρματηλατῶν.

Δίφορος, Ἔφορος, Κυμαῖος. ὅτι δὶς ἐτέλεσε τῷ διδασκάλῳ Ἰσοκράτει, τοὺς τῆς παιδεύσεως μισθούς.

Διφόρου συκῆς, ἡ παρὰ τὴν δίκην τοῦ διφόρου. ἢ ὅτι καὶ δίφοροι εἰσι.

Διφοῦρα, γέφυρα. Λάκωνες.

Διφράγες, τινῶν στρατιωτῶν τῶν παρὰ Πάρθοις ταγαί.

Δίφρακτος, κράββατος.

Δίφραξ, κλιντήρ, θρόνος γυναικεῖος.

Διφρεῦσαι, διακαθίσαι.

Διφρείας, ἁρματηλασίας.

Διφρεὺς, ὁ ἑδραῖος καὶ καθήμενος ἀεὶ, οἷον ἀργός.

Διφρίσκος, τὸ σκεῦος ἐν ᾧ ἐφεστῶτες οἱ ἡνίοχοι ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἶπε, διὰ τὸ κούφους εἶναι καὶ μικροὺς τοὺς ἀγωνιστικούς.

Δίφρον ἀεικέλιον λέγει Ὅμηρος, πρὸς διαστολὴν ἑτέρου περικαλλέος.

Δίφρον, σέλλιον ἅρμα, ἢ καθιστήριον. καὶ διφρηφόρος, ἡ τὸ σέλλιον βαστάζουσα. Ἀριστοφάνης, δίφρων διφροφόρος. ταῖς γὰρ κανηφόροις σκιάδιον καὶ δίφρον ἠκολούθει τὶς ἔχουσα. καὶ διφροφορουμένους, φορείοις φερομένους.

Δίφρος, τόπος τοῦ ἅρματος. λέγεται δὲ δίφρος, ὡς οἱονεὶ δίφορος, καὶ τροπῇ καὶ συγκοπῇ δίφρος. ἀπ᾽ αὐτοῦ δὲ ὡς καιριωτέρου μέρους, καὶ τὸ ὅλον ἅρμα δίφρος ἐλέγετο. Ὅμηρος δὲ τῷ Εὐμαίῳ δίφρον ἀεικέλιον, ἤγουν θρόνον παρατίθησι καθεσθῆναι. καὶ ἡ Ἑλένη δὲ τῇ Ἀφροδίτῃ, δίφρον παρατίθησιν. ὥστε οὐκ ἄδηλον, ὅτι ἡ λέξις πολυσήμαντος.

Δίφρος, τὰ δίφρα. ὁ τράχηλος, τὰ τράχηλα. ὁ λύχνος, τὰ λύχνα. ὁ χαλινὸς, τὰ χαλινά. ταῦτα τὰ ὀνόματα, καὶ ἄλλα πλείω, ἑνικῶς εἰσιν ἀρσενικά. πληθυντικῶς δὲ οὐδέτερα. καλεῖται δὲ δίφρος, τὸ σκεῦος, ἐν ᾧ οἱ ἡνίοχοι ἐφεστῶτες ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ, διφρίσκους λέγουσι.

Διφρόφορος, τὸ σέλλιον, ἢ ἡ τὸ καθιστήριον βαστάζουσα. Ἀριστοφάνης.

Διφροφορουμένους, τοὺς φορείοις φερομένους.

Διφυᾶ, τὸν δύο φύσεις ἔχοντα.

Διφυὴς Κέκροψ, ζήτει εἰς τὸ Κέκροψ. λέγεται δὲ, ὅτι ἐν Ἀθήναις ὑπ᾽ αὐτοῦ πρώτου ἀχθῆναι γάμους, καὶ ὑμεναίους. ὅθεν καὶ διφυῆ τὸν Κέκροπα λέγεσθαι ὁ Χάραξ φησὶ, διότι τὸ νομίμως ἐκ δύο φύεσθαι δι᾽ αὐτὸν ἐπήγαγον οἱ ἄνθρωποι, τῇ τοῦ γάμου αἱρέσει. οὐ παρώνυμον, ὥσπερ ὁ γαμήλιος λόγος, οὕτω καὶ μὴν Ἀττικὸς ὁ γαμηλιὼν, γάμοις ἀφωρισμένος. οἷς γαμηλίᾳ Ἥρα ἐπεστάτει. καὶ πέμμα δέ τι ἦν, καλούμενον καὶ αὐτὸ γαμήλιον. ὡς δῆλον ἐκ τοῦ πέττεται γαμήλιος. καὶ αὐλοὺς δὲ, ἐν γάμῳ Ἀθηναίων πόλις. καὶ δίκην δὲ φονικὴν λόγος ἐν Ἀθήναις πρῶτον συστῆναι, ἐπὶ Ἀλλιρροθίῳ τῷ τοῦ Ποσειδῶνος. καὶ οἱ δικασταὶ δὲ Ἀθήνησι μισθὸν λαμβάνουσιν εἰς τριώβολον ἐκεῖνο.

Δίφυον νυκτὸς, τὰ δύο μέρη, τὸ δίμοιρον.

Διφῶ, σημαίνει τὸ ψηλαφῶ. Ὅμηρος Ἰλιάδος π, στήθεα διφῶν, ζητῶν, ἐρευνῶν. καὶ διφῶ, τὸ τῇ ἁφῇ ὑποβάλλω.

Διφώνους, διγλώσσους.

Δίχα, ἀντὶ τοῦ χωρὶς, καὶ ἀντὶ τοῦ εἰς δύο μοίρας. τὸ δὲ δίχα, ἀντὶ τοῦ χωρὶς, καὶ ἄνευ, τῆς ὑστέρας χρήσεώς ἐστι. παρὰ γὰρ τοῖς ἀρχαίοις τὸ δίχα, ἀντὶ τοῦ διχῇ ἐλαμβάνετο. ἐξ οὗ καὶ τὸ παρὰ τοῖς ὕστερον δίχα μετῆκται. ὅτι δὲ τὰ τοιαῦτα κατὰ μεταπλασμόν τινα ἔτρεψαν τὸ η εἰς α, προείρηται. καὶ δίχα λαλῆσαι, ἀκατάλληλα λαλῆσαι.

Δίχαλον ζυγὸν, τὸν ἑκατέρωθεν κεκοιλασμένον. χηλαὶ γὰρ καὶ τὰ κύματα, ἔνθεν καὶ ἡ κιβωτὸς παρὰ τῷ ποιητῇ.

Δίχανον, κεχωρισμένον.

Δίχα νυκτὸς, τὸ μεσονύκτιον, ἐκ τοῦ διχῆ, ὁπηνίκα συστολὴ κατὰ τὴν λήγουσαν, μετατίθησι καὶ τὸν τόνον. καὶ βαρυτόνως λέγεται δίχα. ἐξ οὗ καὶ τὸ διάνδιχα. οὕτω καὶ τὸ τριχῆ, τρίχα λέγεται. καὶ ὁμοίως τέτραχα, πένταχα.

Διχῆ, διχῶς, διττῶς.

Διχηλὰ ζῶα, βοῦς, ἔλαφος, δόρκων. οἷς συμβέβηκεν, ἐν τοῖς ὀπισθίοις ποσὶν ἀστραγάλους ἔχειν.

Διχηλοῦν, τὸ δύο ὁπλὰς ἔχον.

Διχθά, τριχθά, Δωριέων ἡ τοῦ θ ἐν τούτοις ἐπένθεσις. ὡς καὶ ἐν τῷ πονῶ πονήσω, πεπόνηκα πέπονα, καὶ πλεονασμῷ πέπονθα, πρός τινα ὁμοιότητα τοῦ πέποιθα. οὕτω δὲ καὶ ἐν τῷ μα-

λακὸς μαλθακὸς, καὶ χαμαλὴ χθαμαλή.
Διχθαδίας, δισσὰς, διπλᾶς.
Διχόθεν, ἀπὸ τῶν δύο μερῶν.
Διχόθυμος, διάβολος.
Δίχολοι, διάφοροι, Ἀχαιὸς καπετέρα δίχολες γυναῖκας. παρὰ τὸ δίχα. ἢ δίτροποι κατὰ μετάληψιν. χόλος γὰρ ἡ ὀργὴ, καὶ τρόπος. Βακχυλίδης, ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι μυρίαι.
Διχομηνία, τῶν μηνῶν τὸ ἥμισυ. καὶ διχομηνιαῖα, πεντεκαιδεκαταῖα τοῦ μηνὸς, ἢ τῆς σελήνης.
Διχόμηνις, ἡ σελήνη. ἐπειδὴ ἐν τῷ Πανσελήνῳ ὁ Ὀλυμπιακὸς ἀγὼν ἄγεται, καὶ τῇ ἐκκαιδεκάτῃ γίνεται ἡ κρίσις. καὶ αὕτη εἰς δύο καταμερίζεται, εἰς τε τὴν αὔξησιν καὶ λῆξιν τοῦ φωτός. Πίνδαρος.
Διχόνδις, καλόν.
Διχονοία, ἑτερογνωμοσύνη, διχοστασία.
Διχονοεῖν, διστάζειν.
Διχοριάζειν, ἐν δύο χοροῖς ᾄδειν.
Διχοστατεῖ, μάχεται, πολεμεῖ.
Διχοτομία, ἀναίρεσις.
Διχοτομήματα, τμήματα.
* Δίχυν, ποτήριον τὸ δύο χοᾶς χωροῦν.
Δίψα, θηλυκὸν γένος ἐστί. τὸ γὰρ δίψος, τῶν ὑστέρων ἐστίν. Ὅμηρος δὲ δίψαν οἶδε. γίνεται δὲ παρὰ τὸ ἴπτω, τὸ βλάπτω, ὁ μέλλων ἴψω, ἶψα καὶ δίψα, ἡ βλάπτουσα τὸ σῶμα. ἐστὶ δὲ ἐνδείας πάθος.
Διψάκαιρον, παλαίτερον.
Διψάρα, δέλτος. οἱ δὲ, διφθέρα.
Διψὰς, ἔχις, ὕδρα. καὶ σημεῖον ἐν δυτικῇ, ἐπὶ τοῦ ἥπατος. ἡ διψὰς, ὄφις ἐστὶ, δηχθέντι δὲ ὑπ᾽ αὐτῆς δίψος ἄῤῥητον ἐγγίνεται, ὡς πίνοντας διαῤῥήγνυσθαι. ὅθεν καὶ ὄφις οὕτως ἐκλήθη διψάς.
Διψῆν, οὐ διψᾶν, ἐν τῷ ἀπαρεμφάτῳ Ἀττικῶς.
Διψία, κόνις ξηρά.
Δίψιον, βλαπτικόν.
Δίψιον, ἢ πολυδίψιον Ἄργος, Ἡσίοδος μὲν τὸ ἄνυδρον. Ἀρίσταρχος δὲ, τὸ πολυπόθητον. διψᾶν γὰρ, τὸ ἐπιποθεῖν, ἢ ὑπὸ Διὸς βεβλαμμένον. ἶψαι γὰρ, τὸ βλάψαι.
Διψυχία, ἀπορία.
Διψῶ ἀμεταβάτως ἐπὶ δίψης, ἀντὶ τοῦ πιεῖν ἐφίεμαι, ἤγουν ἐπιθυμίαν ἔχω πιεῖν, καὶ ἀπὸ τούτου μεταφορικῶς καὶ ἐπ᾽ ἄλλων. καὶ συντάσσεται αἰτιατικῇ καὶ γενικῇ. αἰτιατικῇ μὲν, ὡς τὸ, ἐδίψησέ σε ἡ ψυχή μου, καὶ διψῶ τοὺς λόγους. γενικῇ δὲ, ὡς τὸ, οἶδ᾽ ὅτι οὐκ ἦ θανάτου διψᾶς.
Δίῳ, τῷ ἐντίμῳ, τῷ ἀγαθῷ, τῷ εὐγενεστάτῳ.
Διωβελία, ὀβελοὶ δύο. οὓς ὁ δῆμος καθήμενος ἐμισθοφόρει.
Διώβολον, καὶ τριώβολον, καὶ ἡμιωβόλιον, ὅμοιως.
Δίωγμα, θυσία τις Ἀθήνησιν, ἐν ἀποῤῥήτῳ τελουμένη ὑπὸ τῶν γυναικῶν, ἐν τοῖς Θεσμοφόροις. τὸ αὐτὸ καὶ ἀποδίωγμα ὕστερον ἐκλήθη.
Διωγκωμένον, πεφυσημένον.
Διώδη, ἐφλέγμαινε.
Διωδηκότα, ἐξωγκωμένον. ὡς τὸ, Ὅσοι γὰρ ἐκ τῆς αὐτῆς σπορᾶς γεγόνασι, κάτω τὸν πόδα τὸν δεξιὸν ἔχουσι διωδηκότα, καὶ βάδισιν ἀσθενῆ, καὶ νωθῆ. καὶ διωδηκὼς ὁμοίως.
Διωθεῖται, παθητικῶς Ἀττικῶς προφέρεται. καὶ δηλοῖ τὸ ἀφικρέεται, καὶ παραγκωνίζεται. καὶ παραπλήσιον τὸ παρωθεῖται, ἤτοι παρορᾷ, καὶ περιφρονεῖ, καὶ ὑπερβαίνει.
Διωθεῖτε, ἀποστρέφετε. καὶ διωθούμενοι, ἀναστρεφόμενοι, ἐκβαλλόμενοι.
Διωκάθειν, διώκειν.
Δίωκε ἀρετὴν, ζήλου, ἐπιτήδευε.
Διώκει ὁ δεῖνα τὸν δεῖνα, Ἀττικῶς. κοινῶς, κατηγορεῖ ὁ δεῖνα τοῦ δεῖνος. καὶ διώκειν, ἐνίοτε τὸ ἁπλῶς κατὰ τοῦτο ἐλαύνειν, ἢ εἰς ἀγορὰν ἄγειν. καὶ ἀντὶ τοῦ ἄγειν εἰς κρίσιν, καὶ κατηγορεῖν. καὶ ἐπὶ τοῦ ἐπιθυμεῖν καὶ ὀρέγεσθαι. διώκειν γὰρ φαμὲν τὴν ἀρετὴν, καὶ ἐπὶ τοῦ διελθεῖν.

Διώκετο οἷο δόμοιο, ἀντὶ τοῦ ἐδίωκεν ἐκ τοῦ ἰδίου οἴκου. ἐνεργητικὴν σημασίαν ἔχει νῦν τὸ ἐδιώκετο.
Διώκετον. τρία ῥήματα εἰσὶ παρὰ τῷ ποιητῇ, τὰ παρῳχημένα δυϊκὸν τρίτον εἰς ον λῆγον ἔχοντα παραλόγως, τοῦτο, καὶ τὸ ἀνδράσιν ἡρώεσσι τετεύχατον, καὶ τὸ ἐγκατα καὶ μέλαν αἷμα λαφύσσετον. οὐκ ἔστι μέν τοι Ἀττικῆς δυϊκῆς σημασίας. ἀναθεώρησιν γὰρ ἔχει πληθυντικήν. τὸ γὰρ διώκετον, ἀντὶ τοῦ ἐδίωκον κεῖται. καὶ τὸ ἀνδράσιν ἡρώεσσι τετύχατον, ἀντὶ τοῦ ἐτύχον. καὶ τὸ λαφύσσετον, ἀντὶ τοῦ ἐλάφυσσον.
Διωκίσαντο, διεχώρισαν ἀπ᾽ ἀλλήλων.
Διωκισμένοι, κεχωρισμένοι.
Διωκόμενον, κατηγορούμενον.
Διωκτέον τὸ καλὸν, ἀντὶ τοῦ ἄξιον διώκεσθαι. καὶ διωκτέος, ὁ ἐχθρός.
Διώκω, τὸ κατηγορῶ. φεύγω, τὸ κατηγοροῦμαι. καὶ διώκω τὸ ποθῶ, φεύγω τὸ μισῶ. ὡς ὁ Θεολόγος, Φεύγεις διώκοντας ἡμᾶς. καὶ διώκω τὸ ἀποσοβῶ, καὶ ἀπελαύνω. ὡς τὸ, διώκωσι τοὺς πολεμίους. καὶ φεύγω, τὸ εἰς ἐξορίαν ἀπέρχομαι. Ἄλλως.
Διώκω τινὰ, ἀντὶ τοῦ ἀποσοβῶ. καὶ διώκω τὸ καταλαβεῖν ἐπείγομαι, καὶ κατορθῶσαι. ὡς τὸ, ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν. καὶ συντάσσονται αἰτιατικῇ, διώκω σε κλοπῆς, καὶ διώκω σε φόνου, ἤγουν κατηγορῶ.
Διωλύγια φράγματα, τὰ μεγάλα καὶ χαλεπὰ, ὡς Πλάτων, καὶ Ἰσαῖος. ἢ τὰ ἐπὶ πολὺ διήκοντα. ἅπερ ἀπώλεσεν ἂν, τοὺς περιπεσόντας αὐτοῖς.
Διωλυγίης, ἀντὶ τοῦ σκοτεινῆς, ἢ ἀντὶ τοῦ ἐπὶ πολὺ διηκούσης παρὰ τῷ Ἀπολλωνίῳ.
Διωλισθηκόσι, πεσοῦσι.
Δίωμαι, προσταθεῖσα τοῦ διώκω ἐστί.
Διώμνυνται, ὀμνύει.
Διωμοσία, ὅρκος ἐστὶν, ὃν ὤμνυον οἱ φόνου ἀγῶνα διώκοντες, ἢ φεύγοντες. ἀμφότεροι γὰρ ὤμνυον, ἢ μὴν ἀληθῆ λέγειν.
Διώνη, πατρωνυμικὸν, Διὸς, Διώνη. οὕτως Ἡσιώνη, ἡ τῆς Ἀφροδίτης μήτηρ. ὡς γὰρ Ἀκρίσιος Ἀκρισιώνη, οὕτω Διὸς Διώνη. ἡ δὲ Ἡσιώνης ἡ Ἀφροδίτη, οὐκ οἶδεν Ὅμηρος τὴν καθ᾽ Ἡσίοδον, ἀλλὰ τὴν ἐκ μηδέων γέννησιν αὐτῆς, καθ᾽ ἣν ἐκεῖνος φιλομμηδῆ οἶδεν αὐτήν.
Διώνην, οὐ τὴν Ἀφροδίτης μητέρα λέγει ὁ Ἡσίοδος ἐν ἀρχῇ τῆς Θεογονίας, ἀλλὰ μίαν τῶν Ὠκεανίδων.
Δίωνται παρ᾽ Ὁμήρῳ, ἤγουν διώκουσι. τὸ ῥῆμα, δίω. ἐξ οὗ τὸ δίωνται. οὕτω μὲν λεγόμενον, σκοραχίζεται τοῖς λογογράφοις. συντεθὲν δὲ μετὰ τοῦ ὦκα, ὠκχηρεῖται. ἀπ᾽ αὐτοῦ γὰρ τὸ διώκειν. καὶ δίνται, διωχθεῖν, καὶ τεταθεῖν, παρὰ τῷ Ἀπολλωνίῳ.
Διώνυμος, περιβόητος, ὀνομαστός.
Διώξομαι, κατηγορήσωσε δειλίας ἀγῶνα. ἐνστήσομαι κατὰ σοῦ. Ἀριστοφάνης, διώξομαί σε δειλίας.
Διωρίσαμεν, διεστήσαμεν.
Διωρίαν, διαζυγίαν, ἀναχωρὴν, διαχωρισμὸν, ἐχάπως ἀδόκιμον. ἀντ᾽ αὐτοῦ δὲ προθεσμίαν ἐρεῖς.
Διώρισαν, ἀντὶ τοῦ ὁρισμῷ ἐβεβαίωσαν. καὶ διώρισαν, ἀντὶ τοῦ μετέστησαν. Εὐριπίδης, Καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν. καὶ διώρισαν, ἀντὶ τοῦ ἁπλῶς ἀνήγγειλαν. Σοφοκλῆς, Τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν.
Δίωρον, ἀσύμφωνον. οἱ δὲ ἀνόμοιον, διάφωνον.
Διώροφον οἴκημα, τὸ δύο ἔχον στέγας.
Διώρυγος, διώρυγι, διώρυγα. οἱ γὰρ ἀρχαῖοι ταῦτα διὰ τοῦ χ λέγουσι, διώρυχος, διώρυχι, διώρυχα.
Διώρυξ, τάφρος.
Διωσάμενοι, ἀπωθησάμενοι, ἐκβαλόντες.
Δίωσε, κατέβαλε.
Διωσόμεθα, ἀπωσόμεθα, καὶ ἀποπεμψόμεθα.
Διωσῆρσιν, ἀναφορεῦσι, τοῖς ἀναβαστάζουσι.
Διώκτας, ἐργοδιώκτας.

Διωρίζειν, διωρύσσειν.
Διώχης, δίφρος ἅρματος, ὁ δύο οἷός τε ἔχειν.
Διωχθεὶς, τὸ θέμα διώκω. λέγεται δὲ κυρίως ἐπὶ δρόμου, ὅταν ὁ μὲν τρέχει καταλαβεῖν τινα, ὁ δὲ τρέχει ἐκφυγεῖν ταῦτα δέον. καὶ ἀπὸ τούτου κατὰ μεταφορὰν, ἐπὶ τοῦ κατηγοροῦντος καὶ κατηγορουμένου. λέγεται γὰρ τοίνυν ὁ μὲν διώκων, ἤγουν κατηγορῶν. ὁ δὲ, φεύγων, ἤγουν ὁ κατηγορούμενος. ἀφ᾽ ἧς δὴ σημασίας καὶ διώκειν, καὶ τὸ φεύγειν, ἀπὸ αἰτιατικῆς πρὸς γενικὴν ἔχει σύνταξιν, προσυπακουομένου τοῦ ἕνεκα. οἷον διώκω σε τοῦδε, ἀντὶ τοῦ ἕνεκα τοῦδε. καὶ φεύγει φόνον, ἀντὶ τοῦ ἕνεκα φόνου. κατὰ τοῦτο λέγεται τὸ σημαινόμενον καὶ τὸ, ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν, ἤγουν καταλαβεῖν σπεῦσον.

ΤΟ Δ. ΜΕΤΑ ΤΟΥ Μ.

Δμασία, δαμασία.
Δμεία, Ὠκεανοῦ θυγάτηρ καὶ Δήμητρος.
Δμηθέντες, ὑπείξαντες.
Δμηθέντι, δαμασθέντι.
Δμηθῆναι, κρατηθῆναι, καὶ πολισθῆναι, ὑποταγῆναι.
Δμηθήτω, αἴδησαι ἀμείλιχος, ἠδ᾽ ἀδάμαστος. τούτεστιν, εἰξάτω, πραϋνθήτω, ἐπεικεσάτω μοι Ἀχιλλεύς. ᾅδου γὰρ, τὸ ἀμείλικτον.
Δμηθήτω, δαμασθήτω. τούτεστι, πρᾶος καὶ ἐπιεικὴς γενέσθω. καὶ δμήτειρα, δαμάστειρα, καὶ δμήτωρ.
Δμῆσις, ἡ δάμασις.
Δμήτειρα, δαμαστικὴ γῆ, γεννήτειρα.
Δμητὸν, βοηθὸν, ἀναγκαῖον, οἰκοδομητόν.
Δμῆτρα, δαμάστρα.
Δμήτωρ, ὄνομα κύριον παρ᾽ Ὁμήρῳ, Κύπρου βασιλεύς. ἀλλὰ πρὸ τούτου Κινύρας, ὥσπερ κεῖται ἐν Ἰλιάδι, ἐβασίλευσε. τούτου δὲ μετέπειτα ὄντος, Δμήτωρ δοκεῖ βασιλεῦσαι.
Δμῶ, παρὰ τὸ δαμάζω, κατὰ συγκοπὴν δμῶ, τὸ ἀναιρῶ καὶ ὑποτάσσω. ἀδάμαστος γὰρ, ὁ ὑποταγῆναι μὴ δυνάμενος.
Δμῶες, οἱ οἰκέται, παρὰ τὸ δμήσω μέλλοντα. ἀποβολῇ τοῦ ω δμὴς, καὶ τροπῇ τοῦ η εἰς ω δμώς. ὡς ῥήξω ῥηγμὸς, καὶ ῥωγμός. ἢ ὁ δεδμημένος, καὶ ὑποτεταγμένος τινὶ, ὁ θεράπων.
Δμῶες ἀναγκαῖοι, οἱ κατὰ ἀνάγκην δουλεύοντες, καὶ οὐ κατὰ προαίρεσιν.
Δμωΐσι, δούλαις.
Δμωὶν, γυνὴ, μεγάλη.
Δμὼς, ὁ δοῦλος, καὶ δμωός.
Δμώων, καὶ ἀμφιπόλων διαφορά. δμῶες οἱ ἄρρενες δοῦλοι. θατέρου δὲ γένους, αἱ ἀμφίπολοι.

ΤΟ Δ. ΜΕΤΑ ΤΟΥ Ν.

Δνοπαλίξεις ῥάκεα, ἀντὶ τοῦ ταῖς χερσὶν ἕξεις, ταῖς παλάμαις δονήσεις. ἢ δινήσεις, οἷα συῤῥάπτων. ἢ καὶ ἄλλως, μεταχειριζόμενος καὶ καλύπτων ταῦτα ἢ ἐκεῖνα τὰ μέρη τοῦ σώματος, τὰ γυμνὰ δηλαδὴ, διὰ τὸ διεῤῥωγότα εἶναι τὰ ῥάκεα. καὶ ἔστι δνοπαλίζειν, ὡς εἰπεῖν, τὸ δονοπάλην, ἢ δονοπαλαμίζειν. ἅπαξ δὲ ἡ λέξις ἐν Ὀδυσσείᾳ εἴρηται. ὅπου δὲ ἐν Ἰλιάδι. ἐν ῥητορικῷ λεξικῷ γράφεται δνοπαλίζειν, τὸ κεντεῖν, ταράσσειν, ἐκτιναάσσειν, σείειν. ἔστι δὲ ὅτε καὶ τὸ κτείνειν, καὶ πολεμεῖν.
Δνόσων, ὁ κακοπαθῶν.
Δνοφερὴ, σκοτεινή.
Δνοφερὸν ὕδωρ, ἤτοι μέλαν. ἐξ ὁμοιότητος γνόφου, ἐξ ἀτμῶν τοῦ γ εἰς δ συνήθως. ἢ ὡς ἐν σχήματι συνθέτῳ, τὸ μετὰ δονήσεως φερόμενον καὶ ψόφου τινὸς, ἢ ἤχου, ὡς ἀρέσκει τοῖς παλαιοῖς, ὁποῖα τὰ κελαρίζοντα.
Δνόφος, χιτῶνος εἶδος, βάθος.

Digitized by Google

ΤΟ' Δ'. ΜΕΤΑ' ΤΟΥ' Ο'.

Δοάξω, ἀμφιδοξῶ.

Δοάσσαι, ἔχει τὸ θέμα δοάζω. σημαίνει δὲ τὸ νομίσαι.

Δοάσσατο, ἐνεδοίασε κυρίως. ἢ κατὰ τοὺς παλαιοὺς, οὐ μόνον τὸ ἔδοξεν, ἐνόμισεν. ὡς ἀπὸ τοῦ δοκῶ δοξάζω, κατ' ἔλλειψιν τοῦ κ, ἀλλὰ καὶ ἀντὶ τοῦ ᾑρέθη, προυκρίθη. ἔστι δὲ φάσι δοάσσασθαι, τὸ δύο τινῶν προκειμένων, ἐκλέξασθαι θάτερον. ὡς ἐκ τοῦ δοιῶ δοιάσω, καὶ δοάσατο. ἢ ἀπὸ τοῦ δοιάζω, ὁ μέλλων δοιάσω. ὁ μέσος πρῶτος ἀόριστος, ἐδοιασάμην, ἐδοιάσω, ἐδοιάσατο. καὶ πλεονασμῷ τοῦ σ Αἰολικῶς, ἐδοιάσσατο. καὶ ἀφαιρέσει τοῦ ε Ἰωνικῶς καὶ ἐκβολῇ τοῦ ι, δοάσσατο. ἢ ἐκ τοῦ δοάζω.

* Δόατο, ἤγουν ἐδόκει.

Δόγμα, ζήτημα, πρόσταγμα. ἢ δόγμα ἐστιν, ἀσεβὲς ἀληθείας κράτος. ἢ τὸ πόῤῥω ὁρᾶσθαι, καὶ ὄντως οὕτως ἔχον. ἢ ζητήσεως ἀψευδὴς διάγνωσις. εἴρηται δὲ, οὐ παρὰ τὸ δοκῶ δόκημα, καὶ κατὰ συγκοπὴν δόγμα, ἀλλὰ παρὰ τὸ δόκω βαρύτονον. ὁ μέλλων δόξω, δέδογμαι, δόγμα.

Δογματίζει, θεολογεῖ, φυσιοῦται. δογματίζειν ἐστὶ, τὸ δόξαν τιθέναι. ὡς τὸ νομοθετεῖν, τὸ νόμους τιθέναι. δόγματα καὶ ἑκατέρως καλεῖται τό, τε δοξαζόμενον, καὶ ἡ δόξα αὐτή. τούτων δὲ τὸ μὲν δοξαζόμενον πρότασίς ἐστιν. ἡ δὲ δόξα, ὑπόληψις.

Δοθιὼ, σκορόδῳ ἠμφιεσμένῳ ἔοικε.

Δοθίων, φῦμα, φλυκταίνῃ ἐοικὸς, ἔχουσα δοθίωνα ὑποφυόμενον ἄρτι.

Δοιὰ, ἐπίῤῥημα, ἀντὶ τοῦ διχῶς. ἢ δοιὰ, δύο.

Δοιάζοντο, στοχάζοντο.

Δοιαὶ δίκαι, βουλαὶ δύο.

Δοιάντιον, πεδίον Θερμώδοντος. ἀπὸ Δοίαντος οὕτω κληθέν.

Δοιάσαι, διστάσαι, βουλεύσασθαι.

Δοῖδος, παίδων.

Δοιδυκοποιὸς, ὁ τὰ κοχλιάρια ποιῶν.

Δοῖδυξ αὔξει, παροιμία ἐπὶ τῶν λίαν μικρῶν. ἢ ἐπὶ τῶν αὐξανομένων φησὶν ὁ Χρύσιππος. ἀλλὰ καὶ ἐπὶ τῶν μικρὸν μενόντων εἴρηται ἡ παροιμία. ὁ γὰρ δοῖδιξ μικρός ἐστι καὶ στρογγύλος. ἢ δοῖδυξ, ὁ ἀλετρίβανος. ἢ τὸ τριβήδιον τοῦ ὁλμίου, ἢ τὸ κοχλιάριον.

Δοῖεν, παράσχοιεν. ἐκ τοῦ δοίημεν, πρώτου προσώπου τῶν πληθυντικῶν. οὗ συγκοπέντος, καὶ ἀποβληθέντος τοῦ μ, τὸ δοῖεν γίνεται.

Δοίη, Ἀττικόν. ἀπὸ γὰρ τοῦ δοῖμι δοίην οἱ Αἰολεῖς λέγουσι, δοίης δοίη. τὸ δὲ δώη, ὑποτακτικόν. τὸ γὰρ ἐὰν δῶ, οἱ ποιηταὶ δώω φασίν. ὥσπερ δὴ καὶ τὸ γνῶ. ἐξ οὗ καὶ τὸ δώῃς καὶ δώῃ. καὶ μήτις οἰέσθω καὶ αὐτὸ Ἀττικὸν εἶναι. οὔτε γὰρ προσγεγραμμένον ἔχει ἐπὶ τοῦ δῶ τὸ ι, οὔτε μὴν πρῶτον πρόσωπον ἔχει δώην, ὅτι μὴ τὸ δώω, ὅπερ Ἀττικὸν οὐκ ἂν εἴη. ἀλλ' οὐδ' ἐπὶ τῶν πληθυντικῶν, δώημεν δώητε δώησαν, ὡς δοίημεν δοίητε δοίησαν λέγεται. ἢ γὰρ ἂν οὕτως ἐγράφετο, εἴπερ τὸ δώη Ἀττικὸν ἦν. νῦν δὲ ὑποτακτικὸν ποιητικῶς ὂν, δώωμεν γράφεται, δώητε δώωσιν. ὡς γνώωμεν γνώητε γνώωσι. τὸ δ' Ἀττικόν ἐστιν, ὡς εἴρηται, δοῖμεν δοῖτε δοῖεν.

Δοιήμασιν, ἀποφάσεσι, γνώμαις.

Δοίημεν, παράσχοιμεν.

Δοίης, δώσεις.

Δοῖμεν, ἀντὶ τοῦ δοίημεν. ὁμοίως δοῖτε, ἀντὶ τοῦ δοίητε. καὶ δοῖεν, ἀντὶ τοῦ δοίησαν. Ἀττικὸν τὸ πάθος. καὶ γίνεται ἡ τοιαύτη συγκοπή, ἐπὶ τοῦ πρώτου καὶ δευτέρου καὶ τρίτου προσώπου. ἔστι δὲ τὸ δοῖμεν γενικὸν τοῦ δοῖεν, ἀποβληθέντος τοῦ μ. τοιοῦτον καὶ τὸ γνοῖεν, καὶ εἶεν, καὶ τὰ τοιαῦτα.

Δοιοὶ, οἱ δύο. ἀφ' οὗ ἐνδοιάζω, τὸ ἀμφιβάλλω, καὶ ἐν τῇ διπλῇ γνώμῃ τίθεται.

Δοῖρον, πύελον, σκάφην.

Δοκάζει, τηρεῖ, μένει, ἐπιτηρεῖ, φυλάσσει, δοκεῖ, προσδοκᾷ.

Δοκάλια, καλὰ, ἄριστα, ἀγαθά.

Δόκαι, ἐνέδραι, παρατηρήσεις.

Δόκανα, τάφοι τινὲς ἐν Λακεδαιμονίᾳ, παρὰ τὸ δέξασθαι τοὺς Τυνδαρίδας.

Δοκάναι, αἱ στάλικες, αἷς ἵσταται τὰ λίνα, ἢ κάλαμοι.

Δοκάνην, θήκην.

Δοκασεῖς Δωρικῶς, ἀντὶ τοῦ νομίσεις.

Δοκεῖ, οἴεται, νομίζεται, ὑπολαμβάνει. καὶ δοκεῖ δοῦλος εἶναι πένητος ἀνθρώπου.

Δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ, πέμψαι πρέσβεις.

Δοκεῖν, ἐοικέναι.

Δοκεύειν, σημαίνει τὸ ἐπιτηρεῖν, φυλάσσεσθαι, προσδέχεσθαι. καὶ δόκησις, σκοπὴ, ἀπάντησις, ὑπόληψις. παράγωγον ἀπὸ τοῦ δόκω βαρυτόνου.

Δοκέω, ῶ, καὶ προσδοκάω, ῶ. εἰσί τινα ῥήματα ἑτέρας συζυγίας ὄντα χωρὶς προθέσεως, εἰς ἑτέραν μεταβαίνοντα, ἐὰν προσλάβωσι πρόθεσιν. οἷον δοκέω, ῶ, προσδοκάω, ῶ. καὶ σκοπέω, ῶ, ἐπισκοπέω, ῶ.

Δοκηκῶ, ἀντὶ τοῦ δοκῶ. ἔπαιξε δὲ Ἕρμιππος ἐν ἀρτοπώλισι.

Δόκην, δόκησιν, δοχήν.

Δοκήσει, ὑπονοήσει, νομίσει, προσδοκήσει. δοκιμάσῃ, στοχάσηται.

Δόκησις ἀληθείας, περιφραστικῶς ἡ ἀλήθεια παρὰ Θουκυδίδῃ. ἢ δόκησις, σκοπὴ, ἀπάντησις, ὑπόληψις.

Δοκησίσοφος, ἀντὶ τοῦ φρόνιμος.

Δοκίδες, ἀστέρων ὀνόματα. ἢ δοκίδες, οἱ ἴσα καὶ ἴσοι ἀριθμοὶ πλεονάκις.

Δοκίδων, δοκῶν.

Δοκιμάζω, κρίνω, ἐκκρίνω, βασανίζω, κωδωνίζω, διακωδωνίζω, πειρῶμαι.

Δοκιμαίνονται, δοκιμάζουσι.

Δοκιμάσας, κρίνας, ἐξετάσας.

Δοκιμασθεὶς, ἀντὶ τοῦ εἰς ἄνδρας ἐγγραφεὶς. Δημοσθένης ἐν τῷ κατ' Ὀνήτορος. λέγεται δὲ ἐπὶ τῶν ἀρχόντων δοκιμασθῆναι, ὡς αὐτὸς ὁ ῥήτωρ ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει δηλοῖ. ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων, κἂν μὴ δ' ἥντιναοῦν ἀρχὴν εἶχον. ἐξετάζετο γὰρ αὐτῶν ὁ βίος ἐνίοτε. ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου φησί. Λυκοῦργος δ' ἐν τῷ περὶ τῆς διοικήσεως, τρεῖς δοκιμασίας κατὰ τὸν νόμον φησὶ γίνεσθαι. μία μὲν, ἣν οἱ ἐννέα ἄρχοντες δοκιμάζονται. ἑτέρα, ἣν οἱ ῥήτορες. τρίτη δὲ, ἣν οἱ στρατηγοί. λέγει μέντοι ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἱππέων δοκιμασίαν.

Δοκιμασία, ἡ ἐξέτασις τῶν ἀρχόντων.

Δόκιμον, χρήσιμον, τέλειον.

Δοκιμοῦν, δοκιμάζειν.

Δοκιμῶμαι, δοκῶ, καὶ οἴομαι.

Δοκοὶ, εἶδος ἀστέρων, ἐπισημασίαν τινὰ παρεχόντων θεωρεῖσθαι.

Δοκοῖς, ἀντὶ τοῦ δοκοίης, τὸ ἀφαιρεῖν τὸ η τῶν Ἀττικῶν, Ἀττικῶν ἐστι.

Δόκος βαρυτόνως, δόκησις, καὶ ἀγχόνη. δοκὸς δὲ κύριον στέγης. καὶ Εὐάνθης μὲν κύριον, εὐανθὴς δὲ ὁ εὐθαλής. καὶ Ἔλπις μὲν κύριον, ἐλπὶς δὲ τὸ κοινὸν θηλυκόν. καὶ Ἴσχυς μὲν κύριον, ἰσχὺς δὲ τὸ προσηγορικόν. καὶ Λῶτος κύριον, λωτὸς δὲ φυτόν. καὶ Μάκρον μὲν ἀκρωτήριον Σικελικὸν, μακρὸν δὲ τὸ ἐπίθετον. Μηδίκη μὲν χόρτος, μηδικὴ δὲ ἡ Περσική. καὶ Ὄρθος μὲν κύριον, καὶ κύον, ὃν ἀνεῖλεν Ἡρακλῆς. ὀρθὸς δὲ τὸ ἐπίθετον. καὶ ὅρμος μὲν λιμὴν, ὁρμὸς δὲ περιτραχήλιος κόσμος. καὶ Πρασία μὲν πόλις Πελοποννήσου, πρασιὰ δὲ σχῆμα γεωργικόν.

Δοκὸς, τὸ μέγα ξύλον. γίνεται δὲ δοκὸς παρὰ τὸ δέκεσθαι, Ἰωνικόν. ἡ δεχομένη δηλαδὴ τὰ ἐπικείμενα, εἴτε κέραμοι ἐκεῖνά εἰσιν, εἴτε λειμονόθεν ὄροφοι, κατὰ τὸν ποιητήν. εἴτε καὶ γῆ ὡς ἐπὶ δωμάτων. γίνεται παράγωγον δὲ δοκοῦ, καὶ τὰ παρὰ τοῖς παλαιοῖς δόκανα, ὡς χρῆσις καὶ παρὰ Πλουτάρχῳ. καὶ Ἀριστοφάνει, Καὶ τῇ δοκῷ προσθεὶς τὸν ὅλμον τὸν μέγαν, ἐμβαλεῖν κελεύει τὴν δοκὸν, τουτέστι τὸν ἀντιβάτην πρὸς τὴν θύραν, αὐτῇ δὲ τῇ δοκῷ τὸν ὅλμον.

Δοκουμένοις, δοκιμαζομένοις.

Δοκοῦνται, ἀντὶ τοῦ ἀρέσκονται.

Δοκοῦντες, οἱ ἔνδοξοι.

Δοκῶ, καὶ τὸ νομίζω, καὶ τὸ οἴομαι, τοῖς τρισὶ χρόνοις συμπίπτονται. Θουκυδίδης ἐν τῇ ἑβδόμῃ, ἔδοξε τῷ δήμῳ πρότερον.

Δοκῶ, τὸ φαίνομαι, καὶ ὑπολαμβάνω. θεωρῶ, τὸ τὰ θεῖα ὁρῶ, καὶ τὸ σκέπτομαι. ὁρῶ μὲν ἐπὶ σώματος, θεωρῶ δὲ ἐπὶ ψυχῆς.

Δοκῶ μοι ἐς δέον ἐντετυχηκέναι σοι.

Δοκῶ σε χαίρειν, καὶ ἡγοῦμαι, καὶ νομίζω, καὶ λογίζομαι, καὶ ὑποτοπάζω.

Δόκωσις, στέγη.

Δολάνα, μαστροπός.

Δόλαν, ἀντὶ τοῦ δήλου.

Δόλαυρον, κέρας γλοιὸν ἔχον, ᾧ ἁμάξαις χρῶνται εἰς τὸν ἄξονα.

Δολβαὶ, θύματα. οἱ δὲ, μικτὰ πλακούντια.

Δολερῶς, ὑπούλως, δολίως.

Δολέων, ὁδοθιλῶ.

Δόλιος, πανοῦργος.

Δολιόφρων, ἀπατεόφρων.

Δολίφονον, πέπαικται παρὰ τοῦ δολοφονίου.

Δολιχὰ, μακρὰ, πολλά.

Δόλιχος, τὸ ἱπποδρόμιον, ἀπὸ τοῦ κάμπτειν. στάδιον δὲ ὁ ὀρθὸς δρόμος.

Δολιχαύλους αἰγανέας, τὰς μακροσιδήρους. ἢ δολιχαύλους, τὰς μακροὺς αὐλοὺς ἐχούσας. αὐλὸς δὲ, τὸ κοῖλον τῆς ἐπιδορατίδος, εἰς ὃ ἐντίθεται τοῦ ξύλου τὸ ἄκρον. αὐτὸ δὲ τὸ ξύλον, καυλός. αὐλὸς καὶ τοῦ σιδήρου τὸ κοῖλον. καὶ δολιχήρετμοι, μακρόκωποι, καὶ τὰ ὅμοια.

Δολιχεγχέας, ἀπὸ εὐθείας ἐστὶ τῆς ὁ δολιχεγχής. διὸ καὶ παροξύνεται, ὡς τὸ εὐηθέας.

Δολιχεύουσι, περιοδεύουσιν, Αἰλιανός.

Δολιχὴ ὀξυτόνως, ἡ μακρά. Δολίχη δὲ βαρυτόνως, ὄνομα πόλεως. ὥσπερ καὶ δολιχὸς, ὁ μακρὸς. δόλιχος δὲ προπαροξυτόνως, ὄσπριόν τι.

Δολιχηρέτμους, καὶ ναυσικλυτοὺς ἄνδρας λέγει Ὅμηρος, ὡσεὶ δολιχὰ ἔχοντας ἐρετμὰ, ἢ μᾶλλον ὡς εἰς δολιχὸν πλοῦν ἐξαρκοῦντας ἐν τῷ ἐρέσσειν.

Δολιχοδείρων, μακροτραχήλων.

Δολιχὸν, μακρὸν, ἢ πολύ. ὡς τὸ, Ἔχει δὲ δόρυ οὐ κατὰ τὸν ἐξ ἵππου μαχόμενον δολιχὸν, ἀλλ' ὥστε μόνον τὴν ἐπιδορατίδα ὑπερέχειν εἰς ὕψος.

Δολιχοπὰ, μακρά.

Δόλιχος, τὸ ὄσπριον. καὶ τὸ ὄνομα τοῦ δρόμου προπαροξυτόνως. δολιχὸς δὲ, τὸ ἐπίθετον ὁ μακρὸς, ὀξυτόνως. ἔστι δὲ ὁ δόλιχος, εἰκοσιτέσσαρα στάδια.

* Δολιχίστη νῆσος πρὸς τῇ Λυκίᾳ, ἡ καὶ Δολίχη καλουμένη.

Δολιχόσκιον ἔγχος λέγει Ὅμηρος, ἢ τὸ μακρὸν, οὗ δολιχὴ ἡ σκιά. ἢ τὸ δολιχὸν κιὸν, ἢ εἰς δολιχὸν διάστημα κιεῖν δυνάμενον, ἤτοι εἰς μακρὸν πορευόμενον, πλεονασμῷ τοῦ σ. ὡς καὶ ἐν τῷ θεόσδοτος. ἢ ὅπερ δολιχὸν γέγονε, διὰ τὸ ἐν σκιᾷ τραφῆναι. ἢ οὗ ἡ σκιὰ δολιχὴ, ἵνα ἐκ τοῦ παρακολουθοῦντος δηλοῖ τὸ μακρόν. ὃ καὶ ἀνεμοτρεφὲς Ὅμηρος καλεῖ.

Δολόγχοι, ἔθνος Θρακικὸν, ἀπὸ Δολόγχου τοῦ Κρόνου, καὶ Θράκης παιδός.

Δολόεσσαν, τὴν Καλυψὼ ἔλεξεν ὁ ποιητὴς, διὰ τὰς περὶ ἀθανασίας ψευδεῖς ὑποσχέσεις.

Δόλοι, κατάσκοποι. καὶ δόλοι, οἱ παραλογισμοὶ, καὶ στρατηγήματα.

Δόλοισι κακοῖσι παρ' Ὁμήρῳ, πρὸς διαφορὰν κεῖται δόλων ἑτέρων ἀγαθῶν, οἷς ἐπαινετῶς ἄντις κοσμοῖτο. καθὰ καί τις ἄλλος κλεπτοσύνῃ θ' ὅρκῳ τε, τοῖς οὐ κακοῖς.

Δολομὰν, μαστροπόν. Λάκωνες.

Δολομῆται, οἱ δόλια βουλευόμενοι. τὰ εἰς ης βαρύτονα, τὸ η παραληγόμενα, καὶ εἰς α τὴν κλητικὴν ἔχοντα, προπερισπᾶται, πεδῆται, ἀγκυλομῆται, πλὴν τοῦ ἀκάκητα.

Δολόμητις, δολιόβουλος.

Δόλον ὕφαινεν, ᾧ συγγενές τι τὸ κακὰ ῥάπτειν. φανερῶς δόλου εἶδος λέγει, καὶ τὸ λόχον εἶναι.

Δόλο-

Digitized by Google

Δόλοπα, κατάσκοπον, μαστροπόν.

Δόλοπες, ἔθνος Θετταλικὸν ἐν ἐσχατιᾷ τῆς Φθίας. καὶ οὗτοι μὲν δόλοπες, ἀπό τινος ἐθνάρχου δόλοπος. Δολίονες μέντοι, οἱ περὶ Κύζικον.

Δολοπεύει, ἐπιβουλεύει, ἐνεδρεύει.

Δολοπλοκίας, τὰς τῶν λόγων πλοκάς.

Δόλος ἐστὶν, ὁ ἕτερον μὲν περί τινος προαιρούμενος, ἕτερον δὲ παρ' ὃ προαιρεῖται, λόγῳ ἢ πράξει ἐμφαίνων ἐπὶ κακοποιΐᾳ τῇ πρὸς ὃν ὁ λόγος, ἢ τὸ ἔργον πράττεται. ἢ δόλος κακοποιΐα λαθραία ἐν προσποιήσει τῶν βελτιόνων, τῷ πλησίον προσφερομένη. ἢ δόλος, ὑπόκρισις ἤθους ἐπιβουλῆς ἕνεκεν, ἄλλο μὲν λέγουσα, ἄλλο δὲ πράττειν ἀναπείθουσα. ἢ δόλος τὸ ἐκ κακίας πρὸς ἐπιβουλὴν περίεργον. οἷον, ὅταν τις καλὸν σχῆμα κτησάμενος, καὶ τοῦτο ὥσπερ δέλεαρ τινὶ προθεὶς, δι' αὐτοῦ τὰ τῆς ἐπιβολῆς κατεργάζηται. παρὰ δὲ τῷ Ἀποστόλῳ δόλος, ἡ ἐπὶ λύμῃ τῶν ἀδελφῶν ἐπιβουλή τε καὶ μηχανή.

Δόλου τράπεζα, ἐπὶ τοῦ ἥπατος σημεῖον ἐν θυτικῇ.

Δολοφρονεῖν, τοῦτον τῷ ὑπεροπτεύειν.

Δολοφρονέουσα, δόλια φρονοῦσα, ἀπατῶσα.

Δόλπαι, πλακούντινα μικρά. Κῷοι.

Δολφὺς, ἡ μήτρα.

Δόλωνες, τὰ μικρὰ ἱστία. χαλάσαντες τὰ μεγάλα ἅρμενα τοῖς μικροῖς, ἃ δὴ δόλωνες καλοῦνται, ἔπεθε. καὶ αὖθις, Προβαλόμενος τοῦ παντὸς στόλου ναῦς ὀλίγας, ταύταις τοὺς δόλωνας ἐπαράμενος ἔπλει. οἱ δὲ Ῥωμαῖοι πλησίον γενόμενοι, καθεῖλον τοὺς δόλωνας.

Δόλων ἄτε, παρ' Ὁμήρῳ, ὅ ἐστιν ἄαστε, ἀκόρεστε.

Δολώσει, ἀπατήσει.

Δόμα, τὸ διδόμενον δῶρον, καὶ τηχίον.

Δόμεν, ἀντὶ τοῦ δοῦναι, παρασχεῖν, πολλαχοῦ κεῖται. καὶ παρ' Ἡσιόδῳ, ἐν τῷ, καὶ δόμεν ὅσκεν δῷ. ἐκεῖνο μὲν προστακτικῶς ἐῤῥέθη, ἀντὶ τοῦ δός. ἀπὸ τοῦ δίδωμι, ἀόριστος ἔδων, δοὺς δόντος. τὸ ἀπαρέμφατον δοῦναι, δόμεναι Δωρικῶς. ὡς θεῖναι θέμεναι, καὶ εἶναι ἔμμεναι, πλεονασμῷ ἑτέρου μ. εἰώθασι γὰρ οἱ Δωριεῖς ἐπὶ τῶν εἰς ναι ἀπαρεμφάτων τοῦ ἀορίστου προστιθέναι τὴν με συλλαβήν. καὶ εἰ μὲν παραλήγεται τὸ ἀπαρέμφατον δύο φωνήεσιν ἀποβαλεῖν τὸ ἓν φωνῆεν ὡς τὰ ἄνω. εἰ δὲ ἑνὶ φωνήεντι παραλήγεται, φυλάττειν αὐτό. στῆναι στήμεναι, βῆναι βήμεναι, γραφῆναι γραφήμεναι, τυφθῆναι τυφθήμεναι.

Δομέοντι, οἰκοδομοῦντι.

* Δομηθῆναι, ἀνακτισθῆναι, ἀναζωωθῆναι. ἐκ τοῦ δομέω ῶ. Τὸ δο μικρόν.

Δομέους, οἰκόπεδα, θεμελίους.

Δομὴ, τὸ σῶμα παρὰ Λυκόφρονι. σχῆμα μεταπλασμὸς, ἀπὸ οὐδετέρου εἰς θηλυκόν. ἀπὸ γὰρ τοῦ δέμας, μεταπλάσας εἶπεν ἡ δομή.

Δόμη, τεῖχος, εἶδος, μορφὴ, πρόσοψις, σῶμα, οἰκοδομὴ, τόπων κατασκευή.

Δομόρτις, γυνή.

Δόμος, οἶκος, παρὰ τὸ δέμω τὸ οἰκοδομῶ. ὡς νέμω νόμος, ὁ οἰκοδομητὸς οἶκος.

Δόναχα, ὑπολύριον. πάλαι γὰρ ταῖς λύραις κάλαμος ἀντὶ κέρατος ὑπετίθετο.

Δόνακες, εἶδος καλάμου, λεπτοὶ καλαμίσκοι. οὓς οἱ μεθ' Ὅμηρον καλοῦσι δονάκια. παρὰ τὸ ῥᾷον δονεῖσθαι, δι' οὗ καὶ ποταμός τις δονακώδης. δῆλον δὲ, ὡς οἱ δόνακες καλάμων λεπτότεροί εἰσιν, ὀρόφων δὲ ἁδρότεροι. καὶ δοκοῦσιν ἐκ δονάκων μὲν σύριγγες γίνεσθαι, αὐλοὶ δὲ ἐκ καλάμων.

Δονακῆα, τὸν διάσειστον καλαμῶνα.

Δονακύμμασι, ἀναλήμμασι, καὶ ἀνάμμασι.

Δόναξ, ὁ ἁλιευτικὸς κάλαμος.

* Δόναξ, ὁ τοῦ οἰστοῦ ἄτρακτος ἐνίοτε, ἐπεὶ καὶ ἐκ καλαμίσκων τινῶν στερεωτέρων ἐγίνοντο οἰστοί.

Δονακᾶν, τὸν Ἀπόλλωνα, Θεόπομπος.

Δονεῖ, ταράττει, κινεῖ, συστρέφει, σείει, σκεδάννυσι.

Δονῶ. ἐστὶν ἐνῶ, καὶ σημαίνει τὸ κινῶ. πλεονασμῷ τοῦ δ καὶ τροπῇ τοῦ ε εἰς ο, δονῶ τὸ συστρέφω. σημαίνει δὲ τὸ κινεῖν, σείειν, σκεδαννύειν.

Δονοίροφον, τὸν ὑπὸ τῷ δόμῳ ἱδρυθέντα.

Δόξα, παρὰ τὸ δέχω δέξω, δέξα, καὶ δόξα. ἢ παρὰ τὸ δοκῶ δοκήσω, ἐδόκησα. ἀποβολῇ τοῦ η, ἔδοκσα. καὶ τροπῇ τοῦ κ καὶ σ εἰς ξ, δόξα. ἢ παρὰ τὸ δόκω βαρύτονον, δόξω, καὶ δόξα. σημαίνει δὲ τρία, τὸ δόγμα, τὴν δόκησιν, καὶ τὴν τιμήν. ἔστι δὲ δόξα, ὁ ἀπὸ τῶν πολλῶν ἔπαινος, κλέος δὲ ὁ ἀπὸ ἀγαθῶν. ὁμοίως τιμὴ λέγεται ἐπὶ τῶν σπουδαίων, καὶ ἔστι γήρως ἀξίωσις. γέρας δὲ, ἆθλον ἀρετῆς. τὸ δὲ ἁπλῶς οὕτω διδόμενον, ἐπὶ τοῖς οὐ πάνυ ἀποδεικτέοις ἀντίδοσις. ἢ δόξα, ὑπόνοια, δόκησις, εἰκασμὸς, ὑπόληψις. ἢ τὸ λογικὸν, καὶ γνωστικὸν μέρος τῆς ψυχῆς. διαιρεῖται δὲ εἰς νοῦν, διάνοιαν, καὶ δόξαν. Ἄλλως.

Δόξα ἐστὶ διττὴ, λογική τε καὶ ἄλογος. τὴν μὲν οὖν ἄλογον δόξαν εἶναί φασιν ἁπλῆν γνῶσιν καὶ πρόχειρον, ὡς ὅταν τις προφέρῃ δόξαν ἀλλοτρίαν, ἀγνοῶν τὴν αὐτῆς αἰτίαν. οἷον ἀθάνατον λέγων τὴν ψυχὴν, καὶ μὴ διδοὺς ἀποδεικτικὴν αἰτίαν τῆς ἀθανασίας αὐτῆς. τὴν δὲ λογικὴν δόξαν, γνώμης εἶναι λέγουσι κατὰ ἀποστρέψωσιν τῆς διανοίας συνισταμένης, ὡς ὅταν τις λογισάμενός τι, καὶ τὴν αἰτίαν αὐτοῦ ἐπιστημονικῶς ἀποδίδωσιν. οἷον προτίθεταί τις δοῦξαι τὴν ψυχὴν ἀθάνατον.

Δοξάζει, ἀμφιδοξεῖ, διστάζει, δικάζει.

Δοξάζω, τὸ ὑπολαμβάνω. καὶ δοξάζω, τὸ τιμῶ.

Δοξαρίοις, εὐτελέσι δόγμασιν ὑπ' ἐνίων ὑποκοριστικῶς.

Δόξας, δοκήσεις.

Δοξάσαι, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὑπονοῆσαι, εἰκάσαι.

Δοξασταί, δικασταί.

Δοξαστικόν ἐστι, μέρος ψυχῆς τὸ αἰσθητικόν.

Δόξει, ὑπολάβει.

Δοξοκοπεῖ, ἀντὶ τοῦ δόξης ἕνεκεν κοπιᾷ.

Δοξοκοπία, κενοδοξία.

Δοξολογῶ σε, ὑμνῶ σε.

Δοξοῦσθαι, κατοπτρίζεσθαι, φαντάζεσθαι.

Δόξω, ἔδοξα, καὶ ἄλλα, ἀπὸ τοῦ δοκέω, δοκῶ, δοκήσω.

Δοράζει, κολάζει, λογχάζει.

Δόραντον, κέρας ἐν ᾧ γλοιὸν φέρουσιν οἱ ζευγηλάται ὑπὸ τῇ ἁμάξῃ.

Δόρατα, τὰ ἀκόντια. δοῦρα δὲ, τὰ ἁπλῶς ξύλα. κλίνεται γὰρ τὸ δόρυ τοῦ δόρυος. καὶ κατὰ μετάθεσιν δουρὸς, καὶ ἐκβολῇ τοῦ υ δορός. ἔστι δὲ ποιητικόν. ἔστι δὲ καὶ ἑτέρα διάθεσις σεσιγημένη, τὸ δόρας, καὶ κλίνεται τοῦ δόρατος. ἀφίεται οὖν ἡ διάθεσις αὐτοῦ, ὡς ἄχρηστος. καὶ λαμβάνεται ἑτεροκλίτως, δόρυ δόρατος. ἡ δοτικὴ τῶν πληθυντικῶν, δόρασιν. οὕτω καὶ ὕδωρ ὕδατος. ἔστι δὲ ὕδωρ ὕδωρος, καὶ ὕδας ὕδατος. καὶ κλίνεται ὡς ἔφαμεν. ἢ δόρατα, λογχάρια. καὶ δουράτιον, μικρὸν δόρυ.

Δορατιζόμενοι, δόρασι μαχόμενοι.

Δορὰς, τὸ δέρμα, καὶ δορὰ ὄνων.

Δόρη, καὶ δορῶν, ἀντὶ τοῦ δόρατα καὶ δοράτων.

Δοριάλωτον, αἰχμάλωτον.

Δορίδες, μάχαιραι μαγειρικαὶ, εἰς τὸ ἐκδέρειν τὰ θύματα ἐπιτήδειαι.

Δορίκτητος, αἰχμάλωτος, πολέμῳ κτισθείς.

Δορίληπτον, κατηγορούμενον.

Δόριλλος, τὸ γυναικεῖον αἰδοῖον, ἐφ' ὕβρει τραγῳδοποιοῦ Δορίλλου. ἢ παρὰ τὸ δέρειν, τὸ τυπτόμενον τὰς τρίχας, καὶ οἱονεὶ ἐκδερόμενον.

Δορκαλίδες, ὄργανόν ἐστι κολαστικόν τι, ἢ μάστιγες, ἀπὸ ἱμάντων δορκάδων.

Δόρκων, ὄνομα τόπου, καὶ ὁ ἔλαφος.

Δορὶς, σκεῦος μαγειρικόν.

Δορίσκης, χωρίον τῆς Θράκης. Δημοσθένης ὑπὲρ Κτησιφῶντος, καὶ Ἡρόδοτος.

Δοριτῷ, δόρατι.

Δορκάζων, περιβλέπων.

Δόρκαι, κόνιδες.

Δόρκανα, ἀκριβῶς, Κρῆτες.

Δορκὰς, τὸ τῆς ἐλάφου γέννημα. παρὰ τὸ δέρκω τὸ βλέπω, δερκάς, καὶ δορκάς. ὀξυδερκὲς γὰρ τὸ ζῶον, καὶ εὐόμματον.

Δόρξ, ὄνομα ζώου, ἔνθεν δορκάς. παρὰ τὸ δέρκω δέρξω, δέρξ, καὶ δόρξ, ὡς στήπω στήψω, στίψ. ὀξυωπὲς γὰρ τὸ ζῶον.

Δοροδόκος, τὸ ὑποδεχόμενον τῆς οἰκίας τὸν ὄροφον.

Δοροὶ, θύλακες δερμάτινοι, κώρυκοι, δέρματα. καὶ δορούς, κορύκους, δέρματα.

Δόρπα, ἀντὶ τοῦ δεῖπνα. μεταπλασμὸν ἔπαθεν, ἀπὸ τοῦ ἀρσενικοῦ γένους. δόρπος γάρ. καὶ δορπῆσαι, δειπνῆσαι.

Δόρπεια, ἡ πρώτη ἡμέρα τῶν ἀπατουρίων. ἡ δ' ἑξῆς, ἀνάῤῥυσις, κουρεῶτις δὲ ἡ τρίτη. καὶ πλατύτερον ἐν τῷ ἀπατουρία.

Δορπιστὸς, δείπνου ὥρα.

Δόρπον τί ἐστι, φανερῶς ἔδειξεν Ὅμηρος, εἰπών. ἅμα δ' ἠελίῳ καταδύντι, τάξεσθαι δόρπον. ὑστέρως δὲ εἶπε. φησὶ γὰρ, μέγα δόρπον.

Δόρπος, ὁ δεῖπνος, ἡ περὶ τὴν ἑσπέραν ἑστίασις. κυρίως ἡ ἑσπερινὴ τροφὴ, ἀπὸ τῶν δερμάτων. ὅτι ἐπὶ τῶν δερμάτων καθήμενοι ἐσιτοῦντο. ἢ παρὰ τὸ δρέπεσθαι τοῖς ὀδοῦσιν, ἢ παρὰ τὸ τοὺς πόνους δρέπειν, ἢ παρὰ τὸ ἕρπειν ἡμᾶς εἰς τὸ δαύειν, ὅ ἐστι κοιμᾶσθαι.

Δορσάνης, ὁ Ἡρακλῆς παρ' Ἰνδοῖς.

* Δόρυ, ξυστὸν, μελίη, ἐγχείη, ἔγχος, συνωνύμως ἐπὶ τοῦ αὐτοῦ λέγονται παρ' Ὁμήρῳ.

Δόρυ, σημαίνει δύο. τὸ ξύλον, καὶ τὸ ἀκόντιον. τὸ ξύλον μὲν, ὡς παρ' Ἡσιόδῳ, Ἑκατὸν δὲ δούραθ' ἁμάξης. καὶ Ὅμηρος, Καὶ δὴ δοῦρα σέσηπε νηῶν. τὸ ἀκόντιον δὲ, ὡς τὸ, εὖ μέν τις δόρυ θηξάσθω. καὶ πάλιν, Αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί. εἴρηται δὲ ἀπὸ τοῦ δρῦς δρυὸς, δόρυ. ἐπὸ παντὸς λεγόμενον ξύλου ὑπὸ τῶν παλαιῶν. ὡς μάρτυς δρυμὸς, καὶ δρύφακτος. ἢ παρὰ τὸ δέρω, τὸ λεπίζω. τοῦ γὰρ φλοιοῦ λεπίζεται τὰ ξύλα. ἢ παρὰ τὸ δρύπτω, ἢ ἐκ τοῦ δρῦς. οἱ γὰρ ἀρχαῖοι ἐκ δρυίνων κατεσκεύαζον. ἢ ἐκ τοῦ θορῶ, ὃ σημαίνει τὸ πηδῶ, θόρυ τι ὂν, τὸ ἐκ τῆς γῆς ἀναχόν. ὡς ὁ ποιητὴς λέγει, παρετυμολογῶν αὐτό. Ἐπεὶ οὔπω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης. ἔνιοι καὶ τὸ δέρμα, δόρυ λέγουσι. Ἄλλως.

Δόρυ, τὸ ξύλον ἔφη ὁ ποιητής. αἰχμὴν δὲ, τὸν τοῦ δόρατος σίδηρον, ὃς χαμαὶ πεσὼν ἐβόμβησε, καὶ κόλον ἀφῆκε. δόρυ, τὸ καταλειφθέν.

* Δόρυ καὶ ἔγχος, ὡς μέρος καὶ ὅλον λέγονται. καὶ ἀπὸ μέρους, τὸ συναμφότερον λέγεται δόρυ.

Δορυάληπτον, δορύληπτον.

Δορυάλωτος, αἰχμάλωτος, ὑπὸ δόρατος ληφθείς

Δορύκαι, δυροδόκαι.

Δορυκλυτὸς, παρὰ τὸ δόρυ ὁ ἔνδοξος.

Δορύκνιον παρὰ Νικάνδρῳ, ἀντὶ φάρμακον. γράφεται καὶ δορύχνιον, τὸ δορύκνιον, τῶν θανασίμων ὑπάρχον πινόμενον. ἔστι δὲ κατὰ τὴν ὀσμὴν καὶ τὴν γεῦσιν γάλακτι παραπλήσιον. εἰ δέ τις αὐτὸ κλάσειε, γάλακτος ἀποστάζει. ὅθεν δυσδιάκριτον τῷ πίνοντι, διὰ τὸ εἶναι γάλακτι παραπλήσιον. Δημοφῶν δὲ ἐτυμολογεῖ αὐτὸ οὕτω κεκλῆσθαι, διὰ τὸ δόρατι ἴσον εἶναι, τὰ τὴν ἀναίρεσιν.

Δορυκτήτην, δοριάλωτον, αἰχμάλωτον.

Δορύκτητος πλοῦτος, ὁ ἀπὸ πολέμου.

Δορύληπτος λεία, ἡ ληφθεῖσα ὑπὸ τοῦ δόρατος.

Δορυμήστορας, τοὺς ἐμπείρους τῶν πολέμων.

Δορύμνιον, εἶδος βοτάνης.

Δορυμολπὴς, ὁ προηγούμενος τοῦ θυομένου βοὸς τῷ Διΐ.

Δορύξενοι κυρίως, οἱ ἐν πολέμῳ γεγονότες φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης.

Δορυξόος, ἐκ τὸ δόρυ καὶ τοῦ ξέω. οὐδεὶς δὲ λέγει ἑλλήνων δόρυξος, ἀλλὰ δορυξόος, καὶ κατὰ συγκοπὴν διόρυξος. ἔστι δὲ τόπος, ὅπου ξύονται τὰ δόρατα.

Δόρυσσα, οὕτως ἐκαλεῖτο ἡ Σάμος.

Δορυσσόον, ἀνδρεῖον, ἢ δόρατι φοβοῦντα, καὶ σοβοῦντα, καὶ ὁρμῶντα.

* Δορύατειν, παρὰ τὸ δόρυ λέγεται, ὡς παρὰ τὸ αἰχμὴ, αἰχμάζειν.

Δορυφορεῖ, τιμὴν περιποιεῖ, αἰτιατικῇ.

Δορυφία, καρποφορία, ἀγαθή.

Δορυφόροι, φύλακες, ὑπηρέται βασιλέως, ὁπλοφόροι, ὑπασπισταί.

Δορυφόρον, τὸν φύλακα τυράννων, καὶ τὸ κωφὸν πρόσωπον.

Digitized by Google

Δορυφόρους, ἄνω βαστάζοντας τὰ ὅπλα.

Δορυφοροῦντες, προβαδίζοντες ἔνοπλοι.

Δορχάλοι, ἀστράγαλοι.

Δόρων, τῶν δοράτων.

Δὸς ἄνδρα ἑλεῖν, καὶ εἰς ὁρμὴν ἔγχεος ἐλθεῖν, παρ' Ὁμήρῳ, σχῆμά ἐστι πρωθύστερον, ἤτοι ὑστερολογία. ἔδει γὰρ οὕτω κεῖσθαι, Δὸς τὸν Πάνδαρον εἰς ὁρμήν τε ἐλθεῖν μοι ἔγχεος, καὶ δός μοι φονεῦσαι αὐτόν. τοιοῦτον δὲ καὶ τὸ ἔβαλεν ἐπαΐσσοντα, διὰ δ' ἔπτατο πικρὸς ὀϊστὸς, πρὸ ὀλίγου ῥηθέν. καὶ ἐχρῆν γὰρ φύσει πρῶτον τὸ ἔπτατο, εἶτα τὸ ἔβαλε.

Δόσαν, παρέχον, ἔδοσαν.

Δοσείειν, δοτικῶς ἔχειν.

Δόσις, ἰδίως λέγεται παρὰ τοῖς ῥήτορσι, συμβόλαιον γραφόμενον, ὅταν τις τὰ αὐτοῦ διδῷ τινὶ διὰ τῶν ἀρχόντων, ὡς παρὰ Δεινάρχῳ. ἡ δόσις, ἡ ἁπλῶς δόσις, ἡ δωρεά. ἀπόδοσις δὲ, ἡ ἐπὶ χρέους. μετάδοσις, ἡ ἐπὶ μετοχῆς.

Δόσκον, ὅ ἐστιν ἐδίδων. ποιηταῖς μόνοις ἀρέσκουσα λέξις. καὶ τὸ διδάσκετο, καὶ τὸ ἔχεσκεν. οὐκ ἀνάλογον δὲ τὸ δόσκον, ὡς ἐκ τοῦ δῶ δώσω. παρελήγετο γὰρ ἂν τῷ ω μεγάλῳ, κατὰ τὸ βιώσκω, πιπίσκω, τιτρώσκω, καὶ τὰ ὅμοια.

Δοτῆρα, δότην.

Δοτὴρ, ὁ διδούς.

Δοτικαῖς εἰς ω ληγούσαις, Αἰολεῖς οὐ προσγράφουσι τὸ ι. οἷον, Ὁμήρω, σοφῶ.

Δοτικὴν, ἀντὶ τῆς αἰτιατικῆς Αἰολεῖς παραλαμβάνουσιν, ἐν τοῖς πληθυντικοῖς. οἷον ἀνθρώποις, ἀντὶ τοῦ ἀνθρώπους. τοῦτο δὲ ποιοῦσι, διὰ τὸ χρῆσθαι αὐτοὺς τῷ ι ἀντὶ τοῦ υ.

* Δοτικὴ ἐλλιπῶς τῆς σὺν προθέσεως λεγομένη Ἀττικῶς, οἷον ἀπὸ πασσάλου αἴνυτο τόξον, αὐτῷ γωρυτῷ.

Δοὺξ, ἡγεμὼν, ἄρχων.

Δουλεία, κατὰ τρεῖς τρόπους, τὸν κατὰ τὴν δημιουργίαν, καθά φησιν, ὅτι τὰ σύμπαντα δοῦλα σά. τὸν παρὰ τῆς πίστεως, ὡς εἴρηται, Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. τρίτον, τὸν ἀπὸ τῆς πολιτείας, κατὰ τὸ εἰρημένον, Μωϋσῆς ὁ θεράπων νόμου.

Δουλεύω, λατρεύω, θητεύω, ὑπουργῶ, διακονῶ, διακονοῦμαι, ὑπηρετῶ, ταυτοσήμαντα.

Δούλη, ἡ θεράπαινα παρ' ἡμῖν. παρὰ δὲ τῷ ποιητῇ, ὄνομα κύριον, διὰ τὸ μηδέποτε λέγειν τὸν ποιητὴν δούλας τὰς θεραπαίνας, ἀλλὰ δμωάς, ἢ δμωΐδας. διὸ καὶ τὸ εἰσόκε σε ἢ ἄλοχον ποιήσεται, ἢ ὅγε δούλην, ἀθετεῖται κατὰ τοὺς παλαιούς.

* Δούλειον εἶδος, ἢ μέγεθος, τὸ λ δίφθογγον. δούλιον δὲ ἦμαρ διὰ τοῦ ι, ὃ καὶ δουλία ἡμέρα λέγεται.

Δούλιον ἦμαρ, αὐτὴ ἡ δουλεία περιφραστικῶς. οὐ πρὸς ὁμοιότητα, καὶ ἦμαρ ἐλεύθερον ἀπούρας. περίφρασις δὲ ἄμφω, τὸ μὲν δουλείας, τὸ δὲ ἐλευθερίας.

Δουλίχιον, ὃ καὶ δόλιχα καλεῖται, νῆσος μία τῶν Ἐχινάδων, τῶν πρὸς τῇ ἐκβολῇ Ἀχελώου ποταμοῦ. ἀπὸ Δουλιχίου φασὶν υἱοῦ Τριπτολέμου ὠνόμασται. ἔστι δέ φασι καὶ νῆσος Δολιχὴ πρὸς τῇ Λυκίᾳ, ἣν καὶ δολιχίστην ἔλεγον.

Δουλιχοδείρους, τοὺς μακροτραχήλους, παρὰ τὸ δολιχὸν τὸ μακρὸν, καὶ τὸ δειρή. λέγει δὲ κατ' ἐξαίρετον ὁ ποιητὴς τοὺς κύκνους. τοῦτο γὰρ αὐτοὶ κατ' ἀναλογίαν τοῦ σώματος τὸ δολιχὸν, ἤτοι μακρὸν τοῦ τραχήλου ἀντὶ ὁρμιᾶς ἔχοντες, ἐν τοῖς ὑγροῖς. δοκεῖ δὲ τὸ Ἰωνικῶς μὲν δουλιχὸν, κοινῶς δὲ δολιχὸν, γίνεσθαι παρὰ τὸ διόλου ἱκέσθαι. τοιοῦτον γάρ τοι τὸ μακρὸν, τραπέντος τοῦ ψιλοῦ κ εἰς τὸ ἀντίστοιχον δασὺ, διὰ τὸ εὐφωνότερον. ἐκ δὲ τῆς λέξεως ταύτης, καὶ δρόμος ἐναγώνιος ὁ δόλιχος. καὶ νῆσος δέ τις τὸ Δουλίχιον, σύγκειται ἀπ' αὐτῆς. καὶ τὸ δολιχόσκιον, καὶ δολίχαυλοι αἰγανέαι, ὅ ἐστι μακροὺς αὐλοὺς ἔχουσαι, ἤγουν κοιλότητας ἐπὶ δορατίδων, αἷς ὁ τοῦ ξύλου καυλὸς ἐνίεται.

Δοῦλος, ἡ οἰκία, ἢ τὴν ἐπὶ τὸ αὐτὸ συνέλευσιν τῶν γυναικῶν. γίνεται δὲ παρὰ τὸ δύω, ὃ σημαίνει τὴν κάκωσιν, δύηλός τις ὤν. συγκοπῇ καὶ πλεονασμῷ, δοῦλος. ἢ παρὰ τὸ δέω, τὸ δεσμῶ, δέλος, καὶ δοῦλος. τοὺς γὰρ αἰχμαλώτους ἐδέσμουν. ἢ παρὰ τὸ δόλος, δοῦλος.

Δουλοσύνη, τῆς αὐτῆς ἀναλογίας ἐστὶ τῷ τοξοσύνη, ξεινοσύνη, καὶ τῶν λοιπῶν.

Δουλοσύνης ἀνέχεσθαι παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. τινὰ τῶν ἀντιγράφων ἔχουσι δουλοσύνην ἀνέχεσθαι, ἴσως δὲ οὐ καλῶς. τὸ γὰρ πάντας ἀνθρώπους ἀνέχεσθαι, πρὸς ὃ δοκεῖ φέρεσθαι ἡ γραφὴ, οὐ τοιαύτης σημασίας ἐστί.

Δουλοῦμαί σε, ἀντὶ τοῦ δοῦλον ποιῶ. καταδουλῶ, ἀνδραποδίζομαι, ἐξανδραποδίζομαι, ὑπάγομαι, αἰχμάλωτον ποιῶ, ταυτοσήμαντα. καὶ δουλοῦμαι τὸν δεῖνα οἱ Ἀττικοὶ, οὐ δουλῶ. Δημοσθένης, δηλοῦται τὰς πόλεις. καὶ δουλεία, οὐ μόνον αὐτὸ τὸ δουλεύειν, ἀλλὰ καὶ τὸ ἄθροισμα τῶν δούλων.

Δουλόω, ῶ, δουλώσω, ἐδούλωσεν ἑαυτὸν, ἤτοι δοῦλον ἐποίησε. καταδουλοῦμαι, μεταβατικὸν καταδουλωσάμενος τὴν Ἑλλάδα, ἤτοι δούλην ποιήσας. καὶ δουλοῦμαί σοι, ἀντὶ τοῦ ὑποτάττομαί σοι, ἢ δοῦλος σὸς γίνομαι.

Δούλων πόλιν, ἔστι δὲ ἐν Κρήτῃ, καὶ Λιβύῃ.

Δούλωνα, τὸν μουσικὸν Φιλόξενον. ἐπειδὴ δοῦλος ἐγεγόνει ὁ Φιλόξενος. ἦν δὲ τὸ γένος Κυθήριος.

Δοῦναι, ἐπὶ τῆς ἁπλῶς ἑκουσίου δόσεως. ὅθεν καὶ τὸ δῶρον. ἀποδοῦναι δὲ, ἀπὸ τῶν χρεωστικῶς διδομένων. καὶ οὕτω παρ' Ὁμήρῳ, ἀποδόμεναι ὁ βασιλεὺς λέγεται τὴν ἑλικώπιδα κούρην, οὐχ ἑκὼν δηλαδὴ, ἀπριάτην ἀνάποινον. ἐπιδιδόναι δέ ἐστι, τὸ ἐπέκεινα τῶν ὑπαρχόντων δοῦναί τι.

Δούπησεν, ἔπεσεν, ὥστε ψόφον τινὰ ἀποτελέσαι.

Δοῦπον, ψόφον. καὶ δοῦπος, θάνατος μετὰ ψόφου.

Δοῦπος ἀκόντων, ἐκ μέρους ἡ ἁπλῶς μάχη. μέρους δὲ τοῦ ἐν ὅπλοις κρείττονος. ἐπαινετέοι γὰρ μάλιστα οἱ αἰχμηταί. ταυτὸν δὲ εἰπεῖν, ἀκοντισταί. ἔστι δὲ δοῦπος ἀκόντων, πόλεμος, πρὸς διαστολὴν ἄλλων δούπων.

Δοῦρα, ἐκ τοῦ δόρυα, καθ' ὑπερβιβασμὸν δοῦρα. καὶ δοῦρα σέσηπεν Ἀττικόν. Ἀθηναῖοι γὰρ πληθυντικοῖς οὐδετέροις ἑνικὰ ἐπάγουσι ῥήματα. τὸ μέντοι σπάρτα λέλυνται κοινόν. δοῦρα νεῶν, πρὸς διαστολὴν τῶν τε κατὰ τὴν μάχην, καὶ τῶν ἁπλῶς ξύλων. Ἰστέον ὅτι τὰ γόνυα, καὶ δόρυα, γίνεται καθ' ὑπέρθεσιν τοῦ υ, γοῦνα καὶ δοῦρα. ἢ ἀπὸ τοῦ γούνατα, καὶ δούρατα, κατὰ ἀποβολὴν τῆς τα, γοῦνα, καὶ δοῦρα.

Δουράτεον ἵππον, τὸν ξύλινον λέγει, τὸν καὶ κοινότερον δούρειον. γίνεται δὲ ὁ δούρειος μὲν, ἐκ τοῦ δουρός. ἐκ τοῦ δούρατος δὲ, ὁ δουράτειος. καὶ ἀπελεύσει τοῦ ι δουράτεος, διὰ μέτρου χρησιμότητα.

Δούρεσσι, πρὸς ὁμοιότητα τοῦ στομάτεσσι, καὶ κτεάτεσσι ποιητικῶς. δούρασι δὲ, τὸ κοινόν.

Δουρηνεκὲς, δόρατος βολὴ, δόρατος μῆκος. ἀπόστημα, ὅσον δόρυ διατεῖναι.

Δουρὶ κλυτὸς, καὶ κλυτὸς ἔγχει, τὸ αὐτό. ἔστι δὲ, ὁ κατὰ μάχην ἔνδοξος, ἀπὸ μέρους τοῦ δόρατος.

Δουρίκτητον, δορίκτητον, αἰχμάλωτον.

Δουρίληπτος, αἰχμάλωτος.

Δούριος ἵππος, Ἀθήνησιν ἐν ἀκροπόλει χαλκοῦς ἐστι, καὶ ἐξ αὐτοῦ ἐκκύπτουσι δόρατα.

* Δουροδόκη, ἡ τῶν δοράτων θήκη.

Δουρός. δόρυ δόρυος, καὶ δουρὸς λέγομεν. καὶ δούρατος, ἐκ τοῦ δοῦρας, ἐνδείας σεσιγημένης.

Δουρὸς ἐρωὴ, ἡ σὺν δόρατι ὁρμή.

Δοὺς, παρασχὼν, ἢ δεσμευθείς.

Δουσάρην, τὸν Διόνυσον, Μαβαταῖοι, ὥς φησιν Ἰσίδωρος.

Δουχεὼν, δοχὴ, σημεῖον ἐν θυτικῇ.

Δοχὴν, ἄριστον.

* Δοχὴ, ἐπὶ ἐπενθέσεως συλλαβικῆς. οἷον τὸ ἔοικα ἐκ τοῦ εἶκα γέγονε, διαλύσει καὶ δοχῇ τοῦ ο.

Δοχμαλὸν, χαμαίζηλον, ταπεινόν.

Δόχμη, τὸ τετραδάκτυλον. Ἀρίσταρχος δὲ ὀξύνει, ὡς δηλοῖ καὶ ὁ κωμικὸς, ἐν τῷ οὗτοι δὲ ἀφεστήκασι πλὴν ἢ δύο δοχμαί. ἐν μέντοι φησὶ τοῖς ἀκριβεστέροις ἀντιγράφοις, ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη, λόγχη, ὄχθη, ὄγχνη. ἕτερος δέ τις λέγει καὶ αὐτὸς, ὅτι δόχμη, ὡς ὄχθη καὶ στάθμη, κατὰ Τρύφωνα, εἰ καὶ Ἀρίσταρχος ὀξύνειν ἀξιοῖ. Παυσανίας δὲ εἰπὼν καὶ αὐτὸς, ὅτι δόχμη τὸ τετραδάκτυλον, ἐπάγει. Κύπριοι δὲ τὴν παλαιστήν. ἴσως δέ φησι διὰ τὸ πλαγιάζειν τῇ χειρὶ ἐν τῷ μετρεῖν. δόχμιον γὰρ, τὸ πλάγιον. ὡς προϋπάρχειν οὕτω τῆς δόχμης τὸ δόχμιον.

Δοχμή, σπιθαμή. Ἀριστοφάνης, ἢ ἡ παλαιστή. λέγει δὲ πρὸς Βυρσοδέψην, περὶ τοῦ δέρματος.

Δοχμιακὸς, εἶδος μέτρου ἀντισπαστικοῦ. ἔστι δὲ μονόμετρον ὑπερκατάληκτον, οἷον ἐγὼ δ' οὔ τοι σοί. ἔστι δὲ Εὐριπίδου Φοινισσῶν. πολλὰ ῥυθμῶν ὀνόματα καὶ ἄλλα. ἀτὰρ δὴ καὶ ταῦτα, ἴαμβος ἰαμβικὸς, δάκτυλος δακτυλικὸς, παίων, ἐπίτριτος. οὗτοι μὲν οὖν ὀρθοί εἰσι ῥυθμοί. ἐν ἰσότητι γὰρ κεῖνται. ἡ γὰρ μονὰς πρὸς δυάδα, ἡ δυὰς πρὸς τριάδα, ἡ τριὰς πρὸς τριάδα. ἡ τριὰς πλεονεκτεῖται μονάδος, ἐν τῷ δοχμιακῷ, τριάς ἐστι πρὸς πεντάδα, καὶ δυὰς ἡ πλεονεκτοῦσα. οὗτος οὖν ὁ ῥυθμὸς, οὐκ ἠδύνατο καλεῖσθαι ὀρθός. ἐκλήθη τοίνυν δοχμιακὸς, ἐν ᾧ τὸ τῆς ἀνισότητος μεῖζον κατὰ τὴν αἴσθησιν κρίνεται. καὶ τὸ μέτρον οὖν δοχμιακὸν, ὡς ἐμπιπτόντων ἐν αὐτῷ τῶν ὀκτὼ χρόνων.

Δόχμιον, πλάγιον.

Δοχμοκόρσοι, οἱ πλαγιοχαῖται.

Δοχμολόφοι, οἱ ἐκπλαγίους τοὺς λόφους ἔχοντες.

Δόχμος, παρὰ τὸ δέχω φασὶ γίνεται, ἵνα δηλοῖ τὸν ἀχώρητον. τοιοῦτοι γὰρ ἐν τοῖς εἰσόδοις οἱ εἰσιόντες δόχμιοι. δοχμὴ μέντοι θηλυκῶς ἡ παλαιστὴ, ἤγουν τὸ τετραδάκτυλόν φασι τῆς χειρὸς, ἀπὸ τοῦ δέχεσθαι καὶ αὐτό. ὅτι καὶ βαρύνεται ἡ δόχμη, ὁμοίως τῷ στάθμη, λόχμη, ὄχθη, ἀλλαχοῦ δηλοῦται.

Δοχοὺς, δοχηαλοντῆρας.

ΤΟ Δ' ΜΕΤΑ ΤΟΥ Ρ'.

Δραγκάζειν, κρύπτειν.

Δραγκαλακτᾶν, βρεμοῦσθαι.

Δράγμα, ὅσον περιλαμβάνει τῇ ἀριστερᾷ χειρὶ ὁ θερίζων.

Δράγματα, τὰ πληροῦντα τῶν σταχύων τὴν ἀριστεράν, παρὰ τὸ δράττειν. ὅθεν καὶ δραχμὴ, ἡ πληροῦσα τὴν χεῖρα τῷ κέρματι. ταμήλη δὲ, συνέστηκεν ἐκ δραγμάτων ἑκατὸν, ἢ καὶ διακοσίων.

Δράγματα, ἀπαρχαί.

Δραγμάναις, ταῖς ἐντὸς τοῦ ἐγκεφάλου κοιλότησι.

Δραγματεύοντες, ὅ ἐστι τὰ δράγματα συνάγοντες, πάνυ ἀπέρχονται φέρειν αὐτὰ τοῖς ἀμαλοδετῆρσι. δράγμα δέ ἐστιν, ὅσον ἂν δράξηταί τις τῇ δρακί. παρὰ τὸ δράσσω, ἐξ οὗ καὶ ἡ δραχμή.

Δραγμὴ χαλαζῶσα, ἐπὶ Διοφάντου τὸ θεωρητικὸν ἐγένετο δραγμή. ἐπεὶ δὲ ἐπέχει χάλαζα τότε ἀπὸ τοῦ ἀέρος, δραγμὴν αὐτὸν χαλαζῶν ἐπέσκωπτον.

Δραθεῖν, τὸ κοιμᾶσθαι. καταδαρθεῖν δὲ, τὸ κοιμηθῆναι. καὶ δραθεῖν καθ' ὑπέρθεσιν, ἐκ τοῦ δρήθω δρήσω ἔδρησα. ὁ δεύτερος ἀόριστος ἔδραθον, ὁ μέλλων δραθῶ, τὸ ἀπαρέμφατον δραθεῖν. κυρίως τὸ ἐπὶ δερμάτων κοιμᾶσθαι.

Δράθω, καὶ δραθεῖν, τὸ ἀποτιθέναι τὸ δρᾶν, ὅ ἐστι βλέπειν.

Δραίνειν, ἀντὶ τοῦ πράττειν. ὡς τὸ, ἀλλ' ἔτι δραίνεις, ἤτοι δρᾷς, ἢ δύνασαι δρᾶν. ἐκ τούτου ἀδρανὴς, ὁ μὴ δραίνειν δυνάμενος. καὶ ἀδράνεια, ἡ ἀσθένεια τοῦ δρᾶν. οἱ δὲ παλαιοὶ, δραίνειν λέγουσι τὸ ἀγρυπνεῖν, ἤγουν ἀργὸν ὕπνον εἶναι, καὶ βλέπειν. δρῶ γὰρ, τὸ βλέπω. διὸ εἰπὼν ὁ ποιητὴς, ἔτι δραίνεις, ἐπάγει, ἐπεὶ οὐδέ σέ γε ὕπνος ἱκάνει.

Δραίνεις, δραστικῶς ἔχεις.

Δραιὸν, μακρὸν, παλαιόν.

Δραίνω, ἐκ τοῦ δρῶ. καθ' ὁμοιότητα τοῦ ῥῶ ῥαίνω.

Digitized by Google

Δραιώμη, ὤφιλλα.

Δράκαιναν, τὴν μάστιγα, τὴν ὕστριχίδα, ὁ Ἀριστοφάνης.

Δρακάνιον, ὄρος Καρίας.

Δρακοντίδης, πονηρὸς οὗτος, καὶ πλείσταις καταδίκαις ἐνεχόμενος. Ἀριστοφάνης, ἐκφλάξεται Δρακοντίδης. ἢ Δρακοντίδης, εἷς τῶν τριάκοντα. Ὑπερίδης, καὶ Δρακοντίδης τὸν Κέκροπα. Ἀριστοφάνης, ἐπειδὴ τὰ κάτω δράκοντος εἶχε.

Δράκαυλος, Σοφοκλῆς τυμπανισταῖς. ἢ ὅτι συνέστηκε σκορπίος, ἢ ὅτι εἰς δράκοντα μετεμορφώθη.

Δρακεῖν, ἰδεῖν, βλέψαι.

Δρακεῖ, ἐνεργεῖ, πράσσει.

Δράκια, φῦλα, Σικελοί.

Δρακίος, ὄνομα κύριον. ἀπὸ τοῦ δραίσσω, ἵν' ᾖ ὁ δραττόμενος, ὁ ἰσχυρός. ἢ παρὰ τὸ δρῶ, τὸ πράττω, ἵν' ᾖ ὁ πρακτικός.

Δράκοντα, τὸ κηρύκιον. Σοφοκλῆς Φιλοκτήτῃ.

Δρακὸς, τῆς παλάμης τῆς χειρός.

Δράκων. ἐκ τοῦ δέρκω, τὸ βλέπω. οὗ δεύτερος ἀόριστος, ἔδαρκον. γίνεται κατὰ μετάθεσιν τοῦ ρ. εἰ ὡς σμερδαλέος, καὶ τῇ ὄψει καταπληκτικός. καὶ δράκων, ὥσπερ ἀρνὸς, φαεὸς φαεινός.

Δράκων, ἐπιφανέστατος νομοθέτης, ὡς Αἰσχίνης· ἕτερος δ' ἐστὶ δράκων, οὗ Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ μέμνηται.

Δράλαινα, Λάμια, Κῷοι.

Δρᾶμα, ποίημα, πρᾶγμα. ὡς καὶ δρᾶσαι, τὸ πρᾶξαι λέγεται. δρᾶμα, καὶ τὸ ὑπὸ τῶν θεατρικῶν μιμηλῶς γινόμενον, ὡς ἐν ὑποκρίσει.

Δραματολόγος, ὁ τὰ δράματα συνάγων.

Δραματουργεῖν, πανουργεῖν, συντιθεῖν, πράττειν.

Δραματούργημα, σύνθημα.

Δραμεῖν. δρέμω δρεμῶ. ὁ δεύτερος ἀόριστος, ἔδραμον. ὁ μέλλων δεύτερος, δραμῶ. τὸ ἀπαρέμφατον, δραμεῖν.

* Δρᾶ, ἀντὶ πράττε προστακτικῶς.

Δρᾶν, πράττειν, θύειν. Σοφοκλῆς ἐν Αἴαντι, Τίποτε δρασείεις φρενί.

Δρᾶναι. ἔστι δρῶ τὸ πράττω, δρῆμι, καὶ διδρῶ, καὶ δίδρημι. δρῆμι οὖν, δρήσω, ὁ ἀόριστος ἔδρην. ἡ μετοχὴ, δρὰς δράντος. τὸ ἀπαρέμφατον, δρᾶναι.

Δρανεῖς, δραστικοί. ὅθεν καὶ ἀδρανεῖς.

Δράνος, ἔργον, πρᾶξις, ὄργανον, ἄγαλμα, κατασκεύασμα, δύναμις.

Δρὰξ, δράκα, ἢ ἴσον τῇ χειρὶ, οἷόν τε δράξασθαι καὶ περιλαβεῖν. παρὰ τὸν δράξω μέλλοντα δρὰξ, ὡς θήσω θής.

Δράξαι, κρατῆσαι, καὶ ξέστου τὸ τέταρτον.

Δράξασθε παιδείας, ἐπιλάβεσθε παιδείας καὶ ἐπιστήμης.

Δράξων, ἡ λεγομένη Σικελική. σημαίνει δὲ τοὺς κατ' ἀγορὰν τῶν ἀλφίτων, ἢ τοὺς ἄλλων τινῶν δραττομένους καὶ ἁρπάζοντας. οὓς Ἐρατοσθένης καπηλάλους καλεῖ. παρὰ οὖν τὸ δράττεσθαι. εἰς δὲ τὸ Διογένους, εὗρον τὸ δράξων σημαίνειν τὸν πορνοβοσκόν.

Δραπενίδες, εἶδος ὀρνέου.

Δραπετεύων, φεύγων.

Δραπέτης, ὁ ἀποδρῶν τῆς δουλείας, ὁ πετεύων, ὅ ἐστι φεύγων. δραπέτης, τὸ δρα, μακρόν. καὶ δραπέτης κλῆρος, ὁ μετὰ πανουργίας γινόμενος. τοῦτο δὲ ἱστόρηται περὶ Κρεσφόντου, καὶ τῶν Ἀριστοδήμου παίδων. ὅτι πανούργως ὁ Κρεσφόντης, βῶλον ὑγρὰν εἰς τὴν ὑδρίαν ἐνέβαλε, κληρουμένων περὶ Μεσσήνης. Σοφοκλῆς, Οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθεὶς, ἀλλ' ὃς εὐλόφου κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν.

Δραπετίνδα, ὄνομα παιδιᾶς. ἔστι δὲ τῆς Μυΐνδα καλουμένης τρόπος. εἴρηται δὲ παρὰ τὸ τῶν παίδων ὁ μέν τις μύει τοὺς ὀφθαλμοὺς βοῶν, τηρῶ, φυλάττου. οἱ δὲ ἄλλοι φεύγουσι, φυλασσόμενοι τοῦ ἀγρευθῆναι. εἴρηται δὲ, παρὰ τὸ δραπετεύειν.

Δράσας, ποιήσας καὶ δρᾶσαι, ποιῆσαι.

Δράσειν, θύειν θυσίας, Αἰολεῖς.

Δρασείοντες, ἐνεργητικῶς ἔχοντες.

Δρασείω, τὸ ἐπιθυμῶ δρᾶσαί τι. Εὐριπίδης Τί τ' ἐπὶ τούτοις παῖδ' ἐμοὶ δρασείετον, ἤγουν μέλλουσι δράσειν.

Δρασείων, δραστικῶς ἔχων.

Δράσις, σημαίνει τὴν πρᾶξιν, καὶ τὴν ὅρασιν. καὶ δρατοὶ, οἱ ὀφθαλμοί.

Δρασκάζειν, κρύπτεσθαι, ἀποδιδράσκειν.

Δράσκας, δρασμός.

Δράσκασις, ἡ διάδρασις, ἡ δραπέτευσις.

Δρασμάτων, πανουργημάτων.

Δρασμὸς, ἡ φυγή.

Δράσον, Ἀριστοφάνης. οἶδ' οὖν ὃ δράσον, Ἀττικὸν ἀντὶ τοῦ δράσεις.

Δρασσόμενοι, κρατοῦντες.

Δραστείας, τὰς θεραπαίνας, καὶ διακόνους.

Δράστην, κόφινον.

Δραστὴρ, ὁ νοητικὸς, κατ' ἐπιβολήν.

Δραστηρὰ, δραστικά.

Δραστῆρας, μαγείρους, διακόνους.

Δραστήριον, τὸ κόσμιον καὶ ἡσύχιον.

Δραστήριος, ὁ περίεργος. καὶ δραστηρίοις, πρακτικωτάτοις.

Δραστικὸς, κραταιὸς, ἰσχυρὸς, δυνατός.

Δράστις, ἡ βύσσος. καὶ οἱ ἐργαζόμενοι αὐτὴν, δραστιουργοί.

Δρατὰ σώματα, ἐκ τοῦ δαρτά. ὡς καὶ τὸ κραδίη. καὶ τὸ ἔδρακον, ἐκ τοῦ ἔδαρκον.

* Δράττεσθαι, ἀντὶ τοῦ ἀπρὶξ ἔχεσθαι.

Δράχμα, τὸν τῆς σταφυλῆς βότρυν, καὶ τὰς φοινικίας βαλάνους.

Δράχματα, συνθήματα.

Δραχμὴ, σταθμὸς ὡρισμένος. ἢ τὸ συνάθροισμα τῶν ἓξ ὀβολῶν, ἢ τὸ ὄγδοον τῆς οὐγκίας, ἢ χρυσίου ὁλκὴ νομίσματος, εἰς ἀργυρίου λόγον διδράχμων δέκα.

Δρέγμονες, οἱ νεφροί.

Δρέμμα, βλέμμα. οἱ δὲ, κλάσμα.

Δρεπανηφόρος, ξιφηφόρος. καὶ δρεπανηφόροι. καὶ δρεπάνη, ἡ Φαιακία. διὰ τὸ ἐκεῖ κεκρύφθαι τὸ δρέπανον.

Δρεπανὶς, κέγχρος.

Δρέπειν, τρυγᾶν, τέμνειν. καὶ δρεπεῖς, οἱ τρυγηταί.

Δρέπεται, θερίζεται, τρυγᾶται, ἀπανθίζεται.

Δρέπομαι τῶν ἀνθέων, ποιητικῶς. καὶ γενικῇ κάλλιον, ἢ αἰτιατικῇ. τὸ δὲ ἐνεργητικὸν, κάλλιον ἄχρηστον.

Δρεπόμενοι λαμβάνοντες, ἀπολαύοντες τρυγοῦντες.

Δρεπτὰ, ἐσπαρμένα.

Δρεπτὸν, δινεκῶς ἀπολαυστικὸν, τρυγητικόν. καὶ ὅπως τὸ, τε ἁρπαστὸν, καὶ τὸ δρεπτὸν σκώπτεται παρὰ σοῦ φίλημα.

Δρεφθῆναι, ἀποδρεπανισθῆναι, τρυγηθῆναι.

Δρέψαι, ἀφελεῖν, τρυγῆσαι, ἀποκόψαι. ὅθεν καὶ δρέπανον.

Δρῆες, στρουθοὶ, Μακεδόνες.

Δρηλοῖ, φοβεῖται.

Δρῆσαι, δραπέται, δυνατοὶ, ἢ οἰκέται.

Δρηστῆρες, οἱ ὑπουργοῦντες καὶ διακονοῦντες.

Δρημοσύνην, θεραπείαν, ὑπηρεσίαν, οἱ θεράποντες. καὶ δρήστειρα τὸ τούτου θηλυκόν. καὶ δρησοσύνη, καθ' ὁμοιότητα τοῦ παλαισμοσύνη.

Δρία. Ἡσίοδος, Ἀνὰ δρία βησσήεντα φυγεῖν. ἤγουν, ἀνὰ τοὺς συνδένδρους τόπους.

Δριάεντα, χλωρά.

Δριαλεῖν, ποιεῖν.

Δριάουσαν, θάλλουσαν.

Δριακνεὶ, ὄρνεα ποιά.

Δρίλακες, βδέλλαι. Ἠλεῖοι.

Δρίμα, ψῦχος.

Δριμέα, τὰ δριμύτατα. καὶ δριμεῖα, ἡ δριμύτης. καὶ δριμεῖα μάχη, ἡ ἔνθερμος, καὶ ἐνεργός.

Δριμὺ, ὀξὺ, σφοδρὸν, θερμὸν, ταχύ.

Δριμὺς, ὀξὺς, στυπτικός.

Δρίον, ὕλη, ὄρος, χόρτος.

Δρὶς, δύναμις.

Δριτὴ, πύελος, σκάφη, καὶ εἶδος ὀρχήσεως.

Δριωδόνες, Θεοὶ παρὰ Λακεδαιμονίοις τιμώμενοι.

Δρογγίλον, Θρακικὸν χωρίον. Δημοσθένης Φιλιππικοῖς.

Δροιὸν, καλὸν, Κρῆτες.

Δροίτη, ἡ πύελος. ὁ δὲ Αἰσχύλος φησὶ τὴν σκάφην, ἐν ᾗ τιθηνεῖται τὰ βρέφη. Παρθένιος δὲ, τὴν σορὸν, καὶ Αἰσχύλος. καὶ ἔστι παρὰ τὸ δόρυ καὶ τὸν οἶτον τὸν θάνατον, τὸ δόρυ τὸ εἰς θάνατον ἐπιτήδειον. ἢ ἐκ δρυὸς εἰς οἶτον πεποιημένη, καὶ εἰς τὸ δέχεσθαι τὸ σκῆνος. κατὰ τὸν Ἕρμιππον οὖν, διὰ τοῦ ι γράφεται, παρὰ τὴν ξυλίνην. καὶ ἴσως ὅτε μὲν σημαίνει τὴν πύελον, διὰ τοῦ ι. ὅτε δὲ τὴν σορὸν, διὰ τῆς οι διφθόγγου.

Δροκταίζεις, περιβλέπεις.

Δρομάδην, μετὰ δρόμου.

Δρομαλὸς, λαγωὸς, ὁ ἐν δρόμοις ἁλισκόμενος. Ἀθηναῖος δὲ, ὁ ἐν κοίτῃ.

Δρομὰς, ἡ ἑταίρα.

Δρομάσσειν, τρέχειν.

Δρομιάφιον ἦμαρ, ἀμφιδρομία. ἔστι δὲ ἡμέρα ἑβδόμη ἀπὸ τῆς γεννήσεως. ἐν ᾗ τὸ βρέφος βαστάζοντες, περὶ τὴν ἑστίαν γυμνοὶ τρέχουσι.

Δρόμοις, τοῖς γυμνασίοις. ὅτι δρόμοι τόποι τινὲς ἦσαν, ὅπου ἔτρεχον οἱ νέοι. ἐκείνων οὖν τῶν ἐν τοῖς δρόμοις γυμνασίων ἀκροαταὶ οἱ περίπατοι.

Δρομοκήρυκες, οἱ λεγόμενοι ἡμεροδρόμοι. Αἰσχίνης.

Δρομοκήρυξ, ὁ ἐπὶ σπουδῆς πεμπόμενος τὰς ἐπικηρυκείας ποιήσασθαι, ὁ ἡμεροδρόμος.

Δρόμος, καὶ ἐπὶ τῶν ἀρχόντων, καὶ ἐπὶ τοῦ ὑποκειμένου τόπου τοῖς τρέχουσι. καὶ δρομικὸς, ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸν δρόμον. καὶ δρομεὺς, ὁ ἐνεργῶν τὸν δρόμον, ἢ ὁ εἰδὼς τρέχειν.

Δρόμος, ἡ ὀρχήστρα τοῦ Διονυσιακοῦ θεάτρου, παρὰ Ταραντίνοις.

Δρόμων, ὁ μικρὸς καρκῖνος.

Δροὸν, ἰσχυρόν. Ἀργεῖοι.

Δροπὰ, δρεπτά. Σοφοκλῆς Παλαμήδῃ.

Δρόπις, τρυγητός.

Δροπίσκος, κάλαθος.

Δρόσοι, ψεκάδες.

Δροσερὰ, δροσιζόμενα. καὶ ὄνομα Πηγῆς.

Δρόσος ἄλλο, καὶ ἔνδροσον ἄλλο. δρόσος μὲν γὰρ, ἡ ψεκάς. ἔνδροσον δὲ, σῶμά τι μετέχον δρόσου· τοιοῦτον καὶ ἐπὶ τῆς ὕλης καὶ τοῦ ἐνύλου. ἔνυλον γὰρ, φύσις ἄλλη μετέχουσα ὕλης, ὡς ἡ ψυχὴ μετέχουσα τοῦ σώματος.

Δρόσους, ἀχαιούς. Κύπριοι.

Δροῦνα, ἡ ἀρχὴ ὑπὸ Τυρρηνῶν.

Δρυάζειν, φλυαρεῖν.

Δρύακες, ξύλα τὰ βαστάζοντα τὴν τρόπιν τοῦ πλοίου.

Δρυάσαι, κατακολυμβῆσαι.

Δρυαταὶ, ἄδιψοι, ψεῦσαι.

Δρυαχαρνεῦ, δρύϊνε Ἀχαρνεῦ, ἀναίσθητε. ἐκωμῳδοῦντο γὰρ οἱ Ἀχαρνεῖς, ὡς ἄγριοι καὶ σκληροί. πολέμιοι δὲ, ὡς ῥαδίως δεχόμενοι τὰς παρεγγραφούς. θυσίδαι, καὶ προσπάλτιοι, ὡς δικαστικοί.

Δρύες οἰνοχίτωνες, αἱ ἄμπελοι, διὰ τὸ τὸν οἶνον ἔχειν. καὶ ὁ χιτὼν δὲ, παρὰ τὸ κεχύσθαι ὠνόμασται.

Δρύεται, κρύπτεται.

Δρυΐδαι παρὰ Γαλάταις οἱ φιλόσοφοι, καὶ σεμνόθεοι.

Δρυΐνος, ξύλινος.

Δρυΐτης, βοτάνη τις.

Δρύκαρπα, πᾶσαν ὀπώραν λέγουσιν οἱ παλαιοί. λέγεται καὶ τὰ δρυὸς ἄκρα, ἤγουν ἀκρόδρυα.

Δρυμάξεις, κυρίως μὲν σπαράξεις. χρῶνται δὲ καὶ ἐπὶ τοῦ συνέσῃ, καὶ προσομιλήσεις.

Δρύμας, ὁ Ἀπόλλων παρὰ Μιλησίοις. προφάντος δὲ ὁ Ποσειδῶν, παρὰ Θουρίοις.

Δρυμάσσει, σπαράττει. καὶ δρυμάξαι, τὸ τύπτειν ξύλοις, καὶ τὸ τρέχειν.

Δρυμίους, τοὺς κατὰ τὴν χώραν κακοποιοῦντας.

Δρυμὸς, ὁ σύνδενδρος τόπος, ὁ σύμφυτος, χλοώδης, καὶ εὔξυλος.

Δρυμὸς, πόλις ἐστὶ μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς. Δημοσθένης, ἐν τῷ περὶ Παραπρεσβείας.

Δρυμὺς, ὀξὺς, στυπτικός. παρὰ τὸ τὰς ῥῖνας μύειν.

Δρυοβαφῆ ἱμάτια, τὰ ὑπὸ τοῦ κελύφους τοῦ δρυὸς βεβαμμένα.

Δρυόεντα, δρυώδη.

Δρυο-

Δρυοκυλιστόλον, τὸν πάσσαλον, Σοφοκλῆς.

Δρύοπες, ἔθνος περὶ τὸν Παρνασσὸν, ἄδικον, ὃ κατεπολέμησεν Ἡρακλῆς, καὶ μετέστησεν εἰς Πελοπόννησον. ὠνομάσθησαν δὲ, ἀπὸ Δρύοπος τοῦ Λυκάονος, καὶ Δίας τῆς Λυκαονείας.

Δρυπεπὴς, ὁ πέπειρος καρπὸς τῶν δένδρων. ἢ ἡ ἐπὶ τῶν δένδρων πεπανθεῖσα ἐλαία.

Δρυὸς γένη εἰσὶ πέντε, φηγὸς, χιμερὶς, ἐτυμόδρυς, ἄμυλος, ἄλυφλος. Ἄμυλον δὲ λέγεται, τὸ κοινῶς λεγόμενον καπαστὸν. ὅπερ ἐστὶ τὸ γαλακτῶδες τοῦ σίτου βεβρεγμένου καὶ σεσημένου, καὶ ἀποπιεσμένου, εἶτα τῷ ἡλίῳ ξηραινόμενον. ἢ δρυὸς πολυανθέος ὕλης, ταπεσιδάσος. καὶ δρυὸς ὑψικόμοιο, τοῦ ἐν Δωδώνῃ μαντείου.

Δρυοτόμος, ὑλοτόμος, δενδροτόμος.

Δρυοῦσα, ἡ Σάμος τὸ παλαιόν.

Δρύοχοι κυρίως, πάσσαλοι, ἐφ' ὧν στοιχηδὸν διατεθειμένων, ἡ τρόπις ἵσταται τῶν καινουργουμένων πλοίων διὰ ἰσότητα. ἢ πάσσαλοι, οἱ ἐντιθέμενοι ναυπηγουμένης νεώς. ὡς δῆλον ἐκ τοῦ, Πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανὶς, ἢ τίνι γόμφοι θέντες πελέκει, ταῦτ' ἔκαμον τὸ κύτος; γίνονται δὲ δρύοχοι παρὰ τὸ τὴν δρῦν, ὅ ἐστι τὴν τρόπιν συνέχειν ἑκατέρωθεν. ἢ καὶ ἄλλως, παρὰ τὸ ξύλα συνεκτικὰ εἶναι τρόπεως. Σημείωσαι δὲ, ὅτι ταυτὸν μὲν δρῦς καὶ ξύλον. οὐ ταυτὸν δὲ ὅμως δρύοχοι καὶ ξύλοχοι. δρύοχοι μὲν γὰρ, ξύλα, ἐφ' ὧν ἡ τρόπις ἵσταται. ξύλοχοι δὲ, δάσος δένδρων ἐν ὄρει.

Δρυόψ, ὀρνεόντι, διαφέρον τοῦ δρυοκολάπτου.

Δρυπετεῖς, τὰς ἀπὸ δένδρου πεπτωκυίας ὠμάς.

Δρυπολεῖ, ταλαιπωρεῖ, ὀρειβατεῖ, περιπολεῖ.

Δρύπτειν κυρίως, ἐπὶ λεπισμοῦ δρυῶν, ἤτοι ξύλων. καταχρηστικῶς δὲ, καὶ τὸ ἁπλῶς ξέειν. κυριολεκτεῖται δὲ μάλιστα ἐπὶ σαρκῶν, τὸ ἀμύσσειν. τὸ μέντοι δρύπτειν, βαθύτερόν τι τοῦ ἀμύσσειν ποιεῖ. ἢ δρύπτειν, τὸ ξέειν, καὶ ἀπάγειν τῶν σαρκῶν τὸ δέρμα ὄνυξιν ἢ ἑλκυσμῷ. φαίνεται δὲ διφορεῖσθαι καὶ τοῦτο τὸ ῥῆμα, δρύπτω τε γὰρ, καὶ δρύφω. ὡς εἰπεῖν δὲ δεικτικόν ἐστι παρακειμένου τοῦ δέδρυφα τὸ δρύφοι· οὐκ ἄοδόν ἐστι. οἱ γὰρ τῶν παρακειμένων ἀναδιπλασιασμοὶ οὐκ ἀφαιροῦνται Ἰωνικῶς, εἰμή τι ἄρα Αἰολικῶς κατὰ τὸ δέγμενος, ὃ μᾶλλον συγκεκόφθαι δοκεῖ, οὐ μὴν παθεῖν ἀφαίρεσιν.

Δρυπτέρις, βοτάνη τις ἐμφερὴς πτέρει.

Δρύπτην, ἀλήτην.

Δρύπτω, τὸ σπαράττω καὶ ξύω. Ὅμηρος, δρυψάμενοι δ' ὀνύχεσσι παρειάς, παρὰ τὰς δρῦς. τὸ γὰρ παλαιὸν ἁρπάζοντες τὰς βαλάνους, περιπαίοντες ἀλλήλους ἐσπάραττον. ὅθεν δρυμάσσω ῥῆμα, τὸ σπαράττω. ἢ ἀπὸ τῶν περιλεπιζομένων δρυῶν εἴρηται.

Δρῦς κατὰ τοὺς παλαιοὺς πᾶν δένδρον. ἀφ' οὗ ἀκρόδρυα λέγονται, αἱ ὀπῶραι πᾶσαι.

Δρῦς, ἱερὰ τῆς Ῥέας, ὥς φησιν Ἀπολλόδωρος ἐν τρίτῳ περὶ θεῶν.

Δρῦς. Δημοσθένης κατ' Ἀριστοκράτους, πόλις ἐν Ἠπείρῳ. ἔστι δὲ καὶ ἑτέρα ἐν Θράκῃ.

Δρυτόμος, ὑλοτόμος, δενδροτόμος. οὐ μόνον δὲ ὁ δρῦς τέμνων, ἀλλὰ ὁτιοῦν δένδρον. ἢ δρυτόμος, ἐκ μέρους τοῦ δρυός· ὃς τίμιος ἐδόκει τοῖς παλαιοῖς, διὰ τὰς πρεσβυτάτας καὶ παλαιφάτους βαλανηφόρους δρύας, τὸν ἁπλῶς ξυλοκόπον καὶ ὑλοτόμον δηλοῖ. ὥσπερ καὶ δρυμὰ καὶ δρυμὼν, οὐ μόνον ὁ δρῦς ἔχων τόπος, ἀλλὰ καὶ τὰ λοιπὰ δένδρα. καὶ δρυοκολάπτης, ὁ πᾶν ξύλον κολάπτων. ὡς ἐπάγει Ὅμηρος, τάμνων δένδρεα, οὐ μὴν δρῦς μόνας. ὡς εἶναι ταυτὸν τὸ τάμνειν δένδρεα καὶ τὸ δρυτομεῖν, καὶ τὸ δενδροτόμον καὶ δρυτόμον. Ἰστέον δὲ, ὅτι ὥσπερ δρῦς ἅπαν δένδρον, ἤδη δὲ καὶ πεύκη, ὡς καὶ Εὐριπίδης δηλοῖ, ἐν τῷ τὴν ἐν Ἴδῃ πεύκην, οὕτω καὶ δόρυ οὐ μόνον ἰδίως λόγῳ μέρους τὸ πολεμικὸν ξύλον, ἀλλὰ καὶ ἅπαν. ὡς δῆλον ἐκ τοῦ, δόρατα μακρὰ ταμών. καὶ, ὅστ' εἶσι διὰ δρυὸς ὑπ' ἀνέρος. καὶ οὐ γάρ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης.

Δρυφάδες, ὄνυχες, καταξύσματα, καὶ δρυφάδες, λύπαι, ὀδύναι, ἢ τὰ ἀπὸ πληγῶν τελειώματα.

Δρυφαίνηκα, τὸν οὐ μέγαν. Ἠλεῖοι.

Δρύφακτα κυρίως λέγονται, τὰ ἐκ τῶν δρυῶν περιφράγματα.

Δρύφακτος, τὸ παρατεινόμενον ξύλον τοῖς δικασταῖς.

Δρύφακτοι, ξύλινοι θώρακες, τὰ διαφράγματα. ἢ οἱ ἐκ δρυΐνων βάλανοι. καὶ οἱ ἐξ ὁδηποτοῦν ξύλου ἐξισάζουσιν, ἢ τὰ περιτειχίσματα, ἢ κιγκλίδες, περιφράγματα. τὰ νῦν ταυλωτὰ καλούμενα, τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. παρὰ Ἀριστοφάνει δὲ, τὰ ταυλώματα τοῦ δικαστηρίου, διὰ τὸ ἐκ σανίδων καὶ ξύλων τῆς δρυὸς εἶναι κατεσκευασμένα. λέγει δὲ ἀπὸ μέρους, τὸ δικαστήριον.

Δρυφάκτους, τὰ νῦν ταυλώματα καλούμενα, τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα λέγουσιν. ἢ τὰ κάγγελα, δρύφακτός τις ὤν. οἱ γὰρ ἀρχαῖοι, πᾶν δένδρον δρῦν ἐκάλουν. ὥσπερ καὶ ἀκρόδρυα, τὰ ἄκρα τῶν δένδρων, τουτέστιν ὁ ἐκ δρυῶν φραγμός.

Δρυφάξαι, δακεῖν.

Δρύφειν, περαίνειν.

* Δρύφυκτα, παρὰ τὸ δρυσὶν, ὅ ἐστι ξύλοις πεφράχθαι οὕτω λέγονται.

Δρυφὴ, ἀμυχὴ, καταξυσμή.

Δρύφη, ξέσματα.

Δρυφόμενοι, φθειρόμενοι.

Δρύψαι, ἀποξέσαι, ἀφελεῖν.

Δρύψαλα, μέταλλα δρυώδη.

Δρύψειεν, ἐπιζητοίεν.

Δρύψελλον, τὸ λέμμα, ὁ φλοιός. Παρθένιος, Οὐδὲ πόροι ῥίζης δρύψελλα ποντιάδος. παρὰ τὸ δρύψαι, ὅ ἐστι λεπίσαι, ὁ ἀποδρυπτόμενος φλοιός. καταχρηστικῶς δὲ καὶ φύλλον δρύψελλον ἐπὶ τοῦ Σελίνου.

Δρυψογέροντας, τοὺς ἀτόπους πρεσβύτας, καὶ οἱονεὶ ἀτίμους.

Δρυψόπαιδα, τὴν λαμύραν. οἱ δὲ ἀπαλόπαιδα, ἢ ἐλεεινόν.

Δρωμᾷ, τρέχει.

Δρώμενα, πραττόμενα, ἐνεργούμενα. καὶ δρωμένων, πραττομένων.

Δρωμίουσα, τρέχουσα.

Δρωντάζειν, ἐμβλέπειν.

Δρώντων, ἀντὶ τοῦ δράτωσαν, Ἀττικῶς.

Δρώοιμι, ὑπηρετοίην.

Δρωπακίζεσθαι διὰ τοῦ ω μεγάλου, τὸ τὰς τρίχας τοῦ σώματος μαδᾶν χρίσματι, ὃ καὶ πιττοῦσθαι ἔλεγον.

Δρωπακίζω, συνάγω, τρυγῶ. δρωπτὰ γὰρ, τὰ δρέπανα.

Δρώπαξ, ὁ καλλωπισμένος ἀνήρ.

Δρώπης, πλανήτης, πτωχός.

Δρώπτειν, διακόπτειν, ἢ διασκοπεῖν.

Δρῶ, τὸ πράττω. ἐξ οὗ δρᾶσις μόνον καὶ δράμα παράγεται, ἡ πλασματογραφία.

* Δρῶ, τὸ βλέπω. οἱονεὶ διορῶ κατὰ συγκοπήν.

Δρῶσι τόδε Ἀττικοί, οὐ δρῶσι. οὕτως ἐργάζομαί σε τόδε, καὶ ποιῶ σε. σημαίνει δὲ τὸ δρῶ, τέσσαρα. δρῶ τὸ κρατῶ, ἐξ οὗ δράκτυλος, καὶ δάκτυλος. δρῶ τὸ ὑπηρετῶ, ἐξ οὗ καὶ δραπέτης ὁ ἀποδρῶν τῆς δουλείας. δρῶ τὸ βλέπω, ἐξ οὗ ὑπόδρα ἰδών. καὶ δρήθω, κατὰ ἀντίφρασιν. οἱ γὰρ κοιμώμενοι οὐ βλέπουσι. δρῶ τὸ πράττω, ἐξ οὗ καὶ δράμα.

Δρώψ, ὁ ἄνθρωπος.

Δρώωσι, διακονοῦσιν, ὑπηρετοῦσι.

ΤΟ Δ. ΜΕΤΑ ΤΟΥ Υ.

Δ Υ, ἐκ τοῦ δῦμι, ἔδυν ἔδυς ἔδυ, ὁ δεύτερος ἀόριστος. δῦ δὲ χιτῶνα, τὸ υ, μακρόν. καὶ ἔχει ἀναλόγως τῷ φῦ.

Δυάζειν, τὸ διστάζειν, παρὰ τὸ ἐν δύο στάσεσιν εἶναι. σημαίνει καὶ τὸ φλυαρεῖν.

Δυάζει, φλυαρεῖ.

Δύαλος, ὁ Διόνυσος, παρὰ Παίωσιν.

Δύαν, κρήνην.

Δυαρεία, ἡ ἐν τοῖς Τέμπεσι δάφνη. τὸ δὲ αὐτὸ καὶ δηλεία.

Δυὰς, παρὰ τὸ δῶ τὸ δεσμῶ. ἵν' ᾖ, ὁ ἐκ συνδέσεως πρῶτος ἀριθμὸς, πρὸς ἀντιδιαστολὴν τῆς μονάδος, ἢ παρὰ τὸ συνδεδέσθαι ἄλλῳ ἀριθμῷ, τῷ ἑνί. τὸ γὰρ ἓν, ἀπολελυμένον ἐστὶ παρὰ τὴν ἕσιν, καὶ τὴν ἄφεσιν. ἢ παρὰ τὸ διιέναι. μόνη γὰρ πρώτη ἡ δυὰς, διΐσταται ἀπὸ τῆς μονάδος. ὅθεν οἱ Πυθαγόρειοι, τόλμαν αὐτὴν εἶπον. ἢ παρὰ τὸ δύο δυάς.

Δῦ δέ μιν ἄρης, ἐπιθυμία αὐτὸν εἰσέδυ τοῦ πολεμεῖν.

Δυεῖν δύο, ἔστι μὲν δόκιμον. τὸ δὲ ἀλλοκότως αὐτῷ χρῆσθαί τινας, ἐπιπαραιτεῖται. ἐπὶ γὰρ μόνης γενικῆς τίθεται, καὶ δοτικῆς.

Δυερὸν, βλαβερὸν, ἐπιβλαβὲς, τολμηρόν.

Δύεσθαι, καὶ καταδύεσθαι λέγεται, τὸ εἰς βάθος ὑγρὸν κατιέναι. ὡς καὶ Ἥλιος δύεται εἰς τὸν μυθικὸν Ὠκεανόν. τὸ δὲ ἐκεῖθεν ἀνιέναι, ἀναδύεσθαι. λέγεται δέ ποτε ἀναδύεσθαι, καὶ ἐπὶ τοῦ ὀκνεῖν, ἢ καὶ ἀργεῖν, κατὰ ὁμοιότητα τοῦ ἀναβάλλεσθαι, ἤτοι ὀκνεῖν καὶ ἀναδύεσθαι.

Δύεται ὁ Ἥλιος, εἰσέρχεται. καὶ ἔδυ, καὶ δύει, καὶ δύνει λέγεται.

* Δύεσσιν, ἀντὶ τοῦ δυσὶν, Αἰολικῶς.

Δύη, δυστυχία, ἡ ἔνδεια, πόνος, ταλαιπωρία, καὶ δυσπάθεια. ἢ δύη, κακοπάθεια. ὡς τὸ, δύῃ ἀρήμενον, ἤγουν βεβλαμμένον τῇ κακοπαθείᾳ. τοιοῦτο γὰρ ἡ δύη, γινομένη κατὰ μὲν Πλούταρχον, ἀπὸ τοῦ δύο ἀριθμοῦ, ἐπεὶ δυάζει πως τὴν στοιχειακὴν καθ' ὑγείαν ἑνότητα τὸ κακοπαθὲς, καὶ διαλύει τὴν ἕνωσιν διὰ τῆς φθορᾶς. ἄλλως δὲ, παρὰ τὸ δύω ῥῆμα. ἐξ οὗ καὶ ἡ ὀδύνη, δύνη τις οὖσα φύσει καὶ αὐτὴ κατὰ τὸ ἀπλεόναστον. ἢ καὶ ἄλλως, ἐκ τοῦ δύω κατὰ πλεονασμὸν γίνεται δύνη, καὶ ὀδύνη, ἡ κατὰ βάθος δύνουσα.

Δυθίλαι, θαλάμαι, καταδύσεις.

Δῦθι, ἔνδυσαι.

Δυθμέσι, δύσεσι, καταστροφαῖς.

Δυϊκὸς ἀριθμὸς, οὐ μόνον ὅτι ἐπὶ δυοῖν λέγεται, ἀλλὰ καὶ διὰ τὸ ἑκάστην πτῶσιν δύο πτώσεις ἔχειν.

Δύβας, ὁ Φρὺξ, ὁ πατὴρ Ἑκάβης.

Δύμεναι, δῦναι, ὑπεισελθεῖν.

Δύμη, ἐν Σπάρτῃ φυλὴ καὶ τόπος.

Δῦναι, κατελθεῖν, ἢ εἰς δύσιν ἀπελθεῖν. ἐκ τοῦ δῦμι ἡ μετοχὴ δὺς, δύντος. τὸ ἀπαρέμφατον, δῦναι, καὶ δύμεναι. δεύτερος ἀόριστος, ἐκ τοῦ δῦμι, ἔδυν ἔδυς ἔδυ, καὶ δῦ.

* Δῦναι τεύχεα, καὶ δῦναι ἐν τεύχεσι, τὸ ἐνδύσασθαι ὅπλα, τουτέστιν ὁπλίσασθαι.

Δύναμαι, ἰσχύω, ἔχω μετὰ ἀπαρεμφάτου συντάσσεται, οἷον δύναμαι χρηστὸς γενέσθαι. συντάσσεται δὲ καὶ χωρὶς ἀπαρεμφάτου, οἷον μεγάλα παρὰ τῷ βασιλεῖ δύναται.

Δύναμις, ἡ ἰσχὺς, καὶ ἡ στρατεία. παρὰ τὸ δαινύω, ἢ παρὰ τὸ δυνῶ, ἡ δυνοῦσα, καὶ πράττουσα, καὶ διαιροῦσα τὸ ἀνθιστάμενον. λέγεται δὲ, ἡ μὲν κατ' ἐπιτηδειότητα. ἡ δὲ, καθ' ἕξιν. ἡ κατ' ἐπιτηδειότητα μὲν, ὡς ὅταν εἴπωμεν, τὸ παιδίον δυνάμει γραμματικὸν εἶναι, καθ' ὃ ἔχει ἐπιτηδειότητα πρὸς τὸ γενέσθαι γραμματικόν. καθ' ἕξιν δὲ, ὡς ὅταν εἴπωμεν, τὸν ἠρεμοῦντα γραμματικὸν, δυνάμει γραμματικὸν εἶναι. καθ' ὃ εἰ καὶ μὴ κέχρηται τῇ τέχνῃ, γινώσκει αὐτήν.

Δύνασαι. τὰ ἔχοντα ῥήματα τὴν ἐνεργητικὴν μετοχὴν τῶν περισπωμένων καὶ τῶν εἰς μι εἰς σ ὀξύτονον, τροπῇ τοῦ κατὰ τὸ τρίτον πρόσωπον τ εἰς σ, ποιεῖ τὸ δεύτερον. οἷον πεποίηται, πεποίησαι, ὅτι πεποιηκώς. τίθεται τίθεσαι, ὅτι τιθείς. δύναται δύνασαι, ὅτι δυνάς. ἐπίστασαι, ὅτι ἐπιστάς.

Δυνάσθη, ἐκ τοῦ δυνάζω ἀχρήστου ῥήματος. τοῦτο δὲ ἐκ τοῦ δυνῶ, ἀφ' οὗ καὶ τὸ δύνημι. οὗ παθητικὸν, δύναμαι. ἐξ οὗ ὄνομα, δύναμις. δυνάσθη οὖν, ἐκ τοῦ δυνάζω δυνάξω, δεδύνακα δεδύνασμαι, ἀόριστος ἐδυνάσθην, ἰωνικῶς δυνάσθη.

Δυνάστης, ὁ τύραννος, καὶ ὁ βασιλεύς. καὶ δυναστεία, ἡ τυραννὶς, καὶ ἡ βασιλεία. καὶ δυναστεύω, ὁμοίως. εὕρηται δὲ καὶ ἐπὶ βίας δεσποτεία, οὐκ ἐν αὐθεντείᾳ. τὸ γὰρ αὐθεντεῖα ἐπὶ φονέως οἱ παλαιοὶ ἔταττον.

Δυναστεία, ἡ ἰσχύς.

Δυναστεύω, τὸ ἄρχω, γενικῇ συντάσσεται.

Δύναται, ἰσχύει, βούλεται. Ἀριστοφάνης, τὸ τριβώ-

Digitized by Google

τριβώνιον τί δυνάσται πρὸς τῶν Θεῶν, ἤγουν βούλεται.

Δυνατόν ἐστι, τὸ δυνάμενον γενέσθαι ἀκωλύτως.

Δυνατά μοι τὰ πράγματα, ἀντὶ τοῦ δύναμιν ἔχω εἰς τὰ πράγματα.

Δυωδεκάτῃ ἡμέρᾳ, ἀντὶ τοῦ δωδεκάτῃ.

Δῦνε, ἐνεδύσατο.

Δύνη, καὶ ἐπίστῃ, κατὰ πάθος εἰσὶν ἀπὸ τοῦ δυνάσαι καὶ ἐπίστασαι, Ἰωνικῶς δύνεαι, ἐπίσεαι, καὶ κράσει τοῦ ε καὶ α εἰς η, δύνῃ καὶ ἐπίστῃ.

Δυνήσεαι, ἀπὸ τοῦ δυνῶ δυνῆμι, δυνήσομαι, δυνήσεται, δυνήσεαι Ἰωνικῶς.

Δυνῶν ὀδυνῶν, οὐ μόνον παρήχησίς ἐστι σώφρων, ἀλλ' ἐτυμολογία τῆς ὀδύνης, οὕτω λεγομένης διὰ τὸ εἰς βάθος δύνειν.

Δυνῶνται, ἐκ τοῦ δυνῆμι. οὗ τὸ παθητικὸν, δύναμαι, τὸ ὑποτακτικὸν παθητικὸν, ἐὰν δύνωμαι. τὸ τρίτον, ἐὰν δυνῶνται δυνῶνται, ὡς ἱστῶνται. ἀλλ' ἡνίκα ὁ ἐνεστὼς οὐχ εὕρηται ἐν χρήσει, τότε προπαροξύνεται τὸ ὑποτακτικὸν, δυνῆμι, ἐὰν δύνωμαι. οὐ γὰρ εὔχρηστον τὸ δυνῆμι.

Δύο. οἱ μὲν πληθυντικῶς κλίνοντες διὰ τοῦ ο μικροῦ τὸ δύο προσφέρουσι τὰ δύο τοῖς δυσί. οἱ δὲ δυϊκῶς, διὰ τοῦ ω μεγάλου, τὼ δύο τοῖν δυοῖν.

Δύο δ' ὕρασε πάλιν Ἀλέξανδρον, ἀμφοτεροδέξιον αὐτὸν ὑποβάλλει νοεῖν, ὁποῖος ὁ Ἀστεροπαῖος ἱστορεῖται.

Δυοκαίδεκα λέγε. τὸ δὲ δυώδεκα, ποιητικόν.

Δύο. Ὅμηρος τῶν δύο φησὶν, ἀκολούθως δηλαδὴ τῇ Ἀτθίδι καὶ τῇ κοινῇ. Ἴωνες δὲ γενικὴν μὲν, δυῶν. δοτικὴν δὲ δυσίν. ἀφ' ἧς τὴν δύεσιν Αἰολεῖς ὑπεξέτεινον. ἔτι Ὅμηρος τῶν Ἀττικῶν δύω λεγόντων ἐπὶ δυϊκῆς χέσεως, καὶ τὴν πλαγίαν δυοῖν ἀποδιδόντων, ἔστι δὲ ὅτε καὶ δυεῖν. ἀλλ' αὐτὸς οὐ μεταβάλλει τὰς πτώσεις, ἐπεὶ μηδὲ τῷ δύω δυϊκῶς χρῆται, ἤγουν κατὰ ἀναλογίαν δυϊκοῦ τελικοῦ, ἀλλὰ ποιητικῶς κατὰ ἐπέκτασιν μέτρου. οὐ γὰρ μόνον Ἀτρεΐδα φησὶ δύω κοσμήτορε λαῶν, καὶ υἷε δύο Μέροπος. καὶ ἐν δὲ δύο ποίησε πόλεις, καὶ δύω χρυσοῖο τάλαντα, ἀλλὰ καὶ ἐπὶ γενικῆς χρῆται τῷ δύω. δύω ποταμῶν ἐριμύκων. καὶ ἐπὶ δοτικῆς, δινωτὴν φορέεσκε, δύω κανόνεσσιν ἀραρυῖαν. λέγει δὲ τὸ αὐτὸ λεξικὸν, καὶ ὅτι δυοῖν ἐπὶ δοτικῆς παρὰ Ἀττικοῖς. οἷον δυοῖν γυναικοῖν εἷς ἀνὴρ οὐ στέργεται. καὶ ὅτι τὸ δύο, κατὰ ἔκτασιν δύω Ἀττικοὶ λέγουσι. δυοῖν δὲ, ἐπὶ δοτικῆς καὶ γενικῆς. τὸ δὲ δυοῖν, σπάνιον παρὰ τοῖς παλαιοῖς. λέγουσι δὲ καὶ τῶν δύο, καὶ τοῖς δύο. τὰ δὲ δυσὶ βάρβαρόν φησιν Ὅμηρος, ἐπὶ μὲν ὀρθῆς δύο λέγει οὕτω, δύο δ' αἰὲν ἔχον πατρώϊα ἔργα. ἐπὶ δὲ γενικῆς, τῶν δύο μοιράων. ἐπὶ δὲ αἰτιατικῆς, τὰς δύο χαλκείας. ἐπὶ δὲ κλητικῆς, κατ' ἔκτασιν, δεῦτε δύω μοι ἕπεσθον.

Δυοῖν. ὥσπερ παρὰ τὸ ἄμφω ἀμφοῖν, οὕτως ἀπὸ τοῦ δύο δυοῖν.

Δύο ὑπῆλθε θάμνους, ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης. ἐχρῆν γὰρ εἰπεῖν, τὸν μὲν φυλίης, τὸν δ' ἐλαίης.

Δύουσιν, ἀπορρέουσι.

Δυοχοῖ, παρὰ Δημοκράτει, ἤγουν ταμάζει, σκεπάζει.

Δυόωσι παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας υ, καὶ ὅλως τὸ δυᾶν, ἤτοι κακοποιεῖν διὰ δύης.

Δυόωσιν, ἤγουν εἰς δύην καὶ κακοπάθειαν ἄγουσι πολυπλάγκτους ἀνθρώπους.

Δύπτειν ἐστὶ, τὸ δύνειν, ὡς παρὰ Καλλιμάχῳ. δύπται δ' ἐξ ἁλὸς ἐρχόμενοι. δύπτοντες κεφαλὰς, ἀντὶ τοῦ δύνοντες.

Δύπτης. δύπται λέγονται, αἱ αἴθυαι. καὶ δύπτης, ὁ κολυμβητὴς, παρὰ τὸ δύνειν ἑαυτὸν εἰς τὴν θάλασσαν.

Δύρεσθαι, ἀντὶ τοῦ ὀδύρεσθαι, κλαίειν, θρηνεῖν.

Δυρράχιον, πόλις Ἠπείρου. ἡ ὕστερον κληθεῖσα Ἐπίδαμνος, νῦν δὲ Δυρράχιον. ὅτι κατὰ τὸν τόπον προεχούσης ἄκρας γεωλόφου, τὸ κῦμα προσπίπτον καὶ σχιζόμενον, ῥαχίαν ποιεῖ μεγάλην. ὅθεν διὰ τὸ ῥαχίαν καὶ δύσορμον, Δυρράχιον ὠνόμασαν τὸν τόπον.

Δυς, κακῶς, ἐπίρρημα.

* Δῦς καὶ ου, μόρια διακρίνοντα μέσας τινὰς λέξεις.

Δυσάγωγοι, δυσκόλως φερόμενοι.

Δυσαέος, χαλεπῶς πνέοντος.

Δυσαὴς ζέφυρος, ἢ ὁ δύσπνους, ἢ ὁ ἐκ δύσεως πνέων, ἢ καὶ δύσπνους φασὶ, κατὰ τὸ πνεῖν. καὶ γὰρ καρποτροφῶν ἀναψύχει καὶ τοὺς ἀνθρώπους.

Δυσαίατο, παραγένοιντο, ἀσίοιεν. καὶ δυσαίατο, δυσθρηνήσαιτο.

Δυσαῆ, δύσπνουν, χειμέριον, νοσῶδες. οἱ δὲ, ἄνεμον δύσαντα ἐκ νεφῶν. ἄλλοι ψυχρὸν, ἢ ἀπὸ δύσεως πνέοντα, ἐπὶ τοῦ ζεφύρου.

Δυσάλγητος, ἀσυμπαθής.

Δυσαέος, δυσπνόστου.

* Δυσαήων, ἀντὶ τοῦ δυσαέων, ἐκτάσει τοῦ ε εἰς η.

Δυσάλθετα, ἀθεράπευτα.

Δυσαλθὴς, δυσίατος.

Δυσάλωτον, δύσληπτον.

Δυσάμμορος, δηλοῖ μὲν τὸν δύσμορον. κατὰ συνέλευσιν δύο ἐπιρρημάτων ἰσοδυνάμων, τοῦ δυς καὶ τοῦ α. κατὰ Αἰολικὸν διπλασιασμὸν ἀμεταβόλου. δηλοῖ δὲ οὐ μόνον τὸν δυσθάνατον, ἀλλὰ καὶ τὸν δυσδαίμονα, ἤτοι δυστυχῆ, ὃς καὶ δύσμορος λέγεται. σημειωτέον δὲ, ὅτι ἐστὶ ταυτὸν οἶτος καὶ μόρος. δύσμορος δὲ, οὐκ ἐξ ἀνάγκης ὁ κακῶς θανὼν, ἀλλὰ ὁ κακοτυχής. καὶ ἀκολούθως παρὰ Θεοκρίτῳ μεγάλοιτος κεῖται, ὁ πάνυ δυστυχὴς, ληφθέντος τοῦ οἴτου εἰς τύχην, ὁμοίως τῷ μόρῳ. ἢ κατά τινας, τοῦ δυσάμμορος δεδιπλασίασται τὸ δυς καὶ τὸ α, πρὸς ἐπίτασιν καὶ πολλῆς δυστυχίας ἔμφασιν. σεσημείωται δὲ παρ' Ὁμήρῳ καὶ τοῦτο, ἐκ τριῶν συγκείμενον λέξεων, ὡς καὶ τὸ δυσαριστοτόκεια.

Δυσανάγωγος, δυσχερὴς, ἀπειθής.

Δυσαναχετοῦσι, βαρέως οἴσουσι, παραιτοῦνται.

Δυσαναχέτως, ὀκνηρῶς, ἀπειθῶς. Ὁ δὲ δυσαναχέτως εἶχε, δέξασθαι τὰ βασιλικὰ δῶρα.

Δυσαναφορικῶς, δυσκόλως ἀναφερόμενον.

Δυσάνιος, ὁ ἐπὶ παντὶ ἀνιώμενος, κἂν μικρὸν καὶ εὐκαταφρόνητον ᾖ. καὶ Ἱπποκράτης ἐχρήσατο τούτῳ τῷ ὀνόματι, καὶ Μένανδρος.

Δυσάλωτον, τὸ δυσχερῶς κρατούμενον.

Δύσαντα, κατελθόντα.

Δυσάντα, φοβερά.

Δυσάντης, τραχεῖα, χαλεπὴ, δυσαπάντητος.

Δυσάντητον, τὸ δυσχερὲς, δυσαπάντητον, δυσπρόσιτον.

Δυσθεῖ, δυσφροντίστῳ.

Δυσαρεσκομένην, ἀπαρεσκομένην.

Δυσαρεστούμενος, μὴ ἀρεσκόμενος.

Δυσάρεστος, δυσπέμφελος.

Δυσαριστοτόκεια, Ἰλιάδος ρ, ἡ ἐπὶ κακῷ τὸν ἄριστον τετοκυῖα. ὡς ἄντις εἴποι, ἐπὶ διχοστασίᾳ εὔτεκνον. σημειοῦνται δὲ οἱ παλαιοὶ, τὴν Ὁμηρικὴν ταύτην λέξιν, ὡς ἐκ τριῶν σύνθετον λέγοντες σπανίως εὑρίσκεσθαι τὰς τοιαύτας παρὰ τοῖς σπουδαιοτέροις τῶν ποιητῶν. πλεονάζειν δ' ἐν αὐταῖς μάλιστα τοὺς κωμικούς. φαίνεται δὲ προϋπάρχειν ἡ δυσαριστοτόκος, καὶ ἀπ' τῆς παρῆχθαι ἡ δυσαριστοτόκεια. οὕτω γὰρ φασὶν οἱ τεχνικοὶ εἶναι, καὶ πρωτοτόκον καὶ πρωτοτόκειαν.

Δυσάριστος, χαλεπὸς, μεμψίμοιρος.

Δυσαύλητος, δυσεγκλήμων.

Δύσαυλος, δυσαύλιστος.

Δυσαχθὲς, βαρὺ, ἀβάστακτον.

Δυσαχθὴς, πάνυ ἀηδιζόμενος.

Δυσαῶν ἀνέμων, τῶν σφοδρῶς πνεόντων πνευμάτων, ἐπελαυνόντων. δυσαῶν, αὐτοῖς ἀνδράσι κατέδυσαν.

Δύσβατος, δυσχερὴς, σκολιὸς, ἄβατος, δυσανάβατος.

Δυσβῆρες, οἱ δύσβατοι τόποι.

Δυσβουλίαν λέγομεν, τὴν οὐκ ὀρθῶς βουλήν. καὶ φαμὲν, ὅτι Ποσειδῶν ἡττηθεὶς τῇ Ἀθηνᾷ, δυσβουλίαν ἐπέβαλεν Ἀθηναίοις. Ἀθηνᾶν δὲ τὰ βουλευόμενα κακῶς, μεταβάλλειν. καὶ δυσβουλία.

Δυσβράκανος, δυσκατανόητος. βράκανα γὰρ, ἄγρια λάχανα, δύσπλυτα.

Δυσγάργαλιο, δυσυπόστακτος. γαργαλίζειν γάρ, τὸ εἰς γέλωτα ἄγειν καὶ πείθειν.

Δυσγενὴς, ὁ ἐκ κακοῦ γένους. καὶ δυσγένεια, ὁμοίως. καὶ δυσγενὴς, ἐχθρός.

Δυσγοῦ, ἀποδύου.

Δυσδήλιδες, κακοῦντες. δηλήσασθαι γὰρ, τὸ κακῶσαι.

Δυσδιακόμιστον, δυσβάστακτον.

Δυσδιάλλακτον, δυσθρήνητον.

Δυσδιάφευκτον, δυσχερῶς λανθάνον.

Δυσδιήλυτα, δυσδιόδευτα.

Δυσδιόρθωτος, ὁ ἀδιόρθωτος.

Δύσια, τοῦ τοίχου τὸ τέριξ, Κύπριοι.

Δύσεαι ἀλκήν, παρόμοιον τῷ ἐπιειμένος ἀλκήν. τὸ ἐναντίον δὲ τούτῳ, ἐκδεδύσθαι δοκεῖ.

Δυσειδὴς, ὁ ἄμορφος.

Δυσείκαστον, ἀπρεπῶς εἰκασθέν.

Δυσείμων, ὁ αἰχίτων.

Δυσειρεσία, τὸ κακῶς ἐρέττειν.

Δυσεκλογίστων, δυσδιαγνώστων. ὡς τὸ, Ἀδήλων δὲ ὄντων καὶ δυσεκλογίστων, τῶν κατὰ πόλεμον ἔργων.

Δυσέκλυτα, δυσχερῶς λυόμενα.

Δυσέκλυτος, δυσαίρετος.

Δυσεκτὸν, δυσγνώμων.

Δυσέμβατος, ἄτριβος, ἀπάτητος, τραχύς.

Δυσέμβολος, δυσεπιχείρητος.

Δυσέντευκτος, δυσομίλητος.

Δυσεξάλλακτα, δυσέκφευκτα.

Δυσεξίτητα, δυσκόλως ἐξοδευόμενα, ἢ δυσθεράπευτα.

Δυσέξιτος τόπος, ἀδιόδευτος.

Δυσέξοιστον, δυσερμήνευτον, ἢ δυσεκκόμιστον.

Δύσεο δ' ἀλκήν, δῦθι, ἀνάλαβε τὴν ἀλκήν, ἀπόστειλε τὴν δύναμιν, οἷον ἰσχυροποίησον σαυτόν. ἔχει δὲ ἐνεστῶτα τὸ δύσω, ἀναδραμὸν ἐκ μέλλοντος εἰς θέμα, τὸ δύσω δύσομαι, ἐδυσόμην ἐδύσου, καὶ δύσεο.

Δύσεργα, τὰ δύσκολα εἰς ἐργασίαν.

Δύσεργον, δυσχερὲς, δύσκολον.

Δυσερμία, ἡ δυστυχία, ἡ κακὴ ἐπιτυχία. εὐερμίαν γὰρ, τὴν ἐπιτυχίαν καλοῦσι.

Δύσεριν, φιλόνεικον. παρὰ τὸ δυς μόριον, καὶ τὴν ἔριν.

Δύσερμος, ὁ δύσελπις.

Δύσερως, κακῶς ἐρῶν.

Δύσετο, δύω δύσω δύσομαι. καὶ μετάγεται εἰς ἐνεστῶτα δύσομαι. παρατατικὸς, ἐδυσόμην, ἐδύσου, ἐδύσετο. καὶ δύσετο, κατῆλθε.

Δυσέφικτον, δυσκατάληπτον.

Δύσζηλοι, οἱ ζηλήμονες, ἢ φθονεράσπαστοι. εἶδος χόλου, ἄμφω ταῦτα δηλοῖ.

Δυσηβόλον, δυσάντητον.

Δυσηκῆ, δυσακῆ, δυσίατον.

Δυσηλεγὴς θάνατος. δυσηλεγέα θάνατον λέγει ὁ ποιητὴς, τὸν δυσκοίμητον. καὶ παράγεται ἀπὸ τοῦ λέγω, τὸ κοιμῶμαι, θάνατος δυσλεγής. καὶ πλεονασμῷ τοῦ η δυσηλεγής, οἷον, λέξον νῦν με τάχιστα. ἢ παρὰ τὸν ἔλεγον τὸν θρῆνον. ἵν' ᾖ, ὁ χαλεποὺς θρήνους ἐμποιῶν. ἢ ὁ εἰς κακὸν καὶ ἀνέγερτον ὕπνον κοιμίζων. ὃν Ὅμηρος μέν που τανηλεγέα λέγει. Σοφοκλῆς δὲ, αἰὲν ὕπνον, ὡς ἀδελφὸν μὲν ὕπνου, μακρότατον δέ. ὅθεν δὲ λαβών τις σοφὸς, αἰώνιον νεκρὸν ἔφη τὸν ἄνθρωπον.

Δυσήνεμον, τὸ κακοὺς ἀνέμους ἔχον, δυστάραχον.

Δυσήνιος, ὁ μὴ εὐκόλως ἀνιώμενος, ἢ ὁ δυσχαλίνωτος, παρὰ τῷ Ἱπποκράτει.

Δυσηνίους, δυσπειθεῖς, ἀνυποτάκτους, δυσαγώγους, δυσμεταχούς. ἐκ μεταφορᾶς τῶν ἵππων ἡνία γὰρ, ὁ χαλινὸς, τὰ λῶρα.

Δυσήνυκτον, δυσκατόρθωτον.

Δυσῆρες, δυσχερές.

Δυσήτορος, δυσθύμου.

Δυσηχέα πόλεμον λέγει ὁ ποιητὴς, ὡς καὶ δυσηλεγέα τὸν θάνατον. οὔτε γὰρ ὁ τῆς μάχης ἦχος ἡδὺς, οὔτε τὸ θανατικῶς λέγεσθαι, ἤτοι κοιμᾶσθαι γλυκύ.

Δυσηχὴς, ὁ κακόηχος. ὡς ἐν ἐπιγράμματι, Ῥυσαμένη Πύθωνος δυσηχέος ἐκ πολέμοιο, ἀσπὶς Ἀθηναίη ἐν τεμένει κρέμαται.

Δυσθαλὴς, δυσαύξης, Κρατῖνος.

Δυ-

Digitized by Google

Δυσθαλπέος, κακοθαλποῦς, κακοῦ εἰς τὸ θάλπειν, ψυχροῦ.

Δυσθανατῶντα, βιαίως τὸν βίον καταστρέφοντα.

Δύσθεος, ἀσεβής. Σοφοκλῆς, Ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ τέθνηκε;

Δυσθερίας, δυσαλθήτως.

Δυσθήρατος, ὁ δυσάλωτος.

Δυσθυμεῖ, ἀθυμεῖ.

Δύσθυμος, κακόβουλος, Σοφοκλῆς.

Δυσίατον, ἀθεράπευτον. καὶ δυσιατώτερον, ὁμοίως.

Δυσὶ μὴ λέγε, ἀλλὰ δυοῖν. ὡς Φρύνιχος. Ἰστέον ὅτι ἐπὶ τῶν ἀριθμῶν, ὅσοι μὲν ἐν μιᾷ φωνῇ τὰ τρία γένη δηλοῦσιν, οὐ κλίνονται. τὰ γὰρ ἄρθρα μόνα συλλαμβάνει. ἐπεὶ τὸ ἀριθμητικὸν πανταχοῦ τὴν αὐτὴν φωνὴν ἐφύλαξεν. τὸ ἄρσεν τὰ δύο ἐν μιᾷ φωνῇ τὰ τρία γένη δηλοῖ. οἱ δύο γάρ, καὶ αἱ δύο, καὶ τὰ δύο, δῆλον ὅτι οὐκ ὤφειλε κλίνεσθαι τοῖς δυσί.

Δυσιθάλασσα, τὰ εἰς τὴν θάλασσαν ἐμβαλλόμενα. ὡς τό, δίκτυα δυσιθάλασσα.

* Δύσις βίου, ὁ θάνατος περιφραστικῶς.

Δυσκάθεκτον, δυσνόητον, ἀκατάληπτον. καὶ δυσκάθεκτοι, οἱ δυσκράτητοι, δυσκόλως ἐπεχόμενοι.

Δύσκαπνος, ὁ Φοίνιξ ὑπὸ Θεοφράστου.

Δυσκάτοπτος, δυσθεώρητος.

Δυσκέλαδος, κακόηχος. δυσκέλαδον δέ, τὸν φόβον λέγει ὁ ποιητής, διὰ τὸ τῶν φευγόντων θορυβητικόν. φησὶ γάρ, Οἱ δὲ φόβοιο δυσκελάδου μνήσαιντο, λάθοντο δὲ θούριδος ἀλκῆς. δυσκέλαδον φόβον λέγει, ὡς μὴ ὄντος ἀγαθοῦ τινὸς κελάδου. ὁποῖοι καὶ οἱ τῶν μελπόντων, καὶ οἱ τῶν νικώντων.

Δύσκεν, ἔδυνεν, ὑπεισήρχετο.

Δυσκήδεα. δυσκήδεα νύκτα λέγει, τὴν δυσφύλακτον, ἢ δυσφρόντιδα, πρὸς διαστολὴν τῆς ἀναπαυσίμου.

Δύσκημον, ἄφρονα, δυσοιώνιστον.

Δυσκίνητε, ἀμείλικτε, δυσμετάθετε.

Δυσκλέα, ἄδοξον, μὴ ἔχοντα κλέος. συγκέκοπται δέ, ἐκ τοῦ δυσκλέεα. ὡς τὸ δυσκλέα Ἄργος ἱκέσθαι.

Δυσκλεές, ἄδοξον, ἄτιμον, ἀπρεπές.

Δυσκληδόνιστον, δυσφήμιστον. δυσκλυδώνιστον δέ, διὰ τοῦ υ ψιλοῦ, τὸ δυσέκβατον.

Δυσκολαίνω, τὸ ἀγανακτῶ φροντίζων. Ἀριστοφάνης, Τί δυσκολαίνεις καὶ στρέφει τὴν νύχθ' ὅλην;

Δυσκολία ἐστί, ψόγος παρὰ τῶν ἀγαθῶν. ἢ κατὰ Ἀριστοτέλην, δυσκολία ἐστὶν ἀπόκρισις περὶ τὰς διαλεκτικὰς ἀποκρίσεις, συλλογισμοῦ φθαρτική.

Δυσκολοκάμπτους ᾠδάς, τὰς κεκλασμένας.

Δυσκολοκοίτου τῆς μερίμνης, δυσκόλως κεῖσθαι ἐχούσης. Ἀριστοφάνης.

Δύσκολον γερόντιον, δυστράπελον, πρεσβύτερον.

Δύσκολος ἄνθρωπος, ὁ ἀγέλαστος, καὶ ἀνομίλητος. εὔκολος δέ, ὁ τὸ ἦθος εὐπαράγωγος, καὶ πρὸς ἀπάτην ἕτοιμος. καὶ εὔκολον καὶ δύσκολον πρᾶγμα, τὸ εὐχερῶς καὶ δυσχερῶς γινόμενον.

Δύσκωφος, ὁ ἐκ μέρους ἀκούων.

Δύσληπτα, ἀκατανόητα.

Δυσλόγιστον, ὅμοιον τῷ πράγος ἄσκοπον.

Δύσφορα, χαλεπῶς φερόμενα.

Δυσλόφων, δυσχερῶν.

Δυσλυτώτατος, ὁ πάνυ δύσλυτος.

Δυσμεναίνει, διεχθραίνει, πολεμεῖ.

Δυσμαθία ἐστί, βραδύτης ἐν μαθήσει.

Δυσμαῖς βίου, τῷ τέλει τῆς ζωῆς.

Δυσμένεια, ἔχθρα, κακόνοια. καὶ δυσμενής, ὁ πολέμιος.

Δυσμενεῖς, καὶ ἀνάρσιοι, ταυτόν.

Δυσμενέεσσι μὲν χάρμα. Ὅμηρος ἀποδεικνύει βαρὺ εἶναι τὸ ἐφ' ᾧ χαίρουσιν οἱ ἐχθροί.

Δυσμενέω δυσμενῶ, ἀναλόγως ἔχει τῷ εὐμενέω, ὦ. ἐξ οὗ καὶ εὐμενέτης. ὡς καὶ εὐχέτης, ἀπὸ σεσιγημένου ῥήματος τοῦ εὐχῶ. καὶ ναέτης, ἐκ τοῦ ναῶ.

* Δυσμετάληπτος λέξις, ἡ δυσερμήνευτος.

Δυσμή, ὡς παρὰ τὸ δέω δεσμός, οὕτω καὶ δύω δυσμή, ὅτι συνδεῖται τῷ φωτὶ τὸ σκότος. καὶ συνάπτεται ὅπου ἐξέρχεται, καὶ ὑπεισδύνει ὁ ἥλιος.

Δυσμήν, ὁ ἐχθρός.

Δύσμηνις, βαρύθυμος, ὀργίλος, μνησίκακος.

Δύσμητερ, οὐ κατὰ τὸ δύσπαρις καὶ τὸ κακοΐλιον ἐῤῥέθη, ἀλλὰ θυμικώτερον, ἀπ' ἐναντίας τῷ, φίλη μήτηρ.

Δυσμήτης, κακότεχνος.

Δύσμητις, ὁ κακόβουλος.

Δυσμίσητος, ὁ πάνυ ἀπεχθανόμενος.

Δύσμορον λέγει Ὅμηρος, τὸν δυστυχῆ. ὃς ἄμμορος, καὶ αἰνόμορος, καὶ κάμμορος, ὃ ἐστι κακόμοιρος, ἢ κακοθάνατος λέγεται.

Δύσνοια, ἐναντίον τῇ εὐνοίᾳ.

Δύσνους, ἐχθρός. Ὁ δὲ ἦν δύσνους βασιλεῖ, καὶ Ῥωμαίοις.

Δυσξύμβολα, δυσνόητα, δυσεπίγνωστα.

Δυσοδία, ἡ κακὴ ὁδός.

Δύσοδος, καὶ δυσόδης ὁδός, τραχεῖα, φαύλη, δυσχερῆ διάβασιν ἔχουσα.

Δυσοίζει, δυσχερῆ ὑπονοεῖ. καὶ δυσοίζειν, φοβεῖσθαι, ὑποπτεύειν.

Δύσοικτος, δυσθρήνητος.

Δύσοιμος, ἡ ἐπὶ κακῷ ἥκουσα, ἢ δύσοδος.

Δυσοίμοιοι, ἀνόμοιοι.

Δύσοιστος, δυσυπομόνητος, δυσφόρητος.

Δυσοπαίοντα, δυστυχοῦντα, κακῶς ἔχοντα.

Δύσοπον, δύσφημον, δυσόργητον.

Δυσόρατον, ἀσεβῆ, ἀπηνῆ.

Δύσοργος, ὀξύχολος, κακοεργός, χολός. Σοφοκλῆς.

Δυσόριστόν ἐστι, τὸ ἐν μετασχηματισμῷ, καὶ οὐ κατ' οὐσίαν ἐπιφαινόμενον, ὡς ἐπὶ τῶν ἀγγέλων, καὶ δαιμόνων, καὶ ψυχῆς. ἄγγελον μὲν γὰρ ὁρίζονταί τινες, οὐσίαν νοερὰν ἡγιασμένην, ἧς οὐσίας τὸν ὅρον μόνος ὁ κτίστης ἐπίσταται. ψυχὴν δέ, οὐσίαν ἀσώματον νοεράν, ἐν σώματι πολιτευομένην, ζωῆς παραιτίαν. ἧς οὐσίας, τὸ εἶδος καὶ τὸν ὅρον, ὡς καὶ τὴν τῶν ἀγγέλων, μόνος ἐπίσταται ὁ ποιητής.

Δυσόρφνεα, μελανά.

Δύσοσμον, δυσῶδες.

Δύσουρον, δυσφύλακτον.

Δυσπαθία, κακοπαθία.

Δυσπαθῶν, πάσχων κακῶς.

Δυσπαίπαλος, τραχεῖα.

Δυσπάλαιστος, ἀκαταγώνιστος.

Δυσπάλαμον, δυσχερές, κακότεχνον.

Δυσπαλές, δυσχερές, δυστυχές, σκληρόν, δύσαντες.

Δυσπαλὴς ῥίζα, χαλεπή, καὶ κακή. ἢ ἡ ἐπὶ κακῷ ἀναδιδομένη ἐκ τῆς γῆς.

Δυσπέμφαλος, δυσάραχος, δυσκίνητος.

Δύσπαρι, εἶδος ἄριστε. ἀντιθετικὸν σχῆμα τὸ δύσπαρι εἶδος ἄριστε. οἱονεὶ γάρ φησιν, ὅτι ὁ Πάρις κακὸς μὲν ἄνθρωπός ἐστι, τὸ δὲ εἶδος ἄριστος, ἤτοι καλὸς τὸ εἶδος. ὅπερ γυναικῶν μάλιστα ἔπαινος. Εὐριπίδης δὲ αἰνόπαριν φησιν, ὡς καὶ τὴν Ἑλένην αἰνελένην. ἕτερός τίς φησιν ἀντὶ τοῦ αἰνὴν Ἑλένην. καὶ σημείωσαι, ὅτι σύνηθες τοῖς παθαινομένοις, καὶ κατὰ κυρίων ὀνομάτων χωρεῖν, κἂν μὴ εἶεν δυσώνυμα. τί γὰρ χρήσιμον εἰς ψόγον ἄλλως τὸ δύσπαρι, εἰ μὴ ὅτι ἐπὶ κακῷ ἐγεννήθη, καὶ ἐκλήθη Πάρις. οὕτω καὶ Ἑλένην αἰνήν, καὶ τὴν Ἴλιον, κακοΐλιον καλεῖ, οὐχ ὅτι δύσφημον, ἢ δυσοιώνιστον τοὔνομα, ἀλλ' ὅτι φησίν, ἐμοὶ οὐκ ὀνομαστέα.

Δυσπάριτον, δυσπόρευτον.

Δυσπεῖσθαι, ὑφορᾶσθαι, φοβεῖσθαι.

Δυσπέμφελος. ἐκ τοῦ πέμπω κατὰ Παυσανίαν, τροπῇ τοῦ π εἰς φ, ὁ δυσάρεστος, χαλεπός, μεμψίμοιρος. οὗ χρῆσις παρὰ τῷ Ἡσιόδῳ, καὶ παρὰ τῷ ποιητῇ. Ἡσίοδος, δυσπέμφελος δὲ πόντος, ὁ δυσχείμερος. δι' οὗ δυσχερῶς ναῦς πέμπεται, καὶ δυσπέμφελον τὴν ναυτιλίαν φησί.

Δυσπετευμάτων, ἀποτυχμάτων.

Δυσπετής, δυσχερής, ὁ δυσκόλως ὑπείκων. προπετὴς δὲ ὁ ἔμπροσθεν κείμενος. προπετὴς παρεξυπόνως, ὁ προαρπάζων τὸ πρᾶγμα, καὶ παρὰ τὸν καιρὸν παῤῥησιαζόμενος. ἀπὸ μεταφορᾶς τῶν στρουθίων, τῶν πρὸ τοῦ καιροῦ ζητούντων πέτεσθαι.

Δυσπετοῦντα, κακῶς πάσχοντα.

Δυσπινῆ, τὰ ἐῤῥυπωμένα, τὰ ῥυπαρά. πῖνος γάρ, ὁ ῥύπος. καὶ ἐῤῥυπωμένα ἱμάτια λέγουσι.

Δύσπιστος, δεισιδαίμων.

Δυσπειθής, ὁ δυσκόλως πειθόμενος, καὶ ἀβέβαιος, καὶ ἄπιστος μένων.

Δυσπόριστον, δυσεύρετον.

Δύσπορον, χαλεπόν, δύσβατον.

Δυσποτμότερον, ἀθλιώτερον. καὶ δυσποτμία Οἰδίποδος, ἡ δυστυχία.

Δυσπραγία, ὅταν κακῶς ἐξάγῃ τὶς τὸν ἑαυτοῦ βίον.

Δυσπραγῶ, δυστοχῶ, δυσχῶ, δυσπλοῶ, δυσφορῶ, ἀμεταβάτως.

Δυσπρεπεῖ, ἀπρεπεῖ, δυσμόρφῳ.

Δυσπρόσιτα, δυσχερῆ ἐγγισθῆναι, ἢ οἷς δυσκόλως τὶς προσέρχεται.

Δυσπρόσοδος ἐπονομάζεται ἀγρός, ἀφ' οὗ τις δυσκόλως κερδαίνει. καὶ δυσπρόσοδος ἄνθρωπος, ὁ δυσέντευκτος, καὶ ἀνομίλητος. δυσπρόσοδον δὲ χωρίον, τὸ περὶ τὴν εἴσοδον δύσκολον.

Δυσριγότερος, ὁ φρικωδέστατος.

Δυσσεβής, ἀσεβής.

Δύσσυστον, δυσχερῶς σειόμενον.

Δύσσοος, ὁ κακοδαίμων, ἢ ὁ δυσχερῶς σωζόμενος, παρὰ τὸ σόος. καὶ λαοσσόος Ἀθηνᾶ, ἡ λαὸν διώκουσα, ἢ σώζουσα.

Δύστακτον, κακοδάκρυτον, κακότακτον.

Δυσταλέως, ῥυπαρῶς.

Δυστέκμαρτον, δυσκατέργαστον, δυσζήτητον, δυσεύρετον, δυσκατάληπτον, δυσχερὲς τέλος ἔχον. ἢ μὴ ἔχον τέλος.

Δύστηνος, ταλαίπωρος, δυστυχής, ἄθλιος.

Δυστοκεῖ, κακῶς πάσχει. Ἀριστοφάνης, ἡ πόλις δυστοκεῖ. μεταφορὰ ἐκ τῶν γυναικῶν τῶν τικτουσῶν, αἵτινες κακῶς πάσχουσι τῷ τίκτειν.

Δυστοκία, ἐπὶ κακῷ τῶν καθαρῶν τετοκυῖα.

Δυστόπαστος, κακοϋπονόητος, παρὰ τὸ τοπάζω.

Δυστοπώτατα, δυσχερέστατα.

Δυστράπελος, ὁ σκληρός. ᾧ ἐναντίον εὐτράπελος. καὶ δυστράπελος, δυσκίνητος, ἀμετάτρεπτος, δυσμετάθετος.

Δυστροπία, ἡ κακότροπος γνώμη.

Δύστροπον, σκολιόν, δυσάρεστον. ὡς τό, Οἰκέτην δύστροπον δεσμοῖς περιβαλὼν ἄγριος ὢν, καὶ ἀπαραίτητος τὴν ὀργήν.

Δύστροπος, ἄμορφος, δυσμετάθετος. καὶ ὁ ἄχρηστος μαργαρίτης.

Δύστρος, ὁ μάρτιος μήν, παρὰ Μακεδόσιν.

Δυστυχοῦμεν, οἷς εὐποροῦμεν. ὡς ὁ Τάνταλος δυστυχεῖ, οἷς εὐπορεῖ. ὅθεν δυστυχής. καὶ τὸ ἐναντίον εὐτυχής.

Δυστυχῶ, δυσπραγῶ, κακοπραγῶ, κακῶς πράττω.

Δυσύποιστος, ὁ δυσυποχώρητος.

Δύσφαλτον, δύσμαχον.

Δύσφατον, δύσλεκτον.

Δυσφερές, δύσακτον, ἀφόρητον.

Δυσφημία, ἡ κακὴ ἀγγελία.

Δυσφόραστος, ὁ δυσκόλως ἐλεγχόμενος, ἢ ὁ κακῶς ὑφορώμενος, καὶ ὑπονοῶν.

Δύσφορα, χαλεπά, δυσύποιστα.

Δυσφόρητον, δυσβάστακτον.

Δυσφορεῖν, βαρύνεσθαι, καὶ δυσκόλως ἔχειν. ᾧ ἐναντίον, τὸ εὐφόρως. τὸ δὲ δυσφορεῖν κυρίως ἐπὶ νόσου λέγεται. ᾧ ἐναντίον τὸ εὐφορεῖν, ὡς παρ' Ἱπποκράτει, εὐφόρως φέρουσι.

Δυσφορῶ, δυσμεναίνω, δυσανασχετῶ.

Δυσφύλακτος ἄνθρωπος ἢ τόπος λέγεται, ὃς οὐ δύναται ῥαδίως φυλαχθῆναι.

Δύσφυσιν, κακὴν φύσιν.

Δυσφώρατος, ὁ μόλις φωραθῆναι δυνάμενος.

Δυσχαλέα, ἄκρατον, κακὸν λίαν.

Δυσχαλέοι, βλάσφημοι, χαλεποί.

Δυσχάριστος, ἀχάριστος.

Δυσχεραίνει, λυπεῖται. καὶ δυσχεραίνει οὗτος πρὸς τοῦτον.

Δυσχέραινε, λυποῦ. καὶ συντάσσεται δοτικῇ.

Δυ-

Digitized by Google

Δυσχεραίνω, συντάσσεται Ἀττικῶς μετὰ γενικῆς, καὶ σημαίνει τὸ ἀποστρέφομαι, μισῶ, καὶ βδελύττομαι. κοινῶς δὲ συντάσσεται μετὰ δοτικῆς, καὶ σημαίνει ἀνιῶμαι, καὶ ὀργίζομαι. οἷον βασιλεὺς μὲν ἦν δυσχεραίνων τοῖς τῆς πόλεως στρατηγοῖς. καὶ συντάσσεται μετὰ αἰτιατικῆς, ὡς παρὰ τῷ Θεολόγῳ. καὶ δυσχεραίνει τὴν ὑποψίαν, ἀντὶ τοῦ μισεῖ, καὶ βδελύττεται, καὶ αἰτιᾶται, καὶ ὀργίζεται.

Δυσχερασμάτων, ἀτυχημάτων.

Δυσχερὲς, τὸ δυσκόλως ὑπὸ τῶν χειρῶν κατεργαζόμενον. ὡς εὐχερὲς, τὸ ἐναντίον.

Δυσχερώτερον, κακοτροπώτερον.

Δυσχρανὴς, δυσχερὴς, δυσχρανὴς, αὐχμηρὸς, δύσχρηστος, κακὸς, εἰς οὐδὲν χρήσιμος.

Δυσχρηστούμενος, κακῶς διατιθέμενος.

Δυσχωρία, στενοχωρία.

Δυσχωρεῖται, δυσχωρεῖ, διακωλύεται.

Δυσώδης, κακόοσμος, ἀκάθαρτος.

Δυσωδία, ἡ φαύλη ὀδμὴ, καὶ κακὴ πνοή. ἢ ἡ ἀηδία.

Δυσωνύμους Ἀχαιοὺς λέγει ὁ ποιητὴς, ἢ κατὰ τὸ δύσπαρι, καὶ τὸ κακοίλιον, ἢ δυσφήμους, ὡς δῆθεν κακωνύμους, διὰ τὸ δοκεῖν παρηχεῖσθαι αὐτοὺς τῷ ἄχει. διχῶς γὰρ τὸ κακώνυμον. ἢ τὸ οὐδ' ὀνομάζεσθαι ἄξιον, ὡς δῆλον ἐκ τοῦ κακοίλιον οὐκ ὀνομαστὴν, ἢ τὸ δυσοιώνιστον, καὶ τῇ προφορᾷ δύσφημον. ὡς καὶ εἴ τις εἴποι κατὰ Σοφοκλῆν, δυσώνυμον τὸν Αἴαντα, ὡς δοκοῦντα παρὰ τὸ αἶ, ἢ παρὰ τὸ αἰάζειν ὀνομασθῆναι.

Δυσωπεῖσθαι, ὑφορᾶσθαι, καὶ ὑπόπτως ἔχειν, φοβεῖσθαι μεθ' ὑπονοίας. ἔνιοι δὲ, ἀντὶ τοῦ αἰδεῖσθαι.

Δυσωποῦμαι, ἀντὶ τοῦ οὐ δύναμαι ῥαδίως ἀντιβλέπειν. ἢ δηλονότι φοβούμενος, ἢ αἰδούμενος. καὶ δυσωπῶ, ἀντὶ τοῦ εἰς φόβον ἄγω, ἢ εἰς αἰδῶ.

Δυσωπῶ, αἰτιατικῇ, ἱκετεύω. δυσωπῶ καὶ ἐπὶ τοῦ παρακαλῶ, καὶ ἐπὶ τοῦ ἐντρέπομαι.

Δυσωρεῖν. παρῆκται μὲν ὁμοίως τῷ ἀρκυωρεῖν. ἔχει δὲ καὶ ὁμοιότητα συνθέσεως, πρὸς τὸ πολυωρεῖν. δηλοῖ δὲ τὸ δυσφυλακτεῖν, ἤγουν κακοπαθεῖν ἐν τῷ φυλάσσειν. ὡς ὁ ποιητὴς ἑρμηνεύει παραφράσας ἐν τῷ, νύκτα φυλασσόμενοι κακήν. τὸ μὲν γὰρ δυς ἐπὶ κακοῦ, ὠρεῖν δὲ τὸ φυλάσσειν. ὥστε ταυτὸν δυσωρεῖν, τῷ νύκτα κακὴν φυλάσσεσθαι, ἤγουν φυλάσσειν.

Δυσωρήσονται, δυσφυλακτήσουσι, κακὴν φυλακὴν καὶ νύκτα διάξουσι.

Δυσαχεῖν, δυσχεραίνειν.

* Δυτικὰ μέρη τοῦ κόσμου, τὰ ὀπίσω εἶναι λέγονται. τὰ δὲ ἀνατολικὰ, προσώπου λόγον ἔχουσι διὰ τὸ ἐκεῖθεν ἀνιόντα ἔχουσι τὸν ὀφθαλμὸν τῆς ἡμέρας Ἥλιον.

Δύψας, καταδὺς, παρὰ τῷ Ἀπολλωνίῳ.

Δύω, τὸ ὑπεισέρχομαι κοινῶς. ποιητικῶς δὲ, τὸ φορῶ, ἤγουν τὸ κοινῶς ἐνδύω, καὶ ἐκδύω, καὶ περιδύω, καὶ ἀποδύω. ἢ δύω, παρὰ τὸ συνδεδέσθαι ἑτέρῳ ἀριθμῷ. γράφεται καὶ ψιλῶς καὶ διφθόγγῳ. ὅτε μὲν βαρύνεται, γράφεται διὰ τοῦ υ ψιλοῦ. ὅτε δὲ ὀξύνεται, διὰ τῆς οι διφθόγγου. Αὐτὰρ ὁ δοῦρε δύω. ὧδε γὰρ διὰ τὸ μέτρον μέγα. κοινῶς μὲν γὰρ διὰ τοῦ ο μικροῦ, Ἀττικῶς δὲ διὰ τοῦ ω μεγάλου. καὶ ποῖόν ἐστιν ἀναλογώτερον; τὸ διὰ τοῦ ω μεγάλου. ἐμάθομεν γὰρ, ὅτι τρία ἐστὶ στοιχεῖα τελικὰ τῶν δυϊκῶν, α, ε, ω. καὶ δύω, τὸ ἐνδύομαι ἱμάτιον, ἀπὸ τοῦ δέω, τὸ δεσμῶ.

Δυωδεκαβοίων, δώδεκα βοῶν ἄξιον.

ΤΟ' Δ'. ΜΕΤΑ' ΤΟΥ' Ω'.

ΔΩ̃, ἀντὶ τοῦ δῶμα λέγουσι Δωριεῖς, κατὰ ἀποκοπήν. καθὰ καὶ ἐκ τοῦ ἧλος, ὁ ἧλ, κατὰ τὸν Γεωγράφον, καὶ ἄλλα ὅμοια. καὶ ὡς τὸ παῦσαι, παῦ ἔλεγον μονοσυλλάβως, κατὰ Αἴλιον Διονύσιον.

Δωαὶ, δικαίως, ὁσίως.

Δωδεκάδαρχοι, καὶ δέκαρχοι. οὗτοι εἰσιν, οἱ τῶν δωδεκάδων καὶ δεκάδων ἡγεμόνες, δύο πεντάδαρχαι.

Δωδεκάκρουνος, Ἀθήνησι κρήνη, ἣν ἔνιοι ἐννεάκρουνόν φασιν. ἄλλοι δὲ, καλλιρόην καλοῦσι.

Δωδεκαμήχανος, πόρνη τὶς ἐλέγετο. διὰ τὸ τοσαῦτα σχήματα ποιεῖν συνουσίας.

Δωδεκάποδος. οὕτως ἔλεγον ἐλλειπτικῶς, στοιχείου, ἢ σκιᾶς. οὕτω γὰρ συνετίθεντο ἐπὶ δεῖπνον ἥξειν, τοῦ στοιχείου ὄντος δωδεκάποδος, ὡς νῦν πρὸς ὥρας φασί.

Δώδεκα θεοὶ οὗτοι, Ζεὺς, Ἥρα, Ποσειδῶν, Δημήτηρ, Ἑρμῆς, Ἥφαιστος, Ἀπόλλων, Ἄρτεμις, Ἑστία, Ἄρης, Ἀφροδίτη, καὶ Ἀθηνᾶ.

Δωδεκάδες θυσίαι, ἐκ δώδεκα ζώων. ὡς τριττύαι, ἐκ τριῶν.

Δωδεκάτη, ἑορτὴ Ἀθήνησιν, ἣν χόας ἔλεγον.

Δωδεκατημόριον, ἡ δωδεκάτη μοῖρα.

Δωδεκεὺς, χοεύς.

Δωδεκηίδα θυσίαν, τὴν ἐκ δώδεκα ἱερείων. οἱ δὲ, τὴν ἀπὸ τῶν δώδεκα μηνῶν.

Δωδωναῖον χαλκεῖον, ἐπὶ τῶν πολυλόγων. χαλκεῖον γὰρ ἤχει αὐτόθι, πληττόμενον τεχνικῶς ὑπὸ μάστιγος, ἢ καὶ κατὰ βίαν ἀνέμων.

Δωδωναῖος Ζεὺς, ὁ περὶ Δωδώνην ἐξέχουσαν ἔχων τιμήν. καὶ κατὰ τὴν ποιητικὴν ἑρμηνείαν, Δωδώνης μεδέων. ἡ Ἑλλοπία κατὰ τοὺς παλαιοὺς ἐκαλεῖτο πρότερον. τὴν δὲ Δωδώνην καὶ δυσχείμερον λέγει ὁ ποιητὴς, εἰδὼς τοιαύτην οὖσαν, περὶ ἣν Πελασγοὶ τὸ ᾀδόμενον ἵδρυσαν ἱερὸν, κατὰ τοὺς παλαιούς. ὅθεν καὶ Πελασγικὸς ὁ αὐτός. Ἰστέον δὲ, ὅτι Δωδῶναι κατά τινας, ἡ μὲν Θεσσαλίας, ἡ δὲ Μολοσσίας, ἧς καὶ μεμνῆσθαί φασι τὸν ποιητὴν, διὰ τὸ καὶ δυσχείμερον αὐτὴν ἱστορεῖσθαι. καὶ τὸ τοῦ Διὸς δὲ ἱερὸν ἐκεῖσε εἶναι, τὸ κατὰ τὴν μαντικὴν φηγὸν, ἣν Σοφοκλῆς πολύγλωσσον ἐν Τραχινίαις φησὶν, ὡς πολύφωνον, οἷα καὶ πολλοῖς μαντευομένην. ἕτεροι δὲ ἀλληγοροῦντες τὴν Δωδώνην, τὴν γῆν φασὶ, παρὰ τὸ δῶ δώσω. ὡς δότειραν, καὶ ἀνησιδώραν, καὶ ζείδωρον. οἱ δὲ αὐτοὶ φυσιολογικῶς ἅμα καὶ ἀνατιθετικῶς φασὶ, Ζεῦ ἄνα δωδωναῖε, τουτέστιν αἰθέριε, καὶ περίγειε, τοῦτο μὲν διὰ τὸ δωδωναῖε. ἐκεῖνο δὲ, διὰ τὸ ἄνα. Ἄλλως.

Δωδωναῖος Ζεύς. ἰλιάδος π, Ζεῦ ἄνα δωδωναῖε, ἐν χωρίῳ τῶν ὑπερβορέων τῇ Δωδώνῃ τιμώμενε, ἐν Θεσπρωτίᾳ. Ἱστορία. Δευκαλίων γὰρ μετὰ τὸν ἐπ' αὐτοῦ γενόμενον κατακλυσμὸν, εἰς τὴν Ἤπειρον ἐμαντεύετο ἐν τῇ δρυΐ. Πελιάδος δὲ αὐτῷ χρησμὸν δούσης, κατοικίζει τὸν τόπον, συναθροίσας τοὺς περιληφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ. καὶ ἀπὸ τοῦ Διὸς καὶ Δωδώνης μιᾶς τῶν Ὠκεανίδων, Δωδώνην τὴν χώραν προσηγόρευσεν. ὡς Θρασύβουλος, καὶ Ἀκεστόδωρος ἱστοροῦσι.

Δωδώνη, πόλις Μολοσσίδος ἐν ἠπείρῳ. ὡς ὁ τῶν ἐθνικῶν καταγραφεὺς δηλοῖ. ὃς οὐδὲ ἀρέσκεται τοῖς εἰποῦσιν αὐτὴν θεσπρωτικὴν, καὶ θετταλικήν. καὶ μὴν ἕτεροι ἐν Ὑπερβορέῳ τῆς θεσπρωτίας αὐτὴν τιθέασιν. ἔνθα ἱερὸν, καὶ τὸ ἐκ δρυὸς μαντεῖον τοῦ Δωδωναίου Διός, ἣν δρῦν πολύγλωσσον λέγει ὁ Σοφοκλῆς, ἤγουν πολύφωνον. ὠνομάσθη δὲ ἡ Δώδωνη, ἀπὸ Δωδώνης ἡρωΐδος, ἢ Ὠκεανίδος νύμφης. ἢ ἀπὸ Δώδωνος ποταμοῦ. ἐλέγετο δὲ καὶ δωδὼν δισσυλλάβως ἐξ αὐτῆς, τὸ παροιμιαζόμενον.

Δώη, ἐκ τοῦ δοίη. αὐτοῦ δὲ πρόκειται κοινὸν πρῶτον, τὸ δοῖμι. ἐξ οὗ τὸ δοῖεν, ὡς γνοῖεν. ὅτι δέποτε τὰ εἰς μι εὐκτικὰ εἰς ην μεταπλάττονται, ἀλλαχοῦ δεδήλωται. καὶ δηλοῖ αὐτὸ σὺν ἄλλοις ἀριδήλως, καὶ τὸ πεφεύγοιμι, πεφευγοίην. Σοφοκλῆς ἐκπεφευγοίην πάθος. ἔτι δὲ, καὶ τὸ εἰδείην, ἐκ τοῦ εἰδήκοιμι, μεταπλασθὲν κατὰ συγκοπήν. κατὰ ὁμοιότητα, τὴν πρὸς τὸ τυφθείην.

Δώη ἔκτασιν ἔπαθεν ἐκ τοῦ δοίη, καθὰ καὶ τὸ ἀλόη. οἷον, τῶν ἄστυ ἀλόη. καὶ ἄλλως, κατὰ ἄλλον γραμματικὸν δώωσι, δῶ, καὶ πλεονασμῷ τοῦ ω δώω, ἀφ' οὗ τὸ δώη. ὑποτακτικὸν γὰρ τὸ δώη, οὐκ εὐκτικόν. οὐ γάρ ἐστι πρῶτον δοίην, ἀλλ' ἀεὶ δώω. τὸ τρίτον τῶν πληθυντικῶν, ἐὰν δώωσι.

Δώην, ἀπὸ τοῦ δοίην γίνεται, τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, δώην.

Δωΐα, ὁμαία.

Δῶλα, ὦτα, Κρῆτες.

Δωλέννετος, ὕβλητος.

Δωλοδομεῖς, οἰκογενεῖς.

Δωλοφονία, καὶ νυκτεργασία, καθ' ἣν δηλαδὴ ὁ Δόλων πεφόνευται. πολλοὶ δὲ τῶν παλαιῶν καὶ Δωλώνειαν ταύτην ἐκάλεσαν, ὥσπερ καὶ Πατρόκλειαν ἐν τοῖς ἐφεξῆς ἐν τῇ π, τὰ κατὰ Πάτροκλον γράφονται. παροξύνονται δὲ καὶ ἄμφω αἱ τοιαῦται λέξεις, ὥσπερ καὶ Τηλεγόνεια κατὰ τὴν παλαιὰν ὀρθογραφίαν, ἡ κατὰ Τηλέγονον πραγματεία. καὶ Ἡράκλεια, ἡ κατὰ Ἡρακλέα. καὶ Ὀδύσσεια, ἡ κατὰ Ὀδυσσέα. καὶ Ὀρέστεια, ἡ κατὰ τὸν Ὀρέστην.

Δῶμα, τὸ οἴκημα, καὶ παρ' Ὁμήρῳ τόδε δῶμα. ἢ ἀντὶ τοῦ κατὰ τόνδε τὸν οἶκον: ἢ ἐν τῷδε τῷ δώματι. ἵνα ἐκ τοῦ περιέχοντος δὲ δηλοῖ τὰ αὐτῷ. καὶ ἄλλως δὲ, ἀστείως ἔχει τὸ φάναι ἁπλούστερον τὴν γυναῖκα, ὡς οἱ μνηστῆρες, αὐτὸ δὴ ὅλον τὸ δῶμα ἐσθίουσι. καὶ ἔχει τι καὶ βαρύαντος, ὁ τοιοῦτος λόγος.

Δώμησις, οἰκοδομὴ, οἰκοδόμημα.

Δωμητὺς, κατασκευή.

Δῶν, δεσμεύων.

* Δῶν λήγοντα ῥηματικὰ διὰ τοῦ ο μικροῦ κλίνονται. οἷον ἀλγηδὼν, ἀλγηδόνος.

Δῶρα. παρ' Ὁμήρῳ ἑκκαιδεκάδωρα πεφύκει. ὡς εἶναι κατά τινας ὁμοῦ ἄμφω σπιθαμῶν πέντε, καὶ δώρου ἑνός. ἀνὰ μέρος δὲ ἑκατέρου, ἀνὰ δύο σπιθαμῶν, καὶ μικρόν τι. πρὸς τρίτον γὰρ σπιθαμῆς τὸ δῶρον. ὃ λέγεται καὶ παλαιστὴ θηλυκῶς, καὶ ὁ παλαιστὴς ἀρσενικῶς. ἔστι δὲ διάστημα τετραδάκτυλον.

Δῶρα, ξένια.

Δώναξ, σπήλαιον, ὑπὸ Μακεδόνων.

Δῶρά ἐστι, τὰ ἐπὶ δωροδοκίᾳ διδόμενα. δωρεὰ δὲ, ἐπὶ τιμῆς.

Δωρεά ἐστιν, ἀλλαγὴ χάριτος. ἢ δόσις ἀναπόδοτος.

Δωρεῖται, χαρίζεται.

Δωρητοί καὶ παράρρητοί τ' ἐπέεσσι, παρ' Ὁμήρῳ. τουτέστι δώροις τε ὑπήγοντο, καὶ λόγοις ἐμειλίσσοντο παραμυθούμενοι. παράρρητοι γὰρ, οἱ παρηγορητοί. καὶ ἐν τῷ παράρρητοι ἐπέεσσι, περιττῶς κεῖνται τὰ ἔπη.

Δωρητὸς, ὁ δῶρα λαμβάνων.

Δωριὰς, δωρεάς.

Δωριάζειν, τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολὺ τοῦ σώματος τὰς γυναῖκας, διὰ τὸ τὰς Δωριεῖς χρῆσθαι οὕτως. αἱ γὰρ κατὰ Πελοπόννησον κόραι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες, ἱμάτιον μόνον ἐπὶ θάτερα ἐπιπεπορπημέναι, καὶ παρεμφαίνουσαι πολὺ τοῦ σώματος.

Δωριεὺς, ὄνομα παγκρατιαστοῦ.

Δωρίζει, ὡς οἱ Δωριεῖς ᾄδει.

Δωρικὴ, ὅπλισίς τις οὕτως ἐκαλεῖτο κατασκευὴ, καὶ δώριος.

Δώριον, οὗ ἐθνικὸν Δώριος, καὶ Δωριεύς. κληθῆναι οὕτω δοκεῖ τοῖς παλαιοῖς, διὰ τὸ αὐτόθι εὑρεθῆναι τὴν Δώριον ἁρμονίαν ὑπὸ Θαμύριδος. ὁ δὲ Γεωγράφος λέγει, ὅτι τὸ δώριον, οἱ μὲν ὄρος φασὶν, οἱ δὲ πεδίον.

Δώριος, αὔλησις μουσική. ὥσπερ καὶ λύδιος, καὶ φρύγιος.

Δωρίππη, ἡ μήτηρ τῶν Οἰνοτρόπων. ὠνόμασται δὲ διὰ τὸ ὑπὸ λῃστῶν αὐτὴν ληφθεῖσαν ἀπὸ Θράκης, δοθῆναι Ἀνίῳ τῷ ἱερεῖ τοῦ Δηλίου Ἀπόλλωνος, ἀντὶ ἵππου δῶρον.

Δῶρις λέγεται, ὅτι δεδώρηται ἐν γαλήνῃ πλεῖν, καὶ κερδαίνειν.

Δωρὶς ὄνομα Νηρηΐδος, διὰ τὴν γινομένην δωρεὰν τοῖς ἀνθρώποις. καὶ Δωρὶς διάλεκτος, λέγεται ἀπὸ Δώρου τοῦ Ἕλληνος, ᾗ ἔγραψε Θεόκριτος.

Δωριστὶ, τουτέστι δωροδοκιστί. Ἀριστοφάνης, τὴν δωριστὶ μόνην ἁρμονίαν ἁρμόττεσθαι θαμὰ τὴν λύραν, ἄλλην δ' οὐκ ἐθέλει λαβεῖν.

Δωροδοκεῖ, δῶρα λαμβάνει, καὶ διασείει. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ διδόντος, καὶ ἐπὶ τοῦ λαμβάνοντος.

Digitized by Google

Δωροδοκῶ, τὸ δῶρα δέχομαι. καὶ δωροδοκεῖ, δῶρα δίδωσιν, οὐ δέχεται.

Δωροδοκῆσαι, οὐ μόνον τὸ δῶρα διδόναι, καὶ ἀναπείθειν, ἀλλὰ καὶ τὸ λαμβάνειν.

Δωροδοκήσας, αἰτιατικῇ. δῶρα λαβών.

Δωροδόκος, καὶ ὁ δῶρα διδοὺς, καὶ ὁ λαμβάνων. ὅθεν δωροδόκος ῥήτωρ. ὁ δὲ δωροδοκημένος, ὁ δεδεκασμένος, καὶ διεφθαρμένος.

Δῶρον, ἐπὶ πραγμάτων. δωρεὰ, ἐπὶ τιμῆς. ὡς τὸ, εὔφρανεν αὐτὸν δώροις τε καὶ δωρεαῖς. δῶρον τὸ κατὰ χάριν. τὸ γὰρ ἐπὶ κόπῳ, μισθός. δῶρον δωροῦμαι Ἀττικῶς. καὶ δῶρον, ἡ παλαιστή.

* Δῶρον, ὄνομα μέτρου, ὅ ἐστι τὸ τρίτον τῆς σπιθαμῆς.

Δῶρόν ἐστι δόμα ἑκούσιον, ἀπὸ προαιρέσεως, ὃ δίδωσί τις ἐπαινῶν.

Δωροξενία. ὁπόταν τις γραφῇ ξενίας, καὶ δῶρα δοὺς, ἐκφύγῃ τὴν συκοφαντίαν, δωροξενία λέγεται. Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων, γράφει ταυτί, Εἰσὶ δὲ γραφαὶ πρὸς αὐτοὺς, ὧν παράστασις τίθεται ξενίας, καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν συκοφαντίαν.

Δωροῦμαί σοι χρυσίον. καὶ ἀντιστρόφως, δωροῦμαί σε χρυσίῳ.

Δωροφάγους, ἐμφαντικῶς ἀσώτους, ἐκ τῶν δώρων τρεφομένους.

Δωροφορεῖ, δῶρα προσφέρει.

Δωροφορικὴ ἐσθὴς οὕτω λέγεται, ἣ ὁ βασιλεὺς Περσῶν δωρεῖται.

Δωροφόρους, τοὺς οἰκέτας, Μαριανδινοί.

Δωρύττομαι, ἀντὶ τοῦ δωροῦμαι λέγουσι Δωριεῖς.

Δωροφορεῖται, βαστάζεται.

Δώρων γραφή. ὁπότε τίς αἰτίαν ἔχῃ τῶν πολιτευομένων δῶρα λαβεῖν, τὸ ἔγκλημα κατ' αὐτοῦ διχῶς ἐλέγετο, δωροδοκία τε, καὶ δώρων γραφή. Δείναρχος οὖν καὶ λόγον μέν τινα ἐπέγραψε, κατὰ Πολυεύκτου δωροδοκίας. ἐν δὲ τῷ κατὰ Πυθέου ξενίας, πολλάκις ὀνομάζει ταύτην, καὶ δώρων γραφήν.

Δὼς, ἡ δόσις, ἡ δωρεά. ὡς τὸ, δὼς ἀγαθή. ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα. καὶ ἔστιν ἄκλιτον. ἐπειδὴ τὰ εἰς ως μονοσύλλαβα περισπᾶται, καὶ κύριά εἰσιν. οἷον, ἡ Τρῶς, ἡ Κλῶς, ἡ Κῶς. εἰσὶ δὲ ὀνόματα πόλεως. ἐπειδὴ δὲ τὸ δῶς θηλυκόν ἐστι καὶ μόνον, οὔτε κύριον, οὔτε περισπώμενον. τούτου γὰρ χάριν ἐστὶν ἄκλιτον.

Δῶσιν, ἐκ τοῦ δῷς γέγονε, πλεονασμῷ τοῦ ι. ὁμοίως τῷ τίθης τίθησι, καὶ τοῖς λοιποῖς. τινὲς δὲ ἀπὸ τοῦ δῷ τρίτου προσώπου φασὶ, πλεονασμῷ τῆς σι συλλαβῆς Ἰωνικῶς. οὕτω δὲ καὶ τὸ ἔλθησιν, ἔχησι, λάβησι, καὶ τὰ ὅμοια, Ἰωνικά.

Δῶσιν, ἐκ τοῦ δίδωμι, ὁ ἀόριστος δεύτερος ἔδων, τὸ ὑποτακτικὸν ἐὰν δῶ. τὸ τρίτον ὁμοίως ἐὰν δῶ. καὶ πλεονασμῷ τοῦ σι, δῶσι. καὶ πλεονασμῷ τοῦ ω, δώωσι.

Δωσιάραις, κακὰ διδούσαις.

Δωσοῦντι, καὶ λεξοῦντι, προπερισπωμένως, ἀντὶ τοῦ δώσουσι καὶ λέξουσι λέγουσι Δωριεῖς. ὁμοίως καὶ ἐν ἄλλοις.

Δωτάδης, Δώρου υἱὸς, ὁ Λυκάμβας.

Δώτειραν, παρεκτικήν.

Δωτὴ, τορευτή.

Δωτῆρες, ἐκτείνει τὸ ω τῆς ἀρχούσης, καθ' ὁμοιότητα τοῦ δῶτορ ἑάων. οἱ δέ γε μεθ' Ὅμηρον, συστέλλουσι μὲν τὸ δοτήρ. τὸ δῶτορ δὲ ἐκτείνουσιν ἐν ταῖς παραληγούσαις.

Δωτίνη, ἡ δωρεά. καὶ δωτίνησι, δωρεαῖς.

Δωτινάζων, ὁ δῶρα προσδεχόμενος.

Δωτὺς, δωτύος, τῆς τροφῆς.

Δώωσι. δίδωμι, δώσω, ἔδων, δοὺς δόντος. τὸ ὑποτακτικὸν, ἐὰν δῶ, δῷς, δῷ, ἐὰν δῶμεν, δῶτε, δῶσι. καὶ πλεονασμῷ τοῦ ω, δώωσι.

Δῶ, δώσω.

Τέλος τοῦ δ' στοιχείου.

ἈΡΧῊ ΤΟΥ͂ Ε΄.

ΣΤΟΙΧΕΊΟΥ. ΤῸ ΑΥ̓ΤῸ ΜΕΤᾺ ΤΟΥ͂ Α΄.

Ε Τὸ στοιχεῖον, παρὰ τὴν ἐπέκτασιν τὴν εἰς μέσον καὶ τὴν κυκλοτερῆ. τὸ μὲν γὰρ κυκλοτερὲς καὶ πέριξ, τοῦ ὄντος αἰῶνος μιμεῖται τὸ πέριξ. τὸ δὲ εἰς μέσον, μακρὰν ἔχει τὴν ἐπέκτασιν τοῦ αἰῶνος.

Ἓ, δασυνόμενον μὲν καὶ ἐγκλινόμενον, δηλοῖ ἀντωνυμίαν τρίτου προσώπου, πτώσεως αἰτιατικῆς, αὐτόν. ὀρθοτονούμενον δὲ πάλιν, τρίτον δηλοῖ, ἑαυτόν.

Ἕ, δασέως ὀρθοτονούμενον ἓ, αὐτὸν, ἢ αὐτὴν, ἢ αὐτό.

Ε̄, καὶ τὸ ᾱ, ἐν μὲν αἰτιατικῇ ἑνικῇ, καὶ ὀνομαστικῇ καὶ αἰτιατικῇ καὶ κλητικῇ οὐδετέρων συνῃρημένων ὀνομάτων, εἰς η̄ κιρνᾶται. οἷον τὸν Δημοσθένεα καὶ Δημοσθένη, καὶ τὰ τείχεα καὶ τείχη, ὦ τείχεα καὶ τείχη. ἐν δὲ τῇ πληθυντικῇ ὀνομαστικῇ καὶ αἰτιατικῇ καὶ κλητικῇ τῶν ἀρσενικῶν καὶ θηλυκῶν ὀνομάτων τῶν συνῃρημένων, εἰς ει. οἷον οἱ καὶ αἱ ἀληθέες καὶ ἀληθεῖς. τοὺς καὶ τὰς ἀληθέας, καὶ εἷς, ὦ ἀληθέες, καὶ εἷς.

Ἔ. ἡνίκα πλεονάζει σύμφωνον, τρέπεται εἰς ῑ. οἷον, ἔχω ἴσχω, μένω μίμνω, ῥέπω ῥίπτω, πέτω πίπτω.

Ἐὰ σημαίνει δύο, τὰ ἀγαθά. ὡς τὸ, Θεοὶ δωτῆρες ἑάων. καὶ τὰ ἑαυτοῦ, ὡς τὸ, ἑὰ πρὸς δώμαθ' ἕκαστος, καλά. εἴρηται ὅτι τὰ ἀγαθὰ ἰδιοποιούμεθα, τὰ δὲ κακὰ ἀπαλλοτριοῦμεν. ἐὸν γὰρ, τὸ ἴδιον, παρὰ τὸ ἕω, τὸ κορεννύω. οἷον, Ἐπεὶ χ' ὦμεν πολέμοιο, σημαίνει τὸ ἀγαθόν. ἀφ' οὗ ἐὸς, τὸ θηλυκὸν ἐή. ὡς ἀγαθὸς, ἀγαθή. τὸ πληθυντικὸν, ἑαὶ, ἑῶν, καὶ ἐν διαλύσει ἑάων. ὡς πυλῶν πυλάων. τίθεται δὲ ἡ λέξις. ἐπὶ τῶν τριῶν γενῶν. ἔστι γὰρ ἀρσενικὸν ἐὸς, ὁ ἀγαθός. τὸ θηλυκὸν ἐή, καὶ τὸ οὐδέτερον ἐόν. τὸ δὲ ἐὸν οὐκ ἐκλήθη, ἀλλ' ἑὰ τὰ ἀγαθὰ, ἵνα μὴ συμπέσῃ τῇ ἐὸν μετοχῇ.

Ἔα, ἀντὶ τοῦ ἦν, Ἰωνικῶς. ὥσπερ ᾔδειν ᾔδεα. τροπῇ δὲ τοῦ ε̄ εἰς η̄, ἦα. Ἀττικοὶ δὲ λέγουσιν ἦ, τρέποντες τὸ ε̄ καὶ ᾱ εἰς η̄. ὡς ᾔδεα ᾔδη. κοινοὶ ἦν λέγουσιν, Ἴωνες, ἔα καὶ ἦα. Ἀττικοὶ, ἦ. ποιηταὶ δὲ, ἔην, καὶ ἔσκον.

Ἔα, τὸ ἦν, παρ' Ὁμήρῳ ἐν τῷ γ̄ τῆς Ἰλιάδος. ἔστι δὲ κατὰ διάλυσιν Ἰωνικὴν ἀπὸ τοῦ ἦν, ἔα.

Ἐάα, τὸ παραλῆγον ᾱ ἐν πλεονασμῷ κεῖται. ὡς ὁρᾷ ὁράα, βοᾷ βοάα. οὕτω καὶ ἐᾷ ἐάα.

Ἔα, συγχώρει.

Ἐάγη, ἐθραύσθη, ἐκλάσθη. ἔστιν ἄγω, τὸ κλάω, ἢ κλῶ. ὁ μέλλων ἄξω, ὁ ἀόριστος ἦξα, ὁ δεύτερος ἦγον. ὁ παθητικὸς ἤγην, ης, η, καὶ κατὰ διάλυσιν Ἰωνικῶς, ἐάγη. καὶ ἐαγῆναι, συντριβῆναι.

Ἔαδε, ἐκ τοῦ ἅδω τὸ ἀρέσκω. ὁ μέσος παρακείμενος ἧδα, διαλύσει ἕαδα. καὶ μετοχὴ ἑαδὼς, ἑαδότος. καὶ ἑαδότα θυμὸν, τὸν ἀρέσκοντα. καὶ ἑαδότα μῦθον. ἢ ἀπὸ τοῦ ἥδω, ἥσω, ἧδα.

Ἔαδεν, ἤρεσεν, ἔδοξεν.

Ἔα δὴ, ἄγε δή. καὶ ἔα, ἀντὶ τοῦ συγχώρησον.

Ἑαδότα, ἀρέσκοντα. ἥδω ἥσω, ἧδα, διαλύσει ἕαδα, ἑαδὼς ἑαδότος.

Ἔαθεν, ἐχώρησαν.

Ἑαῖς, ἰδίαις.

Ἔακεν, ἀλγεῖ.

Ἑακότες, παρῃτημένοι, ἀποπεπαυκότες, ἀλγοῦντες.

Ἑακῶς, κακῶς ἔχων, παρειμένως, ἀναπεπαυμένως, ἀλγῶν.

Ἑάλη. ὅ ἐστι συνειλήθη, συνεστράφη, λέξις ποιητική. γίνεται δὲ ἀπὸ τοῦ εἴλον. ὁ παθητικὸς ἀόριστος Ἰωνικὸς ἄλην, καὶ ἐξ αὐτοῦ πλεονασμῷ τοῦ ε̄, τὸ ἑάλη. ἢ κοινῶς ἥλην ἥλης ἥλη, καὶ διαλύσει ἑάλη. οὗ συγγενές ἐστι τῷ ἐκρύφθη. ἡ μετοχὴ, ἀλεὶς ἀλέντος.

Ἑαλὸν, λυπηρὸν, λυπήριον.

Ἑαλὼς, τεθραυσμένος.

Ἑάλω. ἔστιν ἀλόω, ῶ, τὸ πορθῶ, παράγωγον ἄλωμι, ἀλώσω. ὁ δεύτερος ἀόριστος, ἥλων. καὶ διαλύσει τοῦ η̄ εἰς ε̄ καὶ ᾱ ἑάλων ἑάλως ἑάλω.

Ἑάλωκα, καὶ ἑαλωκὼς, καὶ ἑάλων, ἀντὶ παθητικῶν λαμβάνονται.

Ἑάλωκεν Ἀττικοὶ, οὐχ ἥλωκεν. καὶ ἑάλω, οὐχ ἥλω. τὸ δὲ ἐλήφθη, κοινότερον.

Ἑαλωκὼς, καὶ ἑάλω, καὶ ἁλοὺς, μετὰ δοτικῆς συντάσσονται. Λουκιανὸς, Τῷ κάλλει ἑάλω.

Ἑαλωκυῖα, ἐξερημωθεῖσα.

Ἑάλων ἐπὶ ἐγκλήμασιν, ἀντὶ τοῦ κατηγορήθην. καὶ ἑάλων, ἐκρατήθην.

Ἑάλωσαν, ἐκρατήθησαν. καὶ ἑάλω, ἐκρατήθη.

Ἐὰν, τὸ ἦν, τὸ ἂν, τὸ κἂν, καὶ τὸ ὅταν, καὶ τὸ ὅπως, καὶ ἵνα, ἀεὶ μετὰ ὑποτακτικῶν παρὰ τοῖς ἀκριβεστάτοις συντάσσονται.

Ἐᾶν, ἀφιέναι.

Ἐὰν ἄξῃς, οὐδεὶς ἂν φαίη. ἀλλ' ἐὰν ἀγάγῃς. Φρύνιχος.

Ἑανηφόρος, ἡ ἠὼς, παρὰ Ἀντιμάχῳ.

Ἑανὸν, ποικίλον, λεπτόν. Ἀ μεγάλα δ' αἴγυπτος ἑανῷ δάψαιτο χαίτην.

Ἑανὸς, παραγωγὴν ἔχει ἀπὸ τοῦ ἕω, τὸ ἐνδύομαι. ὁποίαν καὶ ἑδανὸν, ἀπὸ τοῦ ἥδω. ἐλλείπει δὲ, ὁ πέπλος, ἐν τῷ ἑανὸν ἕσατο. ἔστι δὲ ἡ λέξις αὕτη καὶ κασσιτέρῳ ἐπικειμένη. λέγει γὰρ Ὅμηρος, κασσίτερος ἑανός. φησὶ δέ τις ἐνταῦθα, οὕτως. ἑανὸς κασσίτερος, ὁ διάχυτος, καὶ ἐπιβόλαιον λιτόν. ποτὲ δὲ, λεπτὸν ὕφασμα. Παυσανίας δὲ, ἑανὸς, γυναικεία ἐσθὴς ποδήρης. Ἰστέον δὲ, ὅτι καθάπερ ὁ ἑανὸς, οὕτω καὶ τὸ ἔκκυκλον, ἢ ἔγκυκλον, οὗ καὶ ὁ κωμικὸς μέμνηται, γυναικεῖον ἦν ποτὲ φόρεμα. φησὶ γοῦν Παυσανίας, ὅτι ἔγκυκλον, περιπόρφυρον ἱμάτιον. καὶ χιτὼν γυναικεῖος, ὃν ἔνδοθεν ἐνδύονται γυναῖκες, εἴτε τὸ ἔνδυμα. λέγεται δέ φησιν ὑπ' ἐνίων ἐπιγουνατὶς, διότι μέχρι γονάτων διήκει. διαφέρει δὲ ἐγκυκλήματος, ὅτι τὸ ἐγκύκλημα, ὃ καὶ ἐγκύκληθρον λέγεται, μηχάνημα ἦν ὑπότροχον. ὑφ' οὗ ἐδείκνυτο τὰ ἐν τῇ σκηνῇ, ἢ σκηνῇ.

Ἑανὸς, κυρίως πέπλου, ἤτοι γυναικείου φορήματός ἐστιν ἐπίθετον. καὶ ἐνίοτε λέγεται κατὰ ἔλλειψιν. καὶ ὁ ἑανὸς δὲ ἔχει τὸν πέπλον ἐλλείποντα. οὕτω δὲ καὶ ἐν τῇ Ἀττικῇ ποικίλῃ, ἐλλείπει ἡ στοά. καὶ ἐν τῷ βροτὸς, λείπει ὁ ἀνήρ. καὶ ἐν τῷ χείμαρρος, λείπει ὁ ποταμός. ἑανὸς ἀπὸ τοῦ ἕω, τὸ ἐνδύω, ἐξ οὗ καὶ τὸ εἷμα, ἵνα δηλοῖ τὸ ἄξιον τοῦ ἐνδύεσθαι. ἀλλὰ εἰ καὶ ἐπίθετόν ἐστιν. ἀλλ' ὡς τὸ χρῆμα πέπλος λαμβάνεται προσηγορικῶς. οὐδέποτε γὰρ ὁμοῦ δύο ἐπίθετα, πολλῷ δὲ πλέον, οὐδὲ τρία κεῖνται χωρὶς κυρίου, ἢ προσηγορικοῦ.

Ἕαται, κάθηνται.

Ἕατο, ἦσαν.

Ἑανῷ, διαυγεῖ, ἢ λεπτῷ ἱματίῳ.

Ἔαξεν, ἔκλασε, συνέτριψεν.

Ἔαρ, ἔαρος καὶ ἦρος, ἔαρι καὶ ἦρι, ἔαρ, πάντα ἐν χρήσει. παρὰ δὲ τοῖς ποιηταῖς καὶ τὸ ἦρ. δηλοῖ δὲ ἡ λέξις παρ' αὐτοῖς, καὶ τὸ αἷμα.

Ἔαρ, χρόνος. ἐν ᾧ τὸ ὑγρὸν, μετὰ τοῦ θερμοῦ ἐπικρατεῖ. ἔαρ δὲ, παρὰ τὸ ἕω τὸ πέμπω. τότε γὰρ ἐκπέμπονται οἱ καρποί. ἔαρ καὶ τὸ αἷμα, διὰ τὸ ἐν τῷ ἔαρι πλεονάζειν. ἢ ἔαρ, ὁ μετὰ χειμῶνα τριμηναῖος καιρός.

Ἑαρδάλη, ἐπλησίασεν.

Ἐαρίδας, τὰς κανθαρίδας.

Ἐάριον, τὸ ῥόδον.

Ἐαρινὸν, τὸ κατὰ καιρὸν τοῦ ἔαρος.

Ἑαρὸν, λουτῆρα, ἢ πρόχουν.

Ἑαρτέρος, τοῦ ἀέρος, ἢ ἀερινοῦ.

Ἑᾶσαι, κοιμηθῆναι.

Ἔασαν, ηὐλίσθησαν.

Ἐάσαντες, καταλείψαντες.

Ἐάσας. ἡνίκα ὁ ἐνεστὼς τῶν περισπωμένων ῥημάτων τῆς δευτέρας συζυγίας καθαρεύῃ, τότε ὁ μέλλων διὰ μακροῦ τοῦ ᾱ ἐκφέρεται. οἷον ἀντιῶ ἀντιάσω, θεῶ θεάσω, ἰῶ ἰάσω. καὶ ἡνίκα ἔχῃ

τὸ

Digitized by Google

τὸ ρ̄, ὁμοίως διὰ μακροῦ ᾱ ὁ μέλλων ἐκφέρεται. οἷον γηρῶ γηράσω, φυρῶ φυράσω. ἡνίκα δὲ ἔχῃ τὸ λ̄, ὥστε ὁ μέλλων διὰ βραχέος τοῦ ᾱ ἐκφέρεται. οἷον θλῶ θλάσω, γελῶ γελάσω.

Ἔασας, ἐχαροποίησας. ἀπὸ τοῦ ἥδω, ἥσω, ἧσα, καὶ διαλύσει τοῦ η̄ ἔασας.

Ἔασεν, ἤφιεν.

Ἔασιν, ὑπάρχουσι, πέλουσιν, εἰσὶ, τυγχάνουσι. καὶ ἔασιν, ἀντὶ τοῦ ὑπάρχουσιν, ἐκ τοῦ εἰσὶν, Ἰωνικὸν ἔασιν.

Ἕασις, βρέτας, βάθρον, τέμενος, ἀσφάλισμα, ἵδρασμα, καθέδρα.

Ἔασκεν. ἐῶ ἐᾷς ἐᾷ, ὁ παρατατικὸς εἴων εἴας εἴα. καὶ ἐκ τούτου εἴασκε, καὶ ἔασκεν, ἀποβληθέντος τοῦ ι̅. ἢ ἀπὸ τοῦ ἐάω, ἐῶ, ἐάσω. πλεονασμῷ τοῦ ε̄ ἐάσκω, τὸ ᾱ κατὰ συστολήν. τὰ γὰρ διὰ τοῦ σκω παρηγμένα Ἰωνικὰ, βραχεῖαν ἔχουσι τὴν παραλήγουσαν.

Ἑασφόρος, ἑωσφόρος.

Ἕαται, ἀπὸ τοῦ ἕεμαι, καὶ κράσει ἧμαι ἧσαι ἧται, τὸ τρίτον τῶν πληθυντικῶν ἧνται, καὶ Ἰωνικῶς ἕαται. ἢ ἕω, τὸ καθέζομαι, παράγωγον ἕημι. τὸ παθητικὸν, ἕεμαι. καὶ κράσει ἧμαι ἧσαι ἧται. τὸ τρίτον τῶν πληθυντικῶν ἧνται, καὶ Ἰακῶς ἕαται. ὁμοίως ἕατο καὶ εἵατο, ἐκ τοῦ ἥμην ἧσο ἧστο, παρατατικοῦ. καὶ τὸ τρίτον τῶν πληθυντικῶν, ἧντο, καὶ διαλύσει ἕατο, καὶ εἵατο, πλεονασμῷ τοῦ ι̅.

Ἕαται, οἱ Ἀριστάρχειοι τὸ ἦν, ἐαγνίεσθαι εἶπον κατὰ τμῆσιν, ὁποία τις γίνεται καὶ ἐν τῷ ἧνται, ἕαται, καὶ ἐν τῷ Ἀστυάγην ἀστυάγεα, Διομήδην διομήδεα. καὶ ἐν τῷ ἤδειν ἤδεα, καὶ τοῖς λοιποῖς.

Ἑαυτοὺς, ἀντὶ τοῦ ἀλλήλους. οὕτως Ἀττικοὶ λέγουσιν.

Ἑαυτοῦ, κυρίως τοῦ τρίτου προσώπου ἐστίν. εὕρηται ὅμως μετὰ πρώτου καὶ δευτέρου συντεταγμένον. οἷον ἑαυτοὺς ὑμᾶς ὠφελεῖτε, ἑαυτοὺς ἡμᾶς βλάπτομεν, ἑαυτοὺς ἐκεῖνοι κατηγόρησαν.

* Ἑαυτοῦ, ἑαυτῷ, ἑαυτόν. ἐκ δύο ἕκαστον ὁμοιοπτώτων σύγκειται, τοῦ ἕο αὐτοῦ, καὶ ἑοῖ αὐτῷ, καὶ ἓ αὐτόν.

Ἑαυτοὺς, ἀντὶ τοῦ ἀλλήλους Ἀττικοὶ λέγουσιν.

Ἑάφθη, ἢ παρὰ τὸ ἑῶ, ἑάθη, καὶ πλεονασμῷ τοῦ φ̄. ἢ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ εἵφθη. ἵν᾽ ᾖ ἐπηκολούθη. καὶ ἐν διαιρέσει τῆς ει̅ διφθόγγου εἰς ε̄ καὶ ᾱ, ἑάφθη, ἀντὶ τοῦ ἐκάμφθη, ἐβλάβη.

ΤΟ᾽ Ε. ΜΕΤΑ᾽ ΤΟΥ Β.

Ἔβα, ἐπῆλθε, καὶ ἦλθε.

Ἐβαδίαστον, μελανόβροχον.

Ἔβαζεν, ἔλεγε, καὶ ἐκακολόγει.

Ἐβάθη, ἐγεννήθη.

Ἐβαίνομεν, ἐλέγομεν.

Ἔβαλλεν, ἔρραινεν.

Ἔβαμε, κατέλαβέ με. Ἀριστοφάνης, Τί χρέος ἔβαμε μετὰ τὸν Πασίαν.

Ἐβάμβαινεν, ἔτρεμεν, ἐδίσταζεν.

Ἐβάμωσεν, ἡττήθη.

Ἐβαν, ἐπορεύθησαν, ἐβάδισαν.

Ἔβαξας, ἐλοιδόρησας.

Ἐβαρυθύμησαν, ἐλυπήθησαν.

Ἐβαρυώπησαν, ἀσθενεῖς ἐγίνοντο τοὺς ὀφθαλμούς.

Ἔβας, ἐπορεύθης.

Ἔβασεν, ἀντὶ τοῦ ἐκέκραξεν.

Ἔβασον, ἀντὶ τοῦ ἔασον, συγχώρησον. οὕτως οἱ Συρακούσιοι. καὶ γέγονε πλεονασμῷ τοῦ β̄. τὸ γὰρ ἔασον ἔβασόν φασιν.

Ἐβάστασεν, ἀντὶ τοῦ ἐδοκίμασε. Πάσας δ᾽ ἰδίας ἐξήτασε, πάντα δ᾽ ἐβάστασε φρενὶ, πυκνῶς τε καὶ ποικίλως τοὺς λόγους ἀνεῦρεν.

Ἐβδελύττετο, παρὰ τῷ Ἀριστοφάνει ἐν Πλούτῳ, ἐμίσει. χαριέντως τὸ ἐβδελύττετο, πρὸς τὸ ἀπέπαρδον.

Ἐβδελύχθησαν, ἀπερρίφησαν.

Ἐβδηλάμην, ἀπέμελξα. βδάλλειν γὰρ, τὸ ἀμέλγειν. ὅθεν ἡ βδέλλα τὸ ζῶον, διὰ τὸ ἀμέλγειν τὸ αἷμα.

Ἐβδομάτη, ἡ ἑβδόμη.

Ἑβδομευόμενα, τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδόμας καὶ τὰς δεκάτας ἦγον, καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς. οἱ μὲν τῇ ἑβδόμῃ. οἱ δὲ, τῇ δεκάτῃ. ἐπὶ ἓξ σελήναις, βοῦν ἕβδομον ἔπεττον, κέρατα ἔχοντα, κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης. καὶ ἕβδομον βοῦν, ἐπὶ τῶν ἀναισθήτων, ἡ σοφὴ παροιμία.

Ἑβδομαῖος, ὁ Ἕβδομος.

Ἕβδομον, ἡμιτάλαντον, τὰ ἓξ ἡμίσεα τάλαντα.

Ἕβδομος βοῦς, εἶδος πέμματος, κέρατα ἔχοντος.

Ἕβδομος, ἀπὸ τοῦ ἑπτὰ, ἕπτομος, καὶ ἕβδομος, κατὰ ἐναλλαγὴν τῶν στοιχείων. ὡς καὶ παρὰ τὸ ὀκτὼ, ὄκτοος, καὶ ὄγδοος. ἢ παρὰ τὸ ἑπτὰ ἑπτόματος, καὶ ἑβδόματος, τροπῇ τοῦ π̄τ̄ εἰς β̄δ̄, καὶ κατὰ συγκοπὴν, ἕβδομος.

Ἐβεβαίωσας, ἐφανέρωσας.

Ἐβεβήκει, ἐπεπόρευτο.

Ἐβεβήλωσεν, ἐμίανεν, ἐμόλυνεν, ἀκάθαρτον ἐποίησεν.

Ἐβέβλις, θήκη ἀργυρίου κακίστου.

Ἐβεβρήχει, ἐπεπήχει πως.

Ἔβενος, ὄνομα ξύλου. καὶ ἔβελος ὁμοίως.

Ἔβη, ἦλθεν, ἐπορεύθη.

Ἐβῆνοι, ἀλωπεκίδες.

Ἔβησεν, ἐπέβη.

Ἐβήτην, ἔβησαν δυϊκῶς.

Ἐβιάσατο, ἀπεστέρησεν.

Ἐβιήσατο, ἐβιάσατο. καὶ ἐπὶ ὄνου τίθηται παρὰ τῷ ποιητῇ. δῆλον δὲ, ὅτι τὸ βιῶ, οὗ ὁ μέλλων βιήσω, καὶ μέσος ἀόριστος τὸ ἐβιήσατο, πρωτότυπόν ἐστι τοῦ βιάζω. οἷον, βιάζετο γὰρ βελέεσσι, μυρία καὶ ἄλλα τοιαῦτα.

Ἐβίσκος κατὰ ἰατροὺς, ἡ μαλάχη, καὶ ἀλθαία λεγομένη.

Ἐβίωσας, ἔβησας, ἔζησας.

Ἐβλάστησεν, ἐξέφυ.

* Ἔβλαμμαι, ἀντὶ τοῦ βέβλαμμαι Ἀττικῶς.

Ἔβλεν, ἀνεφύσα, ἀνέζει μετὰ ποιοῦ ψόφου.

Ἐβλημάθη, ἐμαλάχθη, παρὰ τῷ Ἱπποκράτει.

Ἔβλιττεν, ἐπίεζεν.

Ἐβληχῶντο, ἐπὶ τῶν προβάτων λέγεται.

Ἐβλὸν, ἀπόπληκτον.

Ἔβλω, ἔδωκε, διέσπασεν, ἐφάνη, ᾤχετο, ἔστη, ἐβόα, ἐκάλει.

Ἐβόησεν, ἐφώνησεν.

Ἐβόλοντο, ἐβούλοντο, ἐβουλεύσαντο.

Ἐβόμβεον, ἤχουν. ὅθεν καὶ βομβύλη, εἶδος μελίσσης. καὶ ποτηρίου δὲ εἶδος, ὡς Ἀντισθένης παραδίδωσιν. ἔστι δὲ τοῦτο στενοτράχηλον.

Ἐβόμβησεν, ἤχησεν.

Ἔβορα, ἐβοροῦσα. Ἔβουρις, καὶ Ἐβουδίκη, ὀνόματα πόλεων.

Ἐβόρισεν, ἐσίτισεν.

Ἐβουλιμίασαν, λίαν ἐπείνασαν. καὶ ἔστιν ἐν τῷ βουλιμιᾶν.

Ἐβουλόμην, καὶ ἐβουλήθην πλειστάκις οἱ δοκιμώτατοι λέγουσι. κάλλιον γὰρ, ἢ ἠβουλόμην καὶ ἠβουλήθην. τοῦτο δὲ, καὶ ἐπὶ τοῦ, ἐδυνάμην, καὶ ἐδυνήθην.

* Ἐβούλευκα, ἀντὶ τοῦ βεβούλευκα λέγουσιν Ἀττικοὶ πρὸς εὐφωνίαν.

Ἐβόων, ἔκραζον.

Ἔβρα, ἡ διάβασις.

Ἐβραγχίασεν, ἐκοπίασεν, ἐβρόντισεν.

Ἑβραῖοι, ἀπὸ Ἕβερ, υἱοῦ Σάλα. ὃς ἐμέρισε τοῖς ἔθνεσι τὴν γῆν.

Ἐβραμμένον, εἱμαρμένον.

Ἔβραπτεν, ἔκρυπτεν, ἔσφιγγεν.

Ἔβρασεν, ἀπέπτυσεν, ἐξέχεε. καὶ ἔβρασεν, ἐκ τῆς θαλάσσης εἰς τὴν γῆν ἔρριψεν.

Ἐβραταγησεν, ἐψόφησεν.

Ἔβραχεν, εὕρηται καὶ ἐπὶ ἵππου πίπτοντος παρὰ τῷ ποιητῇ. καὶ ἐπὶ ὅπλων, ὡς τὸ, Οἷον δ᾽ ἔβραχε τεύχεα φωτῶν. ἔθετο δὲ αὐτὸ καὶ ἐπὶ ἅρματος. ὡς τὸ, Μέγα δ᾽ ἔβραχε φήγινος ἄξων. καὶ ἐπὶ ὕδατος. ὡς τὸ, Οἷον ἔβραχεν αἰπὰ ῥέεθρα. τὸ δὲ βρέχω ἐνεστὼς, ἐπὶ ὑετοῦ μόνον λαμβάνεται.

Ἔβραψεν, ἔκρυψεν, ἔπιεν, κατέφαγεν.

Ἔβρεμον, ἐφώνουν.

Ἔβρησεν, ἐβάρησεν.

Ἐβριάζοντο, ηὐφραίνοντο.

Ἔβριξαν, μετὰ τροφὴν ἐκοιμήθησαν.

Ἔβρισαν, ὥρμησαν, ἐβάρυναν, ἐπορεύθησαν, ἐπέθεντο.

Ἐβρόμησεν, ἤχησεν, ἐβρόντησεν.

Ἕβρος, ποταμὸς Θράκης. τὰ ῥεύματα ἔχων ἐκ Ῥοδόπης τοῦ Θρακικοῦ ὄρους.

Ἐβρυάζοντο, εὐφραίνοντο, ηὐωχοῦντο.

Ἔβρυεν, ἐπλήθυεν, ἤνθει.

Ἐβρύθη, ἔπεσεν.

Ἔβρω, ἔφαγεν, ἔδακε, διέσπασεν.

Ἐβρώμησε, βρώσεως ἐδεήθη. βρωμήσασθαι γὰρ τὸ βρώσεως καὶ βρώμης δεηθῆναι. καὶ ἐβρώμησεν, ὠγκώθη.

Ἐβύουν, ἐπλήρουν, ἔφραττον. Ἀριστοφάνης, χρυσίῳ τούτων ἔβυον τὸ στόμα, τουτέστι τῶν ῥητόρων.

Ἐβὼβ, πόλις Μωαβιτῶν. ἡ καὶ ὠβὼβ καλεῖται.

Ἐβώρα, ἐβωόρα.

Ἔβωσαν, ἐβόησαν.

ΤΟ᾽ Ε. ΜΕΤΑ᾽ ΤΟΥ Γ.

Ἔγανεν, ἐγένετο.

Ἐγάνυσαν, ἐκόσμησαν, χαρίεσσαι ἐποίησαν.

Ἐγανώθην, ἀντὶ τοῦ ἐχάρην, ἐφαιδρύνθην, ἀπὸ τοῦ γάνυμαι. Ὅμηρος, Γάνυται δέ τε φρένα ποιμήν, ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων.

Ἐγαργάλιζον, ὑπέσαινον, ἠρέθιζον, ἐκίνουν, προετρέποντο.

Ἔγγαλον, πρόβατον γάλα ἔχον.

Ἐγγαμεῖν λέγομεν, τὸ ἐπ᾽ ἀλλοτρίας οἰκίας εἰσέρχεσθαι.

Ἐγγανᾶται, διέφθαρται.

Ἐγγαστριμάχαιραν, τὴν ἐν τῇ γαστρὶ κατασημήνασαν.

Ἐγγαστρίμυθος, ἡ κεκλεισμένου τοῦ στόματος φθεγγομένη, καὶ δοκοῦσα ἀπὸ γαστρὸς, παρὰ τῷ Ἱπποκράτει.

Ἔγγαυρον, νοτερὸν, ὑγρὸν, ἄωρον, πρόσφατον, ἐκλελυμένον, ἄνικμον.

Ἔγγαυσον, ἔνσκαμβον.

Ἐγγέαβλος, νεωκόρος.

Ἐγγεγάασιν, εἰσὶ, γεγάασιν.

Ἐγγέγατον, μέσος παρακείμενος, τρίτον πρόσωπον τῶν δυϊκῶν. ἀπὸ τοῦ γείνω, ὁ μέσος παρακείμενος γέγονα. ὡς κείρω κέκορα. καὶ τὸ δυϊκὸν γεγόνατον. καὶ ἐν συγκοπῇ, γέγατον, καὶ μετὰ τῆς ἐν προθέσεως, ἐγγέγατον.

Ἐγγεγαῶτα, γεγεννημένα.

Ἐγγεγόνεον, δηλοῦται περισπώμενον ῥῆμα εἶναι τὸ γεγωνῶ, ἐξ οὗ γεγωνὼς, μετοχὴ συγκεκομμένη, ἐκ τοῦ γεγωνηκώς. ὁμοία τῷ εἰδηκὼς, καὶ ἐν συγκοπῇ εἰδώς.

Ἐγγεγυμνασμένον, οἱονεὶ φανερὸν, καὶ δεδοκιμασμένον.

Ἐγγεγωνὼς, βοήσας.

Ἐγγείνονται, σημαίνει τὸ γεννῶνται. παρὰ τὸ γείνω, γείνομαι.

Ἔγγειον, χέρσον, ξηρόν.

Ἐγγελῶν, καταγελῶν.

Ἐγγελῶσα, καταγελῶσα.

Ἐγγενὲς, συγγεγεννημένον, οἰκεῖον, παρὰ τῷ Ἱπποκράτει.

Ἐγγενὴς, ὁ ἀστὸς ἐξ ἀστῶν, οὕτω καλεῖται.

Ἔγγεον, τὸ ἀσφαλές.

Ἐγγῆρυς, ἡ γῆ παρὰ Ἀττικοῖς.

Ἔγγια, τὰ ἐν τῇ γῇ.

Ἐγγιάζων, ἀντιφωνῶν.

Ἐγγίζω, παρὰ τὸ ἐγγύς. κυρίως πλησιαίτερος ὑπάρχω.

Ἐγγίζωσοι, δοτικῇ.

Ἔγγιον, ἐγγύτερον, διὰ τοῦ ι̅.

Ἔγγιον, καὶ ἔγγιστα οὐ λέγουσιν Ἀττικοὶ, ἀλλ᾽ ἐγγύτατον καὶ ἐγγύτατα. καὶ ἔγγιον ἐπὶ συγκριτικοῦ μὴ λέγε, ἀλλ᾽ ἐγγύτερον. ἔγγυον δὲ ἁπλῶς, ἀντὶ τοῦ ἐγγύς.

Ἐγγλαπῆναι, ἐγγλυφῆναι, ἐπὶ τῶν νεοσσῶν κυρίως, παρὰ τὸ λέπος.

Ἐγγλαυκῶσαι, ἐμβλέψαι.

Ἐγγλυφόμενα, ἔνωχρα, ἄχροα.

Digitized by Google

Ἐγγλυμμένος, ἐκ τοῦ γεγλυμμένος. οἷον, ὡς οἴχεται μὲν πυρὸς ἐξεγγλυμμένος.

Ἐγγλύσσει, ἐγγλυκάζει.

Ἐγγλωττογάστωρ, ἐκ τοῦ λέγειν πεποίηται ἡ λέξις. παρὰ τὸ διὰ γλώσσης καὶ διὰ λόγου τρέφεσθαι.

Ἔγγονα, τὰ τέκνα τῶν τέκνων.

Ἐγγονεῖν, ἐνεργεῖν, παιδεύειν.

Ἔγγονος, ὁ υἱὸς υἱοῦ.

* Ἔγκονος, διὰ τοῦ κ̄ ὁ ἀπόγονος.

Ἐγγόργων, φοβερῶς βλέψας.

Ἐγγράφω, τὸ καταλέγω, καὶ τάττω. μετὰ αἰτιατικῆς καὶ προθέσεως συντάσσεται. Λιβάνιος, Τοιγαροῦν αὐτὸς εἰς τοὺς πάλαι συνήθεις, τὸν ἄνδρα ἐνέγραψεν.

Ἐγγριμμᾶσθαι, ἐναγίσαι τοῖς τελευτηκόσιν.

Ἐγγρισμὸς, παροξυσμός.

Ἐγγύαι, αἱ ἀναδοχαί.

Ἐγγυαλίζω, παρέχω, χαρίζομαι.

Ἐγγυαλίξαι, τὸ εἰς χεῖρας παρασχεῖν, ἐκ τοῦ ἐγγυαλίζω.

Ἐγγυαλίξῃ, ἤγουν εἰς κοίλην χεῖρα θήσει. ἐξ οὗ ἐγγυαλίζειν, καὶ γύαλα θώρηκος, καὶ κοίλας δὲ πέτρας κατὰ τοὺς ποιητὰς, τὰ κοιλώματα.

Ἐγγυαλίξω, τὸ ἐστὶν ἐν γυίοις, ὅ ἐστι χερσὶ θήσω, καὶ ὡς εἰπεῖν ἐγχειρίσω.

Ἐγγύαν, ὀψωνίαν. Λάκωνες.

Ἐγγύδιον, ἔγγυον, πλησίον, προσῆκον.

Ἐγγύη, ἡ ἀσφαλὴς ἀντιποίησις καὶ σαθρά. ἢ ἡ περί τινος ἀναδοχή. ἀπὸ τοῦ γῆ γύη, καὶ ἐγγύη. καὶ γάρ ἡ γῆ τῶν ἄλλων στοιχείων παγιωτέρα ἐστίν.

Ἐγγύης καταβολὴν. καταδικασθέντων τινῶν δημοσιεύεσθαι τὰς οὐσίας, εἰ λέγοιέν τινες, ὡς εἶεν δανεισταὶ τῶν δημευομένων, ἀπογράφεσθαι τούτους ἐκέλευον, πόσα καὶ πόσον ἐδάνεισαν ἀργύριον, ὅπερ ἔλεγον ἐνεπίσκημμα, καὶ ἐνεπισκήψασθαι. εἰ μέν τοιγε παρέσων ἐγγυητὰς τοῦ μὴ ἂν διαψεύσασθαι περὶ τοῦ δανείσματος οἱ δανείσαντες, τοῦτο ἐγγύης καταβολὴν ἔλεγον. ἐξὸν δὲ τῇ γυναικὶ πρῶτον τὴν ὀφειλομένην προῖκα ζητεῖν, καὶ τῷ δανειστῇ τὸ ὄφλημα ἀποδεικνύντες ὃ ἔλεγον, ἀπελάμβανον τὰ ὀφειλόμενα. ἐκαλεῖτο οὖν τοῦτο ἐνεπισκήψασθαι.

Ἐγγυήσασθαι, μνηστεύσασθαι.

Ἐγγυητὴ γυνὴ, ἡ μεμνηστευμένη. Προκόπιος, Ἡ δὲ ἐγγυητὴ, ὕστερον Βελισαρίῳ γυνὴ γέγονεν, ἤδη παίδων μήτηρ πολλῶν.

Ἐγγυητὴς, ὁ ἀναδεχόμενος δίκην. λέγεται ἐγγυήσασθαι, καὶ τὸ μνηστεύσασθαι.

Ἐγγύθεν ἱσταμένη, ἀντὶ τοῦ ἐγγὺς, ἐναλλαγὴ ἐπιρρήματος.

Ἐγγύθετος, ὁ προσεδρεύων τόπος.

Ἐγγυθήκη. φέρεταί τις λόγος Λυσίου, ἐπιγραφόμενος περὶ τῆς ἐγγυθήκης. εἴη δ' ἂν σκεῦός τι, πρὸς τὸ κρατῆρας ἢ λέβητας ἤ τι τῶν ἐκ ἀλόξιον ἐπικεῖσθαι, ἐπιτήδειον εἶναι. ὡς Καλλίξενός τε, ἐν τετάρτῳ περὶ Ἀλεξανδρείας ὑποσημαίνει, καὶ Δαίμαχος ὁ Πλαταιεὺς ἐν δευτέρῳ περὶ Ἰνδικῆς.

Ἐγγύθι ποιητικῶς, ἐγγὺς κοινῶς.

Ἔγγυον, τὸ ἀσφαλές. ἔγγιον δὲ, τὸ ἐγγύτερον, ἰωνικῶς.

Ἔγγυος, ὁ ἐγγυητὴς, καὶ ὁ μεσίτης.

Ἔγγυος, ἀνάδοχος.

Ἐγγὺς ἐγγυτέρω, τὸ ἐπίρρημα. ἐγγύτερος ἐγγύτατος. τὸ ἐπίρρημα, ἐγγύτατα καὶ ἔγγιστα.

Ἐγγὺς, πλησίον. καὶ ἐγγυτὶ, ἀντὶ τοῦ ἐγγὺς, οὕτω Καλλίμαχος.

Ἐγγὺς τῆς πόλεως, ἐγγὺς τῆς θύρας. πλησίον τῆς ἀγορᾶς, καὶ ἐγγὺς ἡμῶν ἐστι λέγομεν.

Ἐγγὺς, ἔγγιστα, σύνεγγυς, ταυτά. πλὴν τὸ μὲν σύνεγγυς κοινῶς γράφεται, ἔγγιστα δὲ καὶ ἐγγὺς, Ἀττικῶς. ἐγγύθεν δ' ἐπὶ κινήσεως τίθεται Ἀττικῶς, ὥσπερ καὶ τὸ ἐκεῖθεν, καὶ τὸ αὐτόθεν. ὡσαύτως καὶ ἐγγυτάτω, καὶ ἐγγύτατα.

Ἐγγυτέρω ἐπίρρημα. ἔστι δὲ συγκριτικόν, τὸ ὑπερθετικὸν ἔγγιστα.

Ἐγγυῶ καὶ κατεγγυῶ, καὶ δίδωμι κυρίως κόρην, ἣν σοι κατεγγύησα ἑταιρείαν σέβων. ἐγγυῶμαι δὲ παθητικῶς, τὸ τὶ ὑπισχνοῦμαι. καὶ ἐγγυᾷ ὁ διδοὺς, ἐγγυᾶται δὲ ὁ λαμβάνων.

Ἐγγυῶμαι, οἷον ἐν χερσὶ φυλάττω. ὅθεν καὶ ἐγχειρίσαι, τὸ δοῦναι. κυρίως δὲ, ὁ τὸ ὑποκείμενον ἀνέπαφον παρεχόμενος.

Ἐγγυώμεθα, ἀντιφωνοῦμεν.

Ἐγγυωμένη, ἀσφαλιζομένη. Νῦν πανσέληνος ἡ σελήνη λαμπέτω τοῦ Χοσρόου λέγοντος, ἐγγυωμένη Πέρσαις τὸ λοιπὸν, θεουργεῖν τὴν κτίσιν.

Ἐγγυῶνται, γενῶσιν.

Ἐγγυώσεται, συμπλακήσεται, ἐναγκαλισθήσεται.

Ἐγγώνιος, ἡ μὴ στρογγύλη, καὶ μὴ ἄγαν περιφερὴς τράπεζα.

Ἐγδούπησε. δουπέω, δουπήσω, ἐδούπησα, ας, ε. καὶ πλεονασμῷ τοῦ γ̄ ἐγδούπησε, καὶ ἔχει τὸ γ̄ διὰ βραχύτητα φωνῆς.

Ἐγεγήθει, ἔχαιρεν.

Ἐγεγώνειν, ἐσήμηνεν.

Ἐγείλασαν, συνήλασαν.

Ἐγείνατο, ἐγέννησεν.

Ἐγείναο, ἐγέννησας.

Ἔγειραι σὺ αὐτὸς, διὰ διφθόγγου, ἀντὶ τοῦ ἐγέρθητι. ἔγειρε δὲ τὸν λίθον, διὰ τοῦ ε̄ ψιλοῦ. ἐνέργειαν γὰρ σημαίνει.

Ἐγείρειν, καὶ ἀνεγείρειν, καὶ ἀνιστᾶν, ταὐτά. καὶ ἐγείρει τις τὸν κείμενον, καὶ ἐγείρει τὸν ῥαθυμοῦντα. τοιοῦτον καὶ τὸ ἀνίστησι γάρ τις τινὰς κείμενον, καὶ ἀνίστησι τὸν ῥαθυμοῦντα.

Ἐγείρεται τῆς νυκτὸς, παρὰ Ἀριστοφάνει, ἐλλειπτικῶς λέγεται, ἀντὶ τοῦ κατὰ τὸν καιρὸν τῆς νυκτός.

Ἐγείρομαι, καὶ ἔγρομαι, λέγουσιν Ἀττικοί. καὶ ἠγειρόμην καὶ ἠγρόμην, καὶ ἐγειρόμενος καὶ ἐγρόμενος. καὶ ἔγρετο, ἀντὶ τοῦ ἐγείρετο. λαμβάνεται δὲ ἀντὶ ἀορίστου.

Ἐγείρου χρὴ λέγειν, οὐχὶ ἔγειραι, εἰ μή τις προσθήσει τὸ σαυτόν.

Ἐγείρω, καὶ ἐξεγείρω σε τοῦ ὕπνου, παθητικῶς. ὡς τὸ, Οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας, ἐγείρεται τῆς νυκτὸς, ἀλλὰ πέρδεται.

Ἐγείρει τις τὸν κείμενον, καὶ ἐγείρει τὸν ῥαθυμοῦντα. Ἀριστοφάνης, ἀλλ' ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι. ὁμοίως ἐπεγείρω, ὡς ὁ αὐτὸς, Πῶς δῆτ' ἂν αὐτὸν ἐπεγείρομαι.

Ἐγείρω, αἰτιατικῇ.

* Τὸ ἐρεθίζω καὶ παροξύνω. καὶ ἐγείρειν εἰς μάχην.

Ἐγέλα, χαλινοί.

Ἐγέλωτοι, ἀστέρες.

Ἐγενέθην, γείνω γενῶ, ὁ δεύτερος ἀόριστος ἐγενον, ὁ μέσος ἐγενόμην. τὸ δυϊκὸν ἐγένεθον, τὸ τρίτον ἐγενέθην.

Ἐγένετο ὁ δεῖνα τόσου ἐτῶν, Ἀττικῶς ἐγένετο τόσα ἔτη. Συνέσιος, Οὐ μὴν οὐδὲ Σωκράτης πώποτε φαλακρὸς ἦν, πέντε καὶ εἴκοσιν ἔτη γεγονώς.

Ἐγένετο, ἐγεγόνει. ἐγεγώνει δὲ διὰ τοῦ ω̄ μεγάλου, ἀντὶ τοῦ ἐβόησεν.

Ἐγένετο καὶ Μάδρωνι συκίνη ναῦς, λέγεται ἐπὶ τῶν παρ' ἐλπίδα καὶ παρ' ἀξίαν εὐτυχησάντων, εἶτα θρυπτομένων ἐπὶ τοῖς παροῦσιν. οὗτος γὰρ ναύαρχος ᾑρέθη ἀνάξιος ὢν τῆς ἀρχῆς. ἡ δὲ συκίνη ναῦς, τὸ εὐτελὲς δηλοῖ.

Ἐγένετο. τὸ ἐγένετο σημαίνει ὀκτὼ παρὰ τῇ θείᾳ γραφῇ. κατὰ δόκησιν, ὡς τὸ, Ἰησοῦς Χριστὸς ἐγένετο ὑπὲρ ἡμῶν κατάρα. κατὰ παραγωγὴν, ὡς τὸ, Εἶπεν ὁ Θεὸς γεννηθήτω φῶς. κατὰ ὑπερβολὴν τοῦ ὑποκειμένου, οἷον, Ἡ γυνὴ τοῦ Λὼτ ἐγένετο στήλη ἁλός. κατὰ αὔξησιν, οἷον, Ὁ κόκκος τοῦ σινάπεως ἐγένετο εἰς δένδρον μέγα. κατὰ μείωσιν, ὡς τὸ, Γέγονα γέρων καὶ οὐκ ἔστιν ἐν ἐμοὶ ἰσχύς. κατὰ ἐνέργειαν, ὡς τὸ, Ἐγένετο ὁ Θεὸς ἐλπὶς σωτηρίας τοῦ κόσμου. κατὰ πάθος, ὡς τὸ, Γέγονα ὡσεὶ κωφὸς καὶ ἄλαλος. κατὰ πρόσληψιν, οἷον, Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι.

Ἔγεντο, ἔλαβεν, ἐγένετο.

Ἐγεννησάμην, ἐκ τοῦ γεννάω, γεννήσω, ἐγέννησα, καὶ μέσος ἐγεννησάμην. τίθεται ἀντὶ τοῦ ἐγέννησα. οὕτως ἐθρεψάμην, ἀντὶ τοῦ ἔθρεψα. καὶ ἠγανακτησάμην, ἀντὶ τοῦ ἠγανάκτησα.

Ἐγενόμην, μέσος ἀόριστος δεύτερος, ἐκ τοῦ γείνω. ὡς τὸ, διὰ ταῦτα ἐκ πλουσίου ἐγενόμην πενέστατος.

Ἐγρεῖ, γρηγορεῖ.

Ἔγερθεν, ἀντὶ τοῦ ἠγέρθησαν. ἀπὸ τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν γίνεται κατὰ συγκοπὴν, καὶ συστολὴν Ἰωνικήν. οἱ γὰρ Δωριεῖς ἀπὸ γενικῆς τῆς μετοχῆς, οἷον κοσμηθέντος καὶ ἐγερθέντος, ποιοῦσι τὰ τοιαῦτα, ἀποκοπῇ τῆς τος συλλαβῆς, καὶ ἀναδόσει τοῦ τόνου. οὕτω καὶ στὰν, καὶ βὰν, καὶ φάν.

Ἐγέρθω, ἀπὸ τοῦ ἐγείρω ἐγερῶ, γίνεται ἐγερτός. καὶ κατὰ τροπὴν ἐγέρθω.

Ἔγερσα, πολεμικὸν μηχάνημα, ἐκ λίθων καὶ ξύλων καὶ χοὸς ἐγειρόμενον.

Ἐγήγαρτος, καὶ ἐγήγαρχος, ὁ ἐπιχαρής.

Ἐγηγέρατο, ἐκ τοῦ ἐγείρω ἐγερῶ ἤγερκα, καὶ ἐγήγερκα Ἀττικῶς. ἤγερμαι, καὶ ἐγήγερμαι. καὶ ἠγέρμην, καὶ ἐγηγέρμην. τὸ τρίτον τῶν πληθυντικῶν ἐγηγέρατο Ἰακῶς. καὶ ἐγηγερμένος μετοχή.

Ἐγηγερμένος, διανιστάμενος.

Ἐγήθειν. γηθέω γηθῶ, γηθήσω, γεγήθηκα, ἐγήθησα, γηθῆσαι, καὶ γηθήσειν, ἀπὸ περισπωμένου ἐστὶν ἐνεστῶτος τοῦ γηθῶ. Δωριεῖς δὲ γαθεῖν φασι. τὸ δὲ γήθω, οὐ πάνυ σύνηθες.

Ἔγημα, ἀπὸ τοῦ γαμῶ γαμήσω ἐγάμησα, καὶ κατὰ ἀποβολὴν τοῦ η̄ καὶ σ̄ ἔγαμα, καὶ τροπῇ Ἰωνικῇ τοῦ ᾱ εἰς η̄, γίνεται ἔγημα, καὶ ἡ μετοχὴ ὁ γήμας.

Ἔγημεν ἀνὴρ, γυναῖκα εἰς γάμον ἔλαβεν. ἡ γυνὴ δὲ ἐγήματο, οὐχὶ ἐγαμήθη. ἄχρηστον γάρ.

Ἐγήρα, ἐγήρασκεν.

Ἐγκαθελεῖν, καταβαλεῖν.

Ἐγκαθειργνῦντες, ἀποκλείοντες, ἢ καὶ κωλύοντες.

Ἐγκάθετος, οὕτως Ὑπερίδης ἀπερριμμένος. δέον δοκιμώτερον χρήσασθαι τῷ θετὸς, ἢ εἰσποιητὸς, ἢ ὑπόβλητος, Φρύνιχος. καὶ ἐγκάθετος, κατάσκοπος, ὁ ἐνεδρευτὴς, καὶ δόλιος.

Ἐγκάθηται ῥύπος τῷ ἱματίῳ, ἀντὶ τοῦ εἰς βάθος εἰσέδυ.

Ἐγκάθηνταί που λίθοι παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἐγκεκρυμμένοι εἰσίν. οἱ γὰρ κρυπτόμενοι, ὑποκάθηνται.

Ἐγκαθιέμενοι, ἀφίεντες.

Ἐγκαθίζουσιν, ἐνεδρεύουσι. καὶ ἐγκάθηται, ἀντὶ τοῦ ἐνεδρεύει.

Ἐγκαινίδες, μέρος τι τοῦ πλοίου, ξύλα ἰθυπενῆ. καθάπερ, ζυγὰ καὶ ἐγκαινίδας ὕπερθεν κατὰ τὸ ἐγκάρσιον ἐνθέντες.

Ἐγκαίνια, ἑορτὴ καθ' ἣν ἐκαινουργήθη τι.

Ἔγκαιρον, ἔχει ἐναντίον τὸ ἄκαιρον. ἔστι δὲ ἄκαιρον, ὃ λεγόμενον ἢ πραττόμενον λυπεῖ τοὺς ὁρῶντας, καὶ ἀκούοντας.

Ἐγκακοῦμεν, οὐχ ὑψοῦμεν.

Ἐγκαλεῖν, αἰτιᾶσθαι, προκαλεῖσθαι.

Ἐγκαλινδεῖσθαι σωματικοῖς παθήμασιν, ἀντὶ τοῦ ἐγκυλίεσθαι.

Ἐγκαλινδεῖται, ἐναναστρέφεται, ἐνδιατρίβει.

Ἐγκαλινδούμενος, ἀντὶ τοῦ κυλιόμενος. Χρυσόστομος, Καὶ φρονεῖν ἔτι ταῖς τοῦ βίου μερίμναις ἐγκαλινδούμενος.

Ἐγκαλοσκελεῖς, οἱ μὴ ἀποδιδόντες τὰ χρέα, ἐγκάλοις ἐδεσμεύοντο τοὺς πόδας.

Ἐγκαλύπτεται, συγκρύπτεται.

Ἐγκαλύπτομαι, τὸ αἰσχύνομαι, ὑποστέλλομαι.

Ἐγκαλῶ, τὸ κατηγορῶ. ὅθεν ἔγκλημα. καὶ ἐπικαλῶ, ὅθεν ἐπίκλημα. Θουκυδίδης, ἐπικαλοῦντες ἐπεργασίᾳ τοῖς Μεγαρεῦσι τῆς ἱερᾶς γῆς. ἐγκαλῶ σοι τόδε, δοτικῇ. κατηγορῶ σου τόδε, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. ὡς τὸ, ὥστε ἐγκαλέσαι ἄν τις τῇ τρυφῇ. ἢ ἐγκαλῶ, ἔγκλησιν εἰσάγω, καὶ καὶ δίκην.

Ἐγκαλλωπισαμένου, ἐναβρυνομένου.

Ἐγκαναχήσατο παρὰ Θεοκρίτῳ, ἤγουν ἤχησε χαίρων.

Ἐγκάναξον, ἔγχει, ἐγκίνωσον. Ἀριστοφάνης, Ἄκρατον ἐγκάναξόν μοι πολύν. λέγεται δὲ ἐπὶ τῶν ἀθρόως πινόντων. οἱ δὲ ἐπὶ θορύβου τάττουσι τοῦτο, παρὰ τὴν καναχὴν, ἤγουν μετὰ ψόφου ἔγχεον.

Ἐγκανθὶς, σὰρξ ἐν ὀφθαλμῷ αὐξηθεῖσα, τὸ πάθος ποιεῖ.

Ἐγκάπτει, ἐσπᾷ.

Ἐγκάρδιον, τὸ μεγάλως δεινόν, καὶ ἁπτόμενον τῆς καρδίας. ἢ τὸ κρύφιον, ἢ τὸ ἐξ ἰσχυρᾶς διαθέσεως.

Ἔγκαρος αἴσῃ, τινὲς ἐν μέρος λόγου ἀκούσαντες, καὶ προπαροξύναντες, ἔγκαρος ἔγραψαν, καὶ τὸ φθεῖρα ἀπέδωκαν. ἵνα λέγῃ ὁ Ἀχιλλεύς, ὅτι ἐν αἴσῃ ἔγκαρος, ἤγουν φθειρὸς τίθεμαι τὸν Ἀγαμέμνονα. ὡς ἀπὸ εὐθείας τῆς ἔγκαρ, ὡς μάκαρ μάκαρος. οἷς πάλιν αὐτὸς ἀντιλέγων ἐρωτᾷ τοὺς ταῦτα λέγοντας, πόθεν ἔγκαρος ὁ φθείρ; ἕτεροι δὲ εἰς δύο τὰ μέρη διαιροῦσι τὴν λέξιν ταύτην, καὶ ὀξύνουσι τὴν λήγουσαν. καὶ τὴν αὐτὴν αὖθις ἀποδιδόασιν ἔννοιαν, λέγοντες, ὡς τιμῶ αὐτὸν ἐν μοίρᾳ καρός, ὅ ἐστι φθειρὸς τοῦ περὶ τὴν κεφαλήν. τουτέστι τοῦ μηδενὸς τιμῶμαι αὐτόν, μάλιστα δὲ τοῦ εὐτελεστάτου. τὸ γὰρ ἀξιοῦν τινὰ τοῦ μηδενός, ἄλλως ἐστὶ φράσαι. οἷον ὡς Σοφοκλῆς, Τἄλλα μὲν ἐγὼ καπνοῦ σκιᾶς οὐκ ἂν πριαίμην. τὸ δέ γε ὀλίγου τινὸς τιμᾶσθαί τινα, καὶ ὀβολοῦ τιμᾶσθαι, οἱ ὕστερον ἔλεγον Ἀττικοί. ἐξ ἧς ἐννοίας καὶ ἀλώνητα διελάθετα παρὰ τοῖς παλαιοῖς, τοὺς εἶπεν εὔωνα. λέγεται δὲ ὁ ἄτιμος, καὶ οὐκ ἐν ἀριθμῷ κεῖσθαι. ὁμοίως δὲ οὐδὲ ἐν λόγῳ εἶναι. ἄλλοι δὲ γράφουσι καὶ αὐτοὶ προπαροξυτόνως ἔγκαρος· καὶ κλίνουσιν ἔγκαρ ἔγκαρος. τὴν δὲ λέξιν ἐπὶ ἐγκεφάλου νοοῦσιν. ὅν φασιν ὑπὸ Ἀθηναίων μὴ ἐσθίεσθαι. ἵνα λέγῃ, ὅτι ἀποστρεφομαι τὸν βασιλέα, ὥς τινες τὸν ἔγκαρα. ὃν Λυκόφρων ἔγκαρον λέγει. ὡς εἴ τις εἴποι καὶ τὸν μάρτυρα μάρτυρον, καὶ τὸν ἀλάστορα ἀλάστορον. οὗ χρῆσις παρὰ Σοφοκλεῖ ἐν τῷ, ἀλαστόροισιν ὀμμάτων κύκλοις. καὶ τοῦτο μὲν ἕτεροι, ἐν οἷς καὶ ὁ Πλούταρχος ἱστορῶν καὶ αὐτὸς ἐν συμποσιακοῖς, ὅτι ἐπεὶ ἐγκέφαλον οὐκ ἤσθιον οἱ παλαιοί, διὰ τοῦτο εἶπεν Ὅμηρος τό, τίω δέ μιν ἔγκαρος αἴσῃ, τὸν ἐγκέφαλον οὕτω προσειπών, διὰ τὸ ῥίπτειν φησὶ καὶ ἀποβάλλειν μυσαττομένους αὐτόν, καὶ μάλιστα εἴπερ χοίρου ἦν. χοιρείου γὰρ ἐγκεφάλου θέμις φασὶν οὐκ ἦν ἐσθίειν διὰ τοὺς δοξάζοντας ἴσον εἶναι μεταλαμβάνειν αὐτοῦ, καὶ κυάμων. εἰς ἐπίτασιν δὲ τοῦ κατὰ τὸν ἐγκέφαλον μίσους ἔδοξέ τισιν, ὧν καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος, οὐδ᾽ ὀνομάζεσθαι τὸν ἐγκέφαλον πρός τινος τῶν παλαιῶν. Σοφοκλῆς φασιν ἐν Τραχινίαις, λευκὸν μυελὸν αὐτὸν εἶπεν, ἐκκλίνων τὸ μὴ ὀνομαζόμενον. οἱ δὲ ἀκριβέστεροι, τὸ καρὸς ἀντὶ τοῦ κηρὸς καὶ θανάτου φασί, συστολῇ τοῦ η εἰς α, καθ᾽ ὃ καὶ μάκαρες θεοὶ λέγονται, οἱ μὴ κηρὶ τοιαύτῃ ὑποπίπτοντες. ἔστι δὲ οὕτω νοῆσαι. τίω μιν ἐν καρὸς αἴσῃ. ὅμοιον τῷ, ἐχθρός μοι ἐκεῖνος ὁμῶς αἴδαο πύλῃσι. ταυτὸν γάρ τι, αἱ τοῦ ᾅδου πύλαι καὶ κάρ.

Ἐγκαρπαθέντας, ἐγκριθέντας, ἐντυχόντας.

Ἐγκαρπῆ, ἐπίκαρπα.

Ἔγκαρπον, τὸ ἔγκυον.

Ἐγκαρσίχολοι, ὀξύχολοι, κεκραμμένην χολὴν ἐν τῇ κεφαλῇ ἔχοντες. οἱ γὰρ ἰχθύες ἐν τῇ κεφαλῇ τὴν χολὴν ἔχουσιν. ἐκ τοῦ ῥητορικοῦ ἡ λέξις.

Ἐγκάρσιον, πλάγιον.

Ἔγκαρπα, τοὺς κεκυρωμένους πυρούς. ἀλλὰ καὶ ἔγκαρπα. Φρύνιχος Δάνεσιν.

Ἐγκάς, οἱ μὲν ἐπίρρημα νοοῦσι. ὡς τὸ ἑκὰς καὶ ἀνδρακάς, ᾗ διὸ καὶ συστέλλει τὴν λήγουσαν. οἱ δέ, αἰτιατικὴν νοοῦσι πληθυντικὴν τὰς ἐγκάς, ἧς τὸ ὀρθὸν αἱ ἐγκαί. ὅθεν πλεονασμῷ τῆς αλ συλλαβῆς, αἱ ἀγκάλαι. Ἰστέον δέ, ἐπεὶ εὑρίσκεται τὸ ἀγκάζεσθαι, ἀντὶ τοῦ περιλαμβάνειν κατὰ τοὺς παλαιούς, καλὸν ἂν εἴη ἀπὸ τοῦ ἀγκάζω ἀγκάσω, παράγειν τὰς ἀγκάς.

Ἔγκας, ἐν βάθει, παρὰ τῷ Ἱπποκράτει.

Ἐγκατιλλῶψαι, ἐγκαταμυκτηρίσαι.

Ἔκασιν, ἐγκάτοις· ἀπὸ τοῦ κατέχειν τὴν τροφήν. λέγει δὲ τὸ ἧπαρ, καὶ τὸν σπλῆνα, καὶ τὰ περὶ τὸν πνεύμονα. ἔντερον δὲ οὐκ ἔγκατον· τὸ δὲ ἔντερον. οἷον ἕτερον καὶ οὐχ ὅμοιον. ἢ παρὰ τὸ ἐντὸς κεῖσθαι τῶν μελῶν, ἐγκάτοισι. καὶ ἀποβολῇ τῆς τοι συλλαβῆς ἔγκασιν. οὐκ ἔστι δὲ συγκοπή. μάχεται γὰρ ἐπικειμένη συγκοπῇ. ἐναντίον γάρ. ἄμεινον οὖν μεταπλασμὸν λέγειν. ἔστι γὰρ ἐγκάτοισι, καὶ κατὰ μεταπλασμὸν ἔγκασιν, ὡς ἄστροις ἄστρασιν. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

Ἐγκαταδύς, ὑπεισδύς, καὶ διαδύς, χρήσιμα.

Ἐγκαταζεύξας, συνθείς, συναρμόσας. Νέας βουλὰς νέοις ἐγκαταζεύξας τρόποις, Σοφοκλῆς.

Ἐγκατατεθειμένω, ἐγκαταθέμενοι, δυϊκῶς.

Ἐγκαταλείμματα, τὰ ἐναπομένοντα. καὶ ἐγκατάλειμμα, ἤτοι μνημόσυνον. τοῦτο δὲ διττόν ἐστιν, ἢ ἐν παιδοποιΐᾳ, ἢ ἐν ἀγαθοεργίᾳ.

Ἐγκαταλέξει, ἐναριθμήσει.

Ἐγκατὰ, κατὰ γνώμην, κατὰ νοῦν.

Ἐγκατέσκηψαν, ἐφώρμησαν, ἐπέδραμον, ἐπεδράξαντο. τὰ Αἰγυπτίων κακὰ ἐν τῇ Ἀλεξανδρείᾳ πόλει κατέσκηψε, καὶ τῇ Ῥώμῃ. οὕτω φησὶν Οὐάρων.

Ἐγκατθέειν, τὸ διώκειν, παρὰ τοῖς Ἴωσιν.

Ἐγκατειλεγμένος, συστραμμένος.

Ἐγκατελέγησαν, ᾠκοδομήθησαν.

Ἐγκατειλεγμένος, ἐγκαταλεγόμενος.

Ἐγκατέχει, ἐνέχεεν.

Ἐγκατειλημμένη, ληφθεῖσα, κεκρατημένη.

* Ἔγκαφος, ὁ ψωμός. ὅ ἐστιν ἄρτου κόμμα. παρὰ τὸ κάπτω, ὅ ἐστι χανδὸν ἐσθίω.

Ἐγκαυχᾷ, μεγαλοφρονεῖ.

Ἐγκαυχῶμαι, δοτικῇ.

Ἔγκαφος, τὸ ἐλάχιστον.

Ἐγκείσθω, πεθείσθω.

Ἔγκειται, τὸ ἐν ἄλλῳ τινὶ κεῖται. οἷον ἔγκειται τῷ βιβλίῳ τὰ γράμματα. ἔγκειται, καὶ τὸ ἔνδον ἐστὶν ἀμφοτέρων, τοῦ τε ῥήματος καὶ τῆς προθέσεως, ἐπὶ στάσεως λαμβανομένων. ἔγκειται δέ, καὶ τὸ ἔξω ἐστί, καὶ προστίθεται. καὶ ἐγκεῖσθαι, βραχέως ἐπιτίθεσθαι.

Ἐγκεκαρῦται, ἐγκαταβλέπει.

Ἐγκεκαυμένη, ἐζωγραφημένη. ἐπεὶ καὶ ἐγκταὶ λέγονται οἱ ζωγράφοι, οἱ διαγράφοντες τοὺς τοίχους. ἴσως παρὰ τὸ κῶ, τὸ κοιλαίνω.

* Ἐγκεῖσθαι τίς τινι πράξει λέγεται, ἀντὶ τοῦ ἐνίστασθαι καὶ ἐπιμένειν. καὶ ἐγκεῖσθαί τινι, ἀντὶ τοῦ ἐνοχλεῖν. καὶ ἐγκεῖσθαι ἁπλῶς, τὸ ἐντὸς κεῖσθαι.

Ἐγκέκλιται, ἐπήρεισται, ἔγκειται.

Ἐγκεκοισυρωμένην παρὰ τῷ Ἀριστοφάνει, περιεργῶς κεκοσμημένην. ἡ ἔθνος ἡ κοισυρόπολις ὀνομάζεται, πάνυ αἰσχρὸν καὶ μυσαρόν. ἢ τὰ τῆς Κοισύρας φρονοῦσαν. ἔστι δὲ Ἐρετριακὸν τὸ ὄνομα. οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται.

Ἐγκεκοισυρωμένος, ὁ ὑπερηφανευόμενος.

Ἐγκεκόμβωται, ἐνείληται.

Ἐγκεκορδυλημένος. Ἀριστοφάνης, ἐν πέντε σισύραις ἐγκεκορδυλημένος, ἀντὶ τοῦ ἐνειλημένος, ἢ συνεστραμμένος. παρὰ τὴν κορδύλην. κορδύλην γὰρ οἱ Κύπριοι λέγουσι, τὸ ἐνείλημα τῆς κεφαλῆς. ὅπερ Ἀθηναῖοι μὲν κρώβυλον καλοῦσι, Πέρσαι δὲ κίδαριν.

Ἐγκεκύκληται, ἀνέστρεψαι. Ἀριστοφάνης.

Ἐγκέλαδος, ἡ Ἀθηνᾶ, ἢ ὄρος, ἢ εὔηχος. ἤτοι ἦχον ἐν τῇ κινήσει τῇ πολεμικῇ ἀποτελοῦσα, ἢ ἐγκελευομένη. ἢ ἀπὸ τοῦ ἐγκελάδου τοῦ Γίγαντος.

Ἐγκέλευστοι, μετὰ προστάξεως. Οἱ δέ, ὑπὸ Κύρου ἐγκέλευστοι.

Ἐγκενίδας, πλαγίας σανίδας.

Ἐγκεντρωθείς, ἀσφαλισθείς.

* Ἐγκεντρίδες, τὰ περὶ τὰς πτέρνας κέντρα. καὶ ἐγκεντρίζειν, τὸ ἐγκεντεῖν, καὶ ἐμβάλλειν φυτῷ τινι κλαδίσκον ἑτέρου φυτοῦ.

Ἐγκέχειρα, ἐγκεχείρηκα πάντα Τιμολέοντι.

Ἐγκέφαλος, παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ. ἢ παρὰ τὸ ἐκεῖ κεῖσθαι τὰ φάη. ἢ ἔγκρανος, παρὰ τὸ ἐγκεῖσθαι ἰδιώτερον τῷ κρανίῳ. καὶ ἐγκέφαλος Διὸς κατὰ Παυσανίαν, ἦν κάλλιστόν τι βρῶμα. ὁποῖα ἴσως καὶ τὰ παρὰ τῷ κωμικῷ, εὖ ἠρτυμένα θεῖα τοῦ ἐγκεφάλου.

Ἐγκέχοδα, διὰ φόβον τινὰ ἀποπατήσασα. μέσος παρακείμενος ἀπὸ τοῦ χέζω, χέσω, κέχοκα, ἢ κέχεκα, ὁ μέσος κέχοδα. ὡς ἀπὸ τοῦ φράζω φράσω πέφρακα, πέφραδα.

Ἐγκεχρημένοι, ποδιαὶ ἔχοντες.

Ἐγκέχρικα, ἐγκεκοίστρηκα.

Ἔγκηροι, θνητοί.

Ἔγκηρος μοῖρα, ἡ θανάσιμος μοῖρα.

Ἐγκιλικίζειν, τὸ πορνεύεσθαι. ἀπὸ τῆς τῶν Κιλίκων πορνείας. Κίλικες γὰρ ἔθνος ἐπὶ πορνείᾳ διαβαλλόμενον.

Ἐγκιλικίζεται, κακοηθεύεται, κακοποιεῖ. διεβέβληντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Κίλικες. ἐντεῦθεν λέγεται καὶ Κιλίκιος ὄλεθρος, τὸ ἐγγύς εἰς χῶσιν κεκάρθαι.

Ἐγκιλικίστρια, περιεργίστρια.

Ἐγκίλλαφος, ἱερά.

Ἐγκινούμενος, Βαβυλωνίοις Ἀριστοφάνης, ἀνήρ τις ὑμῖν ἐστιν ἐγκινούμενος, ῥητορικῇ παράστασιν, καὶ ἐμποδίζων.

Ἐγκισσήσουσιν, ἐπιθυμήσουσι συλλαβεῖν. ἐγκίσσωσις γάρ, ἡ ὄχευσις.

Ἐγκύσωσις, ἡ ὄχευσις, ἡ σύλληψις.

Ἐγκίχρα, ἐκίρνα.

Ἐγκλεπτίς, ἐπιθυμία.

Ἐγκλεφές, ἐπιθυμητικόν.

Ἐγκλέφωνος, ἐρεθιστής, διεφθαρμένος.

Ἔγκλημα, καὶ ἐπέγκλημα, τὸ αὐτό. πλὴν τὸ μὲν ἔγκλημα κοινῶς γράφεται, τὸ δὲ ἐπέγκλημα Ἀττικόν. ὁμοίως καὶ τὰ ἐξ αὐτῶν παραγόμενα. ἐγκαλεῖν καὶ ἐπεγκαλεῖν, ὧν τὸ μὲν ἐγκαλεῖν γράφεται, ὡς τὸ ἔγκλημα κοινῶς. ἐπεγκαλεῖν δέ, ὡς ἐπέγκλημα Ἀττικῶς. καὶ ἔγκλημα, πταῖσμα, μέμψις.

Ἔγκληρον, ἐπίκληρον, πλούσιον, ἐνούσιον.

Ἔγκλητον λέγουσι, δικαστήριον καὶ δίκην. ἔγκλητον γὰρ ἐγκαλέσασθαι, οὐ λέγουσιν.

Ἔγκλητος, ἡ ἐπὶ σύνοδον παραίνεσις.

Ἔγκλιζε, τὰ ἑτέρων ἑτέροις ἐδίδου.

Ἔγκλισιν, τροπήν. ὡς Ἀναξαγόρας, ὥστε κατὰ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶναι πόλον. ὕστερον δὲ τὴν ἔγκλισιν λαβεῖν, τουτέστι τὴν τροπήν.

Ἔγκλισις, βούλημα ψυχῆς διὰ φωνῆς σημαινόμενον, οἷον ὁριστική, προστακτική, εὐκτική, ὑποτακτική. ἡ γὰρ ἀπαρέμφατος οὐκ ἔστι κυρίως ἔγκλισις, ἀλλὰ καταχρηστικῶς, διὰ τὸ μὴ ἔχειν πρόσωπα.

Ἐγκοακίσαι, ἐγχέαι λάθρα.

Ἐγκομβωθείς, δεθείς.

Ἐγκόμβωμα, ὁ δεσμὸς τῶν χειρίδων, ὃ λέγεται παρ᾽ Ἀθηναίοις ὄχθοιβος. ὑπὸ δὲ ἄλλων κοσύμβη, εἴρηται παρὰ τὸν κόμβον. κόμβος γάρ, ὁ ὑψηλὸς τόπος. ἀφ᾽ οὗ τὸ κομπάζειν τινὲς θέλουσιν εἰρῆσθαι. Ἀπολλόδωρος, τὴν ἐπωμίδα πτύξας διπλῶς ἄνωθεν ἐγκομβωσάμενη.

Ἐγκομβώσασθαι, στολίσασθαι.

Ἔγκομμα, τὸ πρόσκομμα.

Ἐγκόνει, ἀντὶ τοῦ σπεῦδε, κεῖται παρὰ τῷ Ἀριστοφάνει. ἐγκονεῖν γὰρ λέγουσιν, ἀντὶ τοῦ σπεύδειν. ἐπεὶ οἱ μετὰ σπουδῆς πορευόμενοι, κόνιν ἐγείρουσιν. ἢ ὥς τινες τὸ πονεῖν καὶ ἐνεργεῖν, Γακῶς ἐγκονεῖν λέγεται. ὥσπερ τὸ ὅπως, ὅκως, καὶ τὰ ὅμοια. καὶ ἐγκονεῖτε, ἀντὶ τοῦ ἐνεργεῖτε, ταχύνετε. ἐπεὶ οἱ τρέχοντες κόνεως πληροῦνται. ἢ ἀπὸ τῶν ἀθλητῶν. ἐν κόνει γὰρ ἐκείνων τὸ ἔργον. ἢ ὅτι πρὸ τοῦ τῆς κόνεως ἅψασθαι νικῶσιν.

Ἐγκονέοντες, ἐνεργοῦντες. ὅθεν καὶ γόνυ, οἷον κόνυ τι ὄν, παρὰ τὸ ἐνεργεῖν δι᾽ αὐτοῦ.

Ἐγκονίδες, αἱ ὑπηρέτιδες, ἀπὸ τοῦ κονῶ τὸ ἐνεργῶ. τινὲς καὶ τὸ ἐγκόμαι, λέγουσι τὸ αὐτὸ σημαίνειν.

Ἐγκοπεύς, τὸ ἐργαλεῖον.

Ἐγκοπή, ἔνεδρον, ἐμπόδιον.

Ἔγκοποι, δυσχερεῖς.

Ἔγκοπρος, ἡ μὴ δεομένη κόπρου χώρα.

Ἐγκόπτει, ἀνακόπτει.

Ἐγκορδυλῆσαι, ἐνειλῆσαι. καὶ συντάσσεται δοτικῇ.

Ἐγκορύψεται παρὰ τῷ Λυκόφρονι, τὸ τοῖς κέρασι πλήττειν, ἀπὸ μεταφορᾶς τῶν κριῶν. εἰώθασι γὰρ οἱ κριοὶ ἐν τῷ μάχεσθαι τοῖς κέρασι πλήττειν. τὸ θέμα ἐγκορύπτω.

Ἐγκοσμεῖται, ἐν τάξει τίθεται.

Ἐγκοσμογενεῖς, τοὺς ἅμα τῷ κόσμῳ ἐγκριθέντας.

Digitized by Google

Ἔγκοτμα, ὀργὴ, μανία.

Ἔγκοτον, ἐχθρὸν, ἐνδιάθετον. καὶ ἐγκότως, ὀργίλως. ὡς τὸ, Τίς φθόνος αἰὲν Θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει. ἔγκοτος ὤν, ἢ ἐπίμονος ὀργή.

Ἐγκουλεώσατο, καθῆκεν εἰς τὸν κουλεὸν τὸ ξίφος.

Ἐγκυράδες, τὰ ἐν τῷ προσώπῳ στίγματα, καὶ οἱ ἐν ταῖς ὀροφαῖς γραφικοὶ προσώπων πίνακες. ἔστι γὰρ κυρὰς, ἡ κορυφὴ, καὶ ὁ γραπτὸς πίναξ. ἐγκύρας δὲ, ὁ γεγραμμένος. Αἰσχύλος Μυρμιδόσιν. εἰ μὴ ἄρα ἰσοδυναμεῖ τῷ κότῳ. καὶ ἐνεκότουν, παρὰ Σοφοκλεῖ.

Ἐγκραγγάνειν, ἐμβοᾶν.

Ἐγκραμπανεῖν, βοᾶν.

Ἐγκρασίχολοι, ὀξύχολοι, κεκραμένην χολὴν ἐν τῇ κεφαλῇ ἔχοντες. καὶ εἶδος ἰχθύος, οἵτινες ἐν τῇ κεφαλῇ τὴν χολὴν ἔχουσιν.

Ἐγκράτεια. ἐγκράτειά ἐστιν, ἀργυρίου καταφρονεῖν, τροφῆς, κτήσεως, στόματος κρατεῖν, κυριεύειν λογισμῶν τῶν πονηρῶν. καὶ ἐγκράτεια, ἁμαρτίας ἀναίρεσις, σώματος νέκρωσις, μέχρι καὶ αὐτῶν τῶν φυσικῶν παθημάτων τε καὶ ἐπιθυμιῶν. ζωῆς ἀνθρωπικῆς ἀρχή. τῶν αἰωνίων ἀγαθῶν πρόξενος. ἐν ἑαυτῇ τὸ κέντρον τῆς ἡδονῆς ἀφανίζουσα. ταύτην οἴδαμεν σωφροσύνης μητέρα, ὑγείας πρόξενον, νηφαλιότητος, καὶ τοῦ ἀμετεωρίστως ἔχειν πρὸς Θεὸν σύμμαχον. ταύτην καὶ δαίμονες φεύγουσιν, αὐτοῦ τοῦ Κυρίου διδάξαντος ἡμᾶς, Τὸ γένος τοῦτο οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. ἐγκράτειά ἐστι, τὸ δύνασθαι κρατεῖν τῷ λογισμῷ τὴν ἐπιθυμίαν, ὁρμῶσαν ἐπὶ φαύλας ἀπολαύσεις τῶν ἡδονῶν. καὶ τὸ καρτερικὸν καὶ ὑπομονητικὸν εἶναι, τῆς κατὰ φύσιν ἀνδρείας καὶ λύπης. ἐγκράτεια δὲ, ὁ πρὸς πᾶσαν ἔξω τοῦ λόγου, ἡδονὴ καταντώσασι πολεμῶν, καὶ ἀκλινὴς ἐμμένων τῷ ἀγαθῷ. ἢ ἐγκράτεια, ἡ τῶν κακῶν ἀποχή. ἢ διάθεσις ἀνυπέρβατος τῶν κατ᾽ ὀρθὸν λόγων. ἢ ἕξις ἀήττητος ἡδονῶν. ἐγκράτεια δὲ σωφροσύνης, διαφέρει. ἡ μὲν γὰρ σωφροσύνη, ἠρεμαίας ἔχει τὰς ἐπιθυμίας. ἡ δὲ ἐγκράτεια σφοδράς. ἐγκράτειά ἐστι καταφρόνησις ἡδονῶν, ἢ δύναμις ἀντέχουσα πρὸς ἡμᾶς. ἐγκρατείας δὲ τέλος ἐστὶν, ἡ καταστροφὴ τῶν παθῶν.

Ἐγκρατεύομαι ἀπὸ τοῦ οἴνου.

Ἐγκρατὲς, ἀντὶ τοῦ ἡ ἐγκράτεια, τὸ συγγενὲς ἀντὶ τοῦ συγγένεια, τὸ ἀσθενὲς ἀντὶ τοῦ ἀσθένεια. σημείωσαι, ὅτι τὸ λαμβάνειν ἀντὶ θηλυκῶν ὀνομάτων οὐδέτερα, Ἀττικῶν ἐστιν.

Ἐγκρατὴς γυνὴ, τὸ ἀρσενικὸν ἐγκρατὴς ἀνὴρ, καὶ ἐγκρατὲς παιδίον. ἔστι δὲ ἐγκρατὴς, ὁ ταῖς φαύλαις ἐπιθυμίαις λόγῳ μὴ ἀκολουθῶν. ἐγκρατὴς λέγεται οὐ κατὰ ἀπάθειαν, ἀλλὰ διὰ τὸ πάσχειν μὲν, μὴ ἄγεσθαι δὲ ὑπὸ τῶν παθῶν. καὶ ἐγκρατὴς, ὁ ἐπικρατέστερος.

Ἐγκρατεῦσαι, καρτερῆσαι.

Ἐγκρίδες, πέμμα ἐλαίῳ ἑψόμενον, καὶ μελιτώμενον. ἔνιοι δὲ, ἀμανίτας.

Ἐγχειροκαδία, συναφὴ χειρῶν εἰς τοὐπίσω.

Ἐγκρίκια, ξύλα κεκαυμένα.

Ἐγκρίκω, κοίλῳ καὶ κενῷ.

Ἐγκρῖναι, ἀντὶ τοῦ συναριθμῆσαι.

Ἐγκρίνω, τὸ ἔν τινι τάττω. συγκρίνω, τὸ συνάγω. ᾧ ἐναντίον, τὸ διακρίνω.

Ἐγκρὶς, γλύκασμα ἐξ ἐλαίου ὑδαρές.

Ἔγκρισις, ἱερὸς ἀγών.

Ἔγκριτος, ἐκλελεγμένος, ἐξειλεγμένος.

Ἐγκρούων, παρὰ τῷ Ἀριστοφάνει, βαίνων εὐρύθμως. ἢ ἀντὶ τοῦ ἐμβάλλων, εἰς τοὺς εὐανθεῖς κόλπους λειμώνων ἐγκρούων.

Ἔγκρυπτος, πέμματος εἶδος.

* Ἔγκρυμμα, ταυτὸ ὅπερ λόχος, ἔνεδρα.

Ἐγκρυφιάζων, ἐμφωλεύων, καὶ ἀποκρύπτων. ἀπὸ ἐγκρυφίου ἄρτου μετενήνεκται. οἷον λανθάνων καὶ ἐγκρύπτων.

Ἐγκρυφίας, ὁ ἐν σποδιᾷ γινόμενος ἄρτος.

Ἐγκρυψαμένω, ἐγκρυψάμενοι, δυϊκῶς.

* Ἐγκρὶς, πεμμάτιον, ἑψόμενον ἐν ἐλαίῳ, εἶτα μελιτώμενον.

Ἐγκταὶ, οἱ διαγράφοντες τοὺς τοίχους ζωγράφοι.

Ἔγκτηνες, οἱ Βοιωτοὶ οὕτως ὠνομάζοντο, ὥσπερ καὶ ὄντες, διὰ τὸ κτηνώδεις εἶναι καὶ χοιρώδεις.

Ἔγκτισις, τὸ εἰς χῶρον κατάρθαι.

Ἔγκυα ἢ ἔγκυον, τὸ ἐν γαστρὶ ἔχον.

Ἐγκυδὸν, ἔνδοξον.

Ἔγκυκλα, τὰ ἐγκυκλούμενα τῷ βίῳ καὶ συνήθη.

Ἐγκυκλήθητι. ὡς τὸ, εἰ μὴ χολὴν ἔχεις κατελθεῖν, ἐγκυκλήθητι, τουτέστι συστράφηθι.

Ἐγκύκλημα δὲ λέγεται, μηχάνημα ξύλινον τροχοὺς ἔχον. ὅπερ περιστρεφόμενον τὰ δοκοῦντα ἔνδον, ὡς ἐν οἰκίᾳ πράττεσθαι, καὶ τοῖς δικασταῖς ἐδείκνυεν. λέγει οὖν, κἂν φανερὸς ἐγένου.

Ἐγκυκλήσω, ἐγκαλύψω.

Ἐγκύκλιος παιδεία, διὰ πάσης χωρεῖ καὶ παιδεύσεως, καὶ ῥυθμοῦ παντὸς, καὶ κινήματος. ἡ ἐγκύκλιος, ἡ γραμματικὴ, ἡ ποιητικὴ, ἡ ῥητορικὴ, ἡ φιλοσοφία, ἡ μαθηματικὴ, καὶ πᾶσα τέχνη καὶ ἐπιστήμη, διὰ τὸ περιέναι ταῦτα τοὺς σοφοὺς, ὡς διά τινος κύκλου. λέγεται δὲ καὶ ἡ ἐπέτειος τῶν χρημάτων δόσις. καὶ ἐγκυκλίας λειτουργίας, τὰς καθ᾽ ἕκαστον ἐνιαυτόν. κύκλος γὰρ ὁ ἐνιαυτὸς, ἀπὸ τοῦ εἰσκυκλεῖσθαι τῇ τῶν ἡμερῶν περιόδῳ.

Ἔγκυκλον, ἱμάτιον. Ἀριστοφάνης. ἐγὼ γ᾽ ἂν εἴ μοι χρεῖ᾽ ᾖ, τοὔγκυκλον ταυτὶ καταθεῖσα.

Ἐγκυκῶσαν ἀλφίτῳ θρόνα, ἀντὶ τοῦ συμπαράττουσαν. ὥσπερ Κίρκη ἐν τῇ βρώσει τῶν Ὀδυσσέως ἑταίρων, τυρὸν ἄλφιτα μέλι οἶνον συνεστάραξε, καὶ δοῦσα πιεῖν, καὶ ῥάβδῳ πλήξασα, εἰς χοίρους αὐτοὺς μετεμόρφωσε.

Ἔγκυκλον, ἔγκατον. Λάκωνες.

* Ἐγκύκληθρον, τὸ καὶ ἐγκύκλημα, μηχανήματι ὑπότροχον, ὑφ᾽ οὗ ἐδείκνυτο τὰ ἐν τῇ σκηνῇ.

Ἐγκύμονος, ἐγκυούσης.

Ἔγκυος γυνὴ, ἐγγαστρωμένη.

Ἐγκυρῆσαι, ἐντυχεῖν. οὕτω Κρατῖνος.

Ἐγκύρτια, τὰ ἐν τοῖς κύρτοις ἐνυφάσματα.

Ἐγκυσίχωλος, εἴρηται παρὰ τὸν κύσον. ὁ ἀπὸ τοῦ κύσου χωλὸς, καὶ τῆς κοτύλης. κύσον γὰρ εἰώθασιν οἱ κωμικοὶ τὸν πρωκτὸν καλεῖν, περὶ ὃν ἡ κοτύλη ἐστίν. ἐκ τοῦ ῥητορικοῦ ἡ λέξις.

Ἐγκυτὶ, ἀντὶ τοῦ ἐγγύς. οὕτω Καλλίμαχος.

Ἐγκωμιάζω, ἐπαινῶ, δοξάζω. καὶ ἐγκώμιον, καὶ ἐγκωμιαστής.

Ἐγκώμιον, παρὰ τὸ ἐν τῇ κώμῃ ᾄδεσθαι. κώμας γὰρ ἔλεγον οἱ παλαιοὶ τοὺς στενωποὺς, καὶ τὰ ἄμφοδα. ἤρχοντο γὰρ τῇ νυκτὶ οἵτινες παρά τινων μεγιστάνων ἐβλάβησαν, καὶ εἰς τὰς ἀμφόδους ἱστάμενοι ἐκακολόγουν, καὶ ὕβριζον τὸν ἀδικοῦντα. καὶ ἐγκώμιον, ἔνδημον. κώμη γὰρ, τὰ τοῦ δήμου συστήματα.

Ἐγκωμπάσασθαι, στολίσασθαι.

Ἐγκώπαια, τὰ περιδέρραια.

Ἐγκωπὴ, ἐμπόδιον.

Ἔγλασας, ὑπέμεινας.

Ἔγλαψεν, ἐσκάλευσεν.

Ἐγλευκιμένος, ὁ ὑπόγειος, πεπαυμένος τοῦ λευκὸς εἶναι, παρὰ τῷ Ἱπποκράτει.

Ἐγλιξάμην, ἐπεθύμησα. οὕτω Πλάτων.

Ἔγμα, ὀχύρωμα, στύλος.

Ἔγματα, τύποι.

Ἔγμεν, ἔχειν.

Ἐγνάμφθη, ἐκάμφθη, ἐκλάσθη.

Ἔγναμψεν, ἔπεισεν, ἔκαμψεν.

Ἐγνυπώμενον, ταλαίπωρον, κατηφές.

Ἐγνύπωσαι, στυφᾷ, καὶ τὸ ἐναντίον.

Ἔγνω, ὡμίλησεν ἀνὴρ πρὸς γυναῖκα. καὶ ἀντὶ τοῦ ἔκρινε. καὶ ἔγνωσαν, ἔκριναν.

Ἐγνωμάτευεν, ἀντὶ τοῦ βουλὰς ἐδίδου καὶ γνώμας.

Ἐγνώσθην, ἐκ τοῦ γνώω, ὁ μέλλων γνώσω, ὁ παρακείμενος ἔγνωκα, ὁ παθητικὸς ἔγνωσμαι, ἀόριστος ἐγνώσθην, καὶ οὐκ ἐκ τοῦ γνῶμι.

Ἐγνωσιμάχησεν, ἑαυτοῦ κατέγνω μὴ δυναμένου μάχεσθαι πρὸς τοὺς ἀντιπάλους.

Ἐγνωσμένον, βεβουλημένον. Ὁ δὲ φράζει, ὡς ἐγνωσμένον αὐτῷ εἴη, ἔτι νυκτὸς ἐμβαλεῖν εἰς τοὺς πολεμίους. καὶ ἐγνωσμένον, κεκριμμένον. Ἀρριανὸς, Ἐγνωσμένον δὲ ἦν σφίσιν, ἐπειδὰν ἐλάσωσιν οἱ Μαυρούσιοι εἰς αὐτοὺς, τοὺς μὲν κατὰ πρόσωπον αὐτῶν φεύγειν, ὡς πεφοβημένους, τοὺς δὲ ἐφ᾽ ἑκάτερα τεταγμένους ἐς τὰ πλάγια ἐμβάλλειν τῶν διωκόντων.

Ἐγοργοπίασκεν, ἀτενὲς ἔβλεπεν.

Ἐγρεκύδοιμος, ἡ ἐγείρουσα κυδοιμὸν τοῖς ἐναντίοις.

Ἐγρεμάχας, ἐγερσιμάχας.

Ἔγρεο, ἀνίστασο.

Ἔγρετο, ἐγείρετο. ἐγείρομαι, καὶ κατὰ συγκοπὴν, ἔγρομαι. ἀφ᾽ οὗ ἐγρόμενος, καὶ ὁ παρατατικὸς ἐγρόμην, τὸ τρίτον ἔγρετο. λέγεται δὲ ἀντὶ τοῦ ἐγείρετο.

Ἐγρήγορα χρὴ λέγειν, καὶ ἐγρηγόρειν, καὶ ἐγρηγόρησας. καὶ ἐγρήγορθι, τὸ προστακτικόν. καὶ ἀνεγρηγόρῃ, ὑποτακτικόν.

Ἐγρήγορεν, ἔνηφεν, ἠγρύπνει. καὶ ἐγρήγορος, ὁ νηφάλεος.

Ἐγρήγορθε. ἐγείρω, ὁ παρακείμενος ἤγερκα, ὁ μέσος ἤγορα, καὶ Ἀττικῶς ἐγρήγορα. καὶ πλεονασμῷ τοῦ ρ, καὶ ἐπενθέσει, ἐγρήγορθε.

Ἐγρήγορθαι. τὰ πλείω τῶν ἀντιγράφων προπαροξύνουσιν, ὡς Αἰολικόν. ἄλλως γὰρ παροξύνεσθαι ὀφείλει, ὡς παθητικὸς παρακείμενος. ὡς γὰρ κέκοπα μέσος παρακείμενος, καὶ μετὰ τῆς αὐτῆς παραληγούσης κέκοφα ἐνεργητικὸς, ὁμοίως καὶ κέκλοπα. οὕτως οὐ μόνον ἐγρήγορα μέσος παρακείμενος Ἀττικῶς, ἀλλ᾽ ὡς εἰκὸς καὶ ἐγρήγορκα. οὗ παθητικὸς ἐγρήγορμαι, ἐξ οὗ τὸ ἐγρήγορθαι κοινῶς. ἕτεροι δὲ ἐκ τοῦ ἐγρηγορῆσθαι παρακειμένου αὐτὸ συγκεκόφθαι φασίν. Ἀπίων δὲ καὶ Ἡρόδωρός φασιν, ὡς τὸ ἐγρήγορθαι οὐκ ἐχρῆν προπαροξύνεσθαι, εἴτε συγκόπτει ὡς ἄρηται, εἴτε ἀπὸ τοῦ ἔγρω γίνεται. μιᾷ δέ φασιν ἀφορμῇ τινι δύνασθαι τονοῦσθαι οὕτω. τὰ εἰς θαι τῇ ορ συλλαβῇ παραληγόμενα, Αἰολικά εἰσι. πέπορθαι, μέμορθαι, ἔφθορθαι. ἐπεὶ οὖν ἐγρήγορθαι ἡ παράληξις αἰολικωτέρα ἐστὶ, πίπτει καὶ ὁ τόνος ὁμοίως τοῖς προκειμένοις. τὸ δὲ ἐγρήγορθε, γίνεται ἐκ τοῦ ἐγρηγόρατε προστακτικοῦ, κατὰ συγκοπὴν, καὶ τροπὴν τοῦ ψιλοῦ εἰς δασύ.

* Ἐγρήγορθε προστακτικὸν, ἐκ τοῦ ἐγρηγόρατε γέγονε συγκοπῇ, καὶ τροπῇ.

Ἐγρήγοροι ἄγγελοι, οἱ τοῦ Σὴθ υἱοί.

Ἐγρηγορόων, ἐκ τοῦ ἐγρήγορα μέσου παρακειμένου γενόμενον. ἐγείρω γὰρ, μέλλων ἐγερῶ, παρακείμενος μέσος ἤγορα, καὶ Ἀττικῶς ἐγήγορα, καὶ πλεονασμῷ ἐγρήγορα. ὅθεν τὸ ἐγρηγορῶ μετὰ τῆς πρωτοτύπου αὐξήσεως. ὁμοίως τῷ πέποιθα, πεποιθῶ, πεποιθήσω, ἐξ οὗ ἡ πεποίθησις, ὡς ἐγρηγόρησις. καὶ Ὅμηρος μὲν, τετρασυλλάβως οἶδεν ἐγρηγορῶ. οἱ δὲ ὕστερον, καὶ γρηγορῶ τρισυλλάβως, ὅπερ οὐ φιλεῖται τοῖς ῥήτορσιν.

Ἐγρηγόρσιον, τὸ ποιοῦν ἐγρηγορέναι. εἴτε βρῶμα, εἴτε ἄλλο τι τοιοῦτον. Φερεκράτης, ἐγρηγόρσιον, τουτέστι παυσινύσταλον. ῥητορική.

Ἐγρηγορῶ, ἀπὸ τοῦ ἐγείρω ἤγερκα, ὁ μέσος ἤγερα. καὶ Ἀττικῶς ἐγήγερα, καὶ τροπῇ τοῦ ε εἰς ο, καὶ πλεονασμῷ τοῦ ρ, ἐγρήγορα. ἀπὸ δὲ τοῦ ἐγρήγορα, γίνεται ἐγρηγορέω, ῶ. ήσω, μέλλων. ὁ παρακείμενος ἐγρηγόρηκα, καὶ ὁ μέσος (ἐνδεῖ γὰρ μιᾷ συλλαβῇ ὡς ἀπὸ περισπωμένου, καὶ προθέσει τοῦ θ) ἐγρήγορθα.

Ἐγρηγορὼς, ἄγρυπνος διατελῶν.

Ἔγρηνται, ἤρηνται.

Ἔγρηπε, σεισμός φησι γέγονε. καὶ ἔγρηπεν ἡ γῆ, Μελάνθιος. καὶ ἔστιν ἐν τῷ Γρυπάνιον.

Ἐγρήσασα, μαθοῦσα.

Ἔγρησις, ἡ ἐγρήγορσις, παρὰ τῷ Ἱπποκράτει.

Ἐγρήσσειν. γίνεται ἀπὸ τοῦ ἐγείρω κατὰ συγκοπὴν, ἔγρω, ἐξ οὗ ἐγρήσσω, ὥσπερ πέλω πλῶ πλήσσω, πέτω πτῶ πτήσσω. ἢ ἐκ τοῦ ἔγρω παράγεται, ὡς ἐκ τοῦ ῥῶ τὸ ῥήσσω. αὐτὸ δὲ τὸ ἔγρω ἐκ τοῦ ἐγείρω συγκέκοπται.

Ἐγρήσσοντες, ἐγρηγορότες.

Ἐγρήσσων, ἐγρηγόρως φυσῶν, ἀγρυπνῶν.

Ἐγρῆτα, παρὰ καταβολὴν ἢ δίκης, ἢ κρίσεως.

Ἐγρόας, στόματος, ἢ πόρου.

Ἐγρόμενοι, συλλεγόμενοι.

Ἐγρυπνεῖ, ἀγρυπνεῖ.

Ἐγύμνασμαι, ἐγυμνήτευσα.

Ἐγύρωσε, περιετείχισε πάντοθεν.

Ἐγχαδεῖς, νέον, ἄκρατον.

Ἐγχανεῖν, κατακεχασμᾶσθαι. Λάκωνες.

Ἐγχαλίδες, διεπεπαρμένοι ἧλοι.

Ἐγχαλινοῦται, χαλινοῖς ἐμφερῶς περιέχεται, παρὰ τῷ Ἱπποκράτει.

Ἐγχανών, ἐγγελάσας. Ἀριστοφάνης.

Ἐγχάσκειν, καταγελᾶν.

Ἔγχεα, δόρατα.

Ἐγχειγάστωρ, ὁ διὰ τοῦ δόρατος ζῶν.

Ἔγχει, ἔμβαλε.

Ἐγχείησι, ταῖς ἐπιδορατίσιν. ἡ εὐθεῖα, ἡ ἐγχεία. καὶ ὤφειλε προπαροξύνεσθαι. τὰ γὰρ διὰ τοῦ εια ἐπὶ πραγμάτων τασσόμενα προπαροξύνεται, οἷον Ἀμάλθεια. ἔστι δὲ ἡ αἲξ ἡ θρεψαμένη τὸν Δία. καὶ ὑπωρεία, ὑπωρείη. τὸ δὲ ἐγχεία, ποιητικῶς ἐξετάσθη. γίνεται ἐκ τοῦ ἔγχος ἐγχέα. ὡς ἰτέα καὶ συκέα. καὶ καθ' πλεονασμὸν τοῦ ι ἐγχεία.

Ἐγχεῖν, ἐγκεράσαι, ἢ ἀντὶ τοῦ σπεῖσαι, Ξενοφῶν.

Ἐγχειρίας, ἀδείας, ἢ ἐπιχειρήμασι.

Ἐγχεῖδαι, τρηταὶ δανείων.

* Ἐγχεικέραυνος Ζεύς, ὁ τῷ κεραυνῷ ὡς ἔγχει χρώμενος.

Ἐγχείμαργος, πολεμικός, ὁ μαινόμενος τῷ δόρατι.

Ἐγχείρημα, τόλμημα, ἐπιτήδευμα.

Ἐγχειρίδιον, βιβλίον, ἢ ἐστρόντι, ἢ ξίφος, ἢ τμητικὸν ὄργανον.

Ἐγχειρίζω, τὸ εἰς χεῖρας τίθημι, ἢ δίδωμι τινὶ τόδε τι. ἐγχειρῶ δὲ τῷ πράγματι, ἀντὶ τοῦ ἐπ' αὐτῷ τὰς χεῖρας ἐπιβάλλω. παρὰ Ἀριστοφάνει, ἐγχείρει τὸν πρεσβύτην, ἤγουν ἀρχὴν ποίει.

Ἐγχειρογάστορες, οἱ ἀπὸ χειρῶν ζῶντες.

Ἐγχειροῦντας, τολμῶντας.

Ἔγχειος, ἡ Ἀφροδίτη. Κύπριοι.

Ἐγχειρῶ ἐστι, τὸ ἔργου τινὸς ἅπτομαι. καὶ συντάσσεται δοτικῇ, ὥσπερ καὶ ἐπιχειρῶ. ἐγχειρίζω δέ, τὸ εἰς χεῖρας δίδωμι. καὶ συντάσσεται ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Ἐγχέλεις θηρώμενοι, ἐπὶ τῶν διὰ κέρδος ἴδιον, ταραχὰς ποιούντων. ὅταν γὰρ τὸ ὕδωρ καταστῇ, οὐδὲν λαμβάνουσιν. ὅτε δὲ ἄνω καὶ κάτω τὸ ὕδωρ ταράξωσι καὶ κινήσωσι, λαμβάνουσιν. οὕτω καὶ οὗτοι, ταράττοντες τὴν πόλιν.

Ἔγχελυς, παρὰ τὸ ἔχεσθαι ἐν τῇ ὕλῃ, ὅ ἐστι ζωγρεῖσθαι. καὶ ἐγχέλυες, ἰστέον ὅτι Ὅμηρος μὲν διὰ τοῦ υ κλίνει ἐγχέλυας, φαίνεται δὲ καὶ διὰ τοῦ εως ἔχειν τὴν κλίσιν, ἡ παροξυτόνως ἐγχέλυς. ἢ ἄλλως ἔγχελυς προπαροξυτόνως. καὶ δηλοῦται τοῦτο παρὰ τῷ κωμικῷ ἐγχελέων καὶ ἐγχέλεις, καὶ παρὰ ἑτέροις δὲ πολλοῖς. φησὶ γοῦν καὶ Αἴλιος Διονύσιος, ὅτι ἔγχελυς τὸ ἑνικόν, ἐγχέλεις δὲ τὸ πληθυντικόν, καὶ ἐγχελέων καὶ ἐγχέλεσιν. ἐγχέλεια δέ, τὰ τεμμάχη φησὶ τῶν ἐγχελέων. τὰς δὲ ἐγχέλεις φασὶν οἱ παλαιοὶ ζῆν εἰς ἑπτὰ ἔτη καὶ ὀκτώ, καὶ ἀμπελοφαγεῖν. Ἰστέον ὅτι τοῦ ἐγχέλυες ἡ μὲν ἑνικὴ εὐθεῖα ἔγχελυς προπαροξυνομένη, παρὰ τὴν ἰλύν, καὶ ὡς οἷα ἰλύϊ χεομένη. ὅθεν καὶ γεννᾶται κατὰ τὸν Ὀππιανόν. διὸ καὶ προπαροξύνεται, καὶ εἰς υς περατοῦται, ὡς καὶ Ἀθηναῖος βούλεται.

Ἐγχέλυν Ἀττικοί, Βοιωτοὶ δὲ ἔγχελιν λέγουσιν.

* Ἐγχέλειαι, τὰ τῶν ἐγχέλεων τεμμάχη. ἐγχέλιον δὲ ὑποκοριστικῶς, ἡ μικρὰ ἔγχελυς.

Ἔγχευον, ἀπάρξαι θεοῖς.

Ἐγχεσίμαργος, τοῖς ἔγχεσι μαινόμενος, πολεμικός.

Ἐγχεσίμοροι, οἱ αἰχμηταί, οἱ περὶ ἔγχη μεμορημένοι, ὅ ἐστι κακοπαθοῦντες, ἐκπαθέντος τοῦ ο μικροῦ εἰς ω μέγα, ὡς καὶ ἐπὶ τοῦ ἰόμωρος γίνεται. ἢ ἐγχεσίωροι, ὡς ὤραν ἔχοντες τῶν ἐγχέων, πλεονασμῷ τοῦ μ.

Ἔγχεσιν ἀμφιγύοισι, γυῖον, ποῦς. ἐξ ἑκατέρου δὲ μέρους κατεπήγνυτο τὰ δόρατα.

Ἐγχέσπαλοι, πολεμικοί. ἔσειον γὰρ τοὺς κοντοὺς πρὸ τῆς ἀφέσεως, μήποτε ἄρα εἶεν ἐγκλασθέντες.

Ἐγχέσπαλος, κατὰ πλεονασμὸν τοῦ σ. ὡς καὶ τὸ θέσπιος, θέσκελος, θέσφατος.

Ἐγχέται, δόρατα, λόγχαι.

Ἔγχηλος, ἐπίδεσμος ἰατρικός.

Ἐγχημώμενοι, ἐγχάσκοντες.

Ἐγχηρωτύλει, ἐπιχαίρει.

Ἐγχίδιον, ἔγγιον.

Ἐγχλίει, ἐντρυφᾷ.

Ἐγχλοᾶσθαι, ἐμφυῆναι.

Ἐγχόδια, ἀθρόα.

Ἔγχος, οὐ μόνον τὸ δόρυ δηλοῖ, ἀλλὰ τοῦ καὶ ξίφος. ὡς καὶ παρὰ Σοφοκλεῖ δῆλόν ἐστιν. ἢ ἔγχος καὶ ἐγχείη λέγεται ὥσπερ ἔλεγχος, καὶ ἐλεγχείη, οἷον ἐλεγχείην καταχεύῃ. ἔοικε διαφοράτις εἶναι τῶν δοράτων τούτων, καὶ τῶν ἐγχειῶν. ἴσως αὗται μὲν ὀρεκταί, ἐκεῖνα δὲ ἀφίενται, τυχὸν δὲ καὶ τῷ μήκει διέφερον. διὸ Ὅμηρος περὶ τῶν μονομάχων φησίν, ὅτι μακραῖς ἐγχείαις μάχονται. Σημείωσαι δέ, ὅτι τὸ ἔγχος ἀντὶ τοῦ σκήπτρου τίθησιν Ὅμηρος, ἐν τῷ, Ἕκτωρ δ' ἀγόρευε Διῒ φίλος. ἐν δ' ἄρα χειρὶ ἔγχος ἔχεν, ᾧ ἐρεισάμενος ἔφη, ἤγουν τὸ τῆς ἀνδραγαθίας ὄργανον. σκόπει ἐνταῦθα, ὅτι ἐρείδεται τῷ ῥηθέντι δόρατι ὁ Ἥρως, οὐχ οἷα σκήπτρῳ βασιλεὺς δημηγορῶν, ἀλλὰ ὅσα καὶ βακτηρίᾳ, κατάκοπος ἀνήρ.

Ἔγχος ἑνδεκάπηχυ. τὸ γὰρ διπλάσιον, δύο καὶ εἰκοσίπηχυ.

Ἐγχουῶ, τὸν στάτιον. Λάκωνες.

Ἔγχουσα, εἶδος βοτάνης, ἣ καὶ διὰ τοῦ α λέγεται ἄγχουσα. Ἀττικοὶ δὲ διὰ τοῦ ε. καὶ ἐγχουσίζεται, ἐπὶ τῶν γυναικῶν τῶν τῇ ἐγχούσῃ χριόντων τὸ πρόσωπον. ὡς τό, Ἀγχούσῃ προσέοικεν, ἀκάνθαιον πετάλειον. καὶ Ἀμειψίας, Ἀποκοτταβίζουσι δυοῖν ὀβολοῖν ἔγχουσαν καὶ ψιμμύθιον. εἴρηται παρὰ τὸ ἐγχεῖν τὸ ἐν τῇ ῥίζῃ ἐρυθρόν, οἷον ἐγχέουσά τις οὖσα. καὶ πάλιν, Κοσμεῖσθαί τε τῇ ἐμῇ στολῇ, καὶ ψιμμυθιοῦσθαι, καὶ ἐγχουσίζεσθαι τὸ πρόσωπον.

Ἐγχρίει, τύπτει, ἐγκεντρίζει.

Ἐγχριμφθείς, ταυτόν ἐστι τῷ ἐν χρῷ γινόμενος. ὥσπερ δὲ ἐκ τοῦ ῥῶ γίνεται τὸ ῥίπτω, οὕτω καὶ αὐτὸ ἐκ τοῦ χρῶ χρῶ, χρίπτω. καὶ πλεονασμῷ συνήθει δι' εὐφωνίαν, χρίμπτω. ὁμοίως τῷ σκίμπτω, ὃ παρὰ Πινδάρῳ κεῖται, ἀφ' οὗ καὶ ὁ σκίμπους. πολὺ δὲ θράσος δηλοῖ Ὅμηρος τοῦ Ἕκτορος, τὸ μάλα ἐγχριμφθέντα τοῖς ἐναντίοις στῆναι.

Ἐγχρίμψαι, πλησιάσαι, ψαῦσαι, ἐγγίσαι, παραπολαῦσαι.

Ἐγχρίπτω, προσπελάζω, προσεγγίζω, προστρίβω.

Ἐγχρίσαι, καὶ ἀναλεῖψαι, διαφέρει. ἐγχρίσαι μὲν γάρ, ἐπὶ σκορπίου ἢ σφηκῶν, ἤ τινος τοιούτου λέγουσιν. ἀναλεῖψαι δέ, ἐπὶ ὀφθαλμῶν.

Ἐγχρίψαι, τὸ ἐμπεσεῖν σημαίνει, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐγχρίω, τουτέστι παίω. ὅθεν ἐγχρίσαι, κατὰ τὸν Αἴλιον Διονύσιον, τὸ παῖσαι κέντρῳ σκορπίον, ἢ σφῆκα, ἤ τι τοιοῦτον.

* Ἐγχριμφθείς, ἀντὶ τοῦ προσκόψας, καὶ ἐν χρῷ κρουσθείς, καὶ προσπελασθεὶς κατὰ χροῦν.

Ἐγχρόνων, τῶν οὐ πρὸ πολλοῦ χρόνου συντεθεισῶν. Ἀππιανός, Κατεφρόνουν τῶν σπονδῶν ἔτι ἐγχρόνων οὐσῶν.

Ἐγχρῶ, ἐγγύς, καὶ πρὸς αὐτῷ τῷ χρωτί. ἀποκοπὴ τῆς τι συλλαβῆς, μετὰ τῆς ἐν προθέσεως ἐν χρῷ. γράφεται δὲ μετὰ τοῦ ν, καὶ μετὰ τοῦ γ, ἐν χρῷ κουρὰ ἡ ψιλή, καὶ πρὸς τὸν χρῶτα. καὶ ἁπλῶς τὸ ἐν χρῷ, τοῦτο δηλοῖ τὸ ἐγγυτάτω, πάνυ ἐγγύς. ὥστε ἐφάπτεσθαι τοῦ χρωτός, ἀπὸ τοῦ ὁ χρὼς τοῦ χρῶ Ἀττικῶς.

Ἐγχρώσας, χρίσας.

Ἐγχύλης, διὰ τοῦ υ, εἶδος ἰχθύος.

Ἐγχύματα, πλακούντων εἶδος.

Ἐγχυτριεῖς, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ φονεύσεις, ἐκ τοῦ παρεπομένου.

Ἐγχυτρίζειν, τὸ ἀποκτείνειν. ἀπὸ τῶν ἐν ταῖς χύτραις ἐκτιθεμένων βρεφῶν.

Ἐγχύτριαι, αἱ τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφέρουσαι. ἔλεγον δὲ καὶ τὸ βλάψαι, κατακεχυτρίσαι, ὡς ἱστόρηθη Ἀριστοφάνης. ἐγχυτρίας δέ φασι λέγεσθαι, καὶ ὅσαι τοὺς ἐναγεῖς καθαίρουσιν, αἷμα ἐπιχέουσαι ἱερείου, καὶ τὰς θρηνητρίας. Ἔτι γε μὴν καὶ τὰς μαίας, τὰς ἐκτιθείσας ἐν χύτραις τὰ βρέφη.

Ἐγχώ, ἡ Σεμέλη οὕτως ἐκαλεῖτο.

Ἐγχωρεῖ λαμβάνεται, ἀντὶ τοῦ οἷόν τε καὶ δυνατόν ἐστιν. οἷον ἐγχωρεῖ γενέσθαι τόδε. καὶ Ἀριστείδης, ἀλλ' ἐν τῷ τῶν πόλεων ἐκτεινόμενος ὅσον ἐγχωρεῖ, ἀντὶ τοῦ δυνατόν ἐστι καὶ ἐνδέχεται εἶναι.

Ἐγχώριος καὶ ἐπιχώριος, τὸ αὐτό. λέγεται δὲ ἐπὶ τῶν ἐν τόπῳ τινὶ γεγενημένων, καὶ μὴ ἀπὸ ξένης ἐλθόντων. ἀφ' οὗ ἐπιχώριος τρόπος, ὁ ἐνεργούμενος ἔν τινι τόπῳ. ὡς τό, Ἀλλὰ καὶ τὰ τῶν ἐγχωρίων ἀνθρώπων ἤθη, μάλιστα γινώσκουσι, καὶ ἐπιχωριάζει ἐνταῦθα τρυφή, ἀντὶ τοῦ πολιτεύεται.

Ἐγώ, κοινῶς. ἔγωγε, Ἀττικῶς. ἔγωγε καὶ ἔγωνοι, κάλλιον ἢ ἐγώ. καὶ ἔστιν ἓν μέρος λόγου.

Ἐγὼ ποίου προσώπου; πρώτου. ποίου γένους, οὐκ ἔχει. διατί; γένη τῶν πρωτοτύπων διὰ μὲν τῆς φωνῆς οὐ διακρίνονται. διὰ δὲ τῆς ὑπ' αὐτῶν δείξεως, οἷον ἐγώ. διατί ὀξύνεται; αἱ πρωτότυποι ἀντωνυμίαι ὀξύνονται.

Ἔγωγε, ἀσύναρθρος ἀντωνυμία, διότι τὰ ἄρθρα ἀναφορὰν δηλοῦσιν. ἀναφορὰ δέ ἐστιν, ἐγνωσμένου τινὸς καὶ ἀπόντος ἀνακύκλησις. ἡ δὲ ἀντωνυμία πρώτην δεῖξιν δηλοῖ, ἐναντία δὲ ἡ δεῖξις τῇ ἀναφορᾷ. Ἰστέον δέ, ὅτι οἱ Ἀθηναῖοι τὸ ἐγώ, ἔγωγε λέγουσι. καὶ ἔστιν ἓν μέρος λόγου. εἰ γὰρ ἦσαν δύο μέρη λόγου, ἐγώ γε ἔμελλεν εἶναι. πᾶσα γὰρ λέξις ὀξυνομένη ἐπιφερομένου ἐγκλιτικοῦ μορίου, φυλάσσει τὴν ὀξεῖαν τάσιν. οἷον σοφὸς σοφός γε, καλὸς καλός γε, ψευδὴς ψευδής γε. οὕτως οὖν καὶ ἐγώ, ἐγώ γε. ἀλλὰ μὴν ἔγωγέ ἐστι προπαροξύτονον, καὶ δῆλον ἓν μέρος λόγου ἐστίν.

Ἐγύγιον, καὶ ὠγύγιον, τὸ ἀρχαῖον.

Ἐγῷδα, ἀντὶ τοῦ ἐγὼ οἶδα.

Ἐγῷμαι, ἀντὶ τοῦ ἐγὼ οἶμαι. ἐπεκτάσει καὶ κράσει, ἐγῷμαι.

Ἐγών, ἀντὶ τοῦ ἐγὼ λέγουσι Δωριεῖς. καὶ Αἰολεῖς περισπῶσι, λέγοντες ἐγῶν. ἡ γενική, ἐμοῦ κοινῶς, καὶ μου ἀφαιρέσει τοῦ ε. ὅπερ ἐγκλίνεται. οἷον, τοῦτό μου σκόπει. ἐμέο καὶ ἐμεῖο Ἰωνικῶς καὶ Ἀττικῶς, ἐμέοθεν καὶ ἐμέθεν κατὰ συγκοπήν. καὶ Δωρικῶς καὶ Αἰολικῶς ἐμεῦ. ἡ δοτικὴ ἐμοί, καὶ μοι, ἀφαιρέσει τοῦ ε. ὅπερ καὶ αὐτὸ ἐγκλίνεται, οἷον τοῦτό μοι λέγε. ἡ αἰτιατικὴ ἐμέ, καὶ με. ὅπερ ἐγκλίνεται, οἷον τοῦτό με δίδασκε. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν, νῶϊ καὶ νώ. ἡ γενικὴ καὶ δοτική, νῶϊν καὶ νῷν. ἡ πληθυντικὴ εὐθεῖα, ἡμέες καὶ ἡμεῖς. καὶ Δωρικῶς ἅμες, καὶ Αἰολικῶς ἄμμες, καὶ ἄμμε. ἡ γενική, ἡμέων καὶ ἡμῶν, καὶ ἡμείων Ἰωνικῶς, καὶ Αἰολικῶς ἀμμέων. ἡ δοτικὴ ἡμῖν μόνον. ἐνίοτε παρὰ ποιηταῖς ὀξύνεται ἡμίν. Ἴωνες δὲ καὶ Ἀττικοὶ προπερισπῶσιν, ἡμῖν λέγοντες. καὶ Δωρικῶς, ἁμὶν ὀξυτόνως, καὶ Αἰολικῶς ἄμμιν. ἡ αἰτιατική, ἡμέας καὶ ἡμᾶς.

Ἐγώνγα. πᾶσα συλλαβὴ εἰς ν λήγουσα ἐν μιᾷ λέξει, εἰ συντεθῇ μεθ' ἑτέρας συλλαβῆς ἀρχομένης ἀπὸ τοῦ γ, κ, ξ, χ, τρέπει τὸ ν εἰς γ. πρόσκειται ἐν μιᾷ λέξει, διὰ τὸ σὺν Γεωργίῳ, ἐν κεφαλαίῳ. δύο γὰρ μέρη λόγου εἰσί. δεῖ δὲ γινώσκειν, ὅτι τὸ ἐγώνγα καὶ ἰώνγα, δοκοῦσι τούτῳ τῷ κανόνι ἀντικεῖσθαι. ἔστι γὰρ ἐγώ, καὶ τοῦτο οἶμαι Δωριεῖς ἐγὼν λέγειν. οἱ δὲ Βοιωτοὶ ἰών, εἶτα τοῦτο γίνεται, κατ' ἐπέκτασιν ἐγώνγα, καὶ ἰώνγα. καὶ φέρει τὸ γα ἐν μιᾷ λέξει, καὶ οὐ τρέπει τὸ ν εἰς γ. ἀλλ' ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν. ὅτι ὥσπερ τὸ ναὶ καὶ ει ἐπεκτείνεται, καὶ γίνεται ναίχι καὶ εἴθε, ἀλλ' ἐφύλαξε τὴν αὐτὴν τάσιν, ἣν εἶχον καὶ πρὸ τῆς ἐκτάσεως, τὸν αὐτὸν τρόπον καὶ τὸ ἐγὼν καὶ ἰὼν ἐπεκταθέντα καὶ γενόμενα ἐγώνγα καὶ ἰώνγα, τὴν αὐτὴν σημασίαν ἐφύλαξε, λέγω δὴ τὴν πρὸ τῆς ἐκτάσεως, καὶ τὴν αὐτὴν τάσιν, λέγω δὴ τὴν ὀξεῖαν, τούτου χάριν καὶ τὴν αὐτὴν γραφὴν ἐφύλαξε, λέγω δὴ τὸ ν.

ΤΟΥ Ε. ΜΕΤΑ ΤΟΥ Δ.

Ἐδάσα, ἐρημία.

Ἔδαις, ἔδειξας, ἔμαθες.

Ἐδάην, ἔμαθον, ἔγνων, συνῆκα, ἐνόησα.

Ἐδαίνυτο, εὐωχεῖτο.

Ἔδαιον, ἀντὶ τοῦ ἔκαιον καὶ ἔκαπτον.

Ἐδάϊσεν, ἐμέρισεν, διώχησεν.

Ἐδακτύλιζον, ἐδακτυλοδείκνυον.

Ἐδαλάχθη, ἐδήχθη, ἀπώλετο.

Ἐδάμη, ἐδαμάσθη.

Ἐδάμνα, ἐδάμαζεν, ἀπώλυεν.

Ἐδάνη, εἶδος ἀμπέλου.

Ἐδανῷ ἐλαίῳ, ἤγουν ἡδεῖ, ἡδεῖ, ἀμβροσίῳ, ἐκ τοῦ ἥδω. ἐξ οὗ ἡδανὸς, καὶ κατὰ μεταβολὴν ἐδανὸς, καὶ δασύνεται.

Ἔδαπτον, ἤσθιον. καὶ ἔδαπτον ὁμοίως.

Ἔδαρ, βρῶμα.

Ἐδάρθη, ἐκοιμήθη.

Ἐδᾶς, ὄνομα τοῦ Ἑρμοῦ παρὰ Γορτυνίοις, διὰ τὸ ἑαυτὸν εἶναι δοτῆρα, παρὰ τὸ ἑῶ, ἑᾶς, καὶ πλεονασμῷ τοῦ δ Ἐδᾶς.

Ἐδάσαντο, διεμερίσαντο. ἢ κατέφαγον.

Ἔδαυσεν, ἐκοιμήθη.

Ἐδάφισαν εἰς γῆν, κατέβαλον.

Ἐδαφιεῖ, προσκρούσει, προσράξει.

Ἐδαφίσθησαν, εἰς ἔδαφος ἀνηρέθησαν.

Ἔδαφος νηὸς τὸ κατώτατον περὶ τὴν γῆν. ὅπερ ἰδιωτικῶς πλεῦσα λέγεται, καὶ γάστρα, περὶ ἣν τὸ ἄντλον συῤῥεῖ. καὶ ἔδαφος μὲν ἡ γῆ. ἕδος δὲ, ὁ ἱερὸς ναός.

Ἔδαψας, ἐδάρδαψας, ἐκ τοῦ δάπτω, δαρδάπτω.

Ἔδαψε, διέκοψε, διῆλθεν.

Ἔδδεισεν, ἀντὶ τοῦ ἐφοβήθη, ἀπὸ τοῦ δείω, τὸ φοβοῦμαι. ὁ μέλλων δείσω, ἔδεισα, καὶ πλεονασμῷ τοῦ δ ἔδδεισα, ας, εν. ἢ ὡς ἀπὸ περισπωμένου τοῦ δηδῶ, δηδήσω, ἐδεδήησα, ὑπερβάσει τοῦ δ, καὶ ἀποβολῇ τοῦ η, ἔδδεισεν. περὶ δὲ ἰστέον, ὅτι οἱ ποιηταὶ διπλασιάζουσι τὰ σύμφωνα. ἀλλ' οὐ πανταχοῦ, οὔτε πάντα. ἐν μὲν γὰρ τοῖς ῥήμασι τοῖς ἀπὸ τοῦ δ ἢ σ, ἢ τῶν τεσσάρων ἀρχομένοις ἀμεταβόλων, κατὰ τοὺς παρεληλυθότας αὐτῶν, παρατατικοὺς λέγω καὶ ἀορίστους τοὺς ἀπὸ τοῦ ε ἀρχομένους, τὸ κατ' ἀρχὰς τοῦ ἐνεστῶτος διπλασιάζουσι σύμφωνον ἐστὶν ὅτε. οἷον, τὸ ἔδδεισε, καὶ ἔσσυτο, καὶ ἔλλαχε, καὶ ἔμμορε, καὶ ἔννεπε, καὶ ἔῤῥεε. τὸ μέντοι ρ ἐν τοῖς τοιούτοις, οὐ ποιηταὶ μόνοι, ἀλλὰ καὶ πᾶσαι αἱ διάλεκτοι διπλοῦν λέγουσι. τὸ κάββαλε δὲ, καὶ κάππεσεν, οὐ διπλασιάζεται, ὥσπερ ἐν ἐκείνοις ἕνεκα μέτρου, ἀλλὰ τὸ τ ἦν ἐν ἑκατέροις, ὃ πρὸς τὸ μετ' αὐτὸ σύμφωνον ἐτράπη, ἀποκοπέντος τοῦ α. οὐ γὰρ ἐνεχώρει τὸ τ τοῦ β ἢ π προηγεῖσθαι. βραχεῖα γὰρ ἐν τούτοις ἦν ἡ ἐκφώνησις, καὶ ἑλληνικῇ διαλέκτῳ οὐδόλως προσήκουσα. ἐν δὲ τοῖς εἰς ω λήγουσι μέλλουσι τῶν ῥημάτων τοῖς βραχείᾳ παραληγομένοις, καὶ τοῖς ἐξ αὐτῶν ἀορίστοις, ἔνθα χρὴ τὴν παραλήγουσαν ἐκτανθῆναι, τὸ σ μόνον διπλασιάζουσιν, ὡς τὸ σβέσσω ἔσβεσσα, καὶ γελάσσω ἐγέλασσα, ἐρύσσω εἴρυσσα. ἐν δὲ τοῖς ὀνόμασι, μόνον τὰ τέσσαρα διπλασιάζουσιν ἀμετάβολα, καὶ τὸ σ. ὥσπερ τὸ ἀλληκτον, καὶ δύσμμορος, καὶ ἐννοσίγαιος, καὶ ἀννέφελος, καὶ παραλλίη, καὶ ἀῤῥαβίη, καὶ ὅσσον, καὶ μέσσον. ἐν τοῖς ἐπιῤῥήμασι, ζήτει τὸ ἄδδην.

Ἔδεαι, ἐσθίεις. ἐδηΐζετο, ἐπολεμεῖτο.

Ἐδίατρος, ὁ ἐπιστάτης τῆς ὅλης διακονίας, καὶ παρασκευῆς.

Ἐδέγμην, ἐδεξάμην, προσεδεχόμην.

Ἐδεδήει, διώκει, ἢ ἐξεκέκαυτο.

Ἐδεδίασαν, ἐφοβήθησαν. καὶ ἐδεδίζην, ὁμοίως.

Ἐδεδίξατο, ἐφοβήθη.

Ἐδεδίσκετο, ἐξεφόβει.

Ἐδέδμητο, ἀντὶ τοῦ κατεσκεύαστο. ἀπὸ τοῦ δέμω, ἐδεδέμητο, καὶ ἐδέδμητο, ἐδαμάζετο, ᾠκοδόμητο.

Ἐδεδοίκειν, ἐδεδίειν, ἐπεφρίκειν, ἐπεποίθειν, παρατατικῶν ταῦτα σημασίαν ἔχουσιν. ἐπειδὴ καὶ οἱ τούτων παρακείμενοι, ἀντὶ ἐνεστώτων λαμβάνονται. ὡσαύτως δὲ καὶ ὅσα ἕτερα τοιούτους ἔχει τοὺς παρακειμένους. ὁ δὲ μὴ ἀντὶ παρατατικῶν λαμβάνων ταῦτα, ἀλλ' ἀντὶ ὑπερσυντελίκων, ἁμαρτάνει.

Ἐδέετο, ἐπλέετο, Ἰωνικὰ ταῦτα. ἡ δὲ Ἀττικὴ συνήθεια συναιρεῖ, ἐδεῖτο, ἐπλεῖτο, ἐῤῥεῖτο. Φρύνιχος.

Ἐδέησέ μοι, χρείαν μοι ἔσχεν.

Ἐδέησεν, ἀντὶ τοῦ ἐκινδύνευσεν. Ἰουλιανὸς, ἐδέησα μὲν ἀποπνιγῆναι. καὶ ἀντὶ τοῦ ἔλλειψεν. οἷον, μικροῦ μὲν ἐδέησε πεσεῖν.

Ἔδεθλον, τὸ ἕδρασμα.

Ἔδει, ἔπρεπεν, ἐχρῆν. ἢ ἤσθιεν, ἢ ἐσθίει.

Ἐδειγμάτισεν, ἐδημοσίευσεν.

Ἐδείδισαν. δειδιῶ, καὶ ὁ μέσος παρακείμενος δείδια. ὁ ὑπερσυντέλικος, ἐδειδίειν. τὸ τρίτον τῶν πληθυντικῶν, ἐδειδίεισαν, καὶ κατὰ συγκοπὴν ἐδείδισαν. δῆλον δὲ, ὡς διαφέρει τρέμειν καὶ δεδιέναι, εἴγε καὶ μὴ δεδιώς τις ὅμως τρομέει ποτὲ ῥιγῶν, ἢ καὶ διὰ νόσον. Ἰστέον δὲ, ὅτι τρομέειν γίνεται ἀπὸ τοῦ τρέμω, τρόμος, τρομῶ. ὅμως οὐκ ἔσχεν ὀγκῶσαι τὴν ἀρχοῦσαν, κατὰ τὸ τρέχω, τρόχος, τρωχῶ. καὶ στρέφω, στρόφος, στρωφῶ.

Ἐδεικανόωντο, ἠσπάζοντο.

Ἐδείματο, ᾠκοδόμησε, καὶ ἐδειμάτουν, ἐξεφόβουν. ἐδείματο, κατεσκεύασεν.

Ἔδειν, ἐσθίειν, ἔδεσθαι, ἀπὸ τῶν ἐδεσμάτων. ὁμοίως καὶ ἐδόμενος, ἐδόμεθα. καὶ οἱ ὀδόντες ἀπὸ τούτων πεποίηνται, οἷον ἔδοντές τινες ὄντες. καὶ κατεδήδεστο. Κατεδηδοκὼς τὰ πατρῷα.

Ἐδείναζον, δεινῶς ἔφερον, ἢ ἐκακολόγουν.

Ἐδεινολόγουν, ἐσχετλίαζον, ἀντὶ τοῦ δεινὰ πεπονθέναι ἔλεγον.

Ἔδειξεν, ὑπέδειξε, δῆλον ἐποιήσατο.

Ἔδειραν, ἀντὶ τοῦ ἔτυψαν, δίφθογγον. ἔδηραν δὲ, ἀντὶ τοῦ ἐξέδηραν, καὶ ἐξεδερμάτισαν, η.

Ἔδεισα, ἀντὶ τοῦ ἐφοβήθην.

Ἐδεῖς, ἱερεῖς.

Ἐδεῖτο, καὶ ἐδέετο, καὶ ἐδεῖτο, ἔχρῃζε, χρείαν εἶχε. ἐκ τοῦ δέω ἀχρήστου, τὸ παθητικὸν δέομαι. καὶ ὁ παρατατικὸς ἐδεόμην, ἐδέου, ἐδέετο. καὶ κατὰ κρᾶσιν, ἐδεῖτο. καὶ ἐδεῖτο, ἐδεσμεῖτο ἐδέετο.

Ἐδέκαζεν, ἐδωροδόκει.

Ἐδελώνη, ἄνθος.

Ἐδέμ, τρυφὴ ἑρμηνεύεται.

Ἐδέννασεν, ἐχλεύασεν, ὕβρισεν.

Ἐδεξιοῦτο, ἐξεναγώγησεν.

Ἐδέος, Θεσσαλικὸς θρόνος.

Ἔδεσα, πόλις. αἰδέσιος δὲ, ὁ ἄξιος αἰδοῦς, δίφθογγον.

Ἐδεσηνὸς, τοπικόν.

Ἔδεσθον, ἔφαγον.

Ἐδέσιν, ἱερεῦσιν.

Ἔδεσμα, ἐκ τοῦ ἔδω, τὸ ἐσθίω. τὸ παθητικὸν, ἔδομαι, τὸ τρίτον ἔδεται. καὶ ἐξ αὐτοῦ περισπώμενον ἐδῶ, ἐδέσω, ἤδεκα, ἤδεσμαι. καὶ ἐξ αὐτοῦ ἔδεσμα, τὸ εἰς βρῶσιν ἐπιτήδειον.

Ἐδέσματα, βρώματα.

Ἔδες, ἐκάης.

Ἐδαΐζετο, κατεκόπτετο, ἐμερίζετο.

Ἐδεσσαῖος, Ἡρακλῆς, ὁ ἐν Ἐδέσσῃ.

Ἐδεστὰ, τὰ τρωγόμενα κρέατα.

Ἐδεστή, βρωτή.

Ἐδεστὸς, ὁ βρώσει ὑποπίπτων, καὶ τρυφῇ.

Ἔδεται, ἐσθίει.

Ἐδέτμαον, ἐδείκνυον.

Ἐδέτμητο, ᾠκοδομήθη.

Ἔδευες, ἔλιπες.

Ἐδεύετο, ἐνδεὴς ἐγένετο, ἔχρῃζε. παρὰ τὸ δέω, ἔδεον, ἐδεόμην, τὸ τρίτον ἐδέετο. καὶ πλεονασμῷ τοῦ υ, ἐδεύετο. λέγεται καὶ ἀντὶ τοῦ ἐκορέννυτο, καὶ εὐφραίνετο, ἢ καὶ ἐβρέχετο. δεύω γὰρ τὸ βρέχω, ἢ καὶ τὸ στερίσκω.

Ἐδεύησεν, ἀπὸ τοῦ δεήσω περισπωμένου, ἐδέησε. καὶ πλεονασμῷ τοῦ υ, ἐδεύησεν.

Ἐδέων, οἰκιῶν, καθεδρῶν.

Ἔδη, καθέδραι, τὰ ἱερὰ, ἢ τὰ ἐδάφη.

Ἐδήδα, ἔδω, μέλλων ἔσω, παρακείμενος ἦκα, μέσος ἦδα, καὶ Ἀττικῶς ἐδήδα.

Ἐδήδαται, καὶ ἐδήδατο, ἀπὸ τοῦ ἔδω, ἔσω, ἦκα, ἦσμαι ἦσαι ἦσται. τὸ τρίτον τῶν πληθυντικῶν Ἰακῶς ἤδαται, καὶ Ἀττικῶς ἐδήδαται. καὶ ἐπὶ τοῦ ὑπερσυντελίκου, ἤδατο, καὶ ἐδήδατο. λέγει γὰρ ὁ κανὼν, εἰ μέντοι εἴη τὸ κοινὸν τῶν εἰς ω βαρυτόνων, τότε τὸ Ἰωνικὸν ἔχει πρὸ τοῦ αται, τὸ χαρακτηριστικὸν σύμφωνον τοῦ μέσου παρακειμένου. ἤλευσαι ἠλεύθαται, πέφρασαι πεφράδαται. ἀπὸ τοῦ ἐδῶ δὲ οὕτως, ἐδέσω, ἤδεκα, καὶ Ἀττικῶς ἐδήδεκα, ἐδήδεσμαι, σαι, ται. ἀποβολῇ τοῦ σ ἐδήδεται, καὶ Ἰακῶς ἐδήδαται. ὁ ὑπερσυντέλικος, ἐδήδατο.

Ἐδήδοκα, ἐκ τοῦ ἐδέω, μέσος ἐδέσω. ὁ παρακείμενος ἤδεκα, καὶ Ἀττικῶς ἐδήδοκα. ὁ ὑπερσυντέλικος ἠδόκειν, καὶ Ἀττικῶς ἐδηδόκειν. ἡ μετοχὴ ἠδοκὼς καὶ ἐδηδοκὼς, καὶ κατεδηδοκώς. ἢ οὕτως, ἀπὸ τοῦ ἔδηκα. τὸ θέμα ἔδω, παρακείμενος ἦκα, Ἀττικῶς ἔδηκα, καὶ ἐπενθέσει τῆς δο συλλαβῆς, ἐδήδοκα. κατ' ἐπέκτασιν ὁ ὑπερσυντέλικος, ἐδηδόκειν, ἀντὶ τοῦ ἠδηδόκειν.

Ἐδήδοκαν, ἀντὶ τοῦ ἔφαγον.

Ἐδήδοται. τὰ παλαιὰ ὑπομνήματα, Ἀττικὸν φασὶν εἶναι παρακείμενον, ἐκ τοῦ ἐδῶ ἐδοῖς, ὡς ὁμῶ ὁμοῖς. ἵνα γίνων δὲ οὕτως, ἐδῶ ἐδώσω, ἤδωκα, καὶ Ἀττικῶς ἐδήδοκα, ἐξ οὗ τὸ ἐδήδομαι. ἄλλως μὲν ἔγνωσται παρακείμενος τοῦ ἔδω βαρυτόνου, ἦκα, καὶ Ἀττικῶς ἔδηκα. εἶτα πλεονασμῷ τῆς δο συλλαβῆς, ὡς ἂν ἔχοι τρίτον τόπον συλλαβικὸν συστελλόμενον, ἐδήδοκα. ἐξ οὗ παθητικὸς παρακείμενος ἐδήδομαι, καὶ ἐστὶν ὅμοιον τὸ ἐδήδοκα, πρὸς τὸ ἄγω ἄξω, ἦχα, ἄγηχα, καὶ πλεονασμῷ ἀγήοχα.

Ἐδηδὼν, φαγέδαινα.

Ἐδηδὼς, καταβεβρωκώς. ἔδω, ὁ μέλλων ἔσω, ὁ παρακείμενος ἦκα, ὁ μέσος ἦδα, καὶ Ἀττικῶς ἔδηδα. ἐδηδὼς, ἡ μετοχή.

Ἔδηεν, εὗρεν.

Ἐδηλήσαντο, ἔβλαψαν. ἀπὸ τοῦ δηλῶ δηλήσω, ἐδήλησα, ἐδηλησάμην, σω, το.

Ἐδηλόμαν, ἐβουλόμην.

Ἐδηλώσαντο, ἠκολούθησαν.

Ἐδήμευσαν, δημόσιον ἐποίησαν. ὡς τὸ, καὶ ἐκράτησεν ὁ φθόνος, καὶ τὴν οὐσίαν αὐτῶν ἐδήμευσαν.

Ἐδημηγόρησε, τῷ πλήθει εἶπεν, ἐλάλησεν.

Ἐδημώθη, ἐν τῷ δήμῳ διεδόθη, δῆλος πᾶσιν ἐγένετο. οὕτω Δίων, ἐν Ῥωμαϊκῶν ἑβδόμῳ καὶ δεκάτῳ. Καί τις λόγος περὶ αὐτῶν, τοιόσδε ἐδημώθη. καὶ ἐδημοσίωσαν, δημόσιον ἐποιήσαντο. ἔστι δὲ ἡ λέξις, ῥητορική.

Ἐδημοσίωσαν, δημόσιον ἐποίησαν.

Ἔδηξεν, ἔδακεν.

Ἐδῄουν, ἠφάνιζον, διέφθειρον, διέκοπτον.

Ἐδήσατο. ἐκ τοῦ δῶ τὸ δεσμῶ, γίνεται δίδημι, μέλλων δήσω, ἔδησα. ὁ μέσος, ἐδησάμην ἐδήσω ἐδήσατο. καὶ ἐδήσατο καλὰ πέδιλα, δέδωκεν ἀρχὴν τῆς τῶν ὑποδημάτων κλήσεως. ὑποδεῖσθαι γὰρ πάντως ἐπὶ ποδῶν, ὥσπερ τὸ ἀναδεῖσθαι ἐπὶ κεφαλῆς.

Ἔδησεν, ἐνέδησεν.

Ἐδήτυεν, διεῖλε, διῄρει.

Ἐδητὺς, σημαίνει τὴν βρῶσιν. ἢ τροφὴ, παρὰ τὸ ἐδῶ ἐδήσω, ἐδητύς. εἰ γὰρ ἦν ἐκ τοῦ ἔδω βαρυτόνου, ἐτὺς ὤφειλεν εἶναι, ἰσοσύλλαβον τῷ ἔδω. ὥσπερ γράφω γραπτὺς, φράσσω φρακτύς. καὶ παρὰ τὸ ἔδω, ἐστὸν ὤφειλεν εἶναι, οὐχὶ δὲ ἐδεστὸν, ὡς Φίλων.

Ἐδήωσαν, ἐπολέμησαν.

Ἐδίδαξα μὲν ἐγώ. ἐδιδαξάμην δὲ, ἀντὶ τοῦ εἰς διδάσκαλον ἔπεμψα, καὶ τὰ ἐπιτήδεια παρέσχον πρὸς τὸ διδαχθῆναι. Ἀριστείδης τοὺς παῖδας οὐκ ἐδιδάξατο, ἀλλ' ἐδίδαξεν. αὐτὸς ἐνίοτε ἀντὶ τοῦ ἁπλῶς ἐδίδαξα. λέγεται καὶ τὸ ἐδιδάξατο, ἀντὶ τοῦ ἐφεῦρε. τοιοῦτον καὶ τὸ, ἔπηξα μὲν ἐγὼ ναῦν, ἤγουν δι' ἐμαυτοῦ κατεσκεύασα. ἐπηξάμην δὲ διὰ τοῦ ναυπηγοῦ, τὰ ἐπιτήδεια δούς. οἷον πήγνυσι μὲν τὴν ναῦν ὁ τεχνίτης, πήγνυται δὲ ὁ ναύκληρος. τοιοῦτον δέ τι, κἂν μὴ ἐπὶ τῶν αὐτῶν χρόνων, καὶ τὸ φαίνω, ἔφηνα

μένουσι, ἤγουν ἔδειξα. πέφηνα δὲ, ἀντὶ τοῦ ἐφάνην ἐγώ.

Ἐδίδαξεν, ὁ καθηγητὴς. ἐδιδάξατο δὲ, ὁ πατὴρ συστήσας.

Ἐδίδαξεν, ἔπεισεν, ἠρέθισεν. ἐδίδαξεν αὐτοὺς ἡ ἀνάγκη κατασκηνῶσαι, οὐ πρῶτον εἶδον κώμας.

Ἐδίδη, ἐδέσμει.

Ἐδίδηον, κατέμαθον.

Ἐδίδων, Ἡρωδιανὸς λέγει. ἡ δὲ παράδοσις διὰ τῆς ου διφθόγγου, ἐδίδουν. ἀπὸ τοῦ διδῶ, οῖς, οῖ. ὡς χρυσῶ, οῖς, οῖ, ἐχρύσουν.

Ἐδικαίου, δίκαιον εἶναι ἔλεγεν. ὡς τὸ, Καὶ μὴ τὴν βασιλείαν ἑαυτῷ ἀποδίδωσί τις, ἀλλὰ τοῦ γε ἀπαλλάσσεσθαι κύριος ἐδικαίου εἶναι αὐτός. Ἀππιανὸς, Σύφαξ δὲ τῶν γενομένων πυνθανόμενος, ἐπεχείρει διαιτᾶν διαλύσεις. καὶ ἐδικαίου μήτε Ῥωμαίους Λιβύης, μήτε Καρχηδονίους Ἰταλίας ἐπιβαίνειν ἐπὶ πολέμῳ. τὴν δέ τις ἀπειθῇ τοῖς πειθομένοις ἔφη συμμαχήσειν.

Ἐδίζησα ἐμαυτὸν, ἀντὶ τοῦ ἐζήτησα ἐμαυτόν.

Ἐδίηνεν, ἔβρεχεν, ἐμόλυνεν.

Ἐδικαιώθη, τὸ εἰς δύο διαιρεθῆναι Ἴωνές φασιν.

Ἐδικαιώθησαν, δίκαιοι ἐκρίθησαν, ἐνομίσθησαν. σημαίνει δὲ καὶ τὸ ἐναντίον, κατεδικάσθησαν δικαίως. Δίων ἐν Ῥωμαϊκῶν πεντεκαιδεκάτῳ, Καὶ οὐκ ἤνεγκαν δικαιωθέντες, ἀλλ' ἐπεχείρησαν καὶ οἱ Καμπανοὶ τοῦ Φλάκκου, καὶ οἱ Συρακούσιοι τοῦ Μαρκέλλου κατηγορῆσαι, καὶ ἐδικάσθησαν ἐν τῷ συνεδρίῳ. πολλαχοῦ δὲ κέχρηνται τῇ λέξει ταύτῃ, ἐπὶ τοῦ εἰρημένου σημαινομένου. ὡς καὶ ἐν τῷ ἑκκαιδεκάτῳ, Πάντες ἀποθανεῖν ἐστὲ ἄξιοι, οὐ μέντοι καὶ ἐγὼ πάντας ὑμᾶς θανατώσω. ἀλλ' ὀλίγους μὲν, οὓς συνείληφα, ἤδη δικαιώσω, τοὺς δὲ ἄλλους ἀφίημι.

Ἐδικαίωσαν, ἀντὶ τοῦ κατεδίκασαν. ὡς τὸ, Οἱ δὲ Ῥωμαῖοι αὐτὸν ἐδικαίωσαν θανάτῳ.

Ἐδικανόωντο, ἐδεξιοῦντο.

Ἐδίκοντο, ἐπορεύοντο.

Ἔδικτα, διατάγματα.

Ἔδιμεν, ἔλαβεν, ἔρριψεν.

Ἐδίνεον ὀρχηστῆρες, ἀπὸ δίνου, ὅ ἐστι τόρνου ληφθὲν, ἄριστα ἔχει, καὶ οὐκ ἔχει καιριωτέραν λέξιν εὑρεῖν ἐπὶ εἰλύσεως ὀρχηστοῦ. εἰ δὲ πρώτης συζυγίας τῶν περισπωμένων τὸ ἐδίνεον, ἐξ οὗ τὸ δινεύειν. ἀλλ' ἔστι καὶ τρίτης, ὡς δῆλον ἐκ τοῦ δινωτῆς. καὶ ἀλλαχοῦ ἐδίνεον, κατὰ μέσους. ὡς οἷα δηλαδὴ κορυφαῖοι χοροῦ ὀρχούμενοι, ἅμα καὶ δινούμενοι, ἤγουν στρεφόμενοι χορικῶς. δῖνος γάρ φασι, σχῆμα χορικόν.

Ἐδίνευον, κύκλῳ περιῄεσαν, ἢ ἀντὶ τοῦ ὠρχοῦντο.

Ἐδινήθη, περιηνέχθη.

Ἐδινοῦντο, περιεστρέφοντο.

Ἐδίψησεν, ἐπεθύμησεν. ὡς τὸ, Ὁ δὲ ἐλευθερῶσαι τὴν πατρίδα ἐδίψησεν.

Ἐδίωσεν, ἐξέωσεν, ἐδίωξεν.

Ἔδμεναι, ἐσθίειν. ἐκ τοῦ ἔδειν, ἐδέμεν, καὶ πλεονασμῷ τῆς αι ἐδέμεναι, καὶ κατὰ συγκοπὴν ἔδμεναι.

Ἔδνα κυρίως, τὰ ἐκ τοῦ ἀνδρὸς διδόμενα τῇ γυναικί. ἢ ὡς οἱ ἀκριβέστεροι τῶν παλαιῶν, κυρίως λέγεσθαί φασι, τὰ ὑπὸ τῶν νυμφίων ἀλλήλοις διδόμενα. τὰ δὲ ἀπὸ τῶν πατέρων, ἐπιμείλιά φασι. φερνὴ δὲ, ἡ τῆς νύμφης. τὰ δὲ ὑπὸ τῆς νύμφης, ἐπιφέρνια. δασύνεται δὲ τὸ ἕδνα, ὡς ἀπὸ τοῦ ἑδράζω, κατὰ τοὺς παλαιοὺς, ἑδρανόν τι ὄν, τὸ τὸν γάμον στηρίζον, καὶ ἐν συγκοπῇ ἕδνον. ἢ ἀπὸ τοῦ ἥδω τὸ εὐφραίνω, ἡδανόν τι ὄν, τὸ ἡδύνον τοὺς λαμβάνοντας. καὶ ἐν συγκοπῇ, καὶ συστολῇ τοῦ η εἰς ε, ἕδνον. ἥδονται γὰρ τούτοις αἱ νύμφαι. ἢ παρὰ τὸ ἕζω, ἕδανον, καὶ κατὰ συγκοπὴν ἕδνον, τὸ αἴτιον τοῦ ἕζεσθαι, καὶ παραμένειν τὴν νύμφην τῷ νυμφίῳ. καθὰ καὶ μύρον ἑδανὸν ὀξυτόνως τὸ ἡδύ. ὡσαύτως δασύνεται καὶ τὸ ἐέδνον, καὶ τὸ ἑεδνοῦσθαι, τῆς δασείας εἰς ἀρχὴν ἀναδραμούσης. ὡς ἐπὶ τοῦ ὥρων, ἑώρων γίνεται.

Ἐδνωτὴς, κηδεστὴς, πενθερός. ἀπὸ τοῦ διδόναι τὰ ἕδνα, ἤτοι ἐξώπροικα.

Ἐδναία, ἡ καθέδρα.

Ἐδνάειν, ἐνεχυράζειν.

Ἔδνιος χιτὼν, ὃν πρῶτον ἡ νύμφη τῷ νυμφίῳ δίδωσιν.

Ἐδνοπάλιζεν. Ὅμηρος, ἀνὴρ δ' ἄνδρα ἐδνοπάλιζεν, ὅ ἐστιν ἐδόνει καὶ ἔπαλλεν, ἢ ἐδόνει ταῖς παλάμαις. ἢ ἐδνοπάλιζεν, ἀνῄρει, ἀνέτρεπεν, ἐφόνευεν, ἐσκύλευεν, ἐκακοποίει, ἐτίνασσεν, εἷλυεν.

Ἐδόκαζεν, ἀπεδέχετο.

Ἐδοκίμασαν, ἀντὶ τοῦ ἔκριναν, ἐκύρωσαν, καὶ ἀντὶ τοῦ ἐξέτασαν.

Ἐδολιοῦσαν, τὸν δόλον συνεσκίαζον.

Ἔδομαι, καὶ κατέδομαι, οὐ βρώσομαι, ἀλλ' οὐδὲ φάγομαι.

Ἔδομεν πυρὶ, περίφρασίς ἐστι τοῦ ἐκαύσαμεν.

Ἐδομήθησαν, ᾠκοδομήθησαν.

Ἐδονοῦντο παρὰ Θεοκρίτῳ. ἐκλονοῦντο, ἐκινοῦντο.

Ἔδονται τὰς σάρκας, φάγονται.

Ἔδοντες, ἐσθίοντες. σημείωσαι τὴν τοῦ δ καὶ τοῦ θ φιλίαν. ὡς γὰρ οὐδέτερον οὐθέτερον, καὶ χάριδος χάριτος, καὶ ἄλλα πολλά, οὕτω καὶ ἔδω, ἔθω, ὡς τὸ ἔθων Οἰνῆος ἀλωήν. καὶ πλεονασμῷ τοῦ σ, ἔσθων, καὶ ἐσθίω.

Ἔδοντας, ἀντὶ τοῦ ὀδόντας, λέγουσιν Αἰολεῖς.

Ἔδοξα. ἔστι δόκω βαρύτονον. ἐξ οὗ δοκῶ, ὁ μέλλων δοκήσω. καὶ συγκοπῇ καὶ κράσει τοῦ κ καὶ σ εἰς ξ, δόξω, ἔδοξα. ἢ δόκω, δόξω, ἔδοξα.

Ἔδοξεν, εἰς ὑπόληψιν ἦλθεν, ἐνομίσθη.

Ἐδοξοποίει, ἀγαλματοποίει.

Ἐδοξώθη, ἐδοξάσθη.

Ἐδοργύπευσεν, ἔσφαξεν, ἢ ἐπέρανεν.

Ἐδόρπησαν, ἐδείπνησαν. δόρπος γὰρ, ὁ δεῖπνος.

Ἕδος παρ' Ὁμήρῳ, ἐν τῷ λ τῆς Ἰλιάδος, οὔτε ἔδαφος, οὔτε ἡ καθέδρα αὐτή, ἀλλ' ἔχει τι ὁ λόγος ἐλλείψεως. ἵνα ᾖ, ὅτι οὐ νῦν καίριον ἡ καθέδρα. ὅτι δὲ ἕδος λέγεται καὶ τὸ ἵδρυσμα καὶ ἄγαλμα, ὁ Παυσανίας φησίν.

Ἕδος οὐ μόνον τὸ ἔδαφος, ἀλλὰ καὶ ἡ καθέδρα, ἐκ τοῦ ἕζω. καὶ ἕδος παρ' Ὁμήρῳ. ὡς τὸ, οὐχ ἕδος εὕρηται, ἀντὶ τοῦ οὐ καθέδρα, ἤγουν οὐκ ἔστιν ἕζεσθαι. Σοφοκλῆς δὲ σαφέστερον φράζει, ἐν τῷ οὐχ ἕδρας ἀκμή.

Ἐδὸς, ὁ φάγος, ὁ λαίμαργος. ἐκ τοῦ ἔδω, τὸ ἐσθίω.

Ἐδούπησεν, ἐκτύπησεν.

Ἔδουσιν, ἐσθίουσιν.

Ἔδραθον ὕπνον. καὶ κατέδραθον, τουτέστιν ἐκοιμήθην.

Ἕδρα, ἡ στάσις, ἡ καθέδρα. ἕδρα καὶ ὁ σφιγκτὴρ τῶν ἀνθρώπων.

Ἕδραι λέγονται, αἱ σέλλαι, καὶ σελλάρια σωτήρια. καὶ ἕδραι βουλῆς, αἳ ἐγίνοντο κατὰ πενταήμερον.

Ἑδραῖον, βάσιμον, στερεόν.

Ἑδραῖος, σταθηρὸς, ἀσάλευτος, ἀκλόνητος, καὶ ἑδραίωμα, στήριγμα.

Ἔδρακεν, ἐθεάσατο. δέρκω, ξω. ὁ δεύτερος ἀόριστος, ἔδαρκον, καὶ κατὰ ὑπέρθεσιν ἔδρακον.

Ἔδρακεν, εἶδεν, ἐκ τοῦ δέρκω τὸ θεωρῶ. ὡς τὸ, Ὃ διαπνυώθη, καὶ ἀνίδρα.

Β'δράκις, ὀλιγάκις.

Ἐδραματουργήθη, ἐπράχθη.

Ἔδραμον, ἀπὸ τοῦ δρέμω. ὁ δεύτερος ἀόριστος ἔδραμον. ἐξ οὗ δρόμος, ὄνομα ῥηματικὸν, ὡς βρέμω βρόμος. ὁ δὲ Ἡρωδιανὸς φησὶν, ὅτι δύναται εἶναι ἀπὸ τοῦ δραμῶ περισπωμένου. ἐξ οὗ καὶ παρὰ Μενάνδρῳ τὸ, δεδράμηκά σοι δρόμον, οἷον οὐδεὶς πώποτε. καὶ ῥηματικὸν ὄνομα, δράμημα.

Ἔδραν. δράω δρῶ, τὸ ἐκφεύγω. δράσω, ἔδρασαν, συγκοπῇ ἔδραν. ἢ ἀπὸ τοῦ δρῆμι, ὁ δεύτερος ἀόριστος ἔδρην, ἔδρησαν. καὶ συγκοπῇ ἔδραν, ὡς ἔσταν.

Ἕδραν, τὴν μονὴν εἴρηκεν ὁ Θουκυδίδης. καλοῦσι δὲ καὶ τὸ μέρος ὡς ἡμεῖς, ἕδραν.

Ἕδρανον, παρὰ τὸ ἕζω ἕδανον, καὶ ἕδρανον.

Ἑδράνων, θρόνων, ἐν ἐπιγράμματι. Νηῶν θ' ἕδρανον ἀσταθέων ἄγκυραν, ἀντὶ τοῦ ἕδρασμα.

Ἑδρασθῆναι, παγῆναι, καὶ τὰ ὅμοια.

Ἕδρασεν, ἔπραξεν, ἐποίησεν, ἐκάθισεν, ἢ ἐκόσμησεν.

Ἑδρασμένη, βεβαιωθεῖσα.

Ἐδράσσατο, ἦγεν.

Ἐδρέψατο, ἐθέρισεν.

Ἐδρήεντα, βέβαια.

Ἕδρην, τὴν προσεδρείαν ἐνίοτε δηλοῖ.

Ἑδρηστὴς, ἢ ἐδρείτης, ὁ οἰκέτης. ἀπὸ τοῦ καταφεύγειν ἐπὶ ἑστίαν.

Ἐδρήσω, καθῆσο.

Ἐδριάασθαι, καθέζεσθαι, ὡς τὸ, ἑδρίας ἀειπνέον.

Ἕδρια, συνέδρια.

Ἐδρίμαξεν, ἔθραυσεν, ἔσφαξεν.

Ἐδριόωντο, καὶ ἑδρίοντο, ἀντὶ τοῦ ἐκαθέζοντο.

Ἑδρὶς, ἑδραῖος.

Ἐδρύπτοντο, κατεσπαράσσοντο.

Ἐδρύφθη, ἀπὸ τοῦ δόρυ τὸ ξύλον δορύπτω, καὶ κατὰ συγκοπὴν δρύπτω. ἵνα λέγηται καθ' ὁμοιότητα τῶν ἐκδερομένων καὶ ξυομένων δρυῶν, ὅ ἐστι ξύλων. τὸ δὲ θρυλλίζεσθαι, πλεῖόν τι κακὸν δηλοῖ τοῦ δρύπτεσθαι. ὀνοματοπεποίηται δὲ καθὰ καὶ τὸ θραύεσθαι. ἐξ αὐτοῦ καὶ παρὰ Λυκόφρονι, τὸ θρύλλιγμα. ἴσως δὲ προϋπόκειται τοῦ θρυλλίζειν, τὸ θρυλλῶ. ἐξ οὗ καὶ ὁ κατὰ φήμην καὶ ὄχλον θρύλλος. ταῦτα δὲ ἡ πλείων χρῆσις δι' ἑνὸς λ οἶδε προφέρειν.

Ἐδρύψατο, κατεμύξατο.

Ἔδρων, ἔπραττον, ἐπετέλουν.

Ἔδυ, εἰσῆλθε, κατῆλθε, κατέδυ.

Ἐδυέετο, ἐνεδύετο.

Ἐδύνησεν, ἤγγισεν, ἐνδεὴς ἐγένετο.

Ἔδυν τεύχεα, μετῆκται ἡ λέξις ἀπὸ τῶν εἰς βάθος δυνόντων. δύναται δὲ ταὐτὸν τῷ ἀμφιέσασθαι, ἀμφιβαλέσθαι, καὶ περιβαλέσθαι. λέγεται δέ τις καὶ πόλιν δύνειν, καὶ πόλεμον. Ἰστέον δὲ, ὅτι ὥσπερ ἐκ τῆς γενικῆς μετοχῆς τοῦ λέγοντες ἀποκοπῇ τοῦ τέλους, γίνεται τρίτον πληθυντικὸν παρῳχημένου χρόνου μετ' αὐξήσεως ἔλεγον ἐκεῖνοι. ὁμοίως καὶ τύπτοντος ἔτυπτον, καὶ βρέχοντος ἔβρεχον, καὶ ὅσα τοιαῦτα, οὕτως ἐκ τοῦ φὺς ὀξυτόνου, φύντος ἔφυν. καὶ φὰς φάντος, ἔφαν. καὶ βὰς βάντος, ἔβαν. καὶ στὰς στάντος, ἔσταν. μιχθεὶς μιχθέντος, ἔμιχθεν. καὶ δὺς δύντος, ἔδυν. δοὺς δόντος, ἔδον. καθ' ὅμοιον δὲ λόγον φαανθέντος ἐφάανθεν, Αἰολικόν. καὶ πληγέντος, ἔπληγεν. καὶ κοσμηθέντος, ἐκόσμηθεν, καὶ τὰ τοιαῦτα. καὶ πολλαχοῦ τὰ τοιαῦτα ἀναύξητα, ὁποῖον τὸ τραφέντος τράφεν, ἀγέντος ἄγεν, ἀγερθέντος ἀγέρθεν, βλαβέντος βλάβεν.

Ἔδυνεν, ἐδύσατο, ἐνεδύσατο.

Ἐδύνην, ἀντὶ τοῦ ὀδύνην λέγουσιν Ἴωνες.

Ἐδύουσα, ὀψὲ δύνουσα.

Ἔδυσεν, ἐνεδύσατο.

Ἐδ'συξα, ὑπενόησα.

Ἐδύτην, κατῆλθον, ἢ ἀπέθανον.

Ἔδυψεν, ἐκολύμβησε, παρὰ Λυκόφρονι.

Ἐδωγαθὴ, ἡ τροφή.

Ἐδωλὸς, λόχος Λακεδαιμονίων οὕτως ἐκαλεῖτο.

Ἐδωδὴν παντοίην, ποικιλίαν ἄρτων δηλοῖ, καὶ τοιούτων τινῶν.

Ἐδωδὴ, ἡ τροφή. παρὰ τὸ ἔδω ἐδὴ, καὶ κατὰ ἀναδιπλασιασμὸν ἐδωδή.

Ἐδωδήμων, βρωσίμων.

Ἔδωκε, περιεποίησεν.

Ἑδώλια, ἐπὶ τῶν ναυτικῶν καθεδρῶν κυρίως, ἐφ' ὧν οἱ ἐρέται καθέζονται. γίνεται παρὰ τὸ ἕζω ἑζώλιον, καὶ Δωρικῶς ἑδώλιον. καὶ ἑδωλιάσαι, ἀντὶ τοῦ συγκαθίσαι, ἀπὸ τῶν ἐν ταῖς ναυσὶν ἑδωλίων. ἐξ αὐτοῦ ἑδοῦμαι, καὶ καθεδοῦμαι Ἀττικῶς. ἢ ἑδώλια, τὰ σανιδώματα κυρίως τῶν πλοίων, ἐφ' ὧν οἱ ἐρέται καθίζονται. καὶ ἕδραι, ἢ ἑδράματα. Σοφοκλῆς, ἀρχαιόπλουτα πατρὸς ἑδώλια, ἀντὶ τοῦ ἀρχαῖα οἰκήματα. καὶ ἑδωλίοισι παρὰ Ἡροδότῳ, ὑποστρώμασι νηός. Σοφοκλῆς ἐν Αἴαντι, Ἄκροις ἤδη ναυτικοῖς ἑδωλίοις πυρὸς φλέγοντος.

Ἑδωλιάσαι, συγκαθίσαι. Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ ἀπολογισμὸς ὧν πεπολίτευται, ἐπὶ τοῦ καθέζεσθαι.

Ἑδώλιαι, αἱ ἐν ταῖς ναυσὶ καθέδραι. Ἡρόδοτος ἐν πρώτῳ. κυρίως δὲ τὰ τῆς νεὼς ζυ-

γὰ,

Digitized by Google

γαὶ, ἐν οἷς κάθηνται οἱ καπηλεύται, παρὰ τὸ ἕζω, Δωρικῶς.

Ἐδώλιος, ὀρνέου εἶδος.

Ἐδάμ, ὄνομα κύριον. καὶ ἑρμηνεύεται θερμασία. ὁμοίως.

Ἐζεκίας κύριον ὄνομα. περὶ οὗ συντόμως εἴρηται ἐν τῷ ε μετὰ τοῦ ζ. ἦν δὲ βασιλεὺς Ἱερουσαλήμ, υἱὸς Ἄχαζ, ἁπάντων εὐσεβέστερος. οὐ γὰρ μόνον τὰ εἴδωλα κατέσκαψεν, ἀλλὰ καὶ τὰ ἐν τοῖς ὑψηλοῖς καθεῖλε, καὶ τὰ ἄλση κατέκοψε. καὶ τὸν ὄφιν, ὃν ἐκρέμασε Μωϋσῆς. ἔτι γὰρ αὐτῷ πάντες ἐθυμίων μετὰ τῶν λοιπῶν βδελυγμάτων ἠφάνισε. τούς τε Ἰουδαίους εἰδωλολατροῦντας ἐτιμωρεῖτο, ἐκκόπτων τὰ μνημόσυνα καὶ λείψανα τῆς αἰθιοπίας. τοσοῦτο γὰρ θεοσεβείας ἀφεστήκησαν, ὡς ἐπιθεν τῶν θυρωμάτων ζωγραφεῖν τὰ εἴδωλα καὶ προσκυνεῖν. ἵνα εἴτινες τῶν περὶ Ἐζεκίου ἐρωτῶσιν, ἀνοιγνυμένων τῶν θυρῶν, σκέποιτο τὰ βδελύγματα. καὶ μόνος ἐβασίλευσεν Ἰουδαίας, κατὰ προαίρεσιν Θεοῦ. φέρεται δέ τι καὶ τοιοῦτον. ἦν Σολομῶντος βίβλος, ἰαμάτων πάθους παντὸς, ἐγκεκολαμμένη τῇ τοῦ ναοῦ φλιᾷ. ταύτην ἐξεκόλαψεν Ἐζεκίας, οὐ προσέχοντος τοῦ λαοῦ τῷ Θεῷ διὰ τῆς θεραπείας τῶν παθῶν. ἐνθένδε τοὺς πάσχοντας αὐτοὺς κομίζεσθαι, περιορῶντας αἰτεῖν τὸν Θεόν. ἐπολέμησε δὲ μέχρι Γάζης τοῖς ἀλλοφύλοις, Ἀσσυρίων ἀποστὰς, πρότερον ὑπήκοος ὤν.

Ἔδον, ἐσθίων, ἔδωσα.

Ἐδωνὰ, ζυγὰ, καθεζόμενοι νεώς.

Ἔδονται, φάγωσιν.

Ἐδωρεῖτο, δώροις ἐτίμα.

Ἐδωρήσατο, ἐφιλοφρονήσατο.

ΤΟ Ε. ΜΕΘ' ΕΑΥΤΟΥ.

Ε ἓ, ἐπίρρημα σχετλιαστικόν. Εε. τὰ δύο ταῦτα εε ἐν μὲν τῇ ὀνομαστικῇ καὶ αἰτιατικῇ καὶ κλητικῇ δυϊκῇ, εἰς η κιρνᾶται. οἷον, Δημοσθένεε καὶ Δημοσθένη, ὦ Δημοσθένεε καὶ Δημοσθένη. ἐν δὲ τῇ πληθυντικῇ ὀνομαστικῇ καὶ αἰτιατικῇ καὶ κλητικῇ, λέγω τῶν ἀρσενικῶν ὀνομάτων καὶ τῶν θηλυκῶν, εἰς ει δίφθογγον. οἷον οἱ Δημοσθένεες καὶ Δημοσθένεις, τοὺς Δημοσθένεας καὶ Δημοσθένεις, ὦ Δημοσθένεες καὶ Δημοσθένεις. ὁμοίως ἐν τοῖς ῥήμασιν, οἷον ποιέετον, ποιέετε ποιεῖτε, ἐποίεες ἐποίεις. οὕτως ἐπὶ τῶν ἄλλων.

Ἓε δ' αὐτὸν ἐπόρευσεν, ἀντὶ τοῦ ἑαυτόν. ἀρχαϊκώτερον φράζει ὁ ποιητής. ἔστι γὰρ ἑαυτὸν, καὶ πλεονασμῷ ἐεαυτόν. ὡς τὸ εἷς ὀφθαλμὸς, ἕεις παρ' Ἡσιόδῳ. καὶ πάλιν θηλυκὸν ἄρθρον ἧς, καὶ πλεονασμῷ ἕης, ἀντὶ τοῦ ἥ τινος. ἐκ δὲ τοῦ ε αὐτὸν, τὸ ἑαυτὸν ὕστερον συνθέτως γίνεται. ὡς τὸ κατ' ἐμαυτὸν, τὸ ἐμαυτόν.

Ἔεδνα, φανερῶς τὰ ἐκ τοῦ νυμφίου τῇ γαμετῇ διδόμενα, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ.

Ἐεδνωτὴς, ὁ προικιστὴς, ὁ πενθερός.

Ἐείδεσθαι, δοξάζειν.

Ἐειδόμενος, ὁμοιούμενος.

Ἐεικοσάβοιον, ἢ σταθμός τις ὕλης μεταλλικῆς, δι' οὗ εἴκοσι βόας ἦν ὠνήσασθαι. ὁποῖόν τι καὶ τὸ τετράβοιον, καὶ δωδεκάβοιον, καὶ ἑκατόμβοιον. Ἰστέον δὲ, ὅτι καινῶς ἐσχημάτισται τὸ ἐεικοσάβοιον. ὤφειλε γὰρ ἐεικοσίβοιον εἶναι, ὡς ἀπὸ τοῦ ἐείκοσιν.

Ἐείκοσιν, ἀντὶ τοῦ εἴκοσιν.

Ἐεικόσορος ναῦς, εἰκοσάκωπος.

Ἔεικται, ὡμοίωται.

Ἐείλεον, πλεονασμὸν ἔχει τοῦ κατ' ἀρχὴν ε, πρὸς ὁμοιότητα τοῦ ἐείσατο.

Ἔειπεν, εἶπε. καὶ ψιλοῦται. ὅτι τὸ πρὸ φωνήεντος πλεονάζον, ψιλουμένου μὲν αὐτοῦ συμψιλοῦται, δασυνομένου δὲ δασύνεται. οἷον, οἶκα, ἔοικα. ὥρων ἑώρων, ἥνδανεν ἑήνδανεν, ἔρσα ἐέρσα, ἓς ἑός, εἷς ἕεις, ᾖα, ἤειν, ἐλποίμην ἐελποίμην.

Ἕεις, ἀντὶ τοῦ εἷς. πλεονασμῷ τοῦ ε ἐπὶ ἀριθμοῦ. οἷον, Κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ. παρὰ τὸ ἴος ἴοεις, καὶ τροπῇ τοῦ ι εἰς ε, ἕεις. ὡς ἀγχίμαχος ἀγχέμαχος. ἢ ἀπὸ τοῦ εἷς ἕεις, πλεονασμῷ τοῦ ε.

Ἐεισαμένη, ἀντὶ τοῦ ὁμοιώσασα. ἐκ τοῦ εἴδω τὸ ὁμοιῶ, πλεονασμῷ τοῦ ε. τίθεται δὲ καὶ δίχα τοῦ ε. οἷον εἴσατο, ἀντὶ τοῦ ὡμοιώθη, ἢ ὡμοίωσεν. εἴσατο γὰρ φθογγὴν φησὶν Ὅμηρος. καὶ εἰσαμένη φθογγὴν, ἤγουν ὁμοιωθεῖσα.

Ἐεισάμενος, ὁμοιώσας.

Ἐεισάμενος, ὁμοιωθείς. εἴδω, εἴσω, εἶσα, εἰσάμην. καὶ πλεονασμῷ τοῦ ε, ἐεισάμην, ἐεισάμενος, ἐεισαμένη, ἐεισάμενον. ἢ εἴσκω ὕστερον, ἤγουν ὁμοιῶ, εἴδομαι δὲ ἐγὼ, ἤτοι ὁμοιοῦμαι. εἴσομαι μέλλων, εἰσάμην ἀόριστος. καὶ πλεονασμῷ τοῦ ε, ἐεισάμην. ἡ μετοχὴ ὁ ἐεισάμενος, ἐεισαμένη, ἐεισάμενον.

Ἐεισάσθην, ὥρμησαν, ἐπῆλθον.

Ἐείσατο, καὶ ἐείσαο, Ἀττικῶς ἔχει ἐν τῇ ἀρχούσῃ τὸ ε. ἄλλως γὰρ εἴσαο ἐστὶν Ἰωνικῶς, ἀπὸ τοῦ εἴδω κλιθὲν, ὃ δηλοῖ τὸ δοκεῖν καὶ φαίνεσθαι.

Ἐείσατο, ὡμοιώθη.

Ἐείσω, ὁμοιωθῇς.

Ἔεικτον. ἔστι πρῶτον ἐνικὸν τοῦτο, τὸ εἶκα, καὶ κατὰ διάλυσιν ἔεικα, ὑπερσυντέλικος εἴκειν, ἐείκειν, ἔεικτον, καὶ ἐείκτην, κατὰ συγκοπήν.

Ἐείσκεις, εἰκάζεις, ἀφομοιῶσαι.

Ἐέλδομαι, ἐπιθυμῶ, παρὰ τὸ θέλω, τοῦ θ τραπέντος εἰς δ, κατὰ Μακεδόνας. καὶ ὑπερθέσεως γενομένης, οἷον θέλω, δέλω, ἔλδω, καὶ ἔλδομαι ὑπερθετικῶς.

Ἐέλδωρ, τὸ ἐπιθύμημά ἐστιν. ἀπὸ τοῦ ἔλδω γινομένου ῥήματος, πλεονασμῷ ἑτέρου ε ψιλοῦ. φησί που Ὅμηρος, ὡς ἐλδέσαι ἤματα πάντα. εἰ δὲ καὶ τρισυλλάβως ἐέλδω εὕρηται, εἴη ἂν καὶ ἐκεῖθεν τὸ ἐέλδωρ. προϋπάρχει δὲ αὐτῶν τὸ ἔλω. δῆλον γὰρ, ὡς ἕλοιτο ἄν τις, τὸ ἐπιθυμητόν. ὥσπερ καὶ ἀνάπαλιν ἐπιθυμήσοι ἂν τοῦ αἱρετοῦ. εἰ δὲ δασύνεται μὲν τὸ ἑλεῖν καὶ ἑλέσθαι, ψιλοῦται δὲ τὸ ἔλδεσθαι, αἴτιον ἡ τοῦ δ ἐπένθεσις. Ἄλλως.

Ἐέλδωρ λέγεται, τὸ ἐπιθύμημα, ἀπὸ τοῦ ἐθέλω ἐθέλωρ, καὶ κατὰ μετάθεσιν τῶν στοιχείων, ἐέλθωρ, καὶ τροπῇ τοῦ δασέος εἰς τὸ μέσον δ, ἐέλδωρ. τινὲς δὲ ἀπὸ τοῦ ἔλω τὸ προχείρως αὐτὸ παράγουσι. ψιλοῦσθαι δὲ διϊσχυρίζονται, ἐπλεόνασε γὰρ τὸ δ. ἡ ἐέλδωρ, τὸ ἐπιθύμημα. ἔστιν ἔλδω τὸ ἐπιθυμῶ. ὅπερ γέγονεν ἀπὸ τοῦ ἕλκω, κατὰ μετάθεσιν τοῦ κ εἰς δ. εἰς ὃ γάρ τις ἐπιθυμεῖ, ἐκεῖ ἕλκεται. ἐκ δὲ τοῦ ἔλδω ἔλδωρ, καὶ πλεονασμῷ τοῦ ε, ἐέλδωρ. ἢ παρὰ τὸ ἑλῶ τὸ ἑλκύω, ἕλωρ, καὶ ἐέλδωρ πλεονασμῷ. τὸ δὲ ἐέλδω, παρὰ τὸ ἐέδω, καὶ ἐελδόμενος, καὶ ἐέλδετο. ὡς τὸ, ἐέλδετο γάρ σε ἰδέσθαι, ἀντὶ τοῦ ἐπεθύμει. παρὰ τὸ θέλω, τοῦ θ τραπέντος εἰς δ κατὰ Μακεδόνας, καὶ ὑπερθέσεως γενομένης. οἷον, θέλω, δέλω, ἔλδω καὶ ἔλδομαι. καὶ ἐκ τοῦ ἐθέλω, ἐδέλω, καὶ ὑπερθέσει ἐέλδω.

Ἐελμένοι, συγκεκλεισμένοι, εἰργμένοι. ἀποβολῇ τοῦ γ, καὶ τροπῇ τοῦ ἀμεταβόλου.

Ἐελμένος Ἄρης, ἤγουν εἰλόμενος. ὅ ἐστιν ἐκκλειόμενος τοῦ πολεμεῖν. Ὅμηρος ἐν τῷ ν τῆς Ἰλιάδος. Σημείωσαι ὅτι τὸ εἰλόμενος τὸ ῥηθὲν, καὶ τὴν ἐξούλης δίκην παράγει παρ' Ἀττικοῖς κρατουμένην, ἐφ' οἷς ἐκλείεταί τις ὧν εἶχε.

Ἐέλπετο, ἤλπιζεν, ᾤετο.

Ἐέλποιμεν, ἐλπίσαιμεν.

Ἔνδυνεν, ἐνεδύσατο.

Ἐέργαθεν, ἐχώρησεν, ἢ φανῆναι, ἢ ὁμοιωθῆναι, δόξαι, κωλῦσαι, γνῶναι.

Ἐέργει, τουτέστιν εἴργει, συγκλείει, περιέχει, κατέχει, συνέχει.

Ἔεργεν ἀπὸ χθονὸς, ὕψωσεν. ἢ ἐέργεν, ἤγουν διεῖργεν εἰς ὕψος ἐκ γῆς.

Ἐέργετο, συνείχετο.

Ἐεργμένον, παράγεται μὲν ἀπὸ τοῦ εἴργω τὸ κωλύω. σημαίνει δὲ ὅμως, καὶ τὸ περικυκλούμενον.

Ἐεργμέναι, πεφραγμέναι, ἠσφαλισμέναι.

Ἐέργνυσθαι, ἔχει παραγωγὴν ὁμοίαν τῇ τοῦ ζεύγνυσθαι. ἔστι δὲ ποιητικὸν μὲν, τὸ ἐέργνυσθαι. Ἀττικὸν δὲ, τὸ εἴργνυσθαι, καὶ καθείργνυσθαι.

Ἐέργω, τὸ κρατῶ καὶ κωλύω.

Ἔερκτο Ἠλέκτροισι παρ' Ὁμήρῳ, ἐν Ὀδυσσείας ο, τουτέστι συνεπέπλεκτο, ἢ συνεκέκλειστο.

Ἐέρσαι, εὗρον καὶ ἐέρξαι, ἐκ τοῦ εἴργω τὸ κωλύω. διαλύσει τῆς ει διφθόγγου εἰς δύο εε. ὡς τὸ ἤδει, ἠείδει.

Ἐέρσαι, δρόσοι, ψεκάδες. παρὰ τὸ ἔρσαι, ὅ ἐστι ποτίσαι. ποτίζει γὰρ ἡ δρόσος τὰ φυτά.

Ἐερσήεις, καλὸς, δροσώδης. ἡ λέξις ἀπὸ τῶν δεδροσισμένων ἀνθῶν. ταῦτα γὰρ καλλίονα φαίνεται.

Ἔερτο, ἐκρέματο.

Ἐάσθην, ἐμαράνθην.

Ἐέσθω, ἠμφιέσθω. καὶ ἔεστο, ἐνεδέδυτο.

Ἐέσσατο, ἐνεδύσατο, περιεβάλετο.

Ἔεστο, ἐνεδέδυτο. ἐκ τοῦ ἕω τὸ ἐνδύομαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ὁ ὑπερσυντέλικος ἥσμην. καὶ ἕσμην, ἕσο ἕστο, καὶ πλεονασμῷ τοῦ ε, ἔεστο.

Ἐέσχατος, ὁ ἔσχατος.

Ἐετῶς, ἀχρείως, ἀκινήτως.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Ζ.

Ε Ζάνθη, ἐξηράνθη.

Ἐζάχησεν, ἐμακάρισεν.

Ἐζατωσάμην, διενοήθην.

Ἐζατώθη, ᾔσθετο.

Ἔζει, ἔβραζεν. ἔζη δὲ διὰ τοῦ η, ἀντὶ τοῦ ζῶν ἦν, ζωὴν εἶχεν.

Ἐζεκίας, κράτησις Θεοῦ.

Ἔζελεν, ἔβαλεν, ἔλαβεν.

Ἐζέσθην, ἐκαθέσθησαν, δυϊκῶς.

Ἔζεται, καθέζεται.

Ἐζήλωσεν, ἐπεθύμησεν, ἐφθόνησεν.

Ἐζημίωσε, κατέκρινε, κατεδίκασεν.

Ἔζιεν, ἐπεσβέννυεν.

Ἐζόμενοι, καθεζόμενοι, παρόντες, ἕτοιμοι.

Ἐζυγοστατεῖτο, ἐφ' ἑκάτερα ῥοπὰς ἐλάμβανεν. ἐζυγοστατεῖτο τοῖς Ῥωμαίοις ὁ πόλεμος.

Ἐζυμώθη, ἐφυράθη, ἐνεμίχθη.

Ἐζώγρει, ἐνίοτε κεῖται παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀνεζωπύρει ἀγείρουσα τὴν ζωήν. ἐνίοτε δὲ λέγει τὸ ζωγρεῖν, τὸ ζῶντάς τινας ἀγρεύειν, αἰχμαλωσίας νόμῳ. ἐκ δὲ τοῦ τοιούτου καὶ ζωγρεῖον παρῆκται, λέξις εἰς ῥητορείαν ἀγαθή. τὸ δὲ ἐζώγρει θυμὸν, ἀλλαχοῦ συνθέτως, θυμηγρέειν φησίν.

Ἐζώγρουν, ζῶντας ἐλάμβανον.

Ἔζων, οὐχ ἔζην, ὡς οἴονταί τινες. Συνέσιος αἰσθήσει τε γὰρ ἔζων, καὶ νοῦς ἀπῆν. ἔζης δὲ καὶ ἔζη, λέγεται κοινῶς μὲν ἔζας ἔζα. οἱ Δωριεῖς δὲ, τὸ α καὶ ε εἰς η συναιροῦσιν, ἔζαες ἔζης λέγοντες, καὶ ἔζαε ἔζη.

Ἐζωσμένων, ἀντὶ τοῦ ἐνδεδυμένων.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Η.

Ε Ἦ, ὑπάρχη.

Ἑῇ, τῇ ἑαυτοῦ.

Ἕηκα, συνεχώρησα, ἀφῆκα, ἔπεμψα.

Ἕηκε, σημαίνει τὸ ἀφῆκεν, ἔπεμψεν. ἔστι ῥηματικὸν, τὸ παράγωγον ἵημι, ὁ μέλλων ἥσω, ὁ παρακείμενος ἧκα, καὶ πλεονασμῷ τοῦ ε ἕηκα. ἔστι καὶ ἀόριστος ἧκα, συνῆκα. καὶ συνέηκε, πλεονασμῷ τοῦ ε, ἀντὶ τοῦ συνῆκε, συνέβαλεν, Ἰλιάδος α.

Ἐήλακεν, ἐλήφθη, ἐκρατήθη.

Ἑὴν μητέρα παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἡμετέραν κεῖται. καὶ ἀλλαχοῦ ἐπὶ τρίτου προσώπου, ἀντὶ τοῦ σήν.

Ἔηγε. ἕω, ὁ μέλλων ἔσω, ὁ δεύτερος ἀόριστος ἦον ἦες ἦε. καὶ μετὰ τοῦ ἐφελκυστικοῦ, ἦεν, καὶ κράσει ἦν, καὶ πλεονασμῷ τοῦ ε ποιητικῶς ἔην.

Ἑήνδανον, ἐκ τοῦ ἁνδάνω, ὁ παρατατικὸς ἥνδανον, καὶ Ἀττικῶς ἑήνδανον.

Ἑῆος, καλοῦ. ἀπὸ τοῦ εὖ, εὖς ὁ καλός. καὶ κατὰ τροπὴν τοῦ ε εἰς η, ἠΰς. ἡ γενικὴ ἐῆος, ἑτεροκλίτως. ἀπὸ τοῦ ἐΰς, ἀχρήστου, ἡ ἐεύς.

Ἑῆος, τουτέστιν ἀγαθοῦ, γίνεται μὲν ἀπὸ τοῦ ἠΰς ἠέος κατὰ μετάθεσιν. ἀφίλητον δέ ἐστι πεζογραφοῦντι ῥήτορι.

Ἑῆς, ἰδίας, ἡ δοτικὴ τῶν πληθυντικῶν, ἑῇσιν.

Ἑῇσιν.

Digitized by Google

Ἔησιν. ἔω. ἀφ' οὗ τὸ ὑποτακτικὸν, ἐὰν ἔω. τὸ τρίτον ἔῃ, καὶ πλεονασμῷ τῆς σι συλλαβῆς, ἔησι. τῶν Ἀττικῶν δὲ ἐστί φασιν αὕτη ἐν τοῖς ὑποτακτικοῖς ἡ προσθήκη, κατὰ τὴν ἀκολουθίαν τῶν εἰς μι. ἐλέγετο δὲ ἰδίως Ἰβύκειος, ὅτι ὁ Ἴβυκος αὐτῇ μάλιστα ἐχρήσατο.

Ἔησον, ἔασον.

Ἐηΐς, ἀγαθότης.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Θ.

Ἐθαγενὴς, ἐγχώριος, ὁ ἐν τόπῳ ἰδίῳ γεγεννημένος. ἢ ἰθαγενὴς, ἐγχώριος, ἐντόπιος.

Ἔθα, πάλιν.

Ἔγαθεν, ἠπάτα.

Ἐθάδι, ἤγουν συνήθει. ἡ ἤθεια, ἡ ἐθάς. γίνεται ἀπὸ τοῦ ἔθος. ἔστι δὲ ἔθος, νόμος ἄγραφος. νόμος δὲ, ἔθος ἔγγραφος. διαφέρει δὲ ἤθους, τῷ, τὸ μὲν ἔθος εἶναι αὐτὸ τοῦτο ὅπερ εἴρηται, ἦθος δὲ λαμβάνεται ἐπὶ τοῦ τρόπου, καὶ ποιητικῶς ἐπὶ τῆς εἰωθείας διαίτης. ἐφ' οὗ ἠθικοὶ λόγοι, οἱ τὰ ἤθη παιδεύοντες. ὁ Σοφοκλῆς ποιητικῇ ἀδείᾳ, καὶ ἠθὰς λέγει ἐπὶ τῆς σημασίας τοῦ ἐθάς. Ἰστέον δὲ, ὅτι ἔθος μὲν ἡ συνήθεια. καὶ ἐθίζω τινὰ εἴς τι μεταβατικῶς, ἀντὶ τοῦ γυμνάζω, καὶ συνήθη ποιῶ. καὶ ἐθίζω ἐγὼ, ἀμεταβάτως. καὶ ἔθιμον, τὸ κατὰ συνήθειαν νόμιμον. καὶ ἔθειρα, ἡ θρὶξ τῆς κεφαλῆς. καὶ ἐθειράζειν, τὸ κόμην τρέφειν.

Ἔθαιρον, ἐθέρμαινον, καὶ ἔκαιον.

Ἔθαλπον, ἐθέρμαινον.

Ἐθάμβη, ἐξεπλάγη, ἐθαμβήθη.

Ἐθάμιζεν, ἐπύκναζεν.

Ἐθανατώθη, ἔνοχος θανάτου ἐκρίθη.

Ἐθὰς, ἠθισμένος.

Ἐθάσσατο, ᾠκήσατο, ἐκάθισεν.

Ἐθαυμάστωσε, περίβλεπτον καὶ θαυμαστὸν ἐποίησε διὰ τῆς νίκης.

Ἔθεεν, ἔβρεχεν, ὦθει.

Ἔθει, φθείρει, ἐρεθίζει. ἢ ἔβρεχεν, ἔπλεεν. ὁ δὲ ἄνεμος τὰ ἱστία ἐπλήρου, ἡ δὲ ναῦς ἔθει καλῶς.

Ἐθεῖν, ἐξ ἔθους ἔρχεσθαι.

Ἔθειρ, ἡ θρὶξ. ἡ αἰτιατικὴ, ἔθειρα.

Ἔθειρα, κόμη τημελουμένη. γίνεται ἐκ τοῦ ἐθείρω ῥήματος. ἀφ' οὗ καὶ ἐθειράδες, τὸ γένειον.

Ἐθειράζω, τὸ κόμην τρέφω. καὶ ἔθειρα ἡ θρὶξ τῆς κεφαλῆς. ἐθειράζειν ποιητικὸν, κομᾶν κοινόν.

Ἐθείρω, σημαίνει τὸ ἐξ ἔθους ἐπιμελοῦμαι τῶν τριχῶν. ἀπὸ τοῦ ἔθω, τὸ ἐξ ἔθους τι διαπράττομαι.

Ἔθελγεν, ἠπάτα, κατεπόνει.

Ἐθέλγετο, ἀντὶ τοῦ ἐθηλυώετο.

Ἐθέλειν, κοινῶς μὲν λέγεται τὸ ἁπλῶς ὀρέγεσθαι. οἷον ἐθέλω βαδίσαι, καὶ ἐθέλω ἀναγνῶναι. βούλεσθαι δὲ, καὶ τὸ μετὰ πόθου ὀρέγεσθαί τινος. οἷον βούλομαι πλουτῆσαι, καὶ βούλομαι τὴν γλῶσσάν μου διαφορῆσαι. ὧν δὲ κυριώτερα εὑρίσκονται παρ' Ἀττικοῖς, τὸ γλίχομαι, ἀντὶ τοῦ ἐπιθυμῶ, καὶ ἐφίεμαι. ἐπὶ θείων, καὶ ἐπὶ τῶν καθ' ἡμᾶς λεγόμενα. οἷον γλίχομαι τυχεῖν τῆς σωτηρίας μου, καὶ γλίχομαι νοσῶν ὑγιᾶναι, καὶ ἐφίεμαι τυχεῖν τῆς σωτηρίας μου, καὶ ἐφίεμαι ἅψασθαι ἀρετῆς. ὁμοίως καὶ ἐπὶ τῶν καθ' ἡμᾶς, οἷον ἐφίεμαι ἰδεῖν τὸν υἱὸν μακράν που τῆς χώρας περινοστοῦντα.

Ἐθελημοί. ὡς τὸ, Οἱ δὲ ἐθελημοὶ, ἥσυχοι ἔργ' ἐνέμοντο. Ἡσίοδος, ἐκ παραλλήλου τὸ ἐθελημοὶ, καὶ ἥσυχοι.

Ἐθέλημος, ὁ ἥσυχος, ὁ πρόθυμος.

Ἐθελῆσαι, ἀντὶ τοῦ ἐθελήσειεν.

Ἐθελήσει, δυνηθείη. Ὅμηρος, Οὐδ' ἔθελε προρρέειν. καὶ Ἀριστοφάνης, Οὐκ ἐθελήσει μαθεῖν, ἀντὶ τοῦ οὐ δυνηθῇ.

Ἐθέληθα, ποιητικόν ἐστι. παρ' ἡμῖν γὰρ μόνα ταῦτα γράφεται. οἶσθα ἀντὶ τοῦ γινώσκεις, καὶ ἦσθα ἀντὶ τοῦ ὑπῆρχες. καὶ ἔφησθα ἀντὶ τοῦ εἶπες. τοῦτο δὲ σπανίως. ἐθέληθα, ὡς τὸ ἦσθα, καὶ ἔφησθα.

Ἔθελξεν, εἰς μεταβολὴν ἤγαγεν.

Ἐθελοθρησκεῖ, ἰδίῳ θελήματι σέβει τὸ δοκοῦν.

Ἐθελοθρησκείαν, ἐθελοσέβειαν.

Ἐθελοκακήσας, ἑκουσίως τὸ κακὸν ἐκλεξάμενος.

Ἐθελοκακῶ, καὶ ἐθελοκωφῶ, ἀμεταβάτως.

Ἐθελοκάκως, ἑκουσίως τὸ κακὸν ἐκλεγόμενος.

Ἐθελοκωφεῖ, οὐ βούλεται ἀκούειν.

Ἐθελοντῆράς φησιν ὁ ποιητὴς, οὓς οἱ ὕστερον ἑκουσίους καὶ ἐθελουσίους φασί. καὶ μάλιστα ἑκοντὰς καὶ ἐθελοντὰς, Ἀττικῶς.

Ἐθελοντὴς, αὐτοβούλητος, αὐτοπροαίρετος.

* Ἐθελονταὶ παρὰ Θηβαίοις ἐλέγοντο μῖμοι τινὲς κωμικοί.

Ἐθελοντὶ ἐπίρρημα, ἀντὶ τοῦ ἐθελουσίως, ἑκουσίως.

Ἐθέλω, ἐθελήσω, ἠθέληκα. οὐ μόνον δὲ παρὰ τῷ ποιητῇ τρισυλλάβως προφέρεται ἀεὶ, ἀλλὰ παρὰ τοῖς ἄλλοις τὸ πλέον μετὰ τοῦ ε, ὡς Αἴλιος Διονύσιος παρασημειοῦται. ὅθεν φησὶ καὶ ἐθελοντὴς, ὁ αὐθαιρέτως τι ποιῶν. ἐκαλοῦντο δὲ καὶ ἐθελονταὶ διδάσκαλοι, δραμάτων δηλαδή. ὅστις μὴ λαβὼν χορὸν, μηδὲ χορηγὸν ἔχων, ἑαυτῷ πάντα παρεῖχεν.

Ἐθελοπρόξενος, ἡ ἀφ' ἑαυτῆς γενομένη, καὶ μὴ κελευσθεῖσα ἐκ τῆς πόλεως. καὶ ἐθελοπρόξενος, ἑκὼν πρόξενος.

Ἐθελουργὸς, πρόθυμος, ἕτοιμος.

Ἐθελυμοὶ, πυκνοί.

Ἐθελουσίως, ἑκουσίως.

Ἐθέμην, ἔκρινα, ἐνόμισα.

Ἐθέμωσεν, ἠνάγκασεν, ἐποίησεν.

Ἕθεν, ἐγκλινόμενον μὲν, αὐτοῦ, αὐτῆς. ὀρθοτονούμενον δὲ, ἑαυτοῦ, καὶ ἑαυτῆς.

Ἕθεν, ἑκὰς, αὐτοῦ, αὐτῆς, ἄνωθεν.

Ἔθεντο, ἐποίησαν.

Ἐθέομεν, ἐτρέχομεν.

Ἐθερμάθη, ἐβαπτίσθη.

Ἐθερόμην, ἐθερμαινόμην. αἴθεται, καίεται, σκοτοῖ, πειρᾶται.

Ἔθεσαν, ἐποίησαν.

Ἐθέσπισε, προεῖπεν.

Ἔθετο, ἐποίησεν.

Ἐθεωρήθησαν, ἐφάνησαν.

Ἔθη, ἀγαθά.

Ἐθηεύμεθα, ἐθεωροῦμεν.

Ἐθηήσαντο, ἐθαύμασαν. καὶ ἐθήησεν, ἐθαύμασεν.

Ἔθηκεν, ἀντὶ τοῦ ἐπλούτησεν. Ὅμηρος, Ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν. λέγεται καὶ ἀντὶ τοῦ ἐποίησεν. ἔθηκας, ἐποίησας.

Ἐθηλυώθη, ἐκηλήθη.

Ἔθησεν, ἔψαυσεν, ἐθήλασεν.

Ἐθίζοντας, ἔθη ποιοῦντας.

Ἐθίζουσι τῇ γεωργίᾳ, καὶ ἐθίζω ἐγὼ, ἀμεταβάτως.

Ἔθιμος, συνήθης. ἐθισμὸς, καὶ ἐθισμοσύνη, ἡ συνήθεια.

* Ἔθλασμαι, καὶ ἐθλασμένος, ἀντὶ τοῦ πέπλασμαι, καὶ πεπλασμένος.

Ἐθλιβόμην, ἐστενοχωρούμην.

Ἐθμὴ, ἀτμὸς, καπνὸς λεπτὸς, ἀτμή.

Ἐτμοὶ, πολλοὶ, δεσμοὶ, πλόκαμοι.

Ἔθνεα, τὰ πλήθη, τὰ γένη. καὶ ἔθνεα μελισσάων, καταχρηστικῶς λέγει Ὅμηρος. κυρίως δὲ ἐπὶ ἀνθρώπων τίθεται ἡ λέξις. ἐφ' ὧν καὶ τὸ ἔθος κυριολεκτεῖται. ἀφ' οὗ, καὶ τὸ ἔθνος παράγεται.

Ἐθνῖται, οἱ ἐκ τοῦ αὐτοῦ ἔθνους.

Ἔθνος, οὐ μόνον τὸ μέγα καὶ πολυάριθμον γένος, ἀλλὰ καὶ ἰδίως μέρος τι πονηρότατον νομίζεται τῶν ἐν τῇ πόλει. πάντων ἐθνῶν, οὔτε τοὺς γεωργοὺς, οὔτε τοὺς ἐμπόρους. ἐν δὲ τῷ ἐνάτῳ τῶν Φιλιππικῶν φησὶν, Ἀλλὰ καὶ κατὰ ἔθνη δουλεύουσιν. καὶ ἔθνος, τὸ πλῆθος, ἤγουν μοιχοὶ, πόρνοι. καὶ ἔθνος ἑταίρων, ἁπλῶς τὸ πλῆθος λέγει Ὅμηρος.

Ἐθόαζεν, ἐκαθέζετο.

Ἐθοινήσαντο, εὐωχήθησαν.

Ἐθοίνων, ἔτρωγον. θοινάω θοινῶ, τὸ εὐωχοῦμαι. καὶ ὁ παρατατικὸς, ἐθοίναον, ων. τὸ τρίτον τῶν πληθυντικῶν, ἐθοίνων.

Ἔθοντες παρ' Ὁμήρῳ ἐν τῷ π, ἀντὶ τοῦ συνήθες πράττοντες. ἐξ οὗπερ οὐ μόνον τὸ ἐθείρω, καὶ αἱ ἐθειράδες παρὰ τῷ ποιητῇ, ἀλλὰ καὶ τὸ ἔσθω, τὸ πάνυ ἔθιμον. ἔτι δὲ ἐσθίω, καὶ μὴν καὶ τὸ ἔδω, κατὰ τροπὴν ἔθειν λέγεται, τὸ τὰ συνήθη πράττειν, οἷον ἔθων Οἰνῆος ἀλωήν. οὕτω καὶ ἐθείρειν παράγωγον ἐκεῖθεν, τὸ τὰ ἐξ ἔθους ποιεῖν καὶ ἐπιμελεῖσθαι. ἐξ οὗ καὶ ἡ θρὶξ, ἔθειρα, περὶ ἣν συνήθές ἐστι πονεῖσθαι τοὺς φιλοκόμους.

Ἔθορεν, ἐπήδησεν, ἔβη.

Ἐθόρνυτο, ὠχεύετο.

Ἔθος, ὁ τρόπος, καὶ ἡ ἐξ ἔθους διατριβή. καὶ ἔθος ἡ συνήθεια, ἦθος δὲ ὁ τρόπος. Ἀγαμέμνων ξίφος φέρει. ἔθος παλαιὸν, τοὺς ἥρωας ἀεὶ ὁπλοφορεῖν. ὡς καὶ ὁ Τηλέμαχος ἐν Ἰθάκῃ ποιεῖ. Ἄλλως.

Ἔθος, τὸ ἐν ἑκάστῃ χώρᾳ ἄγραφον δίκαιον, νόμος δὲ ἔγγραφον ἔθος. τὸ ἔθος δὲ, οὐκ ἔστιν εὕρεμα τῶν ἀνθρώπων, ἀλλὰ βίου καὶ χρόνου. καὶ ὁ μὲν νόμος ἔοικε τυραννίδι, φόβῳ γὰρ ἕκαστα καὶ μετὰ προστάγματος διαπράττεται. τὸ δὲ ἔθος, μᾶλλον τῇ φιλανθρωπίᾳ τῆς βασιλείας. βουλόμενοι γὰρ αὐτῷ πάντες δίχα ἀνάγκης ἕπονται. ἔθος δὲ εἴρηται, παρὰ τὸ ἐτεὸν, τὸ ἀληθές. ὅπερ καὶ ἐτὸς λέγεται, καὶ παρὰ τοῦτο ἔθος τὸ ἀεὶ ὡσαύτως ἔχον. ἢ παρὰ τὸ ἔθω, τὸ ἐξ ἔθους ἔχω, γίνεται ἔθος. ὡς μένω μένος, σθένω σθένος. ἔθος λέγεται, καὶ τὸ σημεῖον.

Ἔθου. τίθημι, ὁ μέλλων θήσω, ὁ ἀόριστος πρῶτος ἔθηκα, ὁ δεύτερος ἔθην, ὁ μέσος ἐθέμην ἔθεσο, καὶ ἀποβολῇ τοῦ σ ἔθεο, καὶ κράσει ἔθου. καὶ τὸ προστακτικὸν θοῦ. ἢ ἔθου, δεύτερον πρόσωπον κατὰ Ἀττικὴν διάλεκτον. οἱ γὰρ Ἴωνες ἀποβάλλοντες τὸ σ, ἐκ τοῦ ἔθεσο ποιοῦσιν ἔθεο. καὶ οἱ Ἀττικοὶ συναιροῦντες τὸ ε καὶ ο εἰς ου δίφθογγον, ποιοῦσιν ἔθου, ὥσπερ καὶ τὸ ἔδεο, ἔδου.

Ἐθέωσεν, ἀπώξυνεν.

Ἔθραξεν, ἐτάραξεν, ἔνυξεν, συνέθηκεν.

Ἔθραυσεν, ἔνυττεν, ἐκέντει. παρὰ τῷ Ἱπποκράτει. καὶ ἔθραυσεν, ἔπαυσεν.

Ἔθρεψεν, ἀντὶ τοῦ ἐπαιδαγώγησε. τὸ γὰρ ἀνέθρεψεν οὐ γενναῖον, ὅμως εἴρηται. Λιβάνιος, τὸν σπείραντα, τὸν ἀναθρέψαντα, τὸν παιδεύσαντα.

Ἔθρηξεν, ἐπῆλθεν, ἔδραμεν.

Ἐθρήσκευον, ἐτίμων, ἐσέβοντο.

Ἐθρίγκωσε, περιεσκέπασε, περιετείχισε. θριγκὸς γὰρ, ἡ στεφάνη, μεθ' ἣν οὐδέν ἐστιν. καὶ ἐθρίγκωσεν, περιετρόχωσεν, ἐχαράκωσεν.

Ἔθρισεν, ἀπέκοψεν. ἐκ τοῦ θερίζω. καὶ ἔτρισεν, ἔφριξεν.

Ἐθρὶς, τομίας κριός.

Ἐθρυλλίχθη, ἐταράχθη, περιεδρέφθη, ἀπεσύρη.

Ἐθρύπτοντο, ἐφλυάρουν.

Ἔθρωσκεν, ἥλατο, ἐπήδα.

Ἔθρωσεν, ἐκινεῖτο.

Ἐθύειν, ἄγειν.

Ἔθυεν, ὥρμα, ἐκινεῖτο. ἔνθεν καὶ θυάδες, αἱ Βάκχαι.

Ἔθυεν, ἐνεμαίνετο, ἔτρεχεν, ἐδίωκεν.

Ἔθυσε Θεοῖς, ἐν Ὀδυσσείᾳ, ἤγουν κατὰ τοὺς παλαιοὺς ἐθυμίασεν. οὐδέποτε γάρ φασι παρὰ τῷ ποιητῇ τὸ θῦσαι, ἀντὶ τοῦ σφάξαι ἱερεῖον λέγεται. συμφωνεῖ δὲ τούτοις καὶ ὁ γράψας, ὅτι σφάξαι μὲν τὸ ἱερουργῆσαι ζῶον. θῦσαι δὲ, τὸ θυμιάσαι. θύη γὰρ τὰ θυμιάματα. ὅθεν καὶ νέφος θυόεν, καὶ κόλπος θυώδης. ὅτι δὲ τὸ θύειν καὶ ἐπὶ τοῦ θυμιᾶν κεῖται, Θεόκριτος ἐν ταῖς φαρμακευτρίαις δηλοῖ σαφέστατα.

Ἐθώκατι, εἰώθασιν.

Ἐθώκισε, κατήρτισεν.

Ἐθώμιξεν, ἐπήδησεν.

Ἔθων Οἰνῆος ἀλωὴν, ἐκ τοῦ ἔδω, τροπῇ τοῦ δ εἰς θ, Δωριέων ἔθει. ἢ ἀντὶ τοῦ ἐξ ἔθους κατατρέχων, καὶ βλάπτων κοινῶς τὴν καρποφόρον χώραν τοῦ Οἰνέως. ἢ ἔθων Οἰνῆος ἀλωὴν, ἀντὶ τοῦ ἐξ ἔθους βλάπτων. περὶ Καλυδῶνα ἔθοντες, ἢ τὰ συνήθη πράττοντες. ἐκ τοῦ τοιούτου ἔθω, παράγωγον τὸ ἐθείρω, καὶ ἡ ἔθειρα. καὶ ἐθειράζειν, τὸ ἐπιμελεῖσθαι τριχῶν. ἀπ' αὐτοῦ δὲ καὶ τὸ ἐσθίειν, καὶ τὸ ἔσθειν προσλήψει τοῦ σ. Ἡρακλείδης δέ φησιν, ὡς τινὲς Κριτικῶν, ὅ

ἐστιν

Digitized by Google

ἐστιν ἀκριβεστέρων γραμματικῶν, ὧν ἐστι καὶ Τισίας, ὑπερβατὸν ἔλεγον εἶναι τὸ ἔθων. ἵνα ᾖ ἀντὶ τοῦ καθιδίων, καταστίχων ῥητορικῶς ὑπερβατὸν λέγοντες ἐκεῖνοι, τὴν τῶν στοιχείων μετάθεσιν, ἧς τὸ θέων, ἔθων γίνεται. καὶ σημείωσαι, ὅτι αὐτὸς ἐκ τοῦ ἔδω φησὶ γενέσθαι κατὰ Δωριεῖς τὸ ἔθω, οἱ καὶ τὸν μαδὸν μαθὸν λέγουσι. καὶ τὸ ψεῦδος, ψύθος. τὸ δὲ ἔθω προσώτυπον ὁ αὐτὸς εἶναι λέγει τοῦ ἔθω, τοῦ ὥσφησιν ἡμαρτημένου. ἐχρῆν γὰρ, ὡς ἔχω ἴχω, ἔπω ἴπω, οὕτως εἶναι καὶ ἔθω ἴθω, Σικελικῶς, κατὰ τὸ ἕζω, ἵζω, καὶ καθίζω.

Ἔθων, μαθῶν, φθείρων.

Ἐθώπτευον, ἐκολάκευον.

Ἐθαύμαζον, ἀντὶ τοῦ ἐθαύμαζον.

ΤΟ' Ε'. ΜΕΤΑ' ΤΟΥ' Ι'.

Ε Γ εἰ ᾠ εἰ εἰ. ἡ ἐπέκτασις τοῦ εἰλίσσεται, κατὰ μίμησιν εἴρηται τῆς μελοποιίας, παρὰ Ἀριστοφάνει ἐν Βατράχοις.

Ε¯ καὶ ι¯, εἰς τὴν ει¯ δίφθογγον συναιρεῖται. οἷον Δημοσθένεϊ Δημοσθένει.

Εἶ, πορεύῃ, ἢ ὑπάρχεις.

Ει¯ δίφθογγον οὖσαν ἐν τῷ ὑπερσυντελικῷ τοῦ, Ἴωνες διαλύουσιν εἰς εα¯, ἐν τῷ πρώτῳ προσώπῳ. οἷον ἐτετύφειν ἐτετύφεα, ἐπεποιήκειν ἐπεποιήκεα. ἐν δὲ τῷ τρίτῳ προσώπῳ οἱ Ἀττικοὶ τὴν διαλυθεῖσαν ει¯ δίφθογγον εἰς εα¯, εἰς η¯ κιρνῶσι. καὶ λέγουσιν ἐτετύφη καὶ ἐπεποιήκη.

Εἶ. Ἀττικὸν, καὶ κατ' ἐπέκτασιν εἴθε. Πισίδης, εἰ γὰρ ἂν τὸ Περσίδος ἔσβεστο θράσος.

Εἰ ἀντὶ τοῦ εἴθε, ἐν χρήσει ἐστὶ καὶ ἐν πεζῷ λόγῳ.

Εἰ, σύνδεσμος κατὰ τοὺς Ἀττικοὺς, ἀντὶ τοῦ ἵνα.

* Ει¯ δίφθογγος, τρέπει τὸ ι¯ εἰς υ¯ κατὰ γλῶσσαν Ἀργείων καὶ Κρητῶν. οἷον σπείδω σπεύδω, αἰεὶ αἰέν.

Εἰ σύνδεσμος, παρ' Ὁμήρῳ εὕρηται, ληφθεὶς ἀντὶ τοῦ ὅπως. ὡς ἐν τῷ, εἰ πείσοιεν Πηλείδην λύσασθαι. καὶ γέγονε σύνηθες ὑπογράφειν ἐν τοῖς μεθ' Ὅμηρον. οἷον σπεύδω εἴπως ἀνύσω τόδε. ἐντεῦθεν δὲ οἱ μεθ' Ὅμηρον λαβόντες ἔχουσι τὸ εἴπως, οἷον σπουδάζω εἴπως γέννηται τόδε τι.

Εἰ σύνδεσμος, λαμβάνεται ἀντὶ τοῦ ἐπειδή. ὅτε δὲ ὡς ἁπλῶς σύνδεσμος λαμβάνεται ἀντὶ τοῦ ἐὰν, οὐχ ὑποπίπτει, οἷον εἰ ὁ ἄνθρωπος ζῶον. τοῦτο δὲ δῆλον, ὅτι πάντες οἱ ἄνθρωποι ζῶα. καὶ εἰ ὁ Θεὸς πάντα οἶδε, τοῦτο φανερὸν ὅτι οἶδε, κεῖται τότε ἀντὶ τοῦ ἐπειδή. ὅτε δὲ κεῖται ἁπλῶς ἐπ' ἐνδοιασμοῦ, λαμβάνεται ἀντὶ τοῦ ἐὰν μὴ, ὑποπίπτων. ὡς τὸ, Εἰ Περσεφόνην Πλούτων παρὰ Δήμητρος ἥρπασε, τίς τοῦτο οἶδε; καὶ εἰ ὁ Ζεὺς χρυσὸν ὗσε τοῖς Ῥοδίοις, ὡς οἱ παλαιοί φασι, τίς τοῦτο οἶδεν; ἄδηλον γάρ ἐστιν.

Εἴα, λέγεται καὶ δισυλλάβως εἶα· ἐπισκεπτέον δὲ, εἰ ταυτόν ἐστιν ἤια, καὶ εἴα. ὅταν γὰρ τὸ η¯, γίνεται βρῶμα. ὅταν δὲ τὸ ε¯, οὐ βρώματα, ἀλλ' ἢ χόρτος καὶ ἡ παράθεσις.

Εἰανοῦ, διαχύτου.

Εἶα, παρακελεύσεως ἐπίρρημα.

Εἶα δὴ, ἄγε δή.

Εἶα, συνεχώρει.

Εἰαδότα, ἀντὶ τοῦ ἀρέσκοντα.

Εἰάζων, εἶα ἐπικελεύων. Εὐριπίδης, Χρυσίππῳ.

Εἰαὶ, ἄγγελοι· καὶ ἄλεσαι, τῶν ὀσπρίων τὰ ἀποκαθάρματα.

Εἰαχεῖν, ἀσθενεῖν.

Εἶα, χόρτος. ἤϊα δὲ, βρώματα.

Εἰ, ἀντὶ τοῦ ἐὰν, μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ. ἀλλ' ἔνθα μέν ἐστι τὸ πρᾶγμα ὁμολογούμενον, τότε τὸ ἐὰν καὶ ἵνα μετὰ ὑποτακτικοῦ, τὸ ει¯ μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ.

Εἰ, μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ ἀεὶ, καὶ ἐπὶ τριῶν χρόνων οὐ μετὰ ὑποτακτικοῦ. πλὴν ἐπὶ τῶν ἀνθυποτάκτων. οἷον εἰ λάβωμαι, καὶ εἰ τράπωμαι. εἰ καὶ Σοφοκλῆς λέγει ἐν Ἀντιγόνῃ, κεἴ τις ᾖ σοφός.

* Ει¯ δίφθογγος ἀντὶ τοῦ οι¯ κατὰ τὴν ἀρχαίαν Ἀτθίδα, οἷον δυεῖν ἀντὶ τοῦ δυοῖν. οἴκει ἀντὶ τοῦ οἴκοι καὶ πεῖος ἀντὶ τοῦ ποῖος.

Εἶα, ἐπίρρημα παρακελευσματικόν. ὥσπερ γὰρ παρὰ τὸ ῥέω γίνεται ῥέα καὶ ῥεῖα, οὕτω καὶ ἀπὸ τοῦ ἕω τοῦ σημαίνοντος τὸ ἐκπέμπω, γίνεται ἕα, καὶ πλεονασμῷ τοῦ ι¯ εἶα. παρατίθεται δὲ τὴν χρῆσιν ὁ τεχνικὸς οὕτως. εἶα δὴ ξύλον, ἄγειρέ μοι σεαυτῷ.

Εἰαμενὴ, ὁ ὑγρὸς τόπος, καὶ φυτῶν ἀναδοτικός. ὡς μὲν ὑγρὸς, ἀπὸ τοῦ ῥέειν ἐτυμολογεῖται, οἱονεὶ ῥεαμένη τις οὖσα. ὡς δὲ σύμφυτος, ἀπὸ τοῦ ἕω τὸ ἀναδίδωμι. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι εἰαμεναὶ λειμῶνες, νομαὶ τεναγώδεις. ὅθεν ἂν ποταμὸς ὑποχωρήσῃ.

Εἰαμένον, νήεμον, κοῖλον, βοτανώδη.

Εἰαμενὴ, τόπος ὅπου πόα φύεται ποταμοῦ ἀποβάντος. ἢ ἕλος παραπόταμον κάθυδρον, ἢ ἀναβολὴ ποταμοῦ φυτὰ ἔχουσα.

Εἰανὸς, ποικίλος, λεπτός. ὡς τὸ, εἰανὸς πέπλος. ἐπένθεσιν ἔχει τοῦ ι¯. ὡς γὰρ τέως καὶ ἕως, καὶ τείως καὶ εἵως, καὶ λεῦσι λείουσιν. οὕτως ἑανοῦ εἰανοῦ παρ' Ὁμήρῳ. ὅμοιον δὲ τούτοις καὶ τὸ κυκεῶ, κυκειῶ. καὶ θύρας συλεῦσι, ἤγουν συλφεῦ. γυναικεῖον δὲ κἀνταῦθα συνήθως ἔνδυμα, ὁ ἑανός.

Εἰαρινῇσιν, ἐαριναῖς.

Εἰαρινὸν, ἄνθος τὸ κατὰ τὸν καιρὸν τοῦ ἔαρος.

Εἶαρ, τὸ ἔαρ. παρὰ τὸ ἕω τὸ πέμπω, γέγονεν ἔαρ, καὶ εἶαρ. τότε γὰρ ἐκπέμπονται οἱ καρποί. εἶαρ καὶ τὸ αἷμα. Καλλίμαχος, Τὸ δ' ἐκμέλαν εἶαρ ἔδαπτε. καὶ εἰαροπότης, ὁ αἱματοπότης, ψυχοπότης.

Εἴασκε, συνεχώρει.

Εἴασεν, ἀφῆκεν, ἔασεν.

Εἴαται. ἕω ἄχρηστον, τὸ καθίζω. ἕτερον τοῦτο. ὁ παθητικὸς παρακείμενος, εἶμαι. τὸ τρίτον τῶν πληθυντικῶν εἶνται, καὶ Ἰωνικῶς εἴαται. ἀπὸ τοῦ ἕω ἀχρήστου τὸ εἶσεν. ὡς ἀπὸ τοῦ ἐνέπω τὸ εἶπε. ἀνὰ δὲ, Χρυσηΐδα καλλιπάρῃον εἶσεν ἄγων.

Εἴατο. ἕω, ἵημι. τὸ πρῶτον τῶν πληθυντικῶν, ἕεμεν. τὸ παθητικὸν, ἕεμαι, καὶ κράσει ἧμαι. ὁ παρατατικὸς, ἑέμην καὶ ἥμην, τὸ δεύτερον ἧσο, τὸ τρίτον ἧτο, καὶ Ἰωνικῶς ἕατο. καὶ πλεονασμῷ τοῦ ι¯, εἵατο, ἐκάθητο.

Εἴβεσθαι, δακρύειν, στάζειν. καὶ εἶβε, στάζει. ὡς τὸ, Σπήλυγγες νυμφῶν διπίδακες, αἳ τόσον ὕδωρ εἴβουσαι, σκολιοῦ τοῦδε κατὰ φρέατος.

Εἴβω, τὸ στάζω. ἀπὸ τοῦ λείβω, ἀποβολῇ τοῦ λ¯.

Εἰ γὰρ, εἴθε γάρ. τὸ δὲ εἴθε, ἀντὶ τοῦ ἄν ποτε.

Εἴ γ' ἐθέλεις, εἰ γνώμην ἔχεις, εἰ φρόνιμος εἶ, καὶ συνετός.

Εἴγε, εἴπερ.

Εἰ δ' ἄγε νῦν, κελευσματικῶς ἀντὶ τοῦ εἶα δὴ, ἄγε, ῥηθὲν μᾶλλον, ἤπερ ἐνδοιαστικῶς. ἀντὶ ἐνδοιαστικῶς, ἀντὶ τοῦ εἰ δὲ βούλει, ἄγε.

Εἰδαλίμας, ἢ τὰς εὐειδεῖς λέγει Ὅμηρος, ἢ ἄλλως τὰς ἐπιστήμονας, καὶ συνετὰς, παρὰ τὸ εἰδέναι. ἵνα εἴη ταυτὸν τὸ ἔργα εἰδυίας, καὶ τὸ εἰδαλίμας. τὸ μέντοι ἰδάλιμον καῦμα, διὰ τοῦ ι¯ ἔχει τὴν ἀρχουσαν, παρὰ τὸ ἰδίειν καὶ τὸ ἴδος, ὃ δηλοῖ τὸν ἱδρῶτα.

Εἰδάλιμον, τὸ εὐειδές.

Εἰδαλὶς, ὄρνις ποιός.

Εἰδαλίζεται, ἐναλίζεται.

Εἰδάλλεται, φαίνεται.

Εἶδαρ ἔδμεναι, τρόπος ἐτυμολογίας ἐστίν. ἀπὸ γὰρ τοῦ ἔδω τὸ εἶδαρ. οὕτω δὲ καὶ ἀμφὶ ποσὶ πέδας. ἐκ γὰρ τῶν ποδῶν αἱ πέδαι κατὰ τροπὴν τοῦ ο¯ εἰς ε¯. ὅτι δὲ τὸ παραβαλεῖν εἶδαρ ταυτόν ἐστι τὸ παραθεῖναι, καὶ ὡς ἐξ αὐτοῦ συντέθηται τὸ κοινῶς λεγόμενον παράβλημα, ἀλλαχοῦ δεδήλωται. καὶ εἶδαρ, ἔδεσμα. καὶ εἴδατα, τὰ βρώματα. ἢ σιτίον, ὄφελος.

Εἴδαυλος, συνετὸς, λόγιος.

Εἰδέα. Πλάτων διαφόροις ὀνόμασιν ἐπὶ τοῦ αὐτοῦ σημαινομένου χρῆται. τὴν γοῦν εἰδέαν εἶδος ὀνομάζει καὶ γένος, καὶ παράδειγμα, καὶ ἀρχὴν, καὶ αἴτιον. καὶ οὔτε κινούμενον, οὔτε μένον, καὶ ταυτὸ καὶ ἓν καὶ πολλά. καὶ πάλιν, ἓν ὄνομα ἐν διαφόροις σημαινομένοις. οἷον τὸ φαῦλον, ὃ σημαίνει τὸ ἁπλοῦν, καὶ εὐχερές. ὡς Εὐριπίδης ἐν τῷ Λικυμνίῳ, Φαῦλον ἄκομψον τὰ μέγιστα ἀγαθὰ, ἁπλοῦν καὶ ἀπόνηρον λέγων. ἐστὶ δ' ὅτε τίθεται καὶ ἐπὶ κακοῦ καὶ τοῦ τυχόντος. Πλάτων ἐν τῷ περὶ ψυχῆς, φαῦλον πρᾶγμα ἔφη Κέβης ζητεῖς. τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ τυχόντος. οἷον φαῦλον πρᾶγμα δέεσαι, ὡς ἔοικεν, οὐ φαῦλον οὐδὲ μικρᾶς δεόμενον ἀρετῆς.

Εἰδέα, ἡ μορφή. ὡς τὸ, καλὸς τὴν ἰδέαν εἴτις καὶ ἄλλος.

Εἴδει, ἐλαύνει, κυλίει, κλείει, κατέχει. ἢ κάλλος, ἢ μορφή.

Εἰδεῖν, ἐφοβεῖτο, ἠνιᾶτο.

Εἰ δεῖ, εἴπερ χρή.

Εἰδείην, ἀντὶ τοῦ γνοίην.

Εἰδεῖν, γινώσκοιεν. καὶ εἰδείη, γινώσκει.

Εἰδέναι, ἐκ τοῦ εἰδηκέναι ἀχρήστου, κατὰ συγκοπήν.

Εἴδεος, θάλπους, καύματος μεσημβρινοῦ.

Εἴδεος ἧκε, σέλας μορφῆς ἀφῆκε, φῶς.

Εἴδεται ἄστρα παρ' Ὁμήρῳ, κυρίως μὲν εἴρηται, ληφθὲν ἀντὶ τοῦ φαίνεται, κατὰ πολυωνυμίας λόγον. καὶ δηλοῖ εἰδοποίησιν τοῦ παντὸς, διὰ τοῦ φωτός. κυριώτερον δέ γε τὸ φαίνεσθαι. διὸ ἐκεῖνο μὲν πολλάκις, τοῦτο δὲ ἅπαξ ἐν τῇ παραβολῇ ἐρρέθη.

Εἰδ' ἐτεὸν, εἰ δ' ἀληθές.

Εἰδέτῳ, εἰδέτινι.

Εἰδεχθὲς, ἄμορφον, ἀπρεπές. παρὰ τὸ εἶδος, καὶ τὸ ἔχθος τὸ μῖσος, μυσαρὸς, σεσαπρισμένος, σιχαντὸς. καὶ θηλυκῶς εἰδέχθεια.

Εἰδεχθέστατος, μυσαρώτατος, δυσειδέστατος.

Εἰδέω, εἰδῶ, εἰδήσω. ὡς ποιέω ποιῶ ποιήσω, ἐκεῖθεν καὶ τὸ εἰδήσειν, καὶ ἡ εἴδησις, καὶ ὁ εἰδηκώς. ἐξ οὗ κατὰ συγκοπὴν, ὁ εἰδώς. ὥσπερ καὶ τὸ εἰδέναι, ἐκ τοῦ εἰδηκέναι.

Εἰδέω, παρατατικὸς εἴδην. τὰ ἀρχόμενα ῥήματα ἀπὸ τῆς ει¯ διφθόγγου, οὐ τρέπονται ἐν τοῖς παρῳχημένοις, ὅτι τὸ ε¯ μεγεθύνεται διὰ τῆς προσθήκης τοῦ ἰῶτα.

Εἰδέω χάριν ἤματα πάντα. ὅρα τὸ εἰδέω ῥῆμα ἴσον μὲν ὂν τῷ εἰδῶ, ὡς δοκεῖν ἔχειν πλεονασμὸν τοῦ ε¯. κατὰ τὸ ἐρῶ ἐρέω μάλιστα θέμα ὄν. ὡς τὸ ποιέω, οὐ κρᾶμα τὸ εἰδῶ, ἀφ' οὗ τὸ ὁρᾷ εὖ εἰδῇς. τούτου τοῦ εἰδέω, ὁ μέλλων εἰδήσω, ὁ παρακείμενος εἴδηκα. ὅθεν εἰδηκὼς ἡ μετοχὴ, καὶ ἐν συγκοπῇ εἰδώς. ἐκ δὲ τοῦ ἐκεῖθεν παθητικοῦ παρακειμένου, εἰδήμων καὶ εἴδησις.

Εἴδη παντοῖα, ἀντὶ τοῦ ὕλη, Αἰολεῖς. Ἴωνες ἴδας τὰς ὕλας λέγουσιν.

Εἰδὴ, ὁμοῦ, ἢ ἅμα.

Εἴδη, εἶδος, καῦμα, χρῶμα, σῶμα, ὄψις, πρόσωπον. ἢ αἱ μορφαὶ, καὶ τὰ διαιροῦντα ἀπὸ τοῦ γένους. ἤγουν, αἱ διάφοροι φύσεις τῶν πραγμάτων. οἷον, ἄλλο εἶδος ἀνθρώπου, καὶ ἄλλο ἵππου.

Εἴδη τῶν ὀνομάτων, πολλάκις ἐξαλλάσσει ὁ ποιητής. ποτὲ μὲν συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ, ὡς τὸ σαώτερος ὥς κε νέηαι. ποτὲ δὲ τὸ ὑπερθετικὸν ὁμοίως, ἀντὶ τοῦ ἁπλοῦ, ὡς τὸ δικαιότατος Κενταύρων. τοιαύτη μὲν ἡ ἐξαλλαγὴ ἐν τοῖς ὀνόμασιν.

Εἰδέα, ἡ μορφὴ, ὡς τὸ, καλὸς τὴν εἰδέαν, εἴτις καὶ ἄλλος.

Εἰδηθμὸς, συστροφὴ, φυγή.

Εἰδημονικῶς, ἐμπείρως.

Εἰδήμων εἰμὶ τοῦδε, καὶ εἰδὼς ὑπάρχω τὰς ἱστορίας. καὶ εἰδήμων, ἐπιστήμων, λόγιος, συνετός. ἀπὸ τοῦ εἴδω, τὸ γινώσκω.

Εἰδῇς, νοεῖται μὲν παρ' Ὁμήρῳ ἀντὶ τοῦ γνώσῃ, μάθῃς. ἔστι δὲ ἐνεστὼς ἀντὶ μέλλοντος. εἰδῶ γὰρ τὸ θέμα, οὗ ὁ μέλλων εἰδήσω. ὅθεν εἴδησις, ἡ γνῶσις, καὶ εἰδηκέναι, καὶ εἰδηκώς. ἐξ ὧν κατὰ συγκοπὴν τὸ εἰδέναι, καὶ εἰδώς.

Εἰδῇς, ἀντὶ τοῦ γνῷς, καὶ εἰδῇ. Ἰστέον ὅτι, τὸ εἴδω διὰ τῆς ει¯ διφθόγγου γράφεται, ὡς δηλοῖ τὸ οἶδα. τούτου ἡ μετοχὴ εἰδώς. καὶ ἐπειδὴ τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ¯ μετ' ὀξείας τάσεως, διὰ τοῦ ντ¯ κλινόμενα, εἰς ην¯ καθαρὸν ἔχει τὸ εὐκτικὸν οἷον εἰδείην, ὀφθείην, τυφθείην, δαρείην. αὕτη δὲ ἡ μετοχὴ εἰς σ¯ μὲν λήγουσα μετ' ὀξείας τάσεως, ἀλλ' οὐ κλίνεται διὰ τοῦ ντ¯, οὐκ ὤφειλεν εἶναι τὸ εὐκτικὸν εἰδείην, ἀλλ' ὡς

Digitized by Google

ἀπὸ τοῦ περιπατοῖμι γίνεται περιπατοίην, κατὰ τροπὴν τοῦ ῖ εἰς ην, καὶ εἰδείην κατὰ τροπὴν τοῦ ο εἰς ε. καὶ ἐπειδὴ εἰς ην καθαρὸν τὸ εὐκτικόν, τὰ δὲ εἰς ην καθαρὸν ἔχοντα τὸ εὐκτικόν, εἰς ῶ μετὰ περισπωμένου τόνου ἔχουσι τὸ ὑποτακτικόν, οἷον τυφθείην, ἐὰν τυφθῶ. λεχθείην, ἐὰν λεχθῶ, τούτου χάριν τὸ ὑποτακτικὸν ἐὰν εἰδῶ, μετὰ περισπωμένου τόνου. οἷον ὄφρ' εὖ εἰδῶ, τοῦ κανόνος ἀναγκάζοντος αὐτὸ βαρύνεσθαι. οὐ γὰρ ἔχει τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως, διὰ τοῦ ντ κλίνεται. οἷον τυφθεὶς τυφθέντος, ἐὰν τυφθῶ. εἰδὼς γάρ, εἰδότος ἐστίν, οὐκ ὤφελεν ἄρα περισπᾶσθαι, ἀλλὰ διὰ τὴν ῥηθεῖσαν αἰτίαν περιεσπάσθη.

Εἰδῆσαι, μάθοις. μαθήσῃ, ἐπιγνώσῃ.

Εἴδησις, γνῶσις.

Εἰδήσουσι, γνωρίζουσιν.

Εἰδήτοι, εἰδήσοι, ἐάν σοι.

Εἴδιον, νενοτισμένον, ὑγρόν.

Εἰδίω, ἱδρῶ, ἀγωνιῶ.

Εἰδοῖ, τῷ μηνός, ἢ τῇ ἡμέρᾳ.

Εἴδομαι, τὸ φαίνομαι. καὶ εἴσομαι ἐπὶ μέσου μέλλοντος, ἀντὶ τοῦ γνώσομαι. εἰδέω εἰδῶ, ἐπὶ τοῦ αὐτοῦ. ὁ μέλλων εἰδήσω, εἰδῶμεν, ἀπὸ τοῦ εἰδέω εἰδῶ, ἀχρήστου θέματος. καὶ ἐκ τούτου ῥῆμα εἰς μι. ὁ παρατατικὸς ᾔδειν, ἡ μετοχὴ εἰδεὶς, εἰδέντος, ἄχρηστα πάντα. καὶ ἐκ τούτου τὸ εὐκτικὸν μόνον, εἰδείην. καὶ τὸ ὑποτακτικόν, ἐὰν εἰδῶ.

* Εἰδομαλίδης, ὁ τὰ μῆλα τοῦ προσώπου καλλωπιζόμενος.

Εἴδομεν, ἐθεασάμεθα.

Εἰδομένη, ὁμοιωθεῖσα.

Εἰδόμενος, ἐοικὼς, ὁμοιωθείς.

Εἶδον, δεύτερος ἀόριστος, ποτὲ μὲν γράφεται διὰ τῆς ει διφθόγγου, ποτὲ δὲ διὰ τοῦ ῑ. οἷον ἴδον. σημαίνει δὲ, τὸ ἐθεασάμην. εἶδον μετὰ τῆς ὑποθέσεως, παθητικῶς ὑπειδόμην, ἀντὶ τοῦ ὑπώπτευσα.

Εἰδοποιὸς, ἀναμορφωτής.

Εἶδος κυρίως, ἐπὶ προσώπου τέταχεν ὁ Ἀπολλώνιος. μορφὴ δὲ, τὸ σχῆμα. Ἄλλως.

Εἶδος, κατὰ δύο σημαινομένων φέρεται. λέγεται μὲν γὰρ εἶδος, καὶ ἡ μορφή. οἷον πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος. εἶδος λέγεται, καὶ τὸ ἀπὸ γένους διαιρούμενον. ὡς ὅταν τὸν ἄνθρωπον εἶδος λέγωμεν τοῦ ζώου. εἶδός ἐστι, καὶ τὸ ὑπὸ τὸ γένος τατόμενον. εἶδός ἐστι, καὶ ὁ ἐγχρώματος χαρακτήρ, καὶ ὄψις, καὶ τὸ πρόσωπον. παρὰ τὸ εἴδω, τὸ βλέπω.

Εἴδ' οὖν, ἰδὲ οὖν.

Εἰδύει, καθεύδει.

Εἰδυίη, εἰδυῖα, ἐπισταμένη.

Εἰδυίῃσιν, ἐμπείροις, ἐπιστήμοσι, συνεταῖς, ἐπισταμέναις.

* Εἰδυῖα μετοχικῶς ἀντὶ τοῦ γινώσκουσα. ἰδία δὲ ὀνομαστικῶς ἀντὶ τοῦ ἐπιστημονικὴ, τὸ ῑ ἰῶτα.

Εἴδω, ἄχρηστον. ἀντ' αὐτοῦ, οἶδα. μέλλων, εἴσομαι. ἀόριστος, ἴδον. ἰδὼν μετοχή, ᾔδειν ὑπερσυντέλικος.

Εἴδω, σημαίνει ἑπτά. τὸ ὁμοιῶ, εἴδω τὸ φαίνομαι, εἴδω τὸ βλέπω, εἴδω τὸ γινώσκω, εἴδω τὸ ὁρμῶ, εἴδω τὸ πηδῶ, εἴδω τὸ κτίζω.

Εἰδῶ, φρόνησιν, ὄψιν.

Εἴδωλα, τὰ φαινόμενα ἐν τῷ ἀέρι φαντάσματα, ἅπερ ἅμα τῷ φανῆναι ἀφανίζονται, ἄστατα ὄντα καὶ ἀβέβαια.

Εἰδωλεῖον, ὁ ναὸς τῶν εἰδώλων. εἰδώλιον δὲ, τὸ ὁμοίωμα τοῦ εἰδώλου. σημαίνει δὲ καὶ τὸν ζυγὸν τῆς νεώς.

Εἰδωλολάτρης, ὁ τῶν εἰδώλων θεραπευτής.

Εἰδωλολατρεία, ἡ ἐκ διαθέσεως τιμὴ τοῖς εἰδώλοις, ἡ τῶν εἰδώλων σπουδή.

Εἴδωλον Αἰνείου, ὅπερ ὁ Ἀπόλλων, ἤτοι ὁ Ἥλιος ἔτευξεν. ἐφ' ᾧ μάχονται Τρῶες καὶ Ἕλληνες, ἡ φαντασία ἐστίν. ἥτις ἐκ τῆς ὑφ' ἡλίῳ ὄψεως καὶ θέας Αἰνείου ἐναπέμεινε τοῖς στρατεύμασι, καὶ ἡ τοῦ ἥρωος ὡς εἰπεῖν ἀνειδωλοποίησις. ἢ εἴδωλον, σκιοειδὲς ὁμοίωμα, ἢ ἀνάπλασμα ἀνύπαρκτον. καὶ εἶδος ἀνυπόστατον, ὥσπερ τὰ ἐν τοῖς ὕδασι καὶ κατόπτροις συνεῶντα πρόσωπα. παρὰ τὸ εἴδω τὸ φαίνομαι, ἢ παρὰ τὸ εἴδω τὸ ὁμοιῶ. ὁμοίωμα γὰρ σώματός τινός ἐστι τὸ εἴδωλον.

Εἰδῶμεν, ἀπὸ τοῦ εἰδέω εἰδῶ, ἀχρήστου θέματος. καὶ ἐκ τούτου ῥῆμα εἰς μι εἴδημι. ὁ παρατατικὸς ᾔδειν, ἡ μετοχὴ εἰδεὶς, εἰδέντος, ἄχρηστα πάντα. καὶ ἐκ τούτου εὐκτικὸν μόνον εἰδείην. καὶ τὸ ὑποτακτικόν, ἐὰν εἰδῶ.

Εἰδὼς, ἐκ τοῦ εἰδηκὼς κατὰ συγκοπήν, ἐὰν εἰδῶ εἰδῇς εἰδῇ, ἐν τῷ ὑποτακτικῷ. ὡς τὸ, ὡς ἂν εἰδῇς τοὐμόν.

Εἰδὼς δόλους, Ὅμηρος αἰτιατικῇ συνέταξεν, ἀλλαχοῦ δὲ γενικῇ· ὡς καὶ ἐν τῷ, τόξων εὖ εἰδὼς, καὶ εὖ εἰδὼς τεκτοσυνάων.

Εἰ εἰδῇς, εἰ γνῷς.

Εἴελος, εἴλιγγος.

Εἶεν, ποτὲ μέν ἐστι ῥῆμα, ὡς τὸ τίνες ἂν εἶεν. ποτὲ δὲ ἐπίρρημα ἀποθετικὸν καὶ προκαταθετικὸν, τῶν τε εἰρημένων καὶ ῥηθησομένων, σημαῖνον τὸ ἄγε δή, συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα. γίνεται δὲ ἀπὸ τοῦ εἶα τοῦ παρακειμένου, ἐπίρρημα εἶεν, ἀντὶ τοῦ ταῦτα μὲν δὴ οὕτως. ἐπίρρημα ἀφοριστικόν. ἐπὶ γὰρ τοῖς ἤδη εἰρημένοις ἐπιλεγόμενον ἀφορίζει αὐτά. τὸ αὐτὸ δὲ καλεῖται καὶ ἀπόθεσις λόγου.

Εἶεν. εἰμὶ, ὁ παρατατικὸς εἴην, τὸ πληθυντικὸν εἴημεν, καὶ συγκοπῇ εἶμεν, καὶ τὸ τρίτον εἶεν. ὡς καὶ δοῖεν, ἀπὸ τοῦ δοίησαν. καὶ δοῖμεν, ἀπὸ τοῦ δοίημεν. Ἄλλως.

Εἶεν, ἀποθετικὸν ἐπίρρημα, λόγου μακροτέρου πέρας, καὶ τῆς ἀρχὴ ἔσται τῶν ἑπομένων. εἶεν, τί δ' ὁ παῖς τοῦ Λαερτίου;

Εἴεσθαι, ἀκολουθῆσαι, ὁμοιῶσθαι.

Εἰ ἐτεὸν Κάλχας μαντεύεται, ἀντὶ παρωχημένου κεῖται, τοῦ ἐμαντεύετο.

Εἰ ἐτεὸν, ἀληθές.

Εἴετο, ἐπεθύμει, ὥρμα.

Εἴεω, ἐκπολεμιστοῦ νεανίσκου ἀναφώνησις.

Εἴζει, καθέζεται.

Εἴη, καὶ ῥέζοι, ἐν τῷ β τῆς Ὀδυσσείας, οὐ κυρίως εὐκτικά. βαρέως δὲ ἀντὶ προστακτικῶν ἐσχημάτισαι, τοῦ ἔστω, καὶ ῥεζέτω.

Εἴη, ἀντὶ τοῦ ὑπάρχει.

Εἴην. περὶ τοῦ εἴην εἴης εἴη γράψας ὁ Ἀλεξανδρεὺς Ἡρακλείδης, λέγει ὡς οὐ γίνεται ἀπὸ τοῦ ὦ, τὸ ὑπάρχω. ἦν γὰρ ἄν φησιν, οἴην οἴης οἴη, κατὰ τὸ φρονοίην, ης, η, φιλοίην, οίης, οίη, καὶ τὰ τοιαῦτα. εἶτα ὑποκαταβὰς μετὰ τὸ εἰπεῖν ὡς ἡμάρτηται, γράφει οὕτω. λέγουσιν Αἰολεῖς, ἐκ τοῦ φιλῶ μετοχὴν φίλεις, καὶ τοῦ φρονῶ φρόνεις. καὶ εὐκτικὰ τούτων φιλείην, είης, είη, καὶ φρονείην, είης, είη. οὕτω φαμὲν καὶ τὸ εἰδείη, ἀπὸ τῆς εἴδεις πεποιῆσθαι Αἰολικῆς μετοχῆς, ἧς δηλαδὴ τὸ θέμα, εἰδῶ. μήποτε οὖν καὶ τὸ ῥῆμα Αἰολικόν ἐστιν, ἀπὸ τῆς εἷς μετοχῆς. ἧς κλίσις παρὰ τοῖς ποιηταῖς ἐπῶν φυλάττεσθαι, παράγει χρῆσιν ἐξ Ἀλκμᾶνος, τὸ ἐστι παρέντων μνᾶσιν ἐπιθέσθαι. οὐ κατὰ ἔλλειψιν φησὶ τοῦ ο, ἀπὸ τοῦ παρεόντων, ἀλλὰ ἐκ τοῦ εἷς ἔντος Αἰολικοῦ. καὶ οὕτω μὲν αὐτός. οἱ δὲ νεώτεροι οὔτε Αἰολικὸν οἴδασι τὸ εἴη, ἀλλ' ἀπεριέργως αὐτὸ κανονίζουσιν ἐκ τοῦ εἰμί.

Εἴην, ἤγουν ἐκπληρώσαιμι. Ὅμηρος, ἐπὴν γόου ἐξ ἔρον εἴην, ἤγουν ἔρωτα. καθ' ὁμοιότητα τοῦ ἐδητύος ἐξ ἔρον ἕντο. διὸ καὶ δασύνεται τὸ εἴην, ὡς ἐκεῖ τὸ ἕντο, καθὰ καὶ ἀλλαχοῦ τὸ εἶναι.

Εἶθαρ, ταυτόν ἐστι τῷ εὐθὺς, παραχθὲν ἐκεῖθεν μετὰ καὶ τροπῆς τοῦ υ εἰς ῑ. ποιηταῖς δὲ μόνοις καὶ ἡ λέξις αὕτη φιλεῖται.

Εἴθε, καὶ αἴθε. τὰ εὐχῆς ἐμφαντικὰ ἐπιρρήματα, τοῖς εὐκτικοῖς μόνοις συντάσσεται ῥήμασιν. οἷον αἴθ' ὅσον ἥσσων εἰμὶ σέθεν, τόσον σέο φέρτερος εἴην. εἰ δὲ προσλάβοι τὸ ὤφελον, ἤτι τῶν ἀπ' αὐτοῦ δι' ὅλων τῶν προσώπων καὶ ἀριθμῶν, τότε ἡ τοῦ λόγου σύνταξις δι' ἀπαρεμφάτου πληροῦται. οἷον, Αἴθ' ὤφελες ἄγονος ἔμμεναι, ἄγαμός τ' ἀπολέσθαι. ὅταν δ' εἴθε καὶ αἴθε συντάσσεται μετὰ τοῦ ὁριστικοῦ, ἀντὶ τοῦ εὐκτικοῦ λαμβάνεται.

Εἴθε, ὤφελε, εὐκτικὸν ἐπίρρημα, καὶ εἴη ὁμοίως.

Εἰθεῖα, δικαιοσύνη.

Εἰθεῖν, μαθεῖν.

Εἴθεσθον, ἐπείθοντο.

Εἴθ' οὕτως, μετὰ ταῦτα.

Εἰθὺ, ἐπ' εὐθείας.

Εἰθύοντα, ὁρμῶντα.

Εἰθυνόμενον, ἐπίπονον.

Εἰθυπτίωνα, ἐπ' εὐθείας φερόμενον.

Εἰθύφαλλον, τὸ ἐντεταμένον αἰδοῖον. Δημοσθένης δὲ νεανίσκους τινὰς ἀσελγεῖς τοὺς εἰθυφάλλους εἴρηκε. λέγεται δὲ καὶ ποιήματά τινα, ἐπὶ τῷ ἱσταμένῳ φαλλῷ ᾀδόμενα.

Εἶκα, παρακειμένου μὲν ὂν, διφθογγίζεται, ὡς τὸ τέθεικα. ἀορίστου δὲ ὂν, διὰ τοῦ η γράφεται. ὥσπερ τὸ ἔθηκα. ἔνθεν τὸ ἀφεικὼς καὶ παρεικώς. καὶ ἀφεικέναι καὶ παρεικέναι.

Εἰκαδάρχαι, προστάται τινὸς συστήματος.

Εἰκάδει, μέρης τινὰ φυλῆς.

Εἰκάζειν λέγεται, ἀντὶ τοῦ ὑπολαμβάνειν, καὶ τοπάζειν, καὶ στοχάζεσθαι, καὶ συμβάλλειν. εἰκάζειν καὶ τὸ παραβάλλειν καὶ συγκρίνειν, καὶ παρεικάζειν, καὶ ἀπεικάζειν, καὶ ἀφομοιοῦν. καὶ τὸ μὲν εἰκάζειν, ὃ δηλοῖ τὸ ὑπολαμβάνειν, καὶ στοχάζεσθαι, συντάσσεται ἀπαρεμφάτῳ, αἰτιατικὴν ἐπιφερομένῳ. οἷον, εἰκάζω οἴκοθεν ἐλθεῖν τὸν δεῖνα. τὸ δὲ εἰκάζειν, ὃ δηλοῖ, τὸ ἀφομοιοῦν, καὶ παρεικάζειν, συντάσσεται δοτικῇ. οἷον εἰκάζω σε τῷ δεῖνι, ἀντὶ τοῦ παραβάλλω, καὶ παρεικάζω, καὶ ἀφομοιῶ.

Εἰκάζω, τὸ ὁμοιῶ. εἰκάζω, τὸ ἐξ εἰκότος καὶ στοχασμοῦ νοῶ. καὶ εἰκάσαι, τὸ στοχάσασθαι. καὶ εἰκὸς, ὡς ἐστιν εἰκάσαι.

Εἰκάθειν, κατὰ παραγωγὴν, τὸ ὑποχωρεῖν, καὶ ἀντὶ τοῦ ὑπείκειν.

Εἰκαία, ὀλίγη, ὡς ἔτυχε. Καλλίμαχος, τῆς εἰκαίην οὐδὲν ἀπέβρασε φαῦλον ἀλετρίς. τὰ πίτυρα, ἐξ ὧν τὰ ἀποβράσματα, ἤγουν τὰ πίτυρα, οὐκ ἀπέκρινεν, οὐδὲ ἀπεκάθηρεν ἡ μυλωθρὸς, ἀντὶ τοῦ ἄσειστον τὸ ἄλευρον.

Εἰκαίης, τῆς τυχούσης.

Εἰκαιοβουλία, ματαιοβουλία, ματαιοφροσύνη.

Εἰκαιομαθῆσαι, φλυαρῆσαι.

Εἰκαιομυθεῖ, φλυαρεῖ. καὶ εἰκαιομυθία, ἡ φλυαρία.

Εἰκαιομύθων, ματαιολόγων.

Εἰκαῖον, μάταιον, ἀνωφελές. ὡς τό, Θεραπεία δὲ τοῦ ἐν ἑκάστῳ ἡμῶν δαίμονος τὸ ἀκαθαρὸν πάθους διατηρεῖν, καὶ εἰκαιότητος καὶ δυσαρεστήσεως.

Εἰκαιορρημοσύνη, ἡ ματαιολογία.

Εἰκαῖος, μάταιος, ἀργὸς, ἀνωφελής.

Εἰκαίτις ἄλλος, ὡς οὐδεὶς ἄλλος.

Εἴκασαν, ὡμοίωσαν. εἴκω, εἶχα, μέσος εἶκα, τὸ τρίτον τῶν πληθυντικῶν εἴκασαν, Ἀριστοφάνης, Κενταύροις εἴκασαν αὐτάς.

Εἴκασεν, ὡμοίωσεν.

Εἰκασία, ὁ εἰκασμός.

Εἰκάσμεθα, παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ ἐσκέμμεθα, Ταυτὶ γὰρ εἰκάσμεθα κατὰ τὸν Αἰσχύλον.

Εἰκασμένος, ὅμοιος.

Εἰκασμός ἐστιν, ὁμοιότης εἴδους περισπῶσα τὴν φαντασίαν πρὸς τὸ τελειότερον, ὃ δὴ καὶ σκῶμμα καλεῖται. διαφέρει τῆς εἰκόνος, ὡς γένος εἴδους. ἡ μὲν γὰρ εἰκὼν, οὐκ εὐθέως εἰκασμός. ὁ δὲ εἰκασμὸς, πάντως εἰκών. τὸ γὰρ μὴ εἰδέναι ἀκριβῶς, εἰκασμὸν λέγομεν.

Εἰκασμὸς, ὁ μετὰ δισταγμοῦ εἰκονίζων πρᾶγμα λόγος, ἐν ᾧ κεχρήμεθα τῷ ἴσως, ἢ τῷ τάχα, ἢ τὸ τυχόν.

Εἶκε, κεῖται παρὰ τῷ Ἡσιόδῳ, ἀντὶ τοῦ θέλησον. ἔστι γὰρ καὶ εἴκω, τὸ θέλω, ἀφ' οὗ καὶ τὸ ἑκών. εἰ δὲ μὴ, σημαίνει μὲν τὸ ὑποχώρησον. λαμβάνεται δὲ ἑτεροσημάντως εἰς τὴν σύνταξιν ἤγουν ὅρμησον παρεξιέναι. ὡς καὶ παρ' Ὁμήρῳ, βῆδ' ἰέναι.

Εἶκε λοχῆσαι παρ' Ὁμήρῳ ἐν τῷ σ τῆς Ἰλιάδος, διὰ διφθόγγου ἔχουσι τὰ τῶν ἀντιγράφων ἀκριβέστερα. καὶ σημαίνει τὸ ἐῴκει, καὶ ἔπρεπεν. εἰ δὲ γράφεται διὰ τοῦ η, τὸ καθῆκε σημαίνει. ἐκ δέ γε τοῦ πρώτου εἶκεν, ἤγουν τοῦ διφθόγγου γίνεται τὸ εἰκός. ὥσπερ ἐκ τοῦ ἑτέρου, ἤγουν τοῦ κοινοῦ μέσου παρακειμένου, γίνεται τὸ παρὰ Ἡροδότῳ μὲν καὶ τοῖς ὁμοίοις οἰκός. παρὰ δὲ ἀττικοῖς, ἐοικός.

Digitized by Google

Εἴκειν, ὑποχωρεῖν.

Εἴκελος, ὁ ὅμοιος. παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ.

Εἶκεν, ἦλθεν. ἢ ἀντὶ τοῦ ἄν πως.

Εἰκέσθαι, παραγενέσθαι.

Εἴκετο, ἦλθε, παραγίνετο.

Εἰκῆ, μάτην, ματαίως, καὶ ἀντὶ τοῦ ψιλῶς. Τοῦτο τῶν εἰκῆ πεπιστευμένων ἐστί. καὶ παροιμία, μὴ εἰκῆ τὴν Ἄβυδον, λείπει παραπλεῖν, ἢ διαφοιτᾶν. λέγεται δὲ ἐπὶ τῶν διακινδυνευόντων. καὶ εἰκῆ ῥαψῳδεῖ, ἀντὶ τοῦ φλυαρεῖ. Ὁ δὲ σκύπτεται μανίαν, καὶ εἰκῆ, καὶ ὡς ἔτυχεν, ἀλλὰ ἐπ' ἄλλοις ἔλεγε. καὶ ἀκόλουθον τῷ πρώτῳ, δεύτερον οὐδέν.

Εἰ κυλᾷς, ἐὰν τολμήσῃς.

Εἰκλεῖ, δειπνεῖ.

Εἰκνεῖται, ἄλλος αὐτὸν εἰσφέρει.

Εἰκοβαλεῖν, τὸ εἰκάζειν οἱ Ἀθηναῖοι λέγουσιν, ἢ εἰκῆ καὶ μάτην βάλλειν.

Εἴκομεν, ὑποχωροῦμεν.

Εἰκονίζειν, καὶ χαρακτηρίζειν, ταυτόν ἐστιν, ἀπὸ γὰρ τοῦ σχήματος, ἄμφω λαμβάνεται, αἰτιατικῇ.

Εἰκόνος φύσις ἐστὶ, μίμημα τοῦ ἀρχετύπου καὶ οὗ λέγεται.

Εἰκὸς, πρέπον, ἀκόλουθον, εὔλογον. λαμβάνεται καὶ ἐπὶ τοῦ τάχα.

Εἰκοσάβοιον, εἴκοσι βοῶν ἄξιον, εἰκοσαπλοῦν.

Εἴκοσιν, ὁ ἀριθμός. καὶ εἰκοσάκωπον πλοῖον, καὶ εἰκοσήρετμον, καὶ εἰκοσάριθμον. καὶ εἰκόσι, χαρακτῆρσιν, ὄψεσιν.

* Εἴκοσι, παρὰ τὸ εἰκὰς εἰκάδος λέγεται. ἡ δὲ εἰκὰς παρὰ τὸ ι, ὃ σημαίνει τὰ δέκα, καὶ τὸ ἑκὰς λέγεται, οἱονεὶ ἰεκὰς, τουτέστι δευτέρα δεκὰς, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν εἰκὰς, ὅθεν τὸ εἴκοσι.

Εἰκοσινήριτα παρ' Ὁμήρῳ, ἀντὶ τῶν πρὸς εἴκοσιν ἐριστὰ, ἤτοι ἐρίζοντα καὶ ἰσάζοντα. τουτέστιν, οὐ δεκάκις μόνον, ἀλλὰ καὶ εἰκοσάκις τοῖς σοῖς κτήμασιν ἐξισούμενα. ἢ καὶ ἄλλα ἄλλως κατὰ τοὺς παλαιούς. ἐριστὸν μὲν εἴη ἂν, τὸ ἀντιλεγόμενον τίμημα τοῦ νεκροῦ. νήριστον δὲ, καὶ ἀποβολῇ τοῦ σ νήριτον, ὅπερ καὶ ἐπὶ τοῦ γνωστὸς καὶ γνωτὸς γίνεται. ἔστι δὲ ἡ τοῦ εἰκοσινηρίτου σύνθεσις, ὁμοία τῷ εἰκοσίπηχυ. καὶ ἐπαινεῖται ἡ τοιαύτη μάλιστα σύνθεσις, καθὰ δηλοῖ καὶ ὁ γράψας τὸ εἰκοσίκλινον ἔχειν οἶκον, ἐπιτήδειον πρὸς τὰς ὑποδοχάς. εἰκοσάπηχυ δέ φασιν εἰπεῖν καὶ εἰκοσάκλινον, οὐ χρὴ, κἂν ἔδοξε τοῖς ὕστερον οὕτω λέγειν. Οἱ καὶ πεντάκλινον, καὶ τοιαῦτά τινα λέγουσιν.

Εἰκοστολόγος, ὁ τὰ εἰκοστὰ ἐν τῇ χρήσει συνάγων.

Εἰκοστὸς, ὀξύνεται. τὰ εἰς στος λήγοντα ὑπὲρ δύο συλλαβὰς, ἔχοντα πρὸ τοῦ τ τὸ σ, τὴν τε λήγουσαν εἰς ος περατουμένην, ἐπὶ ποσότητος ταττόμενα, ὀξύνεται. οἷον, πολλοστὸς, εἰκοστός.

Εἰκότα, ἐστοχασμένα. Συλλογιζόμενος ἐκ τῶν εἰδότων τὰ συμβησόμενα. καὶ εἰκότων, ἀντὶ τοῦ ὁμοίων. Συμπλάττων ἀπὸ τῶν εἰκότων.

Εἴκοτι, ἀντὶ τοῦ εἴκοσι Δωρικῶς, ἢ εἴκατι.

Εἰκοτολογῆσαι, ἐστοχασμένως εἰπεῖν.

Εἰκότων, ὁμοίων. Ὁ δὲ εἴ τι τύχοι πρὸς ἕκαστον τῶν προσιόντων ἠλαζονεύετο. συμπλάττων ἀπὸ τῶν εἰκότων, τουτέστιν ἐψεύδετο. καὶ παροιμία, εἰκῇ τῷ Ἡρακλεῖ, ἐπὶ τῶν ἀσυκοφαντήτως πάντα τελούντων.

Εἰκότως, πρεπόντως. καὶ εἰκὸς, τὸ πρέπον, τὸ ἀκόλουθον, τὸ εὔλογον. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ τάχα. ἔστι δὲ μετοχὴ οὐδετέρου, ἀπὸ τοῦ εἴκω, εἰκὼς, καὶ τὸ οὐδέτερον εἰκός. καὶ ἐχώρησεν εἰς ἐπίρρημα σύντονον.

Εἰκοὺς, εἰκόνας. Ἀριστοφάνης νεφέλαις, τὰς εἰκοὺς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι. τοῦτό φησι δυσχεραίνων ἐπὶ τοῖς ἄλλοις ποιηταῖς.

* Εἰκὼ εἰκοῦς, ταυτὸ ὅπερ εἰκὼν καὶ εἰκόνος.

Εἰκτὸν, ὅμοιον. παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ. ἐξ οὗ καὶ εἰκὼν, εἰκτὸν συγκοπῇ, καὶ διαλύσει ἐϊκτόν.

Εἰκυῖα, γίνεται ἀπὸ τοῦ εἴκω, τὸ ὁμοιῶ. καθὰ καὶ ἄλλα ὅμοια οὐκ ὠφείλε μὲν ἔχειν τὸ σύμφωνον τοῦ ἐνεστῶτος, ὡς τὸ ἐοικυῖα, ὃ χρόνου μέσου παρακειμένου ἐστίν. ἔχει δὲ ὅμως αὐτὸ διὰ τὸ εὐφωνότερον, ὡς ἀπὸ ἐνεργητικοῦ παρακειμένου τοῦ εἶκα. ὅτι δὲ ἀναλογώτερον τὸ οἰκυῖα, δῆλον ἐκ τοῦ οἰκὸς, ἤγουν ἐοικός. ὃ κεῖται παρά τε Ἡροδότῳ, καὶ ἄλλοις. Ἄλλως.

Εἰκυῖα εἴπερ ἀπὸ τοῦ εἴκω, τὸ πρέπω γίνεται, οὐκ ἔχεται ἀναλογίας, ὥσπερ οὐδὲ τὸ εἰκός. μάλιστα δὲ ἀνάλογον, κοινῶς ἡ οἰκυῖα, καὶ τὸ οἰκὸς, ὃ κεῖται παρ' Ἡροδότῳ. ἀφ' ὧν Ἀττικῶς ἡ ἐοικυῖα, καὶ τὸ ἐοικός. οἱ δὲ, ἴσως ὥσπερ φρίσσω πέφρικα, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν πέφρικα. οὕτω καὶ εἴκω, εἴξω, εἶχα, καὶ κατὰ τροπὴν εἶκα. εἴη ἂν οὕτως ἀναλογίας ἐχόμενα, καὶ ἡ εἰκυῖα καὶ τὸ εἰκὸς, καὶ ταῦτα μὲν οὕτως ἄλογα. Ἡρωδιανὸς δὲ προϋποθεὶς ῥῆμα τὸ εἴδω, παράγει ἐξ αὐτοῦ μέσους παρακειμένους, ἐπὶ μὲν τοῦ θεωρῶ καὶ γινώσκω, τὸ οἶδα. ἐπὶ δὲ τοῦ ὁμοιῶ, τὸ οἶκα, ἐξ οὗ τὸ ἔοικα. οὗ ὁ ὑπερσυντέλικος, ἐῴκειν κατὰ ἔκτασιν.

Εἴκω, τὸ ἐνδίδωμι, καὶ ὑποχωρῶ, καὶ ὑποπτήσσομαι. καὶ τὸ ὁμοιῶ ποιητικῶς δοτικῇ, ἀφ' οὗ εἰκάζω.

Εἰκὼ, τὴν εἰκόνα, κατὰ ἀποκοπήν.

Εἰκὼν, ὁμοίωμα, παρὰ τὸ εἴκω τὸ ὁμοιῶ. Ἰστέον δὲ, ὅτι φασὶν οἱ ἀκριβέστατοι τῶν ἱστορικῶν ὡς τὸ οὖλον καὶ ὀλιγότριχον, οἰκειότερόν ἐστι γράφειν ἐπὶ τῆς εἰκόνος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἷλα, ὄσπριον, καλάμη.

Εἰλαδὸν, κατὰ συστροφὴν, ἀθρόως.

Εἰλαπινάζω, τὸ εὐωχοῦμαι. καὶ εἰλαπιναστὴς, ὁ συμπότης.

Εἰλαπίνη, εὐωχία, ἐκ τοῦ λάπτειν καὶ πίνειν γίνεται. ἔστι καὶ αὐτὴ πολυτελὴς, ἐν ᾗ κατὰ εἴλας, ὡς οἱ παλαιοὶ γράφουσιν, ἢ ὁμοῦ εἰλούμενοι πολλοὶ ἔπινον, χαίροντος δηλαδὴ τοῦ δειπνοκλήτορος. ἢ εἰλαπίνη, θυσία καὶ παρασκευὴ λαμπροτέρα τίς. καὶ εἰλαπινασταὶ, οἱ ταύτης μετέχοντες. ἔρανος δέ ἐστιν ἡ ἀπὸ συμβολῶν συναγωγή. ἐκαλεῖτο δὲ αὐτὸς καὶ θίασος. καὶ οἱ συνόντες, ἐρανισταὶ καὶ θιασῶται. οἱ δὲ ποιηταὶ πολλάκις καὶ τὸν τῷ Διονύσῳ ἑπόμενον ὄχλον θίασον ἐκάλουν. ὃς δὴ θίασος, ἢ παρὰ τὸ θεῖον γίνεται, ἀποβολῇ συνήθει τοῦ ε, ὡς θεάζων. ἢ παρὰ τὸν σιὸν, ἤτοι Θεόν. ἐξ οὗ καὶ ὁ Σίσυφος καθὰ προδιείληπται. Θεοῖς γὰρ ὀργίαζον. ταυτὸν δὲ εἰπεῖν σιοῖς, οἷον θιασῶταις, ὡς εἶναι τὸν θίασον οἱονεὶ σίασον, τροπῇ τοῦ σ, εἰς τὸ ἄφωνον θ.

Εἶλαρ, ἀλέξημα, φυλακὴ, ἀσφάλεια, φραγμὸς, παρὰ τὸ ἐλλεῖν καὶ ἔσω συγκλείειν. οὕτω καὶ κύματος εἶλαρ, τὸ περὶ τοὺς τοίχους τῆς νεὼς ἄνω πλέγμα.

Εἰλάρχας, ταξιάρχας.

Εἴλας, ἀγέλας. ἢ πυκνὴ, ἀγαθὴ, σκοτεινή. ἕρκος.

Εἰλατίδην Πολύφημον, τοῦ Ἐλάτου τὸν υἱόν.

Εἰλατίνοις, τοῖς ὄζοις.

Εἰλάτινον, ὄρος. καὶ εἰλάτινον, τὸν φυτόν.

Εἴλατο, ἐπελέξατο, ἠγάπησεν, ἠθέλησεν.

Εἴλεα, ἄθλια, χαλινοὶ, δεσμοὶ, φιμοὶ, δέρεα.

Εἰλεδαρὸς, ὁ δεσμός.

Εἶλει, περιέστρεφε. καὶ εἶλει ἀντὶ τοῦ συνήθροιζε, καὶ συνέκλειε. καὶ εἰλομένων, συναθροιζομένων.

Εἰλείθυιαι λέγονται, οἱ τόκοι, καὶ αἱ ἔφοροι τῶν τόκων θεαί.

Εἴλειφα, ἐκ τοῦ λείβω, λείψω, λέλειφα κοινῶς, καὶ εἴλειφα Ἀττικῶς.

Εἴλειπται, καὶ κατώρυκται, οὐ χρὴ λέγειν, ἀλλὰ διπλασιάζειν τὴν φωνὴν, ὥσπερ οἱ Ἀθηναῖοι, ἀλήλειπται καὶ κατορώρυκται λέγων.

Εἰλεῖσθαι, ἴσον ἐστὶν ἐν τοῖς τοιούτοις τῷ συγκλείεσθαι.

Εἰλεῖται, κρύπτεται, κακουργεῖ.

Εἰλεῖται, στρέφεται.

Εἶλεν, ἐχειρώσατο, ἐπόρθησεν.

* Εἰλεῖν, στρέφειν, στρεβλοῦν, πιέζειν ἐλαίας, ἢ σταφυλάς. καὶ εἰλεῖν τὸ συνάγειν εἰς ταυτὸ σταφυλάς. καὶ ἔτι εἴλειν βαρυτόνως λέγεται.

Εἷλεν, ἀντὶ τοῦ κατέλαβεν. ὡς τὸ ζωὸν ἕλον. καὶ εἷλέ τις τήνδε τὴν πόλιν, ἀντὶ τοῦ παρέλαβε. καὶ εἷλεν, ἀντὶ τοῦ ἀνεῖλε, ποιητικῶς δὲ ἀντὶ τοῦ ἐφόνευσε. σημείωσαι δὲ, ὅτι τοῦ ἕλω, τοῦ λαμβάνω ἀρχῆς ῥήματος, μόνος ὁ εἷλον δεύτερος ἀόριστός ἐστιν ἐν χρήσει, καὶ τὸ ἀπαρέμφατον ἑλεῖν. ὃ μετὰ τῆς ἀνὰ προθέσεως σημαίνει τὸ φονεῦσαι. μετὰ δὲ τῆς παρὰ, τὸ ἀποκόψαι. μετὰ τῆς ἀντὶ, τὸ ἀντὶ τοῦδε τόδε προκρίνειν. μετὰ δὲ τῆς περὶ, τὸ ἐξ ἐπιπολῆς ἀποσπογγίσαι. μετὰ τῆς ἀπὸ, τὸ ἀπὸ τοῦ παντὸς ἀφῃρηκέναι. μετὰ τῆς ὑπὸ, τὸ λαθραίως λαβεῖν. μετὰ τῆς ἐξ, τὸ ἐκβαλεῖν. καὶ μετὰ τῆς σὺν, τὸ ὁμοῦ λαβεῖν.

Εἰλευία, πόλις.

Εἴλεον ἐν στείνει, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, τουτέστι συνέκλειον αὐτὰς ἐν στενοχωρίᾳ τόπου, ὅθεν οὔπως ἦεν ἀλύξαι. στεῖνος γὰρ, ὅθεν δυσχερές ἐστιν ἀλύξαι.

Εἰλέοντες, στρέφοντες.

Εἰλεὸς, ἡ τοῦ θηρίου κατάδυσις, καὶ στρόφος.

Εἰλεὸς, ἡ μαγειρικὴ τράπεζα. παρὰ τὸ ἕλος γέγονεν ἐλεὸς, καὶ πλεονασμῷ τοῦ ι εἰλεός. σημαίνει δὲ καὶ τὴν νόσον, οἶμαι, ὅτι ἀρσενικῶς ἐστιν ὁ εἰλεός.

Εἰλεσιὰς, εἶδος καλάμου.

Εἰλέσιον, τόπος.

Εἵλετε, ἐπορθήσατε.

Εἰλέτις, βλάσφημος.

Εἵλετο, τουτέστιν ἔλαβεν, ἐνεργητικῶς εἷλεν, ὡς ἐπιπολὺ λέγεται.

Εἵλετο, ἠθέλησεν.

Εἰλέωσι, συνειλῶσι, συγκλείουσι, ῥῆμα ὑπαρκτικὸν ἐκ τοῦ εἰλῶ. καὶ εἰλέωσιν ἄελλαι, τρόποι ἐστὶν ἐτυμολογίας. παρὰ τὸ εἰλεῖν γὰρ ἐτυμολογεῖται ἡ ἄελλα.

Εἴλη, ἡ θερμασία, διὰ διφθόγγου γράφεται καὶ η. εἴλει δὲ τὸ συνέστρεφε, διὰ διφθόγγου καὶ τὰ δύο. λέγεται δὲ εἵλη, ἡ τοῦ ἡλίου αὐγὴ, δασέως. ἡλιαία δὲ τὸ δικαστήριον. καὶ εἴλη, ἐπὶ τοῦ τάγματος, καὶ τοῦ πλήθους συστροφή. Ξενοφῶν. καὶ εἴλη, ἡ ὀπή. ἐξ οὗ καὶ εἰλεὸς, ἡ κατάδυσις.

Εἰληδὸν, συνεστραμμένως.

Εἰληθερήσαντες, ἐν ἡλίῳ θαλφθέντες.

Εἰληθερούμενος, θερμαινόμενος. τὸ ῥῆμα, εἰληθερῶ.

Εἰληθερῶν, ἡλιαζόμενος.

Εἰλήθη, ἐστράφη.

Εἴληθι, ἵλεως γίνου.

Εἰληθυίας, ἐνίοτε μὲν τὰς θεὰς, ἐνίοτε δὲ τὰς ὠδῖνας. ὁ ποιητὴς δὲ ἑνικῶς, Ἥρα ἐν Ἄργει.

Εἰλήιον, ἐν ἡλίῳ θερμανθέν.

Εἰλήλουθα, ἐκ τοῦ ἐλεύθω. ὁ μέσος παρακείμενος ἤλευθα, καὶ τὸ Ἀττικὸν ἐλήλυθα, καὶ πλεονασμῷ τοῦ ι κατὰ τὴν ἀρχὴν, καὶ τοῦ ο Βοιωτικῶς, εἰλήλουθα. ἐξ οὗ τὸ πρῶτον τῶν πληθυντικῶν, εἰληλούθαμεν.

Εἰλήλουθμεν, ἐκ τοῦ ἐλεύθω. οὗ ὁ μέσος παρακείμενος ἤλευθα, καὶ Ἀττικῶς ἐλήλυθα, καὶ Ἰωνικῶς εἰλήλυθα, καὶ Βοιωτικῶς εἰλήλουθα. οἱ γὰρ Βοιωτοὶ προστιθέασι τῷ υ τὸ ο. τὸ πρῶτον τῶν πληθυντικῶν, εἰληλούθαμεν, καὶ κατὰ συγκοπὴν Αἰολικὴν εἰλήλουθμεν.

Εἴλημα, ἐνήλυμα, περίβλημα, σκέπασμα.

Ἐλημμένον, συλληφθέντα.

Εἴλησε, ἵλεως εἶ.

Εἰλήσας, συστρέψας.

Εἴλησις, ἔκκαυσις, ἡ συστροφή. καὶ εἰλησέων παρὰ Πλάτωνι, τῶν ὑπὸ τοῦ ἡλίου ἐκκαύσεων.

Εἰλήτιος Ζεὺς, ἐν Κύπρῳ.

Εἴληφεν, ἔλαβεν, ἐδέξατο. καὶ εἴληφεν ἡ παγὶς τὸν μῦν, ἐπὶ τῶν ἀξίως ἑαλωκότων.

Εἰληφώς. λήβω ἄχρηστον, ἀντὶ τούτου λέγομεν τὸ λαμβάνω, ὁ μέλλων λήψω, ἄχρηστος, ἀντὶ τούτου λέγομεν, τὸν μέσον λήψομαι. ὁ παρακείμενος λέληφα, καὶ ἀφαιρέσει τοῦ πρώτου λ, καὶ πλεονασμῷ τοῦ ι εἴληφα. καὶ ἡ μετοχὴ, ὁ εἰληφώς. καὶ ἡ παθητικὴ μετοχὴ, ὁ εἰλημμένος.

Εἴληχεν, εἴληφεν.

Εἰλιγγᾶν, σκοτοῦσθαι, συστρέφεσθαι.

Εἰλίγγοις, ταῖς εἰλήσεσι καὶ συστροφαῖς τοῦ σφοδροῦ καπνοῦ.

Εἰλιγγιῶ, σκοτοδινιῶ.

Εἴλιγγιον, σκότωσιν.

Εἰλιθερὲς, τὸ ἀπὸ τοῦ ἡλίου θερμὸν, παρὰ τῷ Ἱπποκράτει.

Εἰλιθιότης, παντελῶς ἀπόγνωσις.

Digitized by Google

Εἰλικρινής, σημαίνει τὸν καθαρὸν καὶ ἀμιγῆ ἑτέρου. ἢ τὸν καθαρὰν καὶ λαμπρὰν ἔχοντα τὴν ψυχήν. παρὰ τὸ εἵλη ἡ θερμασία, καὶ τὸ κρίνω, ὁ ἐν τῇ εἵλη κεκριμένος, κατὰ πλεονασμὸν τοῦ ι. οὐ δοκεῖ δὲ ἡ παρεκβολὴ συντεθεῖσθαι. εἰ γὰρ παρὰ τὸ εἵλη γέγονεν, ὤφειλεν ἡ τρέψαι τὸ η εἰς ο, καὶ γενέσθαι εἱλοκρινής, ἢ φυλάσσειν τὸ η καὶ γενέσθαι εἱληκρινής. τὰ γὰρ εἰς η λήγοντα θηλυκά, τριχῶς συντίθεται. ἢ γὰρ φυλάττει τὸ αὐτὸ τέλος, ὁπότε καὶ τὸ αὐτὸ γένος φυλάττει, οἷον μάχη, Ἀνδρομάχη. ἢ φυλάττει τὸ αὐτὸ τέλος, καὶ προσλαμβάνει τὸ ς. ὡς γυνή, μισογύνης. ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς μάχη, πρόμαχος. ἢ τρέπουσι τὸ τέλος εἰς ον, ὡς πύλη, δίπυλον. ἢ καὶ ἄλλως. Τὰ γὰρ εἰς η λήγοντα θηλυκά, ἐν τῇ συνθέσει ἢ φυλάττει τὸ η, ὡς τὸ γῆ γηπόνος, βοὴ βοηθός. ἢ τρέπουσιν αὐτὸ εἰς ο, ὡς νύμφη νυμφοστόλος, τιμὴ Τιμόθεος. εἵλη οὖν εἱλοκρινής, καὶ τροπῇ τοῦ ο εἰς ι, εἱλικρινής.

Εἰλικοειδές, ἢ εἰλικνοειδές, τὸ κυκλοειδές, καὶ ὁμαλόν.

Εἰλινύων, ἀντὶ τοῦ ἡσυχάζων.

Εἰλήξουσι, στρέψασιν.

Εἴλιον, παράφερνον.

Εἰλίποδες βοῦς, οἱ τοὺς πόδας κατὰ τὴν πορείαν εἱλίσσοντες. Παυσανίας δὲ λέγει καὶ γυναῖκας εἰλίποδας.

Εἰλιπόδης, ἐν τῇ ἕλιγγι τοὺς πόδας ἔχων.

Εἰλισκόπωσις, στρόφος.

Εἰλίσσω, τὸ στρέφω, καὶ περιφέρω, αἰτιατικῇ συντάσσεται.

Εἰλιτενής, ἄγρωστις. Θεόκριτος, ἡ ἐν τοῖς ἕλεσι γινομένη.

Εἰλίχατο, Ἰωνικῶς ἐκ τοῦ εἵλικτο.

Εἰλίχθη, ἐστράφη.

Εἵλκεον, οὐ κοινότερον τὸ εἷλκον. ἀπὸ τρισυλλάβου ἐνεστῶτος παρήχθη τοῦ ἑλκέω.

Εἵλκετο, ἐτείνετο.

Εἷλκον, ἔσυρον, καὶ εἱλκύσθη.

Εἰλκτής, αἴτιος.

Εἴλλη, εἴργη, κωλύῃ.

Εἰλλόμενον, εἰργόμενον. Αἰσχύλος Βασσάραις.

Εἴλομεν, ἐπορθήσαμεν.

Εἰλόμενον, συνελαυνόμενον, συγκλειόμενον.

Εἰλομένων, ταυτόν ἐστι τῷ εἰλυμένων. διαφορεῖται γάρ, ὁποῖον καὶ τὸ στερούμενος, καὶ στερόμενος, καὶ ἐπιμελούμενος ἐπιμελόμενος. καὶ εἰλομένων, συνεσταλμένων, συγκεκλημένων, ἢ συνηθροισμένων, καὶ συστρεφομένων ἐν πολέμῳ.

Εἰλόμην, προέκρινα, ἠθέλησα.

Εἰλός, πᾶν τὸ ἐπιπίπτον βάρος, καὶ τὸ ἐν ταῖς πάγαις ἐπιπίπτον ξύλον.

Εἰλούμενος καὶ εἰλόμενος, συστρεφόμενος. ἄμφω ἐπὶ τῆς αὐτῆς ἐννοίας καὶ συντάξεως. οὕτως ἐπιμελούμενος καὶ ἐπιμελόμενος, καὶ στερόμενος καὶ στερούμενος.

Εἰλτῆρες, ἐναντία.

Εἰλύαται, ἀντὶ τοῦ κεκαλυμμέναι εἰσίν. ὡς ἀπὸ τοῦ εἰλύω, ἀφ' οὗ καὶ τὸ ἐπιλύω. καὶ εἰλυός, ὁ φωλεός. τὸ μέντοι εἰλύω ἐκ τοῦ εἵλω γίνεται, κατὰ παραγωγήν. ἔοικε γάρ πως κρύψει ἡ εἴλυσις.

Εἰλύ, μέλαν.

Εἰλύει, κοιμᾶται.

Εἰλύειν, καὶ ἐπιλύειν, ἔχουσι πρωτότυπον τὸ ἐλύειν. ὅθεν μετοχὴ ὁ ἐλυθείς.

Εἴλυεν, ἐκρύπτετο.

Εἰλύεται, εἱλεῖται, συστρέφεται, κρύπτεται, κακουργεῖ, περιποδίζει.

Εἰλυθέντες, καλυψάμενοι.

Εἰλυθμός, ἡ κατάδυσις. ἀπὸ τοῦ εἰλύω, τὸ ἐπικρύπτω.

Εἰλυθμός, ἕλκος, τόμος.

Εἰλύϊος, θηρίον ἀπὸ φρυγάνων σκωληκοειδές, ᾧ χρῶνται πρὸς δέλεαρ.

Εἴλυμα, παρὰ τὸ εἵλω εἰλύω εἰλύσω, εἴλυμα, τὸ σκέπασμα, ἢ τὸ ἱμάτιον.

Εἰλυμένοι χαλκῷ, ὅ ἐστι κεκαλυμμένοι. καὶ οὐκ ἀπέοικε τοῦ εἱμένοι, καὶ ἐπιειμένοι. τοῦ εἰλυμέναι πρωτόθετον εἵλω, ἐξ οὗ εἰλύω. ἀφ' οὗ ἐν συνθέσει, τὸ ἐπιλύω, οὕτως ἐκ τοῦ καλῶ καλύω, ὅθεν τὸ κλύω.

Εἰλυόμην, ἐκρυπτόμην.

Εἰλύος, τέλματος.

Εἰλυούς, τὰς καταδύσεις τῶν θηρῶν λέγουσιν.

Εἰλύσθαι, ἕλκειν.

Εἰλυσπᾶτο, συνεσπᾶτο.

Εἰλύς, εἰλύος, τὸ πηλῶδες τοῦ ποταμοῦ.

Εἰλυσπᾶσθαι, τὸ ὁμοίως τῷ ὄφει καὶ τῷ σκώληκι κινεῖσθαι. καὶ εἰλυσπώμενα, τὰ παραπλησίως τοῖς ὄφεσι καὶ σκώληξι κινούμενα.

Εἰλυσπώμενος, εἰλούμενος.

Εἰλυσπῶνται, περὶ τὸν αὐτὸν τόπον στρέφονται μετὰ καμάτου.

Εἰλύσσεται, εἱλεῖται.

Εἰλύσω, περιβαλῶ. καὶ εἰλύσω, ἐν ἰλύϊ κρύψω.

Εἰλῦται, ἤγουν κέκαμπται, ἐκ τοῦ εἰλύαται κατὰ κρᾶσιν. διὸ καὶ προπερισπᾶται.

Εἴλυτο, κατεσκίαστο, κατεκάλυπτο.

Εἰλυφάζειν, τρεῖς παραγωγὰς ἔχει. ἀπὸ γὰρ τοῦ εἱλῶ γίνεται εἰλύω. ἐξ οὗ εἰλυφῶ, εἶτα εἰλυφάζω. λέξις αὕτη πεζῷ λόγῳ ἀπρόσιτος. Ἰστέον δέ, ὡς ἐν μὲν τῷ εἰλυφῶ, συστέλλεται τὸ υ. ἐν δὲ τῷ εἰλυφάζω, ἐκτείνεται. σημαίνει δὲ τὸ εἱλεῖν.

Εἰλύφαζεν, ἀπὸ τοῦ εἵλη ἡ λαμπρότης, καὶ τοῦ φῶ, τὸ λάμπω, δύο ταυτοσημάντων λέξεων.

Εἰλυφάζω, παρὰ τὸ εἱλῶ, εἰλύφω, εἰλυφάζω, τὸ συστρέφω καὶ εἱλῶ.

Εἰλυφόων, κατὰ παραγωγὴν ὁ εἱλῶν καὶ στρέφων πανταχοῦ. ἢ κατὰ σύνθεσιν, ὁ ἐνταῦθα καὶ ἐκεῖ εἱλῶν τὸ φαῖνον πῦρ. ἢ καὶ ἄλλως ὁ εἱλῶν, καὶ φαίνειν ποιῶν. τοῦτο δὲ καὶ εἰλυφάζειν λέγεται.

Εἰλυφόωσιν, εἱλοῦσι, συνάγουσιν.

Εἱλῶ, τὸ συστρέφω. ὅθεν εἵλη, τὸ περιέστρεφε.

Εἱλῶ, εἱλόμην, ἐδεξάμην.

Εἵλως, ὁ δοῦλος, καὶ κλίνεται εἵλωτος. καὶ τὸ ἔθνος εἵλωτες παρὰ Λακεδαιμονίοις οἱ νόθοι, καὶ οἱ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι. ἀπὸ τοῦ ἕλους. Ἕλος δέ ἐστι Πόλις ἐν Πελοποννήσῳ.

Εἱλωτεία, ἡ δουλεία.

Εἱλωτεύειν, τὸ δουλεύειν. εἵλωτες γάρ εἰσιν, οἱ μὴ γνήσιοι δοῦλοι Λακεδαιμονίων, ἀλλὰ πρῶτον χειρωθέντες, παρὰ τὸ Ἕλος τὴν πόλιν οἰκούντων, ὡς πολλοὶ μαρτυροῦσι, καὶ Ἑλλάνικος ἐν τῇ πρώτῃ.

Εἱλωτίς, ἡ δούλη.

Εἷμα, τὸ ἱμάτιον, καὶ ὅσα παρ' αὐτοῦ. οἷον λευχείμων, μελανείμων, κακοείμων.

Εἱμάδες, ποιμένων οἰκίαι.

Εἷμαι, ἀντὶ τοῦ ἐνδέδυμαι, καὶ ἀντὶ τοῦ κάθημαι. ἀπὸ τοῦ ἕω ἀρχῆς, ἀφ' οὗ εἷμα, τὸ ἱμάτιον.

Εἵμαρμαι, ἐκ τοῦ μείρομαι, μέμαρμαι κοινῶς, καὶ εἵμαρμαι Ἀττικῶς, εἵμαρται. καὶ πέπρωταί με κακοδαίμονα γενέσθαι, καί μοι κακοδαίμονι γενέσθαι.

Εἱμαρμένη, καὶ πεπρωμένη, τὸ αὐτό, καὶ μοῖρα ὡσαύτως. ἐλάμβανον δὲ αὐτὰ ἐπὶ φυσικῆς καὶ καθολικῆς δυνάμεως ἐν τῷ κόσμῳ. τύχη δέ, ἐπὶ τῶν συμβαινόντων καλῶν ἢ κακῶν, μηδενὸς βουλομένου περὶ αὐτῶν. τινὲς δὲ τῶν Ἑλλήνων τὴν τύχην τὴν αὐτὴν ἐνόμισαν τῇ εἱμαρμένῃ. πρόνοια δὲ ἐπὶ Θεοῦ, ἀπὸ τοῦ προνοεῖσθαι. ἔστι δὲ τὸ εἱμαρμένη; ὄνομα μετοχικόν, οὐ μετοχή. ὥσπερ καὶ τὸ ἐρωμένη, καὶ τὸ ἄρχων, ἐνίοτε καὶ τὸ ἑκών, καὶ τὸ καύσων; καὶ ὅσα ἐξέπεσον τοῦ ἰδιώματος τοῦ ῥήματος. ὅπερ ἔπαθον ταῦτα, τὸ μὲν εἱμαρμένη καὶ ἐρωμένη ἐπεὶ παθητικὰ ὄντα, καὶ ὀφείλοντα πρὸς δοτικὴν συντάττεσθαι ὡς τὰ παθητικὰ ῥήματα, ταῦτα πρὸς γενικὴν λέγονται. ἡ εἱμαρμένη γὰρ τοῦ δεῖνος λέγεται, καὶ ἡ ἐρωμένη τοῦ δεῖνος. ὁ δὲ ἄρχων ἐπεὶ ὀφείλων ἐπίρρημα ἔχειν ἐπαγόμενον, δηλοῦν τῆς ἀρχῆς τὴν ἐνέργειαν, ὅπερ ἀπαιτεῖ τὸ ῥῆμα. οἷον, ἄρχει τὶς δικαίως. ἐν γὰρ τῷ ἄρχειν δικαίως, τὸ δικαίως οὐ πρὸς τὸ ἄρχειν τείνει, ἀλλὰ πρὸς τὸν ἔχοντα τὴν ἀρχήν. τοῦτο ἐνίοτε μὲν ἐπίρρημα ἔχει ἐπαγόμενον, ὅτε καὶ μετοχή ἐστιν. ἐνίοτε δὲ ὄνομα ἐπίθετον ἐπαγόμενον ἔχει, ὅτε ἐξ ἀνάγκης ὄνομά ἐστιν. ὡς ἐν τῷ, ἄρχων τ' ἀγαθὸς κρατερός τ' αἰχμητής. τὸ δὲ ἑκὼν ἐπεὶ ὀφεῖλον ἀπαρεμφάτῳ συντάττεσθαι, ὡς τὰ τῆς θελήσεως πάντα ῥήματα, οἷον θέλω σωθῆναι, τοῦτο οὐδέποτε οὕτω συντάσσεται. τὸ δὲ καύσων, ἐπεὶ ὀφεῖλον μετὰ δοτικῆς εἶναι, ὡς τὸ καίω, τοῦτο οὐ μεταβαίνει. ἔστι δὲ καύσων, τὸ πολὺ θάλπος.

Εἵμασιν, ἱματίοις.

Εἵματα ἀγαθά, ταυτὸν τῷ ἐσθῆτα φέρειν. καὶ εἵματα ἑσσάμενος, τρόπος ἐτυμολογίας ἐστίν. ἀπὸ τοῦ ἕω γὰρ τὸ εἷμα γίνεται, ἀπὸ δὲ αὐτοῦ τὸ ἱμάτιον. γράφεται δὲ διὰ διφθόγγου τὸ εἷμα, ἢ ἀπὸ τοῦ ἷμα προσλήψει τοῦ ι. ἢ ὡς φυλάξαν τὴν τοῦ πρωτοτύπου παρακειμένου αὔξησιν, ὃ καὶ ἡ ἐγρήγορσις ἔχει, καὶ ἡ πεποίθησις, καὶ ἡ ὀπωπή, καὶ ἡ ἀντιπεπόνθησις.

Εἱμείρεται, ἐπιθυμεῖ.

Εἰ μέμονας, εἰ προθυμῇ.

Εἱμένα κατὰ στόμα ξυστὰ χαλκῷ, ἤγουν ἐνδεδυμένα, κεκαλυμμένα.

Εἰμέν, ῥῆμα πληθυντικὸν ὑπαρκτικόν, ἀναλογώτερόν ἐστι τοῦ ἐσμέν, καθ' Ἡρακλείδην, φάμενον, ὡς οὐδὲν ῥῆμα πληθυντικὸν ἐπὶ τοῦ πρώτου σύμφωνον ἔχει πρὸ τοῦ μ, ἀλλ' ἑκάστοτε φωνῆεν. ὡς γοῦν δίδωμι, δίδομεν φησι, φαμὲν ἵστημι ἵσταμεν, καὶ συγκοπῇ ἴσμεν, ἐξ οὗ τὸ ἴδμεν, οὕτω καὶ κατὰ τὸν αὐτὸν λόγον, εἰμὶ εἰμέν. Δωριεῖς δὲ πλεονάζουσι τὸ ς, εἰπόντες ἐσμέν. Ὅμηρος δὲ προστίθησι τὸ ι, ἵνα οὕτω φωνῆεν εἴη πρὸ τῆς μεν συλλαβῆς.

Εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί, σχῆμα ἐλλειπτικὸν ἐνταῦθα. χωλεύει γὰρ ἡ σύνταξις. λείπει γάρ, ἐγὼ ποιήσω τόδε, ἢ παύσομαι, ἢ ἡσυχάσω. εἰσὶ καὶ ἄλλα σχήματα τοιαῦτα ἐλλείψεως, παρὰ τοῖς παλαιοῖς. ὡς παρὰ τῷ κωμικῷ, ἐὰν μὲν ἀποφήνω πάντων αἴτιον ἐμέ, εἰ δὲ μή ποιεῖτον ὅπερ ἂν δοκῇ ὑμῖν.

Εἵμενοι, περικείμενοι, περιβεβλημένοι.

Εἱμένος, ἐνδεδυμένος, ἐκ τοῦ ἕω τὸ ἐνδύομαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος εἷκα, ὁ παθητικὸς εἷμαι, ἡ μετοχὴ εἱμένος καὶ ἐπιειμένος.

Εἰ μὴ Ἀχιλλεῖ, οἱ μεθ' Ὅμηρον ῥήτορες, ὅτι μὴ Ἀχιλλεῖ εἴποιεν ἄν, οἷς ἔθος οὕτω φράζειν. ἢ τὸ οὐκ ἄλλο τι ἐποίησα εἰ μὴ τόδε, ὅτι μὴ τόδε φασί, καὶ τὰ ἄλλα ὁμοίως.

Εἰ μή τι, ἀντὶ τοῦ πλήν. οὕτω Πλάτων.

Εἰ μὴ ἐρρήσεσθε, εἰ μὴ ἀναχωρήσετε.

Εἰμί, τὸ ὑπάρχω. περίειμι, ἀντὶ τοῦ ἔτι ζῶ. ἔνεστι, καὶ ἔξεστι, καὶ σύνεστι, καὶ πρόσεστι, καὶ πάρεστί μοι μεταβατικῶς δοτικῇ. μέτεστι δέ μοι τοῦδε τοῦ πλούτου, ἀντὶ τοῦ μετέχω.

Εἰμὶ ἐν ῥήμασιν ἐγκλίνεται. οἷον ἐγώ εἰμι, ἄνθρωπός εἰμι. καὶ τὸ ἐστιν, οἷον ἄνθρωπός ἐστιν.

Εἰμί, τὸ ὑπάρχω, τὸ δεύτερον εἶ, τὸ τρίτον ἐστί. τὰ δυϊκά, ἐστὸν ἐστόν. τὰ πληθυντικά, ἐσμέν, ἐστέ, εἰσίν. ἔνειμι, ἀντὶ τοῦ ὑπάρχω. τοῦτο δὲ ἐπὶ ὁμιλίας λέγεται. καὶ ἔτι ἐπὶ συνουσίας. πρόσειμι, ἀντὶ τοῦ προσέρχομαι. πρόειμι, ἀντὶ τοῦ προέρχομαι. ἄνειμι, τὸ ἀνέρχομαι. κάτειμι, τὸ ἐναντίον τούτου. δίειμι τὸ γράμμα, ἤγουν διέρχομαι. μέτειμι λόγους, ἤγουν μετέρχομαι. μέτειμί τινα, ἤγουν κολάζω. πάρειμι, ἀντὶ τοῦ παρών εἰμι. ἔπειμι, τὸ ἐπέρχομαι. ἄπειμι, τὸ ἀπέρχομαι. τοῦ μὲν οὖν εἰμί, ἴσμεν ὄντας ἐν χρήσει χρόνους, τό, τε ἦν, καὶ ἐστι, καὶ ἔσται. οἱ δὴ παρατατικός τε εἰσὶ καὶ ἐνεστώς, καὶ μέλλων. τοῦ δὲ γίνομαι, ὅτι καὶ τοῦτο ὑπαρκτικὸν ῥῆμά ἐστι, τέσσαρα. τό, τε ἐγένετο, καὶ ἐγίνετο, καὶ γίγνεται, καὶ γενήσεται. οἱ δή, ἀόριστός τέ εἰσι καὶ παρατατικός, καὶ ἐνεστώς, καὶ μέλλων.

Εἶμι, ἀπὸ τοῦ εἴω τὸ πορεύομαι, τοῦτο παρὰ τὸ ἴω. καὶ πλεονασμῷ τοῦ ι, εἴω. καὶ ἐξ αὐτοῦ εἴωμι, καὶ συγκοπῇ εἶμι. σημαίνει δὲ τὸ πορεύομαι. καὶ τὰ μὲν ἑνικὰ διὰ τῆς ει διφθόγγου γράφεται. τὰ δὲ πληθυντικά, διὰ τοῦ ι.

Εἶμι, λαμβάνεται ἀντὶ ἐνεστῶτος, καὶ μέλλοντος. τὸ δεύτερον, εἶς. τὸ τρίτον, εἶσιν, ἀντὶ ἐνεστῶτος. ὡς τό, τίς πόθεν εἰς ἀνδρῶν; ἀντὶ τοῦ ἔρχῃ. ἀντὶ δὲ μέλλοντος, οἷον παρ' Ἡσιόδῳ, τῇ δ' εἶς ἧς ἂν ἐγὼ περ ἄγω. καὶ παρ' Ὁμήρῳ,

μήρῳ, νῦν δ' εἶμι Φθίηνδε, ἀντὶ τοῦ πορεύσομαι. καὶ εἶμι ποιητής, ἤγουν ἐλεύσομαι, ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος. εἶμι, τὸ ἀρτίως παραγίνομαι. καὶ εἶμι, ἥξω, ἀφίξομαι, παρέσομαι, παραγενήσομαι, ἀπαντήσομαι, ἐπάνειμι, ἐπανήξω. τὸ δὲ ἐλεύσομαι, Ὅμηρος μὲν εἶπεν. οὐδεὶς δὲ τῶν καταλογάδην δόκιμος. πρᾶγμα δὲ, ἄφιξις καὶ παρουσία.

Εἶμι ἔμπορος, οὐ γὰρ νηὸς ἐπήβολος, οὐδ' ἐρετάων γίνομαι. τὸν τοιοῦτον δὲ οἱ μεθ' Ὅμηρον ἐπιβάτην φασὶν, ὡς ἐμπόρου παρ' αὐτοῖς λεγομένου τοῦ μεταβολέως, καὶ ὡς εἰπεῖν πραγματευτοῦ, καὶ μάλιστα τοῦ διὰ θαλάσσης περῶντος, παρὰ τὸν πόρον. καὶ τοιοῦτος ὁ παρ' Ὁμήρῳ ἔμπορος, καὶ ὁ παρὰ τοῖς μεθ' Ὅμηρον ἐπιβάτης.

Εἶμι ὑπὸ γαῖαν, τὸ ἁπλῶς θανεῖν δηλοῖ. τὸ δὲ γαῖαν ἐρεῦσαι, φόνον σημαίνει. παρακολούθημα μὲν σφαγῆς ὂν, ἀσαφῶς δὲ ῥηθὲν, ὡς οἷά τι αἴνιγμα διὰ τὸ εὔφημον. ἐρεύθει μὲν γὰρ γαῖαν καὶ ὁ Μίλτος, ἢ τοιοῦτόν τι καταχέας εἰς αὐτήν. ἐνταῦθα δὲ ἐρεῦσαι τὸ ἐρυθρὰν αὐτὴν θέσθαι, τῷ ἐκ πληγῆς θανατηφόρου αἵματι.

Εἵμορος, πεπρωμένος.

Εἶν ἀντωνυμία, ἀντὶ τοῦ ἐκεῖνος.

Εἰναδίους, σφῆκας ἑρμήνευσεν Ὅμηρος, διὰ τοῦ ὁδῷ ἐπὶ οἰκίας ἔχοντας. ἔνθα καὶ ὁρᾷ τὸ οἰκία, ἐπὶ φωλεοῦ ἀφελῶς λεχθέν. ὃν ἀλλαχοῦ κοῖλον δόμον εἶπεν.

Εἰνάετες, ἐπ' ἐννέα ἔτη.

Εἶναι, ἀπαρέμφατον τὸ ὑπάρχειν. ἀπὸ τοῦ εἰμὶ, ἡ μετοχὴ εἷς ἔντος, ἔναι, καὶ πλεονασμῷ τοῦ ι εἶναι. ἢ τὸ εἶναι, δύναται μὲν κεῖσθαι παρ' Ὁμήρῳ ἐν τῷ φ τῆς Ἰλιάδος, ἀντὶ τοῦ ὑπάρχειν, ἔστι δὲ καὶ ἀντὶ τοῦ ἰέναι καὶ νοεῖν αὐτό. οἷα μετατεθέντος τοῦ ι, καὶ συναιρεθέντος τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον. καὶ εἶναι δασυνόμενον, ἀντὶ τοῦ ἀφεῖναι, εὕρηται καὶ εἷσε, ἀντὶ τοῦ ἀφῆκε. ἢ εἶναι, σημαίνει τὸ χορεῦσαι. ὡς ἐν τῷ ἐξ ἔρον ἕντο. καὶ ἔστι δασυνόμενον, ὡς ἀπὸ τοῦ ἕω, καὶ ἵημι, τὸ πληρῶ. σημαίνει καὶ τὸ ἀφεῖναι, καὶ τὸ πέμψαι, καὶ τοῦτο δασυνόμενον ὁμοίως, ὡς ἐνταῦθα. κανονίζεται δὲ οὕτως. ἵημι, μέλλων ἥσω, ὁ ἀόριστος, ἧκα. ἡ μετοχὴ εἷς ἕντος. καὶ τὸ ἀπαρέμφατον εἶναι.

Εἰν ἁλὶ παρὰ ποιηταῖς, ἐν ἁλὶ παρὰ τοῖς κοινοῖς.

Εἰνάλιος, ἀντὶ τοῦ ἐνάλιος Ἰωνικόν. προστιθέασι γὰρ οἱ Ἴωνες τῷ ε τὸ ι. ὡς ξένος ξεῖνος, ξένια ξείνια, καὶ εἵως ἀντὶ τοῦ ἕως, καὶ κεινὴ ἀντὶ τοῦ κενὴ λέγουσιν Ἴωνες. αἱ γὰρ προσθέσεις τοῦ ι τῷ ε, αὐτῶν εἰσί.

Εἰνάλιος, θαλάσσιος δαίμων.

Εἰναλίφοιτη, περιφραστικῶς φώκην δηλοῖ, οὐ μὴν τὸ ἁπλῶς κῆτος.

Εἰνάνυχες, ἐπὶ ἐννέα νύκτας, ὡς μακρόνυχες.

Εἶναξ, κάλλος.

Εἰνάπηχυν, ἐννεάπηχυν λέγει ὁ Λυκόφρων, μέγεθος ἔχειν τὸν ἔγγονον τοῦ Αἰακοῦ καὶ Δωρίδος.

Εἰναρίμοις, Ἀριμά τινες τὴν κατακεκαυμένην τῆς Φρυγίας χώραν.

Εἰνὰς, νευρά.

Εἰνατέρες, αἱ τοῖς ἀλλήλων ἀδελφοῖς γεγαμημέναι, ἃς συννύμφους τινές φασιν. ὥσπερ δὲ εἰνάτερες αἱ ἐπὶ ἀδελφοῖς σύνυμφοι, οὕτω καὶ αἴλλοι κατὰ τοὺς παλαιοὺς, οἱ ἀδελφὰς γυναῖκας ἔχοντες, καὶ πλεονασμῷ τοῦ ι αἴλλιοι, κατὰ τὸ ἀεὶ αἰεί. καὶ κατὰ τὸ ἀζόκροτος, αἰζόκροτος, ἡ ξηρασία, παρὰ τὴν ἄζην. καὶ ἆψα αἶψα, καὶ ἀζηὸς αἰζηός.

Εἰνατία, ἐπίθετον τῆς εἰλειθυίας. Καλλίμαχος εἰνατίην ὁμόδελφον ἐπ' ὠδίνεσσιν ἰοῦσα. εἴρηται οἷον Κριτική. εἴνατος γὰρ τόπος Κρήτης, ἔνθα ἐτιμᾶτο ἡ εἰλείθυια.

Εἰνάτιον, λοξόν.

Εἴνατον, τόπος Λυκίας, καὶ Κρήτης.

Εἴνατος, ἀπὸ τοῦ ἔνατός ἐστι, προσλήψει τοῦ ι. ἀπὸ τοῦ ἐννέα ἔνατος, δι' ἑνὸς ν γίγνεται, καὶ μὴ ἔννατος. ὡς ἀπὸ τοῦ τέσσαρα τέταρτος, δι' ἑνὸς τ. τινὲς δὲ ἀπὸ τοῦ νέατος, κατὰ μετάθεσιν ἐτυμολογοῦσιν αὐτό. σχεδὸν γὰρ νέατός ἐστιν, ἤγουν ἔσχατος ὁ ἔνατος, ὡς οἷα παρὰ μονάδα δέκατος ὤν.

Εἴνατος, ποιητικὴν ἐπένθεσιν ἔχει τοῦ ι, ὡς ἀπὸ τοῦ ἔνατος. ὅπερ οἱ μὲν λόγιοι δι' ἑνὸς ν γράφουσιν, ὡς ἀπὸ τοῦ νέατος, ὃ δηλοῖ τὸν ἔσχατον. παρέσχατος γὰρ ὁ ἐννέα ἐν μοναδικοῖς ἀριθμοῖς. ἢ καὶ ἄλλως, διὰ παραγωγῆς ἀλλοίωσιν. ὡς γὰρ τέσσαρα μὲν ἐν δυσὶ ταῦ, ἐξ οὗ ὁ τέταρτος, τέταρτος δὲ ἐν ἑνὶ, οὕτω καὶ ἐννέα ἔνατος. οἱ δὲ χύδην βάζοντες, διπλασιάζουσιν ἐν τῷ ἔννατος δι' ἀναλογίαν τὸ ἀμετάβολον. οἷς δοκεῖ καὶ τροπῇ τοῦ ἑνὸς ν εἰς ι γενέσθαι ἀπὸ τοῦ ἔννατος τὸ εἴνατος. ὡς καὶ αἰεὶ αἰὲν, καὶ ἐνείκω ἐνέγκω.

Εἵνεκα εἴσω μοῦνος οὖλος, ἀντὶ τοῦ ἕνεκα ἴσω μόνος ὅλος. ὅταν ἐν τῇ πρώτῃ συλλαβῇ τοῦ ὀνόματος περιληφθῇ τὸ στοιχεῖον, ὥσπερ ἐν τοῖς ἄνω, τοῦτο ἐγὼ παρενθέσεις λέγω, οὐ προσθέσεις. ὡς καὶ ἐκεῖνα, ἔνατος εἴνατος, πνέοντες πνείοντες. πρόσθεσις δὲ λέγεται, ὅταν ἐν ἀρχῇ τοῦ λόγου ἕτερον παραληφθῇ στοιχεῖον. οἷον σταφὶς ἀσταφὶς, πᾶς ἅπας. ἔστι δὲ καὶ τοῦτο Ἀττικόν. παρένθεσις δὲ Ἰώνων. πρόσθεσις δὲ, Ἀττικῶν.

Εἰν' ἐλεοῖσιν, ἐν τοῖς μαγειρικοῖς τραπεζίοις.

Εἶνες, νεῦρα.

Εἰνεσίαι, ἐπιστολαί.

Εἰνῦμεν, ἀντὶ τοῦ εἰσύεμεν, σὺν τῷ ι, Καλλίας πεδήταις. καὶ εἰσῦσαν, ἀντὶ τοῦ εἰσήεσαν, σὺν τῷ ι, Ἀγάθων Ἀερόπῃ.

Εἰνὶ θρόνῳ, ἐν τῷ θρόνῳ.

Εἰνοδίους, τοὺς ἐν τῇ ὁδῷ κώμας.

Εἰνοσίφυλλον κατὰ τοὺς παλαιοὺς, τὸ κινοσίφυλλον, παρὰ τὸ ἐνόθω ἐνόσω. ἀφ' οὗ ἔνοσις, ἡ κίνησις. ἐντεῦθεν δέ φασι τὸ καταπνεόμενον δηλοῦται. καὶ ὡς ἂν εἴποι τὶς ἠνεμόεν. ἢ κινούμενον τοῖς φύλλοις, ὡς δασύ. οὐ δηλαδὴ διὰ τὴν πυκνότητα, οὐδέν τι τῶν στερρῶν κινεῖται. ὡς μὴ διϊκνουμένου τοῦ ἀνέμου ἐντὸς, ἀλλὰ τὰ φύλλα μόνα οἷς ἐπιπολάζων ἐντρέχει ὁ ἄνεμος.

Εἶντο καὶ εἵατο, ἀπὸ τοῦ ἕω κανονίζεται ἀμφότερα, εἰς παθητικὸν ὑπερσυντέλικον. τὸ μὲν κοινῶς, τὸ δὲ Ἰωνικῶς.

Εἴνυον, ἔφερον.

Εἴνω, τὸ καλύπτω. ἐξ οὗ εἰνοσίφυλλον ὄρος, τὸ ὑπὸ τῶν φύλλων κατασκιαζόμενον.

Εἴξαντες, ὑπακούσαντες, ὑποχωρήσαντες.

Εἴξασι, καὶ εἴκασι λέγει Πλάτων, ἀντὶ τοῦ ἐοίκασι. καὶ Ἀριστοφάνης νεφέλαις, εἴξασι δ' οὖν ἐρίοισι πεπταμένοισι· περὶ τῶν νεφελῶν λέγει. εἴκω τὸ ὁμοιῶ, ὁ μέλλων εἴξω, ὁ παρακείμενος εἶχα, ὁ μέσος εἶκα. τὸ τρίτον τῶν πληθυντικῶν, εἴκασι, καὶ πλεονασμῷ τοῦ σ εἴκασι, καὶ εἴξασιν.

Εἶξε δὲ, ὑπεχώρησε δέ. ἢ εἶξεν, ὑπεστάγη.

Εἷο, σημαίνει τὸ ἑαυτοῦ. ἔστι γὰρ ἐμοῦ, σοῦ, οὗ. καὶ αὗται αἱ γενικαὶ οὐδέποτε δύο σύμφωνα ἔχουσι μακρὰ ἢ βραχέα. ἀλλὰ τὸ μὲν ἓν μακρὸν, τὸ δὲ ἕτερον βραχὺ, οἷον Πριαμίδεω, Πηλιάδεω, Ὠκεανοῖο. ταύτας χάριν ἐπέλαβον τὸ ι ποιητικῶς, καὶ ἐγένετο σεῖο, μεῖο, εἷο.

Εἷο, ἐκ τοῦ οὗ. καθάπερ ἐκ τοῦ σοῦ, σεῖο. καὶ ἐκ τοῦ ἐμοῦ, ἐμεῖο.

Εἶοι, ὀστρέων τὰ καθάρσια.

Εἰοίαται, ἀδύνατα.

Εἶπα, ἀόριστος πρῶτος. φυλάττει τὸ σύμφωνον τοῦ ἰδίου μέλλοντος, οἷον τύψω ἔτυψα, λέξω ἔλεξα, πείσω ἔπεισα. οὕτω καὶ οἱ λοιποὶ χωρὶς τοῦ εἶπα, ἤνεγκα, ἔθηκα, ἔδωκα, ἧκα, ἔχεα, ἔοικα. οὗτοι οὐ φυλάττουσι τὸ σύμφωνον τοῦ μέλλοντος.

Εἰπάδεον, ἐπίπονον.

Εἴπαισαν. ἔπω τὸ λέγω, ὁ μέλλων ἔψω, ὁ ἀόριστος εἶπα, ἡ μετοχὴ εἴπας. καὶ τὸ Ἀττικὸν εἴπαιμι, εἴπαις, εἴπαι. καὶ Ἀττικῇ προσθέσει, εἰπαίη. καὶ προσθέσει τοῦ σ τὸ δεύτερον ποιεῖ. καὶ τροπῇ τοῦ σ εἰς ν, τὸ πρῶτον. γίνεται οὖν ἐξ αὐτοῦ εἰπαίην. τὸ πληθυντικὸν εἰπαίημεν, τὸ τρίτον εἰπαίησαν, καὶ συγκοπῇ εἴπαισαν.

Εἴπας ἔπος, Ἀττικῶς ῥηθέν. ὡς γὰρ ἔλεξας λόγον, καὶ ὕπνωσας ὕπνον, οὕτω καὶ εἴπας ἔπος.

Εἴπατε, λέξατε.

Εἰπὲ, ἐλθὲ, εὑρὲ, ὀξύνονται, καὶ λαβὲ Ἀττικῶς.

Εἶπε. τὰ τροχαϊκὰ ῥήμασι περισπώμενα, ἐν τῇ συνθέσει οὐκ ἀναβιβάζει τοὺς τόνους. οἷον, εἶπε κατεῖπεν, εἶχον κατεῖχον. πλὴν τοῦ οἶδα, σύνοιδα, καὶ σύνοιθα. τὰ δὲ ὀνόματα τὰ τροχαϊκὰ καὶ περισπώμενα, τὸ ἐναντίον πάσχουσιν ἐν τῇ συνθέσει. οἷον δοῦλος, εὔλος. ὁμοίως καὶ τὰ παροξύτονα. οἷον πλησίος, παραπλήσιος. καὶ τὰ ἄλλα ὁμοίως.

Εἰπέμεν, εἰπεῖν.

Εἴπερ, ὑπάκουσον, εἴπερ ποτ' ἀνθρώπων τινί, λέγει τὸ ὑπήκουσας.

Εἴπερ ἐκ πεύκης γε κἀγὼ, καὶ ξύλων ἐπηγνύμην. Ἀριστοφάνης, ὡσανεὶ ἔλεγεν, εἴπερ ἐξ ἀνθρώπων εἰμὶ κἀγώ. σωματοποιεῖ γὰρ τὰς ναῦς. καὶ τὰς μὲν παλαιὰς καλεῖ γραίας, τὰς δὲ μὴ πλευσάσας, παρθένους. τῷ ψυχρῷ οὖν τὸ ψυχρὸν παρέβαλε, πάνυ χαριέντως.

Εἴπερ τινες, ὡς ἄλλοι τινές.

Εἴπερ γὰρ, ἐὰν γάρ.

Εἴπεσκεν, εἶπεν. εἵπετο, ἠκολούθει.

Εἴπης, αὐθυπότακτον.

Εἴπησθα, ἀντὶ τοῦ εἴπῃς. αἱ προσθέσεις τῆς θα συλλαβῆς τῶν Αἰολέων εἰσίν.

Εἴποι, ἀντὶ τοῦ λέξοι, ὃ συντάσσεται δοτικῇ. καὶ εἴποις, ἀντὶ τοῦ ὀνομάσεις, συντάσσεται αἰτιατικῇ. Ἀριστείδης, τί δ' ἂν εἴποις τὸ φρέαρ τὸ ἱερόν.

Εἴποις τὰ τρία παρὰ τῇ αὐλῇ. τοῖς ἐπὶ θάνατον ἀγομένοις, ἐξὸν σίτου καὶ οἴνου πληρωθεῖσι, τρία λέγειν ἃ βούλοιντο. μεθ' ἃ φιμωθέντες, ἀπήγοντο τὴν πρὸς θάνατον. τὸ δὲ νῦν ἀρχεῖον καλούμενον, αὐλὴ ἐκαλεῖτο.

Εἱπόμην, ἠκολούθουν.

Εἶπον, ῥῆμα προστακτικόν. τὸ θέμα ἔπω, τὸ λέγω. ὁ πρῶτος ἀόριστος, εἶπα. καὶ ἔστι σεσημειωμένον. ὁ δ' ἕτερος, εἶπον. τὸ τρίτον, εἶπε. τὸ προστακτικὸν, εἶπον εἰπάτω.

Εἶπον καὶ ἦλθον, διὰ τί ἀπὸ βαρυτόνου ὄντα θέματος, φύσει μακρᾷ παραλήγεται; ἐπειδὴ ταῦτα λόγῳ ἀρχούσης, ἐφύλαξαν τὴν μακράν. καὶ γὰρ δυσύλλαβα ὄντα, τὴν αὐτὴν ἔχουσιν ἄρχουσαν καὶ παραλήγουσαν. καὶ διατί οὐκ ἀποβάλλει τὸ ι ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι, καὶ ἐν ταῖς μετοχαῖς, διὰ τοῦτο ὁ εἰπὼν μετοχὴ, οὐκ ἀποβάλλει τὸ ι, καὶ γίνεται ἐπὼν, ἵνα μὴ συνεμπέσῃ τῇ ἐπὼν μετοχῇ, συμμαινούσῃ τὸ ὑπάρχων.

Εἶπον, καὶ εἶπα, φησὶν Αἴλιος Διονύσιος, ὅτι ἀμφότερα παρ' Ἀττικοῖς. μᾶλλον δὲ τὸ πρῶτον. καὶ τὰ προστακτικὰ δὲ ἀμφοτέρως εἰπὲ καὶ εἰπὸν ὀξυτόνως. καὶ αἱ μετοχαὶ ὁ εἰπὼν, καὶ ὁ εἴπας. Ἰστέον δὲ, ὅτι καθάπερ εἶπον καὶ εἶπα, καὶ ἤνεγκα καὶ ἤνεγκον.

Εἶπον ὁ εἰπὼν, καὶ ἧκον ὁ ἥκων παρέβησαν τὸν κανόνα. ὅτι οἱ ἀόριστοι, ἐπὶ τῆς μετοχῆς τὴν αὔξησιν αὐτῶν ἀποβάλλειν ὀφείλουσιν, οἷον ἦλθον ἐλθὼν, εἶδον ἰδών.

Εἶπον μέν σοι, καὶ λέγω σοι. καὶ ἀντεῖπόν σοι, καὶ ἀντιλέγω σοι. λέγω δέ σε κακῶς, καὶ ἀντεῖπόν σε κακῶς, μετὰ τῶν ἀπαρεμφάτων αἰτιατικῇ συντάσσονται.

Εἶ, πορεύου. καὶ εἶ, ὑπάρχεις.

Εἶπος, παγὶς, καὶ πᾶν βάρος.

Εἴποτ' ἔην. περιπαθῶς τε λεχθὲν, καὶ ἐπὶ διορθώσει τοῦ, πατὴρ δέ μοι ἐστὶν, ὁ ἤδη φθαρεὶς ὀλέθρῳ λυγρῷ, ἀλλ' ἦν ποτέ. καὶ εἴποτ' αὖτις χοίατο, παρ' Ὁμήρῳ ἐν δευτέρᾳ ῥαψῳδίᾳ, ἀντὶ τοῦ ὅπως ἂν κεῖται. σύνδεσμος ἀντὶ συνδέσμου, διστακτικὸς, ἀντὶ βεβαιωτικοῦ. καὶ τὸ αἰκέντως, ὁμοίως ἔχει, ἐν τῷ, Ἀλλ' ἄγετ' αἰκέντως θωρήξομεν υἷας ἀχαιῶν.

Εἵποντο, ἠκολούθουν.

Εἶρ, λαῖλαψ, ἢ λαμπηδὼν, ἢ ὄνομα ποταμοῦ.

Εἶραι, συνάψαι, συρράψαι.

Εἰραφιώτης, ὁ Διόνυσος. παρὰ τὸ ἐρράφθαι τῷ τοῦ Διός μηρῷ. ἢ παρὰ τὸ ἐρρέφθαι, ὃ σημαίνει τὸ στεφανοῦσθαι, γέγονεν ἐραφιώτης καὶ εἰραφιώτης. ἢ παρὰ τὸ ἔριφος εἰραφιώτης. ὑπὸ γὰρ ἐρίφων φασὶν αὐτὸν ἀνατραφῆναι.

Εἰράων

Εἰράων προτάροιθεν, εἴληπται μὲν ἀντὶ τῶν ἐκκλησιῶν, ἤγουν τόπων ἐν οἷς ἐκκλησιάζουσι. καὶ ἔστι ταυτὸν τῶν ἀγορῶν.

Εἴργαθεν, διῆργεν, ἐκώλυεν, ἐφύλασσε, διεῖλεν.

Εἰργάσατο, ἐποίησεν, ἐπράξατο.

Εἴργεσθαι, κωλύεσθαι.

Εἴργμαι, ἠρξάμην.

Εἴργει, φυλάττει, χωρίζει.

Εἴργω, τὸ κωλύω, ψιλοῦται. εἴργω δὲ, τὸ εἰς εἱρκτὴν ἐμβάλλω, ἤγουν εἰς δεσμωτήριον, δασύνεται. ἐξ οὗ τὸ καθειργμένος. ἀπείργω μὲν, τὸν βουλόμενον ἅψασθαί τινος ἔργου κωλύω. ἀνείργω, τὸν ἁψάμενον ὁσονοῦν τοῦ ἔργου καὶ ἀνύσαντα ἀποστέλλω.

Εἴργωσι τοῦδε, καὶ εἴργουσι τόδε, ἀντὶ τοῦ κωλύω. καὶ εἴργωσοι τόδε, οἱονεὶ ἀποσοβῶ σου. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις, εἴργειν τεκοῦσῃ μητρὶ, πόλεμον δόρυ. εἴργω σε πορείας, καὶ ἀπὸ τῆς πορείας. καὶ εἴργω, καὶ κωλύω. καὶ ἀπέχω σε τῆς μάχης, καὶ εἴργω σε μάχεσθαι. εἴργω σε τοῦ ἐγχειρήματος, κωλύω σε τοῦ ἔργου, παύω σε τοῦ ποιήματος.

Εἶρε, αἶρε.

Εἴρεαι, ἐρωτᾷς, λέγεις, σύρεις, ἐρεῖς.

Εἰρεβάδε, εἰς ἔρεβος.

Εἰρεθύρη, ὀρσοθύρη, ὁ στροφεύς.

Εἰρεῖς, πνίγεις.

Εἴρειν, τὸ ἀγγέλλειν. ὅθεν Ἶρος.

Εἴρει, λέγει, πλέκει.

Εἰρείσθω, λεγέσθω. ἐκ τοῦ εἴρω, τὸ λέγω.

Εἴρερος κατὰ τοὺς παλαιοὺς, αἰχμαλωσία, δουλεία, παρὰ τὸ ἐρᾶν εἴρειν. οἱ γὰρ ἐν δουλείᾳ, καὶ τοῦ λέγειν στέρονται μὴ παῤῥησιαζόμενοι. καὶ εἴρερος, ἡ δουλεία, ἡ ὄκνος, παρὰ τὸ τὴν ἔραν τὴν γῆν, ἡ περὶ τὴν γῆν δουλεία. ἢ παρὰ τὸ ἔριον, ἔρος, καὶ κατὰ ἀναδιπλασιασμὸν, ἔρερος, καὶ πλεονασμῷ τοῦ ι, εἴρερος. ἢ παρὰ τὸ τείρω, τὸ καταπονῶ, τείρερος, καὶ ἀποβολῇ τοῦ τ, εἴρερος.

Εἰρεσία, κωπηλασία. παρὰ τὸ ἐρέτης ἐρεσία, καὶ εἰρεσία.

Εἰρέσιον, πόλις Βοιωτίας.

Εἰρεσιώνη κλάδος ἐλαίας, ἐρίοις περιπεπλεγμένος, ἢ ἀναδεδεμένος. ἐξήρτηντο δὲ αὐτοῦ ὡραῖα πάντα ἀκρόδρυα. πρὸ δὲ τῶν θυρῶν ἱστᾶσιν αὐτὴν, εἰσέτι καὶ νῦν. ποιοῦσι δὲ τοῦτο κατά τι παλαιὸν χρηστήριον. οἱ μὲν γάρ φασιν ὅτι λιμοῦ, οἱ δὲ ὅτι καὶ λοιμοῦ τὴν πᾶσαν κατασχόντος οἰκουμένην, χρωμένων τίνα ἂν τρόπον παύσαιτο τὸ δεινὸν, τὴν λύσιν ταύτην ὁ Πύθιος ἐμαντεύσατο· εἰ πρὸς Εἰρεσίαν ὑπὲρ ἁπάντων Ἀθηναῖοι θύσωσι. θυσάντων οὖν τῶν Ἀθηναίων, τὸ δεινὸν ἐπαύσατο. καὶ οὕτως ὥσπερ χαριστήριον οἱ πανταχόθεν τοῖς Ἀθηναίοις ἐξέπεμπον, τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς. ὅτε δὴ καὶ Βάριν φασὶ τὸν ὑπερβόρειον ἐλθόντα θεωρὸν εἰς τὴν Ἑλλάδα, Ἀπόλλωνι θητεῦσαι. καὶ οὕτω συγγράψαι τοὺς χρησμοὺς, τοὺς νῦν προσαγορευομένους Βάριδας. Ἄλλως. Πυανεψίοις καὶ Θαργηλίοις ἡλίῳ καὶ ὥραις ἑορτάζουσιν Ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες τούς τε θαλλοὺς ἐρίοις περιειλημμένους, ὅθεν εἰρεσιῶναι λέγονται. καὶ τούτους πρὸ τῶν θυρῶν κρεμῶσιν. ἐξήρτηντο δὲ τῶν θαλλῶν αἱ ὧραι. ἢ εἰρεσιώνη, θαλλὸς ἐλαίας, ἢ κατά τινας καὶ δάφνης, ἐξ ἐρίων συμπεπλεγμένος, ἔχων ἄρτον ἐξηρτημένον, καὶ κοτύλην. ἔστι δὲ μέτρον, ὃ νῦν καλοῦμεν ἡμίξεστον. καὶ σῦκα, καὶ πάντα τὰ ἀγαθά. ταύτην δὲ τὴν εἰρεσιώνην πρὸ τῶν οἰκημάτων ἐτίθεντο οἱ Ἀθηναῖοι, καὶ κατ' ἔτος ἤλλαττον. εἰώθει δὲ παῖς ἀμφιθαλλὴς ἀμφ' αὐτῇ ταῦτα λέγειν.

Εἰρεσιώνη σῦκα φέρει, καὶ πίονας ἄρτους. Καὶ μέλι ἐν κοτύλῃ, καὶ ἔλαιον ὑποψήσασθαι. Καὶ κύλικ' εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ. Ἄλλως.

Εἰρεσιώνη, κλάδος ἦν ἐλαίας ἐρίοις πεπλεγμένος. ἐξήρτητο δὲ αὐτοῦ τὰ ὡραῖα πάντα. ἵστασαν δὲ αὐτὸν πρὸ τῶν θυρῶν, κατὰ τὸ παλαιὸν χρηστήριον. οἱ μὲν γάρ φασιν, ὡς λιμοῦ πᾶσαν τὴν γῆν κατασχόντος, ὁ Θεὸς εἶπε πρὸς Εἰρεσίαν, ὑπὲρ ἁπάντων θῦσαι θυσίαν Ἀθηναίους. οὗ ἕνεκα χαριστήρια πανταχόθεν ἐκπέμπουσιν Ἀθήναζε, τῶν καρπῶν τὰς ἀπαρχάς. Ἄλλως.

Εἰρεσιώνη, ὡς λέγει Παυσανίας, θαλλὸς ἐλαίας ἐστεμμένος ἐρίῳ, προσκρεμαμένους ἔχων διαφόρους ἐκ γῆς καρπούς. τοῦτον ἐκφέρει παῖς ἀμφιθαλλὴς, καὶ τίθησι πρὸ θυρῶν τοῦ Ἀπόλλωνος ἱεροῦ, ἐν τοῖς Πυανεψίοις. λέγεται γάρ φησι, Θησέα ὅτε εἰς Κρήτην ἔπλει, προσχόντα Δήλῳ διὰ χειμῶνα, εὔξασθαι Ἀπόλλωνι καταστέψαι κλάδοις ἐλαίας, εἰ τὸν Μινώταυρον κτείνας σωθῇ, καὶ θυσιάσειν. ὁ γοῦν ἱκετηρίαν ταύτην καταστέψας, ἑψῆσαι λέγεται χύτρας ἀθάρας καὶ ἔτνους, καὶ βωμὸν ἱδρύσασθαι, διὸ καὶ πυανέψια λέγεσθαι, οἷον κυανέψια, διὰ τὸ πυάμους πρότερον τοὺς κυάμους καλεῖσθαι. ἦγον δὲ ἐθ' ὅτε ταῦτα, καὶ ἐπὶ ἀποτροπῇ λιμοῦ, ᾖδον δὲ παῖδες οὕτω.

Εἰρωσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους, Καὶ μέλιτος κοτύλην, καὶ ἔλαιον ἐπαρύσασθαι. Καὶ κύλικα εὔζωρον, ἵνα μεθύουσα καθεύδῃ. μετὰ δὲ τὴν ἑορτὴν ἔξω ἀγρῶν τιθέασι παρὰ τὰς θύρας. Κράτης δέ φησιν, ἀφορίας ποτὲ κατασχούσης Ἀθήνας, θαλλόν φησι καταστέψαντας ἐρίοις, ἱκετηρίαν ἀναθεῖναι Ἀπόλλωνι. ἄλλως δὲ λέγεται, καὶ ὅτι στέμμα λευκὸν, καὶ φοινικοῦν ἀπήρτητο τοῦ θαλλοῦ. καὶ ὅτι προυτίθετο ἱκεσία τῷ Ἀπόλλωνι, καθ' ἣν ἡμέραν οἱ περὶ Θησέα σωθῆναι δοκοῦσι. καὶ ὅτι καταχύσματα καὶ κύλικα οἴνου κεκραμένην καταχέοντες αὐτοῖς, ἐπέλεγον τὴν ῥηθεῖσαν ᾠδήν.

Εἴρετο. ἔρομαι κοινῶς, τὸ ἐρωτῶ. εἴρομαι, ποιητικῶς κατὰ πλεονασμὸν τοῦ ι. ἀπὸ μὲν τοῦ ἔρομαι, ἠρόμην, δεύτερος ἀόριστος διὰ τοῦ η. ἀπὸ δὲ τοῦ εἴρομαι, εἰρόμην παρατατικὸς, διὰ τῆς ει διφθόγγου, ἐν σημασίᾳ ἀορίστου, κατὰ τὴν ποιητικὴν συνήθειαν.

Εἴρετο, σημαίνει τὸ ἐπηρώτα. ὡς τὸ, εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος. σημαίνει καὶ τὸ ἔλεγεν, εἴρετο δεύτερον αὖτις. καὶ πληθυντικῶς εἴροντο, ἀντὶ τοῦ ἔλεγον. εἴροντο δὲ κήδε' ἑκάστη.

Εἰρεῦσαι, λέγουσαι. εἴρω γὰρ τὸ λέγω, οὗ ὁ μέλλων ἐρῶ. Ἡσίοδος, ἐν τῇ Θεογονίᾳ.

Εἴρη, ἡ ἐκ τοῦ ἡλίου γενομένη ταῖς νεφέλαις χρόα, τὸ καλούμενον τόξον.

Εἴρη, ἐρώτησις, φήμη, κληδών.

* Εἴρηαι, ἤγουν ἐρωτήσεις.

Εἰρήδεται, ἐρίζεται.

Εἴρηκα, ἔλεξα, εἶπον. ἐκ τοῦ ἐρέω ἐρήσω, εἴρηκα.

Εἰρήκει, ἀντὶ τοῦ ἐλέξε, κανονίζεται οὕτω. ῥῶ τὸ λέγω, ὁ μέλλων ῥήσω, ὁ παρακείμενος ῥέρηκα, καὶ ἐκβολῇ τοῦ πρώτου ρ ἔρηκα, καὶ πλεονασμῷ τοῦ ι εἴρηκα. ὁ ὑπερσυντέλικος, εἰρήκειν, εις, ει.

Εἰρήκειν, εἰρήκη λέγουσιν Ἴωνες ἀπὸ τοῦ εἰρήκεα, ὥσπερ ἤδεα ἤδη. ὡσαύτως δὲ εἱστήκειν εἱστήκη, ὡς ἀπὸ τοῦ εἱστήκεα. ὅμως τὰ τούτων πρόσωπα τρίτα, κοινότερον σὺν τῷ ν προΐγον ἀπὸ τοῦ εἰρήκεεν, εἱστήκεεν. καθὰ καὶ τὸ ἤσκειν ἔρια καλὰ, ἀπὸ τοῦ ἤσκεεν. τοιούτῳ δὲ λόγῳ κεῖται καὶ παρὰ τῷ κωμικῷ, τὸ ἤειν ὁ δεῖνα, ἀντὶ τοῦ ἦλθεν.

Εἰρηκὼς, εἰπών.

Εἰρημένον, λελεγμένον. εἰρημένον αὐτοῖς ἀπαντᾶν ἐνθάδε, Ἀττικῶς ἀντὶ τοῦ εἰρημένου ἔρχεσθαι, οὐ περὶ φαύλου πράγματος, ἀντὶ τοῦ ἀτελοῦς.

Εἰρημένος, ὁ λεγόμενος, διφθόγγῳ καὶ η. καὶ ἔστι θέμα ῥῶ τὸ λέγω, ὁ μέλλων ῥήσω, ἄχρηστος παρακείμενος ῥέρηκα, καὶ ἐκβολῇ τοῦ πρώτου ρ ἔρηκα, καὶ πλεονασμῷ τοῦ ι εἴρηκα. ὁ παθητικὸς εἴρημαι, καὶ ἡ μετοχὴ εἰρημένος.

Εἴρην, ὄνομα ἡλικίας, παρὰ τὸ ἔρειν τὸ λέγειν, ὁ ἤδη λέγων καὶ δημηγορῶν. καὶ γὰρ τὰς ἐκκλησίας εἴρας προσηγόρευον. εἰ μὲν παρὰ τὸ εἴρω, τὸ λέγω, διὰ διφθόγγου. εἰ δὲ ἀπὸ τοῦ ἱερὰς εἶναι, διὰ τοῦ ἰῶτα.

Εἰρηνάζει, κρατεῖ.

Εἰρηναῖον, εἰρηνικόν.

Εἰρηναῖος, διαλλακτήριος.

Εἰρηνεύσομεν, εἰρηνικῶς διάξομεν.

Εἰρήνη, ἡ ἀγάπη, ἡ πρὸς τὸ ὁμόφυλον γνησία διάθεσις, καὶ ἡ πρὸς τοὺς πολεμοῦντας ἐχθροὺς ἡσυχία. παρὰ τὸ εἴρω τὸ λέγω. ἢ παρὰ τὸ εἴρειν ἡμᾶς ἐπ' αὐτὴν, ὅ ἐστι συμπλέκειν.

Εἰρηνοποιὸς, ὁ τὴν εἰρήνην ἐν ἄλλοις κατεργαζόμενος. οὐκ ἂν δέ τις ἑτέρῳ παράσχοι, ὃ μὴ αὐτὸς ἔχει. κυρίως δὲ εἰρηνοποιὸς, ὁ τὴν ἑαυτοῦ στάσιν τῆς σαρκὸς καὶ τοῦ Πνεύματος, καὶ τὸν ἐμφύλιον τῆς φύσεως πόλεμον, εἰς εἰρήνην ἄγων.

Εἰρήσαντο, ηὔξαντο.

Εἰρήσθω, λεγέσθω.

Εἰρήσεται, λελέξεται, μετ' ὀλίγον μέλλων. ἐκ τοῦ εἴρημαι, εἴρησαι, παρακειμένου.

Εἴρησεν, εἰσεφθάρη.

Εἰρήσομαι, ἐρωτήσω.

Εἴρηται, ἀντὶ τοῦ λέλεκται. καὶ εἴρηται, ἡτοίμασται.

Εἰρητὴς, αἴτιος.

Εἴρια, μαλλία. εἴριά τε ῥοδόεντα δέχαι. καὶ εἰροκόμος, ὁ τῶν μαλλίων ἐπιμελητής. καὶ εἰροπόνος, ὁ τὰ ἔρια πονῶν καὶ ἐργαζόμενος.

Εἶρκται, ἑάλωκε, κωλύεται.

Εἱρκτὴ, ἀσφάλεια. καὶ εἱρκτὴ, ἡ φυλακὴ, παρὰ τὸ ἕρκος.

Εἱρμολόγιον, βιβλίον τι. καὶ εἱρμὸς, ὁ καθ' εἱρμόν.

Εἱρμὸς, παρὰ τὸ εἴρω, τὸ συμπλέκω. εἱρμὸς δὲ, καὶ εἶρξαι, κωλῦσαι, κατακλεῖσαι, συγκλεῖσαι.

Εἶρξαν, ἐκώλυσαν, ἀόριστος πρῶτος ἐκ τοῦ εἴργω.

Εἶρξας ἔνδον, παρὰ τῷ Ἀριστοφάνει, ἀποκλείσας. δασέως δὲ εἵρξαι Ἀττικοί. τὸ μέντοι παρὰ τῷ Ὁμήρῳ, ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ, ψιλῶς. τὸ δὲ ἕρξας, δασέως ἀναγινώσκομεν, ὅταν τὸ πρᾶξαι δηλοῖ. Ἡ μὲν ἄρ' ὡς ἕρξασ' ἀπεβήσατο δῖα θεάων. τὸ δὲ ἐπὶ τῆς εἱρκτῆς, δασέως Ἀττικῶς.

Εἰροκόμος, τὸ ἔρος πλεονασμῷ τοῦ ι, γίνεται εἶρος, ὡς τὸ, ἰοδνεφὲς εἶρος ἔχουσα. σημαίνει δὲ τὸ ἔριον, γίνεται ἐκ τοῦ ἐῤῥῶ, τὸ κάμνω.

Εἰροκόμῳ, ἐριουργῷ, ἐπιμελεῖ.

Εἰρόμενος. Ὅμηρος, ὅς ποτέ με φησὶν εἰρόμενος, ὅ ἐστιν ἐρωτῶν.

Εἴροντες, λέγοντες, συνείροντες.

Εἰροπόκος, μαλλοὺς πλέκων, ἢ κτενίζων. παρὰ τὸ ἔριον, καὶ τὸ πέκω τὸ κτενίζω, γίνεται ἐροπόκος, καὶ εἰροπόκος. εἴρηται δὲ παρὰ τὸ πέκειν, ὅ ἐστι ξαίνειν.

Εἰροπόνος, ὁ περὶ τὰ ἔρια πονῶν.

Εἰρόπους ὄϊς λέγει Ὅμηρος, κατ' ἐξαίρετον πρὸς τὰ ἄλλα ζῷα. οὐδὲν γὰρ ἄλλο ζῷον οὕτω πέκεται εἰς εἶρος, ἤγουν ἔριον. ὁ καὶ αἶγες περί τινας χώρας ἔχουσιν ἐν ἑτέραις τρίχας φέρουσαι, οὐ μὴν εἰροφοροῦσαι. ὅτι δὲ διαφέρετον θρὶξ καὶ ἔριον, οὐκ ἔστιν ἀμφισβητεῖν, παρά γε τοῖς προθεμένοις ὀρθολεκτεῖν. ἰστέον δὲ, ὡς τὸ μὴ εἰροφορεῖν παροιμία ἐξήνεγκε, τὸ, εἰς ὄνου πόκας, ἐπὶ τῶν ἀκερδῶν καὶ ἀλυσιτελῶν. ἣν παρῳδήσας ὁ κωμικὸς, ὄνου πόκας παίζων πλάττει, ὡς οἷόν τι χωρίον ἐν ᾅδου.

Εἶρος, πρωτότυπόν ἐστι τοῦ ἐρίου, ὡς τηχίον. ὅθεν ἔριον, ὡς ἴχνιον. καὶ εἶρος, ἔριον πτωχόν.

Εἰροῦντα, ἐρωτῶντα.

Εἵρπομεν, τὸ ἕρπειν κυρίως ἐπὶ τῶν ὄφεων, καὶ σκωλήκων, καὶ ἑτέρων ἀπόδων ζῴων λέγεται. ἐνίοτε δὲ, καὶ ἐπὶ τοῦ βαδίζειν λέγεται.

Εἷρπον, μετὰ σχολῆς ἐβάδιζον.

Εἰρύαται, εἰρύομαι ἐνεστὼς, εἰρύσομαι μέλλων, εἴρυμαι παρακείμενος, τὸ τρίτον τῶν πληθυντικῶν εἴρυνται, καὶ Ἰωνικῶς εἰρύαται. καὶ εἰρύαται, φυλάττουσιν. εἰρύω εἴρυμι, τὸ παθητικὸν εἴρυμαι, τὸ τρίτον εἴρυνται. καὶ Ἰωνικῶς εἰρύαται. ἢ εἰρύομαι ἐνεστὼς, εἰρύσομαι μέλλων, εἴρυμαι παρακείμενος, τὸ τρίτον τῶν πληθυντικῶν εἴρυνται, καὶ Ἰωνικῶς εἰρύαται.

Εἰρύατο νῆες, τουτέστιν εἱλκυσμέναι ἦσαν.

Εἰρύε-

Digitized by Google

Εἰρύεσθαι, τὸ φυλάττειν· ἀπὸ τοῦ ἐρύω, πλεονασμῷ τοῦ ι. ὥσπερ καὶ ἐῶ, καὶ ἐρωτῶ, εἰρωτῶ.

* Εἰρύω, ἐκ τοῦ ῥύω γίνεται ἐρύω, καὶ ἐπενθέσει τοῦ ι εἰρύω.

Εἰρύοντο, ἐφυλάσσοντο.

Εἰρυόμεσθα, φυλάττομεν.

Εἰρύοντο, εἷλκυον, καὶ εἰρύσαντο.

Εἰρύσασθαι, ἐρύομαι τὸ φυλάσσω, καὶ πλεονασμῷ τοῦ ι εἰρύομαι, εἰρύσομαι μέλλων, εἰρυσάμην ἀόριστος, ἀφ' οὗ τὸ εἰρύσασθαι, καὶ κατὰ πλεονασμὸν τοῦ σ εἰρύσσασθαι.

Εἰρύσασθαι, τὸ φυλάξασθαι, κατ' ἐπένθεσιν τοῦ ι. τὸ μέντοι ἁπλοῦν, ἐρύσασθαί ἐστιν. Ὅμηρος ἐν Ὀδυσσείας π. μηδὲ φρεσὶν εἰρύσαιτο. τουτέστι, μὴ οὐ φυλάξοι καὶ κρύψῃ κατὰ νοῦν.

Εἰρύσαιτο, νοοίη. καὶ ἐρύσασθαι, γνῶναι.

Εἰρυσαίμεσθα, εἱλκύσαμεν.

Εἰρύσαο, ἐφύλαξας.

Εἰρύσατο, εἱλκύσατο, ἔλαβεν. ὃς ἔχαιρεν ἐπὶ ταῖς Ἐπικούρου φλυαρίαις, καὶ ἐξ ἐκείνων κακὰ εἰρύσατο δύο, ἄθεός τε καὶ ἀκόλαστος εἶναι.

Εἰρύσσετο, ἀντὶ τοῦ μεθελκύσει, ἢ καὶ κωλύσει παρ' Ὁμήρῳ.

Εἴρυσεν, εἵλκυσεν.

Εἴρυσθαι, σημαίνει τὸ φυλάξαι. ἐκ τοῦ ἔρυμι, τὸ παθητικὸν ἔρυμαι, καὶ τὸ ἀπαρέμφατον ἔρυσθαι, προπαροξυτόνως, καὶ πλεονασμῷ τοῦ ι, εἴρυσθαι, ὡς ζεύγνυσθαι.

Εἰρύσθαι παροξυτόνως, ἐκ τοῦ ἐρύω ἐρύσω εἴρυκα, εἴρυμαι εἴρυσαι εἴρυται. τὸ ἀπαρέμφατον εἰρύσθαι, ὡς λελύσθαι.

Εἴρυσθαι Θεοῦ δῶρα, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἢ ἀντὶ τοῦ φυλάξασθαι, ἤτοι γνῶναι. ἀπὸ τοῦ ἐρύω τὸ φυλάσσω. ἢ ἀντὶ τοῦ ἑλκύσαι, ὡς καὶ τοῦτό φασιν οἱ παλαιοί. ἵνα λέγῃ, ὅτι οὐ χαλεπὸν ἑλκύσαι εἰς νῦν, ἢ καὶ ἄλλως μεθελκύσαι, εἰς ὃ βούλεταί τις τὴν θείαν βουλήν. τοῦτο δὲ, ὡς ἀπὸ τοῦ ἐρύω, τὸ ἑλκύω.

Εἰρυσμένους, εἱλκυσμένους. ἡ δὲ θεράπαινα, ἑώρα τὰ ξίφη εἰρυσμένους, ὡς αὐτοὺς διαχρήσαιντο.

Εἴρυτο προπαροξυτόνως, ὡς τὸ ἐζεύγνυτο, ἐκ τοῦ ἔρυμι. ἄλλοι τινὲς προπερισπῶσιν, εἰρῦτο. καὶ εἴρυτο θύρας, τουτέστιν ἐφύλασσον. ἢ εἴρυτο, κατεῖχε, Ἀρίσταρχος.

Εἴρχαται. εἴργω, εἶρχα, εἶργμαι, τὸ τρίτον εἶρκται, εἴρχαται Ἰωνικῶς, καὶ ἔρχαται.

Εἰρχθέντες, πνιγέντες.

Εἴρω, τὸ πλέκω, δασύνεται. ἀφ' οὗ εἱρμὸς, ὁ περιτραχήλιος κόσμος. εἴρω δὲ, τὸ λέγω, ψιλοῦται.

Εἴρω, τὸ εἰς μάχην συμπλέκω, γίνεται ἀποβολῇ τοῦ ι ἔρω, ἐξ οὗ ἐρέθω, ὡς φλέγω φλεγέθω, νέμω νεμέθω. ἀφ' οὗ τὸ ἐρεθίζω. τοῦ δὲ ἐρέθω χρῆσις ἐν τῷ, μή με ἔρεθε ὀνειδίοις ἐπέεσσιν. ὅτι δὲ καὶ εἴρειν ἀντὶ τοῦ ἀγγέλλειν λέγεται, πολλαχόθεν δῆλον. ἐξ οὗ καὶ Ἶρις, ἡ τῶν θεῶν ἄγγελος. καὶ Ἶρος, ὃς ἀγγέλλεσκε, κιὼν ἔνθα ἐστέλλετο.

Εἴρω, συνάπτω, ὅθεν εἱρμός.

Εἰρωθέντα, κινδυνεύσαντα, σαλεύσαντα.

Εἴρων, ὁ ἄλλα μὲν φρονῶν, ἄλλα δὲ λέγων. ἢ ὁ ἔχων καὶ προσποιούμενος μὴ ἔχειν. ἀλαζὼν δὲ, ὁ μὴ ἔχων καὶ προσποιούμενος ἔχειν. ἢ ὁ πάντα παίζων, ὑποκριτὴς, εἰρωνευόμενος, ἀπατεὼν, κόλαξ. ἢ εἴρων, ὁ δυνάμενος μὲν ποιῆσαί τι, λέγων δὲ μὴ δύνασθαι. ἀλαζὼν δὲ, ὁ τούτῳ ἐναντίως, ὁ ὑπερηφανευόμενος. οὐκ εἶδεν αὐτὸν παρεκβαίνοντα τὸ ἀληθὲς ἔργῳ ἢ λόγῳ, ἤτοι πρὸς τὸ εἰρωνικώτερον, ἢ ἀλαζονέστερον.

Εἰρωνεία, κολακεία, χλεύη, ἢ ὑπόκρισις. διαιρεῖται δὲ εἰς πέντε, εἰς χλεύην, μυκτηρισμὸν, σαρκασμὸν, καὶ στερισμόν. ἡ εἰρωνεία, λόγος ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον δηλῶν, μετά τινος ὑποκρίσεως.

Εἰρωνεύομαι, ψευδολογῶ, χλευάζω, ὑποκρίνομαι, παρὰ τὸ εἴρων εἴρωνος, καὶ εἰρωνεύω, ταυτὸν οἷς ἐναντίον τὸ ἀλαζονεύομαι. ἀφ' ὧν παράγεται εἰρωνεία, καὶ ἀλαζονεία. καὶ ταῦτα ὡς ἀπὸ τῶν ῥημάτων ἀλλήλοις ἐναντία. ἔστι δὲ εἰρωνείας προσποίησις ἀδυναμίας, ὧν τις δύναται ποιεῖν ἀρχῆθεν. οἷον δύναταί τις ἀνεγεῖραι ναὸν κάλλιστον, ἢ δρόμῳ νικῆσαι τοὺς συναγωνιστὰς, εἶτ' ἐξεπίτηδες εἰρωνεύεται μηδ' ὁπωστιοῦν δύνασθαι τοιοῦτόν τι ἐργάσασθαι. ἢ τὴν ἀλαζονείαν ἐναντίον εἶναι τιθέασιν. ἔστι γὰρ ἀλαζονεία προσποίησις δυνάμεως, ὧν οὐ δύναταί τις ποιεῖν. οἷον οὐ δύναταί τις ἄγαλμα Δαιδάλου κατασκευάζειν, ἢ δημιουργῆσαι. εἶτ' ἀλαζονεύεται, καὶ ἀκριβέστερον δημιουργῆσαι.

Εἰρωνεύσεται, καθυποκρινεῖται. λέγεται γὰρ ἐπὶ τοῦ διάπειραν λαμβάνοντος.

Εἰρώνευται, ψευδολογεῖ, χλευάζει, ὑποκρίνεται, παρὰ τὸ εἴρων εἰρωνεύω. ὅθεν καὶ εἰρωνεία. τὸ δὲ εἴρων, παρὰ τὸ εἴρω, τὸ λέγω, γίνεται εἴρων, ὁ ἀπατεὼν, ὁ διὰ λόγων παραλογιζόμενος.

Εἰρώτα, καὶ εἴρετο, διὰ διφθόγγου γράφουσιν οἱ Ἴωνες.

Εἰρώτων, διὰ διφθόγγου ἄρχεται, ὡς ἀπὸ τοῦ εἰρωτῶ. οὗ χρῆσις παρ' Ὁμήρῳ.

Εἰς πρόθεσις, δηλοῖ κίνησιν εἰς τόπον. οἷον ἀπέρχομαι εἰς τόνδε τὸν τόπον. ἐν δὲ τῇ συνθέσει δηλοῖ κίνησιν, ἐντός του. οἷον, εἰσέρχομαι, εἰσπαίω.

Εἰς πρόθεσις. καὶ εἷς ἐπὶ ἀριθμοῦ, καὶ εἷς ἀντὶ τοῦ ὑπάρχεις, διὰ διφθόγγου γράφεται.

Εἰς, ἀντὶ τοῦ ἐν χρῶνται Ἀττικοί. ὡς Ἀριστοφάνης, κατακλινεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ κράτιστόν ἐστιν. ἀντὶ τοῦ, ἐν τῷ τοῦ Ἀσκληπιοῦ ναῷ δηλονότι.

Εἷς, διατί δασύνεται; τὸ ε τῶν ἀριθμῶν δασύνεται. διατί περισπᾶται; τὰ εἰς εις ὀνόματα, μὴ κοινολεκτούμενα, ἔχοντα οὐδετέρου παρασχηματισμὸν, ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν. ὀνόματα δὲ εἶπε, διὰ τὰς μετοχάς. οἷον τυφθείς. κοινολεκτούμενα δὲ, διὰ τὸ εὐγενὴς, καὶ δυσσεβής. οἱ γὰρ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου γράφουσιν. εἷς ἑνός. ὁ κανὼν, τὰ εἰς εις μονοσύλλαβα ὀνόματα ἀρσενικὰ, διὰ τοῦ νος κλίνεται. οἷον κτεὶς κτενὸς, δεὶς δενὸς, εἷς ἑνός. ὅπερ ἰσοδυναμοῦται τῷ τίς. ὅπερ μετὰ τοῦ ου, οὐδεὶς οὐδενός. καὶ μετὰ τοῦ μὴ, μηδείς. πρόσκειται μονοσύλλαβα, διὰ τὰ ὑπὲρ δύο συλλαβάς. οἷον χαρίεις χαρίεντος. πρόσκειται ὀνόματα, διὰ τὰς μονοσυλλάβους μετοχάς. οἷον θεὶς θέντος, εἷς ἕντος, ἐξ οὗ καὶ τὸ ἀφεὶς ἀφέντος, ὁ ἀπολύσας. πρόσκειται ἀρσενικὰ, διὰ τὸ κλεὶς, κλειδὸς θηλυκόν. γίνεται δὲ εἷς, παρὰ τὴν ἕσιν καὶ ἄφεσιν, ὁ ἀπολελυμένος καὶ μεμονωμένος.

Εἰς Ἀγαμέμνονα δῖον, ἀντὶ τοῦ πρὸς Ἀγαμέμνονα δῖον. ἐναλλαγὴ προθέσεως.

Εἰς ἀεὶ αἰτιατικῇ, οἷον εἰς ἐκκλησίαν, εἰς ἀγοράν. τὸ δὲ εἰς ᾅδου καὶ εἰς διδασκάλου, ἐλλειπτικῶς, ὡς ἐπὶ τοῦ ἐν. ἀλλὰ γὰρ ἐπὶ μὲν ἀψύχων τῇ εἰς, ἐπὶ δὲ ἐμψύχων τῇ πρὸς μάλιστα χρηστέον. οἷον πορεύομαι εἰς ἀγορὰν, πέμπω τὸ χρυσίον πρὸς σέ.

Εἰς ἅλαδε, περιττῶς κεῖται· ἢ τὸ εἰς, ἢ τὸ δε. διὰ τὸ ἐκ παραλλήλου κεῖσθαι. ὁποῖόν τι γίνεται καὶ ἐν τῷ, ὄνδε δόμονδε.

Εἰς δεκάδας παρ' Ὁμήρῳ, ἢ ἁπλῶς ἀντὶ τοῦ εἰς δέκα, ἵνα ᾖ παράγωγον ἀντὶ ἁπλοῦ, ἢ ἀντὶ τοῦ εἰς πολλὰς δεκάδας.

Εἰς ἐπίδοσιν, εἰς αὔξησιν.

Εἰς Διονύσου Ἀττικῶς, ἤγουν εἰς τὸν ναὸν τοῦ Διονύσου.

Εἰς καιρὸν, ἀντὶ τοῦ εὐκαίρως. εἰς καιρὸν ἐπανελθε.

Εἰς μέγα, ἀντὶ τοῦ πάνυ. καὶ εἰς μέγα φθέγγεται, ἤγουν πάνυ.

* Εἰς μέσον, ἀντὶ τοῦ ἐξ ἴσου καὶ δικαίως.

Εἰς πάχος γράφει λέγε· καὶ εἰς κάλλος γράφεται. μὴ παχυγράφος ἐστὶ, μηδὲ καλλιγράφος.

Εἰς τρίτην λέγουσιν Ἀττικοὶ, οὐκ εἰς τρίτην ἡμέραν. Συνέσιος ἐν ἐπιστολῇ, εἰς τρίτην ἥκειν ἐπήγγειλε. καὶ πάλιν ἐν ἑτέρᾳ, τρίτη μὲν ἦν Αἰσχίνη κειμένῳ. καὶ Ἀριστείδης, ἧκεν εἰς τρίτην.

Εἰς ὥρας. ἐξ Ὁμήρου λαβόντες οἱ Ἀττικοὶ, φασὶν ἐπ' ἀρᾶς, τὸ μὴ ἐς ὥρας ὁ δεῖνα ἵκοιτο, ἀλλὰ δηλαδὴ πρὸ ὥρας ἐκθερισθείη.

Εἰσαγγελία, δηλατορία. εἰσαγγελία δὲ, καὶ γραφὴ διαφέρει. εἰσαγγελία μὲν γὰρ, ἐπὶ τῶν μεγάλων καὶ δημοσίων ἀδικημάτων γίνεται, γραφὴ δὲ, καὶ ἐπὶ μικρῶν. κυρίως γραφὴ, ἐπὶ τῶν τὰ παράνομα γραφόντων. καὶ εἰσαγγελία, δημοσίας τινὸς δίκης ὄνομά ἐστι. τρία δέ ἐστιν εἴδη εἰσαγγελιῶν. ἡ μὲν γὰρ ἐπὶ δημοσίοις ἀδικήμασι μεγίστοις, καὶ ἀναβολὴν μὴ ἐπιδεχομένοις. καὶ ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε, μήτε νόμοι κεῖνται τοῖς ἄρχουσι, καθ' οὓς εἰσάξουσιν. ἀλλὰ πρὸς τὴν βουλὴν, ἢ τὸν δῆμον ἡ πρώτη κατάστασις ἐστω. καὶ ἐφ' οἷς τῷ μὲν φεύγοντι ἐὰν ἁλῷ μέγισται ζημίαι ἐπίκεινται. ὁ δὲ διώκων, ἐὰν μὴ ἕλῃ, οὐδὲν ζημιοῦται. πλὴν ἐὰν τὸ πέμπτον μέρος τῶν ψήφων μὴ μεταλάβῃ, τότε χιλίας ἐκτίνει. τὸ δὲ παλαιὸν, καὶ οὗτοι μειζόνως ἐκολάζοντο. ἑτέρα δὲ εἰσαγγελία λέγεται, ἐπὶ ταῖς κακώσεσιν. αὗται δέ εἰσι πρὸς τὸν ἄρχοντα καὶ τῷ διώκοντι ἀζήμιοι, κἂν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων. ἄλλη δὲ εἰσαγγελία ἐστὶ, κατὰ τῶν διαιτητῶν. εἰ γάρ τις ὑπὸ διαιτητῶν ἀδικηθείη, ἐξῆν τούτων εἰσαγγέλλειν πρὸς τοὺς δικαστάς. καὶ ἁλοὺς, ἠτιμοῦτο. Ἰσαῖος μέντοι περὶ τοῦ αὐτοῦ τὸ πρᾶγμα εἰσαγγελίαν καὶ γραφὴν ὠνόμασεν.

Εἰσαγείρατο, ἀνεκτήσατο.

Εἰσαγηοχὼς, εἰσενεγκών.

Εἰς ἀγορὰν ὑφαίνειν, τὸ εἰς τὴν ἀγορὰν ἐκφέρειν τὰ ὑφαινόμενα. οὕτω Μένανδρος.

Εἰς ἀγρὸν Μάνης, παροιμία ἐπὶ τῶν ἀχρήστων. ἐμφαίνει γὰρ ὡς ἐν ἀγρῷ, χρησίμου μᾶλλον ὄντος τοῦ οἰκέτου.

Εἰσαγωγὴ, ἀρχὴ Ἀθήνησι, τῶν τὰ ἐγκλήματα εἰσαγόντων.

Εἰσαγωγῷ, τῷ ὁδηγῷ. καὶ εἰσαγωγὴ, ἡ ἐπὶ τὰ τέλη ὁδήγησις τῶν λόγων.

Εἰσαγωγικοὺς, νεκροὺς, ἀρχαίους.

Εἰς ἀΐδαο, εἰς τὸν τόπον τοῦ ᾅδου.

Εἴσαιτο Θερσίτῃ, ἤγουν δόξοι, ἢ ὁμοιοῖ.

Εἰς ἅλα, εἰς τὴν θάλασσαν.

Εἰσάμενος, ὁμοιωθείς.

Εἶσαν, ὑπεπάγησαν, ἢ συνῆκαν.

Εἴσαντο, παρὰ Ἀπολλωνίῳ, ἀντὶ τοῦ διενοήθησαν, καὶ ὑπέλαβον.

Εἰσάπαξ λέγεται, τὸ εἰς μίαν γεγονός. οἷον εἰσάπαξ συνέβη γενέσθαι χρηστόν. ἅπαξ δὲ, τὸ μίαν καὶ σπανίως συμβάν. οἷον, ἅπαξ τοῦ ἐνιαυτοῦ τὰ Διάσια ἐγένετο.

Εἴσας, ἰσοπλεύρους, ἰσοτοίχους. ἢ εἴσας ναῦς, ἴσας, καὶ πλεονασμῷ τοῦ ε, εἴσας. ἐγὼ δὲ εὗρον παρὰ τὸ ἴω, τὸ πορεύομαι, ἴσω, ἴσας. καὶ νῆας εἴσας, τὰς πορευτικάς. ἢ φρένας εὐκράτους, ἀγαθὰς, ἰσοτοίχους.

Εἰσάττειν, εἰσελθεῖν.

Εἴσατο ἴμεν, δύναται ὅμοιον εἶναι καὶ τὸ, βῆ δ' ἰέναι. ἵνα ᾖ, καὶ ἀντὶ τοῦ ἐπορεύθη, τὸ εἴσατο, καὶ μὴ μόνον ἀντὶ τοῦ ἔδοξεν.

Εἴσατο, ἀντὶ τοῦ ἐπορεύθη, ὥρμησεν. ἀπὸ τοῦ εἶω ῥήματος. ταυτὸν δὲ κατ' ἔννοιαν τῷ διελάσατο, καὶ τῷ διαεισατο. πλὴν ὅσον τοῦτο μὲν ποιητικώτερον, ἐκεῖνο δὲ κοινότερον. καὶ εἴσατο παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ὑπέλαβε, ἐφάνη. καὶ ἀντὶ τοῦ ὡμοιώθη λέγεται. ἀπὸ τοῦ εἴδω. ἢ ἀντὶ τοῦ ἐπορεύθη, ἀπὸ τοῦ εἴω.

Εἴσατο ἐν ἐπιγράμματι, ἀντὶ τοῦ ἀνέθηκε. Τοῦτό σοι Ἄρτεμι δῖα Κλεώνυμος εἴσατ' ἄγαλμα. καὶ εἴσατο, κατέθετο, ἐν ἐπιγράμματι. Ὃς τάδε καλὰ εἴσαθ' ὑπαὶ πιτύων ὔμμι θεαὶ ξόανα. καὶ ἀντὶ τοῦ περιέθηκε, περιέβαλε.

Εἰσαφάσματα, εἰσπτώματα. ἀπὸ τοῦ εἰσαφιέναι. ἢ σπαράγματα. Αἰσχύλος Προμηθεῖ λυομένῳ.

Εἰσβαίνει, κυρίως ἐπὶ νηὸς λέγεται. ὡς παρὰ Θουκυδίδῃ, φαμὲν εἰσβάντες εἰς ναῦς πανδημεὶ ναυμαχῆσαι. μετὰ αἰτιατικῆς καὶ προθέσεως συντάσσεται.

Εἰσβαλεῖν κυρίως ἐστὶ, τὸ πολεμίους τινὰς εἰσελθεῖν εἰς τὴν πόλιν, καὶ τὸ εἰσέρχεσθαι ἁπλῶς, καὶ εἰσδύειν.

Εἰσβάλλειν, ἀντὶ τοῦ εἰσρεῖν, οἷον εἰσβάλλουσιν οἱ ποταμοί. Θουκυδίδης, διὰ δὲ τοὺς Θε-

σπρω-

Digitized by Google

προτίδος Ἀχέρων ποταμὸς ῥέων εἰσβάλλει εἰς αὐτήν, ἀντὶ τοῦ εἰσχέει. εἰσβάλλειν, καὶ ἐπὶ πολέμου, ὡς ὁ αὐτός. Πελοποννήσιοι καὶ οἱ σύμμαχοι ἐπὶ τοῦ αὐτοῦ πολέμου, εἰσέβαλον εἰς Ἀττικήν.

Εἰσβολαί, ἀφορμαί, ἀρχαί, φιλονεικίαι, εἴσοδοι. καὶ εἰσβολαὶ ἀλφίτων, τὰ σιτοφυλάκια, αἱ ἀποθῆκαι.

Εἰσβολὰς ἔλεγον, τοὺς τόπους δι᾽ ὧν εἰσέβαλλον οἱ πολέμιοι. καὶ τὰς εἰσόδους τῶν πολεμίων στρατῶν.

Εἰσβολή. ἐπὶ τοῦ νοὸς τρία θεωρεῖται, εἰσβολή, παραδοχή, συγκατάθεσις. τοῦτο παρὰ τῷ Δαβίδ, εἴρηται ἐνώτισις, σύνεσις, Τὰ ῥήματά μου ἐνώτισαι κύριε, καὶ τὰ ἑξῆς. καὶ ἐνώτισις μέν, ἡ σύνοψις τῶν ῥημάτων. σύνεσις δέ, ἐπίληψις τῶν πραγμάτων. προσοχὴ δέ, τελείωσις τῆς ἐφέσεως.

Εἰσβόοs, Ἀθήνησιν ἡμέρα οὕτω καλεῖται, τοῦ Βοηδρομιῶνος.

Εἷς βροτός, εἷς ἄνθρωπος.

* Εἷς καὶ δύο, οὐ τρεῖς ἀλλὰ δύο μόνους σημαίνει, ἐν τῷ τοῦδε δ᾽, ἐκ φθινύθειν ἕνα καὶ δύο.

Εἰς δέον σε εὗρον, ἤγουν εὐκαίρως. καὶ παροιμία εἰς δέον, ἀπὸ τοῦ Περικλέους, ὁπότε τις θέλῃ μὴ φανερῶς εἰπεῖν, ὅπου τι πολλάκις ἀνήλωσεν. ὁ γὰρ Περικλῆς τὰ εἰς προδοσίαν χρήματα, εἰς δέον ἀπεγράφετο.

Εἰς Διονυσίου, πρὸς Διονύσιον.

Εἰσέδρακεν, ἐθεάσατο.

Εἰσδύεται, εἰσέρχεται.

Εἰσδύς, εἰσελθών.

Εἷσε λόχον, ἤγουν ἐκάθισε λόχον. καὶ εἷσεν ἐπὶ θρόνον.

Εἰσέθει, εἰστρέχει. θέειν γάρ, τὸ τρέχειν.

Εἴσεαι αὐτὸς παρ᾽ Ὁμήρῳ. τουτέστιν, αὐτὸς γνώσῃ, καὶ νοήσεις. καὶ εἴσατο, ἀντὶ τοῦ ἐπορεύθη. ἀπὸ τοῦ εἶω ῥήματος. φησὶ γὰρ Ὅμηρος, διὰ πρὸ δὲ εἴσατο χαλκός.

Εἴσειμι, ἀντὶ τοῦ εἰσέρχομαι. ἔξειμι, ἀντὶ τοῦ ἐξέρχομαι. σύνειμι, ἀντὶ τοῦ συνέρχομαι, καὶ ἀντὶ τοῦ συνυπάρχω. τοῦτο δὲ ἐπὶ τῆς ὁμιλίας λέγεται. καὶ ἔτι ἐπὶ συνουσίας. πρόσειμι, ἀντὶ τοῦ προσέρχομαι. πρόειμι, ἀντὶ τοῦ προέρχομαι. καὶ ἄνειμι, ἀντὶ τοῦ ἀνέρχομαι. κάτειμι, τὸ ἐναντίον τούτου. δίειμι τὸ γράμμα, ἤγουν διέρχομαι. μέτειμί τινα, ἤγουν κολάζω. πάρειμι, ἀντὶ τοῦ παρών εἰμι. ἔπειμι, τὸ ἐπέρχομαι. περίειμι, ἀντὶ τοῦ περιέρχομαι.

Εἰσεκώμασεν, εἰσῆλθεν.

Εἰσελᾶσαι, περιπατουμένους, ἀπὸ τοῦ ἐλάω ἐλῶ.

Εἰσελαύνοντα, εἰσερχόμενα.

Εἰσελάων, εἰστρέχειν μέλλων.

Εἰσεμπορεύεσθαι, τὸ εἰς πολέμους ἐμπορείας χάριν ἀπιέναι.

Εἰς ἐμφανῶν κατάστασιν, δίκης ἐστὶν ὄνομα, ὑπὸ τοῦ τὰ ἀμφισβητούμενα ἐν φανερῷ ποιῆσαι.

Εἷσεν, ἀπὸ τοῦ ἕω ἀρχῆς, εἷσα ἀόριστος.

Εἷσεν, ἀπὸ τοῦ ἕω ἀχρήστου, εἷσα ἀόριστος. ὡς ἀπὸ τοῦ ἐνέπω εἶπα, καθίζω ἕτερον. καὶ καθίζω ἐγώ, ἐκάθιζον παρατατικός. καθίσω μέλλων, ἐκάθισα ἀόριστος. καὶ εἷσα ποιητικῶς ἐπὶ τῆς μεταβατικῆς τοῦ καθίζω σημασίας. τὸ δὲ καθέζομαι, οὔτε πάθος οὔτε ἐνέργειαν δηλοῖ. ὡς τὸ πλουτῶ καὶ ὑγιαίνω. καὶ ἔστιν ἐνεστὼς μὲν καθέζομαι, καὶ κάθημαι, ἐπὶ τοῦ αὐτοῦ. παρατατικὸς δέ, ἐκαθεζόμην, καὶ ἐκαθήμην. μέλλων καθεσθήσομαι, ἢ καθεδοῦμαι. ἀόριστος ἐκαθέσθην. παρακείμενος ἧσμαι, ποιητικῶς. ὑπερσυντέλικος ἥσμην, οὗ τὸ τρίτον ἧστο. καὶ εἷσεν, ἔκτισεν.

Εἰς ἓν ἰόντα, ὁμοῦ πορευόμενον. καὶ εἰς ἓν ἦλθον, ἀντὶ τοῦ ὡμονόησαν.

Εἰσενεγκεῖν, τὸ ἔσω ἀγαγεῖν. οὐκ ἀνάπαλιν τὸ ἐξενεγκεῖν. τὸ μέντοι ἀνενεγκεῖν, ἔχει πλείω τινὰ διατριβήν. ὅτι μὲν γὰρ ἀνενεγκεῖν λέγεται καὶ τὸ ἀναγαγεῖν τι, καὶ τὸ ἀναβῆναι. ὡς δηλοῖ τὸ εἰς τὸ Κωρύκιον ἀνενείκαντο, ἤγουν ἀνέβησαν. ὅτι δὲ καὶ ἀντὶ τοῦ ἀνέπνευσε κεῖται κατὰ Παυσανίαν, δηλοῖ Θεόπομπος εἰπών, Ἄφωνος ἐγένετο, ἔπειτα μέντοι πάλιν ἀνηνέχθη. καὶ πάλιν, Ἀνενήκατο φώνησέν τε, οἱονεὶ ἀνέπνευσε καὶ ἀνεστέναξε. λέγεται δέ τις καὶ ἐκ νόσου ἀνενεγκεῖν, καὶ ἐκ παραφροσύνης, ὃ καὶ ἀναφέρειν λέγεται.

Εἰσενεκάθισεν, ἵδρυσεν.

Εἰς ἕνην, εἰς τρίτην.

Εἰσέλθῃ, εἰσέρχηται.

Εἰσεπόδιζον, ἀντὶ τοῦ εἰσέβαινον τοὺς πόδας τοῦ χορείου. Ἰσαῖος ἐν τῷ πρὸς Ὀργεῶνα.

Εἰς ἐπίδοσιν, εἰς αὔξησιν.

Εἰσεποιήθη, εἰσεκρίθη ὑπὸ τοῦ πατρός.

Εἰσεποιεῖτο, ἀντὶ τοῦ ὑπετίθει.

Εἰς ἕρερον, εἰς δουλείαν.

Εἴσεται, ἐκ τοῦ εἶω τὸ πορεύομαι.

Εἰς εὐνήν, εἰς κοίτην.

Εἰσέφρηκεν, εἰσεπήδησεν, εἰσαφῆκεν.

Εἰσέφρησα, εἰσέδυσα ἑαυτόν. καὶ εἰσέφρησας, εἰσήγαγες.

Εἰσέφρησεν, ἐπεισῆλθεν.

Εἰσέφρην, εἰσεδέχοντο. οἱ δὲ τὰς πύλας ἀνοίξαντες, εἰσέφρουν τὸ στράτευμα.

Εἰσέχω λέγεται κυρίως, ἐπὶ οἰκοδομῆς τῆς οἰκίας. οἷον εἰσέχει πρὸς τὴν οἰκοδομὴν ὁ λίθος. καὶ εἰσέχει ὁ κόλπος, ἀντὶ τοῦ ὑφιζάνει. τὸ ἐναντίον ἐξέχει, ἀμεταβάτως.

Εἰσεχέοντο, εἰσήρχοντο.

Εἰσεχόντων, ἀντὶ τοῦ εἰσερχομένων. Ἀριστείδης, Κόλπων ὧν ἴσασιν ἄνθρωποι τῶν εἰσεχόντων.

Εἰσέχων, ἀντὶ τοῦ εἰσερχόμενος. Ἡρόδοτος, Κόλπος θαλάσσης εἰσέχων ἐκ τῆς Ἐρυθρᾶς καλουμένης θαλάσσης.

Εἰς ἕω, ἀντὶ τοῦ εἰς τὴν ἐρχομένην ἡμέραν. Ἰσαῖος, ἐν τῷ τοῦ Ἥρωνος κλήρῳ.

Εἴσῃ, γνώσῃ, μαθήσῃ, λογίσῃ. Εὐριπίδης. καὶ εἰσόμενον, μαθησόμενον.

Εἰσῇα, ἀντὶ τοῦ εἰσήειν. καὶ εἰσῇσαν, ἀντὶ τοῦ εἰσήεσαν.

Εἰσηγαγέτην, εἰσήγαγον, δυϊκῶς.

Εἰσήγγειλεν, ἐσυκοφάντησεν.

Εἰσηγεῖται, συμβουλεύει, νουθετεῖ, εἰσηγήσασθαι τὰ αὐτά.

Εἰσηγητηρία, ὅταν ἄρχηται βουλεύειν, ἢ θύειν.

Εἰσηγητής, διδάσκαλος.

Εἰσηγορία, ἐπηγορία, καὶ κατηγορία, ἀντὶ τοῦ μέμψις, καὶ λοιδορία.

Εἰσηγοῦμαι, συμβουλεύω, παραινῶ, διδάσκω, νουθετῶ.

Εἴση δαίς, κοινότερον ἡ ἰσόμοιρος, κατὰ δὲ Ζηνόδοτον ἡ ἀγαθή. ὡς ἱστορεῖ καὶ Ἀθήναιος, λέγων ὅτι ἐπεὶ ἡ τροφὴ τῷ ἀνθρώπῳ ἀγαθὸν ἀναγκαῖον, ἐπεκτείνας εἴρηκεν ἐΐσην. ἔνθα σημαίνει τὸ ἐπεκτείνας, ὡς τοῦ Ζηνοδότου ἐπέκτασιν δόξαντος. καὶ ἀντὶ τοῦ ἴσην, εἰπεῖν ἐΐσην.

Εἰσήειν, ἀντὶ τοῦ εἰσῆλθον, τὸ ἐναντίον τούτῳ, ἐξήειν. εἰσήει με τόδε, καὶ εἰσήει μοι. Πλάτων ἐν τῷ Φαίδωνι, Οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰσήει, οὔτε ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου, ἔλεος εἰσήει.

Εἰσήεσαν, εἰσῆλθον.

Εἰσήλασαν, εἰσῆλθον.

Εἰσήλατο, εἰσεπήδησεν.

Εἰσηλεῖν, εἰσάγειν, εἰσελαύνειν.

Εἰσῆλθεν εἰς τὴν οἰκίαν, λέγεται κατὰ λόγον. τὸ δὲ εἰσῆλθε, δηλοῖ μὲν τὸ εἴσω ἦλθεν. οὐ μήν, καὶ ὅπῃ εἰσῆλθεν ὡρισμένως. διὰ τοῦτο ἐπάγεται τὸ εἰς τὴν οἰκίαν, ἢ εἰς τὴν πόλιν, ἢ τοιοῦτό τι, καὶ οὐ δοκεῖ φορτικόν.

Εἰσηλύσιον, τίμημα εἰσόδου, ἢ τέλος.

Ἐΐσην, οὐ μόνον λέγει ὁ ποιητὴς δαῖτα, ἀλλὰ καὶ νῆας ἐΐσας, ἤγουν ἴσας. ὥστε μὴ ἀεὶ στοιχίζειν, καὶ πλεονασμῷ τοῦ ε, ἐΐσας. ἢ πορευτικάς, καὶ ταχείας παρὰ τὸ ἰέναι. καὶ ἐΐσην δαῖτα λέγει ὁ ποιητής, ἢ τὴν ἴσην, κατὰ πλεονασμὸν Ἰωνικόν, τὸν τοῦ ε· ἰσομοίρως γὰρ δαίνυντο διὰ τὸ ἀφιλόνεικον. ἢ παρὰ τὸ εἶω, τὸ πορεύομαι, ἡ διὰ παντὸς ἱκνουμένη τοῦ σώματος, ἤτοι πορευομένη, καὶ εἰς ἅπαν αὐτὸ διϊκνοῦσα.

Εἰσήνεγκεν ὁ δεῖνα ζημίαν, ἀντὶ τοῦ ἐζημιώθη.

Εἰσήρετο, εἰσεφέρετο, εἰσήγετο. Ἀριστοφάνης Βατράχοις, Χ᾽ ἡ τράπεζ᾽ εἰσήρετο.

Εἰσήρρησε κάλλιον, ἢ εἰσεφθάρη. καὶ εἰσήρρησεν, ἀντὶ τοῦ εἰσῆλθεν, εἰσεπήδησεν, κεῖται παρὰ τῷ Ἀριστοφάνει. Ἀττικὴ δὲ ἡ λέξις. ἐν ἐνίοις δὲ ἀντιγράφοις, εἰσέφρησε γράφεται, δηλούσης τῆς λέξεως τὸ ἐπεπήδησεν. ἔστι δὲ καὶ τὸ μετὰ φορᾶς εἰσελθεῖν.

Ἐΐσης, εἰς ἴσον ἑκάστῳ μεμερισμένης, δαιτὸς ἐΐσης.

Ἐΐσης, ἰσομοίρου, ἴσης.

Εἴσηται, παύσηται.

Εἰσῆχε κάλλιον, ἢ εἰσαγήοχεν. ἀπὸ τοῦ εἰσάγω, εἰσάξω, εἰσῆχα.

Εἶσθα, ἀντὶ τοῦ ἥξεις, παραγενήσῃ, ἐλεύσῃ. ἐκ τοῦ εἶμι, τὸ δεύτερον εἶς, καὶ εἶσθα.

Εἶσθα θύραζε, διὰ διφθόγγου ἔχοντα τὴν παραλήγουσαν τοῦ εἶσθα. οὐ γάρ ἐστι ῥῆμα συνήθως ὑπαρκτικόν, ἀλλὰ τὸ πορεύῃ, καὶ ἐξέρχῃ δηλοῖ. γενόμενον ἀπὸ τοῦ εἶμι, οὗ τὸ δεύτερον εἶς, καὶ κατ᾽ ἐπέκτασιν εἶσθα. ὁμοίως τῷ ἔφησθα, ἐθέλησθα, καὶ τοῖς τοιούτοις.

Εἰσθμός, εἴσοδος ὕδατος στενή.

Εἰσθορόντα, εἰσπηδήσαντα. Ὅταν ἴδωσιν αὐτὸν εἰσθορόντα τοῖς πολεμίοις, φονῶντα, καὶ πεφονημένον θεάσωνται.

Εἰσὶ κατ᾽ οὔρεος, Ἀττικὴν ἔχει τὴν σύνταξιν, ὡς καὶ τὸ κατὰ σπλάγχνων ἔβαψε ξίφος. καὶ τὸ ὁρᾶν κατὰ γῆς. καὶ τό, κατὰ δὲ κεφαλῆς ἄλας εἶχε κόμας. ὅτι δὲ καὶ μετὰ αἰτιατικῆς δύναται ἡ τοιαύτη συνταχθῆναι πρόθεσις, δηλοῖ τό, ἢ κατὰ Τηΰγετον, ἢ Ἐρύμανθον.

Εἰσί, τυγχάνουσιν, ἢ ἀντὶ τοῦ ὑπάρχουσι διὰ διφθόγγου.

Εἶσι πορεύεται, ἢ ἔρχεται.

Εἰσίασι, τὸ εἰσέρχονται, μετὰ τῆς εἰς προθέσεως λέγομεν, εἰσιᾶσι δὲ οὐ λέγομεν.

Εἰσιέτω, καὶ περὶ τούτου οὕτως ἔχει. Λολλιανὸς ἀκούσας ὅτι σὺν τῷ ε εἰσιέναι λέγειν, εἶθ᾽ ὑπέλαβε καὶ τὸ εἰσίτω εἰσιέτω δεῖν λέγεσθαι. Φρύνιχος.

Εἴσιθι, εἴσελθε.

Εἰσίθμη, ἡ εἴσοδος. παρὰ τὸ ἴω, τὸ πορεύομαι.

Εἴσιμεν, εἰσερχόμεθα.

Εἰσίμη, ῥύμη.

Εἰσιόντο, εἰσήρχοντο.

Εἰσιτηρία, ἡμέρα ἑορτῆς, ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες προϊᾶσιν, οὕτως ἐκαλεῖτο. ταύτην δὲ τὴν ἡμέραν πρώτην τοῦ ἔτους Ἀθηναῖοι νενομίκασιν.

Εἰσιτήριος, ὁ εἰσόδιος λόγος.

Εἰσιτός, πορευτός.

Εἰσίτω, εἰσελθέτω. δηλοῖ τὸ εἴσω ἐλθέ, καὶ ἐλθέτω.

Εἰς καλόν, εὐκαίρως. καὶ εἰς καιρόν, ἀντὶ τοῦ εὐκαίρως.

Εἰσκαλοῦμαι, τὸ ἐπὶ φιλίᾳ τινὰ δεξιοῦμαι, ὃ καὶ εἰσκαλῶ γράφεται κοινῶς, αἰτιατικῇ συντάσσεται.

Εἰσκεκριμμένον, ἐπείσακτον. καὶ εἰσκριθεὶς εἰσελθών.

Εἰσκεκύκληκεν, εἰσήνεγκεν, εἰσήγαγεν.

Εἰσκηρύττεσθαι, καλεῖσθαι ὑπὸ τοῦ κήρυκος.

Ἐΐσκομεν, ὁμοιοῦμεν, δοκοῦμεν. καὶ ἐΐσκω, τὸ ὁμοιῶ.

Εἰσκονιανοί, οἱ Ἐφέσιοι, ὡς Ἀντίμαχος.

Εἰς κόνιν, εἰς γῆν.

Εἰς κόρον θυμιᾶς, ἐπὶ τῶν ἀνηνύτων, καὶ μὴ ὄντων λέγεται ὑπὸ τῶν Ἀττικῶν.

Εἰς κόρακας, εἰς τὸ σκότος, εἰς ὄλεθρον·

Εἰσκριθείς, ἀντὶ τοῦ εἰσελθών. ὁ δὲ εἰς τὸ ἄντρον εἰσκριθείς.

Εἰσκρίνειν, μερίζειν, εἰσχωρίζειν.

Εἰσκρίνοιτο, εἰσφέροιτο, κρίνοιτο.

Εἰσκυκλεῖ, εἰσφέρει, ἐπισυνάπτει.

Εἰσκυκλήσας, περιελθών.

Εἰς Κυνόσαργες, εἴρηται ἐπὶ ὕβρει καὶ ἀρᾷ. ἔστι δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον· ὠνόμασται δὲ οὕτως, ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ, ἢ ταχέος. καὶ γὰρ Ἡρακλεῖ θυόντων κύνα λευκόν, ἢ ταχύν, ἀετὸν ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία, αὐτοῦ καταθεῖναι. καὶ ἐπερωτήσαντας τοὺς θεούς, λαβεῖν χρησμόν, ἱερὸν Ἡρακλέους ἱδρύσαι τῷ τόπῳ, ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν.

ὅτι

Digitized by Google

ὅτι καὶ Ἡρακλῆς νόθος ὤν, ἴσα θεοῖς ἐτιμήθη.

Εἴσκω, εἰκάζω, ὁμοιῶ, αἰτιατικῇ.

Εἰς λῆξιν, εἰς κατάπαυσιν, εἰς τελειότητα.

Εἰς μελίττας ἐκώμασας, παροιμία ἐπὶ τῶν παρὰ δόξαν ἀθρόως κακουμένων.

Εἰς νέωτα, εἰς τὸ ἐπιόν.

Εἰσόδια, πρόσοδοι, ἀναλώματα.

Εἰς ὁδὸν ὡρμήσθην, ἀντὶ τοῦ μετέωρος πρὸς ἀπόπλουν.

Εἴσοδος, εἰσφορά.

Εἰσοικίζεται, εἰσφέρει, ἢ εἰσφέρεται, ἢ ἰδιοποιεῖται.

Εἰσοίσει, εἰσενέγκει.

Εἰσοιχνεῦσαν, ἄδηλον εἴτε οὐδέτερόν ἐστιν, εἴτε θηλυκὴ μετοχή, ἀντὶ τοῦ εἰσοιχνεύουσαν. δύναται γὰρ καὶ οὕτω κατὰ σχῆμα Ἀττικόν. Ἀττικίζει γὰρ πάντως, ὁ εἰπὼν ἐνταῦθα, τοῖον δὲ θάλος χορὸν εἰσπορευομένην, τοιοῦτον ὄν, τῷ τοιάνδε θαλερὰν κόρην χορεύουσαν. τοιοῦτον δέ τι καὶ τὸ φίλε τέκνον, ἀντὶ τοῦ φίλε υἱέ. Ἰστέον δέ, ὡς δυνατὸν ὄν, εἰσοιχνοῦσα εἰπεῖν κοινότερον, ὅμως ὁ ποιητὴς εἵλετο τὸ καινότερον, ὡς φίλον αὐτῷ, καθὰ καὶ ἄλλοι προαιροῦνται. οὕτω Δωριεῖς, ἐν τῷ λεξεῦται, ποιησεῦται, ἐσσεῖται, μεταθέντες τὴν παρατέλευτον ει δίφθογγον εἰς τὴν ου, παρενθέσει τοῦ ν ποιησοῦντί φασι, καὶ τελεσοῦντι, καὶ ἐσσοῦντι. πᾶς γὰρ μέλλων καθ' Ἡρακλείδην τοιοῦτος ἐπὶ τρίτου πληθυντικοῦ Δωρικῶς εἰς τὸ τι λήγει, τῆς ου διφθόγγου παραληγούσης. οὕτω δὲ καὶ ἐπὶ τοῦ ποιοῦντι καὶ ὀρθοῦντι, ἀντὶ τοῦ ὀρθοῦσι, καὶ τῶν ὁμοίων θεμάτων τῆς πρώτης καὶ τρίτης τῶν περισπωμένων. ἔτι καὶ τῶν μελλόντων, ποιησοῦντι γὰρ καὶ ὀρθωσοῦντι, καὶ τὰ ὅμοια, ἐπὶ μέντοι δευτέρας διὰ τὸ α μηκυνομένου, καὶ τοῦ ν, γελασοῦντι γὰρ καὶ γελᾶντι, καὶ βοασοῦντι καὶ βοᾶντι. ἐπὶ δὲ βαρυτόνων, ἡ ον συλλαβὴ ἐν τούτοις παρατελευτᾷ. οἷον λέγοντι, ἀντὶ τοῦ λέγουσι, καὶ τὰ ὅμοια. τῶν δ' αὐτῶν Δωριέων, καὶ τὸ φρονοῦσι, καὶ νοοῦσι, φρονεῦντι λέγειν καὶ νοεῦντι, ἐπὶ περισπωμένων δηλαδή. ἅπερ ἐξάρσει τοῦ ν λεγόμενα Αἰολικά ἐστιν. οἷον, φρονεῦντι, νοεῦντι. ἔτι δὲ καὶ ἐντί, ἀντὶ τοῦ εἰσίν, ὅπερ ἄλλως ἐντὶ λέγεται, Δώριον ὁμοῦ ὂν καὶ Αἰολικόν. Δώριον μέν φησι, διὰ τοῦ ν καὶ τ. Αἰολικὸν δέ, διὰ τὴν παράληξιν τοῦ ε. τὰ γὰρ εἰς σι περαιούμενα τρίτα πληθυντικὰ θέματα, τῇ ει διφθόγγῳ παραληγόμενα, μετατιθέασι τὸ μὲν ι εἰς ν Δωρικῶς, τὸ δὲ σ εἰς τ, τιθεῖσι τιθέντι, ἱεῖσι ἱέντι. οὕτω δὲ καὶ Αἰολικῶς οἰκέντι, φιλέντι, ἤγουν οἰκοῦσι, φιλοῦσι. τοιοῦτον δὲ καὶ τὸ εἰσίν, ὅτε γένοιτο ἐντί.

Εἰσόκε, καὶ τὸ ὄφρα, ταυτά ἐστιν. ἢ εἰσόκεν, ἕως ἄν. οὗ χρῆσις πολλαχοῦ ἀντὶ τοῦ ἕως, καὶ ἕως οὗ, καὶ ἕως ὅτου τίθεται. σύγκειται δὲ ἐκ προθέσεως, καὶ ὑποτακτικοῦ οὐδετέρου ἄρθρου ἑνικοῦ, πτώσεως αἰτιατικῆς, καὶ συνδέσμου. ἔχει δὲ ἔλλειψιν, ληφθὲν ἀντὶ τοῦ εἰς ὃ ἂν διάστημα καιροῦ, ἤγουν ἕως ἂν τόδε γένηται.

Εἴσομαι, ἀντὶ τοῦ γνώσομαι. ὡς καὶ παρ' Ὁμήρῳ, εἴσομαι αἴκε μ' ὁ Τυδείδης κρατερὸς Διομήδης.

Εἰσομένας, γνωσομένας, ὁμοιωθείσας.

Εἰσόμενον, μαθόντα. ὡς τό, Τί πράττουσιν οἱ πολέμιοι, καὶ τί διανοοῦνται εἰσόμενον. καὶ εἰσόμενον, ὁδοιποροῦντα.

Εἴσονται, μαθήσονται, γνώσονται. καὶ εἴσομαι, γνώσομαι.

Εἶσον, ἀγαθόν.

Εἰσορόων, βλέπων.

Εἰς ὅτε δή, ἕως ἄν.

Εἰς πάγας ὁ λύκος Παροιμία, ἐπὶ τῶν πονηρῶν, ὅταν εἰς προῦπτον ἐμπίπτωσι κίνδυνον.

Εἰσπαίει, ἀντὶ τοῦ εἰσέρχεται. ἐκπαίει, ἀντὶ τοῦ ἐξέρχεται. συμπαίει δέ, ἀντὶ τοῦ συγκρούει.

Εἰσπαισεῖν, ἀντὶ τοῦ εἰσελθεῖν. ὃ λέγεται ἐπὶ οἰκίας, ἢ τοιούτου τινός.

Εἰς παραβολήν, εἰς γέλωτα, εἰς διήγημα.

Εἰσπεπαίκασιν, εἰσπεπηδήκασιν.

Εἰσπεποιημένη, ἔξωθεν γεγενημένη.

Εἰσπνήλης, ὁ ἐρώμενος. Καλλίμαχος, Μέμβλετο δ' εἰσπνήλης, ὁπότε κοῦρος ἴοι φωλεὸν, ἢ λοετρόν, ὁ ὑπὸ τοῦ ἔρωτος εἰσπνεόμενος. Λακεδαιμόνιοι γὰρ εἰσπνεῖν φασι, τὸ ἐρᾶν. ἢ παρὰ τὸ ἕπεσθαι τοῖς ἐρωμένοις. ἐπνόλης τις ὤν, καὶ εἰσπνήλης.

Εἰσποιημένον, καὶ εἰσποιητόν, τὸ θετὸν καὶ οὐ κατὰ φύσιν.

Εἰσποίητον, θετόν, οὐ γνήσιον. καὶ εἰσεποιεῖτο, ἀντὶ τοῦ ὑπετίθει. καὶ εἰσποιῶ, τὸ καλλωπίζω, δοτικῇ.

Εἰσποιῶ, τὸ οἰκειῶ. ὅθεν εἰσποιητοὺς φαμὲν υἱούς, τοὺς υἱοθέτους.

Εἰσπομπή, εἰσβολή. περιεφέρετο δὲ ὁ ἀριστεὺς καὶ δόρατα, εἰσπομπὴν ἐπὶ τοῦ εὐωνύμου βραχίονος.

Εἰσπράκτωρ, ἐπαίτης.

Εἴσπραξις, ἀπαίτησις. καὶ εἰσπράττω, αἰτιατικῇ.

Εἰσπράττω, τὸ ἀπαιτῶ. ἐπὶ τοῦ αὐτοῦ σημαινομένου λέγεται καὶ τὸ παθητικόν, δίχα προθέσεως. οἷον πράττομαι δίκας, ἀντὶ τοῦ ἀπαιτῶ. λέγεται πράττομαι ἐπὶ πάθους, ἀντὶ τοῦ δημιουργοῦμαι καὶ ἐνεργοῦμαι, οἷον πράττεται ἔργον. ὃ μετὰ τῆς διὰ προθέσεως, ἀντ' ἐνεργητικοῦ τοῦ πράττω λαμβάνεται. οἷον διαπράττομαί σε δεινά, ἀντὶ τοῦ ἐργάζομαί σε δεινά. ἀντὶ δὲ τοῦ ἀπαιτῶ, οὔτε τὸ ἐνεργητικὸν ἄνευ τῆς εἰς προθέσεως λέγεται, οὔτε αὖ πάλιν τὸ παθητικὸν μετὰ προθέσεως. εἰ δέ που εὑρεθῇ τὸ πράττομαι μετὰ προθέσεως, καὶ τὸ πράττω δίχα, σπάνια καὶ οὐκ Ἀττικά. ὡς παρὰ Συνεσίῳ. τό, ἐφ' ᾧ πράξαντας τὸ χρυσίον.

* Εἰστρυπᾶν, τὸ μετὰ βίας εἰσέρχεσθαι. ἐκτρυπᾶν δὲ τὸ μετὰ βίας ἐξέρχεσθαι.

Εἰς τέλος, ἕως γήμης.

Εἰς τετρημένον πίθον ἀντλεῖν. εἴρηται ἡ παροιμία, ἀπὸ τοῦ περὶ τὰς Δαναΐδας μύθου. παρ' ὅσον ἀνιμῶσαι ἐκεῖναι ὕδωρ, εἰς πίθον ἔβαλλον. πάσχουσι δὲ περὶ τοῦτον τὸν πίθον αἱ τῶν ἀμυήτων ψυχαί.

Εἰς τέφραν γράφειν, παροιμία ἐπὶ τῶν ἀδυνάτων. ἐγὼ δὲ τοὺς ὅρκους αὐτοῦ, τὸ τῆς παροιμίας οἶμαι δεῖν, εἰς τέφραν γράφειν.

Εἰστήκει, ἐκ τοῦ ὑπερσυντελίκου γέγονε, πλεονασμῷ τοῦ ι. ὁμοίως ἀφειστήκει, καὶ καθειστήκει. ἢ εἰστήκει, καὶ εἱστήκειν, ὡς ἤσκειν. εὕρηται παρ' Ὁμήρῳ.

Εἰστήκομεν, ἀντὶ τοῦ ἑστηκότες ἦμεν, καὶ εἱστήκεισαν.

Εἰστία, ἐκάλει, εὐώχει. ὁ δὲ εἰστία τὸν στρατὸν ἡμερῶν ἕξ, εἰς Πανθοινίαν.

Εἰς τὸ ἐνεδέδυτο, εἰς τὸ ἀπηχές, εἰς χεῖρον, ἢ κακόν.

Εἰς τὸ δέον, καὶ εἰς τὸ δέον. Περικλῆς δῶρα δοὺς τοῖς πολεμίοις τοῖς περὶ Κλεανδρίδαν, ἵνα μὴ δῃώσωσι τὴν χώραν, δεκαπέντε τάλαντα ἀνήνεγκε τὸ ἀνάλωμα τοῖς Ἀθηναίοις, οὕτω πῶς ἀπογράψας, εἰς τὸ δέον. Ἀριστοφάνης νεφέλαις, ὥσπερ Περικλέης, εἰς τὸ δέον ἀπώλεσα. καὶ Μένανδρος ἐν ἀπαγγελλομένῳ μέμνηται δὲ καὶ ἐπέρωθι.

Εἰς τοὔμπαλιν, εἰς τοὐναντίον.

Εἰς Τροιζῆνα δεῖ βαδίζειν, ἐπὶ τῶν κακογενείων καὶ σπανοπωγώνων εἴρηται. πώγων γάρ ἐστι λιμὴν εἰς Τροιζῆνα.

Εἰστρυπᾶν, τὸ παρεισέρχεσθαι.

Εἰς ὕδωρ σπείρειν, ἐπὶ τῶν ματαίων πονούντων. ὡς τό, καθ' ὕδατος γράφειν, εἰς ὕδωρ γράφειν, ἐπὶ τῶν μάτην πονούντων.

Εἰς σφᾶς, εἰς ἑαυτούς.

Εἰσφέρειν ἐστί, τὸ κατὰ νόμους διδόναι. χορηγεῖν δὲ τὸ ἀφ' ἑαυτοῦ τινὰ διδόναι.

Εἰσφορά, τέλεσμα.

Εἰσφέρειν, τὸ εἰσκομίζειν. ᾧ ἐναντίον τὸ ἐκφέρειν. φράσις δὲ κομιδῆς ὅπλων, τὸ εἰσφόρειν κόρυθάς τε, καὶ ἀσπίδας ὀμφαλοέσσας, ἔγχεά τε ὀξυόεντα.

Εἰσφρήσας, εἰσελθών.

Εἰσφρήσασθαι, εἰσδέξασθαι.

Εἰσφρηχθέντα, ἐκδιωχθέντα.

Εἰσφρήσειν, εἰσάγειν, εἰσδέξασθαι. Ἀντιφῶν καὶ Δημοσθένης ἐν ὀγδόῳ Φιλιππικῶν. πολὺ δὲ τοὔνομα ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. καὶ εἰσφρήσασθαι, καυχήσασθαι, μετὰ σπουδῆς εἰσενεγκεῖν.

Εἰσφρήσωσιν, ἀντὶ τοῦ εἰσδεχθῶσιν. εἴσω τῶν ἱερῶν εἰσφρήσωσιν.

Εἰσφῶϊν, εἰ ὑμῶν.

Εἰς χάος, εἰς ἀέρα, ἀντὶ τοῦ εἰς ἐρήμωσιν.

Εἴσω, καὶ ἐπὶ κινήσεως, καὶ ἐπὶ στάσεως εὕρηται. Ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ, εἴσω παρελθόντες. ὁ αὐτὸς ἔν τινι τῶν ἱερῶν, ἔτυχον μὲν εἰς τὸ εἴσω τετραμμένος. ἐπὶ στάσεως τίθεται καὶ ἀντὶ τῆς εἰς προθέσεως παρ' Ὁμήρῳ, ὡς τὸ Ἴλιον εἴσω. ἐπεὶ ἡ εἰς τὸ εἴσω δηλοῖ, οὐκ ὀκνεῖ Ὅμηρος τὸ εἴσω ἀντὶ τῆς εἰς θεῖναι μετὰ τῆς συντάξεως τῆς εἰς. ἐπεὶ δὲ καὶ τὸ ἕως αὐτὸ ἐνίοτε δηλοῖ, οἷον ἀπὸ κεφαλῆς εἰς πόδας, τουτέστιν ἕως ποδῶν. καὶ τὸ ἕως τίθησιν ἀντὶ τῆς εἰς, τῆς αὐτὸ τοῦτο τὸ ἕως δηλούσης, μετὰ τῆς συντάξεως αὐτῆς. ἕως ὃ ταῦθ' ὥρμαινεν.

Εἴσω ἁλὸς εὐρέα κόλπον, ἀντὶ τοῦ εἰς εὐρέα κόλπον, ἐναλλαγή.

Εἴσω δόρπον ἐκόσμει, ἀντὶ τοῦ ἐντός, ἐναλλαγὴ ἐπιρρήματος· ἀπὸ προθέσεων γάρ τινων γίνονται παράγωγα ἐπιρρήματα κατὰ τὴν σημασίαν αὐτῶν, καὶ ἀντὶ προθέσεων παρὰ τοῖς ποιηταῖς λαμβάνονται. οἷον Ἴλιον εἴσω, ἀντὶ τοῦ εἰς τὴν Ἴλιον. καὶ ἔκποθε λιπαρᾶς παλαίστρας, ἀντὶ τοῦ ἐκ τῆς λιπαρῆς παλαίστρας.

Εἰσωμίλει, ἐκολάκευεν.

Εἰς ὦπα, ἄντικρυς, ἢ πρὸς ὄψιν.

Εἰσωποὶ δ' ἐγένοντο νεῶν, ἀντιπρόσωποι. ἢ ἔσωθεν βλεπόμενοι, ἢ ἔνδον τῆς ἐπιφανείας ὄντες, δηλαδὴ οἱ Ἀχαιοί, ἀντὶ τοῦ ὑποστείλαντες ἑαυτοὺς ὑπὸ τὰς νῆας τὰς πλησίον τοῦ τείχους, ἢ ἐν ὄψει ἔχοντες διὰ τὴν ἧτταν, τὰς πρὸς τῷ τείχει νῆας, ἃς εἶχον κατὰ νώτου, πρὸ τούτου ἐγγὺς τοῦ τείχους μαχόμενοι. Ὅμηρος Ἰλιάδος τ. Ἰστέον δέ, ὅτι ἐν τῷ ῥητορικῷ λεξικῷ, εὕρηται εἰσωποί, οὕτως ἑρμηνευόμενον. εἰσωποὶ ἰδέσθαι, εἴσω εἰς ὦπα, ἐνώπιον, ἐν ὀφθαλμοῖς.

Εἰσωχέτευσαν, ἔνδον μετέφερον.

Εἶτα, περιττὸν κατὰ τοὺς Ἀττικούς. Ἀριστοφάνης, εἶτα ἐσίγας πλοῦτος ὤν. καὶ εἶτα, ἀντὶ τοῦ ἄρα. καὶ εἶτα, ἀντὶ τοῦ μετὰ ταῦτα.

Εἰτακεῖν, ἐληλυθέναι.

Εἶτε, τουτέστιν εἴητε, κατὰ συγκοπήν. ἐξ οὗ τὸ εἶεν, τρίτον τῶν πληθυντικῶν. ποῖοι τοίνυν εἴητ' ἄν, Ὀδυσσῆϊ ἀμυνέμεν;

Εἶτε παρ' Ὁμήρῳ, ποῖοί κ' εἶτε γραψάντων τινῶν ποῖοί κ' εἶτε ἀντὶ τοῦ ἐστέ. ὡς ἀπὸ τοῦ εἶμεν, εἶτε, ὅπερ ἐστὶν ἐσμέν, ἐστέ. Ἡρακλείδης τοὺς οὕτως ἀναγινώσκοντας, ἁμαρτάνειν φησί, καθότι ὁριστικὸν ῥῆμα τῷ κε συνδέσμῳ ὑπάγουσιν. ὃς ἑκάστοτε ὑποτακτικὸν ἀπαιτεῖ, ἢ εὐκτικόν. ἐγκρίνει δὲ τὸ εἶτε ἀντὶ τοῦ εἴητε λέγων, ὅτι ἡ ἀρχαία Ἀτθίς, τὰ εὐκτικὰ συγκόπτει κατ' ἔξαρσιν μιᾶς συλλαβῆς. τὸ δὲ κοσμηθείημεν, καὶ διακριθείημεν, ἀκολούθως δὲ εἴημεν, κοσμηθεῖμεν, καὶ διακριθεῖμεν, καὶ εἶμεν λέγοντες. καὶ τὰ τούτων δεύτερα, κοσμηθεῖτε, καὶ διακριθεῖτε, εἶτε. ἐν οἷς καὶ ταυτά φησιν. ὅτι καὶ τὸ εἴπερ γὰρ κε βλεῖο πονεύμενος, ὅπερ ἐν Ἰλιάδι κεῖται, εὐκτικόν ἐστι, συγκοπὲν ἐκ τοῦ βλείοιο, ἐλέγχων κακῶς νοῆσαι τοὺς εἰπόντας προστακτικὸν εἶναι τὸ βλεῖο. ἔτι ἰστέον καὶ ὅτι ποῖοί κ' εἶτε, ταυτόν ἐστι τῷ ποταποὶ ἂν ἔσεσθε. καὶ ὅτι τῆς ὑστέρας Ἀτθίδος ἐστὶ τὸ ποῖοι. ἡ γὰρ ἀρχαία ἑτεροίαν ἐδίδου παράληξιν τῇ τοιαύτῃ λέξει, ὡς Ἡρακλείδης δηλοῖ. ἔνθα λέγει τοὺς Ἀττικοὺς τὴν οι δίφθογγον εἰς τὴν ει μεταποιεῖν. τὸ δυοῖν λέγοντας δυεῖν, καὶ τὸ οἴκοι οἴκει, καὶ τὸ ποῖος πεῖος.

Εἶτε, καὶ ἔπειτε, ἐσχάτως βάρβαρα. εἶτα οὖν σύ, καὶ ἔπειτα λέγε.

Εἰτισκαί, πηγαὶ παρὰ τοῖς Κλειτορίοις.

Εἰ τόγε, εἰ τοῦτο.

Εἴ τοι θυμός, ἐάν σου ἡ ψυχή.

Εἴτω, πορευέσθω, συγχωρείσθω. καὶ εἴτω, ἀντὶ τοῦ ἐάν τινι.

* Εἴτω προςακτικὸν ἀντὶ τοῦ ἴτω, ὡς τῆς ἰὼν μετοχῆς, γίνεται ἰέτω, ὡς ἐλθὼν ἐλθέτω, καὶ κράσει εἴτω, ὡς φιλεέτω φιλείτω.
Εἰφθεῖ, εἰβῆται.
Εἰχέναι, ἐοικέναι.
Εἶχε, κατεῖχε. καὶ εἶχεν, ἠκολούθει.
Εἰχέθην, ἐνείχοντο, ἐθαύμαζον.
Εἴχεται, ἀντὶ τοῦ οἴχεται.
Εἰχόμενος, κατεχόμενος.
Εἴψετο, ἠκολούθει.
Εἴω, πορδίομαι.
Εἴωθα καὶ εἰώθειν, καὶ ἰωθώς, κατὰ πλεονασμὸν τοῦ ω μεγάλου. ἀπὸ τοῦ ἔθω ἀρχῆς, εἰώθαμεν λαμπρῶς ἑστιᾶσθαι, ἢ εἴωθα. ἔστιν ἔθω σημαῖνον τὸ ἐξ ἔθους τι διαπράττομαι. ὁ μέλλων ἔσω, ὁ παρακείμενος εἶκα. ὁ μέσος, εἶθα. καὶ πλεονασμῷ τοῦ ω, εἴωθα, εἰωθώς, κυρίως μὲν ἐπὶ ἀνθρώπων. ὡς τὸ ἔθος, καὶ τὸ ἦθος. καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀλόγων. διὸ καὶ θαρρήσας εἶπεν ὁ ποιητὴς, ἐπὶ ἵππον τὸ εἰωθώς, φησὶ, καὶ ἤθεα καὶ νόμον ἵππων. ὡς τοῦ εἰωθέναι καὶ τοῦ ἤθους, συναίχων ὄντων.
Εἰωθότων, ἀντὶ τοῦ εἰθισμένων, κεῖται παρὰ τῷ Ἀριστοφάνει, μετοχὴ ἀντὶ ὀνόματος. καὶ Ὅμηρος, τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα, ἀντὶ τοῦ πινυτός.
Εἵως, καθὰ ἐν τῷ μ τῆς Ἰλιάδος. οὐ συνήθως εἴληπται, ἀλλ' ἀντὶ τοῦ τέως. καὶ πλεονασμῷ τοῦ ι γίνεται εἵως. ὡς καὶ τὸ τέως τείως. εὕρηται δέ ποτε παρὰ τῷ ποιητῇ, καὶ ἀντὶ τοῦ ὡς, ὃ δηλοῖ τὸ ὅπως, πλεονάσαντος τοῦ ε Ἀττικῶς. καὶ εἵως, ὅπως, ἵνα, ἐφ' ὃν χρόνον.
Εἴωσεν, ἀπεώσατο.
Εἰῶσι, συγχωροῦσιν. ἐκ τοῦ ἐῶ, τὸ τρίτον τῶν πληθυντικῶν, ἐῶσι. καὶ πλεονασμῷ τοῦ ι, εἰῶσιν. ἢ εἰῶσιν, ἐῶσιν.

ΤΟ' Ε'. ΜΕΤΑ' ΤΟΥ Κ'.

Ε Κ, καὶ ἀντὶ τοῦ πρό.
Ἑκάβη κύων ἐγένετο, ὥς φησιν μυθικῶς Εὐριπίδης. τὸ δ' ἀληθὲς, οὕτως ἔχει. μετὰ τὴν τελευτὴν τῆς Πολυξένης, ὕβριζε καὶ κατηρᾶτο τοὺς Ἕλληνας. οἱ δ' ὀργισθέντες, ὡς κυνὰ αὐτὴν λίθοις ἀνεῖλον.
Ἑκάβη, ἡ ἕκαθεν βεβηκυῖα πρὸς τὸν ἄνδρα. ὁ γὰρ πατὴρ Δύμας Φρὺξ, εἰς Ἴλιον Πριάμῳ ταύτην ἐξέδοτο, ὅθεν καὶ Πρίαμος Φρυξὶ συμμαχεῖ, ἤδη καὶ Φρυγίαν εἰσήλυθον.
Ἑκάδευτον, ἐπένθουν.
Ἑκάεργος λέγεται Ἀπόλλων, ὁ ἕκαθεν εἴργων, ἤγουν κωλύων, ὡς τοξότης. ἢ ᾧ ἐχρησμῴδησεν εἰς ἐκτροφὴν γυνὴ ἑκαέργη. ὁ ἕκαθεν ἐργαζόμενος, τουτέστι μαχόμενος. ἔργον γὰρ τὴν μάχην οἶδεν Ὅμηρος καλεῖν, τουτέστιν ὁ πόρρωθεν εἴργων, ὅ ἐστιν ἐργαζόμενος, καὶ μαχόμενος τοξότης. ἐπιθετικῶς δὲ λέγεται ὁ Ἀπόλλων. ἢ ὁ ἕκαθεν ἐργαζόμενος τὰ περὶ γῆν, ὡς Ἥλιος. ἢ ἑκάεργος, ὁ ἑκατέρωθεν εἴργων, καὶ κωλύων τοὺς πολεμίους.
Ἐκάη. κάω, ἐνεστὼς, καὶ καίω. τὸ μὲν κάω, Ἀττικόν. τὸ δὲ καίω, κοινόν. ἔκαον παρατατικὸς, καὶ ἔκαιον, καύσω μέλλων, ἔκαυσα ἀόριστος κοινῶς. ἔκηα δὲ, ποιητικῶς, ὡς ἔχευα. πλὴν τὸ ἔκηα αὔξει τὴν παραλήγουσαν, ὡς τὸ ἔψηλα. παθητικὰ, κάομαι καὶ καίομαι ἐνεστώς. οὐ ἐνίοτε μὲν τὸ ἀνάπτεσθαι δηλοῖ, καὶ ἐμπυροῦσθαι, καθὸ λέγεται πῦρ καίεσθαι. ἐνίοτε δὲ τὸ ὑπὸ πυρὸς φθείρεσθαι. καθὸ λέγεται καὶ πυρὶ καίεσθαι. ἐκαόμην παρατατικὸς, ἢ ἐκαιόμην. καυθήσομαι μέλλων, καὶ καήσομαι. ἐκαύθην ἀόριστος, καὶ ἐκάην. κέκαυμαι, παρακείμενος.
Ἕκαθεν, πόρρωθεν, μακρόθεν, παρὰ τὸ ἑκάς.
Ἐκάθηρεν, ἀντὶ τοῦ ἐμάστιξε Δωριεῖς λαμβάνουσιν.
Ἐκάθιζον, ᾐτιῶντο, ἐμέμφοντο.
Ἐκαθίσατο, Ἀττικοί. ὅταν τις ὠνούμενός τι τῶν ὑπὸ κήρυκι πιπρασκομένων, παραχρῆμα αὐτῷ μὴ ἀπάγῃ, ἵνα δὴ κυρία αὐτῷ μένῃ ἡ ὠνή. καὶ ἱδρύσατο.
Ἐκαθέσθη. καθεσθεὶς, καθεσθήσομαι. καὶ τὰ πληθυντικὰ, καθεσθήσονται, ἐκφυλα. λέγε οὖν, καθέζομαι, καθεδοῦμαι, καθεδοῦνται, καθεδούμενος. Φρύνιχος.
Ἐκαίνυτο, ἤγουν ἐκαινούργει, καὶ ἐκόσμει. ἀπὸ τοῦ καίνυμι δὲ κανονίζεται.
Ἔκαινον, ἔκοπτον.
Ἐκαίνυτο, ἐνίκα, ἐκάκωσεν.
Ἐκάκωσας, ἠρήμωσας.
Ἐκαλαμήσατο, ἀπεθέρισεν ἐκ τῆς τοῦ σπόρου καλάμης.
Ἑκάλειος Ζεὺς, ὃν Ἑκάλη ἱδρύσατο.
Ἑκάλη, Ἡρωΐς. εἰς ἣν καὶ ποίημα ἔγραψε Καλλίμαχος, ἡ πρὸς ἑαυτὴν πάντας καλοῦσα. ταύτην Ἑκαλήνην ἔλεγον οἱ παλαιοὶ, ὑποκοριζόμενοι. ἔθυον δὲ αὐτῇ, διὰ τὸ ξενίσαι Θησέα.
Ἐκαλήμην, ἀντὶ τοῦ ἐκαλούμην. καὶ ἐνοήμην, ἀντὶ τοῦ ἐνοούμην λέγουσιν οἱ Αἰολεῖς, τῆς ου διφθόγγου εἰς η μετατιθέντες.
Ἑκαλία, πόρρωθεν.
Ἐκαλίξαντο, ἐσκλήρωσαν.
Ἑκάλιθμος, ἱερὸς, ἀφειμένος.
Ἑκαλίστρουν, Ἰακόν ἐστιν.
Ἐκαμάτευσε, μετὰ κακοπαθείας εἰργάσατο, καὶ ἔφυγεν.
Ἐκάμαξεν, ἔσεισεν.
Ἔκαμεν, ἐπετέλεσεν, ἐποίησεν, ἠρρώστησεν, ἀπέθανεν, ἐκοπίασεν.
Ἑκαμήδη, ἡ Νέστορος παλλακὴ, ἀπὸ τοῦ ἕκαθεν βουλεύεσθαι. ἢ ἡ κατὰ τοῦ Νέστορος μηδὲν εἰκαῖον μηδομένη.
Ἔκαμον, δεύτερος ἀόριστος. ἀφ' οὗ ὑποτακτικὸν, ἐὰν κάμω. καὶ κατὰ ἀναδιπλασιασμὸν, κεκάμω, ὡς λελάχω.
Ἔκαμον, ἐκοπίασαν.
Ἐκάμοντο, κατειργάσαντο.
Ἔκαμεν, ἐφόνευσεν.
Ἐκανόμος, ἀγελαῖος φιμός.
Ἐκαόμην παρατατικὸς, ἢ ἐκαιόμην, καυθήσομαι μέλλων καὶ καύσομαι, ἐκαύθην ἀόριστος καὶ ἐκάην. κέκαυμαι παρακείμενος.
Ἔκαον ἀόριστος δεύτερος, ἀπὸ τοῦ καίω. Ἰστέον, ὅτι ὁ δεύτερος ἀόριστος διχρόνῳ φιλεῖ παραλήγεσθαι. ὅθεν ἐπὶ τοῦ τρώγω ἔτραγον, τὸ ω μέγα εἰς α ἐτράπη. καὶ ἐπὶ τοῦ λήθω ἔλαθον, τὸ η εἰς α. καὶ ἐπὶ τοῦ μήθω ἔμαθον, καὶ πρήθω ἔπραθον. ὡσαύτως ἐὰν εὑρεθῶσι δύο δίχρονα ἐν τῷ ἐνεστῶτι, ἀποβάλλεται ἐν τῷ δευτέρῳ ἀορίστῳ τὸ δεύτερον, καὶ φυλάττεται τὸ πρῶτον, οἷον καίω ἔκαον, ἐξ οὗ ἐκάην. χαίρω ἔχαρον, καὶ ἐχάρην. χαίνω ἔχανον, καὶ ἐχάνην. παύω ἔπαον, ἐξ οὗ ἐπάην, καὶ ἀνεπάην, λείπω ἔλιπον, πείθω ἔπιθον, λείβω ἔλιβον. χωρὶς τῶν δισυλλάβων τῆς πέμπτης συζυγίας. ἐπ' ἐκείνων γὰρ τὸ ι ἀποβάλλεται, καὶ τρέπεται τὸ ε εἰς α κατὰ τὸν δεύτερον ἀόριστον, οἷον κείρω κερῶ ἔκαρον, ἐξ οὗ ἐκάρην. φθείρω φθερῶ ἔφθαρον, ἐξ οὗ καὶ ἐφθάρην. σπείρω σπερῶ ἔσπαρον, ἐξ οὗ καὶ ἐσπάρην. κτείνω κτενῶ ἔκτανον, ἐξ οὗ καὶ ἐκτάνην.
Ἐκαπήλευσεν, ἐδόλωσεν.
Ἐκάπυσεν, ἀνέπνευσε. κάπος γὰρ καλεῖται τὸ πνεῦμα, κατὰ διάλεκτον, ἐξ οὗ καὶ κῆπος.
Ἐκαραδόκησεν, ἀντὶ τοῦ ἀπέβλεψεν. κεῖται παρὰ τῷ Ἀριστοφάνει.
Ἐκαραδόκει, προσεδόκα, ἐκαρτέρει, ἀπεσκόπει, ἀπέβλεψεν.
Ἐκαρβάνιζεν, ἐβαρβάριζεν. καρβάνων γὰρ, ὁ βάρβαρος. τὸ δ' αὐτὸ καὶ ἐβαρβάνιζεν.
Ἐκαρδίακεν, οὐκ ἂν ἐπάγῃ τὴν καρδίαν.
Ἐκαρίωσας, ἀπέκτεινας.
Ἐκάρκαιρεν, ἐπλήθυεν. καὶ ἐκάρκαιρον, ψόφον τινὰ ἀπετέλουν.
Ἐκάρπωσε, ἐκέρδανεν.
Ἐκαρπώσαντο, μετειλήφασιν. οἱ ἡττηθέντες φυγῇ ἐκαρπώσαντο τὸ εἶναι.
Ἐκαρτερόωντο, ἰσχυροῦντο, ἐξηραίνοντο.
Ἐκάρωσον, ἐλειποθύμουν.
Ἑκὰς, ἐκ τοῦ ἑκὰς, ὃ δηλοῖ τὸ πόρρω, γίνεται ἕκαστον, τὸ πορρώτατον. ἀπ' αὐτοῦ δὲ τὸ ἑκαστάτω, ἀντὶ τοῦ πορρωτάτω. πρωτότυπον μὲν ἐπίρρημα τὸ ἑκὰς, παράγωγον δὲ κατὰ σύγκρισιν ὡς εἰκὸς, ἑκάστερος. ὑπερθετικὸν δὲ, ἑκάστατος. ἐξ οὗ τὸ ἑκαστάτω, ἐπίρρημα.
Ἑκαστάτω, πορρωτάτω, μακροτάτω.
Ἑκασταχῇ, ἀντὶ τοῦ πανταχοῦ. καὶ ἑκασταχόθεν, ἤγουν πανταχόθεν. καὶ ἑκασταχόσε, ἤγουν πανταχόσε.
Ἑκασταχῇ, καὶ ἑκασταχοῦ, καὶ ἑκασταχόσε, καὶ ἑκασταχόθεν κάλλιον λέγειν, ἢ πανταχῇ, πανταχοῦ, πανταχόσε, καὶ πανταχόθεν: τίθεται δὲ τὸ ἑκασταχόσε, ἐπὶ κινήσεως.
Ἑκάστοις, ἐνίοις, θατέροις.
Ἕκαστος καὶ ἕκαστοι, τὸ αὐτό. ὥσπερ τὸ πᾶς καὶ πάντες. καὶ διὰ τοῦτο Ὅμηρος, Οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος. πᾶς ἄνθρωπος ἀναπνεῖ, καὶ πάντες ἄνθρωποι ἀναπνέουσι, τὸ αὐτό.
Ἕκαστος, παρὰ τὸ ἕκατος, ὁ μὴ πέλων ἐγγύς. οἷον κεχωρισμένος, καὶ μὴ συλλήβδην ὢν πρὸς ἕτερον. ἐπιμερίζοντες τὸ πλῆθός φασιν, ἑκάτερος, ἕκαστος. καὶ ἕκαστοι δώσουσιν, Ἀττικῶς συντέτακται. ἐπεὶ τὸ ἕκαστος πολλούς τινας δηλοῖ. κατὰ διαιρετικὴν ἔννοιαν ἐστὶ ταυτὸν, ἕκαστον καὶ πάντας εἰπεῖν.
Ἑκάστοτε, ἀεὶ, καὶ καθ' ἡμέραν.
Ἑκάστω, ἀντὶ τοῦ πορρωτάτω. οὕτω Προκόπιος.
Ἑκαστώρευον, περὶ φόνον ἐπόρνευον.
Ἑκάταιον, ἱερὸν Ἑκάτης. ὡς τῶν Ἀθηναίων πανταχοῦ ἱδρυμένων αὐτὴν, ὡς ἔφορον πάντων καὶ κουροτρόφον. ἑκάταιον οὖν, Ἑκάτης ἄγαλμα, τὸ κατήσιον λεγόμενον τῇ προσῳδίᾳ. Καλλίστρατος, ὡς ἐπινίκιον. ἔντισι γὰρ εὕρηται ἑκατεῖον.
Ἑκάτειον, Ἑκάτης ἄγαλμα. καὶ παροιμία, Θεαγένους ἑκάτειον, οὗ ἐπυνθάνετο πανταχοῦ Αἰγίων, ὃς καπνὸς ἐκαλεῖτο. ἦσαν δὲ Θεαγένεις ἄλλοι δύο, ὁ περὶ Ὁμήρου γράψας, καὶ ὁ ἐπὶ μαλακίᾳ διαβεβλημένος.
Ἑκατεράκις, δίς.
Ἑκάτερθεν, ἀντὶ τοῦ ἐξ ἑκατέρου μέρους. γίνεται, ἐκ τοῦ ἑκατέρωθεν.
Ἑκατερεῖν, πρὸς τὰ ἰσχία πηδῶν ἑκατέραις ταῖς πτέρναις.
Ἑκάτεροι καὶ ἀμφότεροι ἐπὶ δύο. ἕκαστοι καὶ πάντες ἐπὶ πολλῶν.
Ἑκάτερος λέγεις, ὅταν ὦσι δύο μόνοι. ἑκάτεροι, δὲ, ὅταν πολλοὶ μὲν ὦσιν, εἰς δύο δὲ μεμερισμένοι. τοῦτο γὰρ εὕρηται τὰ ἑνικὰ καὶ δυϊκὰ καὶ πληθυντικὰ ἐκφερόμενα. σημασίαν δὲ ἔχει δυϊκήν. οἷον ἑκάτερα τὰ μέρη, ἐπεὶ δύο σημαίνει καθ' ἕν.
Ἑκατέρωθεν, καὶ ἑκατέρωσε, καὶ ἑτέρωσε, καὶ ἑτέρωθι. ἄλλοθι δὲ, ἴσθι ὅτι τὸ ἑκουσίως, οὐχ εὕρηται παρὰ τοῖς ῥήτορσιν.
Ἑκατέρω, τὸ πορρωτέρω. ἀπὸ τοῦ ἑκὰς, ὃ σημαίνει τὸ ἄποθεν, καὶ οὐ παρὰ τὸ ἑκάτερος. ἑκατέρω γὰρ ἦν. οὕτως Ἡρωδιανὸς, Ἰλιάδος κ. Τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω, ἀντὶ τοῦ πορρωτάτω, παρὰ τὸ ἑκάς.
Ἑκατηβελέτης, ὁ Ἀπόλλων. ὁ αὐτὸς καὶ ἑκατηβόλος.
Ἑκατηβόλος, ἀπὸ τοῦ ἑκατὸν καὶ τοῦ βέλος. μυθεύονται γὰρ, ὅτι ἑκατὸν βέλεσι τὸν δράκοντα τὸν ἐν Πυθοῖ ἀνεῖλεν.
Ἑκάτη, ξύλον ἐν τοῖς φυλακίοις, ᾧ τοὺς κακούργους προσδεσμεύοντες, ἐμαστίγουν. καὶ Ἑκάτης ἄγαλμα, τὰς κύνας οὕτω φασὶ, διὰ τὸ ἐκφέρεσθαι Ἑκάτῃ κύνας. ἔνιοι δὲ καὶ αὐτὴν κυνοκέφαλον πλάττουσιν.
Ἑκάτην ἐν ταῖς τριόδοις ἐτίμων τὸ παλαιὸν, διὰ τὸ τὴν αὐτὴν Σελήνην καὶ Ἄρτεμιν καὶ Ἑκάτην καλεῖσθαι. κατὰ δὲ νουμηνίαν, οἱ πλούσιοι ἔπεμπον δεῖπνον ἑσπέρας, ὡς θυσίαν τῇ Ἑκάτῃ ἐν ταῖς τριόδοις. οἱ δὲ πένητες ἤρχοντο πεινῶντες, καὶ ἤσθιον αὐτὰ, καὶ ἔλεγον ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά. Ἄλλως.
Ἑκάτην. Ἀριστοφάνης ἐν Πλούτῳ. ἀπὸ ταύτης ἐστὶ μαθεῖν, εἴτε τὸ πλουτεῖν, εἴτε τὸ πεινῆν ἐστὶ βέλτιον. φησὶ γὰρ αὕτη, τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν' ἀποπέμπειν. τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν, πρὶν καὶ καταθεῖναι. ἔθος γὰρ ἦν, ἄρτους καὶ ἄλλα τινὰ κατὰ μῆνα τιθέναι τῇ Ἑκάτῃ τοὺς πλουσίους, καὶ λαμβάνειν

ἐξ

Digitized by Google

ἐκ αὐτῆς τὰς πένητας. εἴρηται δὲ Ἑκάτη, οἱονεὶ ἑκάστη τις οὖσα. ἢ ἡ εἰς ἕκαστα παραλαμβανομένη πανταχοῦ βοηθοῦσα, ἢ ὅτι ἑκάστου θεοῦ τιμῶν μετέχει. καὶ Ἑκάτης νῆσος, Λυκοῦργος κατὰ μενεσαίχμου, πρὸς τῆς Δήλου κεῖταί τι νησύδριον, ὅπερ ὑπ' ἐνίων καλεῖται Ψαμμητύχη. ὡς Φανόδημος, Δηλιακῶν. Ψαμμητύχην κεκλῆσθαί φησιν ὁ Σημός, ἐν τῇ πρώτῃ, διὰ τὸ τοῖς ψαμμήτοις τιμᾶσθαι τὴν θεόν. ψάμμητα δ' ἐστί, ψαιστῶν τις ἰδέα.

Ἑκατόγχειρ, Βριάρεως, καὶ Αἰγαίων, τριώνυμος. ἡ δὲ ἱστορία, λόφον τινὰ οἶδεν Αἰγαίωνος περὶ τὴν Ἀσίαν. ἐξ οὗ πηγαί τινες ἑκατὸν ἀναπηδῶσαι, ἤτοι πολλαί. ἢ αὐτὸ τοῦτο ἑκατὸν καὶ τὰ ἐκεῖ πεδία λυπαίνουσαι, τὴν τοῦ ἑκατόγχειρος μυθολογίαν παρήγαγον. φησὶ γὰρ ἡ τοῦ Ἀρριανοῦ ἱστορία, ὅτι Βριάρεως γῆς καὶ οὐρανοῦ παῖς θαλαττοκρατήσας, ὁρμητηρίῳ ἐχρήσατο Εὐβοίᾳ τῇ νήσῳ. κἀκεῖθεν ὁρμώμενος, κατεστρέψατο τὰς Κυκλάδας. ὃς καὶ Αἰγαίων ὠνόμασται ὑπὸ τῶν ἀνθρώπων. οὕτω δὲ καὶ αἰτίαν παρασχεῖν λέγεται τῷ Αἰγαίῳ πελάγει, εἰς ἐπωνυμίαν. σῆμα δὲ αὐτοῦ δείκνυσθαι κατὰ τὸν Ῥυνδακὸν ποταμόν, οὐ πόρρω θαλάσσης, λόφον τινά, καὶ τοῦτον ἐπικαλεῖσθαι Αἰγαίωνος. καὶ ἀπὸ τοῦ λόφου τούτου, πίδακας ἐκδιδόναι ἑκατόν. καὶ ταύτας καλεῖσθαι παλάμας Βριάρεω. Ἰστέον ὥσπερ ἑκατογκέφαλον τὸν Τυφῶνα ὁ μῦθος, οὕτω καὶ Αἰγαίωνα ἑκατόγχειρον ἔπλασε. καὶ ἔστι καθ' ἱστορίαν ἐκεῖνο μὲν περινοίας ἀρχικῆς σύμβολον, καὶ τοῦ πολλὰ δοκεῖν τὸν Τυφῶνα φρονεῖν. τοῦτο δὲ τοῦ πολλὰ πράττειν αἰνιγμά ἐστιν. ὅθεν καὶ ὁ πολυμήχανος Ἀρχιμήδης, μιᾷ περιβολῇ πολλὰ βέλη ἀφιείς, ἑκατόγχειρ πρὸς τῶν βαλλομένων ἐκλήθη. καὶ ἄλλως δὲ φράσαι, εἴη ἂν ἑκατόγχειρ, ὁ πολύχειρ, ἢ πράξεσιν, ἢ πλήθει στρατοῦ, ἢ μηχαναῖς. τὸ δὲ ἑκατόγχειρον ἀπὸ γενικῆς ἐστι τῆς τοῦ ἑκατόγχειρος. οὗτος ὁ Βριάρεως φίλα φρονεῖ τῷ πατρί, ἤγουν τῷ Κρόνῳ ὄντι κατὰ τὸν Ἀρριανόν, ἢ Ποσειδῶνι κατά τινας.

Ἑκάτοιο, τοῦ Ἀπόλλωνος τοῦ μακρόθεν βάλλοντος, τοῦ τοξικοῦ. ἐκ τοῦ ἑκάς, ἕκαστος, ἕκατος.

Ἑκατομβαιών, ὄνομα μηνός. Ὑπερίδης ὁ τοῦ Ἀμφίωνός φησιν, ἀπὸ τοῦ πλείστας τούτῳ τῷ μηνὶ θύεσθαι ἑκατόμβας κεκλῆσθαι.

Ἑκατόμβη οὐχ ἡ ἁπλῶς θυσία, ἀλλ' ἡ πολυτελής. ἡ ἐξ ἑκατὸν δηλονότι κυρίως βοῶν. ἣν δὴ καὶ βοῦταν φόνον κατὰ τὴν τραγῳδίαν, ὀρθῶς εἴποι τις ἄν. ὁποίαν καὶ ὁ παρὰ Ἡροδότῳ θύσας Κλεισθένης, διώκει τοὺς τῆς θυγατρὸς μνηστῆρας, καὶ τοὺς πολίτας. καθὰ καὶ χιλιόμβη, ἡ ἀπὸ χιλίων. καταχρηστικῶς μέντοι καὶ ἡ ἐξ ἑκατὸν ζώων. ἢ καιριώτερον εἰπεῖν, βοσκημάτων τῶν βοῶν μέρους συνεισάγοντος. καὶ τὰ λοιπὰ ἑκατόμβην ἀορίστως φασὶ τὴν ἐκ πολλῶν ζώων ἁπλῶς, οἷα τὸν ἑκατὸν ἀριθμὸν πολλάκις, καὶ ἐπὶ τοιούτου σημαινομένου εὑρίσκοντες κείμενον. ὡς καὶ ἐν τῷ ἑκατόνζυγος ναῦς, ἡ πολύζυγος, καὶ ἑκατὸν δὲ δούρατα ἁμάξης. καὶ ἑκατόγχειρ Αἰγαίων, καὶ ἑκατόμπολις Κρήτη. Σημείωσαι ὅτι εἰ καὶ πολλὰ ζῶα ἐν τῇ ἑκατόμβῃ, νικᾷ ὅμως τὸ τοῦ βοὸς ὄνομα, διὰ τὸ τίμιον.

* Ὅτι δὲ οὐ μόνον ἑκατόμβαι, ἀλλὰ καὶ χιλιόμβαι ἦσαν παρὰ τοῖς παλαιοῖς, δηλοῖ ὁ γράψας, ὅτι ἐν Μιλτιάδου νίκῃ χιλίας χιμαίρας Ἀθηναίᾳ τῇ ἀγροτέρᾳ Ἀρτέμιδι ἔθυσαν. ἧς καὶ ὁ κωμικὸς θυσίας μέμνηται. καὶ ἔθυον δέ φασι τὴν ἕκτην Θαργηλιῶνος μηνός. καθ' ὃν δὴ μηνὶ πολλὰ τοῖς Ἀθηναίοις ἐγένοντο ἀγαθά. ὅτι δὲ τὸ χίλια ζῶα ὑποσχέσθαι κατὰ χιλίων εὔξασθαι ἐφράζετο, δηλοῦσι χρήσεις παλαιαί. οὕτω δὴ ὡς εἰκὸς καὶ κατὰ ἑκατὸν βοῶν, καὶ λοιπῶν.

Ἑκατόμβοιον, καὶ ἐννεάβοιον. ὥσπερ καὶ δωδεκάβοιον, καὶ εἰκοσάβοιον. καὶ ἔτι τοιοῦτον, οἱ μὲν ἐπὶ νομισμάτων ἀκούουσι βοῦν εἰρῆσθαι τὸ νόμισμα, λέγοντες διὰ τὸν ἐν αὐτῷ τοῦ βοὸς ἔκπαλαι τύπον, κατὰ τιμὴν τοῦ ζώου. οἱ σταθμόν τινα τὰ τοιαῦτα νοοῦσι. διὸ βόας ἑκατὸν τυχόν, ἢ ἐννέα, ἢ δώδεκα, ἢ εἴκοσιν, οὐχ ἁπλῶς τοσούσδε ὠνησάμενός τις κτήσεται.

Ἑκατόμβοιος, ὁ ἑκατόν, ἤτοι πολλῶν βοῶν ἄξιος, τουτέστι ζώων. ἐκ γὰρ τῶν βοῶν μέρους ἑνός, πάντα δηλοῖ τὰ τετράποδα. δι' ὧν αἱ συναλλαγαὶ τοῖς παλαιοῖς. τίμιον δὲ ἐκείνοις μάλιστα ὁ βοῦς. διὸ ἐξ αὐτοῦ πολλὰ βιωτικὰ δηλοῦται συναλλάγματα. ὡς ἡ ἑκατόμβη, ὡς καὶ ἀλφεσίβοιαι γυναῖκες, ὡς τετράβοιον, καὶ δωδεκάβοιον, καὶ εἰκοσάβοιον. ἀπὸ δὲ τοῦ τοιούτου ζώου, ἐλέχθησάν ποτε βόες καὶ τὰ νομίσματα. διὸ βοῦν ἐξετύπουν ἐν αὐτοῖς. καὶ μάλιστα οἱ Ἀθηναῖοι τιμῶντες τὸ ζῶον. ἐντεῦθεν καὶ παροιμία, βοῦν ἐπὶ γλώττης φέρει, ἤγουν δῶρα λαβὼν σιωπᾷ.

Ἑκατόμβοιος, πλείστων ἄξιος νομισμάτων. βοῦς Ἀττικὸν νόμισμα παλαιόν. ἐλέγετο δὲ οὕτως, ὅτι βοῦν εἶχεν ἐντετυπωμένον. ἢ ἑκατόμπεδον, νεώς ἐστι τῆς Ἀθηνᾶς ποδῶν ἑκατόν, ἐκ πάσης πλευρᾶς· διὰ τοῦτο γὰρ καὶ ὠνόμασται. καλοῦσι γὰρ αὐτόν τινες παρθενῶνα· ἢ ἑκατόμπεδον, τὸ θέατρον, ἤγουν ἑκατὸν ποδῶν.

Ἑκατόμπολις Κρήτη, ἐν τῷ καταλόγῳ λεγομένη, ἐννενήκοντα πόλις ἐν τῇ Ὀδυσσείᾳ ποιεῖται. καὶ οἱ μέν φασιν, ὅτι ἀληθῶς ἑκατόμπολις ἦν κατὰ τὴν ἱστορίαν. λεῦκος δέ, οὗ καὶ ὁ Λυκόφρων μέμνηται, δέκα πόλεις ἐπόρθησεν ἀποστατήσας, καὶ ἐπαναστὰς τῷ Ἰδομενεῖ. ὅθεν ἐν τῇ Ὀδυσσείᾳ ἐννενήκοντα πόλεις ἔχειν ἡ Κρήτη λέγεται. ἄλλοι δὲ εἶπον, ὅτι ἑκατόμπολιν ὁ ποιητὴς τὴν Κρήτην εἰπών, τὸ ἐφ' ἑαυτοῦ εἶπεν, ἤγουν τὸ ἐπὶ τῶν ἡμερῶν ἐν αἷς αὐτὸς περιῆν. ἐπὶ μέντοι τῶν Τρωϊκῶν ἐνενήκοντα ἦσαν. Ἀλθαιμένης δέ φασιν ἐκπεσὼν Ἄργους ἔκτισε τὰς δέκα. ἢ καὶ ἄλλως εἰπεῖν, μετὰ τὰ Τρωϊκὰ ἐπεκτίσθησαν δέκα, ὡς ἱστορεῖ Ἔφορος. ὥστε κατὰ τούτους πρὸ μὲν τοῦ Ὁμήρου ἐνενήκοντα ἦσαν, εἴτε Λεύκου πολιορκήσαντος τὰς δέκα, εἴτε καὶ ἄλλως πως. ἐπὶ δὲ τοῦ Ὁμήρου ἑκατόν. ἱστοροῦνται δὲ καὶ ναυκρατῆσαί ποτε οἱ Κρῆτες. ὥστε καὶ παροιμία εἰς τοὺς προσποιουμένους ἀγνοεῖν, ἅπερ ἀκριβῶς οἴδασιν αὐτοί, Ὁ Κρὴς τὴν θάλασσαν. ὅπερ ὁ Γεωγράφος νοεῖ κατ' ἔλλειψιν τοῦ ἀγνοεῖ. ἵνα λέγῃ ἡ παροιμία, ὅτι ὁ Κρὴς ἀγνοεῖ τὴν θάλασσαν. εἰρωνικοῦ δηλαδὴ ὄντος τοῦ λόγου. ἔπασχον δὲ καὶ κακίρωτας, οὓς καὶ ἐν νόμῳ εἶχον. ὡς δὲ καὶ πανοῦργοι οἱ Κρῆτες, καὶ χείρους, ἤπερ οἱ κατὰ Ῥόδον, ἑτέρα παροιμία δηλοῖ, ἡ λέγουσα, πρὸς Κρῆτα κρητίζεις, ἤγουν πρὸς οὐκ ἀπανοῦργον ἄνδρα τοὺς δόλους ῥάπτεις.

Ἑκατονταίρχης ἐκκαυλίζων, ἀποκλῶν, ἀνασπῶν, ἐκ μεταφορᾶς τῶν τὰ λάχανα ἀνασπώντων.

Ἑκατόνσεμνον, πολύ, μέγα.

Ἑκατόνχειρον, κυρίως κατὰ τὸ μυθικόν. ἢ ἑκατόμπηχυν διὰ τὸ μέγεθος, ἢ ἑκατὸν χεῖρας ἔχοντα.

Ἑκατὸν ὁ ἀριθμός, παρὰ τὸ ἔχω ἑχατόν, καὶ ἑκατόν. ὡς γὰρ οἱ ἐπὶ πέρας ὁδοῦ ἐρχόμενοι ἐπέχονται, οὕτω καὶ οἱ ἐπὶ πέρας ἀριθμοῦ ἐρχόμενοι ἐπέχονται. ἢ παρὰ τὸ ἥκειν καὶ φέρειν δέκατον ἀριθμόν, ἢ ἀπὸ τοῦ ἑκάς.

Ἑκατόζυγος, ἑκατὸν καθέδρας ἔχουσα.

Ἑκατονκάρανοι, ἑκατὸν αἱ ἐπιζήμιον πρασσόμεναι.

Ἕκατος ὁ ἥλιος, ἐκ τοῦ ἑκὰς ἕκατος. εὖ εἰδὼς ἀγόρευε θεοπροπίας ἑκάτοιο.

* Ἑκατόννησοι, αἱ ἑκάτου ὅ ἐστιν Ἀπόλλωνος νῆσοι.

Ἑκατοστιαῖος τόκος, ὁ τοκιζόμενος εἰς δώδεκα νομίσματα, τὰ ἑκατὸν νομίσματα.

Ἑκατοστὸς ὁ ἀριθμός, ὡς χιλιοστός, συγγένεια.

Ἕκαχεν, ὑπήνωσεν.

Ἐκβαβάξαι, ἐκσαλεῦσαι. Σοφοκλῆς ἐν Ἀντηνορίδαις.

Ἐκβαίνει, ἀντὶ τοῦ εἰς τέλος ἔρχεται, καὶ ἀντὶ τοῦ συμβαίνει. οἷον ἐξέβη μοι πειραθῆναι δυσκόλου δαίμονος. καὶ ἀντὶ τοῦ ἀποβαίνει ἀπὸ νηός. Ἀριστοφάνης. οἷον, ἔκβαινε, ἀπόδος τὸν ναῦλον. καὶ ἐκβαίνει, ἀντὶ τοῦ ἐξέρχεται, μετὰ γενικῆς συντάσσεται. οἷον, ἔκβαινε τῆς νηὸς καὶ ἀπόδος τὸν ναῦλον.

Ἐκβατηρίας Ἄρτεμις, ἐν Σίφνῳ.

Ἐκβακχεύει, ἐκταράσσει, ἢ ἀσήμως ἑορτάζει.

Ἐκβακχευθείς, ἐκμανείς.

Ἐκβαλεῖν λέγουσιν ἰδίως, τὸ κροῦσαι ταῖς ναυσίν.

Ἐκβάλλει, καὶ ἐκδίδωσιν ὁ ποταμὸς εἰς τὴν θάλασσαν. καὶ ἐξίησιν, οὐκ εἰσβάλλει, οὐδὲ εἰσδίδωσιν, οὐδὲ εἰσίησιν. ἢ ἐκβάλλει ὁ ποταμὸς εἰς θάλασσαν, ἤγουν ἐξάγει καὶ ἀπερεύγεται, ὃν κατασύρει συρφετόν. ἐξ αὐτοῦ δὲ καὶ ὁ ἔκβλητος παρ' Εὐριπίδῃ. καὶ ὁ ἐπὶ ὀξέως ἀκρωτηρίου ἔκβολος, ὁποῖον καὶ τὸ ἀντικρὺ Ῥόδου, ὁ τριήρους παραυγάζει σχῆμα τοῖς πόρρωθεν βλέπουσιν. ὡς καὶ ἔμβολος λέγεται, καθ' ὁμοιότητα τοῦ ἐμβόλου τῆς νεώς.

Ἐκβάλλεται, ὁ ἔνδον ὢν ἐκκλείεται, ὁ μὴ εἰσελθεῖν συγχωρούμενος.

Ἐκβάλλω, ἐκβαλῶ, ἐκβέβληκα. ἐκβάλλομαι, ἐκβληθήσομαι, ἐκβέβλημαι, ἐξεβλήθην. καὶ ἐκβάλλω, τὸ ἐξάγω, ἐξαιροῦμαι, ἀναιρῶ, περιαιρῶ, ἐκπέμπω, ἐκφέρω, ἐκκρούω. καὶ ἐκβάλλω, τὸ ἀποσείομαι, καὶ ἐκπέμπω, καὶ ἐξορίζω, μετὰ αἰτιατικῆς. ἢ ἐκβάλλω, τὸ ἀποκηρύττω. οἷον ἐκβάλλω ἐκ τοῦ κλήρου, μετὰ αἰτιατικῆς καὶ γενικῆς συντάσσεται. Ἀριστοφάνης, σὲ πρῶτον ἐκβάλλοντες ἐκ τῆς Ἑλλάδος. καὶ ἐκβάλλω, ἐκβαλῶ, ἐξέβαλον, ἐκβέβληκα. ἐκβάλλομαι, ἐκβληθήσομαι, ἐκβέβλημαι, ἐξεβλήθην.

Ἔκβαλον ἔπος, ἀντὶ τοῦ ἐξεθέμην, προέρριψα. ἐκ τοῦ τοιούτου δὲ ῥήματος καὶ τὸ ἔκβλητον, ἤτοι ἀπόβλητον.

Ἔκβασιν, τὴν πλήρωσιν, τὴν παῦσιν. ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ, καὶ τὴν ἔκβασιν.

Ἔκβασις, πέρας τινὸς ὑποθέσεως, ἢ ἐκβλάστησις.

Ἐκβατίνων, περσικῶν.

Ἐκβεβοημένος, παρὰ μὲν τοῖς κοινοῖς πολλάκις λαμβάνεται καὶ αὐτὸ ἐπὶ καλοῦ, παρὰ δὲ τοῖς Ἀττικοῖς ἀεὶ ἐπὶ κακοῦ.

Ἐκβεβόλισται, ἐξορώρυκται, ἠφάνισται τῶν βόλων.

Ἐκ βελέων, ἐκ τῶν βελῶν.

Ἐκβῆναι ὄρος, καὶ ποταμὸν διαβῆναι.

Ἐκβήσεται, προβήσεται, ἐκβαίνει.

* Ἐκβῆσαι τινὰ τῆς νεώς, ἤγουν ἐξαγαγεῖν. ἐν τῷ οἱ δ' ἐκβήσαντες ἔβησαν. Ὀδυσ. ω.

Ἐκβιασθῇ, ἐκβληθῇ, ἐκριφῇ. λέγεται δὲ καὶ ἐπὶ τῶν ὑπὸ τῆς θαλάσσης ἐκριπτομένων. λέγεται δὲ καὶ ἐξεπτύσθη ὑπὸ τῆς θαλάσσης.

Ἐκβιβάζει, ἀνύει, δοκιμάζει.

Ἐκβιβάσας, ἐξαγαγών.

Ἐκβιβαΰζει, θρηνεῖ μετὰ κραυγῆς.

Ἐκβληθήτωσαν, διωχθήτωσαν.

Ἐκβλίσαι, ἐκθλίψαι, ἐκπιέσαι. βλίζειν γάρ, τὸ τὰ κηρία ἐκθλίβειν.

Ἐκβλιστέος, ἐκθλιπτέος.

Ἐκβολαί, ἔνθα ὁ ποταμὸς μίγνυται τῇ θαλάσσῃ. πηγὴ δέ, ὅθεν ἄρχεται.

Ἐκβολβίσαι, ἐκ ῥιζῶν ἀνασπάσαι.

Ἐκβολὴ σίτου, ὁ σπόρος. καὶ ἐκβολὴ λόγου, παράβασις, μετάβασις.

Ἐκβολίζεται, εἰς βασιλέως ἔθη τρέπεται.

Ἐκβόσκεται, διεσθίει, ἐκβιβρώσκει.

Ἐκβράζειν, ἐπὶ τῆς θαλάσσης λέγεται. ὅταν κλύδωνος γενομένου ἡ θάλασσα ἐκρήξῃ, καὶ ἐξάγῃ τὰ τῆς νεὼς φορτία. ὅθεν ἐκβράσματα τὰ ναυάγια, ἤτοι τὰ τεθρασμένα καὶ ἀπερρωγότα ξύλα νεώς.

Ἐκβρασθείη, ἐκβληθείη, ἀπορριφείη.

Ἐκβρασθέν, ἐκριφέν. λέγεται δὲ ἐπὶ τῶν ἐκ τῆς θαλάττης ἐκριπτομένων.

Ἐκβρασμός, ἔκζεσις, ταραχή, θόρυβος, ταραγμός.

Ἐκβρήσει, ἐκβάλλει, ἐκβράσει, παρὰ τῷ Ἱπποκράτει.

Ἐκγαμησθῆναι, ὅταν εἰς ἕτερον γένος ἐκδοθῇ παρθένος, οἱονεὶ τοῖς μὴ προσήκουσι, τοῦτο ἐκγαμεῖσθαι λέγεται.

Ἐκγεγάμεν, Ὅμηρος. λέγεται ἐκγεγάμεν, ἀντὶ τοῦ γεγενῆσθαι.

Ἐκγειτόνων, ἀντὶ τοῦ γειτνιῶσαι. ὡς τὸ ἐκγειτόνων τῆς

Digitized by Google

μεγαλοφροσύνης παροικοῦσαν, τὴν ἀλαζονείαν ἐκφεύγει.

Ἐκγελάσαι, ἴσως μὲν τὸ χανδὸν γελάσαι δηλοῖ. ἴσως δὲ καὶ ἐξ ἐπιπολῆς, οἷα βαρυνομένης τῆς ψυχῆς, διὰ τὸ σωθῆναι τὸν Τηλέμαχον. κατὰ τό, ἐκδ' ἐγέλασσε Ζεύς, παρ' Ἡσιόδῳ.

Ἐκγελάσας, ἀντὶ τοῦ λίαν γελάσας, κατὰ ἐπίτασιν τῆς ἐκ προθέσεως. ἢ οὐ μόνον κατὰ νῦν γελάσας, ἀλλὰ καὶ ἐκφήνας τὸν γέλων. καὶ ἔστι τοῦτο ἐπιτροῖον τοῦ παρ' Ἡσιόδῳ, ἐκγελάσαι τὸν Δία. τὸ μέντοι γέλῳ ἔκθανον, ὑπερβολὴν δηλοῖ γέλωτος, ἠρεμαιότερον δὲ τὸ ἴσαν εἴσω ἡδὺ γελόωντες. ὑφειμένον δὲ πάντῃ τὸ ἀνήϊξαν γελόωντες.

Ἐκγελιώσαιμι, ἐκχλευάσαιμι.

Ἐκ γενετῆς παρ' Ὁμήρῳ, δῆλον ἐκ τοῦ γενέσθαι μέλλοντος ἀρξάμενον γενόμενον. ὅμως αὐτὸ χρηστὸν εἰς πᾶσαν γραφήν. τοιοῦτον δὲ καὶ ὁ γενέσω, καὶ ἡ γένεσις, καὶ τὸ γενέσιον, καὶ τὸ σύστοιχον αὐτοῖς γενέθλιον.

Ἔκγονον Πηλέως λέγει Ὅμηρος, τὸν υἱόν, διὰ τοῦ η, οὐ τὸ ῥῆμα ἐκγενέσθαι. ὡς τό, τοῦ μ' ἔκφασι γενέσθαι, ᾧ σύστοιχον καὶ τὸ ἐκγεγάμεν. τὸν δὲ ἔγγονον μετὰ τοῦ γ, ὡς γεννηθέντα.

Ἔκγονος, Ὅμηρος εἰδώς, τὸ ἐξεγένετο ῥῆμα, ἔκγονον ἐξ αὐτοῦ λέγει, τὸν ἔκ τινος γένους, ὡς εἴπερ ἔφη ἀπόγονον. ἡ δὲ τοῦ ἐγγόνου γραφή, τῶν μεθ' Ὅμηρόν ἐστιν. ἢ ἔκγονος, ὁ υἱός. ἔγγονος δέ, ὁ υἱοῦ, ἢ θυγατρὸς υἱός. καὶ ἐγγόνη, ἡ τούτων θυγάτηρ. κυρίως δὲ θυγατριδοῦς μέν, ὁ θυγατρὸς υἱός. καὶ θυγατριδῆ, ἡ θυγάτηρ.

Ἐκγρυτάσῃ, ἐξερευνήσῃ.

Ἐκδάβη, ἐκαύθη. Λάκωνες.

Ἐκδ' ἄγαγε, ἐξήγαγε δέ.

Ἐκδ' αἴνυτο, ἀφῃρεῖτο δέ.

Ἐκδ' ἔβαν, ἐξέβησαν δέ.

Ἐκδεδασῶσθαι, σῶμα δασὺ γεγονέναι.

Ἐκδεδιῃτημένος, ὁ ἀκόλαστος, καὶ ἔξω διαίτης.

Ἐκδεδαρμένον δέρης, ἐπὶ τῶν μάτην πονούντων.

Ἐκδεές, ἀτελές, ἐλλιπές.

Ἔκδεια, ἡ κεχρεωστημένη λοιπάς, καὶ ἡ ἑκούσιος στέρησις τῶν χρημάτων. ἔνδεια δέ, ἡ ἀκούσιος.

Ἐκδειματοῦνται, ἐκφοβοῦνται.

Ἐκδείρεται, ἐκδερματοῦται.

Ἐκδ' ἔδον, ἐξέδωκαν.

Ἐκ δὲ καρδίης. Καρδία πόλις ἐν Χερρονήσῳ, ὠνομάσθη δὲ ἀπὸ τοῦ ἁρπάσαι κόρακα καρδίαν ἐπὶ θυσίας, καὶ κομίσαι εἰς τὸν τόπον, ἔνθα ἡ πόλις ἐκτίσθη.

Ἐκ δεμνίων, ἐκ τῶν στρωμάτων.

Ἔκδεξαι, ἀνάμεινον.

Ἐκδέξεσθαι, ἀντὶ τοῦ παραλαβεῖν καὶ ἀκροάσασθαι. ὡς τό, οὐδὲ φίλων λόγον ἐκδέξεσθαι τῶν τὰ πολέμια δρώντων.

Ἔκδεξιν, διαδοχήν. παρὰ τῷ Ἱπποκράτει.

Ἐκδ' εὐνάς, τὰς ἀγκύρας νῦν λέγει τὰς σιδηρᾶς, παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλωμένας εἰς τὸ ὕδωρ, καὶ ποιεῖν ἵστασθαι. τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὴν κοίτην, ὡς ὅταν λέγῃ, εὐνῇ ἐνὶ μαλακῇ. τὴν ἄγκυραν, ὡς νῦν, ἐκδ' εὐνὰς ἔβαλον. τὴν διατριβήν, ὡς τό, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.

Ἐκδέχεσθαι, ἀντὶ τοῦ ἀπείργειν, ἀναστέλλειν.

Ἐκδέχεται, προσδοκᾷ, παραμένει.

Ἐκδέχῃ, νοεῖς, ὑπολαμβάνεις.

Ἐκ δὲ Χρυσηὶς ἔβη νηός, ἐξέβη δὲ τῆς νηὸς καὶ ἡ Χρυσηίς.

Ἐκδέψηται, ἐκμαστιγώσηται.

Ἐκδ' ἤλθεν, ἐξῆλθεν.

Ἔκδηλος, φανερός, ἢ ὑπερέχων.

Ἐκδημεῖ, ἀποδημεῖ, ἀναχωρεῖ.

Ἔκδημος, οὐκ ἀπόδημος. καὶ ἐκδημῶ, καὶ ἀποδημῶ. Ἀριστοφάνης ἐν Βατράχοις, Ποῖ γῆς ἀπεδήμεις.

Ἐκδῆσαι σανίδας ὄπισθεν, ἐν Ὀδυσσείας χ ὑστερολογικῶς κεῖται, ἤγουν κατὰ τρόπον πρωθύστερον. οὐ γὰρ μετὰ τὸ σανίδας ἐκδῆσαι, τουτέστι θύρας κρεμάννυται ὁ Μελανθεύς, ἀλλὰ στρεφθεὶς χεῖρας καὶ πόδας, καὶ θυρᾷ ἐκδεθεὶς ἀπαιωρεῖται, καὶ οὕτως αἱ σανίδες ἐκδέονται. διὸ καὶ πρὸς Ἑρμηνείαν καὶ σαφήνειαν πρόσκειται, τὸ ὄπισθε χρονικῶς. ἐν τῷ σανίδας δ' ἐκδῆσαι ὄπισθεν, ἤγουν μετὰ τὸ πάντα ὅσα χρὴ ἐπὶ τῷ Μελανθίῳ ποιῆσαι. διὸ καὶ πάντα ποιήσαντες οἱ δοῦλοι, θύραν ἐπέθεντο φανερῶς. ἔχει δὲ διαφορὰν τὸ ἐπιθεῖναι θύρας, καὶ τὸ ἐκδῆσαι. τὸ μὲν γὰρ ἀντὶ τοῦ κλεῖσαι, ὡς εἴρηται, κεῖται, καὶ μὴ ἐᾶσαι ἀναπεπταμένας. τὸ δὲ ἐκδῆσαι, καὶ δεσμὸν ἐπιβληθῆναι δηλοῖ. καὶ ἔστι τὸ σανίδας ἐκδῆσαι, ὡς ἐκ μέρους δηλωτικόν, καὶ τοῦ ἐπιθεῖναι. οὐκ ἔστι γὰρ δεσμηθῆναι θύρας, μὴ πρότερον κλεισθείσας. δῆλον δέ, ὅτι ταυτὸν ἐν τούτοις σανίδας εἰπεῖν καὶ θύρας, ἢ θύραν. οὕτω καὶ πρὸ ὀλίγων τὸ τόξον Τηλέμαχος ἔκλινε, κολληταῖς εὐξέσταις σανίδεσσι, τουτέστι θύραις.

Ἐκδιαιτηθῆναι, διαφθαρῆναι, ἢ διατραφῆναι.

Ἐκδιαίτησις, τρυφή. ὁ δέ, τρυφαῖς μαλακαῖς καὶ ἐκδιαιτήσεσι διαλυθεὶς ἐπανίει.

Ἐκδιαμέτρου, τὰ πλεῖστον ἀλλήλων διεστηκότα, ἢ τὰ ἄκρα καὶ μείζονα διαστήματα. οἷον ὅταν ὁ Ἥλιος ἐν τῷ ἀνατολικῷ ὁρίζοντι ὑπάρχῃ, καὶ ἡ Σελήνη ἐν τῷ δυτικῷ.

Ἐκδιάν, τὰν, κέραμον συντετριμμένον.

Ἐκδιάστρα, κλῶσμα, ὁ στήμων.

Ἐκδίδως, προδίδως.

Ἐκδιῄτησε, κακῶς διῴκησεν.

Ἐκδικάσασθαι, ἀντὶ τοῦ ἄδικον ἐκπράξαι, διὰ τὸ δικάζεσθαι.

Ἐκδίκησις, ἀνταπόδοσις.

Ἔκδικον, ἐπὶ δικαίου καὶ ἀδίκου λέγεται.

Ἔκδικος, ὁ τὴν ἀλήθειαν ἐκδικῶν. ἔκδικος καὶ ὁ ἔξω τοῦ δικαίου.

Ἐκ Διόθεν, ποιητικῶς, ὡς τὸ ἐξ οὐρανόθεν. ἐκ τοῦ Διός, καὶ ἐκ τοῦ οὐρανοῦ.

Ἔκδιος ἔκδοσις, τὸ ναυτικὸν δάνεισμα, οἱονεὶ ἔξω δόσις. καὶ ἐκ Διὸς ὕδατα, τὰ ὄμβρια.

Ἐκ δίφρου βαλέω, ἀντὶ τοῦ ἐκβαλῶ, ἐξωθήσω, ἐκρίψω.

Ἔκδοτε, ταυτόν ἐστι τῷ ἀπόδοτε, ἤγουν χρεωστικῶς δότε. τοιοῦτον γάρ, τὸ ἀποδοῦναι.

Ἔκδοτος, προδεδομένος, ἀποδεδομένος.

Ἐκδούπησαν, ἐβρόντησαν.

Ἐκδοχεῖον, τὸ ταμιεῖον. γράφεται καὶ ταμεῖον.

Ἐκδοχή, ἀναμονή, προσδοκία.

Ἔκδραχμον, ἑξάδραχμον.

Ἐκδύειν, ἐξελθεῖν.

Ἐκδύετον, ἐξέδυσαν, δυϊκῶς.

Ἐκδύνει, ἐξέρχεται.

Ἐκ δυοῖν, ἐκ δύο. καὶ ἐκ δυοῖν τρία βλέπεις. τοῦτο ἐλέγετο ἐπὶ τῶν διὰ γῆρας ἢ ἄλλο τι πάθος οὐκ ὀξυδορκούντων, οὐδὲ εἰλικρινεῖς ἐχόντων τὰς αἰσθήσεις.

Ἐκδύον, καλόν, κομψόν.

* Ἐκδῦμεν, ἀπαρέμφατον ἀντὶ τοῦ ἐκδῦναι. ἢ Ἀττικὸν ἐκ τοῦ ἐκδύοιμεν κατὰ συγκοπήν. ἐν τῷ νῶϊ δ' ἐκ δῦμεν ὄλεθρον. Ἰλιάδ. π.

Ἐκδύσασθαι, καὶ ἀποδύσασθαι, ταυτόν ἐστιν.

Ἐκδύω καὶ ἀποδύω, ταυτόν. πάντως καὶ ἀποδύσασθαι, καὶ ἐκδύσασθαι.

Ἐκδ' ὦσε, ἐξέωσε δέ.

Ἐκέασεν, ἀντὶ τοῦ διέσχισεν. ἴσως δὲ καὶ τὸ ἐκέδασεν ἐκ τούτου γίνεται, πλεονασμῷ τοῦ δ. ἵνα πῶς εἴη ταυτὸ τὸ ἐκέασε, καὶ τὸ ἐκέδασε, παρ' Ὁμήρῳ.

Ἐκέδασεν, διεσκόρπισεν.

Ἐκεῖ ἐπὶ στάσεως τιθέασιν, οἷον ἐκεῖ τυγχάνω, ἐκεῖ εὑρίσκομαι.

Ἔκηα, διεσκέδασα, κατέκαυσα.

Ἐκεῖ, τοπικὸν ἀναφορικόν ἐστιν ἐπίρρημα. ἀνταποδίδοται δὲ τὸ ἔνθα πρὸς αὐτό. τοῦτο δὲ ἀπαντᾷ πρὸς τὸ ἐρωτηματικὸν τὸ ποῦ. λέγεται γὰρ πρὸς μὲν τὴν ἐρώτησιν τοῦ ποῦ, τὸ ἐκεῖ ἀναφορικόν. πρὸς δὲ τὸ ἐκεῖ, τὸ ἔνθα ἀνταποδοτικόν. οἷον ποῦ ἐστιν ὁ δεῖνα; ἐκεῖ ἔνθα ὁ δεῖνα. κεῖται δὲ τὸ ἐκεῖ μετὰ ῥήματος, στάσιν δηλοῦντος. τὸ δὲ ἐκεῖσε, ὅτε ἐστὶ ῥῆμα δηλοῦν κίνησιν.

Ἔκεσεν, ἐκέντησεν.

Ἐκείνῃ, ἀντὶ τοῦ αὐτόθι, ἐπίρρημα.

Ἐκεῖθεν, οὐδὲν τῶν εἰς θεν τῇ ει διφθόγγῳ παραλήγεται, πλὴν τοῦ ἐκεῖθεν. ὅπερ ἀπὸ τοῦ ἐκείνοθεν γίνεται κατὰ συγκοπήν. καὶ τὸ ἐκεῖ, ἀπὸ τοῦ ἐκεῖθι. τοῦτο δέ, ἀπὸ τοῦ ἐκείνοθι. καὶ τὸ ἐκεῖσε, ἀπὸ τοῦ ἐκείνοσε.

Ἐκεῖνος, παρὰ τὸ ἑκὰς ἐπίρρημα, ὃ σημαίνει τὸ πόρρωθεν. τὴν γὰρ πόρρω δεῖξιν σημαίνει. καὶ οἱ Δωριεῖς κῆνος αὐτήν φασι. καὶ τῆνος ἀντιδιαστέλλοντες αὐτὴν ἐπὶ τῆς πλησίον δείξεως. ἀρέσκεσθαι μέντοι φησὶν Ἀπολλώνιος καὶ τὴν τῆνος, ἐπὶ τῆς πόρρω δείξεως. ἢ ἐκεῖνος ἀντωνυμία, ἐπὶ τοῦ ἀπόντος, οὗτος ἐπὶ τοῦ παρόντος. καὶ ποτὲ μὲν λαμβάνεται, ἢ οὗτος ἀντὶ τοῦ ἐκεῖνος, καὶ ἐκεῖνος ἀντὶ τοῦ οὗτος. τὸ δὲ ἐκεῖνος γράφεται χωρὶς τοῦ ε. ὡς τὸ κεῖνον γὰρ οὐδὲν ἄλλον ἰχνεύω πάλαι. Ἰστέον δέ, ὅτι τὸ ἐξ ἀνάγκης τὸ κεῖνος, Ἰωνικὴν ἀφαίρεσιν ἔπαθε τοῦ κατάρχοντος ε. οὐ γὰρ ἀναμφιλέκτως πρωτότυπον τὸ ἐκεῖνος. ἵνα ἐξ αὐτοῦ γένηται τὸ κεῖνος, καὶ τὰ τῆς αὐτοῦ συστοιχίας, ὁποῖον καὶ τὸ κεῖθι, καὶ τὸ κεῖσε. ἀλλ' ἡ ἀναλογία δυσυλλαβεῖν αὐτὸ οἶδε, κατὰ τὸ αὐτός, οὗτος, ἐγώ. αἱ γὰρ πρωτότυποι ἀντωνυμίαι, οὐ φιλοῦσιν ὑπερβαίνειν τὴν δυσυλλαβίαν, ἀπαθεῖς οὖσαι. τὸ γὰρ οὑτοσὶ οὐκ ἀπαθές. τὸ δὲ σφωΐτερος, οὐ πρωτότυπον. ἄλλῳ μέντοι λόγῳ ἀναλογώτερον τὸ ἐκεῖνος, ἐκ φωνήεντος ἀρχόμενον. κατὰ τὰς πρωτοτύπους μονοπροσώπους ἀντωνυμίας, ἃς ἐκτίθενται οἱ παλαιοί.

* Ἐκεῖνος, φωνὴ ὑπεροχῆς σημαντικὴ ὡς ἐν τῷ καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης βροτῷ ἀνδρὶ ἐοικώς. Ἰλιάδ. ε.

Ἔκειντο. κέημι ἄχρηστον, καὶ πάντα τὰ ἐνεργητικά. καὶ παθητικά, κέειμαι κεῖμαι, καὶ ὁ παρατατικὸς ἐκεέμην, ἐκείμην. τὸ δεύτερον, ἐκέεσο ἔκεισο. τὸ τρίτον τῶν πληθυντικῶν, ἐκέοντο ἔκειντο.

Ἐκείνω, ἐκεῖνοι, δυϊκῶς.

Ἐκείνως, κατὰ τοῦτον τὸν τρόπον.

Ἔκειρον, ἤσθιον, ἀνήλισκον.

Ἐκεῖσε, ἐπὶ κινήσεως ἐπίρρημα. οἷον, ἐκεῖσε ἀπέρχομαι.

Ἐκέκαστο, ἐνίκα, ἐδοξάζετο, ἐκεκόσμητο.

Ἐκέκευθεν, εἶχεν, ἀπέκρυπτεν.

Ἐκεκήδει, ὑπεχωρήκει.

Ἐκέκλετο. ἀπὸ τοῦ κέλλω ἐκέλλετο, καὶ ἐκέκλετο. σημαίνει δὲ τὸ προσέταξεν. ἢ ἐκέκλετο, ὡς ὑπερσυντέλικος. ἀπὸ τοῦ κλέω, ὅπερ ἀπὸ τοῦ καλέω συνεκόπη. ἢ καὶ εἰς παρατατικόν, ἀπὸ τοῦ κέκλω. ὅπερ ἀπὸ τοῦ κλέω κατὰ συγκοπὴν καὶ ἀναδίπλωσιν γίνεται.

Ἐκέκλησεν, ἐκέλευσεν.

Ἐκέκλιτο ἔγχος, ἤτοι ἔκειτο. ἐκέκλιντο ἵπποι, ἤγουν ἵσταντο· ἄμφω γὰρ δηλοῖ τὸ κεῖσθαι, ὥστε ἰδίως γενόμενον κεῖσθαι, καὶ ἵστασθαι. καὶ ἄλλος δὲ ἔγχος μὲν ἐκέκλιτο. ἵπποι δὲ οὐχὶ ἐκέκλιντο, ἀλλὰ κατὰ τὸ εὔλογον ἵσταντο.

Ἐκελαοί, οἱ Ἀττικοί.

Ἐκέλευεν, ἠνάγκαζεν, ἔλεγεν. καὶ ἐκέκλετο, τὸ αὐτό.

Ἔκελσεν, ἔσχισε, διέλυσε, κατέβλαψεν.

Ἐκέλσαμεν, ὡρμήσαμεν.

Ἐκενώθησαν, ἠρημώθησαν, μετεβλήθησαν.

Ἐκεραΐζον, ἀπώλλυον, κατέτρεχον, ἐληΐζοντο, ἐπόρθουν.

Ἐκέρδανεν τὴν συμφοράν, ἀντὶ τοῦ ἐξέφυγε. Λιβάνιος, Παντάπασι γὰρ ἂν τῶν μετὰ ταῦτα συμφορῶν τὴν πεῖραν ἐκέρδανεν.

Ἐκερουτίας, τὴν κεφαλὴν ἀνέτεινες, δίκην τῶν κερατοφορούντων ζώων. δηλοῖ δὲ καὶ τὸ γαυριᾶν. ὡς ἔλαφός φησιν ἠγάλλου τοῖς κέρασι καὶ ἀνωρπάλιζες, καὶ ἐκερουτίας.

Ἔκερσεν, ἔκειρεν, ἔτεμεν, ἔκοψεν.

Ἐκερτόμεον, ἠρέθιζον.

Ἐκεύθανον, ἔκρυπτον.

Ἐκεχάνδει, ἐκεχωρήκει.

Ἐκεχειρία, ἡ ἐνοχή. ὅτι δεῖ τὰς χεῖρας ἐπέχειν τῶν ἔργων. Ἄλλως.

Ἐκεχειρία, ἄνεσις, ἀργία, συνθήκη, ἔνδοσις, ἀνοχὴ πολέμου. ἢ πρὸς ὀλίγον χρόνον τοῦ πολέμου ἀναβολή, καὶ ἡσυχία. παρὰ τὸ ἔχειν ~~τὰς χεῖρας~~.

Digitized by Google

Ἐκέχηρον, τὸ ἀργύρεον.

Ἐκεχλώνα Ἴωνες, ἐκεχλώνη Ἀθηναῖοι, κιρνῶντες τὸ ε καὶ α εἰς η. ἐφυλάχθη δὲ ἡ συναίρεσις, καὶ ἐν τῷ τρίτῳ προσώπῳ τῶν δύο ει εἰς η. ἐπειδὴ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τῶν ἑνικῶν, ἰσοσυλλαβεῖ αὐτῷ.

Ἔκζεσις, ἔκβρασις.

Ἐκζωπυρῆσαι κυρίως ἐστὶ, τὸ ἐκ μικροῦ πυρὸς φυσῶντα, μεγάλην φλόγα κινῆσαι.

Ἔκηα. κάω καύσω, ἔκηα, ὡς χέω ἔχεα. πλὴν ὅτι τὸ ἔκηα αὔξει τὴν παραλήγουσαν, ὡς τὸ ἔψηλα. ἔκηα ποιητικὸν, ἔκαυσα κοινόν.

Ἐκηβολίαι, εὔστοχοι τοξίαι. παρὰ τὸ ἕκαθεν ἐπιτυγχάνειν. βάλλειν γὰρ, τὸ ἐπιτυγχάνειν. ὡς τὸ βάλλειν ἄγρια πάντα. καὶ σὺ δὲ φρεσὶ βάλλεο σῇσιν, ἀντὶ τοῦ εὐστόχως ἔχε.

Ἑκηβόλος, ἀπὸ τοῦ ἑκὰς, ὃ σημαίνει τὸ μακρὰν, καὶ τοῦ βάλλω· ἀρετὴ γὰρ τοξότου, τὸ πόρρω βάλλειν.

Ἑκηβόλος, Ἀπόλλωνος ἐπίθετον εἶναι θέλει ὁ ποιητής. ἐκ τοῦ ἑκὰς βάλλειν συντεθεὶς, καθὰ καὶ ἡ ἐκηβολία θηλυκόν.

Ἔκηδεν, ἀπόλλυεν.

Ἐκήδευσαν, κατ' ἐπιγαμίαν συνήφθησαν. σημαίνει δὲ καὶ τὸ ἐνταφιάζειν.

Ἐκήθεον, ἐβοήθουν.

Ἐκήκιεν, ἀνεφέρετο.

Ἐκήλει, ἔθελγε, σὺν ἡδονῇ ἔτερπε.

Ἐκηλία, φιλοπονία, εἰρήνη.

Ἕκηλος, ὁ ἥσυχος, ὁ πρᾶος.

Ἕκηλος, κατὰ πλεονασμὸν τοῦ υ, εὔκηλος, ὁ χωρὶς μὲν τοῦ υ δασύνεται. ὅτε δὲ προσλάβῃ αὐτὸ, ψιλοῦται.

Ἐκήρυττον, ἀπόβλητον. καὶ ἐξεκήρυξαν, ἀπεσκοράκισαν.

Ἐκηρώθην, ἐσκοτώθην. ἢ διὰ τὸ δέος κήρινος.

Ἕκητι, ἕνεκα, καὶ χάριν. σημαίνει δὲ καὶ τὸ χωρίς.

Ἔκθαμβος, ἔκπληκτος.

Ἐκθανεῖν, ἀποθανεῖν.

Ἐκθεῖ πλέα, Ἀριστοφάνης, ἔξεισι, καὶ πορεύεται μεστὴ καὶ γέμουσα, τουτέστιν ἔξεισιν ἐκ τῆς πολιτείας, γενόμενος πλούσιος.

Ἐκθειάσαι, θαυμάσαι, θεοποιῆσαι.

Ἐκθειάσαι, ἐπαινέσαι. καὶ ἔκθειμα.

Ἐκθεατρίζουσιν, ἐκπομπεύουσιν, ἐκφαυλίζουσιν, ἐξελέγχουσιν, ἐκθεατρίζουσι τὴν ἑαυτῶν ἀχρειοσύνην.

Ἐκθεῖναι, τὴν αὐτὴν συλλαβὴν ἔχει τῷ ἐξέθηκα. Εὐριπίδης λέγει δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος.

Ἔκθεμα, βάρβαρον. σὺ δὲ λέγε πρόγραμμα, Φρύνιχος.

Ἐκθέμεν, ἐκτρέχειν.

Ἔκθεσις, ὀφειλὴ, παλαιὰ νομοθεσία, πρόσταξις, δόγμα.

Ἔκθεσμοι, παράνομοι, ἄδικοι.

Ἔκθετα, ἐκριπτόμενα. ἔκθετα βρέφη.

Ἐκθέωσιν, ἐκτρέχωσιν.

Ἐκθηλυνεῖν, χαυνοῦν.

Ἐκθ' ἡμετέρου, ἐκ τοῦ ἡμετέρου.

Ἐκθηριοῖ, μισεῖν ποιεῖ, διεγείρει.

Ἔκθιβος, τὸ λῶμα τοῦ χιτῶνος. οἱ δὲ, ἔκθροιβος.

Ἔκθλιψίς ἐστιν, ἀποβολὴ ἑνὸς συμφώνου, ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς, οὐ ποιοῦντος συλλαβήν. οἷον σκῆπτον, ἀντὶ τοῦ σκῆπτρον.

Ἐκθέοντας, ἐξερχομένους.

Ἐκθοράψει, ἐκδιώξει, ἀπὸ τοῦ ἐκθορεῖν.

Ἐκθορεῖν, ἐκδραμεῖν, ἐκφυγεῖν.

Ἔκθορεν, ἐξεπήδησεν.

Ἐκθορόμενος, ἐκπηδῶν.

Ἐκθρώσκει, ἐκπηδᾷ.

Ἐκθύεσθαι, ἐξιλάσκεσθαι.

Ἐκθύζει, ἐκζεῖ, ἐξεμεῖ.

Ἐκθύματα, ἐξανθήματα.

Ἐκθύμενος, λῶμα, κόμβος, ταχύς.

Ἐκθυμία, προθυμία.

Ἐκθυμὸν ἕλοιτο. δηλοῖ μὲν περιφραστικῶς τὸ θανατώσει, ἢ φονεύσει.

Ἐκ θυμοῦ, ἐκ ψυχῆς, πρόθυμος. καὶ ἐκ θυμοῦ, ἀντὶ τοῦ ἐκ ψυχῆς μίσους. ὁ καὶ ἐκθύμως λέγεται, κατ' ἐπίτασιν τῆς προθέσεως. τὸ δὲ ἀπὸ θυμοῦ, ἐναντίον τούτῳ ἐστὶν, ἀντὶ τοῦ πόρρω ψυχῆς. ὡς τὸ ἀπὸ θυμοῦ ἐμοὶ ἔσεαι. ἐξ οὗ καὶ ἀποθύμιον τοῦ, τὸ παρὰ τοῖς ὕστερον ἀκαταθύμιον, ἤγουν μὴ κατὰ ψυχήν.

Ἐκθύμως, προθύμως, κατὰ ψυχήν.

* Ἐκθύεσθαι τὸν φθόνον, ἤγουν ὡς διά τινος θυσίας ἐξιλεοῦν.

* Ἐκθυρίζειν, κοινῶς λέγεται τὸ ἔξω θυρῶν μένειν.

Ἐκθύσασθαι, ἐξιλεώσασθαι, ἐκμειλίξασθαι.

Ἐκθύωσιν, ἐκζέωσιν, ἐκπίπτωσιν.

Ἐκίαθεν, ἐπορεύετο.

Ἐκίδνατο, διεσκορπίζετο, ἐσκεδάννυτο.

Ἐκίνδαψεν, ἔψηλεν. ἐκινδάψασι δὲ, ὑπέψηλεν. ἀπὸ κινδαψοῦ, ὅπερ ἐστὶν ὄργανον κιθαριστήριον ποιὸν, κινδαψός.

Ἔκιον, ἐπορεύοντο.

Ἐκίσσησεν, ἐν γαστρὶ συνέλαβεν, ἐγέννησεν, ἔσχε.

Ἐκίχανεν, κατέλαβεν, εὗρεν, ἔλαβεν. κίχω, καὶ κατὰ παραγωγὴν, κιχάνω. ἀφ' οὗ τὸ ἐκίχανεν, ἐπὶ παρατατικοῦ. λαμβάνεται δὲ ἐνίοτε καὶ ἀντὶ ἀορίστου.

Ἐκίχεις, ἤτοι κατέλαβες, εὗρες. ἢ ἐκ τοῦ κιχῶ γίνεται, ἢ ἐκ τοῦ κίχημι, ἐξ οὗ τὸ κιχήμεναι.

Ἐκίχημεν, παρατατικός ἐστι τοῦ κίχημι. ἐξ οὗ τὸ κιχῆναι.

Ἐκκαίας, ἐκκαύσας.

Ἐκκαίδεκα, οὐκ ἓξ καὶ δέκα. διότι τὸ διπλοῦν μετὰ συμφώνου τιθέμενον, τραχύντα ποιεῖ τὴν φωνῆς. καὶ δῆλον ἀπὸ τοῦ ἕκτη, τὸ ἕξ. πρόθεσις εἰ συντεθῇ μετά τινος ἀπὸ συμφώνου ἀρχομένου, τρέπει τὸ ξ εἰς κ. οἷον ἐκκαιδέκατος, ἐκκαίδεκα.

Ἐκκαιδεκάδωρα, ἑκκαίδεκα παλαιστῶν. δωρὰ γὰρ καλεῖται ἡ παλαιστή. Ὅμηρος, Τοῦ κέρα ἑκκαιδεκάδωρα πεφύκει.

Ἐκκαίομαί σου, ἐρῶ σου.

Ἐκκήρυκτος, ἀπόβλητος.

Ἐκκακή, ᾠδή.

Ἐκκακοῦμεν, ἠμελοῦμεν, ἠκηδιῶμεν. καὶ ἐκκακοῦμεν, ἀπαγορεύομεν.

Ἐκκαλαμᾶται, ἀποσπᾷ. ἀπὸ τῶν διὰ καλάμου τοὺς ἰχθύας ἀγρευόντων.

Ἐκκαλάξαι, κλῖναι τὸ ἱστίον.

Ἐκκαλεῖται, προσκαλεῖται. βουλόμενοι ἐκκαλεῖσθαι τὴν ὁρμὴν αὐτοῦ.

Ἐκκαλέσασθαι, παραθῆξαι, παρορμῆσαι.

Ἐκκαλοῦμαι, τὸ διά τινος καλῶ τινὰ ἀπὸ τῆς οἰκίας.

Ἐκκαλοῦμαι, ἀντὶ τοῦ μετ' ἐμαυτοῦ καὶ ἕτερον ἔξω τῶν οἴκων ἕλκω, αἰτιατικῇ συντάσσεται.

Ἐκκαλούμενοι, προσκαλούμενοι, ἢ προθυμούμενοι. εἴτε τὴν καθ' αὐτῶν ἐκκαλούμενοι διαβολήν.

Ἐκκαλύπτων, φανεροποιῶν.

Ἐκκαλῶ, ὁμοίως μετὰ αἰτιατικῆς. ὡς Ἀριστοφάνης, Ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων.

Ἐκκαπηλεύειν, δολοῦν, πανουργεῖν.

Ἐκκαρπωσάμενοι, προσόδους μεγάλας λαβόντες.

Ἐκκαυλῆσαι, ἐπιδοῦναι.

Ἐκκαυλίζων, Ἀριστοφάνης ἀπὸ τῶν τὰ λάχανα ἀποκλώντων τῇ μεταφορᾷ ἐχρήσατο. οἷον ἀνασπῶν, καὶ ἀναιρῶν.

Ἐκκαχρύσω, ἐκκοκίσω, ἐκτινάξω, ἢ συντρίψω. οἱ δὲ κρίμνα.

Ἔκκειται, τὸ ἐλπίζει, καὶ συντάσσεται δοτικῇ, ὡς λέγει Συνέσιος. οἷον, ἀλλ' ἡμῖν εἰς ἀντίδοσιν ἀρκεῖ τὸ μὴ ἀγνοεῖσθαι παρὰ σοῦ τὴν ἔνστασιν ἡμῶν, ὅτι μόνῳ σοι τῶν ζώντων ἐκκείμεθα. ἢ ἔκκειται, τὸ ἔξω ἐστὶ, καὶ προτίθεται, σύγκειται, καὶ συγκείμενα. ἀπὸ τούτου αἱ συνθῆκαι.

Ἐκκεκελλήρικεν, ἐκκεκέκληκεν.

Ἐκκεκληρωμένη, ἐκπεπληγμένη, ἔξω τῆς ψυχῆς γεγονυῖα.

Ἐκκεκολαμμένα, γεγλυμμένα.

Ἐκκεκόλαπται, ἐγγέγλυπται.

Ἐκκεκομμένος, ὁ διὰ τοῦ κυβεύειν τὰ αὐτοῦ ἀπολέσας, ὅπερ νῦν ἐκκεκοττισμένος φαμὲν, ἢ ὁ ἀποκεχωρισμένος.

Ἐκκεκονίσθαι, τὸ εἰς κονίαν ἀναλελύσθαι.

Ἐκκεκόπηται, ἐξήρτηται. Σοφοκλῆς συλλόγῳ.

Ἐκκεκρικὼς, ἐκκεχωρικώς.

Ἐκκεκυμασμένους, ὑπὸ τῶν κυμάτων ἐκβρασθέντας.

Ἐκκέκυφεν, ἀνώρθωσεν.

Ἐκκεκωφέαται. ἀπὸ τοῦ κωφῶ κωφήσω, κεκώφηκα, κεκώφημαι, κεκώφηται, καὶ Ἰακῶς κεκωφέαται, καὶ ἐν συνθέσει ἐκκεκωφέαται, καὶ παραβλάπτεται.

Ἐκκεκώφηκας, βοῆς ἐπλήρωσας τὰς ἀκοάς.

Ἐκκεκώφηται, καὶ ἐκκεκώφωται τὰ ὦτα μεταβατικῶς.

* Ἐκκεκωφῆσθαι τὶς λέγεται πρὸς κάλλος γυναικὸς, καὶ δοκεῖ σημαίνειν παραπλήσιόν τι τῷ ἐκπεπλῆχθαι.

Ἐκκέλευστος, κατήγορος.

Ἐκκενάξειν, ἐκκενώσειν, ἀπὸ τοῦ κενοῦ θορυβήσειν.

Ἐκκευθμῶν, τῶν κοίλων τόπων.

Ἐκκεχειρία, ἄνεσις, ἀργία, συνθήκη, ἀνοχὴ πολέμου, εἰρήνη.

Ἐκκεχιλωμένη, ἐψευσμένη, ἢ κεχερσωμένη. ὅτι ἡ χιλὸς ἐν χέρσῳ φύεται, τοῦτο δέ ἐστι χόρτος. ὁρῶ δὲ ταύτην ἐκκεχιλωμένην, οἷον ἐξημελημένην.

Ἐκκεχοιριλωμένη, οὐ χοιρίλου οὖσα. Ἐκφαντίδι γὰρ τῷ κωμικῷ, Χοίριλος θεράπων ἦν, ὃς συνεποιεῖτο κωμῳδίας.

Ἐκκήρυκτον, ἀπόβλητον. ὡς τὸ, ἐκκήρυκτον ταύτην πεποιήκασι. καὶ ἐξεκήρυξαν, ἀντὶ τοῦ ἀπεσκοράκισαν.

Ἐκκλείεται, ἐμποδίζεται.

Ἐκκλείουσι, κωλύουσιν, εἴργουσιν. οἷον, ἐπὶ τὸν Φίλιππον ἐκκλείουσιν οἱ καιροί.

Ἐκκλείωσε, τῆς οἰκίας.

Ἐκκλέπτει, ἐκπορεύεται.

Ἐκκλήσεις, αἱ ἐκκαλέσεις.

Ἐκκλησία κυρία λέγεται, ἐν ᾗ ἐκύρουν τὰ ψηφίσματα. εἰσὶ δὲ νόμιμοι ἐκκλησίαι, αἱ λεγόμεναι, τρεῖς τοῦ μηνὸς Ἀθήνησιν, ἡ πρώτη, καὶ ἡ δεκάτη, καὶ ἡ τριακάς. εἰσὶ δὲ καὶ πρόσκλητοι ἐναγόμεναι, κατά τινα ἐπείγοντα πράγματα. αἱ μὲν οὖν νόμιμοι καὶ ὡρισμέναι ἐκκλησίαι, κύριαι λέγονται, ὡς ἔφαμεν. αἱ δὲ πρὸς τὰ κατεπείγοντα συναγόμεναι, σύγκλητοι.

Ἐκκλησιάζειν, εἰς ἐκκλησίαν συνάγειν.

Ἐκκλησίαν, συναγωγὴν ὄχλου. ὡς τὸ, ἐκκλησία δ' οὐχὶ διὰ τούτων γίνεται.

Ἐκκλητεύειν, τὸ εἰς κρίσιν ἄγειν. καὶ τὸ δικαστήριον, ἔκκλητον λέγουσιν.

Ἐκκλητευθῆναι, τῶν ἐγκαταλιμπανόντων μαρτυρίαν τὰ ὀνόματα ἐν τῷ δικαστηρίῳ κηρύσσεσθαι, ὅπερ ἔλεγον ἐκκλητευθῆναι.

Ἐκκλητικὸς, ἐκκαλούμενος.

Ἔκκλητον, τὴν ἐπὶ συνόδῳ παραίτησιν.

Ἔκκλητος πόλις, ἣν ἐκκαλεῖταί τις εἰς τὸ κρίνεσθαι. δηλονότι τὴν πρώτην οὐ στέργωμεν κρίσιν, ὡς πρὸς ἔχθραν κρίνασαν ἢ πρὸς χάριν. ἐξῆν δὲ τοῖς μὲν ξένοις ἐκκαλεῖσθαι πόλιν ἄλλην, τοῖς δὲ πολίταις οὐκέτι.

Ἐκκλιμακίζει, παράγει, διαστρέφει, ἀπὸ τῆς κλίμακος. ἥτις οὖσα ὄργανον βασανιστικὸν, διέστρεφε τὰ σώματα τῶν βασανιζομένων.

Ἔκκλιμακος. ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, ὁπότε χρονοτριβοῖεν οἱ πύκται, κλίμαξ εἰσεφέρετο, ὥστε διαστάντας καὶ χώραν λαβόντας μένειν ἐν ταύτῃ, ἕνεκεν τοῦ μὴ ἵστασθαι τὰς φερομένας πληγὰς περιτρέχοντας, ἀλλὰ μένοντας ἐπὶ τόπου, τῇ ποιᾷ τῶν χειρῶν ἐκτάσει φυλάττεσθαι. ἐκ τοῦ ῥητορικοῦ.

Ἐκκλώζεται. κλωσμὸν ἔλεγον τὸν γινόμενον ἐν τῷ στόματι ψόφον, ᾧ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ἀκροαμάτων, ὧν οὐχ ἡδέως ἤκουον.

Ἐκλώνισε, κλῶνας ἔκοψεν.

Ἐκκοβαλικεύεται, ἀπατᾷ, Παραλογίζεται, λῃστεύει. κόβαλοι γὰρ οἱ λῃσταί. τοὺς αὐτοὺς καὶ κορυνηφόρους καλοῦσιν. οἱ δὲ κόβαλον, τὴν μετὰ ἀπάτης παιδιάν.

Ἐκ-

Ἐκκοιλιστοὶ στέφανοι, μεγάλοι, ἁδροί.

Ἐκκοκίσας, ἐρημώσας.

Ἐκ κολεοῖο, ἐκ τῆς ξιφοθήκης.

Ἐκκολλαβήσαντα, ἐκλακήσαντα, ἐκφρονήσαντα.

Ἐκκολύψας, ἀπολεπίσας, παρὰ τῷ Ἱπποκράτῃ.

Ἐκκομιδὴ, ἡ ἐκφορά.

Ἐκκομίζονται, ἐκτρέπονται.

Ἐκκομίσαι, ἐξελάσαι.

Ἐκκομοδδεῖν, τὸ ἐν ὕπνῳ φρυγγεῖν, καὶ καθόλου τὸ φρυγγεῖν.

Ἐκκονεῖ, ἐγχωρεῖ.

Ἔκκαπος, κατάκοπος. ὁ γὰρ διανύσας σταδίους τετρακοσίους, καὶ γενόμενος ἔκκοπος, ἐπέμεινεν.

Ἐκκοπῶν, ἐκ τῶν ἀδικιῶν.

Ἐκκορακίζειν, ἀποδιώκειν.

Ἐκκορηθείης, παντελῶς ἀφανισθείης. Μένανδρος.

Ἐκκορηθῆναι, ἐκκαλλωπισθῆναι. τὸ γὰρ κορεῖν, καλλύνειν, καὶ σαίρειν εἴρηται παρὰ τοῖς Ἀττικοῖς.

Ἐκ κόρυθος, ἐκ τῆς περικεφαλαίας.

Ἐκκορῶσι, φθείρουσιν, ἐκκαλλωπίζουσιν.

Ἐκκοχύζειν, ἐκκοιτίζειν.

Ἐκκόψαι, πορθῆσαι, νικῆσαι. καὶ ἐπὶ τοῦ πηρῶσαι τὸν ὀφθαλμόν. ἐξεκόπη, ἐπὶ τοῦ ἐπηρώθη.

Ἐκκόψαντες, πηρώσαντες, τυφλώσαντες. ἐκκόψαντες αὐτοῦ τοὺς ὀφθαλμούς.

Ἐκκραγεῖν, ἐκβοῆσαι.

Ἐκκραγγανομένων, μετὰ κραυγῆς λεγομένων.

Ἐκκρεμαννυμένοι, ἀπηρτημένοι. Θουκυδίδης.

Ἐκκρίνει, δοκιμάζει.

Ἐκκρινεῖ, χωρεῖ.

Ἐκκρίνεται, ἐκρέει. λαμβάνεται δὲ ἐπὶ τῆς ἀνθρωπίνης γενεῆς. ἔτι γε μὴν καὶ τῆς τῶν κτηνῶν. καὶ ἐκκρίνεται, ἐκρίπτεται.

Ἔκκρισις, ἔκρευσις, ἱδρὼς, οὖρος, κόπρος, ἢ τὸ φέρεσθαί τινα, διὰ τῶν ἄνω καὶ κάτω.

Ἔκκριτον, τὸ ἐκλελεγμένον, καὶ ἐπίλεκτον, καὶ προκεκριμένον.

Ἐκρούει, ἐκβάλλει.

Ἐκκρουόμενος, παρεκτείνων, παρατρέπων.

Ἐκκυβιστᾶν, ῥιπτεῖν ἑαυτὸν εἰς κίνδυνον.

Ἐκκυΐσκεις, ἐρεθίζεις, ἐπισείεις.

Ἐκκυκλεῖ, ἐκκορύπτει. καὶ ἐκκυκλούμενον, καὶ ἔκκλημα ἔχων·

* Ἔκκυκλον, ἢ ἔγκυκλον, εἶδος γυναικείου φορήματος, ὑπὸ τῷ ἐνδύματι φορούμενον.

Ἐκκυκλήθι, τουτέστι συστράφηθι. ἐκκύκλημα δὲ λέγεται, μηχάνημα ξύλινον, τροχοὺς ἔχον. ὅπερ περιστρεφόμενον τὰ δοκοῦντα ἔνδον, ὡς ἐν οἰκίᾳ διαπράττεσθαι, καὶ τοῖς ἔξω ἐδείκνυε, λέγω δὲ τοῖς θεαταῖς. Ἀριστοφάνης, ἀλλ᾽ ἐκκυκλήθητι, καὶ ἀλλ᾽ ἐκκυκλήσομαι.

Ἐκκυματωθῆναι, ἐκ τοῦ κύματος τῷ λιμένι προσορμισθῆναι.

Ἐκκύματα, ἐξανθήματα.

Ἐκκαινὸν, νόσημά τι κοινόν.

Ἐκλαβεῖν, ἀπολαβεῖν.

Ἐκλαβέσθε, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ πρὸ ὀφθαλμῶν ἔχετε. καὶ δεδίττεσθε, ἐν Εἰρήνῃ.

Ἔκλαγξαν, ποιὰ φωνὴ ἀπὸ τῆς τῶν γεράνων πεποιημένη φωνῆς. κλάζω ἐνεστὼς, μέλλων κλάγξω, ἑτεροκλίτως διὰ τοῦ γ. ἀόριστος ἔκλαγξα. ὁμοίως καὶ μέσος παρακείμενος κέκληγα, δεύτερος ἀόριστος, ἔκλαγον. ὡς ἀπὸ τοῦ σφάζω, τὸ ἐσφάγην.

Ἔκλαγξαν, ἔχει ἐνεστῶτα ἢ κλάγγω, ὡς σφίγγω. ἢ κλάζω, ὡς τὸ πλάζω. τὸ δὲ ἐξ αὐτοῦ ἔχει πλεονασμὸν τοῦ γ δι᾽ εὐφωνίαν, ὡς καὶ ἐπλάγχθη καὶ παλιμπλαγχθέντες, ἀπὸ τοῦ πλάζω καὶ αὐτὰ γινόμενα. κυρία δὲ λέξις τὸ ἔκλαγξαν. καὶ ἐξ αὐτοῦ γλαγγὴ, καὶ λειότερον ἡ κλαγγὴ τῆς κραυγῆς. ὡς καὶ τὸ κλάζειν καὶ κλώζειν, τοῦ κράζειν καὶ κρώζειν προσηνέστερα. διὸ κορώνη μὲν ἢ κόραξ κράζειν ἢ κρώζειν λεχθήσονται, διὰ τὸ τραχὺ τῆς τοῦ ζώου φωνῆς.

Ἐκλακτισμὸς, σχῆμα χορικὸν, ὀρχήσεως σύντονον.

Ἐκλαμβανέτην, ἐλάμβανον δυϊκῶς.

Ἐκλάρνακος, νόθος.

Ἐκλαχὼν, διαλαχών.

Ἐκλεανθείης, ἐκτριβείης.

Ἐκλέγειν, τὸ ἀπαιτεῖν φόρους. ἀφ᾽ οὗ καὶ φόρων ἐκλογεὺς, ὁ φορολόγος.

Ἐκλεγόμενος, προκρίνων, προτιμῶν.

Ἐκλέγοντες, ἀπαιτοῦντες.

Ἐκλειπία, ἡ συγχώρησις. ἄδικον ἡγεῖτο τὴν ἐκλειπίαν.

Ἐκλείποντα, δύοντα.

Ἐκλείψει, ὑστερεῖ, ἀπολεῖται.

Ἐκλεκτός ἐστιν, ὁ ἀπὸ πολλῶν. διὰ τὸ ἔχειν αὐτὸν ἔργα τινὰ, παρὰ τοὺς ἄλλους ἐκλελεγμένα.

Ἐκλέλαθα. ἐστὶ λήθω, ὁ μέσος παρακείμενος λέληθα. τραπέντος δὲ τοῦ η εἰς α βραχὺ, λέλαθα, καὶ ἐκλέλαθα.

Ἐκλέλαθον κιθαριστὴν, ἑρμηνευτικόν ἐστι τοῦ ἀοιδὴν ἀφείλοντο. ταυτὸν γὰρ ἀοιδῆς ἀφαίρεσις, λήθη κιθαριστέος, ἤτοι τῆς κιθαρῳδικῆς. καὶ ὅρα τὸ ἐκλέλαθον αἰτιατικῇ συνταχθέν. τὸ μέντοι παθητικὸν, γενικῇ συντάσσει. οἷον, ἐκλελάθοντο γάμοιο, καὶ ἐκλελαθόμενος πάντων.

Ἐκλελάθοντα ᾠδὴν, τὸν τῆς λήθης ποιητικόν. ὡς ἀπὸ τοῦ ἔλαχον λελάχω ἐνεστὼς, οὕτως ἀπὸ τοῦ ἔλαθον λελάθω.

Ἐκλελάκτικεν, ἀποβέβληκεν, ἀπέφυγεν.

Ἐκλελαμμένον, ἐξεστραμμένον.

Ἐκλελαπτωμένον, ἐκπεποιημένον.

Ἐκλελισμένος, ἐξεστραμμένος.

Ἔκλεο, τουτέστιν εὐφημίζου. ἔχει τὸ θέμα, κλέω. ἀφ᾽ οὗ τὸ κλείζω, χρῆσις δὲ αὐτοῦ σὺν τῷ ι ἐν Ὀδυσσείᾳ. ἵνα ᾖ ὡς θέω θείω, τὸ τρέχω. οἷον θείειν ἀνέμοισιν ὁμοῖοι. οὕτω καὶ κλέω κλείω.

Ἐκλεπεῖ, ἐκπορθεῖται.

Ἐκ λεχέων, ἐκ τῶν κοιτῶν.

Ἐκλέψαι, ἐκλεπίσαι.

Ἐκλέψατο, παρελογίσατο, ἠπάτησεν.

Ἐκληδονίζετο, ἐμαντεύετο.

Ἐκληθάνειν, πρωτότυπον μέν ἐστι τοῦ ἐκλανθάνειν. ἐστὶ δὲ ὅμοιον πρὸς τὸ ψεύδειν. ὡς καὶ τὸ ψεύδειν, τὸ ποιεῖν ψεύδεσθαι. οὕτω καὶ ἐκληθάνειν, τὸ ποιεῖν λανθάνειν.

Ἐκλήθης, ἐστράτης.

Ἐκλήισαι, πεφήμισαι, νενόμισαι. παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐκ Λήμνης, ἐκ τῆς Λήμνου.

Ἐκληπτέον, δεῖ λαμβάνειν.

Ἐκληροδότει, ἐκλήτευσεν, ἐκάκωσεν.

Ἐκληροδότησεν, ἐχαρίσατο κληροδοσίαν.

Ἔκλησιν θήσομεν, Ὅμηρος ἐν Ὀδυσσείας ω. ὃ δὴ μάλιστα εἰρήνης αἴτιον, θεῖον ὂν ἀγαθόν. κατὰ τὸ, ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφή. ἔκλησις δὲ, ἡ ἄγαν λήθη κατ᾽ ἐπίτασιν τῆς προθέσεως.

Ἐκλήτευσεν, ἐκάλεσεν.

Ἐκλιᾶναι, λεπτῦναι.

Ἐκλιμίαν, ἀχορτασίαν.

Ἔκλιναν, εἰς φυγὴν ἐτράπησαν.

Ἔκλινε μάχην. ἀρχὴ τοῖς μεθ᾽ Ὅμηρον, τοῦ ἑτεροκλινῆ φάναι νίκην, ἣν ὁ ποιητὴς ἑτεραλκέα λέγει. ὡς ἐκ διαδοχῆς φησὶν, ἑτέροις ἀλκὴν περιποιοῦσαν, ἤγουν ἑνὶ τῶν δύο μερῶν. τοιοῦτον γὰρ τὸ ἕτερον. ἀφ᾽ οὗ καὶ ἑτερομόλιος δίκη, ἐν ᾗ μὴ ἄμφω ἦλθον οἱ ἀντίδικοι. ἀλλ᾽ ὁ ἕτερος, ὅ ἐστιν ἐκ τῶν δύο εἷς.

Ἐκλίνθη, εἴρηται καὶ δίχα τοῦ ν. ἐπιταξάντος τοῦ μέτρου ἐκεῖ, τὴν τοῦ ν ἀπέλευσιν κατὰ καινοτέραν γραφήν. σημαίνει δὲ τὸ κατεκλίνθη.

* Ἐκλινίσαι λέγεται θηρίον, ἤγουν διαφυγεῖν τὰ λίνα, ὅ ἐστι τὰ δίκτυα.

Ἐκλιπαρεῖ, λίαν παρακαλεῖ.

Ἐκλίπει, ἐξέλιπεν, ἐμειώθη.

Ἐκλιπὼν, οὐκ ἐκλείψας. ἀδόκιμον γάρ.

Ἐκλιτεύειν, τοῖς χερσὶν ἄγειν, ἵν᾽ ἐπάναγκές τι μαρτυρῇ. Αἰσχίνης ἐν τῇ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ.

Ἐκλιχάζει, ἐξορμᾶν ποιεῖ, ἐκσοβεῖ.

Ἐκλογεῖς, οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρακῶν φόρου. Ἡρέθησαν ἐκλογεῖς παρ᾽ ἡμῖν, οἷς πλεῖστα ἐδόκει χρήματα εἶναι. Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον. νυνὶ δὲ πρὸς τοὺς ἐκλοπείας τοῦ φόρου ἅπαντα ἀπογραφόμεθα.

Ἐκλογεῖον, ἡ ἐκλογεύς.

Ἐκλογὴν, κάλαθον. Λάκωνες.

Ἐκλογιστίαν, ἀρίθμησιν. καὶ ἐκλογιζόμενος τὸν στρατὸν, ἀντὶ τοῦ ἀριθμῶν, καὶ ἀντὶ τοῦ διανοούμενος.

Ἔκλογον ὂν, τὸ μεταξὺ λόγων.

Ἐκλόνησεν, ἐτάραξεν.

Ἐκλόπευον, ἔφθειρον.

Ἐκλούσθω, προσκλυζέσθω, παρὰ τῷ Ἱπποκράτει.

Ἐκλούηται, ἐκνίπτηται.

Ἐκλυδωνίζετο, ἐμαντεύετο. ὁ ἀπὸ ἀκοῆς μαντείας δεχόμενος.

Ἐκλύει, ἀντὶ τοῦ χαυνεῖ, ὅθεν ἔκλυσις, ἡ πάρεσις καὶ χαύνωσις λέγεται. καὶ ἐκλύει, ἀντὶ τοῦ ἐλευθεροῖ. ὅθεν ἔκλυσις, ἡ ἐλευθερία.

Ἔκλυεν, ὑπήκουσεν, ἐκέλευσεν.

Ἔκλυον, ὑπάκουον.

Ἐκλυρὸν, χλωρὸν, δίϋγρον, ἢ νοτερὸν, ἔνικμον, ὑγρόν.

Ἐκλύσθη, ἐκ τοῦ κλύζω, ἀόριστη λέξις. ἀφ᾽ οὗ καὶ ὁ κλύδων.

Ἐκλύσθη θάλασσα, οἷον ἐκλυδωνίσθη. ἐκκλύζω, καὶ ἐκλύσθη. ἀπὸ τοῦ εἰλῶ εἰλύω, ἀπελεύσει τοῦ ι. ἀντὶ τοῦ συνεστράφη κεῖται.

Ἔκλυτος, ἔνδοξος, τίμιος.

Ἐκλύτρισον, ἐκλύσον, κάλυψον.

Ἐκλώζετε. κλωσμὸν ἔλεγον τὸν γινόμενον ἐν τῷ στόματι ψόφον, ᾧ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ἀκροαμάτων, ὧν οὐχ ἡδέως ἤκουον.

Ἐκλώπευον, ἀντὶ τοῦ ἔκλεπτον.

Ἐκλωπίζει, λωποδυτεῖ.

Ἐκλωπίζεται, ἐξανθίζεται, Ἀχαιὸς Οἰδίποδι.

Ἐκλωπίζω, ἐκδέρω.

Ἐκμαγεῖον, σφραγὶς, ἐκτύπωμα. ἐκ τοῦ μάσσω, γίνεται μάγος, ὁ ἀπομασσόμενος πάντα τὰ τοῦ μάγου δεικτικά. μαγεῖον καὶ ἐκμαγεῖον, ὡς διδάσκαλος διδασκαλεῖον, καὶ πάσσαλος πασσαλεῖον, καὶ ἰατρὸς ἰατρεῖον.

Ἐκμαγειωθεὶς, ἐξομοιωθεὶς ἐκμάσσει.

Ἐκμαγῆσαι, ἐκτυπῶσαι.

Ἔκμαγμα, τὸ συνεστραμμένον φύραμα. καὶ τὸ κροκόμαγμα, παρὰ τῷ Ἱπποκράτει.

* Ἐκμάσσειν καὶ ἐκμάσσεσθαι, τὸ ἀποσπογγίζειν, καὶ τὸ ἐκτυποῦν, ὅ ἐστι τύπον αἴρειν.

Ἐκμαίνω, ἐκβακχεύω. καὶ ἐκμαίνω ἐκεῖνον, ἀντὶ τοῦ εἰς μανίαν ἐμβάλλω. ἐκμαίνομαι δὲ ἐγὼ, ἀντὶ τοῦ μανίαν ἔχω.

Ἐκμαλθακῶσαι, ἐκμαλάξαι, χαυνῶσαι.

Ἐκμανῶ, εἰς μανίαν ἐμπίπτω. Λουκιανὸς, πατέρες κατὰ παίδων ἐξεμάνησαν. ἐκμανῶ δὲ, τὸ ἐκταράττω καὶ παροξύνω. ἐστὶ δὲ ποιητικόν.

Ἐκμάξαι, ἐκθλίψαι. παρὰ τῷ Ἱπποκράτει.

Ἐκμαρτυρεῖν φασι, τὸ λέγειν οὐχ ἅπερ αὐτὸς οἶδεν, ἀλλ᾽ ἅπερ ἐξ ἑτέρων ἤκουσε λεγόντων. ὅθεν ἐκμαρτυρία.

Ἐκμαρτυρία. ἐκμαρτυρία γεγραμμένη ἀναγινώσκεται, ὁπόταν τις τελευτήσας ᾖ ὑπερόριος. ἡ ἐκμαρτυρία, ὁπόταν τις παρὰ τοῦ ἰδόντος ἀκούσας, λέγῃ κατὰ τῶν ψευδῆ μαρτυρούντων ἐν δίκῃ, ὃ καὶ ἐπισκέψασθαι ψευδομαρτύριον ἐλέγετο. μαρτυρία δὲ καλεῖται, ὁπόταν τις αὐτὸς ἰδὼν μαρτυρεῖ. λειπομαρτύριον δὲ κατὰ ἰδόντων μὲν, καὶ μαρτυρήσειν ὁμολογησάντων, ἐν δὲ τῷ καιρῷ τῆς μαρτυρίας ἐκλειπόντων. ἐκμαρτυρία δὲ διαφέρει τῆς μαρτυρίας. ὅτι ἡ μὲν μαρτυρία τῶν παρόντων ἐστὶν, ἡ δὲ ἐκμαρτυρία τῶν ἀπόντων.

Ἐκματεῖσθαι, ἀναζητεῖν, παρὰ τῷ Ἱπποκράτει.

Ἐκμειλίσασθαι, καταπραΰνειν.

Ἐκμειλιχθεὶς, ἐξημερωθείς.

Ἐκμελάθρων, ἐξ οἴκων.

Ἐκμελὲς, ἠμελημένον.

Ἐκμελὴς, ἀνάρμοστος, ἄτακτος, ἄρυθμος.

Ἐκμελίτης μαστιγίας. Ἀριστοφάνης ἐν Βατράχοις ὑπήλλαξεν, ἀντὶ τοῦ φάναι ἐκ Μελίτης Ἡρακλῆς. μετημφίεσται γὰρ τὴν ἡράκλειον στολήν. καλεῖται δὲ ἐν Μελίτῃ Ἡρακλῆς, ἀλεξίκακος.

Ἔκμηλος, ἀδύναμος.

Ἐκ μέσων νυκτῶν λέγουσι, καὶ ἐκ μεσημβρίας.

Digitized by Google

Ἐκ μεταβολῆς, ἤτοι ἐκ μεταμελείας. οἱ δὲ μετασταῦσαι ἐκ μεταβολῆς, ὡς ἐξ ὀλυμπίας.
Ἐκμεταιωρῦνται, μεταιωρίζονται.
Ἐκμαίνων, ὀργιζόμενος.
Ἐκμηρυομένους, ἀναλεγομένους. δυσχερῶς ἐκμηρυομένους, καὶ μακρῶς τῆς δυσχερείας, ἀντὶ τοῦ ἀναλεγομένους.
Ἐκμηρυσάμενος, ἐξελκύσας, ἐκτείνας.
Ἐκμηχανώμενος, κατασκευάζων.
Ἐκμιαίνομαι, τὸ ἐκσπερματίζω.
Ἐκμιαίνεται, ἀποκρίνει τὸ σπέρμα, παρὰ τῷ Ἱπποκράτει.
Ἐκμιμούμενος, ὁμοιούμενος.
Ἔκμισθοι, οἱ μισθὸν μὴ λαμβάνοντες.
Ἔκμολεν, εἰσῆλθεν.
Ἐκμόλῃ, ἐξέλθῃ.
Ἐκμυζήσας, ἐκπιέσας, ἐκθλίψας.
Ἐκμυκτηρίζει, βδελύσσεται.
Ἐκμυκτηρισμὸς, χλευασμός.
Ἐκνάπτεται, ἐξύετο, ἐδαπανᾶτο.
Ἐκ νέας μόνον λέγε, οὐκ ἐκ νέας ἡλικίας, καὶ ἐκ νέου, καὶ ἐκ παιδός. καὶ ἐκ μειρακίου, καὶ ἐκ μειρακίου, καὶ ἀρχῆς.
Ἐκνεῖκαι, ἀντὶ τοῦ ἐνεγκάσθαι, τουτέστι γεννήσασθαι, παρὰ Θεοκρίτῳ, οἷον Ἄπιτυς ὄχνας ἐκνεῖκαι.
Ἐκνενεμήκασι, παραδεδώκασιν.
Ἐκνενέμηνται, διαμεμέρισται, ἐξῆλθεν.
Ἐκνενευρισμένοι, ἐψιλωμένοι δυνάμεως.
Ἐκνευρίσας, ἀδυνάτους καταστήσας.
Ἐκνεύσας, ἐκκολυμβήσας.
Ἐκνευστεῦνται παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ διαλέγουσι.
Ἐκνεφίας, ἄνεμος οὕτω καλούμενος, ὃς λίαν σφοδρῶς πνέει παρὰ τὸν γνόφον. οἱονεὶ, ὁ νέφη συνάγων, καὶ ἐξ αὐτῶν κινούμενος, ἐκνεφίας καὶ ὁ Ἥλιος καλεῖται. καὶ ἐκνεφίας ὄμβρος, ὁ μετὰ ἡλίου γινόμενος, παρὰ τῷ Ἱπποκράτει.
Ἐκνῆναι, ἐξαπατῆσαι.
Ἔκνιζεν, ἔδακνεν, ἀπὸ τῆς πόας, Ἡρόδοτος. καὶ ἔκνιζεν, ἐψόφησε, παρὰ τῷ Ἱπποκράτει.
Ἐκνικοῦντο, ἐφθείροντο.
Ἔκνισεν, ἐκίνησεν, καθήψατο. ἔρως ἔκνιζε τοῦ παιδός.
Ἔκνιψις, ἀπόσμηξις, κάθαρσις.
Ἐκνόμιον, ἀδιάκριτον.
Ἐκνομίως, ἀντὶ τοῦ πολλοῦ, καὶ ἔξω πάσης νομίσεως, ἤγουν ὃ οὐκ ἄν τις νομίσειε. καὶ ἐκνομίως, ἀντὶ τοῦ ὑπερφυῶς, ὑπερβαλλόντως, μεγάλως. κυρίως δὲ τὸ ὑπὲρ τὸ νενομισμένον.
Ἐκνόμοιν, παρανόμοιν.
Ἔκνοον, ἀνόητον, μωρόν.
Ἐκνοσηλεῦσαι, ἀναρρῶσαι, ἐκ νόσου ἀναλήψασθαι.
Ἐκνοσηλεύων, ἐκθεραπεύων.
Ἐκνοσφίσαι, ἐκβαλεῖν.
Ἔκνυεν, ἔξυεν ἠρέμα, παρὰ τὸ κνᾶν. Ἀριστοφάνης, οὗτος πάθῃ μ' ἔκνυεν, ἐλθὼν τὴν θύραν.
Ἐκνυζᾶτο, ποτ' ἰσχία ῥύγχος ἔχουσα, παρὰ Θεοκρίτῳ, ἡ κύων ἐκνυζᾶτο, ἔσαινε, καὶ κατεθώπευε, τὸ στόμα ἔχουσα ἀνὰ μέσον τῶν ἰσχίων αὐτῆς. κνυζηθμὸς γὰρ λέγεται, ἡ τῶν κυνῶν ἄσημος ὑλακή.
Ἐκνάθη, ἐπενοήθη, ἐφωράθη.
Ἐκόαμεν, ἠκούσαμεν, ἐπυθόμεθα.
Ἐκολομβεῖτο, ἐφρύγετο, ἐπνεῖτο.
Ἐκόησεν, ἐνόησεν, ἀνέλαβεν.
Ἐκοινοβουλεῖτο, ἐκοινοῦτο.
Ἐκολάφισαν, ἐβασάνισαν, ἢ τοῖς ὀφθαλμοῖς πανίον ἐπέθηκαν.
Ἐκολάβησας, προσέκρουσας, παρὰ τὸ ἐπὶ κόλαις βαίνειν. κόλα δὲ ἡ γαστήρ. ἢ ἔθραυσας, ἀπὸ τοῦ κολάβου, ὅ ἐστι ψωμός.
Ἐκολόπωσε, κόλλῃ συνήρμοσαν.
Ἐκομώα, ἐθορύβει, ἡ παραγωγὴ ἀπὸ τῶν κολοιῶν.
Ἔκομεν, ἴδομεν, εὕρομεν, ᾐσθόμεθα.
Ἐκόμησεν, ἔλαβεν, ἐποίησεν, εἰργάσατο ἐπιμελῶς, ἔθρεψεν.
Ἐκοπάσθη, ἠπάτηται, εἰς ὄγκον διεπέθη.
Ἐκομπαλάκουν, κομπώδεσιν ἐχρῶντο λόγοις.

Ἐκονδύλιζον, τοῖς δακτύλοις ἔκοπτον.
Ἐκονίετο, ἐπέπαστο κόνιν, ἢ ἐν κόνει ἔκαμνεν.
Ἐκόνιον, ἔκνυον.
Ἑκόντε, δυϊκῶς, βουλόμενοι.
Ἑκοντὶς, οὔ. ἀλλ' ἐθελοντής. ἐπὶ δὲ ἐπιρρήματος ἀμφότερα λέγε. ἐθελοντὶ, καὶ ἑκοντί.
Ἑκοντὶ, θελήσει, ἑκουσίως.
Ἐκόπασεν, ἔπαυσεν.
Ἐκοπία, παρὰ τὸ κοπιῶ, τὸ μογῶ.
Ἐκορέσατο, ἐκορέσθη, ἐπληρώθη.
Ἐκορίζετο, ὑπεκορίζετο, ἢ ἐκολάκευεν.
Ἐκορυβάντιζε, τοῖς Κορύβασιν ἐτελεῖτο.
Ἐκορυθοῦτο, ὑψοῦτο, ἐκορυφοῦτο.
Ἐκορυπτίας, ἐγαυρίας.
Ἐκουρία, ἐδέετο κουρᾶς.
Ἑκούσια, τὰ ὑφ' ἡμῶν γενόμενα, μηδενὸς ἔξωθεν ἀναγκάζοντος.
Ἑκουσιάζομαι, προσφέρω, προαιρῶ.
Ἑκούσιόν ἐστι, τὸ αὐτοπροαίρετον, τὸ καθ' αὑτὸ αἱρετόν. καὶ ἑκούσιον, θελούσῃ διανοίᾳ.
Ἔκπαγλα. κανών ἐστιν ὁ λέγων, ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πληθυντικῶν οὐδετέρων ὀνομάτων, μετάγεται εἰς ἐπιρρηματικὴν σύνταξιν.
Ἐκπαγλότατε, ἐκ τοῦ ἐξεπλάγη δευτέρου ἀορίστου, ἐκπλαγώτατε ὤφειλε διὰ τοῦ ω μεγάλου. ἐπεὶ δὲ ἡ τοιαύτη γραφὴ ἀσυντελὴς ἦν δακτυλικῷ μέτρῳ, γέγονε μετάθεσις τοῦ λ ἐπὶ τὰ ἔμπροσθεν, ὡς ἂν οὕτω σμικρυνθέντος τοῦ ο διὰ τὴν πρὸ αὐτοῦ μακρὰν συλλαβὴν, γένηται ἡ λέξις εἰς δάκτυλον χρήσιμος. σημείωσαι δὲ, ὅτι τὸ ἐκπαγλότατε, δόξειεν ἂν μεῖζόν τι σκῶμμα εἶναι, καίπως ὅμοιον ὡς ἐν εἰρωνείᾳ, τῷ θαυμάσιε, ὃν δηλαδὴ ἐκπλαγείς τις θαυμάσειε. ἔχει δέ τι πολύ τι βαρύτατος, διὸ καὶ εἰς θυμὸν ἐκμαίνει τὸν Ἀχιλλέα. γίνεται δὲ ἡ λέξις ἐκ τοῦ πλήσσω. ἀφ' οὗ καὶ ὁ ἔμπληκτος, καὶ ὁ παραπλήξ. καὶ τὸ ἐμπλήγδην ἐπίρρημα. καὶ ἐκπαγλότατε, ἐκπληκτικώτατε, φοβερέ, ἢ ἐξοχώτατε.
Ἐκπαγλούμενοι, ἐκπληττόμενοι, θαυμάζοντες.
Ἐκπαθεῖς, ὑγιεῖς, ἐκτὸς πάθους. ὡς τὸ, ἵνα μὴ ὦσιν ἔκδιψοι, ἀλλ' ἐκπαθεῖς καὶ καινοποιημένοι.
Ἔκπαθος, ἀπόπληκτος.
Ἐκπαίει, ἀντὶ τοῦ ἐξέρχεται. συμπαίει, ἀντὶ τοῦ συγκρούει.
Ἐκπάλαιστα, δεινὰ, ὑπερήφανα.
Ἐκπάλαιστος, ἄνανδρος.
Ἔκπαλαι, καὶ πρόπαλαι, μὴ λέγε, ἀλλὰ ἐκ παλαιοῦ.
Ἐκπαλαίει, ἔξω τοῦ νόμου παλαίει.
Ἐκπαλαιοῦ, οὐκ ἔκπαλαι, οὐδὲ ἀπόπαλαι, οὐδὲ πρόπαλαι.
Ἐκπαλαιχῆς, ἐξ ἀρχῆς.
Ἐκπαλὲς, ἔξαρθρον.
Ἐκπάλη, ἐχωρίσθη, ἀπέστη, ἐξέπεσεν.
Ἐκπαλήσαντες, ἐκπεσόντες.
Ἐκπαλινκοπεῖν, ἐναντιολογεῖν.
Ἐκπάλιον, ἀκλήρωτον.
Ἐκπαμμακίδιοι, οἱ νόθοι.
Ἐκπάλτιον, ἔξοχον, ὑπέρμετρον.
Ἐκπαυτὸς, διόλου.
Ἐκ παραβολῆς, ἐκ παρακινδυνεύματος.
Ἐκ παραλλήλου, ἐξ ὁμοίου, ἐξ ἰσότητος.
Ἐκ παραλίας, ἐκ παραθαλασσίας.
Ἐκ παρθενίας λαμβάνει γυναῖκα, ἀντὶ τοῦ παρθένον.
Ἐκ πασσάλων, ἐκ πασσῶν.
Ἐκπάτιον, τὸ ἔξω πάτου.
Ἐκ πάσης, ἐκποδών.
Ἐκπάτριον, ἀνόμοιον.
Ἔκπαυμα, ἀνάπαυμα.
Ἐκ πεδίου, ἐκ τοῦ ἡπλωμένου χωρίου.
Ἐκπεκτισμένη, κτενιζομένη, τίλλουσα.
Ἐκπέλει, ἔξεστιν.
Ἐκπελάζει, ἐξωθεῖ.
Ἐκπελασθῆναι, ἐκβληθῆναι.
Ἐκπέμπειν, τὸ ἀποστέλλειν τινὰ πρός τινα, καὶ τὸ ἐκβάλλειν, καὶ ἀποδιώκειν, καὶ ἔξω πέμπειν.
Ἐκπέμψας, ἐκγυμνώσας, ἢ περιβαλλόμενος.
Ἐκπεπαταγμένος, ἐκπεπληγμένος, ἔκφρων.
Ἐκπεπλιγμένον, ἐκτετραμμένον, παρὰ τῷ Ἱπποκράτει.
Ἐκπεπολέμωται, ἐχθρωδῶς διάκειται.

Ἐκπεπόταμαι, ἐκπέπληγμαι.
Ἐκπεράᾳ μέγα λαῖτμα θαλάσσης, πρὸς διαστολὴν εἴρηται τῶν χειλιῶν. οὐ γὰρ ἂν τοιοῦτον κῦμα διαπεράσαιεν.
Ἐκπερδικῆσαι, διαδρᾶναι πανούργως, ἀπὸ μεταφορᾶς τῶν περδίκων. πανοῦργον γὰρ ζῶον, καὶ ἀποδιδράσκον τοὺς θηρῶντας.
Ἐκπερινοίας, ἐξ ἐπινοίας.
Ἐκ περιουσίας, ἐκ πλήθους, ἐκ τοῦ ὑπερέχοντος.
Ἐκ περιτροπῆς, ἐξ ἀποστροφῆς, ἐκ νίκης.
Ἐκπέρσαι, πορθῆσαι, ἑλεῖν.
Ἐκπεσεῖν τοῦ πλούτου καὶ τῆς πατρίδος, ἀντὶ τοῦ στερηθῆναι. καὶ ἁπλῶς ἐκφυγεῖν, καὶ παρελθεῖν. ἢ ἔξω τοῦ πρέποντος πεσεῖν.
Ἐκπεσὼν, ῥηθεὶς, δοθείς. χρησμὸς δὲ ἐκπεσών.
Ἐκπετάσασα, καὶ ἐκπεταννῦσα γράφεται, κρεῖττον δέ ἐστι τὸ δεύτερον. ἐκπεπετασμένα, τὰ ἡπλωμένα, ἀπὸ τοῦ πετάζω ἀχρήστου.
Ἐκπετριάζειν, παχύνειν ἱμάτιον. Λάκωνες.
Ἐκπεφανωμένος, ἀπόπληκτος.
Ἐκπέφυκε, καὶ ἀνέχει, καὶ ἀνεβλάστησε, ταὐτόν.
Ἐκπεφυσημένον, φιλοτίμως διατεθειμένον.
Ἐκπήγνυσθαι, ἐκπλήττεσθαι.
Ἐκπηνιεῖται, Ἀριστοφάνης ἐν Βατράχοις, ἃ ἔφαγεν ὑμῶν ἀφελκύσει, ἀπὸ τῶν τὴν κρόκα μηρυομένων εἰς πηνία. ἄλλως ἐξελκύσει ἀπὸ τοῦ πηνίου. Ὅμηρος, πηνίον ἐξέλκουσα. ἢ ἐξάξει, ἀπὸ μεταφορᾶς τοῦ κατὰ μικρὸν, ἐκ τοῦ σκώληκος ἐξαγομένης πήνης. εἰ δὲ διὰ τῆς οι διφθογγογραφεῖται, τιμωρίας ἀπαιτήσει. Ἄλλως.
Ἐκπηνιεῖται, γράφεται καὶ διὰ τῆς ο καὶ ι διφθόγγου, καὶ διὰ τοῦ η. καὶ εἰ μὲν διὰ τῆς ο καὶ ι διφθόγγου, σημαίνει τὸ μετὰ τιμωρίας ἐξελάσει. εἰ δὲ διὰ τοῦ η, σημαίνει τοῦ ἀντὶ τοῦ ἐξάξει, ὥσπερ ἐξάγει ὁ σκώληξ τὴν μετάξαν. πήνη γὰρ ἡ μετάξα. ἢ ὅτι πηνίον, τὸ νῆμα τῆς ἀράχνης. ὡς ἀπὸ τοῦ πένω, τὸ ἐνεργῶ. ὥσπερ οὖν ἐκεῖνο τὸ πηνίον ἐκ τῆς πυγῆς ἐκείνης ἐξέρχεται. οὕτω φησὶ καὶ ὁ Κλέων ἐκ τοῦ στόματος αὐτοῦ ἐφέλκων ἔσται ὡς πηνία τὰ καταβρωθέντα. ἔστιν οὖν θέμα, ἐκπηνίζω. ὁ μέλλων ἐκπηνίσω, Ἀττικῶς ἐκπηνιῶ. καὶ ὁ μέσος μέλλων ἐκπηνιοῦμαι, ἐκπηνιῇ, ἐκπηνιεῖται.
Ἐκπίαρ, λιπαρόν.
Ἐκπιέσαι, τὸ τοῦ ἕλκους αἷμα λέγει Ὅμηρος, ἐκμυζῆσαι. ἐγίνετο δέ φασι τοῦτο, ἵνα μὴ πυώσησαι τὴν, καὶ βλάψῃ τὴν ἀπούλωσιν.
Ἐκπιμπλάναι, ἀποπληροῦν.
Ἐκπίνειν, προπίνειν.
Ἐκπιφάσκειν, ἐνθουσιᾶν, ἐξορμᾶν.
Ἐκπίπτειν, γενική. ὡς ἐπιπλεῖστον τίθεται ἐπὶ βλάβης, οἷον ἐκπίπτει πλούτου, ἐκπίπτει φωτός. καὶ ἐκπίπτει, διαλύεται, διακόπτεται, ἀποτυγχάνει.
* Ἐκπίπτειν λέγεται δάκρυα, ἀντὶ τοῦ δαψιλῶς ἐκχεῖσθαι. ἰλιά. β.
Ἐκπλαγεῖς, ἐκπλήξεως ἔμπλεοι. Πολύβιος, ἐκπλαγεῖς δὲ γενόμενοι οἱ Λίβυες διὰ τὸ παράδοξον, ἐκκλίναντες ἔφυγον.
Ἐκπλαγότητα, ἐξαισιότητα.
Ἐκπλαγούμεναι, ἐκπληττόμεναι, μαινόμεναι.
Ἐκπλαγοῦσθαι, θαυμάζειν, ἐξοχεῖν.
Ἔκπλαστο, ἐξεπήδησεν.
Ἔκπλεα, πλήρη. ὡς τὸ, ἐσθῆτας δὲ καὶ τὰ ἐπιτήδεια, ἔκπλεα παρεῖχεν.
Ἐκπλεῦσαι, ἔξω γενέσθαι.
Ἐκπλήγη, ποιητικῶς πέφρασται. τὸ γὰρ κοινὸν, ἐξεπλάγη. λέγεται παρὰ τοῖς μεθ' Ὅμηρον.
Ἐκπλήγδην, ἐκπληκτικῶς.
Ἐκπληγέεσθαι, ἐκπλήττεσθαι φόβῳ.
Ἐκπλήξειν, ἐκπλαγῆναι ποιήσειν, ἐκφοβήσειν.
Ἔκπληξίς ἐστι, φόβος ἐξ ἀσυνήθους φαντασίας.
Ἐκπλήσει, πληρώσει.
Ἐκπλήττει, λέγεται μὲν καὶ τὸ ἁπλῶς ἐξίστησι, καὶ τὸ εἰς θαῦμα ἐνάγει. κυρίως δὲ λέγεται, ἐρωτικῶς ἐκπλήττειν, τὸ εἰς ἔρωτα ἐμβάλλειν. ὡς τὸ ἐξέπληξεν ἡ Λαῒς τοὺς Κορινθίους. καταπλήττειν δὲ, τὸ εἰς φόβον μετὰ θαύματος ἐμβάλλειν.
Ἐκπλήττομαι, τὸ θαυμάζω.
Ἐκπλήττω, οὐ μόνον τὸ εἰς ἔκπληξιν ἄγω, ἀλλὰ

καὶ τὸ

Digitized by Google

καὶ τὸ ἐκπλήττομαι. ἐκπλήττειν, ἐνίοτε καὶ ὑποστάσειν ποιεῖ. ἐστι δὲ ἐκπλήσσω, καὶ τὸ ἐξιστῶ, καὶ ἐκβάλλω. Εὐριπίδης ἐν Ὀρέστῃ, ὄμμ' ἐκπλήσσει φόβου.

Ἐκπλήττω, θροῶ, ξενίζω, ἐκφοβῶ, δεδίττομαι, δειματῶ, ἐκδειματῶ, θράττω, μορμολύττομαι.

Ἐκπλήρον, ἐκπεπληρωκυῖαν ἑαυτήν.

Ἐκπλινθεύσας, ἀντὶ τοῦ διαλύσας, καὶ ἐξελὼν τὰς πλίνθους. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους.

Ἔκπλυτον, τὸ παράτισιν ἐξίτηλον, καὶ ἁλμυρὸν βάμμα. καὶ ἔκπλυτον, ἐξίτηλον, ἀσθενές.

Ἐκπνοή, ἔξοδος πνεύματος, ὑπὸ συστολῆς πνεύμονος, διὰ ψύξιν τοῦ ἐν ἡμῖν θερμοῦ.

Ἐκποδὸς ἄπειτο, κατόπιν, ἢ σύνεγγυς.

Ἐκποδὼν τῷ δεῖνι ἐγένετο κρεῖττον, ἢ ἐκποδὼν τοῦ δεῖνος. Εὐριπίδης, γεραιὰ δὲ ἐκποδὼν χωρήσομαι Ἑκάβῃ, ἐν τῷ πρὸς Ἀχιλλέα πρεσβευτικῷ. ἐξίσου δὲ ἀμφοτέροις ἐκποδὼν ἔστηκας. καὶ ἐκποδών, ἐκ μέσου ἀφανής.

Ἐκποιεῖται, ἀντὶ τοῦ πιπράσκει.

Ἐκποίητος τῷ πατρί, καὶ ἐκποίητον γενέσθαι, ἀποκηρυχθῆναι τοῦ γένους. ἢ ὁ δοθεὶς ἑτέρῳ εἰς ποίησιν. οἱ δέ φασι διαφέρειν ἐκποίητος ἀποκηρύκτου· ὅτι ὁ μὲν ἀποκήρυκτος, ἐπὶ κολάσει ἐκβάλλεται. ὁ δὲ ἐκποίητος, ὑπὸ τοῦ φύσει πατρὸς δίδοται εἰς ἕτερον οἶκον πρὸς θέσιν.

Ἐκποκιῶ, τὰς τρίχας ἐκσπάσω, ἐκτίλλω. ποκάδες γάρ, αἱ τρίχες.

Ἐκπολεμῆσαι, τὸ ἐκπορθῆσαι.

Ἐκπολεμῶ ἕτερον ἑτέρῳ, ἀντὶ τοῦ εἰς ἔχθραν καθιστῶ. ἐκπολεμῶ σοι τὸν ἀδελφόν. ἐκπολεμόω, ῶ, τὸ εἰς πόλεμον παρακινῶ τινα. τίς ἀπὸ τῶν Θεῶν ἐξεπολέμωσεν Ἀτρείδην καὶ τὸν Ἀχιλλέα, κατ' ἀλλήλων μάχεσθαι;

Ἐκπολιορκεῖ, ἐκπορθεῖ, πολεμεῖ πόλιν.

Ἐκ πολίων, ἐκ τῶν πόλεων.

Ἐκ πολλοῦ, ἐκ παλαιῶν χρόνων.

Ἐκ πολλῶν ἀχύρων ὀλίγον καρπὸν συνήγαγον. ἐπὶ τῶν πολλὰ μὲν πονούντων, ὀλίγα δὲ καρπουμένων.

Ἐκπομπεύων, ἐπιφαίνων, θριαμβεύων.

Ἐκπομπή, ἀποστολή.

Ἐκποντόφιν, ἀντὶ τοῦ ἐκ πόντου, κατὰ μετασχηματισμὸν τῆς φι συλλαβῆς. Ὅμηρος ἐν Ὀδυσσείας ω. ὥστε κεν τηλεφανὴς ἐκποντόφιν ἀνδράσιν εἴη, ἀντὶ τοῦ ἐκ πόντου.

Ἐκπορθεῖ, αἰχμαλωτεύει.

Ἐκπορίζομεν, ἐξευρίσκομεν.

Ἐκπορίσαι, ἐκβαλεῖν, ἐξανύσαι·

Ἐκπορίσας, συλλέξας.

Ἐκκαρποῦσθαι, ἀμφιβλοῦσθαι.

Ἐκπρεπεῖς, ἐπίσημοι.

Ἐκπρεπές, λίαν ὡραῖον.

Ἐκπρεπής, καὶ ἀριπρεπής, ταυτόν. διὰ τὸ καὶ τὴν ἐκ πρόθεσιν ἐπίτασίν ποτε δηλοῦν, καθάπερ καὶ τὸ ἀρι ἐπίρρημα.

Ἔκπρησιν, ἐκπύρωσιν.

Ἔκπριον, ἐξαγόρασον, ἐλευθέρωσον, καὶ ἐκπρίασθαι.

Ἐκ προνοίας, ἐκ προμηθείας, ἑκουσίως.

Ἐκ προσαγωγῆς, ἀντὶ τοῦ πρὸς ἀνάγκην, καὶ οὐκ ἐκ φύσεως, οὐδ' ἁπλοϊκῶς.

Ἐκπτήσσονται, πεταθήσονται.

Ἔκπυστον, φανερόν, εἰς πολλοὺς ἐξάκουστον.

Ἔκπτωτος. ὥσπερ λέγεται ἔκβιος ὁ ἐστερημένος τοῦ βίου, καὶ ἐξούσιος ὁ ἐστερημένος τῆς οὐσίας, οὕτω καὶ ἔκπτωτος ὁ ἐστερημένος τῆς πτώσεως.

Ἐκπυνθάνομαι, ἐρωτῶ, γενικῇ. Ἀριστοφάνης, χαλεπῶς αὐτοῦ ἐκπυνθάνῃ, ἤγουν ἐρωτᾷς.

Ἔκπυστα ἐποίησε τὰ πραττόμενα. ἐκ τοῦ πεύθω, ὃ σημαίνει τὸ ἀκούω, γίνεται πυστὰ καὶ ἔκπυστα. σημαίνει δὲ τὰ ἐξάκουστα, καὶ ἐξάγγελτα, καὶ ἔκδηλα.

Ἐκπωλεῖσθαι, προγυμνάζεσθαι.

Ἔκπωμα, ποτήριον, φιάλη.

Ἐκραίαινεν, ἐπλήρου, ἐτελείου, ἐκραταίωσεν, ἐδυνάμωσεν.

Ἔκραινον, ἐτίμων.

Ἐκραστωνῆσαι, εὐχερῶς ἀποφῆναι.

Ἐκραπειάσθημεν, ἐμεθύσθημεν.

Ἐκρατύναντο, ἐκραταίωσαν.

Ἐκραίαινεν, ἐτελείου.

Ἐκ ῥεθέων, ἐκ τῶν μελῶν.

Ἔκρεκεν, ἀντὶ τοῦ ἦχει.

Ἐκρέμω, ἐκ τοῦ κρέμω, παράγωγον κρέμημι. ὡς ἱστῶ ἵστημι. τὸ παθητικόν, κρέμαμαι, ὡς ἵσταμαι. ὁ παρατατικὸς ἐκρεμάμην, ἐκρέματο. τὸ δεύτερον ἀποβολῇ τοῦ σ ἐκρέμαο. καὶ κράσει τοῦ α καὶ ο, ἐκρέμω. τὸ δὲ ἐκρέμω, καιριώτερον τῆς ἀπαιωρήσεως, καὶ τοῦ ἠερέθεσθαι. πρόσεστι δὲ καὶ αὐτοῦ, τὸ ἐκρέμαο, ἐκρέμω. οὐκ ἔστι δὲ σαυτὸν κρέμασθαι εἰπεῖν, καὶ κρημνάσθαι. αὐτὸ γὰρ δηλωτικόν ἐστι τοῦ κρημνίζεσθαι. οὗ χρῆσις ἐν τῷ νεφέλαι κρημνάμεναι. καὶ κρήμνη σεαυτήν, ἔνθα τὸ κρήμνη κανονίζεται, κατὰ τὸ ἵστη.

Ἔκρηγμα, ἀπόσχισμα ῥάκους, παρὰ τῷ Ἱπποκράτει.

Ἐκρήγματα, τὰ ἐκ τῶν χειμάρρων γιγνόμενα ἐν τοῖς πεδίοις κοιλώματα.

Ἐκρήμνισαν, ἐκρέμασαν, κατηκόντισαν.

Ἐκρήμνισε, κατήγαγεν.

Ἔκρηξις, ἡ ἐκραγή.

Ἐκρήξω, ἀναΐξω.

Ἐκρίθη, ὡρίσθη.

Ἔκρινεν, ἐχώρισεν, ἐπελέξατο, ἐδίκασεν.

Ἐκρινόμεθα, ἐπὶ πολὺν χρόνον διεφερόμεθα, καὶ διημφισβητοῦμεν.

Ἐκριπισθέντες, ἐξαφθέντες. ῥιπίζειν γὰρ τὸ ὀπτᾶν, ἀπὸ τῶν ῥιπιδίων.

Ἐκρόαινον, ἐπεθύμουν.

Ἐκροίην, ἔκρυσιν.

Ἔκρουεν, ἤσθιεν.

Ἐκρουσάμην, ἀπέρριψα.

Ἐκρούσω, ἐπεκρούσω.

Ἐκρυῆναι, παύσασθαι. παρὰ τὸ ὕδωρ τὸ ἐκρέον.

Ἐκ ῥώμης. ἡ ἐξ πρόθεσις ὅταν αὐτῇ σύμφωνον ἐπιφέρηται, τρέπει τὸ ξ εἰς κ. δεῖ δὲ προσθεῖναι χωρίς, εἰ μὴ εὑρεθῇ μετὰ παρέλκοντος. οἷον ὡς παρὰ Ἀρχιλόχῳ, διεξσωλῆνος. καὶ πάλιν διεξτομύρτου, ἀντὶ τοῦ διὰ τὸ μύρτον. σημαίνει δὲ τὴν μυρσίνην. ἔτι δεῖ προσθεῖναι καὶ χωρίς, εἰ μὴ εὑρεθῇ ἐν τέλει στίχου. οἷον ὡς παρὰ Θεοκρίτῳ, θάμνης πολλοὶ κατὰ κλίμακος ἔξστειχον ἄνδρες ἔβαινον Ἰωνίης ἀπὸ νηός. καὶ χωρὶς τοῦ πάρεξ. ταῦτα πάντα ἐσημειωσάμεθα, ἐπειδὴ ἐπὶ τούτων τῶν χρήσεων ἐφύλαξε τὸ ξ τῆς προθέσεως, συμφώνου ἐπιφερομένου.

Ἐκσεσοβισμένοι, ἐκτεταραγμένοι.

Ἐκσιφωνισθείη, ἐκκενωθείη, ἐκρυῇ, ἐξσκορπισθείη.

Ἔσκευα, τὰ παρεπόμενα πρόσωπα ἐπὶ σκηνῆς.

Ἐκ σπείρης, ἐκ τάγματος, ἐκ νουμέρου.

Ἔκσπονδος, ὁ τὰς σπονδὰς μὴ φυλάττων. ὁ τοίνυν τοὺς ὅρκους ἐκσπόνδους μὴ ποιήσας, καλῶς μὲν ἐβίωσεν, ἐπὶ πολὺ δὲ ἤλασε δόξης.

Ἔκστασιν, ὕπνον, φόβον.

Ἔκστασις, φρενῶν ἀποβολή, καὶ ὁ θαυμασμός, καὶ ἡ ἀλλοίωσις. ἔτι δὲ καὶ ἡ ἁμαρτία.

Ἐκστρέψας λόγον, γυμνώσας, ἐκκενώσας.

Ἐκστῆναι, παραχωρῆσαι.

Ἔκστρεψον παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ μετάβαλε. ἀπὸ μεταφορᾶς τῶν ῥυπουμένων ἱματίων, καὶ ἐκστρεφομένων. ἐκστρέψαι δὲ ἱμάτιον, τὸ ἀλλάξαι τὸ πρὸς τὸ ἔσω μέρος, ἔξω.

Ἐκσύψῃς, ἐκκαύσῃς.

Ἐκ συγκειμένου, προϋπηργμένου, προγεγυμνασμένου. Τότε δὲ καὶ εἰς τάξιν τινά, ὥσπερ ἐκ συγκειμένου κατέστησαν.

Ἐκσυριγγοῦνται, ἀναστομοῦνται, παρὰ τῷ Ἱπποκράτει.

Ἐκσφράγισμα, τὸ ἐκτύπωμα.

Ἔκτα, βραχυκατάληκτον, ὡς ἀποκοπέν, ἐκ τοῦ ἔκτανεν.

Ἐκτάδην, ἐκτεταμένως ἢ ἡπλωμένως. ὃ καὶ ἐκταδὸν λέγομεν.

Ἐκταδίην, μεγάλην, ὥστε διπλῇ χρῆσθαι.

Ἐκταθῆναι, ἁπλωθῆναι.

Ἐκταῖον, αἱ δέκα κοτύλαι.

Ἐκταῖος, ὁ ἕκτος.

Ἐκταῖος, τοὺς ἐκ χοινίκων ἕξ.

Ἔκταλος, ἀκάνθης εἶδος.

Ἐκτάμησιν, ἐκτάμῃ.

Ἔκταν, ἐκ τοῦ κτῆμι παράγωγον, ἐκ τοῦ κτῶ, ὁ δεύτερος ἀόριστος ἔκτην. ὅπερ γίνεται ἔκταν. ἡ μετοχὴ κτάς. ἄνδρα κατακτάς. ὁ μέσος, ἐκτάμην, ἔκτασο, ἔκτατο. ὁ παθητικός, ἐκτάθην. τὸ πρῶτον τῶν πληθυντικῶν ἐκτάθημεν, καὶ κατὰ συγκοπὴν τοῦ η καὶ μ, ἔκταθεν.

Ἔκτανεν, ἐφόνευσεν. ἐκ τοῦ κτείνω, δεύτερος ἀόριστος.

Ἐκτανθαρύω, τρέμω.

Ἐκταρβημένον, ἐπτοημένον.

Ἔκτασίς ἐστιν, ὅταν τὰ συστελλόμενα δίχρονα ἐκταθῇ. ἢ τὰ βραχέα εἰς τὰ μακρὰ ἀντίστοιχα αὐτῶν μετατεθῇ. οἷον καλὸς κηλός, κόρη κώρη.

Ἐκτάσσοντα, χαράσσοντα, γράφοντα.

Ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ. ἐὰν ἀναγνῶς ἔκταν, Ἀττικῆς κλίσεώς ἐστιν, ἀπὸ τοῦ κτῆμι, ὁ δεύτερος ἀόριστος ἔκτην, καὶ συστολῇ ἔκταν. ἐὰν δὲ κατέκτα, ἐκ τοῦ κτάω κτῶ.

Ἐκτεθηλυμένοι, μαλακισθέντες, κεκοπιακότες, ἢ ὡς θήλειαι γενόμενοι.

Ἐκτεθηλισμένον, ἐκτετηκός.

Ἐκτεθνεῶτα, οἷον τὸν ἔσχατον ὄντα.

Ἐκτεθυμένα, ἐκτετυφωμένα.

Ἐκτείνει, τὸ ἐξαπλοῖ.

Ἐτειχίσαι, τειχοποιῆσαι.

Ἔκτε κονίης, ἐκ τῆς κόνεως.

Ἐκτελείσθω, λειτουργείσθω.

Ἐκτελέουσιν, ἐπιτελοῦσιν.

Ἔκτεμποροι, προσμένοντες.

Ἐκτένεια, ἡ συνέχεια.

Ἐκτενές, ἐπιμελές. ἔργον δ' οὐδ' αὐτῷ ἐκτενές.

Ἐκτενέστερος, ἐνεργητικώτατος, ἐπιμελέστερος. ὡς τό, Ὁ δὲ ἔλεγεν ἔσεσθαι αὐτῷ σύμβουλος, καὶ συναγωνιστὴς ἐκτενέστατος.

Ἐκτενῶ, κρεμάσω, ἐπιμελῶ.

Ἐκτενῶς, συντόνως, ἐπιμόνως, ἢ ὁλοψύχως, καὶ προθύμως, καὶ φιλανθρώπως.

Ἐκτέον, ληπτέον.

Ἐκτεταμένως, ἁπλωμένως.

Ἐκτετάφρευτο, ἐξώρυκτο.

Ἐκτετηκότες, δεδαμασμένοι, τεταριχευμένοι.

Ἐκτετηκυῖα, ἀπερρυηκυῖα, ἐκτετηκυῖα τὰς ὁράσεις ἀπὸ τῶν δακρύων.

Ἐκτετωκότες, ἀποπληρώσαντες, ἀποδεδωκότες.

Ἐκτετοξεῦσθαι βίον, ἤγουν τετελειῶσθαι, καὶ ἀνηλῶσθαι. ἐκ μεταφορᾶς τῶν τοξευόντων, ὅταν τὴν φαρέτραν κενώσωσιν.

Ἐκτετραμμένος, ἀπεστραμμένος.

Ἐκτετρυχωμένους, καταπεπονημένους, ἐκνενευρισμένους.

Ἐκτεύς, μέτρον τι, ἕκτον μεδίμνου, οὗ δηλαδὴ ἥμισυ τὸ ἡμίεκτον.

Ἐκ τεφροδέων, ἐκ τεφροειδῶν.

Ἔκτη, τρίτη, τετάρτη, νομίσματα ἀργυρίου, καὶ χρυσίου, καὶ χαλκοῦ.

Ἐκτήμοροι, οἱ ἕκτῳ μέρει τὴν γῆν γεωργοῦντες.

Ἐκτῆνες, οὕτως ὠνομάζοντο οἱ Βοιωτοί.

Ἐκ τῆς ἴσης γράφουσιν Ἀττικοί, ἀντὶ τοῦ ἐπίσης.

Ἐκ τῆς ὀσφύος, ἐκ τοῦ σπέρματος.

Ἐκτῆσθαι, Ἀττικόν ἐστι. καὶ Ἰωνικὸν δέ, ἀποβληθέντος τοῦ συμφώνου τῆς αὐξήσεως. τοιοῦτον καὶ τὸ ἐβούλευκε, καὶ τὸ ἐξαπίακε, καὶ τὸ τυρὸς ἐξεγλυμμένος, καὶ ἄλλα μυρία. εὕρηται δὲ ἡ λέξις καὶ παρὰ Ἡροδότῳ, ἐκτημένοι εἰπόντι, ἀντὶ τοῦ κεκτημένοι. Ἰστέον δέ, ὅτι ἡ κακοφωνία τοῦ ἐν παρακειμένοις ἀναδιπλασιασμοῦ, ἢ δι' ἐναλλαγῆς θεραπεύεται στοιχείων, οἷον φέφραδα πέφραδα, χεχείρικα κεχείρικα. ἢ διὰ παντελοῦς ἀπελεύσεως τοῦ κατὰ ἀρχὴν στοιχείου, οἷον ἔσπευκα, ἔφθακα, ἔζηκα. τοιοῦτον οὖν καὶ τὸ ἐκτῆσθαι, καὶ τὰ κατὰ αὐτό, ὡς καὶ τὸ ἐβδαλμένον, καὶ τὸ ἐβλάστηκε, καὶ τὸ ἐχάλκευται, κατὰ προφορὰν Ἀττικήν. καθ' ἣν καὶ τὸ ἔβλαμμαι. καὶ πάντες οἱ τοιοῦτοι σχηματισμοί, ἤγουν οἱ διπλασιαζόμενοι παρακείμενοι, ἀντὶ τοῦ ἀρχομ-

Digitized by Google

ἄρχοντος συμφώνου προφέρονται. ποιοῦσι καὶ τὸ εἴληχα, καὶ εἴληφα, καὶ τὸ εἵμαρται.

Ἐκπέατο, ἀντὶ τοῦ ἐκέκτητο Ἰωνικῶς.

Ἐκτίθεμαι, τό, τὸ νεογενὲς σκότιον καὶ νόθον ἐπὶ τριόδους ῥίπτω. ὡς καὶ Λιβάνιος, καὶ Ἀλέξανδρον μὲν ἐν Ἴδῃ ἐξέθεντο, ἀντὶ τοῦ ἔρριψαν.

Ἐκτιθέναι τὰ βρέφη, ἀντὶ τοῦ εἰς βορρὰν θηρίοις, ἢ καὶ ἄλλως εἰς διαφθορὰν παρατιθέναι ἐπ' ἐρημίαις.

Ἐκτικός, χρηστικός.

Ἐκτικώσαντο, πράως καὶ χρηστοήθως μετεχειρίσαντο.

Ἐκτικῶς, χρηστικῶς, ἢ κατὰ ἕξιν. ἕξις δέ ἐστι, δυσμετακίνητος τρόπος, ἤτοι διάθεσις.

Ἑκτικῶν, τῶν περὶ ἕξιν νοσούντων.

Ἐκτίλαι. ἔστι τίνω, ἀποβολῇ τοῦ ε, καὶ τροπῇ τοῦ ν εἰς λ γίνεται τίλω ῥῆμα. σημαίνει τὸ ξαίνω.

Ἐκτίλαι, ἐκτινάξαι.

Ἐκτίλω, ἀνασπάσω, μετοικίσω.

Ἐκτιλώμενος, συνήθης. ἐπεὶ κτίλος, ὁ ἡγούμενος τῆς ποίμνης.

Ἐκτιμᾶται, ἀντὶ τοῦ ἐπιστέφεται, ηὔξηται κατὰ τιμήν.

Ἐκτιμημάτων, τέσσαρα Ἀθήνησι τιμήματα ὑπὸ Σόλωνος γέγονε. πεντακοσιομεδίμνων, ἱππέων, ζευγιτῶν, καὶ θητῶν.

Ἔκτιμος, καὶ ἐκτίμους, ἔξω καὶ ἐκτὸς τῆς τιμῆς. ἐκτίμους ἔχουσα πτέρυγας ὀξυτόνων γόων.

Ἐκτιναγμός, ὅταν ἀναρριπτῆται μετὰ κινήματος ἡ γῆ.

Ἐκτινάξαι, ἀποκινῆσαι.

Ἐκτιννύων, καὶ ἐκτείνων, ἀποδιδοὺς τῇ μητρὶ τὸ χρέος. ἐκτίνων καὶ ἐκτίσαι καὶ ἐκτίσει. ὁ δὲ καθ' ἡμᾶς βασιλεὺς, ἐκτίσει μοι δίκας ἐνδέοντι.

Ἐκτίσαι, ἀποδοῦναι.

Ἔκτισαν καὶ ἐπύργωσαν παρ' Ὁμήρῳ. τὸ μὲν ἔκτισαν, ἀντὶ τοῦ οἰκισθῆναι ἐποίησαν, τὸ δὲ ἐπύργωσαν ἀντὶ τοῦ ἐπόλισαν, ἤγουν ὡς πόλιν ἐτείχισαν.

Ἐκτίσει, ἀποδώσει.

Ἔκτοθεν ἄλλων, ὥσπερ ἐκ τοῦ ὄπισθεν, ἀπελθόντος τοῦ ς ἀπαρτίζεται πολλάκις ὄπιθεν. οὕτω τὸ ἔκτοθεν, ἐκ τοῦ ἔκτοσθεν, ἐκδραμόντος τοῦ ς, διὰ ἀνάγκην μετρικήν.

Ἐκ τοῖο, ἐξ ἐκείνου τοῦ χρόνου. ὡς καλὸς καλοῦ, καλοῖο. οὕτω καὶ ἐκ τοῖο, ἀντὶ τοῦ ἐκ τούτου.

Ἐκτοιχωθείς, ἐκφθαρείς, ἐκπιεσθείς.

Ἐκτόκων, ἐκ τοκετῶν.

Ἐκτολυπεύσας, ἐργασάμενος. καὶ ἐκτολυπεῦσαι, τὸ πληρῶσαι.

Ἐκτομάδια, εἶδος δόρατος.

Ἐκτομάς, περικεφαλαίας, ἧς οἱ ὀφθαλμοὶ διαλάμπουσιν.

Ἐκτομεύς, τομεύς, τμητός.

Ἐκτομίας, ὁ εὐνοῦχος, σπάδων.

Ἐκτόμου, ἐλλεβόρου μέλανος, παρὰ τῷ Ἱπποκράτει.

Ἔκτ' ὀνόμαζεν. ὅτι ταυτόν ἐστι πολλάκις τῷ ἔφατο, ἀριδηλότατα δηλοῦται ἐν τῷ ἔπος ἔφατ', ἔκτ' ὀνόμαζεν ἐν Ὀδυσσείας ρ.

Ἔκτοπα, ξένα.

Ἐκτοπῆσαι, ἀντὶ τοῦ ἀπομακρυνθῆναι. ὁ Θεολόγος, καὶ ἐκτοπῆσαι εἰς Πέρσας. καὶ Μάξιμος, ἐκτοπῆσαι τὸ χωρίον ποιητικῶς μάλα, τῆς καθ' ἡμᾶς θαλάσσης.

Ἐκτόπια, τὰ κεχωρισμένα. ἐκτόπια πολισμάτια τῶν γραφομένων καὶ παραγγελλομένων.

Ἐκτόπι, ἀπὸ ξένου τόπου. ἐκτόπι σωθείς, τουτέστιν ὁρμήσας.

Ἐκτοπίζω, πόρρω διάγω.

Ἐκτοπισμός, ἡ πόρρω διαγωγή.

Ἐκτοπίως, ἀντὶ τοῦ ἐκτόπως, καὶ παραδόξως λέγουσιν Ἴωνες.

Ἔκτοπον, παρηλλαγμένον, βίαιον, μέγα, ξένον, χαλεπόν.

Ἔκτοπος, παρηλλαγμένη, ἀφόρητος. τοῖς δὲ Κελτοῖς πάρεστιν ἔκτοπος, ἡλίκη πρὸς τὸ παράδοξον ὀργή.

Ἐκτόπως. καὶ ἐκτυπώτερον, ἀντὶ τοῦ φανερωτέρως. δίδου ἡμῖν ἐκτυπώτερον, ὅ ἐστι καθαρώτερον.

Ἐκτόπως, μεγάλως, ἀπρεπῶς, παρηλλαγμένως, ἀφορήτως, ὑπερβολικῶς.

Ἐκτοπώματον, ἐξεστραμμένον.

Ἐκτόρειοι κομῆται, Δαύνιοι καὶ Πάλκετιοι, ἔχοντες τὴν ἀπ' Ἰλίου τοῖς ὤμοις περικεχυμένην τρίχα. Ἐκτόρειον δέ, τὸν τοῦ Ἕκτορος.

Ἕκτορες, πάσσαλοι ἐν ῥυμῷ. Σαπφὼ δέ, τὸν Δία. Λεωνίδης, τὸν κροκόφαντον.

Ἐκτορμᾶν, τὸ ἐκ τοῦ καθήκοντος δρόμου πόρρω ἐκβαίνειν.

Ἔκτ' ὁρμῶν, ἀπὸ τοῦ καμπτῆρος, ἢ τοῦ σύμπαντος δρόμου.

Ἐκτόρνης, ἐκ μύθου, ἐκ τοῦ καθήκοντος.

Ἐκτὸς ἐόντας, ἐξερχομένους.

Ἐκτός, δίχα, πάρεξ, ἢ ἔξω. ἢ ἐκτός, ἐπὶ κινήσεως ἀεὶ Ἀριστοφάνης, ἐκτὸς οἴσει τῶν ἐλαιῶν. εὕρηται δὲ καὶ ἅπαξ ἐπὶ στάσεως παρὰ Πλάτωνι. οἷον καὶ ὅσα ἐκτός ἐστι. ἔστι δὲ τὸ ἐκτός, καὶ ἀντὶ τοῦ χωρίς. Λουκιανὸς ἐν βίων πράσει, ἐκτὸς εἰ μὴ κατὰ τὸν Θάμυριν ἐκεῖνον. ὡσαύτως καὶ τὸ ἔξω. Θουκυδίδης, ἔξω τῶν βασιλέων, καὶ τῆς μάλιστα ἐν τέλει.

Ἔκτοσε, ἀπὸ τοῦ ἐκτός. ὅμοιον ὂν τῷ, πανταχόσε πάντοσε, καὶ ἄλλος ἄλλοσε.

Ἔκτοθεν, ἐπίρρημα γενικῇ συντάσσεται. ὡς παρὰ Ἡσιόδῳ, Κακῶν ἔκτοσθεν ἀπάντων, ἀντὶ τοῦ ἐκτός. καὶ ἔκτοθε λιπαρᾶς παλαίστρας, ἀντὶ τοῦ ἐκ τῆς λιπαρῆς παλαίστρας, ἐπίρρημα ἀντὶ προθέσεως.

Ἔκτοτε, κατὰ μηδένα τρόπον εἴπῃς, ἀλλ' ἐξ ἐκείνου.

Ἐκ τοῦ ἐπιπλεῖστον, ἀντὶ τοῦ ἀνέκαθεν. Θουκυδίδης, ἐκ τοῦ ἐπιπλεῖστον καὶ τὰ λοιπά.

Ἐκ τοὔμπαλιν, ἐκ τοῦ ἐναντίου.

Ἐκ τοῦ παραχρῆμα, ἐκ τοῦ αὐτομάτου.

Ἐκ τοῦ παρείκοντος, ἐκ τοῦ ἐνδιδόντος, ἐκ τοῦ ἐπιτυγχάνοντος.

Ἐκτραγῳδεῖ, ἀποιμώζει, ἀποθρηνεῖ.

Ἐκτραορδιναρίους, Ῥωμαϊκὴ ἡ λέξις. δηλοῖ δ' ἐπιλέκτους.

Ἐκτραχηλίζω, καὶ ἐκτραχηλισθῶσι, τοὺς τραχήλους συγκλασθῶσιν.

Ἐκτραχηλισθῆναι, ἐκπεσεῖν τῶν ἵππων. οἷον τὸν αὐχένα ἐπικάμψαντες, ἀποσείονται τὸν ἐπιβάτην.

Ἐκτρέπειν, τὸ παρακλίνειν τῆς ὁδοῦ. καὶ ἐκτροπή, ὁπόταν τις ἣν βαδίζει ὁδὸν ἀφείς, ἑτέραν βαδίσῃ. καὶ ἀπὸ τούτων ἁπλῶς ἐπὶ τῶν ἀπό τινος ἔστι μεταπιπτόντων.

Ἐκτρεπόμενος, ἀποστρεφόμενος.

Ἐκτριβαί, τριβαί, χωρισμοί.

Ἐκτριβῆναι, ἀφανισθῆναι, ἀπολειφθῆναι, φθαρῆναι.

Ἐκτριβήσεται, διατρίψει ἐν τοῖς κακοῖς, ἢ ἀπολεῖται. ἡ μεταφορὰ ἀπὸ τῶν σμηχομένων ἀργυρῶν, ἢ χαλκῶν. ἢ ἄλλων τοιούτων σκευῶν, ἅπερ ἐν τῷ πλύνεσθαι σφόδρα τριβόμενα ἐλαττοῦται.

Ἐκτριβήσῃ, ἐξαναλωθήσῃ.

Ἐκ τριημιμόρου, ἐκ τεσσάρων ἡμιεκτέων.

Ἐκ τρίτης, λόγος.

Ἐκ τριχὸς κρέμαται, παροιμία ἐπὶ τῶν σφόδρα κινδυνευόντων.

Ἐκτριχωθείς, ἐκπιασθείς, ἐκφθαρείς.

Ἔκτριψιν, τὴν εἰς τὰ σπλάγχνα οὖσαν παράλλαξιν, παρὰ τῷ Ἱπποκράτει.

Ἐκτροπαί, ἐκνεύσεις τῶν ὁδῶν, ὅπου τὶς ἐκτραπῆναι δύναται, διὰ τὸ ἐκτρέπεσθαι τῆς ὁδοῦ.

Ἐκτροπαί, τρίβοι, προφάσεις, χωρισμοί. καὶ ὀφθαλμῶν τὶ πάθος.

Ἐκτροφωλέων, σπονδοειδῶν.

Ἐκτρόχαλον, ἔκτροχον.

Ἐκτρυπῆσαι, μετὰ βίας ἐξελθεῖν.

Ἐκτρύχωσον, ἔκτριψον.

Ἔκτρωμα, ἀποβολὴ γυναικός. ἤγουν, ἐξάμβλωμα. καὶ ἀμβλωθρίδιον, τὸ μὴ ἐν πᾶσι τέλειον.

Ἐκτρῶσαι, τοῦτο φεύγων, λέγε ἐξαμβλῶσαι. καὶ ἀμβλώσκει, Φρύνιχος.

Ἐκ τύμβοιο θορών, ἐπιπηδήσας μεγάλως, ἐκ τοῦ τάφου καὶ τῆς γαστρός.

Ἔκτυπεν, ἐβρόντα.

Ἐκτυποῖ, ἐξομοιοῖ.

Ἐκτύπωμα, ὁμοίωμα.

Ἐκτυπώτερον, φανερώτερον.

Ἐκτυφλῶσαι. τύφω, ὁ δεύτερος ἀόριστος ἔτυφον, ὁ παθητικὸς ἐτύφην, τὸ ἀπαρέμφατον τυφῆναι. σημαίνει δὲ παρὰ μικρὸν ἐκτυφλωθῆναι.

Ἐκ τῶν παρόντων, ἐκ τῶν φθασάντων γενέσθαι. ἐκ τῶν παρόντων, ἐκ τῶν ὑπαρχόντων καὶ ἐνεστηκότων, καὶ ἀπορουμένων.

Ἕκτωρ, παρὰ τὸ ἔχω τὸ κρατῶ, ὁ μέλλων ἕξω. ἐξ αὐτοῦ Ἕκτωρ, ὁ τὰς Τρῳάς ἐπικρατῶν. ἢ ὁ τῆς Τροίας κρατῶν. ἢ παρὰ τὸ ἐχθρεῖν. καὶ ἕκτωρ, ὁ ἐν ῥυμῷ πάσσαλος.

Ἐκυδάσσαο, ἐλοιδόρησας, κύδος γὰρ ἀρσενικῶς ἡ λοιδορία παρὰ Συρακουσίοις. κυδάζω, κυδάζομαι. Σοφοκλῆς, Κυδάζεται πᾶσιν Ἀργείοις ὁμοῦ, ἀντὶ τοῦ λοιδορεῖται.

Ἐκύει, ἐνεκυμόνει, ἐν γαστρὶ εἶχεν.

Ἐκύησεν, ἐγέννησεν.

Ἐκύκα, ἐτάρασσεν.

Ἔκυλος, εἶδος βοτάνης. ἄκυλος δέ, πρίνου ὁ καρπός.

Ἑκυρά, ἡ πενθερά.

Ἐκύρησα, εὗρον, ἔτυχον, ἐπέτυχον.

Ἑκυρός, ὁ πενθερός. ὁμοίως ἑκυρὴ λέγεται θηλυκόν. καὶ ἑκυρὸς ὁ αὐτός ἐστι τῷ πενθερῷ. λέγεται δὲ ἑκυρὸς μέν, ὡς εἷς ὤν, ἤτοι εἰς ἑαυτὸν ἔχων τὴν κόρην, ἢ τὸ τῆς ἀγχιστείας κῦρος. διὸ καὶ δασύνεται κατὰ τὴν ἄρχουσαν παρά γε τοῖς πλείοσιν.

Ἐκύρευν, ἐτύγχανον βωμῷ θύων, ἐκύρευν. ἠκύρουν δέ, ἀντὶ τοῦ ἀβέβαια ἐποίουν.

Ἔκυσεν, ἐφίλησεν.

Ἔκυψεν, ἀπήγξατο.

Ἐκφάδην, φανερῶς.

Ἐκφαίνει, δηλοῖ.

Ἐκφανεστάτας, πάνυ λαμπράς. ἐκφανεστάτας ἔχει τὰς ἀρχάς, ἢ τὰς χαράς.

Ἐκφανθέντος, δηλωθέντος.

Ἐκφανίζεται. μηνύεται.

Ἔκφανσις, φανέρωσις.

Ἔφαντα, φανερά.

Ἐκφαντίσματα, τὰ ἐκβαλλόμενα, ὅτε καθαίρωσι τὰς φάτνας.

Ἐκφάντορες, κυρίως οἱ τῶν μυστηρίων τὰ ἄρρητα συμβολικῶς ἀναφαίνοντες.

Ἐκφαντορία, θεολογία, δήλωσις.

Ἐκφάσθαι, τὸ ἐξειπεῖν λόγῳ προφορικῷ.

Ἐκφαυλίζων, ἀπελίζων, φανερὸν ποιῶν.

Ἐκφέρειν, λαμβάνεται ἐπὶ προφορᾶς λόγου, καὶ ἐπὶ τῆς ἔξω τοῦ πρέποντος φορᾶς, καὶ ἐπὶ νεκροῦ. καὶ εἰσφέρειν, τὸ ἐναντίον ἐκφέρειν, ἤγουν ἐκκλίνειν τοῦ προσήκοντος. ἐκτρέπῃ, ἔξω τοῦ πρέποντος φέρῃ. ὥσπερ ὑπὸ ἵππου τὸ ἐκφέρεσθαι. κυρίως ἐπὶ νεκροῦ λέγεται. καὶ ὅταν φέρῃ τινὰ ἵππος βίᾳ ἔξω τῆς εὐθείας ὁδοῦ. καὶ ἐκφέρειν ἐπὶ τοῦ θάπτειν, ἔστιν ὅτε λέγεται. ὅθεν καὶ ἐκφορά, ἡ ταφή. ἐκφέρει δέ τις μυστήριον, ὅπερ ἐχρῆν εἶναι ἀνέκφορον. ταυτὸν δὲ εἰπεῖν, ἀνέξοιστον. ἐκ δὲ τοῦ ἐκφέρειν, ἡ ἐκφορὰ λέγεται. ἤγουν, ἡ ταφή. Ἄλλως.

Ἐκφέρειν, ἐναντίον τῷ εἰσφέρειν. δῆλον δέ, ὅτι οἱ μεθ' Ὅμηρον, ἐπὶ ταφῆς λέγουσι τὸ ἐκφέρειν, καὶ τὴν ἐκφοράν.

Ἐκφθαρείς, ἐξελθών. οὕτω λέγεται τὸ ἐπὶ κακῷ ἐξελθεῖν.

Ἐκ φθορᾶς, ἐκ θανάτου.

Ἐκφινδάνει, ἐξορμᾷ, ἐκβράσσει, ἐκφύει. παρὰ τῷ Ἱπποκράτει.

Ἐκφλύξαι ἀντὶ τοῦ εἰπεῖν κεῖται παρὰ τῷ Ἀπολλωνίῳ. φλύζειν δὲ κυρίως φαμέν, τὸ τοὺς λέβητας καιομένους ἀναβάλλειν θερμότητι τὸ ὕδωρ.

Ἐκφοινίξαι, ἀναγνῶσαι.

Ἐκφοιτᾷ, ἐξέρχεται.

Ἐκφορά, κατ' οὐδέτερον πληθυντικόν, ἀλλὰ ἑνικῶς. κατὰ θηλυκόν, ὡς Θεόπομπος, εἴσω δραμὼν αἴτησον, ἀλλ' οὐκ ἐκφορά. καὶ εἰ μὲν οὐδέτερον εἴη πληθυντικόν, προπαροξύνουσιν. εἰ δὲ θηλυκόν, ὀξύνουσιν.

Ἐκφοράν, ταφήν. ἐκ τοῦ φέρεσθαι καὶ ἄγεσθαι ἐπὶ μνημεῖον.

Ἐκφορεῖ, ἐκσπανίζει ὑπάρχοντα.

Ἐκφερῆται, ἐκφέρηται.

Ἐκφορίαν, καρπούς.

Ἔκφορος, παράφορος, μαινόμενος. αἰσθάνομαι γινόμενος ὑπὸ τοῦ πάθους ἔκφορος, τουτέστι παράφορος.

Digitized by Google

Ἐκφορούμενοι, ἐκκενούμενοι.
Ἐκφορῶ, τὸ ἐκβάλλω.
Ἔκφρασις, ἐπιθυμία, δήλωσις, λόγος.
Ἐκφρηθέντων, ἐκβληθέντων. οἷον, ἐκφρηθέντων δὲ τῶν ἐπικούρων ἐκ τῆς πόλεως.
Ἐκφροντίζων, βουλευόμενος.
Ἐκφρόντισον, ἀντὶ τοῦ σκέψαι καὶ ἐννοήθητι. Ἀριστοφάνης, ἐκφρόντισόν τι.
Ἐκφρόνως. ἀνοήτως.
Ἐκφρυασμοῦ, ἐξεπαρμοῦ.
Ἔκφρων, ἐξεστηκώς, παραπαίων, ἐξαφρενῶν. ὁ δὲ ὑπομένης ἔκφρων γενόμενος.
Ἔκφυ, ἐγεννήθη.
Ἔκφυλα, ἀλλόφυλα, ξένα, ἀλλότρια.
Ἐκφυλάσσαι, ἐκσπάσαι.
Ἐκφυλλοφορῆσαι, εἰ ἐδόκει τὶς τῶν βουλευτῶν ἀδικεῖν, διεψηφίζετο ἡ βουλὴ περὶ αὐτοῦ, εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν. ἀντὶ δὲ ψήφοις, φύλλοις ἐχρῶντο, δι' ὧν ἕκαστος ἐπεσημαίνετο τὴν αὐτοῦ γνώμην. Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος.
Ἔκφυλος, ξένος, παρηλλαγμένος, ἀήθης, ἀλλόφυλος, ἀθνεῖος, καὶ πάντῃ ἔκφυλος.
Ἔκφυμα, ἐξάνθημα.
Ἐκφῦναι, γεννηθῆναι, καὶ τὸ ἀναβλαστῆσαι.
Ἐκ φυράματος, ἐκ σπέρματος.
Ἐκφύς, ἐκγεννηθείς.
Ἐκφυσήματα, πέτραι ὑπερέχουσαι τῆς γῆς.
Ἐκφύσεως, ἀπὸ γεννήσεως, καὶ οἰκείας γνώμης.
Ἔκφυσιν, βλάστησιν, γονήν.
Ἔκφυσις, ἐπὶ φυτῶν λέγεται καὶ τριχῶν, καὶ τοιούτων τινῶν αὐξανομένων. λέγεται καὶ ἐπὶ λίθων, παρὰ τῷ Φιλοστράτῳ.
Ἐκφύω, τὸ γεννῶ. οἷόν τις ἀπὸ τῶν βροτῶν ἐκφύει με, ἤγουν ἐγέννησέ με.
Ἐκχαραδρωθέντας, κατακυλισθέντας.
Ἐκχαρέων, μαγειρείων.
Ἐκχαύνων, μεταίρων.
Ἐκχείρημα, τόλμη.
Ἐκ χειρὸς βοηθεῖν τοῖς πράγμασιν, ἀντὶ τοῦ μετὰ πάσης ἐπιμελείας.
Ἔκχεον, ἔκχυσον.
Ἐκχέων, περιχέων.
Ἐκχοΐζω, τὸ σκάπτω.
Ἐκχοίρηξες, ἐκχοιρηλωμένοι, Λάκωνες.
Ἐκχυθήσεται, ἀπλωθήσεται.
Ἐκχυμωθῆναι, ἐκποιῆσαι.
Ἐκχύμωσις, χυμῶν ἔκχυσις, παρὰ τῷ Ἱπποκράτῃ.
Ἐκχυρώματα, αἱ ποιώδεις συλλογαί.
Ἐκχύτριζεν, ἔκβαλλεν.
Ἔκχωνεν, ἔκλινεν, Λάκωνες.
Ἐκ χώρης, ἐκ τῆς χώρας, ἐκ τοῦ τόπου.
Ἐκχωρῶ, τὸ ἐκφαίνω. ὡς Δημοσθένης, Καὶ οὕτω μὲν τότε παρ' ἡμῖν ἐκκεχωρηκότων, ἀντὶ τοῦ ἐκβάντων.
Ἐκψύχουσι, λειποθυμοῦσιν.
Ἐκωδωνίζοντο, περιβόητοι ἐγίνοντο. εἴρηται καὶ ἐπὶ τοῦ ἐπειράσθησαν.
Ἐκωδώνησεν, ἐδοκίμασεν.
Ἐκωθώνιζον, ἔπινον, ἐμέθυον, ἐχόρευον.
Ἐκώμασε, μεθ' ἡδονῆς ἦλθεν.
Ἐκωμῴδησεν, ἐφαύλισεν, ἔπαιξεν, ἐλοιδόρησεν, διεθρύλλησεν.
Ἑκὼν, ἀέκοντι θυμῷ παρ' Ὁμήρῳ. ἔπεσε μὲν εἰς κοινὴν παροιμίαν, τὸ ἑκὼν ἀέκων τὸ δέ τι πεποίηκα. οὕτω ποιοῦσιν, οἱ τὰ φορτία ἐν κλύδωνι ἀποβάλλοντες. πῶς μὲν ἄκοντες δρῶσι, τῷ δέει γὰρ τοῦ κινδύνου. πῶς δὲ ἑκόντες, ἵνα γὰρ σωθῶσι. καὶ ἑκόντες μὲν ἀποβάλλουσιν, ἄκοντες δὲ ζημιοῦνται.
Ἑκὼν εἶναι. καὶ περὶ τούτου ἰδιώτης μὲν οὐκ ἂν πταίσειε· τῶν δὲ σφόδρα προσποιουμένων ἀρχαίᾳ φωνῇ κεχρημένη χρῆσθαι. τὸ δ' ἁμάρτημα τοιοῦτόν ἐστιν. οἱ μὲν παλαιοὶ οὕτω συντάττουσι, τὸ ἑκὼν εἶναι, ὥστε πάντως ἀπαγορεύουσιν, ἢ ἄρνησιν ἐπιφέρειν, ἢ προστιθέναι. οἷον ἑκὼν εἶναι οὐ μὴ ποιήσω οὕτω. καὶ οἱ νῦν εὖ φρονοῦντες. ὅσοι δὲ ἐπὶ καταφάσεως τιθέασι τὸ ἑκὼν εἶναι, οἷον ἑκὼν εἶναι ἔπραξα, ἑκὼν εἶναι ἐπεβουλευσάμην, μέγιστα ἁμαρτάνουσι. Φρύνιχος.

Ἐκώνει, ἔστρεφεν.
Ἐκώπασεν, ἐπαύσατο.

ΤΟ' Ε'. ΜΕΤΑ' ΤΟΥ' Λ'.

Ἐλάα, ὁ καρπός. ἐλαία δὲ, τὸ δένδρον.
Ἐλάαν, ἐλαύνειν. καὶ ἐλάεις, ὁμοίως.
Ἐλᾷ, ἀντὶ τοῦ ἐλάσῃ λαμβάνεται ἐνίοτε.
Ἔλαβε χειρὶ γένειον. ἀλλαχοῦ ὁ ποιητὴς, ὑπ' ἀνθερεῶνος, ἑλεῖν εἶπε, καὶ ποτὶ στόμα χεῖρα ὀρέξαι. πολλαχοῦ δὲ τὸ λαβεῖν γενικῇ συντάσσεται, ταυτὸν ὂν τῷ ἅψασθαι.
Ἐλάβον, ἔτριχον, ἐλέγον, ἐφάγον, καὶ ἐστάσαν, ἀντὶ τοῦ ἔλαβον, ἔτριχον, ἔλεγον, ἔφαγον, ἔστασαν. παροξυτονοῦσι γὰρ οἱ Δωριεῖς τὰ τρίτα πρόσωπα τῶν ἀορίστων, τὰ εἰς ον καὶ εἰς αν λήγοντα. παιδῶν, τρωῶν, παντῶν, Δωριεῖς. κοινοὶ δὲ παίδων, τρώων, πάντων. κάλως, σόφως, κόμψως, ἄπλως, Δωριεῖς. κοινοὶ δὲ, καλῶς, σοφῶς, κομψῶς, ἁπλῶς. βαρυτονοῦσιν οἱ Δωριεῖς τὰ τοιαῦτα δηλωτικὰ ἐπιρρήματα, οὕτως, παντῶς, Δωριεῖς. κοινοὶ δὲ, οὕτως, πάντως. τὰ κοινῶς βαρυτονούμενα περισπῶσι, φιλοσόφοι, Μενελάοι, ποθυμένοι, δηλυμένοι, Δωριεῖς. κοινοὶ δὲ, φιλόσοφοι, Μενέλαοι, ποθύμενοι, δηλύμενοι. τὰ γὰρ εἰς οι λήγοντα ὀνόματα προπαροξύτονα, καὶ μετοχὰς, αὐτοὶ παροξύνουσιν.
Ἐλαγοήθρει, ἐκυνηγέτει, λαγοὺς ἐθήρα.
Ἐλαεὸς, ἀμπέλου εἶδος.
Ἐλαζέτω, ἐκαλινδείτω.
Ἔλαθέ με τοῦτο, καὶ ἔλαθον μητέρα μοιχεύσας, ἔλαθον τοῦτο ποιήσας. ἐκ τοῦ λήθω, λήσω, ἔλησα. ὁ δεύτερος ἀόριστος, ἔλαθον.
Ἐλαθερὲς, ἡλιοθαλλές.
Ἐλαθραὶ, ἐλαφραί. ἢ ἐν ἐλαίῳ ἑφθαί.
Ἐλαθύσας, Διὸς ἱερὸν ἐν Κύπρῳ.
Ἐλαία, εἶδος φυτοῦ. ἐλάα, ὁ καρπὸς αὐτοῦ. ἔλαιον, τὸ ἀπὸ τῶν ἐλαιῶν ἐκπιεζόμενον. καταχρηστικῶς δὲ, θάτερον ἀντὶ θατέρου λαμβάνεται.
Ἐλαιᾷ, διεγείρει.
Ἐλαία, δίφρου Κυρηναϊκοῦ μέρος.
Ἐλαίανεν, ἐλέπτυνεν.
Ἐλαιάδεσσα, νηδύς. Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι. ἤτοι λαιάεσσα, ἀντὶ τοῦ σκαιὰ, ἀπὸ τοῦ ληΐζεσθαι, πάντα ληϊζομένη καὶ κατεσθίουσα. ἢ ἀπὸ τοῦ ἐλαίου, λιπαρά.
Ἐλαίας, ἄνθος ἐρεοῦς, λευκὸν, πυκνὸν, συνεχές. ἡ δὲ ἀγριελαία, κότινος καλεῖται. αἱ δὲ ἐμφυτεύσαις τῷ κοτίνῳ ἥμερον, αἱ τοιαῦται ἐλαῖαι κοτινάδες λέγονται. ἡ δὲ ἱερὰ ἐλαία, μορία. ἡ δὲ ἐν Ὀλυμπίᾳ, καλλιστέφανος. πάντα δὲ τὰ ἐμφυτευόμενα ἥμερα τοῖς ἀγρίοις, ἐμβλήματα καλεῖται.
Ἐλαΐδας, ἐλαίας, δένδρα.
Ἐλαΐζειν, τὰς ἐλαίας ἐργάζεσθαι, γεωργοῖς Ἀριστοφάνης.
Ἐλαΐζων, ἐλαιόχρους.
* Ἐλαίῳ στίλβοντες χιτῶνες, οἱ στιλπνοὶ, ὡς δοκεῖν ἐλαίῳ περικεχύσθαι.
Ἐλαιόδευτον, τὸ ἐλαιόβρεκτον.
Ἐλαῖνον, ἢ ἀπὸ τοῦ ἐλαία γέγονεν, ἀποθέσει τοῦ ι τῆς διφθόγγου, ἢ ἀπὸ τοῦ ἐλάα Ἀττικοῦ. ὡς δηλοῖ καὶ ἡ παρὰ τῷ κωμικῷ χρῆσις. καὶ ὁ κατὰ Διογένην ἀστεϊσμὸς, τοῦ μάστιξε δ' ἐλάαν. ἤγουν ἀπερράπισεν, ἀπωσάμενος τὴν ἐλαίαν. κρεῖττον δὲ τὸ πρῶτον. ἐλαία, οὐ τὸ δένδρον, ἀλλ' ὁ καρπὸς αὐτῆς.
Ἐλαιοκομεῖν. καὶ ἐλαιοκόμων, τὰ ἔργα τῶν τὰς ἐλαίας ἐργαζομένων. κομεῖν γὰρ, τὸ ἐπιμελεῖσθαι.
Ἐλαιολόγοι, εὐτελεῖς. εὐτελεῖς γὰρ, οἱ τὰς ἐλαίας μισθοῦ συνάγοντες.
Ἔλαιον οὐκ ἔνεστιν, ἀντὶ τοῦ οὐκ ἐλεοῦμεν, παρὰ τῷ Ἀριστοφάνει.
Ἔλαιον ἄγριον, τὸ ἀγριέλαιον, καὶ καρπός.
Ἐλαιὸς, φαρμακεὺς, παρὰ Ῥοδίοις.
Ἐλαιοτῷ, ἐλαιοβαθεῖ.
Ἐλαιότρυγον, ἡ ἀμόργη.
Ἐλαιοῦς, ἐν Κύπρῳ, ὁ Ζεύς.
Ἐλαιοῦται θρὶψ, Σοφοκλῆς τρωΐλῳ. Ἀρίσταρχος δὲ μυπαίνεται, βέλτιον δὲ λαμπαίνεται.
Ἐλαῒς, αἰγίλωψ.
Ἐλαιαὶ, πόλις.
Ἐλαιώμενος, διεγειρόμενος.
Ἔλακεν, ἐφθέγξατο, ἐφώνησεν, εἶπεν. Ἀριστοφάνης, Τί δῆθ' ὁ Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων, καὶ ἀντὶ τοῦ ἐψόφησεν.
Ἐλάκισεν, ἐσχίσθη. ἐλάκησε δὲ, ἀντὶ τοῦ ἐβόησε, καὶ ἐφώνησεν ἤ.
Ἔλαμαν, ὑπέρθυρον.
Ἐλαμῆται, Πάρθοι.
Ἔλαμος, ὁδός.
Ἔλαμψαν, φανερὰ ἐγένοντο. ἔλαμψαν τὰ καλά σου ἔργα.
Ἔλανος, Ἴκτινος.
Ἐλαμψᾶν, ἐλαύνειν.
Ἐλαπάχθη, συνεστάλη.
Ἐλάπεδον, τέμενος.
Ἐλαπόδῳ, εὐρύθμῳ.
Ἔλαρ, βοήθεια.
Ἐλάραι, τὰ ἐν τῷ αὐλῷ τῶν δοράτων ἁρμοζόμενα.
Ἐλάργει, ἔλαβεν, ἐπόρισε, καθεῖλεν.
Ἐλάρη, ἡ μήτηρ Τιτυοῦ. λέγεται Τιτυὸν μετὰ τὴν τελευτὴν τῆς μητρὸς, παρὰ τῆς γῆς ἀνατετράφθαι. καθὰ καὶ Ὅμηρος ἱστορεῖ, καὶ Τιτυὸν εἶδον, γαίης ἐρικυδέος υἱόν. Φερεκύδης δέ φησιν, ὅτι Ἐλάρῃ τῇ Ὀρχομενοῦ μιγεὶς ὁ Ζεὺς, ἔθηκεν αὐτὴν κατὰ γῆς ἤδη κύουσαν, δεδιὼς τὴν τῆς Ἥρας ζηλοτυπίαν, καὶ ἀνεδόθη τῆς γῆς Τιτυὸς, διὸ καὶ γηγενὴς καλεῖται. Ἄλλως.
Ἐλάρη μήτηρ Τιτυοῦ· ὃν ἐκύησε ἐκ Διὸς, καὶ ἀδυνατοῦσα γεννῆσαι διὰ τὸ μέγεθος τοῦ παιδὸς, ἀπώλετο. δοκεῖ δὲ ἡ ἱστορία ἀπίθανος εἶναι, καὶ ἄπιστος, ὅτι ἐκ δευτέρου ἡ γῆ ἐγέννησε τὸν Τιτυόν. ἀλλ' ἐροῦμεν, ὅτι οἱ ποιηταὶ τοὺς τερατώδεις κατὰ τὸ σῶμα γῆς εἶναί φασιν. οὕτω γὰρ καὶ Καλλίμαχος τὰ δεινὰ τῶν θηρίων, γῆς εἶναι ἔφη. ὅτι δὲ μέγας ὁ Τιτυὸς, καὶ Ὅμηρός φησιν, Ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα. φαμὲν οὖν, ὅτι ὅτε πρὸς Ἐλάρης ἐτέχθη, ἐδόκει αὐτῆς εἶναι διὰ τὸ βραχὺ τοῦ σώματος. ὡς δὲ αὐξηθεὶς τερατώδης ἐγένετο, εἶπον καὶ τεχθῆναι αὐτὸν καὶ τετράφθαι πρὸς τῆς γῆς.
Ἐλάσαι, τὸ πολέμου νόμῳ ἀπελάσαι. λέγεται καὶ ἐπὶ σιδήρου ἐλάσεως, καὶ ἐπὶ κτίσεως τείχους, καὶ ὀρύξεως τάφρου, καὶ ἱππηλασίας. εἴρηται δὲ καὶ κατελάσαι κωμικώτερον ἐπὶ ἀσέμνου σημασίας. τὸ δὲ ὅρκους ἐπήλασαν παρ' Ἡροδότῳ, ἀντὶ τοῦ ἐπήγαγον, ἀπ' ἐναντίας ῥηθὲν παρὰ τὸ ἀπήλασαν, τὸν ἐπακτὸν ὅρκον ὀνομασθῆναι πεποίηκε παρὰ τοῖς ὕστερον.
Ἐλάσαι, φθάσαι, τάξαι, διῶξαι, ὀρύξαι, ποιῆσαι, ἀγαγεῖν.
Ἐλάσαι ῥάβδῳ, τὸ πλῆξαι σημαίνει.
Ἐλασαίατο. ἐλῶ ἐλάσω, ἤλασα, ἠλασάμην. τὸ εὐκτικὸν ἐλασαίμην, τὸ τρίτον τῶν πληθυντικῶν ἐλάσαιντο, καὶ Ἰωνικῶς ἐλασαίατο.
Ἐλάσαιο. Ὅμηρος ἐν Ὀδυσσείας υ. καί κεν τῶν ἐλάσαιο, ἤγουν ἀπελάσῃς βόας καὶ ἴφια μῆλα. καὶ ἐν χ, ἐλάσῃ, ἀντὶ τοῦ κεντήσῃ,
Ἐλαθαίνομεν, ἠκολασταίνομεν.
Ἐλάσασκεν, ἐνέπληττεν.
Ἔλασε σῦς, ἐν Ὀδυσσείας τ, ἤγουν ἔπληξεν. ἐνεργέστερον τὸ διήλασε. τὸ μέντοι κατήλασε, κωμικὸν σκῶμμα ἐστί. καὶ ἔλασεν, ἐκ χειρὸς ἔρρωσεν, ἔσκαψεν. ἢ ἔλασεν, ἀντὶ τοῦ ἐξήπλωσε, παρέτεινεν. ὃ δὴ ἐπὶ πάντων νοεῖται τῶν σημαινομένων τοῦ ἐλαύνειν. καὶ ἔλασεν, διέτεμεν.
Ἐλασία, δίωξις.
Ἐλάσονται, ἐλαυνόμενα ὡς αἱ βρονταί. καὶ ἐξελάσαιμι. ἐκ δὲ τοῦ ἐλῶ γίνεται ἔλημι. ἐπεὶ δοκεῖ ὄχημα τοῦ Διὸς, ἡ βροντή ἐστιν.
Ἐλασίβροντε, μεγαλήγορε.
Ἔλασκεν, ἤλασεν, ἐκάλεσεν.
Ἔλασμα, ὑπέρπυρον.
Ἐλασμίη, κυρία.

Digitized by Google

Ἔλασσον, μικρόν.

Ἐλάσσων, ὁ βραχύτερος. ἀπὸ τοῦ ἐλαχὺς ἐλαχύτερος ἐλαχίων. ὁ τρίτος τύπος τῶν συγκριτικῶν ἐλάσσων. τὸ δὲ ἐλαχὺς, παρὰ τὸ ἐλῶ, τὸ ἀφαιρῶ, ἵν᾽ ᾖ ὁ ἀφαιρεθεὶς, καὶ ἐκ τούτου μειωθείς. καὶ ἐλαχὺν δόμον καλεῖ, τὸν μικρὸν καὶ πενιχρόν.

Ἐλάσωσι, διώξωσι, διάγωσιν.

Ἐλάστρεον, δηλοῖ μὲν τὸ ἤλαυνον, παράγεται δὲ οὕτω. ἔστιν ὄνομα ῥηματικὸν ἐλατὸς, ὅθεν ῥῆμα ἐλατῶ. ὡς ἄτακτος ἀτακτῶ, πλεονασμῷ τοῦ σ καὶ ρ, ἐλαστρῶ. οὕτω δὲ καὶ τὸ βωστρῶ, ἐκ τοῦ βωτῶ γινόμενον, πρόσληψιν ὁμοίαν ἔπαθον. ὅτι δὲ καὶ ἐπὶ νηῶν ἐλαυνομένων τὸ ἐλαστρεῖν λέγεται, Ἡρόδοτος δηλοῖ ἐν τῷ τριήρεις ἐλαστρευμένας. ὅτι δὲ καὶ ἄλλαι εἰσὶ λέξεις ἐπένθεσιν παθοῦσαι τοῦ ρ. ὁμοιοπαθὲς δὲ καὶ τὸ ἀλάβαστρον, ἡ μυροθήκη. παρὰ γὰρ Μενάνδρῳ ἄνευ τοῦ ρ, κατ᾽ Αἴλιον Διονύσιον. καὶ παρ᾽ Ἀθηναίῳ δὲ κεῖται Ἀλέξιδος, τὸ οὐ γὰρ ἐμυρίζετο ἐξ ἀλαβάστου. Παυσανίας δὲ καὶ ἐπὶ ἑτέρου σημαινομένου τὴν λέξιν τιθείς φησιν. ἀλάβαστος, ᾧ ἐχρῶντο ἐπὶ τιμωρίᾳ τῶν μοιχῶν, ἀντὶ ῥαφάνου. καὶ τὸ σκῆπτρον δὲ πρόσληψιν ἔχει τοῦ ρ. καὶ ἄλλα πολλὰ, ἐν οἷς καὶ τὸ ἀγαυὸς, ἀγαυρός. καὶ τὸ ὄστρεον, ὡς ἀπὸ τοῦ ὀστέου, καὶ τὸ ὄστρειον. ἔτι δὲ καὶ ὄστρακον. ἀφ᾽ οὗ καὶ ὀστρακίζειν, ὃ παρ᾽ Ἀθηναίοις ἔθος ἦν, ὡς ἐν εἴδει ἀφορισμοῦ ἢ ἐξορίας. καὶ ὁ ἐποστρακισμός. εἶδος δὲ οὗτος παιδιᾶς, καθ᾽ ἥν φασιν ὄστρακα πλατέα ἐντετριμμένα ὑπὸ θαλάσσης, προϊέντα κατὰ τῆς ἐπιφανείας τοῦ ὑγροῦ, καὶ ἐπιτρέχοντα, ἕως δύωσι κατὰ θαλάσσης ἡδίστην ποιοῦνται πρόσοψιν. καὶ ἡ παιδιὰ, ὀστρακίνδα ἐκαλεῖτο.

Ἐλαστρηθεὶς, βιασθεὶς, κινηθείς.

Ἐλαστρεύων, διαγινώσκων.

Ἐλαστρῶ, ἀπὸ τοῦ ἐλῶ, ἐλάζω, ἐλαστὴς, καὶ ἐλαστρῶ. οἷον δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα, ἀντὶ τοῦ ἤλαυνον.

Ἐλᾶται, ἠλιοῦται.

Ἐλάτεια ὠνόμασται, ἀπὸ τοῦ ἐλᾶν. ἐξ οὗ σύνθετον τὸ κωπηλατεῖν. καὶ Ἐλάτεια, πόλις μεγίστη τῶν ἐν Φωκεῦσιν.

Ἐλάτη οὐρανομήκης, ταυτὸν καὶ πίτυς βλωθρὴ, ὅ ἐστι μολοῦσα εἰς αἰθέρα, ὥσπερ ἐκείνη εἰς οὐρανόν. καὶ ἄμφω ὑπερβολικῶς, διὰ τὸ πάνυ πολὺ τοῦ ὕψους. ἡ ἐλάτη, λαχάνου εἶδος. καὶ κώπη καὶ ξέστης. ἐλάτη καὶ αὐτὸ τὸ δένδρον. ἀφ᾽ οὗ ἡ κώπη. καὶ πόλις τῆς Φωκίδος μεγίστη. καὶ τοῦ Φοίνικος ἡ πρώτη ἔκφυσις.

Ἐλατὴρ, πέμματος εἶδος, τινὲς μὲν ἄζυμα. Εὐριπίδης δὲ πεπτά. ἔπαιξε δὲ τοῖς ὀνόμασι διὰ τὴν περὶ τὰ ναυτικὰ τῶν Ἀθηναίων ἐμπειρίαν. Ἄλλως.

Ἐλατήρ ἐστι πλακουντῶδες πέμμα πλατύ. ἔνθεν ἡ ἐπωνυμία παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. ἐλατῆρος οὖν, τοῦ πέμματος. ἔστι δὲ ἄρτος πλατὺς, ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν. καὶ προσῆγον τῷ βωμῷ. ἐλατὴρ δὲ πᾶν τὸ πλατύ. ἔτι δὲ καὶ λαγαρῶδες, παρὰ τὸ λαγαρόν. καὶ πελανοὶ παρ᾽ Εὐριπίδῃ, καὶ ἐλατήρ. ὅρα ὡς τὸ ἐλάσαι, οὐ μόνον τὸ ἡνιοχῆσαι, ἀλλὰ καὶ σὺν ἄλλοις καὶ τὸ χαλκεῦσαι σίδηρον, καὶ τὸ ἐκτεῖναι τεῖχος, καὶ τὸ λῃΐσασθαι. ὅμως ἐλατὴρ, ὁ ἡνίοχος μόνος, καὶ οὐδὲν ἄλλο παρά γε τῷ ποιητῇ. ὁ δὲ κωμικὸς καί τι πέμματος εἶδος οἶδε τὸν ἐλατῆρα, ὡς ἐν τοῖς ἱππεῦσι δηλοῖ, αἰνιττόμενος ἐκεῖ δύνασθαι τὴν λέξιν λέγεσθαι καὶ ἐπὶ κωπηλάτου.

Ἐλατήριον, φάρμακον καθαρτικόν.

Ἐλάτης, ὁ Ποσειδῶν, ἐν Ἀθήναις.

Ἐλατικαὶ κύνες, θηρατικαί.

Ἐλατὸν, τοῦ Διὸς ἱερόν, ἡ Δωδώνη. καὶ οἱ ἱερεῖς Ἐλλοί. καὶ ἐλατὸν, ἔλασιν, ἢ ἠλιλισμένον.

Ἔλατρα, πέμματα πρὸς θυσίαν, καὶ πλασσόμενα.

Ἐλατράβιζον, τὸ βωμολοχεύειν καὶ πανουργεῖν, λατραβίζειν ἔλεγον.

Ἐλάτρευον, καὶ ἰλάστρευον, ἐδίωκον.

Ἐλατρεὺς, ὁ τρίτην πύρωσιν ἔχων τοῦ σιδήρου, παρὰ τοῖς μεταλλεῦσιν.

Ἔλατρον, Εὐκράτης ἐν Ῥοδιακοῖς, ἔνδυμα, καταίζωσμα.

Ἔλαττον, μικρὸν, ἧσσον, ἧττον.

Ἐλαττούμενον, λειπόμενον.

Ἐλάττων τριάκοντα χρόνων, ἤγουν ἐνιαυτῶν.

Ἐλαύνει ἐπὶ ἵππου, καὶ νηός. οἷον ἐλαύνω ἵππον, καὶ νῆα. καὶ ἐλαύνω σίδηρον ἢ χαλκὸν, ἢ χρυσὸν, καὶ τοῖχον. ἔστι δὲ καὶ ἐπὶ παντὸς πράγματος εἰς μῆκος ἐκτεινόμενον. ἐκτείνεται τὸ τόξον, ὅταν γεμισθῇ. Ἄλλως.

Ἐλαύνειν γίνεται ἀπὸ τοῦ ἐλάω, πλεονασμῷ τοῦ υ, καὶ ἐπενθέσει τοῦ ν. πεποίηται δὲ ἡ λέξις αὕτη κατὰ Ἡρακλείδην διαλέκτοις τρισί. Βοιωτῶν μὲν γὰρ, ἐλάω, καθὰ καὶ τὸ πεινάω καὶ διψάω, καὶ τὰ ὅμοια. Αἰολέων δὲ ἡ προσέλευσις τοῦ υ, ὡς καὶ ἐν τῷ ψαύω, καὶ χραύω, αὔω. Δωριέως δὲ ὁ πλεονασμὸς τοῦ ν, καθὰ καὶ ἐν τῷ δύνω καὶ θυνῶ.

Ἐλαύνεταί τις τὴν γνώμην κάλλιον, ἢ μαίνεται.

Ἐλαύνετον, ἀντὶ τοῦ ἐπιτείνετε, ἀπὸ μεταφορᾶς ῥηθὲν τοῦ ἐλαυνομένου ἵππου, ἢ σιδήρου.

Ἐλαύνετον, ποιεῖτε, κινεῖτε.

Ἐλαύνοντες, διώκοντες, τύπτοντες. ἐλάσαι γὰρ, τὸ ἐκ χειρὸς πλῆξαι.

Ἐλαύνω σε τῆς χώρας, καὶ ἀπὸ τῆς χώρας, καὶ ἐξελαύνω καὶ ἀπελαύνω, καὶ ἀπωθοῦμαι, καὶ ἀποπέμπω.

Ἐλαύνωσι, θερίζωσι ὄγμον.

Ἐλαύτατον, δεινότατον.

Ἐλάφειον, τὸ τῆς ἐλάφου κέρας καὶ κρέας. καὶ ἐλάφωνος ἀνὴρ ἐπὶ τοῦ δειλοῦ, ἐκ μεταφορᾶς τοῦ ζώου. δειλὸν γὰρ ἡ ἔλαφος.

Ἐλαφηβόλος, ὡς ἐκ μέρους τὸν ἁπλῶς πάντα τὰ ἄγρια βάλλοντα δηλοῖ.

Ἔλαφος, τὸ ζῶον, ἢ διὰ τὴν κουφότητα καὶ τὸ τάχος ἐλαφρῆτις οὖσα, ἢ διὰ τὸ ἕλκειν τοὺς ὄφεις, καὶ ἀναιρεῖν διὰ τῶν μυκτήρων. ἢ ἀπὸ τοῦ ἐλαύνειν τοὺς ὄφεις. ἢ ἀπὸ τοῦ ἕλος, ἔλαφος. ἢ παρὰ τὸ ἕλκειν τοὺς ὄφεις, ἐλοφός τις οὖσα. τούτους γὰρ ἐσθίουσα καθαίρεται φυσικῶς. οὕτω γοῦν οἱ ὄφεις ὅτε ἀφανίζονται, αὕτη τὸ κέρας αὐτῆς προστρίβει εἰς πέτραν. θερμαινόμενον δὲ, ποιεῖ ἀναθυμίασιν, ἧς μεταλαμβάνουσιν οἱ ὄφεις, καὶ ἐξέρχονται τῶν φωλεῶν. ἢ ἐλαφηβόλος, κυνηγὸς ὁ τὰς ἐλάφους βάλλων. καὶ ἐπὶ θηλυκοῦ ἐλαφηβόλος ἡ Ἄρτεμις.

Ἐλαφηβολιὼν, μὴν Ἀθηναίων ἀπὸ τῶν ἐλάφων ὠνόμασται, αἳ τῷ αὐτῷ μηνὶ ἐθύοντο τῇ ἐλαφηβόλῳ Ἀρτέμιδι.

Ἐλάφιαι, οἱ τῶν ἐλάφων ἀστράγαλοι.

Ἐλαφίνης, νεβρός.

Ἐλάφιον, κώνειον.

Ἐλαφοβοσκὸς, εἶδος βοτάνης.

Ἐλαφογενὴς, τῆς ἐλάφου ὁ μυελός.

Ἔλαφον κεραὸν, ἄρρενα. ὁ γὰρ ἄρρην ἔχει κέρατα.

Ἐλάφου τρίχες, οὗτος δοκεῖ βρωθεὶς, πρὸς συνουσίαν ἁρμόζειν.

Ἐλαφρὰ, τὰ μὴ βαθέα ἢ κοῦφα.

Ἐλαφρία, μωρία, ἢ ἡ ὀλιγότης, ἢ ἡ ἁπλότης, ἢ ἡ κουφότης.

Ἐλαφρὸς, ἀβάστακτος, ἢ Ζεὺς ἐν Κρήτῃ. ὁ δὲ ἐλαφρὸς, ἐκ τῆς ἐλάφου παρῆκται, καὶ συγκέκοπται ὁ ἐλαφρός. ξύλον δὲ ἐλαφρὸν εἰπεῖν, οὐκ ἀσφαλῶς ἔχει. τὸ μέντοι πλώοιεν ἐλαφρῶς ἐν Ὀδυσσείᾳ, καλὸν καὶ αὐτό. πρὸς ὁμοιότητα γὰρ ἐλέχθη νήξεως ἐλάφου, κοῦφα καὶ αὐτῆς πλευσάσης, καὶ οὐδὲ δυσχερῶς. δῆλον δὲ, ὅτι σκῶμμά ἐστιν, ὅτε λέγεται ἐλαφρὸς, καθὰ καὶ ὁ κοῦφος, καὶ ὁ κενός.

Ἐλαφρότατοι παρὰ τοῖς παλαιοῖς, πραότατοι. κατ᾽ ἐναντιότητα τοῦ βαρύτατοι, οἱ φορτικώτατοι.

Ἐλάφων, ἄκερως μὲν ἡ θήλεια. ὁ δὲ ἄρρην κερωφόρος, ἢ κερασφόρος, ἢ κεράστης, ἢ εὔκερως, ἢ πλατύκερως, ἢ ὑπέρκερως, ἢ χρυσόκερως, ὁ ὑπὸ Ἡρακλέους ἁλούς. Ὅμηρος, ἀμφ᾽ ἔλαφον κεραόν. καὶ Σοφοκλῆς, κερόεσσαν τὴν Τηλέφου τροφὸν ἔλεξεν. ἔστι δὲ τοῖς ἐλάφοις τὸ χρῶμα ἐπίξανθον, καταστικτον λευκοῖς γράμμασι. πλείω δὲ αἱ θήλειαι τὰ στίγματα ἔχουσι, καὶ μάλιστα τῶν ἐλάφων αἱ θήλειαι νεβροί.

Ἐλάχαινεν, ὡμάλιζεν, ἀφ᾽ οὗ καὶ τὸ λάχανον, ἢ τὸ μεγάλως χαῖνον, ἢ χαῦνον.

Ἔλαχε κλήρου, καὶ κλῆρον Ἀττικῇ διαλέκτῳ. καὶ γενικῇ συντάσσεται. μεταλαγχάνω δὲ τοῦδε, ἀντὶ τοῦ μεταλαμβάνω. καὶ ἔτυχε κλήρου καὶ τιμῆς, γενικῇ μόνῃ.

Ἐλάχηνεν, ὤρυξεν, ἔσκαψεν. ἐκ τοῦ λαχαίνω, τὸ σκάπτω.

Ἐλαχία, μικρὰ, ἢ βαθύγειος, καὶ εὔγειος, καὶ ἐλαχία ἐδάρη, Κρῆτες.

Ἐλαχίζει, πλανᾶται.

Ἐλάχιστος, ὁ ἔσχατος. καὶ ἀπερριμμένος εἰς τὴν γέενναν. ὡς τὸ ἐλάχιστος κληθήσεται. ἐλάχιστος καὶ ὁ ἐπίγειος πλοῦτος, ὁ πιστὸς ἐν ἐλαχίστῳ.

Ἔλαχον, ἐκληρωσάμην, ἐκληρώσαντο.

Ἐλαχὺ, ἀτελῆ, ἢ μικρόν.

Ἔλαψα, διέφθειρα, Κύπριοι.

Ἐλάω, ἐλῶ, ἀντὶ τοῦ ἐλαύνω, Ἕλληνες λέγουσιν. οἱ δὲ Ἀττικοὶ ἀντὶ τοῦ ἐλάσω. Ἀριστοφάνης, ἀλλ᾽ ἐξελῶσ᾽ ἐκ τῆς οἰκίας. μὴ ἐλάσω εἴπῃς, ἢ ἐξελάσω, ἀλλ᾽ ἀντὶ τούτων ἐλῶ, καὶ ἐξελῶ. ὥσπερ ὀλῶ ἀντὶ τοῦ ὀλέσω, ὡς αὐτὸς Ἀριστοφάνης ἐν Πλούτῳ, Ἀπό σ᾽ ὀλῶ κακὸν κακῶς. καὶ καλῶ, ἀντὶ τοῦ καλέσω.

Ἐλῶ, τὸ ἐλαύνω. ἀφ᾽ οὗ ἀπελάτης, ὁ μετὰ ξίφους ἀπελαύνων ἀγέλης ζῶα.

Ἔλγη, πόλις.

Ἐλγόωται, ἐλπίζουσιν.

Ἔλδεται ποιητικὸν, ἐπιθυμεῖ.

Ἔλδεσθαι, τὰ πλείω ἐνέργειαν δηλοῖ. ἔστι δὲ ὅτε παθητικὴν, ὡς ἐν τῷ νῦν τοι ἐελδέσθω πόλεμος, ἀντὶ τοῦ ἀπαγέσθω.

Ἐλδωομένοις προΐοις ἰούλοις. ἐλδωομένους, καὶ γενείοις παχέσιν.

Ἔλδωρ, ἐξ οὗ τὸ ἔλδεται, φροντίζεταί ποτε, καὶ ἕτερον ε, καὶ ποιεῖ τὸ ἐέλδωρ. καὶ ὅλως εἰπεῖν, καὶ ἔλδω δισυλλάβως λέγεται, καὶ ἐέλδω ἐν τρισὶ συλλαβαῖς.

Ἕλε, λάβε, κάτασχε, ἢ ἔλαβεν.

* Ἑλέσθαι, κατ᾽ ἐξαίρεσιν λαβεῖν, ὅ ἐστιν ἐπιλέξασθαι.

Ἐλέα, ὄνομα πόλεως, ἡ πατρὶς Ζήνωνος.

Ἐλέαγνος, φυτὸν θαμνῶδες.

Ἐλεαίρει, τὸ ἐλεεῖ ποιητικώτερον. ἐλεαίρει ἀπὸ τοῦ ἐλεῶ ἐλεαίρω, κατὰ παραγωγὴν, ὡς ἀπὸ τοῦ ἐρίζω ἐριδαίνω.

Ἐλεακάνεα, πλέγματα, κατάκλησις, κρύψις.

Ἐλεαλὴ, θεοῦ ἀνάβασις, ἐν ὑπερηφανείᾳ.

Ἐλεατοὶ, οἱ δειπνοκλήτορες.

Ἐλεάτης, κατὰ μὲν Ἀπολλώνιον, ἐλεατικὸς, ἀπὸ πόλεως Ἐλέας.

Ἐλέας, ὀρνέου εἶδος.

Ἐλεατρὸς λέγεται ὁ μάγειρος, παρὰ τοὺς ἐλεοὺς, οἵ εἰσι μαγειρικαὶ τράπεζαι.

Ἐλεγαίνειν, τὸ παραφρονεῖν. τινὲς τῶν παλαιῶν καὶ τὸ ὅπως δήποτε ἀκολασταίνειν. καὶ τὸ ἐλεγεῖον μέτρον, ἀπὸ τούτου ἐκλήθη.

Ἐλεγεῖα, τὰ ἐπιτάφια ποιήματα.

Ἐλεγεῖαι, ἀμέλειαι.

Ἐλεγηῒς, ἡ θυγάτηρ Νηλέως, τοῦ ἡγησαμένου εἰς Ἰκαρίαν τῆς Ἰώνων ἀποικίας. ἧς τὸ κύριον ὄνομα, Πειρώ φασιν εἶναι. εἴρηται δὲ παρὰ τὸ ἐλεγαίνειν, τὸ ἀκολασταίνειν. διὸ οὐδεὶς αὐτὴν Ἀθηναίων ἠβουλήθη γῆμαι.

Ἐλεγεινὰ, ἐπίπονα, θρηνώδη.

Ἐλεγεινὴ, χαλεπή.

Ἐλεγεῖον μέτρον, πεντάμετρόν ἐστι. πέντε γὰρ χώρας ἐπιδέχεται. τὰς μὲν οὖν τρεῖς, συγκείμενος ἐκ τε δακτύλου καὶ σπονδείου. ἐνίοτε δὲ καὶ ἀμφίμακρον, καὶ παλιμβάκχειον δέχεται, καὶ ἐν πρώτῃ καὶ ἐν δευτέρᾳ μόνῃ χώρᾳ. καθαροὺς μέντοι καὶ τάξει δακτύλου κειμένους. καθαροὶ δέ εἰσιν, ὅταν ἀπαρτίζωνται εἰς μέρος λόγου, καὶ εἰς φωνῆεν, ἢ εἰς συλλαβὴν καθαρὰν λήγωσι, καὶ τὴν ἑξῆς συλλαβὴν ἔχωσιν ἀπὸ φωνήεντος ἀρχομένην, οἷον ἐπὶ μὲν τοῦ ἀμφιμάκρου. ὡς τὸ, οὔτι μοι αἰτίη ἐσσί. ἐπὶ δὲ τοῦ παλιμβάκχου, ὡς τὸ, πλάγχθη ἐπεὶ Τροίης. ἡ δὲ τρίτη χώρα σπονδεῖον μὲν δέχεται.

Digitized by Google

ἡ δὲ τετάρτη, ἀνάπαιστον μόνον δέχεται. ἡ δὲ πέμπτη ἀνάπαιστον, ἢ χορεῖον μόνον. ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβὴ τοῦ στίχου. ἔστι δὲ οὕτω μετρῆσαι τὸν πρῶτον καὶ τὸν δεύτερον πόδα. χρὴ δάκτυλον ἐπιζητεῖν, ἢ σπονδεῖον. ἢ καθὼς προείρηται, ἀμφίμακρον ἢ παλίμβακχον, θεραπευομένους καὶ καθαροὺς ἐν τάξει δακτύλου κειμένους. καὶ μετὰ τὸν ἀπαρτισμὸν τῶν δύο τούτων ποδῶν, χρὴ συλλαβὴν μακρὰν ἐπιζητεῖν, ἀπαρτισμένην εἰς μέρος λόγου. ἢ μετὰ τὴν συλλαβὴν αὖθις εἰς τὸ πέρας τοῦ ἐλεγείου στίχου, μακρὰν, ἢ βραχεῖαν ἐπιζητεῖν. καθὼς προείρηται, ἐπὶ παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία τοῦ στίχου συλλαβή.

Ἐλεγκτὰ, ἐπονείδιστα, ἐλέγχου ἄξια, εὐεξέλεγκτα.

Ἔλεγμον, ἐπαίμον.

Ἔλεγξις, ὀνείδισις, ἀτιμία, ὕβρις, ἢ φανέρωσις τῶν κεκρυμμένων.

Ἐλέγξαι, βασανίσαι, ἐργάσαι.

Ἐλέγξῃς, ὀνείδη περιβάλλεις, ἢ ἐλέγχεις.

Ἔλεγος, ἐκ τοῦ περὶ χρηστομαθείας Πρόκλου. ὁ Ἐπικὸς κύκλος, ἄρχεται μὲν ἐκ τῆς μυθολογουμένης οὐρανοῦ καὶ γῆς μίξεως, ἀφ' ἧς ἑκατόγχειρες γίνονται, καὶ ἑξῆς. διαπεράτεται δὲ τά τε ἄλλως περὶ Θεῶν Ἕλλησι μυθολογούμενα, καὶ εἴπου τι καὶ πρὸς ἱστορίαν ἐξαληθίζεται. περατοῦται δὲ ἐκ διαφόρων ποιητῶν συμπληρούμενος, μέχρι Ὀδυσσέως. ὧν καὶ ὀνόματα καὶ πατρίδας φησὶν ὁ αὐτός. σπουδάζεσθαι δὲ τὰ Ἐπικοῦ κύκλου ποιήματα, οὐχ οὕτω διὰ τὴν ἀρετὴν, ὡς διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῷ πραγμάτων. τὴν δὲ ἐλεγείαν συγκεῖσθαι μὲν, ἐξ ἡρώου καὶ πενταμέτρου, ἁρμόζειν δὲ, τοῖς κατοιχομένοις, καὶ εὐλογεῖσθαι μὲν ὑπ' αὐτοῦ τούτους. οἱ μέντοι μεταγενέστεροι, ἐπὶ διαφόροις ὑποθέσεσιν αὐτῷ ἀπεχρήσαντο. τὸ δὲ ἔπος εὗρε, Φημονόη ἡ Ἀπόλλωνος προφῆτις, ἑξαμέτροις χρησμοῖς. ὡς ἐπεὶ τὰ πράγματα εἶπε, ἔπος τὸ ἐκ μέτρων ἐκαλεῖτο. ἢ διὰ τὴν κατασκευὴν, καὶ τὴν ἄγαν ὑπεροχὴν ἐν τοῖς ἑξαμέτροις θεωρουμένην. τὸ κοινὸν ὄνομα παντὸς λόγου τὸ ἑξάμετρον ἰδιώσατο. καθάπερ Ὅμηρον τὸν ποιητὴν, καὶ Δημοσθένην τὸν ῥήτορα. ἐπὶ καὶ τὰ τρίμετρα ἔπη προσηγόρευσαν. ἢ ὡς Ἀριστοφάνης, τοῖς σοῖς ἐλέγοις, ἀντὶ τοῦ τοῖς θρήνοις. εἴρηται δὲ ἀπὸ τοῦ ἒ ἒ λέγειν. Δίδυμος δέ φησιν, ὅτι αἱ πρὸς αὐλὸν ᾀδόμενοι θρῆνοι. τὸν γὰρ αὐλὸν πένθιμον ὑπειλῆφθαι.

Ἐλέγχεα ποιεῖ, τὴν τῆς ἐλεγχείης διὰ διφθόγγου γραφήν. ὡς καὶ ἔγχεα, τὴν τῆς ἐγχείης. τὸ δὲ ἀκλεέας, τοὺς ἀκλεέας δηλοῖ, συναιρεθὲν συνήθως. διὸ καὶ προπερισπᾶται διὰ τὸ συνεστάλθαι τὴν λήγουσαν.

Ἐλεγχέας παρ' Ὁμήρῳ, τοὺς ὑβριστοὺς, καὶ ἀξίους ἐλέγχου δηλοῖ. οὗ εὐθεῖα ὁ ἐλεγχὴς, καὶ κλίνεται ἐλεγχέος. ἐξ οὗ θηλυκὸν ἐλεγχείη, ὡς τὸ ἔγχος ἔγχεος ἐγχείη. παρακαλεῖ δὲ καὶ δειλίαν ὁ ἔλεγχος, ἐοικὼς ἀπὸ τοῦ ἐλεῖν τὸ ἔγχος γίνεσθαι. ψόγος γὰρ ἦν ἀνδρὶ Ἕλληνι, ἡ τοῦ ἔγχους μὲν ἀπέλασις, ἔστι περιφρόνησις. φροντὶς δὲ τῶν ἰῶν, ἤγουν τῶν ὀϊστῶν. ὅθεν καὶ ἐφ' ὕβρει ἔθηκεν ἴσως τὸ, ἰόμωροι, τοξεύειν οὐ πάνυ ἐν πολέμῳ ἤθελον οἱ ἥρωες. διὸ καὶ ἄμφω ἀντὶ τοῦ παρέθηκε, τὸ ἰόμωροι. ὡς μὴ δέον μήτε ἰομώρους εἶναι, μήτε ἐλεγχέας τοὺς ἥρωας. εἰκὸς δὲ καὶ παρὰ τὸ ἐλεῖν ἔγχος, γενέσθαι τὸν ἔλεγχον, ὡς πολλῶν ὅπλων διακρινόντων τὰ στασιαζόμενα.

Ἐλίγχειν, ἐπὶ ὕβρεως παρ' Ὁμήρῳ τίθεται, δῆλον. καθὰ γοῦν ἐλέγχεα ὀνομάζει τοὺς Ἕλληνας, καὶ ἐλεγχέας. καὶ Πολυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει φησί. καὶ τὰ δ' ἐλέγχεα πάντα λέλυται. καὶ ἐλίγχειν, ἀντὶ τοῦ ὀνειδίζειν.

Ἐλεγχέες, ὀνείδιστοι.

Ἐλεγχθεῖσαι, αἰσχυνθεῖσαι.

Ἐλέγχιστος, ἐπονείδιστος.

Ἐλέγχομεν, κακολογοῦμεν. καὶ ἔλεγχος, ἡ αἰσχύνη.

Ἔλεγχος δὲ, ἐπὶ αἰσχύνης τίθεται. ἐνίοτε καθὰ καὶ ἡ ἐλεγχεία. καὶ τὸ ἐλέγχειν δὲ, ἀντὶ τοῦ αἰσχύνειν. ὡς ἐν τῷ μὴ σύγε μῦθον ἐλέγξῃς. καὶ ἔλεγχος, ἐλέγχω, τὸ κεκρυμμένον ἀπότημά τινος εἰς φῶς ἄγω. καὶ ἁπλῶς τὸ, τὸ ἀληθὲς φανερῶ. καὶ κάκ' ἐλέγχεα, ἤγουν ὀνείδη. γαστέρες, τῆς τροφῆς μόνης φροντίζοντες.

Ἐλέγχω καὶ ἐλέγχομαι, ἤλεγμαι, καὶ ἐλήλεγμαι.

Ἐλεδενὸς, ὀδεσμός.

Ἐλεδόνη, εἶδος πολύποδος, ἔχουσα μίαν κοτυληδόνα, ἤτοι πλόκαμον. καὶ ἔστιν ἐπταίπους, ὥς φησιν Αἰλιανός.

Ἐλεεῖ, οἰκτείρει.

Ἐλεεινὸν νέκυν, τὸν Πάτροκλον λέγει Ὅμηρος, τὸν ὑπὸ πάντων οἰκτιζόμενον. σημαίνει δέ ποτε ἡ λέξις καὶ τὸν μήπω μὲν ἠλεημένον, δεόμενον τοῦ ἐλεηθῆναι.

Ἐλεεινῶς, οἰκτρῶς, ἀθλίως.

Ἐλεειστὴ, λεπτή.

Ἐλεεῖς, δῆμος τῆς Ἀττικῆς. ὠνόμασται δὲ ἀπὸ τοῦ ἐν αὐτῇ ἕλους. ἑλώδης γὰρ ὁ τόπος. οἱ γὰρ δῆμοι τῶν Ἀθηναίων, ἢ ἀπὸ τῶν τόπων, ἢ ἀπὸ τῶν παρακειμένων αὐτοῖς, ἢ ἀπὸ τῶν ἐν αὐτοῖς φυτῶν, ἢ ἀπὸ τῶν ἐν αὐτοῖς χειροτεχνῶν, ἢ ἀπὸ τῶν οἰκησάντων ἀνδρῶν καὶ γυναικῶν.

Ἐλεηλάτουν, ἠφάνιζον.

Ἐλεημοσύνη, ἑκούσιος λύπη, ἐπ' ἀλλοτρίοις κακοῖς παριστάμενη. καὶ ἕξις ἀρίστη ψυχῆς.

Ἐλεήμων, ἐν Κύπρῳ καὶ Χαλκηδονίᾳ, Ἀφροδίτη.

Ἐλέηρεν, ἠλέησεν.

Ἐλεήσατο, ἐξῃχμαλώτευσεν.

Ἐλεητὺν, τὸ ἔλεον, Αἰολικῶς λέγει Ὅμηρος. καὶ ὄπιδα τὴν εἰς τὸ μέλλον θείαν ἐπιστροφὴν, ἐν τῇ Ὀδυσσείᾳ.

Ἐλεθὴρ, ὕδωρ τὸ ὑπὸ τοῦ ἡλίου τεθερμασμένον. παρὰ τὴν ἕλην, τὴν θερμασίαν. καὶ τὸ θέρω, τὸ θερμαίνω.

Ἐλεθαιρομένη, ἀκολασταίνουσα.

Ἐλεία, ἢ ἕλη, ἡ τοῦ Ἡλίου αὐγή. ἢ πόμα, ἢ ὕδωρ ἅλας ἔχον. καὶ εἶδός τι μέλους. καὶ Ἥρα ἐν Κύπρῳ. καὶ Ἄρτεμις ἐν Μεσσήνῃ.

Ἐλείας παρ' αὐλῶνας, παρὰ τῷ Ἀριστοφάνει, ἑλώδεις τόπους στενοὺς, τοὺς ἐλείους στενοὺς τόπους, ἀπὸ τοῦ ὁ ἐλείας.

Ἐλείη, ἀγρία νόσος.

Ἐλειήτης, ὁ λέων. ἐσχατιὴν ὑπὸ πέζαν ἐλειήταο λέοντος. εἴρηται παρὰ τὴν ἕλην τὴν θερμότητα. ἢ λέγεται καὶ εἴλη, πλεονασμῷ τοῦ ι.

Ἐλειθερεῖ, εὐδία.

Ἐλειθερεῖς, ἐν ἡλίῳ τιθέμενοι, ἢ θερμοί.

Ἐλεῖν, λαβεῖν, ἀνελεῖν.

Ἐλεινύειν, στρατεύεσθαι.

Ἐλειογενὲς, ὄρυζα.

Ἐλειόμενοι, οἱ ἐν τοῖς ἕλεσι διατρίβοντες. τῖφος γὰρ ἑλώδης τόπος.

Ἐλειονόμος, ἐν τοῖς ἕλεσι νεμόμενος.

Ἐλειόριζον, κύπειρος.

Ἐλειὸς, εἶδος ἱέρακος.

* Ἔλειοι μῦαι, εἶδος τι μυῶν οὕτω καλούμενον, παρὰ τὸ ἕλος.

Ἔλειος, ὁ κάθυγρος καὶ σύνδενδρος τόπος. καὶ ὄρνις, καὶ ὄνομα ὄρους.

Ἐλειὸς. Ἀρίσταρχός φησι, γίνεσθαι ἐν τοῖς φρυγάνοις, ὡς σαύρας. ὁ δὲ Καλλίστρατος, σκωληκοειδές τι, εἶναι δὲ ἐν ταῖς δρυσίν. οὐκ ἔστι γὰρ ζῶον τετράπουν ὁ ἐλειὸς καλούμενος μῦς, ὁ σκιουργός.

Ἐλείψασκον. λείπω λείψω, ἔλειψα, ἔλειψαν πληθυντικὸν, ἐλείψασκον Ἰωνικῶς.

Ἐλελεῦ, πολεμικὸν ἐπίφθεγμα, μετά τινος ἐμμελοῦς κινήσεως, καὶ ἀντὶ τοῦ φεῦ.

Ἐλελήθη, μέσος ὑπερσυντέλικος, ἐκ τοῦ λήθω.

Ἐλελιζομένη, σειομένη.

Ἐλέλικτο. ἑλίσσω, μέλλων ἑλίξω. παρακείμενος, εἷλιχα. παθητικὸς εἵλιγμαι, καὶ ἐλέλιγμαι. ὁ ὑπερσυντέλικος εἱλίγμην, καὶ ἐληλίγμην ἐλήλιξο ἐλήλικτο. τροπῇ τοῦ η εἰς ε, ἐλέλικτο. σημαίνει δὲ, τὸ συνέστραπτο.

Ἐλελιξάμενος παρ' Ὁμήρῳ, τὸ ὑγρὸν δηλοῖ τοῦ δράκοντος, καὶ εὐλύγιστον, καὶ εὐπερίστροφον, καὶ ὡς εἰπεῖν οὐ δυσέλικτον, ἀλλὰ εὐέλικτον. διὸ καὶ διδιπλασίασε τὸν ἑλιγμὸν, ὃ γίνεται ἐπὶ τοῦ μέγαν δ' ἐλέλιξεν ὄλυμπον.

Ἐλελιξάμενος, ἐπιστραφείς. καὶ ἐλελίχθησαν, ἀντὶ τοῦ συνεστράφησαν.

Ἐλέλιξεν, διέσεισεν. ἢ ἐλέλιξεν, ἀντὶ τοῦ ἐκίνησεν, ἔσεισε. παρὰ τὸ ἐλελίζω. ἢ ἑλίσσω, τὸ συστρέφω. μέλλων, ξω. καὶ ἐλέλιξεν ὄλυμπον. ἔθος δὲ τῷ ποιητῇ τοιαῦτά τινα στρατολογεῖν, ἐπὶ τῶν θείων κινήσεων, κατ' ἔννοιαν σωματικωτέραν. ὡς γὰρ ἐν τοῖς κάτω μέγα σῶμα κινούμενον σαλεύσῃ ἄν ποτε τὸ ὑποκείμενον, οὕτω δῆθεν ἐπὶ τῶν ἀνωτέρων γενήσεται. διὸ καὶ ἡ Ἥρα ἐν τοῖς ἑξῆς σεισαμένη ἐν τῷ θρόνῳ μέγαν ἐλέλιξεν ὄλυμπον. ἐλέλιξεν, ἐπαινεῖται δὲ ἐκ φωνήσεως τῶν συλλαβῶν, δηλοῦν τὸ ταχὺ τῆς ὀλυμπίας κινήσεως.

Ἐλελίξω, ἐλελίσσω, τὸ συστρέφω, ἀπὸ τοῦ εἰλῶ εἰλίσσω. καὶ ἀφαιρέσει, ἢ συστολῇ τοῦ ι, ἑλίσσω. οὕτω κατὰ ἀναδιπλασιασμὸν γίνεται ἐλελίσσω, ὁ μέλλων ἐλελίξω.

Ἐλέλιχθεν ποιητικῶς, ἐλελίχθησαν κοινῶς. οὐ κατὰ τὸ φὰν ἡ συνήθης κίνησις. ὡς γὰρ φὰς φάντος φὰν, τὸ τρίτον τῶν πληθυντικῶν. οὕτως ἐλελιχθέντος, ἐλέλιχθεν.

Ἐλελίχθημα, σεισμόν.

Ἐλελίχθησαν, εἱλίθησαν, συνεστράφησαν, ἐστυγνάχθησαν, ἀπὸ τοῦ ἑλίσσω. καὶ ἐλέλιχθεν, ἀντὶ τοῦ ἐπεστράφησαν.

Ἐλελίστροφε, εὔστροφε, ὁλόστροφε.

Ἐλελίσφακος, πόα τις ὁμοία δικτάμῳ.

Ἐλεμοσπέρμα, ὅπερ ἑψῶντες Λάκωνες ἐσθίουσιν.

Ἕλεν, ἀφεῖλεν, ἐνίκησεν.

Ἑλένειον, βοτάνη ἡ ἐν Ἀλεξανδρείᾳ γινομένη. εἴρηται, ὅτι ἐκ τῶν δακρύων τῆς Ἑλένης ἀνεφύη. ὅτε ἐπὶ Κανώβῳ τῷ κυβερνήτῃ Μενέλαος ἐδάκρυσεν, ὑπὸ αἱμορροΐδων ἀποθανόντι.

Ἑλένια, ἑορτὴ ἀγομένη ὑπὸ Λακώνων.

Ἑλένναζεν, ἐχλεύαζεν, ὕβριζεν.

Ἑλένιος, ἀγγεῖον χωροῦν τέσσαρτον.

Ἑλένη καὶ Ἕλενος, ὀνόματα κύρια. λέγεται δὲ Ἑλένη, παρὰ τὸ πολλοὺς ἑλεῖν τῷ κάλλει. καὶ Ἑλένη, λαμπὰς, δετή.

* Ἑλένη, νῆσος τις πρὸς τῇ Εὐβοίᾳ.

Ἐλενοὶ, κλήματα τὰ τῶν ἀμπέλων.

Ἐλεοντὺν, ἔλεον.

Ἐλεξάτην, ἐκοιμήθησαν, δυϊκῶς.

Ἔλεξεν, εἶπεν, ἠρίθμησε, κατέκλινεν, ἔπλεξεν.

Ἐλέξω, διελογίσω.

Ἐλεόθρεπτον σέλινον, τρόπος ἐστὶν ἐτυμολογίας. σέλινον γὰρ σύγκειται ἀπὸ τοῦ σεύεσθαι ἐν ἕλει. εἴη ἂν ἀληθῶς ἐλεόθρεπτον, ὡς ἐπὶ ἕλους τρεφόμενον. ἔστιν οὖν ἐτυμολογία σελίνου τὸ ἐλεόθρεπτον. ἄλλοι δέ φασι τὸ ἔλειον σέλινον τοῦτο, παρὰ τὸ πετροσέλινον. στραγγουρῶσι δὲ συμβάλλεται, καὶ ὠφελεῖ τοὺς ἀργοῦντας τῶν ἵππων. Ἰστέον δὲ, ὅτι τὸ μὲν ἕλος δασύνεται, ἀφ' οὗ καὶ οἱ εἵλωτες. τὸ μέντοι ἐλεόθρεπτον ψιλοῦται, διὰ κανόνα τὸν λέγοντα, ὅτι τὸ ε πρὸ τοῦ λ τρίτης συλλαβῆς καθαρευούσης, ψιλοῦσθαι θέλει. τὸ δὲ ἐστάκεσαν δασύνεται, ὡς συγκοπὲν ἀπὸ τοῦ ἑστήκεσαν.

Ἐλεόκοποι, οἱ τὰ ἕλη κόπτοντες, τοῦ ε παρεμβεβλημένου, ὡς ἐν τῷ, ἐλεοθρέπτῳ σελίνῳ παρ' Ὁμήρῳ.

Ἐλεοῖς, καὶ εἰλεοῖς, ταῖς μαγειρικαῖς τραπέζαις. κατὰ γένος οὖν ἀρσενικὸν, ἢ οὐδέτερον: ὡς δηλοῖ παρὰ τῷ κωμικῷ, τὸ κάθελε τὸ ἐλεόν. ἐκ τούτου δὲ ἐλέατρος παρὰ τοῖς ὕστερον, ὁ δαιτρός. ἐδέατρος μέντοι, διὰ τοῦ δ, ὁ προγεύστης. δῆλον δὲ, ὅτι ὁ ἐλεὸς, καὶ εἰλεὸς λέγεται, ἐπενθέσει τοῦ ι.

Ἐλεὸν, τὸ μαγειρικὸν τραπέζιον. ἔλεος, ἡ ἐλεημοσύνη. ἐλεεινὸς, ἄξιος ἐλέους. καὶ ἐλεγεῖον, εἶδος μέτρου.

Ἐλεὸς, γίνεται ἀπὸ τοῦ ἕλος ἐλεὸς, εὕρηται δὲ καὶ οὐδέτερον. ὡς δηλοῖ τὸ κάθελε τὸ ἐλεὸν, παρὰ τῷ κωμικῷ. πλεονασμῷ δὲ τοῦ ι γίνεται καὶ εἰλεός.

Ἔλεος, ἀρσενικῶς ἡ ἐλεημοσύνη. ἢ πάθος ἐπὶ τοὺς παρ' ἀξίαν τεταπεινωμένους, παρὰ τῶν συμπαθῶς διατιθεμένων γινόμενον. ἢ λύπη ἐπὶ τοῖς ἀδικοῦσιν ἀναξίως κακοπαθεῖν. καὶ ἔλεος, οἶκτος. ἕλεος δὲ δασυνόμενον, σημαίνει τοῦ ἕλους τόπου καὶ καθύγρου. Ἄλλως.

Ἔλεος,

Digitized by Google

Ἔλεος, συμπάθεια συμφορᾶς. ἢ ἑκούσιος λύπη ἐπ' ἀλλοτρίοις κακοῖς συνισταμένη. ἢ ἡ ἐπὶ τῶν δυσφορούντων ἐπί τισιν ἀνιαροῖς ἀγαπητικὴ συμπάθεια, ἢ συνδιάθεσις.

Ἐλέου βωμὸς, Ἀθήνησιν.

Ἐλεοῦσα, νῆσος πλησίον Ῥόδου, ὅτι Ἀθηναῖοι βαρεῖς φόρους εἰσπράττοντες Ῥοδίους, τῶν μὴ διδόντων τὰς θυγατέρας.

Ἐλεπόδιον, εἶδός τι βαναύσου.

Ἐλέποκες, ἰχθὺς, ὅμοιος φυκίδι.

Ἐλεπόλεις, μηχανήματα, λιθοβόλα ὄργανα, δι' ὧν αἱ πόλεις ἁλίσκονται.

Ἐλέπτυν, οἷον ἐλέπιζον, ἔτυπτον.

Ἔλερρα ἔργα, φόνια, χαλεπά, κακά.

Ἑλέσθαι, θελῆσαι, ἐκλέξασθαι.

Ἕλεσθε, λάβετε, παρασκευάσασθε.

Ἑλέσθω. Ὅμηρος, αὐτὸς ἑλέσθω, ταυτόν ἐστι τῷ ἐκλεξάσθω, ἐπικρινάτω, ἐπιλεξάσθω.

Ἐλεπίδας, τινὲς τὰς ἑλώδεις καὶ πηλώδεις τόπους λέγουσιν. ἄμεινον δὲ, τὰς πετρώδεις παρὰ τὸ λέπεσθαι ὑπό τε τοῦ ἡλίου, καὶ ἀνέμου, καὶ ὑετοῦ. ὅθεν καὶ λέπη, τὰ ἀκρωτήρια τῶν ὀρῶν. Εὐριπίδης, καὶ Κιθαιρῶνος λέπας.

Ἐλέσταιον, ἔπαιον, ἐτάπεινον.

Ἑλετὴ, αἱρεθῆναι δυναμένη, ὅ ἐστι προχειρισθῆναι. καὶ ἑλετὸν, ληπτὸν, αἱρετόν.

Ἕλετην, εἷλεν, ἔλαβον, ἀπέκτεινεν, δυϊκῶς.

Ἕλευ, ἤγουν λάβε, ποιητικῶς λέγει. ὡς τὸ, σύ γε ἕλευ ὄμβριμον ἔγχος. τὸ δὲ εἵλετο, μετὰ προθέσεώς φησιν, εἰπὼν, ἀνείλετο χάλκεον ἔγχος.

Ἐλεύθερα, ἀδόλωτα.

Ἐλεύθεραι αἶγες ἀρότρων, παροιμία ἐπὶ τῶν βάρους τινὸς, ἢ κακῶν ἀπηλλαγμένων.

Ἐλευθερία ἐστὶν, χρημάτων ἁπλὴ δόσις. ἢ ἀρετὴ ψυχῆς εὐδαπάνητος εἰς τὰ καλά. ἢ ἐλευθερία ἐστὶν, ἡγεμονία βίου. αὐτοκράτεια ἐπὶ παντὶ, ἐξουσία τοῦ καθ' ἑαυτὸν, ἐν βίῳ ἀφειδία, ἐν χρήσει καὶ ἐν κτήσει ἐλευθεριότης.

Ἐλευθέριος Ζεὺς λέγεται, διὰ τὸ τοὺς ἐξελευθέρους, τὴν στοὰν οἰκοδομῆσαι τὴν πλησίον αὐτοῦ. ὁ δὲ Δίδυμος φησιν, ὅτι ἐλευθέριος ἐκλήθη, διὰ τὸ τῶν Μηδικῶν ἀπαλλαγῆναι τοὺς Ἀθηναίους. ὅτι δὲ ἐπιγέγραπται μὲν σωτὴρ, ὠνομάζετο δὲ ἐλευθέριος, δηλοῖ καὶ Μένανδρος.

Ἐλεύθερόν ἐστι, τὸ ἄρχον αὐτοῦ. ἢ ἐλεύθερον ἦμαρ, τὴν ἐλευθερίαν περιφραστικῶς. καὶ ἐλεύθερον ὕδωρ ἐν Ἄργει, ἀπὸ τῆς συνεργείας. ἀφ' ἧς κρήνης πίνουσιν οἱ ἐλευθερούμενοι τῶν οἰκετῶν, διὰ τὸ καὶ τὸν κέρβερον κύνα ταύτῃ διαδρᾶναι, καὶ ἐλευθερωθῆναι.

Ἐλεύθερος, ὁ μὴ ὑπὸ δουλείας κατεχόμενος. ἀπελεύθερος δὲ, ὁ ἐπὶ φαυλίᾳ. ᾧ ἐναντίον ὁ ἐλευθέριος. ἢ ἐλεύθερος, ὁ σπουδαῖος μόνος, οἱ δὲ φαῦλοι δοῦλοι. καὶ ἐλεύθερος, παρὰ τὸ ἐλεύθειν, ὅπου ἐρᾷ.

Ἐλευθεροστομῶ, ἀμεταβάτως. καὶ ἐλευθεροστομῶ, παρρησιάζομαι.

Ἐλευθερῶ, ἀπαλλάττομαι, λυτροῦμαι, λύω, ῥύομαι.

Ἐλευθερῶ σε τῆς δουλείας, καὶ ῥύομαι, καὶ λυτροῦμαι, καὶ ἀπαλλάττω.

Ἐλεύθω, παραγίνομαι, παρὰ τὸ κέλευθος, ὃ σημαίνει τὴν διὰ θαλάσσης ὁδὸν, γίνεται κελεύθω, καὶ ἀποβολῇ τοῦ κ ἐλεύθω, ὁ μέλλων ἐλεύσω, ὁ ἀόριστος ἤλευσα, ὁ δεύτερος ἤλυθον.

Ἐλευσίαν, τὴν Βρυωνίαν.

Ἐλευσείω, ἥσω.

Ἐλεύσεως, ἀφίξεως.

Ἐλευσίνια, Ὑπερίδης ἐν τῷ ὑπὲρ Καλλίππου. τοῖς νικῶσι τὰ Ἐλευσίνια ἐδίδοτο ἆθλον. ὠνομάσθη δὲ ἡ πόλις Ἐλευσὶς, ἀπὸ τοῦ Ἐλευσίνου Ἑρμοῦ.

Ἐλευσὶς, διὰ τὴν ἀπὸ Δημήτερος ἔλευσιν. ἐκεῖ γὰρ εὗρε τὸν καρπὸν ἐλθοῦσα, παρὰ τὸ ἐλεύθω ἐλεύσω Ἐλευσίς. ἔστι δὲ πολὺ πλῆθος Ἀθηναίων. ὡς ὁ Θεολόγος, Οἶδεν Ἐλευσὶς ταῦτα. ἢ ὅτι παρ' αὐτῇ κατέλυσεν ἡ Δημήτηρ, ἐπὶ ζήτησιν πορευομένη τῆς θυγατρὸς αὐτῆς, ἢ ἀπὸ Ἐλευσίνου τοῦ Ἑρμοῦ. καὶ Ἐλευσίνια, ἑορτή. καὶ τοῖς νικῶσι τὰ Ἐλευσίνια, ἆθλον ἐδίδοτο.

Ἐλεύσομαι, ἔρχομαι, ἐπανέλθω.

Ἐλεφαίρετο, ἐπλανᾶτο, ἐβλάπτετο, ἠπατᾶτο. ἐλεφαίρω κυρίως, τὸ ταῖς ἐλπίσιν ἀπατῶ, καὶ βλάπτω. ὁ ἀόριστος ἐλέφηρα, ὁ μέσος ἐλεφηράμην, ρω, τη. ἡ μετοχὴ ἐλεφηράμενος.

Ἐλεφαιρόμενοι ὄνειροι, οἱ ψευδεῖς καὶ παραλογιζόμενοι, καὶ ἀπατῶντες, καὶ ἐλπίσαι μόνον ποιοῦντες. ἐντεῦθεν γὰρ ἐλεφαίρω, ὡς οἷον εἰπεῖν ἐλπαίρω. οὗ χρῆσις ἐν Ἰλιάδι, οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων, ὅ ἐστιν ἀπατήσας, βλάψας. ἐντεῦθεν ὁ Ἐλπήνωρ, καὶ ὁ Ἐλεφήνωρ.

Ἐλεφαίρω, κεῖται ἐν τῇ Ὀδυσσείᾳ, ἐπὶ τοῦ ἐλπίσιν ἀπατᾶν. ὡς ἀπὸ τοῦ ἔλπω ἐλπαίρω. ἐν τῇ Ἰλιάδι ἐπὶ τοῦ ἁπλῶς βλάπτειν, ὡς τὸ, ἐλεφηράμενος Τυδείδην Ἀπόλλων. οὗ τὴν βλάβην ἡ Ἀθηνᾶ θεραπεύει, διδοῦσα ἑτέραν μάστιγα τῷ Διομήδει.

Ἐλέφαντα λέγει Ὅμηρος, τὸ ἐλεφάντινον ὀστοῦν, τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος. ᾧ τρόπῳ, καὶ βοῦς τὸ δέρμα, ἡ βύρσα δηλαδή. καὶ παρὰ Σοφοκλεῖ, γέλωτι φαιδρὸν κάρα, ἤτοι πρόσωπον. τινὲς δὲ ἀναγινώσκουσιν ὀξυτόνως ἐλεφαντὰ, ὡς τὰ καλά. ἵνα λέγῃ τὰ ἐλεφάντινα, Ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνή. οἱ δὲ λευκὰ ἔρια, καὶ ῥυπὸν τρεῖς χόας χωροῦν. ἔνιοι δὲ καὶ τοὺς ὀδόντας, καὶ τὸ σωματικὸν πάθος.

Ἐλεφαντίασις, εἶδος λέπρας.

Ἐλεφαντίνη, ἡ Αἰγυπτία. καί φησιν Ἀπίων ὀνυχίνην χρὴ λέγειν. ὅτι καθάπερ ὄνυξ ἀφαιρεθεὶς ἐπιβλαστάνει διώκων αὔξήσει τὴν ἀφαίρεσιν, οὕτως ὁ Νεῖλος ἀναλισκόμενος εἰς τὰς ἀρούρας τοῖς δαπανωμένοις, ἐπαναχεῖται καθ' ἕκαστον ἔτος ἀναλισκόμενος, καὶ πάλιν αὐτὰ πελαγίζων. τὸ ἐθνικὸν Ἐλεφαντῖνος.

Ἐλέφας, εἶδος ζώου. ἢ ἐλέφας ζῶον, καὶ τὸ ὀστοῦν αὐτοῦ.

Ἐλεφῆραι, βλάψαι, ἀπατῆσαι.

Ἐλεφηρέα, ἢ βάψαν, ἢ βλέφαρα.

Ἐλέχθη, ἠριθμήθη.

Ἔλεψε, περιελέπισεν, ὅ ἐστιν ἔγλυψε, καὶ ἐκάθηρεν, ἀπὸ τοῦ λέπω.

Ἐλεῶ, οἰκτείρω, κατοικτείρω, φείδομαι, οἰκτίζομαι. ἢ ἐλεῶ κατὰ μὲν τοὺς Ἀττικοὺς, πρώτης συζυγίας τῶν περισπωμένων, ἐλεεῖς. κατὰ δὲ τοὺς κοινοὺς, δευτέρας. καὶ γίνεται παρὰ τὸ ἔλεος.

Ἐλεὼν κατά τινας, ἀπὸ Ἐλεῶνος ὠνόμασται, υἱοῦ Ἐτεωνοῦ, παρ' Ὁμήρῳ ἐν καταλόγῳ. καὶ Ἐλεὼν, πόλις τῆς Βοιωτίας. καὶ θάμνος, καὶ ὄφις, ὃν ἔνιοι σκυτάλην καλοῦσιν.

Ἐλεώτερον, ἐλεεινότερον.

Ἕλη, ἡ θερμασία. καὶ ἕλη, συνδενδροι τόποι.

Ἕλη τυφλὰ, τὰ ἀφεγγῆ.

Ἐληγάτευσεν κατὰ Ῥωμαίους, ἀπένειμεν, διώρθωσεν ἀναγνούς.

Ἐληγμένος. οἱ μετ' Ὅμηρον, ἐληγμένους, ἐροῦσιν ἂν, τοιαύτῃ συμπαίξει χαίροντες. ἔστι δὲ τὸ μὲν ἐληγμένος, ἀντὶ τοῦ ἔπαυσε. τὸ δὲ ἐληγμένους, ἀντὶ τοῦ ἐπαύσατο. ἐλήγηριν Δήμητρα λέγουσι, διὰ τὸ ὑπὸ τοῦ ἡλίου ἕλης γηρεῖν, ἤτοι διὰ τὸ ξανθίζειν. οὕτω καλεῖται ὁ Τρωϊκὸς Ξάνθος. ἢ ὅτι Ἀφροδίτη πρὸ τῆς κρίσεως ἐν αὐτῷ λουσαμένη, ξανθὰς ἔσχε τρίχας. ἀληθερὲς, τὸ ὑπὸ τοῦ ἡλίου τεθερμασμένον.

Ἐλήθετο, ἐπελάθετο.

Ἐληΐζοντο, ἐλῃστεύοντο, ἢ ἠφανίζοντο.

Ἐληΐσατο, διήρπασεν, ἀφείλατο.

Ἐλήκτευσε κατὰ Ῥωμαίους, ἀναγνοὺς διόρθωσεν.

Ἐληλακότες, διαπεράσαντες, ὁδεύσαντες.

Ἐλήλακεν, ἐλήλυθεν.

Ἐληλάμενον, ἀντὶ τοῦ κεχαλκευμένον, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐληλάμενος, δεῖ γράφειν προπαροξυτόνως, ὡς ὑπάμενος. ἐπειδὴ γὰρ ἐληλασμένος καὶ ὑπασμένος ἦσαν, ἔπαθον δὲ τὴν τοῦ σ ἀποβολὴν, διὰ τοῦτο δὴ καὶ περὶ τὸν τόνον ἐκαινοτομήθησαν. ὥσπερ καὶ ἄσμενος, ἠσμένος ὂν, διὰ τὸ πάθος τὴν τοῦ η εἰς α τροπὴν, ἀνεβίβασε τὸν τόνον.

Ἐληλάμενος, ἀντὶ τοῦ κεχαλκευμένος. ἀπὸ τοῦ ἐλῶ, ἤλακα καὶ ἐλήλακα, Ἀττικῶς. ὁ παθητικὸς ἐλήλασμαι. ἡ μετοχὴ ἐληλασμένος, καὶ ἀποβολῇ τοῦ σ, ἐληλάμενος.

Ἐλήλαται, συνέχεται. καὶ ἐλήλατο, ἀντὶ τοῦ ἐνεπάγη.

Ἐλήλατο, διεληλύθει, ἐπέπηκτο.

Ἐλήλατο, ταυτόν ἐστι τῷ διῆλθεν.

Ἐλήλατο ἔγχεα ἐπὶ σαυρωτῆρος, δηλοῖ μὲν τὸ ἐπεπήγει, καὶ ἄλλως δὲ τὸ ἐλᾶν. ἐνταῦθα τὴν εἰς ὕψος ἀνάτασιν δηλοῖ, ὡς καὶ ἐπὶ τῆς ἐλάτης τοῦ φυτοῦ.

Ἐληλεγμένον, κατηχυμένον.

Ἐληλέδαται. γίνεται ἐκ τοῦ ἐλήλαται παθητικοῦ παρακειμένου, τὸ ἐληλέδαται. ἐπενετεθέντων πρὸ τοῦ α τῆς παραληγούσης τοῦ ε καὶ τοῦ δ. ὁμοίως τῷ ἀκηχέδαται, ἤγουν λελύπηνται.

Ἔληξεν, ἐπαύσατο.

Ἔληται, πορθήσηται.

Ἐλθεῖν, τὸ γυμνῇ τῇ παρρησίᾳ χρήσασθαι. παρεισελθεῖν δὲ, τὸ μετ' ἄλλου πλασαμένου συνεισελθεῖν.

Ἔλθη, ἀντὶ τοῦ ἐλθέτω.

Ἔλθοι καὶ ἵκοιτο ἐς πατρίδα γαῖαν, διττολογία ἐστὶν ἐννοίας μιᾶς.

Ἐλθοῦσα, ἀπελθοῦσα.

Ἔλθωμεν, αὐθυπότακτον.

Ἑλικάων, τὸ ε πρὸ τῆς λι συλλαβῆς δασύνεται. τὸ δὲ ἑλικμῶντο, ψιλοῦται. τὸ δὲ ἑλικάων, κλίνεται ἑλικάονος. τὰ γὰρ εἰς ων βαρύτονα διχρόνῳ ἐκτεταμένῳ παραληγόμενα, τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς, Ἑλικάων ἑλικάονος, Μαχάων μαχάονος, Ἱκετάων ἱκετάονος.

Ἕληται, πορθήσηται.

Ἐλίασθεν, ἀντὶ τοῦ ἀπέθανον, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐλιάσθη, ἐξέκλινεν.

Ἐλιβότρυς, ἄμπελός τις μέλαινα.

Ἐλίγματα, ψέλλια.

Ἐλιγρὸν, ὑγρόν.

Ἑλιγμὸς, ἡ συστροφή.

Ἐλιεὺς Ζεὺς, ἐν Θήβαις.

Ἐλιθερεῖσθαι, ἠλιοῦσθαι, παρὰ τῷ Ἱπποκράτει.

Ἕλικας βοῦς βουκολέεσκες, ἔνεμες, ἔβοσκες. ἕλικας δὲ τὰς βοῦς φησιν ἐπιθετικῶς, ἤτοι ἀπὸ τῆς κινήσεως τῶν ποδῶν, καθ' ὃ εἰλίποδες λέγονται. ἢ τὰς ἑλικοειδῆ τὰ κέρατα ἔχοντας, ὅ ἐστιν ἐπικαμπῆ. ἢ ἕλικας, τὰ περὶ τοὺς καρποὺς ψέλλια, ἢ ἐνώτια.

Ἕλικες, οὐ μόνον βοῶν ἐπίθετον, δηλοῦν τὰς μελαίνας, ἀλλὰ καὶ ψέλλια σημαίνει. ἔστιν ὅτε καὶ ἐνώτια. ἢ ἕλικες βόες, οἱ μέλανες. καθότι καὶ ἑλικὸν ὕδωρ, τὸ μέλαν, καθὰ καὶ ἀλλαχοῦ ἐρρέθη. ἢ εὖ ἑλισσόμενοι ἐν ταῖς ὄπισθεν καμπαῖς, ὡς ἀπὸ τοῦ ἑλίσσω. ἐξ οὗ καὶ ἕλιξ, ἡ ἁπλῶς συστροφὴ ἐπὶ ὁδοῦ τυχὸν, ἢ ὕδατος, ἢ καμπτῆρος. ἔτι δὲ καὶ ἕλιξ ἀμπέλου, τὸ λεπτόνατον. οἷα τι νῆμα, ᾧ δράπτεται ὅσα καὶ χειρὶ, τῶν παραπεφυκότων. λέγεται δὲ ἕλιξ, καί τι μηχανῆς εἶδος, ὃ πρῶτος εὑρὼν Ἀρχιμήδης, εὐδοκίμησε φασὶ διὰ αὐτό. ἢ ἕλικες, αἱ τῆς ἀμπέλου ψαλίδες, καὶ ἁπλῶς αἱ κοινῶς περιπλοκάδες.

Ἑλίκεσσι, ταῖς τοῦ καπνοῦ συστροφαῖς, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἑλικηδὼν, κυκλοειδὴς συστροφή.

Ἑλίκη, τόπος περὶ Πελοπόννησον. ἀπὸ Ἑλίκης υἱοῦ Λυκάονος. ἢ ἀπὸ Ἑλίκης τῆς Ἴωνος μὲν γυναικὸς, Σελινοῦντος δὲ θυγατρὸς, υἱοῦ Ποσειδῶνος. ἠφανίσθη δέ φασιν αὕτη ὑπὸ κύματος. ἐξαρθὲν γὰρ ὑπὸ σεισμοῦ τὸ πέλαγος, κατέκλυσεν αὐτὴν, καὶ τὸ ἱερὸν τοῦ Ἑλικωνίου Ποσειδῶνος, ὃ ἐτίμων Ἴωνες, θύοντες ἐκεῖ τὰ Πανιώνια. ἧς Θησεὺς ὑπονοεῖται μεμνῆσθαι. καὶ ὁ ποιητὴς ἐν τῷ, βοῦς ἤρυγεν ἑλκόμενος ἑλικώνιον ἀμφὶ ἄνακτα. τότε γὰρ νομίζουσι καλλιερεῖν, περὶ τὴν θυσίαν ταύτην Ἴωνες, ὅταν θυόμενος ὁ Ταῦρος, ἐρύγεται μυκητικῶς.

Ἑλίκη, πρὸς ἣν καὶ οἱ Ἕλληνες ναυτιλλόμενοι Ἑλίκωπες δι' αὐτὴν ἐλέγοντο. ἤτε ἡ κυνόσουρα, ἡ ἐγγὺς αὐτῆς ἡ μικρὰ, ἥτις μεθ' Ὅμηρον ὑπὸ Θαλοῦ τοῦ Μιλησίου εὕρηται, πρὸς ἣν Φοίνικες ἔπλεον.

Ἕλικι, κλήματι λεπτῷ, καὶ νευρώδει.

Ἑλικοβλέφαρον Ἀφροδίτην, καλήν. ἀπὸ μέρους ἑλικοειδῆ καὶ στρογγύλα καὶ περιφερῆ βλέφαρα ἐχούσαν. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν ἐν ταῖς ἀμπέλοις ἑλίκων.

Ἑλικοειδῶς, κυκλοειδῶς, συνεστραμμένως.

Ἑλικοὶ, αἱ ἀσφοδελοί.

Ἕλικος βοὸς ἀμφὶ φονῆσι, περὶ βοὸς φόνοις κειμένοις.

Ἑλικτὰ, στρεβλὰ, σκαμβά.

Ἑλικτῆρες, ἐνώτια.

Ἑλικοτέρας, πολυπλόκους.

Ἑλικὼν, ὄρος τῆς Βαιστιαίων χώρας ἐν τῇ Βοιωτίᾳ. ἐν Ἑλικῶνι ἱερόν ἐστι Διὸς Ἑλικωνίου.

Ἑλίκων ἀπὸ χειρός. νῆμα τὸ φερόμενον ἐν τῷ ἀτράκτῳ ἐπὶ τὴν γῆν.

Ἑλικώνιος Ποσειδῶν. εἰ καὶ δοκεῖ λέγειν τὸν ἐν Ἑλικῶνι τιμώμενον, ἀλλ' οἱ παλαιοὶ ταῦτά φασι. Νηλεὺς ἐν Μιλήτῳ ἱερὸν Ποσειδῶνος Ἑλικωνίου ἱδρύσατο, κατὰ μίμησιν τοῦ ἐν Ἑλίκῃ τῆς Ἀχαΐας. παράγουσι δὲ τὸ τοιοῦτον Ἑλικώνιον οὕτως, οἱ Αἰολεῖς ἐκ πρωτοτύπου φασὶ γενικῆς πληθυντικῆς ποιοῦσι τύπους κτητικούς. οἷον, ἕτεροι ἑτέρων, ἑτερώνιος. Ἔτυμων ἐτυμώνιος, ἀνέμων ἀνεμώνιος, καὶ διὰ τὸ φωνῆεν ἀνεμώλιος οὕτω φασὶ καὶ Ἑλίκαι ἑλικὼν, ὄνομα τόπου, ἑλικώνιος. ἵνα ἢ φασὶν Ἑλικώνιος, ὁ ἐν Ἑλίκαις τῆς Ἀχαΐας τιμώμενος. καὶ οὕτω μὲν αὐτοί. ἡ δὲ Ἱστορία βούλεται μάλιστα τὸν τοιοῦτον τόπον Ἀσιανὸν εἶναι, καὶ περὶ τοὺς Ἴωνας. Ἰώνων γὰρ εἴρηται ἴδιον, τὸ οἴεσθαι καλλιερεῖν, ὅτε ὁ ταῦρος θυόμενος μέγα ἐρεύγεται. οἱ δὲ Ἴωνες Ἀσιανοί.

Ἑλίκωπες ἀχαιοὶ, οἱ τὰς κώπας ἑλίσσοντες, ἤγουν ναυτικοί. ἢ πρὸς τὴν Ἑλίκην τὸ ἄστρον καὶ τὴν μεγάλην ἄρκτον λεγομένην τὰς ὦπας ἔχοντες, καὶ ἀφορῶντες, καὶ πρὸς ἐκείνην πλέοντες. ἢ ἀξιοθέατοι, καὶ ἑλίσσοντες τὰς ὦπας τῶν βλεπόντων εἰς ἑαυτούς. κούρη δὲ ἑλικῶπις, καὶ διὰ τοῦτο μὲν τὸ ὕστερον ἡ ἀξιοθέατος δηλαδὴ, καὶ τοὺς ἐραστὰς ἐφελκομένη. οὐ μὴν δὲ, ἀλλὰ καὶ αἰδήμων. καὶ ὥς φασιν οἱ παλαιοὶ, ἡ οὐκ ἀτελὴς τὴν θέαν, ἀλλὰ εἰς ἑαυτὴν ἑλίσσουσα, ἢ καὶ ἡ μελανόφθαλμος. ἢ οὕτως εὐπρεπὴς διὰ τὸ ἑλικοὺς, ὅ ἐστι μέλανας ἔχειν τοὺς ὦπας. ἡ δὲ τοιαύτη λέγεται καὶ ἑλικοβλέφαρος, ὅτι τὸ μέλαν ἑλικὸν λέγεται. δηλοῖ καὶ ὁ εἰπὼν τὸν Ἀσωπὸν ποταμὸν ἑλικώτατον ὕδωρ.

Ἑλίκωπες, οἱ τοὺς τῶν ὁρώντων ὀφθαλμοὺς ἑλίσσοντες ἐπ' αὐτούς. ὡς καὶ εἶδος ἀγαθοὶ ὄντες, ὅ ἐστι θαυμαστοί. ἀλλὰ καὶ οἱ τὴν ὄψιν γοργοὶ καὶ συχνῶς τοὺς ὦπας ἑλίσσοντες, ὅποι δέον ἐστί. καὶ μὴ νωθροί.

Ἑλικώπιδα. ἡ ἀληθεία ἡ ἑλικῶπις. ἑλὶ γὰρ κατὰ διάλεκτον, τὸ μέλαν, ἀντὶ τοῦ μελανόφθαλμον, ἀφ' οὗ εὐπρεπῆ. ἢ τὴν ἀξιοθέατον καὶ εὔμορφοπίπην. πρὸς ἣν πᾶς ἑλίσσει τοὺς ὦπας, διὰ τὸ κάλλιστον εἶδος. κλίνεται δὲ ὡς ἡ προφῆτις.

Ἑλικώτατον ὕδωρ, ἑλικοειδῆ ἔχον τὴν ῥεῦσιν. ἢ διαυγές.

Ἕλιμαρ, κέγχρῳ ὅμοιον.

Ἑλιμενίζω, καταίρω, ὁρμῶ, ἐφορμῶ.

Ἑλινεύειν, στραγγεύειν διατρίβοντας, ἢ ἐγχρονίζοντας.

Ἑλίνη, ἡ μελίνη, ὑπὸ Λακώνων.

Ἑλινύειν, ἀργεῖν, σχολάζειν, λήγειν, ὀκνεῖν, ἀναπαύεσθαι, στραγγεύεσθαι. ἢ διατρίβειν, ἢ ἡσυχάζειν, βραδύνειν.

Ἕλινος, καρπός.

Ἑλινὸς ἡ ἄμπελος, ὡς Ἀπολλόδωρος. Φιλίτας δ' ἐν γλώσσαις, τὸν κλάδον τῆς ἀμπέλου, καὶ Νίκανδρος.

Ἑλινύεσκον, περὶ τὸ αὐτὸ διέτριβον. ἢ ἐστρέφοντο ἐμποδιζόμενοι τῆς ὁδοῦ, παρὰ Ἀπολλωνίῳ.

Ἑλινόμενος Ζεὺς, ἐν Κυρήνῃ.

Ἑλίνυον, διέτριβον, ἀνεστρέφοντο, περιεφέροντο.

Ἑλινύσαι παρὰ Θεοκρίτῳ, τὸ μέσον τῆς ἡμέρας ἠρεμεῖν, βραδύναι. τὸ θέμα ἑλινύω, τὸ βραδύνω.

Ἑλινύω, βραδύνω, ἡσυχάζω.

Ἑλινυῶ δὲ, στὸ ὑμνῶ.

Ἑλινύω, τὸ ἀναπαύομαι, ἐνδίδωμι.

Ἕλιξ ὄνομα κύριον, καὶ τὸ κατὰ κύκλον στρεφόμενον. ἢ ἕλιξ ἐστὶν, ἡ λεγομένη τοῦ κλήματος ψαλίς. ἀπὸ τοῦ ἑλίσσω, τὸ συστρέφω γινομένη. συνεστραμμένη γάρ ἐστι, καὶ ἐπικαμπής. καὶ ἕλιξ, νέος, καλὸς, μέλας, καὶ ὁ αἰγίλωψ. καὶ ἡ κατάγραφος, καὶ ἡ ἀναγλυφὴ παρὰ τοῖς ἀρχιτέκτοσι. καὶ ὁ καρπὸς, καὶ ψέλλιον, καὶ τοῦ ὠτὸς ἡ περιοχή. καὶ δεσμός τις ἢ τύλιγμα. ἕλιξ λέγεται καὶ τὸ τῆς ἀμπέλου νευρῶδες ἔκφυμα. ὃ ἐπιλαμβάνεται τοῦ χάρακος, τὸ παρ' ἡμῖν βλαστάριον.

Ἑλίξας, περιστρέψας.

Ἑλιξόκερως, στρεβλόκερως.

Ἑλίπανας, πλουσίαν ἐποίησας. ἤλειψας, ἐφαίδρυνας.

Ἑλιπάρει, ἠξίου, ἐκολάκευε, παρεκάλει. καὶ ἐλιπάρησεν, ὁμοίως.

Ἐλλιπεὺς, ὁ Ἐνιπεὺς ποταμός.

Ἕλιπτεν, ἐπιθυμητικῶς ἤσθιεν.

Ἑλισμὸς, ἥσυχος.

Ἕλις, μόνος, καὶ ὅλος.

Ἑλισθεὶς, ἑλίξας ἑαυτόν.

Ἑλίσθη, ἔπεσεν.

Ἑλίσσει, πλέκει.

Ἑλίσσετο, παρεκάλει, ἐδέετο.

Ἑλισσομένη, ἡπλωμένη.

Ἑλίσσω, τὸ συστρέφω. καὶ ἀνελιξάμενος τὴν βίβλον, ἀντὶ τοῦ ἀνοίξας. καὶ ἑλίττω Ἀττικῶς, καὶ ἀνελίττω, ἀπὸ τοῦ εἰλῶ εἰλίσσω.

Ἑλίστρευον, ἐστράτευον.

Ἑλιττόμενος, στρεφόμενος.

Ἑλιφαίμισεν, ἔξαιμος ἐγένετο.

Ἑλιχάζει, πλανᾶται.

Ἑλιχθέντων, συστραφέντων.

Ἑλιχνευσάμην, ἐπιπλεῖστον διελέχθην, παρὰ τῷ Ἱπποκράτει.

Ἑλίχρυσος, εἶδος φυτοῦ, ἔχοντος ἄνθος χρυσοειδές.

Ἕλκανα, θαύματα.

Ἑλκαινοῦσα, ἑλκομένη, ἢ ἑλκοποιημένη ὑπὸ πυρός.

Ἕλκει, λαμβάνει, σύρει, κρατεῖ.

Ἕλκειν κοινότερόν ἐστι τοῦ ἐρύειν, ὃ καὶ ἐρύεσθαι λέγεται. ὡς δηλοῖ τὸ ἐρύαται, καὶ τὸ πάσας ἐρύσομεν, καὶ τὸ ἐρυσαίμεθα νῆας ἁπάσας.

Ἕλκεο, ἀπὸ τοῦ ἕλκω, ἕλκομαι, εἱλκόμην, εἵλκου. καὶ τὸ προστακτικὸν ἕλκου, καὶ κατὰ διάλυσιν ἕλκεο. ὡς τὸ, μηδὲ ξίφος ἕλκεο χειρί.

Ἑλκεσίπεπλοι, ἐφελκόμεναι τοὺς πέπλους ἐν τῷ φορεῖν.

Ἕλκετο, εἵλκυσεν.

Ἑλκεχίτωνες, ποδήρεις χιτῶνας ἔχοντες, ἄζωστοι.

Ἕλκη, λῦπαι, Σοφοκλῆς Τριπτολέμῳ.

Ἑλκηθμὸς, ἑλκυσμὸς, σπαραγμός.

Ἑλκηὶς, ἡ λιθάργυρος.

Ἑλκήσατο, ἠχμαλώτευσεν, διήρπασεν, ἀφείλετο, ἐλῄστευσεν.

Ἑλκομένας νυοὺς, ὅμοιόν ἐστι τῷ ἑλκηθείσας θύγατρας. πλὴν ὅσον ἐκεῖνο μὲν περισπωμένης ἐστὶ συζυγίας. ἑλκῶ γὰρ, ἑλκήσω, τὸ βιάζομαι. ἀφ' οὗ καὶ ὁ προρρηθείς που ἑλκηθμός. καὶ ἐν Ὀδυσσείᾳ, ἡ Λητὼ γὰρ εἵλκησε, τὸ ἕλκω βεβαρυτόνηται. ὥστε διφορεῖται καὶ τὸ ἕλκω, οὐ μόνον βαρυτόνως προφερόμενον, ἀλλὰ καὶ περισπωμένως. οὕτω καὶ ἐπιμέλομαι, καὶ ἐπιμελοῦμαι, σὺν ἑτέροις πολλοῖς. καὶ αἴδομαι καὶ αἰδοῦμαι, καὶ ξηροῦμαι. ὡς τὸ, ξυρεῖ γὰρ ἐν χρῷ. καὶ ξύρομαι, οἷον ξύρεσθαι τὸν πώγωνα, καὶ πιττοκοπούμενον, ἢ ξυρόμενον, καὶ ξυρούμενον, τὴν ὑπήνην καὶ τὸν ὄρρον, καὶ νόμου ὄντος ἐν Ῥόδῳ μὴ ξύρεσθαι. κεῖται δὲ ταῦτα ἐν τοῖς τοῦ Δειπνοσοφιστοῦ.

Ἑλκοποιὸς, κανθαρίς.

Ἕλκος, οὐ κατὰ τὸ ὕστερον ἰδιωτικὸν τὸ πύον, οὐδὲ ὁ ποιητὴς οἶδεν, ἀλλὰ τὴν κατὰ τραυματικὴν τῆς συνεχείας. ἅμα γοῦν βάλλεταί τις, ἢ τιτρώσκεται, καὶ εὐθὺς ἕλκος γενέσθαι, τῷ τοιούτῳ φησὶ λεγόμενον οὕτω, διὰ τὸ παρειλκύσθαι τοῦ συνεχοῦς. γίνεται δὲ παρὰ τὸ ἕλκω ἕλκος, ἡ διειλκυσμένη σὰρξ, καὶ μὴ συμμύουσα· ὅπερ καὶ ἄμπελος προσαγορεύεται, παρὰ τὸ μὴ πελάζειν τὴν σάρκα. ἢ παρὰ τὴν ἀλκὴν, τὸ ἐξ ἀλκῆς γινόμενον.

Ἑλκύδριον λέγει, τὸν κάδον. ὅτι ἀνέλκει τὸ ὕδωρ.

Ἑλκυθμὸς, ἡ βία. ἀπὸ τοῦ ἑλκῶ ἑλκύσω. ὅπερ ἡ χρῆσις ἐν Ὀδυσσείᾳ, Λητὼ γὰρ εἵλκυσεν. Ἰστέον γὰρ, ὡς οὐ μόνον ἕλκω ἑλκύω, ἀλλὰ καὶ ἑλκῶ περισπωμένως. τούτου δὲ διχῶς ὁ μέλλων παρὰ τοῖς ποιηταῖς, διὰ τοῦ ε ἑλκέσω. ἐξ οὗ καὶ ἑλκεσίπεπλοι Τρῳάδες, καὶ βαθύζωνοι. καὶ διὰ τοῦ η ἑλκήσω, ἐξ οὗ ἑλκηθμὸς, ὁ βίαιος τῶν γυναικῶν ἑλκυσμός. τὸ μέντοι ἑλκῶ ἑλκώσω, ἤγουν ἕλκος ποιήσω, κοινόν τί ἐστι καὶ ὕστερον.

Ἕλκυσον, σῦρον.

Ἑλκυστάζειν, τρεῖς ἔχει παραγωγάς. ἐκ τοῦ ἕλκω. ἑλκύω γὰρ, εἶτα ἑλκυστῶ, ἐξ οὗ ἑλκυστάζω.

Ἑλκυστάζων, ἕλκων, παρασύρων.

Ἑλκυστῆρα, φορβίαν, ἤτοι καπίστριον.

Ἑλκυστῆρι, τῷ ἐμβρυουλκῷ, παρὰ τῷ Ἱπποκράτει.

Ἑλκυστῷ, λείῳ.

Ἑλλὰ, καθέδρα, καὶ Διὸς ἱερὸν ἐν Δωδώνῃ. Λάκωνες.

Ἔλλαβε πορφύρεος θάνατος, καὶ ὁππότερος τάδε ἔργα, τὸν διπλασιασμὸν τῶν συμφώνων οἱ μὲν Δωριεῦσιν, οἱ δὲ Αἰολεῦσι προσνέμουσιν.

Ἑλλάδα, οἱ μὲν τὴν Φθίαν φασὶ συνωνύμως. ἡμεῖς δὲ, χώραν ὑπολαμβάνομεν εἶναι Ἑλλάδα, οὐ μέντοι τὴν αὐτὴν τῇ Φθίᾳ. παρὰ Ἀπολλωνίῳ ὅλην τὴν Ἑλλάδα σημαίνει. Ἀρίσταρχος δὲ, ὡς παρ' Ὁμήρῳ, λέγει Θεσσαλίαν μόνην τὴν Ἑλλάδα εἶναι. καὶ Ἕλληνας τοὺς Θεσσαλοὺς, παρακολουθῶν Θουκυδίδῃ, καὶ ἀθετεῖ τὸν στίχον τοῦτον. ἐγχείῃ δ' ἐκέκαστο Πανέλληνας, καὶ Ἀχαιούς. καὶ ἐκεῖ δὲ πάλιν τὴν Θετταλίαν ἀκούει. φεύγων ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδος εὐρυχώροιο.

Ἔλλαμψις, φωτισμός.

Ἑλλανικὸς, ἀπὸ τοῦ ἑλληνικὸς, ἢ ἀπὸ τοῦ Ἕλλην ἕλληνος, καὶ τοῦ νίκη, γέγονεν ἑλλανόνικος. καὶ συγκοπῇ, Ἑλλανικός.

Ἑλλάνιος Ζεὺς, ἀπὸ τοῦ ἐν Αἰγίνῃ αὐχμοῦ ποτὲ γενομένου, ὅτε Αἰακὸς συναγαγὼν τοὺς Πανέλληνας, ἐξιλεώσατο τὸν Δία. Ζεὺς δὲ Ἑλλάνιος, τιμᾶται ἐν Αἰγίνῃ.

Ἑλλανοδίκαι, ἄρχοντες Ἠλεῖοι, οἱ διέποντες τὸν ἀγῶνα τὸν Ὀλυμπιακόν. ἐκλήθησαν δὲ οὕτως, ὅτι παρ' Ἕλλησιν ἐδίκαζον. ἐκαθέζοντο δὲ ἐν τῷ ἀγῶνι πορφύραν περιβεβλημένοι. καὶ ἦσαν τὸ μὲν πάλαι ἐννέα, εἶτα δύο, καὶ πάλιν ὀκτώ. ἢ ἑλλανοδίκαι καλοῦνται, οἱ προτεταγμένοι τοῦ ἀγῶνος. οἳ ἐπὶ μόνοις Ἕλλησιν ἀγωνίζονται.

Ἑλλὰς ὑπὸ Ἕλληνος ἐκτίσθη, οὐ τοῦ Δευκαλίωνός φασιν υἱοῦ, ἀλλὰ τοῦ παιδὸς Φθίου, ὃν ἔτεκεν Ἀχαιός. ἐθνικὸν αὐτῆς ὁ Ἕλλην, ὁμωνύμως τῷ κυρίῳ. ἔστι δὲ καὶ ἑτέρα Ἑλλὰς, τῆς κοίλης Συρίας. Ἑλλάδα οὐ τὴν συνήθως καλουμένην φησὶ παρ' ἡμῖν χώραν, ἥτις ἐπισυνάπτει τῇ ἀρχῇ τῆς Πελοποννήσου. ἣν δὴ Πελοπόννησον καὶ ἀκρόπολιν οἱ παλαιοὶ τῆς τοιαύτης Ἑλλάδος φασὶν, ἀλλὰ πόλις ἐστὶν αὕτη Θετταλική. οὕτω κληθεῖσα, διὰ τὸν ἐκεῖ βασιλεύσαντα Ἕλληνα. ἐξ οὗ καὶ τοῖς ὅλοις Ἕλλησιν ὕστερον ὄνομα ἐνεκάθισεν. ὥσπερ καὶ τῇ μεγάλῃ Ἑλλάδι, προσῆλθεν ἡ κλῆσις ἐκ τῆς κατὰ τὸν Ἕλληνα τοῦτον ταύτης τῆς πόλεως, ἣν καὶ καλλιγύναικα τῷ ποιητῇ ὁ παλαιὸς χρόνος ἐπεμαρτύρατο.

Ἑλλάσαι, συγκλεῖσαι, κωλῦσαι.

Ἑλλεβοριᾶν, τὸ Ἑλλεβόρου δεῖσθαι, ὡς φαρμάκου. οὕτω Καλλίας.

Ἑλλέβορος, εἶδος βοτάνης. καὶ ἑλλέβορον, τὸν

λεγό-

Digitized by Google

λεγόμενον καρπόν. καὶ ἐλλέβορος, φάρμακον θανάσιμον, παρὰ τὸ τῇ βορᾷ ἐλλεῖν, ὃν ἐσθίουσιν οἱ ὄρτυγες. ἢ κόσμος γυναικεῖος χρυσοῦς.

Ἐλλεδαναὶ, οἱ μανδάκαι, οἷς δεσμοῦνται τὰ δράγματα. καὶ ἄλλως, δεσμοὶ σταχύων. οἱ καὶ εἰλοδέται, ὡς ἄντις εἴποι κριθοδέται. οὐλαὶ γὰρ, αἱ κριθαί. γίνεται δὲ ὁ ἐλλεδανὸς, παρὰ τὸ εἰλῶ, τραπέντος τοῦ ι συνήθως εἰς ν. ὅπερ εὐθὺς εἰς λ κανονικῶς μετέπεσεν. ὥσπερ δὲ παρὰ τὸ ῥιγῶ ῥιγεδανὸς, οὕτω παρὰ τὸ εἰλῶ ἐλλεδανός.

Ἐλλεδανὸς, ὁ τῶν δραγμάτων δεσμός. παρὰ τὸ συνειλεῖν τὰ δεσμούμενα.

Ἐλλεδανὸς, ὁ δεσμός. ἀπὸ τοῦ ἴλω, τὸ κρατῶ. καὶ τοῦ δέω, τὸ δεσμῶ, δύο ταυτοσημαινόντων λέξεων.

Ἔλλην, ἐλλεῖν, κατέχειν.

Ἐλλείπειν λέγεται, καὶ ἐλλείπεσθαι, καὶ στερίσκεσθαι τινά τινων, οἷον ἐλλείπω πολὺ τῆς ἀρετῆς, καὶ ἐλλείπει μοι τόδε. καὶ ἐλλείπω, τὸ ἐλλείπομαι. οἷον, ἐλλείπομαι ἐγὼ βιβλίου, ἀντὶ τοῦ ἐνδεής εἰμι. καὶ ἐλλείπει μοι βίβλος. καὶ ἐλλείπειν τὸ παραλείπειν, καὶ ἀπολείπειν.

Ἐλλεῖπον, τὸ ἐνδεές. ἐλλιπὲς δὲ διὰ τοῦ ι, τὸ αὐτό.

Ἐλλείπω, αἰτιατικῇ.

Ἐλλείχοντα τῶν Ἀθηνῶν. οἱ δὲ, Ἀττικίζοντες, ὃ καὶ ποιοῦσιν οἱ πρόσγραφοι, ἵνα φαίνωνται ἀστοί. ἐλλείχοντα δὲ, ἐμφορούμενον, ἀπὸ τῶν τὸ μέλι λειχόντων.

Ἐλλείψεως σχῆμα παρὰ τοῖς παλαιοῖς, μυριαχοῦ ἐστιν εὑρεῖν. ὡς τὸ παρ' Ὁμήρῳ, Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ, ἄρσαντες κατὰ θυμὸν, ὅπως ἀντάξιον ἔσται, λείπει ἀγαθὸν, ἢ δίκαιον, ἢ τοιοῦτόν τι, δηλονότι ἔσται, εἰ δὲ μὴ δώσουσιν, ἐγὼ ποιήσω τάδε. καὶ παρὰ τῷ κωμικῷ, ἐὰν μὲν ἀποφήνω ἀγαθῶν πάντων αἰτίαν ἐμὲ, εἰ δὲ μὴ, ποιεῖτε ὅπερ ἂν δοκῇ ὑμῖν. Ἄλλως.

Ἐλλειψίς ἐστι λέξις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, γίνεται δὲ κατ' ἀρχὴν, κατὰ μέσον, καὶ κατὰ τέλος. λέγεται δὲ τὸ κατὰ ἀρχὴν, ἀφαίρεσις, οἷον λείβειν εἴβειν. τὸ κατὰ μέσον, συγκοπὴ, οἷον μονώνυχας μώνυχας. τὸ κατὰ τέλος, ἀποκοπὴ, οἷον δῶμα δῶ.

Ἔλλειψις στοιχείου. οἷον, γαῖα, αἶα.

Ἔλλειψις συλλαβῆς, ἀστράπτει στράπτει, ἀμφιφορεῦς ἀμφορεῦς, Ἀπόλλωνα ἀπόλλω.

Ἔλλειψις λόγου, κἄπειτ' ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς, ἀλλ' οὐκ ἀπὸ γῆς, εἴπερ, ἐλλείπει τὸ ἐβούλου. ἢ εἰ ἦν δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα.

Ἔλλειψις ὀνομάτων, ῥημάτων, καὶ προθέσεων. πάντα μὲν λόγον ἐξ ὀνόματος καὶ ῥήματος ἀνάγκη συνίστασθαι, ἀλλὰ οἱ Ἀττικοὶ συντομίας χάριν, ἐνίοτε θάτερον τούτων νοεῖσθαι διδόασιν ἐπὶ ὀνόματος. οἷον, ἐνταῦθα πωλεῖν τε χρὴ καὶ ὠνεῖσθαι. λείπει τὸ, τινὰ ἄνθρωπον δηλονότι. Ἄλλως.

Ἔλλειψίς ἐστι σχῆμα, ὅταν καὶ ἄνευ τοῦ ῥηθῆναι τινὰ λέξιν ἐκ τῶν προειρημένων ἡ διάνοια φαίνηται. οἷόν ἐστι, δώδεκα δὲ σὺν νηυσὶ πόλεις ἀλαπάξ' ἀνθρώπων, πεζὸς δ' ἕνδεκα φημί. λείπει γὰρ τὸ ἀλαπάξαι, νοεῖται δὲ ἐκ τοῦ προειρημένου. κἀκεῖνο δὲ λέγεται κατὰ ἔλλειψιν. εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. ἐνδεῖ γὰρ τὸ ἐστί. καὶ ὢ πόποι ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο. λείπει γὰρ τὸ πάρεστιν, ἢ συμβέβηκεν, ἤ τι τοιοῦτον.

Ἐλλέρα, ἐχθρὰ, πολεμία, ἀδικία.

Ἐλλέρα, φόνια, χαλεπὰ ἔργα. σημαίνει καὶ τὰ βλέφαρα.

Ἐλλεσίη, ἡ Ἀθηνᾶ.

* Ἔλλεπε, ἐν ἴσῳ τῷ ἔρρεπε κατὰ γλῶσσαν.

Ἕλλη, ὄνομα κύριον. ἀφ' οὗ Ἑλλήσποντος.

Ἕλλην, φρόνιμος.

Ἑλλήθης, οὐχ αἱ ἄγριαι μέλισσαι, ἀλλὰ φυτὸν ὁ αἰγίλωψ.

Ἕλλην, παρὰ τὸ ἑλλάς, ὃ σημαίνει τὴν πόλιν. ἢ παρὰ τὸ ἄλλος, ἄλλην, καὶ ἕλλην.

πλεῖον γὰρ τῶν ἄλλων ἐθνῶν ἀλλήλους φιλοῦσιν, ἢ διακέκρινται.

Ἕλληνες, οἱ ἐπὶ τῆς Ἀσιάδος. τὰ ῥήματα ἅπερ συντάττονται δοτικαῖς πτώσεσιν, αἰτιατικαῖς συντάττουσι. φασὶ γὰρ, συνήντησέ με, ἀντὶ τοῦ συνήντησέ μοι. Ὅμηρος, καί δ' Ἀχιλλεὺς τοῦτόν γε μάχῃ ἔνι κυδιανείρῃ ἔρριγ' ἀντιβολῆσαι, ἀντὶ τοῦ τούτῳ. τῶν δ' αὐτῶν ἐστι καὶ τὸ, τὰ συντασσόμενα ῥήματα γενικαῖς πτώσεσιν, αἰτιατικαῖς πάλιν συντάττειν. ὡς τὸ, ἀφαιρεῖταί με τὴν γυναῖκα, ἀντὶ ἐμοῦ. καὶ Ὅμηρος, ἐπεί μ' ἀποαίρεσθε κούρην. καὶ πάλιν, ἐπεί μ' ἀφέλεσθέ γε δόντες, ἀντὶ τοῦ ἐμοῦ.

Ἑλληνίζω, τὸ ἑλληνικῶς φθέγγομαι, καὶ τὰ τῶν ἑλλήνων φρονῶ. καὶ ἑλληνίζω οὐ μόνον ἐγὼ, ἀλλὰ καὶ ἄλλον ἑλληνικῶς ἔχειν ποιῶ. Θουκυδίδης, ἑλληνίζων διετέλεσε τὴν βάρβαρον. καὶ ἑλληνίζω τῇ φωνῇ, καὶ ἑλληνισμὸς οὐ πάσχει τοῦτο. ὥσπερ Λατῖνοι καὶ Ῥωμαῖοι λέγουσι, λατινιστὶ οὐ πάσχει τοῦτο, τουτέστι τοῦτο οὐ λέγεται κατὰ τοὺς Ῥωμαίους καὶ Λατίνους.

Ἑλληνισμός ἐστι, τὸ καθ' ἕλληνας διαλέγεσθαι. τουτέστι, τὸ ἀσολοικίστως καὶ ἀβαρβαρίστως διαλέγεσθαι.

Ἑλληνοδίκαι, οἱ κριταὶ οἱ καθήμενοι εἰς τοὺς ἀγῶνας.

Ἑλληνόπολις. Ἀπολλόδωρος, Ἀτταλὸς ἐκ τῶν ἑλληνίδων πόλεων οἰκήτορας συναγαγὼν, ἔκτισε πόλιν, καὶ ὠνόμασεν αὐτὴν ἑλληνόπολιν.

Ἑλληνοταμίαι. Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος, ὅτι ἀρχή τις ἦν αἱ ἑλληνοταμίαι, οἳ διεχείριζον τὰ χρήματα. καὶ Ἀριστοτέλης δηλοῖ, ἐν τῇ Ἀθηναίων πολιτείᾳ. μνημονεύει δὲ καὶ Θουκυδίδης αὐτῶν ἐν πρώτῳ.

Ἐλλιμένει, ἑορτάζει, παύεται, ἀργεῖ.

Ἑλλήσποντος πλατὺς λέγεται, πρὸς διαστολὴν τοῦ στενοῦ, ὃς Ἄγαρρος λέγεται. ἰχθυόεις δὲ κατά τι ἐξαίρετον, ἡ ποιητικὴ Μοῦσα οἶδεν. ἢ ἑλλήσποντος, ἡ πρὸ τῆς Τροίας θάλασσα, ἀπό τινος Ἕλλης ἐκεῖ πνιγείσης, ἀδελφῆς τοῦ Φρίξου. ἐπὶ πλατεῖ ἑλλησπόντῳ, κατὰ ἀντίφρασιν εἴρηται πλατύς. στενὸς γὰρ ὁ Ἑλλήσποντος. ἢ τὸ κατ' ἐκεῖνο μέρος πεπλατυσμένος. καὶ ἑλλησποντος ἐλιάσθη, ἐξέκλινεν.

Ἐλλύχνιον. καὶ τοῦτο τῶν εἰσκωμασάντων ταῖς Ἀθήναις. θρυαλλίδα οὖν ῥητέον.

Ἐλλίζων, τίλλων.

Ἐλλικτὴρ, εἶδος ἐνωτίου. καὶ ἐλλικτῆρες, ὁμοίως.

Ἐλλινιῶ, ὑμνῶ.

Ἐλλιπὲς, τὸ ἐνδεές. καὶ ἐλλιπὴς, ὁμοίως.

Ἐλλιπῶς, ἐνδεῶς.

Ἐλλιχθέντων, συστραφέντων.

Ἐλλόβια, κόσμος γυναικεῖος. καὶ ἐλλόβια, τὰ ἐνώτια, διὰ τὸ ἐν τοῖς λοβοῖς τῶν ὤτων εἶναι.

Ἐλλόγιμος, λόγιος, ἀξιόλογος, τίμιος.

Ἔλλογος, ὅταν ὁ δῆμος ἔλλογος τὸ ἀρχόμενον.

Ἑλλοὶ, Ἕλληνες οἱ ἐν Δωδώνῃ, καὶ οἱ ἱερεῖς.

Ἐλλόμενα, περικνώμενα.

Ἐλλὸν, νεβρὸν λέγει Ὅμηρος, ὃ δηλοῖ νεογνὸν ἔλαφον. περὶ δὲ τοῦ ἐλλὸς ὁ ἰχθὺς, ζητητέον ἐν ἄλλοις. ὑποκαταβὰς νεβρὸν ἔφη, ὃ δηλοῖ νεογνὸν ἔλαφον, νεωστὶ βορὴν, ἢ βορᾶς ἁπτόμενον.

Ἔλλοπες, ἐλλείποντες τῆς ὀπός, τουτέστιν ἄφθογγοι, ἄφωνοι, καὶ δασεῖς, καὶ τραχεῖς, καὶ ποικίλοι.

Ἐλλοπιεῖς, ἄφωνοι. καὶ οἱ λεπιδωτοί.

Ἐλλοπιεύειν, ἤγουν ἰχθυᾶσθαι, ἰχθῦς ἀγρεύειν, ἰχνεύειν. ἔλλοπες γὰρ, οἱ ἰχθῦς.

Ἐλλοπῖνες, οἱ νῦν ὀρεῖται, παρὰ Χαλκιδεῦσιν.

Ἐλλοπὶς, ἑλόφθαλμος, χαροπή.

Ἐλλόποδες καὶ ἐλλοὶ, οἱ στρουθοὶ, καὶ οἱ νεβροί. ἀπὸ τοῦ ἄλλεσθαι.

Ἐλλοπῶ, ἀγαθήν.

Ἐλλὸς, τὸ ἔκγονον τῆς ἐλάφου τὸ νεογνὸν, ὁ νεβρός. καὶ Δωδωναῖος, καὶ ὁ ἐνθαλάττιος.

Ἐλλουρὸς, ἐθνικόν.

Ἐλλοφόνος, ἡ Ἄρτεμις, ἡ τοὺς ἐλλοὺς φονεύουσα. ὅ ἐστι, τοὺς ἐλάφους. κυνηγετικὴ γὰρ ἡ θεός.

Ἔλλοψ, ὁ ἰχθύς. ἀπὸ τοῦ ἐλλείπεσθαι ὀπὸς, ἤγουν φωνῆς.

Ἐλλόωσιν, ἐλαύνουσιν.

Ἔλλυες, ζῶα ἐν τῷ σμαράγδῳ ποταμῷ.

Ἔλλυσιν, ἔγκλυσιν, Κρῆτες.

Ἐλλύπατον, οἰκτρόπατον.

Ἐλλυτὶς, πλακοῦς τίς.

Ἐλλυχᾶται, πλανᾶται, διατρίβει.

Ἐλλώτης, Εὐρώπης στέφανος πλεκόμενος πηχῶν εἴκοσιν.

Ἐλλωτία, ἡ Εὐρώπη τὸ παλαιὸν ἐκαλεῖτο. ἢ ὅτι οἱ Φοίνικες τὴν παρθένον ἐλλοτίαν καλοῦσιν.

Ἐλλωτὶς Ἀθηνᾶ, οὕτω καλουμένη, ἐτιμᾶτο ἐν Κορίνθῳ. καὶ ἑορτὴ Ἐλλωτία. εἴρηται δὲ Ἐλλωτὶς, ἡ θεὸς, ὅτι Βελλεροφόντης τὸν Πήγασον ἵππον ἑλὼν καθ' ὑποθήκην καὶ συμμαχίαν τῆς Ἀθηνᾶς, ἐχαλίνωσε, καὶ ἀπὸ τοῦ ἑλεῖν τὸν ἵππον, Ἐλλωτίαν προσηγόρευσεν αὐτήν.

Ἑλμακλῶν λειμῶνος, ἡ λεπτὴ καὶ λευκὴ σχοῖνος.

Ἕλματα, ὁμιλήματα, ἐνειλήμματα, σανιδώματα.

Ἕλξεις, ἑλκύσεις.

Ἑλξίνη, ἡ περδίκιος βοτάνη.

Ἕλξω, Ἀττικῶς, ἀντὶ τοῦ ἑλκύσω, ἀνάξω.

Ἐλογίζετο, ἐνοεῖτο.

Ἐλογίσατο, ἐλάλησεν, ἐφθέγξατο, ὑπέλαβεν.

Ἐλογοποίουν, πρὸς ἀλλήλους λόγους διετίθεντο.

Ἐλόειν, παρὰ τὸ λοέω, ἐξ οὗ τὸ λοετρόν. τούτων συναίρεσις, τὸ λούειν, καὶ τὸ λουτρόν.

Ἐλοιδόρησε, διέβαλλεν, ἐσυκοφάντησεν.

Ἐλοιδορούμεθα, ἐστασιάζομεν. ὡς ὑπὸ τῆς φιλονεικίας ἐς λοιδορίαν τραπῆναι.

Ἑλοίμεθα, λάβοιμεν, Ἰλιάδος β'. ῥῆμα εὐκτικὸν, μέσος ἀόριστος δεύτερος, ἐκ τοῦ ἕλω τοῦ δασυνομένου, τοῦ σημαίνοντος τὸ λαμβάνω, ἑλῶ, εἷλα. εἰ μέντοι περισπᾶται ὁ μέλλων, ὁ δεύτερος ἀόριστος εἷλον. ὁ μέσος εἱλόμην, εἵλου, εἵλετο.

Ἕλοιο, ἀνάσχοιο, βουληθείης.

Ἕλοιτο, ἐκλέξοιτο, προκρίνοι.

Ἑλόμενοι, ἀντὶ τοῦ προκρίναντες. καὶ ἀντὶ τοῦ βουλευόμενοι.

Ἑλόμενος, θέλων.

Ἑλόμην, ἀφειλόμην.

Ἕλον, εἷλον, ἀφεῖλον, ἐπόρθησαν.

Ἑλόντας, ἀφελόντας, λαβόντας, νικήσαντας.

Ἕλος, παρὰ τὸ ἐν ἕλει εἶναι, κατὰ τὸν ἐθνικογράφον. καὶ ἕλος χωρίον, καὶ κώμη ὁμώνυμος. ὕστερον πρότερον ἦν φασὶ πόλις καθ' Ὅμηρον, κτίσμα Ἕλιου, υἱοῦ Περσέως. τινὲς δὲ καὶ ταῦτα εἶπον, Ἕλος πόλις Λακωνική. οἱ πολῖται Εἵλωτες, καὶ εἱλῶται, καὶ ἕλειοι καὶ ἐλεᾶται. ἔστι καὶ Ἕλος Αἰγύπτου. ταῦτα δὲ ὁ τὰ ἐθνικὰ γράψας. ἕτεροι δὲ, ὅτι οὐ μόνον πόλις τὸ Ἕλος, ἀλλὰ καὶ εἰς χώραν τινὰ πλατύνεται, ἀφ' ἧς καὶ μᾶλλον εἵλωτες οἱ συνελθόντες τοῖς Μεσσηνίοις, οἱ καὶ πράγματα παρασχόντες τοῖς Λακεδαιμονίοις. εἶτα ὑπεστρέγησαν ὡσεὶ καὶ δοῦλοι. καὶ ἐξ αὐτῶν τὸ ὄνομα τῶν εἱλώτων, εἰς δουλικὴν ἁπλῶς μετελήφθη κλῆσιν. καὶ τὸ τοπικὸν, εἰς δουλικῆς τύχης σημασίαν μετέπεσεν. ὅτι δὲ τὸ ἕλος ὑγρόν τινα τόπον δηλοῖ, καὶ σύμφυτον, δῆλον. ἐμφαίνει δὲ τοῦτο καὶ ἡ ἰδιωτικὴ παραφθορὰ, ζύγραν τὸν τοιοῦτον λέγουσα τόπον. ὅπερ οὐδὲν ἀλλ' ἢ δίυγρά τίς ἐστιν. Ἄλλως.

Ἕλος, ὁ ὑγρὸς καὶ δασὺς τόπος. ὁποῖον καὶ τὸ παρὰ τὴν Πελοπόννησον Ἕλος. ἐξ οὗ οἱ εἵλωτες, οὓς οἱ Λάκωνες ἐδουλώσαντο. ἢ ἕλος, δίϋλον δάσος, ἢ ὕδατος ἰλὺς ἐπικεχυμένου πηλοῦ, καὶ βαθείας ὕλης, ἢ παπύρου, ἢ καλάμης, ἐκφυομένης ἀεὶ τοῦ πηλοῦ, καὶ ὑπερανεστηκυίας τοῦ ὕδατος.

Ἑλοῦ, λάβε, ἐπίλεξαι.

Ἑλοῦμεν, ἀπὸ τοῦ λούω, ἢ ἀπὸ τοῦ ἐλούομεν, κατὰ συγκοπήν.

Ἐλουόμην, ἐλούου, ἐλούετο. λούομαι, λούεται, ἐλουόμεθα, ἐλούοντο, λούεσθαι. πάντα οὕτω λεγόμενα, ἀδόκιμα. εἰ δὲ δόκιμα βούλει αὐτὰ ποιῆσαι, τὸ ε καὶ τὸ ο ἀφαίρει, καὶ λέγε λοῦσθαι, καὶ λοῦμαι, ἐλοῦτο, λοῦμαι, ἐλούμεθα, ἐλοῦνται.

Digitized by Google

ται. οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσι. Φρύνιχος.

Ἐδύπησεν, ἐψόφησεν, ἐσχίσθη.

Ἔλυρος, ἡ εὐθεῖα, ἀπὸ τῆς ἐκεῖσε ἐλῶν, ἔλυροι κέκληνται, Δέξιππος ἐν δωδεκάτῳ χρονικῶν. καὶ γράφεται διὰ τοῦ ε ψιλοῦ. τὸ δὲ ζῶον, διὰ τῆς αι διφθόγγου.

Ἐλοῦσαι, ἀρξάμεναι, λαβοῦσαι.

Ἔλυσεν, ἀντὶ τοῦ ἐβάπτισεν. Τὸν δὲ Εὐνομιανὸν ἔλυσε Βελισάριος, τὸ θεῖον λουτρόν.

Ἐλυσία, Ἄρτεμις, παρὰ Ἐφεσίοις.

Ἐλοφὸν, τὸ ἄκρον τῆς περικεφαλαίας.

Ἐλόχα, ἐνέδρευεν.

Ἐλοχεύθη, ἡ ἐγεννήθη, ἡ ἐγαμήθη.

Ἐλόχησεν, εἰς λόχους ἤγαγεν.

Ἐλόχων, ἐνήδρευον.

Ἐλόωσι γαλήνην, χρόνος ἐστὶν ἐνεστὼς, ἀντὶ τοῦ μέλλοντος τοῦ ἐλάσουσι. τὸ δὲ γαλήνην, ἀντὶ τοῦ γαληνῶς. ὡς πρὸ ὀλίγων ἐπιρρηματικῶς ἔφη ἀληθείην, ἀντὶ τοῦ ἀληθῶς.

Ἔλπει, ἐλπιδοποιεῖ.

Ἔλπεο, ἀπὸ τοῦ ἔλπω ἔλπομαι, ἠλπόμην, ἤλπου. τὸ προστακτικὸν ἔλπου. καὶ κατὰ διάλυσιν ἔλπεο, ἀντὶ τοῦ ἔλπιζε.

Ἔλπεται, δοκεῖ, ἐλπίζει, προσδοκᾷ.

Ἐλπίζω, οὐ μόνον τὸ προσδοκῶ, ἀλλὰ καὶ τὸ εἰς ἐλπίδας ἐμβάλλω. Λουκιανὸς ἐν τοῖς νεκρικοῖς. εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐπελπίζει. ἐλπίζω πείσεσθαι, καὶ ἐλπίδα ἔχω πείσεσθαι.

Ἐλπίζειν λέγεται ἐπὶ καλῶν, φοβεῖσθαι ἐπὶ κακῶν. προσδοκᾶν, ἐνίοτε μὲν ἐπὶ ἀγαθῶν, ἐνίοτε δὲ ἐπὶ κακῶν· οἷον ἐλπίζω ἐλευθερώσεσθαι. καὶ μετὰ ὀνόματος, ἐλπίζω ἐλευθερίαν. φοβοῦμαι τεθνήξεσθαι, ἢ φοβοῦμαι θάνατον. προσδοκῶ πείσεσθαι κακὰ, καὶ προσδοκῶ κίνδυνον.

Ἐλπίζω κοινόν. ἔλπομαι παρὰ ποιηταῖς τὸ αὐτό. ἀφ' ὧν ὀνόματα, ἐλπὶς, καὶ ἐλπωρή. τὸ μὲν ἐν χρήσει παρὰ τοῖς κοινοῖς. τὸ δὲ ἐλπωρὴ, παρὰ ποιηταῖς. ἔλπομαι, ἐνεστώς. ἔλψομαι, μέλλων. ἔολπα, μέσος παρακείμενος. τροπῇ τοῦ ε τοῦ ἐν τῷ μέλλοντι εἰς ο, κατὰ τὴν ἀκολουθίαν τοῦ μέσου παρακειμένου, καὶ προσθήκῃ τοῦ ε. δεῖ γὰρ τὸν παρακείμενον αὔξειν κατὰ τὴν ἀρχουσαν. ἀφ' οὗ ὑπερσυντέλικος, ἐώλπειν.

Ἐλπίζω, καὶ τὸ οἶμαι, μετὰ ἀπαρεμφάτου μέλλοντος. συντάττεται δὲ καὶ μετὰ παρῳχημένου ἀπαρεμφάτου, ὅταν ἐλπίσῃς ἢ ὑπολάβῃς τὸ πρᾶγμα, ὅτι ἐγένετο. οἷον, οἶμαι πεποιηκέναι σε τόδε, ἢ ὅτι πεποίηκας.

Ἐλπὶς ἐστὶν, ἀπόντος πράγματος συνουσία, ἢ προσδοκία ἀγαθῶν. λέγεται δὲ ἐλπὶς, παρὰ τὸ ἔλπω. ἢ παρὰ τὸ ἕλκω, καὶ δασύνεται. ἡ ἕλκουσα ἡμᾶς. ἐκ τοῦ ἐλπὶς γίνεται ἐλπίζω. ὁ μέλλων ἐλπίσω. ἐλπίδος. ὁ κανών. τὰ εἰς ις ὀξυνόμενα θηλυκὰ, διὰ τοῦ δος κλίνεται. Ἰστέον δὲ ὅτι τὰ εἰς ις θηλυκὰ δισύλλαβα, εἰ μὲν βαρύνεται, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. πόλις ἀκρόπολις, μῆτις πολύμητις. εἰ δὲ ὀξύνεται, εἰ μὲν θηλυκὰ μονογενῆ ὦσι, φυλάσσουσι τὸν τόνον. οἷον νυχὶς παννυχὶς, αἰγὶς καταιγίς. εἰ δὲ ἐναλλάσσει τὸ γένος, εἰ μὲν ἐκτείνουσι τὸ ι, πρὸ μιᾶς ἔχει τὸν τόνον. οἷον, ἀκτὶς, χρυσάκτις ἥλιος. κνημὶς, εὐκνήμις. ἐξ οὗ εὐκνήμιδες. εἰ δὲ συστέλλει τὸ ι, προπαροξύνεται. οἷον ταξὶς εὔταξις, ἀσπὶς ῥίψασπις.

Ἐλπίσας, οὐ μόνον ἐπ' ἀγαθῷ, ἀλλ' ἁπλῶς ἐπὶ τῇ τοῦ μέλλοντος ἐκβάσει λέγεται παρὰ Ἀττικοῖς.

Ἔλπομαι, ἐλπίζω, καυχῶμαι, ἐλπιδοποιοῦμαι.

Ἔλπος, ἔλαιον, στέαρ, εὐθηνία.

Ἐλπτέοντες, ἐλπίζοντες.

Ἐλπωρὴ, ἡ ἐλπὶς, παρὰ τὸ ἔλπω. ὡς θάλπω, θαλπωρή.

Ἔλσαι, ἀλήμεναι, καὶ ἔλμενοι, καὶ ἐάλη, καὶ ἀλεὶς, φίλαι ποιηταῖς λέξεις. γίνεται δὲ ἀπὸ τοῦ ἐλάσαι, κατὰ συγκοπήν.

Ἔλσαν παρ' Ὁμήρῳ ἐν τῷ λ τῆς Ἰλιάδος, τουτέστιν ἤλασαν, ἢ εἴλησαν. ὃ ἐστι συνέκλεισαν μέσον τὸν ἥρωα. ὡς μηδὲ εἰ θέλει ὑποχωρεῖν, ἐξεῖναι αὐτῷ.

Ἐλσοὺς, τὰς μυίας.

Ἐλύγαιον, ὀξὺ ἀνεβόων.

Ἔλυγεν, ὤλισθεν.

Ἐλυγεὺς, Διόνυσος ἐν Σάμμῳ.

Ἐλύγωσεν, ἔκαμψεν. ὡς τὸ, καὶ Δανάης ἐλύγωσεν ὀδε φρένα, τουτέστιν ὁ χρυσός.

Ἔλυμα, τὸ κάλυμμα, τὸ σκέπασμα, ἢ ἱμάτιον. καὶ ἔλυμα, ξύλον τὸ προσηρμοσμένον τῷ γύῃ, εἰς ὃ ἐμβάλλεται ἡ ὕνις, ἢ ἐν ᾧ ὁ ὕνις ἐντίθεται. τὸ δὲ ξύλον, τὸ ἀπὸ τοῦ ἐλύματος τεῖνον ἐπὶ τοὺς βόας, γύης καλεῖται. τὸ δὲ ἀπὸ τοῦ γύου, ἱστοβοεύς. τοῦ δὲ ζυγοῦ τὰ ἐπὶ τοὺς αὐχένας τῶν βοῶν ἐπιτιθέμενα, οἱ μὲν ζεύγλας, οἱ δὲ μέσαβα λέγουσιν.

Ἐλυμαῖοι, ἔθνος ἀπὸ Ἐλύμου υἱοῦ Ἀγχίσου, νόθου ὄντος, καὶ ἐλθόντος εἰς Σικελίαν, καὶ ἀπ' αὐτοῦ Ἐλύμη ἡ χώρα· καὶ Ἐλυμαῖος, τὸ θηλυκὸν ἐλυμαία.

Ἐλύμην. Ἰστέον ὅτι τὸ νῦν δ' ἐλύμην τρὶς τόσσα πορῶν, οὐκ ἔστιν εὐκτικὸν, ἀλλ' ὁριστικὸν, μέσος ἀόριστος δεύτερος, ἀντὶ τοῦ ἐλυτρώθην. ἐκωλύετο γὰρ εὐκτικὸν εἶναι. καὶ ἡ αἰτία πρόδηλος.

Ἐλυμήνατο, ἔβλαψεν. οἱ δὲ, σύστημα γενόμενοι ἐλυμαίνοντο πολλοῖς ὁδίταις, ἐμπίπτοντες εἰς τὰ καταλύματα.

Ἐλύμνιαι, δοκοὶ ὀρόφινοι.

Ἐλύμνιον. Καλλίστρατός φησι, τόπον Εὐβοίας τὸ Ἐλύμνιον. Ἀπολλώνιος δὲ, ναόν φησιν εἶναι πλησίον Εὐβοίας. νυμφικὸν δέ τινες αὐτὸ φασιν, ὅτι ὁ Ζεὺς Ἥρᾳ ἐκεῖ συνεγένετο. μέμνηται καὶ Σοφοκλῆς, πρὸς πέτραις ἐλυμνίαις. καὶ ἐν Ναυπλίῳ, νυμφικὸν ἐλύμνιον.

Ἐλύμνιος Ποσειδῶν, ἐν Λέσβῳ. καὶ νῆσοι τῆς Εὐβοίας.

Ἔλυμοι, τὰ πρῶτα τῶν αὐλῶν, ἀφ' ὧν ἡ γλωσσίς. οἱ δὲ ἁπλῶς αὐλὸν, καὶ σιτῶδες σπέρμα. καὶ ἡ τῆς κιθάρας, καὶ τοῦ τόξου θήκη.

Ἔλυμος, σπέρμα. ὃ ἕψοντες οἱ Λάκωνες ἐσθίουσιν. Ἀριστοφάνης νήσοις. παρὰ τὸ ἕλος ἔλυμος. χαίρει γὰρ ἐν ὑγροῖς τόποις, καὶ ἐν ἕλεσι φύεσθαι.

Ἐλυσάμην, ἀπέδωκα.

Ἐλύσατο, ἐλυτρώσατο.

Ἔλυσεν, ἀπελύτρωσεν.

Ἐλυσθεὶς, ἐκπαθεὶς, συστραφείς.

Ἐλύσθη, ἀντὶ τοῦ συνεστράφη. ἀπὸ τοῦ εἰλῶ εἰλύω, ἀποβολῇ τοῦ ι.

Ἐλυσθεὶς, κυφωθεὶς, ἑλιχθείς.

Ἐλύσθη. Ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη. εἰλύθη, συνετρίβη, ἐξεπάθη, καθεμπίσθη. οἱ δὲ, παρειλκύσθη, συνεστράφη μετὰ τῶν ἡνίων, παρὰ τὸ ἐλεύθω, ἐλεύσθη, καὶ ἐλύσθη. ὅθεν ἐλυσθεὶς παρὰ τῷ Ἀπολλωνίῳ. καὶ ἐλυσθεὶς ἀντὶ τοῦ κατενεχθείς. ἀπὸ τοῦ ἔλω ἐλύω, ὡς ἕλκω ἑλκύω.

Ἐλύσσει, εἰλεῖται.

Ἔλυσα, ἄμπελος μέλαινα.

Ἐλύστροις, καλύμμασι, σκεπάσμασιν.

Ἔλυται, ἔρχεται.

Ἐλύτιος Ποσειδῶν, ἐν Λέσβῳ.

Ἔλυτρον, τὸ σκέπασμα. κυρίως δὲ, ἐπὶ κυκλοτερῶν τινῶν. οἷον, καρύων, ἢ ὠῶν, ἢ ἄλλων τοιούτων. ἀπὸ γὰρ τοῦ εἰλύω, τὸ ἐπικρύπτω γίνεται. πᾶν οὖν ἔλυτρον τοῦτο ὀνομάσεις καὶ σκέπασμα, οὐ μὴν πᾶν σκέπασμα καὶ ἔλυτρον, οὐ γὰρ ἀντιστρέφει. καὶ ἔλυτρον, ὁ τῶν καρπῶν φλοιός.

Ἔλφος, βούτυρον, Κύπριοι.

Ἕλω. σημαίνει δύο. τὸ λαμβάνω, σημαίνει καὶ τὸ φονεύω.

Ἐλῶ, κατέχω, πιέζω, ἐλάσω.

Ἐλωβήσατο, ἔβλαψεν, ὕβρισεν.

Ἐλώγευν, ἔλεγον.

Ἐλώδης, ὁ κάθυγρος τόπος.

Ἐλωὶ ἑβραϊστὶ, ὁ Θεός.

Ἕλωμαι, ἀφέλωμαι, λήψομαι, πορθήσομαι.

Ἐλωὸς, ὁ Ἥφαιστος παρὰ Δωριεῦσιν.

Ἐλῶπες, μισθωτοὶ οἱ ἐν τῷ ἕλει ἐργαζόμενοι.

Ἕλωρ, τὸ ἕλκυσμα καὶ σπάραγμα. παρὰ τὸ ἕλω τὸ ἑλκύω, ἢ παρὰ τὸ λαμβάνω.

Ἕλωρα, πρωτότυπόν ἐστι τοῦ ἐλώρια. ὡς καὶ τὸ ἴχνος, τὰ ἴχνια. καὶ τὸ αἴκηλον, αἰκήλια.

Ἐλώρη, πελώρη.

Ἐλώρια. ὥσπερ τὸ πελώριον προϋπόκειται τοῦ πέλωρ, οὕτω καὶ τοῦ ἐλώριον, τὸ ἕλωρα. γινόμενον ἢ ἐκ τοῦ ἕλκω, ἢ ἐκ τοῦ ἕλω, τὸ φονεύω.

Ἐλώριος ἀγὼν, ὁ ἐπιτελούμενος ἐπὶ Ἐλώρου ποταμοῦ.

Ἔλωρος, πόλις Σικελίας.

Ἐλῶσα, ἐλαύνουσα.

Ἐλώσθη, ἐφοβεῖτο, ἐμαλακίσθη.

Ἔλωσι, καταλάβωσιν.

Ἐλώφησεν, ἐπαύσατο, ἐγαλήνησεν, ἔληξεν.

ΤΟ' Ε'. ΜΕΤΑ' ΤΟΥ Μ'.

Ἐμὰ δάκρυα, ἀντὶ τοῦ τῶν ἐμῶν δακρύων.

Ἔμαθον, δεύτερος ἀόριστος, ἐκ τοῦ μήθω ἀχρήστου ῥήματος. ἔμαθον παρὰ σοῦ πολλά. καὶ ἀπέμαθον πάντα, ἃ ἔμαθον.

Ἐμαὶ, λείπει τὸ αἱ ἄρθρον. ἵν' ὦσι αἱ ἐμαὶ πόλεις.

Ἐμαίμασε, προεθυμήθη, ἐκλονεῖτο, ἐταράττετο.

Ἐμακάρισαν, ἐμνημόνευσαν.

Ἐμαλάκισεν, μαλακὸν ἐποίησεν.

Ἐμαλάχθην, ἐνέδωκα.

Ἐμάλθαξεν, κατεπραΰνεν, καθωμάλισεν. ὡς τὸ, ἐν δὲ τῷ τραχεῖ καὶ ὀλισθηρῷ τόπῳ ξύλα σταυροῦντες τῇ καταβάσει, καὶ τὸ μέσον ἄλλοις ἐγκαρσίοις στερεοποιοῦντες, καὶ φορμοὺς ἐπιβαλόντες ὕλης, ἐμάλθαξαν τὸ πάνυ τραχύ τε, καὶ ὀλισθηρόν.

Ἐμαραίνετο, ἐσβέννυτο.

Ἐμαράνθη φλόγα, λέγεται ἐπὶ σβέσεως φλογός. καὶ σημαίνει ὅτι τὸ μαίρειν, ἐξ οὗ τὸ μαραίνειν καὶ τὸ ἐμαράνθη, ὑφεῖσθαι δοκεῖ πρὸς τὸ φλέγειν, καὶ τὴν φλόγα. εἴγε φλογὸς μαρανθείσης ὑπομένει ἀνθρακιά. ἐντεῦθεν καὶ ἐπὶ ἀνθέων, τὸ μαραίνεσθαι λέγεται, καὶ ἐπὶ ἀνθρώπων. τὸ δὲ πυρκαϊὰ, ἀναλόγως ἔχει τῷ μυρμηκιὰ, ἀχυρμιά. ἔστι δὲ τύπου περιεκτικοῦ. ὡς γὰρ ἡ ἀχυρμιὰ περιέχει ἄχυρα, καὶ μύρμηκας ἡ μυρμηκιά. οὕτω καὶ ἄνθρακας, ἡ ἀνθρακιά.

Ἐμαργήναντο, ἐπεφόβηντο.

Ἐμαρνάσθην, ἐμάχοντο, δυϊκῶς.

Ἐμαρυκᾶτο, ἐμασᾶτο.

Ἔμαρψα, ἐκράτησα, κατέλαβον.

Ἐμάσμην, εὗρον.

Ἔμασσεν, ἠνώχλει.

Ἐμάσταζεν, ἐμασήσατο.

Ἐματαίασε, μάταια ἐλάλησεν.

Ἐματαιώθησαν, ἐπλανήθησαν, τοῦ παντὸς ἐξέπεσον.

Ἐμάτησεν. Ὅμηρος, οὐδὲ ἐμάτησε Σθένελος. ἐνταῦθα τὸ ματᾶν, σαφῶς δηλοῖ στάσιν καὶ βραδυτῆτα ματαίαν. Ἰστέον δὲ, ὅτι δύναται τὸ οὐκ ἐμάτησε, καὶ ἄλλως οὐκ ἀπὸ τοῦ μάτην γίνεσθαι, ἀλλὰ ἀπὸ τοῦ μῶ μάσσω, τὸ ζητῶ. ἵνα λέγῃ, ὡς οὐκ ἐζήτησε τὸ ποιητέον, ἀλλ' εὐθὺς ἥψατο τοῦ πράγματος. ὥστε καὶ ματᾶν κατὰ τοῦτον τὸν λόγον, τὸ οἱονεὶ ζητεῖν, καὶ ἐνίστασθαι, καὶ μὴ θέλειν ἐγχωρεῖν ἔργῳ. ἢ ἐμάτησεν, ἠμέλησεν, ἐματαιοπόνησεν, ἐματαιοπράγησεν.

Ἐμαυτὸν ὠφελῶ. τοῦτο λέγεται κατὰ τὴν αὐτοπάθειαν, ἥτις ἐστὶν, ὅταν τις αὐτὸς ᾖ ὁ ἐνεργῶν καὶ πάσχων, σὲ ὠφελῶ, ἐκεῖνον ἀγαπῶ, τοῦτο κατὰ τὴν ἑτεροπάθειαν, ἤτοι ἀλλοπάθειαν. ἔστι δὲ ὅταν τις εἰς ἄλλον ἐκτελῇ τὴν ἐνέργειαν, σεαυτὸν ὠφελεῖς. ἑαυτὸν ὠφελεῖ, κατὰ τὴν αὐτοπάθειαν. ὅταν αὐτοὶ ἐνεργοῦσι καὶ πάσχουσιν.

Ἐμαυτοῦ, ἀντωνυμία, καὶ ἡ σαυτοῦ, καὶ ἡ ἑαυτοῦ, εὐθείας οὐκ ἔχουσι. καὶ λέγομεν οὕτω. τύπτω ἐμαυτὸν, καὶ κατηγορῶ ἐμαυτοῦ. καὶ οὐ λέγομεν, τύπτει σαυτὸν, οὔτε σὺ τύπτεις ἐμαυτὸν, ἢ ἑαυτὸν, ἀλλὰ ἐγὼ ἐμαυτὸν τύπτω, σὺ σαυτὸν τύπτεις, ἐκεῖνος ἑαυτὸν τύπτει. ὁμοίως ἐμαυτοῦ κήδομαι, ἐμαυτοῦ δούλου, σαυτοῦ δούλου, σὺ κήδῃ ἑαυτοῦ δούλου. ἐκεῖνος κήδεται. ἐμαυτῷ χαρίζομαι ἐγὼ, σεαυτῷ σὺ χαρίζῃ, ἑαυτῷ ἐκεῖνος χαρίζεται.

Ἐμαυ-

Digitized by Google

Ἐμαυτῷ βαλανεύσω, οἱονεὶ ἐμαυτῷ διακονήσω. λέγεται δὲ, ὅταν ὁ βαλανεὺς νωθρεύηται, καὶ ἑαυτῷ λαμβάνων τὴν ἀρύταιναν διακονῇ. ἢ ἀπὸ τῶν τὰς βαλάνους ἐγκρυβόντων εἰς πῦρ.

Ἐμαυτῷ συνεπίσταμαι, ἐν ἑαυτῷ ἐπίσταμαι.

Ἐμβάδες, καὶ ἔμβαται καὶ ἐμβάδια καὶ ἐμβάται, τὰ τῶν ἀνδρῶν ὑποδήματα.

Ἐμβαδὸν, ἀντὶ τοῦ βάδην, καὶ πεζῇ. ὅθεν ἄβατος, ἡ μὴ πορευομένη. καθὰ καὶ τὸ πῶς γένοιτ' ἂν ὁδὸς ἄβατος βάτῳ περικειμένης. ἕτεροι δὲ νοοῦσιν ἐμβαδὸν, τὸν λεγόμενον ἐμβατήριον ῥυθμὸν, καὶ ὡς εἰπεῖν εἰσιτήριον, πρὸς ὃν Λακεδαιμόνιοι τὴν πατρίδα εἴσβαινον, ὅτε πολέμου νόμῳ ἐκράτησαν. ἢ ἐμβαδὸν, διὰ τοῦ εἰς ναῦν ἐμβῆναι. καὶ αὖθις. ἢ τὸ ἐμβαδὸν ὑπονοοῦντες εἶναι κρυπτήριον, ἔστρεφον τοὺς οἴακας.

Ἐμβαθυνοὺς, σεσοφισμένους, σοφούς.

Ἐμβαίνει, τὸ εἰσέρχεται, τῆς ἐν προθέσεως ἐπὶ κινήσεως ἐνταῦθα λαμβανομένης. ὡς παρὰ Ἀριστοφάνει, ταχέως ἔμβαινε. καὶ ἐπὶ νηὸς, καὶ ἐπὶ οἴκου.

Ἐμβαίη, ἐμποδὼν γένηται, ἐναντιωθῇ, καταστῇ.

Ἐμβαίνοντες, ἐπιβαίνοντες. οἱ δὲ Ἀρράβιοι ἀρετῇ πολὺ τῶν ἀρρένων διαφέρουσιν. οἱ βέλεσιν ἀνδρομήκεσι χρώμενοι, ἀντὶ τῶν χειρῶν τῷ ποδὶ ἐμβαίνοντες, ἐς τὴν νευρὰν κυκλοῦσι τὸ τόξον.

Ἐμβακανίσας, τὸ μετὰ τοῦ ταρίχους καὶ στέατος σκευαζόμενον βρῶμα.

Ἐμβαλεῖν ἰδίως, τὸ κροῦσαι ναυσὶ λέγουσι. κυρίως δὲ ἐμβαλεῖν, τὸ ταῖς κώπαις κροῦσαι.

Ἐμβάλλειν, κυρίως, τὸ εἰς μάχην συμπλέκεσθαι. ὅθεν καὶ στρατοῦ ἐμβολὴ, καὶ κυμάτων. καὶ ἡ παρεμβολὴ οὐ τοιοῦτόν τι, ἀλλὰ σχῆμα ῥητορικόν ἐστιν. ἀνάλογον δὲ αὐτῇ καὶ τὸ ἐπεμβάλλειν, ἐξ οὗ γέγονε. δοκεῖ δὲ καὶ ἄλλο τι δηλοῦσθαι διὰ τὸ ἐπεμβάλλειν, εἴ τις ἐνθυμηθείη Ἀριστοτέλην ἀπίους ἐμβολάδας εἰπόντα, τὰς ὡς οἱ πολλοί φασιν ἐγκεκεντρισμένας. ὡς εἶναι ἐπεμβάλλειν, καὶ τὸ ἐπὶ τὸ προϋπάρχον φυτὸν ἐντιθέναι ἄλλου φυτοῦ κλαδίσκον, οὗ ὁ καρπὸς ἐμβολὰς ἂν λέγοιτο. τὸ δὲ τοιοῦτον ἐπεμβάλλειν, ἐμφυλίζειν καὶ ἐγκεντρίζειν ἡ κοινὴ γλῶσσά φησιν. ἄλλως γε ἀπὸ τοῦ ἐμβάλλειν καὶ μῆνες ἐμβόλιμοι, καὶ ἐνιαυτοί. καὶ ἔμβολος, ὁ ἔκβολος.

Ἐμβάλλειν, τὸ ἐντείνειν καὶ ἐμφορεῖν. οἷον ἐμβάλλω πληγὰς τῷ δεῖνι, δοτικῇ. καὶ ἐμβάλλειν τὸ διδόναι. Ἀριστοφάνης, ἔμβαλέ μοι τὴν δεξιάν. καὶ τὸ ἀπαντᾶν ἁπλῶς, καὶ τὸ συμμιγνύναι ἐπὶ πολέμου κυρίως.

Ἐμβαλλικύλλοι, οἱ αἰτοῦντες κατὰ παιδιὰν τὰς χεῖρας περιάγοντες, καὶ καλοῦντες, παρακαλοῦσιν ἐμβάλλειν.

Ἐμβάλλεο θυμῷ, ταυτὸν τῷ ἔνθου εἰς νοῦν.

Ἐμβαλλόπους, βλεψόπους.

Ἐμβάλλουσιν, ἀντὶ τοῦ καταντῶσιν. ἐμβάλλουσι δὲ, ὁ μὲν βασιλεὺς εἰς Λυδίαν. Προκόπιος δὲ, εἰς τὴν ἄνω Φρυγίαν.

Ἐμβάλλω εἰς τὸ ἀγγεῖον ὕδωρ, ἢ ἐν τῷ ἀγγείῳ. καὶ ἐμβάλλει τίς τινα εἰς τὸ δεσμωτήριον. καὶ ἐμβάλλει τὶς εἰς τὴν πολεμίαν γῆν. καὶ ἐμβάλλω, τὸ εἰσάγω. καὶ ἐμβάλλω, τὸ εἰσέρχομαι.

Ἔμβαρος, ἠλίθιος, μωρός. ἢ νουνεχής. Μένανδρος φάσματι.

Ἐμβαρός εἰμι, νουνεχὴς, φρόνιμος.

Ἐμβὰς, τὰ ὑποδήματα τὰ ἀνδρεῖα, παρὰ τὸ ἐμβαίνειν. Ἀριστοφάνης πλούτῳ, ἐκτυπεῖ τόδε ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν, ἀντὶ τοῦ πηδήμασιν. καὶ ἐμβὰς μέρος τι τῆς χελώνης.

Ἐμβατεῦσαι, ἐπιβῆναι, τὰ ἔνδον ἐξερευνῆσαι, ἢ σκοπῆσαι.

Ἐμβατεύων, ἐπιβαίνων. καὶ ἐμβατεύσαντες, ἀντὶ τοῦ εἰσελθόντες. οἱ δὲ ἔννοι εἰς τὴν προκειμένην νησίδα τῆς πόλεως ἐμβατεύσαντες. ἢ ἐμβατεῦσαι, τὸ κατέχειν καὶ καρποῦσθαι χωρίον, ἢ οἰκίαν, ἢ ὅλον τὸν κλῆρον. ἢ ζητῆσαι.

Ἐμβατεύω, σημαίνει δύο. τὸ περιπατῶ, καὶ τὸ ἐξετάζω.

Ἐμβατήρια, ἡ ἀρχὴ ἀπὸ μεταφορᾶς τῶν νηῶν. ἐμβατήρια, ἐπὶ νηῶν. ἐπιβατήρια, ἐπὶ ἐλάσει ἀνθρώπου.

Ἐμβατὴρ, παρὰ τοῖς ἀρχιτέκτοσι τόπος.

Ἐμβατήριον, εἶδος αὐλήματος.

Ἐμβαφίαι, λοπάδες βαθεῖαι, ἀπὸ τοῦ βάπτειν ἐν βάθει.

Ἐμβάφιον, ὀξύβαφον, παρὰ Ἱππώνακτι.

Ἔμβραχον, ἔμβρυον.

Ἐμβεβαυῖα, ταυτὸν ἂν εἴη τῷ ἐπιβεβηκυῖα, ἤτοι ἐπικειμένη, οἱ δέ γε μεθ' ὅμηρον καὶ στασιώδη τὴν τοιαύτην οἴδασι λέξιν, ὅτε μετὰ τῆς ἐπὶ ἢ πρὸς προθέσεως σύγκειται. ἐπεμβαίνει γοῦν τις ἐχθρῷ κειμένῳ, ναὶ μὴν καὶ προσεμβαίνει κατὰ τὸ, οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή.

Ἐμβεβαώς. βίβημι, ὁ μέλλων βήσω. ὁ παρακείμενος βέβηκα, ὁ μέσος βέβαα, ἡ μετοχὴ ὁ βεβαώς.

Ἐμβεβαῶτα, ἐπὶ ἅρματος κυριολεκτεῖται. ἐφ' οὗ ἐμβέβηκέ τις τῷ δίφρῳ. ἐξ αὐτοῦ ὡς ἐκ μέρους καὶ ἐπὶ ἵππων νοηθήσεται. ἄλλως γὰρ οὐκ ἂν ἐμβαίνειν τὶς ἵπποις ἐρεῖ. ἀναβαίνειν δὲ ἐπὶ ἵππους, ἢ ἵππων ἐπιβαίνειν. ἔχεται δὲ καὶ τόπου τούτου, καὶ ἐξ ἵππων βῆσε, καὶ ἔκβαλε δίφρου.

Ἐμβεβαῶτες, παρὰ τῷ Ἀπολλωνίῳ, μετοχὴ ἀντὶ ῥήματος κεῖται τοῦ ἐμβεβήκαμεν.

Ἐμβεβηκὼς, ἐπιβεβηκώς.

Ἐμβεβίωκε, τέθνηκεν.

Ἐμβεβλημμένα, ἀντὶ τοῦ ἐγκεκεντρισμένα. Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον. καὶ Ἀριστοτέλης δ' ἐμβολάδας ἀπίους λέγει τὰς τοιαύτας.

Ἐμβεβροντημένα, μάταια γενόμενα, ἢ ἀναίσθητα, ἢ ἐμβρόντητα.

Ἐμβείη, ἀντὶ τοῦ ἐμβῇ, ἐμποδίσῃ, χωρήσῃ.

Ἐμβεκανεῖται, ἐμπέπλεκται.

Ἐμβήῃ, οὐ μακρὰν μέν ἐστι τοῦ ἐμπέσῃ, ὃ ἀλλαχοῦ ἐῤῥέθη. δηλοῖ μάλιστα τὸ ἐνάλλεσθαι. ὡς καὶ δηλοῖ ὁ σοφὸς ἐν τῷ, καὶ προσεπεμβῆναί σε χρή. ἐσχημάτισται δὲ τὸ ἐμβήῃ, κατὰ τὸ στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ. φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ. καὶ τὸ, φάος ἐν νήεσσι θήῃς.

Ἔμβηθι, ἔμβα λέγει ὁ κωμικός. καθὰ καὶ τὸ κατάβηθι, κατάβα.

Ἔμβην, ἐμποδοστάτην, ἐμποδὼν γένηται.

Ἐμβήσας, ἐμπλήσας.

Ἔμβιαι, αἱ εἰς βάθος διϊκνούμεναι ῥίζαι, καὶ ἐμβεβηκυῖαι.

Ἐμβίανος, Ἄρης.

Ἐμβιβάξαντες, παρ' Ἱππώνακτι. ὡς τὸ, Ἀλλ' αὐτίκ' ἀλλήλοισιν ἐμβιβάξαντες. ἀπὸ τοῦ ἐμβιβάζω ἐμβιβάξω, ἐμβιβάξαντες. σημαίνει δὲ, τὸ ἐμβοήσαντες.

Ἐμβαλεῖς, εἰσελεύσῃ. ἰδίως δὲ ἐμβαλεῖν, τὸ τῇ ναυσὶ κροῦσαι, ἢ ταῖς κώπαις.

Ἔμβιον, Ἀντιφῶν τὸ ζῶν καὶ μὴ ξηρανθὲν, μὴ δὲ ἐναποθανόν. ὡς τὸ, ἔμβιόν τι ψυχῆς πάθος ἐνέσταξέ μοι κοιμίσασα.

Ἔμβιος καλεῖται ἡ σηπεδὼν τοῦ ξύλου. ἡ δὲ σηπεδὼν, ἡ ποιότης ἐστὶν ἡ ἐν αὐτῷ. καὶ εἰ μὲν εὖ ἔχει, τοῦ ἐκφῦσαι αἰτία γίνεται. εἰ δὲ κακῶς, τοῦ κατασαπῆναι.

Ἐμβλὼ, πέπλασται παρὰ τὸ ἐμβλέπειν. ὡς ἡ Δωρὼ, καὶ Δεξώ.

Ἐμβλωκυῖαν, ἐν τῷ ἀνδρὶ ἤδη οὖσαν.

Ἔμβολα, μοχλοὶ, ἀσφάλειαι.

Ἐμβολάδας, ἤτοι ἐγκεντρισμένας. Ἀριστοφάνης, ἐμβολάδας ἀπίους.

Ἐμβολὰς, ὁρμὰς, ἐπιδρομάς.

Ἐμβολὴ, κλεισοῦρα, εἴσοδος στενωπός. ἐμβολὴ καὶ τὸ ἄκρον τοῦ κριοῦ, τοῦ μηχανικοῦ ὀργάνου. τῷ ἐπιφερομένῳ ἄχθει ἀποκαυλίζειν τὸ προέχον τῆς ἐμβολῆς.

Ἐμβολὴν, πληθὺν, ὁρμὴν, ἐνθήκην, ἀπόθετον χρῆμα.

Ἐμβολίδες, αἱ περίθετοι.

Ἐμβόλιμα ἔπη, τὰ ὑπὸ τῶν γραμματικῶν ὡς ἀλλότρια καὶ νόθα, ἀθετούμενα.

Ἐμβόλιμον, τὸν μῆνα, καὶ τὴν ἡμέραν, καὶ ἀνδραποδισμόν.

Ἐμβόλιμος, ἀτελής. παῖδες ἐμβόλιμοί τινες, Ἱπποκράτης.

Ἔμβολον, τὸ χάλκωμα τὸ προστεθέμενον κατὰ πρῴραν ταῖς ναυσὶ, λέγουσιν Ἴωνες.

Ἔμβολος, παρὰ τὸ τὸν λαὸν ἐμβαίνειν. ἢ εἶδος θηρίου ἐν λαχάνοις.

Ἔμβολος ὀξὺς, τὸ τῆς νηὸς ἔμπροσθεν. ἀφ' οὗ καὶ τὸ ἀνδρεῖον αἰδοῖον παρὰ τοῖς κωμικοῖς ἔμβολον. καὶ τὸ ἐπιέμβολον ἐκεῖθεν, καὶ ὑπόβολον, οὐ μόνον τὸ παρὰ τοῖς νομικοῖς, ἀλλὰ καὶ τὸ ὑποβεβλημένον. ἤγουν ὑποκείμενον πρὸς δάνειον καὶ τόκον, εἴτε ἀγρὸς, εἴτε οἶκος, εἴτε ἄλλο τι. Φερεκράτης, οὐχ ὁρᾷς τὴν οἰκίαν τοῦ πολιτίωνος κειμένην ὑπόβολον. ἔμβολον δέ φασι χρημάτων ἔχειν αὐτόν. ἔμβολον καὶ παρατάξεως ὄνομα. ἔστι δὲ τὸ ἥμισυ τοῦ ῥόμβου, ὀνομάζεται δὲ καὶ σφενδονοειδές. ῥομβώδης δὲ παράταξις, καὶ τῆς νηὸς τὸ πολεμικὸν σιδήριον.

Ἐμβραμμένη παρὰ Σώφρονι, ἡ εἱμαρμένη, ὑπερθέσει τοῦ ρ καὶ διὰ τὴν ἀσυνταξίαν πλεονασμῷ τοῦ β. καὶ Λάκωνες οὕτω λέγουσιν.

Ἔμβραται, εἵμαρται.

Ἔμβραχυ, καθάπαξ, ἢ παντάπασι. τὸ ἔμβραχυ Ἀττικῇ συνηθείᾳ, οὐδὲν πλέον δηλοῦσα, ἢ τὸ βραχύ. ὡς ἐμφαγεῖν, τὸ φαγεῖν. ἢ ὅλως, συντόμως. ὡς τὸ, Οὐδὲν ἦν εἴς τινα ἔμβραχυ ἀγαθὸν, ὃ μὴ ἐκείνου κατέτεινε τὴν ψυχὴν, ἀντὶ τοῦ ἐλάχιστον.

Ἐμβρέμεται, ἐμπίπτει, ἐμφυσᾷ.

Ἔμβρεος, ἐννεὸς, μωρός.

Ἐμβρίθεια, ἀνδρεία. καὶ φρόνησις στερεά.

Ἐμβριθὲς, στιβαρὸν, βαρὺ, φοβερὸν, πλατύ.

Ἐμβριθεστάτη, στερεωτάτη.

Ἐμβριθὴς, στερεὸς, ἔμφρων.

Ἐμβρίμημα, μετ' ὀργῆς λάλημα.

Ἐμβριμήματι, κινήματι.

Ἐμβριμῆσαι, ἐπιτιμῆσαι, κελεῦσαι, προστάξαι μετ' ἐξουσίας.

Ἐμβρίμησις, ψυχικῆς λογικῆς τοῦ θυμικοῦ μέρους ἐνέργεια.

Ἐμβριμώμενος, μετὰ αὐστηρότητος ἐπιτάττων, καὶ ἐπιτιμῶν, ἢ μετ' ὀργῆς λαλῶν. καὶ ἐμβριμᾶται.

Ἔμβριον, θεῖον.

Ἐμβρόνιον, μικρόν. καὶ πορφυροῦν ἱμάτιον Τιβερικόν.

Ἐμβροντηθέντες, ἐννεοὶ γενόμενοι, μωρανθέντες.

Ἐμβροντησίας, μανίας, φρενοβλαβίας, θάμβους.

Ἐμβρόντητος, ἀνατετραμμένος τὴν γνώμην, κοῦφος τὴν διάνοιαν, ἀνερμάτιστος, ληρῶν. λῆρος, τὸ μηδὲν. καὶ ἐμβρόντητος, καρδιόπληκτος, ἔκφρων, μαινόμενος.

Ἔμβρυον, τὸ κυοφορούμενον, καὶ ἔτι διαπλαττόμενον βρέφος. παρὰ τὸ ἔσω βρύειν, ὅ ἐστιν αὔξεσθαι. Ὅμηρος δὲ λέγει ἔμβρυον, τὸ νεογνὸν τέκνον καὶ νεογιλὸν, καὶ γαλαθηνόν. ἡ δὲ συνήθεια τὸ ἐντὸς τῆς γαστρὸς βρύον. ὅ ἐστι ζῶν, καὶ θάλλον. βρέφος δὲ, τὸ ἐκκύψαν τῆς γαστρός.

Ἐμβρύσαι, τὸ ἐνθεῖναι. τροπῇ τοῦ δ εἰς β, ἀπὸ τοῦ ἐνδῆσαι.

Ἔμβυλλαι, ἁγναὶ ἡμέραι, καὶ γῆς ἔντερα.

Ἐμεγαλώθη, ὑψώθη.

Ἐμέγηρεν, ἐφθόνησεν.

Ἐμέθεν, ἀντὶ σοῦ ἐμοῦ.

Ἔμεια, πόλις, ἐκ τοῦ ἐμεῖν, περὶ ἣν ὁ Θυέστης ἤμεσε, φαγὼν ἐξ ἐπιβουλῆς Ἀτρέως τὰ οἰκεῖα τέκνα, ὡς ἡ ἱστορία φησίν.

Ἐμειδίασα, ἐγέλασα.

Ἔμειον, παρέμενον.

Ἐμεῖο, καὶ μοῖο διαφέρει. ἐμεῖο μὲν γὰρ ἀσυνάρθρον. ὡς Ὅμηρος, ἐμεῖο δὲ συνθέο μῦθεν. τὸ δὲ μοῖο συνάρθρον, τοῦ μεῖο παιδός. καὶ μνῆσαι πατρὸς σοῖο θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, ἀντὶ τοῦ σοῦ πατρός. γίνεται δὲ ἐκ τοῦ ἐμοῦ. τὸ δὲ ἐμοῦ ποίου εἴδους; πρωτοτύπου. κατὰ

Digitized by Google

πόσους τρόπους διαφέρει τοῦ παραγώγου; κατὰ τρεῖς. ὅτι τὸ μὲν ἰμὶ ἐμὸ, ἐμοῖο καὶ ἐμοῦ, καὶ ἐμέθεν. τὸ δὲ παράγωγον οὐδ᾽ ὅλως, καὶ ὅτι τὸ μὲν πρωτότυπον ἐγκλίνεται τὸ κατ᾽ ἀρχὰς φωνῆεν ἀποβαλὸν, οἷον ἤκουσέ μευ. τὸ δὲ παράγωγον οὐκ ἐγκλίνεται, οὐκ τὸ κατ᾽ ἀρχὰς φωνῆεν ἀποβάλλει.

Ε᾽μείρετο, ἐπεθύμει.

Ε᾽μείωσας, ἠλάττωσας, ἔφθαρας.

Ε᾽μέλησεν, ὑπερέθετο, ἐβράδυνεν, ἐφρόνησεν, ἐφρόντισεν.

Ε᾽μελλεν, ἐφαίνετο, ἀπέκειτο, ἔμελλε. ἢ ἔμελλεν, ἀντὶ τοῦ ἔοικε. κεῖται παρ᾽ Ὁμήρῳ, μέλλε μέν ποτε οἶκος ὅδε ἀφνειὸς καὶ ἀμύμων ἔμεναι. Ἰστέον δὲ, ὅτι τὸ τοιοῦτον μέλλει στοχαστικὸν καὶ αὐτὸ ῥῆμα ὂν, οὐ μόνον ἐπὶ γενησομένου λέγεται πράγματος, οἷον μέλλει ἔσεσθαι τόδε ἐστὶ, ἀλλὰ καὶ ἐπὶ παρωχημένου μὲν ἀδήλου.

Ε᾽μελλον γράψαι, ἐσχάτως βάρβαρος ἡ σύνταξις αὕτη. ἀορίστῳ χρόνῳ τὸ ἔμελλον οὐ συντάττουσιν οἱ ἀθηναῖοι, ἀλλ᾽ ἤτοι ἐνεστῶτι, οἷον ἔμελλον γράφειν. ἢ μέλλοντι, οἷον ἔμελλον γράψειν, Φρύνιχος.

Ε᾽μελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι, εἴρηται παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ ἔοικα. καὶ ἔμελλον ποιεῖν, ἢ ποιήσειν, ποιῆσαι δέοι.

Ε᾽μεμηκὼς, ἐμέσας.

Ε᾽μέμυχεν, ἐπέξεσεν.

Ε᾽μὲν, ἀντὶ τοῦ ἐσμέν. ἀναλογώτερον δὲ τὸ ἐμὲν τοῦ ἐσμέν. ἀπὸ τοῦ γὰρ γίνεται τὸ ἐσμὲν, πλεονασμῷ τοῦ σ.

Ε᾽μεναι, ἤγουν πέμπειν. ἐκ τοῦ εἶναί ἐστι δασυνομένου, καὶ δηλοῦντος τὸ ἀφιέναι. οὐ συνδέετον τὸ ἀφεῖναι.

Ε᾽μετος, ἡ τῶν περιττωμάτων κίνησις.

Ε᾽μετὸς, ἐξέραμα.

Ε᾽μεῦ, ἀντὶ τοῦ ἐμοῦ.

Ε᾽μέων, ἀντὶ τοῦ ἐμῶν.

Ε᾽μήιον, ἀνεμάνθανον. καὶ ἐμήιον, ὠργίζοντο.

Ε᾽μήωυθεν, ἔμαθεν, ἔμασεν.

Ε᾽μῇ πεντόχῳ, τῇ ἐμῇ χειρί.

Ε᾽μήσατο ποιητικῶς, ἐβουλεύσατο κοινῶς.

Ε᾽μήσατο, ἐπεκτήσατο, ἠπάτησεν. ἐμηχανήσατο, ἐβουλεύσατο, ἐποίησεν.

Ε᾽μηχανησάσθην, ἐμηχανήσαντο, δυϊκῶς.

Ε᾽μηχανᾶτο, ἐπεχνάζετο. ἀνέμβατα τὰ ὄρη ἐμηχανᾶτο φαίνεσθαι.

Ε᾽μίαι, ἔμετοι Ἀττικῶς, παρὰ τῷ Ἱπποκράτει.

Ε᾽μίγνυτο, ὡμίλει.

Ε᾽μίηνεν, ἐκ μίξεως διέφθειρεν.

Ε᾽μιμήσατο, ὡμοιώσατο.

Ε᾽μὶν, ἀντὶ τοῦ ἐμοί.

Ε᾽μισα, πόλις, καὶ Ἐμισαῖος ὁ πολίτης.

Ε᾽μισγον, ἐν κρατῆρσιν οἶνον καὶ ὕδωρ. ἀφορμή ἐστι τοῖς τοῦ κρατῆρος ἐτυμολογίας, ὡς οὕτω καλουμένου διὰ τὸ ἐν αὐτῷ τὰ τοιαῦτα συγκεράσθαι, ἤτοι μίσγεσθαι.

Ε᾽μίσγομεν, ἐμιγνύομεν.

Ε᾽μίσυλον, εἰς ὀλίγον διήρει.

Ε᾽μιτρώσατο, ἐζώσατο. καὶ ἐμιτροφόρουν, ἀντὶ τοῦ μίτρας, ἤτοι ζώνας διεζώννυντο.

Ε᾽μιχθεν, ἐμίχθησαν, πληθυντικῶς.

Ε᾽μμα, ἀντὶ τοῦ εἷμα λέγουσιν Αἰολεῖς. καὶ ἔμματα ἀντὶ τοῦ εἵματα. ἢ ἔμμα, ἱμάτιον, ἢ καταπτόμενον, καὶ ἀπομασσόμενον.

Ε᾽μμακεδονίζαι, χρῆσθαι.

Ε᾽μμαλάξαι, ἐμμεῖναι, τῇ χειρὶ ἐπιλαβέσθαι.

Ε᾽μμανῶς, ὀργίλως, ἐχθύμως.

Ε᾽μματέως εἴρηται παρ᾽ Ὁμήρῳ, λέξις ἐστὶ ποιητικὴ, δηλοῦσα τὸ σπουδαίως, οἱονεὶ ἀμπέως, ἤγουν ἐπὶ καὶ λόγῳ, κατὰ Φιλόξενον. καὶ κατὰ μετάθεσιν ἐμμαπέως. ἵνα λέγῃ, ὅτι κατέβη τοῦ ἅρματος ὁ Σθένελος ἅμα τῷ καλέσῃς αἰδεῖσθαι τὸν Ἀθηνᾶν.

Ε᾽μμάσαι, ἐνερεῖσαι.

Ε᾽μματαιάζων, ματαιολογῶν.

Ε᾽μματεῖται, ἐνερείδει, ἐλλαμβάνεται, ζητεῖ κατὰ μέρος.

Ε᾽μματεῶν, ψηλαφῶν, φιλονεικῶν, ὁρμῶν.

Ε᾽μμελέσσι, τοῖς φροντίζουσιν.

Ε᾽μμέλεια ἐρρέθη παρὰ τοῖς ὕστερον, εἶδός τι ὀρχήσεως ἐμμέλεια. φησὶ γοῦν ὁ Παυσανίας, ὅτι ὀρχησίς τις ἦν τραγικὴ λεγομένη ἐμμέλεια. Αἴλιος δὲ Διονύσιός φησι καὶ αὐτὸς, ὅτι καὶ ἐμμέλεια τραγικὴ ὄρχησις, ὥσπερ κωμικὴ κόρδαξ. καὶ ἡ σατυρικὴ, σίκιννις. ἐκαλεῖτο δέ φησι ἐμμέλεια, καὶ τὸ ὑπὸ τὴν τραγικὴν ὄρχησιν ᾀδόμενον αὔλημα. ὁ δὲ Παυσανίας λέγει, καὶ ὅτι ὀρχήσεως εἶδος καὶ ὀξιφισμὸς, καὶ χειρισμὸς ἐμμελείας. ὅθεν ἐπιξιφίσαι, τὸ ἐξορχήσασθαι. ὥσπερ ἀποφοιτᾶν παρὰ Λυσίᾳ, τὸ παύσασθαι φοιτᾶν, ὅ ἐστι μανθάνειν. σημείωσαι, ὅτι τῆς ὀρχήσεως εἰς δύο εἴδη διῃρημένης, εἴς τε τὸ ἐνόπλιον, ὃ τῇ πυρρίχῃ καὶ κυρητικῇ κινήσει ὑπέπεσεν, καὶ εἰς τὸ εἰρηνικὸν, τὸ ἀριστον ἐστὶν ἐμμελείᾳ, κατὰ τὰ βακχικὰ σχήματα ὁ ποιητὴς ἀμφότερα παραδείκνυσιν, φράζων οὕτω. ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις, καὶ τὰ λοιπά. ἐν τῷ ς τῆς Ἰλιάδος.

Ε᾽μμελὲς, ἐπιμελὲς, ἔμμετρον. ἢ ἐμμελὲς, τὸ ἐναρμόνιον, καὶ κατ᾽ ἴσον ῥυθμὸν ἐκφερόμενον, ἤτοι τὸ εὔρυθμον. τὸ ἐναντίον τὸ ἐκμελές, ὅπερ δηλοῖ τὸ ἔξω τοῦ μέλους εἶναι, ὅτε ἡ μουσικὴ χαλαρά ἐστιν, ἤτοι τὸ ἄμουσον.

Ε᾽μμελέστατος, κηδεμών.

Ε᾽μμελέστερον, συνετὸν, εὔρυθμον.

Ε᾽μμελῶς, συνετῶς, ἡδέως, εὐρύθμως.

Ε᾽μμελῆς, καθήκων, προσηνής.

Ε᾽μμεμαὼς, πρόθυμος καὶ μαιμῶν, οἷα καὶ πῦρ. καὶ τὸ, ὡς δ᾽ ἀναμαιμάει θεσπιδαὲς πῦρ.

Ε᾽μμεμαυῖα, μαινόμενον.

Ε᾽μμέμυκεν, καταμέμικται, ἢ ἐπικέκλειται, παρὰ τὸ μεμυκέναι. τινὲς δὲ, ἐμνήμυκεν.

Ε᾽μμεναι Δωρικῶς, ἀπὸ τοῦ εἶναι, τὸ ὑπάρχειν. ζήτει δόμεναι. ἢ ἔμμεναι παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἦν, κατὰ τοὺς παλαιούς. ἵνα λέγῃ, ὅτι γέλοιον ἦν τοῖς ἄλλοις, τὸ παρ᾽ ἐκείνῳ σπουδαῖον. ἢ παρέλκον κεῖται καὶ ἀργόν. τοῦτον δὲ καὶ τὸ ἑκὼν εἶναι οὐκ ἂν τόδε ποιήσω, ὁμοίως παρέλκουσιν. ὡς καὶ τὸ ἀμέλει ἐνίοτε, καὶ τὸ ἔχειν ἐν τῷ πέζας ἔχων, καὶ τὸ γε νῦν ἔχον. καὶ τὸ εἶναι, ἐν τῷ, εἰ σοὶ μηδὲν μεῖον, ἐστ᾽ ἀπεχθάνῃ. καὶ τὸ ποτὲ, ἐν τῷ τί δήποτε ἥκεις; καὶ τὸ τί, ἐν τῷ ὅμοῦ τι, σχεδόν τι, μᾶλλόν τι, οὔτι, οὔτοι τι, ἐγώ εἰμι. καὶ ὡς δή ποτε, καὶ ἔμμεναι. μέγιστον τεκμήριον ἐν ἀμφισβητήσει τῶν θεματικῶν, τὸ τὰ ἰωνικὰ τοῖς περισπᾶσθαι ῥήμασι, ὅτε τὸ ἀπαρέμφατον διὰ προπαραληγόντως τοῦ ε λέγεται. τὸ γὰρ κυῶ περισπᾶται, ὅτι κυήμεναι τὸ ἀπαρέμφατον. εἰ δὲ ἦν κύω βαρυτόνως, κυέμεναι ἂν ἦν, κατὰ τὸ δρέμεναι. οὕτω καὶ φιλῶ φιλεῖν φιλήμεναι, καὶ νοήμεναι, καὶ φρονήμεναι. καὶ τὸ ἀήμεναι δὲ, μαρτυρεῖ τῷ ἀῶ περισπωμένῳ. δῆλον οὖν φησι καὶ τὸ ἔμμεναι, ἀπὸ τοῦ ὦ περισπωμένου, τῆς δευτέρας συζυγίας. οὐ ἡ μετοχὴ περισπᾶται. αἰολεῖ φαμὲν ἔμμεναι, καθότι Αἰολεῖς καὶ ἐν θέμασι τὸ προηγούμενον ἢ τοῦ μ, εἰς ε μετατιθέντες, διπλοῦσι τὸ μ. οἷον πόθημι πόθεμμι, φίλημι φίλεμμι. οὐκοῦν ὁ Ἡρακλείδης φαίνεται εἰδὼς τὸ ἔμμεναι, ἀπὸ τοῦ εἶναι γενέσθαι, τοῦ παραληγομένου τῷ η. θέμα μὲν τὸ ὦ, ἤγουν ὑπάρχω, περισπωμένως. παρατατικὸς δὲ, ἦν, κατὰ τὸ φιλῶ ἐφίλουν. νοῶ ἐνόουν, καὶ τὰ ὅμοια Αἰολικά.

Ε᾽μμένη, προθυμεῖται.

Ε᾽μμενὲς, ἀεὶ, συνεχῶς, ἀδιαλείπτως, ἐπιμόνως μένων καὶ ἐμμένων, καὶ ἐμμενές.

Ε᾽μμενέως, προθύμως, βιαίως, ἐρρωμένως.

Ε᾽μμενόστατος, μέγιστος.

Ε᾽μμεσι, ἀντὶ τοῦ εἶμασι. ἰμέρρων, ἀντὶ τοῦ ἱμείρων. ὠπέλλας, ἀντὶ τοῦ ὠφέλας. Αἰολεῖς ὅσα διὰ τῆς ει διφθόγγου παρ᾽ ἡμῖν λέγεται, διὰ μόνου ε προφέρουσι, διπλασιάζοντες τὰ ἀμετάβολα.

Ε᾽μμιται, ὀρχεῖται.

Ε᾽μμηλάδας αἶγας, τὰς μετὰ τῶν προβάτων γενομένας.

Ε᾽μμηνοι δίκαι, αἱ ἐμπορικαὶ, καὶ ἐρανικαί.

Ε᾽μμήνιον, ὁ καὶ ἐπιμήνιον, τὸ κατὰ μῆνα πλεονάζον αἷμα ταῖς γυναιξί. τροφὴ δὲ τὸ αἷμα γίνεται τοῖς βρέφεσιν.

Ε᾽μμηροι, οἱ ἐπὶ ἐνέχυρα διδόμενοι φιλίας δήμοις, ἐν Σικελοῖς.

Ε᾽μμήρους, ἐν ὁμηρείᾳ ὄντας, παρὰ τοὺς ὁμήρους, τοὺς συμβιβάσει διδομένους.

Ε᾽μμισθοι, οἱ ὀφείλοντες λαβεῖν μισθόν. οἱ δὲ ἄνοι, οὐδέν τι ἧσσον ἔμμισθοι ἐγίνοντο, ληιζόμενοι τοὺς Ῥωμαίους.

* Ε᾽μμὶ, ἀντὶ τοῦ εἰμὶ, ἐκβολῇ τοῦ ι, καὶ διπλασιασμῷ τοῦ μ Αἰολικῶς.

Ε᾽μμόνιαι, συνθῆκαι.

Ε᾽μμονον, παραμένοντα, ἐμμέριμνον. ἐκ τοῦ μείρω, τὸ μερίζω, ὁ μέλλων μερῶ, ὁ παρακείμενος μέμαρκα, ὁ μέσος μέμορα. καὶ κατὰ ὑπερβιβασμὸν ἔμμορα. ἢ ἀπὸ τοῦ μορῶ, τὸ τυγχάνω, ὁ μέλλων μορήσω, ὁ παρακείμενος μεμόρηκα, ὁ μέσος μέμορα. ὁ δεύτερος ἀόριστος ἔμορον, καὶ πλεονασμῷ ἑτέρου μ, ἔμμορον, ρες, ρε. σημαίνει τὸ ἔτυχεν, ἔλαχεν. ἢ ἔμμορεν, ἔλαχεν, ἔτυχεν. ἔστι δὲ δεύτερος ἀόριστος, ἀπὸ τοῦ μορῶ, ὁ σημαίνει τὸ τυγχάνει. ὅτι δὲ δεύτερος ἀόριστος δῆλον, καὶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ἔμμορον εὑρίσκομεν.

Ε᾽μμορον, εἱρμαρμένον.

Ε᾽μμορος, πετευχώς.

Ε᾽μμόρμησεν, ἐπενόησεν.

Ε᾽μμοριδαι, μέτοικοι.

Ε᾽μμοτος, τραυματίας, νοσώδης.

Ε᾽μνήμυκεν, εἰς ὑπόμνησιν ἤνεγκεν.

Ε᾽μνησας, γενικῇ συντάσσεται. τοιοῦτον δὲ τὸ ἀνέμνησας, ἤγουν εἰς μνήμην ἤγαγες. δῆλον ὅτι ἐκ τοῦ ἔμνησα γίνεται αὐτοπαθῶς, τὸ ἐμνησάμην. ὡς μνήσατο Αἰγίσθοιο καὶ μετοχὴ μνησάμενος.

Ε᾽μνήσθην, ἐκ τοῦ μέμνημαι παρακειμένου. ὤφειλεν εἶναι ἐμνήσθην κατὰ τὸν κανόνα τοῦ παρακειμένου λέγοντα, ὅτι ὁ ἀόριστος φυλάττει τὴν παραλήγουσαν τοῦ παρακειμένου, ἀλλ᾽ οὕτος προσέλαβε τὸ σ.

Ε᾽μνώοντο, μνήμην ἐποιοῦντο, ἢ ἐμνηστεύοντο.

Ε᾽μόγησα, ἐκοπίασα, ἐκ τοῦ μογέω.

Ε᾽μοὶ δοκεῖν, κατὰ τὸ δοκεῖν ἐμοί.

Ε᾽μοὶ μέλει φίλον εἶναι. ἠθικῶς εἶπεν, οἷον ἐμοὶ ὡς ἔοικε φίλον ἐστὶν, ἀντὶ τοῦ οὕτω μοι ἀρέσκει, οὕτως ἐγὼ θέλω.

Ε᾽μοῖο δ᾽ ἔδησεν Ἄρης ἀλκτῆρα γενέσθαι, παρ᾽ Ὁμήρῳ, ἐν τῷ ς τῆς Ἰλιάδος, στρεβλόν ἐστι νόημα, καὶ διάφορον τῇ γραφῇ, καὶ δυσφραδές. καὶ οἱ μὲν οὕτω φασὶν, ἐμοῦ δὲ δήσεν ὁ Ἄρης, τουτέστιν ἔδησε καὶ ἐκώλυσε τὸ ἀλκτῆρα γενέσθαι, ἤγουν ἀμυντῆρα τοῦ Πατρόκλου. ἕτεροι δὲ περισπῶντες ἀρῆς λέγουσιν οὕτως, ἐμοῦ δὲ δήσεν, ὅ ἐστιν ἐδέησε τοῦ Πατρόκλου εἰς τὸ ἀρὰς ἐκείνου γενέσθαι. οἱ δὲ παλαιοὶ παραφράζουσιν ἐνταῦθα τὸν ῥηθέντα στίχον, καὶ οὕτω παρέργως, ἐμοῦ δέ φησι τὴν πρᾶξιν ἔδησεν Ἄρης. ἤτοι ἐξ ἐμοῦ βοηθείας ἐνέδησεν. ἢ τῇ βλάβῃ αὐτοῦ ἐνέδησε. τὸν δὲ Ἀρίσταρχόν φασι γράφειν, Ἄρεω ἀλκτῆρα. ἵνα λέγῃ, ὅτι ἐμοῦ ἐδέησεν εἰς τὸ ἀλεξιτῆρα γενέσθαι τοῦ Ἄρεω, ὡς ἀπὸ τῆς συνήθους εὐθείας τοῦ Ἄρεως, ὡς Μενέλεως.

Ε᾽μολεν, ἦλθεν.

Ε᾽μὸν πρᾶγμα, ἤγουν τὸ πρᾶγμά μου, ὅπερ μόνος ἔχω. ἡμέτερον δὲ πρᾶγμα, ἤγουν τὸ ἡμῶν.

Ε᾽μορμολύττετο, ἐδεδίττετο.

Ε᾽μοῦ, καὶ σοῦ, καὶ οὗ, τετραχῶς κινεῖται. τὸ μὲν γὰρ πρωτότυπα ἐμοῦ, σοῦ, οὗ. ἡ δὲ διάλυσις ποιεῖ αὐτὰ ἐμέο, σέο, ἕο. ταῦτα μὲν συναίρεσις ποιητική, συναλείφει εἰς τὸ ἐμεῦ, σεῦ, εὗ. ἐπένθεσις δὲ τοῦ ι, μεταίγει αὐτὰ εἰς τὸ ἐμεῖο, σεῖο, εἷο. παραγωγὴ δὲ μετασύρει αὐτὰ εἰς τὸ ἐμέθεν, σέθεν, ἕθεν. καὶ ἐστὶ τούτων πάντων χρῆσις παρὰ τῷ ποιητῇ. τὸ δὲ ἐμεῦ ἀποβαλὸν τὸ ε ἀρχουσαν ἐγκλίνεται, ἤγουν τὸν οἰκεῖον τόνον ἀποπέμπει εἰς τὴν ὄπισθεν συλλαβήν. οἷον, κλῦθί μευ ἀργυρότοξε.

Ε᾽μόχλευον, προτότυπόν ἐστι τοῦ ἐμόχλευον. ἑρμηνεία δὲ αὐτοῦ, τὸ ἔσυρον.

Ε᾽μπα, ἀντὶ τοῦ ἔμπης. ὅμως ἢ ἔμπα, σημαίνει τὸ ὅμως. καὶ ἔμπης, τὸ αὐτό. τὸ δὲ ἔμπης, ποτὲ μὲν σημαίνει τὸ ὅμως, ὡς τὸ σὺ δὲ χαῖρε καὶ ἔμπης. ποτὲ δὲ ὁμοίως, ἢ ἐπίσης. ὡς τὸ ἔμπης ἐς γαῖαν τε, καὶ οὐρανὸν ἵκετ᾽ αὐτμή.

Εμ-

Digitized by Google

Ἐμπαγμῷ, πάξουχῳ.

Ἐμπάζεαι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ δὲ ἐπιστροφῆς ἔχεις, ἐνίοτε αἰτιατικῇ συντάσσεται. ὡς τὰ πολλὰ δὲ μετὰ γενικῆς. οἷον, καὶ τὸ οὐδ' οὐκ ἐμπάζεο ἱρῶν, ἤγουν ἐπιστρέφετο. καὶ οὔτε θεοπροπίης ἐμπάζομαι.

Ἐμπάζεται, ἀναβάλλεται, ἐνθυμεῖται. ἢ ἐντρέπεται, ἢ φροντίζει. ἢ ἐμπάζεται, σέβεται.

Ἐμπάζομαι, σημαίνει τὸ ἐπιστρέφομαι, φροντίζω, ἐντίθεμαι, λόγον ποιοῦμαι.

Ἐμπαθερεῖς, ψάσῃ ἀκριβῶς.

Ἐμπαιγμάτων, ἐπιθυμίας ἐμπαθοῦς.

Ἔμπαιος, ὁ ἔμπειρος, καὶ ἐντριβής. παρὰ τὸ παίω, ὁ πολλοῖς δηλαδὴ προσπεπαικὼς πράγμασιν.

Ἔμπαις, ἐγκύμων.

Ἐμπαίσονται, ἐμπαίζουσιν.

Ἐμπαλασσόμενοι, ἐμπίπτοντες εἰς τὸ ὕδωρ.

Ἐμπαλέξαι, ἐμπλέξαι.

Ἔμπαλιν αἴσσουσα, εἰς τοὐπίσω ὁρμῶσα.

Ἐμπαλύγματα, αἱ ἐπιπλοκαί.

Ἔμπαν, πάντως, ὅμως.

Ἐμπαπόλιος, στήριγμα τῆς πόλεως.

Ἐμπάρει, παρεκάλει.

Ἐμπαροινέω, ῶ, δοτικῇ συντάσσεται. Λουκιανός, οἷον μέμνησο οἷά μοι ἐμπαροινεῖς, διὰ τοῦτον τὸν οἰνοχόον.

Ἐμπαροινοῦντες, ἐνυβρίζοντες.

Ἔμπαρος, ἔμπληκτος.

Ἔμπας, καὶ ἔμπα Ἀττικῶς. ἔμπης δὲ Ἰωνικῶς, δηλοῖ δὲ τὸ ὅμως.

Ἐμπάσεις, ἐγχύτεις.

Ἐμπασένται, ἀρχεῖόν τι ἐν Λακεδαίμονι.

Ἐμπαστῆρας μύθων, πιστωτὰς μάρτυρας.

Ἐμπαστήρια, μελίτηπα.

Ἔμπατον, καταθύμιον.

Ἔμπεδα, βέβαια, ἐπιστελῆ, ἀληθῆ, ἰσχυρά, καὶ τὰ κτήματα. Ὅμηρος, πείθεσθαί τε γέροντι, καὶ ἔμπεδα πάντα φυλάσσειν.

Ἐμπεδὴς γάμορος μάρψεν αἴδης. ἔμπεδον ἔλεγον τὸν αἴδην, ὡς Ἱππῶναξ, ἀντίον. τοῦ ὄν ἐμπέδου χθόνιος. οἱ δὲ, οὕτως. ὁ αἴδης ἐπιμελής ἐστι γάμορος καὶ ἀσφαλὴς, οὐκ ἀμελῶν οὐδενὸς, ἀλλ' εἰς τὴν γῆν λαμβάνων τὴν μοῖραν, οἷον τὴν γῆν μειρόμενος.

Ἐμπεδοῖ, βεβαιοῖ, ἀσφαλίζεται, διδάσκει.

Ἔμπεδον, οὐ τὸ ἐν πέδῳ, τουτέστιν ἐν γῇ, ὡς ἡ ἐτυμολογία ἐθέλει, ἀλλ' ἁπλῶς κατὰ τρεῖς τὴν ἀντὶ τοῦ στερροῦ, κατὰ ἔννοιαν ἐπιρρηματικήν. καὶ ἔμπεδον, ἑδραῖον, ἰσχυρόν. ἐκ τοῦ πέδα ἡ γῆ, πρὸς ἀντιδιαστολὴν τῶν ἐν τῇ θαλάσσῃ. ὅθεν καὶ ἐμπεδῶς, ἐπίρρημα.

Ἐμπεδορκεῖν, ἐμπέδως τηρεῖν τὰ ὅρκια. ἕως ἂν ἐμπεδόρκοι, ἢ ἔλαυνεν εἰς τὴν πόλιν. καὶ ἐμπεδορκεῖν, εὐορκεῖν. παίζει δὲ Ἀριστοφάνης παρὰ τὰς πέδας.

Ἔμπεδος, στερεὸς καὶ βέβαιος σημαίνει. ὡς καὶ τὰ ἐν τῷ πέδῳ βεβηκότα, τῶν ἠρεθομένων ἀσφαλέστερα, ὅτι καὶ σταθερώτερα.

* Ἔμπεδα τίκτειν λέγονται τὰ θρέμματα Ὀδυσ. τ. ἤγουν ἰσχυρά τινα καὶ δυνάμενα κατὰ τὸ πέδον ἵστασθαι.

Ἐμπεδῶσαι, ἀντὶ τοῦ βεβαιῶσαι, ἐνισχῦσαι, ἀσφαλίσασθαι, ἑδραιῶσαι. καὶ ἔμπεδον, τὸ βέβαιον.

Ἐμπειρεῖν, πεπειραμένως ἔχειν. Φήσας γεγονέναι πλείω χρόνον ἐν ταῖς Σάρδεσιν, καὶ τὸν τόπον ἐμπειρεῖν.

Ἐμπειρική ἐστι, τήρησις καὶ μνήμη τῶν πολλάκις ὀφθέντων.

Ἔμπειρος, ἐπιστήμων, ἐθὰς, τρίβων, περιτετριμμένος, περὶ ταῦτα ἐντριβής. τὸ γὰρ περίτριμμα, λοιδορία. ὁ δὲ εἰδήμων, ἰδιωτικόν. ὁ δὲ ἴδμων, ποιητικόν. βέλτιον δὲ τὸ εἰδώς.

Ἐμπεῖσειν, ἐμπίπτειν.

Ἔμπελα, ἐπέλαζε, πρόσαγε, ἔθιζε.

Ἐμπελαδὸν, πλησίον, ἢ τὴν γονήν.

Ἐμπέλανα, πόπανα.

Ἐμπελάσαι, προσεγγίσαι.

Ἐμπελάτρεια, ἡ ἑταίρα, ἀπὸ τοῦ ἐμπελάζειν πᾶσι. Καλλίμαχος, τοὺς αὐτῷ σκοτίους ἐμπελάτειρα τίκε γυνή.

Ἐμπέλωρος, ἀγορανόμος, Λάκωνες.

Ἐμπέπαιχα, ἐνέπαιξα, ἐχλεύασα.

Ἐμπέπασθαι, ἐνυπάρχειν, κεκτῆσθαι.

Ἐμπεπαρμένον, ἐμπεπερονημένον, ἐνηλωμένον.

Ἐμπεπέρακται, ἐμπεπόδισται.

Ἐμπέπρησται, ἤγουν κέκαυσται.

Ἐμπεπρυσμένης, παρὰ τῷ Ἀριστοφάνει ἀντὶ τοῦ ἐμπεφυσημένης. πρῆσαι γὰρ τὸ φυσῆσαι, ἔνθεν καὶ πρηστήρ. καὶ Ὅμηρος, διέπρησεν αὐτμὴν ἐξανιεῖσαι.

Ἐμπέραμος, παρὰ τὸ πεῖρα ἐμπείραμος, καὶ ἐμπέραμος. σημαίνει δὲ, τὸν ἔμπειρον.

Ἐμπερκάζουσαν, ὑποθάλλουσαν, μελανίζουσαν.

Ἐμπενάστις, ἱμάτιον διπλοῦν.

Ἐμπερονῆσαι, διατρῆσαι, διατρυπῆσαι.

Ἐμπερονήσασθαι, καὶ ἐμπορπώσασθαι, ἀπὸ τῆς περόνης γίνεται περονῶ, ἀντὶ τοῦ πόρπη, βελόνη συλλαβεῖν.

Ἐμπέρονται, ἐμποικίλλονται.

Ἔμπεσεν, ἐπικρατέως παρ' Ὁμήρῳ ἐν τῷ π τῆς Ἰλιάδος, προστακτικὸν κοινὸν ἐξ ἀναλογίας. εἰ καὶ ἄλλως ἔθει Συρακουσίων κρατεῖ τὸ ἔμπεσον καὶ τὸ πέσον. ἐξ ὧν τὸ ἐμπεσὼν, καὶ πεσών. φησὶ γὰρ ἔμπεσ' ἐπικρατέως. τουτέστι, γενναίως πρόσβαλλε τοῖς ἐχθροῖς. συνήθης δὲ καὶ ἡ τοιαύτη τοῦ ἐμπεσεῖν σημασία τῷ ποιητῇ.

Ἐμπεσεῖν, εἰς δεσμωτήριον ἀχθῆναι.

Ἐμπεσεῖται, τὸ θέμα, πέτω, τὸ πίπτω, ἀχρηστον, καὶ πάντα τὰ ἐνεργητικά. ὁ μέλλων πέσω, καὶ Δωρικῶς πεσῶ. καὶ ὁ μέσος μέλλων, πεσοῦμαι πεσῇ πεσεῖται, καὶ ἐμπεσεῖται.

Ἐμπεσὼν τοῖς πράγμασιν, ἀντὶ τοῦ ἄρξας τῶν πραγμάτων.

Ἐμπεταλὶς, ἔδεσμα διὰ τυροῦ σκευαζόμενον.

Ἐμπεφορβιωμένον παρὰ τῷ Ἀριστοφάνει, φορβειά ἐστιν ὁ χαλινός. Ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶ τῆς Ὀδυσσειακῆς προσῳδίας, τὸ φορβειὰ διὰ τῆς ει διφθόγγου γράφεσθαι, καὶ ὀξυτόνως.

Ἐμπεφύασι, καιριώτατόν ἐστι ἐπὶ τριχῶν ἐκφυομένων κεφαλῆς. ἐξ αὐτοῦ δὲ ποιητικῶς καλεῖται τὸ, ἔντ' ἄρα οἱ φῦ χειρὶ, καὶ ἄλλα τοιαῦτα. ἀπὸ τοῦ φῦμι, τὸ προσπελάζω, ὁ μέλλων φύσω, ὁ παρακείμενος πέφυκα, ἡ μετοχὴ πεφυκώς. ἀποβολῇ τοῦ συμφώνου πεφυώς. καὶ τὸ θηλυκὸν, πεφυυῖα.

Ἐμπεφυυῖα, ἀντὶ τοῦ ἐμπλέξασα, τὰς χεῖρας ἰσχυρῶς κρατοῦσα, καὶ ἔχετ' ἐμπεφυυῖα.

Ἐμπεφυυῖα. ἐμφύομαι, τὸ δυσαποσπάστως προσπλέκομαι, οὗ μέλλων ἐμφύσομαι, μέσος παρακείμενος ἐμπέφυα. ἀφ' οὗ ἐμπεφυὼς, καὶ ἐμπεφυυῖα.

Ἐμπεφυκέναι, καὶ ἐμφῦναι, τὸ ἐγκρατῶς καὶ δυσαποσπάστως δράξασθαι. οὕτω καὶ πολύπους ἐμφύεσθαι τῇ πέτρᾳ λέγεται. καὶ Θέτις τοῖς γόνασι τοῦ Διὸς ἐμπεφυυῖα εἶναι. καὶ χερσὶ δ' ἔτι ἐμπέφυκεν, ὅταν χειρὸς χειρὶ δράξηται. καὶ τοῖς χείλεσι δ' ὀδὰξ ἐμφύεται, ὅταν τοῖς ὀδοῦσιν ἐνδάκῃ τὸ χεῖλος. Ἰστέον δὲ, ὅτι μέσος παρακείμενός ἐστι τὸ ἐμπέφυα, κατὰ τὸν κανόνα, ὃν ἐκτίθεται Ἡρωδιανὸς λέγων, καθαρεύοντι τῷ ἐνεστῶτι, συγκαθαρεύειν καὶ τὸν μέσον παρακείμενον. οἷον φύω πέφυα, ἀκούω ἀκήκοα. ἐτυμολογία δὲ τοῦ ἐμφῦναι, ὁμοία τῷ συμφῦναι. δοκεῖ γὰρ ἐμφῦναι εἶναι, τὸ εἰς ἓν φῦναι καὶ μίαν, οἷον φυήν.

Ἐμπήκτης, ὁ τὰ δικαστικὰ γραμματίδια παρὰ τοῦ θεσμοφόρου λαμβάνων ὑπηρέτης, καὶ πήσσων εἰς τὴν κανονίδα. ἢ ἐμπήκτης, ὁ θεσμοθέτης.

Ἐμπηνὸς, ἦλος.

Ἔμπηρα, πεπηρωμένα. αἱ γὰρ γυναῖκες ἔτικτον ἔμπηρα καὶ τέρατα, ἢ ἀνέξοχα.

Ἐμπήρους, Δημήτριος ἐν Σικελίᾳ. Λακεδαιμόνιοι μεθ' ἡμῶν τὰ τείχη κατέβαλον, καὶ τὰς τριήρεις ἔλαβον ἐμπήρους, ὅπως μηκέτι θαλαττοκρατοῖντο Πελοποννήσιοι. ἔμπηροι οὖν οἱ ἐν ὁμηρείᾳ ὄντες, τοὺς γὰρ ἐπὶ συμβιβάσει διδομένους ὥσπερ ἐνέχυρα τῶν ὡμολογημένων, ἔνθεν ὁμήρους λέγεσθαι.

Ἔμπης, μεταληπτικοῦ εἴδους ἐστὶ, καὶ σημαίνει τὸ ὅμως, πάντως, ὁμοίως. εὕρηται γὰρ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἴσως, καὶ οὐ διαστατικὸν, ἀλλ' ἴσον ὁμοιωματικῶς τῷ ἐπίσης.

Ἐμπίδος, εἶδος κωνώπων.

Ἐμπίνειν, πίνειν.

Ἔμπιτα, πλάγια τὰ πύρινα, εἰς ἃ ἐντίθενται τὰ διὰ τυροῦ, Ῥόδιοι.

Ἐμπίπλαται, πληροῦται, χορτάζεται.

Ἐμπίπλη, Ἀττικόν. ἦν γὰρ κοινὸν ἀπὸ τοῦ πίπλημι πίπλαθι, ὡς ἵσταθι. ὅμοιον δέ ἐστι καὶ τὸ, Κύκλωψ τῆ πίε οἶνον, ἐπὶ φάγες ἀνδρόμεα κρέα, παρὰ τῷ ποιητῇ. Ἀττικοὶ γὰρ οὐ τρέπουσιν ἐπὶ τῶν εἰς μι τὸ μι εἰς τὸ θι ἐν τοῖς προστακτικοῖς, καὶ συστέλλουσι τὴν παραλήγουσαν, ὡς ἡ κοινοὶ ἵστημι ἵσταθι, καὶ πίμπλημι πίμπληθι, ἀλλὰ τελείαν ἀποβολὴν τῆς μι ποιούμενοι, πίμπλη καὶ ἵστη λέγουσιν. ὥσπερ καὶ ἀπὸ τοῦ τῆμι, τῆ.

Ἐμπίπληθι, ἢ πλεονασμὸν ἔχει τῆς θι συλλαβῆς κατὰ τὸ ζῆθι. ἢ ἐκ τοῦ ἐμπιπλὰς ἐμπιπλάντος γίνεται, κατὰ τὸ στὰς στάντος, στῆθι.

Ἐμπίπλημι, καὶ ἀπόπλημι, καὶ ἐκπίμπλημι, ταυτόν.

Ἐμπιπλῶ, τὸ πληρῶ. καὶ ἐμπιπρῶ, τὸ καίω.

Ἐμπιπρᾶναι τὴν οἰκίαν παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ καίειν, ἐκ τοῦ ἐμπίπρημι.

Ἐμπιπρᾶται, καίεται, ἐμπυρίζεται. καὶ ἐμπιπλᾶται, πληροῦται, χορτάζεται.

Ἐμπίπτω, λέγεται καὶ τὸ περιπίπτω, ἤτοι τὸ τὸ εἰς πράγματα καλινδοῦμαι. λέγεται ἐμπίπτω, καὶ τὸ ἐπιτίθεμαι ἐπὶ κακῷ τινὶ, ὡς παρὰ Σοφοκλεῖ. τί δῆτα ποίμναις τὴν δ' ἐπ' ἐμπίπτει βάσιν. καὶ ἐμπίπτων, ἀπορῶν.

Ἐμπὶς, ζῶόν ἐστιν ὕδασι γενόμενον, ὅμοιον τῷ κώνωπι, γινόμενον ἐν τοῖς ὕδασι. μεῖζον δὲ τῇ περιοχῇ, καὶ κατὰ τὸ μέσον λευκῷ περιεζωσμένον.

Ἐμπίσιον, καὶ τὸ βραχὺ, καὶ τὸ δαψιλῶς πιεῖν.

Ἔμπισον, πότισον.

Ἐμπιστεύω, ἐνεργητικόν. Χρυσόστομος, οὕτω καὶ ὁ ἡμέτερος δεσπότης πάντα τὰ ὁρώμενα ἐμπιστεύσας τῷ ἀνθρώπῳ, παθητικῶς ὡς πλεῖστον γράφεται.

Ἐμπλακεὶς, περικρατήσας, περιλαβών.

Ἐμπλασσόμενοι, προσκρούοντες, προσπελάζοντες. οἱ δὲ Καρχηδόνιοι ἀλλήλοις ἐμπλασσόμενοι, καὶ περιπίπτοντες τοῖς θηρίοις, ἀπέθνησκον. ἢ ἀντὶ τοῦ ἐπεμβαίνοντες, συρρηγνύμενοι. Αἰλιανὸς, Τοῖς φίλοις καὶ οἰκείοις ἐμπλασσόμενοι, ἀπέσφαττον αὐτοὺς ὡς πολεμίους. καὶ ἐμπλασσόμενοι ἐμπίπτοντες ποταμῷ. οἱ δὲ ἐμπλασσόμενοι κατέρρεον εἰς τὰ ἐπιθάτερα τοῦ ποταμοῦ. καὶ ἀντὶ τοῦ μολυνόμενοι. πλάσσω γὰρ, τὸ μολύνω.

Ἐμπλατειάσασα, ὑπερφρονήσασα, ἐνευφρανθεῖσα.

Ἔμπλεια, μεστὰ, πλήρη.

Ἐμπλείμην, χορευθείην, εὐκτικῆς ἐγκλίσεως τετύχηκε τὸ ἐμπλείμην. ἔστι γὰρ ἐμπιπλῶ, ὃ κατὰ ἀναδιπλασιασμὸν κέκλιται. ἀφ' οὗ παράγωγον τὸ ἐμπίπλημι. ἀπὸ τούτου γίνεται τὸ, πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου. τὸ δὲ, ἑτέρᾳ παραγωγῇ, ἀφ' οὗ τὸ πλήθω. ὡς ἀπὸ τοῦ νῶ νήθω. ἀπὸ δὲ τοῦ πλῶ πλείμην, ὡς ἀπὸ τοῦ βλῶ βλείμην. οὗ τὸ δεύτερον, εἴπερ κε βλεῖο.

Ἐμπλεύρου, ἐνάλλου εἰς τὰς πλευράς. Σοφοκλῆς αἰχμαλωτίσιν.

Ἐμπλήγδην κατὰ τοὺς παλαιοὺς, τὸ ἀκρίτως παρὰ τὸ ἐμπελάζειν. ἢ ἐμπλήσσειν, ἤτοι ἐμπίπτειν, ὅπως ἂν τύχοι τοῖς πράγμασιν. ἢ καὶ ἄλλως, ἐμπλήγδην, τὸ δίκην ἐμπλήκτου τινός. ἔμπληκτος δὲ, ὁ ἄστατος, καὶ οἱονεὶ ἔσω πεπληγμένος, καὶ οὐ κατὰ φύσιν φρονῶν. ὥσπερ ἔκπληκτος, ὁ ἔξωθεν πεπληγμένος, κατὰ τοὺς ἐμβροντήτους, καὶ ἐκπεπαταγμένους. καὶ ἔκθαμβος κατὰ τὴν κοινῶς λεγομένην ἔκπληξιν. ὁ μέντοι παραπλὴξ, ποτὲ μὲν τὸν ἔμπληκτον δηλοῖ, ποτὲ δὲ τὸν παράμεσον καὶ ἀπαίδευτον, καὶ ὡς ἤτην ἀπωδόν. καθὰ καὶ παρὰ τῷ κωμικῷ κεῖται.

Ἔμπληκτοι, κῦφοι, ἀμετάβλητοι.
Ἔμπληκτος, ἀπόπληκτος. τὰ ἀπὸ τοῦ πλήττω, εἰ μὲν εἰς ος λήγει, παθητικά εἰσιν, ἃ λέγεται ἐπὶ τῶν πληγέντων τὴν γνώμην, καὶ ἐκστάντων. εἰ δὲ εἰς ηξ, ἐνίοτε μὲν ἐνεργητικά. οἷον βουπλὴξ, τὸ κέντρον τὸ τὸν βοῦν πλῆττον. ἐνίοτε δὲ παθητικὰ, οἷον παράπληξ, ὁ φθαρθεὶς τὰς φρένας. κατάπληξ, ὁ συνεχῶς πεπληγμένος. καὶ κατάπληξ εἰλείθυια, ἡ πληγὰς συνεχεῖς ἔχουσα.
Ἔμπληκτος, ὁ μετὰ ῥώμης καὶ σφοδρότητος μαινόμενος. καὶ ἀπὸ τούτου ἐμπληξία, ἡ σφοδρὰ μανία. καὶ παράπληξ, τὸ αὐτὸ, καὶ παραπληξία.
Ἐμπλημένος, πεπληρωμένος. Ἀριστοφάνης, ἔβηττε τὴν νύχθ' ὅλην, τριχίδα ἐμπλημένος.
Ἔμπλην, πλησίον, ἐγγὺς, ἢ ὅμως, ἢ τὸ ἐμπελαδὸν, ἢ τὸ χωρίς. ὡς καὶ τοῦτό φασιν οἱ παλαιοί.
Ἐμπλῆξαι τάφρῳ, τὸ ἐμπελάσαι, ἢ τὸ ἀκουσίως ἐγκροῦσαι. καὶ ὡς εἰπεῖν, ἐμπαῖσαι. ἢ ὥς φησι πολλαχοῦ ὁ ποιητὴς, ἐμπεσεῖν.
Ἐμπλησμένην, πεπλησμένην.
Ἔμπλησον, πλήρη ἀπόδειξον. ἐμπίπλημι, καὶ ἀποπίμπλημι, καὶ ἐκπίμπλημι ταυτόν.
Ἐμπλοκία, ἑορτὴ παρὰ Ἀθηναίοις, ὡς τὸ σὺν ταῖς θριξὶ πλεκόμενον γυναιξίν.
Ἐμπνεῖ μου, ἐρᾷ μου, ποθεῖ με.
Ἐμπνέειν Θεὸν φρεσίν. φιλοσόφως δηλοῖ, τὸ κατ' ἀνθρώπους θειότερον γίνεσθαι, Ὅμηρος.
Ἐμπνεύσεν, ἀνέπνευσεν.
Ἐμπνεῦσιν, εἰκόνα Θεοῦ, καὶ ψυχὴν οἶδεν ἡ θεία γραφή.
Ἐμπνεύστιος, ἄφρων, ἢ ἀφανής.
Ἔμπνοια, ἀναπνοή.
Ἔμπνους, ὁ ζῶν καὶ πνοὴν ἔχων, ἤγουν ψυχήν. ἔμπνους, καὶ ὁ ὑπὸ ἀνέμου ἐμπνεόμενος. καὶ ἔστι τριγενὲς, ὁ ἔμπνους, ἡ ἔμπνους, τὸ ἔμπνουν. ὁ ἔμπνους, ἐκ τοῦ ἐμπνέειν, ὁ ἔνθεος καὶ κάτοχος λέγεται. ἡ ἔμπνους, ἄνθρωπος ὁ ζῶν. καὶ ἔμπνους αὐλὸς, ὁ ὑφ' ἑτέρου ἐμπνεόμενος.
Ἐμπνύνθη, ἐν ἑαυτῷ ἐγίνετο, καὶ ἐφρόνησεν.
Ἔμπνυτο, ἀνεβίωσεν.
Ἐμποδοστάτης, ἐμποδίζων.
Ἐμποδίζειν, μασᾶσθαι. οἱ δὲ ἰσχάδας μασᾶσθαι ταῖς μελίσσαις, ἢ θλίβειν τοῖς ποσὶ τὰς ἰσχάδας. τοῦτο δέ φασί τινες, εἶδος εἶναι παιδιᾶς.
Ἐμποδίζω, κωλύω, ἀπείργω, ἐπιστομίζω, ἀνασείω, ἀντιφράττω, ἐπέχω, ἀντιφέρομαι, ἀντικαθίσταμαι, ἀντιφράττω.
Ἐμποδίζουσι, καί τοι
Ἐμποδὼν ὁ δεῖνα τῷ δεῖνι ἐγένετο κρεῖττον, ἢ ἐμποδὼν τοῦ δεῖνος. ἢ ἐμποδὼν ὁ δεῖνα τῷ δεῖνι γίνεται, ἀντὶ τοῦ εἰς ἐμπόδιον. εἴρηται δὲ ἀπὸ τῶν ἐν ποσὶ κειμένων καθ' ὁδὸν, καὶ οὐκ ἐώντων βαδίζειν. καὶ ἔστιν ἐπίρρημα ἀντὶ τοῦ ἐμποσίν, καὶ ἀπὸ τούτου ἐπὶ πάντων ἐμποδιζόντων λέγεται.
Ἐμποδοῦσθαι, βεβαιοῦσθαι, ἀσφαλίζεσθαι. καὶ ἐμποδὼν, Θουκυδίδης ἀντὶ τοῦ προχείρως, Τὰς ἐμποδὼν αἰτίας μόνον σκοπεῖν. Λυκοῦργος ἀντὶ τοῦ φανερόν. Πλάτων ἀντὶ τοῦ ἐν μέσῳ, Ἰσαῖος ἀντὶ τοῦ ὑπόγυιον, καὶ ἐν χερσίν.
Ἐμποιεῖ, κτᾶται.
Ἔμποιμνον, εἷμα, τὸ ἔνδυμα. ἀπὸ τοῦ ἐκ ποίμνης.
Ἐμποίνιμος, ἐπιζήμιος, θανάσιμος. ἢ ἔνοχος ποινῆς. οἷον ἐφ' οἷς ἥμαρται δοὺς τιμωρίαν. καὶ ποινὴ λέγεται, ἡ ἐπὶ φόνῳ δρασθεῖσα κόλασις. ὅρκους οὐκ ἐμποινίμους ἡγησάμενοι εἶναι.
Ἐμπολᾷ, ἀντὶ τοῦ πωλεῖ, περιέρχεται, πραγματεύεται. πολλάκις δὲ ἐπὶ τοῦ ἀγοράζειν, ὡς τὸ ἐμπολήσαντες τὶ χρηστὸν εἰς ἀγρόν.
Ἐμπολαῖε, ἐμπορικὲ, πραγματευτικέ. Ἀριστοφάνης, Ἑρμῆ ἐμπολαῖε. τὸ πλῆρες, Ἑρμᾶ, λείπει δὲ τὸ γένοιτο.
Ἐμπόλαιον λέγουσι, τὸν πραγματευτήν. ἢ τὸν ἀγοραῖον, καὶ τῆς καπηλείας προεστῶτα.
Ἐμπολᾶσθαι Ὅμηρος παθητικῶς ἔφη, ἀντὶ τοῦ ἐξωνεῖσθαι. οἱ δὲ ὕστερον καὶ παθητικῶς λέγουσιν, ἀντὶ τοῦ ἁπλῶς πραγματεύεσθαι. ὡς δηλοῖ καὶ τὸ, κερδαίνετ', ἐμπολᾶτε.
Ἐμπολέμια, τὰ εἰς πόλεμον ἐπιτήδεια καὶ χρήσιμα.
Ἐμπολεμῶσαι, τὸ ἐχθροὺς ποιῆσαι, καὶ ἐπὶ πόλεμόν τινας παροξῦναι. ἐμπολεμῆσαι δέ ἐστι, τὸ ἐκπορθῆσαι.
Ἐμπολὴ, φορτίον. ἢ τὸ τῆς πραγματείας κέρδος, ἢ συναγωγὴ τοῦ κέρδους. τὸ δὲ ῥῆμα ἐμπολᾶν.
Ἐμπόλημα, τὸ τῆς πραγματείας κέρδος. ἢ τὰ φορτία, καὶ τὴν ἀργυρικὴν ἀλλαγήν.
Ἐμπολήσαντες, πριάμενοι, ὠνησάμενοι.
Ἐμπολήσομεν, ἐμπορευσόμεθα, συνάξομεν πωλήσαντες τὸν καρπόν.
Ἔμπολιν, ἐν τῇ αὐτῇ πόλει ὄντα. ἄνδρα σοὶ μὲν ἔμπολιν οὐκ ὄντα, συγγενῆ δέ.
Ἔμπολις, ὁ πατρίδα ἔχων.
Ἐμπολόωντο, ἐνεπόλων, περιεποίουν.
Ἐμπολῶντο, ἐνεβάλλοντο.
Ἐμπομπεύων, ἐπιφαίνων, θριαμβεύων, καταγχάζων.
Ἐμπόρευμα, πραγματεία, ἐμπορία.
Ἐμπορεύεσθαι, τὸ πραγματεύεσθαι. καὶ ἔμπορος παρ' Ὁμήρῳ, ὁ ἐπ' ἀλλοτρίας νεὼς τὸν πλοῦν ποιούμενος.
Ἐμποριζονήσας, ἐνοικίου πράκτορας.
Ἐμπόριον, ἐπιτήδειον εἰς ἐμπορίαν.
Ἐμπορῖται, μέτοικοι, ἐπιβάται.
Ἔμποροι, οἱ ὠνούμενοι κάπηλοι, οἱ πολοῦντες.
Ἔμπορος, κεῖται παρ' Ὁμήρῳ, ὁ ἀλλοτρίας νηὸς ἐπιβάτης. φησὶ γάρ που, Ναῦς ἔστηκεν ἥσε ἤγαγεν. ἢ ἔμπορος εἰλήλουθας νηὸς ἐπ' ἀλλοτρίης, οἱ δ' ἐκβήσαντες ἔβησαν ἔνθα. ὅρα καὶ τὸ οἱ δὲ, ἀντὶ τοῦ οἱ ναῦται νοηθέντες, Ἀττικῶς ἐκ τῆς νηός. καὶ ὅτι βιῶσαι μὲν, τὸ ἀποπλεῦσαι. ἐκβῆσαι δὲ, τὸ ἐξαγαγεῖν τῆς νηός. ἢ ἔμπορος, ὁ πραγματευτὴς ἄνθρωπος. κυρίως δὲ ὁ πλέων θάλασσαν, παρὰ τὸ πόρος. πόρος δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται. καὶ εὔπορος, ὁ ἔχων ἀεὶ τὸν ἐπιρρέοντα πλοῦτον. ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου.
Ἐμπορτῶ, τὸ συμβάλλω. καὶ ἐμπορτοῦσθαι, τὸ συμβάλλεσθαι.
Ἔμποθεν, ἀντὶ τοῦ ἔμπροσθε λέγουσι Δωριεῖς.
Ἔμπουσα, φάντασμα δαιμονιῶδες, ὑπὸ Ἑκάτης ἐπιπεμπόμενον, καὶ φαινόμενον τοῖς δυστυχοῦσιν, ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν. καὶ οἱ μέν φασιν αὐτὴν μονόποδα εἶναι. καὶ ἐτυμολογοῦσιν οἱονεὶ ἐνίποδα, διὰ τὸ ἑνὶ ποδὶ κεχρῆσθαι. οἱ δὲ, ὅτι ἐξαλλάττεται τὴν μορφήν. δοκεῖ καὶ ταῖς μεσημβρίαις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζωσιν. ἔνιοι δὲ, αὐτὴν τὴν Ἑκάτην, ὡς Ἀριστοφάνης ἐν Ταγηνισταῖς. χθονίας Ἑκάτης σπεῖρα σοφῶν ἐξελιζομένη. εἶτα ἐπιφέρει. τί καλεῖς τὴν ἔμπουσαν, καὶ σκέλος χαλκοῦν ἔχει. ἔνιοι δὲ ὄνου σκέλος λέγουσι. διό παρά τισι καλεῖσθαι ὀνόκωλον. τὸ δὲ ὅλον φησὶ Κράτης, ἔοικέ τι εἶναι φάντασμα παντοδαπὸν γινόμενον. βολίτινον δὲ ὄνειον. βόλιτος γὰρ κυρίως, τὸ τῶν ὄνων ἀποπάτημα. τὸ αὐτὸ δὲ καὶ βόλβιτος.
Ἔμπρεον, ἔμπειρον.
Ἐμπρέπει τίς τινι, ἀντὶ τοῦ περιφανής ἐστιν ἐν ἐκείνῳ.
Ἔμπρεποι, ἐπίπρεποι, πρέποντες, ὅμοιοι.
Ἐμπρέποντα, διαπρέποντα.
Ἐμπρήσαντες, καύσαντες. ἐμπρήσαντες δὲ ἀντὶ τοῦ συσφίγξαντες καὶ προσαρμόσαντες, διὰ τοῦ ι. Οἱ δὲ ἐμπρίσαντες τοὺς ὀδόντας τοῦ εἶξαι τῷ τυράννῳ, γεγόνασι κρείττονες.
Ἐμπρησμὸς, καῦσις, ἢ διάπειρος ἀφανισμός.
Ἐμπροϊέντα, ταχύ.
Ἐμπτύει μου, μηδαμῶς λέγε. ἀλλὰ καταπτύει μου, καὶ κατέπτυσα αὐτοῦ.
Ἐμπύλαι, αἱ νύμφαι.
Ἔμπυον, τὸ γαλακτῶδες ὑγρὸν, καὶ τὸ ἕλκος.
Ἔμπυος, ὁ ἐμπυϊκὸς, παρὰ Μενάνδρῳ.
Ἐμπύους μοτοὺς, τοὺς στρεπτοὺς, ἢ τοὺς λημνίσκους, παρὰ τῷ Ἱπποκράτει.
Ἐμπύρευμα κυρίως, βραχύ τι λείψανόν ἐστι πυρὸς, ἢ ὑποκαιόμενον τῇ σποδιᾷ. εἴρηται δὲ καταχρηστικῶς, καὶ ἐπὶ λειψάνων, ὡς φέρε ἀπὸ τῶν γνώσεως, ἀρετῆς, κακίας, μνήμης. καὶ ἐμπύρευμα, ἔναυσμα, σπέρμα πυρός.
Ἐμπυρείαι, ὅρκος ὁ δημόσιος, καὶ μαντεία παρὰ Βοιωτοῖς.
Ἐμπυριβήτης τρίπους, πρὸς διαστολὴν τοῦ ἀναθηματικοῦ λέγεται παρ' Ὁμήρῳ.
Ἐμπυρίζω, ἐκ τοῦ πῦρ πυρὸς, πυρίζω, καὶ ἐμπυρίζω.
Ἐμπυρισμὸς, οὕτως Ὑπερίδης ἡμελημένως, δέον ἐμπρησμὸν λέγειν. Φρύνιχος.
Ἐμπύρου, θερμῆς. καὶ ἔμπυρα, τὰ καιόμενα ἱερεῖα.
Ἐμπυρώτατος, ὁ κατάπυρος.
Ἐμυάλαξεν, ἐμυκτήρισεν.
Ἐμύδανεν, ἔβρεχεν.
Ἔμυζεν, ἔστενεν, ἀπελίθαζεν.
Ἐμυήθην, ἐμυσταγωγήθην.
Ἐμυθεῖτο, ἔλεγεν.
Ἐμυκᾶτο, ἐβρυχᾶτο, ἐμυκᾶτο, ἐφώνει.
Ἔμυκεν, ἐψόφησεν, ἔχανεν.
Ἐμυκώθη, Διοσκορίδης μέν φησι τὸ συνέμυσεν. οἱ πλεῖστοι δὲ, τὸ ἐπιφύσεις ἔσχε πλαδαρὰς, ὥσπερ καὶ οἱ μύκητες παρὰ τῷ Ἱπποκράτει.
Ἐμυλήθη, ἐκατεμαράνθη, παρὰ τῷ Ἱπποκράτει.
Ἐμυλώθη, ἐσκληρώθη, παρὰ τῷ Ἱπποκράτει.
Ἐμύξατο, ἔξεσεν, ἐπίεστο, ἀηδίσθη.
Ἐμὺς, ζῶον ἐν λίμνῃ καὶ ἐν πηγῇ γενόμενον. οἱ δὲ, χελώνην τὴν ἔχουσαν οὐράν.
Ἐμυσάχθετο, ἐβδελύσσετο, ἐμυσάττετο.
Ἐμύσαττον, ἐσίχχαινον.
Ἔμυσε, συνῆλθεν.
Ἐμφαίνεται, ἐνδείκνυσθαι, σημαίνειν.
Ἐμυωπίασεν, ἄκροις τοῖς ὀφθαλμοῖς προσέχε. μυωπάζω γὰρ τὸ καμμύω.
Ἐμφάατον, πλακοῦντα πιτυρωμένον.
Ἐμφαίνων, δεικνύων, σημαίνων.
Ἐμφαλκωμένοις, περιπεπλεγμένοις. ἔστι τὰ κάλοις ἐμφαλκωμένοις.
Ἐμφανὲς, φανερόν.
Ἐμφανίσασα, ἄγαν φανερώσασα.
Ἐμφανίζω σοι, φανερῶς σοι δείκνυμι.
Ἐμφανῶν, τηλαυγῶν ἐμφάσει τεκμηρίων.
Ἐμφαντικῶς, ἐννοητικῶς. ὁ δὲ παρεκάλει βραχέως μὲν, ἐμφαντικῶς δὲ τοῦ παρόντος κινδύνου, ἀντὶ τοῦ πρεπόντως.
Ἐμφαντικώτερον, δηλωτικώτερον.
Ἐμφαρυγξάμενος, ἐμφαγών.
Ἐμφάσεως, ἐννοητικῆς ἐννοήσεως.
Ἔμφασίς ἐστιν, ἥτις δι' ὑπονοίας ἐπίτασιν τοῦ λεγομένου παρίστησιν. οἷον, αὐτὰρ δ' Ἵππον κατεβαίνομεν ὃν κάμ' Ἐπειός. ἐν γὰρ τῷ κατεβαίνομεν, τὸ μέγεθος τοῦ ἵππου ἐμφαίνει. ὅμοιον δὲ κἀκεῖνο, τὸ πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι. καὶ ἐν τούτῳ παρέχει μείζονα ἔμφασιν, ὡς βαπτισθέντος οὕτω τοῦ ξίφους, ὥστε θερμανθῆναι. καὶ τὸ ἵπποθεν ἐκχύμενοι.
Ἔμφασις, τὸ αἴνιγμα. ἢ μέγεθος, ἢ ἐννόησις, καὶ ἡ προσποίησις. ἔμφασις καὶ ἡ ἔνδειξις. ταύτην δὲ τὴν λοιδορίαν, καὶ τὰς ἐμφάσεις, οὐχ οἷον ἄντις διετίθετο πεπαιδευμένος ἀνήρ.
Ἔμφατον, αἰνιγματωδῶς εἰρημένον.
Ἐμφάφιον, ὀξύβαφον, παρὰ τῷ Ἱπποκράτει.
Ἐμφέρεια, ὁμοίωσις.
Ἐμφερὲς, ὅμοιον, παραπλήσιον.
Ἐμφέρεται, ἐοίκεται, φέρεται, περιφέρεται.
Ἐμφερὴς, διοτικῇ σαυτὸν ἔσεται. Ἀριστοφάνης τῷ τῇ μάζῃ τῇ ἐμφερὴς γενήσομαι; ἤγουν ὅμοιος.
Ἐμφῆναι, ἀντὶ τοῦ δεῖξαι. ἐμφαίνω γὰρ, τὸ δεικνύω.
Ἐμφιλοχωρεῖ, ἐνδιατρίβει, σχολάζει, ἢ τὴν χώραν φιλεῖ.
Ἐμφιλοχωροῦντες, ἐνοικοῦντες ἐν παραμοναῖς.
Ἔμφορα, προσβεβλημένα, ἀγέλη προβάτων.
Ἐμφορεῖ τις εἰς ἀγγεῖον οἶνον, ὅπερ ἐναντίον τὸ ἐκφορεῖ.
Ἐμφορεῖται πλοῦτον, ὁ ἐμπεπλησμένος. Λιβάνιος, οἱ δὲ τὸν ἄκρατον ἐμφοροῦντο. τοῦτο ἐπὶ πόματος λέγεται.

Ἐμφο-

Digitized by Google

Ἐμφορηθέντες, κορεσθέντες, χορτασθέντες, πληρωθέντας.

Ἐμφοροῦμαι, κορέννυμαι.

Ἔμφραξις, πόνος ὤτων.

Ἐμφρεάτοι, δικαστήριον τῶν ἀκουσίων φόνων ἐν Ἀθήναις.

Ἔμφρονι, ἐχέφρονι, συνετῷ, φρονίμῳ.

Ἐμφύλιον, συγγενικὸν, ἢ τῆς αὐτῆς φυλῆς.

Ἔμφυλος πόλεμος, ὁ ἐκ τοῦ αὐτοῦ ἔθνους, καὶ γένους. καὶ ἔμφυλος ἀνὴρ, πρωτότυπόν ἐστι τοῦ ἐμφύλιος. ὡς γὰρ τῷ ἥλιος προϋπόκειται ὁ ἧλος, καὶ τοῦ ἐλευθέριος ὁ ἐλεύθερος, οὕτω καὶ τοῦ δούλιον ἦμαρ, τὸ δοῦλον προϋπόκειται. ἔμφυλον δὲ λέγει Ὅμηρος, φυλέτην καὶ ὁμόφυλον.

Ἐμφῦναι λέγεται, τὸ ἅψασθαι γενναίως καὶ ἐμπλακῆναι, καὶ οἱονεὶ εἰς ἓν γενέσθαι. ὡς ὅτε τις πολύποδα ἐμφῦναι λέγει πέτρᾳ, ἢ παῖδα τραχήλῳ μαστοῦ. οὕτω δὴ καὶ ἐμφῦναι χειρὶ, τὸ χειρὶ χειρὸς ἅψασθαι. καὶ ὀδὰξ ἐν χείλεσι φύντες, ἀντὶ τοῦ ἐμπλακέντες μετὰ δαγμοῦ τοῖς χείλεσιν, ἤγουν ἐνδακόντες τὰ χείλη. καὶ ὅτι ἐμφῦναι χειρὶ, τὸ χειρὶ λαβέσθαι, καὶ στερεῶς αὐτῆς ἅψασθαι. καὶ ἔστι πως ὅμοιον, τῷ ἐμφῦναι χείλεσιν.

Ἐμφύομαι, τὸ δυσαποσπάστως προσπλέκομαι. ὁ μέλλων, ἐμφύσομαι. ὁ μέσος παρακείμενος ἐμφύα. ἀφ' οὗ ἐμπεφυὼς, καὶ ἐμπεφυυῖα.

Ἐμφὺς, ἐμπλακεὶς, ἐμπεσών. Ὁ δὲ Κέλτος προθυμίαν εἶχεν ἐμφὺς τῷ πολεμίῳ, καὶ χερσὶ καὶ στόματι, δίκην θηρίου διασπάσαι αὐτόν.

Ἐμφύσημα, πάθος περὶ τοὺς ὀφθαλμούς.

Ἔμφυτον, ἐγκάρδιον, διὰ τὸ προϋπάρχον αὐτῷ μῖσος ἔμφυτον, καὶ τὸ πεφυκὸς τῇ φύσει οὐσιωδῶς.

Ἐμφωλεύει, κρύπτεται.

Ἐμψηφίσαι, ὅταν δανειστὴς ἀποδιδόντος χρεώστου, μὴ ἀδεῶς ἀναλαμβάνῃ εἰς ὄφλημα.

Ἐμψῶσα, ἐράγματα διδοῦσα.

Ἔμψοφον, τὸ μετὰ ψόφου γινόμενον. ὡς τὸ, ἔμψοφον φίλημα.

Ἔμψυχον, ζῶον.

Ἐμῶ, ἐπὶ ἐμέτου. ἐμῶ δὲ τὰ βρωθέντα μεταβατικῶς, αἰτιατικῇ συντάσσεται. καὶ ἐμῶ, τὸ τὴν τροφὴν ἐκβάλλω. Ἀριστοφάνης, δότε μοι λεκάνην, ἵν' ἐξεμέσω. ἀπὸ τοῦ ἕω, τὸ ἀφίημι. καὶ πλεονασμῷ τοῦ μ, ἐμῶ.

Ἐμῶν μενέων ἀπερωεύς, τῶν ἐμῶν ἐπιθυμιῶν, ἢ προθυμιῶν ὁ κωλυτής.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Ν.

ΕΝ ἐστὶ, τὸ μὴ ἔχον διάφορα ὑποκείμενα πράγματα κατὰ τὸ εἶναι. ἢ λόγῳ διαφόρως θεωρούμενον. ἢ ἕν ἐστιν, αὐτοαγαθόν. ἢ πάλιν ἕν ἐστι, τὸ μὴ ἔκ τινων, μηδὲ ἔν τισι τὸ εἶναι ἔχον. ἓν λέγεται τὸ ἡνωμένον, καθὸ ἥνωται. καὶ τὸ κατὰ μετουσίαν. ἓν λέγεται καὶ τὸ κατ' ἐνέργειαν. ἓν καὶ τὸ κατὰ συνάφειαν. ἓν καὶ τὸ κατὰ συμπλοκὴν, καὶ τὸ κατὰ ἁφήν. λέγεται ἓν, καὶ τὸ κατὰ ἁρμονίαν, καὶ τὸ κατὰ σύνοδον. φαμὲν ἓν καὶ τὸ κατὰ κρᾶσιν καὶ μίξιν, καὶ φυρμὸν, καὶ σύγχυσιν. λέγεται ἓν, καὶ τὸ κατὰ ὁμωνυμίαν, καὶ συνωνυμίαν. ἓν λέγεται, καὶ τὸ κατὰ σχέσιν. καὶ τὸ κατ' αὐτοβουλίαν, καὶ ἁρμονίαν. ἓν καὶ τὸ κατ' αὐτολογίαν καὶ ταυτογνωμίαν, καὶ ὁμοφροσύνην. ἓν λέγεται, καὶ τὸ κατὰ σύνθεσιν. ἓν καὶ τὸ καθ' ὑπόστασιν, καὶ κατ' οὐσίαν καὶ φύσιν λέγεται.

Ἐν πρόθεσις, ἀεὶ δοτικῇ συντάσσεται. οἷον, ἐν οἴκῳ, ἐν ἀγορᾷ. τὸ δὲ ἐν ᾅδου, καὶ ἐν διδασκάλου, ἐλλειπτικῶς καὶ Ἀττικῶς λέγεται. δεῖ γὰρ κἀνταῦθα ἐπινοεῖν τὴν ἐν τόπῳ καὶ οἴκῳ δοτικήν.

Ἐν πρόθεσις ἐν ταῖς συνθέσεσιν, ὡς καὶ ἐν τῇ προθέσεσιν, ἑνικῷ συντάσσεται ῥήματι καὶ πληθυντικῷ. οἷον, ἔνεισι καὶ ἔνεστιν.

Ἐν πρόθεσις, σημαίνει καὶ τὸ ἐνώπιον. Ἀριστοφάνης, πολὺ γὰρ μᾶλλον ἐν τοῖς πολλοῖσι λέγων ἀπορῶ.

Ἐν πρόθεσις, δηλοῖ τὸ ἐπάνω, καὶ τὸ ἐντός. οἷον, ἐν δὲ λίθοις ἐμάχοντο, ἤγουν ἐπάνω λίθων. καὶ ἐν τῷ οἴκῳ ἐστὶν, ἤγουν ἐντός.

Ἐν, καὶ εἰς, παρ' Ἀττικοῖς μετὰ γενικῆς συντάσσεται. οἷον ἐν ᾅδου, καὶ εἰς ᾅδου. οἶμαι εἶναι ἐνταῦθα ἔλλειψιν τοῦ ὀνόματος.

Ἐν, ἔνδον. ἀπὸ πλειόνων προθέσεων γίνονται ἐπιρρήματα, κατὰ τὴν σημασίαν αὐτῶν. καὶ συντάσσονται ἅπαντα αἰτιατικῇ. καὶ εἰσὶ τὰ μὲν κοινὰ, τὰ δὲ ποιητικά. οἷον ἀπὸ τοῦ ἐν, ἔνδον, καὶ ἐντὸς κοινόν. καὶ ἀπὸ τούτων ἔνδοθεν κοινὸν, καὶ ἔνδοσθεν ποιητικῶς, ἃ καὶ κίνησιν ἔχουσιν ἀπὸ τοῦ ἐντός. ἀπὸ τῆς εἰς καὶ ἐς, λέγεται ἔσω, καὶ εἴσω, κοινῶς. καὶ ἀπὸ τούτων ἔσωθεν κοινῶς, καὶ εἴσωθεν ποιητικῶς. ἀπὸ τοῦ ἐξ, καὶ ἐκ, λέγεται ἔξω καὶ ἐκτὸς κοινῶς. καὶ ἀπὸ τούτων ἔξωθεν κοινῶς, καὶ ἔκτοθεν ποιητικῶς. ἃ δηλοῦσι κίνησιν ἀπὸ τοῦ ἐκτός. ἀπὸ τῆς πρὸ, πρόσω κοινῶς. ὃ καὶ πόρρω λέγεται, μετατεθέντος τοῦ ρ, καὶ τροπῇ τοῦ σ εἰς ρ. δηλοῖ τὸ μακρὰν, καὶ τὸ ἐντὸς, καὶ τὸ εἰς βάθος. καὶ ἀπὸ τοῦ πρόσωθεν καὶ πόρρωθεν καὶ πρόσθεν, κατὰ συγκοπήν, ὃ καὶ ἔμπροσθεν λέγεται. τοῦτο δὲ καὶ εἰς ἑτέραν ἔννοιαν μετέπεσεν. οὐ γὰρ κίνησιν ἔχον φαίνεται. ἀπὸ τοῦ ἀνὰ, ἄνω καὶ ἄνωθεν κοινῶς. ἀπὸ τῆς κατὰ, κάτω καὶ κάτωθεν κοινῶς. ἀπὸ τῆς ἀντὶ, ἄντα ποιητικῶς, καὶ ἀντίον. ὃ μετὰ τῆς ἐν, ἐναντίον λέγεται κοινῶς. ἀπὸ ταύτης πρόσαντες, ὅπερ ἐπὶ δυσκολίας λέγεται. ἀπὸ τῆς περὶ, πέριξ κοινῶς. ἀπὸ τῆς ἀμφὶ, ἀμφὶς ποιητικὸν, ταυτὸν τῷ πέριξ. ἡ αὐτὴ γὰρ τῇ περὶ ἡ ἀμφί. πλὴν ὅτι ἡ μὲν περὶ, παρὰ τοῖς κοινοῖς ἐν χρήσει. ἡ δὲ ἀμφὶ, παρὰ τοῖς ποιηταῖς. ἀπὸ κοινῶς, ὡς τὸ οὐδ' ἀπὸ γνώμης τῷ γενναίῳ ἐκείνῳ. καὶ ἀπὸ τόπου. ἄπωθεν, καὶ ἀπωτάτω, διὰ τοῦ ω μεγάλου. ὡς τόπον ἐχόντων διὰ ὥστερος καὶ ὥστατος. ἔχουσι δέ τινα αὐτῶν καὶ συγκριτικὰ, καὶ ὑπερθετικά. οἷον ἐνδοτέρω καὶ ἐνδοτάτω, ἐξωτέρω καὶ ἐξωτάτω, καὶ προσωτέρω καὶ προσωτάτω.

Ἐναβρύνεσθαι, ὡραΐζεσθαι, ἢ ἐντρυφᾶν. ἁβρὸς γὰρ ὁ τρυφερός.

Ἐναβρύνω, ἐξ οὗ ἐναβρύνεσθαι, μέγα φρονεῖν, καυχᾶσθαι. τοῦτο παρὰ τὸ ἁβρὸς, ὁ κοῦφος.

Ἐνάγει, τὸ διώκει ἐπὶ τὸ δικαστήριον, αἰτιατικῇ συντάσσεται.

Ἐνάγει, τὸ κινεῖ καὶ παροξύνει, καὶ διεγείρει, αἰτιατικῇ συντάσσεται. ἐνάγω σε πλεῖν εἰς Πειραιᾶ, ἤτοι ἐρεθίζω. καὶ ἐνάγω σε εἰς τὴν καταδοχὴν τοῦ φίλου, τουτέστιν ἐρεθίζω σε καταδέξασθαι αὐτόν. καὶ ἐνάγει, ἀντὶ τοῦ εἰσφέρει, καὶ ἀντὶ τοῦ ποιεῖ. ὅστις μαίνεσθαι ἐνάγει τοὺς ἀνθρώπους. ἢ ἐνάγει, ἐμβιβάζει, ἐνάπτει, ἐφέλκεται, ἢ προτρέπεται.

Ἐναγεῖς, βεβήλους, ἀποτροπαίους, ἀκαθάρτους.

Ἐναγὲς, μυσαρόν. κατ' εὐφημισμὸν, ἀκάθαρτον.

Ἐναγὲς, τὸ σεβάσμιον καὶ ἁγνόν. ἄγος γὰρ τὸ ἱερὸν σέβας. ἔνθεν καὶ τὸ ἄγημ' ἔχει. κατ' εὐφημισμὸν δὲ καὶ τὰ μιάσματα ἄγη λέγονται. καὶ οἱ μιαροὶ ἐναγεῖς καλοῦνται.

Ἐναγέστατος, ἀκάθαρτος, μυσαρώτατος.

Ἐνάγεται, ἐφέλκεται, ἐμβιβάζει, προτρέπεται.

Ἐναγῆ, μεμισημένον.

Ἐναγὴς, σεβάσμιος, ἢ καὶ ὁ βέβηλος, καὶ ὁ ἀποτρόπαιος, καὶ ὁ πονηρός.

Ἐναγίζειν, τὸ χοὰς ἐπιφέρειν. ἢ θύειν τοῖς κατοιχομένοις Ἴωνες λέγουσιν, ἢ φονεύειν. ἄγος γὰρ τὸ μίασμα. ἢ ἐναγίζειν, τὸ κατακαίειν, ἀπὸ τοῦ ἁγίζειν. ἀφ' οὗ ἐναγίσματα, αἱ σπονδαὶ, καὶ χοαί.

Ἐναγίζων, φονεύων, κατακαίων.

Ἐναγισμὸς, ὁλοκαυτώματα, ἢ μιασμοί.

Ἐναγκωνιεῖς, ἀποκλινεῖς.

Ἐναγοράζειν, ἐναθροίζεσθαι.

Ἔναγρος, ἔπαγρος. καὶ Ἀπόλλων ἐν Σίφνῳ.

Ἔναγχος, ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀρτίως, πρὸ μικροῦ, πρὸ ὀλίγου, ἐν τῷ ἔγγιστα παρελθόντι χρόνῳ. συντάσσεται παρ' Ἀττικοῖς μετὰ παρεληλυθότος. οἷον ἔναγχος διελεγόμην, καὶ ἐδίδασκον.

Ἐναγωγὴ, ἡ ἔγκλησις. καὶ πάντα ἄνθρωπον ἀδικηθέντα ὑπ' αὐτοῦ ἀδεῶς καὶ ἀζημίως, ἐναγωγαῖς κεχρῆσθαι.

Ἐναγῶν, ῥυπαρῶν.

Ἐν ἀγωνίᾳ, ἐν μερίμνῃ.

Ἐναγώνιος, ὁ Ἑρμῆς.

Ἐναδὶς, σύστημα.

Ἐνάδοντες, ἐμπεσόντες.

Ἐναερίζει, μετεωρίζει.

Ἐναέριον πνεῦμα, ἀκάθαρτον.

Ἐνάη, ὄνομα κύριον, καὶ ἡ νόσος.

Ἐναθλόει, ἀθλόει.

Ἐναθρεῖν, ἀτενίζειν.

Ἐναθύροντες, παίζοντες.

Ἐναθύρσας, ἐμπλέξας.

Ἔναι, ἀρχαῖαι, παρωχημέναι. Δημοσθένης κατ' Ἀριστογείτονος.

Ἔναιεν, ᾤκει, ἔμενεν.

Ἐναιθερίᾳ, ἐν αἰθρίᾳ, ἢ ἐν φανερῷ.

Ἐν ἀίδῃ, ἐν τῷ σκότῳ.

Ἔναιμος ἀνὴρ, ζωὸς, συγγενὴς, καὶ ὁ Ζεύς, καὶ ἔναιμος, πλήρης αἵματος.

Ἐν αἰνῇ, ἐν τῇ δεινῇ.

Ἐν αἰνίγματι, ἐν παρεικασίᾳ, ἐν παραβολῇ.

Ἐναίρειν, τὸ σκυλεύειν, καὶ τὸ φονεύειν σημαίνει. καὶ παρὰ τῷ ποιητῇ εὕρηται ἐν ἑκατέρᾳ σημασίᾳ.

Ἐναιρέσει, ἐν θλίψει.

Ἐναίρετο παρ' Ὁμήρῳ, τρίτον σημαινόμενον τοῦ αἰναιρεῖν. παθητικῶς δὲ λεχθὲν, καὶ οὐδὲ τὸ φονεύειν ἢ τὸ σκυλεύειν δηλοῦν, ἀλλὰ τὸ ἀφανίζειν, ἢ αἰσχύνειν. οὕτω γὰρ ἐναίρεται χροῦς καλὸς δάκρυσιν. αἰσχρὸς δηλαδὴ, ἀντὶ τοῦ καλοῦ, ἤτοι ἀειδὴς γινόμενος.

Ἐναίρω, τὸ φονεύω, παρὰ τὸν ἄρην, τὸν πόλεμον γίνεται. ἢ παρὰ τὸ ἕλω, τὸ φονεύω. ἐξ οὗ, εἷλε καὶ ἀνεῖλε.

Ἐναίσαρου, στερεοῦ. οἱ δὲ, ἐνάσαροι.

Ἐναίσασθαι, φθαρῆναι, γηράσαι.

Ἐναίσιμα, τὰ τῆς κατὰ τὸ μορίδιον αἴσης δηλωτικά. δῆλον δὲ, ὅτι λέγεται καὶ ἐπὶ δικαίου καὶ πρέποντος πράγματος τὸ ἐναίσιμον. ὡς δηλοῖ τὸ, ἀτὰρ τοῦτο γ' ἐναίσιμον οὐκ ἐνόησε. λέγει ὁ ποιητὴς ὄρνιθας ἐναισίμους, ἤγουν αἶσάν τινα δηλοῦντας. ἀφ' ἧς μέν τινες αἴσιοι, ἕτεροι δὲ ἀπαίσιοι λέγονται. ἐξ ὧν ὀρνίθων, καὶ ὀρνιθεία κατὰ παλαιοὺς παρὰ Σοφοκλεῖ, τὸ ἀγαθὸν οἰώνισμα.

Ἐναίσιμα νηὸς, τὰ καθήκοντα.

Ἐναισιμία, Διοσημία.

Ἐναίσιμον, τὸν δίκαιον λέγει Ὅμηρος, καὶ τὸν κατὰ θέμιν ζῶντα. τούτῳ δὲ ἀντίκειται ὁ ἀθέμιστος.

Ἐναίσιμον, ἀντὶ τοῦ καθῆκον φησὶν Ὅμηρος. ὡς τὸ, οὐδ' ἦλθον ἐναίσιμον ὡς ἐκέλευες. μετ' ὀλίγα, ἐν τῷ ἀνὴρ ὃς ἐναίσιμος εἴη, τὸν δίκαιον ἢ συνετὸν ἡ λέξις δηλοῖ. ἐνταῦθα δὲ ὅρα, ὡς εἰ καὶ αἶσα τριττῶς λέγεται, ἐπί τε εἱμαρμένης, καὶ ἐπὶ τοῦ καθήκοντος, ἤγουν προσήκοντος, ὡς καὶ πολλαχοῦ παρ' Ὁμήρῳ κεῖται. καὶ ἐπὶ μερίδος δὲ, ὡς τὸ λαβὼν ἀπὸ ληΐδος αἶσαν, ἥτις αἶσα καὶ μοῖρα λέγεται. καθ' ὃ σημαινόμενον καὶ μοῖραν κρεῶν φαμέν. εἰ γοῦν καὶ τριχῶς οὕτως ἡ αἶσα νοεῖται, ἀλλὰ τὸ ἀπ' αὐτῆς σύνθετον μονάζειν δοκεῖ. οὔτε γὰρ μόρσιμόν τι δηλοῖ, οὔτε μερίδα. μόνον δὲ τὸ κατ' ἀρετὴν καθῆκον.

Ἐναχμάσαι, ἐμμαχέσασθαι.

Ἐνὰχ, ὄνομα κύριον, καὶ ἡ νόσος.

Ἐν ἀκαρεῖ, ἐν βραχεῖ, ἐν ὀλίγῳ. ἐν ἀκαρεῖ χρόνῳ, ἐκινδύνευον διαφθαρῆναι.

Ἐνακμάζων, ἐνισχύων.

Ἐν ἀκμῇ, ἐν δυνάμει.

Ἐναλάγδην, συμπεπλεγμένως.

Ἐν ἀλαλαγμῷ, ἐν εὐφήμῳ βοῇ.

Ἐνάλια, θαλάσσια. καὶ ἑνικῶς ἔναλον, θαλάσσιον.

Ἐνάλιαι κορῶναι, αἴθυιαι.

Ἐναλίγκιος, ὅμοιος, παραπλήσιος. ὡς παρὰ τὸ πήσσω γίνεται πάγιος, καὶ παρὰ τὸ ἁρμόζω ἁρμόδιος. οὕτω καὶ παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ, γίνεται εἴκιος, καὶ προστεθείσης τῆς αλ συλλαβῆς μετὰ πλεονασμοῦ τοῦ γ, διὰ τὸ ἐπάλληλα βραχέα, ἐναλίγκιος.

Ἐναλί-

Ἐναλίσαι, ἐγκυλίσαι.

Ἐν Ἀλκινόου, Ἀττικῶς λέγεται. ὥσπερ ἐν ᾅδου, ἐν Κίρκης, καὶ ὅσα τοιαῦτα·

Ἔναλλα, ἀντὶ τοῦ ἐνηλλαγμένα. ὡς παρὰ Θεοκρίτῳ, πάντα δ' ἔναλλα γένοιτο.

Ἐναλλάγδην, συμπεπλεγμένως. παρήγαγε δὲ τοὺς πρέσβεις εἰς μέσον, ἐναλλάγδην τὼ χεῖρε ὑπὸ τὴν ἰξὺν περιεσφιγμένους.

Ἐναλλαγή, καὶ ἀλλοίωσις, περὶ τὰς πτώσεις πολλάκις γίνεται παρ' Ὁμήρῳ. ἀληθείας κλητικῆς ἐναλλασσομένης ἐν τούτοις. Αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι. καὶ νεφεληγερέτα Ζεύς. καὶ Δὸς φίλος. γενικῆς καὶ δοτικῆς ἐν τοῖς τοιούτοις. Τρωσὶ μὲν προμάχιζεν Ἀλέξανδρος Θεοειδής, ἀντὶ τοῦ Τρώων. καὶ ἐκ τοῦ ἐναντίου, ἡ δ' αὐτοῦ τετάνυστο περὶ σπείους γλαφυροῖο, ἀντὶ τοῦ περὶ σπέσιν.

Ἐναλλαγῆναι, τὸ ἀπὸ φιλίας εἰς φιλίαν ἄλλου μεταπηδῆσαί τινος, ἐχθροῦ ὄντος τὸ πρότερον. διαλλαγῆναι δὲ, τὸ δι' αὐτοῦ τοῦ ἐχθροῦ παρακληθῆναι, καὶ φιλιωθῆναι.

Ἐναλλάξ, ὡς παρὰ τὸ μίξω γίνεται μίξ, καὶ ἐπιμίξ, οὕτω καὶ παρὰ τὸν ἀλλάξω μέλλοντα, γίνεται ἀλλάξ καὶ ἐναλλάξ, ἤγουν ἐνηλλαγμένως.

Ἐναλλάττειν, τὸ μετατιθέναι τὴν τάξιν ἀντιστρόφως. ἀφ' οὗ ἐναλλάξ, ἐπὶ τῶν ποιούντων ἐναντία λέγεται.

Ἐναλόντες, ἐμπεσόντες, ἢ ἐμπηδῶντες.

Ἐν ἅλῳ δρακάζεις, τουτέστι κρύπτῃ, ἐπὶ τῶν ἀδυνάτων λέγεται.

Ἐναλῶντα, συλληφθέντα, κρατηθέντα.

Ἐν ἀμηχανίᾳ, ἐν ἀπορίᾳ.

Ἐναμμέος, ἐγκεκακωμένος.

Ἐναμπυκίσαι, ἐκχαλινῶσαι.

Ἔνανδρον, κενὸν ἀνδρῶν.

Ἔναντα, φανερῶς.

Ἐναντίβιος, ἐναντίαν δύναμιν ἔχων.

Ἐναντίοι ἀλλήλοισιν, ἐρίζοντες πρὸς ἀλλήλους. Ἐναντίον, τὸ ἐξ ἐναντίας μάχεσθαι, δοτικῇ. ἐναντίον δὲ, τὸ ἀντικρὺ, γενικῇ. ἢ ἐναντίον, εἰ μὲν σημαίνει ἐναντίωσιν καὶ μάχην, δοτικῇ συντάσσεται. ὡς τὸ ἐναντίος ἦν ὁ δεῖνα τῷ δεῖνι. εἰ δὲ τὸ ἕτερον εἶναι παρὰ τὸ λοιπὸν τὸ δέ τι. καὶ τὸ ἐναντίον, γενικῇ. οἷον, ὅταν λέγωμεν ἐναντίον ποιεῖς, οὗ βούλει. καὶ ἐναντίον τοῦ πατρὸς τὶς τὸν υἱὸν ἔκτεινεν.

Ἐναντιότης ἐστὶ, τῶν ὑπὸ τὸ αὐτὸ γένος κατὰ τὴν διαφορὰν πιπτόντων, ἡ πλείστη διάστασις.

Ἔναξεν, ἀντὶ τοῦ ἐπίλησεν, ἢ πατήσας ἢ χερσὶ συμπιλήσας. ἀπὸ τοῦ νάσσω δὲ ἡ λέξις γίνεται. ὅθεν καὶ ναστὸς ἄρτος ὁ πυκνὸς, εἰς ὃ φέρεται καὶ χρῆσις μάζαν ναξάμενος, ὅ τινὲς μαξάμενος γράφουσιν, ὡς εἶναι τὸ μάζαν μαξάμενος. ἐν δὲ τοῖς τοῦ Ἀθηναίου δηλοῦται, ὅτι ναστὸς ἄρτος πεπιλημένου εἶδος, καὶ οὐχὶ ὀγκωμένου. ἣν δέ φησι καὶ ναστὸς πλακοῦς ἔχων ἔνδον καρυκείας.

Ἐνατείληπτο, ἐγκατείχετο.

Ἐναπερείσασθαι, ἐμπῆξαι, στῆσαι.

Ἐναπέρισαι, ἐντίναχεν. εἴρηται ἀπὸ τοῦ διατεινομένου, ἐμπίπτειν.

Ἐναπέψυξε, τέθνηκεν.

Ἐναπήρειται, ἐντετίναχεν, εἴρηται δὲ ἀπὸ τοῦ διατεινομένου ἐμπίπτειν.

Ἐναπειλλημένους, διακρατηθέντας.

Ἐναποθέρομαι, ἐνδέχομαι.

Ἐναπομάζεσθαι, τὸν τύπον ἀναλαβεῖν.

Ἐναποματτόμενοι, ἐντυποῦντες.

Ἐναπομάττεσθαι, ἀναλαμβάνειν, μανθάνειν.

Ἐναπομόργνυνται, ἐναποτίθενται.

Ἐναπομόρξεται, ἐναποψήσεται, ἀπομάξει. οὕτως Ἀριστοφάνης.

Ἐναποψύχειν παρ' Ἡσιόδῳ, τὸ χέζειν, καὶ ἀποπατεῖν. ἢ ἐναποψύχειν παρ' αὐτῷ, τὸ ἀποφυσᾶν, τὸ ἀφοδεύειν. παρ' Ὁμήρῳ, τὸ λειποθυμεῖν, οἷον εἷλεν ἀποψύχοντα, πολύτλας δῖος ὁ Δυσσεύς· τὸ μὲν πρῶτον παρὰ τὸ ψύχω, τὸ δὲ δεύτερον παρὰ τῷ ψυχή.

Ἐνάπτοντες, ἐκδεσμοῦντες. ἠσφαλίζοντο δὲ τὰς σχεδίας τοῖς ἀπὸ τῆς γῆς ἐπὶ γύοις, εἰς τὰ περὶ τὸ χεῖλος πεφυκότα τῶν δένδρων, ἐνάπτοντες πρὸς τὸ συμμένειν.

Ἔναρ, εἰς τρίτην, Λάκωνες.

Ἔναρα, τὰ σκυλεύματα, ἀπὸ τοῦ αἴρειν. καὶ ἐναρίζειν, τὸ σκυλεύειν, καὶ τὸ φονεύειν. τὸ ἑπόμενον, ἀντὶ ἡγουμένου.

Ἐνάραι, ὑγιᾶναι.

Ἐναραίνει, ἐντρυφᾷ.

Ἐναράξαι, ἤγουν ἠχῆσαι. ἀπὸ τοῦ ἐναράττειν, τὸ κρούειν.

Ἐναραφόρος, σκυλοφόρος.

Ἐνάργεια, ἡ τῶν λόγων λευκότης, καὶ φανότης. ἐνέργεια δὲ, ἡ ἐν λόγοις ἀθρόα προσβολή.

Ἐναργής, γίνεται ἐκ τοῦ ἀργοῦ. ὁμοίως καὶ ὁ λέπαργος βοῦς, ἤτοι ὁ λεπάρας ἔχων λευκάς. καὶ λέπαργός φασιν ἡ χιών, παρὰ τὸ λευκαίνειν τὸ λέπας. καὶ ἄργεμος, νόσος ὀμμάτων. ἀφ' οὗ ἄργεμα κατὰ Δίδυμον, τὰ ἐπὶ τῶν ὀμμάτων λευκώματα. ἐκεῖθεν καὶ ἀργάντες ταῦροι παρὰ Πινδάρῳ. καὶ ἀργαίνειν, τὸ λευκαίνειν. καὶ ταῦρος ἀργιμήτης, ἤγουν λευκός. φασὶ παρὰ Φρυνίχῳ, ὁ διακομίσας τὴν Εὐρώπην.

Ἐναργής, φανερὸς, βέβαιος.

Ἐναργῶς, φανερῶς.

* Ἐνάργεια, ἁπλῶς ἡ σαφήνεια.

Ἐναρεῖν, κνίσκεσθαι, διαλέγεσθαι.

Ἐνάρεσθαι ἀπολύειν, φθονεῖν, ἐρείδειν, ἀπολαύειν.

Ἐνάρετος, πολὺ παρὰ τοῖς στωϊκοῖς κυκλεῖται τοὔνομα οὐκ ὂν ἀρχαῖον. Φρύνιχος.

Ἐνάρης, ἐνηρμοσμένος.

Ἔναρθρον, διάρμοστον, ἡ ὑπὸ γράμμασι δηλουμένη φωνή.

Ἐνάρθρως, ἠκριβωμένως.

Ἐνάριες, οἱ ὁπλῖται ὀνομάζονται παρὰ Γωσιν.

Ἐναρίζειν καὶ ἐναίρειν τὸ σκυλεύειν κυρίως δηλοῖ. ὅθεν καὶ ἔναρα τὰ σκῦλα, ἤτοι τὰ λάφυρα. λέγεται δέ ποτε καταχρηστικῶς καὶ τὸ ἀναιρεῖν, καὶ ἐναρίζειν τὸ φονεύειν.

Ἐναρίθμια, φίλα, συνήθη.

Ἐναρίθμιος, καὶ ἐνάριθμος λέγομεν, συντασσόμενα ἀμφότερα πρὸς γενικὴν καὶ πρὸς δοτικήν. Πλάτων γὰρ λέγει ἐνάριθμον τῶν πολλῶν. καὶ ἐναρίθμιος ἐν πολέμῳ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐν ἀριθμῷ καὶ λόγῳ κείμενος. ἔστι δ' ὅτι ἀριθμὸς, καὶ ἐπὶ οὐδαμινότητι λαμβάνεται. ὡς ὁ κωμικὸς λέγει, ὅτι οἱ θεαταὶ, ἀριθμὸς ἄλλως εἰσίν, ἤτοι πλῆθος μόνον.

Ἐναριθμῶ, ἐγγράφω, καταλέγω.

Ἐναρίσασθαι, ὁπλίσασθαι.

Ἐναρκεῖ, ἐνδέχεται.

Ἐναρκτεύει, φονεύει, κρίνει.

Ἐνάρκυσι, δίκτυσι.

Ἐναρμόνιος φωνή, ἡ ἐγγράμματος, ὡς ὁ τῶν ἀνθρώπων στεναγμός. ἐναρμόνιος, ἀγράμματος, ἡ τοῦ ψιττακοῦ. ἐναρμόνιος ἀγράμματος, ἡ τῶν προβάτων βληχή.

Ἐναρμόνιον, ἐμμελές.

Ἐναρξάρξει, ἐνορμήσει.

Ἔναρος, ἔνοχος, ἐπικατάρατος.

Ἐνάρφορος, πολεμική. ἀπὸ τοῦ φέρειν τὰ ἔναρα, ἢ τοὺς ἄνδρας φονεύειν.

Ἐναργὲς, σαφές. καὶ πρὸ ὀφθαλμῶν.

Ἐνάρων, σκύλων.

Ἐνὰς, εἰς τρίτην.

Ἐνασελγαίνων, πορνεύων.

Ἐνᾶσθαι, φθαρῆναι, γηράσαι.

Ἐνάσθη, ᾠκίσθη.

Ἐνασπιδώσομαι, ἀντὶ τοῦ καθοπλίσομαι, ἀσπίδι περιβαλοῦμαι.

Ἐναστειζόμενον, ἐνοικοῦντα.

Ἐνάστεσιν, ἐν πόλεσιν.

Ἐνατενίζω, τὸ βλέπω, δοτικῇ.

Ἐν ἀτόμῳ, ἐν ῥιπῇ, ἐν βραχεῖ, ἐν στιγμῇ, ἐν τάχει.

Ἐναυάγησαν, ἐκινδύνευσαν.

Ἐναυάζει, ἀμφιβάλλει.

Ἔναυδος, ἔμπνους, φωνήεις.

Ἐναύει, ποτνιᾷ, ἢ ἄγαν ἱκετεύει.

Ἐναυλήματα, ἄλφιτα, οἴνῳ καὶ ἐλαίῳ δεδευμένα. ἔνιοι δὲ καὶ αὐτὰ τὰ ἄλφιτα ἐναυλήματα καλοῦσι.

Ἐναυλίζεσθαι, ἐνδιατρίβειν.

Ἐναύλισμα, οἴκημα.

Ἐναυλισθῆναι, οἰκισθῆναι.

Ἔναυλοι, τὰ ἐν τοῖς πεδίοις κοιλώματα, καὶ αἱ στεναὶ διώρυχες. ἢ οἱ περὶ τὴν τάφρον τόποι. παρὰ τὸν στενὸν καὶ ἐπιμήκη αὐλόν. ἐξ οὗ καὶ ὁ κατὰ τὸν ἀγῶνα δίαυλος. καὶ ἡ αὖλαξ, καὶ ἡ αὐλῶπις, τρυφάλεια.

Ἔναυλον, οὐ πρὸ πολλοῦ ἐνηχούμενον, ἢ μνημονευόμενον, ἀλλ' ἔτι ἐνηχούμενον. αὐλὸς γὰρ πᾶν τὸ στενὸν καὶ ἐπίμηκες. τοιοῦτος δὲ καὶ ὁ τῶν ὤτων τόπος.

Ἔναυλος, ἔνηχος, ἔμπνους. σημαίνει δὲ, καὶ ῥοῦν, καὶ χαράδραν. ἢ ἐναύλους, τὰ σπήλαια παρὰ τῷ Ἀπολλωνίῳ σημαίνειν εὕρηται. καὶ ἔναυλος κατὰ τοὺς παλαιοὺς, χείμαῤῥος, στενὴ διώρυξ. ἢ καὶ ἄλλως ἔναυλος, ὁ διὰ στενοῦ καὶ ἐπιμήκους τόπου ῥέων χείμαῤῥος, παρὰ τὸν αὐλόν. ὅς ἐστιν ἐπιμήκης παράστασις. ἀφ' οὗ καὶ ἡ αὖλαξ, καὶ ὁ μουσικὸς αὐλὸς, καὶ οἱ τοπικοὶ αὐλῶνες. οἱ μέντοι μεθ' Ὅμηρον τὸν ἔναυλόν φασι καὶ τὸν ἔνδον τῆς αὐλῆς. ὅθεν λόγος ἔναυλος ἀκοῇ, ὁ ἔτι ἐντὸς ὢν τῆς ἀκοῆς. αὐτὸ δὲ ἴσως καὶ παρὰ τὸν Μουσικὸν αὐλὸν ἐῤῥέθη. ἵνα ᾖ λόγος ἔναυλος, ὁ ἔτι καταυλῶν τὴν ἀκοήν. Ἰστέον ὅτι, ἀπὸ αὐλοῦ καὶ συναυλία ἐκαλεῖτο, ἡ συμφωνία. ἀγὼν ἀμοιβαῖος αὐλοῦ καὶ ῥιθμοῦ χωρὶς λόγου τοῦ προσμελῳδοῦντος, καὶ ἔτι λίβυς ὁ αὐλὸς ἐκαλεῖτο παρὰ τοῖς ποιηταῖς. ἐπὶ Λίβυς νομάς τις, τὴν αὐλητικὴν πρῶτος εὗρε. καὶ ὅτι αὐλήσεων ὀνομασίαι ὡς Ἀθηναῖος ἐκτίθεται, κῶμος, ἐπίφαλος, χορεῖος, καλλίνικος, πολεμικὸς, ἡδύκωμος, σικιννοτύρβη, θυροκοπικὸν, τὸ καὶ κρουσίθυρον, κνησμὸς, μόθων. μετ' ὀρχήσεως δέ φησιν αὐτὰ ηὐλεῖτο. καθὰ ἱστορεῖ Τρύφων, ὃς καὶ ᾠδὰς ὀνομάσας καταλέγει, τάσδε, ἱμαῖος, ἡ καὶ ἐπιμύλιος, ἢ μυλωθρὸς, ἣν περὶ τοὺς ἀλετοὺς ᾖδον. εἶτα ἐτυμολογῶν φησι, κληθῆναι ἴσως ἀπὸ τῆς ἱμαλίδος. ἱμαλὶς δέ φησι παρὰ τὸ ὁ νόστος, ὡς τὰ ἐπίμετρα τῶν ἀλετῶν. ὡς δὲ ᾠδῆς οἷον καὶ ὁ αἴλινος, καὶ ὁ λιτυέρσας, καὶ ὑμέναιος, καὶ ἄλλα τινά. ἣν δέ τις καὶ καλύβη ᾠδὴ, Στησιχόρου ποίημα, ἐπί τινι καλύβῃ, κατακρημνισθείσῃ δι' ἔρωτα. καὶ ἁρπαλύβη ἑτέρα, ἐπὶ ὁμοίῳ πάθει.

Ἔναυλος θροῦς, φωνὴ διὰ τῶν αὐλῶν γινομένη. ἔστι καὶ ἔναυλος, ἀντὶ τοῦ ἐντός ἐστιν, ἀπὸ τῆς αὐλῆς ὡς παρὰ Σοφοκλεῖ, ἔναυλος ἢ θυραῖος, ἀντὶ τοῦ ἐντὸς ἢ ἐκτός.

Ἐναυλόχων, κατὰ τὸν πλοῦν ἐλόχων.

Ἔναυον, ἔνθες, Κύπριοι.

Ἐναύοντες, ἐνάπτοντες, ἢ ἱκετεύοντες. ἐναύοντες πρὸς τοῖς ναοῖς.

Ἔναυρος, ὁ ἀπόλλων.

Ἐναυρύνεται, ἐντρυφᾷ, ἐγκαυχᾶται.

Ἐναύρω, πρωῒ, Κρῆτες.

Ἐναῦσαι, ἐνάψαι, ἢ μεταβαλεῖν.

Ἐναύσασθαι, ἐξάψασθαι.

Ἔναυσμα, λείψανον, μετάληψις.

Ἐναύσματα, ἀρχὰς, ἐμπυρεύματα, ὑπεκκαύματα.

Ἐναυχῆσαι, ἐλλαμπρύνασθαι, σεμνύνασθαι, καυχήσασθαι.

Ἐναφῆκαν, ἀντὶ τοῦ ἐνέβαλον. ἐναφῆκαν τῇ δρυῒ σφῆνας, ὡς διαστῇ.

Ἐν βένθεσιν, ἐν βάνθεσιν.

Ἔνβενος, ὑελλοειδής.

Ἐν βουλῇ, ἐν φροντίδι, ἐν συναγωγῇ, ἐν ὁδῷ.

Ἐν βραχεῖ, ἐπίῤῥημα. τὸ ἐναντίον ἐπὶ μακρῷ. λείπει καιρῷ. ὁμοίως ἐν ἀκαρεῖ, ἤγουν καιρῷ. εἰδ' ἄγε πείρησαι, λείπει τὸ βούλει, καὶ τοῦτο Ἀττικῶς ἐστιν. καὶ ἐν βραχεῖ Ἀντιφῶν, ἀντὶ τοῦ ἁπλῶς, καὶ ἐν κεφαλαίῳ.

Ἔν γε δὴ, ἐν πρόθεσις. γε δὴ, σύνδεσμοι.

Ἐνγείνονται, ἐνγεννήσωσιν.

Ἐνγειτόνων, τῶν πλησιαζόντων.

Ἐν γῇ πένεσθαι μᾶλλον, ἢ πλουτοῦντα πλεῖν.

Ἐν γήρᾳ πίονι, ἐν πλήθει ἐτῶν, ἢ γῆρας λιπαρόν.

Ἐν γηράσασθαι, ἐν γήρᾳ χρήσασθαι.

Ἐν

Digitized by Google

Ἐν γλαυσὶν, ἐν γλαύκωσιν.

Ἐν γύνασι, ταῖς φρεσὶ καὶ μέλεσι.

Ἐν γυάλοισιν, ἐν τοῖς κοιλώμασιν.

Ἐνδατεῖ, ἐμμανεῖ.

Ἐνδαὲς, ἐν διανοίᾳ ἑκάστου.

Ἐνδακοῦσα, καταθίουσα.

Ἐνδάναι, ἐν ἐρημίᾳ.

Ἐνδανδαίνει, ἀτενίζει, κατατολμᾷ.

Ἐνδ' ἄνεμος πρῆσεν, ἐνέπρησε δὲ ὁ ἄνεμος, ἐνεφύσησεν, ἐγέμισεν, ἐκόλπωσεν.

Ἐνδαπέδῳ, ἐν τῷ ἐδάφει.

Ἐνδάπιον, ἐγχώριον.

Ἐνδ' ἄρ ἔβη, ἀνέβη δέ.

Ἐνδαρθύϊα, οὕτως Ἀθηνᾶ τιμᾶται παρὰ Μεγαρεῦσιν, ἐπειδὴ εἰς αἴθυιαν ἀπεικασθεῖσα, ὑπὸ τὰ πτερὰ ἔκρυψε τὸν Κέκροπα, καὶ διεκόμισεν εἰς τὰ Μέγαρα.

Ἔνδασαι, μέρισον.

Ἐνδατεῖσθαι, ταυτόν ἐστι πῶς τῷ διατρίβειν. ἡ δὲ τραγῳδία καὶ τὸ ἁπλῶς μερίζειν οὕτω λέγει.

Ἐνδατουμένη, ἐπιλαμβανομένη, μερίζουσα.

Ἔνδαυλον, ὑλῶδες, δασύ.

Ἐν δὲ, πρὸς τούτοις δὲ, ἐν αὐτοῖς δέ.

Ἐνδεδυκὼς, ὁ ἐνδεδυμένος, οὐχ ὁ ἐνδύσας.

Ἐνδεεῖ, χρείαν ἔχοντι, λειπομένῳ.

Ἐνδεέστερος, ἐλλιπέστερος.

Ἔνδεια, ἐλάττωσις τῶν ἀγαθῶν, ἡ πενία, πτωχεία, πεῖνα.

Ἐνδεικνῦσαι ἔλεγον, τὸ καταγγέλλειν τινὰ κακουργοῦντα περὶ τὰ κοινά.

Ἔνδεικτο, ἐσήμαινεν.

Ἐνδεῖκται, οἱ κατήγοροι καὶ συκοφάνται.

Ἐνδεῖν, ἀντὶ τοῦ ἐλλείπεσθαι, καὶ χρημάτων καὶ στρατιωτῶν. καὶ ἐνδεῖν, χρήζειν, ἢ καὶ τὸ δεσμεῖν.

Ἐνδειξαμένῳ, ἀπολογησαμένῳ. ἔνδειξις γὰρ, ἡ ἀπολογία.

Ἐνδείξασθαι, ἀντὶ τοῦ κατηγορεῖσθαι. Γάσιππος, Πολλοὺς γὰρ διὰ τὰ οἰκεῖα μίση καὶ διαφορὰς ἰδίας, ἐνδείξασθαι τοὺς ἀναιτίους.

Ἔνδειξις, φανέρωσις, ἀπολογία. ἡ δίκη φησὶν ὁ Παλαμίδης, κατὰ τῶν τὰ δημόσια πωλούντων. Ἄλλως.

Ἔνδειξις, εἶδος δίκης δημοσίας, ὑφ' ἣν τοὺς ἐκ τῶν νόμων εἰργομένους τινῶν, ἢ τόπων, ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν, ὑπῆγον. πολλοὶ μὲν οὖν εἰσι λόγοι ἐνδείξεως, γνωριμώτατοι δὲ οἱ κατ' Ἀριστογείτονος Δημοσθένους.

Ἐνδείξομαι, ἀντὶ τοῦ ἀπερείσω τὸν λόγον. ὅθεν καὶ ἀριδείκετος κατὰ τοὺς παλαιοὺς, πρὸς ὃν οἱ ἐντυχόντες ἀπερείδονται διὰ τὸ ἀξίωμα.

Ἐνδείξω, ἐντινάξω.

Ἕνδεκα κώπαις, κέλευσμα ναυτικόν. λέγεται ἐφ' ἕνδεκα καταπλασίοις ἐκτεινομένη.

Ἕνδεκα, ἀρχὴ ἐν Ἀθήναις, ἐπιμελουμένη τῶν ἐν τῷ δεσμωτηρίῳ κατακριτῶν. ἐφ' ἣν ἀνήγοντο οἱ κλέπται, καὶ οἱ ἀνδραποδισταί.

Ἐνδεκάζοντας, ἀντὶ τοῦ ἑνεορτάζοντας, ἐν τῷ αὐτῷ τὴν δεκάτην ἄγοντας. Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνου.

Ἐνδεκάπηχυ ἔγχος, πρὸς ὑπερβολήν τινα εἴρηται καὶ σαφήνειαν, ὡς ἔγχους δυναμένου καὶ τοῦ ξίφους λέγεσθαι. ὅρα δὲ καὶ ὅτι τὸ ἔγχος μερίσας εἰς δύο, δόρυ μὲν εἶπε τὸ ξύλον αὐτοῦ. αἰχμὴν δὲ, αὐτὸν τὸν προλάμποντα σίδηρον.

Ἐνδελεχεῖ, πυκνάζει. Λάκωνες.

Ἐνδελεχεστάτης, συνεχεστάτης, καὶ ἀδιαλείπτου.

Ἐνδελεχισμὸς, ἐπιμονὴ, ἡ συνήθης θυσία.

Ἐνδελεχῶς, ἐπιμόνως, συνεχῶς, ἀδιαλείπτως.

Ἐνδελιπὲς, παντελές.

Ἐνδέναι, γνῶναι.

Ἐνδενελεῖν, ἐμβλέπειν.

Ἔνδενδρος, παρὰ Ῥοδίοις Ζεύς. καὶ Διόνυσος ἐν Βοιωτίᾳ.

Ἐνδέξασθαι, παραλαβεῖν, ἀκροάσασθαι. οὐδὲ φίλον λόγον ἐνδέξασθαι, παρὰ τῶν τὰ πολέμια ἔργα δρώντων.

Ἐνδέξια, αἴσια, καλά. ἐπιδεξίως παρ' Ὁμήρῳ, ἢ ἀντὶ τοῦ ἐκ δεξιοῦ καθίσματος, ἐπὶ ἀγαθῷ συμβόλῳ, ἢ ἀντὶ τοῦ ἐπιδεξίως. καὶ ἐνδέξια οἰνοχοεῖν λέγεται, τὸ ἐπιδεξίως. Ἰστέον δὲ, ὅτι οἰνοχοεῖν οὐ κυριολεκτεῖται ἐπὶ τοῦ νέκταρος, ἀλλὰ πάντως ἐπὶ τοῦ οἴνου. τίθεται δὲ κατ' ἀνάγκην καὶ ἐπὶ νέκταρος. οἰνοχοεῖν μὲν γὰρ νέκταρ, τὸ ἐγχέειν νέκταρ δίκην οἴνου. ἢ ἐνδέξια πᾶσιν ἔδειξεν ὁ κῆρυξ, ἤγουν δεξιᾷ χειρὶ φέρων αὐτὸς κλῆρον. ἢ ἐκ δεξιῶν ἱστάμενον τοῖς ἀριστεῦσιν, ἐν τῷ δεικνύειν αὐτόν. ἴσως δὲ καὶ ἀμφότερα. εἰς ὃ χρήσιμον σὺν ἑτέροις μυρίοις, καὶ τὸ ἐνδέξια πᾶσιν ἐκίρνα. καὶ ἡ παρὰ τοῖς παλαιοῖς δεξίωσις, καὶ ὁ τραγικὸς δεξιώσειρος ἄρης. Ἄλλως.

Ἐνδέξια σήματα. ὅτι δὲ αἱ ἀστραπαὶ καὶ αἱ βρονταὶ σήματα ἐνδέξιά ποτε γίνεται, καὶ ὡς χρηστὰ τὰ ἐνδέξια, πολλαχοῦ δηλοῦνται. καὶ ὅτι διόθεν ταῦτα λέγεται διὰ τὸ ἐξ αἰέρος εἶναι, ὅς ἐστι Ζεύς.

Ἐν δέ οἱ ἦτορ, ἐν δὲ τοῖς στήθεσιν αὐτοῦ ἡ ψυχή.

Ἐν δέ οἱ κραδίῃ στένει ἦτορ ἄλκιμον, ἀληθείᾳ ἔχει τὸ κραδίῃ, ἵνα λέγῃ, ὅτι στένει αὐτῷ ἡ καρδία, δηλαδὴ τὸ ἄλκιμον ἦτορ. ἢ δοτικήν, ἵνα νοῆται ἐν τῇ καρδίᾳ στένει τὸ ἦτορ. καὶ ὑπονοεῖται ἀγγεῖον τῆς ψυχῆς εἶναι ἡ καρδία. στένει δὲ διὰ τὸ ὑπέρθερμον. θερμὸς γάρ ἐστι φύσει ὁ λέων.

Ἐνδέοντι, ἐν τῷ χρησίμῳ, ἐν τῷ πρέποντι.

Ἐνδέοντες, δανειζόμενοι.

Ἐνδ' ἔπεσον, ταυτόν ἐστι τῷ ἐπέπεσον, ὡς οἷα μετά τινος βάρους. ὅθεν καὶ ζαχρηεῖς πολεμισταὶ, οἱ ἄγαν βαρέως ἐπιπίπτοντες. οὕτω χρῆται τῇ λέξει ὁ κωμικός. ἐν τῷ, ὁ Τιμοθέου δὲ πύργος ἐμπέσοι γέ σοι.

Ἐν δὲ ῥυτῆρσι, τοῖς λώροις.

Ἐν δὲ σθένος ὦρσεν, ἕκαστον ἐρρώννυσεν.

Ἐνδαλκέα, ἐμφερῆ, ὅμοια.

Ἐνδέχεσθαι, παραδέχεσθαι, πείθεσθαι. οὐκ ἐῶν τοὺς Βελισαρίου λόγους ἐνδέχεσθαι.

Ἐνδέχεται, ἀντὶ τοῦ ἐνδεχόμενόν ἐστιν, καὶ ἀντὶ τοῦ ἀσμένως δέχεται, καὶ ἀντὶ τοῦ ἁπλοῦ δέχεται. καὶ ἐνδέχεται περιπατοῦντα προσπταίειν. ἐνδέχεται αὔριον βρέξαι, τουτέστιν ἵνα βρέξῃ, ὕῃ.

Ἐνδεχισθήσεται, ἐμβραδυνεῖ.

Ἐνδεχόμενόν ἐστι, τὸ γενέσθαι δυνάμενον. καὶ μὴ ἀδύνατον.

Ἐνδεῶς, ἐλλιπῶς.

Ἐνδηίδες, αἱ νύμφαι ἐν Κύπρῳ.

Ἔνδηλοι, φανεροί.

Ἐνδημησάντων, ἐλθόντων.

Ἐνδημία, παρουσία.

Ἔνδημος, ὁ μὴ ἀποδημῶν. ἐπόδημος δὲ, ὁ ἐπιδημῶν.

Ἐνδήμου, συγγενικοῦ.

Ἐνδημῶ, καὶ ἐπιδημῶ, τὸ αὐτό. καὶ δηλοῖ τὸ ἀφικνοῦμαι, καὶ πάρειμι. οἷς ἐναντίον, τὸ ἀποδημῶ, καὶ ἐκδημῶ. καὶ ἀπὸ τούτου ὀνόματα, ἔνδημος, καὶ ἐπίδημος. ἔκδημος, καὶ ἀπόδημος. καὶ τὸ πρᾶγμα, ἐνδημία, καὶ ἀποδημία.

Ἔνδια, ὁ δυὼν, λεῖψις πράγματος. ἢ ἡ μεσημβρία διατριβή.

Ἐνδίαγρος, Ἄρτεμις.

Ἐνδιάει, ἔνεστι, διατρίβει.

Ἐνδιάζεσθαι, σκιάζεσθαι. τοῦ ψελλοῦ κορύμβοις ἐνδιάζεσθαι, τὸ σκιάζεσθαι φύλλοις.

Ἐνδιάθετος, ἐκ ψυχῆς προσκείμενος. καὶ πᾶς λόγος ἐν νῷ λαμβανόμενος.

Ἐνδιαθέτως, ὁλοψύχως, ἢ διηνεκῶς.

Ἐνδιαθρύπτει, ἐμβλακεύῃ, σπαταλᾷς, τρυφᾷς, ἀπονοῇ, παρὰ Θεοκρίτῳ.

Ἐνδιαταῖ, ἀρκέσει.

Ἐνδιαιτώμενοι, ἐνδιατρίβοντες.

Ἐνδιαιτᾶται, σώζεται, διατρίβει.

Ἐνδιέλῳ, μεσημβρίας ὥρᾳ.

Ἐνδυὲς, ἔνυδρον. καὶ ἐνδίες ἵπποι, ἐν τῷ Ἀδρίᾳ ἵπποι. καὶ λυκοπαδεῖς, καὶ λυκοφόροι.

Ἐνδίεσαν, ποιητικὴ λέξις, γινομένη ἀπὸ τοῦ ἐνδίημι, δηλοῦσα δὲ τὸ διέτριβον. καὶ ἐξ αὐτοῦ ἔοικεν εἶναι καὶ τὰ ἔνδια, ἤγουν αἱ διατριβαὶ, παρὰ τῷ Ὀππιανῷ. τινὲς δὲ ἐνδίεσαν φασὶν, ἀντὶ τοῦ ἐνέβαλον, πλεονασμῷ τοῦ δ. ἄλλοι δὲ ἰδιωτικόν φασι τὸ ἐνδίεσαν. ἐκ τοῦ δίω, δίημι τὸ διώκω. καὶ ἐνδίεσαν, ἐπεδίωξαν, ἐπώτρυναν, ἐσπούδασαν.

Ἐνδίκῃ, ἀντὶ τοῦ δικαίως. Γμίριος, ἡ πολλὰ ἂν πόλις βασιλὶς ἐν δίκῃ μέμψεται.

Ἔνδικον, δίκης ἄξιον ἢ δίκαιον. Καὶ γὰρ ὁ Μιθριδάτης, τά τε ἄλλα ἔνδικος ἦν βασιλεύς.

Ἔνδικος, δίκαιος, ἄξιος.

Ἔνδινα, τὰ ἔντερα, τὰ ἔνδον τῶν ἰνῶν ὄντα. οἱονεὶ ἔνιά τινα ὄντα, τὰ ἐντὸς τῶν ἰνῶν, ἢ ἁπλῶς τῶν μελῶν. ἢ παρὰ τὸ ἐντὸς εἶναι. γράφεται δὲ διὰ τοῦ ι, ὡς ἀνθρώπινος.

Ἐνδίνοισιν, ἐν τοῖς ἐγκάτοις. ἐστὶ δίνη, ὃ σημαίνει τὴν συστροφήν. τὸ οὐδέτερον, τὸ δῖνος, τοῦ δίνους, τοῖς δίνεσι. καὶ κατὰ μεταπλασμὸν δίνοισιν.

Ἐνδίνων, τῶν μελῶν, ἀπὸ τοῦ ἐνδύσασθαι τῷ θώρακι, καὶ τοῖς ἄλλοις ὅπλοις.

Ἔνδιοι ὡς ὁ Γεωγράφος ἑρμηνεύει, οἱ κατὰ μεσημβρίαν. ὅτε δηλαδὴ ἐνδεῖ, καὶ οὐκ ἔτι αὔξεσθαι δοκεῖ, ἀλλὰ φθίνει ἡ ἡμέρα. ὅθεν ἡ δείλη, ἡ ἐνδέουσα τῆς ἕλης. καὶ κεῖται ἡ λέξις ἐν Ὀδυσσείᾳ. σημειοῦνται δὲ οἱ παλαιοὶ ἐνταῦθα, καὶ τὴν καιρικὴν ἀλήθειαν, φάμενοι τὴν ἐξ Ἀρήνης ὁδὸν εἰς Ἀλφειὸν, ἐκ πρωΐας ἕως καὶ εἰς μεσημβρίαν εἶναι. φησὶ γοῦν ὁ Γεωγράφος, ὅτι νυκτερεύσαντες ἔνδιοι πρὸς τὸν Ἀλφειὸν ἀφικνοῦνται. τινὲς δὲ τὸ ἔνδιοι, ἀντὶ τοῦ ἱδροῦντες. ὡς οἷον ἐνίδιοι, παρὰ τὸ ἶδος, καὶ τὸ ἰδίειν. καὶ ἐν συγκοπῇ, ἔνδιοι. ἴσως δὲ καὶ παρὰ τὸν ὑγρὸν Δία, ὅ ἐστιν ἀέρα. ὅθεν καὶ τὸ διαίνειν, καὶ διέμενος δὲ παρὰ τῷ κωμικῷ. ἀκολούθως δὲ ἐκ τοῦ τοιούτου ἔνδιος, ὁ διερός. ὁμοίως τῷ τρόμος τρομερός.

Ἐνδίοις, ὀρθρινοῖς.

Ἐνδιομείοις Ἡράκλεια. Ὑπερίδης κατὰ Κόνωνος, τῆς ἐν Διομείοις ἀγομένης ἑορτῆς τῷ Ἡρακλεῖ, μνημονεύουσι καὶ οἱ κωμικοί.

Ἔνδιος Πρωτεὺς, δηλοῖ τὸν μεσημβρινὸν, ἤτοι τὸν ἐλθόντα περὶ μεσημβρίαν ὥραν ταύτην θερμὴν, ὅτε ἐστὶν ἰδίειν, ὅ ἐστιν ἱδροῦν ἡλίου καίοντος. ἵνα εἴη ἔνδιος, οἱονεὶ ἐνίδιος. ὅθεν καὶ ἶδος φασὶ, τὸ θερινὸν κατάστημα. οἷον, ἴδει ἐν αἰνοτάτῳ, καὶ καῦμα ἰδάλιμον. ὅτι δὲ ἔνδιον οὐδετέρως λέγεται καὶ ἡ διατριβὴ, δηλοῖ Ὀππιανὸς, ἔνδια πέτρης εἰπὼν τὰς διατριβάς. οὐκ ἂν δὲ ἀπᾴδοι ἔνδιον ἑρμηνεῦσαι, καὶ τὸν ὡς εἰπεῖν ἐναέριον. ἵνα ᾖ, ὁ Πρωτεὺς ἐνάλιος μὲν τὸ πρωΐ, ἔνδιος δὲ τὰ περὶ μεσημβρίαν. ὡς τηνικαῦτα ἔνδιος, ἤτοι ἀέριος ἐλθὼν Ἀττικῶς φάναι. διὸ καὶ ἔνδια οὐχ ἁπλῶς αἱ ὅπου δήποτε διατριβαὶ, ἀλλ' αἱ ὑπὸ γῆν καὶ κατ' αὐτὴν ἀέρα.

* Ἔνδινα τὰ ἔντερα φασὶ τὰ σπλάγχνα παρὰ τὸ ἔνδον εἶναι τῶν ἰνῶν.

Ἐνδίσμασι, ἐναλίσμασι.

Ἐνδισαγμῷ, ἐν φροντίδι.

Ἐνδιῶνται, μεσημβριάζουσιν.

Ἐνδόθρας, τὰς ἀποκοπὰς τῶν νεοδόξων δερμάτων.

Ἐνδοῖ, ἀντὶ τοῦ ἔνδον ἐστὶ, παρὰ Θεοκρίτῳ, τοπικὸν ἐπίρρημα, ὡς τὸ, Μεγαροῖ, Πυθοῖ. ἀντιπίπτει δὲ τούτοις τὸ οἴκοι.

Ἐνδοιάζοντες, διστάζοντες, ἀμφιβάλλοντες.

Ἐνδοίαστον, τὸ ἀμφίβολον.

Ἐνδοιέμεναι, ὅσοι ἀπὸ ἑτέρων πατέρων καὶ μητέρων.

Ἐνδοιῇ δὲ, ἐνδισαγμῷ δέ.

Ἐνδοιίτιναι, οἱ ἀπὸ ἑπτὰ πατέρων καὶ μητέρων ἀστῶν κατάγοντες τὸ γένος.

Ἐνδοχῇ, ἐν ἐπιβουλῇ.

Ἐνδοχία, ἡ μήτηρ παρὰ Ἀθηναίοις.

Ἔνδοχος, ἔνεδρα.

Ἐνδομαρία, ἡ κτίσις, ἢ παροιμία.

Ἐνδομενία, κτίσις, ἢ ἀποσκευή.

Ἐνδομυχὶ, ἐν ἀποκρύφῳ τόπῳ.

Ἐνδόμυχοι, κάτοικοι.

Ἐνδόμυχος, σκοτεινὸς, ἀπόκρυφος, δαμάσκιος. οὕτω δὲ ἐνδόμυχος ἐγεγόνει, καὶ σιωπηλὸς ἐπὶ τούτοις ἃ κρύπτειν ἐδοκίμαζεν, ὥστε μηδὲ ἐρωτώσῃ τῇ μητρὶ λέγειν, ὅπῃ ἄπεισι.

Ἔνδον,

Digitized by Google

Ἔνδον, ἐντὸς, καὶ ἔντοι ποιητικῶς. τὰ αὐτὰ στάσιν ἀεὶ δηλοῦσιν.

Ἔνδον εἰσέρχομαι, βάρβαρον. ἔνδον γάρ ἐστι, καὶ ἔνδον εἰμὶ, δόκιμον. δεῖ οὖν, εἴσω παρέρχομαι λέγειν. ἔσω δὲ διατρίβω, οὐκ ἐρεῖς, ἀλλ' ἔνδον διατρίβω.

Ἔνδοξος, ὁ καὶ ἡ. καθολικῶς πάντα τὰ ἐπίθετα σύνθετα κοινά ἐστιν ἑκατέρου γένους. καὶ ἔνδοξος, παρὰ τὸ ἐν ἑαυτῷ τὴν δόξαν ἔχειν.

Ἐνδόθια, ἔγκατα.

Ἐνδόσιμος, κινήσεως καὶ ἀρχῆς αἴτιος. ὁ δὲ ψαλμὸς, καὶ οἷος ἐνδόσιμος εἶναι τῇ ᾠδῇ, καὶ ἔνδοσις ὁμοίως.

Ἐνδουμέναι, καταδυόμεναι. Ἀριστοφάνης.

Ἐνδούμενοι, ἐνδεσμεύοντες, ἢ δεσμούμενοι.

Ἐνδοῦναι, παραδοῦναι, ἢ καὶ εἶξαι.

Ἐνδούπησα, ἐνέπεσα.

Ἐνδοὺς, ἀραιώσας.

Ἐνδρανὸς, πρακτικός.

Ἔνδρατα, τὰ ἐκδερόμενα σὺν τῇ κεφαλῇ, καὶ τοῖς ποσίν.

Ἐνδριῶνα, δρόμος παρθένων, ἐν Λακεδαίμονι.

Ἐνδρομίδες, ὑποδήματα. Ἀττικῶς εἴρηται παρὰ τὸν δρόμον, τὰ εἰς τὸν δρόμον ἐπιτήδεια.

Ἐνδρομὼ, ἡ Δημήτηρ ἐν Ἁλικαρνασσῷ.

Ἔνδροσον, ἔμμουσον, ἔλλογον, ἔμμετρον. καὶ ὅσα οὕτω παράγονται ἐν συνθέσει ὄντα τῆς ἐν προθέσεως, μίαν ἔχουσιν ἀκολουθίαν, καὶ ταυτὸ δύνανται τοῖς μετουσιαστικοῖς. ἔνδροσον γὰρ, τῷ ἐν δρόσῳ, ταυτὸν τῷ παρὰ τοῖς ποιηταῖς ἐρσήεν. καὶ τὸ ἔμμουσον, τῷ ἐν μούσῃ καὶ ῥυθμῷ. καὶ ἔλλογον, τῷ ἐν λόγῳ. καὶ ἔμμετρον, τῷ ἐν μέτρῳ.

Ἔνδρυον, καρδία δένδρου, καὶ τὸ μέσον.

Ἐνδυασμὸς, ἀμφιβολία, διστάγμὸς, καὶ ἀπορία.

Ἔνδυδαν, ἔσωθεν.

Ἐνδύεσθαι. ὅταν σημαίνῃ τὸ ἐμβαίνειν, ἤτοι τὸ εἰσδύεσθαι, δοτικῇ συντάσσεται. ὅταν δὲ σημαίνῃ τὸ ἐνδύεσθαι, τὸ περιβάλλεσθαι, ὁμοίως δοτικῇ καὶ αἰτιατικῇ. οἷον ἐνδύεται τὸν χιτῶνα.

Ἐνδυκὲς, περιττεύει τὸ κ, ὥς φησι Τρύφων. ἔστι γὰρ ἐνδυὲς, τὸ μετὰ πολλῆς κακοπαθείας γενόμενον προσηνὲς, καὶ ἡδύ. καὶ ἐνδυκέως, ἐξ αὐτοῦ. ἢ ἐνδυκὲς, συνεχές. συνετὸν, ἀφελὲς, ἀσφαλὲς, γλυκὺ, πρόθυμον, ἄϋπνον, πιστὸν, ἐπιμελές.

Ἐνδυκέως, ἐπιμελῶς, σπουδαίως. ὅπερ οὐ φιλεῖται μὲν πεζολόγοις ῥήτορσι, δηλοῖ δὲ τὸ ἐπιμελῶς. καὶ γίνεται ἐκ τοῦ δέκω, τὸ δεξιοῦμαι. τραπέντος τοῦ ε εἰς ο, κατὰ κίνησιν ὀνοματικήν. εἶτα τοῦ ο μεταβληθέντος εἰς ω, αἰολικῶς. καὶ ἐνδυκέως φιλέειν καὶ τιέμεν παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ο, ἤγουν φίλει καὶ τίμα ἐπιμελῶς, ἀπαρέμφατον ἀντὶ προστακτικοῦ.

Ἐνδύκιον, πιστὸν, φίλον, ἐμφερὲς, βέβαιον, ἀποκρύφιον.

Ἐνδύλω, ἔνδοθεν.

Ἐδυμίων κάρ. Ἀριστοφάνης τὸν ἐνδυμίωνα, ὃν κάρα φησὶ διὰ τὸ περὶ τὸ Λάτμον δοκεῖν αὐτὸν πεπαῦσθαι. Σαπφὼ δὲ καὶ Νίκανδρος ἱστορεῖ περὶ τοῦ τῆς σελήνης ἔρωτος ἐν δευτέρῳ Εὐρώπης. λέγεται κατέρχεσθαι εἰς τὸ ἄντρον τὴν σελήνην πρὸς Ἐνδυμίωνα. Ἐπιμενίδης δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναί φησι τῆς Ἥρας. διόπερ Διὸς χαλεπήναντος, αἰτήσασθαι διαπαντὸς καθεύδειν. Ἴβυκος δὲ ἐν πρώτῃ Ἤλιδος, αὐτὸν βασιλεῦσαί φησι. τινὲς δὲ διὰ πολλὴν δικαιοσύνην ἀποθεωθῆναί φασιν αὐτὸν, καὶ αἰτήσασθαι παρὰ Διὸς, ἀεὶ καθεύδειν. φασὶ δὲ αὐτὸν οἱ μὲν Σπαρτιάτην, οἱ δὲ Ἠλεῖον. ἔνιοι δὲ ἀναιροῦσι τὸν ἐπὶ τῷ Ἐνδυμίωνος ὕπνῳ μῦθον. φιλοκύνηγον γὰρ αὐτὸν γενόμενον, νύκτωρ πρὸς τὴν σελήνην κυνηγεῖν. διὰ τὸ ἐξιέναι τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὰς νομὰς, τὰς δὲ ἡμέρας ἐν σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὥστινα οἴεσθαι πάντοτε αὐτὸν κοιμᾶσθαι. ἄλλοι δὲ ἀλληγοροῦσι τὸν μῦθον, λέγοντες, ὡς ἄρα Ἐνδυμίων πρῶτος ἐπεχείρησε τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ. παραχεῖν δὲ αὐτῷ τὰς ἀφορμὰς τὴν σελήνην, ἔντε φωτισμοῖς, καὶ κινήσεσι. διὸ καὶ νύκτωρ σχολάζοντα τούτοις ὕπνῳ μὴ χρῆσθαι, κοιμᾶσθαι δὲ μεθ' ἡμέραν. τινὲς δὲ τῷ ὄντι φίλυπνόν τινα γεγονέναι τὸν Ἐνδυμίωνα. ἀφ' οὗ καὶ παροιμία Ἐνδυμίωνος ὕπνος, ἐπὶ τῶν πολὺ κοιμωμένων, ἢ ἀμελῶς τι πραττόντων, ὡς δοκεῖν κοιμᾶσθαι. καὶ Θεόκριτος μέμνηται, Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων Ἐνδυμίων.

Ἐνδῶαι, εἰσδῶαι, εἰσελθεῖν.

Ἔνδωεν, ἐνεδύσατο.

Ἔνδυο, ὡς ἡμεῖς τὸ ταχέως. Μένανδρος Ἐφεσίῳ. Παρέσομαι γὰρ ἔνδυο.

Ἐνδύομαι, ἀμπέχω, ἔχω, ἀναβάλλομαι, ἐνδύω, περιβάλλω.

Ἐνδυομενία. τὴν μὲν ἐνδυομενίαν ἅπασαν ἐκ τῶν οἰκιῶν ἐξήρπασαν, καὶ τὰ ἔπιπλα.

Ἐνδυσάμενος, καὶ ἐκδυσάμενος, ἐπὶ ἱματίων, καὶ περιδύσας. Συνέσιος, Πεσόντα δὲ ἤδη περιδύσας τὰ ὅπλα.

Ἐνδυσίν ἐστι, τὸ δυσὶ μόνοις ὑπάρχον. ὡς ὁ πατὴρ ἐν υἱῷ καὶ ἁγίῳ πνεύματι.

Ἔνδυσις, κατάδυσις.

Ἐνδυτὰ, περιβλήματα. ὡς τὸ, ἐνδυτὰ καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους.

Ἐνδύτας, αὐλωτὸς στάμνος.

Ἐνδύω, καὶ ἀποδύω, καὶ ἐνδύω σε, καὶ περιδύω σε τὰ ἱμάτια, αἰτιατικῇ.

Ἐνδωρότερον, ὠμότερον, ἀκρατέστερον.

Ἐνδώσειν, ὁρίσαι, προστάξαι. καιρὸν δὲ τῆσδε ἀναβάσεως, καὶ τόπον αὐτὸς ἐνδώσειν ἔφη.)

Ἐνδώσω, ὑποσημανῶ, παρέξω, δηλώσω.

Ἐνεαρίζειν κυρίως, τὸ ἐν ἔαρι διάγειν.

Ἐνεαρίσαι, τὸ ἦρος που διάγειν. ἐγχειμάσαι δὲ, τὸ χειμῶνα. ἐνθερίσαι δὲ, τὸ θέρος. τὸ δὲ μετοπωρίσαι, ἄχρηστόν ἐστιν.

Ἐνέβαλεν, ἔτυψεν. ὡς τὸ, Ὁ δὲ κεῖνας τοῦτον ἀδικεῖν, πληγὰς ἐνέβαλεν.

Ἐνέβη, ἀντὶ τοῦ εἰσῆλθε. Τῶν δὲ συνήθων τὶς αὐτῶν ἀνέβη, τῷ ποδὶ λακτίσας κείμενον τὸν ταῦρον, ἡ γὰρ ἐν πρόθεσις, δηλοῖ τὸ ἐπάνω καὶ τὸ ἐντὸς, οἷον ἐν δὲ λίθοις ἐμάχοντο. ἤγουν, ἐπάνω λίθων. καὶ ἐν τῷ οἴκῳ ἐστὶν, οἷον ἐντὸς τοῦ οἴκου.

Ἐνέβρια, τὰ θνησίδια. οὕτως ἔλεγον οἱ παλαιοί.

Ἐνεβριμήσατο, μετ' ὀργῆς ἐλάλησεν. ἢ ἐνεβριμήσατο, μετ' αὐστηρότητος ἐπετίμησεν.

Ἐνέβριον, ἐνεκύουν.

Ἐνεβύσαμεν, ἐπληρώσαμεν, ἐφράξαμεν, Ὅμηρος.

Ἐνεγκαμένη, ἡ πατρίς.

Ἐνέγκασθαι, ἐνέγκαι, φέρειν.

Ἐνέγκατε, φέρετε.

Ἔνεγκον, ἔνεγκε.

Ἐνεγκοῦσαν, τὴν μητέρα, ἢ τὴν πατρίδα λέγει.

Ἐνέγκω, σημαίνει τὸ ὑπομένω, καὶ τὸ κομίζω.

Ἐνέγκω ἄχρηστον, καὶ ὁ μέλλων αὐτοῦ. ἀντ' αὐτοῦ δὲ φέρω, ὁ μέλλων οἴσω, ὁ ἀόριστος ἤνεγκα, ὁ δεύτερος ἤνεγκον. ἐκ τούτου δὲ ἀπαρέμφατον, ἐνεγκεῖν, καὶ ἐνέγκαι. ἀπὸ τοῦ πρώτου τὸ προστακτικὸν ἔνεγκαι. τὸ δεύτερον ἀπὸ τοῦ πρώτου ἐνεγκάτω, ὥσπερ εἰπάτω. τὸ εὐκτικὸν ἐνέγκοιμι, καὶ ἐνέγκαιμι. ἀπὸ τοῦ πρώτου ὑποτακτικὸν, ἐνέγκω. ἡ μετοχὴ ὁ ἐνεγκών. τούτου γοῦν τὸ παθητικὸν ἄχρηστον. ὁ ἀόριστος ἠνεγκάμην, ἀντὶ τοῦ ἔλαβον. τὸ ἀπαρέμφατον ἐνέγκασθαι, τὸ προστακτικὸν ἔνεγκαι. τὸ εὐκτικὸν ἐνεγκαίμην. ἡ μετοχὴ ὁ ἐνεγκάμενος. καὶ ἐνέγκωμεν ἀνθυποτακτικὸν, καὶ ἐνέγκῃς.

Ἐνέδεκτο, ἐνεσημήνατο, ἐνετείλατο.

Ἐνεδέχοντο, παρελάμβανον, εἰσεδέχοντο. οἱ δὲ τὸν Κιννέαν ἐνεδέχοντο.

Ἐνεδιάσθη, εἰσενεπλάκη.

Ἐνεδίδου, ἐχαυνοῦτο.

Ἐνεδοίαζεν, ἠμφίβαλλεν.

Ἐνέδρα, ἔγκρυμμα. ἐν ᾗ κάθηνταί τινες, μέχρις ἂν ἕλωσιν, οὓς ἂν ἐπιβουλεύσωσιν.

Ἐνεδρεύει, δόλον μηχανᾶται.

Ἐνεδρεύω, καὶ συνεδρεύω, καὶ παρεδρεύω, καὶ προσεδρεύω, ταυτοσήμαντα.

Ἐνέδρη, ἐνεδρεύθη.

Ἐνέδυ, καὶ εἰσέδυ τὸν ἄνθρωπον μανία, τὸ εἰς βάθος σημαίνει.

Ἐνέηκεν, ἐνέβαλεν.

Ἐνεθῆναι, ἐμβληθῆναι, ἐκ τοῦ ἵημι τὸ πέμπω, καὶ ἐμβάλλω, καὶ συνθέσει ἐνίημι. ἐνήσω, ὁ παρακείμενος ἐνεῖκα. ὁ παθητικὸς ἐνεῖμαι, ὁ ἀόριστος ἐνείθην, ὃ καὶ ἐνέθην εὕρηται. ὡς ἀφέθην, καὶ παρέθην, κατὰ ἀποβολὴν τοῦ ι, ἐνέθην, ης, η. καὶ τὸ ἀπαρέμφατον, ἐνεθῆναι.

Ἐνέθορεν, ἐνεπήδησεν.

Ἐνεθουσία, ἐπεμαίνετο.

Ἐνέθριξεν, προσωρμίσθη.

Ἐνεθρίωσαν, θρῖον ἐποίησαν, ὅπερ ἐστὶ βρῶμα.

Ἐνεθυμίαζον, ἐνεθυμούμην.

Ἐνεῖκαι, σημαίνει τὸ ἐνέγκαι. καὶ ἔνει Ἀττικοὶ, ἔνεθεν. ἢ ἐνεῖκαι, ὅ ἐστιν ἐνέγκαι. κοινὸς πρῶτος ἀόριστος, ὁ ἤνεγκα. καὶ ποιητικῶς, ὁ ἐνείκαι. δεύτερος δὲ ἀόριστος τοῦ ἐνεῖκαι, οὐκ ἔστιν ἐν χρήσει. ἀντ' ἐκείνου δέ ἐστι, τὸ ἐνεγκεῖν.

Ἐνειδέσσεις, ἐν διαφοραῖς.

Ἐνειδημένους, πορθήσαντας.

Ἐνείη, ἀντὶ τοῦ ἔνεστιν. οὕτως Ἀριστοφάνης. καὶ ἀντὶ τοῦ ὑπάρχει.

Ἐνέηκαν, ἤνεγκαν.

Ἐνέκειντο, ἐπιμόνως ἠχολοῦντο. ὡς τὸ εἰ δή τι ἐλέληπτο, ἁρπασάμενοι ἐνέκειντο τῇ πολιορκίᾳ.

Ἐνείκασθαι, ἐνεγκεῖν, καὶ ἐνεῖκαι.

Ἐνέκαψα, ἐξέπτυσα. κἀγὼ βδελυχθεὶς ὀσφρόμενος ἐνέκαψα.

Ἐνεκότει, δοτικῇ, ἐμνησικάκει, ὠργίζετο.

Ἐνεῖκε καὶ ἐνείκατε, καὶ τὰ τοιαῦτα, δίχα μὲν προθέσεως ἐπὶ τοῦ φέρειν καὶ κομίζειν λέγεται, μετὰ δὲ προθέσεως γίνονταί τινες ἐν τούτοις διαφοραί. οἷον συνενεγκεῖν μὲν λέγεται, τὸ λυσιτελεῖν. συνδιενεγκεῖν δὲ, τὸ συνδιαβαστάσαι φορτίον, ἢ καὶ φροντίδα τινά. διενεγκεῖν, τὸ διαφέρειν. περιενεγκεῖν δὲ, τὸ κύκλῳ ἀγαγεῖν. μετενεγκεῖν δὲ, τὸ μετακομίσαι. παρενεγκεῖν, τὸ παραγαγεῖν. τὸ δ' αὐτὸ καὶ ἀπαγαγεῖν. ὑπενεγκεῖν δὲ, τὸ ὑπομεῖναι. ὑπερενεγκεῖν δὲ, τὸ ὑπερτερῆσαι, καὶ ὕπερθεν φέρεσθαι. εἰσενεγκεῖν δὲ, ἔσω ἀγαγεῖν. οὗ ἀνάπαλιν τὸ ἐξενεγκεῖν. τὸ μέντοι ἀνενεγκεῖν, ἔχει πλείω τινὰ διατριβήν. ὅτι μὲν γὰρ ἀνενεγκεῖν λέγεται καὶ τὸ ἀναγαγεῖν τι, καὶ τὸ ἀναβιῶναι, δηλοῖ τὸ, εἰς τὸ κωρύκιον ἀνενείκαντο, ἤγουν ἀνέβησαν. καὶ, ἐς σπάρτην ἀνενείκαντο, καὶ αὐτοὶ ἀνέβησαν. ὅτι δὲ καὶ ἀντὶ τοῦ ἀνέπνευσε κεῖται κατὰ Παυσανίαν, δηλοῖ Θεόπομπος εἰπών. ἄφωνος ἐγένετο, ἔπειτα μέντοι πάλιν ἀνηνέχθη.

Ἔνεικε, προστακτικὸν βοηθεῖ τοῖς μεθ' Ὅμηρον, εἰς τὴν διὰ τοῦ ε ψιλοῦ γραφὴν τοῦ ἔνεγκεν.

Ἐνείκεσέ τ' ἂν τὴν παρ' Ὁμήρῳ, ὅ ἐστιν ἐφιλονείκησεν ἀντικρύ. καὶ ὄφασι, κατὰ πρόσωπον.

Ἐνείκησεν, ἐκακολόγησεν, ὕβρισεν. ἐνήκισε ἀντὶ τοῦ ἐμάστιξεν, η καὶ ι.

Ἐνείκω, ἀντὶ τοῦ ἐνέγκω λέγουσιν οἱ Ἴωνες, ἀφαιρούμενοι τὸ γ, καὶ ἀντ' αὐτοῦ ἐπεντιθέμενοι τὸ ι. Ἡρόδοτος μυριαχοῦ τούτῳ χρῆται.

Ἐνείλημμα, ἡ θήκη τοῦ δόρατος. σημαίνει δὲ καὶ τὸ τοῦ ὀστρέου ὄστρακον.

Ἐνείληται, ἐζημίωται.

Ἐνείλλοντες, ἐμβάλλοντες. Θουκυδίδης, ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλαντες, ἐσέβαλον εἰς τὸ διῃρημένον τοῦ τείχους.

Ἐνεμίαντο, ἐμέρισαν.

Ἔνειμας. παρ' Εὐριπίδῃ, ἐν τῷ, οὐ μάντεως ὄπα ἔνειμας, οὐ χρόνῳ μακρῷ ἔνειμας ἀντὶ τοῦ ἔμεινας. ὁμοίως μάνα, ἀντὶ τοῦ νᾶμα. καὶ χόλος, λόχος, καὶ μῦθος ἀντὶ τοῦ θυμός. καὶ παρὰ Λυκόφρονι, πέλας καὶ λέπας, περατοῦντα δύο στίχους συνεχεῖς. ὧν τὸ μὲν πέλας, τὸ ἐγγὺς δηλοῖ. τὸ δὲ λέπας, ὀρεινὴν τραχύτητα. ἐξ ὧν καὶ λεπαία χθὼν τραγικῶς ἡ ὀρεινή. δοκεῖ οὕτω πεπυκῶσθαι καὶ ἡ λακέρυζα, παρὰ τὸ κελαρύζειν. τοιούτου τρόπου καὶ τὰ αἵματα, ἰάματα, καὶ ἕτερα.

Ἐνειματιῶν, ὁ τὰ ἐμπάσματα τοῖς ἀνδράσιν ἐκτιθείς.

Ἔνειμεν, σημαίνει τὸ ὑπάρχομεν. τρίτην δὲ ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. τὸ γὰρ ἁπλοῦν αὐτοῦ, εἰμέν ἐστι. πᾶν δὲ ῥῆμα ὀξύτονον, ἐν τῇ συνθέσει βαρύνεται.

Ἔνει-

Digitized by Google

Ἔνειμεν, ἔδωκεν.

Ἔνειμι, ἀντὶ τοῦ ἐνυπάρχω. εἴσειμι, ἀντὶ τοῦ εἰσέρχομαι. σύνειμι, ἀντὶ τοῦ συνέρχομαι, καὶ ἀντὶ τοῦ συνυπάρχω. τοῦτο δὲ καὶ ἐπὶ ὁμιλίας καὶ συνουσίας λέγεται. πρόσειμι, ἀντὶ τοῦ προσέρχομαι. πρόειμι ἀντὶ τοῦ προέρχομαι. ἄνειμι, ἀντὶ ἀνέρχομαι. κάτειμι, τὸ ἐναντίον τούτου. δίειμι τὸ γράμμα, ἤγουν διέρχομαι. μέτειμι λόγους, ἤγουν μετέρχομαι. καὶ μέτειμί τινα, ἀντὶ τοῦ κολάζω. πάρειμι, ἀντὶ τοῦ παρὼν εἰμι. ἔπειμι, τὸ ἐπέρχομαι. περίειμι, ἀντὶ τοῦ περιέρχομαι. ἄπειμι, ἀντὶ τοῦ ἀπέρχομαι. καὶ ἐπὶ τρίτου προσώπου τῶν ἑνικῶν μὲν, ὅτε ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι συντίθεται. καὶ τῶν πληθυντικῶν, ὅτε ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω. οἷον ἔνεισιν, ἀντὶ τοῦ ἐνυπάρχουσιν. εἴσεισιν, ἀντὶ τοῦ εἰσέρχεται. ἔξεισιν, ἀντὶ τοῦ ἐξέρχεται. σύνεισιν, ἀντὶ τοῦ συνέρχεται. πρόσεισι, καὶ ἄνεισι, κάτεισι, δίεισι, μέτεισι. πάρεισιν, ἀντὶ τοῦ παρόντες εἰσίν. ἔπεισιν, ἀντὶ τοῦ ἐπέρχεται. περίεισι, καὶ ἄπεισι, ταῦτα πάντα διὰ διφθόγγου γράφεται.

Ἐνεὺς, πραὺς, ἢ πράος.

Ἐνειπὴ, ἀπειλή.

Ἐνείραντες, ἐμπερονήσαντες.

Ἐνείρατο, ἐπέκτεινεν.

Ἐνείργω, κωλύω.

Ἐνειρείας, συναλλαγάς.

Ἐνειρμένος, συμπεπλεγμένος. ἐνειρμένος πέδαις.

Ἔνειρον, ἐνέβαλον.

Ἐνείρω, ἐμπερονήσω, συμπλέξω, συνάψω, εἴρω οὖν, παρὰ τὸ ἀρῶ, τὸ ἁρμόζω. τροπῇ τοῦ α εἰς ε, καὶ πλεονασμῷ τοῦ ι, εἴρω. ὁ μέλλων ἐρῶ, ὁ ἀόριστος εἶρα, καὶ συνεῖρα. καὶ παρενεῖρα, τὸ συνέβαλον, συνέπλεξα.

Ἐνεὶς, ἐνθέμενος.

Ἐνεῖσα, ἐμβαλοῦσα.

* Ἐνεῖθαι, ἤγουν ἐνδεδύσθαι παρδαλῆν, ἢ ἀλωπεκῆν, ἢ λεοντῆν, ἢ λυκῆν, παροιμιωδῶς λέγονται, ἐπὶ τῶν κατ' ἦθος διαφόρως διατεθειμένων.

Ἔν εἰσι, καὶ ἔξ εἰσι, ταῦτα εἰ μὲν δασύνεται, δύο μέρη λόγου εἰσί, καὶ ἔχει τὸ ἓν καὶ ἓξ ἀριθμητικόν. εἰ δὲ ψιλοῦται, ἓν μέρος λόγου εἰσί, καὶ ἔχει τὴν ἐν καὶ ἐξ πρόθεσιν.

Ἐνεῖχον, ἐχόλουν, ὠργίζοντο.

Ἕνεκα, καὶ ἕνεκεν Ἀττικοὶ γράφουσιν. ἅπερ ἐνίοτε ἔξωθεν λαμβάνουσιν. οἷον, τῆς ἀρετῆς, ἀντὶ τοῦ, ἕνεκα τῆς ἀρετῆς. καὶ συντάσσουσιν αὐτὰ γενικῇ. οἷον οὐ γὰρ ἐγὼ ἕνεκα Τρώων ἤλυθον αἰχμητάων. καὶ, ἕνεκα τῆσδε τῆς ὕβρεως. εἵνεκα καὶ εἵνεκεν ποιηταὶ χρῶνται. ὡσαύτως δὲ καὶ οὕνεκα, ὃ συντάσσουσι ῥήματι, ἀντὶ τοῦ διότι τοῦτο λαμβάνοντες. Ὅμηρος, οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα.

Ἐνέκειντο, ἐπιμόνως ἠκολούθουν.

Ἐνεκὲς, εἰς τὸ πίσω.

Ἐνεκολάβησας, ἄκολος ὁ ψωμός. ὅθεν τὸ ἐνεκολάβησας, ἀντὶ τοῦ καταπέπωκας.

Ἐνεκοπτόμην, ἐνεποδιζόμην.

Ἐνεκότουν μοι, ἐμήνιαζον, ἐμνησικάκουν.

Ἐνέκοψεν, ἐνεπόδισεν.

Ἐνεκρίκωσεν, ἀντὶ τοῦ ἐνέδησεν Ἴωνες λέγουσιν.

Ἐνέκρινον, τοῖς καλοῖς συνηριθμήσαν.

Ἐνέκρουσεν, προσέβαλεν, ἐπέσχεν.

Ἐνέλειπεν, εἴασεν.

Ἐνέλειψε, παρέλειψεν.

Ἐνελέκησα, ἔπλησα, ἐψόφησα.

Ἐνελήκισεν, ἐνεκύλισεν.

Ἔνελεν, ἐβόησεν, εἶχεν.

Ἐνελίπανεν, ἔπλησεν, ἔπληξεν.

Ἐλλεδανοῖσι δέοντο, ἐν τοῖς δεσμοῖς ἐδέσμουν.

Ἐνελὸς, νεβρός.

Ἐνελόχησεν, ἐνήδρευσεν.

Ἐνεληκὶς, Δημήτηρ ἐν Σάμῳ.

Ἐνεμέσσα, ἐμέμφετο, ἢ ἐμέμψατο.

Ἐνέμοντο, ἐκαρποῦντο, ᾤκουν.

Ἐνενηκοντάπολις Κρήτη, ἐν Ὀδυσσείᾳ. καὶ ἐν Ἰλιάδι ἑκατοντάπολις κατὰ περιπέτειαν. ἀναστατωθῆναι γάρ φασι δέκα πόλεις ὑπὸ Ἰδομενέως ἐπανελθόντος ἐξ Ἰλίου, ὅτε Λεῦκος αὐτὸν ἀπήλαυνεν. ὃν θετὸν παῖδα ὄντα, φύλακα τῆς βασιλείας, κατέλιπε δράκοντα θρεπτόν. ὡς Λυκόφρων φησί. τὰς δὲ τοιαύτας δέκα πόλεις προσκτιθῆναί φασιν, ὕστερον μετὰ τὰ Τρωϊκά. καὶ οὕτω μέν τινες συνεβίβασαν τὴν ἐν Ἰλιάδι μὲν ἑκατόντπολιν, ἐνταῦθα ἐνενήκοντα. ἕτεροι δὲ, οὐχ ὡρισμένως ἐκεῖ νοοῦσι τὴν ἑκατοντάπολιν, ἀλλὰ ἁπλῶς τὴν πολύπολιν. καὶ εἴωθεν οὕτω ποτὲ λαμβάνεσθαι τὸ ἑκατὸν, διὰ τὸ πρεσβεῖον τοῦ ἐντελοῦς ἀριθμοῦ. κατὰ τὸ ἑκατὸν θύσανοι, καὶ ἑκατὸν πόλεων πρυλέεσιν. ὥστε ἑκατόντπολις Κρήτη, ἡ πολύπολις, ἢ ἄλλως ἑκατὸν ἔχουσα πόλεις, ὥσπερ ποτὲ καὶ ἡ Λακωνική.

Ἐνένηντο, ἐνενόητο.

Ἐνένιπτεν, ἐκακολόγησεν, ἐπέπληξεν, ἐλοιδόρησεν, ὠνείδισεν.

Ἐνέμοντο, ἐκαρποῦντο, ᾤκουν.

Ἐνέντος, ἐμβαλόντος.

Ἐνέξεται, ἐνεχεθήσεται.

Ἐνεόλκιον, ἰσόρροπον.

Ἐνεὸν, κωφὸν, καὶ μωρόν. ὅθεν καὶ ἀμνήμων.

Ἔνεον, ἐν ταῖς ἐμβάσιν ἐκολύμβων, ἐνηχόμην ἐν τοῖς ὑποδήμασιν. ἐμβάδες δὲ ἐρρήθησαν, ἀπὸ τοῦ ἐμβαίνειν αὐτοῖς, Ἀριστοφάνης.

Ἐνεὸς, ὁ ἄφωνος, οὐχ ὁ ἠλίθιος, ἀπὸ τοῦ τὴν ἰωὴν παρ' ἑαυτῷ ἔχειν.

Ἐνεόχμωσεν, ἐκίνησεν, ἠλλοίωσεν, ἐκαινοποίησεν.

Ἐνεπάγησαν, ἐνεπήχθησαν, ἐνηλώθησαν, ἐνέπεσον.

Ἐνεπάρην, ἐνέπεσον.

Ἐνεπάρησαν, συνεπλάκησαν.

Ἐνεπαρῴνησαν, ἐνύβρισαν.

Ἐνέπασσεν, ἐνέβαλλεν, ἐνεποίκιλλεν.

Ἔνεπε, λέγε.

Ἐνέπειρον, πείρω, ἔπειρον καὶ ἐνέπειρον.

Ἐνέπεσε, συνέβη, ἐγένετο.

Ἐν ἐπηκόῳ, εἰς ἐπήκοον πάντων.

Ἐνεπίδημον ἦμεν, ἔνδημον εἶναι.

Ἐνέπλεον, ἐβίουν.

Ἐνεπλέχθην τούτοις, καὶ ἐν τούτοις.

Ἐνεπνεύσθη, ἀνεβίωσεν.

Ἐνεπορπήθησαν, συνεβλήθησαν.

Ἐνέπρηθον, ἔκαιον.

Ἔνερα, τὰ τῶν φονευθέντων ὅπλα, ἢ καὶ ἐνδύματα. ἀπὸ τοῦ ἐναίρω, τὸ φονεύω, ἔνερα ἐστὶν, ἅ τις κτωμένων ἀποεύνυται.

Ἐνέργειά ἐστι, φράσις ὑπ' ὄψιν ἄγουσα τὸ νοούμενον, οἷον μυρίοισιν οὐκ ἀνδράσιν ἐοικότες, ἀλλὰ Γίγασιν. ἔχονται τῆς ἐνεργείας ἐπὶ πολύ, αἱ τοῦ Ὁμήρου παραβολαί. ἐνέργεια δὲ, ἡ ἐν λόγοις, ἢ ἡ ἀθρόα προσβολή. ἢ καθά φησι Γρηγόριος ὁ Νύσσης, ἐνέργειά ἐστιν, ἡ φυσικὴ ἑκάστης οὐσίας δύναμίς τε καὶ κίνησις. ἧς μόνον ἐστέρηται τὸ μὴ ὄν. τὸ γὰρ οὐσίας τινὸς μετασχὸν συμμεθέξει πάντως καὶ τῆς δηλούσης αὐτῆς ἐνεργείας. ὅρος γὰρ τῶν οὐσιῶν ὁ ἀληθὴς αὐτῶν ἐπίσταται λόγος, νοερῶν τὴν νόησιν, αἰσθητῶν τὴν αἴσθησιν, κινητικῶν τὴν κίνησιν, πτηνῶν τὴν πτῆσιν, νηκτῶν τὴν νῆξιν, βλαστικῶν τὴν βλάστησιν, ἑρπετῶν τὴν ἕρψιν, φωτιστικῶν τὴν ἔκλαμψιν, ῥευστῶν τὴν ῥεῦσιν, θεωρητικῶν τὴν ὅρασιν, γεννητικῶν τὴν γέννησιν. καὶ καθολικῶς εἰπεῖν, τὸ πάσης φύσεως σημαντικὸν, ἡ ἐνέργεια αὐτῆς ἡ φυσικὴ καθέστηκεν. ἧς ἀναιρουμένης, πάντα συναναιρεῖται καὶ ἀπόλλυται. καὶ ἡ φύσις ἀναιρουμένη τῆς καύσεως, σβέννυται τὸ πῦρ. ἀναιρουμένης τῆς κινήσεως τοῦ ζώου, ἀπόλλυται καὶ τὸ ζῶον. ἀναιρουμένης τῆς νοήσεως, ἀπόλλυται τὸ νοερὸν τῆς ψυχῆς, καὶ τὸ λογικὸν αὐτοῦ.

Ἐνεργεῖν, ἑτοίμως πράσσειν.

Ἐνεργεῖται, κατασκευάζεται.

Ἐνεργημάτων, ἀντὶ τοῦ χαρισμάτων. ὡς ὁ Ἀπόστολος, Καὶ διαιρέσεις ἐνεργημάτων εἰσί. τὸ διαιρέσεις, ἀντὶ τοῦ μερίδες.

Ἐνεργὴς, δυνατὸς, ἰσχυρός.

Ἐνεργητικὰ ῥήματα, ἃ καὶ δραστήρια λέγονται, καὶ μεταβατικὰ, μετὰ αἰτιατικῆς συντάσσονται, οἷον τύπτω σε, καὶ τὰ ὅμοια. τὰ δὲ παθητικὰ μετὰ δοτικῆς, ἢ μετὰ τῆς ὑπὸ προθέσεως. μετὰ δοτικῆς, οἷον τύπτομαί σοι, ἀντὶ τοῦ ὑπὸ σοῦ. τύπτομαι τῷδε, φεύγω σε, καὶ φοβοῦμαι. καὶ μὴ ὄντα δραστήρια, ὅμως μετὰ αἰτιατικῆς συντάσσονται. νοεῖται δὲ ἐν τούτοις ἡ διὰ πρόθεσις. οἷον, φεύγω διὰ σὲ, καὶ φοβοῦμαι διὰ σὲ, ὡς αἰτίου ὄντος ἐκείνου δι' ὃν φεύγει. τὰ δὲ ἔχοντα τὴν ἐνέργειαν, οὐ μᾶλλον εἰς τὸ ἓν πρόσωπον, ἢ εἰς τὸ ἕτερον, οἷον πολεμῶ σοι, παλαίω σοι. μετὰ δοτικῆς συντάσσονται, οἷον τύπτω σοι τὸν ἄνθρωπον. καὶ ποιῶ σοι τόδε, ἀντὶ τοῦ χάριν σοῦ ποιῶ τόδε.

Ἐνεργίδα, Δημήτηρ.

Ἐνεργὶς, ἡ εἰς γλυπτοὺς κάθεσις τῶν χειρῶν.

Ἐνεργμὸς, τὸ δ' αὐτὸ καὶ ἔνερξις, κροῦμα κιθαριστικόν. Εὐφρόνιος δὲ τὸν ἐν μέσῳ τῆς κιθάρας πασσαλίσκον, δι' οὗ ἡ χορδὴ διήρηται. Φρύνιχος κοινοτίδητον ἐνεργμὸν, κροῦμα, διάχεσιν. ῥητορική.

Ἐνεργοὶ, ἕτοιμοι πρὸς ἐργασίαν. ἢ ἐνεργούμεναι, αἱ μὴ ἀργαί. εἰσακουομέναι, τελούμεναι.

Ἐνεργὸν, ἐπισταμένην, σύντομον.

Ἐνερείδοντες, ἐμπηγέντες. ἐνερείσας, ἐμπήξας, στηρίξας, ἢ ἐμβαλών.

Ἐνερείσομεν, ἐμβλέψομεν, θεασόμεθα.

Ἐνερευθὴς, ἐρυθρὸς τῷ χρώματι γενόμενος.

Ἔνερθεν, ὑπένερθεν, ἐκ δύο μέρων τοῦ λόγου. πάρειμι, ἀντὶ τοῦ παρὼν εἰμι. ἔπειμι, τὸ ἐπέρχομαι. περίειμι, ἀντὶ τοῦ περιέρχομαι. ἄπειμι, ἀντὶ τοῦ ἀπέρχομαι. ἔνερθεν ἐπίρρημα τοπικόν. γίνεται ἐκ τοῦ ἔνερος ἐνέρου, ὃ σημαίνει τὸν νεκρόν. ἐξ αὐτοῦ ἐνέροθεν, καὶ συγκοπῇ ἔνερθεν, ὑποκάτωθεν.

Ἐν ἕρκεσι, περιφράγμασι, τείχεσιν.

Ἐνέροις ἀνάσσων, παρ' Ὁμήρῳ. ὃ δηλοῖ τοὺς ὑπὸ ἔραν, ὅ ἐστι γῆν. ἐξ οὗ τὸ νέρτερον, κατὰ ἔλλειψιν τοῦ ε. σὺν ἄλλοις καὶ ἐκ τοῦ ἐς κόρακας, τὸ σκορακίζειν γίνεται. καὶ ἐκ τοῦ ἐς κέαρ βάλλειν, τὸ σκερβάλλειν, κωμικὴ αὕτη λέξις. ἢ ἐνέροις, νεκροῖς. ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ κεῖσθαι, ὅ ἐστιν ἐν τῇ γῇ. ὅθεν καὶ πίπτειν ἔραζε, τουτέστιν ἐν τῇ γῇ ὄντες.

Ἐνερόχρωτες, νεκρόχρωτες, νεκροῦ χροιὰν ἔχοντες. καὶ ἄναξ ἐνέρων Ἀϊδωνεὺς, τουτέστι τῶν νεκρῶν.

Ἔνερσις, συμπλοκὴ, παρὰ τὸ εἴρω, τὸ συμπλέκω. ὡς τὸ, ἐνέρσει κρωβύλον ἀναδούμενοι.

Ἐνέρτερος, κατώτερος. ἀπὸ τοῦ ἔνερθεν ἐνέρθερος, καὶ ἐνέρτερος.

Ἔνεσαν, ἀντὶ τοῦ ὑπῆρχον. εἰμὶ, τὸ ὑπάρχω, ὁ παρατατικὸς ἦν. τὸ πρῶτον τῶν πληθυντικῶν, ἦμεν ἦτε ἦσαν, καὶ ἔνεσαν. ἢ ἦμεν, ἦτε, ἦσαν. καὶ συστολῇ τοῦ η εἰς ε, ἔσαν. ἢ ἔνεσαν, ἦσαν ἤνεσαν.

Ἐνεσιάλευεν, ἔπτυεν, ἐνέπτυεν.

Ἐνεσίῃσι, διανοήσεσιν, ἐννοίαις, βουλήσεσιν. ὥς φησι Διονύσιος, καὶ Ὅμηρος Ἰλιάδος ε.

Ἐνεσκαρωμένη, ἐρρυπωμένη.

Ἐνεσκυρωμένον, τὸ ἄγαν ἔχον ῥύπον.

Ἐνεσκευασμένην, ἀντὶ τοῦ ἐσκευασμένην, καὶ πεπλασμένην. οὕτως Ἰσαῖος, καὶ Δημοσθένης.

Ἐνεσκευάσατο, καθωπλίσατο.

Ἐνέσκηψαν, ἐνώρμησαν, ἐνέπηξαν.

Ἐνεσκίμβηκεν, ἐνεστήρικται, ἐνεσκύρωται.

Ἐνεσκίμφθη, ἐνεπάγη.

Ἐνέστακται, ἔνεστι κατά τι μέρος.

Ἐνεστησάμην ποιῆσαί τι ἐν ἐμαυτῷ, ἤγουν ἐκύρωσα. καὶ ἀντὶ τοῦ εἰργασάμην. ὡς ὁ Θεολόγος, Σοὶ γὰρ θαρρῶν τὸν περὶ σοῦ λόγον ἐνεστησάμην.

Ἐνεστήσαντο, ἀντὶ τοῦ ἔκριναν ποιῆσαι. ὅσοι τὸ πρᾶγμα τοῦτο ἐνεστήσαντο, καὶ μετῆλθον.

Ἔνεστι, καὶ ἔπεστι, διαφέρει. ὁμοίως καὶ μέτεστιν. ἔπεστι γὰρ λέγεται, ἀντὶ τοῦ ἐξουσία ἐστί μοι, καὶ δέδοται ἄδεια ἐργάζεσθαι τάδε. ἀπὸ δοτικῆς πρὸς ἀπαρέμφατον ἀποδιδόμενον. οἷον, ἔπεστί μοι πράττειν ἀγαθά. μέτεστι δὲ ἀντὶ τοῦ μετουσία ἐστί. συντασσόμενον ἀπὸ δοτικῆς πρὸς γενικήν. οἷον μέτεστί μοι τρυφῆς, καὶ μέτεστί μοι ἀπολαύσεως. ἔνεστιν, ἀντὶ τοῦ δυνατόν ἐστι, πρὸς ἀπαρέμφατον ἀποδιδόμενον. καὶ ἔνεστιν, ἀντὶ τοῦ ἐντός ἐστιν. καὶ ἔνεστιν, ἀντὶ ἁπλῶς ἐστιν. Ἄλλως.

Ἔνεστιν, ἀντὶ τοῦ ἐνυπάρχει. ὡς ἔνεστί μοι πλοῦτος. καὶ ἔνεστιν, ἀντὶ τοῦ δυνατόν ἐστιν. ἔξεστιν, ἀντὶ τοῦ ἄδειά ἐστι. σύνεστιν, ἀντὶ τοῦ συνυπάρχει, καὶ ὁμιλεῖ. καὶ ἀντὶ τοῦ διαλέγεσθαι καὶ συντυγχάνειν, καὶ ἀντὶ τοῦ συνουσιάζει. πρόσεστιν,

Digitized by Google

ἀντὶ τοῦ πρὸς ἄλλοις ἃ ἔχω, ἔστι μοι καὶ τοῦτο. μέτεστιν, ἀντὶ τοῦ μετουσία ἐστὶν, ἤγουν μεταχή. καὶ συντάσσεται ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον, μέτεστί μοι πλέον, ἤγουν μετουσία ἔστι μοι πλείονος. πάρεστιν, ἀντὶ τοῦ παρών ἐστιν, ἢ παροῦσά ἐστιν. ἢ ἐπὶ οὐδετέρου, παρόν ἐστιν. ἔνεστιν, ἀντὶ τοῦ ἐξουσία ἐστί. συντάσσεται δὲ ἀπὸ δοτικῆς εἰς ἀπαρέμφατον. οἷον ἔνεστί μοι ποιεῖν τόδε, ἤγουν ἐπ' ἐμοί ἐστι τοῦτο ποιεῖν, ἤγουν ἐπὶ τῇ ἐμῇ ἐξουσίᾳ. περίεστιν, ἀντὶ τοῦ περιουσία ἐστὶν, ἢ πλῆθος. καὶ συντάσσεται ἀπὸ δοτικῆς πρὸς γενικήν. οἷον περίεστί μοι σοφίας. περίεστι καὶ ἀντὶ τοῦ κρείττων ἐστί. καὶ Ὅμηρος, οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι. ἤγουν, περίεστε μὲν καὶ κρείττους ἐστὲ ἐν τῇ βουλῇ τῶν Δαναῶν. περίεστε δὲ, καὶ ἐν τῷ μάχεσθαι. καὶ περίεστιν, ἀντὶ τοῦ ζῇ. ὡς τὸ, ἔτι γὰρ περίεστιν. καὶ ἄπεστιν, ἀντὶ τοῦ μακράν ἐστιν.

Ἐνεστὼς, ἢ κατὰ τοῦ νῦν συντάσσεται, οἷον νῦν γράφω. ἢ κατὰ τοῦ ἀεὶ, οἷον ἀεὶ γράφω. ὡς καὶ τὸ, δόξα πρέπει τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἐνεστῶτα, παρόντα, προκείμενον.

Ἐνεταὶ, περόνης εἶδος, παρὰ τὸ ἐνίεσθαι, ὅ ἐστιν ἐμβάλλεσθαι τῇ ἀντικειμένῃ ὀπῇ. ὥσπερ καὶ τὰ ἕρματα, ὡς ὁ ποιητὴς ἔφη, ἐνίεται εὐτρήτοις λοβοῖς. καὶ ἔστι πως ἐτυμολογικὸν καὶ τὸ ἐνεταῖς ἐπερρονᾶτο, ὡς εἰ ἔλεγε περόναις ἐπερονᾶτο, ἢ ἐνεταῖς ἐνίετο. ταυτὰ γὰρ κατὰ πολυωνυμίαν περόναι, καὶ ἐνεταί.

Ἐνέται, ἵκκειται.

Ἐνέτας, τοὺς ἐνοικοῦντας.

Ἐνετελάμην μὴ εἴπῃς, ἐπετελάμην δὲ, καὶ ἐπέτειλα. Θουκυδίδης, ἔπλεον κατὰ τὰ ἐπεσταλμένα ὑπὸ Δημοσθένους, καὶ πάντα ἐπιστείλαντες ἐπέπεμψαν. καὶ Δημοσθένης καὶ οἱ ἄλλοι ἐπίσκηψα λέγουσι, καὶ ἐπέστειλα. καὶ ἐπιτολὴ, ἀντὶ τοῦ προσταγή. ὅδη καὶ ἐπιστολὴ παρ' Αἰσχύλῳ, διὰ τὸ μεῖζον ἐν Προμηθεῖ, ἐπιστολὰς ἃς σοι ὁ πατὴρ ἐφεῖτο.

Ἐνετείλατο, παρήγγειλε, διετάξατο, ἐσαφήνισατο.

Ἐνετῆσι, χρυσείης δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο, ταῖς περόναις. διὰ τὴν Ἀθηνᾶν, ὅτι κατὰ τὸ στῆθος ἐπερονῶντο, οὐχ ὡς ἡμεῖς κατὰ τὴν κλεῖδα τοῦ ὤμου. δασύνεται δὲ τὸ ἐνετῆσιν, ἀπὸ τοῦ ἐνίεσθαι τοῖς ἱματίοις, ὅ ἐστιν ἐμπορπᾶσθαι, καὶ ἐμβάλλεσθαι πρὸς τὸν πέπλον. σημαίνει δὲ τὰς περόνας, καὶ γίνεται παρὰ τὸ ἵημι, τὸ πέμπω.

Ἐνέτιδας, πόλεις στεφανηφόρους, ἀπὸ τοῦ περὶ τὸν Ἀδρίαν ἐνετίδος. διαφέρουσι γὰρ ἐκεῖ.

Ἐνετιμᾶτο, καὶ ἀπετιμᾶτο, διαφέρει. ὅταν γάρ τις ποσὸν ἀργύριον ἀποτίμημα λαμβάνῃ, ἀποτιμᾶσθαι λέγεται. ὅταν δὲ ἐν εἴδεσί τισι λογίσηταί τις μέρος τι τοῦ ἀργυρίου, τοῦτο λέγεται ἐνετιμήσατο.

Ἐνεταί. Ἐνετήϊος παρὰ Παφλαγόσι. τοῖς δ' Ἐνετήϊος ἐβασίλευεν, πρῶτα Πέλοψ περὶ Παφλαγονίαν δοκεῖ κατῳκηκέναι. ὅθεν καὶ Ἐνετήϊον αὐτὸν εἶπεν. Ἐνετοὶ γὰρ, οἱ Παφλαγόνες, οἱ Λυδοί.

Ἐνετολμήσατο, ἀπεθάρρησεν. εἶτα μέντοι ἐνετολμήσατο τηλικοῦτον τόλμημα.

Ἐνετὸς, ἐγκαθετός.

Ἐνετρύλησε, κατεῖπεν. Ἀριστοφάνης, προαγωγὸς οὗσ' ἐνετρύλησε τῷ δεσπότῃ.

Ἐνετύλιξεν, ἐνείλιξεν.

Ἐνετύρευσεν, ἐνετύραξεν, ἐνεσκεύασεν.

Ἐνετῶν, τελείων, ἢ ἀπὸ γένους τῶν ἡμιόνων.

Ἔνευ, ἐπιφώνημα.

Ἐνεύναια, τὰ ἐγκοίτια.

Ἐνεύναιόν φασιν, ἐγκοίμητρον, ἐγκοίτιον. ἐνεύναιον, ᾧ ἐνεύδει τις, ἤτοι ἐγκοιμᾶται.

Ἐνευναίων παρ' Ὁμήρῳ, εὐνηχήτη. ἐνευναίων κακὰ ἔχει ἀράχνια, ἀντὶ τοῦ στερουμένου τῶν ἐγκοιμωμένων γέμει ἀραχνίων. ἤγουν ἠμέληται διὰ τὸ μὴ εἶναι τὸν Ὀδυσσέα. εἰώθασι γὰρ οἱ ἀράχναι ἐστουργεῖν, ἐν τόποις ἠμελημένοις.

Ἐνευνάκτοι, αἱ παρθενίαι.

Ἔνευνοι, ἐπιτήδειοι.

Ἐν εὐσήμῳ, ἐν ἀγαθῇ, ἐν καλῇ, ἐν φανερᾷ, ἐν μεγάλῃ.

Ἐν εὐφήμῳ, ἐν εὐβοήτῳ.

Ἐνεύχεσθαι, τὸ δεόμενόν τινος τυχεῖν.

Ἐνέφυ, ἐρείδει.

Ἐνέφησεν, ἐλάβετο, ἐνεδέξατο.

Ἐνεφλεβοτόμει, πολλάκις διεῖλε τὰς φλέβας.

Ἐνεφορεῖτο, ἐχορταζετο.

Ἐνεφόρησεν, ἐνεπλήρωσεν.

Ἐνέφραξε, συνέκλεισε, περιετείχισεν.

Ἐν ἐχεγγύῳ, ἐν βεβαίῳ.

Ἐνέχεεν, ἐνέλαβεν.

Ἐνεχθείσῃ, ἐνεχείρισε.

Ἐνέχθη, εἰσάχθη, ἐπληρώθη, ἐπιλώθη.

Ἐνέχει, μνησικακεῖ, ἔγκειται.

Ἐνεχείρησεν, προέθηκεν.

Ἐνεχείρισαν, ἐνεπίστευσαν.

Ἐνέχεις, ἀντὶ τοῦ ἐκίρνας. παρὰ τῷ Ἀριστοφάνει, εἰ θᾶττον ἐνέχεις, ἀπὸ τοῦ χέω.

Ἐνεχελιδὼν, ἐν ᾧ ἱππικοὶ ἤγοντο ἀγῶνες. καὶ ναὸς Γλου. καὶ τόπος Ἀθήνησι, σταδίων ὀκτὼ, ἐν ᾧ αἱ Ἱπποδρομίαι. ἀπό τινος Ἐχέλου.

Ἐνέχεσθαι, τὸ ὑπεύθυνον, καὶ ὑπόδικον καθίστασθαι, δοτικῇ συντάσσεται.

Ἐνέχεσθαι, ἐγκαλεῖσθαι, κρατεῖσθαι, συνέχεσθαι.

Ἐνέχομαι, ἀντὶ τοῦ κρατοῦμαι δοτικῇ. καὶ ἐνέχονται θανάτῳ, ἤγουν ὑπόκεινται. καὶ ἐνέχομαι πλημμελήματι, ἢ ἐπὶ τούτῳ, ἐκληπτέον τοῦτο ἤγουν ἐπὶ καταδίκης. ὡσαύτως δὲ καὶ τὸ ὄνομα ἔνοχος.

Ἐνέχρανε τὸ σῶμα, ἐνέπλησεν. Ἡρόδοτος, ἐνέχρανε τὸ πρόσωπον τῷ σκύφῳ.

Ἐνεχρίμφθη, ἐνέπεσεν, ἐξεβλήθη.

Ἐνέχρισεν, ἐνεκέντρισεν.

Ἐνέχυρα, Ἀττικοί. ἐνέχυρον, ἕλληνες. καὶ ἐνέχυρα, ἀρραβῶνες.

Ἐνεχυράζομαι τὰ χρήματα, αντί του εἰς ἐνέχυρα ἀφαιροῦμαι τὴν ἐνυπάρχουσαν οὐσίαν, οἷον ἱμάτια καὶ σκεύη καὶ ἄλλα. καὶ ἐνεχυράζομαι, διδοὺς ἐνέχυρα, λαμβάνω χρήματα. Ἀριστοφάνης, τὰ χρήματα ἐνεχυράζομαι. ἢ ἐνεχυράσασθαι, ἐνέχυρον λαβεῖν παρὰ Ἀριστοφάνει.

Ἐνέχυρον, τὸ διδόμενον ὑπὲρ χρέους. οὐ μόνον ἐνέχυρόν φασιν, ἀλλὰ καὶ ἐνέχυρα. φαίνεται δὲ καὶ τῶν ἀπηγορευμένων εἶναι, μὴ θεῖναι τὰ ὅπλα ἐνέχυρα. λέγει δὲ περὶ τῆς πενίας ὁ κωμικὸς, ὅτι αὐτὴ τῇ ἑαυτῆς βίᾳ ἀναγκάζει καὶ τοὺς νόμους παραβαίνειν τοὺς θεσπίσαντας, ὅπλα ἐνέχυρα μὴ τιθέναι.

Ἐνεχώρουν, συνεχώρουν. οἱ δὲ ἱερεῖς καταπεπληγμένοι τῷ δέει, ἐξίσταντο. καὶ ἐνεχώρουν αὐτῇ ἅπαντες.

Ἐνεώλκησαν, τὰς ναῦς εἵλκυσαν.

Ἐνεώχμασε, νεωστὶ κατεσκεύασεν, ἠλλοίωσεν, ἐκαινοποίησεν.

Ἐνέωσεν, ὤθησεν.

Ἔνη, Τριακὰς Ἀττικῶς.

Ἔνη καὶ ἔνης, τὸ κατὰ τὴν αὔριον.

Ἐνὴ, ὀξυτόνως ἡ νέα.

Ἐνηάτεκ, ὄνομα κύριον.

Ἔνη διὰ ἑνὸς ν, δασύνεται. ἀπὸ γὰρ τοῦ ἓν γίνεται. ἐὰν δὲ διπλασιασθῇ τὸ ν, Αἰολικῶς ψιλοῦται.

Ἐνηβητήρια, ἐνηχητήρια, παρὰ Ἡροδότῳ.

Ἐνηβρυώετο, ἠλαζονεύετο.

Ἔνη καὶ νέα. Ὑπερείδης ἐν τῷ πρὸς ὑγιαίνοντα, τὴν ὑφ' ἡμῶν τριακάδα καλουμένην, ἔνην καὶ νέαν καλοῦσιν Ἀθηναῖοι. ἀπὸ τοῦ τὴν τελευτὴν ἔχειν τοῦ πρώτου μηνὸς, καὶ τὴν ἀρχὴν τοῦ δευτέρου. Πολέμων δέ φησιν, ὅτι ἐκάλεσαν αὐτὴν ποτὲ Ἀθηναῖοι Δημητριάδα, ἐπὶ τιμῇ Δημητρίου τοῦ Μακεδόνος. ἔνην δὲ, καὶ εἰς ἔνην, τὸ εἰς τρίτην λέγουσι. καὶ ἁπλῶς τὸ ἔνον δασυνόμενον, τὸ πρότερον καὶ παρεληλυθὸς δηλοῖ.

Ἐνῆγεν, ἐκίνει, παρέπειθεν. ἐνῆγε δὲ αὐτὸν εἰς τοῦτο χριστιανῶν λόγος. οὕτω Προκόπιος.

Ἐνηγκυλωμένα, ἐντεταμένα, ηὐτρεπισμένα, πεφωραμένα. ἐπὶ κατασκοπῇ παρεγένοντο, τῷ, καὶ τὰ τόξα ἐνηγκυλωμένα φέροντας ἁλῶναι.

Ἐνήδοιτο, ὠφελοῖτο, χαίροι, φαιδρύνοιτο.

Ἐνηέας, προσηνεῖς, ἀγαθοὺς, συνετοὺς, ἐπιεικεῖς.

Ἐνήει, ἐσώρευεν.

Ἐνήεον, ἐκολύμβων.

Ἐνῆεν. ἔω ἐνεστὼς ἄχρηστος, ἀφ' οὗ παρατατικός ἔον καὶ ἦον, καὶ ἀμφότεροι ποιητικοί. ὁ μὲν ἀναύξητος, κατὰ Ἴωνας. ὁ δὲ ηὐξημένος ἀπὸ τοῦ ἦον, τὸ ἦεν ἐπὶ τοῦ τρίτου προσώπου. καὶ κατὰ τὸ ἐν, ἐνῆεν. τοῦ γὰρ ἦεν κατὰ κρᾶσιν ἦν γίνεται, καὶ ἔστιν ἐν χρήσει παρὰ τοῖς κοινοῖς. ἐφ' ᾧ προστίθεται ποιητικῶς ἐνίοτε μὲν τὸ ε, ἐνίοτε δὲ τὸ η, καὶ γίνεται ἔην καὶ ἤην.

Ἐνήη, ὁμιλία, ἀγαθότης.

Ἐνηὴς, ὁ τῷ ἀπηνεῖ ἐναντίος. καὶ ἔστιν ὥσπερ προσηνὴς, ὁ πρὸς τῇ ἀγαθότητι ὢν, ὡς ἀπὸ τοῦ ἐὺς ὁ ἀγαθὸς, οὕτω καὶ ἐνηὴς, ὁ ἐντὸς ἀγαθότητος. ἀπηνὴς δὲ, ὁ ἀπὸ αὐτῆς.

Ἐνηής, ὁ αὐτὸς τῷ μειλιχίῳ ἐστίν. ἢ ἐνηὴς, ὁ πρᾶος. καὶ ἐνηεία, ἡ πρᾳότης, καὶ προσηνὴς καὶ ἡδὺς, παρὰ τὸ ἥδω, ἥσω,

Ἐνήθλει, ἐνεκαρτέρει. καὶ ὁ μὲν ἐπὶ τούτοις τῇ πενίᾳ ἐνήθλει.

Ἐν ἠΐοσιν, ἐν τοῖς σπλάγχνοις.

Ἐνῆκα, ἀντὶ τοῦ ἐνέβαλον. καὶ συνῆκα, ἀντὶ τοῦ ἐνόησα, καὶ συνέβαλον. ἀφ' οὗ τὸ ξυνέηκα παρ' Ὁμήρῳ. καὶ ἀνῆκα, ἀντὶ τοῦ ἀνέδωκα. καὶ καθῆκα, ἀντὶ τοῦ κατεβίβασα, ἤγουν κάτω ἔρριψα. ἤγουν καθῆκα εἰς τὴν θάλασσαν, ἤγουν ἐμαυτὸν ἔρριψα. καὶ μεθῆκα ὁμοίως, καὶ μεθῆκα ἕτερον. καὶ καθῆκα ἀντὶ τοῦ εἴασα. καὶ ἐφῆκα βέλος, ἤγουν ἔπεμψα. καὶ ὑφῆκα, ὃ λέγεται κυρίως ἐπὶ νεῶν, ὅταν χαλάσωσι μικρὸν τὰ ἱστία. καὶ ὑφῆκα τοῖς βουσὶ τὰ μοσχία, ὡς παρὰ Θεοκρίτῳ, ἤγουν ὑπὸ κάτω αὐτῶν ἤγαγον αὐτὰ, διὰ τοῦ η.

Ἐνήκισεν, ἔπληξεν, ἐτιμωρήσατο.

Ἐνήλατο κλίνης, ὁ σκίμποδος, οὐ χρὴ τὸν Ἀττικίζοντα λέγειν.

Ἐνήλατον, μέρος νεώς.

Ἐνήλατα, μέρος τι τῆς κλίνης.

Ἐνήλατο. Ἀριστοφάνης, ἐνήλατ' ἐσκίρτ', ἀπεπόρδει. ὡς καγχρύων ὀνίδιον εὐωχημένον.

Ἐνηλεγὴς, ἐν ἐπιθυμίᾳ ὤν. ἐνηλῶσαι, δογματίσαι.

Ἐνηλίαξις, ἑορτὴ τοῦ Ἐνυαλίου.

Ἐνηλινδεῖσθαι, κεκυλίσθαι. καὶ ἐνηλινδοῦντο, ἐκυλίοντο.

Ἐνηλύσια, τὰ κατασκηφθέντα χωρία, ἐνηλύσια λέγονται. ἔνιοι δὲ ἀκίνητα, παρὰ τὴν ἔλευσιν. ἄλλοι δὲ, τὰς ἐν τοῖς ἀβάτοις χωρίοις ἀφιδρυμένας νύμφας.

Ἐνηλύσιος, ἐμβρόντητος, κεραυνόβλητος.

Ἐνῆμαρ, ἐπὶ ἐννέα ἡμέρας, ἐπίρρημα. ἢ ἐνῆμαρ, ἐπιρρηματικὸν ὄνομα, καὶ δηλοῖ τὸ ἐννέα ἤματα, ἤγουν ἡμέρας. οὕτω δὲ καὶ αὐτῆμαρ, ἀντὶ τοῦ αὐθημερὸν, τῷ αὐτῷ ἤματι. ἐξ οὗ ἤγουν αὐθημερόν. καὶ σοφὸς αὐθημερινὸς, ὁ ὡς εἰπεῖν αὐτοσχέδιος. ὅμοιον δὲ πρὸς τὸ ἐννῆμαρ, καὶ αὐτῆμαρ, καὶ ποσῆμαρ μέμονας, ἤγουν ἐπὶ πόσας ἡμέρας. ὅρα δὲ, ὅτι ὁ ποιητὴς εἰπὼν ἐννῆμαρ, καὶ ἐπαγαγὼν, Τῇ δεκάτῃ δ' ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεὺς, οὐκ ἔλαβε τὸ ἐννῆμαρ, ἀντὶ τοῦ ἐννέα ἤματα, ἀλλὰ ἀντὶ τοῦ ἐννέα ἡμέρας, διὰ τὸ ταυτὸν εἶναι ἦμαρ καὶ ἡμέραν.

Ἐνῆμεν, ἀντὶ τοῦ ἐνυπάρχομεν. ἐνῆτε καὶ ἐνῆσαν. καὶ συνῆμεν, συνῆτε, καὶ συνῆσαν. καὶ προῆμεν, καὶ προῆτε, καὶ προῆσαν. καὶ παρῆμεν, καὶ παρῆτε, καὶ παρῆσαν. καὶ περίημεν, ἀντὶ τοῦ ἐζῶμεν, ἢ ἐνικῶμεν, περιῆτε, περιῆσαν. καὶ ἀπῆμεν ἀπῆτε, ἀπῆσαν.

Ἐνημμένοι, ἐνδεδυμένος.

Ἐνημμένος, περιβεβλημένος, διφθέραν ἐνημμένος.

Ἐν ἡμετέρου, παρ' ἡμῖν, ἐν ἡμῖν.

Ἐνῆν, ἀντὶ τοῦ ἐνυπῆρχεν, ἢ δυνατὸν καὶ ἐνδεχόμενον. ὁ δὲ μάστιξιν ὡς ἐνῆν ἀνασπάσας, διέγνω, ὡς ἔχει τὸ πολέμιον. αἰνεῖν δὲ, ἀντὶ τοῦ ἐπαινεῖν, τὰ δύο δίφθογγα.

Ἔνην καὶ νέαν οἱ ὕστερον Ἀττικοὶ ἐκάλουν, ὡς εἴποι τις παλαιὰν καὶ νέαν. τὸ μὲν γὰρ τῆς τριακάδος ἤδη πως πεπαλαίωται συμπαροιχόμενον, τῷ ἐφθινηκότι μηνί. φασὶ γὰρ οἱ χολιασταὶ, ἔνον καλεῖσθαι, τὸ παλαιὸν καὶ παρῳχημένον. ὅθεν δηλαδὴ ἡ ἔνη διὰ ἑνὸς ν, εἰ καί τινες διπλάζουσιν αὐτό. καθὰ ὑποδηλοῖ καὶ τὸ

ἐντ'

ἔντ' ἔνηφι, παρ' Ἡσιόδῳ, τὸ καὶ Ἰωνικῶς μὲν ψιλούμενον. παρά τισι δὲ δασυνόμενον, οἱ καὶ τὸ ἕνον ἐδάσυνον. ἀλλ' ὅπερ ἐλέγετο προσεχῶς, τὸ μὲν τῆς τριακάδος ὡς εἴρηται ὤλετο. τὸ δὲ νῦν, ἀπήρξατο ἐν τῇ ἕνῃ, ἥ τις ἐστὶ νουμηνία. ὅθεν καὶ μόσχος ὁ τοιοῦτος λέγεται ἀρχὴ τοῦ μηνός, παρά τισι τῶν παλαιῶν. ὅτι δὲ τὸ ἕνη καὶ νέα βούλεται λέγειν τὴν οἱονεὶ παλαιὰν καὶ νέαν, δηλοῖ ὁ κωμικός, ἔνθα παίζων φησὶ περὶ αὐτῆς, πῶς ἄν, ἡ αὐτὴ γένοιτο γραῦς τε καὶ νέα γυνή;

Ἐνήνοχα, ἐντέθεικα.

Ἐνηνθρώπησεν, ἀντὶ τοῦ ἐν ἀνθρώπῳ γέγονεν. αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τῷ ἀνθρώπῳ.

Ἐνήνεον, ἰσόρροπον. καὶ παρενήνεον, ὃ καὶ νηεῖν λέγεται. ὡς τό, σώματα νήει, ὅ ἐστιν ἐσώρευε. καὶ ἀλλαχοῦ νῆα νηήσασθαι. πότερον δὲ προσώτυπον τὸ νηῶ, ἢ τὸ νηνῶ, οὐκ εὔδηλον.

Ἐνήνοχα, ἀπὸ τοῦ ἐνέχω, ὁ μέλλων ἐνέξω. ὁ παρακείμενος ἤνεχα, ὁ μέσος ἤνοχα, καὶ Ἀττικῶς ἐνήνοχα.

Ἐνήρατο, ἀπέκτεινεν.

Ἐνήρεις νῆας, μίαν εἰρεσίαν ἐχούσας. Ὁ δὲ Σύλλας συνῆλθε τῷ Μιθριδάτῃ, ἐν Δαρδάνῳ τῷ τῆς Τρῳάδος, ἔχων ναῦς διακοσίας ἐνήρεις.

Ἐνήρεισεν, ἐπεστήριξεν, ἢ προσεπέλασεν.

Ἐνηρείψαντο, ἀνήρπασαν ἐκ τῆς γῆς.

Ἐνῆρκται, ἀρχὴν ἐποίησεν.

Ἐνηρκτήν, γενναῖον.

Ἐνῆρσεν, ἐφώρμησεν.

Ἔνης, τριακάδος.

Ἐνήσομεν, ἤγουν ἐμβάλωμεν τῷ πολέμῳ.

Ἐνήτριος χιτών, ὁ λεπτὸς καὶ λυφής.

Ἐνηλισμένον, κεκαθαρισμένον, ἐμπεπλησμένον.

Ἐνῆφθαι, ἐνηρτῆσθαι.

Ἔνηφι, μετὰ τρίτην ἡμέραν. ἢ ἕνη, ἡ ἀρχὴ τοῦ μηνός.

Ἐνηχόμενος, κατεχόμενος. ἢ ἐνηχούμενος, ὁ ἑτέρωθεν ἦχον ἐκδεχόμενος.

Ἐνηχοῦντος, ἐπιφωνοῦντος, ἐκβάλλοντος.

Ἔνθα, οὐ μόνον τοπικόν ἐστιν, ἀλλὰ καὶ χρονικόν.

Ἔνθα, τότε, ὅπου, ἢ ἐνταῦθα. ἢ ἐπὶ τόπῳ. ἢ ἐκεῖ.

Ἔνθα, τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξεν, Ἕκτωρ τε καὶ χάλκεος Ἄρης, παρ' Ὁμήρῳ, ἐν τῷ ε τῆς Ἰλιάδος. ὡς δῆθεν ὑπὸ πολυπληθίας, μὴ δὲ ἔχων κατ' ὄνομα φράζειν τοὺς ἀνῃρημένους.

Ἐνθαλάμια, πλάσματα ἐκ μήκωνος καὶ σησάμης.

Ἐν θαλάμοις, ἐν οἴκοις.

Ἐνθαλῶς, οὐκ ὀρθῶς.

Ἐνθαλύξας, σφοδρῶς παίξας.

Ἔνθ' ἄν, τότε.

Ἐνθαῦτα λέγουσιν Ἴωνες, ἀντὶ τοῦ ἐνταῦθα ἐνηλλαγμένως.

Ἐνθεάζω ἀμεταβάτως, μαίνομαι.

Ἐνθεαρίζει, ἐγχειρεῖ.

Ἐνθεμένω, ἐνθέμενοι, δυϊκῶς.

Ἔνθεν, αὐτόθεν, ἔσωθεν, ἐκεῖθεν. ἢ τότε, ἢ ὧδε, ἢ ἐκ τούτου.

Ἔνθεο, ἔνθου.

Ἔνθεος, ἔνδοξος, ἔντιμος, θεῖος.

Ἐνθέρει, τὴν χλαῖναν κατατρίβει.

Ἐνθερίζω, τὸ θέρος που διάγω, ἀμεταβάτως.

Ἔνθεσιν, τὴν τροφὴν λέγει Ἀριστοφάνης. ἔνθεσις γάρ, ὁ ἄκολος, ψωμός.

Ἔνθεσμον, νόμιμον, ἔννομον.

Ἐνθετταλίσαι, ἐγκεχλαμυδῶσθαι. συνήθες γὰρ Θετταλοῖς, χλαμυδοφορεῖν.

Ἔνθετο θυμῷ, παρ' Ὁμήρῳ. Ἰστέον, ὅτι οἱ μεθ' Ὅμηρον, καὶ ἐπὶ τροφῆς τὸ ἐνθέσθαι φασὶν Ἀττικῶς. καὶ ἔνθεσιν, τὴν τροφήν. λέγεται δὲ καὶ ἐπὶ δένδρων ἔνθεμα, τὸ ἰδιωτικῶς λεγόμενον ἐμφύλλιον.

Ἐνθήκη, τὸ μὲν παρενθήκη, ὅπως ὑπὸ Ἡροδότου εἴρηται, ὕστερον ὀψόμεθα. τὸ δὲ ἐνθήκη, ὡς οἱ πολλοὶ λέγουσιν ἄτοπον, Φρύνιχος.

Ἐνθλάσει, ἐνθλᾷ, παρὰ τῷ Ἱπποκράτει.

Ἐνθολή, ἰσόρροπον.

Ἐνθοργάζει, ποιεῖ.

Ἐνθορεῖν, ἐνορμῆσαι.

Ἐνθορίσκει, ἐνθρύπτει.

Ἔνθου, ῥόφησον. παρὰ τὸ ἐντίθεσθαι τῷ στόματι. ἢ ἔνθου παρὰ τῷ Ἀριστοφάνει, ἐπὶ τοῦ ψωμοῦ καὶ τοῦ ἀκόλου. οὕτω λεκτέον, καὶ ὅλως τοῦ φαγεῖν.

Ἔνθους, ἐνθουσιαστής, μαινόμενος, πνευματοφόρος, θεωρητικός, θεόληπτος, θεοφορούμενος, ἐνθουσιῶν, ἐνθεαζόμενος. κατὰ συναλοιφήν, ἔνθεος ἔνθους.

Ἐνθουσία, ἔκπληξις, θεωρία. ἢ ἀπὸ τοῦ θείου πνεύματος καταλάμπεται. λέγεται δὲ καὶ ἀντὶ τοῦ μαίνεται. καὶ ἐνθουσιώσας, ἀντὶ τοῦ ἐξανεγειρούσας. ἐνθουσιώσας, τῇ πυρώσει τῆς μέθης.

Ἐνθουσιάζουσι, θαυμάζουσιν.

Ἐνθουσιασμός, ὅταν ἡ ψυχὴ ὅλη ἐλλαμπῆται ὑπὸ τοῦ Θεοῦ.

Ἐνθουσιῶν, μαινόμενος, ὁρμῶν, ἢ μανίαν ἔχων.

Ἐνθραδές, ἐμμανές.

Ἐνθράζειν, παραβαίνειν, ἀπὸ τῶν μαντικῶν θριῶν.

Ἐνθράσει, ἐγκείμενον νύττειν, παρὰ τῷ Ἱπποκράτει.

Ἐνθρεῖν, φυλάσσειν.

Ἐνθρία, ζώδια.

Ἐνθρίακτος, ἐνθουσιῶν. καὶ ἐνθίακτος, Σοφοκλῆς Σιώνι.

Ἐνθρίζειν, ἐνατενίζειν, νύσσειν.

Ἐνθριμματίς, οἱ μὲν πλείους διὰ τοῦ ι, ἔνιοι δὲ διὰ τοῦ υ. ἤτοι ἀπὸ τοῦ θριὸς, ἢ ἀπὸ τοῦ θρίβεσθαι.

Ἐνθρυπτά, τὰ ἐκ τριμμάτων, ἢ τὰ ἐνθρυβόμενα βρώματα. ἔνιοι δέ, ταῖς τελευταῖς αὐτὰ προσοικειοῦσι. καὶ Ἀπόλλων δὲ παρ' Ἀθηναίοις ἔνθρυπτος ἐν λίμναις Διονύσιος. Ἰσαῖος περὶ Κύρωνος κλήρου. τόπος ἐστὶν ἐν Ἀθήναις λίμναι, ἐν ᾧ ὁ τιμώμενος Διόνυσος.

Ἔνθρυσκον, λάχανον καρίῳ ὅμοιον, φέρει δὲ καὶ ἄνθος. ὥστε εἶναι καὶ βρωτόν, καὶ στεφανωτόν.

Ἐνθυμεῖσθαι, ἐν θυμῷ βάλλειν φησὶν ὁ ποιητής. ὡς τό, ἐν θυμῷ ἀθάνατοι βάλλουσιν.

Ἐνθύμημα, ἀτελὲς καὶ ἀσθενὲς συλλόγισμα, καὶ ἡ πρώτη ὁρμὴ τῆς ψυχῆς. οὕτω δὲ λέγονται, οἱ ῥητορικοὶ συλλογισμοί. ἐν ἐκείνοις γὰρ διὰ μιᾶς προτάσεως δοκεῖ γίνεσθαι ὁ συλλογισμός, τῷ τὴν ἑτέραν γνώριμον οὖσαν ὑπὸ τῶν δικαστῶν ἢ τῶν ἀκροατῶν, προστίθεσθαι. οἷον, οὗτος ἄξιός ἐστι κολάσεως, προδότης γάρ ἐστι. προστίθησι γὰρ ὁ δικαστής, ὡς ἐναργὲς τό, πάντα τὸν προδότην κολάσεως ἄξιον εἶναι. ἀφ' ὧν οὖν μὴ γνώριμόν ἐστι τὸ παραλειπόμενον, οὐκ ἔτι ἐπὶ τούτων οἷόν τε τὸν δι' ἐνθυμήματος γίνεσθαι συλλογισμόν. ὁ γὰρ συλλογισμός, σύνθεσίν τινα λόγων ἔοικε σημαίνειν.

Ἐνθυμήσιον, ἄπειρον, ἔννομον.

Ἐνθυμιαζόμενοι, ἐνθυμούμενοι, λογιζόμενοι.

Ἐνθύμιον, ἄπορον, σεμνὸν κατὰ νοῦν, καὶ δὴ τὰ πραχθέντα ἔθετο ἐνθύμιον. ἐνθύμιον, καὶ βραχύ τι μόριον. Δαβίδ, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι. ἐνθύμιον, καὶ ἡ κατὰ διάνοιαν θυσία, καὶ προσφορά, ἤγουν ἡ εὐχή.

Ἐνθύμιστον, ὕποπτον.

Ἐνθυμῶ, ἐνθυμοῦ.

Ἐνθυμῶ μεμαῶτες, ἓν καὶ τὸ αὐτὸ φρονοῦντες.

Ἐνθύριον, μέρος τι τῆς νεώς.

Ἐνθύσκει, ἐντυγχάνει.

Ἐνθύσκος, ὁ ἀσφαλός, τὸ ὄρνεον.

Ἐνθωκεῦσαι, ἐμφωλεῦσαι, ἐγκρύπτεσθαι.

Ἐνὶ φρεσὶ βάλλεο σῇσιν, ἀντὶ τοῦ ἐπιτυχῶς θὲς εἰς νοῦν. δῆλον δέ, ὡς διαφέρει τὸ βαλέσθαι τοῦ βαλεῖν.

Ἔνι, ἔστιν, ὑπάρχει. Ἀριστοφάνης, ἀντὶ τοῦ ἔνεστιν. ἔνι φύσις, ἔνι θράσος.

Ἐνιαία, ἡ μοναδική.

Ἐνιᾶσι, τὸ ἐμποιοῦσι, καὶ ἐμβάλλουσι, καὶ ἐντιθέασι μετὰ τῆς προθέσεως λέγομεν· ἐνίασιν, οὐχ εὕρηται, εἰ μή που παρὰ τοῖς ποιηταῖς, ἀλλὰ σπανίως, καὶ δοτικῇ συντάσσεται.

Ἐνίαυεν, ἀντὶ τοῦ ἐνδιέτριβε παρ' Ὁμήρῳ. ὅθεν καὶ ἐνιαυτὸς χρόνος, ὁ ἐπιμήκη ἔχων τριβήν.

Ἐνιαυθμός, παρὰ τὸ ἰνιαύω, τὸ ἐνδιατρίβω. ἐνιαυσμὸς καὶ ἐνιαυθμός. ἐκ δὲ τοῦ ἰαύω, καὶ μολιαυθμός.

Ἐνιαυσιαῖον, καὶ τοῦθ' ὅμοιόν ἐστι τῷ Διονυσιακῷ, κίβδηλον. λέγε οὖν πεντασυλλάβως ἐνιαύσιον, ὡς Διονύσιον, Φρύνιχος.

Ἐνιαυτίζω, ἐνιαυτόν που διατρίβω.

Ἐνιαυτοὶ μεγάλου Διός, ἀντὶ τοῦ ἡλίου λέγει Ὅμηρος. μεῖζον γὰρ κινήσεως ἡλιακῆς ὁ χρόνος ἐστίν. εἰ δέ που καὶ Κρόνος μέγας εὕρηται λεγόμενος, ἁρμόζεται δὲ οἰκεῖον, καὶ ἐκεῖ τὸ μέγεθος διὰ τὸ τοῦ ἀστέρος πολὺ μέγεθος. σημείωσαι δέ, ὅτι ἐνιαυτὸς γίνεται μὲν ἀπὸ τοῦ ἰαύω, δηλοῖ δὲ χρόνον μακρόν. ἰαύειν μὲν γάρ, τὸ διατρίβειν. διατρίβειν δέ, τὸ ἀργεῖν. ἐνιαυτὸς γοῦν ὁ χρόνος, ὁ διατριβὴν ἔχων, καὶ μὴ σύντομος. διὸ καὶ ἐπίθετον τοῦ ἔτους εἴληπται παρὰ τῷ κωμικῷ εἰπόντι, ἐτῶν ἐνιαυτούς.

Ἐνιαυτός, ὁ μακρὸς χρόνος, καὶ διατριβὴν ἔχων πολλήν. παρὰ τὸ ἰαύω, τὸ ἐνδιατρίβω. σύνθετον ἐνιαύω, καὶ ὄνομα ἐνιαυτός. διὸ καὶ ὁ Κωμικὸς ἐπιθετικῶς αὐτὸ τίθησιν ἐν τῷ, ἐτῶν χρονίους ἐνιαυτούς. Ἰστέον δέ, ὅτι ἀπὸ μὲν ἐνιαυτοῦ, τὸ ἀπενιαυτίζειν γίνεται. ἀπὸ δὲ τοῦ ἔτους, ἀμφιετίζεσθαι, τὸ κατ' ἔτος περιέρχεσθαι. καὶ ἐπίρρημα δὲ ἐντεῦθεν, παρὰ τοῖς παλαιοῖς ἀμφιετεῖ. Ἄλλως.

Ἐνιαυτός, παρὰ τὴν ἐν προθέσιν, καὶ τὸ ἰαύειν, ὅ ἐστι διατρίβειν. ἢ παρὰ τὴν ἐν αὐτῷ ἕνωσιν τῶν τεσσάρων ὡρῶν, καὶ τῶν κατ' αὐτὰς ἀποτελεσμάτων, ἢ καὶ ὡς ἀπὸ τοῦ ἕω, τὸ πληρῶ, ἤγουν τελειῶ. ἐξ οὗ καὶ ὅλος καὶ ὁλόκληρος. πληροφορεῖ γὰρ τὰ καθ' ἡμᾶς, ὡς τελεσφόρος ὁ ἐνιαυτός. καὶ Ἰστέον, ὡς εἰ καὶ ταυτὸν ἐνιαυτὸν καὶ ἔνον εἰπεῖν, ἀλλὰ ἡ παραγωγὴ ἐν αὐτοῖς διάφορος. ἔνος δὲ κατά τινας, παρὰ τὸ ἕν. διὸ καὶ εὐλόγως δασύνεται, καθὰ καὶ ἡ ἕνη. δῆλον δὲ αὐτὸ καὶ ἐκ τοῦ ἄφενος, ὅπερ ἀπὸ τοῦ ἔνου ἐτυμολογοῦσί τινες. ἵνα καὶ ὁ ἔνος κατὰ τὴν ἕνην, ἣν θεωρεῖ ὁ Πρόκλος, εἴη μόσχος μονόκερως. τὸ μὲν διὰ τὸ ἀεὶ νεάζον, καὶ ὡς οἷον κατὰ βοῦς ἐργατικὸν ἐν τοῖς περὶ γένεσιν. τὸ δέ, διὰ τὸ ἑνάδος δίκην μεμονῶσθαι τὰς τοῦ ὅλου ἐνιαυτοῦ ἐνεργείας, ὡς οὐδεμιᾶς ἑτέρας τῶν ὡρῶν. δασύνοιτο δ' ἂν καὶ ἄλλως ὁ ἔνος.

Ἐνιαχοῦ, πολλαχοῦ, καὶ ἐνιαχῇ.

Ἐνὶ βένθεσιν, ἐν τοῖς βάθεσιν.

Ἐνίγυιος, ὁ ἓν μέλος ἔχων, ὁ κυλλός.

Ἐνιδαυτός, τῆς εὐωχίας.

Ἐνιδρύσασθαι, ἀσφαλῶς καθίσαι.

Ἐνίδρυται, ἐγκάθηται.

Ἐνίει, ἐμβάλλει. καὶ ἐνιεῖσα, ἐμβάλλουσα.

Ἐνιείς, ἐπαφιείς.

Ἔνιεν, ᾤκει.

Ἐνιέναι, ἐμβάλλειν, ἐναποθέσθαι.

Ἐνίεσαν, ἐνέβαλον. καὶ τοῖς πύργοις πῦρ ἐνίεσαν.

Ἐνίετε, ἤγουν ἐμβάλλετε. ἐκ τοῦ ἵημι, τὸ πέμπω. καὶ δασύνεται. ὁ παρατατικὸς ἵην, ἡ μετοχὴ ἱεὶς ἱέντος, τὸ προστακτικὸν ἵεθι ἱέτω, ἵετε καὶ ἐνίετε.

Ἐνιζῆσαι, ἐγκαθίσαι.

Ἐνιῆλαι, ἐμποδίζειν, ἐγκόπτειν. ἐπὶ τῶν καταρασσομένων μεταφορικῶς. καὶ ἐνιῆλαι, κωλῦσαι.

Ἐνιηλίζειν, τὴν ἐνιαύσιον ἑορτὴν ἄγειν.

Ἐνίημι, καὶ ἐνίησι, καὶ ἐνιᾶσι. καὶ ἀνίημι, ἀντὶ τοῦ ἀναδίδωμι, ἀνίησι καὶ ἀνιᾶσι. καὶ συνίημι, ἀντὶ τοῦ γινώσκω, ἢ συμβάλλω, συνίησι συνιᾶσι, καθίημι καθίησι καθιᾶσι. καὶ μεθίημι τὸ ἀπολύω, μεθίησι μεθιᾶσι. καὶ παρίημι, τὸ ἐῶ, παρίησι παριᾶσι. καὶ ἐφίημι ἐφίησιν ἐφιᾶσι. καὶ ὑφίημι ὑφίησιν ὑφιᾶσιν, ι ἢ καὶ ῑ. ἀνεικὼς δέ, καὶ καθεικώς, καὶ παρεικώς, ἀντὶ τοῦ ἐνδούς, καὶ ἀφεικώς. καὶ ἀνεικέναι, καὶ καθεικέναι, καὶ παρεικέναι, καὶ ἀφεικέναι. καὶ ἀνεῖμαι καὶ ἀνεῖται, καὶ καθεῖμαι καὶ καθεῖται, καὶ παρεῖμαι καὶ παρεῖται, καὶ ἀφεῖμαι καὶ ἀφεῖται, καὶ ὑφεῖμαι καὶ ὑφεῖται. καὶ ἀνειμένος, καὶ καθειμένος, καὶ παρειμένος, καὶ ἀφειμένος, καὶ ὑφειμένος. ἀνείθη, καὶ παρείθη, καὶ ἀφείθη, καὶ ὑφείθη. καὶ παροίκοι. ἀντὶ τοῦ συγχωροίη, καὶ ἐνδιδοίη. καὶ ἐνεῖναι, ἀντὶ τοῦ δυνατὸν εἶναι, καὶ ἀντὶ τοῦ ἐνυπάρχειν. καὶ ἐξεῖναι, ἀντὶ ἄδειαν εἶναι. καὶ συνεῖναι, καὶ προσεῖναι, ἀντὶ τοῦ ἐφ' ἑτέροις ἕτερον ὑπάρχειν. καὶ προεῖναι, καὶ ἀνεῖναι, ἀντὶ τοῦ ἀναπέμψαι. καὶ καθεῖναι, ἀντὶ τοῦ καταπέμψαι. καὶ παρεῖναι, ἀντὶ τοῦ παρόντα εἶναι, καὶ ἐπεῖναι.

Digitized by Google

καὶ περιεῖναι, ἀντὶ τοῦ ζῶ, καὶ ἀντὶ τοῦ νικᾶν. καὶ ἀπεῖναι, καὶ ὑπεῖναι, καὶ ὑπαρεῖναι διὰ διφθόγγου.

Ἐνὶ ἤνοπι, ἐν κατόπτρῳ, ἐν ἤχῳ λαμπρῷ.

Ἐνίησιν, ἐμβάλλει, ἐπιπέμπει.

Ἐνικάββαλεν, ἀντὶ τοῦ κατέρριψεν.

Ἐνίκασθαι, ἐνέγκαι.

Ἐνὶ καυλῷ, ἐν τῷ δόρατι.

Ἐνίκησεν, ὑπερέβαλλεν.

Ἐνικλᾶν, ἐμποδίζειν.

Ἔνικμα, τὰ χείλη τῶν ποταμῶν. ἃ καὶ ἄνδηρα λέγουσι, διὰ τὸ εἶναι ἔνικμα, καὶ διερά.

Ἐνὶ κνωσῷ, πόλει τῆς κρήτης.

Ἐνιλλώπτειν, τὸ καταμεκλεισμένῳ ὄμματι βλέπειν, καὶ καταμωκᾶσθαι. ὅθεν καὶ ἐνιλλώψας, τὸ καταμωκησάμενος. ἴλλους γάρ φασι, τοὺς ὀφθαλμούς.

Ἐνιλλωπτῶ, ἢ ἐνιλλώπτω, τὸ τοὺς ὀφθαλμοὺς συστρέφω.

Ἐνὶ μεγάροις, ἐν τοῖς οἴκοις.

Ἐνὶ ναΐ, ἐν πλοίῳ.

Ἐνὶ οἴκῳ, ὀρθοτονεῖται μετὰ τοῦ ὀνόματος. ἵνα μὴ ἀναστρεφομένη σημαίνῃ ῥῆμα. ἔστι δὲ κατὰ πλεονασμὸν τοῦ ι. τότε δὲ ἀναστρέφονται αἱ προθέσεις, ὅτε λείπει ῥῆμα. γίνεται δὲ ἀντὶ ῥήματος. ὡς τό, ἔνι τοι φρένες οὐδ' ἠβαιαί, καὶ πάρα γὰρ θεοί εἰσι. καὶ ὅτε μεταξὺ δύο ὀνομάτων τεθῇ. ξύλοχον καταβοσκομενάων. ξάνθῳ ἔπι δινήεντι. καὶ ὅτε ὑποτέτακται τινὶ ἀμέσως. οἷον, ᾧ ἔπι, ἀντὶ τοῦ ἐφ' ᾧ. καὶ ὅτε εὑρεθῇ ἐπὶ τέλους, οἷον ἀρτέμιδι ξυῷ. εἰ δὲ μὴ οὕτως ἔχῃ, ὀρθοτονεῖται, καὶ φυλάσσει τὸν ἴδιον τόνον. ἢ ἐνὶ οἴκῳ, ἐν τῷ οἴκῳ, ἐν τῷ ἄργει.

Ἔνιοι, φανεροί, ἢ οἱ μέν, ἢ τινές.

Ἐνιπεύς, Ποσειδῶν, παρὰ Μιλησίοις τιμᾶται. καὶ ἐνιπεύς, ὄνομα ποταμοῦ. παρὰ τὴν ἐνιπήν. καὶ γὰρ ἄγριός ἐστι, καὶ ἀπειλοῦντι ἔοικεν.

Ἐνιπὴν λέγει Ὅμηρος, τὴν διὰ λόγων ἐπίπληξιν καὶ κακολογίαν. ἐνίπτω γάρ, τὸ κακολογῶ. ὅθεν ἐνιπή. καθὸ τύπτω τέτυπα, τυπή, ἡ τύψις.

Ἐνιπῆσαι, ἀπειλῆσαι, βοῆσαι.

Ἐνιπλήξαντες, ἐμπελάσαντες, πλησιάσαντες, ἢ ἐπιπλήξαντες.

Ἐνὶ προδόμῳ, ἐν τῇ πρὸ τοῦ οἴκου στοᾷ.

Ἐνὶ προμάχοισιν, ἐν τοῖς ἔμπροσθεν μαχομένοις.

Ἐνιπτάζω, κακολογῶ, καὶ μέμφομαι.

Ἐνιπτάζων χώετο παρὰ Ἀπολλωνίῳ, κακολογῶν καὶ μεμφόμενος ἐχολοῦτο καὶ ὠργίζετο. καὶ ἐνιπτάζων, τύπτων.

Ἔνιπτε θυμόν, παρελκόντως ἔχει τὸ θυμόν. οἷα καὶ χωρὶς αὐτοῦ ἐντελῶς ἐχούσης τῆς ἐννοίας. ὡς δηλοῖ καὶ τὸ ῥηθέν, πόσιν δ' ἠνίπαπεν, ἤγουν ἐπέπληξε μύθῳ. ἔνθα πάλιν παρέλκει τὸ μύθῳ. εἴπερ αὐτὸ σχῆμα ἐνίπτειν ἐστὶ τό, ἔπεσσιν ἐπιπλήττειν. καὶ ἄλλως δὲ εἰπεῖν, μή με θυμὸν ἔνιπτε, ὅμοιόν ἐστι τῷ, τί δέ σε θυμὸν ἵκετο πένθος.

Ἐνίπτω, κακολογῶ, ἐπιπλήσσω ἢ λοιδορῶ. παρὰ τὸ ἐνέπω, τὸ λέγω, κατ' ἐπένθεσιν τοῦ τ, καὶ τροπῇ τοῦ ε εἰς ι, ἐνίπτω. τὸ γὰρ ε ἡνίκα πλεονάσῃ σύμφωνον τρέπεται εἰς ι, οἷον ἔπω, ἐνίπτω. μή με γυναι χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε.

Ἐνισκήφη, κατηνέχθη.

Ἐνισκήψωσιν, ἐμπέσωσιν.

Ἐνισκίμφθη οὔδει δόρυ, ἀντὶ τοῦ ἐπέλασεν, ἀπὸ ῥήματός ἐστι τοῦ σκίμπτω, ὡς χρίμπτω. ἐξ οὗ εἰκὸς εἶναι τὸν παρ' Ἀττικοῖς σκίμποδα, εὐτελῆ κλίνην καὶ χθαμαλὴν πελάζουσαν τῇ γῇ. χρῆσις τοῦ σκίμπτω καὶ παρὰ Πινδάρῳ. ἔνθα φησίν, ἀγαθὸν εἶναι νηὶ δύο ἀγκύρας ἀπεσκίμφθαι.

Ἐνισκίψαντες, ἐνερείσαντες.

Ἐνὶ σκοπιῇ, ἐν βουνῷ.

Ἔνισπεν. ἐνέπω, καὶ πλεονασμῷ τοῦ σ, ἐνίσπω. ὁ παρατατικός, ἔνισπον, ες, ε.

Ἐνισπέσθαι, ὁ νῦν μὴ καταπίνων.

Ἐνισπήσω, καινότερον ἐκ τοῦ ἐνισπῶ. τὸ μὲν κοινότερον ἐνίπτω, ἐνίψω. πλὴν τοῦτο μὲν ἔχει τι καὶ σφοδρότητος. τὸ δὲ ἐνισπήσω, ἀντὶ τοῦ ἁπλῶς εἴπω.

Ἐνίσπη, ἣν ἠνεμόεσσαν λέγει Ὅμηρος, ὡς ἐπὶ ὀρῶν κειμένην· ἐνισπαῖος, τὸ ἐθνικὸν λέγεται.

Ἐνὶ σπλάγχνοισιν, ἐν τοῖς ἐντέροις.

Ἐνίσσω, ἐπιπλήξω. καὶ ἔνισπε, ἀντὶ τοῦ εἰπέ.

Ἐνίσσειν, ὡς τὰ πολλὰ ἐνίπτειν λέγεται. ἐξ οὗ καὶ ἐνίψω μέλλων. καὶ τὸ ἠνίπαπε, καὶ ἡ ἐνιπή. λέγεται ἐνίοτε ἐνίσσειν καὶ λόγοις καὶ πληγαῖς.

Ἐνίσσειν, δοτικῇ συνέταξεν Ὅμηρος, εἰπών, θυγατράσι καὶ υἱοῖς ἐνισσέμεν, ὅ ἐστι κακολογίαν ἐπάγειν.

Ἐνισσέμεν, κακολογεῖν, ἐπιπλήσσειν. ἀπὸ τοῦ ἐνίσσω, ὁ μέλλων ἐνίξω.

Ἐνίσσομεν κακοῖς ἔπεσιν, ἤγουν ἐκακολογοῦμεν.

Ἐνίσσω, τὸ κακολογῶ, ἐκ τοῦ ἐνίπτω παρῆκται. ἀφ' οὗ ἐνιπή, ἡ διὰ ἐπέων ἐπίπληξις. ὧν προηγεῖται τὸ ἐνέπω. καὶ ἐνίσσω, τὸ ἐπιπλήττω.

Ἐνὶ σταδίῃ, ἐν τῇ συστάδην μάχῃ, ἐνιστάμενον ἐν ἴσῳ ὁμοίως.

Ἐνίστασθαι, εὐτρεπίζεσθαι, παρασκευάζεσθαι, μὴ διαμέλλειν, ἀλλ' ἐνίστασθαι τῷ πολέμῳ. καὶ ἐνίστασθαι, τὸ δύνασθαι.

Ἐνίστησί μοι ὁ διδάσκαλος. καὶ ἐνίστησιν ἐκεῖνος τοῖς πολεμίοις. ἐνίστησι τὴν ἀρχὴν ποιούμενος, ἐνίσταται δὲ τινὶ ὁ ἐναντιούμενος.

Ἐνὶ στρατῷ, ἐν τῷ στρατοπέδῳ.

Ἐνισχημένος, κατεχόμενος, κεκρατημένος.

Ἐνὶ φρεσὶ θῆκε, κατὰ νοῦν ἔχειν.

Ἐνὶ χηλῷ, ἐν τῇ κιβωτῷ, ἐν τῷ πλοίῳ.

Ἐνὶ χώρῳ, ἐν τῷ χώρῳ.

Ἐνίψει, κυρίως ἐπιπλήξει διὰ λόγων. παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐρεῖ, λέξει. ἐνίπτω γὰρ τὸ ἐπιπλήττω, λοιδορῶ. παρὰ τὸ ἐνέπω, τὸ λέγω.

Ἐνίψω, οὐχ ἁπλῶς ἀντὶ τοῦ εἴπω, ἀλλὰ μετὰ σφοδρότητος καὶ ἀπειλῆς. ὡς καὶ ἡ ἐνιπὴ δηλοῖ. ὥσπερ ἀπὸ τοῦ ῥέπω γίνεται τὸ ῥίπτω, καὶ ἀπὸ τοῦ πέπω τὸ πίπτω, οὕτω καὶ ἀπὸ τοῦ ἐνέπω τὸ ἐνίπτω.

Ἐνίων, ἡμῶν, ἢ τινῶν, φανερῶν, τῶν μέν.

Ἐν καθέξει, ἐν κατοχῇ.

Ἐνκάθεται, κατατηρεῖ.

Ἐνκάθετοι, ἐνεδρεύοντες.

Ἐν καλῷ τῆς πόας, ἐν καλῷ τῆς ἐλπίδος. ἐν παραμυθήτῳ τῆς συμφορᾶς, καὶ ἕτερα. ὁμοίως Ἀττικῶς ἀντὶ τοῦ εἰπεῖν εἰς ἄλλην πόαν, εἰς καλὴν ἐλπίδα, οὕτω καὶ ἄλλα.

Ἐν καλῷ σοι κείσεται, ἀντὶ τοῦ εἰς καλόν σοι ἀποβήσεται.

Ἐν καρὶ τὸν κίνδυνον, ἐπὶ τῶν μισθῷ πολεμούντων τὰ οἰκεῖα δυσχερῆ.

Ἐν καρὸς αἴσῃ, ἐν κηρὸς μοίρᾳ. ἐν μοίρᾳ θανάτου περιφραστικῶς. ἄλλοι δὲ ἐν κηρός, ἵν' ᾖ κατὰ κηρός, ἤγουν κατὰ θανάτου. ἢ ὥς ἔνιοι, ἐν τάξει μισθοφόρου. πρῶτοι γὰρ Κᾶρες ἐπολέμησαν ἐπὶ μισθῷ, καὶ ἔδοξαν εἶναι ἄτιμοι.

Ἐνκατακλώσαντες, ἐνείραντες.

Ἐνκαταμῖξαι, ἐντίμους ποιῆσαι.

Ἐνκατασκήψασαν, ἐμπεσοῦσαν.

Ἐνκαταστήματι, ἐν περιβολαίῳ.

Ἐνκαταστυφράζειν, ἐνυβρίζειν.

Ἐν κέσιν, ἐν τύποις, ἐν γλυφοῖς.

Ἐν κεφαλαίῳ, ἐν συντόμῳ.

Ἐν Κεῷ τις ἡμέρα. παροιμία ἐπὶ τῶν οὐκ εὐγνώστων. οὐδεὶς γὰρ οἶδεν ἐν Κεῷ τίς ἡμέρα, ὅτι οὐχ ἑστᾶσιν αἱ ἡμέραι, ἀλλ' ὡς ἕκαστοι θέλουσιν, ἄγουσιν. ὅθεν λέγεται, τὸ σεαυτῷ νουμηνίαν κηρύσσειν.

Ἐν κημῷ, ἐν κυρκύμῳ.

Ἐνκήριον, ἐπὶ πολλῶν ὁμοφωνούντων, ἢ στασιωτῶν, ἢ συνωμοτῶν.

Ἐν κλήρῳ, ἐν μερίδι.

Ἐνκολάψας, ἐγχαράξας.

Ἐνκομβωθείς, δεθείς.

Ἐνκομβώσασθαι, ἐπιστρεύσασθαι, στολίσασθαι.

Ἐν κονίῃσι μιγείης. ἢ ἀντὶ τοῦ θάνῃς, ἢ ἀντὶ τοῦ ὅτε ἀντικαταστῇς εἰς μάχην τῷ Μενελάῳ. κονίεσθαι γάρ, τὸ ἀγωνίζεσθαι. ὅθεν καὶ κονίστρα, ἡ κατὰ τὴν παλαίστραν μάλιστα παρὰ τοῖς ὕστερον. παρ' οἷς καί τις κόνις ἦν ἐξαίρετος τοῖς παλαίουσι. καὶ ἀλίζειν ἐλέγετο, τὸ ἐν κόνει κυλίεσθαι, ὡς ὁ κωμικὸς δηλοῖ. ἢ ἄλλως, κόνει φύρεσθαι. ὅθεν καὶ ἀλινδήθρα παρ' αὐτοῖς κυρίως μέν, ἡ κατὰ πάλην κονίστρα.

Ἐνκόπτων, ἐμποδίζων, διακωλύων.

Ἐν κόσμῳ, ἐν σεμνότητι.

Ἐν κοτύλῃ φέρειν, παιδιᾶς εἶδος. ὁ γὰρ φέρων τινὰ ἐν κοτύλῃ, ἐποίει ὀπίσω τὰς χεῖρας, καὶ ὁ αἰρόμενος ἐνετίθει τὰ γόνατα, καὶ οὕτως ἐβαστάζετο.

Ἔνκωπτον, καιόμενον.

Ἐν κυνέῃ, ἐν περικεφαλαίᾳ.

Ἐν λαπινθάζεσθαι, μαχέσασθαι Λαπίθαις, ἢ ἐνθυμηθῆναι.

Ἐν λαμπτηρίᾳ, ἐν τῇ λυχνίᾳ.

Ἐν λέκτροις, ἐν στρώμασιν.

Ἐν λιμένι, ἐν τῷ γυμνικῷ θεάτρῳ.

Ἐν λευκώμασιν, ἔθος ἦν τὰ πιπρασκόμενα χωρία, ἢ σώματα δημοσίᾳ ἀπογράφεσθαι ἐν σανίσι λευκαῖς. οἱ δέ, πυξίοις κεχρισμένοις λευκῇ γῇ, τὰ ὀνόματα καὶ τῶν κτημάτων καὶ τῶν ἀνδραπόδων καὶ τῶν πριαμένων αὐτά, ἵν' εἴ τις βουληθῇ αἰτιάσασθαι, ἐπ' ἀδείας ἔχοι, ἐντυχὼν τῷ λευκώματι.

Ἐνλιμενίζειν, τελωνίζειν τὰ ἀπὸ λιμένων καὶ θαλάσσης.

Ἐν λίμναις Διονύσιον, τόπος ἐστὶν ἐν Ἀθήναις λίμναι. ἐν ᾧ, ὁ τιμώμενος Διόνυσος.

Ἐνλιτεῖ, διαφωνεῖ.

Ἐνλόβια, ἐνώτια.

Ἐν μακρύμασιν, ἐν ἀποστασίαις.

Ἐν μαχατεύειν, ἐγκεκλεῖσθαι παρὰ γείτονι.

Ἐν μεγάροισι, τοῖς οἴκοις.

Ἐν μέρει, πρὸς μέρος, καὶ ἐκ μέρους λέγομεν.

Ἐν μεσάτῳ, ἐν μεσαιτάτῳ τόπῳ, κατὰ συγκοπήν.

Ἐν μεταιχμίῳ, ἐν μέσῳ. μεταίχμιον γὰρ λέγεται, ὁ μεταξὺ δύο φαλάγγων τόπος. παρωνόμασται δὲ ἀπὸ τῆς αἰχμῆς.

Ἐν μετεώρῳ ἦν ἡ ναῦς, ἀντὶ τοῦ πελάγιος. καὶ ἐπ' ἀγκυρῶν μὴ ἱσταμένη, ἀλλὰ ἀπέχουσα τῆς γῆς.

Ἐν μετουσίᾳ, ἐν μεθέξει, ἐν χορηγήσει, ἐν διαθέσει.

Ἐν μύρτου κλάδῳ, τὸ ξίφος κρατήσω. ὅτι Ἁρμόδιος καὶ Ἀριστογείτων ἐν μύρτοις ῥίψαντες τὸ ξίφος, Ἵππαρχον τὸν τύραννον ἀπέκτειναν.

Ἐννέα ὁδοί, τόπος ἐν Θράκῃ, περὶ τὴν Ἀμφίπολιν.

Ἐννεάζω λέγε, μὴ τὴν νεότητα διαβιβάζω. Συνέσιος ἐν ἐπιστολῇ, ὁ γὰρ ἐννεάσας, τῇ κατὰ φιλοσοφίαν σχολῇ.

Ἐννεάκρουνος, Λυσίας ἐν τῷ περὶ τῆς ἀντιδόσεως, κρήνη τις ἐν Ἀθήναις. πρότερον δ' ἐκαλεῖτο καλιρρόη, ἀφ' ἧς τὰ λουτρὰ ταῖς γαμουμέναις μετίασιν.

Ἐννεάμυχλος, ἰσχυρός, ἐνναέτης.

Ἐννεαπήχεες ἦσαν, ἐπαινοῦσί τινες τὴν ἀκρίβειαν. τὰ γὰρ σύμμετρα τῶν σωμάτων τοῦ πλάτους, τὸ μῆκος τετραπλάσιον ἔχει.

Ἐννεάτιον, λοξόν.

Ἐννεασμός, ἐμπαιγμός, πανουργία, δόλος.

Ἐννεάχιλοι, ἐννακισχίλιοι.

Ἐννεάψυχος κύων, παροιμιωδῶς.

Ἔννεεν, ἐξέτεινεν.

Ἐννέμει, ἐν συμφύτῳ.

Ἔννεον, δηλοῖ μὲν τὸ ἐκολύμβων. ἔπαθε δὲ καὶ αὐτὸ πλεονασμὸν τοῦ ν διὰ τὸ μέτρον. ὡς καὶ τὸ ἔννεπεν.

Ἐννεός, ἄφωνος, κωφός, ἐξεστηκώς, νωδός, νωχελής, μετέωρος.

Ἔννεπε, πλεονασμὸν ἔχει τοῦ ἑνὸς ν. καὶ δῆλον ἐξ ὧν πολλαχοῦ τὸ ἐνέπω δι' ἑνὸς ν ἐκφέρεται, ἀπὸ τῆς ἐν προθέσεως, καὶ τοῦ ἔπω. ἐξ οὗ καὶ τὸ ἔπος. οὕτω καὶ ἀπὸ τοῦ ἐνώθω ἐνώσω, τὸ κινῶ, τὸ μὲν ἐνοσίχθων, δι' ἑνὸς ἐκφέρεται ν. τὸ ἐννοσίγαιος, διπλάζει τὸ ἀμετάβολον. δῆλον δέ, ὅτι καιριώτερον, ὡς ἐν ποιήσει τὸ

ἄειδε,

Digitized by Google

ἄειδε, ἤπερ τὸ ἔννεπε. ἀείδειν μὲν γὰρ τὸ μετὰ μέλους. ὅθεν καὶ ᾠδαί, τὰ ποιήματα. ἐννέπειν δὲ, καὶ τὸ ἁπλῶς λέγειν. ὅρα δὲ, ὅτι τὸ μὲν ἐνέπειν, ἢ ἀντὶ τοῦ ᾄδειν, ἢ ἀντὶ τοῦ λέγειν ἁπλῶς κεῖται. τὸ δὲ ἐξ αὐτοῦ ἐνίπτειν καὶ ἐνίσσειν, οὐδέτερον ἐκείνων δηλοῖ, ἀλλ' ἐπίπληξιν καὶ ἄμφω δηλοῦσι, τὴν διὰ λόγων μέντοι, ἤτ' οὖν διὶ ἐπῶν ἐπίπληξιν. ἐκ δὲ τοῦ ἔννεπε, ἀρχὴ ἐκδέδοται τοῖς καλοῦσι τοὺς ἡρωϊκοὺς στίχους, ἔπη. καὶ ἐποποιοὺς, τοὺς ποιητάς. νεωτέρων δὲ ἡ τοῦ ἔπους χρῆσις, ἐπὶ τῶν ποιητικῶν μέτρων. Ὅμηρος γὰρ, ὡς δι' ὅλης τῆς αὐτοῦ ποιήσεως φαίνεται τὸν ἁπλῶς λόγον, ἔπος λέγειν. οἷον ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. καὶ ἔπεα πτερόεντα προσηύδα.

Ἐννέπετε, ἀντὶ τοῦ εἴπατε, ἐνεστὼς ἀντὶ τοῦ ἀορίστου. σύνηθες δὲ τοῖς ποιηταῖς, τοῖς ἐνεστῶσιν ἀντὶ τῶν ἀορίστων χρῆσθαι, καὶ ἡ λέξις ποιητική. τὸ δὲ ἕτερον ν προστίθεται, διὰ τὸ μέτρον. ἓν γὰρ ἔχειν ὀφείλει. ἀπὸ τῆς ἐν προθέσεως, καὶ τοῦ ἔπω, ἐνέπω. καὶ τοῦτο αἰολέων, δηλονότι τὸ διπλασιάζειν τὰ σύμφωνα.

Ἐννεσίῃσιν, ἤγουν συμβουλαῖς. αἳ γίνονται οὐκ ἀπὸ τοῦ ἐννέπω, ἀλλὰ ἀπὸ τοῦ ἔννοια, κατὰ τοὺς παλαιούς. πρὸς ὁμοιότητά φασι τοῦ πηγόμαλος, πηγεσίμαλος. ἢ μᾶλλον ἀπὸ τοῦ ἐνίημι, ἐνεῖμαι, ἐνεῖσαι ἐνεῖται, γίνεται ἐνεσία, καὶ διπλασιασμῷ τοῦ ν, ἐννεσία, ἡ εἰς νοῦν ἐνιεμένη συμβουλή.

Ἐννέωροι σύες, οἱ ἐνναετεῖς. ἢ ἄλλως ἴσως, οἱ ἐννέα ὡρῶν.

Ἐν νεῷ, ἐν ναῷ, ἢ εἰς ναῦν, ἢ εἰς νεοττοὺς. ἐν νήθω, Κυρηναῖοι.

Ἐννέωρος, δι' ἐννέα ἐτῶν ἀναβαίνων. ὡς ὁ Γεωγράφος φησὶν, ἐπὶ τὸ τοῦ Διὸς ἄντρον. καὶ διατρίβων ἐκεῖ κατέβαινεν, ἔχων συντεταγμένα παραγγέλματα, ἃ ἔλεγεν εἶναι τοῦ Διός. ἵνα δηλαδὴ πείθειν οὕτως ἔχῃ δυσιδαιμονοῦντας τοὺς ὑπηκόους. οἱ καὶ ἄλλως ὡς δικαίῳ ἔχαιρον, ἐπειδὴ τὴν θάλασσαν ἐξεκάθηρε λῃστῶν. ἐξ ὧν καὶ τὰ κρησφύγετα ὠνόμασται. ὅπου δηλαδὴ αὐτοὶ τοιοῦτον χρῆται, ἢ τοὺς περὶ αὐτὸν Κρῆτας ἔφευγον. ἕτεροι δέ φασιν. ὅτι ἐπὶ ἐννέα ἔτη παρὰ τῷ Διῒ ἐπαιδεύθη. ἄλλοι δὲ, ὅτι ἐννεαετὴς ὢν, βασιλεύειν ἤρξατο. τινὲς δὲ, ὅτι ἐπεὶ ἐννέα ἔτη ἐβασίλευσεν.

Ἔννη, ἐστὶ νῶ, σημαῖνον τὸ νήθω. ὁ παρατατικὸς καὶ ἐπὶ πρώτης συζυγίας, καὶ ἐπὶ δευτέρας. ἂν γὰρ ἐστὶ νώμενος, καὶ κλώμενος, δηλονότι ἐστὶ δευτέρας τοῦ νῶ, ὁ παρατατικὸς ἔνων ἔνης ἔνη. καὶ πλεονασμῷ τοῦ ν, ἔννη, οὕτως Ἡρωδιανός.

Ἐννηὴς, σώφρων, ἀληθὴς, ἀγαθὸς, πατρῷος.

Ἐννήϊσκλοι, ὑποδήματα Λακωνικῶν ἐφήβων.

Ἐν νηπιέῃ, ἐν νηπιότητι.

Ἐννύσει, φθείρει, ὁμοιοῖ.

Ἐννησιάδες, νύμφαι, παρὰ Λεσβίοις.

Ἔννιον, κώπης μέρος, τὸ ἐπὶ τοῦ σκαλμοῦ ἔνδον ἐν τῇ νηΐ.

Ἔννιος, ἐν Χίῳ ὁ ἑρμῆς.

Ἐννοδίῳ, ἀγκυροβολίῳ.

Ἔννοι, οἱ πρυσινοὶ ἄρχοντες.

Ἔννοιά ἐστι, νόησις ἐναποκειμένη τῇ ψυχῇ. ἢ ἄλλως, κοινὴ νόησις ἐναποκειμένη τῇ ψυχῇ, καθὰ καθολικὴν φύσεως ὑπογραφήν. ἔννοια καὶ ἡ βουλὴ, ἡ περί τινος τοῦ νοῦ κίνησις. ἔννοια κοινὴ, ἡ παρὰ πάντων ἐξ ἑνὸς, ἢ πλειόνων ἐχηχυῖα τὴν ἀρχὴν ὁμολογουμένην.

Ἔννοιαι, πηγαί.

Ἐννοιάδες αἶγες, αἱ μὴ κορύπτουσαι.

Ἔννομον, ἔνθεσμον.

Ἐννόσαντα, ἀντὶ τοῦ διανοηθέντα, ἢ ἐννοήσαντα λέγουσιν Ἴωνες. ὡς παρ' Ἡροδότῳ.

Ἐννοσέμεν, ἐπιπλήττειν.

Ἐννοσία, ἀλογία, ἀργία.

Ἐννοσίγαιος, ὁ Ποσειδῶν. ἀπὸ τοῦ ἔννοσις, ἡ κίνησις, καὶ τοῦ γῆ. ἵνα ᾖ ἐννοσίγαιος, ὁ τὴν γῆν κινῶν. οἱ γὰρ φυσικοὶ, ἀπὸ τῶν ὑδάτων γίνεσθαι τοὺς σεισμούς φασι. πλεονάζει δὲ τὸ ἕτερον ν διὰ μέτρον. καὶ ἐνοσίχθων, ὁ τὴν γῆν σείων.

Ἐννοσίφυλλον, κινησίφυλλον.

Ἔννους ἁπλῶς, ὁ ἔχων νοῦν. καταχρηστικῶς δέ, ὁ συνετὸς καὶ φρόνιμος.

Ἐννουστάταις, φρονίμοις.

Ἐννύειν, ἐνδύειν.

Ἔννυθεν, ἐκέχυντο.

Ἐν νύσσῃ, ἐν τῷ καμπτῆρι.

Ἔννυτο, ἐνεδύετο.

Ἐννύχιον, διὰ τῆς νυκτός. καὶ ἐννύχιον κρύπτεις, ἀντὶ τοῦ σκοτεινῶς καὶ δολίως. τινὲς δὲ ἐμμύχιον, τὸ ἐν τῷ μυχῷ.

Ἔννυχος, νύκτερος, αὐτονύχιος.

Ἐννυώ, ἐπίθετον Ἥρας, αἰολικῶς.

Ἐν ξυνοχῇσιν, ἐν ταῖς συμβολαῖς.

Ἐνοδία, ἡ Ἑκάτη. ἐπεὶ κυνηγὸς, Ἡρακλείδης.

Ἐνόδιον, τὸ ἀπὸ τῆς ὁδοῦ. ἐνώδιον δέ, τὸ ἐνώτιον μέγα, παρὰ τὸ οἰδεῖν τὰ ὦτα.

Ἐνόδιος Ἑρμῆς, ἐν Πάρῳ.

Ἐν ὁδῷ ἦσαν, ἐν ἔργῳ, ἐν βίῳ, ἐν πίστει.

Ἐνοδεῖς, ἐνὶ θεῷ ὅμοιοι.

Ἐνόησεν, εἶδε κατὰ νοῦν.

Ἑνοῖ, συνάπτει, ἐκ δύο ἀποτελεῖ ἕν.

Ἔνιστρον, τὸ ἔσωθεν τῆς κοιλίας, ἐν ᾧ ἡ κόπρος.

Ἐν ὅλμῳ ἐκοιμήθη. οἱ μὲν ὅλμόν φασι μαντεῖον. οἱ δὲ τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαντικοὺς γίνεσθαι. ὅτι καὶ οἱ τρίποδες τοῦ Ἀπόλλωνος ὅλμοι καλοῦνται.

Ἐνόμευε, κατὰ νομὸν ἐτυμολογικῶς ἐῤῥέθη. πρωτότυπον δὲ τὸ νομεύειν. νομὸς δὲ παρ' Ὁμήρῳ, καὶ τοῖς μετ' αὐτὸν, ὁ τῆς νομῆς κυρίως τόπος.

Ἐν ὁμίλῳ, ἐν ἀθροίσματι, ἐν μάχῃ.

Ἐνομιλήσομαι, προσορμήσω.

Ἐνομόρξατο, κατέμαξεν, ἐνέβαλεν.

Ἐνὸν, δυνατὸν, ἐνδεχόμενον, ἐνυπάρχον.

Ἐν ὀνείρῳ, ἐν ὕπνῳ.

Ἐνονυχίζει, ἀποδέχεται.

Ἐνωπαῖς, τοῖς ἐνωτίοις, ἀπὸ τοῦ ταῖς τῶν ὤτων ὀπαῖς κεῖσθαι, Σοφοκλῆς.

Ἐνοπὴ, οὐχ ἁπλῶς ἡ φωνή. ἐκείνην γὰρ ὄπα λέγει, εὔκοσμον οὖσαν. ὅπου γε καὶ ἡ Καλλιόπη ἐκ τῆς τοιαύτης ὀπῆς παρωνόμασται. ἀλλ' ἔστιν ἐνοπὴ, ἡ ταραχώδης βοὴ, ἥν ποτε καὶ φύλοπιν ἂν εἴπη τις. ἐνοπὴ δὲ, πόλεμος, μάχη. Ὅμηρος, Τρῶες μὲν κλαγγῇ ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς. καὶ ἐνοπάς.

Ἐνοπλίζειν, ἐμβλέπειν.

Ἐνοπιπόντῳ, ἐν τῇ μεγάλῃ θαλάσσῃ.

Ἐνόπλιον μέτρον λέγεται, τὸ ἔχον δύο δακτύλους, εἶτα σπονδεῖον. καὶ πάλιν δύο δακτύλους, καὶ σπονδεῖον μὲν ἐνόπλιον, ἔνοπλον.

Ἐνόπτιος, ἐνώπιος.

Ἐνοπτρίσαι, ἑαυτὸν κατανοῆσαι.

Ἔνοπτρον, τὸ κάτοπτρον.

Ἐνοργίας, τὰς νεοσσὰς, Κρῆτες.

Ἐνόρκιον λόγον λέγει ὁ Πίνδαρος, τὸν ἀληθέστατον. παρὰ γὰρ ὧν τις πέποιθεν, ὅρκος διϊσχυρίζεται.

Ἔνορμος, ἡ ὥρα παρὰ Θετταλοῖς.

Ἐνόρσας, ἐμβαλὼν, μίξας.

Ἔνορχα, ἄρσενα, ὄρχεις ἔχοντα. Ἰλιάδος ψ, πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν, ὄρχεις ἔχοντα. τοιαῦτα γὰρ ἔθυον τοῖς ποταμοῖς.

Ἐνόρχην λαὸν, τὸν ἐπὶ ἥβης, ἀφ' οὗ καὶ τὸ ὀρχίδιον.

Ἐνόρχης, ὁ Διόνυσος παρὰ Λεσβίοις. φασὶ γὰρ δύο ἀδελφοὺς συμμιγέντας, Θυέστην καὶ Δαῖταν, ἐξ αὐτοῦ τεκεῖν παῖδα ἐνόρχην καλούμενον. ὃς ναὸν ἱδρυσάμενος Διονύσῳ, ἀπὸ τοῦ ἰδίου αὐτοῦ ὀνόματος τοῦτον ἐκάλεσεν. ἢ ἐνόρχης λέγεται, ὅτι μετ' ὀρχήσεως αὐτοῦ τὰ μυστήρια ἐτελεῖτο. ἢ ὅτι ἐν ὄρχοις καὶ φηγοῖς διῆγεν. οἱ δὲ, αἰσχρὰν τινα ἱστορίαν φασί. Διόνυσον γὰρ λέγουσι ψηλαφᾶν τὴν μητέρα μετὰ τὸ κεραυνωθῆναι αὐτήν. Πολύσυμνος δέ τις νεανίας, ἔφη δείξειν τὴν πρὸς ταύτην ὁδὸν, εἰ συγγένοιτο αὐτῷ. ὁ δὲ ὑπέσχετο τοῦτο ποιῆσαι, εἰ πρότερον εὑρήσει τὴν μητέρα. καὶ δὴ βουλαῖς Πολυσύμνου κατελθὼν εἰς τὸν ᾅδην, ἐκ τῆς Λέρνης πηγῆς ἀνάγει αὐτήν. τελευτήσαντος δὲ Πολυσύμνου, Διόνυσος θέλων πληρῶσαι τὴν ὑπόσχεσιν, σύκινα αἰδοῖα προσῆψεν ἑαυτῷ, καὶ φαλοὺς δερματίνους ἐλάφων. ὅθεν ὥς φησι καὶ ἐνόρχης λέγεται.

Ἔνος, ὁ χρόνος, καὶ ἐνιαύσιος.

Ἐνόσει, ἠρώστει. ὁ δὲ ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία αὐτοῦ ἐνόσει.

Ἐνοσηλεύετο, νόσῳ διῃτᾶτο.

Ἐνόστησας, ἐπανῆλθες, προσέπιπτες.

Ἐνουδὲν, ἐπὶ τοῦ πολλοῦ λέγεται.

Ἐνουρέω, ἐνουρῶ. Λουκιανὸς, ἐνούρει ἐν τῷ μέσῳ, οὐκ αἰδούμενος τὰς γυναῖκας.

Ἐνούσιον, ἴδιον. τὸ πραγματικῶς ὑφίστασθαι, καὶ φέρειν ἁπάντων ἑαυτοῦ τῶν προσωπικῶν ἰδιωμάτων τοὺς ἀληθεῖς χαρακτῆρας. ἢ ἐνούσιον, τὸ μὴ μόνον ἐνθεωρούμενον ἐφ' ἑαυτοῦ, τὸ τῶν ἰδιωμάτων ἀθροισμάτων ἄθροισμα, καθὸ ἄλλος ὑπ' ἄλλου γνωρίζεται, ἀλλὰ καὶ τὸ κοινὸν τῆς οὐσίας πραγματικῶς κεκτημένον.

Ἐνούσιος, συμφυὴς, πολυκτήμων.

Ἐνοσφίσατο, ἔκλεψεν.

Ἐνοσφίσθησαν, ἀπεστράφησαν, ἀπεχωρίσθησαν.

Ἐνοσφίσω, ἀπηλλοτρίωσας.

Ἐνοφθαλμισμῶν, θεαμάτων.

Ἐνοχλῶ Ἀττικῶς, συντάσσεται αἰτιατικῇ, κοινῶς δὲ δοτικῇ. ὁ παρατατικὸς, ἠνώχλουν, ὡς καὶ τὸ δυσχεραίνω. τὰ μὲν τοιαῦτα οὐκ ἐνοχλήσουσί σε, πλοῦτον, ἢ χρυσὸν αἰτῶν.

Ἔνοχος, ὑπεύθυνος, χρεώστης.

Ἔνοχος, ὑπαίτιος, τίμιος.

Ἑνόω ἑνῶ, τὸ μιγνύω. καὶ ἕνωσις, ἡ μίξις.

Ἐν παλάμαισιν, ἐν ταῖς χερσίν.

Ἐν παραβύστῳ, ἐν γωνίᾳ, ἀντὶ τοῦ κρύφα, καὶ μὴ φανερῶς. Ὑπερείδης ἐν τῷ κατὰ Ἀρχιστρατίδου.

Ἐν παρενθήκης μέρει, ἐν περιουσίας μέρει.

Ἐν πείσῃ, ἐν ἡσυχίᾳ, ἐν χώρᾳ, ἐν πεισμονῇ.

Ἐν πέντε κριτῶν γόνασιν, ἐν ἀλλοτρίᾳ ἐξουσίᾳ. παρ' ὅσον τὸ παλαιὸν, πέντε κριταὶ ἔκρινον τοὺς κωμικοὺς, ὥς φησιν Ἐπίχαρμος. κεῖται δὲ παρ' Ὁμήρῳ, Θεῶν ἐν γούνασι κεῖται. ἐπειδὴ οἱ κριταὶ ἐν τοῖς γόνασιν εἶχον, ἃ νῦν εἰς γραμματεῖα ἐγγράφεται.

Ἐν πέρατι, ἐν τῇ δύσει τῆς γῆς.

Ἐν περιλήψει, ἐν περιεκτικωτέρᾳ νοήσει.

Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν, παροιμία ἐπὶ τῶν τὰς πρώτας μὲν μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων. τουτέστι τῶν παριέντων τὰς πρώτας μαθήσεις, καὶ ἐφιεμένων τῶν τελευταίων. ὡς εἴ τις μανθάνων κεραμεύειν, πρὶν μαθεῖν πίνακας ἢ ἄλλο τι τῶν μικρῶν πλάττειν, πίθῳ ἐγχειρεῖ. Δικαίαρχος δέ φησιν, ἕτερόν τι δηλοῦν τὴν παροιμίαν, οἱονεὶ τὴν μελέτην ἐν τοῖς οἰκείοις ποιεῖσθαι, ὡς κυβερνήτης ἐπὶ τῆς νεὼς, καὶ ἡνίοχος ἐπὶ τοῦ ἵππου.

Ἐνίσπῃ, εἴπῃ.

Ἐν πλάδῳ, ἐν χαλάσματι, καὶ ἐν ἀνέσει.

Ἐνπλατιάσασα, ἐν πλατείαις τύπτουσα ταῖς χερσίν, ἢ τρυφερευομένη.

Ἐν προδοκῇσιν, ἀπὸ τοῦ δοκεῖν τοῖς πρὸς ἐνέδραν ἐπιτηδείοις τόποις.

Ἐν προσχήματι, ἐν ὑποκρίσει.

Ἐν πρώτῳ ῥυμῷ, ἀντὶ τοῦ ἐν ἄκρῳ, παρ' Ὁμήρῳ.

Ἐν πύῃ, τινὲς ἐν χόρτῳ. Ἀρίσταρχος ἐν πυροῖς, καὶ κριθῇ. πυὸν γὰρ, τὸν πυρὸν δίχα τοῦ ρ. ἄλλοι δὲ ἐν καρπῷ.

Ἐν Πυθίῳ χρεῖττον ἦν ἀποπατῆσαι, οἷον κινδυνεῦσαι. Πεισίστρατος γὰρ ᾠκοδόμει τὸν ἐν Πυθίῳ ναὸν τοῦ Ἀπόλλωνος. τῶν δὲ Ἀθηναίων παριόντων, καὶ μισούντων αὐτὸν, οὐδὲν ἐχόντων ποιεῖν, ἐνίους προσουρεῖν τῷ περιφράγματι, καὶ πλησίον ἀφοδεύειν τῆς οἰκοδομῆς, ὥστε ἐνοχλεῖσθαι τοὺς ἐργαζομένους. διὸ Πεισίστρατος ἔγραψε νόμον, τὸν ἁλόντα ἐπὶ τούτῳ θνήσκειν. καταγελώντων δὲ τοῦ γράμματος, καὶ πλειόνων μᾶλλον τοῦτο ποιούντων, ἔστησε φύλακας, ληφθέντος δέ τινος, ἐκέλευσε δήσοντας αὐτὸν, παρὰ τὴν ὁδὸν μαστιγοῦν. κηρύσσοντας, ὅδε ἀνὴρ κολασθεὶς ἀποθανεῖται, ὅτι ὀλιγωρεῖ τοῦ γράμματος. κτανθέντος δὲ, οὕτως ἐνέδυ τὸ γενόμενον τοῖς Ἀθηναίοις, ὥστε ἔτι καὶ νῦν τοὺς κακοπαθοῦντας, ἢ

τιμω-

τιμωρίαις ἐνεχομένους διά τινα αὐτῶν πλημμέλειαν, ἐπιλέγειν, ἐν πυθίῳ κρεῖσσον ἦν αὐτὸν ἀποπατῆσαι.

Ἐν πύλαις ὀνείρων ὑπνοῦντά τινα, τουτέστι τῷ ἐοικέναι θανόντι τὸν οὕτως ὑπνοῦντα. καθ' ὁμοιότητα τοῦ, ὕπνος θανάτῳ ἄγχιστα ἐοικώς, τῷ ἀδελφῷ δηλαδή.

Ἐν πυρὸς αὐγῇ, ἀντὶ τοῦ ἔνθα σέλας ἀφίει τὸ πῦρ. ἢ μᾶλλον πρὸς αὐτῷ τῷ κατὰ τὴν ἐσχάραν πυρί. Ὅμηρος ἐν ψ' τῆς Ὀδυσσείας.

Ἐν πωλικῷ, ἐν παιδικῷ.

Ἐν ῥάβδῳ, ἐν ἐπιτιμίου λόγῳ.

Ἐνραβὼς, ἐγγράψας.

Ἐνεργισκανεῖν, ἐνεργοῦν.

Ἐν ῥύπῳ, οἱ ῥυπῶντες.

Ἐν σάμῳ κομήτης. ἔνιοι Πυθαγόραν τὸν σοφόν φασι τὴν πυκτικὴν ἀσκῆσαι, καὶ ἀπ' αὐτοῦ τὴν παροιμίαν λέγεσθαι, ἁμαρτάνοντες.

Ἐνσας, αὔριον.

Ἐνσείεις, ἐπιλαλεῖς.

Ἐνσείσεις, διασείσεις.

Ἐνσεισθεὶς, τιναχθείς.

Ἔνσα δὴ, ἅψαι δή.

Ἐνσηκοῖς, ἐν ναοῖς.

Ἐνσημαινόμενος, ἀντὶ τοῦ δεικνύμενος, καὶ ἐμφαίνων.

Ἐν σικυηλάτῳ, τόπος σικυδίων.

Ἐν σκευάσαι με παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ πτωχικὴν ἀναλαβεῖν ἐσθῆτα. καὶ ἐνσκευάσασθαι, καθοπλίσασθαι.

Ἐνσκήπτω, τὸ βαρέως ἐπέρχομαι. ὡς τὸ, νόσος ἐπέσκηψεν. ἐγκατέσκηψεν ὑετὸς, ἀντὶ τοῦ λάβρος καὶ πάνυ πολὺς κατηνέχθη.

Ἐνσκῆψαι, ἐνεργῆσαι.

Ἐνσκήψαντα, ἐφορμήσαντα.

Ἐνσκίφθη, ἐνεπάγη.

Ἐνσκιρωθείσης, ἐμπαγείσης. σκίρωμα γὰρ λέγεται, τὸ ἀνίαζον πάθος.

Ἐνσκυθεῖν, ταράττειν.

Ἐν σοὶ μὲν λήξω, σεῦ δ' ἄρξομαι. παρ' Ὁμήρῳ σχῆμα μὲν ὑστερολογίας, πρότερον γὰρ λήξεως ἡ ἀρχή. δηλοῖ δὲ προεκθετικῶς, ὅτι ἀπὸ σοῦ ἄρξομαι, καὶ εἰς σὲ καταλήξω, ἤγουν σὲ ἀρχὴν καὶ τέλος τοῦ λόγου ποιήσω.

Ἐν σκοτεινοῖς, ἐν ἀποκρύφοις.

Ἔνσπονδος, ὁ ἀπὸ πόλεως γινόμενος φίλος, ἢ ἀπὸ πολέμου.

Ἔνστασις, τὸ ἐνίστασθαι πρὸς τὸν τοῦ κατηγόρου λόγον ἤγουν μάχεσθαι καὶ ἀντιπίπτειν, καὶ τἀναντία κατασκευάζειν, ἀλλὰ καὶ τὸ διατιθέναι καὶ οἰκονομεῖν. Αἰσχίνης, Ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων. καὶ ἐνεστησάμην τὸν ἀγῶνα, ἀντὶ τοῦ διέθηκα, καὶ ᾠκονόμησα. ἢ ἔνστασις, ἡ ἐναντιότης, καὶ ἡ οἰκονομία.

Ἐνστάτης, ὁ κατὰ πάντα ἐνιστάμενος. ἰδικῶς δὲ, καὶ ἐπὶ τῆς κρίσεως, οἷον ἀντίδικος. κυρίως δὲ ἐνστάτης, ὁ ἐν τῇ ὁδῷ ἀντεστηκώς τινι.

Ἐνστατικὸς, ἀντὶ τοῦ ἔνστασιν τινὰ ποιούμενος.

Ἐν στέρνοισιν, ἐν στήθεσιν.

Ἐνστερνισάμενοι, περιπτυξάμενοι.

Ἐν στερνομαντίαις, ἐν γαστριμύθοις, Σοφοκλῆς αἰχμαλωτίσιν.

Ἐνστήθεσιν, ἐν ταῖς διανοίαις.

Ἐνστηνὲς, ἰσχυρὸν, ἢ σαφές.

Ἐνστροβιλήσας, συστρέψας.

Ἐστρωφᾶσθαι, ἐνστρέφεσθαι.

Ἐν σφανίῳ, ἐν κλιναρίῳ.

Ἔνσων, ἕλκων.

Ἐντακὲς, ἐμφυές.

Ἐν ταλάροισι, τοῖς κοφίνοις, τοῖς καλαθίσκοις τοῦ τυροῦ.

Ἐνταλθέντα, ἐπιβατέντα.

Ἐνταμιευόμενον, ἐνθησαυριζόμενον.

Ἔντ' ἄρα οἱ φῦ χειρὶ, ἐν τῇ χειρὶ μετέσχεν. ἢ ἔλαβετο τῆς χειρὸς αὐτοῦ.

Ἐντάραντον, ἐν τόπῳ τῆς Σικελίας, καὶ ἐν πόλει εἰσέρχονται.

Ἔντασις, ἡ ἐπίτασις. Καθόσον ἡ τοῦ βίου ἔντασις ἐπεδέχετο κοινικωτέρα προελθοῦσα.

Ἐνταῦθα, ἀντὶ τοῦ ἐνθάδε, καὶ ἀντὶ τοῦ ἐκεῖσε. καὶ ἐνταῦθα, τότε. Λιβάνιος, ἐνταῦθα ἐγὼ γνούς. καὶ ἐνταῦθα τοῦ λόγου γενόμενος, ἀντὶ τοῦ εἰς τοῦτο τὸ μέρος. Σημείωσαι, ὅτι τὸ ἐνταῦθα, ἐντεῦθεν, ἐνθάδε, ἐνθένδε, δεῦρο, τῇδε, καὶ ὧδε, πάντα ἐφ' οὗ εὑρίσκεταί τις τόπου, τίθενται. τὸ δὲ αὐτόθι, αὐτόθεν, αὐτοῦ, ἐφ' οὗ διευρίσκεται, ὁ πρὸς ὃν τοὺς λόγους ποιεῖται γράφων.

Ἐνταυθοῖ, τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὸ δὲ ἐνταῦθα, καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον. Σοφοκλῆς Ἠλέκτρα, ἐνταῦθα πέμψειν ἔνθα μή ποθ' ἡλίου φέγγος κατόψει. τοῦτο γὰρ ἄμφω ἔχει. τοιοῦτον δέ φασι, καὶ τὸ ἐνθάδε. τὸ μὲν γὰρ, ἐνθάδε αὖθι μένων. τὸ δὲ, δῶμα φυλάσσεις. καὶ τὸ σὲ δ' ἔτ' ἐνθάδε γῦπες ἔδονται, τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὸ δὲ τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδε Ὀδυσσεὺς, τὴν εἰς τόπον. καὶ τὸ ἔνδον κυρίως, τὸ ἐν τόπῳ φασὶ δηλοῦν. τὸ δὲ ἔσω, τὸ εἰς τόπον. Ἄλλως.

Ἐνταυθοῖ, Δωρικὸν εἶναι δοκεῖ, εἰ καὶ παρ' Ἀττικοῖς τέτριπται. οὕτω δὲ καὶ τὸ ἐνταῦτα. ἔστι δὲ τοῦ μὲν ἐνταῦθα ὁ δωρισμὸς ἁπλοῦς. διπλοῦς δὲ, ὁ τοῦ ἐνταυθοῖ. καὶ δῆλον ἐντεῦθεν ἔθος Δωριεῦσιν, ὡς ἐν τοῖς τοῦ Πινδάρου φαίνεται, συντάσσειν ἐστὶν ὅτε τὴν ἐν προθέσει μετὰ αἰτιατικῆς. ἔτι καὶ τὸ ἔνδον λέγειν ἐνδοῖ, ὡς καὶ παρὰ Θεοκρίτῳ κεῖται, καὶ τὸ πέδον πεδοῖ ἐπιρρηματικῶς, ἀντὶ τοῦ εἰς γῆν, οὗ χρῆσις παρ' Αἰσχύλῳ. τούτων οὕτως ἐχόντων, εἴη ἂν Δωρικὴ σύνταξις τὸ ἐνταυτὸν, ἤγουν εἰς τοῦτον τὸν τόπον. καὶ αὖθις τροπὴ Δωρικὴ τῆς ληγούσης, τὸ ἐνταυτοῖ. καὶ τροπῇ συνήθει τοῦ ψιλοῦ εἰς δασὺ, ἐνταυθοῖ. ὁμοίᾳ δὲ συντάξει προθέσεως, καὶ ἐν ἀντιμεταχωρήσει τοῦ ἀφώνου γένοιτ' ἂν, καὶ τὸ ἐνταῦτα. ἐξ ἴσου καὶ τὸ ἐντεῦθεν, καὶ τὸ ἔνθα, ἔνθεν. Σημειοῦνται δὲ οἱ παλαιοὶ, ὡς τὸ μὲν ἐνταυθοῖ, τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὸ δὲ ἐνταῦθα, καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον. Σοφοκλῆς Ἠλέκτρα, ἐνταῦθα πέμψειν ἔνθα μή ποθ' ἡλίου φέγγος κατόψει. τοῦτο γὰρ ἄμφω ἔχει. τοιοῦτον δέ φασι καὶ τὸ ἐνθάδε. τὸ μὲν γὰρ, ἐνθάδε αὖθι μένων, τὸ δὲ δῶμα φυλάσσεις, καὶ τό, σὲ δ' ἔτ' ἐνθάδε γῦπες ἔδονται, τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὸ δὲ, τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεὺς, τὴν εἰς τόπον. οἱ δ' αὐτοὶ καὶ τὸ μὲν ἔνδον κυρίως, τὸ ἐν τόπῳ φασὶ δηλοῦν. τὸ δὲ ἔσω, τὸ εἰς τόπον.

Ἐνταυθοῖ, καὶ ἐνταῦθα, καὶ ἐνθάδε, διαφέρει. ἐνταυθοῖ μὲν γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. ἐνταῦθα δὲ, καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον. ὁμοίως καὶ τὸ ἐνθάδε. τὸ δὲ ἐνταῦθα, καὶ ἐνθάδε, καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον, καὶ ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε.

Ἐντάφια, τὰ ἐπὶ τῇ ταφῇ γινόμενα πράγματα.

Ἐνταφιάζω, ἐνσοριάζω, θάπτω.

Ἐντάχει, καὶ συντάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ τάχους, καὶ διὰ ταχέως καὶ διὰ ταχέων, ἐπὶ τοῦ αὐτοῦ.

Ἔντεα καθ' Ὅμηρον ψιλοῦται, οἱ ὕστερον δὲ δασύνουσιν. ἢ ἔντεα, ὅπλα. εἴρηται δὲ ἀπὸ ἐντὸς περιέχειν καὶ σκέπειν τὸ σῶμα. λέγεται δὲ καὶ τὰ πρὸς τὴν εὐωχίαν σκεύη. ὡς ἐκεῖ, Μνηστῆρες δ' ἀπεκόσμεον ἔντεα δαιτός. καὶ ἔντεα, οὐ πάντα τὰ ὅπλα, ἀλλ' ἀσπὶς καὶ περικεφαλαία. τὰ δὲ δόρατα, κατ' ἐπικράτειαν.

Ἐν τεγέεσιν, ἐν οἰκήμασιν.

Ἐντεθηλότος, θάλλοντος.

Ἐντεθειῶσθαι, τὸ ἐντετυλίχθαι, ἀπὸ τοῦ σκεπάσματος, ὃ ἐν τοῖς φύλλοις τῆς συκῆς εἰλεῖται, ἃ λέγεται θρία.

Ἐντεθρίωται, ἐνσκέπασται, ἀπὸ τοῦ θρίων.

Ἐντεθώρυξον, ἔνσαξον.

Ἐντεῖλαι, προστάξαι. ἐντείλῃς αὐθυπότακτον, καὶ ἐντείλωμαι.

Ἐντείνει τὴν χορδὴν, καὶ τὴν νευρὰν ἁρμόζει. καὶ ἐντείνει τόξον, ἐντείνει μουσικὴν, ἢ κιθάραν. Ἀριστοφάνης, ἐντείνει, ἤτοι ἐξαπλοῖ, συντείνει, συνέρχεται, συνάδει, προτείνει, προβάλλεται πολλὰ κεφάλαια. ὑπερτείνει, τὸ ὑπερβάλλει. ἀποτείνει, ἀντὶ τοῦ εἰς μῆκος φέρει λόγον μακρόν. ἀνατείνει, τὸ ἀνέχει, καὶ εἰς ὕψος αἴρει, οἷον ἀνατείνει τὰς χεῖρας πρὸς θεόν. κατατείνει, ἀντὶ τοῦ πιέζει καὶ ἐπιτρίβει. κατατείνει πληγαῖς τὸν δοῦλον. κατατείνει καὶ τὸ σπεύδει, καὶ τρέχει. ὡς κατατείνει δρόμον ἐπὶ λιμένα. παρατείνει, τὸ παρατρέχει, παρατείνει τὴν ὁμιλίαν. διατείνει, τὸ διαπλοῖ. ὁ ἀράχνης διατείνει τὸ ὕφασμα. ἀντιτείνει, ἀντὶ τοῦ ἀντικρούει, ἀντιβαίνει, καὶ ἀντερείδει. ἐπιτείνει, τὸ αὔξει, καὶ ἀντὶ τοῦ εἰς ἐπίδοσιν ἄγει. οἷον ἐπιτείνει τοὺς περὶ λόγους ἱδρῶτας. περιτείνει, ἐπάνω τινὸς ἐξαπλοῖ. περιτείνει ὁ σκυτοτόμος τὸ δέρμα τῷ ξύλῳ. ἀποτείνει, ἀντὶ τοῦ εἰς τὸ αὐτὸ τείνει. οἷον ἀποτείνει διήγησιν, καὶ εἰς μῆκος τὴν ὁμιλίαν ἀποτείνει. ὑποτείνει δὲ, τὸ ὑποβάλλει καὶ ὑποφαίνει. οἷον ἐλπίδας χρηστὰς ὑποτείνει τοῖς μέλλουσιν, ἀντὶ τοῦ ὑποβάλλει. ὑπερτείνει, ἀντὶ τοῦ ὑπερβάλλει, οἷον ὁ δεῖνα σπουδῇ καὶ προθυμίᾳ τὸν ἀδελφὸν ὑπερτείνει.

Ἐν τελαμῶνι, ἐν τῷ ἀναφορεῖ ἐν ἐπιδέσμῳ.

Ἐντελέεσσιν, ἐν τοῖς τῶν στρατιωτῶν τάγμασιν.

Ἐν τέλει, ἐν ἀρχῇ, τοὺς ἐν τέλει τιμῶν.

Ἐντελεῖς, οἱ ἄρχοντες, καὶ ἄρξαντες. καὶ ἐντελεῖς πανοπλίας, ἀντὶ τοῦ ἀρχοντικάς.

Ἐν τέλει θεὶς, ἐν χώρῳ θεὶς, ἐν τάγματι.

Ἐντελέστατοι, ἐντιμότατοι.

Ἐντελεστέρῳ, τελειοτέρῳ.

Ἐντέλλεται, παραγγέλλει.

Ἐντελὴς, τέλειον, καὶ ἐντελέστερον.

Ἐντελέχεια, ἡ τελειότης. καὶ τὸ εἶδος τοῦ ὑποκειμένου, τουτέστι τὸ εἶδος τὸ ἐπιγινόμενον ἐκ τῆς τοιᾶσδε συνθέσεως τῶν στοιχείων τῇ ὕλῃ, λέγεται δὲ ἐντελέχεια, τὸ κεχωρισμένον τοῦ σώματος, ὡς ὁ πλωτὴρ τοῦ πλοίου. ἐντελέχειαν λέγει ὁ Πορφύριος, τὴν ψυχήν.

Ἐντελέχειαν, ἀντὶ τοῦ ἐνδελέχειαν λέγουσιν Ἀττικοί.

Ἐντελῆ, τετελεσμένα.

Ἐντελὴς, ἀντὶ τοῦ τέλειος.

Ἐν τέλμασιν, ἐν βορβόροις. τέλμα γὰρ, ὁ ὑλώδης καὶ κάθυγρος τόπος.

Ἐντελόμισθος, μεμισθωμένος ἐντελῶς. ὁ δὲ ἔπλευσεν νηὶ οἰκείᾳ, ναύτας ἔχων ἐντελομίσθους οἴκοθεν Κρῆτας.

Ἐντελομίσθους, τέλειον μισθὸν λαμβάνοντας.

Ἐντέμνουσι, τοῖς ἥρωσιν ἐναγίζουσιν.

Ἐντενεῖ, ἐκτενεῖ.

Ἐντεομήστωρ, ὅπλων ἔμπειρος.

Ἔντερα, οἱονεὶ ἐνδότερά τινα ὄντα, ἀπὸ τοῦ δὲ αὐτῶν ῥεῖν τὰ ἀπὸ τῆς τροφῆς περιττώματα. ἢ παρὰ τὸ ἔνδον εἱλεῖσθαι.

Ἐντεριῶναι καρπῶν καὶ δένδρων λέγονται, τὰ ἐντὸς τοῦ στερεοῦ ὄντα, ἤγουν αἱ λεγόμεναι ψίχες.

Ἐντεριώνη, τὸ ἐντὸς, ἢ τὸ διθεὶς, ἢ ὁ φλοιὸς, ἢ εἶδος βοτάνης.

Ἐντερονείαι, τὰ ἐγκοιλία. τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα, ἐντερόνεια καλεῖται. ἄλλως. οἱ μὲν τὸ, τῶν νεῶν ἔδαφος. οἱ δὲ, τὰ ἐγκοίλια. βέλτιον δὲ τὴν τῶν ἐγκοίλων ξύλων λέγειν. ταῦτα δὲ Ἡρωδιανὸς ἐν τῇ καθόλου προπαροξύνει. καὶ ἡ ἐντερόνεια δὲ τούτῳ τῷ λόγῳ ὤφειλε συστέλλειν τὸ α, καὶ παροξύνειν.

Ἐντερόνην, Ἀριστοφάνης ἐν τοῖς ἱππεῦσιν ἔφη. ὅπερ ἐστὶ, τὸ μεσαίτατον τῆς νεώς. ὅ ἐστι συνεκτικώτατον, ἥτις ἐστὶ τρόπις. ὑπὸ δὲ ἄλλων μήτρα καλεῖται.

Ἐντερόνειοι, αἱ χορδαί.

Ἔντερον, ἕτερον, καὶ οὐχ ὅμοιον. ἢ παρὰ τὸ ἐντὸς ῥεῖν.

* Ἔντερον, οἷος διστραφεὶς, περίφρασίς ἐστι τοῦ χορδῆ.

Ἔντεσα, ἔσωθεν.

Ἐντεσιμήστωρ, ἔμπειρος ὅπλων. καὶ ἔντεσιν, ὅπλοις, σκεύεσιν.

Ἐντεσιεργοὺς, ἡμιόνους λέγουσι τοὺς ἑτοίμους εἰς ἔργον. ἢ ἐντεσιεργοὶ ἡμίονοι, οἱ ἔντεσιν ἐργαζόμενοι. τουτέστιν οἱ ἁμάξας ἕλκοντες, καὶ ἁπλῶς νωτοφόροι. ἔντεα γὰρ παρὰ Πινδάρῳ, τὰ ἅρματα. ἢ ἡμίονοι εἰς ἔργον ὡπλισμένοι καὶ αὐτοί. συνώνυμα εἶναι τὰ ὅπλα καὶ τὰ ἔντεα, συντελεῖ ἐνταῦθα καὶ τὸ ἀλλαχοῦ ῥηθὲν, ἔντυεν ἵππους, ἤγουν ηὐτρέπιζεν.

Ἐντεσ-

Digitized by Google

Ἐνεσπασμέναις, κεκοσμημέναις.

Ἐνεσίκτο, περιεσφίχθη.

Ἐνεσίκται. τὸ παῖσαι, ἐντῆναι φασίν.

Ἐνεστεωτλανωμένης, ἀντὶ τοῦ κατὰ πάτλων ἐψηθείσης, Ἀριστοφάνης.

Ἐνέστηκέ μοι μῖσος παλαιὸν, ἀντὶ τοῦ ἐμπέφυκε, καλὴ ἡ λέξις. κυρίως δὲ, ἐπὶ σιδήρου καὶ ἐπὶ φιλίας καὶ ἄλλων τινῶν. ἢ ἐνέστηκεν, ἐγκεκόλληται, πέπηγε. τούτοις ἀντ' ἀληθοῦς, ψευδὴς ἐνέστηκε δόξα.

Ἐνεστεριμμένη, ἀντὶ τοῦ σμιχθεῖσα, ἢ εἰδυῖα ὅπως ἐνεστριμμένη κανηφορῆς, τὰ κανίσκια ἔχουσα.

Ἐνεστυλίχθαι, τὸ ἐναντίον γυμνοῦσθαι, οὐκ ἐγκεκαλύφθαι, παρὰ τῷ Ἀριστοφάνει.

Ἐνεστύλικται, ἐμπέπλεκται, ἐνείλεκται.

Ἐντετύχηκας, τὸ θέμα αὐτοῦ ἄχρηστον. λέγεται δὲ ἀντ' αὐτοῦ τὸ ἐντυγχάνω, ὅπερ ἐστὶ ταυτὸν τῷ περιτυγχάνω. λέγεται δὲ ἐντυγχάνω, τὸ ἔντινι γίνομαι ἱσταμένῳ. μετὰ δὲ τῆς σὺν προθέσεως, συντυγχάνω, τὸ ἐρχόμενος συγχρόνῳ τινὶ ἐρχομένῳ. ἐπιτυγχάνω δὲ ἀγαθοῦ. ἀποτυγχάνω τὸ ἐναντίον τούτου. ὁ μέλλων ἐντεύξομαι, ἀπὸ ἑτέρου καὶ οὗτος θέματος. καὶ μετὰ τῆς σὺν οὐ λέγεται. ἀντ' αὐτοῦ δὲ λέγεται τὸ συγκύρσω. μετὰ τῆς ἐπὶ, ἐπιτεύξομαι. καὶ μετὰ τῆς ἀπὸ, ἀποτεύξομαι. ἀφ' οὗ ἀποτεύγματα, αἱ ἀποτυχίαι. ὁ δεύτερος ἀόριστος, ἐνέτυχον, καὶ συνέτυχον, καὶ ἐπέτυχον, καὶ ἀπέτυχον. ὁ παρακείμενος ἐντετύχηκα, καὶ συντετύχηκα, καὶ ἐπιτετύχηκα, καὶ ἀποτετύχηκα.

Ἐντετύχηκε. κανόνισον· τὸ θέμα αὐτοῦ ἐντυχέω, ἄχρηστον. ἀντ' αὐτοῦ ἐντυγχάνω, καὶ περιτυγχάνω, καὶ συντυγχάνω. ὁ μέλλων, ἐπιτεύξομαι, καὶ μετὰ τῆς ἀπὸ, ἀποτεύξομαι, ἀντὶ τοῦ ἀποτυγχάνω. ὅθεν καὶ ἀποτεύγματα, αἱ ἀποτυχίαι. ὁ παρακείμενος, ἐντετύχηκα, καὶ ἀποτετύχηκα. καὶ ὁ δεύτερος ἀόριστος, ἐνέτυχον, ἐπέτυχον, συνέτυχον, καὶ ἀπέτυχον.

Ἔντευε, παρεσκεύαζεν.

Ἐντεῦθεν, παρ' αὐτά. ἢ ἀντὶ τοῦ ἐκ τούτου.

Ἔντευξις, ἀπάντησις. κατὰ τῶν πλημμελησάντων δέησις εἰς ἐκδίκησιν. ἡ ἔντευξις, παράκλησις ὑπό τινος προσαγομένη Θεῷ, περὶ σωτηρίας ἑτέρων.

Ἐντευξόμενος, διαλεχθησόμενος.

Ἐντεύχεσι δῦναι εἶπεν Ὅμηρος, διὰ καινοτροπίαν φράσεως. ἀλλαχοῦ δὲ τεύχεα δῦναι, καὶ κατὰ τεύχεα δῦναι.

Ἐντεύχει, ἐντυγχάνει, ὥπλισται.

Ἐντέχνως, πάνυ αἰτιῶνται τοὔνομα. καὶ φασὶ τεχνικῶς δεῖ λέγειν, Φρύνιχος.

Ἐν τῇ ἀδολεσχίᾳ, ἐν τῇ λύπῃ.

Ἐν τῇ ἑτέρᾳ, ἐν τῇ ἀριστερᾷ.

Ἐν τῇ σαρκὶ, ἐν τοῖς πάθεσι τῆς σαρκός.

Ἐντήκειν λέγεται κυρίως, τὸ ἐμποιεῖν μνήμην ἀδιάλειπτον καὶ διηνεκῆ, καὶ ὅτι δή ποτε μόνιμον. εἴρηται δὲ μεταφορικῶς, ἀπὸ τῶν ἐν κηροῖς γινομένων.

Ἐντήκων, ἐμβαλὼν, ἐνιεὶς, καὶ αὐτοῦ τῷ στόματι ἐντήκων χρυσόν.

Ἐντήξας, ἐμβαλὼν, ἐμφυτεύσας, διδάξας. ὡς τὸ, ἐντήξας ταῖς αὐτῶν ψυχαῖς, ἰσχὺν λόγων ἄμαχον, καὶ σειρῆνα εὐγλωττίας ἐφελκοτάτην.

Ἐντὶ, ἀντὶ τοῦ εἰσὶ, καὶ ἐστὶ, Δωρικῶς.

Ἐντίθεσο, ψωμίζου.

Ἐντίθημι, τὸ ἐμποιῶ, καὶ τὸ ἔντινι εἶδός τι τίθημι. οἷον, ἐν τῷ κηρῷ τὸν τοῦ δακτυλίου τύπον, καὶ τὸ εἶδος ἐντίθημι.

Ἐντὶν, ἡμῖν.

Ἔν τινι ἐστὶ, τὸ κατὰ δύναμιν ἐνυπάρχον τινὶ, ἢ κατὰ μετουσίαν καὶ ἐνέργειαν. ἢ ἔν τινι ἐστὶ, τὸ κατὰ ἐνοίκησιν ὑπάρχον αὐτῷ.

Ἐντιτὸν, ἔνδικτον.

Ἐν τίσιν, ἐν ποίοις.

Ἕντο, γίνεται ἐκ τοῦ ἵημι, ὃ σημαίνει τὸ πέμπω. ὁ μέλλων, ἥσω. ὁ δεύτερος ἀόριστος ἦν, ὁ μέσος ἕμην, ἕσο, ἕτο. ἕμεθον, ἕμεθην, ἕμεθα, ἕσθε, ἕντο. Ὅμηρος, ἐξ ἔρον ἕντο.

πατέσιν, ἐξέβαλον τὸν τῆς τροφῆς ἔρωτα. ὅ ἐστιν, ἐκορέσθησαν.

Ἐν τοῖς κατωτάτω, κάτω, κατώτατος, ἡ δοτικὴ κατωτάτῳ, ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπίρρημα.

Ἐντολὴ, παραγγελία τὶς δεσποτική.

Ἔντομα, τὰ τοῖς κατοιχομένοις θυόμενα. ἐντέμνεται γὰρ τούτων ὁ τράχηλος. τὰ δὲ τοῖς οὐρανίοις θεοῖς, ἀνακλᾶται. ἢ ἔντομα, τὰ ἀνυχισθέντα τῶν προβάτων. τοιαῦτα δὲ ἔθυον τοῖς νεκροῖς ἄγονα, διὰ τὸ καὶ αὐτοὺς εἶναι ἀγόνους. καί μιν κυδαίνοντας ὑπὸ κνέφας ἔντομα μῆλα. καὶ ἥγνισαν ἔντομα μήλων.

Ἐντομίας, εὐνοῦχος. θλασίας δὲ, ὁ τεθλασμένος.

Ἐντομίδαι, οἱ τοῖς σώμασιν ἐντεμνόμενοι. τοιαῦτα εἰώθασι ποιεῖν ἐπὶ τοῖς νεκροῖς. ὅτι τοῖς νεκροῖς τὰ ἔντομα ἔθυον τῶν τετραπόδων, ὡς ἄγονα. τὰ δὲ ἔνορχα, τοῖς θεοῖς. ἔντομα δὲ, οἷον σφῆκες, μύρμηκες, μέλιτται. ἃ οὔτε ἀναπνεῖ, οὔτε πνεύμονα ἔχει.

Ἐντομὶς, ἡ ἐγχάραξις.

Ἔντομοι, ἔνορχοι.

Ἔντονον, τὸ τεταννυσμένον. ἐκ τοῦ ἐκτείνω, τὸ τανύω. καὶ ἐκτείνεσθαι, τὸ ἐξαπλοῦσθαι.

Ἔντονος, ἰσχυρά.

Ἐντοπίζῃ, ἐντρέπῃ, ἐπιστρέφῃ.

Ἐντὸς οἰκίας. ἔχει τὸ ἐναντίον, ἐκτὸς οἰκίας. ἢ ἐντὸς, οἱ λογισμοὶ, καὶ ἐνθυμήσεις, καὶ πάντα τὰ τῆς ψυχῆς κινήματα. Δαβὶδ, καὶ πάντα τὰ ἐντός μου. καὶ ἐντὸς, ἔσω, ἔνδον. καὶ ἐντὸς ἑβδόμης.

Ἐντόσαρκες, ἐντὸς τοῦ σώματος.

Ἐντόσθια, παρὰ τὸ ἐντὸς ἐπίρρημα, ὃ σημαίνει τὸ ἔσω, τὰ ἔσωθεν τοῦ σώματος κείμενα. οἱ δὲ λέγουσιν, ἐνδόσθια.

Ἐντοσθίδια, τὰ σπλάγχνα.

Ἐντοσούτῳ δὲ, ἕως ἂν, μέχρις ἄν.

Ἐν τούτῳ, ἀντὶ τοῦ τότε. Θουκυδίδης, Καὶ ἐν τούτῳ οἱ Κορίνθιοι, τῆς Ποτιδαίας ἀφεστηκότες.

Ἔντραγε, παρὰ τῷ Ἀριστοφάνει, οὕτω τὸ ἀκρατίζειν. καὶ Μένανδρος, ἀλλ' ἐῶν ἐντραγεῖν.

Ἐντραγεῖ, ἐντρυφᾷ.

Ἐντραγεῖν, ψωμίσαι, ψωμίσασθαι.

Ἐντραγήτονον, ἰσχυρόν.

Ἐντραγούμενοι, μαχόμενοι.

Ἐντραγὼν, φαγών.

Ἐντραπεζίτιδος, παρασίτου.

Ἐντρέπεσθαι, λέγει Ὅμηρος, τὸ ἐπιστρέφεσθαι. τοῦτο καὶ ὀπίζεσθαι λέγεται. ἀφ' οὗ καὶ ὄπις, ἡ ἐπιστροφή. ἐκ δὲ τούτου, παράγεται τὸ ἐντροπαλίζεσθαι ἐν Ἰλιάδι, ἤτοι ἐν τῷ φεύγειν ἐπὶ τὰ ὀπίσω στρέφεσθαι. δύναται δὲ καὶ ἄλλως νοεῖσθαι τὸ ἐντρέπεσθαι, ἀντὶ τοῦ μετατρέπεσθαι, μεταβάλλεσθαι. τὸ δὲ ἐντρέπεσθαι, ἤγε ἐπιστρέφεσθαι, ἀλλαχοῦ μετατρέπεσθαι λέγεται. οἷον οὔτι μετατρέπῃ, οὐδ' ἀλεγίζεις.

Ἐντρέπῃ, ἐπιστρέφῃ.

Ἐντρέπομαι, ἐρυθριῶ, αἰσχύνομαι, αἰδοῦμαι, δυσωπῶ, δυσωποῦμαι, ἐγκαλύπτομαι, ταυτοσήμαντα.

Ἐντρέπομαι, τὸ φροντίζω, γενικῇ συντάσσεται. ὡς τὸ, ὧν ἐντρέπου σὺ μηδέν.

Ἐντρεπομένους, ἐγκλίνοντας.

Ἐντρεπτικῶς, ἐλεγκτικῶς.

Ἐντρέχειν, ἐναρμόζειν.

Ἐντρέχεια, τὸ μετὰ δρόμου καὶ θερμῶς ἐπιπηδᾶν τῷ πράγματι.

Ἐντρεχὴς, γοργὸς, ὀξὺς, σπουδαῖος.

Ἐντρέψασθαι, τὸ εἴσω τρέψαι τὸ ἱμάτιον.

Ἐντριβὴς, ἔμπειρος, τετριμμένος. συνήθης ἄνθρωπος, ἐντριβὴς τῆς χώρας.

Ἐντριβάσαι, ἐναντίαν τύψαι.

Ἐν τριόδοισιν, ἐπὶ τῶν ἀδήλων πραγμάτων ἔλεγον. ἐπειδὴ ὁ ἐν τριόδῳ γενόμενος, οὐκ οἶδε ποίᾳ χρήσηται ὁδῷ.

Ἔντριτον, τὸ Διονυσίου ἔμβρωμα. ὃ γαλάται, ἐκβρεκτὸν φασιν.

Ἔντριχον, ἀσθενές.

Ἐντριχώσεις, αἱ βλεφαρίδες τῶν ὀφθαλμῶν.

Ἐντροπαλιζομένην λέγει ὁ ποιητὴς, τὴν ὧδε καὶ ἐκεῖ τὰς ὄψεις ἐκτρέπουσαν, πρὸς τὰς τῆς χειρὸς καταφοράς. ἡ ἐντροπαλιζομένη, ἤτοι συχνὰ ἐπιστρεφομένη. καὶ ἐντροπαλιζομένη, ὑποστρεφομένη.

Ἐντροπή ἐστι, λύπη κατὰ νοῦν ἐξ ἀποτυχίας τινὸς καταθυμίου συνισταμένη. ἢ ἡ ἐξ ἐλέγχου καὶ ἐπιτιμήσεως γενομένη αἰδώς.

Ἐντροπίας, ἀμετάβολος. καὶ ἐντροπίας οἶνος, ὁ ὀξίνης.

Ἐντροπίδες, ὑποδήματα.

Ἐντροπῶσαι, ἐνδῦσαι.

Ἔντροφος, ἡ ἐντεθραμμένη. ἤπου παλαιᾷ μὲν ἔντροφος ἡμέρᾳ, λευκῷ τε γήρᾳ μάτηρ νιν, ἀντὶ τοῦ ὄντως που ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τουτέστι τῷ παλαιῷ χρόνῳ ἔντροφος μήτηρ.

Ἐντρυφάνιον, ὁ δεύτερος οἶνος.

Ἐντρυφᾷ τὶς τῷδε τῷ πράγματι, ἤγουν διατρίβων ἐν ἐκείνῳ τρυφᾷ. καὶ ἐν τῷ ἐμφαγόντες, ἡ ἐν πρόθεσις διατριβὴν δηλοῖ ἐν τῷ πράγματι.

Ἐντυγχάνει, προσέρχεται. καὶ συντυγχάνειν ταυτόν ἐστιν, ἐντυγχάνειν ἥρωσιν.

Ἔντυε, κατασκεύασε. καὶ ἔντυεν ἵππους, ὅ ἐστιν εὐτρέπιζεν, ὥπλιζεν.

Ἐντύνει, κελεύει, ἑτοιμάζει, σπεύδει.

Ἔντυνον, ταυτὸν τῷ ὥπλισον. ἐπεὶ καὶ ἔντεα δαιτὸς, τὰ εἰς αὐτὴν σκεύη. κατὰ τὸ, οἱ δ' ἐπεκόσμεον ἔντεα δαιτός. γίνεται δὲ ἀπὸ τοῦ ἐντύω, ὁμοίως τῷ δύω, θύω, καὶ τοῖς ὁμοίοις.

Ἐντύνω, τὸ εὐτρεπίζω.

Ἔντυος, κόσμος.

Ἐντυπὰς, ἀντὶ τοῦ ἐντυπωδῶς, καὶ οἷον ἐντετυπωμένος τῷ ἱματίῳ, ὥστε δι' αὐτοῦ σώματος μόνον τύπον φαίνεσθαι, καὶ διὰ τοῦ σκέποντος ὁρᾶσθαι τὸν τοῦ σκεπομένου τύπον. ἕτεροι οὕτω συντόμως φράζουσιν, ἐντυπὰς ἐν χρῷ, ἐντετυπωμένος ἐν ἱματίῳ, ὥστε δι' αὐτοῦ βλέπειν. ἔστι δὲ κατὰ τοὺς παλαιοὺς ἐπίρρημα μεσότητος, τὸ ἐντυπὰς, τῷ τόνῳ ὅμοιον τῷ ἑκὰς, καὶ ἀνδρακάς. Ἄλλως.

Ἐντυπὰς, ἐνλεχέεσσιν, ἄγαν περιεσφιγμένος. ὡς πάντα τὰ μέλη ἐκτυποῦσθαι ἐκ τῆς σφίγξεως. Ὅμηρος, ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος. ἐντυπὰς δὲ λέγεται, καὶ ὁ περιβεβλημένος κατὰ τῆς ὄψεως, οὕτως ὡς καὶ τὸν τύπον διὰ τοῦ ἱματίου θεωρεῖσθαι.

Ἐντυπούμενον, ἐγγραφόμενον.

Ἐντυχαλὸς, ἐντευκτική.

Ἐντυψίω, ἐντινάξω.

Ἐν τῷ ἐκλείπειν, ἐν τῷ ἀποθνήσκειν.

Ἐν τῷ ὑπερηφανεύεσθαι, ἐν τῷ ἐπαίρεσθαι.

Ἐν τῷ ἐπικαλεῖσθαι, ἐν τῷ δέεσθαι.

Ἐν τῷ ἴσῳ, ἐν τῷ αὐτῷ, ὁμοῦ.

Ἐν τῷ ῥά σφι, ἐν τούτῳ δὲ αὐτοῖς.

Ἐνυαίνειν, τρυφᾶν.

Ἐνυάλιος, πολεμικὸς, μαχητής. Ἐννυὼ γὰρ δαίμων τὶς, προστάτης τοῦ πολέμου. καὶ ἐνυάλιος ὁ Ἄρης, ἢ ὁ τούτου υἱός.

Ἐνυβρίζων, ἐκπλήττων.

Ἐνυγροθηρευτὴς, ἁλιεύς.

Ἔνυγρον, τὸ μετὰ τὴν κοιλίαν ἔντερον τῶν βρωμάτων δοχεῖον.

Ἐνυδροβίων, βιούντων ἐν ὕδατι. ὡς τὸ, πολιὸν, χηνῶν ζεῦγος ἐνυδροβίων.

Ἔνυδρος, ζῶον ποτάμιον, ἀμφίβιον, ὅμοιον κάστορι.

Ἐνυδρώθη, ὑδρωπικὸς ἐγένετο.

Ἐνύει, ἔνδον, Λάκωνες.

Ἐνυκτὸ, ἡ βουλή. διὰ τὸ τὴν νύκτα κατὰ σχολὴν διδόναι λογισμοὺς, τοῖς περὶ τῶν ἀναγκαίων βουλευομένοις.

Ἐνύλαις ὑλικαῖς.

Ἐνύλιος, κατὰ μὲν τοὺς πλείους ὁ πολεμικὸς, ἀπὸ τῆς Ἐννυοῦς. τινὲς δὲ ὥσπερ τὴν Παλλάδα διὰ τὸν φόνον τοῦ Πάλλαντος, οὕτω καὶ τὸν ἐνυάλιον διότι τοιοῦτον κεκλῆσθαί φασιν. Ἀῤῥιανὸς γοῦν ἱστορεῖ, ὅτι ἐλθὼν Ἄρης εἰς τὰ τῆς Θράκης χωρία, ὅπου τὰ οἰκία ἦν τῷ Ἐνυαλύῳ, ἤθελε ξενισθῆναι, ὁ δὲ οὐκ ἤθελε δέξασθαι. φάμενος οὐκ ἂν ξενίσαι ἄλλον, ἢ ὡς κρείσσων αὐτοῦ τὰ πολεμικὰ ἔλθοι. καὶ ὃς ὥρασοι ξενίζειν ἐμὲ, καθότι κρείσσων σου φημὶ τὰ πολεμικὰ εἶναι. τὸ δὲ

ἐνια-

Ἐνυαλίου ἀποφάσκοντος, ἔρχεται εἰς χεῖρας. καὶ ἐπὶ πολὺ τῆς μάχης ἐκταθείσης, τέλος ὁ ἐνυάλιος πίπτει, ὑπὸ τοῦ ἄρει πληγεὶς ὅπλῳ τῇ ῥομφαίᾳ. διὸ καθότι μέγα τοῦτο ἆθλον ὁ Ἄρης νέος ὢν ἐξετέλεσεν, ἐκαλεῖτο ἐπ' αὐτοῦ Ἐνυάλιος.

Ἐνυλισμένον, κεκαθαρμένον.

Ἔνυξεν, ἔπληξεν.

Ἔνυον, ἔφορον.

Ἐνύπνιον ἦλθεν ὄνειρος. τὸ ἐνύπνιον ἐνίοτε μὲν ἐπιρρηματικῶς λέγεται, καὶ λαμβάνεται ἀντὶ τοῦ κατὰ τοὺς ὕπνους. ἐνίοτε δὲ ὄνομά ἐστι, καὶ δηλοῖ τὴν ὄψιν τὴν ἐν τοῖς ὕπνοις φαινομένην, ἤτοι τὸν ὄνειρον.

Ἐνύπνιον, ἐφ' ὅσον τις ὑπνοῖ. ὄνειρον δὲ, παυομένων τῶν ὕπνων, παρὰ τὸ ἐγείρειν καὶ ὀρίνειν τὴν ψυχήν. ἢ παρὰ τὸ εἴρειν, ὅ ἐστι λέγειν.

Ἐνυπόστατον, τὸ ἐν ἀληθείᾳ ὂν, καὶ ἐν ὑπάρξει ὁρώμενον. ἐνυπόστατον, καὶ τὸ κατὰ τὴν οὐσίαν κενὸν, ἤγουν τὸ εἶδος τὸ ἐν τοῖς ὑπ' αὐτὸ ἀτόμοις πραγματικῶς ὑφιστάμενον, καὶ οὐκ ἐπινοίᾳ ψιλῇ θεωρούμενον. ἐνυπόστατον καὶ τὸ σὺν ἄλλῳ διαφόρῳ κατὰ τὴν οὐσίαν εἰς ἑνὸς σύστασιν προσώπου καὶ μιᾶς γένεσιν ὑποστάσεως συγκείμενόν τε, καὶ συνυφιστάμενον, καὶ οὐδαμῶς καθ' αὐτὸ γνωριζόμενον. ἐνυπόστατόν ἐστι, τὸ ὁπωσοῦν ὑπάρχον. ἐνυποστάτου ἴδιόν ἐστιν, ἢ τὸ μετ' ἄλλου διαφόρου κατὰ τὴν οὐσίαν ἐν ὑποστάσει γνωρίζεται καθ' ἕνωσιν ἄλυτον, ἢ τὸ ἐν ἀτόμοις φυσικῶς τυγχάνον καθ' ὕπαρξιν ἐνυποστάτως. οὐχὶ τὸ μὴ ὂν, ἀλλὰ τὸ μὴ γενόμενον, ἤτοι τὸ μὴ ὂν οὐσία, ἀλλὰ περὶ οὐσίαν τὸ συμβεβηκὸς, καὶ οὐ κατ' οὐσίαν θεωρούμενον, ὡς τὸ σκότος.

Ἔνυρεν, ἔβρισεν.

Ἐνυρήσεις, θρηνήσεις.

Ἔνυστρον, τὸ κατὰ τὴν κοιλίαν ἔντερον, τὸ τῶν βρωμάτων δοχεῖον.

Ἐν ὑφέσει, ἐν ἐλαττώσει.

Ἐνυώ, δαιμόνιόν τι πλάττεται μάχιμον, ἀπὸ τοῦ ἐνῶ ἐνύω, τὸ φονεύω. ἢ ἀπὸ τοῦ ἐναύειν, τὸ φωνεῖν. ἀφ' οὗ καὶ αὐτὸ ὁ πόλεμος λέγεται, καὶ ὁ ἐνυάλιος παράγεται.

Ἐνυώ, ἄμηνόν φασι ψιλοῦν, διότι οὐκ ἔστι κύριον, ἀλλὰ τὴν πολεμικὴν θεὰν δηλοῖ, ἀφ' ἧς καὶ ἐνυάλιος. ἢ καὶ διότι ἀπὸ τοῦ ἐναύειν γίνεται κατὰ Ἀπολλόδωρον, ὅ ἐστιν ἐμφωνεῖν. ἢ ὡς ὁ Ἡρακλέων φησὶν, ἀπὸ τοῦ ἐνῶ, τὸ φονεύω. ὅθεν καὶ αὐτοέντης, ὁ αὐτοφόντης.

Ἐνυώ, ἐπίθετον Ἥρας, παρὰ τὸ ἀνύειν καὶ φονεύειν, ὡς πολεμικὴν, ἀνύω καὶ ἐνύω. καὶ μυθικῶς μὲν οὕτως. ἀλληγορικῶς δὲ, ἡ πάντα ἀνύουσα καὶ τρέφουσα καὶ πληθύουσα. ἡ αὐτὴ γάρ ἐστι τῷ συμμιγεῖ καὶ ἀκράτῳ ἀέρι.

Ἐν φερέτρῳ, ἐν φορείῳ, ἐν κλίνῃ νεκρῶν.

Ἐν φιλότητι, εἰς συνουσίαν.

Ἐν φρεατοῖ, δικαστήριον τῶν ἀκουσίων φόνων ἐν Ἀθήναις. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ἀκριβῶς διέρχεται περὶ αὐτοῦ. ὠνομάσθαι δὲ τὸ δικαστήριον ἔοικεν, ἀπό τινος Φρεάτου ἥρωος, ὡς Θεόφραστος ἐν ἕκτῳ καὶ δεκάτῳ νόμων μαρτυρεῖ.

Ἐν φρεσὶν, ἐν τῇ διανοίᾳ. καὶ ἕνα φρεσὶ θυμὸν ἔχοντες, ὁμονοοῦντες.

Ἐνυώ, μάχη, ἡ θεὸς πολεμική. παρὰ τὸ ἐνιαύειν, ὅ ἐστιν ἐμφωνεῖν. ἢ παρὰ τὸ ἴω, ἀπὸ τοῦ ἐνιέναι τοῖς πολεμουμένοις τὴν μάχην. ὅθεν καὶ ὑσμίνη. Ὅμηρος, οὔτε πτολίπορθος ἐνυώ.

Ἐν χείλεσι φύοντο. κοινότερον δὲ εἰπεῖν ἐνεφύοντο χείλεσιν.

Ἐν χορείᾳ, ἐν χορῷ.

Ἐγχιμφθεῖσαν, ἐμπελασθεῖσαν.

Ἐν χρῷ, εἰς χρῶτα. πάνυ ἐγγὺς, ὡς καὶ ἐφάπτεσθαι τοῦ χρωτός. παρὰ δὲ Καλλιμάχῳ, ἐν χρῷ κεκαρμένος, σύνεγγυς, καὶ πλησίον τοῦ δέρματος τὰς τρίχας ἐξυρημένος. καὶ ἐν χρῷ παραπλέων, ἀντὶ τοῦ πλησίον, οὕτω Θουκυδίδης. λέγεται δὲ, οὐκ ἐπὶ μόνης κουρᾶς, ἀλλὰ καὶ ἐπὶ ἄλλων πραγμάτων. οἷον, ἐν χρῷ κινδύνου ὄντες.

Ἐν ᾧ, ἐν ᾧ τινι, ἢ ὅταν.

Ἐνωδὰς, ἐν ᾧ ὁ ἴουλος ἐπιγίνεται.

Ἐνώδια σὺν τῷ ῑ, τὰ ἐνώτια. ἴσως παρὰ τὸ ἐνοιδεῖν τὰ περὶ τὸν τόπον διαθρύπτηται ὄντα. οὕτως Ὠρίων ὁ Μιλήσιος.

Ἐνωθεὶς, ἓν καὶ τὸ αὐτὸ γενόμενος.

Ἐνώμα, ἐκίνει, ἐκούφιζεν, ἔστρεφεν.

Ἐν ὤμοις μάντεις, ὅταν ἀπ' αὐτῶν τῶν σφαγίων μαντεύωνται, οἷον ἡπατοσκοπούμενοι. ἐν ὤμοις λέγονται μαντεύεσθαι, καὶ ἐνωμοτεῖν.

Ἐνωμόρξατο, ἀπεμάξατο, ἀπεψήσατο.

Ἐνωμοτάρχης, τάξεώς τινος στρατιωτικῆς ἄρχων, παρὰ Λακεδαιμονίοις.

Ἐνωμοτία, τὸ ἥμισυ τοῦ λόχου. τὸ αὐτὸ δὲ καὶ δεκανία. οἱ δὲ, τὸ τέταρτον τοῦ λόχου. καὶ ἐνωμοτάρχης, ὁ αὐτῆς ἄρχων. ἔστι δὲ καὶ ἐνωμοτία, ἡ ἀντιπαρσία.

Ἐνωμοτὶς, τάξις τις στρατιωτικὴ, παρὰ Λακεδαιμονίοις.

Ἐνώμοτος, τοῖς ὅρκοις ἔνοχος, βέβαιος.

Ἐν ὠμῷ γήρᾳ, ἐν χαλεπῷ γήρᾳ. ὠμὸς γὰρ, ὁ χαλεπός.

Ἐνώμων, ἤγουν παρεῖχον. Ὅμηρος, σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμων. δηλοῖ δέ ποτε ἡ λέξις καὶ κίνησιν.

Ἐνὼν, ἐνυπάρχων.

Ἐνωπαδὶς, κατ' ὄψιν, ἐξ ἐναντίας, καὶ φανερῶς.

* Ἐνωπιδίως, ἢ ἐνωπαδίως Ὀδυσσ. ψ, ἀντὶ τοῦ κατ' ὄψιν.

Ἐνωπάλιζεν, ἐνέτεινεν, ἐνεδίδου.

Ἐνωπὴ, ἡ πρόσοψις.

Ἐνωπὴν λέγει ὁ ποιητὴς, τὴν ὄψιν, καὶ τὴν ἐν φανερῷ θέαν, ὅθεν καὶ τὸ ἐνώπιος. ἀνάλογος δὲ ἡ ἐνωπὴ αὕτη, τῇ περιωπῇ. ἡ δὲ ἀναλογία τῆς ἐνωπῆς ταύτης, κατὰ τὴν μάχιμον ἐνωπήν. ὡς γὰρ τοῦτο ἐκ τῆς ὀπὸς, ἐκεῖνο ἐκ τοῦ ὠπός.

Ἐνώπηται, τεταπείνωται.

Ἐνώπια, ἀνθέα, τὰ ἔμπροσθεν. ἢ ἐνώπια λέγει Ὅμηρος, τοὺς ἑκατέρωθεν τῆς εἰσόδου τοίχους, ἵν' ἢ δούρατα παμφανόωντα δηλονότι. καὶ ἐν τῇ θ'. οὕτως, ἅρματα δ' ἔκλινε πρὸς ἐνώπια παμφανόωντα. πολλοὶ δὲ τοὺς παρόδους τῆς οἰκίας λέγουσι τοίχους, τουτέστι τοὺς ἀντικρὺ τῆς εἰσόδου. οἳ ἐν ὀφθαλμοῖς εἰσὶ τῶν παροδευόντων ἔξωθεν. διὸ καὶ παμφανόωντα τὰ τοιαῦτα.

Ἐνωπίδες, αἱ θεράπαιναι, παρὰ τὸ ἕπεσθαι.

Ἐνωπιδίως, ἀντὶ τοῦ κατ' ὄψιν. γράφεται καὶ ἐνωπαδίως, καὶ γίνεται ἐκ τοῦ ἐνῶπα. ἐξ οὗ καὶ κατενῶπα, καὶ εἰς ὦπα ἰδέσθαι λέγεται.

Ἐνώπιον, ἐπίρρημα τοπικόν. παρὰ τὸ ὢψ ὠπὸς, ὤπιον, καὶ ἐνώπιον. σημαίνει δὲ τὸ ἐναντίον, ἢ ἐνόφθαλμοις, ἐν τῇ προσόψει.

Ἐνώπιος, ἔμπροσθεν.

Ἐνωπῶς, ἐμφανῶς.

Ἐν ὥρᾳ, ἔχει τὸ ῑ. λέγεται δὲ ἐπὶ δοτικῆς μόνης, ἀντὶ τοῦ θᾶττον. Ἀριστοφάνης ἐν εἰρήνῃ.

Ἐνωρμίσθη, προσωρμίσθη.

Ἔνωρος, ἔνωμος, ζῶν.

Ἐνῶρσεν, διήγειρεν.

Ἐνῶρτο. ἔστιν ὄρω, ὁ μέλλων ὄρσω, αἰολικῶς. ὁ παθητικὸς ὄρομαι, ὁ παρατατικὸς ὠρόμην ὤρου ὤρετο, καὶ συγκοπῇ ὦρτο, καὶ ἐνῶρτο, ἀντὶ τοῦ ἠγείρετο. ὦρτο μὲν μέγα κῦμα.

Ἐνώσατο, διενοήθη.

Ἕνωσις, διεστώτων πραγμάτων κοινὴ συνδρομή. ἕνωσις δὲ εἴρηται, διὰ τὸ εἰς ἓν ὦσαι, τουτέστι συνωθῆσαι τὰ πράγματα. πενταχῶς δὲ εἴρηται ἡ ἕνωσις. συγχυτικῶς, ὡς ἡ τοῦ οἴνου καὶ τοῦ ὕδατος. διαιρετικῶς, ὡς ἡ ἀνθρώπου πρὸς ἄνθρωπον. σχετικῶς, ὡς τὰ ἔθνη ἐν πίστει. θετικῶς, ὡς χρυσὸς πρὸς χρυσόν. ἡ δὲ τοῦ Χριστοῦ ἕνωσις, ὑπὲρ πάσας ταύτας καθ' ὑπόστασιν εἴρηται. καθ' ὑπόστασιν δὲ ἕνωσίς ἐστιν, ἡ αὐθύπαρκτος ἐν τῇ μήτρᾳ τῆς ἁγίας Θεοτόκου, τῶν δύο φύσεων συνδρομή. οὔτε γὰρ τὸ σῶμα πρὸ τοῦ θεοῦ Λόγου ὑπέστη ἐκεῖ, οὔτε ἡ ψυχή. ἀλλ' ἅμα σάρξ, ἅμα Θεὸς Λόγος. ἅμα σὰρξ ἔμψυχος λογικὴ, ἐν ταυτῷ ὑπέστη. ὡς καὶ ἡ ἡμετέρα σύλληψις, αὐθυπάρκτως συντρέχει, ἡ ψυχὴ καὶ τὸ σῶμα, οὔτε γὰρ σῶμα καθ' ἑαυτὸ συνίσταται, οὔτε ἡ ψυχὴ προϋπάρχει τοῦ σώματος, προτύπωσις οὖσα τῆς ἑνώσεως τοῦ Χριστοῦ. ἕνωσις προσωπικὴ, ὅταν τις τὸ ἑτέρου ὑποδυόμενος πρόσωπον, ἀντ' αὐτοῦ τοὺς ὑπὲρ αὐτοῦ ποιεῖται λόγους. ἕνωσις ἐπὶ τῶν ὑποστάσεων, τουτέστι τῶν ἀτόμων, ἡ καθ' ὑπόστασιν. ἕνωσις ἐπὶ τῶν οὐσιῶν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος, ἡ κατὰ σχέσιν. ἕνωσις ὡς ἐπὶ τῶν γνωμῶν, ὡς εἰς ἓν θέλημα ἡ κατὰ παράθεσιν. ἕνωσις ὡς ἐπὶ τῶν σανίδων, ἡ κατὰ ἁρμονίαν. ἕνωσις ὡς ἐπὶ τῶν λίθων, ἡ κατὰ κρᾶσιν. ἕνωσις ὡς ἐπὶ τῶν ὑγρῶν, ἡ κατὰ φύρσιν. ἕνωσις ὡς ἐπὶ τῶν ὑγρῶν, καὶ τῶν ξηρῶν, τουτέστιν ὕδατος καὶ ἀλεύρου, ἡ κατὰ σύγχυσιν. ἕνωσις ὡς ἐπὶ τῶν τηκτῶν κηροῦ καὶ πίσσης, καὶ τῶν τοιούτων, ἡ κατὰ συναλοιφήν. ἕνωσις ἐπὶ τῶν ἀποσπωμένων, καὶ αὖθις ἀποκαθισταμένων, οἷον λαμπάδος ἐκ πυρὸς προερχομένης, καὶ πάλιν ἀποκαθισταμένης.

Ἐνώταις, ἐνωτίοις. τῇ προσῳδίᾳ, ὡς φιλόταις. Σοφοκλῆς αἰχμαλωτίσιν.

Ἐνωτία, ἀμέλεια. καὶ ἐνώτια κόσμος, περὶ τὰ ὦτα. Ὁ δὲ ἐνωτίοις ἐκ μαργάρων κεκοσμημένοις, δωρεῖται αὐτόν.

Ἐνωτίζου, ἐν τοῖς ὠτίοις δέχου.

Ἐνώτιον, σχολαρίκιον. ἐνώτιον, ἐν ῥινὶ ὑός.

Ἐνώτισαι, ἀντὶ τοῦ ἄκουσον. καὶ ἐνωτίζω, ἀκούω.

Ἐνώτισεν, τὰ νῶτα περιεσκέπασεν.

Ἐνωχλήθην, ἠρρώστησα.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Ξ.

Ἐξ, ἡ ἐξ πρόθεσις, ἀεὶ γενικῇ συντάσσεται. οἷον, ἐξ Ἀττικῆς, ἐκ Μεγάρων, ἐξ ἀγαθοῦ πατρὸς, καὶ ἀγαθῆς μητρὸς γέγονεν. δηλοῖ δὲ κίνησιν ἐκ τόπου, οἷον ἐκ τῆς πόλεως ἔρχεται. ἐν δὲ τῇ συνθέσει, κίνησιν ἐκτὸς, οἷον ἐξέρχεται, ἐκπέμπει. ἔστιν ὅτε καὶ ἀντὶ τοῦ ἔξω τίθεται. ὡς τὸ, ἐξ ἀνθρώπων ἐγένετο. εἴληπται καὶ ἀντὶ τῆς μετὰ προθέσεως ἐνίοτε. οἷον, ποιμένα ἐκ βοτάνης, ἤτοι μετὰ τὴν βοτάνην. καὶ ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποὶ, ἤτοι μετὰ τὰς νύκτας.

Ἕξ, ὁ ἀριθμὸς, διὰ τὸ ἔξωθεν εἶναι τῶν πέντε.

Ἐξαγαγόντες παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐξελθόντες, ἐκπορευθέντες. οὐ τὸ ἀνάπαλιν ἐν τῷ, λαοδίκην εἰσαγαγοῦσα. ἤγουν, εἰσπορευομένη, εἰσιοῦσα.

Ἐξάγαστον, ἄξιον θαύματος.

Ἐξαγγέλλειν, ἐξαγγέλλεσθαί φησι Σοφοκλῆς. οἷον, ὧν οὐδ' ἐξαγγέλλεται. οὕτω καὶ τὸ σώζειν, σώζεσθαι, οἷον ἐσώζετο τὴν ἀλάβειαν, ἤγουν ἀλαβεῖτο. οὕτω καὶ Εὐριπίδης τὸ ἔγημε παθητικῶς ἔφη, ἐν τῷ, ἣν ἐγήματο. καὶ ταῦτα τῆς παρατηρήσεως τῆς παλαιᾶς διαφορὰν ἀμφοῖν παραδιδούσης, ὡς δηλοῖ καὶ ὁ φράσας οὐκ ἔγημεν, ἀλλ' ἐγήματο. τοιοῦτον καὶ τὸ βεβουλευκὼς ἔχει παρὰ Σοφοκλεῖ, παρ' ᾧ κεῖται καὶ βεβούλευνται ποιεῖν παρ' αὐτῷ. καὶ ὁ ὁρῶν ὁρώμενος, Ὁμηρικῷ ζήλῳ, καὶ ἄλλα πολλά.

Ἐξάγγελος, ἄγγελος, ὁ τὰ ἔσω γεγονότα τοῖς ἔξω ἀγγέλλων.

Ἐξαγγέλλω κυρίως, τὸ σαφές τι μηνύω, δοτικῇ συντάσσεται. καὶ ἐξαγγελία, ἡ διὰ σαφῶν λέξεων ἑρμηνεία.

Ἐξάγειν, παροξύνειν.

Ἔξαγε κούρην, ἐξήγαγε τὴν κόρην.

Ἐξαγίτω, καλαμίνθη.

Ἐξάγιστα, πάντα τὰ ἱερὰ, καὶ ἀφωσιωμένα, ἃ οὐχ οἷόν τε ἐκκομίζεσθαι τῶν ἱερῶν. ἔνιοι δὲ, ἁγνὰ ἀπέδοσαν.

Ἐξάγιστος, ἀκάθαρτος, ἢ πονηρὸς, μυσαρός. καὶ ἐξάγιστος, ἀντὶ τοῦ λίαν ἐναγὴς, καὶ ἔμπλεως ἄγους. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ἐπί τινος λιμένος εἴρηκε τοὔνομα.

Ἐξαγκωνιῶ, τοὺς ἀγκῶνας ὑπὸ ταῖς πλευραῖς ποιήσω, Ἀριστοφάνης.

Ἐξαγορᾶς εἶ, Ἀριστοφάνης ἀντὶ τοῦ ἀγοραῖος, καὶ θρασύς.

Ἐξαγορεύοι, φανεροῖ.

Ἐξαγόρευσις, ἡ ἐξομολόγησις.

Ἐξαγορεύω, αἰτιατικῇ συντάσσεται. οἷον

ἐκεῖ-

Digitized by Google

ἐκεῖνος τὰ ἀπόρρητα ἐξαγορεύῃ.

Ἐξαγρεῖν, ἐξάγειν, ἐξαίρειν.

Ἐξάγω, οὐ τὸ ἐναντίον εἰσάγω. ἐξάγει, τὸ ἐκβάλλει, οἷον ἐξάγει τῆς πόλεως τὸν στρατόν. γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. ἢ ἐξάγω χωλὸν τραγίσκιον, παιδιᾶς εἶδος παρὰ Ταραντίνοις.

Ἐξαγώνιος, ἔξω τοῦ ἀγῶνος.

Ἐξάδιος, ὄνομα κύριον· ὁ ἐξοχὴν ἔχων ἐν τῷ διώκειν. τὸ ε πρὸ τοῦ ξ δασύνεται, τὸ ἐξάδιος ψιλοῦται. ἐπεὶ διφορεῖται τὸ ὄνομα, λέξάδιος καὶ ἐξάδιος, ὡς ὁ βεμάρσιος.

Ἐξ ἀελπτούς, ἐξ ἀνελπίστου.

Ἐξαετὴς ἵππος, ἑξέτης δέ. δεκαετὴς δέ, δεκέτης. ἀφαιρουμένου γὰρ τοῦ α, ἀναβιβάζει τὸν τόνον. τοιοῦτον ὁμοίως καὶ ὅταν συναιρῆται τριακονταετὴς, τριακοντούτης. τὸ δὲ διετὴς, καὶ τριετὴς, οὐκ ἔχει τὸ α, ὥστε ἀποβαλεῖν αὐτό. ἀναβιβάζει μὲν τὸν τόνον, ὅταν μὴ ἐπὶ ζώου, ἢ πράγματος, ἀλλ' ἐπὶ χρόνου λέγηται. οἷον, διέτης χρόνος, καὶ τριέτης.

Ἐξαιρημένον, ἐξηρημένον.

Ἐξ ἀήταο, ἐξ ἀνέμου.

Ἐξ ἀθόω, ἐξ ἀθόω δὲ ἐπὶ πόντον ἐβήσετο. ἐκ δὲ τοῦ ἄθω, ὅ ἐστιν ὄρος ὑψηλὸν τῆς Θρᾴκης, ἐπὶ τὴν θάλασσαν ἐβήσατο, Ἰλιάδος ξ. πλανώμενοί τινες ἀναγινώσκουσιν ἐξ ἄθοω, οὐ γὰρ δύναται τρέπειν ἀπὸ τοῦ ω πίπτειν ἡ ὀξεῖα. οὐ γὰρ ἔχει πρὸ τοῦ ω τὸ ε, ὡς τὸ πόλεων, ἀμφίβολον. εἰ γὰρ παρὰ τὸ ἄθως ἄθω ἐστί, πλεονασμῷ τοῦ ο. εἰ δὲ εἴρηται ἀθόος ἀθόου ἀθόω, οὐκέτι πλεονάζει, Ἡρωδιανὸς περὶ παθῶν.

Ἐξαιθριασθέντες, λαμπρυνθέντες.

Ἐξαίνυτο, ἔχει θέμα αἴνυμι. ὅπερ ἁπλῶς μὲν ληφθὲν, ἀντὶ τοῦ ἀφαιρῶ, λέγεται γίνεσθαι ἀπὸ τοῦ αἴρω αἴρνω, αἰρνύω, αἴρνυμι· ἐξ οὗ τὸ τυρῶν αἰνύμενοι, ἐν Ὀδυσσείᾳ. εἰ δὲ φονία λέξις ἐστί, πρόκειταί φασιν αὐτοῦ τὸ κτῶ κταίνω. ἀφ' οὗ ἀποβολῇ τοῦ τ, καίνω. ἐξ αὐτοῦ δὲ ὁμοίως αἴνω. ὅθεν καὶ αἰνύω, αἴνυμι. καὶ θυμὸν αἰνύμενος. αἰνύμενοι τυρῶν Ἀττικῶς, ἐν Ὀδυσσείᾳ. οὐ γὰρ πάντας ἐκεῖ τοὺς τυροὺς ἦν αἴνυσθαι, ἀλλὰ μέρος αὐτῶν. συντάσσεται ἔτι καὶ αἰτιατικῇ. ὡς τὸ, ἐξαίνυτο θυμόν. γίνεται δὲ τὸ ῥῆμα, ἢ ἐκ τοῦ ἄνω, τὸ εἰς θάνατον τελειῶ. ὡς τὸ, ἢ θήν σ' ἐξαινύω γε, καὶ ὕστερον ἀντιβολήσας. καὶ ἐστιν ἄνω ἀνύω, ἄνυμι. καὶ πλεονασμῷ τοῦ ι, αἴνυμι.

Ἐξαΐξαντες, ἐξορμήσαντες.

Ἐξαίρει, ὑψοῖ, λαμβάνει.

Ἐξαιρεῖν, τὸ ἐκβάλλειν, καὶ ἐξέλκειν ἁπλῶς, καὶ τὸ ἐκκόπτειν. λέγεται ἐξαιρεῖν, καὶ τὸ ὡς ἐξαίρετον καὶ καλλιστεῖον τινι ἐκκρίνειν τόδε τι. ὡς καὶ Ὅμηρος, Ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτὸς ἐξέλετο, ἀντὶ τοῦ ἐξαιρέτως ἔλαβεν. ἐξαιρεῖσθαι δὲ, τὸ ἐλευθεροῦν καὶ ἀπαλλάττειν. ὡς καὶ Συνέσιος, συγγνοὺς βήματος αὐτὸν ἐξειλόμεθα. ἐξαιρεῖσθαι, καὶ τὸ ἐκλέγεσθαι ἀπὸ πολλῶν τὸ διαφέρον.

Ἐξαιρεῖσθαι, τὸ ἐλευθεροῦν. οἷον, ἐξαιροῦμαί σε κινδύνων.

Ἐξαιρεῖται, ἀφαιρεῖται, λαμβάνει. καὶ ἀντὶ τοῦ ῥύσεται καὶ ἐλευθερώσει. καὶ ἐξαιρήσομεν ὁμοίως.

Ἐξαιρέσεως δίκη, ὁπότε τις ἄγοι τινὰ ὡς δοῦλον, ἔπειτά τις αὐτὸν ὡς ἐλεύθερον ἐξαίροιτο. ἐξ οὗ τῷ ἀντιποιουμένῳ τοῦ ἀνθρώπου, ὡς δούλου λαγχάνειν. ἐξαιρέσεως δίκη, τῷ εἰς τὴν ἐλευθερίαν αὐτὸν ἐξαιρουμένῳ. Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμαθοῦς εἰς ἐλευθερίαν ἀφαιρέσει.

Ἐξαίρεσις, τόπος τις Ἀθήνησιν, ἔνθα ὑπεξαιρούμενοι τὰ φορτία ἀπετίθεντο.

Ἐξαιρέταρ, ἁρπάγη, ἢ ἅρπαξ, ὁ πρὸς τὰ ἀντλήματα.

Ἐξαιρετέα, ἄξια τοῦ καταστραφῆναι.

Ἐξαίρετον, τὸ ἐπίλεκτον, προηγούμενον, ἢ τὸ ἐκβαλλόμενον.

Ἐξαιρεύμην, ἐξαίρετα ἐλάμβανον.

Ἐξαιρήσονται, πορθήσονται. καὶ ἐξαιρήσομεν, ἀντὶ τοῦ ἀφαιρήσομεν.

Ἐξαίροντες, ἀνατρέποντες. Πρὸς ταῦτα τί λέγουσιν, οἱ τὴν πρόνοιαν ἐξαίροντες; καὶ ἀντὶ τοῦ ἀνυμνοῦντες.

Ἐξαιρούμενος, ἀποκομιζόμενος, ἢ ῥυόμενος.

Ἐξαιροῦσιν, ἐκβαλοῦσιν, ἀφανίζουσιν.

Ἐξαίρω, τὸ ὑπερβάλλω, νικῶ. Ἀριστείδης, ἐξαίρει πᾶσαν ἀνθρώπων ἄγνοιαν.

Ἐξαίρω, ὑπεξαιροῦμαι. ὅθεν ἐξαιρέτως. καὶ ἐξαίρω, τὸ ὑμνῶ, καὶ θαυμάζω. οἷον, ἐξαίρω τὸν δεῖνα τῶν ἄλλων, ἀντὶ τοῦ μέγιστον ἡγοῦμαι τῶν ἄλλων. ταυτὸ δηλοῦν τῷ ἁπλῶς. καὶ ἐξαίρω σε τοῦ θανάτου, καὶ ἀπὸ τοῦ θανάτου.

Ἐξαίσια, παντὸς ἐπέκεινα θαύματος, ὑπερβαλλόντως.

Ἐξαίσιον, δηλοῖ τὸ ἔξω τοῦ αἰσίου. ἐστι δὲ παρ' Ὁμήρῳ ἐν ρ τῆς Ὀδυσσείας. ἢ αἰτιατικῆς πτώσεώς ἐστιν, ἵνα δηλοῖ δείσας τινὰ ἄνδρα ἐξαίσιον. ἢ ἐπιρρηματικῶς ἐρρέθη, ἀντὶ τοῦ ἔξω τοῦ δέοντος. οὕτω καὶ ἐν Ἰλιάδι ἐξαίσιον Θέτιδος ἀρὰν λέγει, τὴν ἄδικον. τινὲς δὲ τὸ, δείσας ἐξαίσιον, καὶ ἀντὶ τοῦ μέγα φοβηθεὶς εἶπον. Ἄλλως.

Ἐξαίσιον, τὸ ἔξω τοῦ αἰσίου. οὕτω δὲ καὶ ἔκδικον παρὰ τοῖς παλαιοῖς, τὸ ἔξω δικαίου. τὸ μέντοι μὴ τοιοῦτον, ἔνδικον λέγεται, καὶ ἐναίσιμον. οὕτω καὶ ἔκτιμον, τὸ ἔξω τιμῆς, ἑτεροῖον ὂν παρὰ τὸ ἔντιμον. καὶ ἐκ τούτου ῥῆμα τὸ ἐντιμᾶσθαι, τιμῆς ἐπίτασιν δηλοῖ. ἢ ἐξαίσιον, οὐ κατὰ τοὺς ὕστερον τὴν ἄγαν αἰσίαν, παρ' οἷς ἡ ἐξ πρόθεσις δηλοῖ ἐπίτασιν, ἀλλὰ κατ' ἄλλον λόγον, τὴν ἔξω τοῦ αἰσίου. ὥσπερ αὖ πάλιν ἐναίσιμον τὸ καθῆκον, καὶ ἐντὸς τοῦ αἰσίου. οὕτω καὶ ἔκδικος καὶ ἐκδικεῖν, νῦν μὲν ἐπὶ τοῦ ἄγαν δικαίου. πάλαι δέ ποτε ἐπὶ ἀδίκου καὶ ἀθέσμου, τὸ ἔκδικον ἐλέγετο· οἱονεὶ τὸ ἔξω δίκης.

Ἐξαίσιος οἰωνὸς, ὁ ἀσύμφορος. ἀπέστη γὰρ ὅλος καὶ ἀλλότριος.

Ἐξαίτως, ἀφαιρέτως.

Ἔξαιτον, ἐξαίρετον, κατὰ συγκοπήν. καὶ ἔξαιτος, ὁμοίως.

Ἐξαιτοῦμαι, ὅταν ἀπό τινός γε ἐξαιρῶμαι κινδυνεύοντα. καὶ ἐξαιτοῦμαι, ὅταν ἀπ' ἐχθροῦ τινος αἰτοῦμαι. τοῦ μὲν πρώτου Λιβάνιος, ἐκάθητο ἀναμένων ὅς τις αὐτὸν ἐξαιτήσεται. τοῦ δευτέρου δὲ Δημοσθένης, ἐγὼ δὲ χαίρω ὅς εὐθὺς ἐξῃτούμην ἀπὸ Φιλίππου.

Ἐξαίτως, ἀντὶ τοῦ ἐξαιρέτως, κατὰ συγκοπήν. ἢ ἀπὸ τοῦ ἐξαιτοῦ.

Ἐξαίφνης, ἐξαπίνης.

Ἐξ ἀκαλαρρείταο, ἐκ τοῦ ἡσύχως ῥέοντος διὰ τὸ βαθύ. ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο.

Ἐξ ἀκεραίου, ἀντὶ τοῦ εὐμαρῶς. οὐ δυνάμενος δὲ πείθειν ἐξ ἀκεραίου, διὰ τὴν εὐλάβειαν καὶ ἀπραγίαν τοῦ βασιλέως.

Ἐξακέσαιο. ἀκῶ, ἀκέσω, ἤκεσα, ἠκεσάμην, ἀκεσάμην, ἀκέσω, ἀκέσαιτο. καὶ μετὰ τῆς ἐξ, ἐξακέσαιο Ἰωνικῶς, ἀποβολῇ τοῦ τ. ἢ ἐξακέσαιο χόλον. νόσος μὲν γὰρ, οἷον τὸ χολοῦσθαι. τὸ δὲ παύσασθαι τοῦ χόλου, ἀκέσασθαί ἐστιν.

Ἐξακεστήριος ὁ Ζεὺς, καὶ ἡ Ἥρα.

Ἐξακουμένων, θεραπευόντων, ἐξιωμένων.

Ἐξακεῖσθαι, οὐ μόνον ἐπὶ ἰατρείας λεγόμενον, ἀλλὰ καὶ ἐπὶ τοῦ ῥάπτειν. ἔτι δὲ καὶ ἐπὶ τοῦ νῆας παλαιωθείσας ἀναποιεῖν.

Ἐξάκλινον, ἑξάπουν. Ἀττικῶς μὲν ἔξπουν καὶ ἔξκλινον λέγεται. ὥσπερ καὶ παρὰ τῷ Σοφοκλεῖ ἐξπηχυσί, καὶ παρὰ Πλάτωνι τῷ κωμικῷ ἔξπουν. φυλάττει γὰρ τὸ τέλος τῶν ἀριθμῶν ἐν τῇ συνθέσει πεντέμηνον λεγόμενον. καὶ ἐν πεντεσυρίγγῳ ξύλῳ, ἡμεῖς δὲ πεντάμηνον. ὀκτώπουν, καὶ ἡμεῖς ὀκτάπουν. εἰ οὖν ἄρα τὸ τέλος τῶν ἀριθμῶν φυλάσσει, ὁ δὲ ἓξ ἀριθμὸς τὸ ξ ἔχει, φυλάσσει ἄρα τὸ τέλος. ἔξκλινον λέγομεν, ἀλλ' ἐστιν εἰπεῖν πρὸς τοῦτο, ὅτι οὐδεμίαν λέξιν ἔχομεν εἰς διπλοῦν καταλήγουσαν, καὶ ἐν τῇ συνθέσει φυλασσομένην. εἰσὶ δὲ αἱ φυλασσόμεναι ἐν παραθέσει. οἷον πὺξ μὲν ἐνίκησε, λὰξ ποδὶ κινήσας. εἰ οὖν ἔξπουν ἐν συνθέσει, ὀφείλει τρέπεσθαι, καὶ μὴ καταλήγειν εἰς διπλοῦν. ἀνάλογον ὅτι πεφύλακται τὸ τέλος τοῦ ἀριθμοῦ. ὡς καὶ παρὰ τῷ ποιητῇ, οἷον ἑξέτης, ἑξετιάδμητον, καὶ ἑξάετες ἦν χρόνον. οὐκ ἐστιν πλεονασμὸς, ὡς πλανῶνταί τινες. τὰ εἰς ις ἐπιρρήματα ἐν τῇ συνθέσει ἀποβάλλει τὸ κις. οἷον ἑπτάκις, ἑπτάπηχυς. οὐ γὰρ ἀπὸ τοῦ ἑπτὰ ἀριθμοῦ. τέσσαρες ὁ ἀριθμός. τετράκις τὸ ἐπίρρημα. παρὰ τοῦτο τετράμηνον. οὕτως οὖν ἑξάκις, ἑξάκλινον, ἑξάπουν. Ἡρωδιανὸς περὶ παθῶν.

Ἐξακολουθοῦσθαι, ἐκθρύζεσθαι.

Ἐξάκουστον, περιβόητον.

Ἐξακριβάζει, ἐξιχνιάζει.

Ἐξακριβωθέντες, ἐξερευνηθέντες.

Ἐξακτὴς, ὁ ἀπαιτῶν τὰ δημόσια.

Ἐξαλαπάξαι, ἀντὶ τοῦ ἁπλῶς ἐκκενῶσαι εἴληπται, καὶ ἀντὶ τοῦ ἐκπορθῆσαι. καὶ ἀλαπάξαι, ἔχει πλεονασμὸν τοῦ α. εὕρηται γὰρ λαπάζειν.

Ἐξαλάπαξαν, ἐξεπόρθησαν.

Ἐξαλδαίνει, ἐκβλαστάνει.

Ἐξαλέασθαι, ἀλεύομαι, τὸ ἐκφεύγω, μέσος μέλλων ἀλεύσομαι. ἀλευάμην ἀόριστος, χωρὶς τοῦ σ. ὡς ἀπὸ τοῦ χέω ἔχεα, καὶ ἐξέχεα. τὸ τρίτον ἀλεύατο. ἀφ' οὗ ἀλεύασθαι καὶ ἀλέασθαι, ἐκβολῇ τοῦ υ. καὶ ἐξαλέασθαι, ὡς παρὰ Θεόγνιδι, Οὔτέ τι ἀθανάτων μῆνιν ἀλευάμενος.

Ἐξαλέασθαι, ἐκκλίνειν.

Ἐξαλέην, ἐξέκλινεν.

Ἐξάλειπτρον, ἡ τοῦ μύρου λήκυθος, τὸ ἀλάβαστρον. ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες.

Ἐξαλείφθησαν, ἀπώλοντο.

Ἐξαληλιμένος, ἠλειμμένος, ἀπολειφθείς.

Ἐξαλίγυρον, σκεῦος ἀργυροῦν φιάλῃ παραπλήσιον. ἐξ οὗ ἐν τοῖς συμποσίοις ἤλειφον τὸ μύρον.

Ἐξαλίζεται, συναθροίζεται.

Ἐξαλίξοιτο, ἐκκενοῖτο, παρὰ τῷ Ἱπποκράτει.

Ἐξαλίπτης, κονιάτης, χρίστης, παρὰ τῷ Ἱπποκράτει.

Ἐξαλίσας παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ ἐκβαλὼν, Ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε. καὶ ἐξήλικας, ἐξέβαλες, ἀπὸ τοῦ ἁλίζω, τὸ συναθροίζω. ἢ ἐξαλίσας, κυλισθῆναι ποιήσας εἰς τὴν κόνιν. ὥς φασί τινες, καὶ τὸν τόπον, ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἀλινδήθραν ἐκάλουν. ὥς που καὶ ἐν τοῖς Βατράχοις ὁ αὐτὸς ποιητὴς πολλὰς ἀλινδήθρας, ἤγουν ἐγκυλίσματα.

Ἐναλλαγὴ ἐν τοῖς ῥήμασιν γίνεται παρὰ ποιηταῖς, τῶν μὲν ἐγκλίσεων, ὅταν τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ καταληφθῇ. οἷον, θαρσῶν νῦν Διόμηδες ἐπὶ Τρώεσσι μάχεσθαι, ἀντὶ τοῦ μάχου. ἢ τὸ ὁριστικὸν ἀντὶ τοῦ εὐκτικοῦ. οἷον, πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω. ἀντὶ τοῦ μυθησαίμην, καὶ ὀνομάσαιμι. καὶ ἐκ τοῦ ἐναντίου εὐκτικὸν ἀντὶ ὁριστικοῦ. οἷον, Καὶ νύκεν ἔνθ' ἀπόλοιτο ἄρης, ἀντὶ τοῦ ἀπώλετο. τῶν δὲ χρόνων, ὅταν ὁ ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος τεθῇ. ὡς ἐν τούτῳ, Τὴν δ' ἐγὼ οὐ λύσω, πρίν μιν καὶ γῆρας ἔπεισι, ἀντὶ τοῦ ἐπελεύσεται. ἢ ἀντὶ τοῦ παρῳχηκότος. ἔνθ' ἤτοι πλωτοὶ ἦσαν ἐπηετανοί. πολὺ δ' ὕδωρ ὑπεκπρορρέει, ἀντὶ τοῦ ἔρρεεν. ἢ μέλλων ἀντὶ τοῦ ἐνεστῶτος. οἱ μὲν, δυσομένου ὑπερίονος, οἱ δ' ἀνιόντος. ἢ ἀντὶ τοῦ παρῳχηκότος. δείδω μὴ δὴ πάντα θεὰ νημερτέα εἴπῃ, ἀντὶ τοῦ εἶπε. Καὶ διαθέσεις δὲ ἐναλλάσσονται παρὰ τῷ ποιητῇ πολλάκις. καὶ τίθεται ἀντὶ ἐνεργητικῶν παθητικὰ, ἢ μέσα. οἷον, ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἀντὶ τοῦ εἷλκε. καὶ καθορώμενος, ἀντὶ τοῦ ὁρῶν. καὶ τοὐναντίον τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ. Δωρήσω τρίποδα χρυσοῦν, ἀντὶ τοῦ δωρήσομαι.

Ἔξαλλα, διάφορα, λαμπρά, ἀλλόφυλα, ἢ ἔξοχα.

Ἐξαλλάξαι, ἀντὶ τοῦ τέρψαι. Μένανδρος, ἄνθρωπον ἐξαλλάξομεν, κακόν τι σοι δώσοντα.

Ἐξαλλάττειν, τὸ ἀμείβειν καὶ ἀλλοιοῦν. οἷον ἐξαλλάττει τις τὸ χρῶμα, ἤγουν ἀμείβει.

Ἐξάλλεσθαι τῆς αὐλῆς, ταυτόν ἐστι τῷ ὑπεράλλεσθαι. ἡ γὰρ ἐξ πρόθεσις, οὐ μόνον τὴν ἔξω δηλοῖ σχέσιν, ἀλλὰ καὶ ὕψωμα πολλάκις σημαίνει. ὡς καὶ ἐν τῷ ἐξωγκώθη. καὶ ἐν τῷ, ἐκνομίως ἠσχύνετο, καὶ ἄλλοις πολλοῖς.

Ἐξαλλομένους, ἀνασκιρτῶντας.

Ἐξάλλως, κατὰ ἄλλον τρόπον, παραδόξως, καθ' ὑπεροχήν.

Ἔξαλμα, ὅρμημα, πήδημα.

Ἐξαλμένος, ἐξαλόμενος.

Ἐξαλὸς, τινὲς κατὰ συναλοιφὴν, ἔξω ἁλὸς, οἱ δὲ ἐκ τῆς ἁλός. ὡς τὸ, Ἕκτορα δ' ἐκ βελέων, ἀντὶ τοῦ ἔξω βελῶν.

Ἐξαλοῦνται, ἐκπηδήσουσιν.

Ἐξαλύξωμαι, φυλάξωμαι. Σοφοκλῆς, Αἴαντι μαστιγοφόρῳ.

Ἐξάλφεις, εὑρίσκεις.

Ἐξαλφήσεις, ἐκτιμηθήσῃ μεγάλως. ἀπὸ τοῦ ἀλφαίνειν. καὶ γὰρ ἀλφηστὴς, ὁ ἔντιμος. τινὲς δὲ, ἐκλάμψεις.

Ἐξ ἁμάξης, ἡ λεγομένη ἑορτὴ παρ' Ἀθηναίοις λήναια. ἐν ᾗ ἠγωνίζοντο οἱ ποιηταὶ, συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν.

Ἐξαμαρτάνει, πλημμελεῖ.

Ἐξαμαρτάνω, τὸ πταίω, κυρίως εἰς τὸν θεόν. οἷον ἐξήμαρτον εἰς τὸν Θεόν.

Ἐξαμάχανα, ἐξαίφνης.

Ἐξαμβλίσκειν, ἐκτιτρώσκειν. καὶ τὴν τῶν τετραπόδων ἀγέλην ἐξαμβλίσκειν ἔφασαν.

Ἐξαμβλοῦν, τὸ διαφθείρειν. καὶ ἐξήμβλωσεν, ἀντὶ τοῦ οὐ διέσωσεν, οὐδὲ συνηύξησε. κυρίως ἐπὶ ἀμπέλου ἐπικεκαυμένης τοὺς λεγομένους ὀφθαλμούς φασι τὸ ἐξαμβλῶσαι. μεταφορικῶς δὲ, καὶ βρέφος διαφθαρῆναι ἐν κοιλίᾳ, ἐξαμβλῶσαι λέγεται.

Ἐξαμβλωθεὶς, ἐκτρωθείς.

Ἐξαμβλῶσαι, καὶ ἄμβλωμα, καὶ ἀμβλίσκειν, καὶ ἀμβλωθρίδιον. οὐκ ἐκτρῶσαι, οὐδ' ἐκτιτρώσκειν.

Ἐξαμβρακοῦται, ἐκλύεται. ἀπὸ τοῦ ἀμβρακεύειν, ὅ ἐστι καρτερεῖν.

Ἐξαμείβειν, τὸ ἐξάγειν, καὶ ἀπέρχεσθαι.

Ἐξαμείψαι, ἐκτελέσει, πορεύσεται, ἐναλλάξει.

Ἐξαμελίσκοντα, διαφθείροντα.

Ἐξαμήσω, τουτέστι τὰ ἔντερα καὶ τὸν πνεύμονα ἐξανύσω, καὶ ἐξοίσω.

Ἐξ ἄμμου σχοινίον πλέκεις, ἐπὶ τῶν ἀδυνάτων.

Ἐξαμοιβὰς, ἑτέροις, καὶ ἑτέραις.

Ἐξαμοῦν, ἐκθερίζειν.

Ἐξαμυστίαι, τουτέστιν ἀμυστὶ καὶ ἀπνευστὶ, καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πίνειν.

Ἐξ ἀμφοῖν, ἐξ ἀμφοτέρων.

Ἐξαμφοτερίσαι, τὸ τὰ σαφέστερα εἰς ἀμφίβολον περιστῆσαι.

Ἐξαμβλοῦμεν, ἐκτιτρώσκομεν.

Ἐξανάξει, ἀνάξει πρὸς τὸν Ἥλιον.

Ἐξαναιρεῖν, ἤγουν φονεῦσαι. τὸ θέμα ἀναιρῶ, τὸ φονεύω.

Ἐξαναστὰς, μετοικήσας. ὁ δὲ Θεσπιάδης ἐξαναστὰς ἐξ Ἀθηνῶν, Θέσπιαν ἐν Βοιωτίᾳ ἔκτισεν.

Ἐξαναχωρεῖν, τὸ ἐκφέρεσθαι, καὶ τὸ παραβαίνειν. Θουκυδίδης, ἐξαναχώρει τὰ εἰρημένα, ἤτοι παρέβαινεν.

Ἐξανδήρισον, ἐκπέρασον.

Ἐξανδραποδίζεται, αἰχμαλωτίζεται.

Ἐξανδρούμενος, τὴν ἡλικίαν ἔχων εἰς ἄνδρα.

Ἐξανεμοῦσθαι, ἐπαίρεσθαι, ἢ ξηραίνεσθαι, ἢ μετεωρίζεσθαι.

Ἐξανέστασα, ἐπιστρέψασα.

Ἐξανεχώρει, λεληθότως ὑπέφευγεν.

Ἐξανέψιοι, ὧν οἱ πατέρες ἀλλήλων ἀνεψιοί, ἢ αἱ μητέρες.

Ἐξανήσας, ἐξαντήσας.

Ἐξανθῆσαι, ἐκζέσαι.

Ἐξανθήσει, ἀνθήσει.

Ἐξανθίζω, τὸ βάπτω. ποικίλας ἐξηνθίκασι τὰς βαφάς.

Ἐξανθρωπισθῆναι λέγεται, τὸ ἐξ ἀνθρώπων γενέσθαι, καὶ τὸ τὴν ἀνθρωπίνην μορφὴν μεταβαλεῖν, ἤτοι μεταμειφθῆναι, καθὸ λέγεται ἐνταῦθα.

Ἐξανθῶ, ἀναβλαστάνω. ὡς τὸ ἐξήνθησεν ἡ ἔρημος.

Ἐξανίησιν, ἀναπέμπει.

Ἐξανίκμου, ἀπὸ στείρας.

Ἐξανίσχειν, ἐπὶ μόνου Ἡλίου λέγεται. καὶ τὸ ὑπερῆρθαι δὲ εἰς ὕψος, ἐντεῦθεν ἐξανέχειν φαμέν.

Ἐξανκυρῶσαι θύραν, ἐκστροφῶσαι.

Ἐξ ἀξίου ξύλου, κἂν ἀπάγξασθαι. Παροιμία ἐπὶ τῶν ἐθελόντων σεμνῶς δυστυχεῖν κρεῖττον ἀπ' ἀγαθοῦ, ἢ φαύλου πάσχειν.

Ἐξανόμεναι, ἐκκενούμεναι.

Ἔξαρνος, ἀρνητικός.

Ἐξάντης, ἐξεστηκὼς, μαινόμενος, ἢ ἀβλαβὴς καὶ ὑγιής. ὁ ἔξω ἄτης. οἷον, ὦ Ζεῦ, γενέσθαι μετὰ δ' ἐξάντην νόσου. τὸ ν ἔγκειται διὰ εὐστομίαν. καὶ ἐξάντης, ὁ τῆς νόσου ἔξω ὤν.

Ἐξ ἄντυγων, ἐκ τῶν περιφερειῶν τοῦ ἅρματος.

Ἐξαντῶν, ἀντιάζων τῆς κόρρης, καὶ τὸ ὑπόγονον, οἷον ὑπογενειάζων. ἢ οὕτως ἐξάντων, κατὰ τῆς ὑγείας αὐτοῦ ἐξορκῶν. τὸν ὑγιαίνοντα γὰρ, ἐξάντην ἔλεγον.

Ἐξανύω. κεῖται παρ' Ὁμήρῳ, ἀντὶ μέλλοντος τοῦ τελειώσω. δηλοῖ γὰρ τὸ εἰς τελευτὴν ἀγάγω. καὶ ἐξανύω ἐξανύσω, ἐκτελέσω. ἢ ἐξανύω, κατεργάζομαι, ἀποπληρῶ.

Ἐξάνω, ἄνωθεν.

Ἐξάγῃ, ἐξενέγκῃ.

Ἐξαπαλλαγῇ, ὑποχωρήσῃ.

Ἐξαπαλλάξει, ἐκπορθήσει, ἐκκενώσει.

Ἐξαπατᾶν ἔπεσιν. ἔοικε μὲν πρὸς τὸ κλέπτειν νόῳ. εἴρηται δὲ πρὸς διαστολὴν ἑτέρας ἀπάτης. ἐξαπάφοιτο γὰρ ἄν τις τινὰ, καὶ ἔργοις. δῆλον δὲ ὅτι τοῦ ἀπάφοιτο, οὐ ἐνεργητικὸς δεύτερος ἀόριστος τὸ ἤπαφον, προϋπόκειται τὸ ὑπαφῶ. ἐξ οὗ τὸ ἀπαφίσκειν παράγωγον. ἔστι δὲ κυρίως ἀπάφεσθαι, τὸ διὰ ἁφῆς ἀπατᾶσθαι. ἀφ' οὗ καὶ ἡ μυθικὴ Παφία, κατ' ἔλλειψιν τοῦ τῆς προθέσεως ε. ὁποία τις γίνεται ἐν τῷ νέρτερος. καὶ ἐν τῷ σκερβάλλειν, ἤγουν ἐς κέαρ βάλλειν. καὶ ἐν τῷ σκαρδαμύττειν, καὶ σκορακίζειν, καὶ ἐν ἄλλοις. Αἰολικὴ δὲ λέξις τὸ ἀπάφοιτο.

Ἐξαπάτερθεν, ἐκ τοῦ ἑτέρου.

Ἐξαπάτη, ὄνειρος.

Ἐξαπάφοιτο, ἐξαπατήσει. ἐξαπάφοιτο γὰρ φασιν οἱ παλαιοὶ εἰς τοῦτο, ὅτι τὸ μὲν ἅπαξ ὑπὸ φίλου ἀπατηθῆναι, εὐηθείας ἐστὶ, τὸ δὲ δὶς μωρίας. ἢ ἐξαπάφοιντο, πρωτότυπόν ἐστι τῆς παφίας Ἀφροδίτης. παφία γὰρ ἀλληγορικῶς καὶ ἐκείνη, ὡς ἀπαφίσκουσα, ὅ ἐστιν ἀπατῶσα τῷ ἔρωτι. διὸ καὶ ἡ Ἥρα τῷ κεστῷ ἐκείνης τὸν Δία ἤπαφε.

Ἐξαπειρῆσθαι, πειρᾶσθαι.

Ἐξαπενίζοντο, ἀπεκαθαίροντο.

Ἐξ ἀπήνης, ἐκ τῆς ἁμάξης. ἐξαπίνης δὲ, ἀντὶ τοῦ ἐξαίφνης, ῑ.

Ἐξ ἀπίας γαίης. ἀπίαν γῆν νοητέον, ἢ τὴν ἀλλοδαπὴν καὶ μακρὰν, ἐκ τοῦ ἀπό. ἢ ὡς καὶ Σοφοκλῆς λέγει, τὴν Πελοποννησίαν. ἀπὸ Ἄπιδος, ἀπία. ἢ ἀπὸ τοῦ ἀφεστῶσα, καὶ ἀλλοδαπὴ, καὶ ὡς ἂν εἴποι τις Ὁμηρικῶς τηλοῦ ἀπὸ Τροίας. κατὰ δὲ ἄλλους φάναι ποιητὰς, ἡ πηλερός. οἱ μέντοι νεώτεροι τὴν Πελοπόννησόν φασιν, ἀπό τινος Ἄπιδος, ἢ Ἀπέως.

Ἐξάπινα, ἐξαίφνης. καὶ ἐξαπιναῖον, ὁμοίως.

Ἐξαπλῶν, διπλασιάζων, πολυπλασιάζων.

Ἐξαποίνασθαι, παραλογίζεσθαι.

Ἐξαπόλωλε, τέλειον ἀφανισμὸν δηλοῖ, διὰ τῆς ἐπιτατικῆς ἐξ προθέσεως.

Ἐξαπόπτου, ἐξ ὑψηλοῦ τόπου. ὅθεν ἔστι περισκοπεῖν τὰ ὑποκείμενα.

Ἐξαπορηθῆναι, ἐν ἀπορίᾳ γενέσθαι, ἐξαφανισθῆναι.

Ἐξαποτροχοῦ, ἐκπεριδρόμου.

Ἐξ ἀπροσεξίας, ἐξ ἀμελείας.

Ἐξάπτεσθαι, ταυτὸν τῷ ἐκκρέμασθαι.

Ἐξάραι, οὕτω λέγεται, ὅταν τι τῶν ὀρνίων εἰς μετέωρον ὕψος αἴρηται.

Ἐξάραντες, ἔξω ποιήσαντες.

Ἐξαράζειν. Καὶ ἐπὶ μᾶλλον ἐξήπτοντο εἰς ὀργὴν, καὶ ἠπείλουν τὰς θύρας ἐξαράξειν, τουτέστι συντρίψαι, καταβαλεῖν.

Ἐξάρραγμα, σύντριμμα, παρὰ τῷ Ἱπποκράτει.

Ἐξαράσαντες, ψοφήσαντες, κρούσαντες.

Ἐξαράσασθαι, τὸ ἐκτελέσαι τὰς ἀρὰς, τουτέστι τὰς εὐχὰς, ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώθασι ποιεῖσθαι.

Ἐξαράττω, τὸ κρούω, πλήττω, βάλλω, καὶ λοιδορῶ. ἐξαράξω, εἰς γῆν μεταβαλῶ. ἔρα γὰρ, ἡ γῆ.

Ἐξάργματα τέμνει τῶν ἀποθανόντων, οἱ δολοφονοῦντες, ἀρχαίως ἀκρωτηριάσματά τινα ἐποίουν τοῦ ἀναιρουμένου, καὶ ταῦτα λαβόντες, ἐξήρτων τοῦ τραχήλου αὐτῶν. ἔπειτα τοῦ αἵματος αὐτοῦ λαβόντες, τρὶς εἰς τὸ στόμα ἔπτυον. τοῦτο δὲ ἐποίουν πρὸς τὸ ἐξιλάσασθαι τὴν δολοφονίαν.

Ἐξαργυρῶσαι, ἐκ ἐξαργυρίσαι.

Ἐξάρει, ἐκτός ἐστιν.

Ἐξαρέσασθαι, διῶξαι.

Ἐξαρῆξαι, ἐκφορῆσαι.

Ἔξαρθρος, ἀρθριτικὸς, ἐκμελὴς, ἐξωστισμένος.

Ἐξαριθμῶ, καὶ ἐξαριθμοῦμαι. ἀπαριθμῶ, καὶ ἀπαριθμοῦμαι, αἰτιατικῇ συντάσσονται.

Ἐξαρκεῖ, ἐπαρκεῖ.

Ἐξαρκέσει, ἐκποιήσει.

Ἐξαρκῆ, ἀρκοῦσαν.

Ἐξαρκιάων, ἐκφιαλῶν.

Ἔξαρνος, ἀρνούμενος.

Ἐξάρξατε, ἄρξατε, μελῳδίαις ὑμνήσατε, προκατάρξατε, καταλλάξατε, ἐκρήξατε, κρούσατε.

Ἔξαρον, ἆρον, ἐξάλειψον.

Ἐξαρπάσομαι, ἐξοίσω, διασπαράξω.

Ἐξάρσεις, ἐπάρσεις. ὁ δὲ θρασύτερον προσχθέων, ἐξάρσεις τε τῶν ποδῶν ποιούμενος, βέλει τρωθεὶς, ἀπέλιπε τὸν βίον.

Ἐξαρτήσαντες, κρεμάσαντες.

Ἐξαρτίζει, πληροῖ, τελειοῖ, παρασκευάζει.

Ἐξαρτύειν, παιδεραστεῖν.

Ἐξαρτύσας, ἐκπληρώσας, ἢ ἑτοιμάσας.

Ἐξάρτυσις, ἡ παρασκευή. πυθόμενος δὲ τὴν ἐξάρτυσιν τοῦ στόλου τῶν Ἰώνων.

Ἐξαρτῶ τόδε τοῦδε, περιαρτῶ τόδε τῷδε.

Ἐξαρύεται, ἐκκενοῦται, ἐκθλίβεται. τινὲς δὲ τὸ ἐξορμᾶται, ἢ ἀπειλὴν ποιεῖται.

Ἐξαρύσαι, ἐξαντλῆσαι.

Ἐξάρχειν, τῆς φόρμιγγος ἴδιον. διὸ Ἡσίοδος ἐν ἀσπίδι φησὶ, θεαὶ δ' ἐξῆρχον ἀοιδῆς Μοῦσαι. Στησίχορος δὲ καλεῖ Μοῦσαν ἀρχεσίμολπον. καὶ Πίνδαρος, ἀρχησίχορα τὰ προοίμια.

Ἐξάρχοντες, ᾄδοντες. ὡς τὸ, Οἱ δὲ βοῶες μετὰ θορύβου καὶ ἡδονῆς παιδείας ἐξάρχοντες.

Ἐξαρώμεναι, ἐξ ἀγκῶνος φλεβοτομούμεναι.

Ἐξαστελλάνωμεν, ἀναπληρώσωμεν.

Ἐξατμίσθη, ἐλεπτύνθη.

Ἐξατωρεία, ἐλευθερία ἀπὸ στρατείας.

Ἐξαυαίνεται, ἀποθνήσκει.

Ἐξαύδα, ἔξειπε, ὁμολόγησε, λέγει, φώνει. Ὅμηρος, ἐξαύδα, μὴ κεῦθε νόῳ.

Ἐξαύλισαν, παρ' οὐδὲν ἐλογίσαντο. οἱ δὲ ἐξεφαύλισαν, τὴν τῶν Κρητῶν αὐτοσχέδιον ἐκείνην Μοῦσαν.

Ἐξαῦσαι, ἐξελεῖν.

Ἐξαυστὴρ, σημαίνει σκεῦός τι, παρὰ τὸ αὔω, αὔσω, αὐστήρ. καὶ ἐξαυστὴρ, κρεάγρα.

Ἐξαυτῆς, παραυτίκα, εὐθέως. ἐξαυτῆς οἱ προειρημένοι βιβλιαφόροι ἔπεμπον πρὸς τὸν Περσέα, τὰ διασαφοῦντα τὸ γεγονός.

Ἐξαῦτις, ἀντὶ τοῦ μετὰ ταῦτα, ἔπειτα. ταυτὸν τῷ μετόπισθεν. τὸ γὰρ ὄπισθεν ἐπὶ χρόνου λεγόμενον ταυτὸ δύναται τῷ αὖτις. καὶ ἀμφότερα δὲ τὰς προθέσεις. τὸ μὲν, τὴν ἐξ. τὸ δὲ, τὴν μετὰ, περιττὰς ἔχουσι, ταυτὸ καὶ αὐτοῖς δυναμέναις. καὶ ἀμφότεραι γὰρ ὑστεροχρονίαν δηλοῦσιν.

Ἐξαφάζων, ἐξ ἑαυτοῦ γιγνόμενος, καὶ περιβλέπων.

Ἐξαφθεγγόμεναι, ἐκθλιβόμεναι.

Ἐξαφολεκτήσωσιν, ἐξαφορήσωσιν, εὐπορήσωσιν.

Ἐξαφύσουσιν, ἐξαντλήσουσιν.

Ἐξαψάμενος, κατασχὼν, περιπλακείς.

Ἐξεβιάζοντο, ἠνάγκαζον.

Ἐξέβλωσεν, ἐξέτρωσεν.

Ἐξεβοήθη, τὸ ἐκαλήθη. ἐξεβοήθη δὲ, τὸ ἐβοήθησεν.

Ἐξεγγύησις, τὸ ἐξελέσθαι τινὰ διὰ ἐγγυητῶν καταστάσεως. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.

Ἐξεγένετο, ἐξεπονήσατο. καὶ ἐξεγένετό μοι τοῦ πράγματος, ἀντὶ τοῦ ἄδεια ἐγένετό μοι.

Ἐξεγραψάμην, ἀντὶ τοῦ ἐμνημόνευσα. Ἀριστοφάνης, ὃν ἐγὼ παρὰ τ' Ἀπόλλωνος ἐξεγραψάμην.

Ἐξεγρόμενος, ἐξεγερθείς.

Ἐξεγρύπνευσας, ἐξηγρύπνησας.

Ἐξεδίων, ἐκ τῶν καθεδρῶν. παρὰ τὸ ἔξω ἕδος οὐδέτερον, καὶ ἡ γενικὴ τῶν πληθυντικῶν ἐδίων, ὡς τειχέων, βελέων.

Ἐξέ-

Digitized by Google

Ἐξίδεται, ἐκτρώγει.

Ἐξιδιώτη, τὸ ἔξω τῆς νομίμου διαίτης ἐγεγόνει.

Ἐξιδιώσει, κακῶς διῴκησεν.

Ἐξιδικάσθην, ἀντὶ τοῦ ἡσθόμην.

Ἐξίδισεν, ἐξέζησεν. ἐκ τοῦ δίζω, τὸ ψηλαφῶ.

Ἐξιδίωσεν, ἐπόρθησε, κατέκοψεν.

Ἐξίδοτο, ἐξέδωκεν.

Ἐξιδύαξεν, ἐξώσεγκεν.

Ἐξιδρέων, ἐκ τῶν καθεδρῶν.

Ἐξίδρης, ἐκ καθέδρας, ἢ ἐκπρεπής.

Ἔξεδρον, τὸν οὐκ αἴσιον οἰωνὸν, οὐκ εὔθετον ὄρνιν, οὐκ ἐνδέοντι τὴν ἕδραν ἔχοντα. καὶ ἐξέδροι χόαν ἔχων, τουτέστι παρηλλαγμένην. καὶ Σοφοκλῆς, οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ. καὶ οἰωνοὶ ἐλέγοντο ἔξεδροί τε εἶναι, καὶ μηδαμῆ χρηστοί.

Ἐξεδύοντο, ἀπεδίδυσκον.

Ἐξέδωκέ τις λόγον. καὶ ἐξέδωκέ τις τινὰ τινὶ, ἀντὶ τοῦ ἄδειαν αὐτῷ κατ' αὐτοῦ ἔδωκεν.

Ἐξέζεσεν, ἐπὶ ἕλκους ἐπληρώθη. Καὶ τὸ σύμπαν αὐτοῖς σῶμα ἕλκους ἐξέζεσεν.

Ἐξέθανε παρὰ ῥήτορσιν, ἀντὶ τοῦ βιαίως ἀπέθανεν.

Ἐξεθεάτρισαν, ἐστηλίτευσαν, ἐξεπόμπευσαν. οὐ μόνον δὲ ἑαυτοὺς ἐξεθεάτρισαν, ἀλλὰ καὶ τὴν Ἑλλάδα πᾶσαν κατέστρεψαν.

Ἐξέθει, ἐξέτρεχεν.

Ἐξεθείαζε, χρείας ἐπετέλει.

Ἐξέθηκα, ἔρριψα, ἔκθετον ἐποιησάμην. ἐκ μεταφορᾶς λέγεται τῶν γυναικῶν, τῶν λάθρα τικτουσῶν, καὶ φοβουμένων γνωσθῆναι, καὶ διὰ τοῦτο ἔξω ῥιπτουσῶν τὰ βρέφη, ἵνα ἰδών τις ἀνέλοιτο.

Ἐξεθειασθὲν, λαμπρυνθέν.

Ἐξέθορεν, ἐξεπήδησεν, ἐξέπνευσεν.

Ἐξέθρωσκεν, ἐξεπήδα.

Ἐξεθύσαντο, ἐμαντεύσαντο.

Ἐξέθυσεν, ἀνεῖλεν.

Ἐξέθωψεν, ἐξωθώπευσεν.

Ἔξει, ἀντὶ τοῦ ἔξελθε. ἔστιν εἴω, τὸ πορεύομαι, οὗ παράγωγον εἶμι, ὁ παρατατικὸς εἶν, εἶς, εἶ. καὶ ὥσπερ ἐν τοῖς εἰς ω τὸ τρίτον πρόσωπον τοῦ ὁριστικοῦ παρατατικοῦ δεύτερόν ἐστι προστακτικὸν, οὕτω καὶ ἐν τοῖς εἰς μι σχηματίζουσιν οἱ Αἰολεῖς, καὶ οἱ Ἀθηναῖοι, οἷον ἵστη μετὰ κῦμα, ἀντὶ τοῦ ἵσταθι. Ἀριστοφάνης, καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίπλη τιτρῶν, ἀντὶ τοῦ ἐμπίμπληθι. οὕτως οὖν καὶ ἐκ τοῦ τρίτου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ ἐν συνθέσει, ἔξει προστακτικόν. ἢ ἀπὸ τοῦ εἴω, οὗ δεύτερος ἀόρ. ἴον, ἴες, ἴε, καὶ μετὰ τῆς ἐξ ἔξιε, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν ἔξει. ὡσαύτως καὶ μετὰ τῶν λοιπῶν προθέσεων, μέτει, καὶ δίει, πλὴν τοῦ πάρει, καὶ σύνει. ἐνταῦθα γὰρ αἱ προθέσεις, τῷ ει ἀντὶ τοῦ ὑπάρχεις συνδοιάζονται.

Ἐξηδεῖς, περισσοὶ, ἐκπρεπεῖς.

Ἐξείδιον, σημαίνει τὴν ἕξιν. καὶ εἰ μὲν ἀπὸ τῆς ἕξεως γενικῆς ἐστι, γράφεται δίφθογγον. εἰ δὲ ἀπὸ τῆς ἕξιος, ἐξίδιον, διὰ τοῦ ι.

Ἐξείη, ἔξοδος, κέρδος.

Ἐξείης, ἐφεξῆς, ἐπίρρημα τάξεως. ἑξῆς, καὶ πλεονασμῷ τῆς ει διφθόγγου ἐξείης. σημαίνει παρὰ ποιηταῖς τὸ ἐφεξῆς, ἐπὶ στίχον.

Ἐξείη, συνεκεχώρητο, εἴθιστο. Ξενοφῶν, ᾔδεσαν γὰρ πάντες, ὅτι ἐξείη αὐτῷ, καὶ ἀριστῶντι καὶ δειπνοῦντι προσελθεῖν. καὶ εἰ καθεύδει, ἐπεγείραντα εἰπεῖν, εἴ τις τι ἔχει πρὸς πόλεμον.

Ἐξηκάδιοι, οἱ ἐκτὸς τῆς εἰκάδος, καὶ τάγματος τοῦ αὐτοῦ.

Ἐξηκασμένος, πεπλασμένος πρὸς ὁμοιότητα. Ἀριστοφάνης, Μὴ δείδιθ', οὐ γάρ ἐστιν ἐξηκασμένος. ἔθος γὰρ ἦν τοῖς κωμικοῖς, ὅμοια τὰ προσωπεῖα ποιεῖν τοῖς κωμῳδουμένοις ὑπ' αὐτῶν, καὶ περιτιθέναι τοῖς ὑποκριταῖς.

Ἐξείκλω, ἀποδείπνου.

Ἐξείκοιτο, παρεγένετο.

Ἐξηκονισμένον, μεμορφωμένον, ἢ τέλειον.

Ἐξειλεγμένος, οὐκ ἐκλελεγμένος.

Ἐξειλεῖν, ἐκβαλεῖν.

Ἐξεῖλε τοῦτον αἰτίας, κάλλιον λέγειν, ἢ ἐξέβαλεν. εἷλε τὴν πόλιν, καὶ ἐξεῖλε, καὶ ἐξαιρεῖ, καὶ ἐπόρθησε, καὶ περιεποιήσατο, μαρτυρία τοῦ ἐξαιρεῖ παρὰ Δημοσθένει, ἀλλὰ καὶ νῦν ἐξαιρεῖ πολλὰ τῶν φρουρίων. καὶ τοῦ ἐξεῖλε παρὰ Θουκυδίδῃ, Συκιναίους ἐξελεῖν, καὶ ἀποκτεῖναι. οὐ μόνον γὰρ ἐπὶ πόλεως λαμβάνεται τὸ ἐξελεῖν, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων. ὡσαύτως καὶ τὸ περιεστήσατο, καὶ ἐπὶ γνώμης.

Ἐξείλετο, ἀντὶ τοῦ ἐρρύσατο. ἀφείλετο δὲ, ἀντὶ τοῦ ἐστέρησεν. καὶ ἐξείλετο, ἔλαβεν. ἢ ἐξείλετο φρένας θεός. τοῦτο ἐπὶ τοῦ Γλαύκου, παρὰ Ὁμήρῳ ἐπὶ ἐπαίνου τὸν λόγον ἔθετο, καθὰ καὶ Πορφυρίῳ δοκεῖ, ἀντὶ τοῦ ἐξαιρέτους τὰς τοῦ Γλαύκου φρένας ἐποίησεν. ἐπὶ τοῦ βασιλέως δὲ ἐν τῷ ἰῶτα, ἐπὶ ψόγου, ἀντὶ τοῦ ἐστέρησε.

Ἐξειλῆσαι, οἱ Ἀλεξανδρεῖς ἐπὶ τοῦ ἐκφυγεῖν λέγουσιν.

Ἐξείλετο, ἐρρύσατο.

Ἐξείλοντο, ὡς ἐξαίρετα ἔλαβον.

Ἐξείλοχεν, οὐκ ἐκλέλοχεν.

Ἐξηλώπισεν, ὡς ἐπὶ τοῦ λοιποῦ ἐξεπόρθησεν.

Ἐξειμένοι, ἀφειμένοι.

Ἔξειμι, οὐκ ἐξελεύσομαι λέγουσιν Ἀττικοί.

Ἐξεῖναι, δυνατὸν εἶναι.

Ἐξείνει, ἐκκενοῖ, παρὰ τῷ Ἱπποκράτει.

Ἐξείνισαν, ἐξένισαν, ἐξενοδόχησαν.

Ἔξειον ἐπιζήμιον, τὸ καταδικάζειν τοῖς ἑκουσίοις. οἱ δὲ, ἀπόλυσιν ἐγκλήματος.

Ἐξείπω, φανεροποιήσω.

Ἔξειρα, σκορπίος, ὁ ἰχθύς.

Ἐξείραντες, ἐξελκύσαντες, ἐξελόντες. Ἀριστοφάνης, τὴν γλῶτταν ἐξείραντες αὐτοῦ ἐκκοψόμεθα.

Ἐξείργειν, ἀπείργειν, κωλύειν.

Ἐξαρειῶν, ἐξερευνῶν.

Ἐξείρπυσεν, ἐξήρθη, ἐξῆλθεν. ἡ δὲ ἔχιδνα ἐξείρπυσεν ὑπὸ τοῦ πυρὸς ἀναγκασθεῖσα.

Ἐξεῖρψεν, ἐκ τοῦ ἕρπω, ἕρψω, εἷρψα, ἐξεῖρψα. καὶ ἐξεῖρψεν, ἐξέβαλεν, ἐνέδωκεν.

Ἐξειρύσας, ἑλκύσας.

Ἐξεῖς, ἀφιείς.

Ἐξεῖσθα, θύραζε, τὸ ἁπλοῦν πρὸ τούτων, ἐν τῷ βλήμενος εἶσθα.

Ἔξεισιν, ἀπέρχεται.

Ἐξειστήκει, ἐξηλλάττετο, καὶ θύμῳ εἴχετο. καὶ ἡ χρόα αὐτοῦ ἐξειστήκει.

Ἔξεισι, ἐξελεύσεται.

Ἐξεκάκησα, ἀπηγόρευσα.

Ἐξεκαρυκεύθη, ὀψοποιήθη, συνεκόπη. καρύκη γὰρ, ἔδεσμα ἐκ πολλῶν συγκείμενον.

Ἐξεκέδασεν, ἐξεπέτασεν.

Ἐξ ἐκείνου, οὐκ ἐκ τότε, οὐδὲ ἀπὸ τότε λέγομεν. οἷον, ἐξ ἐκείνου τοῦ καιροῦ. καὶ ἐξ ἐκείνου, ἄνευ τοῦ καιροῦ, ἢ τοῦ χρόνου, ἐλλειπτικῶς λαμβανομένων. ἔκτοτε δὲ καὶ ἀπὸ τότε, οὐ χρὴ γράφειν. καὶ ἁπλῶς εἰπεῖν ἐν τοῖς ἐπιρρήμασι τοῖς χρόνον δηλοῦσι, τὰς προθέσεις οὐχ εὑρίσκονται συνάπτοντες οὔτε οἱ Ἀττικοὶ, οὔτε παρὰ τοῖς ποιηταῖς οἱ Ἴωνες.

Ἐξεκεκλήκει, ἐκ τοῦ δείπνου ἀνίστη. Νυκτὸς δὲ γενομένης, τοὺς οἰκέτας ἐξεκεκλήκει τοὺς ναννάρους.

Ἐξεκέκλητο, προεκαλεῖτο. ὡς τὸ, Ταχὺ δὲ ἐξεκεκλήκετο αὐτοὺς πρὸς τὴν πρᾶξιν, ἅτε οἰκείους ὄντας τῶν τοιούτων ἐγχειρημάτων.

Ἐξεκελέμησεν, ἐξηύλησεν, ἔθελξεν.

Ἐξεκήρανεν, ἐξέφθειρεν.

Ἐξεκηρύωσας, ἐξέστησας.

Ἐξεκίνησεν, ἐξεδίωξε. Σοφοκλῆς, Παίζων κατ' ἄλσος ἐξεκίνησε ποδοῖν, στικτὸν κεράστην ἔλαφον.

Ἐξεκλησίασε, συνήθροισεν.

Ἐξεκλείσθη, ἀντὶ τοῦ ἀπέκλεισεν αὐτὴν ἡ πίστις, οὕτω παρὰ τῷ Ἀποστόλῳ.

Ἐξεκνιμώθη, ἐξεφθάρη.

Ἐξέκνισεν. Ἡρόδοτος, Δελτίον δίπτυχον λαβὼν, τὸν κηρὸν αὐτοῦ ἐξέκνισεν, ἐξέκοψεν.

Ἐξεκοδόαξεν, ἐξέχεεν.

Ἐξεκόκκισεν, ἀντὶ τοῦ ἐξέκλασεν, ἐξέβαλεν. ἡ μεταφορὰ ἀπὸ τῶν κόκκων.

Ἐξεκόμευσεν, ἐπόρνευσεν.

Ἐξεκόμπησεν, ἐξέπληξεν.

Ἐξεκονόθη, κατηντλήθη.

Ἐξεκόπη τοὺς ὀφθαλμοὺς, καὶ ἀνεκόπη, κάλλιον ἐρεῖς, ἢ ἀφῃρέθη. Ἀριστοφάνης, εἴθε ἐξεκόπην τὸν ὀφθαλμὸν πρότερον λίθῳ. Φιλόστρατος, τὰς ὄψεις ἀνακοπείς. τὸ δὲ ἐτυφλώθη, κοινόν.

Ἐξεκορώθη, ἐξαλλώθη.

Ἐξεκύκλησεν, ἐξώσεγκεν. Αἰλιανὸς, ἐπεὶ δὲ εἰς τὸ θέατρον ἐξεκύκλησαν αὐτὸν, ἐπηλυγασάμενος τὴν κεφαλὴν ἦν τὸ ἄσωτον.

Ἐξελάαν, ἐξελάσαι, ἀποδιῶξαι.

Ἐξέλαθον, λαθεῖν ἠδυνήθησαν.

Ἐξελασθέντες, ἐκβληθέντες.

Ἐξελάσαιμι, ῥῆμα εὐκτικόν. ἐκ τοῦ ἐλάω, ἐλῶ, ἐλάσω.

Ἐξελάσωμεν, ἐκβάλωμεν.

Ἐξελατέους, ἐκδιωκτέους.

Ἐξελέγχειν, φανεροποιεῖν. Ὁ δὲ ἠξίου, ᾗ τάχος, τὰ πραχθέντα βασάνοις ἐξελέγχειν.

Ἐξέλεεν, ἐξήρει.

Ἐξελεῖν, τὸ ἐκβαλεῖν. ὅθεν καὶ ἐξούλης δίκη, ἐπὶ τῶν νικησάντων ἀποβαλεῖν χωρίον, ἢ οἰκίαν. ἢ ἐξελεῖν, καὶ ἐξελέσθαι παρὰ τῷ ποιητῇ, τὸ ἐπιλέξασθαι, καὶ δοῦναι τὸ ἐξαίρετον. αἱρεῖν δὲ καὶ ἑλεῖν, ἐπὶ τῆς αὐτῆς ἐννοίας λαμβάνονται. ὅθεν καὶ συνθέτως ἐξαιρεῖν, καὶ ἐξελεῖν ταυτά. ἐξελεῖν δέ ποτε λέγεται καὶ τὸ ἐκβαλεῖν, καὶ τὸ ἀπολέσθαι. καὶ ὑπεξελεῖν, τὸ εἰς μέρος θεῖναι. τοῦτο δὲ καὶ ἐξαιρεῖν ὀνομάζεται. ὅθεν ἐξαίρεσιν λίθου, φησὶ που Ἡρόδοτος.

Ἐξέλειπεν, ἐπαύσατο.

Ἐξέλεξε, συνήθροισε. χρήματα δὲ παρὰ τῶν Λιβύων, πολλὰ μὲν ἐς τὸ κοινὸν ἐξέλεξεν.

Ἐξελέσθαι θυμὸν, ἢ ἀντὶ τοῦ ἁπλῶς ἐκβαλεῖν, καὶ ἀφελεῖν. ἢ καὶ ἀντὶ τοῦ τὸ ἐξαίρετον ἐν ἀνθρώποις λαβεῖν. εἰ δὲ γράφεται ὀλέσαι, συγκροτεῖ τὴν γραφὴν Εὐριπίδης ἐν τῷ, Ἕκτορός τ' ἀπώλετο ψυχή. καὶ ἐξελέσθαι, τὸ σῶσαι.

Ἐξελεύθεροι, οἱ τῶν ἐλευθερουμένων υἱοί.

Ἐξέλεψεν, ἐξέγλυψεν, ἐξελέπισεν.

Ἐξελήλεκται, καὶ ἐλήλεκται, καὶ ἐλέγχει, ἐξελέγχει πρὸς μετοχὴν, καὶ ἀπαρέμφατον ἀποδιδόμενα. οἷον ἐλέγχουσι ποιήσαντα τάδε. ὁμοίως καὶ ἐξελέγχω. Ἀττικῶς δ' ἀποδίδοται πρὸς μετοχήν. οἷον ἐλέγχω, καὶ ἐξελέγχω σε κακουργοῦντα. ὡς καὶ παρὰ Δημοσθένει, Ἂν μὲν οὖν ἐλέγξω σαφῶς, Αἰσχίνην τουτονὶ, καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα. τίθεται τὸ ἐξελέγχειν κυρίως, ὅταν ἐπὶ προδήλων καὶ ἀληθῶν ἐγκλημάτων κατηγορῆταί τις.

Ἐξελήλυθα, Ἀττικὸς παρακείμενος, ἐκ τοῦ ἐλεύθω, ἐλεύσω, ἤλευκα. καὶ μέσος, ἤλευθα, καὶ Ἀττικῶς, ἐλήλυθα, καὶ ἐξελήλυθα.

Ἐξελαθῆναι, ἐκδιωχθῆναι.

Ἐξελιγμὸς, κίνησίς τις παρὰ τοῖς τακτικοῖς ἢ ἐνόπλιος.

Ἐξελίξαντες, εἶτα ὑμεῖς τὰς φάλαγγας ἐξελίξαντες ἀγχίστροφοι γινόμενοι, ἀντιμέτωποι γίνεσθε τοῖς διώκουσιν. καὶ ἐνόπλιοι διαδρομαί τινες ἐγίνοντο, καὶ ἐξελίξεις καὶ περίοδοι.

Ἐξέλιπε μόλυβδος, φυσητὴρ, καὶ τὸ ὄργανον, ᾧ ἐμφυσᾷ ὁ χωνευόμενος, καὶ ὁ ἄνθρωπος ὁ τὸ ὄργανον μεταχειριζόμενος. συγκαίουσι δὲ τῷ ἀργύρῳ μόλυβδον, ἵνα συγκαιόμενος ἀνιμᾶται καὶ ἀναλαμβάνῃ εἰς αὐτὸν τὸ νόθον.

Ἐξέλιπον, ἐξώλισθον.

Ἐξελίσσουσι, κινοῦσιν.

Ἐξελκόμενος, περιαγόμενος, περισυρόμενος.

Ἐξελλινίζει, εὔρυθμον ἀπεργάζεται.

Ἐξελόμην, δρᾶ ὅτι διαφέρουσι τὸ ἑλεῖν, καὶ ἐξελέσθαι παρ' Ὁμήρῳ, ἐν τῷ ι. ἑλεῖν μὲν γὰρ, τὸ αἰχμαλωτίσαι. ἐξελέσθαι δὲ, τὸ ἁπλῶς ἐπιλέξασθαι. τὸ μέντοι χάριν ἑτέρου ἐκλέξασθαι, ἐξελεῖν ἀλλαχοῦ λέγεται, ἐνεργητικῶς. ἐν τῷ ἐξεῖλον Ἀτρείδῃ, τουτέστιν ὡς ἐξαίρετον ἔδωκαν.

Ἔξελον συνήθως, ἀντὶ τοῦ κατ' ἐξαίρετον ἔδωκαν, ὡς ἐξαιρέτῳ κατὰ τὴν βουλήν.

Ἐξελοφίζετο. ἡ δὲ γῆ, ἐκ τῶν δικαιαρχιστολόφων ἐξελοφίζετο.

Ἐξελύθη, ἐπαύσατο τῆς ὁρμῆς.

Ἐξελύτρωσας, ἐγύμνωσας.

Ἐξελῶ, ἐκπέμπω, ἀποπέμπω, ἀποπέμπομαι, ἀποσοβῶ, ἀπωθῶ, ὠθῶ, παρωθῶ, διωθοῦμαι, ἀπωθοῦμαι, διώκω, ἐλαύνω, ἐξελαύνω, ἀπελαύνω, ἐλῶ.

Ἐξελώπισεν, ἀπώθησεν.

Digitized by Google

Ἐξεμάνισαν, εἰς μανίαν ἐνέπεσον.

Ἐξ ἐμέθεν, ἐξ ἐμοῦ.

Ἐξεμεῖν, ἐκκενοῦσθαι. Ἀριστοφάνης, Μυδῶσ' ἱκετεύω εἴπῃς δηλονότι, πλὴν ὅτι μέλλω ἐξεμεῖν.

Ἐξεμελέτησα μεταβατικῶς, ἀντὶ τοῦ μελέτας γράφειν ἐποίησα.

Ἔξεμεν, ἤγουν ξυνέξειν.

Ἐξέμεν. τὸ ἕμεν δασύνεται. ἐκ γὰρ τοῦ ἵημί ἐστιν, ὁ δεύτερος ἀόριστος ἧν, τὸ πληθυντικὸν ἕμεν. τὸ ἀπαρέμφατον, ἕμεναι, καὶ ἀποκοπῇ ἕμεν, καὶ ἐξέμεν. ἢ ἐκ τοῦ ἐῶ, εἰς ἔντος εἶναι. καὶ πλεονασμῷ τοῦ με, ἐμέναι, καὶ ἀποκοπῇ ἔμεν καὶ ἐξέμεν, ἤγουν ἐκπέμψαι. καὶ ἐξέμεν, μὴ δ' ἐξέμεν ἂψ ἐς Ἀχαιούς, ἀντὶ τοῦ ἐκπέμψαι καὶ ἀπολύσαι. σημαίνει καὶ τὸ κρατῆσαι καὶ φυλάξαι. ἐκ τοῦ ἵημι, τὸ ἀπαρέμφατον ἕμεν, καὶ εἶναι, ὡς θεῖναι θέμεν.

Ἐξεμέτρει, ἐπὶ ἅλωνος ἐμέτρει.

Ἐξεμήμεκεν, ἀπήρασεν, ἐξέχεεν.

Ἐξεμηρύσατο, διεξῆλθεν. ὁ δὲ Ἀννίβας ἐν ὅλῃ τῇ νυκτί, μόλις ἐξεμηρύσατο τὰς χαράδρας.

Ἐξέμμορεν, ἔλαχεν.

Ἐξέμολεν, ἐξῆλθεν.

Ἐξ ἐμοῦ, παρ' ἐμοῦ.

Ἐξεμοῦντες, ἀποβάλλοντες.

Ἐξεμάσσωσεν, ἐξεπαίδευσεν.

Ἐξεμόχλευσεν, ἐκίνησεν ἐκ θεμελίων.

Ἐξέμπαλιν, ἐπαριστέρως.

Ἐξεναντίας, ἐπίρρημα. καὶ ἐξεναντίων, ἐξαντικειμένων.

Ἐξενάριξας, ἐσκύλευσας.

Ἐξ ἐνάρων, ἐκ τῶν σκύλων.

Ἐξενεγκεῖν λέγεται ἰδίως, ἐπὶ νεκροῦ καὶ ἐπὶ ἄλλων. καὶ ἐξενεγκεῖν, ἀντὶ τοῦ ἁπλῶς ἐκβαλεῖν, καὶ ἀντὶ τοῦ νεκρὸν ἐξαγαγεῖν, ὥσπερ καὶ τὸ ἐκφέρειν. ἐκφέρουσι μὲν τὸν νεκρὸν ἐπὶ ἡμέρας, οὐκ ἐπὶ νυκτός, ἵνα πάντες αὐτὸν ἴδωσι, μὴ φαρμάκοις, ἢ τοιούτοις τισί, καὶ οὐ θανάτῳ φυσικῷ τέθνηκεν. ἐξώνεγκε, καὶ ἐξέφερέ τις μέμψιν κατά τινος.

Ἐξ Ἐνετῶν, πόλις Παφλαγονίας.

Ἐξένευσαν, παρῃτήσαντο, ἀπηρνήσαντο. ὡς πρὸς ἄλλους πόλεμον ἔχοντες, ἐξένευσαν τὴν βοήθειαν, καὶ ἀντὶ τοῦ ἐκολύμβησαν. Θουκυδίδης, καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν.

Ἐξευνῆφιν, ἀντὶ τοῦ ἐξ εὐνῆς. Ὅμηρος ἐν Ὀδυσσείας β. ὄρνυτ' ἐξ εὐνῆφιν. καὶ Ἰλιάδος θ, ὥρα καὶ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἴαλλεν. ἀντὶ τοῦ ἀπὸ νευρᾶς, κατὰ προσχηματισμὸν τῆς φι συλλαβῆς.

Ἐξένιζεν, ἀντὶ τοῦ ξένος ἦν. καὶ οὐχ ὡς Δίδυμός φησιν, ἀντὶ τοῦ οὐκ Ἀττικῶς διελέγετο, ἀλλὰ ξενικῶς.

Ἐξένισεν, ἐξενοδόχησε, καὶ ἀντὶ τοῦ ἀπέκτεινεν.

Ἐξ ἐνοπῆς, ἐκ τῆς μάχης, ἢ βοῆς.

Ἐξ ἑνὸς τὰ πάνθ' ὅρα, ἐπὶ τῶν παρορώντων.

Ἐξονόμαζε παρ' Ὁμήρῳ. οἱ μὲν ἀντὶ τοῦ ἐξ ὀνόματος ἐκάλει φασίν, ὅπερ ἐν πολλοῖς οὐκ ἀληθὲς εὑρεθήσεται. οἱ δὲ ἀκριβέστεροι ἀντὶ τοῦ ἐλάλησεν ἁπλῶς, ὡς εἶναι ἐκ παραλλήλου ταῦτα, τὸ ἔπος τ' ἔφατο, καὶ τὸ ἐξονόμαζεν. ὥσπερ καὶ ἐν τῇ ῥαψῳδίᾳ φησὶ ἐπέφραδε, καί μοι ἔειπε. καὶ ἐκεῖ γὰρ τὸ φράζειν καὶ τὸ εἰπεῖν τὸ αὐτὸ ἐκ παραλλήλου ἐστί. καὶ ἄλλως δὲ εἰπεῖν κατὰ τοὺς παλαιούς, ἐξονομάζειν ἐστί, τὸ ἐξοδικῶς λέγειν, ἤτοι μὴ μετρίαις τισὶ λέξεσιν, ἀλλὰ λόγῳ χρῆσθαι τῷ ἐξ ὀνομάτων πολλῶν συγκειμένῳ, ἤτοι ἐκ λέξεων. ὄνομα γὰρ καὶ ῥῆμα παρὰ τοῖς ῥήτορσι, πᾶσα μὲν λέξις ἐλέγετο. τὸ μέντοι ὀνομαστὶ καλεῖν, ὀνομαίνειν καὶ ἐξονομαίνειν λέγεται.

Ἐξεντισμέναι, κεκοσμημέναι.

Ἐξεῖντο, παρὰ τὸ ἐῶ τὸ πληρῶ, ἐξ οὗ τὸ ἕλος. ἀφ' οὗ παράγωγον, ἕημι, οὗ δεύτερος ἀόριστος ἧν, ὁ μέσος ἥμην. τὸ τρίτον τῶν πληθυντικῶν ἧντο, καὶ Ἰωνικῶς ἕντο. ἀπὸ δὲ τοῦ τοιούτου ἕημι. καὶ τό, ἐξ ἔρον ἕντο, παρὰ τῷ ποιητῇ, ἀντὶ τοῦ ἐκπλῆσαι τὸν ἔρον, δασυνομένης ἐκεῖ τῆς ἀρχούσης τοῦ ἕτο. ἐξ αὐτοῦ δὲ καὶ τό, ἐπεί χ' ἑῶμεν πολέμοιο, ἀντὶ τοῦ ἐπειδὰν πληρωθῶμεν καὶ κορεσθῶμεν μάχης.

Ἐξ ἐπάλξεων, ἐκ τῶν προμαχώνων.

Ἐξέπαλτο, ἐξεπήδησεν.

Ἐξεπαπίγησαν, ἐξεφώνησαν.

Ἐξεπατάχθη, ἐξεπλάγη.

Ἐξεπαφῆς, ἐκ ψηλαφήσεως.

Ἐξέπερσεν, ἐξεῖλεν, ἐπόρθησεν.

Ἐξέπισε, πόρρω ἀπέφυγον. καὶ πλανηθέντες τῆς νόσου ἐξέπεσον.

Ἐξεπετάννυτο, ἐξηνοίγετο, παρὰ τῷ Ἀριστοφάνει ἐν Ἱππεῦσιν.

Ἐξεπέτασεν, ἥπλωσεν, ἀνέωξεν.

Ἐξεπήδων, κυρίως ἐπὶ ἵππων.

Ἐξέπελεν, ἐξεγένετο.

Ἐξ ἐπιδρομῆς, ἐξαίφνης.

Ἐξ ἐπιδιφριάδος πυμάτης, ἐξ ἄκρας τῆς ἄντυγος τοῦ δίφρου, ἐκ τῆς ἐπιβάσεως. τοῦ παραβάτου γάρ, τοῦ δίφρου, καὶ τοῦτο τὸ μέρος.

Ἐξ ἐπιμέτρου, ἐκ περιμέτρου. ἡ τῶν Ἐσσαίων αἵρεσις, οἵ εἰσιν Ἰουδαῖοι, τῶν Φαρισαίων καὶ γραμματέων τὴν δικαιοσύνην, ἐξ ἐπιμέτρου ὑπερανέστηκεν.

Ἐξέπινε, προέπινεν.

Ἐξ ἐπιπολῆς, οὐδεὶς τῶν δοκίμων εἶπεν, ἀλλὰ πάντες χωρὶς τοῦ ἐξ. Ἀριστείδης, ἐν τῷ Αἰγυπτιακῷ. ἐπειδή σοι περὶ βραχέων καὶ ἐπιπολῆς ἐπεκρινάμην. καὶ ἐξ ἐπιπολῆς, ἄνωθεν.

Ἐξεπίτηδες τοῦτο ἐποίησας, ἀντὶ τοῦ ἐπὶ τούτῳ. καὶ ἐξεπίτηδες, ἐπιτετηδευμένως. ἐξεπίτηδες, καὶ ἐπίτηδες, ἑκατέρως λέγουσιν Ἀττικοί. ἀντὶ τοῦ μάτην, ἐξ ἀνάγκης, ἀργῶς. ἐξεπίτηδες ἡ πόλις ἄρχειν καθίστησι δικαστάς.

Ἐξεπιώκατον, θλίβουσιν, ἢ ἐθλίψατε. ὡς ἐμοῦ γε τῷ ξύλῳ τὸν ὦμον ἐξεπιώκατον. Ἀριστοφάνης Λυσιστράτῃ.

Ἐξεπλάγην, ἀντὶ τοῦ ἐθαύμασα. καταπλάγην, ἀντὶ τοῦ ἐφοβήθην. καταπλήγην, ἀντὶ τοῦ τεθαυμάτισμαι.

Ἐξέπλει, ἐξέπλεεν.

Ἐξέπλευσεν, ἐξώκειλε, παρετράπη. ὁ δὲ ἐξέπλευσε τῶν φρενῶν πολλά, καὶ ἐξέπλευσας, ὁμοίως. οὕτως Ἡρόδοτος.

Ἐξέπλευσας, ἐξώκειλας παρεκβάτης.

Ἐξεπολέμωται. ὁ πολέμιόν τινα ἑτέρῳ ποιήσας, πεπολέμηται ὁ πολεμωθείς.

Ἐξεπολέμωσεν, ἀδιαλλάκτως εἰργάσατο.

Ἐξεπολέμωτο, ἐνικήθη.

Ἐξεπράθομεν. ἔστι πέρθω. ὁ δεύτερος ἀόριστος, ἔπραθον, καὶ ἐξέπραθον, ἐπόρθησεν.

Ἐξέπραξεν, ἀντὶ τοῦ ἀνεῖλεν. οὕτω Πορφύριος, ὅτε πυρφόρος θεοῦ κεραυνὸς ἐξέπραξεν. καὶ ἐξεπράξατο, ἐφόνευσεν.

Ἐξεπρέμνιζον, ἀντὶ τοῦ κατέβαλον τὰ πρέμνα. αὐτοῖς, μέχρι ῥιζῶν τὰ στελέχη. Δημοσθένης ἐν τῷ περὶ ἁγνοῦ κλήρου.

Ἐξέπτω, ἐκ τοῦ πτῶ, πτῆμι, πτήσω. ἀόριστος δεύτερος ἔπτην, καὶ ἐξέπτην.

Ἐξεπύθετο, ἀντὶ τοῦ ἔμαθεν. οἷον, οὐκ ἔκ τινος ἀνθρώπου ἐξεπύθετο. παράγεται δὲ ἐκ τοῦ πεύθω, τὸ ἐρωτῶ καὶ μανθάνω.

Ἐξεπύρωσεν, ἐξέθλιψεν.

Ἐξ ἐράνου, ἔρανος, εὐωχία.

Ἐξεράσατε τοὺς λίθους, ἐκκενώσατε, ἐκβάλλετε, ἀπορρίψατε. πεποίηται δὲ ἡ λέξις, ἀπὸ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς.

Ἐξεργάσει, διαφθείρει.

Ἐξ ἐρέβους, ἐκ τοῦ σκότους.

Ἐξερεβέσφιν, ἀντὶ τοῦ ἐξ ἐρέβους. Ὅμηρος Ἰλιάδος ι, ἔκλυεν ἐξ ἐρεβέσφιν ἀμείλιχον ἦτορ ἔχουσα. ἀντὶ τοῦ ἐξ ἐρέβους.

Ἐξερέῃ, ἐξηγῇ.

Ἐξερέοντες, ἐξερευνῶντες.

Ἐξερεύνηκα, ἐξηύρηκα.

Ἐξερεύμην, ἐξέρεισα ἐλάμβανον.

Ἐξευρεύξεται, ἐκφέρῃ, ἐξενέγκῃ.

Ἐξευρεῦσαι, ἐξαγαγεῖν, ἑλκύσαι.

Ἐξερέω, λέξω, ἢ τὴν ἐπιθυμίαν ἐπλήρωσε. καὶ ἐξερέων, ἐξερευνῶν.

Ἐξερήσομεν, ἐξερωτήσομεν.

Ἐξεριθεύονται, πρὸς κακόνοιαν ἐκκαλοῦσιν. οἱ τῆς στρατηγίας ὀρεγόμενοι, ἐξεριθεύονται τοὺς νέους, καὶ παρασκευάζουσιν εὔνους συναγωγὰς εἰς τὸ μέλλον.

Ἐξερίτῃ, ἐκπίσῃ.

Ἐξέρκιτος, κατὰ Ῥωμαίους τὸ στρατόπεδον.

Ἐξέροιτο, ἐζήτει καὶ διηρώτα.

Ἐξ ἔρον εἶναι, κανονίζεται μὲν ἀπὸ τοῦ ἕω, καὶ ἕημι, τὸ πληρῶ. ἐξ οὗ καὶ τὸ ἐξ ἔρον ἕντο. καὶ δασύνεται, ὡς καὶ τὸ ἕντο. σημαίνει δὲ καὶ τὸ κορεσθῆναι, καὶ ἐκπλῆσαι τὸν τοῦ κόρου ἔρωτα. ἔστι δὲ καὶ ἡ παρὰ τῷ κωμικῷ μετὰ πνεύματος δασέος, τὸ εἶναι. δηλοῖ δὲ ἐκεῖ τὸ ἀφεῖναι, καὶ πέμψαι.

Ἐξ ἔρον ἕντο. ἵημι, ἥσω, ἧκα. ὁ δεύτερος ἄχρηστος, ὁ μέσος, ἥμην, ἐν χρήσει μετὰ προθέσεως. οἷον προέμην. ἀφ' οὗ προέμενος. καὶ μετὰ τῆς ἀπό, ἀφέμενος. καὶ προείμην καὶ πρόειτο, τὸ τρίτον τῶν πληθυντικῶν, ἕντο. καὶ μετὰ τῆς ἐξ, ἐξέντο ποιητικῶς, ἀντὶ τοῦ ἀφῆκαν, ὁ μέσος ἀντὶ τοῦ ἐνεργητικοῦ, καὶ ἡ ἐξ ἀντὶ τῆς ἀπό. λέγεται μὲν οὖν τὸ ἀφίημι, ἀντὶ τοῦ ἐῶ, καὶ ἀπολύω. οἷον ἀφίημί σε ἐλεύθερον. καὶ ἀντὶ τοῦ καταλείπω, οἷον ἀφίησί τις τοῖς ἑαυτοῦ παισὶν ἐν διαθήκαις τόδε. καὶ ἀντὶ τοῦ πέμπω. οἷον, ἀφίημι βέλος. καὶ ἀντὶ τοῦ ἀναγινώσκων τί τινος, ἢ εἰργασμένος ὑπό τινος καταλιμπάνω αὐτό. οἷον, ἀφίημι τὴν τῶν λόγων σπουδήν. εἴργουσι γάρ με τὰ πράγματα. καὶ ἀφίημι τὴν ἐπιθυμίαν τῆς τροφῆς, οὐκ ἐθέλων δηλοῦσθαι δηλονότι αὐτῇ, ἅτε ἐμπάθειαν ἐχούσῃ. λέγεται ἔξεντο, ἀντὶ τοῦ ἐπλήρωσαν. ἐνταῦθα δὲ τὸ ἀφῆκαν, οὐ κατὰ τοῦτο λαμβάνεται τὸ σημαινόμενον, ἀλλὰ ἀντὶ τοῦ ἐπλήρωσαν. λέγεται ποιητικῶς ἐπὶ ταύτην τὴν σημασίαν μετενηνεγμένον ἐγγύς, κατά τινα τρόπον οὖσαν.

Ἐξέρπον, ἐξεπορεύοντο.

Ἐξερπετεῖν, ἐξεῖναι.

Ἐξερπύσωσι, βαδίσωσι.

Ἐξερπύσαι, ἐξολισθῆσαι.

Ἐξερρύησαν, ἐξέρρευσαν, ἠφανίσθησαν. λαμβάνεται δὲ ἐπὶ τῶν ἐν πολέμῳ φευγόντων.

Ἐξερρωγυῖα, διεφθαρμένη. Προκόπιος, ναῦν τὸν τρόπον ἐξερρωγυῖα.

Ἐξέρρωσας, ἐπ' ἐμὲ ἀφῖξαι, ἤτοι ἐπὶ τῶν νεύρων.

Ἐξερύοι, ἐξέλκοι.

Ἐξερῶ, τὸ ἀκριβῶς λέξω. οὕτω καὶ ἐξερήσομαι, τὸ ἀκριβῶς ἐρωτήσω. ἢ ἐξερῶ, εἴπω, ἢ ἐξοίσω.

Ἐξ ἔρωτος ἐνίοτε νόσος ἐπισυμβαίνει, ὅπερ Ἀντίοχος ὁ Σελεύκου παῖς ἔπαθεν, εἶτα ὑπὸ ἰατρῶν ἐφωράθη τὸ πάθος.

Ἐξεσάλαξας, μετεκίνησας. τὴν δ' ἐνὶ θυμῷ ἐξεσάλαξας ὅλην θάμβει φαντασίην.

Ἐξέσας, ἔξωθεν. Λάκωνες.

Ἐξεσία, ἡ δημοσία πρεσβεία, ὡς εἰπεῖν ἔκπεμψις. ὡς ἀπὸ τοῦ ἐξίημι ἐξήσω, ὅθεν καὶ ἔξεσις παρὰ Ἡροδότῳ ἡ ἀπόπεμψις. ἐπειδὴ ἐκπέμπονται οἱ στελλόμενοι πρέσβεις. ὅθεν ἐξεῖναι, τὸ ἐκπέμψαι. ὅπερ ἐξέμεν λέγει ὁ αὐτὸς ποιητής, κατὰ παραγωγὴν συνήθη τοιαύτην. ἵημι τὸ πέμπω. ὁ δεύτερος ἀόριστος ἧν, ἡ μετοχὴ εἷς, ἕντος. τὸ ἀπαρέμφατον εἶναι, μετὰ δασείας, ὡς κεῖται παρὰ τῷ κωμικῷ ἐν Βατράχοις. ἐξ οὗ, τὸ ἀφεῖναι, καὶ μεθεῖναι. ὅπερ κατ' ἐπένθεσιν δωρικὴν τῆς με συλλαβῆς γίνεται εἵμεναι. καὶ Ἰωνικῇ ἀπελεύσει τοῦ ι, ἕμεναι. καὶ μετὰ τῆς ἐξ προθέσεως, ἐξέμεναι. καὶ κατὰ ἀποκοπὴν αἰολικήν, ἐξέμεν.

* Ἔξεσις παρ' Ἡροδότῳ ἡ ἀπόπεμψις παρὰ τὸ ἐξίημι ἐξήσω. καὶ ἔξεσις γυναικὸς τὸ διαζύγιον.

Ἐξεσίην, δημοσίαν, ἐκπόμπιμον χρείαν, ἀγοράν, λῆμμα, πρεσβείαν, δημηγορίαν, ἀπαίτησιν, χρήματα.

Ἐξέσμων, ἔσμηχον. καὶ ἔσμων δέ, τὸ αὐτό.

Ἐξέσιον, ὑπῆρχον.

Ἐξεσκληκός, τὸ ὑποξηρανθέν.

Ἐξεσκύλευσεν, ἐξέδυσεν.

Ἐξεσόβησα, ἐξεδίωξα. ἔκχυτον ἐκ στέρνων ἐξεσόβησα νόον. καὶ πτῶκας πολλάκις ἐξεσόβει.

Ἐξέσσυτο, ἐξώρμησεν, ἐξήρχετο.

Ἐξεστακέναι, καταπλῆξαι.

Ἐξέσται, ἐπεξουσιάσαι.

Ἐξεστεμμένος, κεκοσμημένος. εἰώθασι γὰρ τῷ στέφειν χρῆσθαι ἀντὶ τοῦ κοσμεῖν. στέμμα δέ ἐστι, τὸ προ-

Digitized by Google

τὸ προσειλημμένον ἔργον τῷ θεάλλῳ.
Ἐξέστηκε, μαίνεται.
Ἐξεστηκόσι, εἰς δίκην κεκληκόσι.
Ἐξεστηκὼς λέγεται, ἁρμοζόντως ἐπὶ τοῦ ἐξαμμένου οἴνου. Ἀριστείδης, οἷον εἴ τις μετὰ ἀνθοσμίαν οἶνον τῶν ἐξεστηκότων τινὰ πίνοι.
Ἐξέστην, ἐθαύμασα, ἐξεπλάγην.
Ἐξέστησαν, ὑπεχώρησαν. οἱ δὲ βάρβαροι ἐξέστησαν αὐτοῖς ὡς κρείττοσιν.
Ἐξέστησεν, ἀντὶ τοῦ ἐξέπληξε, καὶ ἀντὶ τοῦ μετήγαγεν. ἢ γὰρ ἀρετῆς ὕψος εἰς ἐκπάθειαν ἐξέστησε τὴν ψυχὴν, ἢ πάθους μέγεθος εἰς ἀναλγησίαν.
Ἐξ ἑστίας ἄρχεσθαι, παροιμία.
Ἔξεστιν, ἀντὶ τοῦ ἄδειά ἐστι. οἷον, ἔξεστι φρονεῖν, τουτέστι μεγαλοφρονεῖν. ἢ ἔξεστι, δυνατόν ἐστιν. Ἀριστοφάνης, ἔξεστι τοῦτο πυθέσθαι παρὰ τοῦ Ἐκείνος, ἤγουν δυνατόν ἐστι μαθεῖν.
Ἐξέστρεψεν, μετέβαλλεν.
Ἐξέστω, ἤγουν ἄδεια ἔστω, ἐξουσίαν ἐχέτω.
Ἐξέσχεν, ἠκοντίσθη τὸν δεξιὸν ὦμον διαμπερές. καὶ ἐξέσχε τὸ βέλος, ἀντὶ τοῦ διῆλθε, διήλασεν.
Ἐξετάζεσθαι, ἀντὶ τοῦ ὁρᾶσθαι. Δημοσθένης κατὰ Στεφάνου. καὶ ἐν τῷ κατὰ Ἀνδροτίωνος. ἐξητάσθης φησὶν, ἀντὶ τοῦ ὤφθης, ὡράθης.
Ἐξεταζόμενοι, ἀριθμούμενοι, ἐξεταζόμενοι πρὸς τοῖς βασιλείοις. καὶ ἐξεταζόμενοι, ἐρευνώμενοι, δοκιμαζόμενοι.
Ἐξετάζω, ἐρευνῶ, ἐρωτῶ. καὶ ἐξετάζω, τὸ ἀπαριθμῶ. ἐξ οὗ ἐξέτασις, ἡ ἀπαρίθμησις.
Ἐξέτεμον, ἐξέκοψαν.
Ἐξετανύσθη, ἡπλώθη.
Ἐξέτασις, βασανισμός.
Ἐξετασμὸς, κρίσις, ἐρώτησις.
Ἐξετάσωμεν, ἀκριβώσωμεν.
Ἐξέτασι. οἱ μὲν προπαροξύνουσιν, ὡς Ἀσκαλωνίτης. οἱ δὲ παροξύνουσιν, ὡς τὸ Ἀγενεία.
Ἐξέτεινεν, ἀντὶ τοῦ ἐπλήρωσεν, ὑπέτεινεν, ἀντὶ τοῦ κάτωθεν εἰς ὕψος ἔτεινεν. καὶ διατείνεσθαι, τὸ διϊσχυρίζεσθαι.
Ἐξετελεῦντο, διὰ ποιητικὸν ὄγκον ἔγραφε. ἄλλως γὰρ οὐκ ἐκώλυεν ἐξετελοῦντο εἰπεῖν.
Ἐξέτηξας, ἀνήλωσας.
Ἐξέτηξεν, ἐδάμασεν, ἢ ἠφάνισεν, ὀλέπτωσεν.
Ἐξέτι τοῦ, ἤγουν ἀπὸ τοῦ χρόνου. περιττὸν κεῖσθαι δοκεῖ τὸ ἔτι, καὶ ἔστιν ὅμοιον τῷ ἐξ ἔτι πατρῶν. καὶ ὅτι τὸ ἐξ ἔτι τοῦ, ταυτόν ἐστι τῷ ἐξότου.
Ἐξετμήθη, διεκόπη.
Ἐξετόξευσεν, ἐξέπεσεν.
Ἐξετράπησαν, ἐξέκλιναν.
Ἐξετρίβετο, σφόδρα ἐκοσμεῖτο.
Ἐξέτρω, ἐβλάβη, ἐξεκόπη, παρὰ τὸ τρῶ, τὸ κόπτω. ὅθεν τρῶσαι, τὸ σιδήρῳ τέμνειν, καὶ κόπτειν. δηλοῖ δὲ καὶ τὸ βλάπτω. ἐκ τούτου τρῶμι, ὁ ἀόριστος ἔτρων, καὶ ἐξέτρων, ὡς ἔδων.
Ἐξέτρωσεν, ἐξήμβλωσεν, ἐνέρριψε τὸ βρέφος.
Ἐξευασμένου, τεθνεῶτος γενομένου.
Ἐξευγενήσω, ἐλευθεροποιήσω.
Ἐξευδίασεν, εὐδίαν ἐποίησεν.
Ἐξευεστοῦς, ἐξευδαιμονίας.
Ἐξευηστίης, ἐξευδαιμονίας.
Ἐξευμαρίσθη, παρεσκευάσθη.
Ἐξευμενίζεσθαι, πείθεσθαι.
Ἐξευμενίσασθαι, ἐξιλεώσασθαι, ἐξιλάσκεσθαι.
Ἐξ εὐνῆς, ἐκ κοίτης.
Ἐξ εὐνῆφι, ἐκ τῆς κοίτης.
Ἐξ εὐπατριδῶν, ἐξ εὐγενῶν.
Ἐξευρέω, αἰτιατικῇ. ὡς τὸ φέρε πῶς τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν.
Ἐξ εὐωνύμων, ἐξ ἀριστερῶν.
Ἐξεφαάνθη, ταυτὸν τῷ μάλιστα ἐφάνη. ἡ γὰρ ἐξ πρόθεσις, ἐπίτασιν δηλοῖ, ὁποίαν καὶ τὸ μάλιστα. γίνεται δὲ ἐκ τοῦ φαίνω. καὶ ἐξεφαάνθη, ἐφάνη.
Ἐξεφάνθη, ἐδείχθη, ἐγυμνώθη.
Ἐξεφάνη, φανερὸς ἐγένετο.
Ἐξέφαινον, ὑπέφαινον.
Ἐξεφαύλιζον, ἐξευτέλιζον.
Ἐξεφαύλισαν, παρ' οὐδὲν ἐλογίσαντο.
Ἐξέφερον, νεκρὸν ἐξεφόρει, ἐξέφερε ταυτὸν δηλοῦσιν.
Ἐξεφημερίας, ἐκ συνεχοῦς λειτουργίας. ἐφημερία δὲ κυρίως, τὸ παρευδομαρδεῖν.
Ἐξέφθιτο οἶνος, ῥηθὲν ἀντὶ τοῦ ἐδαπανήθη, παρ' Ὁμήρῳ.
Ἐξ ἐφόδου, ἐξ ἐπιδρομῆς.
Ἐξεφοίτα, ἐθριάμβευσεν. ὁ δὲ παρὰ τοὺς ἀπελεύσεις καὶ βεβήλους ἐξεφοίτα, τὰ τῶν Σαμοθρακῶν ὄργια.
Ἐξεφόρει, ἐξέφερον.
Ἐξεφρείομεν, ἐξεφέρομεν. Ἀριστοφάνης, οὐκέτ' αὐτὸν ἐξεφρείομεν.
Ἐξέφρηκεν, ἀφῆκεν.
Ἐξέφυ, ἐξεβλάστησεν.
Ἐξεφύρθη, ἐξεμιάνθη.
Ἐξεφύσησα, διεσκόρπισα, ἐβδελυξάμην. ἐξεφύσησε δὲ, ἐκίνησεν, ἐπέραξεν.
Ἐξεχαρυβδιάνθη, ἀνεπόθη.
Ἐξέχεα, διεχύθην, καὶ ἐκινήθην εἰς ὀδυρμούς.
Ἐξέχεαν ὅρκια. οἷον, παρέβησαν τοὺς ὅρκους.
Ἐξέχειν, ἀντὶ τοῦ ἐξαίρετόν ἐστι. καὶ ἔξοχον, τὸ ἐξαίρετον, καὶ ἔξοχα ὁμοίως. ὃ ποιητικῶς λέγεται, ὄχα, χωρὶς τῆς προθέσεως, ἀντὶ τοῦ ἐξόχως.
Ἐξέχειν, ὃ δηλοῖ τὸ τῆς ὅλης ἰσόπεδος, οἱονεὶ προκρύπτειν. καὶ ἐξέχειν, ἐπιστεῖλαι. ἐξέχειν γὰρ τὸν ἥλιον, ἔξεχ' ὦ φίλος ἥλιε, ἀντὶ τοῦ ἀνατέλλειν ἥλιον.
Ἐξεχέμεναι χωρὶς ἐμοῦ, Λάκωνες.
Ἐξέχεσθαι, ἐξέχειν.
Ἐξέχεται, τὸ ἐξαρτᾶσθαι καὶ ἐκκρεμᾶσθαι, γενικῇ συντάσσεται. οἷον, ἐξέχεται τῆς φιλίας ἐκείνου.
Ἐξεχύθησαν, ἠφανίσθησαν.
Ἐξέωσαν, ἐξέβαλον, ἐξώρισαν, κατέβαλον.
Ἐξῇ, ἀντὶ τοῦ δυνατὸν ὑπάρχει.
Ἔξηβος, ἔξω τῆς ἥβης, ἐπὶ τῶν τριακονταετῶν.
Ἐξήγειρα, ἐπὶ τοῦ ὕπνου.
Ἐξηγεῖσθαι, ἡγεῖσθαι.
Ἐξηγεῖτο, ἡρμήνευεν ἐπὶ θείων. ἐξήγησις ὁμοίως, ἐπὶ θείων. ἑρμηνεία δὲ, ἐπὶ τῶν τυχόντων.
Ἐξηγήσασθαι, τοῦ διηγήσασθαι διαφέρει. διηγήσασθαι μὲν γάρ ἐστιν εἰπεῖν ἁπλῶς ἅτινα αὐτὸς ἐπίσταται, πρὸς ἀγνοοῦντας τοὺς ἀκροωμένους λέγων, ἢ καὶ πρὸς εἰδότας. τὸ δὲ ἐξηγήσασθαι, ἅμα λέγειν τὰ περὶ ὧν ἀγνοοῦσιν οἱ ἀκούοντες, καὶ διδάσκειν αὐτοὺς περὶ ὧν πυνθάνονται.
Ἐξηγήσατο, ἑρμήνευσεν.
Ἐξηγητής. Ἰσαῖος ἐν τῷ πρὸς τοῦ Σκίρωνος κλήρου, καὶ ἐξηγούμενος τὰ ἱερά. εἰσὶ δὲ καὶ ἃ πρὸς τοὺς κατοιχομένους ὀνομαζόμενα, ἐξηγοῦντο τοῖς δεομένοις. καὶ Δημοσθένης, ἐν τῷ κατ' Εὐεργέου καὶ Μνησιβούλου δηλοῖ, πληθυντικῶς τοὺς ἐξηγητὰς πολλάκις ὀνομάζων.
Ἐξηγηταὶ, οἱ τοὺς νόμους τοῖς ἀγνοοῦσι διδάσκοντες, καὶ ὑποδεικνύοντες περὶ τοῦ ἀδικήματος, ὃ ἕκαστος γράφεται. καὶ ἐξηγούμενοι τὰ πάτρια, ῥητορική. ἐξηγητὴς οὖν, ὁ τοὺς νόμους ἐξηγούμενος, καὶ πᾶν ὁτιοῦν πρᾶγμα. ζήτει εἰς τὰς διαφοράς.
Ἐξηγόρασας, ἠλευθέρωσας.
Ἐξηγορηκὼς, ἐξηρηκώς.
Ἐξηγορία, ἐπαγγελία.
Ἐξηγοῦ, καθηγοῦ.
Ἐξηγρόμην ἀπὸ τοῦ ὕπνου, ἀντὶ τοῦ ἐξηγειρόμην. κατὰ συγκοπὴν, ἐξηγρόμην.
Ἐξήεσαν, ἐπορεύοντο.
Ἐξ ἠθέων, ἐκ τῶν συνήθων τόπων, ἐν οἷς συναναστρέφονται.
Ἐξήθηψεν, ἐξέκαυσεν.
Ἐξήϊα, θυμιάματα.
Ἐξηκασμένοι, ὁμοιωθέντες.
Ἐξήκει, ἀντὶ τοῦ παρῆλθε. Συνέσιος, ἔτος ἤδη τουτὶ τρίτον ἐξήκει. ἢ ἐξήκει μοι ὁ χρόνος, ἀντὶ τοῦ διελήλυθε. καὶ προσήκει μοι, ἀντὶ τοῦ πρέπει μοι. καὶ ἐξήκειν, ἀντὶ τοῦ περιελθεῖν. καὶ ἐξήκει, παρῴχηκε, Ξενοφῶν.
Ἐξηκεστίδης παρὰ τῷ Ἀριστοφάνει. τοῦτον διαβάλλουσι καὶ πλάνον τὰς ὁδοὺς γινώσκειν. εἰ δὲ δοῦλός ἐστι. καὶ γὰρ ὥσπερ Ἐξηκεστίδης. ἔστι δὲ καὶ ἑπτά πρὸς ἔχων λύραν, ἔργον Εὐδόξου πιταίνει, ψίθυρον ἀνίθει νόμον. μέμνηται δὲ αὐτοῦ καὶ Πολέμων, λέγων, ὁ δὲ Ἐξηκεστίδης κιθαρῳδὸς, πυθιονίκης, νικᾷ καὶ τὸν τῶν καρείων ἀγῶνα. ἄλλως, ὁ ἐξηκεστίδης ὡς ξένος κωμῳδεῖται. καὶ Φρύνιχος μονοτρόπῳ, μεγάλους πιθήκους. οἱ δὲ, ἑτέρους τινὰς λέγων, Λυκέαν τελέαν, Πεισάνδρου ἐξηκεστίδην. ἀνομάλους εἶπας πιθήκους, ὁ μέν γε δειλὸς, ὁ δὲ κόλαξ, ὁ δὲ νόθος, ἢ μοχθηρός.
Ἐξήκεστος, ὄνομα κύριον. Δημοσθένης κατὰ Ἀριστοκράτους. ἢ ἐξήκεστος, ὁ ἑταιρηκώς. ὅθεν καὶ τοὺς πρωκτοὺς, ὁμωνύμως ἐξηκέστους ἔλεγον.
Ἐξῆκον, ἀντὶ τοῦ ὑπερέχον. Καὶ ἑώρων φάσμα, τὸ μέγεθος ἐξῆκον πέρα καὶ ἀνωτέρω τοῦ ἴσου.
Ἐξήκοντος, παρερχομένου. ἐξήκοντος τοῦ χρόνου, οὗπερ ἐντὸς ἔδει ἐπανιέναι πρὸς τὸν σφῶν ἄρχοντα.
Ἐξηκόντισεν, ὑπερέβαλλεν.
Ἐξήλασμα, δίωξις. ἐξίλασμα δὲ, τὸ ἀντίλυτρον, ἢ τὸ προσφερόμενον τῷ θεῷ δῶρον ὑπὲρ σωτηρίας ψυχῆς, ἴωσα.
Ἐξήλατο, ἐπήδησεν.
Ἐξήλατον, ἀποίητον, ἢ ἐξ πηγὰς ἔχον.
Ἐξήλατος, συντετριμμένος.
Ἐξηλέκασι, φανερῶς γενόμενα.
Ἐξηλευθέρωται ὁ δοῦλος. ὁ δὲ πράγματος ἀπολυθεὶς, ἠλευθέρωται.
Ἐξῆλθεν, ἐξέβη, ἐπελέσθη. ὅτι Ζήνωνι παρ' ἣν εἶχε δόξαν, ἐξῆλθε τὸ μάντευμα.
Ἐξηλιθιότης, ἐπίτασις μωρίας.
Ἐξῆλθον τῶν σῶν χειρῶν, ἐξέρχομαι τῆς οἰκίας, ἔξιθι τῶν κινδύνων. καὶ ἐξῆλθον ἐκ τῆς οἰκίας, ἐκ παραλλήλου αἱ δύο προθέσεις. ὥσπερ καὶ τὸ προσέρχομαι πρὸς σὲ, καὶ κατώρυξέ με κατὰ τῆς γῆς κάτω.
Ἐξηλιασμένον, κεκαυμένον ὑπὸ τοῦ ἡλίου.
Ἐξήλικας, ἐξέβαλες, ἐξέωσας. Ἀριστοφάνης, ἀλλ' ὦ μέλ' ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν.
Ἐξηλοίαμεν, ἐξεκαθήραμεν.
Ἐξήλοισεν, ἐξέφυγεν.
Ἐξήλυσις, ἐξέλευσις.
Ἐξῆμαρ, ἐπὶ ἓξ ἡμέρας.
Ἐξήμαρεν, ἐπέρασεν.
Ἐξήμβλωκας, ἐξέωσας, ἐξέβαλες. ἐξαμβλῶσαι δὲ ἰδίως, ἐπὶ τῶν γυναικῶν λέγεται. ἀπὸ τῶν τικτουσῶν θᾶττον, ἢ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον. καὶ φάρμακον, ἀμβλίσκειν τὰς γυναῖκας ποιοῦν.
Ἐξήμβλωσεν, ἐξέτρωσε. καὶ ἐξήμβλωκας, ἀντὶ τοῦ ἀτελῆ ἐποίησας.
* Ἐξημοιβὰ ἱμάτια, τὰ ἄλλοτε ἄλλα ἀμειβόμενα.
Ἐξημεροῖ, πραΰνει.
Ἐξημερῶσαι, ἡμεροποιῆσαι.
Ἐξημεῦσαι, ἀποκινῆσαι.
Ἐξήμεσε, κάλλιον. ἢ ἤμεσεν.
Ἐξημημένοι, ἀφῃρημένοι.
Ἐξημίωσεν, ἀντὶ τοῦ κατεδίκασεν. ὁ δὲ βασιλεὺς Ἀβιλλιανὸς, πολλοὺς τῶν πολιτῶν θανάτῳ ἐξημίωσεν.
Ἐξημμένοι, ἐνδεδυμένοι, ἢ ἐξαφθέντες.
Ἐξημοιβὰ λέγεται, τὰ ἄλλοτε ἄλλα ἀμειβόμενα.
Ἐξημοιβαὶ, ἕτεραι.
Ἐξῆν, ἔξεστιν. ἐξεστί μοι μετὰ τοῦ φίλου παίζειν παίγνια.
Ἐξῆν, ἐγένετο, δυνατὸν ἦν.
Ἐξηνδραποδισμένον. πλείστας δὲ πόλεις ἐξηνδραποδισμένον. καὶ πεπραξικοπηκότα, ἀντὶ τοῦ προδόσαντα.
Ἐξηνδρόμιον, ὀρθιάζοντα.
Ἐξηνύσαμεν, ἐξεβάλομεν.
Ἐξηνθησάμην, διῆλθον, ἀνέγνων, ἐξεφόρησα.
Ἐξήνθησεν, ἀνεβλάστησεν, ἀνέθαλλεν. ἐξήνθισε δὲ, τὸ ἄνθη συνέλεξε. καὶ ἐξανθίζω δὲ, τὸ βάπτω. ὡς τὸ ποικίλας ἐξηνθίκατε τὰς βαφάς.
Ἐξηνθισμέναι, ἄνθεσι κεκοσμημέναι. αἷ καθήμεθ' ἐξηνθισμέναι.
Ἐξήνιοι, οἱ ἀνυπότακτοι. οἱ ἔξω τῶν ἡνίων, καὶ τῶν χαλινῶν.
Ἐξήνιοι, ἀλλότριοι. παρὰ τὸ ἔξω ἡνίων γενέσθαι.

Digitized by Google

νίσθαι. ἠνία δὲ, τὰ λῶρα, ἀνυπόστατοι.

Ἐξῃώριξας, ἐσκύλευσας, ἀνῆλες.

Ἐξῃωτακέναι, ἐξαπατῆσαι.

Ἐξῄωσα, ἐτελείωσα, ἐπλήρωσα.

Ἐξηξάτω, ἀντὶ τοῦ ἐξώρμησαν. ἐκ τοῦ ἀΐσσω, τὸ ὁρμῶ. ὁ μέλλων, ἀΐξω. ὁ ἀόριστος, ἤϊξα, καὶ κράσει ᾖξα. τὸ τρίτον τῶν δυϊκῶν ἐξηξάτην, παρὰ Ἀριστοφάνει, ἐξηξάτην οὖν δύω δράκοντ᾽ ἐκ τοῦ νεώ.

Ἐξηονήθη, ἀντὶ τοῦ κατηντλήθη, σὺν τῷ ι, κατὰ τὴν ἀλήθειαν. ὅθεν καὶ ἀΐονες, οἱ αἰγιαλοί. διὰ τὸ καταιονᾶσθαι ὑπὸ τῶν κυμάτων, ἤγουν καταβρέχεσθαι. αἰονήματα γὰρ, τὰ καταντλήματά φασιν.

Ἐξηπάτησε τὴν παρθένον, ἐξεπλάνησεν μονονουχὶ ὑποσχόμενος ὄρη χρυσοῦ. χρῶνται παρὰ τοῖς Λατίνοις ταύτῃ τῇ φράσει, Τερέντιος, Σουετώνιος, καὶ Βαλλέριος λέγοντες μόδονον, βὶλ ταντῶνον. ἀλλά τινες οὐκ ἀδόκιμοι ἐξηγηταί, καὶ ταῦτα πρῶτα ὁ Βερόαλδος, τὸ ὅλον τῶν ἑλληνικῶν γραμμάτων ἄπειρος, οὐ συνιεὶς τὴν ἑλλάδα φωνὴν, λατινικὴν φράσιν διέφθειρεν.

Ἐξήπαφεν, ἐξηπάτησεν.

Ἐξηπέδου, ἔλυε τὰ ἔμπεδα.

Ἐξηπειρῶσθαι, ἤπειρον γενέσθαι.

Ἐξηπίτριπται, δεδαπάνηται. Λάκωνες.

Ἐξήπιθεν, ἐξεγένετο.

Ἐξῆπται, ἐξῆρται, κρεμᾶται. καὶ ἐξῆπτο, διεγήγερτο φλόξ.

Ἐξήρανται, ἀπὸ τοῦ ξηραίνω, παρακείμενος παθητικός.

Ἐξῆρεν, ἀπῆρεν.

Ἐξήρετο, ἠρώτα.

Ἐξηρεύξατο, ἐξήνεγκεν.

Ἐξηρεύσατο, προεβάλλετο.

Ἐξηρημένην, ὑπερβάλλουσαν.

Ἐξήρηνται, ἐκβέβληνται, ἐξηρήμωνται.

Ἐξήρησαν, ἐξώρμησαν.

Ἐξήρηται, ὑπερβάλλει.

Ἐξήριπεν, ἐξέπεμψεν.

Ἐξήρκει, ἐξίσχυσεν.

Ἐξηρμένην, ὑψωμένην.

Ἐξήρτημαι, ἀντὶ τοῦ ἐκκρέμαμαι. οὐ μόνον πρὸς γενικὴν, ἀλλὰ καὶ πρὸς δοτικήν. Αἰσχύλος ἐν Προμηθεῖ, ἑκηβόλοις τόξοισιν ἐξηρτημένοι.

Ἐξηρτημένοι, κρεμάμενοι, ἢ κεκοσμημένοι.

Ἐξηρτημένος, παρὰ Ἡροδότῳ ἐξηρτημένος λέγεται, κατασκευασμένος, ἡτοιμασμένος.

Ἐξηρτῆσθαι, τοῦ ἀπηρτῆσθαι διαφέρει. ἐξηρτῆσθαι μὲν γὰρ, τὸ ἐξῆφθαι καὶ ἐκκρεμᾶσθαι τινὰ τινός. ἀπηρτῆσθαι δὲ, τὸ κεχωρίσθαι, καὶ ἀφεστηκέναι. καὶ Συνέσιος, τοῦ ἀπηρτῆσθαι τοσοῦτον τὴν ναῦν.

Ἐξήρτηται ὁ δεῖνα τοῦδε τὸ πρᾶγμα. Συνέσιος, τοὺς ὑμετέρους γονέας ἐξήρτητο. ἐξήρτηται δὲ τόδε τοῦδε, ἀντὶ τοῦ ἐξηρτημένον ἐστὶ γενικῇ.

* Ἐξηρώησαν, ἤγουν ἐκτὸς ὥρμησαν, ἀπὸ τοῦ ἐρωέω ἐρῶ.

Ἐξῆς, γενικῇ συντάσσεται. Λουκιανὸς, ἑξῆς τριῶν ἡμερῶν. λέγουσι δὲ οἱ Ἀττικοὶ καὶ ἀντὶ τοῦ εἰπεῖν ὁμοίως, καὶ ἐπίσης. οἷον, κλέπτην καὶ ἑξῆς μοιχὸν ἀποτροπιάζομαι. καὶ ἑξῆς, ἐφεξῆς, μετὰ ταῦτα. λέγεται δὲ καὶ ἀντὶ τοῦ ὁμοίως. οἷον ἑξῆς πάντων ἀφέστηκε τῶν κακῶν, ἀντὶ τοῦ ὁμοίως, ἐξ ἴσου. ὡς καὶ Ἀριστείδης, Καὶ τοῦ μὲν χυτρέως οὐ κατηγορεῖς, ὅτι οὐ πάντας ἑξῆς πράττειν ἐδίδαξε. τὸ ἑξῆς, καὶ ἀντὶ τοῦ καθ᾽ εἱρμὸν, καὶ κατὰ τάξιν. ὡς τὸ, καθ᾽ ἑξῆς λαμβανόμενον.

Ἐξησθενηκότας, τεταλαιπωρηκότας, παρειμένους.

Ἐξήσκει, ἐπαίδευεν, ἐγύμνα.

Ἐξησκηκότες, καμόντες.

Ἐξησκημένον, δυσνόητον.

Ἐξησκληκότες, ξηρανθέντες.

Ἐξηταίζω, τὸ ἐρευνῶ. καὶ ἐξεταίζω, τὸ ἀπαριθμῶ. ἀφ᾽ οὗ καὶ ἐξέτασις, ἡ ἀπαρίθμησις. ὡς τὸ, ποιουμένη περὶ Πτολεμαΐδα τὴν τῆς δυνάμεως ἐξέτασιν.

Ἐξητάσθης, ἀντὶ τοῦ ὤφθης, ἢ ὡράθης. οὕτω Δημοσθένης.

Ἐξητασμένον, ἠκριβωμένον, δεδοκιμασμένον.

Ἐξήτησαν, ἤτησαν, ἐδυσώπησαν, παρεκάλεσαν.

Ἐξητριασμένον, τὸ διὰ ἤτριου ἠνθισμένον λεπτὸν τι ὕφασμα, παρὰ τῷ Ἱπποκράτει.

Ἐξηυλημένα, καὶ παρηυλημένα, αἱ παλαιαὶ γλωσσίδες τῶν αὐλῶν καλοῦνται. καὶ κατὰ μεταφορὰν πάντα τὰ παλαιὰ, καὶ τὰ τετριμμένα.

Ἐξηχεῖται, ἐξῆλθεν, ἐκηρύχθη. καὶ ἐξηχεῖτο, ἐξηκούετο.

Ἐξῆχεν, ἀντὶ τοῦ δώσειν, οὕτω Δημοσθένης.

Ἐξήχμησαν, ἠρήμωνται, ἐξηρήμωνται.

Ἐξηψάμενος, καταψχών, περιπλακείς.

Ἐξιάλλειν, ἐκβάλλειν.

Ἐξίασιν, μετὰ τῆς ἐξ προθέσεως, ἐξέρχονται προπαροξυτόνως. ἐξιᾶσι δὲ προπερισπωμένως, ἐκβάλλουσιν. ἀλλά τινες λέγουσιν, ὅτι οὐ λέγεται ἐξιᾶσιν, ἀλλὰ μόνον ἐξίασιν.

Ἐξιατρός, ἐκθυτικός.

Ἐξίδισεν, ἐξεπίλησεν, ἀπεπάτησεν. Ἀριστοφάνης, οὐκ ἂν ἐξίδισεν εἰς θοιμάτιον, ὅ ἐστιν ἱμάτιον.

Ἐξιερῶν χρήματα θεοῖς, ἐπαγγέλλεσθαι.

Ἐξίησιν, ἐξέρχεται. καὶ ἐξίη, ἐπὶ μέλλοντος.

Ἔξιθι, ἐξέρχου, πορεύου.

Ἐξίθνη, ἔξοδος.

Ἐξιθυΐοι, ὀρθοί.

Ἐξιθύω, ἔξω καθίσω.

Ἐξικέσθαι, παραγενέσθαι. ἢ ἐν καταλήψει γενέσθαι.

Ἐξικμάζεται, ἐξώλλυται, ἐξικνεῖται.

Ἐξικμασμένη, ἐξηραμμένη, ἰκμάδα καὶ ὑγρότητα μὴ ἔχουσα. Ἄλλως τε, ἐν ξηρᾷ χώρᾳ ὑπὸ τοῦ θέρους ἐξικμασμένη δεινῶς ἐσπάνισεν ὕδατος.

Ἐξικνεῖσθαι, χωρεῖν.

Ἐξικνούμενον, ἐξαρκοῦν, εἰσδυόμενον, προερχόμενον.

Ἐξίκοιτο, παραγένοιτο.

Ἐξίκορ, ἐκτικός.

Ἐξιλάσκεσθαι, ἐξευμενίσασθαι.

Ἐξίλασμα, ἀντίλυτρον, ἀνεκτικὸν δῶρον. καὶ ἡ δυσώπησις, καὶ ἡ παράκλησις.

Ἐξιλάσομαι, δυσωπήσω.

Ἐξιλάσεται, προσδέξεται, πραΰνει.

Ἐξίλατον, ψιλῶς μὲν ἐξ ἱλασμάτων καὶ πτυχῶν συγκείμενον. δασέως δὲ, ἐξάπτυχον.

Ἐξιλεῶ τὸν θεόν. ἐξιλεοῦται ὑφ᾽ ἡμῶν ὁ θεός.

Ἐξιλεώσονται, ἐξευμενίσονται.

Ἐξίλλειν, οἱ παλαιοὶ ἀντὶ τοῦ κωλύειν, καὶ ἀπελαύνειν, ἢ ἐκφεύγειν.

Ἐξίμεναι, ἐξαφεῖναι, ἐξελθεῖν.

Ἐξίνει, ἐπίσβεσεν.

Ἐξινώμενον, ἐκκενούμενον, ἐκσφαγγιζόμενον. ἐλέγετο δὲ ἐπὶ τῶν χολῶν καθαιρομένων.

Ἐξιονθίζω, ἐξιονδίζω, τρίχα ἐκδίδωμι. ἔστι γὰρ ἴονθος, ῥίζα τριχῶν, ἢ ὑπερέχων.

Ἐξίπεται, ἐκπιάζεται.

Ἐξιπώμενος, καθαιρόμενος χολήν. ἢ ἐξεμῶν, ἢ ἐκρέων.

Ἕξις, ἦθος, ἡ ἐκ τοῦ ἔχειν φρόνησις, συνήθεια. Ἄλλως.

Ἕξις, δυσμετακίνητος τρόπος, ἤτοι διάθεσις. ἡ διάθεσίς τις βεβαία καὶ ἔμμονος, καθ᾽ ἣν εὐλόγως ἢ κακῶς διακείμεθα. ἢ ποιότης ἔμμονος. ἡ ἕξις ἐστὶν, ἐπίκτητος ποιότης ἐκ μαθήσεως καὶ μελέτης, καὶ ἔθους προσγινομένη. ἕξις ἐστὶ, ποιότης τὶς δυσμετάβλητος. ἡ δὲ διάθεσις, ἡ ἀντιδιαστελλομένη τῇ ἕξει, εὐμετάβλητος καὶ εὐμετακίνητος. ἕξις ἐστὶν, ἡ κατὰ φύσιν ἑκάστου ἐνέργεια, καὶ ὁλοκληρία. οἷον, ἐπὶ μὲν ψυχῆς σωφροσύνη, ἐπὶ δὲ σώματος τὸ ἐντελὲς τῶν μελῶν καὶ ἀνάλογον, καὶ ἡ ὑγεία. ἡ δὲ πάντων τῶν ἐνταξία, καὶ διαμάρτησις. ἕξις τοίνυν λέγεται, ἡ καθ᾽ ἕνα μὲν τρόπον ἐνέργεια τοῦ ἐχομένου καὶ τοῦ ἔχοντος, ὡς τοῦ ὅπλου καὶ τοῦ ὁπλισμοῦ, καὶ τοῦ ἐνδύματος, καὶ τοῦ ἐνδυομένου. ἕξις ἐστὶν, ἡ ποιὰ πάσης φύσεως δύναμις, ἡ τῶν λοιπῶν αὐτὴν οὐσιῶν διακρίνουσα, καὶ ἀφορίζουσα, καθὰ φησὶν ὁ θεῖος Διονύσιος. ὅτι φθορά ἐστι φύσεως ἀσθένεια, καὶ ἔλλειψις τῶν φυσικῶν ἕξεών τε καὶ ἐνεργειῶν, καὶ δυνάμεων. διαιρεῖται δὲ ἡ ἕξις, εἰς ἀρετὴν καὶ κακίαν. ἕξεως δὲ εἴδη, ἀρετὴ καὶ κακία.

Ἐξίσης κάλλιον, ἢ ἐπίσης.

Ἐξισοστασίου, ἐξ ἴσου, ἐκ τοῦ ὁμοίου.

Ἐξιστακέναι, θαυμάσαι.

Ἐξίσταμαι, θαυμάζω, ἐκπλήττομαι.

Ἐξιστάμενος, παραχωρῶν. ὀνόματος μόνου καὶ σχήματος τῷ Ἰουλιανῷ ἐξιστάμενος.

Ἐξίσταντο, ἐθαύμαζον.

Ἐξίστασθαι, διαχωρίζεσθαι, διαφθείρεσθαι.

Ἐξίσταται, ἀντὶ τοῦ ὑποχωρεῖ.

Ἐξίστη, ἐξέπληττε.

Ἐξίστησιν, ἐκπλήττει. οὔτε δέος ἐξίστησιν αὐτοὺς, οὔτε δαπάναι, οὔτε πόνοι.

Ἐξίστιον, ἔχθιστον.

Ἔξιστον, ἱερεῖον.

Ἐξιστορήσαντες, ἀναζητήσαντες, διηγησάμενοι. Τούτοις οἱ ἄλλως ἐξιστορήσαντες, ἃ ἐβούλοντο πυθέσθαι ἀπὸ τοῦ Ξέρξου στρατιᾶς ἀποπέμπουσι δεδεμένους.

Ἐξισῶσαι τῷ Ἡρακλεῖ, καὶ ἐξισῶσαι τοὺς πολίτας, ἤγουν ἴσους ποιῆσαι πρὸς ἀλλήλους.

Ἐξισωτὰς, ἐπόπτας, ἀναγραφεῖς.

Ἐξίτηλα, ἀναλώματα.

Ἐξίτηλα, ἀφανῆ, ἄδηλα, χαῦνα, ἄχρηστα, ἀδόκιμα, ἐγγὺς ἀφανισμοῦ.

Ἐξιτηλία, μωρία.

Ἐξίτηλον, ἔξαλλον, ἁλμυρὸν, ἢ τὸ ἀπολλύμενον.

Ἐξίτηλα, ἀμαυρὰ, ἐγγὺς ἀφανισμοῦ. ἀπὸ μεταφορᾶς τῆς πορφύρας, ἥτις μὴ ἔχουσα τὸ δευσοποιὸν βάμμα τῷ χρόνῳ, ἐξίησι τὸ ἄνθος. καὶ ἐξίτηλον, τὸ ἀσθενές. ἐξίτηλος δὲ, ὑπερήφανος, βλὰξ, διεφθαρμένος.

Ἐξιτηρία, καὶ ἐξαγγελία κατὰ Ῥωμαίους, τὰ ὑπὲρ τῆς Ἐξόδου παρεχόμενα. καὶ ἐξιτηρία ἡμέρα, ἐν ᾗ τὰς ἀρχὰς ἀπετίθεντο Ἀθήνῃσιν.

Ἐξιτήριοι λόγοι, οἱ καὶ ἐφόδιοι, οὐ τελευταῖοι, ἢ ἀποδημητικοὶ λόγοι, ἢ ἀποχαιρετισματικοί, παρὰ τὸ ἵημι.

Ἐξιτήριον, ἐκτικόν.

Ἐξίτος, ἐκπορευόμενος.

* Ἐξίτης, ὁ τὰ ἓξ δυνάμενος βόλος ἐν τῇ διὰ ἀστραγάλων παιδιᾷ.

Ἐξιχνεύει, ἐξερευνᾷ, ἀναζητεῖ.

Ἐξιχνιασάμην, ἐξερεύνησα, ἀνεζήτησα.

Ἐξιχωρίζεσθαι, ἐκπιέζεσθαι.

Ἔξμετρα, ἐξάμετρα.

Ἐξόβλητον, ἐξόριστον, ἀπόβλητον.

Ἐξοδῆσαι, ἐξοδεῦσαι.

Ἐξοδία, ἡ ἔξοδος.

Ἔξοδοι νόμοι, δι᾽ ὧν πάντες ἐξελεύσονται. καὶ ἔξοδοι, αἱ γεννήσεις. ὡς τὸ, αἱ ἔξοδοι αὐτοῦ, ἤγουν τοῦ Χριστοῦ, ἀπ᾽ ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος. ἡ μὲν γὰρ ἄνω ἀπ᾽ ἀρχῆς, καὶ ἀεὶ ἦν. ἡ δὲ κάτω, ἐξ ἡμερῶν ἤρξατο, καὶ ὑπὸ χρόνον ἐστίν.

Ἐξόδων, ἀνατολῶν. Δαβίδ, οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν.

Ἔξοινος λέγεται, ὁ ἀπηλλαγμένος μέθης. ἔξοινος ὢν καὶ ἡμικραίπαλος, ὑπὸ τοῦ ὕπνου διακοπτόμενος.

Ἐξοίσουσιν, ἐκβάλλουσιν.

Ἐξοιστρηθείς, μανείς, παρορμηθείς, ἐρεθισθείς.

Ἐξοιστρημένην, μανεῖσαν.

Ἐξοιχνεῦσιν, ἀντὶ τοῦ ἔξεισιν, οἴχω, οἰχῶ, οἰχνοῦσι, καὶ ἐξιχνεῦσι Δωρικῶς, ἀντὶ τοῦ ἐξοιχνεύουσιν.

Ἐξ οἵων ἔχω, ἀφ᾽ ὧν ἔχω.

* Ἐξοῖ, ἀντὶ ἔξω κατὰ γλῶσσαν Συρακουσίων.

Ἐξοκέλλη, ἐξολίσθῃ, ἐκπέσῃ.

Ἐξολῶν, ἐκβάλλειν μέλλων, καὶ ἐξωθεῖν τῆς πολιτείας.

Ἐξομηρευσάμενος, καλῶς διοικήσας. Τὴν δὲ πόλιν ἐξομηρευσάμενος, ἠσφαλίσατο φρουρᾷ. καὶ ἀντὶ τοῦ συμφωνήσας. καὶ ἐξομηρευσάμενοι, ἀντὶ τοῦ ὁμογνώμονας ποιήσαντες. ἐξομηρευσάμενοι δὲ τῷ τοιούτῳ τρόπῳ τοὺς πλείους τῶν δυναστῶν, ἐνέβαινον εὐθαρσῶς εἰς τὸν πόλεμον.

Ἐξόμνυσι, καὶ ἐξόμνυσθαι, ἀρνεῖσθαι.

Ἐξομόθεν, ἢ πλεονάζει ἡ πρόθεσις, καθ᾽ ὁμοιότητα

τητα

φύονται ἀπ' οὐρανόθεν καὶ τῶν τοιούτων, οὐ καὶ προσνέμεται τῷ πεφυῶσιν. ἵνα ᾖ, ὁμόθεν ἐκπεφυῶσι, ἤγουν φύοντας ἐκ γῆς.

Ἐξομολόγησις, ἡ τῶν εὖ πεπονθότων μετ' εὐχαριστίας τῶν θείων εὐεργεσιῶν ἀπαρίθμησις. καὶ ἡ τῶν κακῶς πεπραγμένων παρὰ τῶν ὑπαιτίων ἐξαγόρευσις. ἀμφότερα γὰρ ταπεινώσεως ὑπάρχει ποιητικά.

Ἐξομολογοῦμαι, εὐχαριστῶ. καὶ κατὰ συνήθειαν ἀνθρωπίνην, ἀντὶ τοῦ χάριν ὁμολογῶ, ἤγουν δοξάζω σε. ὡς τὸ, ἐξομολογοῦμαί σοι πάτερ.

Ἐξομόσαιτο, παντελῶς ἀρνήσαιτο.

Ἐξομόσασθαι, οἱ μαρτυρήσειν ἐν δικαστηρίῳ ὑπισχνούμενοι, εἰ μετὰ ταῦτα μὴ βούλοιντο καταμαρτυρεῖν, ὤμνυον μηδὲν ἐπίστασθαι. καὶ τοῦτό ἐστιν ἐξομόσασθαι.

Ἐξόμπλον, ἴσον.

Ἐξόν, παρόν, ἐνόν. καὶ ὅσα ἄλλα οὐδέτερα μετοχικά, οὐδέποτε οἱ Ἀττικοὶ πλαγιάζουσιν, ὅτε πλαγιασμὸν ἡ σύνταξις ἀπαιτεῖ.

Ἐξονομάζειν, τὸ καλεῖν. ἢ τὸ ἐξ ὀνόματος καλεῖν.

Ἐξονομακλήδην ὀνομάζων, πρὸς διαστολὴν εἴρηται τοῦ πολλαχοῦ λεγομένου παρὰ τῷ ποιητῇ. ἐκ τ' ὀνόμαζε, καὶ τοῦ ἐκ γενεῆς ὀνομάζων. οὐ γὰρ ὥσπερ ἐκεῖ, οὕτω κἀνταῦθα, τὸ ὀνομάζων, ἀλλὰ ἐκ τῶν κυρίων ὀνομάτων καλεῖν. οἷον, χ' εἶθε ὦ Ἀντήνωρ, καὶ ὦ Πάνθοε καὶ Θυμοῖτα, καὶ Δάμπε, Κλυτίε.

Ἐξονομάσαις, ὀνομάσαις.

Ἐξονομήνης, ἐξ ὀνόματος εἴπῃς.

Ἐξονυχίζειν, ἀντὶ τοῦ συγκεχωρεῖσθαι, ἀκριβολογεῖσθαι, ἐξετάζειν τοῖς ὄνυξιν.

Ἐξ ὀνύχων, ἤτοι ἐξ ἁπαλῶν, ἐκ βρέφους.

Ἐξοπλίσας, ὁπλίσασθαι κελεύσας.

Ἐξοπός, ἐκ τῆς φωνῆς.

Ἐξόπλους. Ἅμα δὲ λαμβάνειν τοὺς πολεμίους, κατὰ τὴν ἐπὶ τοὺς Μακεδόνας ἔφοδον.

Ἐξοργιεῖν, εἰς ὀργὴν ἐμβαλεῖν.

Ἐξορεγμία, ἡ ἐρυγή. ὀξυρεγμία δὲ, ὅταν ἡ τροφὴ ἐποξύσῃ.

Ἐξορία, καὶ φυγὴ ἐναντίον ἡ κάθοδος λέγεται. καὶ κατάγεται ἐναντίον τῷ φεύγειν. λέγεται δὲ κυρίως κάθοδος, ἡ ἀπὸ τῆς φυγῆς ἐπάνοδος εἰς τὴν πατρίδα.

Ἐξορίου, ἐξ ἐπιτηδείου ἀνέμου.

Ἐξορίσαι, ἀπὸ τοῦ ὀροῦ τοῦ γάλακτος. προβατίοις δὲ καὶ συϊδίοις ὁμιλῶν, οὐ τὰν τὴν ψυχὴν βελτίων ἐγένετο, ἢ δεῖ πλέον τοῦ βδῆλαι καὶ ἐξορίσαι τυρὸν, καὶ πλῦσαι κώδιον.

Ἐξόριστον, ἀντὶ τοῦ φυγάδα.

Ἐξόριστος, τῶν ὅρων ἐκτός.

Ἐξόρκησίς ἐστι, δαιμόνων ἐξαίρεσις.

Ἐξορμᾷ, ἐκπηδᾷ, ἔξεισιν, ἐκτρέχει.

Ἐξορμενίζεις, ἐκκεκαύληκας, ἐκκέχυκας.

Ἐξορμόξεται, ἐναποψήσεται, ἐναπομάξει. Ἀριστοφάνης, οὐδ' ἐξορμόξεται Πρέπις. ὡς καταπύγων δὲ κωμῳδεῖται ὁ Πρέπις, ἀντὶ τοῦ οὐκ ἀνέξῃ τῆς κιναιδίας πρίπιδος.

Ἐξοροθύνει, παρορμᾷ.

Ἐξορρίζειν, τὸ ὀρρὸν ἐκπιέζειν τυροῦ.

Ἐξόρους, ἐξορίους, ὑπερορίους, λέγομεν. ἔκδημος, ἀπόδημος, διαπόντιος, ἀποσολιμαῖος, ἀλλόφυλος, ταυτόν.

Ἐξορύττεται τὸν ὀφθαλμόν. λαμβάνεται καὶ χωρὶς προσθήκης τοῦ ὀφθαλμοῦ, καὶ εἰς ὀφθαλμὸν λαμβάνεται. Χρυσόστομος, Μακάριος οὗτός ἐστι, κἂν ἐξορύττηται, κἂν καίηται.

Ἐξορχησάμενος, ἀντὶ τοῦ φυγών, καὶ ἀποδράς. Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος προσπαίζων ἅμα εἶπε, διὰ τὴν τῶν Διονυσίων πομπήν.

Ἐξορχήσομαι, χλευάσω, ὑβρίσω.

Ἐξοσιοῦν, δικαιοῦν.

Ἐξοσιούσθω, ὅσιος γινέσθω.

Ἐξόσου μὲν χρόνου, ἐξ ὅτου, καὶ ἐξ οὗ τινος.

Ἐξοστρακισμός, ἐξορισμός, φυγὴ δεκαέτης. τὸ πρᾶγμα δὲ γίνεται ἐν τῇ ἀγορᾷ, εἰσόδους ἔχον δι' ὧν εἰσιὼν πολίτης ἕκαστος ψηφίζεται, ὄστρακον τιθεὶς ὑπογεγραμμένον. τούτου δὲ ὑπὸ ἑξακισχιλίων γενομένου, φυγὴ δεκαέτης ψηφίζεται τοῦ κρινομένου.

Ἐξόπλον, φανερόν.

Ἐξ οὗ, οὐ σημαίνει τὴν ὕλην, ὡς τοῖς ἔξω δοκεῖ, ἀλλὰ συνηθεστέρα γραφὴ, ἐπὶ τῆς ἀνωτάτω αἰτίας τὴν φωνὴν ταύτην παραλαμβάνει. ὡς ἐπὶ τοῦ, εἷς Θεός. ἐξ οὗ τὰ πάντα. κέχρηται δὲ πολλάκις καὶ ἐπὶ τῆς ὕλης τῇ λέξει, ὁ τῆς ἀληθείας λόγος. ὡς ὅταν λέγῃ, ἐκ ξύλων ἀσήπτων. καὶ ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός.

Ἐξουδένωται, ἐκ τοῦ οὐδεὶς οὐδενός, γίνεται ῥῆμα περισπώμενον οὐδενῶ, οὐδενώσω, οὐδένωκα, οὐδένωμαι, καὶ ἐξουδένωμαι.

Ἐξουδενῶ, ἐξουδενήσω, ἐξουδενησμός.

Ἐξουδένωσις, ἡ ἐν τῷ ἀγαθῷ ἀνυπαρξία, καὶ ἡ ὕβρις.

Ἐξ οὗ δὴ, ἀφ' οὗ δή.

Ἐξουθενῶ, ἐξουδενῶ. ἐκ τῆς οὐ ἀρνήσεως, καὶ τοῦ δὲ συνδέσμου, καὶ τοῦ εἷς ἑνός, γίνεται οὐδενῶ, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, οὐθενῶ καὶ ἐξουθενῶ.

Ἐξουλάς, ἐκβολάς.

Ἐξούλης, ὄνομα δίκης, ἣν ἐπάγουσιν, οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. εἴρηται μὲν τοὔνομα ἀπὸ τοῦ ἐξίλλειν, ὅ ἐστιν ἐξωθεῖν, καὶ ἐκβάλλειν. δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις, οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ, ὑπερημέρων γινομένων τῶν καταδικασθέντων. οἱ δὲ ἁλόντες ἐξούλης, καὶ τῷ ἑλόντι ἐδίδοσαν, ἃ ἀφῃροῦντο αὐτὸν, καὶ τῷ δημοσίῳ κατετίθεσαν τὰ τιμηθέντα.

Ἐξοῦρα, εἰς στενὸν συνηγμένα. ἅτινα δὴ καὶ μύουρα ὀνομάζουσι, παρὰ τῷ Ἱπποκράτει.

Ἐξουρανόθεν, πλεονάζει ἡ ἐξ. ἤγουν ἐκ τοῦ οὐρανοῦ.

Ἐξουρίας, τὸ πλεῖον ἐπιτηδείως.

Ἐξ οὐρίου, ἐξ ἐπιτηδείου ἀνέμου. κἂν ἐξουρίων φέρηται τὸν ἄγαν ἔχων εὐημερίαν, ταλανίζειν τοῦτον χρή.

Ἐξουσία ἐστὶν, ἐπιτροπὴ νόμου.

Ἐξουσίαι εἰσὶ, δυνάμεις ἐξουσιαστικαί, κατὰ χάριν θεοῦ.

Ἐξουσιότης ἐστὶν, αὐτοπροαίρετος κίνησις.

Ἐξοφρυωμένοι, ἐπηρμένοι, ὑπερήφανοι.

Ἔξοχα φιλεῖν, καὶ ἔξοχα ἐχθαίρειν, τὸ μηδὲν ἄγαν προϋποτίθησιν Ὅμηρος.

Ἐξοχετευόμενα, ἐκρέοντα, ἢ ἐκτὸς ἔχοντα τοὺς ὑδρηγούς.

Ἔξοχος, Ὅμηρος μέγα ἔξοχος πάντων. γενικὴν ἔχει σύνταξιν, διὰ τὴν ἐν λέξει ὑπεροχήν. ὑπέρθεσιν γὰρ δηλοῖ, τὸ μέγα ἔξοχος. ποιεῖ δὲ Ὅμηρος τοῦτο καὶ ἐν τῷ, δῖος Ἀχαιῶν, καὶ ἀριδείκετος ἀνδρῶν, καὶ δῖα γυναικῶν. τοιοῦτον καὶ τὸ κορυφαῖος χοροῦ. αἱ δὲ ὑπερθέσεις, φιλοῦσι τὴν γενικὴν σύνταξιν.

Ἐξόχως, ἀντὶ τοῦ πάνυ, ὑπερβαλλόντως, καλλίστως.

Ἐξπέδιτα, τὰ στρατιωτικὰ πλήθη.

Ἐξυβρίζοντα, παρασπονδοῦντα, παραβαίνοντα τὰς συνθήκας, ἀδικοῦντα.

Ἐξύβρισέ τις εἰς τοὺς ἀνθρώπους, ἐξήμαρτε δὲ εἰς τὸν θεόν.

Ἐξυδαροῦνται, ἐξυδατοῦνται.

Ἐξυδατωθὲν, ὡς ὕδωρ.

Ἐξυμάλλων, ἐξ ὁμοίων.

Ἐξυπανίστη, τὸ αὐτό ἐστι τῷ, ὑπανίστη. καὶ ἐξυπανίστη, διὰ τὸ ὑπὸ, τὴν κατ' ὀλίγον κίνησιν. διὰ τὸ ἐξ, τὴν ἄθρουν. διὰ τῆς ἀνὰ, τὴν εἰς ὕψος κίνησιν.

Ἐξυπαρχῆς, ἀπ' ἀρχῆς.

Ἐξυπερδεξίων, ἐξ ὑψηλῶν. ἕτεροι τοὺς ὑπερδεξίους τῶν πεδίων σκοπιάς.

Ἐξυπερκέμων, ἐξ ὑπεροχῆς, ἐκ κορυφῆς.

Ἐξυπίσθα, ἐκ τοῦ ὀπίσω.

Ἐξυπνισθῆναι οὐ χρὴ λέγειν, ἀλλὰ ἀφυπνισθῆναι, Φρύνιχος.

Ἐξ ὕπνου, ἐκ ῥᾳθυμίας. καὶ ὁ Ἀπόστολος, Ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι, ἐγγύς φησι τὸ τέλος. καὶ δεῖ ἐπεγείρεσθαι ἡμᾶς εἰς τὸν καιρόν.

Ἐξ ὑπογυίου, ἐξ ἑτοίμου, ἐκ τοῦ πρὸ ὀλίγου, ἐκ τοῦ σύνεγγυς, παρὰ τὰ γυῖα, τὰ μέλη. σημαίνει δὲ καὶ παραυτὰ, καὶ ἀπαρασκευάστως. ὑπόγυον γὰρ σημαίνει πρόσφατον, ἐγγύτατον.

Ἐξυπτιάζειν, τὸ ἐπὶ νῶτα φέρεσθαι. οἱ μεθυσθέντες οἴνῳ, ἐπὶ πρόσωπον πίπτουσιν. οἱ δὲ κρίθιον πεπωκότες, ἐξυπτιάζονται τὴν κεφαλήν.

Ἐξυπνῶ, ἀφυπνίζω, διυπνίζω.

Ἐξυρημένος, τὴν κόμην ἀποβαλών.

Ἐξυσασκήσασα, ὑφάνασα.

Ἔξυσε κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ ἐκέρκισε. ξύουσι γάρ φασι τὴν κρόκην, πρὸς τὸ πυκνωθῆναι. ἢ ἐλέανεν, ἀπὸ μεταφορᾶς τῶν ξύλων. ἢ ἔγναμψε, μετὰ τὸ ὑφῆναι. ἢ ἔξυσεν, ὕφανεν, ἐδημιούργησεν.

Ἐξυφήνας, κατασκευάσας.

Ἔξω, καὶ ἐπὶ στάσεως καὶ ἐπὶ κινήσεως. οἷον, ἔξω διατρίβει, καὶ ἐξῆλθεν ἔξω. τὸ δὲ ἐκτὸς, ἐπὶ κινήσεως ἀεί. Ἀριστοφάνης ἐν Βατράχοις, ἐκτὸς οἴσει τῶν ἐλαιῶν. εὕρηται δὲ ἅπαξ ἐπὶ στάσεως παρὰ Πλάτωνι. οἷον, καὶ ὅσα ἐκτός ἐστιν. ἔστι δὲ καὶ ἐκτὸς, ἀντὶ τοῦ χωρίς. Λουκιανὸς ἐν βίων πράσει. ἐκτὸς εἰ μὴ κατὰ τὸν Θάμυριν ἐκεῖνον, ὡσαύτως καὶ τὸ ἔξω. Θουκυδίδης, ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει. καὶ γενικῇ συντάσσεται, ἔξω στηλῶν, ἔξω τῆς οἰκουμένης.

Ἔξω ἀμέλγεται, ἐκθλίβεται.

Ἔξω φυγών, ἀντὶ τοῦ ἐκφυγών.

Ἔξω τοῦ καθεστηκότος ἐστὶν, ἤτοι μαίνεται, ἔξω κινδύνων.

Ἐξωβάδια, ἐνώτια. Λάκωνες.

Ἔξω βελῶν καθῆσθαι, παραινεῖ ἔξω κινδύνου εἶναι.

Ἐξώγκωσεν, ὕψωσε, καὶ χῶμα ἐξώγκωσαν αὐτῷ.

Ἔξω Γλαῦκε, τοὺς χειμαζομένους ἐν θαλάσσῃ φασὶ λέγειν. παροιμιῶδες δὲ, ἐπεὶ δοκεῖ ὁ Γλαῦκος φανεὶς χειμῶνα σημαίνειν.

Ἐξωγύρου, διακαθαρίσου.

Ἐξῴδηκα. οἰδέω οἰδήσω, ᾤδηκα, καὶ ἐξῴδηκα.

Ἐξῳδήκει, ὠγκώθη. ἐξῳδηκὼς, ὁ ὠγκωμένος.

Ἐξώδια, ἔξοδος, ἐξώδια.

Ἐξωθεῖται, ἤτοι ἐκβάλλει, καὶ ἐξορίζει. ὅθεν καὶ ἐξώστης ἄνεμος.

Ἐξώκειλεν, ἐκ τοῦ ὀκέλλω. ὁ μέλλων ὀκελῶ, ὁ ἀόριστος ὤκειλα, ἀντὶ τοῦ ἐξῆλθεν, ἔπεσεν ἐπὶ γῆς, ἐξέβαλεν, ἔρριψε. καὶ ἐξοκεῖλαι, ἐξορμῆσαι, καὶ ἐκδραμεῖν, ἀπὸ τῆς τοῦ πνεύματος φορᾶς. ἢ ἐξώκειλεν ἡ ναῦς, εἰς ῥαχίαν ἐξώκειλεν, ἐξέβαλεν, ἔρριψεν.

Ἐξωκέλης, τὸ λῃστρικὸν πλοῖον, ἢ ἄστρωτος ἵππος.

Ἐξώκειλεν, ἐξέπεσεν, ἐκ μεταφορᾶς τῶν πλοίων.

Ἐξώκοιτος, εἶδος ἰχθύος. καὶ Ἄδωνις, καὶ ἔξω κοιταζόμενος.

Ἐξώκολον, ἐξῆλθον.

Ἐξωλαίμας, οὐκ αἰσίους.

Ἐξώλεια, πανωλεθρία, παντελὴς ἀπώλεια. καὶ ἐξώλειαν αὐτῷ προσεπαρασάμενος.

Ἐξωλέκει, ἀπώλεσεν.

Ἐξωλέστερον, ἐξολοθρευτικώτερον, ἢ χεῖρον.

Ἐξώλης, ὁ ἄξιος ἀπωλείας. προώλης δὲ, ὁ καὶ πρὸ καιροῦ. ἢ ἐξώλης, ὁ ἀσελγής, ὁ ἀπολλύμενος, ὁ κίναιδος. τὸ αὐτὸ καὶ προώλης καὶ παρώλης.

Ἐξώλιγξεν, ὤλισθεν. ἐξώλυται, ἀπόλλυται.

Ἐξώλισθεν, ἐξερρίφη, ἐξέπεσε.

Ἐξωλόθρευσας, ἠφάνισας.

Ἐξώμβρισεν, ἐπήγασεν ὀξέως, ἢ ἐπλήθυνεν.

Ἐξωμὶς, χιτὼν ὁμοῦ καὶ ἱμάτιον. τὴν γὰρ ἑκατέρου χρείαν παρεῖχεν. καὶ χιτὼν μὲν διὰ τὸ ζώννυσθαι, ἱμάτιον δὲ ὅτι τὸ ἕτερον μέρος ἐβάλλετο. παρὸ καὶ οἰκονομικοὶ, ὁ τὰ μὲν ἔνδυθι, ὁ τὰ δὲ περιβαλοῦ.

Ἐξωμισάσαις, παρὰ Ἀριστοφάνει, ἄχρι τῶν ὤμων γυμνωθείσαις.

Ἐξωμμάτωται, ἠνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς. Ἀριστοφάνης, ἀντὶ γὰρ τυφλοῦ ἐξωμμάτωται.

Ἔξωμος, καὶ ἐξωμόσατο, ἀπηγόρευσε. καὶ ἐξωμόσασθαι, τὸ μεθ' ὅρκου ἀπαρνήσασθαι πρᾶξίν τινα διὰ νόσον, ἢ πρόφασιν ἑτέραν τινὰ, ἐξωμόσασθαι ἐστίν. οὕτω Δημοσθένης.

Ἐξωμοσία, ἔνοικος παραίτησις, δι' εὔλογον. ἐξωμοσία.

Digitized by Google

μοσία, ὁπότ' ἄν τις φάσκη ἢ ὑπὲρ ἑαυτοῦ, ἢ ὑπὲρ ἑτέρου ἐγκαλούμενος μὴ δεῖν εἰσάγεσθαι δίκην, εἶτα καὶ τὴν αἰτίαν δι' ἣν οὐκ εἰσαγώγιμος ἡ δίκη, εἰ δοκοῖ κατὰ λόγον ἀξιοῦν, ἐδίδοτο αὐτῷ ἐξωμοσία χρῆσθαι, καὶ οὕτως διεγράφετο ἡ δίκη. καὶ ἐξωμόσατο, ἀπηγόρευσε. καὶ ἐξωμόσασθαι, τὸ μεθ' ὅρκου ἀπαρνήσασθαι πρᾶξίν τινα, διὰ νόσον, ἢ πρόφασίν τινα.

Ἐξωνεῖλον, ἀντὶ τοῦ ἐξεῖλον. τὴν ων συλλαβὴν περιττὴν τιθέασι, μεταξὺ τῶν προθέσεων οἱ Ἴωνες.

Ἐξωνέων, ἔξω τῶν πρασίμων πραγμάτων.

Ἐξωνήσατο, ἐξηγόρασεν, ἐπορίσατο.

Ἐξωνόμαζεν, παρ' Ὁμήρῳ οἱ ἀκριβέστεροι ἀντὶ τοῦ ἐκάλησεν ἁπλῶς λαμβάνουσιν. ὡς εἶναι ἐκ παραλλήλου ταῦτα, τό τ' ἔφατ' καὶ τὸ ἐξωνόμαζεν. ὥσπερ καὶ ἐν τῇ ς ῥαψωδίᾳ φησί. διαπέφραδε δὲ, καί μοι εἶπε. ἐκεῖ γὰρ τὸ φράζειν, καὶ τὸ εἰπὲ ἐκ παραλλήλου ἐστίν.

Ἐξώπαζεν, ἐξέπεμπεν.

Ἐξώπιον, ἔκτοπον, ἔξω.

Ἐξωπῶσθαι, ὠπτημένον ὑπάρχει.

Ἐξωραϊσμένον, κεκαλλωπισμένον, κεκοσμημένον.

Ἐξώργησα, ἐξεγύμνωσα.

Ἐξώργισεν, ἐξεθύμωσεν.

Ἔξωρος, ὁ γεγηρακὼς, ἢ ἄκαιρος. καὶ ἔξωρος, ἡ ἡλικία.

Ἐξωρχησάμην, ἐξεφαύλισα, κατέπαιξα. πρὸς ὃν ἐξωρχησάμην. καὶ αὖθις, ὁ δὲ μεθυσθεὶς τὰ μυστήρια ἐξωρχήσατο, ἀντὶ τοῦ ἐμυκτήρισε, καὶ ἔκπυστα ἐποίησεν.

Ἐξώσθη, ἐξεβλήθη.

Ἐξώσθησε, κατεβλήθη, κατέπεσεν.

Ἐξωστεϊσμένοι, ἐξηρθρωμένοι.

Ἐξώστης, ἀποδιώκτης, ἢ ὁ τραχὺς ἄνεμος.

Ἐξώστρα, τὸ ἐπὶ τῆς σκηνῆς, τὸ ἐκκύκλωμα.

Ἐξωστρακίσθη, ἐξωρίσθη. ἐπειδὴ εἰς ὄστρακον ἔγραφον τὴν ἐξορίαν.

Ἐξώσω, ἀπώσω, ἐκβαλῶ, ἀποδιώξω.

Ἐξωτελής, ἐκ τοῦ τραύματος.

Ἐξώτερος, ὁ ἐξώτατος.

Ἐξωτικὰς δίκας, τὰς ξενικάς.

Ἔξω τριακάδος, οἱ μὴ μεταλαμβάνοντες παῖδες, ἢ ἀγχιστεῖς κλήρου τελευτήσαντός τινος Ἀθήνησιν ἐκαλοῦντο.

Ἐξώτρυνον, ἐξέτησεν.

Ἐξώφελλεν, ἐπιπολὺ ηὐξήθησαν.

Ἐξωφρυωμένοι, ἐξηρμένοι, ὑπερηφανευόμενοι, καὶ ἐπηρμένοι.

Ἐξωχέτευται, ἐπιπολὺ ηὐξήθη.

Ἐξῴχοντο, ἐξεπορεύοντο.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Ο.

ΕΟ τὸ ε καὶ ο εἰς τὴν ου δίφθογγον κιρνᾶται. οἷον, Δημοσθένεος καὶ Δημοσθένους. παρὰ δωριεῦσι δὲ εἰς ευ. ὁμοίως ἐν τοῖς ῥήμασιν.

Εοι, ε καὶ οι, εἰς τὴν οι δίφθογγον κιρνᾶται, οἷον Δημοσθενέοιν, καὶ Δημοσθενοῖν. ὁμοίως καὶ ἐν τοῖς ῥήμασι τῆς πρώτης συζυγίας τῶν περισπωμένων, οἷον ποιέοιμι ποιοῖμι, ποιεοίμην ποιοίμην.

Ἔοι, εὐκτικὸν δευτέρου ἀορίστου. ἐκ τῆς ἐὼν ἐόντος μετοχῆς.

Ἔοι, ἤγουν ὑπάρχοι. ἐκ τοῦ ἔον παρῆκται, δευτέρου ἀορίστου.

Ἕο, ἀντὶ τοῦ αὐτοῦ κεῖται παρ' Ὁμήρῳ. καὶ εὖ, καὶ πολλὰ δὲ ἄλλα δείγματα τῆς τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον κρᾶσιν. ἐξ οὗ ἐὼν, ὁ ὑπάρχων, ἐόντος, ἔοιμι, οις, οι.

Ἐογμὸς, καθὰ συνδέεται ὁ τράχηλος, ἀπὸ τοῦ ἔχω ἐχμὸς, καὶ ἐογμός.

Ἕο, ἑοῖο, ἕθεν, ταῦτα ἰσοδυναμεῖ. καὶ ὀρθοτονούμενα, δηλοῖ ἑαυτοῦ, ἢ ἑαυτῆς. ἐγκλινόμενα δὲ, αὐτοῦ, αὐτῆς.

Ἔοιγμεν, ἐκ τοῦ ἐοίκαμεν, κατὰ συγκοπὴν καὶ τροπήν.

Ἔοικα, εἴκω τῷ ὁμοιῶ, εἴξω, εἶχα. ὁ μέσος παρακείμενος οἶκα, καὶ Ἀττικῶς ἔοικα. καὶ ἐοικὼς, καὶ ἐοικυῖα.

Ἔοικε, παρὰ τοῖς παλαιοῖς οὕτως εὕρηται. εἴκω, εἶκα καὶ διαλύσει ἔϊκα. καὶ ἐπενθέσει τοῦ ο, ἔοικα. οὕτω δέ φασι καὶ εἴδω εἶδα, καὶ διαλύσει ἔϊδα. καὶ προσελεύσει τοῦ ο, ἔοιδα. καὶ ἀπελεύσει τοῦ ε, οἶδα. οἱ δὲ οὕτω καινότερον κανονίσαντες, καὶ τὸ σύνοιδα Αἰολικῶς φασὶ, τὸν τόνον ἀναβιβάσαι, εἴτ' οὖν κατ' ἄλλους ἀναστεῖλαι.

Ἔοικεν, ἀντὶ τοῦ φαίνεται, ἀπαρεμφάτῳ συντάσσεται. οἷον, ἔοικεν ἀπιστεῖν τοῖς λεγομένοις. ἔοικε δὲ, ἀντὶ τοῦ ὅμοιός ἐστι, δοτικῇ. οἷον, ἔοικεν ὁ δεῖνα τῷ δεῖνι. ἔοικε δὲ ἀντὶ τοῦ πρέπει ποιητικῶς, ἀσύντακτόν ἐστιν. Ὅμηρος, ἐπεὶ οὐδὲ ἔοικεν.

Ἔοικέ τοι, ἤτοι ἀεικὲς, ἐκ παραλλήλου, τῆς αὐτῆς ἐννοίας ἐστί. σαφέστερον δὲ τοῦ ἔοικέ τοι, τὸ ἤτοι ἀεικές. ἄλλως γὰρ τὸ ἔοικε, λαμβάνεταί ποτε καὶ ἀντὶ τοῦ ὁμοιοῦται, καὶ φαίνεται.

Ἐοίκεσαν, Ἰωνικόν ἐστι. τὸ μέντοι Ἀττικὸν, ἤδη δὲ κοινὸν ἐῴκεσαν.

Ἐοικὸς, ἢ τὸ ὁμοιοῦσθαι, ἢ τὸ πρέπον, ἢ τὸ δοκεῖν.

Ἐοικότα, πρόσφορα, καθήκοντα, ὡμοιωμένα.

Ἐοικὼς, ἐοικότος, ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ. ὁ μέσος παρακείμενος εἶκα. καὶ ἐν διαλύσει καὶ ἐπενθέσει τοῦ ο, ἔοικα. ἡ μετοχὴ ἐοικώς. ἢ ἀπὸ τοῦ εἴκω, μέσος παρακείμενος οἶκα. καὶ πλεονασμῷ τοῦ ε, ἔοικα.

Ἔοιμι, ἐκβάλλοιμι.

Ἑοῖο παιδὸς, ἢ μᾶλλον ἐῆος, ἤγουν ἠέος, ὅ ἐστιν ἀγαθοῦ. ὡς ἀπὸ τοῦ ἠέος, κατὰ μετάθεσιν ἐῆος, ἢ καὶ ἰδίου. διὸ καὶ δασύνεται παρὰ πολλοῖς.

Ἔοισα, ἀντὶ τοῦ οὖσα, δωρικῶς.

Ἐόλητο, ἐτετάρακτο, καὶ ἐν ἀγωνίᾳ ἦν.

Ἔολον, πρόσφορον, χρηματιστόν.

Ἔολπα, παρὰ τὸ ἔλπω, ὁ μέλλων ἔλψω. ὁ μέσος παρακείμενος ὄλπα, καὶ πλεονασμῷ τοῦ ε ἔολπα. ἢ ἔλπω ἔλψω, ὁ μέσος παρακείμενος ἦλπα. καὶ τροπῇ τοῦ η εἰς ε, καὶ πλεονασμῷ τοῦ ο, ἔολπα. ἢ ἔολπα γίνεται, ἀπὸ τοῦ ἔλπω ἔλψω, μέσος παρακείμενος ὄλπα, ἀντὶ τοῦ ἤλπιζον, κατὰ τὸν κανόνα τρέποντα τὸ ε τοῦ δισυλλάβου μέλλοντος εἰς ο, ἐν τῷ μέσῳ παρακειμένῳ. εἶτα κατὰ Ἀττικὸν πλεονασμὸν, ἔολπα. ὁμοίως καὶ τὸ ἔοργα, ἀπὸ τοῦ ἔργω ἐνεστῶτος. ἀλλὰ οἱ παλαιοὶ ἄλλως κανονίζουσι. ῥέζω γάρ φασι, μέσος παρακείμενος, ἔροργα, καὶ μεταθέσει ἔοργα. καὶ ταῦτα μὲν ποιητικώτερον. ὥσπερ καὶ τὸ ἧκεν, ὅθεν τὸ ξυνέηκε, καὶ ἀφέηκεν.

Ἔομεν, γράφεται μάλιστα προπερισπωμένως, καὶ ἀπαρτίζει σπονδεῖον ἐν συνιζήσει τοῦ ε καὶ ω. εἴληπται δὲ ἀντὶ τοῦ πληρωθῶμεν καὶ κορεσθῶμεν, καὶ δασύνεται ὡς δῆλον ἐκ τῆς συναλοιφῆς τοῦ ἐπείχ' ἑῶμεν. ἔστι δὲ αὐτοῦ πρωτότυπον θέμα τὸ ἕω, ἤγουν τὸ πληρῶ, ἐξ οὗ καὶ ὁ ὅλος. ἐκ δὲ τοῦ ἕω παράγωγον ἕημι. ἀφ' οὗ δεύτερος ἀόριστος παθητικὸς ὑποτακτικὸς, ὦμεν. καὶ πλεονασμῷ τοῦ ε ἑῶμεν, ὡς ὁρῶμεν καὶ ἑωρῶμεν. ἀπὸ τοῦ ἕημι, καὶ τὸ ἕντο γίνεται. οἷον ἐξ ἔρον ἕντο. καὶ τὸ εἶναι, ἤτοι πλησθῆναι, οἷον ἐξ ἔρον εἶναι, ὡς προείρηται.

Ἔον, εἶπον ἦν Ὅμηρος. ὃ δὴ πάντως ἐπίτηδες οὕτω διχῶς ἐφράσθη πρὸς ἔνδειξιν πολυγλωττίας. τὸ ἔον ῥῆμά ἐστι τῆς ἐὼν μετοχῆς. ἐξ οὗ καὶ τὸ, πῶς ἄρ' ἔοι τάδε ἔργα. τὸ ἔην, τὸ ἐντελές ἐστι τοῦ ἦν. Ἰστέον δὲ, ὅτι τὸ κοινὸν ἦν, οὐ μόνον ἔον καὶ ἔην ὁ ποιητὴς γράφει, ἀλλὰ καὶ ἤην, καὶ ἦον. ὡς τὸ, ἀγορή τε, θέμις τε ἤην. καὶ νόος γε μὴν ἔμπεδος ἦν. λέγεται καὶ ἔα, ὡς ἐν Ὀδυσσείᾳ, τοῖος ἔα. καὶ ἐν συναιρέσει δὲ ἦ, κατὰ τοὺς παλαιοὺς Ἀττικούς. ἐκταθὲν δὲ τὸ ἔα, ἦα γίνεται.

Ἑὸν, τὸ ἴδιον, τὸ ἑαυτοῦ ἑαυτόν.

Ἔονος, γένος.

Ἐόντα, ὑπάρχοντα, ὄντα.

Ἐόντες, ἐξ ἔθους ἐπιφοιτῶντες.

Ἔοργα, ἀπὸ τοῦ ῥέζω, ῥέξω. ὁ μέσος παρακείμενος ἔρροργα. καὶ καθ' ὑπερβιβασμὸν τῶν στοιχείων, ἔοργα. τοῦ ἑνὸς ρ ἀποβληθέντος, ἐοργώς. ἢ ἔοργα, εἰργασάμην.

Ἔοργα, μέσος παρακείμενός ἐστιν, ἀπὸ τοῦ ἔργω βαρυτόνου ῥήματος, ἢ ἐργῶ περισπωμένου. ὡς ἀπὸ τοῦ ἔλπω, τὸ ἔολπεν. εἰ δέ ἐστιν ὑποδύσκολον ἐκ τοῦ ἔργω δισυλλάβου γίνεσθαι τὸ ἔοργα, ἐξ οὗ τὸ ἔοργη, νοητέον ὡς πλεονασμῷ τοῦ ε γενόμενον ἐκεῖνο ἐέργω, ἐπετέλεσε μέσον παρακείμενον ἥοργα, καὶ Ἰωνικῶς ἔοργα. ζητητέον δὲ, εἴπερ ἡ ἔοργη, τουτέστιν ἡ τορυνή, καὶ ἐοργίζεται, ἤγουν τορυνᾶται, τὰ παρὰ Αἰλίῳ Διονυσίῳ καὶ Πausaνίᾳ, ἐκ τοῦ τοιούτου ἔοργα γίνεται.

Ἔοργεν, ἢ ἐκ τοῦ ἐέργω, οὗ μέσος παρακείμενος ἔοργα, ἢ ἀπὸ τοῦ ῥέζω, ῥέζω, ἔρογα. καὶ μεταθέσει ἔοργα, οὗ τρίτον τὸ ἔοργεν.

* Ἐόργη ἡ τορύνη, καὶ ἐοργίζεσθαι τὸ τορυνᾶσθαι, παρὰ τὸ ὀργάζειν δοκεῖ λέγεσθαι, ὃ δηλοῖ τὸ κυκᾶν καὶ ἀναταράττειν.

Ἐοργίζεται, τορυνᾶται. ὄργις γὰρ ἡ τορύνη.

Ἐορδία, χώρα.

Ἔορες, προσήκοντες, συγγενεῖς.

Ἔορ, θυγάτηρ, ἀνεψιός.

Ἔορται, ἔδοξε, κρεμνᾶται.

Ἑορτάζω, τὸ ἁπλῶς ἑορτὴν ἄγω. ἑορτάζω τοὺς τοῦ παιδὸς γάμους μεταβατικῶς. αἰτιατικῇ ἑώρταζον, ἐν τῷ παρατατικῷ ὤφειλεν ἡόρταζον.

Ἑόρτας, ἀρεσκούσας, καλάς.

Ἑορτὴ, χρόνος ἱερὸς κατὰ νόμους. ἑορτὴ πολλὰ ἔχουσα, ἐπὶ τῶν πολλὰ ἀποτιθεμένων φορτία. εἴρηται δὲ, ἀπὸ τῶν πρὸς τὰς ἑορτὰς ἐπειγομένων.

Ἔορτος, ἢ ἔορδος, μακεδὼν, ἀπὸ ἔθνους.

Ἐοσσητὴρ, Ἐπίκουρος, τιμωρὸς, ἀντὶ τοῦ ἀοσσητήρ.

Ἑοῦ, τοῦ ἑαυτοῦ, ἑωλον.

Ἐούσης. ἔω τὸ ὑπάρχω, ὁ μέλλων ἔσω. ὁ δεύτερος ἀόριστος, ἦον. ἡ μετοχὴ ἐών. καὶ κατὰ συναίρεσιν, ὤν. καὶ τὸ θηλυκὸν ἡ ἐοῦσα, τῆς ἐούσης.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Π.

ἘΠάβολος, ἐπιτυχών.

Ἐπαγαασομένη, ἐκπληγεῖσα.

Ἐπαγγαλιάζων, ἐπιχαίρων.

Ἐπαγγεῖλαι, καὶ ἐπαγγελία, σημαίνει μὲν καὶ ἄλλα. ἰδίως δὲ λέγεται, ἐπὶ πεπορνευμένων, καὶ δημηγορούντων, οὐκ ἐξόν. καὶ ἐπήγγειλε, παρεκελεύετο, προσέταττε. λέγεται δὲ παθητικῶς, καὶ ἐπαγγείλασθαι. λέγεται καὶ τὸ κελεύειν, ἢ καταγγέλλειν.

Ἐπαγγείλαντας, ἐπικαλεσαμένους.

Ἐπαγγέλλει, ἀντὶ τοῦ αἰτεῖται.

Ἐπαγγέλεται, παρακαλεῖ, ἀξιοῖ. οὕτως Ἡρόδοτος.

Ἐπαγγελία, ὑπόσχεσις, καὶ ἐπάγγελμα.

Ἐπαγγέλλομαι, καὶ ὑπισχνοῦμαι, καὶ ὁμολογῶ. καὶ ἀπειλῶ σοι φόνον, καὶ ἀπειλῶ φονεύσειν τὸν δεῖνα. καὶ ἐπαγγέλλομαί σοι εὐδαιμονίαν. ἢ ἐπαγγέλλομαι, τὸ ὑπισχνοῦμαι, καὶ ἐπαγγελία. ἐπαγγέλλω δὲ ἐνεργητικῶς, σημαίνει τὸ ζητῶ. καὶ ἐπαγγέλλεσθαι λέγεται παρὰ τοῖς ῥήτορσιν, ἀντὶ τοῦ προστάττειν. ἢ αἰτιᾶσθαι, ὡς παρά τε Ἀντιφῶντι, ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. καὶ Δημοσθένει, ἐν τῷ περὶ τῆς παραπρεσβείας. ἢ ἐπαγγέλλω, τὸ χάριν αἰτῶ. ὡς καὶ Λιβάνιος, ἐγὼ δὲ φιλεῖσθαι πιστεύων ὑπὸ σοῦ. καὶ ἐπέστελλον. καὶ ἐπήγγελλον εὖ παθεῖν, ἀντὶ τοῦ χάριν ᾔτουν. ἐπαγγέλλομαι δὲ παθητικῶς, ἀντὶ τοῦ ὑπισχνοῦμαι.

Ἔπαγε τὴν γνάθον τοῖς δικτύοις, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ δάκε τῇ γνάθῳ τὰ δίκτυα καὶ διάκοψον αὐτά.

Ἐπάγει, τὸ ἐπιφέρει μετὰ τὸ πρῶτον καὶ ἄλλο τι, ἢ λόγον, ἢ ἕτερόν τι δευτέραν χρῆσιν ἐμφαῖνον. ἐπάγει καὶ τὸ ἐπιτίθησι, καὶ προσερείδεται. δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Λουκιανὸς, ἐπῆγές μοι πολλὰς πληγὰς ἐν τῷ βίῳ. Ἄλλως.

Ἐπάγει λέγεται, ὅταν ἕτερόν τις λόγον εἰπὼν, εἶτα ἐπ' ἐκείνῳ ἕτερον ἄγῃ. καὶ ὅταν ἄγῃ τίς τι κατά τινος. καὶ ἐπάγεται λόγος ἕτερος ἐφ' ἑτέρῳ, δηλονότι, ἐπάγεταί τις δοῦλον ἐπὶ ἐνεργείᾳ, ἢ ἕτερόν τι, ἀντὶ τοῦ ἐφ' ἑαυτῷ ἄγει, ἤγουν μεθ' ἑαυτοῦ.

Ἐπαγείρειν, ἐπισυναθροίζειν.

Ἐπάγεσθαι, καὶ ἐπισύρεσθαι, καὶ ἐφέλκεσθαι, ταυτὸ σημαίνουσι. λέγεται γὰρ κυρίως, ἐπὶ τῶν ἔμπροσθεν ἐρχομένων, καὶ ἑλκόντων τι δεδεμένον ὄπισθεν αὐτῶν.

Ἐπάγεται κυρίως, ἐπὶ αἰχμαλωσίας καὶ ἐπὶ καταδίκων.

Digitized by Google

δίκων. οἷον, ἐπάγεται ἐπὶ θάνατον, καὶ ἐπάγεται ἡ λεία.

Ἐπάγη, ἐστερεώθη, ἐπήχθη, ἐνεφυτεύθη, συνεπλάκη, ἐγένετο. ὅθεν ἁρμοτοπηγὸς λέγεται.

Ἐπάγην, ἐκ τοῦ πήσσω, τὸ πηγνύω. ὁ δεύτερος ἀόριστος ἔπαγον. τὸ παθητικὸν, ἐπάγην.

Ἐπαγίνηκεν, ἤπησεν.

Ἐπαγκωνίζεσθαι, ἐπανάγεσθαι.

Ἐπαγλαΐζων, ἄκρατον ἐπιχέων.

Ἔπαγλος, κασάλβριξ.

Ἐπαγόμενα, τὰ ἐπαχθέντα, ἐφολκά, ἢ ἀπακτικά.

Ἐπαγόμενος, αἰχμαλωτιζόμενος, ἢ ἐπιφερόμενος.

Ἐπαγορίαν ἔχει, ἐπίμωμός ἐστιν.

Ἔπαγρον, ἀγρευτικὸν, ἄγριον ἐν τῷ ἀγρεύειν ἐντυχεῖν.

Ἐπαγχάσασθαι, ἐπαναχωρήσασθαι.

Ἐπάγω, καὶ ἐπάγομαι, ἤτοι ἐπισύρω, καὶ ἐφέλκομαι. λέγεται δὲ τὸ ἐπάγω, ἀντὶ τοῦ ἐπιφέρω ἕτερον. ἐπάγομαι δὲ, ἐπὶ τῶν ἔμπροσθεν ἐρχομένων καὶ ἑλκόντων τι διδόμενον ὄπισθεν αὐτῶν.

Ἐπαγωγά, ἀπατηλά, πιθανά, ἐφολκά.

Ἐπαγωγάς, αἰχμαλωσίας.

Ἐπαγωγή, συμφορά, πειρασμὸς, ζημία, ἢ αἰχμαλωσία. ἤτοι τὸ ὁποσοῦν ἐπαγόμενον κακόν, ἢ ἡ ἀπὸ τῶν μερικῶν ἐπὶ τὰ καθόλου ἔφοδος. ἢ λόγος διά τινων ἀληθῶν τὸ ὅμοιον αὐτοῖς ἀληθὲς οἰκείως ἐπιφέρων.

Ἐπαγώγιον, ἀνηρτισμένον.

Ἐπαγωγὸν, ἐκ τοῦ ἐπήγαγον, παρὰ τοῖς ὕστερον λέγεται, τὸ ἐφελκτικὸν καὶ ἡδύ. παθητικῶς οἱ μεθ' Ὅμηρον ἐπάγεσθαί φασι, τὸ ἐφέλκεσθαι καὶ πείθειν.

Ἐπαγώνη, αἰφνίδιος, Κασάνδρα.

Ἐπαγωνιεῖται, φιλονεικήσει, προσκαρτερήσει, ἐκ τοῦ ἐπαγωνίζω, μέλλων ἐπαγωνίσω. Ἀττικῶς ἐπαγωνιῶ, καὶ ἐπαγωνιοῦμαι, εῖ, εῖται.

Ἐπάδοντος, φαρμακοῦ, γόητος. Δαβίδ, φωνῆς ἐπαδόντων.

Ἐπάειραν, ἐπῆραν.

Ἐπαειράμενον, ἀφαιρούμενον.

Ἐπαεῖραι, προστρέψασθαι.

Ἐπαείρας, ἐπεγείρας.

Ἐπαιοσύριον, κατήγορον.

Ἐπαθαίνετο, πάχειν ἐπεῖτο δεινά.

Ἔπαθλον, νικητικὸν βραβεῖον, τὸ ἐπὶ τῇ νίκῃ διδόμενον.

Ἐπαίαν, ἐπιγαίαν.

Ἐπαιγίζειν, τὸ ἐφορμᾶν. δηλοῖ καὶ τὸ ἄνωθεν ἐπιπνέειν. ὅθεν καὶ αἰγίδες, καὶ καταιγίδες. τὸ δ' αὐτὸ, καταιγίζειν λέγεται. δηλοῖ δὲ οὐ πάνυ βιαίαν πνοὴν, ἀλλὰ σύντονον. Ὅμηρος, λάβρος ἐπαιγίζων, σφοδρῶς ἐπιπνέων.

Ἐπαιγίζων, ἐπικαταιγίζων, τουτέστιν ἀποπίπτων.

Ἐπαΐγδην, ὅσον ἐπιψαῦσαι.

Ἐπαιδεύσατο τὸν υἱὸν ὁ πατὴρ, ἐπαίδευσε δὲ ὁ διδάσκαλος.

Ἐπαΐοι, ἀκούοι, αἰσθάνοιτο, ἀντιλαμβάνοιτο, συγκατατίθοιτο. Ἄρχειν τὰ αὐτῶν ἔπαξε λοχαγοὺς, καὶ ἀμφοτέρων τῶν διαλέκτων ἐπαΐοντας.

Ἐπαίκλια τὰ καὶ ἐπαίκνια καὶ ἐπιφορήματα καὶ ἐπιτραπεζώματα, ἤγουν τὰ μετὰ τὰς μοίρας παρατιθέμενα, εἴτουν τὰ μετὰ τὸ δεῖπνον βρώματα.

Ἐπαίμονες, ἀπόγονοι.

Ἐπαινῶ τὴν ἀρετὴν, ἀντὶ τοῦ εὐάρεστός ἐστιν.

Ἐπαινεῖν, τὸ διὰ λόγου ἐπαινεῖν, καὶ τὸ ἀποδέχεσθαι. οἷον, ἐπαινῶ τὴν σιγὴν, καὶ ἐπαινῶ τὴν συμμετρίαν.

Ἐπαινεῖσθαι, ἀντὶ τοῦ καυχᾶσθαι. Δαβίδ, ἐπαινεῖσθαι ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ.

Ἐπαινέσας, εὐχαρίστως ἀποδεξάμενος.

Ἐπαινὴ Περσεφόνη, ἡ αἰνή. τουτέστιν, ἡ ἐν σκότει διάγουσα. ἢ μᾶλλον ἡ δεινή, πλεοναζούσης καὶ νῦν προθέσεως, ὡς καὶ ἐν ἄλλοις. Περσεφόνεια, δὲ ἡ περσεφόνη Ἰωνικῶς. ὁμοίως τῷ Βερνίκη, βερενίκεια.

Ἐπ' αἰνύρων ὁδῶν, Αἰνύρα, χωρίον τῆς Θράκης, ἀπὸ αἰνύρου ὀνομασθέν.

Ἔπαινος, εὐφημία, εὐλογίαι, ἐγκώμιον, βίαιον δὲ τὸ καλλιλογία, καὶ εὐστομία. τὰ δὲ ἀπαρέμφατα, ἐπαινεῖν, εὐλογεῖν, εὐφημεῖν, ἐγκωμιάζειν, καλῶς λέγειν, εὐστομεῖν. ὀνόματα δὲ μόνον ὁ ἐπαινέτης. καὶ ἐπίρρημα, τὸ εὐφήμως. τὰ δὲ λοιπά, ἕτερόν τι δηλοῖ. ἢ ἔπαινός ἐστιν, ἀληθὴς μαρτυρία τῶν ἀπὸ ἀρετῆς ἐπαινουμένων.

Ἐπαίνους, τὰς κρίσεις, καὶ τὰς συμβουλίας, καὶ τὰς ἀρχαιρεσίας. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ, καὶ ἀλκίοι ταῖς ἐπαινέσεσιν.

Ἐπαινῶ καὶ ἐγκωμιάζω σε τῆς ἀρετῆς, νοεῖται ἕνεκα.

Ἐπαινῶ τὴν σιγὴν, καὶ ἐπαινῶ σε ποτὲ μὲν διὰ τὸ φιλότιμον εἶναι, ποτὲ δὲ διὰ τὸ γενναιότατον φαίνεσθαι. καὶ ἐπαινῶ, αἰνῶ, εὐφημῶ, εὐλογῶ, ἐγκωμιάζω, ταυτόν. ἢ ἐπαινῶ, ἐπαινέσομαι, ἐπῄνεσα. ἢ ἐπαινῶ, τὸ διὰ λόγου ἐπαινῶ τὴν σιγὴν, καὶ ἐπαινῶ τὴν συμμετρίαν. ἐπαινεῖται δέ τις, ἐφ' οἷς ποιεῖται καλοῖς. καὶ ψέγεται, ἐφ' οἷς ποιεῖ κακοῖς. ἐνίοτε τὸ ἐπαινεῖν, ἀντὶ τοῦ ἐργάζεσθαι. οἷον ἐπαινεῖ τις ἀρετὴν, ἀντὶ τοῦ ἐργάζεται, σημαίνει καὶ τὸ σιγᾶν, οἷον ἐπαινῶ σιγὴν, ἀντὶ τοῦ σιγῶ. ἐπαινεῖται οὗτος ἐς τὸ κάλλος, καὶ ἐπαινεῖταί τις ἐς τὴν ἀρετήν. καὶ ἐπαινέσομαι τὴν ἀρετὴν, καὶ ἐπαινέσομαι ὑπὸ τοῦ φίλου. καὶ ἐπαινέσαι ἐν σοὶ οὐδὲν ἔχω.

Ἐπαινῶ, τὸ εὖ λέγω. Ἀριστοφάνης, ἐγὼ δ' ἐπῄνουν τὸν Θεόν.

Ἐπαΐξαι παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἐπιδιῶξαι.

Ἐπαΐξας, ἐπιδραμὼν, ἐφορμήσας.

Ἐπαΐξεσθαι, Ἀττικόν. ἄλλως γὰρ καὶ ἐπαΐξειν λέγεται.

Ἐπαίομεν, ἐν Βαύρωνι, συνουσιάζομεν, ἠλαύνομεν, Βαύρων δὲ, τόπος Ἀθήνησιν.

Ἐπαίρεσθαι, διὰ διφθόγγου, τὸ φυσοῦσθαι, ἐπέρεσθαι δὲ διὰ τοῦ ε ψιλοῦ, τὸ ἐρωτῆσαι.

Ἐπαιρόμενος, ἐπανατεινόμενος.

Ἐπαίρω, τὸ παρακινῶ καὶ διεγείρω, αἰτιατικῇ συντάσσεται. ἢ τίς με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα. ἢ ἐπαίρω, τὸ ἀποδημῶ καὶ ἐπέρχομαι. μετὰ προθέσεως συντάσσεται, οἷον παρ' ἡμῶν ἀπαίρων ἐπὶ τὴν ἀρχήν. ἐπαίρω, καὶ ἀναλαμβάνω, καὶ ἀνατίθεμαι. Σοφοκλῆς, ἔπαιρε σὺ θύματα ἡ παροῦσά μοι.

Ἐπαίρων. κουφίζων, ὑψῶν.

Ἐπαῖσαι, αἰσθέσθαι, ἐπακοῦσαι, πεισθῆναι, ἢ λαβεῖν.

Ἔπαισας, ἔτυψας, ἐπάταξας, ἔπληξας, ἔδειρας, ὕσας, ἔψηλας.

Ἐπαίσας, μετεωρίσας.

Ἔπαισεν, ἔτυψεν, ἐπάταξεν, ἔπληξεν.

Ἐπαισθάνομαι, γενικῇ.

Ἔπαισοι, καθήκοντες, ἐπιβάλλοντες.

Ἐπαΐσσων, ὁρμῶν, ἐπερχόμενος.

Ἐπάϊστον, ἀντὶ τοῦ φανερὸν λέγουσιν Ἴωνες.

Ἐπαιχὲς, αἰχμῆς παραίτιον.

Ἐπαίτης, ὁ πτωχός. ἀπὸ τοῦ αἰτῶ αἰτήσω ἐπαιτήτης, καὶ ἐπαίτης.

Ἐπαίχθη, ἐνεπαίχθη, ἐκ τοῦ παίζω. ἐπέχθη δὲ, τὸ ἐκπεπνίσθη, διὰ τοῦ ε.

Ἐπαΐων, ἐπακούσας.

Ἐπαιώνιστο, εὐφήμιστο.

Ἐπ' ἀκινήτοισιν, ἢ τάφοις, ἢ λίθοις.

Ἐπακμόνιος, ποσειδῶν ἐν Βοιωτίᾳ.

Ἐπακοντισμὸς, βόλου ὄνομα.

Ἐπακόοι, οἱ μάρτυρες, καὶ οἱ ἐπισκοποῦντες τὰς δικαστικὰς ψήφους.

Ἐπακούω, Ἀττικῶς αἰτιατικῇ συντάσσεται. Σοφοκλῆς, κἀγὼ ἐπακούσας ταῦτα.

Ἔπακρα, τὰ εἰς στενὸν τελευτῶντα. ἅπερ καὶ ἔξουρα. τάττεται καὶ ἐπὶ τοῦ μᾶλλον, παρὰ τῷ Ἱπποκράτει.

Ἐπακρία χώρα, Ἀθηναίους πάλαι κωμηδὸν οἰκοῦντας, πρῶτος Κέκροψ συναγαγὼν, κατῴκισεν εἰς πόλεις δυοκαίδεκα. καὶ τὴν τῆς πόλεως ἐπωνυμίαν ἐφ' ἑαυτοῦ κεκροπίαν προσηγόρευσε. δύο δὲ τετραπόλεις ἐκάλεσεν, ἐκ τεσσάρων πόλεων ἑκατέραν μοῖραν καταστήσας. τρεῖς δὲ λοιπὰς ἐπακρίδας ὠνόμασε. καὶ ἡ προσεχὴς χώρα ταύταις ταῖς τρισὶν, ὁμωνύμως αὐταῖς ἐπακρία ἐκαλεῖτο.

Ἐπάκριος ζεὺς, ὁ ἐπὶ τῶν ἄκρων τῶν ὀρῶν ἱδρυμένος. ἐπὶ γὰρ τῶν ὀρῶν τοὺς βωμοὺς αὐτῷ ἵδρυον, ὡς ἐπιτολύ.

Ἐπακταῖος ποσειδῶν, ἐν Σάμῳ.

Ἐπακτὴ, ἡ ἐκ τῆς λεπτῆς ψήφου τῆς σελήνης ἀριθμουμένη ἡμέρα.

Ἐπακτὴρ, αἴθων, διάπυρος, ὀξὺς, κυνηγός.

Ἐπακτῆρες, οἱ κυνηγοί. ἐκ τοῦ ἐπάγειν γίνεται ἡ λέξις, ἢ διότι ἐπάγονται κύνας. ὅθεν καὶ συνθέτως, κυνηγοὶ λέγονται. ἢ ὅτι τοὺς κύνας ἄγονται εἰς θήραν, διὰ τὸ ἐκείνους προϊέναι, ὡς δηλοῖ τὸ ἵκανον ἐπακτῆρες, πρὸ δ' ἄρα αὐτῶν κύνες ἤϊσαν. ὧν παράφρασις, τὸ ἐπάγοντες ἐπῆσαν, ἤγουν μετ' ἐκείνους ἄγοντες, μετ' ἐκείνους ἤϊσαν. ἢ ἐπακτῆρες, οἱ θηραταὶ, ὡς ἀεί τι ἐπαγόμενοι, οἷον ἢ ὅπλα. ἢ ὡς καὶ ἐπαγόμενοι τοῖς θηρίοις, ἤγουν πολεμίων δίκην ἐπιόντες. τὸ γὰρ ἐπάγειν, πολεμικὴ πολλάκις λέξις, ὡς δηλοῖ ὁ κωμικός. τίθεται δὲ καὶ ἀντὶ τοῦ ἁλιεῖς, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐπακτήρεσιν, ἀλλεπαλλήλοις, συνεχέσιν.

Ἐπάκτιον, μέγαν, ὑψηλόν.

Ἐπάκτιος Ἀπόλλων, ὁ ἐν τῇ ἀκτῇ τιμώμενος.

Ἐπάκτιος, ὁ ἑρμῆς ἐν Σικυῶνι.

Ἐπάκτισεν, ἐπέδραμεν.

Ἔπακτον, ξένον, ἐπαγόμενον, σφοδρόν. καὶ ἐπακτὸν, ἔξωθεν.

Ἐπακτὸς ὅρκος, ὁ μὴ αὐθαίρετος, ἀλλ' ἐφ' ὃν ἕτερος ἄγει. ἢ ὃν ἄντις ἑκὼν ἑαυτῷ ἐπάγηται. τουτέστιν, ὃν ἂν αἱρεῖται. ἔστι δὲ ὅρκου τρία ἤδη, ἀπώμοτος, καὶ κατώματος, καὶ ὁ καλούμενος ἐπακτός. εἶναι δὲ τοῦτον οὐχ ἁπλοῦν. δεῖν γὰρ τὸν προτεινόμενον ὑπὸ τοῦ ὁρκίζοντος, αὐτοῖς ὀνόμασιν ἀντιφωνεῖν τὸν ὁρκιζόμενον.

Ἐπακτὸς ὄμβρος, σφοδρός.

Ἐπακτίδας, τὰς ἁλιάδας. ἐπακτρεῖς γὰρ, οἱ ἁλιεῖς, καὶ καθόλου οἱ κυνηγοί.

Ἐπακτρὶς, παροιμία. δύναι μὲν εἰς ἐπακτρίων, λαβεῖν δὲ μή. καὶ οἱ κυνηγοὶ, ἐπακτρεῖς. καὶ ἐπακτρὶς, εἶδος πλοίου. ἐμβάντες γὰρ εἰς τὰς ἐπακτρίδας, καὶ τὰς δρομάδας ὁλκάδας, τὸν ὅρμον περιενόστησαν.

Ἐπακτροκέλης, πλοῖον λῃστρικὸν, μεταξὺ ἐπακτρίδος, καὶ κέλητος. ἅπερ καὶ αὐτὰ πλοιάρια ἐστίν.

Ἐπακτῶν, ἔξωθεν προσγινομένων. ἢ ἐπὶ τῶν αἰγιαλῶν, ἢ τῶν πέτρας· ἀντὶ γὰρ, ἡ πέτρα, καὶ ὁ αἰγιαλός.

Ἐπάκτωσαν, ἔκλεισαν, ἐφράξαντο.

Ἐπαλαιώθησαν, ἐγήρασαν.

Ἐπαλαμᾶτο, ἐμηχανᾶτο, ἐτεχνάζετο. παλάμαι γὰρ, αἱ τέχναι. καὶ Ἀριστοφάνης, τί οὖν πρὸς ταῦτα ἐπαλαμήσατο; τουτέστιν, ἐπενόησεν.

Ἐπαλαστεῖν λέγεται, τὸ δεινοπαθεῖν, ὡς ἐπὶ ἀλαθήτοις κακοῖς. οὐ τὸ ἁπλοῦν ἀλαστήσας, ἔπος ηὔδα ἐν Ἰλιάδι, καὶ θωὶ ἠλάστεον. ἐκ δὲ τούτου, ἀλάστωρ γίνεται οὐ μόνον τὸ κύριον, ἀλλὰ καὶ φθονερὸν δαιμόνιον. καὶ ζεὺς ἀλάστωρ, οὐ ἡ βλάβη ἄλαστος, ἢ ὃν οὐκ ἔστι λαθεῖν. ἢ ὁ ἐπαμύνων τοῖς ἄλαστα παθοῦσι. λέγεται δέ φασιν ἀλάστωρ, ὁ τιμωρὸς, καὶ ὁ φυγῆς ἄξια εἰργασμένος.

Ἐπαλαστήσασα, σχετλιάσασα, δεινοπαθήσασα, ἐπιχαλεπήνασα.

Ἐπαλάτεια, πόλις μεγίστη τῶν ἐν Φωκεῦσι. τοῦ δὲ ῥήτορος πάλιν ἐν τῷ ἑβδόμῳ (εἰ γνήσιος) τάδε. ἐν Κασιεπείᾳ τρεῖς πόλεις, Πανδοσίαν, καὶ Βούχενταν, καὶ Ἐλάτειαν. ῥητέον, ὅτι βέλτιον ἐν ἐνίοις γέγραπται διὰ τοῦ ρ, ἐλάτρια. Θεόπομπος οὖν ἐν τεσσαρακοστῇ καὶ τετάρτῃ, τέτταρας πόλεις φησὶν εἶναι τῶν κασσιεπαίων, ἀλλ' οὐ τρεῖς. ὥσπερ ὁ Δημοσθένης, ἐλάτρειάν τε, καὶ πανδοσίαν, καὶ βιτίαν, καὶ βούχενταν λέγει.

Ἐπαλεῖναι, ἐπαλεῖψαι.

Ἐπαλίφει, διεγείρει, γυμνάζει. καὶ ἀντὶ τοῦ χρίει.

Ἐπαλεξήσων, βοηθήσων.

Ἐπαλητεύουσιν, ἀλήθουσιν.

Ἐπ' ἀληθεῖς, ἐν Ὀδυσσείᾳ παρ' Ὁμήρῳ τινὲς εἰς δύο μέρη λόγου διαλύσαντες, νοοῦσιν ἐπὶ τοὺς αἰγυπτίους τοὺς ἀληθεῖς. τοῦτο δὲ διὰ τὴν ἐκείνων ναυτικὴν, ἐφ' ᾗ γεγόνασι περίπυστοι.

Ἐπαληθεὶς, πλανηθείς.

Ἐπαλήλιπτο, ἐχρίετο. κασσιτέρῳ δὲ ἐπαλήλιπτο τὰ κράνη αὐτῶν.

Digitized by Google

Ἐπαλακλᾶσθαι, παλακῇ ἐχεῖτο.

Ἐπαλλάξαντες, ἀντὶ τοῦ συνάξαντες, συνδήσαντες, συνάψαντες. ὅθεν φασὶν ὁ μουσικὸς Ἀριστόξενος, τῇ τοιαύτῃ λέξει ἐπαλλαγμένα λέγων τὰ συνημμένα. δῆλον δὲ, ὅτι τὸ πέρας καὶ τὸ ἐπαλλάξαι, καὶ τὸ τανύσαι, καὶ τὸ ἄλυτον, ἐπὶ ἁμμάτων κυριολεκτοῦνται. καὶ ὅτι ὥσπερ οὐ μόνον πεῖραρ ποιητικῶς, ἀλλὰ καὶ πέρας. ἐξ οὗ ἡ κλῆσις τοῦ πέρατος καὶ πείρατος. οὕτω νοητέον καὶ ἐπὶ τοῦ φρείατα μακρὰ νάουσι. καὶ ὅτι ἐπαλλάξαι τὸ συνδῆσαι λέγεται, διὰ τὴν τῶν περάτων ἐπαλλαγὴν, ἐν τῷ οὕτω καὶ οὕτω εἰς δεσμὸν κάμπτεσθαι. ποιητὴς δ' ἂν εἴποι γνάμπτεσθαι. ὅθεν καὶ ἀναγνάμψαι δεσμὸν ἐν Ὀδυσσείᾳ, τὸ ἀναλῦσαι.

Ἐπαλλάξεις, ἀντὶ τοῦ συλλαγὰς, ἢ μίξεις, Ἀντιφῶν.

Ἐπαλλάσσων, κατεπίμπλατο.

Ἐπαλλαχθεῖσα, ἐπαλλάξασα. Σοφοκλῆς Κολχίσιν.

* Ἐπαλλάττειν πέρατα χοινίου, ἀντὶ τοῦ συνάγειν καὶ συνδεῖν καὶ συνάπτειν.

Ἔπαλλεν, ἔσησεν, ἐπάλθημεν.

Ἐπάλληλον, συνεχὲς, ὅμοιον.

Ἐπάλλησεν, ἐφθάρη.

Ἐπάλλων, δοῦλος, λάτρις.

Ἐπάλμενος, ἐφορμήσας. ἀπὸ τοῦ ἄλλω, τὸ πηδῶ, ἄλλομαι παθητικὸν, ἀλλόμενος μετοχή. καὶ συγκοπῇ, ἄλμενος. καὶ ψιλοῦται. τὰ γὰρ συγκοπτόμενα Αἰολικῶς, ψιλοῦται. καὶ ἐν συνθέσει, ἐπάλμενος.

Ἐπάλξαντες, ἄλλο ἐπ' ἄλλο ποιήσαντες. δηλοῖ δὲ τὴν συμπλοκὴν τῶν μαχομένων.

Ἐπάλξις, ἀπὸ τοῦ ἄλξω τὸ βοηθῶ. ἐφ' ἧς ἀλκήσει τῇ πόλει ὁ μαχόμενος. ἐκ δὲ τοῦ ῥηθέντος ῥήματος, καὶ τὸ ἄλξ, κὸς, κὶ, παρήγαγόν τινες. ἡ ἔπαλξις, τὸ ἐπάνω τοῦ τείχους, ἔνθα ἱστάμενοι ἀποσοβοῦσι τοὺς πολεμίους.

Ἐπαλξίτης, ἐπαμησάμενος, ἀνακινήσας. Ἡρόδοτος. ἡ ἐπαλξίτης, ὁ λίθος ὁ ἐπάνω τῆς ἐπάλξεως.

Ἐπαλυσία, ἡ Ἀθηνᾶ.

Ἐπάλπαξα, πολτῷ ἔβαλλον.

Ἔπαλτο, ἐφήλατο, ἐπέδραμεν.

Ἐπάλυνεν, ἐλεύκανεν, ὕγρανεν, ἀνέδωσεν, ἢ ἐπέπασεν, ἢ ἀπὸ τῆς πάλης ἐλάκανε χιόνι.

Ἐπαλυνάων, ἐπιπάσσων, παρὰ τῷ Ἱπποκράτει.

Ἐπαμβλήδην, ἀναβαλλόμενος, ἀνακρουόμενος.

Ἐπαμειβόμενον, ἐπαλλαττόμενον.

Ἐπαμείψωμεν, ἀνταλλάξωμεν, ἀντιδῶμεν.

Ἐπαμέρσαιον, μέρσον τι, παρὰ Κνιδίοις.

Ἐπ' ἀμεροφανίῳ, ἐπὶ ἡμέρᾳ φίλου φανέντος.

Ἐπαμησάμενος, ἀνακινήσας. οὕτως Ἡρόδοτος, καὶ ἀντὶ τοῦ θερήσας.

Ἐπαμήσατο, ἐπεβάλετο.

Ἐπαμησόμεθα, ἐπιφορήσομεν.

Ἐπ' ἀμνηστείᾳ, ἐπ' ἀμνησικακίᾳ.

Ἐπαμοιβαδὸν, ἐναλλάξ.

Ἐπαμοιβοὶ χιτῶνες, οἱ περιττεύοντες, ὥστε χειμῶνος. ἄλλως ἐπί τινι χρείᾳ μεταλαμβάνειν αὐτούς. ὁποῖα παρὰ Φαίαξι, τὰ κατὰ ξυσὴν ἐξημοιβαεἵματα.

Ἐπαμοιβοὶ, ἐπηλλαγμένοι τὴν σύνθεσιν.

Ἐπάμονες, ἀπόγονοι, ἀκόλουθοι.

Ἐπαμῦναι, βοηθῆσαι.

Ἐπαμφάδησεν, ἐθαύμασε, περιεβλέψατο.

Ἐπαμφιάζοντες, ἐπενδύοντες.

Ἐπαμφιέσας, ἐγκρύψας.

Ἐπαμφίσκοντες, ἐνδύοντες.

Ἐπ' ἀμφότερα εἰπεῖν ἱκανὸς βέλτιον, ἢ κατ' ἄμφω.

Ἐπαμφοτερίσαι, εἰς ἀμφιβολίαν ἀγαγεῖν τὸν λόγον, ὡς καθ' ἑκάτερον ἐλέγχεσθαι.

Ἐπ' ἄμφω, ἐπὶ τοῖς δυσίν.

Ἐπὰν, καὶ ἐπειδὰν, εὕρηται δὲ πλέον τὸ ἐπειδάν.

Ἐπαναβαίνω, δοτικῇ συντάσσεται. οἱ δὲ ἐπανέβαινον τῷ ὄρει. καὶ γενικῇ. ἐπαναβαίνειν τῆς τοιούτων τῆς νεὼς πειρώμενος.

Ἐπαναβάλεσθε, περιστολίσασθε, ἱμάτια τ' ἀνδρεῖα ἐπαναβάλεσθε.

Ἐπάναγε, ἐπάνελθε, ἐπίστρεφε.

Ἐπ' ἀνάγκης ἔχω, ἀντὶ τοῦ ἀνάγκην ἔχω.

Ἐπαναγνῶναι, ἐξαναγνωρίσαι.

Ἐπανάγω, αἰτιατικῇ.

Ἐπαναζεῦξαι, ἐπανελθεῖν.

Ἐπαναθεῖναι, μεταθέσθαι.

Ἐπανάκρουσαι, ἐπανάκαμψον. ἡ μεταφορὰ ἀπὸ τῶν τὰς ἡνίας ἀνακρουομένων, ἢ τὰς ναῦς. ἄλλως, ὑπόστρεψον, ἐπανάβηθι.

Ἐπανακροῦσαι, ἀπὸ τῶν κωπηλατούντων, ὅταν ἀναστρέψαντες πρύμναν, ἀνακρούονται ἵνα εἰς τοὐπίσω ἀναχωρήσῃ τὸ πλοῖον.

Ἐπανάκρουσις. ἔστι δὲ κυρίως, τὸ ἐπισχεῖν τὴν ἐπερχομένην ναῦν καὶ μεθορμίσαι εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα θραυσθῇ.

Ἐπαναλαζονευόμενον, κατεθρασυνόμενον.

Ἐπανάληψίς ἐστι, δὶς ἢ καὶ πολλάκις ἐπαλλήλως τιθεμένη φράσις. δὶς μὲν ὡς τὸ, Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας, Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται. πλεονάκις δὲ, Νιρεὺς αὖ Σύμηθεν ἄγεν. Νιρεὺς, Ἀγλαΐης υἱὸς Νιρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε. γίνεται δὲ ἐπανάληψις, ὅταν τὸ καθάπαξ ῥηθὲν ὑποδιαιρῆται κατὰ μέρος.

Ἐπαναλήψομαι, ἄνωθεν ἄρξομαι.

Ἐπαναλύων, ἐπαναστρέφων.

Ἐπαναπαύσιμον, ἐπαναπαῦναι θέλοντα, καὶ πορθῆσαι.

Ἐπαναρύεται, μετὰ χερσὶν θύει, κρέα δίδωσι.

Ἐπανάστασις, ἐπανέγερσις.

Ἐπαναστροφὴ, σχῆμα.

Ἐπανατείνει, ἐπανατείνεται, ἐφήπλωται.

Ἐπαναφορά. ἔστι δὲ ἐπαναφορὰ, τὸ εἰς τὴν αὐτὴν λέξιν ἐπανιέναι· οἷον εὖ, παρ' Ὁμήρῳ. τετράκις γὰρ ἐν ἀρχῇ στίχων κεῖται τὸ εὖ. τοιοῦτον δὲ καὶ τὸ, ἱδρώσει τελαμὼν, ἱδρώσει δὲ ἵππος.

Ἐπαναφορά ἐστιν, ὅταν ἐν ἀρχῇ πλειόνων κώλων ταυτὸν μόριον ἐπαναλαμβάνηται. οἷόν ἐστι, Νιρεὺς δὲ Σύμηθεν ἄγε τρεῖς νῆας ἐΐσας. Νιρεὺς, Ἀγλαΐης υἱὸς, Χαροποῖό τε ἄνακτος. Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν. ἢ ἐπαναφορὰ, τὸ ἀναφέρειν καὶ ἀνακοινοῦσθαι τῷ πλήθει.

Ἐπ' ἀναφορέων, ἐπ' ὤμων.

Ἐπαναχθέντες, ἐπανακομισθέντες.

Ἐπανέβην, αἰτιατικῇ.

Ἐπανεθήσεται, ἀντὶ τοῦ ἐπαφεθήσεται.

Ἐπανεῖπον, ἀντὶ τοῦ ἐκήρυξαν. Θουκυδίδης, ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι.

Ἐπάνεισιν, ἐπαναστρέφειν, ἀνακάμπτειν.

Ἐπανεῖτο, ἐνεργεῖτο.

Ἐπανελέσθαι, ἐπαναλαβεῖν.

Ἐπανελθεῖν, ἀναβιῶναι.

Ἐπανελθὼν, ὑποστρέψας, δεύτερον ἐλθών.

Ἐπανέντες, ἀφέντες.

Ἐπανέρεσθαι, ἐπερωτᾶν.

Ἐπανωτέρω, ἐπάνω.

Ἐπανέρχομαι, ἐπανήκω, ἀναστρέφω, ὑποστρέφω, κατέρχομαι, νοστῶ, ταυτόν.

Ἐπανέστησαν, παρὰ μέντοι τοῖς ὕστερον ἔριδός ἐστι δηλωτικόν. ὡς ὄχλος ἐπαναστῆναι τῷ ἄρχοντι λέγεται. ὁ μέντοι ποιητὴς ἐπαναστῆναι καὶ νῦν λέγει, τὸ καθήμενόν τινα, εἶτα εἰς τιμήν τινος ἀναστῆναι. οἷον, Οἱ δ' ἐπανέστησαν, πείθοντό τε ποιμένι λαῶν. τινὲς μέντοι, πανέστησαν γράφουσιν, ἤτοι πάντες ὀρθοὶ ἔστησαν, ὡς καὶ πρὸ τούτου πάντες ἀνέσταν, καὶ ἄντιοι ἔσταν ἅπαντες, οὐδέ τις ἔτλη μεῖναι ἐπερχόμενον, ἀλλὰ ἄντιοι ἔσταν ἅπαντες.

Ἐπανέστειν, οἰκείᾳ συνέσει χρᾶσθαι. καὶ μὴ ταῖς βίβλοις ἐπανέστειν.

Ἐπανέστησαν. ἐντεῦθεν τοῖς Λάκωσι νόμος ἐπανίστασθαι τοὺς νέους τοῖς πρεσβυτέροις. ὅρα δὲ τὸ ἀρχαϊκὸν τῆς λέξεως τοῦ ἐπανίστασθαι. πάλαι μὲν γάρ ποτε τὸ ἐπὶ τιμῇ ἀνίστασθαι ἐδήλου. ὕστερον δὲ μάχιμος ἡ λέξις τοῦ ἐπανίστασθαι, καὶ τῆς ἐπαναστάσεως, τῆς ἐπὶ προθέσεως τὸ κατὰ δηλούσης.

Ἐπανείχετο, ἀντὶ τοῦ ἐπανελάβετο. ὁ δὲ πρὸς τὸν τοὺς Γέτας πόλεμον, ὡς μάλιστα ἐπείγοντα ἐπανέσχετο.

Ἐπανετείνοντο, ἐν προσδοκίᾳ ἦσαν, ἢ ἐμεγαλύνοντο, καὶ ηὔξοντο.

Ἐπανέχειν, ὑψοῦν.

Ἐπάνηκε, ὑπόστρεψον, ἐπάνελθε.

Ἐπανήραντο, ἐπανέλαβον, παρὰ τὸ ἆραι.

Ἐπανήρατο, ἐπηρᾶτο, ἦκετο.

Ἐπανηρημένος, προηρημένος, θέλων.

Ἐπ' ἄνθεσιν, ἐπὶ τὰ ἄνθη.

Ἐπανθέω, ἀκμάζω.

Ἐπανθρακίδες, τὰ ἐπ' ἀνθράκων ὀπτώμενα ἰχθύδια.

Ἐπανιστέον, ἐπιστρεπτέον, ἐπανοδευτέον.

Ἐπανίστω, ἐκ τοῦ ἐπανίστασο, καὶ συγκοπῇ ἐπανίστασο, καὶ κράσει τοῦ α καὶ ο εἰς ω, ἐπανίστω. ἐπανιστῶ, δοτικῇ. καὶ ἐπανίσταμαι, δοτικῇ ὁμοίως.

Ἐπανιτέον, ἐπανοδευτέον, ἐπαναστρεπτέον. καὶ ἐπανιτέον, ἐπαναχτέον.

Ἐπανιὼν, ἐπαναστρέφων.

Ἐπάνοδός ἐστιν, ὅταν δύο πράγματα καὶ ὀνόματα προτιθείς τις, μήπω τοῦ νοῦ πέρας ἔχοντος ἐπανίῃ ἐφ' ἑκάτερον τῶν ὀνομάτων ἀποδιδοὺς τὸ τῆς διανοίας ἐλλιπὲς, ὡς ἐν ἐκείνῳ. Ἄρης τε βροτολοιγὸς, ἔρις τ' ἄμοτον μεμαυῖα, ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηϊοτῆτος, ἄρης δ' ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα.

Ἐπανορθοῦμαι κάλλιον, ἢ ἐπανορθῶ. ἐπανορθῶ, αἰτιατικῇ συντάσσεται. Λιβάνιος, ἴσασιν οἱ στρατιῶται τοὺς ἐμοὺς πόνους, τὰς ἐμὰς ἀγρυπνίας, ἐν ὅσαις αὐτοὺς ἤσκουν μελέταις. ὅπως δὲ ἐτίμων τοὺς ἀγαθοὺς, ὅπως δὲ ἐπηνώρθουν τοὺς μὴ τοιούτοις. διορθῶ, ὁμοίως αἰτιατικῇ.

Ἐπαντέλλων, ἀναφέρων, ἀνατέλλων.

Ἐπαντλῶν, αἰτιατικῇ.

Ἐπ' ἀνετολαῖς, ἐπ' ἀνατολαῖς.

Ἐπάντους, ὑψηλοῦ. Θουκυδίδης, ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος.

Ἐπάνω, γενικῇ συντάσσεται. οἷον ἐπάνω πάντων.

Ἐπαοιδὴ, πρωτότυπόν ἐστι τῆς ἐπῳδῆς. Ἰστέον δὲ, ὅτι ἀρχαία ἐστὶν ἡ διὰ τῆς ἐπαοιδῆς θεραπεία. ὡς Ὅμηρος, ἐπαοιδῇ δ' αἷμα κελαινόν.

Ἐπαοιδὸς, φαρμακὸς, γόης. καὶ θηλυκῶς, ἐπαοιδία.

Ἐπάπειρα, δυσνόητα, πολλά.

Ἐπαπήνην, τὴν ἅμαξαν.

Ἐπαποδύρομαι, αἰτιατικῇ.

Ἐπαποδυώμεθα, ἀντὶ τοῦ ἐπιχειρήσωμεν.

Ἐπαπόρησις, πρότασις ἀπορίαν ἔχουσα.

Ἐπαπορία, ἡ ἐκ διαφόρων λόγων συνεχὴς σύνθεσις, τὸ νῖκος εἰς ἑαυτὴν ἀποδεῖξαι σπουδάζουσα.

Ἐπ' ἀραβύστῳ, ἐν μυστηρίῳ, ἐν ἀποκρύφῳ.

Ἐπαράμενοι, ἢ παρὰ μοῖραν ἀπολλύμενοι.

Ἐπαρὰς, πλεονάζει ἡ πρόθεσις. ὡς καὶ ἐν τῷ ἐπιβουκόλος, καὶ ἐπίουρος. ἐπαινὴ περσεφόνεια, ἡ αἰνὴ, τουτέστιν ἡ δεινή. ἔοικε δὲ ἐπαρὰς, ἐξ ὀρθοῦ τὰς κατάρας εἰπεῖν. ὅθεν καὶ ἐπάρατος. δηλοῖ δὲ αὐτὸ σαφέστατα, καὶ τὸ, πολλὰ κατηρᾶτο. ὅτι πολλαχοῦ ἡ κατὰ πρόθεσις, εἰς τὴν ἐπὶ ἀλλάσσεται, ὡς καὶ ἐν τῷ ἐπίρρητος, ὁ καταρρήσεως ἄξιος.

Ἐπάρας, ἀντὶ τοῦ πάσας. θρασυτάτους ἄνδρας ἐλπίσιν εὐεργεσιῶν ἐπάρας. ἢ ἐπάρας, κουφίσας, ὑψώσας.

Ἐπαράσαι, κουφίσαι, ἐπαράσασθαι.

Ἐπάρασας, ἀπέδυσας, ἐπώλησας.

Ἐπάρατος, ἐπαγωγός. καὶ ὁ ἄξιος κατάρας, καὶ ὁ ἐπικατάρατος.

Ἐπάργεμα, ὄμματα τετυφλωμένα.

Ἐπάργεμος, ἀποκεκρυμμένος, ἡ νόσος ὀφθαλμῶν. ἐπάργεμα γὰρ λέγεται τὰ ὄμματα, ὅταν ᾖ τετυφλωμένα ὑπὸ λευκωμάτων. καὶ πάντα δὲ τὰ τυφλὰ καὶ ἀφώτιστα, οὕτως λέγονται.

Ἐπάργυρον, μισθωτήν.

Ἐπάρη, ἐκεντήθη.

Ἐπαρήγουσαν, βοηθοῦσαν.

Ἐπαρήξει, βοηθήσει.

Ἐπαρήρει, ἐφήρμοστο.

Ἐπάρισμα, ἀφανῆ, ἄσημα.

Ἐπαρίστερα, κακὰ, ἀηδῆ.

Ἐπαρίστερον οὐ χρὴ λέγειν, ἀλλὰ σκαιὸν, Φρύνιχος.

Ἐπάρκεσοι, ἔμπειροι, βοηθοί.

Ἐπαρκὲς, αὔταρκες.

Ἐπαρκῶ τὸ βοηθῶ, τὸ τοῖς χρείαν ἔχουσιν ἀρκετὰ δίδω-

Digitized by Google

δίδωμι καὶ ἐπαρκῶ, τὸ ἀρκετός εἰμι, καὶ τὸ ἀποσοβῶ. καὶ ἐπαρκῶ, ἐκ τοῦ ἀρκέω, ἀρκέσω. ὅθεν ἀρκέσιος, καὶ πλεονασμῷ ἀρκείσιος κύριον, ὁ τοῦ Λαέρτου πατήρ. διὸ ἀρκεισιάδην φησὶν ὁ ποιητής. ὁ τύπος ὅμοιος τῷ φημιάδης, ὁ τοῦ Φημίου. καὶ ἠλιάδης, ὁ τοῦ Ἡλίου.

Ἐπαράμενοι, οἱ παρὰ μοῖραν ἀπολλύμενοι.

Ἔπαρμον, σῶμα κάθυγρον.

Ἐπαρξάμενοι, σπείσαντες, ἐπιστάντες.

Ἐπαρξάμενος, ἐπαρχὰς ληψόμενος.

Ἐπάρξεσθαι, τὸ ἐπὶ τοῖς φθάσασι πάλιν ἄρξεσθαι.

Ἐπαρόητος, σύγμα ἀρκαδικὸν μαχιμώτατον, καὶ οἱ παρ' Ἀρκάσι δημόσιοι φύλακες.

Ἔπαρον, ἰθόμην. παρμὸς γὰρ κεφαλῆς, αἴθησις. ἐπεὶ οἱ θίγοντες τοῦ μυκτῆρος λεπτοῦ κάρφει πτάρνυνται.

Ἐπάρουρος, ἐπίγειος, ἢ κηπουρὸς, ἐπιμίσθιος. ἢ ἐπάρουρος, Ὀδυσσείας λ'. οἱ μὲν πάρουρος ἀπέδοσαν, ὅ ἐστι φύλαξ. οὖρος γὰρ, ὁ φύλαξ. δεήσει οὖν ὀξυτόνως προσφέρεσθαι, ὡς θυρωρός. βέλτιον ἐπάρουρος, ἀντὶ τοῦ ἐπίγειος. τὴν γῆν γὰρ, ἄρουραν λέγουσιν.

Ἔπαρσις, ὑπερηφανία.

Ἐπαρτᾷ, ἐπικρεμάζει.

Ἐπαρτέα δαῖτα, ἤγουν ἑτοίμην.

Ἐπαρτήσας, ἐπικρεμάσας.

Ἐπαρτέας, ἑτοίμους, ἀπηρτημένους.

Ἐπαρτίαν, παρασκευήν.

Ἐπαρτύειν πῶμα, τὸ συναρμόττειν, καὶ ἔστιν ἀρετὴ πώματος τὸ συναρηρέναι.

Ἐπαρτωνή, δεῖπνον ἑσπερινή.

Ἐπαρτημένων, ἐπικρεμαμένων. ὥστε μεγίστων φόνων ἐπαρτημένων.

Ἐπαρυστρίδες, αἱ ἀντλήτριαι, ἀπὸ τοῦ ἀρύω, τὸ ἀντλῶ. εἰσὶ δὲ καὶ μικρὰ ξυλία, ἐν τοῖς λυχναψίαις. ἢ ἐπαρυστρίδες, ἐλαιοχύται, ἢ ἀντλητῆρες.

Ἐπαρχία, φυλὴ, ἢ τάξις.

Ἔπαρχος πραιτωρίων, ὁ τῶν ἐθνῶν τῆς φορολογίας τὴν ἐπίστασιν ἔχων, παρὰ Ῥωμαίοις.

Ἐπαρώμενοι, καταρώμενοι.

Ἐπᾶσαι, ᾆσμα εἰπεῖν γοητικὸν, ἐπιλαλῆσαι.

Ἐπάσαντο, δαίνυμαι ἐνεστώς. ἀφ' ἑτέρου ῥήματος, ταυτὸ δυναμένου τούτῳ. ὁ γὰρ ἐνεστὼς οὐκ ἔστιν ἐν χρήσει, παρατατικὸς ἐδαινύμην, μέλλων πάσομαι. ὁ μέσος ἀόριστος ἐπασάμην. παρακείμενος, πέπασμαι, ἀφ' οὗ τὸ πεπάσθαι. καὶ ταῦτα μέν εἰσι ποιητικά. κοινὰ δὲ ταυτὸ δυνάμενα, ἐνεστὼς, βιβρώσκω τὸ ἐσθίω. παρατατικὸς, ἐβίβρωσκον, καὶ ἤσθιον. μέλλων φάγομαι, ἀόριστος ἔφαγον, παρακείμενος βέβρωκα. ἢ ἐπάσαντο, ἐγεύσαντο, παρὰ τὸ πατῶ, ὃ δηλοῖ τὸ ἐσθίω. ἐξ οὗ πάτνη καὶ φάτνη, ἐν ᾗ ἐσθίουσι τὰ ἄλογα.

Ἐπασθμαίνων, πνευστιῶν.

Ἐπάσιοι, καθήκοντες.

Ἐπασκεῖ, αἰτιατικῇ συντάσσεται, οἷον ἐπασκῶ τὴν σοφίαν. καὶ ἐπασκεῖν, σέβεσθαι, ἁγνεύειν.

Ἐπασκηταὶ, ἀθληταί.

Ἐπάσκιον, ἡ χιὼν, Σικελοί.

Ἐπάσματα, τὰ ὑπὸ τῶν γραῶν τοῖς νηπίοις ᾀδόμενα. αἵτινες καὶ τῶν παίδων τὰ μέτωπα ἀποπτύουσι, καὶ ἀναλείχουσι, καὶ πρὸς ἀστέρας καὶ σελήνην βλέπουσιν.

Ἐπ' ἀσπίδα, εἰς εὐώνυμα.

Ἔπασσεν, ἐποίκιλλεν, ὕφαινεν.

Ἐπασσύτεραι δαναῶν κίνυντο φάλαγγες νωλεμέως πόλεμόν δε, αἰολικὴ λέξις, ποιηταῖς φίλη τὸ ἐπασσύτερον, ἐκ τοῦ ἆσσον γινομένη. δηλοῖ δὲ τὸ ἐγγὺς, καὶ διὰ τοῦτο τῇ ἐπαλληλίᾳ πυκνόν. συγγενὲς δὲ καὶ τὸ νωλεμὲς, τῇ τοιαύτῃ λέξει. ἐπεὶ καὶ ταυτόσημα τὸ ἐγγὺς, καὶ τὸ πυκνῶς, καὶ τὸ ἐπασσυτέρως. καὶ τὸ ἀδιαλείπτως, ὅ ἐστι νωλεμές.

Ἐπασσύτεροι παρ' Ὁμήρῳ, ἐν πρώτῃ ῥαψωδίᾳ, κεῖται ἀντὶ τοῦ ἀλλεπάλληλοι, συνεχεῖς. τὸ συγκριτικὸν ἀντὶ ἁπλοῦ, ἀπὸ τοῦ ἆσσον, τὸ πλησίον. ἢ ἐπασσύτεροι, ἄλλοι ἐπ' ἄλλοις.

Ἐπασσύτερον, πυκνότερον, ἀλλεπάλληλον.

Ἐπ' ἀσφαλοῦς, ἀσφαλεῖς.

Ἐπάσω, ἐκπίσω. Αἰσχύλος, πρώτῃ σατυρικῶν.

Ἐπάταξαν, ἔτυψαν, ἐβροντήσαντο, ἐνίκησαν.

Ἐπάταξας, ἀντὶ τοῦ πατάξεις.

Ἐπάστερθεν, ἐπέκεινα.

Ἐπάτησε, λέγεται ἀντὶ τοῦ ἐπῆλθε. καὶ πατεῖν, τὸ ἐπέρχεσθαι πατεῖν. λέγεται καὶ ἐπὶ βιβλίων, ἀντὶ τοῦ διέρχεσθαι, καὶ ἀναγινώσκειν. οἷον πεπάτηκας τὴν ῥαψωδίαν τοῦ Ὁμήρου. καὶ πολλὰ δόγματα τῶν φιλοσόφων πεπάτηκεν, ἀντὶ τοῦ διῆλθε, καὶ διέτριψεν.

Ἐπατία, ἐπιτίμια.

Ἐπακτροκέλης, εἶδος πλοίου, σύνθετον ἔχον τὴν κατασκευήν. ἐκ τε ἐκ πατρίδος, καὶ κέλητος. ἐπακτρίδες δὲ, καὶ κέλητες, εἴδη πλοίων.

Ἐπαυγάζει, λάμπει.

Ἐπαυδῆσαι, ἐπειπεῖν.

Ἐπαύκλια, βαγήματα τοῦ ψιλοῦ. ἢ ἐπαύκλια, βαγήματα Ἐλεῶν, βάπεζά τις.

Ἐπαύλειος ἡ τῆς αὐλῆς ὁδός.

Ἐπαυλία λέγεται, καθ' ὅσον ἐν τῇ τοῦ νυμφίου οἰκίᾳ, καὶ τῇ νύμφῃ ἐν πομπῆς σχήματι. παῖς γὰρ ἡγεῖται χλανίδα λευκὴν ἔχων, καὶ λαμπάδα καιομένην. ἔπειτα μετὰ τοῦτον καὶ κανηφόρος, εἶθ' αἱ λοιπαὶ ἀκολούθως ἐφεξῆς, φέρουσαι χρυσίου λεκανίδας, σμήγματα, φορεῖα, κτένας, κοίτας, ἀλαβάστρους, σανδάλια, θήκας, μυράλιπτα. ἐνίοτε δὲ καὶ τὴν προῖκα, ἅμα τῷ νυμφίῳ φέρουσιν. οἱ δὲ φασὶν ἐπαυλίαν; τὴν δευτέραν μετὰ τοὺς γάμους ἡμέραν καλεῖσθαι, ἐν ᾗ πρῶτον ἐπαυλίζεται τῷ νυμφίῳ ἡ νύμφη.

Ἐπαύλεις λέγει Ὅμηρος, ἤγουν σταθμοὺς, αὐλὰς, ἐπαύλεις. γράφεται δέ φασι καὶ μεσαύλους. οἱ μέν τοι ἔναυλοι τί δηλοῦσιν, ἔστιν εὑρεῖν ἀλλαχοῦ. δῆλον δὲ, ὅτι καὶ λόγοι ἔναυλοι παρὰ τὸν μουσικὸν αὐλὸν λέγονται, οἱ πρόσφατοι, καὶ ἀκοαῖς ἔτι ἐναυλόμενοι.

Ἐπαύλεις, τὰς μάνδρας. ἢ καταχρηστικῶς τὰς οἰκίας, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐπαυλίζεται, ἐπισκιάζεται.

Ἔπαυλος, ἐπίσκιος, ἔνοικος, χαράδρα.

Ἐπαυλόσυνος, ὁ εἰς τὴν ἔπαυλιν ἰών.

Ἐπαύρασθαι, ἐπαπολαῦσαι.

Ἐπαυθερέντα, ἐπιβάλλοντα.

Ἐπαυρεῖ ποιητικῶς, ἀπολαύει κοινῶς. Ἡσίοδος, Πολλάκις καὶ πᾶσα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ. Ὅμηρος, ἐπαυρήσεσθαι ὀίω. τουτέστιν, οἴομαι ἐπαπολαῦσαι. καὶ τὸ, ἵνα πάντες ἐπαύρωνται βασιλῆος.

Ἐπαυρέμεν, ἀπολαύειν.

Ἐπαυρεῖν, ἀπολαῦσαι.

Ἐπαυρέσθαι, ἐὰν μὲν παροξυτόνως, ἔσται ἀόριστος, ἀντὶ τοῦ ἀπολαῦσαι. ἐὰν δὲ προπαροξυτόνως, παρατατικὸς ἀντὶ τοῦ ἀπολαύειν.

Ἐπαύρῃ, ἐπιτύχῃ, ἐπιψαύσῃ.

Ἐπαύρηαι, ἐκ τοῦ ἐπαυρῶ τὸ ἀπολαύω, μέλλων ἐπαυρήσω. ὁ δεύτερος ἀόριστος, ἐπηῦρον, ἐὰν ἐπαύρω, ἐὰν ἐπαύρωμαι, ἐὰν ἐπαύρηται. καὶ ἰωνικῶς ἀποβολῇ τοῦ τ γίνεται τὸ δεύτερον ἐπαύρηαι.

Ἐπαυρίζω, τὸ φυσῶ, καὶ ἐπαυρίσκω ὁμοίως.

Ἐπαυρίσκονται, ἐπιτυγχάνουσιν.

Ἐπαύροι, ἀπολάβοι, μεταλαμβάνοι.

Ἐπαύρους, τοὺς χειμάρρους ποταμούς.

Ἐπαύρωνται, ἐπαυρῶ τὸ ἀπολαύω πρὸς γενικήν. ἔστι δὲ συζυγίας πρώτης τῶν περισπωμένων. ἀφ' οὗ τὸ ἐπαυρεῖ παρ' Ἡσιόδῳ, πλεῖον δέ τε νυκτὸς ἐπαυροῖ. καὶ ἐν ἄλλοις, Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ. ἐπαυρήσομαι μέλλων, τῶν κέν μιν ἐπαυρήσεσθαι ὀίω. ἐπηυρόμην, μέσος δεύτερος ἀόριστος. ἀφ' οὗ ὑποτακτικὸν, ἐπαύρωμαι. τὸ τρίτον τῶν πληθυντικῶν, ἐπαύρωνται. ἐπαυρῶ δὲ, τὸ ἀφαιροῦμαι, πρὸς αἰτιατικὴν, συζυγίας δευτέρας. παρατατικὸς ἐπηύρων, ὡς ἐβόων. ἀφ' οὗ ἀπηύρα, ἄμφω θυμὸν ἀπηύρων, ἐπὶ τρίτου τῶν πληθυντικῶν. Τὴν ῥα βίη ἀέκοντος ἀπηύρων. γίνεται δὲ ἀπὸ τοῦ αὔρα. ἔστι γὰρ ἀπαυρῶ μὲν, τὸ ἀνάπνευσίν τινος ἀφαιροῦμαι. ἐπαυρῶ δὲ, τὸ ἐπισπῶμαι ἀνάπνευσιν. εἶτ' ἀπὸ τούτων ἀπαυρῶ, τὸ ἀφαιροῦμαι ἁπλῶς. καὶ ἐπαυρῶ, τὸ ἀπολαύω.

Ἐπαύσω, λήξω.

Ἐπ' αὐτῶν, παρ' αὐταῖς.

Ἐπ' αὐτόπτῳ, ἐπ' αὐτοφόρῳ.

Ἐπαυτοφάδες, ἐπ' αὐτοφόρῳ. ἐπ' αὐτοφόρῳ δὲ, ὁ φανερῶς καταληφθεὶς, ὑπεύθυνος γενόμενος. ἢ ἐπ' αὐτῷ τῷ κλέμματι εὑρεθεὶς, ἔτι κατέχων αὐτό.

Ἐπ' αὐτοφόρῳ, ἐπ' ὀφθαλμοῖς. ἐπ' αὐτῷ τῷ κλέμματι.

Ἐπαυχοῦσι, μεγαλοφρονοῦσιν.

Ἐπαφαυάνθην, ἐξηράνθην. Ἀριστοφάνης, ὥστ' ἐπεφαυάνθην παναθηναίοισι γελῶν.

Ἐπαφὴ, ἡ περίεργος ψηλάφησις, καὶ πρόσψαυσις. ἢ ἐπαφή ἐστι, δοκιμασία τῶν κατὰ σῶμα ψηλαφητῶν.

Ἐπαφῆκεν, ἐπαπέλυσεν, ἐπέδωκεν, ἐξέβλυσεν.

Ἐπαφησαμένη, ἁψαμένη.

Ἐπάφησεν, ἐπαφήσατο.

Ἐπαφίασιν, ἐπαφιᾶσι δὲ, πέμπουσιν.

Ἐπαφίησιν, ἐπαπολαύει.

Ἐπαφρόδιτος, ἡδὺς, ἐπίχαρις.

Ἐπαφώμενα, περιέργως ψηλαφώμενα.

Ἐπαχθεῖς, ἐπίπονοι, ἀληθεῖς.

Ἐπαχνώθη, ἠνιάθη, ἐλυπήθη.

Ἐπαχθὴς, ὁ ἐπάγων ἄχθος καὶ λύπην. ἀπεχθὴς δὲ, ὁ μεμισημένος καὶ μισητός. ἀπηχθημένος δὲ αὐτός.

Ἐπάχνωσεν, ἐλύπησεν, ἔφθειρεν.

Ἐπαχθέμεναι, πάλιν ἐπικλεῖσαι, καὶ ἐπιθεῖναι.

Ἐπεάν, ἀντὶ τοῦ ἐπὰν λέγουσιν οἱ Ἴωνες. Ἡρόδοτος, ἐπεὰν ἐκβῇ εἰς τὴν γῆν.

Ἐπεάνυδα, λόγους.

Ἔπεα, λόγια. Ὅμηρος, ἔπεα πτερόεντα προσηύδα. ὅ ἐστι λόγους ἐπτερωμένους, καὶ ταχεῖς.

Ἐπέβαλλε παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, τίθεται ἀντὶ τοῦ εὐστόχως καὶ ἐπιτυχῶς ἔπλεεν. ὡς ἐκ τοῦ βάλλειν, ὃ δηλοῖ τὸ ἐπιτυγχάνειν.

Ἐπέβαλλεν, ἤρξατο, ἐπεχείρησεν, ἢ ἀντὶ τοῦ συνῆν.

Ἐπεβαλλομένη, ἐνθεαζομένη.

Ἐπεβάτευον, συνουσίαζον.

Ἐπέβεις, ἐπιβάτεις.

Ἐπέβησαν ἀναιδείης. παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας χ, δηλοῖ μὲν περιφραστικῶς τὸ ἠναιδεύσαντο. χρησιμεύει δὲ καὶ αὐτὸ ἐν Ἰλιάδι, εἰς τὸ, Κακῶν ἐπιβασκέμεν υἷας ἀχαιῶν. ἴσως δὲ ἔχει τι ὁμοιότητος καὶ πρὸς τὸ νηπιάας ὀχεῖν. ταυτὸν γὰρ τῷ ἀναιδείης ἐπιβῆναι, καὶ ἐπὶ νηπιότητος ὀχεῖσθαι. εἰ μὴ ἄρα ἐκεῖνο μᾶλλον ἐνεργητικῶς νοεῖται, ἵνα λέγηται ὁ παῖς ὀχεῖν, τουτέστι φέρειν, ἤτοι βαστάζειν. νηπιάας ἐν πτώσει αἰτιατικῇ, ὅ ἐστιν νηπιότητας. λέγοι δ' ἂν ἀναιδείης ἐπιβῆναι, καὶ τὸ εἰς ἄκρον αὐτῆς ἐλθεῖν. καὶ ἄλλως δὲ, μεταφορικῶς ἂν ἔχοι, ὡς ἀπὸ ἐπιβάσεως τῆς εἰς ἅρμα.

Ἐπέβησαν, ἀπήρχοντο.

Ἐπεβήσατο, ἐπέβη.

Ἐπέβησεν, ἐπιβῆναι ἐποίησεν.

Ἐπέβη τῆς νεώς. ὅθεν καὶ ἐπιβάτης ἐπὶ πλοίου καὶ ἐπὶ συνουσίας. οἷον, ἐπέβη τὸν ἄνθρωπον.

Ἐπεβοᾶτο, τὸν Χριστόν.

Ἐπεβόσκετο, βόσκω τὸ θρέμμα, τὸ παθητικὸν βόσκομαι, ὁ παρατατικὸς, ἐβοσκόμην, ου, ετο. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, ἐπεβόσκετο.

Ἐπέβρισαν λυκίων ἀργοί. ὥς φασιν οἱ παλαιοὶ, ἐπεζάρησαν οἱ Ἀρκάδες φασίν. ὅθεν παρ' Εὐριπίδῃ, τὸ ὡς δ' ἐπεζάρει σφίγξ. εἰ δὲ καὶ ζέρεθρον τὸ βάραθρον, οἱ αὐτοί φασιν, οὐ πάνυ δῆλον, εἰ ῥητῶς που εὑρεθείη παρασημανθὲν ὑπό τινος γλωσσογράφου. ἀκολούθως δὲ τῷ ἐπέβρισαν ἐρρέθη, καὶ τὸ, ζαχρηεῖς. σημαίνει γὰρ τοὺς βαρεῖς, καὶ ἐμβριθεῖς, καὶ οὐ φορητούς. ἀπὸ τοῦ ἄγαν χραύειν, ὅ ἐστιν ἐπιπίπτειν, κατὰ τὸ μνηστῆρσι μνηστῆρες ἐπέχραον.

Ἐπέβρισεν, ἐπεβάρησεν.

Ἐπεγγελᾶν, καὶ ἐπιγελᾶν, τὸ αὐτό.

Ἐπεγκανάξαι, ἐπεμπιεῖν, ἢ ἐπιχέαι.

Ἐπεγκλάσας, τοῖς ὄμμασιν πως σκανδαλίσας.

Ἐπέγκαψαν, ἐπικατέκλασαν.

Ἐπέγκαψον. ἐπέγμαψον, χάψον, ἐπίφαγε.

Ἐπέγλυψεν, ἐπέξυσεν.

Ἐπέγρετο, ἐπεγείρετο.

Ἐπέγνω, κατενόησεν.

Ἐπεγνωσμένως, ᾠκειωμένως. ὡς καὶ ὁ Ἀπόστολος, καθὼς καὶ ἐπεγνώσθην.

Ἐπεγράφου, ἀντὶ τοῦ ἐζωγράφεις. Ἀριστοφάνης, καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.

Ἐπεγράψατο, ἀντὶ τοῦ ἀπεγράψατο, ἐχειροτόνησε, κατέστησεν. ἡ μεταφορὰ ἀπὸ μετοίκων τῶν προστάτας προσγραφόντων ἑαυτοῖς.

Ἐπεγραψάμεθα, ἐσημειωσάμεθα, ὑπόσπονδοι ἐγενόμεθα.

Ἐπεγράψαντο, ἀντὶ τοῦ διϊσχυρίζοντο καὶ ἐβεβαίουν. Οἱ δὲ εἰς Θρᾴκην διαδοκιμοῦντα αὐτὸν οἰκιστὴν, ἀντὶ Ἀίγωνος ἐπεγράψαντο.

Ἐπέγρετο, ἐπεγείρετο.

Ἐπεγχανών, καταγελάσας. οὐ μὴν ἡ τιμωρὸς δίκη τὴν ὕβριν καὶ ὑπεροψίαν, εἴασε τῷ τοῦ Μέλητος θανάτῳ ἐπεγχανεῖν.

* Ἐπεγχύτης, ὁ οἰνοχόος παρὰ Ἑλλησποντίοις.

Ἐπ' ἐδάφους, ἐπὶ γῆς.

Ἐπεδαψιλεύσατο, καταχόρως ἐχρήσατο. ὡς τὸ, ἐπεδαψιλεύσατο ταῖς ὑποθέσεσι τῆς ἀποκηρύξεως.

Ἐπεδέετο, ἔχρῃζεν.

Ἐπεδίκασε, καὶ ἀπεδικάσατο. Δημοσθένης ἐν τῷ κατ' Ὀλυμπιοδώρου, τὸ μὲν ἀπεδίκασεν, ἀντὶ τοῦ προσέκρινε. τὸ δὲ ἀπεδικάσατο, οἷον ἔπεισε τοὺς δικαστὰς ἑαυτῷ προσνεῖμαι τὸν κλῆρον.

Ἐπέδραμε ῥυτὶς τῷ προσώπῳ. καὶ ἐπιτρέχει ταῖς παρειαῖς ἐρύθημα, ταῦτα τὸ ἐπιπολῆς σημαίνει.

Ἐπεζάρυκεν, ἐπεβάρυνεν.

Ἐπεζάρει, ἐπεβάρει, ἐπέκειτο.

Ἐπέζεσεν, ἤρθη, καὶ ηὐξήθη, ἀπὸ μεταφορᾶς τοῦ ζέοντος ὕδατος ἐν τοῖς λέβησι, κινουμένου ἐν τῷ ζέειν.

Ἐπεζύγωσε, προσέκλεισεν.

Ἐπεθείαζε, μανικῶς διετέθη, ἢ διετίθετο, θεόληπτος ἐγίνετο. Μένανδρος, ὁ ἡγεμὼν ἐν ἑνὶ τῶν ἑπτὰ λόφων ἀνελθὼν, ἐπεθείαζε ῥήμασι βαρβάροις. καὶ ἀντὶ τοῦ ἐθαύμαζεν, ἢ ἀντὶ τοῦ ἐχόρευεν.

Ἐπέθελγον, κατεδαπάνων.

Ἐπέθεντο, ἐπανέστησαν. Δαβίδ, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί.

Ἐπέθετο, ἐλιχνεύσατο, ἐπερρίφθη, οὐδὲ χρημάτων ἀφαιρέσει ἐπέθετο.

Ἐπέδωκά τινι ἐπιστολὴν, ἀντὶ τοῦ παραδέδωκα. καὶ ἀντεπιτίθησιν, ἀντὶ τοῦ ἀντεπιστέλλει. καὶ ἐπίθετος ἡ ἐπιστολὴ, ἡ δοθεῖσά τινι, ὥστε διακομίσαι. καὶ ἐπικηρυκεία, τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας ἐκπέμπειν.

Ἐπέθοντο, ἐπέκειντο, ἀντέχειντο.

Ἐπέθρωσκον, ἐπεπήδων.

Ἐπεὰν, ταυτὸν τῷ ἐπειδάν ἐστι. καὶ ἐπεὰν, τὸ ἐντελές ἐστι τοῦ παρὰ τοῖς ὕστερον λεγομένου ἐπάν. παρ' οἷς συνθετώτερον τοῦ ἐπεὶ ἂν, τὸ ἐπειδάν.

Ἐπεὶ, ἀντὶ τοῦ ἐπειδὴ, ἀπὸ τοῦ εἰ, γέγονε καὶ τῆς ἐπὶ προθέσεως. Ἰστέον δὲ ὅτι, τὸ ἐπεὶ ἡνίκα ἐστὶ χρονικὸν ἐπίρρημα, οἷον πλάγχθη ἐπεὶ Τροίης, ἀντὶ τοῦ, ἀφ' οὗ ἐστι. καὶ πάλιν, αὐτὰρ ἐπεὶ κόσμηθεν. Νίκανδρος δὲ αἰτιολογικὸν παραλαμβάνει σύνδεσμον. ἐπεὶ ἡμέρα, φῶς ἐστιν.

Ἐπεὶ, λέγει ὅτι, ἢ ἐπειδὴ, ἢ ἐπειδὰν, ἢ ἐπεί τι, ἢ εἰ δὲ μή.

Ἐπεὶ ἄρ τ' ἐμάχεν, ἐπεὶ διεχωρίσθησαν.

Ἐπεὶ ἄρ τινα, ἐπάντινα.

Ἐπειγέα, τὸ ἐπείγειν παράγει σπουδαῖον μὲν ὄντα, ὡς εἰκὸς, ὥσπερ καὶ τὸν σπερχειὸν ποταμὸν τὸ σπέρχειν, ὡς οἷα σπερχνὸν ἐν τῷ τρέχειν ὄντα.

Ἔπειγε, πορεύου, σπεῦδε.

Ἐπείγει, κατάγει, καθέλκει.

Ἐπείγετε δ' ὦνον ὁδαίων, τουτέστιν ἐπισπεύδετε τὴν τῶν ἐφοδίων ἐξώνησιν. ἔνθα ὅρα, ὅτι τὸ οὐ μόνον ἐνόδιος καὶ ἐφόδιον καὶ εἴ τι ἄλλο τοιοῦτον ἐκ τῆς ὁδοῦ γίνεται, ἀλλὰ καὶ ὁδαῖος, οὗπερ οὐδέτερον τὸ ὁδαῖον. καὶ ὅτι ὥσπερ διάλογος διαλογὴ, καὶ βίοτος βιοτὴ, οὕτω καὶ ἐνταῦθα ἐξ Ὁμηρικοῦ ὤνου, παρὰ τοῖς ὕστερον ἡ ὠνή. ἀφ' ἧς εὕρηται καὶ ἰσωνία, ἡ ἴση πρᾶξις, παρὰ τοῖς παλαιοῖς.

Ἐπείγομαι, δοτικῇ.

Ἐπειγόμενός περ ὁδοῖο. γενικῇ συνέταξεν, ὥσπερ λιλαιόμενος περ ὁδοῖο. ὅπερ ἐστὶν ὁ σπεύδων μὲν εἰς ὁδόν. κωλυόμενος δὲ φιλικῶς, ὡς ἐν α τῆς Ὀδυσσείας.

Ἐπείγω, σπουδάζω.

Ἐπειγωλὴ, ἡ σπουδή. ἀπὸ τοῦ ἐπείγω, ἐπειγωλή.

Ἐπείγω ἕτερον, ἀντὶ τοῦ παρακινῶ, καὶ ἐπισπεύδω, καὶ κατεπείγω. ἐπείγομαι δὲ ἀμεταβάτως, ἀντὶ τοῦ σπεύδω. ἐξ οὗ ἔπειξις, καὶ ἐπειγωλὴ, ἡ σπουδή.

Ἐπειδὰν, ὑποτακτικῷ συντάσσεται, οἷον ἐπειδὰν ἀποθάνωσι, καὶ ἐπειδὰν τοῦτο ποιήσῃς.

Ἐπεῖδεν ὁ ὀφθαλμός μου, ἀντὶ τοῦ ἐπέβλεψεν.

Ἐπειδὴ καὶ ἐπεὶ, χρόνου σημαινόμενα, οὐ μόνον πρὸς ὁριστικὸν, ἀλλὰ καὶ πρὸς εὐκτικὸν συντάσσεται. οἷον, ἐπειδὴ γένοιτο, καὶ ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν.

Ἐπειδὴ, ἐστὶ μὲν σύνδεσμος παρασυναπτικός. λαμβάνεται δὲ, καὶ ἀντὶ τοῦ ἀφ' οὗ, καὶ ἐξ ὅτου.

Ἐπειδὴ πρῶτα, ἐπειδὴ ἅπαξ.

Ἐπείδ' ἤνεον, ἐπῄνουν, καὶ συγκατετίθεντο.

Ἐπειὴ, ἀντὶ τοῦ ἐπειδή.

Ἐπειὴ, περισπᾶται τὸ η, ἀντὶ τοῦ δὴ παραπληρωματικοῦ. ὁ η σύνδεσμος μετὰ τοῦ ἐπεὶ περισπᾶται ἐν μέσῃ φράσει, τὸ δὲ τίη ὀξύνεται.

Ἐπείθετο, ἐπείσθη.

Ἐπεὶ ἴδον υἱοὺς Δάρητος, τὸν μὲν ἀλευάμενον, ὅ ἐστι φυγόντα, τὸν δὲ κτάμενον. τὸ γὰρ σύνηθες οὕτω. τῶν παίδων τοῦ Δάρητος, τὸν μὲν, τὸν δέ. σχηματίζει δὲ καὶ ἄλλα πολλὰ ὁμοίως ὁ ποιητής. ὡς τὸ, ἄμφω δ' ἑζομένω γεραρώτερος ἦν Ὀδυσσεύς. καὶ ἕτερα μυρία, οὐ μόνον παρὰ τῷ ποιητῇ, ἀλλὰ καὶ ἑτέροις.

Ἐπεικάζω, στοχάζομαι, Ἢ καὶ δάμαρτα τὴν δ' ἐπεικάζων κυρῶ.

Ἐπείκεν, ἐπειδάν.

Ἐπεικτὰς, ὑπόσχεσις, σπουδή.

Ἐπείκτης, σπουδαῖος, ὁ κατεπείγων. Πισίδης, ὅπως ὑφέξῃ τοῖς ἐπείκταις ἀγγέλοις τοὺς συλλογισμοὺς τῶν χρεῶν καὶ τῶν τόκων. ἐπείκτης λέγεται, καὶ ὁ τὴν κογχύλην ἀπαιτῶν.

Ἐπειλέγη, κατειλέγη, συνηλέγη. καὶ ἐπειλεγμένος. ἐπιλελεγμένος δὲ, διὰ τοῦ ι.

Ἐπειλημμένη, δραξαμένη, ἀντιλαμβάνουσα.

Ἐπεὶ μάθον, ἐπεὶ ἔμαθον.

Ἔπειμι ἀγρόν. Ὅμηρος ἐν Ὀδυσσείας ψ αἰτιατικῇ συνταχθὲν, ἀντὶ τοῦ ἐπὶ τὸν ἀγρὸν εἶμι. οἱ δὲ μεθ' Ὅμηρον, καὶ μάχιμον οἴδασι τὴν λέξιν. ἐπιέναι γοῦν τις καὶ ἐπέρχεσθαί τινι λέγεται, κατὰ δοτικὴν σύνταξιν.

Ἔπειν, καὶ ἕπεσθαι, διαφέρουσιν. ὧν τὸ μὲν ἐνέργειαν δηλοῖ, καὶ βλάβην δέ ποτε Ἰωνικῶς. τὸ δὲ, ἀκολούθησιν.

Ἔπειξις, ἡ σπουδή.

Ἐπειοὶ, οἱ Ἠλεῖοι. ἀπὸ Ἐπειοῦ, τοῦ Ἠλείου βασιλέως αὐτῶν, καὶ οἱ πλησιόχωροι.

Ἐπειὸς, τὸν Δούριον ἵππον κατεσκεύασε. δι' οὗ τὸ Ἴλιον ἐπόρθησε. καὶ Ἐπειὸς ὄνομα ἐθνικὸν, ἐπηὸς δὲ ὁ συγγενὴς, διὰ τοῦ η. καὶ ἐπειὸς ἐκαλεῖτο Κρατῖνος ὁ κωμικὸς, ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς οἰνηΐδος φυλῆς, καὶ δειλότερος φανῆναι. καὶ γὰρ ὁ ἐπειὸς δείλωσιν σημαίνει.

Ἐπεὶ οὐδὲ ἔοικεν, ἐπεὶ οὐδὲ πρέπει.

Ἐπεὶ οὐ ἔθεν, ἐπεὶ οὐκ αὐτῆς.

Ἐπεὶ οὖν, ἀργοῦ κειμένου τοῦ οὖν, ταυτόν ἐστι τῷ ἐπειδή.

Ἐπὶ οὔποθεν, ἐπειδὴ οὔποτε.

Ἐπεὶ, οὔ τι μοι αἴτιοι εἰσὶν, ἐπεὶ οὐκ εἰσί μοι αἴτιοι.

Ἐπεὶ οὔτοι, ἐπεὶ οὐδαμῶς σοι.

Ἐπείπασθαι, ἐξειπεῖν.

Ἐπειπὼν, ἐπιβοήσας.

Ἐπείρα, αἰσχρῶς προσέβαλλεν.

Ἐπεὶ ῥα, ἐπειδή.

Ἔπειραν, ἔπηξαν.

Ἐπειράσατο, ἀπόπειραν ἐποιήσατο.

Ἐπειράσθην, ἀπὸ τοῦ πειράζω.

Ἐπειράτιζες, ἐπείραζες.

Ἐπειρᾶτο, ἐπείραζεν, ἐδοκίμαζεν.

Ἐπειρεν, ἐπέρα, ἀνεῖρεν, ἐκέντησεν, ἐσούβλιζεν.

Ἐπείρη, ἐπειρᾶτο.

Ἐπειρωνευόμενος, χλευάζων, ἐπεγγελῶν.

Ἐπειρῶντο, ἐσπούδαζον, ἐβούλοντο, ἐπεχείρουν.

Ἐπείσακτον, ξένον. ἐπίσακτον δὲ, τὸ ἐπὶ τοῦ σάγματος κείμενον, διὰ τοῦ ι.

Ἐπεισάκτους, ἀλλοτρίους.

Ἐπεὶ σελέοντα, γυναιξίν.

Ἐπεισέφρησεν, εἰσῆλθεν.

Ἐπεισήρρησεν, εἰσεφθάρη.

Ἔπεισι γῆρας, ἀντὶ μέλλοντος τοῦ ἐπελεύσεταί ἐστιν.

Ἔπεισί μοι, ἐπέρχεταί μοι.

Ἔπεισιν, ἀντὶ τοῦ ἐπάνω εἰσίν. Ἀριστοφάνης, αἱ χύτραι τῆς γραὸς ἔπεισιν. καὶ ἔπεισιν, ἀντὶ μέλλοντος παρ' Ὁμήρῳ ἐστὶ, τοῦ ἐπελεύσεται. πολλαχοῦ οἱ παλαιοὶ χρόνους ἀντὶ χρόνων λαμβάνουσι. καὶ οὕτω μὲν ὁ ποιητὴς αἰτιατικῇ συντάσσει τὸ ἔπεισι, λαβὼν αὐτὸ ἀντὶ τοῦ καταλήψεται. οἱ δὲ μεθ' Ὅμηρον, δοτικῇ συντάσσουσιν, οἷον ἔπεισί μοι ποιεῖν τόδε. καὶ ἔπεισιν, ἐπέρχεται.

Ἐπεισκρινόμενον, ἐπεισερχόμενον.

Ἐπεισκυκλείσθω, ἐπιφερέσθω, συναπτέσθω. καὶ ἐπεισκυκλεῖ, ἀντὶ τοῦ εἰσφέρει, καὶ ἐπισυνάπτει.

Ἐπεισκύκλησις, ἡ ἀνακύκλησις, ἡ ἐπισύναψις.

Ἐπειπεῖν, ἐπακολουθοῦντα ἔχειν.

Ἐπεισπέπαικεν, εἰσεπήδησεν, εἰσῆλθε. κυρίως δὲ ἐπὶ στρατιᾶς πολεμίων. Ἀριστοφάνης ἐν Πλούτῳ, ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν ἐπεισπέπαικεν, οὐδὲν ἠδικηκόσιν.

Ἐπεισπίπτειν, τὸ μετὰ σφοδρᾶς ὁρμῆς εἰσέρχεσθαι.

Ἐπεισρεύσαντα, ἐπεισελθόντα.

Ἔπεισιν, ἐπέρχεται.

Ἐπεισόδιον, τὸ εἰσφερόμενον τῷ δράματι γέλωτος χάριν, ἔξω τῆς ὑποθέσεως ὄν. καταχρηστικῶς δὲ, τὸ ἐξαγώνιον ἅπαν πρᾶγμα.

Ἐπεισοίσας, κομίσας, ἐπεισβαλών.

Ἐπεισφοραῖς, καταδίκαις.

Ἐπεισφρήσας, ἐπεισελθών. καὶ ἐπεισφρήσω, ἐπεισενέγκω.

Ἐπειχέω, ἐπεισβάλλω.

Ἔπειτα, μετὰ ταῦτα. Ὅμηρος δὲ κέχρηται καὶ ἀντὶ τοῦ δή. αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς.

* Ἔπειτεν καὶ εἶτεν Ἰωνικῶς, ἀντὶ τοῦ ἔπειτα καὶ εἶτα.

Ἐπεὶ φίλον αἰονῆτον, ἐπεὶ καθῆντο τῆς ψυχῆς ἀλγηστάσης.

Ἐπεῖλεν, ἐπήρειδεν, ἐπέκειτο, προσεδόκα, προσεῖχεν.

Ἐπεὶ χ' ἐῶμεν πολέμοιο, ἐπειδὰν πληρωθῶμεν τοῦ πολέμου. παρὰ τὸ, ἐξ ἔρον ἕντο.

Ἐπείχθητι. ἐπείγω, τὸ σπουδάζω, ὁ μέλλων ἐπείξω, ὁ παρακείμενος ἔπειχα, ἄχρηστος. ὁ παθητικὸς, ἤπειγμαι. ὁ ἀόριστος ἐπείχθην. ἡ μετοχὴ, ὁ ἐπειχθεὶς τοῦ ἐπειχθέντος. τὸ προστακτικὸν, ἐπείχθητι. ὅθεν ἔπειξις.

Ἐπειχθῶμεν, σπουδάσωμεν.

Ἐπεκάλει, ἐμέμφετο, ὠνείδιζεν. ὁ δὲ πολλοῖς ἐπεκάλει τῶν φίλων τὰ τοιαῦτα ἐγκλήματα.

Ἐπέκεινα, παρέκει, ἀνωτέρω, ἐξωτέρω.

Ἐπεκύκλετο, ἐπεκαλεῖτο.

Ἐπέκελλεν, ἐπώκειλεν.

Ἐπέκερσαν, ἐπέκειραν.

Ἐπεκερτόμησεν, ἐχλεύασεν, ἔσκωψεν. ὁ δὲ, ἐπεκερτόμησεν αὐτοῦ τῆς ἀβουλίας.

Ἐπεκήκατο, ἐπωνείδιστο.

Ἐπεκηρυκεύετο, διὰ κήρυκος ἔλεγεν.

Ἐπικήρυξαν, διασήμως καὶ διαπρυσίως ἐλάλησαν. ἐπεκήρυξάν τε, τάλαντον δώσειν τῷ μηνύσαντι, καὶ παρεσήμαναν.

Ἐπέκλυον, ἐπήκουον.

Ἐπέκλυσεν, ἐκαθάρισεν, ἢ ἀντὶ τοῦ ἐπέρρευσεν.

Ἐπεκλώσαντο Θεοὶ, τροπικῶς ῥηθὲν, ὡς ἀπὸ τῶν κλωθομένων νημάτων, εἱρμόν τινα καὶ κύκλον καὶ εἵλησίν τινα, καὶ στροφὴν τῶν ἐν γενέσει πραγμάτων, οὐκ ἐχόντων μένειν ἐπὶ τοῦ αὐτοῦ. λαμβάνεται δὲ ἡ λέξις, ἐπὶ ἀποβάσει πραγμάτων ἀγαθῶν, καὶ μὴ τοιούτων. ἐπικλώθεσθαι γάρ τισι φαμὲν, τά τε χρηστὰ, καὶ τὰ μὴ τοιαῦτα. αἱ μέντοι κατακλῶδες, ἐοίκασιν ἐπὶ κακοῦ

λαμ-

Digitized by Google

λαμβάνεσθαι. διὸ καὶ βαρείας αὐτὰς ἐποίησεν ὅτι ὁ ποιητὴς. ἐν τῷ, κλῶθές τε βαρεῖαι. μάζει ἡ μοῖρα ἡ Κλωθώ. καὶ ὅτι ἐκεῖθεν ἡ λέξις εἴληπται, οἱ παλαιοὶ δηλοῦσιν.

Ἐπέκλωσεν, ἐπεκλήρωσεν, ἐμέρισεν, ἐπήγαγεν.

Ἐπεκονίθη, κατηργήθη.

Ἐπέκρανεν, ἐπετέλει.

Ἐπεκράτει, ἐπεζήτει, ἠώχλει.

Ἐπεκρήηνεν, ἐπετέλεσεν.

Ἐπεκτάσεις, τριχῶς προσφέρονται. ἢ διὰ τοῦ ι μόνου, ὡς τὸ οὑτοσὶ καὶ ἐκεινοσί. ἢ διὰ τοῦ χι, ὡς τὸ ναίχι, καὶ οὐχὶ, καὶ ἤχι. αὗται δὲ ἀμφότεραι τῶν Ἀττικῶν εἰσιν. ἢ ποιητικῶς διὰ τοῦ φι, ὡς τὸ βίηφι. καὶ ἄλλοι διὰ τοῦ θα, οἷον ἔφησθα, οἶσθα, ἐθέλησθα. καὶ διὰ τοῦ ω μεγάλου, οἷον Ἴλιον εἴσω.

Ἐπέκτασίς ἐστι, πλεονασμὸς συλλαβῆς κατὰ μέσον ὀνόματος, ὅταν μὴ γενικὸν παρατήρημα κωλύσῃ. οἷον δὺστύχειον, ἀντὶ τοῦ εὔτυχον. ἀδελφειὸς, ἀντὶ τοῦ ἀδελφός. πολεμήϊα, ἀντὶ τοῦ πολέμια.

Ἐπεκύρωσεν, ἐβεβαίωσεν.

Ἐπεκώκλυσεν, ἐπηύξησεν, ἀπὸ τῶν διαρτιζόντων. οἳ καταλείπουσι τὸ στὰς, ἵνα τῷ δοκοῦντι μικρὸν προστίθηται. καὶ τοῦτό ἐστιν ἐπικωκλῦσαι.

Ἐπεκώμαζεν, ὠρχεῖτο, αἰσχρῶς ἐλάλει.

Ἐπεκώμασεν, ἀντὶ τοῦ μετὰ ἁβρότητος ἐπῆλθε. καὶ χωρὶς στολῆς καὶ φαιδρῶς.

Ἐπέλαβεν, ἡλίου δύντος τὴν γῆν σκότος. ἐπελάβετο τὶς ἑτέρου, τὸ μὴ προσῆκον εἰπόντος, ἢ πράξαντος. καὶ ἐπέλαβε ποίνας, ὡς οἱ Λατῖνοι.

Ἐπελάνθανεν, εἰς λήθην ἦγεν.

Ἐπελάσθην, ἀπὸ τοῦ πελάζω γίνεται.

* Ἐπελάσαι ὅρκον, ἀντὶ τοῦ ἐπαγαγεῖν παρ' Ἡροδότῳ.

Ἐπελαύνειν, ἐπιπέμπειν.

Ἐπέλαχεν, ἐκληρώσατο.

Ἐπ' ἐλάχιστον, ἐπ' ὀλίγον, πρὸς βραχύ.

Ἐπελέξαντο, ἀντὶ τοῦ ἀνέγνωσαν. Ἡρόδοτος, ὁ δὲ γραμματεὺς ἐπελέγετο τὰ γράμματα.

Ἐπέλετο, ἐγένετο, ἐφάνη.

Ἐπέλασις, ὁρμὴ, ἐπιδρομὴ, ἔφοδος.

Ἐπελήκεον, ἐπεψόφουν, ἐκρότουν. ἴσως ἀπὸ τοῦ ληκῶ. ἢ ἐπελήκεον, δηλοῖ τὸ ἐπεκρότουν. ὀνοματοποιΐας δὲ τρόπος ἐστὶ, καὶ γίνεται ἀπ' αὐτοῦ καὶ τὸ λακεῖν. οἷον λάκε δ' ὀστέα. οἱ μέντοι τραγικοὶ, καὶ ἐπὶ φωνῆς ἀνθρωπίνης τῇ λέξει ἐχρήσαντο. οἷς ὁ κωμικὸς ἐπιπαίζων φησὶ, τί δῆθ' ὁ Φοῖβος ἔλακεν.

Ἐπελήσθην, ἐν λήθῃ γέγονα. ἢ ἐπελήσθην, ἐληθαργήσθην.

Ἐπελήφθη, ἐπήρξατο. ἤδη τε ἐπελήφθη νὺξ τῆς τρίτης φυλακῆς, καὶ ὁ ἡγεμὼν τοὺς λόχους καθίστατο.

Ἐπελθεῖν ἐπ' ἐκεῖνον, περισσὴ ἡ ἑτέρα πρόθεσις.

Ἐπέλιξεν, ἐπέδραμεν.

Ἐπελπίζω, ἐλπίζειν ποιῶ. εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐπελπίζει.

Ἐπελπίζων, εἰς ἐλπίδας ἄγων. ὡς τὸ, Τὰ μὲν αὐτοὺς ἐπελπίζων ὑποσχέσεσι, τὰ δὲ ὑποσπείρων αὐτοῖς ὀλίγα κέρδη. τοὺς δὲ ἐν ἀξιώσει τε καὶ δυνάμει περισυλῶν καὶ δημεύων.

Ἐπέλυσας, ἐξεῖλες.

Ἐπελώβευον. ἐστὶ λώβη, ἡ ἐν κοινῷ ὕβρις, οἱονεὶ λαόβης, ἡ μέσον λαοῦ ἐπεμβαίνουσά τινι. ἢ παρὰ τὸ λώπιον. ἢ μετὰ ἔκδυσιν ἐπαγομένη γυμνῷ τινί.

Ἐπεμαίετο ἵππους, ὅ ἐστι περιφραστικῶς ἐμάστιζεν. Εὐριπίδης δ' ἂν εἴποι, κέντρον ἐπῆγεν ἵπποις. οὗς διὰ τοῦτο καὶ κεντρηνεκέας ἡ ποίησις καλεῖ, ὡς διὰ κέντρων ταχύνοντας τὸν δρόμον. οἱ δὲ αὐτοὶ, καὶ χρυσάμπυκες. καὶ ἐπεμαίετο μεγάλων δώρων θυμὸς, ἤγουν ζητητικῶς ἐπεθύμει. νῦν μὲν ἀντὶ τοῦ ἐφίεσθαι κεῖται, καὶ γενικῇ συντάσσεται. οἱ δὲ μεθ' Ὅμηρον, μετὰ αἰτιατικῆς αὐτὸ τάσσουσι, λαμβάνοντες ἀντὶ τοῦ ζητεῖν. ὡς δηλοῖ τὸ, μαιόμενοι βιότοιο ἀηκέα θήραν. ἢ ἐπεμαίετο, ἐπεζήτει, ἐπεθύμει. παρὰ τὸ μαίω, τὸ ζητῶ. Ἄλλως.

Ἐπεμαίετο ἵππους, ποιητικῶς περίφρασις, ἀντὶ τοῦ ἡνιόχει. ἔστι δὲ ἐπιμαίεσθαι κοινῶς μὲν τὸ ζητεῖν, ὅθεν καὶ ἡ μαῖα, καὶ μαίων τὸ κύριον. ἄλλως δὲ καὶ τὸ μεταχειρίζεσθαι καὶ ἅπτεσθαι. ἐπεὶ καὶ μάσασθαι, τὸ ἅψασθαι. ἀπὸ τοῦ μῶ. ἐξ οὗ τὸ μαίω παράγεται. μάστιξιν οὖν ἐπιμαίεσθαι ἵππους ἐστὶ, τὸ ὡσεὶ καὶ χειρὶ ἅπτεσθαι, τὸ δέ ἐστι μαστίζειν. διὸ ἐπάγει μάστιξε δ' ἵππους. οὓς καὶ κεντρηνεκέας μετ' ὀλίγα φησὶν, εἰς ταυτὸ ἄγων τὴν μάστιγα, καὶ τὸ κέντρον.

Ἐπεμαρτύραντο, μάρτυσιν ἐχρήσαντο. οἱ δὲ πιστὰ δόντες καὶ λαβόντες, ἐπεμαρτύραντο τοὺς θεούς. οὕτω Ξενοφῶν.

Ἐπέμαρψεν, κατέλαβεν.

Ἐπεμάσατο συνεπάραξεν, ἐφάψατο, ἐψηλάφησεν.

Ἐπεμάσατο ῥάβδῳ, ἤγουν ἔπληξε. καὶ ἐπιμασσαμένη Ἀθήνη, ἤγουν ἐφαψαμένη.

Ἐπεμβαίνει, ἀναβαίνει.

Ἐπεμβαίνων, ἐπιχλευάζων, ἐπικερτομῶν, δοτικῇ. Ὁ δὲ ἐπεμβαίνων τῇ τύχῃ αὐτῶν, σφόδρα ἀμαθῶς, καὶ ἀνθρωπίνως ἥκιστα.

Ἐπεμβάλλεται, στρώγει.

* Ἐπεμβολὰς ἄπιος, ἡ ἐγκεκεντρισμένη.

Ἐπεμβεβαὼς, ἐπιβεβηκώς.

Ἐπέμεινεν, ἐπεκάθισεν.

Ἐπεμήνατο, ἐπεμάνη, ἠράσθη.

Ἐπεμήνιεν, ἐπωργίζετο.

Ἐπέμυξαν, ἀντὶ τοῦ μεμυκόσι χείλεσι ποιὸν ἦχον διὰ τῆς ῥινὸς ἀπετέλεσαν δυσχεραίνουσαι. ἔστι γὰρ μύζειν, ὡς ὁ κωμικὸς δηλοῖ, τὸ τὴν φωνὴν τοῦ μ στοιχείου ἐκφωνεῖν. ἐκ δὲ τοῦ μύζειν καὶ ὁ μυκτὴρ λέγεται, καὶ ὁ μυγμός. καὶ τὸ μυχθίζειν, παρά τε Αἰσχύλῳ, καὶ ἄλλοις. οὕτω δὲ καὶ ἀπὸ τοῦ ρ παρηχεῖται ὁ ῥοῖζος, καὶ ἀπὸ τοῦ σ τὸ σιγμός.

Ἐπεμύξατο, ἐπεστέναξεν, ἐπεγόγγυσεν.

Ἐπέμυξεν, ἐξεμυκτήρισεν, ἦχον διὰ τῶν ῥινῶν ἐποίησεν.

Ἔπεμψά σοι ἵππον δῶρον.

Ἔπεμψεν, ἐπραΰνθη.

Ἐπέναρ, εἰς τετάρτην. Λάκωνες.

Ἐπενάσθη, ἐπωκίσθη.

Ἐπενδίεσαν, ἐπεφίεσαν.

Ἐπενδόμενοι, ἐπερειδόμενοι.

Ἐπενδύτης, τὸ ἐσώτατον ἱμάτιον. ὃ καὶ ὑποκάμισον λέγεται.

Ἐπένεγκε, ἀπόπεμπε, παρὰ Ἀριστοφάνει.

Ἐπενεγκεῖν δόρυ, ἐπὶ τῇ ἐκφορᾷ, καὶ προσαγορεύειν ἐπὶ τῷ μνήματι, εἰς τοὺς βιαίως ἀποθανόντας ταῦτα ἐπράττετο. καὶ Ἴστρος ἐν τῇ συναγωγῇ τῶν ἀτθίδων φησὶν, ὅτι τινὲς δόρυ ἐπὶ τοῦ τάφου φασὶ καταπεπηχέναι τὸν Ἐρεχθέα, τὸ πάθος σημαίνοντα διὰ τὸ νόμον εἶναι τοῖς προσήκουσιν.

Ἐπενεγκὼν, καταδικάσας. Προκόπιος, ἐπενεγκών τε αὐτῷ, ὅτι δὴ ὡς ἥκιστα ἀληθίζεται, ἄμφω τὼ χεῖρε ἀπέκοψεν.

Ἐπενεγκεῖν, ἔτι ἐνεγκεῖν.

* Ἐπενεῖκαι, ἤγουν ἐπενεγκεῖν. καὶ μαχλοσύνην ἐπενεῖκαι παρ' Ἡροδότῳ, ἀντὶ τοῦ πορνείαν προφέρειν, ὅ ἐστιν ἐγκαλεῖν.

Ἐπενείματο, ἐπῆλθεν.

Ἐπένεμεν, ἐπέβαλεν.

Ἐπενήνεον, ἀπὸ διπλασιασμοῦ γίνεται, ὡς καὶ τὸ ἀνεκήκιε. ἔστι γὰρ νῶ, τὸ σωρεύω, καὶ ἀναδιπλασιασμῷ νανῶ, καὶ τροπῇ νηνῶ. ἐξ οὗ τὸ ἐπενήνεον. ἡ δὲ λέξις καὶ παρὰ Ἡροδότῳ ἐν τῷ συνενέαται φρυγάνων φάκελλοι. ἢ ἐπενήνεον, συγκατετίθεντο, καὶ ἀντὶ τοῦ ἐπεσώρευον. ἀπὸ τοῦ εἷς ἑνὸς, ἤγουν τὸ τὰ διῃρημένα εἰς ἓν συνάγειν. ἤνεον, καὶ ἐνήνεον, καὶ ἐπενήνεον.

Ἐπενήνοθε, σημαίνει ἐνίοτε τὸ ἐπέθεεν, καὶ ἐπέτρεχεν. καὶ ἐπενήνοθεν, ἀπὸ τοῦ θέω, κατὰ μετάθεσιν ἔθω, καὶ μετὰ τῆς εν, ἐνέθω, ὡς ἐννέπω. ἀφ' οὗ μέσος παρακείμενος ἤνοθα, καὶ ἀττικῶς ἐνήνοθα. γράφεται μετὰ τῆς παρὰ, παρενήνοθεν, ἐν τῇ σημασίᾳ τοῦ παρεληλύθει. καὶ μετὰ τῆς ἀνὰ ἀνήνοθεν, ἀντὶ τοῦ ἀνέβραχεν.

Ἐπενήνοθεν, ἐπῆνθει, ἐπέκειτο. καὶ ἀντὶ τοῦ ὑπῆρχεν. ἐκ τοῦ εἴω, τὸ ὑπάρχω. ἐκ τούτου ἐέθω, ὡς φλεγέθω. εἶτα κατὰ συναίρεσιν τῶν δύο εε εἰς η, καὶ ἐν συνθέσει, ἐνήθω. τούτου ὁ μέσος παρακείμενος, ἔνηθα. καὶ ὁ Ἀττικὸς, ἐνένηθα. εἶτα ἐπειδὴ ὁ Ἀττικὸς παρακείμενος τρίτην ἀπὸ τέλους βραχεῖαν ἔχει, ὑπέρθεσις γίνεται τοῦ ε εἰς η, καὶ τοῦ η εἰς τὸ ε, καὶ γίνεται ἐνήνεθα. καὶ τροπῇ τοῦ ε εἰς ο, ἐνήνοθα, καὶ ἐπενήνοθα. εἰ γὰρ τὴν ἐψιλωμένην καὶ μαδῶσαν καὶ ὀλιγότριχον σημαίνει μᾶλλον τὸ δασύ. κάλλιον δέ ἐστι τὸ ἐπενήνοθεν, ἀντὶ τοῦ ὑπῆρχεν.

Ἐπενήχετο, ἐκολύμβα, ἐπεκολύμβα, ἐπεφέρετο.

Ἐπένοντο, ἐνήργουν.

Ἐπεντρυφήσαντος, καταπολαύσαντος. Καταυθαδιασαμένου τε, καὶ ἐπεντρυφήσαντος αὐτοῖς.

Ἐπέντυεν, ἡτοίμαζεν. ἀπὸ τοῦ ἔντος, ὃ σημαίνει τὸ ὅπλον. καὶ ἐπέντυεν ἵππους, ὅ ἐστιν ὅπλιζε, ηὐτρέπιζε. καὶ ἔστι πρωτότυπον τοῦ ἐντύνειν. ὡς τὸ δύειν, καὶ θύειν, τοῦ δυνεῖν, καὶ θυνεῖν.

Ἐπενώζισεν ἐφώρμησεν. Ἀμφιτρύων δευτέρῳ.

Ἐπεξαγωγῇ, ἐμαστιγοῦτο ῥάβδοις. εἶτα ἐπεξαγωγῇ ἐπεπράσκετο δειλίας καὶ ἀποδράσεως, τίμημα φερόμενος δοῦλος εἶναι.

Ἐπεξέλευσις, ἐκδίκησις.

Ἐπεξελευσόμενός φασί τινες. σὺ δὲ ἐπεξιὼν, καὶ ἐπέξειμι, ὡς Ἀττικός.

Ἐπεξελθῶμεν, ἀντὶ τοῦ ἐπεξεργαστικῶς διηγησώμεθα, καὶ ἀντὶ τοῦ κολάσωμεν.

Ἐπεξενώθη, οὐκ ἐπεξενίσθη.

Ἐπεξέρχεται, ἀντὶ τοῦ κολάζει, καὶ ἀντὶ τοῦ λίαν κινεῖται. καὶ ἐπεξέρχεται, ἀντὶ τοῦ ἐπεξεργαστικῶς διηγεῖται.

Ἐπεξέρχομαι, καὶ ἀντὶ τοῦ τιμωροῦμαι, καὶ εἰς εὐθύνην καὶ κρίσιν ἄγω, δοτικῇ συντάσσεται. Συνέσιος, ἐπεξελθὼν τοῖς ἐκείνων ἐγκαταλείμμασιν.

Ἐπεξῆλθον, ἀντὶ τοῦ κατέφυγον. Ἡρόδοτος, κατὰ δὲ τὸν ἐπάνω πύργον τῆς ῥαχίας τοῦ ὄρεος ἐπεξῆλθον οἵ τε ἐπίκουροι, καὶ αὐτῶν Σαμίων συχνοί.

Ἐπέοικεν. εἴκω, ὁ μέσος παρακείμενος οἶκα, ἔοικα, καὶ ἐπέοικα.

Ἐπέοικε, πρέπον ἐστίν.

Ἐπεπαίχειν, ἀντὶ τοῦ ἐνεπαίχθην, ὑπερσυντέλικος. ἐπεπέχειν δὲ, ἀντὶ τοῦ ἐπεπαίχεισαν. ἐκ τοῦ πέκω, τὸ κτενίζω, ψιλόν.

Ἐπεπαιώνιστο, ἐξύμνητο, ἐπεφήμιστο.

Ἐπεπάμεθα, κεκτήμεθα. πάνθ' ὅσα κ' ἐν ζωοῖς ἐπεπάμεθα.

Ἐπέπαστο, ἐπεπλήρωτο, ἐκτήσατο.

Ἐπεπείθετο. πείθομαι, ἐπειθόμην, ου, ετο. καὶ κατὰ ἀναδιπλασιασμὸν, ἐπεπείθετο. ἔστι δὲ τῶν Ἰώνων ὁ τοιοῦτος ἀναδιπλασιασμός. οὗτοι γὰρ τὴν κοινὴν ἀκολουθίαν φεύγοντες, ἔνθα οὐκ ἔστιν ἀναδιπλασιασμοῦ χρεία, ἀναδιπλασιασμὸν ποιοῦνται.

Ἐπέπληεν, ἐκλήρωσεν.

Ἐπέπερξα, ἐφώρμησα.

Ἐπέπιθμεν, ἐπεθαρρήκειμεν. πίθομαι ἐνεστὼς διὰ τοῦ ι, παρὰ τοῖς ποιηταῖς. ἀφ' οὗ μέσος παρακείμενος πέπιθα. ὁ ὑπερσυντέλικος, ἐπεπίθειν. ἢ ἐκ τοῦ πείθω, ὁ δεύτερος ἀόριστος ἔπιθον, καὶ κατὰ ἀναδιπλασιασμὸν ἐπέπιθον. τὸ πρῶτον τῶν πληθυντικῶν ἐπεπίθομεν. καὶ συγκοπῇ ἐπέπιθμεν. γέγονε δὲ κατὰ Αἰολικὴν συγκοπὴν, καὶ διπλασιασμὸν Ἰωνικὸν, ἐκ τοῦ ἐπίθομεν δευτέρου ἀορίστου.

Ἐπέπληγον, ἀπὸ ἐνεστῶτος γίνεται τοῦ πεπλήγω. αὐτὸ δὲ ἀπὸ παρακειμένου τοῦ πέπληγα, εἰς ἐνεστῶτος ἀρχὴν ἀνέβη. Συρακουσίων δὲ γλώσσης ἡ λέξις ἐστί. καθὰ καὶ παρ' Ἡσιόδῳ, τὸ ἐπέφυγον.

Ἐπεπλήκεον, ἐψόφουν, ἐκρότουν. ἴσως ἀπὸ τοῦ πληκῶ, εῖς.

Ἐπλήξατο, ἔπεσαν.

Ἐπέπλως. ἐπιπλώω, ὁ μέλλων ἐπιπλώσω, ὁ ἀόριστος ἐπέπλωσα, ἐπέπλωσας. καὶ συγκοπῇ ἐπέπλως, ἀντὶ τοῦ ἐπέπλευσας. ἢ ἀπὸ τοῦ πλῶμι γίνεται, ὡς ἐκ τοῦ δίδωμι, τὸ ἐδίδως. ἢ

μᾶλλον

Digitized by Google

μᾶλλον κατὰ τοὺς παλαιοὺς, ἀπὸ τοῦ ἐπέπλωσας, κατὰ ἀποκοπήν.

Ἐπεποίθει. Ὅμηρος, οἷς ἐπεποίθει. τουτέστιν, οὓς εἶχε πιστούς. ἢ τὸ, οἷς ἐπίστευε σημαίνει.

Ἐπεπολέμωτο, πολεμίως διέκειτο.

Ἐπεπόνθη, ἀντὶ τοῦ ἐπεπόνθειν. καὶ ἑωράκη, ἀντὶ τοῦ ἑωράκειν. καὶ ᾔδη, ἀντὶ τοῦ ᾔδειν.

Ἐπέπτατο, δεύτερος ἀόριστος ἐπτάμην. ὡς τὸ, περιχαρὴς δ' ἀνεπτάμην. ἐξ οὗ καὶ τὸ πτέσθαι, παρὰ Σοφοκλεῖ καὶ αὐτὸ, καὶ τὸ ἐπιπτέσθαι μεμναίων.

Ἐπέπταιρεν. Ἰστέον, ὅτι τὸ πταίρειν καὶ πταίρνυσθαι λέγεται κατὰ παραγωγήν. ὁμοίως τῷ ἄρνυσθαι, καὶ τοῖς τοιούτοις. καὶ ὅτι ἐκ τοῦ πτῶ, παράγεται τὸ πταίρω, κατὰ ὀνοματοποιΐαν. ὥσπερ καὶ τὸ πτύρω, ἐπὶ ἵππων. ἐξ οὗ ὁ πτυρμὸς, ὥσπερ πταρμὸς ἐκ τοῦ πταίρω.

Ἐπέπυστο, ἤκουσεν.

Ἐπεπολεῖτο, ἐπεπορεύετο.

Ἐπέραστος, ἐπιθυμητὸς, ἐράσμιος, πολυπόθητος.

Ἐπερατώθη, ἐτελειώθη, ἐπεραιώθη, ἐπέρασεν, ἐτελειώθη.

Ἐπερειδόμενος, τῇ βακτηρίᾳ ἐπιβαίνει ὁ ἀσθενῶν. καὶ ἐπερειδόμενος, ἐπιστηριζόμενος.

Ἐπερείδεται, ἐμπήγνυται, εἰσβαίνει.

Ἐπέρεισαν, ἐπεβάρησαν.

Ἐπέρεψα, ἐπεσκεύασα, ἐπεκόσμησα, ἐπεστέγασα.

Ἐπεκερτόμει, ἐπεχλεύαζεν, ἔσκωπτεν, ἠρέθιζεν.

Ἐπερήρασθαι, ἐπιστηριχθῆναι.

Ἐπερηρισμένα, ἐποικοδομηθέντα.

Ἐπερησόμενος, ἐρωτήσων. ὁμοίως πευσόμενος, ἐρωτήσων, παρὰ τῷ Ἀριστοφάνει.

Ἐπεριέσσευεν, ὑπερισσεύει λέγεται.

Ἐπερόνησε, διέζησεν.

Ἐπεῤῥάγη τὰ στρατεύματα, καὶ ἐπεῤῥάγη πόλεμος. καὶ συνέῤῥηξεν ἀλλήλοις τὰ στρατεύματα, ἀντὶ τοῦ πολεμικῶς ἐμίγη, λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ εἰπεῖν συνεκροτήθη πόλεμος.

Ἐπέῤῥαξεν, ἐπέπεσε, συνεπλάκη. ὁ δὲ πολλὴν διανύσας ὁδὸν, ἄφνω τούτοις ἐπέῤῥαξεν.

Ἐπεῤῥίσαι, φιλοποιῆσαι.

Ἐπέῤῥισεν, ἐφεστιάσατο.

Ἐπεῤῥίφην, ἔπεσον.

Ἐπεῤῥόθησεν, ἔσεισεν, ἔκραξεν, ὑγίασεν, ἐποίησεν.

Ἐπέῤῥοον, ἔθαπτον, ἐκήδευον.

Ἐπεῤῥύοντο, ἦλθον. καὶ ἔστιν οἷον μετὰ ῥύμης ἐκινοῦντο. καὶ ἦλθον, καὶ ἐπηκολούθουν.

Ἐπεῤῥώοντο παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας υ, τὴν τῶν ἀλεκτορίδων δηλοῖ σπουδαίαν κίνησιν καὶ ῥωμαλαίαν. τὸ μέντοι ἀμβρόσιαι χαῖται ἐπεῤῥώοντο, ἄλλως ἐν Ἰλιάδι ἐῤῥέθη, διὰ σεμνότητα. καὶ ἐπεῤῥώοντο παρὰ τῷ Ἀπολλωνίῳ, ἐῤῥωμένως ἤλαυνον.

Ἐπεῤῥώπτην, ὑπηρέτην.

Ἐπεῤῥώσαντο, ἐκινήθησαν. ἐκ τοῦ ῥώω ῥῶ, τὸ κινῶ καὶ σείω. ὁ μέλλων ῥώσω, ὁ ἀόριστος ἔῤῥωσα, ὁ μέσος ἐῤῥώμην, τὸ τρίτον ἐῤῥώσαντο, καὶ ἐπεῤῥώσαντο. Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος, ἀντὶ τοῦ ἐπεσείσθησαν, Ἰλιάδος α. καὶ ἐπεῤῥώσαντο ποσὶ παρ' Ἡσιόδῳ ἐν Θεογονίᾳ, ἐπισπευσμένως καὶ ἐῤῥωμένως καὶ εὐτόνως ἐχόρευσαν, καὶ ἐφόρμησαν. σημαίνει δὲ καὶ τὸ ἰσχυροποιήσαντο. μάχεται δὲ τὸ ἁπαλοῖς, καὶ τὸ ἐπεῤῥώσαντο.

Ἔπερσεν, εἷλεν, ἐπόρθησεν, ἔθαπτεν, ἐκήδευεν.

Ἐπέρτερα, μείζω, καὶ ὑψηλότερα.

Ἐπερύη, ἐπέβρυσεν, ἀνέβλυσεν.

Ἐπέρυσα, ἐπόνησα.

* Ἐπερύσαι θύραν, ἤγουν ἑλκύσαι καὶ ἐπισπάσασθαι.

Ἐπέρχεται, τὸ ὡς πολέμιός τις ἐπί τινα ἔρχεται. ἐπέρχεται, τὸ παρίσταται, καὶ ἐπὶ νοῦν ἔρχεται, οἷον ἐπέρχεταί μοι εἰπεῖν καὶ ἐπέρχεται, τὸ δεύτερον ἔρχεται. ἐπέρχεται, τὸ διέρχεται, καὶ ἀναγινώσκει τὸ βιβλίον, ἢ λόγον ἐπέρχεται. καὶ πορεύεται, ἢ στέλλεται. ὡς τὸ μῆκος ὁδοῦ τοσόνδε ἐπέρχεται.

Ἐπερωτῶ σε, αἰτιατικῇ.

Ἐπέρω, τὸ ἐρωτῶ. καὶ ἐπερόμενος, ἐρωτώμενος.

Ἐπέσαξεν, ἔστρωσεν, ἐπεφόρτισεν.

Ἐπέσβη, ἐπεισῆλθεν.

Ἐπεσβολίαις, λοιδορίαις. παρὰ τὸ ἔπεσι βάλλειν, καὶ φλυαρίαις.

Ἐπέσσευεν, ἐπανετείνετο. τοῖς δὲ ἐπέσσευε φόβον, ὡς αὐτίκα τεθνήξοντος.

Ἔπεσιν, ἠκολούθησεν.

Ἐπεσημήναμεν, ἐξεπλάγημεν, ἐθαυμάσαμεν. τίς οὐκ ἂν ἐπισημήναιτο, καὶ θαυμάσαιτο τὸν προειρημένον ἐπὶ τούτοις ἡγεμόνα.

Ἐπεσβόλον, τουτέστιν ἔπεσιν ὡς βέλεσι βάλλοντα, ταυτὸν τῷ βλασφήμῳ, βάλλοντι ταῖς φήμαις.

Ἕπεσθαι, ἀκολουθεῖν.

Ἐπέσθων, ἐπεσθίων, διευχόμενος τὴν ἀλίην, Εὔδημος.

Ἔπεσι, λόγοις, λέξεσιν.

Ἐπέσκαζον, ἐχώλευον.

Ἐπεσκεμμένως, συνετῶς.

Ἐπεσκέψαντο, ἐπέβλεψαν, ἐφεῖδον.

Ἐπεσκήψατο, ἀντὶ τοῦ ἀνεκάλεσε ψευδομαρτυρῶν. σπανιάκις δὲ καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου ἐνεργητικῶς, ἀντὶ τοῦ ἐνετείλατο, ἢ προεφασίσατο. ἔστι καὶ ἐπισκηψάμενον, ἐπιβαρήσαντα. καὶ ἐπισκήψασθαι, τὸ ἐπιβαρῆσαι, καὶ ἐπισημειώσασθαι τόδε. ἐπισκήπτω, ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω, καὶ οἷον ἐξορκίζω.

Ἐπεσκήψατο, ἀντὶ τοῦ ἐνεκάλεσεν, ἔβλαψεν.

Ἐπέσκηψεν, ἐπέπληξεν.

Ἔπεσε, δεύτερος ἀόριστος παρέβη τὸν κανόνα, λέγοντα, τὸν δεύτερον ἀόριστον ὀφείλειν ἔχειν τὸ σύμφωνον τοῦ μέσου παρακειμένου.

Ἐπέσπερχεν, ἀντὶ τοῦ διήγειρε καὶ παρέθηγεν, ὅς δὴ μάλιστα ἐπέσπερχεν αὐτόν.

Ἐπέσπον, ὅτι δεύτερος ἀόριστός ἐστιν ἐνεργητικός, ἐξ οὗ ἀπαρέμφατον ἐπισπεῖν. καὶ μετοχὴ ἐπισπών, ἐπισπόντος. καὶ μέσος ἀόριστος δεύτερος, ἐπισπώμενος, πολλαχοῦ τῶν Ὁμηρικῶν ποιήσεων διάδηλόν ἐστιν.

Ἐπέσσευον, μεθ' ὁρμῆς ὑπέστρεφον.

Ἐπεσσεύοντο, ἀντὶ τοῦ ἐπηκολούθουν, ἐφώρμων. ἐκ τοῦ σῶ γίνεται σεύω, ὁ παθητικὸς σεύομαι. ὅθεν ἐπεσσεύοντο. ἢ ἐπεσσεύοντο, ἐκ τοῦ σεύω ποιητικὸν, ἐπεσεύουν κοινὸν, ἤτοι ἐθορύβουν. ὁρμὴν ταῦτα δηλοῖ σύντονον, καὶ θορυβώδη, οὐχ ἁπλῶς κίνησιν, ὡς νεῖσθαι καὶ πορεύεσθαι. ἢ ἐπεσσεύοντο λαοὶ παρ' Ὁμήρῳ, ἐπεσσεύουν κοινὸν, ὃ δηλοῖ τὸ, ἑπόμενοι ἐθορύβουν. ὁρμὴν γὰρ ταῦτα δηλοῖ σύντονον καὶ θορυβώδη, οὐχ ἁπλῶς κίνησιν, ὡς τὸ νεῖσθαι, καὶ πορεύεσθαι, καὶ τὰ τοιαῦτα. λέγεται μὲν οὖν τὸ ἐπεσσεύοντο, ἐπί τινων ἀκολουθούντων, καὶ θόρυβον ἐμποιούντων, ἢ πλήθει, ἢ σύν τινι κινήσει. ἀπὸ δὲ τούτου λέγεται ἐστὶν ὅτε, καὶ ἀντὶ τοῦ ἐδίωκον. ἐνίοτε δὲ ἐν αὐτῷ ἡ ἐπὶ οὐκ ἀκολούθησιν δηλοῖ, ἀλλὰ κίνησιν ἁπλῶς ἐπί τι. ὡς ἐν τῷ, νῆας ἐπεσσεύοντο, ἀντὶ τοῦ ἐπὶ τὰς ναῦς μετὰ ταραχῆς ἔτρεχον. πλεονάζει δὲ ἐν αὐτῷ τὸ σ, Αἰολικῶς. ὡς ἐν τῷ περιστεναίνειν, καὶ ἀποσσεύειν.

Ἐπέσσηθον, ἐπελέκων, ἐπελέπτυνον.

Ἔπεσσον, ἐπάβλιζον, ἐδαπάνιζον.

Ἐπεσσύμενον, πορευόμενον, προθυμούμενον.

Ἐπεσσυμένος, ἐπελθὼν, ἐπορούσας, ἐφορμήσας.

Ἐπέσσυται, ἐφορμᾶται.

Ἐπέσσυτο, ὁρμᾷ, ἐπῆλθεν. ἢ ἐπέσσυτο, ἐκ τοῦ σεύω. ἐξ αὐτοῦ σύω, ὁ μέλλων σύσω, ὁ παρακείμενος σέσυκα. ὁ παθητικὸς, σέσυμαι σέσυσαι σέσυται. καὶ ἐν ὑπερβιβασμῷ τοῦ ε, ἔσσυτο, ἀντὶ τοῦ ἐφορμεῖται, ἐπιθυμεῖ.

Ἐπεστάτει, ἐπέβλεπεν. καὶ ἐπεστάτει, ἦρχεν, ἡγεμόνευε. Ξενοφῶν, ἐνταῦθα τὸν Κλέαρχον καταμαθεῖν, ὡς ἐπεστάτει.

Ἐπεστενάοντο, ἐπέστενον, καὶ ἦχουν.

Ἐπεστέψαντο, ἐστεφάνωσαν, πλήρεις ἐποίησαν, ἐπλήρωσαν.

Ἐπέστη τοῦ ἔργου, ἀντὶ τοῦ ἐπιστάτης γέγονε τοῦ ἔργου. Ἡρόδοτος, πέρσαι δ' ἐπέστησαν τοῦ ἔργου. καὶ ἐπέστη τῷ ἔργῳ, ἀντὶ τοῦ πλησίον ἐστὶ τοῦ ἔργου.

Ἐπέστησε, καὶ ἐπιστάσεως ἄξιον τὸ πρᾶγμα, ἀντὶ τοῦ ἠπόρησε, καὶ ἀπορίας ἄξιον τὸ πρᾶγμα. τοῦτο ἀρχομένων τῶν στωικῶν φιλοσόφων, πολλάκις ἀκήκοα. εἰ δὲ καὶ ἀρχαίως ἢ δοκίμως, ἄξιον ἐπισκέψεως. Φρύνιχος.

Ἔπεστιν, ἀντὶ τοῦ ἐξουσία ἐστί. συμπίσσεται δὲ ἀπὸ δοτικῆς εἰς ἀπαρέμφατον. οἷον ἔπεστί μοι εἰπεῖν τόδε. ἀντὶ τοῦ ἐπ' ἐμοί ἐστι τοῦτο εἰπεῖν, ἤγουν ἐπὶ τῇ ἐμῇ ἐξουσίᾳ. καὶ ἀντὶ τοῦ ἐνυπάρχει. Ἀριστοφάνης ἐν Πλούτῳ, τὰ ἐπόντα ἐπὶ τοῦ πίνακος.

Ἔπεστιν, ἐπέτυχεν.

Ἐπεστιασώμεθα, εὐωχώμεθα.

Ἐπεστί μοι, βούλομαι, θέλω, δύναμαι, ἢ ἐπίκειταί μοι.

Ἐπέστιος, ἀντὶ τοῦ ἔποικος λέγουσιν οἱ Ἴωνες.

Ἐπεστραμμένως λέγουσι, καὶ ἐπιστρεφῶς. ὥσπερ ἐπισταμένως, καὶ εἰδότως. Αἰσχίνης, καὶ μάλα εἰδότως διδάξας ἤδη ταῦτα.

Ἐπεστρατεύσατο, σφοδρῶς ἐπῆλθε τοῖς ἡμετέροις μάχιστος σώμασιν. Ἀριστοφάνης, ὁ βορέας ὁ μέγας ἐπεστρατεύσατο.

Ἐπεστράτευσαν, ἐπολέμησαν.

Ἐπεστράφην, καὶ ἀπεστράφην, διαφέρει. ἐπεστράφην μὲν γὰρ ἀντὶ τοῦ ἐπέστρεψα. καὶ πρός τι ἐστράφην. ἀπεστράφην δὲ, ἀντὶ τοῦ ὑπεστάλην, καὶ ὑπεχώρησα. ἐπιστρέφω οὖν ἐγὼ, ἀμεταβάτως. καὶ ἐπιστρέφω ἕτερον, ἤγουν ἐπανορθοῦμαι, καὶ ἐπανάγω εἰς τὸ ὀρθόν.

Ἐπεστόχαζεν, ἐπανέβη, ἐπέπληττεν, ἐπέχαιρεν.

Ἐπεσφάλακεν, οἱ μὲν ἐπεσπάσθη. οἱ δὲ ἐσάπη, ἢ παρὰ καιρὸν ἀποξηρανθὲν ἐμαράνθη.

Ἐπ' ἐσχαρόφιν, ἀντὶ τοῦ ἐπὶ ἐσχάρᾳ. Ὅμηρος Ὀδυσσείας ε, πῦρ μὲν ἐπ' ἐσχαρόφιν μέγα καίετο, ἀντὶ τοῦ ἐπὶ ἐσχάρᾳ, ἐν τῇ ἑστίᾳ.

Ἐπέται, οἱ θεράποντες παρὰ τὸ ἕπεσθαι. ἕπεται δὲ, τὸ ἀκολουθεῖ.

Ἕπεται, ἀκολουθεῖ.

Ἕπεταί μοι, καὶ ἕπεται μεθ' ἡμῶν, τὸ μὲν πρῶτον καὶ τῷ τυφλῷ δῆλον, τὸ δὲ δεύτερον, εὕροις ἂν παρὰ τῷ Λουκιανῷ, ἕπεταί μοι σιγᾶν.

Ἐπέταξεν, ἐνετείλατο.

Ἐπετείλατο Ἀθηνᾶ, ἀντὶ τοῦ ἐνετείλατο, ἐπέσκεψεν.

Ἐπέτειον, ἔποικον, κατάλυμα. ἢ ἐπέτειον, τὸ ἐπὶ τοῦ νῦν ἔτος. ἐπέτος γὰρ δεῖ λέγειν τὸν ἐνεστῶτα καιρὸν, οὐ διὰ τοῦ φ ἐφέτος.

Ἐπέτειος καρπὸς, ὁ κατ' ἔτος. καὶ ἐπέτειος λεχθεὶν ἐπὶ ἀνθρώπου, ψόγον ἔχει. δηλοῖ γὰρ τὸν εὐμετάβολον, καὶ οὐ διηνεκῆ τὰ εἰς φιλίαν, ἀλλ' ὡς εἰπεῖν κατ' ἔτος, ἢ ἐξ ἔτους εἰς ἔτος μεταβαλλόμενον. οὐ χείρων πάνυ ὁ ἐφημέριος.

Ἐπέτελλεν, ἐνετέλλετο.

Ἐπετέλλετο, παρήγγειλε, παρετίθετο.

Ἐπετέμετο, παρήγγειλεν, ἐπετίμησεν.

Ἐπετέτακτο, ἐν τάξει, ἢ ὄπισθεν ἠκολούθει.

Ἐπετήδευσεν, ἐμηχανήσατο, ἐσπούδασεν.

Ἐπέτηξεν, ἐλέανεν, λεῖον ἐποίησεν. ὡς τὸ, Δελτίον δίπτυχον λαβὼν, τὸν κηρὸν αὐτοῦ ἐπέτηξεν.

Ἐπετήσιος, ὁ καὶ αὐτὸς ἐπηετανὸς καὶ διηνεκὴς, καὶ ἐξαρκῶν εἰς ὅλον ἔτος. καὶ ὡς ὁ ποιητὴς ἡρμήνευσεν, ὅς οὔτε ἀπόλλυται, οὐδ' ἀπολείπει, τουτέστιν οὔθ' ὑπό τινος πάθους φθείρεται, οὐδὲ μὴν δαπανώμενος ἀπολείπει, ἀλλὰ παραμένει ἐξ ἔτους εἰς ἔτος.

Ἐπέτια θύη λέγει Ἀπολλώνιος, τὰς ἐνιαυσιαίους θυσίας.

Ἐπετίλησεν, ἐξεκένωσεν. Ἀριστοφάνης, ἐπετίλησε συχνὴν τὴν κόπρον.

Ἐπετίμα, ἐπηύξει τὴν τιμήν. οἱ δὲ κερδαίνειν οἰόμενοι, ἐπετίμων ὡς λιμώττοντι τὸν σῖτον.

Ἐπετιμήσατο, τιμωρίαν ἐπέθηκεν.

* Ἐπετιμήθη ὁ σῖτος, ἤγουν τιμιώτερος γέγονε.

Ἐπέτις, ἀκόλουθος, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἔπετον, ὡς τὸ ἀμφὶ βοὸς ἔπετον κρέα. ὅ ἐστιν, ἐνεργεῖτε, καὶ ὡς εἰπεῖν ἀμφέπετε.

Ἐπε-

Digitized by Google

Ἐπετοξάζοντο οἱ Ἀχαιοί. καὶ οὐ μόνον τοξεύοντες ἰοῖς ἔβαλλον τιτυσκόμενοι, ἀλλὰ καὶ λάεσιν, ὅ ἐστι λίθοις, παρ' Ὁμήρῳ.

Ἐπέῤῥεψεν, ἐπέῤῥεπεν, ὑπεχώρει.

Ἐπέῤῥιψαν, ἦραν.

Ἐπέτυχον, ἐπὶ καλοῦ μόνον λέγεται. ἀπέτυχον δὲ, τὸ ἐναντίον.

Ἕπευ, ἕπου, ἀκολούθει.

Ἐπευθόμεθα, ἠκούομεν.

Ἐπευκτὸν, ἐπιθυμητὸν, εὐχῆς ἄξιον.

Ἐπ' εὐλογίαις, μετὰ δαψιλείας, καὶ ἀδρότητος, ὁ ἀπείρων ἐπ' εὐλογίαις.

Ἐπευνασταὶ, οἱ συγκοιμηταί.

Ἐπ' εὐνάων, ἐπὶ τῶν ἀγκυρῶν.

Ἐπεύξατο, ἐκαυχήσατο.

Ἐπ' εὐρεία, ἐπὶ τῇ πλατεία.

Ἐπ' Εὐρυγύῃ, ἀγών. Μελησαγόρας, τὸν Ἀνδρόγεων Εὐρυγύην εἰρῆσθαί φησι τὸν Μίνωος, ἐφ' ᾧ τὸν ἀγῶνα τίθεσθαι ἐπιτάφιον Ἀθήνησιν, ἐν τῷ Κεραμεικῷ. καὶ Ἡσίοδος, Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηναίων ἱεράων.

Ἐπεύχεο, καυχῶ.

Ἐπεύχομαι, ἐπὶ εὐχῆς. ἀπεύχομαι δὲ, τὸ ἀπαγορεύω. κατεύχομαι δὲ, τὸ καταρῶμαι.

Ἐπευωνίζων, κερδαίνων.

Ἐπεφάνη, διὰ τοῦτο εἶπεν ἐπεφάνη, ἵνα τὴν ἄναρχον ὕπαρξιν μηνύσῃ. εἰ γὰρ εἶπεν ἐφάνη, ἀρχὴν εἰσηγεῖτο τοῦ ἀεὶ ὄντος. Παῦλος ὁ ἀπόστολος, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος, ἐπειδὴ ὁ ὢν ἐφάνη.

Ἐπευφήμησαν παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐβόησαν. καὶ μετ' εὐφημίας συγκατέθεντο καὶ ἐπῄνεσαν.

Ἔπεφνεν, ἐκ τοῦ φῶ φένω, συγκοπῇ φνῶ, καὶ διπλασιασμῷ, πεφνῶ, συζυγίας πρώτης τῶν περισπωμένων. ἢ φένω, ὁ δεύτερος ἀόριστος ἔφενον. διπλασιασμῷ ἐπέφενον, καὶ συγκοπῇ ἔπεφνον.

Ἔπεφνον. παρὰ τὸ φῶ, τὸ φονεύω, γίνεται φένω, διὰ τοῦ ε, καὶ ὁ ἀόριστος ἔφενον, καὶ ἐπέφενον, ἐπενθέσει τοῦ πε, καὶ κατὰ συγκοπὴν ἔπεφνον.

Ἐπεφόρησεν, ἐπεσώρευσεν. Ἀριστοφάνης ἐν εἰρήνῃ.

Ἐπέφραδον. ἀπὸ τοῦ φράζω, μέλλων φράσω, ἀόριστος ἔφρασα, ὁ δεύτερος ἔφραδον, καὶ κατὰ ἀναδιπλασιασμὸν ἰακῶς, ἐπέφραδον.

Ἐπέφραδεν, ἐδήλωσε, διεσάφησε. καὶ ἐπέφραδον, εἶπον.

Ἐπέφρασαν, διεσήμαναν, εἶπον.

Ἐπεφράσατο, ἐθεώρησεν.

Ἐπευφήμησεν, ἐν εὐφήμῳ βοῇ εἶπεν.

Ἐπέφησαν, ἐφῆκαν.

Ἐπέφλυσεν, βλαστῆσαι ἐποίησεν.

Ἐπέφυ, ἐκράτησεν. ἀλλὰ τὸ δὴ λεγόμενον, ἀμφοῖν ταῖν χεροῖν ἐπέφυ.

Ἐπεφύκει, περιεπλάκη.

Ἐπέφυκον, παρατατικὸς ἐκ τοῦ πεφύκω. πεφύκω δὲ, ἐκ τοῦ πέφυκα παρακειμένου, παρ' Ἡσιόδῳ.

Ἐπέφυκον. ἀπὸ τοῦ φύω φύσω, πέφυκα, γίνεται ἕτερος ἐνεστὼς, πεφύκω.

Ἐπεφύλαττεν, ἐπετήρει.

Ἐπεφύοντο, ἐπήρχοντο.

Ἐπεφωρᾶτο, ἐφανεροῦτο, εὑρίσκετο, ἠλέγχετο.

Ἐπεφώρησεν, ἐπεσώρευσεν. ὅσους ἄνωθεν ἐπεφώρησε τῶν λίθων.

Ἔπεχε, ἐπίκεισο, ἐπίμενε, φύλαττε. οὕτω Πλάτων, περὶ δὲ τῶν ἀδήλων ἐπέχει.

Ἐπέχει τὰ νῶτα ἡ θάλασσα τῷ Διονύσῳ, ἤγουν ὑποκείμενα ἔχει. καὶ ἐπέχει τὶς τινὶ τὴν δίκην, ἤγουν ὑποκείμενον ἑαυτὸν ἔχει εἰς δίκην: ὅπερ ἐνίοτε μὲν τετελεσμένην ἔχει τὴν σύνταξιν, οἷον ὑπέχω σοι δίκην. ἐνίοτε δὲ ἀτελῆ, οἷον ὑπέχω δίκην, ὅτε ἐξ ἀνάγκης ἡ δοτικὴ συνυπακούεται.

Ἐπέχειν ἐστὶν, ὅτε καὶ ἐχθρὰν δηλοῖ. δαιμονίη τί μοι ἐπέχεις ὅπερ ἐστὶ κατ' ἐμοῦ ἔχεις. ὁμοίως ἐν τῷ ἐπίῤῥητος, ὁ καταῤῥήσεων ἄξιος. ἡ ἐπέχειν παρ' Ὁμήρῳ, ἐν Ὀδυσσείας φ. Ἀντίνοος δ' ἔτ' ἐπεῖχεν. ἐστὶ νῦν ἐπέχειν, τὸ ἐν τῷ τέως ἀργεῖν, καὶ μὴ ἐγχειρεῖν ἔργῳ. ἐκ τούτου δὲ ὕστερον καὶ οἱ ἐφεκτικοὶ φιλόσοφοι ὠνομάσθησαν. καὶ ἐπέχειν, τὸ ἐπιλαμβάνειν ἐπὶ τόπου καὶ χώρας. ὡς καὶ Ἀριστοφάνης, ὦ νεφέλη ἐσκοτομένα, ἡ νῦν ἐπέχεις τὴν Ἑλλάδα. καὶ παρὰ Συνεσίῳ, καὶ τὴν χώραν, ἣν ἐπέχουσιν οἱ πολέμιοι. ἐπέχειν καὶ τὸ κωλύειν καὶ διείργειν, μεταβατικῶς αἰτιατικῇ, οἷον ἐπέχω σε τῆς ὁρμῆς, καὶ ἐπέχω σε τῆς ὁδοῦ. ἐπέχειν ἀμεταβάτως, καὶ τὸ ὁρμώμενόν τισα, εἶτ' ἐξεπίτηδες ἵστασθαι.

Ἐπεχείρει, ἐπετήρει, ἐπεζήτει, τὰ αὐτά.

Ἐπεχείρεον, ἐπετίθεσαν, ἐπεχείρουν.

Ἐπέχεις παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ω. ἀντὶ τοῦ κατ' ἐμοῦ ἔχεις. ἐναντιότητα γάρ ποτε καὶ ἡ ἐπὶ πρόθεσις δηλοῖ. ὡς ἐν τῷ ἑπτὰ ἐπὶ Θήβας, ἤγουν κατὰ Θηβῶν. καὶ ἐν τῷ ἐπιχαίρειν, ἤγουν κατά τινος χαίρειν, ἐχθρωδῶς. καὶ ἐν τῷ ἐπιβόηθος, ὁμοχθηρὰν ἔχων φήμην. καθ' οὗ δηλαδὴ βοαὶ γίνονται. ὁ ἐπίβωτον Ἀνακρέων φησὶν, οὐ ἐστεροῖος ὁ διαβόητος, ὡς ἐπ' ἀρετῇ ἐγνωσμένος. ὁμοία δὲ ἐναντιότης τῷ ἐπιβοήτῳ, καὶ ἐν τῷ ἐπίφατος, ὃ κεῖται παρὰ Σοφοκλεῖ. καὶ ἐν τῷ ἐπάρατος, καθ' οὗ ἀραὶ γίνονται. καὶ ἐν τῷ, ἰδοὺ ἐγὼ ἐπὶ σέ. καὶ παρ' Εὐριπίδῃ, ἥκεις ἐφ' ἡμᾶς. καὶ ἐστὶν ὅμοιον τὸ τοιοῦτον ἐπέχειν, πρὸς τὸ ἀνέχειν. δηλοῖ δέ ποτε ἡ λέξις καὶ τὸ προσέχειν. καὶ ἄλλως δὲ, κατὰ στοχασμὸν σημαίνει, ὁμοίως τῷ ἔπεχε σκοπῷ τόξον. Ἡρόδοτος δὲ διακεκαλυμμένως φησὶν, ἐπὶ σφίσιν ἔχοντας τοὺς Αἰγινήτας, ἤγουν ἐπέχοντας. κεῖται δὲ παρ' αὐτῷ καὶ τὸ ἐπὶ Νάξον ἐπεῖχον στρατεύεσθαι οἱ Πέρσαι. ὡς εἴ τις εἴποι, σκοπὸν εἶχον κατὰ τῆς Νάξου στρατεύεσθαι. δηλοῖ δὲ ἡ ἐπὶ πρόθεσις, ἐναντιότητα, ὡς ἐν τῷ ἐπίῤῥητος. ἐστὶ γὰρ ἐπίῤῥητος, καθ' οὗ ῥηθῆναι πολλά ἐστιν. ἵνα ᾖ ὁ ἐπίῤῥητος, ὁ αὐτὸς τῷ ἐπιβοήτῳ καὶ τῷ ἐπιφάτῳ τοῖς προσεχῶς γεγραμμένοις. τὸ μὲν ἐπιῤῥήδην ἐπίῤῥημα, παρὰ τῷ Ἀράτῳ. οἷον ἑπτὰ δ' ἐκεῖναι, ἤγουν αἱ πλειάδες, ἐπιῤῥήδην καλέονται. οὐ τοιοῦτόν τι δηλοῖ, ἀλλ' ἐῤῥέθη ἀντὶ τοῦ ῥητῶς, καὶ ὀνομαστικῶς. ἐναντιότητος δὲ σημασίαν ἔχει ἡ ἐπὶ πρόθεσις, ὡς ἐν τῷ θεοὶ ἐτέλειον ἐπαράς, ἤγουν κατάρας, αἵ εἰσιν ἀραὶ κατά τινος. καὶ τὸ ἐπιτρίβειν δὲ, καὶ ὁ ἐκ τούτου ἐπίτριπτος, οὐκ ἀπέοικε τῶν τοιούτων. οἱ δὲ λεγόμενοι σκεπτικοὶ φιλόσοφοι, ἐπέχειν φασὶ τὸ ὑποκρατεῖν τὴν διαλεκτικὴν ἀπόφασιν, καὶ μὴ ἐθέλειν καταφῆσαι, ἢ ἀποφῆσαι, περὶ τῶν προκειμένων εἰς διάλεξιν, ὅθεν ἐφεκτικοὶ ἐλέγοντο. ὅτι δὲ τὸ ἔχειν ἁπάσαις ταῖς προθέσεσι προσιὸν λόγῳ συνθέσεως διαφόρους προσίσχεται σημασίας, δῆλόν ἐστι τοῖς ἐφοδεύουσι τεχνικῶς. οἵπερ ἴσασι, καὶ ὅτι μόνον τῶν ἄλλων ἡ ἀμφὶ πρόθεσις ἐν μὲν τούτῳ ἐνεστῶτι τρέπει τὸ δασὺ εἰς ψιλόν. ἀμπέχω γὰρ φαμὲν διὰ τὸ κακόφωνον, τοῦ ἀμφέχω. οἷς τὰ δασέα παραλληλίζεται, καθὰ καὶ ἐν τῷ ἀμπεχόνη καὶ ἀμπίσχομαι. ἐν μέντοι τῷ ἀμφέξω, ἤγουν ἐνδύσομαι, λήψαντος τοῦ θεματικοῦ δασέως, ἀποκαθίσταται ἡ πρόθεσις ἀναγκαίως, εἰς τὸ οἰκεῖον δασύ.

Ἐπέχερον, ἀκόλουθον.

Ἐπέχεσθαι, τὸ κωλύεσθαι παθητικῶς.

Ἐπέχθη, ἐκτενίσθη, ἐκάρη.

Ἐπεχθισμένου, βάρος βαστάζοντος.

Ἐπέχοντες, κρατοῦντες.

* Ἐπέχειν, ἀντὶ τοῦ ἀργεῖν καὶ διατρίβειν, ἐν τῷ Ἀντίνοος δ' ἔτ' ἐπεῖχε καὶ Εὐρύμαχος. Ὀδυσ. φ.

Ἐπεχωρίαζεν, ἐπεδήμει.

Ἐπέχραον, ἀντὶ τοῦ ἐν χρῷ ἐγένοντο, ἐπίεσασον, ἐβάρυναν. ἐκ τούτου καὶ τὸ χραῦσαι, πλεονασμῷ τοῦ υ. ἤδη δὲ ὁ ζαχρηὴς ἐκ τούτου παρ' Ἡροδότῳ. καὶ τὸ, ἐνέχραεν ἐς τὸ πρόσωπον τὸ σκῆπτρον, ἤγουν ἔπληξε τῷ σκήπτρῳ. καὶ ἐπέχραον, ἐπέθεντο, ὥρμησαν, ἀθρόοι ἐπέστησαν.

Ἐπεχράοντο, ἐπεβάρησαν, ἐπῆλθον.

Ἐπέχω, τὸ κωλύω. καὶ τὸ ἐπί τινι ἔχω, καὶ ἐφίστημι. Λουκιανὸς ἐν τῷ τοῦ Ἀλεξάνδρου βίῳ, ἀλλ' ἀεὶ τοῖς μεγίστοις ἐπέχει τὸν νοῦν.

Ἐπεχώρησεν, ἀντὶ τοῦ συνεχώρησεν. Αἰλιανὸς, ἐπεχωρήθη καὶ τὰ ὅμοια.

Ἐπέχω σε μαινόμενον, καὶ μαίνεσθαι, καὶ ἵνα μὴ μαίνῃ.

Ἐπέων, λέξεων, λόγων.

Ἐπιβλὴς, ὁ τῇ θύρᾳ ἐπιβαλλόμενος μοχλός.

Ἐπιβολὴν ἔχων, δεσπόζων.

Ἐπιβολία, καὶ συμβολία, διὰ τοῦ η. Ἀπολλώνιος, ἀριστῆες δὲ συμβολίῃ κεχάροντο, ἀντὶ τοῦ συντυχίᾳ, ὑπαντήσει.

Ἐπίβολος, οὐ ποιητικὴ λέξις, ἀλλὰ Ἀττικὴ, κατὰ τοὺς παλαιούς. Ἄρχιππος, ἐγενόμην χρημάτων ἐπίβολος. παρὰ δὲ τοῖς ὕστερον ἡ λέξις ἠμέληται. γίνεται δὲ παρὰ τὸ βάλλειν, τὸ τυγχάνειν σκοποῦ, βόλος. ἢ βόλος καὶ ἐπίβολος, ὁ ἐπιτυχής. ἕτεροι δέ φασιν οὕτω, ἐπήβολος ἐπιτυχὴς, ἐγκρατὴς, ἀπὸ τῆς βουλῆς, ἢ βολῆς, καὶ τοῦ βάλλειν. Πορφύριος ἀπὸ τοῦ ἐπιτυχῶ βάλλειν, οὐ μόνον ἐπήβολος παρῆχθαι δοκεῖ, ἀλλὰ καὶ ὁ βελτίων. ἔτι καὶ ἀβέλτερος, ὁ ἀνόητος. Ἄλλως.

Ἐπήβολός ἐστ' ἀλεωρὴ, παρὰ τῷ Ἀπολλωνίῳ, ἐπιτυχὴς καὶ κυρία, ἐπὶ τύχῃ τῶν κακῶν. ἢ ἀντὶ τοῦ δεσπόζουσα, καὶ συμφέρουσα. καὶ ἐπήβολος, ἐπιτευκτικὸς, ἐπιτυχὴς, ἐγκρατὴς, ἀπὸ τῆς βολῆς καὶ τοῦ βάλλειν. ὃ σημαίνει τὸν τυγχάνοντα τοῦ σκοποῦ.

Ἐπήβολος, ἀσφαλής. οὕτω καὶ Ἀμερίας ἀπέδωκεν, ἐν ταῖς γλώσσαις.

Ἐπήγαγεν, ἐπήνεγκεν.

Ἐπήγαγον, ἐπηγαγόμην εἰς τὸ πεῖσαι.

Ἐπηγάγετο, προσῳκειώσατο, ἰδιοποιήσατο. τοὺς δὲ οἰκήτορας τῆς πόλεως μηδὲν βίαιον δράσας ἐπηγάγετο.

Ἐπηγανίδες, ἐπενδύματα.

Ἐπήγγειλα, παρήγγειλα. καὶ εἰς τετάρτην ἥκειν ἐπήγγειλα.

Ἐπηγγείλατο, ἀντὶ τοῦ ὑπεσχέθη. καὶ ἐπαγγελία, ἡ ὑπόσχεσις. ἀπήγγειλεν ἐνεργητικῶς, ἀντὶ τοῦ ἤτησεν.

Ἐπήγγελλεν, ἀντὶ τοῦ προσέταττεν. ὁ δὲ Μίνως πανταχόσε ἐπέπλει, καὶ πολλοῖς ξενίαν ἐπήγγελλεν, ἀντὶ τοῦ ἐνετέλλετο.

Ἐπηγγελλόμην, παρεκάλουν, ἐπέστελλον. Σοφοκλῆς Ἠλέκτρᾳ.

Ἐπήγετο, ἐπεφέρετο.

Ἐπηγκενίδες, σανίδες ἐκ πρώρας εἰς πρύμναν τεταμέναι, καὶ ἐπενηνεγμέναι, ὅθεν καὶ ἐτυμολογεῖται. παρὰ γὰρ τὸ ἐπενεγκεῖν, ἐπεγκενίς. καὶ κατ' ἔκτασιν, ἐπηγκενίς.

Ἐπηγκυλημένα, τὰ κεκαυμένα ξύλα εἰς χρῆσιν ὅπλων.

Ἐπηγμένως, κατασπουδαζόντως.

Ἐπηγορίαν, ὀνομασίαν. ἡ ἐπηγορία, καὶ κατηγορία, ἀντὶ τοῦ μέμψις, καὶ λοιδορία.

Ἐπῄει, ἐπήρχετο.

Ἐπῄει μοι. ἐπήρχετό μοι.

Ἐπηετανὶς, λεπτὸν πρόβατον.

Ἐπῄεσαν, ἐπήρχοντο.

Ἐπηετανὸν γάλα, τὸ πολὺ, καὶ ἐφ' ὅλον ἔτος λέγεται. ἢ ἐπηετανὸν, ἐν τῷ ἐπηετανὸν γάλα θῆσθαι κυριολεκτεῖται. δηλοῖ γὰρ τὸ, ἐν ὅλῳ τῷ ἔτει. καὶ κομιδὴ ἐπηετανὸς, ἡ ἁπλῶς πολλὴ λέγεται.

Ἐπηεταναὶ τρίχες παρ' Ἡσιόδῳ, αἱ δασεῖαι, καὶ οὐ διαλείπουσαι. καὶ ἐπηετανὸν κομέουσαι, ἀντὶ τοῦ ἐπιμελῶς, καὶ ἐκ πολλοῦ τρέφουσαι. ἢ τὸ διηνεκὲς, ἐπὶ χρόνου.

Ἐπηετανὸς, αὐτάρκης. παρὰ τὸ ἔτος, ἐτανός. καὶ πλεονασμῷ τοῦ η, ἐπηετανός.

Ἐπηετάων, ἀδιαλείπτων.

Ἐπηθρηκυῖα, ἰδοῦσα. ἀπὸ τοῦ ἀθρῶ, τὸ βλέπω.

Ἐπηΐα, ἐπιστία.

Ἐπηΐξας, ἐφώρμησας.

Ἐπηΐσεν, ἀντὶ τοῦ ᾔσθετο.

Ἐπήκοοι, κριταὶ, καὶ οἱ μάρτυρες, καὶ οἱ δικάζοντες.

Ἐπήκοος Ἀφροδίτη, ἐν Καρχηδονίᾳ.

Ἐπηκουρία, βοήθεια, συμμαχία.

Ἐπήκρισεν, ἐπ' ἄκρων ἤγαγεν, τέλος ἐπέθηκεν.

Ἐπῆκτο, ἐπηκολούθει.

Ἔπηκτον, ἢ εὔπηκτον μέγαρον, τὸ εὐπαγές. κεκύρωται γὰρ ἐπὶ τοιούτων λέγεσθαι τὸ πήσσειν. ὅθεν

καὶ ὁ

Digitized by Google

καὶ ὁ πάγιος, καὶ ἀπαγής. καὶ παγὶς, ἡ πεπηγυῖα πρὸς θύραν, ἢ περὶ ἣν πέπηγε τὸ θηρᾶθέν. καὶ πάγος ὅ, τε ἐπὶ ὀξύτητος ὀρεινῆς, καὶ ὁ κατὰ τὴν ἐν Ὀδυσσείᾳ πηγυλίδα. καὶ ἐπίπαγος, ἐν ὀστρείοις. καὶ ὕδατα δὲ κατὰ τεῦχος ἐκεῖθεν παγῆναι λέγεται. πέπηγε δέ τις δίκη, ὅσα καὶ στήλη τὶς πήγνυται. καὶ ναῦς κατὰ ναυπηγίαν, ἢ καὶ πρωτοπαγὴς ποτε. ἔστι δὲ καὶ πηκτὸν ἄροτρον. ἤρτηται δὲ τοῦ τοιούτου ῥήματος ἡ ναύπακτος, καὶ τὸ πακτοῦν, ὅ ἐστιν ἀσφαλίζεσθαι. οὗ χρῆσις παρὰ Σοφοκλεῖ, ἐν τῷ καὶ δῶμα πάκτου, ἤγουν σύγκλειε ἀσφαλῶς. καὶ παρὰ τῷ Κωμικῷ, ἐν τῷ κἀπακτώσαμέν γε, ἤγουν καὶ ἐπακτώσαμεν.

Ἐπήλειγεν, ἐπῆρεν, ἐκίνησεν.

Ἔπηλαν, ἀντὶ τοῦ ἐκλήρωσαν. ἐκ τοῦ πάλλω παλῶ, ἔπηλα.

Ἐπῆλθεν. ὁμηγερέεσσι δ' ἐπῆλθε θεοῖς Ἥρα, ἀντὶ τοῦ ἐπεδήμησεν, ἐπέστη. οἱ δὲ μεθ' Ὅμηρον, ἐχθρῶδες οἴδασι ῥῆμα τὸ ἐπελθεῖν, ταυτὸν ὂν τῷ κατά τινος ἐλθεῖν. δηλοῖ δέ ποτε καὶ ἀρέσκειάν τινα, οἷον ἐπῆλθέ μοι τόδε εἰπεῖν, ἀντὶ τοῦ ἔδοξέ μοι.

Ἐπηλήθισεν, ἠλήθευσεν.

Ἐπῆλθε, κατέλαβεν.

Ἐπῆλθέ μοι, ἦλθέ μοι.

Ἐπηκίνδετο, ἐκεκάλυπτο.

Ἔπηλις, ἡ ἐπὶ τοῦ προσώπου μελανία. καὶ τὸ πῶμα τῆς λάρνακος, ὥς φασιν οἱ παλαιοί. κατὰ δὲ τὸν Σοφοκλῆν ἡ αὐτὴ καὶ ἔφηλις κοινῶς, ὡς ἀπὸ τοῦ Ἥλου.

Ἐπήλπιζον, ἠλπιδοποίουν.

Ἐπηλύγαιον, ἐπιφανὲς, σκοτεινόν.

Ἐπηλυγὰς, ἐπίπροσθεν.

Ἐπηλυγασάμενος, σκεπάσας, καλύψας. λύγη γὰρ, ἡ σκιά.

Ἐπηλυγήσασθαι, καὶ ἐπηλυγήζονται, ἐπισκιάζονται, ἐπικρύπτονται. λύγην γὰρ καλοῦσιν οἱ Ἀττικοὶ, τὴν σκιάν. ἢ τὴν σκοτίαν, τὴν ἠλύγην, κατὰ πλεονασμὸν τοῦ η λέγουσιν.

Ἐπήλυδες, οἱ ξένοι, καὶ οἱ ἀκόλουθοι.

Ἐπήλυθεν, Ὅμηρος αἰτιατικῇ συνέταξεν. οἱ δὲ μεθ' Ὅμηρον, δοτικῇ.

Ἐπήλυθεν, ἐπῆλθεν.

Ἔπηλυς, ὁ ξένος, ὁ νεωστὶ ἐλθὼν ἀπὸ ξένης, ἀπὸ τοῦ ἤλυσις, ὃ σημαίνει τὴν ἔλευσιν.

Ἐπηλυσία, ἐπῳδὴ φαρμάκων, ἢ ἔφοδος τινός.

Ἐπήλυσιν, ἄφιξιν, ἐπέλευσιν, ἔκπεμψιν. μὴ πτερύγων στομέοι τὶς ἐπήλυσιν. καὶ ἡ ἐπιδρομή. ἐπήλυσιν ὄφρ' ἀλέοιτο φώριον, ἤγουν λῃστρικήν.

Ἐπήλυτος, πάροικος, ἔποικος.

Ἐπ' ἤματι, ἐν μιᾷ ἡμέρᾳ. ὡς τὸ, ἐπ' ἤματι κειδόντι ἐδάκρυσεν.

Ἐπ' ἤματος, τὸ ἐν μιᾷ ἡμέρᾳ ποιῆσαί τι.

Ἐπήμηναν, ἔβλαψαν. ἀπὸ τοῦ πημαίνω, τὸ βλάπτω.

Ἐπημοιβοὶ, ἐπηλλαγμένοι. ὥστε τὸν μὲν ἔνθεν ἐφέλκεσθαι. ὅ ἐστι μετὰ τὸν ἕνα, ὁ ἕτερος. καὶ ἐπημοιβοὶ, διπλοῖ, παράλληλοι, ἀλλασσόμενοι.

Ἐπημύει, ἐπικατακλᾷ, ἐπιστενάζει.

Ἐπήμυνον, ἐπεβοήθουν.

Ἐπημύω, τὸ καμμύω.

Ἐπὴν, ταυτόν ἐστι τῷ ἐπάν. καὶ ἐπειδὰν, καὶ ἐπεὶ ἄν.

Ἐπὴν, ἐπειδάν.

Ἐπήνεθεν, ἐκ τοῦ ἐπανθέω. ὤφειλεν εἶναι ἐπηνήθην, κατὰ τὸν κανόνα τοῦ παρακειμένου λέγοντα, ὅτι ὁ ἀόριστος φυλάττει τὴν παραλήγουσαν τοῦ παρακειμένου.

Ἐπήνει, ἀσμένως ἐδέχετο, συγκατετίθετο. τὸ δὲ θεῖον, οὐκ ἐπήνει τὰ ὑπὸ τοῦ βασιλέως πραττόμενα.

Ἐπηνέμιος πλοῦτος, ὁ ψευδόμενος, καὶ ὁ ἀθρόον φανείς. καὶ νῦν ἐπηνέμιον βλέπουσι.

Ἐπήνεον, ἀντὶ τοῦ συνῄνουν, συγκατετίθεντο, παρά τε ἄλλοις πολλαχοῦ, καὶ παρὰ τῷ ποιητῇ. ἐπὶ τοῦ τοιούτου σημαινομένου τίθεται τὸ ἐπαινεῖν, ὡς δηλοῖ καὶ τὸ, ἐπὶ δ' αἴνεσον βασιλῆες ἐν Ὀδυσσείᾳ. δῆλον δὲ, ὡς ὁ μὴ οὕτως ἐπαινῶν, ἀπηνὴς ἂν εἴη καὶ κρατερός. κατὰ τὸ, ἀπηνέα τε, κρατερόν τε. ἔστι δὲ καὶ ἄλλως κατὰ τὸν Κωμικὸν, ὡς ἀπὸ αἴνου, ὡς ἐν ταῖς νεφέλαις, ὁ τοιοῦτος δοκεῖ ἀντικεῖσθαι τῷ ἐπαινετῷ. ὁ δέ γε προειρημένος ἀπηνὴς, λέγοιτο ἂν καὶ ἀπηλεγὴς, ὡς ἀπηλεγέως ἀποείποι ἄν, ὡς μὴ ἐπαινῶν δηλαδὴ, τουτέστι συγκατατιθέμενος.

Ἐπήνησαν, ἀσυνηθέστερον τοῦ ἐπῄνεσαν.

Ἐπηνεκέναι, ἀντὶ τοῦ ἐπαινέσαι. ὁ παρακείμενος, ἐπήνεκα.

Ἐπηνίκιζεν, ἐξηπάτα, οὕτω Κρατῖνος.

Ἐπήνησαν, παρὰ τῷ ποιητῇ. οὐ κοινότερον δὲ ἐπῄνεσαν, διφορεῖται γάρ. χρῆσις δὲ αὐτοῦ, καὶ παρ' Ἡσιόδῳ.

Ἐπηνώθησεν, ἐβλάστησεν.

Ἐπήνιον, προσορμιστήριον. τόπος παραθαλάσσιος.

Ἐπήνκεν, ἐπὰν, ὅταν.

Ἐπήνυσεν, ἐπετέλεσεν.

Ἐπηνύθη, ἐτελειώθη, ἐκ τοῦ ἀνύω. τοῦτο δὲ ἀπὸ τοῦ ἐω, τὸ πληρῶ. καὶ γίνεται ἔνω, καὶ ἄνω, καὶ ἀνύω. τροπῇ Δορικῇ τοῦ ε εἰς α.

Ἔπηξα ναῦν ἐγὼ, ἤγουν δι' ἐμαυτοῦ κατεσκεύασα. ἐπηξάμην δὲ, διὰ ναυπηγοῦ, τὰ ἐπιτήδεια δούς. τοιοῦτόν τι καὶ ἐπὶ τοῦ φαίνω, ἔφηνα μὲν γὰρ, ἤγουν ἔδειξα. πέφηνα δὲ, ἀντὶ τοῦ ἐφάνην ἐγώ.

Ἐπηοὶ, οἱ κατ' ἐπιγαμίαν συγγενεῖς.

Ἐπήορος, μετέωρος, κρεμάμενος.

Ἐπηπείλησα, καὶ κατώμοσα, ἀντὶ τοῦ ἐπηγγελμένος ὤμοσα.

Ἐπήπυον, ἐβόων. ἀπὸ τοῦ ἀπύω, τὸ φωνῶ. ἢ ἐπήπυον, ἐπεβόων.

Ἐπῆρας, ἀνέπεισας.

Ἐπηράσαντο, ἀντὶ τοῦ ἀραῖς ὑπέβαλον. ἐπηράσαντο αὐτῷ Εὐμολπίδαι καὶ κήρυκες.

Ἐπήρατε, ἐπείσατε, ἠπατήσατε, ἐκαλέσατε.

Ἐπηρᾶτο, ἐπηύχετο, ἐκρέμασεν.

Ἐπήρατον, ἐπέραστον, ποθεινόν.

Ἐπηράτου, ἐπεράστου, καλῆς, ἡδείας.

Ἐπῆρε, παρὰ τῷ Ἀριστοφάνει κυρίως, τὸ ἀνεχαύνωσεν, ἀνεκούφισεν. καταχρηστικῶς δὲ, ἀνέπεισε, κατέπεισε, καὶ ἠρέθισεν.

Ἐπηρεάζω, τὸ ἐνοχλῶ, καὶ βλάπτω. καὶ ἐπηρεασμὸς, καὶ ἐπήρεια, ἡ βλάβη.

Ἐπήρεια, βλάβη. Θουκυδίδης, Τούς τε φεύγοντας ἐκέλευον κατ' ἐπήρειαν δέχεσθαι αὐτούς.

Ἐπήρεια κυρίως, ἡ ἐν τῷ πολέμῳ ἀπειλὴ, καὶ καταδρομή. ἐκ τοῦ ἄρης ἄρεια, ἐπάρεια. καὶ μετὰ τῆς ἐπὶ, ἐπήρεια.

Ἐπῆρες, παρεσκευασμένον, ἕτοιμον. τὸ δὲ πλοῖον ἐπῆρες ἦν, εἰς ὃν τὸν ἄνθρωπον ἐμβάλουσι, καὶ ἀποπλεῖ.

Ἐπηρέσιον, τὸ προσκεφάλαιον.

Ἐπηρέσσατο, ἐπαρέστως ἐπῄνησεν.

Ἐπήρετμοι, οἱ ἕτοιμοι ἐρέσσειν. καὶ ἐπ' αὐτοῖς ὄντες ἐρετμοῖς. καὶ Ἀττικῶς εἰπεῖν, ἐπίκωποι, καὶ ἐπήρετμοι νῆες, αἷς εἰσιν ἐρετμά. δῆλον, ὅτι τοῦ ἐρέσσειν αἱ παραγωγαὶ, ποτὲ μὲν φυλάττουσι τὴν τοῦ ῥήματος ἀρχοῦσαν, ὡς ἐν τῷ ἐρέτης, καὶ ἐρετμός. ποτὲ δὲ καὶ τὸ ἰῶτα προσλαμβάνουσιν, ὡς ἐν τῷ εἰρεσία. ἔστι δὲ, ὅτι καὶ εἰς η ἢ εἰς ο, ἐκείνην μεταβάλλουσιν. εἰς ο μὲν, ἐν τῷ εἰκόσορος. εἰς η δὲ, ἐν τῷ ὑπηρεσία, καὶ ὑπήρετμος, καὶ διήρης, καὶ τοῖς τοιούτοις. ἐν οἷς καὶ ἀήρες κυρίως πλοῖον, καὶ ἐρετμός. τροπικῶς δὲ, καὶ τὸ ἁπλῶς ἄγαγον.

Ἐπήρετο, ἠρώτα.

Ἐπηρεφέες, ἐπηρεφεῖς. ἐπὶ τὰ κάτω ἐστραμμένοι, κατωφερεῖς, ἢ ἐστεγασμένοι. ἀπὸ τοῦ ἐρέπω, τὸ σκέπω.

Ἐπηρεφέας, ἐσκεπασμένας.

Ἐπηρεφὲς σπήλαιον, κοινότερον δὲ εἰπεῖν, τὸ αὐτόροφον. καὶ ἐπηρεφὲς, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ σύσκιον.

Ἐπήρθη, ὑψώθη.

Ἐπήριστος, ταυτόν πώς ἐστι τῷ περιμάχητος, ἀπὸ τοῦ ἐρίζω. ἐπεὶ πᾶσιν ἔμελλε καὶ ἐπίστροφος ἦν ἀνθρώπων Ὀδυσσεύς. ἢ καὶ ὅτι τὴν ἀγαθὴν ὑπερέφερεν ἔριν. Ἰστέον δὲ, ὅτι κατὰ ἀναλογίαν, ἐπήριστος ὤφειλεν εἶναι, ὁμοίως τῷ ἀμφήριστος. ἔπηγε δὲ τὸ σ διὰ χρείαν δακτύλου. ὃ γίνεται καὶ ἐν τῷ νήριτον ὄρος, καὶ εὔκτιτον καὶ εὐκτιμένην, καὶ ἐν ἄλλοις. τοιοῦτος μέντοι ὁ πλαστὸς οὗτος ἐπήριστος. ὁ μέντοι παρὰ τοῖς ὕστερον ἐπίῤῥητος, διὰ προπαραλήγοντος ἰῶτα, καὶ διπλασιασμοῦ τοῦ ἀμεταβόλου, ψόγον δηλοῖ τοῦ προσώπου λαμβανόμενος ἀντὶ τοῦ πολύψεκτος. καθ' οὗ πολλὰ ῥηθῇ δηλαδὴ, ὡς τῆς ἐπὶ προθέσεως κἀνταῦθα, τὴν κατὰ δηλώσεως. ἵνα ᾖ ἐπίῤῥητος, ὁ κατάῤῥητος.

Ἐπήρκεσεν, ἐβοήθησεν.

Ἐπηρμένοι, ὑπερηφανευόμενοι, καὶ ἀντὶ τοῦ πρόχειροι καὶ ἕτοιμοι. Θουκυδίδης, οἱ οὖν Ἕλληνες ἐπηρμένοι ἦσαν διὰ τὴν Ἀθηναίων κακοπραγίαν.

Ἐπῆρξε, κατῆρξεν.

Ἐπῆρσεν, ἐφώρμησεν, ἐπέρασεν.

Ἐπηρτυμένην, ἐπικειμένην, καὶ ἀντὶ τοῦ κρεμαμένην.

Ἐπήρωσεν, ἐπέθηκεν, ἐπέφερεν. οὐ μικρὸν φόβον ἐπήρωσε τοῖς ἐν τῇ πόλει.

Ἐπήρτυεν, ἐφήρμοσεν.

Ἐπηρώθησαν, ἐσκοτίσθησαν, ἐτυφλώθησαν.

Ἐπήρωσεν, ἐκάκωσεν.

Ἐπηρώτησαν, ἐκέλευσαν ᾆσαι. Δαβὶδ, ἐκεῖ ἐπηρώτησαν οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν.

Ἐπῆσαν, συνῄρηται ἐκ τοῦ ἤισαν.

Ἐπηθεῖν, ἐπιχαρεῖν.

Ἐπηθέντες, ἐπιχαρέντες.

Ἐπήσκητο, ἐπήσκηται, ἐπικεκαλλώπισται, κεκόσμηται, ἐπέγνω.

Ἐπήσθη, ἐλαλήθη.

Ἐπήσπαιρεν, ἐψυχοῤῥάγει.

Ἔπησαι, ἐπιλέλεκται ἐπῳδή.

Ἐπησὰν, ἐπιπολὺ ἀναπεπταμένον.

Ἐπητέες, Ἀμαζονίδαι, λόγιαι, παρὰ τὸ ἔπος. ἢ οὐ συγγνώμονες καὶ προμηθεῖς, ἀλλὰ θρασεῖαι, καὶ ἀπερίσκεπτοι.

Ἐπητεία, ἡ ἐπέλευσις, καὶ ἡ φρόνησις, ὡς οἶμαι καὶ ἐπητύϊ, καὶ συνέσει.

Ἐπητείῃσιν, ἐπιστήμαις, φρονήσεσι. καὶ Ὅμηρος, ἐπητῇ δὲ ἀνδρὶ ἔοικας.

Ἐπήτεος, ἀλυγίστου, ἀγνώμονος, συνετοῦ, πρᾴου.

Ἐπῆτες, αἴσιον.

Ἐπητὴς, ὀξυτόνως, ὅπερ οἱ ὕστερον βαρύνουσι, δηλοῖ τὸν δεινὸν εἰπεῖν, καὶ λόγιον καὶ φρόνιμον.

Ἐπητὴς ἐσσὶ καὶ ἀγχίνοος, καὶ ἐχέφρων. ἔστι δὲ ἐπητὴς, ὁ λόγιος, παρὰ τὸ ἔπος. ἢ ὁ χαίρων τῇ ἀληθείᾳ, παρὰ τὴν ἐπὶ πρόθεσιν, καὶ τὸ ἐτεόν. ὀξύνεται δέ φασιν ἡ λέξις παρὰ τοῖς παλαιοτέροις. οἱ δὲ ὕστερον παροξύνουσιν αὐτὸ, λέγοντες ἐπήτην τὸν φρόνιμον. ἀγχίνους δὲ, διαφέρει ἐχέφρονος, ὡς ἀγχίνοια φρονήσεως. ἡ μὲν γὰρ, σκέψις ἐστὶ τοῦ δέοντος, ἐν βραχεῖ χρόνῳ ἄγχι νοοῦσα, τουτέστιν ἐγγὺς καὶ ὀλίγῳ χρόνῳ. ἡ δὲ φρόνησις οὐ τοιαύτη, ἀλλὰ ἔχει παράτασιν.

Ἐπήτιμος, ὁ πυκνός. τὰ διὰ τοῦ ιμος ὑπὲρ δύο συλλαβὰς προπαροξύνονται.

Ἐπήτριος, λόγιος, πανοῦργος.

Ἐπήτριμοι παρὰ τῷ Ἀπολλωνίῳ, ἐκ πλαγίων, ἢ ὁμοῦ πρὸς ἀλλήλους κατατιχόμεναι ἑκατέρωθεν.

Ἐπητύϊ, τῇ συνέσει.

Ἐπητὺς, κατὰ μέν τινας, ἡ μεταίτησις, ὡς ἀπὸ τοῦ ἐπαιτεῖν. ἕτεροι δὲ, ἐπητὺν τὸν ἐν λόγοις φασὶν ἔπαινον, ὡς ἀπὸ τοῦ ἐπήτης. ἢ ἐπητὴς ὀξυτόνως, ὃ δηλοῖ τὸν φρόνιμον καὶ λόγιον.

Ἐπηύδον, ἐπεφώνουν.

Ἐπηύρουν, ἐπέτυχον, παρὰ τὸ ἐπαυρεῖν.

Ἐπήφυσεν, ἐν Ὀδυσσείας τ, ἀντὶ τοῦ ἐπλήρωσε, διά τινος δηλαδὴ ἀγγείου, ὃ σιγᾷ παρ' Ὁμήρῳ. οὐ θερμῷ δὲ ψυχρὸν ἐπαφύσσεται, κατὰ τὸ ὕστερον ἔθος, ἀλλ' ἀνάπαλιν.

Ἐπ' ἠῶ, καὶ μέσον ἦμαρ, καὶ δείελον τ' ἠέλιος. τριμερῆ τὴν ἡμέραν ἔτεμεν ὁ ποιητὴς, ὡς καὶ ἀλλαχοῦ. ἤγουν εἰς πρωΐαν, μεσημβρίαν, καὶ δείλην. ἐν δὲ τῷ δείλετο, γραφόντων τινῶν δύσετο, ἤγουν ἔδυνε φασιν οἱ παλαιοί. ὡς Ἀρίσταρχος, οὐ γράφει δύσετο, ἀλλὰ δείλετο. ὅ ἐστιν, εἰς δύσιν ἀπέκλινε. καὶ σημαίνει τὴν λέξιν, σύσταχον

χον τῇ δείλῃ. εἰ δ᾽ ἐδείλετο, ἀσυνήθεις ἐστίν. ἀλλὰ τὸ δειλήσας, παρὰ τῷ ποιητῇ κεῖται.

Ἐπηωρᾶτο, ἐκρέματο.

Ἐπῄωρσαν, ἐφώρμησαν.

Ἐπί. ἡ ἐπὶ πρόθεσις, γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν, χρόνον δηλοῦσα. οἷον, ἐπὶ ἄρχοντος Ἀθήνησι Πυθοδώρου. καὶ ἐπὶ Ἀλεξάνδρου ταῦτα ἐγένετο, ἐλλειπτικῶς, ἤγουν τῷ καιρῷ τοῦ Πυθοδώρου καὶ Ἀλεξάνδρου. Ἀττικῶς, ἢ τὸ περί τι, καὶ ἔντινι. ἐπὶ πολλῶν μάθοι τις ἂν τὰ λεγόμενα. ἢ τὸ ἐπάνω, τὰ τετράποδα ἐπὶ γῆς. δοτικῇ, αἰτιολογοῦσα τὸ οὗ ἕνεκα. οἷον ἐπὶ ἀγαθῷ πάντα ἐποίει. ἢ δύναμιν καὶ αὐτεξουσιότητι δηλοῦσα, ἐπὶ τῷ βασιλεῖ τὰ τῶν ὑπηκόων. ἢ τὸ ὕστερόν τι, καὶ δεύτερόχειτον, ἐπὶ τούτοις πολλὰ ἕτερα διεξίει. ἢ τὸ ἐπάνω, ἐπὶ κρηπῖδι ὁ τοῖχος ἕστηκεν ἰσχυρᾷ. αἰτιατικῇ δὲ, κίνησίν τινα λέγουσα, ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετο. γενικῇ δὲ, ταυτὸ τοῦτο ἔσθ᾽ ὅτε δηλοῖ, ἐπὶ οἴκου, καὶ ἐπὶ τῆς χώρας, ὀρθῶς καὶ Ἀττικῶς. Ἄλλως.

Ἐπί, συντασσομένη αἰτιατικῇ, σημαίνει αἰτίαν. Θουκυδίδης, πολλοὶ γὰρ τῶν αὐτονόμων Θρακῶν ἀπαράκλητοι ἐφ᾽ ἁρπαγὴν ἠκολούθουν. ἡ ἐπί, συντασσομένη γενικῇ, σημαίνει καὶ τὸ ἐντός. ἐπὶ τοῦ ὄρους, ἢ ἐπὶ τῆς οἰκίας διατρίβει. σημαίνει καὶ τὸν τρόπον. οἷον, βαδίζει ἐπὶ τῶν ποδῶν. συντασσομένη τῇ δοτικῇ σημαίνει καὶ τὸ ἐντός. Εὐριπίδης, τίνα τόνδε ἐπὶ σκηναῖσιν ὁρῶ. σημαίνει καὶ τὴν ἐπάνω σχέσιν, καὶ πλησιότητα. Ἀριστοφάνης, ἐπὶ ταῖς τοῦ Πλούτωνος οἰκοῦσι θύραις.

Ἐπιάλτην, Ὅμηρος καὶ Ἡσίοδος, καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα. διὰ δὲ τοῦ φ, τὸν ἄνδρα ἐφιάλτην, καὶ τὸ ῥιγοπύρετον λεγόμενον.

Ἐπιαλές, τερπνόν.

Ἐπιαλής, ὁ ἐφιάλτης, ὃν Αἰολεῖς ἐφέλην, ἄλλοι ἐπιάλλην, καὶ ἐπωφέλην καλοῦσιν.

Ἐπιαλμένων, ἐφαλλομένων.

Ἐπιανδάνει, συναρέσκει.

Ἐπιανίω, ἐπιτρέπω.

Ἐπὶ ἀρετῇ πονεῖ, ἤγουν ἕνεκεν ἀρετῆς.

Ἔπι, ἔπεστιν, ἔνεστιν.

Ἐπί, κοινῶς μὲν ὅτι τὸ ἐπάνω δηλοῖ, καὶ πρὸς δοτικὴν λέγεται, ἢ πρὸς γενικήν. εἴτε μετὰ τοῦ ῥήματος κεῖται, εἴτε μετὰ πτωτικοῦ. οἷον, ἐπὶ τῷδε τῷ τόπῳ κεῖται τόδε, καὶ ἐπιπλεῖ τόδε τῷ ὕδατι. ποιητικῶς δὲ πρὸς αἰτιατικήν. ἀλλ᾽ ἐπὶ γαῖαν εἰσὶ δύο. καὶ ἐπέπλεον ὑγρὰ κέλευθα. λέγεται γὰρ ἀντὶ τοῦ κατά, ἤγουν κατὰ τὴν γῆν δὲ εἰσὶ δύο. καὶ κατὰ τὰς ὑγρὰς τῆς θαλάσσης πορείας ἔπλεον.

Ἐπίασι διπλῆν ἔχει σημασίαν. οἷον ἐπίασι, τὸ ἐπέρχονται, αἰτιατικῇ συντάσσεται. οἷον πολὺ μῆκος τῆς γῆς ἐπίασι. ἢ ἐπίασι, τὸ ἀναγινώσκουσιν, ὥσπερ ἔφαμεν τὸ μετίασιν, αἰτιατικῇ συντάσσεται. καὶ ἐπίασι, τὸ μετὰ ἐπιθέσεως ἔρχονται, οἷον ἐπίασιν οἱ πολέμιοι τῇ πόλει. ἀντὶ τοῦ κατὰ τῆς πόλεως, δοτικῇ συντάσσεται.

Ἐπίασσα, Δήμητρος ἐπώνυμον.

Ἐπίασσεν, ἐβόησεν.

Ἐπίαχον, ἐπεβόησαν.

Ἐπίβαθρα, ἐπιβατήρια. χάριν δὲ μισθὸν ναυλί, ὑπὲρ τοῦ ἐπιβῆναι νηὸς πρῶτον τῆς νεώς, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐπίβαθρον, τὸν ναῦλον, ἤτοι μισθὸς ἐπιβάσεως νηός.

Ἐπιβαίνει, ταυτὸ συντείνει τῷ ἀναβαίνει ἐπὶ ἵππου. πλὴν τὸ μὲν ἀναβαίνει, συντάσσεται μόνῃ αἰτιατικῇ. τὸ δὲ ἐπιβαίνει, καὶ γενικῇ καὶ δοτικῇ. λέγεται καὶ ἐπὶ νηὸς ἐπιβαίνειν. ὅθεν καὶ ἐπιβάτης νηὸς λέγεται. Συνέσιος, ὄντες ἐπιβάται πλὴν ἢ πεντήκοντα, καὶ ἐπιβαίνει τράγος ταῖς αἰξίν.

Ἐπιβαίνειν ἵππον λέγει Ὅμηρος, τὸ εἰς ἅρμα ἀναβαίνειν. ὥσπερ ἀποβαίνειν, τὸ πεζεύειν.

Ἐπιβαίνω μὲν ἐγώ, ἐπιβάσκω δὲ ἄλλους, ἤγουν ἐπιβαίνειν ποιῶ.

Ἐπιβαλεῖ, ἐπιθήσει, ἐπιρρίψει.

Ἐπιβάλλει, ἀντὶ τοῦ ἁρμόττει. καὶ προσήκει, δοτικῇ συντάσσεται.

Ἐπιβάλλει τίς, ἐπιτιθεὶς τὸν νοῦν. ἐπιβάλλεται τῷ δέ τινι, ἀντὶ τοῦ ἐπιχειρεῖ. καὶ ἐπιβάλλει, ἀντὶ τοῦ προσήκει λαμβάνεται. ἵνα ᾖ ἡ πρόθεσις ἀντὶ τοῦ δέον. τέτακται δὲ τὸ ἐπιβάλλειν, καὶ ἐπὶ τοῦ ζημιοῦσθαι, καὶ ἐπιβολή, ἡ ζημία ὠνόμασται.

Ἐπιβάλλειν, πρόσθεσίν τινα δηλοῖ καὶ περιττότητα ἐπιτευκτικήν. ἐπιβάλλει ἐν τις νοήματι, ἢ ἔργῳ, ἤγουν ἠκριβωμένως καὶ ἐπιτυχῶς νοεῖ, ὃ καὶ ἐπιβόλως φαμέν. λέγεται δὲ ἐπιβάλλεσθαι καὶ τὸ ἐπιθυμεῖν, ὡς τὸ μεγάλων ἔργων ἐπιβαλλόμενος.

Ἐπιβάλλεσθαι, ἀντὶ τοῦ ἐφίεσθαι, καὶ ἐπιθυμεῖν. διὸ καὶ γενικῇ παρ᾽ Ὁμήρῳ συντάσσεται. κεῖται δὲ ἡ τοιαύτη λέξις ὁμοίως καὶ παρ᾽ ἄλλοις, ὧν ἐστι καὶ Ἀριστοτέλης. ἔστι δὲ καὶ ἄλλως φράσαι περιφραστικώτερον, ὅτι ἐπιβαλλόμενος, ὁ θέλων ἐπιτυχεῖν. καθότι καὶ νηὸς ἐπήβολος ἐν Ὀδυσσείᾳ. οὕτω καὶ φρενῶν ἐπήβολος. ἐπιβαλλόμενος δὲ παρ᾽ Ὁμήρῳ.

Ἐπίβαλλοι, πτέρναι.

Ἐπιβαλλόμενος, ἀντὶ τοῦ ἐγχειρῶν. Συνέσιος, σὺν Θεῷ ἐπιβαλλόμενος. καὶ ἐπιβαλλόμενος, ἐπιβολὴν κατὰ πρόθεσιν ἔχων, ἐπιθυμῶν.

Ἐπιβάλλω αὐτῷ σοι, τὰς χεῖρας ἐπιβεβλήκασι. καὶ ἐπιβάλλω, τὸ τύπτω, αἰτιατικῇ. ἐπιβάλλω δὲ τὸ προστίθημι, δοτικῇ. ὡς τὸ ἐπιβάλλειν ταῖς ὕβρεσιν ὕβρεις. καὶ ἐπέβαλε μάστιξι μάστιγας, καὶ τῇ ζημίᾳ ζημίαν.

Ἐπιβάλλω, τὸ ἐπιβλέπω τόνδε, καὶ τῷδε.

Ἐπίβαλμα, ὑποπόδιον.

Ἐπίβασιν, ἀνάβασιν, βάδισιν.

Ἐπιβασκέμεν παρ᾽ Ὁμήρῳ. οὐ μὴν ἔοικε ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν τοὺς ὑπ᾽ αὐτόν. εἰ γὰρ ποιμὴν λαοῦ ὁ βασιλεύς, οὐκ ἂν κακοῖς ἐμβιβάσῃ τὸ ποίμνιον, ἤτοι κακώσειεν. εἰσὶ δὲ κακὰ ὧν ἐπιβάσκει τοὺς Ἕλληνας ὁ βασιλεὺς Ἀγαμέμνων, ὁ λοιμὸς ὁ δι᾽ αὐτὸν γεγονώς. καὶ ἡ τοῦ Ἀχιλλέως ἀπόστασις. ἢ καὶ ἄλλως, οὐ χρὴ ἀρχηγὸν ἐόντα κακῶν ἐπιβιβάζειν τοὺς ὑπὸ χεῖρα, ἤγουν κακὰ διδάσκειν. ἐπιβάσκειν, ὁμοιοῦται πῶς τῷ, οὐδέ σε χρὴ νηπιάας ὀχέειν. ὡς γὰρ ὀχοῦμαι ἐγώ, ὀχῶ δὲ ἄλλον, ἀντὶ τοῦ ἀναβιβάζω εἰς ὑποζύγιον, οὕτω καὶ ἐπιβαίνω μὲν ἐγώ, ἐπιβάσκω δὲ ἄλλους, ἤγουν ἐπιβαίνειν ποιῶ κακῶν, ἢ τοιούτων τινῶν. ἐντεῦθεν καὶ μανίας ἔποχος λόγος παρ᾽ Εὐριπίδῃ, ὁ μανικός. ἢ ἐπιβασκέμεν, κακοποιεῖν, κακῶν ἐπιβαίνειν, καὶ ἐν κακοῖς ποιεῖν.

Ἐπιβάται, συνήθως μὲν οἱ ἐπ᾽ ἀλλοτρίας νεὼς τὸν πλοῦν ποιούμενοι, διδόντες τὸν ναῦλον Ἀττικῶς, καὶ οἱ ἐν οἰκείᾳ νηΐ, ἀργοὶ δὲ ὄντες, καὶ παρεσκευασμένοι εἰς μάχην.

Ἐπιβατεύειν, γενικῇ συντάσσεται. οἷον ἐπιβατεύειν τῶν βασιλείων τοῦ Διός, οὐ θέμις τὸν ἀεὶ εἰδώλοις ξυνόντα, Λουκιανός. καὶ παρ᾽ Ἀριστοφάνει, ἐπεβάτευον Κλεισθένει, συνεμάχουν τῷ Κλεισθένει. τοῦτο γὰρ δηλοῖ. νοεῖται δὲ καί τι αἰσχρὸν, ὅτι ἐρώμενος ἦν τοῦ Διονύσου ὁ Κλεισθένης.

Ἐπιβατεύειν, λέγεται ἐπὶ νεώς, καὶ ἐπὶ συνουσίας. κατὰ μεταφορὰν τῶν ἀλόγων, ἃ ἐπιβαίνοντα συνουσιάζει.

Ἐπιβατεῦσαι, ἐπιβῆναι. κατασχεῖν. ὧν περ Θεὸς ἱβέρτος οὐ δέον, ἐπιβατεῦσαι διὰ σπουδῆς εἶχεν.

Ἐπιβατεύουσιν, ἀμφισβητοῦσι, ζητοῦσιν.

Ἐπιβατήρια, τὰ ἐπὶ τῶν τειχῶν μηχανήματα. ὁ δὲ τὰς μηχανὰς ἐπῆγεν, πύργους ξυλίνους, καὶ χελώνας, καὶ ὅσα τειχῶν ἐπιβατήρια.

Ἐπιβάτης. Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος, οὕτως ἐκάλουν τοὺς ἐν ταῖς τριήρεσι στρατευομένους τοὺς μὴ κωπηλατοῦντας, ἀλλὰ μόνον πρὸς τὸ μάχεσθαι ἐπιτηδείους. Ἀριστοφάνης Βαβυλωνίοις. ἄγε ἐξεκολύμβησεν ἐπιβάτης, ὡς ἐξοίσων ἐπίγειον. καὶ ὁ ἐπὶ νῶτον βαίνων. ἢ ὁ ἐπὶ τῆς νηὸς ἄφρακτος. ἐρέτης δὲ, ὁ κωπηλατῶν.

Ἐπιβάτην, τὴν πτέρναν τοῦ ποδός.

Ἐπιβατικά, ἃς ἡμεῖς λέγομεν παρενθήκας, ἐπὶ τῶν ἐμπορικῶς πλεόντων.

Ἐπιβατόν, ὁδευομένην.

Ἐπίβδαι, αἱ μεθέορτοι ἡμέραι. διὰ τὸ πρὸς ἐπίδειξιν ταῖς προτέραις ἡμέραις γενέσθαι, ἄλλης ἐπιβαινούσης.

Ἐπιβήματα, εἴδη χορικῆς ὀρχήσεως.

Ἐπιβήμιος Ζεύς, ἐν Σίφνῳ.

Ἐπιβήσει, ἐπιβαρήσει, ἐπιχύσει.

Ἐπιβήσεο, ἡ χρᾶσις τὸ ἐπίβησον. ἀσυνήθως κανονισθὲν, ἀπὸ ἐνεστῶτος τοῦ ἐπιβήσομαι. παρατατικὸς ἐπιβησόμην, ου, ετο. τὸ προστακτικὸν, ἐπιβήσου. καὶ Ἰωνικῶς ἐπιβήσεο.

Ἐπιβήσομαι, καταφύγω.

Ἐπίβησον, κατασχεῖν ποίησον. καὶ ἐπίβησον εὐκλείας, ἀντὶ τοῦ ἐπιβίβασον. ὅμοιόν ἐστι τῷ, αὐτὸν οὐχὶ νηῶν ἐπιβησέμεν. τοιοῦτο δὲ καὶ τὸ, κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν. καὶ παρὰ Σοφοκλεῖ, τὸ, εὐσεβείας ἐπιβαίνοντες, ἤγουν εὐσεβοῦντες.

Ἐπιβῆτον εὐφροσύνης παρ᾽ Ὁμήρῳ. ὄφρα σφῶϊν εὐφροσύνης ἐπιβῆτον ἀμφοτέρω φίλον ἦτορ, τουτέστιν ἵνα ἄμφω κατὰ τὸ ἦτορ ὑμῶν εὐφροσύνης ἐπιβαίνητε. ὃ περιφραστικῶς δηλοῖ, τὸ ἵνα χαίρητε. ἐπεὶ κακὰ πέποσθε, ἤγουν ἐπεὶ κακὰ πολλὰ πεπόνηθε.

Ἐπιβιβῶ, ἀναφέρω.

Ἐπιβλαί, περόναι.

Ἐπίβλαξ, συνεχὴς νιφετῷ.

Ἐπίβλημα, πῶμα, ἢ ῥάκος. ἢ ἐπίβλημα, τὸ τῷ προτέρῳ ἐπιβαλλόμενον.

Ἐπίβληξ, συνεχής.

Ἐπιβλής, ξύλον συνέχον ἐπικεκλεισμένας τὰς θύρας, ἐν τῷ ἀπὸ τοίχου εἰς τοῖχον, ἢ ἀπὸ στύλου εἰς στύλον τῇ θύρᾳ, ἢ ταῖς θύραις ἐπιβάλλεσθαι. ὁ δὲ ποιητὴς, ἑρμηνεύων τὴν λέξιν, καὶ μεγάλην κληῗδα θυρῶν αὐτόν φησι, ταυτὸν κληῗδα καὶ ἐπιβλῆτα παραδιδούς. ἀμφότερα δὲ μοχλὸν δηλοῦσιν. ὃς καὶ κλεῖθρον λέγεται, ὁποῖόν τι καὶ ἡ Ὀδυσσεία δηλοῖ ἐν τῷ, ἐπὶ δὲ κληῗδ᾽ ἐτάνυσσεν ἱμάντι. κληῗδα γὰρ ἐκεῖ τὸ κλεῖθρον καλεῖ, μικρὸν ὄν. ὡς μὴ χειρὶ καταρρήσσεσθαι, ἀλλὰ ἱμάντι τείνεσθαι. ὁ δὲ τοιοῦτος μοχλὸς, καὶ ὀχεύς ἐστιν. ἢ ὀχῆες κατὰ τὸ, ὤϊξε πύλας, καὶ ἀπῶσεν ὀχῆας. ὧν ῥῆμα τὸ ἔχειν, διὸ θύρης φησὶν ἐπιβλής. ὥστε ταῦτα κατὰ πολυωνυμίαν, μοχλὸς, ὀχεύς, ἐπιβλής, κληῒς, καὶ κλεῖθρον. ὁ ἐπιβλὴς ὀξύνεται, ὡς τὸ προβλής, ἡμιθνής, ἀδμής. τὰ γὰρ εἰς ῆς λήγοντα ἀρσενικὰ σύνθετα, ἔχοντα ἐν τῷ τέλει μίαν συλλαβὴν τοῦ ῥήματος, διὰ τοῦ τος κλινόμενα, ὀξύνεται. διὸ παρ᾽ Ἀριστοφάνει τὸ, ὁ μέγας οὗτος κολακώνυμος, ἀσπιδαποβλής, ὁ ἐστιρίψασπις. καὶ ἐπιβλής ἐστιν, ὡς μὲν Τιμαρχίδας φησὶν, δοκός. ὡς δέ φησι Κλείταρχος ὁ γλωσσογράφος, ποιά τις δοκός.

Ἐπιβλήτης, δοκὸς, μοχλός. ἢ ἐπιβλήτης, ὁ δόκιμος.

Ἐπιβοᾷ τὸν Μύσιον, ὅταν θρηνῶσιν αἱ μοῦσαι τὸν μύσιον, τὸν Ὕλαν ἀνακαλοῦνται.

Ἐπιβόημα, ἐπιφώνημα. Θουκυδίδης, ὁ δὲ εἶπε τὸ ἐπιβόημα.

Ἐπιβόητος, ὁ μοχθηρὰν ἔχων φήμην. καθ᾽ οὗ αἱ βοαὶ δηλαδὴ γίνονται, ὃν ἐπίβωτον Ἀνακρέων φησίν. οὐ ἑτεροῖος ὁ διαβόητος, ὡς ἐπ᾽ ἀρετῇ ἐγνωσμένος. ὁμοία ἐναντιότης τῷ ἐπιβοήτῳ, καὶ ἐν τῷ ἐπίφατος. ὃ κεῖται παρὰ Σοφοκλεῖ, καὶ ἐν τῷ ἐπάρατος, καθ᾽ οὗ ἀραὶ γίνονται. καὶ ἐν τῷ, ἰδοὺ ἐγὼ ἐπὶ σέ. καὶ παρ᾽ Εὐριπίδῃ, ἥκεις ἐφ᾽ ἡμᾶς. καὶ ἔστιν ὅμοιον τὸ τοιοῦτον ἐπέχειν, πρὸς τὸ ἐνέχειν. δηλοῖ δέ ποτε ἡ λέξις καὶ τὸ προσέχειν. καὶ ἄλλως κατὰ στοχασμὸν σημαίνει ὁμοίως τῷ, ἐπέχε σκοπῷ τόξον. δηλοῖ ἡ ἐπὶ πρόθεσις ἐναντιότητα, ὡς ἐν τῷ ἐπίρρητος. ἔστι γὰρ ἐπίρρητος, καθ᾽ οὗ ῥηθῆναι πολλά ἐστι, ἵνα ᾖ ὁ ἐπίρρητος ὁ αὐτὸς τῷ ἐπιβοήτῳ καὶ τῷ ἐπιφάτῳ. τὸ μέντοι ἐπιρρήδην, ἐπίρρημα παρὰ τῷ Ἀράτῳ, οἷον ἑπτὰ δὲ ἐκεῖναι, ἤγουν αἱ πλειάδες ἐπιρρήδην καλέονται. οὐ τοιοῦτον δέ τι δηλοῖ, ἀλλ᾽ ἐρρέθη ἀντὶ τοῦ ῥητῶς καὶ ὀνομαστικῶς.

Ἐπιβόϊον, Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. καὶ Φιλόχορος ἐν τῇ δευτέρᾳ φησὶν οὕτως. ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ τῇ Πανδρόσῳ θύειν ὄϊν μετὰ βοός. καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον, καὶ ἐπιβόϊον, τὸ ἐπὶ τῇ θυομένῃ βοῒ θυόμενον. ὁμοίως καὶ Στάφυλος, ἐν τῷ περὶ Ἀθηνῶν.

Digitized by Google

Ἐπιβόλαια, ἐπιβλήματα.

Ἐπιβολὴ, ὁρμὴ, ἐγγραφὴ, ζημία.

Ἐπιβολεὺς, ὁ Ἡρακλῆς, παρὰ Θουρίοις.

Ἐπιβολὴ, ἡ ζημία, καὶ ἔννοια. καὶ ἐπιχείρησις, ἐπὶ θεωρημάτων γεωμετρικῶν. καὶ ἡ ἐγχείρησις, καὶ ἡ προκατάρξις. καὶ ἐπιβολὴ, ἡ εἰσφορά.

Ἐπίβοος, ἡ ἐκ βοὸς θυσία.

Ἐπιβόλως, φρονίμως.

Ἐπιβουλεύει, ὁρμᾷ, ζημιοῖ.

Ἐπιβουλεύω, ἐπιτίθεμαι. ἢ ἐπιβουλεύω, τὸ κατά τινος βουλεύομαι, δοτικῇ συντάσσεται. οἷον ἐπιβουλεύω τοῖς πολεμίοις. Ἀριστοφάνης, ἐπιβουλεύουσι τῷ πλήθει. καὶ ἐπιβουλεύω, τὸ ἐπιβουλῶ ἀρτύω κατά τινος. καὶ αὖ ἐπιβουλεύω, τὸ μετά τι βουλεύομαι. Ἀριστοφάνης ἐν Πλούτῳ, τί δὲ ταῦθ' ἡμᾶς ἐπιβουλεύει ποιεῖν. καὶ Θουκυδίδης ἐν τρίτῃ, ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι, πρῶτον μὲν πάντες ἐλθεῖν.

Ἐπίβουλος, ἐχθρός.

Ἐπιβοῶμαί σε, ἀντὶ τοῦ ἱκετεύω, αἰτιατικῇ συντάσσεται. ἐπιβοῶμαί σοι δὲ, ἀντὶ τοῦ ἐπιφωνῶ, δοτικῇ.

Ἐπιβοώμενοι, ἐπικαλούμενοι. καὶ τοὺς θεοὺς ἐπιβοώμενοι.

Ἐπιβοῶνται, ἐπικαλοῦνται.

Ἐπίβρεγμα, ἐπίσαγμα, κεφαλῇ.

Ἐπιβρέμοντες, ἐπηχοῦντες.

Ἐπιβρέξαι, ἐπαγαγεῖν, βρέξαι.

Ἐπιβρεμεῖ, ἐπιφωνεῖ.

Ἐπιβρίθω, τὸ ἐπιβαρῶ. καὶ ἐπιβρίσει, ἐπιβαρήσει.

Ἐπιβρίσειαν, ἀντὶ τοῦ ἐπιβαρείσειαν, παρ' Ὁμήρῳ.

Ἐπιβρίσει, ἐπισχύσει, ἐπιβαρήσει.

Ἐπιβρίσουσιν ὀδόντας, παρόσον οἱ θυμούμενοι τρύζουσι τοὺς ὀδόντας.

Ἐπιβρόντητος, ὁ ἐμβρόντητος.

Ἐπιβύσαντες, ἐπικαλύψαντες, σκεπάσαντες. Προκόπιος ἐπιβύσαντες τοὺς ῥωχμοὺς, ὕδατι τὸ ὕδωρ μετοχετεύουσιν.

Ἐπιβύσας, ἐμπλήσας, γεμίσας. Νήματος ἀσκητοῖο βεβυσμένον.

Ἐπιβώμιον, τὸ εἰς τὸν βωμόν.

Ἐπιβωμίζοντι, θύοντι.

Ἐπιβώσομαι, ἐκ τοῦ ἐπιβοήσομαι. ὁμοίως ἐπιβώσεσθαι, ἐκ τοῦ ἐπιβοήσεσθαι, κράσει. ἢ ἐπιβώσομαι, κατὰ κρᾶσιν γέγονεν ἐκ τοῦ βοήσομαι. ὡς καὶ Ἡρόδοτος, τὸ νοῆσαι, νῶσαι λέγει. καὶ ὥσπερ τις τὰ ὀγδοήκοντα ὀγδώκοντα. οὕτω δὲ καὶ ἐκ τοῦ σιγηπωπὴ, γέγονεν ἡ σιωπή. καὶ τὸ δῶμα, ἐκ τοῦ δόμηλα, κραθέντος τοῦ ο καὶ η εἰς ω μέγα. πολλὰ ὁμοίως καὶ ἄλλα κέκραται, ὧν ἐστι καὶ τὸ βορρᾶν. καὶ χλωρὸν, ἐκ τοῦ χλοερὸν, ἢ ἐπιβωσόμεθα, εἰς βοήθειαν ἐπικαλεσόμεθα.

Ἐπιβώτορι μήλων, βοσκητῆρι τῶν ποιμνίων, ἢ ἐπιστάτῃ, ἢ ἐφιπαστῆρι. οἱ γὰρ τῶν βασιλέων υἱοὶ πρῶτον ἐπὶ τῶν κτηνῶν ἱππεύειν ἐμάνθανον.

Ἐπίβωτος, λεῖος, ὁμαλός.

Ἐπιβώτωρ, ἀντὶ τοῦ βώτωρ, πλεονάζει ἐν τούτῳ ἡ ἐπὶ πρόθεσις συνήθης, ὥσπερ ἐν τῷ ἐπίουρος. ἐκτείνεται δὲ ὁ βώτωρ, καθὰ καὶ ὁ δώτωρ. οὐ μέντοι ὁ βοτὴρ καὶ ὁ δοτήρ.

Ἐπιγαμία, συγγένεια, ἤτοι παρ' ἀλλήλων ἄγεσθαι.

Ἐπίγαμος, πατρῷος.

Ἐπιγάννυσθαι, χαίρειν.

Ἐπίγαυρον, ἰσχυρόν.

Ἐπιγαυρωθεὶς, ἀνδρωθεὶς, θρασυνθείς. Ξενοφῶν, καὶ ἐπιγαυρωθεὶς τῇ ἐντολῇ τοῦ Κύρου ἐπορεύετο.

Ἐπίγεια, τὰ πρόσκαιρα.

Ἐπίγειον. Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην ἀποστασίου, εἰ γνήσιος. τὰ πρυμνήσια, ἐπίγεια ἔλεγον. κέχρηται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ, Ἀριστοφάνης ὁλκάσιν.

Ἐπίγειος, ὁ γήϊος.

Ἐπιγελαστὴς, ὁ καταγελῶν, Λάκωνες.

Ἐπιγεννημένοις, ἐπιγενομένοις.

Ἐπιγηθεῖ, χαίρει.

Ἐπιγεννήματα, τὰ ἐξ ὑστέρου τοῖς σώμασιν ἀναφυόμενα, μηδὲν ἧττον τῶν ἐπιγεννημάτων ποιεῖσθαι λόγον.

Ἐπὶ γῆς γυμνὸς ἐπέβην, ἀντὶ τοῦ ὑπὲρ γῆς.

Ἐπιγλωσσόμεναι, ἐπιλαλοῦσαι.

Ἐπιγλώσσω, ἐπικωνίζει τῆς γλώττης, Αἰσχύλος Ἡρακλείδαις.

Ἐπιγλωττήσομαι, φλυαρήσω, βλασφημήσω. περὶ τῶν Ἀθηναίων, οὐκ ἐπιγλωττήσομαι.

Ἐπιγνάψαι, ἐπικλάσαι.

Ἐπιγνάψασα, ἤτοι κάμψασα φίλον ἦτορ, ἀντὶ τοῦ κλιθεῖσα, πεπτωκυῖα, ὑποχαλασθεῖσα. ἡ δὲ μεταφορὰ, ἐκ τῶν καμπτομένων σωμάτων. λέγεταί τις καὶ ἄλλον κάμπτειν, ἤτοι πείθειν, μεταίγειν. ὡς τὸ, ἐπέγναψε γὰρ ἅπαντας. δοκεῖ δὲ ἐκ τοῦ γόνυ, ῥῆμα εἶναι ἄρρητον γνῶ, τὸ εἰς γόνυ κλίνω. ἐξ οὗ γνάπτω, καὶ γνάμπτω. ἢ ἐκ τοῦ κνῶ, ἀφ' οὗ καὶ τὸ, αἰγείοι κνῆ τυρὸν γενέσθαι. κνάπτω τὸ παρὰ Σοφοκλεῖ, καὶ κνάμπτω, καὶ τροπῇ γνάπτω. διὸ καὶ κναφεὺς, ὁ αὐτὸς καὶ γναφεύς.

Ἐπίγνωθι, μάθε, γνώρισον.

Ἐπιγνώμη, συγγνώμη, διάγνωσις.

Ἐπιγνώμονας, ἀντὶ τοῦ ἐπισκόπους. Λυσίας ἐν τῷ περὶ τοῦ σηκοῦ. ἐπιγραφέας, τοὺς καθεστηκότας ἐπὶ τὸ γράφειν, ὁπόσον ὀφείλουσιν εἰσφέρειν εἰς τὸ δημόσιον, Λυσίας ἐν τῷ περὶ τῆς εἰσφορᾶς.

Ἐπίγνωσις, ἡ μετὰ τὴν πρώτην γνῶσιν τοῦ πράγματος κατὰ δύναμιν παντελὴς κατανόησις.

Ἐπιγονατὶς, τὸ πρὸ τοῦ γόνατος ἄνωθεν σαρκῶδες τοῦ μηροῦ. ἔνιοι τὴν ἐπωμίδα, διὰ τὸ ἐπὶ γόνατος κεῖσθαι. ἢ χιτὼν ἀνάκολπος γυναικεῖος, ὃν ἔνδοθεν ἐπενδύονται. παρὰ δὲ τὸ γόνυ γίνεται ἐπιγουνίς. καὶ ἐπὶ γόνατα, ὁ πρὸς τὰ γόνατα μῦς. ὡς δὲ ἄλλοι φασὶν, ἡ διὰ δεξιῶν ἐπιτρέφουσα σὰρξ τῷ γόνατι.

Ἐπιγόνειον ὄργανον, κέκληται ἀπὸ τοῦ εὑρόντος. ὁ δὲ Ἐπίγονος, ἦν γένει μὲν Ἀμβρακιώτης, πρῶτος ἐπικρούσας ἄνευ πλήκτρου. τὸ δὲ ἐπιγόνειον, ἔχει τετταράκοντα χορδάς. ὥσπερ καὶ τὸ σιμικὸν, πέντε καὶ τριάκοντα.

Ἐπιγονὴ, γέννημα.

Ἐπιγουνὶς, ὁ ἀνωτέρω τοῦ γόνατος τόπος, ὃν καὶ μύλην φασί τινες. χρῆσις δὲ ταύτης, καὶ ἐν τῷ οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει, τουτέστιν εὐσαρκίαν, εὐεξίαν, ὡς ἐκ μέρους τὸ πᾶν δηλοῦσθαι. ἢ ἐπιγουνὶς, τὸ πρὸ τοῦ γόνατος ἄνω σαρκῶδες τοῦ μηροῦ. ἔνιοι δὲ τὴν ἐπωμίδα. ἢ ἐπιγράφδην, ἐπίρρημα ἐκ τοῦ γράφειν. καὶ γραπτύες, αἱ τῶν μελῶν γραφαὶ, τουτέστιν ἀμυχαὶ, ξεσμοί.

Ἐπιγράβδην, τὸ ἐπιπολῆς. Ὅμηρος, πῆχυν ἐπιγράβδην βάλε χειρὸς δεξιτερῆς. τραχύτερον δὲ τοῦτο τοῦ ἐπιλίγδην, ὃ καὶ αὐτὸ δῆλον, τὸ ὅσον ἐπιψαῦσαι, ὀνοματοποιηθὲν ἀπὸ ἀρρήτου ῥήματος τοῦ λίζειν.

Ἐπιγράμματα καλοῦνται, οἱ πεζοὶ καὶ ἔμμετροι λόγοι. ἢ ἐπιγράμματα, πάντα τὰ ἐπιγραφόμενά τισι, κἂν μὴ ἐν μέτροις εἰρημένα, ἐπιγράμματα λέγονται.

Ἐπιγράφει τὶς, ἐπιγράμματα γράφων. ἐπιγράφεται τὸν δεσπότην, ἤτοι ὁμολογεῖ.

Ἐπιγραφεῖς, οἱ τὰ δημόσια διαγράφοντες, ὁπότε δεήσει ἀργύριον εἰσφέρειν εἰς τὸ δημόσιον τοὺς ἀστοὺς, ἢ τοὺς μετοίκους, οἱ ταῦτα διαγράφοντες, ἐπιγραφεῖς ἐκαλοῦντο.

Ἐπιγράφει τὶς, ἐκ κακίας εἰς ἀρετὴν, ἢ αὐτὸν, ἢ ἕτερον. ἐπιγράφεται δέ τινος, ὁ κηδόμενος αὐτοῦ.

Ἐπιγραφεὺς, ζωγράφος.

Ἐπιγράφεται, ξύεται, χαράσσεται, ὀνομάζεται.

Ἐπιγραφομένῳ, ἰδιοποιουμένῳ, οἰκειουμένῳ. εἰ καὶ δόξαν ἔμελλε φέρειν τὰ ὑπ' ἀλλήλων εὑρημένα ἐπιγραφομένῳ.

Ἐπιγράφων, βεβαιῶν, διϊσχυριζόμενος.

Ἐπιγράψαι ἀκρότατον χρόα παρ' Ὁμήρῳ, ταυτόν ἐστι τῷ ἐπιπολῆς ξέσαι. γράψαι γὰρ, τὸ ἐπιξέσαι.

Ἐπιγράψαι, ἐπιτελεῖν, ἐπιξύσαι.

Ἐπίγυα, τὰ πρυμνήσια. τὴν δ' ἀπὸ τοῦ ῥεύματος πλευρὰν ἠσφαλίζοντο τοῖς ἀπὸ γῆς ἐπιγυίοις.

Ἐπιγύης, ὄνομα δίκης. ὁδός ἐστι καὶ τρίβος μεταξὺ δύο γειτόνων, διατέμνουσα τὰ χωρία, ἐξ ἑκατέρου. οἱ ἂν κρίνοντες ξενίας ἑκατέρωθεν, ἐκ τοῦ πατρὸς καὶ μητρὸς δύο γυίας ἔχουσιν, οἱ δὲ, ἐκ τοῦ ἑτέρου ἕνα.

Ἐπιγύιων, τῶν πρυμνησίων κάλων, ἅ τινες πείσμασι καλοῦσιν.

Ἐπιδαίσιος οἶκος, ὁ ἐπίκοινος καὶ οὐ μεμεριστός. ὁ ἐπίσης κατακληρωθεὶς δύο τισίν.

Ἐπίδαυτρον, ὄψον.

Ἐπιδαιτίσομαι, ἐπισιτῶ, εὐωχηθήσομαι.

Ἐπιδεικρωθέντα, ἐπιγραφέντα.

Ἐπιδακρύω, δοτικῇ συντάσσεται. οἷον, ἐπιδακρύοντος τῇ τῶν πλακούντων μνήμῃ.

Ἐπίδαλον, λοιμικόν.

Ἐπίδαμνος, πόλις Ἰλλυρική. τὸ νῦν Διρράχιον λεγόμενον.

Ἐπίδαυροι, ἔθνος Πελοποννήσου.

Ἐπίδαυρος, θηλυκῶς λέγεται. κατὰ δὲ τὸν τὰ ἐθνικὰ γράψαντα, ἀρσενικῶς εἰπόντα, ἀμπελόεντα Ἐπίδαυρον, μετὰ ἀρσενικοῦ ἐπιθέτου. ὁμοίως δὲ καὶ ψολόεντος ἐχίδνης, παρὰ Νικάνδρῳ. καὶ τὸ, ἠμαθόεντος Πύλου, καὶ ὅσα τοιαῦτα. ἐκαλεῖτο δέ ποτε λειμηρὴ, διὰ διφθόγγου, ὡς λειμῶνας ἔχουσα. ἢ καὶ διὰ τοῦ ι, ὡς πολυλίμενος κατὰ Ἀρτεμίδωρον. οἱονεὶ, λιμενηρά τις οὖσα. ἔστι δέ φασι Σαρωνικοῦ κόλπου. ἐκλήθη δὲ καὶ Μιλησία, καὶ αἱμηρὰ, διὰ τὸ συχνὰ αἱμάσσεσθαι θύμασι τὸν ἐκεῖ βωμὸν τοῦ Ἀσκληπιοῦ, ὃς κατ' ἐξαίρετον ἐτιμᾶτο. εἶτα ἐπίταυρος ὠνομάσθη καὶ ἐκεῖθεν. κατὰ δὲ τὸν Γεωγράφον, καὶ ἐπίκαρον αὐτὴν οἴονταί τινες, ὡς Καρῶν αὐτήν ποτε κατασχόντων. οὐκ ἄσημος. δέ φησι πόλις διὰ ἐπιφάνειαν Ἀσκληπιοῦ μάλιστα ἐν αὐτῇ, Ἀσκληπιεῖον καμόντων τὸ ἦν πλῆρες. φασὶ καὶ πινακείων ἀνακειμένων, ἐν οἷς αἱ θεραπεῖαι ἀναγεγράφαται. ἢ ἐπίδαυρος, πόλις Λακωνική. καὶ ἐπίδαυρος, ὄνομα τοπικὸν, ἐν ᾧ ὁ Ἀσκληπιὸς ἐτιμᾶτο.

Ἐπιδαψιλευσάμενος, πολυτελῶς διαπραξάμενος. Ἡρόδοτος, τάς τε μητέρας καὶ ἀδελφὰς, ἐπιδαψιλευσόμεθα ὑμῖν.

Ἐπιδαψιλεύσει, μεγαλοψυχήσει.

Ἐπιδαψιλεύεται, πληθύνεται. ἐπιδαψιλεύομαι τοῖς παραδείγμασιν.

Ἐπιδεᾶ, ἐλλιπῆ, ἐνδεᾶ.

Ἐπιδ' ἐγδούπησεν, ἐπεκτύπησε, παρέλκει τὸ γ. καὶ ἐν τῷ ἐρίγδουπος, ὁμοίως. δοῦπος γὰρ, ὁ κτύπος.

Ἐπιδέδρομεν, ἀντὶ τοῦ ἐπιτρέχει, ἐπιπολάζει. καὶ ἔχει διαφορὰν πολλὴν πρὸς τὸ ἀναδέδρομεν.

Ἐπιδεὲς, ἐνδεὲς, ἐλλεῖπον.

Ἐπιδεικνύει τὶς ἑαυτὸν, ἐπὶ φιλοτιμίας.

Ἐπιδεικνύειν ἐστὶ, τὸ παῤῥησιάζειν καὶ δεικνύειν τινὰ ἑαυτόν.

Ἐπιδεικνύμενος, ἀντὶ τοῦ φιλοτιμούμενος λέγεται ἐνίοτε.

Ἐπιδεικτιῶν, κενοδοξῶν.

Ἐπίδειξον, ἀντὶ τοῦ εἰπέ. Ἀριστοφάνης, ἔχεις τινὰ γνώμην, ἐπίδειξον αὐτήν. καὶ ἀντὶ τοῦ φανέρωσον.

Ἐπιδειπνεῖν, τὸ ἐκ δευτέρου δειπνεῖν. ἵν' ἐπιδειπνῇς κόνισαι ἰσχυρῶς.

Ἐπίδειπνις, Μακεδονικὸς κώθων, ἤδυσμα, ἐθισμός.

Ἐπιδέκατον, τὸ δέκατον. καὶ ἐπίπεμπτον, εἰώθασιν λέγειν τὸ πέμπτον.

Ἐπὶ δὲ κληῖδ' ἐτάνυσεν ἱμάντι. τὴν δὲ κληῖδα παρήγαγε τῷ ἱμάντι.

Ἐπιδεκτικὸς, ἐπίδεκτος.

Ἐπίδεκτον, ἐπίσημον, μέγα.

Ἐπιδελφινίῳ, δικαστήριόν ἐστιν οὕτω καλούμενον Ἀθήνησι. δικάζονται δὲ ἐνταῦθα οἱ ὁμολογοῦντες μὲν ἀπεκτονέναι, δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες.

Ἐπιδέξια, προπαροξυτονούμενον, ἀντὶ ἐπιρρήματος λαμβάνεται.

Ἐπὶ δεξιὰ καὶ ἀριστερὰ νωμῆσαι τὴν βῶν, ἢ ἀμφιδέξιον, ταυτὸν δ' εἰπεῖν ἀμφοτεροδέξιον. δηλοῖ δὲ τὸν Ἕκτορα, ὁποῖος τὶς Ἀστεροπαῖος. ἢ τὸ μὲν νικᾶν καὶ διώκειν, ἐπὶ δεξιὰ κινεῖν εἴπε τὴν ἀσπίδα, διὰ τὸ πρακτικὸν τῶν δεξιῶν.

Ἐπιδέξιος, καλὸς, ἀγαθὸς, εὔμορφος.

Ἐπιδεξεπολίης, ἐκ τῶν δεξιῶν μερῶν περιστρέψας.

Ἐπίδεσμος, ὁ ἐπὶ τῇ πληγῇ δεσμός. ἡ ἐπίδεσμος. καὶ ἐπίδεσμοι ἀρσενικῶς μὴ λέγε, ἀλλ' οὐδετέρως,

τὸ ἐπί-

Digitized by Google

τὸ ἐπίδεσμον, καὶ τὸ ἐπίδεσμα, ὡς οἱ ἀρχαῖοι, Φρύνιχος.

Ἐπίδεισον, ἐπίστρεψον.

Ἐπιδεύεες ἦμεν παρ' Ὁμήρῳ, ἤγουν ὕστεροι. ἀπὸ τοῦ δεύω. ἐξ οὗ ὁ δεύτερος, καὶ ὁ δεύτατος. ἐν ἄλλοις δὲ, καὶ τὸν ἐπιδευῆ, ὅ ἐστι χρήζοντα, ἡ λέξις δηλοῖ. ὡς τὸ, παιδ' ἔλδεται, ὅσκεν ἐπιδευής.

Ἐπιδευεῖς, ἐνδεεῖς, χρήζοντες.

Ἐπιδεύοιτο, ἐπιδεὴς, ἢ ἐλλιπὴς εἴη.

Ἐπιδεῦσαι, ἐπιστρέψαι.

Ἐπιδεύσονται, ἐπακολουθήσουσιν.

Ἐπιδεύσω, ἐπικρύψω.

Ἐπίδεχας σκύφον, τὸν μὴ κενόν.

Ἐπιδεχόμεθα, προσδοκῶμεν.

Ἐπιδὴ, ἐπὶ πολύ.

Ἐπὶ Δηλίῳ μάχη, Δήλιον χωρίον ἐπὶ τῆς Βοιωτίας. ἢ ἐνταῦθα Ἀθηναῖοι μαχόμενοι, ἐνικήθησαν ὑπὸ Βοιωτῶν, καθά φησι Θουκυδίδης ἐν πρώτῃ. ἢ ἐπὶ Δηλίῳ μάχη, Δήλιον τὸ ἐν Βοιωτίᾳ τοῦ Ἀπόλλωνος ἱερὸν, ὃ ἐτείχισαν Ἀθηναῖοι, καὶ περὶ αὐτοῦ Βοιωτοῖς μαχεσθέντες, ἡττήθησαν, Ἱπποκράτους στρατηγοῦντος.

Ἐπιδημεῖν, τὸ ἐν πόλει διατρίβειν, καὶ ὡς εἰπεῖν, ἐπὶ τοῦ δήμου. ὅθεν καὶ ἐπίδημος εἴη ἂν ὁ τοιοῦτος, ἐπ' ἐναντίας τῷ ἀποδήμῳ, καὶ τῷ ἀποδημοῦντι. γίνεται δὲ, ἐκ τοῦ ἐπιδημῶ, πλεονασμῷ τοῦ υ, ὁμοίως τῷ χέω χεύω, δισκέω δισκεύω.

Ἐπιδήμιοι, ἁρπακτῆρες. καὶ ἐπιδημία, συγκατάβασις.

Ἐπιδήμιος, ἐμφύλιος. ἢ κοινὸς δημὸς, ὃ σημαίνει λίπος.

Ἐπιδήμιος, ἁπλῶς μὲν ὁ ἐξ ἀλλοδαπῆς εἰς τὴν πατρίδα ἐλθών. ἐπὶ Ὀδυσσέως πλεῖόν τι ἡ λέξις ἐμφαίνει. ἐπεὶ γὰρ ἐν δήμῳ Ἰθάκης ἐστὶ τοῦ Ὀδυσσέως βασίλειον, λέγοιτ' ἂν αὐτὸς ἐπιδήμιος εἶναι, καὶ ὡς εἰς τοῦτον τὸν δῆμον ἐλθών. ἐν δὲ τῇ Ἰλιάδι ἐπιδήμιος πόλεμος, ὁ ἐμφύλιος, ὁ ἐν δήμῳ. ἐν Ὀδυσσείᾳ δὲ τίθεται ἡ λέξις, ἐπὶ ἀνθρώπου διάγοντος. ἐν τῇ τελευταίᾳ ῥαψῳδίᾳ τῆς Ἰλιάδος, ἰατροῖόν τι σημαινόμενον κεῖται τῆς τοιαύτης λέξεως. δῆλον δὲ, ὅτι καὶ ἐπιδήμια νοσήματα λέγεται. καὶ ἄλλως δὲ ἐπιδήμιος πόλεμος, ὁ κατὰ δήμου. πολλαχοῦ γὰρ ἡ ἐπὶ πρόθεσις οὕτω νοεῖται.

Ἐπιδημίου, ἐνδήμου, ἐμφυλίου, καὶ μὴ πρὸς πολεμίους γινομένου.

Ἐπίδημον, ὡς ἐπιπολὺ ἧττον, ὑπὸ δήμου τεταγμένον, ἢ ἐν τῷ δήμῳ ὄν.

Ἐπιδημοῦντες. ἔθος ἦν ἐν τῇ ἀλλοδαπῇ θύειν θεοῖς ἐπιχωρίοις καὶ ἥρωσι. τοῦτό φασι καὶ Ἀλέξανδρον ποιῆσαι τὸν Μακεδόνα, ἐν Ἰλίῳ.

Ἐπὶ δ' ἤνεον, ἐπῄνουν, συγκατετίθεντο.

Ἐπὶ δηρὸν, ἐλλειπτικῶς εἴρηται, ἀντὶ τοῦ ἐπὶ πολὺν χρόνον. ὅτε δὲ ἐπὶ πρόθεσις ἄπεστι, τότε καὶ ἐπιῤῥηματικόν ἐστι τὸ δηρόν.

Ἐπιδιατίθεσθαι, τὸ συνθήκας τινὰς ποιεῖσθαι κατατιθεμένους ῥητόν τι ἀργύριον, παρά τινι τῶν μεταξὺ γινομένων, ὅπερ ἐγγυᾶται, εἰ ἡ πρᾶξις γίνοιτο θατέρῳ πάντως, τὸ ὡμολογημένον ἀργύριον ἀποδοῦναι. τὸ δὲ πρᾶγμα αὐτὸ, λέγεται ἐπιδιαθήκη.

Ἐπιδίδωμι, ἀντὶ τοῦ αὐξάνω. καὶ ἐπιδίδωμι, τὸ ἁπλῶς δίδωμι. ἐκ τούτων ἐπίδοσις, ἡ αὔξησις καὶ δόσις.

Ἐπὶ διετὲς ἡβῆσαι, Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου, Δίδυμός φησιν ἀντὶ τοῦ ἐὰν ἑκκαίδεκα ἐτῶν γένωνται, τὸ ἡβῆσαι μέχρι τεσσαρεσκαίδεκά ἐστιν. ἄλλοι ἔφηβοι παρ' Ἀθηναίοις ὀκτωκαιδεκαέτεις γίνονται, καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη δύο. ἔπειτα τῷ ληξιαρχικῷ ἐγγράφονται γραμματείῳ, καθά φησιν Ὑπερείδης ἐν τῷ πρὸς Χάρητα ἐπιτροπικῷ. ἐπεὶ δὲ ἐγγεγράφειν ἐγὼ καὶ ὁ νόμος ἀπέδωκε τὴν κομιδὴν τῶν καταλειφθέντων τῇ μητρὶ, κελεύει κυρίους εἶναι τῆς ἐπικλήρου, καὶ τῆς οὐσίας ἁπάσης τοὺς ἄπαιδας, ἐπειδὰν ἐπὶ διετὲς ἡβῶσιν.

Ἐπιδικάζεται, ἀντὶ τοῦ ποιεῖται.

Ἐπίδικος, καὶ ἐπίκληρος, καὶ ἐπίπροικος, καὶ ἐπικληρεῖτις. ἐπίκληρος μέν ἐστιν, ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ, ἡ δὲ αὐτὴ καὶ ἐπικληρεῖτις. ἐπίπροικος δὲ, ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου, ὥστε προῖκα ἔχειν ἀδελφῶν αὐτῇ ὄντων. ἐπίδικος δὲ, ἡ ἀμφισβητουμένη ἐπίκληρος, ὅτῳ χρὴ αὐτὴν γαμηθῆναι. ταῦτα δὲ δηλοῦσιν Ἰσαῖος ἐν τῷ πρὸς Σάτυρον ὑπὲρ κλήρου. καὶ Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ διαμαρτυρίᾳ, περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα. ἐν δὲ τούτῳ τῷ λόγῳ, δείκνυται καὶ ὅτι τὰς ἀπορουμένας κόρας, ἐξεδίδοσαν οἱ ἄγχιστα γένους, πέντε μνᾶς ἐπιδιδόντες. ὁ δὲ Ἰσαῖος ἐν τῷ πρὸς Λυσίβιον, τὴν ἐπίκληρον, ἐπικλήρειτον κέκληκεν.

Ἐπιδινῆσαι, ἀντὶ δίκην δίνου, ὅ ἐστι τόρνου ἀφεὶς φέρεσθαι. χρῆσις δὲ τοῦ δίνου, καὶ παρὰ τῷ κωμικῷ. ἐκεῖθεν δὲ καὶ θηλυκὸν δίνη.

Ἐπιδινήσας, συστρέψας, συσσείσας.

Ἐπιδίφρια, τὰ τῷ ἁρματίῳ ἐπιτιθέμενα. καὶ ὁ ἐπὶ δίφρου ἱζάνων, ἢ καθήμενος.

Ἐπιδιφριάδος, ἐκ τῆς περιφερείας τοῦ ἅρματος.

Ἐπιδίφριος, ἀργὸς, καὶ γυναικώδης.

Ἐπίδναι, πολιαὶ, ἢ πίλαι.

Ἐπίδοκα, προσδοκία.

Ἐπιδοκίδες, προσδοκίαι.

Ἐπιδοκιμάζω, ἀντὶ τοῦ ὑπερμαχῶ, γενικῇ.

Ἐπίδοξα, προσδοκώμενα.

Ἐπίδοξος, ὁ προσδόκιμος, ἢ κοινῶς προσδοκήσιμος. καὶ ἐπίδοξος, ὁ ἔνδοξος.

Ἐπιδορατὶς, ὁ σίδηρος τοῦ ἀκοντίου.

Ἐπιδορπήσασθαι, ἐπιδειπνήσασθαι.

Ἐπιδορπίσματα, τραγήματα, ἐπίδειπνα.

Ἐπίδοσαν, ἀντὶ τοῦ ἔδοσαν.

Ἐπίδοσις, ἡ προῖξ, καὶ ἡ αὔξησις, καὶ προκοπὴ, καὶ προσθήκη. λέγεται, καὶ ἡ χάρις.

Ἐπιδουπῆσαι, ἐπικτυπῆσαι. καὶ ἐρίγδουπος, ὁ μεγαλόηχος, Μένανδρος.

Ἐπιδούριον, ἐπιπαραστρόφιον.

Ἐπιδραμέτην, ἐπεδίωκον, ἐπήρχοντο.

Ἐπιδράμωμεν, ἐπιδιώξωμεν.

Ἐπιδράττονται, κρατοῦνται.

Ἐπιδρομάδην, ἐπίῤῥημα. σημαίνει δὲ παρέργως, ἢ κατὰ σπουδήν. ὑφ' ἓν δὲ ἀναγνωστέον, ἓν μέρος λόγου ἐστὶ καὶ οὐ δύο, ὥς τινες ὑπέλαβον, λέγοντες δύο εἶναι μέρη λόγου, πρόθεσιν δηλονότι, καὶ ἐπίῤῥημα. οὐδέποτε γὰρ τὸ δρομάδην ἄνευ προθέσεως εὑρεθήσεται.

Ἐπίδρομον κατὰ τοὺς παλαιοὺς, τὸ εὐάλωτον. ὅθεν ἐστὶν ἐπιδραμεῖν καὶ ἐπιβῆναι, ἵνα καὶ τὸ ἐπίδρομον εἴη πως ἀμβατόν. περίδρομον δέ γε τεῖχος, τὸ στρογγύλον φασίν. ὥσπερ ἀμφίδρομον, τὸ ἑκατέρωθεν δρόμον ἔχον. ἢ ἐπίδρομον, καὶ ἐπίδρομος. ἐπίδρομον ἔπλετο τεῖχος, Ἰλιάδος ζ, ἀντὶ τοῦ ἐπιτρεχόμενον ὁμαλὸν, ἐξ ἐπιδρομῆς. καθό ἐστιν ἐπιδραμεῖν τὴν ὁδὸν κατεχομένην, τὴν ἀπὸ τοῦ τείχους, καὶ ἀναβῆναι τὴν αὐτήν.

Ἐπιδρομὴ, ἔφοδος, ἁρπαγὴ, ἐπίβασις.

Ἐπιδότας Ζεὺς, ἐν Λακεδαίμονι.

Ἐπιδυχεῖν, ἐπιτωθάζειν.

Ἐπιδώμεθα, ἐπιδῶμεν, θεοὺς ἴδωμεν.

Ἐπιδώσει, ἀντὶ τοῦ αὐξήσεται.

Ἐπίεζεν, ἐξεπίασεν.

Ἐπιείκεια, τὸν ἀστεῖον, ἢ τὸν ψεύδη. ἄλλοι, τὸν ἐγχωροῦντα, καὶ πρέποντα.

Ἐπιείκειά ἐστιν, ἡ δικαίων καὶ συμφερόντων ἐλάττωσις, μετριότης ἐν συμβόλοις, εὐταξία ψυχῆς λογιστικῆς, πρὸς τὰ καλὰ καὶ αἰσχρά.

Ἐπιείκελον, ὅμοιον.

Ἐπιεικὲς, ἀντὶ τοῦ πρέπον, καὶ ἐοικός. οὕτω δὲ δὲ ἀεὶ παρ' Ὁμήρῳ ἡ τοιαύτη λέξις λαμβάνεται. παρὰ μέντοι τοῖς νεωτέροις τὸ ἐπιεικὲς, ἐπὶ πραότητος λέγεται. ἢ ἐπιεικὲς, ἤτοι πρέπον. ἔστι δὲ ταυτὸν, τῷ ὡς ἐπέοικε. κατὰ τὸ, τιμὴν ἥν τιν' ἔοικεν.

Ἐπιεικέστατος Ἴωνες. κοινοὶ δὲ μέτριον, καὶ καλῶς ἔχον λέγουσιν.

Ἐπιεικεύσατο, ἠγάθυνεν.

Ἐπιεικὴς, πραῢς, παρὰ τὸ εἴκειν, τὸ ὑποχωρεῖν. καὶ γὰρ οἱ πραεῖς, ὑποχωροῦσι, καὶ οὐκ ἀντιτείνουσι. καὶ ἐπιείκεια ἐκ τούτου.

Ἐπιεικτὰ, φορητὰ, ὑποχωρητά.

Ἐπιεικτὸν κυρίως, τὸ εἶκον ἀφῇ, ὡς μαλακόν. οὐκ ἐπιεικτὸν δὲ, τὸ ἀνάπαλιν. ἢ ἐπιεικτὸν, Ὅμηρος σθένος. οὐκ ἐπιεικτὸν, ἤγουν δύναμις οὐκ εὐσυγχώρητος, οὐ ῥᾳδίως εἴκουσά τινι κατὰ τοὺς παλαιούς.

* Ἐπιεικίδαι, δῆμος τῆς Κεκροπίδος φυλῆς· ὁ δημότης, Ἐπιεικίδης.

Ἐπιεικῶς, ἀντὶ τοῦ λίαν, καὶ ἀντὶ τοῦ βεβαίως καὶ ἰσχυρῶς λαμβάνεται, ὁμοίως τῷ σφόδρα. λέγεται δὲ ἐπιεικῶς καὶ ἀντὶ τοῦ μετρίως. ὡς παρὰ Πλάτωνι, ἐγὼ μὲν οὖν πρὸς σὲ ἐπιεικῶς ἔχω, φιλικῶς, ἱκανῶς. καὶ τὸ παρ' ἐλπίδα, μετὰ ἐπιεικείας καὶ χρηστότητος.

Ἐπιειμένε ἀναιδείην, ἀντὶ τοῦ προφανῆ ἔχων ἀναίδειαν καθά τι περίβλημα, ἢ ἐνδεδυμένε αὐτὴν οἷά τι ὅπλον, κατὰ τὸ, ὅπλα εἱμένοι, καὶ ἐπιειμένοι ἀλκὴν, καὶ ἀντὶ τοῦ προβεβλημένοι καὶ φανερὰν ἀνδρείαν ἔχοντες. ἢ οὐχ ὅπλοις, ἀλλ' αὐτόχρημα τῇ ἀνδρείᾳ σκεπτόμενοι.

Ἐπιειμένος, ὁ ἐνδεδυμένος. ἀπὸ τοῦ ἕω κανονίζεται, εἰς παθητικὸν παρακείμενον. τὸ γὰρ ἕω, καὶ τὸ καθέζομαι σημαίνει, καὶ τὸ ἐνδύομαι. ἢ ἐπιειμένος ἀναιδείην, ὁ ἄγαν καὶ προφανῶς ἀναιδής. οὕτω καὶ φρεσὶν εἱμένος ἀλκὴν, ὁ ἔχων ἔννοιαν φανερὰν ῥωμαλαιότητα.

Ἐπιεισαμένη, ἐφορμήσασα, ὁμοιωθεῖσα.

Ἐπιείσεται, ἐπελεύσεται.

Ἐπιείσομαι, ἀντὶ τοῦ ἐπιπορεύσομαι, ἐπελεύσομαι, ἀπὸ ἐνεστῶτός ἐστι τοῦ εἴω. καθὰ καὶ ἐκεῖνο. ὅτι καταείσατο γῆς, ἤγουν ὅποι γῆς ἦλθεν. ἐκ δὲ τοῦ τοιούτου εἴω, καὶ τὸ ἤειν, ἀντὶ ἦλθον, μέσος ὑπερσυντέλικος, ἀπὸ τοῦ ἦια παρακειμένου.

Ἐπιείστορε, ἐπιμάρτυρες. δυϊκῶς ἡ λέξις.

Ἐπιέναι, ἐπελθεῖν.

Ἐπίεσαν, ἐπήρχοντο.

Ἐπιέπεται, ἀκολουθεῖ.

Ἐπιέσσασθαι γῆν, ταφῆναι.

Ἐπιεσσάμενος, λαβόμενος.

Ἐπιέψω, ἐπιτελέσω.

Ἐπιέσαι χλαῖναν, καὶ ἐπιβαλεῖν χλαῖναν, ταυτόν ἐστιν.

Ἐπιέσαμεν χλαῖναν. ὅρα, ὅτι ταυτόν ἐστι παρ' Ὁμήρῳ χλαῖναν ἐπιβαλεῖν, καὶ χλαῖναν ἐπιέσαι. ἡ δὲ χλαῖναν ἐπέβαλε κοιμηθέντι, τουτέστιν ἐπέθετο. τὸ δ' αὐτὸ λέγει καὶ χλαῖναν ἐπιέσασθαι. οὐκ ἀεὶ ἄρα τὸ ἐπιέσασθαι, ἀντὶ τοῦ ἐνδύσασθαι λέγεται.

Ἔπιζα, ὄρνεα, Κύπριοι.

Ἐπιζὰξ, ἐπὶ τὰ ἀριστερά. καὶ ἐπ' εὐθείας, καὶ ἐπὶ τὴν σύντομον. καὶ ἐπίτηδες, ἐκ πλαγίου, ἢ συντόμως, Ἀθηναῖοι.

Ἐπιζαφελὲς, θυμῶδες, ὀργίλον, χαλεπὸν, ἰσχυρὸν, ἐπίκοτον.

Ἐπιζαφελῶς, ηὐξημένως ἄγαν.

Ἐπιζεύκτειρ, σπειρὰ καὶ σειρά.

Ἐπίζηλον, τὸ ἐπίφθονον.

Ἐπιζητῶν, ἀπολαμβάνων, συνέχων.

Ἐπιζύγιον, μέρος τῆς νεώς.

Ἐπιζυγκεῖν, ἐπισκαρδαμύττειν, ἐπιστίκειν, ἐπικαταχλᾶν.

Ἐπιζύγκουσα, ἐπικλείουσα, μύουσα.

Ἐπίηλεν, ἐπεξέτεινεν, ἔπεμψεν, ἐπήγαγεν, ἐπηύξησε. καὶ ἐπίηλεν οὗτος τάδε ἔργα, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας χ, ἤγουν οὗτος αἴτιος τῶν παρόντων κακῶν.

Ἐπίηρα, τὴν μετ' ἐπικουρίας χάριν μεγάλην, ἐκ τῆς περιουσίας, ὡς Ἀντίμαχος.

Ἐπιήρανα θυμῷ παρ' Ὁμήρῳ, κρεῖττον οὕτω γράφεσθαι, ἤπερ ἐπὶ ἦρ' ἀνὰ θυμῷ. ἡ γὰρ ἀνὰ πρόθεσις, οὐκ εἴωθεν ἁπλῶς ἐπὶ τοιούτων σημαινομένων δοτικῇ συντάσσεσθαι. ἔστι δὲ πρωτότυπον τοῦτο, τοῦ ἐπίηρα. ἐντεῦθεν ἐκεῖνο γίνεται ἀποκοπέν. ἐπίηρα παρὰ τοῖς νεωτέροις, τὰ ἐπιθυμητὰ, παρὰ τὸ ἐρᾶν, ὡς ἀπὸ εὐθείας τῆς τὸ ἐπίηρον. οἱ δὲ παλαιοὶ ἐπίηρά φασι, τὴν μετὰ ἐπικουρίας χάριν. καὶ παράγουσι τὴν λέξιν οὕτως. ὥσπερ κόπτω κόπανον, καὶ ἔχω ὄχανον, τὸ τῆς ἀσπίδος κράτημα. δρέπω

δρέπανον. ἥδω, καὶ ἐν συστολῇ ἕδω, ἕδανον. καὶ ἕδνον κατὰ συγκοπήν. φρύγω φρύγανον. πέττω, ἢ πέπτω, πόπανον. ξέω ξόανον. οὕτως ἐρῶ, τὸ ἐπιθυμῶ, ἔρανον, καὶ ἐκτάσει ἤρανον, καὶ ἐπιήρανον. οὗ πληθυντικὸν ἐπιήρανα, καὶ ἀποκοπῇ ἐπίηρα. εὕρηται δὲ καὶ ἀσυνθέτως παρὰ τῷ ποιητῇ, ἦρα Πριάμῳ φέρων, ἀντὶ τοῦ χάριν. ὁ μέντοι Ἡρωδιανὸς ἁπλούστερον παράγων φησὶν ἦρ, ἡ ἐπικουρία. ὀξυτόνως γενικὴ, ἦρος, αἰτιατικὴ ἦρα, καὶ ἐν συνθέσει ἐπίηρα. μήποτε δὲ δυσλύτως ἀπορηθείη ἂν ἐνταῦθα ὁ τόνος. εἰ γὰρ ὀξυτόνως ἦρ, ἡ ἐπικουρία, διατί μὴ αὐξώθη ἡ γενικὴ, καὶ αἱ κατ' αὐτὴν πλάγιοι, πρός τε ὁμοιότητα τοῦ κὴρ, κηρός. καὶ ἵνα μὴ συμπέσῃ τῇ κλίσει τοῦ ἦρος ἔαρος.

Ἐπιήρανα, ἐπικουρητικὰ τῆς ψυχῆς, ἢ ποδῶν. ἢ ἐπιήρανα, θυμοποδάνιπτρα.

Ἐπιήρεα, ἐπιχαρίστια.

Ἐπιῆρος, ἐπίκουρος, ἐπιθυμητός.

Ἐπίηρος, βοηθὸς, χάριν ἀποδιδούς.

Ἐπιηθέντες, ἐπιχαρέντες.

Ἐπίησεν, ἀντὶ τοῦ ἥδετο.

Ἐπιθαλαμίους Ἑρμῆς, ἐν Εὐβοίᾳ.

Ἐπιθαλάμιον. τινὰ μὲν ᾄδονται ἑσπέρας, ἃ λέγεται κατακοιμητικὰ, ἅ τινα ἕως μέσης νυκτὸς ᾄδουσι. τινὰ δὲ ὄρθια, ἃ καὶ προσαγορεύεται διεγερτικά. τὸν δὲ ἐπιθαλάμιον ᾄδουσι αἱ παρθένοι πρὸ τοῦ θαλάμου, ἵνα τῆς παρθένου βιαζομένης ὑπὸ τοῦ ἀνδρὸς, ἡ φωνὴ μὴ ἐξακούηται. λανθάνῃ δὲ διακρυπτομένη, διὰ τῆς τῶν παρθένων φωνῆς.

Ἐπιθαλάμοντι, ἐπιφλεγμαίνουσιν.

Ἐπιθαλπές, τερπνόν.

Ἐπιθάνατος, προσδόκιμος τοῦ ἀποθανεῖν.

Ἐπιθανὴς, ἐγγίζων τῷ θανάτῳ. ἀνὴρ πρεσβύτης, νοσῶν, καὶ ἐπιθανὴς ὤν. ἐπιθάνατος δὲ, ὁ προσδοκώμενος ἀποθανεῖν.

Ἐπιθαρσύνων, προτρεπόμενος.

Ἐπὶ θάτερα, ἐπὶ τὰ ἕτερα.

Ἐπιθαυμάζειν, ἀντὶ τοῦ δώροις τιμᾶν. Ἀριστοφάνης, δεῖ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.

Ἐπιθεάζειν ἔλεγον οἱ παλαιοὶ, ἀντὶ τοῦ καταρᾶσθαι, προσφέροντες καὶ χρῆσιν Φερεκράτους ταύτην, ὕστερον ἀρᾶται καὶ ἐπιθεάζει τῷ πατρί.

Ἐπιθεάσας, κατευξάμενος.

Ἐπιθέατα, τὰ πάτρια ἱερά, παρ' Ἀθηναίοις.

Ἐπιθεάσει, θεοὺς ἐπικαλεῖται.

Ἐπιθειάσας, ἐπιθαυμάσας. ἀπὸ τοῦ ἐστὶ καὶ τὸ θεάζειν παράγεται.

Ἐπιθειάσας, τὸ θεῖον εἰσδεδεγμένος, θεοφορούμενος. Θουκυδίδης.

Ἐπιθειασμοί, πρὸς θεὸν ἱκεσίαι.

Ἐπιθειάσων, ἱεράσων.

Ἐπιθεῖναι, κλεῖσαι.

Ἐπιθεῖτε, ἐκ τοῦ ἐπιθείητε συγκέκοπται. καὶ ἔστιν ἀκόλουθον τῷ ἐφοπλίσατε εὐκτικῷ. οἱ δὲ γράφοντες ἐπίθητε διὰ τοῦ η, ποιοῦσιν οὕτω πρὸς ἀκολουθίαν τοῦ ἐφοπλίσητε, κατ' ἔγκλισιν ὑποτακτικήν. Ἰστέον δὲ, ὅτι ἐπιθεῖναι λέγεται καὶ τὸ προσθεῖναι, ἤγουν ἐπιβαλεῖν. καὶ ἐξ αὐτοῦ παρὰ τοῖς ὕστερον ἐπιθήκη, ἡ προσθήκη. οἷον ἐπιθήκη θαύματος. ἡ δ' αὐτὴ καὶ ἐπενθήκη. ἡ δὲ λέξις τῆς ἐπενθέσεως γραμματικῆς μάλιστα ἔγνωσται.

Ἐπιθέμενοι, ἀντὶ τοῦ μαχόμενοι. καὶ ἐπιθέμενοι, ἀντὶ τοῦ ἐνασμενίζοντες. Συνέσιος, Δρασμῷ γὰρ ἐπιθέμενος ἐλπὶς ἀγαθῶν, καὶ φόβος χειρόνων ἀνέκοψεν. καὶ ἀντὶ τοῦ ἐγχειροῦντες.

Ἐπίθεμα, τὸ ἐπιθέμενον.

Ἐπιθέντες, ἀποστείλαντες. οἱ δὲ ἀποπέμπουσι τὸν ἰατρὸν ἐπιθέντες γράμματα πρὸς τὸν πλώτην.

Ἐπίθεος, σημεῖον ἐν θυτικῇ.

Ἐπιθεραπεύων, διορθούμενος, προμηθούμενος. ὁ δὲ Ἀλκιβιάδης ἐπιθεραπεύων τὴν ἑαυτοῦ κάθοδον, εἰς τὴν πατρίδα εἰδὼς, εἰ μὴ διαφθερεῖ αὐτὴν, ὅ, τι ἔσται ποτὲ αὐτῷ.

Ἐπίθες. τίθημι, ὁ μέλλων θήσω. ὁ δεύτερος ἀόριστος ἔθην, ἡ μετοχὴ ὁ θεὶς τοῦ θέντος, καὶ τὸ προστακτικὸν θές. καὶ ὤφειλεν εἶναι θέτι, τοῦ κανόνος λέγοντος. πᾶσα μετοχὴ εἰς σ ὀξύτονος διὰ τοῦ ντ κλινομένη, εἰς θι ποιεῖ τὸ προστακτικόν. ἀλλ' ἡμάρτησε τὸ θές. δύο γάρ εἰσι κανόνες μαχόμενοι ἀλλήλοις. ὁ μὲν λέγει, ὅτι τὰ εἰς θι προστακτικὰ, καὶ τὰ εἰς ναι ἀπαρέμφατα ἀορίστου ὄντα, φύσει μακρᾷ παραλήγονται. ὁ δὲ ἕτερος, τὰ προστακτικὰ θέλουσιν ἔχειν τὴν παραλήγουσαν τοῦ ἐνεργητικοῦ πρώτου προσώπου τῶν πληθυντικῶν. τῶν γοῦν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὴν παραλήγουσαν μακρὰν, τοῦ δὲ ἑτέρου βραχεῖαν, ἀπεκόπη ἡ ἀμφιβαλλομένη συλλαβὴ, καὶ θὲς γίνεται.

Ἐπίθεσις, ὁ τῶν δύο ἀριθμὸς, παρὰ τοῖς Πυθαγορικοῖς.

Ἐπίθετα, χωρὶς ἄρθρων προφερόμενα, καὶ ὑπαρκτικῷ ῥήματι συντασσόμενα, δύνανται ἐπὶ πάσης πτώσεως καὶ παντὸς ἀριθμοῦ πληθυντικῇ γενικῇ μετὰ ἄρθρου προφέρεσθαι. οἷον ἀντὶ τοῦ εἰπεῖν, Αἰσχίνης σοφὸς ἦν, λέγομεν Αἰσχίνης τῶν σοφῶν ἦν. Ἄλλως.

Ἐπίθετα, τὰ οὐκ ἐκ τῶν νόμων τῇ βουλῇ προστεταγμένα ἐξ ἀρχῆς, ἀλλὰ προστεθέντα. ἢ ἐπίθετα τῶν ὀνομάτων, μετὰ προσηγορικοῦ ἢ κυρίου λεγόμενα, εἰ δύο, ἢ τρία, εἰ καὶ πλείονα τύχοι ὄντα, μεθ' ἑνὸς ἄρθρου λέγονται. οἷον τὸν μέλανα, καὶ παλαιὸν, καὶ καλὸν οἶνον. οὕτω γὰρ περὶ ἑνὸς ἡ δήλωσις γίνεται. εἰ δὲ τεθῇ καθ' ἓν ἄρθρον, περὶ πολλῶν ὁ λόγος γινόμενος φαίνεται. οἷον, τὸν παλαιὸν καὶ τὸν καλὸν καὶ τὸν μέλανα οἶνον.

Ἐπίθετον ὄνομα, τὸ ἐπὶ κυρίων ἢ προσηγορικῶν ὁμωνύμως τιθέμενον, καὶ δηλοῦν ἔπαινον, ἢ ψόγον. λαμβάνεται δὲ τριχῶς, ἀπὸ ψυχῆς, ἀπὸ σώματος, καὶ ἀπὸ τῶν ἐκτός. ἀπὸ μὲν ψυχῆς, ὡς σώφρων, ἀκόλαστος. ἀπὸ δὲ σώματος, ὡς ταχὺς, βραδύς. ἀπὸ δὲ τῶν ἐκτὸς, ὡς πλούσιος, πένης. ἢ ἐπίθετον, ἡ στοιβή.

Ἐπιθέτους, ἑορτάς. Ἰσοκράτης Ἀρεοπαγιτικῷ, τὰς μὴ πατρίους, ἄλλως δ' ἐπιψηφισθείσας ἐπιθέτους ἐκάλουν. ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ἐπίθετά τινα, ὁπόσα μὴ πάτρια ὄντα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ἐδίκαζεν. ὡς σαφὲς ποιεῖ Λυσίας, ἐν τῇ πρὸς τὴν Μιξιδήμου γραφήν. ἐπιθέτους δὲ ἐπιστολὰς Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου τινὰς ὀνομάζει. λέγει δ' ἂν τὰς δοθείσας τισὶν, ὥστε διακομίσαι. λέγει γὰρ, ἣν ἠθισμένον.

Ἐπιθέουσαν, ἀντικείθουσαν.

Ἐπιθήκη, φερνή. μάζων δ' ἐπιθήκη.

Ἐπίθημα, ἀνάθημα. παρὰ τὸ θῶ θήσω.

Ἐπιθήματα Ὅμηρος, φωριαμῶν ἐπιθήματα ἀνέῳγε. λέγει δὲ ἐπιθήματα, τὰ πώματα, ἤτοι τὰ σκεπάσματα. παρὰ τὸ ἐπιθεῖναι, τὸ κλεῖσαι. κατὰ τὸ, ἀνακλῖναι πυκνὸν νέφος, ἠδ' ἐπιθεῖναι. ἢ μᾶλλον παρὰ τὸ ἐπιθεῖναι, τὸ ἐπιβαλεῖν, ἤγουν ἐπάνω θεῖναι.

Ἐπιθήξας, παρορμήσας, ἐρεθίσας.

Ἐπὶ θήρᾳ, ἐπὶ ἀπάτῃ.

Ἐπιθήσειν, ἀντὶ τοῦ ἐπενεγκεῖν, οὐκ εἰς μακρὰν καὶ παντελῶς ἐπιθήσειν αὐτῷ δίκην ξὺν τοῖς θεοῖς. καὶ αὖθις, ἐπιθεὶς γράμματα δηλοῦντα τὴν τοῦ ἀνδρὸς ἀρετήν.

Ἔπιθι, ἐπίμενε, καὶ ἐπίκεισο, καὶ μὴ ἀνῇς. Ἀριστοφάνης, ἀλλ' ἔπιθι καὶ στρόβει.

Ἐπιθιγγάνει, ἐφάπτεται.

Ἐπιθλάσας, συντόμως εἰπών.

Ἐπιθολεῖ, ἐκταράττει, σκοτεῖ.

Ἔπιθον, ἐκ τοῦ πείθω, μέλλων πείσω, παρακείμενος πέποικα, ἀόριστος πρῶτος ἔπεισα, δεύτερος ἔπιθον.

Ἐπιθορνυμένη, ἐπιοῦσα, καὶ σπερμαίνουσα. θορὸν γὰρ τὸ σπέρμα ἔλεγον.

Ἐπιθράνιον, μέρος τι τῆς νεώς.

Ἐπιθράξαι, ἐπιθρύξαι, ἐπινύξαι.

Ἐπὶ Θρασύλλῳ. Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ φησὶ, τὸ ἐπὶ τῷ Θρασύλλῳ Ἀττικὸν ἔθος, ἀντὶ τοῦ ἐπὶ τῷ Θρασύλλου μνήματι.

Ἐπιθρέξαντος, ἐπιδραμόντος.

Ἐπιθρηδάκια, ἑορτὴ Ἀπόλλωνος.

Ἐπιθρώσκει, ἐφάλλεται, ἐπιπηδᾷ.

Ἐπιθρώσκων, ἐφαλλόμενος.

Ἐπίθρωσμον πεδίοιο, ὁδὸν πεδίου μιᾶς ἐπιδρομῆς.

Ἐπιθυμελίας ἀγῶνας, τὴν τῶν διαφερομένων στάσιν.

Ἐπιθυμηταί, πρόθυμοι. οἱ δὲ ἐμεγαλοφρόνουν τότε, καὶ ἐπιθυμηταὶ ἐξίσαντο.

Ἐπιθυμητικὸν, τὸ θελητόν. ἔστι δὲ μέρος ψυχῆς ὀρεκτὸν, ἐν ᾧ ἡδοναὶ καὶ λῦπαι.

Ἐπιθυμία, καὶ ἵμερος, δηλοῦσιν ὁρμὴν ψυχῆς, καὶ κίνησιν ἐπί τι. τὸ μὲν ἀπὸ τοῦ θυμὸς, ἡ τῆς ψυχῆς κίνησις, καὶ ζέσις. ὃ γίνεται ἀπὸ τοῦ θύειν, τὸ ὁρμᾶν. ὁ δὲ ἵμερος, ὅτι ἱέμενος ῥεῖ καθά φησιν ὁ Πλάτων. ἡ ἐπιθυμία, δύναμις ψυχῆς ἀφανιστική. ἡ ἐμψύχου πρώτη ὁρμὴ πρός τι τῷ φιλουμένῳ, ἢ πόθον τῆς καθ' ἡδονὴν ἀπολαύσεως, ἢ λύπην ἐπὶ τῷ μὴ κατ' ἐξουσίαν ὄντι κατεθυμίῳ. ἢ τινὰ σχέσιν, οὐ μὴ πάρεστιν ἡ ἀπόλαυσις. ἢ νοερά τις τῶν θείων φύσεων ὀρεκτικὴ κίνησις.

Ἐπιθυμιάδες, τὰ παντοδαπὰ στεφανώματα.

Ἐπιθυμῶ, γλίχομαι, ὀρέγομαι, ἐρῶ, ἱμείρομαι, ἐφίεμαι, ἐπιποθῶ. ἐπιθυμῶ, γενικῇ συντάσσεται. ἐνθυμοῦμαι, αἰτιατικῇ. ἐπιθυμῶ τίνα. Ἀριστοφάνης, οὐ γὰρ τίνων ἐπιθυμῶ.

Ἐπιθύων, ἐπανορθούμενος, ἀπὸ τοῦ ἰθύω.

Ἐπιθύω, ὥρμημαι.

Ἐπίθωνται, σπουδάζουσιν, ἐπιτίθενται.

Ἐπιθωΰσσειν, ἐπικελεύεσθαι.

Ἐπιΐδμονα, ἔμπειρον.

Ἐπιΐστορα, ἀντὶ τοῦ κριτὴν, ἐπιμελητὴν, ἐπίσκοπον, ὡς ὁ Ἀπολλώνιος. ὅταν δὲ Ὅμηρος περὶ Ἀγαμέμνονος λέγῃ, ἴστορα δ' Ἀτρείδην Ἀγαμέμνονα, ἀντὶ δὲ μάρτυρα, συνθηκοφύλακα.

Ἐπιΐστορας, συνίστορας, συνειδυίας, καὶ μάρτυρας, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐπιΐστορα, ἔμπειρον.

Ἐπικαγχάζειν, ἀσέμνως γελᾶν.

Ἐπικαγχάσεια, ἀντὶ τοῦ εὐηθῶς γελᾶν, ἢ ἡ γελάσεια.

Ἐπικαθέζεσθαι, τὸ βαρὺ λέγομεν. καὶ ἐπικαθίζεται, ἀπὸ μεταφορᾶς τῶν ζυγῶν.

Ἐπικάθηνται, ἐπικρέμαται.

Ἐπικαιρόταται, ἐπικινδυνόταται.

Ἐπικαιρότατος, ἐπιτήδειος, ἐν τοῖς ἐπικαίροις τῶν χωρίων τόποις.

Ἐπικαίρου, εὐκαίρως, ἁρμοδίως.

Ἐπικαίρως παραπλέοντας, τουτέστι, μίαν κατακολουθοῦσαν τῇ ἑτέρᾳ.

Ἐπὶ καλάμῃ ἀροῦν. ἔθος ἐστὶ τοῖς γεωργοῖς παρ' ἐνιαυτὸν ἀργὴν καταλείπειν τὴν γῆν, ὅπως ἀκεραίους ἐκτρέφῃ τοὺς καρπούς.

Ἐπικαλέσας, μεμψάμενος.

Ἐπικαλοῦμαι, οὐ μόνον τὸ πρὸς βοήθειάν τινα παρακαλῶ, ἀλλὰ καὶ τὸ ἐπονομάζομαι.

Ἐπικαλουμένων, κατηγορουμένων.

Ἐπικάλυμμα, προβλήματος διαφέρει. τὸ γὰρ ἐπικάλυμμα, χάριν στέγης ἐπινενόηται, ὡς τὸ ἱμάτιον. τὸ δὲ πρόβλημα, χάριν φυλακῆς. ὡς τὰ ὅπλα, καὶ τὰ ἀμυντήρια ὄργανα.

Ἐπικαλῶν, ἀντὶ τοῦ κατηγορῶν, ἐγκαλῶν.

Ἐπικαμπὴς τάξις, ἐπὰν τὰ μέσα τοῖς πολεμίοις προσπίπτῃ, τὰ δὲ κέρατα ἐκ τῶν ὀπίσω μερῶν ὄρθια ἐφ' ἑαυτὴν ἔχει τεταγμένα.

Ἐπὶ κάρ, ἔστι μὲν ἀντὶ τοῦ ἄνωθεν κάτω. καὶ οἷον ἐπὶ κάρη, κατὰ ἀποκοπήν. κυριολεκτεῖται δὲ ἐπὶ ζώων. οἱ δὲ, τὸ μὲν τῆς παραβολῆς ὕδωρ, ἐπὶ κάρ.

Ἐπικαρπία, καρποφορία.

Ἐπικαρπίας, τὰ κέρδη.

Ἐπικάρπιος Ζεὺς, ἐν Εὐβοίᾳ.

Ἐπικάρπιον, καρπόν.

Ἐπικάρσιαι νῆες, οὐ μόνον πλάγιαι, ἀλλὰ καὶ ἐπὶ κεφαλήν, διὰ τὴν ἐκ τοῦ σφοδροῦ πνεύματος τῶν ἱστίων πολλὴν ἔντασιν. καὶ ἔστιν ὅμοιον τῷ ἐπὶ κάρ. ὡς τὸ ἐξ ὀρέων ἐπὶ κάρ.

Ἐπικαρυκεύεται, ἀρτύει.

Ἐπικαχλάζεται, διακινεῖται.

Ἐπικαταδαρθεῖν, ἐφυπνῶσαι.

Ἐπικατέσεισεν, ἐπικατέβαλεν.

Digitized by Google

Ἐπίκειμαί τινι, ἀντὶ τοῦ βαρέως πρός τινα διάκειμαι. καὶ ἐπίκειμαι, ἀντὶ τοῦ πλησίον τινὸς κεῖμαι.

Ἐπικείμενα, ἀντὶ τοῦ ἐπιφέροντα. καὶ κειμήλια κάλλιστα τέλλουσιν, ἐπικείμενα χρυσίου λίτρας διχιλίας.

Ἐπικείμενον, φαινόμενον. ὁ δὲ οὕτω τιμῶν τοὺς κεκτημένους, τοῦ ἐπικειμένου καρποῦ.

Ἐπικεῖραι, ἐκκόψαι, διαφθεῖραι.

Ἐπίκειται, τὸ βαρέως ἐπιτίθεται, καὶ ἐμπίπτει τὸ ἐπάνω τῆς κλίνης, καὶ τὸ πλησίον ἐστὶν, ὅπερ αὐτὸ τῷ παράκειται. καὶ Ἀριστείδης, καὶ τὰς ἐπικειμένας νήσους, ἤγουν τὰς πλησίον οὔσας. καὶ ἐπίκειται τῇ κεφαλῇ πῖλον, περίκειται στέφανος. περίκειμαι σῶμα, καὶ ἐνδύματα.

Ἐπικεκηρυχέναι. Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ὁπότε βούλοιτο πόλις ἢ ἄρχων ἀναιρεθῆναί τινα τῶν μὴ ὄντων ὑφ' ἑαυτοῖς, ἐκήρυττε δώσειν χρήματα εἴ τις αὐτὸν ἀνέλοι, τόσα καὶ τόσα. καθάπερ Ξέρξην ἐπεκήρυξαν οἱ Ἕλληνες, εἴ τις ζῶντα ἢ νεκρὸν κατάγοι Ἀθήναζε, δώσειν ἑκατὸν τάλαντα.

Ἐπικέκληται, ἐπικαλεῖται.

Ἐπικεκλιμένας, ἐπικειμένας, ἐπικεκλησμένας.

Ἐπικεκόνιμαι, ἐξέφθαρμαι, ἀπόλωλα.

Ἐπεὶ κε λάβῃσιν, ἐπὰν λάβῃ.

Ἐπικέλια, ἔπεργα, ἱμάτια.

Ἐπικέλσαντες, ὁρμήσαντες. ἢ ἐπὶ τὸ ξηρὸν ἀγαγόντες τὴν ναῦν.

Ἐπίκενος λόγος, ὁ μάταιος.

Ἐπικέρας, τύλις. ἔνιοι δὲ ἄλλην τινὰ βοτάνην, οὕτως ὀνομαζομένην παρὰ τῷ Ἱπποκράτει.

Ἐπικερτόμησίς ἐστιν, ἀλληγορία μετὰ χλευασμοῦ. ἐφ' ἡδονῇ τοῖς κατορθωθεῖσιν ὑπ' αὐτῆς. οἷον, τὸν δ' ἐπικερτομέων προσέφη Πατρόκλεις ἱππεῦ, ὢ πόποι. ἦ μάλα ἐλαφρὸς ἀνὴρ, ὃς ῥεῖα κυβιστᾷ. ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστῆρες.

Ἐπικερτομῶν, ἐπιχλευάζων, ἐπισκώπτων, ὑβρίζων.

Ἐπικεύσω, ἐπικρύψω.

Ἐπὶ κεφαλαίῳ, ἀντὶ τοῦ κεφαλαιωδῶς.

Ἐπικεφαλαίου, συντόμως, ταχέως. μνησθεὶς δὲ ἐπικεφαλαίου τῶν γεγονότων αὐτοῖς ἐλαττωμάτων.

Ἐπὶ κεφαλὴν πεσεῖν, κατακάρα λέγουσιν οἱ Ἀττικοί, οὐ διῃρημένως, ἀλλ' ἐφ' ἕν. ὡς Πίνδαρος, οἱ μὲν κατακάρα δεσμοῖσι δέδενται, ἀντὶ τοῦ ἐπὶ κεφαλήν. ἢ ἐπὶ κεφαλὴν, ταχέως.

Ἐπικέφαλον, τὸ ἐπικεφάλιον.

Ἐπικεχύκασιν, προσέχυσιν.

Ἐπικεχοδὼς, ἀποπατήσας, ἀποπλήσας.

Ἐπικήδειον, ἐπιτάφιον, ἐπιθανάτιον. καὶ ἐπικήδειος θρῆνος, ὁμοίως.

Ἐπίκηρα, φθαρτὰ, θνητὰ, ἐπιθανάτια. κὴρ γὰρ, ὁ θάνατος.

Ἐπὶ κῆρας ἴηλλω, ἀντὶ τοῦ ἐπιβαλῶ, ἐπιστέψω θανάτῳ.

Ἐπικηραίνειν, ἐπιδυσμενεῖσθαι.

Ἐπικηρόπηκτοι, ἐπισαθρόπηκτοι.

Ἐπίκηρος ὕλη, ἡ πρόσκαιρος.

Ἐπικηρυκεία, ἡ ἐκ τῶν πολεμίων φιλία. ἢ τὸ περὶ φιλίας καὶ διὰ λόγων κήρυκας πέμπειν. καὶ ἐπικηρυκεύεται, τὸ διὰ κήρυκος τινὸς συνθήκας τινὰς ἢ πρεσβείας ποιεῖται.

Ἐπικηρυκεύεσθαι, διὰ κήρυκος τινὸς συνθήκας τινὰς ἢ πρεσβείας ἐπικεκηρυκέναι.

Ἐπικηρυκεύσασθαι, τὸ ἐπὶ συμβιβάσεως καὶ σπονδῶν, τὰς πόλεις κήρυκα πρὸς ἀλλήλας διαπέμψασθαι.

Ἐπικηρύξαι ἐστὶ, τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι, ἢ ἀποκτείναντι τὸν πολέμιον.

* Ἐπικηφισία, δῆμος τῆς Οἰνηΐδος φυλῆς. ὁ δημότης, Ἐπικηφίσιος.

Ἐπικίδναται, ἐπισκορπίζεται, ἐφορμᾶται, ἐφαπλεῖται.

Ἐπικιχράδας, ὁ Ζεὺς ἐν Κῷ.

Ἐπικλαθῆναι, συμπαθῆσαι, ἐλεῆσαι.

Ἐπικλαύσουσιν, εἰς οἶκον ἀγάγωσιν.

Ἐπίκλαυτον, γοερὸν, θρηνητικόν. Ἀριστοφάνης, κελαρύζει ἐπίκλαυτον ἀηδόνιον νόμον.

Ἐπικλείδια, ἑορτὴ Δήμητρος Ἀθήνησιν.

Ἐπικλευύσας, ἐπελθὼν λάθρα.

Ἐπικλέπτοιτο, ἐπιθυμοίη.

Ἐπικλεπταιδόνα, ἐπικληδόνα.

Ἐπίκλημα, ἔγκλημα. Ἀγαθίας, ἀπεπειρῶντο ἀποσείσασθαι τὸ ἐπίκλημα.

Ἐπίκλην, ἡ ἐπίκλησις παρ' Ἀττικοῖς. ἢ ἐπίκλην, ἐπωνυμίαν, ὀνομασίαν.

Ἐπίκληρος λέγεται, ἡ νῦν κληρονόμος καλουμένη. ὅταν δὲ παῖς ὀρφανὴ πατρὸς καὶ μητρὸς καὶ ἀδελφῶν τε οὖσα ἔρημος, καὶ ταύτῃ τύχῃ ὑποκειμένη οὐσία, ταύτην καλοῦσιν ἐπίκληρον. ὁμοίως δὲ καὶ τὴν ἤδη γεγαμημένην, ὅταν ἡ ἐπὶ τῇ οὐσίᾳ ὅλη καταλελειμμένη. καλοῦσι γὰρ καὶ τὴν οὐσίαν κλῆρον. καλεῖται δὲ ἐπίκληρος, καὶ ἡ μηδέπω γεγαμημένη, ἀλλὰ παρὰ τῷ πατρὶ οὖσα, καθότι καθήκει αὐτῇ πᾶσα ἡ οὐσία. καλοῦνται δὲ ἐπίκληροι, κἂν δύο ὦσι, κἂν πλείους. τινὲς δὲ τὴν ἐπίκληρον καλοῦσιν ἐπιπαματίδα καὶ πατροῦχον. νόμος δὲ ἦν Ἀθήνησι, γνησίας μὲν οὔσης θυγατρὸς, νόθου δὲ υἱοῦ, μὴ κληρονομεῖν τὸν νόθον τὰ πατρῷα.

Ἐπίκληρος, ἐνούσιος γυνὴ, δέσποινα. εἰς ἣν κατηντήσαν πολλοὶ κλῆροι.

Ἐπίκλησιν, τὸ παρ' ἡμῖν ἐπίκλην λεγόμενον δηλοῖ. συγκοπὲν ἐκ τοῦ ἐπικλήδην. ὅπερ ὅμοιόν ἐστι τῷ ὀνοματοκλήδην. ἢ ἐπίκλησιν, ἐπωνυμίαν.

Ἐπίκλητος, ἐπίξενος, ἔξωθεν ἐπεισερχόμενος, δαιτυμὼν, καὶ οἱ σύμμαχοι. ἢ ἐπίκλητος, ὁ ἐπί τινι καλούμενος ὑποθέσει, ὃν ἐν ταῖς ἀμηχανίαις Ἰουδαῖοι ἐπίκλητον. καὶ ἐπίκλητος, ὁ ἔξωθεν ἐρχόμενος.

Ἐπικλινὲς, ἐπιρρεπὲς εἰς κακόν. καὶ ἐπικλινὲς δὲ τάλαντον, Καλλίμαχος.

Ἐπικλίντης, σεισμός. καὶ κλίνεται ἐπικλίντου.

Ἐπίκλιντρος, εἶδος κόσμου γυναικείου. τοῦτ' ἐπίκλιντρον ἀποβάλλεις.

Ἐπίκλιντρον ῥητέον, οὐκ ἀνάκλιντρον.

Ἐπικλόπιος, Ζεὺς οὕτω καλεῖται.

Ἐπίκλοπος, οὐ τὸν ἁπλῶς μόνον κλέπτην δηλοῖ, ἀλλὰ τὸν πανοῦργον. καὶ ἐπίκλοπος μύθων, ὁ ἐπιθυμητὴς τοῦ διὰ λόγων ἀπατᾷν. κλέπτεσθαι γάρ φασιν οἱ παλαιοὶ, καὶ τὸ ὀρέγεσθαι. ὡς τὸ ἐπίκλοπος τόξων, ἐν Ὀδυσσείᾳ. ἢ ἐπίκλοπος μύθοις, ὁ ἠσκηκὼς λόγοις παραλογίζεσθαι. καθ' ὁμοιότητα τοῦ κλέπτειν νόῳ. ἔστι γὰρ κλέπτειν, οὐ μόνον χερσὶν, ἀλλὰ καὶ νόῳ, καὶ λόγῳ.

Ἐπικλοπώτερος, παραλογιστικώτερος.

Ἐπικλύσασα, ἐπιδαψιλεύσασα, καταβαλοῦσα. ἡ οὖν Κλεοπάτρα πολλῷ χρυσῷ ἐπικλύσασα τὸ ἄγαλμα τοῦ Διὸς πρίασθαι.

Ἐπίκλυσις, ἐπιρροή.

Ἐπικλυτὸν, ἐπονείδιστον, ἐπίδοξον.

Ἐπικλώσηται, ἀπὸ τοῦ κλώθω, σω, ἔκλωσα, κλώσαιμι, τὸ εὐκτικόν.

Ἐπικνάφεις, ἕλκεις, διαφθείρεις. τὸ γὰρ πρότερον οἱ γναφεῖς ἀκανθῶν σωρὸν συστρέψαντες, τὰ ἱμάτια ἐπὶ τοὺς σωροὺς ἔκναπτον. ὁ δὲ σωρὸς ἐλέγετο γνάφος. ὁ οὖν Κροῖσος τὸν ἐχθρὸν περιέξανε ταῖς ἀκάνθαις, καὶ οὕτως ἔφθειρεν.

Ἐπικνημίδιοι, τῶν Λοκρῶν οἱ μὲν Ἐπικνημίδιοι, οἱ δὲ ὑποκνημίδιοι ὀνομάζονται, ἀπὸ Κνήμιδος τοῦ ὄρους.

Ἐπικνίζεται, δάκνεται.

Ἐπίκνω, ἀντὶ τοῦ ἐπίβαλε. Ἀριστοφάνης, ἀλλ' ἐπίκνω τὸ σίλφιον.

Ἐπικνῶσιν, παρὰ τὸ κναίειν, τὸ διαφθείρειν.

Ἐπικοιμηπελάσασθαι, ὑπηρετικὸν ὄνομα.

Ἐπικοινῆς, ἀντὶ τοῦ κοινῇ.

Ἐπικοίνιος Ζεὺς, ἐν Σαλαμῖνι.

Ἐπίκοινον, ὃ τῷ μὲν εἴδει διαφέρεται, οὐ διαλλάττεται δέ. ἢ ἐπίκοινον γένος, τὸ ἐν μιᾷ φωνῇ μετὰ ἑνὸς ἄρθρου, ἢ μόνου ἀρσενικοῦ, ἢ μόνου θηλυκοῦ σημαῖνον τὸ γένος, οἷον ὁ κόραξ, ὁ ἀετὸς, ὁ ἰχθὺς, ἡ κορώνη, ἡ χελιδών.

Ἐπικόκκυρος, ὁ παρατηρητὴς ἐν σταδίῳ, παρὰ Λάκωσιν.

Ἐπικομπῶν, ἐπικαυχώμενος.

Ἐπίκοποι, οἱ κακῶς τὸ πρῶτον πληγέντες χαρακτῆρες, καὶ διὰ τοῦτο ἐπικοπτόμενοι.

Ἐπίκορον, ἐπίκωπον, Πάφιοι.

Ἐπὶ κόρρης. κόρσην, ὅτι καὶ κόρρη λέγεται, ἱκανῶς ἔγνωσται ἀλλαχοῦ. ἀφ' οὗ καὶ κατὰ κόρρης. καὶ ἐπὶ κόρρης δὲ κατὰ Αἴλιον Διονύσιον, πληγὴ τυχὸν, ἢ ῥάπισμα λέγεται τὸ εἰς σιαγόνα, καὶ κρόταφον. κόρρην δέ φησι καὶ κόρσην Ἀττικοὶ, τὴν ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι. διὸ καὶ προπηλακισμὸς ἰσχυρός φασιν ἐπὶ κόρρης, καὶ μείζων τοῦ κονδύλου. ἀπὸ τῆς κόρσης δὲ εὕρηται ἐν ῥητορικῷ λεξικῷ, καὶ δίκορσον, ἀντὶ τοῦ δικόρυφον, δικρανὲς, δικέφαλον. εἴρηται δὲ ἴσως τὸ δικρανὲς, εἰς ὅμοιον τῷ δίκρανον. καὶ ἐπὶ κόρρησιν, ἐπὶ κεφαλαῖς, ἢ γνάθοις.

Ἐπικόρρι, ἐπὶ κονδυλίῳ.

Ἐπικορριστὸν, κατακονδυλιστόν.

Ἐπίκοπα, ἐπίμομφα, ἃ πᾶς ἄν τις μέμψαιτο. Σοφοκλῆς ναυπλίῳ, καὶ πλέοντι.

Ἐπικόπως, ἐπιστρεφῶς.

Ἐπικουρεῖν λέγεται κυρίως, τὸ διὰ νέων τοῖς πολιορκουμένοις ἐπιβοηθεῖν. καὶ ἐπίκουρος, ὁ νέος βοηθὸς, τουτέστιν ὁ σύμμαχος. ἐξ οὗ καὶ ἐπικουρία, ἡ ἐν τοῖς στρατοπέδοις ἐπιβολὴ, λεγομένη καὶ συμμαχία διὰ τῶν νέων.

Ἐπικούρειοι, οἱ φιλόσοφοι.

Ἐπικούρειος Ἕρμων, ὁ παρὰ τῷ Λουκιανῷ.

Ἐπικουρεῖ, ὁ ἔξωθεν εἰς βοήθειαν ἥκων. συμμαχεῖ δὲ ὁ αὐτός. ὑπερμαχεῖ ὁ ἀδυνάτῳ χρησιμεύων. ἀμύνει δὲ, ὁ ὑπὲρ τοῦ πεπονθότος κακῶς. πάντα δὲ ταῦτα, καὶ ἀντὶ τοῦ βοηθεῖν ἁπλῶς λαμβάνεται.

Ἐπικούρους, τοὺς ἐξ ἀλλοτρίας βοηθοὺς, ὧν ἦν Σαρπηδὼν, λέγει Ὅμηρος. λαοὺς δὲ, τοὺς ἐγχωρίους, καὶ τὰ λοιπά.

Ἐπικράδιον, ἐπικάρσιον.

Ἐπίκρανα, προσκεφάλαια, καλύμματα, ἐπιστύλια.

Ἐπικρᾶναι τῇ κεφαλῇ, οἶμαι καταλέγειν, ἢ καταινεῦσαι. ἐκ τοῦ κραίνω κρανῶ, ἔκρανα, κρᾶναι καὶ ἐπικρᾶναι.

Ἐπικρανεῖς, ἐπιτελεῖς, ἐπιμεληθήσῃ.

Ἐπικρανής, ἐπιμελητής.

Ἐπίκρανος, ἐπιμελητὴς, ἐπίχειρος.

Ἐπικρατεῖ, ἐξουσιάζει.

Ἐπικρατύνειν, ἐπισχύειν, ὀχυροῦν.

Ἐπικράτης. οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγὸς, ὁ καὶ Εὔφορος ἐπικαλούμενος. οὗ μνημονεύει Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ἕτερος δ' ἐστὶν Ἐπικράτης, οὗ μνημονεύει Λυκοῦργος, ἐν τῷ περὶ διοικήσεως λέγων, ὡς χαλκοῦς ἐστάθη διὰ τὸν νόμον τὸν περὶ τῶν ἐφήβων, ὅν φασι κεκτῆσθαι ταλάντων ἐξακοσίων οὐσίαν. ἄλλος δ' ἐστὶν Ἐπικράτης, Αἰσχίνου τοῦ ῥήτορος κηδεστὴς, ὡς δηλοῦται ὑπ' αὐτοῦ ἐν τῇ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ. οὗτος μέντοι ἐπωνύμιον ἦρχε Κυρηβίων, ὡς ὁ Δημοσθένης φησὶν ἐν τῷ κατ' Αἰσχίνου.

Ἐπικρατίδιον, στημονικὸν κάλυμμα, χωρὶς τῆς κεφαλῆς.

Ἐπικρεμαμένου, ἐπικειμένου.

Ἐπικρεμάσας, ἐπενεγκών. οἷς δ' ἅμα ἀναπεισθεὶς, καὶ τὸν ἐξ αὐτοῦ φόβον ἐπικρεμάσας.

Ἐπικρῆναι, ἑορτὴ Δήμητρος, παρὰ Λάκωσιν.

Ἐπίκρηνον, κεφαλόδεσμον.

Ἐπικρήνωμεν, ἐπιτελέσωμεν.

Ἐπὶ Κρήνεσσιν. Ὅμηρος, ἦλθεν ἐπὶ Κρήνεσσι, κατὰ ἀντίφρασιν εἶπεν, ἀντὶ τοῦ ἐπὶ Κρήνας. ὁμοίως, ἦλθεν ἐπὶ Αἰάντεσσιν.

Ἐπικρία, τὰ τῆς νηὸς σανιδώματα.

Ἐπικριδὸν, ἀντὶ τοῦ ἐπικρίναντες, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐπίκριδον, ἐπίλεκτον.

Ἐπικρίνασθαι, ἀριθμῆσαι καθ' ἕνα ἕκαστον.

Ἐπικρίνει, δοκιμάζει.

Ἐπικρινῶ, τὸ κριθὲν βεβαιῶ.

Ἐπ' ἰκριόφιν, ἀντὶ τοῦ ἐπὶ ἰκρίῳ, κατὰ προσχηματισμόν. Ὀδυσσείας γ, νηὸς ἐπ' ἰκριόφιν καταλέξεται.

Ἐπικριτὴς, σύμβολος, δοκιμαστής.

Ἐπίκροκον, ἐπανθηρόν.

Ἐπίκρουμα, ἐπίπληγμα, ἢ ἐπιχάραγμα. διὰ τὸ

παρω-

Digitized by Google

παρωνομάσθαι τῷ ἔργῳ ἐπίχρυμα χθονὸς ἀργείας. Σοφοκλῆς ἐν Ἰνάχῳ.

Ἐπικτένιον, ἐπὶ μὲν τῶν γυναικῶν, τὸ ἐπίσιον καλούμενον, ἐπειδὴ ὑπὲρ τὸν κτένα ἐστίν. ἐπὶ δὲ τοῦ συπεῖου, ἢ τοῦ λίνου, τὸν κτένει προσιζάνοντα χοῦν ἐν τῇ ἐργασίᾳ, παρὰ τῷ Ἱπποκράτει.

Ἐπίκτενα, τὰς ἠλακάτας, καὶ τοῦ ποδὸς τὸ πρὸς τοῖς δακτύλοις μέρος.

Ἐπικτερία, ἐντάφια.

Ἐπίκτητον, ἔξωθεν εἰσελθόντα.

Ἐπικόλωμα, ἐπικορύφωμα.

Ἐπικώριον, τὸ πῶμα τῆς χύτρας.

Ἐπικυδέστερος, νικητικὸς, ἢ ἐνδοξότερος, ἐπικρατέστερος. κῦδος γὰρ ἡ δόξα.

Ἐπικυκλῆσαι, ἐπεισαγαγεῖν.

Ἐπικυκλίδιος, Ζεύς.

Ἐπικύλλυμα, τὸ μετὰ τὴν τῶν ἄρτων διάθεσιν περιαπτόμενον. κόλλιξ γὰρ, ὁ ἄρτος. ὅθεν καὶ κολλύριον, ἀπὸ τοῦ κολοβόν.

Ἐπικυλλαίνειν, σημαίνει τὸ ἐπὶ τοῦ στόματος φιλεῖν. κύλοι γὰρ, τὰ βλέφαρα. ὅθεν καὶ κυλοιδιᾶν λέγεται τὸ ἐπῆρθαι τοὺς ὀφθαλμούς. καὶ Χρύσιππος, γράφεται Κυλλήνιος ὁ Ἑρμῆς, ἐπειδὴ ἡ ῥάβδος αὐτοῦ ἀνδρῶν ὄμματα θέλγει. ἀπὸ τοῦ ἐπιπολὺ καθεύδοντας οἰδεῖν τοὺς ὀφθαλμούς. Φαίακες δὲ θύουσιν αὐτῷ ἑσπέρας, οὐ διὰ τὸ καθεύδειν, ὡς Ὅμηρος, ὅτε μνησαίατο κοίτης. οὐχ ὅτι ὀνειροπόλος πομπὸς ἦν, ἀλλ' ὅτι ὕπνου ἡδέος αἴτιος. ὅθεν καὶ ἐπισκύνιον, τὸν περὶ τὸν κύκλον, ἢ τὸν περὶ τοὺς κύκλους τόπον καλοῦμεν.

Ἐπικύπτω, ψω. Λουκιανὸς, οὕτως ἀργῶς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν. καὶ οὐδὲν ὄφελος εἰ ἐπικύψαιμι, φεύγει γὰρ τὸ ὕδωρ.

Ἐπικύρσας. Ὅμηρος, ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας, ἤγουν συγκύρσας. καὶ κατὰ συγκυρίαν, ἤτοι κατὰ τύχην εὑρὼν, οἷά τι δηλαδὴ ἕρμαιον. ἀμφιβολία δὲ ἐνταῦθα τοῖς παλαιοῖς. ἢ γὰρ ἐπὶ ἐμψύχου λαμβάνει τὸ σῶμα, καὶ πῶς ἡ παρατήρησις ἡ πολλὴ, ἡ λέγουσα τὸ δέμας μὲν ἐπὶ ἐμψύχου τιθέναι τὸν Ὅμηρον, ἐπὶ ἀψύχου δὲ τὸ σῶμα. ἢ ἄλλως ἐπὶ ἀψύχου εἴληπται νῦν τὸ σῶμα, καὶ μὴν οὐ θέμις, ὡς λόγος νεκροῦ σώματος ἅπτεσθαι λέοντα. καὶ τοιαύτη μὲν ἡ τοῦ διαλημμάτων διχόνοια. οἱ δὲ παλαιοὶ τὸ σῶμα ἐπὶ ἀψύχου, κἀνταῦθα λαμβάνοντες τὴν διαφωνίαν, ἰῶνται διὰ τοῦ πεινάων. παρανομεῖ γὰρ λέων πεινῶν.

Ἐπικύσας, ἐπικύψας.

Ἐπικυφώτερος, πλέον κυρτός.

Ἐπίκωλος, τὸν πόδα σκάζων.

Ἐπικωμάζω, χλευάζω, μυκτηρίζω.

Ἐπικωμάσαι, ὀρχεῖσθαι, ἢ λαλῆσαι. αἰσχραὶ πολλαὶ ταῖς ἐκκλησίαις ἐπεκώμασαν ταραχαί.

Ἐπικωμάσας, κρατήσας ταῖς θριξίν.

Ἐπίκωμος, ὑβριστὴς, συγχαίρων, μέθυσος.

Ἐπίκωπα, ἐπίμεμπτα.

Ἐπικωπητὴρ, ὁ τρωπητὴρ, ἱμάς.

Ἐπίκωποι, οἱ ἔχοντες τὰς κώπας, καὶ τὰ πηδάλια. ἐπίκωποι καὶ ἐπίρετμοι, ταυτόν.

Ἐπίκωπος, ναυτικὸς, ἢ ξιφήρης. κώπη γὰρ, τοῦ ξίφους ἡ λαβὴ, ἡ κόπτειν δυναμένη, ἤγουν κωπήεις.

Ἐπιλαβέσθαι, ἤγουν ἅψασθαι, ὃ καὶ χωρὶς τῆς ἐπὶ προσθέσεως λέγεται, ἐπὶ ταύτης τῆς σημασίας. ὡς παρὰ τῷ, ἡ δὲ λεπὰς ὀστρεόντι ἐστίν· ὅπερ ἐπειδὰν λάβηται πέτρας ἀπισχυρίζεται, ἤγουν ἐπειδὰν ἅψηται. λέγεται τοῦτο κυρίως ἐπὶ τῶν σωματικῶς ἁπτομένων, εἶτ' ἐπ' ἄλλων. οἷον, ἐπιλαβέσθαι μου τοῦ γράμματος. ἀφ' οὗ ἀνεπίληπτος, οὗ οὐχ ἅπτεται μῶμος. καὶ ἀντὶ τοῦ ἁπλῶς λαβέσθαι. ὡς τὸ Κύπριος δοὺς ἀμφοτέραις ἐπιλαβέσθαι τοῦ ποθουμένου.

Ἐπιλαμβάνομαι, ἀντὶ τοῦ ἅπτομαί τινος ἁμαρτήματος, γενικῇ. ὡς Ξενοφῶν, καὶ Ἀριαίου πολλὰ τὸν κύριον παρανοσφισαμένου, Ἀραῖος ἐπιλαμβάνεται. περιλαμβάνω, καὶ περιλαμβάνομαι.

Ἐπιλαμβάνομαι. ἐπιλαμβάνεσθαι, μέμφεσθαι. μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βαρβάρων, ἢ σόλικον, ἢ ἀπηχές τι προενεγκαμένων.

Ἐπίλαμπον, ἀντὶ τοῦ καταφανῆ, λέγουσιν Ἴωνες.

Ἐπιλαμφθέντες, φωτισθέντες.

Ἐπιλανθάνομαι, ὡς ἐπὶ τὸ πλεῖστον μὲν γενικῇ συντάσσεται, καὶ αἰτιατικῇ. ἅπαξ δὲ παρὰ Λουκιανῷ, ἐν τοῖς ἐρωτικοῖς. οἶσθα αὐτὸν, ἢ ἐπιλέλησαι τὸν ἄνθρωπον. μὴ ἐπιλάθου μου δέομαι, καὶ ἐπιλέλησαι τοῦτο ποιήσας, μετὰ μετοχῆς συντάσσεται.

Ἐπιλανθάνεσθαι, τὸ ἀποβαλεῖν ἐπιστήμην.

Ἐπιλάρκισμα, λάρκου βύσμα. λάρκος δὲ, ἀγγεῖον ἀνθράκων πλεκτόν.

Ἐπιλαρχία, δύο ἶλαι ἱππέων, ἀνδρῶν ἑκατὸν εἰκοσιοκτώ.

Ἐπιλαχόντα, τυχόντα.

Ἐπιλαχών. Αἰσχίνης κατὰ Κτησιφῶντος, οὔτε λαχὼν, οὔτε ἐπιλαχὼν, ἀλλ' ἐκ παρασκευῆς πριάμενος. ἔοικε τὸ γινόμενον τοιοῦτον εἶναι. ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι, ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν' ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκιμασθῇ, ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς ὁ ἐπιλαχὼν αὐτῷ. ὑποφαίνεται δὲ ταῦτα ἐν τῷ Πλάτωνος ὑπερβόλῳ.

Ἐπὶ λείαν, ἐπὶ λῃστείαν.

Ἐπιλέγειν, τὸ ἐπάδειν, δοτικῇ συντάσσεται.

Ἐπιλεγόμενος, ἐπιλογιζόμενος.

Ἐπιλέγει, πρὸς τοῖς προειρημένοις φησίν.

Ἐπιλείπει μοι τόδε, καὶ ἐπιλείπει με τόδε. Συνέσιος ἐν ἐπιστολῇ, οὐκ ἐπιλείψουσι τῷ Θεῷ στρατιῶται. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν.

Ἐπιλειψάσης, καταλειπούσης, παρελθούσης.

Ἐπιλείψει με, καταλείψει με διηγούμενον ἡμέρα, καταλάβοι με.

Ἐπὶ Λειψυδρίῳ μάχη, χωρίον ὑπὲρ τῆς Πάρνηθος, ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, ὧν οἱ Ἀλκμαιονίδαι προειστήκεσαν. ἐκπολιορκηθέντων δ' αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον, σκολιὸν εἰς αὐτοὺς ᾖδετο, αἶ αἶ Λειψύδριον προδοσέταιρον, οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι δ' ἀγαθούς γε καὶ εὐπατρίδας, οἳ τότ' ἔδειξαν οἵων πατέρων ἦσαν.

Ἐπίλεκτος προπαροξυτόνως, ἐκλεκτὸς δὲ ὀξυτόνως. διότι τὸ μὲν ἐκ τοῦ ῥήματος, τὸ δὲ ἐκ τοῦ ὀνόματος συντίθηται.

Ἐπιλελεγμένοι, κεκριμένοι. καὶ κρινάμενος λέξαιτο, ἤγουν διακρίνας ἐπιλέξαιτο. καὶ παρὰ Εὐριπίδῃ, λεκτοὶ νεανίαι. καὶ ὁ ἐπίλεκτος, καὶ ὁ λογάς. καὶ ἐπιλέγδην, ἐπίρρημα.

Ἐπιλελησμένη, ἐπιλανθανομένη.

Ἐπιλεξαμένη, ἐπικαλεσαμένη.

Ἐπιλεξάμενος, ἀναμετρήσας, ἀναλογισάμενος. ὁ δὲ Ἡρακλῆς τὸν ἀριθμὸν τῶν βοῶν ἐπιλεξάμενος.

* Ἐπιλευκάδιοι, πόλις κατὰ Ἀκαρνανίαν.

Ἐπίληθον, Ἀρίσταρχος μὲν προπαροξυτόνως γράφει, ὡς ὄνομα οὐδέτερον, ὃ δηλοῖ τὸ ἐπιληστικόν. ὁ δὲ Ἀσκαλωνίτης, ὡς μετοχὴν φησιν, οὐκ εὖ προπερισπᾷ. ἵνα ᾖ τὸ ποιοῦν ἐπιλανθάνεσθαι. ὅρα δὲ, ὅτι ἐν μὲν τῷ ἐπίληθον, καθὰ καὶ ἐν τῷ λήθη, καὶ λῆστις καὶ ἐπιλησμοσύνη, καὶ Λητὼ, φυλάττεται τὸ η τοῦ λήθω ἐνεστῶτος.

Ἐπιληΐδες, οὕτω τῶν ἱερειῶν τινὲς ἐκαλοῦντο.

Ἐπιλήκητος, ὁ τετυφλωμένος.

Ἐπιλημμένος, κατέχων, τετυχηκώς.

Ἐπιλήμνιος, Ποσειδῶν.

Ἐπὶ Ληναίῳ, περίβολός τις μέγας ἐν ᾧ τοὺς ἀγῶνας ἦγον τοὺς σκηνικούς.

Ἐπιληπτικὸς, πασχικὸς, κατεχόμενος, ἐπίληπτος, καταφανής. ὁ καὶ τῇ ἱερᾷ νόσῳ συνεχόμενος.

Ἐπίληπτος, ἐπιλήψιμος, καὶ μέμψεως ἄξιος. καὶ ἐπίληπτος, ὁ νοσῶν τὴν ἱερὰν νόσον, καὶ λυόμενος ὑπὸ τοῦ βασιλέως Θεοδοσίου.

Ἐπιλήπτῳ, ὑπαιτίῳ, δαιμονιζομένῳ.

Ἐπιληθείη, πάρετος γενοίμην. ὡς τὸ, ἐπιληθείη ἡ δεξιά μου.

Ἐπιλησμονείη, ἐπιλαθείη.

Ἐπιλησμότατον, ἰδίως ἐπιλησμονέστατον. ὡς τὸ, ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον.

Ἐπιλήσονται, ἐπιλανθάνονται.

Ἐπιλίγδην, συμψαῦσαι, καὶ ἐφάψασθαι μόνον, ὃ παρ' ἡμῖν, ἄνωθεν κάτω. καὶ ἐπιλίγδην, ἀντὶ τοῦ ξεστικῶς, καὶ ἐπιπολῆς. καὶ ἔοικεν ἀπὸ τοῦ λίζειν, ὀνοματοπεποιημένου ῥήματος παρῆχθαι. ἀφ' οὗ καὶ λίστρον, τὸ ξύστρον. καὶ παρὰ τῇ χυδαίᾳ δὲ ὁμιλίᾳ, τὸ ἐκλιστρᾶν. σεσίγηται δὲ τὸ λίζω, καθὰ καὶ ἄλλοι τοιοῦτοι ἐνεστῶτες. καὶ γοῦν οὐδὲ τοῦ ἔκλαγξαν ἐστὶν εὑρεῖν ἐνεστῶτα κλάγγω. οὐδὲ τοῦ λίγξε βιὸς, τὸ λίγγω. οὐδὲ μὴν τὸ κρίζω, τοῦ κρίκε ζυγὸς, ἢ κρίγειν.

Ἐπιλίνυμι, ἐπιστέφω.

Ἐπιλινᾶν, ἐπιπορεύεσθαι τὰ ἑστῶτα λινά, καὶ ἐπιβλέπειν.

Ἐπιλιπὲς, ἐλλιπές.

Ἐπιλίσσαις, τὸ μέσον τοῦ ζυγοῦ.

Ἐπιλλίζειν, ἔοικεν ὁμοιότητα ἔχειν πρὸς τὸ ἐνιλλώπειν. περὶ οὗ γέγραπται, ἔνθα καὶ ἰλλὸς δικέκληται ὁ στραβὸς, καὶ ἕτερά τινα. ὅμοιον δέ τι καὶ τὸ δενδίλλειν, πρὸς τὸ ἐπιλλίζειν. οἱ μὲν ὕστερον ἐπὶ βασκανίας τὸ ἐπιλλίζειν φασί. καὶ ὅτι πρωτότυπον τὸ ἴλλειν, τοῦ ἐπιλλίζειν. καὶ ὅτι ἐκ τοῦ ἴλλειν γίνεται καὶ τὸ ἐξίλλειν, ἀφ' οὗ ἐξούλης δίκη, δῆλον. ἔτι καὶ τόσσοι δ' ὑπίλλουσι στόμα, ἤγουν ὑποβάλλουσι, κλείοντες, οἷα ὀδὰξ ἐν χείλεσι φῶτες.

Ἐπιλλίζουσα, κατασημαίνουσα.

Ἐπιλλίζουσιν οἱ μνηστῆρες, ἤγουν ὀφθαλμοῖσιν ἐννεύουσι. καὶ ἔστι κεφαλῇ μὲν κατανεύειν, κατὰ τὸ ὅλον. ἐπιλλίζειν δὲ, καὶ τὸ ὀσφρύσι νεύειν.

Ἐπιλλίζων, τοῖς ὀφθαλμοῖς ἐπιμωκώμενος. ἐπίλλοι γὰρ, οἱ στραβοί. ἐπιλλίζουσιν, ἐπικατασημανοῦνται. κυρίως δὲ τοὺς ὀφθαλμοὺς ἐπικλίνειν, κατασημαίνομενον.

Ἐπιλλίζω. τὸ ἐπινεύω. Οὐκ ἀΐεις, ὥς μοι ἐπιλλίζουσιν Ἀχαιοί, ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς διανεύοντας. ἐξ οὗ καὶ ἰλλάδες, οἱ συνεστραμμένοι ἱμάντες.

Ἐπιλλίζουσα, ἀντὶ τοῦ ἐπεγγελῶσα, ἢ ἐπιμύουσα τοὺς ὀφθαλμούς. ὅπερ ἴδιόν ἐστι τῶν γλαυκῶν, διὰ τὸ μὴ βλέπειν δι' ἡμέρας.

Ἐπιλλοὶ, οἱ πολλοί.

Ἔπιλλος, παράστραβος. ἡσυχῇ διάστροφος. παρὰ τοὺς ἰλλοὺς, οἵ εἰσιν οἱ ὀφθαλμοὶ, δενδίλλων εἰς ἕκαστον.

Ἐπιλόγιον, τὸ μέγα ἄχυρον.

Ἐπιλογισάμενος, καὶ ἐφ' ὧν ἐνόμιζε πλεονεκτήσειν, κατὰ τὴν μάχην ἐπιλογισάμενος πείθει.

Ἐπιλογισμὸς, ὁ κατὰ τὸν πρῶτον λόγον ἐπανελθὼν, καὶ τοῖς ἔμπροσθεν ὑπερμαχῶν, ἢ ἀνθιστάμενος.

Ἐπιλύγαιον, ἐπινέφελον, σκοτεινόν.

Ἐπιλύκιον, ἀρχεῖον τοῦ πολεμάρχου Ἀθήνησιν.

Ἐπιλυομένου, συγχωροῦντος.

Ἐπίλυσιν, ἔφοδον. ὁ δὲ πέμπει Ἰωάννην, ὡς ἂν προφυλακῇ χρήσοιτο καὶ προκαταμάθοι τὴν ἐπίλυσιν τῶν βαρβάρων.

Ἐπιλύτης, ἐπίλυτος.

Ἐπιμαίεσθαι, ἐπιζητεῖν.

Ἐπίμαλθα, ἀγαθά, προσηνῆ, ἢ μαλθακὰ, ἢ ἀσθενῆ λίαν.

Ἐπὶ μᾶλλον, περισσοτέρως. καὶ ἐπὶ μᾶλλον ἐξήπτον εἰς ὀργὴν, καὶ ἀντὶ τοῦ προθυμότερον. τῶν δέ τινων τοῖς Ὑπερίδου λόγοις ἐπὶ μᾶλλον ἀχθέντων, καὶ ἀντὶ τοῦ περισσότερα ἐνδιδόναι σφᾶς.

Ἐπίμαργος, μεμηνώς.

Ἐπιμάρτυρος, ἡ πρόθεσις ἐν τούτῳ κεῖται, ὥσπερ ἐν τῷ ἐπιβουκόλος, καὶ ἐπίουρος, καὶ ἐπιφρίξ, καὶ ἄλλοις πολλοῖς.

Ἐπιμαρτύρομαι, μάρτυρας καλῶ.

Ἐπιμάρτυρος, μάρτυς ἐπὶ τοῖς γινομένοις.

Ἐπιμαστίδιον, ἐπιμάστιον, ἄρτι ἀπὸ θηλῆς, ἄρτι ἀπὸ μαστοῦ, λέγεται βρέφος ἔτι ἐν γάλακτι.

Ἐπιμάστακα, τὸ στόμα ἐν τῇ Ὀδυσσείᾳ.

Ἐπιμαστίδιος, ὁ θηλάζων. ὁ δὲ νεώτατος παῖς, ἐπιμαστίδιος ἦν, οὗ ἡ μήτηρ ἀντείχετο.

Ἐπίμαστον ἀλήτην, τὸν ἐπιμαστεύοντα τὴν τροφὴν ἐπαίτην. ἢ τὸν ἐκ παιδὸς, οἷον τὸν ἀπὸ μαστοῦ ἐπαίτην.

Digitized by Google

Ἐπιμασσάμενος, γίνεται ἐκ τοῦ μῶ μάσω, ἐγγίσας.

Ἐπιμάσσεσθαι, τὸ ἀποσπογγίζειν, καὶ τὸ ἐκμάσσεσθαι. καὶ ἐν Ὀδυσσείᾳ, ἀναμάξεις τῇ σῇ κεφαλῇ. καὶ τὸ ἐσεμάσσετο θυμόν. καὶ ἄλλως δὲ ἐπιμάσσεσθαι, τὸ διὰ ἐπαφῆς θεραπεῦσαι. μάσσεσθαι γάρ, καὶ τὸ ἅπτεσθαι. δοκεῖ δὲ οὐ φαῦλον εἶναι τὸ ἐπιμάσσεσθαι, καὶ ἀντὶ τοῦ ἐκμυζῆσαι. Ἰστέον δέ, ὅτι τε ἐκ τοῦ μάσσειν, καὶ τὸ ἐκμαγεῖον γίνεται. καὶ τὸ χειρόμακτρον, καὶ ἡ μαγδαλία, ἥτις ἦν ζύμωμά τι ἐν ᾧ ἀποματτόμενοι τὰς ἐκ τῶν βρωμάτων λιπαρὰ ῥύπη οἱ παλαιοί, ἐρρίπτουν κυσίν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν λίχνων καὶ παρασίτων, τό, κύων ζῶν ἀπὸ μαγδαλιᾶς. καὶ ὅτι τὸ μάττειν καὶ ἐπὶ τοῦ φυρᾶν ἄρτους τίθεται. ὅθεν καὶ ἡ μάζα, καὶ ἡ μαγίς. καὶ ὁ μάγος δέ, ἀπὸ τοῦ τοιούτου γίνεται ῥήματος. καὶ ὅτι τὸ εἰρημένον ἐκμαγεῖον, ἔκμαγμα λέγει ὁ κωμικός. καὶ ἐπιμασσάμενος, ἐφαψάμενος, ψηλαφήσας.

Ἐπιμάσσεται, ἐπαύξεται ἐπιπλέον, ἀπὸ τοῦ μάσσονος, ὅ ἐστι μακροτέρου. οἱ δέ, ἐφάψεται, ψηλαφήσει. ἢ οἷον οὐ λιμώσει, ἀλλὰ καὶ προσεπιμάσσεται πλείω, Σοφοκλῆς αἰχμαλωτίσιν.

Ἐπίμαστον, κακὸν ἐπίσπαστον, ἐφελκυσμένον, δεινόν.

Ἐπίμαστος, ἐπίληπτος, ὀχληρός, δραπέτης, πεινός, ζητῶν ἐπιζητῶν, ἐνδεής.

Ἐπὶ ματαίῳ, ἀντὶ τοῦ μάτην.

Ἐπιμαχεῖν λέγουσιν, ὅταν τοὺς ἐπιόντας ἀμύνωνται μόνον. συμμαχεῖν δέ, τὸ τοὺς ἐπιόντας μετ' ἐκείνων, οἷς συμμαχοῦσιν ἀμύνεσθαι.

Ἐπιμαχία, ἡ τοῖς ἀμυνομένοις βοήθεια.

Ἐπίμαχοι, ἐπίκουροι, βοηθοί.

Ἐπίμαχος, ὁ δυνάμενος πολεμεῖσθαι. οἱ δὲ ἐπορεύοντο ἐπὶ χωρίον, ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι.

Ἐπὶ μέγα τύχης, καὶ ἐπὶ μέγα δόξης, ἀντὶ τοῦ ἐπὶ μεγάλην τύχην καὶ δόξαν. καὶ ἐπὶ μέγα δυνάμεως, ἀντὶ τοῦ ἐπὶ μεγάλην δύναμιν, λέγουσιν οἱ Ἀττικοί.

Ἐπιμείλια, τὰ ἀπόθετα χρήματα.

Ἐπιμειλίξαι, δοῦναι.

Ἐπιμείλιον, τὸ ἐξώπροικον. καὶ ἐπιμειλίδες, αἱ νύμφαι.

Ἐπιμειλ[illegible]ς, αὐθυπότακτον.

Ἐπιμέλεια, ἡ σπουδή, ἡ φροντίς.

Ἐπιμελείας οἶκος, ἔνθα τὰ δημόσια ἔγγραφα ἔκειτο.

Ἐπιμέλεον, φροντίδος ἄξιον. Ἡρόδοτος, ὡς παρεξήει ἡ γνώμη, ἐπιμέλεον τῷ Δαρείῳ ἐγένετο.

Ἐπιμελὴς ὁ καθαρὸς ἄρτος. καὶ ὁ ἀγωνιστής, καὶ ὁ σπουδαῖος, ὁ ἐπιμέλειαν ἔχων.

Ἐπιμεληταὶ τῶν μυστηρίων παρ' Ἀθηναίοις, ὁ λεγόμενος βασιλεύς. Δημοσθένης κατὰ Μειδίου. καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, βασιλέως. ὁ δὲ βασιλεὺς πρῶτον μὲν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν. οὓς ὁ Δημοθένης ἐχειροτόνει, δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δὲ ἐξ Εὐμολπιδῶν, ἕνα δ' ἐκ κηρύκων. καὶ ἐπιμελητὰς ἐμπορίου, Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Ἀριστοτέλης, ἐμπορίου δ' ἐπιμελητὰς δέκα πληροῦσθαι. τούτοις δὲ προστέτακται, τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ ἀττικὸν ἐμπόριον, τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν.

Ἐπιμελόμενος, καὶ ἐπιμελούμενος, φροντίδος καὶ σπουδῆς ἀξιῶν.

Ἐπιμέλομαι κάλλιον, ἢ ἐπιμελοῦμαι. καὶ μεταμέλομαι, ἢ μεταμελοῦμαι.

Ἐπιμελοῦμαι, ἐπιμέλομαι, ἀντιποιοῦμαι. καὶ ἐπιμελοῦμαι τοῦ οἴκου, γενικῇ. οὐ τὸ ἐνεργητικὸν οὐκ ἐν χρήσει. οὐ γὰρ γράφεται ἐπιμελῶ, ἀλλὰ ἐπιμελοῦμαι παθητικῶς. ἔτι ἀμελῶ καὶ ἀμελοῦμαι. ὡσαύτως καὶ τὸ κήδομαι, γενικῇ.

Ἐπιμελούμενος, καὶ ἐπιμελόμενος, ἐπὶ τῆς αὐτῆς ἐννοίας καὶ συντάξεως. ὥσπερ εἰλούμενος, καὶ εἰλόμενος.

Ἐπιμελῶς, συνεχῶς, σπουδαίως.

Ἐπιμέμφεαι κασιγνήτοις παρ' Ὁμήρῳ, ἀντιπτωτικῶς κεῖται, ἀντὶ τοῦ κασιγνήτων. ὥσπερ τὸ δ' εὐχωλῆς ἐπιμέμφεαι. ἢ χρῄζεις ἀδελφῶν, ὡς μὴ ὄντων δηλαδή.

Ἐπιμέμφομαί σοι τοῦδε.

Ἐπιμέμφεται, ἐγκαλεῖ, ἐπιδεῖται, ἐπαιτιᾶται.

Ἐπιμερής, ἀριθμὸς οὕτω λέγεται, ὅταν ὁ μείζων τοῦ ἐλάττονος ὑπερέχῃ μέρει τινί.

Ἐπίμεροι, μοιχεύεται.

Ἐπιμεριζομένων, τετραχῶς σχηματιζομένων, τὸ μὲν ἕτερον καὶ ἄλλος ἐπιδέχεται ἄρθρον. τὸ δὲ ἑκάτερον, καὶ ἕκαστον, οὔ. πάντα δέ τοι πρὸς γενικὴν ἢ κτητικῶς, ἢ διαιρετικῶς. οἷον, ἕκαστον τῶν ζώων, ἕτερον τοῦ λίθου ἐστίν. ἐπιθετικῶς μέντοι καὶ ταῦτα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως, συντάσσεται τοῖς κυρίοις καὶ προσηγορικοῖς.

Ἐπίμεστα, πλήρη. τουτέστιν, ἐπικεφαλῆς καὶ μὴ ἀπηγμένα. Φερεκράτης, βριθομένων ἀγαθῶν ἐπιστατίζεις.

Ἐπιμετρίδα, τὸ ἐπίμετρον, ὃ προστάττεται τῷ χιτῶνι.

Ἐπιμετρούσης, ἐπιχορηγούσης. ὥσπερ ἐπιμετρούσης καὶ συναγωνιζομένης τοῖς γεγονόσι τῆς τύχης.

Ἐπιμήδεα χείρη, τὰ βουλεύματα ἐπικόπτει, ἢ τὰ ἔργα ἐπιτέμνει χειρί.

Ἐπιμηλίδα, Διοσκουρίδης μὲν ἐν τῷ πρώτῳ περὶ ὕλης, εἶδος μεσπίλου τὸ καὶ σιτάνιον ὀνομαζόμενον. ἔνιοι δὲ τὰ μῆλα, τὰ μικρά, τὰ ἄγρια, ἅπερ καὶ ἀμαμηλίδας ὀνομάζουσιν, παρὰ τῷ Ἱπποκράτει.

Ἐπιμηλίς, πόρπη, καὶ ἀπίου γένος.

Ἐπιμήνια. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἔοικεν εἶναι ἐπιμήνια, τὰ καθ' ἕκαστον μῆνα θυόμενα. ἢ τὰ ὑπὲρ ὅλου τοῦ μηνὸς ἅπαξ ποτὲ γιγνόμενα θύματα.

Ἐπιμήνιοι, οἱ ἱεροποιοί. ἐκαλεῖτο δὲ καὶ θυσία τις.

Ἐπιμίγνυμαι, τὸ ὁμιλῶ. ἐξ οὗ συμμεμιχέναι ἀντὶ τοῦ ὁμιλῆσαι. καὶ ἐπιμιξία, ἡ ὁμιλία. καὶ συμμιγνύναι, ὁμιλεῖν. μιγνύω δὲ καὶ ἐπιμιγνύω, καὶ συμμιγνύω, τὸ μίσγω.

Ἐπιμίξ, ἀναμεμιγμένως, κτείνονται ἐπιμίξ, καὶ μιγάδα ποιητικώτερον. ἔτι δὲ καὶ ἀναμίξ. ὀξύνεται δέ, διότι τὰ εἰς ιξ ἐπιρρήματα ὀξύνονται. οἷον, κουρίξ, ἀντὶ τοῦ ἐκ κουρᾶς, ἤτοι ἀπὸ τριχῶν. ἀπρίξ, ἐπιμίξ. σεσημείωται τὸ πέριξ.

Ἐπὶ μοῖραν, ἐπὶ θάνατον.

Ἐπίμονοι, κάτοικοι.

Ἐπιμόριος, ἀριθμός, ὑπερέχων ἑτέρου μέρους.

Ἐπίμορτος, σπόριμος γῆ, ἢ ἐπιμεριστή. λέγεται οὕτω, καὶ ὁ μέρει ἐργαζόμενος. μορτὴ γάρ, τὸ μέρος ἐκαλεῖτο. καὶ ἑκτήμοροι, οἱ τὸ ἕκτον τελοῦντες.

Ἐπιμορφάζονται, σχηματίζονται.

Ἐπιμοχθῆσαι, σὺν μόχθῳ ἐπιπονῆσαι.

Ἐπίμοχθον, ἐπίπονον.

Ἐπιμύλας, ἐπιγονατίας.

Ἐπιμυλίδα, τὴν ἐπιγονατίδα, τὴν λύμην, παρὰ τῷ Ἱπποκράτει.

Ἐπίμυξις, στεναγμός.

Ἐπιμύσας, καμμύσας, κλείσας.

Ἐπιμύω, τὸ καμμύω.

Ἐπιμωμητά, ποιητικόν. ἐπίψογος, κοινόν. ἐπιμωμητὰ παρ' Ἡσιόδῳ, ἤγουν πολὺ ψογοῦ ἀξία, ἐπίτασιν γὰρ ἔχει ἡ ἐπί.

Ἐπίνακτιν, τὸν ἐπιδιδόμενον ἔξω ναύτην.

Ἐπινάξαι, ἐπιτακτῶσαι.

Ἐπινάστειος, ξένος, φυγάς, μέτοικος.

Ἐπινειμάτω, ἐπαναγνώσω.

Ἐπινείμης, αὐθυπότακτον.

Ἐπίνειοι, οἱ παραθαλάσσιοι λιμένες, οἱ ἔχοντες οἰκήματα. καὶ ἐπίνειον, παραθαλάσσιον χωρίον, ὁ λεγόμενος κατάβολος, παρὰ τὸ ἐν αὐτῷ νήχεσθαι τὰς ὁλκάδας, καὶ ὀκέλλειν. ἢ πόλισμα παραθαλάσσιον, ἔνθα τὰ νεώρια τῆς πόλεώς εἰσιν.

Ἐπίνειον, μικρὸς λιμήν, λίμναι, καὶ αἱ περὶ αὐταῖς στοαί.

Ἐπινεύσεται, ἐπελεύσεται.

Ἐπινέμεσις, ἐπιμερισμός, ἢ ὁ τοῦ χρόνου μερισμός.

Ἐπινενασμέναι, πεπληρωμέναι.

Ἐπινένεκται, τέτρωται, συντέτριπται τὰς φρένας.

Ἐπινενησμένον, κεκλωσμένον. ὡς τό, ἐπινησθεῖσαν [illegible]λύσω.

Ἐπινενυγμένον, τὸ ἐπίστοπον.

Ἐπινενύχθαι, παραφρονεῖν.

Ἐπινεφρίδιον, τὸ ἐπὶ τῶν νεφρῶν λίπος.

Ἐπὶ νέωτα, εἰς τρίτον ἔτος.

Ἐπινήαται, ἐφέλκεται.

Ἐπινήσαντες, σωρεύσαντες, φρύγανα πρὸ τοῦ τείχους συγκομισάμενοι.

Ἐπινηθεῖσαν, ἀντὶ τοῦ ἐπικλωθεῖσαν.

Ἐπίνητρον, τὸ ἐπὶ τῶν γονάτων. ἀφ' οὗ τὴν κρόκην ἔνηθον.

Ἐπινίκια, τὰ ἐπὶ τῇ νίκῃ γέρα διδόμενα. καὶ νικητήρια ταῦτα.

Ἐπινίκιον, νικητήριον, βασιλέως σύμβολον.

Ἐπίνοια, ὅταν τις τὰ ὄντα ἐν τῇ διανοίᾳ θεωρῇ.

Ἐπινοίας, ἐκπνεύσεως, ἐπιχορηγίας, ἢ ἐνθουσιασμοῦ. Οἱ δὲ Ῥωμαῖοι, θείας τινὸς ἐπιπνοίας ἐπεπλήρωντο.

Ἐπινομίς, ἐν τοῖς ναυτικοῖς λέγεται.

Ἐπίνομοι, κληρονόμοι.

Ἐπινοῶ, αἰτιατικῇ συντάσσεται. Λουκιανός, Καλῶς εἶχε μὴ τοιαύτας ἀφορμὰς ἐπινοεῖν.

Ἐπίνυσσεν, ἤγουν ἐπαίδευσεν. ἀφ' οὗ καὶ πινυτής, ὁ συνετός. καὶ πινυτή, ἡ φρόνησις. καὶ πινύσσειν, τὸ φρονεῖν. καὶ ἀπινύσσειν, τὸ ἀφραίνειν. ποιητικὰ ταῦτα πάντα. καὶ ἐπίνυσσεν, ἐσωφρόνισεν.

Ἐπινύσκειν, διδάσκειν.

Ἐπινῶς, λίαν. αἰπεινῶς δέ, ἀντὶ τοῦ ὑψηλῶς, τὰ δύο δίφθογγα.

Ἐπίξενα, δίκη ἡ συνηγορική. ἐν ᾗ ὁ ἡττηθεὶς ἀπόλλυται.

Ἐπίξενος, ἐπιχθόνιος.

Ἐπιξενοδοκεῦμαι, ἐπιμαρτυροῦμαι.

Ἐπιξενοῦσθαι, μαρτύρεσθαι, πορεύεσθαι. Σοφοκλῆς Ἀχαιῶν συλλόγῳ, καὶ Αἰσχύλος Κρήσσαις.

Ἐπίξηνος καλεῖται ὁ μαγειρικὸς κορμός, ἐφ' οὗ τὰ κρέα συγκόπτουσιν. Ἀριστοφάνης.

Ἐπὶ ξυροῦ, ἐπὶ κινδύνου. ἐν τῇ αὐτῇ τοῦ πράγματος τάσει.

Ἐπίξυλον, τὸ ἐπὶ παραστροφίδι τοῦ ὑφαινομένου ἱματίου, καὶ τὸ παρ' ἐνίοις ἐπίκολπον.

Ἐπὶ ξυνῷ, ἐπὶ κοινῷ.

Ἔπιον οἴνου, καὶ ἔφαγον σίτου, Ἀττικοί, οὐδὲ σῖτον.

Ἐπιόντι, ἐπερχομένῳ.

Ἐπίορα, χωρίου μέρος ἐν Σικελίᾳ.

Ἐπιοραντής, τερπνόν, ἁρπαλέον.

Ἐπιορεξάμενος, ἐπιδών.

Ἐπιορκεῖν. ἡ ἐπὶ πρόθεσις ἐνταῦθα ἀντὶ τῆς ὑπὲρ κεῖται. καὶ δηλοῖ τὸ ὑπεράνω τῶν ὅρκων γίνεσθαι, καὶ ὑπερβαίνειν αὐτούς.

Ἐπιορκία, ψεῦμα.

Ἐπίορκον ὅρκον ὤμοσε, παρ' Ἀριστοφάνει, ἤγουν ἐπὶ ψεύδει ὤμοσεν, τουτέστιν ἐπιόρκησεν.

Ἐπίορκος, ὁ τῶν ὅρκων καταφρονῶν. εὔορκος, ὁ ἀντικείμενος τούτῳ.

Ἐπιόσσομαι, ἐφορῶ, προσαγορεύω, ἐπισημαίνομαι.

Ἐπιοσσόμενοι θάνατον καὶ φύζαν ἑταίρων. δηλοῖ στρυφνότητα, καὶ πάνυ γοργῶς περιεβλέποντο.

Ἐπίουρα, ὅρια, ὁρμήματα, παρὰ τὸ ὁρμῶ.

Ἐπίουροι, ἐπίσκοποι, καὶ ἧλοι ξύλινοι.

Ἐπίουρος, ὁ ἐφεστηκὼς φύλαξ, παρὰ τὸ ὁρῶ γίνεται ἐπίορος. καὶ ἐπενθέσει τοῦ υ ἐπίουρος. καὶ ἐπίουρος, εἰ μὲν προπερισπωμένως, περισσὴ ἡ πρόθεσις, οὖρος γάρ, ὁ φύλαξ. εἰ δὲ προπαροξυτόνως, πάλιν ὁ φύλαξ, ἀπὸ ξυλίνου ἐπιούρου.

Ἐπιοῦσα, ἐπερχομένη.

Ἐπιούσιος ἄρτος, ὁ τῇ ἑκάστῃ οὐσίᾳ ἡμῶν ἁρμόζων, ἢ καθημερινός.

Ἐπιοψόμενος, ἐπιδών, ἐπιλέξας.

Ἐπιόψεσθαι, πάνυ ἀκριβῶς ἐπισκέψασθαι.

Ἐπιόψομαι, ἐπικρινῶ, ἐπιλέξω. καὶ ἐπιόψομαι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ πάνυ προσεκτικῶς περιβλέψω. καὶ δηλοῖ ἐπίτασίν τινα ἡ πρόθεσις.

ἢ ἐπιό-

Digitized by Google

ἢ ἐπιόψομαι, ἀκριβώσασθαι ἐπιτηρήσω, διακρινῶ, ἐπιλέξομαι. ὡς καὶ ἐν Ὀδυσσείᾳ, νῆα ἐπιόψομαι ἥτις ἀρίστη.

Ἐπίπαγος, τὸ ἐπὶ τῶν ἑψομένων, ἢ γραῦς.

Ἐπιπαίζειν, τὸ μὴ θύειν φρατρίαν. Λάκωνες.

Ἐπίπαιμα, ἐπίπταισμα, πρόσκομμα.

Ἐπιπαιωνίζουσα, ἀλαλάζουσα.

Ἐπὶ Παλλαδίῳ, δικαστήριόν ἐστιν οὕτω καλούμενον. ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ ἐφέται. ἔχει δὲ καὶ τὸ δικαστήριον τὴν τοῦ Παλλαδίου ἐπωνυμίαν καὶ οἱ δικασταὶ τὴν τῶν ἐφετῶν ἐντεῦθεν. Ἀγαμέμνονος μετὰ τῶν Ἀργείων σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήναις ἐξ Ἰλίου, Δημοφῶν ἁρπάζει τὸ Παλλάδιον, καὶ πολλοὺς τῶν διωκόντων ἀναιρεῖ. Ἀγαμέμνων δὲ δυσχεράνας, δίκην τὸν ἁρπάσαντα ἀναιρεῖ, καὶ συνίσταται τὸ κριτήριον ἐπὶ πεντήκοντα μὲν Ἀθηναίων, πεντήκοντα δὲ Ἀργείων, οὓς ἐφέτας ἐκάλεσαν, παρὰ τὸ ἀμφοτέρων ἀφεθῆναι αὐτοῖς τὰ τῆς κρίσεως.

Ἐπίπαν, ἀντὶ τοῦ ὁλοτελῶς. Θουκυδίδης, τοιοῦτον ἦν ἐπίπαν τὴν ἰδέαν.

Ἐπίπαξ, συντόμως.

Ἐπίπαππος, ὁ τοῦ πάππου πατήρ.

Ἐπὶ παρασπίζεως, ἐν πολέμῳ.

Ἐπιπαρένησαν, ἀντὶ τοῦ ἐσώρευσαν. Θουκυδίδης, ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν, ἐπιπαρένησαν.

Ἐπὶ πασσάλῳ ἀνακρεμάσαι, παροιμία, τὸ ἀμελῆσαι. ἀπὸ πασσάλου δὲ λαβεῖν, τὸ ἐπιμεληθῆναι. ὁποῖον δή τι καὶ Εὐριπίδης τὸ ξυστὸν δ᾽ ἐπὶ πασσάλῳ. ἔχει δέ τινα πρὸς ταῦτα ὁμοιότητα, καὶ Ἡσιόδου τὸ ὑπὲρ καπνοῦ θεῖναι πηδάλιον. ὡς δὲ καὶ πάσσαξ ὁ πάσσαλος λέγεται καθ᾽ ὑποκορισμὸν, ἡ κωμῳδία οἶδεν. Ἰστέον δὲ, καὶ ὅτι γλῶσσά τις κυνδάλους λέγει τοὺς πασσάλους, καὶ κυνδαλοπαίκτας τοὺς πασσαλίσκους. ὅθεν καὶ παιδιά τις διὰ πασσάλων γινομένη, κυνδαλισμὸς ἐλέγετο.

Ἐπιστάσας, ἑταίρας ἐπώνυμον.

Ἐπίπαστα λείξας. Ἀριστοφάνης, τὰ ἐπιπασσόμενα τῷ ἔτνει ἄλευρα. ἔτνος δὲ, ἣν ἀθάραν ἔλεγον, καὶ τὸ πίσινον ἕψημα. τὰ δὲ ἄλφιτα δημοσίᾳ πιπράσκεται. ἔθος δὲ εἶχον ποιεῖν πλακοῦντας, ἢ ἄρτους, καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα ἁλμυρά. καὶ διὰ τοῦτο ἔφη τὰ ἐπίπαστα Ἀριστοφάνης.

Ἐπίπεδον, τὸ ἰσόπεδον. ἡ ἐπιφάνεια, ἐξ ἴσου ταῖς ἐφ᾽ ἑαυτῆς εὐθείαις κειμένη.

Ἐπιπείθηται, πειθῇ.

Ἐπιπεῖραι, ἐπιδιαπεῖραι. ἢ ἐπιληστεῦσαι, καὶ πειρατικῇ βλάβῃ.

Ἐπιπείρει, μοιχεύεται, ἢ μοιχεύει.

Ἐπιπελανίαι, ὀλαὶ, καὶ πόπανα.

Ἐπὶ πελοπίσει, ἐπὶ ταχείᾳ.

Ἐπιπέμπειν, τὸ μετ᾽ ἐπιθέσεως, καὶ σὺν ἐπιτιμήσει, καὶ σωφρονισμῷ πέμπειν. οἷον φρικώδη μοι τὸ θεῖον ἐπιπέμπει ὀνείρατα. δοτικῇ συντάσσεται. εἰσπέμπειν, προπέμπειν, καὶ προπέμπειν, ταυτὸ δηλοῖ κυρίως, ἐπὶ τῶν προαγωγῶν. οὓς οἱ ἐρῶντες ἐπὶ τὰ παιδικὰ πειρώμενοι πέμπουσιν ὑπὲρ τοῦ τυχεῖν.

Ἐπίπεμπτον. Λυσίας μὲν ἀντὶ τοῦ ἁπλοῦ, τὸ ἐπίπεμπτον εἶπεν.

Ἐπιπεσεῖν, τὸ ἐπιθέσθαι καὶ τὸ περιπεσεῖν θλίψεσιν, ἢ τοιούτοις τισίν.

Ἐπίπιπται, φθίνει, καὶ συμπίπτει.

Ἐπιπηχῆ, τῶν πηχῶν τὰ ἄνω.

Ἐπιπίασιν, ἐπιπάσσειν.

Ἐπίπλα, τὴν μὴ βαθεῖαν κτῆσιν, ἀλλ᾽ ἐξ ἐπιπολῆς λέγουσιν οἱ Ἴωνες. ἢ ἔπιπλα, τὰ ἐν τῇ οἰκίᾳ σκεύη. ἢ οἷον ἐπιπόλαιος κτῆσις, καὶ μετακομίζεσθαι δυναμένη. ἢ τὰ ἐξ ἐπιπολῆς σκεύη, οἷον ἡ ἐπιπόλαιος κτῆσις, καὶ ὅση δυνατὴ πλωΐζεσθαι, ἀλλ᾽ οὐκ ἔγγειος. ἢ τὰ σκεύη τὰ ἐν χερσὶ καὶ χειρώδη, οἷον τὰ ἐπιπόλαια. καὶ ἐπιπολάζοντα ἐν τῇ οἰκίᾳ, διὰ τὸ ἑκάστοτε ἐν χερσὶν εἶναι. ἢ ἔπιπλα, τὰ ἱμάτια. ἀπὸ τοῦ πέπλον, ἔπιπλον. καὶ τὰ ἐλαφρότατα τῶν κτημάτων οὕτω φασὶ, παρὰ τὸ ἐπιπολάζειν.

Ἐπὶ πλακὸς, ἐπὶ μνήμης πάσης.

Ἐπίπλαστρ, πλακοῦντος εἶδος.

Ἐπιπλέα, ἀνάμεστος, πεπληρωμένη. Ἡρόδοτος, Καὶ τράπεζαν ἐπιπλέην ἀγαθῶν παντοίων παραθέντες.

Ἐπιπλέγοι, ἐπόψεται.

Ἐπιπλεῖ, ἐπιπλέα.

Ἐπιπλέον, καὶ ἐπιπλεῖστον, ἐπίρρημα. ἐπιτοπλεῖστον δὲ, ἐπιπλεῖον.

Ἐπίπλευρα, τὰ παρὰ τοῖς μαστοῖς ὑπὸ τὰς μασχάλας.

Ἐπιπλήξειν, ἐπελθεῖν, ἐπιτιμῆσαι, ὑβρίσαι.

Ἐπίπληξις, ἡ ἐπιτίμησις.

Ἐπιπλήσσω, τὸ λοιδορῶ, δοτικῇ. ἐπιπλήσσω δὲ, τὸ τύπτω, αἰτιατικῇ.

Ἐπιπλόμεναι, παραγενόμεναι, καὶ ἐπελθοῦσαι. καὶ ἀλλαχοῦ ἐπιπλομένην, ἀντὶ τοῦ ἐπελθοῦσαν, ἢ περασσομένην.

Ἐπιπλομένων, κυκλουμένων, πληρουμένων, ἐπερχομένων.

Ἔπιπλον, ἐπίπλοιον. ὁ πιμελώδης ὑμὴν ἐπὶ τῆς κοιλίας, καὶ τῶν ἐντέρων, ἐπίπλους λεγόμενος.

Ἐπίπλους, τὸ λῖπος. ἀπὸ τοῦ ἐπιπολῆς καὶ ἐξεπιπολῆς εἶναι. ἢ ἐπίπλους, ὡς Θουκυδίδης, ἑκατὸν πεντήκοντα νηῶν ἐπίπλουν ἐξαρτύοντες οἱ Ἀθηναῖοι πρὸς τὸν πόλεμον. ἢ ἐπίπλους, ἐπιβάτας. Ἀρριανὸς, κυβερνήτας δὲ καὶ πρωράτας, μόνους ἐπίπλους εἶχον.

Ἐπιπλώς, μετοχή ἐστι κατὰ ἀποκοπὴν τοῦ ἐπιπλώσας, ὡς ἀρέσκει τοῖς παλαιοῖς. οὐ γὰρ διδόασιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ πλῶμι ῥήματος γίνεται.

Ἐπιπλώσας, ἀντὶ τοῦ ἐπιπλευσάσας. ἐκ τοῦ πλέω γίνεται πλώω, καὶ ἐπαυξήσει τοῦ ο πλώω βαρύτονον. ὁ ἀόριστος, ἔπλωσα. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, ἐπίπλωσα, καὶ συγκοπῇ ἔπλως.

Ἐπιπνείουσι, ζῶσι, πνέουσιν.

Ἐπιπνεῦσαι, ἐφορᾶν, ἐπισκοπεῖν.

Ἐπιπνεύων, ἐπιβλέπων. Αἰολικῶς.

Ἐπιπνοίας, ἐπιπνεύσης.

Ἔπιπνοι, οἱ ὑπὸ θεοῦ κατεχόμενοι.

Ἐπιπόδα ἀναχωρεῖ, ἀντὶ τοῦ εἰς τοὐπίσω ἀναστρέφει.

Ἐπιπόθησίς ἐστιν, ὄρεξις ἐπιτεταμένη πρὸς τὸ ποθούμενον.

Ἐπιποθία, ἡ ἀγάπη.

Ἐπιπόλαια, οὐ τὰ φαινόμενα ἔνδοξα, ἀλλ᾽ ἐπιπόλαιον ἔχοντα παντελῶς τὴν φαντασίαν. ἐπιπόλαιον δέ ἐστι, πᾶν τὸ ἐκ βραχείας ἐπιστασίας ἐλεγχόμενον.

Ἐπιπόλαιον, τὸ ἐπιπλέον ἐπάνω.

Ἐπιπόλαιος, ἤγουν ἐπὶ τῆς ἐπιφανείας. ἀφ᾽ οὗ ἐπιπολάζειν, ἐπὶ τῶν μὴ καταδυομένων ἐν τοῖς ὕδασι. καὶ ἐπιπολάζει ἐνταῦθα ἀδικία, ἤγουν ἐπιχωριάζει. ἢ ἐπιπόλαιος, ἀντὶ τοῦ οὐ βαθὺς τὸν τρόπον. ὡς τὸ, ἐπιεικὴς μὲν τὸν τρόπον, ἁπλούστερος δὲ τὰ ἤθη, καὶ ἐπιπόλαιος.

Ἐπιπολά, οὕτως ἐν Λακεδαίμονι ἡ Δημήτηρ ἱδρυμένη τιμᾶται.

Ἐπιπολαιοτέρων, τῶν μὴ βαθέων.

Ἐπιπολάς, τὰ ὤνια. τοὺς δὲ Ῥωμαίους θαρρεῖν συνέβαινε, κρατοῦντας τοῦ περὶ τὰς ἐπιπολὰς τόπου.

Ἐπιπολάσαντες, ἐπάνω τοῦ ὕδατος περιφερόμενοι.

Ἐπιπολνίδες, αἱ περόναι, αἷς αἱ γυναῖκες περονῶνται.

Ἐπιπολῆς, οὐκ ἐξ ἐπιπολῆς, χωρὶς τοῦ ἐξ. ἢ ἐπιπολῆς, τὸ ἐπάνω ἐπιπλέον, ἄρριζον.

Ἐπιπολιαῖος Ἑρμῆς ἐν Ῥόδῳ, ὡς Γόργων ἱστορεῖ.

Ἐπιπόλισον, ἐποικοδόμησον.

Ἐπίπολος, οὐ δουλικὸν ὄνομά ἐστι. δηλοῖ γὰρ τὸν μέχρι τέλους πολοῦντα, καὶ παραμένοντά τινι. οἷον σὺ μὲν ἐμὸς ἐπίπολος ἔτι μόνιμος. ἴσως δὲ ἔχοι ἂν ἀπορίαν, διατί μὴ ὥσπερ πρωτότοκος ἐν σημασίᾳ παθητικῇ ὁ πρῶτος τεχθεὶς προπαροξυτόνως, πρωτοτόκος δὲ ἐν παροξυτονήσει ἡ πρώτως τεκοῦσα, οὕτω κατὰ διαφορὰν σημασίας παθητικῆς τε καὶ ἐνεργητικῆς ἀμφίπολος μὲν τὸ πέρας, ὁ ἀμφιπολούμενος. προπαροξύνεται δὲ εὐλόγως, εἰς ὃ ἀναλύεται. ἀμφιπόλος δὲ, ἡ ἀμφιπολοῦσα, πρὸ μιᾶς ἔχει τὸν τόνον, διὰ τὴν ἐνέργειαν, ἣν δηλοῖ.

Ἐπιπολλῶν, ἀντὶ τοῦ πολλαπλασίως.

Ἐπὶ πολλῶν ἐστι τοῦτο μανθάνειν, ἀντὶ τοῦ ἐν πολλοῖς.

* Ἐπιπολαὶ, χωρίον ἀπόκρημνον προσεχὲς Συρακούσαις.

Ἐπίπονον, χαμαιπετὲς. ἢ Ζεὺς ἐν Μιλήτῳ.

Ἐπιποντία, ἡ Ἀφροδίτη.

Ἐπιπόνως, κοπηρῶς, ἢ χαλεπῶς.

Ἐπιπόρπημα. πόρπη μέν ἐστιν ἡ ἄνωθεν τῆς χλαμύδος σύνθεσις. ἐπιπόρπημα δὲ, τὸ ἐπὶ τῇ πόρπῃ προκόμισμα λίθινον, ἢ χρυσοῦν, ἢ ἀργυροῦν.

Ἐπὶ πότμῳ, ἐπὶ θανάτῳ.

Ἐπιπραξάμενοι, ἐπὶ τοῖς προτέροις ἐπιπραξάμενοι σπονδὰς ἀνενεώσαντο.

Ἐπιπρεπείαις, στολαῖς εὐπρεπέσιν. ὁ δὲ Ἀννίβας κατεσκευάσατο περιθετὰς τρίχας, ἁρμοζούσας τῶν ἡλικιῶν ἐπιπρεπείαις.

Ἐπιπρέπει, δοτικῇ. οἷον ὁ ὀφθαλμὸς ἐπιπρέπει τῷ προσώπῳ.

Ἐπιπρηνὲς, ἐπὶ κάτω κατεστραμμένον.

Ἐπιπρηνὴς, ἐπίστομα, λοξὸς, ἐπικλινὴς, ἐπ᾽ ὄψιν.

Ἐπιπρίων, τοὺς ὀδόντας τρίζων.

Ἐπιπροέμεν, δύναται καὶ μιᾷ προθέσει ἀρκεῖσθαι. καλὸν οὖν καὶ τὸ ἐφεῖναι, καὶ τὸ προεῖναι ἰὸν τῷ μενελάῳ παρ᾽ Ὁμήρῳ, κρεῖττον μέντοι τὸ ἐπιπροεῖναι, ἵνα ἡ μὲν ἐπὶ πρόθεσις, τὴν κατὰ σημαίνῃ, καθὰ καὶ ἐν τῷ, δαιμονίη τί μοι ἐπέχεις. ἡ δὲ πρὸ τὴν πρὸ τῶν ἄλλων δηλώσει βουλήν.

Ἐπιπροῆλθεν, ἐξέτεινε, παρέθηκεν.

Ἐπίπροικα, τὸ δεύτερον ἐπὶ προικὶ δῶρον.

Ἐπίπροικος, ἡ ἐπὶ μοίρᾳ τινὶ τοῦ κλήρου, καὶ ἡ ἐπὶ προικὶ ἐκδοθεῖσα ἀδελφοὺς ἔχουσα.

Ἐπιπρομολοῦσα, περιττεύει ἡ πρόθεσις, ὡς ἐν τῷ ἐπιβουκόλος.

Ἐπιπρόρους, τὰς μὴ κατὰ πρύμναν προσεσχηκυίας.

Ἐπιπροθεῖ, ἐμποδίζει, ἐπίκειται. ἢ ἐπιπροθεῖ, ἐπισκιάζει.

Ἐπίπροσθεν, ἔμπροσθεν.

Ἐπιπροθοῦντο, ἐπὶ πρύμνην ἀνεκρούοντο, καὶ ὤκελλον τὰς ναῦς. κατὰ πρύμναν ὑπεχώρουν οὐκ ἐπιστραφέντες, καὶ ἐξέκλιναν τῶν πολεμίων τὰς ἐπιούσας ναῦς.

Ἐπὶ πρυτανείῳ, δικαστήριον. ὅταν τὸ μὲν ἀποκτεῖναν βέλος, ἢ λίθος, ἤ τι τοιοῦτον ᾖ φανερὸν, ὁ δὲ δράσας, μή. ἀρχαῖον γὰρ ἔθος, τὸ καὶ τὰ ἄψυχα χειρίνειν, εἰ χρὴ ἐξορίζεσθαι.

Ἐπιπτάρνυμαι, μετακαλῶ, κατέχω. ἐπισχετικὸν γὰρ, ὁ πταρμὸς πολλάκις.

Ἐπίπτερον, εἶδος βοτάνης, παρὰ Θεοφράστῳ.

Ἐπιπτέσθαι. πετῶ, καὶ κατὰ συγκοπὴν πτῶ, πτῆμι. ὁ ἀόριστος ἔπτην, ὁ μέσος ἐπτάμην, ἔπτασο, ἔπτατο, τὸ ἀπαρέμφατον πτάσθαι. καὶ τροπῇ τοῦ α εἰς ε πτέσθαι, καὶ ἐπιπτέσθαι. τοῦ πτῆμι ὁ παρακείμενος πέπτακα, καὶ πέπταμαι. ἢ ἀπὸ τοῦ πέτω βαρυτόνου, ὁ β΄. ἀόριστος ἔπετον. ὁ μέσος, ἐπετόμην, ἐπέτου, ἐπέτετο. τὸ ἀπαρέμφατον πέτεσθαι, καὶ συγκοπῇ πτέσθαι.

Ἐπιπτέσθαι, ὅ ἐστι πετάσαι. χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι. ἔοικε δὲ τῇ κινήσει τοῦ χέεσθαι. ὡς γὰρ ἐχόμην χέεσθαι, οὕτω καὶ ἐπτόμην πτέσθαι, οἷον περιχαρὴς δ᾽ ἀνεπτόμην. δῆλον δὲ, ὡς ἔστι καὶ ἐπτάμην ἀόριστος. ἐξ οὗ καὶ τὸ, Τίς γάρ ποτ᾽ ἀρχὴ τοῦ κακοῦ προσέπτατο. καὶ ἀπαρέμφατον, παρά γε Εὐριπίδῃ τὸ διαπτάσθαι.

Ἐπιπτύξαι, ἐπερεῖσαι.

Ἐπὶ πυγὴν καθίσαι, ταπεινῶσαι. ἢ ἐπὶ πυγὴν τρέχειν, εἰς τοὐπίσω τρέχειν.

Ἐπιπυργίτις, ἡ Ἀθηνᾶ. οὕτως ἐν Ἀβδήροις ἐκαλεῖτο.

Ἐπιπωλεῖται, ἐπιπορεύεται.

Ἐπίρεγμα, ἐπιθυμία.

Ἐπιρέκων, ἐπιπαιδεύων.

Ἐπὶ

Ἐπὶ ῥητοῖς γέρασιν, ἐπὶ φανεραῖς τιμαῖς, ἐπὶ ὁμολογουμέναις.

Ἐπὶ ῥιγμῖνι, ἐπὶ τῷ αἰγιαλῷ.

Ἐπιρνύτις, Ζεὺς ἐν Κρήτῃ.

Ἐπίροθος, βοηθὸς, καὶ ἐπιταῤῥοθος.

Ἐπιῤῥαπίζων, κωλύων. καὶ τὸ ὑφ' ἑαυτοῦ βούλεσθαι, τὴν πρᾶξιν ἐπιῤῥαπίζων ἄρα ἐκεῖνος.

Ἐπιῤῥεῖ, ἤγουν ἐπιχεῖται. λέγεται δὲ τὸ χεῖσθαι καὶ τὸ ῥεῖν κυρίως, ἐπὶ ὕδατος. ἀπὸ τούτου, καὶ ἐπὶ παντὸς ἁπαλοῦ καὶ λείου. ὅθεν καὶ ἐσθὴς λέγεται ἁπαλὴ καὶ ἐπιῤῥέουσα.

Ἐπιῤῥεῖν, τὸ πυκνὰ ἔρχεσθαι ἄλλ' ἐπ' ἄλλοις. Φιλόστρατος, τὸ δὲ ἀμφὶ τὸν Ἥφαιστον πῦρ ἐπιῤῥεῖ τῷ ὕδατι, καὶ ὁ ποταμὸς ἀλγεῖ, καὶ ἱκετεύει τὸν Ἥφαιστον αὐτός.

Ἐπιῤῥέζεσκον, ἐπετίθεσαν, ἔθυον.

Ἐπιῤῥέξαι, θύσαι. καί σοι ἐπιῤῥέξαι γοργὸν χιμέροιο νομαίης αἷμα.

Ἐπιῤῥέπει, ἐπιβαρεῖ, ἐπικρατεῖ, ἐπιστήκει, ἐπικρέμηται.

Ἐπιῤῥέπῃ ὄλεθρος, ἀντὶ τοῦ κάτω βαρύνῃ. ἔχει δὲ τὴν ἀρχὴν καὶ τὸ ἀσφαλὲς ἡ λέξις, ἐκ τῶν ταλάντων τοῦ Διός.

Ἐπιῤῥεπὴς, ἐμβριθεστέρα.

Ἐπιῤῥεπῶς, ἐπικλινῶς.

Ἐπίῤῥεσις, ψόγος.

Ἐπιῤῥήδην, ἀναφανδὸν, φανερῶς. ἢ ἐπιῤῥήδην, φανερώτερον, παῤῥησιαστικώτερον, οἱονεὶ ἀναφανδὸν, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐπίῤῥημα πρὸς τὰ ῥήματα ἔχει τὴν σύνταξιν. καὶ αἰεὶ ῥήματι προηγεῖται, ἢ ἐφέπεται. οἷον καλῶς καὶ εὐσεβῶς καὶ δεόντως πεποίηκας. καὶ γράφω καλῶς, πλὴν τοῦ κλητικοῦ ἐπιφθέγματος, καὶ τῶν σχετλιαστικῶν καὶ θαυμαστικῶν καὶ τῶν θετικῶν. τὸ μὲν γὰρ ὦ πρὸς κλητικὴν, ὦ φίλε πόλε. τὰ δὲ πρὸς γενικὴν, φεῦ τῶν κακῶν, ἢ τοῦ μεγέθους. τὰ δὲ πρὸς δοτικὴν ἢ αἰτιατικὴν, οἷον γραπτέον ἡμῖν, γραπτέον ἡμᾶς. τὰ μὲν οὖν θαυμαστικῶς συντάσσεται γενικῇ, οἷον φεῦ τοῦ μεγέθους. τὰ δὲ ῥηματικῶς εὖ ἔχει, τὰ δὲ συναμφοτέρως πόῤῥω ἡμῶν οἰκεῖ. τὰ δὲ ῥηματικῶς ἢ πτωτικῶς, οἷον ἐξ ἀνάγκης καὶ συναμφοτέρως.

Ἐπίῤῥημα ἐν τῇ παραβάσει ἤτοι κωμῳδίᾳ ὀνομάζεται, διὰ τὸ ἐπιῤῥέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατὰς, καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς, ἢ σκώπτειν τοὺς πονηρούς. ὥσπερ παρὰ τῷ Ἀριστοφάνει ἐν νεφέλαις, ὦ σοφώτατοι θεαταί. ἢ ἐπίῤῥημα, μέρος τι τῆς κωμῳδίας. Ἀριστοφάνης, εἰ μετ' ὀρνίθων τις ὑμῶν, ὦ θεαταὶ βούλεται διαπλέκειν ζῶν ἡδέως, τὸ λοιπὸν ὡς ὑμᾶς ἴτω. ὅσα γάρ ἐστιν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατούμενα, ταῦτα πάντ' ἐστὶ παρ' ἡμῖν ὄρνισι καλά.

Ἐπιῤῥημάτων τῶν τοπικῶν, τὰ μὲν δηλοῦσι στάσιν. τὰ δὲ κίνησιν εἰς τόπον, καὶ ἐκ τόπου. τὰ δὲ ἐνίοτε μὲν κίνησιν, τὰ δὲ στάσιν. καὶ τὰ μὲν δηλοῦντα ἀεὶ στάσιν, εἰσὶ ταῦτα. ἔνδον, ἐντὸς, καὶ ἔνδοι, ποιητικῶς τὸ αὐτό. ὅπη, καὶ ὅπου, διὰ τοῦ η. οἴκοι, καὶ ἔνθα καὶ ἕτερα. τὰ δὲ δηλοῦντα κίνησιν ἀεὶ, εἰσὶ ταῦτα. οἴκαδε, καὶ ποιητικῶς οἴκονδε τὸ αὐτὸ, καὶ οἴκοθεν, Ἀθήνηθεν, ἐκεῖσε, ἐκεῖθεν. ὅθεν, ἄποθεν, οὐρανόθεν, ἔνθεν, ὅποι διὰ τοῦ ο καὶ ι. καὶ ἁπλῶς ὅσα εἰς θεν λήγει, ἢ εἰς δε, ἢ εἰς ο καὶ ι. τὰ δὲ, ἐνίοτε μὲν δηλοῦντα κίνησιν, ἐνίοτε δὲ στάσιν. οἷον ἄνω, κάτω, ἔξω, πόῤῥω, χαμαὶ, δεῦρο, ὧδε, τῇδε, καὶ ἕτερα.

Ἐπιῤῥήματα τὰ διὰ τοῦ οθεν, εἰ μὲν ἀπὸ ὀνομάτων γίνεται, διὰ τοῦ ο μικροῦ γράφεται. καὶ δηλοῦσι τὴν ἐκ τόπου κίνησιν. οἷον, οὐρανόθεν, παντόθεν, κυκλόθεν. τὸ δὲ κύκλωθεν, ὡς ἀπὸ τοῦ κύκλῳ γινόμενον διὰ τοῦ ω μεγάλου γράφεται. πλὴν τοῦ ἑτέρωθεν, ἑκατέρωθεν, καὶ ἀμφοτέρωθεν. εἰ δὲ ἀπὸ ἐπιῤῥημάτων, ἄμφω δηλοῦσι, καὶ κίνησιν καὶ στάσιν. ταῦτα τὰ εἰς θεν ἐπιῤῥήματα ἐν ἑαυτοῖς ἔχουσι τὴν ἀπὸ πρόθεσιν, καὶ οὐ δύνανται αὖθις ληφθῆναι. οἷον, ἀπ' οὐρανόθεν, ἢ ἀπὸ παντόθεν, ἢ ἀπὸ κυκλόθεν. ἀλλὰ οὐρανόθεν, παντόθεν, ὡς τὰ ἄνω εἰρημένα.

Ἐπιῤῥήματα γίνεται, ἐκ πάντων τῶν τοῦ λόγου μερῶν, καὶ ἐκ πασῶν ἁπλῶς πτώσεων. Ἀττικοὶ μάλιστα καὶ ἰδίως ταῦτα ποιοῦσιν ἀπὸ τῆς ἑνικῆς δοτικῆς τῶν θηλυκῶν ὀνομάτων. ἔστι μὲν οὖ προσηγορικῶν. ὡς τὸ, κομιδῇ, παῤῥησίᾳ. ἔστι δὲ οὐ, ἐπιθέτων. ὡς τὸ ἰδίᾳ, δημοσίᾳ. καὶ ἔτι ἄρθρων, καὶ ἀντωνυμιῶν, ὡς τὸ καθά. καὶ ταύτῃ, τὸ οὕτως. καὶ ἀπὸ αἰτιατικῆς τῶν οὐδετέρων ἑνικῆς τε, καὶ πληθυντικῆς. ἑνικῆς μὲν τῶν ἀπολύτων, καὶ συγκριτικῶν, πληθυντικῆς δὲ, τῶν αὐτῶν ἀπολύτων, καὶ ὑπερθετικῶν. καὶ τὸ μὲν συγκριτικὸν ὄνομα πρὸς ἓν μόνον τὴν σύγκρισιν ἔχει. τὰ δὲ ὑπερθετικὰ, πολλῶν προέχει.

Ἐπιῤῥήξας, ἄγριος αὐτοῖς ἐπιπηδήσας.

Ἐπιῤῥήσσειν, τὸ ἐπιτιθέναι ἤτοι ἐπιβάλλειν. ὅθεν παρῆκται ὁ ἐπιβολεὺς, οὐκ ἀνάπαλιν τὸ ἄπωθεν μὲν γὰρ κάτω ἐπιῤῥήσσεται, κάτωθεν δὲ ἄνω ἀπωθεῖται. ὡς δῆλον ἐκ τοῦ ἄποθεν ὀχῆας.

Ἐπίῤῥησις, ὁ ψόγος, καὶ ἡ κατηγορία.

Ἐπιῤῥήσσεσκον, ἐπεσπῶντο, ἐνεβάλλοντο, ἐπέκλειον μεθ' ὁρμῆς.

Ἐπίῤῥηται, ἐπικατάκειται.

Ἐπίῤῥητοι, αἰσχροὶ, καταγνώσεως ἄξιοι, ἐπίψογοι.

Ἐπίῤῥητον, ἐπίψογον, αἰσχρόν.

Ἐπίῤῥητος, ἐπὶ κακῷ λεγόμενος, ἐπ' αἰσχρότητι.

Ἐπιῤῥιπίσκοντο, ἔπραττον.

Ἐπιῤῥόγανον, ἀπόμακτρον.

Ἐπῤῥοὴν, ἐπίῤῥοιαν ὑδάτων.

Ἐπιῤῥόθησαν, ἐπήχησαν, ἐπεβόησαν.

Ἐπιῤῥόθητα, ἐπίψογα.

Ἐπιῤῥοθεῖ. ἐπιῤῥοθεῖν κυρίως τὸ τοῖς κυσὶν κελεύειν καὶ ἐρεθίζειν, καὶ τὸ τῇ νηῒ συνεργεῖν. παρὰ τὸ ῥόθιον, ὅ ἐστι τὸ κῦμα.

Ἐπίῤῥοθος, ἐπίκουρος, βοηθὸς, οἱονεὶ ὁ ἐπιῤῥωνύων καὶ ἐπικελεύων, ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ θήρᾳ ἐπιῤῥωννυμένων κυνῶν, ὑπὸ τῶν θηρώντων. ἔστι δὲ πρωτότυπον τοῦ ἐπιτάῤῥοθος. καὶ ἐπίῤῥοθος βουλὴ, ἡ ὠφέλιμος.

Ἐπιῤῥοίζειν, ἐπιπιέζειν, ἐπισείειν, ἐπικελεύειν.

Ἐπιῤῥοπῆς, ἐπὶ μικροῦ.

Ἐπιῤῥύσασα, ἐπιθεμένη, ἐπιστάξασα.

Ἐπιῤῥυθμίζει, διατυποῖ, ἐπανορθοῦται.

Ἐπιῤῥύζειν, κύνας ἐπαφιέναι καὶ παρορμᾶν.

Ἐπιρυγχίδα, γαμψώνυχα.

Ἐπιῤῥωγολογοῦσι, καλαμῶνται τὸν ἀμπελῶνα.

Ἐπιῤῥωνὺς, ἐπισχύων, ἐκ τῆς ῥώσεως, ἢ ῥώμης.

Ἐπιῤῥώννυσιν, ἰσχυροποιεῖ.

Ἐπιῤῥώπια, ἐπιστολή.

Ἐπιῤῥωσθῆναι, ἐπιθέσθαι, ἐπισωθῆναι, ἐπείγεσθαι.

Ἐπίῤῥωσις, βεβαίωσις, διόρθωσις, ὑγεία.

Ἐπ' ἴρῳ, ἦρα φέρων λέγει ὁ ποιητὴς, ἤγουν χάριν.

Ἐπίσακτον, ἀλλότριον.

Ἐπισαλονημένη, ἐπικεκινημένη.

Ἐπίσαλος, ἀβέβαιος, εὐμετάπτωτος.

Ἐπίσαμον, λευκόν.

Ἐπισάξαι, ἐπαναβῆναι ἐπὶ τὸν ἵππον.

Ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις. αἱ τὴν σελήνην καθέλκουσαι Θετταλίδες, λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν στερίσκεσθαι. εἴρηται οὖν ἡ παροιμία, ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.

Ἐπισαχθὴς, χρεωφειλέτης.

Ἐπισείειν, ἐκφοβεῖν, ἀνατείνεσθαι. καὶ ἐπισείει αἰγίδα ἐρεμνὴν, παρ' Ὁμήρῳ, σειστὸν Διὸς ὅπλον τὴν αἰγίδα εἶναι δηλοῖ. οὐ μὴν βλητικὸν, οὐ γὰρ βάλλει. σειομένη δὲ ἐκφοβεῖ. ἐρεμνὴν δὲ λέγει, τὴν σκοτεινὴν, ἀπὸ τοῦ ἔρεβος. οὕτω δὲ ἀπὸ τοῦ σέβω γίνεται τὸ σεμνὸν, τροπῇ τοῦ β εἰς μ. περὶ τῆς αἰγίδος δὲ ἐνταῦθα τοσοῦτον μόνον ῥητέον, ὅτι τὸ ἐρεμνὸν τῆς αἰγίδος νέφος ὑπεμφαίνει αὐτὴν εἶναι πυκνὴν καὶ καταιγιδώδη.

Ἐπισεῖσαι, ἐπενεγκεῖν. παρεκάλουν μὴ χαλεπώτερον αὐτοῖς ἐπισεῖσαι τὸν κίνδυνον.

Ἐπίσειστος, εἶδος κουρᾶς.

Ἐπισέληνα πόπανα μηνοειδῆ.

Ἐπισέπτυλον, ἐπίσαξον.

Ἐπίσηγμα, ἐπεγκέλευμα κυσίν.

Ἐπίσημα, τὰ ἐπὶ προτώπῳ σημεῖα, καὶ τὰ ἐπιφανῆ εὔμορφα, καὶ τὰ ὑπερέχοντα.

Ἐπισημαίνεσθαι, ἀντὶ τοῦ ἐπαινεῖν. καὶ ὡς τῇ συνηθείᾳ λέγομεν ἐπιφωνεῖν.

Ἐπισημεὺς, ἐπὶ ὕψους.

Ἐπισημήνασθαι, βεβαιῶσαι, κυρῶσαι. ἐπισημηνάμενον δὲ τῶν ἐκ τῆς Ἑλλάδος πρεσβευτῶν.

Ἐπίσημον, τὸ ἔχον σημεῖόν τι, ὃ χωρίζει αὐτὸ ἀπὸ τῶν ἄλλων. καὶ ἐπίσημον ἀργύριον, τὸ κεχαραγμένον. καὶ ἄσημον, τὸ μὴ κεχαραγμένον. καὶ παράσημον, τὸ παρακεχαραγμένον. ἀπὸ τούτων δὲ ἐπίσημος, διάδηλος ἁπλῶς. καὶ ἄσημος, ὁ ἄδηλος, καὶ ἀφανής. καὶ παράσημος, ὁ βεβλαμμένος.

Ἐπίσημος, ἔνδοξος, ἐπιφανής.

Ἐπίσθιον, σκέπασμα περὶ τὸν τράχηλον.

Ἐπισίδιον, ἐπισιτιζόμενον.

Ἐπισίζει. Λυκόφρων, καὶ οἱ περὶ Ἐρατοσθένην, τὸ ἐπαφιέναι τοὺς κύνας. ἐπισίζειν, ἀπὸ τῆς ἐπιφθέγξεως οὖν ἐπισίζειν. καὶ τὸ ἐπιῤῥύξαι ὁμοίως ἐφορμῆσαι τῇ φωνῇ.

Ἐπισινὲς, βλαβερόν.

Ἐπισίνιος, ἐπίβουλος.

Ἐπίσιον, τὸ ἐφήβαιον, καὶ τὸ αἰδοῖον τοῦ ἀνδρός τε καὶ τῆς γυναικός. ἀπὸ τοῦ σία, τὰ ξηρά. ξηρὸν γάρ ἐστιν. ἢ παρὰ τὸ εἰσιέναι.

Ἐπίσιστον, τὸ συρίζοντας ἐποτρύνειν τοὺς κύνας ἐπὶ τὰ ἔργα ἐν τοῖς κυνηγεσίοις, Ἐπίσιστον καλεῖται.

Ἐπισιτεῖν, κυνηγετικῶς παρορμᾶν.

Ἐπισιτία, τὰ εἰς τροφὴν, καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα. ταῦτα δὲ ἐνίοτε καὶ σιτίον ἐκάλουν.

Ἐπισιτισμὸς, διάθρεψις, τροφή.

Ἐπισιτίσασθαι, φαγεῖν.

Ἐπίσιτος, ὁ τροφῆς χάριν ἐργαζόμενος.

Ἐπισίφλιον, αἰσχρὸν, μωμητόν.

Ἐπισκαλμὶς, τὸ ὑπὸ τῷ σκαλμῷ σανίδιον.

Ἐπισκαφεὺς, ὁ μετὰ τὸν ἀροτῆρα ἐπισκάπτων.

Ἐπισκαφία, ἑορτὴ, παρὰ Ῥοδίοις.

Ἐπὶ σκέλος, εἰς εἰς τὰ ὀπίσω.

Ἐπισκέπτει, ἐπιβλέπει, ἐφορᾷ.

Ἐπισκέπτομαι, τὸ προμηθεύομαι, καὶ κήδομαί τινος. ἄνευ δὲ προθέσεως τὸ ἀναλογίζομαι καὶ μελετῶ.

Ἐπισκευασάμενοι, εὐτρεπισθέντες.

Ἐπισκευάσασθαι, ἐπιφορτίσασθαι.

Ἐπισκήνια, ἑορτὴ ἐν Λακεδαίμονι.

Ἐπισκήνιον, τὸ ἐπὶ τῆς σκηνῆς καταγώγιον.

Ἐπισκήπτω, ἀντὶ τοῦ ἐντέλλομαι καὶ προστάττω, καὶ ἐπιτιμῶ, καὶ ἐπιπλήττω. δοτικῇ Ἀττικῶς συντασσόμενα. ἐπισκήπτομαι δὲ οὐχ εὕρηται μετὰ προθέσεως, ἀλλὰ σκήπτομαι μόνον ἀντὶ τοῦ προβάλλομαι ψευδεῖς προφάσεις. ἢ ἐπισκήπτω, τὸ ἐντέλλομαι, καὶ ἐξορκίζω, καὶ μετά τινος ἐπιθειασμοῦ ὑποτίθημι. καὶ ἐπισκήπτω ἀντὶ τοῦ μέμφομαι, προνοοῦμαι, ἐντέλλομαι, ἐπιτιμῶ. τίθεται ἡ λέξις καὶ ἐπὶ κεραυνοῦ. οἷον ἐπισκήπτει κεραυνὸς, ἀντὶ τοῦ κατατιμωρᾷ.

Ἐπισκῆψαι, διὰ λόγων. ἐπιστεῖλαι, διὰ γραμμάτων λέγομεν.

Ἐπίσκηψις, δίκη κατὰ τῶν ψευδομαρτυρησάντων, καὶ ἡ πρόφασις.

Ἐπισκήψω, παραγγείλω. καὶ ἀντὶ τοῦ σημειώσομαι, καὶ ἐπιστήσω τὸν νοῦν.

Ἐπισκιάζω, αἰτιατικῇ συντάσσεται. οἷον, τὸν ἕκαστον βίον ἐπισκιάζουσα.

Ἐπισκιασμὸν, κάλυμμα.

Ἐπισκλήροις, τοῖς κατεσκληκόσι, παρὰ τῷ Ἱπποκράτει.

Ἐπίσκοος, ἐπίσκοπος.

Ἐπίσκοπα, εὔστοχα. τὴν ἄφεσιν τῶν βελῶν κατ' ἴσον βιαίαν, καὶ ἐπίσκοπα ἱέναι.

Ἐπισκοπὴ, ἐκδίκησις.

Ἐπισκοπήσας, ἐποπτεύσας.

Ἐπίσκοποι, ἐπόπται, κατάσκοποι. ἐπίσκοποι, καὶ φύλακες ἐκαλοῦντο, οἱ παρ' Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι. οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον.

Ἐπισκότησις, τὸ ἐπισκεῖσθαί τινι καὶ ἀποτειχίζειν τὸ φῶς.

Ἐπισκοτῶ, σω, τὸ ἐπιπροσθῶ. ὡς ὅταν ἡ σελήνη ἐν ταῖς ἡλιακαῖς ἐκλείψεσιν ἐπισκοτῇ τὸν Ἥλιον.

Ἐπισκύζονται, ὀργίζονται.

Ἐπισκύνιον, τὸ ἐπικείμενον ταῖς ὀφρύσι δέρμα, ἤτοι τὸ ὀφρύδιον. ὡς τὸ, Γυμνώσαντα βίη

Digitized by Google

παντὸς ἐπισκυνίον. ἢ ἐπισκύνιον, τὸ ἐπικείμενον τῷ μετώπῳ. ἢ ἡ αἰδώς. ἢ τὸ τοῖς ὀφθαλμοῖς δέρμα τὸ ἐπάνω τῶν ὀφρύων. ἐπισκύνιον δὲ κατὰ μετάθεσιν τοῦ λ εἰς ν. σκύλος γὰρ λέγεται τὸ δέρμα. ὅθεν καὶ σκυλοδέψης.

Ἐπίσκυρος, ὁ μετὰ πολλῶν σκαρισμός. καὶ ἄρχων βραβευτὴς, βοηθὸς, ἐπίσκοπος, ἔφορος, ἐπήκοος.

Ἐπίσμη, ἐπιχεῖ, ἐπιξύει. σμῆξαι δέ ἐστι, τὸ τὸν ῥύπον ἀποξῦσαι.

Ἐπισμυγεῖν, ἐπικόπτειν, ἐπικωλύειν.

Ἐπισμήχει, ἐπιτρίβει. ἀπὸ τοῦ σμήχειν, ἢ τρίβειν, ἢ πλύνειν. λοιδορεῖ, πλήττει. σμῶξαι γὰρ, τὸ πατάξαι. ἔνθεν, σμῶδιξ αἱματόεσσα.

Ἐπισμυγερῶς, ἐπιπόνως.

Ἐπισμυκτὸν, ἐπιμυκτηρισμόν.

Ἐπὶ σοὶ, κατὰ σοῦ.

Ἐπίσομαι, ἐπελεύσομαι.

Ἐπισπασάμενος, ἐφελκύσας. ὁ δὲ ἐπισπασάμενος τῆς κώμης, τοῦτον χρείνειν ἔμελλεν.

Ἐπισπάσειν, ἀντὶ τοῦ ἐπισπάσασθαι, ἤγουν λήψασθαι. τοῦ γὰρ τὸ μεταλαμβάνω, καὶ συντάσσεται γενικῇ. ἤγουν, ἔσπασε τοῦ ὕδατος. ἐπισπῶμαι δὲ, τὸ λαμβάνω, καὶ συντάσσεται αἰτιατικῇ

Ἐπισπάσθω, τὸ δέρμα ἑλκυέτω. ἀποστολικὴ ἡ λέξις.

Ἐπισπαστῆρες, τῶν θυρῶν τὰ προσηλωμένα σιδήρια, δι' ὧν ἀνακλίνεται καὶ ἐπιτίθεται ἡ πύλη.

Ἐπίσπαστον κακὸν ὁ ποιητὴς λέγει, τὸ αὐθαίρετον. ὅτις καθ' ἑαυτοῦ ἐπισπᾶται. καθ' ὁμοιότητα ὥς φασι ζώων δελεαζομένων, καὶ ἐπισπωμένων ἑαυτοῖς ὄλεθρον, ὃς δὴ καὶ οὐ μόνον κατὰ δέλεαρ γίνεται, ἀλλά ποτε καὶ διὰ θυμόν. οὕτω γὰρ καὶ σῦς, καὶ ἄρκτος πίπτει, καὶ λέων καὶ πάρδαλις, ἐξὸν δὲ διεκφυγεῖν τὸ κακὸν, εἰ μὴ ἐπεσπῶντο αὐτό.

Ἐπίσπαστον, τὸ ἐπὶ τῆς ἀγχόνης καὶ τοῦ βρόχου ἐπισπᾶσθαι. καταχρηστικῶς δὲ, καὶ τὸ ἑκούσιον, ὃ ἑαυτῷ τις ἐπισπᾶται.

Ἐπίσπαστρον, βρόχον.

Ἐπίσπε, εἶπε.

Ἐπισπεῖν, ἐπακολουθεῖν.

Ἐπισπεῖρα χοινίον, ἐπὶ τῶν προσφερόντων τοῖς ἔχουσιν ἐπιπλείονα. ἐπειδὴ καὶ αἱ σπεῖραι, ἐξ ὧν καὶ τὰ χοινία εἰσίν.

Ἐπίσπειρον, σχοινίον τὸ ἀναγκαιότατον. ἐν γὰρ χειμῶσι τοῖς χοινίοις πιστεύουσι. δηλοῖ οὖν τοὺς ἀναγκαίους φίλους.

Ἐπισπέρχεις, ἤτοι σπεύδεις. ἔστι δὲ καὶ ἀσπερχὲς, τὸ πολυσπούδαστον ὃ περισπερχὲς λέγει Σοφοκλῆς, κατὰ ἐπίτασιν. ἁπλοῦν δὲ αὐτοῦ ῥηθὲν, οὐ τὸ σπερχὲς, ἀλλὰ τὸ σπερχνόν.

Ἐπίσπῃ, ἀντὶ τοῦ ἐπίσπηται. ὡς ἔφεπεν, ἀντὶ τοῦ ἐφείπετο. δηλοῖ δὲ τὸ ἐφέπεσθαι, τὸ ἀκολουθεῖν, καὶ τὸ διώκειν, καὶ ἀπὸ τούτου, τὸ καταλαμβάνειν. ἐφέπω ἐνεστὼς, ἔφεσπον ἀόριστος δεύτερος, ἀφ' οὗ ὑποτακτικὸν ἐπίσπω, τὸ τρίτον ἐπίσπῃ.

Ἐπίσπῃ, ἕψεται.

Ἐπισπόμενοι θεοῦ ὀμφῇ, ἤγουν θεόθεν ὀτρυνθέντες.

Ἐπισπόμενος, ἐπακολουθῶν. ἐπισπώμενος δὲ, ὁ προσλαμβάνων καὶ ἐπισύρων, μέγα.

Ἐπίσπορα, τὰ λάχανα.

Ἐπισπουδάζει, ἐπιπλήττει, ἐπισπέρχει.

Ἔπισσα, ὕστερον γενομένη, νεωτέρα.

Ἐπισσεύσας, ἐφορμήσας.

Ἐπισσεύουσα, παρακελεύουσα.

Ἐπίσοχον, ἀκόλουθον.

Ἔπισσον, τὸ ὕστερον γενόμενον.

Ἐπισσυτέρη, ὁρμητικωτέρα, ταχεῖα, τομωτέρα.

Ἐπίσσωτρα, οἱ ἐκτὸς τῶν τροχῶν σιδήρεοι κύκλοι, οἱ ἐπὶ τὴν γῆν κυλιόμενοι, σῶτρον καὶ ἐπίσσωτρον, πλεονασμῷ, τοῦ σ. εἴρηται δὲ ἀπὸ τοῦ σῶ, τὸ ὁρμῶ.

Ἐπισσώτροις δατέοντο, ἤτοι ἐμέριζον, τουτέστι τοῖς τῶν τροχῶν κανθοῖς κατέκοπτον διερχόμενοι ἄνω τοῦ νεκροῦ. καὶ νῦν μὲν τὸ δατεῖσθαι ταυτόν ἐστιν ὡς τῷ οἱονεὶ δατρεύειν.

Ἐπισταδὸν, ἀντὶ τοῦ ἐπιστατικῶς, καὶ ἀμετακινήτως, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ. ἢ ἐμπείρως, καὶ κατὰ τάξιν, ὡς τὸ ἐπισταδὸν ἐφεστῶτες.

Ἐπισταθμευόμενοι, εἰς τοὺς ἑαυτῶν οἴκους δεχόμενοι.

Ἐπισταθμία, ὑποδοχὴ ξένων.

Ἐπίσταθμοι, ἄρχοντές τινές εἰσι. παρὰ τὸ ἐν σταθμοῖς εἶναι ὠνομασμένοι. σταθμοὶ δέ εἰσιν, αἱ καταγωγαί. ἁρμοστὰς δὲ τοὺς τοιούτους Λακεδαιμόνιοι καλοῦσιν.

Ἐπίσταλμα, ἔνταλμα, ἐντολὴ, ἢ ἐπιστολή. ἐπίσταλμα βάρβαρον, ἐπιχωριάζων Ἀλεξανδρεῦσι. καί τοι οὐ μόνον τὸ ἐπεσταλκέναι, ἀλλὰ καὶ τὸ ἐπεστάλθαι ἐστὶ, παρὰ τοῖς παλαιοῖς.

Ἐπίσταμαι, γινώσκω. εἴδω τὸ γινώσκω. τὸ δεύτερον ἐπίστασαι, ὡς δύναμαι δύνασαι, παρίσταμαι παρίστασαι. καὶ ἐπίσταμαι, ἀντὶ τοῦ δύναμαι κεῖται παρὰ τῷ Ἀριστοφάνει. οὐκ ἐπίσταμαι, εἴρηται παρὰ τὴν παροιμίαν, πεζῇ βαδίζων σκάπτειν οὐκ ἐπίσταμαι.

Ἐπιστάμενος φόρμιγγος καὶ ἀοιδῆς κατὰ γενικὴν συνταχθὲν, ὁμοίως τῷ εἰδέναι καὶ τῷ γνῶναι. ἃ καὶ αὐτὰ οἴδασι παρὰ τῷ ποιητῇ καὶ τὴν μετὰ γενικῆς σύνταξιν. τὸ ἀοιδῆς, ἀκριβῶς πρόσκειται. ἐπίσταται μὲν γὰρ φόρμιγγος καὶ τέκτων αὐτός. τὸ δὲ καὶ ἀοιδῆς, μόνον ἐστὶ τοῦ ἀοιδοῦ.

Ἐπιστάμενον ἄνδρα, τὸν σπουδαῖον, ἤτοι ἀγαθόν. ἀφ' οὗ γέγονεν ἀφορμὴ τοῖς ὕστερον, τοῦ λέγειν ἐπιστήμας τὰς ἀρετάς.

Ἐπισταμένως, ἐμπείρως, δυνατῶς, ἐπιστημόνως, συνετῶς. ἢ ἐπισταμένως καὶ περιφραδέως, ταυτὸν, παρ' Ὁμήρῳ δηλοῦσιν.

Ἐπιστασίαν, προστασίαν, παραμονήν.

Ἐπίστασις, γνῶσις, καὶ ἡ προσοχὴ, καὶ ἡ μίμησις. ὁ δὲ Ἀσδρούβας πέφυκεν ἡμῖν ἄξιος εἶναι ἐπιστάσεως, καὶ ζήλου. καὶ ἐπιστασία, προστασία.

Ἐπιστὰς, ἐγγὺς ἐλθὼν, δοτικῇ συντάσσεται. καὶ ἐπιστὰς, ὁ προστασίαν ἐγχειρισθείς. ὅθεν καὶ ἐπιστάτης.

Ἐπιστάται, οἱ σατράπαι, οἱ κατέχοντες βουλῇ τὰς ὑποκειμένας πόλεις. δύο ἦσαν Ἀθήνησιν. ὧν ὁ μὲν ἐκ πρυτανείων ἐκληροῦτο, ὁ δὲ ἐκ προέδρων. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς, ἐν ᾧ τὰ δημόσια χρήματα. ἔτι μὴν, καὶ τὴν δημοσίαν σφραγῖδα. λέγεται δὲ καὶ ὁ ἐφεστηκὼς εἰς πρᾶγμα ὁτιοῦν, ῥηματικῶς. λέγεται δὲ καὶ ὁ ἐφιστάμενός τινι, καὶ ἐπαίτης, παρὰ τὸ ἐφίστασθαι.

Ἐπιστατέον, ἐπανοδευτέον, γνωστέον.

Ἐπιστάτην, τὸν ἐπαίτην λέγει Ὅμηρος, ἐν Ὀδυσσείας ρ, παρὰ τὸ ἐφίστασθαι. οἱ δὲ παλαιοὶ τὴν λέξιν καὶ ἐπὶ παιδαγωγοῦ καὶ παιδοτρίβου οἴδασι τιθέσθαι. ὁ δὲ τοιοῦτος ἐπιτιμητὴς ἂν λεχθείη ποτὲ, κατὰ τὸ ὁ ἐπιτιμητής γε τῶν ἔργων βαρύς. καὶ γυμνασίου δέ φασιν ἐπιστάτης, ὁ ἐπιμελητής. ἐνταῦθα δὲ μνηστέον τοῦ γραμματικοῦ Ἀριστοφάνους, εἰπόντος οὕτω ῥητῶς. ἐπιστάτης ἐπὶ μόνου τοῦ χυτρόποδος δοκεῖ τοῖς πολλοῖς τάττεσθαι, καὶ τοῦ μεταιτοῦ, ὡς παρ' Ὁμήρῳ. ἀγνοοῦσι δὲ, ὅτι καὶ ὁ παιδοτρίβης οὕτω καλεῖται.

Ἐπιστάριος, Ζεὺς ἐν Κρήτῃ.

Ἐπιστατὴρ, τὸ στόμα τῆς νεώς.

Ἐπιστατῆρες, ἀγορανόμοι, καὶ οἱ τῶν πλοίων νομεῖς.

Ἐπιστάτης θηλυκῶς, χαλκοῦς τρίπους χυτρόποδος ἐκτελῶν χρείαν. οἱ δὲ πήλινον Ἥφαιστον, πρὸς ταῖς ἑστίαις ἱδρυμένον, ὡς ἔφορον τοῦ πυρός. ἔνιοι δὲ καὶ ξύλον ἐπίμηκες πεπασσαλωμένον, ὅθεν ἐξαρτῶσι τὰ μαγειρικὰ σκεύη. Καλλίστρατος, ἐπιστάτην, τὸ τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον ἐν ταῖς ἐσχάραις, ὥσπερ ἐν ταῖς καμίνοις τὸν Ἥφαιστον ἀναπλάττουσιν, ἄλλως. ὁ ἐπιστάτης, ξύλον ἐστὶ κόρακας ἔχον, ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ἐργαλεῖα. οἱ δὲ τρίποδα χαλκοῦν, ᾧ ἐπιτιθέασι λέβητα ὑποκαιόμενον. οἱ δὲ ἀνδριάντα πήλινον πρὸς ταῖς ἐσχάραις.

Ἐπιστάτης Ἀθήνησιν, ἐκ τῶν πρυτανείων εἷς, ὃς ἐπιστατεῖ νύκτα καὶ ἡμέραν μίαν. πλείω χρόνον οὐκ ἔξεστιν, οὐδὲ δὶς τὸν αὐτὸν γενέσθαι. τάς τε κλεῖς, ἐν οἷς τὰ χρήματά εἰσι, φυλάττει, καὶ γράμματα τῆς πόλεως, καὶ τὴν δημοσίαν σφραγῖδα. κληροῖ καὶ προέδρους ἐξ ἑκάστης φυλῆς ἕνα, πλὴν τῆς πρυτανευούσης, καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα. ἕτεροι δὲ ἐπιστάτην φασὶ, ξύλον τι πασσάλους πολλοὺς ἔχον, ἐξ οὗ οἱ μάγειροι ἐπικρέμων τὰ κρέατα, τὰ ἐργαλεῖα. ἄλλοι δὲ ἐπιστάτην οἴδασί τινα πήλινον πλαττόμενον παρὰ ταῖς ἐσχάραις, ὥσπερ παρὰ ταῖς καμίνοις Ἡφαίστους πλάττουσιν. ἢ ἐπιστάτης, λέγει Ἀριστοφάνης ὁ γραμματικὸς, ἐπὶ μόνου τοῦ χυτρόποδος δοκεῖ τοῖς πολλοῖς τάττεσθαι, καὶ τοῦ μεταιτοῦ, ὡς παρ' Ὁμήρῳ. ἀγνοοῦσι δὲ, ὅτι καὶ ὁ παιδοτρίβης οὕτω καλεῖται. παιδαγωγὸς γὰρ λέγεται, καὶ ἐπιστάτης, ὁ τοῦ γυμνασίου ἐπιμελητής.

Ἐπιστεῖ, ἐφιστεῖ.

Ἐπιστείβων, περιπατῶν.

Ἐπιστεῖλαι, ἀντὶ τοῦ ἐντείλασθαι. Ἀριστοφάνης, Ἡ σελήνη ἐντυχοῦσα ἡμῖν, ἐπέστειλε φράσαι, πρῶτα μὲν χαίρειν Ἀθηναίοις. καὶ Θουκυδίδης, ἐπιστείλαντες τὰ πρέποντα εἰπεῖν.

Ἐπιστέλει, μέμψει, ἢ πέμψει.

Ἐπιστέλλει, ἐντέλλεται, ὑποτίθεται. νῦν ἐπιστέλλει σαφῶς τοὺς αὐτοέντας χρὴ τιμωρεῖν.

Ἐπιστέλλω, καὶ ἀποστέλλω σοι. Ἰστέον, τὰ ἐπισταλτικὰ καὶ ἀποσταλτικὰ ῥήματα πάντα μετὰ δοτικῆς συντάσσονται. καὶ τὰ τῆς σχέσεως, δοτικῇ συντάσσονται. οἷον τύπτω σοι τὸν ἄνθρωπον, καὶ ποιῶ σοι τόδε, ἀντὶ τοῦ χάριν σου ποιῶ τόδε.

Ἐπίστιος, ὁ ἔποικος, παρὰ Ἡροδότῳ.

Ἐπιστεύξῃ, ἐπιτύχῃς.

Ἐπιστέφει, κεραυνύει, οἰκοδομεῖ.

Ἐπιστεφέας οἴνοιο, ἐπιστεφανομένους.

Ἐπιστεφεῖς, πλήρεις, κρεμάμενον.

Ἐπιστέφεσθαι κρατῆρας ποτοῦ, λέγει Ὅμηρος, τὸ μέχρι τοῦ χείλους ἐμπιπλᾶν. ἢ μᾶλλον ὑπερχειλεῖς ποτοῦ τοὺς κρατῆρας ποιεῖν. ἐκ τούτου δὲ καὶ κρατῆρες ἐπιστεφέες οἴνου, παρὰ τῷ τὴν γλῶσσαν χρυσῷ. Ἰστέον δὲ, ὅτι τὸ ἀνάπαλιν τοῦ ἐπιστέψαι, τὸ ἐκστέψαι Παυσανίας φησίν. ἐκεῖνο μὲν γάρ ἐστι πληρῶσαι ποτοῦ, τοῦτο δὲ ἐκκενῶσαι. ἐδήλου δέ φησιν ἐκστέψαι καὶ ἀποθέσθαι τι, ἐκ μεταφορᾶς τῶν τὰ στέμματα ἀποτιθεμένων.

Ἐπίστη, ἀόριστος δεύτερος, ἀντὶ τοῦ ἐπίστασο, ἢ ἐπιτίθει. ἀπὸ τοῦ ἐπίσταμαι, ἐπίστασαι, ἐπίστεαι. τροπῇ τοῦ α εἰς ε, καὶ κατὰ κρᾶσιν τοῦ ε, καὶ α εἰς η, γίνεται ἐπίστη.

Ἐπιστήγματα, ἐπικελεύσματα. Σοφοκλῆς Ἀθάμαντι, ἐπισκαλάματα.

Ἐπίστηθι, γνῶθι. ἢ ἐπίστηθι, ἐπενέχθητι, ἐπιτέθητι. ὡς ὁ Ἀπόστολος, ἐπίστηθι εὐκαίρως ἀκαίρως.

Ἐπιστήματα, στῆλαι ἐπιτάφιοι. σεμνῶς τε καὶ σοβαρῶς ἐπιστήματα ἐπέστησαν.

Ἐπιστήμη, ἐπιστημοσύνη, γνῶσις, ἐπιστημονικὴ γνῶσις, ἀλήθεια, κατανόησις, διάσκεψις, θεωρία, ἐμπειρία, τέχνη, εὐτεχνία, ὀρθοδοξία. ἡ ἐπιστήμη ἐστὶ, νοῦ στάσις περὶ τὸ ὄν. ἢ ἐπιστήμη τῶν ὄντων ἑκάστου ὅλου διηκριβωμένη περίληψις. ἐπιστήμη ἐστὶ, νοερὰ ἐνέργεια ὑπὸ ἀπταίστου λόγου συνεχομένη, καὶ τῶν ὄντων τοὺς ὅρους περιοδευομένους καὶ κυκλικῶς ἐξελίττουσα. ἐπιστήμη ἐστὶν, ἕξις ἀρίστη λογικῆς ψυχῆς, βαθέως ἐνορῶσα τὰ πράγματα, καὶ εἰς ἐπιτηδεύσεις ἀστείας τὰς ἐνοράσεις κρατύνουσα. τήν τε γὰρ τῶν σχημάτων ποικιλίαν κατιδόντες, εἰς γεωμετρίαν παρεσκευάσμεθα, καὶ τὴν τῶν ἀριθμῶν τάξιν εἰς ἀριθμητικὴν ἀναγόμεθα, καὶ τὴν τοῦ παντὸς κίνησιν εἰς ἀστρονομίαν παιδευόμεθα. ἁρμονικῆς τε, καὶ ῥυθμητικῆς, καὶ μετρικῆς ἁρμονίαν τε καὶ εὐμέλειαν θεασάμενοι, μᾶλλον δὲ κατακηλήσαντες, ἐν περινοίᾳ μουσικῆς καθιστάμεθα.

Ἐπιστημονικώτατος, σοφὸς, ἀκριβής.

Ἐπιστήμονος, τοῦ ἐμπείρου.

Ἐπίστημος, ἐπιστατικὴ, συνοῦς, ἐφεκτική. παρὰ τῷ Ἱπποκράτει.

Ἐπιστήμων, εἰδήμων, γνωστικὸς, σοφός.

Ἐπιστῆναι, φανῆναι, ἐπικήδειν.

Ἐπιστῆξαι, ἐφορμῆσαι.

Ἐπίσταται, γινώσκεται.

Ἐπίστιον, ὡς ἄν τις εἴποι ἐποίκιον. Ἰώνων δὲ λέξις, διὸ ψιλοῦται. καὶ ἐπίστιος παρὰ Ἡροδότῳ, ἀντὶ τοῦ ἐφέστιος. καὶ Ἀθηναίων ἐπίστια. γίνεται δὲ ἀπὸ τῆς ἱστίης, ἥτις ὁμοίως τῇ ἑστίᾳ δασύνεται. αὐτὴ μὲν ἀπὸ τοῦ ἕστασθαι. ἀπὸ τοῦ ἱστάναι δὲ ἡ ἱστία λέγεται. τὸ ἐπίστιον, καὶ νεώριον καὶ νεῶν περιεκτικῶς, καὶ νεῶν οἶκοι. καλοῦνται δὲ καὶ οἱ αἰγιαλοὶ νεῶνες, καὶ οἶκοι νεῶν. Αἴλιος δὲ Διονύσιος λέγει, ὅτι Ἴωνες μὲν νεῶνάς φασιν. Ἀττικοὶ δὲ νεοσοίκους καὶ νεώ-

Digitized by Google

καὶ νεώρια. οἱ δὲ αὐτοὶ καὶ νεωρεῖν φασι, τὸ ναυφυλακεῖν.

Ἐπίσιον, στρατιωτικὸν κατάλυμα. Ἡρόδοτος, ὁ δ᾽ ἀγηλατέει τὰ ἐπίσια τῶν Ἀθηναίων.

Ἐπίσιος παρὰ Ἡροδότῳ, ὁ ἔποικος.

Ἐπὶ στίχας, κατὰ τάξεις, ἢ κατὰ τὸ ἑξῆς.

Ἐπιστιχθεῖσαν, παρασημειωθεῖσαν.

Ἐπιστοβέεσκον ἔπεσιν, ἐλοιδοροῦντο, ὕβριζον, Ἀπολλώνιος.

Ἐπιστοβέωσι, χλευάσωσι, λοιδορήσωσι, μωμήσονται.

Ἐπιστόδιον, ἐποίκιον.

Ἐπιστολάδην, ἀντὶ τοῦ κοσμίως, καὶ ἀνεσταλμένως.

Ἐπιστολή, ἐπίσκεψις, ἐντολή. ὁ δὲ τῷ ἱερεῖ ἐπιστολὰς λέγει καθεύδοντι. καὶ Κρατῖνος, ἄκουε νῦν καὶ τὴν ἐπιστολήν. καὶ ὁ Πλάτων, μεμνημένη τῆς τοῦ πατρὸς ἐπιστολῆς, οἱ ξυστήσαντες ἡμᾶς.

Ἐπιστολεῖς, γραμματοφόρους. ὁ δὲ Ναρσῆς ἐπιστολεῖς πρὸς Ἰωάννην πέμπει.

Ἐπιστομιεῖν, ἐμποδίσαι, καταχεῖν.

Ἐπιστομίζειν, κατασιγάζειν, ἐπὶ τοῦ στόματος ἔχειν. μηδὲ φωνὴν ἐᾶν παριέναι, παρὰ τῷ Ἀριστοφάνει.

Ἐπιστραβής, ὄχημα, ἀκινδύνως φέρον.

Ἐπίστραπτα, ἀποπίπτοντα τῶν πεμμάτων, καὶ ἕρματα.

Ἐπὶ στρατόν, ἐπὶ στρατιάν.

Ἐπιστρέφεια, ἡ ἀγχίνοια. ἐπιστρεφὴς ὢν καὶ ἀγχίνους, ὅμως μέν τι εὐπαράγωγον ἐπεδείκνυτο.

Ἐπιστρέφεται, φροντίδα ποιεῖ. καὶ ἐπιστροφή, ἡ ἀντίληψις.

Ἐπιστρεφέως, ἐπιμελῶς. παρὰ τῷ Ἡροδότῳ, καὶ ἀπαιτητικῶς.

Ἐπιστρέφομαι ἐγώ. ὡς Πλάτων, ἐπιστραφεὶς Κλεινίαν ὁρῶ τὸν Ἀξιόχου. καὶ ἐπιστρέφω ἕτερον, οἷον τὰς ἁπάντων ὄψεις εἰς ἑαυτὸν ἐπιστρέψας.

Ἐπιστρέφω, λέγεται μὲν καὶ τὸ ἐπισπῶμαι καὶ ἐφέλκομαι εἰς ἑαυτόν, ἤτοι διὰ χαρίτων τινῶν, ἢ καὶ πιθανῶν λόγων εἰς ἑαυτὸν ἐπιστρέφω. λέγεται δὲ κοινῶς ἐπιστρέφω, καὶ τὸ ἀνακαλοῦμαι, καὶ διορθοῦμαί τινα παρὰ τὸ δέον ποιοῦντα, ἢ λέγοντα. οἷον ὁ δεῖνα τὸν δεῖνα πολλὰ πρὸς ἀρετὴν συντείνοντα παραινέσας ἐπέστρεψεν, ἀντὶ τοῦ διωρθώσατο.

Ἐπιστροφάδην, τὸ ἐπιστρεπτικῶς. ἤγουν ὧδε καὶ ἐκεῖ, καὶ ὡς εἰπεῖν κύκλωθεν ἢ πάντοθεν.

Ἐπιστροφῆς, ἀμύνης. καὶ κοινῆς αὐτοὺς ἐπιστροφῆς ἔφη τάξασθαι. καὶ ἡ συνέλευσις, ἢ τὸ πλῆθος, καὶ ἡ συνάθροισις. Ἀριστοφάνης, μυρίαι κακῶν ἐπιστροφαί.

Ἐπίστροφος ἦν ἀνθρώπων, ἁρμόττει ἀνθρώπῳ φιλοξένῳ, ἢ ἄλλως ἐνδόξῳ. ἔστι δὲ τὸ ἐπίστροφος, μέση λέξις. πάθος τε γὰρ δηλοῖ καὶ ἐνέργειαν. τὸ γοῦν, ἐπεὶ καὶ ἐκεῖνος ἐπίστροφος ἦν ἀνθρώπων, ἢ δρᾶσιν δηλοῖ, ὡς ἂν ἐπίστροφος ἀνθρώπων ὁ ἐνεργῶν καὶ ποιούμενος τὴν εἰς ἄλλους ἐπιστροφήν, ὅ ἐστι φιλόξενος, καὶ πολλοὺς ξενοδοχῶν. ἢ παθητικὴν ἔννοιαν ἔχοι, ὡς πάσχων ἐκ τῶν ἄλλων ἐπιστροφήν, καὶ ἀγαπώμενος, ὅπερ κρεῖττον.

Ἐπιστροφῶσι πόληας παρ᾽ Ὁμήρῳ, ἤγουν περιέρχονται. καὶ ἐπιστροφόωσιν. ὡς τό, ἐπιστροφόωσι πόληας. ἐπιστρωφῶσι δέ, τὰ δύο ω μέγα.

Ἐπιστροφαί, διατριβαί, δίαιται. Αἰσχύλος Φρυξίν.

Ἐπίστροφις, στίχες συνεστραμμέναι. ἢ ὅταν ἡ ὀσφὺς ᾖ στρεβλή.

Ἐπιστωικεῖς, ἐπισωικεῖς, ἢ ἐπιμεληταί.

Ἐπιστύξαι, ἐπαφῆσαι.

Ἐπίστω κάλλιον ἢ ἐπίστασο. ἐπίστω παρὰ τὸ ἵσταμαι, παρατατικὸς ἱστάμην, ἵστασο, καὶ ἵστao ἵστω. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, ἐπίστω. τὸ προστακτικόν, ἐπίστω. οἷον, γίνωσκε, εὖ νῦν ἐπίστω. ταῦθ᾽ ὅταν ζητῇς, ἐμὸν ζητεῖς ὄλεθρον.

Ἐπιστώθη, ἐπίσθη, ἐπληροφορήθη.

Ἐπισυναγωγήν, τὴν συμφωνίαν ἐκάλεσεν ὁ Ἀπόστολος.

Ἐπισυνήεσαν, συνηθροίζοντο, οἱ ἐξόπισθεν ἐπιλελυμένοι ἐπισυνήεσαν.

Ἐπισυνιέναι, ἐπισυνάγεσθαι ἐγγυτέρω, καὶ συνέρχεσθαι.

Ἐπισύρεται, ἐφέλκεται.

Ἐπισυρόμενοι, προκυλινδούμενοι.

Ἐπισύρων, χλευάζων, γελῶν.

Ἐπισύστασις, σύστασις καὶ σύστημα, σημαίνει τὸ πλῆθος. ἢ ἐπισύστασις, ἡ ἐπὶ δευτέρῳ ἐπανόρθωσις.

Ἐπισύστητε, ἐπισυνιάχθητε ἐπὶ συνελεύσει.

Ἐπισφαλής, βλαβερός, ἐπικίνδυνος. ὅθεν ἐπισφαλῶς.

Ἐπίσφατον, ἐπίρρητον, παρὰ τὸ φημὶ φατός. ὡς βίβημι βατός, τὸ οὐδέτερον φατόν, καὶ ἐπίφατον. καὶ πλεονασμῷ τοῦ σ, ἐπίσφατον, ἐπιμωμητόν, ἢ συνομιλητόν, ἢ ἐπὶ κακῷ ὠνομασμένον.

Ἐπισφελίτης, ὁ θρανίτης. σφέλας γάρ, τὸ ταπεινὸν διφρίον, τὸ ὑποπόδιον. τοιοῦτος δὲ καὶ ὁ θρᾶνος, ἔχει δὲ τὴν ἄνω ἕδραν.

Ἐπισφαλής, βλαβερά, ἐπικίνδυνος.

Ἐπισφοραί, δῶρα, καὶ ξένια, καταδίκαι.

Ἐπισφραγίζων, βεβαιῶν.

Ἐπισφύρια, τὰ καλύπτοντα τὰ σφυρά.

Ἐπισφυρίοις, τοῖς ἐπὶ τῶν κνημίδων περιδεδεμένοις.

Ἐπισχεδόν, σύνεγγυς.

Ἐπισχεῖν, ἀντὶ τοῦ ἐμποδὼν στῆναι. ἢ ἐπισχεῖν, οἷον τὸ ἐγγὺς σχεῖν. οὐκ ἐναντίον τὸ ἀποσχεῖν. καὶ ἐπίσχετε θυμὸν ἐνιπῆς, ἤγουν ἐπέχετε τὴν ψυχὴν τῆς ἐνιπῆς.

Ἐπίσχεο, ἐπέχου.

Ἐπισχερώ, ὀξυτονεῖται μὲν ὁμοίως τῷ ἰώ. σημαίνει δὲ τὸ κατὰ τάξιν, καὶ ὡς εἰπεῖν ἐχομένως καὶ ἐφεξῆς, καὶ συναπτῶς, καὶ συνεχῶς. ὡς γὰρ ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ ἔχω καὶ ἕξω γίνεται τὸ συνεχῶς, καὶ τὸ ἐφεξῆς, οὕτως ἐκ τῆς αὐτῆς προθέσεως καὶ τοῦ σχέω σχῶ, σύγκειται τὸ ἐπισχερώ. ποιητικὴ δὲ ἡ λέξις, κειμένη καὶ ἐν Ὀδυσσείᾳ, καὶ παρὰ Θεοκρίτῳ, καὶ ἑτέροις.

Ἐπίσχες, ἄγχου.

Ἐπισχεσίην μύθου παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας φ. οἱ παλαιοὶ ἐνταῦθα ἰδίως τῶν μύθων τὴν στάσιν λέγουσιν. ἐπεὶ καὶ Ἀνακρέων τοὺς ἐν Σάμῳ θέλων εἰπεῖν στασιαστάς, μυθηταὶ δ᾽ ἐν νήσῳ φησὶ διέπουσιν ἱερὸν ἄστυ, ἀντὶ τοῦ στασιασταί, ἐπίρρητοι. ἢ ἄλλως, ἐν μύθοις καὶ μόνοις ἔχοντες τὸ σεμνόν. ἢ καὶ ἀγορηταί, βλαβεροί. ἐπισχεσίαν δὲ τὴν πρόφασιν. ἐπείπερ οἱ προφασιζόμενοι ἐπέχουσιν, ὅ ἐστι μένουσιν ἐννοούμενοι, τί ἂν εἴποιεν. ὅθεν διὰ τὸ οὕτως ἐπιμένειν καὶ μονὴν τὴν τοιαύτην ἐπισχεσίην μετ᾽ ὀλίγα ἐρεῖ, ἐν τῷ, ἀλλ᾽ ἄγε μὴ μύνῃσι παρέλκετε, ἤγουν προφάσεσιν. ἵνα ᾖ, οἱονεί τις μονή. μονῆς γάρ τινος χρεία τοῖς προφασιζομένοις, καὶ ἐπίσχουσιν, ἤτοι ἐπέχουσιν. ἀφ᾽ ἧς λέξεως καὶ οἱ ἐφεκτικοὶ σοφοὶ κατὰ τοὺς παλαιούς, ὅ ἐστι σκεπτικοί. ἐκ δὲ τοῦ μονή, γίνεται Αἰολικῶς μύνη, κατά τε συνήθη βαρὺν τόνον, καὶ τροπὴν τοῦ ο. ὁμοίως τῷ ὄνομα ὄνυμα, ἀσσότεροι ἀσσύτεροι, καὶ τοῖς ὁμοίοις. λέγει δέ φασι καὶ Ἀλκαῖος τὸ προφασίζεσθαι μύνεσθαι. οἷον, οὐδέτι μυνάμενος. ἕτεροι δέ φασι μύνην, τὴν πρόφασιν, παρὰ τὸ μύειν τὸ στόμα.

Ἐπίσχεσις παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας ρ, ἐπεὶ οὔτε ἐπίσχεσις, ὀνειδισμός ἐστιν, ὡς μὴ φειδομένων τῶν μνηστήρων ἐπὶ τοῖς ἀλλοτρίοις. τούτῳ δ᾽ ἀκόλουθον καὶ τὸ οὐδ᾽ ἐλεητὺς ἀλλοτρίων χαρίσασθαι, ἤγουν οὐδεμία φειδὼ δωρεῖσθαι τὰ ἀλλότρια. ὅπερ αὐτὸς μὴ ποιῶν ἀγαθόν τι δῆθεν ποιεῖν ἔοικεν.

Ἐπισχοίης, ἀντὶ τοῦ ἐπάνω αὐτοῦ ἔχοις. ἐκ τοῦ σχοῖμι δέ, σχοίην, Ἀττικῶς. ὁμοίως τῷ πεπαταίην, καὶ τοῖς ὁμοίοις. κοινότερον δὲ ἐπισχεῖν λέγεται τὸ κρατῆσαι. ὅθεν μεταφορικῶς καὶ σιγῆσαι, οἷον ἐπίσχες ὦ οὗτος, ἀντὶ τοῦ σίγησον. ἀντίκειται δὲ τὸ ἐπισχεῖν. οἷον ὑπεσχε κεφαλήν, ἢ χεῖρα, ἀντὶ τοῦ ὑπέθετο.

Ἐπὶ σχολῆς ἀπραγμόνως φιλοσοφεῖν, ἀντὶ τοῦ ἐπὶ εὐκαιρίας ἢ ἀργίας.

Ἐπισχόμενος, ἀντὶ τοῦ κατασχοχασάμενος. τοῦτο δὲ διὰ τὸ ἐπέχειν τὴν χεῖρα καὶ ἱστᾶν τὸν κατὰ σκοπὸν βάλλοντα. οἱ δὲ παλαιοί, καὶ ἀντὶ τοῦ λαβόμενός φασιν, ἀστείως λέγοντες. ὡς ἀπὸ χερσὶ κρατοῦντες. ὡς γὰρ ὁ ἄγχων ἐπέχει τινὰ τῷ λαιμῷ, οὕτω καὶ Ὀδυσσεύς, ἔβαλε τὸν Ἀντίνοον κατὰ λαιμὸν ἐπισχόμενος.

Ἐπισχύρους, ἐπικούρους.

Ἐπισχών, προσάγων, ἢ τῷ στόματι προσενεγκών, ἢ κωλύων. καὶ ἐπισχών, κρατήσας, βραδύνας.

Ἐπίσωτρα λέγει ὁ ποιητής, τοὺς ἐπικειμένους κύκλους τοῖς τροχοῖς. ἢ οἱ τὴν ἴτυν περιέχοντες κύκλοι, ἤτοι κανθοί.

Ἐπίσωτρα, τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ, ἢ χαλκᾶ, ἃ καὶ κανθοὶ καλοῦνται. ὁ ἔξωθεν τὸν τροχὸν κατέχων σίδηρος, οἱ σιδηροῖ, ἢ χαλκοῖ κύκλοι τῶν τροχῶν.

Ἐπισωφροσύνη, ἡ ἡ ἁπλῶς φρόνησις, πλεοναζούσης τῆς προθέσεως, ὡς καὶ ἐν τῷ ἐπιβουκόλος καὶ ἐπίουρος, ἢ ἡ πλείων φρόνησις.

Ἐπίταγμα κάλλιον, ἢ πρόσταγμα. καὶ ἐπιτάττω, ἢ προστάττω. ἢ ἐπίταγμα, δύο τέλη ἱππέων ἀνδρῶν ἐννακισχιλίων ἐνενήκονταεξ.

Ἐπὶ τάδε, τὴν ἐνθένδε πᾶσαν, τὴν ἐπὶ τάδε ποτὲ τοῖς βαρβάροις ἄβατον καταστήσας.

Ἐπιτάδιος, ὁ ἐραστής.

Ἐπιτακτικῶς, προστακτικῶς. τοὺς δὲ πρὸς αὐτὸν πρεσβεύοντας ἐπιτακτικῶς αὐτῷ διαστέλλειν περὶ τούτων.

Ἐπιτακτοὶ στρατιῶται, οἱ προτεταγμένοι τὴν μάχην ἐφορᾶν, καὶ τῷ πονοῦντι μέρει βοηθεῖν. Θουκυδίδης, καὶ τοὺς σκευοφόρους ἐντὸς τούτων τῶν ἐπιτακτικῶν ἐποιήσαντο.

Ἐπίταλον, πολυχρόνιον.

* Ἐπιτάλιον, πόλις τῆς Τριφυλίας. τὸ ἐθνικὸν Ἐπιταλιεύς.

Ἐπὶ τὰ Μανδραβούλου, παροιμία ἐπὶ τῶν ἀεὶ ἐπὶ τὸ χεῖρον τρεπομένων. ἀπὸ Μανδραβούλου τινός.

Ἐπιτάξ, παρὰ Καλλιμάχῳ, ἐπίρρημα παρὰ τὸν ἐπιτάξω μέλλοντα. εἰς δὲ τὸ ῥητορικὸν λεξικόν, ἕτερον τὴν λέξιν σημαίνειν τὸ συντόμως κωμικῶς. ὅστις τῆς ὁδοῦ ἡγήσεταί σοι τὴν ἐπιτάξ, οὐχ ὡς οἱ τραγικοὶ μακρῶς.

Ἐπιταξίδια, σιδηραῖ τινες, ὡς ἄγκυραι.

Ἐπὶ τὰ πρόσω, ἐπὶ τὰ ἔμπροσθεν.

Ἐπιτάρροθος, πλεονασμὸν ἔχει τῆς ταρ συλλαβῆς. ἐπίρροθος γὰρ ὁ σπουδαῖος. ἐπίκουρος, καὶ μετὰ ῥόθου βοηθῶν. καὶ ἐπιτάρροθος, βοηθός, ἰσχυρός, σύμμαχος.

Ἐπίταρχον, ἐπιτάφιον, ἐντάφιον.

Ἐπίτασις, καὶ ἄνεσις. ἡ μὲν ἀποτεινομένη σφοδρὸν ἀποτελεῖ ψόφον. ἡ δὲ παρειμένη, ἐλάττονα. οὕτως οὖν οἱ φιλόσοφοι ἐπίτασιν μὲν λέγουσι τὴν σφοδρὰν ἀντίληψιν τοῦ πράγματος, ἄνεσιν δὲ τὴν ἐλάττονα.

Ἐπιτάττω, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. οἷον ἡ Κλωθὼ ἑκάστῳ γεννηθέντι ἐπέταξε τὰ πρακτέα.

Ἐπίταυρον, ἰσχυρόν.

Ἐπιτάφιοι λόγοι, ἐπικήδειοι, ἐλεγεῖα, ἐπιγράμματα.

Ἐπιτάφιον, αὕτη ἡ πληγὴ καὶ τῆς ἀρετῆς αὐτῷ ἐπιτάφιον ἦν ἐγκώμιον.

Ἐπιτεθυμένων, ἐκκεκαυμένων.

Ἐπιτεῖλαι, καὶ ἐπίτειλον, ἀντὶ τοῦ προστάξαι καὶ πρόσταξον. Ἰώνων γὰρ ἴδιον τὸ τὰ ἀπαρέμφατα ἀντὶ προστακτικῶν λαμβάνειν.

Ἐπίτειλον, ταυτόν ἐστι τῷ ἄγγειλον.

Ἐπιτείλας, ἀνατείλας. νενικηκότας αὐτοὺς ὁ ἥλιος ἐπιτείλας ἴδῃ.

Ἐπιτέλλω, ἀντὶ τοῦ τάξω, ἐντέλλομαι.

Ἐπιτείνει, ἤγουν αὔξει, καὶ εἰς ἐπίδοσιν ἄγει, οἷον ἐπιτείνει τοὺς περὶ λόγους ἱδρῶτας.

Ἐπιτείχισμα, τὸ τειχιζόμενον κατά τινος χωρίον. ὅθεν ὁρμώμενοι οἱ τειχίσαντες, κακῶς δυνήσονται ποιεῖν τοὺς ἐπιτειχισθέντας. καὶ τὸ πρᾶγμα δέ, ἐπιτειχισμὸν ὀνομάζουσιν.

Ἐπιτείχισμα, ἐποικοδόμημα.

Ἐπιτειχισάντων, ἐπελθόντων.

Ἐπιτελείωσις, αὔξησις.

Ἐπιτελεῖν, καὶ ἐπιτελέωμα. ἀμφότερα πολλάκις ἐστὶ τὰ ὀνόματα, ἐν τῷ περὶ τῆς ἱερείας Λυκούργου. ἔοικε δὲ ἐπιτελέωμα λέγεσθαι τὰς πρότερον θυσίας. αὐτὸς γοῦν ὁ ῥήτωρ ἐν τῷ αὐτῷ λόγῳ φησίν, ἔτι τοίνυν ἔφη πάντων ὕστατα ταῦτα θύεσθαι, καὶ ἐπιτελεώματα εἶναι τῶν ἄλλων θυμάτων.

Ἐπιστελὲς, καὶ ἐπιστελέωμα, τὸ ἐπὶ πᾶσι γινόμενον, ἀπὸ τοῦ τελείας γενέσθαι τὰς πρότερον θυσίας ἐπιτεθυμένον.

Ἐπιστελέωμα, τὸ ἐπὶ θυσίᾳ γινόμενον.

Ἐπιτελειῶσαι, ὅπερ νῦν ἀφιερῶσαι λέγομεν.

Ἐπιστελῆ, τὰ εἰς πέρας ἀγόμενα. ὁ δὲ ὑπέσχετο πάντα ἐπιστελῆ ποιήσειν.

Ἐπιστελὴς, ὡραία γαμεῖσθαι.

Ἐπιστέλλειν, τὸ προστάσσειν καὶ ἐντέλλεσθαι, ὅπερ καὶ παθητικῶς λέγεται. ἐν τῷ, μή μοι ταῦτα ἐπιστέλλεο. ἐξ αὐτοῦ δὲ προθέσει τοῦ σ παρ᾽ Αἰσχύλῳ ἐπιστολὴ, ἡ ἐντολή. ὅτι δὲ τὸ τέλλειν καὶ τὸ ἐπιτέλλεσθαι καὶ ἐπὶ ἀστέρων λέγεται, καὶ ἐπιτολὴ ἡ τούτων πρὸ τοῦ ἡλίου ἀνατολὴ, δηλοῦσιν οἱ παλαιοί.

Ἐπιτέλλειν ἐστὶ, τὸ ἐντέλλεσθαι. ὅθεν καὶ ἐπιστολὰς λέγομεν. ὡς Αἰσχύλος χρεία μείζω προσεῖπεν ἐπιστολάς.

Ἐπιστέλλεο. στέλλομαι, τὸ προστάσσω, ἐστελλόμην παρατατικὸς, ἐστέλλου. τὸ προστακτικὸν, στέλλου, καὶ κατὰ διάλυσιν στέλλεο, καὶ ἐπιστέλλεο.

Ἐπιστέλλων, ἀνατέλλων.

Ἐπιστεμόμενος, περικόψας. κέλευσόν με ἀποθνήσκειν ἐπιστεμόμενος τοῦ σταυροῦ τὴν περίοδον.

Ἐπίστεξεν ἡ γυνὴ, ἀντὶ τοῦ ἐν αὐτῷ τῷ κύειν.

Ἐπίστρα, ἐκπιέσματα ἐλαιῶν.

Ἐπιστέρεναι, εἶδος ἄρας.

Ἐπιστέρμιον, ἀπὸ τοῦ στέρματος, οἷον ἐπὶ τοῦ τέλους.

Ἐπιστέρμιος, Ἑρμῆς.

Ἐπιστεννύσθαι, ἡπλῶσθαι.

Ἐπιστέφαμμαι, αἰτιατικῇ συντάσσεται. Λουκιανὸς τὰ κατὰ τὴν φοινίκην ἐπιστεφαμμένος, ἀντὶ τοῦ ἐπιστροφὴν τῶν κατὰ φοινίκην ἔχοντι.

Ἐπιστέφανται, ἐπ᾽ ἐξουσίας ἐστίν.

Ἐπιστεφάφαται, τὸ θέμα ἐπιστρέπομαι, ὁ παθητικὸς παρακείμενος ἐπιστέφαμμαι. τρίτον τῶν πληθυντικῶν Ἰωνικῶς, ἐπιστεφάφαται.

Ἐπιστέαται, αὔξει.

Ἐπιστέατο, ηὔξανεν, ἤκμαζεν.

Ἐπιστέτευκται, ἐν ἐπιτυχίᾳ ἐστίν.

Ἐπιστέφανται, ἀπονενέμηνται.

Ἐπιστεφάφαται, λέξις ἐστὶν Ἰωνική, ὁμοία τῷ τετύφαται. δηλοῖ δὲ παρ᾽ Ὁμήρῳ ἐπίστροπον εἶναι βασιλέα τοῦ λαοῦ. καὶ ἐπιστεφαμμένοι εἰσίν.

Ἐπιστέφοφεν, ἐπιπέπηγεν.

Ἐπιστέφιψαι, ποτὲ μὲν ἐπὶ ὑπερηφανίᾳ τάττεται. ποτὲ δὲ ἐπὶ χαιρέᾳ, καὶ μὴν ἐπιστέφιψαί γε.

Ἐπιστετυφωμένον, ἐπικεκαυμένον.

Ἐπίτευγμα, ἐπιτυχία. οἱ δὲ, θαυμάσαντες τὰ πλήθη τῶν κατοικούντων τὴν αἴγυπτον, καὶ τὰ τούτων ἐπιτεύγματα.

Ἐπιτεχνάζειν, πανουργεύειν.

Ἐπιτεχνανταὶ, οἱ παρασκευασταί.

Ἐπιτεχνήσεως, μηχανῆς.

Ἐπιτέχνησις, τὸ ἐπὶ τῇ προγεγονυίᾳ παρά τινος τεχνίτου κατασκευῇ, δεύτερόν τι δημιούργημα μετά τινος ποικιλίας γενόμενον. ὡς καὶ Ξενοφῶν, ἐπιτέχνησις δ᾽ ἐπιτεθεῖσα τῷ ἀγάλματι, θαυμασιώτερον ἑαυτοῦ καὶ τῆς ἐπ᾽ αὐτῷ προτέρας τέχνης ἀπέφηνεν.

Ἐπὶ τῇ καταπαύσει, ἤγουν τῇ ἀποθέσει. ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ.

Ἐπιτήδεια, τὰ πρὸς τροφὴν ἁρμόδια.

Ἐπὶ τῇ ἐμῇ αἰτίᾳ. ὃ νῦν, τῷ ἐμῷ κινδύνῳ.

Ἐπὶ τῇ ὠδίνῃ, ἐπὶ τῷ πόνῳ, ἐπὶ τῇ θλίψει.

Ἐπιτήδειος, ὁ συνήθης καὶ φίλος.. ὡς τὸ, ἐχρήσατό τινι τῶν ἐπιτηδείων. καὶ ἐπιτήδεος, ἀντὶ τοῦ ἐπιτήδειος λέγουσιν Ἴωνες, ἐπεξαιροῦντες τὸ ί.

Ἐπιτηδὲς παρ᾽ Ὁμήρῳ, ὀξυτονούμενον ὄνομα οἱ παλαιοί φασιν εἶναι πληθυντικὸν, οὗπερ ἡ εὐθεῖά ἐστιν ὁ ἐπιτηδής. ὥσπερ δήπου τὸ ἀκλεεῖς πληθυντικὸν, παρ᾽ Ὁμήρῳ ἀκλεὲς λέγεται, ἐκβληθέντος τοῦ ῑ. οὕτω γέγονε καὶ τὸ ἐπιτηδὲς, ἐκ τοῦ ἐπιτηδεῖς, ἐκδραμόντος τοῦ ῑ διὰ χρείαν μετρικήν.

Ἐπίτηδες, ἑκούσιον, ἐπιμελές. ὃ καὶ ἐξεπίτηδες λέγομεν.

Ἐπιτήδευμα, ἄσκησις, μάθησις, καὶ ἡ τοῦ βίου διαγωγή. ἐπιτήδευμα δὲ, ἐπιτηδεύσεως διαφέρει. ἐπιτήδευμα μὲν γὰρ δηλοῖ οὐσίαν, καὶ οἷον ὕπαρξίν τινος πράγματος. ἐπιτήδευσις δὲ, σημαίνει τὴν ἀπὸ τέχνης ἐνέργειαν γινομένην. ὁμοίως καὶ ἀκοὴ, καὶ ἄκουσμα, καὶ ψόφος καὶ ψόφισμα.

Ἐπιτήδευσις, πρᾶξις καὶ σπουδὴ, καὶ ἐργασία.

Ἐπιτηδεύω, τὸ ἀσκῶ, αἰτιατικῇ. Ἀριστοφάνης, εἶτ᾽ αὖ λαλιὰν ἐπιτηδεῦσαι, καὶ στωμυλίαν ἐδίδαξας. καὶ ἡμεῖς τὰ αὐτὰ ἐπιτηδεύομεν.

Ἐπιτηδὴς, ἀπὸ τοῦ ἀδεὴς, ὁ ἄφοβος, καὶ τῆς ἐπὶ προθέσεως γίνεται ἐπιαδεής. καὶ ἐκβολῇ τοῦ ε̄ καὶ πλεονασμῷ τοῦ τ̄ καὶ τροπῇ τοῦ ᾱ ἐπιτηδὴς, ὁ ἀφόβως τι ποιῶν. ἐκ τούτου καὶ ῥῆμα, ἐπιτηδεύω.

Ἐπιτηθὴ, ἡ τῆς τηθῆς μήτηρ. ὥστε εἶναι τὴν μὲν τηθὴν, μητρὸς ἢ πατρὸς μητέρα. τὴν δὲ ἐπιτηθὴν, τὴν τοῦ πατρὸς μητέρα ἢ τῆς μητρὸς μητέρα, ἤγουν ὡς ἐπίπαππος. Θεόπομπος Παμφίλῃ, αὕτη δ᾽ ἐκείνη πρότερον ἐξηπίστατο παρὰ τῆς ἐπιτηθῆς. ῥητορική.

Ἐπίτιμος, καὶ ἐπίτιμον, πλούσιον, ἢ τὸν μὴ ἄτιμον κατὰ νόμους, ἀλλ᾽ ἔχοντα ἐξουσίαν καὶ δημηγορῆσαι καὶ δικάσασθαι, Λουκιανός.

Ἐπιτίθεσθε, ἐνεδρεύετε.

Ἐπιτίθημι ἕτερον τῷ πράγματι, ἤγουν ἐπάνω αὐτοῦ τοῦτο τίθημι. ἐπιτίθεμαι δ᾽ ἐγὼ, ἀντὶ τοῦ βαρὺς γίνομαι. ἐπιθέσθαι τοῖς ἐχθροῖς, ἤγουν ἐπιχειρεῖν. ἢ ἐπιτίθημι, τὸ ἐπιβάλλω. οἷον ἐπιτίθημι σφραγῖδα, ἢ σήμαντρον. ἐπιτίθημι, καὶ τὸ ἐπαράττω, καὶ ἐπικλείω. ὡς τὸ, ἐπιτίθημι θύραν. φθέγξομαι οἷς θέμις ἐστὶ, θύρας δὲ ἐπιτίθεσθε βέβηλοι. ἐπιτίθημι καὶ τὸ προστίθημι. οἷον, ἐπιτίθημι τέλος, καὶ κολοφῶνα τοῖς λόγοις. ἐπιτίθημι, καὶ τὸ ἐπάγω καὶ προστρίβομαι. οἷον ἐπιτίθημί σοι δίκην καὶ τιμωρίαν. ἐπιτίθεμαι, τὸ ἐπιχειρῶ καὶ ἐπιβουλεύω. οἷον ἐπιτίθεμαι δυναστείᾳ, ἢ καὶ τυραννίδι. ἐπιτίθεμαι, καὶ τὸ ὅλως προστίθεμαι, καὶ προσαπτω, καὶ περιέρχομαι. οἷον ἐπιτίθεμαι σπουδῇ, καὶ ἀναγνώσει περὶ λόγους τε καὶ μαθήματα.

Ἐπιτίθης, περαίνεις.

Ἐπιτίθησιν, ἀποπέμπει. καὶ δὴ γραψάμενος ἐπιστολὴν πρὸς τοὺς ἐν Καρίᾳ δύο φιλοσόφους, ἐπιτίθησιν.

Ἐπιτιμᾷ, τιμωρεῖται, ἢ τὴν τιμὴν αὔξει.

Ἐπιτιμηταί. οἱ μὲν τὸ πρῶτον τιμώμενοι τιμηταὶ ἐκαλοῦντο. οἱ δὲ τοῖς ἑξῆς ἔτεσι ταῦτα, ἢ τὰ αὐτὰ τιμώμενοι, ἐπιτιμηταί. Λυσίας ἐν τῷ κατὰ Διογένους.

Ἐπιτίμησις, ἀποστροφή.

Ἐπιτιμὴ, συντομία, ἡ σύντομος τῶν κεφαλαίων παράδοσις.

Ἐπιτιμήτορα, βοηθὸν, τιμωρόν.

Ἐπιτιμήτωρ, κατὰ τοὺς παλαιοὺς, ὁ ἐπόπτης καὶ βοηθός. εἴη δ᾽ ἂν καιριώτερον εἰπεῖν τιμωρὸς, ἐκδικητὴς, παρὰ τὴν τιμὴν, ἢ δηλοῖ τὴν ποινήν. ἢ ἐπιτιμητικὸς, ἤγουν τιμῶν.

Ἐπιτιμία, ἡ εὐπορία, ἢ ἡ μὴ ἀτιμία. ἐπιτιμία τὰ ἐπὶ τιμῇ τινὸς γινόμενα, καὶ οἱ μισθοὶ, Σοφοκλῆς.

Ἐπιτίμιον, ἡ τιμὴ, ἡ ἐντολή. ἢ ὁ μισθός. καὶ τὸ ἐπ᾽ ἀμοιβῇ ἀγαθοῦ διδόμενον, ἕνεκα τιμῆς. καὶ πρόστιμον, ἡ τιμωρία.

Ἐπίτιμον, πλούσιον, ἢ τὸν μὴ ἄτιμον, τιμωρόν.

Ἐπίτιμος, ὁ ἔντιμος. ἐπιτίμιος δὲ, ὁ ἐπίπληκτος. ἀφ᾽ οὗ καὶ τὴν ἐπίπληξιν, ἐπιτίμιον φαμέν. καὶ ἐπιτίμησον αὐτῷ, ἀντὶ τοῦ ἐπίπληξον. καὶ ὁ δεσμεύων ἱμὰς, πρὸς τὸν ἱστὸν τὸ κέρας.

Ἐπιτιμῶ, τὸ ἐπιπλήττω, τὸ μέμφομαι, καὶ τὸ δοξάζω, καὶ τὸ τιμωρίαν ἐπιτίθημι. ὡσαύτως ἐπιτιμῶμαι, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. οἷον ἐπιτιμῶ σοι, καὶ ἐπιτιμῶ σε.

Ἐπιτιμῶσιν, οἱ Ἀττικοὶ λέγουσιν, ἐπὶ τῶν βαρυνόντων τὰς τῶν ὠνίων τιμὰς, καὶ ἀνατιμῶσι καὶ ἐπιτείνουσιν. ὥσπερ ἐπὶ τοῦ ἐναντίου, ἐπευωνίζουσιν, ἄξια πιπράσκουσιν.

Ἐπίτιτθον, ὑπομάζιον, ὑπὸ τὴν τροφήν. ἣν δὲ τὸ νήπιον ὑπότιτθον.

Ἐπιτμήγειν, ἐπιτέμνεσθαι, σπεύδειν.

Ἔπιτνον. Ἡσίοδος ἐν ἀσπίδι, Οἵ δ᾽ ἄρ᾽ ἐν ἐλλεδανοῖσι δεῖον, ἀντὶ τοῦ τὰ κῶλα τῶν ἀσταχύων. καὶ ἔπιτνον ἀλωὴν, ἀντὶ τοῦ τὴν ἀλωὴν ἐπλήρουν, ἔρριπτον, ἐξέτεινον, ἤπλουν ἐπὶ τῷ ξηρανθεῖναι, ἔψυχον. ἀπὸ τοῦ πίπτω πίτνω, ἢ πέτω πίτνω.

Ἐπιτοαυτὸ, ὁμοῦ, εἰς τὸν αὐτὸν τόπον. ἔστι δὲ ἐπίρρημα συλλήψεως, ἢ ἀθροίσεως, οἱονεὶ μοναδικόν. ἐκ τῆς ἐπὶ προθέσεως, καὶ τῆς αὐτὸ ἀντωνυμίας.

Ἐπίτοκος γυνὴ, εἶπεν ἀδοκίμως Ἀντιφάνης ὁ κωμικός. δέον εἰπεῖν ἐπίτεξ, Φρύνιχος.

Ἐπιτολαὶ τῶν ἀπλανῶν ἄστρων, δύο εἰσίν. ἑῴα μέν ἐστιν ἐπιτολὴ, ὅταν ἔξω ὄντων αὐτῶν τοῦ ἡλίου πρῶτον ἴσηταί τι ἄστρον καὶ πρὸ αὐτοῦ ἀνατέλλον ὀφθῇ. ἑῴα δὲ δύσις, ὅταν ἡλίου πρὸς τὴν ἀνατολὴν ὄντος, ὀφθῇ τι ἄστρον περὶ τὰς δύσεις ὕστατον δυνὸν τῶν ὅσα κατ᾽ ἐκείνην τὴν νύκτα δύνει. ἑσπερία δὲ ἐπιτολὴ, ὅταν δυόντος ἡλίου ὀφθῇ τι ἄστρον ἐπὶ τῆς ἀνατολῆς πρῶτον τῶν ὅσα κατ᾽ ἐκείνην τὴν νύκτα ἀνίσχει. ἑσπερία δὲ δύσις λέγεται, ὅταν ἡλίου δύοντος, ἄστρον ὀφθῇ τι πρὸ τῶν ἄλλων ἐγκαταδῦνον αὐτὸ, ὡς ἂν ὑπὸ ταῖς αὐγαῖς τοῦ ἡλίου γένηται. ὁ δὲ ὑπὸ ταῖς αὐγαῖς χρόνος πᾶς, κρύψις ὀνομάζεται.

Ἐπιτολὴ, ἡ ἀνατολὴ, ἡ φαῦσις τῶν ἀστέρων.

Ἐπιτολμῆσαι, ἐπιβουλεύσασθαι. καὶ ἀναπεῖθει ἐπιτολμῆσαι τῷ Λυκίδῃ καὶ τῷ Σωκράτει.

Ἐπίτονος, ὁ δεσμεύων ἱμὰς πρὸς τὸν ἱστὸν τὸ κέρας. Ἀριστοφάνης, ἐπὶ ἐπιτόνου, γελοῖον δὲ ἐπὶ δέρματος. καὶ Ὅμηρος, ἐπίτονος βέβλητο.

Ἐπιτοπίζω, κατοικίζω.

Ἐπὶ τοῦ Μανδραβύλου, ἐπὶ τοῦ κατὰ τὸ χεῖρον προκόπτοντος. ὁ γὰρ Μανδράβυλος θησαυρὸν εὑρὼν, τῷ πρώτῳ χρόνῳ πρόβατον χρυσοῦν ἀνέθηκε τῇ Ἥρᾳ, τῷ δὲ δευτέρῳ ἀργυροῦν, καὶ τῷ τρίτῳ χαλκοῦν.

Ἐπὶ τοῦ ἀέρος ὁ αἰθὴρ, ἤγουν ὑπὲρ τοῦ ἀέρος.

Ἐπὶ τούτοις, πρὸς τούτοις. ὡς τὸ, ἐπὶ τούτοις ἄλλα σε διδάξω, ἤγουν μετὰ ταῦτα.

Ἐπὶ τοῦ ἐνεστῶτος, ἐπὶ τοῦ παρόντος, ἢ τοῦ ἐνισταμένου.

Ἐπιτραπεζίδιος, ὁ παράσιτος.

Ἐπιτραπεζώματα, τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα.

Ἐπιτραπέουσιν, ἐκ τοῦ τραπῶ δευτέρου ἐνεργητικοῦ μέλλοντος ἀνῆκται εἰς ἐνεστῶτα, πρώτης συζυγίας τῶν περισπωμένων, ὁμοίως τῷ τραπέουσιν. ὅπερ δίχα προθέσεως ἐπὶ πατήσεως εἴρηται σταφυλῶν, ἐξ ὧν τὸ γλεῦκος. φυσικὸς δὲ αὐτῶν ἐνεστὼς τὸ τρέπω.

Ἐπιτραφερὴν, ἐπὶ τὴν ξηρὰν γῆν.

Ἐπιτραχήλιος, κόσμος.

Ἐπιτρέπειν ἐστὶ, τὸ ἀνατιθέναι. ὅθεν καὶ οἰκοεπίτροπος. καὶ τεθνεῶτος δὲ, οἷς τὰ περὶ αὐτῶν οἰκονομεῖν ἀνατίθεται. οὕτω καὶ λαοὶ ἐπιστεφάφαται τῷ βασιλεῖ, ὅ ἐστιν ἀνάκεινται. ὡς οἷα ἐπιτρόπῳ καὶ ἐπιμελητῇ. Νέστωρ δὲ οὐκ ἐπιτρέπει ἑαυτὸν γήραϊ λυγρῷ· ἤγουν οὐ παραχωρεῖ τῷ γήρᾳ ἐξουσιάζειν, καὶ ἐπιτροπεύειν αὐτοῦ.

Ἐπιτρέπει, χαρίζεται, παραδίδωσιν. ὁ δὲ τῆς ἐμῆς σατραπείας φυγάδα ἐλαύνει, καὶ τούτῳ ἐπιτρέπει.

Ἐπιτρέπειν, Δημοσθένης ἀντὶ τοῦ δικαστὰς αὐτοὺς αἱρεῖσθαι. Λυσίας δὲ ἐπέτρεψαν ἀνδράσιν εἶπεν, ἀντὶ τοῦ ἐπιτρόπους κατέστησαν.

Ἐπιτρέπομαι παρὰ σοῦ, ἀντὶ τοῦ ἄδειαν λαμβάνω. καὶ ἐπιτετραμμένον, τὸ συγκεχωρημένον.

Ἐπιτρέπω σοι τόδε τὸ πρᾶγμα, καὶ ἐπιτρέπω ποιεῖν σε τόδε. ἢ ἐπιτρέπω δὲ ποιεῖν σε, ἀεὶ μετὰ ἀπαρεμφάτου.

Ἐπιτρέπω σοι τόδε, ἀντὶ τοῦ ἐπὶ τῇ σῇ ἐξουσίᾳ δίδωμι τόδε. καὶ ἐπιτρέπεταί τινι λαὸς, ἤγουν ἐπὶ τῇ ἐξουσίᾳ καὶ διοικήσει αὐτοῦ ἐδόθη.

Ἐπιτρέπω σοι ἐμαυτὸν, ἤτοι θαρρῶ, τὸ λεγόμενον κοινῶς ἐμπιστεύω, ἢ ἀντὶ τοῦ θαρρῶν παρέχω σοι ἐμαυτόν. καὶ ἐπίτριπτος, πονηρὸς, ἄξιος ἐπιτριβῆναι καὶ πληγωθῆναι.

Ἐπιτρέχειν, τοῦ ἐπιδιώκειν διαφέρει. ἐπιτρέχει μὲν

Digitized by Google

μὲν γάρ τι τῷ μὴ φεύγοντι, διώκειν δὲ τὸ φεύγοντα. ἔστι δὲ τὸ διώκειν, οἷον ἐλαύνειν. ὅθεν καὶ ὑποδιώκειν λέγεται.

Ἐπίσχες, σιώπησον.

Ἐπιτρίψαι, συντρίψαι, συντελέσαι.

Ἐπιτριβείη, ἐντριβὴς γένοιτο, ἔμπειρος ὑπάρξοι, ἢ συνορμηθείη. σημαίνει δὲ καὶ τὸ ἀπολαυσθείη.

Ἐπιτρίβειν λέγεται, τὸ ἐπαύξειν πληγὴν, ἢ ἔτι πρότερον τινὶ τούτων προσγεγονός. ἐπιτρίβειν λέγεται καὶ τὸ ἐπιτίθεσθαι ἐπ' ἀφανισμῷ, καὶ φθορὰν μὴ οὖσαν πρότερον ἐμποιεῖν. ἡ γὰρ ἐπί, ἐπίθεσιν ἐνταῦθα δηλοῖ. ἐπιτρίβομαι δὲ, προστρίβομαι. τὸ μὲν ἐπιτρίβομαι δηλοῖ πάθος, ἀντὶ τοῦ φθείρομαι. προστρίβομαι δὲ, παθητικῶς μὲν φερόμενον, ἐνέργειαν δὲ σημαῖνον, λαμβάνεται ἀντὶ τοῦ τίθημι καὶ ἐπάγω πληγὰς τῷ δεῖνι, συντασσόμενον δοτικῇ. ὡς καὶ Ἀριστοφάνης ἐν ἱππεῦσι, πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις, ἀντὶ τοῦ ἐπάγει.

Ἐπιτρίβεται, ἐπιφέρεται.

Ἐπιτριβόμενοι, ἐπερόμενοι, ἐπερχόμενοι.

Ἐπιτρίμμασι, κοιλίσμασι.

Ἐπίτριτοι, ἀλλεπάλληλοι.

Ἐπιτρίταις, Ἰσαῖος ἐν τῷ κατὰ Καλλιφῶντος, ἑξακοσίαις δραχμαῖς ἐπιτρίταις, ἀντὶ τοῦ ἐπὶ ὀκτὼ ὀβολοῖς κατὰ τὸ τρίτον εἶναι μέρος τοὺς ὀκτὼ ὀβολοὺς τοῦ τετραδράχμου.

Ἐπίτριτος πρῶτος, ἐκ βραχείας καὶ τριῶν μακρῶν, ἑπτάχρονος, οἷον Ἀριστείδης.

Ἐπίτριτος δεύτερος, ἐκ μακρᾶς καὶ βραχείας, καὶ δύο μακρῶν, ἑπτάχρονος, οἷον Εὐρυμήδης.

Ἐπίτριτος τρίτος, ἐκ δύο μακρῶν καὶ βραχείας, καὶ μακρᾶς, ἑπτάχρονος, οἷον Δημοσθένης.

Ἐπίτριτος τέταρτος, ἐκ τριῶν μακρῶν καὶ βραχείας, ἑπτάχρονος, οἷον Καλλίξενος.

Ἐπιτρίψαι, αἰτιατικῇ, ἀπολέσαι. καὶ ἐπιτρίψεις, τὸ συντρίψεις.

Ἐπὶ, ἢ ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, συνεκδοχὴ ἀπὸ ἑνὸς πολλὰ σημαίνουσα. οὐ γὰρ μόνος, ἀλλὰ σὺν τοῖς ἄλλοις Ἕλλησι τὴν Τροίαν Ὀδυσσεὺς ἐπόρθησεν.

Ἐπιτροπάδην, ἐπιθέτως, οὐκ ἐκ ψυχῆς, ἐπεσπασμένως.

Ἐπιτροπεύσει, προνοήσει, προστατήσει.

Ἐπιτροπεύω τὸν παῖδα κάλλιον, ἢ ἐπιτροπεύω τοῦ παιδός.

Ἐπιτροπή, ἔφοδος, παράδοσις.

Ἐπιτροπήν, Δημοσθένης ἐν τῷ κατὰ Ἀφόβου πρώτῳ, οὕτως ἤρξατο, Εἰ μὲν ἐβούλετο Ἄφοβος, ὦ ἄνδρες δικασταί, δίκαια ποιεῖν, περὶ ὧν διαφερόμεθα, τοῖς οἰκείοις ἐπιτρέπειν, ἀντὶ τοῦ διαιτητὰς αὐτοὺς αἱρεῖσθαι. ὅθεν καὶ Μενάνδρου δρᾶμα, Ἐπιτρέποντες. Λυσίας δ' ἐν τῷ πρὸς τοὺς ἐπιτρόπους τῶν Βόωνος παίδων, ἐπέτρεψεν αὐτοὺς ἀνδράσιν, ἀντὶ τοῦ ἐπιτρόπους κατέστησεν.

Ἐπιτροπιάζειν, ὅτι καὶ τοῦτο διέφθαρται. καί τοι λεγόμενον φανερῶς τῶν ἀρχαίων, ὑποτροπιάζειν.

Ἐπίτροπον ποιοῦ σε τοῦδε τοῦ πράγματος, ἤγουν φροντιστήν.

Ἐπιτροχάδην, ἀντὶ τοῦ κεφαλαιωδῶς, ταχέως, ἐσπουδασμένως, ἐν τῷ ἐπιτρέχειν τὰ πολλά. καὶ ὡς τοῦτο ἐπὶ γλώσσης λέγεται, οὕτω τὸ μεταδρομάδην, ἐπὶ ποδῶν. ὡς τὸ, μεταδρομάδην ἔλασεν ὦμον. καὶ σημείωσαι, ὅτι εἰ καὶ ὁμοίαν πως ἔχουσιν αἱ λέξεις ἄμφω παραγωγήν, ἀλλὰ τὸ σημαινόμενον αὐταῖς διάφορον. τρόχος γὰρ καὶ δρόμος, ταυτόν· ἀλλ' ἰδοὺ γλώσσης μὲν τὸ ἐπιτροχάδην, ποδῶν δὲ τὸ ἐπιδρομάδην. οὕτω καὶ πανουργὸς καὶ πανοῦργος. εἰ καὶ λέξις ἡ αὐτὴ ἀμφοῖν ἔγκειται τὸ ἔργον δηλαδή, ἀλλ' ἔχουσι διαφορὰν παρὰ τοῖς ὕστερον. εἰ καὶ Σοφοκλῆς ἄνδρα πανοῦργον τὸν Ὀδυσσέα εἰπὼν, εἰς ταυτὸν ἄγειν δοκεῖ ἑκάτερα.

Ἐπιτρόχαλον, πυκνῶς καὶ ταχέως. ἐπίτροχον, ῥᾴδιον, ἕτοιμον, γοργόν.

Ἐπίτροχον, τὸ σύντομον. οἷον, ἐπίτροχον φθέγγεται. ὅπερ ἐπιρρηματικῶς κεῖται ἐπιτροχάδην.

Ἐπὶ τροχοῦ δεῖσ' ἐκεῖ στρεβλούμενον εἰπεῖν, ἃ πεπανούργηκας. Ἀριστοφάνης Πλούτῳ, παροιμία ἐπὶ τῶν πονηρῶν. τροχὸς γάρ τις ἦν Ἀθήνησιν, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο.

Ἐπιτρύζουσιν, ἐπιγογγύζουσιν, ἐπιλέγουσιν.

Ἐπίτρισσον, ἐπίμανον. Λάκωνες.

Ἐπὶ Τρώεσσι μάχεται, ἤγουν κατὰ τῶν Τρώων. καὶ Τρωσὶν ἐφ' ἱπποδάμοισιν, ἀντὶ τοῦ κατὰ Τρώων ἱπποδάμων.

Ἐπίττων, ἐσέλγων, καταφιλῶν. πιττοῦν δέ ἐστι κυρίως, τὸ τὰς πλατείας ναῦς πίττῃ χρίειν. Ἀριστοφάνης, ἱκανὸν γὰρ αὐτὴν πρότερον ἐπίττων χρόνον.

Ἐπιτυγχάνω, γενικῇ συντάσσεται, οἷον ἐπιτυγχάνω ἀγαθοῦ. τὸ ἐναντίον τούτου, ἀποτυγχάνω.

Ἐπιτυφῇ, ἐπικαῇ, ἐκπυρωθῇ. Ἀριστοφάνης, ὅπως ἀνὴρ ἐπιτυφῇ.

Ἐπιτυφῶ, ἐπαπολύω, Συρακούσιοι.

Ἐπιτυφῶσα, ἐπιπυρειάσασα.

Ἐπιτυχοῦσιν, ἀτελέσι. ὡς τὸ, Περὶ ὑπάτων μὴ ῥαθύμως σκοπεῖν, ὡς τοῖς ἐπιτυχοῦσι δέον ἐγχειρῆσαι τὴν ἀρχὴν, τοσούτων περιεχόντων τὴν πόλιν κινδύνων.

Ἐπὶ τῷ δήμῳ, ἐπὶ τῇ τοῦ δήμου καταλύσει.

Ἐπιτωθάζων, ἐπιλοιδορούμενος, ἢ ἐπεμβαίνων, ἢ καυχώμενος. ἢ χλευάζων, ἐπιγελῶν, ἢ ἡμερῶν.

Ἐπὶ τῶν ὑποκειμένων, ἐπὶ τῶν φθασάντων γίνεσθαι.

Ἐπιφαίνεται, ὑψόθεν. ὑποφαίνεται δὲ, χαμόθεν.

Ἐπὶ Φαλληνίου, τὸν Ἀλκιβιάδην φησὶν Ἀρίσταρχος, ἐπὶ Φαλληνίου γεγενῆσθαι, σκώπτων παρὰ τὸ φάλητα. ἐπ' ἀναισχυντίᾳ γὰρ ὁ Φάλης.

Ἐπιφάμεναι, συγκατατίθεσθαι.

Ἐπιφάνειά ἐστι, τὸ ἔξω μέρος τοῦ σώματος. εἴρηται δὲ παρὰ τὸ φαίνεσθαι. αὕτη τοίνυν ἡ ἐπιφάνεια ἢ ἴση ἐστὶ καὶ ὁμαλὴ καὶ λεία, καὶ λέγεται ἐπίπεδος. ἢ καμπύλη, καὶ μὴ κατ' εὐθεῖαν κειμένη, καὶ λέγεται ἁπλῶς ἐπιφάνεια. ἢ ἐπιφάνεια πέρας σώματος, ἢ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, βάθος δὲ οὔ. αὕτη δὲ κατ' ἐπίνοιαν, καὶ οὐ καθ' ὑπόστασιν λέγεται.

Ἐπιφάνεια, ἡ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἔνσαρκος οἰκονομία.

* Ἐπιφάνεια, πόλις Συρίας ἐν μεθορίοις Ἀράβων. ὁ πολίτης Ἐπιφανεύς.

Ἐπίφασις, δήλωσις, ἔνδειξις. οἱ δὲ ἦχον μετὰ παιανισμοῦ, καὶ στεφάνων καὶ τοὺς τῶν νικώντων ἐπιφάσεως.

Ἐπίφατος, ὁ πρὸς δυσμορφίαν φαινόμενος ἐπιθέτως.

Ἐπιφάτνιος, ὁ ἑωσφόρος ἀστήρ.

Ἐπιφαύσκοντα, ἀνατέλλοντα, φαίνοντα.

Ἐπιφέρειν, καὶ ἐπιφορεῖν, ταυτὸ παρὰ τοῖς Ἀττικοῖς. περισπωμένως δὲ Ἀττικῶς, ὥσπερ δὴ καὶ τὸ ἐκφορῶ. ἐπιφέρω δὲ ὁμοίως, καὶ ἐπιφορῶ, καὶ ἐπιφέρομαι ταυτὸν, καὶ δηλοῖ τὸ ἐπάγω, καὶ ἐπαντλῶ.

Ἐπιφέρειν, κατηγορεῖν, διασύρειν. ἄλλο μὲν οὐδὲν ἐπιφέρειν ἔχων, ὅτι δὲ εὔνους εἴη Ῥωμαίοις.

Ἐπιφερομένους, ὡρμηκότας.

Ἐπιφέρει, προσήκει.

Ἐπιφέρεται, ἀλαζονεύει.

Ἐπιφημίζεσθαι, μαντικὴ λέξις ἐστί, δηλοῦσα προφοράν τινα μαντείας, δι' ἀναμνήσεως ἐνυπνίου.

Ἐπιφημιστῆρες, οἱ ἐφημοῦντες, ἢ ἐπιφωνοῦντες, ἢ συγκατατιθέμενοι.

Ἐπιφημίζουσα, ἐφημισμένη, ἐπιφημιζομένη.

Ἐπιφημίσμασιν, οἰωνίσμασιν.

Ἐπιφημισμοῖς, ὀδυρμοῖς.

Ἐπιφθασάμενον, λέγουσι τὴν αἶγα τὴν Διὸς τροφὸν καταστερίσθαι. καὶ φασὶ τὸν ἐπιφθασάμενον ἐπιστείλασαν αὐτὴν ἐπιτυγχάνειν, ὅσα ἂν εὔξηται.

Ἐπιφθύζειν παρὰ Θεοκρίτῳ, γίνεται ἐκ τοῦ πτύειν.

Ἐπ' ἰφθίμῳ, ἐπὶ τῇ ἰσχυρᾷ.

Ἐπίφθονον, τὸ ἐπίζηλον.

Ἐπιφθύζουσα, ἤγουν ἐπιψιθυρίζουσα, ἡσύχως ἐπᾴδουσα, παρὰ Θεοκρίτῳ.

Ἐπιφλέγει, ἀντὶ τοῦ ἐπικαίει.

Ἐπιφλύειν, μακαρίζειν. παρὰ δὲ Ἀπολλωνίῳ, ἀντὶ τοῦ φλυαρεῖν, καὶ λοιδορεῖν.

Ἐπιφοιτᾷ, παραγίνεται.

Ἐπιφοίτησις, ἐπέλευσις, παρουσία.

Ἐπιφοραῖς, καταδίκαις, ἐπελεύσεσιν.

Ἐπιφορήμασι, τὰ τραγήματα, παρὰ Ἡροδότῳ.

Ἐπὶ φορίνην, ἐπὶ δέρμα.

Ἐπίφορον, τὴν φέρουσαν σύγγονον. Λάκωνες, καὶ ἀμπέλου ὄνομα.

Ἐπίφορος, ὁρμητικός. οὐδὲ πρὸς ἀδικίαν, ἢ πλεονεξίαν ἐπίφορος ἦν. ἐπίφορος, καὶ ἡ τοῦ τεκεῖν ἐγγὺς οὖσα.

Ἐπιφράγμασι, τὰ ὑπὸ τὸ στόμα.

Ἐπιφραδέστερον, συντομώτερον, συνετώτερον.

Ἐπιφράδμων, ψευδολόγος.

Ἐπιφρασαίατο, ἀντὶ τοῦ ἐπισκέψονται. ἐπινοήσουσι, μάθωσιν, ἐκ τοῦ φράζω, φράσω, ἔφρασα, ἐφρασάμην, φρασαίμην. τὸ τρίτον τῶν πληθυντικῶν φράσαιντο. καὶ Ἰωνικῶς φρασαίατο, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπιφρασαίατο.

Ἐπιφρασαίμεθα, σκεψαίμεθα.

Ἐπιφράσασθαι, ὑπονοῆσαι, ἢ ἐπινοῆσαι.

Ἐπιφρασθεὶς, ἐνθυμηθεὶς, διαλογισάμενος.

Ἐπίφρενα, ὑποχόνδρια.

Ἐπὶ φρεσίν, σὺν ταῖς διανοίαις.

Ἐπιφρίξ, ἡ ἐπανάστασις τῶν κυμάτων. ἢ φρίσσει τις φόβῳ, ἢ ψύχει, ἢ ὀργῇ, ἐπὶ ἐμψύχων, καὶ τὰς φάλαγγας φρίσσειν. ἢ ἐπιφρίξ ἐστιν, ἡ ἐξ ἐπιπολῆς τοῦ κύματος κίνησις.

Ἐπίφρονα, φρόνιμον, συνετόν.

Ἐπιφρονεῦσιν, ἐπακοῦσιν.

Ἐπιφροσύνη, σύνεσις, φρόνησις, σωφροσύνη, ἐπιλογισμός.

Ἐπίφρων, συνετὸς, φρόνιμος.

Ἐπιφυέσθω, βλαστησάτω.

Ἐπιφυλλίδες, τὰ ἐπικείμενα τοῖς μεγάλοις βότρυσι βοτρύδια. Καλλίστρατος δὲ, τὰ καθ' ἑαυτὰ μικρά. κέκληται δὲ οὕτω, διὰ τὸ τοῖς φύλλοις καλύπτεσθαι. ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις. ἄλλως. ἐπιφυλλίδες εἰσὶ τὰ ἐν τοῖς βότρυσιν ἐν ἀρχῇ περιττώματα. οἱ δέ φασι, τὰ ἐν κορυφαῖς τῶν κλημάτων. ταῦτα γὰρ οὐχ ὑπὸ κάτω τῶν φύλλων, ὡς οἱ βότρυες, ἀλλ' ἐπάνω φύονται. ἢ ἐπιφυλλίδες, τὰ πρὸς τοὺς βότρυας αἱ καλούμενοι ἐπίτραγοι.

Ἐπιφυλλὶς, βοτρύδιον μικρὸν ἐπὶ τέλει βλαστάνον. ἡ ἐν τῷ τρυγητῷ λανθάνουσα σταφυλὴ μικρὰ ἐν τοῖς φύλλοις.

Ἐπιφύοιντο, ἐπιγένοιντο.

Ἐπιφυόμενος, δοτικῇ. περιπλεκόμενος τοῖς δὲ ταῖς χερσὶν ἐπιφυόμενος, ἐδεῖτο βοηθῆσαι τοῖς ἀκληρήμασι. καὶ αὖθις, νυκτὸς γενομένης ἐπεφύοντο τοῖς δυσίν, ἀντὶ τοῦ κατήρχοντο, ἐπεχείρουν.

Ἐπιφώνημά ἐστιν, ἀπόδοσις τῆς ἰδιότητος τινὶ πράγματι δεικνυμένη, διὰ τοῦ δεικνύοντος. οἷον, ἐγὼ ὁ Οὐιργίλιος ψάλλω. ἐν τῷ ἐπιφωνήματι τέσσαρα ζητοῦνται, πρᾶγμα ἐπιφωνοῦν, πρώτου ἢ δευτέρου προσώπου. πρᾶγμα ἐπιφωνηθέν. ἀπουσία συνδέσμου. ἡ ἰδιότης τοῦ ῥήματος, πρώτου ἢ δευτέρου προσώπου.

Ἐπιχαίρειν, τὸ συνεπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς. ὁμοίως καὶ συγχαίρειν.

Ἐπιχαιρεκακία, ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς. οὕτως οἱ φιλόσοφοι.

Ἐπιχαλᾶ, τὴν τὸ κανοῦν φέρουσαν εἰς τὰς θυσίας θεράπαιναν.

Ἐπιχαλαζῶ, ῥῆμα. Λουκιανός, ἐπιχαλαζῶ πόρρωθεν αὐτοῖς.

Ἐπιχαλκῖται, ὁπλῖται.

Ἐπίχαλκον, τὸ στόμα τῶν αὐλῶν, διὰ τὴν φορβειάν, οἱονεὶ ἐπιστομίδα.

Ἐπίχαλκος ἀσπίς. ἔχει γὰρ χαλκῆν τὴν ἐπιβολήν, ἔνιαι δὲ βόειαί εἰσιν.

Ἐπιχάνῃ, ἐγγελάσοι. ἤτοι μέντοι ζῶν ἀπέλθοι, καὶ ἐπεγχάνῃ.

Ἐπι-

Digitized by Google

Ἐπιχάρης, ὄνομα. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος, Σικυώνιος προδότης.

Ἐπὶ Χαριξένης, ἐπὶ μωρίαις ἡ Χαριξένη διεβεβόητο ἀρχαία οὖσα. ἔνιοι δὲ καὶ ποιήτριαν αὐτὴν ἡρωϊκῶν λέγουσιν. ἔστι δὲ καὶ παροιμία, οἷα τὰ ἐπὶ Χαριξένης.

Ἐπίχαρις, ἐπιτερπής, ὁμιλητικός. ὁ δὲ σεμνὸς ὢν καὶ αὐθάδης ἄχαρις, ὅμως ἐπίχαρις ἦν ἐν ταῖς ὁμιλίαις. καὶ ἡ παρ' Ἀττικοῖς ἄβρα.

Ἐπιχαρίτως, ἀντὶ τοῦ κεχαριτωμένως. καὶ κεχαρισμένως, κεῖται παρὰ τῷ Ἀριστοφάνει.

Ἐπίχαρμα, χάρμα, ᾧ τινι χαίρει τις, καὶ ὁ ἐπίχαρτος.

Ἐπιχαταί, ἐνδεεῖς.

Ἐπιχειλῆ, τουτέστι χείλη μὴ ἔχουσαν, παρὰ τῷ Ἀριστοφάνει. ἄλλως, ἐνδεᾶ. ἐπιχειλὲς γὰρ μεῖζον λέγεται, τὸ μὴ πλῆρες, ἀλλὰ ἀπομεσούμενον.

Ἐπιχειμάζει, καὶ ἐγχειμάζει αὐτό. λέγεται δὲ ἐπιχειμάζειν, τὸ τὸν χειμῶνα διαβιβάζειν. ὁμοίως καὶ ἐναρίζειν, τὸ ἔαρ τοῦ διάγειν. καὶ ἐνθερίζειν, καὶ ἐνοπωρίζειν.

Ἐπίχειρα, τὰ διὰ τῶν χειρῶν κέρδη. κυρίως δὲ οἱ μισθοί.

Ἐπιχειρεῖν, τὸ χεῖρας ἐπιβάλλειν. κατὰ τό, ἐπὶ χεῖρας ἴαλλον. καὶ τὸ ἄρξασθαι δειπνεῖν, δείπνῳ ἐπιχειρεῖν περιφραστικῶς λέγει Ὅμηρος. ἔνθ' οἱ μὲν δείπνῳ ἐπεχείρεον, καὶ σίτῳ ἐπιχειρήσειν μεμαῶτες. καὶ ἐπιχειρεῖν, τὸ ἐρωτᾶν καὶ συλλογίζεσθαι. τὸ γὰρ ἐπιχείρημα, διαλεκτικός ἐστι συλλογισμός.

Ἐπιχειρήσειν, ἐπιβαλέσθαι. ἔγραφεν ἐπιχειρήσειν μέλλει τοῖς Σιγγάροις.

Ἐπιχειρία, χάριν ἐπιφέρουσα.

Ἐπίχειρον, ἀνταπόδοσις.

Ἐπιχειρονομοῦντες, ταῖς χερσὶν ὡς νέμοις χρώμενοι.

Ἐπιχειροτονία, ἡ τῆς χειροτονίας κατάστασις. Ὑπερίδης ἐν τῷ ὑπὲρ συμβίου, πρὸς Πυθέαν καὶ Λυκοῦργον.

Ἐπιχειρῶ, δοτικῇ συντάσσεται. Λουκιανός, ὃς μεθύσας κοιμωμένῳ ἐπιχειρήσας, ἐτύφλωσέ με, καὶ αἰσχροῖς ἐπεχείρησεν. ἢ ἐπιχειρῶ, τὸ πειρῶμαι, εἰς ἀπαρέμφατον τὴν σύνταξιν ἐπάγον. ἐπιχειρεῖ ὁ δεῖνα ἐξαπατᾶν τὸν δεῖνα. καὶ Θουκυδίδης, ἐπεχείρουν βιάσασθαι δρόμῳ, εἰς τὴν Ποτίδαιαν. ἐπιχειρῶ, καὶ τὸ ἐγχειρῶ καὶ ἐπιβάλλω, συντασσόμενον δοτικῇ. οἷον, ἐπιχειρῶ τυραννίδι.

Ἐπὶ χειρῶν ἀροῦσί σε, ἀντὶ τοῦ χειραγωγήσουσι, ποδηγήσουσιν, ὑπερείσουσιν ἀσθενοῦντα, παντοδαπὴν ἐπικουρίαν προσοίσουσιν.

Ἐπιχεῖς, μύρον ἐπιβάλλεις, παρὰ Ἀριστοφάνει.

Ἐπιχητίας, ἐνδεής.

Ἐπιχθεῖσθαι, βεβαιοῦσθαι.

Ἐπιχθονίων, ἐπιγείων. καὶ ἐπίγειος, χθὼν χθονὸς χθόνιος. διότι κατὰ φύσιν ἐπὶ τῆς χθονός εἰσι, πρὸς ἀντιδιαστολὴν τῶν οὐρανίων θεῶν.

Ἐπιχιλιάδιον, τὸ χιλιοστόν.

Ἐπιχιλές, τὸ ἐλλιπές.

Ἐπιχιλοῦντες, πληροῦντες.

Ἐπιχνοῦν, ἐπισιτισμένον, ἐπίπαγον, χνοώδη, παρὰ τῷ Ἱπποκράτει.

Ἐπιχνοάουσαι, ὡς χνοῦν ἔχουσαι τὰς λευκὰς φυομένας τρίχας, παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐπιχόα, κατάχυσις.

Ἐπιχρίσας, περιχρίας.

Ἐπίχρονος, ἐπίχαρτος.

Ἐπιχρηστίαι, ἐπιχρώμεναι.

Ἐπιχριμφθείς, ἐπικλιθείς.

Ἐπιχρίσασα παρειάς. Ὅμηρος, σιγᾷ τὸ τοῦ χρίσματος εἶδος σεμνῶς τε ἅμα, καὶ ὅτι μὴ καίριον ἦν ἐνδιατρίψαι ἐν τοῖς τοιούτοις. τὸ ἐπιχρίεσθαι ἀλοιφῇ, ἐντελέστερον εἴρηται τοῦ ἐπιχρίσασα παρειάς.

Ἐπιχρῶ, χρίω.

Ἐπίχυσις, κονίασις.

Ἐπίχυτον, εἶδος πέμματος, καὶ νομίσματος, ἐξ ἀργύρου ἢ μολίβδου κεχυμένον.

Ἐπίχυτος, ὁ ἔγχυτος πλακοῦς χειρογάστορσι. κόλικας, ὀβελίαν, μελιτοῦτταν, ἐπιχύτας.

Ἐπιχώνια, κάρυα.

Ἐπὶ χώρας, ἐπὶ τόπου.

Ἐπιχωρήσας, συμπαθήσας, παραχωρήσας.

Ἐπιχώρησις, συμπάθεια, παραχώρησις.

Ἐπιχωριάζω, ἀντὶ τοῦ ἐνδημῶ. καὶ ἐπιχωριάζω, τὸ τὰ ἐπιχώρια ἔθιμα πράττω. ἢ ἐπιχωριάζω, τὸ τὴν συνήθειαν τοῦ τόπου πράττω. οἷον ἐπιχωριάζει ὁ γεωργὸς κωμῶν, ἀντὶ τοῦ ἐπιχώρια πράττων. ἐπιχωριάζω, καὶ τὸ ἐμφιλοχωρῶ, καὶ ἐντρίβω. τὸ μὲν πρότερον ἀεὶ μετοχῇ συντακτέον. τὸ δὲ δεύτερον, δοτικῇ. οἷον, ἐπιχωριάζει ἐκ τοῦ Βυζαντος τοῖς πολίταις.

Ἐπιχώρια, συκοφαντικά. εἰς τοῦτο γὰρ Ἀθηναῖοι κωμῳδοῦνται.

Ἐπιχωρεῖ, ἐπιγητνιᾷ.

Ἐπιχώριον, τὸ ἐντόπιον.

Ἐπιχώρισον, ὕπαγε, μείωσον.

Ἐπιψαύειν, δοτικῇ, ἐπιθιγγάνειν.

Ἐπιψαῦσαι, ἐφάψασθαι.

Ἐπιψαύσῃ, ἐπιθίγῃ, ἅψηται.

Ἐπιψηφίζω, τὸ ἐπικυρῶ. οἷον ἐπιψηφίζω ἐγὼ τοῖς παροῦσιν, ἀντὶ τοῦ ἐπιβεβαιῶ. καὶ ἐπιψηφίζω ἕτερον, ἀντὶ τοῦ μάρτυρα ἐφ' οἷς λέγω, καλῶ. Πλάτων ἐν Γοργίᾳ, Μὴ οὖν με μὴ κέλευε ἐπιψηφίζειν τοὺς παρόντας. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ. καὶ ἕνα ἐπιψηφίζειν ἐπίσταμαι. καὶ ἐπιψηφιζόμενος, ἐπικρίνων.

Ἐπιψίσει, ἐπιψιεῖ, ἐπιψωμιεῖ.

Ἐπιωγαί, ἐξοχαί. κατὰ τοὺς παλαιοὺς καὶ πλατεῖς αἰγιαλοί. μάλιστα δὲ τόποι ἀνέμου σκέπην ἔχοντες. ἔνθα ἰωή, τουτέστι πνοὴ ἄγνυται, μὴ δυναμένη δηλαδὴ προϊέναι.

Ἐπιών, ἐπιπορευόμενος.

Ἐπιόψατο, ἀντὶ τοῦ κατέλεξεν, ἐξελέξατο.

Ἐπλαγγίθη, ἐπλανήθη.

Ἔπλαγον, καὶ ἔπληγον γράφεται. εἰ μὲν σωματικῶς ᾖ, δεῖ λέγειν ἔπληγον διὰ τοῦ η. ἐξ οὗ καὶ τὸ ἐπλήγην. εἰ δὲ ψυχικῶς ᾖ, δεῖ λέγειν ἔπλαγον. ἐξ οὗ τὸ ἐπλάγην, καὶ ἐξεπλάγην, καὶ κατεπλάγην. ὁ ποιητὴς δὲ ἐπὶ ψυχικῆς διαθέσεως, κατεπλάγην εἶπεν.

Ἐπλάδα, κατέδυεν.

Ἔπλαζε τοὺς ὤμους κάθυπερ, ἤγουν εἰς τοὺς ὤμους ἐπέλαζεν. ἢ ἐπλάνα καὶ διεσάλευεν αὐτούς.

Ἐπλαζόμην, ἐπλανώμην.

Ἐπλακίζετο, τὰς κοιλίας εἷλεν.

Ἔπλασεν, ἀντὶ τοῦ διετύπωσε καὶ διεμόρφωσεν. ὡς φαμὲν ἀνδριάντα ἔπλασεν, ἔπλασεν ἄγαλμα. καὶ ἡ πλαστικὴ αὕτη δημιουργοῦσα τέχνη. καὶ ἔπλασε λόγον, τουτέστι ψευδῆ λόγον εἶπεν.

Ἐπλαστολόγει, ἐψεύδετο, ἐπλάττετο, ὑπεκρίνετο.

Ἐπλαταγήσεν, ἐψόφησεν. ἔνθεν τὸ πλαταγώνιον ξύλινον, ᾧ ψοφοῦσιν.

Ἐπλάττετο, ὑπεκρίνετο.

Ἔπλει, ἐπορεύετο. καὶ ἔπλεο, ἐγένου.

Ἔπλει, ἔπλεεν.

Ἔπλεο, πέλου. ὃ οὔτε πρὸς τὸ ποιητικὸν τὸ ὑψηλὸν καὶ ἡρωϊκὸν καθαρῶς ἀποκλίνει, οὔτε ἐν τῷ πεζῷ λόγῳ θαρρούντως ἂν αὐτῷ χρήσαιτό τις. ἁρμόζει γὰρ τραγικῇ ποιήσει τὸ πέλομαι. ἔστιν ὅτε χρῶνται ἐπὶ τῆς σημασίας τοῦ πέλω. κυρίως δὲ αὐτὸ ἐπὶ τοῦ γίνομαι τιθέασιν. ἔπλεο, ἀπὸ τοῦ ἐπέλεο, κατὰ συγκοπήν, ἀντὶ τοῦ ἐγένου, παρατατικὸς ἀντὶ ἀορίστου.

Ἔπλετο, ἐγένετο, ἐλύετο, ὑπῆρχεν.

Ἔπλευ, ἐγένου. καὶ ἔπλεο, ἐκ τοῦ πέλω, καὶ ὑπερβιβασμῷ πλέω. πλέομαι, παρατατικὸς ἐπλεόμην, ἔπλεο, καὶ ἔπλου, καὶ κατὰ διάλυσιν ἰωνικὴν ἔπλεο. ἢ πέλω, πέλομαι, ἐπελόμην, καὶ κατὰ συγκοπὴν ἐπλόμην, ἐπέλου, καὶ κατὰ συγκοπὴν ἔπλου, καὶ διαλύσει ἔπλεο.

Ἔπλην, ἐπλησίαζον.

Ἐπλήγην, ἐμάνην, ἐθαυματίσθην.

Ἐπλημμέλησαν, ἠτάκτησαν, ἐρρᾳθύμησαν. πλημμελὲς γάρ, τὸ ῥᾴθυμον καὶ ἀπαίδευτον.

Ἔπλητο, ἐκ τοῦ πλῶ, τὸ πλησιάζω. ὁ παρακείμενος πέπληκα, ὁ παθητικὸς πέπλημαι, ὁ ὑπερσυντέλικος ἐπεπλήμην. τὸ τρίτον τῶν πληθυντικῶν, ἐπέπληντο, ἀποβολῇ τοῦ ε ἔπληντο.

Ἐπλώετο, ἐπλησίαζεν, ἤγγιζεν.

Ἐπλήθη, ἐγεμίσθη.

Ἐπλήθησαν, ἐπληρώθησαν.

Ἐπλινθεύθησαν, τὸ κατακλεισθῆναι περιοικοδομήματι μόνον, ὥστε ἔξοδον μὴ εἶναι, καὶ ἔσω παντελεῖ ἀπορίᾳ ποτοῦ καὶ τροφῆς τεθνάναι, πλινθευθῆναι λέγεται. ἢ τὸ ἐπλινθεύθησαν, τέσσαρα σημαίνει. ἢ ὅτι εἰς πλίνθους μετεπλάσθησαν, ἢ ὅτι πλίνθοις ἀπετειχίσθησαν, ἢ ὅτι ὑβρίσθησαν, ἐπειδὴ οἱ αἰχμάλωτοι τιτρασκόμενοι, εἰς πλίνθους ἐβάλλοντο.

Ἐπλωίσατο, ἔπλευσεν.

Ἔπνει δεινόν, ὠργίζετο.

Ἐπνεύσθη, ἠγέρθη, ἀνεβίωσεν.

Ἔπνυτο, ἐφρόνησεν.

Ἐπωβελίαι. Διογένης ἐν τῷ κατὰ Στεφάνου, ἐπιτίμιόν ἐστιν ἡ ἐπωβελία τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὅπερ ἐδίδοσαν οἱ διώκοντες τοῖς φεύγουσιν, εἰ μὴ ἕλοιεν. ἐκαλεῖτο δὲ οὕτως, ὅτι καθ' ἑκάστην δραχμήν, ὀβολὸς ἦν. ὅπερ ἕκτον ἐστί, ἐν ἓξ ὀβολοῖς τῆς δραχμῆς λογιζομένης. ἐκ πολλῶν δὲ ἐκινεῖτο, οὕτως ἔχον μαθεῖν. καὶ ἐπωβέλια, τόκος.

Ἐπόγδοον, τὸ δεδανεισμένον, ὥστε τοῦ κεφαλαίου τὸ ὄγδοον μέρος λαβεῖν τὸν δανειστήν, οἷον τριώβολον τεττάρων δραχμῶν.

Ἐπόγδοον, τόνος μουσικός.

Ἐπόγκιαι, αἱ τοῦ πλοίου παραθῆκαι.

Ἐποδήγει, ὡδήγει.

Ἐπόθησεν, ἠθέλησεν, ἐβουλήθη. ἐπόθησε τοὺς ἱππέας ἀποφυγεῖν.

Ἐποίησά τι ἀγαθόν, καὶ τι καλόν.

Ἐποίησεν, ἀντὶ τοῦ ἔπλασεν. ἀμφοτέρους δὲ ὁ Κύριος ἐποίησεν.

Ἐποικίδιν, Δημήτηρ ἐν Κορίνθῳ.

Ἔποικος, μέτοικος, ὁ ἐν πόλει, παρὰ Θουκυδίδῃ. ἄποικος δὲ ὁ ἐν ἐρήμῳ τόπῳ πεμπόμενος οἰκῆσαι.

Ἐποικτίσας, οἰκτείρας.

Ἐποίμνιον, διηκόνουν, ἐπορεύοντο, ἐθεράπευον, ἐνήργουν.

Ἐποίνασε, λύτρον ἀπέδοτο, ποινὴν ἔλαβε τοῦ νεκροῦ.

Ἐποίνιος, μέθυσος.

Ἕποιμ' ἄν, ἀκολουθοίην.

Ἐποῖσαι, ἐπενέγκαι.

Ἐποίσει, ἐπενέγκει.

Ἐποισθήσεται, ἐπενεχθήσεται.

Ἕποιτο, ἀκολουθείτω.

Ἐποίχεται, διαπορεύεται.

Ἐποιχνεῖ, ἐπιφοιτᾷ.

Ἐποιχόμεθα, ἐπερχόμεθα.

Ἐποιχόμεναι, διακονοῦσαι, ἐπιπορευόμεναι, ἐργαζόμεναι, ὑφαίνουσαι. αἱ γὰρ Ἡρωΐδες, ὀρθαὶ ὕφαινον.

Ἐποιχομένην, ἀντὶ τοῦ ἰστουργοῦσαν, καὶ ὑφαίνουσαν. οἴχω, οἴχομαι. ἢ ἐποιχομένην ἱστόν, περιφραστικῶς ἀντὶ τοῦ ὑφαίνουσαν. ἑστῶσαι γὰρ καὶ ἐπιπορευόμεναι ὕφαινον, αἱ ποιούμεναι τὴν ἱστουργίαν, διὰ τὴν τῶν ὑφαινομένων ὡς εἰκὸς πλατύτητα. πρώτη δέ τις αἰγυπτία γυνὴ καθεζομένη ὕφαινεν, ἀφ' ἧς καὶ Αἰγύπτιοι Ἀθηνᾶς ἄγαλμα καθημένης ἱδρύσαντο. καὶ ἄλλως δὲ ἱστὸν ἐποιχομένην, ἀντὶ τοῦ ἐπιστατοῦσαν ταῖς ὑφαινούσαις, καὶ περιϊοῦσαν, καὶ ἐπισκεπτομένην αὐτάς τε, καὶ ὅσα ἔργα χρήσιμα ταῖς ἱστουργούσαις. γυναικεῖον δὲ τὸ ἱστουργεῖν, παρ' Ὁμήρῳ.

Ἐποκεῖλαι, ἐπὶ τὸ ξηρὸν ἐλθεῖν.

Ἐποκέλλουσιν, ἐπίζουσιν, ἐπικαθίζουσιν.

Ἐπολιάρχει, τῆς πόλεως ἦρχεν.

Ἐπόλιος, εἶδος ὀρνέου νυκτερινοῦ.

Ἐπόλισεν, ἔκτισεν.

Ἔπολμις, εἶδος μάντεως.

Ἐπολυώρησας, ἐφύλαξας, ἐφρόντισας.

Ἕπομαι ἐνεστώς, εἱπόμην παρατατικός, ἕψομαι μέλλων, ἑσπόμην δεύτερος ἀόριστος, κατὰ τὴν ἀκολουθίαν τοῦ ἔχον. τὸ πρῶτον τῶν πληθυντικῶν, ἑσπόμεθα.

Ἕπομαί σοι, καὶ ἕπομαι μετὰ σοῦ. ὡς τό, ἕπου μετ' ἐμοῦ παιδάριον.

Ἐπομβρία λέγεται, ὅταν ἐπάλληλοι ὄμβροι ὦσιν,

Digitized by Google

σιν τὸ ἐναντίον ἡ ἀνομβρία. αὐχμὸς δὲ, ἡ ἀπὸ τῆς ἀνομβρίας ξηρότης. ἀφ' οὗ αὐχμηρὸς, καὶ αὐχμώδης ἁπλῶς, ὁ ξηρότητος μετέχων.

Ἐπομοσάμενος, δεξάμενος.

Ἐπόνουν, ἐκακοπάθουν.

Ἐπόπιζε, ἐντρέπου, ἐπιστρέφου, κατασκόπαζε, φυλάσσου.

Ἐποποὶ, καὶ τὰ τοιαῦτα παρὰ τῷ Ἀριστοφάνει, δεῖ ὀξυτόνως προφέρεσθαι. ὥστε ἦχον ὀρνέου προφέρεσθαι κατὰ μίμησιν.

Ἐποποῖ, Σύμμαχος καὶ Δίδυμος προπαροξύνουσιν. οἱ δὲ περισπῶσιν, ἵν' ᾖ ἐπίρρημα ἀντὶ τοῦ ἐποπιστί. εἰ δὲ παροξύνοιτο, δῆλον ὅτι ἐσχημάτισται ἀπὸ εὐθείας τῆς ἔποπος.

Ἐποποιΐα, ἡ διὰ ἡρωϊκοῦ μέτρου ἱστορία. καὶ γὰρ συνειρημένη μέτρου ποίησις, ἐποποιΐα ἐστίν.

Ἐποπολύζει, θρηνεῖ.

Ἐπόππυσε, παρὰ τῷ Ἀριστοφάνει, ἐσύρισεν, ἵνα οἱ δράκοντες ἐξέλθωσι δηλονότι.

Ἐπόπται, θεαταί.

Ἐποπτεία, ἡ ἐπίσκεψις.

Ἐποπτεύειν, κυρίως ἐστὶ τῷ ἐπὶ ἔργα ἰδεῖν. τίθεται ἔτι καὶ ἐπὶ ἔργων τηρήσεως. ὕστερον δὲ παρ' Ἀθηναίοις ἱερὰ λέξις ἐστὶν, ὡς δηλοῖ καὶ παρὰ τῷ Κωμικῷ, τὸ μάλ' ἐποπτεύειν δοκῶ.

Ἐποπτεύοι, ὑπολάβοι, νομίσοι.

Ἐποπτεύω, τὸ ὁρῶ, οἷον ἐποπτεύειν δοκῶ.

Ἐπόπτης, καὶ μύστης, διαφέρει. οἱ τὰ μυστήρια παραλαμβάνοντες, λέγονται ἐν ἀρχῇ μὲν μύσται. μετὰ δὲ ἐνιαυτὸν, ἐπόπται καὶ ἔφοροι.

Ἐπόπτης Ζεὺς, ἤγουν θεατής.

Ἐποπτήσαντες, θεωρήσαντες.

Ἐπορβεῖται, φθονεῖ.

Ἐπόργῃ, ἐπιτρόπῳ.

Ἐποργῶσα, μηνιῶσα, καὶ ἀντὶ τοῦ ὁρμῶσα.

Ἐπ' ὄρει, ἐπὶ τῷ ὄρει.

Ἔπορεν, ἔδωκεν, ἐχαρίσατο.

Ἐπορεξάμεναι, ἐπεκταθεῖσαι, παρὰ τῷ Ἱπποκράτει.

Ἐπορεξάμενος, ἐφορμήσας, περιελθὼν, ἐπιλαβόμενος.

Ἐπόρευσε, διεπέρασεν.

Ἐπόρθμευεν, ἔπλεεν.

Ἐπόρθουν, κατέσκαπτον, ἐδίωκον.

Ἐπορθοῦσαι, τοῦ ὄρθρου ἐπεγερθεῖσαι, ἢ ἀφυστερεῦσαι.

Ἐπόρκιον, ἐπορκίσει, ἐπιορκίᾳ.

Ἐπ' ὄρνισι κάθηνται, οὐκ ὀρνεοσκοπεῖ.

Ἐπορούειν, οὐ μόνον τὸ πολεμικῶς ἀφορμᾶν, ἀλλ' ἔστιν οὗ καὶ προσηνῶς. Ἀθήνη γοῦν Τυδείδῃ ἐπόρουσεν, ἤγουν ἁπλῶς εἰς αὐτὸν ἦλθεν.

Ἔπορσον, ἐφόρμησαι, ποίησον.

Ἐπορσύνετο, ἡτοιμάζετο.

Ἔπος ἔφατ' ἔκ τ' ὀνόμαζε, τόν τε λόγον εἶπε, καὶ τὰ μέρη αὐτοῦ διεξήει. ἢ ἔπος γὰρ τὸ λόγιον ποιητικῶς, καὶ ὁ ἔμμετρος στίχος. ἡμῖν μὲν χρήσιμον μόνον οὕτως ἐκλαβεῖν ἐν γραφῇ, ὡς ἔπος εἰπεῖν, ἀντὶ τοῦ ὡς ἐν λόγῳ εἰπεῖν, ἢ συντόμως. τοῦτο γὰρ ὡς ἂν εἴπῃ τις, εἰς παροιμίαν ἔπεσεν. ἢ ἔπος, ὁ ἔμμετρος λόγος. ἀφ' οὗ ἐπύτης ποιητικῶς, ὁ λόγιος. ἔπω, τὸ λέγω, ἄχρηστον. μετὰ δὲ τῆς ἐν προθέσεως, ἐν χρήσει παρὰ τοῖς ποιηταῖς, οἷον ἐννέπω. ἕπομαι δὲ, τὸ ἀκολουθῶ. καὶ ἔπος πρὸς ἔπος ἠρειδόμεθα. τουτέστιν, ἀντεβάλλομεν, καὶ ἐφιλονεικοῦμεν.

Ἐποσσόμενος, προσορώμενος.

Ἐποστρακίζειν, παιδιά τις, ἣν παίζουσιν οἱ παῖδες, ὄστρακα ἐφιέντες εἰς θάλασσαν.

Ἐπόχιον, κλῆμα ἐξ οὗ πέφυκέ τι, ὥσπερ τῆς σικυώνης, παρὰ τῷ Ἱπποκράτει.

Ἐπότευ, διατί, ἢ ἐπὶ τίνος.

Ἐποτίδιζε, κατέβαλεν ἐπὶ γῆν.

Ἐποτρύνει, παροξύνει, διεγείρει. ἐποτρύνειν, καὶ ἀνιέναι εἶπεν ὁ ποιητής. ὅπερ ἐστὶ φασὶ λέξις κυνηγετική, ὅτε τις κύνα τοῦ δεσμοῦ ἀνεὶς, ἀφήσει κατὰ θηρός.

Ἕπου, ἀκολούθει. καὶ ἕπου κατεπείγων, ἀντὶ τοῦ ἕπου σαυτὸν κατελαύνων.

Ἐπ' οὖδας, ἐπὶ τὸ ἔδαφος.

Ἐπουδαῖοι, ἐπιχθόνιοι.

Ἐπ' οὐδὸν, ἐπὶ τὴν φλιάν. ἐπὶ τὸ πρόθυρον.

Ἐπ' οὔρει, ἐπὶ τῷ ὄρει.

Ἐπουρίσας, ἐφορμήσας.

Ἐπούρισεν, ὥρμησεν, ἀπέπεμψεν.

Ἔπουρος, εἶδος ἰχθύος.

Ἔπουσεν, ἐπ' εὐθείας ἤγαγεν.

Ἐπούσῃ, πονουμένῃ, φοιτώσῃ, ποιουμένῃ.

Ἔπουσιν, ἐνεργοῦσιν, ἀκολουθοῦσιν.

Ἐπουσιῶδες, οὔτε παρὸν σώζει, οὔτε ἀπὸν φθείρει. ὡς ἐπὶ τοῦ λευκοῦ.

Ἐπουσιώδη, τὰ ἀχώριστα συμβεβηκότα, οἱ φιλόσοφοι καλοῦσιν.

Ἐπουτὶς οὐσία, παρὰ Ῥοδίοις.

Ἐποφθαλμιάσωσιν, ἀντὶ τοῦ ἐφ' ἑτέροις ἐρείσωσιν ἐρωτικῶς τοὺς ὀφθαλμούς. τουτέστιν, ἐρασθῶσιν ἑτέρων.

Ἐποφθαλμίσας, φθονήσας, ἢ ἐπιθυμητικῶς ἐπιβαλών.

Ἐποφρυδῶν, μετώπων.

Ἐποχεῖται, ἐπικάθηται.

Ἐπόχεται, ἐπιπορεύεται.

Ἐποχετεῦσαι, ἐπιρρεῦσαι.

Ἐποχὴ, κατοχή. ἢ δίκτυα ἀγρεύοντα τοὺς ἰχθύας. ἐποχή ἐστι, καὶ ἡ μοῖρα ἐν ᾗ καταλαμβάνεται ὅτε ἥλιος καὶ ἡ σελήνη, καὶ ἕκαστος τῶν πλανήτων.

Ἔποχοι, οἱ ἐπὶ τῶν ὀχημάτων διαβαίνοντες.

Ἐποχούμενος, βασταζόμενος.

Ἐποχωτέρα, ἐπιμονωτέρα.

Ἔποψ, ἐπόπτης, δυνάστης. καὶ εἶδος ὀρνέου.

Ἐπόψεται, θεάσεται.

Ἐπόψιος, ἔποπτος. Ζεὺς, καὶ Ἀπόλλων.

Ἐπόψομαι, θεωρήσω.

Ἐπράδειν, ἐπέπαρδεν. ὃ καὶ ἀποπαρδεῖν λέγεται.

Ἔπραθεν, ἐπόρθησεν.

Ἐπράνωσε, κατέβαλεν.

Ἔπραξε τὸ χρέος λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ εἰπεῖν ἀπήτησε τὸ χρέος.

Ἐπράξατο, ἀπήτησε. τοὺς Βυζαντίους καί τινας ἄλλους ἐπράξατο.

Ἔπρασσεν, ἐπραγματεύετο.

Ἔπρασσον, ἐβουλεύοντο. ὡς τὸ, ἀλλήλοις συγγινομένοις ἔπρασσον.

Ἐπραττόμην, ἀπῄτουν.

Ἔπραττον κακῶς, ἀντὶ τοῦ ἐδυστύχουν. ἔπραττον καλῶς, ἀντὶ τοῦ εὐτύχουν. ἢ ἔπραττον, ἐπεβούλευον, προεδίδοσαν. ἐπεσπῶντο τοὺς Αἰτωλοὺς, καὶ τούτοις ἔπραττον τὴν πόλιν, ἀντὶ τοῦ ἠγόραζον.

Ἐπρέσβευε, πρεσβύτατος ἦν.

Ἐπρέσβευσεν, ἐτίμα. ὁ δὲ Σωκράτης ἠθικὴν φιλοσοφίαν ἐπρέσβευσεν.

Ἔπρηξας, ἀντὶ τοῦ ἔπραξας. ἢ ἔπρηξας, ἐτέλεσας, ἐπλήρωσας, ἐφύσησας, ἐκύρτωσας.

Ἔπρηξεν, ἔπεσεν, ἐκρύβη.

Ἔπρησαν, ἔκαυσαν. καὶ ἔπρασεν, ἔκαυσεν.

Ἐπρίατο, ἠγόραζε. παρατατικὸς ἐκ τοῦ πρίαμαι.

Ἐπρυτάνευσε, παρέσχε, διῳκήσατο. δῶρά τε πέμπει ἐπὶ φιλίᾳ καὶ συμμαχίᾳ, ἣν στρυγγαῖος ἐπρυτάνευσεν.

Ἔπρωσεν, ἐμοίρασεν.

Ἑπτὰ, ἐπὶ ἀριθμοῦ. ἀφ' οὗ ἕβδομος, τρεπομένου τοῦ π εἰς β, καὶ τοῦ τ εἰς δ, οἰκείως. ἐπεὶ τὸ β μέσον ἐστὶ τοῦ π καὶ φ. τὸ δὲ δ τοῦ θ καὶ τ. οὕτω γίνεται καὶ τὸ ὄγδοος, ἀπὸ τοῦ ὀκτώ.

Ἑπταβόειον, ὡς ἑπτάβυρσον. βόες γὰρ νῦν τὰ ὠμοβόεια, ἤγουν αἱ βύρσαι. ὅθεν καὶ βόας αὔας, ἤγουν ξηρὰς τὰς ἐκ τούτων τῶν βυρσῶν λέγει πού ὁ ποιητής, κληθέντος τοῦ μέρους τῷ τοῦ ὅλου ὀνόματι. ὥσπερ καὶ ἐλέφας, τὸ τοῦ ἐλέφαντος ὀστοῦν εἴρηται.

Ἑπταβοείους, ἀντὶ τοῦ μεγάλους. ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος Αἴαντος εἶπεν Ἀριστοφάνης.

Ἑπταγράμματον, τὸ ὀργίλον, ἢ σκληρὸν, καὶ σάραπιν.

Ἐπτάγρυτο, ἐπταίρνυτο.

Ἐπταίενον, ἐπταιετῶ.

Ἐπταικὼς, σφαλείς. ὁ δὲ ὑπερβαίνων τὸν οὐδὸν τῆς αὐλῆς, ἔπταισε βιαιότερον, καὶ πρὸς γῆν κατηνέχθη.

Ἐπτακέναι, κεκρυφέναι.

Ἑπταπέκτινος, ἡ βαθείας τρίχας ἔχουσα.

Ἑπταπλασίονα, πολυπλασίονα.

Ἑπταπόδην, τηλικοῦτον τῷ μεγέθει, ἑπτὰ ποδῶν ἔχατον.

Ἑπτάπορος, ποταμὸς ἐν Τροίᾳ.

Ἑπτάπους σκιά. τοῖς ποσὶ καταμετροῦν τὰς σκιὰς, ἐξ ὧν τὰς ὥρας ἐγίνωσκον.

Ἑπτάπυλον Θήβην, ἑνικῶς λέγει τὰς Βοιωτίας Θήβας, πρὸς διαστολὴν τῶν ἑκατομπύλων Αἰγυπτίων. σημειωτέον, ὅτι πολλὰ ὀνόματα εὕρηται καὶ ἑνικῶς λεγόμενα, καὶ πληθυνόμενα, ὡς καὶ ὅτε Κρήτην καὶ Κρήτας τὴν αὐτὴν νῆσον λέγει Ὅμηρος. οὕτως ἐπαμφοτερίζει καὶ τὸ τῆς Θήβης ὄνομα, καὶ τὸ τῆς Μυκήνης. λέγει ὥσπερ καὶ τὴν Μάλειαν Μαλείας, καὶ Μαλειάων ὄρος αἰπύ. τούτῳ δὲ τρόπῳ καὶ ὄρος τὸν Ἄτλαντα πληθυντικῶς ἔφη τις Ἄτλαντας, καὶ τὸν Ἄρειον πάγον, Ἀρείους πάγους.

Ἑπτάστομον, ἑπτάπυλον.

Ἔπταρον. Ἀριστοφάνης, Κἄπειτα πῶς οὐκ ἔπταρον, ἤγουν οὐκ ᾐσθόμην. ὁ γὰρ πταρμὸς, κεφαλῆς αἴσθησις. ἢ ἐπειδὴ οἱ θίγοντες τοῦ μυκτῆρος λεπτῷ κάρφει πταρνύωνται, ἢ ὀσφραίνονται προσενεγκόντες. οὕτω φασὶν ἤψατό μου ἡ πληγὴ, ὃν τρόπον ἅπτεται κάρφος μυκτῆρος.

Ἔπτατο, ἐκ τοῦ πτῶ πτῆμι, πτήσω. ὁ δεύτερος ἀόριστος ἔπτην. ὁ μέσος ἐπτάμην, ἔπτασο, ἔπτατο. ἢ ἔπτατο, μέσος ἀόριστος. οὗ χρῆσις παρὰ Σοφοκλεῖ, ἐν τῷ περιχαρὴς δ' ἀνεπτάμην. ἐξ αὐτοῦ δὲ καὶ πτέσθαι ἀπαρέμφατον. καὶ παρ' Ὁμήρῳ ἐν τῷ καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων. ἐκ μέντοι τοῦ ἔπτατο, πτάσθαι εἶπεν Εὐριπίδης. οἷον εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος. καὶ πτέσθαι, τὸ πετάσαι. ἐκ δὲ τοῦ ἐπτάμην, ἡ μετοχὴ ὁ ἀποπτάμενος. καὶ ἔπτατο, διεφορήθη, ἠφανίσθη.

Ἑπτάτονος, ἑπτάχορδος.

Ἕπταχα, γίνεται ἐκ τοῦ ἑπταχῆ. ὁμοίως τῷ διχῆ, δίχα. καὶ ἐν τοῖς ἑξῆς, τέτραχα, πένταχα, ἕξαχα.

Ἑπτάχορδα, παλαιὰ μέλη, δι' ἑπτὰ χορδῶν ᾀδόμενα.

Ἐπτέρνισεν, ἠπάτησεν, ἢ ἐνίκησεν, ἐσκέλισεν.

Ἐπτεροῦτο, ἐκουφίζετο.

Ἐπτερύγη, ἀνέπτη.

Ἐπτερύξατο, προσετρίψατο.

Ἐπτέπεκτος, ἡ βαθεῖαν ἔχουσα κόμην, ἡ ἑπτάκις δυναμένη καρῆναι. πέξαι γὰρ, τὸ κεῖραι, ἢ κτενίσαι.

Ἔπτη, ἐπετάσθη.

Ἔπτηξεν, ἐφοβήθη, συνεστάλη, ἐταπεινώθη.

Ἐπτηχότες, δειλιῶντες, φοβούμενοι.

Ἐπτοημένος, θαυμάζων, ἢ πεφοβημένος.

Ἐπτοίησε φρένας παρ' Ὁμήρῳ, τουτέστιν ἐπτόησεν. ἢ καὶ ἄλλως, τῶν φρένες ἐπτοίησαν, τουτέστιν ἐβλαβήθησαν, ἐπτοήθησαν. εἶτα τὴν τοιαύτην πτοίαν διὰ παραβολῆς ἑρμηνεύων φησὶν, οἱ δ' ἐφέβοντο κατὰ μέγαρον βόες ὡς ἀγέλαιαι, ἐν Ὀδυσσείᾳ.

Ἐπτοίηται παρ' Ἡσιόδῳ, ἀντὶ τοῦ ἐπτόηται κεῖται, ἤγουν ἠχόλωται.

Ἐπτόκασιν, ἐκάλυψεν.

Ἐπτόλιθον, τὸ ὄργανον πρὸς συνουσίαν.

Ἐπτύσκιον, ἀνδρεῖον ὑπόδημα.

Ἐπτύσσοντο, ἐκραδαίνοντο.

Ἐπτωκὼς, σφαλεὶς, ἢ πεπτωκώς.

Ἐπύθετο, ἤκουσεν, ἠρώτησεν, ἔμαθεν.

Ἐπυθόμην μεγακλέα λέγομεν. τὸ δὲ μάχης ἐπύθοντο, ἀντὶ τοῦ ᾔσθοντο.

Ἐπύκασεν, ἐστεφάνωσεν, ἐσκίασεν, ἐσκέπασεν.

Ἐπύκλισεν, ἀνεκάλυψεν.

Ἐπυλλίοισιν, ἀντὶ τοῦ λογίοις μικροῖς, παρὰ τῷ Ἀριστοφάνει. ὡς βρέφος βρεφύλλιον, οὕτω καὶ ἔπος ἐπύλλιον ὑποκοριστικῶς.

Ἐπύργωσε, πυρκαϊὰν ἐποίησεν.

Ἐπυρώθη, ὡς ἐν χωνείᾳ ἐδοκιμάσθη.

Ἐπυστιᾶτο, ἐπυνθάνετο.

Ἔπω, τὸ λέγω ψιλοῦται, καὶ ἐνεργητικῶς ἀεὶ γράφεται.

Digitized by Google

φεται. ἢ ἔπω τὸ λέγω ἄχρηστον, παρὰ τοῖς ποιηταῖς ἐννέπω. ὁ μέλλων ἕψω, ἄχρηστος. ὁ ἀόριστος εἶπα, ἄχρηστος ῥήτορσιν. οὐ τὸ δεύτερον εἶπας ἄχρηστον, ἡ δὲ ἄλλη κλίσις αὐτοῦ εὔχρηστος. ὁ δεύτερος ἀόριστος εἶπον, εὔχρηστον. τὸ δεύτερον αὐτοῦ ἄχρηστον. εἰ δὲ μετὰ τοῦ ἂν συντεθῇ, εὔχρηστον. οἷον εἴπεις ἄν, καὶ πᾶσα δὲ κλίσις αὐτοῦ εὔχρηστος. ὡσαύτως καὶ ἡ εἰς ἑτέρας ἐγκλίσεις αὐτοῦ κλίσις, εὔχρηστος. οἷον, εἰπεῖν ἀπαρέμφατον, καὶ εἰπὲ προστακτικόν. τούτου δὲ ἡ ἄλλη κλίσις, ἄχρηστος. ἀντ' αὐτοῦ γράφεται, τὸ εἶπον. προστακτικοῦ ἄχρηστος ἡ ἅπασα κλίσις. οἷον τὸ εἰπάτω, καὶ τὰ ἄλλα. καὶ εἴποιμι, εὐκτικόν. καὶ εἴπω ὑποτακτικόν, καὶ εἰπὼν μετοχή. ὁ μέντοι δὴ εἶπα ἀόριστος, ἐπ' οὐδεμίαν ἔγκλισιν μεταβαίνων οὐκ ἐν χρήσει γίνεται ῥήτορσι, ποιηταῖς δὲ μόνοις. καὶ τούτων μάλιστα τοῖς Δωρίζειν καὶ Ἰωνίζειν εἰδόσι χρήσιμος γέγονεν. ἢ ἔπω, τὸ δ' ἐξεπίζω. καὶ ἔπω τὸ διοικῶ.

Ἐπωβελίαν, ζημίαν. ὅ ἐστι τὸ ἕκτον μέρος τοῦ τιμήματος, ἢ τὸ ἕκτον τίμημα τῆς δίκης. ἡ ἐπωβελία ἐστὶ, τὸ κατὰ τῶν ἐγκαλούντων ἐκτείνειν ὀβολόν. ταύτην δὲ τὴν ζημίαν ἔταξαν Ἀθηναῖοι. ἡ ἐπωβελία, περιβόλιον τῆς δίκης. ἔστι δὲ τὸ ἀκόλουθον τῆς καταδίκης, τίμηματι τόλμημα. ὡς Δίδυμος, τὸ ἕκτον μέρος τοῦ τιμήματος. οἱ δὲ τὸ δέκατον.

Ἐπῶδεις, δυσώδεις, τὸ οἷον ἐπόζον, παρὰ τῷ Ἱπποκράτει.

Ἐπωδὸς, ἡ ἐπάδουσα τοῖς νοσοῦσι παισί. καὶ ἐπωδὴ, ἡ γοητεία.

Ἐπώζειν ἐστὶ, τὸ ἐπὶ τοῖς ὠοῖς καθεζόμενα τὰ ὄρνεα κρώζειν. παρὰ δὲ τῷ Ἀριστοφάνει τίθεται ἀντὶ τοῦ κρύπτεσθαι. ὡς τὸ, ἐμβὰς ἐπῶζε.

Ἐπ' Ὠκεανοῖο ῥοάων, ἀντιπτωτικῶς εἴρηται ἀντὶ τοῦ ἐπ' Ὠκεανοῖο ῥοάς. χρῶνται δὲ τῷ σχήματι τούτῳ μάλιστα καὶ οἱ συγγραφεῖς. οἷον, ἤλασεν ἐπὶ τῆς δεῖνα πόλεως, ἢ ἀπῆλθεν, ἢ τι τοιοῦτον.

Ἐπώκειλαν, εἰς λιμένας ἤγαγον. ἐπώκειλαν τὴν ναῦν, ἐπανέπαυσαν.

Ἐπώλησε, διέπρασε.

Ἐπώμαδον ἠρπάζεν, κατὰ τοὺς ὤμους ἐβάσταζεν, ἐπὶ τῶν ὤμων ἦρεν.

Ἐπώμαιος, τοῦ ψελλοῦ ἐπώμαιος, ὁ τράχηλος. ἔρσιον, τὸ δροσῶδες.

Ἐπωμίδιον, ὡς λέντιον, ἱερατικὸν περιβόλαιον.

Ἐπωμὶς, εἶδος περιβολαίου. ἐπωμίδες δὲ καὶ ἀναξυρίδες, καὶ τῶν ὑποδημάτων τὰ πλεῖστα. ἢ ἐπωμὶς, τὸ ὑπερέχον τοῦ βραχίονος, καὶ εἶδος ἐνδύματος.

Ἐπώμοτον, ἐγγυητὴν τοῦ ὅρκου.

Ἐπωνία, τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον. εἴη δ' ἂν ἴσως ἡ πέμπτη. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους, καὶ τῇ πρὸς Τληπόλεμον ἀντωμοσίᾳ.

Ἐπώνυμοι, οἱ κατ' ἀρετὴν διαπρέποντες ἀστοὶ καὶ ξένοι, χαλκαῖς εἰκόσιν ἐτιμῶντο. ἀφ' ὧν ἐνίων καὶ ταῖς φυλαῖς ἐτίθετο ὀνόματα. φασὶ δ' ἐκεῖθεν πρῶτον δόξαι τὰς φυλὰς ἐξηγήσασθαι. ἀπορούντων γὰρ αὐτῶν ὄνομα ταῖς φυλαῖς θέσθαι, ἀπὸ τῶν ἐνδοξοτάτων τοῦτο ποιῆσαι, καὶ ἕκαστον ἑκατὸν ὀνόματα ἴδια γραψάμενον κληρῶσαι. παρὰ γοῦν τὰς εἰκόνας τούτων τῶν ἐπωνύμων εἰσηγοῦντο τοὺς νόμους, πρὶν ἢ γενέσθαι κυρίους. ἵν' ἐντυγχάνοντες αὐτοῖς οἱ βουλόμενοι κατηγορεῖεν. Ἄλλως.

Ἐπώνυμοι, διττοί εἰσιν οὗτοι. οἱ μὲν λεγόμενοι τῶν ἡλικιῶν. καὶ εἰσὶ δύο καὶ τεσσαράκοντα, οἳ καλοῦνται καὶ λήξεων ἐπώνυμοι. οἱ δὲ, δέκα. ἀφ' ὧν αἱ φυλαὶ προσηγορεύθησαν. οἷον Ἐρεχθεὺς, Αἰγεὺς, Πανδίων, Λεὼς, Ἀλμᾶς, Οἰνεὺς, Κέκροψ, Ἱπποθόων, Αἴας, Ἀντίοχος. ταῦτα δὲ τὰ δέκα ὀνόματα, ἄπορα ὁ Πύθιος εἵλετο.

Ἔπωπα, ἀλεκτρυόνα ἄγριον.

Ἐπωπᾷ, ἐφορᾷ, ἐποπτεύει, ἐπωπάζει τὰ αὐτά.

Ἐπωπετὴς, Ζεὺς, παρ' Ἀθηναίοις.

Ἐπώπη, ἐπώπτη, ἐφορῶντι.

Ἐπώπιδες, ἀκόλουθοι. ἐπίσκοποι, παρὰ Λακεδαιμονίοις.

* Ἐπωπὴ, οὕτως ἡ Ἀκροκόρινθος ἐκαλεῖτο, διὰ τὸ Σίσυφον ἐκεῖ ἰδεῖν τὴν Αἰγίνης ἁρπαγὴν ὑπὸ Διός. τὸ ἐθνικὸν Ἐπωπεὺς, Ἐπωπήτης.

Ἐπωπὶς, Δημήτηρ, παρὰ Σικυωνίοις. καὶ ἐπωπίς. ἡ ἐπωπὶς δασέως μὲν ἡ ἀκόλουθος δμωΐς. ψιλῶς δὲ ἡ ἐπισκοποῦσα καὶ βλέπουσα, παρὰ τὰς ὦπας. ἐπωπίδα δὲ καὶ ἀκόλουθον φασὶ τῆς Ἑκάτης τὴν Ἑκάβην. Λυκόφρων, ὅτι καθάπερ ληροῦσιν ἡ Ἑκάβη κύων γέγονε, διὰ τὸ τοῖς λίθοις ἀναιρεθῆναι. καὶ τῇ Ἑκάτῃ φησὶ κύνας μελαίνας φοβερὰς ἕπεσθαι.

Ἐποπτευκότων, Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης. οἱ μυηθέντες ἐν Ἐλευσῖνι ἐν τῇ δευτέρᾳ μυήσει, ἐποπτεύειν λέγονται.

Ἐπωρεῖν, πενθεῖν, κλαίειν.

Ἐπώρειον, ἔθαπτον.

Ἐπωρεύει, ὡραῖα συντελεῖ.

Ἐπωριάζειν, μεριμνᾶν.

Ἐπωρυδὸν, ἐπιρρέοντος.

Ἐπωρορέχαται, ἐπικεκλιμμέναι ἦσαν.

Ἐπώρουσεν, ἐξώρμησεν, ἢ ἐφώρμησεν, ἐξέδραμεν.

Ἐπῶρσεν. ὄρρω, ὁ μέλλων ὄρσω, αἰολικῶς. ὁ ἀόριστος ὦρσα, τὸ τρίτον ὦρσεν. Ἰστέον, ὅτι οἱ Δωριεῖς, καὶ τοὺς βαρυτόνους μέλλοντας περισπῶσιν, οἷον τύψω τυψῶ. οἱ δὲ αἰολεῖς καὶ τοὺς περισπωμένους βαρύνουσιν. οἷον σπέρσω, καὶ ὄρσω, καὶ κέρσω, καὶ ἔρσω, τὸ σπερῶ καὶ ὀρῶ καὶ κερῶ. καὶ ἐρῶ, ἤγουν φθερῶ.

Ἐπωρύετο, ἐπένθει φωνῇ θηρίων.

Ἐπωρυόμενος, φωνῶν.

Ἐπωρώθησαν, ἐτυφλώθησαν, ἐσκληρώθησαν.

Ἐπωστρίδες, αἱ κατὰ Σάμον ταῖς γυναιξὶ τὴν δεξιὰν χεῖρα ἐπέχουσαι κατὰ τὴν ὀσφύν.

Ἐπωτίδες, τὰ ἑκατέρωθεν πρῴρας ἐξέχοντα ξύλα.

Ἐπ' ὠϋτὸν, ἐπ' αὐτόν.

Ἐπωφελὴς, ὁ καλούμενος ἐφιάλτης.

Ἐπῴχατο, ἀπὸ τοῦ οἴγω, οἴξω, ᾦχα, ᾦγμαι, ᾤγμην, ἐπῴγμην. τὸ τρίτον ᾦκτο, καὶ ἰακῶς ᾤχατο, καὶ ἐπῴχατο, ἀντὶ τοῦ κεκλιμέναι ἦσαν. ἢ ἐπῴχατο, Ὅμηρος, πάσας γὰρ ἐπῴχετο, ὁ κτύπος δηλαδή. ἢ ἐπῴχατο, ἤγουν ἐπεπορεύθησαν οἱ Τρῶες. ἢ μᾶλλον ἐπῴχατο, ὅ ἐστι δι' ὀχέων, ἤτοι μοχλῶν ἠσφαλίσαντο κλείσαντες ἀχαιοί.

Ἐπῴχετο, ἐπεπορεύετο.

ΤΟΥ Ε. ΜΕΤΑ ΤΟΥ Ρ.

Ἔρα, ἡ γῆ.

Ἐρᾷ, ἐπιθυμεῖ. καὶ ἐρᾷ τὶς τινὸς, καὶ ἀντεράται ὑπὸ τοῦ ἐρωμένου. καὶ ἀντερᾷ, ὁ ἐρώμενος.

Ἔραδος, παρὰ τὸ ἐρίζειν, παιδίον, νῖκος, συνδρομὴ, λοιδορία, ἀλεξικακία.

Ἔραζε, χαμαὶ, εἰς τὴν γῆν. ἡ ἔραζε παρ' Ὁμήρῳ φυσικῶς, καὶ οὐ κατὰ ἀττικοὺς, ἀδιπλασίαστον ἔχει τὸ ρ. ὁ τόνος ἐπὶ τῆς προπαραληγούσης. τὰ ἀπὸ ὀνομάτων ἐπιρρήματα τρίτην ἀπὸ τέλους ἔχουσι τὴν ὀξεῖαν, οἷον ἔραζε, Ἀθήναζε, θύραζε. τὸ δὲ χαμᾶζε, ὡς ἀπὸ ἐπιρρήματος τοῦ χαμαὶ ὑπὸ συστέλλει τὸ α, ὥς φασιν οἱ παλαιοὶ κατ' ἐκεῖνα, καὶ πρὸ μιᾶς ἔχει τὸν τόνον περισπώμενον, ὡς ἀπὸ τοῦ χαμαὶ φύσει μακροκαταλήκτου γενόμενον. φασὶ δὲ καὶ μεταζὲ εἶναι χρονικὸν ἐπίρρημα, ἀπὸ τῆς μετὰ προθέσεως. Ἰστέον δὲ, ὅτι ἐν τῷ Ἀθήναζε, Θήβαζε, χαμᾶζε, καὶ τοῖς ὁμοίοις, ἡ τελευταία συλλαβὴ τροπὴν ἔπαθε τοῦ δ εἰς ζ, κατὰ συγγένειαν. ὡς γὰρ οἴκαδε, οὕτως ἔοικε καὶ Ἀθήναδε εἶναι, καὶ Θήβαδε, καὶ χαμᾶδε. ἡ δὲ τροπὴ τοῦ δ εἰς ζ μετήγαγεν.

Ἐραία, ὁ κλάδος. σημαίνει δὲ καὶ τῆς ἐλαίας τὸ σκυβαλῶδες, ἢ καὶ μαλλίον.

Ἐραίθη, ἀπώλετο, διεσκεδάσθη, διεχωρίσθη.

Ἔραμαι, χρηστόν ἐστι καὶ Ἀττικοῖς, ὡς ἀπὸ τοῦ ἐράω ἐρῶ. καὶ οὐκ ἄν τις ῥᾷον δείξῃ, ὅτι κατὰ τὸ ἵσταμαι γίνεται. τὸ δὲ, καί με γλυκὺς ἵμερος αἱρεῖ, περιφραστικόν ἐστι τοῦ ἔραμαι.

Ἐράμενος, ἐπιθυμήσας.

Ἐρᾶν, φιλεῖν, ἐπιθυμεῖν, στέργειν, καί τινος ἡττᾶσθαι, ἐσπουδακέναι περί τινα. ἐνθέως, κατόχως, ἐμπύρως ἔχειν. φλέγεσθαι τῷ πόθῳ, ἐκφλέγεσθαι, ὑποτετύφεσθαι, κεκαῦσθαι, τινὸς ἔχεσθαι, καὶ ἄλλα πολλά.

Ἔρανα, δῶρα τὰ ἐκ συλλογῆς.

Ἐράναι, βωμοί.

Ἐρανέμπολοι, οἱ ἐξ ἐράνων ἐμπολῶντες.

Ἐρανίζειν, τὸ συλλέγειν ἔρανον παρὰ τῶν φίλων, οὐχὶ ἐρανίζεσθαι. Αἰσχίνης, ἐρανίζων στεφάνους καὶ κηρύγματα.

Ἐράνιζεν, ἀνήρει, ἐσκύλευεν.

Ἐρανικαὶ, ὅτι ἔμμηνοι δίκαι, αἵ τε ἐμπορικαὶ, καὶ ἐρανικαί.

Ἐράνιον, τὸ ἐκ συνεισφορᾶς δῶρον, ἢ ἐντολὴ, ἢ συλλογὴ, ἢ εἰσφορά. ἢ σπουδαιότερον, ἀπὸ τοῦ συνερᾶν, καὶ ἐπιθυμεῖν συνεισφέρειν τι τοῖς φίλοις καὶ εὐωχεῖσθαι, ἀπὸ τοῦ ἐρῶ τὸ ἐπιθυμῶ, ὁ μέλλων ἐράσω, ἐξ αὐτοῦ ἔρανος.

Ἐρανισάμενος, ἐκ πολλῶν συναγαγών. καὶ ἐρανίσας, Δημοσθένης ἀντὶ τοῦ ἔρανον αἰτήσας, ἢ λαβὼν καὶ συλλέξας παρά τινων.

Ἐρανιστὴς κυρίως ἐστὶν, ὁ τοῦ ἐράνου μετέχων, καὶ τὴν φορὰν, ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν εἰσφέρων.

Ἐραννῆς, ἐπεράστου, καλῆς, τιμίας. ἢ ἀνταπόδοσις.

Ἔρανοι εἰσὶ κατὰ τοὺς παλαιοὺς, αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαὶ, ἀπὸ τοῦ συνερᾶσθαι καὶ συνεισφέρειν ἕκαστον. ἐκαλοῦντο δὲ καὶ θίασοι, οἱ συνιόντες ἐπὶ τὰ τοιαῦτα ἐρανισταί. καὶ συνθιασῶται. ἐκαλεῖτο δὲ θίασος, καὶ ὁ τῷ Διονύσῳ παρεπόμενος ὄχλος, ἀπὸ τοῦ θεοῦ, ὃν σιὸν ἐκάλουν οἱ Λάκωνες. οὐκοῦν σίασος, καὶ τροπῇ θίασος.

Ἔρανος, ἡ ἐκ κοινοῦ ἑστίασις, ἢ ἐντολὴ, εἰσφορὰ, ἢ συλλογὴ, ἢ σπουδαιότερον. ἢ ἔρανος, ἡ ἀπὸ κοινῆς συμβολῆς, ἤγουν καταβολῆς καὶ δαπάνης πολλῶν τινῶν εὐωχία. ὡς Ἡσίοδος, ἐκ κοινοῦ πλείστη τε χάρις, δαπάνη τε ὀλιγίστη. ὅθεν οἱ ἐρανισταί. καὶ ἔρανος, ἡ συλλογή. καὶ ἐρανίζειν, τὸ ἔρανον αἰτεῖν. ὅθεν ἐρανιστής.

Ἔρανος. Ἰστέον ὅτι τὸ ἀπὸ συμβολῆς δειπνεῖν, ἐκ κοινοῦ Ἡσίοδος ἔφη. ἔστι δὲ τοιοῦτον ὁ ἔρανος, ἐν ᾧ συνέβαλλον ἕκαστος τὸ πρὸς ἰσχύος εἰς χρείαν, συνδείπνου συμβολιμαίου, ὡς ὅγε μὴ τοιοῦτος ἀσύμβολος ἐλέγετο, διὰ τὸ δωρεὰν δειπνεῖσθαι, καὶ ἀδαπάνως. λέγει δὲ ὁ Ἀθήναιος, καὶ ὡς τὴν μὲν ἐπὶ συμποσίῳ συμβολὴν, χῶν οἱ Ἀργεῖοι ἐκάλουν. τὴν δὲ μερίδα, αἶσαν. καὶ ἔστι τὸ χῶν ἐκ τοῦ χοῦν, ὅπερ ἐστὶν ἀγγεῖον συμποτικὸν, ὃ καὶ χοεὺς Ἀττικῶς λέγεται. οὗ κλίσις χοέως, χοῶς, ὡς πειραιῶς. ἀναλογία δὲ αὐτοῦ, κατὰ τὸ βοῦν. ὡς γὰρ βοῦς βῶς Δωρικῶς, οὕτω καὶ χοῦς χῶς.

Ἐραπίδα, ἃ ἡμεῖς ἐλαπίδα.

Ἐραπτὴρ, θηρευτής.

Ἐράραστον, ἐράσμιον.

Ἐρράπτομεν, ἐβουλεύομεν.

Ἔρας, γῆς.

Β'ρᾶσαι, κενῶσαι.

Ἐράσθην, ἀπὸ τοῦ ἐράζω, ἐράσω, ἤρακα, ἤρασμαι, ἤρασαι, ἤρασται, ἠράσθην, καὶ συστολῇ ἐράσθην.

Ἐρασιχρηματοὺς, φιλαργύρους.

Ἐράσμιον, ἐπίδοξον, ἐπέραστον, ἀγαπητὸν, ἐπιθυμητόν.

Ἐραστὴς, ὁ ἐρῶν. ἐρώμενος δὲ, ὁ ὑπὸ τοῦ ἐραστοῦ ἐρώμενος. ἢ ἐραστὴς, ἐπιθυμητής.

Ἐραστὸν, καὶ ἐπέραστον, ἀπὸ τοῦ ἐράζω, οὗ παθητικὸς ἀόριστος ἠράσθην. κατὰ τὸ πειρῶ πειράζω, ἐπειράσθην. ἐκ τοῦ ἐρῶ ἐρατὼ, ὄνομα μούσης. καὶ ἐρατὸν, καὶ ἐρατεινὸν, τὸ ἐπιθυμητόν.

Ἐραστῶν, ἴδιον ἦν τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις, ἢ φύλλοις οὕτως, ὁ δεῖνα καλός. καὶ παρὰ Καλλιμάχῳ, ἀλλ' ἐνὶ δὴ φύλλοισι κεκομμένα τόσσα φέροιτε γράμματα, Κυδίππην ὡς ἐρέουσι καλήν. καὶ Ἀριστοφάνης ἐν τοῖς σφηξὶν, Ἰὼν παρέγραψε Κῆμος καλός. καὶ Λιβάνιος, φιλοῦσι γὰρ οἱ σφόδρα περί τι ἐρωτικῶς ἔχοντες, ἡδέως συν-

συνεῖναι

Digitized by Google

νεῖναι καὶ τοῖς ὀνόμασι. ταυτὸ ποιοῦσι καὶ Ῥωμαῖοι.

Ἔραται, ἢ ἀπὸ ἐνεστῶτος γίνεται σεσιγημένου τοῦ ἔρημι, ἐξ οὗ ἄραμαι, ὡς ἵστημι ἵσαμαι. ἢ παθητικὸς παρακείμενός ἐστιν, ἀναύξητος ἀπὸ τοῦ ἐράω ἐρῶ. οὕτω δὲ διχῶς δύναται κλίνεσθαι, καὶ τὸ ἄγαμαι. τέτριπται δὲ ἡ τοῦ τοιούτου ῥήματος προπαροξυτόνησις, καὶ παρὰ ἑτέροις ῥήτορσι. καὶ οὐκ ἔστιν αὐτὸ προπερισπᾶν. ὡς ἀπὸ τοῦ ἐράω, ἐρῶ.

Ἐρατὰ δῶρα, δηλοῖ μὲν τὸ ἐρωτικὰ, καὶ ἐράσμια. ἐπεὶ τὸ ἁπλῶς ἐρατὸν, ἅπασι δοκεῖ ἐρατόν.

Ἐρατηνδύειν, στρατεύεσθαι, ἢ δυσφορεῖν.

Ἐρατεινὸς, ἐπέραστος. ἐκ τοῦ ἐρῶ, τὸ φιλῶ, γίνεται ἐρατὸς ὁ ἐπιθυμητός. καὶ ἐκ τοῦ ἐρατὸς, ἐρατεινός.

Ἐρατίζειν, καὶ τὰ σύστοιχα αὐτοῦ, ἤγουν ὁ ἐρατὸς, καὶ ἐρατεινός. ὡς καὶ τοῦ ἰθύειν ὁ ἰθὺς καὶ τὸ ἰθὺς καὶ ἡ ἰθεῖα, καὶ τὸ ἰθύειν, καὶ ὁ ἰθαγενής. καὶ τὸ κύριον, ὁ Ἰθαίνης.

Ἐρατίζων, ἐπιθυμῶν. ἐρατίζω κρειῶν, ταυτόν ἐστι τῷ πεινῶν, καὶ περίφρασίς ἐστι τοῦ πεινῶ.

Ἐρατινοὶ, ἔθνος ὑπεράνω Ἀράβων.

Ἐράτοσθεν, ἀνεπαύσαντο.

Ἐρατὸν, ἐράσμιον, ἡδὺ, ποθεινὸν, ἐπιθυμητόν.

Ἐρατῷ, παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἐρατοὶ Ἀττικῶς.

Ἐραχάται, οἱ δεσμεύοντες.

Ἔραχος, τὸ δράγμα, Βοιωτοί.

Ἔρβως, ἔρως.

Ἔργα ἐργάζεσθαι, τρόπος ἐτυμολογίας. καὶ ἔργα ἐπίστασθαι δίδωσιν Ἀθηνᾶ, ἐπεὶ κατὰ Παυσανίαν ἐργάνη λέγεται, ὡς ἔργοις ἐπιστατοῦσα. αὐτὴ γὰρ εὗρε τὰς τέχνας.

[Ἐ]ργᾶ, ὅτι ἐργᾶ τὴν γῆν. ἔστιν ἐργάζω, ἐργάσω. καὶ ἐπειδὴ πᾶς μέλλων βραχείᾳ παραληγόμενος περισπᾶσθαι θέλει, οἷον περῶ, κερῶ. γίνεται ἀποβολῇ τοῦ σ. ἐργῶ περισπώμενον. καὶ μετάγεται εἰς ἐνεστῶτα, ἐργῶ ἐργᾷς ἐργᾷ. ὁ παθητικὸς, ἐργῶμαι, ἐργᾶ.

Ἐργάζεται πᾶσαν τὴν ἡμέραν, καὶ πᾶσαν ὥραν, ἀντὶ τοῦ εἰς πᾶσαν ἡμέραν ἐργάζεται·

Ἐργάζομαι, παθητικὴ μὲν φωνὴ, σημασίαν δὲ ἐνεργητικὴν καὶ παθητικὴν ἔχει. οἷον ἐργάζομαι ἐγώ τι, καὶ ἐργάζομαι ἀδόκιμον ὑπό τινος. καὶ ἐργάζομαι δέ σε κακὸν, μετὰ αἰτιατικῆς. καὶ ποιῶ σε κακόν. καὶ ἐργάζομαι τὴν γῆν, καὶ ἐ[ρ]γάζομαί σοι κακόν. Ἀριστοφάνης, καὶ τί ἂν νομίζετο κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώποις. ὅθεν ἔργον, ἡ πρᾶξις, καὶ ἡ δυσκολία, καὶ ἡ χρεία.

Ἐργάζομαί σε κακὸν, μετὰ δύο αἰτιατικῶν, καὶ ποιῶ σε κακόν. καὶ μετὰ ἐπιρρήματος, ποιῶ σε κακῶς, καὶ ἐργάζομαί σε κακῶς, ἐργάζομαί σοι ἀγαθὸν, καὶ ἐργάζομαί σε ἀγαθόν. Ἀττικῶς ἔξωθεν λαμβανομένης τῆς εἰς, ἢ τῆς πρὸς προθέσεως. Λιβάνιος, ἄνθρωπος πλεῖστα μὲν ἀγαθὰ τὸν Ἀλέξανδρον εἰργασάμενος.

Ἔργαθεν, ἤγουν ἀπῆρξεν, ἀπήγαγεν. ἀπεκόλλησε τῶν πλευρῶν τὴν ἐπιπολήν. Ὅμηρος, ἀπὸ πλευρῶν χρόα ἔργαθεν.

Ἐργαῖος, ἀέριος Ζεύς.

Ἐργαλεῖον, ἔργον τί. ἢ ἐργαλεῖον, ἐργαστήριον, παρὰ Ταραντίνοις.

Ἔργανα, ἐργαλεῖα, σκεύη χειρῶν.

Ἔργα νέων. τοῦτο καὶ Ὑπερίδης ἐν τῷ κατ᾽ Αὐτοκλέους, Ἡσιόδου φησὶ εἶναι. παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς, οὕτως ἔχουσαν. ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.

Ἐργάνη, ἡ Ἀθηνᾶ, παρ᾽ ὅσον ἔφορός ἐστι τῆς τῶν γυναικῶν ἐργασίας. ταύτῃ παρ᾽ Ἀθηναίοις καὶ Σαμίοις εἴρηται. σημαίνει καὶ τὴν ἐργασίαν. ἐργάνη δὲ, ὡς δαπάνη. ἐργασία, ἐργατική, δόρυ, τέχνησις.

Ἐργάσασθαι Θεὸν, ἔστιν εἰπεῖν καὶ ποιῆσαι, μιμήσασθαι, δεῖξαι, τυπῶσαι. κοιλᾶναι λίθον εἰς Θεοῦ μορφὴν, καὶ διαγλύψαι, καὶ διαρθρῶσαι, καὶ διατυπῶσαι, καὶ διαξέσαι.

Ἐργασίωνος, γεωργοῦ, παρὰ τῷ Ἀριστοφάνει.

Ἐργαστήρια, οἱ οἶκοι, ἔνθα ἐργάζονται οἱ χειροτέχναι. καὶ ἐργαστῆρας, ἐργάτας.

Ἐργαστῖναι, αἱ τὸν πέπλον ὑφαίνουσαι.

Ἐργάται, οἱ παρ᾽ ἡμῖν ἐργαστικοί. οἱ δὲ Ἀττικοὶ τοὺς παρ᾽ ἡμῖν ἐργάτας, μισθωτοὺς λέγουσιν.

Ἐργάτια, ἑορτὴ Ἡρακλεῖ τελουμένη, παρὰ Λάκωσιν.

Ἐργάτιδες, αἱ ἐργαζόμεναι γυναῖκες, τὰ τῶν ἀνδρῶν ἔργα.

Ἐργατῖναι, οἱ γηπόνοι. ἔστι καὶ ἐρῶ, τὸ καθαίρω. ἐξ οὗ καὶ ἔρασος, καὶ ἑορτή.

Ἐργατίνης, ὁ ἐργάτης, ἢ ὁ γεωργός.

Ἐργάτις, παρὰ Σαμίοις, ἡ Ἀθηνᾶ. ἢ ἐργάτιν, τὴν νεοβουλίαν λέγει, ὡς παχεῖαν.

Ἐργάτωνες, οἱ ἐν τοῖς ἀγροῖς τόποι, ἔνθα οἱ οἰκέται κοιμῶνται. οἱ παρὰ Ἀττικοῖς ἐργάωνες, παρὰ Κρησὶν ἐργάτωνες.

Ἔργει, κωλύει.

Ἐργεῖται, οἱ ἀπ᾽ ἀγρῶν οἰκέται.

Ἔργεσθαι, κωλύεσθαι.

Ἐργέτην, ἐργασίαν.

Ἐργέτιον, πόλις Σικελίας. τὸ ἐθνικὸν Ἐργετῖνος.

Ἔργετος, φραγμός.

Ἐργίσκη, τῆς Θράκης ἐστίν. ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶνος, καὶ Ἄβας νύμφης.

Ἔργμασι, κωλύμασι, περιφράγμασιν.

Ἔργματα, φράγματα.

Ἐργνύει, κρύπτει, κατακλείει.

Ἐργοδότης, οὐ κεῖται. τὸ δὲ ἐργοδοτεῖν, παρά τινι τῶν νεωτέρων κωμῳδοποιῶν, οἷς οὐ πιστέον. Φρύνιχος.

Ἐργοκλῆς, καὶ Ἐργόφιλος, κύρια. ὁ δὲ Ἐργοκλῆς, στρατηγὸς Ἀθηναίων.

Ἐργολάβος, ὁ φλαύροις πράγμασι χρώμενος, παρὰ τοῖς ῥήτορσι. καὶ οὐχ ὁ ὑπέρ τινων ἔργων μισθὸν λαμβάνων, καὶ ἔχων τοὺς συνεργαζομένους, ὃ καὶ ἡ συνήθεια.

Ἐργομωκῶν, ἐμπαίζων.

Ἔργον, ἡ πρᾶξις, καὶ ἡ δυσκολία, καὶ ἡ χρεία, καὶ τὸ παρανάλωμα. ἄλλως, ἔργον ἡ ἐνέργεια, καὶ τὸ ἀπὸ τῆς ἐνεργείας τελούμενον. ἢ ἔργον παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας ξ, τινὲς τὴν γεωργίαν μόνην ἐνόησαν κατ᾽ ἐξοχήν. ἐν τῷ, ἔργον δέ μοι οὐ φίλον ἔσκε, παρὰ τὴν ἔραν λέγοντες. τοῦτο καὶ τὴν γῆν ταυτὸ δυναμένην λέξεις. καὶ ἔργον Ἡφαίστοιο πρὸς ὑπερβολὴν εἴρηται, ὥσπερ λέγεται ἔργα Ἀθηνᾶς τὰ καλά. καὶ ἔργον ἡ παρασκευὴ τοῦ πολέμου. καὶ ἔργον εἰπεῖν, χαλεπὸν εἰπεῖν. καὶ ἔργον μέγα παρ᾽ Ὁμήρῳ, ταυτόν ἐστι τῷ μέγα βάρος. ἀπὸ τοῦ ἔρα ἡ γῆ τάχα γεγονός. ὡς τῆς γῆς βαρυτάτης οὔσης ἐν στοιχείοις. μάλιστα δὲ ἔργον λέγοι ἂν, τὸ παρὰ τοῖς ὕστερον δύσεργον. ἐξ οὗ καὶ ἐργῶδες, τὸ δυσχερὲς καὶ δυσμεταχείριστον. ἢ ἔργον, λέξις κυρίως ἐπὶ γεωργίας τίθεται. ἔστιν εὑρεῖν καὶ ἐπὶ πολέμου τὸ ἔργον. καὶ παροιμία, ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.

Ἐργόπους, κατάσκοπος ἔργων.

Ἐργωδέστερον, δυσκολώτερον, ἢ δυσκαταληπτότερον, σπουδαιότερον.

Ἐργῶδες, τὸ μετὰ πόνου γινόμενον, δυσχερές.

Ἐργώλας, διαφόρως ἀνεγνώσθη. ἐπικρατεῖ δὲ ἡ βαρεῖα τάσις.

Ἔρδε· καὶ ῥέξον, καὶ ἔρξον, διὰ φύσεως ἐξ ἑνὸς θέματος προφερόμενα. προϋποκειμένου γὰρ τοῦ ῥέζω, ῥέξω. εἶτα μεταθέσεως γενομένης, τὸ ἔρζω. τροπῇ μὲν συνήθει τοῦ ζ εἰς δ, ἔρδω γεγονὸς, μένει ἄκλιτον καθ᾽ αὑτὸ ὄν. διὰ τοῦ ξ ἔχει τὸν μέλλοντα δωρικώτερον, ἐξ οὗ τὸ ἔρξον. καὶ ἄλλως δὲ τὸ ἔρξον, δύναται ἀπὸ τοῦ ἔργω εἶναι. ἀφ᾽ οὗ καὶ τὸ ἔοργα. ὅρα δὲ ὅτι πρωτοτύπου ὄντος τοῦ ῥέζω, ὅπερ ἐστὶν ἐρρωμένως πράττω, ὡς ἐκ τοῦ ῥῶ μονοσυλλάβου ὄντος, δευτερεύοντος τοῦ ἔρδω.

Ἔρδειν, πράττειν.

Ἔρδοι, πράττοι, ἐργάζοιτο. ἔρδοι τις, ἣν ἕκαστος εἰδείη τέχνην.

Ἔρδομαι ἱερὰ, ἔλλειψιν ἔχει τὸ ἱερά. λείπει γὰρ τὸ ζῶα, ἢ θύματα, ἢ κρέα.

Ἔρδον, ἐπιτέλουν.

Ἐρδόντων, πλουτούντων, θυόντων, τελούντων, πρασσόντων.

Ἔρδω, πράττω, τελῶ, καὶ θύω. ἢ τοῦτο δὲ μετάθεσιν ἔπαθεν ἐκ τοῦ ῥέδω, Βοιωτίου ῥήματός φασιν. ὅπερ ἐκ τοῦ ῥῶ ῥέζω γέγονε, τὸ πράττω, καὶ τὸ θύω. καὶ οἱ παλαιότεροι ῥέζειν λέγουσι. τοῦ ἔρδειν προϋπάρχει τὸ ῥέζειν, ἐξ οὗ μετάθεσει καὶ τροπῇ.

Ἐρέαινθος, τὸ αἰδοῖον.

Ἐρέας, τέκνα, Θεσσαλοί.

Ἐρεβεννὴ νὺξ, ἡ σκοτεινή. ἀπὸ τοῦ ἔρεβος, τὸ σκότος, κατὰ παραγωγήν.

Ἐρεβίνθινος Διόνυσος, οὐδενὸς ἄξιος. παρά τινα παροιμίαν, ἐρεβίνθινος ζωμός.

Ἐρέβινθος, τὸ αἰδοῖον.

Ἐρεβοδιφῶ, ἐρευνῶ, ψηλαφῶ.

Ἐρεβοδιφῶσι, τὰ ὑπὸ ἔρεβος διφῶσι, τουτέστι τὰ ὑπὸ γῆν καὶ ὑπὸ τὸν τάρταρον.

Ἐρεβόθεν, ἐκ τοῦ σκότους.

Ἔρεβος, τὸ ὑπὸ γῆν σκότος, ὁ πρὸ τοῦ ταρτάρου τόπος. παρὰ τὸ ἐρέβω, τὸ κατεστεγασμένον ὑπὸ τῆς γῆς. ἢ παρὰ τὴν ἔραν, τὸ ὑπὸ τὴν ἔραν βαῖνον.

Ἐρεγμὸς, ὁ διασχιζόμενος κύαμος. ἐκ τούτου δὲ καὶ ἐρείκω, τὸ σχίζω.

Ἔρει, ἀνιᾷ, ἀπολύει.

Ἐρέειν, καὶ ἐρεείνειν. ὡς δηλοῖ τὸ ἐρέοιμι ἑκάστην, καὶ ἐρέεινον ἁπάσας, ταυτόν ἐστιν. ὁμοίως ἑκάστην καὶ ἁπάσας ταυτὸν δηλοῖ.

Ἐρεείνειν, ἐρωτᾶν, ζητεῖν, ἄγειν.

Ἐρεείνετο, ἐνεργητικῶς τὰ πλείω λέγεται.

Ἐρεείνω ποιητικῶς, τὸ ἐρωτῶ. καὶ ἐρεείνω, φαείνω, ἐλεείνω, τὸ ἐκκλίνω. τὰ διὰ τοῦ εινω καὶ ειω ὑπὲρ δύο συλλαβὰς, διὰ τῆς ει διφθόγγου, παραγόμενα ἀπὸ ἐνεστῶτος ἢ μέλλοντος, οἷον κιχῶ κιχείω, ὀλῶ ὀλείω, βρώσω βρωσείω, ἄχρι τοῦ παρατατικοῦ κλίνεται. ὁμοίως τὰ διὰ τοῦ ανω βαρύτονα. οἷον λανθάνω, λαμβάνω, μανθάνω. καὶ τὰ διὰ τοῦ υθω, οἷον μινύθω, καὶ διὰ τοῦ εθω, μετὰ ἐπιπλοκῆς συμφώνου ὡς τὸ ἐρέχθω, ἔχθω. καὶ τὰ εἰς βω τῷ ε παραληγόμενα, ἢ μετὰ ἀφώνου βαρύτονα. οἷον σέβω, φέρβω. καὶ τὰ εἰς νω βαρύτονα τῷ ε παραληγόμενα, ὡς τὸ στένω σθένω. τὸ γὰρ μένω, ὡς ἀπὸ περισπωμένου ἔχει τὴν κλίσιν. καὶ τὰ εἰς μνω, οἷον μίμνω, τέμνω, κάμνω. ὁμοίως ἔχει καὶ δέμω, τέμω. ὁ γὰρ παρακείμενος αὐτῶν, ὡς ἀπὸ περισπωμένου. ὁμοίως ἂν ἔχοι καὶ ἡ πέμπτη συζυγία τῶν βαρυτόνων, εἰ τὴν πρώτην συλλαβὴν διπλασιάζῃ, καὶ λήγει εἰς ἀμετάβολον. οἷον καρκαίρω, μαρμαίρω, μορμύρω, παμφαίνω. ὁμοίως καὶ τὰ εἰς ω λήγοντα, ἔχοντα πρὸ τοῦ ω δύο σύμφωνα κατὰ ἐπιπλοκήν. ὧν τὸ δεύτερόν ἐστιν ἀμετάβολον, οἷον μέμβλω, ὄφλω, ἔγρω, δάκνω. καὶ τὰ εἰς ω καθαρὰ τῇ υι διφθόγγῳ παραληγόμενα, ὀπυίω. καὶ τὰ διὰ τοῦ υω ὑπὲρ δύο συλλαβὰς, ποιοῦντα παράγωγον εἰς μι. οἷον, πηγνύω πήγνυμι, καὶ τὰ Ἀττικὰ βαρύτονα ἀλέξω, ἄξω, ἕψω, καὶ τὰ ποιητικὰ, ὡς τὸ ὄσσω ἐκ τοῦ ὄπτω, καὶ λεύσσω ἐκ τοῦ βλέπω, καὶ πέσσω ἐκ τοῦ πέπτω. καὶ κορύσσω ἐκ τοῦ κορύπτω. καὶ τὰ παραγόμενα ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα. ὡς τὸ ὄρσω, ἐξ οὗ ὦρσε, καὶ ἄξω, ἄξετε Πριάμοιο βίην. καὶ τὰ εἰς δω κυλίνδω, ἔλδω, μέλδω, ταῦτα πάντα ἄχρι τοῦ παρατατικοῦ κλίνονται.

Ἐρέεσφι, τέκνοις.

Ἔρεζεν, ἔθυεν, ἔπραττεν.

Ἔρεζε δι᾽ ἑνὸς ρ, κοινόν ἐστιν. Ἀττικὸν μέντοι τὸ ἔρρεζε.

Ἔρεθεν, ἐρέθιζεν.

Ἐρεθεῖ, ἐρεθίζει, παροξύνει.

Ἐρεθέντα, ἐν ὕδατι ἀποπνιγέντα.

Ἐρεθέντι, ληφθέντι.

Ἐρεθίζει παροξύνει, παρορμᾷ, παραθήγει, ἀνάπτει. καὶ τῇ ῥιπίδι τὸ πῦρ ἐρεθίζει. ἐρεθιζέμεν μύθοις χαλεποῖς, πρὸς διαστολὴν εἴρηται παρ᾽ Ὁμήρῳ χρηστοτέρων ἐρεθισμῶν. ἢ καὶ ἄλλως τὸ ἐρεθίζειν, κακολογίαν δηλοῖ παρὰ τῷ ποιητῇ. ὥσπερ καὶ τὸ ἐρέθειν. πᾶς ἐρεθισμὸς ἐν χαλεποῖς μύθοις γίνεσθαι δοκεῖ.

Ἐρεθίσματα χορῶν παρὰ τῷ Ἀριστοφάνει, ἤγουν ἅμιλλαι, ἢ ὄργανα μουσικά. τοῖς γὰρ Διονυσίοις τοὺς κυκλικοὺς χοροὺς ἱστᾶσαν, καὶ ἠγωνίζοντο οἱ κωμικοὶ, καὶ οἱ τραγικοὶ ποιηταὶ, ἀναγορεύοντες τὰ ὑπόγυον αὐτοῖς πεποιημένα δράματα.

Ἐρέθισμα, διέγερσις, καὶ ὕβρις. Ὁ δὲ οὐ φέρων ἔτι τὸ ἐρέθισμα, ἀντίλασε τὸν ἵππον.

Ἐρέθοιμι, ἐρεθίζοιμι, ἐρωτήσοιμι.

Ἐρέθονται, κρέμανται.

Ἐρεθύμιος, ὁ Ἀπόλλων παρὰ Λυκίοις, καὶ ἑορτὴ ἐρεθυμία.

Ἐρέθων, διακόπτων, κατατείνων. ἀπὸ τούτου καὶ ἐρεγμὸς κύαμος, ὁ διακεκομμένος.

Ἐρεῖ, λέγει, ἐρωτᾷ.

Ἔρειδε, στήριζε.

Ἐρείδειν παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας χ. ἐν τῷ ἀλλήλῃσιν ἐρείδουσαι, ἀντίβασις δηλοῖ τὴν ἀντέρεισιν. ἐκ μεταφορᾶς τῶν ἀντερειδόντων σωμάτων, εἴτε καὶ ἑτέρων. δῆλον γάρ, ὡς οἱ ἀντιβαστάζοντές τι καὶ ἀντερείδουσιν. Ἰστέον δέ, ὅτι δύναται εἶναι καὶ ἐπ' ἀλλήλῃσιν ἐρείδουσαι, ἵνα δηλοῖ στοιβὴν τῶν νεκρῶν ἡ λέξις. ἢ ἐρείδειν, εὕρηται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ συνουσιάζειν.

Ἐρείδειν, ἀκυμβίζειν, καὶ τὸ συνουσιάζειν.

Ἐρείδω, τὸ ἑδραιῶ. Ἀριστοφάνης, πάντες ἐρείδουσιν εἰς Ὑπέρβολον, ἤγουν ἑδραιοῦσι. καὶ ἐρείδω τὸ στηρίζω, καὶ τὸ ἐπιστηρίζω.

Ἐρείδω, τὸ ἐπικυμβίζω.

Ἐρείκη, εἶδος φυτοῦ σχιστοῦ. ἢ αἰγίδες ξύλον, ἀπὸ τοῦ ἐρείκω τὸ σχίζω. Ἡσίοδος ἐν ἀσπίδι, διήρεικον χθόνα δῖαν. καὶ ἔρειξις, ἡ διεσχισμένη γῆ.

Ἐρεικόμενος, περισχιζόμενος.

Ἐρεικτὰ ὄσπρια, τὰ σχιστά, ὁποῖον ὁ κύαμος. Παυσανίας δὲ ἐρεικτὸν πυρὸν λέγει, τὸν μὴ εἰς ἄλευρον ἀληλεσμένον, ἀλλὰ ὥστε δύο ἐξ ἑνὸς γεγονέναι. ὁ δὲ κοινός, εἴποι ἂν ἀνδράλεστον.

Ἐρείκω, τὸ κόπτω, διὰ διφθόγγου. ἀφ' οὗ καὶ ἔτνος ἐρεικτόν, ὡς παρὰ τῷ Ἀριστοφάνει. ἢ ἐρείκω, τὸ σχίζω δίφθογγον. ἀνεφάνη γὰρ τὸ ι ἐν τῷ ἐρέχθω, τὸ σχίζω. ἐξ αὐτοῦ δὲ ἐρείκη, εἶδος δένδρου εὐχερῶς σχιζομένου. καὶ ἔρειξις, ἡ ἐσχισμένη γῆ.

Ἔρεο, ἀντὶ τοῦ ἐρώτησον. ἐκ τοῦ ἔρεο, πλεονασμῷ τοῦ ι διὰ τὸ μέτρον.

Ἐρείομεν τινὰ ἱερῆα, ἢ ὀνειροπόλον, ἤγουν ἐρωτήσωμεν. ὀνειροπόλον λέγει τὸν περὶ ὀνείρους στρεφόμενον. κἀκεῖθεν τὸ μέλλον προειδότα, διὰ τοῦ κρίνειν ὀνείρους. ἱερέα δὲ τὸν τὴν θυτικήν, εἴτουν ἱερατικὴν μετιόντα, καὶ δι' ἐντόμων μαντευόμενον. ὁποῖον Σοφοκλῆς τὸν Τειρεσίαν ἱστορεῖ.

Ἐρείπια, τὰ πεπτωκότα καὶ ἐπὶ γῆς κείμενα.

Ἐρείπιος, ἡ χέρσος γῆ. καὶ ἐρείπιον, τὸ ἡμίπτωτον οἴκημα.

Ἐρειπίωσις, ἡ πτῶσις.

Ἐρείπω ποιητικῶς, πίπτω κοινῶς. ἀφ' οὗ ἤριπεν, ἀντὶ τοῦ ἔπεσεν. ἢ ἐρείπω, τὸ καταβάλλω, καὶ διαφθείρω. καὶ ἐρείπω, καὶ ἐρείπια, σημαίνει τοὺς πεπτωκότας τόπους. καὶ λέγει ὁ Δίδυμος, ὅτι διὰ τοῦ ι ὤφειλε γράφεσθαι, ἐπειδὴ παρὰ τὸ ἐρίπνη ἐστίν, ὅπερ σημαίνει τὴν μεγάλως περιπτωμένην. τὸ δὲ ἐρίπνη διὰ τοῦ ι, παρὰ τὴν ερι ἐπίτασιν. ὁ δὲ Φιλόξενος λέγει, ὅτι διὰ διφθόγγου γράφεται, τῆς παραδόσεως οὕτως ἐχούσης. ἀπὸ γὰρ τοῦ ἔρα ἡ γῆ, γέγονεν ἐρίπτω, καὶ πλεονασμῷ τοῦ ι καὶ ἀποβολῇ τοῦ τ, ἐρείπω.

Ἐρεῖσαι, ἐπερεῖσαι, ἐπιστηρίξαι.

Ἐρεισάμενος, ἐπερεισθείς, ἐπιστηριχθείς.

Ἔρεισε βαρείῃ χειρὶ πιθήσας παρὰ τῷ ποιητῇ, ἀντὶ τοῦ ὦσεν. ὅθεν εἴληπται καὶ ἡ ἀντήρης πληγή. καὶ ἀντερείδειν, τὸ ἀντιβαίνειν. καὶ ἔπος πρὸς ἔπος ἐρείδειν, καὶ ὅσα τοιαῦτα. τὸ δὲ ἐρείδεσθαι, καὶ ἐν λόγοις γίνεται. ὡς δηλοῖ καὶ παρὰ τῷ Κωμικῷ, ἔπος πρὸς ἔπος ἠρειδόμεθα. ὃ ταυτόν ἐστι τῷ, λόγοις ἀλλήλους ἠμειβόμεθα.

Ἔρεισμα, ἕδρασμα, καὶ τείχισμα. Ὅμηρος, ἕρκος ἀχαιῶν καὶ ἔρεισμα, στήριγμα. ἔρισμα δέ, ἡ ἔρις, ι.

Ἐρεῖται, λέγεται.

Ἐρεκρύων, στηρίζων.

Ἐρεμβοί, νομάδες, αἰθίοπες, ἄραβες, ἰνδοί, ἀράβιοι.

Ἐρεμβοὶ λέγονται, ὅτι ἐν τῇ ἔρᾳ, ἤτοι τῇ γῇ βαίνουσιν. ὑπὸ γὰρ τὴν γῆν, καὶ τρώγλας οἰκοῦσιν. Ἑλλάνικός φησι τοὺς ἐρεμβοὺς περὶ τὰς νείλου ῥοὰς οἰκεῖν. γένος δὲ ἀρράβων εἰσὶν ἐρεμβοί. οἱ καὶ τρωγλοδύται καὶ ἰχθυοφάγοι καλούμενοι, ὧν τὸν βίον ὁ Διόδωρος γράφει.

Ἐρέμβοντο, ἀπεπλανῶντο.

Ἐρεμνὰς κατὰ συγκοπήν, τὰς ἐρεβεννάς. τουτέστι, καταπληκτικάς, σκοτεινάς. κυρίως γὰρ ἐρεμνὴν γαῖαν εἰπεῖν, καὶ μέλαιναν γῆν, ταυτόν ἐστι. καὶ ἐρεμνή, σκοτεινή.

Ἐρέμοισιν, ἀποκλείσμασιν.

Ἐρεμῶσαι, κωπηλατῆσαι.

Ἔρεξα, ἔπραξα.

Ἔρεξεν, οὐκ ἀττικίζεται, ἀλλὰ κοινότερον ἐν ἀδιπλασιάστῳ ἀμεταβόλῳ ἐκφέρεται.

Ἔρεξε, δι' ἑνὸς γράφεται ρ οὐ κατὰ ἀττικούς, ἀλλὰ φύσει.

Ἐρέοι, εἴποι.

Ἐρεοῦν, χλῶσμα, τὸ μαλλίον. ἐρεοῦν καὶ λινοῦν, περισπᾶται. τὰ πληθυντικὰ τούτων συστέλλουσι, λινὰ καὶ ἐρεά. οἱ δὲ ἀττικοὶ τὰ οὐδέτερα πληθυντικά, ὁμοίως τοῖς ἑνικοῖς περισπῶσι. τὰ ἀργυρᾶ, τὰ πορφυρᾶ, τὰ χαλκᾶ, τὰ χρυσᾶ.

Ἐρέουσιν, ἀντὶ τοῦ ἐρευνῶσι, ζητοῦσιν. Ὅμηρος, κνημοὺς ἐξερέουσι, καὶ τὰς ἐρέων Ὀδυσῆϊ συνήντετο.

Ἔρεπτα, τροφεῖα.

Ἐρεπτεῖ, τρέφει.

Ἐρέπτεσθαι, οἰκεῖον τοῖς ἀλόγοις ζώοις, ἃ ἐκ τῆς ἔρας, ἤγουν τῆς γῆς ἐσθίουσιν. ἀπ' αὐτῶν δὲ καὶ ἡ φορβὴ λέγεται κατ' ὀνοματοποιΐαν, ὡς ἐπὶ ἀνθρώπων κυρίως ἡ ἐδωδή. καὶ ἡ ἐδητύς, καὶ ἡ βρώμη.

Ἐρεπτόμενοι, ἐπὶ ἀλόγων κυρίως. ἢ κατ' ὀνοματοποιΐαν τινά. ἢ μᾶλλον ἀπὸ τῆς ἔρας, ἤτοι τῆς γῆς, ἵνα ἐρέπτεσθαι τὸ ἀπὸ τῆς γῆς πάσασθαι ᾖ. σημείωσαι δέ, ὅτι καὶ ἑτεροῖον ἡ λέξις ἐν τῷ ποταμὸς γαῖαν ὑπέρεπτε ποδοῖϊν, ἤγουν ὑπέσυρεν. ὡς οἷον ὑπεσθίων τῆς ὑπὸ τοῖς ποσὶν ὕλην, ἐπὶ συμποδισμῷ ἥρωος.

Ἐρέπω, σκέπω.

Ἐρηρέδαται, ἰωνικὸν μέν ἐστι, γίνεται δὲ συνήθως, ἀπὸ τοῦ ἐρήρεισται τρίτου προσώπου τῶν ἰωνικῶν. ἀποβολῇ δύο στοιχείων, καὶ προσθέσει τῆς δα συλλαβῆς. ὃ γίνεται καὶ ἐπὶ τοῦ ὠνόμασται, ὠνομάδαται, καὶ τῶν ὁμοίων. ἰστέον γάρ, ὅτι οἱ Ἴωνες οἰκεῖα πληθυντικὰ ῥήματα ἐκ τρίτων κοινῶν ἑνικῶν ποιοῦσι, ποτὲ μὲν μόνην ποιούμενοι προσθήκην τοῦ α, οἷον ἔσταλται ἐστάλαται, ἔσπαρται ἐσπάραται. πολλαχοῦ καὶ τὸ ψιλὸν τοῦ τρίτου ἑνικοῦ σύμφωνον εἰς δασὺ τρέποντες, τετύπτεται τετύφαται, εἶρκται εἴρχαται. ἔνιοτε δὲ τῷ συνήθως πλεονάζοντι α καὶ τὸ δ προσελάμβανον, ἀποβαλόντες τι τοῦ πρωτοτύπου τρίτου ἑνικοῦ. ἐν γοῦν τῷ ἐρήρεισται, καὶ ὠνόμασται, ἐξεβλήθη μὲν τὸ σ, ἀντεισήχθη δὲ μετὰ τοῦ συνήθους τοῖς ἴωσιν α καὶ τὸ δ, καὶ γέγονεν ἐρηρείδαται. ἡ δὲ συλλαβὴ τελοῦσα εἰς τὸ ἐρηρέδαται καὶ ὠνομάδαται, ὡς καὶ ἐν τῷ πεφράδαται.

Ἐρέριπτο παρ' Ὁμήρῳ, τουτέστιν ἔρριπτο. ἢ μᾶλλον κεχάλαστο, ἀπὸ τοῦ ἐρείπω. ὅθεν φησὶ κατερήριπε τοῖχος, ὅπερ ἐστὶ τοῦ ἐρείπω μέσος παρακείμενος, συστέλλων καὶ αὐτὸς Ἀττικῶς τὴν τρίτην συλλαβήν, ὁμοίως τῷ ἐρήριπτο. καὶ τῷ ἀλήλιφε, καὶ ἐρωρόπηκε, καὶ τοῖς ὁμοίοις.

Ἐρέσειος, ἀπόλλων.

Ἔρεσθαι, ἐρωτᾶν, πυνθάνεσθαι.

Ἐρεσιμέτραν, τὴν γεωμετρίαν.

Ἐρεσχελεῖν, σημαίνει τὸ ἀπατᾶν. ἀπὸ τοῦ ἐρᾶν, καὶ τῆς λέσχης. πολὺ παρὰ Πλάτωνι τῷ φιλοσόφῳ, καὶ παρ' Ἴωσιν.

Ἐρεσκίη, θρησκεία.

Ἐρεσκλεῖ, ἀηδίζεται, ὀχλεῖται.

Ἐρεσμεῖ, καταπνεῖ.

Ἐρεσμίονες, αἱ χεῖρες ἐρέσσουσαι.

Ἐρεσμός, κώπη.

Ἐρεσσέμεναι, κωπηλατεῖν.

Ἐρέσσειν, κωπηλατεῖν, ἔστιν ἐλῶ τὸ ἐλαύνω, γίνεται ἐλάσσω, καὶ ἐρέσσω, καὶ τὸ ἀπαρέμφατον ἐρέσσειν. καὶ ἐρέσσειν, τὸ συντόνως ἐσθίειν.

Ἐρέσσιον, πόλις Βοιωτίας.

Ἐρέσσουσι, κινοῦσι, τοίας ἐρέσουσιν ἀπειλάς.

Ἐρέσσω, τὸ κωπηλατῶ. καὶ ἐρέτης, ὁ κωπηλάτης. καὶ ἐρετικός, ὁ κωπηλατικός. καὶ ἐρῶ, καὶ ἔρωμαι, τὸ αὐτὸ ποιητικῶς. καὶ ἔρως ἔρωτος, καὶ ὁ ἔρος τοῦ ἔρου.

Ἐρεσχελεῖ, ἀντὶ τοῦ φλυαρεῖ. καὶ ἀντὶ τοῦ ἀτιμάζει, καὶ διαπαίζει.

Ἐρεσχελεῖται, χλευάζεται, διαπαίζεται, ἐριστικῶς ἐρωτᾶται, φλυαρεῖται.

Ἐρεσχελία, ἡ φλυαρία, παρὰ τὸ ἔρειν ἐν τοῖς χείλεσιν ἔχειν.

Ἐρεσχελοῦνται, σκώπτονται, καὶ χλευάζονται, καὶ οἷον ἐρίζονται.

Ἐρέταις, κωπηλάταις, κατασκόποις.

Ἐρέτευεν, ἤλαυνε τὴν ναῦν.

Ἐρεταίνης, ναύτης.

Ἐρετή, ἐπιθυμητή.

Ἐρέτης, ὁ κωπηλάτης, καὶ ἐρετικός. ἐξ οὗ καὶ πεντηκόντορος ναῦς, ἡ ἔχουσα πεντήκοντα ἐρέτας.

Ἐρετριείων ρ. ἐρετριεῖς γὰρ τῷ ρ, κατακόρως χρῶνται.

Ἐρετμά, μεταπέπλασται. ἔστι γὰρ καὶ ἀρσενικὸν ἐρετμός.

Ἐρετμαῖς, κώπαις.

Ἐρετμόν, κώπη, καὶ τὸ ἀνδρεῖον αἰδοῖον.

Ἐρετμῶσαι, κώπαις ἁρμόσαι.

Ἔρετο, ὡρμήθη.

Ἐρετριάζει, σκώπτει, ἢ παίζει.

Ἐρετριακὸς κατάλογος. ἐπὶ Διφίλου ψήφισμα ἐξ ἐρετρίας ἐγράφη, καταλέξαι ὁμήρους τοὺς τῶν πλουσιωτάτων υἱούς. τοῦτο οὖν τὸ ψήφισμα ἔχει ἐπιγραφήν, ἐρετριακὸς κατάλογος.

Ἐρέτρια, ἐκαλεῖτο μὲν καὶ Μελανηΐς, ἀπὸ Μελανέως παιδὸς Εὐρύτου. ἔσχε δὲ τὴν κλῆσιν, ἀπὸ Ἐρετριέως υἱοῦ Φαέθοντος, ἑνὸς τῶν Τιτάνων. ταύτης ὁ πολίτης Ἐρετριεύς, οὗ γενικὴ ἐρετριέως, καὶ συναιρέσει ἐρετριῶς. ὡς στειριεὺς στειριῶς, χοεὺς χοέος χοῶς, εἶδος μέτρου. οὗ καὶ αἰτιατικὴ τὸν χοᾶ. ὡς Πειραιεύς, πειραιέως, πειραιῶς, πειραιᾶ. εἰσὶ δὲ αἱ Ἐρέτριαι πολλαί. ἔστι δὲ καὶ Θετταλική, καὶ περὶ Φάρσαλον. ἴσχυσαν δέ φασί ποτε πολλὰ οἱ Ἐρετριεῖς, καὶ πόλεις δὲ πολλὰς ἡ Ἐρέτρεια εἶχε. καὶ Ἐρέτρια πόλις μεγίστη τῆς Βοιωτίας, μετὰ Χαλκίδα.

Ἐρεύγεται, καταρρεῖ, καὶ ἔξεισιν. ἢ ἐρεύγεται, ἀναβάλλει.

* Ἐρευάτις, πόλις Λυκίας. τὸ ἐθνικὸν Ἐρευάτης.

Ἐρεύγεσθαι, ὡς ὁ ποιητής. Ὁ δ' ἐρεύγετο οἰνοβαρείων. ἀλλ' ὁ πολιτικός, ἐρυγγάνειν λεγέτω.

Ἐρεύγετο, ἐβρύχετο, ἔβρυεν.

Ἐρευγματώδης, ἡ ἐρυγμῶν ἀπεργαστική, νόσος οὐ πνευματοῦσα παρὰ τῷ Ἱπποκράτει.

Ἐρευγομένη, βράττουσα.

Ἐρεύγω, παρὰ τὸ ἔρα, ὃ σημαίνει τὴν γῆν. ἢ παρὰ τὸ ἐρέπτω, τὸ βλάπτω. ἢ παρὰ τὸ ἐρέσσω, ὃ σημαίνει τὸ ἐλαύνω. Ἔρευε, ἐρεύνα.

Ἐρεύθει, ἐρυθρὸν ποιεῖ.

Ἐρεύθεται, πίμπλαται, λάμπεται.

Ἐρευθεύς, ὅτι ἱερεὺς ἦν ἀνήρ, δηλοῖ ὁ ποιητής. εἰπὼν ὅτι ἐκάθισεν αὐτὸν ἡ Ἀθηνᾶ ἑῷ ἐνὶ πίονι νηῷ, ὡς οἷά τινα ζάκορον, ἢ νεωκόρον. ἢ καὶ ἱερέα, ὥς τε καὶ ἱερᾶτο ἐκεῖνος τῇ Ἀθηνᾷ. οὕτω δὲ ἦν περίκλυτος, ὥστε πάνυ ἔχαιρον Ἀθηναῖοι ἐρεχθεῖδαι λεγόμενοι. οὕτω δέ φησι καὶ Κοδρίδαι, καὶ Κεκροπίδαι, καὶ Θησεῖδαι. καὶ τάς γε τὰς κλήσεις τῶν ἀπὸ τῆς πατρίδος ἐντιμοτέρας ἐνόμιζον.

Ἔρευθος, τὸ ἐπὶ τῶν παρειῶν ἐρυθρόν, τὸ κόκκινον.

Ἔρευθος, ἐρύθημα. ἔστι δὲ καὶ βοτάνης εἶδος ἐρυθρόν, ᾗ τὰ ἔρια βάπτουσι. καὶ ἐρευθήεσσα, ἀντὶ τοῦ πυρρά, ὑπέρυθρος.

Ἐρευθυῶντες, ἐρυθριῶντες.

Ἐρεύθων, ἐρυθρὸν ποιῶν.

Ἐρευμένον, ἀντὶ τοῦ μεταλαμβάνοντα, παρ' Ἡσιόδῳ. ἐρῶ, ἐροῦμαι, ἐρούμενος, καὶ ἐρευμένος.

Ἔρευνα, παρὰ τὸ ἐρῶ, τὸ ἐρευνῶ. Ὅμηρος, τὰς ἐρέων. ἢ παρὰ τὸ ἐρῶ, τὸ ἐρωτῶ καὶ τῇ εὐνῇ, ὃ σημαίνει τὴν διατριβήν. ὁ γὰρ ἐρευνῶν, ἐπιπολὺ ἐρωτῶν ἐνδιατρίβει.

Ἐρευνῶ, ἰχνεύω, ἀνιχνεύω. καὶ ἐρευνῶμαι κάλλιον, ἢ ἐρευνῶ. ἢ ἐρευνῶ, κατὰ χρῆσιν κοινὴν περισπᾶται. κατὰ δὲ Ἡρακλείδην βαρύνεσθαι ὤφειλεν. οὐ μόνον διότι Αἰολικὸν τὸ ἐρεύω, ἀλλὰ καὶ ὅτι πάντα τὰ πλεονάζοντα τὸ ν ὁμοτονεῖ τοῖς πρωτοτύποις. οἷον ἐλάω, ἐλαύνω Αἰολικῶς, καὶ ἐλαύνω κατὰ Δωριεῖς. θύω θύνω, δύω δύνω. γίνεται δὲ ἐκ τοῦ ἐρέω τὸ ζητῶ, πλεονασμῷ τοῦ υ καὶ ν. ἐξ οὗ καὶ ἔρευνα, ἡ ζήτησις.

Ἐρεύξεται, βρύσεται.

Ἐρεῦσαι, ἐρυθρὸν ποιῆσαι τῷ αἵματι, ἢ βρέξαι.

Ἐρεύσο-

Digitized by Google

Ἐρδίσομεν, ζητήσομεν.

Ἐρδέω, ἀπὸ τοῦ ἐρῶ, τὸ λέγω, ἐρέω, ἐπεκτάσει τοῦ ε, καὶ πλεονασμῷ τοῦ υ, ὡς θέω θεύω. ἢ ῥῶ, τὸ λέγω, ῥέω. πλεονασμῷ τοῦ ε, ἐρέω καὶ ἐρδέω.

Ἐρέφω, τὸ κοσμῶ, καὶ στεφανῶ.

Ἐρέχθειον, κτητικὸν τὸ τοῦ Ἐρεχθέως.

Ἐρεχθεὺς, Ποσειδῶν ἐν Ἀθήναις. ἢ Ἐρεχθεὺς, ὁ ἐπιχθόνιος καλούμενος, ἀπὸ τοῦ ἱσπᾶσθαι εἰς τὴν ἔραν. ἢ ἀπὸ τῆς ὀρέξεως τοῦ Ἡφαίστου, ἢ παρὰ τὸ ἐρείκω, ἐρεχθεὺς κύριον. παρὰ τὸ διαχίσαι αὐτὸν τὴν γῆν, καὶ γεννηθῆναι ἀπὸ τοῦ σπέρματος Ἡφαίστου, ἡνίκα ἔκρυψεν αὐτὸν ἡ Ἀθηνᾶ ἐν τῇ γῇ. ὁ αὐτὸς δὲ λέγεται καὶ Ἐριχθόνιος. λέγεται Ἐρεχθεὺς, παρὰ τὸ ἐρέχθω. τὸ κινῶ.

Ἐρέχθεσθαι, κατὰ ὀνοματοποιΐαν τὸ ἐρεθίζεσθαι. ἄλλο πάντως ὂν, παρὰ τὸ ὀρεχθεῖν.

Ἐρεχθομένη, σαλευομένη, ἐλαυνομένη, βαρυνομένη, ὑπὸ τῶν ἀνέμων ταρασσομένη.

Ἐρεχθομένος, σαλευόμενος, ἐλαυνόμενος, βαρυνόμενος.

Ἐρεχμὸς, καὶ ἐρεγμὸς, παρὰ τὸ ἐρεύγω ἐρευγμὸς, ὃς λέγεται καὶ ἐρεχμός. δοκεῖ δὲ ταῦτα παρὰ τοῖς αἰολεῦσιν, ἐκφέρεσθαι διὰ τοῦ χ. διωχμὸν γὰρ λέγουσι, καὶ ληχμὸν, ὡς Ἀντίμαχος.

Ἐρέχθων ἄλγεσι θυμὸν, ὅ ἐστι διατέμνων, διαχίζων. ἐξ οὗ καὶ τὸ ἐρείκειν, καὶ φυτὸν ἐρύκη, καὶ ὄσπρια ἐρεικτά. καὶ ἐρέθων, ἀντὶ τοῦ ἐρεθίζων, πλεονασμῷ τοῦ χ.

Ἔρεψα, ἐστέγασα, ἐστεφάνωσα. ἢ ἔρεψα Ἰλιάδος α, ἀντὶ τοῦ ὠρόφωσα, ἐστεφάνωσα, ἐκόσμησα. τὸ θέμα ἐρέφω, οἱ μὲν ὅτι πρωτότυπον. ἢ ἀπὸ τοῦ ἔρας, παρὰ τὸ ἐρέφω. ὅθεν καὶ εἰραφιώτης, ὁ Διόνυσος λέγεται. ἐστέφετο γὰρ κισσῷ. ἢ παρὰ τὸ τὴν ἐρέφαν τροφὸν αὐτοῦ γενέσθαι. ἢ ὅτι ἐν Ῥαφίᾳ πόλει τῆς Ἀσσυρίας ἐτράφη. ἢ ὁ στεφάνοις ἡδόμενος, ἐκ τοῦ ἐρέφω. ἢ ἀπὸ ἐρέφης, τροφοῦ αὐτοῦ. οἷον, Κεῖθι δέ οἱ προύτη μαζὸν Ἐπέχ' ἐρέφη χωρὶς ἀπ' ἀνθρώπων, καὶ ἐπωνόμασ' εἰραφιώτην.

Ἐρεψάμενοι, στεψάμενοι.

Ἐρέψεις, καλύψεις, σκεπάσεις.

Ἐρέψιμον, εἶδος πόας. σημαίνει δὲ καὶ τὸ ἄκαρπον φυτόν. καὶ ἐρέψιμον, στεγάσιμον. ἢ βοσκηματῶδες χωρίον.

Ἐρέψομεν πρὸς αἰετόν, στεγάσωμεν πρὸς ἀέτωμα.

Ἐρέω, τὸ λέγω, ἀπὸ τοῦ ἐρῶ μέλλοντος, κατὰ διάλυσιν, μέλλων ἐρήσω. εἴρηκα, εἴρημαι εἴρησαι εἴρηται. ὁ μετ' ὀλίγον μέλλων, εἰρήσομαι εἰρήσῃ εἰρήσεται, ἀόριστος ἐῤῥήθην, ἡ μετοχὴ ὁ ῥηθείς.

Ἐρέω, σημαίνει δύο, βαρυτόνως μὲν τὸ ἀπαγγέλλω. ὡς τὸ ἀλλ' ἔκ τοι ἐρέω. περισπωμένως δὲ, ἐρεῶ τὸ ἐρευνῶ, καὶ ἀναζητῶ. Ἰστέον, ὅτι πάντοτε οἱ ποιηταὶ τὸ ἐρέω προφέρει. καὶ σημαίνει τρία, τὸ λέγω. ὡς τὸ, ἄλλο δέ τοι ἐρέω. καὶ τὸ ἐρωτῶ, ὡς τὸ πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε. καὶ τὸ ζητῶ, ὡς τὸ, ἵππους τοὺς ἐρέων Ὀδυσσῆϊ συνῆντε. τὸ ῥῆμα εἴρω, ὁ μέλλων ἐρῶ. καὶ ἀπὸ τοῦ ἐρῶ ἐρειῶ, ὡς καὶ τελῶ τελειῶ.

Ἐρέων. Ὅμηρος, πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε. τουτέστιν, ἐρευνῶν. τὸ δὲ ἐρέων καὶ τὸ αὐτοῦ θέμα, πρωτότυπά εἰσι τοῦ ἐρευνῶν, καὶ ἐρευνῶ. παραγωγὴ δὲ αὐτῆς κατὰ τὸ ἰκνῶ καὶ οἰχνῶ. ὡς γὰρ ἵκω ἰκνῶ, οἴχω οἰχνῶ, οὕτως ἐρέω ἐρδέω, καὶ πλεονασμῷ τοῦ ν Δωρικῶς ἐρευνῶ. ἢ ἐρέων, ἔστι μὲν ποιητικὴ λέξις, καὶ ἀπ' αὐτοῦ γίνεται τὸ ἐρευνᾶν, ἐπενθέσει τοῦ υ καὶ τοῦ ν. ὁποίῳ τρόπῳ καὶ τὸ ἐλαύνειν, ἀπὸ τοῦ ἐλάειν γίνεται. ἐρέων δέ ἐστι, τὸ ἐρευνῶν. ἢ ἐρέων φῶς, ταυτὸν τῷ ἔω φέρειν. καὶ φῶς ἐρεῖ, ἤτοι ἀγγεῖλαι. ὡς καὶ ἀλλαχοῦ ἀγγέλλων φάος ἠριγενείης. τοιοῦτον δὲ καὶ Ζηνὶ φόως ἐρέουσα, τουτέστι, τῷ ἀέρι.

Ἐρήτυθεν, ὡς ἐφάανθεν, ἀπὸ τοῦ ἐρητύθησαν. λέγεται δὲ ἀντὶ τοῦ κατέχον, τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ. ἐρήτυον δὲ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ κατέστελλον αὐτούς.

Ἐρῆμα προπερισπῶσιν οἱ παλαιοί. ὥσπερ γὰρ ἕτοιμον λέγει Ὅμηρος προπερισπωμένως κατὰ ἀρχαϊσμὸν, οὕτω καὶ ἐρῆμον τὸ παρ' ἡμῖν ἔρημον.

Ἐρημαῖος, ὁ ἔρημος λόφος.

Ἐρημάσιν, ἀντὶ τοῦ νομάσιν.

Ἐρήμη, μονομερὴς δίκη, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος, ἐπὶ τὴν κρίσιν διαιτηθῇ.

Ἐρήμην, οὐ μόνον ποιητικόν ἐστιν, ἀλλὰ καὶ ἄλλως Ἀττικὸν, ὡς δηλοῖ καὶ ὁ γράψας τὸ ἐρήμην αὐτὴν ἄνεμοι καταπνέουσιν. οὕτω καὶ Ἀττικῶς πέφρασται καὶ τὸ, ὁ δεῖνα ἐρήμην ἑάλω, ἤτοι κατεδικάσθη, ὅπερ ἐλλειπτικῶς δηλοῖ κατὰ τὸ ἀπὸ κοινοῦ σχήματος. ὅτι ὁ δέ τις ἐρήμην δίκην κατεδικάσθη, ἤγουν ἐρήμην ἑαυτοῦ οἷα ἐν τῷ ἀπεῖναι καταδεδικασμένου. καὶ ἐρήμη νίκη, ἡ μονομερῶς ζητηθεῖσα. καὶ μὴ δεξαμένη ἔκ τινων ἐμποδίων τὸ πέρας.

Ἐρημήσιος Ζεὺς, ὁ ἐν Λέσβῳ.

Ἐρήμησον, ἀποσκέδασον.

Ἐρημία, ἡ ἐκπύρωσις.

Ἐρημία, ἀπορία, σπάνις.

Ἐρημικῷ, εἰς τὰς ἐρήμους διάγοντι. ἢ ἐρημικῷ, ἐν ἐρήμοις ἄγοντι.

Ἐρημίτης, ὁ ἐν ἐρήμῳ διάγων.

Ἐρήμματα, τὰ θρέμματα. καὶ ἔρημα ποιητικῶς.

Ἐρημοθῶκος, ἐρημολόγος.

Ἔρημον βλέπειν, ἀκίνητον καὶ νωθρόν.

Ἔρημον, μάταιον, καὶ τὸ πλανᾶσθαι. καὶ ἔρημον αἰθέρα λέγουσιν, ὅτι ἡ μὲν θάλασσα ἔχει τοὺς ἰχθῦς, ἡ δὲ γῆ τὰ τετράποδα, καὶ τὰ ἑρπετά. ὁ δὲ ἀὴρ τὰ πτηνά. ὁ δὲ αἰθὴρ πυρώδης ὢν, οὐδὲν τούτων ἔχει.

Ἐρήμους, ἀπεριστάτους. καὶ ἐρήμους λόγους, τοὺς ἀπόρους, καὶ ματαίους.

Ἔρημος χώρα, καὶ ἐρήμη δίκη. ἐρήμη δὲ χώρα παρὰ ποιηταῖς. ἢ ἔρημος κυρίως, ἡ μονωθεῖσα τῶν ἐνοικούντων γῆ. παρὰ τὴν ἔραν, ὃ σημαίνει τὴν γῆν.

Ἐρημοσκόποι, οἱ ἐρημοφύλακες. ἔρημον γὰρ, καὶ τὸ ἀκίνητον, καὶ νωθρόν.

Ἐρημωτὴς, ἐρημοποιός· ἐν ἐπιγράμματι, ταῦρον τὸν πρὶν ἐρημωτὴν, θήραμα Μακεδονικόν.

Ἐρήνομοι ἔλαστε, αἱ νεμόμεναι ἐν τῇ ἐρήμῳ ἐλάθητε.

Ἐρηρέδαται. ἐρείδω, ἐρείσω, ἤρεικα, μέσος παρακείμενος ἤρειδα. ὁ παθητικὸς ἤρεισται, ἠρείδαται Ἰωνικῶς, καὶ Ἀττικῶς ἐρηρέδαται, τῆς τρίτης συλλαβῆς συσταλθείσης. Ἄλλως.

Ἐρηρέδαται, ἔστι μὲν Ἰωνικὸν, γίνεται δὲ ἀπὸ τοῦ τρίτου ἑνικοῦ τοῦ ἐρήρεισται, ἐκβολῇ τοῦ σ τῆς ληγούσης, καὶ πλεονασμῷ τῆς δε συλλαβῆς, ὁμοίως τῷ ὠνόμασται ὠνομάδαται, καὶ συστολῇ τῆς παραληγούσης. τοιαῦτα δὲ καὶ τὸ πέφρασται πεφράδαται, καὶ ἐσκεύασται, παρὰ Ἡροδότῳ, οἷον τὰ πρόπυλα ἐσκευάδαται.

Ἐρήρεικα, ἀπὸ τοῦ ἐρείδω, ἐρείσω, ἤρεικα κοινῶς, καὶ ἐρήρεικα Ἀττικῶς, οὐκ ἀποβάλλει τὸ ε, ἵνα μὴ συνεμπέσῃ τῷ ἐρήρικα, ἀπὸ τοῦ ἐρίζω διὰ τοῦ ι. ὁ μέσος παρακείμενος ἤρειδα, καὶ ἐρήρειδα. ὁ παθητικὸς παρακείμενος ἤρεισμαι, καὶ ἐρήρεισμαι. ἠρηρέδαται δὲ, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν Ἰωνικῶς, ἀπὸ τοῦ ἐρήρεισται.

Ἐρηρεῖσθαι, ἀντὶ τοῦ ἑδρᾶσθαι, ἐκ τοῦ ἐρείδω τὸ στηρίζω, καὶ ἑδράζω. ὁ μέλλων ἐρήσω, ὁ παρακείμενος εἴρηκα, καὶ Ἀττικῶς ἐρήρηκα, ὁ παθητικὸς ἐρήρεισμαι ἐρήρεισαι ἐρήρειται. καὶ τὸ ἀπαρέμφατον, ἐρηρεῖσθαι.

Ἐρηρεισμένος, ὁ ἡδρασμένος. ἐρηρισμένος δὲ, ὁ πεφιλονεικησμένος, ι.

Ἐρήρειστο, ἥρμοστο, καὶ ἐπέπηκτο. φυλάττει δὲ τὴν ει δίφθογγον, πρὸς ἀντιδιαστολὴν τοῦ ἐρήρισται, ὅπερ σημαίνει τὸ φιλονεικῶ. ἔστι δ' ὅτε οἱ Δωριεῖς φυλάττουσι τὴν φύσει μακρὰν, οἷον ὁρῶ, ὁρήσω, ὥρηκα, καὶ ὀρώρηκα Ἀττικῶς. φυλάσσεται παρὰ Δωριεῦσιν ἡ μακρά. ὁμοίως δὲ καὶ ἀκήκοα ἐν αὐτοῖς. ἡνίκα δὲ ἔχῃ τὴν ει δίφθογγον τὸ θέμα, ἢ τὴν αι ἐν τοῖς Ἀττικοῖς παρακειμένοις ἀποβάλλεται τὸ ε. αἱ δὲ ἔχουσαι τὴν ου τὸ ὑποτακτικὸν ἀποβάλλουσιν, οἷον ἀκούω ἀκήκοα. καὶ ἡ οι δίφθογγος, τὸ ὑποτακτικὸν ι ἀποβάλλει, οἷον ἑτοιμάζω ἑτοιμάσω, ἡτοίμακα καὶ ἐτήτομακα.

Ἐρηροτηκὼς, ἤδη ἐρωτήσας.

Ἐρήριπται, πέπτωκαν.

Ἐρήριται, ἐρίζει.

Ἐρηρότηκα. ἐρωτῶ, ἐρωτήσω, ἠρώτηκα, καὶ ὁ Ἀττικὸς παρακείμενος ἐρηρώτηκα, ὁ ὑπερσυντέλικος ἠρωτήκειν, καὶ ἐρηρωτήκειν, καὶ ἐρηροτήκειν, συστολῇ τοῦ ω μεγάλου. λέγει γὰρ ὁ κανὼν, τὴν τρίτην συλλαβὴν συστέλλειν.

Ἐρήρυθεν, ἀντὶ τοῦ κατέχεν.

Ἐρήσεο, ἐρωτήσειας.

Ἐρήσομαί σε, ἐρωτήσομαί σε.

Ἐρητύειν κοινῶς, τὸ διὰ λόγου κωλύειν, ὡς ἀπὸ τοῦ ἐρέω ἐρήσω, τὸ ἐρωτῶ, ἤδη δὲ καὶ λέγω. τῶν γὰρ ὁμωνύμων καὶ τὸ εἴρειν ἐστὶ, δι' οὗ σὺν ἄλλοις καὶ τὸ λέγειν δηλοῦται, καὶ τὸ ἐρωτᾶν.

Ἐρήτυε, παρεσκεύαζεν.

Ἐρήτυθεν, ὡς ἐφάανθεν, ἀπὸ τοῦ ἐρητύθησαν. λέγεται δὲ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ κατέχον, τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ.

Ἐρητύσειέ τε θυμὸν, ἐπίσχῃ καὶ παύσῃ τὴν ὀργήν. ἐκ τοῦ εἴρηκται γέγονεν εἰρκτύω, καὶ ἐξ αὐτοῦ ἐρητύω, ὁ μέλλων ἐρητύσω, ὁ παρακείμενος ἠρύτυκα, ὁ παθητικὸς ἠρήτυμαι, ὁ ἀόριστος ἐρητύθην. ἐρήτυθεν, οἱ Βοιωτοὶ ἐπὶ τοῦ ἔχοντος τὴν μετοχὴν εἰς σ ὀξύτονον. ἐρήτυθεν δὲ καθέδρας, ἀντὶ τοῦ κατεῖχον ἕκαστος τὰς ἑαυτῶν καθέδρας.

Ἐρητύσαι, πραΰναι, ἀνακόψαι, ἀναπαῦσαι, κωλῦσαι.

Ἐρητύω, τὸ κωλύω, παύω πραΰνω, κατέχω.

Ἔρθει φθέγγεται.

Ἐρι, πολὺ, μέγα, ἰσχυρόν.

Ἐριαύχενες ἵπποι, κατά τι ἐξαίρετον, πρὸς διαστολὴν ἡμιόνων καὶ ὄνων. οὗτοι γὰρ οὐ τοιοῦτοι. εἰ δὲ καὶ δολιχόδειροι οἱ τοιοῦτοι, ἀλλὰ αὐτὸ οὐχ ἵπποις, κύκνοις δὲ καὶ τοῖς τοιούτοις ὄρνισιν ἀποκεκλήρωται. ἐπὶ εὐγενῶν δὲ ὁμοίως ἵππων καὶ τὸ ὑψαυχεῖν. ἢ ἄλλως εἰπεῖν, ἐριαύχενες οἱ μακροτράχηλοι. ἢ ὑψαύχενες, καὶ γαῦροι τὴν χαίτην.

Ἔρια, τὰ μαλλία τῶν ἐρίων. οἱ μαλλοὶ ἔχουσι τὰς ἀρχὰς τὰς κορυφάς.

Ἐρίβοια νὺξ, ἡ μεγάλως τιμωμένη.

Ἐριβρεμέτας, μεγαλοκτύπους. ἀπὸ τοῦ ἐρι ἐπιτατικοῦ μορίου, καὶ τοῦ βρέμω τὸ ἠχῶ.

Ἐρίβρομον, μεγαλόηχον.

Ἐριβρύχων, πολυήχων. ἐριβρύχων ὑδάτων.

Ἐριβῶλαξ, ἡ εὔγειος γῆ, καὶ ἡ λιπαρά.

Ἐριβώλακι, μεγαλοβώλῳ εὐγείῳ. παρὰ τὸν βῶλον βῶλαξ, καὶ μετὰ τοῦ ἐρι ἐριβῶλαξ.

Ἐρίβωλος, πρωτότυπόν ἐστι τῆς ἐριβώλακος. ἢ ἐρίβωλος, μεγαλόλοφος.

Ἐρίγδουπος, ὁ μεγάλους κτύπους ποιῶν, διὰ τῆς βροντῆς. τὸ γ παρέλκον ἐστίν.

Ἔριγον, ἔφριττον.

Ἐριγήροις, μεγαλοφώνοις.

Ἐριγνύειν, κρύπτειν, κατακλείειν.

Ἐριδαίνεται, φιλονεικεῖ.

Ἐριδαίνετον, ἀπὸ τοῦ ἐρίζω κατὰ παραγωγὴν ἐριδαίνω, ἐκβολῇ τοῦ σ τοῦ ἐν τῷ ζ. τὸ δὲ δεύτερον τῶν δυικῶν, ἐριδαίνετον.

Ἐριδαίνω, ἀπὸ τοῦ ἐρίζω παράγεται, τραπέντος καὶ ἐνταῦθα τοῦ ζ εἰς δ κατὰ συγγένειαν. καθὰ καὶ ἐν τῷ ἕζω ἕδος, ῥέζω ἔρδω, σκύζω σκυδμαίνω, ὥσπερ καὶ ἐριδμαίνω. εὕρηται γὰρ ἐν χρήσει καὶ τοῦτο. Ἰστέον δὲ, ὅτι οὐ μόνον τὸ ζ εἰς δ μεταποιεῖται, ὡς ἐν τοῖς ῥηθεῖσι, καὶ ἐν τῷ ἐρίζω ἐρίσω, καὶ τοῖς ὁμοίοις Δωρικοῖς, ἀλλὰ καὶ ἔμπαλιν τὸ δ εἰς ζ, ὡς ἐν τῷ ἀρίδηλος, ἀρίζηλος ἀστήρ. καὶ ἐν τοῖς εἰς ζε λήγουσιν ἐπιῤῥήμασιν. ὡς γάρ ἐστι τὸ οἴκαδε, οὕτω Ἀθήναδε, Θήβαδε, ἔραδε, τὸ εἰς ἔραν, ἤτοι γῆν. τροπῇ δὲ τοῦ δ εἰς ζ, γέγονεν Ἀθήναζε, Θήβαζε, ἔραζε. Ἰστέον δὲ, ὅτι κοινῶς παραδείγματα τῆς εἰς ἄλληλα μεταχωρήσεως τοῦ δ καὶ τοῦ ζ, καὶ τὸ κνίζα κνίδη, ἁρμόζω ἁρμόδιον, φράζω ἀριφραδὴς, καὶ φράδμων. ζα ἐπιτατικὸν, δα. ἴζμεν κατὰ τοὺς παλαιοὺς, ἴδμεν, εἰ καὶ οἱ ὕστερον ἐπέκριναν μὴ εὑρίσκεσθαι ἐν συλλήψει πρὸ ἀμεταβόλου διπλοῦν σύμφωνον. πέδον, πεζός. ὄζω, οὗ μέσος παρακείμενος ὄζωζα ἢ, καὶ ὄδωδα, ὥσπερ καὶ χάζω κέχαδα, φράζω πέφραδα, ῥάζω τὸ ῥαίνω, ἔῤῥαδα.

σθεν ἐρράδαται. ἵζεσθαι, καθέζεσθαι. χλάζω, κέχλαδα, παρὰ Πινδάρῳ. πεδοῖ, παρ' Αἰσχύλῳ, τὸ δ' αὐτὸ καὶ πιέζει. δύω, τὸ βρέχω. δύω καὶ ζύω, ὁ ἀήρ. ὀχλάζω, ὀχλαδίας δίφρος. ἵζω, ἑδώλιον, ἡ τῆς νηὸς κλῆις. ἐκ δὲ τοῦ αὐτοῦ καὶ ἕδρα, καὶ ἱδρύω. καὶ ἀΐδιος ὁ μὴ ἵζων, ἀλλὰ βέβαιος καὶ στάσιμος. ὄζω, ὀδμή. ζήμιος, δήμιος, ὁ ζημιῶν τοὺς κολαζομένους. κλώζω, κλύθω. μερίζω. σμερδαλέον, καὶ σμερδνόν. μήδεα, μέζεα τὰ αἰδοῖα. μαδὸς, μαζός.

Ἐρίδας, τὰς ἐν οὐρανῷ ἐρίδας, Ἀττικῶς.

Ἐριδανάτας, Ἡρακλῆς παρὰ Ταραντίνοις.

Ἐρίδεται, μανθάνει, ἐξετάζει.

Ἔριδι, μάχῃ. ὥσπερ ὁ Ἀπόστολος, Μὴ ἔριδι καὶ ζήλῳ. τὸ ζήλῳ περὶ βασκανίας λέγει, παρὰ τὸ ἐρῶ, τὸ λέγω. ἢ παρὰ τὸ ἐρίζω, τὸ φιλονεικῶ.

Ἐριδήμιος, Ζεὺς, ἐν Ῥόδῳ.

Ἐριδήσασθαι, τὸ ἐρίσαι, ἀπὸ τοῦ ἐριδῶ ἐριδήσω ποιητικῶς.

Ἐριδία, ἄμαξα.

Ἐριδμαίνειν, τὸ ἐρεθίζειν, καὶ εἰς ἔριν κινεῖν, γινόμενον ἢ κατὰ σύνθεσιν ἀπὸ τῆς ἔριδος καὶ τοῦ μαίνεσθαι, ἢ ἀπὸ τοῦ ἐριδαίνω, πλεονασμῷ τοῦ μ. τοῦ δὲ ἐριδαίνειν χρῆσις πολλαχοῦ.

Ἐρίδων, βαστάζων.

Ἐρίνυος, Ἀφροδίτης ἐπώνυμον.

Ἐρίζειν, ἐπὶ συγκρίσεως ἐνίοτε εἴληπται.

Ἐριζέμεναι, ἐρίζειν, φιλονεικεῖν.

Ἐριζόμενος, ἐπιστρέφων, ἐπακολουθῶν.

Ἐρίζω ἐπὶ λόγων, ἐρείδω δὲ ἐπὶ πράγματος. ἀπὸ δὲ τοῦ ἐρίζω, ἐρίσω, ἤρικα κοινῶς, καὶ ἐρήρικα Ἀττικῶς. καὶ ἐρήρισμαι, παθητικόν. ἢ ἐρίζω, τὸ μετὰ μάχης φιλονεικῶ. καὶ ἐρίσδω Δωρικῶς.

Ἐριζώοισι, πάνυ ζῶσιν.

Ἐρίηρες ἑταῖροι, ἀντὶ τοῦ ἐρίηροι, κατὰ μεταπλασμόν. ἢ ἐρίηρες ἑταῖροι, οἱ ἄγαν ἀρηρότες, ἢ ἐραστοί. καὶ ἐρίηρες, εὐάρμοστοι, ἢ ἐπιθυμητοί.

Ἐρίηρον ἀοιδὸν, ἤγουν πάνυ ἁρμονικόν.

Ἐρίηρος, δηλοῖ μὲν τὸν ἐναρμονίως ᾄδοντα, παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. μετηνέχθη δὲ καὶ εἰς φιλίαν, ὅθεν ἐρίηρες ἑταῖροι λέγονται. ἀπὸ δὲ τοῦ ἀρῶ καὶ ἄρος τὸ ὄφελος, παρὰ Αἰσχύλῳ ἐν Γκέτισι, βρότειος ἄρος ἄπα. τουτέστι, τὸ εὖ τῶν βροτῶν καὶ τὸ ὄφελος, ἄπεστιν.

Ἐρίηρος ἑταῖρος, οὐ μόνον ὁ ἄγαν ἐρώμενος, ἀλλὰ καὶ ὁμήλιξ καὶ ἄγαν ἀρηρὼς καὶ ἡρμοσμένος τῷ φίλῳ, καὶ μειδιαζόμενος.

Ἐριθάκη, ἡ ὑπὸ τῶν μελισσῶν παρατιθεμένη τροφὴ, καὶ τὸ ἐγκοίλιον τῶν ἰχθύων, τῶν μαλακτῶν, καὶ τὸ τῶν συῶν ἔμβρυμα.

Ἐρίθακος, ὄρνεον μονῆρες, καὶ μονότροπον.

Ἐριθαλὴς, εἶδος δένδρου.

Ἐριθαλλῶν, πολυθάλλων.

Ἐριθαλέες, μεγάλως θάλλοντες.

Ἐρίθεια, ὁ ζῆλος, ἡ καταλαλιὰ, ἡ κακολογία. ἢ ἡ διὰ λόγου φιλονεικία λέγεται, καὶ ἡ δουλεία, καὶ ἡ μισθαρνία. ἢ ἐρίθειά ἐστιν, ἐξ ὧν ποιεῖ τὶς ἐπιδεικτικῶς, ἢ κενοδόξως προκαλεῖσθαι καὶ ἐρίζειν ἄλλους εἰς τὰ ὅμοια.

Ἐριθεύει, εἰκῆ ἐργάζῃ, μάτην.

Ἐριθεὺς, ὁ ἐριθακὸς τὸ ὄρνεον.

Ἐριθεύεσθαι, ὅμοιόν ἐστι τῷ δεκάζεσθαι.

Ἐριθευόμενος, διὰ λόγων φιλονεικῶν, καὶ ὅσα νοῦ ἐριθευόμενος.

Ἐριθῆαι, ἐργασίαι, ἠρεθισμένοι.

Ἐριθηλέες, μεγάλως καὶ καλῶς, ἢ πάνυ θάλλοντες.

Ἐριθηλέων, μεγάλως θαλλουσῶν.

Ἐριθηλὴς, ὁ μεγάλως θάλλων.

Ἔριθοι, οἱ γεωργοὶ, παρὰ τὸ τὴν ἔραν ἐργάζεσθαι, ἥ τίς ἐστι γῆ. καταχρηστικῶς δὲ, καὶ οἱ ἐριουργοὶ, ἢ μισθωτοί.

Ἐρίθοισιν, ἐργάταις, γεωργοῖς.

Ἔριθος, ὁ ἐργάτης. σημαίνει καὶ τὴν γυναῖκα τὴν ἐργαζομένην τὰ ἔρια. καὶ ἐπὶ μὲν τοῦ ἐργάτου, ἀπὸ τοῦ ἔρα, ὅ ἐστιν ἡ γῆ, κατὰ μετάθεσιν τοῦ α εἰς ι. ἐπὶ δὲ τῆς γυναικὸς, ἀπὸ τοῦ ἔριον γέγονεν ἔριθος, ἡ ἐργαστικὴ γυνή. καὶ συνέριθος, ὁ βοηθός. καὶ ἔριθος γεωργὸς, παρὰ τὴν ἔραν, ἥ ἐστι γῆ.

Ἐρικάνην, φραγμόν.

Ἐρικὰς, ὁ ἐρεγμός. Κρῆτες δὲ, ὡς ριμάς. λέγουσι δὲ οὕτω καὶ τὰ ἴτρια, τὰ ὑπό τινων λάγανα.

Ἐρίκει, σχίζει, φρίζει, ῥηγνύει, ἐσθίει.

Ἐρίκεως, φραγμοῦ.

Ἐρικαθεὶς, πυθμήν.

Ἐρίκη, ἡ θυγάτηρ τοῦ ἀναύρου. ἢ ἐρίκη, εἶδος φυτοῦ.

Ἐρίκιδες, αἱ ἁδρομερῶς διῃρημέναι κριθαί· παρὰ τῷ Ἱπποκράτει.

Ἐρικνώδης, διερρημένος τόπος.

Ἐρικνώμενον, ῥυτίδας ἔχον.

Ἐρικόμενος, σχιζόμενος.

Ἐρικτὰ, σῖτος πεφρυγμένος, καὶ κοπτόμενος. ὡς ἄλφιτα, χιστὰ ἄλευρα.

Ἐρικτὸν, κοπανιστόν.

Ἐρικυδέα, λίαν ἔνδοξα, μεγάλως ἔνδοξα.

Ἐρίμη, ἔξοδος.

Ἐριμύκων, μεγαλοφώνων. ἢ μυκώμενος, μεγάλως μυκῶν.

Ἐρινάδες, ὄλυνθοι, ἢ συκαῖ ἄρρενες.

Ἐρινάζειν συκᾶς, περιάπτειν τοῖς ἐρινοῖς εἰς τελεσφορίαν.

Ἐρινάξαι, τὸ λεγόμενον ἐρινάσαι ἀπολεγομένων. οὕτω δὲ λέγεται συκῆ φέρουσα ὀλύνθους, ἐξ ὧν οἱ ψῆνες γίνονται. ψῆνες δέ εἰσι, τὰ ἄνθη τῶν ἐρινῶν. γίνονται δὲ ἐπὶ τῶν φοινίκων ἔρινοι.

Ἐρινὰς, νέας βοῦς.

Ἐρινάσει, ἐρωτήσει, ἐρευνήσει.

Ἔρινε, ἐρώτα.

Ἐρίνεμος, ἄνεμος μετὰ συστροφῆς.

* Ἐρινιάτης κώμη Μεγαρίδος.

Ἐρινεὸς, περιεκτικοῦ τύπου ἐστίν. οὐ γὰρ ἕν τι φυτὸν ἡ λέξις ἐν τῷ λ τῆς Ἰλιάδος δηλοῖ, ἀλλὰ τόπον ἐρινεώδη, καθάπερ ἐν Ὀδυσσείᾳ ὁ ἀσφοδελός. ἢ ἐρινεὸς, μέρος τι τοῦ τείχους κατά τινας, ἔχον παραπεφυκότας ἐρινεοὺς, οἱ τοιοῦτοι οὐκ ἀκριβῶς λέγουσιν. ὁ μέντοι Γεωγράφος οὕτω περὶ τούτου φησὶν, ὁ ἐρινεὸς τραχύς ἐστι τόπος, ἐρινεώδης. τῷ μὲν ἀρχαίῳ κτίσματι ὑποπεπτωκὼς, τῆς δὲ νῦν πόλεως ἀφεστηκώς. ἢ ἐρινεὸς, τόπος τὶς πετρώδης ἔξω τῶν τειχῶν τῆς Τροίας. πολλαχοῦ δὲ δηλώσεων γενομένων περὶ ἐρινεοῦ, ῥητέον καὶ ὅτι οὐ κατὰ τὸ ἄρρεν ὥς φησιν Ἀθήναιος λέγεται ἐρινὸς ἀγρία συκῆ, ἐξ οὗ πλεονασμῷ τοῦ ε παρ' Ὁμήρῳ ἐρινεός. καὶ ὅτι ἐκεῖθεν ῥῆμα ἐρινάζειν παρὰ Σοφοκλεῖ, ἔνθα τῷ τοῦ δένδρου ἐκάλεσεν ὀνόματι εἰπὼν, πέπων ἐρινὸς, ἀχρεῖος ὢν εἰς βρῶσιν, ἄλλους ἐξερινάζεις λόγῳ. παροιμιακὸν δὲ αὐτὸ τὸ νόημα, ὅμοιον τῷ ἀπαίδευτος ὢν, πῶς ἑτέρους παιδεύσειας. καὶ ὅτι ἱστορεῖται οὐ μόνον δίφορος ἐρινεὸς, ἀλλὰ ποῦ καὶ τρίφορος, ὡς ἐν Κέῳ. καὶ ὅτι λευκερινεὸς, εἶδός ἐστι συκῆς, ἥτοι λευκά φησιν ἴσως ἐκφέρει σῦκα.

Ἐρινεὸς, τόπος τὶς Τρωϊκὸς ἐρινεώδης, οὐ ὥσπερ ἡ τοῦ Διὸς φηγὸς μία ἦν ἐν Τροίᾳ, οὕτω καὶ εἷς τις ἐρινεὸς περὶ τὸ τεῖχος. οὐ γὰρ ὅτι μὴ δὲ δοκεῖ ὅλως τοῦτο τοῖς παλαιοῖς, ῥάχις δέ τις ἦν ἐρινεοὺς ἔχουσα ὑψηλὴ πρὸ τῆς Τροίας.

Ἐριννύας μητρὸς λέγει Ὅμηρος, τὰς μητρικὰς ἀρὰς, δι' ὧν ἐριννύες ἐρεθίζονται κατὰ φαύλου παιδός. ἢ ἐριννύας, τὰς ἁμαρτίας.

Ἐριννύες μυθικῶς τρεῖς εἰσι, δαίμονες τιμωρητικαί. ὧν τὰ ὀνόματα Τισιφόνη, Μέγαιρα, καὶ Ἀληκτώ. καὶ κατὰ μὲν Ἡσίοδον καὶ τοὺς λοιποὺς ἐκ τῶν σταγόνων τοῦ αἵματος τῶν αἰδοίων τοῦ Κρόνου ἐγένοντο. κατὰ δὲ Αἰσχύλον ἐριννύες, νυκτὸς αἰανῆς τέκνα, ταύτας φησὶ γενέσθαι. ἀλληγορικῶς δὲ ἐριννύες, αἱ τιμωρητικαὶ δυνάμεις, παρὰ τῷ ἐν τῇ ἔρᾳ καὶ τῇ γῇ ναίειν, ἢ παρὰ τὸ τὰς ἀρὰς ἀνύειν· Τισιφόνη, παρὰ τὸ τιννύειν τοὺς φονεῖς. Μέγαιρα, παρὰ τὸ μεγαίρειν καὶ τὸ φθονεῖν τοῖς κακοῖς. Ἀληκτὼ, παρὰ τὸ μὴ λήγειν τιμωρεῖν τοὺς τοιούτους. Κρόνου δὲ καὶ νυκτὸς παῖδας, διὰ τὸ ἀφανῶς καὶ ἀοράτως τὰς ἐνεργητικὰς ταύτας δυνάμεις ἐπέρχεσθαι. αἵτινες ἐν ταῖς τραγῳδίαις μετὰ λαμπάδων εἰσήγοντο.

Ἔρινον, νέφος.

Ἔρινος, Θεὸς, ἢ σῦκον ἄρρεν.

Ἐρινὸν, ἐν συγκοπῇ φασὶν οἱ πολλοὶ εἶναι τὴν ἀγρίαν συκῆν. οὐκ ἔστι δὲ οὕτως, ἀλλ' ὁ ἐρινὸς, εἶδός ἐστι συκῆς, ἀπὸ Ἐρινεοῦ πόλεως Δωρικῆς. ἓξ πόλεις ἐστὶν ἡ Δωρὶς, ὧν μία πόλις ὁ Ἐρινεὸς, ἐν ᾗ εἰσι συκαῖ λεγόμεναι ἐρινεαὶ, ὡς δαμασκηναὶ, καὶ κυδώνια μῆλα.

Ἐριννὺς, δαίμων καταχθόνιος, ἢ Ἀφροδίτης εἴδωλον.

Ἔριξ, εἴρηται μὲν καὶ ἐπὶ τοῦ ἥπατος. γέγραπται δὲ ἐν τοῖς πλείστοις εἶναι ἡ θρίξ. δηλοῖ δὲ τὸ μέρος τοῦ ἥπατος τὸ ἄνω, καθ' ὃ ἀπ' ἀλλήλων σχίζονται οἱ λοβοὶ, παρὰ τῷ Ἱπποκράτει.

Ἐριόδων, ὁ μεγάλους ἔχων ὀδόντας.

Ἐριοῖ, ἐργάζεται.

Ἔριοι, καινοί.

Ἔρι οἰσυπηρὰ, παρὰ τῷ Ἀριστοφάνει, οἱ μὲν τὸ λεπρὸν χοιρίδιον. οἱ δὲ, ἐπιδέσμου εἶδος. οἱ δὲ, τὸν νάρθηκα τῶν ἰατρῶν, τὸν δρυγμίζοντα τὸν σφυρόν. οἱ δὲ τὰ ἔμματα. οἰσυπηρὰ δὲ, ῥύπου πεπληρωμένα.

Ἔριον, τὸ μαλλίον, καὶ εἶρος ὁ πόκος. οἷον, ἰοδνεφὲς εἶρος ἔχουσα. παρὰ τὸ ἔρρω, τὸ φθείρω, περὶ ὃ ταλαιπωροῦσιν αἱ ἐργαζόμεναι. ἢ ὅτι ξαίνεται καὶ κείρεται τὰ πρόβατα.

Ἐριοπωλικῶς, ὡς οἱ τὰ ἔρια πωλοῦντες βρέχουσιν αὐτὰ, ἵνα βαρύνωσιν ἐν τῷ σταθμῷ. Ἀριστοφάνης. οὕτως εἰώθασι ποιεῖν καὶ ἄλλοι.

Ἐριούνης, μεγάλως ὠφελῶν, ἢ μεγάλην ὄνησιν καὶ ὠφέλειαν τοῖς ἀνθρώποις παρέχων.

Ἐριούνιον πόρον, τὸν ὑποχθόνιον.

Ἐριούνιος, πολυωφελὴς, ἀγαθός.

Ἐριούνης, ὁ Ἑρμῆς. ἢ παρὰ τὸ ἐρι ἐπιτατικὸν, καὶ τὸ ὀνῶ, ὁ ἄγαν ὀνῶν καὶ ὠφελῶν, ἢ ὁ ἐφευρετικὸς, παρὰ τὸ εὑρεῖν. ἢ χθόνιος κατὰ τοὺς τραγικοὺς, παρὰ τὴν ἔραν.

Ἐριπεῖ, καταβάλλει. καὶ ἐριπεῖν, καταπεσεῖν.

Ἔριπες, δαλοί.

Ἐρίπεσθαι, φθονεῖν.

Ἐριποῦσα, πεσοῦσα.

Ἐρίπησι, δεύτερος ἀόριστός ἐστιν Ἰωνικὸς ὑποτακτικός. οὐ θέμα ἐρείπω. ἀφ' οὗ καὶ τοπικὸν ἐρείπιον. καὶ νεκρικὰ δὲ ἐρείπια.

Ἐρίπιον, τὸ ἡμίπτωτον οἴκημα, ἢ πτῶμα.

Ἐριπίων πτώσεων, τῶν τειχῶν.

Ἐρίπναι κατά τινας, τὰ ἀποθραύσματα τῶν ὀρῶν. κατὰ δὲ τοὺς γλωσσογράφους, τὰ ὄρη ἐρίπναι λέγονται. τινὲς δὲ ἐρίπνας τὰς τραχείας, καὶ εἰς ὕψος ἀνεχούσας πέτρας φασίν. ἢ ἐρίπναι, οἱ σηραγγώδεις καὶ παρεσπασμένοι τόποι, δι' ὧν αἱ μεγάλαι πνοαὶ ἐκδύουσιν. ἐρίπνη οὖν, ὑψηλὴ μεγάλη.

Ἐρίπνας, ἀπορρῶγας κοιλώνας, σπήλαια κρημνώδη. λέγουσι δὲ οὕτω καὶ τὰς οἰκίας, ἀπὸ τοῦ ἐρηρεῖσθαι. ἐρίπνη δὲ λέγεται ἐπὶ τοῦ ἀκρωτηρίου, παρὰ τὸ ἄγαν πνέεσθαι.

Ἐρίπνη, κορυφὴ ἄκρα, κρημνός.

Ἐριποῦσα, πεσοῦσα. ἐριπῶ γὰρ, τὸ καταπίπτω, περισπωμένως.

Ἐριπτασμένον, γεγυμνασμένον, ἠρτημένον. πολλαῖς τ' ἀγρυπνίαις ἐριπτασμένον.

Ἐρίπων, ἀνατρέπων, καταπεσών.

Ἐρίσαι, πνίξαι.

Ἐρίσει, ὑποστηρίξει, στερεώσει, παίξει, φιλονεικήσει.

Ἔρισεν, ἔπεσεν, ἤρεττεν.

Ἔρις, ὅταν τις ὑπὲρ τοῦ μὴ ἐλάττων φανῆναί τινος, σπουδάζῃ ποιεῖν τί. ἢ ἔρις κυρίως, ἡ διὰ λόγων μάχη. πόλεμος, ἡ δι' ὅπλων. μάχη, ἐπ' ἀμφοτέρων. καὶ ἐριστὴς, ὁ φιλόνεικος. ἐριστικὸς δὲ, ὁ ἐπιτηδειότητα ἔχων πρὸς τὸ ἐρίζειν. ὥσπερ φιλικὸς, ὁ ἐπιτήδειος εἰς φιλίαν. ἐριστὴς δὲ, ὁ ἄξιον ἔχων τὴν ἔριν. ὥσπερ παικτὸν παίγνιον, τὸ ἄξιον παίζεσθαι. καὶ παικτὴ παιδιὰ, ἡ ἀξία παίζεσθαι.

Ἐρισάρματες ἵπποι, ἀντὶ τοῦ ἐρισάρματοι. τὸ μεταλλάττειν τὴν οι δίφθογγον εἰς τὴν ες συλλαβὴν, Ἰώνων ἐστίν.

Ἐρίσδεν, ἀντὶ τοῦ ἐρίζειν. Δωρικῶς.

Ἐρίσαντες, φιλονεικήσαντες.

Ἐρισθενέας, μεγαλοσθενεῖς, μεγαλοδυνάμους.

Ἐρισθενὲς, μέγα, ἰσχυρόν.

Ἐρίσκηπτα, ἱερὰ βοτάνη, εἰς ἣν ἂν ἔρις ἐπισκήψῃ.

Ἔρισμα, στήριγμα.
Ἐρείσμασιν, ἐρισίαις.
Ἐρισμάραγδος, ἡ βαρεῖα.
Ἐρισμάραγος, βαρύηχος.
Ἐριστάφυλος, οὐ μόνον ἄμπελος κοινότερον λέγεται, ἀλλὰ καὶ οἶνος ἐριστάφυλος, ὁ ἀπὸ τῶν μεγάλων σταφυλῶν γινόμενος.
Ἐριστὴρ, μαρσύππιον, σάκκος. ἕρκεως, καὶ φράκτης.
Ἐρισύβη. ὁ ὡς κονιορτὸς κατερχόμενος, καὶ ἀφανίζων τὸν σῖτον.
Ἐρισφάραγος, μεγαλαύχην, ὑψηλόφορος.
Ἐρίχηλος, λοίδορος. ἀπὸ τοῦ ἐρίζειν διὰ τῶν χειλέων, ἐρισχηλός τις ὤν, ὁ ἐξ ἔριδος λεχαίνων.
Ἐρισαίρβυς, μεγάλως δειλός.
Ἐρίτιμον χρυσὸν λέγει Ὅμηρος, ὡς τῶν ἄλλων μετάλλων τιμιώτερον.
Ἐρίτιμος, ὁ μεγαλότιμος, καὶ μεγάλως ἔντιμος, καὶ ἐριτιμώτατος.
Ἐριφίας, χίμαρος.
Ἐριφήματα, ἔριφοι. Λάκωνες.
Ἔριφος, μέχρι τριῶν ἢ τεττάρων μηνῶν. χίμαροι, ἐπιθηλυκοῦ, ἕως ἐπικυοῦ, τουτέστιν ἕως ἂν τέκωσι, καὶ ἀμελγῶσιν. ἀφ' οὗ δὲ τέξεται ἡ χίμαρος, οὐκέτι χίμαρος λέγεται, ἀλλὰ χίμαρα ἢ αἴξ. ταυτὸν γὰρ αἴξ καὶ χίμαρα. ἐπὶ δὲ τῶν ἀρρένων ἔριφος, καὶ τράγος. οἱ δὲ ποιηταὶ, καὶ ἐπὶ τοῦ ἄρρενος τὴν αἶγα λέγουσι. καὶ ἔστιν αὐτοῖς κοινὸν ὄνομα τὸ αἴξ. ὡς ἔλαφος, ἄνθρωπος, ἵππος. ὃ δὲ ἐπὶ τούτων ἔριφοι, τοῦτο ἐπὶ τῶν προβάτων ἄρνες, καὶ ἀμνοί. καὶ ὃ αἶγες ἐνταῦθα, τοῦτο ἐπ' ἐκείνων ὄϊες. ὃ δὲ τράγος ἐπὶ τούτων, τοῦτο ἐπ' ἐκείνων κριός. ἢ ἔριφος ὁ Διόνυσος. ἔριφος ὁ μικρὸς αἴξ, ὁ ἐν τῷ ἔαρι φαινόμενος, ἤγουν ὁ πρώϊμος. χίμαρος δὲ, ὁ ἐν τῷ χειμῶνι.
Ἐριφύλης, τῆς χρυσίῳ προδεδωκυίας τὸν ἴδιον ἄνδρα.
Ἐριφύλλιον, τὸν Ἀπόλλωνα, καὶ τὸν Ἑρμῆν.
Ἐρίφυλλος δρῦς, ἡ πλατύφυλλος. καὶ ἡ καλουμένη φελλός.
Ἐριχθόνιος, γηγενής. ἐκ τῆς γῆς ὥς φασιν ἀνεδόθη. Ἀθηνᾶν γὰρ ἐλθοῦσαν πρὸς Ἥφαιστον ἕνεκεν ὅπλων κατασκευῆς, ἐρασθεὶς Ἥφαιστος ἐδίωκε. καταλαβὼν δὲ, ὡς ἀντέπιπτεν αὐτῷ Ἀθηνᾶ, περὶ τοὺς μηροὺς ἐπεσπέρμηνεν. ἡ δὲ μυσαχθεῖσα, ἐρίῳ εἰς γῆν τὸν γόνον ἀπέρριψεν. ἀνεδόθη δὲ ὁ Ἐριχθόνιος, κληθεὶς ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονός. ὅθεν πάντας Ἀθηναίους γηγενεῖς φάσκουσιν, ἀπὸ τούτου. ἄλλοι δέ φασιν, ὅτι λυπρόγεως ἡ Ἀττικὴ, καὶ οὐδέποτε ὑφ' ἑτέρων ἐξηλάθησαν οἱ ἐν αὐτῇ, διὰ τὸ ἄζηλον τῆς αὐτῶν χώρας, ὅθεν αὐτοὺς αὐτόχθονας καὶ γηγενεῖς ἔφησε. τὸ δὲ περὶ τῆς Ἀθηνᾶς καὶ Ἡφαίστου, οὕτως ἐστίν. Ἀθηνᾷ τινὶ βασιλίδι τῇ καὶ Βελονίκῃ καλουμένῃ θυγατρὶ Βρονταίου ὑπαρχούσῃ, Ἥφαιστος γάμῳ μιγεὶς γεννᾷ Ἐριχθόνιον, ὃς ἐβασίλευσεν Ἀττικῆς. πολλαὶ γὰρ Ἀθηναῖ, καὶ Ἀφροδῖται, καὶ οὐ μία. οὐ δὲ μυθικὴ, ὡς καὶ τὰ λοιπὰ τῶν ὀνομάτων. ἢ Ἐριχθόνιος, ὁ Ἑρμῆς. μετασυντίθεται ἡ λέξις, ὥσπερ λέγεται φθινόπωρον καὶ μετόπωρον, καὶ πάλιν φθινομετόπωρον, καὶ συνομήλικες, οὕτως ἐριούνιος Ἑρμῆς, καὶ χθόνιος, καὶ ἐριχθόνιος Ἑρμῆς.
Ἔριψ, σωμάτιον.
Ἐρίψαι, ἀφανίσαι, στεγάσαι, καταρρίψαι.
Ἐρίψιμα, πτώσιμα.
Ἐριωδία, ἅμαξα.
Ἐριώδινον, μεγαλώδυνον.
Ἐριώλη, ἀνέμου συστροφή. ἢ πυρὸς καὶ ἀναθυμιάσεως συστροφὴ, πρὶν ἐμπυρωθῆναι τὸν ἀέρα. καὶ ἡ μεγάλη δὲ πνοὴ οὕτω λέγεται ἐριώλη.
Ἐριῶν, ἀφορίζων.
Ἐριώπιδος, εὐώπιδος.
Ἐριωπιζόμην, ἢ ἐστεχνητευόμην, ἢ σύμμικτα χρήματα εἶχον.
Ἐριῶπις, μεγαλόφθαλμος, καὶ ἡ Ἀγχίσου γυνή.
Ἐρίῳ στέψαντες, ἀντὶ τοῦ στέμμα περιθέντες.
Ἑρκάζειν, σκώπτειν.
Ἑρκανὴ, φυλακή.

Ἕρκατος, τεῖχος. ἢ ἕρκατος, φραγμός.
Ἕρκει χαλκείῳ, τῷ τῶν ἀσπίδων κυκλώματι.
Ἑρκεῖαι, οἰκεῖαι, τείχη, φραγμοὶ, σκηναί.
Ἑρκείοις, τειχίοις.
Ἑρκείου Διὸς βωμὸς ἔξω τοῦ περὶ τὴν αὐλὴν, αἴθριος εἶναι δοκεῖ, ἐν ᾧ ἔθυον Διὶ ἐφόρῳ τοῦ ἕρκους, ὅ ἐστι περὶ τὴν αὐλὴν τοῦ τειχίου. ὥσπερ αὖ πάλιν ἐν τῇ κατ' οἶκον ἑστίᾳ Διὶ ἐγίνοντο θυσίαι. ὃν οἱ μὲν ἄλλοι ἐφέστιον, Ἡρόδοτος δὲ Ἰωνικῶς λέγει ἐπίστιον, τὸν αὐτὸν ὄντα τῷ ἑστιούχῳ. καὶ ἔστι τὸ ἑρκεῖος ὅμοιον τῷ ἑταιρεῖος κατὰ τὴν γραφὴν τῆς παραληγούσης, ὡς ἀπὸ τοῦ ἕρκος ἕρκεος, ἑρκεῖος καὶ ἑρκεῖος. καθὰ κεῖος κέος, ἀπὸ τῆς Κέω τῆς νήσου. χρῆσις δὲ ἑρκείου Διὸς καὶ παρὰ Σοφοκλεῖ. ἔνθα ἑρκεῖον Δία ἐκεῖνος τοὺς ἐν δίκῳ πάντας δηλοῖ.
Ἑρκεῖος Ζεὺς, οὗ βωμὸς ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυται. τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. μετῆν δὲ τῆς πολιτείας, οἷς ἦν Ζεὺς ἑρκεῖος. ἑρκεῖον δὲ, τὸ περίφραγμα τῆς αὐλῆς, ἢ ἡ τοῦ δώματος στέγη. Σοφοκλῆς Αἴαντι, πρὶν ἂν δεθεὶς πρὸς κίονα ἑρκίου στέγης, μάστιγι πρῶτα φοινιχθεὶς θάνῃ. καὶ ἕρκιος, ὁ συνοχεὺς, ὁ φύλαξ.
Ἕρκεσι, δικτύοις. Σοφοκλῆς Ἀθάμαντι δευτέρῳ.
Ἕρκη, ὅπλα. Σοφοκλῆς Τρωΐλῳ.
Ἕρκη κατὰ Αἴλιον Διονύσιον, καὶ πλεκτά τινα ἐκ τειχῶν, ἃ ἕρκη παρὰ τοῖς κωμικοῖς ἐλέγοντο. καὶ ἑρκάνη κατ' αὐτὸν, ὁ φραγμὸς, ἀπὸ τοῦ ἕρκους. ἴσως δὲ πρὸς διαστολὴν πάντως ἐρρέθη τὸ ἕρκος ὀδόντων. ἐπεὶ καὶ κήπου ἐστὶν ἕρκος εἰπεῖν, καὶ οἴκου καὶ ἑτέρων. εἶγε καὶ ἀγκίστρου ἕρκος παρὰ Ὀππιανῷ, τὸ ἄνω αὐτοῦ χάλκωμα, μεθ' ὃ ἡ ὁρμιά, ἕρκος ὀδόντων. ἢ περιφραστικῶς αὐτοὶ οἱ ὀδόντες. ἢ τὰ χείλη, ἃ δὴ καθὰ τεῖχος ἐπιτείχει πόλεως, ὃ καὶ ἐπίτειχος λέγεται, οὕτω καὶ αὐτὰ ἕρκος, ἐπεὶ ἕρκη ὀδόντων εἰσὶ, στεγανοῦντα τὸν εἴργοντα ἔσω τὴν γλῶσσαν φραγμόν. καὶ ἕρκη ἀλωάων λέγει Ὅμηρος, τῶν ἀμπελοφύτων χωρίων τοὺς φραγμούς. εἶεν δ' ἂν ἕρκη, τὰ εἴργοντα καὶ εἴργοντα. ὅθεν καὶ εἰργμέναι γέφυραι, ἃς διὰ τὸ κατασφαλίσθαι, καὶ πυκνάς ἐστιν εἰπεῖν.
Ἑρκηνία, ἑορτὴ Δήμητρος.
Ἑρκῆται, οἱ ἐν ἀγρῷ οἰκέται.
Ἕρκιον αὐλῆς, ὁ τοῖχός ἐστιν, ᾧ ἐπίκειται ὁ θριγκός. γίνεται δὲ ἐκ τοῦ ἕρκος, ὁμοίως τῷ τεῖχος, τείχιον.
Ἑρκιούδιον, τὸν φύλακα τοῦ οἴκου Ἀθηναῖοι καλοῦσιν. ἕρκιον γὰρ, τὸν οἶκον ἐκάλουν.
Ἑρκίτης, ὁ φύλαξ.
Ἑρκόπεζα, τὰ τῶν νεῶν ἔξωθεν περιτιθέμενα πρὸς τὸ μὴ ὑπερβατὰ εἶναι, ἀκανθώδη ξύλα.
Ἕρκος, περίφραγμα, τείχισμα. ὡς τὸ, ἕρκος περιθέντες. ἢ ἕρκος δικτυῶδές τι κυρίως μηχάνημα. παρ' Ὁμήρῳ δὲ ἐν Ὀδυσσείας χ, φαίνεται χοῖνος εἶναι μακρὰ τὸ ἕρκος, ἧς βρόχοι ἀπῃώρηνται πρὸς ἰσόμετρον. δῆλον δὲ, ὡς ὁμώνυμος λέξις καὶ τὸ ἕρκος. αὖλις δὲ, ἀπὸ τῆς αὐλῆς Αἰολικῶς, ἡ κοίτη, καὶ ἡ κατασκήνωσις. ὅθεν καὶ ἔπαυλις. καὶ ἕρκος, ὁ περίβολος. καὶ ἕρκειος Ζεύς. ἀπὸ τούτου οἱ βωμοὶ ἐντὸς ἕρκους, ἐν τῇ αὐλῇ ἦσαν ἱδρυμένοι. οἷς δέ φασι Ζεὺς ἦν ἕρκειος, τούτοις μετῆν τῆς πολιτείας. καὶ ἕρκος Ἀχιλλεὺς Ἀχαιῶν ταυτὸν ἐνταῦθα ἕρκος καὶ τεῖχος εἰπεῖν, ἵνα νοῆται Ἀχιλλεὺς, οἷά τι κατὰ τῶν πολεμίων πυργοειδὲς ἔρυμα ἵστασθαι. ὁποῖος καὶ ὁ Αἴας πολέμου ἕρκος, διαστολὴν ἔχει πρὸς τὸ αὐλῆς. καὶ ἀλωῆς ἕρκος, καὶ ἕρκος Ἀχαιῶν, ἐλλειπτικῶς ἀντὶ τοῦ ἕρκος Ἑλλήνων ἐν μάχῃ. καὶ ἕρκος ὀδόντων εἰπεῖν τὰ χείλη, ἀσφαλῶς ἔχει. ἐπεὶ καὶ πύλαι στόματος λέγονται.
Ἑρκύνιον, ὄρος Κελτῶν, ἢ δρυμός.
Ἕρμα παρὰ τῷ ποιητῇ καὶ κόσμος γυναικεῖος ἐνώτιος. φησὶ γάρ που καὶ ἕρμα ὀδυνάων, τὸ ἐνέρεισμα. οἴδαμεν δὲ καὶ τινὰ πλοίου ἔνθεσιν ἕρμα λεγομένην, ὅπερ ἡ μὴ ἔχουσα ναῦς, ἀνερμάτιστος λέγεται. ἕρματα εἰσὶ τὰ ὑποκείμενα ταῖς ναυσὶν ἐκ ξύλων ἐρείσματα, ἐφ' ὧν αἱ νῆες ἐρείδονται, ἃ οἱ πολλοὶ καλοῦσι φαλάγγια. καὶ ὤφειλεν ἡ λέξις μὲν ψιλοῦσθαι διὰ τὴν ἐκ τοῦ ἐρείσματος συγκοπήν. δασύνεται δὲ ἄλλῳ κανόνι τοιούτῳ. τὰ βραχυνόμενα φωνήεντα, καταλήγοντα δὲ εἰς ρ ἐπιφερομένου τοῦ μ δασύνεται. ὅρμος, ἅρμα, ὁρμαθός. οὕτω δή φασι καὶ τὸ ἕρμα, πλὴν τοῦ ἄρμενον τὸ ἁρμόδιον. καὶ πλὴν τοῦ Ὄρμενος κυρίου ὀνόματος. ἢ ἕρμα, τὸ στήριγμα. καὶ ἕρματα, οἱ δεσμοί. καὶ ἑρμῆς, ὁ λόγος, καὶ ὁ ἐπίτροπος τῶν λόγων θεὸς παρ' Ἕλλησιν. ἀφ' οὗ ἑρμηνεύω τὸ δηλῶ, καὶ τὸ φράζω. καὶ ἑρμηνεία ἐπὶ τούτων. καὶ ἕρμα ὀδυνῶν, ἐν ᾧ αἱ ὀδύναι οἷον ἐνοικοῦσι, καὶ ἐνερείδονται.
Ἑρμαῖ, παραφυάδια δένδρων ἄχρηστα, οἷς παίζοντες ἑρμομάχην λέγουσιν. ἢ ἑρμαῖ, ἀπὸ τῆς ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς εἰσὶν οἱ ἑρμαῖ καλούμενοι. διὰ γὰρ τὸ πολλὰ κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ἀρχόντων, ταύτην εἰληφέναι τὴν προσηγορίαν συμβέβηκεν. ὑφ' ἑνὸς δὲ αὐτῶν ἐπιγέγραπται γράμμασιν ἀρχαίοις. Ἀντ' εὐεργεσίης Ἀγαμέμνονα θῆσαν Ἀχαιοί. ὅτι δὲ καὶ Θρακῶν στοά τις ἐλέγετο, δεδήλωκεν Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ὅτι δὲ ἐκαλοῦντό τινες καὶ ἱππάρχειοι ἑρμαῖ, ἀπὸ ἱππάρχου τοῦ Πεισιστράτου, εἴρηται ἔν τε τῇ ἀρχαίᾳ κωμῳδίᾳ, καὶ παρὰ Πλάτωνι ἐν τῷ Ἱππάρχῳ.
Ἕρμαιον, τὸ ἀπροσδόκητον κέρδος. ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. ἢ ἀπὸ τοῦ ἐν ἔθει λεγομένου κοινὸς Ἑρμῆς, ἐπὶ τῶν εὑρισκόντων τί. οἷον, κοινὸν τὸ εὕρημα. παρὰ οὖν τὸ Ἑρμῆς, ἕρμαιος, καὶ ἕρμαιον τὸ οὐδέτερον. ἢ ἕρμαιον, τὸ εὕρεμα. ἡ γενικὴ τοῦ ἑρμαίου τοῦ εὑρεθέντος, διὰ διφθόγγου. Ἑρμέου δὲ, τοῦ ποδὸς τοῦ ἑρμιακοῦ, ψιλόν. ὅτι ἐκθλίψει τοῦ ι γέγονεν.
Ἑρμαῖος, προπερισπώμενον. τὰ γὰρ διὰ τοῦ αιος ἔχοντα τὴν ἄρχουσαν εἰς ἀμετάβολον, περισπᾶσθαι θέλει, οἷον ἑρμαῖος λόφος. τὸ γὰρ ἕρμαιον, προπαροξυτόνως ὄρος τὸ ἐστι, καὶ ἀτυχὲς εὕρημα, χερσαῖος, ὀρφναῖος, καὶ ἄλλα. εἰσὶ δέ τινες ὅμως, οἳ προπαροξυτόνως προέφερον, ἕρμαιον λόφον. ἢ ἑρμαῖος, ὁ τετράγωνος λίθος.
Ἕρμαιος λόφος, σωρὸς λίθων ἐστὶν ἐνόδιος, ἢ βωμὸς, ἢ λόφος ὑποκείμενος Ἑρμοῦ ἀνδριάντι. ἄλλοι νοοῦσιν ἑρμαίους κοινῶς λόφους, σημεῖον ὁδῶν κατὰ ποσὴν τινὰ διάστασιν μιλιασμοῦ τυχὸν ἱσταμένην. Ἑρμῆς γάρ φασι, πρῶτος οἷα κῆρυξ καὶ διάκτορος, κατὰ τὰς ὁδοὺς εἴπου λίθους εὗρεν, ἐπετίθει ἔξω ὁδοῦ. ὅθεν τοὺς τοιοῦτόν τι ποιοῦντας, καὶ τὰς ὁδοὺς τῷ ἑρμῇ ὡς διακτόρῳ ἐκκαθαίροντας εἰς τιμὴν ἑρμοῦ, τοὺς τῶν τοιούτων λίθων σωροὺς ἕρμαια, ἢ ἑρμαίους λόφους καλεῖν. τινὲς δέ φασιν, Ἑρμοῦ τοῦ εἰς λόγον ἀλληγορουμένου σύμβολον εἶναι τὸ τοιοῦτον ἔργον. ὡς γὰρ σωρὸς λίθων ἐκ μικρῶν εἰς μεγάλον ὀγκοῦται κολωνὸν, οὕτω καὶ ἑρμῆς ἀποτάδην διεξοδικῶς, ἐκ βραχυτάτων στοιχείων τε καὶ συλλαβῶν καὶ λέξεων σεσωρευμένος εἰς πολὺ κορυφοῦται. ἄλλοι δὲ εἶπον, Ἑρμῇ ἀνελόντι τὸν Ἄργον, ἐξ οὗ καὶ ἀργειφόντης ἐκλήθη, ἀνάγκην γενέσθαι δίκας τοῦ φόνου. ἐπεὶ δὲ Διῒ πειθεὶς ἐπλημμέλησε τὸ κακὸν, καὶ ὤκνουν αὐτὸν τίσασθαι, προσέρριψαν τὰς ψήφους, οἱ καθ' ἕνα τῶν κρειττόνων ἠρέμα τῷ ἑρμῇ βάλλοντες, οἷον ἐκεῖνον λίθοις, καὶ οὕτω τὴν τοῦ φόνου ποινὴν ἀφωσιώσαντο. καὶ οἱ τῶν ψήφων ἐκείνων λίθοι ἀναβάντες τῇ σωρείᾳ εἰς λόφον, εἰς τιμὴν ὕστερον ἔπεσον τῷ Ἑρμῇ. ἐντεῦθεν γὰρ οἱ σωρευόμενοι που λίθοι τῷ ἑρμῇ, κατὰ τὴν ὁμηρικὴν φράσιν ἐπωνομάζοντο ἕρμαιον. εἴτε τοπικῶς νοεῖται, εἴτε ἐπὶ εὑρήματος τυχηροῦ, προπαροξύνεται.
Ἕρμακες, αἱ ὕφαλοι πέτραι, ἢ αἱμασιαί.
Ἕρμακον, ὄρνεον.
Ἑρμὰς, ὕφαλος πέτρα. Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. ἔστι τοὔνομα καὶ παρὰ Ἀνακρέοντι, καὶ ἐν Γηρυτάδῃ Ἀριστοφάνους.
Ἑρμάσαι, ἐλαφρῶς περιελίξαι.
Ἑρμάσει, μαλάσσει, στηρίζει.
Ἕρματα, τὰ τοῖς ὠτίοις ἐνειρόμενα κόσμια, παρὰ τὸ ἐνείρεσθαι. δασύνεται δὲ ἡ λέξις, ὁποίῳ κανόνι καὶ τὰ τῶν νηῶν ἕρματα. καὶ ἕρμα, πέτρα ἐν θαλάσσῃ. ὡς λέγει Διονύσιος. καὶ ἕρματα πόλεως, ἢ τὸν οἱονεὶ κόσμον ὡς εἴπερ ἡ πόλις, κα-

θὰ καὶ

Digitized by Google

δὲ καὶ τις γυνὴ ἐκαλλωπίζετο ὑπ' αὐτῶν, οἷά τινων ἑρμάτων, καὶ ἕρματα μακρὰ τανύουσαν παρ' Ὁμήρῳ. ἕρματα ἐξηγοῦνται, τὰ ὑπερείσματα. οὐκέτι δὲ πόθεν γέγονε λέγουσιν. ἀπὸ γὰρ τοῦ ἐνεῖρθαι καὶ ἐνερηρεῖσθαι τῇ γῇ γέγονεν. οὕτω γοῦν καὶ τὰ ἐλλόβια ἕρματα εἴρηται, παρὰ τὸ ἐνεῖρθαι. ἐν δ' ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι. καὶ ἑρμῆς ὁ κλινόπους, τὸ οἷον ἕρμα καὶ ἐρηρεισμένον κατὰ γῆς. καὶ ἡμεῖς δὲ ἕρμα πόληος ἐπέλομεν, τὸ ἔρεισμα καὶ θεμέλιον, ἐκ τοῦ ἐνερηρεῖσθαι τῇ γῇ. καὶ ὅρμος δὲ, ὁ περιδέραιος κόσμος. ὡς τὸ, χρύσεον ὅρμον ἔχων. Ἄλλως.

Ἕρματα λέγουσι τὰ περὶ τοῖς ὠσὶν ἐνειρόμενα κόσμια. ἔτι καὶ διόπας ταῦτα λέγουσι, καὶ ἐλλόβια, ἐνώτια, ἕλικας, ἑλικτῆρας, σίτλας, κατὰ τοὺς Δωριέας, κατὰ δὲ τοὺς αἰολέας ἀρτίαλα. ἐκαλεῖτο δὲ παρὰ τοῖς κωμῳδοῖς καὶ ἐγκλαστρίδια καὶ στροβύλια, καὶ βοτρύδια καὶ βλάστα, καὶ καρυατίδες, καὶ ὑποκάμπια, καὶ κενταυρίδες, καὶ ἔντροφον, καὶ τρίπους. δῆλον, ὡς ἀπὸ τῶν χημάτων θεμένων αὐτῶν τοῖς ἐνωτίοις τὰς προσηγορίας. ὥσπερ καὶ Ὅμηρος τρίγληνα ἕρματα ὀνόμασεν, ὡς τριῶν εἴδωλα κορῶν ἔχοντα. ἢ νηῶν ἕρματα λέγονται, τὰ ὑποκείμενα ναυσὶ ξύλα ἔξω περὶ τὴν ἄμμον, ἐφ' ὧν ὀχούμεναι αἱ νῆες ἑδράζονται καὶ ἐρείδονται λέγουσιν. ἔτι ἕρματα πόλεως, ἢ τὸν οἱονεὶ κόσμον, ὡς εἴπερ ἡ πόλις. καθὰ καὶ τις γυνὴ ἐκαλλωπίζετο ὑπ' αὐτῶν, οἷα τινῶν ἑρμάτων, ἃ δὴ κόσμου γυναικείου εἶδος εἶναι οἱ παλαιοὶ λέγουσιν. ἢ τὰ στηρίγματα ὡς ἀπὸ τῶν κατὰ νῆα ἑρμάτων. ἅπερ αἱ μὴ ἔχουσαι, ἀνερμάτιστοι λέγονται. ἢ καὶ ἄλλως τὰ κατὰ στύλους, ἢ κίονας ἑδράσματα.

Ἑρμάτων, παρὰ τῷ Λυκιανῷ, ἐντὸς τῶν ἑρμάτων, ἤγουν ὑφάλων πετρῶν.

Ἑρμαφρόδιτος, κύριον, ὃν ἐξ Ἑρμοῦ καὶ Κύπριδος ἀνδρόγυνόν φασι γεγονέναι. ἢ ἑρμαφρόδιτον, τὸν κακῶς καὶ ποιοῦντα καὶ πάσχοντα.

Ἑρμέας, ὡς πρωτότυπον ἐπενθέσει μὲν τοῦ ι, ἑρμείας γίνεται. κράσει δὲ τοῦ ε καὶ α εἰς η, ἑρμῆς.

Ἑρμείαο ἕκητι δρηστοσύνῃ, οὐκ ἄν μοι ἐρίσειε βροτὸς ἄλλος παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ διὰ τὸν ἑρμῆν. αὐτὸς γὰρ οὐχ ὡς λόγιος, οὐδ' ὡς ἐμπολαῖος, ἢ στρόφις, ἤ τι τοιοῦτον, ἀλλ' ὡς κερδῷος, ἢ καὶ διάκτορος, ἐπιστατεῖν δοκεῖ ταῖς ὑπουργίαις, καὶ χαρίεντα ποιεῖ τὰ κατ' αὐτὸν διακονικὰ βουλεύματα. καὶ ἔστιν ὅμοιον τὸ εἰπεῖν, ὡς ἑρμείου ἕκητι ὑπουργικός εἰμι. ὡς εἰ καὶ ὁ πολεμικὸς Ἄρεος χάριν τοιοῦτον εἶναι εἴπῃ, καὶ ὁ μουσικὸς Ἀπόλλωνος ἕκητι.

Ἑρμείας ποιητικὸν, ἑρμῆς κοινόν. καὶ ἑρμείας ὄνομα κύριον, εὐνοῦχος ὁ τρίπατος. οἰκείως δὲ διέκειτο πρὸς Ἀριστοτέλην, καὶ τὴν θετὴν αὐτοῦ θυγατέραν ἔδωκε τῷ Φιλοσόφῳ. ἢ ἑρμείας, ὁ θεὸς τῶν ἑλλήνων.

Ἕρμειος, ἀπόδημος. λέγονται γάρ τινες ἕρμειοι τῆς Ἀκαμαντίδος φυλῆς.

Ἑρμέω, γίνεται ἀπὸ τοῦ τετρασυλλάβου Ἰωνικοῦ, κατὰ συγκοπὴν τοῦ ἑρμέεω. καθὰ καὶ τὸ βορέω, ἐκ τοῦ βορέεω, δι' εὐφωνίαν.

Ἑρμῆ, ἔξοδος.

Ἑρμηνεύοντες, φράζοντες.

Ἑρμηνεὺς, λέγεται καὶ ἑρμηνευτὴς, γλῶτταν συμβάλλων, γλῶτταν ὑποκρινόμενος, γλώττης ὑποκριτὴς, γλώττης συμβολεὺς, γλώττης μηνυτὴς, γλώττης ἀλλοτρίας ἐπιστήμων, δίγλωττος, πολύγλωττος, δίφωνος, πολύφωνος, διαμηνύων τὴν φωνὴν, ἐκμηνύων, διαγγέλλων, ἑρμηνεύων, ἀφερμηνεύων, μεταβάλλων, μεταφέρων, μεταπλάττων, ἀφελληνίζων, διαφέρων, καὶ τὰ ὅμοια.

Ἑρμῆν ἡ ἀλληγορία, τὸν λόγον νοεῖ. καὶ ἐκ τοῦ ἑρμηνεύειν αὐτὸν ἐτυμολογεῖ, ὡς ἑρμηνεύοντα τὰ τῆς ψυχῆς βουλήματα, καὶ ἐξαγγέλλοντα. ὅθεν καὶ διάκτορον αὐτὸν καλεῖ, οἷα τορῶς, ὅ ἐστι σαφῶς αὐτὰ προάγοντα. τὸν δὲ αὐτὸν ἀργειφόντην ἐπονομάζει, ὡς ἀργὸν φόνου. εἰρηνικὸς γὰρ ὁ λόγος. ὁ δὲ μῦθος ἀργειφόντην τὸν φονέα τοῦ Ἄργου καλεῖ, ὃν φύσεως τέρας ἡ ἱστορία παραδίδωσιν, ὀφθαλμοὺς αὐτῷ ἀνοίξασα διὰ παντὸς τοῦ σώματος, οὓς ἄλλοτε ἄλλους ἀνοίγων, καὶ τοῖς μὲν μύων, τοῖς δὲ βλέπων, ἄυπνος ἦν διὰ βίου. ἄστροις μὲν τισὶν ἀνατέλλουσιν, ἐπανοίγων τοὺς μύοντας ὀφθαλμοὺς συνανατέλλοντας, ὥσπερ καὶ αὐτούς. ἑτέροις δὲ αὖ πάλιν τῶν ἀστέρων δυομένοις ἐγκαταμύων τοὺς βλέποντας ὀφθαλμοὺς, καὶ ὥσπερ συγκαταδύων τὸν ἐν αὐτοῖς ὀπτικὸν ἥλιον. ὃ καὶ Εὐριπίδης δηλοῖ, ἐν οἷς φησὶν Ἄργου ὄμματα, τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖσι βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα. καὶ οὕτω μὲν μῦθος πολυωπὸν πλάττει τὸν Ἄργον. ἡ δὲ ἱστορία τὸν Ἄργον τοῦτον, ὃς καὶ πανόπτης ἐπεκαλεῖτο, πολυπράγμονα εἰς ὄψιν εἶναι βούλεται. καὶ ὀριγνώμενον πᾶσι παρεῖναι πράγμασι, καὶ ἀεί ποτε καὶ ὡς οἷόν τε συνεχῶς πάντα ὁρᾶν, καὶ μηδὲν τῶν ὑπὸ τὴν ἀρχὴν αὐτοῦ διαλανθάνειν αὐτόν. οὕτως δὲ καὶ ἀγχίνους ὁ ἄνθρωπος ἦν, καὶ τὰ μὲν ὁρῶν, τὰ δὲ προορῶν. ὁποῖον ὁ ποιητὴς λέγει τὸν βλέποντα τά τε ἔμπροσθεν, καὶ τὰ ὄπισθεν. τυχὸν δὲ καὶ ὀξὺς ἦν τὴν θέαν. ἀλλὰ καὶ ἐγρηγορὼς τὰ πολλὰ, καὶ ὀλίγῳ ὕπνῳ ἑαυτὸν ἐπιτρέπων. διὸ ὁ μῦθος πολλοὺς ὀφθαλμοὺς αὐτῷ ἐφιλοτιμήσατο. εἰκὸς δὲ καὶ εὐθυόνειρον εἶναι τὸν ἄνθρωπον, καὶ ἐδόκει καὶ κατὰ τοῦτο ἄυπνος εἶναι, ὡς καὶ ἐν τῷ ὕπνου ἐοικὼς καθορᾶν, διὰ τὴν ἀληθῆ τῶν φαντασιῶν ἔκβασιν. ὥσπερ δὲ τὸν Ἄργον ὁ μῦθος αἰνιγματωδῶς ἐσέμνυνεν, οὕτω καὶ ἄλλον τινὰ πολλὰ πράττοντα ταῖς χερσὶν ἑκατόγχειρα ἔπλασε. καί τινι ἀκαμάτῳ ὄντι τὴν πορείαν, ἀπὸ χαλκοῦ τὸ σκέλος ἐσφυρηλάτησε. καὶ ἀκουστικὸν δέ τινα ὄντα, ὄνου φέρειν ὦτα εἶπε, τερατολογῶν πολυτρόπως τὰς φιλοτιμίας τῆς φύσεως. ἐτυμολογοῦσι δέ τινες τὸν Ἑρμῆν, ἀπὸ τοῦ εἴρω τὸ ἀγγέλλω. ἐξ οὗ Ἐρέας ὄνομα, ὡς ὁ Αἰνέας, καὶ πλεονασμῷ τοῦ μ Ἑρμέας, ἐξ οὗ ἑρμῆς. πλεονάζειν γάρ φασι πολλαχοῦ τὸ μ, ὥσπερ καὶ ἐν τῷ μοχλὸς, ἀπὸ τοῦ ὀχλῶ. καὶ ἀπὸ τοῦ εἴρω εἶραξ, καὶ μεῖραξ, καὶ ἐκ τοῦ ἀχύρου ἀχυρμιά. καὶ ἐκ τοῦ τέκω τέκμωρ, τὸ τέλος. οὕτως ἐρέας ἑρμέας, ἐξ οὗ ἑρμῆς καὶ ἑρμείας, ἐπενθέσει τοῦ ι. ἔχει δὲ ὁ ἑρμῆς ἀπὸ κράσεως τὸ περισπᾶσθαι, ὡς δηλοῖ καὶ Ἡρωδιανὸς, παραδιδοὺς ὅτι ὡς Ἀπελλέας ἀπελλῆς, Θαλέας θαλῆς, ὁ Μιλήσιος, Ποδέας ποδῆς, ὁ παρ' Ὁμήρῳ, οὕτω καὶ Ἑρμέας ἑρμῆς. ἔχει δὲ τὰς ἐπωνυμίας πολλὰς, οἷον Ἑρμῆς κῆρυξ, καὶ ἑρμῆς ἀμύητος Ἀθήνησιν, ἐν τῇ ἀκροπόλει, καὶ Ἑρμῆς τρικέφαλος. Ἀριστοφάνης ἐν τριφάλητι, τοῦτο ἔφη παίζων κωμικῶς. παρόσον τετρακέφαλος ἑρμῆς ἐν τῇ τριόδῳ τῇ ἐν τῷ κεραμεικῷ ἵδρυτο. καὶ ἑρμῆς στροφαῖος, ὁ περὶ τῷ στρόφιγγι τῆς θύρας ἱδρυμένος. καὶ ἑρμῆς τόρνος, καὶ ποὺς κλίνης. ἔλεγον δὲ τὸν ἑρμῆν, καὶ ἐπὶ πτώσεως ἰδέας, καθάπερ ἀγαθοῦ δαίμονος, καὶ διὸς σωτῆρος. καὶ ἐν τοῖς κλήροις, οἷον ἀγαθὸς οἰωνός. καὶ πέμματος εἶδος κηρυκοειδές.

Ἑρμηνέας, βασιλέας, ἱερέας, καὶ ὅσα τοιαῦτα, ἀττικοί. τὸ δὲ συνῃρημένως ταῦτα λέγειν, οὐκ ἔστιν ἐκείνων.

Ἑρμηνεύω, τὸ τὰ παρ' ἑτέρων γεγραμμένα διασαφῶ. καὶ ἑρμηνεύω, τὸ ἑλληνικῶς φράζω. καὶ ἑρμηνεύω σοι τὸν νοῦν, καὶ ἑρμηνεύω τὸ δηλῶ, ἢ ἑρμηνεύω τὸ δείκνυμι. ἰστέον δὲ, ὅτι ἑρμηνεία μὲν λέγεται ἐπὶ τῶν τυχόντων, ἐξήγησις δὲ ἐπὶ τῶν θείων.

Ἕρμηνοι, σεληνοί.

Ἑρμὶς, ὁ τῆς κλίνης ποὺς, ὡς καὶ ἑρμὶν, καθὰ καὶ δελφὶς καὶ δελφίν. ἢ παρὰ τὸ ἕρμα κλίνης εἶναι, ἢ παρὰ τὸν Ἑρμῆν δοτῆρα ὄντα τοῦ ὕπνου. διό φασι καὶ ἑρμῆν ταῖς ἑρμῖσιν, ἐνετυποῦντο. ἢ ἑρμὶς, δικατάληκτόν ἐστι, καὶ σημαίνει τοῦ κραββάτου τὸν πόδα. Ὅμηρος, ἑρμῖν ἀσκήσας, παρὰ τὸ εἴρω τὸ ἁρμόζω, ὁ ἐνειρόμενος καὶ ἁρμόζων τῇ κλίνῃ. ἢ παρὰ τὸ ἕρμα εἶναι τοῦ παντὸς, ὅ ἐστιν ἔρεισμα. ἢ παρὰ τὸ ἐνείρεσθαι, ἢ παρὰ τὸν ἑρμῆν. ἢ ἑρμὶς, ὁ κλινόπους. ἐπειδὴ ἐν αὐτοῖς ἔγλυφον ἀγάλματα Ἑρμοῦ, ὡς ἐφόρου ὕπνου καὶ ὀνείρων. ὡς καὶ Φιλόξενος χαρίσιν.

Ἕρμινα, πόδα κλίνης, ἀπὸ τοῦ ἐνείρεσθαι τῷ ἐνηλάτῳ. ἢ ἀπὸ τοῦ ἑρμᾶς ἐγγλύφεσθαι.

Ἑρμῖνες, οἱ τῆς κλίνης πόδες.

Ἑρμιόνη, καλεῖται οὕτω, ἐπειδὴ Ζεὺς καὶ Ἥρα ἐνταῦθα ὡρμίσθησαν, ἀπὸ τῆς Κρήτης ἀφικόμενοι. ἀπὸ γοῦν τοῦ ὁρμίζω, τροπῇ τοῦ ο εἰς ε ἑρμιόνη. τὸ δὲ πρωτότυπον αἰτιᾶς, ὁ ἑρμιὼν, ἡ γενικὴ τοῦ ἑρμιόνος. ὥσπερ δέ φασι κάλυκος καλύκη, χιτῶνος χιτώνη, ἡγεμόνος ἡγεμόνη, οὕτω καὶ ἑρμιόνος ἑρμιόνη. ἕτεροι δὲ πρωτότυπον μέν φασι τὴν Ἑρμιόνην. ἑρμιόνα δὲ εἰπεῖν ὅμοιον, ὡς καὶ Σοφοκλῆς δωδῶνα τὴν Δωδώνην. ἐθνικὸν ταύτης οἱ ἑρμιονεῖς, ἱερὸν δὲ ἐν αὐτῇ παρθένου Ἥρας. ὁ δὲ Γεωγράφος λέγει, ὅτι Ἑρμιόνη οὐκ ἄσημος πόλις, καὶ ὅτι τεθρύλληται παρὰ Ἑρμιονεῦσι, τὴν εἰς ᾅδου κατάβασιν σύντομον εἶναι. διὸ οὐκ ἐντιθέασιν ἐνταῦθα τοῖς νεκροῖς ναῦλον. εἰ δὲ καὶ ἐκ τοῦ Λακωνικοῦ Ταινάρου σπηλαίου ἐκείνου τοῦ μεγάλου καὶ ἀφεγγοῦς καταβαίνειν ἦν εἰς ᾅδην, ἕτερον μῦθον εἰπεῖν ἐτόλμησαν οὐκ ἀφυῶς. καὶ σκύλλαιον δέ φησι τόπος ἐν αὐτῇ, ἀπὸ Σκύλλης ὀνομασθὲν τῆς Νίσου θυγατρός. Ἄλλως.

Ἑρμιόνη, καὶ ἡ Δημήτηρ καὶ ἡ κόρη ἐν Συρακούσαις, καὶ πόλις ἐν Ἄργει. καὶ ἡ θυγάτηρ Μενελάου.

Ἑρμοκοπίδαι, οἱ περικόψαντες τοὺς ἑρμᾶς ἀθήνησιν, ἐπὶ Ἀριμνήστου ἄρχοντες, τοῦ Πελοποννησιακοῦ ἐνεστῶτος πολέμου.

Ἕρμος, ἢ ἑρμοὶ, δῆμος ἀττικῆς. καὶ ποταμὸς Λυδίας. ἢ ἕρμος, καὶ δῆμος ἐν ἀθήναις.

Ἑρμοῦ κλῆρος. ὁ πρῶτος ἑλκόμενος κλῆρος, ἑρμοῦ νομίζεται. ἢ ἑρμοῦ ψῆφος, τὰ ἐν ταῖς ὁδοῖς ἕρμαια.

Ἑρμοχοίνιος γῆ, ἡ Αἴγυπτος τὸ πρότερον οὕτως ἐκαλεῖτο.

Ἑρμωνιεὶμ, ὄρος μικρὸν, ἐγγὺς τοῦ Ἰορδάνου, ἐν ᾧ ὁ Ἠλίας ἀνελήφθη. ἑρμηνεύεται δὲ καὶ ὁδὸς λύχνου, ὡς τοῦ ἁγίου βαπτίσματος ὁδὸν ἀνοίγοντος φωτισμοῦ.

* Ἑρμώνασσα, νῆσος μικρὰ, πόλιν ἔχουσα ἐν τῷ κιμμερίῳ βοσπόρῳ, ἰώνων ἄποικος.

Ἑρμώνιος χάρις, ἡ κατ' ἀνάγκην διδομένη, οὐκ ἐκ διαθέσεως ψυχῆς, ἀλλ' ἐπιπλάστως. καὶ κατὰ προσποίησιν φιλίας, οὐ κατὰ ἀλήθειαν. ὁ γὰρ Ἕρμων ὁ Πελασγῶν βασιλεὺς, Δαρείου ἐπὶ Θρᾴκην ἰόντος, καὶ πάντα χειρουμένου, παρεχώρησεν Ἀθηναίοις τῆς Λήμνου, τῷ μὲν δοκεῖν χαριζόμενος, τῇ δὲ ἀληθείᾳ Δαρεῖον φοβηθείς.

Ἕρνατις, ἀναδενδράς.

Ἕρνης, κρέα, ἢ βλαστήματα.

Ἑρνοκόμων, παραδεισαρίων.

Ἕρνος, οὐ μόνον τὸ εὐθαλὲς φυτὸν, ἀλλά ποτε καὶ τὸ ἄνθος κατὰ τοὺς παλαιούς. ἢ ἔρνος, ὁ κλάδος οὐδετέρως.

Ἑρνύτας, ἔρνη, βλαστήματα, κλάδοι.

Ἑρνόδανα, ἔργα.

Ἑροιάδαι, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς.

Ἕρξαι, ἀπὸ τοῦ ἔργω, οὐ τοῦ δηλοῦντος τὸ πράττω, ὃ καὶ τρισυλλάβως ἐέργω λέγεται. ὡς δῆλον ἐκ τοῦ ἔοργα, ἀλλὰ τοῦ σημαίνοντος τὸ ἐγκλείω. ἀφ' οὗ τὸ εἵργω τὸ παρ' ἀττικοῖς δασυνόμενον, ὡς ἡ εἱρκτὴ δηλοῖ, καὶ ἡ κάθειρξις.

Ἕρξῃς, ῥέζω ἔρρεξα, ἐκ τοῦ ῥέζω. καὶ τὸ ὑποτακτικὸν, ἐὰν ῥέξω. καὶ κατὰ μετάθεσιν τῶν γραμμάτων, ἔρξω. τὸ δεύτερον ἔρξῃς. ὁμοίως ἔρξω, ἐκ τοῦ ῥέζω τὸ πράττω.

Ἕρξον, ἔρδε, ἢ ἔρξον ὅπως ἐθέλεις, περιφραστικὴ ἑρμηνεία ἐστὶ τοῦ ἔρδε. ὅρα δὲ τὸ ἔρδε, καὶ τὸ ἔρξον, διὰ φύσεως ἐξ ἑνὸς θέματος προφερόμενα. προϋποκειμένου γὰρ τοῦ ῥέζω ῥέξω, εἶτα μεταθέσεως γενομένης τὸ ἔρζω, τροπῇ μὲν συνήθει τοῦ ζ εἰς δ, ἔρδω γεγονὸς, μένει ἄκλιτον. καθ' αὑτὸ δὲ ὂν διὰ τοῦ ξ ἔχει τὸν μέλλοντα δωρικώτερον, ἐξ οὗ τὸ ἔρξον. καὶ ἄλλως, τὸ ἔρξον δύναται ἀπὸ τοῦ ἔργω εἶναι, ἀφ' οὗ τὸ ἔοργα. ὅρα δὲ, ὅτι πρωτοτύπου μὲν ὄντος τοῦ ῥέζω, ὅπερ ἐστὶν ἐρρωμένως πράττω. ὡς ἐκ τοῦ ῥῶ μονοσυλλάβου ῥήματος, δευτερεύοντος δὲ τοῦ ἔρδω.

Ἐρόγδευον, δι' ἑνὸς ρ, σεσημειωμένον.

Ἐρόεντα, ἀντὶ τοῦ ἐπιθυμητικὸν, ὡς χαρίεντα.

Ἐροιάδα. οἱ ἐροιάδαι, δῆμός ἐστι τῆς Ἱπποθοωντίδος, ὥς φησι Διόδωρος.

Ἐροίην, ἀντὶ τοῦ λέξοιμι. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης.

Ἔροιτο, ἐρωτήσῃ.

Ἔρομαι, τὸ ἐρωτῶ. καὶ ἐρῶ, ἀντὶ τοῦ λέξω, ὃ ποιητικῶς ἐρέω λέγεται.

Ἐρόμενος, ἐρωτῶν, διὰ τοῦ ο μικροῦ.

Ἐρομένῳ, ἐρωτῶντι. ἐρωμένῳ δὲ τῷ ἐπιθυμουμένῳ μέγα, ἀπὸ τοῦ ἐράω ἐρῶ, τὸ ἐπιθυμῶ.

Ἔρον Αἰολικόν ἐστι, καὶ εὕρηται αὐτοῦ ἀληθεία παρὰ τῷ ποιητῇ, καὶ τῷ Ἡσιόδῳ ἐν τῇ Θεογονίᾳ. κεῖται δὲ καὶ παρὰ Καλλίνῳ. ἔρως διὰ τοῦ ω μεγάλου Ἀττικόν.

Ἔρος αἰολικὸν, ὃ διὰ συνεσταλμένου τοῦ ο γράφεται. οἱ μέντοι Ἀττικοὶ τὸ ἔρως ἐκτείνουσιν. οἱ δὲ μῦθοι καὶ θεὸν αὐτὸν ἀναπλάττονται, πτεροῖς αἰρόμενον, καὶ τόξῳ βάλλοντα. ὁ ἔρος ἔρου αἰολεῖς, ἔρως ἔρωτος κοινοί. ὡς καὶ γέλος γέλου, καὶ γέλως γέλωτος. καὶ κλίνουσιν αὐτὰ ὁμοίως τοῖς εἰς ος λήγουσι κυρίοις ὀνόμασιν.

Ἐροτὴν, ἑορτήν.

Ἐρῶντες, λέγοντες Κύπριοι.

Ἐροτήσομαι, τὸ ἐρωτήσω, ἀπὸ ἐνεστῶτος ἀρχαίου. ἔστι δὲ μέσος μέλλων. εὕρηται δὲ οὗτος μόνον, καὶ ὁ δεύτερος ἀόριστος ὁ παθητικὸς ἠρόμην. καὶ ὅσοι ἐξ αὐτοῦ προβαίνουσι. καὶ ἐρήσομαι, ἀντὶ τοῦ ἐρωτήσω.

Ἔρυε, πορεύου, ἀναπαύου.

Ἔροψ, ὄρνις ποιός.

Ἑρπέδουσα, ἐπίπεδος.

Ἕρπει, βαδίζει, τῇ κοιλίᾳ περιπατεῖ, παραγίνεται.

Ἕρπειν ἰδίως, τὸ τῇ γαστρὶ εἰλεῖσθαι. ὅθεν καὶ ἑρπετὸν ἀνερπύσαι, τὸ ἀπελθεῖν. Ἀριστοφάνης. ἡ ἕρπειν, κυρίως ἐπὶ ὄφεως καὶ σκωλήκων, καὶ ἑτέρων ἀπόδων ζώων λέγεται. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωθεστέρων καὶ ἀσθενεῖ πορευομένων.

Ἑρπετὰ, τὰ ἄποδα, παρὰ τὸ εἰς τὴν ἔραν πεπτωκέναι. καταχρηστικῶς δὲ, καὶ τὰ λοιπὰ τῶν ἀλόγων ζώων, καὶ οἱ ἄνθρωποι. γήινα γὰρ, καὶ ἐπίγεια πάντα.

Ἑρπίζειν, ἐν τῷ τῆς Ὀδυσσείας λέγεται. ὡς ἐκ μεταφορᾶς, τὸ βραδέως βαδίζειν καὶ διὰ γῆρας, ἢ καὶ διὰ τὴν λύπην, τὴν ἐπὶ τῷ φίλῳ υἱῷ.

Ἕρπις, καὶ χάλις, ὁ οἶνος. χάλις μὲν, παρὰ τὸ χαλᾶν τὴν ἶνα. ἕρπις δὲ, παρὰ τὸ ἕρποντας ποιεῖν τοὺς πίνοντας ἀμέτρως.

Ἑρπυσμὸς, ἑρπυστὴς, ἑρπυστικὸς, ὁ ἕρπων.

Ἑρπύζω, βαδίζω. καὶ ἑρπυσμός.

Ἑρπυλλὶς, πέττιξ.

Ἕρπυλλον, εἶδος ἄνθους, σαμψύχῳ ὅμοιον. μάλιστα δὲ παρὰ τοῖς ὕδασι θάλλει.

Ἑρπύσῃ, βαδίσῃ.

Ἑρπυσμὸς, ἡ φωνὴ τῶν χοίρων.

Ἕρπω, εἷρπον. τὰ ἀπὸ τοῦ ε ἀρχόμενα ῥήματα ἅπαντα τρέπουσι τὸ ε εἰς ῃ ἐν τῷ παρατατικῷ, χωρὶς τούτων τῶν δεκατεσσάρων. οἷον ἐθίζω εἴθιζον, ἑστιῶ εἱστίων, ἐρύω εἴρυον, ἑλκύω εἵλκυον. ἑρπίζω εἵρπιζον, ἐργάζομαι εἰργαζόμην. τοῦτο δὲ διφορεῖται. καὶ διὰ τῆς ει διφθόγγου, καὶ διὰ τοῦ η, ἐῶ εἴων, ἐρῶ εἴρουν, ἕλκω εἷλκον. ἕρπω εἷρπον, τὸ βαδίζω. ἕπω εἶπον, τὸ λέγω, καὶ τὸ ἀκολουθῶ. ἕλω εἷλον, τὸ φονεύω, καὶ τὸ λαμβάνω. ἔθω εἶθον, τὸ ἐξ ἔθους τι διαπράττομαι. ἕω εἷον, τὸ ἐνδύομαι. ἕζω εἷζον, τὸ καθέζομαι. καὶ ἕρπω καταχρηστικῶς, καὶ ἐπὶ τῶν ἐχόντων πόδας. Εὐριπίδης, εἰς ὄχλον ἕρπειν, παρθένοισιν οὐ καλόν.

Ἔρρα, ζιζάνια.

Ἐρράγη, ἐσπάσθη, ἐσχίσθη, ἠνοίχθη.

Ἐρραγέως, ταχέως.

Ἐρράδαται, ἐρραμμένοι εἰσίν. ἢ ἐρράδαται, ἀπὸ τοῦ ῥάζω· παρακείμενος, ἔρρακα, μέσος ἔρραδα. ὁ παθητικὸς, ἔρρασται, καὶ Ἰωνικῶς ἐρράδαται. τοῦ ἐρράδαται, Ἡρακλείδης λέγει διὰ καθαροῦ ἐκφέρεσθαι τὰ πληθυντικὰ Ἰωνικὰ, κατὰ τὴν παραπέλευτον. ὡς τὸ, κεκλέαται, νενοέαται, εἴαται διὰ διφθόγγου, καὶ ἧαται διὰ τοῦ η, καὶ ὅσα τοιαῦτα. ὅσα δὲ τῇ δα συλλαβῇ παραλήγονται, σύμφωνον πρὸ τοῦ α ἔχειν φησὶν ἀρκτικὸν τῆς τελευταίας τοῦ ἐνεστῶτος. τοῦτο δὲ ἐπὶ μὲν τοῦ ἐρείδω ἐρηρέδαται, ὀρθῶς λέγεται. ἐπὶ δὲ τοῦ ὀνομάζω ὀνομάδαται, καὶ ῥάζω ἐρράδαται, οὐκ ἄλλως ἂν ἔχοι ἀλήθειαν, εἰ μὴ διὰ τὴν τοῦ ζ πρὸς τὸ δ συγγένειαν, τὴν μυριαχοῦ φαινομένην. ἵνα ᾖ ὥσπερ ἐξ ὀρθοῦ ἐρείδω ἐρηρέδαται, οὕτω καὶ ἐκ τοῦ δῆθεν ὀνομάδω, καὶ ῥάδω, ὠνομάδαται, καὶ ἐρράδαται. λέγει δὲ ἐκεῖνος, καὶ ὡς οὐκ ἔστιν ἀπὸ τοῦ ῥαίνω γενέσθαι τὸ ἐρράδαται. ἦν γὰρ ἂν φησιν ἐρράναται τοῖχοι, ἵνα ᾖ πρὸ τοῦ ται τὸ ν ἀρκτικὸν τῆς τελευταίας τοῦ ἐνεστῶτος, ὡς ἐπὶ τοῦ ἐρηρέδαται.

Ἐρράδατο, Ἰωνικοῦ ῥήματος θέμα ῥάζω φασὶν οἱ παλαιοὶ, ὅπερ ῥαίνω δηλοῖ. ἐξ οὗ ἐν Ὀδυσσείᾳ τὸ, ῥάσατε δ' ὕδωρ. καὶ γίνεται ἐκ τοῦ ἑνικοῦ τρίτου προσώπου τοῦ παθητικοῦ ὑπερσυντελίκου, ἀποβολῇ τοῦ σ, καὶ πλεονασμῷ τῆς δα συλλαβῆς, ὁμοίως τῷ ὠνόμαστο ὠνομάδαται, καὶ ἐρήρειστο ἐρηρέδαται.

Ἐρραθάγει, ἐκράτει.

Ἐρραθάμιζεν, ἐρρόφει.

Ἐρραίσθη, διεφθάρη.

Ἐρρανὴν, τὴν Καλυδῶνα λέγει Ὅμηρος, τὴν ἐρατεινὴν, κατὰ συγκοπήν. οὕτω καὶ τὴν Λακεδαίμονα, διὰ τὸ, ὡς εἰκὸς, εὔχαρι τῆς χώρας, καὶ ἐπέραστον.

Ἐρράπτομεν, ἀντὶ τοῦ ἐβουλεύομεν.

Ἐρρὰς, κριός.

Ἐρραίσθη, ἀντὶ τοῦ ἐθραύσθη.

Ἐρράθαινεν, ὕγραινεν, κατέβρεχεν.

Ἐρράχιζε, διέκοπτεν.

Ἐρραχώδης, ὑβριστὴς, ἐρραπίσθης.

Ἔρρε, φθείρου. ἔρρε κακὸν σκυλάκευμα, κακὰ μαρὶς, ἔρρε ποθ' ᾅδα. ἔρρε τὸν οὐ Σπάρτας ἄξιον, ὃν ἔτεκον.

Ἔρρεεν, ἔρρει. ἔρεε δὲ δι' ἑνὸς ρ, ἠρώτα.

Ἔρρε, οἱ ἀριστάρχειοι ἑρμηνεύουσι μετὰ φθορᾶς ἄπιθι, ἐξηγούμενοι οὕτω καθ' Ἡρακλείδην. ἐπειδὴ ἐκ τοῦ φθείρω γίνεται τὸ ἔρρω παρέσει τοῦ φ καὶ θ. ἴδιον γὰρ Ἰώνων καὶ αἰολέων, τὰ τῶν λέξεων πρῶτα σύμφωνα αἴρειν, εἴτε ἓν τύχοι ὂν, οἷον λαιψηρὸς, αἰψηρός. εἴτε δύο, πλευρὰξ, λευρὰξ, ἐπίρρημα ποιότητος, τὸ παρὰ πλευρὰν, ἤτοι πλάγιον. οὕτω γοῦν καὶ φθείρω, εἴρω. ἐξ οὗ αἰολικῶς ἔρρω, ὡς κείρω κέρρω, δείρω δέρρω. αἰολεῖς γάρ φασι τῶν τοιούτων θεμάτων τὴν παραπέλευτον δίφθογγον ἀλλοιώσαντες, καὶ μεταθέντες τὸ ι εἰς ρ, ἴδια ποιοῦσι ῥήματα.

Ἐρρεγένοντο, ἔρεψαν.

Ἐρρέθη, ἐλέχθη. ἀπὸ τοῦ ῥῶ ῥήσω, ἔρρηκα, ἔρρημαι, ἐρρέθη.

Ἐρρέθην, ἐκ τοῦ ἔρρημαι παρακειμένου ὤφειλεν εἶναι ἐρρέθην. κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι ὁ ἀόριστος φυλάττει τὴν παραλήγουσαν τοῦ παρακειμένου.

Ἔρρει, ἀντὶ τοῦ ἔρρεε, καὶ ἀφθόνως ἐχορηγεῖτο. ἔρρει γάρ οἱ, κατὰ πρύμναν τὰ ἐκ τῆς τύχης.

Ἔρρει, κατέπιπτε. καὶ ἔρρειν στελέχη φέροντας, ἀντὶ τοῦ ἤκουσα ἐπέρχεσθαι ξύλα φέροντας.

Ἐρρείδων, τύπτων.

Ἔρρειν, ἐπὶ τοῦ χωλεύειν τίθεται. παράγεται δὲ, ἐκ τοῦ ἐν προθέσεως, καὶ τοῦ ῥῶ τὸ φθείρω, ἔρρω.

Ἔρρεις, ἀντὶ τοῦ ἐφθάρης, καὶ ἔρρεις ἀντὶ τοῦ ἔρρεες. ἔρρει δ' αἷμα μυρίων νεκρῶν.

Ἐρρέξομαι, φθέγξομαι.

Ἔρρεται, φθαρεῖται.

Ἐρρέτω, φθαγέτω, οἰμωζέτω, ὀλεσάτω.

Ἐρρῶς, ταχέως.

Ἐρρήγασι, φοβοῦνται, εὐλαβοῦνται.

Ἔρρηγε, φοβεῖται, φρίττει.

Ἐρρήθησαν, ἀντὶ τοῦ ἐπηγγέλθησαν.

Ἐρρήσει, ἥξει, εἰσελεύσεται.

Ἐρρήσετε, ἀντὶ τοῦ μετὰ φθορᾶς βαδίζετε ἐπὶ καιρὰς. οὐκ ἐς κόρακας ἐρρήσετε.

Ἐρρηφόροι, οἱ τῇ ἔρσῃ ἐπιτελοῦντες τὰ νομιζόμενα.

Ἔρριγα, μέσος παρακείμενός ἐστι. συγκοπεὶς, ἐκ τοῦ ἐρρίγηκα.

Ἐρρίγησι, μέσος ἐστὶ παρακείμενος τοῦ ῥιγῶ ῥιγήσω. οὐ τὸ ἔρριγα, ἐξ οὗ τὸ ἐρρίγω.

Ἔρριγεν, ἐφοβήθη. μέσος παρακείμενος, ἐκ τοῦ ῥιγέω ῥιγῶ, ῥιγήσω, ἐρρίγηκα, καὶ ἔρριγα, μέσος.

Ἐρρίγοντι, οὕτω καινοτομεῖται, ῥιγέω ῥιγῶ, πρωτότυπον. ὁ μέσος παρακείμενος ἔρριγα. καὶ ἐκ τούτου θέμα ἐρρίγω. ἡ μετοχὴ ὁ ἐρρίγων τοῦ ἐρρίγοντος, ἤγουν τρέμοντος. ῥιγόω, ῥιγῶ, τὸ ψύχομαι. ῥιγέω δὲ ῥιγῶ, τὸ φρίσσω.

Ἐρρίζωται, ἵδρυται.

Ἔρριχεν, ἤχει.

Ἐρρικνωμένον, τὸ ἔχον ῥυτίδας, ἢ πεπαλαιωμένον. καὶ διερρηγμένον, ἢ ἐρρικνωμένον, συνεστραμμένον, καμπύλον γενόμενον, ἐρρυτιδωμένον.

Ἔρριον, εἰς φθόρον, εἰς ὄλεθρον.

Ἐρρίπην, ἐκάθηρα Ἀττικοί. οὐκ ἐρρύπαινα, οὐδὲ ἐκάθαιρα.

Ἔρριπτο, ἔκειτο.

Ἐρρίφθων, ἀπορριφθήτωσαν.

Ἔρρον, ἔρρωντο, ἀπολώλασιν.

Ἔρροντι, ἀντὶ τοῦ ἐπιπόνως ζῶντι, κατὰ τὸ, ἐνθάδε ἔρρων. ὅπερ Ἀχιλλεὺς ἐν Ἰλιάδι φησὶ περὶ ἑαυτοῦ.

Ἔρρος, ὁ Ζεύς.

Ἐρρόντων, ἀντὶ τοῦ φθαρήτωσαν.

Ἐρρύεσθαι, τὸ φυλάττειν σημαίνει.

Ἐρρύθμισεν, ἐκανόνισεν, διετύπωσεν.

Ἐρρύησαν, ἔβρυον.

Ἐρύθημα, ἐρυθρὰ, πυρά.

Ἐρύξει, κράξει.

Ἐρυσάμενος, σπασάμενος.

Ἐρρύσατο, καὶ ἰσώσειν, οὐκ ἂν εἴη ἀλλήλων διάφορα. οὐ τὸ ἐρύω δὲ καὶ νῦν θέμα ἐστὶ, τοῦ ἐρρύσαντο, ἀλλὰ τὸ ῥύω, καθὰ δηλοῖ ὁ τοῦ ρ ἐν τῇ ἀρχούσῃ διπλασιασμός, καὶ ἀλλαχοῦ, ὡς τὸ Ζεὺς ἐρύσατο, οὐκ ἀπὸ τοῦ ἐρύω γενόμενον, καθὰ πρὸ τούτων τὸ, αὐτὰρ ἐμὲ Ζεὺς ἐρύσατο, ἀλλὰ ἐκ τοῦ ῥύω. οὗ χρῆσις ἐν τῷ, ἀλλ' οὐ νῦν σε ῥύεσθαι οἴομαι, εἰ μή τις φιλονεικῶν ἐρεῖ, δι' ἐκθλίψεως καὶ αὐτόθι κεῖσθαι τὸ ἐρύεσθαι.

Ἐρύσομεν, ἑλκύσομεν, φυλάξομεν, σώσομεν.

Ἔρρω, τὸ φθείρομαι. ἀφ' οὗ τὸ ἔρρε κακὴ γλήνη. καὶ ἔρρωμαι, ἀντὶ τοῦ φθείρομαι. ἢ ἀντὶ τοῦ ῥωμαλέος εἰμί.

Ἐρρώγασιν, ἐσχίσθησαν, ὑγιαίνουσιν.

Ἐρρωγότες, διεσκορπισμένοι, διεστῶτες.

Ἔρρωμαι, ὑγιαίνω, νήφω.

Ἐρρωμενέστερον, ὑγιεινότερον, γενναιότερον.

Ἐρρωμένως, ὑγιῶς, ἰσχυρῶς, εὐσθενῶς.

Ἔρρων, μετὰ φθορᾶς παραγενόμενος, ἢ πορευόμενος, ἢ φθειρόμενος.

Ἐρρώοντο, κίνησιν ἐλάμβανον.

Ἐρρωπίζομεν, Ἴων Ὀμφάλῃ. τινὲς ῥωπίζειν ἀπέδοσαν, τὸ ἀπεχθάνεσθαι, καὶ ἀματεύεσθαι κακῶς. ἔστι γὰρ ῥῶπος, ὁ λεπτὸς χόρτος, καὶ ποικίλος, καὶ βέβαιος. καὶ τὰ ἔσω τῶν ῥωπῶν πλέγματα, κανᾶ, καὶ σεῖρα κυρίως.

Ἐρρώσαντο, ἐτάχυναν, ἐπερρώθησαν. ἢ ἐρρώσαντο γούνατα, παρ' Ὁμήρῳ, πυστὶν ἐρρωμένως ἐκινήθησαν.

Ἐρρῶσθαι φράσας, οἰμώζειν εἰπὼν, καταγνωκώς. ἢ ἐρρῶσθαι φράσας, ἀντὶ τοῦ χαίρειν εἰπών.

Ἔρρωσο ἐν τῷ Θεῷ, ὑγίαινε ἐν Θεῷ. ἔρρωσο, ὅτε εὑρεθῶσι δύο ρρ, τὸ μὲν πρῶτον ψιλοῦται. τὸ δὲ δεύτερον δασύνεται, οἷον πόρρω, ἄρρωστος, χωρὶς τῶν Αἰολικῶν. οἱ γὰρ Αἰολεῖς ψιλωταὶ ὄντες καὶ τὰ δύο ρρ ψιλοῦσιν. οἷον κέρρω φθέρρω σπέρρω, ἀντὶ τοῦ κείρω φθείρω, σπείρω.

Ἔρρωται, ἀντὶ τοῦ ὑγιαίνει. καὶ ἀντὶ τοῦ ῥωμαλέος ἐστὶν, ἤγουν ἰσχυρός.

Ἔρσα, ἡ δρόσος, νοτία, ὁμίχλη.

Ἔρσαι, οἱ ἐν τῷ χειμῶνι γινόμενοι ἔριφοι, καὶ τὰ ἁπαλὰ τῶν προβάτων. καὶ αἱ δρόσοι.

Ἑρσαῖος, δροσώδης. καὶ ἕρσαι, δροσίσαι.

Ἕρσεα, ἐαρινὰ, νέα, ἁπαλὰ, δροσώδη.

Ἕρσειο, διεγείρου.

Ἑρσεφορία, δροσοφορία.

Ἕρσει, ὁρμήσει.

Ἕρση, ἡ δρόσος, γίνεται ἀπὸ τοῦ ἄρδω, ἄρσω. ὡς τὰ περὶ τὴν γῆν ποτίζουσα. ἢ ἀπὸ τοῦ ἐν τῇ

ἔρᾳ

Digitized by Google

ἐρφσαίεσθαι. ψιλοῖτο ἂν καὶ αὐτὴ, καὶ ἡ ἀπ' αὐτῆς κατὰ πλεονασμὸν γινομένη ἐέρση.

Ἐρσήεντα, δροσώδη νεαρά. καὶ ὁ ἐρσήεις ἐπὶ ἀρσενικοῦ.

Ἔρσηεν, πρόσφατον, ἔνυγρόν τε καὶ ἀμόλωτον.

Ἔρτις, χρημνός.

Ἐρυγγάνειν λέγουσιν οἱ τεχνικοὶ, ὁπότ' ἄν τις ἀπόσιτος ᾖ. ἐρεύγεται δὲ μετὰ τὴν τροφήν. ἢ ἐρυγγάνειν, ἐρεύγεσθαι, ἐγκωμιάζειν, αὐχεῖν.

Ἐρυγάστωρ, μεγαλογάστωρ, ἐρυγήστωρ.

Ἐρυγεία, ζῶον, στάχυς, βοτάνη.

Ἐρυγεῖν, φωνεῖν.

Ἐρυγὴ, πνεύματος ἀναπομπὴ ἐκ τοῦ στομάχου. ἔνθεν καὶ τὸ ἐξηρεύξατο. ἢ πνεῦμα κρύφιον κατὰ τὴν ζέσιν τῆς τροφῆς, ἀπορρηγνυμένων τῶν πομφολύγων, ἐπὶ τὸ ἄνω διαπνεόμενον. ἐρυγὴ καὶ ἡ κραυγή.

Ἐρυγηλὴ, ἐπίθετον ῥαφάνου.

Ἐρυγμαίνουσα, ὁ βοῦς καὶ ὁ ταῦρος ἐρύγμαινον, ἀπὸ τῆς ἐρυγμῆς.

Ἐρύγμηλος, παρὰ τὴν ἐρυγήν. οἱονεὶ ἐρύγηλος, πλεονασμῷ τοῦ μ. ἐρύγειν δὲ λέγεται, τὸ μετὰ βίας ἀνασπᾶν πνεῦμα. ὡς τὸ, ἤρυγεν ἑλκόμενος, ὡς ὅτε ταῦρος. ἢ ἐρύγμηλος, ὁ μεγαλόφωνος, ταῦρον ἐρύγμηλον. ἐρύγμηλος, ὡς βέβηλος. τὰ γὰρ διὰ τοῦ ηλος ὑπὲρ δύο συλλαβὰς προσηγορικὰ ἢ κύρια, προπαροξύνονται, οἷον κάμηλος, φάσηλος. τὰ μέντοι ἐπίθετα ὀξύνονται, ὅτε ἔχει παρεσχηματισμένα θηλυκά. οἷον, σιγηλὸς, ὑψηλὸς, μιμηλός. τὰ δὲ μὴ οὕτως ἔχοντα, προπαροξύνονται, οἷον πάπηλος, βέβηλος. οὕτως οὖν ἐρύγμηλος. καὶ ἐρύγμηλον, ἐρευγόμενον, καὶ μεγάλως μυκώμενον, μεγαλόφωνον, καὶ μέγα πρόβατον, τέλειον.

Ἐρυγμὸς, πόλεμος.

Ἐρύεσθαι, σώζειν, σῶσαι.

Ἐρύειν, ἕλκειν, πλήθειν.

Ἐρύετο, ἐφύλασσεν.

Ἔρυγξ, τὸ ἕρκος τῶν πρασιῶν.

Ἐρυγόντα, κυρία λέξις ἐπὶ ταύρου σφαζομένου, μιμουμένη ὀνοματοποιΐας τρόπῳ τὴν τηνικαῦτα τοῦ ζώου βοήν, παρ' Ὁμήρῳ. καὶ ἔρυγεν, ὡς ὅτε ταῦρος. ἔστι δὲ δεύτερος ἀόριστος τὸ ἤρυγε, καὶ τὸ ἐρυγόντα. ὧν θέμα, τὸ ἐρεύγω. δηλοῖ δὲ καὶ ὁ ἐρυγὼν ταῦρος, τὸν τὸ αἷμα ἀνερρυγγάνοντα τῇ διακοπῇ τῆς τραχείας ἀρτηρίας, καὶ τῇ διαιρέσει τοῦ στομάχου, ἤτοι οἰσοφάγου.

Ἐρυθαίνει, πυρρὸν ποιεῖ, ἢ κόκκινον, ἢ μέλαν. ὅθεν καὶ ἐρύθημα, ἡ ῥίζα ἡ λεγομένη ἐρυθρόδανον. ἢ ἐρυθροδάνη, καὶ ἐρυθαίνεται.

Ἐρυθηλὰ, βαφή.

Ἐρύθημα, βάμμα κόκκινον ἢ πυρρὸν, ἢ μέλαν, ἢ ἡ ῥίζα ἡ λεγομένη ἐρυθροδάνη. λέγεται καὶ ἐρυθρόδανον.

Ἐρυθήνας, βάψας.

Ἐρυθινοὶ, οὕτω λεγόμενοι λόφοι περὶ Παφλαγονίαν. οὕτω δὲ λέγονται, διὰ τὴν ἐρυθρότητα τοῦ χρώματος. εἰσὶ γὰρ τοιοῦτοι, καὶ Ὅμηρος αὐτῶν μέμνηται, καὶ ὑψηλὸς ἐρυθρινός. ἢ ἐρυθινοὶ, πόλις καὶ χώρα ἐν Παφλαγονίᾳ. καὶ εἶδος ἰχθύος.

Ἐρύθμησεν, ἐκανόνισεν.

Ἔρυθρα, πλαταγώνια. τὰ τῆς μήκωνος φύλλα.

Ἐρυθρὰ, πόλις ἐν Βοιωτίᾳ.

Ἐρυθραὶ, πόλις Ἰωνίας.

Ἐρύθραι βαρυτόνως, αἱ τῆς Βοιωτίας. ἀπὸ Ἐρυθροῦ υἱοῦ Ποσειδῶνος, καὶ Ἀμφιμεδούσης, θυγατρὸς Δαναοῦ. κεῖνται δὲ ὑπὸ τὸν Κιθαιρῶνα. ἐρυθραὶ δὲ ὀξυτόνως, αἱ τῆς Ἰωνίας, ὧν μέμνηται ὁ Γεωγράφος.

Ἐρυθραῖοι, Διογένης φιλιππικῷ. πόλις ἐν Ἰωνίᾳ ἐστὶν Ἐρύθρα. μία τῶν ὑπὸ Νηλέως τοῦ κενταύρου κτισθεισῶν, ὥς φησιν Ἑλλάνικος ἐν Ἀτθίσιν. ἢ Ἐρυθραῖοι οἱ ἀπὸ πόλεως τῆς ἐν Ἰωνίᾳ, Ἐρύθραι καλουμένης.

Ἐρυθραίνεται, ἐρυθρὰ γίνεται.

Ἐρυθριῶ, τὸ αἰδοῦμαι. ἢ ἐρυθριῶ, καὶ ἀπερυθριῶ, ἀμεταβάτως. ὡς Πλούταρχος, δεῖ γὰρ ἐρυθριᾶν ἐπαινούμενον, οὐκ ἀπερυθριᾶν.

Ἐρυθροδανωμένον, κόκκινον, πυρρὸν, ἢ μέλαν. τοιοῦτον γὰρ ἡ ῥίζα τοῦ ἐρυθροδάνου.

Ἐρυθρὸν, γίνεται ἐκ τοῦ ἐρεύθω ἐρευθερὸν, καὶ ἐν συγκοπῇ ἐρευθρόν. καὶ ἀποβολῇ τοῦ ε διὰ δυσφωνίαν, ἐρυθρόν. ὁμοίως τῷ ψεύδω, ψευδηρὸς, καὶ ψευδρὸς, καὶ ψυδρῶς. ὡς τὸ, ψυδραῖς λήμαις. ἢ ἐρυθρὸν νέκταρ, καθ' ὁμοιότητα τοῦ οἶνος ἐρυθρός. καὶ ἐρυθρὸν, τὸ βεβαμμένον ὑπὸ κοκκίνου. ἐρυθρόδανον δὲ, εἶδος βοτάνης, δι' οὗ τὰ ᾠὰ βάπτουσιν. ἔρευθος δὲ, τὸ ἐπὶ τῶν παρειῶν.

Ἐρυθρόπους, ὀρνέου εἶδος.

Ἐρυθροῦν στέαρ, τὸ ἔναιμον, παρὰ τῷ Ἱπποκράτει.

Ἐρυίσκετο, ἐρρέεν, εἴχετο.

Ἐρύκειν, κατέχειν, κωλύειν.

Ἐρυκέμεναι, καὶ ἐρυκέμεν, ἀντὶ τοῦ κατέχειν, ἢ κωλύειν.

Ἐρύκεσθαι, κωλύειν.

Ἐρυκομένους, κωλυομένους.

Ἐρύκω, τὸ κωλύω ψιλόν. ἀφ' οὗ καὶ ἔρυξ ἔρυκος, κύριον.

Ἔρυμα, φρούριον, καὶ πολύχνιον, τὸ αὐτό. τὸ δὲ πολύχνιον, γράφεται καὶ πολύχνη θηλυκῶς. ἢ ἔρυμα, φύλαγμα, ἀσφάλεια. καὶ ἔρυμα χροὸς, ἕρκος ἀκόντων. εἴληπται ὡς ἀπὸ τείχους, ὃ λαοῦ τί ἐστιν ἔρυμα, καὶ ἕρκος πολεμίων. διὸ καὶ ὅμοιον, ἕρκος πολέμου εἰπεῖν, καὶ ἕρκος ἀκόντων παρ' Ὁμήρῳ, ἐν τῷ γ τῆς Ἰλιάδος.

Ἐρύμανθος, πόλις Ἀρκαδίας, καὶ ποταμὸς, καὶ ὄρος, οὕτω καλούμενα.

Ἐρυμβόνα, τὰ τιμιώτατα εἰς ἀσωτίαν ἀφειδεστάτην, ἀπὸ τοῦ ῥυμβανῶ ῥήματος.

Ἐρυμία, ἀσφάλεια.

Ἐρυμνὰ, τὰ ἠσφαλισμένα χωρία. καὶ ἐρυμνᾶσθαι, κατασφαλίσθαι.

Ἐρυμνὴν, ἠσφαλισμένην.

Ἐρυμνὸν, ἰσχυρὸν, στερεὸν, ἢ σκοτεινόν.

Ἐρυμνῶδες, λύπην καὶ φλεγμονὴν παρέχον, ἢ ὑπερήφανον.

Ἐρυμὸς Ζεὺς, καὶ ζυγὸς, καὶ ζεύγλη.

Ἐρύμυλον, τὸν μεγάλως μυκώμενον ταῦρον.

Ἐρωὸν, σκοτεινὸν, ἠσφαλισμένον.

Ἔρυξ, ὄνομα πόλεως, ἔνθα τιμᾶται ἡ Ἀφροδίτη. οἱ δὲ, τὴν Σικελίαν. ἢ Ἔρυξ, ὄνομα κύριον. οὗτος ὡς ἄμορφος καὶ ἀηδὴς διαβάλλεται.

Ἔρυξαν, ἐκώλυσαν, κατέχον.

Ἐρύομαι, τὸ φυλάσσω. καὶ πλεονασμῷ τοῦ ι, εἰρύομαι, εἰρύσομαι μέλλων, εἰρυσάμην ἀόριστος. ἀφ' οὗ τὸ ἐρύσασθαι.

Ἐρύουσιν, ἕλκουσιν, κυρίως λύουσιν. ἢ ἐρύουσιν, ἐρυσουσιν, ἑλκύσουσιν, ἐξ οὗ τὸ κατέδονται. οὕτω γὰρ οἱ γῦπες ἐσθίουσιν.

Ἐρύπειος, τόπος.

Ἐρυπομένη, κατεχομένη, κωλυομένη.

Ἐρῦσαι, καθελκύσαι, καταχεῖν.

Ἐρύσαιτο, φυλάξαιτο.

Ἐρυσάμενος, ἐκσπάσας, ἑλκύσας.

Ἐρύσαντας, ἑλκύσαντας, ἐκδείραντας. ἐρύσαντας δέρμα σὺν τῷ χάσματι φυλάττειν.

Ἐρυσάρματες, ταχεῖς, ταχεῖαι, καὶ οἱ ἕλκοντες τὰ ἅρματα. ἢ ἐρυσάρματες, μεταπλασμὸν ἔχει. ἅρμα γὰρ ἅρματος. ὅθεν ἐρυσάρματος, καὶ πληθυντικὸν οἱ ἐρυσάρματοι. ἀφ' οὗ μετεπλάσθη τὸ ἐρυσάρματες ἵπποι, ῥηθέντες οὕτω πρὸς διαστολὴν τῶν ἔξω ἅρματος. ὁποῖοι καὶ οἱ κέλητες ἵπποι.

Ἐρύσατο, οὐκ αὔξησιν ἔχει ὡς ἀπὸ τοῦ ῥύω, ἀλλὰ φυσικῶς ἐρρέθη. ἐκ τοῦ ἐρύω, τὸ φυλάσσω.

Ἐρύσατο, ἔσωσεν.

Ἐρύσειεν, ἑλκύσειεν, φυλάξειεν.

Ἔρυσεν, ἔλυσεν.

Ἐρύσεσθαι χρυσῷ, δηλοῖ τὸ χρυσῷ λύσασθαι, παρ' Ὁμήρῳ.

Ἐρυσίβη, ἡ πάχνη, ἡ κονιορτώδης φθορὰ τοῦ σίτου. ἢ τὸ ἐκ τοῦ ἀέρος καὶ τῆς πάχνης ἐπιγινόμενον.

Ἐρύσιμον, κάρδαμον ἄγριον.

Ἐρυσιπέλας, πάθος πλανώμενον καὶ σῆπον, καὶ τὰ πλησίον ἐπινεμόμενον.

Ἐρυσίπτολιν, ὥσπερ ὁ ἐφιέμενος λείας ἀγελείαν Ἀθηνᾶν ἐπεκαλεῖτο, οὕτω ἐπὶ σωτηρίας πόλεως χεῖρας αὐτῇ ἀνέχοντες, ἐρυσίπτολιν Ἀθηνᾶν ἐπεβοῶντο, ἤγουν φύλακα πόλεως, ἀπὸ τοῦ ἐρύω, τὸ φυλάσσω.

Ἐρυσίπτολις, σωσίπολις, σωσίπολος.

Ἐρυσμὸς, πόλεμος.

Ἐρύσομεν, ἀγείρομεν, θείομεν, βήσομεν. παρ' Ὁμήρῳ ἐν α τῆς Ἰλιάδος. εἰ καὶ συμβουλευτικά εἰσιν, ὅμως οὐ μεγεθύνουσι τὴν παραλήγουσαν. Ἴωνες γὰρ ἀδιαφοροῦσι περὶ τὰ τοιαῦτα.

Ἐρύσονται, περιποιήσονται, ἑλκύσουσιν.

Ἔρυσος, σπυρὶς, κάλαθος.

* Ἐρυσίχη, πόλις Ἀκαρνανίας. ἥτις ὕστερον Οἰνιάδαι ὠνομάσθη.

Ἐρύσαζεν, εἷλκεν.

Ἔρυτο. Ὅμηρος, ἡ δ' οὐκ ἔγχος ἔρυτο, τουτέστιν ἐκώλυσεν, ἀλλὰ διαπρὸ ἦλθε χαλκός. ἢ ἔρυτο ὡς Ὅμηρος, ἢ οἱ πλεῖστον ἔρυτο, τουτέστιν ἐφύλαξεν. ὅθεν καὶ ἔρυμα χροὸς ἐτυμολογικῶς λέγεται. ἢ ἔρυτο, ἐρύσατο, ἔσωσεν.

Ἐρύφαζε, κατεπάτησεν, ἐπόξασεν.

Ἐρύω, τὸ ἑλκύω, ποιητικόν. καὶ ἐρύω, τὸ φυλάσσω. ὥσπερ γέγονε τὸ ἀρτύω ἐκ τοῦ ἀρτῶ, κατὰ πλεονασμὸν τοῦ υ, καὶ ἀπὸ τοῦ μνῶ μνύω καὶ μηνύω, πλεονασμῷ τοῦ η, οὕτω καὶ παρὰ τὸ ῥῶ, ὃ σημαίνει τὸ ἰσχύω, ἐπενθέσει τοῦ υ, ῥύω. καὶ πλεονασμῷ τοῦ ε ἐρύω, οἷον δυνάμει ἑλκύω.

Ἐρχανήεντα πυλῶνα, τὸν πεπυκνωμένον καὶ συνεχόμενον.

Ἔρχαται, ἀπὸ τοῦ εἶρκται παρῆκται Ἰωνικῶς, τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, καὶ προσθήκῃ τοῦ α μετὰ καὶ ἀναυξησίας Ἰωνικῆς τῆς ἀπὸ τοῦ ἔργω. Ὅμηρος, ἔνθα φρένες ἔρχαται, ἤγουν καθειργνυνται Κύρκης. ἔρχαται, Ἀττικὴν ἔχει ἔλλειψιν. κεῖται γὰρ ἀντὶ τοῦ, ἐν δώμασι Κύρκης καθειργμένοι εἰσίν. Ἰωνικὸν δὲ τὸ ἔρχαται, καθὰ καὶ πρὸ ὀλίγου τὸ ἐέρχατο. τοῦτο μὲν ἀπὸ τοῦ εἶρκται, παθητικοῦ παρακειμένου. ἐκεῖνο δὲ, ἀπὸ τοῦ εἶρκτο ὑπερσυντελίκου.

Ἔρχατο, Ἰωνικὸν, ἐκ τοῦ εἶρκτο, εἴργω. ὁ παθητικὸς παρακείμενος εἶργμαι. τὸ τρίτον εἶρκται, καὶ Ἰωνικῶς ἔρχαται. καὶ ὁ ὑπερσυντέλικος εἶρκτο, καὶ εἴρχατο Ἰωνικῶς, καὶ ἔρχατο.

Ἔρχατος, φραγμός.

Ἐρχατόωνται, συνέχονται.

Ἐρχατόωντο, καινῶς παρῆκται. προϋπάρχει μὲν γὰρ Ἰωνικὸν τὸ ἔρχατο. ἐξ αὐτοῦ δὲ γίνεται ἐρχατῶ, οὐκ ἀγαθὸν ῥῆμα, εἰς πεζὴν γραφήν.

Ἐρχεία, δῆμός ἐστι φυλῆς τῆς Αἰγηίδος, ὥς φησι Διόδωρος.

Ἔρχεο, ἔρχου, πορεύου. ὡς τὸ, ἔρχεο δειελιήσας, ὃ καλοῦσί τινες δειλινὸν βρῶμα, μεταξὺ ὂν τοῦ ὑφ' ἡμῶν λεγομένου ἀρίστου, καὶ δείπνου. ὅτι δὲ τοῦτο, ἤγουν τὸ δειελιήσας ἀντιλέγεται, ὡς μὴ δηλοῦν τετάρτην τροφὴν, ἐπεὶ μηδὲ οἶδεν Ὅμηρος τροφὰς ἐφ' ἑκάστης ἡμέρας τέσσαρας. ὁ δὲ Ἀθήναιος λέγει, καὶ ὡς ἄριστον μέν ἐστι τὸ ὑπὸ τὴν ἕω λαμβανόμενον δεῖπνον. τὸ μεσημβρινὸν, ὃ ἡμεῖς ἄριστον φαμέν. δόρπον δὲ, τὸ ἑσπερινόν. ἐπὶ δὲ τούτοις, ἐπικρίνει συνωνυμεῖν, τὸ ἄριστον τῷ δείπνῳ.

Ἐρχθέντα ἐν ὕδασιν, ἀποπνιγέντα.

Ἐρχθέντες, πνιγέντες.

Ἔρχομαι, ἥκω, ἀφίκομαι, εἶμι, πορεύομαι, βαίνω, βαδίζω, οἴχομαι, παραγίνομαι, ἀφικνοῦμαι. ἢ ἔρχομαι, καὶ πέμπω, μετὰ μετοχῆς τοῦ μέλλοντος συντάσσονται. οἷον ἔρχομαι ποιήσων τόδε. καὶ πέμπω σε, ποιήσοντα τόδε. καὶ ἔρχομαι ταύτην τὴν ὁδόν.

Ἔρχονται πεδίοιο, ἐνδεῖ ἡ διὰ πρόθεσις.

Ἐρωάζει, ἡσυχάζει.

Ἐρῶ, ἀντὶ τοῦ λέξω. καὶ ἐρῶ, τὸ ἐπιθυμῶ. σημειωτέον δὲ, ὅτι τὸ ἐρῶ, καὶ ἔρως, κυρίως ἐπὶ τῶν παρόντων. ποθῶ δὲ, καὶ πόθος, ἐπὶ τῶν ἀπόντων. ἔραμαι, τὸ αὐτὸ ποιητικῶς, ἢ ἐρῶ τὸ ἐπιθυμῶ. καὶ ἔραμαι ποιητικῶς τὸ αὐτό. ἐρῶμαι δὲ, τὸ ὑπ' ἄλλου ἐπιθυμοῦμαι. ὥσπερ ἐραστὴς μὲν, ὁ ἐρῶν. ἐρώμενος δὲ, ὁ ὑπὸ ἐραστοῦ ἐρώμενος. ἐρῶ ἐπὶ μέλλοντος, τὸ λέξω. ἐπὶ ἐνεστῶτος, τὸ ἐπιθυμῶ.

Ἐρωγὰς, ὁ ἐρωδιός.

Ἐρώγασιν, ἐχίσθησαν.

Ἐρωδιὰ, ἅμαξα.

Digitized by Google

Ἐρῳ, δοκεῖ Αἰολικὸν εἶναι, ἀπὸ εὐθείας τῆς ἔρος. ἡ χρῆσις ἅπαξ ἐν Ἰλιάδι, καὶ ἅπαξ ἐν Θεογονίᾳ. ὅθεν καὶ αἰτιατικὴ τὸ ἐξ ἔρον ἕντο. ἠδύνατο δὲ καὶ ἐκ τοῦ ἔρως ἔρωτος ἔρωτι ἀποκεκόφθαι, καθ᾽ ὁμοιότητα τοῦ γέλῳ ἔκθανον. ἀλλ᾽ οὐ δοκεῖ γνωστὸν Ὁμήρῳ εἶναι, τὸ ἔρως ἔρωτος.

Ἐρωδιὸς, οἰωνός. τρία γένη ἐρωδιοῦ. πελλὸς, ὃς καὶ ἐστὶν ἅρπαξ. πύγαργος, ὃς ἐν συνουσίαις αἱμορραγεῖ δι᾽ ὀφθαλμῶν. καὶ τρίτος, ὁ ἀφροδίσιος. καὶ φασὶν ἐρωδιὸν οἰκεῖον ὄντα τοῖς περὶ Σκάμανδρον ἑλώδεσι τόποις. Ζώπυρος δὲ ἀντὶ τοῦ παλλὰς, πελλὸν γράφει.

Ἐρώει, ἀντὶ τοῦ ὑποχώρει. τὸ θέμα ἐρωέω, ἐρωῶ. ἡ ἐρώει παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ὑποχώρει, τὸ θέμα ἐρωέω ἐρωῶ. γίνεται δὲ ἀπὸ τοῦ ἔρα, ὃ τὴν γῆν δηλοῖ. ἐνταῦθα δὲ ἐπὶ τοῦ χώρου λαμβάνεται κατὰ μετάληψιν. διαφέρει δὲ ἡ γῆ τοῦ χώρου, τῷ τὴν μὲν αὐτὸ δηλοῦν ἁπλῶς τὸ ὑποκείμενον, τὸν δὲ χῶρον, ὡρισμένως τινὰ τόπον ἐπὶ τῆς γῆς, ἀφ᾽ οὗ τὸ χωρεῖν. ὃ λέγεται ἐνίοτε μὲν ἐπὶ τῶν κινουμένων ἀπὸ τόπου εἰς τόπον, ἐνίοτε δὲ ἐπὶ τῶν ἐχόντων τόπον δυνάμενον δέξασθαί τι.

Ἐρωεὶς, ὁ ὑποχωρῶν, ἢ καὶ ὁ ἐπιθυμητός.

Ἐρωὴ, ὄνομα θηλυκὸν ἡ ὁρμή. ἔστι δ᾽ ὅτε καὶ τὴν ἡσυχίαν καὶ ἀνάπαυσιν δηλοῖ. καὶ ἐκ τούτου ῥῆμα, ἐρωέω ἐρωῶ, τὸ παθητικὸν ἐρωέομαι ἐρωῶμαι, καὶ ὁ παρατατικὸς ἐρωεόμην. τὸ τρίτον τῶν πληθυντικῶν, ἐρρωέοντο. καὶ συγκοπῇ τοῦ ε ἐρρώοντο. αὔξει δὲ χρονικῶς κατ᾽ ἐπένθεσιν τοῦ ρ.

Ἐρωὴν δουρὸς λέγει Ὅμηρος, εἰς ὅσον ἂν ἔλθοι ἀφεθὲν δόρυ.

Ἐρωήσας, ἀντὶ τοῦ μειώσας, καταπάξας, ἢ ὁρμήσας, ἢ ὑποχωρήσας.

Ἐρωήσει, ῥεύσει.

Ἔρωι, ἔρωτι.

Ἐρωΐα, ἐρωμένη.

Ἔρωκε, κώλυε.

Ἐρωμανὴς, ὁ ἐν τῷ ἔρωτι μαινόμενος.

Ἐρώμεθα, ἐρωτησώμεθα, πυθώμεθα, ἀγαπώμεθα.

Ἐρωμένη, ἀγαπωμένη, ἀγαπηθεῖσα.

Ἐρώμενος, ἀγαπώμενος. ἐρόμενος δὲ, ὁ ἐρωτήσας, διὰ τοῦ ο μικροῦ.

Ἐρωμένῳ, φίλῳ, ἐρωτῶντι.

Ἐρωμήσει, ῥωμαλέως βαδίσει.

Ἐρῶν, ἐρωτῶν, ποθῶν, λέγων. καὶ ἐρῶν, γενική. ἐφιέμενος, ἐπιθυμῶν. ἐρώμενος, ἐπιθυμούμενος.

Ἐρωτεύομεν, προσπαλοῦμεν.

Ἔρως, πάθος, ἔξωθεν διὰ τῶν ὀμμάτων τῇ ψυχῇ προσγινόμενον. διὰ ταῦτα φησὶν ὁ Πλάτων, ἀπὸ τοῦ ἐσρεῖν ἔσρυς τό γε παλαιὸν ἐκαλεῖτο. διαφέρουσι δὲ ἔρως καὶ ἵμερος. ἔρως μὲν γὰρ, τὸ διὰ ὁράσεως ἐρᾶν. ἵμερος δὲ, ἡ μετὰ τὴν ὅρασιν ἐπιθυμία. οἷον, εἰ εἴδης βιβλίον καλὸν, καὶ ἰδὼν ἠράσθης κτήσασθαι αὐτοῦ, ἰδοὺ ἔρως. ἵμερος δὲ, ἐὰν μετὰ τὸ κτήσασθαι ἐπιθυμήσῃς καὶ ἐκμαθεῖν τὰ γεγραμμένα. οὕτω δὲ καὶ ἐπὶ παντὸς πράγματος.

Ἔρως, καὶ πλοῦτος. δύο οἱ παλαιοὶ τυφλά φασι, τὸν ἔρωτα, καὶ τὸν πλοῦτον. ὁ γὰρ ἐρῶν, ἔστιν ὅτε ἐρᾷ γυναικὸς δυσειδοῦς, ἥτις δοκεῖ αὐτῷ καλλίστη εἶναι, ὅπερ ἐστὶ τυφλότης. ὥστε ὁ ἔρως τυφλὸς, ἤγουν τυφλοποιός. ποιεῖ γὰρ τοὺς ἐρῶντας τὰ μὴ καλὰ καλὰ ἡγεῖσθαι. ὡσαύτως καὶ ὁ πλοῦτος τυφλός. παρέρχεται γὰρ τοὺς καλοὺς, καὶ κοσμίους, καὶ δίδωσιν ἑαυτὸν τοῖς κακίστοις, καὶ βδελυροῖς, ἐκ τοῦ Θεοκρίτου. ἔστι δὲ ὁ ἔρως, θερμὸς καὶ δυσκάθεκτος πόθος. ἢ ἔρως, ὁ στέφανος παρὰ Νικαεῦσιν, ὁ ἐκ τῆς γῆς ἠρανισμένος. καὶ ἔρως ἐστὶν ἐπιβολὴ φιλοποιΐας, διὰ κάλλος ἐμφαινόμενον.

Ἔρωσις, ἐρώμενος.

Ἔρωτα, Ἀπολλώνιος μὲν Ἀφροδίτης γενεαλογεῖ. Σαπφὼ δὲ, γῆς καὶ οὐρανοῦ. Σιμωνίδης δὲ Ἀφροδίτης καὶ Ἄρεος. Ἴβυκος καὶ Ἡσίοδος, ἐκ χάους λέγει τὸν ἔρωτα. ἐν δὲ τοῖς εἰς Ὀρφέα, Κρόνου γενεαλογεῖται. Αὐτὰρ ἔρωτα Κρόνος καὶ πνεύματα πάντ᾽ ἐτέκνωσεν.

Ἐρωτηθεὶς. ἐρωτάω, ἐρωτήσω, ἠρώτηκα, ἠρώτημαι, ἀόριστος ἠρωτήθην, ἡ μετοχὴ ὁ ἐρωτηθείς.

Ἐρώτησις, ἔνδοξος πρότασις διαλεκτικὴ, ἀπὸ κρίσεως, ἢ θατέρου μορίου τῆς ἀντιφάσεως.

Ἔρωτι, προθυμίᾳ.

Ἐρωτικῶς, ἐπιθυμητικῶς.

Ἐρώτιον, ἐρώμενον, Ταραντῖνοι.

Ἐρωτομανὴς, ὁ μανικῶς, καὶ ἐπιθυμητικῶς ἔχων τοῦ πορνεύειν.

Ἐρωτῶ σε, παρακαλῶ σε, ἱκετεύω σε ἐλθεῖν πρὸς αὐτόν. ἐπὶ τὸ δεῖπνον ἠρώτα, ἀντὶ τοῦ παρεκάλει. παρὰ τὴν ἔρωτος γενικὴν γέγονεν ἐρωτῶ. οἱ γὰρ ἐρωτῶντες, ὃ εὔχονται μαθεῖν, τοῖς ἐρῶσιν ἐοίκασιν.

Ἐρωτύλον, λέγομεν τὸν ἐραστὴν, τὸν ἐρωτικὸν ὑποκοριστικῶς, οὐχ ὥς τινες κύριον. παροξύνονται δὲ τὰ τοιαῦτα, πλὴν τοῦ ὄξωνος, καὶ τοῦ παῖδ᾽ ὀλοφυρομένην Ἴτυλλον, οἷον ἐρωτύλος, Αἰσχύλος, Ἑρμύλος, Σιμύλος.

Περὶ τῶν ἐρωτηματικῶν.

Ἐρωτηματικὰ ὀνόματα, τὸ ὄνομα ζητεῖ, τὰ δὲ ἐπιρρηματικὰ, τὸ ῥῆμα. εὑρίσκονται δὲ ἐν πλείοσιν ὀνόμασι καὶ ἐπιρρήμασι, διὰ τόνδε τὸν λόγον. ὅτι ἐν τούτοις μόνοις ἡ ἀμφιβολία δύναται γίνεσθαι τῆς οὐσίας, ἢ τῆς ποιότητος. ποιότητα δὲ λέγω κοινῶς, τὰ τῇ οὐσίᾳ συμβεβηκότα, κἂν ποσότητος ὦσι, κἂν ὁτιοῦν ἕτερον. τὴν γὰρ οὐσίαν τοῦ τινὸς ὑποκειμένου ζητοῦντες φαμὲν, τίς κινεῖται, τίς βαδίζει, τίς διαλέγεται; πρὸς ὅπερ ἀπόκρισις, Σωκράτης, ἢ Δημοσθένης.

Ἔτι ἐρωτῶντες, καὶ ζητοῦντες, καὶ ἐθέλοντες τὴν ποιότητα μαθεῖν φαμὲν, ποῖος ἐκεῖνος; πρὸς ὅπερ ἀπόκρισις, σοφὸς, ἀγαθὸς, καλὸς, κακός.

Ἔτι ἐρωτῶντες, καὶ τὴν ποσότητα ζητοῦντες λέγομεν, πόσος ἐκεῖνός ἐστι; πρὸς ὅπερ ἀπόκρισις, μέγας, ἢ μικρός. ὁμοίως ζητοῦντες τὴν τακτικὴν ἀπαρίθμησιν, πόσος λέγομεν; πρὸς ὅπερ ἀπόκρισις, ἢ πρῶτος, ἢ δεύτερος, ἢ τρίτος, ἢ τέταρτος.

Ἔτι ἐρωτῶντες, καὶ ζητοῦντες μαθεῖν τινὰ ἐκ τίνος ἔθνους, ἢ πατρίδος ἐστὶ, λέγομεν ποδαπὸς, ἢ ἡμεδαπὸς ἐκεῖνός ἐστιν; πρὸς ὅπερ ἀπόκρισις, Ἕλλην, ἢ βάρβαρος, ἢ Ἀθηναῖος, ἢ Θηβαῖος.

Ἔτι ἐρωτῶντες καὶ ζητοῦντες τὸ τῶν ἡμερῶν μέτρον, ποσταῖος λέγομεν. οἷον ποσταῖος ἦλθέ τις Θήβηθεν εἰς Ἀθήνας; ἢ ἡ σελήνη ποσταία τυγχάνει οὖσα; εἰ δὲ καὶ τὸ τῶν ἐτῶν μέτρον ζητοῦμεν, ποσαετής. εἰ δὲ καὶ τὸ τοῦ μεγέθους πλῆθος, ποσάκις. ὁ μείζων ἐν ἑαυτῷ τὸν ἐλάττονα ἔχει, τοσαυτάκις, πολλαπλάσιος.

Ἔτι ἐρωτῶντες καὶ ζητοῦντες, εἰς πόσα μέρη, ἢ εἴδη διαιρεῖται ὁτιοῦν, ἢ πόσοις ὀνόμασιν ὁτιοῦν προσαγορεύεται, ἢ πόσαις μεθοδίαις, ἢ τέχναις, ἢ τρόποις ὁτιοῦν ποιεῖται; λέγομεν ποσαχῶς. οἷον ποσαχῶς διαιρεῖται τὸ θνητόν; ἢ ποσαχῶς ὀνομάζεται; ἢ ποσαχῶς ὁ ἁλιεὺς τοὺς ἰχθῦς ἀγρεύει; ἀπόκρισις δὲ καὶ πρὸς τοῦτο, μοναχῶς, διχῇ, ἢ δίχα, ἢ διχῶς, ἢ τριχῇ, ἢ τριχῶς, ἢ τετραχῇ, ἢ τετραχῶς, ἢ πενταχῇ, ἢ πενταχῶς, καὶ ἐφεξῆς. καὶ ἔτι τοσαυταχῶς, ὀλιγαχῶς, πολλαχῶς, πλεοναχῶς, πλειστάχῶς, ἀπειραχῶς, καὶ τὰ τοιαῦτα.

Ἔτι ἐρωτῶντες καὶ ζητοῦντες τὴν αἰτίαν λέγομεν. διατί, ἵνα τί, τί δή ποτε, τί ποτε, τοῦ χάριν, ἢ ὅτου χάριν, ἢ τίνος ἕνεκεν; καὶ τὰ τοιαῦτα. πρὸς ὅπερ ἀπόκρισις, διότι, διὰ τόδε, ἢ χάριν τοῦδε, καὶ ἕνεκα τοῦδε.

Ἔτι ἐρωτῶντες καὶ ζητοῦντες τὴν ποσότητα, λέγομεν, πόσον ἔδραμεν; πρὸς ὅπερ ἀπόκρισις, πολὺ, ἢ ὀλίγον.

Ἔτι ἐρωτῶντες καὶ ζητοῦντες τὴν οὐσίαν αὐτῆς τῆς πράξεως, καὶ μιᾶς μὲν ἐκ πολλῶν ἀορίστων οὔσης, λέγομεν, τί ποιεῖ ὁ δεῖνα; πρὸς ὅπερ ἀπόκρισις, ὅτι οὐδὲν, ἢ τρέχει, ἢ διαλέγεται. μιᾶς δὲ ἐκ δυοῖν ὡρισμένοιν οὔσης, φαμὲν πότερον τρέχει, ἢ διαλέγεται; ἢ τὸ πρότερον, ἢ τὸ ὕστερον;

Ἔτι ἐρωτῶντες καὶ χρόνον ζητοῦντες, ἐν ᾧ γέγονέ τι ποτὲ, οἷον πότε τοῦτο ἐποίησας; πρὸς ὅπερ ἀπόκρισις, χθὲς, νεωστὶ, πρότριτα, πρώην, πέρυσι, τῆτες. καὶ ποιητικῶς, ἀρμοὶ, καὶ προσταινὶ, ἀντὶ τοῦ προσφάτως, πάλαι. καὶ διὰ ὀνομάτων, πρὸ δέκα ἡμερῶν, μετὰ δύο μῆνας.

Ἔτι ἐρωτῶντες, καὶ τὸν ἀριθμὸν ζητοῦντες, ὁσάκις καὶ ποσάκις φαμέν. πρὸς ὅπερ ἀπόκρισις, ἅπαξ, δὶς, τρὶς, τετράκις, πεντάκις, καὶ ἐφεξῆς. καὶ ἔτι τοσάκις, τοσαυτάκις, ὀλιγάκις, πλεονάκις, πολλάκις, πλειστάκις.

Ἔτι ἐρωτῶντες καὶ ζητοῦντες οὐ τὴν ποιότητα, ἀλλὰ τὸν τόπον ἐν ᾧ τι γίνεται, τριχῶς ποιούμεθα τὴν ἐρώτησιν. ποῦ, ἢ πόθι καὶ ποῖ, ἢ πόσε καὶ πόθεν. ὧν τὸ μὲν ποῦ, ἢ πόθι, μονὴν καὶ στάσιν δηλοῖ, οἷον ποῦ ἐστιν ὁ δεῖνα; ἢ ποῦ κεῖται, ἢ κάθηται; πρὸς ὅπερ ἐπιρρηματικῶς ἡ ἀπόκρισις οὕτως, ἐνταῦθα, ἐκεῖ, οἴκοι, πολλαχοῦ. κατὰ μόνην δὲ δοτικὴν οὕτως, Ἀθήνησι, Θήβησιν. ὡς ἐπιτοπλεῖστον δὲ, κατὰ δοτικὴν σὺν τῇ ἐν προθέσει. οἷον ἐν τῇ πόλει, ἐν τῇ ἀγορᾷ, ἐν τῇ Ἑλλάδι, ἐν τῷ ἀγρῷ. Τὸ πῆ, καὶ πόσε, καὶ πόθεν, ἄμφω κίνησιν σημαίνει. ἀλλὰ τὸ μὲν τὴν εἰς τόπον, τὸ δὲ τὴν ἐκ τόπου. οἷον ἐρωτώμενοι πῇ, ἢ πόσε βαδίζει ὁ δεῖνα, ἔστι μὲν ὅτε καὶ ἐπιρρηματικῶς ἀποκρίνασθαι, δεῦρο, ἐκεῖσε, οἴκαδε, Ἀθήναζε, Θήβαζε, πολλαχοῦ, πολλαχόσε, πάντῃ, πάντοσε, πανταχῇ, πανταχόσε, οὐδαμῇ, οὐδαμόσε. ὡς ἐπιτοπλεῖστον δὲ, κατὰ αἰτιατικὴν, σὺν τῇ πρὸς προθέσει, οἷον πρὸς τὸν βασιλέα, πρὸς τὴν πόλιν.

Ἔτι ἐρωτώμενοι πόθεν ἥκει ὁ ἄνθρωπος, καὶ ἐνταῦθα ἐνίοτε διὰ ἐπιρρημάτων ἡ ἀπόκρισις γίνεται. οἷον ἐντεῦθεν, ἐνθένδε, ἐκεῖθεν, οὐρανόθεν, οἴκοθεν, Ἀθήνηθεν, Θήβηθεν, γῆθεν, πολλαχόθεν, πάντοθεν, πανταχόθεν, οὐδαμόθεν. καὶ ὡς ἐπιτοπλεῖστον δὲ μετὰ γενικῆς σὺν τῇ ἀπὸ προθέσει, οἷον ἀπὸ Ῥώμης, ἀπὸ Βυζαντίου. ἔστι δ᾽ ὅτε καὶ σὺν τῇ ἐξ προθέσει. καὶ σημειωτέον ἐνταῦθα, ὅπως κατά τινα φυσικὴν ἀκολουθίαν αἱ τρεῖς ἐρωτήσεις τὰς τρεῖς πλαγίας πτώσεις ἐκληρώσαντο. οἷον τὸ πόθεν τὴν γενικὴν, τὸ ποῦ τὴν δοτικὴν, τὸ δὲ πῆ τὴν αἰτιατικήν. ὥσπερ ἐν ταῖς πλαγίαις πτώσεσι προηγεῖται μὲν ἡ γενικὴ, ἕπεται δὲ ἡ δοτική. καὶ τρίτη τούτων ἐστὶν ἡ αἰτιατική. οὕτω κἀνταῦθα προηγεῖται τὸ πόθεν, ἕπεται δὲ τὸ ποῦ, καὶ τελευταῖον τὸ πῆ. ἀκολούθως τοῖς τρισὶ μέρεσι τοῦ χρόνου. τὸ μὲν γὰρ πόθεν, τοῦ παρεληλυθότος. ἐρωτῶντες γὰρ, πόθεν ἦλθεν ὁ ἄνθρωπος; ἢ ἔρχεται; δηλοῦμεν καταλελοιπέναι αὐτὸν τὸν τόπον, ὅθεν καὶ ἐλήλυθεν, καὶ ἔρχεται, ἢ ἐλεύσεται. τὸ δὲ ποῦ, τοῦ ἐνεστῶτος. ἐρωτῶντες γὰρ ποῦ ἐστιν ὁ δεῖνα, ἢ ἦν, ἢ ἔσται, τὴν ὡς κατὰ τὸ ἐνεστὸς ἐν ἐκείνῳ τῷ τόπῳ μονὴν αὐτοῦ δηλοῦμεν. ἐν ᾧ ἐστὶν, ἢ ἦν, ἢ ἔσται. τὸ δὲ πῆ καὶ πόσε, τοῦ μέλλοντος. ἐρωτῶντες γὰρ πῇ βαδίζει ὁ ἄνθρωπος, ἢ ἐβάδισεν, ἢ βαδίσει; τὴν ἐν τῷ μέλλοντι χρόνῳ εἰς ἐκεῖνον τὸν τόπον ἄφιξιν σημαίνομεν.

Ἔτι ἰστέον, ὅτι ἐν μὲν τῷ τίς, καὶ πότερον, τὴν οὐσίαν δηλοῦμεν. ἐν δὲ τοῖς ἄλλοις, τὰ συμβεβηκότα. οἷον ἐν μὲν τῷ ποῖος; λευκὸς, ἢ θερμὸς, ἢ τὰ τοιαῦτα. ἐν τῷ πηλίκος δὲ, μέγας, καὶ μικρός. ἐν δὲ τῷ πόσος, πολὺς, καὶ ὀλίγος. ἐν δὲ τῷ πόστος, πρῶτος, ἢ δεύτερος, ἢ τρίτος, καὶ ἐφεξῆς. ἐν δὲ τῷ ποσαπλάσιος, ὡρισμένως μὲν διπλάσιος, τριπλάσιος, καὶ ἐφεξῆς. ἀορίστως δὲ, πολλαπλάσιος. ἐν δὲ τῷ ποδαπὸς, ἢ ἡμεδαπὸς, Ἕλλην, ἢ βάρβαρος, ἢ Ἀθηναῖος, ἢ Θηβαῖος.

Ἔτι ἰστέον περὶ ἐπιρρημάτων, ὅτι τὰ ἐπιρρήματα ἀναφέρονται πρὸς τὰς ἀγνοουμένας ἐνεργείας, ἢ τὰς τούτων ποιότητας. εἰ γὰρ ἐρωτῶμεν πῶς ἀναγινώσκει, ἀποδιδόντες αὐτὸ τὸ ἐπίρρημα, ὅπερ ἐπιτίθεται, τόπον ἔχει ἐπὶ τῷ ῥήματι. καὶ ἀποκριθείη ἄντις, καλῶς, ῥητορικῶς, σοφῶς. πᾶσα γὰρ κίνησις, πόθεν καὶ πῆ γίνεται. ἀλλὰ ἐπεὶ περὶ τῶν ἀγνοουμένων ἐπιγίνεται ἡ ἐρώτησις, ὅταν μὲν ἴδωμεν τὸν τόπον εἰς ὃν ἡ κίνησις γέγονε, τόδε ἐκ τίνος λέγομεν.

Ἐρωτῶ, καὶ πυνθάνομαι, ἐπὶ ἐρωτήσεως λέγονται. καὶ ἐρωτῶ, ἔρομαι, πυνθάνομαι. ἢ ἐρωτῶ, τὸ ἀπό-

Digitized by Google

ἀπόκρισιν ζητῶ. ἐπερωτῶ κυρίως, ὅταν ἐπὶ τῇ ἐρωτήσει ἑτέρᾳ ἐρωτήσει χρῶμαι. προσερωτῶ, τὸ μετὰ τὴν δευτέραν καὶ τρίτην ποιοῦμαι ἐρώτησιν. τοιοῦτον καὶ τὸ εἶπον, καὶ ἔειπον, καὶ προσέειπον.

Ἐρωτῶ, ὁ μέλλων ἐρήσομαι, ὁ ἀόριστος ἠρώτησα, ὁ δεύτερος ἠρόμην, ἐρέσθαι ἀπαρέμφατον, ἐροῦ προστακτικὸν, ἐὰν ἔρωμαι ὑποτακτικόν. τὸ δὲ εἴρετο, ποιητικῶς μὲν διὰ διφθόγγου γράφεται, κοινῶς δὲ διὰ τοῦ η. οἱ μὲν γὰρ κοινοὶ λέγουσι τὸν ἐνεστῶτα ἔρομαι, οἱ δὲ ποιηταὶ εἴρομαι, προσλήψει τοῦ ι. ἐξ ἀνάγκης οὖν οἱ μὲν τρέπουσι τὸ ε εἰς η ἐπὶ τοῦ παρῳχημένου, οἱ δὲ φυλάττουσι τὴν δίφθογγον ἄτρεπτον.

Ἐρωτῶ σε τὰ πεπραγμένα, καὶ ἐρωτῶ τὸν διδάσκαλον περὶ τούτων.

ΤΟ' Ε. ΜΕΤΑ' ΤΟΥ Σ.

Ἐς πρόθεσις, ἀντὶ τοῦ εἰς λέγουσιν Ἀττικοί. οἷον ἐς χρύσαν, ἐς πατρίδα.

Ἕς. ἵημι, τὸ πέμπω. μέλλων ἥσω, ὁ δεύτερος ἀόριστος ἧν. ἡ μετοχή, εἷς ἕντος. τὸ προστακτικὸν ἕθι, καὶ ἕς. σεσημείωται τὸ θὲς, δός. καὶ ἕς. ὅπερ ἐν συνθέσει πρόες καὶ ἄφες ποιεῖ.

Ἐσαεὶ, διαπαντός.

Ἐσαθύριζεν, ἤκαλλεν.

Ἐσαθρεῖν, ἐνατενίζειν.

Ἐσάκουσεν, εἰσήκουσεν.

Ἐσαλάλαζεν, ἐποτνίαζεν.

Ἕσαμεν, ἐθεωροῦμεν, Λάκωνες.

Ἕσαν, ἦσαν, ἐπορεύοντο.

Ἐς αὖ, εἰς μίαν ἡμέραν.

Ἐσαώθην, ἐσώθην.

Ἐσαώρας, εἰσκαιρούς.

Ἐσάωσεν, ἔσωσεν.

Ἐς δεῦρο, ἀντὶ τοῦ μέχρι τοῦ δεῦρο καιροῦ.

Ἐς ἡμέτερον, ἐλλειπτικῶς φραθέν. λείπει γὰρ τὸ δῶμα, ἢ δόμον, ἢ μέγαρον. οὕτω καὶ ἡμέτερόν δ' ἐλθόντες.

Ἐς ἠέλιον καταδύντα, τὸ περὶ δύσιν ἡλίου δηλοῖ, καὶ ἕως ἡλίου δύσεως. ἢ ἐς ἠέλιον κατὰ δύσιν εἴρηται παρ' Εὐριπίδῃ ἐν Ἱππολύτῳ, τὸ εἰς τόδε, ἀντὶ τοῦ ἕως τότε. τοιοῦτον δὲ καὶ ἐς τόδε ὥρας, καὶ ἐς τόδε καιροῦ. τὸ μέντοι ἔς τε, ἀντὶ τοῦ ἕως, μόνον αὐτὸ καθ' αὑτὸ κείμενον. οἷον παρὰ Θεοκρίτῳ, ἔς τε κα ἀπείπῃς, ἤγουν μέχρις ἂν ἀπαγορεύσῃς. συγκοπὴν ἔπαθεν ἐκ τοῦ ἕως, διὸ καὶ δασύνεται.

Ἐς ἠῶ, εἰς ἡμέραν.

Ἐς θάλαμον βαλέειν, καὶ σανίδας ἐκδῆσαι. καὶ εἰς κίονα ἐρύσαι, καὶ πελάσαι δοκοῖς, ἐν Ὀδυσσείας χ, προστακτικῶς πάντα νοοῦνται, ἀντὶ τοῦ βάλετε, ἐκδήσατε, ἐρύσατε, πελάσατε.

Ἐς νέωτα, ἐς αὔριον, εἰς τὸ μέλλον.

Ἐς κλιτὺν ἀναβάς, ὑψηλὴν πρόσβασιν ὄρους δηλοῖ τὴν κλιτὺν εἶναι, διὰ τοῦ ἀναβάς. κοινῶς δὲ τὰ παρὰ τὸ κλίνω, ὕψος τι δηλοῖ. οἷον ἡ ἐπὶ θρόνου κλισία, καὶ ὁ κλισμὸς, καὶ ἡ κλίνη, καὶ τὸ ἀνάκλινθρον, καὶ ἡ κλίμαξ, ἴσως δὲ καὶ τὸ κλίτος.

Ἐς κόρακας Ἀττικοὶ, οὐκ εἰς κόρακας. καὶ ἐς μακαρίαν, οὐκ εἰς μακαρίαν. ἐς κόρακας, εἰς τὸ σκότος, εἰς ὄλεθρον. ἔστι δὲ τόπος Ἀθήνησιν οὕτω καλούμενος. οἱ ἐκεῖσε γὰρ ῥιπτόμενοι, εἰς ἀπώλειαν ἤρχοντο.

Ἐς κυνὸς πυγήν. παροιμία, τὸ ἐς κυνὸς πυγὴν ὁρᾶν, καὶ τριῶν ἀλωπέκων. λέγεται δὲ ἐπὶ τῶν ὀφθαλμιώντων.

Ἐς νέωτα, Ἀττικὸν, καὶ εἰς ἔπειτα. ἐς τοὐπιὸν δὲ, κοινόν.

Ἐς ὅ, ἀντὶ τοῦ ἕως ὃ λέγουσιν Ἴωνες, καὶ μέχρι τούτου. ὡς τὸ, ἐς ὃ ἐξεῖλεν αὐτήν.

Ἐς ὅτι μάλιστα, ἀντὶ τοῦ λίαν. ὡς τὸ, Καλάμους ἐς ὅτι μάλιστα στεῤῥοὺς, καὶ παχίστους.

Ἐς πατρίδα πορεύομαι, ἀντὶ τοῦ εἰς, Ἀττικῶς.

Ἐς Πείρινθα δίφρου. ἔνθα ὁ διφρελάτης ἐκάθητο, ὡς ἐκεῖ ὁ ἁμαξηλάτης τὰ βασιλικὰ δῶρα τίθησιν. λέγοι δ' ἄν τις πείρινθα, κατὰ τὸ ἐοικὸς τῆς λέξεως, τὸ περίθεμα, ὡς ἀπὸ τῆς περιθέσεως, καὶ τοῦ θῶ, τὸ τίθημι. ζητητέον δὲ, εἴπερ πείρινς πείρινθος ἡ εὐθεῖα τῆς λέξεως ταύτης, εἴτε τὸ πείρινθον.

Ἔς ποτε λήξει, ἀντὶ τοῦ μέχρι παύσεται.

Ἔστε, ἀντὶ τοῦ ἕως οὗ.

Ἔστ' ἔνηφιν, ἀντὶ τοῦ ἐς ἔνην, κατὰ προσχηματισμὸν τῆς φι συλλαβῆς. Ἡσίοδος ἐν ἔργοις, μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔνηφιν.

Ἐς τάχεα ἔδυνον, ταυτόν ἐστι τῷ, ἐν τάχεσιν ἐδύοντο.

Ἐς τῆμος δὲ, ὅμοιον τῷ ἐς αὔριον, καὶ τοῖς τοιούτοις. ἡ δὲ ἐν τῷ τέλει ἐπέκτασις, περιττή. καὶ οὐκ ἀντὶ προθέσεως, ὡς ἐν τῷ τῆμος δε.

Ἐσαγείρατο θυμὸν, ἤγουν συνέλεξε πνεῦμα ζωτικὸν, ἐξ οὗ σύγκειται τὸ ζωγρεῖν θυμόν, ὡς ἐκ τοῦ θυμὸν ἀγείρειν τὸ θυμηγερέειν. οὗ προηγεῖται τὸ, ἔλιπε θυμός. καὶ τὸ ἔσαν, εἰς πρῶτον ἀόριστον, κατὰ συστολήν.

Ἐσάλευσεν, ἐκ τοῦ σαλεύω. τοῦτο δὲ καὶ ἐπὶ νεῶν, καὶ ἐπὶ ἀνθρώπων λέγεται.

Ἐσᾶλτο πύλας, ὅμοιόν ἐστι τῷ ἐσήλατο τεῖχος Ἀχαιῶν.

Ἔσαν. εἰμὶ, τὸ ὑπάρχω. ὁ παρατατικὸς ἦν, τὸ πρῶτον τῶν πληθυντικῶν ἦμεν ἦτε ἦσαν. οὐ δασύνεται δὲ, ἀλλὰ ψιλοῦται, δηλοῦν τὸ ἦσαν. καὶ γίνεται ἀπὸ τοῦ ἦσαν, κατὰ συστολήν.

Ἔσαναν, ἀντὶ τοῦ ἐχάρησαν, ἀπὸ τῶν σαινόντων ζώων.

Ἐσανδρώσῃ, ἀνδρῶν πληρώσῃ. παρὰ Ἀπολλωνίῳ.

Ἔσαντο. ἕω, τὸ πληρῶ, ὁ μέλλων ἕσω, ὁ ἀόριστος ἧσα, καὶ ἕσα κατὰ συστολήν. ὁ μέσος ἑσάμην, τὸ τρίτον τῶν πληθυντικῶν ἕσαντο. ἀπὸ τούτου γίνεται καὶ τὸ ἕντο κατὰ συγκοπὴν, παρ' Ὁμήρῳ. ὡς τὸ, ἐξ ἔρον ἕντο.

Ἕσασθαι εἶπεν ὁ ποιητὴς, ἀντὶ τοῦ ἐνάψασθαι. ὡς τὸ, ἕσατο δέρμα λέοντος. οὐδεὶς γὰρ λέοντος δέρμα ἢ παρδαλῆν, ἢ λυκέην ἐνδύεται, ἀλλὰ ἀνάπτονται τὰ τοιαῦτα, ὅ ἐστιν ἀπαιωροῦνται.

Ἐσαφάσας, εἰς τὸ ἔσω χαλάσας, ὥς τι ματεῦσθαι, εἴτ' οὖν ζητεῖσθαι.

Ἐσβαίνω εἰς τὴν ναῦν, καὶ ἐμβαίνω εἰς τὴν ναῦν, ἀμφότερα Θουκυδίδης λέγει. ἐμβαίνω δὲ νηὶ, Ἀττικόν.

Ἔσβη, ἐσβέσθη, ἐπαύσατο.

Ἔσβηκε, πέπαυται, τινὲς ἐσβέσθη.

Ἔσβωες, εἶδος ποτηρίου.

Ἐσβοθὺν, εἶδος παιδιᾶς, Ταραντῖνοι.

Ἐσβολὰς, τὰς ἐπὶ τὴν τῶν πολεμίων χώραν ἐκδρομὰς, ἐκάλουν ἐσβολάς.

Ἐσγεμίαν, κατὰ τὸ αὐτό.

Ἔσδα, ὥρμησα, ἐποίησα, ἐδίωξα, εἰς φυγὴν ἔτρεψα.

Ἐς δ' ἄγε, εἰσήγαγε δέ.

Ἐς δὲ, εἰς δέ.

Ἐς δεκάδας, εἰς δεκανίας.

Ἐς δ' ἐρέτας, εἰς ταύτην δὲ κωπηλάτας.

Ἐς δῆριν, εἰς μάχην.

Ἐς δοκὸν, ἐς ἔνεδραν.

Ἐς δραμύλιξον, εἴσδραμε.

Ἔσεαι, ἐκ τοῦ ἔσεται, τρίτου προσώπου, ἀποβολῇ τοῦ τ.

Ἐσεβάσατο θυμὸν, καθήψατο τῆς ψυχῆς, ἐλύπησεν, εἰς τὸν θυμὸν ἐμάστιξεν.

Ἐσεβάσθησαν, σεβάσμασι προσεκύνησαν.

Ἐσεβὼν, διαλογισμός. καὶ ποταμὸς Μωαβιτικῆς, χωρία ἄκαρπα.

Ἔσεισεν, ἀντὶ τοῦ ἐλύπησεν.

Ἔσεισέ μου τὴν καρδίαν. καὶ ἀντὶ τοῦ ἐτάραξεν.

Ἐσείσθησαν λαοί.

Ἐσεμάσσατο θυμὸν παρ' Ὁμήρῳ ἐν τῷ τῆς Ἰλιάδος ρ, οὐχ ἁπλῶς ἐπιπολῆς ἐλύπησεν, ἀλλὰ ἐνεμάξατό μοι τὴν λύπην καὶ ἀλγηδόνα. οὗ τὸ ἐναντίον ἀπομάσσεσθαι καὶ ἐκμάσσεσθαι λέγεται. τοιαύτη δέ τις λέξις καὶ ἐν Ὀδυσσείᾳ κεῖται. ἢ καὶ ἄλλως ἀντὶ τοῦ λίαν μοι καθίκετο τῆς ψυχῆς, καὶ καθήψατο ἀπὸ τοῦ μάσασθαι. ἀφ' οὗ καὶ τὸ χειρὶ ἐπιμασσάμενος, ὅ ἐστιν ἐφαψάμενος. ὅθεν καὶ χερμάδιον, ὅ ἐστι μάσασθαι τῇ χειρί. εἴληπται δὲ μεταφορικῶς, ἀπὸ τῶν προμασσόντων τινὶ καὶ ἐνσταζόντων κηλῖδα.

Ἐσεμάχθην, ἐβλάβην, ἐκολάσθην.

Ἐς ἕνας, εἰς τρίτην ἡμέραν.

Ἐσέρχονται, ἐναπολαμβάνονται, παρὰ τῷ Ἱπποκράτει.

Ἐσεσήρει, ὠργίζετο. ὡς τὸ, Λίαν γὰρ ἐς αὐτὴν ἡ Θεοδώρα ἠγριαίνετο, καὶ ἐσεσήρει. ἢ ἐσεσήρει, ἀντὶ τοῦ ἐδυσχέραινεν.

Ἐσεσήρεσαν, ἀντὶ τοῦ ἐκεχήνεσαν. ἡ μεταφορὰ ἀπὸ τῶν ὀργιζομένων κυνῶν. ὡς τὸ, Ἐς ἀλλήλους τι ἐσεσήρεσαν ἡμιμανεῖς τι καὶ ἄγριον οἱ Σκύθαι.

Ἔσεσθαι, γενήσεσθαι.

Ἔσεται, ἔσται.

Ἔσευα, ἐκ τοῦ σεύω, ἀόριστος ἔσευσα. ἀποβολῇ τοῦ σ, ἔσευα. καὶ ἔσευα αἷμα, ἤγουν ἐκίνησα.

Ἔσευαν, ὥρχηντο, ἐσπούδαζον.

Ἐσεύοντο, ὥρμων, ἐδίωκον.

Ἐσέφθη, ἐσεβάσθη, ἐτίμησε. καὶ ἀντὶ τοῦ ἐθαύμασε, καὶ ἐξεπλάγη, καὶ ἀντὶ τοῦ ἐμαντεύθη.

Ἐσέχυντο πύλας, Ὅμηρος, ἤγουν ὑγρότερον καὶ σπουδαιότερον ἐσῆλθον. ἵνα δηλοῖ καὶ νῦν ἡ λέξις, τὴν ῥᾷονα διὰ τῶν πυλῶν εἴσοδον, καὶ οἷον πρόχυσιν. ὡς τοῦ τείχους ἔχοντός τι πρόσαντες, διὰ τὸ προσίστασθαι τῇ εἰσόδῳ.

Ἐσηγάθεον, ἄγαν θαυμαστόν.

Ἐσήκασθεν, συνεκλείσθησαν, κατὰ σηκοὺς ἠλάσθησαν. κυρίως ἐπὶ προβάτων.

Ἐσήλατο, εἰσῆλθεν, εἰσέφρησεν, εἰσεπήδησεν. ἢ ἐσήλατο, Πορφύριος ἐν τῷ μ τῆς Ἰλιάδος, ἀντὶ τοῦ ἐσάλευσε νοεῖ. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ εἰσεπήδησεν. ὡς τὸ, τεῖχος ἐσήλατο πρῶτος. ἡ ἐσήλατο τεῖχος παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐσάλευσε κεῖται, κατὰ Πορφύριον, ὡς ἀπὸ τοῦ σάλω, ἐξ οὗ καὶ τὸ σαλεύω, καὶ ὁ σάλος. ἐν δὲ τοῖς Ἡροδώρου καὶ Ἀπίωνος, φέρεται ὡς οὐ δεῖ πείθεσθαι Λυσανίᾳ τῷ ὃς πρῶτος ἐσήλατο λέγοντι, καὶ διὰ τοῦτο ψιλοῦντι τὸ η, ὡς ἀπὸ τοῦ ἐσήλασθαι, ὃ δηλοῖ τὸ ἀποσπᾶν, καὶ σαλεύειν. ἔτι δὲ λέγοντι, καὶ ὅτι ὁ μὲν σαλεύσας τὸ τεῖχος Σαρπηδών ἐστιν. ὁ δὲ εἰσπηδήσας, Ἕκτωρ. ὡς τοῦτο μόνον Πορφυρίου, ἀλλὰ καὶ Λυσανίου ἐστὶν ἡ ῥηθεῖσα ἐξήγησις, καὶ οὐδὲ πάνυ ἀποδεκτέα ἐστὶ τοῖς παλαιοῖς. οἱ δὲ αὐτοὶ, οὖν ὁ Ἀπίων, καὶ ὁ Ἡρόδωρος λέγουσιν, ὅτι τὸ ἐσήλατο κανονίζεται ἀπὸ τοῦ ἄλλεσθαι, καὶ νοεῖται ἀντὶ τοῦ ἐφήλατο. οὕτω γάρ φασι δοκεῖ Ἀριστάρχῳ. διὸ καὶ δασύνει ἐκεῖνος τὸ η.

Ἐσήμαινε, προσέταττεν, ὁρῶν τὸ πρόθυμον τῶν Ῥωμαίων, ἐσήμαινε τοῖς ἑαυτῷ ἑπομένοις ἐπιχωρεῖν.

Ἐσημαινόμενος, ἀντὶ τοῦ ἐνδεικνύμενος, καὶ ἐκφαίνων.

Ἐσημειώθη, ἐτυπώθη.

Ἐσημήναντο, ἐφανεροποίησαν.

Ἐσήρετο, ἐν βατράχοις παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ εἰσεφέρετο κεῖται.

Ἐς θεατὴν, εἰς θεωρίαν.

Ἔσθε, τρῶγε.

Ἔσθειν παρὰ ποιηταῖς, τὸ ἐσθίειν παρὰ τοῖς κοινοῖς.

Ἔσθενε, σθένους, καὶ δυνάμεως μετεῖχεν. ἔστενε δὲ, ἀντὶ τοῦ ἐστέναζεν.

Ἔσθενεν, ἴσχυεν.

Ἐσθήματα καὶ ἐσθήσεις ἐν πεζῷ λόγῳ, ἄχρηστα. ἐσθὴς δὲ, ἐν χρήσει.

Ἐσθημάτων, ἱματίων.

Ἐσθὴς, ἱμάτιον, καὶ φάρος ταυτόν. πλὴν ὅτι τὰ μὲν εἰσι κοινὰ, τὸ δὲ φάρος ποιητικόν. λέγονται ταῦτα ἐπὶ τοῦ ἁπλῶς ἐνδύματος. χλαῖνα δὲ, τὸ προβεβλημένον ἔνδυμα, καὶ ἐπάνω τῶν ἄλλων πάντων, εἴτε παχεῖά ἐστι, καὶ μαλλοὺς ἐξηρτημένη, εἴτε λεπτὴ καὶ ἀπὸ λεπτῶν ἐρίων. χιτὼν δὲ, τὸ ὑπὸ τῇ χλαίνῃ ἱμάτιον. τριβώνιον δὲ, καὶ ῥάκος, τὸ τετριμμένον. ἡ ἐσθὴς, τὸ ἁπλῶς ἱμάτιον. στολὴ, τὸ τοιόνδε σχῆμα τῆς ἐσθῆτος.

Ἐσθίειν, καὶ ἀπεσθίειν λέγεται μετὰ προθέσεως, οἱονεὶ ἀπό τινος ἐσθίειν. εὕρηται ἀπεσθίειν, καὶ τὸ μὴ ἐσθίειν.

Ἐσθίω, αἰτιατικῇ. τρώγω, καὶ φάγε δὴ, αἰτιατικῇ συντάσσονται. ἐσθίω ἄρτον, τρώγω ψωμίον, φάγε βοῦν.

Ἐσθλὸς

Digitized by Google

Ἐσθλὸς κυρίως, ὁ ἐθελοντὴς μαχόμενος, ἤγουν ὁ ἀνδρεῖος. ᾧ ἐναντίον τὸ δειλός. καὶ ἀπὸ τούτου ὁ ἀγαθὸς τοὺς τρόπους. καὶ ἐσθλά, τὰ ἀγαθά. ἢ ἐσθλός, ὁ ἀγαθός, ἀπὸ τοῦ ἐθέλω. πάντες γὰρ τὸ ἀγαθὸν ἐθέλομεν, καὶ τούτου ἐφιέμεθα.

Ἐσθόμενος, ἐσθίων. ἔσθω γὰρ τὸ ῥῆμα. καὶ ἐσθόντες, ἐσθίοντες.

Ἔσθοντο, ἔγνωσαν.

Ἔσθορεν, εἰσεπήδησεν.

Ἔσθος, περίβλημα, ἱμάτιον οὐδετέρως.

Ἔσθ᾽ ὅτε, ἔστιν ὅτε, ἢ ἴσως, ἐνίοτε, πολλάκις.

Ἐσθῶ περιπατώμενον, ἐπὶ τοῦ ἐνδύομαι πρὸς διαφορὰν τοῦ ἔσθω, τὸ ἐσθίω.

Ἔσθω, καὶ ἔδω, ταυτὸν δηλοῦσιν. Ἰστέον, ὅτι μεταχωρούντων ἐνίοτε εἰς ἄλληλα τοῦ δ τε καὶ τοῦ θ, ὡς ἐπὶ τοῦ οὐθενὸς καὶ ἐξουδενῶ, καὶ οὐδέτερον οὐθέτερον, καὶ ἐπὶ τῶν ὁμοίων, ὅμοιόν τι γίνεται ἐπὶ τοῦ ἔδω καὶ ἔσθω. ἄμφω γὰρ ἕν τι δηλοῦσι, τοῦ σ πλεονάσαντος ἐν τῷ ἔσθω.

Ἔθων, τρώγων, ἐσθίων.

Ἐσία, ἡ πρεσβεία. αἰσεία δέ, ἡ δικαία καὶ πρέπουσα, διὰ τῆς αι διφθόγγου.

Ἐσιάλλοντι, ἐκτείνουσιν, ἐκπέμπουσιν.

Ἐσιγάθη, ἐσιωπήθη.

Ἐσιναμώρουν, ἐσίνοντο, μεμωρημένοι ἦσαν.

Ἐσίνετο, ἔβλαψεν.

Ἐσίνωσεν, ἐσίμηνεν.

Ἐσίνοντο, ἐβλάπτοντο.

Ἐσιτήριον, τὸ ἐν μέσῳ αὔλημα.

Ἐσιτίσκοντο, ἐμέτρουν τὸν σῖτον, ἤσθιον.

Ἐνσίχναι, συγχαράξαι, καὶ συμπηκτοῦσαι. Λάκωνες.

Ἐσιώθην, ἐσώθην.

Ἐς ἰωνιὰν, εἰς κοπρῶνα.

Ἔσκαζεν, ἐνεδοίαζεν, ἀμφέβαλλεν. ὁ δὲ ἔσκαζεν, ὅπως ἔχει γνώμης τὰ Ῥωμαίων συντάγματα.

Ἐς καιρὸν, εὐκαίρως.

Ἐσκάλευεν, ἐκινεῖτο, ὤρυσσεν, ἀνελογίζετο.

Ἔσκαλλεν, ἐσκάλευεν, ἐσάλευε, ἠρεύνα, ἀναζήτει. καὶ ἔσκαλλε τὸ πνεῦμά μου.

Ἐσκαλλογράφειν, καλλιγραφεῖν.

Ἐσκαπάμιζεν, ἐσκάριζεν.

Ἔσκεν, ὑπῆρχε. γέγονε δὲ Ἰωνικῶς. ὡς γὰρ παρὰ τὸ ἔφερον φέρεσκον, καὶ παρὰ τὸ ἔλεγον λέγεσκον, οὕτω καὶ παρὰ τὸ ἔον, ὤφειλεν εἶναι τὸ Ἰωνικὸν ἔεσκον, ἀλλὰ διὰ τὴν ἐπαλληλίαν τῶν δύο εε, τὸ ἓν ἐξεβλήθη, καὶ γέγονεν ἔσκον ἔσκες ἔσκε, τὸ τρίτον. ἢ ἀπὸ τοῦ ἐῶ, ἐῇς ἐῇ. οἱ γὰρ Δωριεῖς τὰ δεύτερα πρόσωπα τοῦ παρατατικοῦ, κατὰ ἀφαίρεσιν τοῦ ι προφέρουσι, προσθέσει τῆς τοῦ σκε. οἷον, ἐφίλει ἐφίλεσκεν. οὕτως οὖν καὶ εἶ, ἔσκε.

Ἐσκέδασε, διεσκόρπισε.

Ἐσκένιψε, διέφθειρε, διεσκέδασεν.

Ἐσκευώρησεν, ἐπεβούλευσεν. ἐξ οὗ καὶ σκευωρία, ἡ ἐπιβουλή.

Ἐς κεφαλὴν σοι, ἐπιφώνημα κατάρας.

Ἐσκληκημένοι, ῥικνωμένοι, παρὰ τῷ Ἀριστοφάνει. κέκλιται τὸ ῥῆμα ἀπὸ τῆς πρώτης τῶν περισπωμένων. εἰ γὰρ ἦν ἀπὸ τῆς τρίτης, ἦν ἂν διὰ τοῦ ω, ὡς κεχρυσωμένοι.

Ἐσκλήκησαν, ἀντὶ τοῦ ᾤκησαν.

Ἐσκλήκωσεν, ᾤκησεν.

Ἐσκήψαντο, ἔγνωσαν.

Ἐσκίδαμαν, ἐπέτυχον, Λάκωνες.

Ἐσκίδναντο, σκεδάννυμαι κοινὸν, σκίδναμαι ποιητικόν. ὃ καὶ χωρὶς τοῦ σ λέγεται. Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ᾽ αἶαν.

Ἐσκιμάλισεν, ἐνύβρισε, κατεδακτύλισε. σκιμαλίσαι γάρ ἐστι κυρίως, τὸ μέσον τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὄρνιθος ἐμβαλεῖν.

Ἐσκίμψαντο, ἐστηρίχθησαν.

Ἔσκιμψεν, ἐνέσκηψεν.

Ἐσκιοτροφημένα, ἀπόμακτρα σκυτάλων.

Ἐσκλείει, εἰσάγει.

Ἔσκλεπε, διέτριβεν.

Ἐσκληκότα, προσλιπαροῦντα. μετῆκται δέ, ἀπὸ τῶν προσξηραινομένων.

Ἐσκλητὸς, ἡ τῶν ἐξοχῶν ἀνάθροισις, ἐν Συρακούσαις.

Ἐσκλόπτηρ, ὁ δοκιμαζόμενος.

Ἐσκνᾶσθαι, ξυρῆσαι.

Ἐσκολυμμένον, ἀποσεσυρμένον.

Ἔσκον, ἤμην, ὑπῆρχον.

Ἐσκοπίαζε, περιέβλεπεν.

Ἐς κόρακας, εἰς τὸ σκότος, εἰς ὄλεθρον.

Ἐσκοράκισεν, ἐλοιδόρησεν.

Ἐσκορδινήθη, ἐχασμήσατο.

Ἐσκορόδισας, κλαῦσαι ἐποίησας, ἀπὸ τῶν τὰ σκόροδα τριβόντων. ἢ ἀηδίσας, ἐπίκρανας, ἢ ἐδριμύξας.

Ἐσκοροδισμένος μάχῃ, Ἀριστοφάνης μετήνεγκεν ἀπὸ τῶν ἀλεκτρυόνων. ὅταν γὰρ εἰς μάχην συμβάλλωσιν αὐτούς, σκόροδα διδόασιν αὐτοῖς, ἵνα δριμύτεροι ἐν τῇ μάχῃ ὦσιν. ὡς τό, κατάφαγε τὰ σκόροδα, ἵνα ὀξύτερος γενόμενος, καὶ σκορόδοις βαφεὶς γένῃ, ὡς οἱ ἀλεκτρυόνες.

Ἐσκόροδοι, τόρμοι.

Ἐς κουλεὸν, εἰς τὴν ξιφοθήκην.

Ἐσκουπονδίαι, κατὰ Ῥωμαίους, στρατιωτικὰ ἐφόδια.

Ἐσκύζοντο, ἐμέμφοντο.

Ἐσκυθισμένης, κεκαρμένης.

Ἐσκύκληνται, διεσκεδασμένοι εἰσίν.

Ἐσκύλατο, διεσπάσατο.

Ἐσκύλευον, ἐγύμνουν τῶν ὅπλων.

Ἐσκύλευσεν, ἐρήμωσεν.

Ἐσκυλῶσθαι, ἀπὸ τοῦ σκυλοῦν τὸ κεκαλύφθαι.

Ἐς κυνόσαργες. εἴρηται ἀπὸ τοῦ θυσίας πλησίον γενομένης, εἰσελθόντα κύνα, καὶ ἁρπάσαντα κρέας τοῦ θύματος, ἀγαγεῖν ἐκεῖσε. ἐν ᾧ καὶ ναὸς ἐκτίσθη, καὶ οἱ νόθοι ἐνταῦθα ἐκρίνοντο, εἴ τις δὲ ὄντως γέγονεν υἱός. ἐκάλουν δὲ Ἀθηναῖοι καὶ τοὺς ἀπελευθέρους, νόθους.

Ἐσλὸν, ἀντὶ τοῦ ἐσθλὸν Δωριεῖς λέγουσι. Πίνδαρος, ἐσλὸν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει παλίγκοτον δαμασθέν.

Ἐσμαντευόμενον, ζητοῦντα, ἐρευνῶντα, κακοπαθοῦντα.

Ἐσμαστόμενος, ἐμβαλλόμενος.

Ἐσμὲν, ὑπάρχομεν. ἀπὸ τοῦ ἐμὲν, πλεονασμῷ τοῦ σ.

Ἐς μέσον, τὸ δίκαιον. καὶ ἐς μέσον ἀμφοτέροισι μεσολαβήσατε τὸ πρᾶγμα, ἢ τὴν δίκην. καὶ ἐς μέσον συνῄεσαν, εἰς τὸ φανερὸν ἀλλήλοις ὡμολόγησαν.

Ἐσμηλευμένος, κατακεκομμένος.

Ἔσμιον, νόστιμον.

Ἐσμονῶ, ἐξελεύσομαι.

Ἐσμὸς, καὶ σμῆνος, τὸ πλῆθος τῶν μελισσῶν. καὶ ὁδὸς, δεσμός. ὁ δὲ τόπος, σύμβλος. τὸ ἔργον, μελιττουργεῖν. βλίττειν δέ, τὸ καπνίζειν τὰς μελίττας καὶ ποιεῖν ἀναχωρεῖν. ὁ δὲ ἄρχων τοῦ σμήνους, ἡγεμὼν, καὶ βασιλεὺς, ᾧ τὸ πᾶν ἕπεται. τὰ δὲ ἔγγονα, χαδόνες. τὸ δὲ ἀργὸν αὐτῶν ἔθνος, κηφῆνες. τὰ δὲ ἀγγεῖα, κύτταροι. ὁ δὲ ἦχος, βόμβος. καὶ βομβεῖν, τὸ ἠχεῖν. τὸ δὲ κέντρον, οὐκ ἄφορον. τὰ δὲ ἔργα, κηρία, μέλι, μελίκηρα.

Ἔσμυξα, ἐφθάρην.

Ἐσμύρνισεν, ἤλειψεν.

Ἐσμυρνισμένον, διασμυρνήσαντα, χρίσματα ἔχοντα σμύρνης, ἐνεστυμμένον.

Ἐσμυρριχμέναι, μεμυρισμέναι.

Ἔσμωξεν, ἐπάταξεν, ἔπαισεν.

Ἐσόδην, εἰς ἐμφάνειαν.

Ἔσο, γίνου. καὶ ἔσο, ἐνδίδυσο. σημαίνει καὶ τὸ ὕπαρχε.

Ἐς ὄλεθρον, εἰς ᾅδην.

Ἐσόμεθα, βιώσομεν.

Ἐσομένους, γενησομένους.

Ἔσονται, γενήσονται.

Ἔσοπτρον, κάτοπτρον. ἐσόπτρῳ ἐνορῶντες.

Ἐσόραι, ὄπισθεν, ὀπίσω.

Ἐσορῇ, ἀντὶ τοῦ ἐσορᾷ καὶ βλέπῃ, παρὰ Θεοκρίτῳ. καὶ ἐσορῇς, ὁμοίως.

Ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν, ἐντὸς βέλους γενέσθαι.

Ἐς ὅτι, ἀντὶ τοῦ λίαν, μάλιστα.

Ἐς οὗ ἂν, μέχρις ὅπου.

Ἐσοφισάμεθα, ἐτεχνασάμεθα.

Ἐσοῦμαι Δωρικῶς, προπερισπᾶται, καὶ ἔσεσθαι.

Ἐς ὀψιγόνους, τοὺς μετὰ ταῦτα.

Ἐσπάθα, ἐδαπάνα ἀφειδῶς. παρὰ Ἀριστοφάνει, κατήνάλισκε, κατήσθιε. σπαθᾶν δέ, τὸ ἀφειδῶς καταναλίσκειν. καὶ παρὰ τοῖς ῥήτορσιν εὕρηται πολλάκις. οἰκείως δὲ τῇ λέξει χρῆται ἐπὶ γυναικὸς ὁ Ἀριστοφάνης. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων ἱματίων σπαθᾶν, τὸ ἄγαν κρούειν τὴν κρόκην. λίαν σπαθᾷς, ἤγουν ἐργάζῃ, λέγει Ἀριστοφάνης εἰρωνικῶς. καὶ τοῦτο.

Ἐσπαθᾶτο. Διογένης ἐν τῷ κατ᾽ Αἰσχίνου. Δίδυμος δέ φησιν, ἀντὶ τοῦ ἀπώλλυτο, παρὰ τὴν σπάθην. σπάθη δέ ἐστι ξίφος. μήποτε δὲ ἀπὸ τῶν ὑφαινόντων ἡ μεταφορά. σπάθῃ γὰρ χρῶνται. καὶ Ἀριστοφάνης νεφέλαις, ὦ γύναι λίαν σπαθᾷς. ἐσπαθᾶτο, ἤτοι ἐλέγετο, ἢ ἐρρίπτετο, ἀπὸ σπάθης. οὕτω γὰρ τὴν μάχαιραν καλοῦσιν. ἢ ἀντὶ τοῦ συνετίθετο, ἀπὸ τῆς τῶν ὑφαντῶν σπάθης, ἥτις συντίθησι τὰ ὑφαινόμενα.

Ἐσπαθημένος, πεπυκνωμένος. ἀπὸ τῶν κατακρουουσῶν σπαθῶν τὴν κρόκην.

Ἔσπακα, ἀπὸ τοῦ σπάω σπάσω, ἔσπακα. ὡσαύτως καὶ τὸ ἐξύρηκα, ἀπὸ τοῦ ξυρῶ ξυρήσω ἐξύρηκα. καὶ τὸ ἔρρωγα, ὡς ἀπὸ τοῦ ῥήσω ῥήξω, ὁ μέσος παρακείμενος ἔρρωγα. τὸ δὲ ἔσπευσμαι, ἔσπευσμαι, ἀπὸ τοῦ σπεύδομαι, ὁ μέλλων σπεύσομαι, ὁ παρακείμενος ἔσπευκα ἄχρηστος. ὁ παθητικὸς, ἔσπευσμαι.

Ἐς πάνδοχον, εἰς τὸν πάντα δεχόμενον.

Ἐσπάραξαν, διέφθειραν.

Ἐσπάρακται. σπείρω, μέλλων σπερῶ, ὁ παρακείμενος ἔσπαρκα, ὁ μέσος ἔσπορα. ὁ παθητικὸς, ἔσπαρται καὶ ἐσπάραται.

Ἐσπαργάνωσε, περιετύλιξεν, ἔδησεν, ἔσφιγξε πρὸς τὴν ζώνην.

Ἐσπάργων, ἐν περιστάσει ἦσαν.

Ἐσπάρθαι, εὖ συγκεκρίσθαι.

Ἐσπάρασσεν, ἠρέθιζεν.

Ἐσπάριξεν, ἔσπειρεν.

Ἐσπάσαντο, εἵλκυσαν.

Ἔσπασας, ἔπιες, εἵλκυσας.

Ἔσπατο, εἵλκυσεν.

Ἐσπασμένη, γεγυμνασμένη.

Ἐσπηκὼς, τεθυκώς.

Ἐσπείσαντο, θυσίας ἐποιήσαντο.

Ἐσπείσατο, διηλλάγη.

Ἔσπεισεν, ἀντὶ τοῦ ἔθυσεν.

Ἐσπεῖσθαι, σπονδὰς πεποιῆσθαι.

Ἔσπεο, ἠκολούθεις.

Ἔσπερ ὀπίσω, γράφεται καὶ ὥσπερ ὀπίσω. καὶ ἔχει καὶ αὐτὸ τὴν αὐτὴν ἔννοιαν, ὡς ἰσοδυναμοῦντος τοῦ ως, τῇ εἰς προθέσει.

Ἑσπέρα, συγκέκοπται ἐκ τοῦ ἑσπερία. δηλοῖ δὲ ἐλλειπτικῶς τὰ ἑσπέρια μέρη, ἢ καταστήματα, ἢ τοιοῦτόν τι.

Ἑσπέρα, ἡλίου στέρησις, ἢ πέρας τῆς ἡμέρας. ἕως γὰρ ἡ ἡμέρα.

Ἐσπερέθοντα, ἕσπερον, ἔσπειρον.

Ἑσπέρια, τὰ δυτικά.

Ἑσπερίδας λέγονται, διὰ τὸ ἑσπέρας ἐπιφαίνεσθαι, ἢ ἀπὸ τοῦ ἐν τῇ ἑσπερίᾳ κατοικεῖν. ἦσαν δὲ Φόρκου καὶ Κητοῦς Ἑσπερίδες, ἀπὸ μιᾶς δὲ αὐτῶν εἴρηται ἡ νῆσος, ἣν κατῴκει Γηρυονεὺς, ἔχων κύνα ὄρθον, ἀδελφὸν Κερβέρου, ὃν Ἡρακλῆς ἀπέκτεινεν. οἱ δέ, Ἄτλαντος λέγουσιν εἶναι τὸν κύνα.

Ἑσπερίδων μῆλα ἐν Λακεδαιμονίᾳ, βρωτά τινα μῆλα.

Ἑσπέριοι, οἱ ἐπὶ τὴν δύσιν οἰκοῦντες.

Ἑσπέριον ξένον, τὸν ἑσπέρας ἥκοντα.

Ἑσπερινὸς, ὁ τῆς ἑσπέρας.

Ἑσπέριος αἱρήσομαι, ἀντὶ τοῦ λήψομαι. καὶ ἑσπέριος, ἕσπερος.

Ἑσπερῖτις λίμνη, ἡ πρὸς δύσιν οὖσα.

Ἐσπερξάμην, ἠπείλησα, ὠργίσθην.

Ἕσπερον κέλευθον, ἑσπέριον, ἐπὶ δυσμὰς ὁδόν.

Ἕσπερ, ὀπίσω, εἰς τὸ μέλλον.

Ἕσπερος παρ᾽ Ἴωσιν, ἀντὶ τοῦ ἑσπέρα. οἷον τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν, ἀντὶ τοῦ ἑσπέρα. αἱ γὰρ παραλήξεις τῶν ἀρσενικῶν ἀντὶ θηλυκῶν, Ἰώνων εἰσίν. ἢ λέγεται δὲ ἕσπερος καὶ ἑσπέρα, ὡς βίος καὶ βία, καὶ πόθος καὶ ποθή, πύλος καὶ πύλη, κοῖτος καὶ κοίτη, ῥόος καὶ ῥοή, γόνος καὶ γονή, βόλος καὶ βολή, διάλογος καὶ διαλογή, δῖνος καὶ δίνη, ὠνὴ καὶ ὦνος.

Ἕσπερος ἀστὴρ, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται. εἴρηται δὲ ὁ ἀστὴρ, ἀπὸ τοῦ ἑσπερινὰ ποιεῖν· τηρεῖν τὰ ζῶα ἀναπαυσόμενα, ἢ ὁ πέρας τῆς ἡμέρας φέρων.

Ἔσπερχεν, ἤπειγεν, ἤλαυνεν.

Ἔσπετε, εἴπατε, ἐξηγεῖσθε, ἀκολουθεῖτε, ἱστορεῖτε, ἀκούσατε.

Ἕσπετο, ἠκολούθησεν.

Ἔσπετε, εἰπεῖν ποιήσατε. ἐκ τοῦ ἔπος, ὁ λόγος, καὶ τὸ τοιόνδε μέτρον, καὶ πᾶν μέτρον τοῦ ἔπω. τὸ παθητικὸν ἔπεσθε, καὶ πλεονασμῷ τοῦ σ ἔσπετε.

Ἔσπεύσεν, ἐτάχυνεν.

Ἐσπήλη, ἱκέτευσε, πρὸς πολίτας ἀφίκετο.

Ἐσπινθεύετο, ἐξήροντο.

Ἔσπισεν προσήνεγκεν, ἔθυσεν.

Ἐς πλησίον ἄλλον, εἰς ἄλλον τὸν ἐγγὺς, πρὸς τὸν πλησίον.

Ἐσπόδει, κονιορτοῦ ἐπλήρου.

Ἐσποθερπὲς, πόθεν ἥκεις, Πάφιοι.

Ἐσπόδησεν, ἠσφάλισεν.

Ἐσπόζεται, ἐκτίνισεν.

Ἑσπόμεθα. ἕπομαι ἐνεστὼς, εἱπόμην παρατατικὸς, ἕψομαι μέλλων, ἑσπόμην δεύτερος ἀόριστος, κατὰ τὴν ἀκολουθίαν τοῦ ἔχον. τὸ πρῶτον τῶν πληθυντικῶν, ἑσπόμεθα.

Ἑσπόμενος, ἐπακολουθῶν.

Ἑσπόμενοι, ἀκολουθοῦντες.

Ἑσπομένου, ἀποσπῶντος, ἁρπάζοντος.

Ἐσπούδαζον, ἐσεμνολογοῦντο, ἐπεμελοῦντο.

Ἐσπυρκοείζομεν, εἰς πῦρ ἐξηραίνομεν.

Ἐς πῦρ ξαίνεις, ἐπὶ τῶν ἀδυνάτων.

Ἔσσω, τὸ λέγω.

Ἑσσάμενος, ἐνδυσάμενος.

Ἐσσαῖοι, Ἰουδαῖοι, ἀσκηταὶ Φαρισαίων καὶ γραμματέων, τὴν ἄσκησιν ἐκ ἐπιμέτρου διεστηκότες. πρόγονοι Ἰωναδὰβ υἱοῦ Ῥιχὰβ τοῦ δικαίου. φιλάλληλοι, καὶ τῶν ἄλλων εὐλαβεῖς πλέον.

Ἔσσα, ὄνομα πόλεως.

Ἕσσας, καθίσας.

Ἕσσασθαι, περιβαλέσθαι.

Ἕσσατο, περιεβάλετο. ἕσσατο Δαμαρέως θυγάτηρ.

Ἐσσεῖται, Δωρικῶς. οἱ γὰρ Δωριεῖς ἐν τοῖς παθητικοῖς προστιθέασι τὸ ι, καὶ περισπῶσιν. οἷον πλεύσεται πλευσεῖται, ἔσσεται ἐσσεῖται.

Ἕσσεν, ἐνέδυσεν. εἷσεν, ἐκάθισεν.

Ἕσσεσθαι, ἀνθέξεσθαι.

Ἔσσεται καὶ γενήσεται, δοκεῖ τοῖς φιλοσοφοῦσι διαφορὰν ἔχειν τινὰ, ἔσσεσθαι μὲν γὰρ ἐπὶ τῶν ἐξ ἀνάγκης φασίν. ἐπὶ τῶν ἐνδεχομένων δὲ, τὸ γενήσεται. οἷον, ἔσσεται μετὰ χειμῶνα ἔαρ ἀναγκαίως. τὸ δὲ βρέφος τόδε γενήσεται γραμματικὸν ἐνδεχομένως. οὐ γὰρ ἐξ ἀνάγκης τοῦτό γε.

Ἕσσευαν, ἐδίωκον.

Ἐσσεύαντο, ὤρχοντο. καὶ ἐσσεύαντο, ἔτρεχον, ἐδίωκον, ὥρμων.

Ἔσσευται, ὥρμηται.

Ἐσσῆαι, ἐκχέαι.

Ἐσσῆι, ἐκχύσῃ.

Ἐσσήματο, ἐλύπησεν.

Ἐσσὴν, ὁ βασιλεὺς τῶν μελισσῶν. ἡ γενικὴ τοῦ ἐσσῆνος.

Ἔσσηται, ἔσται.

Ἐσσήτιοι, μάντεις.

Ἐσσὶ, ἀντὶ τοῦ ὑπάρχεις. πλεονασμὸν ἔχει τοῦ ι, καὶ ἀλλόκοτόν ἐστι ῥῆμα. οὐδὲν γὰρ εὕρηται ῥῆμα λῆγον εἰς ι δευτέρου προσώπου δίχα τούτου, διὸ οὐδέ ποτε ἐφελκυστικὸν γίνεται τοῦ ν. καὶ ἐσσὶ, ἀντὶ τοῦ ἐστὶ ποιητικόν.

Ἐσσίνευσεν, ἐσήμηνεν.

Ἐσσίπαλα, πρόσοδος, ἐμπόλη.

Ἕσσο, τὸ ἐνεδέδυσο. τὸ θέμα εἷμι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος ἧκα. ὁ παθητικὸς, ἧμαι. ὁ ὑπερσυντέλικος ἥμην, καὶ ἕμην Ἰωνικῶς. τὸ δεύτερον ἕσο. καὶ διπλασιασμῷ τοῦ σ ἕσσο.

Ἐσσομένον, τεθορυβημένον, ὡρμημένον.

Ἐσσομένοις, μεταγενεστέροις.

Ἐσσὸν, ἱμάτιον.

Ἐσσοῦσθαι, ἐνθυμεῖσθαι.

Ἐσσυμένως, ταχέως.

Ἐσσῶντο, ἐπορεύοντο, ὥρμων.

Ἔσσυται, καὶ ἐσσυμένος, ἀντὶ τοῦ ἐφορμᾶται, ἐπιθυμεῖ. ἐκ τοῦ σύω, σύσω, σέσυκα, σέσυμαι, σέσυται. καὶ ἐν ὑπερθέσει, ἔσσυται. ἐξ οὗ ἐσσυμένος μετοχή.

Ἔσσυτο, ὥρμησεν, ἔθανεν.

Ἐσσύτερον, ἰσχυρότερον.

Ἐσσυρὸν, βλοσυρὸν, δασκερόν.

Ἐστὰ, ἐνδύματα.

Ἔσταζεν, ἔρραινεν.

Ἐστάθη ὁ ἀνδριὰς ὑφ᾽ ἑτέρου. ἔστη δὲ ὑγιὴς ὁ ἄνθρωπος δι᾽ ἑαυτοῦ, ἐστάθη δὲ ὁ νοσῶν δι᾽ ἑτέρου.

Ἕσταθι, ἀπὸ τοῦ ἕστακα. οὗ προστακτικὸν τὸ ἕστακε· ἐξ οὗ τὸ ἕσταθι, κατὰ μεταπλασμόν. ὁμοίως τῷ κλῦθι κλῦθι.

Ἐσταθευμένος, ἠρέμα ὑπὸ πυρὸς ὀπτωμένος. σταθεῦσαι γὰρ, τὸ τῷ πυρὶ ἡσυχῇ χλιᾶναι κρέας, ἢ ὁτιοῦν.

Ἐστάθμησεν, ἐμέτρησεν.

Ἔσται, γενήσεται, ἢ μέχρι τέλους.

Ἔσται μὲν, ἔσται δή. συχνῶς δὲ χρῆται τούτῳ Ὅμηρος. ἔσσεται ἢ ἔσεται, ἐσεῖται καὶ ἔσται. ἢ ἔσται, ἔσεται καὶ ἐσεῖται ποιητικόν. μᾶλλον δὲ Δωρικόν.

Ἐσταίην, ἀφεσταίην. ἕσταθι, ἀφέσταθι, καὶ ἀφεστάναι, ἀπὸ τοῦ ἵστημι παράγονται. οἷον ἑστὰς ἑστάντος μετοχή. ἑσταίην, ἕσταθι, ἑστάναι, καὶ ἐφεστάναι. καὶ τούτου τοῦ ῥήματος παρ᾽ Ὁμήρῳ πολλὴ χρῆσις.

Ἔσται μὰν, ἔλλειψιν ἔχει. λείπει γὰρ τὸ χρόνος, ἢ ἀνάγκη, ἢ τοιοῦτόν τι.

Ἑστακέναι, καὶ ἑστάναι κατὰ συγκοπὴν, καὶ τὸ διδόναι καὶ τιθέναι καὶ ζευγνῦναι, ἀπὸ τῶν ἐνεστώτων. τὸ δὲ θεῖναι, καὶ στῆναι, καὶ δῦναι, ἀπὸ δευτέρων ἀορίστων.

Ἐσταλάδαντο, ἐστολισμένοι ἦσαν.

Ἐστάλαξεν, ἔσταξεν.

Ἐστάλαται, ἀντὶ τοῦ ἀνεζωσμένοι ἦσαν. οἱ γὰρ περὶ ἐργασίαν ἀσχολούμενοι, ἀνεζωσμένοι τὰ ἄκρα τῶν ἱματίων εἰσίν. Ἰωνικὸν δὲ τὸ ἐστάλαται, ὡς τὸ τετύφαται, ἀπὸ τοῦ στέλλω τὸ κοσμῶ, οὗ τὸ τρίτον πρόσωπον τοῦ παθητικοῦ παρακειμένου, ἔσταλται. καὶ πλεονασμῷ τοῦ α ἐστάλαται.

Ἐστάλην, ἤγουν ἐπορεύθην. λέγεται δὲ τὸ ἐστάλην κυρίως, ἐπὶ θαλάσσης. οἷον ἐστάλη τό τις τόνδε τὸν πλοῦν.

Ἔσταλκεν, ἐμείωσεν.

Ἐσταλμένοι, ἐσκευασμένοι. νεανίαι χορευτικῶς ἐσταλμένοι.

Ἐσταλωπία, ἡ τῶν ἱματίων ἀγορὰ, ὑπὸ Ταραντίνων.

Ἕσταμεν, ἑστήκαμεν.

Ἐσταμέναι, ἐστολισμέναι, ἢ οὖσαι.

Ἐσταμένον, περίστηλον.

Ἔστ᾽ ἂν, ἕως οὗ. ὅτε ἂν, ἢ ἔστησαν.

Ἕσταν, ἀντὶ τοῦ ἔστησαν, καὶ κατὰ συγκοπὴν ἔσταν.

Ἑστάναι. τὰ διὰ τοῦ ναι ἢ ῦναι ἀπαρέμφατα, ὅσα μὲν ἐνεστῶτός ἐστι χρόνου. (τοῦτο δὲ γίνεται ἐπὶ μόνων τῶν εἰς μι) βραχεῖαν τὴν παραλήγουσαν ἔχει. διόν ἐστι τὸ ἱστάναι, καὶ ἱέναι, καὶ ζευγνύναι καὶ δεικνύναι, καὶ τὰ τοιαῦτα, καὶ τοῦτο δῆλον ἐκ τοῦ τιθέναι τε καὶ διδόναι. καὶ ταῦτα γὰρ ἐνεστῶτος ὄντα, βραχεῖαν αὐτὴν ἔχει. καὶ τὸ εἶναι ἐνεστῶτος ὂν, οὐ βραχύνεται κατὰ τὴν παραλήγουσαν. μᾶλλον μὲν οὖν καὶ βραχεῖαν οὖσαν ἐξέτεινεν, οὐδὲν τοῦτο πρὸς τὸν λόγον. ἐπεὶ γὰρ ἐνεστῶτος μὲν οὐδέν ἐστιν εὑρεῖν δισύλλαβον. ὅσα δὲ τοιαῦτα ἀορίστων εἰσὶ, ταῦτα μακρᾷ παραλήγεται. τούτου χάριν καὶ τὸ εἶναι τοῖς δισυλλάβοις τῶν ἀορίστων ἀκολουθήσαν, ἐξέτεινε τὴν ἑαυτοῦ παραλήγουσαν. οὐ μὴν τό γε ἰέναι τοῦτο ἔπαθεν, ἐπειδήπερ ἅπαξ ὑπερβέβηκε τὴν δισυλλαβίαν. ὅσα δὲ ἐξ ἀορίστου γίνεται ἐπὶ τῆς πέμπτης τῶν βαρυτόνων καὶ τῆς εἰς μι πάντων γίνεται, καὶ μακρὰν αὐτὴν ἔχει τὴν παραλήγουσαν. καὶ τῆς μὲν πέμπτης τὸ σημᾶναί τε, καὶ ὑφᾶναι, σεμνῦναί τε, καὶ ἐπικλῖναι. καὶ γὰρ ἐπὶ ταύτης τῆς συζυγίας, ἀεὶ φύσει μακρὰν τὴν παραλήγουσαν ὁ ἀόριστος ἔχει. ὡς τὸ φᾶναι, καὶ τεθνᾶναι, καὶ διδρᾶναι, καὶ φῦναι. ὡς μαρτυρεῖ τὸ θεῖναι καὶ δοῦναι. καὶ ταῦτα γὰρ ἀόριστα ὄντα, ἐκφανέστατα μακρὰν ἔχει. ἀλλὰ πόθεν ὦ Φιλόπονε τοῦτο γίνεται; τὰ μὲν τῶν ἐνεστώτων ἀπαρέμφατα βραχεῖαν ἔχει τὴν παραλήγουσαν, τὰ δὲ τῶν ἀορίστων μακράν; ἐπεὶ πασῶν συζυγιῶν οἱ παρακείμενοι, τὰ ἑαυτῶν ἀπαρέμφατα διὰ βραχείας παραληγούσης ἐκφέρουσιν, οἱ δὲ τῶν εἰς μι ῥημάτων ἐνεστῶτες, συγγενεῖς εἰσι τοῖς παρακειμένοις.

Ἑστακότα, καὶ ἑστεῶτα. ἀπὸ τῆς ἑστακὼς μετοχῆς, καὶ ἑστεὼς, ἔστι παρακείμενος ἕστακα, καὶ τροπῇ τοῦ α εἰς ε ἕστεα Ἰωνικῶς. καὶ ἑστακότα, ἱστάμενα, ἢ ἱστάμενον.

Ἐστακότως. δεῖ δὲ εἰδέναι, καὶ ὅτι τινὲς τοῦ ἐστακότως ἐκτείνουσι τὴν λήγουσαν, καὶ ἐπίρρημα λαβόντες αὐτὸ ἑστακότως φασὶ τὸ εὐσταθῶς καὶ ἡσύχως. ἵνα λέγῃ, ὅτι μετὰ ἡσυχίας ἀκούειν. ἕστατον, ἐκ τοῦ ἕστηκα παρακειμένου δασύνεται. ἑστήκατον γὰρ ἐκεῖθεν τὸ τρίτον ἑνικὸν δυϊκὸν, καὶ συγκοπῇ ἕστατον.

Ἕστασαν, δασύνεται, ὅτι ἐκ τοῦ ἑστήκεσαν κατὰ συγκοπὴν καὶ συστολήν. τὸ δὲ ἔστασαν υἷες ἀχαιῶν ψιλοῦται. ἐπειδὴ ἀπὸ τοῦ ἔστησαν γίνεται.

Ἕστασαν, ἱδρύσαντο σταθμῷ.

Ἑστᾶσι κατὰ κρᾶσιν, ἐκ τοῦ ἑστάασιν. ἑστάασι δὲ ἐκ τοῦ ἑστήκασιν, ἑστάασι, καὶ ἑστάασι καὶ ἑστᾶσι.

Ἕστατο, ἐκάθητο.

Ἑστεῖον Ἀττικοὶ, οὐχ ἑστιακεῖον.

Ἐς τεῖχος γράφει. οὕτω λέγεται Ἀττικῶς. καὶ ἐς κάλλος γράφει, ἀλλ᾽ οὐ καλλιγραφεῖ, καὶ ταχυγραφεῖ, καὶ τὰ ὅμοια.

Ἑστεὼς ἑσταότος, ἐκ τοῦ ἑστηκὼς, συστολῇ τοῦ η εἰς α, καὶ ἀφαιρέσει τοῦ κ. περὶ οὗ ἰστέον, ὅτι πᾶς παρακείμενος διὰ τοῦ κ ἔχων τὴν παραλήγουσαν, καὶ παραληγόμενος μακρᾷ, ἀποβολῇ τοῦ κ συστέλλει τὴν παραλήγουσαν. οἷον ἑστηκὼς ἑσταὼς, βεβηκὼς βεβαὼς, δεδοικὼς δεδιὼς, τεθνηκὼς τεθνεώς.

Ἐστὲ ὑμεῖς, ὑπάρχετε, ὀξυτόνως. βαρυτόνως δὲ, γίνεσθε.

Ἔστε, ἀντὶ τοῦ ἕως οὗ. οἱ δὲ τῆς Ἀσίας ἦρχον ἔστε.

Ἐστείλαντο, συνέστειλαν, ἢ ἀπέστειλαν.

Ἐστείλατο, ἔπεμψεν.

Ἔστειλεν, ἔπεμψεν.

Ἐστείρωται, συνείληται, συνέστραπται.

Ἐστέλλετο, ἡτοιμάζετο.

Ἐσταλμένον, ἐξεφθαρμένον.

Ἔστελσεν, ἔστειλεν.

Ἐστελώθη, ἐπάγη.

Ἔστενεν, ἐστέναζε, καὶ ἐστόνει.

Ἐστέρημαι τοῦδε, καὶ ἐστέρημαι τόδε.

Ἐστερήθην, ἐζημιώθην.

Ἐστερησάμενος, περιτυχόμενος.

Ἐστεφάνιξα, ἀντὶ τοῦ στεφάνοις ἐτίμησα. Ἀριστοφάνης, ἐγὼ δέ τε ἐστεφάνιξα.

Ἐστεφάνωται, περιέχει.

Ἐστέφθαι, κεκοσμῆσθαι, ἐστεφανῶσθαι.

Ἐς τέφραν γράφεις, ἐπὶ τῶν μάτην πονούντων.

Ἔστη, στολή. κύπριοι. ἠγέρθη, ἵστατο. καὶ ἔστη δ᾽ ὄπισθεν, παρ᾽ Ὁμήρῳ. τοῦτο δηλοῖ κατὰ τοὺς παλαιοὺς, ὅτι τοῦ μέλλοντος αὐτὸν εἰς ἔννοιαν ἤγαγεν ἡ Ἀθηνᾶ. ἔμπροσθεν μὲν γὰρ τὰ οἰχόμενα, καὶ ἤδη γενόμενα, καὶ εἰς θέαν ἢ πεῖραν ἐλθόντα. ὀπίσω δὲ, καὶ ὄπισθεν, τὰ ἔσεσθαι μέλλοντα. ἐπειδὴ ἀπρόορατον, καθάπερ ἀόρατα, καὶ τὰ κατόπιν ἡμῖν ὄντα.

Ἔστη παρὰ σταθμὸν τέγεος. σταθμὸν λέγει τὴν παραστάδα, ἢ τὴν βάσιν τοῦ οὐδοῦ. τέγος γὰρ τὸν ὅλον δόμον ἀπὸ μέρους ἀναγκαιοτάτου τοῦ στέγους. ὅπερ οἷον κεφαλή ἐστιν οἴκου. καθὰ καὶ τὸν ἄνθρωπον ἀπὸ τῆς κεφαλῆς καλεῖ, οὐ μόνον ἐν τῷ, Τεῦκρε φίλη κεφαλὴ, καὶ τοίην γὰρ κεφαλὴν ποθέω. Ἰστέον δὲ, ὅτι σταθμὸς λέγεταί ποτε καὶ οἴκημα ἁπλῶς ἀγροτικὸν, καὶ ζωοστάσιον, καὶ ὄργανον σταθμήσεως. καὶ ὅτι τὸ τέγος κατ᾽ ἔλλειψίν ἐστι τοῦ σ, ὥσπερ σμικρὸν μικρόν. εἰκὸς δὲ καὶ ἄλλως ἀπὸ τοῦ τέγγω γίνεσθαι τέγος, εἶτα πλεονασμῷ στέγος. τέγγεται γὰρ ὑετοῖς πρὸ τῶν ἄλλων τὸ στέγος.

Ἕστηκα. στήκω, ὁ μέλλων στήξω, ὁ παρακείμενος ἔστηχα, ὁ μέσος ἕστηκα, ἢ ἕστηκα ἐγώ. ἕστακα δὲ ἕτερον, ἀντὶ τοῦ ἔστησα. καὶ ἀνέστακα ἕτερον, ἀντὶ τοῦ ἀνέστησα.

Ἐστήκαντι Δωρικῶς, ἀντὶ τοῦ ἑστήκασιν.

Digitized by Google

Ἑστήκειν, ὀνομάζεται μὲν καὶ δίχα τοῦ ν κοινῶς γράφεσθαι. ἡ δὲ ἀκρίβεια τῆς ἀντιγραφῆς, μετὰ τοῦ ν γράφει. ἀπὸ ἰωνικοῦ τοῦ ἑστήκειν, ὡς εἶναι ὅμοιον τῷ, ᾔσχειν εἰρημένα καλά.

Ἑστήκη, ἀντὶ τοῦ ἵστασθαι.

Ἑστηκὼς καὶ ἑστὼς ἀπὸ τοῦ ἑστήκω.

Ἑστηλιτευμένον, ἀναγεγραμμένον.

Ἑστηλίτευται δὲ, δημοσιεύεται.

Ἑστήλωτο, ἑστήκει.

Ἑστήξειν λέγεται, τὸ βεβαίως μένειν, καὶ ἱδρυνθήσεσθαι. δασύνεται δὲ ἀπὸ τοῦ ἑστήκω θέματος κλινόμενον, ὃ καὶ αὐτὸ δασύνεται. οὐ γὰρ ἀπὸ τοῦ ἵστημι ἑστήξω λέγεται, ἀλλὰ στήσω καὶ ἔστησα ψιλούμενον. ἀπὸ δὲ τοῦ ἑστήκω ἑστήξω, ὁ παρακείμενος ἕστηκα δασύνεται, καθὸ καὶ καθεστηκὼς γράφεται. καὶ καθεστηκὸς φρόνημα, τὸ βέβαιον. ἀπὸ δὲ τοῦ ἵστημι στήσω, ἕστηκα οὐ λέγεται. ἀλλ' ἔστησα ἀόριστος ψιλούμενον. ἔστιν οὖν κατέστησα μετὰ τοῦ ψιλοῦ, καθέστηκα δὲ μετὰ τοῦ δασέως.

Ἑστήξεται, σταθήσεται.

Ἑστηρίξαντο, ἐνήρεισαν.

Ἑστηρίσατο, ἐστερέωσαν.

Ἕστησαν, εἵλοντο.

Ἕστησαν, ἀντὶ τοῦ ἐστάθησαν. καὶ ἀντὶ τοῦ σταθῆναι ἐποίησαν. καὶ ἕστησαν, ὅτε ἐκ τοῦ ἑστήκεισαν κατὰ συγκοπὴν γίνεται, δασύνεται. ὅτε δὲ ἐκ τοῦ ἔστησαν, ψιλοῦται.

Ἔστησεν, ηὔφρανεν. καὶ ἔστησε τὴν πλάνην, ἀντὶ τοῦ κατέλυσε. καὶ ἔστησε τὸν θόρυβον, καὶ ἔστησε τρόπαιον κατὰ τῶν πολεμίων. ὃ μὲν ἐστήσατο, γράφεται καὶ ἀνεστήσατο. ὡς παρ' Ἀριστοφάνει. μόνος γὰρ ὁ θεὸς τρόπαιον ἀνεστήσατο τοῦ αὐτοῦ τρόπου.

Ἑστιάδες, αἱ ἱέρειαι.

Ἑστία, ἡ οἰκία, δίαιτα, οἴκησις, βωμὸς, χυτρόπους, ἐσχάρα, γαῖα παρὰ τὸ ἑστάναι τὴν γῆν, τύμπανον βαστάζουσαν, ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει.

Ἑστιάθη, εὐωχήθη, εὐφράνθη.

Ἑστιαία, ἡ πάλαι Παλαντία ὀνομαζομένη.

Ἑστίαι, θυόμεναι ἦσάν τινες θυσίαι. ἀφ' ὧν οὐχ οἷόν τε ἦν μεταδοῦναι, ἢ ἐξενεγκεῖν.

Ἑστιᾶν, ἀριστοποιεῖν, τρέφειν.

Ἑστίας, χῶρος, καὶ μέρος τοῦ ἥπατος ἐν θυτικῇ.

Ἑστιᾶται, εὐωχεῖται.

Ἑστιατὴρ, ὁ δοκιμαζόμενος.

Ἑστιατόριον, δειπνοκλητόριον.

Ἑστιατορία, εὐωχία, ἑστίασις.

Ἑστιάτωρ, ὁ δειπνίζων, ὁ εἰς εὐφροσύνην καὶ εὐωχίαν καλῶν, ἤγουν τροφεύς.

Ἑστίαχος, οἰκουρὸς, οἰκοάναξ, καὶ Ζεὺς παρ' Ἴωσιν.

Ἑστίβακα, πεπάτηκα.

Ἔστιβεν, ἐπάλαιεν.

Ἑστιγμένην, οἰκίαν ὑποκειμένην χρεώσταις.

Ἑστίη, πῦρ, καὶ ἡ γῆ, καὶ ἡ θεός.

Ἔστιν, ἐν ταῖς ἀρχαῖς τῶν λόγων βαρύνεται. ἔστι πόλις Ἐφύρη, καὶ μετὰ τοῦ ὡς ἐπιρρήματος, ὡς ἔστιν εἰπεῖν. καὶ μετὰ τοῦ ἀλλὰ, ἀλλ' ἔστι. καὶ μετὰ τοῦ τοῦτο, τουτέστι. καὶ μετάγεται εἰς ἐπίρρημα, τουτέστι. καὶ μετὰ τοῦ καὶ, καὶ ἔστι. καὶ μετὰ τοῦ οὐκ, οὐκ ἔστι. καὶ ἐστὸν δυϊκὸν ἐγκλίνεται, καλὼ ἐστόν. καὶ τὰ πληθυντικὰ, ἄνθρωποί εἰσι, ἄνθρωποί εἰσιν.

Ἐστὶν, ἔξωθεν λαμβάνεσθαι, τῶν Ἀττικῶν ἐστιν. Ὅμηρος, οἳ δ' ἤδη τεθνᾶσι καὶ εἰν ἀΐδαο δόμοισι. λείπει τὸ, εἰσί. καὶ ἔστιν ἔαρ, καὶ κάλλος ῥόδων. ὁ δὲ μὴ χρησάμενος τοῖς παροῦσιν ἀνόητος. τὸ γὰρ ἐστι σημαίνει τὸ ὑπάρχειν. ἔσθειν δὲ, ἀντὶ τοῦ τρώγειν, διὰ διφθόγγου.

Ἑστιάτωρ λαμπρὸς, μεγαλοπρεπὴς, εὔξενος, φιλόξενος, δημοτικὸς, εὐτράπεζος, καθαρειότητι χαίρων, εὐδίαιτος, μεγαλόφρων, φιλοφροσύνης γέμων, φιλοπροσήγορος, πανηγυρικὸς τὸ ἦθος, ἁβρόβιος, ἁβροδίαιτος. τοὺς ἐναντίους, τρυγοβίους ὠνόμαζον, κακοβίους, μικροπρεπεῖς, ἀνελευθέρους. λέγεται δὲ ἑστιάτωρ, ὁ συνιστὰς τὸ συμπόσιον. ἔτι δὲ καὶ ξενίζων, ἑστιῶν, συμποσίαρχος, συμποσίου ἄρχων, ὁ τῆς συνουσίας ἡγεμών. καὶ ἄλλως δὲ καλεῖται συμποσίαρχος, ὁ ἐν ἰσοτελεῖ τινὶ κοινωνίᾳ κατὰ κλῆρον, ἢ κατὰ δόγμα προχειρισθεὶς τοῦ συμποσίου ἐπιμεληταῖς. εἴποις δ' ἂν τὸν ἑστιάτορα καὶ ἑστιοῦχον κατὰ Ἀριστοφάνην. ἢ ἑστιάτωρ, ὁ εὐωχῶν. δαιτυμὼν, ὁ εὐωχούμενος. ἑστιάω, ῶ, συν. εἱστίακα, καὶ εἱστιάθην ὑφ' ἑτέρου.

Ἔστιξαν, τῷ μετώπῳ ὑπέγραψαν.

Ἔστι τὶς δίκης ὀφθαλμός. ἐς μηδέποτε καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.

Ἑστίχαται, ἔρχεται.

Ἐστιχόωντο, ἐπορεύοντο, ἠκολούθουν, εἵποντο στοιχηδὸν, ἐβάδιζον.

Ἐστιχόωντο, ἀπὸ τοῦ στίχω περισπώμενον ῥῆμα, κατὰ παραγωγήν. στιχῶμαι διὰ τοῦ ι, ὡς ἀπὸ τοῦ φείδομαι ἀφειδῶμαι ἄχρηστον. ἀφ' οὗ πεφιδημένος ἐν χρήσει, καὶ ἐπίρρημα πεφιδημένως. ὁ παρατατικὸς, ἐστιχώμην. τὸ τρίτον τῶν πληθυντικῶν, ἐστιχῶντο, καὶ πλεονασμῷ τοῦ ο ἐστιχόωντο.

Ἑστιώμενοι, ἑστιῶντες. καὶ ἑστιᾶν, ἀριστᾶν.

Ἑστιώμενος, τρώγων.

Ἑστιῶν, ἀριστοποιῶν.

Ἕστο, περιβέβλητο, γενέσθω.

Ἐστόβεον, ἐλοιδόρουν, ὕβριζον. στοβῶ, τὸ στομῶ, τροπῇ τοῦ μ εἰς β.

Ἐστοιβασμένη, συγκειμένη, συνθεσις.

Ἔστοκα, ἐνίοτε παρὰ Ταραντίνοις.

Ἐστομώθη, ἠνοίχθη. οἱ γὰρ ὤρυττον, καὶ ταχέως τὸ χωρίον ἐστομώθη.

Ἔστον τὸ δυϊκὸν, ἐτόν. καὶ πλεονασμῷ τοῦ σ ἐστόν.

Ἐστόμφασα, ἠλαζονευσάμην. στόμβος γὰρ, ἡ ἀλαζονία.

Ἐς τὸν λιμένα, εἰς τὸν λιμένα Ἀριστοφάνης ἐν Βαβυλωνίοις, παρὰ τὴν παροιμίαν Ἀττικῶς ἐς λιμένα. οἱ γὰρ Ἀθηναῖοι συντόμως ἤλαυνον, καταπλέοντες διὰ τὸ θεωρεῖσθαι ὑπὸ τῶν ἐκ τῆς γῆς.

Ἔστορα, τὸ κοίλωμα τοῦ ἁρματίου, ἤτοι ζυγοῦ, ἔνθα ὁ τράχηλος τῶν ἵππων ἐντίθεται, ἢ τὸν πρῶτον κρίκον τοῦ ῥυμοῦ. οἱ δὲ κατὰ Ἀρίσταρχον, τὸν πάσσαλον τὸν πεπηγότα περὶ τὸ ἄκρον τῶν ῥυμῶν, περὶ ὃν δεσμεῖται καὶ εἰλεῖται τὰ ζυγόδεσμα.

Ἐστορέσθη, κατεκοιμίσθη, ἐπραΰνθη, ὡμαλίσθη.

Ἐστόρεσεν, ἔστρωσεν. οἱ ἄνεμοι παραχρῆμα ἐκόπασαν, καὶ τὸ κῦμα ἐστορέσθη. πνεῦμα γὰρ κεχειμένον κατὰ πρύμναν ἐπέρρει, καὶ τὰ ἱστία ἐπλήρου.

Ἑστὸς, καὶ μεστός. παρὰ τὸ ἑῶ, τὸ πληρῶ, ὁ πλήρης.

Ἔστραμμαι, ὤφειλεν εἶναι ἔστρεμμαι, ἀλλὰ τὰ εἰς ω λήγοντα ῥήματα μετὰ τοῦ ε καὶ τοῦ ρ, μετὰ ἐπιπλοκῆς συμφώνου τῆς πρώτης συζυγίας τῶν βαρυτόνων, τρέπει τὸ ε εἰς α ἐν τῷ παθητικῷ παρακειμένῳ. οἷον στρέφω στρέψω ἔστρεφα ἔστραμμαι, τρέπω τρέψω τέτροφα τέτραμμαι. ὁμοίως καὶ τ' ἄλλα. ὁ παθητικὸς πρῶτος ἀόριστος, ἐστρέφθην, καὶ ὤφειλεν εἶναι ἐστράφθην. ὅτι ὁ πρῶτος ἀόριστος φυλάττει ἀεὶ τὴν παραλήγουσαν τοῦ παθητικοῦ παρακειμένου, πλὴν τῶν παρὰ τὸ αἱρῶ περισπωμένου παρακειμένων. οἷον συνῄρημαι, συνῃρέθην, καὶ τὰ ὅμοια. καὶ πλῶ ἐπλώημαι ἐπλωέθην, καὶ εὕρημαι εὑρέθην. καὶ τοῦ ῥῶ, ἐρρήμαι ἐρρέθην, καὶ ἔστραμμαι ἐστρέφθην, καὶ ἄλλα τινά.

Ἐστρατόωντο, ἐστρατοπεδεύοντο.

Ἐστρέβλου, ἐκάκου, ἠνάγκαζεν.

Ἐστρῆνες, στειρῆνες.

Ἐστροβιλήσας, ἀντὶ τοῦ συντρίψας.

Ἔστυγεν, κατεπλάγη.

Ἔστυγμαι, κατεστύγνωμαι.

Ἔστυγον, ἐστύγνασαν, ηὐλαβήθησαν, δεύτερος ἀόριστος. ἢ ἀπὸ τοῦ στύγω στύξω ἔστυχα, μέσος ἔστυγα, ἀόριστος δεύτερος ἔστυγον. ἢ ἀπὸ τοῦ στυγέω στυγήσω ἐστύγησα, ὁ δεύτερος ἀόριστος ἔστυγον. ὥσπερ ἀπὸ τοῦ ἐδούπησα καὶ ἐκτύπησα, γίνεται τὸ ἔδουπον καὶ ἔκτυπον.

Ἔστυρον, ἔδυσαν, ἐμίσησαν, κατεστύγνασαν.

Ἐστυφέλιξε, διέσεισε, προσεπηλάκισεν.

Ἔστω ταῦτα, ὑπαρχέτω. ὡς τὸ, εἰς δέ τις ἀνὴρ βαλανηφόρος ἔστω. καὶ ἔστω, δηλονότι ἐπὶ ἀποθέσει τῶν λεγομένων, καὶ ἀρχῇ ἑτέρων λέγεται τό δεῖν. ἔστω δὲ ἐκ τοῦ ἴτω, προσθήκῃ τοῦ σ.

Ἐστωμυλάμην, ἐφλυάρησα.

Ἔστων καὶ ἐπέστων, ἀντὶ τοῦ ἔστωσαν καὶ ἐπέστωσαν, Ἀττικῶς.

Ἔστωρ, πάσσαλος, ὁ τῷ ζυγῷ ἐνιέμενος, ἐν ἄκρῳ τῷ ῥυμῷ πεπηγώς. ἔνθα ὁ κρίκος ἐμβάλλεται, καὶ τὸ ζυγόδεσμον ἀποδίδεται εἰς συνοχὴν τοῦ ζυγοῦ. τινὲς δὲ ἔστορα εἶπον, γλύμμα, ἤτοι κύκλωμα ζυγοῦ, εἰς ὃ τὸ ζῶον ἐνίεται, ἤγουν ἐντίθεται ὁ τράχηλος ἑκατέρωθεν. δασύνεται δὲ ὁ ἕστωρ, ἀπὸ τοῦ ἵημι, ἥσω. καὶ τῆς ἐκεῖθεν γενομένης ἕσεως, ἤτοι ἐμβολῆς. ὁ ἐνιέμενος ἐπ' ἄκρῳ τοῦ ζυγοῦ, περὶ ὃν ὁ κρίκος ἐντίθεται. ἢ καὶ ἄλλως εἰπεῖν, ἕστωρ ἀπὸ τοῦ ἥσω, ἐξ οὗ καὶ ἧλος. ἵνα ᾖ ἕστωρ, ὁ ἐνηλούμενος τῷ ζυγῷ. ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ γράφει οὕτως. ἕστωρ, σφὴν, ἔμβολος, γόμφος. ἢ πρῶτος κρίκος τοῦ ῥυμοῦ, ἢ κοίλωμα ζυγοῦ, ὑφ' ὃ ὁ τράχηλος.

Ἑστῶσα, ἀντὶ τοῦ ἑσταυῖα. γεγῶσα, ἀντὶ τοῦ γεγαυῖα. αἱ δεχόμεναι μετοχαὶ τὸ πάθος, ποιοῦσι τὸ θηλυκὸν διὰ τοῦ ωσα, καὶ τὸ οὐδέτερον διὰ τοῦ ω μεγάλου. οἷον μεμαὼς, γεγαὼς, ἑστώς. αἱ δὲ μὴ ἔχουσαι πάθος, τὸ θηλυκὸν διὰ τοῦ υια ποιοῦσι, μεμαυῖα, τετυφυῖα. τὸ δὲ οὐδέτερον διὰ τοῦ ο μικροῦ, οἷον μεμαὸς, τετυφὸς, καὶ τ' ἄλλα ὁμοίως.

Ἑστῶτος κατὰ συναλοιφὴν, ἐκ τοῦ ἑσταότος.

Ἐς ὕδωρ γράφειν, ἐπὶ τῶν μάτην πονούντων.

Ἐσύλα τόξον εὔξοον, ὁ Πίνδαρος. καὶ αὖθις τὸ σύλα τῶμα φαρέτρης, τὸ λάθρᾳ ψηλαφᾶν σημαίνει, ὥστε τοξεῦσαι. δῆλον δὲ, ὅτι καὶ ἐπὶ τοῦ σκυλεύειν ἡ λέξις τίθεται πολλαχοῦ. ἐπεὶ σκῦλον τὸ λάφυρον λέγεται. καὶ ἐσύλα, ἐγύμνου, ἀφῃρεῖτο.

Ἐσύλευον, ἐσκύλευον.

Ἐσφαδάζετο, διεγείρετο, διεπορίστο, ἐνεπίμπρατο, ἢ ἐλυπεῖτο.

Ἐσφάλιξεν, ἔσφαλεν, ἔδησε. σφαλὸς γὰρ, ὁ δεσμός.

Ἔσφαλεν, ἐκ τοῦ σφάλλω σφαλῶ. ἀόριστος ἔσφηλα, ας. ε. καὶ δωρικῶς ἔσφαλε.

Ἔσφαλτο, διημάρτανε.

Ἐσφέρον κόρυθας. Ὅμηρος, εἰσφορεῖν συνήθως λέγει τὸ εἰσκομίζειν, ᾧ ἐναντίον τὸ ἐκφορεῖν.

Ἐσφηκωμένα, συνδεδεμένα, συνεσφιγμένα, παρὰ τῷ Ἱπποκράτει.

Ἐσφηκόωντο, καὶ ἐσφήκωντο. καὶ ἐσφηκῶσθαι, ἀντὶ τοῦ δεδέσθαι.

Ἔσφηλε, κατέβαλεν, ἢ σφαλῆναι ἐποίησεν.

Ἐσφοινικίδα, αἵματι ῥυπὸν ποιῆσαι.

Ἐσφράγιζον, ἐδόνουν, μετὰ ψόφου ἦχουν.

Ἐσφρεάτου, ἔν τι τῶν ἀρχαίων δικαστηρίων Ἀθήνησιν, ἐν φρεάτου λεγόμενον. ἔνθα ἐκρίνοντο οἱ φυγάδες, οἱ δράσαντες ἐν τῇ φυγῇ ἀκούσιον φόνον, ἑστῶτες ἐπὶ πλοίου.

Ἔσφυται, εἰσπέμπεται.

Ἐσχαλάει, λυπεῖται.

Ἐσχάρα, μαγειρικὸν ἐργαλεῖον. ἢ ἐσχάραι, τὰ χείλη τοῦ γυναικείου αἰδοίου. καὶ ἐσχάραι πυρὸς, αἱ ἐπὶ ἐδάφους ἀνθρακιαί. καὶ ἐσχάρα κατὰ τοὺς παλαιοὺς, ὡς ὁμώνυμον σημαίνει. λέγεται γὰρ οὕτω καὶ ὁ βωμός. ὡς παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ. δηλοῖ δέ φασιν ἡ λέξις καὶ ῥύπον, καὶ καυθὲν ἕλκος. καὶ τὴν κυρίως δὲ λεγομένην ἐσχάραν, τὴν μὴ ἔχουσαν ὕψη, ἀλλ' ἐπὶ γῆς οὖσαν, ἢ κοίλην. ὅθεν καὶ τὰ ἐν σώματι κοῖλα ἕλκη, ἐσχάραι ἰατρικῶς καλοῦνται. ἡ δὲ κωμῳδία καὶ τὸ γυναικεῖον μόριον, οὕτω καλεῖ. γίνεται δὲ ἡ κατ' οἶκον ὁμηρικὴ ἐσχάρα, ἴσως παρὰ τὸ ἔχειν ἀρὰς, ὅ ἐστι τὰ δι' ὧν ἀρῶνται τῷ θεῷ οἱ τοῦ οἴκου. ἱερὸν γάρ τι χρῆμα ἡ ἐσχάρα, ἤγουν ἡ ἑστία, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται, καὶ ἐν Ἰλιάδι. ὅσσαι γὰρ Τρώων πυρὸς ἐσχάραι, καὶ ἑξῆς, ἀντὶ τοῦ ὅσοι οἰκήτορες Τροίας. ἑστία γὰρ, ἑστία, καὶ ἐσχάρα πυρὸς, ταὐτά εἰσιν. ὥστε τὸ ἔχειν ἐσχάρας, ταὐτὸν ἂν εἴη τῷ ἔχειν ἑστίας, ἤγουν ὡς ἀπὸ μέρους οἰκίας. ἔχοντες οὖν ἐσχάρας οἱ ἐφέστιοι, καθάπερ τῷ Πορφυρίῳ δοκεῖ, τουτέστι πολῖται. ὥσπερ ἐκ τοῦ ἐναντίου ἀνέστιος, ὁ ἄπολις καὶ φυγάς. ἡ

ἐσχάρα,

Digitized by Google

ἐσχάρα, τόπος ἐστὶν ἐφεστίου πυρός. οἱ δὲ παλαιοί φασι καὶ ἐσχάριον, θυμιατήριον κοῖλον. δῆλον δὲ, ὅτι ἐσχάραν καὶ τὸ γυναικεῖον ἐκάλουν μόριον. ὡς δὲ καὶ ἕλκους ἐσχάρα λέγεται, δῆλόν ἐστι. καὶ ἐσχάρα, ὅπου τὸ πῦρ ἐκαίετο. ἢ ἐσχάρα, τόπος κατὰ τοὺς παλαιοὺς, ἔνθα πῦρ καίεται. βωμὸς ἰσόπεδος, οὐκ ἐκ λίθων ὑψούμενος.

Ἐσχάρας, Ἀριστοφάνης ἐν Ἱππεῦσι λέγει, τὰ χείλη τῶν γυναικείων αἰδοίων.

Ἐσχάριον, κοῖλον θυμιατήριον.

Ἐσχαρίτης ἄρτος, ἐγκρυπτός. ἢ ἐσχαρίτης ἄρτος, ὁ ἀπὸ κλιβάνου.

Ἐσχαρὸς, ὄνομα ἰχθύος.

Ἔσχατα κακὰ, τὰ μεγάλα παθεῖν. Μὴ τὰ ἔσχατα αὐτὸν περιϊδεῖν παθόντα.

Ἐσχάτη ἀδικία, ἄκρα καὶ τελεία.

Ἐσχάτη γαστὴρ, τὸ κωλοέντερον λέγει ὁ Ἱπποκράτης, καὶ ὁ Ψελλός. τὸν θώρακα δὲ, κίθαρον, κραντῆρας τοὺς ὀδόντας. τὸ κῶλον δὲ, τὸ ἔντερον ἐσχάτης τῆς γαστέρος. ἔστι δ' ὅπου τὸν τράχηλον, στόμαχον τῆς γαστέρος. καὶ ἐσχάτη ἀμαθία.

Ἐσχάτης, ὑπεραγόντης.

Ἐσχατιὰ παρὰ μὲν τῷ ποιητῇ τὸ ἁπλῶς ἔσχατον κατὰ τόπον μέρος. παρὰ δὲ τοῖς ὕστερον ἐρημίαν τινὰ ἡ λέξις δηλοῖ, καὶ οὐ χρηστολογεῖται.

Ἐσχατιῇ λιμένος, διὰ τοὺς λέγοντας ἐσχατιὰν εἶναι χωρίου ἔσχατα, ᾧ γειτνιᾷ φησὶ τόπος ἔρημος. ἰδοὺ γὰρ ἐνταῦθα τοιοῦτον οὐκ ἔστιν, ἀλλ' ἁπλῶς ἐσχατιὰ, τὸ τοῦ λιμένος ἄκρον μεθ' ὃ ἡ θάλασσα.

Ἐσχατιόωντα, ἐκ τοῦ ἐσχατιῶ, ἐσχατιόωντα, καὶ ἐσχατῶντα, σημαίνει ἔσχατον ὄντα, καὶ πεπλανημένον, καὶ παρὰ τὰ ἔσχατα μέρη διατρίβοντα.

Ἔσχατον χρὴ λέγειν, οὐκ ἐσχατώτατον.

Ἔσχατος, ὁ τελευταῖος. ἀπὸ τοῦ ἔχω ἔχατος, καὶ ἔσχατος. περὶ ἣν κατὰ τέλη γινόμενοι, ἐνεχόμεθα. ἢ βαδίζειν, ἢ ἀριθμεῖν, ἢ ὅτι ποιεῖν, οὐκέτι προβῆναι δύναται, ἀλλὰ ὕστερος κεῖται τοῦ πρώτου. καὶ ἔσχατος μυσῶν, παροιμία, ἣν ἐξηγοῦνται οὕτω. μετὰ τὰ Τρωϊκὰ λοιμοῦ καὶ ἀκαρπίας τὴν Ἑλλάδα κατασχόντων, μαντευομένων περὶ τούτων, χρῆσαι τὴν Πυθίαν, ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν.

Ἐσχάτως ἔχει, ἐπὶ τοῦ μοχθηρῶς ἔχειν, καὶ σφαλερῶς, τάττουσιν οἱ σύρφακες. ἡ δὲ τοῦ ἐσχάτου χρῆσις, οἶδα παρὰ τοῖς ἀρχαίοις ἐπὶ τοῦ ἄκρου νομίζεται, ἐσχάτως πονηροὶ, ἐσχάτως φιλόσοφος. διαγραπτέον οὖν καὶ τοῦτο. Φρύνιχος. ἢ ἐσχάτως, ἄκρως. Μένανδρος, φοβοῦμαι ἐσχάτως.

Ἐσχατόωσαν, ἐσχάτην κειμένην.

Ἔσχε, κατέπαυσεν.

Ἐσχεδιάζομεν, ἐγγίζομεν.

Ἐσχεδίαζον, ἡτοίμαζον, ἢ ἐκ τοῦ παρατυχόντος ἔλεγον.

Ἐσχεδίασε, χωρὶς διασκέψεως ἐξεδόθη.

Ἐς χεῖρα, δηλοῖ τὸ πλησίον, παρὰ τῷ Ἱπποκράτει. ἢ ἐς χεῖρα, παραχρῆμα.

Ἔσχεθε, κατέσχεν.

Ἐσχεθέτην, συνέχον.

Ἐσχελίνασεν, ἐφλυάρησεν.

Ἐσχεδίασε, δυσχερές τι διέλυσεν, ἑτοίμως εἶπεν.

Ἔσχεν, ὑπέσχεν. καὶ ἔσχεν, ἀντὶ τοῦ ἔλαβε, καὶ ἀντὶ τοῦ κατέπαυσεν. αἱ δὲ σειρῆνες ἔσχον κατὰ τὸ Μενδήσιον κέρας. ἢ ἔσχεν ἐν στόματι, ἀντὶ τοῦ ἐλοιδορεῖτο, καὶ κατελάλει.

Ἐσχετλίασεν, ἤλγει, ἐλιάζετο.

Ἔσχετο, κατεσχέθη, ἠκολούθει, ἐπεσχέθη.

Ἐσχηματισμένος, ὁ προσποίητον κόσμον ἔχων, καὶ δοκῶν εἶναι κόσμιος, ὡς παρὰ Λυσίᾳ.

Ἐσχολάρχησεν, ἦρξε σχολῆς, καὶ ἐδίδαξεν.

Ἔσχον, προέσχον, κατώχθησαν.

Ἔσχοντο, κατεσχέθησαν, ἐπαύσαντο.

Ἔσχον. Ἀριστοφάνης, κἄτ' οὐκ ἔσχον, οὐκ ἔσχαζον. Ἀττικῶς ἔκλινεν, οὐκ ἐκίνουν, οὐκ ἔσχισα. ποιοῦσι δὲ τοῦτο, ἵνα μὴ διαρράγῃ. ἄλλως, οὐκ ἔσχαζον. εἰώθασι δὲ κεντεῖν καὶ σχίζειν, δίοδον χαριζόμενοι τῷ πνεύματι.

ἔστι δὲ ἀπὸ τοῦ χάω χῶ, ἐξ οὗ τὸ χάζω. ὡς ἀπὸ τοῦ χλῶ χλοάζω, καὶ χνόω χνοάζω.

Ἔσω εἰς τόπον, ἔνδον ἐν τόπῳ, στάσιν σημαίνει.

Ἐσώθην, ἐκ τοῦ σέσωσμαι ὤφειλεν εἶναι ἐσώσθην, ἀλλὰ ἀπέβαλε τὸ σ.

Ἐσωκράτουν, ἀντὶ τοῦ ἐκόμπουν, ἐρρύπουν, ἐπείνων.

Ἐσωλωεύομεν, συμπεριεφέρομεν.

Ἐσωμάσκει, συνεκρότει, ηὐτρέπιζεν, ὤδινεν, ἡτοίμαζεν.

Ἐσωματοποίει, ἔπλαττε, καὶ τύχῃ τὶς ἐσωματοποίει τὰς τοῦ Σκιπίονος πράξεις.

Ἐσωματώσασθαι, εἰσηγήσασθαι.

Ἐσωρῆσαι, ὑπουργῆσαι.

Ἔσωσεν, ἐρρύσατο, ἐλυτρώσατο.

ΤΟ' Ε'. ΜΕΤΑ' ΤΟΥ͂ Τ'.

Ἐτὰ, ἀληθῆ, ἀγαθά.

Ἐτάζεσθαι, ἀριθμίζεσθαι, κρίνεσθαι. βασανίζεσθαι.

Ἐτάθη, διέτριβε. καὶ ἐτάθη, ἠπλώθη. ἐκρεμάσθη.

Ἔται, οἱ πολῖται. τινὲς δὲ οἱ κατ' ἐπιγαμίαν συγγενεῖς.

* Ἐταεῖς διὰ διφθόγγου ὡς Διτεδιεῖς. ἔστι δὲ πόλις Λακωνική.

Ἐταινίωσε, περιείλησε, συνέσφιγξεν. Ὁ δὲ καταταινίωσε τὸ τραῦμα τῇ ζώνῃ. καὶ ἐταινίωσεν, ἀντὶ τοῦ ἐστεφάνωσε. ταινία γὰρ, ὁ στέφανος.

Ἑταίρα, Ἀττικοί. οὐχ ἑταιρίς. ἑταιρῶ, ἑταιρήσω. καὶ ἑταίρησις τὸ τοὺς ἄνδρας πάσχειν τὰ τῶν ἑταιρῶν. ἑταιρεῖ μὲν οὖν καὶ πορνεύεται ὁ παχητιῶν. ἀλλὰ ἑταιρεῖ μὲν ὑπὸ ἐραστοῦ, πορνεύεται δὲ ὑπὸ τοῦ τυχόντος. κυρίως δὲ πορνεύεται ἡ γυνή. Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, τῷ μὲν τὸν πατέρα ἡταιρηκέναι, τοῦ δὲ τὴν μητέρα πεπορνεῦσθαι. καὶ πορνείᾳ ταύτῃ χρώμενος. Ἡρόδοτος δὲ ἀντὶ τοῦ εἰς πορνείαν ἐκδίδωσι, χρῆται τῷ ὀνόματι ἐν τῇ πρώτῃ. Ὅτι τὰ θήλεα τέκνα καταπορνεύουσι καὶ ἑταίρα, καὶ ἑταιρίς, ἡ πόρνη, ἡ προκειμένη πᾶσι τοῖς πορνεύειν βουλομένοις, ἤγουν ἡ κοινῶς ἐλευθέρα. ἀφ' οὗ καὶ ἑταίρησις, τὸ ἔργον τῶν ἑταιρίδων. καὶ ἑταιρικῶς ἐπὶ τῶν θηλυδριῶν, ἤγουν τῶν πασχόντων τὰ τῶν ἑταιρίδων.

Ἑταίρας, ἱερὸν τῆς Ἀφροδίτης Ἀθήνησιν. ἀπὸ τοῦ τὰς ἑταίρας καὶ τοὺς ἑταίρους ἄγειν.

Ἑταιρεῖος Ζεὺς ἐν Κρήτῃ, ὁ ἔφορος τῆς ἐν τῇ ἑταιρίᾳ κοινωνίας.

Ἑταιρειάρχης, ἀξίωμα. καὶ ἑταιρεία, τὸ ἀξίωμα, καὶ ἡ συνήθης ὁμόνοια. ἑταιρία δὲ, ἡ φιλία.

Ἑταίρη, συνεργός.

Ἑταιρήσας, πορνεύσας.

Ἑταιρία ἐστὶ φιλία κατὰ συνήθειαν, ἐν τοῖς καθ' ἡλικίαν γεγενημένη.

Ἑταιρίδων, πορνῶν.

Ἑταιρίζειν, πορνεύειν, συνεργεῖν.

Ἑταιριζομένη, ἐρεθιζομένη, προσηνουμένη, πορνικῶς βλέπουσα.

Ἑταιρίζω καὶ προσεταιρίζομαι. οἷον, οἳ καὶ προσεταιρίζονται τὸν Ξενοφῶντα. ἤγουν, ἑταῖρον καὶ φίλον προσλαμβάνουσιν.

Ἑταιρικῆς, πορνικῆς.

Ἑταιρικὸς, πρὸς ἑταίρας εὐφυής.

Ἑταιρίσαιτο, συνεργὸν λάβοι.

Ἑταιρίσαι, φιλιωθῆναι, ἢ φιλίαν καταπράξεσθαι. ἑταῖρος γὰρ, ὁ προσοικειωθεὶς κατὰ φιλίαν.

Ἑταιρισάμενος, συνεργήσας. καὶ ἑταιρήσας, πορνεύσας.

Ἑταιρίζοιτο, προσλάβοιτο.

Ἑταιρίστριαι, αἱ καλούμεναι τριβάδες.

Ἑταιρίστης. ἰδίως ἐπὶ τῆς ἑταιρήσεως τοὔνομα τέταχεν Ἀνδοκίδης, ἐν τῇ περὶ τῶν μυστηρίων ἀπολογίᾳ.

Ἑταῖροι, οἱ προσοικειωθέντες κατὰ φιλίαν φίλοι, οἱ οἰκεῖοι καὶ κατὰ γένος προσήκοντες. ἔται, οἱ συνέστιοι, φίλοι, γείτονες, οἱ πλησίον μένοντες.

Ἑταιρουμένη, ἀλλοιουμένη.

Ἑταῖρον οὖρον, ἤγουν βοηθὸν ἁπλῶς.

Ἑταῖρον, συνεργὸν, φίλον, παράνυμφον.

Ἑταῖρος, βοηθὸς, συνναύτης, φίλος ἐπίσημος, ἢ καὶ γνώριμος. ἄλλως. παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ διορίζει τοῦ ἑταίρου τὸν γνώριμον. καὶ ἴσως μὲν τιμιώτερον ὁ ἑταῖρος τοῦ ἁπλῶς γνωρίμου. ἴσως δὲ καθολικώτερόν τι ὁ γνώριμος, περιέχων τόν τε ἑταῖρον, καὶ τοὺς ἄλλους ὁποσοῦν συνήθεις.

Ἑταῖρος, ὁ ἴδιος. καὶ ἑταιροῖος, ὁ ἄλλος.

Ἔτασιν, ἑταίροις, πολίταις.

Ἐταλάνισα, ἄθλιον ἀπεκάλεσα, ἐθρήνησα.

Ἐταλαιπωρήθη, ἐκακοπάθησεν.

Ἐτάλασα, ὑπέμεινα.

Ἐτάλασεν, ἐτόλμησεν, ὑπέμεινεν.

Ἐταμεῖον, ἐποιησάμην.

Ἔταμνον, ὁμοίως.

Ἐτανηλεγέως, μακροκοιμήτου.

Ἐτανθόριζον, ἔτρεμον.

Ἐτανὸν, ἀληθῶς, σφόδρα.

Ἐταντελίχθη, ἐσείσθη.

Ἐταντάλιζεν, ἔτρεμεν.

Ἐτανύσθη, ἐξετανύσθη, ἡπλώθη.

Ἔταξαν, ἀντὶ τοῦ οἷον ἀφώρισαν, τοῦτον τὸν βίον εἵλοντο.

Ἐτάραξεν, ἀντὶ τοῦ ἠνώχλησεν. ὃ καὶ ἔθραξεν Ἀττικῶς γράφεται παρὰ Δημοσθένει. ὁμοίως καὶ παρὰ Πλάτωνι. ἤδη μέντοι ποτέ με καὶ ἔθραξεν, ἀντὶ τοῦ ἠνώχλησε, καὶ ἐτάραξε, καὶ ἔνυξεν.

Ἐτάρβη, ἐδεδίει.

Ἐτάρη φίλη, ἡ Περσεφόνη.

Ἐταρίσσατο, ἑταῖρος, ἢ συνεργός γένοιτο.

Ἐτάρπη, ἐπλήσθη, ἐκορέσθη.

Ἐτάρων, ἀντὶ τοῦ ἑταίρων. αἱ ἐξαιρέσεις τοῦ ι οὐ μόνον τῶν αἰολέων, ἀλλὰ καὶ Ἀττικῶν καὶ δωριέων. οἷον ἀντὶ τοῦ κλαίειν, κλάειν. καὶ ἀντὶ τοῦ ποιεῖν ποεῖν, καὶ ποίημα πόημα.

Ἔτας, τοὺς κατ' ἐπιγαμίους οἴκους καὶ πολίτας.

Ἐτάσιος, ζεὺς ἢ βάσανος.

Ἔτασις, ἡ ἐπίτασις, καθ' ὅσον ἡ τοῦ βίου ἔτασις.

Ἐτασμὸς, ἐξέτασις, ἢ ὁ ἀριθμὸς παρὰ τοῖς Πυθαγορικοῖς.

Ἔτασον. ἐρεύνησον.

Ἐταυτῶς, ἀληθῶς.

Ἔταφεν, ἐθαύμασεν, ἐθάμβησεν.

Ἐτεὰ, ἀγαθὰ, ἀληθῆ.

Ἐτεὰ τύχη, ἀγαθὴ τύχη. καὶ ἐτεαὶ τύχαι, ἀληθεῖς τύχαι.

Ἔτεα, οὐ πάντα τὰ ὅπλα, ἀλλ' ἀσπὶς καὶ περικεφαλαία. τὰ δὲ δόρατα, κατ' ἐπικράτειαν.

Ἐτεθήλει, ἔθαλλεν.

Ἐτέθηπε θυμῷ, Ἰωνικῶς ἀντὶ τοῦ ἐτεθήπει, δηλοῖ τὸ κατὰ τὴν ψυχὴν θάμβος, οὐ μὴν τὸ κατὰ λόγον προφορικόν.

Ἐτέθησαν, ὑπέκυψαν, ἐπείσθησαν. οἱ δὲ τῇ τοῦ βασιλέως ἐτέθησαν βουλῇ.

Ἐτεθρίωται, ἐνεσκεύασται. ἢ τὸ ἐντετύχθαι λέγεται, ἐντεθριῶσθαι, ἀπὸ τοῦ σκευάσματος, ὃ ἐν τοῖς φύλλοις τῆς συκῆς εἱλεῖται, ἃ λέγεται θρῖα.

Ἔτεια, ἐπέτεια, νέα.

Ἔτειον, χρόνιον, ἢ ἐνιαύσιον.

Ἔτειρε, κατεπόνει, κατεπόνησεν, ἐδάμασεν.

Ἐτειχηροῦντο, τοῖς τείχεσι περιετειχίζοντο, περιεκλείοντο. ἐντὸς δὲ τῆς τάφρου καὶ τοῦ ἐρύματος ἐτειχηροῦντο.

Ἐτεκμήραντο, ἐπὶ τέλος ἤγαγον.

Ἐτεκμηρίωσεν, ἐβεβαίωσεν.

Ἐτεκνώθην, τέκνον ἔσχον.

Ἐτεκτήνατο. τεκταίνω, τὸ κατασκευάζω. ὁ μέλλων τεκτανῶ, ὁ ἀόριστος ἐτέκτηνα, ὁ μέσος ἐτεκτηνάμην, ω, το.

Ἐτέκτονον, κατεσκευάζοντο οἱ τέκτονες.

Ἐτέλεστον, ἐγένετο.

Ἐτέλει, ἐτέτακτο ἐν ἀρχῇ.

Ἐτέλει, ἐλάμβανεν, ἐπλήρου.

Ἐτελείετο, ἐκ τοῦ τελείομαι, ἐτελειόμην ἐτελείου ἐτελείετο. ἢ ἐκ τοῦ ἐτελεῖτο, πλεονασμῷ τοῦ ε. ἡ παραγωγὴ ἐκ τοῦ τελῶ τελείω, ὡς χρῶ χρείω, θῶ θείω. ἢ ἐκ τοῦ τελέω τελείω, σέω σείω. καὶ ἐτελείετο, συνετελεῖτο.

Ἔτελλεν, ἔπεσεν, ἔλεγεν, ἐπέτασσε, προσέταττεν.

Ἐτέ-

Digitized by Google

Ἐτέλεσεν, ἔλαβεν, ἐπλήρωσεν.

Ἐτελέθη, ἐγένετο.

Ἐτελέθησαν, ἐμιάνθησαν, μετέσχον τῆς μιαρᾶς θυσίας, ἐκοινώνησαν.

Ἐτελέστερον, τελειότερον.

Ἐτελὶς, χρυσόφρυς ὁ ἰχθύς.

Ἐτελόμισθος. ὁ δὲ ἔπλεε νηὶ οἰκείᾳ ναύτας ἔχων ἐτελομίσθους οἴκοθεν Κρῆτας. ἀντὶ τοῦ, ἐντελῶς μεμισθωμένους.

Ἔτεμε, λέγεται καὶ ἐπὶ ὁδοῦ, ἀντὶ τοῦ ἁπλῶς ἐνήργησε. Χρυσόστομος, Πόσας ὁδοὺς ἀπωλείας ὁ διάβολος ἔτεμε, τοῖς αὐτὸν θεραπεύειν βουλομένοις.

Ἔτεμε, κατέλαβεν, εὗρε. καὶ ἔτεμεν, ἤμελγεν.

Ἐτεοβουτάδαι, γένος Ἀθηναίοις, οἷον οἱ ἀληθῶς ἀπὸ Βούτου. ἐτεὸν γὰρ, τὸ ἀληθές. ἐκ δὲ τούτων καθίστατο ἱερεία τῆς Πολιάδος Ἀθηνᾶς, καθά φασι Δράκων περὶ γενῶν.

Ἐτεοδμώων, τῶν γνησίως δουλευόντων.

Ἐτεόκρητες, οἱ ἀληθῶς ἢ ἀληθεῖς Κρῆτες, εἰ καὶ ἄλλως, Κρῆτες ἀεὶ ψεῦσται, ὡς προείρηται. αὐτόχθονες οὖν οἱ Ἐτεόκρητες, ἰθαγενεῖς, γνήσιοι τῆς χώρας, λεχθέντες Ἐτεόκρητες, ὡς πρὸς τοὺς ἐπήλυδας, οἱ αὐτόχθονες Κρητῶν.

Ἐτεὸν, ἀληθὲς, ἐπέτειον, ἴδιον, πρόσφατον.

Ἐτεὸς, καὶ ἐτὸς, ὁ ἀληθής.

Ἐτέταλτο, ἐντεταλμένον ἦν, ἐπιτέτραπτο.

Ἔτεα, τὰ ἔτη, παρ' Ὁμήρῳ.

Ἑτεραλκέα δῆμον λέγει Ὅμηρος, ὡς καὶ νίκην ἑτεραλκέα, ὃς δηλαδὴ ἀκμῆς καὶ ἐπικούρων, θατέρῳ μέρει ἀλκὴν δίδωσιν. ἢ γοργότερον εἰπεῖν, ὁ θατέρῳ μέρει ἀλαλκῶν. καὶ ἑτεραλκέα νίκην καλεῖ Ὅμηρος, τὴν ἑτεροκλινῆ, καὶ τῷ ἑτέρῳ μέρει τὴν ἀλκὴν προσνέμουσαν. ἢ ἑτεραλκέα δῆμον, τὸν τοῖς ἑτέροις τὴν ἀλκὴν διδόντα, ἢ τὸν παρεχόμενον ὄχλον εἰς βοήθειαν. καὶ ἑτεραλκέα νίκην, ἑτεροκλινῆ, ἑτερορρεπῆ, τὴν τοῖς προτέροις νενικημένοις ἀλκὴν περιποιοῦσαν.

Ἑτέραν ἐκτρέπονται, ἤγουν ὁδόν. καὶ ἐκεῖνος ἐπύγετο τὴν πρὸς θάνατον. καὶ λαγὼς τὴν περὶ τῶν κρεῶν τρέχει, ἤγουν ὁδόν. ὁμοίως Λατῖνοι χρῶνται ταύτῃ τῇ φράσει. οἷον ταύτῃ οὐ συνέβη, ἄλλῃ ἐπιχειρήσωμεν, ἤγουν ὁδῷ.

Ἑτεροσκεφαλᾶν, παραφρονεῖν.

Ἑτερήμεροι, διηλλαγμένοι, παρ' ἡμέραν ζῶντες.

Ἑτερήμερος, ὁ μίαν παρὰ μίαν ἡμέραν ζῶν.

Ἑτερήρεα, ἀμφίβολα.

Ἑτερήρυθμος, οἷον μονότροπος.

Ἑτέρηφι, ἀντὶ τοῦ ἑτέρα, κατὰ προσχηματισμὸν τοῦ φι. Ἡσίοδος ἐν ἔργοις, ὁδὸς δὲ ἑτέρηφι παρελθεῖν κρείσσων, ἀντὶ τοῦ ἑτέρα ὁδός.

Ἑτερογενὲς, ἀλλογενὲς, ἀλλόφυλον.

Ἑτερόγναθος, ἀπειθὴς, ἢ ἄπληστος, καὶ ἀμφοτέραις ταῖς γνάθοις ἐσθίων.

Ἑτεροδοξία, τὸ ἄλλως δοξάζειν, ἤπερ ἔχει ἡ ἀλήθεια.

Ἑτερόδοξος, ὁ αἱρετικός.

Ἑτεροζύγιοι, οἱ μὴ συζυγοῦντες.

Ἑτερόθρουν, ἀλλόφυλον.

Ἑτεροιῶ, τὸ μεταβάλλω.

Ἑτεροίως, ἄλλως πως.

Ἑτεροκλείης, τοῦ ἑτέρου κλέους.

Ἑτεροκλινὲς, πλάγιον καταρρεπές. καὶ ἑτεροκλινὲς, ἐφ' ἑτέρῳ ἕτερον κείμενον κανόνι. ἑκατέρωθεν βεβλημένοι, καὶ συνέχοντες.

Ἑτερομάσχαλος χιτὼν, ἣν ἐξωμίδα λέγουσιν.

Ἑτερομόλιος δίκη, εἰς ἣν ἀντίδικοι οὐκ ἦλθον.

Ἕτερον, ἄλλον, ἢ ἀλλοῖον. ἢ ἐν τοῖν δυοῖν, ἢ ἀριστερὸν, νέον, δεύτερον. καὶ ἕτερον, τὸ ἓν τῶν δύο. ἕτερος ἐπὶ δυοῖν, ἄλλος ἐπὶ πολλῶν. Ἀττικοὶ δὲ ἀδιαφόρως χρῶνται. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησὶ, τρίτον δ' ἕτερον δικαστήριον πρὸς τούτοις. οὕτω δὲ καὶ ἄλλως οὐ μόνον ἐπὶ πολλῶν, ἀλλὰ καὶ ἐπὶ δύο. καὶ ὅλως ἀδιαφόρως Ἀττικοὶ χρῶνται ἀμφοῖν. Πλάτων ἐν Πολιτείαις, ἄλλη μὲν ἡ ἀπωθοῦσα χεὶρ, ἑτέρα δὲ ἡ προσαγομένη.

Ἕτερον, κατὰ γενικῆς, οἷον ἕτερον τὸ λευκὸν τοῦ μέλανος.

Ἕτερον, τὸ ἓν τῶν δύο. ἀπὸ τούτου γίνεται καὶ τὸ πότερον, ἐπὶ δύο τινῶν ἔχον τὴν πεῦσιν. ἑκάτερον, καὶ τὰ δύο κατὰ ἕν. ἀμφότερα, ὁμοῦ καὶ τὰ δύο. τὸ δὲ ἕκαστος, δηλοῖ ὁμοῦ πολλούς. τὸ δὲ πᾶς, οὐ κατὰ ἕνα δηλοῖ πάντας, ἀλλὰ ὁμοῦ. τὸ γὰρ πᾶς συναγωγή, ὡς καὶ Ἀριστοτέλης ἐν τῷ περὶ ἑρμηνείας περὶ τοῦ πᾶς οὕτω λέγων. τὸ πᾶς οὐ τὸ καθόλου, ἀλλ' ὅτι καθόλου.

Ἕτερον πόδα, τὸν ἕνα πόδα, τὸν καὶ θάτερον.

Ἑτερούσιον, τὸ κατὰ πάντα τρόπον τοῦ ἑτέρου ἀνόμοιον. ὡς πῦρ, καὶ ὕδωρ, καὶ ἄγγελος, καὶ ἄνθρωπος, καὶ πηλὸς, καὶ ἥλιος πρὸς χλόην.

Ἐτέρορεν, ἐτρύπησεν, ἐνέγλυψεν, ἔτεμεν, ἔφρασεν, ἔξυσεν.

Ἑτερορρεπὲς, ἐπὶ τὸ ἕτερον ῥέπον καὶ θαρροῦν.

Ἑτερόρυσμα, ἀνόμοια.

Ἑτέροσε, ἀντὶ τοῦ ἄλλοσε. αἰολεῖς.

Ἑτερόστοιχον, τὸ ἀσύμφωνον τοῦ Ψελλοῦ. καὶ πάλιν τὸ ἀσύμφωνον, ἑτερόστοιχον λέγεται.

Ἑτερόστομος φάλαγξ, ἡ ἔχουσα τὸν ἡγούμενον ἐν εὐωνύμῳ παραγωγῇ, τοὺς δὲ ἡγεμόνας ἐν δεξιᾷ παραγωγῇ.

Ἑτερότυχα, ἀσύμφωνα.

Ἑτερουΐδα, βυβλίον καινόν.

Ἑτερόφθαλμος, ὁ κατὰ τὴν τύχην τὸν ἕνα πηρωθεὶς ὀφθαλμὸν, οὐ μονόφθαλμος. μονόφθαλμος γὰρ, ὁ ἕνα ὀφθαλμὸν ἔχων, φυσικῶς.

Ἑτεροφυὲς, ἀλλοφυές.

Ἑτερόφυλος, ἀλλόφυλος.

Ἐτέρρατο, ἐξηράνθη.

Ἔτερσεν, ἐφόβησεν.

Ἑτέρωθεν, ἀλλαχόθεν, ἐκ τοῦ ἐναντίου εἰς ἕτερον μέρος.

Ἑτερώνυμά ἐστιν, ὅσα περὶ τὸ αὐτὸ ὑποκείμενον, ἐν διαφόροις ὀνόμασιν. οἷον ἀνάβασις, καὶ κατάβασις. ὁδὸς γὰρ ἡ αὐτή. ἢ εἰς τὸ ἄνω, ἤτοι εἰς τὸ κάτω.

Ἐτέρσετο, ἐξηραίνετο, ἀπὸ τοῦ θέρσω αἰολικοῦ μέλλοντος, τροπῇ τοῦ θῆτα εἰς τὸ τ, τέρσω. τέρσομαι ἐνεστὼς, ἀπὸ τοῦ μέλλοντος. καὶ κλίνεται μέχρι παρατατικοῦ.

Ἑτέρωσε βάλεν ὄμματα, ὅ ἐστιν εἶδε. μεταβαλόντες οἱ μεθ' Ὅμηρον, ἔρριψέ ποι ὄψεις, ἢ ὀφθαλμοὺς λέγουσιν. ὡς τοῦ βάλλειν πάντοτε δηλοῦντος τὸ ῥίπτειν, δασύνεται δέ. καὶ ἰλλῷ ἀνδρὶ, ὅπερ ἐστὶ στραβῷ, οὐκ ἀφυῶς ἐπισκώψαι τὸ ἑτέρωσε βάλλειν ὄμματα.

Ἑτέρωσε, ἀλλαχόθεν, ἢ εἰς τὸ ἕτερον μέρος.

Ἐτεστράφησαν, ἔκλιναν.

Ἐτετάχατο, τετραμμένοι ἦσαν, ἢ τεταγμένοι.

Ἐτετάχοντο, ὁμοίως.

Ἐτετεύχατο, πεποίηκαν.

Ἔτετμεν, ἀρχαῖον μὲν εἰς πεζὴν γραφήν. δηλοῖ δὲ, τὸ κατέλαβε. κυρίως μέντοι τέτμεν, τὸ ἐν ἐπιτόμῳ καὶ συντόμως καταλαμβάνειν. καὶ γίνεται ἐκ τοῦ τέμω, τμῶ. καὶ κατὰ ἀναδιπλασιασμὸν, τέτμω. Ἄλλως.

Ἔτετμε, ποιητικὴ λέξις ὑποδύσκολος, λαμβανομένη ἀντὶ τοῦ κατέλαβε. καὶ γίνεται ἀπὸ τοῦ τέμω, ἔτεμε, καὶ ἀναδιπλασιασμῷ ἐτέτεμε, καὶ συγκοπῇ ἀναγκαίᾳ διὰ τὸ δύσμετρον τοῦ διτροχαίου ποδὸς ἔτετμεν. ἤτοι κατ' ἐπιτομὴν καιροῦ, καὶ συντόμως ἢ ἐπιτόμως εὗρε. ἢ ἔτετμεν, ἀπὸ τοῦ τέμω γίνεται, ἀφ' οὗ καὶ ἡ συντομία. ἵνα ᾖ, ὡς καὶ ἐν ἄλλοις δηλοῦται, τεμῶ τμῶ, καὶ ἀναδιπλασιασμῷ τέτμω. ὅθεν καὶ ἔτετμεν, ἤτοι κατέλαβεν, εὗρε κατὰ ἐπιτομὴν δηλαδὴ ὁδοῦ. ποιηταῖς δὲ μόνοις φιλεῖται ἡ λέξις.

Ἐτετρήχει, ἐτετάρακτο.

Ἐτέτυκτο, κατεσκεύαστο, ἦν.

Ἐτετύχοντο, ἀπὸ τοῦ τεύχω. ὁ δεύτερος ἀόριστος ἔτυχον, ὁ μέσος ἐτυχόμην, τὸ τρίτον τῶν πληθυντικῶν ἐτύχοντο. καὶ κατὰ ἀναδιπλασιασμὸν, καὶ τροπῇ τοῦ χ εἰς κ ἐτετύκοντο.

Ἐτέτυξο, ἐτύγχανες.

Ἐτέτυμον, ἀληθὲς, ἢ ἀληθῶς.

Ἐτεύξατο, ἔτυχε, κατεσκεύασεν.

Ἔτευξε, τὸ αὐτό.

Ἐτετύφεα, ἐπεποιήκεα. οἱ Ἴωνες τὴν τοῦ ὑπερσυντελίκου ει δίφθογγον ἐν μὲν τῷ πρώτῳ προσώπῳ διὰ τοῦ ε καὶ α προφέρουσι, τοῦ ι ἀποβληθέντος. ἐν τῷ τρίτῳ δὲ προσώπῳ, εἰς δύο ε διαλύουσιν. οἷον, ἐτετύφει ἐτετύφεε, ἐπεποιήκει ἐπεποιήκεε. οἱ Ἀθηναῖοι δὲ, τὰ διαλυθέντα Ἰωνικῶς συναιροῦσιν εἰς η, λέγοντες ἐπεποιήκεα ἐπεποιήκη, ἐτετύφεα ἐτετύφη, καὶ ἐτετύφεε ἐτετύφη.

Ἔτευχεν, ἐποίει.

Ἐτέφρωσεν, ἐνέπρησεν.

Ἐτεχνίτευεν, ἀντὶ τοῦ μετὰ τέχνης καὶ δόλου ἀνηρεύνα. Ἰώσηπος, ἐτεχνίτευε τινὶ τρόπῳ προέχειν κατ' ἀρετήν.

Ἐτεωνεῖ, ἀληθεύει.

Ἐτεωνία, ἀληθῆ. ἐτεώνιον, ὡσαύτως.

Ἐτεὼν, πόλις Βοιωτίας.

Ἐτεωνὸς πόλις. ἐκλήθη δὲ ὕστερον καὶ Σκάρφη, καλουμένη ἀπό τινος Ἐτεωνοῦ, ὃς Βοιωτοῦ μὲν ἦν ἀπόγονος, πατὴρ δὲ Ἐλεῶνος. κεῖται δέ φασιν ἐπὶ λόφου περὶ τὸν Ἀσωπὸν ῥέοντα ἐπὶ τοῦ πρὸ Θηβῶν πεδίου, καθὰ καὶ ὁ Ἰσμηνάς. τὸ δὲ ἐθνικὸν τῆς Ἐτεωνοῦ, Ἐτεώνιος. Πολύμνιμος δὲ ταύτην λέγει, ὡς ὀρεινήν. κρημνοὶ γὰρ τὰ κάτω τοῦ ὄρους. τινὲς δὲ ἀντὶ τοῦ πολυορίγανον. κρημνὸν γὰρ οἱ Ἀργεῖοί φασι τὴν ὀρίγανον.

Ἔτω, χρόνοι.

Ἐτήρει, ἐταμίευε. τοὺς δὲ νεωτέρους ἐτήρει τῷ θριάμβῳ.

Ἔται καὶ ἑταῖροι διαφέρουσιν. ὡς δηλοῖ καὶ τὸ, σούς τε μάλιστα ἔτας καὶ ἑταίρους. ἐθάδης μὲν οὖν, καὶ ὁ ἔτης, καὶ ὁ ἑταῖρος, ὡς ἡ ἐτυμολογία δηλοῖ. συνηθέστερος δὲ ὁ ἑταῖρος. ὅτι δὲ πλείων χρῆσις ὁ ἔτης, δηλοῖ ἀλλαχοῦ. εὑρήσεται καὶ ἔτης ὁ πολίτης, ἀπὸ τοῦ ἔθους. ὡς ξένος, ὁ ἔξω τῆς ἐνόπτος ὤν, ἢ παρὰ τὸ ἔξω εἶναι.

Ἐτησίαι, ἀπὸ τῆς τοῦ κυνὸς ἑώας ἐπιτολῆς, μέχρις ἀρκτούρου ἐπιτολῆς, ὡς ἐπὶ πλῆθος ἑξήκοντα ἡμερῶν πνέουσιν. ὠνομάσθησαν δὲ, ἤτοι ὅτι κατ' ἔτος πνέουσι ταῖς τακταῖς αὐτῶν ἡμέραις. ἢ παρὰ τὸ ἐτεὸν, διὰ τὸ μηδέποτε αὐτοὺς μεταβάλλειν, ὅταν ᾖ καιρὸς αὐτῶν. ἢ κατά τινας, οἱ ἐτησίαι ἄρχονται πνεῖν, περὶ τὴν ἐσχάτην μοῖραν τοῦ ἡλίου ὄντος ἐν Καρκίνῳ, μέχρις οὗ τὸν Λέοντα παρέλθῃ, ὡς, καὶ Ἄρατός φησιν.

Ἐτησίας, τοὺς κατ' ἔτος ἐν τῷ καιρῷ τῆς ὀπώρας πνέοντας ἀνέμους. ἡ εὐθεῖα, ὁ ἐτησίας τοῦ ἐτησίου. ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ ἐτήσιοι τῶν ἐτησίων, καὶ οὐκ ἐτησιῶν. σεσημείωται γὰρ, τὸ χλούνων, χρήστων, ἐτησίων παροξυτονούμενα. γίνεται δὲ παρὰ τὸ ἔθος ἐθησίας καὶ ἐτησίας, οἱ ἔθος ἔχοντες κατὰ ἓν ἔτος ἐν τῷ καιρῷ τῆς ὀπώρας πνεῖν ἄνεμοι.

Ἔτῃσιν, ἤγουν πολίταις. Ὅμηρος, ἀμύμων σοῖσιν ἔτῃσιν, ὅ ἐστι πολίταις, ἢ συγγενέσιν. Ὅμηρος, Τὸν δ' εὗρον δαινῦντα γάμον πολλοῖσιν ἔτῃσιν. Ἰστέον, ὅτι τὸ ἔτης πολλὰ μὲν σημαίνει κατὰ τοὺς παλαιούς. ἐφ' οὗ δ' ἂν τάσσηται σημαινομένου, ψιλοῦται. εἰ γὰρ καὶ ὁ Ἀλεξίων φασὶ δασύνει αὐτὸ, ὡς ἀπὸ τοῦ ἑταῖρος συγκοπὲν, ἀλλὰ ἐκ τῆς συναλοιφῆς κλινόμενον, ὡς ὁ Ἀπίων φησὶ, καὶ Ἡρόδωρος, τὸ ψιλὸν πνεῦμα κεκλήρωται. Αἰσχύλος γάρ φησιν, οὔτε δῆμος, οὔτ' ἔτης ἀνήρ. καὶ Εὐριπίδης, πόλει μὲν ἄρχων, φωτὶ δ' οὐκ ἔτῃ πρέπων. συγκαταθετέον οὖν φησι τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι αὐτό.

Ἐτήσιος, ὁ κατ' ἔτος.

Ἐτοίμακα ἐκ τοῦ ἑτοιμάζω, ἡτοίμακα. καὶ Ἀττικῶς ἐτετοίμακα, καὶ ἐτοίμακα.

Ἐτήτυμα, ἤγουν ἀληθῆ. ἀπὸ τοῦ ἔτυμα κατὰ πλεονασμὸν τῆς τη συλλαβῆς.

Ἐτήτυμος, οὕτω παράγεται. εἰμὶ, ἐτός. καὶ ὡς ἕλος ἔλυμος, εἶδος σπέρματος ἕλεσι χαίροντος. οὕτως ἐτὸς ἔτυμος, ὁ ὢν εἰπεῖν ἀληθής. ὅθεν ἐτυμολογία λόγος ἐπαληθιζομένην δεικνύς φασι τὴν λέξιν τῇ φύσει τοῦ πράγματος. εἶτα ὥσπερ ἀτηρὸς ἀταρτηρὸς ἐπενθέσει πλεοναστικῇ, οὕτω καὶ ἔτυμος ἐτήτυμος.

Ἔτι

Digitized by Google

Ἔτι παρὰ τοῖς κοινοῖς, ἀντὶ τοῦ ἀκμὴν λέγεται. οἷον, ἔτι νέος ἐστὶ, καὶ ἔτι ποιῶ τάδε. λέγεται καὶ ἀντὶ τοῦ ἐπὶ τούτῳ. οἷον εἶπον τόδε, ἔτι λέγω καὶ τόδε, ἀντὶ τοῦ ἐπὶ τούτῳ. καὶ ἀντὶ τοῦ εἰς τὸ ἑξῆς, οἷον, οὐ μὴ ἔτι ποιήσω τόδε. ἀντὶ τοῦ ἑξῆς, οὐ μὴ ἔτι ποιήσω. ἔστι καὶ περισσὸν, ὡς παρ' Ὁμήρῳ ἐν τῷ ω τῆς Ὀδυσσείας, εἴ μ' ἔτι γνοίη ἀργόν. ἐκ περισσοῦ κεῖται τὸ ἔτι ἐπίρρημα.

Ἔτι καὶ νῦν, τὸ ἀεὶ δηλοῖ παραχρόνιον, καὶ εἰς πέραν ἐλθόν.

Ἐτίησεν, ἐτίμησεν.

Ἐτίθης, ἐτίθη. τὰ δεύτερα τοῦ παρατατικοῦ καὶ τρίτα πρόσωπα, διὰ διφθόγγου γράφεται, ὡς ἀπὸ τῶν περισπωμένων. τὸ πρῶτον δὲ, διὰ τοῦ η, ὡς ἀπὸ τῶν εἰς μι.

Ἐτίθει σκάνδαλον, ἐποίει.

Ἐτιθέμην, τούτου τὸ δεύτερον πρόσωπον τριχῶς ἐκφέρεται. ἐτίθεσο γὰρ λέγομεν, καὶ ἐτίθεο, καὶ ἐτίθου. καὶ ἔθεσο, καὶ ἔθεο, καὶ ἔθου. ἀλλὰ τὸ μὲν εἰς σο κοινόν ἐστι. τὸ δὲ εἰς εο, Ἰωνικόν. τὸ δὲ εἰς ου, Ἀττικόν.

Ἐτίθετο, προσείχετο, προσεῖχεν, ἢ ἐτίθετο.

Ἐτίθεσεν, ἐτρόφησεν, ἐτιθηνίσατο.

Ἐτιθηνήσατο, ἀγαλέχησεν, ἔθρεψεν.

Ἐτίθουν, ἐπὶ τῶν εἰς μι ῥημάτων ἐν τοῖς παρατατικοῖς, τὰ μὲν ἑνικὰ ἀπὸ τῶν περισπωμένων κανονίζονται. οἷον, τιθῶ ἐτίθουν, διδῶ ἐδίδουν. τὰ δὲ πληθυντικὰ, ἀπὸ τῶν εἰς μι τίθημι ἐτίθεμεν, δίδωμι ἐδίδομεν. οὕτως οὖν καὶ ἴω ἦον ἦν, καὶ εἰμὶ ἦμεν ἦτε ἦσαν, καὶ ἔσαν.

Ἔτι μὴν, χρονικὸν ἐπίρρημα.

Ἐτιμήσασθε, ἀντὶ τοῦ ἠγοράσατε. Θουκυδίδης, ἣν ὑμεῖς πολλῶν χρημάτων ἐτιμήσασθε. ἢ ἐτιμήσασθε ξεῖνον, ἐν Ὀδυσσείας υ. Ἀττικῶς, ἀντὶ τοῦ ἐτιμήσατε. παρὰ δέ γε τοῖς μεθ' Ὅμηρον, ἐμπορικὴ καὶ συναλλακτικὴ λέξις τὸ τιμᾶσθαι. καὶ γενικῇ συντάσσεται, οἷον τοῦ παντὸς τιμῶμαι τὴν ἀρετὴν, καὶ τοσοῦδέ τινος τιμῶμαι τήνδε τὴν ὕλην.

Ἐτιμήσατο, ἐξηριθμήσατο. ὡς τὸ, ἐτιμήσατο τὴν ζωὴν αὐτοῦ ὁ βάρβαρος λυτρῶν τριακοσίων. καὶ ἐτιμήσατο, ἀντὶ τοῦ ἐζημίωσεν, ἢ κατεδίκασεν. τίμημα γὰρ, ἡ ζημία καὶ ἡ καταδίκη.

Ἐτίσατο, ἐτιμωρήσατο.

Ἔτισεν, ἐτίμησεν, ἔδωκεν.

Ἐτιμογράφησεν, ἐγγράφως καὶ ὡρισμένων αὐτοὺς ἐζημίωσεν.

Ἐτίναξε, διέσεισεν.

Ἐτίομεν, ἐτιμῶμεν.

Ἐτισάμην, ἐτιμωρησάμην.

Ἔτισεν, ἔδωκεν. ἀνθ' ὧν οἱ Φωκεῖς ἔτισαν δίκας βαρυτάτας.

Ἐτίταινε τραπέζας, ἐμφαίνει μὴ στρογγύλας αὐτὰς, ἀλλὰ προμήκεις εἶναι. ἢ καὶ ἄλλως, ἀποδιπλουμένας, καὶ οὕτω τεινομένας.

Ἐτίταλλον, ἔτρεφον.

Ἐτιτίει, ἐτίμα.

Ἐτίτρωσκον, ἔβαλλον τοῖς τοξεύμασιν, ἤγουν λόγχαις.

Ἐτιτρωσκόμεθα, ἐνεβαλλόμεθα.

Ἔτλη, ὑπέμεινε. τλῶ, καὶ ἐκ τούτου ῥῆμα εἰς μι τλῆμι. ὁ δεύτερος ἀόριστος, ἔτλην, ης, η.

Ἔτμαγον, ἐφοβήθησαν, ἔτεμον.

Ἔτμηξε, διεῖλε, διεσκέδασεν.

Ἐτνήρυσις, ἔπαιξεν Ἀριστοφάνης, ἀντὶ τοῦ φάναι τὴν σανίδα, τὴν ἐτνήρυσιν εἰπὼν παρὰ τὸ ἔτνος. ἔστι δὲ ἐτνήρυσις, ἡ ζωμάρυστρις. ἐτνήτας ἄρτος, οὕτως ὁ λεκυθίτας. ἢ ἐτνήρυσις τὸ κοχλιάριον, καὶ ἀθάρα μετὰ γάλακτος.

Ἔτνος, εἶδος ἀθάρας, οἱ δὲ ἀνδρεῖοι, καὶ πρὸς τὰς μάχας θαυμαστοὶ, ἔτνος ἐσθίουσιν, ὡς συντελοῦν αὐτοῖς πλεῖστα, ὡς οἱ περὶ ταῦτα δεινοὶ λέγουσιν. Ἄλλως.

Ἔτνος, ὃ νῦν φάβα οἱ ἰδιῶται καὶ ἄγροικοι λέγουσιν. ἢ ἔτνος τοῦ ψελλοῦ. ἔτνος δὲ ῥόφημά ἐστιν ἐξ ἀλεύρων παντοίων. καὶ ἔτνος, τὸ ὄσπριον.

Ἑτοιμάσατε, εὐτρεπίσατε.

Ἑτοιμάζωσι δεῖπνον.

Ἕτοιμον, πρόχειρον.

Ἕτοιμος, πρόχειρος, πρόθυμος, ἄοκνος, ταχὺς, ὀξὺς, ἔντονος, ἐνεργὸς, ἀπροφάσιστος, τῷ καιρῷ χρώμενος, ἐγρήγορος, σπουδαῖος, οὐδὲν ὑπερθέμενος, οὐδὲν ὑπερβαλλόμενος. τὰ δὲ ἐναντία, βραδὺς, μελλητὴς, χολαῖος, νωθρὸς, νωθὴς, ἀμελὴς, ἀμβλὺς, ἀργὸς διάγων, διαμέλλων, ὑπερβαλλόμενος, ὑπερθέμενος, τὸν καιρὸν παρείς. καὶ τὰ πράγματα τοῦ μὲν, ἑτοιμότης, ὀξύτης, ἐγρήγορσις, προθυμία, σπουδὴ, τάχος. τοῦ δὲ, χολὴ, χολεότης, μέλλησις, μελλησμὸς, βραδύτης, ἀναβολή.

Ἑτοίμως, ἐμπαρασκεύως.

Ἐτόλμα τετληότι θυμῷ. αὐτὸν τῷ, ἐκαρτέρει καὶ ὑπέμεινε. παρὰ δὲ τοῖς ὕστερον, εἶδός τι θαρσαλεότητος.

Ἐτονθόριζον, ἐψιθύριζον.

Ἐτόπασεν, ὑπενόησεν, ἐνόμισεν.

Ἔτορε, δεύτερος ἀόριστός ἐστιν, συγκοπεὶς ἀπὸ τοῦ ἐτόρησε κατὰ τὸ ἐχραισμεν, ἐδούπησεν, ἐδαρδάπτεν. ὠνοματοπεποίηται τὸ ἔτορεν, ὥσπερ καὶ τὸ θέμα αὐτοῦ. ἐξ οὗ κατὰ συγκοπὴν τὸ τρῶ, τρήσω. ἀπὸ δὲ τοῦ τορεῖν, καὶ φώνημα τορόν. τορόνη, σκεῦος μαγειρικόν. καὶ τόρος, καὶ ὁ τόρνος. ὅθεν καὶ ῥῆμα τορεύω, καὶ ἕτερον τορνῶ. ὡς τὸ, τορνώσαντο δὲ σῆμα. ἴσως δὲ καὶ ἡ Τορώνη κύριον. ἡ πόλις θρακικὴ, ὁμώνυμος περιαδομένη καὶ νῦν. ἢ ἔτορεν, ἐτρύπησεν, ἔτρησεν.

Ἐτόρευσεν, ἔτρυσεν, ἐτρύπησεν.

Ἔτος ὥριον παρὰ Θεοκρίτῳ, χρόνον μιᾶς ὥρας τοῦ χρόνου, ἤγουν τοῦ ἔαρος. ἢ ἐτὼς, παρέργως. ἔτος δὲ ὁ χρόνος, ἡ δοτικὴ τῷ ἔτει, καὶ πληθυντικῶς τὰ ἔτη. καὶ ἐτὼς Ἀριστοφάνης, οὐκ ἐτὼς, ματαίως.

Ἔτυσα, σταλαγμός.

Ἐτράπην, παρέτρεψα ἀλλαχόσε.

Ἔτραπεν, ἐνίκα.

Ἐτράπετο, ἐτρέπετο.

Ἐτράφησαν, καὶ ἐγένοντο. σχῆμά ἐστι κατὰ μέν τινας ὑστερολογίας. κατὰ δὲ ἄλλους πρωθύστερον, ἐπεὶ τὸ πρῶτον ὕστερον τίθησι, καὶ τὸ ὕστερον πρῶτον. τὸ γὰρ ἐγένοντο, πρῶτον τοῦ ἐτράφησαν. ὕστερον γάρ τις τρέφεται γεννηθῆναι φθάσας.

Ἐτραχηλίασεν, ἀντὶ τοῦ κατισχυρεύσατο, ἢ ἐγαυρίασεν.

Ἔτρεμεν, ἐφοβήθη.

Ἔτριβον, κατηνήλισκον.

Ἔτρεψεν, ἐπέτρεψεν, ἠπάτησεν, παρέτρεψεν Ἀρχίλοχος.

Ἔτρησεν, ἐτρύπησεν.

Ἐτρίβετο, ὑπερετίθετο, ἀνεβάλλετο. Μέχρι πολλοῦ διαφερομένων, ἐτρίβετο ἡ προσβολή.

Ἐτριέκοψεν, εἰς τριακάδας ἐνέγραψε, Σικελοί.

Ἐτρέψατο, ἐφυγάδευσεν.

Ἐτρόπωσεν, ἐνίκησε, κατέβαλεν.

Ἐτροφόρισεν, ἔθρεψεν.

Ἔτρυγεν, ἐξηράνθη ἐπὶ λίμνης.

Ἐτρύφη, ὠλίσθη, διέπεσεν.

Ἔτρυχεν, ἐδάμαζεν.

Ἐτρύχοντο, ἐταλαιπώρουν, κατεπονοῦντο.

Ἐτρύχωσεν, ἐξέτριψεν.

Ἐτρώθη, ἐπλήγη, ἔτρωσεν, ἔβλαψεν, ἔφθειρεν.

Ἔττακαν, ἔστησαν.

Ἐτισμένα, σεσεισμένα.

Ἐττία, ἑστία.

Ἐττῶν, ἐκ τῶν.

Ἐτύγχανεν, ἐπετύγχανεν.

Ἐτύθη, ἐσφάγη.

Ἔτυκτον, ἐτύγχανον.

Ἐτύλιξεν, ἐνείλησεν.

Ἐτυμᾶναι, σιτοποιῆσαι.

Ἐτυμβολόχησεν, ἔθαψεν.

Ἐτυμόδρυς, ἡ τὰς γλυκείας βαλάνους ἔχουσα.

Ἔτυμον, ἐτήτυμον, ἀληθές. καὶ ἔτυμον, ἀληθές.

Ἔτυμος, ὁ ἀληθής. παρὰ τὸ ἐτὸς, ὃ σημαίνει τὸν ἀληθῆ, γίνεται ἔτυμος, ὡς ἔλυμος ἐλυμός.

Ἐτυμολογία, ἀνάπτυξις λέξεων.

Ἐτυμπανίσθησαν, ἐκρεμάσθησαν, ἐσφαιρίσθησαν. ἢ εἰς ῥόπαλα ἀπέθανον, ἀπετμήθησαν.

Ἐτύμως, ἀληθῶς.

Ἐτύπτου, τὸ δεύτερον πρόσωπον γίνεται ἀπὸ τοῦ τρίτου. ἐκβολῇ τοῦ τ, καὶ κράσει τοῦ ε καὶ ο εἰς ου. οἷον ἐτύπτετο ἐτύπτεο ἐτύπτου κοινῶς, ἐτύπτεο Ἰωνικῶς. καὶ ἐτύπτευ Δωρικῶς, ὡς φείδεο φείδευ, καὶ ἐλέγεο ἐλέγευ.

Ἐτύχθη, κατεσκευάσθη.

Ἔτυχον, οὐκ ἔστι ποτὲ ἀντὶ ἐπέτυχον. τὸ γὰρ ἐπέτυχον, ἐπὶ καλοῦ μόνου λέγεται. τὸ δὲ ἔτυχον, ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ. δηλοῖ δὲ τὸ κατὰ τύχην ἐμπεσεῖν τινὰ εἰς καλὸν ἢ εἰς κακόν.

Ἔτυψεν, ἔθιγεν.

Ἐτώθαζον, ἔσκωπτον, ἐχλεύαζον. καὶ ἐτώθασαν, ἀντὶ τοῦ ἐκαυχήσαντο.

Ἐτώσια μοχθίζοντι, ἀντὶ τοῦ μάτην κάμνουσιν.

Ἐτώσιον, τὸ μάταιον.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Υ.

ΕΥ δίφθογγον, διότι μὴ ἔχουσα ἴδιον μέγεθος οὐ τρέπεται; χάριν εὐφωνίας οὐκ ἐτράπη παρ' ἡμῖν. παρὰ δὲ τοῖς Ἀθηναίοις τρέπεται τὸ ε εἰς η, καὶ προσλαμβάνει καὶ τὸ υ. οἷον εὔχομαι ηὐχόμην, καὶ ηὐφράνθην.

Εὖ σημαίνει τὸ ἰσχυρῶς, καὶ καλῶς, παρὰ τὸ ἐΰς, ἐῢ, καὶ ἐν συναιρέσει εὖ. ὡς ἀπὸ τοῦ ταχὺς, ταχὺ ἐπίρρημα. καὶ ἀπὸ τοῦ εὐρεὺς ἐπίρρημα εὐρύ, καὶ ὄνομα ἔτι εὐρύ. ὤφειλε δὲ βαρύνεσθαι, ὅτι ἡ βαρεῖα εἰς ὀξεῖαν οὐκ εἰς περισπωμένην μεθίσταται. περισπᾶται δὲ, ὅτι πᾶσα δίφθογγος τελικὴ εἰς υ ψιλὸν λήγουσα, καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται.

Εὖ, ὃ καὶ αὐτὸ παραβολῆς ἐστιν ἐπίρρημα, ὡς δηλοῖ τὸ εὖτ' ὄρεος κορυφῇσιν. ἐξ οὗ γίνεται τὸ ἠΰ. εὖ γὰρ, καὶ κατὰ διάλυσιν, ἐΰ. καὶ κατὰ ἔκτασιν ἠΰ. καὶ μετὰ παραπληρώσεως, ἠΰτε. ὥσπερ καὶ εὖ, εὖτε, καθὰ προείρηται. οὐχ ἧττον δὲ τοῦ εὖτε καὶ ἠΰτε ποιητικὸν ἐπίρρημα παραβολικὸν, τὸ ὥσπερ ἀντὶ τοῦ καθὰ κατὰ τοὺς τεχνικοὺς, καὶ τὸ ὥστε χερνῆτις γυνὴ, ἀντὶ τοῦ ὡς χερνῆτις, ὅ ἐστι πενιχρὰ κατὰ τὴν ὁμηρικὴν ἔριθον. γίνεται δὲ κατὰ Ἡρωδιανὸν οὕτως, ὡσείτε καὶ ὡσείπερ. καὶ ἀποβολῇ τοῦ σ, καὶ κράσει τοῦ ω καὶ ε εἰς τὴν ω δίφθογγον διὰ τὴν τοῦ ι συναίρεσιν, ὧτε, καὶ ὧπερ.

Εὐάκυει, ἐπαινεῖται. εὖ σημαίνει τὸ καλὸν, καὶ τὸ ῥᾴδιον. Ἱπποκράτης, εὐφόρως φέρουσιν.

Εὗ, αὐτοῦ, ἢ αὐτῆς. οὔτις εὗ ἀκήδησε. γίνεται ἀπὸ τοῦ ἕο, κατὰ κρᾶσιν, ὡς τὸ σέο σεῦ, ἐμέο ἐμεῦ. καί ποτε ἐγκλίνεται δίχα τόνου προφερόμενον.

Εὐὰ, τράγου φωνῆς μίμημα. ὁ δὲ τράγος ἐκ τοῦ φρέατος ἀπεπήδησε, τὸ αὐτὸ φωνήσας εὐά.

Εὖα, ἐπευφημιασμὸς ἡλιακὸς, καὶ μυστικὸς, καὶ ἔα.

Εὔα, ἡ πρώτη γυνὴ, ἡ μήτηρ πάντων, ἡ ζωὴ καὶ πρώτη παράβασις τοῦ κόσμου. εἰ καὶ Ἀδὰμ ὁ ἀνὴρ αὐτῆς, ζωὴν ταύτην κέκληκεν, ὡς ἐσομένην μητέρα τῶν ζώντων.

Εὐάγγαλον, εὐβάστακτον, εὐπροσαγγάλιστον.

Εὐαγγελίζομαί σε, καὶ περὶ ταύτης τῆς συντάξεως διασκεπτόμενος ἐπὶ συχνὸν δή τινα χρόνον, εἴτε αἰτιατικῇ συντακτέον αὐτῇ πτώσει, καὶ δοτικῇ, εὑρίσκω κατὰ δοτικὴν ἡρμοσμένην. Ἀριστοφάνους μὲν οὕτω λέγοντος ἐν τοῖς ἱππεῦσιν, εὐαγγελίσασθαι πρῶτος ὑμῖν βούλομαι. Φρύνιχος.

Εὐάγγελος, ὁ Ἑρμῆς.

Εὐαγγελίζομαι, οἱ πάντες δοτικῇ. ἅπαξ δέ που καὶ αἰτιατικῇ συντασσόμενον εὕρηται. ὡς παρὰ Χαρικλείᾳ, καὶ ἐν τῇ θείᾳ γραφῇ. σὺ δὲ δοτικῇ ἀεὶ σύνταττε.

Εὐαγγέλιόν ἐστι, κήρυγμα τῆς νέας σωτηρίας, ἢ λόγος περιέχων ἀγαθοῦ παρουσίαν. λέγεται δὲ εὐαγγέλιον, παρὰ τὸ τὰ κάλλιστα ἀπαγγέλλον, τὸ ἀγαθὰς ἀγγελίας φέρον, παρὰ τὸ εὖ μόριον, καὶ τὸ ἀγγελία.

Εὐαγὲς, ἁγνὸν, καθαρὸν, εὐσεβὲς, ὅσιον, εὐόπτον, ἅγιον.

Εὐαγὴς, καλῶς περιηγμένος, ἢ μεταφορικὸς κύκλος.

Εὐάγητον, καθαρὰν, λαμπράν. Ἀριστοφάνης, δροσερὰν φύσιν εὐάγητον.

Εὐάγκαλον, ἐλαφρὸν, εὐμαρῆ. ὁ δὲ Αἰνείας τοῖς ὤμοις τὸν πατέρα ἐπιθέμενος, ἐξῆγε φόρτον

ὡς ὑεῖ

Digitized by Google

ὡς ἐμοῦ φιλοπάτωρ, καὶ τοῦτον εὐάγκαλον.

Εὐαγὲς, θεοσεβῶς.

Εὐάγωγον, εὔχειρες, καλῶς ἀναγόμενον, ἢ εὐθήρατον, ἢ εὔληπτον.

Εὐαγῶν, μεγάλων.

Εὖ, ἀντὶ τοῦ ὀρθῶς, καλῶς, καὶ ἀντὶ τοῦ χρησίμως.

Εὐανακλήτως, συμπαθῶς. καὶ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας, εὐανακλήτως ἔχειν. καὶ εὐαναδιδάκτως, ἐπειδὰν αὐτοὶ ἐπανελθεῖν θέλωσιν.

Εὐανδρία, γενναιότης.

Εὐανθὴς γλῶσσα, ἡ ἄκρως ἠττικισμένη ὁμιλία. εὐανθὴς γλῶσσα, καὶ πολλῶν γέμουσα χαρίτων, καὶ μουσικῶν ἀπηχημάτων ἀπόζουσα.

Εὖ δρώοιμι, ἀντὶ τοῦ διακονοίην, ὑπηρετοίην. δρᾶν γὰρ τὸ ὑπηρετεῖν.

Εὖ εἱμένοι, ὅ ἐστιν ἐνδεδυμένοι, τὸ εὐειμονεῖν παράγει.

Εὖ ἔρξαντα, ἤγουν εὐεργετήσαντα.

Εὖ ζώουσιν, ἐξ οὗ ζωή, ἡ τοῦ ζῆν περιουσία. οἱ μέντοι μεθ᾽ Ὅμηρον σοφοί, ἐκ τούτου συνθέντες εὐζωΐαν, τὴν εὐδαιμονίαν φασίν.

Εὖ ἥκει χρημάτων, ἀντὶ τοῦ πλούσιός ἐστιν ἱκανῶς. καὶ εὖ ἥκει κάλλους, ἢ εὖ ἥκει μαθημάτων.

Εὖ ἥκει παιδείας, ἀντὶ τοῦ ἄριστα πεπαίδευται.

Εὖ καὶ ἐπισταμένως, τῆς αὐτῆς ἐννοίας εἰσίν. ὅθεν οἱ μεθ᾽ Ὅμηρον λαβόντες τὸ εὖ, ἑκάστου ἔργου φασίν, ὅτε κατ᾽ ἐπιστήμην γένηται.

* Εὔα πόλις Ἀρκαδίας.

Εὔαδε, δηλοῖ τὸ ἤρεσκε. γίνεται δὲ παρὰ τὸ ἥδω ἧδε, καὶ ἐν διαλύσει ἕαδε. καὶ αἰολικῶς εὔαδε, διὸ καὶ ψιλοῦται. Ἄλλως.

Εὔαδεν, ὅ ἐστιν ἤρεσεν, ἡδὺ ἔδοξε. προηγεῖται τὸ ἥδω, ὅθεν ἧδε. καὶ διαλύσει ἕαδε, καὶ αἰολικῇ ἐπενθέσει τοῦ υ εὔαδε. διὸ καὶ ψιλοῦται κατ᾽ ἔθος αἰολικόν. ἢ ἐκ τοῦ ἅδω τὸ ἀρέσκω. τούτου ὁ μέσος παρακείμενος ἧδα, ὁ δεύτερος ἧδον, καὶ κατὰ διάλυσιν τοῦ η εἰς ε καὶ α, ἕαδον, ες, ε, καὶ πλεονασμῷ τοῦ υ εὔαδον.

Εὐαδὲς, εὔπνουν.

Εὐάδης, εὐήνεμος. οἱ δὲ, εὐαής.

Εὐαεῖ, εὐκράτῳ.

Εὐάζει, θρηνεῖ, καλῶς ὑμνεῖ, ἐπιφθέγγεται.

Εὐαὴς, ὁ εὐήνεμος.

Εὔαθλος, ῥήτωρ συκοφάντης, οὗ μνημονεύει Ἀριστοφάνης καὶ ἐν Ἀχαρνεῦσι, καὶ Ὁλκάσιν. Οὗτός ἐστιν ἡμῖν πονηρὸς τοξότης συνήγορος, ὥσπερ Εὔαθλος. μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ, καὶ Κρατῖνος ἐν Θρᾴτταις.

Εὐαίως, εὐγήρως, εὐμοίρως.

Εὐαλδῆ, εὐαξῆ.

Εὐαλῶς, εὐχερῶς, θηρωμένως.

* Εὐαλῆνοι, ἔθνος.

Εὐαλωσία, Δημήτηρ, ὅτι μεγάλας τὰς ἅλως ποιεῖ, καὶ πληροῖ.

Εὐάλωτον, εὐκόλως χειρούμενον.

* Εὐαίμων, πόλις Ὀρχομενίων. τὸ ἐθνικὸν Εὐαιμόνιος.

Εὐαμερία, θεοσημία.

Εὐὰν, ὁ κισσὸς ὑπὸ Ἰνδῶν.

Εὖ ἂν ἔχοι, καλῶς ἂν ἔχοι.

Εὐάνασσα, ἡ Δημήτηρ.

Εὐανδρείας, καλῆς ἰσχύος.

Εὐανδρία, πλῆθος νέων.

Εὐανδρίας ἀγὼν, βάραθρον οὕτως ἐκαλεῖτο ἐν τῇ Θεσπρωτίᾳ.

Εὔανδρον χθόνα, τὴν ὑπ᾽ ἀρίστων ἀνδρῶν παροικουμένην λέγομεν.

Εὐάνθεμον, ὅπερ καὶ πάνθεμις, καὶ χαμαίμηλον λέγεται.

Εὐάνθεμον, ἡ ἀνεμώνη.

Εὐάνιος, ὁ μηδενὶ ἀνιώμενος, πρᾶος, πειθήνιος.

Εὐαντέα θεὸν, τὴν εὐάντητον, καὶ εὐεξίλαστον, ἢ εὐαπάντητον.

Εὐάντητος, εὐαπάντητος. ἔστι δὲ καὶ ὄνομα κύριον.

Εὐάντυγα, εὐάξονα.

Εὐαπόδεικτος, φανερός.

Εὐάρεστον, πάνυ ἀρέσκοντα.

Εὐάρηκτος ὄνειρος, εὐπαικτος.

Εὐάρης, εὔοπτος.

Εὐαρίθμητοι, ὀλίγοι.

Εὐαρχίσασθαι, ἀπάρξασθαι·

Εὐαρχίω, ἄρξομαι.

Εὔας, ὁ Διόνυσος.

Εὐασθενεῖν, εὐπαθεῖν.

Εὐασθενὴς, εὐπαθοῦσα, ἰσχυρά.

Εὐάσκεται, εὐωδεῖται.

Εὐαστὴρ, ἐπίθετον Διονύσου.

Εὐαφὲς, εὐμάλακτον, εὐψηλάφητον.

Εὐάφορα, εὐθεώρητα, εὔσκοπα. Κολωνὸν ἐπιλεξάμενος, ὑφ᾽ οὗ τά τε ἔμπροσθεν καὶ τὰ κατόπιν εὐάφορα ἦν, λόχον ἐπ᾽ αὐτοῦ ἔστησεν.

Εὐαφίδης, ἄφρων τις, ἐν ναύταις ἰσχυρός.

Εὖ βεβηκότα, εὐσταθῆ.

Εὐβοεῖς, ἐθνικὸν, οἵτινες τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττουσιν ἐπίθετα. ὡς τὸ παρ᾽ Ὁμήρῳ κλυτὸς ἱπποδάμεια, καὶ θερμὸς ἀϋτμὸς, καὶ αἰγὸς πολιοῖο. καὶ παρ᾽ Ἡσιόδῳ, δαϊζομένου πόληος. ὁμοίως δὲ καὶ τοῖς οὐδετέροις ὀνόμασιν ἀρσενικὰ καὶ θηλυκὰ ἐπίθετα, καὶ μετοχὰς ἀρσενικὰς καὶ θηλυκὰς ἐπιφέρουσιν. οἷον εὐφυὴς παιδίον, καὶ κόριον καλλίστη. καὶ γύναιον ἐρχομένη, καὶ μειράκιον λέγων. καὶ Ὅμηρος, τέκνον φίλε, τοῦτο δίδωμι.

Εὐβοίας μυχὸν, τὸ ἐνδότατον τῆς Εὐβοίας.

Εὐβουλὴς, ὁ Παλαμήδης, ὁ πολλῶν ἀρετῆς ἐπίφθονος.

Εὔβοια, τὰ καστάνια.

Εὔβοια, ἱερά ἐστι τῇ Ἥρᾳ. ἡ δὲ Εὔβοια Μάκρις ἐκαλεῖτο τὸ πρότερον. ὕστερον δὲ Εὔβοια, ἀπὸ Εὐβοίας τῆς Ἀσωποῦ τὴν κλῆσιν ἔχει. κατά τινας δὲ ἀπὸ τῆς Ἰοῦς ὠνομάσθη, ἣν εἰς βοῦν ἐξαλλαγῆναι μυθεύονται. οὕτω γάρ φασι καὶ Βοὸς αὐλὴ, ἄντρον παράλιον περὶ ταύτην τὴν νῆσον, ὅπου τὴν Ἰὼ τεκεῖν φασι Ἔπαφον. ὥστε βούλονται οἱ οὕτω λέγοντες τῆς ἀποβοωθείσης Ἰοῦς παρώνυμον εἶναι ταύτην τὴν Εὔβοιαν. περὶ ἧς καὶ ταῦτα ὁ Γεωγράφος φησίν, νῆσος Ἑλένη τραχεῖα καὶ ἔρημος καὶ παραμήκης ὅσον στάδια ἑξήκοντα τὸ μῆκος. ἧς ὁ ποιητὴς μέμνηται, ἐν τῷ, Νήσῳ δ᾽ ἐν Κραναῇ μίγην. μετὰ δὲ τὴν Ἑλένην, ἡ Εὔβοια πρόκειται, ὁμοίως στενὴ καὶ μακρά, ἣν τρόπον τινὰ μέρος τῆς Βοιωτίας πεποίηκεν ὁ Εὔριπος στενὸς ὤν, καὶ γεφύρᾳ συνεζευγμένος πρὸς αὐτὴν διπλέθρῳ. καὶ ὅρα γέφυραν ταύτην δίπλεθρον, ἧς καὶ προϊὼν μέμνηται ὁ Γεωγράφος εἰπών, ὅτι περὶ τὴν ῥηθεῖσαν δίπλεθρον γέφυραν πύργος ἑκατέρωθεν ἐφέστηκεν, ὁ μὲν ἐκ τῆς Χαλκίδος, ὁ δὲ ἐκ τῆς Βοιωτίας. ὅτι δὲ πολλαὶ Εὔβοιαι, δῆλον ἐκ τῶν παλαιῶν, οἳ καὶ τόπον ἐν Σικελίᾳ καὶ ἐν Ἄργει, καὶ ἐν Μακεδονίᾳ δὲ οὕτω κληθῆναί φασι. σημειοῦνται δὲ καὶ ὅτι Εὔβοιαν εἰπών, οὐδέποτε παρωνύμως τοὺς ἀπ᾽ αὐτῆς Εὐβοέας εἶπεν, ἀλλὰ Ἄβαντας. Ἄλλως.

Εὔβοιαν εἶδεν ὁ ποιητὴς, Εὐβοεῖς δὲ οὐ λέγει. ὥσπερ καὶ Ἴλιον λέγων, Ἰλιεῖς οὔ φησι τοὺς ἐξ αὐτῆς. οὕτω καὶ Σικελοὺς μὲν λέγει, Σικελίαν δὲ οὔ, ἀλλὰ Σικανίαν. καὶ ὁ Γεωγράφος δέ φησιν οὕτω, καὶ Βαβυλὼν μὲν πόλις, Βαβυλώνιοι δὲ τὸ ἐθνικὸν οὐκ ἀπ᾽ αὐτῆς, ἀλλ᾽ ἀπὸ τῆς χώρας. καὶ Πορφύριος δὲ ἐφιστᾷ, ὅτι τῶν ἐκ Ζελείας τὴν χώραν Λυκίαν ἐκάλουν, συνωνύμως τῇ ἐν τῷ Ξάνθῳ. τοὺς δὲ οἰκήτορας οὐ Λυκίους, ἀλλ᾽ ἑτερωνύμως Τρῶας. οὕτω δὲ καὶ τοὺς ἐξ Ἤλιδος εὑρήσομεν ἐν τῷ καταλόγῳ καλουμένους Ἐπειούς. ὁμοίως οἱ τῆς Ἀτραμυττηνῆς Θήβης, οὐ Θηβαῖοι, ἀλλ᾽ ἑτερωνύμως ἐλέγοντο Κίλικες.

Εὐβοίης, ὄνομα τῆς Τυχίου μητρός.

Εὐβοσίης, εὐτροφίας.

Εὔβοτα, εὐτραφῆ, καλὰ βοσκήματα ἔχοντα, βοτὰ γὰρ, τὰ πρόβατα.

Εὔβοτος γῆ, εὔτροφος, καλὰ βοσκήματα ἔχουσα.

Εὐβουλεὺς, ὁ Πλούτων. παρὰ δὲ τοῖς πολλοῖς, ὁ Ζεὺς ἐν Κυρήνῃ.

Εὐβουλία, ἐπιστήμη τοῦ σκέπτεσθαι ποῖα, καὶ πῶς πράττοντες, πράξομεν συμφερόντως. ἢ ἀρετὴ λογισμοῦ σύμφυτος.

Εὐβουλίας, φρονήσεως.

Εὔβουλος, φρόνιμος, συνετός.

Εὔβουλος, δημαγωγὸς ἦν οὗτος ἐπιφανέστατος.

Εὐγαίων, ὄνομα κύριον.

Εὐγάλακτες, εὔτροφοι.

Εὔγαμοι, ἐπίθετον Ἀθηναίων.

Εὖγε, καλῶς, ὁσίως. λέγεται καὶ ἐπὶ εἰρωνείας πολλάκις.

Εὖ, σημαίνει τὸ καλῶς. παρὰ τὸ ἐΰς, ὃ σημαίνει τὸν θεράποντα, ἢ τὸν ἀγαθόν. ὡς γὰρ ἀπὸ τοῦ τάχα γέγονεν ἐπίρρημα ταχύ, καὶ ὄνομα ταχὺ παιδίον, εὐρὺς εὐρύ. οὕτω καὶ παρὰ τὸ ἐΰς ἐΰ, καὶ ἐν συναιρέσει εὖ. ὤφειλε δὲ ὀξύνεσθαι. ἀλλὰ πᾶσα δίφθογγος τελικὴ εἰς υ λήγουσα, καὶ ἐφ᾽ ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται.

Εὔγειος τόπος, ὁ καλὴν ἔχων γῆν. καὶ οὐδετέρως εὔγειον, τὸ πρὸς τὴν δύσιν κείμενον.

Εὐγένεια, δόξα ἐκ γένους, καὶ ἡ καλὴ γενεά.

Εὐγενεῖς, ὧν ἡ πατρὶς περιφανής, καὶ τὸ γένος. εὐπατρίδαι δὲ παρ᾽ Ἀττικοῖς, οἱ αὐτόχθονες. καὶ κατὰ τοῦτο περιφανεῖς, οἷον εὖ ἔχοντες ἕνεκα τῆς πατρίδος. ὡς εἶναι τοὺς εὐγενεῖς, ἐπιπλέον τῶν εὐπατριδῶν. ὥστε εἴ τις εὐπατρίδης, καὶ εὐγενής. οὐ μὴν εἴ τις εὐγενὴς, μεγαλοπρεπὴς καὶ γενναῖος. καὶ εὐγενὲς ἦθος τὸ ἀστεῖον, καὶ πεπαιδευμένον, καὶ ὄγκον ἔχον. καὶ εὐγενὴς ψυχὴ, καὶ εὐγενὴς λόγος.

Εὐγενέστατος, εὐγενέστερος τῷ γένει.

Εὐγενὴς, ἐπὶ γένους, ἢ ἐπὶ πατρίδος.

Εὐγενίζω, ἀπὸ τοῦ εὐγενής.

Εὐγένιος, εὐγενὴς, καὶ εἶδος ἀμπέλου.

Εὐγηρόσιτος, ἔντιμος, καλὸς, γέρων, ἀξιότιμος.

Εὐγήρως, τοῦ εὐγήρω, καλλογήρως καλλογήρω. τὰ παρὰ τὸ γῆρας παραγόμενα ὀνόματα, κατὰ ἀποβολὴν τοῦ ς κλίνονται. τὰ δὲ παρὰ τὸ κέρας, οἱ μὲν κοινοὶ διὰ τοῦ τος κλίνουσιν. οἷον μονόκερως μονοκέρωτος, αἰγόκερως αἰγοκέρωτος. οἱ δὲ Ἀττικοὶ κατὰ ἀποβολὴν τοῦ σ καὶ ταῦτα. χρυσόκερως, χρυσόκερω.

Εὖ γεγονὼς Ἀττικοὶ, εὐγεγὼς ποιηταί.

Εὐγλωττογάστωρ, πεποίηται παρὰ τὸ διὰ γλώσσης καὶ διὰ λόγων τρέφεσθαι.

Εὔγματα, καυχήματα.

Εὐγμένος, εὐξάμενος.

Εὐγνάπτοις, καλῶς κατεσκευασμένοις.

Εὐγνοίης. εὐμαθὴς, εὐγνωμόνως, εὐμαθέως.

Εὔγνωμον μὴ λέγε, ὡς εὔδαιμον, ἀλλ᾽ εὐγνῶμον, ἄγνωμον καὶ σύγγνωμον. Θουκυδίδης, σύγγνωμον δ᾽ ἐστὶ τὸ ἀκούσιον, εὐγνῶμον δὲ, ἀνθρώπινον ὁ αὐτός φησιν.

Εὐγνωμοσύνη, ἡ εὐχαριστία, εὔνοια.

Εὔγνωστος, ὁ καλῶς ἐγνωσμένος.

Εὔγνωστος, φανερός.

Εὐδαιμονεῖ, εὐτυχεῖ, καλῶς πράττει.

Εὐδαιμονία, εὔρροια βίου. ἡ εὐδαιμονία ἐστὶν, ἀγαθὸν ἐκ πάντων ἀγαθῶν συγκείμενον. δύναμις αὐτάρκης πρὸς τὸ εὖ ζῆν, τελειότης κατ᾽ ἀρετὴν, ὠφέλεια αὐτάρκης ζωῆς. Ἄλλως.

Εὐδαιμονία ἐστὶν, αὐτάρκεια πάντων τῶν ἀγαθῶν. εὐδαιμονία ἐστὶ κατὰ Πλάτωνα, τὸ εὖ τὸν δαίμονα ἔχειν. δαίμονα δὲ λέγει, τὸ τῆς ψυχῆς ἡγεμονικόν. καὶ πάλιν τὴν εὐδαιμονίαν, τὸ τελειότατον ἀγαθὸν καὶ πληρέστατον λέγει, ὅτε δὲ βίον ὁμολογούμενον, καὶ σύμφωνον αὐτὴν ἀποκαλεῖ. καὶ ἔσθ᾽ ὅτε τὸ κατ᾽ ἀρετὴν τελειότατον. τοῦτο δὲ ἐν ἐπιστήμῃ τοῦ ἀγαθοῦ τίθεται, καὶ ἐν ἐξομοιώσει τῇ πρὸς θεόν, ὁμοίωσιν δὲ ἀποφαινόμενος δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως εἶναι. Ἀριστοτέλης δὲ τὴν εὐδαιμονίαν ἕξιν εἶναι τελείαν ἐν τοῖς κατὰ φύσιν ἔχουσιν, ἢ λέγει ἕξιν ἀγαθῶν.

Εὔδαιμον καὶ γηρῶντι, γῆρας εὐδαιμόν τε, καὶ μακαριστόν. καὶ εὐδαιμονέστατος, εὐτυχὴς πλουσιώτατος, μακαριστότατος. εὐδαιμονία δέ ἐστιν, εὔβοια βίου· καὶ εὐδαίμων, ὁ κατ᾽ ἀρετὴν ἐνεργῶν.

Εὐδαιμονίζω, ἔχει ἐναντίον τὸ κακοδαιμονίζω. Φίλων, εὐδαιμονιστέον μὲν οἰκίαν καὶ πόλιν καὶ χώραν, ὅταν ἔχῃ τινὰ σπουδαῖον. κακοδαιμονιστέον δὲ, ὅταν ἔρημος ᾖ τοιούτου.

Εὐδαιμονῶ ἐγὼ αὐτὸς, εὐδαιμονίζω δὲ ἕτερον. ἢ εὐδαιμονῶ, εὕδω, καθεύδω, εὐεκτῶ, εὐημερῶ, εὐθυμῶ, εὐροῶ, εὐρωστῶ, εὐσεβῶ, εὐσωματῶ,

Digitized by Google

μάτου, ἄφρονος, πάντα ἀμεταβάτως λέγεται.
Εὐδαίμων ὁ κατ' ἀρετὴν ἐνεργῶν, ὁ εὐτυχὴς, ὁ μακαριστός.
Εὐδαλαγῖνες, αἱ χάριτες.
Εὐδάμνας, εὐδάμαστος.
Εὔδαμος, φαρμακοπώλης, καὶ ἀμεμψίας, ἢ χρυσοπώλης, τετελεσμένους δακτυλίους πωλῶν. φιλόσοφος δὲ ἦν οὗτος ὁ Εὔδαμος, φυσικοὺς δακτυλίους ποιῶν πρὸς δαίμονα, καὶ ὄφεις, καὶ τὰ τοιαῦτα. ἐθεράπευον γὰρ τοὺς ὀφιοδήκτους, μᾶλλον δὲ τὴν ἀρχὴν οὐκ εἴων ὑπ' ὄφεων δάκνεσθαι. καὶ τοῦτον τὸν δακτύλιον, φαρμακίτην καλοῦσιν.
Εὐδάνεμος, ἄγγελος παρ' Ἀθηναίοις.
Εὐδαρκὴς, εὐόφθαλμος.
Εὗδε, ἐκοιμήθη.
Εὐδείελον, εὔδηλον, ἢ πρὸς δείλην κείμενον. οἷον πρὸς δύσιν εὐτόριστον.
Εὐδείελος Ἰθάκη, κατὰ κοινὸν ἐπίθετον ἡ εὔδηλος, ἤγουν εὐπερίοριστος, καὶ εὐόρατος. ἀπὸ τοῦ δῆλον. ἐξ οὗ κατὰ διάλυσιν δέελον, καὶ κατὰ σύνθεσιν εὐδέελον, καὶ ἐπενθέσει τοῦ ι εὐδείελον, τὸ εὐπερίοριστον καὶ εὐκατάληπτον. διὸ καὶ νῆσον ληκτηρίαν ὁ Λυκόφρων καλεῖ. καὶ ἄλλως δὲ, ἰδίως ἡ Ἰθάκη εὐδείελος. ὡς εὖ τῆς ὕλης ἔχουσα. ὅ ἐστιν εὔκρατος, καὶ οἱονεὶ εὐήλιος. ἢν ἢ ἐκ τοῦ εὔειλος, πλεονασμῷ τοῦ δ, ὃ καὶ ἐν τῷ ἐχθοδοπὸς γίνεται, καὶ κτιδανός. ἡ εὖ πρὸς δείλην κειμένη, ὅ ἐστι πρὸς δύσιν καὶ ζόφον. ὡς τῶν ἄλλων πέριξ αὐτῆς κειμένων, πρὸς ἠῶ τε ἠέλιόν τε.
Εὕδειν, καθεύδειν, κοιμᾶσθαι.
Εὐδείπνοις, θυσία τις Ἀθήνησι. καὶ ἡ τριτογενὴς, καὶ αἱ τοῖς νεκροῖς ἐπιφερόμεναι σπονδαί, ἤγουν πνοαί.
* Εὐδείπνη, νῆσος Λιβύης Φοινίκων. τὸ ἐθνικὸν, Εὐδειπναῖος.
Εὔδηλος, φανερός.
Εὐδιάσει, ἡσυχάσει.
Εὔδια, εἰρηνικά.
Εὐδιάβολον, διαβολῆς ἄξιον.
Εὐδία, καὶ εὔδιος, ἡ τοῦ ἀέρος ἠρεμία κυρίως, ἡ ἀβροχία. παρὰ τοῦ δεύω, τὸ βρέχω.
Εὐδιαῖος, χειμάρρους, καὶ ῥῆμα τῆς νεὼς, δι' οὗ ἡ ἀντλία ἐκρεῖ.
Εὐδιαῖον, τὸ γυναικεῖον μόριον. ἀπὸ τῶν ἐν τοῖς ὅπλοις γινομένων ῥημάτων διὰ τοὺς ὄμβρους. οἱ δὲ τὸν βρόχον, ἢ τὸν χείμαρρον ἐπιφημιζόμενοι.
Εὐδιάλογος, ὁ εὐόμιλος.
Εὐδιάλλακτος, ταχέως καὶ καλῶς διαλλαττόμενος.
Εὐδινὸς καιρὸς, ὁ εὐδίαν ἔχων. εὐδιεινὸς δὲ, ὁ ἄνεμος, δίφθογγον.
Εὐδικία, δικαιοσύνη· εὐδικίαν ὑποπεπορισμένος.
Εὔδινα, ἀργία, κατεσταλμένα.
Εὐδίνητα, εὔστροφα, εὐκίνητα. Τρύπανά τε εὐδίνητα, καὶ ὠκύεντα τέρετρα. ὅ ἐστι τρύπανα.
Εὐδίοδον, βάσιμον, εὐπόρευτον. ὡς τὸ, ἰσώρευον δὲ τὰ τεμνόμενα ξύλα, ἐπὶ τῆς μεταξὺ χώρας, ὡς εὐδίοδος ἦν.
Εὔδιον, ὃν ἡμεῖς σκεπεινὸν τόπον.
Εὐδιῶσαι, γαληνιῶσαι.
Εὔδμητον, καλῶς ᾠκοδομημένον.
Εὐδόκησαν, ἠβούλοντο, ἠθέλησαν, ἠγάπησαν.
Εὐδόκησας, τῆς σῆς ἠξίωσας οἰκειότητος. εὐδόκησα καὶ τὸ ἠθέλησα. εὐδόκησα, καὶ τὸ ἀναπαύομαι, καὶ τὸ ἀρέσκομαι. ὡς τὸ, ἐν ᾧ εὐδόκησα, ἐν τῷ Εὐαγγελίῳ.
Εὐδοκία, παρὰ τὸ καλῶς καὶ εὖ δεδόχθαι προσαγορεύεται. εὐδοκιμεῖ, ἡ εὐδοκία, τὸ ἐπ' ἀγαθοποιΐᾳ τοῦ Θεοῦ θέλημα, παρὰ τὸ καλῶς δεδόχθαι.
Εὐδοκίαν, τὴν ἐπ' εὐεργεσίᾳ βούλησιν, ἔθος τῇ θείᾳ γραφῇ καλεῖν. εὐδοκία καὶ ἡ σφοδρὰ ἐπιθυμία.
Εὐδοκεῖν, συγκατατίθεσθαι. ὁ δὲ ἔφη εὐδοκεῖν τοῖς λεγομένοις.
Εὐδοκιμεῖν, τὸ δόκιμον εἶναι. εὐδοκιμοῦντες μῦθοι, ἤγουν δόκιμοι γενόμενοι. ἀφ' οὗ παρευδοκιμεῖν, τῇ εὐδοκιμήσει τὸ παραδραμεῖν. ἤγουν νικῆσαι. ἢ εὐδοκιμεῖν, τὸ δόκιμον εἶναι. λέγεται ἐπὶ τῶν ἀπὸ δοκιμασίας καὶ πείρας φανέντων καλῶν. καὶ εὐδοκιμεῖν, διακωμᾶσθαι, ἀποβλέπεσθαι.
Εὐδοκιμώτερος, γενναῖος.
Εὐδοκουμένην, καλῶς προσδοκωμένην, ἀρέσκουσαν πίστιν ἔφην ποιήσειν εὐδοκουμένην.
Εὐδοκῶ, ἐπιθυμῶ, εὐφραίνομαι.
Εὗδον, ἔλεγον, ἐκοιμῶντο, ἐκάθευδον.
Εὕδοντι, δ' αἱρεῖ πρῶτος παροιμία ἀπὸ τῆς εὕδοντι κυρτὸς αἱρεῖ. λέγουσι δὲ, ὅτι ὅταν τοὺς κάρτους κάθωσιν, αὐτοὶ δὲ καθεύδουσιν. ὁ δὲ κυρτὸς αἱρεῖ τοὺς ἰχθῦς, Κρατῖνος Ἀντιλόγῳ.
Εὕδοντι, καθεύδοντι, κοιμωμένῳ.
Εὐδράνεια, ἰσχύς.
Εὐδῶς, εὐθέως, βεβαίως.
Εὐδρῶσι, καλῶς ποιοῦσιν.
Εὐδυνήμερος, εὔστοχος.
Εὐδώρου σέλας, ἱερόσυλος, ὁ εὔδωρος.
Εὐδώρη, ὄνομα νηρηΐδος. λέγεται ὡς καλλίδωρος.
Εὐδωσὼ, ἡ ἀφροδίτη, ἐν συρακούσαις.
Εὔεδνα, ἀγλαΐα.
Εὔεδρον, ἀσφαλῆ, βεβαίαν.
Εὐέθωκεν, εἴωθεν.
Εὐειδὴς, καὶ θεοειδὴς, διαφορὰν ἔχουσιν. εἴπερ ἀνδράσι μὲν τὸ θεοειδὲς, τὸ εὐειδὲς δὲ γυναιξὶν ἐπιλέγεται. καὶ ὅτι διαφέρετον κατὰ τοὺς παλαιοὺς, εὔμορφος καὶ εὐειδής. εὔμορφος γὰρ, ἡ εὐπρόσωπος. εὐειδὴς δὲ, ἡ κατὰ πᾶν τὸ ἐκτὸς καλὴ, καὶ ὡς εἰπεῖν ἡ εὖ ἔχουσα τῆς φυῆς. ὅπερ ἐστι περικαλὴς, ἐν συμμετρίᾳ τῶν μερῶν, καὶ μελῶν.
Εὐειδότες, καλῶς γινώσκοντες.
Εὐείκαστος, εὔκολος εἰς τὸ εἰκασθῆναι.
Εὐεκτεῖ, εὐρωστεῖ, ὑγιαίνει.
Εὔεκτον, εὐπειθῆ.
Εὐεκτῶς, σχετικῶς. ἢ εὐεικτῶς, εὐπειθῶς, καλῶς.
Εὔειλος τόπος, ὁ θερμός.
Εὐειμένος, εὐημφιεσμένος.
Εὐείρω, εἴπω.
Εὐέκτης, ὁ ἐν ὑγείᾳ διαζῶν. ἐπιμελεῖτο καὶ γυμνασίας, καὶ ἦν εὐέκτης.
Εὐελίδης, αὐθάδης, καὶ ὁ Ζεὺς ἐν Κύπρῳ.
Εὐελιέστερος, εὐαγωγός.
Εὐέλιον, ἐλιτὲς, ἐν ἱερείῳ.
Εὔελον, εὐήλιον.
Εὐέμπτωτος, εὐχερῶς πίπτων.
Εὐεξία, ἀκρότης ὑγείας. ἐπὶ καχεξίᾳ γὰρ γίνεται νόσος, ὡς καὶ ἡ εὐεξία, ἐπὶ τῇ ὑγείᾳ.
Εὔεξος, εὐφυής.
Εὐέπεια, ἡ καλὴ φράσις.
Εὐεπὲς, εὔλαλον, καλὴν ἔχον φράσιν.
Εὐεπιβόλως, σαφῶς, καὶ ὀρθῶς. καὶ εὐεπίβολος, ὁ καλῶς ἐπιβάλλων.
Εὐεπὴς, εὔλαλος.
Εὐεπιβούλευτος, ῥᾳδίως καὶ εὐχερῶς ἐπιβουλευόμενος.
Εὐεπίγνωστος, εὐκατάληπτος.
Εὐεργέα, καλῶς κατεσκευασμένα.
Εὐεργεσία ἦρα, ἐν ἀργῇ.
Εὐεργέος, εὖ εἰργασμένου.
Εὐεργέτης, ἀγαθοποιός. καὶ Διονύσου ἐπίθετον.
Εὐεργετικὸς, φιλότιμος, ἀγαθοποιός.
Εὐεργετῶ, τὸ εὖ ποιῶ. εὐεργετοῦμαι ὑπὸ σοῦ, τὸ εὖ πάσχω ὑπὸ σοῦ. Ἀριστοφάνης, Οὓς τέως εὐεργέτησα δεομένους, ἕξειν φίλους ᾤμην ὄντως βεβαίους εἰ δεηθείην ποτέ.
Εὐεργετῶ, δωροῦμαι. ἐκ τούτων ὀνόματα εὐεργέτης, καὶ εὐεργέτημα, καὶ εὐεργεσία. οὐκ ἔστι δὲ ἀπὸ τοῦ δωροῦμαι δωρητὸς, ἀλλὰ δῶρον καὶ δωρεά.
Εὐεργία, πρᾳότης, εὐπιστία.
Εὐεργὸς, διαφέρει τοῦ εὐεργής. καθότι εὐεργὴς μὲν, ἡ τεχνικῶς εἰργασμένη, εἴτε ναῦς, εἴτε οἰκία. οὕτω καὶ ἅρμα εὐεργὲς, τὸ κατὰ τέχνην εἰργασμένον. ἔτι εὐεργὴς, καὶ ὁ εὐεργετῶν. ὡς τὸ, οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων. εὐεργὸς, ὁ ὁ ἀγαθουργός.
Εὐερκεῖ, καλῶς, ἠσφαλισμένως, καὶ πεφραγμένως.
Εὐέριον μὴ λέγε, ἀλλ' εὔερον ἱμάτιον, τρισυλλάβως, καὶ ἄνευ τοῦ ι.
Εὐερκείας, ἀσφαλείας.
Εὐερκέος, εὐτείχου, εὐπεριβόλου.
Εὐερκὲς, ἀσφαλές.
Εὐερμεῖν, σημαίνει τὸ εὐτυχεῖν. καὶ εὐερμία, ἡ εὐτυχία.
Εὐερμὴς, εὐτυχής.
Εὐερμία, τὸ διὰ τὸν ἑρμῆν ἀγαθὸν ἕρμαιον, ὅ ἐστιν εὕρεμα. οὗ καὶ ῥῆμά ἐστι τὸ εὐερμεῖν. ἡ εὐερμία, ἡ εὐτυχία. ὡς δυσερμία, ἡ ἀτυχία. ἐντεῦθεν ὡς καὶ ἀλλαχοῦ εἴρηται ἡμῖν, τὰ ἀπὸ τῆς τύχης εὐρήματα, κοινὸν Ἑρμῆν ἔλεγον. ὡς Αἰλιανὸς, Μιθριδάτης δὲ τὴν ἀποδημίαν Λουκούλλου ἑαυτοῦ κατέγραφεν εὐερμίαν εἶναι. καὶ αὖθις, Ἀσπαζόμενος εὐερμίαν καιροῦ, καὶ ἀνάγκης καλούσης μὴ εἴκων κάκῃ.
Εὐεστάναι, εὐτελέχη.
Εὐερνὴς, εὐθαλὴς, βλαστός. ἔρνος γὰρ, ὁ κλάδος.
Εὐέρνης, εὐμήκης.
Εὔρον, εὔερον. ὥσπερ σισύραν εὐέριον.
Εὐεστοῖ, εὐθηνίᾳ, καταστάσει.
Εὐεστὼ, ἡ εὐθηνία. ἀπὸ τοῦ εὖ εἶναι, καὶ εὐδαιμονία. ἐπὶ τοῦ εὖ ἑστάναι τὸν οἶκον. ἢ ἀπὸ τοῦ δαψιλεῖν τὰ πρὸς τὸ ἐσθίειν, εὐεστηρία. ἢ παρὰ τὸ ἔτος, εὐετὼ καὶ εὐεστὼ, πλεονασμῷ τοῦ σ. σημαίνει δὲ καὶ τὴν εὐθένειαν, παρὰ τὸ εὖ ἑστάναι. εὐεστὼ γὰρ, εὐθηνία, εὐνομία, εἰρήνη, καὶ τὸ καλῶς διοικεῖσθαι. εὐεστὼ δὲ, ὅτι τὸ εὖ ἔστω εὐδαιμονία καλεῖται. ὥσπερ τὸ ἀειέστω, ἐπὶ τῆς αἰδιότητος.
Εὐετηρία, εὐθηνία, καλὸς ἐνιαυτός. ἢ καλῶς διάγεσθαι, καλοκαιρία.
Εὐεχηνσόμα, τὸ εὐφημεῖν. οὕτως Εὔπολις.
Εὔζηλος, ἐπὶ καλῷ ζηλουμένη.
Εὐζωΐα, καλὴ ζωή.
Εὐζώϊος, ὄνομα κύριον.
Εὔζωνοι, εὔοπλοι. ἢ εὔζωνοι, καὶ μονόζωνοι, οἱ εὐσταλεῖς καὶ κοῦφοι στρατιῶται, καὶ μὴ κατάφρακτοι. οὕτω Ξενοφῶν. ἢ ἐνίτινι χρώμενοι καὶ διαζωννύμενοι, ὅπλῳ.
Εὔζωνος. γυνὴ, ἡ πλουσία, καὶ πολυτελεῖ ζώνῃ χρωμένη. εὔζωνος δὲ ἀνὴρ, ὁ ἐλαφρὸς, καὶ μηδὲν περὶ τὴν ζώνην ἄχθος ἐπιφερόμενος. ἢ εὔζωνος, γυναικὸς ἐπίθετον, κατὰ καὶ τὸ βαθύπεπλος καὶ βαθύζωνος, καὶ τανύπεπλος. οἱ μέντοι μεθ' Ὅμηρον καὶ ὁ δίτῃ ἀπειρίστῳ, καὶ οὕτως εὐσταλεῖ, τὴν τοιαύτην λέξιν οἰκειοῦσιν, εὔζωνον ὁδοιπόρον λέγοντες τὸν ἀβαρῆ, καὶ ἐπέκεινα τοῦ ἐλαφροῦ ἱματισμοῦ, ζώνῃ μόνῃ σφιγγόμενον. διὸ καὶ μονόζωνος ὁ τοιοῦτος ἐρρέθη ποῦ. ὡσαύτως δὲ καὶ οἰόζωνος. καὶ εὔζωνος γυνὴ, ἡ πολυτελῶς ἐστολισμένη. ἀπὸ γὰρ τῆς ζώνης, πάντα τὸν στολισμὸν θέλει δηλοῦν. ὡς εὐκνήμιδας ἀχαιοὺς λέγοι Ὅμηρος, ἀντὶ τοῦ εὐόπλους, ἀπὸ τῶν κνημίδων πᾶσαν τὴν ὅπλισιν δηλῶν. καὶ κορύσσεσθαι, ἀντὶ τοῦ ὁπλίζεσθαι. καὶ θωρήσσεσθαι ἐπὶ τοῦ αὐτοῦ. τὸ μὲν ἀπὸ τῆς κόρυθος, τὸ δὲ ἀπὸ τοῦ θώρακος.
Εὐζώνως, εὐστόχως, μὴ ἔχων φορτίον.
Εὔζορον, καλοκέραστον. ζωρὸν γὰρ, τὸ ἄμικτον ποτὸν, καὶ ἄδολον.
Εὐηγενέος, ἀντὶ τοῦ εὐγενοῦς. πλεονασμὸν ἔχει τοῦ η. καθὰ σὺν ἄλλοις, καὶ τὸ ἐπήβολος, καὶ ἐπηετανὸς, καὶ ὑπερήφανος, καὶ εὐηγενέων, εὐγενῶν, πλεονασμῷ τοῦ η, ἢ τῶν εὐαρχουμένων. παρὰ τὸν ἀγὸν, ὃ σημαίνει τὸν ἡγεμόνα.
Εὐηγεσία, ἡ εὐαρχία. ἐκ τοῦ ἡγῶ ἡγέσω. ἐξ οὗ καὶ ὁ ἡγεμών· ὅθεν καὶ εὔαρχος, λέξις βασιλικὴ, παρὰ Λυκόφρονι, ἐν τῷ εὐάρχου μύλῳ, ἤγουν γρόνθῳ βασιλεῖ. ἔοικε γράφειν τινὰς καὶ εὐεργεσίας διὸ παρασημειοῦνται οἱ παλαιοὶ, ὅτι καλῶς λέγουσιν οἱ σὺν τῷ ρ γράφοντες.
Εὐηγεσία, ἡ εὐαρχία, ἐκ τοῦ ἡγῶ ἡγέσω.
Εὐηγορεῖν, εὐλογεῖν.
Εὐηγορία, ἡ καλλιέπεια.
Εὐηθείας, μωρίας, ἀνοίας.
Εὔηθες, ἐπὶ τοῦ βελτίονος.
Εὐηθίζω, τὸ μωραίνω.
Εὐήθης, καὶ ἐπὶ τοῦ ἀνοήτου λέγεται. ὃς λεχθείη ἂν καὶ μωρὸς, ἔμπληκτος, ἀπόπληκτος,

Digitized by Google

κτος, ἀσύνετος, ληρώδης, ἄνους, ἠλίθιος, ἀναίσθητος, ἀνάλγητος, ἀβέλτερος, ἐπίπληκτος, παραπλὴξ, ἔκφρων, ἄφρων. τὰ δὲ πράγματα, εὐήθειαν, ἄνοιαν, μωρίαν, ἐμπληξίαν, ἐμβροντησίαν. ἀφροσύνην, ἐκφροσύνην, ἀσυνεσίαν, παραπληξίαν, ἀποπληξίαν. τὰ δὲ ῥήματα, ἀνοηταίνειν, μωραίνειν, ἀνοηταίνειν, ἐμβεβροντῆσθαι, ληρεῖν, παραπεπλῆχθαι. καὶ ἐπιῤῥήματα, εὐήθως, ἀνοήτως, ἀφρόνως, ἐμπλήκτως, ἐπιπλήκτως, ἐκφρόνως, ἀσυνέτως. τὸ δὲ μωρῶς, λίαν εὐτελές. καὶ ἀνήθης γυνὴ, ἡ καλὰς ὑπ' αὐτὸ ἔχουσα διατριβάς.

Εὐηκῶν, εὖ ἠκονημένον, ἀκμάζον.

Εὖ ἥκει ἠθῶν, ὥσπερ λέγεται καὶ τὸ εὖ ἥκει φρενῶν, ἀντὶ τοῦ φρόνιμός ἐστι. καὶ εὖ ἥκει παιδείας, ἀντὶ τοῦ εὖ ἔχει. καὶ εὖ ἔχει συνέσεως, καὶ εὖ ἔχει ῥώμης, ἀντὶ τοῦ εὖ πέφυκεν εἰς τόδε.

Εὐήκης αἰχμὴ, ἡ εὖ ἔχουσα τῆς ἀκῆς, ὅ ἐστι τῆς ἀκμῆς καὶ ὀξύτητος, ἣν καὶ ἀκωκὴν φαμέν. τῷ δὲ τόνῳ, βαρυτόνως φέρεται, ὡς καὶ τὸ ταναήκης.

Εὐήκοος, σωζόμενος, εὐδαίμων.

Εὐηκῶν, πλευρῶν, εὖ πράττων.

Εὐηλάκατος, περὶ βέλη, ἢ ἔργα εὐπρεπής.

Εὐήλατον, καλῶς ἐληλαμένον, ἢ ἐλαυνόμενον.

Εὐήλατος, ὁ πεδινός. καὶ ἀνάλωτος χῶρος, εὐέλατος.

Εὐήλιος, καθαρός.

Εὔηλος, διὸς ἱερὸν ἐν μεγάροις, καὶ ἐν κορίνθῳ. ἢ εὔηλος, ὁ εὔχωρος.

Εὐημερία, εὐδαιμονία.

Εὐημεροῦσαν, ἑκάστῃ ἡμέρᾳ εὖ διάγουσαν.

Εὐήμικτον, εὐπαγές.

Εὐημονία, ἐμπειρία.

Εὐημένους, εὐωδίνου, καλοὺς ἔχει μαστούς.

Εὐήνιον, καλῶς ἡνιοχούμενον, ἐπὶ μηδενὶ ἀνιώμενον, πρᾶον. ἡνία γὰρ, τὰ λῶρα.

Εὐηνιώτατα, Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. εὐήνιός ἐστι. πρᾶος, καὶ μέτριος, καὶ μὴ ταραχώδης. ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων. ἔστι τοὔνομα καὶ παρὰ Πλάτωνι, ἐν τῷ ἐννάτῳ τῶν νόμων.

Εὐηνίνη, τύπου ἐστὶ πατρωνυμικοῦ θηλυκοῦ, καὶ δηλοῖ τὴν θυγατέρα τοῦ Εὐήνου. οὕτω καὶ Ἀδραστίνη, ἡ τοῦ Ἀδράστου. καὶ Ὠκεανίνη, ἡ τοῦ Ὠκεανοῦ. εἰ δέ τινα καὶ διὰ τοῦ ωνη πατρωνυμοῦνται, ὡς ἡ Ἀκρισιώνη. καθ' ὁμοιότητα τῆς διώνη καὶ τῶν τοιούτων, ἑτέρου λόγου. φασὶ δὲ περὶ τοῦ τοιούτου εὐήνου, ὡς γαμβροκτόνος καὶ αὐτὸς ἦν κατὰ τὸν Οἰνόμαον. εἰς ἁρματηλασίαν γὰρ τοὺς μνηστῆρας τῆς θυγατρὸς προκαλούμενος, καὶ τῷ διεκφυγόντι αὐτὸν διώκοντα, εἰς ἀριστεῖον διδοὺς αὐτήν. καὶ τοὺς λειπομένους, ὅ ἐστιν ἡττωμένους, καρατομῶν, καὶ τὰς κεφαλὰς τῆς οἰκίας ἀπαιωρῶν εἰς ἐκφόβησιν, δεινὰ ἐποίει. ἐπεὶ δὲ ὁ Ἴδας ὑπερήλασεν αὐτὸν, ἁρπάσας τὴν Μάρπησσαν, καὶ ἐκεῖνος ἐπιδιώξας οὐ κατέλαβε, κατασφάττει μὲν τοὺς ἵππους, ἑαυτὸν δὲ ῥίπτει εἰς τὸν πρὶν μὲν Λυκόρμαν ποταμὸν, ἀπ' ἐκείνου δὲ Εὔηνον. ὅτι δὲ ὁ Ἴδας Λυγγέως ἦν ἀδελφὸς, καὶ ὡς ἄριστος ἦν τοξότης, φαίνεται. ὅς γε καὶ τῷ Ἀπόλλωνι κατὰ μῦθον ἀντικατέστη, ἁρπάζοντι κατὰ ἔρωτα τὴν Μάρπησσαν, οὐκ ἐθέλουσαν. ὡς καὶ ὁ Λυκόφρων ἱστορεῖ. καὶ φαίνεται μὲ ἀμυθήτου κάλλους αἴνιγμα εἶναι ὁ τοῦ Ἀπόλλωνος ἡλίου, εἰς τὴν ἡρωΐδα ταύτην ἔρως, ὡς ἀξιοθέατον, καὶ οἷον ἡλιώδη τὸ εἶδος, καὶ διὰ τοῦτο τῷ ἡλίῳ πρέπουσαν. περιάδεται δὲ ὅμως, ἄλλως τὸ φίλανδρον τῆς Μαρπήσσης. ἣν ὁ μῦθος λέγει πολλά τε κλαῦσαι, ὅτε ὑπὸ Ἀπόλλωνος, ἡρπάγη. καὶ αἵρεσιν σχοῦσαν προελέσθαι Ἀπόλλωνος, τὸν αὐτῇ συγγηράσαντα θνητὸν Ἴδαν. οὗ δὴ πάθους καὶ μνήμην ἡ Μάρπησσα κειμηλιουμένη, τὴν ἐξ αὐτῆς καὶ τοῦ Ἴδου κλεοπάτραν Ἀλκυόνην ἐκάλει. ὅτι δὲ ἡ ἀλκυὼν τὸ ὄρνεον πολλὰ καὶ αὐτὴ ἔπαθεν εἰς πένθος, αὐτὴν προκαλουμένη λέγει ὁ μῦθος. φέρεται γὰρ λόγος, ὅτι συζυγία τις ἀνδρὸς καὶ γυναικός. Κήυξ δὲ ὁ ἀνὴρ ἐκαλεῖτο. ὃς ἐς τοσοῦτον ἦλθε φυσήματος, ὡς ἐθέλειν τὸν μὲν Διὸς καλεῖσθαι ὀνόματι, τὴν δὲ τῆς Ἥρας κλήσει καλλωπίζεσθαι. καὶ αὐτοὶ μὲν οὕτως ἐποίουν. Ζεὺς δὲ ἀχθεσθεὶς τῆς ὕβρεως, μεταβάλλει τοὺς ἀνθρώπους εἰς ὄρνις. καὶ τὸ κακὸν προσαύξων, ἀναγκάζει χειμῶνός τε νεοττεύειν αὐτοὺς, καὶ περὶ αἰγιαλόν. ὅθεν καὶ ἀλκυόνες ἐκλήθησαν, διὰ τὰ παρὰ τὴν ἅλα κύειν. ἐπεὶ δὲ τὰ ὠὰ σεισμοῖς ἐκλύζοντο, καὶ ἦν ὁ τόκος ἀτελεσφόρητος, καὶ οὐκ εἶχε τὸ γένος διαδοχὴν, ἦν αὐτοῖς πολὺ πένθος. καὶ τοῦτο ἐπὶ πολύ. ὁ Ζεὺς οὖν, ἀλλὰ καὶ αὐτὸν οἶκτος εἰσέρχεται, καὶ ἐπανεστρέφει τοῦ θυμοῦ, καὶ κατελεεῖ τοὺς γοεροὺς ὄρνις, καὶ ἐπιτάττει τῷ καιρῷ γαλήνην, καὶ γίνεται, καὶ οἱ ὄρνις ἐπωάζουσι, καὶ εἰς φῶς ἐκφαίνουσι νεοσσούς. καὶ τοῦτο γενόμενον τοῖς εἰς ὀπίσω καὶ ἐπὶ πολλοὺς χαραμεῖναν ἐνιαυτοὺς τὰς Ἀλκυονίδας ἡμέρας ἔφηνε.

Εὐήνορα χαλκὸν λέγει Ὅμηρος, τὸν εἰς ἀνδρείαν παλαίποτε συντελοῦντα, ὅτι εἰς ὁπλοποιίαν χρήσιμος ἦν. οὐκ ἐνεργείᾳ δὲ τοιοῦτος, ἀλλὰ δυνάμει καὶ εὐήνορα οἶνον λέγει, τουτέστιν ἀνδρείας περιποιητικὸν, εἰ πίνοιτο συμμέτρως. ὁ γὰρ ἄμετρος, καὶ οὐδὲ ἐν καιρῷ προσφερόμενος, ἀπογυιῶσαι τε ἔχει, καὶ ἀνήνορα θέσθαι.

Εὔηνος, ποταμὸς Αἰτωλίας.

Εὐήνυστα, ἀκατόρθωτα.

Εὐήνιον, εὐπειθές, καλῶς ἡνιοχούμενον.

Εὐηπελεῖς, πρᾶοι, ἤπιοι.

Εὐηπελία, εὐθηνία, εὐεξία.

Εὔηραξ, πλάγιον.

Εὐήρας ἵππους, εὐαγώγους, καὶ εὖ ἡρμοσμένους.

Εὐήρες, εὐέλαστον, εὖ πεποιημένος πρὸς τὸ ἐρέσσειν.

Εὔηρες, εὐάγαγον, ἀπὸ τῆς εἰρεσίας.

Εὐηρέστησα, ἤρεσα.

Εὐηρημένοι, πεπορισμένοι.

Εὐηρόπατον, τὸ καλὴν ἔχον γῆν, τὸ κάλλιστον τῆς γῆς.

Εὐήροτον, καλῶς ἠροτριωμένον.

Εὐητηρία, εὐδαιμονία, καλὸς ἐνιαυτός.

Εὐήτριον, εὐκοίλιον. καὶ εὐήτριον, ἱμάτιον καλοῦ φαντὸν, εὐϋφές.

Εὐήτριος χιτὼν, ὁ λεπτὸς, καὶ εὐαφής.

Εὐηφενέων, εὐπλουτούντων.

Εὐηχὲς, εὔφωνον, εὔφημον.

Εὐηχερία, εὐηρία, εὔπλοια.

Εὐθαλεῖς, εὐθησαυροφύλακες.

Εὐθαλέοντι, εὐδαιμονοῦντι.

Εὐθαρσῶς ἔπνει. Δέξιππος, ὁ δὲ πάντα τὸν ἀνθιστάμενον τιθεὶς ἐν δευτέρῳ, ἐκ τῆς πείρας εὐθαρσῶς.

Εὐθεῖαν, ἀτρέπτως, εὐθεῖαν ἐδόκει ἐλαύνειν, ὡς ἐπὶ σελεύκειαν. καὶ αὖθις. ὁ δὲ κτεῖναι μὲν αὐτὸν ἐκ τῆς εὐθείας ἔδεισεν. Ἄλλως. Εὐθεῖαν, τῆς δὲ τριβῆς τὰ αἴτια οὐ δυνατὸς γενέσθαι εὐθεῖαν παρὰ βασιλέα ἐλάσαι, τῷ δεῖσαι τὰς φυλακὰς τὰς ἀξιδάρου, καὶ περιελθεῖν ἐν κύκλῳ, καὶ οὕτω διαμακροῦ ἀφικέσθαι.

Εὐθεῖν, ἐλθεῖν.

Εὐθεῖ, ἤρει.

Εὐθεῖα, ἀντὶ γενικῆς παρὰ τοῖς Ἀττικοῖς, ὡς παρὰ Ἀριστοφάνει λαμβάνεται ἐν Λυσιστράτῃ. εἰρημένον δ' αὐταῖς ἀπαντᾶν ἐνθάδε βουλευσομέναις, οὐ περὶ πράγματος φαύλου εὕδουσι, καὶ οὐχ ἥκουσι. καὶ Ὅμηρος, οἱ δὲ δύο σκόπελοι. Θουκυδίδης ἐν τρίτῃ, οἱ δὲ Ἀθηναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες, ὡς ἑώρων ἀπήγγειλαν οἱ στρατηγοί. ἀντὶ τῶν δὲ Ἀθηναίων καταπλευσάντων.

Εὐθεῖαι πολλαὶ μονάζουσι, πλαγίας μὴ ἔχουσαι. οἷον ἡ γυνὴ, τοὔδωρ, ὁ μάρτυς, τὸ ἧδος, ὃ δηλοῖ τὴν ἡδονήν. τὸ ὄφελος, τὸ ἦτορ. ἀλλὰ ἡ γυνὴ ἔχει τὴν αἰτιατικὴν γυνήν, ὡς λέγουσί τινες τῶν παλαιῶν. ὡς δὲ πολλαὶ τῶν εὐθειῶν, ὡς εἴρηται, πλαγίας οὐκ ἔχουσιν, οὕτω καὶ πολλαὶ τῶν πλαγίων ὀρφαναί εἰσιν. ὥσπερ μητέρων τῶν εὐθειῶν, αὐτίκα ἡ τοῦ μάρτυρος γενικὴ εὐθεῖαν οὐκ ἔχει κοινὴν ἀνάλογον, ληγουσαν εἰς ρ, οὐδὲ γυναικὸς οὐδὲ ὕδατος, οὐδὲ φρέατος, οὐδὲ διός.

Εὐθένεια, ἡ εὐθηνία.

Εὔθεος, εὐόμιλος. καὶ ὁ εὐθεῖος, ὁ σώτυχος.

Εὐθενεῖν, ἢ εὐθηνεῖν.

Εὐθενία δὲ οὐ λέγουσιν, οὐδὲ εὐθηνία, ἀλλὰ εὐθηνεία.

Εὐθέος, φανεροῦ, ὀρθοῦ.

Εὐθέρα, μέρος τι τῆς νεώς.

Εὐθὲς, ἁπλῶς τὸ μὴ ἑλικοειδὲς, μὴ δὲ ἔχον τινὰ σκολιότητα, ἄν τε ἱστάμενον, ἄν τε κείμενον.

Εὐθέσθαι, καλῶς διοικῆσαι.

Εὐθεστίην, τὴν ἐγγενέτην τοῦ σώματος ἕξιν. λέγεται δὲ καὶ ὁ ἐνιαυτὸς, παρὰ τῷ Ἱπποκράτει.

Εὐθετῆσαι, κοσμῆσαι, συνθεῖναι.

Εὐθερίζει, εὖ διατίθησιν, ὀρθῶς.

Εὐθετίζω, ἀλήθειαν λέγω.

Εὐθηλήμονα, μόχθον.

Εὐθήμονα, εὔθετον, εὐσχήμονα.

Εὐθημοσύνη, τάξις, ἱερὸν, καὶ πολιτικὸν διήγημα.

Εὐθηνία, ἡ εὐφορία, εὐθηλία τις οὖσα.

Εὐθηνῶν, εὐδαιμονῶν, πλουτῶν.

Εὔθικτον, εὐαφὲς, εὐψηλάφητον, καὶ εὐθίκτως. εὔθηκτον δὲ διὰ τοῦ η, τὸ καλῶς ἠκονημένον.

Εὔθρασα, ἀσθενέστερα.

Εὐθρόοισιν, εὐήχοις.

Εὔθρυπτα, σαθρά.

Εὐθὺ, ἐπίῤῥημα πρὸς γενικὴν, ἤγουν ἐπ' εὐθείας. καὶ εὐθὺ ἀθηνῶν οἱ Ἀττικοὶ, οὐκ εὐθείας. καὶ εὐθὺ, ὀρθὸν, ἁπλοῦν, ἐγγὺς, παραχρῆμα, εἰς εὐθεῖαν. καὶ ἰθὺ φέρεσθαι, ἐναντίον ὁρμᾶν. ἢ ἰθὺ, κατ' ἐναντίον. σημαίνει καὶ τὸ ἕως, καὶ εἰς οἷον. καὶ εὐθὺ ὁρμᾶ, ἀντὶ τοῦ καλῶς. καὶ παραχρῆμα καὶ τὸ τέως καὶ τὸ ἐξ ἀληθείας, καὶ ἀσκόπως. πολλοὶ τὸ εὐθὺ, ἀντὶ τοῦ εὐθὺς λέγουσι, διαφέρει δέ. τὸ μὲν γὰρ τόπου ἐστὶν, εὐθὺ ἀθηνῶν. τὸ δὲ, χρόνου. καὶ λέγεται σὺν τῷ σ. καὶ εὐθὺ τοῦ διὸς ἀντὶ τοῦ πρὸς τὸν δία.

Εὐθυβόλος, εὐστόχως, εὐσκόπως.

Εὐθυβόλῳ, ἐξ εὐθείας βάλλοντι, ἢ πλέοντι. ἢ εὐθυβόλῳ, ἀντὶ τοῦ συνετῷ.

Εὐθυγενὴς, ἴσα, καὶ πρὸς τὸ εὐθὲς τεταγμένος.

Εὐθύγλωττος, ἦν δὲ καὶ εὐθύγλωττος παρὰ τοῦ δέοντος, ἀντὶ τοῦ ἀληθής.

Εὐθυδήμονα, ἁπλοῦν δημότην, Εὐριπίδης Ἀντιόπῃ.

Εὐθυδικία, ὅταν εἰσάγηταί τις κριθησόμενος περὶ ὧν μηδὲ πω γνῶσις ἐγένετο, δικαστηρίου εὐθυδικία καλεῖται.

Εὐθυεπίαις, ὀρθολογίαις.

Εὐθυκαίνα, ἡ χοῖνος, διὰ τὸ εὐθέως κτείνειν, καὶ δύναται εἶναι εὐθυκταίνα.

Εὐθυκρέων, ταχύς.

Εὐθυκτέσαν, εὖ πεφυκυῖαν, εἰς ὀρθόν.

Εὐθυλήπτων, εὐχερῶς κρατουμένων. οὐκ εὐθυλήπτων ὄντων τῶν ἐπιθυμουμένων.

Εὐθυμία, ἡ ἐν τῇ ψυχῇ τέρψις, καὶ τὸ ῥῆμα εὐθυμοῦμαι Ἀττικῶς, κατὰ παθητικὴν μὲν κλίσιν φερόμενον, ἐνέργειαν δὲ δηλοῦν. ὅπερ ἐνεργητικῶς εὐθυμῶ οὐ γράφεται. καὶ ἀπὸ τούτου εὔθυμος, ὁ φαιδρὸς, καὶ κατὰ ψυχὴν γεγηθώς. οἷς ἐναντίον, ἡ ἀθυμία. καὶ τὸ ῥῆμα, ἀθυμῶ, καὶ οὐκ ἀθυμοῦμαι. ὥσπερ τὸ εὐθυμοῦμαι μὲν, εὐθυμῶ δὲ οὐδαμῶς κατ' Ἀττικοὺς, ἀπὸ γοῦν τοῦ ἀθυμῶ, λέγεται ἄθυμος ὁ δειλὸς, καὶ ἄνανδρος, λέγεται ἄθυμος καὶ ὁ ἀόργητος.

Εὔθυμος, εὔψυχος, περιχαρής.

Εὐθύμονι ἀοιδῇ, εὖ διατεθειμένῃ, εὐρύθμῳ, εὐποιήτῳ. θεῖναι γὰρ, τὸ ποιῆσαι.

Εὐθῦναι, δικαία, διόρθωσις, ἐξέτασις.

Εὐθῦναι, τιμωρίαι, δίκαι.

* Εὐθυναὶ, πόλις Καρίας. τὸ ἐθνικὸν καθ' ἡμᾶς Εὐθυναῖος. κατ' ἐκείνους δὲ, εὐθηνεύς.

Εὐθύνη, ὄνομα ἀρχῆς παρ' ἀθηναίοις. δέκατον ἀριθμὸν ἦσαν οἱ ἄνδρες, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες, ἢ ἄρξαντες, ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. διείλεκται περὶ αὐτῶν Ἀριστοτέλης, ἐν τῇ ἀθηναίων πολιτείᾳ.

Εὐθυνθῇ, δικασθῇ.

Εὐθύνιον, εὔτακτον, εὐπειθές.

Εὔθυνοι, δικασταὶ, εὐθυνταί. παρὰ τὸ εὐθύναι, τὸ ἐξετάσαι, οὓς ἡμεῖς λογιστὰς λέγομεν νόμων. δώδεκα δὲ ἦσαν, διὸ δεῖ πάντας τοὺς εὐθύνους θαυμαστῶς πᾶσαν ἀρετὴν

μετιέναι. ἐκ τοῦ ῥητορικοῦ ἡ λέξις.

Εὐθυμοῦνται, ὁρμῶνται.

Εὐθύνονται, κρίνονται, ἐρωτῶνται, δίκας εἰσπράττονται, ἢ ἀπαιτοῦνται, ἢ ὑπεύθυνοι.

Εὔθυνος, εὐθυντὴρ, δικαστικὸς, χρεώστης, κυβερνήτης, διορθωτής. ὁμοίως καὶ εὐθυντής.

Εὐθυντηρία, τὸ ἐν τῷ ἐδάφει σύμπηγμα ὑπὸ τῶν ἀρχιτεκτόνων, καὶ μέρος τι τῆς νεώς.

Εὐθύνω, τὸ κατ' εὐθεῖαν ἄγω, καὶ κυβερνῶ, ἢ τὸ εὐθὺς ποιῶ. ἔστι δὲ εὐθὺς, τὸ μὴ σκολιότητα ἔχον. εὐθύνω καὶ τὸ κολάζω. ἐξ οὗ καὶ εὐθύνη, καὶ ἀπευθύνω, ὁμοίως. εὐθύνη, ἡ ἐξέτασις. Δημοσθένης, ἐν ταῖς εὐθύναις τῶν στρατηγῶν. ὅθεν καὶ εὐθύνη, ἡ τιμωρία. διὰ τὸ τοὺς ἐξεταζομένους κολάζεσθαι, ἀναφανέντας κακούς. καὶ εὐθύνω ῥῆμα, τὸ εἰς ἐξέτασιν ἄγω, καὶ τὸ κολάζω, καὶ τὸ κατ' εὐθεῖαν ἄγω, ὃ καὶ ἀπευθύνω λέγεται. καὶ εὐθύνομαι, εἰς ἐξέτασιν ἄγομαι, καὶ κολάζομαι, καὶ βασανίζομαι. ἀπὸ τούτου τοῦ ῥήματος, εὔθυνος. Λιβάνιος, Δικαιοσύνης ἀκριβὴς εὔθυνος ἵδρυται, ἤγουν τοῦ δικαίου, οἱονεὶ ὀρθότης καὶ στάθμη.

Εὐθύρημος, ἐτυμολόγος, εὐθὺς, ἀντίος.

Εὐθὺς, ἀντὶ τοῦ ἐν ἀρχῇ. καὶ εὐθέως, παραυτίκα.

Εὐθύθριχας, ὀρθότριχας.

Εὐθυφερὲς, εἰς ὀρθὸν φερόμενον.

Εὐθυωρὸν, Ἀντιφῶν ἀντὶ τοῦ κατ' εὐθεῖαν. καὶ Ξενοφῶν, αὐτῇ τῇ ὥρᾳ, καὶ δὴ εὐθυωρὸν ἀπεβίω.

Εὔια, δίψα.

Εὐιάδες, ἄμπελοι.

Εὐϊλατεύοντα, εὐμενῆ ὄντα, εὐσυμπάθητον, ἐλεοῦντα. καὶ εὐϊλατεύειν, ἀντὶ τοῦ εὐμενίζειν.

Εὐΐλατον, ἵλεω.

Εὐιξία, ἀκριβεῖ εὐφυΐᾳ ἔχων τὸν νοῦν. εὐθιξία πρὸς τὴν θεραπείαν εὐθυβολοῦντα.

Εὐίου, διονυσιακοῦ.

Εὔιρον, πρόβατον μαλακόν.

Εὐισατία, εὐπιστίας.

Εὔϊθι, καλῶς γίνωσκε.

Εὐίων, διονυσιακῶν.

Εὐκαιρεῖν, πλουτεῖν οὐ λεκτέον, ἀλλ' εὖ σχολῆς ἔχειν.

Εὐκαιρία χρόνου, ἐπιτηδειότης. ἐν ᾧ χρὴ παθεῖν τι ἢ ποιῆσαι. εὐκαιρία καὶ ὁ πλοῦτος. ὁ δὲ θαυμάσας τὴν τῆς ἀκροπόλεως εὐκαιρίαν.

Εὐκαλεῖ, ἀτρεμίζει.

Εὐκαλεία, ἡσυχία, εὐκαμία.

Εὔκαλον, ὅσιον.

Εὐκαρδίως, προαιρετικῶς. ἡ δὲ κόρη ὑπακούει τοῦ εὐπροθύμως, καὶ εὐκαρδίως.

Εὖ κατὰ ξένου. Ἀριστοφάνης, οἱ κατὰ ξένου λέγοντες, εὐκόλως λέγουσιν, ὡς κατὰ ξένων. καὶ οὐ πολιτῶν δημηγοροῦντες.

Εὐκατάπρηστος ὕλη, ἡ εὐχερῶς καιομένη, καὶ εὐκατάκαυστος.

Εὐκατάτροχος, εὐκατάφορος.

Εὐκατεργάστου, εὐχειρώτου, εὐδιαλύτου, τῆς οἰνομίας οὔσης εὐκατεργάστου.

Εὐκέατον κυπάρισσον, λέγει Ὅμηρος. τὸ δὲ εὐκέατον, ἐτυμολογία κέδρου, ὡς οὕτω λεγομένης, παρὰ τὸ κεάσαι ῥᾷον. ὅ ἐστι σχίσαι, κλάσαι. ἢ εὐκέατον, τὸ εὔσχιστον, καὶ ξηρόν.

Εὐκερματεῖν, ἀηδὲς πάνυ. ἥδιστα δ' ἂν εἴποις εὐπορεῖν κερμάτων, Φρύνιχος.

Εὔκερος βοῦς, ὁ καλὰ κέρατα ἔχων. εὔκαιρος δὲ, ὁ καλὸς καιρὸς, καὶ εὐκαίρως ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἁρμοζόντως, εἰς καιρὸν δέοντα.

Εὐκηλήτειρα, ἡσυχάστρια, ἡ καταπαύστρια.

Εὐκυλία, ἡσυχία.

Εὔκηλος, ἥσυχος, πρᾶος, σῶος, εὐόμιλος, στάσιμος, εὔδοξος, ὁ καλῶς θελγόμενος. ἡ εὖ πρὸ ἀφόνου ψιλοῦται, πλὴν τοῦ εὕδω.

Εὔκλεια, ἡ δόξα, ὡς τὸ ἡγεῖσθαι μὲν ἀγαθὸν οὐδὲν εἶναι τὴν εὔκλειαν. ἀντιποιεῖσθαι δὲ αὐτῆς ἱκανῶς, ὠφελείας ἕνεκα τῶν ἄλλων ἀνθρώπων. καὶ αὖθις Ἰώσηπος, θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν.

Εὐκλείας. τῆς εὐκλείας λέγει συναιρεθὲν συνήθως, διὸ καὶ προπερισπᾶται, διὰ τὸ συνεστάλθαι τὴν λήγουσαν.

Εὐκλήεις ἀραρυῖα, εὔκλειστος, καὶ ἀσφαλής.

Εὐκλεέης, ὁ αἰδήμων, καὶ ὀνομαστὸς, καὶ εὐειδής.

Εὔκλεισον, ἀντὶ τοῦ δόξης καὶ εὐκλείας ἀξίωσον. Πρόφρων ἁματέραν εὔκλεισον γενεάν.

Εὐκλεῶς, ἐπιφανῶς.

Εὐκλεὲς, ἔνδοξον.

Εὐκληρίας, εὐτυχίας, εὐημερίας.

Εὔκληρον δρυὸς, εὔσχιστον, εὔξυλον, εὔκαυστον.

Εὐκλύζεσθαι, ἐνδοξάζεσθαι.

Εὔκμητον, εὐλίκμητον, εὐπαγῆ.

Εὐκνήμιδες παρ' Ὁμήρῳ, ἀντὶ τοῦ εὔοπλοι, εὐφυῶς ἔχοντες ἐν τοῖς ὅπλοις. ἤτοι πολεμισταὶ, ἀπὸ μέρους τῆς πάσης ὁπλίσεως νοουμένης.

Εὐκολεῖν, ὅπερ νῦν εὐβουλεῖν. ἀμφισεῖς δὲ γυναικομανίαν.

Εὐκολίδες, αἱ τῆς εὐκολίας ποιητικαί.

Εὔκολος, ἁπλοϊκὸς τὸν τρόπον, καὶ ἐλευθέριος, ἢ ὁ ἐναντιούμενος τῷ δυσκόλῳ. ὁ δὲ ἁπλοῦς ἐστὶ καὶ μάλα εὔκολος.

Εὔκολος, ὁ ἀφελὴς καὶ ἕτοιμος εἴς τι. καὶ εὔκολον, τὸ εὐμεταχείριστον. καὶ εὐκολία, ἑτοιμότης, καὶ ἡ ἄνεσις. ὡσαύτως λέγεται ἐλευθερία ἡ ἄνεσις καὶ ἡ μεγαλοψυχία. εὐφημία, ὁ ἔπαινος καὶ ἡ τῶν λόγων καλλιρρημοσύνη.

Εὐκομιδὴς, εὐηγμένος, εὐκόμιστος ἐν ἐπιμελείᾳ.

Εὐκόμιστος, ἐπιμελείας εὖ τετυχηκώς. κομιδὴ γὰρ ἡ ἐπιμέλεια.

Εὔκομοι, εὔτροφοι, καλλίκομοι.

Εὐκοπώτερον, ῥᾴδιον.

Εὐκράδιον, εὐστόμαχον, παρὰ τῷ Ἱπποκράτει.

Εὐκραὴς, ἀντὶ τοῦ εὔκρατος.

Εὐκράντη, ὄνομα Νηρηΐδος. λέγεται διὰ τὸ εὐκατόρθωτον, ἢ διὰ τὸ εὐκράτως διδόναι τὴν ἀέρας.

Εὔκραξ, εὐκέφαλος, εὔκρατος.

Εὐκρίνεια, ἡ καθαρότης.

Εὐκρινὲς, εὐχερὲς, καθαρὸν, σαφὲς, εὐδιάλυτον.

Εὔκρεκτος κιθάρα, ἤγουν εὔηχος.

Εὐκρινὴς, συνήθως μὲν ὁ ἐξ ἀρρωστίας ὑγιάνας. λέγεται δὲ διὰ τὸ εὖ κεκρίσθαι. οὗτος δὲ ἐπὶ τοῦ νεκροῦ τίθησι κατ' ἀντίφρασιν. σημαίνει δὲ καὶ τὸ εὐχερὲς καὶ καθαρὸν, καὶ σαφές.

Εὐκρινῆ, εὔκολα.

Εὔκριτος, ὄνομα κύριον.

Εὐκρινῶς, σαφῶς, καθαρῶς.

Εὐκταῖα λέγεται ἀγαθὰ, ἅ τις εὐχόμενος αἰτεῖ. καὶ τὸ ἀττικώτερον, εὐκτά. λέγουσι δὲ καὶ εὐχωλιμαῖα.

Εὐκταῖον, εὐχῆς ἄξιον, πολύτιμον, ὑγιές.

Εὔκταξαι, εὔχου.

Εὐεκτῶς, ὑγιῶς,

Εὐκτήμονος, πλουσίου.

Εὐκτιμένη, εὖ οἰκουμένη.

Εὔκτιτον, καλῶς κατεσκευασμένον, εὖ κεκτισμένον.

Εὐκτὸν, εὐχῆς ἄξιον, ἐπιθυμητικόν.

Εὐκτικῶν αἱ καταλήξεις τρεῖς, εἰς μι, εἰς μην, καὶ εἰς ην καθαρόν. καὶ τὰ μὲν εἰς μι ἐνεργητικά εἰσιν, ἢ μέσα, οὐδέποτε παθητικά. τὰ δὲ εἰς μην, ἢ παθητικά εἰσιν, ἢ μέσα, οὐδέποτε ἐνεργητικά. τὰ δὲ εἰς ην καθαρὸν, ἢ ἐνεργητικά εἰσιν ἢ παθητικὰ, οὐδέποτε μέσα. ἔτι λήγει ἢ παραλήγεται ἀεὶ εἰς δίφθογγον οι, ἢ αι, ἢ ει, ἢ εἰς ω καταχρηστικὴν δίφθογγον. οἷον τύπτοιμι, οις, οι. τύψαιμι, αις, αι. τυφθείην, είης, είη. καὶ ἐπὶ περισπωμένων ποιοῖμι, χρυσοῖμι, βοῷμι. ὁμοίως ἐπὶ τῶν παθητικῶν καὶ μέσων ὅπου δυνατόν ἐστιν, οἷ ἔχει ἐπὶ ἐνεστῶτος καὶ ἐπὶ παρακειμένου, καὶ ἐπὶ ἀορίστου δευτέρου, καὶ ἐπὶ μέλλοντος πρώτου καὶ δευτέρου, καὶ ἐπὶ ἐνεστῶτος καὶ ἀορίστου τῆς τρίτης συζυγίας τῶν εἰς μι ῥημάτων. οἷον τύπτοιμι, οις, οι. τετύφοιμι, οις, οι. τύποιμι, οις, οι. τύψοιμι, οις, οι. τυποῖμι, οῖς, οῖ. διδοίην, οίης, οίη. δοίην, δοίης, δοίη. ὁμοίως ἐπὶ τῶν παθητικῶν χωρὶς τοῦ παρακειμένου, ὃς γίνεται διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος. οἷον τετυμμένος εἴην, εἴης, εἴη. αι, ἐπὶ τῶν ἐνεργητικῶν πρώτων ἀορίστων, καὶ μέσων. οἷον τύψαιμι, τυψαίμην. καὶ ἐπὶ τῶν ἐνεστώτων καὶ ἀορίστων τῆς δευτέρας συζυγίας τῶν εἰς μι ῥημάτων, ἱσταίην, καὶ σταίην, καὶ ἱσταίμην, αιο, αιτο. ει, ἐπὶ τῶν πρώτων ἀορίστων, καὶ δευτέρων παθητικῶν. οἷον τυφθείην, είης, είη. τυπείην, είης, είη. καὶ ἐπὶ ἐνεστώτων, καὶ ἀορίστων τῆς πρώτης συζυγίας τῶν εἰς μι ῥημάτων. οἷον τιθείην, είης, είη. θείην, είης, είη. ὁμοίως καὶ ἐπὶ τῶν παθητικῶν. οἷον τιθείμην, θείμην. ω καταχρηστικῇ διφθόγγῳ ἐπὶ ἐνεστῶτος τῆς δευτέρας συζυγίας τῶν περισπωμένων. οἷον βοῷμι, βοῷς, βοῷ. ὁμοίως ἐπὶ τῶν παθητικῶν. οἷον, βοῴμην. Ἰστέον, ὅτι τὰ εὐκτικὰ πάντα τῶν ἐνεργητικῶν βαρυτόνων ῥημάτων καὶ περισπωμένων καὶ τῶν εἰς μι, γίνονται ἀπὸ τῆς γενικῆς τῆς ἰδίας μετοχῆς, τῶν βαρυτόνων καὶ τῶν εἰς μι, τροπῇ τῆς τελευταίας εἰς μι, καὶ ἐκβολῇ τοῦ ν καὶ προσθήκῃ τοῦ ι. χωρὶς τοῦ δευτέρου μέλλοντος, καὶ τῶν ῥημάτων τῆς πρώτης καὶ τρίτης συζυγίας. ἐφ' ὧν τρέπεται τὸ υ εἰς ι. ἐπὶ δὲ τῶν ῥημάτων τῆς δευτέρας, προσγράφεται τὸ ι. οἷον, ὁ τύπτων τοῦ τύπτοντος, τύπτοιμι. ὁ τετυφὼς τοῦ τετυφότος, τετύφοιμι. ὁ τύψας τοῦ τύψαντος, τύψαιμι. ὁ τυπὼν τοῦ τυπόντος, τύποιμι. ὁ τύψων τοῦ τύψοντος τύψαιμι. ὁ τυπῶν τοῦ τυποῦντος, τυποῖμι. ὁ ποιῶν τοῦ ποιοῦντος, ποιοῖμι. ὁ χρυσῶν τοῦ χρυσοῦντος, χρυσοῖμι. ὁ βοῶν τοῦ βοῶντος, βοῷμι. τιθεὶς τιθέντος τιθείην, θεὶς θέντος θείην, ἱστὰς ἱστάντος ἱσταίην, στὰς στάντος σταίην, διδοὺς διδόντος διδοίην, δοὺς δόντος δοίην. ὁμοίως ἐπὶ πρώτου καὶ δευτέρου ἀορίστου τῶν παθητικῶν. οἷον, ὁ τυφθεὶς τοῦ τυφθέντος τυφθείην, ὁ τυπεὶς τοῦ τυπέντος τυπείην. Τὰ εὐκτικὰ παθητικὰ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τῶν βαρυτόνων ῥημάτων καὶ τῶν εἰς μι, γίνονται ἀπὸ τῶν παθητικῶν ἐνεστώτων, τροπῇ τῆς τελευταίας εἰς μην, καὶ προσθήκῃ τοῦ ι. οἷον, τύπτομαι τυπτοίμην, λέγομαι λεγοίμην, τίθεμαι τιθείμην, ἵσταμαι ἱσταίμην, δίδομαι διδοίμην. τῶν δὲ περισπωμένων τῆς πρώτης καὶ τῆς δευτέρας συζυγίας, ὁμοίως ἀπὸ τῶν ἐνεστώτων τροπῇ τοῦ υ εἰς ι, καὶ τῆς τελευταίας εἰς μην. οἷον, ποιοῦμαι ποιοίμην, χρυσοῦμαι χρυσοίμην. ἢ ἀπὸ βαρυτόνου εὐκτικοῦ, συναιρέσει τοῦ ε καὶ οι, ποιεοίμην ποιοίμην. καὶ τοῦ ο καὶ οι, χρυσοοίμην χρυσοίμην. τῶν δὲ τῆς δευτέρας συζυγίας ῥημάτων, ἀπὸ τοῦ ἐνεστῶτος, τροπῇ τῆς τελευταίας εἰς μην, προσγεγραμμένου τοῦ ι. οἷον, βοῶμαι βοῴμην, βοῷ βοῷτο. ἢ ἀπὸ τοῦ βαρυτόνου εὐκτικοῦ, τῇ συναιρέσει τοῦ α καὶ τοῦ ο εἰς ω μέγα, προσγεγραμμένου τοῦ ι. οἷον, βοαοίμην βοῴμην. Ὁ παρακείμενος τῶν βαρυτόνων ῥημάτων, γίνεται διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος. οἷον, τετυμμένος εἴην, εἴης, εἴη. ὁμοίως ἐπὶ πάντων τῶν βαρυτόνων ῥημάτων. ἐπὶ δὲ τῶν περισπωμένων γίνεται ἀπὸ τοῦ παθητικοῦ παρακειμένου, τροπῇ τῆς τελευταίας εἰς μην, προσγεγραμμένου τοῦ ι, ἐν τῇ παραληγούσῃ. οἷον, πεποίημαι πεποιήμην, βεβόημαι βεβοήμην, κεχρύσωμαι κεχρυσώμην. ὁ μέλλων πρῶτος καὶ δεύτερος καὶ μέσος μέλλων πρῶτος πάντων τῶν ῥημάτων, ἀπὸ τῶν ὁριστικῶν μελλόντων γίνονται, τροπῇ τῆς τελευταίας εἰς μην, καὶ προσθήκῃ τοῦ ι. οἷον, τυφθήσομαι τυφθησοίμην, τυπήσομαι τυπησοίμην, τύψομαι τυψοίμην. ὁ δὲ μέσος δεύτερος, τροπῇ τοῦ υ εἰς ι, καὶ τῆς τελευταίας εἰς μην. οἷον τυποῦμαι τυποίμην. λεγοῦμαι λεγοίμην. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων πάντων.

Εὐκτικῶν, τὰ μὲν γράφεται μετὰ τοῦ ἂν, καὶ μέλλοντος σημασίαν ἔχουσιν. οἷον δικαίως μέμψαιτ' ἄν τις Ἀριστοφάνει κατηγοροῦντι Σωκράτους ἀντὶ τοῦ δικαίως μέμψεται. τὰ δὲ δίχα τοῦ ἄν. καὶ ἀπὸ τούτων τὰ μὲν λαμβάνεται ἀντὶ παρεληλυθότος, ὡς καὶ παρὰ Λιβανίῳ, ὡς εἴ τις ζητήσας καρπὸν πολὺν παρὰ τῆς Δήμητρος, εἶτα τυχὼν ἄχθοιτο τῇ φορᾷ, ἀντὶ τοῦ ἤχθετο. καὶ ὠναίμην τῶν ἀθηνῶν ὁπόσα βούλει ἂν, ἀντὶ τοῦ ὠφελήθην. τὰ δὲ τίθεται ὡς κυρίως εὐκτικὰ, ἢ ἐλλειπτικῶς νοουμένου τοῦ εἴθε, ὡς ἐνταῦθα, καὶ μένοι γέ σε, ἀντὶ τοῦ εἴθε μένοι. καὶ παρὰ Συνεσίῳ, κακῶς ὁ δεῦρό με κομίσας ἀπόλοιτο ναύκληρος. ἀντὶ τοῦ, εἴθε διαφθαρείη. καὶ διαρραγείης ὡς μόθων εἶ, ἀντὶ τοῦ εἴθε διαρραγείης. ἢ κειμένου καὶ τοῦ

εἴθε

εἴθε ὡς παρὰ Θεοκρίτῳ, εἴθε γενοίμαν ἁ βομβεῦσα μέλισσα, καὶ ἐς τὸ σὸν ἄντρον ἱκοίμαν. πολλάκις κειμένου τοῦ εἴθε μετὰ τοῦ εὐκτικοῦ λαμβάνεται τὸ εὐκτικὸν ἀντὶ τοῦ παρῳχημένου, ὡς καὶ παρ' Ὁμήρῳ, εἴθ' ὣς ἡβώοιμι. βίη δέ μοι ἔμπεδος εἴη. εὐκτικὰ δύναται λαμβάνεσθαι ἀντὶ παρεληλυθότων χρόνων, ὅταν ἔχωσιν ἔμπροσθεν τὸ ὡς. οἷον, ὡς ποιήσειεν.

Εὐκτικὰ λαμβάνονται ἀντὶ ὁριστικῶν, ὅταν τὶς διηγῆται ὡς ἐξ ἑτέρου εἰπόντος. οἷον ὅταν τὶς περὶ Πρωτεσιλάου διηγῆται ὡς ὁ Πρωτεσίλαος λέγει, ὅτι εἰ ἀποθάνοι μὲν δὴ Ἑλένην ἐν Τροίᾳ, ἀναβιώη δὲ ἐν Φθίᾳ Λαοδαμείας ἐρῶν. γίνεται δὲ τοῦτο διὰ τὸ ἐνίοτε μὴ πιστῶς ἔχειν τὸν διηγούμενον πρὸς τὰ λεγόμενα, ἀλλ' οἷον διστάζειν. τὰ μὲν εὐκτικὰ δισταγμῷ προσήκει, ἢ ὁ εὐχόμενος διστάζει, εἰ ἀκουσθήσεται. τῶν εὐκτικῶν χρῆσις ἀντὶ τῶν παρεληλυθότων ὁριστικῶν, τῶν Ἀττικῶν ἐστιν. ἢ εὐκτικὰ ἀντὶ παρῳχημένων, πολλάκις λαλοῦσιν οἱ Ἀττικοί. οἷον ἐπεὶ ἔλθοι ὁ δεῖνα, ἀντὶ τοῦ ἦλθε. καὶ ὡς δὲ λαλήσοι, ἀντὶ τοῦ ἐλάλησε, καὶ ἄλλα τοιαῦτα. οὕτω καὶ τό, ἦ γὰρ ἂν νῦν ὕστατα λωβήσαιο, ἀντὶ τοῦ τὰ ὕστατα ἐλωβήσω, ἤγουν ὕβρισας.

Εὐκτιμένην λιμένον, ἤγουν καλῶς οἰκουμένην λέγει ὁ ποιητὴς, καὶ ἠγαθέην. καὶ ἀλωὴν εὐκτιμένην, ἔστιν εὑρεῖν παρ' αὐτῷ.

Εὐκτὸν, ἐπιθυμητικόν.

Εὐκτῶς, μετὰ εὐχῆς, ἢ εὐχερῶς.

Εὔκυκλον, στρογγύλον.

Εὔκυκλος ἀπήνη. ἡ εὔτροχος ἅμαξα, ἐπεὶ καὶ κύκλα λέγονται οἱ τροχοί. ὅθεν καὶ κυκλήσειν ἐν Ἰλιάδι, τὸ ἐφ' ἁμαξῶν ἀγαγεῖν.

Εὐλάβεια, φυλακὴ ἀπὸ κακοῦ, ἢ ἐπιμέλεια φυλακῆς. καὶ εὐλάβεια, εὔνοια, καὶ σκέψις, καὶ ἡ καθαρότης, καὶ ὁ φόβος, καὶ ὄνομα κύριον.

Εὐλαβεῖσθαι, ἀντὶ τοῦ φοβεῖσθαι. καὶ ἀντὶ τοῦ φυλάττεσθαι, καὶ ἀντὶ τοῦ αἰδεῖσθαι. καὶ εὐλάβεια ὡσαύτως. εὐλαβὴς μέντοι καὶ ἐπὶ ἀρσενικοῦ, ὁ εὔληπτος, καὶ εὐλαβὲς ἐπὶ τοῦ αὐτοῦ.

Εὐλαβὴς, ὁ εὖ τῶν γραμμάτων ἐπιλαβόμενος, ὁ μὴ προχείρως τι ποιῶν, ἢ καὶ ὁ εἰς λαβὴν ἐπιτήδειος, οἷον εὐλαβὴς μάχαιρα. ἢ ὁ εὖ προσλαμβάνων τὸ μέλλον. δύσληπτος δὲ, ὁ δυσχερὴς ἀπὸ τῶν χειρῶν.

Εὐλαβοῦ, φυλάσσου. ὡς τὸ, εὐλαβοῦ δὲ μὴ ἐκφύγῃς.

Εὐλάζει, καθαρᾷ, σκωληκιᾷ.

Εὐλαὶ, σκώληκες σαρκῶν, παρὰ τὸ εἰλεῖσθαι, τροπῇ τοῦ ι εἰς υ.

Εὐλακία, ἡ ἄρτεμις.

Εὐλὰς ἐγγίνωνται, ὅ ἐστιν ἐγγενήσωσιν. εὐλαὶ δὲ, ὡς καὶ ἀλλαχοῦ, οἱ τοῖς τεθνεῶσιν ἐγγενόμενοι σκώληκες. ἅς ὁ ποιητὴς ἑρμηνεύων φησίν, αἵ φῶτας ἀρηιφάτους κατέδουσιν. ὡς εἶναι σκώληκας νεκροφάγους. τὰς εὐλάς.

Εὔλαχα, τὸ ἄροτρον παρὰ Θουκυδίδῃ.

Εὖ λέγει, ἢ κακῶς λέγει, κρεῖττον ἢ εὐλόγει, ἢ κακολογεῖ.

Εὐλημάτει, λήματος καὶ ἀνδρείας εὖ ἔχει, Αἰσχύλος Κερκυόνῃ Σατυρικῷ.

Εὔληρα, ἡνία, ἅπαξ Ὅμηρος ἔφη τὴν τοιαύτην λέξιν. γίνεται δὲ παρὰ τὸ εἰλεῖν, ὅθεν καὶ ἡ εὐλή. τροπῇ τοῦ ι εἰς υ, δι' ὧν ἔστι τοὺς ἵππους εἰλεῖσθαι, ὅ ἐστι στρέφεσθαι. καὶ ἔστι μὲν ταυτὸν ἡνία ἔχειν, καὶ εὔληρα ἔχειν, πλὴν ἐκεῖθεν μὲν ὁ ἡνίοχος σύγκειται, οὔσης τῆς λέξεως. ἀπὸ δὲ τοῦ εὔληρα ἔχειν, τολμηρὸς ἂν εἴη ὁ ἀναιδευσάμενος συνθῆναι ὄνομα.

Εὐλήρης, εὐήρειος.

Εὐληροσιῶν, πληγῶν.

Εὔλητο, ἐπέφυρτο, ἐπεπάρακτο.

Εὔληπτον, τὸ εὔκολον, καὶ ταχέως λαμβανόμενον.

Εὐληπτότερον εὐχερέστερον.

Εὐλιμένη, ὄνομα νηρηίδος. λέγεται, διὰ τὴν τοῦ λιμένος τοῖς ἐκ ζάλης ἐρχομένοις ἡδονήν.

Εὐλογεῖν, εὐμορεῖν.

Εὐλόγηκεν, ὕμνησε, καὶ ἀντὶ τοῦ ἐβλασφήμησεν.

Εὐλόγησεν, ὕμνησεν. εἴρηται δὲ παρὰ τῇ θείᾳ γραφῇ καὶ κατ' ἀντίφρασιν, ἀντὶ τοῦ ἐβλασφήμησεν.

Εὐλογῆσαι, ἐπαινέσαι, ὑμνῆσαι, ἐγκωμιάσαι. Ἀριστοφάνης, εὐλογῆσαι βουλόμεθα τοὺς πατέρας.

Εὐλογία, πληθυσμὸς ἀγαθῶν, ἐξ ἑκουσιότητος διδόμενος. εὐλογία δὲ, καὶ ἡ εἰρήνη.

Εὐλογιστίας, εὐλογίας, εὐβουλίας.

Εὔλογον, τὸ πλείονας ἀφορμὰς ἔχον. καὶ εὔλογον ἀξίωμα.

Εὐλογῶ, τὸ ἐπαινῶ.

Εὔλοφος, ῥάδιος, εὐχερής.

Εὔλασοι, εὐφεῖς.

Εὐλόφως, γενναίως.

Εὐλύπασον, ἀπάλλαξον.

Εὐμαθία ἐστὶν, εὐφυΐα ψυχῆς πρὸς τάχος μαθήσεως.

Εὐμάθεια, τὸ καλῶς μανθάνειν.

Εὐμαθὴς ἄνθρωπος, ὁ εὐκόλως μανθάνων, καὶ ὁ εἰς τὸ μαθεῖν ταχὺς, καὶ ἔτι εὔγνωστος.

Εὔμαιος, ὁ Ὀδυσσέως δοῦλος. ἀπὸ τῆς πρὸς τὸν δεσπότην εὐμενείας, ὡς καὶ Φιλοίτιος, ἀπὸ τῆς πρὸς αὐτὸν φιλίας.

Εὖ μάλα, καλῶς πάνυ.

Εὐμάξεως, εὐφυὴς τοῖς αἰδοίοις.

Εὐμαρέην. Ἴωνες λέγουσιν τὴν ἀπόπατον.

Εὐμαρὴς, εὔληπτος, δῆλος, εὐχερὴς, εὔκολος. παρὰ τὸ μέρω, τὸ λάμπω, ἐξ οὗ καὶ τὸ μαρμαίρω, καὶ μάρμαροι. γίνεται μαρὴς, καὶ εὐμαρής.

Εὐμαρίδες, εἶδος ὑποδήματος.

Εὐμάρεια, ἡ εὐκολία. λέγεται δὲ καὶ ἡ εὐκοσμία, οὐ βαθύπεπλος εὔμαρις. καὶ ἡ ἡσυχία.

Εὐμαρίζω τὴν ὁδὸν, ἀντὶ τοῦ εὐχερῆ ποιῶ, καὶ ἐξευμαρίζω.

Εὐμαρῶς, ὑγιῶς, εὐχερῶς, εὐκόλως, πράως, ἱλαρῶς.

Εὐμηλὲς, εὐμείλικτον.

Εὐμείλιχοι, εὐμείλικτοι, εὐαφεῖς. μείλιχος γὰρ, ὁ ἡδύς.

Εὐμελίας, ὁ πολεμικὸς, ἀπὸ τῆς μελίας.

Εὐμελίῳ. ὁ εὐμελίας, τοῦ εὐμελίου, καὶ Ἰωνικῶς εὐμελίεω, ὡς Ἀτρείδεω. καὶ συγκοπῇ, εὐμελέω, ὡς Αἰνείεω αἰνείω, καὶ Ἀσίεω ἀσίω.

Εὐμελίω Πριάμοιο, συνεκόπη ἀπὸ Ἰωνικοῦ τοῦ εὐμελίεω, ὡς καὶ τὸ Βορέω ὑπ' ἰωγῇ, ἀπὸ τοῦ βορείω. καὶ τὸ Ἑρμείω, ἀπὸ τοῦ ἑρμείω. ἢ εὐμελίῳ, τῷ καλῶς τῇ μελίᾳ χρωμένῳ. μελία δὲ εἶδος δένδρου, ἐξ οὗ τὰ δόρατα ποιοῦσι τὰ πολεμικά· ὁ εὐμελίας, τοῦ εὐμελίαο, τοῦ εὐμελίεω. οὕτω γὰρ τὸ ὁλόκληρον. ἔστι δὲ πάθος Ἰωνικόν.

Εὐμένεια λέγεται, τὸ ἔλεος καὶ ἡ χάρις, ἡ ἀπὸ μείζονος ἐπ' ἔλαττον γινομένη. καὶ εὐμενὴς ἀπὸ τούτου, ὁ κεχαρισμένην ἔχων πρός τινα τὴν ψυχήν. οἷον εὐμενὴς ὁ βασιλεὺς πρὸς τοὺς ὑφ' ἑαυτῷ. οἷς ἐναντίον ὁ δυσμενής, ὁ στέφων κακίαν κατά τινος ἐν τῇ ψυχῇ, καὶ ἀπὸ τούτου ἐπίρρημα δυσμενῶς. καὶ ἀπὸ μὲν τοῦ εὐμενοῦς ῥῆμα εὐμεναίνω οὐ λέγεται. ἀπὸ δὲ τοῦ ἐναντίου τοῦ δυσμενοῦς λέγεται ῥῆμα τὸ δυσμεναίνω, ἀντὶ τοῦ μνησικακῶ.

Εὐμενέτειρα, εὐμενής.

Εὐμενέτησι, φίλοις προσηνέσι, τοῖς οἰκείως ἔχουσι, καὶ ἰδίοις.

Εὐμενὴς, Ἀφροδίτη.

Εὐμενίδες, αἱ Ἐριννύες, αἳ εἰσι καταχθόνιοι δαίμονες.

Εὐμενοῦς, ἐναντίον ὁ δυσμενής. ἔστι δὲ δυσμενὴς, ὁ ἐχθρός. ἀφ' οὗ δυσμένεια, ἡ ἔχθρα. εὐμένεια δὲ, καὶ εὔνοια τὸ ἐναντίον. ὡσαύτως δὲ καὶ τῷ εὐαγεῖ, ἐναντίον ὁ ἐναγής.

Εὐμέρδης, εὔρρωστος.

Εὐμεταβολότερος κοθόρνου. κόθορνος εἶδος ὑποδήματος.

Εὐμετάβολον, ἀλλοπρόσαλλον.

Εὔμηλος, ἐπίθετον χώρας, ὥσπερ ὁμώνυμον τὸ κύριον, ὁ τοῦ Ἀδμήτου παῖς Εὔμηλος.

Εὐμοίρησε, καλῶς ἐκληρώσατο.

Εὐμοιρία, ἡ εὐτυχία, ἡ εὐκληρία.

Εὔμολα, εὔθετα, εὔοπλα.

Εὔμολος, ἀγαθὸς πολεμιστὴς, εὔοπλος.

Εὐμολπία, ἡ εὐφωνία, καὶ ὁ καλὸς ὕμνος.

Εὐμολπίδαι, οὕτως οἱ ἀπὸ Εὐμόλπου ἐκαλοῦντο, τοῦ πρώτου ἱεροφαντήσαντος. πολλοὶ δὲ γεγόνασιν ὁμώνυμοι Εὔμολποι.

Εὐμόχθων, τῶν ἐπ' ἀγαθῷ ἱδρώτων.

Εὐμολώπατον, ἁπαλόν, νεώτατον.

Εὖν, πρωτότυπόν ἐστι τοῦ υἱὸν τε μέγαν τε. ἐκεῖνο γὰρ ἀπὸ ἐκτάσεως ἔχει ἐν τῇ ἀρχούσῃ τὸ η.

Εὐναὶ, αἱ κοῖται, καὶ αἱ διατριβαὶ, καὶ αἱ τῶν ναῦν εὐνάζουσαι ἄγκυραι, μετεωριζομένην ἐφ' ὕδατος. καὶ εὐναὶ λαγῶν, θάμνοι συνηρεφεῖς, ἴδαι ἀμφιλαφεῖς, ῥωχμοὶ βαθεῖς.

Εὐναιομένων, καλῶς οἰκουμένων.

Εὔαιος, λαγώς. Σοφοκλῆς δόλοψι, καταπτηχής.

Εὐναστήριον, συνοίκησιν.

Εὐνάτορα, κοιμώμενον.

Εὔνεως, ὁ Ἰάσονος καὶ Ὑψιπύλης υἱός.

Εὐνεῖδαι, γένος ἀπὸ Εὐνείου κεκλημένον, τοῦ Ἰάσονος υἱοῦ, οἷον γένος ὀρχηστῶν καὶ κιθαριστῶν. ἐνταῦθα γὰρ ᾤκησαν οἱ ἀπόγονοι αὐτοῦ. οἱ δὲ, γένος τι Ἀθήνησι κιθαριστῶν.

Εὐνείκα, σαλαμινία.

Εὐνὴ, τὸ παρ' ἡμῖν στρῶμα. διὸ πολλάκις Ὅμηρος ἑρμηνεύων ἐπάγει, κώεα καὶ χλαίνας καὶ ῥήγεα. ἢ εὐνὴ, ἡ κοίτη, καὶ ἀπὸ τούτου κατὰ μεταφορὰν ἡ ἄγκυρα ποιητικῶς. ἐπὶ αὐτῆς γὰρ εὐνάζεται ἡ ναῦς, ὥσπερ καὶ ἐπὶ κλίνης ὁ ἄνθρωπος. διὸ ὥσπερ ἐπὶ κλίνης κεῖσθαι λέγουσιν, οὕτω καὶ ἐπὶ τῶν ἀγκυρῶν ὁρμίζεσθαι.

Εὐνηθέντες, κοιμηθέντες, κατακοιμισθέντες.

Εὐνηθῆναι, ἔχει ἐνεστῶτα εὐνῶ, ἐξ οὗ τὸ εὐνάζειν παράγεται.

Εὐνὴν, οὐ μόνον τὴν κοίτην δηλοῖ, ἀλλὰ καὶ τὴν συνουσίαν, ὡς ἐν τῷ δευτέρῳ τῶν γυναικείων παρὰ τῷ Ἱπποκράτει.

Εὔνηος, οὐ μόνον τὸ κύριον, ἀλλὰ καὶ εὔνεως, ὅθεν εὐνεῖδαι γένος μουσικὸν, ἀπὸ τοῦ εὔνεω δηλαδή φασι τοῦ Ἰάσονος καὶ Ὑψιπύλης. Ἱστορία.

Εὐνήου πατὴρ Ἰάσων Θετταλὸς, ὢν, συνῆλθε τῇ Λημνίᾳ Ὑψιπύλῃ, ὅτε τοῖς Ἀργοναύταις συμπλέων εἰς Κόλχους τῇ Λήμνῳ προσώκειλε, καὶ εὗρε τὴν νῆσον ἔρημον ἀνδρῶν. πᾶσαι γὰρ πάντας τοὺς ἑαυτῶν ἀνεῖλον ἄρδην αἱ Λημνίαι, ὡς καὶ Εὐριπίδης φησίν. ὅθεν χηρεύουσαι ἀνδρῶν, ἄλλαι μὲν ἑτέροις, Ὑψιπύλη δὲ τῷ ἐξάρχοντι τῶν Ἀργοναυτῶν Ἰάσονι συνεζύγη, ἐξ ὧν Εὔνηος βασιλεὺς νηῶν ἐπιμελητὴς, ὡς ἡ κλῆσις δηλοῖ.

Εὔνησε γόον, ἀντὶ τοῦ ἔπαυσε θρῆνον, καὶ πρὸς ἑρμηνείαν ἐπάγει, χέεθε δ' ὄσσε γόοιο, ἤτοι τοῦ μετὰ δακρύων θρήνου.

Εὐνήτης, ὁ ἀνήρ.

Εὔνητοι ὅ ἐστιν εὔνητοι. εὔκλωστοι. θέμα δὲ ἢ τὸ νήθω, ἢ μάλιστα τὸ νῶ νήσω. οὗ χρῆσις καὶ παρ' Ἡσιόδῳ ἐν τῷ νεῖ νήματα ἀράχνης. δοκοῦσι δὲ ἀντιδιεστάλθαι ταῖς λεπταῖς ὀθόναις οἱ εὔνητοι χιτῶνες. ἢ εὔνητοι, οἱ εὖ νενησμένοι κατὰ τοὺς παλαιούς. ὅ ἐστιν, εὔκλωστοι. διαλυθέντες δὲ, ἐΰννητοι γινόμενον, διπλωθέντος τοῦ ν. οὕτω δὲ καὶ εὔδμητοι βωμοὶ, ἐΰδμητοι κατὰ διάλυσιν.

Εὐνίδαι, γένος ἐστὶ παρ' Ἀθηναίοις οὕτως ὀνομαζόμενοι, ἦσαν δὲ κιθαρῳδοὶ, πρὸς τὰς ἱερουργίας παρέχοντες τὴν χρείαν.

Εὐνίδες, χῆραι.

Εὐνικὲς, εὐκρινές.

Εὐνίκης ἄγαλμα χρυσοῦν ποιήσας, ἀπέστειλε τῷ δήμῳ, ἅμα μὲν διὰ τὸ λυσιτελὲς, ἅμα δὲ διὰ τὸ εὐοιώνιστον εἶναι προσδέξασθαι τὴν νίκην.

Εὐνίκῳ, εὐκρινεῖ, πολὺ νικώσῃ.

Εὖνιν, τὸν ἐστερημένον λέγει ὁ ποιητὴς, καὶ μεμονωμένον. παρὰ τὴν ἑνὸς γενικὴν, πλεονασμῷ τοῦ υ. τινὲς δέ φασιν, ὅτι παρὰ τὴν εὐνὴν ὁ εὖνις γίνεται, οἱονεὶ ὁ ἡσυχάζων ὡς ἐν εὐνῇ, καὶ ἀπρακτῶν ὡς εὐναζόμενος, ἀφ' οὗ ὁ ἠρημωμένος καὶ ἐστερημένος. δηλοῖ δὲ ὡς ἐκ τοῦ τοιούτου εὔνιδος, καὶ ὁ εὔνουχος, ὁ εὖνις τοῦ ὀχεύειν.

Εὖνις, ἡ γαμετή. ἢ εὖνις, ὁ ἐστερημένος ὀρφανός, ἐνδεής.

Εὐ-

Digitized by Google

Εὔνοια, ἡ ἀπὸ τοῦ ἐλάττονος πρὸς μείζονα, καὶ ἀπὸ τοῦ μείζονος πρὸς ἐλάττονα. εὐμένεια δὲ, ἀεὶ ἀπὸ τοῦ μείζονος, πρὸς ἐλάττονα. εὔρηται καὶ δὲ τὸ ἐναντίον. ἔστι δὲ εὔνοια, ἀρετὴ ἤθους, εὐαγωγία ψυχῆς πρὸς λόγους ἢ πράξεις.

Εὐνοίας, φιλίας. ἐλθεῖν αὐτὸν παρακαλοῦσι, δι' εὐνοίας εἶναι τῷ θεῷ.

Εὐνοϊκῶς, φιλικῶς. εὐνοϊκῶς διακείμενος, ἀντὶ τοῦ πιστῶς.

Εὐνομία, δικαιοσύνη. καὶ ἡ καλλοπραγία, καὶ νόμου τηθάρχησις σπουδαία, καὶ εἰρήνη.

Εὐνομουμένη, εἰρηνεύουσα, καλῶς διακειμένη. καὶ ἐν Εὐαγγελίῳ, Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου. οὐ καταδέχου μᾶλλον ἀδικεῖσθαι. ἢ οὕτως δίκασον τῇ δίκῃ, ὡσανεὶ τὴν ἐκείνου τάξιν ἔχων.

Εὔνοστος, ἀγαλμάτιον εὐτελὲς ἐν τοῖς μύλωσιν, ὃ δοκεῖ ἐφορᾶν τὸ ἐπὶ μέτρῳ τῶν ἀλεύρων, ὅπερ λέγεται νόστος. ὡς κέρων ἀπὸ τοῦ κεράσαι.

Εὔνους, γίνεται ἀπὸ τοῦ εὖ μορίου καὶ νοῦς. ὡς ἀπὸ τοῦ α καὶ τοῦ νοῦς γίνεται ἄνους, ὁ ἀνόητος, ἢ ὁ μηδ' ὅλως ἔχων νοῦν. καὶ ἀπὸ τῆς εὖ καὶ τοῦ νοῦς γίνεται εὔνους ὁ φρόνιμος, ἀπὸ δὲ τῆς πρὸ καὶ τοῦ νοῦς, γίνεται πρόνους ἄχρηστον. ἀφ' οὗ προνούστερος συγκριτικὸν, ὁ μᾶλλον προνοούμενος. Ἄλλως.

Εὔνους, εὔνοια. τὸ ἐναντίον ὁ κακόνους καὶ δύσνους, καὶ κακόνοια καὶ δύσνοια. εὔνους οὖν λέγεται. ὁ ἔχων εὔνοιαν πρός τινα, εἴτε μείζονα, εἴτε ἴσον, εἴτε ἐλάττονα. λέγεται γὰρ εὔνοια καὶ ἀπὸ μείζονος εἰς ἔλαττον, καὶ οὐχ ὥς τινες λέγουσιν, ἀεὶ ἀπὸ ἐλάττονος εἰς μεῖζον. καθὰ καὶ Δημοσθένης ἐν Ὀλυνθιακῶν δευτέρῳ, Ἐπὶ πολλῶν μὲν ἴδοι τις ἂν τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γινομένην τῇ πόλει. καὶ εὔνους ὁ σφάκτης κυρίως.

Εὐνοϊστατα, φίλια, καὶ ἀντὶ τοῦ φιλίως.

Εὐνούχιοι, κάλαμοι.

Εὐνοῦχος, σπάδων, τομίας, κάλαμος, ἀπὸ τοῦ τὴν εὐνὴν ἔχειν, ἤγουν φυλάσσειν. ἔχειν γὰρ, τὸ ἐπιμελεῖσθαί φασι, καὶ φυλάσσειν. ἔχει δέ τι χίονας αὐτός. τινὲς δέ φασι παρὰ τὸ εὖ νοῦν ἔχειν, καὶ ἀπηλλάχθαι τῶν ἀφροδισίων. οἱ γὰρ ἀρχαῖοι τὰ ἀφροδίσια ἀνόητα ἐκάλουν. ὡς παρὰ Ἀριστοφάνει, ὕπνου τε ἀπέχεσθαι, καὶ τῶν ἀνοήτων πάντων.

Εὐνοῶσοι, δοτικῇ. καὶ εὔνους εἰμί σοι. εὐνοεῖν, εὐφρονέειν, Ὅμηρος λέγει. καὶ Ἀριστοφάνης, δίκαιόν ἐστιν ἐμὲ σοὶ εὐνοεῖν.

Εὐνοῶς, προσηνῶς.

Εὖνυ, ἀκριβῶς δέ.

Εὔνως ἐχειμαιμὴ λέγε, ἀλλ' εὐνοϊκῶς.

Εὔξατο, ἐκαυχήσατο.

Εὔξεινος, εὐγενής, πέλαγος ἐνδότερον τοῦ πόντου, ἢ αὐτὸς ὁ πόντος. οὗτος τὸ πρῶτον ἄξεινος ἐκαλεῖτο, διὰ τὸ ὑπὸ λῃστῶν οἰκεῖσθαι, καὶ μηδένα ἐκεῖ παραβάλλειν τῶν ξένων. κατ' ἀντίφρασιν δὲ ἄξεινος νῦν ἐκλήθη, ὅτι ὁ Ἡρακλῆς ἐκβαλὼν ἐκεῖθεν τοὺς λῃστὰς, φιλοξένους κατῴκισεν. Ἄλλως.

Εὔξεινος, ὄνομα πελάγους. ὁ πόντος, ὡς λέγει Ἡρόδοτος. πελαγέων γὰρ ἁπάντων ἐστὶ θαυμασιώτατος.

Εὔξενος, οὐ πάνυ σπουδαῖος. οὐ δὲ ἐν ἔργῳ τῇ φιλοσοφίᾳ χρώμενος, γαστρός τε γὰρ ἥττων ἦν, καὶ ἀφροδισίων, καὶ κατὰ τὸν Ἐπίκουρον ἐσχημάτιστο.

Εὐξέστας ἀσαμίνθους, ποιητικόν ἐστιν. ἦν δὲ ἀσφαλὲς εὐξέστους εἰπεῖν. ὡς καὶ τὰς εὐποιήτους. καὶ τὴν ἄσβεστον φλόγα, ἄσβεστον.

Εὐξέστη, καλῶς ἐξεσμένη.

Εὔξοον ἅρμα, οὐ μόνον τὸ εὖ ἐξεσμένον πρὸς κάλλος, ἀλλὰ καὶ τὸ ἄλλως πρὸς τέχνης ἀρετὴν ξεσθέν. ἵνα συμμέτρως ἔχῃ πρὸς τὸ καλῶς ὑπὸ τῶν ζώων ἕλκεσθαι. χρεία γὰρ συμμετρίας πάντως καὶ ἅρμασι τοῖς τε πολεμιστηρίοις, καὶ τοῖς ἐναγωνίοις.

Εὔξοον, εὐποίητον.

Εὐοδεῖν, εὑρίσκειν, παρὰ τοῖς Ἀττικοῖς.

Εὐοδία, ἡ καλὴ ὁδός, καὶ ὄνομα κύριον, καὶ ἡ εὐπραξία.

Εὔοδμος, ὁ εὐώδης.

Εὔοδος, ἀγαθή.

Εὐοδόπως, προθύμως εἰς τὸ παρέχειν.

Εὐοδώσω, ὁδηγήσω.

Εὐοῖ, σχετλιαστικὸν ἐπίρρημα. Διογένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος, βακχικόν τι ἐπίφθεγμά ἐστι τὸ εὐοῖ.

Εὐοίαιον, οὕτως εὐφημιζόμενοι λέγουσι, τὸν καλούμενον χίμαρον, τὸ τῆς νεὼς σῆμα.

Εὐοιώνιστον, εὔφημον, καλὰ προσημαίνουσαν.

Εὐόμενοι τανύοντο, ἀναστρόφως εἴρηται, ἀντὶ τοῦ τανυόμενοι εὕοντο, ἤγουν τεινόμενοι ἐφλέγοντο. καὶ ἔστιν ὅμοιον τῷ χασσάμενος πελεμίχθη, ἤγουν πελεμιχθεὶς ἐχάσατο, καὶ ἔστη παπτήνασα, ἐπὶ τείχει. τὸ γὰρ ὀρθὸν στᾶσα ἐπὶ τῷ τείχει ἐπάπτηνεν.

Εὐόμενος, ὁ φλογιζόμενος. εὐόμενος δὲ, ὁ φωτιζόμενος, δασύνεται.

Εὐομιλώτατος, εὐόργητος, πρᾶος.

Εὔομφα, ὀνόματα.

Εὐόργητος, ὁ τῇ ὀργῇ εὖ χρώμενος.

Εὐοργητοτέρα, εὐτροπωτέρα. ὀργαὶ γὰρ οἱ τρόποι παρὰ τῷ Ἱπποκράτει.

Εὐοργήτως, ἀντὶ τοῦ εὐτρόπως. ὀργὴ γὰρ ὁ τρόπος παρὰ Θουκυδίδῃ.

Εὐοργία, ἀπιστία.

Εὐόριστον, τὸ ψηλαφώμενον, καὶ φθειρόμενον. οἷον, ὁ ἄρτος καὶ τὰ ὅμοια.

Εὐόρκου, εὐσεβοῦς. Ἡσίοδος, ἀνδρὸς εὐόρκου γενεὴ μετόπισθεν.

Εὐορκία, τὸ καλῶς ὀμνύειν.

Εὐόρμου, ἐπιτηδείου.

Εὔοπτος ἀνὴρ, ἡ κόρη. εὐόφθαλμος, εὐπρεπής. ὡς τὸ, ἦν δὲ ἡ κόρη εὔοπτος.

Εὐόφθαλμον, τὸ εὔοπτον. καὶ εὐοφθάλμως ἀμείνων, ἀντὶ τοῦ εὐπρεπῶς. Ἀντιφῶν ἐν τῷ περὶ ταώνων.

Εὐοχεῖται ἐπὶ τοῦ ἐλέφαντος, ἀντὶ τοῦ καλῶς ἡνιοχεῖται. εὐοχεῖται δὲ ἀντὶ τοῦ εὐφραίνεται ἐν τραπέζῃ, διὰ τοῦ ω μεγάλου.

Εὐοχθεῖν, εὖ ἔχειν, εὐθυμεῖν, πλήρη εἶναι, εὐτροφεῖν. ὀχὴ γὰρ ἡ τροφή.

Εὐοχθέων, σημαίνει τὸ χαίρων. Ἡσίοδος, εὐοχθέων δ' ἵξεαι πολιὸν ἔαρ, τουτέστι πλήθων τῆς ὀχῆς. ὀχὴ γὰρ ἡ τροφή. εὐοχθέων καὶ ὁ καλῶς ἔχων τοῦ κόπου, τουτέστιν ὁ εὖ κεκοπιακώς. ὄχθος γὰρ, ὁ κόπος λέγεται. καὶ εὐοχθέον δὲ εὖ ἔχων, καὶ χαίρων.

Εὐοψίαν, ἀντὶ τοῦ εὐπροσωπίαν.

Εὐπάθεια, διάχυσις, καὶ ἄνεσις ψυχῆς ἢ τρυφή. διαιρεῖται δὲ εἰς χαράν, εὐλάβειαν, καὶ βούλησιν. καὶ φασὶ τὴν μὲν χαρὰν ἐναντίαν εἶναι τῇ λύπῃ, τὴν δὲ εὐλάβειαν τῷ θυμῷ, τῇ ἐπιθυμίᾳ δὲ τὴν βούλησιν.

Εὐπαθεῖσθαι, ἀντὶ τοῦ τρυφᾶν, καὶ διαχεῖσθαι. καὶ εὐπαθοῦντες, ὑγιαίνοντες, τρυφῶντες.

Εὐπαθεῖν, εὐεργεῖν.

Εὐπαθείας, εὐθαρσίας.

Εὐπαθοῦντες, εὔρρωστοι.

Εὔπαιδα λέγουσιν, ἢ τὸν καλοὺς ἔχοντα παῖδας, ἢ τὸν καλὸν παῖδα. ἐπαμφοτερίζει γὰρ τὰ τῆς χρήσεως, ἐπί τε τοῦ καλοῦ παιδὸς, καὶ τοῦ καλοὺς παῖδας ἔχοντος, ἢ τοῦ καλοῦ πατρὸς παῖδα.

Εὔπακτος, καλῶς πεπηγμένος.

Εὐπαλάμων ὕμνων, ἀντὶ τοῦ εὖ διακεχωρισμένων, ἢ συντεταγμένων. ὡς τὸ, τέκτονες εὐπαλάμων ὕμνων.

Εὔπαλιν, ῥάδιον.

Εὐπαράγωγος, εὐπειθής. Ἀριστοφάνης, ἀλλ' εὐπαράγωγος εἶ, θωπευόμενός τε χαίρεις.

Εὐπαρακολούθητοι, ὀξεῖς εἰς τὰ πράγματα, καὶ ὁ νωχελεῖς.

Εὐπαράφοροι, ἐξεστηκότες, ὅμοιοι.

Εὐπάρεδρα, τὰ καλῶς παρεδρεύοντα.

Εὐπάροιστοι, οἱ εὐπαράγωγοι.

Εὐπάρυφα, τὰ εὐκατέργαστα, ἢ πλέσια.

Εὐπάρυφος, ἀγαθοῦ πατρὸς θυγάτηρ, ἢ υἱός.

Εὐπαρύφων, εὐμεταχειρίστων.

Εὐπάσχετις, ἀντὶ τοῦ εὐεργετεῖται. κακῶς πάσχει, ἀντὶ τοῦ δυστυχεῖ, καὶ πονήρως ἔχει τοῦ σώματος.

Εὐπατέρεια, ἡ καλὴν πατέρα ἔχουσα. καὶ εὐπάτωρος, ὄνομα κύριον.

Εὐπατέρειαν, ὃ δηλοῖ τὴν εὐγενῆ, ἀπὸ εὐθείας παρῆκται τῆς εὐπάτωρ, εὐπάτερος. τὸ μέν τοι εὐπάτωρ, τοῖς μεθ' Ὅμηρον ἐστὶ χρήσεως.

Εὐπατρία, ἀγαθοῦ πατρὸς θυγάτηρ.

Εὐπατρίδαι, αὐτόχθονες, οὐχὶ ἐπήλυδες.

Εὐπατρίδης, καὶ εὖ γεγονώς. τὸ δὲ εὖ γεγὼς ποιητικόν. ἐκάλουν δὲ εὐπατρίδας, τοὺς εὐγενεῖς, ὡς αὐτόχθονας.

Εὐπείθης βαρυτόνως, ὄνομα κύριον. ὀξυτόνως δὲ, τὸ ἐπίθετον, ὅμοιον δὲ καὶ Διοπείθης, καὶ ὁ Δημοκήδης, εἴ τι ἄλλο τοιοῦτον. ὁμοίως πολυφειδής, ὁ πολλὰ φειδόμενος. Πολυφείδης δὲ κύριον. οὕτω δὲ κατὰ τοὺς παλαιοὺς καὶ εὐμαθὴς μὲν, τὸ ἐπίθετον. εὐμάθης δὲ, τὸ κύριον. καὶ Εὐθένης μὲν, κύριον. εὐσθενὴς δὲ, ὁ ῥωμαλέος. καὶ Ἄστηρ μὲν, πόλις. ἀστὴρ δὲ, ὁ κατ' οὐρανόν. καὶ Ἀφέτη μὲν, νῆσος. ἀφετὴ δὲ ὀξυτόνως, ἡ ἀπόλυτος. καὶ Βαῖος μὲν, κύριον. βαιὸς δὲ, μικρός. καὶ γελοῖος μὲν, ὁ καταγέλαστος. γελοιὸς δὲ, ὁ γελωτοποιός. καὶ Δεῖρη μὲν, πόλις Αἰθιόπων. δειρὴ δὲ, ὁ τράχηλος.

Εὐπειχήπαγος, καλῶς τετειχισμένην, καὶ ἐν ὄρει κειμένην.

Εὐπετῶς, εὐχερῶς, εὐκόλως, ῥαδίως, καὶ ὑσταλῶς.

Εὐπέκτων, εὐτόκων.

Εὐπερίοπτον, εὐκαταφρόνητον. ᾐσθάνετο γὰρ τὴν τῶν Μακεδόνων ἀρχὴν, εὐπερίοπτον ἐσομένην.

Εὐπερίστατον, τὴν εὐκόλως περιτρεπομένην. ἢ εὐπερίστατον, μωρὸν ταχέως περιτρεπόμενον, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν.

Εὐπέταστον, πλατύ, εὐρύπιστον.

Εὐπηγὴς, εὐπαγής, φασὶν οἱ μεθ' Ὅμηρον.

Εὐπήδαξ χῶρος, ὁ καλὴν πηγὴν ἔχων.

Εὔπηκτοι θάλαμοι, οἱ εὐπαγεῖς καὶ στερεοί, κατὰ τὸ εὐσταθέος μεγαστέοι, οἱ τεχνικῶς ἐσκευασμένοι, ἢ εὔκλειστοι. διὸ ἐπήγαγεν Ὅμηρος, σανίδες ἔχον εὖ ἀραρυῖαι. καὶ ἴσως ἐκ τούτου καὶ τὸ συγκλεῖσαι, πακτῶσαι παρ' Ἀττικοῖς, ὡς καὶ Σοφοκλῆς δηλοῖ, ἐν τῷ, καὶ δῶμα πάκτου. καὶ ὁ κωμικὸς, ἐν τῷ ἐπακτώσαμένγε. καὶ ἐν Ὀδυσσείας ψ.

Εὔπηκτον μέγαρον, τὸ εὐπαγὲς λέγει Ὅμηρος, καὶ στερεόν. οὕτω δὲ καὶ τὸ πηκτὸν νοεῖται ἄροτρον. καὶ τὸ νῆας ἔπηξεν, ἀντὶ τοῦ συνεστήσατο στερεῶς, ὅπερ παράγει καὶ τὸν ναυπηγὸν, καὶ τὴν ναύπακτον.

Εὐπήληκος, καλὴν περικεφαλαίαν ἐχούσης.

Εὐπηρίδαι, δῆμος καὶ τόπος Ἀθήνησιν.

Εὐπινὴ, πεπινωμένον.

Εὔπιστα, τὰ εὐκολαεῖς πίστιν, εὔπιστος λόγος.

Εὐπλείην πήραν, ἀντὶ τοῦ εὖ πεπληρωμένην.

Εὔπλεκτον δίφρον λέγει Ὅμηρος, ἐπεὶ εἶχέ τι πλέγματος, καὶ εὐπλεκέας, ὡς μὴ γομφωτοὺς ὄντας, καὶ κολλητοὺς, ὅ ἐστιν ἡρμοσμένους. οὐκ ἐξ ὕλης βαρυτέρας, ἀλλὰ ἔκ τινων πλεγμάτων εὐθετισμένους διὰ ἐλαφρότητα.

Εὐπλοῆσαι, τὸ καλῶς πλεῦσαι.

Εὐπλοῆσαι, τὸ καλῶς πλεῦσαι.

Εὔπλουτον κανοῦν, εὖ ἔχον πλοῦτον. διὰ τὰς ἐπ' αὐτῷ οὐλάς. πλοῦτον γὰρ ἔλεγον τὴν ἔτι τῶν κριθῶν καὶ τῶν πυρῶν περιουσίαν, καὶ οὐλοχύτας, τὰ κανά, ἃς οἱ Δωριεῖς ὀλβαχήϊα.

Εὐπλίσσοντο, καλῶς ἐβάδιζον καὶ διέβαινον. πλίσσεσθαι γὰρ, τὸ βάδην διαβαίνειν. καὶ πλίγμα, τὸ διάστημα τῶν ποδῶν.

Εὔπλοια, τῷ ἐφόρῳ καὶ πομπίμῳ ἀνέμῳ πλεῖν τοὺς, ναυτικούς. δύσπλοια, τὸ ἐναντίοις ἀνέμοις πρὸς πλοῦν μάχεσθαι, καὶ τὸ κατέχεσθαι μὴ ἐπιπνεόντων ἀνέμων.

Εὐπλοΐαν, εὔπλοιαν.

Εὐπλόκαμοι τρῶαι. δῆλον ὡς προϋπάρχει τοῦ πλοκάμου ὁ πλόκος, ὡς καὶ τοῦ ὀρχάμου ὁ ὄρχος. ἐξ οὗ διχῆ νοουμένου, τῇ μὲν ὄρχαμος, τῇ δὲ ὄρχατος παράγεται. χρῆσις δὲ τοῦ πλόκου καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ, ὡς τὸν δ' ἐγὼ τέμνω πλόκον.

Εὐπλόκαμος, καλλίπλοκος.

Εὐπλοῶ, τὸ εὐημερῶ. καὶ εὐπλοῆσαι, τὸ καλῶς πλεῦσαι.

Digitized by Google

Εὖ ποιεῖ, εὐεργετεῖ. καὶ εὖ ποιεῖται, εὐεργετεῖται.

Εὐποιησιῶν, ἐκ τῆς εὐθείας ἡ ποιησιὼ, ἡ εὐποιησιώ, ὡς ἡ ἀσβέστη.

Εὔποιοι, εὐποιητικοὶ, δίκαιοι.

Εὐποιΐα, ἐλεημοσύνη. ἀποστέρησις δέ ἐστι, τὸ τὰ ἀλλότρια λαβόντας κατέχειν, ὅταν ἐλεημοσύνην μὴ παρέχωμεν.

Εὐπορία, ἡ Ἄρτεμις ἐν Ῥόδῳ.

Εὐπόρητος, ὁ καλῶς διοικῶν.

Εὔπονος ὄμβρος, εὔποτος.

Εὔπνος, ὁ Ζεὺς, ἢ καλὸς ὕπνος, παρὰ Δελφοῖς.

Εὐπόριστον, εὐχερῶς ποριζόμενον.

Εὔπορος, πλούσιος, εὐχρήματος, πολυχρήματος, εὖ πράττων εἰς χρημάτων λόγον.

Εὐποτμία, εὐτυχία. ζηλῶ γὰρ τοῦτον τῆς εὐποτμίας, ὅ ἐστι τοῦ καλοῦ θανάτου. πότμος γὰρ, ὁ θάνατος.

Εὐπραγία, ἡ εὐτυχία.

Εὐπραξία, εὐημερία, εὐτυχία. ὁ δὲ ὀξείας ὤλισθεν ἐπ᾽ εὐπραξίας. καὶ κατηνέχθη πρὸς τὰ τοῦ πατρὸς ἁμαρτήματα.

Εὖ πράττει, καὶ κακῶς πράττει. ἢ εὐπραγεῖ, καὶ κακοπραγεῖ. δυσπραγία δὲ, καὶ κακοπραγία. καὶ εὐπραγία, καὶ εὐπραξία. ἢ εὖ πράττει, εὐτυχεῖ. καὶ κακῶς πράττει, δυστυχεῖ. καὶ εὐπραγεῖ καὶ κακοπραγεῖ, ταυτό.

Εὐπάσχει, εὐεργετεῖται.

Εὖ λέγει, ἐπαινεῖ. κακῶς λέγει, ψέγει.

Εὖ ἀκούει, ἐπαινεῖται. κακῶς ἀκούει, ψέγεται.

Εὔπρεμνα, τὰ καλοὺς κλάδους ἔχοντα. πρέμνος γὰρ, ὁ κλάδος.

Εὐπρεπὴς λέγεται, ὁ τὴν ὄψιν εὐπρόσωπος, καὶ εὐειδής. λέγεται δὲ εὐπρεπὴς, καὶ ἡ εὔλογος πρόφασις. ὡς καὶ παρὰ Θουκυδίδῃ, πρόφασίς τε εὐπρεπὴς οὐδεμία ἐστὶ τῆς διαφορᾶς. εὐτρεπὴς δὲ, ὁ εὐκόλως τινὰ τρέπων, καὶ ὁ εὐκόλως τρεπόμενος.

Εὐπρέμνοις, εὐστελέχεσιν.

Εὐπρεπῶς, κοσμίως, ὡραίως.

Εὔπρηκτον, ἐξέργαζον.

Εὐπρήσσεσκον, ὑπηρέτουν.

Εὔπρηστον, εὐφύσητον.

Εὐπρήσσεσκον, ἤγουν εὖ ἔπρασσον.

Εὔπρηστος ἀϋτμὴ, ἡ εὐφύσητος, πρήθω γὰρ, τὸ φυσῶ. ὡς τὸ, ἐν δ᾽ ἄνεμος πρῆσε μέσον ἱστίον.

Εὐπρόσιτοι, εὐχερεῖς, εὐπρόσδεκτοι.

Εὐπρόσιτος, ᾧ τις εὐκόλως προσέρχεται. ἀπρόσιτος δὲ, ᾧ τις ἀμήχανον προσελθεῖν.

Εὐπροσιτώτατος, ὁ πάνυ ἥμερος.

Εὐπροσοδώτατος τόπος, εὔδρομος.

Εὐπροσφθέγκτους, εὐήχους.

Εὐπροσωπῆσαι, εὐδοκιμεῖν.

Εὐπρόσωπος ἄνθρωπος, ὁ εὐειδὴς, καὶ ἀπὸ τούτου εὐπρόσωπος λόγος, ὁ πιθανὸς, καὶ ἀρεστὸς φαινόμενος. οὕτω λέγεται καὶ τὸ εὐπρεπὲς, πρότερον μὲν ἐπὶ εἴδους. οἷον εὐπρεπὴς ἄνθρωπος, ὁ εὔστολος, καὶ καλὴν μετὰ τοῦ πρέποντος παραστήματος ἔχων τὴν τῶν μελῶν ἁρμονίαν. εἶτα καὶ εὐπρεπὴς σκῆψις, ἡ ἁρμοδία, καὶ εὐπρόσωπος δοκοῦσα. καὶ εὐπρεπὴς λόγος, εὐπρόσωπος, εὐπροσήγορος, εὔμορφος.

Εὔπρωρον, εὐπρόσωπον, εὐκέφαλον.

Εὔπτορθον, εὔκλαδον.

Εὔπυργος Τροία, ἀπὸ μέρους, ἡ ἰσχυρά.

Εὔπωλον Ἴλιον, λέγει τὴν Τροίαν. ἢ ἀντὶ τοῦ εὔζωον, ἢ εὔιππον, ὡς ἀπὸ μέρους. ἢ τὴν εὔγεων καὶ εὐβωλοστρόφητον. ἢ τὴν εὖ περιπολουμένην, κατὰ ἔκτασιν τοῦ ο. ἤτοι τὴν εὐδαίμονα, ἢ εὐοίκητον.

Εὔπυργον, εὖ τετειχισμένην.

Εὔπωλον, τὴν καλοὺς πώλους ἔχουσαν. ἢ εὔπωλος Ἴλιος, ἀντὶ τοῦ εὔιππος. ἢ εὔγειος, καὶ ἀγαθὴ πωλεῖσθαι, ἢ τὸ βωλοστρεφεῖσθαι.

Εὖραι, αὖραι.

Εὐρὰξ, δηλοῖ μὲν τὸ ἐκ πλαγίου. γίνεται δὲ ἀπὸ τοῦ πλευρὰξ, ὥς φασιν. ὀξύνεται δὲ, κανόνι τοιούτῳ. τὰ εἰς αξ ἐπιρρήματα ὀξύνεται, πλὴν τοῦ ἅπαξ. ἢ καὶ ἄλλως καθολικώτερον, τὰ εἰς ξ λήγοντα ἐπιρρήματα ὀξύνεται. ἀπρὶξ, ὑποδρὰξ, διαμπὰξ, πὺξ, γνύξ. πλὴν τοῦ ἅπαξ, καὶ πέριξ, τὸ παρὲξ, διφορεῖται. καὶ παρ᾽ Ὁμήρῳ μὲν ὀξύνεται, παρὰ δὲ τοῖς ὕστερον βαρύνεται, ἀράξ. καθ᾽ Ἡρακλείδην, διαλέκτου Ἰωνικῆς καὶ Αἰολικῆς ἐστιν. ἡ γὰρ τῶν Ἰώνων καὶ Αἰολέων φησὶ διάλεκτος, τὰ πρῶτα σύμφωνα αἴρειν εἴωθεν ἄν τε ἓν ᾖ, ἄν τε καὶ δύο τύχῃ. ἓν μὲν, ὡς ἐπὶ τοῦ λαιψηρὸς αἰψηρός, πήγανοι ἤγανοι, δεινόν, αἰνόν. δύο δὲ, ἐπὶ τοῦ πλάνη. ἀπελθόντων γὰρ τῶν ἐξ ἀρχῆς δύο συμφώνων γίνεται ἄνη. καὶ κατὰ ἀντίθεσιν τοῦ ν εἰς τὸ λ, ἄλη. οὕτω δὲ καὶ ἐκ τοῦ πλανᾶσθαί φασι, τὸ ἀλᾶσθαι. καὶ ἐκ τοῦ φθείρω δὲ, ἀπελθόντων τῶν ἐν ἀρχῇ κειμένων δασέων, τὸ ἔρρω φησὶ γίνεσθαι, καθ᾽ ὁμοιότητα τοῦ χείρω χέρρω αἰολικοῦ. ὁμοίως οὖν ἐκ τοῦ πλευρὰξ, ἀφῄρηνται τὰ κατάρχοντα δύο σύμφωνα, καὶ λέλειπται τὸ εὐρὰξ, ὃ κεῖται παρὰ Λυκόφρονι. τοῖς δὲ κατ᾽ ἀρχὴν ἓν σύμφωνον ἀποβάλλουσι, συντακτέον καὶ τὸ σῦς ὗς, σμικρὸς μικρὸς, καὶ ἄλλα πολλά. ἐν οἷς καὶ τὸ σιαγὼν ἰαγὼν, τὸ καινότατον. καὶ τὸ σμάραγδος, μάραγδος. εὐρὰξ δὲ, δηλοῖ τὸ ἐκ πλαγίου, κατὰ τοὺς παλαιοὺς, καὶ ὡς εἰπεῖν πλευρὰξ, ὅθεν καὶ γίνεται.

Εὕρασθαι, οὐκ ἐρεῖς προπαροξυτόνως διὰ τοῦ α, ἀλλὰ παροξυτόνως διὰ τοῦ ε εὑρέσθαι.

Εὕρατο, οὕτως. εὑρέω, εὑρῶ, εὑρήσω, εὕρησα, εὑρησάμην εὑρήσω εὑρήσατο, καὶ κατὰ συγκοπὴν εὕρατο. τὸ δὲ εὕρετο, οὕτως. εὑρέω, ῶ, ήσω, εὕρησα, εὑρησάμην, σω, σατο. ὁ δεύτερος ἀόριστος, εὗρον, εὑρόμην εὕρου εὕρετο.

Εὕρω, εὑρίσκω, ὁ μέλλων εὑρήσω, ἑτεροκλίτως, ὡς ἀπὸ ἀχρήστου θέματος τοῦ εὑρέω, ῶ. ὁ δεύτερος ἀόριστος, εὗρον εὗρες εὗρε.

Εὑρὲ, ἐλθὲ, εἰπέ. δευτέρου ἀορίστου ὄντα, διὰ τί ὀξύνονται, τῶν ἄλλων βαρυνομένων; ἐπειδὴ τὰ ἄλλα βραχείᾳ παραλήγεται, ταῦτα δὲ μακρᾷ. ὡς οὖν διήλλαξαν κατὰ τὴν παραλήγουσαν, διήλλαξαν καὶ περὶ τὴν τάσιν.

Εὑρέθην, ἐκ τοῦ εὕρημαι παθητικοῦ παρακειμένου, ὤφειλε δὲ εἶναι εὑρήθην, κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι ὁ ἀόριστος φυλάττει τὴν παραλήγουσαν τοῦ παρακειμένου.

Εὐρεῖα, μεγάλη, πλατεῖα.

Εὐρεῖαι τράπεζαι, ἐπιμήκεις ἐν τοῖς σκηνώσεσιν ἐπιτιθέμεναι.

Εὑρεῖν, ἀπαρέμφατον μέλλοντος δευτέρου, ὁ ἐνεστὼς εὑρίσκω, ὁ μέλλων εὑρήσω. ὁ γὰρ περισπώμενος ἐνεστὼς ἐξέλιπεν. ὁμοίως καὶ ὁ πρῶτος ἀόριστος, ὁ δεύτερος εὗρον. ἐκ τούτου εὑρεῖν, πρὸς δεύτερον μέλλοντα μεταβαίνοντος.

Εὐρείτης, ἐπίθετον, ὁ καλῶς ῥέων ποταμός.

Εὑρεσιεπείαις, λογοποιΐαις.

Εὑρεσιεπὴς, καινολόγος.

Εὑρεσίλογος, φλύαρος, ἐτυμολόγος.

Εὑρέσφι, γυναιξίν.

Εὕρετο, τρίτον ἐστὶν ἑνικὸν δευτέρου ἀορίστου τοῦ εὑρόμην, οὐ κεῖται παρὰ Σοφοκλεῖ. τὸ γὰρ εὑράμην καὶ τὸ εὕρατο, οὐ συνηθὴς ἀττικοῖς.

Εὕρημα, ἐπιτυχία, ἐπινόημα.

Εὑρήματα, βουλεύματα, ἐπιτεύγματα.

Εὕρημον, καλλιεπές.

Εὔρηνος, ὁ καλλιπρόβατος. ὡς τὸ, πάμπαν εὔρηνός τε καὶ εὔβοτος.

Εὑρήσει, λοιδορήσει.

Εὕρης, αὐθυπόπακτον.

Εὑρήσεται, εὑρεθήσεται.

Εὑρητοῖς, τοῖς ἀτιμήμασιν.

Εὐριζῶν, πλατυώων, ἢ καλὰς ῥίζας ἔχων.

Εὐρίζῳ, ἐπιμόνῳ, καλῶς ἐρριζωμένῳ, καὶ βεβαίως πεπηγμένῳ.

Εὑρηκότες. εὑρέω εὑρήσω ἄχρηστον. ὁ παρακείμενος, εὕρηκα, εὔχρηστος. ἡ μετοχὴ εὑρηκώς, τος.

Εὑρίσκειν, τὸ ἐπιτυγχάνειν. καὶ τὸ ἐξευρίσκειν, καὶ ἀνευρίσκειν, τὸ σκέψει καὶ μηχανῇ εὑρίσκειν. καὶ εὑρίσκειν, τὸ ἐξετάζειν, καὶ ἐρεύνῃ καταλαμβάνειν.

Εὑρίσκει τὶς τὸ ὄν, ἐξευρίσκει δὲ τὸ μὴ ὄν. ἐφευρίσκει δὲ, οὐ τὸ μὴ ὂν, κἂν διισχυρίζωνται τοῦτό τινες. οὐ τὸ μὴ ὂν, ἀλλ᾽ ἐφευρίσκει τὶς τὸ ἐπινοεῖν πρός τι καὶ ἕτερόν τι, εἶτα τοῦτ᾽ ἐκείνῳ προστίθησι. καὶ ἔστι μὲν αὖθις καὶ μετ᾽ αὐτοῦ τοῦ προστεθέντος ἐκείνῳ, ὃ καὶ πρότερον ἦν. ἀλλ᾽ ἐν τῇ ἐκείνου ἐφευρέσει τι, καὶ προσθήκῃ χρησιμώτερον ἀποπέφανται. οἷον, λέγεταί τις Θρᾷξ Διονύσιος ἐξευρεῖν τινα τῶν γραμμάτων, ἀπὸ τῆς τῶν Φοινίκων γλώττης, ᾧ προσεφεῦρέ τις τινὰ τῶν διπλῶν, ψαλίδα εἰπὼν τὴν τσαλίδα, ἀντιστρόφως τὰ σύμφωνα θείς. εὗρε δέ τις ἁπλῶς, πλήθη χρημάτων.

Εὐρινωτάτην, ὀσφραντικωτάτην.

Εὔρινος, ὁ εὐόσφραντος, καὶ εὐρινώτατος.

Εὑρίσκομαι, οὐ μόνον ἐπὶ παθητικοῦ, ἀλλὰ καὶ ἐπὶ ἐνεργητικοῦ λέγεται.

Εὐρινότατος, καλλίρινος, ἢ καλῶς ὀσφραινόμενος.

Εὐρίπιος, Ποσειδῶν.

Εὔριπος, πέλαγος στενόν. ἢ τὸ ὑδατῶδες, καὶ μεταξὺ δύο γαιῶν. ἢ εὔριπος ὁ μεταξὺ Βοιωτίας καὶ Ἀττικῆς. ἑπτάκις δὲ τῆς ἡμέρας τὸ ἐκεῖσε ὕδωρ τρέπεται. ἢ εὔριπος, θαλάσσιος τόπος πολύχροος, τὸ πλάτος τὸ μεσότατος τῶν ὑδάτων. ἢ ὁ εὐχερῶς μεταβαλλόμενος.

Εὐρίπους, δοχὰς ὑδάτων.

Εὕρομεν, παρ᾽ ἀττικοῖς, καὶ εὕροσαν.

Εὑρόν σε κακῶς τὸ σῶμα διακείμενον, μετὰ μετοχῆς συντάσσεται.

Εὐροναίτοις, καλῶς ῥέουσιν.

Εὔροος, ἰσχυρῶς ῥέον.

Εὐροώτερος, ὁ πλατύτερος.

Εὐῤῥεῖος, δηλοῖ μὲν εὖ ῥέοντος, πάνυ δέ ἐστι τραχὺ, καὶ πεζῷ λόγῳ δύσχρηστον. λειότερον δὲ αὐτοῦ εὐρείτης, τραχὺ δ᾽ ὅμως καὶ αὐτό.

Εὐρεῖος, ὅπερ ἐστὶν εὐρείτου, δοκεῖ ἀπὸ τοῦ εὖ καὶ τοῦ ῥύω, τὸ ῥέω, εἶτα ῥυίσκω, γίνεσθαι. ἵνα ᾖ, εὐρὺς εὐρέος, ὡς ἡδὺς ἡδέος. καὶ ἐπενθέσει τοῦ ι εὐρεῖος. εἰ δ᾽ ἴσως ἀπὸ τοῦ εὖ καὶ τοῦ ῥόος γίνεται, ὃ δηλοῖ τὸ ῥεῦμα, πρὸς ὁμοιότητα τοῦ ἡρακλῆς ἡρακλῆος, ἔχει ἀπορίαν, διὰ τί μὴ τῷ η παραλήγεται τὸ εὐρεῖος, κατὰ τὸ ἡρακλῆος.

Εὖρος, κάλλιστος ποταμῶν. Διοκλῆς δὲ, καταφέρεσθαι αὐτὸν ἀπὸ Ῥοδόπης, καὶ ἐξερεύγεσθαι κατὰ πόλιν Αἶνον λέγει. ἢ εὖρος, τὸ πλάτος, δι᾽ οὗ ἐστιν εὑρεῖν καὶ φέρεσθαι. σημαίνει καὶ τὸν ἄνεμον τὸν ἀφηλιώτην, παρὰ τὴν αὔραν τὴν πνοήν.

Εὐῤῥήνεσσιν, ἀντὶ τοῦ πολυπροβάτοις.

Εὐρυάγυιαν Τροίαν λέγει Ὅμηρος. ἔστι δὲ εὐρυάγυια ἡ πλατύρρυμος. γυιὰ γὰρ ἡ κοινῶς λεγομένη ῥύμη, ἀφ᾽ ἧς καὶ ἀγυιεὺς κίων, ἱερὸς Ἀπόλλωνος πρὸ θυρῶν ἑστὼς, λήγων εἰς ὀξύ. γίνεται δὲ παρὰ τὸ ἄγειν. ὅθεν καὶ ἀγὼν, καὶ ἀγορά. ἐναντία δὲ ἡ εὐρυάγυια ταῖς στενωποῖς.

Εὐρυάνασσα, ἡ μήτηρ τοῦ Πέλοπος. ἢ εὐρυανασσία, ἡ ἥβη. καὶ ἡ πλατεῖα, καὶ ἡ μεγάλη ἐν τῷ πλανᾶσθαι ὁδός.

Εὐρύαλος, ὁ Ἀπόλλων, πλατὺ ἄμφοδον.

Εὐρὺ, μεγάλως, πλατέως.

* Εὐρύαμος, πόλις Μαγνησίας ὁ πολίτης Εὐρυάμπιος.

Εὐρυβάλινδος, ὁ Διόνυσος.

Εὐρυβάτας δύο οἶδεν Ὅμηρος κήρυκας, τὸν βασιλικὸν, καὶ τὸν τοῦ Ὀδυσσέως τὸν ἐξ Ἰθάκης. καὶ δύο Εὐρυμέδοντας, τὸν τοῦ Ἀγαμέμνονος, καὶ τὸν τοῦ Νέστορος.

Εὐρυβατεύεσθαι, πονηρεύεσθαι.

Εὐρυβάτην. ἴσον ὅτι πονηρὸν οἶδεν ἄνδρα ἡ παροιμία. ὃν οἱ πλείους Εὐρύβατον λέγουσιν. ἀφ᾽ οὗ εὐρυβατεύεσθαι, τὸ πονηρεύεσθαι. Ἡρόδοτος δὲ ἱστορεῖ, στρατηγὸν Εὐρυβάτην ἀργεῖον, πένταθλον ἐπασκήσαντα, καὶ μονομαχεῖν ἄριστον. ὁ δ᾽ αὐτὸς καὶ Ταλθυβίου ἱερὸν ἱδρύσασθαί φησιν ἐν Σπάρτῃ. καὶ ὅτι ἀπόγονοι ἐκεῖσε Ταλθυβιάδαι καλούμενοι. Ἰστέον δὲ, ὅτι ἄσυλοι καὶ εἰς τὸ παντελὲς ἦσαν οἱ κήρυκες, οἷα θεῖον γένος νομιζόμενοι. ἐδόκουν γὰρ κατάγεσθαι ἀπὸ κήρυκος, υἱοῦ Ἑρμοῦ. ὃς ἐκ Πανδρόσου ἐγεννήθη αὐτῷ θυγατρὸς Κέκροπος. διὸ καὶ ἐν Ὀδυσσείᾳ στέλλων Ὀδυσσεὺς κατασκόπους εἰς ἀλλοδαπὰς χώρας, καὶ κήρυκα ἐδίδου ἕπεσθαι, διὰ τὸ ἄσυλον, καὶ ἦσαν μέσοι θείου γένους καὶ ἀνθρωπίνου, καὶ οὐκ ἦν θεμιτὸν κακοῦσθαι αὐτούς. περὶ Εὐρυβάτου, ζήτει εἰς τὸ Ταλθύβιος.

Εὐρυβάτου πρᾶγμα, δεινόν. δεινὸς γάρ τις ἦν ἄνθρωπος ὁ Εὐρυβάτης.

Digitized by Google

Εὔρυθμον, εὖ τεταγμένον.

Εὐρυκακίει, κωλύει, κατέχει.

Εὐρύκλενα, χοῖνος παχεῖα ἔχουσα τὰ ἄκρα.

Εὐρυκλῆς, ὁ ἐγγαστρίμυθος. ἦν δὲ καὶ γένος μάντεων, οὓς ὁμωνύμως εὐρυκλεῖς ἔλεγον.

Εὐρυκόας, μεγαλόνους, μέγα ἰσχύων.

Εὐρυκόωσα, εὐρυνομένη, ἢ πολυάστερος νὺξ, ἢ μεγάλη. ἢ πολλὰ κοιλώματα ἔχουσα. Κόους γὰρ οἱ ἀρχαῖοι τὰ κοιλώματα ἔλεγον.

Εὐρυκρείων Ἀγαμέμνων. οἱ μὲν ἄλλοι τῶν ἐν τῇ στοίᾳ ἡγεμόνων βασιλεῖς λέγονται, καὶ κρείοντες. ἀγαμέμνων δὲ, καὶ εὐρυκρείων συνήθως. ὃ εὐρὺ κρείων ἐν παραθέσει. προϋπάρχει δὲ τούτων ὁ κρέων, οὗ θηλυκὸν κρέουσα κατὰ δὲ τὸ εὐρυκρείων σύγκειται καὶ ἁλικρείων, ὁ τῆς ἁλὸς ἄρχων. ἔστι δὲ εὐρυκρείων, ὁ εὐρὺ βασιλεύων, καὶ ὡς εἰπεῖν μέγας βασιλεὺς βασιλέων, καὶ προκαταλέγων στρατὸν εὐρὺν ὁ ποιητὴς, ἔδειξεν ὡς καλῶς εὐρυκρείοντα τὸν ἀγαμέμνονα λέγει. ὃν περ ἄλλοι καὶ εὐρυμέδοντά φασιν.

Εὐρύμας, ὠλένιος τὸ γένος. Διάβολος δὲ, ὅθεν ἀνῃρέθη ὑπὸ Πολυδεύκους. κεῖται ἡ ἱστορία παρὰ Φερεκύδῃ.

Εὐρυμέδων. Λυκοῦργος ἐν τῷ κατὰ λεωκράτους. τῆς παμφυλίας οὗτος ποταμός ἐστιν, ἔνθα κίμων Ἀθηναίων στρατηγὸς, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐνίκησε τοὺς πέρσας. ὡς καὶ Θουκυδίδης ἐν πρώτῳ λέγει.

* Εὐρυμέδων, ποταμὸς παμφυλίας. τὸ ἐθνικὸν εὐρυμεδόντιος.

* Εὐρυμεναὶ, πόλις Θεσσαλίας. ὁ πολίτης εὐρυμένιος, ὡς Κλαζομένιος.

Εὐρυμέδων, θεραπεύων, προσφυῶς τῷ εὐρυκρείοντι βασιλεῖ δοθεὶς εἰς ἡνίοχον. ἔστι καὶ τῷ νέστορι εὐρυμέδων ἕτερος. ἢ εὐρυμέδων, ὁ Περσεὺς, ἢ Ποσειδῶν, ἢ ὁ αὐτὸς καὶ Ἑρμῆς.

Εὐρύμναν, εὐρύχωρον.

Εὐρυμνάσαι, ἐρευνῆσαι.

Εὐρὺ, πλατὺ, μέγα.

Εὐρυμέτωπον, πλατυμέτωπον.

Εὔρυναν, πλατύτερον ἐποίησαν.

Εὐρύνειν, αὔξειν, ἰχνεύειν.

Εὐρύνω, τὸ πλατύνω.

Εὐρυοδείας, μέγα τὸ εἶδος ἐχούσης, ὅ ἐστιν ἕδρασμα. ἔστι δὲ ὡς λέγει Ὦρος ὁ Μιλήσιος, ἐπίθετον τῆς γῆς. ἡ εὐθεῖα εὐρυοδεία παροξυτόνως, ἡ μεγάλη καὶ πλατεῖα ἄμφοδος. Ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης. τινὲς δὲ εὐρυόδεια λέγουσι, προπαροξυτόνως.

Εὐρυοδείης, ἐκ τοῦ ὁδεύειν ἔχει τὴν ἐν τῇ παραληγούσῃ δίφθογγον.

Εὐρύοπα, τὸν Δία λέγει Ὅμηρος, ἢ ὡς μεγαλόφθαλμον διὰ τὸ προνοητικόν. ἢ ὅτι εὐρὺ βλέπομεν διὰ τοῦ ἀέρος, ὅς ἐστι Ζεύς. ἢ ὅτι εὐρεῖαν ἔχει ὄπα. βροντητικὸς γὰρ ὁ αὐτὸς Ζεὺς, καὶ ἐριβρεμέτης, καὶ ἐρισμάραγος. λέγεται δὲ καὶ διηχὴς ὑπὸ τῶν φυσικῶν, καὶ Δία μὲν οὕτως εὐρύοπα λέγει ὁ ποιητής.

Εὐρύοπα Κρονίδην, εὐθεῖα κοινὴ μὲν εὐρύοψ, ποιητικὴ δὲ εὐρύοπα, ἀπὸ τῆς αἰτιατικῆς μετασχηματισθεῖσα, ὡς ἡ ἀνάκητα. ἀνάκης γὰρ ἀνάκητος ἀνάκητα, ἀφ' οὗ ὁ ἀνάκητα. ὁ ἠχέτα δὲ, καὶ ὁ κυανοχαῖτα, καὶ ὁ μηκέτα, καὶ ὁ νεφεληγερέτα, ἀπὸ κλητικῆς πάντα ταῦτα σχηματίζεται, οὐκ ἀπὸ αἰτιατικῆς. διὸ καὶ παροξύνεται ταῦτα, ἢ προπερισπᾶται κατὰ τὰς κλητικὰς, ἀφ' ὧν γίνονται προπαροξυνόντας. εὐρύοπα δὲ λέγουσι, τὸν εὐρεῖαν βοὴν ἔχοντα.

Εὐρυπόροιο, πλατεῖς πόρους ἐχούσης, ἢ μεγάλους.

Εὐρυπυλὲς, μεγαλόπυλον.

Εὐρύπυλος, κύριον παροξυτόνως. τὸ μέν τοι ἐπίθετον ἄλλως. εὐρυπυλὲς γὰρ, ὡς δῆλον ἐκ τοῦ εὐρυπυλὲς Ἄϊδος δῶ, οὕτω πῶς καὶ ἄτερπος ὀϊζὺς εὑρέθη, ἢ καὶ ἀτερπής.

Εὐρυπύλου, πλατείας ἔχοντος πύλας.

Εὐρυπρωκτίαν, μαλακίαν. Ἀριστοφάνης, τὴν εὐρυπρωκτίαν σοι ἐναποψήσεται, ὅ ἐστιν ἀπομάξει.

Εὐρυρέεθρος, ἐνθυμητέον καὶ τὸ εὐρείτης, καὶ εὐρροον, καὶ εὐρῥείτης ποταμοῖο, καὶ τὸ βαθυρρόος βαθυρείτης, ἀκαλαρείτης, καὶ ὅσοις ἄλλοις τοιούτοις ἐπιθέτοις, ῥέει ὁ ποιητής.

Εὐρὺς, εῖα, ύ. εὐρέος, είας, έος. εὐρεῖ καὶ εὐρεῖ, είᾳ. εῖ, καὶ εῖ. τὸν εὐρὺν, εῖαν. ύ. παρὰ τοῖς κοινοῖς, εὐρέα. παρὰ ποιηταῖς. ὦ εὐρὺ κοινῶς, καὶ ὦ εὐρὺς ἀττικῶς. δυϊκὰ, τὼ εὐρέε, εὐρεία, εὐρέε. τοῖν εὐρέοιν, εὐρείαιν, εὐρέοιν. ὦ εὐρέε, εὐρεία, εὐρέε. οἱ εὐρέες καὶ εὐρεῖς, εὐρεῖαι, εὐρέα. τῶν εὐρέων, ειῶν, έων. τοῖς εὐρέσι, εὐρείαις, εὐρέσι. τοὺς εὐρέας, εῖς. εὐρείας, έα. ὦ εὐρέες, εῖς, εὐρεῖαι, έα. οὕτω κλίνεται πάντα τὰ ἐπίθετα τὰ λήγοντα εἰς υς, ὡς ταχὺς, βραχύς. καὶ τὰ ἄλλα ὁμοίως. ἢ εὐρὺς, ὁ πλατύς, παρωνύμως. καὶ εὐρὺς κατὰ τοὺς ὤμους, ὁ εὐρυώμιτος, ποιητικόν.

Εὐρυσάκης, ὁ μεγάλην ἔχων ἀσπίδα.

Εὐρυσθενοῦς, μεγαλοδυνάμου.

Εὐρυσθεὺς, σθενέλου καὶ νικίππης υἱός.

Εὐρύστερνος, ὁ μεγάλα στήθη ἔχων, καὶ συνετός.

Εὐρύτερον, πλατύτερον.

Εὔρυτον, οὗ ἡ πατρὶς οἰχαλία. πολίχνιον ἀρκαδικὸν, ὁμώνυμον τῷ θετταλικῷ καὶ εὐβοϊκῷ, διδάσκαλον τοῦ τοξεύειν ἡρακλεῖ Θεόκριτος ἱστορεῖ.

Εὔρυτος ὁ Οἰχαλίας τῆς ἐν Βοιωτίᾳ βασιλεὺς, προέθηκε τὸν τῆς θυγατρὸς Ἰόλης γάμον τῷ κατὰ τὴν τοξικὴν αὐτὸν νικῆσαι δυναμένῳ, ἢ ὥς τινες, τὴν παῖδα παρὰ γὰρ Ἀπόλλωνος εἰλήφει τὴν τοξικήν. Ἡρακλέους δὲ διαγωνησαμένου ἀνακτήσας ὁ Εὔρυτος, οὐκ ἀπεδίδου τὴν κόρην ὀργισθεὶς δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν. τὴν δὲ Ἰόλην αἰχμάλωτον ἤγαγεν, οὐδὲ τῆς ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ Ἴφιτον τὸν Εὐρύτου εἰς Τίρυνθα παραγενόμενον ἐπὶ ζήτησιν ἵππων, ξενίσας ἀπέκτεινε. φεύγων δὲ τὸ τοῦ φόνου μῖσος, παρεγένετο πρὸς Νηλέα καθάρσεως δεόμενος. τῶν δὲ παίδων αὐτοῦ μὴ βουλομένων ὑποδέξασθαι, ὁ Νηλεὺς ἐξέβαλεν αὐτόν. Ἡρακλῆς δὲ ἐκεῖθεν χωρισθεὶς, ἐπεξενώθη Δηϊφόβῳ τῷ τῶν Ἀρκάδων βασιλεῖ. καὶ οὕτως ἐκαθάρθη τοῦ φόνου. καὶ ὕστερον ἐπιστρατεύσας Νηλεῖ, οὐ μόνον τὴν πύλον ἐπόρθησεν, ἀλλὰ καὶ Ἥραν Νηλεῖ συμμαχοῦσαν ἔτρωσεν. αὐτὸν δὲ Νηλέα τοῖς παισὶν ἅμα κτείνει, δίχα τοῦ νεωτέρου Νέστορος. οὗτος γὰρ ἐν Γερηνίοις ἀνετρέφετο, διόπερ ἐσώθη. ὅθεν αὐτὸν γερήνιον ὁ ποιητὴς προσηγόρευσεν.

Εὐρύχορος παρ' Ὁμήρῳ, ἀεὶ συστέλλει τὴν παραλήγουσαν. ἔνθα δηλαδή ἐστιν εὐρὺ χορεύειν, ἵνα ᾖ χώρας εὐδαίμονος ἐπίθετον τὸ οὕτως εὐρύχορον. τὸ δέ γε παρὰ τοῖς ὕστερον εὐρύχωρον, πλάτος μόνον χώρας δηλοῖ.

Εὐρώεντα, ἢ τὰ πλατέα, ὡς ἀπὸ τοῦ εὖρος, ἢ τὰ σεσηπότα παρὰ τὸν εὐρῶτα. ἡ δὲ ἔκτασις τοῦ ω, κατὰ τὸ κηώεις κητώεις, καὶ τὰ ὅμοια.

Εὐρωΐαν, δεξίαν, ὑγείαν.

Εὐρώεντα, σκοτεινὰ, ζοφώδη.

Εὐρώεις, ὁ σκοτεινὸς, ἢ ὁ πλατὺς, καὶ κλίνεται εὐρώεντος.

Εὕρωμεν, εὑρήσωμεν, καὶ εὑρήσω.

* Εὔρωμος, πόλις Καρίας τὸ ἐθνικὸν εὐρωμεύς.

Εὐρώπη, χώρα τῆς Δύσεως, ἢ σκοτεινή. ἡ Εὐρώπη, τὸ ἀπὸ Βυζαντίου μέχρι Γαδείρων, μέχρι τῆς οἰκουμένης. καὶ ὄνομα γυναικὸς, ἣν φασιν ὁ Ζεὺς ἁρπάσας ταῦρος γεγονὼς, διὰ θαλάττης ἤγαγεν ἐπὶ Κρήτην. Ἰστέον δὲ, ὅτι Εὐρώπη μὲν καὶ Σινώπη, διὰ τοῦ ω μεγάλου γράφεται. Ἀερόπη δὲ καὶ Ἀντιόπη καὶ Καλλιόπη, διὰ τοῦ ο μικροῦ.

Εὐρωπία, ἡ Ἥρα.

Εὐρωπὸν, σκοτεινὸν, πλατύ.

* Εὐρωπὸς, πόλις Μακεδονίας. τὸ ἐθνικὸν Εὐρώπιος ὡς Ὠρώπιος.

Εὐρῶπις, ἡ πατρίς.

Εὐρὼς, ὑγρότης σεσηπυῖα, σηπεδών. παρὰ τὸ αὔρα αὐρὼς, καὶ τροπῇ εὐρὼς, τοῦ εὐρῶτος, τῷ εὐρῶτι, καὶ εὐρωτιῶ. ἢ εὐρὼς κυρίως, ἡ πρασινώδης ὁμίχλη. παλύνεται δὲ, λεπτύνεται, ὑπὸ εὐρῶτος. πάλην γὰρ ἔλεγον, τὸ λεπτότατον τοῦ ἀλεύρου, παρὸ καὶ φάλυον λέγεται τὸ λευκόν.

Εὐρωστίαν, ῥῶσιν, ὑγείαν.

Εὐρώστως, ὑγιῶς, ἰσχυρῶς.

Εὐρώτας, ὄνομα ποταμοῦ.

Εὐρῶτι, σηπεδόνι.

Εὐρωτιῶντες, ἠφανισμένοι.

Εὐρωτιῶν, ἀντὶ τοῦ ἱδρῶν, παρὰ τῷ Ἀριστοφάνει. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ εἰκῇ κείμενος. εὐρωτιῶσι γὰρ τὰ εἰκῇ κείμενα, ὥσπερ νοτίδος αὐτοῖς ἐγγινομένης, καὶ σηπούσης. καὶ εὐρὼς, ὁ σκώληξ. ἐπεὶ τοῖς ἀμελῶς κειμένοις, ἱδρὼς προσίζει, ὅ ἐστι νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος. ὁ γὰρ αὐτῶν οἶκος, πυρῶν καὶ δερμάτων μεστὸς ὢν, οὐδεμίαν ἔχει τῶν τοιούτων πραγμάτων εὐθεσίαν. ἀλλ' ἄλλο ἀλλαχῆ κεῖται, ὡς ἔτυχεν.

Εὒς, ὁ ἀγαθὸς, ὡς παρὰ τὸ ἥδω ἡδὺς, καὶ βρίθω βριθὺς, οὕτω παρὰ τὸ ἔω τὸ ὑπάρχω ἐΰς.

Εὗσαι, τὸ φλογίσαι. ἀπὸ τοῦ εὕω. λαμβάνεται καὶ ἐπὶ τοῦ θῦσαι.

Εὐσέβειά ἐστι, δικαιοσύνη περὶ θεόν. δύναμις θεραπευτικὴ θεοῦ, ἑκούσιος ὑπόληψις ὀρθὴ τῆς περὶ θεοῦ τιμῆς.

Εὐσεβὴς λέγεται ἀνὴρ, ὁ νομίζων θεούς. λέγεται ἔτι καὶ φιλόθεος, ὅσιος, φιλοθύτης, φιλεορταστὴς, ἱερουργικὸς, θεῶν ἐπιμελὴς, θεοῖς ἀνακείμενος, θειασμῷ προσκείμενος, λατρεύων θεοῖς, ἔνθεος, κάτοχος, θεοσεβὴς, θεολογικὸς, ἐπιτεθειασμένος, ἱερὸς, θεοφιλὴς, καὶ καθιερωμένος.

Εὔσαμα, ἀναφώνημα εὐαστικὸν, καὶ βακχικὸν ἐπίφθεγμα. καὶ γὰρ τὸ βακχεύειν, εὐάζειν. καὶ σαβάζοι βακχεύοντες.

Εὔσανα, χύτρα, ὄρυγμα, ἐν ᾧ τοὺς ὗς βυθίζουσι, καὶ τὰ ἐγκαύματα.

Εὐσανιδώτου, εὐσέλμου, εὐκώπου, εὐκαθέδρου.

Εὐσελανόνδιον οἶκον, ἤτοι παρὰ τὸ σέλας, ἢ παρὰ τὴν σελήνην. ἵνα ᾖ ἀπὸ μέρους, ἔναστρον.

Εὐσέληνος, εὐφεγγής.

Εὐσέλμοιο νηὸς παρ' Ὁμήρῳ. ἔστι δέ φασι σέλμα τὸ μεταξὺ τῶν τοίχων τῆς νεὼς, ὃ καὶ ζυγὸς καὶ σελὶς καλεῖται, καθέδρα, ἐφ' ὃν ἐρέσσουσιν. ὅθεν εὔσελμος ναῦς. γίνεται δὲ τὸ ῥηθὲν σέλμα, παρὰ τὸ σέλλω τὸ ὁρμῶ, τὸ αἴτιον ὁρμῆς τῇ νηΐ. διὸ καὶ Σοφοκλῆς θοὸν εἰρεσίας λέγει ζυγόν. οὐχ ὡς αὐτὸν ταχὺν, ἀλλὰ ὡς τοῦ θέειν αἴτιον. ἀπὸ δὲ τοῦ σέλλω, σόλος, ὁ δίσκος, ὁ μεθ' ὁρμῆς βαλλόμενος. ὡς στέλλω, στόλος. ἤδη ἐδηλώθη ὡς εὔσελμος ναῦς, καὶ ἡ καλὰ σπάρτα ἔχουσα. σελμὶς γάρ φασι τὸ σπαρτίον.

Εὔσελμος ναῦς, παρὰ τὸ σέλμα, ὃ δηλοῖ ζυγὰ νηῶν. καὶ ξυλίνων κλιμάκων βαθμοὺς, κατὰ τοὺς παλαιούς. λέγεται ἡ ναῦς εὔσελμος, ἢ εὔζυγος, καὶ εὐκάθεδρος. σέλμα γὰρ ἡ καθέδρα. ἐξ οὗ καὶ τὸ σέλλιον ἔοικε λέγεσθαι, ἢ αἱ εὔσχοινοι. φασὶ γὰρ οἱ παλαιοὶ σελμίδας λέγεσθαι τὰ σχοινία.

Εὔσημον, εὔδηλον, φανερόν.

Εὔσημος, περιφανὴς, λαμπρός. καλὸς, ἀγαθός.

Εὐθένεια, δύναμις.

Εὔσκαρθμοι ἵπποι, καθάπερ καὶ εὔσκαρθμος μύρμηνα, οἱ εὐκίνητοι, ταχεῖς. παρὰ τὸ εὖ σκαίρειν. φησὶ γὰρ, τὸν δὲ ἦγον τὸν Ποσειδῶνα ἐς νῆας εὔσκαρθμοι φέρον ἵπποι. σκαρθμὸς γὰρ κατὰ διάλεκτον ὀπούς.

Εὐσκευοῦμεν, καλῶς παρεσκευασάμεθα πρὸς θάνατον. οὕτω μὲν τὸ εὐσκευοῦμεν.

Εὔσκοπος, ἄνετος.

Εὔσκοπος, ἄλλως ἐπὶ Ἑρμοῦ κεῖται. δηλοῖ γὰρ ἀγαθὸν σκοπευτήν. ἑτέρως δὲ ἐπὶ τῆς τοξικῆς Ἀρτέμιδος. ἵνα ᾖ εὔσκοπος Ἄρτεμις, ἡ εὖ καταστοχαζομένη τοῦ σκοποῦ.

Εὔσμαλον, εὔχαρι.

Εὐσμερδὴς, εὔρωστος.

Εὐσμίλωτα, εὖ κατεσκευασμένα, ἀπὸ τῆς λατυπικῆς σμίλης. δύναται δὲ τὰ σμιλάκινα εὔβαφα.

Εὔσοια, εὐθένεια, ζῶντα τ' εὐσοίας χάριν.

Εὔσοοι, ἀσφαλῶς σωζόμενοι.

Εὔσοντας, ἐκδέροντας.

Εὔσους, ὁ διευτυχῶν, καὶ ἥρως ἐγχώριος, καὶ εὐκίνητος, εὔφρονος.

Εὐσό-

Digitized by Google

Εὐσόου, εὐδρόμου.

Εὐσπελὴς, εὐτελής.

Εὔσπλαγχνος, εὐήτορ.

Εὐσπάρτως, ἴσος οὐ μή τι ἀραιὸς, μή τι πυκνὸς ὁ στήμων τυγχάνει.

Εὐσθένεια, ἡ ἰσχύς.

Εὐσταθὲς μέγαρον, τὸ ἀλλαχοῦ εὔτυκτον. ἢ εὐσταθὲς, ἀτάραχον, βεβηκὸς, μὴ σεσοβημένον.

Εὐστάθεια, παγιότης, καρτερία. πόθεν δὲ εὐστάθεια καὶ εὐσταθὴς εἰς τὴν τῶν Ἑλλήνων φωνὴν εἰσεῤῥύη ἀδοκιμώτατα ὄντα, φροντίδος ἄξια, ἀλλὰ σὺ ἐπιείκεια λέγε, καὶ ἐμβριθὴς, Φρύνιχος.

Εὐσταθεῖν, ἡδονῶν.

Εὐσταθέος, καλῶς βεβηκότος, εὐποιήτου.

Εὐσταθὴς, βέβαιος.

Εὐσταθήσουσιν, ἡσυχάσουσιν.

Εὐσταθῶς, ἑδραίως, βεβαίως, ἀσφαλῶς. καὶ εὐσταθὴς, καλῶς ἑστώς.

Εὐσταλεῖ, ἀτρεμεῖ.

Εὐσταλὴς, καλῶς ἐσταλμένος.

Εὐσταλὴς, καλῶς ἐστολισμένος.

Εὔστασιν, εὐσχήμονα γὰρ τὰ ἐστολισμένα.

Εὐστειβὲς, καλῶς πεπατημένον, τετριμμένον.

Εὐστείρης, εὐτρόπιδος.

Εὐστέφανον Θήβην λέγει ὁ ποιητὴς, ἀντὶ τοῦ εὐτείχεον, διὰ τὰς τῶν πύργων στεφάνας, ἢ ὡς πολλὰ στεφανωσαμένην ἐν ἀγῶσι πολεμικοῖς, καὶ ἑτέροις, ὁποίαν τινὰ καὶ τὴν Κρότωνα ὁ Περιηγητὴς ἱστορεῖ. ἴσως δὲ καὶ τὴν κύκλῳ ἀγαθοῖς, οἷον ἐστεφανωμένην. τάχα δὲ καὶ ὁμωνύμως τῇ Ἡρωΐνῃ Θήβῃ εὐκόσμῳ οὔσῃ, εὐστέφανον Θήβην καὶ τὴν πόλιν καλεῖ.

Εὐστέφανος, ἤτοι εὔκοσμος. στέφανος γὰρ ἡ στεφάνη, κόσμος γυναικεῖος, καὶ περικεφαλαίας εἶδος.

Εὐστιβῆ τετριμμένοι, εὐστιβῆ ὁδὸν πορευόμενοι. στίβος γὰρ, ἡ ὁδός.

Εὔστιπτον, εὔτριπτον, εὐπίλητον. παρὰ τὸ στίβω, ὅθεν καὶ στιβάς. καὶ στιβεῖς, οἱ κναφεῖς.

Εὔστολον, εὔσημον, εὐσταλέα. ἢ εὔστολον, εὔκοσμον. ὡς τὸ, ὁ δὲ προοίγει ποιήσας εὔστολον τὴν ἀκολουθίαν.

Εὐστομεῖν, ἀντὶ τοῦ εὐγλωττεῖν, καὶ ἀντὶ τοῦ εὐφημεῖν. εὔστομα κείσθω παρ' Ἡροδότῳ, ἀντὶ τοῦ εὐφήμως εἰρήσθω.

Εὔστομον, ἀπὸ μέρους, εὐπρόσωπον.

Εὐστὸν, τὸ σειόμενον.

Εὔστρα, βόθρος ἐν ᾧ ὗς θύουσι. καὶ ὁ στάχυς, ὅταν μήπω πέπειρος ὢν ἀποφλογισθῇ. ἡ εὔστρα, βόθρος ἐν ᾧ περιφλέγουσι τὰς τῶν ὑῶν τρίχας, ἀπὸ τοῦ εὕειν, καὶ φλογίζειν τοὺς χοίρους.

Εὔστραις, ἀντὶ τοῦ φλογίστραις, ὅπου τὰ ἱερὰ θύεται. εὔστρα, ἡ ὀρεινὴ κριθή. εἴρηται δὲ καὶ ἀμφίκαυτις παρὰ κωμικοῖς καὶ τραγικοῖς, ἀπὸ τοῦ περικεκαῦσθαι.

Εὐστρέπτοισι βοεῦσι. βοέας, ἐν συναιρέσει βοῦς, τοὺς ἐκ βοείων ἱμάντων κάλωας, οὓς καὶ κάλους οἱ ὕστερόν φασιν. εὐστρέπτοις δὲ, ἀντὶ τοῦ εὐμαλάκτοις, ἢ εὐκλώστοις. οὕτω γὰρ μάλιστα οἱ ἱμάντες χρήσιμοι ἐγίνοντο, ἀφ' οὗ καὶ ἱμονιὰ κατὰ Αἴλιον Διονύσιον.

Εὐστρόφῳ, καλῶς ἐστραμμένῳ.

Εὔστυλον, καλὴν λαβὴν ἔχουσαν.

Εὐσύμβολον, εὐσυνάλλακτον.

Εὐσυναλλάκτως, εὐμεταδότως.

Εὐσυνείδητος, καλῶς ζῶν.

Εὐσύνοπτον, φανερὸν, εὐθεώρητον, σαφές.

Εὔσφυρος, καλλίσφυρος, ἀπὸ μέρους καλή.

Εὐσχήμονες, εὐλαβεῖς.

Εὐσχήμων, γίνεται ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ σχῆμα, οὐχ ὁ πολλὰ κεκτημένος καὶ πλούσιος, ἀλλ' ὁ κόσμιος, καὶ πειθόμενος τοῖς νόμοις καὶ συνιστῶν.

Εὐσχημόνως, εὐλαβῶς, σεμνῶς.

Εὔσχημος, κωμικὸς ποιητής.

Εὐσχολῶ, σχολὴν ἄγω.

Εὐσωπία, ἡσυχία.

Εὔσωτρον, εὐκύλιστον. σῶτρη γὰρ, ἡ ἐφορμὴ καὶ φορὰ, ὡς εἶδος ἡ κύλησις.

Εὐσώτρου, εὐδρόμου.

Εὐσπελεῖ, ἀτρεμεῖ.

Εὐταξία, εὐκοσμία.

* Εὔταια, πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν Εὐταιεὺς, ὡς Φαναεύς.

Εὖτ' ἂν, χρονικὸν ἐπίρρημα, ἰσοδυναμοῦν τῷ ὅτε, καὶ ὁπηνίκα. Ὅμηρος δὲ Ἰλιάδος γ΄, καὶ ὁμοιωματικὸν αὐτὸ, ἤτοι παραβολικὸν ἔφηνεν ἐν τῇ περὶ ὁμίχλης παραβολῇ, εὖτ' ὄρεος κορυφῇσι, καὶ τὰ ἑξῆς.

Εὐτείχεα, προπαροξύνεται, οὐκ ἐκ τοῦ εὐτείχης ὂν, ἀλλὰ κατὰ τοὺς παλαιοὺς, ἀπὸ τοῦ τεῖχος εὔτειχος. οὗ γενικὴ, εὐτείχεος.

Εὐτειχεῖ, καλῶς τετειχισμένῳ, εὐτειχεῖ πάγῳ, καὶ εὐτειχεῖ θαλάμῳ.

Εὖ τέκεν οἷο, ὁπότε αὐτοῦ.

Εὐτέκμαρτον, καλῶς τυπούμενον.

Εὐτελὴς, σύντομος. πολυτελὴς γὰρ, ὁ πολλὴν σκευωρίαν ἔχων χρόνου, καὶ ἀναλωμάτων.

Εὐτελίζω, ἀθερίζω.

Εὖ τέ τις, ὁπότε τις.

Εὐτεχνία, σοφία, σύνεσις.

Εὐτμήτοις, εὖ κατεσκευασμένοις.

Εὔτμητος, εὐκόλως, ἢ μετὰ τέχνης τεμνόμενος.

Εὐτοκία, πολύγονος.

Εὔτονος, εὐμενὴς, γενναῖος.

Εὐτονία, ἀνεξικακία, καρτερία, ὑπομονή.

Εὐτόνως, ἰσχυρῶς, ἐλαφρῶς.

Εὐτραπελία, ἡ βωμολοχία, ἐπὶ τῶν ἐπιτηδευόντων παίγνια, δι' ὧν κινήσουσι τοὺς ὁρῶντας ἢ ἀκούοντας εἰς γέλωτα.

Εὐτράπελά ἐστι, φαιδρότης ἔξω λόγου.

Εὐτράπελος, γελοιώδης, ἢ ὁ ἐπιμελῶς παίζων, ἢ ὁ κοῦφος καὶ μωρὸς, καὶ ἀπαίδευτος. κυρίως δὲ ὁ μιμολόγος, ὁ γελωτοποιὸς, ἢ ὁ εὐχερῶς τρεπόμενος κατὰ τοῦ βίου, καὶ πάσας συμφορὰς ὑπομένων. γίνεται δὲ ἀπὸ τοῦ εὖ, καὶ τοῦ στρέφω, εὔστρεπτος, εὐστράπελος, καὶ εὐτράπελος.

Εὐτρεπῆ, τὰ ἕτοιμα καὶ τέλος ἔχοντα.

Εὐτρεπίζω, ἑτοιμάζω, παρασκευάζω, εὐκοσμῶ, εὖ τίθημι.

Εὐτρεπισμὸς, ἡ ἑτοιμασία.

Εὐτρεφὲς ἔντερον οἰὸς, περίφρασίς ἐστι τοῦ χορδή. ἤδη δὲ καὶ ὁρισμὸς αὐτοῦ. κυρίως γὰρ χορδὴ, εὐτρεφές. ἤτοι εὔκλωστον ἔντερον οἰὸς, ὃ παραφθείροντες κόρδαν οἱ χυδαῖοί φασιν.

Εὔτρη, πόλις Ἀρκαδίας.

Εὐτρηΐους, τὴν ἀπὸ Εὔτρης πόλεως τῆς Ἀρκαδίας. Δωρικῶς δὲ εἴρηκε Τηλεκλείδης. θέλει γὰρ εἰπεῖν, Εὐτρησίους.

Εὔτρησιν ἔτιμα, εὐτρησίτην Ἀπόλλωνα. οὗ καὶ μαντεῖον ἐκεῖ ἔνδοξον. ἐκλήθη δὲ οὕτω, διὰ τὸ πολλὰς αὐτὴν ῥυμοτομίας οἱονεὶ συντετρῆσθαι τεμνομένην εἰς ἀμφόδους συχνάς. ἔκειτο δέ φασι παρὰ τὴν ὁδὸν τὴν ἐκ Θεσπιῶν εἰς Πλαταιάς. ἐτείχισαν αὐτὴν Ζῆθος καὶ Ἀμφίων ἀδελφοί. ὁ δὲ Στράβων λέγει, ὅτι Εὔτρησις κώμιον Θεσπιέων, ἔνθα Ζῆθος καὶ Ἀμφίων ᾤκησαν, πρὶν βασιλεῦσαι Θήβαις.

Εὐτρήτοισιν, καλῶς τετρημένοις.

Εὐτρόπεσθαι, ἐπιστρέφεσθαι. Πάφιοι.

Εὐτρόχαλον, εὔκυκλον, ταχινόν.

Εὔτυκτα, παρὰ Ἡροδότῳ, ἀντὶ τοῦ ῥάδια, ἕτοιμα, εἰργασμένα, καλῶς κατεσκευασμένα.

Εὐτυκῶς, ῥαδίως, καὶ τὰ ὅμοια.

Εὐτύκαζον, εὔτυκτον ἔχει, ἕτοιμον.

Εὐτυχεῖς τῷ θυμῷ, εὐδαίμονες τὸν θυμόν.

Εὐχερὲς, εὐποίητον, ῥάδιον.

Εὐτυχὲς, ἐνεργές.

Εὐτυχήσων, εὐτυχῆ ποιήσων.

Εὐτυχέω, ῶ, δοτικῇ συντάσσεται.

Εὐριπίδης, ἀδελφὸς ὁ ὑμὸς ηὐτύχει δορί.

Εὐτυχὴς τυγχάνεις, ἤγουν εὐτυχεῖς, καὶ εὐτυχὴς ὑπάρχεις.

Εὐτυχία, εὐπραγία, εὐποτμία, εὐπραξία, συγχαίρειν, συνήδεσθαι, συνευτυχεῖν.

Εὐφάλαρα, λαμπρά.

Εὔφαλον, ἐπιθαλάσσιον, βραχυθαλάσσιον, βραχυθάλασσον.

Εὐφάμιος, ὁ Ζεύς.

Εὐφάρμακον, ἔχιον.

Εὔφαπτον, ὑπὸ Θεοῦ κατεχόμενον.

Εὐφεγγεῖς, λαμπρούς.

Εὐφεγγίας, ἀπὸ τῶν δύο στοίχων εὐφεγγίας ποιούντων.

Εὔφεδρος ἢ ἔφεδρος, ὁ εὐτρεπισμένος δύο τινῶν παλαιόντων, παλαίειν τῷ νικήσαντι.

Εὐφερόμενοι, εὐδοκιμοῦντες.

Εὐφέστιος ἐφέστιος, ὁ οἰκῶν ἐν ἀλλοτρίᾳ οἰκίᾳ, ὡς παρ' Ὁμήρῳ, ἀλλ' ἐμὲ τὸν δύστηνον, ἐφέστιον ἤγαγε δαίμων. καὶ ὁ ἔχων οἰκίαν, ὡς παρὰ τῷ αὐτῷ, Τρῶας μὲν λέγεσθαι ἐφεστίους, ὅσοι ἔασιν. ἐφέστιος, καὶ ὁ ἁπλῶς ἐν οἰκίᾳ ὤν. ὁμέστιος δὲ, καὶ συνέστιος, ὁ ἐν μιᾷ οἰκίᾳ μεθ' ἑτέρου ὤν.

Εὔφημα, καλὰ ἐπαινετά.

Εὐφημεῖν, παρὰ τῷ ποιητῇ, οὐκ αὐτόχρημα τὸ ἐπαινεῖν, ἀλλὰ τὸ ἐνθεαστικῶς ἀγαθὰ λέγειν.

Εὐφήμησον παρὰ τῷ ποιητῇ, οὐ μόνον τὸ ἐπαινεῖν σημαίνει, ἀλλὰ καὶ τὸ ἐνθουσιαστικῶς ἀγαθὰ λέγειν. Ἀριστοφάνης, εὐφήμει, ἤγουν εὔφημα λέγε. καὶ εὐφημεῖν παρ' Ἀττικοῖς, τὸ σιγᾶν.

Εὐφημίαν, σιωπὴν, εὐλογίαν.

Εὐφήμοις γόοις, δυσφήμοις, κατ' ἀντίφρασιν.

Εὔφημος, ὁ Ζεὺς ἐν Λέσβῳ.

Εὐφημοῦσι, στένουσι, κωλύουσι, κατ' ἀντίφρασιν.

Εὐφημῶ, οὐ μόνον τὸ ἐπαινῶ, ἀλλὰ καὶ τὸ καλὰ καὶ πρέποντα λέγω. ὅθεν εὐφημία οὐ μόνον ὁ ἔπαινος, ἀλλὰ καὶ ἡ τῶν λόγων καλλιῤῥημοσύνη. καὶ εὐφημῶ, τὸ ὑμνῶ καὶ ἐξαίρω, καὶ ὡς ὑπὲρ τὰ πάντα τιμῶ.

Εὐφήμως, ἡδέως.

Εὔφλεκτα, εὐκαῆ ξύλα.

Εὐφορία, εὐθηνία, καλὸς ἐνιαυτὸς, ἡ εὐκαρπία. εὐφορεία δὲ, ἡ εὐθηνοτήρησις δίφθογγον.

Εὔφορος γῆ, εὔπορος, εὔσπορος, εὐήροτος, βαθεῖα, βαθύγαιος, πίειρα, πία, πίων, εὔκαρπος, πολύφορος, δικαία. τὰ ἐναντία, λεπτὴ, πετρώδης, ψαμμώδης, λιθώδης, ὑπόλιθος, ὑπόπετρος, ὑπόψαμμος, ἄφορος, ἄσπορος, ἄπορος, κοῦφος, ἐλαφρός. ὁ δὲ θυρεὸς τῶν Ἰβήρων εὔφορος. καὶ εὔφορος, ὁ εὔθυμος.

Εὐφορῶν, καλῶς φέρων.

Εὐφραδέως, πεφρασμένως, καὶ συνετῶς, παρὰ τὸ φράδην. ἢ εὐπρεπῶς, καὶ κοσμίως, ἀπὸ τοῦ φράζειν συνεχῶς.

Εὐφράδης, παταικὸς, ἐπιστρατέζιος.

Εὐφραίνειν, τὸ ἡδύνειν. λέγεται δὲ ἐπὶ ψυχῆς, ἀφ' οὗ ὄνομα εὐφροσύνη, ἡ χαρά. καὶ ποιητικῶς, ὁ εὔφρων, ταυτὸν τῷ ἡδύς.

Εὐφραίνεσθαι, καὶ ἥδεσθαι διαφέρει. εὐφραίνεσθαι μὲν γάρ ἐστι μανθάνοντα, καὶ φρονήσεως μεταλαβόντα, αὐτῇ τῇ διανοίᾳ. ἥδεσθαι δὲ, αἰσθανόμενόν τι αὐτῷ τῷ σώματι.

Εὐφρασία ἐστὶ, χαρὰ ἐπὶ τοῖς τοῦ σώφρονος ἔργοις.

* Εὐφραντὰ, πόλις Λιβύης. τὸ ἐθνικὸν εὐφρανταῖος.

* Εὐφραντὶς ἡ Συρία. τὸ ἐθνικὸν εὐφραντίτης, ὡς προσωπίτης.

Εὐφράτης, ποταμὸς, ὃς παρὰ Ἰουδαίοις ἐδδεκὲλ, καὶ ἰχθῦς.

Εὐφράτης, ὁ εὐφραίνων ποταμός.

Εὐφρονέων, καλῶς φρονῶν.

Εὐφρονιῶν, εὖ τὰς φρένας διακείμενος, φρόνιμος, χαίρων.

Εὐφρόνη, ἡ νὺξ, παρὰ τὸ εὖ φρονεῖν ἡμᾶς ἐν αὐτῇ. καὶ γὰρ ὁ λογισμὸς ὅτε ἀχολεῖται, κρείττων γίνεται τῶν πραγμάτων. ἢ παρὰ τὸ εὐφραίνειν τὸ σῶμα διὰ τῆς ἀναπαύσεως, παρώνυμόν ἐστιν. ὥσπερ γὰρ παρὰ τὸ ἄνακτος γίνεται ἀνάγκη, πλεονασμῷ τοῦ γ, καὶ ἀμύμων, ἀμύμονος, ἀμυμόνη, καὶ ἀμυμώνη διὰ τοῦ ω μεγάλου, οὕτω καὶ παρὰ τὸ εὔφρων εὔφρονος, εὐφρόνη.

Εὖφρον, τὸ ἡδύ. δύσφρον, τὸ ἐναντίον, ἤγουν τὸ ἀλγεινόν.

Εὖ φρονῶ διαλυόμενον, αἰτιατικῇ συντάσσεται. οἷον, εὖ φρονῶ τὰ σὰ, ἀντὶ τοῦ εὐνοῶ τοῖς σοῖς, ἤγουν εὐνοῶ σοι. τὸ δὲ εὐφρονῶ δοτικῇ, καὶ αἰτιατικῇ ἐνίοτε. Ἀριστοφάνης, ἦν δ' ἐμοὶ καὶ τοῖς ἐμοῖς εὐφραίνηθ' εὑρήμασιν.

Εὐφροσύνη, ἀφορισμὸς λύπης ἐν ἐπιδημίᾳ καλῶν.

Εὔφρων, κωμικὸς τῶν δραμάτων. καὶ εὔφρων, ὁ ἡδύς. ἔμφρων δὲ, ὁ φρόνιμος.

Εὐφυεῖς μηροὶ, οἱ εὐπεφυκότες, καὶ ἐν τῷ ὅλῳ σύμμετροι. οἱ δὲ παρὰ τοῖς ὕστερον εὐφυεῖς, ψυχικῶς ἐπαινοῦνται, ὡς εὖ πεφυκότες εἰς τὸ μαθεῖν. τὸ δὲ παρ' Εὐριπίδῃ εὐφυεῖς

πρόσωπον, καὶ τοὺς ἀφυεῖς ἐῤῥέθη μηρούς, ἐκ τοῖς καθ' Ὅμηρον φυῆς.

Εὐφυὴς, ὁ εἰς πάντα δεξιὸς, καὶ ἐπιτήδειος.

Εὐφυΐα, ἀγαθὴ ἀρετὴ ἐν φύσει πρὸς τάχος μαθήσεως. ἀφυὴς ἐστι, τὸ οἰκειοῦσθαι μὲν πρὸς τὸ ἀληθές, ἀποστρέφεσθαι δὲ τὸ ψεῦδος.

Εὔφωνον κήρυκα, τὸν δυνάμενον μέγα βοῆσαι, ἀφώρατον, φανερόν.

Εὐχαὶ, ὑποσχέσεις, τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω.

Εὐχαίτης, ὁ καλόθριξ, εὐχέτης δὲ ὁ εὐχὴν ποιῶν, ψιλόν.

Εὐχαριστεῖν, οὐδεὶς τῶν δοκίμων εἶπεν ἀλλὰ χάριν εἰδέναι.

Εὐχαριστία, δέησις, καὶ προσευχὴ διαφέρει. οἷς γάρ ἐστι ἐν δεῖ τινα, συμπέσιν ἡ δέησις. ὅταν δὲ τὸ ἀξίωμα τοῦ θεοῦ νοήσας αἰτῶ τι παρ' αὐτοῦ, τότε προσεύχομαι. ὅτε δὲ φίλος ἐπιπλέον γένωμαι, τότε εὐχαριστῶ. φησὶ καὶ ὁ μακάριος Παῦλος, πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας, ἀπὸ τῶν ἡττόνων ἐπὶ τὰ μείζω προβαίνων.

Εὐχαριστῶ, αἰτιατικῇ καὶ δοτικῇ συντάσσεται. λέγεται καὶ εὐχαριστῶ σοι δε.

Εὐχὰς, στίγματα.

Εὐχαστῆσαι, ἐπικαυχήσασθαι.

Εὐχαιότερον, πλουσιώτερον.

Εὔχεαι, καυχᾷ, αὐχεῖς, λέγεις.

Εὔχειλον, εὔβοσον, εὔχορτον.

Εὐχείμονος, τοῦ καλὰ ἱμάτια ἔχοντος.

Εὐχέρεια, εὐκολία, εὐστομία, ἐπιδεξιότης.

Εὐχειρία, ἡ διὰ χειρῶν εὐκινησία.

Εὔχεο, ἐκαυχῶ ηὔχου.

Εὐχερὴς κυρίως, ὁ εὐκαταπάλαιστος, ἢ ὁ εὐκαταγώνιστος καὶ εὐκαταγώνιστος, ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν, ἢ τῶν πολεμιστῶν, παρὰ τὸ χεῖρα. καταχρηστικῶς δὲ, ὁ ἐπιεικὴς, καὶ μὴ ἀντιπαλαίων.

Εὔχεσθαι, οὐ μόνον θεοκλυτεῖν, ἀλλὰ καὶ τὸ καυχᾶσθαι. ὅθεν καὶ τὸ καύχημα εὐχωλή. καὶ τὸ λέγεσθαι δὲ καὶ ὀνομάζεσθαι, εὔχεσθαι λέγεται. ἀφ' οὗ καὶ τὸ τίνες ἔμμεναι εὐχετόωνται, ἤτοι ᾄδονται, λέγονται, ἀγχιάλοιο εὔχομαι εἶναι υἱός, ἤτοι λέγομαι. καὶ ξένοι ἀλλήλων πατρώϊοι εὐχόμεθα εἶναι.

Εὐχετάασθαι, εὔχεσθαι.

Εὔχεται, παρακαλεῖ, καυχᾶται.

Εὐχετίαζον, ηὔχοντο.

Εὐχετοώμην, οὐ ἡ κλίσις κατὰ τὸ βοαοίμην βοώμην, τὸ θέμα εὐχετάω, ῶ. ἀφ' οὗ εὐχετώμην, καὶ πλεονασμῷ τοῦ ο μικροῦ εὐχετοώμην. τοιοῦτον δέ πού καὶ τὸ ὁράοιτε ὁρῶτε, καὶ ἐπενθέσει τοῦ ο ὁρόωτε, ἀντὶ τοῦ βλέποιτε.

Εὐχή ἐστιν, ἐπαγγελία τινὸς τῶν κατ' εὐσέβειαν ἀφιερωμένων. εὐχή ἐστιν, ὑπόσχεσις, ἐξιλασμός. ἐξίλασμα δέ ἐστι, δῶρον εἰς ψυχὴν φέρον. εὐχή ἐστιν, ὑπόσχεσις ἀγαθῶν ἑκούσιος. εὐχή ἐστι, σύνταξις δώρου πρὸς θεόν, παρὰ τῶν δούλων αὐτοῦ γινομένη ἑκούσιος. εὐχή ἐστιν αἴτησις ἀνθρώποις ἀγαθῶν, ἢ δοκούντων παρὰ θεῷ. Ἄλλως.

Εὐχὴ, καθόλου ὁ ποιητὴς οὐδεμίαν εὔλογον εὐχὴν ἄπρακτον πίπτειν ἱστορεῖ, ἀλλ' ἐάν τις δίκαια εὔχηται παρ' αὐτῷ, οἱ ἐχθροὶ πίπτουσιν, ἢ σύμβολα δίδονται, ἢ φίλοι ἐπανήκουσιν, ἢ ἔργα εὐοδοῦνται, ἢ ἁπλῶς ἀγαθὰ ἕτερα γίνονται. οὕτω παιδευτικὸς καὶ βιωφελὴς ὁ ποιητὴς, καὶ ἐν μύθοις καὶ ἐν πλάσμασιν.

Εὐχὴ, ἐπαγγελία καὶ ὑπόσχεσις. ὡς ἐξ ἀνθρώπου θεῷ ἀφιερωμένη. ἡ σύστασις δώρου πρὸς θεὸν παρὰ τῶν δούλων αὐτοῦ γινομένη ἑκούσιος εὐχή. ἢ τοῦ εὖ ἔχειν αἴτησις.

Εὐχήμονα, εὐχῆς ἄξιον.

Εὐχιλοκάπους, τῆς εὐτρόφου φάτνης, ἢ τῆς καλὰ χείλη ἐχούσης, ἢ καλὰς τροφάς. ὡς κρείττονας ὄντας τοῦ ποιμενικοῦ βίου, τοῦ ἁρπακτικοῦ καὶ μαχίμου.

Εὐχολόγιον, βιβλίδιόν τι. εὐχὰς περιέχον.

Εὔχομαι, προσεύχομαι τῷ θεῷ, καὶ προσεύχομαι τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ εὐχὴν ποιοῦμαι. κατεύχομαι δέ σου, καὶ ὑπερεύχομαί σου γενικῇ. καὶ ἀπεύχομαι, ἢ εὔχομαι, τὸ εὐχὴν ποιῶ. κατεύχομαι δὲ, τὸ καταρῶμαι. λέγεται δὲ καὶ εὔχομαι, τὸ καταρῶμαι. καὶ εὔχομαι πλούσιος εἶναι, συμπέσιν ἐγὼ, ἀμεταβάτως. εὔχομαι δὲ πλούσιον εἶναι, ἕτερον, μεταβατικῶς αἰτιατικῇ. καὶ εὔχομαι τὸ καυχῶμαι, παρὰ μόνοις ποιηταῖς. ἔτι, εὔχομαι τὸ ὑπισχνοῦμαι, ἀεὶ πρὸς μέλλοντα. ὅθεν εὐχὴ, ἡ ἱκετεία, καὶ ὑπόσχεσις. αἱ δὲ ἀντὶ τοῦ παρακαλῶ πρὸς παρῳχημένον, ὡς Δημοσθένης ἐν ἀρχῇ τοῦ περὶ στεφάνου.

Εὔχομαι, ηὐχόμην, ἀλλὰ καὶ εὐχόμην, καὶ εὐλαβοῦμαι, καὶ ηὐλαβούμην. ἀλλὰ καὶ εὐλαβούμην. καὶ εὐμοιρῶ, ηὐμοίρουν, καὶ εὐμοίρουν, καὶ ἁπλῶς τῶν ῥημάτων ὅσα ἀπὸ τῆς ευ διφθόγγου ἀρχόμενον τὸ θέμα ἔχουσι, κατὰ τοὺς παρῳχημένους τὸ δίφθογγον φυλάττουσι μὴ τρεπόμενον. καὶ πάλιν αὖ εἰς ηυ ταῦτ' αὐτὸ τρέπουσιν. οἷον εὔχομαι, καὶ ηὐχόμην. ἀττικῶς γὰρ τρέπεται ἀεί. ὅσα δὲ ἀπὸ τῆς αυ πάντα τρέπουσιν ἀεί, οἷον, αὐξάνω ηὐξανόμην, καὶ αὐδῶ ηὔδων, ποιητικῶς.

Εὔχομαι, ἀντὶ τοῦ καταρῶμαι, παρὰ Ἀριστοφάνει.

Εὔχομαι. ὅσα ῥήματα ἀπὸ τῆς ευ διφθόγγου ἄρχεται, ταῦτα τηρεῖ τὴν ευ δίφθογγον καὶ ἐπὶ πάντων τῶν χρόνων, οὕτως ἄρα καὶ τὸ εὔχομαι φυλάττεται τὴν ευ δίφθογγον. τὰ δὲ ἀπὸ τῆς αυ ἀρχόμενα, τρέπεται τὸ α εἰς τὸ η. οἷον αὐλῶ ηὔλουν, αὐχῶ ηὔχουν. εὔχομαι δὲ, εὐχόμην.

Εὐχόμεθα, φαμέν.

Εὔχους, χώνη, σαλαμίνιοι.

Εὖχος, καὶ κῦδος, ταυτόν. διό φησιν Ὅμηρος, εὖχος ἄρηαι ὑπέρτερον. ἀλλαχοῦ δὲ ἠράμεθα μέγα κῦδος. καὶ εὖχος, καύχημα.

Εὐχρηστεῖν, ἀπόρριψον. λέγει δὲ, κιχράναι. Φρύνιχος.

Εὐχρηστία, ἡ καλὴ χρῆσις.

Εὐχροεῖς, εὐσωματεῖς.

Εὐχροὲς δέρμα, ὑγίειαν ζώου δηλοῖ. οὐ τὸ δέρμα εἴη ἂν καὶ πυκνὸν, καὶ οὕτως εὔχρηστον, εἰς πέδιλα. ἔοικε δὲ καὶ ἀδέψητον εἶναι τὸ τοιοῦτον δέρμα, καὶ τρίχας ἔχον, δι' ὧν ἦν εὐχροές.

Εὐχυλότερος, ὁ ταχέως πεπτόμενος.

Εὐχωλὴ, εὐχή, ἢ καύχημα, θυσία, νίκη, τέρψις, χαρά. Ὅμηρος, οὕτω δὴ οἱ ἕλληνες φεύξονται λιπόντες εὐχωλήν, ἤγουν καύχημα τοῖς τρωσὶ τὴν ἑλένην.

Εὐχώλητον, ἐχώλησεν.

Εὐψυχία, ἀνδρεία, εὐθυμία.

Εὔψυχος, εὔθυμος, καρτερικὸς, ἱλαρός. ἢ ὁ εὖ τὴν ψυχὴν ἔχων. ἀγαθὴν δὲ τὴν ψυχὴν ἔχει καὶ ὁ δίκαιος, καὶ ὁ σώφρων, καὶ ὁ φρόνιμος. οὐδ' ἂν ὁ ἀνδρεῖος μόνος εὔψυχος εἴη, οὐδ' ἂν ἡ εὐψυχία, ἀνδρεία εἴη. ὅτι δὲ εὔψυχος, ὁ εὖ τὴν ψυχὴν ἔχων, δείξομεν τῇ τῶν ὀνομάτων παραθέσει. καὶ γὰρ εὔελπις, ὁ εὖ ἐλπίζων, τουτέστιν ὁ ἀγαθὰ ἐλπίζων. καὶ εὐδαίμων, ὁ εὖ τὸν δαίμονα ἔχων.

Εὐψύχους, ἀντὶ τοῦ τολμηρούς. ἐπιλεξάμενος ἄνδρας εὐψύχους τε, καὶ γενναίους.

Εὔω, καίω, φλογίζω.

Εὐώδει, εὐώδμῳ.

Εὐωδία, μυρωδία, εὐοσμία. εὐοδία δὲ, ἡ καλὴ ὁδὸς, διὰ τοῦ ο μικροῦ.

Εὐωδοῦτο, κατευωδοῦτο. καὶ εὐωδώθη, κατευωδώθη.

Εὔωλον, σωθεῖον.

Εὔωνον, εὐπρακτον, εὐαγόραστον, ἢ ὃ μὴ ἄξιον λόγου, εὐτελὲς, καὶ ὄνομα κύριον.

Εὐώνυμοι, δῆμός ἐστι τῆς Ἐρεχθηΐδος, ὥς φησι Θεόδωρος.

Εὐώνυμος, ἀριστερός.

Εὐωνύμων πατέρων, ἤγουν ἐνδόξων προγόνων.

Εὐώνῳ, εὐτελεῖ.

Εὐώπιον, πυρὰ παρθενικὴ ἐν στοιζῶσι.

Εὔωπος, εὐόφθαλμος.

Εὐωρεῖ, παίζει. ἢ εὐωρεῖν, τὸ μηδενὸς ἔχειν λόγον, ἢ μηδενὸς φροντίζειν.

Εὐωρία ψιλῶς, τὸ μὴ πάνυ φροντίζειν, ἀλλὰ ῥαθυμότερόν πως ἔχειν.

Εὐωριάζειν, ὀλιγωρεῖν, μὴ ἔχειν φροντίδα, παρακούειν.

Εὔωροι, ἀπαραφύλακτοι. Εὐφορίων, οὐδέ τοι εὔωροι θυέων. παρὰ τὸ εὐωρεῖν καὶ φυλάσσειν, κατ' ἀντίφρασιν.

Εὐώροιο, δικαίας.

Εὔωρος γῆ, ἡ τὰ ὡραῖα ἔχουσα. ἢ ὥριος, ἢ ὀλίγωρος. εὔωρος, καταφρονητικὸς, ἢ φροντιστής. καὶ εὔωρος γάμος. Σοφοκλῆς Ἔριδι. ἤτοι ὥριος, ἢ ὀλίγωρος. οὕτω γὰρ λέγουσι κατὰ ἀντίφρασιν, ὡς ὁ αὐτὸς ἐν σκυρίαις χρῆται τῷ εὐωριάζειν.

Εὐωχεῖσθαι, ἑστιᾶν, ἑστιεῖν. Ἀριστοφάνης, ἐθέλω πλουτῶν εὐωχεῖσθαι μετὰ τῶν παίδων, καὶ τῆς γυναικός.

Εὐωχία, παρὰ τὸ εὖ ἔχειν, ὅτε ἐπὶ ταῖς τῶν θεῶν παραγίνονται τιμαῖς. βέλτιον δὲ ἀπὸ τοῦ τὴν τροφὴν ἡμῖν εὖ ἔχειν. καὶ γὰρ ἡ παροχὴ, ὅτι πολλὴ ὀχὴ προκεῖται. ἐκ τοῦ ὀχὴ οὖν γίνεται εὐωχία, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω μέγα, ἡ καλῶς τρέφουσα τὸ σῶμα.

Εὐωχοῦμαι παθητικῶς, καὶ ἐνεργητικῶς εὐωχῶ, Συνέσιος, τὰ δὲ μειράκια ἐπὶ κοβίοις εὐωχεῖ, καὶ ἰούλοις.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Φ.

Ἐφ' ἃ, ἐφ' ἅτινα.

Ἔφαγεν ἄρτον, ἔπιεν οἴνου. ἀττικοὶ ἐλλειπτικῶς, ἀντὶ τοῦ εἰπεῖν ἔφαγεν ἄρτον, ἔπιεν οἶνον.

Ἔφαγον τοῦ ἄρτου, ἀττικῶς. καὶ ἔφαγεν ἐπὶ τραπέζης, καὶ ἀπὸ τραπέζης.

Ἔφαιδον, διῄρουν ἱερεῖον.

Ἐφαιδρυνόησαν, ἱλαροὶ ἢ λαμπροὶ ἐγίνοντο.

Ἐφαίνετο, ἔδοξεν.

Ἐφάλια, παραθαλάσσια.

Ἐφαλλόμενος, πηδήσας.

Ἐφαλῶν, προσηλῶν.

Ἐφαμεροφαρίω, ἀνεφημέρω. ταραντῖνοι.

Ἐφάμην, ἐκ τοῦ φημὶ ὂν, ἀναλόγως συνέσταλκε τὴν παραλήγουσαν. τὰ γὰρ τοιαῦτα εἰς μι, βραχύνουσι καθ' Ἡρακλείδην τὸ παρὰ τέλος τὸ φωνῆεν, ὃ ἐμήκυνεν ὁ ἐνεστώς. ὡς γὰρ δίδωμι ἐδιδόμην, ἐτιθέμην, ἐκιρνάμην, οὕτω φημὶ ἐφάμην. τὸ δὲ ἤμην φησὶν οὐ τοιοῦτον. ἐχρῆν γὰρ ἀπὸ τοῦ εἰμὶ ἔμην εἶναι, παρεθέντος τοῦ ι.

Ἐφάμην, εἶπα.

Ἐφάμιλλος, ἴσος, ὅμοιος.

Ἐφάμιος, ζῶς.

Ἔφαμμα, τὸ περίβλημα.

Ἔφαν, εἶπον.

Ἔφανεν, ἔδειξεν, ἐφανέρωσεν.

Ἔφανον, δεύτερος ἀόριστος φαίνω, μέλλων φανῶ, παρακείμενος πέφαγκα, ὑπερσυντέλικος, ἐπεφάγκειν, ἀόριστος ἔφηνα, ὁ δεύτερος ἔφανον.

Ἐφαντίδας, πόρνας.

Ἐφαπλώματα, πεπλώματα λέγει Ἀριστοφάνης.

Ἐφάπτεται, γενικῇ συντάσσεται. οἷον, ἐφάπτεταί αὐτοῦ.

Ἐφαπτίδας. ἀστό, οἱ δὲ ψιλοὶ Ῥωμαίων ἕκαστος αὐτῶν εἶχον ἐφαπτίδας, καὶ κνημίδας, καὶ λογχάστην, καὶ ἀκόντιον, δι' ὅλου σιδήρου πεποιημένον.

Ἐφαπτὸς, ὑπὸ θεοῦ κεχαρισμένος.

Ἐφάργνυσαν, ἔφραξαν.

Ἐφαρδμὸν, ἀρδευτὸν πεδίον.

Ἐφαρίξαντο, ἐψήσαντο.

Ἔφασαν, διηγοῦντο, ἔλεγον.

Ἔφασκεν, ἔλεγεν.

Ἐφάτισαν, εἶπον, διεφήμισαν.

Ἔφατο, εἶπε. φημί, φήσω. ὁ μέσος ἀόριστος δεύτερος, ἐφάμην, ἔφασο, ἔφατο.

Ἐφαύλιζον, ηὐτέλιζον. οἱ δὲ ἐφαύλιζον αὐτὸν, οὐδαμῇ σπουδαῖον ὄντα. μικρὸς γὰρ ἦν τὸ σῶμα.

Ἐφαύλισεν, ἀπεδόκησεν.

Ἐφ' αὐταῖς, πρὸς αὐταῖς.

Ἐφαύλισα, ἀπέβαλον, φαῦλον ἡγησάμην.

Ἐφάψαι, δῆσαι ἱμάντα.

Ἐφάψασθαι, ἄρξασθαι, ἢ ψηλαφῆσαι.

Ἐφέαθεν, ἐγέλασαν, διεχύθησαν.

Ἐφ' ἑαυτοῦ, καθ' ἑαυτόν.

Ἐφέβοντο, ἔφαγον.

Ἐφεγρήσσων, ὁ ἀγρυπνῶν.

Digitized by Google

Ἔφεδε, ἐπίπεδον, ταπεινὸν, χαμαί.

Ἐφεδέτης, ἀρχή τις ἐν σάμῳ.

Ἔφεδρα, στοά τις, ἣν καὶ ἵππευειν καλοῦσι. καὶ κίονος μέρος, καὶ οἱ γλουτοὶ, καὶ ὄργανα ἰατρικὰ εἰς καταρτισμούς.

Ἐφέδρανα, ἐφ' ὧν καθίζοντο οἱ τὰς λύρας ἔχουσι. Φρύνιχος Ταντάλῳ.

Ἐφεδρεία. ἡ ἐπίκληρος παραμονή. καὶ ἐφεδρεία, τὸ πρᾶγμα παρὰ Ῥωμαίοις.

Ἐφεδρεύοντες, ἐπιτηροῦντες, ἐπικαθήμενοι. συντάσσεται δὲ μετὰ δοτικῆς.

Ἐφέδριζεν, ἐδίσκευεν, ἔπαιζεν.

Ἔφεδρος, ἐγκάτοικος, ἢ ἐνεδρεύων. ὡς τὸ, ἔφεδρος ἐλπίζω παραμένων. ἔφεδροι γίνονται τοῖς καιροῖς. ἢ ἔφεδρός ἐστιν ἐν τοῖς ἀγῶσιν, ὁ μὴ πλανώμενος εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν. ἔφεδρον δὲ λέγει ὁ Σοφοκλῆς τὸν αἴαντα. ἢ ἔφεδρος, ὁ ἐπίκληρος παρὰ τοῖς Ἴωσιν.

Ἐφέζεται, ἐπικάθηται.

Ἐφέηκε ζεὺς παρ' Ὁμήρῳ, (ὅμοιόν ἐστι τῷ, ἐπετείλατο παλλὰς ἀθήνη) τουτέστιν, ἐπετείλατο. ἔτι καὶ ταυτὰ τὸ ἐφιέναι καὶ ἐπιτείλασθαι.

Ἐφέηκεν οἶνος, τουτέστιν ἐνετείλατο, ἢ ἐπετείλατο, ἐν Ὀδυσσείᾳ παρ' Ὁμήρῳ. ἢ ἐφέηκεν ἀεῖσαι, τὸ ὀρχήσασθαι ἀνῆκε, καὶ τὸ ἔπος προέηκεν. ὧν τὸ μὲν ἐφέηκε, καὶ προέηκεν, ἀττικά. τὸ δὲ ἀνῆκε, κοινόν. καὶ πάντα ταῦτα παρ' Ὁμήρῳ. Ἰστέον ὅτι κανόνος ὄντος τοῦ, πᾶς παρακείμενος πλεονοσυλλαβεῖ τοῦ ἐνεστῶτος, χωρὶς τῶν ἀπὸ φωνηέντων ἀρχομένων. ἐν ἐκείνοις γὰρ ὁ παρακείμενος μιᾷ συλλαβῇ ἐνδεῖ τοῦ ἐνεστῶτος. οἷον ἵημι, εἷκα. διὸ τοῦ φημὶ οὐκ ἔστι παρακείμενος ὅλως, οὐδὲ τοῦ εἰμί. οὐ γάρ ἐστι μονοσυλλαβῆσαι παρακείμενον. τοιούτου οὖν ὑποκειμένου κανόνος, ὅμως οἱ Ἀττικοὶ τὸ ἧκα ἔοικα ποιήσαντες ἐν τῷ συνέηκε, καὶ ἐφέηκεν, ἰσοσύλλαβον τῷ ἵημι ἐνεστῶτι, τὸν αὐτὸν ἐποίησαν παρακείμενον. δῆλον δὲ, ὅτι ὅθεν τὸ ἐφέηκε, κἀκεῖθεν γίνεται ἡ ἐφημοσύνη, ὅπερ ἐστὶ κέλευσις, ἐντολή. ποιητικώτερον δὲ ἐπιτολή.

Ἐφεδρίζειν, παίζειν τὴν λεγομένην ἐφεδρισμὸν παιδιάν. ὅταν περιαγαγὼν τὰς χεῖράς τις κατὰ νώτου, ἐκ τῶν κατόπιν βαστάζῃ τὸν νικήσαντα. ταύτην δὲ τὴν συναφὴν τῶν χειρῶν παρὰ τὸν κρικίδον.

Ἐφεδρίσσων, παρακαθήμενος.

Ἐφεδριστῆρας, τοὺς ἐπικαθημένους ἐν τῇ εἰρημένῃ παιδιᾷ.

Ἐφεδρόντι, ὄντι ἐν ἡμῖν.

Ἐφεδρός, τριβλιστής, εἶδος ἐνεδρεύων, καὶ ὁ ὑφ' ἡμῶν ἐπίκληρος, καὶ δίφρός τις, καὶ ὁ ἐπιδίφριος, καὶ χειροτέχνης.

Ἐφεθὲν, ὁρμηθὲν, παραχεθὲν, συγχωρηθέν.

Ἐφεῖναι, συγχωρῆσαι, κελεῦσαι.

Ἐφείλιξαν, ἀντὶ τοῦ ἔφυραν. κοινίον τε ἐφείλιξαν.

Ἐφειμένον συγκεχωρημένον.

Ἐφεῖντο. ἵημι τὸ πέμπω, μέλλων ἥσω, παρακείμενος εἷκα, εἷμαι παθητικός, εἵμην ὑπερσυντέλικος. τὸ τρίτον τῶν πληθυντικῶν, εἷντο, καὶ ἐφεῖντο.

Ἐφείσθω, συνεχωρείσθω. γράφεται καὶ ἀντὶ τοῦ ἐνετέλλετο.

Ἐφείσθω σοι τοῖς ἐξονυχίζειν, ἀντὶ τοῦ συγκεχωρήσθω ἀκριβολογεῖσθαι.

Ἐφείω, ἀντὶ τοῦ ἐφῶ, ἤτοι ἐπιβάλλω. ἢ ἐκ τοῦ εἵω, τὸ πέμπω, καὶ ἐν συνθέσει ἐφείω. ἢ ἔχει πλεονασμὸν συνήθη τῆς ει διφθόγγου.

Ἐφ' ἑκκαίδεκα, ἕως ἑκκαίδεκα.

Ἐφέλκεσθαι, καὶ ἐπάγεσθαι, καὶ ἐπισύρεσθαι, ταυτὸ σημαίνουσι λέγεται δὲ κυρίως ἐπὶ τῶν ἔμπροσθεν ἐρχομένων, καὶ ἑλκόντων τι δεδεμένον ὄπισθεν ἑαυτῶν.

Ἔφεκτος, τόκος ἐπὶ τῷ ἕκτῳ τοῦ κεφαλαίου. Διογένης ἐν τῷ ὑπὲρ Χρυσίππου.

Ἐφεκτικοὶ, φιλόσοφοί τινες παρὰ τὸ ἐπέχειν περὶ τῶν πραγμάτων, καὶ δογματίζειν αὐτὰ ἀκατάληπτα.

Ἐφελγυιώοντες, ἀλγυιώοντες.

Ἐφέλης, ἐπίαλγος.

Ἔφελκεν, ἠδ' ἑλκέμεν εἰς ἅλα δῖαν, ἀντὶ τοῦ καθέλκειν.

Ἐφελκομένοισι ποσὶν, ὅ ἐστι συρομένοις. σημειῶσαι δὲ, ὅτι ἐκ τοῦ τοιούτου ἐφέλκεσθαι, παράγεται καὶ τὸ τῆς φορτηγοῦ νηὸς ἐφόλκιον.

Ἐφελκυστὴς, βοηθός.

Ἔφελλεν, ἐπεχείρησεν.

Ἐφέμεν, παρεῖναι.

Ἐφενάκιζον, ἐχλεύαζον, ὑπάτων.

Ἐφενάπται, ἐπακολουθῆσαι. λάκωνες.

Ἐφ' ἕνδεκα κώπαις, κέλευσμά ἐστι ναυτικὸν οὕτω λεγόμενον. αἱρεσθ' αὐτῶν πολὺ τὸ ῥόθιον. ἀπὸ τῶν ἐρεσσόντων μετενήνεγκεν τὸ ἐφ' ἑνδεκακώπαις.

Ἐφέντες, ἐνδόντες, ὑποχαλάσαντες.

Ἐφέξειν χάριν ἐν κακῷ, ἢ λύσιν, ἢ πρόφασιν.

Ἐφέξει, σταθῇ, ἐφελκύσει. καὶ ἐφέξειν, ἀντὶ τοῦ κωλύσειν.

Ἐφεξῆς, ἐπίσης, κατὰ τάξιν. καὶ ἐφεξῆς, τῇ ά, καὶ ἡ δευτέρα τῆς νουμηνίας. τὰ τακτικὰ ἐπιρρήματα μετὰ γενικῆς συντάσσονται.

Ἐφέξω, πέμψω.

Ἐφέπειν, τὸ κατά τινας ἐλαύνειν λέγει Ὅμηρος. ὡς τὸ, πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους. καὶ ὅμοιον τοῦτο, τῷ δαιμονίη τί μοι ἐπέχεις. καὶ ἐν τῷ, κτεινομένους ἐφέπων, ἤγουν διώκων. τὸ δὲ ἀμφέπειν, σύγκειται μὲν καὶ αὐτὸ ἐκ τοῦ ἕπειν. δηλοῖ δὲ τὴν κύκλῳ ἐντρέχειαν.

Ἔφεπε δ' αἰών, ἤγουν ἐπηκολούθησεν. ἢ τὸ ἔφεπεν, ἔστι μὲν νοῆσαι, καὶ ἀντὶ τοῦ ἐδίωκεν ἁπλῶς ἀκολουθῶν, ὡς καὶ τὸ ἀμφ' ὀδυσσῆα ἕπον τρῶες. κάλλιον δὲ ἐπὶ βλάβῃ νοῆσαι τὴν λέξιν. φέρεται οὖν ἐν παλαιῷ λεξικῷ κατὰ στοιχεῖον, ὅτι ἕπειν ἴωνές φασι τὸ κακοῦν, καὶ περιελαύνειν. ὡς τὸ, τρῶες ἕπον πολλοί τε καὶ ἄλκιμοι.

Ἐφέπεσκεν, εἶπεν, περιέτρεχεν.

Ἐφέπεσκον, ἐφεπορεύοντο.

Ἐφεπόμενοι, ἐπακολουθοῦντες.

Ἐφ' ἑπταπόδην, ζυγὰ νεώς, ἢ θρόνον, ἢ ὑποπόδιον, ἑπτὰ πόδας ἐπὶ δώδεκα.

Ἐφέπτειν, ἐπακολουθεῖν, ἐπιπορεύεσθαι.

Ἔφεπτεν, ἐπεδίωκεν.

Ἐφέποντες, ἐπερχόμενοι, ἐπιδιώκοντες, ἐπιπορευόμενοι.

Ἐφέπομαι, ὁ μέλλων ἐφέψομαι, ὁ δεύτερος ἀόριστος ἐπεσπόμην. καὶ τὸ ὑποτακτικὸν παθητικόν, ἐὰν ἐπισπῶμαι, ἐὰν ἐπίσπῃ.

Ἐφέπουσι παρὰ Ἀπολλωνίῳ, ἀντὶ τοῦ διατρίβουσιν. ἀπειρέσιοι ἐφέπουσι νῆσον ἐρημαίην. καὶ ἐφέπουσιν οἱ θεοὶ τὴν γῆν ἐφέστιοι ὅσοι ἔασιν.

Ἐφέπων μάστιγι, Ὅμηρος. λέγει δὲ καὶ ἐφέπειν ἵππους μάστιγι, ἀντὶ τοῦ πλήττειν. ὡς καὶ τὸ σκηπανίῳ διέπειν ἄνδρας.

Ἐφέρβει, ἔτρεφεν.

Ἐφ' ἔργμασιν, ἐπὶ ἔργοις.

Ἔφερες, εὕρηται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἐλάμβανες, ἐβάσταζες.

Ἐφερπῆσαι, βαδίσαι. Ἀριστοφάνης, ἐφ' ἣν δαιμονίως ἐπεθύμουν ἐφερπῆσαι. ἢ ἐφερπύσαι, βαδίσαι. ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν λέγεται.

Ἔφερσεν, ἐκίνησεν.

Ἔφες ἀνδρὶ βέλος. καὶ ἤδη γὰρ ἀριστήεσσιν ἐφῆκα. ἐκ τούτου δὲ μεταφορικῶς καὶ ἐφίημι, τὸ ἐντέλλομαι. καὶ ἐφετμὴ, ἡ ἐντολή. καὶ ἡ ἐπὶ ἐκκλήτου δὲ ἔφεσις, καὶ ὁ ἐφέτης ἐντεῦθεν ὥρμηται.

Ἔφες, ἐπίπεμψον.

Ἐφεσία, ἀγὼν ἐν ἐφέσῳ ἐπιφανής.

Ἐφέσασθαι, ἐπικαθῆσθαι.

Ἔφεσιν, ἀντιποίησιν, ἐπιθυμίαν.

Ἐφέσια γράμματα, ἐπῳδαί τινες δυσπαρακολούθητοι, ἅς φασι καὶ κροῖσον ἐπὶ τῆς πυρᾶς εἰπεῖν. καὶ ἐν ὀλυμπίᾳ μιλησίου καὶ ἐφεσίου παλαιόντων, τὸν μιλήσιον μὴ δύνασθαι παλαίειν διὰ τὸ τὸν ἕτερον παρὰ τῷ ἀστραγάλῳ ἔχειν τὰ ἐφέσια γράμματα. φανεροῦ δὲ γενομένου, καὶ λυθέντων αὐτῶν, τριάκοντα εἰς τὸ ἑξῆς πεσεῖν τὸν ἐφέσιον.

Ἐφέσιον, ἐγκλητεύσιμον.

Ἔφεσις, ἡ ἐπιθυμία. ἀφ' οὗ ἐφέσιμος ἑορτή. καὶ ἔφεσις ἡ ἀπὸ διαιτητῶν εἰς ἄλλους δικαστὰς μεταγωγή. ἀποστασίου δίκη, ὅτε ἀπελεύθερος κρίνεται, ὡς τοῦ δεσπότου ἀποστὰς ἐρήμη δίκη.

Ἐφέσπερος, ὁ ἐπὶ τῆς αὐτῆς ἑσπέρας. καὶ ἐφεσπερεύω.

Ἐφεσπερεία, ἡ τῆς ἑσπέρας.

Ἐφεσπερεύεσθαι, ἑσπέρας ἐγρηγορέναι.

Ἐφεσπόμενος, ἐπακολουθῶν, καὶ ἐφεσπόμενα.

Ἔφεσσαι. Ὅμηρος, ἀλλά με νηὸς ἔφεσσαι. τουτέστιν, ἐπὶ τῆς νηὸς κάθισον, ἐπίβασον.

Ἐφέσσατο, ἐπεβάλετο.

Ἐφέσσαι, ἐπικαθῆσαι τῇ νηΐ.

Ἔφεσος, πόλις τῆς ἀσίας.

Ἐφέσσεσθαι, ἐφίζεσθαι, καθέζεσθαι.

Ἐφέστασαν, οὐκ ἀπὸ τοῦ ἔστην ἔστησαν. οὐ γὰρ ἐδασύνετο. ἀλλ' ἀπὸ τοῦ ἐφεστήκησαν, κατὰ συγκοπὴν, καὶ τροπῇ τοῦ η εἰς α.

Ἐφεστιασμένος, εὐωχηθεὶς, εὐφρανθείς.

Ἐφέστιοι τρῶες, ἤγουν ἐγκάτοικοι. ἢ ἐφέστιοι, ἔποικοι. λακεδαιμόνιοι γὰρ τὴν οἰκίαν ἑστίαν φασίν.

Ἐφέστιος, ὁ ἐπὶ τῆς αὐτῆς ἑστίας. ὃς καὶ φιλητὸς ἦν, διὰ τὸν ἐφέστιον δία. καὶ ὅρα ὡς εἰ καὶ ταυτὸν ἑστία καὶ ἑστία, ὅμως διαφέρει. ἐφέστιος ὁ προσρυθείς. ἐπίστιον δὲ οὐδετέρως, νεὼς οἶκος. ὃ καὶ νεώσοικος. ἐν ἑνὶ μέρει λόγου, καὶ νεώριον. ὅταν δὲ κατὰ ἀρσενικὸν γένος ἐπίστιος λεχθῇ, ὁ αὐτὸς τῷ ἐφεστίῳ ἐστίν. ἀπὸ δὲ τῆς ἑστίας, ἀνέστιος γίνεται. ἐκ ταύτης δὲ καὶ παροιμία τὸ ἑστίᾳ θύομεν, ἐφ' ὧν οὐκ ἔστι φασὶ μεταδοῦναι, οὐδὲ ἐξενεγκεῖν. ἵνα θύομεν ἑστίᾳ, ταυτὸν τῷ οὐδενὶ μεταδιδόαμεν τῶν τῆς ἑορτῆς. ἦλθεν ἐφέστιος, παρ' Ὁμήρῳ, καὶ ὁ εἰς οἶκον ἐλθὼν, ταυτόν. καὶ τὸ οἶκον ἱκάνεται. ἔτι ἐφέστιος, καὶ ὁ ἔχων οἰκίαν, καὶ ἐν ἀλλοτρίᾳ οἰκῶν. οἱ ἐφέστιοι, δία ἐφέστιον προτείνουσιν. οἱ δὲ φίλοι, φίλιον. οἱ δὲ ἐν μιᾷ τάξει καταλεγόμενοι, καὶ ἐν μιᾷ ἑταιρείᾳ ἑταίρειον, οἱ δὲ ξένοι ξένιον. οἱ ἐν ὅρκοις συμφωνίας ποιοῦντες, ὅρκιον. οἱ δεόμενοι, ἱκέσιον. οἱ ἀδελφοὶ, ὁμόγνιον.

Ἐφέστιον, τὸν ἐπὶ τῇ ἑστίᾳ ὄντα.

Ἐφέστρα, τὸ ἑσπερινὸν δίκτυον.

Ἐφεστρίδες, ῥωμαϊκὰ ἱμάτια. λέγεται δὲ καὶ ὁ μανδύας, καὶ βύρρον. ἅτινα ἐν ὀνείρῳ βλεπόμενα, θλίψεις σημαίνουσιν.

Ἐφεστρὶς, χλανίς. ἢ ἐφεστρὶς, ἐξ ὧν οἱ τοξόται ταῖς ἐφεστρίσι καλυπτόμενοι, βάλλουσι τοὺς ἐπὶ τῶν τειχῶν, ὕφασμα ἐξ αἰγείων τριχῶν ἀρτῶντες κύκλῳ.

Ἐφεστὼς, πόρρωθεν τῆς παρατάξεως ἑστώς.

Ἐφέται ἄνδρες ὑπὲρ πεντήκοντα ἔτη γεγονότες, καὶ ἄριστα βεβιωκέναι ὑπόληψιν ἔχοντες. οἳ καὶ τὰς φονικὰς ἔκρινον. Ἄλλως. Ἐφέται, Δημοσθένης ἐν τῷ κατὰ ἀριστοκράτους, οἱ δικάζοντες τὰς ἐφ' αἵματι κρίσεις ἐπὶ παλλαδίῳ, καὶ ἐπὶ πρυτανείῳ, καὶ ἐπὶ δελφινίῳ, καὶ ἐν φρεαττοῖ, ἐφέται ἐκαλοῦντο. ἢ ἐφέται, ἄνδρες οἵ τινες ὀγδοήκοντα ὄντες, ἐδίκαζον. ἐφέται δὲ ἐκλήθησαν, ὅτι ἐπὶ αἵματι δικάζουσιν. ἢ ὅτι ἔφεσις παρ' αὐτῶν οὐ δύναται εἰς ἄλλο δικαστήριον γενέσθαι. τουτέστιν, ἔκκλητος. καὶ ἐφέτης, ὁ δικαστής.

Ἐφέτας τοὺς ἡγεμόνας τῶν περσῶν καταχρηστικῶς. κυρίως δὲ οἱ τὰς φονικὰς δίκας ἀθήνησι δικάζοντες.

Ἐφέτην, καταληπτήν.

Ἐφετίνδα, εἶδος παιδιᾶς, ὅταν σφαῖραν ἄλλοι προτείναντες, ἀλλαχῇ βάλλωσι, καὶ πεποίηται παρὰ τὸ φενακίζειν.

Ἐφετικὸς, ἐπιθυμητικός.

Ἐφετὶς, παιδίσκη, διάκονος.

Ἐφετμέων, τὸ ἐφίεμαι λέγεται μὲν ἀντὶ τοῦ ἐπιθυμῶ καὶ παρὰ τοῖς κοινοῖς ἐν χρήσει. λέγεται δὲ καὶ ἀντὶ τοῦ ἐντέλλομαι ποιητικῶς. ἀφ' οὗ ἐφετμὴ, ἡ ἐντολή.

Ἔφευξαν, ἔφυγον.

Ἐφευρετὰς κακῶν, τοὺς ἐπὶ τοῖς παλαιοῖς κακοῖς, ἕτερα καινοτομοῦντας κακά.

Ἐφέψειν, ὅ ἐστι καταλαβεῖν. ἀπὸ τοῦ ἕπω ἕψω. τὸ δὲ ἐφέψειν, καὶ σπέσθαι λέγεται, καὶ σπεῖν. ὅθεν τὸ πότμον ἐπισπεῖν.

Ἐφέψεις, ἀντὶ τοῦ ἀκολουθήσεις, διώξεις, καταλήψῃ, τοιοῦτον πάντως καὶ τὸ πότμον ἐπισπεῖν.

Digitized by Google

ἐπιωπεῖν. ἐπειδὴ καὶ τὸ ἐφεῖψαι. ὁ δὲ μέλλων ἐπὶ τοῦ ἐφέπω ῥήματος, ταυτὸν δύναται τῷ ἐπιωπεῖν.

Ἐφεψιόωντο, ἀντὶ τοῦ λοιδοροῦνται, ἐμπαίζουσιν, ἐφήδονται. ἢ ἐφεψιόωντο, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. ὁ χρόνος ἐστὶ παρῳχημένος ἀντὶ ἐνεστῶτος. ἢ ἐμφαίνει ἀπειλητικὴν εἶναι τὴν γραῦν, ζῶντα τὸν Ὀδυσσέα. ἡ δὲ λέξις κυρία ἐστὶ, τὸ ἐψιᾶσθαι κατὰ ποίησιν. δηλοῦσα διάθεσιν παιγνήμονα. ἐπεὶ καὶ ἐψιάφασι τὰ παίγνια ὅθεν τὸ ἐψιᾶσθαι. ταυτὸν δὲ τὸ ἐφεψιᾶσθαι καὶ καθεψιάσθαι. ἐπεὶ ὡς καὶ προσσημειώθη ἐν πολλοῖς ἡ ἐπὶ προθέσεις, τῇ κατὰ ἰσοδυναμεῖ.

Ἐφεῶται, ἐφῆπται.

Ἔφη, εἶπεν, ἔδοξεν, ἀπεκρίθη.

Ἐφηβεία, ἡ νεότης, ἡ ἀκμὴ τῆς ἡλικίας.

Ἔφηβος παῖς, νέος, μικρὸς, ἤτοι ὁ ἐν τῇ ἀκμῇ.

Ἐφήγησις, δίκη εἰσαγομένη ἀπὸ τῶν ὑποδεξαμένων τὸν εἰργόμενον ὑπὸ τῶν νόμων ἐπιβαίνειν τῆς χώρας. οἷον φυγάδα, ἢ ἀνδροφόνον, ἢ ὅταν τῶν δημοσίων τὶ κατέχῃ τὶς κρύφα.

Ἐφήδεσθαι, χαίρειν ἐπιτέρπεσθαι, εὐφραίνεσθαι.

Ἐφήδη, εὐφραίνουσι.

Ἐφήδοιτο, τέρποιτο. καὶ ἐφήδοντο, ἐπέχαιρον.

Ἐφήδομαι, ἐκ τοῦ ἥδομαι, ἐπὶ κακοῦ μόνον.

Ἐφήθη, συνεχωρήθη.

Ἐφηθεὶς, ἐπιχαρείς.

Ἐφήκατο, ἐνετείλατο.

Ἐφῆκα, ἔπεμψα.

Ἐφήκει, ἐφορμᾷ, ἐπέρχεται.

Ἐφήκοντο, ἐφήψαντο.

Ἐφήλιδες, στρόναι, καὶ πάθος ἐπὶ προσώπου τραχύτητος, καὶ αἱ τοῦ ἡλίου ἐπικαύσεις, καὶ ἐφηλίς.

Ἐφηλὶς, ἡ ἐκ τοῦ ἡλίου περὶ τὸ πρόσωπον γινομένη ἔκκαυσις, καὶ μελανία, καὶ πάθος περὶ τὸ πρόσωπον.

Ἐφήλαντο, ἐπεπήδησαν.

Ἔφηλος. ἔφηλος. ἔφηλος ὁ ὑψηλοφόρος, ἢ ἐφήλιδας, ὡς ἥλους ἔχων εἰς τὴν ὄψιν. ἢ ἔφηλος, ὁ ἀπατηλὸς, ἐκ τοῦ φηλῶ τὸ ἀπατῶ. ἔφηλος δὲ ὁ ἥλιος, καὶ ἔφηλος ὁ ἡλιωμένος.

Ἐφήλωσεν, ἠπάτησεν.

Ἐφ' ἡμέρας λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ κατὰ τὴν ἡμέραν.

Ἐφ' ἡμᾶς ξυμβοηθήσειν αὐτοὺς, ἀντὶ τοῦ καθ' ἡμῶν.

Ἐφημερία, ἡ τάξις. λέγεται δὲ καὶ ἡ τῆς ἡμέρας λειτουργία, καὶ τῆς ἑβδομάδος.

Ἐφημερὶς, ἡ τῶν ἐφ' ἑκάστης ἡμέρας συμπιπτόντων ἀπογραφή.

Ἐφήμερα, ἀμετάβολα, εὔφθαρτα.

Ἐφήμερον, τὸ κώνειον, καὶ μύρον τὶ, καὶ ζῷον οὕτω καλούμενον. ὅπερ ζῇ μίαν ἡμέραν.

Ἐφήμερος, θνητός. Ἀριστοφάνης, τί με καλεῖς ὦ ἐφήμερε. ἐφημερόσπυρι.

Ἐφημέροι βροτοὶ, καθημερινὰ εἰδότες, οὐ προορώμενοι τὸ μέλλον.

Ἐφημίαι, ἀγροὶ, καὶ βελτίονα φήμης.

Ἐφημοσύνη, ἐντολὴ, παρὰ τὸ εἰς τὸ αὐτὸ συμβάλλειν τὸν ἀμφότερον λόγον.

Ἐφ' ἡμῶν, ἐπὶ ἡμῶν, ἐν τοῖς χρόνοις ἡμῶν.

Ἐφήμως, ἀφήμως.

Ἔφηνεν, ἔδειξε, φανερὸν ἐποίησεν.

Ἐφῆπται, ἀντὶ τοῦ ἐπίκειται, ἐπικρέμαται. λέγεται παρ' Ὁμήρῳ, ὥς τινές φασι. λέγεται δὲ καὶ ἐπὶ τοῦ κρεμᾶσθαι, τὸ ἅπτεσθαι, ὡς δηλοῖ τὸ βρόχον ἥψατο. συντάσσεται δοτικῇ καὶ αἰτιατικῇ. ἢ ἐφῆπται παρ' Ὁμήρῳ, οἷον Τρώεσσι κήδε' ἐφῆπται, ἤτοι τῶν Τρώων, κατὰ λόγον ἀντιπτώσεως. τινὲς δὲ τὸ ἐφῆπται ἀντὶ τοῦ ἐπίκειται ἐπικρέμαται. λέγεται δὲ καὶ ἐπὶ τοῦ κρέμασθαι τὸ ἅπτεσθαι, ὡς δηλοῖ τὸ, βρόχον ἥψατο. ἐρεῖ δὲ καὶ ὁ ποιητὴς, ὀλέθρου πείρατ' ἐφῆπται κατὰ ὁμοίαν ἔννοιαν, ἤγουν τέλειος ὄλεθρος ἐπίκειται. καὶ πολλαῖς κήδεα ἐφῆπτο, ἤτοι πολλῶν ἥπτετο ἡ βλάβη, καὶ ἤδη αὐταῖς ἐπέκειτο.

Ἐφῆπτο, ἐπεκρέματο, ἐπέκειτο.

Ἔφης, ἐστὶ μὲν παρὰ τοῖς ἀρχαίοις ἀλλ' ὀλίγον. τὸ δὲ πλεῖον, ἔφησθα, Φρύνιχος.

Ἐφήσεις. ἐφίημι, τὸ εἰς ἐπιθυμίαν ἐμβάλλω, καὶ ἐν ἐφέσει ποιῶ, ὡς τέρπω τὸ τέρπεσθαι ποιῶ. καὶ ἥδω, τὸ εὐφραίνεσθαι ποιῶ, ἃ ἀπὸ τῶν παθητικῶν λαμβάνει τὴν ἑρμηνείαν, ἀντιστρόφως τοῖς ἄλλοις. ἐπὶ μὲν τῶν ἄλλων τὰ παθητικὰ ἀκολουθεῖ τοῖς ἐνεργητικοῖς, καὶ πρότερά εἰσι τὰ ἐνεργητικά. ἐπὶ δὲ τούτων, τὰ παθητικὰ δοκεῖ πρότερον ὑφίστασθαι. εἶτα κατὰ τὴν συμπάθειαν αὐτῶν, ἀνακύπτειν ὕστερον τὰ ἐνεργητικά. πρότερον γὰρ ἐφίεμαι, τὸ ἐπιθυμῶ. εἶτα ἐφίημι ἕτερον, ἤτοι ἐφίεσθαι ποιῶ. καὶ τέρπομαι ἐγὼ, εἶτα τέρπω ἕτερον. καὶ ἥδομαι, εἶτα καὶ ἥδω ἕτερον. καὶ ἁπλῶς, ὅσα παθητικὰ τῇ φωνῇ, καὶ τῇ δυνάμει κατὰ μετάβασιν λέγει. ἔχει δὲ ἐνεργητικὰ, τὸν αὐτὸν τούτοις τρόπον ἅπαντα ἔχει. ἔστι μὲν οὖν ἐφίημι, τὸ ἐφίεσθαι ποιῶ, καὶ ἀπὸ τούτου τὸ διεγείρω λέγεται τὸ ἐφίημι, καὶ ἀντὶ τοῦ ἐνδίδωμι, καὶ ἀντὶ τοῦ ἐπιβάλλω, ὅτι κέν τοι ἀάπτους χεῖρας ἐφείω, ἀντὶ τοῦ ἐφῶ, ἢ τὰς ἀπροσπελάστους χεῖρας ἐφείω, ἤτοι ἐπιβάλλω. ἐν δὲ τῷ πριάμῳ μεγαλήτορι ἶριν ἐφήσω, ἀντὶ τοῦ ἐντολὰς δοὺς πέμψω. λέγεται καὶ ἀπὸ τοῦ ἐφίεμαι, τὸ ἐντέλλομαι.

Ἐφύσεις παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀναπαύσεις.

Ἔφησεν, ἔδειξεν.

Ἐφησθεῖεν, ἐπιχαρεῖεν.

Ἐφησθέντες, ἐπιχαρέντες, καὶ ἐφησθεῖεν, ἐπιχαρεῖεν.

Ἐφήσθη, ἐχάρη. οἱ δὲ τοῖς τῶν πολεμίων σώμασιν ἐφήσθησαν.

Ἔφησθα καὶ εἴπησθα, τὸ προσθῆναι θα τῷ δευτέρῳ προσώπῳ τῶν ῥημάτων, τῶν αἰολέων ἐστίν.

Ἐφήσθης, ἐχάρης.

Ἐφήσομαι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐντελοῦμαι, ἐξ οὗ καὶ ἡ παραινετικὴ ἐφημοσύνη.

Ἔφθα, ἢ ἔφλα, ἐμάλασσε, διὰ τὸ καίεσθαι. ἐφθαλές.

Ἐφθαλέου, ἐφθοῦ, καὶ ἐφθὸν, τὸ ὀπτὸν. ἤτοι τὸ δι' ὕδατος ἑψεῖν.

Ἔφθαρκα, ἐκ τοῦ φθείρω φθερῶ ἔφθαρκα ἐφθάρκειν ἔφθηρα ἔφθαρον.

Ἔφθασαν, ἐκ τοῦ φθῆμι. ὁ δεύτερος ἀόριστος ἔφθην, τὸ τρίτον τῶν πληθυντικῶν ἔφθησαν. καὶ συστολῇ τοῦ η εἰς α, ἔφθασαν. ἐκ τοῦ φθῆμι, καὶ τὸ φθάμενος, καὶ φθαίην εὐκτικόν.

Ἔφθασας, καὶ ἔφθαξας, ἤγουν προέλαβες, παρὰ Θεοκρίτῳ. ἔφθασεν, ἐκ τοῦ φθάζω γίνεσθαι δοκεῖ. καὶ ἔφθασαν, ἀντὶ τοῦ προκατέλαβον.

Ἔφθη, προέλαβεν, ἢ ἔφθασεν, ἢ ἔβλαψεν. οἷον, ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἢ ἔφθη ὀρεξάμενος παρὰ τῷ ποιητῇ ἐν τῷ π' τῆς Ἰλιάδος, ἀντὶ τοῦ ὀρεκτῷ δόρατι πλήξας εἰλήπται. ταυτὸν δ' εἰπεῖν ὀρεκτῇ μελίῃ. τί δὲ τὸ ὀρεκτὸν δόρυ, δεδήλωται. σημείωσαι δὲ, ὅτι ἐν τῷ ἔφθητο ὀρεξάμενος, ὑπακούεται ἐξ ἀνάγκης οὐ μόνον τὸ ἔγχος, ἀλλὰ καί τι μέρος σωματικὸν, ἵνα λέγῃ, ὅτι ἐκτείνας δόρυ κατά τι μέρος τοῦ σώματος.

Ἔφθημεν εἰπόντες Ἀττικῶς, ἀντὶ τοῦ προείπομεν.

Ἔφθην, ἔφθασεν, ἐκ τοῦ φθάω φθῆμι, ὁ δεύτερος ἀόριστος ἔφθην ἔφθης ἔφθη. ἢ ἔφθην ποιήσας, ἀντὶ τοῦ ἐποίησα. καὶ μαθὼν ἔχω, ἀντὶ τοῦ ἔμαθον.

Ἐφθίατο, Ἰωνικόν ἐστι φθίνω τὸ φθείρομαι, καὶ φθινύθω τὸ αὐτὸ, καὶ φθινυθέσκω. ἀφ' οὗ παρατατικὸς, φθινύθεσκον. καὶ φθίομαι, μέλλων φθίσομαι, ἀόριστος ἐφθίθην, ἀφ' οὗ ἔφθιθεν, κατὰ τὴν ἀκολουθίαν τοῦ ἐφάανθεν, παρακείμενος ἔφθιμαι. ἀφ' οὗ τὸ φθίσθαι. καὶ ὁ φθίμενος, ὁ ὑπερσυντέλικος ἐφθίμην, τὸ τρίτον τῶν πληθυντικῶν ἔφθιντο. καὶ Ἰωνικῶς ἐφθίατο. ἐνεργητικὰ δὲ, ὀλέκω ἐνεστὼς, ὤλεκον παρατατικός. φθίσω, μέλλων, ἀπὸ τοῦ φθίω ἀχρήστου, φθίσει σε τὸ σὸν μένος, ὤλεσα ἀόριστος. Ἄλλως.

Ἐφθίατο, ἐκ τοῦ φθίνω κατὰ ἀποβολὴν τοῦ ν γίνεται φθίω, ὁ παρακείμενος ἔφθιμαι, ὁ ὑπερσυντέλικος, ἐφθίμην ἔφθισο ἔφθιτο. καὶ πλεονασμῷ τοῦ α, ἢ τὸ πληθυντικὸν, ἐφθίμεθα, ἐφθίατο. δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο, διεφθάρησαν.

Ἐφθίσθη, ἀπέθανεν.

Ἔφθιτο, ἐφθάρη ἐτελεύτησεν.

Ἔφθιτον, ἔχει προπαροξύτονον τὸ φθίω, ἐξ οὗ κατὰ πλεονασμὸν οὐ μόνον τὸ φθίθω, ἀλλὰ καὶ τὸ φθίνω, οὗ πὲρ αὖθις τὸ φθινύθω παράγωγον.

Ἐφθοὶ πυροὶ, διεγερτικοί εἰσι πρὸς συνουσίαν.

Ἐφθὸν, τὸ ὀπτὸν, ἢ τὸ δι' ὕδατος ἑψεῖν.

Ἐφθὸν, τὸ ὠπτημένον.

Ἐφίαλεν, ἐπεχείρησεν.

Ἐφιάλτης, οὐ μόνον κύριον, ἀλλὰ καὶ ἐπὶ πάθους ἡ λέξις κεῖται στομαχικοῦ. ὃ καὶ ἐπιάλτης λέγεται. τοῦτο δὲ ὁ χυδαῖος ἄνθρωπος βαρυχνᾶν λέγει. ἡ δὲ διὰ τοῦ φ γραφὴ τοῦ ἐφιάλτου, ἢ διὰ τὸ ἴσως δασύνεσθαι, τὸ ἰάλλω παρά τισι γίνεται, ἢ κατὰ γλῶσσαν τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, ὃ δὴ καὶ ἐν τῷ κεκαφηὼς γίνεται, κατὰ Ἡρωδιανόν. κεκαπηὼς γάρ φησι τὸ ἀνάλογον. οὕτω καὶ μοιχὸς τροπὴν ἔχει τοῦ κ εἰς χ. μοιχὸς γὰρ πάντως ὁ μὴ οἰκότα, ἤγουν ἐοικότα εἶναι τὰ γένη ἀφείς. καὶ ὁ αὐθέντης δὲ, ψιλοῦ μεταβολὴν εἰς δασὺ ἔπαθεν, ἐκ τοῦ αὐτοέντης γενόμενος, οὕτως ἐκ τοῦ πιεῖν ἡ φιάλη γέγονε. κατὰ δέ τινας καὶ ἐκ τοῦ πίνειν ὁ φίλος. ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ φέρεται, ὅτι ἐπιάλτην ἀττικοί φασι δαίμονά τινα. διὰ δὲ τοῦ φ ἐφιάλτην, ἀνδρὸς ὄνομα. ἢ ἐφιάλτης, ἡ εἰς τὴν κεφαλὴν ἀνατρέχουσα ἀναθυμίασις, ἐξ ἀδδηφαγίας καὶ ἀπεψίας, παρὰ ἰατροῖς. ἐφιάλτης λέγεται, ὁ λεγόμενος παρὰ πολλοῖς βαβουτζικάριος.

Ἐφιᾶσι, τὸ ἐπιτρέπουσι καὶ συγχωροῦσι, καὶ ἐνδιδόασι, δοτικῇ καὶ ἐφιᾶσιν ὅπῃ τὶς ἐθέλει ἀπιέναι. καὶ ἐφιεὶς, ἀντὶ τοῦ συγχωρῶν.

Ἐφιγμένους, ἐπιτυχόντας.

Ἐφιδύειν, ὀκνεῖν.

* Ἐφίδρωσις παρ' Ἱπποκράτει δηλοῖ, ὀλίγον, καὶ ἀνωφελῆ ὅλου τοῦ σώματος ἱδρῶτα; καθάπερ νοτίδα, ἢ τὸν περὶ θώρακα καὶ κεφαλὴν μόνον.

Ἐφίει, ἐπέτρεπεν. ὁ δὲ καῖσαρ δηοῦν τὰ πρὸ τῆς πόλεως ἐφίει. καὶ ἐφίει, ἀντὶ τοῦ πέμπει.

Ἐφιεὶς, ἐκ τοῦ ἵημι, παρατατικὸς ἵην, μετοχὴ ἱεὶς, καὶ ἐφιεὶς, ἀντὶ τοῦ πέμπων καὶ συγχωρῶν.

Ἐφιεὶς, ἐπιβάλλων, ἐπιπέμπον, συγχωρῶν.

Ἐφιέμεναι, ἐνδιδόναι.

Ἐφιέμενοι, ἐπιθυμοῦντες.

Ἐφιέντα, ἐπιθυμοῦντα.

Ἐφίεμαι, τὸ ἐπιθυμῶ. καὶ ἐφίεμαι, τὸ ἐντέλλομαι, ποιητικῶς, ἀφ' οὗ ἐφετμὴ, ἐντολή. ἐφίεμαί σε χαίρειν, ἀντὶ τοῦ εὐνοῶ σοι καὶ ὑπείκω σοι.

Ἐφίεμαί σοι, ἀντὶ τοῦ ἐλευθεροῦμαι ὑπὸ σοῦ, δοτικῇ συντάσσεται. ἢ ἐφίεμαι τὸ ἐπιθυμῶ. ἐφίημι ἕτερον, ἤτοι ἐφίεσθαι ποιῶ, καὶ ἐφίεμαι Ἀττικῶς αἰτιατικῇ. Σοφοκλῆς ἀλλὰ πρὸς τί σοῦ τ' ἐφίεσαι.

Ἐφιέμενος, ὁ ὀρεγόμενος, καὶ ὁ ἐντελλόμενος, καὶ ὁ πέμπων, ἢ ἐφιέμενος παρὰ τῷ Ὁμήρῳ, ἀντὶ τοῦ ἐντελλόμενος. ὅθεν καὶ ἐφημοσύνη, καὶ ἐφετμὴ, ἡ ἐντολή.

Ἐφιέναι, ἀντὶ τοῦ ἀπολύσαι, καὶ ἀντὶ τοῦ μεταγαγεῖν, καὶ ἐφέσιμος ἑορτὴ, ἀντὶ τοῦ μεταγώγιμος, ἐξ οὗ καὶ ἔφεσις ἡ μεταγωγὴ, καὶ ἡ ἐπιθυμία, ἢ ἐφιέναι. κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἐνδιδόναι. ἔστι δὲ ὅτε τὸ ἐντέλλεσθαι καὶ ἐπιτρέπειν σημαίνει. παρὰ δὲ τοῖς ῥήτορσιν, ἰδίως τὸ ἀπὸ δικαστηρίου εἰς δικαστήριον μεταβαίνειν. καὶ ἔφεσις, ἡ μετάβασις. Λουκιανὸς, ἡ δὲ ἔφεσις ἐπὶ τὸν δία ἔσται. ἐφίεμαι δὲ, τὸ ἐπιθυμῶ.

Ἐφίερα, τὰ ἐπὶ τοῖς ἱεροῖς ἐποθυόμενα.

Ἐφ' ἱερόν, Διογένης ἐν τῷ περὶ τετραρχήματος, ἱερόν ἐστι τῶν δέκα θεῶν ἐν Βοσπόρῳ, ὡς Δημοσθένης ἐν τοῖς περὶ λιμένων. ἴσ: τῶν ιβ' θεῶν.

Ἐφίετο, ἐνετείλατο.

Ἐφίετο, ἀνείτω.

Ἐφιζάνειν, διελύθη, ἐν τῷ ἐπὶ βλεφάροις ἵζανεν. ἔχοι δ' ἄν τις ἐνταῦθα κωμικευόμενος μνησθῆναι, τοῦ κάθιζ' ἐπὶ κώπην; ἤγουν ἅψαι τῆς κώπης, ὥστε κωπηλατεῖν. εἰ γὰρ ἐκεῖνο ἔσκωπται, ὡς δηλωτικὸν δῆθεν ὂν τοῦ ἐπικάθισον τῇ κώπῃ

πολλῷ

Digitized by Google

πολλῷ πλεῖον τὸ δείπνῳ ἐφιζάνειν. ἔστι γὰρ τὸ τῷ δείπνῳ ἐφιζάνειν, καὶ τὸ ἄνω τοῦ δείπνου καθῆσθαι, κατὰ τὴν ἀκολουθίαν τῆς φράσεως, ἄλλως μέντοι σπουδαίως. ὥστε τὸ ἐπὶ κώπην καθῆσθαι, ὥστε ἐπιδείπνιον ἱζάνειν ἔχει τι παικτικόν. δηλοῦσι γὰρ τὸ καθῆσθαί τι διὰ κωπηλασίαν, καὶ διὰ τὸ δειπνῆσαι.

Ἐφίημι γὰρ τὸ προστάττω, καὶ ἐνδίδωμι. ὡς τὸ, ἐφίημί σοι λέγων, καὶ ἰδίᾳ παρὰ τοῖς ῥήτορσιν ἐφίημι, τὸ μεταβαίνω ἀπὸ τοῦδε εἰς τόδε τὸ δικαστήριον. ἐξ οὗ καὶ ἔφεσις τὸ πρᾶγμα. καὶ ἄλλως. ἐφίημι, ἀντὶ τοῦ ἐντέλλομαι. ἐξ οὗ καὶ ἐφετμὴ, ἡ ἐντολὴ, ποιητικόν. ἐφίεμαι δὲ τὸ ἐπιθυμῶ, ὀρέγομαι. ἐξ οὗ καὶ ἔφεσις, ἡ ἐπιθυμία, ὧν ἐνεργητικὰ οὐκ εἰσὶν, ἀλλ' ἔφθησαν ἐπὶ ἄλλης σημασίας τεθέντα. τὸ γὰρ ἐφίημι, διπλῆν ἐν ἑαυτῷ περιορίζει τὴν σημασίαν. ἐφίημι γὰρ τὸ, προστάττω, καὶ ἐνδίδωμι, ὡς τὸ ἐφίημί σοι λέγειν. καὶ ἰδίως παρὰ τοῖς ῥήτορσιν ἐφίημι, τὸ ἀπὸ τοῦδε εἰς τόδε τὸ δικαστήριον μεταβαίνω ἐξ οὗ καὶ ἔφεσιν, τὸ πρᾶγμα, ἡ μεταγωγὴ καὶ ἡ μετάβασις ἀπὸ τῶν διαιτητῶν, εἰς τοὺς δικαστάς. ὡς παρὰ Λουκιανῷ, ἡ δὲ ἔφεσις, ἐπὶ τὸν Δία ἔστω, καὶ παρὰ τὸν Δία ἔστω. καὶ παρὰ τῷ Θεολόγῳ, τὸ ἀπαραλόγιστον κριτήριον, μεθ' ὃ ἔφεσις οὐκ ἔστι. καὶ ἐφέσιμος ἑορτὴ, ἡ μεταγώγιμος.

Ἐφίησιν, ἐπιπέμπει, ἀναστέλλει.

Ἐφικέσθαι, καταλαβέσθαι.

Ἐφίκεσθε, ἀντὶ τοῦ ἐφάψασθε, καταλάβεσθε. ἐφίκεσθε, ὡς ἐπὶ τόπου τινὸς κεῖται.

Ἐφικνεῖσθαι, εἰς κατάληψιν ἐλθεῖν.

Ἐφικνεῖται, καταλαμβάνει.

Ἐφικνούμενος, γενικῇ. νοῶν, φθάνων, ἐγγίζων, παραγενόμενος, ἢ γνούς.

Ἐφίκοιτο, νοήσοι, καταλάβοι.

Ἐφίκοντο, ἐφήψαντο.

Ἐφικτὸν, δυνατὸν καταληφθῆναι.

Ἐφίλατο, ἠγάπησεν. ἢ ἐφίλατο, κλιθὲν φανερῶς ὡς τὸ ἵστατο, ἀφ' οὗ κατά τινας ἐν τοῖς ἑξῆς τὸ ναῦ με φίλαι ἀθήνη, ἀντὶ τοῦ φίλησον. ὡς ἀπὸ τοῦ ἐφιλάμην, καθ' ὁμοιότητα τοῦ ἐτυψάμην τύψαι.

Ἐφίλει, καὶ ἐκόμιζε. ταὐτά εἰσιν, ὡς δηλοῖ τὸ ἐνδυκέως ἐκόμιζε. καὶ ἐνδυκέως ἐφίλει, τουτέστιν ἐφιλοφρονεῖτο.

Ἐφίληθεν, ἐφιλήθησαν.

Ἐφιλήθησαν ἐκ Διὸς Ῥόδιοι, πρὸς τὴν κοινὴν φασὶ δόξαν εἴρηται. οἱ γὰρ πολλοὶ θεοφιλεῖς τοὺς πλουσίους οἴονται. τοιοῦτοι δέ ποτε περιάδονται οἱ Ῥόδιοι. περὶ ὧν ὁ μὲν ποιητὴς ἀνθρωπίνως καὶ ἀσφαλῶς λέγει, ὅθι θεσπέσιος πλοῦτος κατεχέθη αὐτοῖς. ὁ δὲ μῦθος, ὅτι χρυσῆν νεφέλην ὑπὲρ τῆς Ῥόδου μετεωρίσας ὁ Ζεὺς, χρυσὸν τοῖς ἐκεῖ ἔβρεξεν, ἐπεί φασι πρῶται γενομένῃ ἡ Ἀθηνᾷ ἔθυσαν, ὡς καὶ Πινδαρικὸς ποῖ λαλεῖ μῦθος. καὶ ἄλλως δὲ ἐφιλήθησαν ἐκ Διὸς, οἱ περὶ τὸν Τληπόλεμον, ὡς βασιλεύσαντες ἐν τῇ Ῥόδῳ. Διὶ γὰρ φίλοι οἱ βασιλεῖς.

Ἐφιλοτιμεῖτο, ἐνηβρύνετο, ἐλαμπρύνετο.

Ἐφίνους, τοὺς ἐπὶ τοῦ ἰνίου σάρκας.

Ἐφιόρκους, τοῦτο διὰ τοῦ τ λέγει Φρύνιχος.

Ἐφιππαρχία, δύο ἱππαρχίαι ἱππέων ἀνδρῶν, χιλίων κδʹ. τέλος δύο ἐφιππαρχίαι ἱππέων δισχιλίων μή.

Ἔφιππος, Ζεὺς ἐν Χίῳ.

Ἐφίππειον, ἐκλύσαι δὲ τὸν ἵππον τοῦ χαλινοῦ καὶ τοῦ ἐφιππείου.

Ἐφίππιον, ἀγώνισμα ἐφ' ἵππων τρεχόντων.

Ἐφίππων ὀνόματα, ἴλη, ἱππέων ἀνδρῶν ξδʹ.

Ἐφ' ἵππων, ἐπὶ τῶν ἵππων.

Ἔφιππος ἀγὼν, γυμναστικὸς, παρὰ Λάκωσιν.

Ἔφισεν, ὥρμησεν.

Ἐφιστάμενος, ἀναμένων, σχολαίως βαδίζων. ὁ δὲ ἐπορεύετο ἄλλοτε, καὶ ἄλλοτε ἐφιστάμενος.

Ἐφιστάνουσιν, ἐκζητοῦσιν.

Ἐφίσταται, ὁ ἐλθὼν, ἐφίσταταί μοι δεινόν. παρίστατό μοι δόξα, καὶ παρέστη ἀντὶ τοῦ ἔδοξε, καὶ ἀντὶ τοῦ ἐπλησίασε, καὶ ἐφίσταται αὐτοῖς.

Ἐφίστη, ἔταττεν, ὥριζεν. ὁ δὲ ἄρχοντας ἐφίστη αὐτοῖς.

Ἐφιστᾶσί τις ἀναγινωσκομένοις, μετ' ἐπιστασίας διιὼν αὐτά.

Ἐφιστορεῖν, ἐπερωτᾶν.

Ἐφίτυσεν, ἐγείνατο, ἐγέννησεν.

Ἔφλαδον, σημαίνει τὸ ἐσχίσθην, ἀπὸ τοῦ φλάζω. δεύτερος ἀόριστος ἔφλαδον.

Ἔφλα, ἐμάλαξεν, συνεμίσγετο, συνῆν.

Ἔφλαμε, ἔτυπτέ με.

Ἔφλεγεν, ἔκαιε σφοδρῶς.

Ἐφλέγετο, ἐν ἐπιθυμίᾳ ἦν.

Ἐφλυάρα, ἐφλυάρει, ἐξηυτέλιζεν. Ἀριστοφάνης ἐκπλαγεὶς ἐφλυάρα.

Ἔφλιβεν, ἔθλιψεν, ἔθλιβεν.

Ἔφλιδεν, διέρρεεν, ἐρρήγνυεν.

Ἔφλυβον, ἐχαλάσθησαν, παρὰ τῷ Ἱπποκράτει.

Ἔφλυεν, ἐνέβαλλεν. ἔστι δὲ τῶν πεποιημένων.

Ἐφλυάρει, ἐλήρει, ἐμωρολόγει.

Ἔφλων παρὰ τῷ Ἀριστοφάνει, ἤσθιον. λάπτει δὲ, ῥοφεῖ. φλᾶν δὲ νῦν τὸ μετὰ ψόφου ἐσθίειν. καὶ γὰρ φλᾶν, τὸ θλᾶν, ὥς φησιν ὁ Ἐρισκώσοισιν.

Ἐφόβει, εἰς φόβον ἦγεν.

Ἐφόβηθεν, ἐφοβήθησαν, ηὐλαβήθησαν.

Ἐφόβησαν, ἐδίωξαν.

Ἐφοδεύεται, διοδεύεται.

Ἔφοδος θηλυκῶς, ἡ ἐπέλευσις τινός. ἐφόδιον δὲ οὐδετέρως, καὶ ἐφόδια πληθυντικῶς, τὰ ἐν τῇ ὁδῷ κυρίως γινόμενα ἀναλώματα.

Ἐφοδευσάτωσαν, κατασκοπησάτωσαν.

Ἐφόδια, τὰ ἁρμόδια εἰς ὁδόν.

Ἐφοδία, τὸ ἐπιέναι τὰς φυλακὰς τὸν ἄρχοντα.

Ἔφοδος, ὁρμὴ, ἄφιξις, ἐδρομὴ, παρουσία, βλάβη.

Ἐφοινίσσετο, ἠρυθραίνετο, τὸ πρόσωπον ἐφοινίσσετο.

Ἐφ' οἷς, καὶ ἀντὶ τοῦ καθὰ ποιητικῶς, ὡς τὸ, ἐφ' οἷσπερ Ταλθύβιος. ἤγγειλέ μοι.

Ἐφοίτα, ἤρχετο συνεχῶς.

Ἐφοίτησε, παρεγίνετο.

Ἔφολκα, τὰ ἀγαγεῖν δυνάμενα.

Ἐφόλκιον, ἐφολκίδα, πηδάλιον.

Ἐφόλκια, τὰ μικρὰ πλοῖα.

Ἐφολκίδα, ἐπαχθείαν, σκάφος.

Ἐφόλκιον, διὰ τοῦ ι, τὸ πηδάλιον, ἀπὸ τοῦ ἐφέλκεσθαι.

Ἐφολκὶς κυρίως λέγεται, ἡ λέμβος, ἤτοι ἡ μικρὰ ναῦς, ἡ ὑφ' ἑτέρας μεγίστης νηὸς ἑλκομένη.

Ἐφ' ὅλου Ἀττικοὶ λέγουσιν, ἀντὶ τοῦ εἰς πάντα, καὶ ἐφ' ὅλων ὁμοίως.

Ἐφομαρτεῖν, ἐν τῷ δ̄ τῆς Ἰλιάδος, τὸ διωκτικῶς ἐπακολουθεῖν.

Ἐφομαρτεῖτον, ἐπιδιώκετε, ἐπισπεύδετε, ἐπακολουθεῖτε, ὁμοζυγεῖτε.

Ἐφονοκτονήθη, ἐμιάνθη.

Ἐφοπλίζειν, ἔχει πρωτότυπον ἐφοπλεῖν, καθὰ καὶ τὸ ἀφρίζειν τὸ ἀφρεῖν.

Ἐφοπλίζω μεταβατικὸν, οἷον ἐφοπλίζει μοι τὸν ἐχθρὸν, ἀπὸ τοῦ κατ' ἐμοῦ ὁπλίζει καὶ διεγείρει. ὁπλίζομαι δὲ παθητικῶς, οἷον ὁπλίζομαι τῷδε, ἀντὶ τοῦ κατὰ τοῦδε.

Ἐφόπτας, θεατὰς, αὐτόπτας.

Ἐφόρεις, ἔφερες.

Ἐφορεύειν, ἐποπτεύειν, ἀπὸ τῶν ἐν Σπάρτῃ ἐφόρων.

Ἐφορία, ἡ ἐπὶ τῶν ὅρων γινομένη προσαγόρευσις, ὡς Δημοσθένης διδάσκει ἐν τῷ κατὰ Ἀριστοκράτους, καὶ Θεόφραστος ἐν τρίτῳ νόμων.

Ἐφόρκιος Ζεὺς, ἐν τῷ Τιτάνων ταύγματι.

Ἐφορμᾶν, ἀντὶ τοῦ ἐφεδρεύειν. τὸ μὲν γὰρ κατά τινων ὁρμᾶν, ἐπιτηροῦντας καιρὸν ἐπιθέσεως, οὕτως ἔλεγον, Δημοσθένης Φιλιππικοῖς.

Ἐφορμήσαντα, ἐπελθόντα.

Ἐφόρμῳ, νεόλκῳ.

Ἐφορμῶ, οὐ μόνον ἐγὼ κατά τινος, ἀλλὰ καὶ ἕτερον κατ' ἄλλου, ὡς δηλοῖ τὸ, οἵ μοι ἐφώρμησαν πόλεμον πολύδακρυν. ὃ ταυτόν ἐστι τῷ ἀρίδακρυν. ὁμοίως καθίζω αὐτοπαθῶς, ἀντὶ τοῦ κάθημαι. καὶ ἀλλοπαθῶς, ἀντὶ τοῦ καθίζω ἄλλον.

Ἔφορος, ἐφορεύω, ἐφορεία. Ἀφορία δὲ, ἡ εὐκαρπία. ἢ ἔφορος, ὁ πάντων ἐπόπτης καὶ θεωρὸς Θεός. καλοῦνται δὲ ἔφοροι καὶ οἱ τὰ τῆς πόλεως ὤνια ἐπισκεπτόμενοι.

Ἐφόρουν, ἐκόμιζον.

Ἐφορῶ, τὸ ἐπισκέπτομαι. ὁρῶ δὲ τὸ βλέπω.

Ἐφ' ὅσον, ἐν ὅσῳ, καὶ ἕως οὗ καὶ ἐφόσον, ἓν μέρος λόγου.

Ἐφορειδὲς, εἶδος ἱματίου.

Ἐφ' ὅτῳ, ἐφ' ᾧ τινι.

* Ἐφοὺδ, τὸ μὲν ὄνομα ἑβραϊκόν. ἑρμηνευόμενον, δήλωσιν ἢ λύτρωσιν σημαίνει. τὸ δὲ εἶδος αὐτοῦ ποικίλον ἦν ὕφασμα δίκην περιστηθίου. Σουΐδας.

Ἐφραθᾶ, ὅ ἐστι Βηθλεέμ. παρ' Ἑβραίοις δὲ μαρία, σημαίνει τὸ ἐφραθᾶ.

Ἔφραδεν, ἐδήλωσεν.

Ἐφραὶμ, κύριον. ἑρμηνεύεται δὲ πλατυσμὸς. ἢ καρποφορία.

Ἐφρασάμην, συνῆκα, ἔγνων.

Ἐφράσθη, ἀντὶ τοῦ συνῆκεν, ἔγνω, ἐνόησεν, ἐπεπλήρωτο, ἀνεγνωρίσθη.

Ἔφριξεν, τὰς τρίχας ὀρθὰς ἐπυκνώθη, ἔφριξε μάχη ἐγχείησι. φρίσσειν γὰρ τὸ ὀρθοῦσθαι πυκνῶς. ἢ ἔφριξεν, ὀρθὰ δόρατα ἔχει, ἐδειματώθη, ἐπερρώσθη.

Ἐφρύαξαν, ἐταράχθησαν. ἵνα τί ἐφρύαξαν ἔθνη. ὁ μὲν Ἀκύλας, ἀντὶ τοῦ ἐθορυβήθησαν. ὁ δὲ Σύμμαχος, ἐφηυχάσθησαν, ἡρμηνεύκασιν.

Ἐφρύγη, ἡμίφλεκτος ἐγένετο.

Ἐφρυκτωρήθησαν, ἐπυρσεύσαντο.

Ἔφυ, ἀντὶ τοῦ ὑπάρχει, καὶ ἀντὶ τοῦ ἐγένετο, ἐγεννήθη. ἐκ τοῦ φύω μέλλων φύσω, ὁ δεύτερος ἀόριστος ἔφυν ἔφυς ἔφυ. ἢ ἔφυ, ἐγένετο.

Ἔφυγον, ἐκ τοῦ φεύγω, μέλλων φεύξω, παρακείμενος πέφευχα, ἀόριστος πρῶτος ἔφευξα, δεύτερος ἔφυγον. ὡς τὸ, ὑπὸ νύκτα ἐκφυγον, ὑπὸ σκότος, ἀντὶ τοῦ συνεργῷ τῇ νυκτὶ καὶ τῷ σκότῳ χρώμενοι τῆς φυγῆς ἢ ἔφυγον κακὸν, εὗρον ἄμεινον. νόμος ἦν Ἀθήνησιν ἀμφιθαλῆ παῖδα ἀκάνθαις μετὰ δρυΐνων στεφάνων στέφεσθαι. καὶ τὸ λίκνον ἄρτων ἀναλαμβάνειν πλήρες, εἶτα ἐπιλέγειν, ἔφυγον κακὸν, εὗρον ἄμεινον. τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν κρᾶμα, κακὸν ἔλεγον.

Ἐφύγοσαν Δωρικῶς, παρενθέσει τῆς σα συλλαβῆς, ἐκ τοῦ ἔφυγον.

Ἐφ' ὑγρὴν, κατ' ἔλλειψιν εἴρηται, ἴσως δὲ κατά τι ἐξαίρετον ἐπίθετον. ὡς γὰρ τὸ τραφερὴ καὶ τὸ ξηρὰ ἐπὶ γῆς, οὕτω ἐπὶ θαλάσσης τὸ ὑγρὴ λαμβάνεται παρὰ τῷ ποιητῇ.

Ἐφυδατίη, ὄνομα νύμφης. καὶ ἐφυράθην, ἀπὸ τοῦ φυρῶ φυρὰς γίνεται.

Ἔφυδρος, ὕδωρ ἐπάγων. ἐφύδρους δὲ ἀλύσεις διατείνας, διὰ τοῦ στόματος τοῦ λιμένος.

Ἐφ' ὕδωρ λαχεῖν, λαγχάνει τὶς ὕδωρ παρατηρήσων, τὸ ἐν ταῖς δίκαις.

Ἐφύζα, ἐφύσα.

Ἐφυλάξατο, ἐξέκλινεν, εἴασεν. ἐφυλάξατο δὲ τὰ μαλακὰ καὶ ψαμμώδη.

Ἐφύμνιον, τὸ ἐπὶ τῷ ὕμνῳ ᾆσμα.

Ἐφυμνεῖ, ἐπᾴδεις, Σοφοκλῆς Ἀλεάδαις.

Ἔφυντο, ἐνέφυσαν, σφόδρα ἐπεβάλλοντο, ὥστε συμπεφυκέναι.

Ἐφύπερθεν, ὑπεράνωθεν.

Ἐφυπνοῦσαι, καθεύδουσαι.

Ἐφύραι κατὰ ἱστορίαν διάφοροι. μία ἐν Πελοποννήσῳ, περὶ τὰ τῆς Κυλλήνης ὅρια. δευτέρα, κώμη Σικυωνίας, περὶ ἣν καὶ ποταμὸς Σελλήεις. τρίτη ἐν Θεσπρωτίᾳ, ἔχουσα καὶ αὐτὴ Σελλήεντα ποταμόν. τετάρτη ἐν Αἰτωλίᾳ. καὶ οἱ ἐκεῖθεν ἔφυροι λέγονται, οὐ μὴν ἐφυραῖοι, ὡς οἱ ἐκ τῶν λοιπῶν. πέμπτη ἔφυρα, Θετταλική. ἕκτη, Κόρινθος, ἐν ᾗ καὶ αὐτῇ Σελλήεις ποταμός. ἐκ ταύτης φασί τινες τὸν Ὀδυσσέα λαβεῖν ἀνδροφόνα φάρμακα, λέγοντες φαρμακοφόρον ποτὲ γενέσθαι αὐτὴν, διὰ τὸ ἐκεῖ κατοικῆσαι τὴν Μήδειαν. ὅθεν καὶ ἡ τοῦ Αὐγέου θυγάτηρ φασὶ τοῦ βασιλέως τῶν Ἐπειῶν, ἡ ἐν Ἰλιάδι κειμένη Ἀγαμήδη, φαρμακὶς ἦν. ἄλλοι δὲ ἀπὸ τῆς Θεσπρωτικῆς Ἐφύρης φάρμακα λαβεῖν τὸν Ὀδυσσέα φασὶ, γενομένης καὶ αὐτῆς ποτὲ πολυφαρμάκου διὰ τὴν Μήδειαν, οἰκήσασαν καὶ ἐκεῖ πρὸς καιρόν.

Ἐφύρηθεν. ἔφυρα ἡ Κόρινθος, ἀπὸ Ἐφύρας τῆς ἐπι-

Ἐπιμηθέος θυγατρός. Εὔμηλος δὲ, ἀπὸ Ἐφύρας τῆς ὠκεανοῦ καὶ τηθύος, γυναικὸς δὲ γενομένης ἐπιμηθέως.

Ἔφυρον, ἔβρεχον, ἢ ἔπλυνον.

Ἔφυροι, ἔθνος.

Ἐφύρους, τοὺς ἀκαρνᾶνας.

Ἔφυς, ἐβλάστησας, ἐγένου.

Ἔφυσαν, ἐπάτησαν.

Ἐφυσᾶτο, ὠγκοῦτο.

Ἐφυσίησεν, ἀνέπνευσεν.

Ἐφυσίησα, ἐπυῤῥίησα, ἐπεῤῥώσθην.

Ἐφ' ᾧ, συντάσσεται καὶ μετὰ ἀπαρεμφάτου, καὶ μετὰ μέλλοντος. οἷον, ἐφ' ᾧ ποιῆσαι. καὶ ἐφ' ᾧ, ἀντὶ τοῦ διότι, εἰς παρῳχημένον. Συνέσιος ἐν ἐπιστολῇ, ἐφ' ᾧ γεννάδιον ἔγραψεν. ἐφ' ᾧ ἀντὶ τοῦ ἐπὶ τῷ, εἰ ἀπαρέμφατον, ἐφ' ᾧ μεμνῆσθαι. καὶ ἐφ' ᾧ ἀντὶ τοῦ ἵνα, εἰς μέλλοντα. Θουκυδίδης, ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται καὶ Συνέσιος ἐν ἐπιστολῇ, οὐκ ἐφ' ᾧ στρατεύσομαι μεμισθωμένος. Ἄλλως. Ἐφ' ᾧ, ἀντὶ τοῦ διότι λέγουσιν Ἀττικοὶ, μετὰ συστολῆς τῶν ῥημάτων. οἷον ἐφ' ᾧ τὴν κλοπὴν εἰργάσω. ἔτι καὶ ἐφ' οἷς τὸν νόμον ὑπερεῖς, κολασθήσῃ. διότι, ἀντὶ τοῦ ὅτι. ἐφ' ᾧ λέγουσι μετὰ μόνης περισπωμένης. καὶ συντάσσουσι μετὰ μέλλοντος. οἷον ἐργάζομαι τὸ ἀγαθὸν ἐφ' ᾧ δοξασθήσομαι.

Ἐφῶδη, ἐπέλληγε. λάκωνες.

Ἐφώδευσαν, ἐπέτρεχον.

Ἐφωδήγει, ἐποδήγει.

Ἐφωδιάσθημεν, τὰς χρείας τῆς ὁδοῦ ἐλάβομεν.

Ἐφώδιον, Ἐρατοσθένης διὰ τοῦ τ̄, ἐφώτιον ἀναγράφει, μέλανον περιοδικὸν παγκρατιαστήν. ὁ δὲ Πολέμων, διὰ τοῦ δ̄.

Ἐφ' ᾧ πάρει, ἐπὶ ποίῳ σκοπῷ πάρει, καὶ παραγέγονας ἐνταῦθα.

Ἐφωπλίζοντο, παρεσκευάζοντο.

Ἐφωράθη, ἠλέγχθη, ἔθεια μυθώθη.

Ἐφώρασά τινα κλέπτοντα, καὶ ἐφώρασα ἕτερον ἑτέρῳ. ἤγουν φωραθῆναι ἐποίησα.

Ἐφώρμησεν, ἐνέσκηψεν.

Ἐφώσια, τὰ νομιζόμενα.

Ἐφώτισεν, ἐδίδαξεν.

Ἐφώρμησαν, ἐπεπήδησαν, ἐπῆλθον.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Χ.

Ἔχαδε, δηλοῖ μὲν τὸ ἐχώρησε, καὶ γίνεται ἀπὸ τοῦ χῶ τὸ χωρῶ. ἐξ οὗ καὶ χώρα καὶ χωρίον. ὅθεν καὶ παράγωγον τὸ χάζω, καθ' ὁμοιότητα τοῦ χῶ χάζει. ἐξ οὗ τὸ γῆρας ἄφθογγον χάσας. κλῶ κλάζω, κρῶ κράζω, βῶ βάζω, ῥῶ ῥάζω. ἐξ οὗ ἐν Ὀδυσσείᾳ, τὸ ῥάσσατε δ' ὕδωρ, καὶ ἐῤῥάδαται τοῖχοι, καὶ τὰ ὅμοια μονοσύλλαβα. ἢ κατὰ μέσον παρακείμενον ἀναγνωστέον, κέχαδεν. ἢ κατὰ δεύτερον ἀόριστον, ἔχαδεν. Ὅμηρος, χόλον οὐκ ἔχαδε. δηλοῖ μὲν τὸ οὐ κεχώρησε. γίνεται ἀπὸ τοῦ χῶ τὸ χωρῶ, ἐξ οὗ καὶ χώρα καὶ χωρίον. ὅθεν παράγωγον τὸ χάζω, κατὰ ὁμοιότητα τοῦ χῶ χάζω. ἢ κατὰ μέσον παρακείμενον ἀναγνωστέον κέχαδεν, ἢ κατὰ δεύτερον ἀόριστον ἔχαδε.

Ἔχαδον, ἐκ τοῦ χάζω χάσω, κέχακα κέχαδα, ἔχασα ἔχαδον. ἢ ἀπὸ τοῦ χαδέω χαδήσω, κεχάδηκα, κέχαδα, καὶ ἔχαδον δεύτερος ἀόριστος.

Ἐχάζετο, ὑπεχώρει, ἀνεχώρει. ἢ ἐχάσσατο, κῆρ ἀλεείνων, ἀνεχώρει τὸν θάνατον ἐκκλίνων.

Ἐχάλασεν, ἐνέδωκεν, ἀφῆκεν.

Ἐχαλέπαινον, ὀργίζοντο. παρατατικὸς ἐκ τοῦ χαλεπαίνω.

Ἐχαλέφθη, ἐχαλέπηνεν.

Ἐχάλεψεν, ἐκάκωσεν.

Ἐχάνδανεν, ἐχώρει.

Ἔχανεν, ἤνοιξεν, ἐκάλει, συνεῖχεν.

Ἐχάνη, σκεῦός τι ὁδοιπορικόν.

Ἐχαράκωσεν, ἐκύκλωσεν, ἐπολιόρκησεν.

Ἐχάραξαν, ἤρξαντο.

Ἐχάρην, δεύτερος ἀόριστος παθητικὸς, ἀπὸ τοῦ χαίρω.

Ἐχάσατο, ἀνεχώρησεν, ἀπέστη.

Ἐχ' ἀτρέμας, μένε ἐφ' ἡσυχίας.

Ἐχάτισεν, ἔχρησεν.

Ἔχε ἡσύχως Ἀττικῶς ἀντὶ τοῦ εἰπεῖν ἡσύχαζε.

Ἐχεδὴ, ἀντὶ τοῦ ἄγε δὴ, ἢ ἄρα δὴ πρόσεχε, ἢ τι τοιοῦτον.

Ἐχέγγυος, ὁ ἀσφαλὴς, ἐγγυητής. ὁ δὲ πίστεως ἄξιος, παρὰ Θουκυδίδῃ ἰσχυρὸν, ἐγγυῆσαι δυνάμενον.

Ἔχεεν, ἔχωσεν.

Ἔχει, παρὰ τὸ χέω παρατατικὸς, ἔχεον ἔχεες ἔχεε, ἔχεε ἔχει. καὶ κράσει τῶν δύο εε εἰς τὴν ει δίφθογγον, ἔχει. Ἀριστοφάνης, ἀλλ' ἐπὶ πτερόν μου κατέχει τῶν χρημάτων.

Ἔχει μέσος παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ μέσου ἐλήφθης. τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν ἀθλητῶν. τὸ ἔχει δὲ οὕτως Ἀττικοὶ ἀντὶ τοῦ ἔχῃ, ἀπὸ τοῦ ἔχομαι δευτέρου προσώπου.

Ἐχείδιον, ὀφείδιον.

Ἔχει, ἐπιμελεῖται. καί μοι κῆπον ἔχει πολυδένδρεον.

Ἔχειν, τὸ ἐλαύνειν ἐστί. καὶ σημείωσαι, ὅτι κατὰ τὸ ἐπέχε σκοπῷ τόξον, οὕτω νοεῖται, καὶ τὸ ἐς νῆας ἔχεν ἵππους.

Ἐχειρώθη, ἐκρατήθη.

Ἐχεῖτο, ἐξεκέχυτο.

Ἐχέ μοι χάριν, ἀντὶ τοῦ εὐχαρίστει μοι. καὶ ἔχω δέ σοι χάριν, ἀντὶ τοῦ εὐχαριστῶ σοι.

Ἐχεμυθία, σιωπὴ, μυστήριον.

Ἐχέμυθον, μυστήριον κρυπτὸν, ἢ φρόνιμον. ἦν δὲ ἐχέμυθος, ὡς τὰ μάλιστα ὁ κρυψίνους. καὶ ἐχεμυθότατον, τὸ φρονιμώτατον.

Ἐχέμυθος, καὶ ἐχεμυθότατος, ὁ φρόνιμος.

Ἐχεμυθῶ, τὸ τοὺς λόγους φυλάσσω. ἐχεμυθεῖ, ἔχει ἐν ἑαυτῷ τὸν λόγον.

Ἔχεν, ἐγεγαμήκει.

Ἔχεαι, συνέχῃ.

Ἐχεδημία, ἡ νῦν ἀκαδημία καλουμένη.

Ἐχεδώριδες, αἱ νύμφαι.

Ἔχει, κατέχει, κρατεῖ, νέμεται, διείργει, ἐπιμελεῖ, ἀξιοῖ, βαστάζει, φέρει, ὑπομένει.

Ἔχεες, ἔχεις, ἢ εἶχες.

Ἐχειμάσθη, ἐταράχθη, τὴν ζάλην ὑπέμεινεν.

Ἐχειμίαν, ἐῤῥίγουν, καὶ ἐχείμαζε.

Ἔχει τέλος, τετελεύτηκε. λάκωνες.

Ἐχειρούργει, ἔπραττεν.

Ἐχεκήλην, κηλήτην.

Ἐχέμεν, ἔχειν.

Ἐχενηΐς, εἶδος ἰχθύος. εἴρηται δὲ, ἀπὸ τοῦ ἔχειν καὶ κρατεῖν τὴν ναῦν, ἐχενηΐς καὶ ἡ κρατοῦσα τὴν ναῦν ἄγκυρα. ἀγκυράν τ' ἐπ' ἱστοῖς, ἐχενηΐδα, δεσμὸν ἀέλλης.

Ἐχεπευκὲς, τὸ οἷον ἔχον πεύκης δηλαδὴ πικρίαν. καὶ γὰρ πικρὸν καὶ τὸ τῆς πεύκης τὸ δάκρυον. ὅθεν ἴσως καὶ τὸ πικρὸν πευκέδανον παρωνόμασται προπαροξυτόνως, πρὸς ὁμοιότητα τοῦ ἐρυθρόδανον. ἀφ' οὗ βέλος ὀξυτόνως πευκεδανὸν, τὸ ἐχεπευκὲς, ἤγουν ἐχέπικρον. τινὲς δὲ ἐχεπευκὲς εἶπον, τὸ θανάσιμον, καὶ ἐκτέμνον τοῦ βίου τὸν βληθέντα, δίκην πεύκης, ἥτις ἐκτμηθεῖσα οὐκ ἔτι ἀναβλαστάνει. ἐνταῦθα δὲ σκοπητέον τὸ τοῦ Ἡροδότου, εἰπόντος ὅτι ἡ πίτυς ἐκκοπεῖσα οὐκ ἀναφύει μόνη πάντων δένδρων, ἀλλὰ πανώλεθρος ἐξαπόλλυται. ὅθεν καὶ παροιμία, τὸ ἐκτριβῆναι πίτυος δίκην. εἰ γὰρ καὶ πεύκη καὶ κυπάρισσος καὶ ἕτερα ἐκκοπέντα οὐκ ἔτι ζῇ, πῶς Ἡρόδοτος ἔφη ὅτι πίτυς μόνη πάντων δένδρων ἐκκοπεῖσα οὐκ ἀναφύει; ἢ τάχα εἰς τὶ πιτυῶδες καὶ τὰ τοιαῦτα θετέον, διά τινα ἑαυτοῖς ὁμοίαν ποιότητα, διὸ καὶ ὁμοίου πάθους τῇ πίτυϊ μετέχουσιν. ἡ δὲ σύνθεσις τοῦ ἐχεπευκὴς, ὁμοία ἐστὶ τῇ ἐχέμυθος.

Ἐχεπευκὲς βέλος, ἤτοι ἐχέπικρον, κατὰ τοὺς παλαιούς. ἐχρίετο γάρ φησι τὰ βέλη πεύκῃ. ἴσως δὲ ἀπὸ τῆς τοιαύτης πεύκης καὶ τὸ πύκα, ὃ ἐστι συνετῶς γίνεται, καὶ τὸ πυκινὸν, ἀποβολῇ συνήθει τοῦ ε̄.

Ἐχέπωλος, ὁ ἔχων ἵππους.

Ἐχέπωλοι, ἱππικοὶ, ἱπποτρόφοι.

Ἐχερμάζομεν, τὴν γῆν εἰργαζόμεθα.

Ἐχεσαμία, ὅτε θέρους ὄντος ψεκάζει, ἢ βροντήσει.

Ἐχέσχη, ἀνιᾶται.

Ἔχεσκε, κατεῖχεν.

Ἔχεσφιν, ἅρμασιν, ἢ μᾶλλον ὄχεσφιν.

Ἔχεται, ἕπεται, ἀντιλαμβάνεται.

Ἐχετλεύειν, ἀροτριᾶν.

Ἐχέτλαις, ἀροτριάμασι, αὔλαξιν.

Ἐχέτλη καλεῖται, τὸ κατόπιν ξύλον, οὗ ἔχεται ὁ ἀρότης. ἄλλως, τὸ ἐμπεπηγὸς ξύλον τῷ γύῃ, ὃ κατέχοντες οἱ ἀροτριῶντες, κινοῦσιν ὅλον τὸν ἄροτρον.

Ἔχετον. Ὅμηρος, τάχα γάρ μιν ἀνάξομεν ἤπειρόν δε εἰς ἔχετον. λέγει δὲ νῦν ἤπειρον χώραν ἰδίως οὕτω καλουμένην, ἀντιπέραν κειμένην Ἰθάκης μεγάλην. ἀφ' ἧς καὶ Πύῤῥος ὁ ἠπειρώτης ὕστερον ἄρξας τῶν ἐκεῖ, ἧς μέρος παράλιον.

Ἔχετο, ἐγαμεῖτο.

Ἔχετος, βασιλεὺς ἦν τῆς ῥηθείσης ἠπείρου, υἱὸς εὐχήνορος καὶ φλεγέας, ὠμὸς καὶ ἀπάνθρωπος, ὃς καὶ τὴν θυγατέρα μετώπην ἢ καὶ ἀμφισσαν ὑπό τινος αἰχμοδίκου φθαρεῖσαν, τυφλώσας ἠνάγκασεν ἀλήθειν κριθὰς σιδηρᾶς ποιηθείσας κελεύσει αὐτοῦ. εἰπὼν, τηνικαῦτα τὰς ὄψεις ἀπολήψεσθαι, ὅτε τὰς τοιαύτας κριθὰς εἰς ἄλφιτον λεπτυνεῖ. καὶ τὴν μὲν θυγατέρα οὕτω μετῆλθε. τὸν δὲ αἰχμόδικον, ὡς ἐπὶ ἑστίασιν καλέσας, ἠκρωτηρίασεν, ἀποκόψας καὶ τὰ αἰδοῖα. τέλος δὲ ὑπερμανεὶς καὶ τῶν ἰδίων σαρκῶν ἐμφορηθεὶς, ἀπέσβη φασὶν, ὃ καὶ Λύσανδρος ἔπαθεν ἐν τοῖς ὕστερον. τινὲς δέ φασιν, ἔχετον ἀπ' αὐτοῦ γενέσθαι τοῦ ποιητοῦ, καὶ τι πεπλημμεληκότα εἰς αὐτὸν τοιοῦτον ὑστερηθῆναι ὡσανεὶ παλαιόν τινα ὄντα ἄδικον. ὃ καὶ ἐπὶ θερσίτῃ ποιῆσαι λέγεται, κακῶς ἐπιτροπεύσαντι τῶν ἑαυτοῦ. ὧνπερ ἀνάπαλιν πεποίηκεν ἐπὶ τυχίου, φημίου, καὶ μέντου, καὶ μέντορος. αὐτοῦ γὰρ εὖ πεποιηκότων αὐτῷ, ἐπ' ἀγαθοῖς μέμνηται εἰς παλαιότητα χρόνου ἡρωϊκοῦ ἀναγαγὼν αὐτήν. ὅρα δὲ καὶ ὅτι τὸν ἔχετον δέον τύραννον εἰπεῖν, ὁ δὲ βασιλέα εἶπεν. ἠγνοεῖτο γὰρ ἐπὶ Ὁμήρου ἡ τύραννος λέξις, ἢ καὶ ὕστερον εὑρεθεῖσα ἐπ' ἀγαθῷ ἐλέγετο. τοῖς γὰρ ἐννόμοις βασιλεῦσι, κλῆσις ἦν καὶ αὕτη. ὡς δηλοῖ ὁ παρὰ Σοφοκλεῖ οἰδίπους τύραννος. ἡ μέντοι μεταγενεστέρα χρῆσις, διορίσασα τοῖς ἀγαθοῖς μὲν βασιλεῦσιν, ἀπεκλήρωσε τὸ πρεσβεῖον τῆς παλαιᾶς λέξεως τὸ βασιλεὺς, καθὰ καὶ μάλιστα τὸ ἄναξ. τὸ δὲ τυραννεῖν ἀποτάξασα τοῖς μὴ κατὰ νόμον ἄρχουσιν, ἐπέῤῥιψε. σημειωτέον οὖν, ὅτι οὐκ ἠξίωσεν ἄνακτα τὸν ἔχετον εἰπεῖν, ἀλλ' ἁπλῶς βασιλέα, ὅ ἐστιν ἄρχοντα. ὁ γὰρ ἄναξ θεία λέξις, ἀπὸ τοῦ ἀνακῶς ἔχειν τῶν ὑπηκόων γινομένη, ὅ ἐστιν ἐπιμελῶς.

Ἔχετον, ἀντὶ τοῦ ἐχέτωσαν. καὶ ἐχέτην, ἀντὶ τοῦ εἶχον, δυϊκῶς.

Ἐχετοσύβριστής. ὄνομα κύριον τοῦ ἐχέτου. οὗ Ὅμηρος, ὡς ὠμοτάτου μέμνηται.

Ἐχέτω, κρατείτω. Ἀριστοφάνης, ἐχέτω δὲ πνοὰς νήνεμος αἰθήρ. κῦμα δὲ πόντου μὴ κελαδείτω γλαυκόν.

Ἐχέφρων, ὁ υἱὸς τοῦ νέστορος ἐκαλεῖτο, παρὰ τὸ ἔχειν φρόνησιν.

Ἐχέφρων, φρόνιμος, συνετός.

Ἔχευαν, ἔχεαν, κατέχυσαν.

Ἐχεύατο, ἐξεχύθη, διεχύθη.

Ἔχευε, κατέχυσεν.

Ἔχεφρεσὶν, ἀντὶ τοῦ μνημονεύει.

Ἐχέφυζα, ἔφυσα, εἶχε φυγεῖν.

Ἔχεων, ἐχιδνῶν.

Ἔχηρα, ἐχάρην. Ἰωνικῶς.

Ἐχήρατο, παθητικῶς ἔφη ὁ ποιητής. ἔφη δέ τοι καὶ ἐχάρη. ἡ μετοχὴ χαρεὶς χαρέντος. χαίρομαι δὲ οὐ λέγει, ἀλλὰ χαίρω.

Ἔχης, ὁ πλούσιος, καὶ κλίνεται ἔχητος.

Ἐχηρώθησαν, ἀνδρῶν ἐστερήθησαν, ἐχήρευσαν.

Ἐχήρωσεν, ἐστέρησεν.

Ἔχθεα, ἔχθρας, μίση.

Ἐχθαίρει, οὐ δηλοῖ μόνον τὸ μισεῖ, ἀλλὰ καὶ τὸ μισητὸν ποιεῖ. ὅπερ φασὶν οἱ μεθ' Ὅμηρον.

Ἐχθαίρω ποιητικὸν, μισῶ κοινόν. ἀφ' οὗ μῖσος προπερισπώμενον, τὸ παρὰ τοῖς ποιηταῖς ἔχθος. ἐχθαίρω σοι, ἤγουν ἔχθραν ἔχω σοί. καὶ

ἐχθραί-

Digitized by Google

ἐχθαίρω τινὶ, ἀντὶ τοῦ ἔχθραν πρὸς αὐτὸν ἔχω. ἐχθαίρω δὲ ποιητικῶς τὸ μισῶ. γράφεται δὲ ἀμφοτέρως διὰ τῆς αι διφθόγγου. ἐχθρός μοι ἐστὶν ὁ δεῖνα, καθὸ ἁπλοῦν δοτικῇ. ἔχθιστος δὲ τῶν ἀνθρώπων, καθὸ ὑπερθετικὸν, γενικῇ.

Ἔχθεται, μισεῖται.

Ἐχθαυμάσας, μεγάλως θαυμάσας.

Ἐχθὲς, ὅπερ καὶ χθὲς μονοσυλλάβως λέγεται, τῷ παρατατικῷ καὶ ἀορίστῳ συντάσσεται.

Ἐχθήρειε. ἐχθαίρω, ἐχθαρῶ, ἤχθηρα. αἰολικῶς ἐχθήρεια.

Ἔχθιμα, μισήματα. Σοφοκλῆς τυράννοις.

Ἔχθιον, ἐχθρότατον, μισητότατον. Σοφοκλῆς, βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.

Ἐχθίστων, μεμισημένων, μυσαρῶν, ἐχθροτάτων.

Ἐχθοδοπῆσαι, ἢ ἀπὸ τοῦ ἔχθω τὸ μισῶ γίνεται, ἢ ἀπὸ τοῦ ὄπτω τὸ βλέπω, πλεονασμῷ τοῦ δ, ἢ ἐκ τοῦ ἔχθος καὶ ὂψ ὀπὸς, ἡ φωνή. ἵνα ᾖ ἐχθοδοπῆσαι, καὶ ὁ τὰ πρὸς ἔχθος φωνῶν.

Ἐχθοδοπὸς, ὁ ἐχθροποιός.

Ἔχθοι, ἔξω.

Ἐχθόμενος, μισούμενος.

Ἔχθος, τὸ μῖσος. καὶ ἔχθημα, τὸ μίσημα.

Ἐχθραίνειν, μισεῖν.

Ἐχθρὸς, ἀντικειμένη πρόθεσις ἐπὶ τὸ βλάπτειν. ἢ ἐχθρὸς κυρίως, ὁ πρώην φίλος ὢν, καὶ ὕστερον καταστὰς εἰς ἔχθος. πολέμιος δὲ ἁπλῶς, ὁ μεθ᾽ ὅπλων χωρῶν. δυσμενὴς δὲ ὁ χρόνιον πρὸς τὸν ποτὲ φίλον τὸ μῖσος διατηρῶν.

Ἐχθροῖς συνέθειν, εἰς καπηλεῖον φέρει.

Ἐχθραίνει δοτικῇ ἐχθρὸν ποιῶ καί,

Ἐχθρεῦσαι, ἐχθροὺς γενέσθαι. ἐχθρεῦσαί φασιν, αἰετὸν καὶ κάνθαρον ἐκ τοῦ ἑκάτερον αὐτῶν θατέρου τὰ ᾠὰ διασπᾶν. ἢ ἐχθρὸς, πᾶς ὁ ὁπωσδή ποτε βλάπτων τινά. ἐχθροῦ γὰρ ἴδιον βλάπτειν καὶ ἐπιβουλεύειν.

Ἐχθρωδῶς, ἀπεχθῶς, μισητῶς, κακῶς.

Ἐχθῦσαι, ἐξεμέσαι.

Ἐχθύσσῃ, ἐκφυσήσῃς, ἐκπνεύσῃς.

Ἔχθω, τὸ μισῶ. ἔχθος, τὸ μῖσος. καὶ ἐχθαίρω, τὸ μισῶ. καὶ ἐχθαίρομαι, τὸ μισοῦμαι. πάντα ἀπὸ τοῦ ἔχθω, τὸ μισῶ.

Ἔχιγγος, σκόπωσις.

Ἔχιδνα, ὄφις.

Ἐχιλιώθη, χίλια ἐζημιώθη.

Ἐχινὰς, ὄνομα νήσου.

Ἐχινάων, ἡ ἀθεῖα ἡ ἐχίνη. τοῖς δὲ μεθ᾽ Ὅμηρον, ἡ ἀθεῖα ἐχινάς. καὶ ἀπ᾽ αὐτῆς αἱ καλούμεναι ἐχινάδες νῆσοι, ἃς θοὰς εἶπεν ὁ ποιητὴς ἐν Ὀδυσσείᾳ. οἱ οἰκοῦντες δὲ τὰς ἐχινάδας ἐπειοὶ ἐλέγοντο.

Ἐχινόπους, ἀκάνθης εἶδος παρὰ τὸ ἐπέχειν τοὺς πόδας, τῶν βαδιζόντων ἐπ᾽ αὐτῆς. ἢ ὅτι ἐχίνου θαλασσίου ποσὶν ἔοικεν.

Ἐχῖνος, ὁ ἀκανθόχοιρος, παρὰ τὸ συνέχειν ἑαυτὸν στρογγυλούμενον. ἐν γὰρ τῷ ἀλέξασθαι τὸν ἐπερχόμενον συνειλούμενος, τὸν τῶν ἀκανθῶν περίβολον προβάλλεται, ὡς ἔρυμα. ἐχῖνος καὶ τοῦ βοὸς ἡ γαστὴρ, παρὰ τὸ ἐπέχειν ἐν ἑαυτῇ τὴν τροφήν. ἐχῖνος καὶ ὁ λέβης ὁμοίως. ἐχῖνος καὶ ἄγγος τι, εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. καὶ πόλις θεσσαλίας, οὕτω καλουμένη ἀπὸ ἐχίνου ἑνὸς τῶν τῶν σπαρτῶν ἐνοικήσαντος. σημαίνει καὶ μέρος ἀστέρος. εἴρηται δὲ ἐχῖνος ὁ θαλάσσιος. καὶ ἄλλως, ἀπὸ τοῦ ἔχειν ἑαυτὸν, τῶν σαρκῶν ἀφανῶν οὐσῶν. ἢ ἐχῖνος κατ᾽ ἀντίφρασιν, ἀπὸ τοῦ μὴ δύνασθαι ἔχεσθαι διὰ τὰς ἀκάνθας. ὡς ἀκράγαντος, γράφεται διὰ τοῦ ι, ὡς ἀκραγαντῖνος. καὶ ἐχῖνος, πόλις θεσσαλίας, καὶ ἄγγός τι χαλκοῦν, καὶ ἐκ κεράμου, εἰς ὃ καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν, ἅτινες ἐμαρτύρησαν κατασημηνάμενοι. καὶ Ἀριστοφάνης, καπίαξ᾽ ἐχῖνον.

Ἐχίος, κύριον τρίβραχυς. καὶ διὰ τοῦτο παροξύτονον παρ᾽ Ὁμήρῳ.

Ἔχις, ὁ ὄφις. * εἶδος ὄφεως, ἀπὸ τοῦ κατέχειν, διότι μόνον τῶν ὄφεων οὐκ ᾠοτοκεῖ, ἀλλὰ ζωοτοκεῖ.

Ἔχλησεν, ἔκλυσεν.

Ἔχμα, τὸ στήριγμα. καὶ ἔχμα ἐμπάζειν, τὸ κωλύειν καὶ ἐπέχειν. καὶ ἐχμάσαι, κατασχεῖν, ἑλεῖν.

Ἐχμάζει, κωλύει, ἡσυχάζει, στηρίζει, κρατεῖ, δεσμεύει.

Ἔχμασον, ἐπίσχες, κατάσχες.

Ἔχματα, αἱ τοῦ ὀλοοιτρόχου λίθου συνοχαί, ὡς κεῖται ἐν τῷ ν τῆς ἰλιάδος. γίνεται δὲ ἀπὸ τοῦ ἔχω, τὸ συνέχω, καὶ δηλοῖ συνοχήν. ἣν ῥήξας ὁ πολὺς ὄμβρος κατέρρηξε τὸν ὀλοοίτροχον. προϋπάρχει δὲ αὐτοῦ ὁ ἐχμός, ἐξ οὗ τὸ ἔχμα. ὁμοίως τῷ δεσμὸς δέσμα, καὶ βρεχμὸς βρέχμα. ἔστι δὲ ὁ μὲν ἐχμός, ἄχρηστος. ὁ δὲ ἐξ αὐτοῦ συνεχμὸς χρηστός που τῷ ποιητῇ, καὶ ἔχματα πύργων, οὐ μόνον τὰ ἐξέχοντα, ἀλλὰ καὶ αἱ συνοχαί. ὡς καὶ ἐν τῷ πέμπτῃ ἀναιδέης ἔχματα, καὶ ἁμάρης ἐξ ἔχματα βάλλων. γίνεται δὲ τὸ μὲν ἔχμα, ἐκ τοῦ ἔχω. ἀφ᾽ οὗ καὶ συνοχή, καὶ συνοχμὸς ὁδοῦ, ὁ στενωπός, καὶ πλεονασμῷ Ἀττικῷ συνεοχμός. καὶ νεοχμὸν τὸ ἔχον νεότητα. παρὰ δὲ τὸ ἔχμα ἐχμάζειν, τὸ κωλύειν καὶ ἐπέχειν. καὶ ἐχμάσαι, κατασχεῖν, ἑλεῖν.

Ἔχματα, τὰ κρατήματα, στηρίγματα, ὑπερείσματα. καὶ τὰ κωλύματα. ἔχμα βολάων, ἤγουν τὸ κώλυμα.

Ἔχμενος, ὑποτεταγμένος.

Ἔχνευον, ἐπέκνιζον.

Ἐχνόαζεν, πρῶτον ἤκμαζεν.

Ἔχοιτο, συνέχοιτο, ἀντέχοιτο.

Ἐχολώθησαν, ὠργίσθησαν.

Ἐχόλωσεν, εἰς ὀργὴν ἤγαγεν.

Ἐχόμενα τρίβου, πλησίον, ἐγγυτάτω.

Ἐχόμενοι, ἐγγίζοντες.

Ἐχόμην, ἐξειχόμην, ἀπειχόμην.

Ἔχον, εἶχον, ἤλαυνον, ἐφύλασσον.

Ἔχονι, ἔχουσι. κρῆτες.

Ἔχοντες ἐγκλήματα, ἀντὶ τοῦ κατηγοροῦντες. Θουκυδίδης. πάντων οὖν τούτων ἐγκλήματα ἔχοντες οἱ κορίνθιοι, ἔπεμπον εἰς ἐπίδαμνον.

Ἔχοντες, οἰκοῦντες.

Ἐχόντων, ἀντὶ τοῦ ἐχέτωσαν.

Ἔχου, μεταποιοῦ, φρόντιζε.

Ἔχραεν, ἐπεβάρησεν. καὶ ἔχραε κήδων, ἐπεβάρησε πρὸς τὸ βλάπτειν.

Ἐχραέτε παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἐβαρήσατε, ἐπιπεσόντες ἐβιάσασθε.

Ἔχραον, ἐπέκλυσαν, ἐπέθεντο, ἐβάρησαν, κατὰ βίαν ἀθρόοι προσῆλθον.

Ἔχρας, ἔφυς.

Ἔχραισεν, ἐπέτυχεν.

Ἐχραύτιζεν, ἔξαινεν.

Ἔχρειν, ἐμαντεύετο, ἢ ἐδανείσατο.

Ἔχρησεν, ἐδεῖτο, ἐπέτασεν.

Ἐχρηματίσθη, χρησμὸν ἐδέξατο. καὶ ἐχρήσθη, ὁμοίως.

Ἐχρῆν, ἥρμοζεν, ἔπρεπεν.

Ἔχρησε, χρησμὸν ἔδωκε, καὶ ἀντὶ τοῦ ἐδάνεισεν. καὶ ἔχρησε, λαμβάνεται καὶ ἀντὶ τοῦ ὑπέθετο, καὶ ἐδάνεισεν, ἀπὸ τοῦ χρῶ θέματος, οὐκ ἀπὸ τοῦ χρήζω, ὃ δηλοῖ τὸ δέομαι. ἀπὸ τούτου ὄνομα χρήστης, κυρίως μὲν ὁ δεδανεισμένος. ἔστι δ᾽ που λέγεται, καὶ ὁ δανειστής.

Ἔχρη, ἀντὶ τοῦ ἐχρησμῴδησε, παρὰ Ἀπολλωνίῳ.

Ἐχρίμπτοντο, ἤγουν ἐπέλαζον. ὡς τὸ, ἐχρίμπτετ᾽ ἀεί, ἐπλησίαζεν, ἐχρίμψαν ὁμοίως.

Ἔχρισεν, ἔβλαψεν, ἐκέντησεν.

Ἔχριμψαν, ἔπεσαν, ἐπλησίασαν.

Ἐχρῶντο, ἐλάμβανον, ἐξελάμβανον.

Ἐχρωματίσθη, χρῶμα ἐδέξατο, ἐχρῶντο.

Ἐχρωτίσθη, ἐχρωματίσθη.

Ἐχύθη, ἐχύθη.

Ἐχύμησαν, ἤρπασαν.

Ἐχύμισαν, ἀντὶ τοῦ ἔχυμον ἐποίησαν, οἱ περ ἁρμονίαν ἐχύμισαν.

Ἐχυρὰ, ἀσφαλής.

Ἐχυρήσαι, τῷ διὰ χειρὸς ὅρκῳ συνδέσθαι, καὶ κρατυνθῆναι.

Ἐχυρὸν, δυσαντίρρητον, ἀσφαλές.

Ἐχυρόφρονες, αἱ σπουδαῖα φρονοῦσαι, ἢ ἀσφαλῶς ἐνφρονοῦσαι.

Ἐχύρωσεν, ἰσχυρὰν, ἐποίησεν.

Ἐχύρωμα, ἡ ἀσφάλεια.

Ἐχυρῶς, ἀσφαλῶς, ἰσχυρῶς.

Ἐχυρώτατον, ἀσφαλέστατον.

Ἔχω, τὸ κέκτημαι, καὶ τὸ ἐλαύνω, ποιητικῶς αἰτιατικῇ συντάσσεται.

Ἔχω, τὸ δύναμαι, ἀπαρεμφάτῳ. ὡς τὸ, οὐκ ἔχω λέγειν.

Ἔχω τὸ διάκειμαι ἐπιρρήματι, ὡς τὸ καλῶς ἔχω. ἐνίοτε δὲ ἡ γενικὴ προστίθεται νοουμένου ἔξωθεν τοῦ ἕνεκα, οἷον καλῶς ἔχω τοῦ σώματος. ἢ δοτικῇ, ὡς τὸ, ὁ δεῖνα ἐπιτηδείως μοι ἔχει. ἢ αἰτιατικῇ νοουμένης τῆς κατὰ, ὡς τὸ, εἰ μὲν οὗτοι εἶχον οἱ ἄνδρες ἀθληταὶ τὸ σῶμα, παρ᾽ Ἀριστείδῃ. Ὅμηρος, ἐπεὶ δ᾽ αὐτῷ πάντες ἔχωμεν χρήσιμον, ὡς τὸ δαιμονίη τί μοι ἐπέχεις. δῆλον γὰρ ὅτι καὶ ἐκεῖνο ταυτόν ἐστι τῷ, τί δή ποτε κατ᾽ ἐμοῦ ἔχεις, τουτέστιν ὁρμᾷς, ἐλαύνεις.

Ἔχω κακῶς ἀπὸ τοῦ σώματος, καὶ ὀφθαλμῶν.

Ἔχω μετὰ μετοχῆς χρόνου παρεληλυθότος, παρεληλυθότα σημαίνει, οἷον ἔχω ποιήσας ἀντὶ τοῦ ἐποίησα. μετὰ δὲ μετοχῆς ἐνεστῶτος, ἀντὶ ἐνεστῶτος. οἷον ἔχω ποιῶν, ἀντὶ τοῦ ποιῶ.

Ἔχω δίκην παρὰ σοῦ, ἀντὶ τοῦ κολάζω σε. Ἡρόδοτος, ἔχω ὦ ξεῖνε παρὰ σοῦ πᾶσαν δίκην.

Ἔχω, τὸ κέκτημαι, νέμομαι.

Ἐχώλαιναν, ἔκλιναν.

Ἐχώμεθα, ἀπεχώμεθα, ἀντεχώμεθα, ἀντιλαμβανώμεθα.

Ἔχω μετὰ τῆς περὶ προθέσεως, ἀντὶ τοῦ κεῖμαι λαμβάνεται. οἷον ἔχω περὶ τροφήν, ἔχω περὶ μελέτην, ἀντὶ τοῦ κεῖμαι εἰς τροφὴν καὶ εἰς μελέτην. καὶ κύριος, ἀλλ᾽ ἐπειδὴ ἥττε βίβλος ἐνταῦθα, καὶ ἡμεῖς ἔχομεν περὶ τοὺς λόγους.

Ἔχω ἀγρόν, ἢ οὐσίαν πολλήν. ἔχω, καὶ τὸ δύναμαι, καὶ τὸ φέρω, καὶ τὸ κρατῶ, ὡς καὶ Ὅμηρος, στέμματ᾽ ἔχων ἐν χερσίν. ἔχω καὶ τὸ κατοικῶ. Ἀριστοφάνης ἐν νεφέλαις, ἢ μαιῶτιν λίμνην ἔχετε. ἔχω καὶ τὸ ἀνέχω, ὡς ὁ αὐτὸς Ἀριστοφάνης, ἐν τῷ αὐτῷ δράματι. ὦ δέσποτ᾽ ἄναξ ὃς ἔχεις τὴν γῆν μετέωρον, ἀντὶ τοῦ ἀνέχεις, καὶ ἐξηρτημένην ἔχεις. ἔχω καὶ τὸ περιβέβλημαι, καὶ ἐνδύομαι. Ἀριστοφάνης ἐν πλούτῳ, σεμνῶς ἔχουσα δ᾽ ἦλθες αὐτὰ ποικίλα, καὶ τὸ μὴ κωλῦ ἔχοντα οἴκοθεν ἐμὲ τὸν κακοδαίμονα, ἀντὶ τοῦ περιβεβλημένον, καὶ φοροῦντα.

Ἔχω διὰ μνήμης πάντα ἃ ἐποίησας, καὶ ἔχω συγγνώμην, ἀντὶ τοῦ συγγινώσκω. καὶ ἔχω σοι χάριν, ἀντὶ τοῦ οἶδά σοι χάριν, καὶ εἴσομαί σοι χάριν, ἐπὶ τοῦ μέλλοντος λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ εὐχαριστῶ σοι. ὁμοίως ἔχε μοι χάριν, γίνωσκέ μοι χάριν, ἀντὶ τοῦ εἰπεῖν. εὐχαρίστει μοι, καὶ εὖ ἔχω τοῦ σώματος, γενικῇ συντάσσεται. καὶ ἐξέχω, γενικῇ. καὶ κατέχω, καὶ συνέχω, καὶ ἐπέχω, καὶ παρέχω, δοτικῇ. τὸ προέχω, ἐπὶ διαστήματος. καὶ μετέχω καὶ ὑπερέχω γενικῇ. προσέχω δέ σοι τὸν νοῦν, καὶ παρέχω σοι τόδε, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. ὁμοίως καὶ ἔχομαι, τὸ ἅπτομαι, καὶ ἐξέχομαι, καὶ περιέχομαί σου. καὶ ἀνέχομαι τὸ ὑπομένω, καὶ ἀντέχομαι τὸ ἀντιποιοῦμαι. καὶ ἀπέχομαι κρεῶν. τὸ δὲ ἐνέχομαι δοτικῇ. καὶ ἔχομαι ἀντὶ τοῦ κρατοῦμαι παθητικῶς.

Ἐχόμεθα δηιοτῆτος ἐν τῷ ξ΄ τῆς Ἰλιάδος, ἢ ἀντὶ τοῦ ἐπεχώμεθα, ἢ μᾶλλον ἀντὶ τοῦ ἀπτώμεθα μάχης.

Ἔχων, φέρων, οἰκῶν, κατέχων.

Ἐχώσατο, ὠργίσθη, ἐχολώθη.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Ψ.

Ἐψαθήλατο, ἐκνήσατο.

Ἐψάκασεν, ἔσταξεν.

Ἐψαλάσατο, ἔψαυσεν, ἐκινήθη.

Ἐψάλαται. ψάλλω, μέλλων ψαλῶ, παρακείμενος ἔψαλκα, ὁ μέσος ἔψαλα. ὁ παθητικὸς ἔψαλται, καὶ Ἰωνικῶς ἐψάλαται.

Ἐψαίρει, αἱ τῶν λαχάνων δέσμαι.

Digitized by Google

Ἐψάτη, ἐψητήριον, λοπάς.
Ἔψανον, ἁπαλὸν καὶ ἀπείραστον. τὸ δυσέψανον, ὑπὸ Πλάτωνος.
Ἕψατο, ἠκολούθησεν.
Ἕψεαι, ἐπακολουθήσεις.
Ἔψεα, παίγνια.
Ἐψεία, γέλως, παιδιά.
Ἐψεῖν βρῶμα λέγεται, καὶ ἑψεῖν χύτρα.
Ἕψεο, ἀκολούθει, ἕπου.
Ἑψάσιμοι ἐλπίδος, καὶ ἑψάσθην τῆς ἐλπίδος. ψάδομαι δὲ τόδε παθητικῶς, ὡς ὁ Θεολόγος, ἐψασάμην ὁμολογῶ τὴν ὑπόσχεσιν. καταψάδομαί σου τόδε, ἤτοι κατὰ σοῦ ψάδους λέγω.
Ἕψεται, ἀκολουθήσει, ἢ ἀκολουθεῖ. καὶ ἕψεται, ἀκολουθήσει· καὶ ἕψεαι, ἀκολουθήσεις.
Ἐψάσθη, ἠπατήθη, ἀπέτυχεν.
Ἔψηλον, ὅπερ καὶ σίραιον παρὰ τῷ Ἱπποκράτει.
Ἕψημα, ὅπερ ἔνιοι σίραιον καλοῦσιν, ἄλλοι γλύκυσμα. * ἐκ τοῦ γλεύκους ἑψομένου γινόμενον.
Ἐψήσεται, καταπαίξεται.
Ἐψητεῖς, τὰ μικρὰ ἰχθύδια.
Ἑψητήριον, ἡ λοπάς, ὅ ἐστι χύτρα.
Ἑψητὸν, εἶδος ἰχθύων παρὰ τῷ Ἱπποκράτει.
Ἑψητὸς, ὁ ἑψημένος.
Ἔψηχον, κατέμασσον, ἔτριβον, ἔξεον, ὡμάλιζον. οἱ μὲν, τοὺς ἵππους ἔψηχον.
Ἑψιᾶσθαι, ὁμιλεῖν. παρὰ τὸ ἕπω, τὸ λέγω, ἕψω, ἑψιάω, ῶ, ῶμαι. τὸ ἀπαρέμφατον ἑψιᾶσθαι, καὶ ἑψιάασθαι. ἢ ἑψιᾶσθαι, ἀντὶ τοῦ οἰμώζειν. εὕρηται παρ' Ὁμήρῳ.
Ἐψία, ὁμιλία, γέλως, παιδιά, χλεύη.
Ἔψια, τὰ ἀπὸ λόγων παίγνια. καὶ φιλέψιος, ὁ φιλοπαίγμων. φιλόλογός ἐστιν ὁ φιλέψιος.
Ἐψιά, παίγνιον, Ἐψηγὶς πόλις.
Ἐψιᾶται, ἀντὶ τοῦ γελᾷ, παίζει, διαλέγεται. καὶ ἑψία, παιδιά, γέλως, χλεύη. καὶ ἑψίαι, ἑορταί. εἴτε δὲ ἀπὸ τοῦ ἕπεσθαι γίνεται, εἴτε παρὰ τὸ ἕπω τὸ λέγω. κατὰ πνευματικὸν, Ἀττικὸν οὐκ ἔστι, βεβαίως ἐπιχειρῆσαι.
Ἐψιάσθων, ἀντὶ τοῦ ἑψιάσθωσαν, παιζέτωσαν.
Ἐψιατέον, ἀντὶ τοῦ παικτέον, δεῖ παίζειν.
Ἐψιάτιμον, γνωστικὸν, παίγνιον.
Ἔψιδεν, ἤκουσεν.
Ἐψιθυρίσδομεν ἁδὺ παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ ἡσύχως διελεγόμεθα, καὶ μετὰ ἡδονῆς.
Ἐψιλωμένοι, γεγυμνωμένοι.
Ἔψιμον, παίγνιον.
Ἐψιόωνται, ἀντὶ τοῦ λοιδοροῦνται, ἐμπαίζουσιν, ἐφήδονται. τὴν λοιδορίαν ἡ λέξις δηλοῖ. καὶ ἑψιόωνται, παρὰ τὴν ἑψίαν, ἥ ἐστι διὰ λόγων παιδιά, οἷον ἐπεσία τις οὖσα, παρὰ τὸ ἔπος, διὸ καὶ ψιλοῦται. ὅτε δὲ δασύνεται, ἀντὶ τοῦ ἀκολουθοῦσι τίθεται.
Ἑψιόωντο παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ὁ χρόνος ἐστὶ παρῳχημένος ἀντὶ ἐνεστῶτος. ἢ ἐμφαίνει ἀπειλητικὴν εἶναι τὴν γραῦν, ζῶντα τὸν Ὀδυσσέα. ἡ δὲ λέξις τὸ ἑψιᾶσθαι, κυρία ἐστὶ κατὰ ποίησιν, δηλοῦσα διάθεσιν παιγνήμονα, ἐπεὶ καὶ ἑψιά φασι τὰ παίγνια. ὅθεν τὸ ἑψιᾶσθαι. ταυτὸν δὲ ἐφεψιᾶσθαι, καὶ καθεψιᾶσθαι. ἐπεὶ ὡς καὶ προσεσημειώθη ἐν πολλοῖς, ἡ ἐπὶ πρόθεσις τῇ κατὰ ἰσοδυναμεῖ. ἢ ἑψιόωντο, ἀντὶ τοῦ ἔπαιζον. Φίλων δὲ, ἀντὶ τοῦ ὡμίλουν, παρὰ τὸ ἔπος.
Ἔψισαν, ἐψώμισαν.
Ἐψίθη, ἀπέθανεν.
Ἐψίω, τὸ λέγω. ἀπὸ τοῦ ἔπω ἕψω ἑψίω. ἀφ' οὗ πανημέριοι ἑψιόωντο.
Ἑψόμενος, ἀκολουθήσων, ἕψων.
Ἑψόμενον, ἀκολουθησόμενον.
Ἔψον, καὶ ἀπέψων. τὸ ἕψον διὰ τοῦ ο μικροῦ. τὸ δὲ ἀπεσπόγγιζον, διὰ τοῦ ω μεγάλου.
Ἔψυθεν, ἐψεύσατο.
Ἔψυξεν, ἐπέπνευσεν, ἀπεδίωξεν.
Ἔψυρεν, ἀπεδίωξεν, ἐψυχαγώγησεν.
Ἐψυχαγώγησε, παρεμυθήσατο, ἔτερψεν. * ἢ ψυχὰς διὰ μαγγανείας τῶν πλανησάντων ἀνήγαγεν.
Ἐψύχθη, ἀπεπαύθη, ἠρέμησεν. ἄγεμα δ' αὐτῷ ἐψύχθη χαλεπῆς πνεύματι Σαπφοῦς.
Ἐψῶν, κνηθόμενοι.
Ἐψώμισεν, ἔθρεψεν.
Ἐψιμένω, παίζοντες.

ΤΟ Ε. ΜΕΤΑ ΤΟΥ Ω.

Ἐω. τὸ ε καὶ ω, εἰς ω μέγα κιρνᾶται. οἷον Δημοσθενέων καὶ Δημοσθενῶν. ὁμοίως ἐν τοῖς ῥήμασιν, οἷον ποιέω, ῶ, ἐὰν ποιέω ποιῶ.
Ἔω, σημαίνει ἕξ. τέσσαρα βαρυνόμενα, καὶ δύο περισπώμενα. ἕω, τὸ ἐνδύομαι. ἀφ' οὗ καὶ ἱμάτιον. ἕω, τὸ πορεύομαι. ἀφ' οὗ καὶ εἶος καὶ ὁδός. ἔω, τὸ ὑπάρχω. ἀφ' οὗ, ἔσεται, καὶ ἔσται. ἕω, τὸ τελειῶ. ἀφ' οὗ καὶ ἕως. καὶ ἑσπέρα, ἡ τῆς ἡμέρας τελείωσις. ἐῶ, τὸ συγχωρῶ. ἀφ' οὗ καὶ ἐάσας. ἑῶ, τὸ καθέζομαι, ἀφ' οὗ τὸ ἧμαι, εἶμαι ἧμαι, τὸ κάθημαι.
Ἕω, τὸ ἐνδύομαι. καὶ ἐξ αὐτοῦ ἕνω, ἐνύω, ἕννυμι, καὶ ἀμφιέννυμι, καὶ ἀμφιέννυμαι. καὶ ἔω, τὸ ὑπάρχω.
Ἑῶ περισπωμένως, τὸ καταλιμπάνω.
Ἐῴα, ἡ ἀνατολὴ, καὶ ἡ τοῖς προβάτοις παρατιθεμένη διφθέρα, καὶ θυσία ἐν Κύπρῳ.
Ἐῴας, ἀνατολῆς.
Ἐῷ μνηστῆρσι μιγῆναι. τὸ πρῶτον εὐκτικὸν, ἐάοιμι ἐῷμι, ὡς βοάοιμι βοῷμι. τὸ δεύτερον ἐῷς, καὶ τὸ τρίτον ἐῷ. μετὰ προσγεγραμμένου τοῦ ι, πρὸς διαστολὴν τοῦ ἐῶ ἐνεστῶτος. ἐκ δὲ τούτων τὸ ἐῴην, ἐῴη. τοιαύτης δὲ ἀκολουθίας καὶ τὸ ὁράοιμι ὁρῷμι, ὁράοις ὁρῷς, ὁράοι ὁρῷ, μετὰ προσγραφῆς τοῦ ι. πληθυντικὰ δεύτερα ὁράοιτε ὁρῷτε. καὶ ἐπενθέσει τοῦ ο μικροῦ, ὁρόωτε. ἐν Ἰλιάδι, οἷον νῦν δὲ φίλος χ' ὁρόωτε, ἤγουν ἡδέως ἂν βλέποιτε.
Ἔωγεν, ἐκ τοῦ οἴγω, ὁ παρατατικὸς ᾦγον, ὁ μέσος παρακείμενος ὦγα, ὦγας, ὦγε. καὶ πλεονασμῷ τοῦ ε, ἔωγεν.
Ἐῴη, συγχωροίη.
Ἕωθεν ἐς ἑσπέραν, ἄσιτος διέμενε.
Ἕωθεν μάλα ἦρι, τουτέστιν ἐν τῷ ὄρθρῳ.
Ἕωθεν. Αἰεὶ γάρ μοι ἕωθεν ἐνικλᾷν, ἀντὶ τοῦ ἐξ ἔθους ἔχοι μοι ἐμποδίζειν. ἐκ τοῦ εἴωθα. οἱ γὰρ αἰολεῖς τὸ εἴωθα ἔωθα λέγουσιν.
Ἕωθεν, πρωΐθεν.
Ἑωθινὸν, τὸ πρωϊνόν. καὶ ἑωθινή, ἡ πρωϊνή· ἑῴα δ' ἐπὶ τόπου, οἷον ἡ ἑῴα, καὶ ἡ ἑσπέρα λῆξις. καὶ ἐπὶ χρόνου. ὡς Αἰσχύλος, τάχιστα θ' ἑῴαν ἥλιος σκεδᾷ.
Ἑωθινός, ὀρθρινός.
Ἐωθὸς, χωρὶς τοῦ ι, Ἄρχιππος. καὶ Ἀραρὼς ἐώθεσαν. καὶ Θουκυδίδης, ἐώθεσαν.
Ἐῴκει, ὅμοιος ἦν. λέγεται δὲ, ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ, ὁ μέσος παρακείμενος ἔοικα. ὁ ὑπερσυντέλικος, ἐῴκειν. ὤφειλεν εἶναι ἠοίκειν, ἀλλὰ ἐγίνετο ὑπερβιβασμὸς τοῦ χρόνου. ἡ μὲν πρώτη συλλαβὴ συνεστάλη. ἡ δὲ δευτέρα, ἐξετάθη, καὶ γέγονεν ἐῴκει. ἢ ἐκ τοῦ εἴκω, ὁ μέλλων εἴξω, ὁ παρακείμενος εἶχα, ὁ μέσος οἶκα. τὸ γὰρ ε ἡνίκα εὑρεθῇ ἐν δισυλλάβῳ μέλλοντι, ἢ μόνον, ἢ μετὰ τοῦ ι, εἰς ο τρέπεται ἐν τῷ μέσῳ παρακειμένῳ. οἷον λέξω, λέλογα. πείσω πέποιθα· οὕτως εἴκω, οἶκα. καὶ πλεονασμῷ τοῦ ε, ἔοικα. ὁ μέσος ὑπερσυντέλικος, ἐῴκειν. καὶ ὤφειλεν εἶναι ἠοίκειν. ἀλλὰ κανών ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε λέξις ἑλληνικὴ εὑρίσκεται ἀπὸ τοῦ η ἀρχομένη ἐπιφερομένου τοῦ ο, χωρὶς εἰ μὴ ἐν διφθόγγῳ εἴη, ἢ κατὰ διάλεκτον. πρόσκειται εἰ μὴ διφθόγγῳ διὰ τοῦ τῆς ἠοῦς, ἠοῖ. κατὰ διάλεκτον, διὰ τὸ ἠῶ. οἱ γὰρ Ἴωνες διαλύοντες λέγουσιν, ἠόα. κατὰ τοῦτον γὰρ τὸν κανόνα ἐγίνετο ὑπερβιβασμὸς τοῦ χρόνου. καὶ τὸ μὲν ε, ἐφυλάχθη διὰ τὸ ο. τὸ δὲ ο ἠμείφθη εἰς ω μέγα, καὶ ἔμεινε τὸ ι προσγεγραμμένον. ἡ γὰρ πρώτη συλλαβὴ συνεσταλέ τὸ η εἰς ε. ἡ δὲ δευτέρα ἐξέτεινε τὸ ο εἰς ω μέγα, καὶ ἐγένετο ἐῴκειν.
Ἐῴκεσαν. εἴκω τὸ ὁμοιῶ, ὁ παρακείμενος εἶχα, ὁ μέσος εἶκα, εἶτα ἔοικα. ὁ ὑπερσυντέλικος ἐῴκειν. τὸ τρίτον τῶν πληθυντικῶν, ἐῴκησαν. καὶ ἀττικῶς ἐῴκεσαν. οὕτω καὶ ᾔδεισαν ᾔδεσαν, καὶ εἴκησαν εἶσαν.
Ἔωλα, τὰ χθεσινά, καὶ ἕωλον ὁμοίως τὸ ψυχρὸν, μάταιον, ἀνωφελές, ἀνίσχυρον.
Ἑωλοκρασία, τὸ χθιζὸν βρῶμα, ἢ ἡ ματαία πόσις. ἢ ἑωλοκρασία, ἡ χθεσινὴ μέθη, ἕωλος κρᾶσις ἢ παρ' ἀθηναίοις κατεχεῖτο τοῖς παννυχίζουσι, διὰ τὸ μὴ δύνασθαι στέγειν, τὸ παννυχίζειν. Ἄλλως.
Ἑωλοκρασία. ἔθος ἦν τοῖς νέοις δειπνοῦσι, καὶ νυκτερεύουσι, καταχεῖν τῶν ἑώλων δείπνων τὰς ζωμοὺς, πρὸς τοιαύτην παιδιὰν τετραμμένοι. ἐγὼ δὲ μᾶλλον νομίζω πεποιῆσθαι τὸ ὄνομα ὑπὸ τοῦ ῥήτορος, ἀπὸ τῶν ἑώλων, ἅ ἐστιν ἀρχαῖα. ὅτι πράγματα ἀρχαῖα συγκεράσας κατηγόρει ὁ Αἰσχίνης. ἢ ἑωλοκρασία ἡ χθεσινὴ μέθη. ἕωλον γάρ, τὸ χθεσινόν. ἢ ἕωλον τὸ λιπὸν, ἢ τὸ μὴ πρόσφατον, ἀλλὰ χθεσινόν. παρὰ τὸ ἕω, σημαίνει τὸ περιπατῶ. ἢ μάταιον, ψυχρὸν, ἀνωφελές, ἀνίσχυρον, ἡνίκα γὰρ συνέπινον ἀλλήλοις, παρὰ ἀθηναίοις οἱ νέοι, ἐπὶ ἑκάστου κρατὴρ οἴνου ἐτίθετο. καὶ εἴτις ἐκαθεύδησε μὴ πιὼν τὸν ἴδιον κρατῆρα, πρωῒ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἐξεχεῖτο, καὶ ἐκαλεῖτο ἑωλοκρασία. λαμβάνεται δὲ ἐπὶ κατηγορίᾳ ἀρχαίων πραγμάτων.
Ἕωλον, τὸ μάταιον. καὶ ἕωλον, τὸ χθεσινόν. καὶ ἕωλος νεκρός, ὁ σεσηπὼς, ἢ καὶ ὁ πρὸ πολλοῦ τεθνηκώς. τριαδικός.
Ἐώλπει, ἤλπιζεν. ἔλπω ἔλψω, ὁ μέσος παρακείμενος ἀπαιτεῖ τὸ τῆς παραληγούσης ε τραπῆναι εἰς ο. ἵνα τοίνυν καὶ τὰ δύο φυλαχθῇ, ἐτράπη τὸ ε εἰς ο. καὶ ἡ τοῦ παρεληλυθότος αὔξησις, ἔξωθεν προσεγένετο ἕτερον ε ψιλόν. ὁ ὑπερσυντέλικος, ἐώλπειν, διὰ τοῦ ω μεγάλου. ἐπειδὴ μείζων αἰεὶ ἡ τοῦ ὑπερσυντελίκου αὔξησις τοῦ παρακειμένου.
Ἐῶμεν, συγχωρῶμεν. ἢ ἑῶμεν, ἀντὶ τοῦ ἄδην ἔχωμεν, κορεσθῶμεν, ἀφῶμεν.
Ἐῷμι, ἐάω ἐῶ, ἐάων ἐῶν, ἐάοντος ἐῶντος, ἐάοιμι ἐῷμι.
Ἑωμοῦ, ἱματίου γυναικείου.
Ἐὼν, ἰὼν, καὶ κιών. αὗται μόναι αἱ μετοχαὶ τοῦ ἐνεστῶτος οὖσαι, τὸν τοῦ ἀορίστου δευτέρου ἔχουσι τόνον.
Ἐώνηκα, καὶ ἐώνημαι ἀττικῶς, ἐκ τοῦ ὠνῶ.
Ἐώνημαι, ἐκ τοῦ ὠνῶ ὠνοῦμαι, ἀντὶ τοῦ ἠγοράσθην παθητικῶς. καὶ ἐώνημαι, ἀντὶ τοῦ ἠγόρασα ἐνεργητικῶς. Ἀριστοφάνης, Τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον. ἤτοι τὸν ἀγοράσαντα.
Ἐωνημένοι, ἀγοράσαντες.
Ἑῷον, ἀνατολικὸν, ὀρθρινόν. σὺν τῷ ι κτητικὸν ἀπὸ τῆς ἕως, τὸ δὲ ἑωσφόρος οὐκ ἔχει.
Ἐῳνοχόει, ἐκίρνα. ἐκ τοῦ οἰνοχοέω, ῶ. ὁ παρατατικὸς ᾠνοχόεον ᾠνοχόουν, ᾠνοχόεε ᾠνοχόει, καὶ πλεονασμῷ τοῦ ε ἐῳνοχόει. ἢ ἐῳνοχόει Ἀττικὸν, ὡς καὶ τὸ ἑώρακε. καὶ τὸ ἐωνημένος, ὁ ὠνησάμενος, καὶ ἄλλα μυρία. οἱ δὲ παλαιοὶ, καὶ τοιαῦτά τινά φασιν, ὅτι ὥσπερ ἦγε, καὶ ἀνέωγεν. ὡς τὸ καὶ χηλοῦ δὲ ἀπὸ πῶμα ἀνέωγε. καὶ ἥνδανε, καὶ ἑήνδανε, καὶ τὸ ἐπὶ στόμα ἔωσεν. Ζηνόδοτος δὲ ἐνῳνοχόει γράφει, διὰ προθέσεως.
Ἐώνπερ, καίπερ ὤν.
Ἔωξεν, ἀνέωξεν.
Ἑῷος, ὀρθρινὸς, πρωϊνός.
Ἐώρα, ἡ κρεμάθρα. καὶ ἐωρῶ, τὸ κρεμῶ. ἢ ἐώρα, ὕψωσις, ἢ μετάρσις. καὶ ἐώρα, νόσος.
Ἑωρακὼς, μετοχή. ὁράω ὁρῶ, τὸ βλέπω. ὁ μέλλων ὁράσω, ἄχρηστος. ἀντὶ τούτου γράφεται τὸ ὄψομαι, καὶ θεάσομαι. ὁ παρακείμενος, ὥρακα κοινῶς, καὶ ἑώρακα ἀττικῶς, ἡ μετοχὴ ἑωρακώς.
Ἐώργειν, ὑπερσυντέλικος.
Ἔωργε, διεπράξατο, ἢ ἀντὶ εἴργασται.
Ἐωρηθήτω, κρεμασθήτω.
Ἐώρημα, ὁ Βελλεροφόντης διὰ τοῦ πηγάσου τοῦ πτερωτοῦ, ἐπεθύμησεν εἰς τὸν οὐρανὸν ἀνελθεῖν. καὶ φησὶν Εὐριπίδης, ἄγ' ὦ φίλον μοι πηγάσου ταχὺ πτερόν. μετέωρος δὲ αἴρεται ἐπὶ μηχανῆς. τοῦτο δὲ καλεῖται ἐώρημα.

Digitized by Google

μαι. ἐν αὐτῇ δὲ κατεῖχον τοὺς θεοὺς, καὶ τοὺς ἐν αἰθέρι πολοῦντας.

Ἑώρασις, κρέμασις. καὶ ἑώρημα, ὁμοίως.

Ἑωρίζω, τὸ μετεωρίζω.

Ἑωροπίαις, ὑψηλοφρονίαις.

Ἑωρούμενος, κρεμάμενος, ὑψούμενος.

Ἑώραιζον, ἐπῆλθον.

Ἑώρτο, ἐκρέματο.

Ἑώρων παρατατικὸς, ἐκ τοῦ ὁρῶ, πλεονασμῷ τοῦ ε Ἀττικῶς, ὁρῶ παρατατικὸς, ὥρων κοινῶς, καὶ ἑώρων Ἀττικῶς, παρακείμενος ὥρακα κοινῶς, καὶ ἑώρακα Ἀττικῶς, καὶ ἑωρακέναι.

Ἕως, ἡ ἠὼς τῆς ἕω. παρὰ τὸ ἕω, τὸ φωτίζω, ἕωος. καὶ ἀποβολῇ τοῦ υ, ἕως. σημαίνει δὲ τὴν ἡμέραν. ἢ διὰ τοῦ ἕως ταύτης ἡμᾶς κατακλίνεσθαι, ἢ διὰ τοῦ ἵεσθαι ἡμᾶς ἐν αὐτῇ. ἀπὸ τῆς ἕω, γίνεται ἑῷος κτητικὸν σὺν τῷ ι. ἐπικλείοντες ἑῷον Ἀπόλλωνα. Ἀπολλώνιος, ἐκ τῆς ἑῴας φέρεσθαι. τουτέστιν, ἐκ τῆς ἀνατολῆς. καὶ ἕως, ἡ πρώτη τοῦ ἡλίου ἀνατολὴ, ἢ ἡ πρὸ τῆς ἡλίου ἀνατολῆς ὥρα.

Ἕως, ἰσοδυναμεῖ τῷ μέχρι, καὶ ἄχρι, τὴν αὐτὴν σύνταξιν ἔχοντα.

Ἕως ἂν, καὶ μέχρις ἂν, ὑποτακτικῷ ἀεὶ συντάσσονται, ἅπαξ δὲ καὶ εὐκτικῷ, ὡς ἐν τῷ περὶ τοῦ Στεφάνου Δημοσθένους λόγῳ. ἕως ἂν τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας ἀφορμὴ ποιήσαιτο.

Ἕως ἵκοιτο παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ὅπως καὶ νῦν, Ἀττικῶς, τὸ γὰρ κοινὸν, ὡς ἵκοιτο, ἤγουν ἵνα καταλάβῃ. ἀλλαχοῦ δὲ τὸ αὐτὸ καὶ εἵως εὕρηται, ὡς τὸ τέως τείως.

Ἕως, ὁ ταῦθ' ὥρμαινε, πάθος ἔχει περὶ τὴν τοῦ στίχου παραχὴν προκεφαλαίου, εἴπερ μακροκεφαλαίου ὄντος, τὸν γὰρ πρῶτον τόπον τοὺς ἐπέχει ἀμφίβραχυς, ἕως ὁ. ὁ δὲ ἀμφίβραχυς, ἀνοίκειος μέτρῳ δακτυλικῷ, εἰ μὴ θεραπεύοιτο. καθάπερ καὶ ἐνταῦθα θεραπεία τις τῷ πάθει τῆς τοῦ στίχου κεφαλῆς ἐφεύρηται. τὸ μὲν γὰρ ἕως, κατὰ λόγον συνιζήσεως καταλογίζεται εἰς μίαν συλλαβὴν μακράν. τὸ δὲ ὁ κατὰ τέσσαρας τρόπους κοινῆς συλλαβῆς.

Ἑωσφόρος, ὁ ἥλιος, ἀνατολικός, ἀστὴρ πρωϊνός, ὁ αὐτὸς καὶ φωσφόρος καλούμενος. Ὅμηρος τοῦτον λέγει φέρειν τὴν ἡμέραν, οὐχὶ τὸν ἥλιον.

Ἕως ῥὰ, ὅπου δή.

Ἑωσάμην, καὶ ἀπεωσάμην, καὶ διεωσάμην. τὸ δὲ χωρὶς τοῦ ε λέγειν ὠσάμην, ἀνάττικον.

Ἐώσαντο, βιαίως εἰσῆλθον, εἰσεπήδησαν.

Ἑώσας, τὸ χαλᾶν τὸ αἰδοῖον.

Ἔωσεν, ὤθω βαρύτονον, μέλλων ὤσω, ἀόριστος ὦσα, καὶ ἔωσεν. ἢ ἔωσεν, ἀντὶ τοῦ ἀπώσατο, ἐνέβαλεν.

Ἑωυτὸς, ἑαυτός.

Ἑῴων, ἀνατολικῶν, ἢ τῶν ἐκ τῶν ἀνατολῶν.

Τέλος τοῦ ε' στοιχείου.

ἈΡΧῊ ΤΟΥ͂ Ζ'.

ΣΤΟΙΧΕΊΟΥ. ΤῸ ΑΥ̓ΤῸ

ΜΕΤᾺ ΤΟΥ͂ Α'.

ΖΗ͂ΤΑ τὸ στοιχεῖον, ἀπὸ τοῦ Ζήτου τοῦ Βορέου, οὗ μέμνηται Ἀπολλώνιος. ἔστι δὲ ἐν τῶν διπλῶν συμφώνων, συγκείμενον ἐκ τοῦ σ καὶ δ.

Ζα ἐπιτατικὸν μόριον. ὡς ἐν τῷ ζάθεος, καὶ ζάπλουτος, καὶ ζάκοτος, καὶ ἄλλα πολλά. τὸ γὰρ ζα, τὸ μέγα καὶ ἰσχυρὸν καὶ πολὺ σημαίνει. ἐν δὲ τῷ νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης, σημείωσαι ὅτι τὸ διπλοῦν ζ οὐκ ἔχει συνήθως ἐκτείνειν τὸ πρὸ αὐτοῦ βραχύφωνον· ὡς οὐδὲ κατὰ τὴν Ὀδύσσειαν ἐν τῷ ὑλήεντι Ζακύνθῳ, ἀλλὰ ἀντὶ βραχείας λαμβάνεται ἀναγκαίως ἡ τελευταία συλλαβὴ, διὰ τὸ μὴ δύνασθαι ἄλλως τεθῆναι ἐν μέτρῳ. εἰ γὰρ ὑποθώμεθα ἐν τῷ Ζέλεια, καὶ ἐν τῷ Ζάκυνθος δύνασθαι τὸ ζ διὰ τὴν διπλῆν ποιεῖν χρονικὴν ἔκτασιν, οὐδ' ὅλως εἰς μέτρον δακτυλικὸν ἡ Ζέλειά ποτε καὶ ἡ Ζάκυνθος παραληφθήσεται. ἡ τοιαύτη δὲ ἀνάγκη βιάζεται καὶ τὴν τοῦ Σκαμάνδρου ἄρχουσαν, τὸ πρὸ αὐτῆς βραχὺ ἐκτείνειν. μηδέποτε οὕτω τὸ μέτρον βίαν ἐστὶν οὗ ἐπάγει παρανομεῖσθαι, ὥσπερ τὰς ἐκτάσεις, οὕτω καὶ τὰς συστολὰς, καὶ ἀναλόγως γίνεσθαι, ὥς φασιν οἱ παλαιοί. διὸ καὶ τὸ Αἰγυπτίου ἐν Ὀδυσσείᾳ συστέλλει τὸ υ.

Ζαβὶχ, λευκόν.

Ζαβάλλειν, ἐξαπατᾶν.

Ζαβαρεῖον, ἐν ᾧ αἱ ζάβαι, αἳ εἰσιν ὅπλα πολεμικὰ, ἀπόκεινται. ζάβα γὰρ τὸ λωρίκιον.

Ζάβατος, πίναξ ἰχθυηρὸς, παρὰ Παφίοις.

Ζαβλεμένως, μεγάλως, πεποιθώς.

Ζάβοτον, πολύφορβον, πολύκαρπον.

Ζαβουλὼν, χώρα, καὶ ὁ πανυβουλόμενος ἢ βουλευτικώτατος. γίνεται δὲ παρὰ τὸ ζα ἐπιτατικὸν μόριον, καὶ τὸ βουλή.

Ζαβρὸν, πολυφάγον.

Ζάγκλον, τὸ δρέπανον, κέκρυπται γενὴ ζάγκλον ὑπὸ χθονίῃ, παρὰ τὸ ζα ἐπιτατικὸν μόριον, καὶ τὸ ἀγκύλον, ζάγκυλον, καὶ κατὰ συγκοπὴν ζάγκλον, τὸ λίαν ἀγκύλον, καὶ ὄνομα πόλεως.

Ζαγμὰ, ἡνία.

Ζαγρεὺς, ὁ Διόνυσος παρὰ ποιηταῖς. δοκεῖ γὰρ ὁ Ζεὺς μιχθῆναι τῇ Περσεφόνῃ, ἐξ ἧς χθόνιος ὁ Διόνυσος.

Ζάγρη, βόθρος, λάπαθον.

Ζαγρὸς, ἀνυπόδετος.

Ζαγῶσαι, ὑποπτεῦσαι, Δωρικὴ ἡ λέξις, ἀντὶ τοῦ ἐπιχεῖν, καταχεῖν.

Ζάει, βινεῖ, καὶ πνεῖ, Κύπριοι.

Ζαέντες, πνέοντες.

Ζαὲς, μέγα, πολὺ, λαμπρὸν ἢ ἰσχυρόν.

Ζαὴς ἄνεμος ὁ βίαιος, καὶ ὑπὲρ τὸν δυσαῆ. καὶ εἴη ἂν ὁ τοιοῦτος ζάλη, ὅ ἐστι μεγάλη ἄελλα, ὀξύνεται δὲ ὁ ζαὴς, καὶ ὁ δυσαὴς, ᾧ λόγῳ καὶ ὁ φιλοψευδής.

Ζαθέῃ, ἄγαν θείᾳ. καὶ ζαθέων, ἄγαν θείων.

Ζάθεος, ἅγιος, εὐδαίμων μεγαλότιμος, εὐώδης, ἢ ὁ πάνυ θεῖος καὶ θειότατος. παρὰ τὸ θεὸς καὶ τὸ α ἐπιτατικὸν, ἄθεος. καὶ πλεονασμῷ τοῦ ζ, ζάθεος. ἢ αἰολικῶς γέγονεν, οἱ γὰρ αἰολεῖς τὸ δια ζα φασι. καὶ τὸν διάπλουτον, ζάπλουτον, ἢ παρὰ τὸ ζα ἐπιτατικὸν καὶ τὴν θέαν. ἵν' ᾖ, ὁ ἀξιοθέατος, ὡς καὶ ἠγάθεος, ὁ ἄγαν τῆς θέας μετέχων, ὁ θαυμαστός. τὸ δὲ ζα, τὸ μέγα καὶ ἰσχυρὸν καὶ πολὺ σημαίνει.

Ζαθέου, ἤγουν θαυμαστοῦ.

Ζαθερεῖ ἄγαν θερμῷ ὡς ἐν ἐπιγράμματι, οἷδα καθίζων ἀείδειν ζαθερεῖ καύματι θαλπόμενος.

Ζαθρὲς, μεσημβρινὸν καῦμα, τὸ δειλινόν.

Ζαιὸς, εἶδος ἰχθύος.

Ζάϊκλον, δρέπανον.

Ζακκίτροφον, τὸ σεμνόν.

Ζακαλθὲς, περικαλλές.

Ζακελτίδες, κολοκύνθαι, ἢ γογγυλίδες.

Ζακορία, θυσία ἀφροδίτης.

Ζακρεῖς, εὔχρηστοι.

Ζάκορος, νεωκόρος. Μένανδρος δὶς ἐξαπατῶντι, οὐ μεγάβυζος ἦν, ὅστις γένοιτο ζάκορος καὶ ὁ ὑπηρέτης, Λευκαδίῳ ἐπίθες τὸ πῦρ, ἡ ζάκορος. Ἡρόδοτος δὲ καὶ ὑποζάκορόν φησι τὴν ἱέρειαν, ἢ ἱερεὺς ὁ τὸν ναὸν σαρῶν, κορεῖν γὰρ τὸ σαίρειν, παρὰ Ἀττικοῖς.

Ζάκοτον, ἄγαν ὀργίλον. κότος γὰρ, ἡ ὀργή.

Ζάκτι, κρεμνοῦ ἐν ἔτνει ἑφθῷ.

Ζακυνθίδες, κολοκύνθια.

Ζάκυνθος, λέγεται μὲν ἀρσενικῶς, καὶ θηλυκῶς. δασεῖα δέ ἐστιν, ὡς δηλοῖ καὶ τὸ ὑλήεντα Ζάκυνθον. ὠνομάσθη δέ φασιν ἀπὸ Ζακύνθου υἱοῦ Δαρδάνου, ἐνταῦθα δὲ κεῖται τὸ διπλοῦν ζ', ὡς οἷα τι στοιχεῖον ἁπλοῦν. οὐ γὰρ ἐκτείνει τὸ πρὸ αὐτοῦ βραχὺ φωνῆεν. φησὶ γὰρ, αἵ τε Ζάκυνθον ἔχον, τοῦ τε βραχυνομένου, ἵνα συναπαρτισθῇ δάκτυλος. κατὰ ὅμοιον δὲ λόγον, καὶ ὁ Σκάμανδρος ἀδυνατεῖ ἐκτείνειν τὸ πρὸ αὐτοῦ βραχὺ φωνῆεν.

Ζὰλ, μέγα, ἰσχυρὸν, πολύ.

Ζάλα, θόρυβος.

Ζάλακες, ἐχῖνοι.

Ζαλεῦς, πόλις, καὶ θάλασσα.

Ζαλεῦ, μιμοῦ.

Ζαλαίνω, τὸ μωραίνω.

Ζαλμώδης, ὁ βλάβος.

Ζαλεύκου τοῦ Λοκροῦ φέρεται ἱστορία, ὡς νομοθετήσοι μὲν ὁ ἀνὴρ, μηδένα φορεῖν ὅπλα ἐν βουλευτηρίῳ. ἐπεὶ δέ ποτε πολέμου ἐπικειμένου ἔνοπλος ὢν, εἰσῆλθε κατ' ἀνάγκην οὕτως ἔχων εἰς τὴν βουλὴν, ὑπέκρουσε μέν τις ὡς ἤδη τὸν νόμον ὁ Ζάλευκος λέλυκεν. ὁ δὲ, οὐ λύσειν ἔφη, ἀλλὰ κυρώσειν. καὶ ἅμα τῷ ξίφει δοὺς ἑαυτὸν, ἀπέρρηξε τὸ ζῆν, ὅπερ ἦν ποινὴ τῷ παραβάντι τὸν νόμον.

Ζάλη. ὥσπερ ζάλη ἡ μεγάλη ἄελλα, οὕτω καὶ ζαχρηεῖς ἄνεμοι, οἱ πάνυ καὶ ἄγαν χρειώδεις. πάντες γὰρ ἡμῖν χρήσιμοι, καὶ τούτῳ τῷ λόγῳ γράφεται ἡ παραλήγουσα διὰ διφθόγγου, ἔχουσα ἢ τὸ ε καὶ ι, ἢ τὸ η μετὰ τοῦ ι. ἐὰν δέ γε διὰ μόνου τοῦ η γράφῃ, λέγει ἂν ζαχρηεῖς, τοὺς ἄγαν βαρεῖς, ἀπὸ τοῦ χράω τὸ ἐπιπίπτω, ὡς τὸ μητέρα μοι μνηστῆρες ἐπέχραον. καὶ παρὰ Ἡροδότῳ, ἐνέχραεν εἰς τὸ πρόσωπον τὸ σκῆπτρον. ὅθεν ἴσως ἄνεμοι ζαχρηεῖς, οἱ ἄγαν ἐπιπίπτοντες, οἳ καὶ δύνανται μάλιστα σκεδάσαι νέφη.

Ζάλη, ἡ ἐξ ἑκουσίων πραγμάτων ἐν τῇ ψυχῇ γινομένη περίστασις, καὶ ταραχὴ βίου. ἢ ἡ πρὸς κίνδυνον τὴν ψυχὴν συνωθοῦσα σύμβασις.

Ζαλὸν, πηλόν.

Ζάλμασος, πίναξ ἰοῖς, θυκρὸς, παρὰ Παφίοις.

Ζαμβύκη, μουσικὸν ὄργανον.

Ζαμάτιον, τρυβλίον.

Ζαμέλης, μεγάλως πεποιθὼς, ἔμψυχος, μέγα μένος ἔχων.

Ζαμενὴς, ἄγαν ἰσχυρός. τοῦ ζα κατ' ἐπίτασιν ὄντος, ὡς ζάπλουτος, ζάκοτος, ζάθεος. ἢ ζαμενής. εὔψυχος, μέγα μένος ἔχων, τουτέστι ψυχικὴν προθυμίαν. ἢ ὁ ἄγαν ὀργίλος, παρὰ τὸ μένος, ὃ σημαίνει τὴν ὀργὴν καὶ τὸν θυμόν.

Ζαμοῦται, μεγαλουργεῖ.

Ζαμίη, βλάβη, ζημία.

Ζάμολξις ζαμόλξιδος, ὡς Πάρις πάριδος. τὰ γὰρ κύρια τὴν εἰς δος κλίσιν εἰλήχασιν, ὡς τὰ προσηγορικὰ διὰ τοῦ εως, ὄφις ὄφεως. λέξις λέξεως. ἦν δὲ ὁ Ζάμολξις, ὁ τοῦ Πυθαγόρου μεμνημένος, καὶ πρὸς αὐτὸν ἀπηκριβωμένος, εἶτα πρὸς τὸ οἰκεῖον ἔθνος ἐπανελθὼν ἐθαυμάσθη, καὶ πιθανὸς ἦν νομοθετῶν, ὃν καὶ θανόντα τοῖς θεοῖς ἐναριθμοῦσι, καὶ ὡς θεὸν ἤδη σέβονται. καὶ Ζάμολξις θηλυκῶς, ὄνομα θεᾶς. Ἄλλως.

Ζάμολξις. τοῦτον Ἡρόδοτος μέν φησι τοὺς περὶ τὸν πόντον οἰκοῦντας Ἕλληνας, λέγειν δοῦλον Πυθαγόρου γενέσθαι. εἶτα ἐλευθερωθέντα καὶ πλουτήσαντα, ἀπελθεῖν, καὶ σωφρονεστέραν μαθόντα δίαιταν καὶ ἑλληνικὴν, τοὺς πρώτους τῶν ἀστῶν συνάγειν καὶ εὐωχεῖν, λέγοντα, ὡς οὔτε αὐτὸς οὔτε οἱ συμπόται τεθνήξοιντο. ἄλλοι δὲ τῷ Κρόνῳ εἶναι λέγουσιν.

Ζὰν, Ζεύς.

Ζανὶ, ἀντὶ τοῦ Ζηνὶ, Δωρικῶς. ἤγουν τῷ Διΐ.

Ζανίδες, ἡγεμονίδες.

Ζανὸς ἐλαστρηθεὶς γυοπαγεῖ νιφάδι, ἐν ἐπιγράμματι. ἀντὶ τοῦ βιασθεὶς, κινηθείς.

Ζάπεδον, μέγα ἔδαφος.

Ζαπιμελὸν, μεγάλως πῖον, λιπαρόν.

Ζάπλουτος, πλούσιος πάνυ.

Ζαπότην, ἰσχυροπότην.

Ζαπληθὲς, ἄμετρον, ἄπειρον. Στησίχορος, ζαπληθὲς ἀμέτρητον στόμα μύσης, ἐκπέρασε Καμίνας, αἰθαλόεν δάπεδον.

Ζαπλουτεῖν, ἄγαν πλουτεῖν.

Ζαρῆτις, ἄρτεμις. Πέρσαι.

Ζαροῦν, καθεύδειν.

Ζαρὸς, ζωμὸς τριπτός.

Digitized by Google

Ζατεῖ, ζητεῖ.
Ζατράπης, ὁ βασιλεύς.
Ζαβάζω, τὸ ἐν μύλωνι βασανίζω.
Ζαβαφὴς, ὁ εὐβαφὴς, καὶ πληθυντικῶς ζαβαφέων.
Ζαβαφὶς, εὐβαφές.
Ζαττίσασθαι, ἕσασθαι.
Ζατεῦσα, ἀντὶ τοῦ ζητοῦσα, δωρικῶς. Δωριεῖς γὰρ τρέπουσι τὸ η εἰς τὸ α, καὶ τὴν ου δίφθογγον εἰς ευ.
Ζαπῶσαι, φωράσαι, φράσαι, ζημιῶσαι, ὑπονοῆσαι.
Ζαυάνας, θεός τις ἐν Σιδῶνι.
Ζαφεγγεῖς, λαμπροὶ, καὶ ἐπιφανεῖς πάνυ.
Ζαφελὴς, ὁ ἀφελής. καὶ ζαφελῶς, πάνυ ἀφελῶς.
Ζαφελῶς, καινότερον περισπᾶται. τὰ γὰρ εἰς ως ἐπιῤῥήματα μεσόπτωτος, καὶ τὴν γραφὴν καὶ τὸν τόνον φυλάσσει, ἐξ ὧν ἂν γένωνται, χωρὶς τοῦ ζαφελῶς, ὅ ἐστι λίαν ηὐξημένως, καὶ τοῦ ἑδραιῶς, ἀντὶ τοῦ στερεῶς. ὧν τοῦ μὲν ζάφελος τὸ ὄνομα, τοῦ δὲ ἕδραιος ἡ καθέδρα. ὧν ἡ πληθυντικὴ γενικὴ ζαφέλων καὶ ἑδραίων. ἐξ ὧν τὰ ἐπιῤῥήματα.
Ζαφελῶς, μεγαλοκότως.
Ζαφλεγέες, σφόδρα λάμποντες, θαλεῖς, μεγάλως πνέοντες, ἢ μεγαλοφεγγεῖς.
Ζαφορῆσαι, μεγάλως φορτίσαι.
Ζάφορος, πολύφορος.
Ζαχάσεις, ἐξαπιναίως.
Ζαχρεὶς, ἰσχυρὸν, εὔχρηστον.
Ζαχρειὴς, ὁ ἄγαν χρειώδης. ζαχρήεις δὲ, ζαχρήεντος. * ὁ σφοδρὸς καὶ βίαιος.
Ζαχρήεσιν αὔραις, μεγάλως ἐπιβαρύσαις, καὶ πνεούσαις. κυρίως δὲ ζαχρηὴς, τὸ βιαίως ταῖς χερσὶ πραττόμενον. παρὰ γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις, καὶ τὸ ζα ἐπιτατικὸν μόριον.

ΤΟ' Ζ. ΜΕΤΑ' ΤΟΥ Ε.

ΖΕ'α, ἡ ἑκάτη παρ' Ἀθηναίοις, καὶ εἷς τῶν ἐν Πειραιεῖ λιμένων. οὕτω καλούμενος, ἀπὸ τοῦ καρποῦ τῆς ζειᾶς. ἔχει δὲ ὁ Πειραιεὺς λιμένας τρεῖς κλειστούς.
Ζεβεὶ, ὄνομα κύριον.
Ζέβυται, σέσακται.
Ζεγερίαι, μυῶν γένος.
Ζεῖ, περάσει, ἰσχυρῶς καίεται.
Ζεῖ χύτρα, ζῇ φιλία. ἐπὶ τῶν δείπνῳ συνιόντων εἰς φιλίαν. καὶ ζῇ, ἀντὶ τοῦ ὑπάρχει, βιοῖ.
Ζειὰ, εἶδος κριθῆς.
Ζειαὶ, κριθαὶ, ὄλυραι, χόρτος, χιλὸς, τροφαὶ ἵππων. παρὰ δὲ Ὁμήρῳ, καὶ πυροί. εἰ δὲ πιστεύομεν καὶ οἶνος ποτὸν καὶ λευκὸς, καὶ ἔλειον σέλινον.
Ζειγάρη, ὁ τέττιξ, παρὰ Σιδήταις.
Ζέει, φλέγει.
Ζείδωρος, ἡ γῆ, ἡ τὰ πρὸς τὴν ζωὴν δωρουμένη. ἢ ζείδωρός φασιν οἱ παλαιοὶ, ὅτι κυρίως ἐστὶ Ἀττικῆς δοκεῖ λέγεσθαι. ἐκεῖ γὰρ πρῶτον ἀνεδόθη καρπὸς, οὗ μέρος καὶ ἡ ζειὰ, ὅθεν ζείδωρος. ἐξ οὗ ἀνέκυψε καὶ τὸ βιόδωρος, καὶ βωτιάνειρα, καὶ παμβῶτις, καὶ τὰ ὅμοια. καὶ ζείδωρος, ἢ ἡ βιόδωρος, ὡς δωρουμένη τὰ ζῆν. τροπῇ βοιωτικῇ τοῦ η εἰς τὴν ει δίφθογγον. ἢ ἡ τῶν ποριμων δότειρα, ὡς ἐκ μέρους τῶν κοινῶς λεγομένων ζειῶν. Ἡρόδοτος δέ που, εἰς ταυτὸν φησὶν ἄγεσθαι τὰς ζειὰς ταῖς ὀλύραις.
Ζεῖν, ἀντὶ τοῦ βράζειν, ἐκ τοῦ ζέω ζῶ. ὁμοίως ῥεῖν, ἀπὸ τοῦ ῥέω.
Ζείναμεν, σβέννυμεν.
Ζείνυσαν, ἀφρίζουσαν.
Ζεπίτις, ὁ περιχύτης.
Ζειρὰ, ἤτοι σειρὰ, ὥς τινες. ἢ ἔνδυμά τι, ὃ ἐπενδύοντο μετὰ τοὺς χιτῶνας, ὥσπερ ἐφαπτίδας. Λυσίας ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος. καὶ Ξενοφῶν ἐν ἕκτῃ ἀναβάσεως, περὶ Θρᾳκῶν λέγων, φησί. καὶ ζειρὰς μέχρι ποδῶν, ἐπὶ τῶν ἵππων εἶχον, ἀλλ' οὐ χλαμύδας.
Ζειραὶ, χιτῶνες ἀνακεκολπωμένοι, ἢ ἀνάκολποι, ἢ μίτρα. Ἡρόδοτος.
Ζειρατὶς, ἱμάτιόν τι Σύρων.
Ζειρεῖν, ἀρωματοποιεῖν.
Ζείρη, μίτρα, ταινία, διάδημα, πέρα, ἤγουν ποδέα.
Ζειρίνη, Ἀφροδίτη ἐν Μακεδονίᾳ.
Ζειρὸν, ποικίλον.
Ζεῖρος, εἶδος σταφυλῆς.
Ζειροφόρος, ὁ ᾅδης παρὰ Ἀντιμάχῳ.
Ζειροφόρους, χιτωνοφόρους.
Ζέλεια, ὄνομα πόλεως, καὶ ὁ ἀπὸ ταύτης ζελείτης, ἐκ τοῦ πρωτοτύπου ζέλη παράγεται. ὡς καὶ ἐκ τοῦ Πενελόπη πενελόπεια. ὁμοίως, καὶ τὸ Ὑψιπύλη ὑψιπύλεια, Θεσσαλονίκη θεσσαλονίκεια, Σεβαστὴ σεβάστεια, Κολώνη κολώνεια. δοκεῖ δὲ τοιοῦτον εἶναι σὺν ἄλλοις, καὶ τὸ χώνη χώνεια. εὕρηται καὶ ἐρήμεια, ἐκ τοῦ ἐρήμη. ὥσπερ διὰ τοῦ εια γίνεται παράγωγον, οὕτω καὶ διὰ τοῦ αια. ὡς δηλοῖ τὸ φώκη φώκαια, καὶ νίκη νίκαια.
Ζελείτης, ποτικόν.
Ζέλκια, λάχανα. φρύγες.
Ζέλλω, τὸ βάλλω. ἐξ οὗ ζέλλειν, τὸ βάλλειν.
Ζέμελεν, βάρβαρον ἀνδράποδον. φρύγες.
Ζέμον, τὸ θερμὸν, παρὰ τὸ ζέω.
Ζερέθρα, βάραθρα, κοῖλοι τόποι.
Ζέσας θυμῷ, ἐξαφθεὶς τῇ ψυχῇ.
Ζέσεν, ἐθυμώθη, ὑπερεπόλασεν.
Ζέσις, θερμότης.
Ζεῦ ἄνα Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι, Ἀττικὸν τὸ σχῆμα. λείπει γὰρ δὸς, ἢ ποίησον, ἢ εὔχομαι, ἤ τι τοιοῦτον, παρ' Ὁμήρῳ ἐν ὀδυσσείας ρ'. ἢ Ζεῦ πάτερ Ἴδηθεν μεδέων κύδιστε μέγιστε, ἠέλιος θ' ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις. καὶ ποταμοὶ καὶ γαῖα καὶ ὑπένερθε, καμόντας ἀνθρώπους τίνυσθον ὅστις ἐπίορκον ὀμόσσῃ, καὶ τὰ ἄλλα, ἐν τῷ γ' τῆς Ἰλιάδος. Ἰστέον δὲ, ὡς τὸ ἠέλιος θ' ὃς πάντ' ἐφορᾷς, ἀττικῶς εἴρηται ἀντὶ τοῦ ὦ ἥλιε. τὸν δὲ Δία πολλῷ πρότερον καὶ μάλιστα τὸν ἰδαῖον, μάρτυρα καλεῖ καὶ αὐτὸν ὡς τοῦ ζῆν αἴτιον. ζωογόνος γὰρ ὁ Ζεὺς ἀήρ. οὐ στερηθῆναι θέλει τοὺς ἐπιορκήσοντας, τοὺς ποταμοὺς καὶ τὴν γῆν καλεῖ, τοὺς μὲν ὡς τῆς ὑγρᾶς τροφῆς δοτῆρας, τὴν δὲ ὡς τῆς ξηρᾶς. καὶ οὕτως αὐτοῖς ἐπανιστᾷ τὰ στοιχεῖα, καὶ πάντας συνεπικαλεῖται τοὺς θεοὺς, καὶ τοὺς ἀπανταχοῦ, τούς τε ἐμφανεῖς καὶ τοὺς ἀφανεῖς. ἤγουν τοὺς αἰθερίους, τοὺς ἐν ὑγροῖς, τοὺς περὶ γῆν, καὶ τοὺς ὑπὸ γῆν.
Ζεύγλα, διάβροχα ξύλα, καὶ τῶν βοῶν ἢ ἡμιόνων ζευκτὰ, καὶ τέμαχος ἐκ πλευρᾶς ἡλισμένης.
Ζευγηλάτης, γεωπόνος.
Ζευγηλάτης, μεταβάτης, ἡνίοχος.
Ζευγήσιον, τῆς ἐν Ἀθήναις πολιτείας τίμημα οὕτω καλούμενον. ἦν δὲ διῃρημένη ἡ πολιτεία εἰς τέσσαρα τιμήματα. ἢ ζευγήσιον, τὸ τοῦ ζευγίτου τέλος. ζευγίσιον δὲ ὄντος, ι.
Ζευγίτης, μεταβάτης.
Ζεύγλη, τὸ ἄκρον τοῦ ζυγοῦ, καθ' ὃ ἐντίθησι τοὺς τραχήλους, τὰ ζῶα.
Ζευγλόδεσμον, ὁ ἱμὰς τοῦ ζυγοῦ.
Ζεῦγμα, τὸ ζεῦγος, καὶ τὸ ζευγνύον, ἀπὸ τοῦ ἔζευγμαι, οὗ τὸ θέμα ἄχρηστον. ἀντ' αὐτοῦ δὲ, τὸ ζεύγνυμι. ἢ ζεῦγμα, ἡ τοῦ ποταμοῦ διάβασις, ἡ γέφυρα. Εὐνάπιος, ζεύγνυται δὲ Ῥωμαίοις ἀπονώτατα τῶν ποταμῶν τὰ ῥεύματα. καὶ ζεῦγμα, οὐ τὸ σχοινίον. ἀλλ' ἡ ἐζευγμένη σχεδία ἐν ποταμῷ, ἢ ἐν θαλάσσῃ. Θουκυδίδης ἐν τῇ ἑβδόμῃ, Τὸ ζεῦγμα τοῦ λιμένος. καὶ ζεῦγμα, τὸ ζεῦγος. ἢ ζεῦγμά ἐστιν, ὅταν διάφορα κῶλα μιᾷ συντεθῇ λέξει, ἢ μετ' αὐτὰ τεθείσῃ, ἢ πρὸ αὐτῶν. οἷον, τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν, τῶν δὲ τὸ πρᾷον, τῶν δὲ τὸ ἥσυχον μιμησάμενος, ζευγνύει τὰ κῶλα τὸ μιμησάμενος. Ἄλλως. Ζεῦγμά ἐστιν ἑνὸς μὲν ἰδιώματος ἀπόδοσις ἐν διαφόροις λέξεσι. καὶ ζητεῖται ἐν αὐτῷ τέσσαρα διάφορα οὐσιώδη ὀνόματα. συνδεσμος, ἡ ἰδιότης, καὶ αὐτὴ ἡ ἰδιότης ἰσάζουσα μετ' ἐκείνου, ᾧ τινι ὡς προτέρῳ ἀποδίδοται, καὶ ἀνισάζουσα ἀπ' ἐκείνου ᾧ τινι ὡς ὑστέρῳ ἀποδίδοται, ἐν τρισὶ παρεπομένοις. γίνεται δὲ τὸ ζεῦγμα ἐν προσώπῳ, ἐν γένει, ἐν ἀριθμῷ. τριπλοῦν δέ ἐστι τὸ ζεῦγμα, ἀπὸ τοῦ ἄνω προτέρου, ἀπὸ τοῦ μέσου, ἀπὸ τοῦ κατωτέρου. ἀπὸ τοῦ ἄνω προτέρου, ἐν ᾧ ἰδιότης προτίθεται. οἷον, λέγω ἐγὼ καὶ σύ, ἀπὸ τοῦ μέσου. οἷον, ἐγὼ λέγω καὶ σύ. ἀπὸ τοῦ κατωτέρου. οἷον, ἐγὼ καὶ σὺ λέγω.
Ζεύγνυμι, τὸ ζευγνύω. ὁ μέλλων, ζεύξω. ὡς οὖν ζευγνύω ζεύγνυμι, οὕτω καὶ ὀλλύω ὄλλυμι, καὶ γαννύω γάννυμι, καὶ πάντα τὰ οὕτω παραγόμενα. Ἰστέον, ὅτι τὸ ζεύγνυμι, δείκνυμι, καὶ τὰ ὅμοια τῆς τετάρτης συζυγίας τῶν εἰς μι, μέχρι παρατατικοῦ κλίνεται, ἐν ὁριστικοῖς τε καὶ παθητικοῖς, καὶ ἐν τοῖς ἀπαρεμφάτοις, προστακτικοῖς τε, καὶ ἐν ταῖς μετοχαῖς εὑρίσκονται.
Ζευγνύασι κάλλιον, ἢ ζευγνῦσι. τὸ δὲ ζευγνύουσι κοινόν. ὡσαύτως καὶ κτινύουσιν ἢ κτινῦσι, καὶ δεικνύουσιν ἢ δεικνῦσιν.
Ζευγνύουσι τάνδε, καὶ ὅσα τῆς αὐτῆς διανοίας οἷον μίγνυμι λίθοις ξύλα, ἑνῶ, καὶ συνάπτω καὶ συναρμόζω, κοινωνοῦμαί σοι τὴν βουλήν.
Ζεῦγοι, βρόχοι, ὀρνέων.
Ζεῦγος, πᾶν τὸ ἐζευγμένον, καὶ ὄχημα, καὶ ἐπὶ τριῶν καὶ τεσσάρων ἕκαστον. ἢ ζεῦγος τριπάρθενον. Εὐριπίδης Ἐρεχθεῖ, καὶ Σοφοκλῆς Σισύφῳ, χαρίτων τρίζυγον. Ἀριστοφάνης, ὥραις, καταχρηστικῶς ἐπὶ τῶν τριῶν τὸ ζεῦγος ἔθηκε, ζεῦγος τριδύμων. παραδέδοται δὲ, ὅτι καὶ τριζύγοις ἅρμασί τινες ἐχρήσαντο, καὶ ὅτι τάσσουσι τὸ ζεῦγος καὶ ἐπὶ τρισὶ καὶ τέτρασι. Ἄλλως.
Ζεῦγος, οὐ μόνον τὸ ἐκ δυοῖν τινῶν ζευγνύμενον, ἀλλὰ καὶ τὸ ἐκ πλειόνων. καὶ γὰρ Ἰσοκράτης, τέθριππον ζεῦγος εἶπε, καὶ Αἰσχύλος. ὥστε κἂν ἐκ τεσσάρων κἂν ἐκ πέντε ᾖ, ζεῦγος αὐτὸ καλεῖται. γίνεται δὲ παρὰ τὸ ζεύγω, ὡς τεύχω τεῦχος. ζεῦγος ἡμιονικὸν ἢ βοϊκόν. ζεύξαντες τὴν λεγομένην κλινίδα, ἥ ἐστιν ὁμοία διέδρῳ, τὴν τῆς νύμφης μέθοδον ποιοῦνται.
Ζευμαντὴν, πηγήν. φρύγες.
Ζεῦξαι, τὸ τοὺς βόας εἰς ἅμαξαν ἄξαι, ἢ ἡμιόνους εἰς ἅρμα, ἢ εἰς μύλωνα· καὶ τὸ πρᾶγμα, ζεῦξις καλεῖται. λέγεται δὲ καὶ ζεῦξαι, ἀντὶ τοῦ ζυγώμασι περιλῆσαι.
Ζευξαντίδαι, γένος ἰθαγενῶν παρὰ Ἀθηναίοις.
Ζευξιδία, ἡ ἥρα. οὕτω τιμᾶται ἐν ἄργει. φασὶ γὰρ, ὅτι Ἄπις μεταναστὰς ἀπὸ τοῦ Ἄργους, εἰς αἴγυπτον ἔπεμψε βόας τῷ ἐν Ἄργει βασιλεύοντι. καὶ τὴν τοῦ σπόρου ἐργασίαν ἐδίδαξεν, ὁ δὲ ζεύξας ἐπὶ τῷ σπόρῳ τοὺς βοῦς ἥρας ἱερὸν ἀνέθηκεν. ὅτε δὲ τοὺς στάχυς συνέβαινε βλαστάνειν καὶ ἀνθεῖν, ἄνθεια Ἥρας ἐκάλεσε.
Ζευξίλεως, ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί, ἢ ζευκτὸς λαός.
Ζευξίππη, κατὰ μὲν Ἀλκμᾶν, ἡ μήτηρ τοῦ Πριάμου ἐκαλεῖτο. κατὰ δὲ Ἑλλάνικον, Στρυμώ. Σκάμος δὲ ἐν τῷ περὶ Λέσβου φησὶ, θόασαν τὴν Τεύκρου, οὐδὲ Πριάμου, ὥς φησι Πορφύριος.
Ζεὺς, ὁ ἀήρ. ἐξ οὗ καὶ ἡ εὐδία, ὅ ἐστιν εὐαερία. παράγεται δὲ παρὰ τὸ ζῶ, ἢ παρὰ τὸ ζεύω. ἔτι δὲ καὶ τὴν ζωὴν. ὁμοίως δὲ καὶ ζὰν ζανὸς, κατὰ τὸ μέγας ζάν. καὶ ὁ Ζεὺς, ὁ αὐτὸς κατὰ τὴν αὐτὴν ἐτυμολογίαν λέγεται.
Ζεὺς παρὰ τοῖς παλαιοῖς, εὐθείαις ποικίλλεται πολλαῖς. δὶς γὰρ, οὗ γενικὴ διὸς, καὶ ζὴν καὶ ζὰν ζὰν καὶ ζὰς καὶ ζὴς, καὶ βοιωτικῶς ζεὺς, καὶ δάν. καὶ τὸ ζεῦς ἐστιν αἰτιατικὴ παρὰ Πολυκράτει τῷ σοφιστῇ μονοσύλλαβος ζεῦν περισπώμενος.
Ζεὺς, οὐ μόνον ὁ κατὰ μῦθον πατὴρ ἀνδρῶν τε θεῶν τε, οὐδὲ μόνον ὁ καθ' ἱστορίαν κρητικὸς βασιλεὺς, ἀλλὰ καὶ ὁ κατὰ ἀναγωγὴν ἀὴρ καὶ αἰθὴρ, καὶ ἥλιος καὶ οὐρανὸς, καὶ ἡ εἱμαρμένη, καὶ ἡ ψυχὴ τοῦ παντὸς, ἡ καὶ πρόνοια. καὶ ὁ νοῦς δὲ ὁ κατὰ ἄνθρωπον, καθωμίληται τοῖς πολλοῖς. Ἔστι γὰρ Ζεὺς ἱστορούμενος, μυθευόμενος, ἀλληγορούμενος. τοῦτο δὲ εἰς νοῦν, εἴπουν ψυχὴν

χὴν

χὴν τοῦ παντὸς, εἰς Ἀέρα, εἰς Ἥλιον, εἰς Οὐρανόν.

Ζεὺς ἐς Ὠκεανὸν ἔρχεται ἐπὶ τοὺς ἀμύμονας. τινὲς μὲν ἱστορικῶς θεραπεύουσι, λέγοντες, ὅτι ἐν Διοσπόλει, μέγιστόν ἐστι Διὸς ἱερὸν, ἀφ' οὗ λαβόντες Αἰθίοπες Διὸς ξόανον, καὶ ἄλλων δαιμόνων σὺν αὐτῷ, κατά τινα καιρὸν τεταγμένον περινοστοῦσι τὰ κατὰ τὴν Λιβύην, καὶ πανηγυρίζουσι πανσελῶς ἐπὶ δώδεκα ἡμέρας, ἐπεὶ καὶ τοσοῦτοι παρ' αὐτοῖς οἱ Θεοί. τοῦτο γοῦν φασιν εἰδὼς ὁ Ποιητὴς, οἷα καὶ τούτων ἐθῶν ἔμπειρος, ὃν καὶ Αἰγύπτιον γενεαλογοῦσί τινες, πλάττει ἐνταῦθα δωδεκαήμερον ἀποδημίαν Διὸς ἐξ ἱστορικῆς ἀφορμῆς, καὶ νῦν εἰς τὸ πλάσμα ἐλθών. ὥσπερ Ζεὺς Διὸς, παρὰ τὸ ζῶ, ἢ παρὰ τὸ δέω. ἔστι δὲ καὶ Ζὴν Ζηνὸς, ὁμοίως δὲ καὶ Ζανός. οὕτω καὶ Ζεὺς ὁ αὐτὸς, κατὰ τὴν αὐτὴν ἐτυμολογίαν δηλοῦσιν οἱ παλαιοί. ὡς δὲ καὶ ὀξύνεται ὁ ζὰς, καὶ τὸ ντ ἔχει ἐν τῇ γενικῇ, δῆλον ἐκ τοῦ παραδόντος, ὅτι καθὰ Πρὰς Πραντὸς ὄνομα ποταμοῦ καὶ πόλεως, καὶ φθὰς φθάντος κύριον παροξυνόμενον μετοχικῶς ἐν τῇ γενικῇ, κατὰ τὸ φὰς φαντὸς, οὕτω καὶ ζὰς ζαντὸς, ὃ σημαίνει τὸν Δία.

Ζεὺς καταχθόνιος, ὁ ᾅδης, ὡς ἐὰν εἴποι ἀὴρ ὑπόγειος. εἰ δὲ κατὰ παλαιὰν ἱστορίαν, περί τινα Καρικὸν ποταμὸν Ζηνὸς Ποσειδῶνος ἦν ἱερὸν, ἰδοὺ τὸ Ζεὺς, ἤτοι τὸ Ζὴν, κοινὸν ὄνομα Διὸς καὶ Ποσειδῶνος καὶ ᾅδου, τῶν Ἀδελφῶν. Ἐπαινὴ δὲ Περσεφόνεια περιοχή τις τεθνεώτων, ὃ σύγκειται ἀπό τε τοῦ φθέρσαι, ὅ ἐστι φθεῖραι, ῥήματος Αἰολικοῦ. ἢ ἀπὸ τοῦ φόνου, ὡς τῶν θνησκόντων. ἢ κατὰ φύσιν τιν τούτων, ὃ διὰ τοῦ φθείρεσθαι δηλοῦνται. ἢ κατὰ βίαν, ὃ διὰ τοῦ φόνου παρασημαίνεται, καὶ ταῦτα μὲν πρὸς ἀλληγορίαν. ἄλλως δὲ Ζεὺς καταχθόνιος, ἤγουν ὑποχθόνιος. ὁ τοῦ μύθου Πλούτων, Περσεφόνη δὲ ἄκοιτις αὐτοῦ.

Ζεὺς ἐνταῦθα πατὴρ ἁπλῶς ἐλέχθη, διὰ τὸ τοῦ ἀέρος ζωογόνον. ἀλλαχοῦ δὲ, πατὴρ ἀνδρῶν τε θεῶν τε, ἤτοι κηδεμὼν, οὐ μόνον στοιχείων καὶ ἄστρων καὶ ὅλως τῶν θειοτέρων, ἀλλὰ καὶ ἀνδρῶν, τουτέστιν ἀνθρώπων ὡς ἀπὸ μέρους. ἀπὸ δὲ τῶν ἀνθρώπων τοῦ τιμιωτάτου γένους, καὶ εἰς τὰ ἄλλα διαβαίνει τὸ νόημα. ὁ δὲ μῦθος πατέρα θεῶν καὶ ἀνδρῶν, ἄλλως τὸν Δία φησὶ λέγων. ὅτι κατὰ τοὺς Ὁμηρικοὺς μύθους τῶν ἄλλων δαιμόνων οἱ μόνοι θνητῶν πατέρες λέγονται, ὡς Ποσειδῶν, Κύκλωπος, καὶ Ὤτου, καὶ Ἐφιάλτου. Ἀφροδίτη, Αἰνείου. Θέτις, Ἀχιλλέως. καὶ ἄλλοι ἄλλων. οἱ δὲ μόνων ἀθανάτων, ὡς Κρόνος, Διὸς, Ἥρας, ᾅδου, Ποσειδῶνος. Ζεὺς δὲ μόνος καὶ ἀθανάτων πατήρ. οἷον Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεος. καὶ θνητῶν δὲ, οἷον Σαρπηδόνος, Αἰακοῦ, Μίνωος, Ἡρακλέους, Περσέως.

Ζεὺς, καὶ μοῖρα παρ' Ὁμήρῳ, ὡς ἐκ παραλλήλου, ἕν τι ταῦτα εἰπεῖν, κατὰ ἀλληγορίαν.

Ζέσασθαι, ἀντὶ τοῦ γεύσασθαι, Δωρικῶς.

Ζεφυρίη πνοιὴ, ἡ τοῦ ζεφύρου. καὶ ζεφύριον πνεῦμα. ζέφυρος γὰρ, λεῖος ἄνεμος.

Ζέφυρος, ὁ ἀπὸ δυσμῶν πνέων. ζόφος γὰρ καλεῖται ἡ δύσις, καὶ ζέφυρος ἄνεμος ὁ ζωοφόρος, ὁ τὴν ζωὴν πᾶσι φέρων. τῷ γὰρ θέρει πνέοντος αὐτοῦ, οἱ καρποὶ αὐξάνονται.

Ζέφυρον μέγαν λέγει Ὅμηρος, τὸν σφοδρόν.

Ζέω, τὸ βράζω. καὶ λέγεται οὐ μόνον ἐπὶ ὑδάτων, ἀλλὰ καὶ τοῦ θυμοῦ. εἴρηται δὲ κατὰ μίμησιν τοῦ κατὰ τὴν θερμασίαν τῶν ὑδάτων ἤχου.

Ζέω, τὸ γελῶ, δοτικῇ.

ΤΟ' Ζ'. ΜΕΤΑ' ΤΟΥ Η'.

ΖΗ, ἀντὶ τοῦ ζῆθι. Εὐριπίδης. καὶ ζεῖ, ἀντὶ τοῦ ζέει.

Ζὴβ, ὄνομα κύριον Ἑβραϊκόν.

Ζηβλὼν, ὁλοσίδηρος ἀκοντίς.

Ζήβηρος, ὄνομα ἔθνους.

Ζῆ καὶ πῦρ, ἐπὶ τῶν μόλις γινομένων.

Ζῆθι, ὁ παρατατικὸς ἔζαον ἔζων, ἔζαες ἔζης, ἔζαε ἔζη. καὶ τὸ προστακτικὸν, ζῆ. Εὐριπίδης, ἕρπε καὶ ζῆ. καὶ δι' ἐλπίδος ζῆ, καὶ δι' ἐλπίδος τρέφου. τὸ γὰρ ζῆθι, κατ' ἐπέκτασιν ἔχει τὴν θι συλλαβὴν, καὶ μετὰ τῆς συν προθέσεως σύζηθι. τὸ αὐτὸ καὶ δίχα τῆς θι συλλαβῆς, ζῆ λέγει ἡ τραγῳδία. οἷον, πλούτει κατ' οἶκον, καὶ ζῆ. ὥσπερ καὶ τὸ δρᾶ μονοσυλλάβως, καὶ αὐτὸ ἀντὶ τοῦ πράττε. οἷον, ἄνθρωπε μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς.

Ζηλήμονες, φθονεροί.

Ζηλήμων, ὁ ζηλούμενος.

Ζῆλος, ἡ μίμησις τοῦ κρείττονος. ἔστι δὲ καὶ ἡ λύπη. ζῆλος δὲ καὶ ἡ κίνησις, καὶ εἰ μὴ κατ' ἐπίγνωσιν ὁ ζῆλος. ζῆλος δὲ, καὶ ὁ φθόνος.

Ζηλοῖ, φθονεῖ, ἐρίζει, μισεῖ, μιμεῖται.

Ζηλοτυπεῖν, ἀντὶ τοῦ μισεῖν γράφει Αἰσχίνης. ἢ ζηλοτυπεῖν, τὸ εἰς ἀπέχθειαν ἐληλυθέναι.

Ζηλοτυπία ἡ τοῦ ἀνδρὸς κατὰ τῆς οἰκείας γυναικὸς εἰς ἕτερον ἀσελγοῦς ὑπόνοια. ἢ ζηλοτυπία ἐστὶ λύπη ἐπὶ τὸ ἕτερον ἐπιτυγχάνειν, ὧν αὐτὸς ἐπιθυμεῖ.

Ζηλοῦν δύο σημαίνει, τὸ φθονεῖν, καὶ τὸ μακαρίζειν. ἢ ζηλοῦν, τὸ σὺν ἐπιθυμίᾳ μιμεῖσθαι, ὡς παρ' Ἡσιόδῳ.

Ζήλου, μιμοῦ, Αἰτιατικῇ.

Ζηλωτὴς, ὁ μιμητὴς, ἀπὸ τοῦ ζηλόω ζηλῶ, ζηλώσω. τοῦτο δὲ ἀπὸ τοῦ ζῆλος. ἔστι δὲ ζῆλος, διέγερσις τῆς ψυχῆς ἐπὶ τὰ καλὰ πρὸς παράδειγμα ὁρώσης. σημαίνει δὲ ζῆλος καὶ τὸν φθόνον. ὅθεν τὸ ζηλότυπος.

Ζηλώματα, ζηλοτυπίας, κώμους, καὶ τὰ νέων ζηλώματα, καὶ τὰ τοθαύτων κνίσματα, καὶ μύστην λύχνον ἀπεσταμένη.

Ζηλῶ καὶ ζηλοτυπῶ. ἀλλὰ ζηλῶ μὲν ἀντὶ τοῦ μιμοῦμαι λέγουσιν Ἀττικοὶ, καὶ ἀντὶ τοῦ μακαρίζω, καὶ ἀντὶ τοῦ φθονῶ. ὡς ζηλοῖ δέ τε γείτονα γείτων, παρ' Ἡσιόδῳ, ποιητικῶς. ζηλοτυπεῖν δέ φασι τὸν ἄνδρα τὴν ἑαυτοῦ γυναῖκα, καὶ τὸν ἐραστὴν τὸν ἐρώμενον.

Ζηλῶ, ζηλώσω, τὸ μιμοῦμαι, ἢ μιμήσομαι. ζηλῶ ζηλήσω, τὸ φθονήσω. ἐξ οὗ παρὰ τῷ ποιητῇ, ζηλήμονες θεοί.

Ζηλῶσαι, μιμήσασθαι. Ἡρόδοτος, ὧν εἴ τις παρ' ἡμῖν ζηλῶσαι τὴν δίαιταν ἐπιχειρήσει, οὐδὲν ἄμεινον διακείσεται, τῶν τὸ κώνειον προσενεγκαμένων, ἢ τὸ ἀκόνιτον, ἢ τὸν ἐλλέβορον.

Ζηλωταὶ παρὰ Ἰουδαίοις, οἱ τοῦ νόμου φύλακες, Ἄνανος ἀποκλείσας τοὺς ζηλωτὰς εἰς τὸ ἱερὸν, καὶ φρουρὰν αὐτοῖς ἐπιστήσας παρεκάθητο.

Ζηλῶ σε τῆς ἀβουλίας, ἤγουν θαυμάζω τὴν ἀβουλίαν σου.

Ζηλῶ σε τοῦ νοῦ, ἤγουν μακαρίζω. λαμβάνεται καὶ ἀντὶ τοῦ ἐπαινῶ.

Ζηλωτής ἐστιν, ὁ πόθῳ θείῳ κατ' ἐναντίων ὁπλιζόμενος.

* Ζηλωταὶ παρὰ Ἰουδαίοις οἱ τοῦ νόμου φύλακες.

Ζηλωτὸς, μακαριστὸς, ἐπαινετός.

Ζηλωτότατον, πάνυ μακάριον. Ἀριστοφάνης, ζηλωτότατον βίον ἀνθρώπων διάξεις.

Ζημήτης, ἄρτος.

Ζημία, ἡ στέρησις. καὶ ζημία, ἡ τῶν ὄντων πρὸς τὸ ζῆν μείωσις, ἢ τοῦ κέρδους καὶ τῆς ὠφελείας ἀπουσία, ἡ τὰ πρὸς τὸ ζῆν μειοῦσα, ἢ τὴν ζωὴν μειοῦσα, τουτέστι τὴν περιουσίαν. παρὰ τὴν ζέσιν, τὴν γινομένην ὑπὸ τοῦ θυμοῦ, ἐν τῷ ἐκτείνειν τὰ ἐπαγόμενα, ἢ δημία τις οὖσα, ἡ πολιτική. καὶ ζημία, θυσία τις, ἀποδιδομένη ὑπὲρ τῶν γινομένων ἐν θεσμοφορίοις.

Ζημίαν λαβεῖν, ἀντὶ τοῦ ζημιωθῆναι.

Ζημιῶ, ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν συντάσσεται. οἷον, ζημιῶ σε χρήμασι. καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν μετὰ τῆς εἰς προθέσεως. οἷον χρήματα αὐτὸν ἐζημίωσαν. εὕρηται καὶ μετὰ γενικῆς. οἷον, ζημιῶ σε χρημάτων, καὶ ζημιῶ σε χρυσίου, καὶ χρυσίῳ. καὶ εἰς χρυσίον, καὶ ζημιῶ σε θανάτῳ, καὶ χρημάτων.

Ζῆν, ἀντὶ τοῦ ζᾶν, καὶ ζωὴν ἔχειν.

Ζῆν, οὐ ζᾶν ἐν τῷ ἀπαρεμφάτῳ. Ἀριστοφάνης, πτωχοῦ μὲν γὰρ βίος ὃν σὺ λέγεις, ζῆν ἐστι μηδὲν ἔχοντα, τοῦ δὲ πένητος ζῆν φειδόμενον.

Ζηνὶ φόως ἐρέουσα, ἤγουν ἀνατολὴν σημαίνουσα, ὑπηρετικὸν ἐν τούτοις τὸν ἥλιον τοῖς Θεοῖς ὑποτίθεται, καθάπερ τὴν Ἠῶ.

Ζηρυνθία, ἡ Ἀφροδίτη. καὶ ζηρύνθιον, καὶ ζήρυνθον ἄντρον, ἐν ᾧ τοὺς κύνας ἔθυον.

Ζήρινθον, ἄντρον Θρᾳκικὸν, σπήλαιον.

Ζῆς παρὰ τὸ ζάεις, δευτέρου προσώπου τοῦ ζάω, κατὰ κρᾶσιν Δωρικὴν τοῦ α καὶ ε εἰς η, ζῆς. καὶ ζάω, τὸ πάνυ πνέω.

Ζῆσαι δίς λέγουσι καὶ ἀναβιῶναι τὸν Ἡρακλέα, τὸν Τυνδάρεων, τὸν Γλαῦκον. τινὲς δὲ καὶ τὸν Αἴσωπον.

Ζήσω. ζάω ζήσω, νικάω νικῶ νικήσω, πεινάω πεινῶ πεινήσω, διψάω διψῶ διψήσω. τὸ δὲ πεινάσω καὶ διψάσω, κατὰ τροπὴν Δωρικὴν γέγονε τοῦ η εἰς α. τὰ δὲ ῥήματα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, ἔχοντα ἐν τῷ ἐνεστῶτι σύμφωνον, χωρὶς τοῦ λ καὶ τοῦ ρ, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. ὁμοίως τὰ τοιοῦτα παράγωγα εἰς μι, κἄν τε λ ἔχῃ, κἄν τε διὰ τοῦ η ἔχῃ τὸν μέλλοντα. οἷον πλῶ πιμπλῶ πίμπλημι πλήσω, χρῶ κιχρῶ κίχρημι χρήσω, στῶ ἵστημι στήσω.

Ζητεῖν, ἐπὶ τοῦ βουλεύεσθαι τιθέασιν οἱ Ἀττικοί. μὴ δὲ σὺ ζήτει τι πυθέσθαι.

Ζητεύω, πτωχεύω.

Ζήτημα, λόγος ἀνθρώπων καὶ διάλεξις, ἐπὶ πράγματι.

Ζητὴρ, Ζεὺς ἐν Κύπρῳ.

Ζητόρων, ζητούντων. γράφουσι δὲ ἔνιοι ζητητόρων.

Ζητητὴς, ἀρχή τις Ἀθήνησι κατὰ καιροὺς καθισταμένη, εἴποτε τοὺς ἀδικοῦντας τὶ δημοσίᾳ δέοι ζητεῖν. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. καὶ Ἀνδοκίδης ἐν τῷ περὶ ἐνδείξεως. οὗτος δὲ ὁ ῥήτωρ, καὶ ζητητὴς ποτὲ ἐγένετο, ὥς φησι Λυσίας, καὶ Ἰσοκράτης, καὶ Πλάτων ὁ κωμικὸς πρέσβεσιν.

Ζήτης, ὁ τοῦ Βορέου παῖς.

Ζητήσεται, ἀντὶ τοῦ Ζητηθήσεται.

Ζήτησις, ὄρεξις λογικὴ τῶν ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν.

Ζητρείων, ὄργανα τὰ βασανιστήρια. οἱ δὲ προσάγουσι πῦρ, καὶ τὰ τῶν ζητρείων ὄργανα, ὁ δὲ τὰ προαχθέντα ἐξεῖπεν.

Ζητρεῖον, τὸ τῶν δούλων κολαστήριον, Εὔπολις.

Ζήτρειον προπαροξυτόνως, κατὰ δὲ ἑτέρους ζητρεῖον προπερισπωμένως, ὃ δηλοῖ φασὶ δούλων δεσμωτήριον, ἤγουν μυλῶνα. ἐκεῖ γὰρ ἐδεσμοῦντο οἱ δοῦλοι. αὐτὸ γὰρ κατά τινας παρὰ τὸ δεῖν, ὅ ἐστι δεσμεῖν, τὸ τρεῖν, ἤγουν φοβεῖσθαι, συντιθὲν εἰς δήτρειον, ζήτρειον γέγονε, μεταπεσόντος τοῦ δ εἰς ζ. οὕτω δέ φασι καὶ ζεῖρα ἐξ ὁμοίας τροπῆς ἐγένετο, συγκειμένη καὶ αὐτὴ παρὰ τὸ δεῖν, ἤτοι δεσμεῖν, καὶ τὸ εἴρειν. σημαίνει δέ φασι ζώνην καὶ χιτῶνα καὶ χλαμύδα. ὧν μέχρι καὶ ἐς ἄρτι παραφθείροντες οἱ Λυκιακοὶ, ἡμίζαρον λέγουσιν.

Ζητρὸν, τὸ δημόκοινον.

Ζητῶ, τὸ ἐρευνῶ, καὶ ἐξετάζω. οἷον, ζητῶ τι τῶν ἐμῶν, ἀντὶ τοῦ ἐξετάζω καὶ ἐπιζητῶ, αἰτιατικῇ συντάσσεται.

Ζητῶν, ζητῶν γὰρ ὄψον. ὡς τὸ, θοἰμάτιον ἀπώλεσα, ἐπὶ τῶν ἀτυχεστάτων.

Ζηχοί, ἔθνος.

ΤΟ' Ζ'. ΜΕΤΑ' ΤΟΥ Ι'.

ΖΙβυθίδες, αἱ θρᾶσσαι, ἢ Θρᾷκες γνήσιοι.

Ζιβυνὴ, ὁλοσιδήριον ἀκόντιον, λόγχη, σπάθη.

Ζιβύνια, λογχίδια μικρά.

Ζιγγίβερ, εἶδος ἀρώματος.

Ζίγγος, ὁ τῶν μελισσῶν ἦχος, ἢ τῶν ὁμοίων.

Ζίγλας, κῶλα.

Ζίγνις, ἡ χαλκὴ σαῦρα.

Digitized by Google

Ζιγνᾶ, τὸ σκυθρωπάζω. καὶ ζιγνῶσαι, τὸ σκυθρωπάσαι.

Ζίεται, ζητεῖ.

Ζιζάνιον, τὸ ἄνευ σπορᾶς συμπαραφυόμενον τῷ σίτῳ, καὶ γίνεται παρὰ τὸ σῖτος, καὶ τὸ σίνω τὸ βλάπτω, σισάνιον, καὶ ζιζάνιον, τὸ βλάπτον τὸν σῖτον. ἢ παρὰ τὸ σῖτος, καὶ τὸ ἰζάνω τὸ κάθημαι, σιτοΐζανον, τὸ τῷ σίτῳ παρεδρεῦον καὶ συναυξάνον.

Ζιζυίη, ὁλοσίδηρον ἀκόντιον. ἢ σπάθη, τοῦ ψιλοῦ.

Ζιζάνιον, ἡ ἐν τῷ σίτῳ αἶρα.

Ζικνῶσαι, σκυθρωπάσαι.

Ζίλαι, ὁ οἶνος παρὰ Θρηξίν.

Ζινίχιον, τὸ λωρίον τοῦ ὑποδήματος.

Ζιραί, χιτῶνες ἀνάκολλοι.

Ζίρης, καὶ κλίνεται ζίρη, Σκυθικὴ φωνή.

Ζίσπυα, κατωπόγωνα.

Ζιφαῖοι, ἔθνος, ἢ σκοτεινοί.

ΤΟ Ζ. ΜΕΤΑ ΤΟΥ Ο.

Ζόαρα, τόπος.

Ζοάσεις, σεβίσεις.

Ζοάσω, ζήσω.

Ζόε, ζῇ.

Ζόη, τὸ ἐπάνω τοῦ μέλιτος.

Ζόης, ἰσχυρός, ἢ ὁ σφοδρῶς πνέων.

Ζοιτεία, πόλις.

Ζόντειον, τόπος.

Ζοπαδεκαπίδας, λαθροφάγους.

Ζὸρ, ἡλικία ἐλάφου ἢ δορκός.

Ζουΐον ἢ ζῶον, θηρίον, ἢ ἐρυσιπέλας.

Ζουΐων, ἐρβόες, ἐργάται, Λάκωνες.

Ζοῦσαι, δραχμαί.

Ζόσθω, ζωννύσθω.

Ζόφεον, μέλαν, σκοτεινόν.

Ζοφερά, ἡ σκοτεινή. καὶ ζοφερὸν, ὁμοίως.

Ζοφοδερκέας, σκοτοδείπνους, λαθροφάγους.

* Ζοφοδορπίας, ὁ σκοτεινὸς δεῖπνος.

Ζοφοειδὲς, σκοτεινόν.

Ζοφομήνια, ἡ ἔκλειψις τῆς Σελήνης.

Ζόφον ἠερόεντα, τὸν Ἅιδου τόπον, ὁμιχλώδη. λέγει δὲ ὁ Ποιητὴς, καὶ τὸ σκότος καὶ τὴν δύσιν, ζόφον.

Ζόφος, σκότος, ἀχλὺς, παρὰ τὸ νέφος, μετὰ τοῦ ζα, ζάνοφος. καὶ κατὰ συγκοπὴν, ζόφος. Δυσμαία δύσμη.

Ζοφώδης, ὁ σκοτεινὸς, καὶ ζοφοειδής.

ΤΟ Ζ. ΜΕΤΑ ΤΟΥ Υ.

Ζυγὰ, τὰ ἐπιτιθέμενα τοῖς αὐχέσι τῶν ζώων, καὶ οἱ πήχεις τῶν κιθαρῳδικῶν ὀργάνων, εἰς οὓς οἱ κόλλοπες ἐνίενται.

Ζυγάδην, συνεζευγμένως.

Ζύγαινα, βοῦς θήλεια, καὶ ἰχθύς ποιός, καὶ τὸ κατὰ μετώπου τοῖς χοροῖς τοῖς τραγικοῖς σχήμασιν.

Ζυγάστροις. Ξενοφῶν, τὰ ἄλλα χρήματα παραδεχομένους ἐν ζυγάστροις στήσαντας, ἐφ᾽ ἁμάξης κομίζειν, ἵνα ὅπη καιρὸς εἴη διαλαμβάνοιεν ἕκαστοι τὰ ἄξια, ζύγαστρον γὰρ, ἡ ξυλίνη σορός.

Ζύγαστρον, κιβώτιον. ζύγαστρος, κιβωτὸς, ὅρος, ζυγός.

Ζυγεῖν, τὸ ἐπ᾽ εὐθείας κεῖσθαι τῷ κατὰ βάθος στίχῳ. τοῦτο γὰρ λέγεται κυρίως στίχος.

Ζυγεὶς, γαμήσας. ζυγηλεῖ, μύει, ὁρμᾷ, σκυθρωπάζει.

Ζυγηπὶ, ἡ κλεῖς.

Ζυγία, ἡ ἥρα, καὶ εἶδος κώπης.

Ζυγιανὸς, ὁ ζυγός.

Ζύγιοι ἵπποι καλοῦνται, καὶ οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν, ὁ μέσος δεξιὸς, ὁ μέσος ἀριστερός. καὶ ἁπλῶς, ὁ μὴ παράσειρος, οὕτω λέγεται.

Ζύγιος, ὁ ἐνεργῶν ὁμόνοιαν συζυγίας ἀνδρὸς καὶ γυναικὸς, καὶ ζύγεος, Ζεύς. καὶ ὁ ὑπὸ ζυγὸν ἵππος. καὶ ὁ τρίτος ἐρέτης.

Ζυγίτης, ὁ καθήμενος ἐν τῇ νηῒ μέσος.

Ζυγόδεσμοι, ἱμάς ἐστιν, ἢ χοινίον. ὅπερ Ὅμηρος κατὰ πάρεργον λόγου ὡς ἐκ παρόδου μετρῶν ἐννεάπηχυ εἶναί φησι.

Ζύγωθρον, ὁ συνέχων τὰς δύο θύρας μοχλός.

Ζυγοῦσεις, βότρυς.

Ζυγοὶ παρὰ Ἡροδότῳ, αἱ καθέδραι.

Ζυγοεργοὺς, ἐργάτας βοῦς. Λάκωνες.

Ζυγομαχεῖν, στασιάζειν. μετῆκται ἡ λέξις ἀπὸ τῆς τῶν βοῶν πρὸς ἀλλήλους μάχης, τῶν μὴ συμφώνως ἐργαζομένων. ἢ ζυγομαχεῖν κυρίως, ἐπὶ τῶν ἀνίσων τὴν δύναμιν. Ἡσίοδος.

Ζυγὸν, οὐδετέρως εἴρηται κατὰ γένους μεταπλασμόν. Ἰστέον δὲ, ὡς πολλαχῶς ὁ ζυγός, διὸ καὶ τὰ ἀπ᾽ αὐτοῦ διάφορα. ζυγὸς γὰρ ἵππων, ὅθεν καὶ ἵππος ζύγιος. ζυγὸς βοῶν, καὶ ποιμένων τινῶν, ἀφ᾽ οὗ τροπικῶς οἱ ὁμόζυγοι, καὶ τὸ ὑποζύγιον. καὶ τὸ ζυγομαχεῖν, ὅ ἐστιν ἀντιερίζειν. ζυγὸς ἐπὶ σταθμοῦ, καθ᾽ ὃν ζυγοστατοῦντες λέγονται ἀδικεῖν τινες ἐν ζυγοῖς. ζυγὸς ἐπὶ νηός. ἐξ οὗ ζύγιοι ἐρέται. ἔστι καὶ σανδαλίου ζυγὸς κατὰ Παυσανίαν, τὸ συνέχον τοὺς δακτύλους. καὶ κιβωτοῦ δὲ, ὡς δηλοῖ τὸ ζύγαστρον, ἡ ξυλίνη σορός. παρὰ τὸ, ἐζυγῶσθαι. οἷον κοίλῳ ζυγάστρῳ. ἐξ οὗ παρέφθαρται τὸ κοινολεκτούμενον σύγηστρον. καὶ θύρας δὲ ζυγὸς, ὁ μοχλὸς, ὅθεν ἐπιζυγῶσαι θύρας. Παυσανίας δὲ οὕτω φησὶ, ζυγώσω ἀντὶ τοῦ καθέξω, δαμάσω.

Ζυγὸς παρ᾽ Ὁμήρῳ, οὐ συνήθως ἐπὶ σταθμοῦ. ζυγὸν γὰρ ἐκεῖνος οἶδεν ἅρματος καὶ ἁμάξης. καὶ ζυγόδεσμον ἱμάντα, τὸν ζυγὸν τῶν ζώων, τὸν ζεύγνυντα ζυγά. λέγουσιν οἱ παλαιοὶ, καὶ τὰς καθέδρας τῶν ἐρεσσόντων. ὅθεν ὑψίζυγος, ὁ ὑψοῦ τὴν καθέδραν ἔχων. δύναται δὲ ὑψίζυγος εἶναι, καὶ ὁ ὑψηλὸς εἴτουν ὑψίθρονος Βασιλεὺς, κατὰ τὸ ἐπὶ ζυγοῖς καθίζειν ἀρχῆς, τὸ τοῦ Τραγικοῦ.

Ζυγὸς τὸ στενὸν τῆς λύρας, ἔνθα κρατεῖ ἡ ἀριστερὰ χείρ. χέλυς δὲ, τὸ πλατύ. μάγας δὲ, ἔνθα ἡ πληγὴ γίνεται τοῦ πλήκτρου. καὶ ζυγὸς, ὁ τῶν βοῶν. ζυγὸν δὲ οὐδετέρως, τὸ ζύγιον.

Ζυγὸς ἐν τοῖς τακτικοῖς, τὸ ἐκ παρεστηκότων ἀλλήλοις πλῆθος. ἐρετικὴ καθέδρα, τὰ τοῖς ζώοις ἐπιτιθέμενα, καὶ ὁ ζυγὸν ἐν Θαλάμῳ, τῶν μουσικῶν ὀργάνων ὁ πῆχυς, τὸ τὰς ἰσότητας διακρῖνον σκεῦος, καὶ αἱ χηλαὶ τοῦ ἐν οὐρανῷ σκορπίου. καὶ ἡ ζυγοστατικὴ δὲ στάσιμον, καὶ ὁ περικείμενος ἱμὰς τοῖς δακτύλοις πλαγίοις ἐπὶ τῶν σανδαλίων. Ἀριστοφάνης, τὸ δακτυλίδιον πιέζει τὸν ζυγόν. καὶ ζυγὸς ὁ νόμος, παρὰ τῇ θείᾳ γραφῇ. ὡς ὁ Χριστὸς, ἄρατε τὸν ζυγόν μου, ὅτι χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν. καὶ ζυγὸν τὴν τοῦ νόμου βαρύτητα φησὶν ὁ Δαβίδ. Ἄλλως.

Ζυγὸς, παρὰ τὸ δύο ἄγειν, δυαγός. καὶ ἐν συγκοπῇ δογὸς, καὶ ζυγός. σημαίνει δὲ τρία, τὸ ἅρματος ἵππου. ὡς τὸ, Ἵππιον δὲ ζυγοῦ Θεὰ ἥψατο. καὶ τὸν τῆς κιθάρας πῆχυν. ὡς τὸ, Ἐπὶ δ᾽ ἀργύρεον ζυγὸν ἦεν. σημαίνει καὶ τὰς τῶν ἐρεσσόντων καθέδρας. εἴρηται καὶ ἐπὶ τῶν ἁμαξῶν, καὶ ἐπὶ ἁρμάτων, καὶ πλοίων, καὶ τὸ λεγόμενον ὑπὸ τῶν ποιητῶν τάλαντον. ἤγουν, ἡ τρυτάνη, καὶ ὁ τῆς κιθάρας πῆχυς. καὶ ᾧ ἔγκεινται οἱ κόλλαβοι. οὕτω δὲ λέγονται οἱ πάσσαλοι, ὧν ἐξάπτονται αἱ χορδαί. παρὰ τὸ κεκολλῆσθαι. Ἰλιάδος ι.

Ζυγοστάτησον, ἴσωσον.

Ζυγοφορούμενα, ἐν ζυγῷ σταθμιζόμενα.

Ζυγῷ. Γυμνοὺς ὅπλων τοὺς ἄνδρας ζυγῷ, καθ᾽ ἕκαστον ἀποδυομένους, ἐπονειδίστως ὑπελθεῖν προσαναγκάσαντες.

Ζυγώθρησον, ἴσωσον, ζυγοστάτησον. ἴασον τὸ ἀπορούμενον, ἔπειτα πάλιν ἀνασκόπησον. καὶ οἷον ἀνοίγειν ἀποπειρᾶσθαι, τὸ γὰρ ἀναζυγοῦν ἐστι, τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. οἱ δὲ ζυγώθρησον, συνάρμοσον, σύμπηξον. Ἀριστοφάνης νεφέλαις.

Ζυγῶσαι, τὸ συναρμόσαι, παρὰ τῷ Λουκιανῷ. καὶ ζυγῶσαι, τὸ ζεῦξαι.

Ζυγώσω, δαμάσω, κλείσω, καθέξω. Αἰσχύλος, Κίρκη σατυρικῇ.

Ζύθιον, ἀλφίτου πόσις.

Ζύθος, οἶνος ὁ ἀπὸ κριθῆς γινόμενος.

Ζύμη, τὸ λεγόμενον προζύμιον. φύραμα δὲ, τὸ μεμιγμένον ἄλευρον.

Ζυμίτης ἄρτος, ὅτι λόγος ἔχει ὡς ἀπὸ τῆς ὥρας τῆς ιδ τοῦ μηνὸς ἡμέρας, σάλπιγγος φωνούσης πᾶς ἄρτος ζυμωτὸς εἴ τις τοῖς Ἑβραίοις ὑπελείπετο πυρὶ καιόμενος ἠφανίζετο. καὶ Ἀθήνησι ζυμίτης ἄρτος οὕτω καλεῖται.

Ζυμῶ, μάττω, φύρω.

ΤΟ Ζ. ΜΕΤΑ ΤΟΥ Ω.

Ζωάγρια, λύτρα ζωῆς θανάτου ἀγρεύματα, καὶ οἷς ζωὴ ἀγρεύεται. ὅθεν καὶ κρεάγρα, καὶ πυράγρα ὀδόντες, οἷς λαμβάνεται τὸ πῦρ, ἢ τὰ κρέα, ἢ ζωάγρια τείνειν, τὰ ὑπὲρ ζωῆς παρεχόμενα δῶρα παρέχειν.

Ζωανηρὲς, ἀνὴρ πρὸς ζωήν.

Ζωαρκῆ, τὰ πρὸς ζωὴν ἀρκοῦντα. καὶ ζωαρκὲς, ὁμοίως.

Ζωᾶς, ζωῆς.

Ζῶ, βιῶ, βιώσκω, διάγω, περίειμι. καὶ ζῶ ζῇς ζῇ, ζῶμεν ζῆτε ζῶσι ἔζων ἔζης ἔζη, ζῶν, ζῶσα, ζῶν, ἐν χρήσει.

Ζώγη, εἶδος βοτάνης.

Ζωγρεῖον, εἶδος πυρείου.

Ζῶ, κοινόν. ἀφ᾽ οὗ ζώω παρὰ ποιηταῖς, ὡς ὑπνώω, πλώω, ὁρώω. ἀφ᾽ οὗ ζωΐσκω, κατὰ ἀκολουθίαν τοῦ ἀναλίσκω, τιτρώσκω, κυΐσκω.

Ζῶ ζωὴν ἀθλίαν, Ἀττικῶς. ὥσπερ δουλεύω δουλείαν.

Ζωγράφος. Θεόκριτος, ποῖοι ζωγράφοι τἀκριβέα γράμματ᾽ ἔγραψαν, οὐχ ὅτι γράμματα χρῆται, ἀλλ᾽ ὅτι τῇ γραφίδι προσκατεξύει. γράψαι γὰρ, τὸ ξῦσαι, οὐκ ἔχει δὲ τὸ ι προσγεγραμμένον. ἔστι γὰρ ζῷον, ζώου, ζωογράφος, καὶ ἐπειδὴ οὐδέποτε μεταξὺ τοῦ ι ὄντος ἢ τοῦ υ, ἢ συμφώνου, κρᾶσις γίνεται, ἀλλὰ πρῶτον ἀποβάλλει αὐτὸ, καὶ οὕτω γίνεται ἡ κρᾶσις, οἷον, βελτίονα βελτίω, τῷ ἐμῷ τὠμῷ, τοῦ ἀνθρώπου τἀνθρώπου, τοῦτο χάριν καὶ τὸ ζωγράφος, πρῶτον ἀποβάλλει τὸ ι, καὶ οὕτω ποιεῖ τὴν κρᾶσιν τοῦ ω καὶ ο εἰς ω χωρὶς τοῦ ι.

Ζωγορίτης, ὁ ὀπὸς τοῦ ὀποβαλσάμου.

Ζωγραφῶ, γράφω.

Ζωγρεῖ, ζῶντα λαμβάνει. καὶ ζώγρει, ζῶντα λάμβανε. ποιηταὶ ἐζώγρει, ἀντὶ τοῦ ἀνεζωπύρει, ἀγείρουσα τὴν ζωήν.

Ζωγρεῖν, τὸ ζῶντα ἀγρεύειν τινά. οἷον, ζώγρει Ἀτρέος υἱέ. καὶ τὰ ὑπὲρ αὐτοῦ λύτρα ζωάγρια λέγονται. καὶ τὸ τῶν ἰχθύων δὲ ζωγρεῖον, ἐντεῦθεν εἴληφε τὴν ἀρχήν. ὅτι μέντοι τὸν Σαρπηδόνα βορέου πνοὴ ζωγρεῖ, ὥστε τὸ ζωγρεῖν ἀντὶ τοῦ ζωὴν ἀγείρειν λέγεται, καὶ τὴν λειποθυμίαν ἀνακαλεῖσθαι.

Ζωγρεῖται, ζωντιάζεται, λαμβάνεται.

Ζωγρήσεται, ζωογονήσεται.

Ζωγρεῖαι, θῆκαι νεκρῶν.

* Ζωγρεία, τὸ ζῶα ἀγρεύειν.

* Ζώγρεια, δι᾽ ὧν λύτρων τὸ ζῆν περιγίνεται.

* Ζώγρεια λαβεῖν, ἀντὶ τοῦ ζῶντα κρατῆσαι καὶ λαβεῖν.

Ζωγρείαν, ζῶντα.

Ζῶγρον, ἐγρήγορον.

Ζῶγρος, τόπος ἐν ᾧ θηρία ἐκβάλλεται.

Ζῴδιον, τὸ μικρὸν ζῷον, σὺν τῷ ι. ἐπειδὴ εὕρηται κατὰ διάστασιν ζωΐδιον, ὡς Ἄρατος. ζωΐδιον δὲ ἐκύκλον ἐπίκλησιν καλέουσιν. ἢ ἐπειδή ἐστι ζῷον, ζώου, ὅπερ ἔχει προσγεγραμμένον τὸ ἰῶτα. εὕρηται καὶ τοῦτο κατὰ διάστασιν, παρὰ Σιμωνίδῃ. οἷον, τὸ δ᾽ ἡμῖν ἑρπετὸν παρέσπασε ζώϊον κάκιστον. καὶ διὰ τὸν χαρακτῆρα τῶν διὰ τοῦ ωον, τὰ γὰρ διὰ τοῦ ωον οὐδέτερα μονογενῆ, θέλει ἔχειν τὸ ι. οἷον πτῷον, ὄνομα ὄρους, ὑπερῷον. οὕτω καὶ ζῷον σὺν τῷ ι.

Ζωδιωτὸς, χιτών τις.

Ζώει καὶ ὁρᾷ φῶς παρ᾽ Ὁμήρῳ, πρὸς ἀκρίβειαν κεῖται, ὡς πολλῶν ζώντων μὲν, μὴ βλεπόντων δέ. ζωρότερον, ἢ ἀντὶ τοῦ σπουδαιότερον, ἢ ζωηρότερον, ἢ ἀντὶ τοῦ ἀκρατότερον, καὶ αὐ-

Digitized by Google

καὶ αὐτὸ παρὰ τὸ ζῶ. Ἀχιλλεὺς ἐκέλευσε παρ' Ὁμήρῳ ὑδαρέστερον πίνειν. καὶ εἰκότως ὁ τῷ Ἀγαμέμνονι ὀνειδίσας οἰνοφλυγίαν. πάντως δὲ εἰ ζωηρόν τι τὸ ἄκρατον, ἄψυχον, οἷον λογιστέον τὸ κρᾶμα. διὸ οὐδὲ ἀπαράλυτον ἦν ἐν σπονδαῖς. ζωρότερον ἐκ τοῦ ζωρός, παρὰ τοῖς ὕστερον εὕρηται. καὶ ζωρέστερον, κατὰ τὸ ἀκρατέστερον ὥσπερ καὶ ἀμειρέστερον, καὶ αἰδοιέστερον ἐν ὀδυσσείᾳ, καὶ κοινῶς πλησιέστερον, ὡς παρ' Αἰσχύλῳ. ἀφθονέστερον καὶ εὐωνέστερον παρὰ Ἐπιχάρμῳ. λέγει δὲ καὶ Ὑπερίδης ῥᾳδιεστέραν πόλιν. τινὲς δὲ ζωρότερόν φασι τὸ θερμόν, ἀπὸ τῆς ζέσεως. ἄλλοι δὲ εὔκρατον.

Ζωεὺς, ὁ ζωστὸς, θώραξ.

Ζώεσκον, ζῶ κοινόν, ἀφ' οὗ ζώω παρὰ ποιηταῖς, ὡς ὑπνώω, ὁρόω. ἀφ' οὗ πάλιν ζωέσκω κατὰ ἀκολουθίαν τοῦ ἀναλίσκω, τιτύσκω, κυΐσκω. καὶ ζώεσκον, ἀντὶ τοῦ ἐπλέετουν. ἐγὼ ἔτι ζώεσκον.

Ζωὴ, τὸ μέλι ἐφιστάμενον τῷ γάλακτι, ὃ καλεῖται γραῦς, καὶ ἡ πρὸς τὸ ζῆν χορηγία, ἢ χρόνος τοῦ εἶναι.

Ζωὴ, γίνεται ἐκ τοῦ ζάω ζῶ. ἡ μετοχὴ ὁ ζάων, ὁ ζῶν, τοῦ ζάοντος ζῶντος. τὸ εὐκτικὸν ζάοιμι ζῷμι, τὸ δεύτερον ζάοις ζῷς, ζάοι ζῷ, καὶ ἐν τῷ τρίτῳ προσώπῳ οἱ Ἀττικοὶ προστιθέασι τὸ η, καὶ γίνεται ζώη. ἀπὸ δὲ τρίτου ποιοῦσι τὸ δεύτερον, προσθέσει τοῦ σ, ζώης. καὶ τροπῇ τοῦ σ εἰς ν, τὸ πρῶτον ζώην.

Ζωὴ, ἡ πρὸς τὸ ζῆν χορηγία.

Ζωή ἐστιν, ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι δημιουργία τοῦ κτίσαντος. ἢ ζωή ἐστιν, ἀρετὴ ψυχῆς ἀληθῶς ἑκούσιος γινομένη. ἢ ζωή ἐστι, σύστασις τοῦ ζῴου, θανάτου ἀπείρατος. ζωὴ δὲ, ἀπὸ τοῦ ζέω ζῶ γίνεται, διὰ τὴν τῶν ζώντων θερμότητα. οὐκ ἀναλόγως ἂν διὰ τοῦ ο μικροῦ ἔχοι γράφεσθαι, ὡς ἔχον τὸ ε προεγκείμενον ῥήματι. ἵνα ᾖ ὅμοιον τῷ ῥέω ῥοὴ, χέω χοὴ, καὶ τοῖς ὁμοίοις. ἐπεὶ δὲ ἐν τῷ ζωὴ ἁπλῷ ὀνόματι ἐμεγέθυνε τὸ ω κανὼν ἐκνικήσας, ὁ τῆς προσλήψεως τῆς συλλαβῆς ἐν τῷ ἐνεστῶτι τῷ ζῶ. ὡς γὰρ ῥῶ τὸ ὁρμῶ ῥωή. καὶ ἐρωὴ ἡ ὁρμὴ, οὕτω καὶ ζῶ ζωή. οὕτω δὲ καὶ ζῶον, ὡς λῶ λῷον προσήρμοσε λοιπὸν τῷ συνθέτῳ τῷ φυσίζωος ἡ ἑτέρα γραφὴ, καὶ ἀντὶ τοῦ η τοῦ ἐν τῷ ζέω ζῶ, θεματικῷ ῥήματι ἐγκειμένου, ἀντετέθη ἐνταῦθα τὸ ο. Ἄλλως.

Ζωὴ, παρατήρησις καὶ μονὴ τῶν ὄντων ἡ ζωὴ, καὶ τὸ ζῆν πολλαχῶς λέγεται. τουτέστι, πλειόνων οὐσῶν ψυχικῶν δυνάμεων, καθ' ἃς τὸ ζῆν ἐγγίνεται, πλείους καὶ αἱ δι' αὐτῶν ζωαὶ καὶ τὸ ζῆν οἷον κατὰ νοῦν, κατ' αἴσθησιν, καὶ τὰ λοιπά. διὸ καὶ ἔν τι τούτων ὑπάρχει τινί. ζῆν λέγεται τὸ μετέχον αὐτοῦ, ὅθεν καὶ τὰ φυτὰ θρεπτικὴν ἔχοντα δύναμιν ζῇ, μηδεμίαν τῶν ἄλλων ἔχοντα, μήτε αἰσθητικὴν, μήτε τὴν κατὰ τόπον κινητικὴν, μήτε ἄλλην μηδεμίαν. ζῆν μὲν γὰρ λέγεται τὰ φυτὰ, οὐ ζῶα δὲ εἶναι. διότι ὥσπερ δρομέας λέγομεν, οὐ τοὺς ὁπωσοῦν δρόμου μετέχοντας, ἀλλὰ τοὺς σφοδρῶς καὶ φανερώτερον μετειληφότας τοῦ τρέχειν, οὕτω καὶ ζῶα λέγονται, οὐ τὰ ὁποσοῦν μετέχοντα τοῦ ζῆν, καὶ τῆς ζωῆς, ἀλλ' ἐν οἷς τὸ ζῆν καὶ ἡ ζωὴ φανερώτερον καὶ τρανεστερόν ἐστιν.

Ζωὴν λέγει ἐνίοτε Ὅμηρος καὶ τὸν βίον, τουτέστι πάντα τὰ εἰς τὸ ζῆν ἐπιτήδεια. ὁμοίως λέγει οἶκον, τὰ ἐν τῷ οἴκῳ. ἀπὸ τοῦ τόπου, τὰ ἐν τόπῳ δηλῶν. ἤγουν, ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον. καὶ ζωὴν, τὴν κτῆσιν, τὴν οὐσίαν, διαφέρει δὲ ζωὴ ψυχῆς. ζῇ γὰρ καὶ τὰ φυτά.

Ζώην, ζάω ζῶ, ὁ ζάων ὁ ζῶν, τοῦ ζάοντος τοῦ ζῶντος, ζάοιμι ζῷμι, ὡς βοῷμι. τὸ δεύτερον ζῷς, τὸ τρίτον ζῷ. καὶ Ἴωνες ἐν τοῖς τοιούτοις εὐκτικοῖς εἰώθασιν ἐπιτιθέναι τῷ τρίτῳ προσώπῳ τὴν ην συλλαβὴν, καὶ μετάγειν αὐτὸ εἰς πρῶτον. ἢ γίνεται κατὰ μεταπλασμὸν τοῦ μι, εἰς ην Ἀττικῶς.

Ζωηρὸς, ὁ ζῶν καὶ παρέχων ζωήν.

Ζωθάλμιον, ζώσιμον, βρώσιμον.

Ζωΐλος, στροφή.

Ζωΐλος ὁ Ἐφέσιος, κατηγορεῖ τοῦ τόπου τούτου. καὶ μέμφεται τὸν Ποιητὴν, ὅτι λίαν γελοίως πεποίηκεν ἐκ τῶν ὤμων τοῦ Διομήδους καιόμενον πῦρ. ἐκινδύνευε γὰρ καταφλεχθῆναι ὁ Ἥρως. ἔνιοι μὲν οὖν, παρειλῆφθαί φασι τὸ ὡς, κατὰ συνήθειαν τῷ ποιητῇ, ὡς καὶ ἐν ἑτέροις. οἷον, ὣς οἱ μὲν μάρναντο δέμας, πυρὸς αἰθομένοιο. ὡς πυρὸς φαντασίαν, οὐκ εἰδικῶς πῦρ.

Ζῶμα φαεινὸν, τὸν χιτῶνα λέγειν δοκεῖ. ἢ ζῶμα, ἡ ζώνη. Σοφοκλῆς, δὸς αὐτῷ τὴν δ' ἀλιπαρῆ τρίχα, καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον, τὴν ζώνην λέγων, οὐ τὸ ἔνδυμα.

Ζῶμα, θώραξ, χιτών.

Ζῶμα φαεινὸν, τὸν χιτῶνα, ἀπὸ τοῦ ζώννυσθαι. ἄλλοι τὸν θώρακα, οἷον τὸ ζῶμα.

Ζωμάλμη, ὄνομα κύριον γυναικός. ἣν δὲ Θεσσία.

Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα. ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων. κέχρηται Πλάτων ἐν ἱππίᾳ.

Ζωμεύματα, τὰ τῶν νεῶν χείλη. λέγεται δὲ ξύλα, καὶ κηρὸς, καὶ πίσσα. ἄλλως, τὰ λεγόμενα ὑποζώματα. εἰσὶ δὲ ξύλα τῶν νεῶν. ἀντὶ τοῦ εἰπεῖν Ἀριστοφάνης ὑποζώματα, εἶπεν ὡς πρὸς μάγειρον παίζων ζωμεύματα, ὡς ἀρτύσεως ἔμπειρον καὶ ζωμευμάτων.

Ζωμήρυσις, μαγειρικὸν ἐργαλεῖον. ἐν ἐπιγράμματι, ζωμήρυσίν τε τὴν λίπους ἀφυλόγον.

Ζωμίλη, ἄνηθος.

Ζωμὸς μέλας, ἡ λεγομένη αἱματιά. κυρίως δὲ ζωμὸς, τὸ ἐπὶ τοῖς κρέασι τῶν ζώων ἄρτυμα.

Ζῶναι ἐπὶ γῆς πέντε. βόρειος, ὑπὲρ τὸν ἀρκτικὸν κύκλον ἀοίκητος διὰ ψῦχος. εὔκρατος, ἡ καλουμένη διακεκαυμένη, ἀντεύκρατος. νότιος, ἀοίκητος διὰ τὸ ψῦχος.

Ζώνη, ἡ τοῦ ἀνδρός. ζώνιον δὲ, τὸ τῆς γυναικός. ἡ ζώνη παρὰ Ἀπολλωνίῳ ἐστὶν, ὀρεινὸς τόπος, οὕτω καλούμενος καὶ πόλις ὁμώνυμος, ὥς φησι Νίκανδρος. καὶ ζώνη, πορφυροῦν ἱμάτιον, Ἡρόδοτος. ἡ ζώνη τροπικῶς, ἡ δύναμις. ἐπειδὴ ὁ ἐζωσμένος εὐσταλέστερός ἐστι πρὸς τὴν πρᾶξιν. ἢ ζώνη, τὸ ἀξίωμα. ἀναζητουμένους τῆς βασιλίδος ἐξωθεῖσθαι, οὐ μόνον ἰδιώτας, ἀλλὰ καὶ τοὺς ὑπὸ ζώνην. καὶ Αἰλιανὸς, καί πως τὴν ζώνην τοῦ χρυσίου ἣν ἐπήγετο ὁ ξένος ὁ Πανδοκεὺς ἐθεάσατο, καὶ παραχρῆμα ἐποφθαλμιᾷ. καὶ ζώνη κοπεῖσα, τὴν ὁδὸν λύει τεῖχος.

Ζώνων ἐπὶ γυναικὸς μόνον. καὶ ζωνιοπλόκος ὁ ταῦτα πλέκων. ζώνη δὲ καὶ ἐπ' ἀνδρὸς καὶ γυναικὸς καταχρηστικῶς. ὁ μέντοι ζωνοπλόκος, ἔοικε γὰρ τὰ τῶν ἀνδρῶν μὴ πλέκεσθαι, ἀλλὰ τὰ τῶν γυναικῶν.

Ζώννυσθαι τὸ καθοπλίζεσθαι, συνεκδοχικῶς ἀπὸ μέρους. ζώννυσθαι λέγει Ὅμηρος καὶ ἀντὶ τοῦ ὁπλίζεσθαι. οἷον Ἀτρείδης δ' ἐβόησε, ἰδὲ ζώννυσθαι ἄνωγεν Ἀργείους. καὶ ζώννυσθαι χαλκῷ, ὡς ἀπὸ μέρους τὸ ἁπλῶς ὁπλίζεσθαι. μέρος γὰρ ἡ ζώνη τοῦ ὅλου ὁπλισμοῦ, ὥσπερ καὶ ὁ θώραξ. ἀφ' οὗ τὸ θωρήσσεσθαι. καὶ ἡ αἰχμὴ, ὅθεν τὸ αἰχμάζειν ἢ αἰχμάσσειν, ὡς ἀπὸ τοῦ δόρυ τὸ δορύσσειν.

Ζωννύω, καὶ ζώννυμι.

Ζωννύσκετο μίτρην, ζωννύσκετο τὴν χαλκῆν λεπίδα.

Ζωνογάστορες, οἱ τὰς γαστέρας ζωννύμενοι.

Ζώντειον, κολαστήριον οἰκετῶν.

Ζώντιον, τὸν μύλωνα, οἷον ζεόντιον, ὅπου τὰς ζειὰς ἔκοπτον. Ἄλλως.

Ζώντιον προπαροξυτόνως τὸν μύλωνα, παρὰ τὰς ζειὰς, αἳ καὶ ζεαὶ καλοῦνται. ὅπου αἱ ζεαὶ ἐκόπτοντο. οἱονεὶ, ζεόντιον. οἱ δὲ τόπου ὄνομα, ὅπου ἐκολάζοντο οἱ οἰκέται. Ἀριστοφάνης Βαβυλωνίοις.

Ζωογόνος, ζωοποιός.

Ζῷόν ἐστι, τὸ ἐκ μὴ ὄντων εἰς τὴν παροῦσαν ζωὴν ἐληλυθός. ἢ ζῷόν ἐστιν, οὐσία ἔμψυχος αἰσθητική.

Ζωοδότειρα, ἡ ζωὴν παρέχουσα.

Ζωοδότης, ὁ ζωὴν πᾶσι διδοὺς ἀγαθὸς Θεός.

Ζώοντες, ζῶντες.

Ζωοπώλας, ὁ τὰ ἱερὰ ζῶα πιπράσκων. καὶ ὁ τόπος, Ζωόπωλις.

Ζωὸς γενέσθαι κρομμύου μόνου λαβών, πρὸς τοὺς ὑπὸ μικρᾶς αἰτίας μεγάλας δόξας καρπουμένους.

Ζωοτρόφος, ζωοποιοῦσα.

Ζωοφόρος, καὶ Σαλαμάνδρα, καὶ ἀγγεῖον νεκροῦ.

Ζώπισσαν, τὴν ξηρὰν ῥητίνην.

Ζωπύρα, βοτάνη ὑπὸ ἐνίων καινοποδίων, ἢ ἀνθρακιὰ, φυσητήρα.

Ζώπυρα, τοῦ ζῆν ποιητικὰ, ἢ ζώπυρα, λείψανα.

Ζωπύρας, φυσητῆρας, ζωτικὰς, ὅθεν οἱ χαλκεῖς ταῖς τὸ πῦρ ἐκφυσῶσιν.

Ζωπυρεῖν κυρίως, τὸ τοὺς ἄνθρακας φυσᾶν. καὶ ζωπυρῆσαι, ἀπὸ μεταφορᾶς τοῦ πυρὸς λέγεται. καὶ ἐπὶ τοὺς ἐξ ἀρρωστίας ἀναρρωννυμένους, ζωπυροῦ τοῦ πυρὸς τι ὑποκρύπτου. ἀφ' οὗ καὶ ζώπυρον. Λουκιανὸς ἐν Τίμωνι, ζώπυρον τοῦ ἀνθρωπίνου γένους, ἤγουν ὑπόλειμμα. εἴληφε δὲ τοῦτο ἐκ τοῦ Πλάτωνος, λέγοντος μικρὰ ζώπυρα τοῦ τῶν ἀνθρώπων γένους.

Ζωπυρῆσαι, ἀναθάλψαι, ἐκ μεταφορᾶς ἀπὸ τοῦ πυρός. ἐπὶ τοὺς ἐξ ἀρρωστίας ἀναρρωννυμένους λέγουσιν Ἀττικοί. ἢ ζωπυρῆσαι κυρίως ἐστὶ, τὸ ἐκ μικροῦ σπινθῆρος φυσῶντα, μεγάλην φλόγα ἀνάψαι. καὶ ἐπὶ πολέμου δὲ λέγεται.

Ζωπυρήσεις, ἀντὶ τοῦ ἀνεγερεῖς. εἰ μὴ τῷ Θεῷ ζωπυρήσεις, λύσω τὸν ἐμαυτοῦ υἱόν. καὶ ποιήσω τήμερον τοὺς δημότας βωστρεῖν σ' ἐγὼ πεπαυμένον.

Ζωπυρία, φυσητηρία.

Ζώπυρον, πεπυρακτωμένον, ἔνθερμον. ἢ ζώπυρον, ὁ ἐν τῇ σποδιᾷ μικρὸς σπινθήρ. ἐμπύρευμα δὲ ἀπὸ τοῦ πυρὸς μέρος τι, ἀλλαχόσε μεταδιδόμενον εἰς προσάναψιν.

Ζώπυρος ὁ Πέρσης Βασιλεῖ χαριζόμενος, μαστιγώσας ἑαυτὸν, τῆς ῥινὸς καὶ τῶν ὤτων ἀφελόμενος εἰσελθὼν εἰς Βαβυλῶνα, προὔδωκε τὴν πόλιν.

Ζωρὸν, ἄκρατον οἶνον, καὶ ζωρός.

Ζωροπόται, ἀκρατοπόται.

Ζωρότερον, ἀκρατότερον κεράσας ἰσοχειλέα. καὶ Ὅμηρος εἰπὼν, ζωρότερον δ' ἐκέραιε, διαφορὰς κράσεων λέγει. ὡς μίγματός τινος στερεμνίους ποιοῦντος τοὺς πίνοντας.

Ζωρὸς, ἐνεργὴς, ταχύς.

Ζὼς ἐκ τοῦ ζωὸς γίνεται, κατὰ συναίρεσιν. οἷον ζωὸς ἔην. καὶ ἄδρηστον ζωὸν ἕλε διὸ ὀξύνεται, ὡς ἐκ βαρείας καὶ ὀξείας συναιρεθέν. εἰ καὶ ὁ Ἀσκαλωνίτης αὐτὸ περισπᾷ, καθά φησιν Ἀπίων καὶ Ἡρόδωρος, καὶ οὐκ ἔστιν ὅμοιον τῷ σῶς ὁ ὑγιής. ἐκεῖνο γὰρ ἐκ τοῦ σόος περισπᾶται, ὡς ἐξ ὀξείας καὶ βαρείας κραθέν.

Ζῶς, ἀντὶ τοῦ ζῶν.

Ζῶσαι, ζώννυσθαι. καὶ τοῦτο σαφῶς ἐν τῷ ζώσατο μὲν ῥάκεσι περὶ μήδεα Ὀδυσσεύς. καὶ τὸν Ἶρον δὲ μνηστῆρες ἄγουσι ζώσαντες ἀνάγκῃ.

Ζώσασθαι, παρ' Ὁμήρῳ ζώννυσθαι, ἐκ τοῦ ζῶσαι λέγεται, καὶ ζωστήρ. καὶ τὸ παρὰ Σοφοκλεῖ ζῶμα δίχα τοῦ σ. οἷον καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον. ὃ ταυτόν ἐστι τῇ ζώνῃ, δι' ἧς φασι τρία τινὰ δηλοῦνται, ζωστὴρ μίτρα, καὶ τόπος σώματος καθ' ὃν ζωννύμεθα. δῆλον δὲ ὅτι καθὰ ἐκ τοῦ χῶ καὶ ῥῶ γίνεται χωννύω καὶ ῥωννύω, οὕτω καὶ ἐκ τοῦ ζῶ, οὗ ἀπαρεμφατικὸν τὸ ζῶσαι, τὸ ζωννύω. ἀφ' οὗ ὡς χώννυμι ῥώννυμι, οὕτω καὶ ζώννυμι. καθ' ἱστορίαν δέ τινα παραγωγὴν, καὶ τὸ ζωννύσκω. ὡς τὸ, ζωννύσκετο μίτραν.

Ζώσας, ἐναργεστέρας, οὐκ ἀπολλυμένας. Σοφοκλῆς, ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων. ὁρῶ ζώσας, καὶ οὐκ ἀπολλυμένας, ἀντὶ τοῦ οὐ σφάλλονται, ἀλλὰ τοῦ ἀποβησομένου στοχάζονται καλῶς.

Ζώσατο ῥακέεσι παρ' Ὁμήρῳ, ἐμφαίνει ζώνῃ χρῆσθαι τοὺς πυγμάχους. καὶ οὕτως ἀνεστείλαντο ἱμάτιον. ἀλλὰ ἀποδυσαμένους αὐτὰ ἱματίῳ ζώννυσθαι, ὡς ἐνταῦθα Ὀδυσσεὺς ἐζώσατο ῥάκεσιν.

Digitized by Google

σιν. ὧν γυμνωθεὶς, μήδεα μὲν καλύπτει, φαίνει δὲ μηροὺς καὶ στήθεα καὶ βραχίονας, ὃ τὴν ῥηθεῖσαν γύμνωσιν φράζει.

Ζῶσμα φαεινὸν, τὸν χιτῶνα, ἀπὸ τοῦ ζώννυσθαι. ἄλλοι δὲ τὸν θώρακα, οἱ δὲ κυρίως τὸ ζῶσμα, οἱ Ῥωμαίων ψιλοὶ, ἐφαπτίδας εἶχον ἕκαστος αὐτῶν καὶ ζώσματα πρὸ τῶν μηρῶν.

Ζωστὰς, ζώνας.

Ζωστήρια, Ἀθηνᾶς ἐπίθετον ἐν Βοιωτίᾳ.

Ζωστήριον, ὄνομα τόπου.

Ζωστὴρ, ᾧ ἐπάνω τοῦ θώρακος χρῶνται. ἡ ζωστὴρ, κατὰ πολυωνυμίας λόγον, ὁ αὐτὸς τῇ ζώνῃ, ἣν καὶ θωρακοζώνην φασί τινες.

Ζῶστρα, τὰ ζώματα. καὶ ζώνας ἢ χιτῶνας ζωστοὺς, ἢ χλαίνας ἀνδρείους. τινὲς δὲ καὶ ἐνδύματα. ἢ ζῶστρα, τὰ πρὸς τὴν ζώνην ἐπιτήδεια, οἷς ἔστι ζώσασθαι. καὶ ζῶστρα, ἐνδύματά τινα ἀνδρῶν, οἷον χιτῶνες βαθεῖς, οἷς ζώννυται ἡ ζώνη.

Ζωτεάτας Ἀπόλλων, ἐν Ἄργει, ἀπὸ τόπου.

Ζωτεῖσθαι, ζωογονεῖσθαι.

Ζωτελιστὴς, ὁ Ἀπόλλων ἐν Κορίνθῳ.

Ζωτικὸς, ζώϊμος μετάλαβε τροφῆς. ὡς τὸ, ψυχίμου, καὶ ζωΐμου.

Ζωΰφια, τὰ μικρὰ ζῶα, ἤτοι κνώδαλα, ἢ πτωκά.

Ζωφοδορπίας, ὁ σκοτεινὸς δεῖπνος.

Ζώων, ἀντὶ τοῦ ζῶν. ζώων μὲν σίο μητρί.

Ζωώσας, ζωοποιήσας.

Τέλος τοῦ ζ΄. στοιχείου.

ΑΡΧΗ ΤΟΥ Η.

ΣΤΟΙΧΕΙΟΥ. ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Ηʹ Τὸ στοιχεῖον, ἐκ τοῦ ἦτα καὶ ταῦ ἔχει τὸν χαρακτῆρα τοῦ στοιχείου. ἦτα γὰρ πλάγιον τεθῇ, εὑρήσεις ταῦ. εἰ δὲ ἀπὸ πρώτης γραμμῆς τοῦ ἦτα βαρεῖαν δώσεις διὰ τῆς ἐν μέσῳ γραμμῆς, τὸ ἦτα εὑρήσεις ἄλφα.

Ἦ σύνδεσμος περισπώμενος τρία, καὶ βαρυνόμενος τρία σημαίνει. περισπώμενος μὲν γάρ ἐστι παραπληρωματικὸς, βεβαιωτικὸς, διαπορητικός. βαρυνόμενος δὲ, διαζευκτικὸς, παραδιαζευκτικὸς, διασαφητικός. ὁ μὲν οὖν διαζευκτικὸς, οὕτως. ἢ ἡμέρα ἐστὶν, ἢ νύξ. ὁ δὲ παραδιαζευκτικὸς, κεῖται ἀντὶ τοῦ καί. ὡς παρὰ Πλάτωνι, Μίνως, ἢ περὶ νόμων, ἀντὶ τοῦ, καὶ περὶ νόμων. τὸ δὲ βούλομαι πλουτεῖν, ἢ πένεσθαι, τοῦ διασαφητικοῦ ἐστιν. ἔθος δὲ τοῖς διασαφητικοῖς συνδέσμοις, δύο πραγμάτων τοῦ μὲν ἑνὸς ποιεῖσθαι αἵρεσιν, τοῦ δὲ ἑτέρου ἀποβολήν. καὶ ἀποβολὴ μὲν, ὡς τὸ, βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. Ἄλλως.

Ἢ σύνδεσμος, ἢ διαζευκτικός ἐστιν, ἢ διασαφητικὸς, ἢ ὑποδιαζευκτικός. καὶ διαζευκτικὸς μὲν, ὅτε ἐναντία τῇ συντάξει δηλοῦν. οἷον, ἡμέρα ἢ νὺξ, ἢ νέος ἠὲ παλαιός. ὑποδιαζευκτικὸς δέ ἐστιν, ὁ διάφορα πράγματα τιθεὶς, μηδὲν ἕτερον ἐν τῇ διαιτήσει δηλοῦν. οἷον, δός μοι χρυσὸν ἢ ἄργυρον, ἠδὲ λίθους τιμίους. διασαφητικὸς δὲ, ὅταν δύο προτεθέντων, τὸ ἓν ἀναιρῆται. οἷον, κρεῖσσον ἐν γῇ γενέσθαι, ἢ πλεύσαντα πλεῖν. καὶ θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον. Ἄλλως. Ἢ, δηλοῖ ἑπτά. λαμβάνεται γὰρ ἐνίοτε μὲν, ὡς σύνδεσμος διαζευκτικός. ἐνίοτε δὲ, ὡς ἐπίρρημα, ἢ διασαφητικὸν, ἢ διαπορητικὸν, ἢ διαβεβαιωτικὸν, ἢ τοπικὸν, ἢ ὁμοιωματικὸν, ἢ ἀντὶ τοῦ καθά. ἐνίοτε δὲ, ἄρθρον ἐστὶν ὑποτακτικὸν, γένους θηλυκοῦ. καὶ ἐπὶ μὲν τῶν τριῶν, ψιλοῦται καὶ ὀξύνεται. ὅτε δὲ ἐπὶ βεβαιώσεως κεῖται, ἤγουν ἀντὶ τοῦ ὄντως, ψιλοῦται καὶ περισπᾶται. ὅτε δὲ τοπικόν ἐστιν ἐπίρρημα, καὶ δηλοῖ τόπον, καὶ ὅτε ὁμοιωματικὸν ἀντὶ τοῦ καθά, καὶ ὅτε ἄρθρον ἐστὶν, ἀεὶ δασύνεται καὶ περισπᾶται. γράφεται δὲ ἐν ἅπασι τούτοις, διὰ τοῦ ῃ.

Ἢ καὶ ἠὲ, διαζευκτικοὶ σύνδεσμοι. οἵτινες τὰ διεζευγμένα συνδοῦσι, καὶ ἢ πρᾶγμα ἀπὸ πράγματος, ἢ πρόσωπον ἀπὸ προσώπου διαζευγνύντες, τὴν φράσιν ἐπισυνδοῦσιν. οἷον, ἄρκιον ἢ ἀπολέσθαι, ἠὲ σαωθῆναι. εἷς δέ τις ἀνὴρ βουληφόρος ἔστω, ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεύς.

Ἦ ὀδυσσῆ, ὃν φασὶ θεοῖς. Ὅμηρος ἐν Ὀδυσσείας τ΄, οὐ συνήθως ἀντὶ τοῦ παρὰ τὸν Ὀδυσσέα. δηλοῖ δὲ μᾶλλον ἐπίτασίν τινα, ὡς εἴ τις εἴποι, πολλῷ δὴ πλέον τὸν Ὀδυσσέα χρὴ κλαίεσθαι.

Ἢ, τὸ σημαῖνον τὸ παρὸ, ἀεὶ μετὰ συγκριτικοῦ γράφεται. οἷον καλλίων ὁ δεῖνα, ἢ ὁ δεῖνα. ἢ οὕτω κρείσσων οὗτος, ἢ κατὰ τὸν δεῖνα. τὸ γὰρ εἰπεῖν οὕτω, βελτίων ὁ δεῖνα τοῦ δεῖνος, πᾶσι δῆλόν ἐστιν.

Ἦ ψιλούμενον καὶ περισπώμενον, σύνδεσμον δηλοῖ παραπληρωματικὸν, ἴσον τῷ δή. καὶ ἀντὶ ἀπορρηματικοῦ τοῦ ἆρα. καὶ ῥῆμα ἴσον τῷ ἔφη. Ὅμηρος γοῦν ἐπὶ προειρημένοις λόγοις ἐπιφέρει τὸ ἦ, δηλοῦν τὸ ἔφη.

Ἣ δασυνόμενον καὶ βαρυνόμενον, ἄρθρον θηλυκὸν ὑποτακτικὸν, καὶ ἀντωνυμίαν ἀναφορικὴν καὶ συνάρθρον τρίτου προσώπου ἀπὸ συζυγίας, τῆς ἐμὴ, σὴ, ἣ, δηλοῖ.

Ἢ σύνδεσμος διαζευκτικὸς, οὕτω τίθεται. Εἷς δέ τις ἀνὴρ βουληφόρος ἔστω, ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεύς. ὅταν δὲ μετὰ τὸν ἤτοι ἀκολουθῇ τὸ ἢ, τότε τὸ ἤτοι καὶ τὸ ἢ ἰσοδυναμοῦσιν. οἷον, ἤτοι ἀγαθὸν, ἢ φαῦλόν ἐστιν.

Ἧ δασυνόμενον καὶ περισπώμενον, ἄρθρον θηλυκὸν ὑποτακτικὸν, δοτικῆς πτώσεως σημαντικὸν, ἢ καὶ ἀντωνυμίαν συνάρθρον τρίτου προσώπου, ἀντὶ τοῦ ἑῇ.

Ἦ παρὰ Ἀριστοφάνει ἐν νεφέλαις. ἢ ἡσύχα, μηδὲν εἴπῃς νήπιον, συγκατατεθετικῶς. μὴ εἴπῃς δὲ, εὐήθες.

Ἦ παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἤμην. οἷον, ἢ παρασχηματισμένος. τὸ γὰρ ἦ ἄνευ τοῦ ν, ἀντὶ τοῦ ἤμην λαμβάνεται. οἱ γὰρ Ἀττικοὶ τὸ ἦν καὶ ὑπῆρχον ἐγὼ, ἦ φασίν. οὕτως, ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω γίνεται. ὁ παρατατικὸς ἦν, διὰ διφθόγγου. καὶ διαλύσει Ἰωνικῇ τῆς ει διφθόγγου εἰς ε καὶ α, γίνεται ἔα. ὡς καὶ τὸ ἤδειν ἤδεα, καὶ τὸ τιθέασιν. ἡ χρῆσις δὲ παρ' Ὁμήρῳ. ὡς τὸ, οὐ γὰρ ἀμενηνὸς ἔα. εἶτα κιρνῶντες τὸ ε καὶ α, ἦ φασιν.

Ἦ ἀγάπη οὐ περπερεύεται, ἀντὶ τοῦ οὐ προπετεύεται. καὶ ἔστιν ἐν τῷ Περπερεία.

Ἦ ἀντὶ τοῦ εἶπεν. εἴρω τὸ λέγω. τὸ παράγωγον, φημί. ἀφαιρέσει τοῦ φ, ἠμὶ, τὸ αὐτὸ σημαῖνον. ὁ δεύτερος ἀόριστος, ἦν, ἧς, ἦ.

Ἦ, ἀντὶ τοῦ ἦν. Ἀριστοφάνης, κἂν ἄμυστοι ἦ τὸ πρίν. Ἀττικὸν, ὡς τὸ, ἦ παρεσκευασμένος.

Ἧ, ἀντὶ τοῦ ὅπου. δεῖ γινώσκειν, ὅτι τὰ εἰς η λήγοντα ἐπιρρήματα, ἔχει τὸ ι προσγεγραμμένον. καὶ ἧ, ὅπου, τοπικόν. ἢ ἅμα μὲν στερεὸν, ἅμα δὲ χθαμαλὸν ἦν.

Ἧ ἀντὶ τοῦ ὡς, καθὼς, καθά.

Ἦ, ἀντὶ τοῦ ὑπάρχει.

Ἦ, ἀντὶ τοῦ ἤμην, καὶ ἀντὶ τοῦ ἦν.

Ἤ, ἀντὶ τοῦ ἤ τινι.

Ἦ, εἶπεν, ἀληθῶς, ὄντως.

Ἦ σύνδεσμος, ἰσοδυναμεῖ τῷ δή. ὥσπερ κεῖσθαι τὸν δὴ σύνδεσμον παρ' Ὁμήρῳ, ἢ δὴ λοίγια ἔργα, ἐκ παραλλήλου.

Ἦ, ἀντὶ τοῦ ἔφη, ἐκ τοῦ ἠμὶ, ταυτὸν τῷ φημί. οὗ ὁ δεύτερος ἀόριστος ἦν, ἀντὶ τοῦ ἔφην, τὸ τρίτον ἦ.

Ἦα, τὸ ἐπορευόμην. ἀπὸ τοῦ εἶω, τὸ πορεύομαι. ὁ μέσος παρακείμενος, εἶα. καὶ διαλύσει, ἔα. καὶ τροπῇ τοῦ ε εἰς η, μένοντος τοῦ ι προσγεγραμμένου. οἱ δὲ Ἴωνες λέγουσιν, ἤια. καὶ ἦα, ἀντὶ τοῦ ἦλθον.

Ἧατο, ἐκαθέζετο.

Ἦ χωρὶς τοῦ ν, ἀντὶ τοῦ ἦν. ἀλλ' οἷά περ αὐτὸς ἔμαθον ὅτε παῖς ἦ, ἀντὶ τοῦ ἦα. Ἀριστοφάνης ὄρνισι, καὶ ἐν Λυσιστράτῃ, ἢ δεκέτης, ἀντὶ τοῦ ἔα, κατὰ συναίρεσιν ἦ, ἀντὶ τοῦ ἤμην χωρὶς τοῦ ν. Ἀριστοφάνης πλούτῳ, ἃ κρύπτειν ἦ παρεσκευασμένος. τίθεται καὶ ἐπὶ τρίτου προσώπου. ὅτι δὲ καὶ ἐπὶ τοῦ ἤμην ἐκ τῆς ὁμηρικῆς διαιρέσεως ὡς ἔον, εἶπον τ' ἦν γε.

Ἦα. καινότερον μὲν εἰπεῖν, πρῶτος ἀόριστος τοῦ ἦον. ὃς Ἰωνικῶς ἔον λέγεται. οὗ μετοχὴ ἐών. ἰάδι δὲ συστολῇ, εὕρηται καὶ ἔα. ἀφ' οὗ κατὰ κρᾶσιν ἦ, δίχα τοῦ ν. οὗ τὸ κοινὸν καὶ πεπερασμένον, ἦν μετὰ τοῦ ν. Ἴωνες τοὺς παρῳχημένους ἀπὸ τῶν αὐτῶν στοιχείων προφέρονται ταῖς μετοχαῖς. οἷον, εἰπὼν εἶπον, λαβὼν λάβον. οὕτως ἦα καὶ ἔα Ἰακῶς. οἷον, εἰ ποτε κοῦρος ἔα. ἐπεὶ καὶ ἐὼν ἡ μετοχὴ ἀπὸ τοῦ ε ἄρχεται. Ἀρίσταρχοι λέγουσι τὸ ἦν ἔα γενέσθαι κατὰ τμῆσιν. ὁποία τις γίνεται καὶ ἐν τῷ ἥνται ἕαται, καὶ τοῖς ὁμοίοις.

Ἠκόντες, θρηνήσαντες, ἀπὸ Σκυθῶν ῥῆσις. τέτακται ἡ παροιμία, ἐπὶ τῶν ἀποτόμως οἰμώζειν τινὰ λεγόντων. παρ' ὅσον οἱ Σκύθαι Δαρείῳ τῷ Πέρσῃ μηνύσαντι περὶ τοῦ εἶξαι, ἀπεκρίναντο εἰπόντες, κλαίειν αὐτόν.

Ἠάριζον, τὸ τοῦ ἔαρος ἔλεγον, ἢ τὸ ἔαρ τοῦ διῆγον.

Ἦαρ, αἷμα, ψυχή.

ΤΟ Η. ΜΕΤΑ ΤΟΥ Β.

Ἠ Βαιὰ, καὶ ἠβαιὸν, μικρὸν, ὀλίγον. οἷον, ἄβαιον. οὐκ ἔστιν ἐπιβιῶναι, διὰ σμικρότητα, ἢ ὀλιγοχρόνιον. τὸ δὲ αὐτὸ δηλοῖ καὶ τὸ βέβαιον.

Ἠβαιὸς, ὁ μικρός.

Ἡβᾷν καὶ ἀνηβᾷν κάλλιον, ἢ ἡβάσκειν, καὶ ἀνηβάσκειν. ἡβᾷ, ἀκμάζει, σφριγᾷ. ἡβήσας, τριχώσας τὰ αἰδοῖα.

Ἡβάσκει, ἀκμάζει.

Ἡβάσκοντες, ἐκ δευτέρου ἀκμάζοντες, ἢ αὐξάνοντες.

Ἥβη, ἡ πρώτη τρίχωσις τῶν αἰδοίων, καὶ ὁ τετριχωμένος ἐκεῖνος τόπος. ἔτι καὶ ὁ καιρὸς, καθ' ὃν γίνεται τοῦτο. ἐξ οὗ παρονομάζεται ὁ ἡβῶν, καὶ ὁ πρὸ τούτου ἀπότριχος κατὰ τοὺς παλαιούς. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ ἥδω, ἥδη τις οὖσα κατὰ τοὺς παλαιούς. καὶ τροπῇ Βοιωτικῇ τοῦ δ εἰς β ἥβη. λέγεται δὲ καὶ ἐπὶ κτηνῶν ἡ ἥβη. φησὶ γοῦν Ἡσίοδος, ἥβης μέτρον ἔχοντες. καὶ ἐπὶ φυτῶν δέ. ἡμερίδες γὰρ ἐν ὀδυσσείᾳ ἡβώωσαι. λέγεται δὲ ἥβη οὐ μόνον ἐπὶ ἡλικίας, ἀλλὰ καὶ τὰ περὶ τὸ αἰδοῖον. καὶ χρόνος ἥβης, ὅτε τριχοῦνται. ἡ δὲ ἥβη, ἀπὸ τοῦ ἥδω κατὰ τοὺς παλαιούς. ἡ δεῖα γὰρ καὶ χαριεστάτη. οἱ δὲ Ἀττικοὶ, ἐπὶ νεανικῆς ἡλικίας τίθενται. ὅθεν ἡβυλλιᾶν, ἐπὶ μειρακίσκης κατὰ τὸν κωμικόν. ἡ ἥβη, νεότης, ἀκμή. σημαίνει δὲ καὶ ὄνομα θεᾶς. ἡ Ἥβη, θυγάτηρ Ἥρας Ἡρακλεῖ συνοῦσα. ἑτέρως μέντοι πρὸς ἀλήθειαν, ἀνθρώπου ἡλικίαν ἡ λέξις σημαίνει, ὅτε τριχοῦνται αὐτῷ ἐκ νέων ἄτριχα. διὸ καὶ ἀπότριχες, οἱ ἄνηβοι. ἐκ τοῦ ἥδω ἐστὶ τὸ εὐφραίνω ἡ ἥβη. χαριεστάτη γὰρ ἡ τοιαύτη ἡλικία καὶ ἡδεῖα. κατὰ τὸ, ὑπὲρ χαριεστάτη ἥβη. ἀφ' ἧς καὶ τὰ ἱστορούμενα ἐνηβητήρια, καὶ τὸ ἡβαδὸν ἐπίρρημα. καὶ τὸ ἡβῶ, ἡβήσκω, καὶ ἡβάσω. ἐξ οὗ τὸ ἡβάσκω, προσλήψει τοῦ η. καὶ ἡ ἐν ὀδυσσείᾳ προθήβη. τὸ δὲ ὑβιλλιᾶν παρὰ τῷ κωμικῷ, καὶ τὸ ἐφήβαιον, οὗ πρόκειται ἡ ἥβη, ἑτεροῖον μέρος αὐτὴ δηλοῦσα σώματος.

Ἡβηδὸν ἡβῶντας, ἢ τὰς στρατιὰς, ἢ ἀθρόον ὅλας καθ' ἡλικίας. οἱ δὲ ἡβηδὸν ἅπαντας ἀπέσφαξαν. ὀργὴν ποιούμενοι τῷ μὴ τεισφῶν ὑπαχθῆναι λόγοις.

* Ἡβηδὸν, σὺν πάσῃ ἡλικίᾳ παρὰ δὲ Ἡροδότῳ ἀντὶ τοῦ μετὰ αἰσχύνης, μετὰ ἀκολασίας.

Ἡβήσας, ἡλικιωθείς. καὶ ἡβῆσαι, ὅταν περιλαμβάνωσιν οἱ υἱοὶ τῶν πατρῴων κλῆρον.

Ἡβήσαντες, ἀκμάσαντες. ὡς τὸ, οἱ δὲ παῖδες ἡβήσαντες, καὶ γενόμενοι θυμοῦ καὶ χειρῶν κύριοι.

Ἡβητὴρ, καὶ ἥβη, ἡ πρώτη ἔκφυσις τῶν τριχῶν. ὡς ἐν

ὡς ἐν ἐπιγράμματι, ἐκάλει ἀβιώτους. ἀπεχθαίρω γὰρ τὴν τρίχα, τὴν ταχὺ φυομένην.

Ἡβητήριον, τὸ παιδευτήριον.

Ἡβήτιον, ἡ κατάλυσις.

Ἧβητον, τὸ ξόανον.

Ἡβήτης, ἀκμάζων, νεανίας, ἧλιξ.

Ἡ βολον ἦμαρ, καθ' ὃ ἀπαντῶσιν εἰς αὐτὸν, ἢ εὔκαιρον, ἱερόν.

Ἡβολῶν, τὸ ἀργεῖν.

Ἡβὸς, ὀχυρός. Ἱππόλυτος ὁ κωμικὸς φησιν.

Ἡβουλόμην, ὡς ἀττικώτερον. ἐβουλόμην δὲ, πολλοί.

Ἡ βούλονται, καθὰ βούλονται.

Ἡβρέτας, ἀνδρὸς ἄγαλμα, ξόανον.

Ἡβυλλιῶσαι παρὰ τῷ Ἀριστοφάνει, ἡβῶσαι, καὶ αἰσχρῶς τίλλουσαι τὸ αἰδοῖον. ἢ ἀντὶ τοῦ ἀκμάζουσαι.

Ἡβῷμαι, ἡβῷμι, καὶ ἡβώοιμι, αὐξάνοιμι, εὐκτικά.

Ἡβώωσα, αὐξάνουσα.

Ἡβῶ, ἡβάσκω ἀμεταβάτως. ἡβᾶν, τὸ ἐν τῇ ἥβῃ εἶναι.

Ἡβάσκω, τὸ τῆς ἥβης ἅπτομαι. ἡβῶ, τὸ ἀκμάζω, καὶ ἡβάσκω, καὶ ἥβη, ἡ ἀκμὴ τῆς ἡλικίας.

Ἡβῷμι, ἐκ τοῦ ἡβῶ δισυλλάβου ῥήματος. τὸ δὲ ἡβώοιμι, ἐκ τοῦ ἡβόω τρισυλλάβου.

Ἡβῶντες, ἀκμάζοντες.

Ἡβώοιμι, ἀκμάζοιμι.

ΤΟ Ἡ. ΜΕΤΑ ΤΟΥ Γ.

Ἡγαγόμην ἐπὶ χαμμάτων, ἀντὶ τοῦ ἔφερον κεῖται.

Ἠγάζοντο, ἐθαύμαζον.

Ἡγαθέη λῆμνος, τουτέστιν ἀγαστὴ, ὡς τῷ Ἡφαίστῳ ἀνακειμένη. καὶ ἠγάθεον ὄρος, τουτέστιν ἀγαθὸν, ἢ ἀγανθεῖον, μακάριον.

Ἡγαλέην κάλπιν ἀειρομένην, τὴν κατεαγεῖσαν ἢ κολοβωθεῖσαν, ἢ κοιλωθεῖσαν. παρὰ τὸ ἄγος, ὃ σημαίνει τὸ ῥῆγμα. ἐκ τοῦ ἄγω τὸ κλάζω, καὶ ἀγαλέος, ὡς τάρβος ταρβαλέος, κατεαγὸς, κοῖλον, εὔθλαστον.

Ἤγαλλεν, ἐθεράπευεν.

Ἡγαλλὶς, ἡ θεραπευτική.

Ἠγάλλοντο, ἐγαυρίων.

Ἠγαλλιάσατο, ἠγάσθη, ἐθαύμασεν, ἐχάρη, εὐηρέστησεν.

Ἠγάμην, ἀπεδεξάμην.

Ἡγανέα τέμμεστα, τὰ ἀπὸ στηγάνου.

Ἡγανὲς, καθαρὸν, νέον.

Ἡγανὸς, νεανίσκος.

Ἦ γάρ με, ὄντως γάρ με.

Ἦ γὰρ, τί δὲ, οὕτω γὰρ, ὄντως γάρ.

Ἦ γὰρ, ἐπειδάν.

Ἦ γὰρ, ἀντὶ τοῦ οὐχ οὕτως.

Ἠγάσθη τῆς ὥρας, ἤγουν ἐξεπλάγη τῆς εὐμορφίας.

Ἠγάσθησαν, ἀντὶ τοῦ ἠγοῦντο, ἢ ἐθαύμασαν.

Ἠγάσατο, ἐθαύμασεν, ἐξεπλάγη. παρὰ τὸ ἄγαν ἀγάζω, ὡς λίαν λιάζω. πλεονασμῷ τοῦ σ, διὰ τὸ μέτρον.

Ἤγαστο, ἐνεμέσησεν, ἐφθόνησεν, ὠργίσθη, ἐθαύμασεν, ἐνετράπη.

Ἠγγέλη, ἀπηγγέλθη.

Ἠγγίστρωται, ἐγκατεπέπλεκται, παρὰ τῷ Ἱπποκράτει.

Ἠγγύα, ἐβεβαίου.

Ἠγγυροβολεῖται, ἐγκατεπέφυκεν ἀγκύρᾳ ὁμοίως. παρὰ τῷ Ἱπποκράτει.

Ἦγε καὶ ἔφερεν, ἀντὶ τοῦ ᾐχμαλώτιζε, κατέτρεχεν. ὁ δὲ ἐκεῖθεν ὁρμώμενος ἦγε καὶ ἔφερε τοὺς ὑπ' ἐκείνῳ οὐκ ὀλίγους.

Ἡγέμαχοι, πολέμαρχοι.

Ἤγειρα, παρώξυνα.

Ἤγειρεν, ἀνέδειξεν, ἀνέστησεν.

Ἡγεῖσθαι, δοκιμάζειν, δοκεῖν.

Ἡγέσθην, ἀντὶ τοῦ ἡγοῦντο.

Ἡγεῖτο, ηὐθύνετο, ἦρχεν.

Ἡγέλοχος, τραγῳδίας ὑποκριτὴς, ὡς Ἀριστοφάνης ἐν βατράχοις. Ἔξεστι δ' ὥσπερ Ἡγέλοχος ἡμῖν λέγειν. ἐκ κυμάτων γὰρ αὖθις γαλῆν' ὁρῶ, ἐπὶ τῶν διαφυγόντων τὰ λυπηρά. ὁ γὰρ Ἡγέλοχος οὗτος, καὶ ἐν τῷ Ὀρέστῃ τοῦ Εὐριπίδου ὑποκριθέντος αὐτοῦ, τοῦ πνεύματος ἐν τῷδε τῷ στίχῳ, ἐκ κυμάτων γὰρ αὖθις γαλήν' ὁρῶ. γαλήνην γὰρ τὸ πλῆρες, αἰφνιδίως ὀφθῆναι συνελόντα τὴν συναλοιφήν. τοῦτον δὲ καὶ ὡς ἀπαρτὴν τὴν φωνὴν Πλάτων σκώπτει, καὶ Στράττις, καὶ ἄλλοι.

Ἦγε μιν, ἤγαγεν αὐτόν.

Ἡγεμόνη, Ἄρτεμις καὶ Ἀφροδίτη, καὶ θεαῖς τισιν οὕτω καλεῖται.

Ἡγεμονικὸν, ὁ νοῦς, ἢ τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι, καὶ αἱ ὁρμαὶ γίνονται, καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται, ὅπερ εἶναι ἐν τῇ καρδίᾳ λέγεται.

Ἡγεμόνιον Ἑρμῆν, οἱ Ἀθηναῖοι ἱδρύσαντο, παρὰ τὸ τοῖς τυφλοῖς τοὺς βλέποντας ἡγεῖσθαι κατὰ χρησμόν.

Ἡγεμὼν, ὁ τῆς ὁδοῦ ἡγούμενος. Ξενοφῶν, καὶ τὸν ἡγεμόνα δήσαντες, παραδιδόασιν αὐτοῖς, καὶ ἡγεμὼν συμμαχίας. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος, ὁ προέχων πλεῖστον, καὶ διὰ τοῦτο τῶν ἄλλων ἡγεμονεύειν ἀπειλημμένος. παρὰ τὸ ἡγῶ, ἡγήσω ἡγεμὼν, καὶ ἡγεμὼν ἡγεμόνος. συστέλλεται δὲ ὡς ῥηματικόν.

Ἡγεμονεύειν, διοικεῖν. καὶ ἡγεμόνι, ὑπεροχικῷ ἄρχοντι, καὶ καθηγεμόνι.

Ἡγεμονία, προστασία, βασιλεία, δεσποτεία, δυναστεία, μοναρχία, τυραννὶς, ἐπιμέλεια, στρατηγία, ἐπὶ τῆς ἀρχῆς λέγονται.

Ἦγεν, ἔπλει. ὁ δὲ Ἰουλιανὸς ἐν Πέρσαις ὢν, γυμνικοὺς ἀγῶνας ἦγεν.

Ἠγερέεσθαι, ἀθροίζεσθαι, ἀγερέω, ῶ, ἀγερέομαι ἀγεροῦμαι. τὸ τρίτον, ἀγερέεται, εῖται. τὸ ἀπαρέμφατον, ἀγερέεσθαι.

Ἠγερέθοντο, ἐκ τοῦ ἀγείρω ἀγερῶ, ἀγερέθω, ἔνθεν ἠγερέθοντο.

Ἤγερθεν, ἀγείρω ἀγερῶ, ἤγερμαι. ἠγέρθην, ἀγερθεὶς ἀγερθέντος, ἤγερθεν, ὡς φανθέντα ἔφανθεν. τὸ μὲν ἀντὶ τοῦ ἠγέρθησαν, ἤγουν ἠθροίσθησαν. ἀγείρω γὰρ τὸ ἀθροίζω. ἐγείρω δὲ τὸ ἀνιστῶ, ἢ παρακινῶ. τὸ δὲ ἀντὶ τοῦ ἐφάνθησαν, ἤτοι ἐφάνησαν.

Ἤγερθεν, σημαίνει τὸ ἠθροίσθησαν. ἀπὸ θέματος τοῦ ἀγείρω. ἔστι δὲ αἰολικόν. κανονίζεται δὲ ἀπὸ τῆς ἀγερθέντος γενικῆς τῆς μετοχῆς, ἀποβολῇ τῆς τος. Ἰστέον δὲ, ὅτι τὸ ἤγερθεν σημαίνει ποτὲ καὶ τὸ ἀνέστησαν, ἀπὸ τοῦ ἐγείρω. διὸ διασαφῶν ἐπάγει. μετὰ τὸ, Οἵδ' ἐπεὶ οὖν ἤγερθεν, τὸ ὁμηγερέες τ' ἐγένοντο. περιφράζων τὸ ἤγερθεν. καὶ οἱονεὶ λέγων ταυτόν ἐστιν ἤγερθεν εἰπεῖν ἐν μιᾷ λέξει, καὶ ὁμηγερέες, ἤγουν ὁμοῦ ἀγειρόμενοι ἐγένοντο.

Ἡγεσίαις, ὁδηγίαις, ἡγεμονίαις.

Ἡγεσχίης, ὁδηγησίας.

Ἡγέτης, ὁ ἡγεμών. ὦ διοσαῖν ἀγέται θηρεσύναιν.

Ἦγετο κόρην, πάνυ συνήθες ἐπὶ γάμου λέγεσθαι. τοιοῦτον γὰρ καὶ ἠγαγόμην γυναῖκα. εἰς τὸ πᾶν δ' εἰπεῖν τὸ ἄγειν, καὶ τὰ ἐξ αὐτοῦ σεμναὶ λέξεις εἰσίν. εἰ δὲ ψιλὸν ὄνομα ὁ προαγωγὸς, ἔτι καὶ τὸ προαγωγεύειν. πάντως γὰρ οὐκ ἐπαινεταὶ ταῦτα εἰσιν. καὶ ἡγεῖτο, ἦρχεν, ἤρξατο.

Ἠγηλάζει, καὶ ἠγηλάσκει, κατὰ τοῦ αὐτοῦ πράγματος κεῖται. δηλοῖ δὲ τὸ ἐπὶ τῷ αὐτῷ τόπῳ διατρίβειν, καὶ ἐνίσχεσθαι, καὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι. ἐπὶ γὰρ τῶν μυιῶν φησιν Ὅμηρος. αἵ τε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσι, καὶ ὅπου κεῖνος ἐμὸν μένος ἠλασκάζει.

Ἡγῆ, ἀρχῆς.

Ἡγηλάζω, ἄγω, ὁδηγῶ, ἐπιμελοῦμαι. ὡς φησιν Ὅμηρος, καὶ σὺ κακὸν μόρον ἡγηλάζεις.

Ἡγηλάζειν, κατὰ τοὺς παλαιοὺς, τὸ διώκειν, ἄγειν, φυγαδεύειν, πορθεῖν. ἢ ἡγηλάζει, δασυνόμενον μὲν τὸ προηγεῖσθαι δηλοῖ. ψιλούμενον δὲ, ἀντὶ τοῦ ἄγειν κεῖται. ἐνοδυστείᾳ, καὶ ἀντὶ τοῦ ἐλαύνειν.

Ἡγήλασαν, συνήγαγον.

Ἤγημα, βουλὴ, γνώμη, παρὰ τῷ προφήτῃ εἴρηται.

Ἤγημαι, λελόγισμαι, ἔχω.

Ἡγήσατο, ἦρξεν. ἡγήσατο, ἐξεπλάγη, ἠγάσθην, ἐθαύμασα.

Ἡγήση, προοδοποιήσεις.

Ἡγητηρία, παλάθη σύκων. ἐν γὰρ τῇ ἑορτῇ τῶν παραπλυντηρίων φέρουσι παλάθην συγκειμένην ἐξ ἰσχάδων, διὰ τὸ τοὺς αὐτόχθονας ἥμερον καρπὸν φαγεῖν πρῶτον τῶν σύκων. παρὰ τὸ ἡγήσασθαι οὖν τῆς τροφῆς κέκληται ἡγητηρία.

Ἡγητὴρ, ἡγεμὼν, ἄριστος.

Ἡγήτορες, ἡγεμόνες καὶ ἡγητηρία, ἡ ἡγεμονία. λέγει δὲ καὶ ὁ Ψελλὸς, ἡγητηρία πέφυκε τῶν σύκων ἡ παλάθη. παλάθη δὲ λέγεται, ἡ μάζα τῶν σύκων. καὶ ἡγήτορες τούτων, οἱ δημογέροντες. ἀντὶ τοῦ ἡγεμονικοὶ καὶ βασιλικοὶ, οὐ μὴν βασιλεῖς. ἢ ἄλλως, οἱ ποτὲ στρατηγοί. ἢ ἡγήτορες, καὶ μέδοντες οἱ βασιλεῖς. δηλοῦται δὲ διὰ μὲν τοῦ ἡγήτορος τὸ τῶν βασιλέων ἡγεμονικόν. διὰ δὲ τοῦ μέδοντος, τὸ βουλευτικὸν, ἀπὸ τοῦ μήδω τὸ βουλεύομαι. οὐ γὰρ μόνον ἡγεῖσθαι τὸν ἄρχοντα χρὴ, ἀλλὰ καὶ πρόβουλον εἶναι. Ἄλλως.

Ἡγήτορες, καὶ μέδοντες, τῆς αὐτῆς ἐννοίας εἰσὶν ἐνίοτε. ἔστι δὲ καὶ ἄλλως νοῆσαι ἡγήτορας μὲν, τοὺς κατὰ ἀνδρείαν καὶ ῥωμαλεότητα ἡγουμένους. μέδοντας δὲ, τοὺς κατὰ τὸ μήδεσθαι, ἤγουν βουλεύεσθαι.

Ἡγιάσω, ἐνεκάλει.

Ἡγκάζοντο, ἐλάμβανον.

* Ἠγκίστρωται, ἀγκιστροειδῶς συμπέφυκεν, ἐγκατεπέπλεκται.

Ἠγκυλωμένος ἀγκύλη, εἶδος ἀκοντίου.

Ἠγλαϊσμένη, χαίρουσα, λαμπρυνομένη.

Ἡ γλῶττα τῷ κήρυκι τέμνεται. τουτέστιν ἡ γλῶττα τῶν θυομένων, τῷ Ἑρμῇ δίδοται. Καλλίστρατος δέ φησι, τῶν θυομένων τὰς γλώττας κήρυξιν ἀπονέμεσθαι.

Ἡγμένος, τεθηραμένος, καὶ πάνυ πειθαρχῶν. ὁ δὲ ἠγάσθη τὸ μειράκιον, ὡς καὶ θυγάτριον ἔχων ἡγμένον καὶ αὐτὸ φιλοσόφως αὐτῷ κατεγγυῆσαι.

Ἡγμένους, ἀγομένους.

Ἡγμένος, τεθηραμένος, καὶ πάνυ πειθαρχῶν.

Ἡγμένους, πεπαιδευμένους. καὶ ἀγωγὴ, ἡ παίδευσις.

Ἠγνόει, ἠπείθει, ἠγανάκτει.

Ἡγνικότες, καθάραντες.

Ἤγνωσεν, ᾐδυνήθη.

Ἠγνοίησεν. ἀγνοῶ, καὶ πλεονασμῷ τοῦ ι, ἀγνοιῶ. ὡς ἀπὸ τοῦ ἀλοῶ τὸ τύπτω, ἀλοιῶ. ὡς τὸ, καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία. ὁ μέλλων ἀγνοιήσω, ὁ ἀόριστος ἠγνοίησα, τὸ τρίτον ἠγνοίησε. καὶ ἠγνοίησεν, ἀντὶ τοῦ ἠγνόησεν.

Ἤγομεν, ηὔξομεν.

Ἠγόμην, ἐτρεφόμην, ἐτύγχανον. ἠγόμην δ' ἀνὴρ ἀστῶν μέγιστος τῶν ἐκεῖ, πρίν μοι τύχη τοιάδ' ἐπέστη. καὶ ἠγόμην, διῆγον. Σοφοκλῆς Θυέστῃ δευτέρῳ.

Ἠγόρευεν, ἐδημηγόρει.

Ἠγορόωντο, ἐδημηγόρουν, ἢ ἠθροίζοντο. ἀπὸ τοῦ ἀγορεύειν. ἀγοράω, ῶ, ἠγορῶντο. καὶ πλεονασμῷ τοῦ ο ἠγορόωντο, ἤγουν διελέγοντο.

Ἡγοῦ, παρακελευσματικῶς, ἀντὶ τοῦ ἄρχε, ἡγεμόνευε, διάκρινε.

Ἡγοῦμαι, τὸ νομίζω, αἰτιατικῇ συντάσσεται. οἷον ἡγοῦμαί σε καλὸν εἶναι. καὶ ἡγοῦμαι τὸ ἄρχω, γενικῇ. οἷον ἡγοῦμαι λαοῦ, ἀντὶ τοῦ ἡγεμὼν λαοῦ εἰμί, ἤτοι ἄρχω. ἢ ἡγοῦμαι, ἀντὶ τοῦ προηγοῦμαι, τουτέστι προοδοποιοῦμαι, καὶ τὴν ὁδὸν ὑποδεικνύω, δοτικῇ συντάσσεται. οἷον ἡγοῦμαί σοι τὴν ὁδὸν, ἤγουν ὑποδεικνύω. καὶ ἡγοῦμαί σοι τῆς ὁδοῦ, ἀντὶ τοῦ ἡγεμὼν γίνομαί σοι τῆς ὁδοῦ. καὶ ἡγοῦμαι τῷ τυφλῷ, ἀντὶ τοῦ ὁδηγὸς γίνομαι.

Ἡγούμενος, προηγούμενος.

Ἦγουν, ἤτοι, ἐπιρρήματα διασαφητικά.

Ἤγρετο, ἠγέρθη.

Ἠγρίωσαι, ἀντὶ τοῦ ἐσκλήρωσαι. Σοφοκλῆς, σὺ δ' ἠγρίωσαι κοὔτε σύμβολον δέχῃ, ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων, στυγεῖς πολέμιον δυσμενῆ θ' ἡγούμενος.

Digitized by Google

Ἠγρουκισάμην, κατασέφθεγξάμην.
Ἠγύρον, ἤυχον.
Ἤγχυσα, ἢ ἄγχυσα βοτάνη, ἣν ἐχρῶντο εἰς τὸ πρόσωπον αἱ γυναῖκες.
Ἠγωνίασεν, ἐφοβήθη.

ΤΟ͂ Η. ΜΕΤΑ` ΤΟΥ͂ Δ.

Ἦ Δ᾽ ἂν ἡμέρᾳ, ἀντὶ τοῦ ᾗ τινι ἂν ἡμέρᾳ.
Ἠδ᾽ αἰγῶν, καὶ αἰγιδίων.
Ἠδ᾽ ἄκρας, καὶ τὰς ἐξοχάς.
Ἠδαξήσατο, ἐκνήσατο.
Ἠδάφαξ, κατέκνισαι.
Ἥδε, ἀντὶ τοῦ αὕτη. δεικτικὸν μὲν ὂν παροξύνεται, ἀναφορικὸν δὲ προπερισπᾶται, ὥς φασιν οἱ παλαιοί. καὶ ὅτι ὥσπερ τὸ ἥδε, τῇ μὲν δεικτικόν ἐστι, τῇ δὲ ἀναφορικόν, οὕτω καὶ τὸ ὧδε. ὡς ἀναφορὰν δηλοῖ παρ᾽ Ἡσιόδῳ ἐν τῷ ὧδε μὲν ποικίλος. δεῖξιν δὲ παρ᾽ Ὁμήρῳ, ἐν τῷ ὧδε Διομήδης.
Ἠδὲ, ἀντὶ τοῦ καί.
Ἠδε παρὰ τοῖς Ἀττικοῖς διὰ τοῦ η, παρὰ δὲ τοῖς Ἴωσι διὰ τοῦ ι.
Ἤδεα, διάλυσίς ἐστιν Ἰωνικὴ τοῦ ᾔδειν, ἀντὶ τοῦ ἠπιστάμην, ὡς τὸ πεποιήκειν πεποιήκεα Ἰωνικῶς. ἤδεα ἐγὼ αὐτὰς ἐγίνωσκον, ἐκ τοῦ ᾔδειν, Ἰωνικῶς ᾔδεα, καὶ Ἀττικῶς, ᾔδη, ἔπειτα ἤδη. ἔθος γὰρ τοῖς Ἀττικοῖς τὴν διὰ τοῦ ε καὶ ι δίφθογγον, πολλάκις διὰ τοῦ η καὶ ι προφέρειν. καὶ οὐ μόνον ἐν τῷ ἱερῆς, καὶ βασιλῆς, καὶ ἱππῆς, ἀλλὰ καὶ ἐπὶ ῥημάτων, ὡς ὅτε τὸ ἤκαζον διὰ τοῦ η προάγουσι τὴν ἀρχοῦσαν.
Ἠδεβίκει, τῇ αὐτοῦ ἰσχύϊ.
Ἥδε δῖοι, αὕτη δὲ αὐτῷ, περισπᾶται, ἓν γὰρ μέρος λόγου ἐστὶν, ἐπειδὴ δείκνυται ἐκ τοῦ ἀρσενικοῦ ὅδ᾽ ἀνήρ, καὶ ὡς τὸ λεξικὸν Ἰλιάδος γράφεται, τοιήδ᾽ ἀμφὶ γυναικί. ἡ διὰ τοῦ δε παραγωγὴ, ἔχει πρὸ τέλους μακρὸν καὶ προπερισπᾶται. σεσημείωται τὸ, οὐδεδέγω.
Ἤδει, ᾔδει, ἠπίστατο. καὶ ᾔδεισαν, ὁμοίως.
Ἥδει, εὐφραίνει, τέρπει.
Ἡδεῖα, εὐφραντὴ, ἐρασμία, γλυκεῖα.
Ἤδειν, καὶ ἐνενοήκειν, καὶ ἐπεποιήκειν. διαλύσει, τὸ ἤδεα καὶ ἐνενοήκεα, καὶ ἐπεποιήκεα, ἀλλ᾽ οὐ τὰ ἐξ αὐτῶν Ἀττικὰ, τὰ διὰ τοῦ η. παραδιδόασι γὰρ Ἡρακλείδης, ὅτι οἱ Ἀττικοὶ τοὺς τοιούτους ὑπερσυντελικοὺς ἐν τῷ η μόνῳ περατοῦσιν, ᾔδη λέγοντες, καὶ ἐνενοήκη, καὶ ἐπεποιήκη. καὶ οὕτω φησὶ Παναίτιος, ἔχειν τὰς γραφὰς παρὰ Πλάτωνι καὶ Θουκυδίδῃ, ὃς κέχρηται τῷ τοιούτῳ Ἀττικῷ ἔθει. καὶ τὰς τμήσεις ἐκ τούτων φασὶν Ἴωνες οἰκείως προφέρονται, ἤδεα λέγοντες, ἀναλύσει τοῦ η εἰς ε καὶ α. οὕτω καὶ ἐνενοήκη, ἐνενοήκεα ὁμοίως Ἰωνικῇ τμήσει, ἤτοι διαλύσει, καὶ ἐπεποιήκη ἐπεποιήκεα. πολλοὶ δέ φησι καὶ σὺν τῷ ν προφέρουσι τὴν εἰρημένην διὰ τοῦ η Ἰωνικὴν γραφὴν τῶν ὑπερσυντελικῶν, ᾔδειν λέγοντες, καὶ ἐνενοήκειν, καὶ ἐπεποιήκειν. ἀφ᾽ ὧν καὶ αὐτῶν καὶ αἱ τμήσεις γίνονται ἄν, φησὶν ἤδεα, καὶ ἐνενοήκεα, κατὰ τὸ Ἀστυάγην ἀστυάγεα, παρὰ Ἡροδότῳ. καὶ κατὰ τὸ ἦντα ἦτα, καὶ ἦνια. ὥστε κατὰ τοῦτον τὸν λόγον, οὐκ ἐκ τοῦ ἤδεα κέκραται τὸ ᾔδη, ἀλλὰ ἐκ τοῦ ᾔδη πρώτου προσώπου, ἀναλέλυται τὸ ᾔδεα.
Ἤδειν, καὶ ἐτετύφειν, ἀντὶ τοῦ ᾔδη καὶ ἐτετύφει λέγουσιν οἱ Ἀττικοί. χρῶνται γὰρ ἐπὶ ὑπερσυντελικῶν τοῖς πρώτοις προσώποις, ἀντὶ τρίτων.
Ἤδειν Ἀττικῶς, ἀντὶ τοῦ ᾔδει κεῖται, παρὰ τῷ Ἀριστοφάνει. ὡς τὸ, ὁ δὲ Θεὸς ὑμῖν οὐ προσῄδειν; καὶ ᾔδειν κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ πληθυντικοῦ τοῦ ᾔδεισαν. ὡς καὶ τὸ, τοὺς δ᾽ ἦν τρεῖς κεφαλαί.
Ἤδειν καὶ ἐπεποιήκειν κοινῶς, ἤδεα καὶ ἐπεποιήκεα Ἰωνικῶς, ᾔδη καὶ ἐπεποιήκη Ἀττικῶς. ὅπερ καὶ ἐν τῷ πρώτῳ καὶ τρίτῳ προσώπῳ χρῶνται οἱ Ἀττικοί.
Ἤδησθα, ᾔδειν, ὑπερσυντέλικος. τὸ δεύτερον ᾔδεις, καὶ προσχηματισμῷ τοῦ θα, ᾔδησθα.
Ἠδέλοισαι, οἰκειῶται, παρὰ τῷ Ἱπποκράτει.

Ἤδεσαν, ἐπίσταντο, ἐγίνωσκον.
Ἠδέσθην σὺ τῷ ι, παρὰ τὸ αἰδῶ περισπώμενον. Εὐριπίδης Ἀλύπῃ, οὐ μὴ σύ γ᾽ ἡμᾶς τοὺς τεκόντας ἠδέσω.
Ἡδέσι, γλυκέσι. καὶ ἡδέσιν, εὐφραντοῖς.
Ἠδὲ τοκέων καὶ τῶν γονέων.
Ἥδη, ἀντὶ τοῦ εὐφραίνῃ.
Ἤδη τὸ ἀπάρτι, κατὰ τοὺς παλαιοὺς, τρισὶ χρόνοις συνεπιμείγνυται. τῷ παρῳχημένῳ, ὡς τὸ, τῷ δ᾽ ἤδη δύο γενεαὶ ἐφθίατο. τῷ ἐνεστῶτι, ὡς τὸ, ἤδη γάρ μοι εἰκοστὸν ἔτος ἐστί. καὶ τῷ μέλλοντι, ὡς τὸ, ἤδη λοίγια ἔργα ἔσσεται. ἢ τὸ ἤδη, κοινὸν μέλλοντος καὶ παρῳχηκότος. οἷον ἤδη βεβάδηκα, ἤδη βαδίζω. λέγεται καὶ ἐπὶ τῶν πολὺ ἀφεστηκότων, ὡς καὶ τὸ πρώην.
Ἤδη, ἐνίοτε λαμβάνεται ἀντὶ τοῦ νῦν. διὸ εὕρηταί που ἐκ παραλλήλου κείμενα, τὸ ἤδη νῦν.
Ἤδη χρονικὸν ἐπίρρημα. συντάσσεται παρατατικῷ καὶ ὑπερσυντελικῷ, καὶ ἀορίστῳ μόνον. οἷον, ἔγραφον ἤδη, ἐγεγράφειν ἤδη, ἔγραψα ἤδη. τὴν αὐτὴν δὲ σύνταξιν τῷ ἤδη καὶ πάλαι ἔγραφον, ἐγεγράφειν, ἔγραψα.
Ἤδη, ἀντὶ τοῦ λοιπόν. Ἀριστοφάνης, φεύγοις ἂν ἤδη τοὺς πονηρούς. καὶ ἀντὶ τοῦ πρότερον, καὶ ἀντὶ τοῦ ἀπάρτι, καὶ ἀντὶ τοῦ ποτέ. Ἀριστοφάνης, ἤδη ζωμοῦ Παναθηναίοις ἐμπλησθείς.
Ἤδη, ἀντὶ τοῦ ἠπίστατο, διὰ τῶν δύο ηη, παρὰ τῷ ποιητῇ γράφεται, δι᾽ αἰτίαν τοιαύτην. ἔθος τοῖς Ἀττικοῖς πολλάκις τὴν διὰ τοῦ ε καὶ ι δίφθογγον, διὰ τοῦ η καὶ ι προάγειν. καὶ οὐ μόνον ἐν τῷ ἱερῆς καὶ βασιλῆς καὶ ἱππῆς, ἀλλὰ καὶ ἐπὶ ῥημάτων. ὡς ὅτε τοῦ ἤκαζον τὴν ἀρχοῦσαν διὰ τοῦ η προάγουσιν. ὁμοίως δὲ καὶ τὸ ᾔειν, ὃ δηλοῖ τὸ ἦλθον. ὥσπερ γὰρ ἀπὸ τοῦ εἰκάζω τὸ ἤκαζον, οὕτω καὶ ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι, τὸ ᾔειν προάγεται. τῶν μὲν ἐνεστώτων ἐχόντων τὴν διὰ τοῦ ε καὶ ι γραφὴν, τῶν δὲ ἀπ᾽ αὐτῶν παρῳχημένων διὰ τοῦ η καὶ ι τὴν τῆς ἀρχούσης ἀπαρτιζόντων δίφθογγον. κατὰ τὸν ὅμοιον δὴ τρόπον καὶ τὸ ᾔδειν, ὃ δηλοῖ τὸ ἠπιστάμην, ἀπὸ τοῦ εἴδω τὸ ἐπίσταμαι γεγονός. ὅμως ἐν τῇ παραληγούσῃ κατὰ τοὺς παλαιοὺς καὶ αὐτὸ Ἀτθίδα, τὸ η μετὰ τοῦ ι ἔχει. καὶ οὕτω μὲν καθίσταται ἡ παραλήγουσα, ἡ δὲ λοιπὴ σκευωρία τοῦ ῥήματος, τοιαύτη ἐστίν. ἔθος Ἰωνικὸν ἐκράτησε τοὺς ἐνεργητικοὺς ὑπερσυντελικοὺς, διὰ τοῦ ε καὶ α προάγειν, κατὰ τὴν λήγουσαν τοῦ πρώτου προσώπου τῶν ἐνικῶν. τὸ γοῦν ἐπεποιήκειν, ἐπεποιήκεά φασιν Ἴωνες. καὶ τὸ ἐτετύφειν ἐτετύφεα, καὶ τὸ ᾔειν ᾔεα. οἷον, ᾔεα πολλὰ ἐγκωμούμενος, ὡσαύτως καὶ τὰ λοιπά. οὕτω γοῦν καὶ τὸ ᾔδειν διαλύοντες, ᾔδεα λέγουσιν. ὡς τὸ, ἐγὼ γὰρ εὖ παῖδα ᾔδεα, τούτου δὲ κραθέντος, γίνεται ᾔδη, ἐν πρώτῳ προσώπῳ, καὶ δηλοῖ τὸ ἠπιστάμην, ἤγουν ᾔδη ἐγὼ, αὐτὰς ἐγίνωσκον. καὶ εἰσὶ τούτου χρήσεις παρά τε ἄλλοις, καὶ Σοφοκλεῖ. τοῦ τοίνυν πρώτου προσώπου τοῦ ᾔδεα, τὸ ε καὶ α εἰς η κεράσαντος, ἐκβαίνει καὶ τὸ τρίτον ὁμόφωνον. καὶ διὰ τοῦτο καὶ τὴν αὐτὴν ἔχει γραφήν. εἰ δὲ ἀδύνατον κατὰ τὴν αὐτὴν διάλεκτον καὶ τὸν αὐτὸν ἀριθμὸν ὁμοφωνεῖν τὸ τρίτον τῷ πρώτῳ, ἀλλ᾽ ὁ τοιοῦτος κανὼν ἐπὶ τῶν ἀσυναιρέτων ῥημάτων εἴρηται. τὰ δὲ συναιρεθέντα ἐπεὶ πάσχουσι, καὶ οὕτω τὰς προσωποτυπίας κατ᾽ ἀνάγκην ἐκπίπτουσιν, οὐδὲ τοῦ κανόνος φυλάττουσι παρατήρησιν.
Ἠδὴ, ὄντως δή.
Ἠδημόνησεν, ἐξεκάκησεν.
Ἠδημόνως, αἰδεσίμως.
Ἤδημεν, ἠπιστάμεθα, ᾔδειμεν.
Ἤδησθα, ᾔδεις.
Ἠδίκησεν, ἔβλαψεν. καὶ ἀδικηκότες, ἀδικήσαντες.
Ἠδικὸν, συνδοτικόν.
Ἥδιον, τὸ γλυκύτερον. ἡδίων δὲ, ὁ ἡδύτερος ἀρσενικῶς, διὰ τοῦ ω μεγάλου. ἡδίονος, τὸ συγκριτικόν.
Ἡ Διὸς Κόρινθος, παροιμία ἐπὶ τῶν τὰ αὐτὰ συνεχῶς λεγόντων. τῶν Μεγαρέων ἀποστάντων Κορινθίων, ἀπεστάλη κῆρυξ πολλάκις λέγων, ὅτι οὐκ ἀνέξεται ὁ τοῦ Διὸς Κόρινθος, ἐπιμένετε ἂν αὐτὸ λέγων. οἱ δὲ Μεγαρεῖς συγχυθέντες, καὶ εἰς ὀργὴν τραπέντες, ἔλεγον παῖε τὸν Διὸς Κόρινθον. τουτέστι τὸν κήρυκα. καὶ παροιμία ἐλέχθη ἐπὶ τῶν ταυτολογούντων, καὶ τὰ αὐτὰ πραττόντων. ὁ δὲ Διὸς Κόρινθος, παῖς Διὸς, βασιλεὺς Κορίνθου. Μεγαρεῖς δὲ ὑποτελεῖς ἦσαν Κορινθίοις.
Ἡδιστάμοι γελᾶν, ἔπεισιν.
Ἥδιστα, ἡδέως, εὐθύμως, γλυκέως.
Ἡδίψα, τοὺς δίψης τῇ δίψῃ καὶ τὸ δίψος τοῦ δίψους τῷ δίψει. γράφεται οὖν ἐπὶ τοῦ αὐτοῦ ἡ δοτικὴ, καὶ δίψει διὰ διφθόγγου, καὶ δίψῃ διὰ τοῦ η. πλὴν Ἀττικῶς ἀεὶ διὰ διφθόγγου γράφεται, κοινῶς δὲ διὰ τοῦ η. ὁμοίως καὶ τὸ δίψος, ἢ ἡ δίψα.
Ἡδίων, εὐφραντός.
Ἠδόκωσις, ἡ στέγη.
Ἠδολέσχησα, διελάλουν ἐμαυτῷ προσδιαλεγόμενος.
Ἠδολέσχουν, ἐμερίμνουν, ἐμελέτων.
Ἥδομαι, τὸ εὐφραίνομαι, δοτικῇ συντάσσεται. οὐκ εὐθὺ ἥδεται αἰτιατικῇ, καὶ ἥδομαι τῷδε τῷ πράγματι, μεταβατικῶς. καὶ ἥδομαι τοῖς σοῖς ῥήμασιν, οἷς ἤκουσα, καὶ ἃ ἤκουσα.
Ἡδόμενος, ἀρεσκόμενος, εὐφραινόμενος.
Ἡδοναὶ, λῦπαι, θάρρη, φόβοι, ἐπιθυμίαι, ἀποστροφαί. καὶ τὸ ἀλγεῖν τίνος ἂν εἴη;
Ἡδονὴ, λεία κίνησις αἰσθητὴ, ἢ ἄλογος διάχυσις, ἢ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως, ἀνεμπόδιστος τοῦ παρακολουθέντος τέλους ταῖς τελευταίαις ἐνεργείαις. ἐκ τούτων τῶν ὅρων ἰσχύει τις ἀνασκευάζειν καὶ κατασκευάζειν, ὅτι ἀγαθὸν ἡ ἡδονὴ, καὶ ὅτι μή.
Ἡδονὴ, ἡ ἀκάθαρτος καὶ ἡ φυσικὴ κατάστασις, ἣν Ἐπίκουρος ἐδογμάτιζε, τέλος παντὸς πράγματος τὴν ἡδονὴν εἶναι τιθέμενος, τουτέστι τὸ πρώτιστον ἀγαθὸν, ὅ ἐστι Θεὸς, καὶ ἡδονῆς ἀκρότης, τὸ πρὸς λύπην ἄμικτον. ἡ ἡδονή ἐστιν, εἶδος αἰσθήσεως, ἐν τῷ αἰσθητικῷ διά τινος αἰσθητοῦ μορφουμένης. ἢ τρόπος αἰσθητικῆς ἐνεργείας, κατ᾽ ἐπιθυμίαν ἄλογον συνιστάμενος.
Ἡδονή ἐστιν, ἄγκιστρον τοῦ διαβόλου πρὸς ἀπώλειαν ἕλκον.
Ἡδονή ἐστι, τροφὴ τοῦ αἰωνίου σκώληκος. ἢ πρὸς καιρὸν μὲν καταλιπαίνει τὸν ἀπολαύοντα, ὕστερον δὲ πικρότερον χολῆς ποιεῖται τὰς ἀποδόσεις.
Ἦδος, ἤγουν ἡδονὴ, καὶ ὄνησις. καὶ ἦδος, ἤγουν ἡδονὴ παρ᾽ Ὁμήρῳ. ὅτι δὲ μονήρες ἐν ὀνόμασι τὸ ἦδος, καθὰ τὸ ὄφελος, καὶ ὅτι ψιλοῦται κατὰ τὴν ἀρχοῦσαν ὡς τροχαϊκὸν καθὰ καὶ τὸ ἦμαρ, οὐκ ἔστι τῶν περὶ τοὺς λόγους ἀμφιβαλλεῖν. Ἡρωδιανὸς δὲ ἐν τῷ αὐτοῦ συμποσίῳ δασύνεσθαι αὐτὸ λέγει πρός τινων, ὡς ἀπὸ τοῦ ἥδω καὶ τῆς ἡδονῆς.
Ἦδος, ὅ ἐστιν ἥδυσμα. Ἡρωδιανός φησιν, ὅτι τὰ εἰς ος λήγοντα οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς, ψιλοῦται, αἶσχος, ἦθος, εὖρος, εἶδος. οὕτως οὖν καὶ ἦδος. τὸ δὲ ἥδιμος δασύνεται. καίτοι τὸ η ἔχον πρὸ τοῦ θ, τῇ ἐννοίᾳ τοῦ ἥσω μέλλοντος δασυνομένου.
Ἦ δ᾽ ὅς, οἱ μὲν περὶ Ἐρατοσθένην, ἀντὶ τοῦ ἔφη δὲ ὅς. διὸ καὶ δασύνουσι τὴν ἐσχάτην, ἐντετάχθαι γὰρ ἄρθρον τὸ ὅς καὶ ἦ, ἀντὶ τοῦ ἔφη. ἀλλὰ περιμένομεν ἦ δ᾽ ὅς. καὶ ἦν δ᾽ ἐγὼ, ἀντὶ τοῦ ἔφην δὲ ἐγώ. παρ᾽ ὃ δὴ καὶ Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς, ἦσιν, ἀντὶ τοῦ φησὶν ὁ Ζεὺς διδόναι, πολύ φησι τοὔνομα. Ἀρίσταρχος δὲ τὸ μὲν ἦ δ᾽ ὅς, ἀντὶ τοῦ ἔφη δὲ ὅς. τὸ δὲ ἐγὼ, ἔφην ἐγώ. τὸ δὲ ἦ, τῶν ἀρχαίων ἔφη εἶναι λεξιδίων. καὶ Ὅμηρον δ᾽ οὐ κατὰ πάντα χρῆσθαι αὐτῷ, οὐδὲ σχηματίζειν ἀπ᾽ αὐτοῦ, τὸ ἀνάλογον μὲν ὡς ὅταν λόγου τελευτὴν σημαίνῃ. οἷον, ἦ καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσιν, καὶ ἐπ᾽ Ἀντινόῳ. τοὺς δὲ μεθ᾽ Ὅμηρον, ἀδιαφόρως αὐτὸ τιθέναι ἄλλως.
Ἦ δ᾽ ὅς, ἐὰν μὲν ᾖ δύο λόγου μέρη, ἔστι ἔφη δὲ ὅς. τουτέστιν, ἔφη δὲ οὗτος. οἱ δὲ λέγουσιν, ὅτι αὐτὸ μόνον σημαίνει τὸ ἔφη. ἐὰν δὲ ᾖ ἓν μέρος λόγου, ἔσται φίλος ὡς Ἀθηναῖοι τὸ ἔφε-

Digitized by Google

ἔφολκος ὡς Αἰγινῆται, ἢ ὄζος ὡς Χαλκιδεῖς, ἢ πρὸς τὰ ἱερὰ χοῦνται. σύσιται δὲ καὶ ἐπὶ τούτοις προσώπου κατ' ἀριθμοῦ, ὡς τὸ ὠσίν.

Ἧδρασα, ἐθεμελίωσα, ἐστήριξα, ἔπηξα.

Ἥδρασεν, ἐστήριξε, καὶ ἡδρασμένος, βέβαιος, πάγιος.

Ἡδρυμένος, ηὐξημένος. ἱδρυμένος δὲ, ὁ τεθεμελιωμένος.

Ἡδρύνθη, ηὐξήθη.

Ἡδὺ, ἐπίρρημα, ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπιρρηματικὴν σύνταξιν, ὥσπερ καὶ τὸ ἀχχεῖον δ' ἐγέλασεν.

Ἡδύγαιον, τὸ καλὴν ἔχον γῆν.

Ἡδυεπὴς, ἡδυλόγος, γλυκὺς ἐν τῷ λέγειν.

Ἡδυκώμος, εἶδός τι ᾠδῆς.

Ἡδύλειον, ὄρος ἐστὶν ἐν Βοιωτίᾳ τὸ ἡδύλειον.

Ἡδυλίσαι, συνουσιάσαι.

Ἥδυμος, γλυκύς. ἀπὸ τοῦ νήδυμος. ἢ ἀπὸ τοῦ ἡδὺς, ἥδυμος. ὡς παρ' Ἐπιχάρμῳ, ἅμα τὸ λόγων ἀκέσας ἡδύμων. τὸ συγκριτικὸν, ἡδυκώτερος, ἡδυκέστερος, ὡς ἀνιηρέστερος.

Ἡδυνάσθην, ἐκ τοῦ δυνάζω, μέλλων δυνάσω, παρακείμενος δεδυνάκα, ὁ παθητικὸς δεδύνασμαι, ὁ ἀόριστος ἐδυνάσθην, καὶ τροπῇ τοῦ ε εἰς η ἠδυνάσθην Ἀττικῶς.

Ἡδυανθὴν, γλυκανθήν.

Ἡδυοσμὴν, πίσσαν ἠρωματισμένην παρὰ τῷ Ἱπποκράτει.

Ἡδυνόν, τὸ ἐν ὕδατι καὶ ἀρώμασιν ἑψηθὲν, παρὰ τῷ Ἱπποκράτει.

Ἡδυνόν, ὁ σικυός.

Ἡδύνω, τὸ εὐφραίνω. καὶ ἥδω ἕτερον ποιητικῶς. καὶ ἥδυνα τὸ ἀρτύω, καὶ ἡδύσμασι, τοῖς ἀρτύμασι.

Ἡδυπῆρες, οἱ ἅλες, Ἐρατοσθένης.

Ἡδύοσμος, ὁ ἀρωματιστὴς κάλαμος.

Ἡδυπαθὴς, φιλήδονος, πάθει χαίρων. καὶ ἡδυπάθεια, ἡ τρυφή, φιληδονία.

Ἡδυπαθῶ, μαίνεται ἡδονῇ.

Ἡδύπημα, ὁ θάνατος.

Ἡδυποίδης, πόα, καὶ ἡ λιβανωτίς.

Ἡδύπνοιον, νεογνὸν καὶ ἁπαλὸν πρόβατον γαλαθηνὸν, μήπω πόης γευσάμενον. ἢ ὁ Ῥέμων φησὶν, ὑπὸ τοῦ πυθίου κληθῆναι.

Ἡδυπότις, ἔκπωμα ποιὸν, καὶ τὸ κρόμμυον.

Ἡδύραβδον, κινάμωμον.

Ἡδὺς, ἡδύτερος. καὶ ἡδίων, καὶ ἥδιστος, καὶ ἡδύτατος ὑπερθετικόν. τὰ δὲ θηλυκὰ, ἡδεῖα, ἡδίων, ἡδίστη. τὰ δὲ ἡδίστερα, ἡδὺ ἥδιον, ἥδιστον.

Ἡδὺς ἀϋτμὴ, ἄρα τὸ ἡδὺς θηλυκῶς λεχθὲν, ὁμοίως τὸ θῆλυς ἐέρση, καὶ πολὺς ὑγρά. ὡς τὸ, πολλὴν ἐφ' ὑγρὴν παρ' Ὁμήρῳ.

Ἡδὺς ἡδεῖα ἡδὺ, ἡδέος ἡδέας ἡδέος. τὰ εἰς υς ψιλὰ διὰ τοῦ ος κλινόμενα, αἱ ἔχουσι θηλυκὰ, διὰ τοῦ εια ἔχουσιν αὐτά. Ἰστέον δὲ, ὅτι εἰ παροξύνονται τὰ ἀρσενικὰ ἐπὶ τῆς γενικῆς, προπερισπῶνται τὰ θηλυκὰ ἐπὶ τῆς εὐθείας. οἷον βραχὺς βραχέος βραχεῖα, ἡδὺς ἡδέος ἡδεῖα, ταχὺς ταχέος ταχεῖα. εἰ δὲ προπαροξύνονται αὗται ἐπὶ τῆς γενικῆς, προπαροξύνονται ἐπὶ τῆς εὐθείας. οἷον θῆλυς θήλεος θήλεια, ἥμισυς ἡμίσεος ἡμίσεια.

Ἡδὺ γελόωντες, πρὸς διαστολὴν λεχθέν. ἔστι γὰρ καὶ μὴ ἡδὺ γελᾶν, ὅτε τὶς γελᾷ σαρδόνιον, ἢ σαρδάνιον διὰ τοῦ α.

Ἡδὺς, εὐφραντὸς, συνήθης. ἐκάλουν δὲ οὕτω καὶ τοὺς ὑπομώρους.

Ἡδύσμασι, βρώμασι, ἢ ἀκοσμίας.

Ἡδύσμασι, ἀρτύμασι. καὶ ὅτι ἥδυσμά ἐστιν, οὐχ ὡς ἔν τισιν ἀναγραφαῖς τῶν λέξεων ἀνθερίκῳ τινὶ ὅμοιον. ἐν ἱππεῦσι δὲ εἴρηται περὶ αὐτοῦ. ἔστι γὰρ εἶδος βοτάνης παρεοικὸς πράσῳ.

Ἧδυτα, εὐφραντά.

Ἡδύτεραι, αἱ τρυγόνες.

Ἥδω, εὐφραίνομαι, τέρπω.

Ἡδὼ, ἶρις, ἤγουν τόξον.

Ἡδωνά, ἱμάτια Θρακικά.

Ἡδωνοί, ἔθνος Θράκης. οὕτω δὲ ψυχροτάτη ἐστὶν ἡ Θράκη, ὡς τόπον τινὰ ἐργαστήριον ἀνέμων κληθῆναι. Ὅμηρος, Βορέης καὶ Ζέφυρος τώ τε Θρῄκηθεν ἄητον. Ἄλλως. οἱ ἠδωνοὶ, ἔθνος θρακικὸν, ἔνθα ψύχος πολὺ γίνεται, δυσχείμερον γάρ ἐστι, παρὸ καὶ τοὺς ἀνέμους ἐν αὐτῷ κατοικεῖν ἐμυθεύσαντο.

Ἥδω, δασύνεται. καὶ τὸ ἀπ' αὐτοῦ. ὡς καὶ τὸ ἁνδάνω, καθὰ δηλοῖ τὸ ἀφανδάνοντα. καὶ ἀφάδιον παρὰ Παυσανίᾳ, τὸ ἐχθρὸν καὶ ἀπαρέσκον. καὶ ἦδος δὲ τὸ μὲν ὄφελος, ψιλοῦσιν οἱ πλείους, ὡς μεταπλασθὲν ἐκ τῆς ἡδονῆς, εἰς τροχαῖον. ἐπὶ δὲ ὄξους, δασύνουσιν. Αἴλιος Διονύσιος, ἧδος τὸ ὄξος, δασύνουσιν Ἀττικοί, καὶ πάντα τὰ τοιαῦτα. οἷον τὸν ἡδυλισμὸν, ὃς εἶδός τε κολακείας ἐστίν. ἀφ' οὗ καὶ τὸ ἡδυλίζεις, παρὰ Μενάνδρῳ.

ΤΟ Η. ΜΕΤΑ ΤΟΥ Ε.

Ἠ̃Ε, σημαίνει τὸ ὑπῆρχεν, ἐκ τοῦ ἔω, παρακείμενος ἦκα, ὁ μέσος ἦα, ὁ δεύτερος ἀόριστος ἦον, ἦες, ἦε.

Ἦεν ἐπορεύετο.

Ἢ ἑ, βαρυτόνως, διαζευκτικὸς σύνδεσμος. ἠὲ διατμῆξαι κοῖλον δόρυ. περισπωμένως δὲ, ἀπορρηματικὸς, περισπᾶται. ἢ μαχόμενον, ἠὲ καὶ οὐκί.

Ἦεα, ἀγαθά.

Ἠείδει, εἴδω τὸ γινώσκω, τὸ δεύτερον εἴδεις, τὸ τρίτον εἴδει, καὶ πλεονασμῷ τοῦ η ἠείδει. ἢ ᾔδη, τὸ ἠπίστατο. γίνεται ἐκ τοῦ εἰδῶ, εἰδήσω. οὗ ὑπερσυντέλικος εἰδήκειν, εις, ει. καὶ συγκοπῇ τοῦ η καὶ κ, εἴδει. ὁμοίως τῷ εἰδηκώς, εἰδώς. καὶ προσθέσει τοῦ η κατ' ἀρχὴν, ἠείδει.

Ἠείδετο, ὡμοιοῦτο.

Ἦειδος, πνῖγος.

Ἤει, ἐπορεύετο, ἤρχετο.

Ἦειν, ἤεις, ἤει, ἐκ τοῦ εἶα μέσου παρακειμένου, Ἀττικῇ ἐκτάσει ἤεια, ἤειν ἤεις ἤει, καὶ πληθυντικῶς ἤειμεν. Ἀριστοφάνης ἐν πλούτῳ, ἔπειτα πρὸς τὸ τέμενος ἤειμεν τοῦ Θεοῦ.

Ἠείκτο, ὡμοίωτο. ἤειμεν, ἀντὶ τοῦ ᾠδεύομεν, καὶ προεκόπτομεν. ὡς ὁ Θεολόγος Γρηγόριος, οὕτως ἤειμεν εἰς τὸ πρόσω.

Ἤειρεν, ἐδέσμευεν, ἔδησεν. εἴρω, τὸ δεσμεύω. εἶρον, καὶ πλεονασμῷ τοῦ η, ἤειρον, ἤειρες, ἤειρε. καὶ ἤειρεν, ἥρμοζεν, ἀπὸ τοῦ εἴρω, εἶρες, εἶρε, σημαίνει τὸ δεσμεύω. εἴρω ἦν, καὶ πλεονασμῷ τοῦ η εἴρω, ὡς μύω ἠμύω. ἢ ἤειρεν, ἀντὶ τοῦ συνέπλεκεν εἴρηται. ἀείρειν γὰρ νῦν, τὸ ὁμοῦ εἴρειν καὶ συμπλέκειν. ἐξ οὗ τὸ τετράωρον, καὶ ἡ ξυνωρίς. καὶ ὄαρ, ἡ γυνή.

Ἠέλδεται, ἱμείρεται.

Ἠελεῦσιν, ἀντὶ τοῦ ἐλεοῦσιν.

Ἠέλμεθα, συνήμμεθα.

Ἠέλιος. δοκεῖ ἐκ τοῦ ἥλιος γενέσθαι, κατὰ ἐπένθεσιν τοῦ ε. ψιλοῦται δὲ διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι τὸ η πρὸ φωνήεντος ὂν κατὰ διάστασιν, ψιλοῦται. οἷον ἠίθεος, ὁ τοξικός. οὕτως οὖν καὶ ἠέλιος. σημειοῦνται δὲ οἱ παλαιοὶ, καὶ ὅτι ἀεὶ οὕτως λέγει ὁ ποιητὴς τετρασυλλάβως, ἅπαξ δέ ποτε καὶ τρισυλλάβως ἔφη ἥλιον. Ἰστέον δὲ, καὶ ὅτι ἐπειδή ἐστιν ἄω τὸ λάμπω, καὶ προσθέσει τοῦ υ αὔω, ἐξ οὗ αὼς ἡ ἡμέρα, καὶ αὔως, δύναται δὲ τὸ ἠέλιος, ἐκ τοῦ ἄω ἔχειν τὴν ψιλὴν, ἐξ οὗ ἐτυμολογεῖται. γίνεται δὲ ἀπὸ τοῦ ἄω τοῦ ῥηθέντος, καὶ τοῦ ἕλη ἡ θερμασία αέλιος, ὡς τὸ ἀκτὶς αἰελίου. ἀμφότερον γὰρ ἔχει ὁ ἥλιος. λάμπει τε γὰρ φυσικῶς, ἔτι καὶ θερμαίνει, καὶ τροπῇ τῆς ἀρχούσης γίνεται ἠέλιος. ἠέλιον ὡς παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ ἐν τῷ σ, παραβολικὸν ὂν, ἔλλειψιν ἔχει. χρὴ γὰρ ἐννοεῖν ὅρμον λάμποντα, ἢ φαέθοντα, ἢ ἀφιέντα λαμπηδόνα ὡς ἠέλιον. ἠέλιος ποιητικῶς ψιλοῦται, διὰ τὸ ἐπαγόμενον ε.

Ἠ̃εν, ἔω τὸ ὑπάρχω, καὶ ὁ δεύτερος ἀόριστος ἦον ἦες ἦεν. καὶ ἦεν ἤγουν ἐβάδιζεν, ἐκ τοῦ εἴω. παρατατικὸς εἶον εἶες εἶε, διαλύσει τῆς διφθόγγου, καὶ τροπῇ ἦιον ἤιες ἤιε. ἔπειτα προσγεγραμμένου τοῦ ι, ἤε. εἴρηται δὲ παρὰ τῷ Ἀπολλωνίῳ. ὡς τὸ, ἤε θύραζε. καὶ ἦεν, ὑπῆρχεν ἐν ἕδρῃ καθελὼν, ἀντὶ τοῦ ἐνεχθέντα ἑλὼν, συνέστιν ἔν τινι ἐνέδρᾳ καταβαλών. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.

Ἠέξετο, ηὔξετο.

Ἠ ἐπιοῦσα, ἡ αὔριον ἐρχομένη.

Ἠέρα πολλὴν χέειν. καὶ ἠέρα πίστινα, πρόσθεν βαθεῖαν διάγων ὁ Ποιητὴς, ἀορασίαν τινὰ ἐξ ὁμίχλης δηλοῖ, ἥ τις ἐπιταθεῖσα, νυκτὶ ἔοικε. θηλυκοῦ δὲ γένους Ἰωνικῶς εἶναί φασιν οἱ παλαιοὶ, τὸ ἠέρα πολλήν.

Ἠερέθεσθαι κυρίως, τὸ ἐν ἀέρι κρέμασθαι. ἐξ οὗ καὶ ἡ αἰώρα. λαμβάνεται δὲ παρ' Ὁμήρῳ, καὶ ἐπὶ τοῦ ἀβεβαίως ἔχειν. τὰ μὲν γὰρ ἐν ἀέρι κρεμάμενα, εὐμετακίνητά εἰσι. τὰ δὲ ἐν γῇ, καὶ ὡς εἰπεῖν ἔμπεδα, σταθερὰ καὶ βεβηκότα. ὅτι δὲ ἡ ῥηθεῖσα αἰώρα διὰ τοῦ ε ψιλοῦ ἔχει τὴν ἀρχὴν, ὡς δηλοῖ οὐ μόνον τὸ πλεκταῖς ἐώραις ἐμπεπλεγμένον, ἀλλὰ καὶ τὸ μετέωρον, ἕτεροι ἐπαγωνίζεσθωσαν. ὅτι δὲ κύριόν ἐστιν ὄνομα ἡ αἰώρα γυναικὸς ἀπαγξαμένης, καὶ διά τι ἀπαγξαμένης, τὸ τοῦ Παυσανίου δηλοῖ λεξικόν. ἢ ἠερέθεσθαι κατὰ κυριολεξίαν, τὸ εἰς ἀέρα αἴρεσθαι.

Ἠερέθονται, παρὰ τὸ ἐρέθω τὸ παροξύνω, κατὰ πλεονασμὸν τοῦ η. ἐπὶ δὲ τοῦ ἀπαιωροῦνται, καὶ κρέμανται, παρὰ τὸ κουφίζω. ἀερῶ ὁ μέλλων. ἐξ οὗ ἀερέθω, ἀερέθομαι, καὶ τροπῇ τοῦ α εἰς η, ἠερέθονται, τὸ τρίτον αἰωροῦνται, ἀθροίζονται, πλανῶνται, διασείονται.

Ἠερέθονται φρένες ὁπλοτέρων ἀνδρῶν παρ' Ὁμήρῳ, ὅ ἐστιν ἐκκρεμεῖς ἐν ἀέρι καὶ ἐλαφραὶ καὶ ἀσάλευτοι, καὶ ἀβέβαιοί εἰσιν αἱ τῶν νέων φρένες, καὶ οὐκ ἔμπεδοι, καὶ παγίως βέβαιαι καὶ ἀσφαλεῖς. οἷς δέ φησιν ὁ γέρων μετείησιν, ἤγουν σύνεστι, καὶ τὰ λοιπά.

Ἠερεθίζονται, ὁρμῶσιν, ἀθροίζονται, αἰωροῦνται.

Ἠέρεθον, εἰς ἀέρα διαίρονται.

Ἠερέθοντο, μετεωρίζοντο.

Ἠέρθη, ἠγέρθη, ὥρμησεν, ἀπὸ τοῦ ἀείρω, ἀερῶ, ἤερκα ἤερμαι, ἠέρθην, ης, η.

Ἠέρι, ἀέρι.

Ἠέριαι γέρανοι, τοῖς πυγμαίοις ἐπιτίθενται. ὅ ἐστι πρωϊναί. ἢ διὰ τοῦ ἀέρος πετόμεναι.

Ἠερίη, ἀντὶ τοῦ ὀρθρινὴ, ἑωθινὴ εἴρηται, καὶ πλεονασμὸν ἔχει τοῦ ε. ἦρ γὰρ κλίνεται, ἦρος ἦρι. οἷον ἦρι μάλα Ἑλλήσποντον πλεύσειν, ὅθεν καὶ ἠὼς ἠριγένεια. καὶ ἠερινὸς, ὁ ὀρθρινός. Ἄλλως.

Ἠερίη, πᾶν τὸ πολὺ καὶ δαψιλὲς ἠερόεν λέγεται. Ἀπολλώνιος, ἠερίη δ' ἀμαθος παρακέκλιται. καὶ ἠερίη, πολυλήϊος, ἡ Θεσσαλία. παρὰ τὸ μέλαιναν εἶναι τὴν γῆν. οὕτω γὰρ καὶ τὴν Αἴγυπτον ἠερίαν φασίν. ἢ ἠερία, ἀντὶ τοῦ πρωΐα, ἀπὸ τοῦ ἦρι. καὶ παρ' Ὁμήρῳ ἠερίη, ὀρθρινὴ κατὰ πλεονασμὸν τοῦ ε.

Ἠέριον, μέγα, λεπτὸν, μέλαν.

Ἠερίβοιας, εἰ παρὰ τὴν βοὴν γίνεται, καλοῖτο ἂν οὕτως ὡς οἷον ὑψίλαλος κατὰ τὰς ἱεροφάντας. εἰ δὲ παρὰ τὴν βοῦν, δηλοῦν δοκεῖ τὴν μελάμβοον, ἢ τὴν μεγαλόβοον, ὡς οἷον ἐρίβουν. ἢ τὴν πολύβουν. ὡς πλεονάζειν. οὕτω τὸ κατ' ἀρχὴν η, προσχηματισμὸς τῆς ἠεριβοίας, κατὰ τὴν εὔβοιαν, καὶ ἀλφεσίβοιαν. Ἄλλος.

Ἠερίβοια, ἀπὸ τῆς ἠερι δοτικῆς, γέγονεν ἠερίβοια. ὄνομα κύριον, ὥς φησιν Ὅμηρος Ἰλιάδος ε. ἡ ἀερία, καὶ μεγάλα βοῶσα, ὡς τοῦ ἑρμοῦ μητρυιά. ἢ παρὰ τὸ ἐρι ἐπιτατικὸν, καὶ τὸ βοή.

Ἠεροειδέα πόντον λέγει Ὅμηρος κατὰ τοὺς παλαιοὺς, ἢ τὸν ἀεροειδῆ καὶ μέλανα δίκην ἀέρος, ἢ τὸν βαθὺν, ἢ τὸν ἀναπεπταμένον καὶ πλατὺν, ἐξ οὗ μόνος ὁ ἀὴρ καθορᾶται τοῖς πλέουσιν.

Ἠεροειδὲς, ἀερῶδες, μέγα, διὰ τὴν τοῦ ἀέρος ἔκτασιν τῶν ὀφθαλμῶν, μηδενὸς ἐμποδίζοντος, ὥς τε καὶ τὰ διεστῶτα ἐκ πολλοῦ ὁρᾶν. δηλοῖ δὲ, καὶ τὸ ζοφῶδες, καὶ σκοτεινὸν, καὶ ἀερῶδες τῇ χροιᾷ.

Ἠερόεν στόμα, ἀερῶδες, ἤτοι ὁμιχλῶδες.

Ἠερόεις, ὁ σκοτεινὸς ᾅδης.

Ἠερόεντα κέλευθα, ἢ τὰ πρὸς δύσιν καὶ ᾅδην, ἢ ἁπλῶς τὰ περὶ ἀέρα. ἔνθα ὅρα, ὡς καὶ τὴν δι' ἀέρος φορὰν εἶπεν ὁ ποιητής.

Ἠερόπαιταν, ἐπιτιμῶσαν.

Ἠερόποντα, κατὰ τὸν ἀέρα φαινόμενα.

Digitized by Google

Ἠεροπόμοι, αἱμοπόται.

Ἤεροι ὄγμοι, αἱ ὁδοί, οἱ τόποι. λέγεται δὲ ἐθηλυκῶς, ἐν ἐπιγράμματι. καὶ διὰ μέσης ἠέρος ἄγρον, τῆς δὲ δίδυ χάμαζον.

Ἠεροφοῖτις, ἡ ἀοράτως φοιτῶσα, ἤγουν ἐρχομένη κατὰ τὰ ἔργα. καὶ ἠεροφοῖτις Ἐρινύς, ἡ ἀφανής, καὶ ὡς ἐν σκότῃ ἐπιφοιτῶσα. πολλαχοῦ ἠέρα, τὴν ἀορασίαν λέγει ὁ ποιητής. διότι ἀπὸ τοῦ σκότου, ἢ παρὰ τὸ ἄδυ ἔξεισιν. ἡ ἠεροφοῖτις Ἐρινύς, ἤγουν ἡ ἀφανῶς φοιτῶσα κατὰ τινῶν.

Ἠεροφῶνοι κήρυκες, ὧν ἡ φωνὴ μέχρι τοῦ ἀέρος διϊκνεῖται. ὃ γίνεται παρὰ τὸ ἀήρ, τοῦ α εἰς η τραπέντος, ὃ δηλοῖ παρὰ τοῖς ποιηταῖς τὸν παχὺν ἀέρα, καὶ ὁμιχλώδη. ὡς παρ᾽ Ὁμήρῳ, ἠέρα ἑσσάμενοι, ἤγουν ἀορασίαν.

Ἤερτο, ἐκρέματο.

Ἠερτίζων, αἴρων.

Ἠέρχαται καθειργμένοι ἦσαν.

Ἦες, ὑπῆρχες.

Ἤισαν, ἐπορεύοντο, ἢ ἤλθοσαν. ἤισαν δὲ ἀντὶ τοῦ ἔπεμψαν, ἴασι.

Ἠετίων, ὄνομα κύριον, ὁ πατὴρ Ἀνδρομάχης, Βασιλεὺς Θήβης. Κίλικες δὲ οἱ περὶ τὴν Θήβην ἐλέγοντο· ὧν ἦρχεν Ἠετίων, ἀπὸ τοῦ αὐτοῦ ὀνομαζόμενος αὐτός.

Ἠετιώνεια. οὕτως ἐκαλεῖτο, ἡ ἑτέρα τοῦ Πειραιέως ἄκρα, ἀπὸ τοῦ κατασκευασαμένου τὴν γῆν Ἠετίωνος. καὶ Ἠετιώνειος διαίτα, ἡ τοῦ Ἠετίωνος.

Ἠεὼν παρ᾽ Ὁμήρῳ ἐν τῷ τῆς Ἰλιάδος τ', ἀσυνήθως ἐσχημάτισται, ἀλλά τι παρεξήλλακται. ἦν μὲν γὰρ τοῦ εἴρω τὸ εἰπεῖν, οὐδ᾽ εἶχεν τοῦ πατρὸς ποθείμην ἐόντα, ἤγουν πάντα ὅς μοι Σκύρῳ ἐνὶ τρέφεται.

Ἠέ τευ, ἤ τινος.

ΤΟ Η. ΜΕΤΑ ΤΟΥ Ζ.

καὶ μεθ᾽ ἑαυτοῦ, σὺν τῷ θ. καὶ ι.

Ἤζακας, γένος σιτῶν, παρὰ Πέρσαις.

Ἠζάνθη, ἐξηράνθη.

Ἤζω, ζῶ, ἤμην.

Ἠήρ, ὁμίχλη.

Ἤιτει, ἐπίφθεγμα.

Ἠϋ κολεμῶν, ἢ τῶν κολοιῶν, εἶδος ὀρνέου καὶ ἰχθύας.

Ἠῇ, ἀντὶ τοῦ σιώπα, παρὰ Ἀριστοφάνει.

Ἤζω, κοινόν ἐστι τῷ ζῶ, πλεονασμὸν τοῦ η παθόν.

Ἠθάδων, συνήθων. χειμέριον νύκτ᾽ ἐπέρασαν, ἐν ᾗ οὐδ᾽ ἄν τις αὐτῶν τῶν βαρβάρων ἠθάδων, ἕνεκά τινος ἐξουσίου ἀνάγκης, ἔξω τῶν σκηνωμάτων ἐγένετο.

Ἠθαλωμένος, ὀχεχωσμένος.

Ἠθαμά, ὄνομα τόπου. ἑβραϊστὶ δὲ λέγεται αἷμα, ἢ νότος ἑρμηνεύεται. ἐς νότον γὰρ τῆς Ἰουδαίας ὁ Γορδάνης κεῖται.

Ἠθάς, ὁ συνήθης ὄρνις.

Ἤθαιο, ἐσπαίετο, ἐμελαίνετο.

Ἤθε, ὤφελον.

Ἠθεαδιφῶν, ὄρνεα ζητῶν. καὶ ἤθεα παρὰ Ἡροδότῳ, οἱ τόποι ἐν οἷς ἀναστρέφονται, ἢ καὶ διατρίβαι.

Ἠθεῖε, προσφώνησις παρ᾽ Ὁμήρῳ νεωτέρου πρὸς πρεσβυτέρους. οἶμαι κατ᾽ ἐπένθεσιν τοῦ η τὸ ἠθεῖε γεγονέναι, ὥσπερ καὶ τὸ βαιὸς ἠβαιός, μύω ἠμύω. σημαίνει δὲ κατὰ τὸ πρόχειρον, τὸ θεῖε, συγγενές. ἢ τὸ θαυμάσιε, μηδαμῶς ὦ θαυμάσιε, ἢ τὸ καλέ.

Ἤθειος, γέγονεν ἴσως ἐκ τοῦ θεῖος, πλεονασμῷ τοῦ η, καὶ ἔστι προσφώνησις ἔχουσά τινα σεβασμόν. συγχεῖται δὲ παρὰ τοῖς μεθ᾽ Ὅμηρον ἡ λέξις. ἔστι δὲ τὸ μὲν ἄττα, φίλε. τὸ δὲ, ἄττα τροφέως. τὸ δὲ πάππα, πατρός. τὸ δὲ ἠθεῖε, ἀδελφοῦ. φησὶ γοῦν ὁ Πάρις πρὸς Ἕκτορα, ἠθεῖ᾽ ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω δηθύνων, ἤγουν βραδύνων.

Ἠθείη, ὡραία.

Ἤθειραι, τρίχες.

Ἠθέληκα, Ἀττικοὶ λέγουσιν, ἀπὸ τοῦ ἐθέλω ἐθελήσω, ἠθέληκα. τὸ δὲ τεθέληκα, ἀπὸ τοῦ θελήσω κανονίζεται.

Ἠ θέμις, ὡς δίκαιον, ὡς νόμος, ὡς προσῆκον, καθά ἐστι δίκαιον.

Ἤθεος, τοῦ ἤθους.

Ἠθέσαι, ἀνθεῖ, ἀγνοεῖ, ταρορᾷ.

Ἤθη, τοὺς τόπους ἐν οἷς ἀνεστρέφοντο λέγουσιν Ἴωνες.

Ἠθέω, ἀληθῶς δή. ἀλλ᾽ ὅμως, πλήν, ἀλλ᾽ ἔν.

Ἠθημένος, διυλισμένος.

Ἠθ᾽ ἡ μὲν, ὅτι αὐτῶν.

Ἠθείων, ἠθάνιον.

Ἤθισεν, ἐφθάρη.

Ἠθικά, τὰ εἰς ἤθη ἀνθρώπου λεγόμενα νουθετικὰ ῥήματα.

Ἠθική, ἡ τῶν εἰωθότων τοῖς ἀνθρώποις ἐξήγησις.

Ἠθικῆς Φιλοσοφίας, διορθωτικὴ ἠθῶν.

Ἠθικόν, κατηχητικόν.

Ἠθλίωμαι, ἀκολάστως ἀφήνιοχα.

Ἠθλοθέτει, τοὺς ἀγῶνας διετίθει. ἕως ὁ μέγιστος Ἑλλανοδίκης Γαϊνᾶς, τὸν Ῥωμαϊκὸν ὄλεθρον ἠθλοθέτει, τουτέστι διετίθει.

Ἠθμάριον, διυλιστήριον.

Ἠθμός, ἠθημένος. ἢ ἠθμός, καὶ ἠθάνιον, ἐργαλεῖον διατετρημένον πολλαῖς τρύπαις, δι᾽ οὗ τὸ ὑγρὸν εἴωθε διακρίνειν τῶν παχυτέρων, ὥς φησι Μενεκράτης ἐν Ἐργοις, καὶ ἠθμὸς ὁ διυλιστήρ. καὶ μέντοι καὶ διακριθὲν πρότερον, ὑπὸ τοῦ λεγομένου ἠθμοῦ.

Ἠθμοῦς, καμίνους.

Ἠθολόγος, θεατρικός.

Ἠθοποιΐα, μίμησις ἤθους ὑποκειμένου προσώπου.

Ἠθοποιεῖ, λόγους ἁρμόζοντας, ἢ ἤθη ποιεῖ.

Ἦθος, λαμβάνεται ἐπὶ τρόπου. συνηθικῶς δὲ, ἐπὶ τῆς εἰωθείας διαίτης. ἢ ἦθος, τὸ ἐν ψυχῇ χρονίσαν ἔθος. ἢ τὸ παρ᾽ ἄλλων ἰδικῶς ἀνθρώπων σχηματιζόμενον, παρὰ τὸ ἔθος, ἦθος κατ᾽ ἔκτασιν. ἢ παρὰ τὸ ἵημι ἥσω, ἀφ᾽ οὗ αἱ κατὰ μέρος ἐκπέμπονται πράξεις. ἦθος, γνώριμος τόπος, ἀναστροφή.

Ἤθροιζεν, ἐθορύβει, συνῆγεν.

Ἤθυρον, ἔπαιζον.

Ἤθυζεν, ἐρύπιζεν, ἔνυσσεν.

Ἠθωλή, ἡ ζημίαν.

Ἠθῶν, κατηχήσεων.

Ἤϊα, τὰ ἄχυρα, καὶ ὅτι ὁ θημὼν καὶ θημωνία λέγεται, καὶ ὅτι καρφαλέον τὸ κατάξηρον. ὡς ἀπὸ τοῦ κάρφους ὅ ἐστι ξηρὸν ξυλύφιον, πολλαχοῦ δηλοῦται. νῦν δὲ ὅρα, ὅτι ἐπὶ ἀχύρων λέγεται θημών.

Ἤϊα, τὰ ἐφόδια, ὅ ἐστι τὰ εἰς ὁδὸν ἐπιτήδεια βρώματα. παρὰ τὸ ἰέναι, κατ᾽ ἔλλειψιν τοῦ ἐξ ἀρχῆς ἰῶτα διὰ τὸ εὐφωνότερον. κεῖται δέ που ἡ λέξις καὶ ἐπὶ τῶν ἁπλῶς βρωμάτων παρὰ τῷ Ποιητῇ. ἔτι δὲ καὶ ἐπὶ ἀχύρων, ἃ καὶ αὐτὰ λέγεται οὕτως, ἢ ὡς ἁπλῶς βρώματα ζώων δηλαδή. ἢ παρὰ τὸ ἰέναι, ὡς κοῦφα, καὶ οἷα κινεῖσθαι πάσῃ πνοῇ. εἰ δὲ καὶ ἔστι ῥῆμα ἤϊα, δηλοῖ τὸ ἐπορευόμην, ὡς τὸ, ἤϊα γουνούμενος, ἑτέρα τοῦ λόγου. οἱ δὲ παλαιοί φασι τοιαῦτα ἤϊα κυρίως, κατὰ Ἐρατοσθένην ὀσπρίων καλάμαι καὶ δισύλλαβα ἐν συναιρέσει, ἦα. Ὅμηρος, τὰ ἁπλῶς βρώματα. ὁ δὲ ποιητὴς λέγει ἤϊα, παρὰ τὸ εἶω, τὸ πορεύομαι, τὰ αἴτια τοῦ ζῆν καὶ προϊέναι, ὡς διηκνούμενα ὅλου τοῦ σώματος. ὅθεν καὶ δαὶς εἴση. καὶ νηῦς δὲ ὁμοίως εἴση, κατά τινας ἡ πορευτικὴ καὶ ταχεῖα. καὶ ἄλλως δὲ, ἤϊα τὰ βρώματα, παρὰ τὸ ἴω τὸ ὑπάρχω, ὡς αἴτια τοῦ εἶναι. παρὰ δὲ τῷ Ἀπολλωνίῳ, ἤϊα, τὰ ἐφόδια βρώματα. σημαίνει δὲ καὶ τὰ ἄχυρα. Ὅμηρος, ἠΐων θημῶνα τινάξῃ.

Ἤϊε, τοξικέ, παρὰ τὴν ἄφεσιν τῶν βελῶν, ἔστι δὲ ἐπίθετον Ἀπόλλωνος, εἴρηται δὲ κατὰ ἀφαίρεσιν τῆς πρώτης συλλαβῆς, ἐν ᾗ ἰήϊε. ἰὸς γὰρ λέγεται τὸ βέλος, παρὰ τὸ ἰέναι. ἔνιοι δὲ ψιλῶς ἀναγινώσκοντες, ἀπέδοσαν ἰατρέ, οὐκ ὀρθῶς. ἐπεὶ θεῶν ἰατρὸν Παιήονα, Ὅμηρος παραδίδωσιν.

Ἤϊε, ἐπορεύετο. ἔστιν εἴω τὸ πορεύομαι, εἶσα, εἶκα, ὁ μέσος εἶα, καὶ διαλύσει ἤϊα, καὶ τροπῇ τοῦ ε εἰς η, ἦια, ἤϊες, ἦις...

Ἠΐθεοι, καὶ παρθένοι. ὃ γὰρ ἐν ἡλικίᾳ γυναικῶν αἱ παρθένοι, τοῦτο ἐν ἀνδράσιν ἠΐθεοι, οἱ ὡραῖοί φασι γάμου, καὶ μηδέπω γεγαμηκότες. ὡς δὲ καὶ τρισυλλάβως, ἤθεος λέγεται ὁ ἠΐθεος, προσγραφέντος τοῦ ι, Αἴλιος Διονύσιός φησι. καὶ ἔστι φασὶν Ἀττικόν, λέγεται καὶ ἐπὶ παρθένου τὸ ἠΐθεος.

Ἠΐθεος, ὄνομα ἡλικίας, τοῦτο ἐν ἀνδράσιν αὐτὸς ὤν, ὅπερ ἡ παρθένος ἐν γυναιξίν, καὶ ἠΐθεος ἐπὶ ἀνδρὸς, παρθένος ἐπὶ γυναικός. ἤγουν ὅπερ ἐν ἀνδράσιν ἠΐθεος, τοῦτο ἐν γυναιξὶ παρθένος ἐστίν. Εὐριπίδης ἐν Φοινίσσαις λέγει τό, Αἵμονος μὲν αὐτοῦ σφαγὰς ἀπείργουσι γάμοι, οὐ γάρ ἐστιν ἠΐθεος, τουτέστιν ἄπειρος γάμου. καὶ Ὅμηρός που, συνδιάζων αὐτοὺς λέγει. παρθένος ἠΐθεός τε, ὀαρίζετον ἀλλήλοιιν. γίνεται δέ φασιν, ἢ παρὰ τὸ αἴτης ὁ ἐρώμενος αἴτεος, καὶ τροπῇ ἠΐθεος, ὁ ἐραστός. ἢ παρὰ τὸ αἴθω, αἴθεος, καὶ διαλύσει καὶ τροπῇ τοῦ α εἰς η, ἠΐθεος, ὁ διάπυρος τῇ νεότητι. ἴσως δὲ καὶ παρὰ τὸ ἰέναι θείως, διὰ τὸ ἔτι καθαρόν. ἵνα ᾖ, ἠείθεος, καὶ κατὰ ἀφαίρεσιν ἠΐθεος, καθάπερ καὶ Ἀπόλλων υἱός, οἰείς. ὡς ταξικὸς ἡ Γατικός. καὶ ἠΐθεος, ὁ ἄφθαρτος πρὸς γυναῖκας, ἐν ἐπιγράμματι, ἠϊθέοις οὐκ ἔστι πόσος πόνος, ὁπόσος ἡμῖν ταῖς ἁπαλοψύχοις, καὶ ὁ ἴσος τοῖς θεοῖς.

Ἤϊθεσαν, ἐπορεύοντο, ἐπυνθάνοντο.

Ἤϊθισας, ἔδοξας, ἐπύθου.

Ἠϊθόμην, ᾔκουσα.

Ἠϊκανός, ὁ ἀλεκτρυών.

Ἤϊκτο. ἔστιν εἴκω τὸ ὁμοιῶ, εἴξω, εἶχα, εἶγμαι, εἴγμην, εἶξο, εἶκτο ἔϊκτο, καὶ ἤϊκτο, ὡμοίωτο. ἔστι ῥῆμα εἴκω, ὁ παρακείμενος εἶχα, εἶγμαι. ὁ ὑπερσυντέλικος εἴγμην, εἶξο, εἶκτο. καὶ κατὰ ἔκτασιν, ἤϊκτο.

Ἠΐλοντο, ἐστράβιζον, ἤλοντο.

Ἤϊμεν, ἐπορευόμεθα.

Ἠϊνεύς, ὁ Ἥρως, ὁ πατὴρ Ῥήσου τοῦ Θρακός, ὥς φησιν Ὅμηρος.

Ἤϊξε, σημαίνει τὸ ῥᾷον ἀπῆλθεν, ὡς καὶ παρ᾽ Ὁμήρῳ, παρὰ τὸ ἀΐσσω. καὶ ἤϊξεν, ὥρμησεν, ὁμοίως ἐκ τοῦ ἀΐσσω.

Ἠϊόεις, ὁ καλὰς ἠϊόνας ἔχων.

Ἠϊόεντα Σκάμανδρον λέγει Ὅμηρος, διὰ τὰ περὶ αὐτὸν ὡς εἰκὸς ὀχθώδη, αἰγιαλοῦ δίκην, ἵνα εἴη συγκοπεὶς ἐκ τοῦ ἠϊόεις, ἠϊόνες γὰρ οἱ αἰγιαλοί. δύναται δὲ καὶ ἀπὸ τοῦ ἄνθους τοῦ ἴου εἶναι, πλεονασμῷ τοῦ η. οἱονεὶ ὁ ἀνθηρός, διὰ τὸν ἐκεῖ ἀνθεμόεντα λειμῶνα.

Ἠϊόεις, ὁ αἰγιαλώδης.

Ἠϊόεντι, ἠϊόνας ἔχοντι, ἢ ἰώδει, ἢ καλὰς ἔχοντι φωνάς.

Ἤϊον, τὸ εἰς ὁδὸν βρῶμα.

Ἤϊον, ἐνεστὼς εἶω. ὁ παρατατικὸς, ἤϊον, καὶ πληθυντικῶς ἠΐομεν, καὶ κατὰ συναίρεσιν ᾔομεν. ἄλλως γάρ φασιν οὐδέποτε ἐν παρῳχημένῳ καταρχει τὸ η.

Ἠϊόνα, αἰγιαλὸν, ὄχθην. ἡ ὀρθὴ, ὁ ἠϊών, παρὰ τὸ ἀΐειν τὸ ἀκούειν, ὅ ἐστιν ὁ ἐξακουόμενος τοῖς κύμασιν. ἢ παρὰ τὸ καταιονᾶσθαι καὶ βρέχεσθαι ὑπὸ τῶν κυμάτων. καὶ ἠϊών, τὸ βάσιμον μέρος τῆς θαλάσσης.

Ἠϊόνας, οὐχ εὕρομεν πάνυ περιλαλουμένας. ἑνικῶς δὲ ἠϊὼν λέγεται πόλις Χερρονησία. ἔστι δὲ καὶ Στρυμονική. λέγεται δὲ καὶ ἑτέρα ἠϊὼν Πιερική. Ἰστέον δὲ, ὅτι τὰς ὁμηρικὰς ταύτας ἠϊόνας, ἑνικῶς οἴδασιν οἱ παλαιοί, ὡς δηλοῖ ὁ εἰπών, ὅτι οὐδ᾽ ἠὼν οὐκ οἰκεῖται. Στράβων δέ φησιν, ὅτι ἠϊόνας κώμη τίς, ἣν ἐρημώσαντες Μυκηναῖοι, ἢ Ἀθηναῖοι, ναύσταθμον ἐποιήσαντο.

Ἠϊόνες προὔχουσαι, αἱ προκείμεναι. ἵνα καθ᾽ ὃν λόγον προβλῆτες πέτραι λέγονται, οὕτω καὶ αἰγιαλοῦ προὔχοντες. ἐντεῦθεν δέ ποτε μεταφορικῶς καὶ προέχειν, τὸ ἀξιωματικῷ ὑπερέχειν.

Ἠϊονῆσαι, καταντλῆσαι.

Ἤϊος, ὁ τοξότης, ἢ ὁ Φοῖβος. Ἀρίσταρχος δασύνει, παρὰ τὸ ἵημι. ἄμεινον δὲ ψιλοῦσθαι, ἀπὸ τῆς ἰάσεως τῶν βελῶν. καὶ ἄλλως. τὸ γὰρ η πρὸ φωνήεν-

φωνήεντος ψιλοῦται ἠέτιον, ἠέλιος, ἠΰσε. καὶ ἤιος, πορθήσιμος, Παιανικής.

Ἤϊοσιν ἁρματόεσσαις, τῷ ἅρματι σύρεις, ἐν τοῖς αἰγιαλοῖς ἐλαύνων.

Ἤϊρω, κατελάμβανεν.

Ἠϊρέθησαν, ἐκρεμάσθησαν.

Ἤισαν ἐγώ, ἀντὶ τοῦ ἐπιστάμην. ἴσημι, καὶ ὁ παρατατικὸς ἴσην, ἴσαν, συστολῇ τοῦ η εἰς α, καὶ πλεονασμῷ τοῦ η ἤισαν. διὰ τοῦτο προστίθεται τὸ ἐγώ, ἵνα γίνηται πρῶτον.

Ἤισαν, ἀντὶ τοῦ ἐπορεύοντο. εἶμι τὸ πορεύομαι. ὁ παρατατικὸς ἦν, ἦς, ἦ. δυϊκὰ, ἦτον, ἤτην. πληθυντικὰ, ἦμεν, ἦτε, ἦσαν. καὶ πλεονασμῷ τοῦ η, ἤισαν. ἢ ἀπὸ τοῦ εἴω, ἀόριστος εἶσαν, καὶ εἴισαν, καὶ ἤισαν. ἢ ἤισαν, ἐκ τοῦ εἴω, ἐξ οὗ καὶ ὑπερσυντέλικος ἤειν, ἀντὶ τοῦ ἦλθον. ὥσπερ δὲ τὸ ἤεισαν συναιρεθὲν γίνεται ἦσαν, οὕτω καὶ τὸ ἤιειν ἤειν, σὺν τῇ προσγραφῇ τοῦ ι. ἐν Ὀδυσσείᾳ δὲ καὶ παρατατικὸς κεῖται, μετὰ τῆς προσγραφῆς, ὁμοίως ἐν τῷ ἤομεν ἀνὰ δρυμά. ἔστι δὲ καὶ ἀόριστος τοῦ εἴω, ἤια. δῆλον δὲ, ὡς καὶ τὸ εἴω συναιρεθὲν, ἔω γίνεται, οὗ ἡ χρῆσις ἐν τῷ, ἐγχείρηνα ὡς ἔω, ἤγουν κίρνα ὅπως πορευθῶ. τούτου δεύτερος ἀόριστος ἐνεργητικὸς, ἶον. οὗ ἡ μετοχὴ, ἰών. ὡς λείβω ἔλιβον λιβών, λείπω ἔλιπον λιπών. ἢ ἤισαν, ἐκ τοῦ εἴω τὸ πορεύομαι, ὁ μέλλων ἥσω, ὁ ἀόριστος εἶσα. τὸ τρίτον τῶν πληθυντικῶν, ἦσαν. καὶ ἐκτάσει, εἴσαν, καὶ τροπῇ τοῦ ε εἰς η, ἤισαν.

Ἤισεν, ἦσεν.

Ἤισκομεν, ἀπεικάζομεν, καὶ ἠΐσκομεν, ἐκ τοῦ εἴσκω, τὸ λέγω. ἢ τὸ εἰκάζω, παρατατικὸς εἴσκον καὶ ἤισκον, τὸ πρῶτον τῶν πληθυντικῶν, εἴσκομεν.

Ἤϊστωσας, ἠφάνισας. Σοφοκλῆς Αἴαντι, Σὺ γάρ μοι πάντ᾽ ἐμὰ ἠΐστωσας δορί.

Ἤιχωεν, ἐπαροίνησεν, ἐλυμαίνετο, ἐπαρώνει.

Ἤϊχθη, ἐξέδραμεν. ἐκ τοῦ ἀΐσσω, μέλλων ἀΐξω, ἦϊχα, ἦϊγμαι, ἠΐχθην καὶ ἠΐχθη, ὡρμήθη, ἐφάνησεν.

Ἠϊώμεθα, πεπληρώμεθα, ἐπισεσιτίσμεθα.

Ἠϊὼν, πόλις Θράκης, Μενδαίων ἀποικία. καὶ ἠϊὼν, ὁ αἰγιαλὸς, ἀκτή, ψάμμος, ὄχθη.

ΤΟ Η. ΜΕΤΑ ΤΟΥ Κ.

Ἦκα, τουτέστιν ἡσύχως. δῆλον δὲ, ὡς ἀπὸ τοῦ ἀκὴν τὸ ἦκα γίνεται, κατὰ ὁμοιότητα τοῦ ἀμφαδὴν ἀμφαδά, κρύβδην κρύβδα, κύβδην κύβδα.

Ἠκάδα, τὴν δρομένην γυναῖκα.

Ἤκαιος, ἀριστερίας. ἰσχυρός.

Ἤκαιον, ἀσθενές.

Ἠκαιρεῖσθε, ἐκωλύεσθε, καιρὸν οὐκ εἴχετε.

Ἦ, καὶ ἐπ᾽ ἀργυρέῃ κώπῃ, ἀντὶ τοῦ ἔφη, εἶπεν. ἢ καὶ ἀπ᾽ ἀκμοθέτοιο. ἔστι δὲ ῥῆμα χρόνου ἀορίστου δευτέρου. ἢ καὶ ἀπὸ τοῦ μάχου ἀρνῶν. ἔστι φῶ, τὸ λέγω. οὗ παράγωγον φημί, καὶ Ἀττικῇ ἀποβολῇ ἠμί, τὸ αὐτὸ σημαῖνον. καὶ ἔστι τὸ μὲν φημὶ δευτέρας συζυγίας, τὸ δὲ ἠμὶ πρώτης. ἠμὶ οὖν, ὁ μέλλων ἥσω, ὁ δεύτερος ἀόριστος, ἦν, ἦς, ἦ.

Ἤκαλίον γελόωσαι, πρᾴως, οὐκ ἐσκυθρωπακυῖα.

Ἤκαλον, τὸ ἥσυχον, παρὰ τὸ ἀκαλόν. ἐξ οὗ καὶ ἀκαλαρρείτης, ὁ ἡσύχως ῥέων, παρὰ τὸ ἔκηλος, ὁ ἥσυχος.

Ἤκαλλον, ἐθώπευον, ἀπὸ τοῦ αἰκάλλω θέματος, ᾔκαλλον, ἠπάτων, καὶ ἤκαλλον. αἰκάλλειν ἐστὶ τὸ τὸν κύνα τοῖς ὠσὶ καὶ τῇ οὐρᾷ σαίνειν τοὺς ἠθάδας. ἢ ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων, κάλλαια γὰρ καλεῖται αὐτῶν τὰ γένεια πολλαί, δὲ αἱ λέξεις, ἀλλὰ τὸ σημαινόμενον ἕν, ἐκολάκευε γὰρ Ἀριστοφάνης.

Ἠκάμυλος ψωρῶσα, πολλῶν ὄνων ἀνατίθεται φορτία, εἰς ἀγλαΐην ἐν χθονὶ κατθεμένη, περὶ Λαΐδος τῆς ἑταίρας.

Ἤκασι, μέσος παρακείμενος ἀπὸ τοῦ ἥκω, τὸ ἔρχομαι.

Ἤκαχον, Ἡρώων τὸν ἀοιδόν. καὶ ἴω ἔνι παῖδες, Ὅμηρον, ἤκαχον ἐκ Μυσέων γρῖφον ὑφηνάμενοι. ἀντὶ τοῦ ἐλύπησαν, ἔβλαψαν.

Ἠκία, ὀξεία.

Ἠκέω, ὄντως γάρ, ἢ ἐνέβαλεν, ἢ ἔπεμψεν, δασυνομένως. καὶ ἦκεν, σύνδεσμος βεβαιωτικός, καὶ δεῖ προπερισπᾶσθαι. ἢ ἧκεν, ἦλθεν, ἔπεμψεν, ἀφῆκεν.

Ἤκει, ἀντὶ τοῦ ἐῴκει, ὡμοιώσατο, ὄρτυξ καλεῖται, καὶ γὰρ ἤκει ὄρτυγι, ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ. καὶ ἥκει, ἔρχεται, ἢ ἦλθεν, ἢ ἠχεῖ.

Ἠκερεῖσθε, ἐκωλύεσθε, καιρὸν οὐκ εἴχετε.

Ἠκέσατο, ἰάσατο, ἐθεράπευσεν.

Ἤκεσαι βόας κατὰ Παυσανίαν καλοῦσι φορβάδας, ἀδαμάστους, νομάδας. καὶ ἠκέστης ἐν ἄλλοις, ὅ ἐστιν ἀκέντητος· γίνεται δὲ ἀπὸ τοῦ α στερητικοῦ, καὶ τοῦ κένσαι, ὃ δηλοῖ τὸ κεντῆσαι. ἀφ᾽ οὗ καὶ ὁ κεστὸς γίνεται, καὶ ὁ πολύκεστος ἱμάς. χρῆσις δὲ τοῦ κένσαι, παρ᾽ Ὁμήρῳ. βοῦς ἦνις, ἠκέστας λέγει Ὅμηρος, δοκεῖ δὲ χαίρειν ἡ Παλλὰς τοιαύταις βουσίν. οἰκεῖον γὰρ τῇ νεαζούσῃ, καὶ κατὰ τὸν μῦθον παρθένῳ, σφριγῶσα βοῦς, καὶ ἀδάμαστος. ἢ ἠκέστης, ὁ ἀδάμας, ἀκέντητος, καὶ ὄνομα κύριον.

Ἠκὴ, ἡ ὀξύτης τοῦ σιδήρου. καὶ ἠκὴ, ἀκωκή, ἐπιδορατίς, ἀκμή.

Ἠκηκόεισαν, ἐγεγράφεισαν, ἐπεποιήκεισαν, ἐνενοήκεισαν ἐρεῖς, ἀλλ᾽ οὐ σὺν τῷ ι, ἠκηκόεισαν. Φρύνιχος.

Ἠκίσατο, ἐμάστιξεν.

Ἠκισμένους, ἠφανισμένους, μαστιζομένους.

Ἥκιστα, καὶ ἀντὶ τοῦ οὐδαμῶς, καὶ ἀντὶ τοῦ μᾶλλον, καὶ ἀντὶ τοῦ πάνυ. καὶ ἥκιστα πάντων, ὥσπερ φαμὲν μάλιστα πάντων, καὶ ἔστι τὸ μάλιστα ἐπίτασις ὑπερθετική, οὕτω καὶ ἥκιστα πάντων, καὶ ἔστιν ἀπαγόρευσις ὑπερθετική.

Ἥκιστος, γίνεται παρὰ τὸ ἦκα, ὅ ἐστιν ἡσυχῇ, ἠρέμα, ἐπ᾽ ὀλίγον. ὅθεν καὶ ἥκιστα ἐπιρρηματικῶς, τὸ καθ᾽ ὅλως, καὶ οὐχ ἥκιστα, ὡς τὸ μάλιστα. εἰ δὲ τὸ μὲν ἦκα ψιλοῦται, κοινότερον. τὸ δ᾽ ἐξ αὐτοῦ παράγωγον τὸ ἥκιστος, δασύνεται. ἀλλὰ καὶ ἐκεῖνο δασύνεται Ἀττικῶς. δῆλον δ᾽ ὅτι ἐξ οὐδετέρου πληθυντικοῦ, οὗ εὐθεῖα τὰ ἥκιστον, γίνεται τὸ ἥκιστα ἐπίρρημα. ἔστι δὲ ἥκιστος, ὁ ὀλίγος καὶ οὐδαμινός. καὶ ἥκιστος, ἐλάχιστος, παρὰ τὸ ἦκα, ὅ ἐστιν ἡσυχῇ. καταστρέφει δὲ εἰς τὸ ἐλάχιστον, καὶ ψιλῶς προσενεκτέον, οὐχ ὡς παρὰ τοῖς Ἀττικοῖς δασέως.

Ἤκμαζεν, ἔρρωτο. ὁ δὲ Τραϊανὸς τῇ ψυχῇ ἤκμαζεν, ὥς τε μήτε ὑπὸ νεότητος θρασύνεσθαι, μήτε ὑπὸ γήρως ἀμβλύνεσθαι.

Ἥκομεν, παρεγενόμεθα.

Ἧκον, ἦλθον.

Ἠκόνα, τὴν προθυμίαν.

Ἠκούσης, ἀντὶ τοῦ ἐγχεούσης, οὕτως Ἡρόδοτος.

Ἠκουσιάσθησαν, ἑκουσίως ἠθέλησαν ποιῆσαί τι.

Ἠκριβωμένος, ἔμπειρος.

Ἠκρίβωτο, ἀκριβῶς ᾔδει.

Ἠκροβόλιζον, ἔβαλλον.

Ἠκρωτηριασμένοι, τὰ ἄκρα λελυμασμένοι.

Ἦκτο, ἤγετο. ἐκ τοῦ ἄγω, τὸ φέρω.

Ἠκύρουν, ἀβέβαια ἐποίουν. ἐκύρουν δὲ, ἐτύγχανον, ἢ ἐβεβαίουν. βωμῷ θύοντες ἐκύρουν.

Ἡ κύων ἐν τῇ φάτνῃ, παροιμία, πρὸς τοὺς μήτε αὐτοὺς χρωμένους, μήτε ἑτέρους ἐῶντας.

Ἥκω, τὸ ἔρχομαι. οἷον, ἥκω πρὸς τὴν πόλιν. καὶ συντάσσεται μετὰ τριῶν χρόνων, τῆς μετοχῆς δηλονότι, ἐνεστῶτος, καὶ μέλλοντος, καὶ ἀορίστου. οἷον, ἥκω ποιῶν τόδε. ἀλλὰ τοῦτο οὐκ ἐμοὶ ἀρέσκει. ἥκω ποιήσων τόδε, καὶ ἥκω λιπὼν σκότου πύλας, καὶ ἥκω ποιήσων τόδε, καὶ ἥκω ὀψόμενος τὴν οἰκίαν, καὶ ἥκομεν πολλοὶ ὀψόμενοι λαόν. καὶ ἥκω, ἀντὶ τοῦ ἦλθον, ὡς τὸ ἥκω νεκρῶν κευθμῶνα, καὶ σκότου πύλας λιπών· καὶ ἥκω τὸ ἔρχομαι, καὶ τὸ ἦλθον, ὃ παρὰ τοῖς παλαιοῖς διὰ τοῦ ι ἐγράφετο, τὸ παθητικὸν οὐχ εὕρηται ἵκομαι. τὸ δὲ προσλαβὸν, γέγονεν εὔχρηστον. μετὰ τῆς ἀπὸ προθέσεως λέγομεν ἀφικνοῦμαι, ὁ παρατατικὸς ἀφικνούμην, ὁ μέλλων ἀφίξομαι, ὁ ἀόριστος ἀφικόμην. ὅτι δὲ τὸ ἀφικόμην μέσος ἀόριστος δεύτερός ἐστιν, ἀπό τε τῆς σημασίας καὶ ἀπὸ τοῦ ἀφικέσθαι ἀπαρεμφάτου δῆλον. τὸ δὲ ἱκνοῦμαι χωρὶς τῆς προθέσεως, τὸ παρακαλῶ δηλοῖ. οἷον ἱκνοῦμαί σε. καὶ ἥκω ἥξω, ἀφίξομαι, τὸ ἥκω δηλοῖ τὸ ἀρτίως ἦλθον. τὸ δὲ εἶμι τὸ ἀρτίως, τοῦτο δὲ εἰ καὶ ἐνεστῶτος, ἀλλ᾽ οὖν καὶ εἰς σημασίαν μέλλοντος λαμβάνεται. ὡς τὸ νῦν δ᾽ εἶμι Φθίηνδε. ὅσον οὖν ῥέπει τὸ ἥκω πρὸς τὸν παρεληλυθότα, τοσοῦτον τὸ εἶμι πρὸς τὸν μέλλοντα.

ΤΟ Η. ΜΕΤΑ ΤΟΥ Λ.

Ἠλαζονεύετο, ἀντὶ τοῦ ἐψεύδετο. Ἀριστοφάνης Βατράχοις, ἠλαζονεύεθ᾽ ἵνα φοβηθείην ἐγώ, εἰδώς με μάχιμον ὄντα καὶ φιλοτιμούμενον.

Ἠλαιθερὲς, ἠλαιθερὲς τὸ ὑπὸ τοῦ ἡλίου θερμαινόμενον.

Ἠλαίνονται παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ ῥέμβονται, ἐπὶ τῆς αὐλῆς πλανῶνται. ἠλαίνω τὸ μωραίνω, καὶ ἠλαίνουσα περὶ παρθένου, καὶ τὸ μωραίνειν καὶ μαίνεσθαι, καὶ ἀποτρίβειν.

Ἠλαίθερον, τὸ ἐν Ἡλίῳ τεθερμασμένον.

Ἠλάκατα, ὅτι τὰ ἔρια σημαίνει, πολλαχοῦ δηλοῦται, καὶ ὅτι στροφὰν τὸ στρέφειν ἤτοι κλώθειν λέγεται.

Ἠλακάτη λέγεται, ἐρμηνεύει τι ἐργαλεῖον. παρὰ τὸ ἠλάσκειν, τὸ ἐν πλάνῃ εἰλεῖσθαι. περὶ ἣν τὸ ἔριον ἠλάσκει, ὃ ἑρμηνεύει τὴν Ταλασίαν καὶ τὸ ταλάσιον. κατὰ τὸν εἰπόντα Παυσανίαν, ὅτι ταλάσια τὰ ἐριουργικά, καὶ Ταλασία ἡ ἐριουργία. ἠλάκατα δὲ οὐδετέρως τά, τὰ περὶ τὴν ἠλακάτην ἔρια, καὶ τόξα. ὅθεν Ἄρτεμις χρυσηλάκατος. ὅτι δὲ ἠλακάτη καὶ ἱστοῦ μέρος ἐστίν, οὐχὶ ὑφαντικῆς, ἀλλὰ τοῦ κατὰ τὰ πλοῖα, δῆλον ἐντεῦθεν. ἱστοῦ τὸ μὲν κατωτέρω φασὶ, πτέρνα καλεῖται. τὸ δὲ εἰς μέσον, τράχηλος. τὸ δὲ πρὸς τῷ τέλει, καρχήσιον, ᾧ ἐπίκειται τὸ λεγόμενον θωράκιον τετράγωνον ὄν. καὶ ἐπ᾽ αὐτοῦ ἀνήκουσα εἰς ὕψος ὀξεῖα ἡ λεγομένη ἠλακάτη. ὁ δὲ ταῦτα γράψας Ἀθήναιος, λέγει ὅτι καὶ ποτήριον ἦν ἐπίμηκες καρχήσιον λεγόμενον, συνηγμένον ἐς μέσον ἐπιεικῶς, ὦτα ἔχον μέχρι τοῦ πυθμένος καθήκοντα. καὶ τάχα φησὶ διὰ τὸ ἀνατετάσθαι πρὸς ὁμοιότητα τοῦ κατὰ νῆας καρχησίου ὠνόμασται καὶ αὐτό. οὗ μέμνηται καὶ ὁ κατὰ τὴν Ἀλκμήνην μῦθος, φάμενος τοιοῦτον καρχήσιον δῶρον αὐτὴν λαβεῖν πρὸς Διός, ὅτε πρῶτον εἰς αὐτὴν ἦλθεν. καὶ εἴρηται φησὶ κατὰ ἐναλλαγὴν τοῦ ε πρὸς τὸ α, ἀντὶ τοῦ κερχήσιον.

Ἤλαλκον, ἀπεσόβουν. ἔστι ῥῆμα ἀλκῶ, ὁ μέλλων ἀλξῶ, ἐξ οὗ ὄνομα ἄλξ, οὗ ἡ γενικὴ ἀλκός, ἡ δοτικὴ ἀλκί, ἐκ τοῦ ἀλκῶ ῥήματος, ὁ δεύτερος ἀόριστος ἤλκον, καὶ ἡ μετοχὴ ἀλκών, καὶ κατὰ ἀναδιπλασιασμὸν ἄλαλκον καὶ ἀλαλκὼν καὶ ἤλαλκον. κάλλιον δέ ἐστιν ἀπὸ τοῦ περισπωμένου θέματος λέγειν αὐτὸ, ἀπὸ τοῦ ἀλκῶ. καὶ κατὰ ἀναδιπλασιασμὸν ἀλαλκῶ, ἀλαλκήσω. καὶ τὸ ἀπαρέμφατον ἀλαλκεῖν, καὶ ὁ δεύτερος ἀόριστος ἤλαλκον.

Ἠλακάτη, τὸ ξύλον ἐν ᾧ εἱλοῦσι τὸ ἔριον αἱ νήθουσαι. ἠλάκατα δὲ, τὰ ἔρια τὰ ἐν τῇ ἠλακάτῃ εἱλούμενα. ἢ ἠλακάτη λέγεται, τὸ λεπτότατον καὶ ἀκρότατον μέρος τοῦ ἱστοῦ, κατὰ Ἐρατοσθένην, ὑπὲρ ὅ ἐστι τὸ καρχήσιον.

Ἠλακάτια, Ἀγὼν ἐν Λακεδαιμονίᾳ ἐπὶ Ἠλακάτῳ. ὃς ἦν ἐρώμενος Ἡρακλέους, ὥς φησι Σωσίβιος.

Ἠλακατῆνες, θαλασσίων ἰχθύων οἱ κητώδεις.

Ἠλάλησα, ἠλάλησις.

Ἤλαλκεν, ἤμυνεν, ἐβοήθησεν.

Ἠλάμεθα, ἐπηδήσαμεν, ὡρμήσαμεν.

Ἤλασε κατ᾽ ἄκρης, ἀντὶ τοῦ ἔπληξε κατὰ κεφαλῆς, οὕτω καὶ ὤλετο πᾶσα πόλις κατ᾽ ἄκρης, ἀντὶ τοῦ κατὰ κεφαλῆς. κεφαλὴ δὲ πόλεως ἡ Ἀκρόπολις. ἢ ἤλασεν, ἔσκαψεν, ἀπήλασεν, ἢ ἔπληξε. καὶ ἤλασεν, ἐκ χειρὸς ἔτρωσεν, ὤρυξεν.

Ἤλασε πτύχας Ἥφαιστος. διαφέρουσιν ἤλασε καὶ διήλασεν. ἐλάσαι μὲν γὰρ λέγεται πτύχας

Digitized by Google

Ἥφαιστος, διελάσαι μέν τοι τὸ διαμπερὲς βαλεῖν.

Ἠλασκάζων, πλανώμενος, περιερχόμενος. καὶ ἠλασκάζω, καὶ ἠλάσκω, τὸ περὶ αὐτὸ πλανᾶσθαι καὶ διατρίβειν. ἔστιν ἀλῶ τὸ πλανῶ, παρὰ τοῦτο ἀλάσκω, ὡς γηρῶ γηράσκω. καὶ ἠλάσκω, ὡς ἀλέκτωρ ἠλέκτωρ, ἀπεδανὸς ἠπεδανός. ἐκ δὲ τοῦ ἠλάσκω ἠλασκάζω, ὡς ῥίπτω ῥιπτάζω. αἵ τε κατὰ σταθμὸν ποιμνήϊον ἀλάσκουσι, καὶ ἐμὸν μένος ἠλασκάζει.

Ἠλάσκειν, γίνεται ἐκ τοῦ ἀλῶ. δηλοῖ δὲ τὸ πλανᾶσθαι. καὶ καλῶς εἴρηται ἐπὶ μυιῶν παρ' Ὁμήρῳ, πλανῶνται γάρ τως ἀεὶ πετόμεναι. γίνεται δὲ καθ' ὁμοιότητα τοῦ θνῶ θνήσω θνήσκω, βάσω βάσκω τὸ λέγω, δάσω δάσκω. καὶ ἀναδιπλασιασμῷ διδάσκω.

Ἠλάσκοντο, ἐπλανῶντο.

Ἠλάσκουσι, διατρίβουσιν. ἢ ἠλάσκουσι παρ' Ὁμήρῳ, πλανώμεναι στρέφονται, ἀπὸ τοῦ ἀλῶμαι τὸ πλανῶμαι. κατὰ παραγωγὴν, ἠλάσκω. τρέπεται τὸ α εἰς η.

Ἠλάσκω, σημαίνει τὸ ἐπὶ τοῦ αὐτοῦ τόπου εἱλεῖσθαι. καὶ ἠλασκάζω, ἐκ τοῦ ἠλάσκω, ὃ σημαίνει τὸ ἐπὶ τοῦ αὐτοῦ τόπου πλανᾶσθαι καὶ εἱλεῖσθαι.

Ἤλασαι, ἐχαλέπαινεν.

Ἠλάστεον, ἤγουν δεινοπάθειον, ὡς ἐπὶ ἀλάστοις κακοῖς προϋπόκειται, ὡς καὶ ἰσσέρωθι φαίνεται τοῦτο ἀλάστορος καὶ τοῦ ἐπαλαστήσασα. ὅπερ ἐν ὀδυσσείᾳ κεῖται. τό γε μετὰ τοῦ ρ ἠλάστρεον ἀρσένων ἴδιον, γενόμενον ἀπὸ τοῦ ἐλῶ τὸ ἐλαύνω. προσλαβὸν δὲ τὸ ρ πρὸς διαστολὴν ἴσως τοῦ ἠλάστεον.

Ἠλάστρεον, ἐδεινοπάθουν, περιεφέροντο.

Ἥλατο, ἐπήδησεν. ἠλᾶτο δὲ, ἐπλανᾶτο. καὶ ὁ μὲν τῶν νόμων ἡττώμενος, ἠλᾶτο.

Ἤλαυνεν. ἤλαυνε δ' ἔσχατος Ὀρέστης, τῷ τέλει τίσιν φέρων. οἷον τις δ' ὢν, ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται.

Ἤλαυνε τὸν στρατὸν, ἦγεν.

Ἠλαύνομεν, ἐκακολογοῦμεν.

Ἤλγησεν, ὠδύνησεν, ἐλύπησεν.

Ἥλδανεν, ηὖξεν, ηὔξανεν.

Ἠλδόμεναι, ἐφιέμεναι.

Ἤλεγξεν, ἤσχυνεν.

Ἤλεγχον, ἀντὶ τοῦ δῆλον τὸ πταῖσμα ἐποίουν. καὶ ἤλεγχον, ἀντὶ τοῦ ἀνηρεύνων. Ξενοφῶν, τοὺς αἰχμαλώτους συνάγοντες, ἤλεγχον τὴν πᾶσαν χώραν, τίς ἑκάστη εἴη.

Ἠλεέ. εἴληπται ἀντὶ τοῦ ἠλίθιε, πεπλανημένε τὸν νοῦν, οἱονεὶ ἀλεέ, παρὰ τὴν ἄλην. εὕρηται δὲ καὶ δισύλλαβον, ἐν τῷ φρένας ἠλὲ διέφθορας. καὶ οὐκ ἔστι διαχρῖναι εἴτε πρωτότυπον μὲν ὁ ἠλός, ἐξ οὗ κατ' ἐπένθεσιν ὁ ἠλεός, ὡς μενός, κενεός. εἴτε ἀνάπαλιν προτερεύει μὲν ὁ ἠλεός. ἐξ αὐτοῦ δὲ συγκέκοπται ὁ ἠλός.

Ἠλεὶ, ἱερεὺς, ἰσραήλ. υἱοὶ αὐτοῦ, Ὀφνεὶ καὶ Φινεές. οὓς τῇ παροινίᾳ καὶ τῇ ἀταξίᾳ τῇ ἐπὶ τῶν θυσιῶν, μετῆλθεν ἡ θεία δίκη. οἱ μὲν γὰρ ἐν πολέμῳ δεινῶς ἀνῃρέθησαν. ὁ δὲ τῆς θείας ἀκούσας φωνῆς λεγούσης, εἶπεν, ὁ οἶκός σου διελεύσεται ἐνώπιόν σου ἕως αἰῶνος, καὶ νῦν οὐχ οὕτως, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ οἱ ἐξουθενοῦντές με ἀτιμασθήσονται, καὶ ἐξολοθρεύσω τὸ σπέρμα σου ἐκ τοῦ θυσιαστηρίου μου. καὶ πάλιν, ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν οἶκον Ἠλεὶ, ἕως αἰῶνος, ἐν ἀδικίαις υἱῶν αὐτοῦ.

Ἠλεῖος, ὁ πολίτης. τὸ ἐθνικὸν τῆς ἤλιδος.

Ἤλεκτρα ἰδίως, τὰ ταῖς κλίναις ἐπιβαλλόμενα ἐκάλουν. κέχρηται δὲ ὁ ποιητὴς τῇ μεταφορᾷ ἀπὸ τῶν κλινῶν, αἱ γὰρ ἀρχαῖαι κλῖναι, τοὺς πόδας εἶχον ἠσφαλισμένους, ἄνθραξι καὶ ἠλέκτροις, ὥσπερ νῦν ἀργύρῳ καὶ καττιτέρῳ. διόπερ βαρυτόνως ἀναγνωστέον, ἀπὸ τοῦ αἱ ἤλεκτροι τῶν ἠλέκτρων. Ἀριστοφάνης ἐκπιπτουσῶν τῶν ἠλέκτρων.

Ἠλέκτρα, ἡ παρ' Ὁμήρῳ Λαοδίκη διὰ τὸ πολυχρόνιον τῆς παρθενίας. οἷον ἄλεκτρός τις, ὡς Εὐριπίδης.

Ἠλέκτραι, πόλεις Θηβῶν. ἢ ἀπὸ τοῦ Ἠλεκτρύωνος τοῦ πατρὸς Ἀλκμήνης, ἢ ἀπὸ Ἠλέκτρας, ταύτης δὲ μήτηρ κατ' ἐνίους Ἁρμονία. ἢ τὰ ἐν τοῖς κλινόποσι τῶν σφιγγῶν ὄμματα, ἢ τῶν ἐν ταῖς κλίναις ποικιλλομένων.

Ἤλεκτρον, χάλκωμα καθαρόν. ἢ ἀλλότυπον χρυσίον μεμιγμένον ὑέλῳ καὶ λιθείᾳ, οἵας ἦν κατασκευῆς ἡ τῆς ἁγίας σοφίας τράπεζα. ὁ πανεξαίρετος τοῦ θεοῦ ναός. παρὰ τὸν ἥλιον, ὃς ἠλέκτωρ ὀνομάζεται. ἢ παρὰ τὸ ἑλεῖν τὰ ἐκτός, ἔλεκτρον, καὶ ἤλεκτρον. τριβόμενον γὰρ ἁρπάζει τὰ πελάζοντα φρύγανα.

Ἤλεκτρος καταχρηστικῶς, ὁ χρυσολαμπὴς χαλκός, διὰ τὸ λαμπρόν.

Ἤλεκτρον. λέγεται τῶν ἡλιάδων θρηνουσῶν τὸν Φαέθοντα, καὶ εἰς αἰγείρους μεταβεβλημένων, τὸ ἀποστάζον δάκρυον εἶναι ἤλεκτρον. Κελτοὶ δὲ ἐφήμισαν τὸ ἤλεκτρον εἶναι μὴ τῶν ἡλιάδων, ἀλλὰ δάκρυον εἶναι Ἀπόλλωνος, ἡνίκα διὰ τὸν Ἀσκληπιοῦ θάνατον ἀνιαθεὶς, εἰς τοὺς ὑπερβορέους ἀφίκετο, διὰ τὴν τοῦ πατρὸς ἐπιτίμησιν. ἢ ὅτε ἐκελεύσθη θητεύειν ἐπὶ τῷ φθόνῳ τῶν Κυκλώπων.

Ἠλέκτωρ, ὁ ἥλιος, δοκεῖ δὲ ἀλέκτωρ εἶναι, ὡς μὴ ἐῶν ἐν λέκτροις κεῖσθαι τοὺς ἀνθρώπους, ἀλλ' ἐξεγείρων εἰς ἔργα. Ἄλλως.

Ἠλέκτρων, ὁ ἥλιος. ἢ παρὰ τὸν χρυσοφαῆ ἤλεκτρον, ἢ καὶ ὅτι ἀνατέλλων ἀποστερεῖ λέκτρου, ἤτοι λέχους καὶ κοίτης τοὺς ἐργατικούς, ὡς οἷά τις ἀλέκτωρ ὤν. εἶτα ἠλέκτωρ, κατὰ τροπὴν ἐκφεύγουσαν τὴν πρὸς τὸν ἀλέκτορα συνέμπτωσιν.

Ἠλέματος, ὁ μάταιος.

Ἠλεμίστρια, θρηνήτρια.

Ἠλέμνια, ἡ φαρμακός.

Ἠλεός, ὁ μάταιος, καὶ μωρός.

Ἠλεὸς οἶνος, ὁ ἀλῶν, ἤτοι πλανῶν τὸν οὐ πρὸς μέτρον πίνοντα. καὶ ἄλλως δὲ κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἢ ὁ ἠλιθιοποιός. καθὰ καὶ δέος χλωρὸν, τὸ χλωροὺς ποιοῦν. καὶ ἔρως τυφλὸς, ὁ τυφλοποιός. καὶ πλοῦτος δειλὸς, ὁ τοιούτους ποιῶν τοὺς ἔχοντας. δοκεῖ δὲ ἠλὸς εἶναι τὸ πρωτόθετον. ὡς δῆλον ἐκ τοῦ μαινόμενε φρένας ἠλὲ διέφθορας. καὶ ἔστιν ὡς ἀφνὸς ἀφνεὸς, ἐξ οὗ τὸ ἀφνειοτέραις χερσὶ παρὰ Σοφοκλεῖ, καὶ συφὸς συφεὸς, οὗ δὴ ἡ συφοῦ ἐν χρήσει δοτικῇ πληθυντικῇ τὸ συφοῖσιν. ἔστι δὲ καὶ ὡς ἀδελφεός, οὕτω καὶ ἠλὸς, ἠλεός.

Ἠλεύατο, ἐξέκλινεν, ἐξέφυγεν. ἔστιν ἀλέω, καὶ πλεονασμῷ τοῦ υ, ἀλεύω. μέλλων, ἀλεύσω, ἤλευσα. ἀποβολῇ τοῦ σ, ἤλευα. ὁ μέσος ἠλευάμην, ἠλεύω, ἠλεύατο. καὶ συστολῇ, ἀλεύατο.

Ἠλευθερώθην, οὐκ ἐρύσθην.

Ἠλήλαντο. ἐλάω ἐλῶ, τὸ ἐλαύνω. ὁ μέλλων, ἐλάσω. ὁ παρακείμενος, ἤλακα. ὁ παθητικὸς, ἤλαμαι. ὁ ὑπερσυντέλικος, ἠλάμην. τὸ τρίτον τῶν πληθυντικῶν, ἤλαντο καὶ ἀττικῶς, ἠλήλαντο. καὶ ὤφειλεν εἶναι ἐλήλαντο. ἀλλὰ τὰ ἀττικὰ τὰ ἀπὸ βραχέος ἀρχόμενα ἐν τῷ παρακειμένῳ, χρονικῶς μεγεθύνονται ἐν τῷ ὑπερσυντελικῷ.

Ἠληθμῷ, κηλιθμῷ.

Ἠλιλίμμην, ἐχριόμην.

Ἠλήλιζον, ἐτίνασσον.

Ἦλθε διὰ μάχης, ἀντὶ τοῦ ἐμαχέσατο. Θουκυδίδης, ὥς τε χρὴ καὶ πάνυ ἐλπίζειν, διὰ μάχης ἰέναι αὐτοὺς, τοιοῦτόν ἐστι καὶ τὸ δι' ἔχθρας ἐλθεῖν, καὶ δι' ἔριδος, καὶ ὅσα τοιαῦτα.

Ἦλθεν Ὀδυσσεὺς, καὶ οἶκον ἱκάνεται. ἢ ταυτολογία ἐστὶν, ἢ τὸ οἶκον ἱκάνεται πρὸς σαφήνειαν ἐπῆκται ἐν Ὀδυσσείας ψ΄.

Ἦλθε τὴν Ἑλλάδα, καὶ εἰς τὴν Ἑλλάδα. ὁμοίως Λατῖνοι. οἷον, ἰταλίαν εἱμαρμένη φυγὰς ἦλθεν, ἀντὶ τοῦ εἰς ἰταλίαν.

Ἦλθε τὰ ὀστᾶ, ἦλθε τὰ ξύλα, ἀντὶ τοῦ ἐκομίσθη. οὕτω Λυσίας καὶ Δημοσθένης. καὶ ἦλθεν, ἀντὶ τοῦ ἐβάδισεν. ἦλθε τὴν δυϊκόν.

Ἦλθον. ἐλεύθω, μέλλων ἐλεύσω, ἀόριστος ἤλευσα. ἄχρηστα πάντα. ὁ δεύτερος ἀόριστος, ἤλυθον ποιητικὸν, καὶ ἦλθον κοινόν. ἡ μετοχὴ, ἐλθών. ἦλθον ἰασόμενος, ἦλθον γραψόμενος τὰ κινητικὰ ῥήματα, ἤγουν τὰ ἔχοντα κίνησιν, μετὰ μέλλοντος προσώπου συντάσσεται. ἦλθον δεύτερος ἀόριστος, εἰς ἅπασαν ἔγκλισίν ἐστιν εὔχρηστος. ἦλθεν εἰς φῶς, ἀντὶ τοῦ ἐγεννήθη, καὶ ἀνεβίω. ἦλθε κοινόν, ἐλήλυθε δὲ ἀττικόν.

Ἦλθον ἐγὼ παύσουσα τεὸν μένος αἴ κε πίθηαι. δηλοῖ φιλοσόφως ὁ ποιητὴς, τὸ ἐφ' ἡμῖν εἶναι πέπυσθαι θυμοῦ, εἴτε καὶ μή. καὶ ὅλως τὸ μὴ βίᾳ εἶναι, ἀλλ' ἑκούσιον τὸ καλόν.

Ἤλθοσαν, ἐκ τοῦ ἦλθον. ἔστι μὲν Χαλκιδικῆς διαλέκτου. παρεσχημάτισται δὲ πρὸς τὸ ἴδοσαν, ἐπεὶ καὶ τοῦτο κἀκεῖνα δευτέρου ἀορίστου. τοῖς μέντοι ἀττικίζειν ἐθέλουσιν, οὐ πάνυ κατάλληλον.

Ἡλιαία, μέγα δικαστήριον ἐν τῇ Ἀττικῇ, καὶ οἱ δικασταὶ, ἡλιασταί. ἐκλήθη δὲ οὕτω, διὰ τὸ ὑπὸ τοῦ Ἡλίου βάλλεσθαι. ἐκ τούτου καὶ ἡλιαστικὸν μισθὸν λέγομεν, ἀντὶ τοῦ ἐκκλησιαστικόν. καὶ ἡλιασταὶ, οἱ δικασταί. ἢ ἡλιαία, μέγιστον δικαστήριον Ἀθήνησιν. οἱ δὲ δικασταὶ ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαστικὸν μετὰ τὸ κρῖναι. τὸ δὲ τριώβολον, ἡμίδραχμόν ἐστιν, ἡλιαῖον δὲ καλεῖται, διὰ τὸ ὑπαίθριον αὐτὸ εἶναι. καὶ ὑπὸ τῷ ἡλίῳ καθέζεσθαι, τοὺς συνελθόντας δικαστάς. Ἄλλως.

Ἡλιαία, βουλὴ συνεστῶσα ἐξ ἀνδρῶν χιλίων. ἐλέγετο δὲ καὶ ὁ τόπος οὕτως, ἐν ᾧ συνηθροίζοντο. ἡλιάζεσθαι δὲ καὶ ἡλίασίς ἐστι, τὸ ἐν ἡλιαίᾳ δικάζεσθαι, ἡλιαία καὶ ἡλίασις. ἡλιαία μέν ἐστι, τὸ μέγιστον δικαστήριον Ἀθήνησιν, ἐν ᾧ τὰ δημόσια τῶν πραγμάτων ἐκρίνετο, χιλίων δικαστῶν, ἢ χιλίων καὶ πεντακοσίων συνιόντων. συνίασι δὲ οἱ μὲν χίλιοι, ἐκ δυεῖν δικαστηρίων, οἱ δὲ χίλιοι πεντακόσιοι, ἐκ τριῶν.

Ἡλιάδες, αἱ κατάχρυσοι κλῖναι. ἥλιος γὰρ καὶ ὁ Θεός, καὶ τὸ ἄστρον, καὶ ἡ αὐγὴ, καὶ ὁ τόπος ἐξ οὗ ὁ ἥλιος ἀνατέλλει.

Ἡλία, χώρα.

Ἡλιαίης, θέρμης, αὐγῆς.

Ἡλιάσαι, ἐν τῷ Ἡλίῳ ἁπλῶσαι, ἢ θερμαίνεσθαι ἐν Ἡλίῳ.

Ἡλίασις, ἡ τοῦ Ἡλίου θέρμη.

Ἡλιαστὴς, δικαστής. ἀπὸ τοῦ μεγάλου δικαστηρίου τῆς ἡλιαίας.

Ἠλίβατοι πέτραι, αἱ ὑψηλαί, ἀπὸ τοῦ βαίνειν ἐκεῖσε τὸν ἥλιον.

Ἠλίβατος, οὐ μόνον ἐψίλουν οἱ παλαιοὶ, καθὰ καὶ ἄλλοθι ἐδηλώθη ἀπὸ τοῦ ἀλιτεῖν, ὅ ἐστιν ἀποτυχεῖν, καὶ ἁμαρτεῖν τῆς ἐκεῖ βάσεως. ἀλλά τινες καὶ ἐδάσυνον, ἀπὸ τοῦ εἰς τὰ ὑψηλὰ πρῶτα τὸν ἥλιον βαίνειν. τούτοις δὲ οὐ πείθεται ἡ παράδοσις συγκέκοπται δὲ ἡ λέξις, ἡλιοβάτος γὰρ ὤφειλεν εἶναι, ὡς ἡλιοτρόπιος.

Ἠλίζοντο, ἠθροίζοντο.

Ἠλίκειν, κατέλυσεν.

Ἠλὶ, ἠλὶ, λιμᾶ σαβαχθανὴ, Θεέ μου Θεέ μου, ἵνα τί με ἐγκατέλιπες.

Ἤλιθα πολλὴ, ἀντὶ τοῦ μάλα, ἢ πάνυ πολλή. ἔστι δὲ ἐπίρρημα ἀθροίσεως, σημαῖνον τὸ σφόδρα, ἢ ἀθρόως. ἢ ἤλιθα, ἐπίρρημα, ἀντὶ τοῦ ὁμοῦ.

Ἠλίθα, ἀθρόως, δαψιλῶς, χύδην, παρὰ τὸ ἅλις. οἱ δὲ, μάτην, εἰκῇ.

Ἠλιθιάζω, ἀναισθητῶ, προσποιοῦμαι ἠλίθιος εἶναι. ἀναίσθητοι γὰρ, οἱ λίθοι. ἢ ἀντὶ τοῦ ἀνοηταίνω, μωραίνω. καὶ ἠλιθιάζω, ἑκουσίως μωρὸς ὑποκρίνομαι. νοῦς οὐκ ἔνι ταῖς κόμαις ὑμῶν, ὅτ' ἐμ' οὐ φρονεῖν νομίζετ', ἐγὼ δ' ἑκὼν ταῦτ' ἠλιθιάζω.

Ἠλίθιος, ὁ μαλακὸς, καὶ χαῦνος, καὶ ὁ ἀκίνητος εἰς ἀφροδίσια. ἢ ἠλίθιος, ὁ ἄφρων, ὁ σκληρός, ἢ ἀναίσθητος. ἠλίθιός τε γὰρ ὑπερφυῶς ἦν, καὶ νωθὴς ὄνῳ ἐμφερὴς μάλιστα. καὶ οἷος τῷ χαλινὸν ἕλκοντι πείθεσθαι, συχνά οἱ σειομένων τῶν ὤτων. τὸ δὲ ἁπλοῦν, καὶ ἀληθὲς, ἐνομίζετο αὐτῷ ἠλίθιον εἶναι. καὶ ἠλίθιος, ἀνόητος, μωρός.

Ἠλιθιότης, παντελὴς ἀπόγνωσις.

Ἥλικα, ἴσα τῷ χρόνῳ. ἢ ἥλικα εἴρηται μὲν ἐνταῦθα τῷ Πλάτωνι οὕτως, ἥλικα γὰρ καὶ ὁ παλαιὸς λόγος τέρπειν τὸν ἥλικα. τὸ δὲ τέλειον ἔχει, ἧλιξ ἥλικα τέρπει, γέρων δέ τε τέρπει γέροντα. ὥς φησι καὶ ὁ Ξενοφῶν.

Ἥλικες, ὄρχεις. ἢ ἥλικες ἐλέγοντο, οἱ Ἀντιόχου τοῦ ἐπι-

Digitized by Google

τοῦ ἐπιφανοῦς Μακεδόνων στῖφος, ὑψηλοὶ πάντες ὀλίγον, ὑπὲρ ἀντίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένοί τε, καὶ πεπαιδευμένοι. ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον.

Ἡλ κίαν, μεγάλην, τηλικαύτην, ὑπὲρ τοῦ μηδὲν αὐτοῖς παθεῖν δεινόν.

Ἡλικία, ἀντὶ τοῦ ἐν ἡλικίᾳ, οἱ νέοι.

Ἡλικίην ἐκέκαστο παρ' Ὁμήρῳ ἡ πρόθεσις λείπει. ἵνα ᾖ, κατὰ τοὺς ὁμήλικας.

Ἡλικιῶται, συμπράκτορες.

Ἡλίκον, μέγα, τηλίκον. ὅτι Φάβιος ἐνετέλλετο μὴ τοιαύτην τίθεσθαι σπουδὴν, ὑπὲρ τοῦ βλάψαι τοὺς πολεμίους. καὶ ἡλίκον, ποσαπὸν, ὁποῖον.

Ἡλίκος, καὶ τηλίκος, ἀνταπονυμίαι ἀντὶ τοῦ ὅσος καὶ ὁπόσος λαμβάνονται. εἴρηνται δὲ καὶ ἐπὶ ποιοῦ. ὡς τὸ ἡλίκον μὲν ἐκίνησε γέλωτα, καὶ τηλίκον ἂν τὸ συμβεβηκός. τηλικοῦτος ἐστὶ ποσοῦ καὶ σωματικοῦ μεγέθους, ὡς τὸ τηλικοῦτος ὢν, καὶ τηλικοῦτον πώγωνα καθημένος. τηλίκος δὲ ὑποκοριστικὸν, ὡς καὶ Σωκράτης πρὸς Μέλητα, σὺ γάρ με λέληθας τηλίκον ὄντα. τηλικὸς δὲ ὢν, καὶ ἡλίκος, πρὸς τὸ πηλίκος ἔχει ἀναφοράν. λέγεται δὲ ἀμφότερα ἐπὶ ἡλικίας κυρίως. οἷον τηλίκος δέ ἐστιν, ἀντὶ τοῦ τοσοῦτος τὴν ἡλικίαν. καὶ ἡλίκος, ἀντὶ τοῦ ὁπόσος τὴν ἡλικίαν. ἀπὸ τούτου καὶ ἐπὶ μεγέθους ἁπλῶς λαμβάνεται, ἡλίκος καὶ πηλίκος, ἀντὶ τοῦ ὅσος καὶ ὁπόσος.

Ἡλινδεῖσθαι, κεκυλίσθαι.

Ἡλινδημένη, γεγυμνασμένη.

Ἡλινδημένον, ἀντὶ τοῦ ἀνεστραμμένον. Δείναρχος ἐν τῷ κατὰ Φορμισίου. ὅπερ Ἰσοκράτης, καλινδεῖσθαι λέγει.

Ἠλίνδησεν, κατέπεσεν.

Ἧλιξ, ἡλικιώτης. καὶ ἥλικα τέρπει μόνος ἀνθρώπων, ὧν ἀκοῇ ἴσμεν. τὴν παλαιὰν παροιμίαν ἔργῳ διήλεγξεν, οὐ γὰρ ἐκεῖνόν γε ἧλιξ ἔτερπεν, ἥλικα ὄντα ὁ νέος τὸν νέον, ἀλλά τινι λόγῳ ἑτέρῳ κατακολουθοῦσα ἡ φύσις τοῖς ὁμοίοις αὐτὸν συνῆπτε κατὰ τὸ ὅμοιον, οὐ τὸ ἐκ τῶν τοῦ σώματος, ἀλλὰ τῶν τρόπων τῆς ψυχῆς.

Ἡλιόκαυστος, κεκαυμένος ἐν τῷ ἡλίῳ.

Ἡλιομάνης, ὁ τέττιξ. ἐπιμαίνεται γὰρ τῷ ἡλίῳ.

Ἥλιον κρύπτεσθαι, ἄστρα δείκνυσθαι. ταῦτα οἱ μὲν ῥήτορες καλοῦσι γοργά. γραμματικοὶ δὲ, ὁμοιοκατάληκτα. φιλόσοφοι δὲ, πάρισα.

Ἥλιος δασύνεται, καὶ τὰ ἀπὸ τούτου οἷον, ἡλιὰς, ἡ τοῦ Ἡλίου θυγάτηρ. ἡλιαία, τὸ ἐν Ἀθήναις δικαστήριον, οὕτως ὠνομάσθη διὰ τὸ ὑπὸ τοῦ ἡλίου θέρεσθαι. καὶ ἡλιούπολις, καὶ ἡλιόδωρος. καὶ ἧλος, τὸ καρφίον. καὶ ἡλικία. ἠέλιος δὲ ποιητικῶς ψιλοῦται, διὰ τὸ ἐπαγόμενον ε. καὶ ἠλίβατος, ἡ ὑψηλὴ πέτρα, καὶ ἠλιτόμηνον τὸ ἀμβλωθὲν βρέφος, καὶ Ἠλίου. καὶ Ἠλίας, ὄνομα κύριον. καὶ ἤλιθα, ἀντὶ τοῦ ματαίως καὶ ἰδίως. καὶ ἤλεκτρον, ὅπερ ἐξάγουσιν οἱ αἴγειροι ὡς δάκρυον, εἶτα πέτρουται. καὶ Ἠλίσιον, ἡ τῶν Ἑλλήνων παράδεισος. καὶ ἠλακάτη, τὸ ξύλον ἐν ᾧ εἱλοῦσι τὸ ἔριον αἱ νήθουσαι. καὶ ἠλάκατα τὰ ἔρια, τὰ τῇ ἠλακάτῃ εἱλούμενα. καὶ ἠλέκτρα κύριον.

Ἥλιος ἐγέννησεν ἑπτὰ παῖδας ἐπὶ τῶν παλαιῶν αἰώνων, τὰ σοφώτατα νοήματα παραδεξαμένους, ἀντὶ τοῦ σοφωτάτους. εἰσὶ δὲ οἱ ἑπτὰ παῖδες οὗτοι, Κέρκαφος, Ἀκτὶς, Μακρεὺς, Τεναγὴς, Τριόπης, Φαέθων ὁ νεώτατος. ὃν οἱ ἐν τῇ νήσῳ ὀνομάζουσι τενάγην. τοῦ δὲ Κερκάφου υἱοὶ, Λίνδος, Ἰηλυσσὸς, Κάμειρος, οἱ ὑπὸ Πινδάρου ὀνομαζόμενοι, ὥστε μὴ εἶναι αὐτοὺς υἱοὺς Ἡλίου, ἀλλ' υἱωνούς.

Ἥλιος, ἡ ἕως, διὰ τὸ ἵεσθαι τὸ ἕως, ἤγουν φέρειν τὸ φῶς. ἕως γὰρ, ἡ ἀνατολή.

Ἥλιος λέγεται, τὸ νυχθήμερον. ὅτι διὰ τοῦ νυχθημέρου ἀποκαθίσταται ὁ Ἥλιος, ὅθεν ἤρξατο τῇ τοῦ οὐρανοῦ φορᾷ. ἥλιος καὶ ὁ δωδεκάμηνος χρόνος, ὅτι διὰ τῶν δώδεκα μηνῶν διέρχεται τὸν ἑαυτοῦ κύκλον ὁ Ἥλιος καὶ ἀποκαθίσταται, ὅθεν ἤρξατο τῇ ἑαυτοῦ κινήσει. Ἥλιος δὲ εἴρηται, ἀπὸ τῆς ἁλός. Ἄλλως. Ἥλιος πῦρ οὐράνιον, ὃ μόνον μέχρι δείλης αὐτοῖς ἐστιν ὁραθῆναι. ἢ ἡμέρας ἀρχὴ, τὸ πρῶτον φῶς, ἢ ἄστρον ἡμεροφαὲς λαμπρότατον, τῇ τετάρτῃ σφαίρᾳ συμπεριφερόμενον.

Ἡλιοστερὴς σκηνὴ σκιαστική, πλατύπιλος σκηνὴ καλύπτουσα καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν. Θεσσαλὶς δὲ, διότι περισσοὶ ἦσαν οἱ θεσσαλικοὶ πίλοι.

Ἡλιοτρόπιον, ὡρολογεῖον, γνώμων, ἐστὶ τὸ ἐν τοῖς ἡλιοτροπίοις πηγνύμενον. ὅπερ ἐφεῦρεν Ἀναξίμανδρος, καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων.

Ἡλίους τὰ τέκνα ὑποκοριζόμενοί φασιν οἱ γονεῖς, ἥλιον καὶ τὴν ἐλευθερίαν καλοῦσιν.

Ἠλισγύνθην, ἐταράχθην.

Ἠλισγημένος, μεμιασμένος, μεμολυσμένος, ἠρτυμένος.

Ἥλισεν, ἄλλα τι ἤλειψεν. ἤλισε δὲ ψιλούμενον, ἀντὶ τοῦ συνήθροισεν.

Ἧλισκεν, ἔπεσεν.

Ἡλίσκοντο, ἐπορθοῦντο. ἢ ἠλέγχοντο, εὑρίσκοντο, ἐλαμβάνοντο.

Ἦλις, πόλις ἦν πρὸς τῇ Ὀλυμπίᾳ. κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, κληθεῖσα ἀπὸ Ἠλίου παιδὸς Ταντάλου. κατὰ δὲ τὸν Ἡρόδοτον Αἰτωλῶν ἡ ἦλις. ἔστι δὲ καὶ Ἀρκαδική, καὶ Γαστίας. ὁ δὲ πολίτης φησὶν, ἠλίδαιος τύπῳ κτητικῷ, καὶ ὑφέσει τοῦ δ ἠλίειος, καὶ συναιρέσει ἠλεῖος. Τρύφων δέ φησιν ἠλίειος, καὶ κατὰ μετάθεσιν ἠλέιος, καὶ ἠλεῖος. ὁ δὲ Γεωγράφος λέγει, ὅτι Ἠλεῖοι καὶ Μεσσήνιοι κλύζονται τῷ Σικελικῷ κόλπῳ. καὶ ὅτι ἦλις, οὔπω ἔκτιστο καθ' Ὅμηρον, ἀλλ' ἡ χώρα κωμηδὸν ᾠκεῖτο. ἐκαλεῖτο δὲ κοίλη ἦλις, ἀπὸ τοῦ συμβεβηκότος, καθ' ὁμοιότητα δηλαδὴ τῆς κοίλης Λακεδαίμονος, καὶ τῆς κοίλης Συρίας. πάνυ δὲ περιᾳδομένη γέγονεν ὕστερον ἡ ἦλις. διὰ τὰ ἐν αὐτῇ τελούμενα ὀλύμπια. διὰ καὶ δῖαν αὐτὴν λέγει ὁ ποιητὴς, εἰδὼς οἷα εἰκὸς καὶ αὐτὸς τὴν πανήγυριν προκαταβληθεῖσαν ἐπὶ Ἡρακλέους, καθὰ καὶ Πίνδαρος ἱστορεῖ. ὅτι δὲ καὶ ψιλοῦται ἡ ἦλις κανονικῶς, ἔτι δὲ καὶ δασύνεται παρὰ τὸ ἁλίζω, τὸ συναθροίζω, ἢ καὶ παρὰ τὸν ἀνωτέρω ῥηθέντα πανταλίδην ἥλιον, δῆλον ἐκ τῶν παλαιῶν. ὡς δὲ καὶ περὶ γυμνάσια εὐδοκίμουν, δηλοῖ αὐτὸς εἰπὼν, γυμνικοὺς ἀγῶνας διετιθέτωσαν ἠλεῖοι, Κορίνθιοι θυμελικοὺς, Ἀθηναῖοι σκηνικούς. εἰ δέ τις τούτων πλημμελοίη, μαστιγούτωσαν Λακεδαιμόνιοι, αἰνιττόμενος ἐκεῖνος νόμῳ σκώμματος τὰς παρὰ λάκωσιν ἀγομένας ἑορταστικὰς μαστιγώσεις.

Ἤλιτεν, ἀόριστός ἐστι δεύτερος, ἀπὸ τοῦ ἀλείτω τὸ ἁμαρτάνω. τὸ δὲ ἀλείτω, γίνεται ἀπὸ τοῦ ἀλεύω τὸ ἐκφεύγω. ἵνα ᾖ ἀλεύω καὶ ἀλείτω. ἡ γὰρ ἁμαρτία, ἔργα τελεῖ φυγῆς ἄξια. ἢ ἤλιτεν, ἥμαρτεν, ἠδίκησεν, ἠσέβησεν.

Ἠλιτενὴς πέτρα, ἡ ὑψηλή.

Ἠλιτήσας, ἁμαρτήσας.

Ἠλιτοεργὸς, ὁ τοῦ ἔργου ἀποτυχὼν, ὡς θάνεν ἠλιτοεργός.

Ἠλιτόμηνον, τὸ παρὰ μῆνα γεννηθέν. ἢ τὸ ἁμαρτάνον τῆς γεννήσεως τοῦ ἐνδεχομένου καιροῦ. ἢ ἠλιτόμηνον, πρόωρον, ὠμὸν, οὐκ ἐν τῷ δέοντι μηνὶ τεχθέντα, λειπόμενον, τὸν ἀλιτόντα, καὶ διημαρτηκότα τῶν μηνῶν, ἐν τῇ κυήσει.

Ἠλιτόμηνος, ὁ μάτην ἐγκαλῶν. ἢ ἠλιτόμηνος παῖς, ὅ ἐστιν ἀλιτήσας. ἤγουν ἁμαρτὼν, ἀποτυχὼν τῶν συνήθων ἐννέα μηνῶν τοῦ τοκετοῦ. καὶ σημείωσαι, οὐκ ἠγνόησεν ὁ Ποιητὴς ζωογονῆσαι τὰ ἑπτάμηνα.

Ἧλιψ, τὸ ὑπόδημα. παρὰ τὸ ἑλίσσειν τὸν πόδα, ὅθεν ἀνήλιπος.

Ἡλιῶσα κόμη, ἡ ὑπόλευκος.

Ἡλκάζοντο, ἠμύνοντο.

Ἥλκησεν, ἡλκοποίησεν, ἥλκωσεν, καὶ ὠδύνησε τὴν ψυχήν. ἢ μετὰ βίας καὶ ὕβρεως εἵλκυσε, καὶ ἐβιάσατο.

Ἧλκωσαι, τέτρωσαι. καὶ ἡλκωμένος, τετρωμένος.

Ἡλκώμενος, ἀπὸ τοῦ ἑλκόω ἑλκῶ. διὰ τοῦ η γράφεται.

Ἤλλαξεν, ἄλλον ἐξ ἄλλου ἐποίησεν.

Ἠλοιωμένος, μεταβληθείς. οὐδὲν ἠλοιωμένος ὑπὸ τῶν συμβεβηκότων δυστυχημάτων. ἔστι δὲ βεβαιότερον μένων, ἐπὶ τῆς ἐξ ἀρχῆς διαλήψεως.

Ἠλόα, ἔτυπτε, πράγματα ἔτριβεν.

Ἠλογήθησαν, ἠμελήθησαν, κατεφρονήθησαν. οἱ δὲ ἠλογήθησαν εἰς τὴν εἴσοδον, καὶ κατεπατήθησαν. καὶ αὖθις, πάντων ἠλόγουν, τουτέστι κατεφρόνουν.

Ἧλοι, περόναι, ἐπίβολοι.

Ἠλοίησεν. ἀλοίω τὸ τύπτω, ὁ μέλλων ἀλοιήσω ἐπεκτατικῶς, ὡς τύπτω τυπτήσω, καὶ δέομαι δεήσομαι. ἐκ τούτου παράγεται πατραλοίας, καὶ μητραλοίας. ὃς καὶ μητραλώας λέγεται, κατὰ ἔκτασιν.

Ἠλοίησεν, ἢ μητρὸς ἠλοίησεν, ἀντὶ τοῦ ἔτυψεν. οὕτως Ἀριστοφάνης ἐν βατράχοις.

Ἠλοκίσατο, ἠρπάσατο.

Ἦλον, κατακεκαυμένον, λάγνον.

Ἧλος, τὸ ἠλάριον.

Ἧλος, παρὰ τὸ ἵημι τὸ πέμπω, ὁ μέλλων ἥσω, ἐξ αὐτοῦ ἧλος ὁ πεμπόμενος.

Ἦλος, τόπος οὕτω καλούμενος, ἐν ᾧ οὐδὲν φύεται. καὶ τὸ μαινόμενον καὶ ἐπίβουλον, καὶ σύμπτωμα ἐν σώματι γινόμενον.

Ἥλους κρατῶν, τὰ κέντρα τῶν ἐχθρῶν βλέπε. ἢ ἥλους, λόγχας, καρφία, κέντρα.

Ἠλύγη, τὸ σκότος τῆς νυκτός. καὶ ἠλυγισμένον, τὸ ἐσκιασμένον. βαρύνεται δέ. παρὰ γὰρ τὴν λύγην, πλεονάζει τὸ η. Ἀριστοφάνης Ἀχαρνεῦσιν. οὐδὲν ὁρῶντες εἰ μὴ τῆς δίκης τὴν ἠλύγην, ἀντὶ τοῦ τῶν ἀνθρώπων, καὶ ἐξ αὐτοῦ ἠλυγαία.

Ἠλυγέτην, τοῦτο ποιητικόν. ὡς τὸ ἤγανον, τήγανον.

Ἠλυγισμένον, τὸ ἐσκιασμένον. ἢ τὸ ἐσκοτισμένον. ἀπὸ τοῦ ἠλύγη, ἡ νύξ.

Ἠλύγων, ὀρέων ἐν σκότῳ κατεχομένων.

Ἤλυθεν ἰωὴ φόρμιγγος γλαφυρῆς, τουτέστιν ἠχήθη ἡ φόρμιγξ. τοῦτο γὰρ δηλοῖ τὸ περιελθεῖν αὐτοὺς τὴν φόρμιγγος βολὴν παρ' Ὁμήρῳ, ἐν ρ̄ τῆς Ὀδυσσείας.

Ἤλυθον, ἦλθον, παρεγίνοντο.

Ἠλυκῆσαι, σπαράξαι, φράξαι.

Ἠλύκου δεκάς, παροιμία. λύκος Ἀθήνησι πρὸς τῷ δικαστηρίῳ ἥρως, μορφὴν ἔχων θηρίου. δεκὰς δὲ τὸ δεκάζεσθαι, πρὸς ὃ ἡ παροιμία, καὶ οἱ πρῶτοι δικασταὶ πρὸς τῷ λυκοειδεῖ ἥρωι ἐκλήθησαν.

Ἤλυξεν, ἐξέφυγεν, ἐξέκλινεν.

Ἠλύθη, ἔπεσεν.

Ἠλυσίη, ὁδός.

Ἠλύσιον, ἱερὸν περὶ τὸν Ἅδην. οἱ δὲ περὶ Αἴγυπτον, οἱ δὲ περὶ Λέσβον, οἱ δὲ τὸ κεκεραμωμένον χωρίον, ἢ πεδίον. τὰ δὲ τοιαῦτά ἐστιν ἄβατα. καλεῖται δὲ καὶ ἐνηλύσια. Πολέμων δὲ Ἀθηναίους φησὶ, τὸ κατασκαφὲν χωρίον καλεῖν. Ἄλλως.

Ἠλύσιον πεδίον, περί που τὰ κατὰ δύσιν πέρατα τῆς γῆς, ὃ καὶ νῆσοι Μακάρων παρὰ τοῖς ὕστερον λέγεται. νῆσοι μὲν, ὅτι περὶ τὴν ἔξω θάλασσαν εἰσὶν, ὅ ἐστι περὶ αὐτὸν τὸν Ὠκεανόν. Μακάρων δὲ, διὰ τὸ τοῦ τόπου εὔδαιμον καὶ μακάριον, ὃ τοῖς πᾶσι τεθρύλληται. ἢ ἠλύσιον πεδίον, θαυμαστὸν, τερπνὸν, ἄφθαρτον, ἀκήρατον, θεῖον, ὃ καὶ παράδεισον λέγουσιν οἱ Ἕλληνες. Ἠλύσιον δὲ ἀπὸ τοῦ λύσιν μὴ ἔχειν.

Ἤλυσις, ἔλευσις, ἄφιξις, ἄφοδος, πορεία.

Ἠλυσκάζει, ἐκκλίνει, κρύπτεται, πλανᾶται, περὶ τὸν αὐτὸν εἱλούμενος τόπον.

Ἦλφεν, εὗρε τιμήν. ἦυρον, ἦλφον.

Ἥλῳ ἧλον ἐκκρούει. παροιμία ἐστὶ, λεγομένη ὅταν διὰ πταίσματος πταῖσμα συσκιάζωμεν, διὰ μείζονος τοὔλαττον. Ἄλλως.

Ἥλῳ τὸν ἧλον ἐκκρούει, παροιμία. ἀντὶ τοῦ ἁμαρτήματι τὸ ἁμάρτημα σπεύδεις ἐξελάσαι. τὸ δὲ οὐχ οἷόν τε. ἢ ἥλω, ἐλήφθη, ἐφανερώθη, ἐπορθήθη.

Ἥλωκεν, ἐκράτησεν.

Ἠλλώκισεν, ἀλλαχοῦ ᾤκισεν.

Ἡλωκότος, κρατηθέντος, καὶ ἡλωκόσιν.

Ἠλώμην, ἐπλανώμην.

Ἧλων,

Digitized by Google

Ἧλων, ἥλαυνον.

Ἠλώνη, πόλις. καὶ ἠλωνιαῖος, ὁ πολίτης ἐν Θεσσαλίᾳ. ἡ Ἠλώνη τῷ μὲν τόνῳ, ὡς κορώνη, καθά φασιν οἱ παλαιοί. ἐκτίσθη δὲ ὑπὸ Ἡρακλέους ἐπὶ τῷ θανάτῳ τῶν Κενταύρων. μετέβαλε δέ φασι τὸ ὄνομα εἰς λειμώνην, διὰ τὸν ἐν αὐτῇ λειμῶνα. κατεσκάφη δὲ κειμένη ποτὲ ὑπὸ τῷ Ὀλύμπῳ, οὐ πολὺ ἀπέχει τοῦ Δρώου κατὰ τὸν Γεωγράφον. ὃν ὁ Ποιητὴς ἀπαρμόσιον λέγει.

Ἧλωσαν, ἐνικήθησαν, ἐλήφθησαν.

ΤΟ Η. ΜΕΤΑ ΤΟΥ Μ.

Ἧμα, τὸ ἀκόντισμα. καὶ ἥμων, ὁ ἀκοντιστής. παρὰ τὸ ἵημι, ἥσω τὸ πέμψω. ὅθεν καὶ ἀφέσεως, καὶ ἡ ἀφεσμεία.

Ἠμάθηνεν, ἄμαθον ἐποίησεν. ἄμαθος δὲ διὰ τοῦ μ γράφεται, ἐκ τοῦ ἀμαθής, καὶ ἀμίξητος εἶναι ἐτυμολογουμένη, καὶ ἄμμος κατὰ ἀποκοπὴν γενομένην, διὰ δύο μ γράφεται. μόνοι δὲ τοῦτο οἱ Αἰολεῖς διπλασιάζουσιν, ὡς καὶ τὰ λοιπά.

Ἠμαθία, ἡ πάλαι Παιονία προσαγορευομένη. καὶ ἠμαθίων Ἠμαθίωνος, ὄνομα κύριον.

Ἠμαθίη, Μακεδονία. καὶ ἠμαθίηθεν αὐτό.

Ἠμαθόεις, ἠμαθόεντος, ψαμμώδης, τραχεῖα. παρὰ τὸ ἀμάθιον ἀμαθόεις καὶ ἠμαθόεις, ὁ ἀνεμος. ἢ ἀπὸ Ἀμάθου ποταμοῦ παραρρέοντος Πύλου ἠμαθόεντος, ἡ ἠμαθόεις Πύλος, ἡ γῆ Ἀμαθόεσσα, ἡ ἄγχουσα, ἢ ὡς ὑπόξηρον. τοιοῦτον γὰρ ἡ ἄμαθος, ἢ περὶ ἣν ποταμὸς ῥέει καλούμενος ἄμαθος, ὥσπερ φησὶν ὁ Γεωγράφος. λέγων, ἄμαθος ποταμὸς περὶ Πύλον, ἀφ' οὗ ἠμαθόεις δοκεῖ καλεῖσθαι αὐτούς, ἤγουν ὁ Πύλος. τὸ δὲ ἠμαθόεις τὴν ὅλην ἐκεῖ χώραν, ἢ τὴν Πύλον εἶναι, ψαμμώδη ἐκεῖνόν φησιν εἶναι. τινὲς δὲ καὶ τριῶν Πύλων οὐσῶν, περὶ ἐκείνην αὐτῆς ποταμὸν ῥέειν φασὶν Ἄμαθον.

Ἠμαθον, ἡμιβίβλιον, διώβολον παρὰ Κυζικηνοῖς.

Ἠμάθυνε, ἐνίφθηρε, κατέσκαψεν.

Ἧμαι, ἐκ τοῦ ἕω τὸ κάθημαι. ἀφ' οὗ ἕω, κατὰ ἀναδιπλασιασμὸν τοῦ ε, καὶ συναιρέσει ἐῶ. ὅθεν ἧμαι παράγωγον, τὸ παθητικὸν ἧμαι, καὶ κράσει τῶν δύο εε εἰς η ἧμαι. ὥσπερ Δημοσθένεος Δημοσθένους. καὶ ἔχει τὸ δεύτερον πρόσωπον εἰς σαι, ὥσπερ τίθεσαι, ἀπὸ τοῦ τίθεμαι. οἷον ἧμαι ἧσαι. Ἰλιάδος β. ἧσαι ὀνειδίζων, ὅτι οἱ μάλα πολλὰ διδοῦσι. τὸ τρίτον ἧσται. δυϊκά, ἥμεθον ἧσθον, πληθυντικὰ ἥμεθα ἧσθε ἧνται, καὶ Ἰωνικῶς ἕαται.

Ἠμάκτιον καὶ ἠμέκτεον, ἀντὶ τοῦ ἐδυσφόρουν, καὶ ἠμεκτέων παρὰ Ἡροδότῳ, ἀντὶ τοῦ δυσφορῶν.

Ἠμάλαψ, ὄντως, λίαν.

Ἠμαλάψαι, κρύψαι, ἀφανίσαι, Σοφοκλῆς. Ὀδυσσεῖ μαινομένῳ.

Ἠμάλαψεν, ἔλαψεν, ἐτρόφησε, κατέτριψε. παρὰ τὸ ἅμα λάπτειν ἀμαλάπτειν, μεταφορικῶς ἀπὸ τῶν κυνῶν.

Ἠμάλαψε κυρίως, κατέθρεψεν. ἀμαλὸν γὰρ λέγεται τὸ χειρόβολον τῶν ἀσταχύων. ἀμαλάπτω. ἐξ οὗ ἠμάλαψα. καὶ ἠμάλαψεν.

Ἠμάλδυνεν, ἠφάνισεν.

Ἠμάλιζεν, ὕφρει, ἔπνιγεν, ἠμάλιον, μέγα.

Ἦ μάν, ἀληθῶς δή.

Ἠμαντήριον. καλοῦσί τινες τὸ ἀργυροκοπεῖον, ἐν ᾧ κόπτεται τὸ νόμισμα.

Ἦμαρ, ἡμέρα. τὸ ἦμαρ ψιλοῦται. τὰ γὰρ ἀπὸ δασέων μετασχηματιζόμενα, ψιλοῦται. οἷον ἡδονὴ ἦδος, ἅμα ἀμυδις. οὕτως ἡμέρα, ἦμαρ. ὁ δὲ Ἡρωδιανός φησιν, ὅτι τὰ εἰς ος οὐδέτερα, ἃ ἀπὸ φύσει μακρᾶς ἄρχονται, ψιλοῦνται. οἷον, αἶσχος, ἄχος, οὖρος, ἦθος. οὕτω καὶ ἦμος καὶ ἦμαρ.

Ἠμάρασσεν, ἐστέρησεν ἱμάσι.

Ἤμαρτον, ἀντὶ τοῦ ἁμαρτίαν ἐποίησα, καὶ ἀπέτυχον. δόκιμον καὶ τὸ ἁμαρτεῖν. ἡμάρτησα δέ, ἀδόκιμον, καὶ ἁμαρτῆσαι. εἰ καὶ Ἀριστείδης ἅπαξ εἶπεν, ἐν τῷ περὶ ῥητορικῆς πρώτῳ, ἁμαρτήσασθαι. ἔστι δὲ δεύτερος ἀόριστος, ἐκ τοῦ ἁμαρτῶ.

Ἥμασιν, ἀκοντίσμασιν, ἡμέραις.

Ἥματα, ἡμέρας. εἵματα δὲ τὰ ἱμάτια, διὰ διφθόγγου, καὶ δασύνεται.

Ἥματα δασέως μὲν βλήματα, ῥίμματα, ἀκόντια. ψιλῶς δέ, ἡμέραι.

Ἠματίη, δι' ὅλης ἡμέρας.

Ἠμάτιος, ὁ ἡμερινός, κατὰ τὴν ἡμέραν.

Ἠμαυρώθη, ἠμβλυώθη, ἠφανίσθη.

Ἠμαύρωσεν ἄστρα, τῆς λαμπρότητος ἐστέρησε, καὶ ἐσκότισεν.

Ἤμβλακεν, ἤγνοησεν, ἐτύφλωσεν.

Ἤμβλωσεν, ἐτύφλωσεν.

Ἤμβροτον, ἁμαρτῶ ἁμαρτήσω ἡμάρτηκα ἥμαρτον καὶ ὑπερθέσει τοῦ ρ καὶ πλεονασμῷ τοῦ β καὶ τροπῇ τοῦ α εἰς ο ἤμβροτον, κυρίως δὲ τὸ ἀποτυχεῖν.

Ἤμβροτες, οὐδ' ἐπέτυχες, ἐκ παραλλήλου ταυτὸν δηλοῖ. ὡς τὸ βάσκ' ἴθι, καὶ τὰ τοιαῦτα. ἢ ἀμβροτες οὐδ' ἔτυχες παρ' Ὁμήρῳ, παροιμιῶδές ἐστιν, ἐπὶ τῶν ἁμαρτανόντων τῆς προθέσεως. δηλοῦσι δὲ ἄμφω τὰ ῥήματα ἐκ παραλλήλου, τὸ αὐτὸ νόημα. γίνεται δὲ τὸ ἤμβροτες, ἢ ἐκ τοῦ ἀβρότω τὸ ἀποτυγχάνω, πλεονασμῷ τοῦ ν, ὃ καὶ ἀβροτάζω παράγωγον λέγει ὁ Ποιητής. ἢ ἀπὸ τοῦ ἥμαρτες τροπῇ τοῦ α εἰς ο καὶ μεταθέσει τοῦ ρ καὶ πλεονασμῷ τοῦ β διὰ καλλιφωνίαν. ὡς ἐπὶ τοῦ γαμβρός, καὶ μεσημβρία, καὶ τῶν ὁμοίων γίνεται.

Ἡμεδαπῆς γῆς, ἡμετέρας.

Ἡμεδαπός, ἀντὶ τοῦ ἡμέτερος. Ἀριστοφάνης, ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων. καὶ αὖθις. καί τι καὶ παίσωμεν παρασίτου μνημονεύσαντες ἡμεδαποῦ. καὶ ἡμεδαπῶν, ἰδίων, ἐγχωρίων, αὐτοχθόνων, δάπεδον γὰρ τὸ ἔδαφος, ὅθεν καὶ τὸ ποδαπὸς ἀντὶ τοῦ ποῖος λαμβάνεται, ἢ ποίας χώρας, ἢ τίνος πατρίδος.

Ἡμέες ἡμεῖς, κατὰ κρᾶσιν κοινῶς, ἄμμες δὲ Δωρικῶς καὶ Αἰολικῶς. οὐ κατὰ ἀναλογίαν ἐστὶν ὀνομαστικὴ δυϊκὴ ἄμμε, ἡμέων καὶ ἡμῶν κοινῶς, καὶ ἐπενθέσει τοῦ ι ἡμείων ποιητικῶς, καὶ ἀμμέων Αἰολικῶς, ἡμῖν μόνως. καὶ περισπᾶται ἀεί, παρὰ τοῖς ῥήτορσι. Δωρικῶς ἄμμιν, καὶ Αἰολικῶς ἄμιν, ἡμέας ἡμᾶς καὶ κοινῶς, καὶ Αἰολικῶς ἄμμε.

Ἥμεθα, καθήμεθα.

Ἠμείβετο παρατατικός, ἐκ τοῦ ἀμείβομαι, ἀντὶ τοῦ ἀπεκρίνατο, ἠμείφθη, ἠλλάχθη. ἠμείψατο, ἠλλάξατο.

Ἠμείδηκε, καὶ ἠμειδηκώς, μὴ γελάσας. ἀμειδῶ γὰρ τὸ οὐ γελῶ.

Ἠμείφθη, ἠλλάγη.

Ἤμειψα, ἤλλαξα.

Ἠμεκτέων, ἀντὶ τοῦ δυσφορῶν, λέγουσιν Ἴωνες.

Ἠμελημένος, ῥάθυμος.

Ἤμελλον Ἀττικοί, οὐκ ἔμελλον, καὶ ἠρόμην, οὐκ ἠρώτησα.

Ἠμέν, προτάσσεται τῷ ἠδέ. οἷον, ἠμὲν ὅσοι ναίουσιν οὐρανόν, ἠδὲ ὅσοι κληρώσαντο χθόνα. εἰσὶ δὲ ποιητικοὶ σύνδεσμοι.

Ἦμεν, ἀπὸ τοῦ εἶναι, ἔμμεναι, καὶ ἀποκοπῇ τῆς αι διφθόγγου, καὶ τροπῇ τοῦ ε εἰς η, ἦμεν. ἦμεν Δωρικῶς. ἀντὶ τοῦ ἔμεν, τροπῇ τοῦ ε εἰς η. καὶ κανονίζεται οὕτως, εἰμὶ τὸ ὑπάρχω, καὶ ὁ παρατατικὸς ἦν Ἀττικῶς τοῦ η. τὸ δὲ πρῶτον τῶν πληθυντικῶν, ἦμεν. ἢ ἀντὶ τοῦ ἐπορεύθημεν, καὶ κανονίζεται οὕτως. εἶμι τὸ πορεύομαι, ὁ μέλλων εἴσω, ὁ μέσος παρακείμενος εἶα, καὶ ἐν διαλύσει τῆς διφθόγγου ἔϊα, καὶ τροπῇ τοῦ ε εἰς η ἤϊα, καὶ κατὰ συγκοπὴν ᾖα. ὁ ὑπερσυντέλικος ᾔειν, τὸ πρῶτον τῶν πληθυντικῶν ᾔειμεν, καὶ κατὰ συγκοπὴν ᾖμεν.

Ἥμεναι, οἷάπερ φύλλα Μακεδονῆς αἰγείροιο. οὕτως ἔφη, ἤτοι ἐπεὶ τὰ φύλλα τῆς αἰγείρου ἀλλήλων ἀπέστραπται. οὕτω καὶ αἱ Ἀλκίνου θεράπαιναι προσεῖχον τοῖς ἔργοις, πάνυ ἀλλήλων ἀπεστραμμέναι. ἢ ὥσπερ πυκνὰ τὰ τῆς αἰγείρου φύλλα, οὕτω κἀκεῖναι θλιβόμεναι ἐθέροντο.

Ἥμενος ὁ καθήμενος, ἡμμένος δὲ ὁ ἐξημμένος, καὶ ἀνηρτημένος.

Ἡμμένοι, συνημμένοι, ἀντὶ τοῦ ἀνηρτημένοι. οἱ δὲ καταρράκται, οὓς εἶχον ὀλίγον ἐξωτέρω διὰ μηχανημάτων ἀνημμένους, αἰφνίδιον καθῆκαν, καὶ ἐπεβάλοντο. καὶ τοὺς κατέχοντας πρὸ τοῦ τείχους, ἀνεσκολόπισαν.

Ἡμέρα, εἰς τρία μέρη, ὥσπερ καὶ ἡ νὺξ τριχῇ διαιρεῖται, εἰς ἑσπέραν, εἰς ἀμολγόν, καὶ εἰς ἕω. οὕτω καὶ ἡ ἡμέρα, περὶ ὧν λέγει ὁ Ποιητής, ἐν τῷ φ τῆς Ἰλιάδος. ἡ ἡμέρα δυνάμεως, ἡ δευτέρα τοῦ Χριστοῦ Ἐπιφάνεια. Δαβίδ, μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. καὶ ἡμέρα ἐπαγωγῆς, παρὰ τὸ ἐπάγεσθαι ἡμῖν τὰ ἄξια τῶν βεβιωμένων. καὶ ἡμέρα πονηρά, ἡ τῆς κρίσεως ἡμέρα, ἡ αἰωνία κόλασις. Δαβίδ, τοῦ πραῦναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν. ὁ γὰρ μικρὰν παιδείαν κατὰ τὸν παρόντα δεχόμενος, πραότερον τὸ κριτήριον ἕξει. καὶ ἡμέρα, ἡ πορεία ἡλίου ἀπὸ ἀνατολῶν ἐπὶ δυσμάς, ἐναντίον τῇ νυκτί. ἡ ἡμέρα ἐν τῷ τὸν ἥλιον ὑπὲρ γῆν εἶναι. καὶ ἡμέρας διὰ ἀήρ ἐστιν, ὁ ἀπὸ ἀνατολῆς μέχρι δύσεως ὑπὲρ γῆν τοῦ ἡλίου δρόμος. παρὰ τὸ ἥμερος, ἡμέρα, πρὸς ἀντιδιαστολὴν τῆς νυκτός, ζοφερᾶς οὔσης. καὶ ἡμέρα, πόλις Σικελίας, καὶ πηγή, καὶ ποταμός, ἀπὸ ταύτης ἔχων τὴν ἀρχήν. ἢ ποταμὸς Σικελίας, καὶ πόλις ὁμώνυμος.

Ἡμέραι πλήρεις, τὸ γῆρας.

Ἡμερίς κατὰ τοὺς πολλούς, ἡ ἥμερος ἄμπελος, πρὸς διαστολὴν τῆς ἀγριάδος λέγεται παρ' Ὁμήρῳ. καὶ ἡμερὶς ἄμπελος, ὥς φησιν Ὅμηρος, ἡμερὶς ἡβώωσα. εἴρηται δέ, διὰ τὸ ἡμεροῦν τὸ τῶν ἀνθρώπων φῦλον.

Ἡμεροδρόμος, ὁ ἥλιος. λέγονται δὲ καὶ οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτατα διακονούμενοι. νέοι δ' εἰσὶν ἐφήβων ὀλίγον πρεσβύτεροι, πρωτογενείων, ἐγγὺς ταῖς τοιαύταις ὑπηρετούμενοι χρείαις, τόξων καὶ βελῶν καὶ ἀκοντίων, καὶ πυροβόλων, λίθων, ἐπιφερόμενοι πλέον οὐδέν. ταῦτα γὰρ αὐτοῖς πρὸς τὴν ὁδοιπορίαν γίνεται χρήσιμα.

Ἡμερόδρυς, εἶδος δρυός.

Ἡμέριοι, οἱ ἄνθρωποι. ἀπὸ τοῦ πρὸς ἡμέραν ζῆν.

Ἡμερινῶν σιτίων, ἀντὶ τοῦ θνητῶν, καὶ ἐπιγείων.

Ἡμερινὰ ζῶα, τὰ πᾶσι φαινόμενα καθ' ἡμέραν, νυκτερινὰ δέ, γλαῦξ, ἐλεός, βύας, νυκτικόραξ, ἐπολιός, σκώψ. θαλάσσια δέ, ἀλκυών, ἀηδών, κήρυκες, αἴθυιαι, λάρος, χαραδριός, καταρράκτης, κάγκλος.

Ἡμεροῖ, πραΰνει. καὶ ἡμεροῦν, Κράτης, τὸ τὴν γῆν ἐξημεροῦν, καὶ ἐργάζεσθαι. τιθέασι δὲ καθόλου ἐπὶ τοῦ γεωργεῖν τὴν λέξιν.

Ἡμεροκαλλές, ἄνθος σπειρόμενον ὁ Δίδυμός φησιν. οὐκ ἔστι δὲ ἄνθος, ἀλλὰ φοινικοῦν ἔριον διαπεποικιλμένον, ᾧ χρῶνται πρὸς τὰς ἱερουργίας Ἀθηναῖοι, ὡς Θεόδωρος ὁ πανάγης προσαγορεύει, ἐν τῷ πρώτῳ περὶ Κηρύκων γένους. λέγεται δέ, ὅτι καλεῖται οὕτω διὰ τὸ πεπλύσθαι καὶ βεβάφθαι ἐν μιᾷ ἡμέρᾳ. κάλλη δὲ προσαγορεύεται τὰ ἄνθη.

Ἡμερόκοιτος, ἰχθῦς τις, καὶ ὁ κλέπτης.

Ἡμερολεκτεῖν, ἀριθμεῖν καθ' ἑκάστην, τοῦ Ψελλοῦ τὸ καθεκάστην ἀριθμεῖν ἡμερολεκτεῖν καλεῖ.

Ἡμερήσιον, τὸ καθ' ἡμέραν διδόμενον, καὶ ἡμερήσιος ἄρτος.

Ἡμερολεκτεῖν, τὸ καθ' ἑκάστην ἡμέραν ἐξαριθμεῖν.

Ἡμερολόγιον, μέρος τι τῶν περὶ τὴν κύστιν.

Ἥμερος ὕλη, ἡ λεπτόφυλλος δρῦς. καὶ πρᾶος.

Ἡμεροσκόπους λέγουσι, τοὺς ἐν ἡμέρᾳ φρουροῦντας.

Ἥμερσεν, ἐστέρησεν, ἀφείλετο. τὸ δὲ αὐτὸ καὶ ἡμάρτισεν.

Ἡμερῶ, τιθασεύω.

Ἡμερωλίας, τοὺς ἐν αὐλῇ διακόνους.

Ἡμερωρεῖν, ἡμεροφυλακτεῖν, ὡρῶ γὰρ τὸ φυλάσσω.

Ἡμετέρηος, κτητικόν ἐστι. σημαίνει δὲ τὸν τοῦ ἡμετέρου. ἐχρῶτο δὲ τῇ λέξει Ἀνακρέων.

Ἡμέτερος, ἡμετέρα, ἡμέτερον, χρώμεθα τούτῳ ἐπὶ πληθυντικῶν μόνον. τὸ γὰρ ἡμέτερος κόσμος καὶ ἡμετέρα ἐπιστήμη, καὶ ἡμέτερον ἐγκαλώπισμα, ἀντὶ τοῦ ἡμῶν κόσμος, καὶ ἡμῶν ἐπιστήμη, καὶ ἡμῶν ἐγκαλώπισμα λέγομεν. οὕτω καὶ ἀπὸ τοῦ σφεῖς, σφέτερος, σφετέρα, σφέτερον γίνε-

Digitized by Google

γίνεται. δεῖ δὲ χρῆσθαι αὐταῖς ἐπὶ πληθυντικοῦ, εἰ δὲ καὶ ἐπὶ ἑνικοῦ ἅπαξ εὕρηται, οἷον ὁ δεῖνα τὴν σφετέραν κακίαν ἐνδύκνυται, ἀλλ' οὐ δεῖ τῷ ἅπαξ εἰρημένῳ χρῆσθαι. τὸ δὲ λέγειν ὡς ἀπὸ τοῦ σφὲ σφέτερος γίνεται, ἐμοὶ δοκεῖ καλῶς λέγεσθαι. ὥσπερ δὲ αἱ πρωτότυποι τούτων ἀντωνυμίαι καὶ ἁπλῶς τίθενται, καὶ μετὰ προσθήκης, λέγομεν γὰρ καὶ ὑμᾶς αὐτοὺς, καὶ ὑμᾶς αὐτοὺς, καὶ σφᾶς αὐτοὺς, οὕτω καὶ παράγωγοι αὗται ἔχουσιν. οὐ μόνον γὰρ ἡμέτερος καὶ σφέτερος, ἀλλὰ ἡμέτερος αὐτῶν, καὶ σφέτερος αὐτῶν, ἐκ παραλλήλου.

Ἡμμένοι, τεθεριςμένοι.

Ἦ μὴν, ἀντὶ τοῦ ναὶ μὴν, ἀλλ' οὖν, ἀλλ' ὅμως, ὄντως δή. ὡς τὸ, Ὄμνυμι τοὺς βασιλείους θεοὺς, ἦ μὴν ἐγὼ ὑμᾶς σώσω.

Ἧμην οὐχ εὑρίσκεται παρὰ τοῖς ἀρχαίοις, ἀλλ' ἦν ἐγώ.

Ἥμην, ὅτε δασύνεται, σημαίνει τὸ ἐκαθεζόμην, ἀπὸ τοῦ ἕω, ἵημι, ἕμαι, ἧμαι, ἥμην, καὶ ἐκαθήμην. ὅτε δὲ τὸ ὑπάρχω, ψιλοῦται, ἀπὸ τοῦ εἰμὶ, ὁ παθητικὸς ἐνεστὼς ἧμαι, ὁ παρατατικὸς ἥμην.

Ἡ μὴ 'μπειρία, ἀντὶ τοῦ ἡ μὴ ἐμπειρία, τουτέστιν ἡ ἀπειρία. Ἀριστοφάνης, δεινόν ἐστιν ἡ μὴ ἐμπειρία.

Ἡμιδαΐκτος, ἡμιθανής.

Ἠμὶ, φημὶ, λέγω.

Ἡμίαρτον, εἶδος ἄρτου, ἡμικυκλῶδες.

Ἡμιδαής, ἡμίκαυστος.

Ἡμιδανάκιον, νόμισμα ποιόν.

Ἡμιδαπής, ἡμιτελής.

Ἡμίδεα, τὰ οὐχ ὁλόκληρα.

Ἡμιδιπλοΐδιον, ἱμάτιον μικρόν. οἱ δὲ, ἀναβόλαιον γυναικεῖον σύμμετρον, ὅπερ ἔνδοθεν ἐφόρουν.

Ἡμιδωδέκατον, τὸ ἡμίχουν.

Ἡμίεκτον, μέτρον, τουτέστι τεσσάρων χοινίκων. ὁ γὰρ μέδιμνος τεσσαρακοντακτὼ χοινίκων ἐστί. τούτων οὖν τὸ ἕκτον εἰσὶν ἢ χοίνικες. τὸ δὲ ἡμίεκτον, τουτέστι τὸ δωδέκατον, τῶν μὴ χοινίκων τέσσαρα, τοῦ μεδίμνου ἔχοντος χοίνικας τεσσαρακονταοκτὼ, τὸ ἡμιμέδιμνον δηλονότι, τὰς εἰκοσιτέσσαρας ἔχειν. ἡμίεκτον δὲ, τὸ χωροῦν τέσσαρας χοίνικας, τὸ γὰρ ἕκτον, χοίνικες ὀκτώ. ἡμιεκτέον δὲ, καὶ οὐχ ἡμιεκταῖον.

Ἡμίεργον ἡμιτέλεστον.

Ἡμιθνὴς, καὶ ἡμίθνητος, διαφέρει. ἡμιθνὴς μὲν λέγεται ὁ ψυχαγωγῶν, καὶ ἤδη τὸ ἥμισυ θανών. ἡμίθνητος δὲ, ὁ τὸ ἥμισυ ἔχων θνητὸν, καὶ τὸ ἥμισυ ἀθάνατον, ἤτοι ἡμίθεος. ἢ ὁ ἡμέραν ὢν ἐν τοῖς ζῶσιν, καὶ ἡμέραν ἐν τοῖς νεκροῖς, ὡς οἱ Διόσκουροι.

Ἡμικάδιον, τὸ ἡμίμετρον.

Ἡμίκακον, οὐχ οὕτως, ἀλλ' ἡμελημένον φάθι, Φρύνιχος.

Ἡμίκαυστος, ἡμίφλεκτος, ἡμιδαής.

Ἡμικεφάλαιον μὴ λέγε, ἀλλὰ ἡμίκρανον, Φρύνιχος.

Ἡμικλεῖς, ὡς τὸ, Ἐξαίφνης ἀνοίξαντες τὰς ἡμικλεῖς πύλας, ἐξελαύνουσι τῆς πόλεως αὐτῶν Παρθυαίων καὶ Μήδων, ὅσπερ ὄφελος ἦν τῆς ἱππικῆς δυνάμεως, ἵππους ὡς ἑξακοσίους.

Ἡμικόλλιον, μέτρον οἴνου. οἱ δὲ ἡμιχοίνικον.

Ἡμίκοπον, ἡμίπλεθρον, ἡμίκρανον, ἡμικεφάλαιον, σιαγόνος τὸ ἥμισυ.

Ἡμίκρανον, τὸ ἥμισυ τῆς κεφαλῆς.

Ἡμικύκλιον, τὸ ἥμισυ τοῦ κύκλου.

Ἡμιεκτέον παρὰ τῷ Ἀριστοφάνει, τοῦ τετραχοινίκου. ὁ γὰρ μέδιμνος χοίνικας ἔχει τεσσαρακονταοκτώ. τούτων τὸ ἕκτον ὀκτὼ τὸ ἥμισυ τοῦ ἕκτου, τουτέστι τῶν ὀκτὼ τὰ τέσσαρα, ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμίεκτος, τέσσαρας ἔχει χοίνικας. παρατηρητέον δὲ, ὅτι διὰ τοῦ ε δεῖ γράφειν ἡμιεκτέον, οὐ κατὰ τὴν κοινὴν χρῆσιν διὰ διφθόγγου ἡμιεκταίου.

Ἡμίκυπρον, ἥμισυ μεδίμνου.

Ἡμιλάμιον, μέρος μεσοπίων.

Ἡμιμάδονες, μαινάδες νύμφαι, αἱ Βάκχαι.

Ἡμιμέγιστον, ἡμίμναιον.

Ἡμιμέδιμνον, μέτρον χοινίκων εἰκοσιτεσσάρων.

Ἡμίμικτον, ὕφασμα ὃ ἐκαλύπτετο.

* Ἡμιμοίριον, τὸ ἥμισυ τῆς δραχμῆς.

Ἡμιμόχθηροι, οἱ καθέζοντες δῆθεν τὴν ἁμαρτίαν.

Ἡμῖν, ἀντωνυμία ἀντὶ τοῦ, τοῖς ἡμετέροις.

Ἧμιν, ἀντὶ τοῦ ἡμῖν λέγουσιν Ἴωνες προπερισπωμένως, καὶ συστέλλουσι τὸ ι.

Ἡμίνα, κοτύλη.

Ἥμιν ἀνοίγει, ἤ τις αὐτὸν ἀνοίγει.

Ἡμῖν ἄπο, ἀφ' ἡμῶν.

Ἡμιόγδοον, οἱ δύο χορεῖς.

Ἡμιολία, ἡ δίκροτος ναῦς. ἡ ἡμιολία, λῃστρικόν τι πλοῖον, οὗ τὸ ἡμιόλιον μέρος, ψιλὸν ἐρετμῶν ἐστι, πρὸς τὸ ἀπ' αὐτοῦ μάχεσθαι. ὡς τὸ, Ἀλλὰ καὶ ἀσελγαίνεις, ὥσπερ ἐκ πειρατικῆς ἡμιολίας ἀποπεπηδηκώς. ἡ ἡμιολία, τὸ ἥμισυ τοῦ κεφαλαίου. ὡς τὸ, Δίδοσθαι δὲ ὀψώνιον τοῖς στρατεύειν ᾑρημένοις παρ' αὐτῷ, ἡμιόλιον τοῦ νῦν διδομένου, καὶ ἡμιολίας ἡμίσεως.

Ἡμιολισμὸς. Ἀντιφῶν πολιτικῶν, διπλασιασμοῦ, καὶ ἡμιολίου, ἀντὶ τοῦ ἡμιολίων ἐν τοῖς λογισμοῖς. ἡμιόλιος δέ ἐστιν ἀριθμὸς, ὁ ἔχων αὐτόν τε καὶ τὸ ἥμισυ αὐτοῦ. οἷον ὁ τρία πρὸς τὰ δύο.

Ἡμιολίοις, πειρατικοῖς πλοίοις.

Ἡμιόλιον, πλοῖον μικρόν.

Ἡμιόλιος, δίκροτος. καλεῖται ἀντὶ τοῦ τοῖς δὲ καὶ ἀριθμός τις καὶ λόγος ὁ τὸ ἓν καὶ ἥμισυ ἔχων.

Ἡμιολισμὸν, Ἀντιφῶν, ἀντὶ τοῦ τὰ ἡμιόλια δοῦναι.

Ἡμιόνειον ζεῦγος. καὶ ἡμιονέη, ἡ κόπρος τοῦ ἡμιόνου.

Ἡμιόνιον πόας εἶδος, καὶ ὄρνις ποιός.

Ἡμίονος, ὀρεύς.

Ἡμίοποι, οἱ μὴ τέλειοι αὐλοί. τίθεται δὲ καὶ ἐπὶ ἄλλων μὴ τελείων.

Ἡμίοπον, ἥμισυ, παρὰ τῷ Ἱπποκράτει.

Ἡμίοπος αὐλὸς, ὁ ὑποτεταγμένος τῷ τελείῳ. μεταφορικῶς δὲ ἡμίοπον θράσος.

Ἡμίοστος, τοῦ ψελλοῦ ἡμίοπος, μικρὸς αὐλὸς, ἤτοι, ὀμφαλοῦ μέρος.

Ἡμιπαίδευτος, ὁ ἀπαίδευτος.

Ἡμιπέλεκοι, αἱ μονόστομοι ἀξίναι.

Ἡμιπέλεκον, τριμναῖον, ἢ πεντάμνουν. τὸ γὰρ δεκάμνουν, πέλεκυς καλεῖται παρὰ Παφίοις.

Ἡμίπολον, τὸ ἥμισυ τοῦ πόλου, ἤγουν τοῦ οὐρανοῦ.

Ἡμισάλευτος, ἐξ ἡμίσεος σαλευόμενος. σαλεύονται γὰρ αἱ κινήσεις, σείονται δὲ ἐπὶ τῶν μεθυόντων.

Ἡμίσεα, τὸ ἥμισυ μέρος. αἱ δὲ ἡμίσυ λέγοντες, καὶ οὐ τὰ ἡμίσεα, ἁμαρτάνουσι. τὰ γὰρ τριγενῆ τῶν ὀνομάτων ἐπὶ τῶν οὐδετέρων διῃρημένας ἔχουσι τὰς τοιαύτας πτώσεις. οἷον οἱ γλυκεῖς, αἱ γλυκεῖαι, τὰ γλυκέα. οἱ ὀξεῖς, αἱ ὀξεῖαι, τὰ ὀξέα. οὕτως ἄρα καὶ οἱ ἡμίσεις καὶ αἱ ἡμίσειαι, τὰ ἡμίσεα, καὶ ἐπὶ τοῦ ἑνικοῦ δὲ ἡμίσεος λέγε, ὡς ὀξέος, καὶ γλυκέος, ἀλλὰ μὴ ἡμίσους. ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν καὶ τοῦ ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ, καὶ συνῃρημένως καὶ ἀσυναιρέτως ἐκφέρουσιν.

Ἥμισυ. Ἡσίοδος, ὅσῳ πλέον ἥμισυ παντός. ἤγουν, τὸ ἥμισυ ἀπὸ τοῦ δικαίου δηλονότι, τοῦ ὁλοκλήρου, τοῦ ἐξ ἀδικίας.

Ἡμισύκλιον, νομισμάτιον.

Ἡμισύθλαστον, ἡμισύσταυλον.

Ἥμισυς, παρὰ τὸ ἅμα καὶ τὸ ἴσος, γίνεται ἁμαίσος, συγκοπῇ ἄμισος, καὶ κατὰ τροπὴν ἥμισυς, ὁ ἅμα ἴσος τινί. ἢ τοῦ ὅλου διαιρεθέντος, ἢ τὸ ἅμα ἄλλῳ ἴσον. ὡς ἵππος, ἱππεὺς παρώνυμον, οὕτως ἴσος ἴσυς καὶ ἥμισυς. Ὅμηρος ἰλιάδος ι.

Ἥμισυς ὁ βραχὺς. ἥμισυς ἀνὴρ, Προυσίας ὁ Βασιλεὺς, κατὰ τὴν ἐπιφάνειαν καὶ πρὸς τὰς πολεμικὰς χρείας ἀγενὴς καὶ γυναικώδης.

Ἡμισύτριτον, δύο ἥμισυ. Ἀρχίλοχος.

Ἡμιτελὴς δόμος παρὰ τῷ ποιητῇ, ἤτοι ἄτεκνος, ἢ ἀφῃρημένος, ἢ ἀτελείωτος.

Ἡμιτελὴς, ἡμισεαής.

Ἡμίτιον, τετράχουν.

Ἡμίτομος, ἔκτομα.

Ἡμιτύμβιον, μέρος ὀθονίου παχέος, παρὰ τῷ Ἱπποκράτει. ἢ ἡμιτύμβιον, ἀντὶ τοῦ σουδάριον παρὰ τῷ Ἀριστοφάνει. ῥάκος ἡμιτριβὲς λινοῦν τι, οἷον ἐκμαγεῖον. καὶ Σωφρὼν, ἡμιτύμβιον ταλάσσων, ἢ δίκρωσσον φακιόλον. καὶ ἡμιτύμβιον, ὁ μικρὸς τάφος.

Ἡμιτύγια, τὰ ἡμισυδελφάδη. Λάκωνες.

Ἡμιτυμπανιστὴς, ἡμιθανής.

Ἡμιφάριον, τουτέστιν ἥμισυ ἱματίου. φάρος γὰρ, τὸ ἱμάτιον.

Ἡμιφλεγὴς, ὁ ἡμίκαυστος.

Ἡμίφωνον, τὸ ἐξ ἡμισείας φωνεῖν, καὶ ἄφωνον.

Ἡμιφώσιον, σινδόνων ῥάκος.

Ἡμίχα, ἡμιστατῆρα.

Ἡμίχους, μέτρον, μεδίμνου τέταρτον.

Ἡμιωβόλιον, τὸ ἥμισυ τοῦ ὀβολοῦ.

Ἡμμένοι, συνημμένοι, κατέχοντες.

Ἡμοιρηκὼς, ἀμοιρήσας, μὴ μετέχων, μὴ τυχών.

Ἥμονες, ἀκοντισταὶ, ῥήτορες, ὀρχησταί.

Ἡμορὶς, κενὴ, ἐστερημένη. Αἰσχύλος Νιόβῃ.

Ἥμορος, ἄμορος.

Ἦμος, ἡνίκα, ὁπηνίκα. ὅτε καὶ ἀντὶ τοῦ τῆμος λέγουσι Δωριεῖς. ἦμος ἦδος, ἤγουν ἡδονὴ, πάντα τὰ τοιαῦτα ψιλοῦται.

Ἡμοσύνη, βλῆσις, ἀκόντισις, ἐμπειρία.

Ἠμπίσχετο, ἢ ἠμπέσχετο, ἐνεδύσατο, ἐφόρεσεν, περιεβάλετο.

Ἥμπλακες, ἀπέτυχες, ἠδίκησας, ἥμαρτες.

Ἠμπόλησεν, ἀπέδοτο.

Ἠμύει ἀσταχύεσσιν, ἀντὶ τοῦ ἐπικλίνεται τὸ λήϊον τοῖς ἀσταχύεσσιν, ἤγουν διὰ τῶν ἀσταχύων, διττὸν γὰρ τὸ λήϊον. αὐτό τε γὰρ τὸ ὑποκείμενον ἔδαφος λήϊον λέγεται, καὶ οἱ ἀστάχυες δὲ, λήϊον λέγονται καὶ αὐτοί. ἐπικλίνεται οὖν τὸ λήϊον οὐ κινούμενον αὐτῷ δὴ τῷ ἐδάφει, ἀλλὰ τοῖς ἀσταχύεσσιν, ἡ γῆ μὲν ἀκινητίζει, οἱ δὲ στάχυες ἐπικλίνονται.

Ἠμύνατο, ἐτιμωρήσατο, ἐξεδίκησεν.

Ἤμυνεν, ἤμυξεν.

Ἠμύνοντο, ὑπερεμάχουν.

Ἤμυσαν, ἔκλιναν. Ἀπολλώνιος, ἤμυσαν λοξῇσι καρήασιν.

Ἠμύσει, λέξις μέν ἐστι ποιητικὴ φιλοπρέπης. γίνεται δὲ, ἀπὸ τοῦ μύειν πλεονασμῷ τοῦ η. ὁμοίως τῷ βαιὸν, ἠβαιόν, καὶ τοῖς τοιούτοις. δηλοῖ δὲ τὸ κατακλιθεὶν, συμπροσθεῖν. καθ' ὁμοιότητα τῶν μυόντων, εἴτε ὀμμάτων, εἴτε λοιπῶν σωμάτων.

Ἠμύω, καὶ ἤμυσεν, ἐστι μύω, καὶ πλεονασμῷ τοῦ η, ἠμύω. ὁ δὲ Ἡσίοδος, ἀμύω εἶπε διὰ τοῦ α. οἷον ἀμύοντι χαμάζε.

Ἠμύω, κλίνω, ἠμύσατο δὲ τὴν καρδίαν, ἀντὶ τοῦ ἐταράσσετο, ἢ καὶ ἐσπαράσσετο.

Ἠμφαγνόουν, ἐδίσταζον ἐπιγνῶναι.

Ἠμφιάσαντο, ἐφόρησαν.

Ἠμφίσαντο, περιέσαντο.

Ἠμωδίασαν, ἐνάρκησαν, αἱμωδίασαν.

Ἠμωδιῶ, ἀντὶ τοῦ αἱμωδιῶ.

Ἡμωδὸν, ὄρος.

Ἦμων, ἐθέριζον. ἤμοων δὲ, ἤγουν θυμῷ κατείχοντο.

ΤΟ Η ΜΕΤΑ ΤΟΥ Ν.

Ἢν, ἀντὶ τοῦ ἐὰν, κράσει τοῦ εα εἰς η ἦν, καὶ συντάσσεται ὑποτακτικῷ.

Ἦν ἀπήνη ὀχέων, ἀντὶ τοῦ εἴρηται. ἀντὶ τοῦ ὀχῶν, καὶ βαστάζων τὴν ἐκείνου βλάβην. ὡς οἷά τις ἀχθοφορῶν Ἱπποκένταυρος. ἐπεὶ καὶ ἐφ' ἵππων λέγεται ὀχεῖν. ὡς γοῦν ἵππος ὀχεῖ, τουτέστι φέρει τινὰ, οὕτω καὶ ὁ Κένταυρος, Εὐρυτίων παρ' Ὁμήρῳ τὴν κατ' αὐτὸν βλάβην.

Ἦν δ' ἐγὼ, ἀντὶ τοῦ ἔφην ἐγώ. ἐστι ῥῆμα εἰμὶ, ὁ παρατατικὸς ἦν. καὶ Ἀττικῶς ἐκτείνεται τὸ ε εἰς η καὶ γίνεται ἦν, χωρὶς τοῦ ι. τοῦτο δὲ

δι' τοῦ ἦν τὸ δεύτερον ἦς, καὶ κατὰ ἔκτασιν ἦσθα.

Ἦν δ' ἐγώ, ἔφην δ' ἐγώ. Ἀττικὴ δὲ ἡ λέξις, καὶ ἡ σύνταξις. μάλιστα δὲ αὐτῇ συνεχῶς κέχρηται καὶ κατακόρως ὁ Πλάτων. καὶ ἦ δ' ὅς, ἀντὶ τοῦ ἔφη ἐκεῖνος.

Ἦν, ἀντὶ τοῦ ἦμην. Ἀριστοφάνης πλούτῳ, ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ, κακῶς ἔπραττον καὶ πένης ἦν. καὶ Πισίδης, κἀγὼ γὰρ ὡς ἦν τῶν βοὴν ἐπηγμένων, καὶ ἦν, ὑπῆρχε, δοτικῇ.

Ἦν, δασυνόμενον μὲν καὶ ὀξυνόμενον, ἄρθρον θηλυκὸν ὑποτακτικὸν, καὶ σύναρθρον ἀντωνυμίαν τρίτου προσώπου. ἦν τὴν ἑαυτοῦ ἢ τὴν ἐὰν ἦν ἀρετὴν φθάσειται, τὴν ἑαυτοῦ ἀρετὴν διαγνώσεται.

Ἠναιδηκότες, ἀναχωρήσαντες.

Ἠναίνετο, ἀπεστρέφετο. καὶ ὑπὲρ ὧν ἰδίᾳ ἀκοῦσαι ἠναίνετο.

Ἠνάριζε, καὶ ἐνάριξεν, ἐφόνευσεν, ἐσκύλευσεν. ὅντινα γὰρ τοιόνδε νέον, ὁ φιλαίματος Ἄρης ἐνάριζε στυγερὸς ἐν στροφάλιγγι μάχης.

Ἦν ἄρα καὶ πυρὸς θερμότερος, καὶ λόγων ἐν τόλμῃ τῶν ἀναιδῶν ἀναιδέστερος, ἐπὶ τῶν καθ' ὑπερβολὴν γινομένων.

Ἥνδανε κοινῶς, ἑάνδανεν Ἀττικῶς, ἀπὸ τοῦ ἁνδάνω. ἡ ἑώνδανεν, ἤρεσκεν, ἐκ τοῦ ἁνδάνω. τὸ δὲ ἁνδάνω ἐκ τοῦ ἅδω κατὰ παραγωγὴν, ἁδάνω. καὶ τροπῇ τοῦ α εἰς ε, καὶ πλεονασμῷ τοῦ ν, ἁνδάνω. ὡς λήθω λανθάνω, λήχω λαγχάνω, δήκω δαγκάνω, ἐξ οὗ συγκόπτεται τὸ δάκνω. καὶ δεῖ δασύνεσθαι τὸ ἁνδάνω.

Ἠνδραποδίσατο, ἐκκλόφατε.

Ἠνδρίσατο, ἀνδρικῶς ἐπάλαισεν.

Ἠνδρώθησαν, ἀνδράσιν ὡμίλησαν. ὡς Δίων πολλάκις ἐχρήσατο.

Ἠνδρωμένος, αὐξημένος.

Ἠνδρωμένη, ἀνδρὸς πεπειραμένη. ἡ παῖς γὰρ ἤμενος ἐστίν, ὡς ἠνδρωμένη. ἀντὶ τοῦ σωληθεῖσα ἀνδρί.

Ἦν, ἀντὶ τοῦ ὑπάρχον ἐν πρώτῳ προσώπῳ, προσφυῶς ἔχει τὸ ν κατὰ συγκοπὴν τοῦ ἦον, ὅπερ ἐστὶν ὑπάρχον. τὸ δὲ τρίτον οὐχ οὕτως ἔχει, κατὰ τὸν Ἡρακλείδου λόγον, ἔχοντα οὕτω. τοῖς εἰς βραχὺ περατουμένοις, ἐὰν συναιρεθῶσι, τοιούτοις προσώποις οὐκ ἔστι μετουσία τοῦ ν ἐστίν, ὡς τὸ ἐν τῷ ὑίον ἦες ἦς, καὶ συναιρέσει οὐκ ὀρθῶς ἔχει ἡ προσέλευσις τοῦ ν. καινὸν δέ φησι καὶ τὸ ἤσκειν εἴρια καλά. φθάνουσι γὰρ εἰς τὸ ἤσκεε, τῷ προσλήψεται τὸ ν; ὅπου γε οὐδεὶς παρατατικὸς εἰς ν περαιοῦται ἐν τρίτῳ ἐνικῷ παρ' Ἕλλησιν. ἑτέρωθι δὲ λέγει ὁ αὐτὸς, καὶ ὅτι ὥσπερ τὸ κνῆε τυρὸν, ἤγουν ἔκνηεν, ἔκνησεν, ἀπὸ τοῦ ἦ συναιρεθὲν. οἷον κνῆ τυρὸν ἐν Ἰλιάδι, οὐκ ἔτι σὺν τῷ ν ἐξενεχθῇ, οὕτως οὐδὲ τὸ ἦ μετὰ τοῦ ν γραφήσεται, ἀλλὰ δηλαδὴ δίχα τοῦ ν, κἂν σημαίνῃ τὸ ὑπῆρχεν, ἀπὸ τοῦ ἦε δηλονότι. καὶ οὕτω μὲν κατίσχυσε τὸ σοφὸς τὸν τοιαύτην γραφήν. ἔστι δὲ ἄλλως μετὰ τοῦ ν νοῆσαι τὸ ἦν, Δωρικῶς ἅμα καὶ Ἀττικῶς, κατὰ τὸν αὐτὸν Ἡρακλείδην ἀπόντα οὕτω. τὰ παρ' ἡμῖν ἔπλη καὶ ἔρρει, παρὰ μὲν τοῖς Ἴωσιν ἔπλεεν, ἔρρεεν, ἔπλην καὶ ἔρρην παρ' αὐτοῖς. εἰ τοίνυν οὕτω δίδοται, τί κωλύει καὶ τὸ ἔπλεεν ἔπλην Δωρικῶς καὶ ἔρρεεν ἔρρην, οὕτω δὲ εἶναι ἦεν ἦν. περισπωμένως μέντοι διὰ τὸ τοῦ ῥήματος μονοσύλλαβον, χρώμενοι τῇ Δωρικῇ φωνῇ καὶ τῶν Ἀττικῶν, οἱ καὶ δάματερ δωρικὸν ὂν φιλοῦσι καλεῖν. ἔστι ἴσιον, ὅτι τὸ εἰρημένον ἦν, ἐπὶ τρίτου ἐνικοῦ προσώπου ὁ Ἀλκμὰν ἦς λέγει, μετειλημμένου τοῦ ν εἰς ς Δωρικῶς, ὡς Ἡρακλείδης παραδίδωσιν. ἔστι δὲ αὐτοῦ χρῆσις καὶ παρὰ Βυχολιασῇ, ὡς καὶ ἐν τῷ πεποιήκαμεν καὶ λέγομεν καὶ ἔπεσιν τὸ νεῖς οἱ Δωριεῖς, λέγοντες πεποιήκαμες, καὶ λέγομες, καὶ τὰ ἄλλα ὡσαύτως.

Ἠνέγκατο δόξαν, ἠγάγετο δόξαν.

Ἤνεγκα, ἐκόμισα.

Ἤνεγκεν, ἀντὶ τοῦ ἐχώρησεν. ὡς τὸ, ἤνεγκε γαστὴρ ἡγιασμένη λόγον.

Ἤνεγκον, ἀπὸ τοῦ ἐνέγκω. ἤνεγκα δὲ, ἀπὸ τοῦ ἐνέκω.

Ἤνεκα, ἀπὸ τοῦ ἐνέκω, ἐξ οὗ καὶ ἤνεγκα, καὶ πλεονασμῷ τοῦ ι ἤνεικα. καὶ ἤνεξα κατὰ τροπὴν Βοιωτικὴν τοῦ κ εἰς ξ. ἐπλεόνασε δὲ τὸ ι, διότι τὰς ἀορίστους μὴ ἔχειν ἢ ξ, ἢ ψ μακρᾷ θέλει παραλήγεσθαι. οἷον ἔκαψα, ἔνειμα, ἔτειλα.

Ἦνες, ἐνιαυσίας τῇ ἡλικίᾳ, ἀδαμάστους, ὠνοῦνται γὰρ δαμαζόμεναι.

Ἠνείχοντο, ἐβούλοντο, ἤθελον. ὡς ἐπαγγελλῶν ἠνείχοντο τοῖς εἰρημένοις.

Ἠνεμόεσσαν τὴν Τροίαν λέγει ὁ Ποιητὴς, διὰ τὸ ἐφ' ὑψηλοῦ κεῖσθαι. ἡ ἠνεμόεσσαν, ὑψηλὴν, ἀνέμοις κατατεινομένην, ἀνεμόεσσα καὶ ἠνεμόεσσα.

Ἤνεμος, ἄνεμος.

Ἠνεμώδεις, ἠχώδεις.

Ἠνεμῶσθαι, τὸ περὶ Ἔρωτα ἐπτοῆσθαι. ὡς τὸ, καὶ ἐδόκει περὶ τὸν ἄνθρωπον ἀκρατῶς ἠνεμῶσθαι.

Ἦν ἐμπνέω, ἕως ἂν ζῶ.

Ἠνεωθηνὴς, νεωστὶ βλαστήσας.

Ἤνεον, ἐπῄνουν, συγκατετίθεντο.

Ἠνέσαμεν, ἐπῃνέσαμεν, ἠγαπήσαμεν. ἐν ἐπιγράμματι ἐκ πατέρων ταύτην ἠνέσαμεν βιοτήν.

Ἤνεσε, συγκατέθετο, ἢ κατέθετο.

Ἠνέσχεθε, ὑπέμεινε. καὶ ἠνέσχετο, κατεδέξατο.

Ἠνέσχεθε, ἀντὶ τοῦ ἐκαρτερήσατε. ὡς ὁ Θεολόγος, καὶ ὑμᾶς ἠνέσχεθε.

Ἠνεσχέθην, ἐκ τοῦ χῶ χήσω, ἔχηκα ἔχημαι ἐχήθην. συστολῇ τοῦ η εἰς ε ἐχέθην, μετὰ τῆς ἀνὰ ἀνεχέθην, καὶ ἠνεσχέθην.

Ἠνεσχόμην, ὑπέμεινα. Ἀριστοφάνης, μόλις ἠνεσχόμην. ἐκ τοῦ ἔχον ἰσχόμην ἀορίστου. ἢ ἐκ τοῦ ἀνέχομαι, παρατατικὸς ἠνεσχόμην. κἀγὼ οὐκ ἐξηνεσχόμην.

Ἠνεωγμένος, ἐκ τοῦ ἀνοίγω, μέλλων ἀνοίξω, παρακείμενος ἤνοιχα, καὶ προσλήψει τοῦ ε ἠνέῳχα, ὁ παθητικὸς ἠνέῳγμαι, ἡ μετοχὴ ἠνεῳγμένος.

Ἤν, ἔδα. τὸ τρίτον ἦν, ἦτον, ἤδην, ἦμεν, ἦτε, ἦσαν. ὁ ἡλίκος πρὸς τὸ πηλίκος δεῖξιν τὴν ἀναφοράν. λέγεται δὲ ἀμφότερα ἐπὶ ἡλικίας κυρίως. οἷον πηλίκος δε ἐστιν, ἀντὶ τοσοῦτος τὴν ἡλικίαν. ἀπὸ τινῶν καὶ ἐπὶ μεγέθους ἁπλῶς.

Ἠνώσατο, ὑπερηφάνησεν.

Ἠνήσαμεν, ἠνέσαμεν.

Ἦν δ' Ἑρμᾶς, ἀντὶ τοῦ ἦλθε. τὸ κοινοὶ Δωριεῖς εἰς τὸ ν ξ ἔπεσιν. ἀλλ' ὅταν αὐτῷ τὸ δ' ἢ τὸ τ ἐπιφέρηται, οἷον βέλτιστος, φίλτατος φίντατος, ἦλθεν ἦνθεν.

Ἡνία, ὁ χαλινὸς, ἀπὸ τοῦ ἀνιῶ τὸ λυτῶ, καὶ ἡνία τὰ συνδέοντα καὶ ἑνοῦντα τοὺς ἵππους, ἢ παραχθέντα συγχεῖσθαι λέγεται. κυρίως τοίνυν δὲ ἡ λέξις, τὸ σύγχυτο. ἐπεὶ καὶ ἀντίκειται ἡ σύγχυσις τῇ ἑνώσει, καθ' ἣν τὰ ἡνία λέγεται. διόρθωσις δὲ τοιαύτης συγχύσεως, τοῖς ἰθυνθεῖσιν, ὅθεν φθάσαντος τοῦ παρθόρου, ἰθυνθήν ἡ ξυνωρίς. καὶ τοιοῦτοι μὲν τὰ ἡνία, τὰ δὲ αὐτὰ καθ' ἕτερον λόγον, καὶ ῥυτῆρες κατὰ τὸν ὕστερον. χαλινὸς δὲ δι' ὧν ἐρύονται ἵπποι, ὡς καὶ ἐκεῖ. ὅτι δὲ ὁ παρήορος, καὶ παρήορος λέγεται, δῆλον καὶ αὐτό. Γένοιτο δὲ, ὡς ἡ τῶν ἡνίων σύγχυσις, οὐχ ἡδὺ ἀφωνιασμὸν ποιεῖ. κυρίως γὰρ ἀφωνιάσαι τὸ ζυγομαχῆσαι τοὺς ὑφ' ἅρματι ἵππους, καὶ παραδίδεται ἀπὸ ἡνίων γενέσθαι. κέλης μὲν ἵππος, ἀφηνιάσει, ὅτε τὸν χαλινὸν ἀποπτύσας, ἢ καὶ ἄλλως ἐνδακὼν, ὡς μὴ πείθεσθαι τῷ ἐπιβάτῃ, μεταφέρεται θέων. ἢ ἡνία, καὶ ῥυτῆρες ταυτόν. εἰσὶ δὲ ἱμάντες τοῦ χαλινοῦ, οὓς κατέχουσι ταῖς χερσὶν οἱ ἱππεύοντες. χαλινὸς δὲ τὸ ὅλον, ἰδίως δὲ τὸ ἐν τῷ στόματι τοῦ ἵππου. φάλαρα δὲ τὰ ἐν τῷ μετώπῳ.

Ἡνί, ἀντὶ τοῦ ἰδὲ, Δωρικῶς. ἡνὶ δὲ συμβυλάδια, χηροτρόφα δῶρα μελισσᾶν ἐσμῷ βομβεῦντι, κηκλόσε βεβδόμενα.

Ἠνιάθη, ἐλυπήθη, ἐθλίβη.

Ἡνίαις, χάραις, ἵπποις. ἢ λώροις τῶν χαλινῶν.

Ἡνίας, χαλινοὺς, λώρους.

Ἠνίασεν, ἐλύπησεν, ἐνώχλησεν, ἐλύπησε.

Ἡνία συγκλώσεται, λῶρα πεποιημένα.

Ἠνιγμένος χρησμὸς, ὁ μετὰ αἰνίγματος λεγόμενος, οὐκ αὐτόθεν φανερὸν ἔχων τὸν νοῦν. αὐτὸ δὲ παρ' ὅσον οἱ χρησμοὶ λοξῶς ἐκφέρονται ὑπὸ Ἀπόλλωνος, ἄλλως μετὰ αἰνίγματος, ἀλλὰ μὴ λέγων, ἀλλὰ δὲ δηλῶν.

Ἤνιδε, ἀντὶ τοῦ ἰδέ φασι Δωριεῖς.

Ἡνίκα, ὁπότε, ἢ ὅταν.

Ἠνιμᾶσθαι, καὶ ἀνιμᾶσθαι, ἀντλεῖσθαι, ἀνέλκειν.

Ἦνιν, τὴν ἐνιαυσιαίαν λέγει τοῦ μᾶλλον ἐνὸς ἔτου, κατὰ τροπὴν τοῦ ε εἰς η.

Ἠνιξάμην παρὰ Σοφοκλεῖ, ἀντὶ τοῦ ἐστοχασάμην, περιέκασα, ἢ αἰνιγματωδῶς εἶπον. ἀπὸ τοῦ ἐνίσσω, τοῦ σημαίνοντος τὸ κακολογῶ γίνεται. ἢ ἐκ τοῦ αἰνίσσω, τὸ ἐν παραβολῇ λέγω.

Ἠνίξατο, ὑπεσήμανεν.

Ἡνιοπηΐα, ὄνομα κύριον.

Ἤνιος, στιλπνίς, παρὰ τὸ ἧνις.

Ἡνιοχαρέως, διδάσκαλος ἱππικῆς τῶν νέων. Λάκωνες.

Ἡνιοχεία, ἡ ἁρματηλασία.

Ἡνιοχεὺς, σχηματίζεται παραγώγως, καθὰ καὶ τὸ Αἰθιοπεὺς, καὶ ἡγεμονεὺς αὐτοῦ δὲ καὶ ἐκ τοῦ ἡνιοχέως καὶ ἡγεμονέως παράγονται.

Ἡνιοχεῖν, ἐκ τοῦ ἡνιοχέω γίνεται, πλεονασμῷ τοῦ υ Αἰολικῶς. ὡς καὶ τὸ ζηνὸς ζηνεὺς, παρ' Ἡσιόδῳ, καὶ ὅσα τοιαῦτα. ἐκ δὲ τοῦ ἡνιοχεῖαν, καὶ ἡνιοχεία, καὶ ὁ ἡνιοχεὺς γίνεται.

Ἡνιόχησον, διοίκησον, οἰκονόμησον, κυβέρνησον.

Ἡνίοχος, Πάτροκλος ἡνίοχος ἦν Ἀχιλλέως. Πατρόκλου δὲ Αὐτομέδων, Αὐτομέδοντος δὲ Ἀλκιμέδων.

Ἡνίοχοι λέγονται, οἱ τὰς ἡνίας ἔχοντες. διαφέρουσι δὲ ἡνίοχοι καὶ παραβάται, ὡς Ὅμηρος ἐν τῷ, ὁ μὲν ἡνιόχευεν, ὁ δὲ παρέβασκεν. ἀφ' οὗ καὶ ὁ ἐπὶ τοῦ στρατιωτικοῦ ἅρματος παραβάτης. ὡς ἔοικε παρὰ τοῖς μεθ' Ὅμηρον ὁ ἐν τοῖς γάμοις λεγόμενος πάροχος. φησὶ γὰρ Παυσανίας, ὅτι ἐν γάμοις τρεῖς ἐπὶ ἁμάξης ἐκάθηντο. μέση ἡ νύμφη, ἑκατέρωθεν δὲ ὁ νυμφίος, καὶ ὁ πάροχος, φίλος οὗτος, ἢ συγγενής. ἔνθα σημαντέον ἐπὶ οἷα σημαινομένῳ ὁ πάροχος ἐκεῖτο. οὐ γὰρ ἐπὶ τοῦ νῦν συνήθους, ὅς ἐκ τοῦ παρέχειν γίνεται, ἀλλ' ἐπὶ τοῦ παροχουμένου, καὶ ὡσανεὶ παραβάτου.

Ἡνίοχος καὶ ἡνιοχεὺς, ὡς Αἰθίοψ καὶ Αἰθιοπεὺς κατὰ διφόρησιν. καὶ ἡγεμὼν ἡγεμονεὺς, καὶ πομπὸς πομπεὺς. δύναται δὲ ὁ ἡνιοχεὺς, καὶ ἐκ τοῦ ἡνιοχεῖν εἶναι, ὅθεν καὶ ἡνιοχεία, οὕτω καὶ ἐκ τοῦ ἡγεμονεύω ἡγεμονεύσω, ὁ ἡγεμονεὺς. καὶ ὁ πομπεὺς, ἐκ τοῦ πομπεύω, πομπεύσω. ἀφ' οὗ ῥήματος, καὶ τὰ παρ' Ἀττικοῖς πομπεῖα σκεύη, τὰ χρήσιμα ἐν Δημοσίοις πομπαῖς.

Ἠνίπαπε μύθῳ, ἤγουν ἐπέπληξε μύθῳ, ἔνθα παρέλκει τὸ, μύθῳ. ὅπερ αὐτὸ χρῆμα ἐνίπτειν, ἔστι τὸ ἔπεσιν ἐπιπλήττειν. καὶ ἄλλως δὲ ἐνίπτειν, μή με θυμὸν ἔνιπτε. ὁμοίως ἐστὶ τῷ, τί δέ σε θυμὸν ἵκετο πένθος. λέγεται καὶ ἐνίπτειν, ἐπὶ τοῦ ἁπλῶς λέγειν. γίνεται δὲ, ἀπὸ τοῦ ἐνίπω, ἐνίπτω. ἐκεῖ δὲ ὁ μέσος παρακείμενος ἤνιπα, τὸ τρίτον ἤνιπε, καὶ κατὰ ἀναδιπλασιασμὸν τῶν γραμμάτων ἠνίπαπεν, ἀντὶ τοῦ ὕβρισεν, ἐλοιδόρησεν, ἐκακολόγησεν.

Ἤνις βοῦς, ἤγουν ἐνιαυσία. γίνεται δὲ ἦνις, ἀπὸ τοῦ ἔνος, ὅ ἐστιν ἐνιαυτοῦ. ἡ δὲ γενικὴ ἤνιδος, καὶ Ἰωνικῶς ἤνιος. ἡ πληθυντικὴ αἰτιατικὴ ἤνιας, καὶ κράσει ἦνις.

Ἠνείχοντο, ἐβούλοντο, ἤθελον. Δαμάσκιος, οὔτε ἐπαγγελλῶν ἠνείχοντο τοῖς εἰρημένοις.

Ἦν κατεργάσῃ, ἐὰν διαπράξῃς. ὅπερ αὐτοῖς ἐπηγγέλλω.

Ἤνοιγεν, ἐχάλασεν.

Ἦνον, ἤνυεν. Ὅμηρος, ἔνθα δ' ἔπειτα ἦνον ὁδὸν, καὶ ἦνον ὁδὸν, ἤγουν ἤνυον, ἐκ τοῦ ἄνω. καὶ ἦνον ἐκ τοῦ ἄνω ῥήματος. ἐξ οὗ ἐν τῇ πρώτῃ Ῥαψῳδίᾳ, τὸ πολλὰ καπίνεται, πλὴν ὅσον ἐκεῖνο μὲν τὸ κατεδαπανᾶν δηλοῖ, καὶ εἰς ὄλεθρον τελειοῦν, καθ' ὁμοιότητα τοῦ κα-

σαφα-

Digitized by Google

παραγεῖν, κἀκεῖθεν εἰς ὄλεθρον ἐνόμιν.
Ἤνοισαι, προσλείχθη, προσλώκεται.
Ἤνοπα, λαμπρὸν πάνυ, ἔνιοι ἄφωνον καὶ ὀνομαζόμενον.
Ἠνορέη, αὕτη ἔχει τὸ κατὰ παραγωγὴν σχημάτισμα, ἦνωρ ἤνορος ἄρρητον ὄνομα, ἐξ οὗ ἀντιάνωρ, καὶ ῥηξήνωρ, καὶ ἀγήνωρ. ἐκεῖθεν δὲ κτητικὸν ἠνόρεος. καὶ ἀποβολῇ τοῦ ι, ἠνόρεος. τὸ θηλυκὸν ἠνορέη, ἰσχὺς ἡ τοῦ ἀνέρος. καὶ κατὰ ἔλλειψιν ὁμοίαν τῷ λυκέη, καὶ παρδαλέη. καὶ τοῖς ποιηταῖς, ἀνορέη ἁπλῶς ἡ ἀνδρεία. ἡ ἠνορέη, ἡ ἀνδρεία. ἦνωρ ἤνορος, ἡ ἀλήθεια, ἄρρητος. ὅθεν καὶ ἠνόρεος κτητικὸν, ἐξ οὗ ἠνορέη ἡ ἀνδρεία.
Ἤνται, κάθηνται.
Ἤνορον, ἦλθον.
Ἦνοψ, ὁ λαμπρὸς, οὐρανὸς ἦνοψ. καὶ ἤνοπα πυρὸν ἔδυσιν, ὅ ἐστι σῖτον.
Ἦν ῥα, ἥν τινα δή.
Ἤνυτο, ἀντὶ τοῦ ἀπλῶσαι, καὶ ὑπέκειτο, ἐκ τοῦ ἄνω τοῦ ἀντέρωμαι, ἠνυόμην ἤνυτο. ἢ ἐκ τοῦ ἔω τοῦ ἐνδύομαι. ἢ ὑπάρχω, παράγωγον εἶμι. ὁ μέλλων ἔσω, ὁ δεύτερος ἀόριστος ἦν, ὁ μέσος ἠμὴν ἔσεῖτο. τὸ τρίτον μετὰ τοῦ ε, ἔνυτο. πλεονασμῷ τοῦ τ, καὶ ἐκτάσει ἤνυτο. ἢ ἤνυτο, ἐκ τοῦ ἄνυμαι βαρυτόνου, καὶ ἀνύμενος. οἱ μέντοι μεθ' Ὅμηρον περισπῶσιν, ὡς τὸ βοῶσιν ἀνταίω αὐτοῦ, ἤνυτο, καὶ τὸ ἀνύσω. τὸ μὲν ἄνω τὸ θέμα, οὗ μᾶλλον οὐχ εὕρηται. τὸ δὲ ἀνῶ, ὡς βοῶ.
Ἤνυσιν, ἀπλώσειν, ἱκέτευσι. Θουκυδίδης δὲ ἠντιώμεθα, ἐπὶ τοῦ ἐναντιώμεθα.
Ἤνωπτο, συνώπησεν ἀπώπησεν.
Ἠντιβόλει, ἱκέτευεν, ἐδεῖτο, ἐλιπάρει.
Ἤν τινα τρόπον, οἱ μεθ' Ὅμηρον ὅπως φασίν. αὐτὸ δὲ ὅτι ἀντὶ τοῦ ὅπως λαμβάνεται, προδεδήλωται.
Ἠντιάσας, συναντήσας, ἀπαντήσας.
Ἤν τινα, ἐάν τινα.
Ἧντο, ἐκαθέζετο.
Ἤνυσα τὴν ὁδὸν ἁπλῶς, ἀντὶ τοῦ ἐπλήρωσα. κατήνυσα δὲ εἰς λιμένα, ἢ εἰς καταγώγιον. ὁμοίως τῷ κατάγομαι, καὶ καταίρω.
Ἤνυσα, πεπόρευμαι.
Ἠνύσατε, ἐφθείρατε. καὶ Ὅμηρος, ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας. καὶ Σοφοκλῆς, ἤνυσατ' ἐκτοπίαν φλόγα πήματος. ἐκτοπίαν δὲ ἀντὶ τοῦ ξένην, καὶ ἀκόλαστον, ἀντὶ τοῦ ἐκτοπίαν γενέσθαι.
Ἤνυσε φλὸξ, ἀντὶ τοῦ ἔκαυσεν, ἐπλείωσεν. λέξις δὲ οὐ ποιητικὴ μὲν, κυριωτάτη δὲ, καὶ ἤνυσεν, ἐπέρανεν, ἐπέρασεν, ἐτέλεσεν, ἔκτεινεν, κατέβαλεν.
Ἤνυστρον, τὰ μηρυκάζοντα τῶν ζώων τρεῖς κοιλίας ἔχει, κεκρύφαλον, ἤνυστρον, ἐχῖνον. μηρυκάζει δὲ, ὅταν μὴ τροφῆς παρακειμένης ἀναπεμπάζῃ τὴν ἐν τῇ κοιλίᾳ τροφὴν, καὶ κινῇ τὸ στόμα, ὥσπερ αἲξ, καὶ πρόβατον, καὶ κάμηλος, καὶ βοῦς. ἢ ἤνυστρον, τὸ παχὺ μέρος τῆς κοιλίας, ἐν ἐντέρῳ. εἰς τρία γὰρ τέτμηται ἡ γαστὴρ, ἤνυστρον, ἐχῖνον, κεκρύφαλον. ἐγὼ δ' ἤνυστρον βοὸς, καὶ κοιλίαν ὑείαν καταβροχθίσας. ἤνυστρον, ὅθεν διανύεται ἡ τροφὴ, ἤγουν διέρχεται, ἢ ἔνθα ἀνύεται καὶ πέττεται. λέγει δὲ καὶ ὁ Ψελλὸς, ἠρδαλώμενος ὁ λεπτὸς, ἤνυστρον δὲ τὸ κῶλον. καὶ πάλιν ἐχῖνος δὲ καὶ ἤνυστρον, καὶ κεκρύφαλον, μέρη ὁμοῦ γαστρὸς πεφύκασι. ταῦτα δὴ τρία μόνα. ἢ ἤνυστρον λέγε, ἀλλὰ μὴ ἔνυστρον.
Ἤνυτον, ἤνυον, ἐτέλουν.
Ἠνώγεα, ἐκέλευον.
Ἠνώχλησα, ἐβιασάμην.
Ἦνωρ, ἄρχων, εἰσέλευσις παρουσία.
Ἠνῶσθαι, συνῆφθαι.

ΤΟ Η. ΜΕΤΑ ΤΟΥ Ξ.

Ἦξαν, ἀντὶ τοῦ ὥρμησαν. παρὰ τὸ ἀίσσω. τὸ ὁρμῶ, μέλλων ἀίξω, ἀόριστος ἦξα.
Ἧξε, παρεγίνετο.
Ἥξει, ἐλεύσεται. ἐκ τοῦ ἥκω, μέλλων ἥξω.
Ἠξίωσεν ναίειν, ἄξιον ἡγήσατο οἰκεῖν.
Ἠξίωτο, ἐπεπίστευτο. ἐπεὶ δὲ συμμαχικῶν χρημάτων ἠξίωτο. ταῦτα μὲν ἀφῃρέθη, αὐτὸς δὲ ἀνεπέμφθη παρὰ τὸ ἔθνος τῶν Ἰαζύγων.
Ἠοίας, τὰς πρωίας.
Ἠ ὁδὸν, ἢ ἐπὶ ὁδὸν, ἢ εἰς ἔνεδραν.
Ἤ οἱ, οἵτινες ἀληθῶς.
Ἠοῖ, τῇ ἡμέρᾳ.
Ἠοίην, τὸν Ἄδωνιν, Πανύασις.
Ἠοίην πᾶσαν μένομεν, ἠοίην λέγει τὴν ἀπὸ πρωίας, ἕως ἕκτης ὥρας τῆς ἡμέρας.
Ἤομεν, γίνεται ἀπὸ τοῦ εἴω, εἴομεν παρατατικοῦ, καὶ ἐν συναιρέσει ἤομεν. ἢ ἤομεν, ἐπορεύθημεν. Ὅμηρος, ἤομεν ὡς ἐκέλευσας. ἀπὸ τοῦ εἴω τὸ πορεύομαι, Δωρικῶς, τροπῇ τῆς διφθόγγου εἰς η.
Ἠόνα, αἰγιαλόν. ἠὼν ἠόνος ἠόνα, ἀπὸ τοῦ αἰονῶ τὸ βρέχω.
Ἠόνητο, ἐλέλυτο, καὶ ἐνεπλεῖτο.
Ἠόνησας, κατήντλησας.
Ἦον κοινῶς, ἐὸν Ἰωνικῶς λέγομεν, ὅθεν ἦος ἦε. τὸ δὲ ἦον, ἐπὶ πρώτου προσώπου ἐξαιρέσει τοῦ ο, ἦν γίνεται. τὸ ὁμόφωνον τὸ ἦν ἐκεῖνος, ἀφ' οὗ Δωρικῶς Ἡσίοδος ἔφη, τῶν δ' ἦν τρεῖς κεφαλαί. τὸ δὲ τοιοῦτον Ἡσιόδειον ἦν, ποιεῖ τὸ ἦσαν, προσθέσει τοῦ σ, καὶ τοῦ α. ὃ δὴ καὶ οἱ τῇ Ἀσιανῇ χρώμενοι φωνῇ ποιοῦσι, τὸ ἔφυγον καὶ ἦλθον, παρενθέσει τῆς σα συλλαβῆς ἐφύγοσαν καὶ ἤλθοσαν λέγοντες.
Ἠονημένος, βεβρεγμένος.
Ἡ ὄμφαξ, ἡ βῶλος. θηλυκῶς δέον, οὐκ ἀρσενικῶς.
Ἠοῦς, ἡμέρας. Ἀττικῶς ἡ ἠὼς, τῆς ἠῶος καὶ ἠοῦς.
Ἠπανία, ἀπορία, σπάνις, ἀμηχανία, ὡς κόνις κονία.
Ἠπάτηνται, πεπλάνηνται.
Ἧπαρ, ὄργανον ἐξ αἱματώσεως τροφῶν, παρὰ τὸ ἐπῆρθαι καὶ κυρτοῦσθαι. τινὲς δὲ παρὰ τὸ ἐπαρδεύειν ὅλῳ τῷ σώματι τὸ αἷμα. ὁ δὲ Ἡρωδιανὸς, παρὰ τὸ ἐπαίρεσθαί φησιν. οἷον ἐπάρτιον, καὶ ἧπαρ. ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι, ἧδαρ καὶ ἧπαρ. ἐν γὰρ τούτῳ τῷ μέρει, τὸ τῆς ἡδονῆς καὶ τῆς ἐπιθυμίας ἔγκειται. οὕτως Ὦρος ὁ Μιλήσιος.
Ἧπαρ, ἔξω τοῦ σπλάγχνου, ἡ βαθύγειος γῆ. καὶ ἧπαρ, ἀλήθεια.
Ἡπατοσκοπία, ἡ τῶν ἐγκάτων ἀνατομὴ, δι' ὧν προεμήνυον τὰ συμβησόμενα. ἀνατέμνοντες γὰρ, σημεῖά τινα ἐθεώρουν ἐν τοῖς ἐγκάτοις.
Ἡπατικὸς, ὁ τὸ ἧπαρ πάσχων.
* Ἥπατος ζύμωσις, οἰδηματώδης ὄγκος.
Ἤπαφεν, ἠπάτησεν.
Ἠπέδιζεν, ὡμάλιζεν, ἐδαφίζειν, καὶ ἠπέδιζον. ἄπεδα γὰρ τὰ ἰσόπεδα. Κλείδημος, καὶ ἠπέδιζον τὴν ἀκρόπολιν, περιέβαλλον δὲ ἐννεάπυλον τὸ πελασγικόν.
Ἠπεδανὸς, ἀσθενὴς, ἢ ἄτεχνος. οἱονεὶ, ἀπεδανὸς, ὁ μὴ δυνάμενος δι' ὑπερβολὴν ἀσθενείας, ἐν τῷ πεδίῳ, ὅ ἐστιν ἐν τῷ ἐδάφει στῆναι. ἔμπεδος γὰρ λέγεται, ὁ ἐν τῷ πεδίῳ δι' ἰσχὺν ἑστὼς βεβαίως.
Ἠπείθησαν, οὐκ ἐπείσθησαν.
Ἠπείθησεν, ἀντεῖπεν.
Ἠπειγμένως, συντόμως, σπευδόντως.
Ἠπείλησας, ἀντὶ τοῦ ἐκαυχήσω. καὶ ἔστι συγγενὲς τῷ ἀπειλῆσαι, ὃ δηλοῖ τὸ εὔξασθαι. καθότι καὶ τὸ εὔξασθαι πολλάκις, ἀντὶ τοῦ καυχήσασθαι λέγεται.
Ἠπείλησαν, λέγεται μέν ποτε καὶ παθητικῶς. δηλοῖ δὲ οἱ παλαιοί φασι, πολιτικὴν ἡμερότητα. ἑλληνικὸν γάρ φασι τὸ μὴ φόνον φόνῳ λύειν, φυγαδεύειν δὲ τὸν ἅπαντα χρόνον.
Ἠπείροιο μελαίνης, τῆς Ἀκαρνανίας.
Ἤπειρος, ὅτι ἐλέγετο ἡ περαία τῆς Ἰθάκης, καὶ τῆς ὑπὸ τῷ Ὀδυσσεῖ Κεφαλληνίας, ὡμολόγηται ἀλλαχοῦ.
Ἤπειρος, ἡ γῆ. καὶ ἠπειρώτης, ὁ ἐπὶ ξηρᾶς τὴν διατριβὴν ποιούμενος. τοῦτο ἐπὶ τῆς ξηρᾶς, ὅπερ ὁ θαλάσσιος ἐπὶ θαλάσσης. καὶ ἤπειρος ποιητικῶς, πᾶσα ἡ γῆ. ἤπειρος δὲ, ἀντιδιαστέλλεται πρὸς νῆσον, ὡς ξηρά. ἡ χέρσος πρὸς ὑγράν, καὶ γῆ πρὸς θάλασσαν.
Ἠπειρώσας, ἀντὶ τοῦ ἤπειρον ἐργασάμενος.
Ἠπειρῶται, οἱ ἐν τῇ γῇ οἰκοῦντες.
Ἧπερ, ἀντὶ τοῦ ὥσπερ. Ἀριστοφάνης. ἀλλ' ἧπερ αὐτὸς τὴν δίκην διῄρισω, θὲς δεῦρο τἀπίξηνον.
Ἠπεργαία Ἄρτεμις, τάσσεται ἐπὶ τῶν ἀγυρτῶν, καὶ πλανητῶν, παρ' ὅσον ἡ Θεὸς αὕτη νομίζεται ἀγυρτεύειν ἀεὶ, καὶ πλανᾶσθαι.
Ἠπεροπεύειν, ἐξαπατᾷν, παραλογίζεσθαι, καὶ τὰ τούτοις ἐπακολουθοῦντα. Ἀριστοφάνης, σὸν ἔργον ἐστὶ ταῦτ' ὅπως καὶ τρίψεις. οὐκ ἐξηπεροπεύειν, καὶ πάνθ' ὑπέχειν. πλὴν ὧν συνοίδεν ἡ κύλιξ, περὶ κινήσιος φησίν.
Ἠπεροπευτὴς, ὁ ἀπατεὼν, καὶ ἠπεροπῆες.
Ἧπερ οὖν, ὥσπερ, καθάπερ.
Ἠπεροπεύσας, παραλογισάμενος.
Ἤπετο, ἠκολούθει.
Ἠπέφαται, ἠπεφόνευται.
Ἠπηλὸς συρακούσιοι λέγοντες, ἁμαρτάνουσιν, Φρύνιχος.
Ἤπημε, ἄρα με, ἢ πού με.
Ἠπημένων, ἐπαίνου τυχόντων. ὁ δὲ ἐκέλευε παρὰ τῷ ἠπημένῳ, πλείονα μισθὸν κομίζεσθαι.
Ἠπήτρια, ῥάπτρια. καὶ ἠπήτριον τὸ σουβλίον, μεθ' οὗ ῥάπτουσι τὰ βυρσάρια. οἱ δὲ Ἀττικοὶ, ἀκέστριαν λέγουσι τὴν ῥάπτριαν.
Ἠπητὴς, ὁ ῥάπτης.
Ἠπῆσθαι, ἐρράφθαι. τὸ θέμα, ἠπῶ τὸ ῥάπτω. καὶ τὸ ἀπαρέμφατον, ἠπῆσθαι.
Ἤπια, πραέα, προσηνῆ, μαλθακά, ἥμερα, χρηστά.
Ἠπίαλος κυρίως, ὁ μετὰ ῥίγους πυρετός.
Ἠπιαλῶν παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ῥιγοπυρέτῳ περιπεσών. ἠπίαλος, τὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης νεφέλαις, καὶ θεσμοφοριαζούσαις. ἅμα δὲ ἠπίαλος πυρετοῦ πρόδρομος. Δίδυμος δέ φησι, δαίμων, ὃν ἠπιάλην, καὶ τίφην, καὶ εὐόπαν καλοῦσιν. ἄλλως, τοὺς βλάπτοντας τὴν πόλιν λέγει ἠπιάλους, καὶ πυρετούς. ταῦτα γὰρ εἴδη πυρετῶν, ὥσπερ οὗτοι βλάπτουσι τὰ σώματα, οὕτω καὶ οὗτοι τὴν πόλιν.
Ἠπιάργυρον, τὸ βάλσαμον.
Ἠπιήθη, ἐσαπηνώθη.
Ἠπιόδωρος, οἰκεῖον ἐπίθετον ἀγαθῇ μητρί. ὁποία καὶ ἡ Ἑκάβη. ἔχει δὲ Ὁμηρικὸν οὕτω. ἔνθα οἱ ἠπιόδωρος ἐναντίη ἤλθε μήτηρ. ἰατροῖς δὲ καὶ τοῖς κατ' αὐτοὺς πρέπουσα ἡ τοῦ ἠπίου λέξις, ὡς καὶ ἡ τοῦ Ἀσκληπιοῦ δηλοῖ σύνθεσις, καὶ τὸ ἐπὶ τ' ἤπια φάρμακα πάσσειν. καὶ τὸ ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι. καὶ ἠπιόδωρος, ὁ ἤπια καὶ προσηνῆ δωρούμενος, χρηστὴν μετὰ τροφήν.
Ἠπιόνη, γυνὴ Ἀσκληπιοῦ. καὶ θυγάτηρ αὐτῆς, ὑγεία, αἴγλη, ἰασὼ, ἀκεσὼ, πανάκεια.
Ἤπιος, πρᾶος, ἢ λιπαρός. καὶ ἠπιώτατος, καὶ ἤπιος ὁ Ἀσκληπιὸς, ἢ ἀπὸ τῶν τρόπων, ἢ ἀπὸ τῆς τέχνης, καὶ τῆς τῶν χειρῶν ἠπιότητος.
Ἠπιόλιον, ῥιγοπυρέτιον.
Ἤπιον, προσηνὲς, πρᾶον, ἥσυχον, μαλθακὸν, ἐπιεικῆ, ἥμερον.
Ἠπιστάμην, ἠδυνάμην ἰδεῖν.
Ἠπίστησεν, ἠπείθησεν, οὐκ ἐπίσθη.
Ἠπίστιδες, ἐπίπεδες.
Ἠπίτριπτος, ἡ ἀξία τοῦ ἐπιτριβῆναι, ἢ ἡ μεγάλα φθεγγομένη. Ἀριστοφάνης πλούτῳ περὶ τῆς πενίας, αὕτη μὲν ἡμῖν ἡ 'πίτριπτος εἴχεται.
Ἤπλακεν, ἥμαρτεν.
Ἡ πληθὺς, ἡ ἐν τῷ πλήθει, ἢ πλῆθος.
Ἧ ποδῶν εἶχεν ἕκαστος ἔθεον, ἀντὶ τοῦ ὡς εἶχον δυνάμεως.
Ἧ πολλοῦ γε δεῖ, ἀντὶ τοῦ οὐδὲ ὅλως.
Ἠπόμην, ἀντὶ τοῦ ἠκολούθουν. ἐκ τοῦ ἕπομαι, παρατατικὸς ἠπόμην.
Ἠπόρει, ἀμηχάνει. παρατατικὸς, ἐκ τοῦ ἀπορέω, ἠπόρουν, εις, ει.
Ἦπου γε, πολλῷ πλέον.
Ἦπου, ἴσως σχεδὸν, πολλῷ πλέον.
Ἦπου δὲ, ἀντὶ τοῦ ἄρα. ἦπου λέγεται καὶ ἀντὶ τοῦ ἴσως. ὡς ἐνταῦθα, καὶ παρὰ Λιβανίῳ. ἦπου σοί τε καὶ τοῖς γνωρίμοις γίγνονται λόγοι. λέγεται δὲ καὶ ἐν εἰρωνείᾳ, ἀντὶ τοῦ οὐδαμῶς.
Ἠπύειν, τὸ βοᾶν, ἀπὸ τοῦ ἀπύω, τρέπεται τὸ α εἰς η. ἢ ἠπύει, φωνεῖ, παρὰ τὸ ἔπω, ἐπύω, καὶ ἠπύω. ἐκ τούτου ἠπύτης, ὁ μεγαλόφωνος. καὶ ἠπύειν, οὐ μόνον ἐπὶ ἀνθρώπων, ὅθεν καὶ ἠπύτα κῆρυξ, ἀλλὰ καὶ ἐπὶ ἀνέμου παρ' Ὁμήρῳ. εἴρηται

Digitized by Google

καὶ ἐπὶ πολέμου, ὡς ἐστι νοεῖν ἐκ τοῦ βρέμοντος.

Ἠπύτης, φωνητικός. ἠπύτης κῆρυξ, ἐκ τοῦ ἀπύω τὸ φωνῶ.

Ἤπυσεν, ἤχησεν, ἐσάλπισεν.

Ἠπυτίδης, ἀνεψιαδοῦς.

Ἤπυτον, ὄρος Θράκης, ἀπὸ τοῦ ἀπύω.

Ἠπύτα κῆρυξ, ὅ ἐστι φωνητικός, οὗτος ἐστὶν ἐτυμολογικός. κῆρυξ τε γὰρ ἀπὸ τοῦ γηρύειν λέγεται, ὅ ἐστι φωνεῖν. καὶ ἠπύτης ἀπὸ τοῦ ἠπύειν. ἐπὶ λογικῶν δὲ μόνων τὸ ἠπύειν, ὡς καὶ τὸ αὐδᾶν καὶ ἐνέπειν, ὅ ἐστι λέγειν. ἐξ οὗ τὸ ἠπύειν, καὶ Δωρικῶς ἀπύειν. ἐκ τοῦ ἠπύειν, καὶ ὁ βρέμοντος Ἄρης, καὶ ὄρος Θρακικὸν Ἤπυτον, ἔνθα φασὶ Πρωτεὺς ἀναβὰς θρηνηθέντων τῶν παίδων, ἤπυε θεοῖς, ἀποκατασταθῆναι εἰς Αἴγυπτον. καθὰ δὲ ἱππότης ἱππότα, ἱππηλάτης, ἱππηλάτα, οὕτω καὶ ἠπύτης ἠπύτα.

ΤΟ Η ΜΕΤΑ ΤΟΥ Ρ.

Ἦρ, ὁ ὄρθρος, ἐκ τοῦ ἔαρ ἡ ἀρχιγένεια γίνεται.

Ἤρ, ὄνομα ἑβραϊκόν.

Ἥρα, εἰς βασιλείαν μεταλαμβάνεται. ὅθεν καὶ ἡραία ζωή, ἡ βασιλική. δῆλον δὲ ἐκ τῶν μύθων, ὅτι τὴν Ἥραν αἰδᾶσι δοτεῖραν εἶδους καὶ πινυτότητος. εἰ καὶ ἄλλως κοινότερον Ἀθηνᾶ τοῖς πινυτοῖς ἐπιστατεῖ. Ἄρτεμιν δὲ μεγέθους τοῦ κατὰ γυναῖκας, Ἀθηνᾶν δὲ ταῖς γυναικείαις ἐφιστᾶσι τέχναις. Ἀφροδίτην δὲ, γάμοις. εἰ καὶ ἑτέρως Ἥρα γάμων ἐπιστατεῖν λέγεται. μυθικῶς δὲ Ἥρα καὶ Ἅδης βάλλονται. ἡ μὲν ἐν Πύλῳ συμμαχοῦσα τῷ Νηλεῖ κατὰ τοῦ Ἡρακλέους, ὅτε καὶ τὴν Πύλον ἐκεῖνος ἐπόρθησε φυγαδεύοντος, ἢ καὶ ἄλλως τρεφομένου παιδὸς ἐν Γερηνίοις τοῦ Νέστορος. ὁ δὲ Ἅδης κάτω ὑπὸ γῆν, ὅτε παραχωρηθεὶς ὁ ῥηθεὶς Ἡρακλῆς, ὑπὸ πλούτωνος ἀνευ ἀσπίδος καὶ σιδήρου χειρώσασθαι, εἰ οἷος τέ ἐστι τὸν Κέρβερον, αὐτὸς τῇ μὲν λεοντῇ ἀντὶ ἀσπίδος χρησάμενος, τοῖς δὲ βέλεσι λιθίνας ἐναρμόσας ἀκίδας, ὁποῖαι πολλαχοῦ ἱστοροῦνται, τὸν κύνα κατηγωνίσατο. μετὰ δὲ τὴν νίκην ἐναντιούμενον τὸν Ἅδην κατετόξευσε, καὶ οὕτω τὸν Κέρβερον ἀνήγαγε. καὶ σημείωσαι, ὅτι οὐκ οἶδεν ἐνταῦθα Ὅμηρος τὸν Ἡρακλέα ῥοπάλῳ χρώμενον, ἀλλὰ τόξοις ἀνδραγαθοῦντα.

Ἥρα, ὁ ἀήρ. καὶ ἐπεὶ ὁ ἀὴρ καθαίρει τὸ εἴδωλον αὐτῆς, ἀντιβαστάζει ψαλίδα χαλκῆν. ἀπὸ μεταφορᾶς τῆς κειρούσης ψαλίδος τὰς τρίχας, καὶ καθαρὸν ἀποδεικνυούσης τὸ σῶμα.

Ἦρα, ἐπεθύμει, ἐγλίχετο, ἐρωτικῶς εἶχεν. ὁ δὲ Ἀβραὰμ ἦρα ῥωμαϊκῆς παρατάξεως, ἀεὶ πως αὐτῷ γελᾶν τὴν τύχην οἰόμενος. αἰσχρᾶς τινος ἦρα καὶ κακοτρόπου δούλης, Βάβριος. καὶ αὖθις, ἦρα νεκρὸν ἰδεῖν βάρβαρον, καὶ ὑπ' ἄλλου πεφονευμένον.

Ἦρα θυμῷ φέροντες, ἀντὶ τοῦ χαριζόμενοι. σημειωτέον δὲ, ὅτι ἦρα τὴν χάριν λέγει, καὶ τὸ ἐραστόν, καὶ ὅτι ἐκ τοῦ ἦρ ἡ χάρις, ἡ τοιαύτη λέξις οὐ γίνεται, ἀλλὰ μᾶλλον ἐκ τοῦ ἐρῶ τὸ ἐπιθυμῶ. ἵνα ᾖ, ὥσπερ ἐκ τοῦ κόπτω καὶ ξέω καὶ τύπτω, κόπανα ἢ ξόανα. καὶ τύπανα, οὕτω καὶ ἐκ τοῦ ἐρῶ ἤρανα. καὶ κατὰ ἀποκοπὴν ἦρα. Ἄλλως.

Ἦρα φέρειν, ὅ ἐστι χάριν. ὅπερ ἐπίηρα φασιν οἱ ὕστερον, γίνεται δὲ τὸ ἦρα κατὰ τοὺς παλαιοὺς, ἀπὸ τοῦ ἐρῶ ἤρανον, τὸ ἐπιθυμητόν, ὡς κόπτω κόπανον. τὸ πληθυντικὸν ἤρανα, καὶ ἀποκοπῇ ἦρα.

Ἦρα φέρουσιν ἐφ' ἡμῖν, ἤγουν χάριν ἡμῖν ἔχουσι, κεχαρισμένοι εἰσὶν ἡμῖν.

Ἤραθεν, παρὰ τὴν ἔραν γίνεται ἔραθεν. καὶ κατ' ἔκτασιν ἤραθεν.

Ἡραία, ἄκρα οὕτω λεγομένη κατ' ἀντικρὺ Χαλκηδόνος. αὐτὴν δὲ ἐν τῇ συνηθείᾳ ἱερείαν φασὶ κακῶς. ἄλλοι δὲ ἥρειον μυθοποιοῦντες, ὡς ἐκεῖσε ὀρύξαντες τάφρους, χύτρας, εὗρον καὶ ὀστᾶ. πιστέον δὲ μᾶλλον τῷ Βιθυνῷ Δημοσθένους, ἐν τῷ τετάρτῳ βιβλίῳ. ἔστι δὲ προπάροιθεν κλυτῆς Χαλκηδόνος ἄκρη ἡραίη. φηίνς καὶ ἰδὼν βαθυδινέα πάντῃ ἔμμεναι. εἰαμενὴ δὲ, καὶ ἡ βαθείας ἐστὶ θαλάσσης. ἔνθα θοὰς νῆας ἦγον, οἰόμενοι σκέπας εἶναι αὐτοφυοῦς ὅρμοιο, κακῶν δ' ἐνέκυρσα ἐσοίμως.

Ἡραία πόλις, ἃ καὶ ἑκατόμβαια καλεῖται. τελεῖται κατὰ τὸ Ἄργος ἑκατόμβαια, παρὰ τὸ ἑκατὸν βοῦς θύεσθαι τῇ θεῷ. τὸ δὲ ἔπαθλον, ἀσπὶς χαλκῆ. ὁ δὲ στέφανος, ἐκ μυρσίνης. Ἄλλως. ἐν τῷ Ἄργει ἐν τῷ τῶν ἑκατομβαίων ἀγῶνι, χαλκὸς τὸ ἆθλον δίδοται. ὅτι Ἀρχῖνος γενόμενος ἀργείων βασιλεὺς, ὃς καὶ ἀγῶνα πρῶτος συνεστήσατο, ταχθεὶς ἐπὶ τῆς τῶν ὅπλων κατασκευῆς, ἀπὸ τούτων καὶ τὴν τῶν ὅπλων δόσιν ἐποιήσατο. ἑκατόμβαια δὲ ὁ ἀγὼν λέγεται, ὅτι πομπῇ μεγάλῃ προηγοῦνται βόες ἑκατόν. οὓς νόμος κρεανομεῖσθαι πᾶσι τοῖς πολίταις. τὸ δὲ σημεῖον, ὅτι ἑκατόμβαια λέγει τὰ ἐν Ἄργει, Πίνδαρος νενικηκέναι μάλιστα τὸν Διαγόραν.

Ἡραῖον τεῖχος, Δημοσθένους φιλιππικοῖς. χωρίον ἐστὶν ἐν Θράκῃ οὕτως ὀνομαζόμενον. ὑπὸ Σαμίων δὲ ᾠκίσθη, ὥς φησι Διονύσιος ἐν πέμπτῳ κτίσεως. καὶ ἡραῖον, ὁ τῆς Ἥρας ναός.

Ἡρακλέα, ὡσαύτως δὲ καὶ Θεμιστοκλέα, καὶ Περικλέα. καὶ ὅσα τοιαῦτα, ἐκτείνων τὴν τελευταίαν συλλαβὴν λέγε Ἡρακλῆ. χωρὶς τοῦ ν, καὶ Θεμιστοκλῆ, ἀλλὰ μὴ Ἡρακλῆν, Θεμιστοκλῆν, Περικλῆν.

Ἡρακλέα, ὅτι φασὶ μονομαχῆσαι τῷ Ἀχελώῳ. ἔχει δὲ οὕτως. Ἀχελῷος μεταξὺ ῥέων Αἰτωλῶν καὶ Κουρήτων, πολλὰ τῆς χώρας ἀποτέμνεται. ποτὲ μὲν τούτοις, ποτὲ δὲ ἐκείνοις προστιθείς. ἐφ' ᾧ καὶ νεῖκος ἦν ἑκατέροις. Ἡρακλῆς οὖν ἐλθὼν, καὶ τὸν ποταμὸν περικλείσας, εἰς ἓν ῥέεθρον καὶ μίαν ἐκβολήν. ἀπέδωκε τοῖς Αἰτωλοῖς τὴν ἑαυτῶν γῆν, καὶ τὴν Οἰνέως Δηϊάνειραν ἔλαβεν.

Ἡρακλεία λίθος, ἡ μαγνῆτις, ἡ ἑλκυστικὴ τοῦ σιδήρου. ἡ δὲ μαγνῆτις, ὁμοία ἀργύρῳ ἐστίν.

* Ἡρακλεία νόσος ἡ ἐπιληψία, παρ' Ἱπποκράτει, κατά τινας ἡ μανία, διὰ τὸ ἰσχυρὸν τοῦ νοσήματος καὶ δυσκαταμάχητον.

Ἡράκλεια λουτρά, Ἴβυκός φησι τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι Ἡρακλεῖ, λουτρὰ θερμῶν ὑδάτων. ἐξ ὧν τὰ θερμά τινές φασιν ἡράκλεια γίνεσθαι. οἱ δέ φασιν, ὅτι τῷ Ἡρακλεῖ μογήσαντι, ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ ἐπαφῆκεν, ὡς Πείσανδρος, κατὰ τὴν Ἡράκλειαν, ἣν Ἀχερούσιον καλοῦσιν οἱ ἐγχώριοι. Ἡρόδωρος δὲ καὶ Εὐφορίων, ἐν τῷ ξενίῳ φασὶ τὸν Κέρβερον ἀνῆχθαι ὑπὸ Ἡρακλέους, καὶ ἐμέσαι χολήν, ἐξ ἧς φυῆναι τὸ καλούμενον ἀκόνιτον φάρμακον.

Ἡράκλεις, ἐπίφθεγμα θαυμαστικόν, ἀντὶ τοῦ ὢ τοῦ θαύματος.

Ἡρακλῆς γήμας Δηϊάνειραν τὴν Οἰνέως θυγατέρα, καὶ διάγων ἐν Καλυδῶνι, ἐν συμποσίῳ κύαθον ᾔτει, τὸν Οἰνέως οἰνοχόον. Ἀρχιτέλους δὲ παῖδα πλήξας κονδύλῳ, ἀνεῖλεν, ὅτι αὐτῷ τὸ ποδόνιπτρα ὕδατα ἀγνοῶν ἐπὶ τῶν χειρῶν ἐπέχεεν. φεύγων οὖν τὸν φόνον, καὶ σὺν τῇ γαμετῇ στελλόμενος, ἀνεῖλεν ἐν Εὐήνῳ ποταμῷ Νέσσον κένταυρον, ὡς Ἀρχίλοχος ἱστορεῖ. ἔπειτα προϊὼν ἔφερεν καὶ Ὕλον τὸν υἱόν. καὶ ἐλθὼν εἰς τὴν Δρυοπίαν, λῃστρικὸν δὲ τὸ ἔθνος ὁμοροῦν τοῖς Μηλιεῦσιν, ὡς Φερεκύδης ἐν τῇ τρίτῃ φησί, τοῦ παιδὸς πεινῶντος, καὶ τοῦ παιδαγωγοῦ Λίχα ἀπολιμπανομένου, συντυχὼν τῷ Θειοδάμαντι ᾔτει τὸ ὀλίγην τροφήν. ὁ δὲ οὐκ ἐδίδου, ὀργισθεὶς ὁ Ἡρακλῆς, καὶ ἀποσπάσας αὐτοῦ ἕνα τῶν βοῶν, θύσας εὐωχεῖτο. ὁ δὲ Θειοδάμας ἐλθὼν εἰς τὴν τῶν Δρυόπων πόλιν, ἐξῆγεν αὐτοὺς καθ' ἡρακλέους. καὶ εἰς τοσαύτην ἀνάγκην κατέστη ὁ ἡρακλῆς, ὡς καὶ τὴν γυναῖκα Δηϊάνειραν καθοπλίσαι. ὥς τε δὴ καὶ τρωθῆναί φασιν αὐτὴν κατὰ τὸν μαζόν. περιγενόμενος δὲ αὐτῶν, καὶ ἀνελὼν τὸν Θειοδάμαντα, ἀνεδέξατο τὸν τούτου υἱὸν Ὕλαν. καὶ τὸ πᾶν δὲ ἔθνος διὰ τὴν λῃστείαν μετῴκησε περὶ Τραχῖνα τὴν Θεσσαλικὴν πόλιν, καὶ οἰκεῖν τὸ ὄρος πρὸς τοῖς ὅροις τῆς Φωκίδος, ἵνα τῇ πολλῇ τῶν ἀνθρώπων ἐπιμιξίᾳ τοῦ λῃστρικοῦ ἤθους ἀπόσχωνται. τούτων δὲ καὶ Καλλίμαχος μέμνηται.

Ἡρακλῆς Ἀχελῷον καταπαλαίσας ἐν Καλυδῶνι, καὶ τὸ δεξιὸν αὐτοῦ θραύσας κέρας, καὶ δοὺς πάλιν αὐτῷ τοῦτο, ἔλαβε παρ' αὐτοῦ τὸ τῆς Ἀμαλθείας κέρας, τῆς Αἱμονίου θυγατρὸς, καὶ Δηϊάνειραν τὴν Οἰνέως ἀντ' Ἀχελώου λαμβάνει γυναῖκα. τελουμένων δὲ τῶν γάμων, ἕνα τῶν συγγενῶν Οἰνέως Εὔνομον τὸν Ἀρχιτέλους πλήξας κονδύλῳ, ἀναιρεῖ παροινήσας. φυγεῖν δὲ εἵλετο εἰς Τελχῖνα εἰς Κήυκα. διαπορθμευόμενος δὲ περὶ τὸν Εὔηνον ποταμὸν τῷ Νέσσῳ κενταύρῳ πρῶτος αὐτὸς διαπορθμεύεται. ὡς δὲ ἐν τῷ διαπορθμεύειν ὁ Νέσσος καὶ τὴν Δηϊάνειραν ἐπεχείρει βιάζειν, ὑφ' Ἡρακλέους τοξεύεται. εἰδὼς δὲ Νέσσος ὅτι τελευτᾷ, ἀφυκτα γὰρ τὰ βέλη τοῦ ἡρακλέους, ὡς κεχρισμένα τῷ ἰῷ τῆς ὕδρας, λαβὼν εἰς ἀγγεῖον ἐκ τοῦ τραύματος τοῦ αἵματος, δίδωσι τῇ Δηϊανείρᾳ, ἀπατήσας αὐτήν, καὶ εἰπών, ὅτι ἐγὼ μὲν διὰ σὲ τελευτῶ, τοῦτο δέ σοι χαρίζομαι φιλίας ἐπισπᾶσθαι δυνάμενον. εἴπερ γὰρ Ἡρακλέα ποτὲ ἑτέρας πόθῳ κατασχεθέντα, ἐπίχρισον τοῦτο τοῖς ἱματίοις αὐτοῦ, καὶ πρὸς σὲ πάλιν ἀντιστρέψει τὸν πόθον. τοῦτο τὸ ἄγγος ἡ Δηϊάνειρα ἔχουσα, ὡς ὕστερον ἤκουσεν Ἡρακλέους τὴν Οἰχαλίαν πορθήσαντος, καὶ τὴν Εὐρύτου θυγατέρα καλὴν οὖσαν ἄγεσθαι, καὶ αὐτῆς κρατεῖσθαι τῷ ἔρωτι, ἐπιχρίσασα τῷ αἵματι τοῦ Ἡρακλέους ἱμάτια, μετὰ θεράποντος Λίχα ταῦτα ἀπέσταλκε. περὶ δὲ τὸ Κήναιον τῆς Εὐβοίας ὃν ἐχρημάτιζεν θύων Ἡρακλῆς Διὶ χαριστήρια, στολίζεται τὸν πεφαρμακευμένον τοῦτον χιτῶνα, ὑφ' οὗ δραστηρίῳ καὶ πυρώδει κρατηθεὶς τῷ χρισμῷ τελευτᾷ, πρῶτον ἀπὸ τῆς πέτρας τὸν Λίχαν ῥίψας, καὶ ἀνελών. τὰ δὲ τόξα αὐτοῦ Ἡρακλῆς τῷ Φιλοκτήτῃ καταλιμπάνει, ὡς τοῦ πατρὸς Φιλοκτήτου Ποίαντος τῇ τελευτῇ αὐτοῦ ὑπουργήσαντος. τὰ δὲ τόξα ταῦτα ὁ Λυκόφρων φησὶ παρὰ Τευτάρου κήθου βουκόλου τοῦ Ἀμφιτρύωνος ἔχειν Ἡρακλῆς, ὅτε Τεύταρος καὶ τοξεύειν τοῦτον ἐδίδαξεν. ἄλλοι δὲ Εὔρυτόν φασι διδάξαι τοῦτον τὴν τοξικήν, ἢ Ῥαδάμανθυν τὸν κρῆτα, πατρωὸν τοῦτον γενόμενον. μετὰ γὰρ τὸν θάνατον Ἀμφιτρύωνος, Ῥαδάμανθυς ἀνελὼν τὸν ἴδιον ἀδελφὸν φυγὼν ἐκ Κρήτης, καὶ εἰς Ὠκαλέα Βοιωτίας ἐλθών, γαμεῖ τὴν Ἀλκμήνην, καὶ Ἡρακλεῖ διδάσκει τὴν τοξικήν.

Ἡρακλῆς μετὰ τὴν τοῦ Κερβέρου ἀναγωγὴν εἰς Θήβας ἐλθών, Λύκον Θηβῶν βασιλεύοντα, καὶ βιαζόμενον Μεγάραν τὴν Κρέοντος μὲν θυγατέρα, γυναῖκα δὲ Ἡρακλέους, τοξεύσας ἀνεῖλε. μανίᾳ δὲ συσχεθεὶς τῇ τῆς Ἥρας ὀργῇ, καὶ τὴν ἰδίαν γυναῖκα τὴν Μεγάραν καὶ τοὺς τέσσαρας αὐτῆς παῖδας, Ὀνίτην, Θηρίμαχον, Δηικόοντα, καὶ Κρεοντιάδην τοξεύσας, ἀνεῖλεν· ὁ δὲ Πίνδαρος ὀκτὼ λέγει παῖδας μεγάρας ἀνελεῖν Ἡρακλέα. ἕτεροι δὲ, καὶ δύο υἱοὺς Ἰφικλέους τοῦ ἀδελφοῦ, σὺν τοῖς τῆς Μεγάρας παισὶ λέγουσιν ἀνελεῖν.

Ἡρακλῆς κατὰ τοὺς παλαιοὺς, Ἀλκαῖος πρὶν ἐκαλεῖτο. Ἡρακλῆς δὲ ὑπὸ τοῦ Πυθίου ἐξωνομάσθη. κατὰ τό, Ἡρακλέην δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει, ἦρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις. ἡ τοιαύτη δὲ ἐτυμολογία ψιλοῖ τὴν τοῦ Ἡρακλέους ἀρχουσαν, ὡς δοκεῖν ἀττικῶς αὐτὴν δασύνεσθαι. ἕτεροι δέ φασιν, ὅτι Πορφυρίωνος βιαζομένου τὴν Ἥραν, ὁ Ἀλκαῖος αὐτῆς προσκαλεσαμένης, ἐβοήθησε. καὶ ἡ τοιαύτη τῆς Ἥρας κλῆσις ἐπέθετο τὴν τοῦ Ἡρακλέους φερωνυμίαν αὐτῷ κρατερόφρονι ἀληθῶς ὄντι. ὡς αἱ ἱστορίαι δηλοῦσιν. ὅτι δὲ ὁ δηλωθεὶς Ἡρακλῆς ἐκαλεῖτο ἡρακλείδης, ὡς ἀριστείδης.

Ἤρακεν, ἰώιασεν.

Ἦ ῥα, ἤτοι, ὄντως, ἢ ἔφη. καὶ ἦρα, χάριν, βοήθειαν, ἐπικουρίαν. πατρὶ φίλῳ ἐπίηρα φέρον Διί.

Ἠράβησεν, ἤχησεν.

Ἠραίνει, ληρεῖ.

Ἥραιον, Ἡρακλέα.

Ἥρανος, βασιλεύς, ἢ βοηθός, παρὰ τὴν ἦραν, τὴν μετ' ἐπικουρίας χάριν. γίνεται δὲ ἀπὸ

τοῦ

Digitized by Google

τοῦ ἔρως, ἔρανα καὶ ἤρανα.

Ἠρανίζην, ἔρανον συνήγαγον.

Ἤραντο, ἤροντο, ἠρώτων.

Ἤραξεν, ἔσχισε, συνέτριψεν, ἔρρηξεν.

Ἠρὰξ ἐρεῖς. ὁ γὰρ ῥὰξ, δύο ἔχει ἁμαρτήματα.

Ἤραρα. ἄρω τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, παρακείμενος ἦρκα, ὁ μέσος ἦρα, καὶ Ἀττικῶς ἄρηρα, καὶ κατὰ μεταπλασμὸν ἤραρα.

Ἤραρεν, ἀναλόγως ἔχει. οὐ μὴν τοιοῦτον, καὶ τὸ ἄραρεν. οὐ ἡ μετοχὴ ἀραρώς. ἐκεῖνο γὰρ ἰωνικώτερον ὄν, διέβη καὶ εἰς ἀττικισμόν. καὶ ἤραρεν, ἥρμοσεν, ηὐφράνθη, εὐαρέστησεν.

Ἤραρε θυμὸν, τὸ θυμῆρες ἐμφαίνει. καὶ ἄλλως δὲ, κατὰ τὸ ἄγγεσιν ἄρσεν ἅπαντα. λέγεται καὶ τὸ ἤραρε θυμὸν ἐδωδῇ ἵνα καὶ αὐτὴν ἄρσῃ ὁ ἐσθίων, ὥσπερ ἄγγει τινὶ τῷ σώματι.

Ἠρασάμην, κατηρασάμην, ἢ ἠράσθην.

Ἠρέμησε, ἐπεθύμησεν, ἠρεμεῖ, ἡσυχάζει.

Ἠράσατο, ἤγουν ἠράσθη. οὐ τὸ πρῶτον πρόσωπον ἐν τῷ, οὐδ᾽ ὁπότ᾽ ἠρασάμην.

Ἤρασσον, ἔκρουον, ἔπληττον, ἐβλασφήμουν.

Ἠράσθην, ἀπὸ τοῦ ἐράζω γίνεται, ὡς πειράζω ἐπειράσθην, καὶ πελάζω ἐπελάσθην.

Ἠράσιος μὴν, παρὰ Λάκωσιν.

Ἤρατο, οὐ μόνον ἀντὶ τοῦ ὑπέμεινε καὶ ἐβάστασεν οἱ παλαιοὶ νοοῦσιν. ἀλλὰ καὶ ἀντὶ τοῦ ἐπολέμησε, παρὰ τὸν Ἄρην φασίν. εἰ δὲ εἶχε καὶ τὴν ἐν πρόθεσιν, ἦν ἂν σαφέστερον δοκοῦν τότε ἀπὸ τοῦ ἐναίρειν γενέσθαι, ἀφ᾽ οὗ καὶ ἔναρα. καὶ ἤρατο μέγα κλέος τῷ παιδὶ, ἀντὶ τοῦ ὕψωσεν αὐτὴν εὔκλειαν τῷ υἱῷ. Ἄλλως.

Ἤρατο καὶ ἤρετο, εὕρηται παρὰ τῷ ποιητῇ. τοῦ μὲν τὸ πρῶτον ἠράμην, ὅθεν καὶ τὸ ἠράμεθα μέγα κῦδος. τοῦ δὲ ἤρετο, οὗ ἡ χρῆσις, καὶ ἐν τῷ, τὴν ἄρετ᾽ ἐκ Τενέδοιο, πρῶτον πρόσωπον. ἠρόμην, ὡς καὶ τὸ εὕρετο, τὸ εὑρόμην. οἷον ταῦθ᾽ ἅπαντά σου θανόντος εὑρόμην. καὶ ἤρατό τις νίκην, καὶ ἤραντό τινες πόλεμον πρὸς ἀλλήλους.

Ἠρᾶτο, ηὔξατο. ἀπὸ τοῦ ἀρὰ, ἡ εὐχή. καὶ ἀντὶ τοῦ κατηρᾶτο. ἀπὸ τοῦ ἀρὰ, ἡ κατάρα.

Ἠραχνίωκεν, διαπέπλωκε πολλοῖς καὶ λεπτοῖς φλεβίοις * ὥσπερ ἀράχνης ὑφάσματα. παρὰ τῷ Ἱπποκράτει.

Ἠργάνθη, ἐλεάνθη, ἐπιάνθη.

Ἠργμένον, ἀρξάμενον, εἰργόμενον, κωλυόμενον.

Ἠρδαλωμένος, λεπρὸς καὶ μεμιασμένος. καὶ ἠρδάλωσεν, ἠσβόλωσεν, ἐμόλυνεν.

Ἤρδιον, περιφανὲς ἅρμα σκεπαστόν.

Ἦρει, ἐλάμβανεν, ἄρχει.

Ἤρειδε κατὰ τῶν ἱππίων, παρὰ τῷ Ἀριστοφάνει, ἤριζε καὶ ἐνέπιπτε κατὰ ἱππίων, καὶ ἀντὶ τοῦ ἠκύμβιζεν.

Ἤρειδε, σφοδρῶς κατηγόρει, ἐκ μεταφορᾶς τῶν ἐλαυνόντων.

Ἠρείκει, ἀντὶ τοῦ ὑπεστήρισεν. κανονίζεται δὲ οὕτως. ἐρείδω τὸ ἐπιστηρίζω, ὁ μέλλων ἐρείσω, ὁ παρακείμενος ἤρεικα, ὁ ὑπερσυντέλικος ἠρείκειν ἠρείκεις ἠρείκει.

Ἤρεικον, ἔσχιζον. ὡς τὸ, ἤρεικον χθόνα δῖαν.

Ἠρεικὼς, θεινύσας, καὶ ὑπακουμβίσας. καὶ ἤρεισεν, ἠκούμβισεν.

Ἠρεῖτο, ἐπεθύμει, ἐλάμβανε. πολλάκις γὰρ οὐ μόνον τὰς ἡμέρας, ἀλλὰ καὶ τὰς νυκτὸς ἐσιτοποιεῖτο, καὶ ὑπὲρ τὰς τῶν δείπνων παρασκευὰς τὰ πολυτελῆ τῶν δημοσίων ἀπεστύετο. καὶ ἠρεῖτο, ἐξελέγετο, προέκρινεν. ἠρεῖτο δὲ ὁπόσον κάχληκος τοῦ ἐμφερομένου τοῖς ἐδάφεσι. καὶ ἠρεῖτο, ἐπορθεῖτο.

Ἠρέμα λέγει, μόγις δύναται. τὰ ἀνετικὰ ἐπιρρήματα ὁριστικῷ συντάσσονται. ἠρέμα, κατὰ μικρὸν, ἀτρέμα. καὶ ἠρέμα, ἡσύχως, κατὰ μικρὸν, χολαίως. καὶ ἠρεμαίως, καὶ ἠρεμεῖ.

Ἠρεμεῖ, ἡσυχάζει.

Ἠρεμία, ἀτρεμία τὶς οὖσα κατὰ στέρησιν τοῦ τρέμειν, οἷον ἀκινησία. ἢ ἠρεμία, ἡσυχία, ἢ στέρησις κινήσεως. ἐκ τοῦ ἔρημος, ἐρημία, κατὰ συγκοπὴν καὶ τροπὴν ἠρεμία.

Ἦρεν, ἀπῆρεν.

Ἤρεον, παρ᾽ Ὁμήρῳ ἐν τῷ ζ τῆς Ὀδυσσείας, ἤτοι ἀφῃροῦντο. ἀπὸ τοῦ αἱρέω, παρατατικὸς ἤρεον καὶ ἤρουν, τὸ τρίτον τῶν πληθυντικῶν ἤρεον. οὐ ἤρεον, ὑπὸ δ᾽ ἤρεον, ὑφῄρουν, ἐλάμβανον ἀπὸ τοῦ περισπωμένου, καὶ δασύνεται.

Ἤρεπται ἀμπέλῳ καὶ κιττῷ. ἤγουν ἐστέγασται.

Ἤρεσεν, ἠπείλησεν.

Ἠρεσίδες, αἱ ἱέρειαι τῆς ἐν Ἄργει Ἥρας, ἀπὸ τῆς Ἥρας, ἢ παρὰ τὸν ἀρύσω μέλλοντα, ἀρυσίτιδες, αἱ ἀρυόμεναι τὰ λουτρά.

Ἤρεσσαν, ἀντὶ τοῦ ἐκωπηλάτησαν. τῷ δὲ συντελικῷ ἐχρήσατο Ἀπολλώνιος, ἀντὶ παρατατικοῦ τοῦ ἤρεσσον.

Ἠρετισάμην, αἰτιατικῇ, εἱλόμην, ἐξελεξάμην, ἠγάπησα, ἐπεθύμησα, ἠθέλησα, ἠράσθην.

Ἤρετο, ἔρω τὸ ἐρωτῶ, ἔρομαι. παρατατικὸς ἠρόμην, ου, το.

Ἤρετο, ἀντὶ τοῦ ἠρώτησεν. Ἀττικοὶ διὰ τοῦ η, Ἴωνες δὲ διὰ διφθόγγου εἴρετο.

Ἠρεύγετο, ἐμυκᾶτο, ἔβρυξεν.

Ἠρέχθεται, πλανᾶται, ἀμηχανεῖ. ἢ ἤρεψεν, ἐστεφάνωσεν, ἐκ τοῦ ἐρέφω ἐρέψω ἤρεψα.

Ἥρεω, ἡμίθεοι, δυνατοί.

Ἤρη Ἰωνικῶς, Ἥρα κοινῶς. Ἴωνες γὰρ τρέπουσι τὸ α εἰς η. ὡς σφαῖρα σφαίρη, δημοσία δημοσίη, πρᾶγμα πρῆγμα.

Ἠρήκασι, πεπορθήκασιν.

Ἠρήκει, κανονίζεται οὕτως. αἱρέω, ῶ, ὁ μέλλων αἱρήσω, ὁ παρακείμενος ᾕρηκα, ὁ ὑπερσυντέλικος ᾐρήκειν, εις, ει.

Ἡρηκέναι, ἑλεῖν, νικῆσαι.

Ἡρηκὼς, νενικηκὼς, εἰπὼν διὰ τῆς ει διφθόγγου.

Ἤρημεν, ᾑρήκαμεν, καὶ συγκοπῇ ᾕρημεν.

Ἡρημένην, κεχειροτονημένην. καὶ ᾑρημένον, ἐπικριθὲν, ἐκλελεγμένον.

Ἡρημένος, ὁ βεβουλημένος. αἱρῶ τὸ κρατῶ, καὶ καταβάλλω. οὗ τὰ παθητικὰ, ἐπὶ τοῦ βούλεσθαι λαμβάνεται, καὶ προκρίνειν. ὁ μέλλων αἱρήσω, ὁ παρακείμενος ᾕρηκα, ἀντὶ τοῦ βεβούλημαι, καὶ προκέκρικα. ἡ μετοχὴ ὁ ᾑρημένος, ἤγουν προκριθεὶς, καὶ ἐκλελεγμένος.

Ἠρήρει, ἐκράτει, ἀπὸ τοῦ ἄρω τὸ ἁρμόζω, ὁ μέλλων Αἰολικῶς ἄρσω, παρακείμενος ἦρκα, ὁ μέσος ἦρα, Ἀττικῶς ἄρηρα, ὁ ὑπερσυντέλικος ἠρήρειν.

Ἠρήρειστο, ἥρμοστο. τὸ δὲ στίφος εὖ μάλα ἠρήρειστο τῷ συνασπισμῷ, καὶ ἀκριβῶς ὑπῆρχε στερρόν τε καὶ ἀπερίσπαστον.

Ἤρρησεν, ἐφθάρη, ἦλθεν. ὅθεν καὶ τὸ εἰσήρρησεν.

Ἦρης, ἀφρών.

Ἠρήσατο, παρὰ τῷ Ἀπολλωνίῳ κεῖται, ἀντὶ τοῦ κατηράσατο, ἢ προσεῖπεν.

Ἠρήσαντο, παρ᾽ Ὁμήρῳ, ἤγουν ηὔξαντο.

Ἤρηται, ἀντὶ τοῦ βεβούληται. καὶ ᾕρηται ἀντὶ τοῦ κεκράτηται.

Ἤρθη, ηὐξήθη, ὑψώθη.

Ἤρθρωσας, ἐξάνωσας.

Ἦρι μάλα ὄρθρου, πάνυ τὸ πρωῒ, ἕωθεν, ἀπὸ τοῦ αἱρεῖσθαι ἡμᾶς τῆς κοίτης κατὰ τὸν καιρὸν τοῦτον. τὸ δὲ ἦρι, ὀνοματικὸν ἐπίρρημα, ἀπὸ τοῦ ἀὴρ ἀέρος, ἀέρι, καὶ κατὰ κρᾶσιν ἦρι. τὸ δὲ ἀέρι καὶ διὰ τοῦ η φησὶν ὁ ποιητής. ἠέρι γὰρ κατείχετο.

Ἠρία. Λυκοῦργος ἐν τῷ κατ᾽ Αὐτολύκου, ἠρία εἰσὶν οἱ τάφοι, ὡς καὶ αὐτὸς ὁ ῥήτωρ δῆλον ποιεῖ. φασὶ δέ τινες κοινότερον μὲν, πάντας τοὺς τάφους οὕτως ὀνομάζεσθαι, κατ᾽ ἐξαίρετον δὲ τοὺς μὴ ἐν ὕψει τὰ οἰκοδομήματα ἔχοντας, ἀλλ᾽ ὅταν τὰ σώματα εἰς γῆν κατατεθῇ. ὀνομάσθαι δὲ παρὰ τὴν ἔραν.

Ἠρίαι πύλαι Ἀθήνησι διὰ τὸ τοὺς νεκροὺς ἐκφέρεσθαι ἐκεῖ, ἐπὶ τὰ ἠρία. ὅ ἐστι τοὺς τάφους.

Ἠριγένεια. ἐπειδὴ καὶ ὁ ὄρθρος ἀναλογεῖ τῷ ἔαρι, ἦρ λέγεται καὶ οὗτος. ἀφ᾽ οὗ ἠριγένεια ἠὼς, ἣν τινες μὲν λέγουσι δηλοῦν τὸν ὄρθρον γεννῶσα. ἕτεροι δὲ, τὴν ὑπὸ τοῦ ὄρθρου γενωμένην. ἔοικε μὲν οὖν ἡ τοιαύτη παραγωγὴ, παθητικῶς αὐτὴ λέγεσθαι. ἀφρογένεια γὰρ ἡ Ἀφροδίτη λέγεται, οὐχ ὅτι ἀφρὸν ἐγέννησεν, ἀλλ᾽ ὅτι ὑπ᾽ ἀφροῦ ἐγεννήθη. καὶ κυπρογένεια ἡ αὐτὴ, ὅτι ἐν τῇ Κύπρῳ γεγένηται. εἰ δὲ τοῦτο κρατεῖ, οὐκ ἂν εἴη δηλονότι ἠριγένεια, ἡ τὸν ὄρθρον γεννῶσα. οὐ μέντοι οὐδ᾽ ὑπὸ τοῦ ὄρθρου γενωμένη. καθὰ κυπρογένεια ἡ Ἀφροδίτη λέγεται, οὐχ ὅτι τὴν Κύπρον ἐγέννησεν, ἢ ἀπὸ τῆς Κύπρου ἐγεννήθη, ἀλλ᾽ ὅτι ἐν ταύτῃ γεγέννηται. καὶ ἠριγένεια ἠώς ἐστιν, οἱονεὶ ἠεριγένεια, ἤγουν ἡ ὑπὸ ἠέρος γεννωμένη. ἀὴρ γὰρ πεφωτισμένος, ἡ ἡμέρα. ὁ δὲ πλείων λόγος καὶ καθωμιλημένος ἠριγένειαν λέγει, τὴν ἐν τῷ ἦρι, ἤτοι τῷ ὄρθρῳ γεννωμένην. ὡς γὰρ τὸ ἡμερινὸν ἁπλῶς Ἀπόλλωνα, εἴτουν ἥλιον ἡ Λητὼ γεννᾷ, ταύτης ἐστὶν ἡ νὺξ, ὡς καὶ Σοφοκλῆς ἐν Τραχινίαις ἀλληγορεῖ, οὕτω καὶ τὴν τῆς ἡμέρας ἀρχὴν ὁ τὴν νύκτα περατῶν ὄρθρος ποιεῖ. δύναται μὲν ἠριγένεια ῥηθῆναι, καὶ ἡ τὸν ὄρθρον γεννῶσα. μάλιστα δὲ παθητικὸς, ὁ τῆς λέξεως ταύτης σχηματισμός. ὡς ἡ Ἰφιγένεια δηλοῖ, καὶ τριτογένεια, αἱ γεννηθῆσαι δηλαδή. ἡ μὲν γὰρ ἀπὸ ἰσχυροῦ καὶ βασιλικοῦ γέγονεν, ἡ δὲ ἀπὸ τριτοῦ, ὅ ἐστι κεφαλῆς. ἦρ δὲ ὁ ὄρθρος λέγεται. ἢ ἀπὸ τοῦ αἴρω. τότε γὰρ αἰρόμεθα, καὶ εἰς ἔργον ὀρθούμεθα. ὅθεν καὶ ἡ τοιαύτη ὥρα ὄρθρος λέγεται. ἢ μάλιστα παρὰ τὸ ἔαρ, πρὸς ὃ ἀναλογίαν σώζει ὁ ὄρθρος. μικρὸς γὰρ ἐνιαυτὸς ἡ ἡμέρα, ἧς οἷα μὲν ἔαρ ἡ πρωΐα, διὰ τὸ τηνικαῦτα εὔκρατον. θέρος δὲ, οἷον τὸ τῆς ἡμέρας μέσον, φθινοπώρῳ τὸ περὶ τὴν δείλην ἔοικε, χειμῶνος δὲ δίκην σκυθρωπάζει τὰ πρὸς ἑσπέραν καὶ ἐπέκεινα.

Ἠριγένιον, τὴν ἠρύγιον πόαν.

Ἠριδανὸς, ποταμός.

Ἠριεργὴς, τυμβώρυχος.

Ἠριεὺς, νεκρός.

Ἠρίθμησεν, ἀπεδειλίασεν. τοὺς ἐναντίους ἰδὼν οὐκ ἠρίθμησεν, ἀλλ᾽ εὐθὺς ἦν ἀμυνίας, ἕτοιμος πρὸς ἀμύνας.

Ἠριθεύετο, εἰργάζετο.

Ἠριθευμένων, πεφιλοτιμημένων.

Ἦρι, ὄρθρου, ἕωθεν, ἢ ἔαρι.

Ἠρίκει, ἀντὶ τοῦ ἐφιλονείκησε. κανονίζεται δὲ οὕτως, ἐρίζω τὸ φιλονεικῶ, ὁ μέλλων ἐρίσω, ὁ παρακείμενος ἤρικα, ὁ ὑπερσυντέλικος ἠρίκειν ἠρίκεις ἠρίκει.

Ἤρικεν, ὅ ἐστιν ἐσχίσθη, ἐρράγη, δεύτερος ἀόριστός ἐστιν ἐκ τοῦ ἐρείκω. ἐξ οὗ φυτὸν ἡ ἐρείκη, διὸ καὶ τὸ ι παραλήγεται κατὰ τὸ λείβω ἔλιβον.

Ἠρικέπαιος, ὁ Διόνυσος.

Ἠρικνωμένων, ἐρρυτιδωμένων, παλαιῶν.

Ἤρικον, σημαίνει τὸ ἔσχιζον. Ἡσίοδος.

Ἠρικὼς, ἐξισώσας, καὶ φιλονεικήσας.

Ἤριμον, νέον.

Ἤριμος, ὀρθρινός.

Ἤριον, ὄνομα τόπου. ἠρίον δὲ, ὁ τάφος.

Ἤρινε, χώριζε.

Ἦριν, τὴν ἶριν.

Ἠρινόθερμον, τὸ ἄνθεμον.

Ἠρινολόγοι, οἱ τέττιγες.

Ἠρινὸν, ἄνθος ἐαρινόν.

Ἤριννα ἡ ποιήτρια. εἴρηται παρὰ τὸν ἔρωτα, ἢ ἐρασμία, ἢ παρὰ τὸ ἔαρ.

Ἠριννοῖς, ἐαριννοῖς.

Ἠρίον, μνημεῖον.

Ἠρινοτόκου, ἀπὸ τῶν ποιμνίων τῶν κατ᾽ ἔαρ φόρους τελούντων.

Ἠρινὸς καιρὸς, ὁ τοῦ ἔαρος.

Ἤριπεν, ἔχει θέμα τὸ ἐρείπω, ὅθεν γίνεται τὸ ἐρείπιον. καὶ ἐριπῶ, ὁμοίως τῷ ἔτυχον τυχῶ, ἔτυπον τυπῶ, ἔστιβον στιβῶ, ἐξ οὗ καὶ ὁ ἀστίβητος. ἔστιχον στιχῶ, ἐξ οὗ τὸ ἐστιχόωντο. ἢ ἤριπεν, ἀντὶ τοῦ ἔπεσε. καὶ ἐριπὼν, ἀντὶ τοῦ πεσὼν, παρέβησαν τὸν κανόνα. ἀμετάβατον γὰρ ἔχει τὴν σημασίαν, γεγονὼς ἐκ τοῦ ἐρείπω τὸ καταβάλλω ἐνεστῶτος, ἐνεργητικὴν ἔχοντος τὴν σημασίαν, καὶ μεταβατικήν. δύναται δ᾽ ὅμως ἐπὶ ἐνεστῶτος τοῦτο τὸ ῥῆμα ἔχειν ἀμετάβατον σημασίαν καὶ μεταβατικήν. λέγομεν γὰρ αὐτὸ, ἀντὶ τοῦ καταβάλλω, καὶ ἀντὶ τοῦ πίπτω.

Ἠριπόλη, ἡ ἡμέρα. ὡς ἐν ἐπιγράμματι. οὐδὲ φαεινῆς φέγγος ἰδεῖν ἐθέλω χρύσεον ἠριπόλης.

Ἠριπώθη, ἔπεσεν.

Ἠρισάλπιγξ, ὀρνέου τι εἶδος.

Ἤρισεν, ἐφιλονείκησεν, ἔσχισεν, ἔρρηξεν, ἔπεσεν, ἠγάπησε, συνέζευξεν, ἥρμοσεν.

Ἠρισμένος, ἐστηριγμένος. Ἠρίστηται, τὸ ἄριστον γέγονεν. ἐκ τοῦ ἀριστάω ἀριστήσω ἠρίστηκα ἠρίστημαι ἠρίστησαι, ἠρίστηται. ἠρίστηται, ἄριστον γεγένηται.

Digitized by Google

Ἠρίτριον, ἱμάτιον ἠρινόν, ἐπίστριον.

Ἠρίφακοι, θαμνίσκοι. λάκωνες.

Ἤρειψε, κατέβαλε, κατέπεσε.

Ἤρκεσε λυγρὸν ὄλεθρον ἐντελὲς ῥηθέν. δοκεῖ γὰρ τὸ ἤρκεσεν ἁπλῶς οὕτω λεγόμενον λείπεσθαί τινος αἰτιατικῆς. οἷον, ὅς οἱ ἤρκεσεν ὄλεθρον, ἢ θάνατον. ἢ ποιοῦντί τι. οὕτω μὲν καὶ τὸ ἐπεκλώσαντο τὴν ζωήν, πλῆρές ἐστιν, καὶ τὸ ἀπέψυξε βίον παρὰ Σοφοκλεῖ. τὸ δὲ ψιλῶς εἰπεῖν, ὡς ἐπεκλώσατό τις ἢ ἀπέψυξεν, ἐλλειπῶς ἔχει. καὶ ἤρκεσεν, ἀρκετὸν ἐγένετο. ἢ ἤρκεσεν, ἐβοήθησεν. ὁ δὲ τὸν θώρακα αὐτοῦ διέῤῥηξεν, ὅς ἤρκεσεν οἱ ἄμυνας λυγρὸν ὄλεθρον.

Ἤρκται, ἤρξατο.

Ἠρκὼς, ἀπὸ τοῦ αἴρω τὸ ἐπαίρω. καὶ ὁ σκορπιὸς ἠρκὼς τὸ κέντρον. καὶ ἐπηρμένοι τὰ ὅπλα, ἀντὶ τοῦ ἠρκότες, τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ, ἀλλὰ καὶ εἰς παθητικὴν σημασίαν λαμβάνεται.

Ἤρμαζεν, ἐσκέπασεν, ὠχύρωσεν.

Ἡρμαλώσατο, συνέλαβεν.

Ἡρμανίζετο, οὐκ ἦν ἁρμόζον.

* Ἡρμᾶσθαι, ἐρηρεῖσθαι, ἢ ἡρμόσθαι.

Ἡρματισμένον, ἠσφαλισμένον.

Ἡρμένος, ἐπικρεμαθεὶς, κρεμασθείς.

Ἡρμοσμένη διακατεσκαμένη.

Ἥρμοσαι τὴν γλῶτταν ῥητορικῶς κάλλιον ἂν εἴποις, ἢ κατὰ ῥήτορας, λέγει, ἢ γράφει.

Ἡρμόσαντο, διαφυῶς διετέθησαν. οἱ δὲ ἡρμόσαντο πρὸς τὴν βούλησιν, καὶ συνέθεντο δέκα τάλαντα δώσειν. Πολύβιος, οἱ δὲ στρατιῶται, πάντα ἡρμόζοντο πρὸς τὴν εἰς οἶκον ἐπάνοδον, ἀντὶ τοῦ ἐγίνοντο, παρεσκευάζοντο.

Ἡρμοσάμην, ἐμνηστευσάμην. ὡς ὁ Ἀπόστολος, ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ, παρθένον ἁγνὴν παραστῆσαι τῷ Θεῷ, ἤτοι τῷ Χριστῷ, ἐμνηστευσάμην ὑμᾶς.

Ἡρμοττόμην ὡς πρὸς μουσικὴν, ἀντὶ τοῦ ἐπαιδευόμην. ὡς παρὰ τῷ Ἀριστοφάνει, ἐν ταῖς Ἄστραις, κονδύλοις ἡρμοττόμην.

Ἤρνυεν, ἐκυβίστα.

Ἤρνυτο, ἐποίει.

Ἤρξατο, συνεφώνησεν.

Ἡραικάκαι, τὰ κοιλώματα τῆς γῆς.

Ἠροίησεν, ἀπεσβέσθησεν.

Ἠρόμην, εἰ μὲν ἔχει τὸ ι σημαίνει τὸ ἐκουφιζόμην. καὶ ἔστιν ἀπὸ τοῦ αἴρομαι, ἠρόμην, ὡς αἰσχύνομαι ᾐσχυνόμην. εἰ δὲ σημαίνει τὸ ἠρώτων, οὐκ ἔχει τὸ ι, καὶ ἔστιν ἀπὸ τοῦ ἔρομαι. καὶ ἠρόμην, οὐκ ἠρώτησα λέγομεν.

Ἦρον, εἰρήνην.

Ἤροντο, ἠρώτων.

Ἠρόπτω, σημαίνει τὸ κόπτω.

Ἦρος, συνθήκη, ἐκεχειρία, ἔαρος.

Ἤροσα, ἠροτρίασα.

Ἠροσάνθεια, ἀνθολογία. ἑορτὴ γυναικεία λαμπρὰ, ἀγομένη ἐν Πελοποννήσῳ κατὰ τὸ ἔαρ.

Ἤροσεν, ἐγέννησεν.

Ἠρῦντο, ἐλάμβανον. αἱ δὲ ὡς εἶχον, χαμαὶ δεῖπνον ἠρῦντο.

Ἤρου, ἠρώτησας.

Ἠροῦ, κατηροῦ.

Ἠρύσαζον, ἐνήδρευον.

Ἠρῦτο, ἠροβιάστο, ἐσπείρετο.

Ἡροφίλη, Σιβύλλης ὄνομα.

Ἠρόχια, τὰ θεοδαίσια. οἱ δὲ, ἑορτήν. οἱ δὲ, ἔρια.

Ἡρπάσθην, οὐχ ἡρπάγην.

Ἤῤῥεεν, ἀπώλυτο.

Ἠῤῥήκειν, αἰκῆ ἀφῖκται, παρ' Ὁμήρῳ δὲ, μετὰ δυσχερείας· ἐῤῥ' ἐκ νήσου θᾶσσον, ἐλέγχιστε πάντων.

Ἠῤῥίχθη, ἐῤῥάγη.

Ἤρσεν, ἥρμοσεν, ἐπότισεν.

Ἤρται, ἤγουν ὕψωται.

Ἡρπαλίοντο, ὡπλίζοντο.

Ἠρτάμησαν, ἐτάραξε, διώκουσιν, ἤρτυσεν.

Ἠρτήσθω βρόχος, ἤγουν κρεμασθήτω τὸ σχοινίον.

Ἤρτηται, γενικῇ, κρέμαται. ὁ δὲ τὰ μὲν πρῶτα εἰδεῖτο τῆς τῶν ἀνθρώπων ἰατρικῆς, καὶ ἐκείνων ἤρτητο.

Ἠρτιάζομεν, ἐπαίζομεν ἄρτια, ἢ περιττά.

Ἤρτισαι, ἥρμοσαι, ἀνήρτηται.

Ἦρτο, ἀντὶ τοῦ ἐπῆρτο. ἢ ἦρτο, ὕψωτο, ἠγείρετο. τὸ δὲ χῶμα ἐπὶ τοσοῦτον ἦρτο, ὥστε ἐπὶ ἰσοπέδου ἐπὶ τὰς ὀφρύας τοῦ ὄρους τὰ βλήματα ἐξικνεῖσθαι.

Ἠρτυλιμένος, ἠρτυμένος.

Ἠρτύνετο, παρεσκευάζετο, ἡτοιμάζετο, ἡρμόζετο, κατηρτίζετο.

Ἠρύγγανεν, ἐμεγαλαύχει, ἐνυβρίζετο, ἐπιπράσκετο. εἰ καὶ περίβλεπτον καὶ δόκιμον ἠρύγγανε γένος. ἠρύγγανεν ἦν κυρίως, ἐρεύγετο.

Ἠρύγγιον, λέγοντί κάρφος ἀκανθῶδες, ὃ καὶ ἐπὶ τοὺς τοῦ σίτου σωροὺς εἰώθασιν ἐπιτιθέναι.

Ἠρυγγίτης, ἄρτος, ἢ εἶδος βοτάνης.

Ἤρυγεν, ἐβόα, ἐμυκᾶτο, ἔπτυεν.

Ἠρύγιον, ὄνομα φυτοῦ.

Ἠρύγμαι, αἱ καμπυλότητες τῶν σκελῶν, καὶ πόας εἶδος.

Ἠρυγκήμεθα, ἐμπεφορήμεθα, εἰλήφαμεν.

Ἠρύγων, μυκώμενος.

Ἠρυθριᾶτο, ἐφιλονείκει.

Ἠρυθροδανωμένον, ἐρυθρῷ βάμματι βεβαμμένον, κοκκίνῳ.

Ἠρύκαλον, τὸν Ἡρακλέα. Σώφρων ὑποκοριστικῶς.

Ἤρυκεν, ἐκώλυεν.

Ἤρυλλος ἐν τοῖς σατυρικοῖς, δηλοῦσιν οἱ κατὰ στοιχεῖον τὰ ῥητορικὰ ἐκθέμενοι, παρ' οἷς δῆλον, καὶ ὡς ὑποκεκόρισται ὁ ἤρυλλος ἐκ τοῦ Ἡρακλῆς, ὡς ἐκ τοῦ Ἀριστοκλῆς ὁ ἀρίστυλλος, παρὰ τῷ Κωμικῷ. καὶ ἐκ τοῦ βαθυκλῆς, ὁ βάθυλλος.

Ἤρυον, ἤντλουν. καὶ ἠρύσατο, ἤντλησεν.

Ἤρυτο, ἐρύσατο.

Ἤρχατο, καθῆρκτο.

Ἦρχεν, ἡγεῖτο, κατῆρχεν, ὤφειλε.

Ἤρχθη, ἤρξατο. ὡς τὸ, ἤρχθη χειρῶν ἀδίκων.

Ἥρω Ἀττικοὶ, οὐχ ἥρωα. καὶ ἥρως ἐπὶ αἰτιατικῆς τῶν πληθυντικῶν, καὶ οὐχ ἥρωας. ἥρωες δὲ, οὐχ ἥρως. εἰ καὶ ἅπαξ ὑπὸ τοῦ βιασθεὶς, οἱ ἥρως εἶπεν ὁ ποιητὴς, τῷ δ' ἠναγκασμένῳ οὐ χρηστέον.

Ἥρῳ, ἢ ἀποκέκοπται ἐκ τῆς ἥρωι δοτικῆς, ἢ ἀπὸ ἰσοσυλλάβου κλίσεως γέγονεν.

Ἥρωες, ἡ παλαιὰ Σοφία γένος τι θεῖον εἶναι δοξάζει, μέσον Θεῶν καὶ ἀνθρώπων. καὶ τὸ μὲν θεῖον φῦλον εἰς Θεοὺς διαιρεῖται, καὶ Δαίμονας. τοὺς δὲ ἀνθρώπους εἰς τε Ἥρωας, καὶ εἰς αὐτὸ τοῦτο ἀνθρώπους. καὶ ὑποβεβηκέναι μὲν φησι θεοῖς δαίμονας, ἀνθρώπους δὲ ἥρωσιν, οὓς καὶ ἐκ θείου καὶ ἀνθρωπίνου σώματος φῦναι λέγουσι. διὸ καὶ Ἡσίοδος ἡμιθέους αὐτοὺς φησιν]. ἢ ἐκ θεᾶς ὄντας καὶ θνητοῦ ἀνδρὸς, ὁποῖος καὶ Ἀχιλλεὺς ὁ Θέτιδος καὶ Πηλέως. ἢ ἀνάπαλιν, ὁποῖον ὁ Λυκόφρων τὸν Ἕκτορα παραδίδωσι, πατρὸς μὲν Ἀπόλλωνος, θνητῆς δὲ μητρός. οὕτω μέν τινες. ἕτεροι δὲ συντομώτερον φράζοντες φασιν, ἄκρα μὲν θεοὶ καὶ ἄνθρωποι. μέσον δὲ γένος ἀμφοῖν, τὸ ἡρωϊκὸν, θεοῖς μὲν ὑποβεβηκὸς, ἀνθρώπων δὲ ὑπερκείμενον, διὰ μετουσίαν ἀρετῆς. ἀφ' ἧς καὶ δοκεῖ παρονομάζεσθαι. καὶ δῆλον, ὡς οἱ τοιοῦτοι ἀπὸ τῆς Ἀρετῆς βούλονται καλεῖσθαι τοὺς ἥρωας, ἀνθρώπους μὲν ὄντας, διὰ δὲ τὸ θεῖον τῆς Ἀρετῆς ἡμιθέους νομισθέντας. ἄλλοι δὲ ἀπὸ τοῦ ἔρωτος, τροπῇ τοῦ ε εἰς η παράγουσι τοὺς Ἥρωας. καὶ τούτου ἐπαινετοῦ καὶ εἰς κάλλος θεῖον ὁρῶντος, καὶ ἀνατεινομένου εἰς τὸ ἄκρον ἐφετὸν, καὶ τῶν κάτω μὲν ἀπάγοντος τὸν ἄνθρωπον, ταῖς δὲ ἀνωτάτω θεαῖς προσεινοῦντος, ὡς οὕτω κληροῦσθαι ἡμιθέου κλῆσιν αὐτόν. ἢ καὶ ἄλλως, ἐκ μυθικοῦ ἔρωτος καὶ ἐμπαθοῦς. ἔρως γὰρ κάλλους ἀμυθήτου πολὺς μυθικῶς ἐκκαυθεὶς τὰ ἀνομοίως ἔχοντα γένη συνῆξας, οἷον πρὸς γάμον ἔμιξεν, ἄλλοι δὲ, ἀπὸ τῆς ἔρας τοὺς Ἥρωας εἶπον καλεῖσθαι, γῆθεν γὰρ ἦσαν, εἰ καὶ δι' ἀρετὴν, ὥσπερ οὐρανώθησαν. οἱ δὲ, ἀπὸ τοῦ ἀέρος ὡς δηλοῦται, καὶ ἔν τινι τῶν παρὰ Πορφυρίῳ ἐπιγραμμάτων, ἐν ᾧ κεῖται τὸ, Σῆμα μὲν ἐν πόντῳ κεῖται, πνεῦμα δ' ἀὴρ ὃ δ' ἔχει. φησὶ δὲ καὶ Ἡσίοδος ἠέρα ἑσσάμενοι πάντῃ φοιτῶντες ἐπ' αἶαν. ἥρωας ἐνδυθέντες ἀέρα, ὡς μετὰ τὸ ἄριστον λυθῆναι τοῦ σώματος μὴ κάτω ἀπιόντας, ἀλλ' ἐν ἀέρι ὄντες, καὶ γέρας ἔχοντες, τὸ πανταχοῦ γῆς φοιτᾶν, καὶ τὰ κατ' ἀνθρώπους ἐπισκέπτεσθαι.

Ἠρώδειον, τόπος.

Ἡρωελεγεῖον, μέτρον τι.

Ἡρώειον, μνημεῖον.

Ἥρωες, οἱ πάλαι καὶ πρωτογενεῖς ἄνθρωποι, οἱ ἡμίθεοι ἄνδρες. Ἥρωας δέ φασι κληθῆναι, ἀπὸ τῆς ἔρας τῆς γῆς, ὅτι ἐκ γῆς ἐπλάσθη τὸ γένος τῶν Ἡρώων, ἢ ἀπὸ τῆς ἐρωτήσεως. διαλεκτικοὶ γάρ. ἢ ἀπὸ τῆς Ἀρετῆς. ἢ ἀπὸ τοῦ ἔρος, ὥς φησιν Ἡσίοδος.

Ἠρώησαν ὀπίσω παρ' Ὁμήρῳ, περιφραστικῶς καὶ διαλελυμένως ῥηθὲν, δηλοῖ τὸ ἀνεχώρησαν, ἀνεπόδησαν. τοῦτον γὰρ τὸ ὀπίσω ὥρμησαν, ὅπερ ἠδυνάσατο ἀνηρώησεν αὐτοῖς, ὥσπερ ἤθελεν ὥσπερ καὶ τὸ ἐκτὸς ὥρμησεν τὸ ὀπίσω ἐξηρώησαν, ὁρᾷ ἀλλαχοῦ.

Ἠρώησεν, ἔπαυσε. καὶ ἀντὶ τοῦ κατέλιπεν, ἐξέφυγε, παρὰ Θεοκρίτῳ.

Ἠρωήσουσιν, μεθύσκουσιν.

Ἡρῶναι, Ἀριστοφάνης, αἷς ἤθεαι ἤθειοι, κατὰ τὸ ἀρχαῖον καὶ συνήθες αὐτῷ τετρασυλλάβως, προλύσγκε τὸ ἡρῶναι.

Ἡρῷον, μνημεῖον. καὶ ἡρῷον, τὸ καλούμενον ἔπος. ὅτι δι' αὐτοῦ τὰς ἡρωϊκὰς πράξεις ὕμνησεν ὁ Ὅμηρος.

Ἠρώπτει, σκώπτει.

Ἠρῶς, ποικίλως, ἐπὶ τῶν μεμαστιγωμένων, ἢ ὄφεις.

Ἥρως, ἡμίθεος, δυνατὸς, γενναῖος, δισυλλάβως δὲ κέχρηται Ὅμηρος ἥρῳ, ἅπαξ ἐν Ἰλιάδι, καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ. εἴρηται δὲ παρὰ τὴν ἔραν, ὃ σημαίνει τὴν γῆν. ἐκ τῆς γῆς, γὰρ οἱ ἥρωες, ἢ ἀπὸ τῆς ἐράσεως τῶν Θεῶν. οἱ γὰρ Θεοὶ θνηταῖς γυναιξὶ μιγνύμενοι, ἐποίουν τοὺς ἥρωας.

Ἡρῶσσαι, προτεριστομένους. Ἡρωδιανὸς ἐν δεκάτῳ φησὶν, ἐκ συναλοιφῆς τοῦ ἡρωίσσαι. τοῦ ἥρως τὸ θηλυκὸν, γίνεται ἡρώισσα. ἢ ἀντὶ τοῦ ἡρωῖναι. Ἀπολλώνιος, τιμήοροι δ' ἔκδικοι καὶ ἔφεδροι τῆς Λιβύης, ἢ ἐν Λιβύῃ τιμώμεναι ἡρωῖναι.

Ἠρώτα, παρεκάλει, ἔθυεν, ηὔχετο, ἱκέτευεν, ἠρώτα.

Ἠρώτιζον, ἠρώτων.

Ἡρώων πάντων, τῶν κατ' ἐκεῖνον χρόνον ἀνδρῶν. τοῖσι δὲ κρατῆρα κεράσσατο Μούλιος ἥρως.

ΤΟ Η. ΜΕΤΑ ΤΟΥ Σ

Ἧς ἐν ἀγορᾷ, σόλοικον. λέγε οὖν, ἦσθα. ὀρθότερον δὲ χρῶτο ἂν ὁ λέγων, ἐὰν ᾖς ἐν ἀγορᾷ. Φρύνιχος.

Ἧς, ἄρθρον θηλυκὸν ὑποτακτικὸν, ἀντὶ τοῦ, τῆς συνάρθρου ἀντωνυμίας θηλυκῆς, ἧς τε πλείστην μὲν κάματον χαλκὸς ἔχει, καὶ τῆς ἑαυτοῦ, καὶ τῆς ἑαυτῆς. ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, οὐδὲ τοκήων.

Ἧς, ἀντὶ τοῦ ἦν λέγουσι Δωριεῖς.

Ἧς, ἀντὶ τοῦ ὑπῆρχες. καὶ ἧς, τῆς ἰδίας. καὶ ἧς, ἀντὶ ἧς τινος.

Ἧς γαίης, οἱ ὕστερον οἰκείας φασὶν ἐκ ἀπλότητι λέξεως, δηλοῦντες οὕτω πατρίδα.

Ἧς ἐράασθε λέγει Ὅμηρος, ἀντὶ τοῦ ἕως, ἐς τὸ ὡς, ἀντὶ τοῦ ἕως πλεονασμῷ τοῦ ε. καθὰ καὶ Ἡσίοδος ἐν Θεογονίᾳ, τὸ εἰς ὀφθαλμοὺς, ἕως φησίν.

Ἧσαι ὀνειδίζων παρ' Ὁμήρῳ, ἀντὶ τοῦ διατρίβεις, ἀργεῖς. οὐ γὰρ ἐκάθητο ἀληθῶς ὁ Θερσίτης. ἀλλ' ἵστατο.

Ἠσαῖνον, ὄρος.

Ἦσαν, ἀντὶ τοῦ ὕμνησαν, ἐδόξασαν, ὑπῆρχον. ἢ ᾖσαν, ᾔδεισαν, ἐγίνωσκον. οὐδ' ἀφιγμένοι τὸ πάμπαν ἦσαν.

Ἧσας, χάριν ἐποίησας, ἐδόξασας. ἢ ἀπὸ τοῦ ἰάσασθαι.

Ἥσατο, ηὐφράνθη, ἔκτισεν, ἱδρύσατο, ἐκήδετο, ἐπεχύσατο. ἥσθη, ηὐφράνθη, διαχύθη.

Digitized by Google

Ἧσε. ἄδω ᾄσω, ἀόριστος ἦσα, τὸ τρίτον ἦσεν, ἤγουν ἔψαλεν.

Ἧσαι. Ὅμηρος, ὑπὸ δὲ θρόνυν ποσὶν ἧσαι. τουτέστιν ὑφεῖσαι, ὑποθεῖσαι, ὑποβαλεῖν. ὅθεν καὶ τὸ μόχλους βυσὶν ὑφίεσι. ἢ ἧσαι, πέμψαι. ὅθεν καὶ ἥμων ὁ ἀκοντιστὴς, καὶ ἥμασι τὰ ἀκοντίσματα.

Ἧσεν, ὕμνησεν, εἴασεν, ἐκάθισεν.

Ἧσθα, ἐπὶ παρῳχημένου γράφεται. τὸ δὲ ἧς, ἐπὶ μέλλοντος καὶ ἐνεστῶτος. ἢ ἦσθα, οὐκ ἀντὶ τοῦ ὑπάρχεις, ἀλλὰ ἀντὶ τοῦ ὑπῆρχες. ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω. καὶ ὁ παρατατικὸς ἦν ἦς, καὶ ἐπενθέσει τῆς θα συλλαβῆς ἦσθα.

Ἧσθαι, ἀντὶ τοῦ καθῆσθαι κεῖται παρὰ τῷ Ποιητῇ. ἧσθαι, ἀντὶ τοῦ καθῆσθαι, ἀπὸ τοῦ ἕω ἀχρήστου, ὁ τοῦ παθητικοῦ ἕμαι ἧμαι, ἐν χρήσει παρὰ τοῖς ποιηταῖς. παρὰ δὲ τοῖς κοινοῖς, κάθημαι λέγεται μετὰ τῆς κατά. οὐδὲν δὲ πλέον ἐν αὐτῷ ἡ πρόθεσις δηλοῖ, ἀλλὰ ὡς συλλαβὴ κεῖται. ὡς ἐν τῷ καθίζειν, καὶ καμμύειν. διὸ καὶ κατὰ τὰς προθέσεις ἐν τούτοις ἡ αὔξησις γίνεται. οἷον ἐκάθιζον, ἐκάμμυον, ἐκαθήμην. Ἰστέον δὲ, ὅτι τὸ μὲν κάθηται, προπαροξύνεται. τὸ δὲ καθῆσθαι, προπερισπᾶται, κατὰ τὴν ἀκολουθίαν τὸ ὑπόστασται. καὶ αὐτοῦ μὲν γὰρ τὸ ὁριστικὸν προπαροξύνεται, τὸ δὲ ἀπαρέμφατον προπερισπᾶται. ἢ ἀπὸ τοῦ ἕω, ἕημι ἕεμαι ἧμαι ἧσαι ἧται, καὶ τὸ ἀπαρέμφατον ἧσθαι, καὶ ἧσθαι ὀδυρόμενος, ἐσχημάτισται. ἦν δὲ τὸ κοινὸν καὶ ὀρθὸν, ἧσθαι ὀδυρόμενον, καὶ φθινύθειν. ἵνα ἦν τὸ πᾶν οὕτω. οὔπω μέν φασι φαγεῖν καὶ πιεῖν, καὶ ἐπὶ ἔργα ἰδεῖν, ἀλλὰ ἧσθαι ὀδυρόμενον καὶ φθινύθειν, Ὅμηρος Ὀδυσσείας π'.

Ἡσθεῖν, χαρίσονται. κεύτλημεν ἄν τις ἁδὺς ἐνθένδε λαβεῖν, τὴν κύλικά φησιν, ἐπεὶ μεγάλη ἦν καὶ πλέα. καὶ ἡσθεὶς, χαρείς.

Ἡσθείην, εὐφρανθείην, ἀπὸ τοῦ ἥδω ἥσω ἧκα ἧσμαι ἥσθην, μετοχὴ ἡσθεὶς ἡσθέντος ἡσθείην.

Ἤσθετο, ἐπεραίθη, ἔγνω, ἐθεώρει.

Ἤσθη, ἀντὶ τοῦ ἠλέχθη, ἐκ τοῦ ἄδω. ἥσθη δὲ, ἀντὶ τοῦ εὐφράνθη, ἐκ τοῦ ἥδομαι.

Ἤσθηνται, ἔγνωσαν. Ἀριστοφάνης, οἱ δὲ σύμμαχοι ὡς ἤσθηνται τὸν σύρφακα, ἐκκύθη λαρυγγιζόμενον. καὶ ἤσθετο, ὁμοίως.

Ἥσθην, ἐχάρην, ἐκ τοῦ ἥδομαι. ὅθεν ἡσθεὶς, μετοχή. ἢ ἥσθην, ἐχάρην, ἰάνθην, ἡδέως ἔσχον. ἀπὸ τοῦ ἥδω, ὁ παθητικὸς παρακείμενος ἧσμαι, ὁ ἀόριστος ἥσθην, ης, η.

Ἤσθητο, ἀντὶ τοῦ περιεβέβλητο. καὶ ἥσθητο χρυσοῦν χιτῶνα, ὑπὲρ τοῦ πλείονας εἰς αὐτὸν ἐπιστρέφειν. ὁ τοίνυν ὕστερος ἀποθνήσκων, καὶ ἑτέρου ἀδελφὸν ἀπολείπων ἥσθητο.

Ἥσθιον, ἔτρωγον.

Ἤσθου, ἐνόησας, ἔγνως.

Ἧσιν, ἀντὶ τοῦ ᾖ. ὡς λάβῃσιν, ἀντὶ τοῦ λάβῃ, ἀσυνήθης παρὰ τοῖς κοινοῖς.

Ἧσιν, ἀντὶ τοῦ φησίν.

Ἡσίοδος ποιητοῦ ὄνομα, Κυμαῖος, νέος δὲ κομισθεὶς ὑπὸ τοῦ πατρὸς Δίου, καὶ μητρὸς Πυκιμήδης, ἐν Ἄσκρῃ τῆς Βοιωτίας. γενεαλογεῖται δὲ εἶναι, Δίου τοῦ Ἀπελλίδου τοῦ Μελανώπου.

Ἡσιονεῖς, οἱ τὴν Ἀσίαν οἰκοῦντες Ἕλληνες.

Ἦσις, τέρψις.

Ἤσκαιρεν, ἐσκίρτα.

Ἤσκειν ἀσκέω ἀσκῶ, τὸ μετὰ πολλοῦ πόνου καὶ κόπου ἐργάζομαι. ἤσκειν ἔργα καλὰ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ εἰργάζετο. ὁ παρατατικὸς ἤσκεον ἤσκεες ἤσκεε, τοῦ τρίτου ἐφελκομένου τὸ ν ἤσκεεν, καὶ κατὰ συναίρεσιν ἤσκειν.

Ἧσκε, ἐσπούδαζεν, κατεσκεύαζε, μετήρχετο, ἠγωνίζετο.

Ἠσκημένον, κατεσκευασμένον, ἀσκήματα γὰρ τὰ σκευάσματα, ἀλλ' οὐκ Ὠρίων. πλὴν λέγω γ' ἠσκημένον, καὶ ἠσκημένα, μεμελετηκὼς, πεπαιδευμένος.

Ἠσκημένος, μεμελετηκὼς, πεπαιδευμένος, εἰργασμένος.

Ἤσκησε, κυριωτάτη λέξις, δηλοῦσα ἔργου ἐπιμέλειαν, ὡς καὶ ἐν τῷ ἤσκειν ἔργα.

Ἧσμα, νόσημα.

Ἦσμεν, ἔστιν εἴδω τὸ γινώσκω, ὁ ὑπερσυντέλικος ᾔδειν. τὸ δυϊκὸν ᾔδειτον ᾐδείτην, καὶ συγκοπῇ τῆς ει διφθόγγου καὶ τροπῇ τοῦ δ εἰς σ ἧστην. τὸ πληθυντικὸν ἧσμεν, ἀντὶ τοῦ ᾔδειμεν. καὶ ἧστε ἀντὶ τοῦ ᾔδειτε, καὶ ἦσαν ἀντὶ τοῦ ᾔδεσαν. καὶ ταῦτα ἐν χρήσει παρὰ ποιηταῖς.

Ἡσμένισας, ἐχάρης.

Ἡσμένος, ἀπὸ τοῦ ἥδω. κατὰ συστολὴν τῆς ἀρχούσης, ἄσμενος. καὶ ἅμα συστολῇ, ἀνεβίβασε τὸν τόνον καὶ προπαροξύνεται.

Ἧσο, παρ' αὐτὸν ἴσαι. καὶ ὀΐζυε, παρ' Ὁμήρῳ τὸ παρακαθῆσθαι τῷ ἀνδρί. ἀλόχου μὲν τὸ δὲ περὶ τὸν δεσπότην, οἰζύειν δούλοις ἐστίν. ἢ ἧσο παρ' Ὁμήρῳ, ἀντὶ τοῦ δίαγε καὶ μένε κεῖται. ἄλλως γὰρ οὐκ ἦν ἐν τοιαύτῃ μάχῃ καθέζεσθαί τινα.

Ἤσπαιρεν, ἐσκάριζεν, ἔστιλβεν, ἔλαμπεν, ἀπέπνιγεν, ἔσπαιρεν.

Ἥστια, Ἀλλόβριγες, Γαλατῶν ἔθνος. δύσμαχοι δ' αὐτῶν ἦσαν αἱ πόλεις, ἀπὸ τῆς ἀμπώτεως ἐφ' ἡμέραν ἠπειρούμεναί τε, καὶ νησούμεναι. οἱ δὲ πλοίοις ἐπολέμουν. τοῦ δὲ Καίσαρος Γαΐου περὶ τὰς πόλεις σταυροὺς πηξαμένου ὑψηλοὺς, καὶ τοῖς σταυροῖς ἐπιθέντος γεφυρώματα, ὁ μὲν κλύδων ἐχώρει διὰ τῶν σταυρωμάτων ὑπὸ τοῖς γεφυρώμασι. Ῥωμαίοις δὲ ἄδεες ἦν, καὶ ἐπίμονον τὸ ἔργον.

Ἡσπικότες, συνελθόντες, βοηθήσαντες.

Ἧσσα, ἡ τροπὴ, ἡ νίκη.

Ἡσσήθην, ἐνικήθην. ἢ ἡσσήθην, ἀντὶ τοῦ ἡττήθην.

Ἥσσωτο, ἥττωντο.

Ἡσσῆσθαι, ἀντὶ τοῦ ἡττῆσθαι.

Ἡσσηκότας, ἡττηθέντας.

Ἧσσον, οὐδαμῶς.

Ἧσσον, τὸ μικρὸν, τὸ ἔλαττον. ἢ ἧσσον, ἧττον, χεῖρον. ἧσο, χεῖσο.

Ἥσσων, ὁ ἐλάττων.

Ἡσσῶνται, ἡττῶνται.

Ἧσται, καθέζεται. ἧσται δὲ, ὠνόμασται.

Ἥστην, ἐκαθέζοντο, δυϊκῶς. Ἀριστοφάνης Ὄρνισι, πόδ' ἄρ' ἥστην. τινὲς δὲ διὰ τοῦ ι ἴστην, ἀντὶ τοῦ ᾔδεσαν. οὐδὲν ἄλλο ἴστην, ἢ δάκνειν.

Ἠστεΐσκε, ἀστεῖα ἔλεγεν, ἐκ τοῦ ἀστεΐζω.

Ἠστλώειν, ἐρᾶν, ἐρᾶσθαι.

Ἥστην, ἀντὶ τοῦ ὑπῆρχον. εἰμὶ, ὤν, ὁ παρατατικός. τὸ δυϊκὸν ἦτον ἤστην, τροπῇ τοῦ ε αἰτη, ἤστην. ἢ τὸ ἤστην δοκεῖ πλεονασμὸν ἔχειν τοῦ σ, εἴπερ ἀπὸ τοῦ ἦν πρώτου προσώπου ἑνικοῦ γίνεται. εἰ δ' ἄλλως, ἐκ τοῦ ἧον γίνεται, ἔχοι ἂν σὺν τῷ ῥηθέντι πλεονασμῷ καὶ συγκοπήν. ἧον γὰρ, ἧες ἧεν, δυϊκὰ ἥετον ἡέτην, καὶ κατὰ δύο πάθη ἤστην. ἢ ἤστην, τὸ θέμα εἰμὶ τὸ ὑπάρχω. καὶ ὁ παρατατικὸς ἦν. τὸ τρίτον τῶν δυϊκῶν, ἤτην. καὶ ἤστην, πλεονασμῷ τοῦ σ. εὕρηται παρὰ τῷ Ἀριστοφάνει, πόδ' οὐκ ἄρ' ἤστην. τινὲς δὲ τοῦτο διὰ τοῦ ι γράφουσιν ἴστην, ἀντὶ τοῦ ᾔδεσαν, ἢ ἀντὶ τοῦ ἦσαν.

Ἧστο, ἐκαθέζετο, ἢ ἐκ τοῦ ἕζω τὸ καθέζομαι. ἢ ἐκ τοῦ ἕω, ὃ σημαίνει τὸ αὐτὸ, ἕω ἥσω ἧκα ἧσμαι ἥσμην ἧσο ἧστο. ἢ ἥμην ἧσο ἧτο, καὶ ἐπενθέσει τοῦ σ ἧστο.

Ἡστὸν, ἀπὸ τοῦ ἥδω ἥσω ἧκα, ἧμαι ἧσαι ἧσται, γίνεται ἡστόν. καὶ ἡστὸν, ἡδὺ, εὐφραντόν.

Ἠστόχησεν, οὐκ ἐπέτυχεν.

Ἤστραπτο, ἤγουν ἐλάμπετο.

Ἡσυνθέτηκας, ἀσυνθέτου καὶ ὡμολόγησας, παρέβης.

Ἡσυχάζω, ἀτρεμῶ, ἠρεμῶ, ἀτρεμίζω.

Ἡσύχιον, τὸ μεθ' ἡσυχίας.

Ἡσυχία, γαλήνη, ἠρεμία. ἢ ἡσυχία, κατάστασις μισόκοσμος πρὸς ἑαυτὴν, καὶ Θεὸν ἀνανεύουσα.

Ἡσυχίδαι, γένος Ἀθήνησιν ἰθαγενῶν.

Ἥσυχος, ἀπράγμων.

Ἧσφιν, ἢ τοῖς αὐτοῖς.

Ἤσχαλλον, ἐλυποῦντο.

Ἠσχάτισεν, ὑστέρισεν.

Ἠσχολήθημεν, σχολὴν ἐποιήσαμεν.

Ἤσχυνεν, ἀντὶ τοῦ ἀκαλλὲς ἐποίησεν. ἀντίκειται γὰρ, ὥσπερ τὸ αἶσχος τῷ κάλλει, καὶ τὸ αἰσχρὸν τῷ καλῷ, οὕτω καὶ τὸ αἰσχύνειν τῷ καλλύνειν. ὡς τὸ παρὰ τῷ Ποιητῇ, χαρίεν ἤσχυνε πρόσωπον, τὸ πρῶτον δηλαδὴ καλόν. καὶ κόμην ᾔσχυνε τὴν ξανθὴν καὶ καλήν.

Ἥσω, ἀφήσω, ἐάσω, ἀκοντίσω.

ΤΟ Η. ΜΕΤΑ ΤΟΥ Τ.

Ἦ τ' ἄρα καί σοι πρῶτα, ἐν τῷ λ'. τῆς Ὀδυσσείας, ἤγουν πρὸ καιροῦ κατὰ τοὺς Ἀττικοὺς, παραστήσεσθαι ἔμελλε μοῖρα ὀλοή.

Ἡταιρηκὼς, ἐπὶ τῆς πορνείας. ἡταιρικὼς δὲ, ἐπὶ τοῦ ἑταίρου, διὰ τοῦ ι.

Ἡταιρηκυῖα, πεπορνευκυῖα.

Ἡταίρηκεν, ἠπίκτησεν. ἡταιρηκέναι δὲ τοῖς ἄνω μέρεσι τοῦ σώματος, οὐκ εἶναι δ' ἄξιον τὸ ἱερὸν πῦρ φυσᾶν.

Ἠτάκτησε, μετὰ ἀταξίας ἔπραξεν.

Ἦτας, ἤλγυνας.

Ἤτασεν, ἐβασάνισεν.

Ἦτε, ἀντὶ τοῦ ὑπήρχετε. οἱ δὲ Ἀττικοὶ μετὰ τοῦ σ γράφουσι. Πλάτων, παρῆστε γὰρ χθές. καὶ Λυσίας, οὐχ οἷοί τε ἦστε.

Ἤτει, παρεκάλει.

Ἦτ' ἐφάμην, ὑπέλαβον.

Ἦ τεόν, ἢ τὸ σὸν, ἀληθές.

Ἤτηκα. αἰτῶ, τὸ ζητῶ, ὁ μέλλων αἰτήσω, ὁ παρακείμενος ἤτηκα. ὁ ὑπερσυντέλικος, ἠτήκειν, εις, ει.

Ἠτημένην, ἀντὶ τοῦ κεχρημένην. Διογένης ἐν τῷ κατ' Ἀργείου, εἰ γνήσιος. ὅτι γὰρ αἰτεῖσθαι ἔλεγον τὸ κεχρῆσθαι. Μένανδρος, πῦρ γὰρ οὐδ' ὅλως αἰτούμενος.

Ἤτησεν, ἐζήτησεν.

Ἠτίμησεν, ἐκ τοῦ ἀτιμάω ἀτιμήσω, ἀόριστος ἠτίμησα. ἢ ἠτίμησεν, ἠτίμασεν, ὕβρισεν.

Ἥ τίς ἐστι δίκη, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ὅπερ ἐστὶ δίκαιον, καὶ οἱονεὶ νόμος, ἢ ἔθος.

Ἠτιγώνιον, τέττιγι ὅμοιον, καὶ ὁ κέρκωψ.

Ἠτινήθη, ἐκνίθη.

Ἠτίζουσιν, αἰτιῶνται, ἐπιφημίζουσιν.

Ἠτιμασμένον, ἠφανισμένον.

Ἤτοι, ποτὲ μέν ἐστιν ἐπίρρημα διασαφητικὸν, ἀντὶ τοῦ ἤγουν. ἐν ἄλλοις δὲ καὶ σύνδεσμός ἐστι, παρὰ μὲν τοῖς ποιηταῖς συμπλεκτικὸς, ὁ αὐτὸς τῷ μὲν, τούτῳ μόνον διαφέρων, ὅτι ἐκεῖνος μὲν ὑποτάσσεται, οὗτος δὲ προτάσσεται. ὡς τὸ, ἤτοι ὅγ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο. ἀνταποδοτικὸς δὲ ἐστιν αὐτοῦ ὁ αὐτὰρ λέγεται. ὥσπερ ὁ δὲ τοῦ μὲν, τούτῳ καὶ ὃς καὶ ἀτὰρ οὗτος διαφέρει τοῦ γε, ὅπερ ὁ ἤτοι τοῦ μὲν, τἄλλα δὲ ὁ αὐτός. παρὰ δὲ Ἀττικοῖς, τὸ ἤτοι σύνδεσμός ἐστι διαζευκτικὸς, ἀντὶ τοῦ ἤ, τοῦ τοι παραπληρωματικοῦ προσλαμβανομένου παρ' αὐτοῖς, ὥσπερ καὶ ἐν τῷ ἔγωγε. Σημείωσαι δὲ, ὡς κατ' ἀρχὰς μὲν τὸ ἤτοι τίθεται ἀεὶ, ὕστερον δὲ τὸ ἤ. οὕτω γὰρ φαμὲν, ἤτοι τόδε, ἢ τόδε. ἑτέρως δὲ οὐ τίθεται. παρὰ Πινδάρῳ ἅπαξ εὕρηται διὰ τὴν ἀνάγκην τοῦ μέτρου. ἤτοι προτάσσεται ἐν τῷ λόγῳ, οἷον ἤτοι ὅγ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο. καὶ σημαίνει τὸ μέν.

Ἦτορ κατὰ τοὺς παλαιοὺς, ἡ ψυχὴ, παρὰ τὸ ἄω τὸ πνέω. πνεῦμα γὰρ νοερὸν ἡ ψυχή.

Ἠτρεμεῖ, ἡσυχάζει.

Ἤτρια, οἱ στήμονες. ἢ ἤτριον, ἔνδυμα ὑμενῶδες.

Ἦτριον, τὸ ἧπαρ, ἢ τὸ ἄτρωτον. καὶ ἤτριον, ἱμάτιον ἀνηφές. καὶ ἀραιὸν, ἢ καὶ ὑψηλὸς ἔλαφος.

Ἦτρον, τὸ ὑπὸ τὸν ὀμφαλὸν μέρος, καὶ τὸ κάλυμμα τῆς μήτρας, ὃ καλοῦσιν ἔλυτρον. Ἀριστοφάνης, τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισεν.

Ἠτρέμιζεν, ἐκαρτέρει, ἡσύχαζεν. ἤτρια, καὶ ἠτραῖον, καὶ ἤτριον, ἔνδυμα ὑμενῶδες μετεωρίζον τὸ ποικίλον. ἤτριον πάσας ἠλίασε τροπὰς, λέγει περὶ τοῦ δρακοντοειδοῦς σημείου τοῦ ἐν πολέμῳ. ἤτριον δὲ, τὸ ἄτρωτον.

Ἧττα, ἡ τροπὴ, ἡ νίκη, ἡ ἧττησις.

Ἡττῶμαι, μετὰ γενικῆς. ἔσθ' ὅτε καὶ μετὰ δοτικῆς.

Digitized by Google

Ηττον, τὸ ἧττον ἐπὶ τοῦ ἄκοντος ἀποθνήσκοντος, ἀδίκως, οὐκ ἐπὶ τοῦ ἐλπίδας ἐχόντος ἐπιδώσειν εἰς ἀρετήν. ἐπειδὴ τοῦ σπουδαίου, ἀντὶ τοῦ οὐδαμῶς ἀποδεκτέον.

Ηττονες, καταδεέστεροι.

Ηττον, ἁπλῶς δηλοῖ τὸ ἔλαττον. δηλοῖ δὲ καὶ τὸ οὐδὲν παρ' Ἀττικοῖς. ὡς καὶ Ἀριστοφάνης, ἧττόν μοι μέλει, ἀντὶ τοῦ οὐδέν. ὡς καὶ τὸ βραχὺ τίθεται ἀντὶ τοῦ οὐδέν. ὡς τὸ, βραχὺ φροντίζω σου, ἀντὶ τοῦ οὐδέν.

Ηττω, ὑδατώρως. καὶ ἧττους Ἀττικοί, ἐπ' εὐθείας καὶ αἰτιατικῆς διὰ πληθυντικῶν λέγουσι. καὶ ἁπλῶς τὴν τοιαύτην κρᾶσιν ἐπιτάσει τοῖς εἰς ων συγκριτικοῖς, καὶ ἐν τοῖς τρισὶ γένεσι ποιοῦσιν.

Ηττώμενος γενικῇ, νικώμενος.

Ηττων λόγος, ὁ ἄδικος παρὰ τῷ Ἀριστοφάνει, ὅτι ποιεῖ αὐτοὺς ἡττηθῆναι. ἢ ὅτι τὸ ἥττονα λέγει ἐπὶ τὸ πάντας ἡττᾶσθαι. καὶ ἥττονας κέρδους λέγομεν, οὓς τὰ κέρδη νικῶσιν, ἤγουν τοὺς φιλαργύρους. ἢ ἥττων, ἐλάττων. ὅταν δὲ ἦν Ἐπίκουρος ἡδονῆς ἥττων, ἤτοι ἐπιχείρησις.

Ηυ, ὑπαρχέτω. * τρίτον πρόσωπόν ἐστι προσακτικὸν ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω, ἡ μετοχὴ εἰς, ἔντος, τὸ προσακτικὸν ἴσθι ἔστω, ἐπεκτάσει ἤτω, καὶ πλεονασμῷ τοῦ σ ἔστω, ἢ ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω ἦον, ἦες, ἦε, καὶ τὸ προσακτικόν, ἦε, ἠέτω, καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς η, ἤτω.

ΤΟ' Η'. ΜΕΤΑ' ΤΟΥ' Υ'.

Ηΰ, ἀγαθὸν, προσηνὲς, ἰσχυρόν.

Ηὔγει, ἔλαμπεν. ἐκ τοῦ αὐγέω, παρατατικὸς ηὔγουν ηὔγεις ηὔγει.

Ηὐγένειος, ὁ καλὸν γένειον ἔχων. ἢ εὔγονος, ἢ εὐγενής, ἢ καλογένειος.

Ηὔδα, ἔλεγεν, εἶπεν, ἐφώνει.

Ηὐδάξαντο, ἐφήμισαν, ἤχησαν, εἶπον.

Ηὐδόκησα, ἠθέλησα.

Ηὐδαίμονον, εὐδαίμονον.

Ηὐδ' ὁμίχλη, καθάπερ ὁμίχλη, σκοτία ὑδατώδης, ἢ παχὺς ἀήρ.

Ηὐθυνθη, ὑπὸ ἔγκλημα ἔπεσεν, ηὔθυνεν.

Ηὔκομος, ἐπὶ γυναικῶν. καρηκομόωντες δὲ, ἐπὶ ἀνδρῶν.

Ηὔληται, πεφύσηται, κεκλύτηται, τετάρακται.

Ηὔλισα, ὠργάνισα, κατέλυσα.

Ηὐλίσαντο, ἐσπαράχθησαν, ἐγράφησαν, πεφύσηνται. καὶ ηὐλίσαντο, κατέλυσαν, ἐπλήκευσαν.

Ηὐλίσθησαν, ἐσκήνωσαν, οἰκείωσαν.

Ηὐλόγησα, ηὐξάμην. καὶ εὐλόγησα, ὡς Ἀττικώτερον.

Ηὐμοίρησα, ἐπέτυχον.

Ηὔνασας, ἐκοίμισας, ἔπαυσας.

Ηὐπόρησα, ἐν εὐπορίᾳ εἰμί. καὶ ηὐπόρησεν, ἐπλούτησεν.

Ηὑρῆσθαι, καὶ εὑρῆσθαι.

Ηὔρω. ἀόριστος ηὐράμην ηὔρω, καὶ ἐν συνηθείᾳ ἀπηύρω Ἰωνικῶς. ὤφελε γὰρ εἶναι ἀφηύρω, ἀλλ' Ἴωνες εἰσὶ ψιλωταί, Ἀττικώτερον γὰρ φασιν, ἀντὶ τοῦ ἀφηλιώτης.

Ηὔς, ὁ ὀρθὸς, ἢ ὁ μέγας. καὶ ὁ μὲν ἰσχυρὸς καὶ γενναῖος, παρὰ τὸ ἔω ὑπάρχω, ἢ ἀπὸ τοῦ αὔω φωνῶ.

Ηὔσεν, ἐφώνησεν, ἐβόησεν. αὔω τὸ φωνῶ, αὔσω. διάλυσι αὔσω, ἤυσα καὶ ἤυσα, ἤυσεν καὶ ἤυσεν.

Ηὔτε, καθάπερ, ὥς τε, ὥσπερ, ὡς, ὅτε, καθά.

Ηὐτομόλησεν, ἀφ' ἑαυτοῦ παρεγένετο, καὶ ἀντὶ τοῦ προσέδραμε τοῖς πολεμίοις.

Ηὐτρέπισα, ἡτοίμασα.

Ηὔχει, ἐκαυχᾶτο, ἐκόμπαζεν, ἐκ τοῦ αὐχέω παρατατικός, καὶ εὔχει, ἤλπιζεν.

Ηὐχένιζε, τὸν τράχηλον ἀπέκοπτεν, ἐλαιμοτόμει, ὅπερ Ὅμηρος αὐερύειν φησί.

ΤΟ' Η'. ΜΕΤΑ' ΤΟΥ' Φ'.

Ηφαίστιον, χαλκεῖον.

Ηφαιστία, Ἀθηνᾶ, καὶ πόλις τῆς Λήμνου.

Ηφαιστότευκτα, τυρίκαυστα.

Ηφαίστοιο, τοῦ πυρός.

Ηφαιστος, ὅτε μὲν ὁ Θεός. ἥφαιστος τοίνυν ἰδίως σὶ πραττίδεσιν. ὅτε δὲ μετωνυμικῶς, τὸ πῦρ. παρά τισι δὲ, ὁ Ἥλιος.

Ηφαιστ, δύο ῥίψας ὁ μῦθος λέγει. πρότερον μὲν τὴν μετὰ γένεσιν ὑπ' αὐτῆς τῆς Ἥρας, ὅτε καὶ ἐχωλάνθη. δεύτερον δὲ, τὴν ὑπὸ τοῦ Διὸς, ὅτε τῇ μητρὶ ἀλεξῆσαι ἤθελε δεσμευθείσῃ πρὸς Διός.

Ηφάνισεν αὐτὸν, ἀφανῆ ἑαυτὸν ἐποίησεν.

Ηφατον, ὄρος.

Ηφείδησαν, καὶ ἠφειδηκότες, κατηναλώσαντες, μὴ φεισάμενοι.

Ηφείδουν, οὐκ ἐποιοῦντο φροντίδα, οὐκ ἐφείδοντο.

Ηφέθη, ἰάθη, συνεχωρήθη.

Ηφηνιακὼς καὶ ἀφηνιάσας, ἤτοι ἀποπτύσας τὸν χαλινόν.

Ηφίαλεν, ἐπεχείρησεν.

Ηφίει, ἔπεμπεν, ἀπέλυεν. καὶ ἠφίει, οὐκ ἀφίει.

Ηφλυσμός, ἀφρός.

Ηφρίζον, ἀντὶ τοῦ ἀφρὸν ἔπεμπον.

Ηφρονίσαντο, ἐμωράνθησαν, ἀχρεῖοι ἐγένοντο.

Ηφρόνησε, κακῶς ἐφρόνησε.

Ηφύσα, ἡ γεννήσασα. καὶ ὁ φύς, ὁ γεννήσας.

Ηφυσάμην, ἐφελκυσάμην.

Ηφυσε, διέπεμε, πολλὴν ἀπλήστως, διέχεεν, ἔπιεν, ἐξεφύσησεν, ἐξῴδησεν.

Ηφυρίσθαι, διακεχυρίσθαι.

ΤΟ' Η'. ΜΕΤΑ' ΤΟΥ' Χ'.

Ηχάνω, τυγχάνω.

Ηχάραξ ἐρείς, τὸ τῆς ἀμπέλου στήριγμα. οὐ κατὰ τὸ ἀρρενικόν, Φρύνιχος.

Ηχαιεν, ᾖτει.

Ηχῆ, φωνή, ψόφος.

Ηχεῖον, τὸ βύκιον, τὸν χαλκόν. οἱ δὲ μουσικόν, τὸ πρὸς τῇ μαγάδι χάλκωμα.

Ηχεν, ἐγεγανήκει. καὶ ἀντὶ τοῦ ἐκοίμισεν. ἦχεν ἐπὶ τὸν οἶκον.

Ηχέτα, ἠχητικός.

Ηχέτης ὁ ἀρρὴν τέττιξ. ἀλλά σε γηρύοντα κατὰ δάσιν ἠχέτα τέττιξ, παιδὸς ἀπ' ᾠδῆς, χειρὶ μεταπτάμενον.

Ηχήεσσα, ἠχώδης, εὔηχος, θορυβώδης.

Ηχλῶες, κενοί, πτωχοί.

Ηχθαι, πεπληρῶσθαι.

Ηχθαιρεν, ἐμίσει. ἤχθηρεν, ἐμίσησεν.

Ηχέω ἠχῶ, ἤχουν ἤχηκα ἠχήκειν ἤχησα, ἰξέω ἴξεον ἴξευκα ἰξεύκειν ἴξευσα, ὑβρίζω ὕβριζον ὕβρικα ὑβρίκειν ὕβρισα, ὠφελέω ὠφελῶ, ὠφέλουν, ὠφέληκα, ὠφελήκειν, ὠφέλησα. τὰ ἀπὸ ἀμεταβόλων φωνηέντων ἀρχόμενα ῥήματα, δηλονότι τοῦ η, ι, υ, ω, ἐν τοῖς παρῳχημένοις ὁμοίαν ἔχουσι φωνηέντων ποιοῦσιν, ὡς ἐν τοῖς ἄνωθεν δέδεικται.

Ηχή, καὶ ἠχώ, οὐκ ἦχος. καὶ ἠχὴ ποιητικόν, ἦχος κοινόν. Ἠχὼ τὸ τῆς κραυγῆς ἀντίφθεγμα, ἢ φωνή, ἡ λαλιά, ἡ κραυγή, καὶ ὄνομα Θεᾶς.

Ηχήεντα δώματα, τὰ μεγάλα. τοῖς γὰρ μικροῖς οὐκ ἔστι προσαρμόσαι τὸ ἐπίθετον. ὀνοματοποιεῖται δὲ ὁ ἦχος, καὶ τὸ ἠχεῖν, καὶ ἡ ἠχή. ὅθεν τὸ ἠχῆεν, ὡς δηλοῖ καὶ ἡ ἠχήεσσα θάλασσα. λέγεται δὲ ἡ λέξις, καὶ ἐπὶ ζώων. ὅθεν καὶ ἠχέτα τέττιξ.

Ηχήεσσα, περὶ ἣν πολὺς ἦχος γίνεται.

Ηχθέσθην ἐπὶ τῷ δανί. καὶ δίχα προθέσεως. ἠχθέσθην τῷ δανί, καὶ χωρὶς τοῦ δανός. καὶ ἠχθέσθην ἐπὶ τὸν δᾶνα.

Ηχθετο, ἐλυπεῖτο, ἐθυμοῦτο, δύναται νοηθῆναι, καὶ ἀντὶ τοῦ ἐμισεῖθη παρ' Ὁμήρῳ καὶ ἤχθετο ναῦς, ἀντὶ τοῦ ἐβαρύνετο φόρτῳ. καὶ συγκροτεῖται, καὶ διὰ τοῦ ὅσα οἱ νέες ἄχθος ἄειραν. οἱ μέν τοι μεθ' Ὅμηρον καὶ ἐπὶ λύπης τὸ, ἐπ' ἄχθεσθαι τιθέασι. καὶ τὴν ἐξ αὐτοῦ ἀχθηδόνα.

Ηχθισμένη, βεβαρημένη.

Ηχθοντο, ἠγανάκτουν. ἤχθοντο τοῦ στρατιωτικὸν, κατηγόρουν τι αὐτῶν.

Ηχι, ὅπου.

Ηχλαν, τὴν λυπηράν.

Ηχλυσε, συνεσκότωσεν.

Ηχος, κραυγή, κτύπος, ἢ φωνή, ἢ λαλιά, ἢ φήμη.

Ηχρειώσασαν, ἀχρεῖοι ἐγένοντο, καὶ ἄχρηστοι γεγόνασιν, ἢ μεγαγχολᾶν, ἐπὶ τοῦ μὴ λυπεῖσθαι, μὴ τε χαίρειν.

Ηχῶ, αὐδῶ, κελαδῶ, κελαρύζω.

Ηχώ, τὸ τῆς κραυγῆς ἀντίφθεγμα, καὶ ὄνομα θεᾶς. ἦχος δὲ καὶ ἠχὴ ποιητικῶς, τὸ αὐτὸ, ἐπὶ φωνῆς, καὶ βροντῆς, καὶ μέλους, καὶ τοιούτων τινῶν.

Ηχωτηρίαν, χυτρόπουν λέγει. οἱ δὲ τὴν Αἴγιναν. ἐπειδὴ ἐκεῖ ὄστρακα πολλά ἐστι. τοῦτο γὰρ ἡ Αἴγινα.

ΤΟ' Η'. ΜΕΤΑ' ΤΟΥ' Ψ'.

Ηψατο, ἐλάβετο, προσέψαυσεν, παρεκράτησεν. ἢ ἥψατο, ἐκράτησεν. καὶ ἀντὶ τοῦ βρόχον ἀνήρτησεν.

Ηψεν, ἀνῆψεν. ἦψε δὲ ἀντὶ τοῦ ἔβλαψεν, ι.

Ηψήσατο, ἐψητῷ βάμματι ἐβάψατο.

Ηψησεν, ἐμαγείρευσεν.

ΤΟ' Η'. ΜΕΤΑ' ΤΟΥ' Ω'.

Ηώ, καὶ ἠώς, ἡ ἡμέρα Ἰωνικῶς. καὶ ἕως ἡ ἡμέρα Ἀττικῶς, ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω.

Ηϊα, ἡ Κέδρος, Ἐθνικῶς.

Ηών, ὄνομα πόλεως. καὶ ἠιών, αἰγιαλός.

Ηῶθεν, ἕωθεν, ὄρθρου.

Ηῶθι πρό, ἀντὶ τοῦ πρὸ ἠοῦς, ὅ ἐστι πρωίας. ἢ ἠῶθι πρό, ἤγουν ἐκ πρωίας. ὁ σχηματισμὸς καθὰ τὸ Ἰλιόθι πρό, καὶ οὐρανόθι πρό.

Ηώκοιτος, ὁ πρωϊνὸς ὕπνος.

Ηών δισυλλάβως, τόπος ἐστὶ Στρυμόνιος. καὶ Ἠϊὼν τρισυλλάβως, πόλις ἐν χερρονήσῳ, παρὰ Θουκυδίδῃ, καὶ ἄλλη πρὸς τῇ Πιερίᾳ. ὧν οἱ πολῖται, ἠιονεῖς, καὶ ἠϊονῖται, ὡς δηλοῦσιν οἱ παλαιοί.

Ηώριζε, ἐβράδυνεν, ἐχρόνισεν. ἀπὸ τοῦ αἰωρίζω.

Ηών, παραθαλάσσιος τόπος.

Ηωρημένη, κρεμαμένη. καὶ ἠώρησεν, ἐκρέμασεν, ἀνῆψεν, ἐν ἐπιγράμματι.

Ηωρῆσθαι, ἠρτῆσθαι, κρέμασθαι. ἀπὸ τοῦ αἰωρῶ, ὁ παρακείμενος ἠώρηκα, ὁ παθητικὸς ἠώρημαι. καὶ τὸ ἀπαρέμφατον ἠωρῆσθαι.

Ηώρητο, ἤρτητο, ᾤρτο.

Ηώρουν, ἐβάσταζον, ἀνεῖχον. τὴν δὲ κλίνην τοῦτον οἱ τέσσαρες χρυσοῖ ἠώρουν. αἰωρῶ τὸ ῥῆμα.

Ηώς, ἐξοχῶς λέγεται. καὶ γὰρ ἡ πρωΐα, καὶ αὐθις τὸ ἐξ αὐτῆς μέχρι μέσης ἡμέρας. καὶ πάλιν τὸ ἐκ πρωΐας ἕως ἑσπέρας. καὶ τὸ πρωΐθεν δὲ, ἕως ἑσπέρας πρωΐας, ὅ ἐστι νυχθήμερον. λέγεται δὲ ἠώς, καὶ ἡ ἀνατολή. ἔτι δὲ καὶ ὁ συμαπευθὴς θεᾶ, ἣν ὁ μῦθος ἅρματι κελεύτιζουσαν ἐπὶ τοῦ Πηγάσου, ἔτι δὲ καὶ λαμπαδηφόρον πλάττει. καὶ ταῦτα μὲν τὰ ἐξ, τῆς ἠοῦς σημαινόμενα. ὧν πάντων αἱ χρήσεις, παρὰ τῷ Ποιητῇ. ὅτε δὲ εἶπεν ἐν τῇ ῥαψῳδίᾳ δεκάτῃ ἦμαρ ὁ Ποιητής, δίδωσι νοεῖν, ὅτι καθάπερ ἡ πρωΐα, ἠὼς λέγεται, οὕτω καὶ τὸ δειλινόν. ὡς εἶναι συνῴτην, ἐπεὶ σημαινόμενα τῆς ἠοῦς. ὅτε δὲ κανονικῶς ὀξύνεται ἡ ἠώς, δηλοῖ ὁ γράψας, ὡς τὰ εἰς ως τὰ μὲν ὑπὲρ μίαν συλλαβὴν βαρύνεται. τὰ δὲ μονοσύλλαβα, ἐν ὀξύνεται, μένον ἄκλιτον, ἢ δώς, ὅ ἐστιν ἡ δωρεά. τὰ δὲ ἄλλα περισπῶνται, Κρῶς πόλις, Τλῶς. ὁμοίως Κῶς, νῆσος, καὶ πόλις.

Ηώς, σημαίνει τέσσαρα. τὴν ἀπὸ πρωῒ μέχρι τοῦ γεύματος καιρόν, τὴν ὅλην ἡμέραν, τὸ νυχθήμερον, καὶ τὸ καθολικώτερον αὐτὸ λέγειν ὄνομα

ὄνομα νεὼς καὶ ἡμέρας, ὅπερ οἱ μυθογράφοι σωματοειδῆ θεὰν εἶπον.

Ἠὼ, λέγει Ὅμηρος τὴν ἡμέραν, καὶ τὴν θεάν. ἣν νομίζει προστάτιν τῆς ἡμέρας. ὡς Ἀπόλλωνα λέγει, τὸν τε ὁρώμενον τοῦτον Ἥλιον, καὶ τὸν θεὸν, ὃν νομίζει προστάτην τοῦ Ἡλίου. καὶ νύκτα, τὸ νυκτερινὸν σκότος, καὶ θεὰν προστάτιν αὐτῆς. ἀχώριστα δὲ ταῦτα οἶδεν ἀλλήλων. οὐδέποτε γὰρ ἡμέραν νομίζει χωρὶς τοῦ προστατοῦντος αὐτῆς δαίμονος. οὐδὲ Ἥλιον, οὐδὲ νύκτα, χωρὶς τῶν θεῶν, οὓς νομίζει προστατεῖν αὐτῶν. διὰ δὴ πολλάκις τῷ προστατοῦντι θεῷ, τὸν τοῦ προστατουμένου λόγον συμπλέκει. εὔχεται μὲν γὰρ ὁ Χρύσης τῷ Ἀπόλλωνι κατὰ τῶν Ἑλλήνων, τῷ θεῷ δηλονότι, καὶ τὰ ἄλλα.

Τέλος τοῦ ζ΄. στοιχείου.

ἈΡΧΗ͂ ΤΟΥ͂ Θ΄.

ΣΤΟΙΧΕΊΟΥ. ΤΟ͂ ΑΥΤΟ͂ ΜΕΤᾺ ΤΟΥ͂ Α΄.

Θ Ἦτα τὸ στοιχεῖον, παρὰ τὸ τὴν θέσιν τοῦ παντὸς μιμεῖσθαι, ἤτοι τοῦ οὐρανοῦ τὸ κυκλοτερὲς ἔχον. καὶ τὸν διὰ μέσον ἄξονα, τὴν κατὰ τὸ μέσον μακρὰν ἔχει.

Θ καὶ τὸ δ εἰς ἄλληλα τροπὴν αἰολέων εἶναί φασιν. οἷον τὸ οὐδὲν οὐθὲν, ἐξουδενῶ ἐξουθενῶ, μύδω μύθω, δάσος θάσος.

Θάασσεν, ἀντὶ τοῦ ἐτίθετο, ἐκάθητο. ἐξ οὗ καὶ θάκος ὁ θρόνος, ὁ καὶ θῶκος. καὶ θακεῖν, τὸ καθῆσθαι. ἢ θάασσεν, ἤτοι ἐκάθητο. ἐξ οὗ θάκος ὁ θρόνος λέγεται. ὡς ἀπὸ τοῦ θῶ ὁ θῶκος. θοάζειν μὲν γάρ φασι, τὸ σπεύδειν, μαίνεσθαι, σκιρτᾶν. θάασσε δὲ, τὸ ἐκάθητο. καὶ θακεῖ, κάθηται. καὶ θάκος, δίφρος, καθέδρα.

Θαβακὸν, θακὸν, ἢ ὅμορον.

Θαβὼρ, ὄνομα ὄρους. λέγεται δὲ καὶ θαβώριον, ἔστι δὲ ἐν Συρίᾳ.

Θαγῆ, ἥξεις.

Θάεο, θεώρει.

Θαζόμενος, σκώπτων.

Θάημα, ἀπὸ τοῦ θεῶ θεήσω, θέημα. καὶ τροπῇ τοῦ ε εἰς α θάημα Δωρικῶς.

Θαὶ, θυμιάματα ἀρωμάτων, παρὰ τῷ Ἱπποκράτει.

Θαίβει, ἐλαύνει.

Θαιμὰν, ἡ ἀνατολή. τινὲς δὲ τὸ νότιον μέρος φασίν.

Θαιμὸς, οἰκία, σπόρος, φυτεία.

Θαιρὸς, στρόφιγξ θύρας, παρ' Ὁμήρῳ ἐν τῷ μ' τῆς Ἰλιάδος. ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ὅτι θαιρὸς ὁ ἄξων, παρὰ Σοφοκλεῖ.

Θαιροδύτης, ὁ δακτύλιος τοῦ ζυγοῦ.

Θακέουσι, κάθηνται, καὶ θακῶ.

Θάκος Ἀττικὸν, θρόνος Ἑλληνικὸν, θῶκος δὲ ποιητικόν. ἢ θάκος, τόπος ἔνθα πολλοὶ συνήρχοντο σκεψόμενοι.

Θαλάμαι, σῆλαι ἐπικείμεναι τοῖς αἰδοίοις τῶν ἀπαιδότων.

Θαλάμακι τῷ κοπηλατοῦντι, ἐν τῷ κάτω μέρει τῆς τριήρους. οἱ δὲ θαλάμακες, ὀλίγον ἐλάμβανον μισθὸν, διὰ τὸ κολοβαῖς χρῆσθαι κώπαις παρὰ τὰς ἄλλας τρεῖς τάξεις τῶν ἐρετμῶν, ὅτι μᾶλλον ἐγγύς εἰσι τοῦ ὕδατος. ἦσαν δὲ τρεῖς τάξεις τῶν αὐτῶν ἐρετμῶν. καὶ ἡ μὲν κάτω θαλαμῖται. ἡ δὲ μέση ζυγῖται. ἡ δὲ ἄνω, θρανῖται. θρανίτης οὖν ὁ πρὸς τὴν πρύμναν, ζυγίτης, ὁ μέσος, θαλαμίτης, ὁ πρὸς πρώραν. καὶ θαλαμία ὀπὴ, δι' ἧς ἐξέρχεται ἡ κώπη, οἷον οὖν παρὰ τῷ συγκαθέδρῳ παραδεῖν.

Θαλαμηγὸν, ὄνομα νεὼς τῆς Κλεοπάτρας. ᾧ ὀνόματι χρῆται ὁ Σουετώνιος ἐν τῷ βίῳ τοῦ Καίσαρος.

Θαλάμη, οἶκος, ἢ κοίτη. καὶ τρώγλη, θυρὶς, καταδύσις.

Θαλαμηπόλος, ἡ περὶ τὴν κοίτην, ἢ περὶ τὸν θάλαμον διατρίβουσα, ἡ ἀναστρέφουσα. Ἀππίων δὲ κοιτωνοφύλαξ, νυμφαγωγὸς, τοῦ θαλάμου ἐπιμελουμένη.

Θαλαμιὰ κυρίως, ἡ κάτω τῆς νηὸς τρώγλη λέγεται. εἴρηται δὲ παρὰ τῷ Ἀριστοφάνει, διὰ τὸ ἐοικέναι νεὼς τρυπήματι. Ἀριστοφάνης, διὰ τῆς θαλαμιᾶς, διὰ τῆς ἐκβολῆς τῆς χειρὸς, τῆς ἐν τῷ θώρακι τὴν ἑαυτοῦ χεῖρα καθῆκεν.

Θαλαμίδιοι κῶπαι, αἱ ἠρέμα ἐλαύνουσαι.

Θαλάμιος λέγεται, ὁ ἔσχατος. ὁ δὲ μέσος, ζύγιος. ὁ δὲ ἀνώτατος, θρανίτης. ἢ θαλάμιος, ὁ πρὸς τῇ πρώρᾳ καθήμενος.

Θαλάμοιο νέοιο, τοῦ κατεσκευασμένου νεωστί.

Θάλαμος, ὁ τόπος τοῦ γάμου. ὥσπερ ἔνθα στρέφεται παρθένος παρθενών. καὶ τὸ ἔργον, παρθενεύεσθαι. ἢ θάλαμος, ὁ ἀνδρεῖος οἶκος λέγεται. οἱ δὲ μεθ' Ὅμηρον, τὴν γυναικωνῖτιν οὕτω καλοῦσι. καὶ θάλαμος ἐπὶ λογικῶν, θαλάμη δὲ ἐπὶ ἀλόγων λέγεται. ἔτι δὲ θαλάμη μὲν, ἀεὶ βαρυτόνως, ὡς παλάμη. τὸ δὲ πληθυντικὸν αὐτῆς πρὸς διάφορον σημασίαν ὀξυτονήθη. δηλοῖ δὲ ὁ ἱστορήσας θαλαμὰς ἐν ὀξείᾳ τάσει, καὶ εἰπὼν ὅτι θαλαμὰς, ὡς ἀγαθὰς, Διοσκούρων ἱερὸν σημαίνει. θαλάμας δὲ βαρυτόνως τὰς μεγάλας καταδύσεις μηνύει. σημαίνει ἔτι παρ' Ὁμήρῳ θάλαμος τὸ ταμεῖον, ἐνδοτάτω πάνυ ὄν. καὶ αὐτοθάλαμοι παρὰ μὲν τοῖς ὕστερον, αἱ γυναικωνίτιδες. παρὰ δὲ Ὁμήρῳ, καὶ οἱ ἁπλῶς ἐνδοτάτω οἶκοι. ἀπὸ τοῦ θάλπειν ἐτυμολογούμενοι. καὶ θάλαμος, ἔνθα κοιμῶνταί τινες. οἰκία, ἐν ᾗ οἰκοῦσιν. ἢ θάλαμος τὸ κοινῶς κελλίον, καὶ Ἀττικῶς δωμάτιον, καὶ καταχρηστικῶς κοιτών. πρόδομος, ὁ μετὰ τὸν θάλαμον οἶκος. δόμος, ὁ μετὰ τὸν πρόδομον. αἴθουσαι, τὰ μετὰ τοὺς δόμους. ἤγουν τὰ κοινῶς ἔξισα. μεθ' ἃς ἡ αὐλή, εἶτα ἕρκιον αὐλῆς.

Θαλάμων ἄνασσα, Ἀφροδίτη.

Θάλασσά ἐστιν, ὕδωρ τὸ πλεῖστον ἁλμυρὸν, ἢ ὕδωρ τὸ κύκλῳ πληροῦσαν τὴν γῆν.

Θάλασσα κοίλη, ἡ χειμέριος, καὶ τὸ θέατρον.

Θάλασσαν πᾶσαν εἰπὼν Ὅμηρος, δηλοῖ πολλὰς εἶναι θαλάσσας. ἀκολούθως τῷ πάντες ποταμοὶ, καὶ πᾶσαι κρῆναι. ἢ θάλασσα κήκιεν, ἀντὶ τοῦ ὕδωρ θαλάσσιον κατέρρεεν. ὥσπερ ἱδρὼς κήκιεν.

Θαλασσιδεὺς, ἁλιεύς.

Θαλάσσια ἔργα, ναυτικά. ἢ θαλάσσια, τὰ τῆς θαλάσσης.

Θαλάσσιος Ζεὺς, ἐν Σιδῶνι τιμᾶται.

* Θαλασσόπλαγκτος ἐν θαλάσσῃ πλανώμενος.

Θαλασσωθεὶς, ἁγνισάμενος.

Θαλάττῃ ἐκ χαράδρας ὕδωρ, ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων. ὁμοίως τῷ, βῶλος ἀρούρᾳ.

Θαλαττεύω, τὸ ἐν τῇ θαλάττῃ διάγω. ὥσπερ παρθενεύω, τὸ ἐν παρθενίᾳ διάγω.

Θαλαττοκοπεῖς, παρὰ τῷ Ἀριστοφάνει κεῖται, ἀντὶ τοῦ ταράττῃ. ἔλαβε δὲ τὴν χρῆσιν τοῦ ὀνόματος, ἀπὸ τῆς θαλάσσης. ἐπειδὰν γὰρ ὑπὸ σφοδρῶν ἀνέμων ταραχθῇ τὰ κύματα, ἀλλήλοις συγκρούουσιν. ἢ θαλαττοκοπεῖς, ματαιολογεῖς. ταράττῃ, θορυβῇ.

Θαλαττοπορῆσαι, πλεῦσαι διὰ θαλάττης.

Θάλεα, ὡς καὶ ἀλλαχοῦ εἴρηται, τὰ τοῦ θάλλειν αἴτια ἀγαθά. κεῖται δέ ποτε ἡ λέξις, καὶ ἐπὶ φυτοῦ.

Θαλέθουσι, τρυφεραῖς, θάλλεις ποιούσαις. τῷ μὲν ἐγὼ θαλέθουσιν ἀνέτρεφον. ἦν γὰρ ἐρώσων καὶ χαρίεσσα ἡ παῖς, ἀμβρόσιόν τι θάλος, τουτέστι βλάστημα.

Θαλέει, θάλλει, ἀνθεῖ.

Θαλέοντες σύες ἀλοιφῇ, ἤγουν πίονες. ἀλοιφὴ δὲ τὸ λίπος, διὰ τὸ χρήσιμον εἶναι ἀλείφειν.

Θαλέθοντες, θάλλοντες.

Θαλεία, εὐωχία, παιδεία, εὐθυμία, ἡδονὴ, καὶ ἡ μοῦσα.

Θαλείας, πόθους, μέθας, λίνας, πήρας.

Θαλεῖον, καθαρόν.

Θαλέοντες, θάλλοντες, βλαστάνοντες, ἀνθοῦντες, εὐτροφοῦντες.

Θαλεραὶ, οἰκτραί.

Θαλεροὶ, δίυγροι, νέοι, ἀκμαῖοι, ἢ παχεῖς.

Θαλερὸν γάμον, λέγει Ὅμηρος, διὰ τὸ ἐκεῖθεν ἄρχεσθαι ἀνθρώπους εἰς γενεάν. ὧν ἑκάστῳ καὶ θάλος τὸ γεννηθὲν λογίζεται. ὡς τὸ τοιόνδε θάλος χορὸν ἐσοιχνεῦσαν. ἢ θαλερὸν πνεῦμα, θερμὸν, ὡς ἀπὸ Ἡλίου, παρὰ τῷ Ἱπποκράτει. καὶ θαλερὸν δάκρυ, ἢ ἀκμαῖον, ἢ τὸ ἔνικμον, ἐκ μεταφορᾶς τῶν θαλλόντων φυτῶν. ἢ θαλερὸν δάκρυ, καθαρὸν καὶ διαφανὲς διὰ τὴν λεπτότητα. δι' ὃ καὶ τέρεν αὐτὸ ἐν ἄλλοις λέγει, καὶ ὑγρόν.

Θαλερὸς πόσις, ὁ ἐκ παρθενίας ἀνὴρ, καὶ ἐκ νεότητος κατὰ τοὺς παλαιούς. ὥσπερ κουριδίη ἄλοχος, ἡ ἐξ ἔτι κόρης. ἢ θαλερὸς, παχὺς, ἰσχυρός.

Θαλέων, τῶν θάλλειν ἐμποιούντων παιγνίων, ἡδέων, τῶν πρὸς τὸ θάλλειν ἐπιτηδείων.

Θαλῆς, τοῦ θαλοῦ, ὁ Θάλης τοῦ θάλητος. ἢ θαλῆς, ἀπὸ κράσεως ἔχει τὸ περισπᾶσθαι. δηλοῖ καὶ Ἡρωδιανὸς παραδιδοὺς, ὅτι ὁ Ἀπελέας ἀπελῆς, Θαλέας θαλῆς, Ποδέας ποδῆς, Ἑρμέας ἑρμῆς. Θαλῆς δὲ, τῶν ἑπτὰ φιλοσόφων εἷς γέγονεν, ἐπὶ γεωμετρίᾳ διαβεβοημένος. Ἀθηναῖοι περισπῶσιν. ἡ δὲ κοινὴ βαρύνει. καὶ ὅτε μὲν περισπᾶται θαλοῦ ἐστιν ἡ γενικὴ, ὅτε δὲ βαρύνεται θάλητος. Ἄλλως.

Θαλῆς ἐγένετο τῶν ἑπτὰ σοφῶν εἷς, Μιλήσιος, ὃς πρῶτος τὰ περὶ οὐρανοῦ ἐξεῦρε. παρατηρητέον δὲ, ὅτι ἀπ' εὐθείας τῆς ὁ θαλῆς, ὡς Ἑρμῆς ἑρμῆν, Θαλῆν. καὶ ἑρμέας, ὡς θαλέας. διχῶς δὲ τοὔνομα ἐκφωνητέον. βαρύτονον μὲν θάλης, ὡς χρέμης. οὗ ἡ γενικὴ θάλητος, ὡς χρέμητος. θάλητι, θάλητα, ὡς τὸ θάλητα χρημάτων ἐλεύθερον. εἰ δὲ καὶ περισπωμένως θαλῆς, ὡς ἑρμῆς. καὶ θαλοῦ, ὡς ἑρμοῦ. ἄλλως. ὁ θαλῆς οὗτος, μιλήσιος ὢν, εἷς τῶν ἑπτὰ σοφῶν, οὗτος ἄκρος μηχανικὸς ἦν. στρατεύσαντος γὰρ Κροίσου πρὸς Κῦρον, καὶ μὴ δυναμένης τῆς στρατιᾶς αὐτοῦ διαβῆναι τὸν Ἅλυν ποταμὸν μέγιστον, τοιόνδε τι μηχανᾶται. ἄνω τῆς στρατιᾶς ἰὼν, τέμνει τὸν ποταμὸν ἐπέρωσε ῥεῖν, οὐ πάντα, ἀλλὰ τὸ ῥεῖθρον αὐτοῦ σχισθὲν, τὸ μὲν ἓν εἰς τὴν ἀρχαίαν πορείαν ἐχώρει. θάτερον δὲ ὑπ' ἀγκάλης εἶχε τὴν στρατιὰν, καὶ οὕτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὴν εἰς δύο τομὴν, ἵνα καὶ ἐπανιόντες περαιωθήσονται.

Θαλία, ὡς καρδία παροξυτόνως, αὐτὴ ἡ εὐωχία, δι' ἧς θάλλει τις ὡς οἷα καί τι θάλλος. ἐξ ἧς καὶ ἀπαθαλία κατά τινας, ἡ ἐπιτραπέζιος ὕβρις. θάλεια μέντοι προπαροξυτόνως, εὐωχίας ἐπίθετον. καὶ μούσης, καὶ νηρηίδος ὄνομα. ἢ θαλία, εὐθυμία, εὐωχία, πανήγυρις, τέρψις, εὐφροσύνη. καὶ θαλίη, τὰ αὐτά. καὶ θαλία ὄνομα νηρηίδος, τὸ θάλλειν ἐρόεσσα, ἐπιθυμητή.

Θαλίαις, ἑορταῖς.

Θαλίη, εὐδαιμονία, εὐθηνία, ἀκμή, εὐφροσύνη.

Θαλιοποιοὶ, οἱ τὰ σκυτόμενα κιβώτια, καὶ τοὺς δερματίνους ῥίσκους ἐργαζόμενοι.

Θαλιπόδους, οἱ πολλοὺς καὶ ἐνδόξους ἔχοντες, ἢ γένος ἐν ὅπλοις ἔνδοξον.

Θαλλέειν, τὸ θάλλειν. καὶ θαλλέοντες.

Θάλλειν, ἐπὶ φυτῶν λέγεται κυρίως, καὶ ἔχει ἐναντίον τὸ μαραίνεσθαι, καὶ τὸ φθίνειν, φθίνειν καὶ μαραίνεσθαι ταυτὸν, δοτικῇ συντάσσεται. Ἡσίοδος, θάλλουσι δ' ἀγαθοῖσι διαμπερές. ἢ θάλλειν, ἐπὶ δένδρων λέγεται. τὸ δὲ ἀνθεῖν, ἐπὶ μόνων τῶν ἀνθῶν. ὅθεν καὶ εὐθαλεῖς μὲν οἱ κλάδοι, εὐανθεῖς δὲ λειμῶνες. εὔκαρπα δὲ δένδρα, ὧν ὁ καρπὸς ἐστὶ χρήσιμος ἀνθρώποις εἰς τροφήν. ἄκαρπα δὲ, τὸ ἐναντίον ἤγουν ὧν τοῖς καρποῖς οὐ χρῶνται οἱ ἄνθρωποι.

Θάλικα, σάκκους εἶδος.

Θαλὶς, μάρσιππος μακρός.

Θαλλοὶ, τοὺς εἰς τὰς πυρείδας ἐπιτηδείους.

Θαλλὸν, ὃ ἐσθίουσιν οἱ βόες.

Digitized by Google

Θαλλὸς, βλάστημα. ἦν δὲ ἡ παῖς, ἐρώτων καὶ χαρίτων ἀμβρόσιόν τι θάλλος, καὶ ὁ τῆς ἐλαίας κλάδος, ἢ πᾶν τὸ θάλλον.

Θαλλὸς, ἢ πᾶν φασὶ τὸ ἐκ γῆς φυόμενον, ἢ φυλλὰς, ἢ κλάδος δένδρου. Ἀττικοὶ δὲ ἐπὶ μόνης ἐλαίας τὴν λέξιν ἰδιάζουσιν. ἐρίφοις δὲ μάλιστα δοκεῖ δρέπεσθαι ὁ θαλλὸς, φίλος ὢν καὶ ταῖς πελείαις αἰξίν. ἔτι δὲ θαλλὸς ὁ Ἀττικὸς ἐξαίρετος ἦν, ἀφ᾽ οὗ στέφανος Ἀθήνησι τοῖς νικηταῖς ἦν. ἐκ δὲ τοῦ θαλλοῦ καὶ θαλλοφόρος παροιμιακὸς, ὁ μηδὲν χρήσιμος, ἀλλ᾽ ἢ βοσκήμασι θαλλὸν παρέχειν.

Θάλλουσα, αὐξάνουσα.

Θαλλοφόροι, ἀντὶ τοῦ ἐργάται. παρὰ τῷ Ἀριστοφάνει, θαλλόν τ᾽ ἐρίφοισι φορῆναι. οἱ γὰρ γέροντες, τὰ τοιαῦτα ἐν ἀγρῷ οἰκονομοῦσιν. ἀχρεῖς δέ εἰσι, περὶ ὧν μηδὲν ἔχον εἰπεῖν, σαφὲς ἀποσχεδιάζοντες. θαλλοφόρους γὰρ ἔφη, βουλόμενος τοὺς γέροντας δηλῶσαι. ἐπειδὴ ἐν τοῖς παναθηναίοις οἱ γέροντες, θαλλοὺς ἔχοντες ἐπόμπευον. ὡς οὖν εἰς οὐδὲν ὄντων χρησίμων αὐτῶν, ἔξω τοῦ θαλλοφορεῖν, οὕτως αὐτοὺς ἐπέσκωψεν. ὁ μέντοι Δικαίαρχος ἐν τῷ παναθηναϊκῷ, οὐκ οἶδα ἐξ ὅτου ποτὲ καὶ τὰς γραῦς ἐν τοῖς παναθηναίοις ὑπείληφε θαλλοφορεῖν. Ξενοφῶντος μὲν ἐν τῷ συμποσίῳ, Φιλοχόρου δὲ ἐν τῇ δευτέρᾳ, ὅς γε καὶ τὸν κατοικίδοντα τὸ ἔθος ἐριχθόνιον συνίστησι. μνημονεύει τοῦ ἔθους καὶ Κρατῖνος μὲν ἐν δηλιάσι, Φερεκράτης δὲ ἐν ἐπιλήσμοσιν.

Θάλλω, τὸ αὔξω, παρὰ τὸ θῶ τὸ τρέφω.

Θάλπει, ἀκμάζει, ἀνθεῖ.

Θάλπεσθαι, θέρεσθαι.

Θαλπήρια, θάλλειν ποιοῦντα, περισκέποντα σάνδαλα μὲν τὰ ποδῶν θαλπήρια, ταῦτα.

Θαλπίω, ἐπάλξεις.

Θαλπνότερον, θερμότερον, φανερώτερον, λαμπρότερον, φαεινότερον, παρὰ τῷ Πινδάρῳ. ἢ θαλπνότερον, λαμπρότερον, θερμότερον.

Θαλπόμενοι, ἐξαπατώμενοι. Γώσηπος, τοὺς δὲ ὑποθαλπομένους ἐλπίδι, συγγνώμης εἰ παρακρουσθεῖεν, ἐπιλελῆσθαι τῶν ἰδίων τολμημάτων.

Θάλπος, καῦμα, παραμυθία.

Θάλπω, θερμαίνω, παραμυθοῦμαι.

Θαλπωρὴ, παραμυθία, τέρψις, χαρὰ, διάχυσις.

Θαλπωρὴν λέγει Ὅμηρος, τὴν χαροποιὸν ἐλπίδα. ἐπεὶ θάλπει τοὺς πολλοὺς ἡ τῶν ἀγαθῶν ἐλπὶς, καὶ θαλπωρὴν λέγει ἐνίοτε ὁ ποιητὴς, τὴν ὑπὸ ἡλίῳ διαγωγὴν, ὅ ἐστι ζωήν.

Θαλύεσθαι, φλέγεσθαι.

Θαλυκρὸν, διάπυρον. καὶ τὸ θαλυκρὸν κεῖνο κατημβλύνθη κέντρον ἐρωμανίης.

Θαλυκρέονται, ψάδονται.

Θαλακρὸν, ἰταμὸν, λαμπρὸν, βλοσυρὸν, ἀναιδὲς, πανοῦργον, θερμὸν, χλωρόν.

Θαλωίει, θάλπειν ποιεῖ.

Θαλύσια, αἱ ἀπαρχαί. ἤγουν αἱ μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν διδόμεναι θεῷ, ὑπὲρ τοῦ καὶ εἰς ἔπειτα θάλλειν τὰς ἀρούρας. γίνεται δὲ ἀπὸ τοῦ θάλλω θαλύω θαλύσω. ἐξ οὗ καὶ θαλύσιος, κύριον ὄνομα, ὡς δηλοῖ τὸ θαλυσιάδην ἐχέπωλον. ἔτι δὲ καὶ θαλύσιος ἄρτος, ὁ ἐκ τῆς τῶν καρπῶν φασι συγκομιδῆς πρῶτος γινόμενος. ἰστέον δὲ, ὅτι ἐπὶ συγκομιδῇ καρπῶν, ἐφ᾽ ᾗ καὶ τὰ θαλύσια ἐθύετο, ἑορτὴ ἤγετο Δήμητρος καὶ Διονύσου κατὰ Παυσανίαν, ἀλῶα καλουμένη, διὰ τὸ ταῖς ὑπαρχαῖς καὶ μάλιστα ἐν Ἀθήναις ἀπὸ τῆς ἅλω τότε καταχρῆσθαι, φέροντας εἰς ἐλευσῖνα, ἢ ἐπεὶ καθὰ καὶ Ὅμηρος ἐμφαίνει, ἐν ἅλωσιν ἔπαιζον κατὰ τὴν ἑορτὴν, ἐν ᾗ καὶ Ποσειδῶνος ἦν πομπή. ἀπὸ τοῦ συναλίζεσθαι δὲ εἴρηται ἡ εἰρημένη ἀλῶα. ὅθεν καὶ ἅλως.

Θαλύσιον, τὸ ὑπὲρ εὐθαλίας διδόμενον.

Θαλύσιος, ἄρτος ἀπὸ τῆς ἅλω πεττόμενος πρῶτος.

Θαλυσσόμενος, φλεγόμενος.

Θαλύψαι, θάλψαι, πυρῶσαι.

Θαλφθῇ, ἐξαπατηθῇ, ἢ θερμανθῇ.

Θάλψαι, θερμᾶναι, σωτηρῆσαι.

Θάλωμεν, βλαστήσωμεν, βλαστάνωμεν.

Θαμὰ, συνεχῶς, πυκνῶς, διηνεκῶς.

Θαμάκις, πλειστάκις, πολλάκις.

Θαμάλωπες, οἱ ἡμίφλεκτοι ἄνθρακες. θάμψαι γὰρ, τὸ καῦσαι.

Θαμαστοχεῖ, οὐχ ἡσυχάζει.

Θαμβαλέον, φοβερὸν, θαυμαστόν.

Θαμβεῖν, καὶ θαυμάζειν ἐπὶ θέας, καὶ τῆς ἐντεῦθεν ἐκπλήξεως εἴωθε λέγεσθαι, ὡς ὅγε μὴ βλέπων οὐδέν τι τοιοῦτον πάσχειν λέγεται. τὸ δὲ ἐθάμβησεν, ἐνεργητικὸν, ἡ νεωτέρα χρῆσις οὐκ ἔχει. θαμβούμενοι γὰρ καὶ ἐθαμβήθη, καὶ τεθάμβημαί φασιν οἱ μεθ᾽ Ὅμηρον.

Θαμβῆσαι. κυρίως μὲν τὸ φοβηθῆναι, καὶ φεύγειν θεὸν ἰδόντα. οἷον θάμβησε κατὰ θυμόν. ἐίσατο γὰρ θεὸν εἶναι.

Θάμβησε κατὰ θυμὸν, ἤγουν κατὰ ψυχὴν, πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν θαμβουμένων πρὸς τὰ βλεπόμενα. θάμβος δὲ λέγεται τὸ διὰ τῆς θέας ἐμβιβαζόμενον.

Θάμβος, ἔκπληξις. θόρυβος.

Θαμέες, πυκνοί. καὶ θαμειαὶ, καὶ θαμειός.

Θαμειαὶ, ἀεὶ παρ᾽ Ὁμήρῳ τὸ πολυπληθὲς δηλοῦσι τῶν καιομένων. σημείωσαι ὅτι καίονται οὐ μόνον σώματα, ἀλλὰ καὶ πυραὶ, τοῦτο δὲ καὶ ἀντὶ τοῦ ἐξάπτονται. θαμειαὶ δὲ, αἱ ἀλλεπάλληλοι καὶ πυκναὶ, παρὰ τὸ θαμὰ τὸ πυκνῶς, ὅπερ ἐκ τοῦ ἅμα γέγονε. προϋπόκειται δὲ τοῦ θαμειαὶ ἀρσενικὸν ὄνομα θαμὸς, ὁ πυκνὸς, ὃ πλεονασμῷ τῆς ει διφθόγγου, γέγονε θαμειός. ὥσπερ φατὸς φατειὸς, ἀφνὸς ἀφνειὸς, ἀδελφὸς ἀδελφειὸς, ἀρνὸς ἀρνειός. ὁ δὲ πλεονασμὸς τοῦ θ, διὰ τὴν δασεῖαν τοῦ ἅμα. ὁποῖόν τι καὶ ἐπὶ τοῦ θυλοπεδεύειν φασὶν οἱ παλαιοί. εἰλόπεδον γὰρ πέδον, εἵλῃ βαλλόμενον, τουτέστιν ἡλίου θερμασίᾳ, καὶ πλεονασμῷ τοῦ θ, θειλόπεδον. καὶ ῥῆμα θειλοπεδεύω. ἰστέον δὲ, ὅτι οὐ μόνον ἐν τῷ θαμειὸς καὶ τοῖς ὁμοίοις ἡ ει δίφθογγος πλεονάζει, ἀλλὰ καὶ ἐν ἄλλοις. ὥσπερ καὶ ἐν τῷ ἑξῆς ἐξείης. καὶ πολλοὶ ἐνεστῶτες δὲ καὶ μέλλοντες ἐνεργητικοὶ, τοῦτο πάσχουσιν. οἷον, βρώσω βρωσείω, πολεμήσω πολεμησείω, θῶ θείω, κιχῶ κιχείω, ἐρῶ ἐρείω τὸ ἐρωτῶ. ὡς τὸ κάν τινι ἐρείομεν.

Θαμειότεραι, πυκνότεραι.

Θαμίζειν, τὸ ἁπλῶς ἔργῳ τινὶ συχνάκις παρεῖναι. διδασκάλοις τε γοῦν θαμίζει τὶς, θερμοῖς λουτροῖς, καὶ νηΐ, καὶ ἑτέροις ἔργοις, οἷς χαίρει.

Θαμίζει περὶ τὴν ἀγορὰν, ἤγουν πυκνάζει, συνεχῶς ἔρχεται. ἢ θαμίζει πυκνάζει, συχνάζει, συνεχῶς ἔρχεται.

Θαυμάζω, ἐπαινῶ. λέγεται καὶ τὸ κατηγορῶ, ὃ καὶ μετὰ γενικῆς συντάσσεται.

Θαυμάζετε, ταράττεσθε, θορυβεῖσθε. ὡς καὶ ἐν τῷ Εὐαγγελίῳ, ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.

Θαμίζεται, ὁμιλεῖ.

Θαμινὰς, πυκνὰς, συνεχεῖς.

Θαμινὸς, ὁ πυκνὸς, καὶ θαμινώτατος, ὁ πυκνώτατος.

Θάμιξ, ἀλώπηξ.

Θάμνοις, συμφύτοις τόποις.

Θάμνισον, ἀποκάλυψον.

Θάμνοι κυρίως, τὰ ἐξ αὐτῆς ἀναφύσεως πολύκλαδα καὶ πυκνὰ, παρὰ τὸ θαμὸν, ὅπερ πυκνόν. Ἀρίσταρχος, ἐπὶ τοῦ θάμνος. ἀκμηνὸς, ὅ ἐστιν ἀκμὴν ἔχων τοῦ νεάζειν, ὀξυτόνησεν. ἐν Ἰλιάδι ἐπὶ τοῦ δηλοῦντος τὴν νῆσιν, ἐβαρυτόνησεν. ἢ θάμνοι καλοῦνται, οἱ σύμφυτοι καὶ ὑλώδεις τόποι, παρὰ τὸ θαμινόν.

Θάμνος, πυθμὴν δένδρου, ἢ ῥίζα πολλοὺς κλάδους ἐκπέμπουσα, ἡ καθ᾽ ἕνα τόπον τῆς ὕλης συστροφὴ, καὶ ἡ συνεχὴς φυτεία, καὶ ἡ περιοχὴ τῆς ἐλαίας, καὶ ὅρμοι, καὶ οἱ σύμφυτοι, ἢ δενδρώδεις. ἢ βάτος, ἢ ξύλον ἀκανθῶδες. ἢ θάμνος ἀρσενικῶς, εἶδος χαμαιζήλου φυτοῦ, καὶ πολυκλάδου, παρὰ τὸ θαμὰ ἐτυμολογούμενος. οὐ γὰρ μονοστέλεχος κατὰ τὸ δένδρον ἄνεισιν, ἀλλὰ πυκνὸς ὁ θάμνος, καὶ πολυστέλεχος εὐθὺς ἐστιν ἐκ ῥιζῶν.

Θαμυρίζει, ἀθροίζει, συνάγει.

Θάμυρις, πανήγυρις, σύνοδος. ἡ πυκνότης τινῶν. καὶ ὁδοὺς θαμύρας, τὰς λεωφόρους. ἔστι δὲ καὶ κύριον ὄνομα Θάμυρις. ἦν δὲ οὗτος παῖς Φιλάμμωνος καὶ Ἀρσινόης τῆς νύμφης. τὸ γένος Θρᾷξ, ὃς ἔσχεν αἰσχρὸν ἔρωτα, πρῶτος ἀρξάμενος ἐρᾷν ἀρρένων. οὗτος κάλλει πολλῷ διενεγκὼν, καὶ κιθαρῳδίᾳ περὶ μουσικῆς ἐρίσας ταῖς Μούσαις, συνέθετο ἂν μὲν κρείττων εὑρεθῇ, πλησιάσαι πάσαις. ἂν δὲ ἡττηθῇ, στερηθῆναι οὗ ἂν ἐκεῖναι θέλωσι. καθυπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι, τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας καὶ τοῦ νοῦ ἐστέρησαν. καὶ Θάμυρις μαίνεται, ἐπὶ τῶν κατὰ σύνεσιν παράλογα δοκούντων πράττειν.

Θανάσιμον φάρμακον, τὸ θάνατον ἐμποιοῦν.

Θανατᾷν λέγεται, τὸ ἐπιθυμεῖν ἀποθανεῖν. ὥσπερ βασιλιᾷν, τὸ ἐπιθυμεῖν βασιλείας. καὶ τομᾷν, τὸ ἐπιθυμεῖν τμηθῆναι.

Θανατιάω θανατῶ λέγεται, τὸ θανάτου ἐρᾷν, καὶ ἐφίεσθαι. Συνέσιος, ὁ μὲν ναύκληρος ἐθανάτα κατάχρεως ὢν, ἀντὶ τοῦ ἐπεθύμει ἀποθανεῖν. ὥσπερ καὶ τομῶ, τὸ τομῆς δέομαι, Σοφοκλῆς, οὐ πρὸς ἰατροῦ σοφοῦ θροεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι, ἀντὶ τοῦ ἐφιεμένῳ καὶ ἐπιθυμοῦντι τομῆς.

Θανατόω, θανατῶ ἕτερον, ἀντὶ τοῦ ἀπόλλυμι, καὶ φθείρω. Λιβάνιος, οἶδε μὲν ὅτι θανατοῦντος ἔργον ἐποίησε. καὶ Ξενοφῶν, θανατοῖ δὲ σὺν ἄλλοις, καὶ τὸν τοῦ Ἀριαίου ἀδελφιδοῦν.

Θανάτοιο μέλαν νέφος, περιφραστικῶς αὐτὸς ὁ θάνατος.

Θάνατος, χωρισμὸς ψυχῆς ἀπὸ σώματος, ἢ στοιχείων διάζευξις, ἢ βίου λύσις, ἢ φροντίδων ἀπαλλαγή. Ἄλλως.

Θάνατος ὅτε θεὸς, καὶ ὃ πάσχομεν, τέλος ὂν τοῦδε τοῦ βίου. ὁ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, καὶ ὁ σωματοειδὴς θεὸς, καὶ ἡ δυσωδία. λέγεται δὲ παρὰ τὸ τείνω τὸ τανύω, τάνατος καὶ θάνατος, ὁ τείνων τὰ σώματα τῇ ψύξει. ἢ ὅτι ταναός ἐστιν, ὁ ἐπὶ πάντας ἑαυτὸν διατείνων.

* Θανατούσια ἑορτὴ καὶ ἀγὼν παρὰ τοῖς ὑποχθονίοις, οὗ τινος μέμνηται Λουκιανὸς ἐν τῷ περὶ ἀληθοῦς Ἱστορίας.

Θανατῶ, ὅτε μέν ἐστιν ἁπλοῦν, ἔστι τρίτης συζυγίας τῶν περισπωμένων. οἷον θανατῶ θανατοῖς, καὶ σημαίνει τὸ φονεύω. ὅτε δὲ σύνθετον, δευτέρας, οἷον δυσθανατῶ δυσθανατᾷς, ὥσπερ καὶ τὸ δοκῶ. ἁπλοῦν μὲν πρώτης, οἷον δοκῶ δοκεῖς. σύνθετον δὲ, δευτέρας. οἷον προσδοκῶ, προσδοκᾷς. ὅτε δὲ τὸ θανατῶ δευτέρας συζυγίας ἐστὶ, σημαίνει τὸ ἐπιθυμῶ ἀποθανεῖν.

Θανατῶν, ὁ ἐπιθυμῶν θανάτου. λέγεται δὲ καὶ ὁ ἀποκτείνων. καὶ θανατᾷν, καὶ θανατιᾷν.

Θανεῖν, καὶ πότμον ἐπισπεῖν. ὃ πολλαχοῦ λέγεται τὴν αὐτὴν ἔννοιαν παλιλλογεῖ.

Θανεῖσθαι, ἀποθανεῖσθαι.

Θανέω, ἀπὸ τοῦ θανῶ μέλλοντος γίνεται, καὶ θνῶ κατὰ συγκοπήν. ἐξ οὗ θνήσω τέθνηκα τέθνημαι ἐτέθνην. τεθνεὶς τεθνείην, καὶ τροπῇ Δωρικῇ τοῦ ε εἰς α τεθναίην. ἀπὸ δὲ τοῦ ἐτέθνην, ης, η, τεθνῆναι, καὶ Δωρικῶς τεθνάναι. ἄλλοι δὲ λέγουσιν οὕτως, ἀπὸ τοῦ θανέω, ῶ, καὶ θνῶ θνῆμι, ὁ δεύτερος ἀόριστος ἔθνην, ἡ μετοχὴ ὁ θνὰς, καὶ κατὰ ἀναδίπλωσιν, τεθνὰς τεθνάντος τεθνάναι. καὶ τεθναίην, τὸ εὐκτικόν.

Θανοῦμαι μέλλων, ἀπὸ τοῦ θείνω τὸ τύπτω, ὁ μέλλων πρῶτος θενῶ, ὁ ἀόριστος ἔθενα, ὁ δεύτερος ἀόριστος ἔθανον, ὁ μέλλων δεύτερος θανῶ, καὶ ὁ μέσος μέλλων θανοῦμαι.

Θανὼν καθ᾽ ὕπνους, φροντίδων ἔσῃ δίχα.

Θάξαι, μεθύσαι.

Θάοντα, διδάσκοντα, θεωροῦντα. καὶ θαοῦντα ὁμοίως.

Θάπαν, φόβον.

Θάπτα, μυῖα, Κρῆτες.

Θάπτειν, σῆμα χεύειν λέγει ὁ ποιητὴς, ἤγουν τάφον χωννύειν, διότι πολὺν χοῦν οἱ παλαιοὶ ἐπέφερον τοῖς ὀστέοις τῶν τεθνεώτων. ὅθεν καὶ χώ-

Digitized by Google

χώματα ἐκάλουν τὰ σήματα, τουτέστιν ἀναχωματισμούς. σῆμα δὲ ὁ τάφος κατὰ σχῆμα εὐφημισμοῦ, διότι σημεῖόν ἐστι τοῦ κεῖσθαι τινὰ ἐκεῖ.

Θάπτω, ὥσπερ παρὰ τὸ βῶ βάπτω, οὕτω καὶ παρὰ τὸ θῶ τίθημι γίνεται θάπτω. αἴδιον γὰρ ἔχουσι τὴν ἀπόθεσιν οἱ θαπτόμενοι.

Θαπτέον κοινῶς, θαπτέον ἐστὶν Ἀττικῶς. οἱ γὰρ Ἀττικοὶ προστιθέασι τὸ ἐστὶν, ὃ συνυπακούεται ἔξωθεν παρὰ τοῖς κοινοῖς, ἵνα καινότερον τὸν λόγον ἐργάσωνται.

Θαργήλια, ἑορτή ἐστι τὰ θαργήλια. ἄγεται δὲ θαργηλιῶνι μηνὶ, ὅς ἐστιν ἱερὸς Ἀπόλλωνος καὶ Ἀρτέμιδος.

* Θαργηλιὼν ὁ Ἀπρίλλιος.

Θάργηλος, χύτρα ἱερᾶς ἑψήματος.

Θαρνεύει, ὀχλεύει, ὀχεύει, ἐπαίρει, φυτεύει.

Θάρνυται, μετεωρίζεται. θάρνυσθαι γὰρ τὸ κυΐσκεσθαι. τοῦτο δὲ νῦν δηλοῖ τὴν διὰ λόγων ἔντευξιν καὶ ὁμιλίαν.

Θαῤῥαλέος, ἀνδρεῖος, ἀκμαῖος, ἰσχυρὸς, νέος, ἢ ὁ ἁπαλὸς, καὶ θαλερὸν δάκρυ. τὰ γὰρ θάλλοντα φύλλα, ἁπαλά.

Θαῤῥαλέον, θράσος. θρασὺς θαῤῥαλέου διαφέρει. ὅτι ὁ μὲν θρασὺς, διαβολὴν ἔχει κακὸς ὤν. ὁ δὲ θαῤῥαλέος, ὡς ἀγαθὸς ἐπαινεῖται. Ὑπερείδης φησὶν ἐν τῷ Κυθνιακῷ, οἱ μὲν θρασεῖς ἄνευ λογισμοῦ πάντα πράττουσιν, οἱ δὲ θαῤῥαλέοι μετὰ λογισμοῦ τοὺς προσπεσόντας κινδύνους ἀνέκπληκτοι ὑπομένουσι. θαῤῥαλέος ὁ εὔτολμος. καὶ θαῤῥαλεώτατος, εὐτολμότατος. θαρσαλέως δὲ, ἐπιῤῥηματικῶς διὰ τοῦ ω μεγάλου, ἀντὶ τοῦ ἀθαρσῶς καὶ ἀνδρείως.

Θαῤῥία, ῥᾳστία.

Θάῤῥος, ἀνδρεία, θάρσος.

Θαῤῥῶ, ἐλπίζω, προσδοκῶ, πιστεύω, πέποιθα. ἢ θαῤῥῶ ἀντὶ τοῦ θάῤῥος ἔχω, καθὸ λέγεται θαῤῥῶν ποιῶ τόδε. καὶ ἀντιστρόφως θαῤῥῶ ποιῶν τόδε. ὃ καὶ ἀντὶ τοῦ θαῤῥαλέως ποιῶ τόδε δύναται λέγεσθαι, ἵν᾽ ἐπὶ τὴν πρᾶξιν ἀποτείνῃ τὸ θαῤῥαλέον. καὶ θαῤῥῶ ἐπὶ τοῖσδε, καὶ ἔτι μετὰ ἀπαρεμφάτου, οὐκ ἂν ἐθάῤῥησα τόδε πρᾶξαι. λέγεται καὶ θαῤῥῶ ἀντὶ τοῦ τολμῶ εἰσελθεῖν εἴς τι. οἷον θαῤῥῶ τὴν μάχην, ἀντὶ τοῦ τολμῶν εἰσέρχομαι τὴν μάχην. καὶ παρὰ Φιλοστράτῳ, θαρσεῖ οὐδὲ ποιμὴν ἐκεῖνο τὸ χωρίον. θαῤῥῶ Ἀττικοὶ, οὐ θαρσῶ, καὶ θάῤῥος οὐ θάρσος, καὶ θαῤῥύνω οὐ θαρσύνω. ὅπερ θαῤῥῶ, εἰ μὲν ἀντὶ τοῦ ἐλπίζω ἐστὶ, δοτικῇ συντάσσεται. εἰ δὲ ἀντὶ τοῦ τολμῶ, αἰτιατικῇ. Συνέσιος ἐν ἐπιστολῇ, οὓς ἔδει θαῤῥῆσαι. ἢ θαῤῥῶ, θρασύνομαι. καὶ θαῤῥῶ ἀντὶ τοῦ πιστεύω, ἀμετάβατον. θαῤῥύνω δὲ ἕτερον.

Θαρσαλέον, ῥᾴδιον.

Θάρσει ᾧ, ἤγουν κατὰ ἴδιον θάρσος.

Θαρσεῖ τις τήνδε τὴν πρᾶξιν, καὶ θαρσεῖ τόδε τὸ χωρίον.

Θαρσεῖς, τοὺς Καρχηδονίους λέγει, τοὺς πρὸς τὸ Βόρειον μέρος κειμένους. θαρσεῖς, καὶ οἱ ἀνδρεῖοι.

Θαρσήσας, θαῤῥῶ, ἀντὶ τοῦ θάῤῥος ἔχω. καθὸ λέγεται, θαῤῥῶ ποιῶν τόδε.

Θαρσίαν κυκῶσι λιπαράμπυκα. διαφέρει δὲ θάρσος θράσους. θάρσος μὲν γὰρ λέγεται, τὸ εὔλογον παράστημα τῆς ψυχῆς, θράσος δὲ τὸ ἐναντίον. Ἀριστοφάνης, οἷον φιάλην θασίου οἴνου πεπληρωμένην. ἄμπυξ δὲ λέγεται, τὸ περιέχον. νῦν δὲ τὸ πῶμα τοῦ ἀγγείου λέγει. λιπαρὸν μὲν, διὰ τὸ ἡδὺ τοῦ οἴνου. ἄμπυκα δὲ, παρὰ τὸ πυκάζειν καὶ καλύπτειν τὸν οἶνον. καταχρηστικῶς δὲ λείπει τὸ λάγυνον, ἐπεὶ καταχρίονται πίσσῃ τὸ στόμα οὐ πιθανῶς. οὐδέπω γὰρ τότε θάσιος οἶνος εὐδοκίμει παρ᾽ Ἀθηναίοις. οἱ δὲ, ὅτι θάσιοί τινες ῥαφανίδες λέγονται. λέγει δὲ τὴν ἠρτυμένην, καὶ βρασσομένην. οἱ δὲ τὴν λεγομένην θερμοπότιδα. * ἢ Θασίαν, ζωμάλμην εἰς ἣν ἀπέβαπτον, τὰ ἠνθρακωμένα τῶν ἰχθυδίων.

Θάσια, τὰ ἀμύγδαλα, ἀπὸ τοῦ θᾶσσον τὸν καρπὸν προϊέναι. πρώϊμα γὰρ ὑπὲρ τὰ λοιπὰ δένδρα.

Θάρσος, ἡ εὐτολμία. θράσος δὲ ἡ ἀλόγιστος αὐθάδεια. ἢ θάρσος ἐνὶ φρεσὶ θῆκε. καὶ ἐκ δέος εἵλετο γυίων, ἐκ παραλλήλου δηλοῦσι τὸ αὐτό. ἡ γὰρ τοῦ θάρσους ἔνθεσις, δέους ἐστὶν ἐξαίρεσις. καὶ θάρσος ἐστὶν, ἀπροσδοκία κακοῦ, ἀνεκπληξία διὰ κακοῦ παρουσίαν. καὶ θάρσος, καὶ θράσος, κἂν ἐν τοῖς ὀνόμασι πλησιάζωσι, πλεῖστον ἀπ᾽ ἀλλήλων τῇ δυνάμει κεχώρισται. ἀνδρεία τέ ἣν φαμὲν καὶ ἀνανδρεία. τὸ μὲν γὰρ, ἐν τοῖς τολμητέοις θαρσεῖν ἀνδρείας ἐστὶν, ὥσπερ τὸ ὑφίεσθαι δειλείας. τὸ δὲ οὗ πλεῖον ὁ κίνδυνος ὁμόσε χωρεῖν, καὶ ὠθίζεσθαι ἀλλὰ μὴ κατέχεσθαι, θράσους, ὥσπερ τὸ ὑποχωρεῖν ἀσφαλείας.

Θάρσυνος, τεθαῤῥηκώς.

Θαρσὺς, θρασὺς, τεθαῤῥηκώς.

Θᾶσαι, ἀντὶ τοῦ θέασαι λέγουσι Δωριεῖς. Θεόκριτος, θᾶσαι φίλος ὡς καλὸν ὅσδει.

Θᾶσος, νῆσος. ὅθεν θάσιος οἶνος, ἢ θάσιος.

Θάσσονας ἱρήκων, ἀντὶ τοῦ ταχυτέρους τῶν ἱεράκων. Ἰλιάδος ν΄. καὶ θᾶσσον τὸ ταχέως, ἀπὸ τοῦ ταχὺς παρήχθη. ὁ πρῶτος τύπος ταχύτερος, ὁ δεύτερος ταχίων, ὁ τρίτος τάσσων, καὶ τροπῇ θάσσων καὶ θάττων. ἀντιστοιχεῖ γὰρ τὰ δασέα τοῖς ψιλοῖς θ, τ.

Θάσιος, παῖς Ἀγλαοφῶντος. ἔστι δὲ σεμίδαλις ἐπὶ τοῖς ἔργοις γενομένη ἀπὸ Ἀγλαοῦ τοῦ ἐξ ἀρχῆς ποιήσαντος θασίου ὀνομασθεῖσα.

Θάσσομεν, καθήμεθα.

Θάσσουσα, σπεύδουσα.

Θασία, ἅλμη εἰς ἣν ὄψα ὀπτώμενα ἔβαπτον, καὶ ῥαφάνου εἶδος. οἱ δὲ, βαμμάτιον.

Θαστρεύεσθαι, ἀναβάλλεσθαι.

Θάτερον θατέρου, ἕτερον ἑτέρου. ἢ θάτερον, τῶν δύο τὸ ἕτερον. ἰστέον, ὅτι λέγουσί τινες, ὅτι τὸ ε, καὶ α ἐπιφερόμενον σύμφωνον, οἱ Δωριεῖς εἰς α συναλείφουσι. τὰ ἕτερα, θάτερα φασί. καὶ πάλιν οἱ αὐτοὶ, τρέπουσι τὸ ε εἰς α, ὡς ἐν τῷ τρέχω τράχω, Ἄρτεμις ἄρταμις.

Θᾶττον Ἀττικοὶ, τάχιον Ἕλληνες. ἔστι δὲ οὐ μόνον ἐπίῤῥημα, ἀλλὰ καὶ ὄνομα τριγενές. ὁ θάττων, ἡ θάττων, τὸ θᾶττον. ὥσπερ ἐπὶ τοῦ ῥᾷον. ἢ θᾶττον, συντόμως, ταχέως. καὶ θᾶττον ὁ τόκος Ἡρακλεῖ τῷ περινέῳ τρέχει. οὗτος ἐθαυμάσθη ἐπιτάχει. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν δανειζομένων διὰ τὸν τόκον.

Θάτας, θῆτας, τοὺς δούλους Κύπριοι.

Θάτερα, τὰ ἄλλα, ἑκάτερα, τὰ ἕτερα μέρη.

Θατῆρας, θεατάς.

Θαῦμα, ἔκπληξις, ξένισμα. ἢ θαῦμα ἔχω, καὶ θαῦμά με ἔχει, ἀντὶ τοῦ ἐθαύμασα. καὶ θαῦμα, τὸ ὑπὲρ φύσιν διὰ θεοῦ τελούμενον. παρὰ τὸ θαυμάζω, θαύμασμα, καὶ κατὰ συγκοπὴν, καὶ ἀποβολὴν τοῦ σ, θαῦμα. οἱ δὲ παρὰ τῷ θεῷ, θεῶμαι, θαῦμα.

Θαυλακίζειν, μετὰ βοῆς ἀπαιτεῖν τι.

Θαυλία, ἑορτὴ Ταραντίνοις, ἀχθεῖσα ὑπὸ κτεάτων, παρὸ καὶ θαυλίζειν λέγειν τοὺς Δωριεῖς.

Θαυλωνίδαι, γένος ἰθαγενῶν Ἀθήνησι.

Θαυμάζω, ἄγαμαι, ἐκπλήττομαι, θαμβοῦμαι. ἢ θαυμάζω, τὸ ἐκπλήττομαι, καὶ τὸ ἐπαινῶ. γράφεται δὲ Ποιητικῶς θαυμάζομαι τὸ ἐπαινοῦμαι. ἐξ οὗ θαυμαστὴς ὁ ἐπαινέτης. τὸ θαυμάζω σὲ τῆς σοφίας, λαμβάνει ἔξωθεν τὸ ἕνεκα. ἢ οὕτω, θαυμάζω σὲ ἐπὶ τῇ σοφίᾳ, καὶ κρεῖττόν ἐστι. λέγεται δὲ θαυμάζειν ποιητικῶς, θηεῖσθαι. θαυμάζει τὶς ἀρετὴν, ἀντὶ τοῦ ἀγαπᾷ ἐργάζεσθαι ἀρετήν. καὶ θαυμάζει λόγους, ἀντὶ τοῦ ἀγαπᾷ κτᾶσθαι λόγους. καὶ θαυμάζω τοῦ δεῖνος, ἀντὶ τοῦ εἰρωνευόμενος καταγελῶ, συντασσόμενον γενικῇ. καὶ ὡς Φάλαρις, ἐθαύμασά σου πολλάκις, ὦ Στησίχορε. καὶ θαυμάζω τὸν δεῖνα τοῦ κάλλους, αἰτιατικὴν καὶ γενικὴν ἐπαγόμενον, ἀντὶ τοῦ ἐκπλήττομαι αὐτὸν ἕνεκα τοῦ κάλλους. θαυμάζω σὲ τῆς συνέσεως, νοεῖται ἕνεκα. καὶ ἀντιστρόφως, θαυμάζω καὶ ἀποδέχομαι. καὶ θαυμάζω γενικῇ συντασσόμενον, σημαίνει τὸ καταγινώσκω καὶ μέμφομαι, καὶ αἰτιῶμαι, καὶ κατηγορῶ. οἷον θαυμάζω τῶν ταύτην ἐχόντων τὴν γνώμην. αἰτιατικῇ δὲ τὸ ἐπαινῶ, οἷον θαυμάζω τοὺς οὕτω φρονοῦντας.

Θαυλέα, οὐρὰ, κέρκος.

Θαυμάζειν, τὸ ὁρᾶν τι μετ᾽ ἐκπλήξεως. διὰ τὸ θεῖον εἶναι, ὡς τὸ θάμβησεν Ἀχιλλεύς. καὶ θηεῖσθαι τὸ αὐτὸ ποιητικῶς. καὶ θαμβῆσαι κυρίως μὲν, τὸ φοβηθῆναι, καὶ φεύγειν θεὸν ἰδόντα. οἷον θάμβησε κατὰ θυμὸν, ἐΐσατο γὰρ θεὸν εἶναι. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ θείου λόγου. ἡ μὲν θαμβήσασα πάλιν οἶκονδε βεβήκει.

Θαυμαίνει, θεωρεῖ, θαυμάζει.

Θαυμακίαν, πόλιν Μαγνησίας, ὁ τῶν Ἐθνικῶν συλλέκτης φησὶ λέγων, καὶ ἑτέραν θαυμακίαν κατὰ τὸν μαλίαν κόλπον, καὶ νῆσον δὲ ὁμώνυμον. οἱ δὲ πολῖται τῆς θαυμασίας, θαυμακοί.

Θαυμαλέον, φοβερὸν, θαυμαστόν.

Θαυμάλωψ, ὁ ἡμίφλεκτος, ἢ ὁ διακεκαυμένος ἄνθραξ.

Θαυμανέοντες, θεώμενοι, ὀψόμενοι, ἀέθλια θαυμανέοντες. τὸ δὲ καθ᾽ ἡμᾶς θαυμάζειν, θηεῖσθαι λέγει θηεῖτο δὲ κούρη. καὶ θηητὸς, ῥήϊστος, ὁ θαυμαστός.

Θαυμάσας ἔχω, ἀντὶ τοῦ ἐθαύμασα, Ἀττικῶς.

Θαυμάσιος, θαυμαστός.

Θαυμασταὶ ἐκπλαγεῖς ἠκολούθουν. οἱ μὲν σοφίας, οἱ δὲ εἴδους, οἱ δὲ διαίτης, οἱ δὲ σχήματος, οἱ δὲ πάντων ὁμοῦ θαυμασταὶ ὄντες.

Θαυματίζομαι, ἐκπλήττομαι.

Θαῦμος, ἢ θαῦλος, Ἄρης Μακεδόσι.

Θαῦνον, θηρίον.

Θαυσῆκερ, θεωρεῖον.

Θαχμῆναι, θωρηχθῆναι, Δωριεῖς.

Θάψαι, κατορύξαι, κάψαι, ἀπὸ τοῦ θάλπεσθαι.

Θαψίνη, γυναικὶ κλητεύειν, ἐοικὼς θαψίνῃ.

Θάψινον, τὸ ξανθόν. ἀπὸ τοῦ ξύλου τῆς θάψου, ὃ βάπτει, ᾧ ξανθίζουσι τὰ ἔρια καὶ τὰς κεφαλὰς, τοῦτό τινες σκυθικὸν λέγουσι. καὶ ὁ ποταμὸς παρ᾽ ᾧ φύεται τὸ ξύλον θάψος καλεῖται. ἔστι δὲ καὶ ῥίζα θαψία καλουμένη.

ΤΟ Θ. ΜΕΤΑ ΤΟΥ Ε.

Θεὰ, ὦ μοῦσα.

Θέα, σκόπει, θεώρει, ὅρα. καὶ θέα ἡ θεωρία, ἡ ὄψις, παρὰ τὸ θέω τὸ θεῶμαι. σημαίνει δὲ τὸ θεωρῶ. βαρύνεται δὲ, πρὸς ἀντιδιαστολὴν τοῦ θεά. ἐπὶ τῆς θεοῦ, ὅπερ ἐκ τοῦ θεὸς γίνεται. ὥσπερ καὶ θόλος τὸ οἰκοδόμημα, θολὸς δὲ τὸ μέλαν τῆς σηπίας.

Θεαγγελεῖς, οἱ τὰς πανηγύρεις ἐπαγγέλλοντες.

Θεαγενὴς, ὅσιος, θεοσεβής.

Θέαγον, τὸ θεῖον, ᾧ καθαίρουσι Σαλαμίνιοι.

Θέα, παρ᾽ αἰγείρῳ, τόπος αἴγειρον ἔχων, ὅθεν ἐθεώρουν. εὐτελὴς δὲ ἐδόκει ἡ ἐντεῦθεν θεωρία. μακρόθεν γὰρ ἦν καὶ εὐώνου ὁ τόπος ἐπωλεῖτο.

Θοειδέστατος, θεοῦ ἰδέαν ἔχων.

Θέαινα, ὡς παρὰ τὸ λάκων λάκαινα, οὕτω καὶ παρὰ τὸ θέων θέαινα ποιητικῶς. τὸ δὲ θέων, παρὰ τὸ θεὸς, ἐξ οὗ τὸ θηλυκὸν θεὰ ὀξύτονον, πρὸς ἀντιδιαστολὴν τῆς ὄψεως.

Θέαιναι, δῆλον ὅτι συνήθες τοῖς παλαιοῖς, εἰ καὶ κατὰ ἀκολουθίαν τοῦ δράκαινα, καὶ θεράπαινα. ὅμως θέαινας λέγειν θεὰς κατὰ τὸ λύκαινα, φλύκταινα, γάγραινα, μύραινα, ὕαινα, φαίαινα, σκίαινα. αἱ δ᾽ αὐταὶ καὶ θεοὶ λέγονται, κατὰ τὸ, μήτε τις θήλεια θεός.

Θέαμα, θεώρημα.

Θεάμονας, θεατάς.

Θεὰν, ὁ ποιητὴς τὴν ἐν τῇ ἑαυτοῦ ψυχῇ γνῶσιν λέγει. θεῖον μὲν γάρ τι ἡ γνῶσις, ὥσπερ καὶ ἡ ψυχή. ταυτὸν δέ ἐστι θεὰν εἰπεῖν, καὶ μοῦσαν. τὸ μὲν παρὰ τὸ θέειν, καὶ τὸ τάχος τῆς γνώσεως. τὸ δὲ παρὰ τὸ μῶ, τὸ ζητῶ, καὶ γὰρ ζητητική ἐστιν ἡ γνῶσις, καὶ ἐκ τῆς ζητήσεως δὲ περιγίνεται, εἴπερ ἀπορίας γνωστικῆς μήτηρ ἡ ζητητικὴ ἀπορία κατὰ τοὺς σοφούς. ταύτῃ τῇ θεᾷ τῇ μούσῃ τῇ οἰκείᾳ ἐπιστήμῃ, ἐγκελεύεται ὁ ποιητὴς τὴν Ἀχιλλέως μῆνιν ἀείδειν.

Θεανὴ νῆσος, ἡ ἐκ θεοῦ θεία. Σοφοκλῆς τυροῖ.

Θεανὼ, λυρικὴ, λυρική· ᾄσματα λυρικὰ καὶ μέλη πολλὰ ἔγραψε.

Θεανῶσαι, οἱ ξυστῆρες ὑπὸ Θετταλῶν.

Θεάομαι, θεῶμαι, τὸ βλέπω, ἐπὶ δευτέρας συζυγίας τῶν περισπωμένων. θεόω θεῶ, ἐπὶ τρίτης, τὸ θεόπτος μεταδίδωμι. καὶ ἀμφότερα παρὰ τοῖς κοινοῖς ἐν χρήσει. θείομαι δὲ θεῦμαι ἐπὶ πρώτης, τὸ θαυμάζω παρὰ ποιηταῖς ἐν χρήσει, καὶ οὐδέποτε παρὰ τοῖς κοινοῖς. οὐ τὸ ε καὶ ο εἰς τὴν ου δίφθογγον αὐτοὶ κιρνῶσι. τὸ δὲ ε εἰς η τρέπουσι, καὶ ποιοῦσιν αὐτὸ θηεῦμαι. ἔστι δὲ ἐνεστὼς θηεῦμαι, παρατατικὸς θηεύμην· μέλλων θηήσομαι, ὁ ἀόριστος ἐθησάμην.

Θεαρχίαν, τὴν αἰτίαν, ἥτις ἐστὶν ὁ πατὴρ, ἡ πηγαία καὶ ἀνέκλειπτος αἰτία, ἤγουν ὁ θεός.

Θεαρχικώτατος, ἐστὶ θεὸς καὶ ἄρχων, ἐκ τούτων γίνεται θεαρχικὸς κτητικὸν, τὸ ὑπερθετικὸν θεαρχικώτατος.

Θεαρίων, ὄνομα κύριον.

Θεᾶσθαι, τὸ ὁρᾶν τι τῶν τεχνικῶς γινομένων. οἷον πάλην, παγκράτιον, γραφήν.

Θεατὴς, ἐπὶ ἀγῶνος. θεωρὸς ὁ τὴν θυσίαν εἰς τὸ ἱερὸν ἀπάγων. θεωρία, ἡ θυσία. θεωρία ἡ εἰς θεὸν σχολὴ, καὶ ἡ ἐν θεάτρῳ θέα, καὶ αὐτὸς ὁ ἀγών. θέα μέντοι, ἥτε θεωρία καὶ ὁ τόπος ἐν ᾧ κάθηνται οἱ θεωροῦντες.

Θεατὸν, τὸ ἐκλεκτὸν, ὁρατὸν, καὶ θεωρητόν.

Θεατρεῖον, θέατρον.

Θεατρίζειν, αἰτιατικῇ, ἐν πομπῇ καὶ θεάτρῳ προπέμπειν. τοὺς γὰρ νικήσαντας, καὶ ἡττήσαντας τοὺς πολεμίους ἐστεφανωμένους μετὰ τῶν αἰχμαλώτων καὶ τῶν λαφύρων διὰ μέσης ἦγον τῆς πόλεως δορυφοροῦντες καὶ εὐφημοῦντες.

Θεατροκρασία, ὀχλοκρασία.

Θέατρον, θέαμα, ἢ σύναγμα.

Θεάω θεῶ, ἄχρηστον, ὃ σημαίνει τὸ βλέπω. ὁ μέλλων θεάσω, ὁ παρακείμενος τεθέακα, ὁ παθητικὸς τεθέαμαι. καὶ ἐξ αὐτοῦ θέαμα καὶ θαῦμα, ὃ βλέπων τις ἐξίσταται. θεῶμαι, τὸ βλέπω. ἢ θεάω θεῶ. ὁ παθητικὸς γράφεται θεῶμαι, τὸ βλέπω. θεέω δὲ θεῶ, τὸ θαυμάζω ποιητικῶς. ἀφ' οὗ θηεῦντο, οὗ τὸ ἐντελὲς ἐθεέοντο. καὶ τροπῇ τοῦ ε εἰς η, καὶ τοῦ ε καὶ ο εἰς ου θηοῦντο, καὶ τροπῇ τοῦ ου εἰς ευ Δωρικῶς θηεῦντο.

Θέειν καὶ θεῖν, τρέχειν, δραμεῖν.

Θέειον, θυμιάματος εἶδος, καθαίρειν δοκοῦντος τοὺς μιασμοὺς, διὸ καὶ διὰ τὸ εἶλας κακῶν ἄκος αὐτό φησιν ὁ Ποιητής. Ἰστέον, ὅτι οὐ μόνον διὰ θείου ἐγίνοντο καθαρμοὶ, ἀλλὰ καὶ φυτά τινα εἰς τοῦτο χρήσιμα ἦν. περιστερεὼν γοῦν φυτὸν κατὰ Παυσανίαν, ἐπιτήδειον εἰς καθαρμόν. καὶ σῦς δὲ εἰς τὰ αὐτά ἐστιν, οὐ παρελαμβάνετο ὡς φαίνεται ἐν Ἰλιάδι. καὶ οἱ τὸ διοπομπεῖν δὲ ἑρμηνεύοντες, φασὶν ὅτι δῖον ἐκάλουν κώδιον ἱερείου τιθέντος Διὶ μειλιχίῳ ἐν τοῖς καθαρμοῖς, φθίνοντος μαιμακτηριῶνος μηνὸς, ὅτε ἤγοντο τὰ πομπαῖα, καὶ καθαρμῶν ἐκβολαὶ εἰς τὰς τριόδους ἐγίνοντο. εἶχον δὲ μετὰ τὰς χεῖρας πομπὸν, ὅπερ ἦν φασι κηρύκειον σέβας Ἑρμοῦ. καὶ ἐκ τοῦ τοιούτου πομποῦ, καὶ τοῦ ῥηθέντος δίου, τὸ διοπομπεῖν. καὶ τοῦτο μὲν ἴσως ἐξ ἱστορίας. ἄλλως δὲ, κοινότερον διοπομπεῖν καὶ ἀποδιοπομπεῖν, ἐφαίνετο τὸ Διὸς ἀλεξικάκου ἐπικλήσει ἐκπέμπειν τὰ φαῦλα. ὅτι δὲ δι' αἵματος ἡ κάθαρσις, αἱ ἱστορίαι δηλοῦσιν, ὁποία καὶ ἡ τῶν φονέων, οἱ αἵματι νιπτόμενοι, καθάρσιον εἶχον αὐτό. λέγεται δὲ ὡς οἱ περὶ τὴν τοιαύτην τέχνην, καὶ μάλιστα οἱ τὰς πόλεις καθαίροντες, φαρμακοὶ Ἀττικῶς ἐλέγοντο. καθὰ δηλοῖ καὶ ὁ Δημοσθένης. Ἴωνες δέ φασι προπαροξυτόνως. τὸ δὲ τοιοῦτο καθαίρειν παράγωγα τὸ καθάρσιον, καὶ τὸ κάθαρμα. ἐκεῖνο μὲν οὐ μωμητὸν, τὸ δὲ ψεκτόν. ἀφ' οὗ καθάρματα, τοὺς ῥυπαροὺς καὶ ἀποβλήτους φαμέν. καὶ ἔστιν αὐτὸ σκῶμμα δριμύτερον, τοῦ ἐν Ἰλιάδι λύματος, ἤγουν ἀπονίμματος. ἐξ οὗ καὶ ἡ λύμη, καὶ ὁ λυμεών. ὥσπερ αὖ πάλιν τοῦ λύματος ἀφελέστερον τὸ περίψημα, σπόγγισμά τι ὂν αὐτό. καὶ κατὰ τοῦτο ἐοικὸς τῷ λύματι. τὸ δὲ θεῖον γίνεται ἀπὸ τοῦ θεὸς θέϊον κατὰ παραγωγὴν ἁπλῆν, καὶ ἐν συναιρέσει θεῖον δισυλλάβως. ἐξ οὗ θειῶσαι τὸ θυμιάσαι, ὡς τὸ εὖ διεθείωσε. προλαβὼν δὲ τὸ ε πρὸ τῆς διφθόγγου, γίνεται θέειον τρισυλλάβως, ἐξ οὗ ὄφρα θεειώσω. ἄλλως δὲ διαλυθὲν τὸ δισύλλαβον θεῖον, γίνεται θήϊον. καὶ ἔστι δυνατὸν ἀπ' αὐτοῦ γενέσθαι ῥῆμα τὸ θηϊῶσαι. ὅτι δὲ θεῖόν ἐστιν ἐνταῦθα νοῆσαι καὶ τὸ θεάφον τὸ λεγόμενον δηλαδὴ θεῖον ἄπυρον, δηλοῦσιν οἱ παλαιοί. καὶ θεῖον μὲν ἴσως διὰ τὸ κοινὸν τῆς αὐτοῦ ἐνεργείας καὶ πράσιον. ἢ διὰ τὸ ἀνάγεσθαι ἔνθα τὰ θεῖα, ἢ καὶ διὰ τὸ θεόθεν εἶναι. μετὰ προσθήκης δὲ θεῖον ἄπυρον τὸ ὀλιγόπυρον. βραχὺ γὰρ ψαῦσαι πυρὸς, ἢ ὅτι οὐ χρὴ ἁπλῶς πυροῦσθαι αὐτὸ διὰ τὸ δύσοδμον.

Θέειον, πλεονασμῷ τοῦ ε λέγεται παρ' Ὁμήρῳ, ἀφ' οὗ καὶ ῥῆμα θεειῶσαι. ἢ θειῶσαι, τὸ θυμιάσαι. θεείου ὀδμή. καὶ θείου ὄζειν αὐτὰ, εἴρηται παρὰ τῷ Ποιητῇ.

Θεείου καιομένοιο παρ' Ὁμήρῳ, ἔνθα πλεονάζει τὸ ε, καὶ λείπει τὸ ὡς. ὤφειλε γὰρ εἰπεῖν, ὡς θείου καιομένου. ἔνθα γὰρ κεραυνὸς πέσῃ, ἐκεῖ ὡσανεὶ θείου καιομένου ὄζει.

Θεέομαι, θεοῦμαι. ἐπὶ πρώτης, τὸ θαυμάζω παρὰ ποιηταῖς ἐν χρήσει. καὶ οὐδέποτε παρὰ τοῖς κοινοῖς, οὐ τὸ ε καὶ ο εἰς ου δίφθογγον αὐτοὶ κιρνῶσι. τὸ δὲ ε εἰς η τρέπουσι, καὶ ποιοῦσιν αὐτὸ θηεῦμαι, ὁ παρατατικὸς ἐθηεύμην, οὗ τὸ τρίτον ἐθηεῖτο. ὁ μέλλων θηήσομαι, οὗ τὸ τρίτον τῶν πληθυντικῶν θηήσονται, ὁ ἀόριστος ἐθησάμην.

Θεέω, θεήσω ποιητικῶς, τὸ θαυμάζω.

Θεηγόροι, θεολόγοι.

Θεήλατος, ὑπὸ θεοῦ πεμφθείς.

Θεηπολεῖν, θεῶν εἰκόνας ἐχόντων περιπολεῖν.

Θεήσει, τρέχει.

Θεῖ, εὐκόλως ῥεῖ. Ἀριστοφάνης, νῦν μὲν γὰρ οὔτε θέομεν, οὔτ' ἐλαύνομεν. παρὰ τὴν παροιμίαν, ἀλλ' ὅταν ἀργύριον πάντα θεῖ καὶ ἐλαύνεται, οὔτ' ἀνέμοις οὔτε κώπαις πλέομεν.

Θεῖα, σημαίνει τὴν μητέρα τῆς Σελήνης, καὶ τοῦ Ἡλίου. παρὰ τὴν θέαν γέγονε θέεια, καὶ κατὰ συναίρεσιν θεῖα. καὶ γὰρ αὕτη ἐστὶν αἰτία τῆς θέας, καὶ τοῦ θεωρεῖν ἡμᾶς.

Θεία, λατρεία, ἡ διὰ τῶν ἔργων θεραπεία.

Θεῖα, θαυμαστά.

Θειαζόντων, μαινομένων. ὅτε δὲ θαυμαζόντων, ἢ θεολήπτων γινομένων.

Θειάζω, θαυμάζω, ἐπαινῶ, δοξάζω.

Θεῖ, ἀντὶ τοῦ τρέχει, καὶ θέει.

Θεῖα, ἀληθῆ, καὶ ὀρθὰ, καὶ θαυμαστά.

Θειάζω, τὸ ἐνθουσιῶ ἀμεταβάτως. θειάζω, μαίνομαι, καὶ θεόληπτος γίνομαι.

Θειάσας. θεῶ, ὁ πρῶτος ἀόριστος ἐθέασα. θεάσας, ἡ μετοχὴ, καὶ πλεονασμῷ τοῦ ι, θειάσας. ἢ παρὰ τὸ θειάζω, τὸ ἐνθουσιῶ.

Θείας ἀμνάμων, ὁ Βορέας ἄνεμος. ἀμνάμων δὲ, ὁ ἀπόγονος. ὡς γὰρ Ἡσίοδος λέγει τῆς θείας ἀπόγονοι, οἱ ἄνεμοι. θειάσαντες, θεόληπτοι γεγονότες.

Θειάσομαι ὅλη, χαρῶ μανικῶς.

Θειασμοῦ, εὐωχίας, ἐνθουσιασμοῦ.

Θείει, διὰ τὸ μέτρον οὕτω γράφεται, καθὰ καὶ τὸ πλέειν λέγεται.

Θείειν, δραμεῖν, ποιήσειν.

Θείης, ποιήσεις.

Θειητὸν, θαυμαστόν.

Θειλόπεδον, ὁ τόπος ἐν ᾧ αἱ σταφυλαὶ ἐξηραίνοντο. ἢ θειλόπεδον εἵλης, βοτρύων τόπος, ψυκτὴρ, σταφυλῶν, ὕπαιθρος ἡλίῳ ἐκκείμενος, καὶ ὡς εἰπεῖν πέδον εἵλης, ὅ ἐστι θερμότητος Ἡλίου. ὡς καὶ ὁ Ποιητὴς παρετυμολογεῖ, ἐν τῷ τέρσεται ἠελίῳ. ἢ καὶ ἄλλως εἰπεῖν καθ' Ὅμηρον, λευρός, ὅ ἐστιν ὁμαλὸς χῶρος, τερσόμενος ἡλίῳ. σύγχειται δὲ ἡ λέξις κατά τινας καθ' ὁμοιότητα τοῦ στρατοπέδου, παρὰ τὸ ἄρθρον οὐδέτερον, καὶ τὴν εἵλην, καὶ τὸ πέδον. οἷς καὶ ἀρέσκει θειλόπεδον ἀεὶ ἄνευ ἄρθρου προφέρειν, ὡς ἐγκειμένου τοῦ ἄρθρου συνθέτως τῇ λέξει. διό φασι μὴ δεῖν λέγειν τὸ θειλόπεδον, ἵνα μή τις λέγοι τρόπον τινὰ τὸ εἱλόπεδον, διπλασιάζων τὸ ἄρθρον.

Θειμωνιαί, οἱ σωροὶ τῶν δραγμάτων.

Θεῖναι, ποιῆσαι. ἢ θεῖναι ἐν φρεσὶν, ὑπέρβαλε τῇ ὕστερον λεκτικῇ τέχνῃ, τὴν τοῦ νουθετεῖν σύνθεσιν. νουθετεῖσθαι γὰρ, καὶ ἐν φρεσὶ θεῖναι ταυτὰ δηλοῦσι. καὶ θεῖναι πέπλου Ἀθηνᾶς ἐπὶ γούνασι, παλλαδίου παρ' Ὁμήρῳ, ὡς καθημένου δηλαδή, ἢ θεῖναι παρὰ γούνασιν, εἴπερ ἵσταται. ὁ δὲ Γεωγράφος ὅπου λέγει τὴν μὲν παλαιὰν Ἴλιον ἠφανίσθαι, τὴν δὲ νῦν βλεπομένην νεωτέραν εἶναι. μὴ ἀποδεχόμενος τοὺς νοοῦντας τὸ ἐπὶ γούνασιν, ἀντὶ τοῦ παρὰ τοῖς γούνασι. φησὶν ὅτι τὸ τῆς Ἀθηνᾶς ξόανον, νῦν μὲν ἑστηκὸς ὁρᾶται. Ὅμηρος δὲ καθήμενον ἐμφαίνει. ἐν τῷ πέπλον θεῖναι ἐπὶ γούνασιν, ὡς καὶ τὸ γούνασιν ἐφέζεσθαι φίλον υἱόν. βέλτιον γὰρ οὕτως, ἢ παρὰ τοῖς γόνασιν, ὡς τὸ ἡ δ' ἧσται ἐπ' ἐσχάρῃ ἐν πυρὸς αὐγῇ. κάθηνται δὲ Ἀθηνᾶς ξόανα καὶ ἐν Φωκαίᾳ, καὶ Μασσαλίᾳ, καὶ Ῥώμῃ, καὶ Χίῳ. λέγει δὲ Ὅμηρος, θεῖναι ἀντὶ τοῦ ἀναθεῖναι, χωρὶς προθέσεως, ὅθεν ἀνάθημα. δῆλον δὲ ὡς οὐχ ἱμάτιον ὁ τοιοῦτος πέπλος, ἀλλὰ ὕφασμα. καὶ ὅτι τὸ θεῖναι ὁμοίως καὶ τὸ ὑποσχέσθαι· ἀντὶ μὲν προστακτικῶν λαμβάνονται.

Θείνει, ποιεῖ, τρέχει, κτείνει, παίει.

Θείνω, τὸ τύπτω. Ὅμηρος, ὅς κέ σε θείνῃ, ἤγουν ὃς ἄν σε τύπτῃ. ὅθεν καὶ θὶς ὁ αἰγιαλὸς, παρόσον τύπτεται ὑπὸ τῶν κυμάτων.

Θειοδάμη, ἡ θεοὺς δαμάζουσα.

Θειοειδεστάτη, θεοειδής.

Θείομεν, ἀπὸ τοῦ θῶ ἀχρήστου. κοινῶς μὲν τίθημι. ποιητικῶς δὲ θείω, πλεονασμῷ τῆς ει διφθόγγου. ἀφ' οὗ τὸ τέθεικα. τὸ θείομεν, τὸ ἐρύσομεν, τὸ ἐγείρομεν. καὶ τὸ βοήσομεν, ἀντὶ ὑποτακτικῶν παρ' Ὁμήρῳ. ὡς τὸ εἴδομεν ἄμφω, ἐν τῷ ἵνα ἴδομεν ἄμφω. ἢ θείομεν, ἀπὸ τοῦ θῶ ἀχρήστου. κοινῶς μὲν τίθημι, ποιητικῶς δὲ θείω, κατὰ πλεονασμὸν τῆς ει διφθόγγου, ἀφ' οὗ τὸ τέθεικα, ὡς ἀπὸ τοῦ ἵσταμαι. κοινὸν, στείω δὲ ποιητικὸν, στείομεν εἶχεν πρῶτον ἐρύζομεν ἀντιάσαντες. καὶ στεῦμαι, ὡς δεῦμαι, τὸ δέομαι, ἀντὶ τοῦ ὑφίσταμαι, ἤγουν ὑπόσχομαι. καὶ ἀντιῶ, ἀντὶ τοῦ ὑπαντῶ, ἀφ' οὗ τὸ στεῦμαι κατὰ συγκοπήν. καὶ τὸ στεῦτο, ἐπὶ παρατατικοῦ, εἰ καὶ ἐπὶ σημασίας ἀορίστου λαμβάνεται. ἀπὸ δὲ τοῦ βῶ τὸ βαίνω κοινὸν, βείω δὲ ποιητικόν. ὃ ἀντὶ τοῦ περίειμι καὶ ζῶ λαμβάνουσιν. ἢ θείομεν, ἐμβαλοῦμεν.

Θεῖον δύσονται ἀγῶνα, ἀντὶ τοῦ, εἰς τὰ Ἅγια εἰσέλθωσιν. γίνεται δὲ τὸ θεῖον, ἀπὸ τοῦ Θεός, θέϊον κατὰ παραγωγὴν ἁπλῆν, καὶ ἐν συναιρέσει, θεῖον δισυλλάβως. ἐξ οὗ καὶ θειῶσαι. τὸ θυμιᾶσαι, ὡς τὸ εὖ διεθείωσε. προλαβὼν δὲ τὸ ε πρὸ τῆς διφθόγγου, γίνεται θέειον τρισυλλάβως. ἐξ οὗ τὸ ὄφρα θεειώσω. ἄλλως δὲ διαλυθὲν, τὸ δισύλλαβον θεῖον, γίνεται θήϊον. καὶ ἔστι δυνατὸν καὶ ἀπ' αὐτοῦ γενέσθαι ῥῆμα τὸ θηϊῶσαι. καὶ θεῖον, θαυμαστὸν, καὶ τὸ θεάφιον. καὶ θεῖον, τὸ ἐπιθυμιώμενον εἰς κάθαρσιν, καὶ ἀβλαβὲς ποιοῦν. ἔνθα καὶ τὸ πάσσε δ' ἁλὸς θείοιο. θείους κέκληκε τοὺς ἅλας, διὰ τὸ ἄσηπτα τηρεῖν τὰ πασθέντα. καὶ θεείου καιομένου φησὶν, ἐπὶ τοῦ κεραυνοῦ. ὁ δ' Ἀδαίμων παρὰ τὸ θεὸς θέειος, καὶ ἀποβολῇ τοῦ ε θεῖος. καὶ θεῖον γένος ἡ Χείμαιρα, τουτέστι τεράστιον καὶ ὑπερφυές. Ἰστέον δὲ, ὡς τὸ τὴν μυθικὴν Χείμαιραν θεῖον εἶναι γένος, οὐδ' ἀνθρώπων, οὐκ ἀκριβῶς εἰρῆσθαι δοκεῖ, οὐ γὰρ εἰ μὴ ἀνθρώπων ἦν ἡ χείμαιρα, διὰ τοῦτο θεῖον ἂν εἴη γένος. τούτῳ γὰρ τῷ λόγῳ θεῖον γένος, καὶ πάντα τὰ θηρία.

Θεῖος τήθη ἐστὶν, ἡ τοῦ πατρὸς μήτηρ. ὡς Ἀερόπῃ τῷ Ὀρέστῃ. καὶ ἡ τῆς μητρὸς δὲ μήτηρ, ὡς ἐν τῷ αὐτῷ ἡ Λήδα. ταύτας δὲ μάμμας τινές φασι, καὶ μαίας. θεῖος δὲ ὁ καὶ Νέννος κατά τινας, πατρὸς ἀδελφός. καὶ οὕτω μὲν ἡ τήθη. τιθὶς δὲ, ἀνάλογόν τι τῷ θείῳ. πατρὸς γὰρ ἀδελφὴ, ἢ μητρός. τούτους δὲ οἱ μὲν πατραδέλφους καὶ μητραδέλφους. οἱ δὲ πάτρωας καλοῦσι, καὶ μήτρωας. Πίνδαρος δὲ οὐκ ἀδελφοὺς, ἀλλὰ γονέας μητρὸς, μάτρωας ἔφη.

Στη-

Digitized by Google

Στησίχορος δὲ τάξαι, τὸν κατὰ πατέρα πρόγονον ἔφη. ἔνθα παρ' αὐτῷ Ἀντίλοχος ἔφη τὸν πάτρωα ἐμὸν, ἀντίθεον Μελάμποδα. Μελάμπους γὰρ, οὗ Ἀντιφάτης, οὗ Οἰκλῆς, οὗ Ἀμφιάραος, ὅθεν Ἀμφίλοχος. ὅρα οὖν, οἷος ὁ Μελάμπους ἦν πάτρως τῷ Ἀμφιλόχῳ, οὕτω πόρρωθεν καὶ θεῖος ὄνειρος, θεόπεμπτος. θεῖον δύσονται ἀγῶνα, τὸ τῶν θεῶν ἄθροισμα, ἐν ᾧ αὐτῶν τὰ ἱερά.

Θειοῦται, θείῳ καθαίρεται.

Θείου πλῆσ, τοῦ κεραυνίου πυρὸς λέγει. ὀδμὴν γὰρ ἔχει ὁ κεραυνὸς θείου.

Θεῖται, ἄδεται, κομίζει.

Θειῶ θειάσω, τὸ θυμιάσω.

Θείωσεν, ἐκάθηρεν. θειόω θειώσω, ἐθείωσα, καὶ Ἰωνικῶς θήωσα.

Θέκλειον, θαυμαστόν.

Θέλγειν κυρίως ἐστὶ, τὸ εἰς ὃ θέλει τις ἄγειν τινά. ὅθεν καὶ θελκτήρια τὰ ἄσματα, οἷον θέλγοντα τῇ ἀκοῇ, ἢ τῇ ᾠδῇ. λέγεται θέλγειν καὶ τὸ ἀπατᾶν. καὶ θέλγει, ἀγαπᾷ. θάλπει, ἀμαυροῖ, κακοῖ, σκοτοῖ, ἄγαν μαλάσσει, κηλεῖ, τέρπει. ἡ θέλγειν πανταχοῦ παρὰ τῷ Ποιητῇ, ἐκτροπήν τινα δηλοῖ καὶ μετάθεσιν τοῦ κατὰ φύσιν, διὰ φόβον ἢ λύπην, ἢ ἡδονὴν, ἢ ἕτερόν τι πάθος ὑπερβάλλον, καὶ ὡς ἂν ἐντὸς μείνῃ παθόντι τοιοῦτον, ὁ τοιοῦτος θέλγεσθαι λέγεται. καὶ ἐκ τοῦ τοιούτου θέλγειν, καὶ Τελχῖνας πλάττουσιν οἱ μῦθοι δαίμονάς τινας κακοποιοὺς, καὶ οὐκ ἐπὶ καλῷ θέλγοντας. καὶ θέλγειν, ἐπὶ κακῷ τίθεται ἐνίοτε, ὥσπερ εὕρηται καὶ παρὰ τῷ ποιητῇ. ὡς ἐν τῷ, τοῖσι δὲ θυμὸν ἐν στήθεσιν ἔθελξε, τουτέστιν ἐξέστησε, μετεποίησεν, ἐκ τοῦ ἐνεργεῖν. καὶ θέλγειν ὄμματα, ἀντὶ τοῦ κοιμάζειν λέγεται, ὥς φασιν οἱ παλαιοί.

Θέλγεν, ἐσκότιζεν, ἠπάτα. αὐτὰρ ἀχαιῶν θέλγε νόον.

Θέλγητρον, φίλτρον, χαρὰ, θαυμαστόν. καὶ τὸ ἐφηδῦνον μετά τινος ἀνάγκης.

Θέλγητρα, τὰ εἰς ἡδονὴν ἕλκοντα.

Θελγῖνες, οἱ τελχῖνες, γόητες, πανοῦργοι, φαρμακευταί.

Θελγομένων, ἀπατωμένων. κυρίως δὲ λέγεται, ἐπὶ τῶν ἡδυνομένων τοῖς ἄσμασι.

Θέλγοντι, εὐφραίνοντι. ἢ ἀπατῶντι. παρ' Ὁμήρῳ δὲ σημαίνει τὸ σκοτίζω. ὡς τὸ, Ἀχαιῶν θέλγε νόον, καὶ ἀχαιῶν ὄμματα θέλγεν.

Θέλγμα, θαῦμα.

Θελγόμενον, ἀπατώμενον. λέγεται δὲ, ἐπὶ τῶν ἡδυνομένων τοῖς ἄσμασι.

Θέλε φάσκειν, ἤγουν φάσκε, λέγε.

Θέλει, ἀντὶ τοῦ δύναται. Ἀττικόν ἐστιν. ὡς ὁ Πλάτων τὰ χωρία οὐδέν μ' ἐθέλει διδάσκειν.

Θέλεμον, οἰκτρὸν, ἥσυχον.

Θέλεμνον, ὅλον ἐκ ῥιζῶν.

Θελερὸν, θελκτὸν, καὶ τὸ θέλγον τὰ ὄμματα ἐπὶ κακώσει.

Θέλημα τῆς νοερᾶς ψυχῆς ἐστιν, ὁ ἐφ' ἡμῖν λόγος, ὡς αὐτεξούσιος αὐτῆς ὑπάρχουσα δύναμις. καὶ τριχῶς θεωρεῖται τὸ θέλημα, τουτέστι θεϊκὸν, καὶ ἀγγελικὸν, καὶ ψυχικόν. καὶ τρεῖς γὰρ αὗται φύσεις καὶ μόναι εἰσὶ, θελητικαί. τριχῶς δὲ πάλιν καὶ τῇ γραφῇ εὑρίσκομεν τὸ θέλημα τοῦ ἀνθρώπου λεγόμενον, θεϊκὸν, καὶ φυσικὸν, ἤγουν μέσον. καὶ τρίτον, τὸ σαρκικὸν, ἤγουν τὸ σημαῖνον τὸ διαβολικὸν, ἡ θέλημα θελητικὸν, καὶ θελκτόν. θέλημά ἐστιν οὐσίας νοερᾶς, νοερὰ ὄρεξις. θελητικὸν δὲ, αὐτὸ τὸ τὴν θέλησιν ἔχον. θελητὸν δὲ, τὸ ἀγαπώμενον. καὶ θέλημά ἐστιν, ὁρμὴ καὶ κίνησις πρὸς τὸ ποθούμενον. ἢ ὁ ἐν ἡμῖν ἀεικίνητος λόγος. ἢ λόγος ἐν καρδίᾳ ἀναστρεφόμενος δι' ἐνεργείας καὶ μόνον φανερωθῆναι δυνάμενος. γίνεται δὲ θέλημα ἀπὸ τοῦ θέλω θελήσω, τεθέληκα, τεθέλημαι, θέλημα. τοῦ δὲ θέλω ὁ μέλλων περιττοσυλλαβεῖ. τὰ γὰρ δι' ἑνὸς λ ἐκφερόμενα βαρύτονα, ἄχρι τοῦ παρατατικοῦ κλίνεται ὡς βαρύτονα, ἀπὸ δὲ τοῦ μέλλοντος ὡς περισπώμενα. διότι τὸ ἓν λ χαρακτηριστικόν ἐστι περισπωμένου μέλλοντος. καὶ τὰ χαρακτηριστικὰ τοῦ περισπωμένου μέλλοντος, οὐ δύναται εἶναι χαρακτηριστικὰ βαρυτόνου ἐνεστῶτος. καὶ διὰ τὰ φθάσαντα γενέσθαι βαρύτονα δι' ἑνὸς λ, ἀνεμερίσαντο τὴν κλίσιν. οἱ γὰρ βαρύτονοι ἐνεστῶτες, διὰ δύο λλ ἐκφέρονται. οἷον ψάλλω, τίλλω. τὰ γὰρ ἔχοντα δύο λλ ἢ δύο σσ, χαίρουσι τῇ βαρυτόνῳ τάσει. χωρὶς εἰ μὴ ἔχει ὄνομα προϋποκείμενον, ὡς τὸ λυσσῶ. τὰ δὲ ἔχοντα ἓν λ ἢ ἓν σ, χαίρουσι περισπᾶσθαι. οὐδέποτε δὲ βαρύτονος ἐνεστὼς ὀφείλει δι' ἑνὸς ἐκφέρεσθαι, διότι ἀεὶ ἡ πέμπτη συζυγία τῶν βαρυτόνων μακρᾷ θέλει παραλήγεσθαι, ἢ φύσει, ἢ θέσει. θέλω οὖν θελήσω, καὶ μέλω μελήσω. τὰ δὲ τοῦ ελω ῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται, πέλω, κέλω, φέλω, θέλω. τὸ δὲ θέλω, ζῶ, πλοῦτον ὑπάρχω, οὐδετέρας ἐστὶ διαθέσεως, διότι οὔτε ἐνέργειαν, οὔτε πάθος δηλοῖ.

Θελήμονα εἰρεσίην, ἤγουν πρόθυμον, καὶ ἐπισταμένην.

Θελήσει, ἀντὶ τοῦ δυνηθῇ. Ἀριστοφάνης, οὐδὲ θελήσει μαθεῖν. εἴρηται καὶ ἀντιστρόφως.

Θέλησίς ἐστιν, ἀποβολὴ ὑπάρξεως τῆς νοερᾶς ψυχῆς, ἡ ὁ ἐφ' ἡμῖν λόγος. ὡς αὐτεξούσιος αὐτῆς ὑπάρχουσα κίνησις. Θέλησίς ἐστι, νοῦς ὀρεκτικὸς, ἢ ἔφεσις διανοητικὴ, ὄρεξις πρὸς τὸ θεληθὲν ἐπινεύουσα. Θέλησίς ἐστι φυσικὴ δύναμις τοῦ κατὰ φύσιν ὄντος ὀρεκτική. Θέλησίς ἐστι φυσικὴ ὄρεξις τῇ τοῦ λογικοῦ φύσει κατάλληλος. Θέλησίς ἐστι, φυσικὴ αὐτοκράτορος νοῦ κίνησις, αὐτεξούσιος, ἢ νοῦς περί τι κινούμενος. Θέλησίς ἐστι φυσικὴ, νοῦς περί τι αὐθαιρέτως κινούμενος. Θέλησίς ἐστι, φυσικὴ παντὸς νοεροῦ αὐθαίρετος δύναμις, κίνησις, ὡς μὴ δὲ κατὰ τὴν οὐσίαν ἑκούσιον ἔχοντος.

Θελυτήριον, θεραπευτικόν.

Θελητὸς, ὁ τὴν τοῦ θεοῦ ὀργὴν πρὸς ἑαυτὸν ἐπισπώμενος. θελητὸς, καὶ ὁ ἀγαπώμενος.

Θελιμὸς, εὔκαρπος, καὶ γονιμωτάτη.

Θελκτήριον, θέλγητρον, τὸ εἰς ἡδονὴν ἄγον.

Θελκτήριοι, θεραπευτικοὶ, ἄγοντες εἰς ἀπάτην.

Θέλξαι παρὰ Ἀπολλωνίῳ, ἀπατῆσαι, καὶ τέρψαι. ἐκ τοῦ θέλγω. τάσσεται δὲ ἡ λέξις ἐπὶ τῆς μετὰ βλάβης ἀπάτης, καὶ ἀλλαχοῦ παρὰ Ἀπολλωνίῳ θέλξον, ἀντὶ τοῦ λύσον τὴν ψυχήν. καὶ θέλξαι, τὸ κοιμῆσαι. ἐκ τοῦ θέλγω.

Θέλξας, καταπονήσας.

Θελξινία Ἥρα, τιμᾶται παρὰ Ἀθηναίοις.

Θελξιόπη, ἡ Θελξινόη, Μολπὴ, Ἀγλαόφωνος, ταῦτα ὀνόματα Σειρήνων.

Θέλω, μέλλων θελήσω. τὰ ἔχοντα ῥήματα ἓν λ, ποιοῦσι τοὺς μέλλοντας ἀπὸ περισπωμένων. οἷον βούλω βουλήσω, μέλω μελήσω, ὀφείλω ὀφειλήσω, καὶ τὰ ὅμοια. ἡ θέλω, χρήζω. βούλομαι, εὐδοκῶ.

Θέμα, ἕξις, τόπος, στάσις, μνῆμα. γίνεται δὲ θέμα, ἀπὸ τοῦ τίθημι, θήσω, τέθεικα, τέθειμαι, κατὰ ἔλλειψιν τέμαι, ἐκβολῇ τοῦ ἰῶτα τέμα, καὶ τροπῇ τοῦ τ εἰς θ θέμα.

Θεμὰν, ἄνεμος, νότος, ἡ ἀνατολή.

Θεματίζει, ἀποτίθεται, κυβερνᾷ.

Θέμεθλα, ὀφθαλμοῦ παρ' Ὁμήρῳ, ὃ δηλοῖ τὸ ἐν βαθυτάτῳ, τροπικῶς. ὡς ἐπὶ οἰκοδομῆς ἐπιμεμελημένης λεχθὲν, ᾧ προσφυῶς ἐπῆκται, καὶ τὸ ἐκ δ' ὦσε γλήνην. ἐξωθεῖται γὰρ τὰ οὕτω πρυμνόθεν ἐξιόντα. ἡ θέμεθλα, τὰ ἐσώτερα μέρη. καὶ ἕδραι, βάθρα.

Θέμεθλος, τὸ θεμέλιον.

Θεμείλια, τὰ θεμέλια. παρὰ τὸ δέμω τὸ οἰκοδομῶ γέγονε δεμέλια, καὶ θεμείλια, πλεονασμῷ τοῦ ι.

Θεμειλωθέντα, ἐκ ῥιζῶν ἀρθέντα.

Θέμεμα, θέσεις, ῥίζαι.

Θέμεν, ἀντὶ τοῦ θεῖναι, Ἰωνικῶς.

Θέμεναι, καταβαλέσθαι.

Θεμέρη, βεβαία, σεμνὴ, εὐσταθής.

Θέμενος τὰ ὅπλα, ἀντὶ τοῦ περιθέμενος καὶ ὁπλισάμενος.

Θέμερον, σεμνόν. ἀφ' οὗ καὶ τὸ σεμνύνεσθαι, θεμαρώνεσθαι.

Θεμερόφρονας, συνετοὺς, σώφρονας.

Θεμερῶπις, ἐρασμία, ἀγχόνη.

Θεμιζέτω, μαστιγούτω, νομοθετείτω. Κρῆτες.

Θεμισκύριαι, Ἀμαζόνες, αἱ ἐκ τῆς θεμισκύρας ἄκρας.

Θέμις, ἡ δικαιοσύνη. παρὰ τὸ θεσμὸν, θέσμις καὶ θέμις. θέμις καὶ ἡ σωματοειδὴς Θεός. ἡ Θέμις, ἐδόκει θεά τις εἶναι τοῦ δικαίου φυλακτικὴ, Διὸ καὶ τῷ Διὶ ἐλέγετο πάρεδρος. κλίνεται δὲ θέμιδος, καὶ Δωρικῶς θέμιτος, ὅθεν τὸ θεμιτὸν, καὶ ἀθέμιτον, πλεονασμῷ τοῦ σ θέμιστος, ἀφ' οὗ ἀθέμιστος. καὶ Θεμίστιος κύριον. ἰστέον δὲ ὅτι ἐκ τοῦ θεμίστω ἐνεστῶτος, γίνεται ἡ θέμις, οὗ ἡ χρῆσις παρὰ Παυσανίᾳ, εἰπόντι θεμιστεύτω, τὸ νομοθετείτω, ἢ δικαζέτω. ἡ δὲ τοῦ δ καὶ τοῦ τ συγγένεια, δηλοῦται καὶ διὰ τῆς χάριτος. ὡς γὰρ θέμιδος θέμιτος, οὕτω καὶ χάριδος χάριτος. ἔτι δὲ διὰ τοῦ πελιδνοῦ. αὐτὸ γὰρ καὶ πελιτνὸν, παρὰ Θουκυδίδῃ εὕρηται. καὶ θέμις, τὸ ἔννομον, ὅσιον τὸ δίκαιον. ὅμως καὶ ἀμφότερα ἐπὶ θεοῦ, δίκαιον δὲ ἐπὶ ἀνθρώπων. καὶ πάλιν θέμις, ἐπὶ θεῶν. δίκη ἐστὶν, ἐπὶ ἀνθρώπων. δίκη γάρ ἐστι κρίσις, ἣν ἄνθρωποι κρίνουσι. θέμις δὲ, δίκη ἣν οἱ θεοὶ δικάζουσι. καὶ θέμις ἀνδρῶν ἀγορὰς λύει, ἠδὲ καθίζει, ὕστερον πρότερον. πρῶτον γὰρ τὸ καθίζειν, τοῦ λύειν. δηλοῖ δὲ ἡ γνώμη τὸ διὰ ζήτησιν τὰς ἐκκλησίας γίνεσθαι. τινὲς δὲ ἄγαλμα θέμιδος ἐνόμισαν τοῖς ἐκκλησιάζουσιν κομίζεσθαι, πρὸς ὃ καὶ κάθηνταί φασι, καὶ ἐγείρονται. καὶ οὐ θέμις ἐστὶ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ οὐ δυνατὸν, ἔνθεν καὶ τὸ ἐθέμωσεν ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ δυνατὸν ἐποίησεν. ὅτι δὲ καὶ θεμίζειν ῥῆμά ἐστιν, ἐξ οὗ μάλιστα ἡ θέμις, καὶ ὅτι σύστοιχος ἡ θέμις καὶ ὁ θεσμὸς, ἤδη δὲ καὶ τὸ τέθμιον, ὅ ἐστι νόμιμον, δηλοῦσιν οἱ παλαιοί.

Θεμίστω, πρωτότυπόν ἐστι τοῦ θεμιστεύειν. ἐξ οὗ καὶ παρὰ Παυσανίᾳ θεμιστεύτω, τουτέστι νομοθετείτω, δικαζέτω. καὶ ἡ θέμις, ἧς γενικὴ Δωρικὴ θέμιστος, καὶ ἀπ' αὐτῆς τὸ θεμιστεύειν. θέμιστες δὲ, οὐ μόνον ὅτι δίκαι, ἀλλὰ καὶ μαντεῖαι καὶ βουλαὶ, δῆλον ἐκ τῶν παλαιῶν.

Θέμιστα, ἔννομα, νόμιμα. ἡ θέμιστα, νόμον, ἢ δίκην.

Θέμιστας, Δωρικόν. ὡς γὰρ χάρις χάριδος χάριτος, οὕτω θέμις θέμιδος καὶ θέμιτος, ἐξ οὗ καὶ θεμιτὸν καὶ ἀθέμιτον, πλεονασμῷ τοῦ σ θέμιστος, ὅθεν καὶ Θεμίστιος κύριον. καὶ ἀθεμίστια ἐν Ὀδυσσείᾳ, ἄδικα. θέμις δὲ κλινομένη διὰ τοῦ δ παρ' Ὁμήρῳ, μυθικὴν θεὰν δηλοῖ.

Θεμιστεύειν, χρησμῳδεῖν, ἀπὸ τοῦ θέμιν ἐσχηκέναι ποτὲ τὸ μαντεῖον πρὸ τοῦ Ἀπόλλωνος. ἢ θεμιστεύειν, τὸ δικαίως δικάζειν, ἢ δικαιοπραγεῖν.

Θεμιστευτὸν, νομοθετητόν.

Θεμιστεύσαντος, ἄρξαντος, δικάσαντος.

Θέμιστες Διός φασί τινες, μὴ δεῖν ἐπὶ μαντείας τίθεσθαι. ἀγορᾶς γὰρ καὶ βουλῆς λέξιν εἶναι τὴν θέμιν. Διὸ ἀντὶ τοῦ θέμιστες, τόμουραι γράφουσιν, ὅ ἐστι μαντεῖαι. ὄρος γὰρ κατὰ τὸν Γεωγράφον τόμουρος, ὑφ' ᾧ κεῖται ἱερὸν τὸ ἐν Δωδώνῃ κατὰ Θεσπρωτίαν. ἐξ οὗ οἱ ὑπὸ τοῦ Ποιητοῦ λεγόμενοι ὑποφῆται Διὸς, ἀνιπτόποδες χαμεῦναι, καὶ αἱ μαντεῖαι τόμουραι. βέλτιον γάρ φησιν τομούρας ἢ θέμιστας φράζειν, θέμιστες γὰρ οὐ τὰ μαντεῖα, ἀλλ' αἱ βουλαὶ καὶ τὰ βουλεύματα, καὶ τὰ νομοθετήματα. τοῖς δὲ ῥηθεῖσι τομούροις, καὶ ὁ παρὰ τῷ Λυκόφρονι συνωνομάζεται τόμουρος νημερτέστατος, ἤγουν ὁ τὸ μὴ ὂν ὁρῶν μαντικῶς.

Θεμίστειον, τὸ δίκαιον, παρὰ τὸ θέμις. ὅπερ ὁ μὲν Ἡρωδιανὸς προπαροξύνει. ἀναλογώτερον γάρ. ἀλλ' ἡ χρῆσις προπερισπᾷ, οἷον θεμιστεῖον.

Θεμιστεύειν, ἀντὶ τοῦ χρησμῳδεῖν.

Θεμιστιάδαι νύμφαι.

Θεμιστισία, ὅσια.

Θέμωσεν, οὐ μόνον ἀντὶ τοῦ ἠνάγκασεν, ἀλλὰ καὶ

Digitized by Google

ἀντὶ τοῦ ἐποίησε κατὰ τοὺς παλαιούς. παρὰ τὸ θεῖναι, τουτέστι ποιῆσαι. ἢ γίνεται λέξις ἐκ τοῦ θέμις, ὅθεν θεσμὸς ὁ νόμος, ᾧ ἐξ ἀνάγκης πειθόμεθα. θέμωσε δὲ χέρσον ἱκέσθαι, τουτέστιν ἠνάγκασεν, ἔπεισεν ἐγγίσαι εἰς γῆν.

Θεμιστοπόλοι, ἄρχοντες δίκαιοι.

Θέμιστος, δικαιοσύνης.

Θεμιστόρων, συνετῶν.

Θεμιστῶς, νομίμως δικαίως.

Θεμοῦς, ἐκθέσας, παραινέσεις.

Θεμῶν, θελήμων.

Θέμωσε, τὸ ἤγγισε. καὶ θαμίζειν, τὸ ἐγγίζειν. ἔνιοι δὲ ἐποίησαν, παρὰ τὸ θεῖναι.

Θὲν μόριον, ἤτοι παρέλκεται. ἢ ἀντὶ τῆς ἐξ προθέσεως παραλαμβάνεται.

Θέναρ, λέγεται κατὰ τοὺς παλαιούς, τὸ μεταξὺ τῶν δακτύλων καὶ τοῦ καρποῦ, ἤγουν τὸ κοῖλον τῆς χειρός, ἢ κατ' Εὔδημον, τὸ μεταξὺ τοῦ λιχανοῦ, καὶ τοῦ ἀντίχειρος, ἤγουν τοῦ μεγάλου δακτύλου, σαρκῶδες καὶ κοῖλον.

Θεναρίζει, τύπτει.

Θένει, κόπτει, τύπτει.

Θένιοι, οἱ προσήκοντες.

Θέογνις, εἷς ὢν τῶν παρ' Ἀθηναίοις Τυράννων. καθά φασιν ἄλλοι τε, καὶ Ξενοφῶν ἐν δευτέρῳ Ἑλληνικῶν. καὶ Θέογνις, ἕτερος Μεγαρεὺς τῶν ἐν Σικελίᾳ Μεγάρων, γεγονὼς ἐν τῇ πεντηκοστῇ ἐννάτῃ Ὀλυμπιάδι. ἔγραψεν ἐλεγείαν εἰς τοὺς σωθέντας τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ, καὶ γνώμας δι' ἐλεγείας εἰς ἔπη δισχίλια ὀκτακόσια. ἔγραψε δὲ καὶ γνώμας παραινετικάς. ἄλλως.

Θέογνις, Τραγῳδοποιητὴς πάνυ ψυχρός. ὃς καὶ χιὼν ἐλέγετο. ἔστι δὲ καὶ ποιητὴς ὁ Θέογνις, ὃς ἦν Μεγαρεύς.

Θεογενεσία, τὸ βάπτισμα.

Θεοδέκτορα, θεὸν δεδεγμένην.

Θεοδέσιος, Διόνυσος.

Θεουδὴς λέγεται, ὥσπερ καὶ θεοειδής, οὐκ ἐπ' αὐτοῦ τοῦ Θεοῦ, ἀλλ' ἐπὶ τοῦ ἐοικότος θεῷ. καλῶς ἄρα σεσημείωται ὑπὸ τῶν παλαιῶν, ὅτι τὸ ἀμύμων, προσώποις μόνοις ἡρωϊκοῖς ἐπιτίθεται. ἤγουν θνητῶν ἐνδόξων ἀνθρώπων ἐστὶν ἐπίθετον.

Θεοειδής, τουτέστιν, ὥσπερ εἰ εἴποι ἑαυτόν τις θεοῖς ἐοικότα τὸ εἶδος, ἤτοι περικαλλῆ.

Θεόδμητοι Ἰλίου πύργοι, οἱ ὑπὸ θεῶν δομηθέντες.

Θεόδμητος, ὁ ὑπὸ θεοῦ κατεσκευασμένος.

Θεοδρομῶν, κατὰ θεὸν πορευόμενος.

Θεοδώρητος, ἡ δωρεὰ τοῦ θεοῦ.

Θεοδόσια, τὰ ὑπὸ θεοῦ δεδομένα.

Θεόδυτα, ἱερόθυτα.

Θεόδωρος, θεοδώρους ἔλεγον οἱ κωμικοί, τοὺς ἀνυπρόκτους. ἀπὸ θεοδώρου τινὸς οὐκ εὖ τῆς ἑαυτοῦ ὥρας προστησαμένου.

Θεοειδῶς, θείως, θαυμαστῶς.

Θεοείκελος, θεοῖς τὸ εἶδος ὅμοιος.

Θεοεπεῖς, ἐκ θεοῦ ἐπόμενοι, ἢ λεγόμενοι.

Θεόθεν, ἀπὸ θεοῦ ἐμβαλοῦμεν. θεόθεν δὲ ἐλθόν, ἀεὶ τίθεται ἐπὶ κακοῦ, οἷον θεήλατος πληγή.

Θεοὶ γάμον ἐξετέλεσαν, σύνηθες λέγεσθαι ἐπὶ εὐδαιμόνων γάμων. ἢ θεοί, οἱ ἐνδίκως δικάζοντες. θεοὶ οἱ κατ' εἰκόνα θείαν, καὶ θεοὶ μολοττικοί, ἤτοι ὅτι διάφοροι οἱ κύνες οἱ μολοττικοί, ἢ ὅτι ψυχοπομπεῖον ἐστὶν ἐν μολοσσοῖς.

Θεοίνια ἐλέγοντο, ἐν οἷς οἱ γεννηταὶ ἐπέθυον. τὸν γὰρ Διόνυσον θέοινον ἔλεγον, ὡς δηλοῖ Αἰσχύλος, καὶ Ἴστρος ἐν πρώτῃ τῶν συναγωγῶν.

Θεοὶ ξενικοί, παρὰ Ἀθηναίοις τιμῶνται, οὓς κατὰ λέγει Ἀπολλοφάνης ἐν Κρησί.

Θεοκάπηλοι, οἱ αἱρετικοί, ὡς παραμιγνῦντες τὰς ἑαυτῶν διδασκαλίας τοῖς ὀρθόφροσι δόγμασιν, ὡς καὶ οἱ κάπηλοι τὸν οἶνον τῷ ὕδατι.

Θεοκλυτῆσαι. θεὸν ἐπικαλέσαι. καὶ θεοκλυτήσαντες, θεοῦ ἀκούσαντες, θεὸν ἐπικαλεσάμενοι.

Θεόκλυτος, θεότιμος.

Θεόκολος, ἱέρεια.

Θεόληπτος, ὑπὸ θεοῦ συσχεθείς.

Θεολόγος, μυστηρίων θησαυρός.

Θεόμητι, θεόφρονι, θεοβούλῳ, θεῖα φρονοῦντι.

Θεομισής, ὑπὸ θεοῦ μισούμενος. θεομισὴς δέ, ὁ μισῶν τὸν θεόν.

Θεόμορος, σώφρων.

Θέοντες, τρέχοντες.

Θεοξένια, κοινὴ ἑορτὴ πᾶσι τοῖς θεοῖς.

Θεόπαιστος, ὑπὸ θεοῦ παιόμενος, ἢ κιθάρα ὑπὸ θεοῦ διδομένη.

Θεοπεμπεῖν, ἐν θυσιῶν.

Θεοπής, ἀληθής, ἡδεῖα, ἀγαθή, ἰσχυρά.

Θεοπλάκτας, δεισιδαίμονας.

Θεοπλαστία, ἡ θεία ἐνανθρώπησις.

Θεοπολεῖν, θεῶν εἰκόνας ἐχόντων περιπολεῖν.

Θεοπρεπής, τῷ θεῷ πρέπον.

Θεοπρόπος, οἰωνιστής, ὡς εἴ τις εἴποι μάντιν, οἰωνοπόλον. γενικοῦ μὲν ὄντος ὀνόματος τοῦ θεοπρόπος καὶ τοῦ μάντις, εἰδικοῦ δέ, οἰωνιστής, ἢ θεοπρόπος ἁπλῶς ὁ μάντις. θεοπροπία δέ, ἡ τέχνη αὐτοῦ. θεοπρόπιον, τὸ χρησμῴδημα, ὃ καὶ λόγιον ἔλεγον οἱ Ἀττικοί.

Θεοπτία, ἡ τοῦ θεοῦ ὀπτασία, καὶ θεοπτίας, θείας θεωρίας.

Θεορπέτες, οἱ θεὸν τέρποντες.

Θεορρημοσύνη, ἡ θεία διδασκαλία, καὶ ἡ κατήχησις.

Θεόρρυτον, τὸ ἐκ θεοῦ χεόμενον.

Θέορτος, ὁ ὑπὸ θεοῦ παρορμώμενος.

Θεός, τὸ Πνεῦμα τὸ ἅγιον. δύναμις ἁγιαστική, ἐνυπόστατος ἐκ τοῦ Πατρὸς ἐκπορευομένη ἀδιαστάτως, καὶ ὁμοούσιος Πατρὶ καὶ Υἱῷ, Θεός ἐστιν οὐσία, πρῶτον καλόν, ἀναίτιος αἰτία. ἀπλανὴς πάσης οὐσίας, αἰτία τις ὑπερούσιος. Θεὸς δὲ παρὰ τὴν θέσιν εἴρηται, καὶ τὴν διακόσμησιν. ἔστι δὲ Θεός, ἀνώνυμος, καὶ ἀσήμαντος παρὰ ἀνθρώποις. ὕπαρξις πάσης ὑπάρξεως ποιητική. τὰ ἰδιώματα τῆς θείας φύσεως, τὸ ἄκτιστον, τὸ ἄναρχον, τὸ ἀθάνατον, τὸ ἀπέραντον, τὸ αἰώνιον, τὸ ἁπλοῦν, τὸ ἀσύνθετον, τὸ ἄϋλον, τὸ ἀγαθόν, τὸ δημιουργικόν, τὸ δίκαιον, τὸ φωτιστικόν, τὸ ἄτρεπτον, τὸ ἀπαθές, τὸ ἀπερίγραπτον, τὸ ἀόριστον, τὸ ἀσώματον. ἡ Θεὸς προσηγορία, εἴρηται ἐν τῇ γραφῇ διττῶς, φύσει καὶ χάριτι. φύσει μέν, ὁ Ποιητής. χάριτι δέ, καὶ οἱ δίκαιοι λέγονται θεοί. Θεὸς λέγεται παρὰ τὸ τεθηκέναι τὰ πάντα, ἢ τὸ τεθεᾶσθαι. καὶ τί ἐστι Θεός, καὶ πῶς προσκυνεῖται; ἄκουσον νουνεχῶς, καὶ γνῶθι τὸ ἀληθές.

Θεός, τόγ' ἀλεξήσειεν. ὅμοιόν ἐστι, τῷ μὴ γένοιτο, ὅπερ ἐν ἄλλοις ἐρεῖ μὴ τοῦτο θεὸς τελέσῃ.

Θεόσδοτος, ἐκ θεοῦ δεδομένος.

Θεοσέπτωρ, ὁ θεοσεβής.

Θεοσέπτου, ὑπὸ θεοῦ καταπεμφθείσης.

Θεοσημία, ἡ τοῦ θεοῦ προφητεία.

Θεοσκυνεῖ, θεοὺς τιμᾷ.

Θεοστιβής, ὁ ὑπὸ τοῦ θεοῦ πατούμενος. ἐκ τοῦ θεός, καὶ τοῦ στείβω τὸ περιπατῶ, γίνεται στιβής, καὶ θεοστιβής.

Θεοστυγεῖς, οἱ μισούμενοι ὑπὸ θεοῦ.

Θεοσυλής, ὁ τὰ ἱερὰ συλῶν.

Θεότευκτον, θεοκατασκεύαστον.

Θεόφις, ἡ πάντα θεωμένη, καὶ πάντα περιθέουσα πρόνοια, καὶ ἀγαθότητι παντελεῖ ἑαυτῆς ἀποπληροῦσα καὶ ὑπερέχουσα πάντα, τὰ τῆς προνοίας αὐτῆς ἀπολαβόντα.

Θευδία, θειώδη.

Θευδής, δίκαιος, εὐσεβής, εὐγνώμων, θεοῖς ἀρέσκων.

Θευδέσιν, ὑπὸ θεοῦ δεδομένοις.

Θεούπολις, ἡ μεγάλη Ἀντιόχεια ἐκαλεῖτο, ἀπὸ Θεοδοσίου τοῦ μεγάλου Ἰουστίνου.

Θέουσα, τρέχουσα.

Θεουργική, θεοὺς ποιοῦσα.

Θεοφάνεια, ἡ τοῦ Θεοῦ φανέρωσις, θηλυκόν. οὐδετέρως δὲ καὶ πληθυντικῶς τὰ θεοφάνεια, ἡ εὐθεῖα τὸ θεοφάνειον.

Θεοφάντορας, ὑπὸ θεοῦ πεφημισμένους, θεολόγους.

Θεόφατα, ἐκ θεοῦ σημαινόμενα.

Θεοφατίζει, μαντεύεται, τερατολογεῖ.

Θεόφιν, κατὰ προσχηματισμόν, ἀντὶ τοῦ θεοῖς. Ὅμηρος Ἰλιάδος κ', Δαρδανίδης πρίαμος θεόφιν μήστωρ ἀτάλαντος.

Θεόφοβος, θεοσεβής.

Θεοφορία, ἐνθουσιασμός, ἄγρια δ' αὐτοῦ ἐψύχθη, χαλεπῆς πνεύματι θεοφορίης.

Θεόφρονα, θεοῦ γνώμη, ἢ φράσις.

Θεοφροσύνη, αἱ περὶ τὰ θεῖα διατριβαί, καὶ αἱ μαντεῖαι.

Θεόω θεῶ, ἐπὶ τρίτης συζυγίας, τὸ θεότητος μεταδίδωμι.

Θέπτανος, ὁ ἁπτόμενος.

Θεράπαινα, ἡ δούλη, καὶ θεραπαινίς.

Θεραπαινίδες, ἔριθοι.

Θεραπεία, ἡ ἴασις ἀπὸ τοῦ θεραπεύω, καὶ θεραπευτὴς παραγόμενον. θεραπεία καὶ ἡ διακονία, ἀφ' οὗ λέγεται καὶ θεράπων. καὶ θεραπεία, ἡ ὑπουργία καὶ ὑπηρεσία. θεραπεία, καὶ τὸ πλῆθος τῶν θεραπόντων. ὥσπερ δὴ καὶ ἰατρεία, τὸ τῶν ἰατρῶν. καὶ ἑταιρεία, ἡ τῶν ἑταίρων ἄθροισις.

Θέραπες, ὁ μιλητῆρες.

Θεραπευσία, θεραπεία, ἱκετεία.

Θεραπευτής, ἰατρός.

Θεραπεύω, τὸ δουλεύω. οἷον ἐκ ἐμὲ τὴν δεσπότην θεραπεύειν. καὶ θεραπεύω, τὸ τιμῶ. ἀγαθὸν θεραπεύεις σοφιστήν, καὶ θεραπεύω τοὺς θεούς. καὶ θεραπεύω, τὸ ἰῶμαι. ὡς τό, σώματος μὲν ἀρρωστίαν θεραπεύει τέχνη. θεραπεύω καὶ τὸ εὐφραίνω. οἷον θεραπεύω σε δώροις. καὶ τὸ μετέρχομαι, καὶ ὑπέρχομαι, ἤτοι μεταχειρίζομαι.

Θεράπη, αἱ θεραπεῖαι, τοῦ Χρυσοστόμου. ὅτι μετὰ τοσαύτην θεραπείαν, ἔμεινεν ἐπὶ τῆς ἀρρωστίας.

Θεραπείας, τὰς βωμολοχίας.

Θεράπναι κατὰ συγκοπήν, αἱ θεράπαιναι. καὶ Θεράπναι, τόπος ἐστὶν ἐν Λακεδαιμονίᾳ, οὗ μνημονεύει Ἰσαῖος, καὶ Ἀλκαῖος. ἢ θεράπναι, αὐλῶνες, σταθμοί.

Θεραπνατιδία, ἑορτὴ παρὰ Λάκωσι.

Θεράπνιον, θεραπαινίδιον, δουλίδιον.

Θεράποντες, δοῦλοι, ὑπηρέται. θεράποντες, ἐπὶ κλητικῆς.

Θεράπων ἐστίν, ὁ σιτίοις προσήκουσιν ὑπηρετῶν. ἢ θεράπων κατὰ τοὺς Κρῆτας, δηλοῖ φασὶ δοῦλον ὁπλοφόρον, ὅπερ οὐκ οἶδεν Ὅμηρος.

Θεράποντα, Ἀντίθεος Αἰακίδου, τὸν Αὐτομέδοντα καλεῖ. ὡς ἤδη αὐτὸν τῷ Ἀχιλλεῖ ἀντὶ τοῦ Πατρόκλου συστήσεται ἡνίοχον, ἤγουν ὥσπερ οὐδὲ ὁ Πάτροκλος, οὕτως οὐδ' Αὐτομέδων δουλικῷ νοήματι θεράπων Ἀχιλλέως λέγοιτ' ἄν, εἰ καὶ Κρῆτες οὕτω χρῶνται τῇ τοῦ θεράποντος λέξει, κατὰ τοὺς γλωσσογράφους, οἳ πολλὰ περὶ τοιούτων εἰπόντες ὀνομάτων, ὥστε προδεδήλωται. ἐν οἷς καὶ οἱ παρὰ Λάκωσιν εἵλωτες, παρὰ τὸ ἕλος. καὶ οἱ κλαρεῶται, καὶ οἱ ἀμφαμιῶται, καὶ οἱ λάτρεις, οἱ καὶ μενέσται. ὕστερον δὲ πενέσται, ὡς Εὐριπίδης. λάτρις πενέστης. ἀμὸς ἀρχαίων δόμων. λέγουσι καὶ ὅτι Θετταλοὶ μὲν πενέστας φασὶ τοὺς μὴ γόνῳ δούλους, πολέμῳ δὲ ἡλωκότας. τοὺς δὲ αὐτοὺς καὶ θετταλοικέτας. κωμικὸς δέ τις ἐπὶ τοῦ ἁπλῶς δούλου, τοὺς πενέστας τίθησιν. ἔτι δέ φασι κατὰ τὴν τοῦ Δηπνοσοφιστοῦ ἱστορίαν, ὅτι καὶ βαρυανδηνοὶ ἐκαλοῦντο δωροφόροι, ὑποφείσσοντες ἀνακῶς, ἀφαιρούντων τῶν δεσποτῶν τὸ πικρόν, τῆς τῶν σπαρτιατικῶν εἱλώτων προσηγορίας. ἤγουν εὐφημότερον ἀντὶ δούλων, δορυφόρους καλούντων τοὺς τοιούτους μαριανδηνούς. ἐπεί φασιν ὑπετέλεσαν Ἡρακλεώταις ἐπὶ τέλους ὑποσχόμενοι θητεύειν αὐτοῖς, πάσχουσι τὰ δέοντα. οἷς δὴ καὶ ἄζους ἔλεγον τὰς θεραπαίνας, καὶ τοὺς θεράποντας, ἔτι δὲ χαλυΐδας Λακωνικῶς τὰς θεραπαίνας. καὶ ἀποφράστην καὶ βολίζην, τὴν δούλην, καὶ ἀμφίπολον τὴν περὶ τὴν δέσποιναν θεράπαιναν. πρόπολον δὲ τὴν προπορευομένην, ἧς καὶ ἄρρεν ἐστὶν ὁ πρόπολος, ἐκ τῶν παλαιῶν ἀνείληπται καὶ αὐτό. ὥσπερ καὶ τὸ τοὺς Ἀρκάδας ἔχειν τριάκοντα προσπελατῶν μυριάδας, ὥσπερ εἱλώτων, καὶ τὸ τοὺς κάρας δούλοις χρήσασθαι ταῖς λέξεσι, καὶ τὸ τοὺς Βυζαντίους, ἔτω δεσπόσαι τῶν Βιθυνῶν, ὡς οἱ Λάκωνες Εἱλώτων.

Θέραψ,

Digitized by Google

Θέρεψ, ῥῦπος, ὑπερίσπως. ὡς τὸ, θέρεψ δὲ ἦν τὸν τρόπον, καὶ κολακικός.

Θέρει. θερεῖ, θερμαίνει.

Θέρεια, ὁ τοῦ θέρους καιρὸς, ὡς παρὰ τὸ θάλλω, θάλεια, οὕτω καὶ παρὰ τὸ θέρω τὸ θερίζω, θέρεια. οὕτω Γεώργιος ὁ χοιροβοσκός.

Θερείβοτος τόπος, ὁ ἔχων καὶ ἐν θέρει βοσκὰς, παρὰ τὸ θέρος. ἡ δοτικὴ τῷ θέρει, καὶ τὸ βοτὸν, ὃ σημαίνει τὴν βόσκην.

Θερείβοτον πεδίον, τὸ ἐν θέρει ἔχον βρῶσιν.

Θερειπόταις χώραις, ταῖς γαίαις, Λυκόφρων λέγει τὴν Αἴγυπτον. ὁ Νεῖλος γὰρ ἐξερχόμενος ἐν τῷ θέρει, ἀρδεύει αὐτὴν, ὅτε διΐησι τὴν Αἰθιοπίαν ἀπὸ Λιβύης. τινὲς δέ φασιν, ἐν Λιβύῃ εἶναι τὰς πηγὰς τοῦ νείλου, ὡς Δοῦρις.

Θερειναίω. Νίκανδρος θερειναίω ἵσταται ἀκτίς, παρὰ τὸ θέρον θέρειος καυτικὸν, ὡς τέλος τέλειος, παρὰ τὸ θέρειος, θερειναίω. Ἄρατος, ἦμος ἔτ' ἠελίοιο θερείτεταί εἰσι κέλευθοι.

Θερελίμιον, τόπου ὄνομα, καὶ Ἀπόλλων, καὶ Ζεύς.

Θέρεσθαι, θερμαίνεσθαι, καὶ θάλπεσθαι, πρὸς Ἥλιον χλιαίνεσθαι.

Θερίσιμον, θερεστικόν.

Θεριγαγεῦ, ἡ ἅμαξα, ἀπὸ τοῦ τὸ θέρος ἄγειν.

Θερίσδειν, θερίζειν, κατασβάλλειν. ἀπὸ μεταφορᾶς τῶν θεριζόντων, ὅτι τὰ δράγματα τιθέασιν, ἢ διότι πολλοὶ ἐθέριζον διὰ τὸν πόλεμον. Ἀριστοφάνης, μέλλω γέ τοι θερίσδειν.

Θερίζειν, ἀντὶ τοῦ καταβάλλειν.

Θερίζω, ἀμῶ, δρέπομαι. καὶ θερίζω, καὶ ἐνθερίζω ἀμεταβάτως, τὸ θέρος τοῦτο διάγω. θερίζω δὲ μεταβατικῶς, τὸ λήϊον τέμνω. ἢ θερίζω, ἀμῶ, ἀλοῶ, λικμῶ, ἐκθερίζω, ἀνασπῶ, τρυγῶ, δρέπομαι, ἐπὶ τοῦ θεριζόντος ταῦτα λέγεται.

Θερίκλειον, ποτήριον, κόνδυ.

Θερινή, θέρος.

Θερίσας, τὸ θέρος ἀγαγών.

Θέριστρον, λεπτὸν ὕφασμα, θερινὸν ἱμάτιον.

Θέριστρον, τὸ δρέπανον, καὶ τὸ φακιόλιον. ἢ θέριστρον, καὶ θερίστριον. θερινὸν ἱμάτιον τὸ ἐκ κόκκου βαφὲν, καὶ ὑσγίνοιο θέριστρα, καὶ τοὺς ἀνδρολιπεῖς ἀλλοτρίους πλοκάμους.

Θέρκαλ, θέλγμα.

Θέρκτωρ, θέλγμα.

Θερμαίνεται, ἀντὶ τοῦ ἐξαπατᾶται. Σοφοκλῆς, οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν, ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.

Θέρμα, πυρετὸς, ἄδεια, καὶ ἐκεχειρία.

Θερμὰ, τὰ χλιαρὰ ὕδατα.

Θερμαντῆρες, θερμαστρεῖς, θερμαστὶς, χαλκεία.

Θερμαντήρια, ἐσχαρίδες, λέβητες, λεβητάρια, ἰπνολεβήτια. ταῦτα ἐστὶν ἀγγεῖα ἐν οἷς τὸ ὕδωρ θερμαίνεται.

Θερμάν, θρᾳκικόν ἐστι πόλισμα.

Θερμάστραι, κάμινοι.

Θερμαστῆθεν, ἐκ καμίνων, καὶ τὸ ἐπάνω ἐν τῇ κλίνῃ πάντων.

Θερμαστρεὶς, σκεῦος παραπλήσιον καρκίνῳ. ᾧ χρῶνται οἱ χρυσοχοὶ, καὶ ὄρχησις ἔντονος, καὶ διάπυρος, τάχους ἕνεκα.

Θερμεῖ, θερμαίνει.

Θερμεῦν, ἡ θέρμη.

Θέρμετο ὕδωρ, ἐστὶ τὸ θέρμω πρωτότυπον τοῦ θερμαίνω. χαλκὸς δὲ ἰαίνεται, ἀντὶ τοῦ θερμαίνεται. θερμῶσαι, ἀντὶ τοῦ θερμᾶναι.

Θέρμη, καὶ θέρμα. Φερεκράτης, σκέψαι δέ μου τὸ μέτωπον, εἰ θέρμην ἔχουσα τυγχάνω. καὶ Μένανδρος, ἐπήρθη τῷ γέροντι, θέρματ' ἐπέλαβεν αὐτόν. οὐκ εὖ τοίνυν οἱ λέγοντες, ὅτι θέρμα μὲν ἡ πυρετικὴ, θέρμη δ' ἡ πόλις.

Θέρμης, ὁ θέρμης πνέων.

Θερμὸν, παράδοξον. Ἀριστοφάνης, ὦ θερμὸν ἔργον κἀνόσιον, καὶ παράνομον.

Θερμόπλα, ἐπίπονα νοσήματα περὶ τοὺς πόδας.

Θερμοπύλαι, τόπος οὕτω καλούμενος ὑπὸ τῶν πλειόνων Ἑλλήνων. ὑπὸ γὰρ τῶν ἐπιχωρίων καὶ περιοίκων πύλαι.

Θερμὸς, θρασύς. καὶ θερμουργὸς, ὁ προπετής. ἢ θερμὸς, ὥσπερ παρὰ τὸ εἴρω εἱρμὸς, οὕτω καὶ παρὰ τὸ θέρω θερμός.

Θερμόπται, μέθυσοι. ὦ θερμόπται γυναῖκες, μέγα καπήλοις καλὸν, ἡμῖν δὲ κακόν. ὅτι ἡ θυγάτηρ Φαραὼ ἡ τὸν Μωϋσῆν υἱοποιήσασα, Θερμοῦθις ὠνομάζετο.

Θερμότης λέγε, ἀλλὰ μὴ θερμασία, Φρύνιχος. ἢ θερμότης, καὶ θέρμη, Ἀττικοί. θερμασία, Ἕλληνες.

Θερμουργὸς ἄνθρωπος, ὁ σπουδαῖος. θερμὸν ἔργον, τὸ κακὸν, ἀπαίδευτον.

Θέρμυδρος, λιμὴν Ῥοδίων.

Θέρμω, καὶ θερμαίνω. Ἀριστοφάνης, θέρμετ' ὕδωρ.

Θερμώδων, ποταμὸς Παφλαγονίας περὶ Σινώπην, ὅπου ἦσαν αἱ Ἀμαζόνες. ἔστι καὶ Βοιωτίας ποταμός.

Θερόμενος, θερμαινόμενος.

Θέρονται, καίονται, χλιαίνονται, θερμαίνονται.

Θέρος, παρὰ τὸ θέρω τὸ θερμαίνω, τὸ ἐν καιρῷ τοιούτῳ ὄν. ἔστι δὲ θέρος, ὁ ὑπὲρ γῆν ἀὴρ, καταθαλπόμενος τῇ τοῦ Ἡλίου πρὸς Ἄρκτον πορείᾳ. καὶ θέρος, οὐ τὸν καιρὸν οἱ ῥήτορες ἐκάλουν, οἷον χειμῶνα καὶ ἔαρ. καὶ θέρος, ἀλλὰ τοὺς συγκομιζομένους καρποὺς τῶν σπερμάτων, οὕτω προσηγόρευσαν. καὶ θέρος ἐστὶ χρόνος, ἐν ᾧ τὸ θερμὸν ἐπικρατεῖ.

Θερσίτην λέγει ἡ νεωτέρα ἱστορία, ἀναιρεθῆναι ὑπὸ Ἀχιλλέως κονδυλισθέντα, ὁπηνίκα τὴν Ἀμαζόνα Πενθεσίλειαν ἐκεῖνος ἀνελὼν, οἶκτον εἶχεν ἐπὶ τῇ κειμένῃ. ὁ μὲν γὰρ ἐθαύμασε τὸ κάλλος. καὶ ὡς καλὴν ἅμα καὶ ἀνδρείαν, ἀνδρειότατος καὶ κάλλιστος ἐλεεῖ κειμένην, τὸ ὅμοιον οἰκτιζόμενος. ὁ δὲ ὡς εἴρηται πιθηκόμορφος, ἐπὶ λαγνείᾳ σκώπτει τὸν καλὸν Ἥρωα. ὁ τοίνυν Ἀχιλλεὺς γογγύλῃ χειρὶ παίσας τὸν αἴσχιστον τῇ καλῇ Πενθεσιλείᾳ συγκατακλίνει. Ἄλλως.

Θερσίτην ὁ Ἀχιλλεὺς ἀνεῖλε, πλήξας δόρατι αὐτόν. κατ' ἐμὲ δὲ καὶ τοὺς λοιποὺς, κονδύλῳ, ἤτοι γρόνθῳ. μὴ διὰ τὸ ἐξορύξαι τοὺς ὀφθαλμοὺς τῆς κόρης, ἧς φασιν ἐρασθῆναι Ἀχιλλέα, ἀλλὰ ὅτι κατ' Ἀχιλλέως αἰσχροὺς λόγους ἀπέρριπτεν.

Θερσίτης, ὄνομα κύριον. καὶ θερσίτειον βλέμμα.

Θερσόμενος, ἤγουν θερμανθησόμενος.

Θερσιεία, ἑορτή τις.

Θερυρόστερος, ὁ χλωρὸς σῖτος, ἀμυθής.

Θέρω, τὸ θερμαίνω, παρὰ τὸ θέω τὸ τρέχω. τὸ γὰρ ταχὺ, θερμὸν λέγουσιν εἶναι.

Θέσαι, θησαυρίσαι.

Θέσεις, αἱ καταβολαὶ τῶν πρυτανείων, ὅσπερ μισθὸς ἦν τῆς εἰσαγωγῆς τῆς δίκης. ἢ θέσεις, πράξεις. καὶ θεῖναι, ποιῆσαι.

Θέσθαι, καὶ ὑποθέσθαι, διαφέρει. θέσθαι μὲν γάρ ἐστι, τὸ λαβεῖν ὑποθήκην. ὑποθέσθαι δὲ, τὸ δοῦναι. ὑποθήκην θέσθαι, τὸ θησαυρίσασθαι, ἐν Ὀδυσσείᾳ.

Θέσθω, εὐτρεπισάτω.

Θέσθαι, τὸ θησαυρίσασθαι, ἐν Ὀδυσσείας ν'. καὶ τὸν θησαυρὸν Ἀνακρέων, θεσκελεῖ. εἰς δὲ τὸ ῥητορικὸν λεξικὸν, ἀντὶ τοῦ ὑποθήκην λαβεῖν. Ὑπερείδης, ἀντὶ τοῦ κυρῶσαι, καὶ προέσθαι μόνον. Δημοσθένης ἐν τῷ περὶ ἀτελειῶν. ἐν μέντοι τῷ κατὰ Στεφάνου φησὶν, ἑαυτῷ νόμους ἰδίους θέμενοι, ἀντὶ τοῦ θέντα.

Θέσις παράδοξος, ὑπόληψις τινος τῶν ἐν φιλοσοφίᾳ γνωρίμων. οἷον ὡς ὁ Παρμενίδου λόγος, ὅτι ἓν ἔλεγε τὸ ὄν. καὶ ὡς ὁ Ἡρακλείτου, ὅτι τὰ πάντα κινεῖται.

Θέσκελα, ἔργα μάχης παρ' Ὁμήρῳ ἐν γ'. τῆς Ἰλιάδος, οὐχ ὡς θεοείκελα, ἀλλὰ θεοκέλευστα. καθὰ θεόφατα, τὰ θεόφραστα. εἶεν δ' ἂν καὶ οὕτω θεῖα τὰ θέσκελα. καὶ διὰ τοῦτο θαύματος ἄξια. καὶ θέσκελα, θαυμαστὰ, θεῖα, οἱονεὶ θεοείκελα.

Θέσμιον, νόμιμον, δίκαιον.

Θεσμοθέται, ἀρχή τις Ἀθήνησιν, ἓξ ὄντων τὸν ἀριθμὸν, καίτοι ἐκ τῶν καλουμένων ἐννέα ἀρχόντων. καλοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον, ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατὰ ἐνιαυτὸν ἕκαστον, εἴρηκεν Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ἢ θεσμοθέτης, ὁ νομοθέτης.

Θεσμορίη νόσος, ἡ ἐκ θεῶν μεμοιραμένη νόσος.

Θεσμὸς, ὁ νόμος, ἀπὸ τῆς θέσεως ὀνομάζεται. ἕκαστος γὰρ νομοθέτης, ὡς ἐβούλετο ἐτίθει τοὺς νόμους. ἢ θεσμὸς ἐκαλεῖτο μὲν πάλαι καὶ εἷς ἕκαστος τῶν νόμων θεσμός. καὶ τὸ ὅλον δὲ τῆς πολιτείας σύνταγμα, οὕτω κέκληκεν ὁ Δημοσθένης, ἐν τῷ κατ' Ἀριστοκράτους.

Θεσμοτόκον, τὰς μελίσσας φησὶ, διὰ τὸ εὔτακτον. θείης θεσμοτόκου χορὸν ἄπλετον.

Θεσμοφορία, τὰ μυστήρια τῆς Δήμητρος, ἢ ὄνομα ἑορτῆς.

Θεσμοφόρια, ὄνομα ἑορτῆς, ὥσπερ ἐν θεσμοφορίοισι, νηστεύομεν ἄγαν θυηλῶν, Ἀριστοφάνης.

Θεσμοφόρος, ὁ τοὺς νόμους ἐπιφερόμενος.

Θέσπαλαι, αἱ κῶαι, παραφιλήματα, καὶ αἱ φαρμακίδες.

Θέσπια καὶ θεσπιαὶ, ἡ αὐτὴ, ὥσπερ Ἀθήνη ἑνικῶς, καὶ πληθυντικῶς, καὶ Μυκήνη καὶ Κρῆται, καὶ Θήβη. καὶ ὅτι κτίσμα ἐστὶν ἡ Θέσπεια Θεσπιάδου κατὰ δέ τινας Θεσπιέως υἱοῦ Τελάθροντος τοῦ Πανδίονος. ἱστορεῖται δὲ Θεσπιέα εἶναι τὸν Νάρκισσον, ὃς ἦν μὲν υἱὸς Κηφισσοῦ τοῦ ποταμοῦ καὶ Λειριοέσσης Νύμφης. κάλλος δὲ ἔχων ἀμύθητον, ἐπικύψας πηγῇ τινὶ, καὶ τῆς ἑαυτοῦ σκιᾶς ἐρασθεὶς, ἔρριψεν ἑαυτὸν ἐκεῖ, καὶ ἐναπεπνίγη τῷ ἐνόπτρῳ ὕδατι, καὶ ἡ γῆ ἀνέδωκε φυτὸν ὁμώνυμον τῷ νεανίᾳ. ἱστορεῖται δὲ καὶ ὁ Πραξιτέλους ἔρως ἐν Θεσπιαῖς εἶναι. ὃν ἔγλυψε μὲν ἐκεῖνος, ἀνέθηκε δὲ ἡ ἑταίρα Γλυκέρα ἐκεῖθεν οὖσα, λαβοῦσα δῶρον παρὰ τοῦ τεχνίτου. πολλοὶ δὲ ἀνέβαινον ὀψόμενοι τὸν ἔρωτα. ἐκεῖ δέ φασιν ἡ ἄκρη δεξιὰ Ἑλικῶνος ἐφ' ὑψηλοῦ καὶ τραχέος τόπου, ἀπέχουσα Θεσπιῶν, ὅσον τεσσαράκοντα στάδια.

Θεσπέσια κτήματα, ἤγουν πολλά. ἢ θεσπέσια, θεῖα, θαυμαστά. οἱονεὶ, θεοπέσια τινὰ ὄντα, παρὰ τὸ πεσεῖν, ἢ παρὰ τὸ ἕπεσθαι τῷ Θεῷ.

Θεσπεσίην ἀοιδὴν, οὐκ ἀργῶς, ἀλλ' οἱονεὶ λέγων ὅτι θεοῦ δῶρον οὖσαν θεὸς αὖθις ἀφείλετο, ἀπὸ τοῦ ἀλαζόνος Θαμύριδος.

Θεσπεσίῃ παρ' Ὁμήρῳ, τουτέστι θείᾳ βουλῇ.

Θεσπέσιοι, θεῖοι.

Θεσπέσιος, θεῖος, θαυμαστός.

Θεσπεσιώτερον, ἀξιολογώτερον.

Θεσπέσιος πλοῦτος, ὁ πολύς. ὃν ἂν ὁ Θεὸς ἂν εἴποι, ἢ μᾶλλον ὁ ἐκ θεοῦ πεσὼν, ἤτοι χυθείς. ὅθεν καὶ οἱ διιπετεῖς γίνονται ποταμοί.

Θεσπιδαὲς πῦρ, τὸ μηδικόν. ἢ θεσπιδαὲς, θείως καιόμενον, ἢ δαιόμενον.

Θεσπιεὺς, ποταμός. καὶ θεσπιέων, καὶ θεσπιῶν.

Θεσπίζει, μαντεύεται, προφητεύει, ἐνθεάζει, νομοθετεῖ.

Θέσπιν ἀοιδὴν, ἤτοι θείαν, καὶ ὡς ὑπὸ θεοῦ ἐσπομένην, ἤτοι λεγομένην. τοῦτο δὲ συνθέντες οἱ μεθ' Ὅμηρον, θεσπιῳδεῖν λέγουσιν, ὃ δηλοῖ τὸ μαντεύεσθαι. θεσπιῳδεῖν πάντες ἐδόκουν οἱ ἀοιδοὶ, καθὰ καὶ ὁ αὐτὸς Ποιητὴς, ἀοιδὸς ὢν καὶ αὐτός. ἢ θέσπιν ἀοιδὸν παρ' Ὁμήρῳ, ἀρσενικοῦ μὲν γένους τὸ θέσπις. σύγκειται δὲ ἐκ τούτων τὸ θεσπιῳδεῖν.

Θέσπιος, ποταμὸς Βοιωτίας.

Θέσπις ἀγαθὴ, ἀληθὴς, ἰσχυρὰ, ἡδεῖα. καὶ Θέσπις, ὄνομα κιθαρῳδοῦ. Ἀριστοφάνης, ὀρχούμενος τῆς νυκτὸς οὐ παύεται τἀρχαῖ' ἐκεῖν' οἷς Θέσπις ἠγωνίζετο.

Θέσπισμα, τὸ θεῖον δόγμα.

Θεσπίσματα, θεῖα δόγματα.

Θεσπιῳδεῖ, μαντεύεται, κατὰ Θεὸν λαλεῖ, χρησμοδοτεῖ. ἐτυμολογεῖται δὲ ἢ παρὰ τὸ θεοπίδῳ δεῖν, ἢ παρὰ τὸ τὴν θεόμαντιν ἐκεῖ τὰς μαντείας ἄγειν. ἢ θεσπιῳδεῖ, χρησμολογεῖ.

Θεσπρωτεὺς, Θεσπρωτία χώρα.

Θεσπρώτιος, λόγος.

Θεσσαλία, ὅτι ὄρεσι περιέχεται κύκλοθεν Ἡρόδοτος ἱστορεῖ. ὅτι δὲ Προμηθέως υἱὸς Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικός φησι, καὶ ὅτι δώδεκα θεῶν βωμὸν ἱδρύσατο. εἰς αὐτὴν δὲ καὶ ἄλλων ποταμῶν εἰσβαλλόντων, τεσσάρων δὲ μάλιστα δοκίμων, Πηνειοῦ, καὶ Ἀπι-

Digitized by Google

Ἀπιδανοῦ, καὶ Πανισοῦ, καὶ Ἐνιπέως. τούτων συμμιγνυμένων, ὁ Πηνειὸς τῷ ὀνόματι κατακρατῶν, ἀνωνύμους τοὺς ἄλλους ποιεῖ.

Θεσσαλῶν νόμισμα, τοῦτο παροιμιῶδες, τασσόμενον ἐπὶ ἀπάτης.

Θεσσαλῶτις, ἐναγισμός τις παρὰ Λάκωσι.

Θεσσάμενοι, ἐξ αἰτήσεως ἀναλαβόντες, αἰτήσαντες. θέσσασθαι γὰρ τὸ αἰτῆσαι, καὶ ἱκετεῦσαι. καὶ Ἡσίοδος, θεσσάμενος γενεὴν Κλεαδαίου κυδαλίμοιο. καὶ Ἀρχίλοχος, θεσσάμενοι γλυκερὸν νόστον.

Θέσσαντο, ἐζήτησαν, ἐκάθισαν, ἱκέτευσαν, ἐνεδύσαντο.

Θέσσεσθαι, αἰτεῖν, κάθησθαι, ἱκετεύειν.

Θεσσόμενος, δεόμενος, ζητούμενος, ἱκετεύων.

Θεστορίδης, Θέστορος παῖς, ὁ Κάλχας.

Θέσφατα θεῶν ἐστιν, οἷον ἐτυμολογικὸς τρόπος. εἴρηται δὲ πρὸς διαστολὴν θεσφάτων, ἅπερ οὐκ αὐτὸς ὁ θεὸς λέγει, ἀλλὰ τέχνη μαντική.

Θέσφατον, τὸ εἱμαρμένον. ἢ θέσφατον, θέσκελον, θεσπέσιον, θεόσδοτον. μονοστόχος εἴληφθαι, ταῦτα ἔχουσι πλεονασμὸν τοῦ σ πάντα. ἢ οὕτω καὶ θεοστόκον, εἰ μὴ τραπέντος τοῦ ο εἰς η θεητόκος ἐγράφη, καθ᾽ ὁμοιότητα τοῦ στεφανηφόρος, βοτρυηφόρος, ὑπήλατος, ἐνήλατος, καὶ τῶν ὁμοίων. καὶ θέσφατον, τὸ ἐκ θεοῦ προφήτευμα, ἢ μάντευμα.

Θέσφατος, καὶ θέσφατα, αἱ ἐκ θεοῦ προφητεῖαι, καὶ μαντεῖαι. ἢ θέσφατος, πολὺς κατὰ ἀφαίρεσιν τοῦ σ, καὶ πλεονασμῷ τοῦ ο, θεόφατός τις ὤν, ἀντὶ τοῦ πολύς. οἷον, περὶ γὰρ χύτο θέσφατος ἀήρ. καὶ θέσφατος τελετὴ, ἡ θεσπισθεῖσα.

Θετὴ, ποιητὴ θυγάτηρ. καὶ θετὸς, ὁ προσποιητὸς υἱὸς, παρὰ τὸ τίθημι. τοὺς γὰρ εἰσποιητοὺς, καὶ θετοὺς ἔλεγον, καὶ θέτην, τὸν εἰσποιησάμενον παῖδας θετούς. ἢ θέτης, ὁ εἰς ὑποθήκην λαβὼν ὁτιοῦν.

Θετὴρ, τολμητὴς, πράκτης.

Θετικὸν, τὸ ὀφειλόμενον γενέσθαι.

Θέτι ἀπὸ τοῦ θέτις θέτιδος, θέτιδι, θέτιι, θέτι.

Θέτις ὄνομα Νηρηΐδος, λέγεται καὶ ἡ θέσις τῶν ὑδάτων. λέγεται δὲ ὅτι θέτις εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλε τοὺς ἐκ Πηλέως γενομένους αὐτῇ παῖδας, βουλομένη εἰδέναι εἰ θνητοί εἰσιν. ἑτέρους δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός φησι. καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα, καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησιν, ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν, καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τρίτῳ τῶν περὶ Θεσσαλίαν, ἱστορεῖ Χείρωνα σοφὸν ὄντα, καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγους διασπεῖραι, ὅτι μέλλει γαμεῖν τὴν Θέτιν ὁ Πηλεὺς, Διὸς διδόντος αὐτῷ. οἱ δὲ θεοὶ, μετ᾽ ὄμβρου καὶ χειμῶνος ἥξουσιν εἰς τὸν γάμον. ταῦτα φημίσας παρετήρει τὸν χρόνον, ἐν ᾧ ὑδάτων ἔμελλεν ἔσεσθαι ἐπομβρία, καὶ πνεύματα ἐξαίσια, καὶ δίδωσι Πηλεῖ Φιλομήλαν. καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη, ὅτι τὴν Θέτιν ἔγημε. Ἄλλως. φασὶν, ὅτι ἡ Θέτις λαμβάνουσα τοὺς παῖδας ἐκ Πηλέως γινομένους, περιέκαιε τὸ θνητὸν αὐτὸν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν, καὶ πολλοὺς ἔκαυσε. καὶ τὸν Ἀχιλλέα συντεκοῦσα, ἐπέθηκεν εἰς τὸ πῦρ. καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν, ἡ δὲ λυπηθεῖσα, ἐχωρίσθη.

Θέτιν ἑπτὰ παῖδας ἄρρενας ἐκ Πηλέως τεκεῖν λέγουσι. καὶ τοὺς μὲν ἓξ εἰς πῦρ βάλλουσα ἀνεῖλεν, ὡς ἀνάξια πάσχουσα ἑαυτῆς. ἐπὶ δὲ τοῦ Ἀχιλλέως ἐφωράθη καὶ ἐκωλύθη. Πίνδαρος δὲ λέγει, Ποσειδῶνα καὶ Ἀπόλλωνα καὶ Δία, περὶ τοῦ γάμου τῆς Θέτιδος ἐρίσαι. κωλυθῆναι δὲ αὐτοὺς κατά τινας τῶν ἱστορικῶν ὑπὸ Ἐπιμηθέως. κατὰ δὲ Αἰσχύλον, ὑπὸ Προμηθέως. φησὶ γὰρ, ἣ τέξεταί γε παῖδα φέρτερον πατρός. Ἀπολλόδωρος δὲ Δία καὶ Ποσειδῶνα μετὰ τὸν γάμον τῆς Θέτιδος ἐρίσαι. Θέτιν δὲ ὡς τραφεῖσαν ὑφ᾽ Ἥρας, μὴ λέγειν Διὶ συνελθεῖν, ὅθεν ὀργισθέντα τὸν Δία θέτι, συζεῦξαι αὐτὴν, Χείρωνος δὲ βουλαῖς ὁ Πηλεὺς κατέσχεν αὐτὴν, εἰς παντοίας μορφὰς μεταβάλλουσαν, καὶ ἐμίγη αὐτῇ ἐν εἴδει σηπίας, καί ποι ὁ γάμος ἐν Πύλῳ, καὶ οἱ θεοὶ δῶρα ἔθηκαν Ποσειδῶν ἵππους, Ξανθὸν καὶ Βαλίον. Ἥφαιστος μάχαιραν, καὶ οἱ λοιποὶ ἕτερα. γεννήσασα δὲ ἡ Θέτις, τὸν πρὶν κατὰ Ἀπολλόδωρον Λιγύρον καλούμενον, ὕστερον δὲ Ἀχιλλέα μετακληθέντα, διὰ τὸ δοθῆναι τῷ Χείρωνι, καὶ δίχα κοινῆς τροφῆς ἀνατρέφεσθαι, ἑσπέρας μὲν αὐτὸν εἰς πῦρ ἔβαλεν, ἡμέρας δὲ ἄχρις ἐν ἀμβροσίᾳ, καὶ ὡς ἀθανατίσαι τοῦτον ἠθέλησεν. ἰδόντος δὲ τοῦ Πηλέως τὴν Θέτιν βάλλουσαν αὐτὸν εἰς πῦρ, καὶ βοήσαντος, συνέβη ταύτην πρὸς τὰς Νηρηΐδας ὑποχωρῆσαι. ὁ δὲ Πηλεὺς τῷ Χείρωνι τῷ ἱπποκενταύρῳ τὸν παῖδα δέδωκε τρέφειν. καὶ ταῦτα μέν φησιν Ἀπολλόδωρος. Ἀγαμήστωρ δὲ ἀφ᾽ ἁρπασείας Πυρίσοον λέγει τὸν Ἀχιλλέα καλεῖσθαι, ἐν τῷ τῆς Θέτιδος ἐπιθαλαμίῳ. εἶτα τοιούτοις τρόποις αὐτὸν Ἀχιλλέα καλεῖσθαι, ὡς τοῦτο σαφῶς ἐπιδηλώσει ταῦτα. γνῶ δ᾽ ὄνομα θῆκε Πυρίσοον. ἀλλὰ Ἀχιλλέα Πηλεὺς κέκληκεν, ἐχίλος εἵνεκά μιν κείμενον ἐνὶ κονίῃ σποδιῇ, ἐνὶ πῦρ ἀπέμερσε χιλεος ἄθ᾽ βίον ἀπροσφάτως ἑτέρου. ὁ δὲ Εὐριπίδης, ἅπαξ φησὶ μιγῆναι Ἀχιλλεὺς τῇ Θέτιδι ἐν τῇ Σηπιάδι, καὶ ἕτεροι σὺν αὐτῷ.

Θετταλίαν, εἰς τέσσαρά τινες διαιροῦσι, δηλονότι Φθιῶτιν, Ἑστιῶτιν, Πελασγιῶτιν, καὶ Θετταλιῶτιν. καὶ Φθίοι ἐλέγοντο, οἱ τῷ Ἀχιλλεῖ ὑποκείμενοι, καὶ οἱ τῷ Πρωτεσιλάῳ, καὶ τῷ Φιλοκτήτῃ.

Θετταλίδας, ὑπόδημα ποιὸν, Κρῆτες.

Θετταλικὰ πτερὰ, τοῦτο εἴρηται διὰ τὸ πτέρυγας ἔχειν τὰς θεσσαλικὰς χλαμύδας. πτέρυγες δὲ καλοῦνται, αἱ ἑκατέρωθεν γωνίαι, διὰ τὸ ἐοικέναι πτέρυξι.

Θετταλικὴ ἔνθεσις, ἡ μεγάλη.

Θετταλικὸς δίφρος. διάφοροί εἰσι τῷ κάλλει οἱ θετταλικοὶ δίφροι. ἴδιον γάρ τι γένος αὐτῶν κατεσκεύασται.

Θετταλῶν σόφισμα, παροιμία ἐπὶ τῶν σοφιζομένων λεγομένη, καὶ μὴ εὐθυμαχούντων.

Θευδᾶς, ὑποκοριστικὸν τοῦ Θεόδωρος.

Θεῦ, δεῦρο, τρέχε.

Θευδόσιος, ὁ Θεοδόσιος, καὶ Θευδουσία χώρα, κειμένη ἐντὸς Σκυθῶν, ἣν πολιορκῶν Σάτυρος ἐτελεύτησεν.

Θεύγεσθαι, θέλγεσθαι, Κρῆτες.

Θευμορία, ἀπαρχὴ, οὐσία. ἢ ὃ λαμβάνουσιν οἱ ἱερεῖς κρέας, ἐπειδὰν θύηται θεοῦ μοῖρα.

Θευμοριαζέτω, θεῷ γέρας ἀναφερέτω.

Θεῦν Ἄρτεμιν, σημαίνει τὴν θεὸν, κράσει Δωρικῇ τοῦ εο εἰς ευ δίφθογγον. ὡς ἐκ τοῦ ἐρέβεος, ἐξ ἐρέβευς ἄξοντα.

Θευξένια, Ἀπόλλωνος ἑορτή.

Θεύσεσθαι, δραμεῖν, ἀπὸ τοῦ θέω θεύσω, θεύσομαι θεύσεται θεύσεσθαι.

Θευσούμενοι, ἀντὶ τοῦ δραμούμενοι. οἱ δὲ ἀφίκοντο, οἱ μὲν ἀγωνιούμενοι πυγμὴν, οἱ δὲ θευσούμενοι στάδιον, καὶ συνθεύσεται.

Θεύτιν, σκαράδιν. Ἱππώναξ.

Θέω, τὸ ἁπλῶς τρέχω. θέω πρὸς τὸ τέρμα, μεταβατικῶς.

Θεῶ, καὶ ἀποθεῶ, συζυγίας τρίτης τῶν περισπωμένων. θεοποιῶ, τὸ αὐτό. ἢ θεῶ, βλέπε. τὸ προστακτικὸν, ἐκ τοῦ θεάομαι θεῶμαι, παρατατικὸς ἐθεαόμην ἐθεώμην, τὸ δεύτερον ἐθεάου ἐθεῶ, τὸ προστακτικὸν θεῶ θεάσθω.

Θεωθὲν, τὸ πρὸς μείζονα δόξαν ὑψωθὲν, οὐ μὴν τῆς οἰκείας φύσεως ἀλλοιωθέν.

Θεώματα, τὰ περικαθάρματα.

Θέωμεν, ἀντὶ τοῦ θῶμεν. πλεονασμὸν ἔχει τοῦ ε, ὥσπερ φθέωσιν, ἤτοι φθῶσι. δύναται καὶ ἐνεργητικὸς ἐνεστὼς διὰ τοῦ ο μικροῦ εἶναι τὸ θέομεν. ἐξ οὗ τὸ θείομεν.

Θεώμενος, ἀντὶ τοῦ θεατής. τὸ λαμβάνειν μετοχὴν ἀντὶ ὀνομάτων, τῶν Ἀττικῶν ἐστιν, ὡς Ἀριστοφάνης. ἀλλ᾽ ἐρῶ τὰ εἰωθότα ὦ θεώμενοι, ἀντὶ τοῦ ἔθιμα. καὶ θεαταὶ, καὶ τὸ λαμβάνειν τὰ ἐπιτιθέμενα τοῖς προσηγορικοῖς ὡς οὐδέτερα. οἷον τὸ καλὸν τῶν σῶν ἠθῶν, ἀντὶ τοῦ τὰ σὰ ἤθη τὰ καλὰ, Ἀττικῶν ἐστι. καὶ τοῦτο Ἀττικὸν, ἐμὸς ὁ λόγος τοῦ σκαιοῦ καὶ ἀγροίκου, ἀντὶ τοῦ ὁ λόγος ἐμοῦ.

Θεῶν, ἐστὶ Ἀλικολώνη. οὗτος ἐστὶ τῆς Τροίας ὑψηλὸς, ἢ θεῶν ἐξ δεδαὼς, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας ρ΄. θεομαθῆ καὶ θεόσοφον εἶναι δηλοῖ τὸν ἀοιδόν. κρουστικῶς δὲ ἐκπεφώνηται τὸ θεῶν ἐξῆς καθὰ καὶ τὸ Ἀρτέμιδι ξυνὴ, καὶ τὸ Γλιόθι πρό.

Θεωρεῖα, τὰ πρωτεῖα.

Θεωρεῖον, τὸ ἱπποδρομεῖον.

Θεώρημα διαλεκτικὸν, τουτέστι ζήτημα, καὶ πρόβλημα, τὸ συντεῖνον, ἢ πρὸς αἵρεσιν καὶ φυγὴν, ἢ πρὸς ἀλήθειαν καὶ γνῶσιν, ἢ αὐτὸ, ἢ ὡς συνεργὸν πρός τε ἕτερον τῶν τοιούτων. ἔθος γὰρ Ἀριστοτέλει.

Θεωρία, σκέψις κατὰ διάνοιαν γινομένη. ἢ θεωρία, ἡ τῶν αἰσθητῶν ἐπὶ τὰ θειότερα ὅρασις. θεωρία δὲ κυρίως, θεοῦ ὅρασις, καθόσον ἐστὶν ἀνθρώπῳ δυνατόν. καὶ θεωρία, γνῶσις, ὡς ὁ θεολόγος Γρηγόριος. θεωρία γάρ ἐστι τὸ φυτὸν, ὡς ἡ ἐμὴ θεωρία. τοῦτό φησιν, ὡς ἐν αὐτῷ ἐγινώσκετο, τὸ σώζεσθαι καὶ τὸ ἀπόλλυσθαι. τὸ δὲ ὡς ἡ ἐμὴ θεωρία, ἀντὶ τοῦ ὡς ἡ ἐμὴ γνῶσις ἔχει.

Θεωρίαν ἀπάξειν, ἀντὶ τοῦ θυσίαν ἀπενεγκεῖν θεωροὶ δέ εἰσιν, οἱ πεμπόμενοι θῦσαι καὶ θεραπεῦσαι τὸν θεόν. ὅθεν καὶ αἱ ὁδοὶ δι᾽ ὧν ἐπορεύοντο, θεωρίδες κέλευθοι ἐκαλοῦντο, καὶ τὰ διδόμενα θεωρικά. καὶ ἡ ναῦς ἡ εἰς Δῆλον πεμπομένη, θεωρίς. καὶ ὁ ἱερεὺς θεωρός.

Θεωρίδες, αἱ περὶ τὸν Διόνυσον βάκχαι.

Θεωρικὰ, ἦν τινα ἐν κοινῷ χρήματα ἀπὸ τῶν τῆς πόλεως προσόδων συναγόμενα, ταῦτα δὲ πρότερον μὲν εἰς τὰς τοῦ πολέμου χρείας ἐφυλάττοντο, καὶ ἐκαλεῖτο στρατιωτικά. ὕστερον δὲ κατετίθεντο εἴς τε τὰς δημοσίας κατασκευὰς, καὶ διανομάς.

Θεωρικὸν ἀργύριον, τὸ εἰς θεῶν τιμὴν καὶ ἑορτὴν διδόμενον.

Θεωρὶς, πλοῖον Ἀθήνησιν, ἣ κατ᾽ ἔτος εἰς Δῆλον ἐπέμπετο, ἣν εὐξαμένου Θησέως ὅτε εἰς Κρήτην ἀπῄει καθ᾽ ἕκαστον ἔτος Ἀθηναῖοι ἔπεμπον.

Θεωροὶ, οὐ μόνον οἱ θεαταὶ, ἀλλὰ καὶ οἱ εἰς θεὸν πεμπόμενοι φύλακες τῶν χρημάτων καὶ τῶν θυσιῶν, ἢ καὶ οἱ φροντισταὶ τῶν θείων. ὤρα γὰρ, ἡ φροντίς. * καὶ οἱ εἰς θεοὺς πεμπόμενοι χρησμῶν ἐπισκέψεως χάριν.

Θεωρητικός ἐστιν, ὁ πλάττων τὸν αἰσθητὸν κόσμον κατὰ διάνοιαν τῆς αὐτοῦ γνώσεως ἕνεκεν.

Θεωρικὸς, ὡς θεωρὸς ἐστεφανωμένος. θεωρικοὺς δὲ ἐκάλουν, τοὺς τοῖς θεοῖς τὰς ἀπαρχὰς ἀπάγοντας. ἐστεφάνουν γὰρ οὗτοι τὰς ἀπήνας.

Θεώριος, ὁ Ἀπόλλων.

Θεωροὺς, θεωρητὰς, ἐπόπτας.

Θεωρὸς, ὁ εἰς τὸ χρηστήριον πεμπόμενος. ἐξ οὗ καὶ θεωρὶς ναῦς κατεσκεύαστο, ἣ ἔφερε τοὺς θεωρούς.

Θεωροὺς ἐκάλουν, τοὺς ἀπὸ τῶν πόλεων δημοσίᾳ ἐκπεμπομένους συνθύσοντας, καὶ συμπανηγυρίσοντας.

Θεωρῶ, τὸ θεῖα ὁρῶ, καὶ τὸ σκέπτομαι. ὁρῶ μὲν ἐπὶ σώματος, θεωρῶ δὲ ἐπὶ ψυχῆς.

Θέωσις, ἡ ἐπὶ τὸ κρεῖττον ὕψωσις. οὐ μὴν φύσεως μείωσις, ἢ μετάστασις. ἢ θέωσίς ἐστιν, ἡ πρὸς τὸν θεὸν ἀφομοίωσίς τε καὶ ἕνωσις.

ΤΟ Θ. ΜΕΤΑ ΤΟΥ Η.

Θῆβαι, ὥς φησιν Εὐφορίων, ἀνακαλυπτήρια ἐδόθησαν ὑπὸ τοῦ Διὸς τῇ Περσεφόνῃ. Εὐριπίδης ἐν τῷ Τυράννῳ Οἰδίποδι.

Θήβας αἰγυπτίας, φασὶ πάλαι ποτὲ βασίλειον εἶναι τῶν Αἰγυπτίων, καὶ Διὸς πόλιν ἐν παραθέσει λέγεσθαι, ἢ συνθέτως Διόσπολιν. καὶ οὐ μόνον αὗται, ἀλλὰ καὶ ἡ Βαβυλὼν ἑκατόμπυλος ἦν. ὁ δὲ Γεωγράφος ἱστορεῖ, ὅτι Θῆβαι, ἢ καὶ Διόσπολις, μητρόπολις Αἰγύπτου πάλαι. εἶχε δὲ καὶ ἱερὰ, ὧν τὰ πολλὰ ἠκρωτηρίασε Καμβύσης.

Θῆβαι εἰσὶν αἱ πᾶσαι τρεῖς, ὧν μέμνηται ὁ Ποιητής. καὶ αἱ ὑποπλάκιοι, ὧν μέμνηται ἐν τῇ α. καὶ ζ΄. καὶ αἰγύπτιαι, περὶ ὧν φησιν ἐν τῇ ι.

Θηβαῒς, ἄνεμος. καὶ θηβαῒς, χώρα.

Θῆβος, θαῦμα.

Θῆβαι,

Digitized by Google

Θῆβαι, τὸ νῦν ἀδραμύττειον καλούμενον.
Θήβησι, χωρὶς προθέσεως ἐπιρρηματικῶς τίθεται.
Θηγάνη, παρὰ τὸ θήγω τὸ ἀκονῶ. θηγάνω, τὸ αὐτό. θήγω, τὸ ὀξὺ ποιῶ.
Θηγγάνεις, ὀξύνεις, ἀκονᾷς.
Θήγειν ὀδόντας, τὸ εἰς θοὸν ἄγειν, ἤγουν εἰς ὀξύ.
Θήγη, θήκη, θέσις, τάξις.
Θήγοντες αἰτιατικῇ, ἀκονῶντες.
Θήγω, τὸ ἀκονῶ, παρὰ τὸ θοῶ, θοήγω. καὶ θήγω, τουτέστι θοὸν καὶ ὀξὺ ποιῶ. Ὅμηρος, ἐγὼ δ' ἐθόωσα παραστάς. θίγω δὲ τὸ ψαύω, καὶ προσεγγίζω, ἰῶτα.
Θηεῖσθαι, Ὅμηρος ἐπὶ τοῦ θαυμάζειν τίθησιν. ὡς τό, θηήσαντες ἔλαφον. ὁ δὲ Ἀπολλώνιος, ἐπὶ τοῦ βλέπειν.
Θηεῦντο, ἐθαύμαζον, ὑπερθέσει θεῖντο, καὶ κατὰ συναίρεσιν τοῦ εο εἰς τὴν ευ δίφθογγον, καὶ ἐκτάσει θηεῦντο. ἢ θηεῶντο, ἐκ τοῦ θηῶ θηήσω. ἐξ οὗ θηητόν, καὶ θέας ἄξιον. καὶ ἔστιν εἰπεῖν, ὅτι καθὰ θεωρεῖν ἐστὶ κυρίως τὸ βλέπειν, οὐ κατὰ νοῦν φιλοσόφως ὀφθαλμοῖς νοεροῖς, ἀλλὰ τοῖς κατὰ σῶμα, οὕτω καὶ θαυμάζειν, ἀπὸ θέας καὶ αὐτὸ ὁμοίως. καὶ θάμβος δὲ ὡσαύτως, ὅπερ κατὰ θέαν βαίνει εἰς ψυχήν. καὶ τὸ τεθηπέναι δέ, τούτοις εἶναι σύστοιχον ὑπὸ τῶν παλαιῶν λέγεται.
Θηεῦντο, τοῦ ἐθαύμαζον ποιητικοῦ ῥήματος, κοινὸν μὲν τὸ θηοῦντο κατὰ τὸ ἐποιοῦντο. παράγωγον δὲ τὸ θεητόν. πρωτόθετον δὲ αὐτοῦ ἡ θέα, καὶ τὸ θεᾶσθαι κατὰ τοὺς θάμβους. θάμβος γὰρ κυρίως, ὃ διὰ θέας εἰς ψυχὴν ἐμβιβάζεται. ἄλλως γὰρ οὐκ ἂν οὔτε θηεῖσθαι, οὔτε θαμβεῖσθαι λέγοιτ' ἄν τις, εἰ μὴ θεώμενος ἐκπλήττοιτο. καὶ θηεῶντο, τὸ θέμα θηέω, ἐξ οὗ τὸ θηητόν. πρόσεστι δὲ τοῦ θηέω τὸ θεῶ, ἤγουν βλέπω, θέαν γὰρ ἐμβιβάζει τῇ ψυχῇ, ὡς τὸ θάμβος, οὕτω καὶ τὸ θαῦμα καὶ τὸ θηεῖσθαι. εἰ δὲ ἐχρῆν ἐκ τοῦ θεῶ προσλήψει τοῦ ἰῶτα γενέσθαι θειῶ τὸ θαυμάζω, ἀλλὰ ἐπεὶ προκατελήφθη ἡ τοιαύτη γραφὴ ἐν τῷ θειῶ τὸ θυμιάζω, οὗ χρῆσις ἐν τοῖς μετὰ ταῦτα, ἐτράπη τὸ ε τοῦ θεῶ πρὸς διαστολὴν εἰς η. καὶ οὕτω πεποίηται τὸ θηῶ θηήσω. καὶ θηεῶντο μέγα ἔργον, ἐθεῶντο, ἐθαύμαζον, ἢ ἐθεώρουν, ἐθέοντο. ὑπερθέσει τοῦ ε, θεέοντο, καὶ κατὰ συναίρεσιν τοῦ εο εἰς τὴν ευ δίφθογγον, θεεῦντο· καὶ ἐκτάσει τοῦ ε εἰς η, θηεῦντο. ἢ ἐκ τοῦ θεάομαι. καὶ θηεῦντο, θάμβησάν τε παρ' Ὁμήρῳ κείμενα, ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῦσιν, ἤγουν τὴν ἐκ θέας ἔκπληξιν. ἴσως δὲ ἐπίτασίς ἐστι τοῦ θηεῦντο, τὸ ἐθάμβησαν.
Θήημος, ἔθιμος.
Θηήσαντο, ἐθαύμασαν. ἀπὸ τοῦ θεῶ θεήσω.
Θηητήρ, θαυμαστός, θεατήρ.
Θηητής, ἀπατεών, θεωρός.
Θῆκαι, αἱ σοροί. διὰ δὲ ξύλων ἀπορίαν, τὰς θήκας τῶν πάλαι τεθαμμένων ἀνορύττοντες, ἐκείνοις εἰς τὰ ἀναγκαῖα ἐχρῶντο.
Θήκατο, ἐπέθηκε, ἀσύνηθες δὲ λόγῳ πεζῷ.
Θηκία, τὰ ἐντάφια, δηλοῖ δὲ καὶ θησαυρὸν καὶ τάφον, καμψίον, γλωσσοκομεῖον.
Θηκτόν, ὀξύ, ἠκονημένον.
Θηλάζει, τὸ θῆλυ μεταβατικῶς ἃ ἔτεκε. καὶ θηλάζουσι τὰ τεχθέντα.
Θηλάζειν καλεῖται, τὸ μαστὸν ἐπέχειν. θηλάζεσθαι δέ, τὸ ἕλκειν τὸ γάλα ἐκ τῶν μαστῶν. τὸ ἄκρον τῶν μαστῶν, θηλή, ὅθεν καὶ τὸ θηλάζειν, καὶ θηλὴν ἐπέχειν. ὁ δὲ μελαινόμενος περὶ τὴν θηλὴν κύκλος, φῶς. ἡ δὲ πρώτη τοῦ γάλακτος ὑπ' αὐτὸ πῆξις, κύαμος. τὸ δὲ ὑποπιμπλάμενον τοῦ γάλακτος, κόλπος, καὶ ἄσκωμα. μόνα δὲ ἐν στήθεσιν ἔχει μαστοὺς ἄνθρωπος, καὶ νυκτερίς, καὶ ἐλέφας. οὕτω μὲν ὁ Σολῖνος. ὁ δὲ Σταγειρίτης, τὸν ἐλέφαντα πρὸς τῷ στήθει φησί, οὐκ ἐν τῷ στήθει τοὺς μαστοὺς ἔχειν.
Θηλαί, τῶν μαστῶν τὰ ἄκρα, καὶ τῶν χηλῶν τὰ ἐκπτυσσόμενα.
Θηλαμινοῦ, νεογνοῦ.
Θηλαμόνος, τῆς οἰκίας.
Θηλαμών, τάφος, ἢ ἡ τροφός, παρὰ τὸν θήσω μέλλοντα, δηλοῖ τὸ θηλάσω. τὸ γὰρ θήσω δύο σημαίνει, τὸ ποιῶ, καὶ τὸ θηλάζω.
Θήλαντο, ἐθήλασαν.
Θηλάστρια, τροφός. ἔστι δὲ ἰακόν. Σοφοκλῆς Ἀλεξάνδρῳ.
Θήλεα, ἱμάντων τὰ περιμμένα, εἰς ἃ διωθεῖται τὰ ὀξέα, καὶ τῶν σπονδύλων τὰ κοῖλα.
Θήλεια, παρὰ τὸ θάλλειν καὶ γεννᾶν, ὅθεν καὶ ἡ ὑπόμβροσ νύξ, θήλεια καλεῖται.
Θηλή, ὁ μαστός, ἢ ἡ γαλουχός.
Θῆλυ, ἀντὶ τοῦ ἀσθενές, γυνή. ἢ θῆλυ, τὸ θηλυκόν. καὶ θηλέας ἵππους, οἱονεὶ θηλείας. καὶ θηλυτεράων, ἀντὶ τοῦ τῶν θηλειῶν. ἔστι δὲ θῆλυ, ζῶον τὸ ἐν αὐτῷ κυΐσκον.
Θηλυγενής, ὁ ἐναντίος τῷ ἀρρενωπῷ.
Θηλυδρίας, ὁ τεθηλυμμένος, γυναικοειδής, ἢ ἄνανδρος, παρὰ τὸ θῆλυς, τοῦτο παρὰ τὸ θῶ τὸ τρέφω.
Θηλυδριῶδες, τὸ κατακεκλασμένον.
Θηλυμανεῖς, πόρνοι.
Θηλύματα, μέλιτι βεβρεγμένα ἄλφιτα.
Θηλυμήτρεις, πόρνος.
Θηλυνεῖ, μαλάσσει.
Θῆλυς, παρ' Ὁμήρῳ ἐσχημάτισται, ὡς πῆχυς, ἠρὶ θῆλυς ἐοῦσα.
Θῆλυς ἐέρση, τὰ φυτά. ἡ θάλλειν ποιοῦσα δρόσος, καὶ θρεπτική.
Θηλύτεραι, γυναῖκες. ἢ ἁπλῶς θήλειαι, καθὰ καὶ νεώτερός που, ὁ νέος λέγεται. ἢ κατὰ Πορφύριον συγκριτικῶς, αἱ τῶν ἄλλων θηλέων ζώων θηλύτεραι. οὐ γὰρ τέτακταί τις καιρὸς αὐταῖς, καθὰ τοῖς ἄλλοις, ὁμιλίας, εἰς τὸ γεννᾶν. δύναται δὲ καὶ κατὰ τὸ παρέλκον κεῖσθαι. πρὸς ὁμοιότητα δὲ τούτου καὶ Εὐριπίδης εἶπε, σῶμα ἐν γυν[illegible]ηλείαις πρέπον.
Θ[illegible]ων, ὅτι τὰ λοιπὰ ζῶα ὅρον ἔχει τῆς μί[illegible] σύλληψιν, αὗται δὲ ἀεί. διὸ ἐκ τοῦ [illegible]ίου οἱ ἄνδρες ἀλφισταὶ λέγονται, οἱ κατω[illegible], κατὰ μεταφορὰν ἀπὸ τῶν ἰχθύων. ἀλ[illegible] γάρ, εἶδος ἰχθύος· ἢ οὖν καρποφερῶν, ἢ [illegible]στῶν, ἢ ἀκάρπων. καρπὸς γὰρ αὐτοῖς ὁ ἄν[illegible]ος, οὗ βέλτιον οὐδέν, ἢ οὗ βελτίων οὐδείς, [illegible] ἐπὶ τοῦ, νήσων θηλυτεράων.
Θηλ[illegible], [illegible]ροφός, τίτθη.
Θῆμ[illegible], [illegible], τάφος, ἄνθημα, Σοφοκλῆς Σαλμ[illegible].
Θημοσ[illegible], ἀπόθεσις.
Θημών, ὁ σωρὸς τῶν δραγμάτων, καὶ κλίνεται θημῶνος, παρὰ τὸν θήσω μέλλοντα. καὶ θημών, πᾶν τὸ σεσωρευμένον. οἷον, ἀχύρων, ἢ πυρῶν.
Θημῶνες, θημονιαί.
Θήν, ἀντὶ τοῦ ἐπιπολύ, ἢ ἀντὶ τοῦ δή, εὕρηται δὲ παρὰ ποιηταῖς.
Θήν, σύνδεσμος, ἐγκλίνεται. οἷον οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι.
Θήνιον, γάλα.
Θῆξαι, ὀξῦναι, ἀκονῆσαι, ἐκ τοῦ θήγω.
Θῆξις, ῥοπή, στιγμή, τάχος.
Θηπάλαιος, βωμολόχος.
Θήπει, ψάδεται.
Θηπητής, ἀπατεών.
Θηπτόν, καταθύμιον, θαυμαστόν.
Θήπω, τὸ θαυμάζω, τέθηπα, ἐτεθήπειν. οἷον, ἐπὶ πολὺ ἐτεθήπειν πρὸς ταῦτα. ὁ δὲ τεθηπὼς τὴν σοφίαν αὐτοῦ.
Θήπω, ἐπιθυμῶ, θαυμάζω.
Θηπῶν, ἐξαπατῶν, κολακεύων, θαυμάζων.
Θηοῖο, ἀντὶ τοῦ θαυμάσοις, πρὸς τὸ θηητὸν σύστοιχοι.
Θὴρ θηρός, παρὰ τὸ ῥαδίως θεῖν, ἤγουν εὐκόλως τρέχειν. ἢ θὴρ θηρίον, ὁ λέων ἀπὸ τοῦ θοῶς ὀρούειν.
Θήρα, καὶ θήραμα διαφέρει. θήρα μὲν γὰρ λέγεται, τὸ κοινῶς λεγόμενον κυνήγιον. θήραμα δέ, τὸ θηραθέν. ἔστι δ' ὅτε λέγεται καὶ θήρα, ἀντὶ τοῦ θηράματος, ὡς ἄγρα καὶ τὸ ἀγρευθὲν λέγεται, καὶ αὐτὴ ἡ ἐνέργεια.
Θῆρα, κατ' ἐξοχὴν λέγει τὸν λέοντα ἐνίοτε ὁ Ποιητής, ὡς ἐν τῷ ἂν ὅμιλον ἐφοίτα θηρὶ ἐοικώς.
Θηρᾶται δέ, τὸ θηρίον.
Θηρᾶν, ζητεῖν, εὑρεῖν, μηχανᾶσθαι.
Θήρας, τοὺς σατυρικούς.
Θηρατεύεσθαι, ἀναβάλλεσθαι. καὶ θηρατὴς λόγων, ἀντὶ τοῦ ἐπιθυμητής.
Θηρατὴς λόγων, ἐπιθυμητής. θηρευτὴς δέ, ζώων χερσαίων, καὶ ἐναλίων.
Θήρατρα, δίκτυα, παγίδες.
Θήρατρον, δέλεαρ, ἄγκιστρον.
Θηράτρων, θηρατικῶν.
Θήραυλος, ἀγρότης.
Θηρείων. Αἰλιανός, τὰ γεννώμενα βρέφη κράσει θηρείων τε καὶ ἀνθρωπείων σωμάτων, τεράστια ἐδόκει.
Θήρεια τὰ ζῶα, καὶ ἐπὶ τῶν ἵππων οὕτω λέγουσι.
Θήρεον πέπλον, τὸ ποικίλον, οἱ Ἀττικοί. δοκεῖ δὲ ἀπὸ θήρας τῆς νήσου προσηγορεῦσθαι.
Θήρευμα, ἄγρευμα.
Θηρεύοντα, παρὰ τῷ Ποιητῇ, προϋπάρχειν δοκεῖ. ἢ τὸ θηράω θηρῶ, ἢ μᾶλλον ἄρρητον τὸ θηρέω, ἐξ οὗ τὸ θηρεύω, κατὰ τὸ χέω χεύω, ζητέω ζητεύω, παρ' Ἡσιόδῳ, καὶ τὰ ὅμοια. προϋπάρχει δὲ τούτων ὁ θήρ, ὃς καὶ φὴρ αἰολικῶς λέγεται. ἔτι καὶ ἡ θήρα, ἡ ὁμώνυμος νῆσος θήρα, παρὰ Πινδάρῳ. ἧς οἱ νησιῶται θηραῖοι, ὧν τῆς γλώττης ἴδιον, τὸ λέγεις λέγες, καὶ τὰ λοιπὰ τοιαῦτα ῥήματα δίχα τοῦ ι προφέρειν. λέγες γάρ φασι, καὶ λέγε. ἀκολούθως δέ, καὶ τύπτες, καὶ τύπτε, καὶ τὰ ἄλλα ὁμοίως, καὶ δοκοῦσιν οἱ τοιοῦτοι δωρίζειν.
Θηρευτής, ἐκ τοῦ θηρεύω θηρητὴρ ποιητικῶς, ἐκ τοῦ θηρῶ. κοινῶς δὲ θηρατής. τὸ δὲ θηρῶμαι, παθητικῶς ἐπὶ πράγματος τίθεται. οἷον θηρῶμαι δόξης, θηρῶμαι τιμῆς. καὶ θηρευτής, κυνηγός, κυρίως ὁ σῦς καὶ λέοντας θηρεύων, παρὰ τὴν θήραν.
Θηρητῆρας, ἔχει ἑτέραν κλίσιν ἐκ τοῦ θηρητήρ, ὧν πρὸς ὁμοιότητα καὶ ὁ ῥητὴρ ῥήτωρ, παρὰ τοῖς μεθ' Ὅμηρον. ὧν οὐκ ἀπέοικεν οὐδὲ βοτὴρ καὶ βότωρ, καὶ δοτὴρ καὶ δότωρ.
Θηρήτορας, κυνηγούς.
Θηρί, λέοντι.
Θηρία, θηράματα, θηρεύματα. θηράγρα, οὐ μόνον τὸ ἔργον, ἀλλὰ καὶ τὸ θηρώμενον. καὶ ἄγραν δὲ καλοῦσιν, ἀφ' ὧν καὶ εὐαγρία καὶ πολυαγρία καὶ θηραγρία, εὐθηρία, πολυθηρία, καὶ εὔθηρος ἄγρα, καὶ πολύθηρος ἄγρα. καὶ τὰ ἐναντία, δυσαγρία, ἀναγρία, δυσθηρία, ἀθηρία. καὶ δύσθηρος, καὶ ἄθηρος ἐπανῆλθεν. ἔστι δὲ εἰπεῖν καὶ εὔθηρος γῆ, καὶ εὔθηρος Ἴδη, καὶ ὕλη εὔθηρος, καὶ πολύθηρος. ὁμοίως, ὄρη εὔθηρα, καὶ πολύθηρα, καὶ θηροτρόφα, καὶ θηρονόμα, καὶ θηρίοις ἔντροφα, καὶ θηρίων κατάπλεα, καὶ τὰ ὅμοια. καὶ πάλιν ἄθηρα, καὶ ἄτροφα. ἡ δὲ Ἄρτεμις, ἀγροτέρα καὶ κυνηγέτις, καὶ φιλόθηρος, καὶ ὀρεία ἀπὸ τῶν ὀρῶν, καὶ ἰδαία ἀπὸ τῆς Ἴδης, καὶ δικτυῖα ἀπὸ τῶν δικτύων, καὶ ἑκηβόλος ἀπὸ τοῦ ἑκὰς τὰ θηρία βάλλειν.
Θηρίκλειον κύλικα, ποτήριον ὑέλινον, τὸ τοῦ Θηρικλέους ποτήριον.
Θηρικλέους τέκνον κύλιξ, ἣν λέγεται πρῶτος κεραμεῦσαι Θηρικλῆς.
Θηρίον, τὴν τε ἕλμινθα, καὶ τὸ ἄγριον ἕλκος, παρὰ τῷ Ἱπποκράτει. καὶ θηρίον παρὰ τοῖς παλαιοῖς, πᾶν ἄλογον ζῶον, ὅπου γε καὶ τὸν ἵππον θηρίδιόν τι λέγουσιν οἱ σοφοί. κυρίως δέ φασι θῆρες, οἱ θεῖν ῥᾷον δυνάμενοι κατὰ τὴν παρὰ Σοφοκλῇ θῆρα ἔλαφον, ὁποία τὶς ἐν Ὀδυσσείᾳ κεῖται. ἢ καὶ φθείρειν, ὅθεν καὶ ἐτυμολογεῖσθαι ὁ θὴρ λέγεται, ὡς οἷα φθήρ, εἰ καὶ ἀπελεύσει τοῦ φ μετήλλαξε τὸ η τῆς διφθόγγου εἰς τὸ τῆς ἀναλογίας, ὅτι φθεῖρες διὰ διφθόγγου, καὶ οἱ θῆρες.
Θηρίτας, ὁ ἐνυάλιος, παρὰ Λάκωσιν.
Θηριώδης, ἀγριαινόμενος.
Θηρίων, πάθος τι σώματος, ὃ καὶ καρκῖνος καλεῖται.
Θηριῶ, αἰτιατικῇ. καὶ θηριωδεία, ἀπήνεια, ὀργιλότης.
Θηροειδεῖς, ἐφαπτίδες ποικίλως διηνυσμέναι.
Θηροθῆραι, θηρευταί.
Θηρολέξης, ὁ τὰς λέξεις θηρώμενος.
Θηρόπλαστον, τὴν θηροπλαστοῦσαν, καὶ θῆρας ποιοῦσαν λέγει Λυκόφρων, τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ.
Θηροσυνίας, κυνηγίας.

Θηρο-

Digitized by Google

Θηροφόνος, θηροκτόνος Ἄρτεμις.

Θηρωτὴς κυρίως λέγεται, ὁ σῦας καὶ λέοντας θηρεύων, παρὰ τὴν θήραν. τοὺς γὰρ θῆρας ἐξαιρέτως ἐκάλουν οἱ ἀρχαῖοι, καταχρηστικῶς δὲ καὶ ἐπὶ πάντων.

Θηρώμενοι, ἀντὶ τοῦ ζητοῦντες, καὶ τιμὴν ἐκ τούτου παρὰ τῶν ἄλλων θηρώμενοι. καὶ θηρώμενον, ἀντὶ τοῦ ἀνιχνεύοντα.

Θηρῶντες, ἐπιτηροῦντες.

Θηρῶμαι λέξιν, καὶ θηρῶμαι δόξαν, παθητικῶς γράφεται. ἐπὶ τῆς ἄγρας θηρᾶν λέγεται ἐνεργητικῶς. θηρᾶται δὲ τὸ θηρίον, θηρᾶν καὶ θηρᾶσθαι λέγεται, ἐνεργητικῆς σημασίας. καὶ θηρατὴς λέγε, ἢ θηρεύειν, ἢ θηρεύεσθαι, καὶ θηρευτής. θηρεύω, τὸ ἀγρεύω, ἀφ' οὗ θηρευτής. θηράω θηρῶ, τὸ αὐτὸ, ἀφ' οὗ ποιητικῶς τὸ θηρατὴρ, κοινῶς δὲ τὸ θηρατής.

Θηρῷον, τὸ ἱερὸν ἥρωος Λύκου. Ἀριστοφάνης, θηρῷον εἴπως ἐκκομίσαις τὸ τοῦ λύκου.

Θὴς ὁ μισθωτὸς, καὶ κλίνεται θητός. θὶς δὲ ὁ σωρὸς ῑ, καὶ κλίνεται θινός. ἢ θὴς, ὁ πενιχρὸς, καὶ ὁ ὑπὸ μισθῷ δουλεύων.

Θῆσαι, θρέψαι, θηλάσαι.

Θησαίατο, θαυμάσειαν.

Θησάμενοι, αἰτησάμενοι. Κρῆτες.

Θήσειν, ποιήσειν.

Θῆσθαι, ἀμέλγειν.

Θήσομαι, ὁρίσω, ποιήσω, ἐναποδείξω.

Θῆσσαν, μισθωτικὴν, ἢ εὐτελῆ, ἢ δουλικὴν τροφήν.

Θησαυρίζω, γίνεται ἀπὸ τοῦ θησαυρὸς, ὃς ἀπὸ τοῦ τίθημι, θήσω, καὶ τοῦ ἀρῶ τὸ ἁρμόζω ἐτυμολογεῖται, ἁρμοζόντως, ἤτοι μετὰ ἀσφαλείας ἀποτιθέμενος εἰς τὸ φυλάττεσθαι θησαρὸς, καὶ πλεονασμῷ τοῦ υ θησαυρός.

Θησαυρὸς, συναγωγὴ χρημάτων κεκρυμμένη.

Θησαυροὶ ἀνέμων, οὐκ ἀποθῆκαι τινὲς, ἀλλ' ἡ ῥᾳδία κίνησις, ἀπωθέμενου τοῦ ἀέρος ὄντος.

Θησαυρὸς. Ἀππιανὸς, ὅπλα τε πολλὰ καὶ σῖτον ἡτοιμάζετο, καὶ θησαυροὺς ἐποίει, καὶ θησαυροφυλάκιον.

Θησαυρός ἐστιν ἀγαθὸς, τῆς ἐν Χριστῷ φρονήσεως ἀρετὴ, πρὸς δόξαν θεοῦ. θησαυρὸς πονηρός ἐστιν, ἐξ ὧν προφέρεται κατὰ τὴν τοῦ κυρίου φωνὴν, ἐνθυμήσεις καὶ λόγους πονηρούς.

Θήσει, ἐπιθήσεται, ποιήσει.

Θησεῖα, ἑορτὴ Ἀθήνησι.

Θησέα μετὰ τὸ χαρίσασθαι τὴν δημοκρατίαν τοῖς Ἀθηναίοις, Λύκος τὶς συκοφαντήσας ἐποίησεν ἐξοστρακισθῆναι τὸν Ἥρωα. ὁ δὲ παραγενόμενος εἰς Σκύρον, διῆγε παρὰ Λυκομήδει τῷ δυνάστῃ τῆς νήσου, ὃς ζηλοτυπήσας, ἀναιρεῖ αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λιμώξαντες καὶ κελευσθέντες ἐκδικῆσαι τῷ Θησεῖ, τὸν μὲν Λυκομήδη ἀνεῖλον, τὰ δὲ ὀστᾶ μετασειλάμενοι, καὶ θησεῖον οἰκοδομήσαντες, ἰσοθέους οὕτω τιμὰς νέμουσι. διανομαὶ δὲ καὶ εὐωχίαι τοῖς θησείοις γίνονται. ταῖς δὲ ὀγδόαις τὰ θησεῖα ἤγετο, καὶ πᾶσαν τὴν ἡμέραν πανηγύριζον, εἰς τιμὴν τοῦ ἥρωος. ἑορτὴ αὐτῷ ἐπετελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀττικὴν, πρότερον σποράδην καὶ κατὰ κώμας οἰκουμένην.

Θησεῖον, ἐνταῦθα οἱ καταφεύγοντες τῶν οἰκετῶν, ἀσυλίαν εἶχον, ὁμοίως εἰς τὸ ἐριννύων ἱερὸν οἱ οἰκέται ἔφευγον. δηλοῖ δὲ καὶ φυτόν τε ποιὸν, καὶ τὸ δεσμωτήριον παρὰ Ἀθηναίοις.

Θησειότριψ, ὁ ἐν τοῖς θησείοις διατρίψας.

Θησεὺς, καὶ Πειρίθους. ὁ μὲν ἐκ Διὸς, ὁ δὲ ἐκ Ποσειδῶνος. οἷς ἐφαμίλλους ἐποιοῦντο τὰς πράξεις. καὶ ὁ μὲν Θησεὺς τῆς Ἑλένης ἐρασθεὶς, ἔσχεν συμπράττοντα αὐτῷ τὸν Πειρίθουν. ὁ δὲ Πειρίθους τὴν Περσεφόνην ἁρπάσαι βουληθεὶς, ἀναγκαίως εἶχε τὸν Θησέα ἑπόμενον, καὶ διὰ τοῦ Ταινάρου εἰς ᾅδου κατελθόντες, καὶ ἐπί τινος πέτρας καθεσθέντες, αὖθις ἀναστῆναι οὐ δεδύνηνται. Ἡρακλῆς δὲ ὕστερον κατελθὼν ἐπὶ τὸν Κέρβερον, τὸν μὲν Θησέα ἀπέσωσεν, ὡς μὴ ἑκόντι κατελθόντα. τὸν δὲ Πειρίθουν εἴασεν, ἐπειδὴ προαιρέσει ἰδίᾳ κατῆλθε.

Θήσεται, ποιήσεται.

Θῆσθαι, θάω θῶ, τὸ θηλάζω, θάομαι θῶμαι, θάεται θᾶται, θάεσθαι θᾶσθαι, καὶ θῆσθαι, ὡς χρῆσθαι.

Θῆσθαι, οὐ μόνον τὸ θηλάζειν, ἀλλὰ καὶ τὸ ἀμέλγειν. ἀμφότερα παρὰ τὴν θηλήν. τοῦ δὲ θῶ θήσω τὸ θηλάζω, παράγωγα καὶ ἡ τιθὴ. καὶ ἡ τιθὴς, καὶ τὰ θήσεα.

Θήσομαι, ὁρίσω, ποιήσω, ἀναδείξω.

Θησόμενοι, αἰτούμενοι.

Θῆσσα, ἡ δούλη. Ἀθηναῖοι δὲ τὰς πενιχρὰς γυναῖκας, θήσσας λέγουσιν, ἀπὸ τοῦ θητεύειν ἐπὶ μισθῷ, διὰ τὸ ἐνδεεῖς εἶναι τῶν ἐπιτηδείων. καὶ ὥσπερ παράκειται τὸ κρῆσσα, οὕτω καὶ τὸ θὴς θῆσσα.

Θήσω, ἤσω, αἰτήσω, Βοιωτοί. καὶ θήσω ποιήσω.

Θηητὰ, θαυμαστὰ, ψεύδεσιν ὅμοια.

Θητεία, παραμονὴ, ἡ δουλεία.

Θῆτες, οἱ τροφῆς ἕνεκα δουλεύοντες.

Θητεύειν, δουλεύειν, ἐπὶ μισθῷ ἐργάζεσθαι.

Θητεύω, καὶ θητεία, ἡ μισθοφορία. θητικὸν παρ' Ἀθηναίοις, τὸ τέλος ὅπερ ἐτέλουν οἱ θῆτες, καὶ τὸ στράτευμα, ὅπερ ἀπὸ τῶν θητῶν ἐποίησαν.

Θητικὸν πλῆθος, τὸ ἐπὶ μισθῷ δουλεῦον.

Θητὸν, βωμόν.

Θῆττα, ἐπίκληρος οὐκ ἔχουσα φερνὴν, πενιχρὰ καταλειφθεῖσα ὑπὸ τοῦ πατρὸς, ὑπὸ δὲ τῶν ἀγχιστέων προικιζομένη, κατὰ τὸν νόμον τῶν πεντακοσίων δραχμῶν.

Θητώνιον, πλῆθος τῶν μισθωτῶν, ἢ τὸ τοῖς μισθωτοῖς διδόμενον.

Θὴψ, ὁ σκώληξ, καὶ κλίνεται θηπός.

ΤΟ' Θ'. ΜΕΤΑ' ΤΟΥ Ι'.

Θιαγόνες, ἄρτοι οἳ παρετίθεντο τοῖς θεοῖς.

Θιακχὰ, ἄνθη ἐν σικυῶνι.

Θιάλλαι, θημῶνες.

Θιάρατος, εὔνητος.

Θιᾶσαι, χορεῦσαι.

Θιασεῦσαι, πεῖσαι, προσενέγκαι.

Θίασος, συνοχία καὶ πλῆθος, οὐ μόνον τὸ βακχικὸν, ἀλλὰ καὶ τὸ ἐργατικόν. ἢ θίασος, χοροῦ σύστασις, ἢ σύλλογος, καὶ τὸ ψιλὸν πλῆθος. ἔσθ' ὅτε δὲ καὶ τὸ βακχικὸν, ἢ ἑσμὸς γυναικῶν.

Θιασῶνες οἶκοι ἐν οἷς συνιόντες δειπνοῦσιν οἱ θίασοι.

Θιασῶται, χορευταί.

Θίασμος, συνοχία. ἔσθ' ὅτε δὲ καὶ τὸ βακχεῖόν φασι. κυρίως δὲ τὸ πλῆθος θίασμος, ἑσμὸς γυναικῶν.

Θίβεις γυναῖκές τινες.

Θίβη, πλεκτόν τι κιβωτοειδὲς, ὡς γλωσσοκομεῖον.

Θίβης, κιβώτιον ἐκ φύλλων πεπλεγμένον, ὡς κοφινῶδες.

Θίβωνος, κιβωτός. Κύπριοι.

Θιβρὴν, φιλόκοσμον, καὶ ἀρρωστικὴν, ὑπερήφανον, καταφερῆ, καὶ θρασεῖαν. καὶ παρὰ μὲν Νικάνδρῳ, τὴν ἔμπυρον καὶ καυστικὴν, τινὲς δὲ χαλεπήν.

Θιβρὸν, τρυφερὸν, καλὸν, σεμνὸν, ἁπαλόν.

Θιγγάνειν, ἐγγίζειν, ἅπτεσθαι.

Θίγειν, ψαῦσαι, ἅψασθαι, ἅπτεσθαι.

Θιγμάτων, μιασμάτων.

Θίγον, ἀντὶ τοῦ θίγε λέγουσι Δωριεῖς. τὰ γὰρ προστακτικὰ τὰ διὰ τοῦ ε ψιλοῦ ἐκφερόμενα, διὰ τοῦ ον ἐκφέρουσιν οἱ αὐτοί.

Θίγρος, ὄνομα κύριον.

Θίγω, τὸ ψαύω, καὶ προσεγγίζω, καὶ θιγγάνω, τὸ αὐτό.

Θίημι, ποιῶ.

Θιδρακίνη, θίδραξ. καὶ θρίδαξ.

Θιῆσαι, ποιῆσαι, φιλῆσαι.

Θικέλιον, τὴν γογγυλίδα. Λάκωνες.

Θίκιον, θεῖον τὸ ὀρεκτὸν, Κρῆτες.

Θίλα, ὁ θυμών.

Θιμῶνες, θιμωνιαί.

Θὶν, ὁ αἰγιαλὸς, ἀπὸ τοῦ θίνεσθαι, καὶ θῖνος. πολλάκις τὸ αὐτὸ λέγει καὶ ἀρσενικῶς Ὅμηρος, ὁ θὶς καὶ ὁ σωρός. πολὺς δ' ἀμφ' ὀστεόφιν. θὶς καὶ ἡ ἄμμος.

Θῖνα, θαλάσσης λέγει Ὅμηρος, πρὸς διαστολὴν ἑτέρων θινῶν. ἔστι γὰρ θὶς κατὰ τοὺς παλαιοὺς, ὄχθος, βουνὸς, ἄμμος. θὶς ἐπὶ αἰγιαλοῦ μὲν θηλυκοῦ γένους ἐστίν. ἀρσενικοῦ δὲ, ἐπὶ χρημάτων, καὶ λίθων. καὶ λέγεται θὶς καὶ θὶν, ὥσπερ δελφὶς καὶ δελφίν.

Θιναὶ, ψάμμοι, ὑψηλοὶ τόποι, καὶ αἱ τῶν καρπῶν συγκομιδαί.

Θῖνας, τοὺς τῆς ψάμμου σωροὺς λέγουσι.

Θινὶ, αἰγιαλῷ.

Θινομένη, τυπτομένη.

Θίξεσθαι, ἅψασθαι.

Θίξις, ἐπόψις.

Θῖος, θεός. Κρῆτες.

Θιπόβρωτος, κακῶς δίχα τοῦ ρ λέγεται. καὶ θριπόβρωτος, ὁ ὑπὸ σητῶν βεβρωμένος.

Θὶς, ὄχθος, βουνὸς, ἀμμώδης αἰγιαλὸς, θάλασσα, σωρὸς κυμάτων. τὸ κάτω βάθος τῆς θαλάσσης, ἢ ὀστέων σωρός.

Θίσανα, χῶμα σωροειδές.

Θίσβη, πόλιν τὴν ἔχει τὸν περίπυστον αὐλητὴν Ἰσμηνίαν. θισβεὺς γὰρ ἦν. ἐκλήθη δὲ ἀπὸ Θίσβης θυγατρὸς Ἀσωποῦ. ὁ δὲ λιμὴν τῶν Θισβέων, καὶ τὸ ἐπίνειον, ἔχει φασὶ πλῆθος περιστερῶν, ὡς καὶ ὁ Ποιητὴς ἐπισημήνατο. ἱστορεῖ δὲ τοῦτο καὶ ὁ Γεωγράφος λέγων. θίσβη, ἢ καὶ θίσβαι, οἰκεῖται μικρὸν ὑπὲρ θαλάσσης, χωρίον ὅμορον θεσπιεῦσιν, ἐν τῇ κορωνιακῇ, ὑποπεπτωκὸς ἐκ νότου τῷ ἑλικῶνι, ἐπίνειον αὐτῆς πετρῶδες, περιστερῶν μεστόν.

Θιασῶσαι, εἰκάσαι.

ΤΟ' Θ'. ΜΕΤΑ' ΤΟΥ Λ'. ΚΑΙ' Ν'.

Θλαδίας, ὁ εὐνοῦχος. ὑποβάλλει τοίνυν ὁ θλαδίας τὴν γυναικωνῖτιν φάλαγγα, κατηγορῆσαι τοῦ Ἀετίου, κατὰ βασιλέως ἐμμελετᾶν.

Θλάναι, ἀποθανεῖν.

Θλάσας, κλάσας, συνθλάσας.

Θλάσπις, πόα, ἣν ἔνιοι σαύριον.

* Θλασπίσιος, ἀντὶ τῆς θλάσπεως τῆς οὕτως ὀνομαζομένης βοτάνης. Γαληνός.

Θλάσις καὶ θλᾶν, ἐπὶ τῶν χαυνουμένων, καὶ παραλυομένων τῆς ἑαυτῶν συμπήξεως ἀπὸ πληγῆς. καὶ φλάω αἰολικῶς.

Θλάσιν, τὸν ἐμβρυοθλάστην. ὅπερ καὶ πίεστρον καλεῖται παρὰ τῷ Ἱπποκράτει.

Θλίβει, ὠθεῖ, πιέζει.

Θλίβεται, πατεῖται. τοῦτο δὲ ἐπὶ σταφυλῆς. λέγεται γὰρ καὶ ὅτε τὶς ὀλιγωρεῖ, πιέζεται.

Θλιβίας, θλαδίας, σπάδων.

Θλίβω, μέλλων θλίψω, τέθλιφα τὸ λυπῶ. ἀποθλίβω, ἐπὶ σταφυλῶν, τὸ ἀποπιέζω, ἀπὸ τούτου καὶ ἐπὶ ἄλλων.

Θλίψεις, φυλακαὶ, ἁλύσεις ἐξορίαι, καὶ ὅσα τοιαῦτα.

Θλίψις, στένωσις, λύπη. ἔφεσις ἀπαλλαγῆς τῶν κατεχόντων.

Θνητίδια, νεκρίμαια.

Θνησείδιοι, τὸ θνησιμαῖον καὶ νεκρόν.

Θνησιμαῖον, τὸ νενεκρωμένον.

Θνῆσις, ἡ φθορά. παρὰ τὸν θάνατον γέγονε θανῶ, θανήσω, θανητὸς, καὶ θνῆσις.

Θνήσκω, καὶ ἀποθνήσκω, ὡς ἀπὸ τοῦ μνῶ μνήσω, οὕτω καὶ ἀπὸ τοῦ θνῶ θνήσω, γίνεται θνήσκω. θνάσκει δὲ, καὶ θνατοῖσι, Δωριεῖς, ἀντὶ τοῦ θνήσκει.

Θνήσκω ἐνεστὼς, ἔθνησκον παρατατικὸς, τεθνήξομαι δὲ καὶ θανοῦμαι μέλλων, ἀπέθανον ἀόριστος, τέθνηκα παρακείμενος. τὸ τρίτον τεθνήκασι, καὶ κατὰ συγκοπὴν τεθνᾶσι. τὸ τεθνάναι, οἱ μὲν κανονίζουσιν ἀπὸ τοῦ θνῆμι, ὁ δεύτερος ἀόριστος ἔθνην. ἡ μετοχὴ ὁ θνὰς, τοῦ θνάντος. καὶ τὸ ἀπαρέμφατον μετὰ ἀναδιπλασιασμοῦ, τεθνάναι. ἀπὸ ταύτης γοῦν τῆς μετοχῆς ποιοῦσι καὶ τὸ προστακτικὸν, τέθναθι τεθνάτω, καὶ τὸ εὐκτικὸν τεθναίην. ἔστι γοῦν ποιητικόν. οἱ δὲ ἀπὸ τοῦ τεθνηκέναι, τεθνάναι. χωρεῖ γοῦν ἐντεῦθεν κανονισθῆναι καὶ τὸ τεθνάτω, κατὰ συγκοπὴν ἀπὸ τοῦ τεθνηκέτω. ὥσπερ καὶ τὸ ἑστάτω, ἀπὸ τοῦ ἑστηκέτω.

Θνητὸν. οὐ πᾶν τὸ σῶμα, ἀλλὰ καὶ τὸ ζῶον πνοὴν ἔχον χωρισθῆναι δυναμένην.

Θνητὸς, ὁ φθαρτός.

ΤΟ' Θ'. ΜΕΤΑ' ΤΟΥ Ο'.

Θοάζει, τρέχει, μαίνεται, σκιρτᾷ, κτείνει, σπεύδει, ταράττει, κάθηται, χορεύει, ἀνύει, ἥδεται, τελεῖ, πλάττει, φοβεῖται, πλανᾶται, θεοφορεῖται.

Θοά-

Θοάζετε, κατὰ διάλυσιν ἀντὶ τοῦ θοάσετε. ἢ θοῶς προκαθῆσθε. Σοφοκλῆς, τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε.

Θοαὶ νῆες, ἢ ταχεῖαι. ἢ ὥσπερ θοὸν βέλος, τὸ ὀξὺ, οὕτω θοαὶ καὶ αὗται ὡς ὀξεῖαι τὰ περὶ πρῶραν, ἵνα ταχὺ οὕτω πλέοιεν, τέμνουσαι ῥᾶον τὸ ὕδωρ. καὶ θοαὶ νῆσοι, μεταληπτικῶς αἱ λεγόμεναι ὀξεῖαι. δῆλον δὲ, ὅτι τὸ θοὸν καὶ ἐπὶ τοῦ ὀξέος τίθεται. ὅθεν καὶ θοῶσαι τὸ ἀποξῦναι.

Θόαις, ἀντὶ τοῦ θόας Αἰολεῖς λέγουσι.

Θοαντιάς. δύο τύποι εἰσὶ τῶν θηλυκῶν πατρωνυμικῶν. ὁ εἰς ας, οἷον πελιάς. καὶ ὁ εἰς ις, οἷον πελοπίς. καὶ ταῦτα δὲ εἰς ας μεταβάλλει τὴν τελευταίαν παρεντιθεμένου τοῦ ι, ἵνα μὴ εἴη κακόφωνα.

Θόαξος, Ἀπόλλων.

Θοὰς, ταχυτάτας. καὶ Ὅμηρος, θοὰς ἐπὶ νῆας Ἀχαιῶν. ἢ θοὰς, ὀξείας, ταχείας.

Θόες, θόων. θηρία ἐξ ὑαίνης καὶ λύκου γεννώμενα.

Θοὴ, σημαίνει πέντε. τὸ μέγα, οἷον θοαῖς ἀφροσύναις, ἀντὶ τοῦ μεγάλαις. καὶ θοὴ δ' ὑπεδέξατο γαῖα, ἀντὶ τοῦ μεγάλη. εἶτα εὑρίσκεται θοὸν τὸ ταχὺ, ἢ ὀξὺ, ἢ ἰσχυρόν. καὶ ἀκόντισε δουρὶ θοῷ, ἰσχυρῶς. νῆας θοὰς, ταχείας. νήσοισι θοῇσιν, ὀξείαις. ὀξεῖαι γὰρ οὕτω καλοῦνται νῆσοι, περὶ τὴν Κεφαλληνίαν.

Θοὴν νύκτα λέγει Ὅμηρος, ἢ τὴν τῶν ζώων καταθετικὴν εἰς ἀνάπαυλαν, ἀπὸ τοῦ θέω θῶ τίθημι, ἢ τὴν ταχεῖαν. ὡς ἀπὸ τοῦ θέω, τὸ τρέχω. ἀνεπαισθήτως γὰρ τοῖς ὑπνοῦσιν ἀπερχομένη, δοκεῖ ταχυτέρα τῆς ἡμέρας εἶναι. ἢ μάλιστα φιλοσόφως τὴν κωνοειδῆ, καὶ εἰς θοὸν ὅπερ ἐστὶν εἰς ὀξὺ λήγουσαν. ἐπεὶ γάρ φασιν, ὁ φωτίζων ἥλιος μείζων ἐστὶ τῆς πεφωτισμένης γῆς, κωνοειδὴς γίνεται ἡ αὐτόθεν σκιά, ὅ ἐστιν ἡ νύξ. καθόλου γὰρ, εἰ τὸ φωτίζον μεῖζον τοῦ φωτιζομένου, κωνοειδὴς ἀποτελεῖται σκιά, ὥσπερ ἐὰν ἀνάπαλιν, καλαθοειδής. ἐὰν δὲ ἄμφω ἴσα, κυλινδροειδής. ὁ δέ γε Κράτης τὸ θοὴ, ἐπὶ ταχείας τίθησι λέγων, ὡς ἡ νὺξ σκιὰ τῆς γῆς οὖσα, ἰσοταχῶς κινεῖται τῷ ἡλίῳ διώκουσα, οἷον καὶ διωκομένη. διὸ νύκτα θοὴν λέγει.

Θοηρὸς, τεταραγμένος.

Θοία, ζεῦγος ἡμιόνων.

Θοἰμάτιον, ἀντὶ τοῦ τὸ ἱμάτιον, Ἀττικῶν ἐστι κατὰ συναλοιφήν.

Θοίνη, εὐωχία, τροφή, κατάβρωμα. ἢ τράπεζα. ἢ θοίνη, τροφή, εὐωχία. παρὰ τὸ θῶ ῥῆμα, ὅ ἐστι τρίτης συζυγίας τῶν περισπωμένων. ὁ μέλλων θήσω, ὄνομα θώνη. καὶ τροπῇ τοῦ ω εἰς οι, θοίνη. ὡς ἀγκὼν, ἀγκώνη, καὶ ἀγκοίνη.

Θοινητήριον, κατάβρωμα, τροφή.

Θοινοῦμαι, τὸ εὐωχοῦμαι.

Θοκόα, ὄνομα πόλεως παρὰ Γωσήπῳ.

Θοκρὸς, τεταραγμένος.

Θολερῶς προβαίνεις, ἐπὶ τῶν ἀστάτως καὶ τεταραγμένως προϊόντων, καὶ μὴ καθισταμένην καὶ ἀσφαλῆ πορείαν ἐχόντων.

Θολερὸς, παρὰ τὸ θολὸν, θολερός.

* Θολερὸν πνεῦμα, μέγα καὶ δεδιωγμένον.

Θολερόφρον, μέγα.

Θολία, τὸ σκιάδιον, ὁ πέτασος. εἴρηται δὲ ἀπὸ τοῦ θόλῳ ἐοικέναι. οἱ δὲ Ἀττικοὶ, τὸ σκιάδιον σκιῤῥὸν καλοῦσιν.

Θολκάζει, χαλιναγωγεῖ.

Θόλος, οἴκημα στρογγυλοειδές. ἀπὸ τοῦ θεῖν, οὕτως Ἀλέξανδρος. θολὸς δὲ, τὸ τῆς σηπίας μέλαν. ἢ θόλος, ὁ τόπος ἐν ᾧ ἐδείπνουν οἱ Πρυτάνεις, διὰ τὸ οἰκοδομεῖσθαι αὐτὸν, στρογγύλον. ἢ τὸ θόλος, φασὶν οἴκημα κυκλοτερὲς, εἰς ὃ τὰ καθ' ἑκάστην χρήσιμα τῶν σκευῶν ἐτίθεντο, οἷον πίνακες, κρατῆρες, ἐκπώματα. γίνεται δὲ ἀπὸ τοῦ θέειν ὅλον, οἱονεὶ τὸ περιθεόμενον. ταύτης τοῦ θόλου μεταξὺ τοῦ τῆς αὐτῆς ἕρκους, στεῖνος ὑποκείταί τις, περὶ ὃ αἱ φαῦλαι δουλίδες ἀναρτηθεῖσαι ὤλοντο. ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ τοῦτο. θόλοι, στέγαι ἐπάλξεις, καμάραι. θολία δὲ θηλυκῶς, πῖλος εἰς ὀξὺ ἀπολήγων, οἱ δὲ σκιάδιον.

Θολοῦσα, σκοτοῦσα.

Θολῶδες, τεταραγμένον.

Θολῶσαι, πληρῶσαι, στεγάσαι, ταράξαι, σκοτίσαι.

Θονανία, ὀξεῖα.

Θοὸν, τὸ ὀξύ. θοοὺς ὀδόντας, τοὺς ὀξεῖς λέγουσι. καὶ θοὸν, ἀντὶ τοῦ θοῶς. ὄνομα ἀντὶ ἐπιῤῥήματος τίθεται.

Θοὸς, ὁ ταχύς. ἀπὸ τοῦ θέω, τὸ τρέχω, ἐξ οὗ καὶ τὸ θηλυκὸν θοή.

Θόραι, δῆμος τῆς Ἀντιοχίδος. καὶ θορικὸς δῆμος τῆς Ἀκαμαντίδος.

Θοράνας, τὸ ἔξω. Πάφιοι.

Θοράτης ὁ Ἀπόλλων, παρὰ Λάκωσι.

Θόρβος, ζάλη, ταραχή.

Θορεῖν, πηδᾶν, ὁρμᾶν. καὶ θορόωντες.

Θορὴ, ἡ γονὴ, τὸ σπέρμα.

Θορίνας, ὀξιφίας ἰχθύς.

Θορίκιος, ὄνομα κύριον.

Θόρισμα, δέλεαρ ἰχθύσι.

Θοριχθῆναι, μεθυσθῆναι. θωρηχθῆναι δὲ ἀντὶ τοῦ ὁπλισθῆναι, ὦ μέγα καὶ η.

Θόρναξ, ὑποπόδιον. ἢ ἱερὸν Ἀπόλλωνος ἐν τῇ Λακωνικῇ, ἀπὸ θόρνακος. καὶ θόρναξ, ὁ Ἀπόλλων.

Θόρνυμι, θόρω τὸ πηδῶ θόρνω, θορνύω, θόρνυμι.

Θόρνυσθαι, γεννᾶν, μίγνυσθαι, ὀχεύεσθαι, σπερμαίνειν.

Θόροιο, ὀχετοῦ.

Θοροσβάτης, ἀφροδισιαστής, ὀχεία.

Θορὸς, ἢ θόρος, ἡ ἔκρισις τοῦ σπέρματος, ἀπὸ τοῦ θορῶ τὸ ὁρμῶ. ὁ μετὰ ὁρμῆς πεμπόμενος.

Θορυβέω, ῶ, θορυβήσω ἐνεργητικὸν. θορυβήσομαι δὲ ἐπὶ παθητικῆς σημασίας, οὐ θορυβηθήσομαι. ὅθεν θόρυβος, ἡ ταραχή.

Θόρυβος, φόβος, μετὰ φωνῆς κατεπείγων.

Θόρυξις, ἡ οἰνοποσία.

Θοῦ, θές, ἐπίστησον.

Θουκυδίδαι, τέσσαρές εἰσιν Ἀθηναῖοι. ὁ ἱστοριογράφος, καὶ ὁ γήττιος, καὶ ὁ θετταλός, καὶ οὗτος ἄριστος ῥήτωρ τυγχάνων. καὶ ὁ Μελησίου υἱὸς, Περικλεῖ ἀντιπολιτευσάμενος.

Θουλκόσατον, βαρύτατον.

Θοῦπος, λόγος, μῦθος, ἑστίασις.

Θουρὰ, ἡ ὀρεκτικῶς ἔχουσα, καταφερὴς, καὶ θουραί.

Θουραίην, ἀνδρείαν, θρασεῖαν, ἰσχυράν.

Θουρήεντος, λάγνου.

Θούρην, βάτην.

Θουρηταὶ, αἱ τῶν ζώων μίξεις.

Θουρίβα, ὀχεῖα.

Θούριδες, νύμφαι. μοῦσαι. Μακεδόνες.

Θούριδος, ἐνθουσιαστικῆς, ὁρμητικῆς, ἐκθέρμου. θούριδος μέμνησθε ἀλκῆς.

Θούριοι, ἐκλήθησαν ἀπὸ κρήνης θουρίας, ὕστερον δὲ ἀπίας. λέγεται δὲ θουρία καὶ θούριον τὸ ἐθνικόν. ὁμωνύμως θούριοι καὶ θουριακοί. καὶ θουρῖνος οἶνος, Παυσανίας ἄνθειαν αὐτὴν καλεῖ.

Θούριον, ὁρμητικὸν, καὶ ὄνομα ἔθνους. καὶ θοῦρον καὶ θούριος ἐπὶ ἀρσενικοῦ, θοῦρος ἀνὴρ ἔθετο. ἤτοι, πηδητικός, ταχὺς, πολεμικώτατος, θούριος Ἄρης ἔπασεν ἀργείην καὶ Λακεδαιμονίην.

Θουριομάντεις λέγει Ἀριστοφάνης, οὐ τοὺς ἀπὸ θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς θούριον πεμφθέντας, ἐπὶ τὸ κτίσαι αὐτήν. ἐπέμφθησαν δὲ δέκα ἄνδρες, ὧν καὶ Λάμπων ἦν ὁ μάντις, ὃν ἐξηγητὴν ἐκάλουν.

Θούριον λῆμα, ὁρμητικὸν, ταχὺ, πηδητικὸν, πολεμικώτατον. καὶ θούριος Αἴας, καὶ θούριος Ἄρης.

Θοῦρις, ἡ ἀσπὶς, παρὰ τὸ θύειν θύρις, καὶ πλεονασμῷ τοῦ ο θοῦρις.

Θουριῶν, ἐνεργῶν.

Θοῦρος, ὁρμητικὸς, πολεμικώτατος. οἱονεὶ, θοῶς ὀρούων, ἢ παρὰ τὸ θέρω τὸ θερμαίνω, γίνεται θόρος καὶ θοῦρος, ἀπὸ μεταφορᾶς τῆς τοῦ πυρὸς ὁρμῆς. καὶ θορεῖν τὸ πηδᾶν.

Θούχοινοι, ἢ θόχοινοι, ἅρπαγες, πλάνητες.

Θοωθεὶς, πλασθεὶς, ἑστιαθεὶς, παροξυνθεὶς, εὐωχηθείς.

Θόωκοι, οἱ θρόνοι.

Θόωκος, συνέδριον, ὥσπερ φῶς φόως κατὰ πλεονασμὸν, οὕτω καὶ θῶκος θόωκος.

Θόωσα, Φόρκυνος θυγάτηρ, μήτηρ Κύκλωπος.

Θοῶσαι, ὀξῦναι, λαμπρῦναι, ποιῆσαι, πυρῶσαι.

ΤΟ Θ. ΜΕΤΑ ΤΟΥ Ρ.

Θρακιὰ, Ἀφροδίτη.

Θρᾷξ, ὁ Θρᾷξ.

Θρακτικὸν, πορδαλόν.

Θραμβὸν, καπυρόν.

Θραμὶς, κριός.

Θρανεύσεται, ἐκταθήσεται, θράνος γὰρ τὸ ὑποπόδιον, ὅπου τὰ δέρματα ἐκτείνεται. Ἀριστοφάνης, ἡ βύρσα σου θρανεύσεται.

Θρανεύεται, συντρίβεται.

Θρανήτιδες, κῶπαι θηρευτῶν.

Θρανίδιον, εἶδος δίφρου.

Θρανίου, θράνους. καὶ θρανίτια, τινὰ δίφρεια καὶ ὑποπόδια ἔλεγον. καὶ ἡ παρὰ τῷ ποιητῇ θρῆνυς, ἐφ' ὧν οἱ ἀπαγχόμενοι ἀρτῶσιν ἑαυτοὺς ἀπολακτίζοντες, Ἀριστοφάνης. ἢ θρανίου, δίφρου θρανὸς, ὑποπόδιον, ὃ καὶ θρανίδιον λέγεται. θραύεται γὰρ, καὶ κλᾶται.

Θρανίτης, ὁ πρὸς τὴν πρύμναν καθήμενος. ζυγίτης, ὁ μέσος. θαλάμιος, ὁ πρὸς τῇ πρώρᾳ. καὶ θρανίτης λεὼς παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὁ ναυτικός. ἐκ μέρους δὲ τὸ πᾶν εἶπε. τῶν γὰρ ἐρεττόντων, οἱ μὲν ἄνω ἐρέττοντες θρανῖται λέγονται. οἱ δὲ μέσοι, ζυγῖται. οἱ δὲ κάτω, θαλάμιοι.

Θρανογράφους, τοὺς εὐτελεῖς τοιχογράφους.

Θράνον, τὸν ἀφοδευτικὸν θρόνον, παρὰ τῷ Ἱπποκράτει.

Θράνος, ὑποπόδιον. ὃ καὶ θρῆνυς, ἴσως παρὰ τῷ Ποιητῇ καὶ νηὸς θράνος. ἔνθεν καὶ θρανίτης, ὑποκοριστικῶς ὡς πολίχνης. ἐτυμολογεῖται δὲ, παρὰ τὸ θορεῖν ἄνω, ἢ παρὰ τὸ θρῆσαι, ὅ ἐστι καθῆσαι.

Θράντιδες, κῶπαι, αἷς οἱ θρανῖται χρῶνται, ἐν ταῖς καταφράκτοις ναυσί.

Θράνων, δίφρων.

Θρᾶξαι, ταράξαι, λυπῆσαι. Εὐριπίδης Πειρίθῳ.

Θρᾷξ θρᾷσσα, κίλιξ κίλισσα, Λίβυς Λίβυσσα, μάγνης μάγνησσα, Κρὴς Κρῆσσα, καὶ πάντα ἁπλῶς ὁμοίως.

Θράττειν, ταράττειν, ἐνοχλεῖν, νύσσειν, κινεῖν, δυσωπεῖσθαι, ὑφορᾶσθαι.

Θρασεῖαν, ὀξεῖαν.

Θρασέως, τολμηρῶς.

Θράσιον, τόπος.

Θρασκίας, ὁ ἄνεμος. * ὁ καὶ Καικίας λεγόμενος.

Θράσκειν, ἀναμιμνήσκειν.

Θράσος, δαίμων, ἀλαζονία, φρύαγμα, ὀξύτης, μάχη. καὶ θράσος ἔλαβον οἱ ἄνθρωποι, ἢ θράσος ἔλαβε τοὺς ἀνθρώπους.

Θράσσεται, νύσσεται, κεντᾶται, παρὰ τῷ Ἱπποκράτει.

Θρασύβουλος, ἐραστὴς ὢν τῆς δημοκρατίας, καταλαβὼν φυλὴν τῆς Ἀττικῆς μετά τινων ἄλλων, κατέλυσε τὴν τῶν τριάκοντα τυραννίδα. Ἄλλως.

Θρασύβουλος. οὗτος αὐθάδης, καὶ δωροδόκος, ὑπερόπτης τοῦ δήμου, ἠβούλετο δι' αὐτοῦ πάντα πράττεσθαι. ὃς βουλόμενος καταλῦσαι τοὺς τριάκοντα, καταλαβὼν φυλὴν τόπον τινὰ, κἀκεῖ συμμάχους λαβὼν κατέλυσε. καὶ ἐπεὶ ἀλαζονικὸν ἐφθέγξατο, ἤκουσε μὴ μνησικακῆσαι, καὶ ἐγένετο παροιμιακόν. φυλὴ δὲ, δῆμος τῆς ἀττικῆς. καὶ οἱ ἐνοικοῦντες φυλάσιοι. τὸ δὲ παρὰ τῷ Ἀριστοφάνει, εἰ σὺ φυλὴν κατέλαβες, ἀντὶ τοῦ εἰ ἐπλούτησας, εἰ μέγας γέγονας. φυλὴ γὰρ τόπος οὕτω καλούμενος.

Θρασυκάρδιος, αὐθάδης, τολμηρός.

Θρασυμέμνονα, θρασὺν κατὰ τὸ μένος, γενναῖον, εὔτολμον, τολμηρὸν, ἀλαζόνα, τραχὺν, σκληρὸν, ἀπηνῆ, φλύαρον, ταραχώδη, ὑβριστήν.

Θρασυνόμαι κατὰ τοῦ δε, καὶ θρασυνόμαι τῷ δε, Ἀριστοφάνης. ἔσθ' ὅτῳ θρασύνεται, ἤγουν καυχᾶται.

Θρασὺς, παρὰ τὸ θέρω τὸ θερμαίνω. ὁ μέλλων αἰολικῶς, θέρσω. καὶ ἐξ αὐτοῦ θερσὺς, καὶ κατὰ τροπὴν τοῦ ε εἰς τὸ α καὶ καθ' ὑπερβιβασμὸν, θρασύς. οἱ γὰρ θρασεῖς, καὶ θερμοί. ἢ θρασὺς ἐν γλώσσῃ, ἤγουν κατὰ τὴν γλῶτταν, ἤτοι θρασύγλωσσος.

Θρασυστομεῖν, τὸ θρασεῖς λόγους λέγειν.

Θρασύτην, τὸν ἀποδημοῦντα θρασυνέσθαι.

Digitized by Google

Θρασέως ἐστὶν, ὑπερβολὴ θράσους, πρὸς φόβους, ὡς μὴ δεῖ.

Θρασύχειρ, τολμηρός.

Θράτται, δούλη θρακική.

Θράττειν, ταράσσειν, ἐνοχλεῖν, νύσσειν, κινεῖν, δυσωπεῖσθαι, ὑφορᾶσθαι. ταράττειν καὶ θράττειν.

Θράττης, ὁ λίθος ὑπὸ Θρακῶν.

Θραττεύομαι, συντρίβομαι, συγκόπτομαι.

Θράττον, ὕστερον, κόλουρον.

Θραύειν, καὶ συντρίβειν, ἐπὶ ξηρῶν. ἔστι δὲ συντρίβειν κυρίως, τὸ εἰς χοῦν λεπτύνειν. τέμνειν δὲ, ἐπὶ οἱουδή τινος διαιρουμένου, ἢ ξίφει, ἢ ἐγχειριδίῳ, ἢ τοιούτῳ τινί. καὶ τὸ κόπτειν, ἐπὶ σώματος. ἔστι δὲ κόπτειν, καὶ τὸ κρούειν. ὡς ἐν τῷ τίς ἔσθ' ὁ κόψας τὴν θύραν.

Θραυλίζω, ἀποβολῇ τοῦ α, θρυλίζω, τὸ ψιθυρίζω.

Θραυλοτέρας, πῦρ ἐνιέντες ταῖς πέτραις ὄξος ἐπέχεον, θραυλοτέρας ἐκ τούτου ποιήσαντες.

Θραῦλον, κόλουρον, ὕστερον.

Θραῦρον, ῥάγανον, θραυόμενον.

Θραύσει, θραύει, ἀμύσει, ἀπολεῖ.

Θραῦσις, φθορὰ, θάνατος, ἡ παῦσις. Δαβὶδ, καὶ ἐκόπασεν ἡ θραῦσις. καὶ θραῦσις, ἀρρωστία, συντριβὴ, πληγή. θραύμασι, νευροσπάσμασι.

Θραῦσμα, λύπη, πληγὴ, κατάπτωμα γῆς, καταστολὴ, παῦσμα, παῦσις.

Θραυσθῇς, ἐκπέσῃς.

Θραχθεὶς, ταραχθείς.

Θρέειν, θροεῖν.

Θρεκτικώτατος, ὀξύτατος.

Θρεκτοῖσι νόμοις, ἀντὶ τοῦ ταχέσι, Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ. ἔνιοι δὲ κρεκτοῖς.

Θρεκτὸς, δρόμος, ταχέως, ἀπὸ τοῦ θρέξαι, καὶ δραμεῖν.

Θρέμματα παθητικῶς πληθυντικῶς, τὰ βοσκήματα. ὅθεν καὶ πολυθρέμμων ἄνθρωπος, ὁ πολλὰ ζῶα πλουτῶν. θρέμμα κατὰ τοὺς ποιητὰς, ὁ ἀναστραφείς. ὦ θρέμμ' ἀναιδές.

Θρέξαντες, ἐλαφρῶς ἐπελθόντες.

Θρέξας, πηδήσας, δραμών. καὶ θρέξασκον, ἀντὶ τοῦ ἔτρεχον, καὶ ἐχόρευον.

Θρέξασκον, ἀντὶ τοῦ ἔτρεχον. τρέχω, ξω, ἔθρεξα, καὶ Ἰωνικῶς θρέξασκον. καὶ θρέξασκον, κυρία λέξις ἐν ποιήσει. πεζολόγων δὲ ῥήτωρ, ἐνεστῶτα μόνον εἰδὼς τοῦ τρέχειν ἵσταται μέχρις αὐτοῦ μὴ προβαίνων εἰς μέλλοντα. χρώμενος δὲ ἀντ' αὐτοῦ τῷ δραμοῦμαι, καὶ τῇ κινήσει αὐτοῦ.

Θρέξατο, ἐφυλάξατο, ἐσεβάσθη.

Θρέξεις, κυρίως θρέξαι τὸ συμπῆξαι γάλα πρὸς τὸ τυροποιῆσαι λέγεται. παρὰ δὲ Λυκόφρονι, ἀντὶ τοῦ πηδήσεις, ἢ ἕξεις τίθεται.

Θρεομένη, θρηνοῦσα.

Θρεόμενον, ὀλοφυρόμενον.

Θρέπτα, ἤγουν θρεπτήρια, ὅ ἐστι τροφεῖα. Ὅμηρος οὐδὲ τοκεῦσι θρέπτα φίλοις ἀπέδωκε. τοῦτο δὲ ἠθικῶς ὁ Ποιητὴς παρεσημειώσατο, δηλῶν ὀφειλέτας ἡμᾶς εἶναι τοῦ ἀντιτρέφειν τοὺς γονεῖς. τὸ γὰρ ἀποδιδόναι, χρεωστικὴν κυρίως δηλοῖ ἀπότισιν. Ἄλλως.

Θρέπτα, τὰ τροφεῖα, ἐκ τοῦ θρεπτήρια κατὰ συγκοπὴν, ὡς λυτήρια λύτρα, σωτήρια σῶστρα. τοιούτου δέ τινος τύπου καὶ τὸ σκῆπτρον, καὶ τὸ βάκτρον. καὶ τὸ ἐπίσωτρον, καὶ τὸ κάτοπτρον, καὶ τὸ πλῆκτρον, καὶ τὸ βλῆτρον, καὶ τὸ μετὰ τοῦ σ ἀμφίβληστρον, καὶ τὸ ῥόπτρον, οὗ χρῆσις καὶ παρ' Εὐριπίδῃ. ὃ δηλοῖ οὐ μόνον εἶδός τε ξίφους, καὶ πάγης, κατὰ τὸ δίκης ἔπαισεν αὐτὸν ῥόπτρον, ἀλλὰ καὶ θύρας ἐπίσπαστρον. καὶ ῥόπαλον δὲ, ὡς ἀπὸ τοῦ ῥέπειν, ὅθεν καὶ ἡ καλαύροψ.

Θρεπτήρια ποιητικῶς, τὰ διδόμενα τοῖς τροφεῦσι, χάριν τῆς τροφῆς, ἤγουν τὰ τροφεῖα.

Θρεπτική, γεννητική.

Θρεσκὴ, ἁγνὴ πάντα εὐλαβουμένη.

Θρεσκὸς, περιττὸς, δεισιδαίμων.

Θρετὸν, τὸν ἀνδρεῖον, ἢ θρασύ.

Θρεττανελῶ, τῆς λύρας ἀπήχημα, παρὰ τῷ Ἀριστοφάνει. οἱ δὲ λέγοντες τὸν θρεττανελῶ Κύκλωπα, ἤγουν τὸν ᾄδοντα τὸ θρεττανελῶ, καὶ διὰ τοῦτο καὶ τὸ λῶ μεγεθύνοντες, ἀμαθεῖς. τοῦτο δὲ ἐκ Κύκλωπος Φιλοξένου ἐστί. πεποίηκε γὰρ οὗτος τὸν Κύκλωπα κιθαρίζοντα. ἄλλως τε καὶ τὸ μέτρον συστέλλειν θέλει τὴν λῶ συλλαβήν, διασύρει δὲ Ἀριστοφάνης Φιλόξενον τὸν τραγικὸν, ὃς εἰσήγαγε κιθαρίζοντα τὸν Πολύφημον, τὸ δὲ θρεττανελὸ, μέλος καὶ κρουμάτιόν ἐστιν. ἐκ τοῦ Κύκλωπος Φιλοξένου ἐστὶ θρεττανελό. ἡ γὰρ κιθάρα κρουομένη τοιοῦτο μέλος ποιεῖ θρεττανελό. θρεττανελὸ, ἄλλως Φιλόξενον τὸν διθυραμβοποιὸν ἢ τραγῳδιδάσκαλον διασύρει, ὃς ἔγραψε τὸν ἔρωτα τοῦ Κύκλωπος, τὸν ἐπὶ Γαλατείᾳ, εἶτα κιθάρας ἦχον μιμούμενος ἐν τῷ συγγράμματι, τοῦτό φησι, τὸ ῥῆμα θρεττανελό.

Θρέττε, βαρβαριστὶ ἀντὶ τοῦ θάρρει παρὰ τῷ Ἀριστοφάνει κεῖται. παρὰ τὸ θρασὺ καὶ ἀνδρεῖον.

Θρεφθῆναι, τραφῆναι, παγῆναι.

Θρέψας, ἀντὶ τοῦ πήξας λαμβάνεται, ὅθεν καὶ τροφαλὶς τυροῦ. καὶ τρόφι κῦμα. καὶ τροφέον. οὐ τροφέον, τὸ καὶ πηγὸν, ὁ ἄνεμος δηλαδὴ ἀναστήσας, οἱονεὶ ἔπηξε. τριχῶς δέ φασι τὸ θρέψαι, δηλοῖ γὰρ τὸ τροφὴν δοῦναι, καὶ τὸ αὐξῆσαι, καὶ τρίτον τὸ πῆξαι.

Θρέψας, τὸ πήξας. ὡς τὸ, ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος. καὶ τροφαλὶς, ἔνθα τὸ πῆγμα τοῦ γάλακτος, καὶ τεθραμμένον. ἔνθα καὶ τρέφεται τὸ περιπηγνύμενον, σημαίνει καὶ τὸ σύνηθες. τὴν μὲν ἄρα θρέψασα τεκοῦσα. διότι τρέφω θρέψω, καὶ τρέχω θρέξω καὶ ἔχω ἕξω, οὐ συνάρχεται τῷ ἐνεστῶτι; ἐπειδὴ τὸ μὲν ἔχω ψιλοῦται, τὸ δὲ ἕξω δασύνεται. τὰ δὲ λοιπὰ, ὅτι ἰωνικὰ, ἔτρεπε τὸ ψιλὸν τ, εἰς τὸ δασὺ θ. οἱ γὰρ Ἴωνες ἔθος ἔχουσι τὸ παρ' ἡμῖν ψιλούμενον εἰς δασὺ τρέπειν. τὴν γὰρ κύθραν, χύτραν λέγουσιν. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι τρέφω, καὶ θρέχω ὤφειλεν εἶναι, ἵνα συνάρξηται τῷ μέλλοντι, ἀλλ' ἕτερός τις κανὼν ἐναντιοῦται, ὃν δεῖ τὸν φιλόπονον, ἐν τῷ τοῦ Γεωργίου τοῦ Χοιροβοσκοῦ ῥηματικῷ ζητεῖν.

Θρηνεῖ, πενθεῖ, ὀλολύζει, ὀλοφύρεται.

Θρηνακία, ἡ Σικελία.

Θρήϊκες, οἱ Θρᾷκες. καὶ Θρηϊκία.

Θρήκηθεν, ἀπὸ Θράκης. θρήκηθεν ἄκων.

Θρῆνός ἐστιν κατὰ τὴν γραφὴν, λόγος ἀπαγγέλλων τὴν παλαιὰν εὐδαιμονίαν, καὶ τὴν συμβᾶσαν συμφορὰν τίς ἐστι, τίς τε γέγονεν. ὡς ὁ θρηνῶν τὸν ἄρχοντα Τύρου. προσκαλεῖ δὲ τὸ μέλος ἐπὶ συμπάθειαν καὶ οἶκτον τοὺς ἀκούοντας. εἴρηται δὲ θρῆνος παρὰ τὸ θραύειν τὸν νοῦν, θράνος, καὶ θρῆνος. ἢ παρὰ τὸ θέρειν ὅ ἐστι καίειν τὸν νοῦν, ἢ παρὰ τὸ θρηβὴς καὶ ἀνατεταμένη βοὴ εἶναι. διαφέρει δὲ ἐπικηδείου. ὅτι τὸ μὲν ἐπικήδειον, παρ' αὐτὸ τὸ κῆδος ἔτι τοῦ σώματος προκειμένου. ὁ δὲ θρῆνος λέγεται, οὐ περιγραφόμενος χρόνῳ.

Θρῆνος, παρὰ τὸ θραύειν τὸν νοῦν. θράνος καὶ θρῆνος. ἢ παρὰ τὸ θέρειν, ὅ ἐστι καίειν τὸν νοῦν. καὶ θρῆνος, γόος.

Θρῆνυν, τὸ ὑποπόδιον καλοῦσιν. ἐντεῦθεν καὶ τὸν θρόνον ὠνόμασαν, τοῦ θρήσασθαι χάριν. ὅπερ ἐπὶ τοῦ καθέζεσθαι λέγουσιν. καὶ θρῆνυν ἀρσενικῶς λέγει Ὅμηρος, καὶ ἢ τὴν καθέδραν τοῦ κυβερνήτου, ἢ τὴν τῶν κωπηλατῶν, ἣν καὶ αὐτοὶ Ἀττικοὶ θράνον καλοῦσιν. ὅθεν καὶ θρανίτης, κωπηλάτης.

Θρῆνυς, ὁ ὑπὸ τοῖς ποσὶ τῶν καθημένων, κατὰ Ἀθηναίους ἀπὸ τοῦ θρῆσαι γίνεται, ὅ ἐστι καθίσαι, ἔοικε δὲ παρὰ τὴν θρῆνυν γενέσθαι. παρωνύμως καὶ τὸ ναυτικὸν θράνος. καὶ θράνιον, ὅθεν ὁ θρανίτης, καὶ κῶπαι θρανίτιδες, αἱ τῶν θρανιτῶν. γίνεται δὲ θρῆνυς, ἀπὸ τοῦ θρηνῦσαι, ὅ ἐστι καθίσαι. τινὲς ἀπὸ τοῦ θορεῖν ἄνω αὐτοῦ, τοῖς ποσὶ δηλονότι.

Θρηνῶ, καὶ κλαίω, καὶ ὀλοφύρομαί σε τῆς συμφορᾶς, νοεῖται ἕνεκα. καὶ θρηνῶ, γοῶ, κλαίω καὶ κλάω, δακρύω, κωκύω, μινύρομαι, μύρομαι, ὀδύρομαι, οἰμώζω, οἰμώττω, ὀλολύζω, ὀλοφύρομαι, καὶ ἀπολοφύρομαι ταυτά.

Θρηνῳδία, ὁ κλαθμός.

Θρὴς, ἡμίονος.

Θρησκεία, ἡ λατρεία. ἢ ζῆλος, σέβασμα.

Θρησκεύει, θεοσεβεῖ, ὑπηρετεῖ, τοὺς θεοὺς σέβεται, θεραπεύει.

Θρῆσκος, ὁ ἑτερόδοξος, δυσγενής.

Θρησκεία ἐστὶ, δαιμόνων σέβας. εὐσέβεια δὲ προσκύνησις τῆς ἁγίας τριάδος.

Θρήσκω, νοῶ.

Θρησόμενος, θερισόμενος, θερμανθησόμενος.

Θρῆσσα, ἡ θρακικὴ γυνή.

Θρύτανοι, τῆς ἁμάξης ἐφ' ᾧ τὰ ἀγόμενα ἐπιτίθεται.

Θρῖα, τὰ φύλλα τῆς συκῆς. καὶ θρῖοι ἐστὶ σκευάσματι παρ' Ἀθηναίοις, ὃ περιλαμβάνει ὕειον στέαρ καὶ ἐρίφειον καὶ σεμίδαλιν καὶ γάλα, καὶ λεκυθώδους, ὠμὸν, πρὸς τὸ πήγνυσθαι, καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον, ἥδιστον ἀποτελεῖ βρῶμα, οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον, ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ σκευαζόμενος καὶ ἑλισσόμενος ἐν φύλλοις συκῆς καὶ ὀπτώμενος. ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται, καὶ ἄλλα πολλά.

Θριάζειν, τὸ φυλλολογεῖν, ἐνθουσιᾶν, ἐνθουσιάζειν. Εὐριπίδης.

Θριαὶ, αἱ μαντικαὶ ψῆφοι. πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες, οἱονεὶ τριαὶ οὖσαι. τρεῖς γάρ εἰσι τὸν ἀριθμὸν, καὶ θριαὶ νύμφαι.

Θριαλλὶς, ἐσχάρα, λύχνος, ἀκτὶς, καὶ τῶν φυομένων τι, ἐξ οὗ ἐλλύχνια γίνεται, ἢ στυπεῖον ἐκ βοτάνης, ἤγουν τὸ ἐλλύχνιον.

Θρίαμβοι, τρόπαια, θρυασμὸς, φωνή.

Θριαμβεύσας, δημοσιεύσας, πομπεύσας.

Θριαμβεύοντι, φανεροῦντι, κατάδηλον ποιοῦντι.

Θρίαμβος, ἡ ἐπίδειξις, ἡ πομπὴ, καὶ τὸ σεμνύνεσθαι ἔν τισι πόλεσι.

Θριαμβεῦσαι, θορυβῆσαι, βοῆσαι.

Θριάσιαι, πύλαι, οὕτω καλοῦνται Ἀθήνησιν.

Θριάσιον, πεδίον.

Θριάττιον, ἁπαλωτέρα τροφή.

Θριγκίον, περίφραγμα.

Θριγκὸς, ἤγουν ἡ τῶν τοίχων κόμη, ἡ στεφάνη, ἡ στεφάνωσις, παρὰ τὴν τρίχα γίνεται τριχὸς, καὶ ἐπενθέσει τοῦ ν, πρὸς τὸ καλλιφωνίαν, καὶ διαφορὰν τῆς τριχὸς, γίνεται τριγχός. ἀναχθέντων δὲ τῶν ἀφώνων εἰς τὰ ἀντίστοιχα αὐτοῖς, γίνεται θριγκὸς, ἤγουν φραγμὸς ὑπερκείμενος, καὶ οἱονεὶ τριχῶν δίκην κοσμῶν. ἔχει δὲ ἡ λέξις καὶ ἀναδρομὴν γενικῆς τῆς τριχὸς, εἰς εὐθεῖαν τὴν ὁ τριχὸς, ἐξ οὗ ὁ θριγκός.

Θριγκῶσαι, ἢ στεφανῶσαι, καὶ οἷον τρίχα τινὰ ἐπιθεῖναι οἰκοδομήμασιν, ἢ καὶ ἄλλως φραγμοῖς κόσμου, ἢ ἀσφαλείας χάριν. ἀπὸ τῆς τριχὸς γὰρ ὁ θριγκὸς, κατὰ ἀντιστοιχίαν συμφώνων.

Θρίδακα, Ἡρόδοτος ἰάζων. ἡμεῖς δὲ, θριδακίνην, ὡς Ἀττικοὶ, Φρύνιχος.

Θριδακίνη, τὸ μαΐουλιον λέγεται, καὶ θρίδαξ.

Θρίδακας ἔσθειν, σωμάτων δηλοῖ νόσον, τῶν θριδάκων τὰ φύλλα, φυλεῖα λέγονται.

Θρίδαξ, θρίδακος, θριδακίνη, εἶδος μάζης, καὶ λαχάνου, τινὲς ἀπὸ τῶν τριῶν φύλλων. τρίφυλλος γὰρ κατ' ἀρχὰς, ὡς καὶ θρίναξ. τινὲς δὲ ὅτι τρίζει δακνομένη. ἢ ὅτι τῷ θέρει γίνεται, θεριδακίνη τὶς τὸ μαΐουλιον.

Θριήλοοι, ἱερεῖς.

Θριῆσαι, καθίσαι.

Θριμμὸς, γογγισμός.

Θρίνακες, τὰ πτύα, ἐργαλεῖον, ᾧ ἀποχωρίζουσι τῶν σπερμάτων τὰ ἄχυρα. παρέοικε δὲ ἐν ταῖς ἅλωσι πρὸς τὸν ἄνεμον. ἐπαίρουσι δὲ τὰ ἄχυρα, ὑπὲρ τοῦ ἀποπτῆναι, καὶ καθαρθῆναι τὸν πυρὸν, καὶ τὰς κριθὰς, ἢ ἄλλο τι τῶν τοιούτων γεννημάτων.

Θρινακία, ἱερὰ ἡλίῳ, ἡ νῦν Σικελία, τρία ἄκρα ἔχουσα Λιλύβαιον, Πάχυνον, Πελωριάδα, ἐν ᾗ φασι τοὺς ἡλίου βοῦς εἶναι.

Θρινακίαν Τίμαιός φησι καλεῖσθαι τὴν Σικελίαν, ὅτι τρεῖς ἄκρας ἔχει. οἱ δὲ ἱστορικοὶ, θρίνακόν φασιν ἄρξαι τῆς Σικελίας.

Θρίναξ, τὸ τοῦ σίτου πτύον, ὄργανον γεωργικὸν ὀδοντικὸν, καὶ παλινροφόρου χεῖρα θένας θρίνακα. ἢ τρίαινα. καὶ θρίναξ, ἡ Σικελία.

Θρινία,

Digitized by Google

Θριγκία, ἄμπελος ἐν Κρήτῃ.

Θρίξ, τὴν τρίχα δηλοῖ παρὰ τῷ Ἱπποκράτει. Τρίχαν δὲ καλοῦσιν οἱ θύται ἐπειδὰν φανῇ κατὰ τὸ σίμα τοῦ ἥπατος ἐπὶ τοῦ δεξιοῦ λοβοῦ φλέβιον στενὸν ἀθύμελον. καὶ θρὶξ ὁ σκώληξ, ὃς ἐγγίζει τοῖς ξύλοις, ὑπὸ θριπῶν βεβρωμένοις διὰ τὸ αὐτὰ πολυκίνητα εἶναι.

Θριοβόλοι, οἱ ἀπὸ ψήφου μάντεις.

Θρῖον κυρίως, τὸ τῆς συκῆς φύλλον παρὰ τὸ εἰς τρία διεσχισμένον εἶναι, τρίον, καὶ θρῖον. ἀπ᾽ αὐτοῦ δὲ καὶ θρίαμβος. οἱ γὰρ παλαιοὶ, προπομπὴν ποιοῦντες φύλλα συκῆς ἐκρέμων τῇ πομπῇ, καὶ ἔβαινον. ἢ θρῖον, σκεύασμά τι μετὰ ἐγκεφάλου γινόμενον. Ἄλλως.

Θρῖον παρέχους, παρὰ τῷ Ἀριστοφάνει. ἐπεὶ ἐπὶ φύλλων τὰ ταμάχη βαλλόμενα βαστάζονται. σαπροῦ δὲ, ἀντὶ τοῦ παλαιοῦ, καὶ μὴ νέου. σκεύασμα δέ τι παρὰ Ἀθηναίοις καὶ τὸ ἑξῆς ὅρα ἐν τῷ, θρία.

Θρίους λέγει Ἀριστοφάνης, οἱ ἔσχατοι κάλοι οὓς ἐκφόρους καλοῦσιν οἱ ναῦται, οὓς ὅταν ἐνδιδῶσι τὸ πνεῦμα, πρώτους ἐκ πρώρας χαλῶσι.

Θριοῦς, δῆμος φυλῆς οἰνηίδος.

Θριπηδέστατον, βεβρωμένον ὑπὸ θριπῶν, καὶ σκωλήκων, ἐπειδὴ εἰς τρία διέσχισται.

Θριπήδεστον, Ὑπερείδης τὴν Ἑλλάδα εἶπεν, ἀντὶ τοῦ διεφθαρμένην. ἀπὸ τῶν ὑπὸ θριπῶν κατεδηδεσμένων ξύλων.

Θριπόβρωτος, οἱ Λάκωνες σφραγῖσιν ἐχρῶντο, ξύλοις ὑπὸ σητῶν βεβρωμένοις, κατασημαινομένοις ὁπότε βούλοιντο. Φιλοστέφανος δέ φησι πρῶτον Ἡρακλέα χρήσασθαι.

Θρίσκον, τὸν θρῦν.

Θρίσσα, εἶδος ἰχθύος, ι.

Θριώσειν, τὸ κατὰ ψυχὴν ἐξίστασθαι. ἢ τὸ μαίνεσθαι λέγουσιν Ἴωνες.

Θριπτὸν, ἀνδρεῖον, θρασύ. ἔστι δὲ ἀμετάφραστον.

Θριγχοῖς, φραγμοῖς.

Θρίψ, γλίσχρος, φειδωλός.

Θριὼ, λίτος, ἑορτὴ Ἀπόλλωνος. καὶ ἡ σωρὸς τόφος αὐτοῦ.

Θρίαζε, εἰς θριάσιον πεδίον.

Θρόδακα, θρίδακα, κύπριοι.

Θροεῖ, ἀντὶ τοῦ ἐκπλήττει. ποιητικῶς δὲ ἀντὶ τοῦ λέγει.

Θροεῖσθαι, ταραχίζεσθαι.

Θροεῖ, λαλεῖ, ψοφεῖ, θορυβεῖ, ἠχεῖ, ἐκπλήττεται.

Θροέω θροῶ, τὸ λέγω, Εὐριπίδης τίνα θροεῖς αὐδὴν πότνια.

Θροηθέντες, θορυβηθέντες.

Θρόμβος, πεπηγὸς αἷμα, καὶ ὑψηλὸς τόπος.

Θρόνα κυρίως, τὰ ἐκ θηρίων ἢ τὰ ἐκ γῆς ἀναθορόντα ὀνήσιμα φάρμακα. ἐνίοτε κατὰ μετουσίαν θρόνα, ἤγουν φάρμακα λέγει ὁ Ποιητὴς τὰ βεβαμμένα λίνα, ἢ ἔρια. ἐπεὶ καὶ φαρμακῶνες, τὰ βαφεῖα ἐκαλοῦντο. καὶ φαρμάσσειν, τὸ βάπτειν ἐλέγετο παρὰ τοῖς παλαιοῖς, ὥστε ὁμωνυμεῖ τοῖς ἐνεργητικῶς ποιοῦσι θρόνοις, ἤγουν βοτανώδεσι φαρμάκοις, τὰ πάσχοντα τὴν βαφὴν ἔρια. καὶ ὡς εἰπεῖν θρονούμενα ἤτοι φαρμακούμενα. Ἰστέον δὲ, ὅτι κατὰ πολυωνυμίας λόγον, τὰ θρόνα, φάρμακα καὶ κάλλη ἐλέγοντο παρὰ τοῖς παλαιοῖς. φησὶ γοῦν Παυσανίας, κάλλη, ἄνθη, βάμματα. ὅθεν καὶ καλλωπίζειν, τὸ κοσμεῖν, καὶ σαροῦν. ἴσως δὲ ἐκ τούτου καὶ κάλλαια παρὰ τῷ Κωμικῷ, οἱ πώγωνες τῶν ἀλεκτρυόνων. καὶ τὰ ἐν τῇ αὐτῇ δὲ οὐρᾷ πτερὰ κατὰ Αἴλιον Διονύσιον. εἰ δὲ καὶ ὁ καλλαῖνος χιτὼν, ἐντεῦθέν ποθεν παρωνόμασται.

Θρόνιον, πόλις ἐστὶ τῆς Λοκρίδος.

Θρονίτης, πρώτιστος.

Θρόνοι, Δυνάμεις ἅγιαι ἀχώριστοι θεοῦ.

Θρόνον, τὸ βάθρον καὶ τὸν ἱερὸν δίφρον καὶ ἐκπεποικιλμένον.

Θρόνος, ἀνάκλιτος δίφρος.

Θρόνωσις κατάρχη περὶ τοὺς μυουμένους.

Θρόον, σκληρὰν φωνὴν, λαλιάν.

Θρόος, ἐκ τοῦ θρέω ῥήματος, ἤγουν σὺν θορύβῳ βοῶ, ἢ λαλῶ. οἷον πάθεα θρεομένης, καὶ θρεομένη σαυτῇ κακά. ἐκ δὲ τοῦ θρόος, συνῄρηται ὁ θροῦς. ἐξ αὐτοῦ δὲ ὁ ἀθρόος, καὶ ὁ ἄθρους.

Θροῦς, θόρυβος, ἄσημος λαλιὰ, ταραχὴ, φθόγγος, ψόφος, ἡ τεθραυσμένη φωνή.

Θροῶ, τὸ θορυβῶ. θρόησις, ἡ θορύβησις.

Θρυαλλεῖ, λαλεῖ, κυκᾷ.

Θρυαλλίδων, ἀπὸ τοῦ θρύου, τὸ παλαιὸν, τὰ ἐλλύχνια. τὰ γὰρ παχέα ἐλλύχνια πολὺ ἔλαιον δαπανῶσι.

Θρυαλλίζω, ψιθυρίζω.

Θρυαλλὶς, τὸ περικαιόμενον τοῦ ἐλλυχνίου. ἔστι δὲ καὶ βοτάνη πρὸς λύχνον ἁρμόζουσα. ἀπὸ τοῦ θέρω καὶ τοῦ ἄλλω, θεραλλίς. καὶ ὑπερβιβασμῷ καὶ τροπῇ τοῦ ε εἰς υ θρυαλλίς.

Θρυγανᾷ, κνᾶται, ξύει.

Θρυγονῶσα, ἡσύχως κνῶσα.

Θρυέσσα, ἀπὸ τῆς θρύου πόλεως.

Θρυΐνη, ψιάθῳ. καὶ διὰ τὸ γυμνωθέντα αὐτὸν, καὶ θρυΐνῃ περιβληθέντα ψιάθῳ, καὶ θρυλλούμενον.

Θρυλλεῖ, ταράσσει, ὀχλεῖ.

Θρύλλημα, ἄσημοι φωναί.

Θρυλλίζεσθαι, πλεῖόν τι κακὸν δηλοῖ τοῦ δρύπτεσθαι. ὠνοματοπεποίηται δὲ, κατά τε καὶ τὸ θραύεσθαι. ἐξ αὐτοῦ δὲ παρὰ Λυκόφρονι τὸ θρύλλιγμα. ἴσως δὲ προϋπόκειται τοῦ θρυλλίζειν τὸ θρυλλῶ, ἐξ οὗ ὁ κατὰ φήμην καὶ ὄχλον θρύλλος. τούτου δὲ ἡ πλείων χρῆσις, δι᾽ ἑνὸς λ οἶδε προφέρειν.

Θρυλλίχθη δὲ μέτωπον, ἰλιάδος ψ΄. ἐθραύσθη, συνετρίβη, ἐκλάσθη. ἀπὸ τοῦ ἐθραυλίχθη κατὰ ἀποβολὴν τοῦ α, παθητικὸς ἀόριστός ἐστι.

Θρύλλος, ψιθυρισμὸς, ὁμιλία μὴ φανερῶς γινομένη. ἡ γὰρ τῶν βαρβάρων ἐγχείρησις, θρύλλον οὐκ ἐνεποίησεν ἡμῖν.

Θρυλοῦντες, ἀπὸ τοῦ θροῦς καὶ τὸ ἐλῶ, τὸ ἐλαύνω, οἱονεὶ θροῦν ἐλόντες, τουτέστι θόρυβον ἐγείροντες. καὶ ἐπιθρυλοῦντες, ἐνοχλοῦντες, θορυβοῦντες.

Θρύλλω, τὸ δυσφημίζω, ᾄδω, φημίζω. θρυλλοῦσιν, ἀντὶ τοῦ ᾄδουσι· τὸ ᾄδειν, ἐνίοτε τὸ φημίζειν.

Θρυματὶς, ἡ ὑφ᾽ ἡμῶν ἐνθρυματίς.

Θρυμὶς, ἰχθῦς ποιός.

Θρύμματα, κλάσματα ἄρτου.

Θρυμμώδεται, ὑπερηφανεύεται.

Θρύον, εἶδος πόας, ὁ λεγόμενος θρύσις.

Θρύον, πόλις Ἤλιδος. ἡ καὶ θρυόεσσα. τοῦ θρύου τὸ ἐθνικὸν θρυΐτης, τῆς δὲ θρυοέσσης θρυοέντιος, καὶ θρυούντιος. ὁ δὲ τὰ Ἐθνικὰ γράψας φησὶ, θρύον πόλις Μεσσηνίας ἐκ τῶν ἐν αὐτῇ φυομένων, ὁμωνύμως τῷ φυτῷ λεγομένη. ἔτι δὲ καὶ παρωνύμως θρυόεις, καὶ θρυόεσσα. Ἀλφειοῦ δὲ πόρος τὸ θρύον. διότι ὡς ὁ Γεωγράφος φησὶν, ἐνταῦθα πεζῇ περατὸς ὁ Ἀλφειός. ἢ θρύον, εἶδος βοτάνης, καὶ ἐξ αὐτοῦ πόλις.

Θρυόνιον, πόλις Λοκρίδος. ἢ θρόνιον.

Θρύπτακον, κλάσμα ἄρτου. Κρῆτες.

Θρύπτειν, τὸ εἰς λεπτὰ τέμνειν. ὅθεν καὶ τρύφος.

Θρύπτεται, χαυνοῦται, μαλακίζεται, ἢ βλακεύεται, ἢ ἀνακλᾶται.

Θρυπτικῶς, βλακικῶς, χαύνως, μαλακῶς.

Θρύπτομαι, τὸ καλλωπίζομαι, τὸ ἀκκίζομαι, καὶ μαλακίζομαι, καὶ βλακεύομαι, καὶ χαυνοῦμαι, ἢ ἀναγκλῶμαι. ὅθεν τρυφή.

Θρύπτω, τὸ τρίβω, καὶ εἰς λεπτότατα διαιρῶ. θρύπτομαι δὲ, τὸ ἀκκίζομαι.

Θρύσκα, ἄγρια λάχανα.

Θρύψαι, θραῦσαι, κόψαι, κλάσαι. καὶ ἀνακλάσαι, μαλάξαι.

Θρύψις, ἡ βλακεία, ἡ τρυφή.

Θρυψικὸς, τρυφερὸς, μαλακὸς, αἰσχρὸς, χαῦνος.

Θρυψίχρως, τρυφερός.

Θρύψομαι, συντριβήσομαι, ἢ τρυφήσω, καὶ σεμνυνοῦμαι. Ἀριστοφάνης, νὴ δί᾽ ἐγὼ θρύψομαι.

Θρώναξ, κηφὴν. Λάκωνες.

Θρώπτει, σκώπτει.

Θρῶσις, διαίρεσις, σπαρτίου σειρὰ, καὶ ἡ κάτω σχοῖνος τοῦ δικτύου.

Θρώσκειν, οὕτω προφέρουσιν οἱ παλαιοί. θορῶ, ἢ θόρω βαρυτόνως, τὸ πηδῶ. οὗ παράγωγον, θορίσκω, ὡς ῥυΐσκω, τελίσκω. καὶ ἐν ὑπερθέσει, καὶ ἐκτάσει καὶ προσγραφῇ ἀναγκαίᾳ τοῦ ι θρώσκω.

Θρώσκων, κνώδαλα ἐκθορίζων, καὶ σπερματίζων, γεννῶν. Αἰσχύλος ἀμυμώνῃ.

Θρώσκω, τὸ πηδῶ. ἐκθρώσκω, τὸ ἐκπηδῶ. θρώσκειν, πηδᾷν.

Θρωσμὸς, τόπος ἐστὶν ὑψηλὸς ἐν τῷ πεδίῳ πρὸ τῆς Ἰλίου. ὃ ὀνομαστικῶς καλεῖται θρωσμὸς, ὡς καὶ ἕτερος Καλλικολώνη, ᾧ στρατοπέδῳ ἐχρῶντο οἱ Τρῶες, ὁπότε τῆς πόλεως ἐξωτάσσοιντο.

Θρώσσει, γεννᾷ, φοβεῖται.

Θρῶσσον, ἄξενον.

ΤΟ Θ. ΜΕΤΑ ΤΟΥ Υ.

Θύα, ἀρτύματα, Κύπριοι. ἔνιοι τὰ ἀρώματα, Καλλίμαχος. Εὔπολις τὰ πέμματα. λέγεται δὲ καὶ τὰ θυόμενα τοῖν θεοῖν.

Θύα, ἐφ᾽ ἧς τὰ θύα, ὅ ἐστι τὰ θυμιάματα, καταχρηστικῶς δὲ, καὶ αἱ λοιπαὶ θύαι.

Θυάδες, ὁρμητικοὶ, βάκχαι.

Θυάζω, ἐναγίζω, ἔρδω, ὀργιάζω, θύω.

Θυάματα, θυμιάματα.

Θυαλοῦντο, θυτοῖς διαλαβεῖν, θυμιᾶσαι.

Θύαν, κάπραν ἐπὶ ὑός.

Θύανοι, τὴν θυάνην. πέμμα δέ ἐστιν, ἀντὶ βοός.

Θυάπαξ, ἱερόσυλος.

Θύας, πηδήσας.

Θυὰς, βάκχη. παρὰ τὸ θύω τὸ ὁρμῶ. αἱ βάκχαι, γυναῖκες ἦσαν ἱεραὶ πρόσπολοι Διονύσου, αἵτινες περὶ τὰ ὄρη σὺν αὐτῷ ἀναστρεφόμεναι διεπόνουν οἰκείαις χερσὶν, λέοντας καὶ ἕτερα θηρία, ὠμὰ ταῦτα ἤσθιον, καὶ νάρθηξι τὴν γῆν καὶ τὰς πέτρας παίουσαι, ὁπότε διψῶεν, γάλα καὶ μέλι καὶ οἶνον ἐποίουν ἀναβλύειν, δράκοντας δὲ περὶ τὰς κόμας εἶχον ἐπηρτημένους.

Θυάσιν, ὠμοβόροις μαινάσιν. ἔνθεν καὶ τὴν Σεμέλην, θυώνην καλοῦσιν. ἐπειδὴ Αἰσχύλος ἔγκυον αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην. ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς, ἐνθεαζομένας. ἄλλως. μαινάσι, βάκχαις. καὶ ὡς Σεμέλην θυώνην παρὰ τὸ θύειν καὶ ὁρμᾶν, μαινομένας. τὸ δὲ ὠμοβόροις, ὅτι πολλάκις τῇ μανίᾳ καταχεθεῖσαι, καὶ ὠμοσπάρακτα ἐσθίουσιν. ὡς καὶ Εὐριπίδης ἐν βάκχαις φησίν.

Θυάτειρα, ὄνομα τόπου. καὶ θυατειρηνός.

Θύγατρα, τὴν θυγατέρα, ἀναβιβάζει δὲ τὸν τόνον διὰ τὸ πάθος, ὡς τὸ ἕταρος, καὶ ἔτι βλήμενος, καὶ φθίμενος, τὸ μὲν ἀντὶ τοῦ βεβλημένος, τὸ δὲ ἀντὶ τοῦ ἐφθιμένος.

Θυγατριδῆ, ἡ τῆς θυγατρὸς θυγάτηρ. καὶ θυγατριδοῦς, ὁ τῆς θυγατρὸς υἱὸς, ὥσπερ υἱωνὸς, ὁ τοῦ υἱοῦ υἱός. καὶ υἱωνὴ, ἡ τοῦ υἱοῦ θυγάτηρ.

Θυγάτηρ, παρὰ τὸ θύειν καὶ ὁρμᾶν κατὰ γαστρός. λέγουσι γὰρ ταχέως κινεῖσθαι τὰ θήλεα ἐν τῇ γαστρὶ ὄντα.

Θύει, μαίνεται, ἀπάρχεται, ἐνθουσιᾷ.

Θυεία, ἡ ἴγδις, ἀγγεῖον εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν, καὶ λύομεν, ὡς εὕρηται παρὰ τῷ Ἀριστοφάνει.

Θυείδιον, ἡ τριβαία.

Θύειν, ἐπὶ τῶν σφαττομένων ἱερίων, σφάττεσθαι δὲ, ἐπὶ τοῦ τυχόντος ζώου. θύω, τὸ ἁπλῶς θυσίαν ποιῶ. θύω τῷ θεῷ μεταβατικῶς δοτικῇ. καὶ ἔτι θύω τῷ θεῷ βοῦν καὶ θυσίαν, θύω τῷ θεῷ ἑκατόμβην.

Θυέεσσιν, Ὅμηρος ἔρχεο σὺν θυέεσσιν, ἀντὶ τοῦ σὺν θυμιάμασι. καὶ ἔστιν ἡ εὐθεῖα τὸ θύος. ἐκ τούτων δὲ παρήχθη ἡ τῶν ζώων θυσία, κληθεῖσα καὶ αὐτὴ οὕτω, διὰ τὴν ἀναθυμιωμένην κνίσσαν.

Θύελλα, ἀνέμου συστροφή. παρὰ τὸ θύω τὸ ὁρμῶ. ἀφ᾽ οὗ καὶ θαύω παράγωγον, γίνεται θύελλα. ὡς αὔω τὸ πνέω, ἄελλα.

Θύελλαι, αἱ χειμεριναὶ καταιγίδες, καὶ πνοαί. ὅθεν Ὅμηρος ἐν συνωνυμίᾳ θυέλλας τε καὶ ἁρπυίας, ἀντὶ τοῦ καταιγιώδεις πνοὰς, ἀπὸ τοῦ οἷον ἁρπάζειν παραγώγως. ὡς δ᾽ ὅτε πανδαρέου κούρας ἀνέλοντο θύελλαι, εἶτα τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρείψαντο, ὡς τῶν αὐτῶν οὐσῶν. τὸ μὲν ἀπὸ τοῦ ἁρπάζειν, τὸ δὲ ἀπὸ τοῦ θύειν, ὅ ἐστι μετὰ βίας ἄγειν.

Θύεστον ποτὸν, τὸ ἀπὸ ἀρωμάτων, ὡς Ἡρόδοτος.

Θύεται, αἴθεται, εὐφραίνεται, ἱεροσκοπεῖται.

Digitized by Google

Θύη, θύματα * ἤτοι θυμιάματα, ἀρώματα.

Θυηέντων, εὐόδμων.

Θυηλαὶ, αἱ ἀπαρχαὶ, καὶ θυσίαι. κυρίως δὲ οἱ θύλακοι, εἰς οὓς τὰ θυμιάματα ἐμβάλλεται.

Θυηκόοι, ἱερεῖς.

Θυήματα, τὰ ἐπιφερόμενα ἄλφιτα εἰς θυσίαν. * καὶ τὰ ἀρώματα.

Θυΐνος, θεῖαινος γάρ φασι κατὰ διαίρεσιν ὁ ἐπιθανάτιος αἶνος.

Θυηπόλος, ὁ ἱερεὺς, ὁ περὶ τὰς θυσίας πολῶν, καὶ ἀναστρεφόμενος.

Θυηπολοῦσι, περιπολοῦσι, διὰ θυσιῶν ὑπισχνούμενοι τὸν θεὸν ἐξιλάσκεσθαι.

Θυΐδιον, * ἡ ἴγδη, ἡ τριβαία.

Θυιόεν, πλῆρες.

Θηϊόεντες, ἀνθοῦντες.

Θυΐος, Ἀπόλλων ἐν Μιλήτῳ.

Θύκος, κυρίως εἰς ὃν ἐμβάλλομεν τὰ θυμιάματα.

Θυλακίζειν, τὸ ἀπαιτεῖν τι, ἑπόμενον μετὰ θυλάκου. φροντιστικοί.

Θυλάκιον δέ ἐστι, δερμάτινον σακκίον, ἢ βαλλάντιον.

Θύλακες, καὶ σφαῖρες, καὶ ὑπεράλματα, γυμνασίων εἴδη.

Θύλακος, ἡ ἀρτοθήκη. Ἀριστοφάνης, ὡς ἄλφιτ' οὐκ ἔστιν ἐν τῷ θυλάκῳ.

Θυλακοτρὼξ, μῦς. οἱ δὲ ἀκρίς.

Θυλακοφόροι, οἱ μεταιτεῖς, θυλάκοις περιφέροντες τὰ ἀρώματα, καὶ πήρας. ὅθεν ἐκαλοῦντο καὶ πυροφόροι.

Θυλήματα, πέμματα, ἀπαρχάς. ἄλφιτα, ἃ ἔμισγον οἴνῳ καὶ ἐλαίῳ εἰς θυσίαν ἀναφέροντες.

Θύλλα, κλάδους, ἢ φύλλα. ἢ ἑορτὴ Ἀφροδίτης.

Θυλλίδες, αἱ θύλαβοι.

Θύλλης, θύλακος, γωρυτὸς, ἔλυτρον.

Θύλον, ὀλίθριον, ὤριμον.

Θῦμα, ἱερεῖον, σφάγιον, ὁλοκαύτωμα.

Θυμαίνω, ὀργίζομαι. Ἀριστοφάνης, μηδαμῶς θύμαιν' ἐμοί.

Θυμάλαι, αἱ βωμοί. καὶ τὰ ἄλφιτα τὰ ἐπιθυόμενα.

Θυμαλγέα, τὰ τὴν ψυχὴν λυποῦντα.

Θυμαλέων, ἀθυμῶν.

Θυμαλγέα μῦθον ἄκουσον. ὅμοιόν ἐστι τῷ θυμοδακὴς μῦθος.

Θύλαξ, προσκεφάλαιον.

Θυμαλῶπες, οἱ ἀπὸ τῆς θυμιάσεως σπινθῆρες.

Θυμάλωψ παρὰ τῷ Ἀριστοφάνει, ὁ διακεκαυμένος, ὁ ἀπολελειμμένος τῆς θύψεως ἄνθραξ, ὁ ἡμίκαυστος. ξύλον καὲν, σπινθήρ. ἢ διακεκαυμένος ἄνθραξ.

Θυμαμόργας, ἡ νόσος. ἐρεβιεῖς.

Θυμαρέα ἄλοχον λέγει Ὅμηρος, τὴν ἐκ θυμοῦ φιλουμένην, ὡς ταυτὸν ὂν εἰπεῖν θυμαρέα, ἤγουν ἀρέσκουσαν τῷ θυμῷ. καὶ γὰρ φιλιώσεως σημαντικὴ λέξις, καὶ τὸ ἀρέσαι, ὃ καὶ ἀρέσασθαι λέγεται. ὅθεν καὶ θυμήρης σύγκειται. ζητητέον δὲ περὶ τοῦ τόνου μή ποτε ὀφείλει προπαροξύνεσθαι τὸ θυμαρέα, ἐπεὶ γὰρ εὕρηται τὸ θυμῆρες βαρύτονον. ὡς τὸ θυμῆρες κεράσασα. βαρύνοιτο ἀνίσως καὶ ὁ θυμήρης ἀναλόγως, καὶ ἡ θυμήρης. ἀκολούθως δὲ καὶ ἡ θυμηρής.

Θυμαρὲς, εὐάρεστον, εὔκρατον.

Θυμαρμένον, καταθύμιον, ἡδύ.

Θύματα καὶ θυμιάματα, ἀπαρχὰς, θυσίας. Ἀριστοφάνης, καὶ θύματα, σφάγια, ἱερεῖα, ὄργια.

Θυμάτιον, τὸ μικρὸν θῦμα καὶ εὐτελές.

Θύμβρα, τόπος τῆς Ἰλίου ἀπὸ θύμβρης τινός. ἢ θύμβρις ὄνομα τόπου. καὶ πεδίον τι, θύμβρον λεγόμενον. καὶ ποταμὸν, οὕτως ὀνομασθέντα, τῆς ἀρχαίας πόλεως ἀπέχοντα σταδίους δέκα, ὅπου καὶ ἱερὸν Ἀπόλλωνος θυμβραίου.

Θυμβραῖος, ἐπίθετον Ἀπόλλωνος.

Θυμβρεπιδείπνου γαστρός. θύμβρα εἶδος λαχάνου, ἀφ' οὗ δῆλον ὅτι λάχανα μόνον ἤσθιον εὐτελῆ. καὶ θύμβρα, τόπος ἐστὶ τῆς Τροίας, ἔνθα καὶ θυμβραίου Ἀπόλλωνος ἱερὸν ἐπιφανές.

Θύμβρης. Ὅμηρος, πρὸς θύμβρης δὲ ἔλαχον Λύκιοι, τὴν ὁ τὰ Ἐθνικὰ συγγράψας, πόλιν Τρωάδος φησὶ, κτισθεῖσαν ὑπὸ Δαρδάνου ἐπὶ Θύμβρῳ τινὶ φίλῳ αὐτοῦ, εὐθεῖα δὲ ταύτης ἡ θύμβρα. λέγει δὲ ὁ αὐτὸς καὶ ποταμὸν Θύμβριν, ἀφ' οὗ Ἀπόλλωνος θυμβραίου ἱερὸν, ἐν ᾧ ἐτοξεύθη ὁ Ἀχιλλεύς. λέγεται δέ φησι καὶ διὰ τοῦ ζ'. ζυμβραῖος. ἢ κατὰ Ἑλλάνικον, δύμβριος διὰ τοῦ δ'. ὅτι δὲ καὶ Ῥώμης ποταμὸς Θύμβρις, ὁ καὶ Τίβερις, λέγει καὶ ὁ περιηγητής. ἰστέον δὲ, ὅτι τὸ πρὸς θύμβρης ἐλλειπτικῶς ἐρρέθη. ἵνα λέγῃ ὅτι πρὸς τὸ μέρος τῆς ἁλὸς καὶ πρὸς τὸ μέρος τῆς θύμβρης. καὶ ἐγγὺς ἁλὸς, καὶ ἐγγὺς θύμβρης.

Θύμβρον, λάχανον, ὅπερ ἐστὶ δριμὺ καὶ πικρόν.

Θυμβροφάγον, ἤτοι ἀγροῖκον καὶ ἐλευθέριον, παρόσον οἱ ἐν ἀγρῷ διατρίβοντες, ἀφελέστεροι καὶ ἐπιεικέστεροι. τὸ δὲ θύμβρον, ἐν ἀγρῷ γίνεται, ἔστι δὲ καὶ τοῦτο ἄγριον φυτὸν, ἢ πικρὸν καὶ δριμὺ κατὰ τῶν ἐχθρῶν. δριμὺ γὰρ τὸ φυτόν. οἱ δὲ, ἀντὶ τοῦ δριμὺ καὶ ἱλαρόν. τινὲς δὲ, τῷ θυμῷ παραπλήσιοι. ἢ ἁπαλὸν ἡδὺ, κωμικῶς δὲ ἔπαιξεν Ἀριστοφάνης.

Θυμέλη, ὁ βωμός.

Θυμέλη, ἡ τοῦ θεάτρου. μέχρι νῦν ἀπὸ τῆς τραπέζης ὠνόμασται, διὰ τὸ ἐπ' αὐτῆς τὰ θύη μερίζεσθαι, τουτέστι τὰ θυόμενα ἱερεῖα. τράπεζα ἦν, ἐφ' ἧς ἑστῶτες ἐν τοῖς ἀγροῖς ᾖδον, μήπω τάξιν λαβούσης τραγῳδίας.

Θυμελικοὶ, αἱ ἐν ὑποκρίσει τὴν τέχνην ἐπιδεικνύμενοι.

Θυμηγερέων, συνθετόν ἐστι τοῦ ἐς φρένα θυμὸς ἀγέρθη. δηλοῖ δὲ τὸ συνάγων καὶ ἀνακτώμενος ψυχήν.

Θυμηδὲς ἔχει, τὸ ἐναντίον θυμαλγές.

Θυμηδέστερον, ἡδύτερον.

Θυμηδία, τέρψις, χαρὰ, τρυφὴ, εὐφρασία.

Θυμηδίας, χολωθείς.

Θυμῆρες, ἐκ τοῦ θυμὸς καὶ τοῦ ἔρα ἔοικε συγκεῖσθαι.

Θυμῆρες, καταθύμιον, καὶ θυμηρέστερον, τὸ ἡδύτερον.

Θυμήρης, ἡδύς. ἀρέσκων.

Θυμήτιον, τὸ μικρὸν θῦμα καὶ εὐτελές.

* Θύμια καὶ θύμοι, σαρκώδεις ὑπεροχαὶ, ποτὲ μὲν ἐπὶ τῆς βαλάνου ποτὲ δὲ ἐπὶ τῆς πόσθης συνιστάμεναι, ποτὲ μὲν ἐρυθραὶ ποτὲ δὲ λευκαὶ, ἐμφερεῖς τοῖς τοῦ θύμου κορύμβοις.

Θυμία, προθυμοῦ, ὀργίζου.

Θυμίαμα, παρὰ τὸ θύω θυμιῶ. ἢ παρὰ τὸ θύον, ὅπερ ἐστὶν εἶδος πόας μυρεψικῆς. θυμίαμα δὲ, θυμοῦ ἴαμα. ἢ ἀπὸ τοῦ Τυφωέως καπνοῦ. ἀφ' οὗ καὶ θῦμα, παρὰ τὸ θύω. ἢ ὅτι διὰ τῶν θυμάτων καιομένων, ἐθυμίαζον οἱ παλαιοί.

Θυμιατήριόν ἐστι, νοῦς καθαρὸς κατὰ τὸν καιρὸν τῆς προσευχῆς μὴ ἐφαπτόμενος πράγματος αἰσθητοῦ.

Θυμιδέα, θυμῷ ἀνδάνουσα.

Θυμικὸν, ὀργίλον.

Θυμοιτάδες, δῆμος φυλῆς ἱπποθοωντίδος τῆς ἀττικῆς.

Θυμιτίδων ἁλῶν οἷον μετὰ θύμου τετριμμένων.

Θυμιχθεὶς, πικρανθείς.

Θυμιώμενος, ἀρωματιζόμενος.

Θυμένον, τὸ ὑπὸ πυρὸς βεβλημένον καὶ κεκαυμένον, καὶ παρὰ γεωργοῖς αἱ ὑποκεκαυμέναι ἄμπελοι ὑπὸ πάχνης ἐντεθυμέναι καλοῦνται.

Θυμοβόρος, ἡ τὴν ψυχὴν διαφθείρουσα.

Θυμοβαρὴς, τὴν ψυχὴν ἀλγυνομένη.

Θυμοειδὴς, ὀργίλος, θυμοειδής.

Θυμοδακὴς, ἀψικάρδιος, λυπῶν τὴν ψυχήν.

Θυμοίτης, πλεονασμὸν ἔχει τοῦ ἰ. ἐκ τοῦ θυμοῦ. ὡς ἐκ τοῦ δάμος ἤτοι δῆμος, ὁ δαμοίτης παρὰ Θεοκρίτῳ. καὶ ἐκ τοῦ μένος, ὁ μενοίτιος.

Θυμολέοντα, γενναῖον. ἤτοι ἀνδρεῖον κατὰ τοὺς λέοντας. ἢ λεοντόθυμον.

Θυμομαχοῦντες, ἀλγυνόμενοι τὴν ψυχήν.

Θυμομάντις, ὁ τὸ ἀποβησόμενον συλλογιζόμενος καὶ προγινώσκων, ψυχομάντις καὶ συνετῶς προορῶν τὰ ἀποβησόμενα.

Θύμον, ἐστὶν εἶδος βοτάνης εὐτελοῦς, οὐδετέρως δὲ τὸ θύμον λέγεται, καὶ βραχυπαραλήκτως καὶ βαρυτόνως, ἐκτεινόμενον καὶ ὀξυνόμενον, καὶ ἀρσενικῶς κλινόμενον δηλοῖ τὴν ψυχήν.

Θυμὸν ὀξίνην λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ θερμαίαν ὀργήν. ἄλγος ἱκάνει θυμὸν ἐμόν. ἐντεῦθεν δὲ σύγκειται τὸ θυμαλγὲς, οὗ ἐναντίον ἡ θυμηδία.

Θυμὸν ἀχεύων, τὴν ψυχὴν λυπούμενος.

Θυμοῤῥαίστης, θυμοφθόρος. ῥαῖσαι, τὸ φθεῖραι καὶ ῥῆξαι.

Θυμὸς ὀργῆς διαφέρει. ὁ μὲν γὰρ θυμὸς, ὀξὺς καὶ ὀλιγοχρόνιος. ἡ δὲ ὀργὴ, βραδυτέρα μὲν, μονιμωτέρα δέ. θυμὸς ἡ ψυχὴ μακρὸν θυ, καὶ τὰ ἀπ' αὐτοῦ γινόμενα, οἷον ἀθυμῶ, λυποθυμῶ, προθυμῶ, μεγάθυμος. θύμος δὲ ἀγριοκρόμμυον βραχύ.

Θυμός ἐστιν, οἷον ἔξαψίς τις καὶ ἀναθυμίασις ὀξεῖα τοῦ πάθους. ὀργὴ δὲ, ἔμμονος λύπη. καὶ ὀργὴ διαρκὴς πρὸς τὴν τῶν ἠδικηκότων ἀντίδοσιν. θυμός ἐστιν, ἀθρόως ζέσις φρενός. ὀργὴ δὲ, θυμὸς ἐμμένων. θυμός ἐστι, ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος. θυμός ἐστιν, ὁρμὴ τοῦ κακῶσαι τὸν παροξύναντα. θυμός ἐστι, τὸ οἱονεὶ θυμίαμα προτυφόμενον τῆς ὀργῆς. τὸν θυμὸν διαιροῦσιν εἰς τρία, εἰς ὀργὴν, ἣν τινες ἐκάλεσαν χολὴν καὶ χόλον, καὶ εἰς μῆνιν, καὶ εἰς κότον. καὶ τὴν μὲν ὀργὴν, εἶναί φασιν θυμὸν πρὸς ἐνέργειαν, ἀρχὴν καὶ κίνησιν ἔχοντα, ἢ θυμὸν ἐνεργούμενον. τὴν δὲ χολὴν, τὴν διὰ λυ ἄμυναν τοῦ λυπήσαντος. τὸν δὲ χόλον, τὴν δι' ἑαυτοῦ τοῦ λυπηθέντος ἐπεξέλευσιν εἰς τὸν λυπήσαντα. τὴν δὲ μῆνιν, θυμὸν εἰς παλαίωσιν. εἴρηται δὲ παρὰ τὸ μένειν καὶ τῇ μνήμῃ παρακατέχεσθαι. τὸν δὲ κότον, θυμὸν ἐπιτηροῦντα καιρὸν εἰς τιμωρίαν, εἴρηται δὲ καὶ οὗτος παρὰ τὸ κεῖσθαι.

Θυμὸς μέγας ἐστὶ βασιλέως. ἐντεῦθεν λαβόντες οἱ ὕστερον σοφοὶ ἀφορμὴν, μεγαθύμους τοὺς τοιούτους ἀνθρώπους φασὶν, ἄλλοτι ὄντας παρὰ τοὺς ἐν τῷ Ποιητῇ μεγαθύμους. σημείωσαι δὲ, ὅτι ὥσπερ καὶ ἐπὶ ἄλλων οὕτω καὶ ἐπὶ τοῦ μέγας θυμὸς καὶ μεγάθυμος, πολύ ἐστι διαφορὰ, τοῦ τε διαλελυμένου καὶ τοῦ συνθέτου. μέγας γὰρ θυμὸς, τὸ πολὺ τοῦ χόλου. μεγάθυμος δὲ, ὁ μεγαλόφρων καὶ μεγαλόψυχος οὕτω παρ' Ἡσιόδῳ διαφέρει ὁ χειροδίκης, καὶ ὁ ἐν χερσὶν ἔχων τὴν δίκην. χειροδίκης μὲν γὰρ συνθέτως, ὁ βίαιος. καὶ οὐκ ἐν τοῖς νόμοις, ἀλλ' ἐν χερσὶ ταῖς ἑαυτοῦ κείμενον ἔχων τὸ δίκαιον. δίκην δὲ ἔχων ἐν χερσὶν, ὁ δίκαιος καὶ ἀεὶ πρὸ χειρῶν φέρων τὸ δίκαιον. οὕτω καὶ θερμὸν ἔργον, διαλελυμένως τὸ ἀναιδὲς καὶ θρασύ. θερμουργὸς δὲ ἀνὴρ, ἐν συνθέσει, κατὰ λόγον ἐπαινετὸν ὁ θαρσαλέος, καὶ μὴ ψυχρὸς εἰς ἔργον.

Θυμὸς, παρὰ τὸ θύειν τὸ αἷμα, θυσμὸς καὶ θυμός.

Θυμός ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος, δι' ὄρεξιν ἀντιλυπήσεως κινούμενος. ἢ ὀργὴ ἐναρχομένη. κότος δὲ, ὀργὴ ἐπιτηροῦσα. μῆνις δὲ, ὀργὴ εἰς παλαίωσιν ἀποτιθεμένη. χόλος δὲ, ὀργὴ διοιδοῦσα. ὀργὴ δὲ, ἐπιθυμία τιμωρίας τοῦ ἠδικηκέναι δοκοῦντος, ἢ λύπη μεθ' ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι.

Θύμος, βοτάνη εὐτελής.

Θυμὸς, παρὰ τῷ Ποιητῇ. τοῦτο δὲ τὸ ὄνομα σημαίνει ε'. τὴν ὀργὴν, ὡς τὸ θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων. τὴν ψυχὴν, ὡς ὅταν εἴπῃ μελινδέα θυμὸν ἀπηύρα. τὴν ἐπιθυμίαν. ὡς τὸ ᾧ θυμῷ εἴξας μίγη φιλότητι καὶ εὐνῇ. τὸν ἐπιλογισμὸν, ἕτερος δέ με θυμὸς ἀνῆκε. καὶ τὴν ὁμόνοιαν, ὡς ἐπὶ τοῦ ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ.

Θυμόσοφοι λέγονται, ὅσοι ἀφ' ἑαυτῶν εὐφυεῖς εἰσιν.

Θυμόσοφος, ἐκ φύσεως ἔχει σοφίαν, ἐκ τοῦ ἰδίου θυμοῦ σοφὸς οὐκ ἐκ μαθήσεως.

Θυμοῦ καὶ ψυχῆς παρ' Ὁμήρῳ ἐκ παραλλήλου δηλοῖ τὸ αὐτό.

Θυμοῦ ἴδιον, ὁρμὴ ψυχῆς ἐν μελέτῃ κακώσεως, παρὰ τοῦ παροξύναντος.

Θυμοῦμαι, ἀντὶ τοῦ ὀργίζομαι, εἰ καὶ παθητικῶς γράφεται, ἀλλὰ ἐνεργείας σημασίαν παρίστα. θυμαίνειν δὲ κατ' Ἀττικοὺς οὐ γράφεται, πλὴν καὶ αὐτὸ εὕρηται παρ' Ἀριστοφάνει. εἶτα θυμαίνειν ἔφασκεν, ὅμως δ' οὖν ἐν χρήσει οὐκ ἔστι.

Θύμου,

Digitized by Google

Θύμου, τὸ ἀπὸ θύμου. ἔνθεν δὲ ἐστι θρακικὸν παρὰ τῷ Ἱπποκράτει.

Θυμοφθόρα, τὰ φθαρτικὰ λογισμῶν κατὰ τοὺς παλαιοὺς καὶ ἀναιρετικά.

Θυμοφθόρα, τὰ τὴν ψυχὴν φθείροντα.

Θυμῶ, νοῶ. Ποιητὴς, ἀφυῆ καὶ θυμόσοφον εἶναι τὸν Τηλέμαχον, οἴκοθεν γὰρ καὶ οὐκ ἀπὸ διδασκάλου φρονεῖ, καὶ διὸ ἐρρέθη τοῦ πρὸς αὐτὸν, τηλέμαχε ἢ μάλασε διδάσκουσι θεοὶ αὐτοί.

Θυννάδες, συμμάχη παρέχω.

Θυνεῖ, ὅρμα, ἄγαγε.

Θυνάσαι, τέμνειν, κόπτειν, ἀφειδῶς ἀπολαῦσαι, ἐνθουσιάσαι.

Θυνεῖ, ὠθεῖται, φέρεται, τρέχει, χωρεῖ, ὁρμᾷ.

Θυνίδα γαῖαν, λέγει ὁ Ἀπολλώνιος χώραν περὶ τὸν βόσπορον, ἣν κατῴκει Φινεὺς, ὡς εἶναι μέρος τῆς Θρᾴκης, ὃ καλεῖται Θυνίς.

Θυνόν κείροντες, Ἰλιάδος β΄ ὥρμων διαχωρίζοντες τὸν λαόν. ὁ παρατατικός ἐστιν ἔθυνον ἀπὸ τοῦ θύνω.

Θυννάζοντες, κεντοῦντες, ὡς τοὺς θύννους τοῖς τριόδουσι, μεταφορικῶς Ἀριστοφάνης θυννάζοντες εἰς τοὺς θυλάκους. θυλάκους φασὶν εἶναι τὰς περὶ τοῖς σκέλεσι καὶ τοῖς μηροῖς περσικὰς, εἴδη βρακίων παρὰ Πέρσαις. θυννάζοντες εἰς τοὺς θυλάκους, ἀντὶ τοῦ εἰσπηδῶντες εἰς τὰς ἀναξυρίδας, τοῦτο πρὸς τὴν ὁμοιότητα τῶν σφηκῶν.

Θυννεῖα, θερμὰ καταφαγὼν, κἀτ᾽ ἐπισπῶν ἄκρατον οἴνου χοᾶ, κασαλβάσω τοὺς ἐν πύλῳ στρατηγούς.

Θυννίζω καὶ ἀποθυννίζω, τὸ ἀποπέμπομαι καὶ παραλογίζομαι.

Θυννίον, τὸν ὄρκινον λέγουσι. τὴν δὲ πηλαμίδα, θυννίδα. καὶ θυννίον, ἰσπάδιον, ἴβεχον.

Θυνὸς, πόλεμος, ὁρμὴ, δρόμος.

Θυνῶν, ὁρμῶν.

Θυοδόκα, τὰ δεχόμενα τὰ θυμιάματα. καὶ θυοδόκα σκεύη ἐπίφερον.

Θυόεις, χωρίον ἐν Εὐβοίᾳ.

Θυόεις, ὁ τεθυμιασμένος οἶκος.

Θυόεις, παρὰ τὸ θύος ἢ τὸ θύειν. ὅθεν καὶ θυοσκόοι φασὶν οἱ ἱεροσκόποι, ὅ ἐστιν οἱ δι᾽ ἐμπύρων τὸ μέλλον σημαίνοντες. καὶ θυηκόοι, ἱερεῖς ὑπὲρ ἄλλων θύοντες. ἐκ δὲ τοῦ θύειν καὶ θυηλαὶ, αἱ διὰ θυσιῶν φασὶ μαντεῖαι, αἱ πελάνους τινές φασιν, ἢ καὶ ὀξυτόνως πελανούς.

Θυόεν νέφος, καὶ θυόεις βωμὸς, οὐκ ἐκ ὁμοίας παραγωγῆς.

Θυόεν, εὐῶδες. καὶ λυπηραὶ θυόεν ἆσμα πνέουσι κόμαι.

Θυοκόχθης, μάντης.

Θύον, τὸ ἐπιθυόμενον εἰς κάθαρσιν καὶ ἀβλαβεῖς ποιοῦν, ἔνθα τὸ πάσσεδ᾽ ἁλὸς θείοιο. καὶ θείου καιομένου φησὶν ἐπὶ τοῦ κεραυνοῦ, διὰ τὸ αὐτοῦ ἀπόζειν τὸν οὐρανόν. πῦρ τὸ τοῦ κεραυνοῦ. θεῖα δὲ τὰ οὐράνια. ὁ δὲ Διδαίμων ἐν τῇ ὀρθογραφίᾳ λέγει καυστικὸν εἶναι, τοῦ θεὸς θεῖος ἐκβαλὼν τὸ δεύτερον ε, ἐποίησε τὸ θεῖος. καὶ ὁ πατράδελφος, θεῖος, οὕτω σεπτικὸς ὢν, ὅτι καὶ οἱ γονεῖς θεοὶ ἡμῖν εἰσι.

Θύον δένδρον, παρ᾽ Ὁμήρῳ καὶ τὴν κέδρον, καὶ τὸ θύον, καὶ τὴν κυπάρισσον αὐτὴν εἶναι. ἱστορία ἐστὶ περὶ φυτῶν, ἐκ τοῦ θύου παράγεται θυόεν.

Θῦος, ἱερὸν θῦμα.

Θυοσκόοι, κατὰ τοὺς παλαιοὺς εἰσιν οἱ διὰ τῶν ἐπιθυμιωμένων μαντευόμενοι. οἱ καὶ ἐμπυροσκόποι καὶ λιβανομάντεις. ἱερεῖς δὲ, οἱ διὰ σπλάγχνων, θύη μὲν γὰρ φασι τὰ θυμιάματα, ἱερὰ γὰρ τὰ σπλάγχνα. μάντις δὲ γενικὸν ὄνομα.

Θυοσκόος ἐστὶν, ὁ διὰ τοῦ θυμιᾶν ἢ ἱερεύειν μαντευόμενος. θύος μὲν γὰρ τὸ θῦμα, ἤγουν ἱερεῖον, ἢ τὸ θυμίαμα. κοεῖν τὸ νοεῖν, ὅθεν μακκοᾶν τὸ μὴ νοεῖν, ἀλλ᾽ ἀνοηταίνειν. θυοσκόος οὖν, ὁ διὰ θυῶν κοῶν τὰ μέλλοντα. καὶ ἄλλως, ὁ θυοσκόος ὁ θύτης, ὁ τὰ θύη κέων, ἀπὸ τοῦ κέω διὰ τοῦ ε ψιλοῦ γραφομένου.

Θυοσκόπος, ὁ διὰ τῶν θυμάτων μαντευόμενος.

Θύνει, παρ᾽ Ἡσιόδῳ τὸ σφοδρῶς κινεῖται.

Θύπτης, ὁ τυρός.

Θὺρ, καὶ πύλη λέγεται, αἱ σανίδες αἱ ἀποκλειόμεναι καὶ κλειόμεναι, καὶ τὸ διάστημα, ὅπερ ἔχουσιν αὗται.

Θύρα, παρὰ τὸ θύω τὸ ὁρμῶ. ἢ παρὰ τὸ θέω καὶ τὸ αἴρ, θέαιρα καὶ θύρα. καὶ θυρωρὸς, ὁ τῶν πυλῶν φύλαξ.

Θυράγματα, ἀφοδεύματα.

Θύραζε, ἀντὶ τοῦ ἁπλῶς ἔξω. ὥστε καὶ ἰχθὺς ἐκ θαλάττης ῥίπτεται θύραζε, ἤτοι ἔξω.

Θύραθεν, ἀντὶ τοῦ ἔξωθεν, ἐγγύς.

Θύρηθεν, ἐκ τῆς θύρας. θύραθι, ἐν τῇ θύρᾳ. θύραζε, εἰς τὴν θύραν.

Θυραία, ἀλλοτρία, ξένη, καὶ ἡ μεταξὺ δύο οἰκιῶν θύρα.

Θύραι οὐρανοῦ, ἡ ἄνωθεν χορηγία. Δαβὶδ, καὶ θύρας οὐρανοῦ ἀνέῳξε, μεταφορικῶς ἀπὸ τῶν ταμιείων.

Θυραῖος, ἀντὶ τοῦ ἐκτὸς, καὶ δηλοῖ στάσιν, θύραζε, ἀντὶ τοῦ εἰς τὸ ἔξω. καὶ δηλοῖ κίνησιν ἔνδοθεν εἰς τὰ ἔξω. θύραθεν, ἀντὶ τοῦ ἔξωθεν, καὶ δηλοῖ κίνησιν ἀπὸ τῶν ἐκτὸς εἰς τὰ ἔξω. θυραῖος, ὁ ἐκτὸς τῆς θύρας, οὗ ἐναντίον τὸ ἔναυλος. ὡς παρὰ Σοφοκλεῖ ἔναυλος ἢ θυραῖος. οἷον ἐντὸς ἢ ἐκτός. θυραῖος, ξένος.

Θύρεον, τὴν πτύχας ἔχουσαν.

Θυράξαι, ἔξω τῆς θύρας διαστρέψαι.

Θύρας ἀνέῳγεν, ἀντὶ τοῦ ἤνοιγεν κατὰ χρόνον παρατατικόν. ἢ ἀντὶ τοῦ ἤνοιξεν, ἵνα ᾖ μέσος παρακείμενος.

Θύρας πρώσας, τὸ πρόθυρόν φησιν Ὅμηρος, διαλύσας τὴν σύνθεσιν Ἰωνικῶς.

Θυραυλεῖν, τὸ παρὰ ταῖς θύραις τινὸς αὐλίζεσθαι καὶ προσεδρεύειν καὶ περιμένειν.

Θύραξ, πύργος, χιτών.

Θυραυλεῖν, τὸ παρὰ ταῖς θύραις τινὸς αὐλίζεσθαι καὶ προσεδρεύειν, περιμένειν, καὶ πλανᾶσθαι.

Θύραυλαι, τῶν ποιμένων οἱ ἀπόκοιτοι.

Θυργονᾶν, χειμεῖν.

Θυργωνίδης, δῆμος τῆς Ἀττικῆς.

Θύρδα, ἔξω. Ἀρκάδες.

Θυρεὸς καὶ θύρα οὐ ταυτὸν, ἅπερ ἀσπίδος εἶδος παρὰ τοῖς ὕστερον ὁ θυρεὸς, μεγάλη δηλαδὴ ἐοικυίας θύρᾳ, ἐξ ἧς καὶ γέγονεν ἐπενθέσει τοῦ ε.

Θυρεὸς, ὅπλον τὸ παρ᾽ ἡμῖν σκουτάριον. καὶ θυρεοφόρος.

Θυρεατικοὶ στέφανοί τινες παρὰ Λακεδαιμονίοις.

Θύρεθρα, θύραι.

Θυρεπανοίκτης, σύνθεσιν ἐπὶ συνθέσει ἀνεδέξατο. ἦν γὰρ ἀνοίκτης, προσῆλθεν ἡ ἐπὶ, καὶ ἐγένετο ἐπανοίκτης. καὶ οὕτω τὸ θύρα προσετέθη, καὶ ἐγένετο θυρεπανοίκτης. ὁμοίως καὶ τὸ δυοκαιεικοσίπηχυς, πρῶτον τὸ εἰκοσίπηχυς, καὶ οὕτω συνετέθη. καὶ τὸ σφραγιδονυχαργοκομήτης, σύνθεσιν ἐπὶ συνθέσει ἀνεδέξατο. ὥσπερ γὰρ τόνος οὐ τίθεται ἀνωτέρω τῶν τριῶν συλλαβῶν, ὥστε τὰς μετρικὸς ὑπερβαίνει τὰς τρεῖς συλλαβὰς, οὕτως οὔτε λέξις σύνθετος θέλει εἶναι περαιτέρω τῶν τριῶν λέξεων.

Θύρετρα, ἔχει τύπον καθὰ τὸ πέρετρα, ὃ δηλοῖ τὰ τρύπατα.

Θυρετρεᾶς, φλιᾶς.

Θυρηβόλιον, ἡ ἔπαυλις, θυρηβόλιόν τε ὄν.

Θυρηβόλος, ὁ τέκτων.

Θυρηβόλιον, τὴν ἐπάνω οἴκησιν.

Θύρηθεν, ἔξω ἤμην.

Θύρηφι, ἀντὶ τοῦ ἔκτοθι, τουτέστιν ἐκ τῶν θυρῶν. Ὅμηρος Ὀδυσσείας χ΄, κτήμαθ᾽ ὁπόσα τοί ἐστι τά τ᾽ ἔνδοθι καὶ τὰ θύρηφι.

Θύριον, οὐθύριον. τὰ γὰρ εἰς ον οὐδέτερα ἀπὸ βραχέος ἀρχόμενα. προπαροξύνονται. οἷον ἔριον, θύριον, ὅριον, καὶ ἕτερα.

Θυρὶς, ὀπὴ μικρὰ, θυρίδας Ἀττικοὶ τὰς τῶν γραμμάτων πτυχάς. καὶ δίθυρον λέγουσιν, οὐ τρίθυρον, ἀλλὰ τρίπυλον.

Θυροιγὸν, θυρωρὸν, θυροκοπήτης καὶ θυροκόπος, ὁ τὴν θύραν κόπτων.

Θυροκρουστεῖν, τὸ θυροκτυπεῖν.

Θυρσαυλεῖν, ἔξω θυρῶν αὐλίζεσθαι.

Θυρσοπλῆγες, οἱ ἐν τοῖς βακχείοις ἐνθεαζόμενοι.

Θύρσος, ῥάβδος, βακτηρία βακχική, ἢ κλάδος, καὶ αὐλητὴς οὕτως ἐκαλεῖτο.

Θυρώνας, τὰς σανίδας, καὶ τὰς εἰσόδους.

Θυρῶμαι, τίθεται παρ᾽ Ἀττικοῖς ἐπὶ ἐνεργείας, τίθεται δὲ κοινῶς καὶ ἐπὶ πάθους. ὡς καὶ Ξενοφῶν. θυρώμενον ὑπὸ γυναικῶν.

Θυρωρὸς, ὁ φύλαξ τῆς θύρας, λέγεται καὶ θηλυκῶς.

Θύρωτρα, θυρώματα. ἢ ἀραιόθυρα.

Θῦσαι, ἀντὶ τοῦ σφάξαι, καὶ ἀντὶ τοῦ θυμιάσαι. θύη γὰρ τὰ θυμιάματα, ὅθεν καὶ νέφος θυόεν, καὶ κόλπος θυώδης.

Θῦσαι, τὸ κακῶσαι τῷ καπνῷ τοῦ πυρὸς τὰς μελίσσας.

Θύσανοι, παρ᾽ Ὀππιανῷ τὰ πτερά. παρὰ δὲ Ἡσιόδῳ θύσανοι οἱ κροσσωτοὶ, ἤγουν τὰ ἰδιωτικῶς λεγόμενα κομβία, ἤγουν κυμβία. ἀπὸ τοῦ θύω τὸ ὁρμῶ, διὰ τὸ εὐκίνητόν τε καὶ εὐσάλευτον.

Θυσάνους, γλῶσσα μέν τις σισύβους καλεῖ. ἡ δὲ κοινὴ κροσσούς. ἀφ᾽ ὧν καὶ οἱ κροσσωτοί. κρωσσὸς μέντοι διὰ τοῦ ω μεγάλου παράπαν. δῆλον δὲ ὡς κύκλῳ περὶ τὴν ζώνην ἀπῃώρηντο οἱ συστοι θύσανοι.

Θυσανωτὸς χιτὼν, κροσσωτός.

Θύσησι, ταῖς βάκχαις, παρὰ τὸ θύω τὸ ὁρμῶ θύσαις λεγομέναις.

Θύσθλα, ἢ τελεστικά τινα θύματα, οἷα καὶ χέεσθαι. ἢ ῥάβδοι τινὲς, ἐν οἷς καὶ νάρθηκες, φορήματα Διονυσιακά. ἢ κλάδοι τινὲς, ὁποῖοι καὶ οἱ περὶ τὸν Διόνυσον βακχικοὶ θύρσοι οἱ βαρυτονούμενοι. οἱ γάρτοι ὀξυνόμενοι θυρσοὶ, γαμικὰ δηλοῦσι στέμματα.

Θύσθλα, τὰ κλαδία.

Θυσιάδες, ἔνθεοι. τὴν τῶν βακχῶν φωνὴν θυσιάδα φασίν. ἐλέγοντο δὲ καὶ αἱ τῇ Περσεφόνῃ ἱερώμεναι.

Θυσία τῶν θυσιῶν, αἱ μὲν δωροφορικαὶ, αἱ δὲ ἀπολυτρωτικαὶ, αἱ δὲ διαλεκτικαὶ, αἱ δὲ ἀποπληστικαί.

Θυσία πνευματική ἐστιν συνειδὸς καθαρὸν ἐπὶ τὴν κατάστασιν τοῦ νοῦ, ὡς ἐπὶ τὸ θυσιαστήριον κείμενον.

Θυσιαστήριον, τὸ τὴν θυσίαν τηροῦν.

Θυσιαστήριόν ἐστι νοῦς καθαρὸς καὶ ἄϋλος, ἐν καιρῷ προσευχῆς μὴ παραδεχόμενος μηδὲ ψιλὸν νόημα.

Θύσκη, ἡ σκάφη. καὶ θύσκα, κύρια.

Θυσσολίαι, θυηπολίαι.

Θυσσάνους λέγουσιν οἱ Ἴωνες τοὺς κροσσούς.

Θυσσανόεσσαν αἰγίδα λέγει Ὅμηρος, ὅ ἐστι κροσσωτήν. θύσανοι γὰρ οἱ διὰ τοῦ ο μικροῦ γραφόμενοι κροσσοί, οὐ μὴν διὰ τοῦ ω μεγάλου, οἱ τὰ ὑδροφόρα δηλοῦντες ἀγγεῖα.

Θύσσεται, τινάσσεται.

Θυσσῶν, θηριωδῶς ὁρμῶν.

Θύστα, θυσία.

Θυστάδες, νύμφαι τινὲς, αἱ ἔνθεοι. καὶ βάκχαι.

Θύστας, ὁ ἱερεὺς, παρὰ Κρησί.

Θυστήριον, τὸ ὁρμητήριον.

Θύστινον, τείχινον. οἱ δὲ μεσότριβη.

Θύστιον, πόλις ἐστὶ τῆς Αἰτωλίας, καθά φησι Δίδυμος.

Θύτης, μάντις, ἱεροσκόπος.

Θυτηρίοις, θυμιατηρίοις.

Θῦψαι, τὸ ἐπικλῆσαι. ἀφ᾽ οὗ τὸ τεθυμμένον. ἄλλοι, τυφλῶσαι, καῦσαι.

Θύψαντα, πῦρ ἅψαντα.

Θύω, τὸ σφάττω, καὶ ἱερουργῶ, καὶ θυσίαν ποιῶ, καὶ τὸ σφόδρα καὶ τὸ δίκην μαινομένου ὁρμῶ, ὃ καὶ θυίω λέγεται. ὡς ἐν τῷ θυίει διὰ προμάχων.

Θύω ἐνεστὼς, ἔθυον παρατατικός. θύσω μέλλων, ἔθυσα ἀόριστος, τέθυκα παρακείμενος. θύομαι, ἐθυόμην παρατατικός. τέθυμαι παρακείμενος, τεθύσομαι μέλλων, ἐτύθην ἀόριστος, τροπῇ τοῦ θ εἰς τ, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται.

Θυώδης, ἀπὸ τοῦ θύω τὸ θυμιῶ, σημαίνει δὲ ὁ τεθυμιασμένος.

Θυώδης θάλαμος, ὁ εὐώδης. καὶ ἔστι τοῦτο σαφέστερον τοῦ κηώεις. Ἰστέον δὲ, ὅτι ἐκ τοῦ τὸ θύος ἢ τὸ

θύον

Digitized by Google

θύον οὐ μόνον τὸ θυώδης καὶ τὸ θυώδεν γίνεται, ἀλλὰ καὶ ῥῆμα θυῶ θυώσω, συγγενές τι δοκοῦν εἶναι τῷ δύω δύσω, ἐξ οὗ τὸ θυώσομεν μέγαρον.

Θυώδεα νάεν, παρὰ τῷ Ἀπολλωνίῳ ἀρώμασι μεμιγμένον ὕδωρ ἐῤῥει. ἢ ὡδεῖς ἔλαιον.

Θυωμάτων, θύματα μύρων, ἀρώματα θυμιαμάτων.

Θύος ὑψόσε, περίφρασίς ἐστι τοῦ ὑψόσε ἀειρόμενος.

Θύων, σπεύδων, θυσιάζων.

Θυώνη, ἡ Σεμέλη. παρὰ τὸ θύειν, ὅ ἐστιν ὁρμᾶν.

Θυωνίδας, ὁ Διόνυσος. παρὰ Ῥοδίοις τοῖς Συκίνης φάλητας.

Θυωρίτης, τραπεζοφύλαξ. θυωρὸς γὰρ κυρίως ἡ τράπεζα, παρὰ τὸ τὰ θύη τῶν θεῶν δέχεσθαι.

Θυωρὸς, ἡ τράπεζα παρὰ Λυκόφρονι, ἢ ἐκ τοῦ θυάματα ὠροῦσα καὶ φυλάττουσα.

ΤΟ' Θ. ΜΕΤΑ' ΤΟΥ Ω.

ΘΩ, θέω οἱ Ἀττικοὶ λέγουσι.

Θῶ σημαίνει τὸ κατασκευάζω καὶ ποιῶ, ἐξ οὗ καὶ θεός. τὸ τρέφω, ἐξ οὗ θοίνη ἡ εὐωχία. θῶ τὸ θηλάζω, ἐξ οὗ θηλὴ ὁ μαστὸς, καὶ θῆλυς ἡ ἔχουσα μαστοὺς καὶ θηλάζουσα. θῶ τὸ ἱδρύω, ἐξ οὗ θῶκος ὁ θρόνος. θῶ τὸ τίθημι, ἐξ οὗ καὶ θὶς ὁ σωρὸς τῶν χρημάτων. θῶ τὸ ἀπολαύω, ἐξ οὗ καὶ θώραξ. θῶ τὸ καταβλάπτω καὶ ζημιῶ, ἐξ οὗ θωή. γίνεται δὲ παρὰ τὸ θέω, τὸ τρέχω. σημαίνει δὲ καὶ τρέχω καὶ τὸ βλέπω, οἷον ἔργα θέων.

Θῶες, ἀπὸ τοῦ θέω τὸ τρέχω γίνεται θὼς, ἢ ἀπὸ τοῦ θοὸς. ταχεῖς γάρ εἰσι καίπερ βραχυσκελεῖς ὄντες. ἔστι δὲ ὁ θὼς ζῶον ἄλκιμον καὶ εὐκίνητον.

Θωή, δῆλον ὅτι ὥσπερ φῶ φωνή. ζῶ ζωή, ῥῶ ῥωή καὶ ἐρωὴ κατὰ πρόσληψιν συλλαβῆς, οὕτω καὶ θῶ, θωή, ἡ καταπιθεμένη ζημία, ἣν ὁ μὴ πάσχων ἄθωος λέγεται, ὅτινές μὲν προπαροξύνουσι τῶν παλαιῶν, ἵνα ᾖ, ὥσπερ φωνὴ ἄφωνος, οὕτω καὶ θωὴ ἄθωος. ἕτεροι δὲ προπερισπῶσι, ὡς καὶ ἡ συνήθεια κρατεῖ κατὰ συνεκδρομὴν τοῦ ἀθῴου Διὸς, ὅς ἐστιν ὁ ἐν τῷ Ἄθῳ ὄρει τιμώμενος, οὗ ὁ τόνος ἀνάλογος. ὡς γὰρ Μίνως Μινῷος, ἥρως ἡρῷος, οὕτως Ἄθως ἀθῷος.

Θωθῆναι, φαγεῖν, γεύσασθαι.

Θωθ, ὁ Ἑρμῆς. ἔστι δὲ ὁ Σεπτέμβριος παρ' Αἰγυπτίοις.

Θωκεῖ, κάθηται, ὁμιλεῖ.

Θώκησον, ὄνομα τόπου.

Θῶκος, ὁ θρόνος, παρὰ τὸ θῶ ῥῆμα, ὃ σημαίνει κατ' ἀντίφρασιν τὸ ἑδραῖον. μέλλων θώσω, γίνεται θῶκος ἢ τῷ θέειν ἡμᾶς ἐπέχουσα καθέδρα. τὸ δὲ θῶ γέγονε παρὰ τὸ θοῶ, ἀφ' οὗ τὸ θοάζω, ὡς βοῶ βοάζω. καὶ νύκτα θοὴν τὴν ἑδραίως ἡμᾶς ποιοῦσαν. καὶ δαῖτα θοήν. τὸ γὰρ θόον δηλοῖ τὸ ἑδραῖον, καὶ ἀσφαλὲς, καὶ ἰσχυρόν.

Θῶμα, θαῦμα.

Θωμᾶς, ἄβυσσος, ἢ δίδυμος.

Θωμένοις, θοινωμένοις, εὐωχουμένοις.

Θωμεῦσαι, συμμῖξαι, συναγαγεῖν.

Θώμιγγες, δεσμοί, ὁρμιαί, σχοινία, χορδαί, σπαρτία κανάβινα.

Θώμιγξ, τὸ λεπτὸν σχοινίον.

Θώμιγξ, τοῦ ψιλοῦ θώμιγξ, σπάρτος κανάβινος, θηβαῖος ἀνεμός τις.

Θωμίζειν, τὸ τῷ κέντρῳ ἐρεθίζειν, καὶ μαστίζειν.

Θωμίσαι, νύσσαι, δεσμεῦσαι.

Θωμιχθεὶς, μαστιχθείς.

Θώμισυ, κατὰ συναλοιφὴν Ἀττικὴν οὕτω γίνεται, ἀπὸ τοῦ τὸ ἥμισυ, ὡς θάτερον, ἀπὸ τοῦ τὸ ἕτερον, καὶ θοἰμάτιον, ἀπὸ τοῦ τὸ ἱμάτιον.

Θωμοί, οἱ τῶν πυρῶν ἢ τῶν σπερμάτων σωροί, ἢ σωροὶ ξύλων.

Θωμὸς, ὁ σωρὸς σταχύων, ἡ κορμός.

Θῶνται, θοινῶνται, εὐωχοῦνται, εὐθηνοῦνται.

Θωνῖτις, λίμνη.

Θῶνος ἔχει εὐθεῖαν, ἢ θώων θώονος κατὰ τοὺς παλαιοὺς, καὶ ἐν συγκοπῇ θῶνος. ἢ μᾶλλον θώνις θώνιος, καὶ κατὰ συγκοπὴν θῶνος, φασὶ δὲ αὐτὸν βασιλέα εἶναι τοῦ κατὰ Κάνωβον νειλώου στόματος.

Θῶξαι, μεθύσαι, πληρῶσαι, θηριωδῶς βοῆσαι.

Θωὸς, ὄρνις ποιός.

Θῶπα, κόλακα. ἰόρτιόν τε καὶ αὐτὸν θῶπα ἰσχυρὸν ὑμνοῦσι.

Θωπεία, ἡ κολακεία.

Θωπεύω οὐδένα, τὸ κολακεύω.

Θωπεύει αἰτιατικῇ, ἀπατᾷ.

Θῶπες, οἱ μετὰ ψευδοῦς καὶ θαυμασμοῦ προσιόντες ἐπὶ κολακείᾳ λόγοι, θῶπάς τε καὶ ἀπατηλοὺς προτείνοντες λόγους. ἡ εὐθεῖα, θὼψ θωπός.

Θωπικαί, κολακευτικαί.

Θώπτει, σκώπτει, θεραπεύει.

Θωρακεῖον, τὸ τεῖχος.

Θωρακίοις, προμαχῶσι, δρυφράκτοις, ἢ λωρικίοις. μέχρι μέν τινος ὑποπτηχότες τοῖς θωρακίοις ἠρέμουν.

Θωρακοποιία, θωρακοποιὸς, θώραξ.

Θωρακοφόρος, τεθωρακισμένος, ἡμιθωρακία.

Θωρηκτάων, ὁπλιστῶν.

Θώραξ, ὅπλον σκέπον τὸν τοῦ ὑμετέρου σώματος θώρακα.

Θώραξ, χιτὼν σιδηροῦς, περὶ τὸ στῆθος κείμενος, ἢ πύργος. θώραξ, τὸ στῆθος, παρὰ τὸ θεῖον ὁρεῖν, τουτέστι φυλάσσειν τὸ φροντικὸν, ὅ ἐστιν ἐν ἡμῖν θεῖον. ἢ παρὰ τὸ θορῶ, τὸ πηδῶ. πηδώσης γὰρ τῆς καρδίας, ἀπὸ ταύτης κινοῦνται καὶ τὰ λοιπὰ μέλη. γράφεται καὶ θώρηξ.

Θώραξ λέγεται ἀπὸ αὐχένος τὸ σύμπαν ἕως ἰσχίων, καὶ ὅλμος.

Θωρήσσειν, ἀεὶ ἐπὶ ὁπλισμοῦ φησιν Ὅμηρος. οἱ δὲ μετ' αὐτὸν καὶ ἐπὶ μέθης τὴν λέξιν τιθέασιν. ὅθεν καὶ θώρηξις κατὰ τοὺς παλαιοὺς, οἰνοποσία, καὶ ἀκρατοποσία. ἴσως δὲ καὶ αὐτὸ τῆς μάχημον τῆς μεθυόντων.

Θωρήσσεσθαι, θωρήσσετο, θωρήξασθαι, θωρηχθείς. καὶ θωρηχθῆναι, τὸ καθοπλισθῆναι, θωρηχθῆναι δὲ, τὸ μεθυσθῆναι. καὶ θωρήσσειν, ἤγουν ἀκροθώρηκας, τοὺς ἀκρομεθύσους ἐκάλουν. κέχρηται δὲ τῇ λέξει καὶ ὁ Ἀνακρέων, ὡς τε θωρακισθῆναι, οἷον τὸν θώρακα πληρῶσαι. θώραξ γὰρ τὸ στῆθος. διὰ τὸ θερμαίνειν ἐν τῷ στήθει, θωρήσσειν λέγουσι τὸ μεθύειν.

Θωρήσσειν, καθοπλίζειν.

Θωρήσσοιτο, παρὰ τῷ Ἀριστοφάνει ἀντὶ τοῦ ἔπινον, παρὰ τὸ εἰς θώρακα πέμπειν τὸν οἶνον, θωρήσσεσθαι ἔλεγον καὶ πίνειν παρὰ τὸν θώρακα. ὅτι ἐν αὐτῷ τὸ ὑγρὸν λέγεται εἶναι.

Θώρηξις, οἴνωσις. ἤτοι ἡ μέθη, παρὰ τῷ Ἱπποκράτει.

Θώρηκος γύαλον, περιφραστικῶς τὸν θώρακα. τινὲς δὲ τὸ κοῖλον τοῦ θώρακος. ἢ τὸ κύτος. γύαλον δὲ λέγεται τὸ ποικίλον.

Θωρηκίων. οὕτως σελήνης ἦν.

Θωρηχθεὶς, ὁπλισθείς.

Θωρύξαι, ἀπὸ τοῦ θωρύσσομαι, ταυτὸν τῷ κορύσσομαι, τῷ δηλοῦντι τὸ ὁπλίζομαι, καὶ τὸ ὑψοῦμαι. ἐστὶν ἀμφότερα ποιητικά. ὁπλίζομαι δὲ κοινὸν, ὃ γίνεται ἀπὸ τῶν ὅπλων.

Θωρύσσομαι ἐγὼ, θωρύσσει ἕτερον, θωρύσσω καὶ τὸ καθοπλίσω.

Θὼς, ὁ λυκοπάνθηρος. καὶ κλίνεται θωός. ταχεῖς γάρ εἰσι, καίπερ βραχυσκελεῖς ὄντες.

Θῶσθαι, λέγουσιν οἱ Δωριεῖς τὸ εὐωχεῖσθαι, ἀπὸ τοῦ θῶ τὸ εὐωχῶμαι.

Θὼς, εἶδος θηρίου λύκῳ ὅμοιον.

Θώσασθαι, εὐωχηθῆναι, μεθυσθῆναι.

Θῶσθαι, δαίσασθαι.

Θωπάζει, ἐμπαίζει, χλευάζει.

Θῶται, εὐθύνεται, θωᾶται, τρέχει.

Θωύκτηρ, ὑλακτικός. ὡς ἄλλος τις κύων θωύκτηρ.

Θωύξας, κυρίως συρίξας, παρὰ τῷ Λυκόφρονι καταρασάμενος.

Θωύσσειν, τὸ θηριώδη φωνὴν χεῖσθαι.

Θωύσσοντες, ὑλακτοῦντες. καὶ θώϋξεν, ἀντὶ τοῦ ἐβόησεν. καὶ θωύκτηρ κύων, ὁ ὑλακτικός.

Θωΰσσων, ἤγουν βοῶν, ὡς παρὰ Εὐριπίδῃ, πάλιν θωΰσσων.

Θωχθεὶς, θωρηχθεὶς, μεθυσθείς.

Θὼψ, ὁ κόλαξ. θωπεύω. θωπεία, ἡ κολακεία.

Θώων παρ' ἡμῖν σεσημείωται, ὡς ἀπὸ δισυλλάβου γενικῆς ὀξυτόνου βαρυνόμενον. θὼς γὰρ θωὸς θώων, καθάπερ καὶ τρώων, δμώων, λάων, δάδων,

πάντων. ἔστι δὲ εἶδος θηρίου, ὡς λύκος.

Θωώτης, ὄνομα κήρυκος. ὡς ἐν τῷ ἄγε δ' ἐς Θωώτην θεῶν Αἴαντα κάλεσσον, ὅ δὴ τρόπος ἐτυμολογίας ἐστίν. ὡς τοῦ θωώτου ἐκ τοῦ θέειν κληρωθέντος, ὅπερ οἰκεῖον κήρυκι ὄνομα διὰ τὸ τάχος ὡς τὸ Εὐρυβάτης, διὰ τὴν βοήν. καὶ τὸ ἠπύτης, ἢ ἠπυτίδης, παρὰ τὸ ἠπύειν.

Τέλος τοῦ θ'. στοιχείου.

Α'ΡΧΗ' ΤΟΥ Ι'. ΣΤΟΙΧΕΙ'ΟΥ. ΤΟ' ΑΥ'ΤΟ' ΜΕΤΑ' ΤΟΥ Α'.

ΙΩ͂ΤΑ τὸ στοιχεῖον, κεραία καὶ γράμμα.

Ι' καὶ α, εἰς ι μακρὸν κιρνᾶται. οἷον τοὺς ὄφιας καὶ ὄφις.

Ἰὰ, δασυνόμενον τὸ ἄλφα καὶ ὀξυνόμενον, τὸ θεὸν σημαίνει καθ' Ἑβραίους.

Ἴα, ἡ μία. καὶ ἡ φωνὴ, καὶ μένη, καὶ αὐτὴ, καὶ βοή. καὶ τὰ ἄνθη τὰ πορφυροειδῆ, ἢ βέλη.

Ἴα, τὰ μυρίπνοα ἄνθη.

Ἰαβὶν, ὡς τὸ, Ἰαβὶν ἐν τῷ χιμάῤῥῳ τῶν κισσῶν. ὄνομα κύριον βασιλέως Χαναὰν καλεῖται ἐν τῇ βίβλῳ τῶν Κριτῶν.

Ἰάδα, καθέδρα.

Ἰάδμων, ἰάδμονος, ἦν δὲ Σάμιος. καί τινος καὶ ἡ Ῥοδῶπις δούλη ἦν. ἣν ἑταίραν γενομένην, Θρᾷσσαν τὸ γένος, Χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἐλαβε γυναῖκα, καὶ ἐξ αὐτῆς γεννᾷ. καὶ ἔστιν ἐν τῷ Αἰσώπου σάμιος.

Ἰάδος, στρεβλός.

Ἰαδοῦς, ἄνθος βοτάνης.

Ἰάειρε, πρόσφερε.

Ἰαζάρως, ὁ Τάναϊς ποταμός.

Ἰάζετο, ἵδρυτο.

Ἰάζηρ, ἰσχύς.

Ἰάζυγες, ὄνομα ἔθνους.

Ἰανθεῖν, θάλπεσθαι ἐπί τινι καλῶς, Κῷοι.

Ἰαθμὸς, κοῖτος, ὕπνος. καὶ ὅπου τὰ κτήνη κοιμᾶται, καὶ αὐλός. οἱ δὲ αὐθμός.

Ἴαθος, πρόθυμος.

Ἰαίνειν, εὐφραίνειν.

Ἰαίνεσθαι, εὐφραίνεσθαι, διαχεῖσθαι. καὶ ἰαινόμενοι.

Ἰαίνεται, χολᾶται, πικραίνεται, λύεται παρὰ τὸν ἰόν. Φρύνιχος Αἰγυπτίοις.

Ἰαίνετο ὕδωρ, ἀντὶ τοῦ ἐχλιαίνετο, ἐθερμαίνετο. καὶ ἐστὶ μὲν κυρίως ἰαίνεσθαι. τὸ μὲν τὸ ζέσαν ὕδωρ, ἐπίτασίς ἐστί τις τοῦ ἰαίνεσθαι. αὐτὸ δὲ ἐπιτατικώτερον τὸ παφλάζειν, ἢ καὶ καχλάζειν.

Ἰαίνω κῆρ, ἀντὶ τοῦ διαχέω, καὶ ἐπὶ τῆς ψυχικῆς διαχύσεως, σημαίνει καὶ τὸ θερμαίνετο. ὡς καὶ τό, ἰαίνων δ' ὕδωρ.

Ἰαίνω. αἰτιατικῇ συντάσσεται, ὡς παρὰ Θεοκρίτῳ, οἷον τὸ δὴ μαλακὸν ἰαίνει, ἤγουν εὐφραίνει.

Ἰαιφόνος, μιαιφόνος.

Ἰακαὶ, βοαί.

Ἰακάρ, ὀκύων ἀστήρ.

Ἰακλητὶ, πλωρά.

Ἰάκχα, στεφάνωμα εὐῶδες ἐν Σικυῶνι.

Ἰακχάζουσιν, λέγουσιν, φυλάττουσιν. Ἡρόδοτος.

Ἴακχον, τὸν Διόνυσον, ἢ μίαν ἡμέραν τῶν μυστηρίων, ἐν ᾗ τὸν Ἴακχον ἐξάγουσι. καὶ ἡ ᾠδὴ, ἣν οἱ μεμυημένοι ᾄδουσι, καὶ ἥρως καὶ ναὸς ἐν τῇ Ἀττικῇ, καὶ ἄγαλμα. τινὲς δὲ καὶ αὐτὸν τὸν Διόνυσον οὕτως ἔλεγον.

Ἰάκωβος, αἴδιος υἱός. ἐπάνω τοῦ ι καὶ τοῦ υ εἰώθασι γράφεσθαι δύο στιγμαὶ, ἡγουμένου ἢ ἑπομένου φωνήεντος, οὐκ ἐν διφθόγγῳ δὲ, ὡς ἐν τοῖς ἄνω. ἔστι τοῦ ι ἐπιγράφουσιν οἱ Λατῖνοι σημεῖον, ὅμοιον ὄντες τῇ ὀξείᾳ, προηγουμένου ἢ ἑπομένου φωνήεντος, ὅπως ἂν διαγνωσθῇ καὶ διαχωρισθῇ ἀπ' αὐτοῦ. ἔτι τὸ ι οὐ μετέρχεται ποτὲ εἰς δύναμιν τοῦ συμφώνου, ὥσπερ παρὰ τοῖς Λατίνοις μετέρχεται. καὶ δῆλον αὐτὸ ἐν τῷ δὲ τῷ ὀνόματι Ἰωάννης, ὅπερ ἑλληνιστὶ ἐκφερόμενον

μονον τετρασύλλαβον ὑπάρχει· λατινιστὶ δὲ τρισύλλαβον. κανονίζουσι γὰρ αὐτὸ λέγοντες, ι καὶ υ τιθέμενα ἐν τῇ ἀρχῇ τῆς συλλαβῆς, ἑπομένου φωνήεντος, ἀντὶ συμφώνου λαμβάνονται.

Ἰάκωβος, πτερνιστὴς πόνος. καὶ Ἰωάννης καὶ Ἰάκωβος Βοανεργὲς ἐκαλοῦντο, ὅ ἐστιν υἱοὶ βροντῆς.

Ἰάλαι, ὁρᾶν, ἐντυχεῖν, πέμψαι.

Ἰάλασι, δεσμοῖς.

Ἰαλεμίζειν, θρηνεῖν.

Ἰάλεμοι, θρῆνοι, ὀρφανοί, στερόμενοι, θρηνητικοί, ἄνανδροι, δυστυχεῖς.

Ἰάλεμος, υἱὸς Καλλιόπης. καὶ ὁ κακοδαίμων, καὶ ὁ ψυχρὸς, καὶ ὁ στερόμενος, καὶ ὀρφανός. ἔνιοι δὲ, οὐδενὸς ἄξιος. καὶ ἰαλεμὸς χρόα. οἱ δὲ οὐδενὸς ἀξία.

Ἰάλεμος, ἦχος, βοὴ, θρῆνος, ἀπὸ τοῦ ἰάχω, τοῦτο παρὰ τὸ ἴα, ὃ σημαίνει τὴν φωνήν. ἔστι δὲ ἵημι, ἐκ τούτου γίνεται ἶνος, ἐκ τοῦ ἶνος γίνεται ἰνεμος διὰ τοῦ ε κατὰ τὴν περίληψιν, εἶτα κατὰ τροπὴν τοῦ η εἰς α ἴαμος, καὶ πλεονασμῷ τοῦ λ ἰάλεμος καὶ ἰηλεμῆσαι. ἐν ἄλλοις δὲ εὗρον ἐγὼ τὸ ἰάλεμος, παρὰ τὸ ἐπὶ τοῖς ὀλωλόσιν ἴαν φέρειν, ὅ ἐστι φωνὴν ἢ βοήν.

Ἰαλία, φωνή. Κρῆτες.

Ἰαληψὸς, χώρα.

Ἰάλιον, ἐρέβινθον, ἢ τὴν θάλασσαν. Κρῆτες.

Ἰαλλὶς, χιὼν, ἐθνικῶς.

Ἰαλλεῖ, παρέχει, ἐκτείνει, πέμπει, ἐπιβάλλει, ἀφορίσκει, δίδωσι.

Ἴαλλος, ὁ σκωπτόλης. καὶ ἴαλλοι, τὰ σκώμματα.

Ἰάλλω, τὸ πέμπω.

Ἰαλοί, θάλαμοι.

Ἰαλύσιοι, οἱ ἐν ἰαλύσῳ νομισματα.

Ἴαμα, θεραπεία.

Ἰαμβαυλεῖν, τὸ δι' αὐλοῦ παριαμβίζειν ἐν τῇ κιθάρᾳ καὶ ᾠδῇ.

Ἰαμβεῖος, λόγος. καὶ τὸ οὐδέτερον ἰαμβεῖον.

Ἰαμβίζειν, τὸ ὑβρίζειν, οἱ παλαιοὶ ἔλεγον, ὅτι τούτῳ τῷ μέτρῳ ἐχρῶντο, ὑβρίζειν τινὰς βουλόμενοι.

Ἰαμβοφάγος, ὁ λοίδορος. ἐπειδὴ ἴαμβος ἔμμετρός ἐστι λοιδορία.

Ἴαμβοι, ῥυθμοί τινες, καὶ μέλη, καὶ δάκτυλοι, καὶ στίχοι, εἶδος ποιήματος.

Ἰαμβεῖον, ἀπὸ τῆς εὑρούσης γυναικὸς βάκχης τινὸς, Ἰάμβης καλουμένης ἢ ἀπὸ τοῦ ἴαν βάζειν· ἡ γὰρ κοινὴ φωνὴ τῶν ἀνθρώπων, ἴα καλεῖται.

Ἰαμβίζειν, τὸ ὡς βέλη βάλλειν τὰ λεγόμενα, ἢ τὸ ὑβρίζειν.

Ἴαμβος καλεῖται, ἢ ὅτι οἱ λοιδοροῦντες τούτῳ τῷ μέτρῳ ἐχρῶντο. ἰαμβίζειν γάρ ἐστι τὸ ὑβρίζειν. ἢ παρὰ τὸ Ἰάμβης κόρης, ἥ τις αἰσχρῶς ὑβρίσασα τῷ μέτρῳ τούτῳ, ἀγχόνῃ τὸν βίον κατέλυσεν. ἢ ὅτι ἡ Δημήτηρ περίλυπος οὖσα ἐπὶ τῇ ἁρπαγῇ τῆς Κόρης, παρεξενώθη τινὶ γυναικὶ Νίβῃ καλουμένῃ κατὰ τὴν Ἀττικήν. ἧς ἡ θεράπαινα Ἰάμβη καλουμένη, παρεμυθήσατο τὴν Δήμητρα, ὀρχουμένη τούτῳ τῷ μέτρῳ.

Ἴαμβος, ἐκ βραχείας καὶ μακρᾶς σύγχρονος, οἷον Σόλων. ἔστι καὶ ὄνομα πόλεως περὶ Τροίαν.

Ἴαμβος, στίχος ποδῶν ἓξ δισυλλάβων.

Ἰαμβύκαι, ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον. οἱ δὲ σαμβύκας φασίν.

Ἴαμβοι, θύμενοι, κοῖται, νόμοι.

Ἰαμεναὶ, οἱ ὑλώδεις καὶ ἔνυδροι τόποι, καὶ πόαν ἔχοντες, ἀπὸ τοῦ ἀνιέναι τὴν ὕλην, συνάγη, σύγκρασις.

Ἰαμεναῖς, ταῖς πόλεσι.

Ἰαμενῇ, καθύδρῳ τόπῳ.

Ἰαμία, ἡ φωνὴ, ἡ βία.

Ἰάμοι, ἐβόα.

Ἰάμνια, πόλις, εὗρον καὶ δίφθογγον τὸ μνει.

Ἰᾶν, σχετλιαστικὸν ἐπίρρημα.

Ἰάνθη, τὸ διεχύθη, εὐφράνθη, ἐχάρη, ἀπὸ τοῦ ἰαίνω ἰανῶ, ἴαμμαι, ἰάνθην, ης, η.

Ἰάνθην, ἤγουν διεχέθη, ἐθερμάνθη. καὶ ὕδωρ ἐν χαλκῷ ἰαίνεται, πυρὶ θερμαινόμενον. ἰστέον δὲ, ὅτι ἰαίνεσθαι κατὰ τοὺς παλαιοὺς εἰπεῖν τὸ τήκεσθαι. ἥδεσθαι, διαχεῖσθαι, μαλάττεσθαι.

Ἰάνθης θυμὸν, τουτέστιν εὐφράνθης κατὰ ψυχήν.

Ἴανθος, ἄνθος, καὶ χρῶμά τι πορφυροειδές.

Ἴαννα, τὰ βαλλόμενα, ἀπὸ τοῦ ἰέναι.

Ἴαννα, ἐν μὲν αἰχμαλωτίσι Σοφοκλέους ἀπέδοσαν ἑλληνική, ἐπεὶ Ἴαννας τοὺς Ἕλληνας λέγουσιν. ἐν δὲ Τριπτολέμῳ ἐπὶ γυναικὸς, ὡς καὶ ἐν ποιμέσι. τινὲς δὲ τὴν Ἑλένην· ἐπιεικῶς δὲ οἱ βάρβαροι τοὺς Ἕλληνας Ἴαννας λέγουσιν. ἐν δὲ Τρωίλῳ βάρβαρον θρήνημα τὸ ἰαῖ, ἢ ὄνομα γυναικός.

Ἴανον, ἱμάτιον.

Ἰαξάρτης, ὁ καὶ Τάναις, ποταμός. ἔστι δὲ τῆς σκυθίας ἐμπίπτων εἰς Μαιῶτιν λίμνην.

Ἰάονας, πάντας τοὺς Ἕλληνας οἱ βάρβαροι ἐκάλουν. καὶ Ὅμηρος ἰάονας ἑλκεχίτωνας λέγει.

Ἰανοκρήδεμνος, ὁ στέμμα ἐξ ἴων φορῶν.

Ἰανόχροκον, τὸ λεπτόν.

Ἰανουάριος, ἄγαλμα τετράμορφον διὰ τὰς τέσσαρας τροπάς. οἱ δὲ πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχοντα, ὡς ἀρχὴν τοῦ χρόνου καὶ ἄνοιξιν τοῦ ἐνιαυτοῦ, καὶ θυρεόν. ἕτεροι δὲ τῇ δεξιᾷ τ, τῇ δὲ ἀριστερᾷ ξε κατέχοντα, ὥσπερ τὸν ἐνιαυτόν. ὅθεν καὶ ὁ Λογγῖνος αἰωνοφόρον αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα.

Ἰαπετιονίδης. ἐστιν Ἰαπετὸς καὶ ἰαπετίων, καὶ ἀπὸ τούτου ἰαπετιονίδης.

Ἰαπετιονίδη, ἤγουν ὦ υἱὲ τοῦ Ἰαπετοῦ, ἀπὸ τοῦ Ἰαπετὸς ἰαπετίων, κατὰ παραγωγὴν, καὶ ἀπὸ τούτου ἰαπετιωνίδης.

Ἰάπετος, ἐπὶ διασυρμῷ, πρεσβύτερος, ἀρχηγός.

Ἰάπτειν, φανερῶς τὸ διαφθείρειν καὶ βλάπτειν λέγεται. οὐ μὴν ὡς ἀλλαχοῦ δοκεῖ τισι τὸ προπέμπειν.

Ἰάπτω, τὸ βλάπτω, καὶ σπαράσσω.

Ἰάπτειν, σπαράσσειν, αἰκίζεσθαι, βοᾶν, βλάπτειν.

Ἰαπυγία, ὄνομα τόπου.

Ἰάπυξ, ἄνεμος ἐλαφρὸς, ἢ ὄνομα τόπου.

Ἴαρα, αἷμα, ἡ μοῖρα.

Ἰέραξ, ἰχθὺς ποιὸς δωρικώτερον, διὰ τὸ ἐοικέναι τῷ πτηνῷ, καὶ λύχνος ὁ πρὸς τὰ ἱερά.

Ἰάρδανος, ποταμός ἐστιν Ἀρκαδίας, ἐν ἄλλῳ κελάδων ποταμός. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μετὰ ἤχου ῥέοντα.

Ἰάρειον, πρόβατον, βοῦς.

Ἰαριγμὸν, χαρὰν, καὶ θρῆνον. Κρῆτες.

Ἰαροπότης, αἱμοπότης.

Ἰαροχεῖαν, τὴν ὀσφῦν, Ἠλεῖοι.

Ἰαρόχους, καθαρὸς, θύσιμος.

Ἰαρπάλαμος, ἀκρόχειρος.

Ἰάρωμα, κοσμάριον παιδικὸν, μηνίσκοι, καὶ τὰ τοιαῦτα.

Ἰὰς, διάλεκτος ἐκλήθη ἀπὸ Ἴωνος υἱοῦ τοῦ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ἐρεχθέως θυγατρὸς, ἣ ἔγραψεν Ὅμηρος.

Ἴασι ψιλούμενον καὶ σημαῖνον τὸ πορεύονται, προπαροξυτόνως λέγεται.

Ἴασιν, ὅ ἐστιν ἔρχονται, προπαροξύνεται πρὸς διαστολὴν τοῦ ἱᾶσι, ὅθεν ἀφιᾶσι.

Ἱᾶσι δασυνόμενον καὶ πρὸ μιᾶς ἔχον τὸν τόνον, σημαίνει τὸ πέμπουσι καὶ ἀπολύουσι.

Ἱᾶσι, πέμπουσιν. ἴασι δὲ, πορεύονται.

Ἰάσιμος, ὁ δύναμιν ἔχων ἰαθῆναι.

Ἴασις καὶ ἄρηξις διαφέρει. τῶν γὰρ νοσημάτων, τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις. τὰ δὲ θεραπεύεται παντελῶς, ὃ, ἴασις. φησὶν οὖν Σοφοκλῆς.

Ἰασίων, δήμητρος ἐρασθεὶς, κεραυνοῦται.

Ἰασίωνα, γεωργόν. οὐ κατὰ τὸν Ἑλλάνικον ἱστορία ἔχει κρῆτα τὸ γένος, Διὸς υἱὸν καὶ Ἡμέρας, παρ' ᾧ μετὰ τὸν κατακλυσμὸν εὑρέθη φασὶ σπέρματα, ὅθεν ἡ Δημήτηρ κατὰ τὸν μῦθον ἐφίλει αὐτὸν, ὡς καὶ Ἡσιόδῳ δοκεῖ. καὶ μίγνυται οὐκ ἐν θαλάμῳ, ἀλλὰ καὶ ἐν νειῷ τριπόλῳ, ἣν ὁ αὐτὸς Ἡσίοδος ἐξαίρει Ἀλεξιάρην καλέσας, καὶ παίδων ἀκηλήτηραν, καὶ ἐκ τῆς τοιαύτης μίξεως ὁ Πλοῦτος γεννᾶται, ὁ ὡραῖος δηλαδή. ὁ δὲ τῷ Ἰασίωνι τούτῳ ἐνσκήψας κεραυνὸς εἰς πολὺν αὐχμὸν νοεῖται, ὃς οἷα ὀλέθριος ἀπεναντίας ἥκει τοῖς γεωργοῖς ὅτε γένηται. τὸ δὲ ὅλον εἰπεῖν, ἐπεὶ γεωργικώτατος ὁ Ἰασίων, δόξαν ἔχει Δήμητρι συνῳκηκέναι, καὶ τὸν πλοῦτον τεκεῖν καθ' Ἡσίοδον. δοκεῖ δὲ προσφυῶς κληθῆναι ἰασίων, παρὰ τὸ ἵημι, διὰ τὴν τῶν σπερμάτων ἔσιν, ὅ ἐστι πέμψιν κατὰ τῆς γῆς. ὁ δὲ Ἀρριανὸς ἱστορεῖ, καὶ ὅτι Ἰασίων ἀδελφὸς Ἀετίωνος, καὶ Δαρδάνου, πρόγονος Πριάμου, ἐκ Δήμητρος καὶ Κόρης κάτοχος γενόμενος, εἰς τὴν Σικελίαν ἦλθε, καὶ πολλὴν ἄλλην γῆν ἐπλανήθη, τὰ ἐκείνης ὄργια δεικνύων. διὸ λόγον ἔχει, ὡς Δημήτηρ αὐτῷ μίσγεται.

Ἰάσκειν, ἄγειν.

Ἰάσκων, ἀφελόμενος.

Ἴασον ἄργος λέγει ὁ ποιητὴς τὴν Πελοπόννησον, ἀπὸ Ἰάσου βασιλέως τοῦ τῆς υἱοῦς, ὥσπερ τὸ αὐτὸ καὶ ἄργος διὰ τὸν πανόπτην Ἄργον. δῆλον δὲ καὶ ὅτι κατὰ πολυωνυμίας λόγον καὶ ἵππιον ἐκλήθη τὸ αὐτὸ, καὶ ἱππόβατον, καὶ Ἄργος ἀχαϊκὸν, ἰδίως μέντοι καὶ ἡ Λακωνικὴ ἀχαϊκὸν ἄργος ἐκλήθη.

Ἴασπις, λίθος πολυτελής.

Ἰαστεῖν, θυμοῦσθαι, δάκνειν.

Ἰαστὶ, ἑλληνιστί.

Ἰασὼ, παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ Ἀριστοφάνης καὶ Ἀμφιαράου θυγατέρα εἶναι Ἰασώ.

Ἰᾶται, ἰατὴρ ἰατρός. ἰατρὸς βραχὺ τὸ ι παρὰ Ἀριστοφάνει ἐν πλούτῳ, τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει.

Ἰατταταὶ καὶ ἰατταταιὰξ ἐπίρρημα σχετλιαστικὸν, ἀντὶ τοῦ φεῦ.

Ἰάσων, Ἰάμβλιχος, Ἰαννῆς, καὶ Ἰαμβρῆς, ὀνόματα κύρια.

Ἴατρα, μισθοὶ θεραπείας.

Ἰατρία, πόνου καὶ κακῶν ἀπαλλαγή.

Ἰατρική ἐστι, κατὰ μὲν Ἱπποκράτην, πρόσθεσις καὶ ἀφαίρεσις, πρόσθεσις μὲν τῶν ἐλλειπόντων, ἀφαίρεσις δὲ τῶν πλεοναζόντων. κατὰ δὲ Γαληνὸν, ἐπιστήμη ὑγιεινῶν καὶ νοσερῶν καὶ οὐδετέρων. κατὰ δὲ τοὺς ἐμπειρικοὺς, τήρησις καὶ μνήμη τῶν πολλάκις καὶ ὡσαύτως ὀφθέντων. κατὰ δὲ τοὺς μεθοδικοὺς, γνῶσις φαινομένων κοινωνὴ τῶν συμφώνων τῷ τῆς ἰατρικῆς τέλει. κατὰ δὲ Ἀριστοτέλην, φιλοσοφία σωμάτων.

Ἰατρεύω, ἰῶμαι, θεραπεύω. ἰατρεύω σε φαρμάκοις, πάντα τὰ ῥήματα καὶ μεταβατικὰ καὶ ἀμετάβατα, ὧν αἱ ἐνέργειαι ὀργάνοις τισὶ γίνονται, ἐάνπερ καὶ τὰ ὄργανα ἔχωσιν ἐν τῇ συντάξει, δοτικῇ ταῦτα ἔχουσι προσφερόμενα. μεταβατικὰ μὲν, οἷον βλέπω σε ὀφθαλμοῖς, τύπτω σε τῇ χειρὶ καὶ τῇ ῥάβδῳ. ἀμετάβατα δὲ, οἷον ἀγάλλομαι τῇ ψυχῇ, ἀστράπτω πυρὶ, μεθύω οἴνῳ.

Ἰατροὶ, νύμφαι τινὲς καλοῦνται καὶ περὶ ἰατρείαν θεράποντες.

Ἰατρὸς, ἀπὸ ἰατρικῆς. καὶ ὁμοίως, ἰατρεία, ἴασις, ἰᾶσθαι, ἰάσασθαι, καὶ ἐξιᾶσθαι, ἐξιάσασθαι, ἰώμενος, ἰάσιμος, ἀνίατος, ἰάματα, καὶ μισθὸς ἰατρεῖα, καὶ τὸ ἐργαστήριον ἰατρεῖον, θεραπεύειν, θεραπεία, ἀκέσασθαι, ἐξακέσασθαι. ὡς Ὅμηρος ἀκεστὰ καὶ παιώνια φάρμακα. καὶ ἐξακούμενος, ἐπιμέλεια κομιδῆ, νοσηλεία, νοσηλεῦσαι, ἐκνοσηλεῦσαι, νοσοκομῆσαι, ἀρρωστεῖν, ἀρρώστημα, ἀρρωστία, ὑγίεια, ὑγιαίνειν, ὑγιής. δίαιτα διαίτησις, ὑγιάσαι. τάχα δ' ἂν ἰατρῷ προσήκοι, καὶ κρίσιμος ἡμέρα.

Ἰατροτέχνας. λέγει Ἀριστοφάνης, ὅτι καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὕδατος συνέγραψαν. ὕδατα δέ εἰσι καὶ αἱ νεφέλαι. σύνταγμα δέ ἐστιν Ἱπποκράτους περὶ ἀέρων τόπων καὶ ὑδάτων.

Ἰαῦ, θρηνητικὸν ἐπίρρημα.

Ἰαῦ, μίμημά ἐστι συριγμοῦ, παρὰ τῷ Ἀριστοφάνει.

Ἰαυθμοὶ, αἱ κοιμῆτραι, παρὰ τὸ ἰαύειν. λέγεται καὶ ἐπιαύειν, οὐδ' ἐπιαύει ἤιόσι μογερῷ γήρᾳ τηρόμενος.

Ἰαύειν, ποτὲ μὲν ἐπὶ ὕπνου καὶ ἀνακλίσεως τίθεσθαι δοκεῖ, οἷον τῇ περιαύνων τέρπεσθαι, ἤγουν παρακοιμώμενος. ὡς ἐπὶ πολὺ δὲ ἡ λέξις ἐπὶ διατριβῆς, ὅ ἐστιν ἀργίας λέγεται. ὅθεν καὶ ἐνιαυτὸς ὁ μακρὸς χρόνος, καὶ πολλὴν ἔχων διατριβήν. διὸ καὶ ἐτέων ἐνιαυτοὺς, ἀντὶ τοῦ διατριβὰς νοοῦσί τινες. καὶ τὸ νύκτας οὖν ἀύπνους ἰαύειν,

ἰαύειν, ἀντὶ τοῦ διάγειν, διατρίβειν. πῶς γάρ ἐστι τὸν ἄϋπνον νύκτας ἰαύειν, ἤγουν κοιμᾶσθαι.

Ἴαυον, ἐν ι' τῆς Ὀδυσσείας, γενικῶς τὴν περί τι διατριβὴν δηλοῖ. δόξειε δ' ἂν καὶ τοῦ κοιμᾶσθαι νῦν, ὡς ἐκ μέρους εἶναι δηλωτικόν.

Ἴαυος, κοίτη, ἀπὸ τοῦ ἰαύειν.

Ἴαυχεν, ἀντὶ τοῦ ἴαχεν λέγουσιν Αἰολεῖς.

Ἰαύω, τὸ ἀγρυπνῶ ἀμεταβάτως.

Ἰαύων, κοιμώμενος, διάγων, διατρίβων.

Ἰαφθείς, φθαρείς.

Ἰαφθῆναι, ἀποθανεῖν, πεσεῖν, φθαρῆναι.

Ἴαχεν, ἐβόησεν, ἤχιζεν, ἐψόφει.

Ἰάχεον, σαλπινόν, σαφρόν.

Ἰαχή, ἐπὶ πολέμου. ἐπὶ μέντοι θαλάσσης, τὸ ἠχεῖν. ὅθεν καὶ θάλασσα ἠχήεσσα. τὸ δὲ ἰαχή, καὶ βοή, λέγεται ἐν τῷ μείζων δὴ παρὰ νηυσὶ βοή.

Ἰαχήμασι, ᾠδαὶ διονυσιακαί, καὶ κορυβαντείων ἰαχήματα χαλκᾶ ῥόπτρων. ἰαχήματα δὲ κραυγαί.

Ἰαχήσω, θρηνήσω.

Ἰωχμόν, διωγμόν.

Ἰαχῶ, τὸ βοῶ, ἐκ τοῦ ἰαχή.

Ἰάψαι, καὶ τὸ προϊάψαι, βλάβην τινὰ δηλοῖ.

Ἰάψαι, ἐπιβαλεῖν. καὶ ἰάψῃς, ἐπιβάλῃς. ἢ συλλάβῃς ἡμῖν ὀρχήματος αὐγήν· τοῦτο δ' ἂν ξυνὸν ἰάψῃς, Σοφοκλῆς. καὶ ἰάχαι, φθεῖραι.

Ἴαψεν, ἔβλαψεν, ἀόριστος πρῶτος. τὸ θέμα ἰάπτω, ὁ μέλλων ἰάψω.

Ἴαψεν, καὶ τὸ ἔπεμψεν σημαίνει ἁπλῶς, καὶ μετὰ βλάβης.

Ἰάψεται, νικήσει, βλάψει.

Ἰαώ, ἡ σωτηρία παρ' Ἑβραίοις.

Ἰαωλκός, ἀπὸ Ἰαωλκοῦ φασιν, υἱοῦ Ἀμύρου, ἀφ' οὗ ἀμυρικὸν πεδίον ἐν Λαρίσσῃ. εὑρίσκεται δέ ποτε καὶ τρισυλλάβως ἰωλκός.

ΤΟ' Ι'. ΜΕΤΑ' ΤΟΥ' Β'.

Ἴβα, σιώπα.

Ἰβανεῖ, ἀντλεῖ.

Ἰβανατρίς, χοινίον ἱμήτριον.

Ἰβάνη, κάδος ἀντλήριον.

Ἴβανον, κάδον, σαμνίον, χαλκίον.

Ἰβάρβιον, χαλεπόν, ἀνυπόστατον.

Ἴβην, σορόν.

Ἴβηνα, τὸν οἶνον Κρῆτες. οἱ δὲ βῆλα.

Ἴβηνοι, σοροί, θῆκαι ὀστράκιναι, κιβωτοί. διδυμοι νοσροί.

Ἴβηνος πλησμονή.

Ἴβηρ, χερσαῖόν τι θηρίον, ἀφ' οὗ καὶ ἴβηρες.

Ἴβηρ, ἐθνικόν ἐστι. καὶ παραγωγὴν οὐκ ἔχει. τινὲς δὲ παράγουσιν αὐτὸ ἀπὸ τοῦ ἵμερος, ὃ σημαίνει τὴν ἐπιθυμίαν. καὶ ἰβηρία χώρα. * ἔστι δὲ καὶ ἄλλη Ἰβηρία ἡ ἑσπερία, ἡ καὶ Ἱσπανία λεγομένη.

Ἰβηκτὴρ, ὁ παρὰ Κρησὶν ἴβριος, ἐμβατήριον ποιησάμενος, ὅπερ ὁ αἴδων οὕτω καλεῖται.

Ἰβίβυος, παιανισμός.

Ἴβινος, ἀετός.

Ἴβις, ὄρνεον ὀφιοφάγον. καὶ κλίνεται ἴβιδος, ἡ αἰτιατικὴ τὰς ἴβιδας.

Ἰβρίκαλοι, χοῖροι.

Ἴβροι, τινὲς τὸ βοᾶν. οἱ δὲ τὸ πολύ. ἔστι δὲ Λυδῶν.

Ἰβυδήνας, τοὺς εὐφημοῦντας. ἴβη γάρ, ἡ εὐφημία.

Ἰβύηχα, σεμνότης. ἢ σωρὸς κρεῶν.

Ἰβύει, τύπτει, βοᾷ.

Ἰβύκειον, ῥησείδιον.

Ἴβυκες, ἐναντία τοῖς Κορινθίοις ποιοῦσιν, ἤγουν ὑποτακτικοῖς, ἀντὶ ὁριστικῶν χρώμενοι. ὡς τὸ λαμπρὸν παμφαίνησιν, ἀντὶ τοῦ παμφαίνει.

Ἰβυκινῆσαι, ἐπευφημῆσαι, βοῆσαι.

Ἰβυκινήσαντες, ἀπὸ γὰρ τοῦ ἴβυ παρῆκται ἡ λέξις. ὅ ἐστιν Ἰωνικὸν ἐπίρρημα. καὶ δηλοῖ τὸ πολύ, καὶ μέγα. τινὲς δέ, τὸ βοᾶν. οἱ δέ, τύπτειν. οἱ δέ, εὐφημεῖν. οἱ δέ, δηλοῦν. ἔστι δέ, καὶ ὅρκος Ἰωνικός.

Ἰβύκινον, μουσικὸν ὄργανον.

Ἰβυκαντὴρ, σαλπιγκτὴρ, ἀπὸ ἰβύκου εὑρετοῦ, ἐξ οὗ καὶ ἰβύκανον, μουσικὸν ὄργανον.

Ἴβυξ, ὀρνέου εἶδος, καὶ ἶβυς.

Ἴβυς, εὐφημία, σιγμή.

Ἰβῶν, εὐφημῶν, στάζων.

ΤΟ' Ι'. ΜΕΤΑ' ΤΟΥ' Γ'.

Ἴγα, σιώπα. Κύπριοι.

Ἴγγια, εἷς, Πάφιοι.

Ἴγγι τινί, ἐπιθυμίᾳ τινί, ἑλκομένη.

Ἴγγρος, ὁ ἐγκέφαλος.

Ἴγγωρ, ἐθνικόν. καὶ ἴγγηρ.

Ἴγδην, ἄρσην, ἢ τριβαία, ἡ θυεία. καὶ ἴγδις, ἔνθα μίσγομεν τὰ ἀρτύματα.

Ἴγδισμα, λύγισμα ὀρχηστικόν, ἐν ᾧ ἐλύγιζον τὴν ὀσφῦν ἐμπρεπῶς τῷ δοίδυκι.

Ἰγδόλης, ὁ ἐπὶ μέρει γεωργῶν, ἢ ἰχμαλός.

Ἴγκρος, ἐγκέφαλος.

Ἰγμαλέην, ὑγρὴν, δίυγρον.

Ἰγμένος, ὁ ἐλθών.

Ἰγμή, βοή.

Ἴγνη, ἢ ἴγνη, καὶ ἴγδη παρ' Ἱπποκράτει, ἴσατις ἡ ἀγρία.

Ἴγνητες, οὕτως ὠνομάζοντο οἱ μετὰ τοὺς τελχῖνας ἐποικήσαντες τὴν Ῥόδον.

Ἴγνην, ἄρσην.

Ἰγνύα, ψυχή, ἢ τὸ τοῦ γόνατος ὄπισθεν μέρος.

Ἰγνύει καὶ ἰγνύην, τὸ αὐτό, ἤγουν τὸ ἀντικνήμιον.

Ἰγνύη, τὸ κατόπιν, ἤτοι ὀπίσω μέρος τοῦ γόνατος, ὅπερ καὶ ἀγκύλη λέγεται. γίνεται δέ, παρὰ τὸ ἰκνεῖσθαι ἰκνύη τις οὖσα. ἐπεὶ καμπτομένης αὐτῆς, ἰκνούμεθα. εἰ δὲ ψιλοῦται ἡ ἄρχουσα τῆς ἰγνύης, οὐ καινόν. λείπει γὰρ τὸ κ' τὸ τὴν δασεῖαν προκαλούμενον, καθὰ καὶ ἐν τῷ ἴχνους καὶ ἴχνια, οὕτω καὶ ἰχθύς.

Ἴγνωντο, ἠνοίγοντο.

ΤΟ' Ι'. ΜΕΤΑ' ΤΟΥ' Δ'.

Ἴδα, μάχη.

Ἰδαία, ἡ σινδόνη ἀπὸ τῆς ἴδης.

Ἰδαῖοι, καὶ δάκτυλοι, καὶ κούρητες, καὶ κορύβαντες, οἱ αὐτοί εἰσι.

Ἰδαῖον, ἄντρον ἐν κρήτῃ.

Ἰδαίους, ψυχρούς. ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ' ὑπερβολῇ τοὺς δακτύλους δή πουθεν ἰδαίους ἔχω.

Ἰδαῖος, ἐπιθετικῶς οὕτως ἐλέγετο ὁ Ζεύς, ἀπὸ Ἴδης τοῦ ὄρους τρωϊκοῦ. καὶ κύριον ὄνομα τοῦ Τρώων κήρυκος, καὶ τοῦ Δάρητος τοῦ ἱερέως, τοῦ Ἡφαίστου υἱοῦ.

Ἰδάλιμον, εὐειδές. καὶ ἰδάλιμος, ὁ ἱδρώς. καὶ ἰδάλιμον, τὸ καυστικόν.

Ἰδάλιμος, ὄρνις ποιός.

Ἰδάλλεται, φαίνεται.

Ἰδάλτα, ἴδια τινά.

Ἰδ' ἀμφύη πῦρ, παροιμία ἐπὶ τάχους, ἅμ' ἔπος, ἅμ' ἔργον.

Ἰδάνη, τρυφερά, εὐπρεπῆ.

Ἰδανόν, εὐειδές. καὶ τὸ ἡδύοσμον, καὶ ἀχίλλειον ῥιζίον.

Ἴδαρ, βρῶμα.

Ἰδάρνας, ὁ ἐκτομίας. οἱ δέ, βάρβαρον. οἱ δέ, μάντεως ὄνομα. οἱ δέ, πόλιν τῆς Καρίας εἶναι ἰδάρνην. καὶ ἀπὸ ταύτης τοὺς μάντεις λέγεσθαι.

Ἴδας, εἶδος, καὶ πάντα τὰ ὑψηλά, καὶ ὄνομα κύριον, ὁ μέγας.

Ἴδε, ἐπίρρημα δεικτικόν. Θεόκριτος, ἴδ' αὖ πάλιν ἅδε ποιτέρπει.

Ἰδέ, ἀντὶ τοῦ καί, ζήτει τὸ Ἠδέ.

Ἴδε, βλέψον. ἰδέ, σύνδεσμος. εἶδε δέ, ἀντὶ τοῦ ἐθεάσατο, δίφθογγον.

Ἴδε, ἀντὶ τοῦ ἰδού, ἐθεάσατο.

Ἰδέα, ἡ μορφή. καὶ ἀπὸ τούτου ἰδέαι, αἱ ὁδοί, καὶ οἱ τρόποι. καὶ παρὰ Πλάτωνι ἰδέαι, οἱ τύποι. καὶ παρὰ τοῖς ῥήτορσιν, ἰδέαι αἱ μορφαί, οἷον τῶν λόγων.

Ἰδέαι, μυστικαί, ἐν τῷ σιμός.

Ἰδέας, τὰς θεωρίας διὰ τοῦ ι καὶ ἰδέαι, τὴν ἰδέαν ὁ Πλάτων καὶ εἶδος ὀνομάζει, καὶ γένος, καὶ παράδειγμα, καὶ ἀρχήν, καὶ αἴτια. ἰδέα δὲ λόγου, ὁ χαρακτήρ.

Ἰδέατος, καλὸς ἀνήρ, σικελός.

Ἰδέειν, ἱδροῦν, κοπιᾶν.

Ἰδέειν ἀπαρέμφατον ἀορίστου δευτέρου, καὶ μέλλοντος δευτέρου. οἱ Ἴωνες ἐπὶ τῶν εἰς ειν ἀπαρεμφάτων πλεονασμῷ διὰ τοῦ ε προφέρουσιν. οἷον θανεῖν, θανέειν.

Ἴδει, τῷ ἱδρῶτι. ἡ εὐθεῖα τὸ ἶδος. καὶ ἴδει, σημαίνει δὲ τὸ θέρος, παρ' Ἡσιόδῳ.

Ἰδείησιν πραπίδεσσι, ὤφειλεν διὰ διφθόγγου ἔχειν ἀναλόγως τὴν ἄρχουσαν, ὡς ἀπὸ τοῦ εἰδὼς εἰδότος μετοχῆς, ὅμως διὰ τοῦ ι γράφεται, οὐχ ὡς μετοχή, ἀλλ' ὡς μετοχικὸν ὄνομα. ὅθεν καὶ ἰδυίους τοὺς ἴδμονας, οἱ παλαιοὶ τοὺς μάρτυρας ἔλεγον.

Ἰδεῖν, τοῦ δὲ ἰδεῖν τὸ νοῆσαι διέστησεν Ὅμηρος ἐν ε' τῆς Ἰλιάδος, οὐχ ἁπλῶς, εἴγε νοῦς ὁρᾷ, ὥσπερ καὶ ἀκούει, ἀλλὰ διότι ἐστὶ νοῆσαί ποτε καὶ δίχα τοῦ ἰδεῖν, ὁποῖόν τε καὶ ἐξ ἀκοῆς μαθεῖν.

Ἰδεῖν, βλέψαι.

Ἴδεν, ἀόριστός ἐστι δεύτερος, ἐξ οὗ καὶ τὸ ἰδεῖν ἀπαρέμφατον, καὶ ἰδὼν μετοχή.

Ἰδενυοί, αἱ σύνυμφοι.

Ἰδέρως, ὁ ἅμα τῷ ἰδεῖν ἐρῶν.

Ἰδέσθαι, ὁρᾶσθαι, ἰδεῖν.

Ἴδεσκεν, ἔδερκεν.

Ἰδεχθής, ἢ εἰδεχθής, ἀπρεπής, ἀσθενής.

Ἰδέω, γνώσομαι.

Ἰδέων, φαινόμενος, καὶ εἶδος ἀετοῦ.

Ἴδη, κατὰ Δίδυμον, οὐ μόνον ἡ τρωϊκή, ἀλλὰ πᾶν ὄρος, ἐξ οὗ τὰ κύκλωθέν ἐστιν ἰδεῖν. ὡς καὶ Ἀχελῷος, πᾶν ὕδωρ. ὁμοίως καὶ ὠκεανός. ἔστιν οὖν καὶ ἴδη κρητική, σώζουσα μέχρι καὶ νῦν τοὔνομα. ἴδα γὰρ δωρικώτερον. οὕτω δὲ καὶ τὸ φυτὸν ἡ αἴγειρος, φυλάσσει τὴν κλῆσιν, ἐν οἷς περὶ Ναύπακτον καὶ τοὺς ἐκεῖ τόπους.

Ἴδη, οὐ μόνον ὄνομα ὄρους, ὡς μυριαχοῦ ἐστιν εὑρεῖν, ἀλλὰ καὶ κατὰ τοὺς παλαιούς, ἴδην καὶ τὴν τῶν ξύλων ὕλην, Ἴωνές φασιν. ἤδη δέ ποτε καὶ Ἀττικοί.

Ἴδη, ὄρος Τροίας καὶ Κρήτης. ἐκ δὲ τούτων, καὶ πᾶν ὄρος οἱ ποιηταί φασιν Ἴδην. ὁμοίως καὶ ῥίον ἀκρωτήριον, οὗ κατ' ἀντικρὺ κεῖται τὸ ἀντίρριον. ἐκ δὲ τούτου πᾶν ἀκρωτήριον οἱ ποιηταὶ φασιν ῥίον.

Ἴδημα, ὅραμα.

Ἰδήμων, ἔμπειρος, γνωστικός.

Ἴδην, πᾶν ὄρος φασὶν ὑψηλόν, ὡς ἐκ μέρους καὶ κατ' ἐξοχήν τινα. πεύκην δὲ ὁμοίως, ἅπαν δένδρον, ὥσπερ δρῦς καὶ ὁ δρυμών.

Ἰδήρατος, καλός, ὡραῖος.

Ἴδητε, παρ' Ὁμήρῳ οὐ μόνον θέαν δηλοῖ, ἀλλὰ καὶ νόησιν, ἐπειδὴ καὶ νοῦς ἀκούει.

Ἰδία, λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ εἰπεῖν ἰδικῶς. ἰδίᾳ βούλομαί σε προσφωνεῖν.

Ἰδία ἐπίρρημα, ἀντὶ τοῦ κατὰ μόνας. καὶ ἰδίως, ἀντὶ τοῦ μεμονωμένως, καὶ κεχωρισμένως. καὶ ἰδίαν, ἀντὶ τοῦ ἰδιωτικήν. ἐλέγετο δὲ τὸ ἴδιον, καὶ ἰδιωτικόν, καὶ χωρίς.

Ἴδια πράττω, ἴδια πράττε, καὶ τὰ ἴδια πραττέτω, μὴ λέγε. ἀλλὰ τὰ ἐμαυτοῦ πράττω, καὶ τὰ σαυτοῦ πράττε, καὶ τὰ ἑαυτοῦ πραττέτω. οὕτω γὰρ οἱ Ἀττικοὶ λέγουσι.

Ἰδιάζεται, νοσφίζεται, μόνῳ προσφωνεῖ.

Ἰδίαζον, κατ' ἰδίαν ὡμίλουν.

Ἴδηαι, ὑποτακτικὸν παθητικὸν μέσου ἀορίστου δευτέρου. ὁ κανών. οἱ Ἴωνες ἀποβάλλοντες τὸ τ τοῦ τρίτου, τὸ δεύτερον ποιοῦσι. ὡς τὸ κέλεται, κέλεαι. ἴδηται, ἴδηαι.

Ἰδιαίτατα, κατὰ μόνας. καὶ ἰδιαίτατος, ὁ μοναχός. καὶ ὁ ἴδιος ὑπερθετικῶς.

Ἰδιαίτερον, ἰδικώτερον.

Ἰδιάσαι, κατ' ἰδίαν ὁμιλῆσαι.

Ἰδιάττα, ἴδια τινά.

Ἰδίειν, ἱδροῦν, κοπιᾶν. καὶ ἶδος, καύματος, ἱδρῶτος. ἰδίω, τὸ ἱδρῶ. ἴδιον, ὡς ἐνόησα ὅλως.

Ἰδίῃς, ἱδρώσῃς. Ἀριστοφάνης, μή μοι σοβαρῶς χώρει, πρὶν ἂν ἰδίῃς, τουτέστιν ἱδρώσῃς.

Ἰδικόν, ἰδικόν ἐστι τοῦ ἀνθρώπου ἡ οὐσία, ἤγουν ἡ φύσις.

Digitized by Google

ἡ φύσις, καὶ ἡ ὑπόστασις, ἤγουν τὸ ἄτομον.

Ἰδικῶς, καταμόνας.

Ἰδιαιτάτως, ἰδίως.

Ἰδιόκοινον, ἰδιόρρυθμον.

Ἴδιον, παρ' Ὁμήρῳ ἐν υ' τῆς Ὀδυσσείας, τὸ ἐστιν ἴδρωσα, ἠγωνίασα. ὡς ἐνόησα, ἤγουν εἰς νοῦν ἔλαβον. ἐκ τοῦ ἴδιον, ὃ δηλοῖ τὸ ἵδρυν. καὶ ἶδος λέγεται ὁ ἱδρὼς, ἀφ' οὗ ἰδάλιμος.

Ἴδιον δὲ τὸ μιᾷ φύσει ἁρμόζον. καὶ ἀντιστρέφον πρὸς τὸ ὑπαρκτικὸν, ὥσπερ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἐπὶ ἀνθρώπου. καὶ ἐπὶ τοῦ ἵππου, τὸ χρεμετιστικὸν, περὶ τούτου παρὰ τοῖς φιλοσόφοις ὁ λόγος, τὸ παντὶ καὶ μόνῳ καὶ ἀεὶ ὑπάρχοντος. ὅπερ ἴδιον ἐπουσιῶδες καλοῦσιν. ἴδιον τοῦ ἀνθρώπου κυρίως τὸ σύνθετον ἐκ θνητῆς καὶ ἀθανάτου φύσεως, ἐν ἄλλῃ οἱᾳ δήποτε οὐσίᾳ μὴ γνωριζόμενον. ἴδιόν ἐστι σαρκὸς ἐμψύχου, τὸ κοπτεσθαι, τὸ ὀδυνᾶσθαι, πεῖναν δίψαν ὑποκρατεῖσθαι, καὶ ἰδίως ὑφεστὼς ἐν τῷ προσώπῳ.

Ἰδιόξενος, ὁ μὴ δημοσίᾳ προσκείμενος πόλει τινὶ, ἀλλὰ ἰδίᾳ τινὶ τῆς πόλεως.

Ἰδιοποιοῦμαι, ὑποβάλλομαι, νοσφίζομαι, σφετερίζω, ἐγκολπίζομαι.

Ἰδιοπραγεῖ, τὰ ἴδια πράσσει, ἡσυχάζει.

Ἰδιόρρυθμον, ἰδιότακτον.

Ἰδιοσυστάτως, καθ' ὑπόστασιν ἰδίαν.

Ἰδιοτελῶ, τὸ τὰ ἴδια πράττειν.

Ἰδιώτης, λέγεται καὶ ἐπὶ ἀρχῆς, ὁ μὴ μετέχων δηλαδὴ ταύτης, ᾧ τινι ἀντίκειται ὁ ἄρχων. ἢ ὁ βασιλεὺς, λέγεται καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. καὶ γὰρ ὁ μὴ μετέχων λόγου, ἰδιώτης λέγεται. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. καὶ ἰδιότης ἡ συγγένεια. καὶ κλίνεται ἰδιότητος, καὶ ἰδιοτεία.

Ἰδίους, ἀφρονεστάτους.

Ἰδίσαι, ἱδρῶσαι.

Ἴδισμα, λόγισμα.

Ἰδίω. τὸ κοπιῶ. ἀφ' οὗ ἶδος ὁ κόπος. καὶ ἰδίω ἱδρῶ.

Ἰδίωμα ὑποστατικόν ἐστι, τὸ ἀφορίζον τοῦ κοινοῦ τῆς φύσεως γνώρισμα, ἢ τὸ χαρακτηρίζον τινὸς ἀνθρώπου πρόσωπον, ἢ τὸ πρὸς ἕτερον ὁμοειδὲς, καθ' αὑτὸ ἐπιδεικνύον τὸ σημαινόμενον πρᾶγμα.

Ἰδιώματα, τῆς ἀγγελικῆς φύσεως παρὰ τὴν ἀνθρωπίνην, τὸ ἀθάνατον, τὸ ἀόρατον, τὸ ἀνενδεὲς ὕλης, τὸ ἀσώματον, ὡς πρὸς τὸ σῶμα, ἅτινα εἰλήφασι παρὰ τοῦ δωρησαμένου Θεοῦ. ἰδιώματα τῆς ἀνθρωπίνης φύσεως, τὰ χωρίζοντα αὐτὴν τῶν λοιπῶν οὐσιῶν. λέγω δὲ τῶν ἀλόγων, τὸ λογιστικὸν, τὸ διανοητικὸν, τὸ τῆς ψυχῆς ἀΐδιον, τὸ αὐτεξούσιον, τὸ ὀρθοπεριπατητικόν. πρὸς Θεὸν καὶ ἀγγέλους, τὸ τῆς τροφῆς ἐνδεὲς, τὸ περιγραπτὸν, τὸ βαρὺ τοῦ σώματος. εἰσὶ δὲ ἰδιώματα φυσικὰ, ἃ προείπον. καὶ εἰσὶ καὶ ὑποστατικὰ, οἷον λευκότης, σιμότης, μελανότης, γοργότης, νωθρότης, καὶ τὰ ὅμοια. ἅπερ οὐκ ἐν πᾶσιν ἀνθρώποις ὁμοίως εὑρίσκεται, οὐ γὰρ πάντες σιμοὶ, οὐ πάντες γλαυκοί. διόπερ καί τινες ὑπόστασιν εἶναι λέγουσι τὴν συνδρομὴν, τὴν ἰδιάζουσαν τῶν χαρακτηριστικῶν ἰδιωμάτων. παντὶ τῷ γένει ὁμοίως εὑρίσκονται, οἷον πάντες ἄνθρωποι βροτοὶ, ὁμοίως θνητοὶ, λογικοὶ, ἀναπνευστικοὶ, περιπατητικοὶ, ὑπνωτικοὶ, πλατυώνυχες, γεωργικοὶ, τεχνῶν τεχνῖται.

Ἰδίως, καταμόνας, χωρίς.

Ἰδιώσασθαι, ἰδιοποιήσασθαι.

Ἰδιώτης λέγεται, ὁ πρὸς γένος ἴδιος, καὶ ὁ ἀμαθής. Ἀριστοφάνης δὲ λέγει τοὺς ἰδιώτας, ἀντὶ τοῦ τοὺς ἰδίους, τοὺς πολίτας.

Ἰδιωτικαὶ δίκαι. αἱ εἰς χρήματα τὴν ζημίαν ἐπάγουσαι. οἷον ἀφαίρεσις πράγματος, κινητοῦ ἢ ἀκινήτου.

Ἴδμαι, γινώσκω, οἶδα.

Ἴδμεν, οἴδαμεν. ἐπὶ ἀπαρεμφάτου σπανίως εὕρηται. ἢ ἐκ τοῦ ἴσαμεν, κατὰ συγκοπὴν ἴσμεν. καὶ τροπῇ τοῦ σ εἰς τὸ δ', ἴδμεν. ἢ ἐκ τοῦ ἴδομεν, δευτέρου Ἀορίστου κατὰ συγκοπήν.

Ἴδημι, Ποιητικῶς ἴσημι, ἴσης, ἴσησιν. οὗ τὰ πληθυντικὰ ἴσμεν, κατὰ συγκοπὴν ἴστε, ἴσασιν. ἃ καὶ παρὰ τοῖς κοινοῖς ἐστιν ἐν χρήσει, ἀπὸ τοῦ ἴσμεν τὸ ἴδμεν. τροπῇ τοῦ σ εἰς δ', ἴδμεν. τὸ ἐναλλάσσειν τὸ σ εἰς τὸ δ τῶν Αἰολέων ἐστί. θέμα αὐτοῦ τὸ ἴσημι, τὸ πληθυντικὸν, ἴσαμεν. καὶ συγκοπῇ ἴσμεν. τινὲς δὲ τολμῶσιν ἐκ τοῦ οἴδαμεν συγκόψαι αὐτὸ, ἀποβάλλοντες τὸ κατάρχον ο.

Ἴδμεναι καὶ τὸ δαῆναι διαφέρει. ἴδμεναι μὲν γὰρ, τὸ οἴκοθεν εἰδέναι. δαῆναι δὲ, τὸ ἑτέρωθεν.

Ἰδμὴν, φρόνησιν.

Ἴδμονα, ἔμπειρον. καὶ ἐπιίδμονα τὴν κύνα, τὸν πάσης κρατερῆς ἐπιίδμονα θήρης.

Ἰδμοσύνη, ἐμπειρία, ἀπὸ τοῦ ἴδμεναι, ὅ ἐστιν ἐπίστασθαι.

Ἴδμον, κάμπτων, ἐπιστήμων, ἴστωρ.

Ἰδνοῦνται, λοξοῦνται, παρὰ τῷ Ἱπποκράτει.

Ἰδνῶ, ἰδνωθεὶς, ἐπιστραφεὶς, καμφθείς.

Ἰδνωθῆναι, τὸ συγκαμφθῆναι, ἐκ τοῦ ἰδνόω. Ὅμηρος, ἰδνώθη πεσών. ὃ ταυτόν ἐστι τῷ ἰδνωθεὶς ἔπεσεν. ὡς καὶ τὸ κάμε τεύχων, ὅμοιόν ἐστι τῷ καμὼν ἔτευξε, καὶ χασάμενος πελεμίχθη, πελεμιχθεὶς χάσατο.

Ἰδνωθῆναι, ἐστὶ τὸ συγκαμφθῆναι. καὶ γίνεται ἀπὸ τοῦ τὸ ἰνίον δονηθῆναι, μεταθέντος τοῦ δ' ὀπίσω τοῦ ν. ἐστὶ δὲ ἰνίον τὸ ὀπίσω τῆς κεφαλῆς, οὗ συμπίπτοντος ἐπὶ τὸ κάτω καὶ συσπωμένου πρὸς τοῖς ὤμοις ἰδνοῦσθαι, λέγεται, ὁ τοῦτο πάσχων. καὶ ἄλλως γίνεται ἡ λέξις ἐκ τοῦ ἕζω, ἀφ' οὗ τὸ ἕδω, οἷα φιλουμένων τοῦ ζ καὶ δ πλεονασμῷ τοῦ ν παρακολουθεῖν αὐτίκα, καὶ τροπῇ τοῦ ε εἰς ι καὶ γίνεται ἴδω ἰδνῶ, ὡς πέλω πιλνῶ, σκεδῶ σκιδνῶ, καὶ ἄλλα μυρία. ἰδνῶ γοῦν, τὸ συστέλλομαι. καὶ οἷον συνιζάνω. οὕτω καὶ ὁ Θερσίτης ἰδνοῦται.

Ἰδοίατο, βλέψοιεν.

Ἰδοιδοπεῖ ἢ κοιδοιδοπᾷ ταράσσει.

Ἴδοις, ἀντὶ τοῦ εὕροις, ὡς τὸ ἴδοις τὰ ἀγαθά.

Ἴδοιτο Ἀττικῶς, παθαίνεται παρ' Ὁμήρῳ. ἄλλως γὰρ ἀγαθὸν εἰπεῖν καὶ ἴδοι, οὕτω καὶ τὰ οἱ μὲν ἴδοντο πορευόμενον, καὶ ἴδον ἐγώ.

Ἰδομαλιάδαι, οἱ τὰς ὄψεις κοσμούμενοι.

Ἰδόμην, ἐθεασάμην.

Ἴδον, δεύτερος ἀόριστος διὰ τοῦ ι παρὰ τοῖς Ποιηταῖς, παρὰ δὲ τοῖς κοινοῖς διὰ τῆς ει διφθόγγου.

Ἴδονται, φαίνονται.

Ἰδὸς, ὁδὸς, σῶμα.

Ἶδος λέγεται, ὁ ἱδρώς. ἐκ τοῦ ἴδιον, ὃ δηλοῖ τὸ ἵδρουν, ἐκ τοῦ ἶδος ὁ ἰδάλιμος.

Ἴδοσάν σε ὕδατα, δευτέρου Ἀορίστου. καὶ γράφεται διὰ τοῦ ι.

Ἰδοὺ, Ἀττικοὶ λέγουσιν, οὐκ ἴδε.

Ἰδοὺ ἧκεν εἰς τέλος, ἰδοὺ ἀμνὸς, ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ ῥήματος. τὰ δεικτικὰ ὁριστικῷ συντάσσονται.

Ἰδοὺ, ἀντὶ τοῦ λάβε, κράτει, συγκαταθέσεως ἐπίρρημα.

Ἰδοῦ, ἰδέσθω, θέασαι.

Ἰδουμαῖος, οὕτως ἐκλήθη ὁ ἀπόγονος τοῦ Ἠσαῦ. ἴδουμα γὰρ λέγεται εἶδος ξανθῆς φακῆς. ἧς ἐπιθυμήσας Ἠσαῦ ἀπέδοτο τὰ πρωτοτόκια.

Ἰδουμαία, ἑρμηνεύεται αἱματώδης, ἢ πηλώδης.

Ἰδρείη, ἐπιστήμη, ἀπὸ τοῦ ἴδρις ἴδρεως, ὡς ὄφεως. οὗ τὸ ἀνάπαλιν, ἄϊδρις, ἀφ' οὗ καὶ ἀϊδρείη πολέμου, ἡ ἀτεχνία καὶ ἀνεπιστημοσύνη.

Ἰδρείη, ἐμπειρεία. καὶ ἰδρείη, Σοφία.

Ἴδριας, σοφοὺς, ἐπιστήμονας, ἐμπείρους.

Ἰδριεὺς, δυνάστης. ἦν οὗτος ἐν Καρίᾳ, υἱὸς Ἑκατόμνου, ἀδελφὸς δὲ Μαυσώλου καὶ Ἀρτεμισίας.

Ἴδρις, ἔμπειρος, ἀπὸ τοῦ ἴδω ἴσω καὶ ἴδιος.

Ἴδρις, ὁ μύρμηξ, παρὰ Ἡσιόδῳ. ὅτε τ' ἴδρις σωρὸν ἀμᾶται. σωρὸν τὸν καρπὸν λέγει.

Ἰδρίω, ἱδρῶ, καὶ ἱδροῦντας καὶ ἱδρώοντας.

Ἱδρύεσθαι, ἐπὶ τῇ ἱδρύσει στῆσαι χύτρας.

Ἱδρύεται, καθέζεται.

Ἵδρυε, ἀντὶ τοῦ καθέζεσθαι κέλευε.

Ἱδρύματα, καθίσματα.

Ἱδρυμένα, ἀνατεθέντα, ἢ ἠσφαλισμένα, τεθεμελιωμένα, κατεσκευασμένα.

Ἱδρύσαντο, ἐκάθισαν.

Ἵδρυται, πεπαγίωται.

Ἵδρυσις, ἱδραία, ἀσφάλεια, ἢ θεμελίωσις.

Ἱδρύω, παρ' Ὁμήρῳ, τὸ κάθημαι, ἀπὸ τοῦ ἕζω. παρὰ δὲ τοῖς Ἀττικοῖς ὕστερον ἱερὰ λέξις. ἱδρύεται γὰρ ναὸς, καὶ ἱδρύεται ἄγαλμα ἐν ναῷ. καὶ τὸ ἀφίδρυμαι δὲ παρ' ἐκείνοις ἐντεῦθεν ἐλέγετο.

Ἱδρύω, τὸ καθιδρύω τὸν στρατὸν, καὶ τῷ δεῖ τῷ τόπῳ. καθιδρύω δὲ τῷ Θεῷ ναὸν, ἤγουν ἐγκαθιστῶ.

Ἱδρύω, τὸ καθιδρύω, ἤγουν ἢ ναὸν ἐγείρω, ἢ ἄγαλμα ἐγκαθιστῶ.

Ἱδρύθη, οὐχ ἱδρώθη. Θουκυδίδης, ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακόν.

Ἱδρύω, τὸ καθίζω ἕτερον. ἢ τὸ θεμελιῶ.

Ἱδρύσεσι τῶν ἀγαλμάτων. ἔθος ἦν ὁσπρίων ἑψημένων χύτρας περιπομπεύεσθαι ὑπὸ γυναικῶν, ποικίλως ἠμφιεσμένων, καὶ τούτων ἀπήρχοντο χαριστήρια τοῖς Θεοῖς ἀπονέμοντες.

Ἱδρῶ, παρ' Ἀττικοῖς, τὸ ἱδρῶτα παρὰ τοῖς κοινοῖς.

Ἱδρῶ, οὐ μόνον ἐπὶ αἰτιατικῆς κατὰ ἀποκοπὴν, ἀλλὰ καὶ ἐπὶ δοτικῆς. καμάτῳ γάρ φησιν Ὅμηρος καὶ ἱδρῷ.

* Ἵδρωα, ἢ ἱδρῶα, ἐξανθήματα θερινὰ, ἑλκωδῶς τραχύνοντα τὸ δέρμα, καὶ γίνονται κατὰ τοὺς πολλοὺς ἱδρῶτας, ὅταν χολωδέστεροι ὦσιν. ἢ ὅλως δακνωδέστεροι τυγχάνουσιν ὄντες.

Ἱδρώοντας, ἱδροῦντας.

Ἱδρὼς, τοῦ ἱδρῶτος, τῷ ἱδρῶτι καὶ ἱδρῷ, τὸν ἱδρῶτα καὶ ἱδρῶ, ὦ ἱδρὼς, τὼ ἱδρῶτε, τοῖν ἱδρώτοιν, ὦ ἱδρῶτε. οἱ ἱδρῶτες, τῶν ἱδρώτων, τοῖς ἱδρῶσι, τοὺς ἱδρῶτας, ὦ ἱδρῶτες.

Ἱδρῶσαι, ἢ κατὰ διάθεσιν εἴρηται δευτέρας συζυγίας τῶν περισπωμένων, ὃ ἐκ τοῦ ὑδρώουσαι συγκέκοπται. ἱδρὼς δὲ καὶ ἱδρῶσαι κυρίως ἐπὶ ζώων κεῖται. ὁ δέ γε τὰς πηγὰς γῆς ἱδρῶτα εἰπὼν, τροπικῶς εἶπεν. ὥσπερ καὶ τὸν οἶνον, εἰπὼν βρομιάδος ἱδρῶτα, πηγῆς ἀμπέλου δηλαδή. καὶ τὸν ἰξὸν δὲ, δρυὸς ἱδρῶτα. ὡς τὸ, δρυὸς ἱδρὼς, θομνομήκης κλάδος.

Ἱδρῶτι, λελείψεται ἡμῖν ἱδρῶτι πολλῷ λούεσθαι, ἱδρῶτι περιρρεόμενοι ὥρᾳ θέρους ὑπὸ τροφῆς ὄντες βραδεῖς καὶ δυσκίνητοι.

Ἰδυῖαι, μάρτυρες, ἢ οἱ τὰς φονικὰς δίκας κρίνοντες. οἱ δὲ συνίστορας.

Ἰδυίσιν, ἐπιστημονικαῖς.

Ἰδύλευμα, μάθημα.

Ἰδυαγὴς, μάντις.

Ἰδύους, μάρτυρας, συνίστορας.

Ἴδωμι, ἐκ τοῦ ἴδοιμι ἐκτέταται τὴν παραλήγουσαν, ὡς πού καὶ τὸ τύχωμι, ἐκ τοῦ τύχοιμι. δευτέρα δὲ αὐτῶν, ἴδως καὶ τύχως οὐχ εὕρηται, εἰ καὶ τὸ ἀνάλογον ἀπαιτεῖ. ἴσως δὲ οὐ γέγονε συναλοιφὴ διχρόνου, ἐκ τοῦ ἴδωμι, ἀλλὰ διφθόγγου ἐκ τοῦ ἴδωμαι, ἤγουν θεάσωμαι.

Ἰδὼν, ὁ θεασάμενος ἐπὶ μετοχῆς, ἐκ τοῦ εἴδω τὸ βλέπω, ἄχρηστον. ἀντὶ τούτου γράφεται τὸ ὁρῶ καὶ θεῶμαι, ὁ μέλλων καὶ αὐτὸς οὐκ ἐν χρήσει. ἀντὶ τούτου γράφεται τὸ ὄψομαι, καὶ θεάσομαι. ὁ δεύτερος ἀόριστος εἶδον, οὗ μετοχὴ ὁ ἰδών.

Ἰδωνὸν, ὅμοιον.

Ἴδωνται, φαίνωνται.

ΤΟΥ Ι. ΜΕΤΑ ΤΟΥ Ε.

Ι Καὶ ε, εἰς ι μακρὸν κιρνᾶται, οἷον ὄφιες ὄφις.

Ἴε, βάδιζε, πορεύου.

Ἰεβοῦς, πεπλανημένος, κατῃσχυμένος.

* Ἰεβοὴ, ὄνομα κύριον, καὶ ὄνομα πόλεως, καὶ Ἰεβουσαῖος ὁ ἀπ' αὐτῆς.

Ἰέζεο, ἐκαθέζου.

Ἴεθι, ἴεσο, ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς, ἢ ἀπὸ τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν γίνεται, τροπῇ τῆς πλατείας εἰς θι. οἷον ἱεὶς ἱέντος ἴεθι, ἵεμεν ἴεθι, οὕτως τίθεμεν τίθετι, ἵσαμεν ἵσαθι, δίδομεν δίδοθι, ζεύγνυμεν ζεύγνυθι.

Ἵει, καὶ μετὰ τῆς πρὸ προΐει, τὸ προέπεμψεν, ἐκ τοῦ ἱέω, ἱῶ. ὁ παρατατικὸς, ἵεον ἵουν, ἵεες ἵεις, ἵεε ἵει, καὶ προΐει. Ἱείη. ἵημι τὸ πέμπω, ὁ παρατατικὸς ἵην, ἡ μετοχὴ ἱεὶς ἱέντος, τὸ εὐκτικὸν ἱείην.

Ἱείη, κατὰ λαιμὸν, πορεύεται. Ἱεὶς, ἀφιεὶς τοξεύων. Σοφοκλῆς. Ἱεὶς, βάλλων, ἢ πέμπων.

Ἱεῖσα, ἀποβάλλουσα.

Ἴελος, ὁ τῶν ἐνσπείρων ταραγμός.

Ἵεμαι, τὸ πορεύομαι λέγομεν, ἀλλ᾽ οὐχ ἵημι. καὶ ἱέμενος εὑρίσκεται ἐν χρήσει. τὸ δὲ ἐνεργητικὸν ἄχρηστον.

Ἱέμενοι, πορευόμενοι. ἀπὸ τοῦ ἵημι, τὸ πορεύομαι. γίνεται δὲ ἀπὸ πρωτοτύπου τοῦ ἴω, ἀφ᾽ οὗ τὸ ἴσαν. ἔστι δὲ καὶ εἶμι διφθογγογραφούμενον. ἀφ᾽ οὗ καὶ τὸ εἶμι, τὸ πορεύομαι. τοῦτο μὲν οὖν τὸ ἵημι ψιλοῦται. τὸ δὲ ἵημι, ὃ σημαίνει τὸ πέμπω, δασύνεται. ἀφ᾽ οὗ δηλαδὴ γίνεται καὶ ὁ ἰὸς, τὸ βέλος, καὶ τὸ ἰοῦ.

Ἱέμενοι, ἐπιθυμοῦντες, προθυμούμενοι.

Ἱέμενος φιλέειν παρ᾽ Ὁμήρῳ, τουτέστιν ἐφιέμενος φιλοφρονεῖσθαι.

Ἵεμεν, ἐπορευόμεθα. ἰθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ᾽ ἵεμεν.

Ἴεν, εἰ ψιλοῦται, ἀντὶ τοῦ ἐπορεύετο λέγεται, ἐκ τοῦ ἴον ἴες ἴε. εἰ δασύνεται, ἀντὶ τοῦ ἔπεμπον, ἀπὸ τοῦ ἱεὶς ἱέντος, ἀποβολῇ τοῦ τος, ὡς καὶ τοῦ βληθέντος ἔβληθεν.

Ἰέναι, πορευθῆναι, ἐπαναβῆναι. ἢ ἰέναι, τὸ παραγενέσθαι, ἀπὸ τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν, τροπῇ τῆς τελευταίας εἰς ναι, οἷον ἴεμεν ἰέναι, ὥσπερ τίθεμεν τιθέναι ἀττικῶς. καὶ Δωρικῶς ἰέμεναι, καὶ Ἰωνικῶς ἴεμεν. καὶ ἰέναι ἐλθεῖν, καὶ ἀντὶ τοῦ ἀνθεῖν. ἴονθος γὰρ ἡ πρώτη ἔκφυσις τῶν τριχῶν.

Ἱεννὰ, πορφυρᾶ.

Ἵενται, ὁρμῶσιν. οἱ δὲ γευσάμενοι τῆς νίκης πλέον ἵενται κρατῆσαι.

Ἱέντες, ἀκοντίζοντες. Ὅμηρος δίσκοισι τέρποντο, καὶ αἰγανέῃσιν ἱέντες. καὶ ἱέντες, ἀφιέντες.

Ἵεντο, προεθυμοῦντο, ἀπὸ τοῦ ἵημι τὸ ἐπιθυμῶ, τὸ παθητικὸν ἵεμαι, ὅθεν ἱέμενος ὁ ἐπιθυμῶν. καὶ οἴκαδε ἱεμένων, ἐπὶ μὲν τοῦ πέμπω, δασύνεται. ἐπὶ δὲ τοῦ πορεύομαι, ψιλοῦται.

Ἴε, ἐκ τοῦ ἴω τὸ πορεύομαι. ὁ παρατατικὸς ἴον, ἴες, ἴε.

Ἱερὰ νῆσος, αὕτη τῇ σελήνῃ ἀνάκειται. ὑπὸ γὰρ ταύτην γίνεσθαι φασίν.

* Ἱερὰ νόσος, καὶ Ἡρακλεία, ἡ ἐπιληψία, ἱερὸν γὰρ καὶ τὸ μέγα, ἤτοι μεγάλη νόσος.

Ἱερὰ συκῆ, ὑπὸ καλουμένη.

Ἱεράγγελοι, θεωροὶ, ἀγγέλλοντες τὰς πανηγύρεις.

Ἱέρα, Ἀγαθοκλῆς ἐν τοῖς ὑπομνήμασι περὶ τῶν χαλκείων τοῦ Ἡφαίστου ἱστορῶν, φησὶ κατὰ Σικελίαν δύο εἶναι νήσους, ὧν ἡ μὲν καλεῖται Ἱέρα, ἡ δὲ Στρογγύλη, αἵτινες ἡμέρας καὶ νυκτὸς πῦρ ἀφιᾶσι. ὁ δὲ αὐτὸς φησιν ἐν ἑβδόμῳ. ἐν Σικελίᾳ νῆσοι ὑπάρχουσι, τούτων δύο πῦρ ἀφιᾶσι. καλεῖται δὲ ἡ μὲν Αἰόλου, ἡ δὲ Ἡφαίστου, ἐν ᾗ πυρὸς ποταμοὺς φασιν ἀνιέναι.

Ἱερὰ, καλά. τὸ ὕστερον, καλλιερεῖν καὶ τὸ καλλιέρημα συνέθηκεν. ἀρνειὸς θύεται Ποσειδῶνι, διὰ τὸ πρᾶον τῆς θαλάσσης, ὅτε ἠρέμα πορφύρει γαλήνιον. ταῦρος δὲ, διὰ τὸ τῆς κατὰ σφοδρότητα κινήσεως, πληκτικόν. ἔτι καὶ διὰ τὸ μυκητικὸν, καὶ διὰ τὰς ἐν τῷ ὕδατι καμπὰς, δίκην κεραίων. κάπρος δὲ διὰ τὸ τοῦ ὑγροῦ γόνιμον. συνουσιαστικὸν γὰρ ὁ ἄῤῥην κάπρος. ὅθεν καπρᾶν, τὸ ὑπὸ ὀρέγεσθαι. καὶ καπρῶσα γυνὴ, ἡ οὕτως ἐφιεμένη.

Ἱερὴν Πύλον λέγει Ὅμηρος, ἢ ἁπλῶς κατὰ κοινὸν ἐπίθετον. ἱεραὶ γὰρ ἅπασαι αἱ πόλεις. ἢ διὰ τὰς ἐκεῖ θυσίας, καὶ ἱερὰ ὁδός τις ἦν, ἡ εἰς Ἐλευσῖνα ἄγουσα, ἣν ἀπίασιν οἱ μύσται ἄλαδε.

Ἱεράθετα, ἅγια, ἐπιθύματα, μυρία. καὶ ὅμοια θυσίαις θύματα.

Ἱεραὶ, ἄρχουσαι.

Ἱεραὶ τριήρεις, αἵτινές εἰσι Πάραλος, Σαλαμινία, Ἀντιγονὶς, Δημητριάς. αὗται ἐπέμποντο ἐπὶ στρατηγοὺς, καὶ τοιαύτας τινὰς χρείας.

Ἱεράκων γένη ἕξ, ὡς Καλλίμαχος ἐν τοῖς περὶ ὀρνέων. καὶ Ὅμηρος δὲ, ἔοικε τοῦτο γινώσκειν, οὐδέκεν ἴρηξ κίρκος ὁμαρτήσειεν ἐλαφρότατος πετεηνῶν καὶ κίρκος Ἀπόλλωνος ταχὺς ἄγγελος. ὁ δὲ ἱέραξ, ἱερός ἐστιν Ἀπόλλωνος.

Ἱεράμοιβοι, προφῆται θεῶν.

Ἱερὰν, ἁγίαν.

Ἱέραξ ἱέρωται ἡλίῳ Ἀπόλλωνι, διά τε τὸ ὀξὺ τῆς κινήσεως. ὠκυπέτης γὰρ ὁ ἱέραξ, καὶ ὁ ἥλιος ὀξυκίνητος, καὶ διὰ τὴν ἐξ ἐτυμολογίας συγγένειαν. καὶ γὰρ ἵεται ῥᾶον ὁ ἥλιος. ἐντεῦθεν δὲ καὶ ὁ ἱέραξ ὠνόμασται, ὅθεν καὶ ἰαπετὸς, παρὰ τὸ ἵεσθαι καὶ πέτεσθαι ἡ οὐρανία σφαῖρα λέγεται. ἢ ἱέραξ Ἀπόλλωνος ἱερός. καὶ ὤκιστον μόνον Ὅμηρος φησὶ τὸν αἰετὸν, ἅμα κράτιστον, καὶ ὤκιστόν που λέγει. ὅτι δὲ ἴρηξ ψιλοῦσιν ἀρχοῦσαν Ἰωνικῶς, καὶ ὡς δέκα ἱεράκων εἶναι γένη, φασὶν οἱ παλαιοί. ὧν ἐστι καὶ ὁ φασσοφόνος, οὐκ ἄδηλόν ἐστιν. καὶ ἵεραξ, εἶδος ὄρνιθος.

Ἱεραοιδὸς, ποιητής.

* Ἱερὰ ὁδὸς, ἣν οἱ μύσται πορεύονται ἀπὸ τοῦ ἄστεος ἐπ᾽ Ἐλευσῖνα.

Ἱερὰ παρθένος, ἡ Δημήτηρ.

Ἱέρας, σημεῖον. καὶ ἱερὰς, ἁγίας.

Ἱερᾶσθαι, ἱερουργεῖν. ἢ ἱερᾶσθαι, τοὺς ἱεροὺς νενομίσθαι, ἢ ἱερᾶσθαι, καὶ ἱερεύεσθαι, ἐπὶ τῶν θυομένων ἱερείων ἱερᾶσθαι, καὶ μόνον ἐπὶ τῶν εἰς ἱερέας τελούντων, ἱερῶσαι μὲν καὶ καθιερῶσαι ἐπὶ τῶν ἀναθημάτων.

Ἱερασκίχον, ἀντὶ τοῦ ἁρπαγὴν ὀξεῖαν. Δίδυμος, τάχος ὡς ἱέρακος ἵνα ταχέως φύγῃ.

Ἱεράσθω, κατὰ νόμον ὀργιαζέτω, καὶ θυέτω, ἐκ τοῦ ἱεράω ἱερῶ. καὶ τὸ προστακτικὸν ἱεραέτω, καὶ ἱεράτω.

Ἱέρεια ζητεῖται πῶς χρὴ λέγειν, προπαροξυτόνως. ἢ ἱερεία παροξυτόνως. ἔνιοι μὲν γὰρ ἀξιοῦσιν, ὡς Ὀδυσσεὺς Ὀδύσσεια, καὶ Ἀχιλλεὺς ἀχίλλεια, καὶ ἱερεὺς ἱέρεια, οὐκ ὀρθῶς. τοῦτο γὰρ ἕτερον ὀφείλει τόνον ἔχειν. ῥηματικὸν γάρ ἐστι. καὶ ὥσπερ ἀπὸ τοῦ ἀριστεύω ἀριστεία, καὶ ἰατρεύω ἰατρεία, οὕτω καὶ ἀπὸ τοῦ ἱερεύω ἱερεία. πρὸς τοῦτό φασιν, ὅτι τὸ ἔργον ἐμφαίνομεν ὡς ἀπὸ ἀριστείας, καὶ ἰατρείας. ἐὰν οὖν φασὶν, εἴπωμεν ἱερεία, τὸ ἔργον ἐμφαίνομεν, οὐ τὴν γυναῖκα. πρὸς τοῦτο λέγομεν, ὅτι ἑτέρως λέγεται τὸ ἔργον, ἱερωσύνη. οὐκ οὖν τὴν γυναῖκα, ἱέρειαν ἐροῦμεν, παροξυτόνως.

Ἱερεία, ἡ τὰς θυσίας ἄγουσα.

Ἱέρεια, θῦμα.

Ἱερείας ἐνύπνιον, ἄλλοι δέ φασι δεῖν μᾶλλον ἱμεραίας ἐνύπνιον λέγεσθαι. ἱμεραία δὲ, γραῦς.

Ἱερεῖον, Ἀττικῶς ἐπὶ τῶν σφαζομένων ζώων λέγομεν. ἢ ἱερεῖον, τὸ ἀνατεθειμένον θεῷ ζῶον ἐπὶ τῷ σφαγιασθῆναι. καὶ ἱερεῖον, Ἀττικῶς ὀνομάζει ὁ Ποιητὴς τὸ θυόμενον ζῶον. τινὲς δὲ τὸν βοῦν κατ᾽ ἐξαίρετον. βοείην δὲ ἢ τὴν βύρσαν τοῦ τοιούτου βοὸς, ἢ ἀσπίδα λέγουσιν.

Ἱερείτης, ὁ ἱερεύς.

Ἱερένα, ἁπαλά.

Ἱερεύειν, οὐ μόνον τὸ θύειν, ἀλλὰ καὶ τὸ ἁπλῶς σφάζειν. ἱερεῖον γὰρ Ἀττικῶς, τὸ σφαγιαζόμενον ζῶον.

Ἱερεῦσαι, καὶ καθιερεῦσαι λέγουσιν ἐπὶ τῶν θυομένων καὶ ἀνατιθεμένων ἱερείων, ἢ ἱερεῦσαι, θῦσαι.

Ἱερὸς, μέγας.

Ἱερεὺς, ὁ τὰς θυσίας προπέμπων τῷ θεῷ, παρὰ τὸ ἵημι τὸ πέμπω. ἢ ὁ λογικὰς θυσίας ἐν καρδίᾳ ἀναφέρειν ἐπιστάμενος.

Ἱερεύσειν, τὸ σφάζειν, ἄξεθ᾽ ὕαν τὸν ἄριστον, ἵνα ξείνῳ ἱερεύσω. δύναται δὲ ῥηθῆναι καὶ ἀντὶ τοῦ θύσω χάριν τοῦ ξείνου.

Ἱερῆας, τοὺς ἱερεῖς.

Ἱερὴ, θαυμαστή. καὶ ἱερὴ Θήβη, οὐ μόνον Θήβη ἱερὰ, ἀλλὰ καὶ πᾶσα πόλις, ὡς φυλακτικὴ τῶν ἐντὸς, ὅπερ θεῖον τῷ ὄντι ἐστὶν, ὅθεν καὶ ὁ Ποιητὴς καὶ τοὺς νύκτωρ φυλάσσοντας τὸ στρατόπεδον, καὶ ὑπεραγρυπνοῦντας τῶν ἄλλων, ἱερὸν τέλος φυλάκων φησί. καὶ ἱερὸν Τροίης πτολίεθρον οἱ μεθ᾽ Ὅμηρον, καὶ εἰς ἱερόσυλον ἀποτάσσουσι πολίτην, ὃς καθέλει χάριν οἰκείας τεῖχος πόλεως.

Ἱερήϊα, τὰ ἐν ᾅδου σφάγια ἐπὶ χοῇ νεκρῶν φασὶν οἱ παλαιοὶ, οὐκ ὀρθῶς εἰρῆσθαι τοῦτο ἐπὶ νεκρῶν, τόμιά φασι καὶ ἔντομα, ἐπὶ δὲ θεῶν ἱερεῖα. εἶτα θεραπεύοντές φασιν, ὅτι ἱερεῖα καὶ ἁπλῶς τὰ θρέμματα. ἐν ἄλλοις δὲ ἀττικὴ λέγεται ἡ λέξις, ἐπὶ τῶν ἁπλῶς σφαζομένων.

Ἱερήϊον Ἴωνες ἀντὶ τοῦ ἱερεῖον λέγουσι, καὶ ἱερήϊον κώδιον.

Ἱερὴν, μεγάλην, ἀγαθήν.

Ἱερόβατον, κόνον Λάκωνες, ὅντινες μᾶλλον σκόλλην.

Ἱερόθυτον οὐχ ἱερεῖς, ἀλλ᾽ ἀρχαίως θεόθυτον, Φρύνιχος.

Ἱεροῖο δόμοιο, ναοῦ μεγάλου, οἴκου.

Ἱεροκλῆς. χρησμολόγος ἦν τοὺς προγεγενημένους χρόνους ἐξηγούμενος, ὡς δὲ ἀφυῆ καὶ οὐκ ἀκριβῆ μάντιν αὐτὸν κωμῳδεῖ Ἀριστοφάνης.

Ἱερεκόμας, τῶν ἱερῶν ἐπιμελούμενος.

Ἱερόλας, ἴσιφις. Σοφοκλῆς αἰχμαλώτοις, ὡς καὶ τὸν γέροντα γεροιδὰν, ἢ γεροῦντα λέγει.

Ἱερολόγος, ὁ ψάλτης.

Ἱερολογία, ἡ θεία λειτουργία, ἢ ἡ θεία ψαλμῳδία.

Ἱερομηνία, ἡ ἱερὰ ἡμέρα τοῦ μηνός. τινὰς γὰρ ἡμέρας τοῦ μηνὸς ἱερὰς εἶχον Ἕλληνες.

Ἱερομηνίαι, αἱ ἑορτώδεις ἡμέραι ἱερομηνίαι καλοῦνται.

Ἱερομνήματα, ὀχυρώματα.

Ἱερομνημονεῖν, ἐπιστατεῖν τῷ ἱερῷ.

Ἱερομνήμονες. Διογένης. ὑπὲρ κτησιφῶντος, οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως, τῶν τοῦ συνεδρίου μετεχουσῶν, οὕτω καλοῦνται. ἢ ἱερομνήμονες, οἱ εἰς πυλαίαν ἐκπεμπόμενοι γραμματεῖς.

Ἱερομύστου, ἱερὰ μαντευομένου.

Ἱερομύστης, ἱερὰ μυστήρια εἰσηγούμενος καὶ διδάσκων.

Ἱερὸν, τὸ μέγα φασί. καὶ ἱερός φασιν ἰχθὺς, ὁ μέγας. καὶ ὅλως γὰρ ἱερὸν εἶναι πᾶν δοκεῖ τὸ τῶν ἀνθρώπων φυλακτικόν. καὶ Σοφοκλῆς δὲ διὰ λόγον ὅμοιόν τινα τὴν γῆν ἱερὰν ἔφη. ἱρὸν ἀντὶ τοῦ ἱερὸν λέγουσιν Ἴωνες.

Ἱερόντιον, ὄνομα πόλεως.

Ἱερὸν, λέγουσι πᾶν ἀνατιθέμενον τοῖς θεοῖς.

Ἱερὸν ἡ συμβουλὴ, παροιμία ἐπὶ τῶν δεινῶν συμβουλεύειν.

Ἱερὸν ἀκτὴν, ἀντὶ τοῦ ἱερὰν κεῖται παρ᾽ Ἡσιόδῳ, ὡς χάλκεον ὄπα, ἀντὶ τοῦ χαλκῆν.

Ἱερὸν δίφρον, τοῦ Ἀχιλλέως ἔφη ὁ Ποιητὴς, ἢ σεμνύνων τὸν Ἀχιλλέα, ἢ καὶ διὰ τοὺς ἵππους, οἳ θεῖοι ὑπόκεινται εἶναι.

Ἱερὸν ἦμαρ, κατὰ Πορφύριον τὸ μέχρι μεσημβρίας, διὰ τὰς τηνικαῦτα θυσίας. δύναται δὲ καὶ ἡ ὅλη νοηθῆναι ἡμέρα, καθὰ καὶ Ἡσίοδος, τὰς νύκτας λέγει Μακάρων εἶναι. εἰ γὰρ ἱερεῖον κνέφας φησί που Ὅμηρος, πολλῷ πλέον τοιοῦτον τὸ ἦμαρ διὰ πολλὰ αἴτια.

Ἱερὸν ἦμαρ, λέγει Ὅμηρος τὸ πρὸς μεσημβρίαν, ἐν ᾧ ἔθυον ὡς τὰ πολλά. τὸ καὶ μεσημβρινὸν τοῖς κατοιχομένοις ἀπένεμον εἰς χοάς. οὐδὲν κωλύει νοῆσαι ἦμαρ ἱερὸν, καὶ τὴν ὅλην ἡμέραν, διά τε τὸ ἐντελὲς, καὶ διὰ τὸ κατ᾽ αὐτὴν μάλιστα ἔμπρακτον τῶν ἐθελόντων ἐργάζεσθαι, ὃ δὴ θεοφιλὲς ὂν, ἱερολογεῖσθαι τὴν ἡμέραν ποιεῖ. εἰ δὲ καὶ καθ᾽ Ἡσίοδον μακάρων τοι νύκτες ἔασιν, εἶεν ἂν τοιαῦται καὶ αἱ ἡμέραι, διόπερ ἱεραὶ καὶ αὗται.

Ἱερὸν ἰχθὺν, κατά τινας λέγει, ὧν Ἀριστοτέλης, τὸν Ἀνθίαν, οἷα σημαντικὸν ὄντα, τοῦ ἄθηρον εἶναι τὴν θάλασσαν. ἐπεὶ ὅπου ἀνθίας, ἐκεῖ οὐκ ἔστι θηρίον θαλάσσιον. ᾧ σημείῳ χρώμενοι, κατακολυμβῶσιν ἀδεῶς οἱ σπογγεῖς, καὶ τὸν ἰχθὺν διὰ τοῦτο καλοῦσιν ἱερὸν, ἱστοροῦντες καὶ ἄριστον εἶναι αὐτὸν ἐν χειμῶνι. καὶ εἰς ταυτὸν ἄγοντες ἀνθίαν καὶ καλλίχθυν καὶ καλλιώνυμον, καὶ ἔλλοπα, ὅπερ ἀντιλέγεται. ἄλλος δέ τίς φησι ποιητὴς, ἱεροὺς ἰχθύας, τοὺς δελφῖνας λέγει. Θεόκριτος δ᾽ ἐν Βερονίκῃ ἄλλο τι βούλεται, εἰπὼν ἱερὸν ἰχθὺν, ὃν λεῦκον ἢ γλαῦκον καλέουσι, ὃς γὰρ ἱερώτατος ἄλλων. ἕτεροι δὲ τὸν χρύσοφρυν, ἱερόν φασιν ἰχθὺν, ὡς καὶ Καλλίμαχος ἐν Γαλατείᾳ εἰπὼν, χρύσειον ἐν ὀφρύσιν ἱερὸν ἰχθύν. ἔνιοι δὲ τὸν πομπίλον, ὡς Τιμαχίδας φάμενος, πομπίλοι ἱεροὶ ἰχθῦς, ὡς οἷα σωτῆρες τῶν ναυτιλλομένων. τινὲς δὲ, τὸν καλλίχθυν. ἄλλοι δὲ ἱερὸν φασὶν ἰχθὺν, μέγαν, καὶ ἀσυνήθη τινὰ, καὶ ἄνετον, τοῖς κρατοῦσι κατὰ θάλασσαν ἱερώμενον, ὅ ἐστι ἀνακείμενον, ὡς καὶ βοῦν ἱερὸν τὸν ἀγελαῖον, καὶ μέγαν καὶ ἄνετον. καὶ ἱερὸν μένος Ἀλκινόου, διὰ τὸ φιλόξενον δηλαδὴ καὶ βασιλικὸν καὶ πολυτρόπως μέγα. οἱ δέ τινες ἱερὸν συνήθως ἰχθὺν, τὸν ἱέμενον κατὰ ῥοῦν. εἰσὶ δὲ, οἳ δι᾽ ἱερὸν μεταγράφουσιν.

ὅτι ἢ

Digitized by Google

ὅτι δὲ τὸ ἱερὸν οὐκ ἀεὶ ἐπ᾽ ἀγαθοῦ καὶ εὐφήμου λαμβάνεται, δηλοῖ καὶ ὁ εἰπών, ὡς ἐστὶν ὀφίδιον μικρόν, ὃ καλοῦσί τινες ἱερόν, ὅπερ οἱ πάνυ μεγάλοι ὄφεις φεύγουσι.

Ἱερὸν ὄρος, παρὰ τῷ Ἀπολλωνίῳ. ὄρος οὕτω καλούμενον τὸ καθῆκον εἰς τὸν Εὔξεινον πόντον, μέμνηται δὲ αὐτοῦ καὶ Κτησίας ἐν τῷ α΄ περιόδων, καὶ Σουίδας ἐν τῷ δευτέρῳ περὶ τοὺς λεγομένους μάκρωνας. ἀκριβέστερον δὲ ὁ Ἀγάθων ἐν τῷ τοῦ πόντου περίπλῳ, ὃς καὶ ρ΄ ἀπέχειν σταδίους αὐτό φησι τῆς Τραπεζοῦντος. ὁ δὲ Εἰρηναῖος μνησίμαχόν φησι περὶ αὐτοῦ ἱστορεῖν ἐν α΄ περὶ Σκυθῶν, ἀγνοῶν, ὁ γὰρ Μνησίμαχος ἐν τῇ δευτέρᾳ μέμνηται κειμένης τῆς Σκυθικῆς. ὁ δὲ Ἀπολλώνιος, καὶ οἱ προειρημένοι, περὶ τῆς Ἀσίας διαλέγονται, ἔστι καὶ ἄλλο ἱερὸν ὄρος Θρᾴκης.

Ἱερὸν στρατὸν λέγει Ὅμηρος ἐν Ὀδυσσείᾳ, τὸν Ἑλληνικόν, ὡς ὑπὲρ ἀρετῆς πολυπαθήσαντα τὸν δεκαετῆ ἐκεῖνον πόλεμον.

Ἱερὸς πόλεμος ἐγένετο Ἀθηναίοις πρὸς Βοιωτοὺς, βουλομένοις ἀφελέσθαι Φωκέων τὸ μαντεῖον. νικήσαντες δὲ, Φωκεῦσι πάλιν ἀπέδωκαν. ὁ Φιλόχορος ἐν τῇ δ΄. δύο δὲ πόλεμοι γεγόνασι, ὁ πρῶτος, καὶ ὁπότε Φωκεῦσιν ἐπέθεντο Λακεδαιμόνιοι. ἐν ἐνίοις δὲ τῶν ὑπομνημάτων ταῦτα λέγεται. ἱερὸν πόλεμον λέγει, καθὸ πρὸς Θεοὺς ἔσοιτο, ἅμα δὲ τοῦ ἱεροῦ πολέμου μνημονεύει γενομένου Ἀθηναίοις πρὸς Φωκέας. ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ. καλεῖται δὲ ἱερὸς, ὅτι περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐγένετο.

Ἱερὸς ῥοῦς, ὁ τοῦ Ἀλφειοῦ, οὐ ὅτι ἔχει τι ἐξαίρετον καὶ αὐτὸς ἀλφοὺς ἰᾶσθαι. ἢ ἐν τῷ καθόλου, διὰ τὴν τοῦ ὕδατος ἀρετὴν, δι᾽ ἣν καὶ ὁ λυρικὸς ἄριστον τὸ ὕδωρ φησί, δῆλον ὅτι ἔνθα τὸ σεμνὸν, ἐκεῖ ἐπὶ πολὺ καὶ τὸ ἱερὸν ἐκφωνεῖται. τείχεα γοῦν ἱερά, καὶ ἀλωὴ ἱερά, καὶ ἱερὸς ἰχθὺς, καὶ ἱερὸν ὀστοῦν. ὁ μέντοι ἱερὸς ὄφις πλεῖόν τι ἔχει φρίκης, ἤπερ σεμνότητος.

Ἱερὸς, ὁ ἀσεβής.

Ἱεροπρεπής ἐστιν, οὐχ ὁ τῇ λειτουργίᾳ ἠξιωμένος, ἀλλ᾽ ὁ γεγηρακὼς καὶ τῇ σεμνότητι κεκοσμημένος.

Ἱεροποιοὶ, κληρωτοὶ ἄρχοντές εἰσι δέκα τὸν ἀριθμόν, οἳ τά τε μαντεύματα ἱεροθετοῦσι, κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάντεων, καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι, καὶ τὰς πενταετηρίδας ἁπάσας διοικοῦσι, πλὴν παναθηναίων. ταῦτα δὲ Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ, Δημοσθένης ἐν φιλιππικῶν τετάρτῳ.

Ἱεροσολυμῖτις, γῆ.

Ἱερόσυλος, κλοπεὺς τῶν ἱερῶν.

Ἱερόσυλος καὶ ἱεροσυλία ἐν συνθέσει, ἐκ τοῦ συλῶ τὸ κλέπτω, ἐξ οὗ κλέπτης μέν τοι καὶ φὼρ Ἀττικῶς, καὶ λωπος ποιητικῶς, λωποδύτης μέν τοι ἐν συνθέσει γράφεται.

Ἱεροσκοπεῖ, ἱερᾶται.

Ἱερουργεῖν, θύειν, ἁγιάζειν.

Ἱερουργοῦντα, προσφέροντα θυσίαν.

Ἱερουσαλὴμ, σαλὴμ ἐλέγετο πρότερον ἡ πόλις. ἐλθὼν δὲ ὁ χριστὸς εἰς αὐτὴν, ἐκλήθη ἱερουσαλήμ.

Ἱεροφάντης, μυσταγωγὸς θείων λογίων, ὁ τὰ μυστήρια δεικνύων.

Ἱεροφώνων, μεγαλοφώνων. τὸ γὰρ μέγα, ἱερὸν ἔλεγον οἱ παλαιοί.

Ἱερῷ, θείῳ, ἤτοι μεγάλῳ. ἱερώτατος, θειότατος, ἅγιος.

Ἱερώνυμος, παρὰ τῷ Ἀριστοφάνει μελῶν ἐστι ποιητὴς καὶ τραγῳδοποιός. ἀνώμαλος καὶ ἀνοικονόμητος, διὰ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις, καὶ φοβεροῖς προσωπείοις χρῆσθαι.

Ἱερώσατο· καθιέρωσεν ἀνέθηκε.

Ἱερῶσθαι, ἱερῶ ἱερώσω, σημαίνει τὸ ἱερεὺς γενομένῃσθαι.

Ἱερώσυνα, τὰ εἰωθότα δίδοσθαι ἐξαίρετα τοῖς ἱερεῦσιν.

Ἱερώματα, θυσίαι θεῖαι, θαυμασταί.

Ἱερωμένη, ἱερατεύουσα.

Ἵεσσα, γεγονυῖα ἐν πόλει καθ᾽ ὑπόκρισιν.

Ἵεσαν, ἔπεμπον. τὸ θέμα ἵημι. καὶ ὁ παρατατικὸς ἵην, τὸ τρίτον τῶν πληθυντικῶν ἵεσαν, ἀντὶ τοῦ ἐπορεύθησαν.

Ἱέσσα, βαδίζουσα.

Ἱέθην, προεθυμοῦντο, ἐπορεύοντο.

Ἱερώπω, κατὰ νόμον ὀργιαζέτω, καὶ θυέτω. ὀργεῶνες γὰρ οἱ θύται.

Ἵεται, προθυμεῖται, πορεύεται, καὶ ἵετο.

Ἵετο, τὸ ἔβαλε, παρὰ τὸ ἵημι, τὸ σημαῖνον τὸ προθυμοῦμαι, ἢ τὸ πέμπω. τὸ παθητικὸν ἵεμαι, ὁ παρατατικὸς ἱέμην ἵεσο, ἵετο, τὸ τρίτον τῶν πληθυντικῶν ἵεντο, ἐπορεύοντο.

Ἱέτας, πατέρας, Κρῆτες. ἢ τοὺς ἀγρίους τράγους.

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Ζ.

Ἱζάνω. τὸ κάθημαι, καὶ κάθημαι ἐπὶ δίφρου, ἀφ᾽ οὗ προσιζάνειν τὸ προκάθησθαι. καὶ συνιζάνειν, τὸ συγκάθησθαι, καὶ συνάγεσθαι. ἀφ᾽ οὗ συνίζησις, ὅταν τὰ ἐξηπλωμένα συνάγηται ἐν μέτροις, ἢ τοιούτοις τισίν.

Ἵζει, καθίζει. ἵζω ποιητικῶς τὸ καθίζω. ἵζευ καθέζου, ἵζεο, καθίζου.

Ἵζει ἐπ᾽ ἀμφοτέρους πόδας. ἑρμηνευτικόν ἐστι παρὰ τῷ Ποιητῇ τοῦ μετοκλάζει, ὅ ἐστι κλᾶται, ὃ πάσχει καὶ ὁ καθέζων.

Ἰζέλα, ἀγαθὴ τύχη, Μακεδόνες.

Ἰζέλος, ὁ θαλάττιος σκορπίος.

Ἵζεο, ἐκαθέζου.

Ἵζευ καὶ ἵζεο, ἀντὶ τοῦ καθέζου, χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ ἵζου, Δωρικῶς ἵζευ, καὶ ἵζεο Ἰωνικῶς.

Ἰζηματίας, ἄνεμος, καὶ ὁ κεραυνὸς, ἢ εἶδος σεισμοῦ.

Ἰζήσας, καθίσας.

Ἴζινες, οἰωνοί, ὄρνιθες, προχόοι, λέβητες, τρίποδες.

Ἰζοῦνα, βοόστασις.

Ἰζύομεν, ἴωμεν, καὶ ὑπομείνωμεν.

Ἵζω, τὸ κάθημαι. Ὅμηρος, Νέστορα δ᾽ αὐτόθι ἔφιζεν.

Ἵζω, κτίζω.

Ἰζῶς, σχῆμα ὀρχήσεως.

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Η.

Ἵη, ἐπὶ μέλλοντος, ἀντὶ τοῦ ἔλθοι.

Ἰὴ παρακελευστικὸν ἐπίρρημα, ψιλοῦται ὅταν μὴ ᾖ ἐν ὕμνῳ, ἐκεῖ γὰρ δασύ ἐστιν.

Ἰὴ ἰὴ ἰή, παρὰ τῷ Ἀριστοφάνει τὸ μῆκος σημαίνων, τοῦτό φησιν πρόσφθεγμα δέ ἐστι καταφρονοῦντος.

Ἰῇ μιᾷ, μιᾷ φωνῇ. καὶ ἵη, ἀντὶ τοῦ ἔλθοι, ἐπὶ μέλλοντος.

Ἰηγορεῖν, ἐγρηγορέναι. Λάκωνες.

Ἰηδόνες, εὐφροσύναι, ἐπιθυμίαι, χαραί.

Ἰηθενεῦσα, ἐκπεπληγμένη, καὶ ἀποροῦσα.

Ἰήθεος, ἔφηβος, ἄγαμος.

Ἰὴ ἰεῦ, χλευαστικὸν ἐπίρρημα. Ἀριστοφάνης ἰὴ ἰεῦ καλούμενοι.

Ἰήϊε, οἷον θρασωνίσκον ἐπέεσιν ἰήϊε κεκληγυῖαι. ἔνθεν δὴ τόδε καλὸν ἐφύμνιον ἔπλετο φοίβῳ ἰήϊε, ὅτε φησὶν ἐπόξευσε τὸν δράκοντα, ἀνεφώνουν ἵη ἵη βέλος. ἀφ᾽ οὗ τὸ ἐφύμνιον τοῦτο ἐγένετο ἰὴ παιᾶν. ἢ τὸ διὰ χοροῦ ἀγόμενον. ἰήϊος δὲ καὶ ὁ Ἀπόλλων λέγεται, ὡς μὲν Δοῦρις, ὅτι ἐν ἀγκάλαις βαστάσασα τὸν Ἥλιον ἡ Λητὼ, ἐνεκελεύσατο εἰποῦσα, ἰήϊε παιῆον. ἔστιν οὖν τὸ ἰήϊος ἐπίθετον Ἀπόλλωνος, ὁ τοξότης, ἀπὸ τοῦ ἵημι, παρὰ τὴν ἕσιν τῶν βελῶν, ἤτοι τὴν ἄφεσιν. τινὲς δὲ ψιλοῦσιν, ἐπεὶ ἰάσεως αἴτιος ὁ Θεός. τὸ δὲ ἠΐε φοῖβε, κατὰ ἀποβολὴν τοῦ ι γέγονεν. ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ, ὅτι πανταχοῦ ἵησι τὴν ἀκτῖνα, ὡς ῥα σὺ ἠΐε φοῖβε. Ἀρίσταρχος δασύνει, ἐπεὶ παρὰ τὸ ἵημι ἐγένετο. ἀπὸ γὰρ τῆς ἕσεως τῶν βελῶν ἐκλήθη ἤϊος. οἱ δὲ ψιλοῦσιν, ἀπὸ τῆς ἰάσεως. ἄμεινον δὲ ψιλοῦσθαι. τὸ γὰρ η πρὸ φωνήεντος ψιλοῦται. ἤϊος δὲ λέγεται ὁ τοξικὸς, παρὰ τὴν ἄφεσιν τῶν βελῶν.

Ἰήϊος, ὁ τοξότης, ὁ Ἀπόλλων. καὶ ἰήϊε φοῖβε.

Ἰηΐων, τῶν μετ᾽ εὐχῆς γινομένων, ἢ τῶν λοιμικῶν.

Ἶηλα, ἀκρόδρυα.

Ἴηλα, ἐδέσματα. καὶ ἰῆλαι, ἐπικάμψαι, ἢ καταχλεῆσαι.

Ἰηλεμῆσαι, θρηνῆσαι, καὶ ἰηλεμῆσθαι, τεθρηνῆσθαι.

Ἰηλενὲς, πορφυροῦν, μέλαν.

Ἰήλεμον, ἀντὶ τοῦ θρῆνος, εἴρηται. ἀπὸ ἰαλέμου τοῦ Μούσης παιδός.

Ἰήλλω, ἐπιβάλλω.

Ἵημα, τὸ ἀκόντιον.

Ἵηλεν, ἐπέβαλεν, περιέβαλεν, ἔδησεν, ἔγραψεν, ἔπεμψεν.

Ἵημι, ἵης, ἵησι ψιλούμενον, σημαίνει τὸ πορεύομαι.

Ἵημι δασυνόμενον, σημαίνει τὸ πέμπω. καὶ ἀφίημι τὸ πέμπω, καὶ μετὰ τῶν ἄλλων προθέσεων. ἀφίεμαι δὲ παθητικῶς, καὶ μεθίεμαι, τὸ ἀπολύομαι, καὶ ἐφίεμαι, τὸ ἐπιθυμῶ, γενικῇ.

Ἵημι, τὸ πέμπω, ποιεῖ τὸ τρίτον τῶν πληθυντικῶν ἱεῖσι, καὶ ἰᾶσι καὶ συνιᾶσι, προϊᾶσι, καθιᾶσι, μεθιᾶσι, παριᾶσι, ἐφιᾶσι, ἀφιᾶσι, καὶ ὑφιᾶσι.

Ἰηνῆ, διαχέει, εὐφράνθη.

Ἰήους, καμάτους, τοὺς κατὰ τὸν τόκον, ἐν οἷς ἱᾶσι φωνὰς διὰ τοὺς πόνους καὶ τὰς ὠδῖνας αἱ τίκτουσαι. τινὲς δὲ τοὺς θρηνητικοὺς τινὰς ἀπὸ τοῦ ἰαλέμου, Σοφοκλῆς οἰδίποδι τυράννῳ.

Ἰηπαιήων, ὁ Ἀπόλλων λέγεται, ἤτοι διὰ τὸ πέμπειν τὰ βέλη, ἢ ὅτι ἰάσεως ὁ Θεὸς αἴτιος.

Ἵησι πρὸς δόμον ὑψηλὸν, ἀντὶ τοῦ πορεύεται. ἀπὸ τοῦ πορεύομαι, καὶ ψιλοῦται.

Ἵησι δασυνόμενον, σημαίνει τὸ πέμπει. οἷον, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησι. καὶ Ἀριστοφάνης, τοῦτον γὰρ κεραυνὸν δὴ φανερῶς ὁ Ζεὺς ἵησι. καὶ Ὅμηρος, κεῖνον μὲν ἐάσομεν ἤκεν ἵησιν ἤκεν μεθίησιν, ἀπέλθῃ ἢ παραγένηται.

Ἵησιν, ἀφίησιν σχίζων τὰ ξύλα.

Ἵησιν, ἀπέλθῃ.

Ἰησοῦς, τὸ τοῦ Χριστοῦ ὄνομα, παρὰ τὸ ἰέναι εἰς τὸ σώζειν.

Ἰητὴρ, ἐκ τοῦ ἰῶ ἵημι ἰητὴρ, ὁ ἰώμενος.

Ἰητῆρα, οἱ μεθ᾽ Ὅμηρον ἰατρόν τε λέγουσι. καὶ ὅτι οὐ μόνον κατὰ γένος ἀρρενικὸν ἰατρὸς, ἀλλὰ καὶ θηλυκῶς. φησὶ γοῦν Αἴλιος Διονύσιος ἰατρὸν γυναῖκα. Ἄλεξις ἰατρείαν. ἡ δὲ ἰατρίνη, οὐχ ἑλληνικόν φησιν εἶναι. παρὰ δὲ τοῖς τεχνικοῖς κεῖται. καὶ ὅτι ὁ μὲν Ὧρος οὐχ Ἑλληνικὴν λέξιν τὴν ἰατρίνην εἶναί φησιν. Ἀλέξανδρος δὲ ὁ κοτυαεὺς πρὸς ἀκρίβειαν λαλῶν, μὴ ἀττικὴν εἶναι αὐτὴν λέγει.

Ἰητρείη, ἰατρική.

Ἰήτης, τοξότης, ἰοβόλος.

Ἰητρὸς ἕκαστος, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ ἐγκώμιον τῶν αἰγυπτίων, ὡς τοιούτων ὄντων. ἰητρὸς ἐκ τοῦ ἰησάμενος Ἰωνικοῦ γίνεται, οὕτω καὶ ἐκ τοῦ κοινοῦ ἰάσασθαι ἰατρός.

Ἰηὼν, πόλις.

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Θ.

Ἴθα, ἡ θήλεια τῶν ὑδάτων φύσις, καὶ ὀρθὴ, μακρὰ, στενὴ, δικαία.

Ἰθαγενεῖς, παρὰ Ἴωσιν οἱ γνήσιοι παῖδες, ἰθαγενεῖς, ἤγουν ἐγχώριοι.

Ἰθαγενέεσσι, γνησίοις τέκνοις, καὶ καθαροῖς.

Ἰθαίνειν, εὐφρονεῖν, θερμαίνειν.

Ἰθάκη ἐκλήθη ἀπὸ Ἰθάκου ἥρωος, οὗ καὶ Ὅμηρος μέμνηται. ἔστι δὲ καὶ Συρίας πόλις Ἰθάκη, τὸ ἐθνικὸν οὐ μόνον ἰθακήσιος, ἀλλὰ καὶ ἴθακος, ὥς φασιν ὁμοφώνως τῷ οἰκιστῇ τῆς νήσου.

Ἴθακος καὶ νήριτος καὶ πολύκτωρ, υἱοὶ Πτερελάου.

Ἴθανα, χοινία.

Ἴθαρ, εὐθέως, ταχέως.

Ἰθαραῖς, ταχέσιν, ἱλαραῖς, καλαῖς, καθαραῖς, κούφαις, λευκαῖς, ταχείαις.

Ἰθας, ὁ τῶν τιτάνων κῆρυξ Προμηθεύς. τινὲς ἴθαξ.

Ἰθεῖα, εὐθεῖα, ὀρθή, θαυμαστή.

Ἰθείη, ἅμαξα, Θεσσαλοί.

Ἰθέως, ὀρθῶς.

Ἴθη, εὐφροσύνη.

Ἴθι, εἰ μὲν ἐστὶ ῥῆμα, συντάσσεται μετὰ μετοχῆς μέλλοντος, οἷον ἴθι ποιήσων τόδε. εἰ δὲ ἐπίρρημα παρακελευσματικὸν, ὥσπερ τὸ ἄγε, συντάσσεται μετὰ προστακτικοῦ, οἷον, ἴθι φράσον, ἴθι ποίησον τόδε.

Ἴθι, ἀντὶ τοῦ ἄπιθι. καὶ ἔρχου, ἀντὶ τοῦ ἀπέρχου. καὶ ἐλθὼν ἀντὶ τοῦ ἀπελθὼν, πολλάκις οἱ ποιηταὶ τιθέασι ῥήμασιν ἐλλείποντα προθέσεσιν ὀφειλομέναις εἶναι.

Digitized by Google

Ἴθι, ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἐπὶ παρῳχημένου, ἀντὶ τοῦ ἐλθέ. εὑρίσκεται δὲ καὶ ἐπὶ ἐνεστῶτος, ἀντὶ τοῦ ἔρχου.

Ἴθι, ἀντὶ τοῦ ἐλθὲ, πορεύου, καὶ παραγίνου, γίνεται ἀπὸ τοῦ εἶμι. τούτου ὁ παρατατικὸς ᾖν, ἡ μετοχὴ εἰς ἰὼν τος, τὸ προστακτικὸν ἴθι, καὶ τροπῇ τοῦ ε εἰς ι ἴθι. ἢ ἀπὸ τοῦ ἴε ἀορίστου δευτέρου, κατεπλάσθη.

Ἴθι, τὸ ἄγε, καὶ φέρε. ἐνίοτε μὲν ῥήματά εἰσι προστακτικὰ, ἐνίοτε δὲ ἐπιῤῥήματα παρακελευσματικά.

Ἰθίτης, ὁ βλέννος, καὶ μωρός.

Ἰθμαίνων, ἀσθμαίνων.

Ἴθματα πελειάσιν ὁμοῖαι. ἤγουν κατὰ κινήματα περιστεραῖς ὅμοιαι, ὧν τὰ ἴχνη ἀφανῆ εἶναι ἱστοροῦσιν οἱ παλαιοί, καὶ οὐ κατὰ λόγον τοῦ μεγέθους διηρθρωμένα. τὸ δὲ ἴθμα οὐ συνήθες ὂν φράζεσθαι, ἐκ τοῦ ἰέναι γίνεται, πλεονασμῷ τοῦ θ, ὡς ἐν τῷ ῥυθμός, καὶ παρὰ Κοΐντῳ δὲ ὠρυθμός. τὸ μέντοι διὰ τοῦ σ ἴσμα, ὃ καὶ δασύνεται, ἵδρυμα δηλοῖ παρὰ Λυκόφρονι, ἀπὸ τοῦ ἵζω γενόμενον.

Ἴθματα, ἴχνη, βήματα, δικαιώματα, ὁρμάς. Ἰθμὴν, περιστόμιον, περιτραχήλιον, ἢ στεφανίς.

Ἰθμία, ἡ τῶν μελισσῶν ἐρυθρὰ κόπρος.

Ἴθορος παροιμιῶδες, ἐπὶ τῶν παρακελευομένων.

Ἶθρις, ὁ ἐκτομίας εὐνοῦχος, ἀπὸ τοῦ θερίζω, θερίσω, θερὶς καὶ θρὶς, καὶ πλεονασμῷ τοῦ ι ἶθρις.

Ἰθιγενὲς, εἰς εὐθύτητα τεταμένον.

Ἰθυδίκην, ὅ ἐστιν εὐθυδίκην φησὶν Ὅμηρος. τῇ δὲ εὐθυδικίᾳ δῆλον ὡς ἀντίκειται ἡ ἀδικία, κακοδικία τις οὖσα.

Ἰθὺ καὶ ἰθὺς, σημαίνει τὸ ἐπ' εὐθείας, παρὰ τὸ ἰέναι γίνεται ἰθὺς, ἰθεῖα. καὶ ἰθείας δίκας, ἐπ' εὐθείας, ὀρθῶς.

Ἰθυκτέανον, τὸ ἰθὺ πεφυκὸς, καὶ ὀρθὸν δένδρον.

Ἴθυμβος, γελοιαστὴς, καὶ τὸ σκῶμμα, ἀπὸ τῶν ἰθύμβων, ἅτινα ποιήματα ἦν ἐπὶ χλεύῃ καὶ γέλωτι συγκείμενα. καὶ ᾠδὴ μακρὰ, καὶ ὑπόκενος.

Ἰθὺν, ὀρθὸν, φρόνησιν, τρόπον, ὁρμὴν, βούλησιν, διάνοιαν.

Ἰθύνειν, ὁμώνυμός ἐστι λέξις.

Ἰθύνειν ἢ ἰθύνειν, τουτέστιν ὁρμᾶν. πολλαχοῦ ἰθύνειν, δίχα τοῦ ν.

Ἰθύνειν ἵππους εἰς πόλεμον. καὶ ἰθὺς μαιμᾶν, ἤγουν ὁρμᾶν, ταυτὸν παρὰ τῷ Ποιητῇ.

Ἰθύνῃ αἰτιατικῇ, διοικεῖ, κατευθύνει, ὀρθοῖ.

Ἰθύνειν οὐ μόνον σταθμῆς, ἀλλὰ καὶ πηδαλίου. ὡς δηλοῖ τὸ, πηδάλιον ποιήσατο, ὄφρ' ἰθύνῃ. τουτέστιν εἰς ὀρθὸν πλεῖν ἀπευθύνῃ, ἐν Ὀδυσσείᾳ παρ' Ὁμήρῳ.

Ἰθύνει, ἀπορθοῖ, ἐξισοῖ, διοικεῖ, εὐθύνει, κυβερνᾷ.

Ἰθυνομένων, κατ' εὐθὺ προϊεμένων, καταστοχαζομένων.

Ἰθύνω, τὸ εὐθύνω, ἤγουν κατ' εὐθεῖαν ἄγω. ἰθυντὴρ ποιητικῶς, ὁ κυβερνήτης. ἰθύνω αἰτιατικῇ καὶ δοτικῇ συντάσσεται. οἷον ἡνίαις. καὶ μάστιξι τοὺς ἵππους ἰθύνομεν.

Ἰθύνω, τὸ εὐθύνω, ἤγουν τὸ κατ' εὐθεῖαν ἄγω. καὶ ἰθύφαλλοι τὰ ἐντεταμένα σκύτινα αἰδοῖα, ἃ οἱ Ἕλληνες αἰσχρῶς ἐσχημάτιζον. καὶ ἰθυντὴρ ποιητικῶς ὁ κυβερνήτης. καὶ Ἰθάκη ὄνομα νήσου. καὶ ἰθάκιος, ὁ ἀπὸ ταύτης. καὶ ἴθι ἀντὶ τοῦ ἐλθὲ, ἢ ἀντὶ τοῦ ἄγε, ἐπιῤῥηματικῶς. καὶ ἰθαγενὴς, ὁ γνήσιος υἱός. καὶ ἱκάνω ποιητικῶς, καὶ καταλαμβάνω. καὶ ἱκανὸς ἀντὶ τοῦ ἀρκετός. καὶ ἱκανώτατος ἐπὶ ὑπερθετικοῦ. καὶ ἱκνοῦμαι ποιητικῶς τὸ παρακαλῶ, μετὰ δὲ τῆς ἀπὸ προθέσεως ἀφικνοῦμαι, τὸ ἔρχομαι, παρὰ τοῖς κοινοῖς. ἱκετεύω, τὸ παρακαλῶ. καὶ ἱκετηρία παρ' Ἕλλησι, τὸ μετὰ κλάδου ἐλαίας ἐστεμμένου στέμματι ἱκετεύειν. ἀφ' οὗ παρὰ Σοφοκλεῖ τοῖς ἱκετηρίοις κλάδοισιν, ἀντὶ τοῦ ἱκετηρίοις. καὶ ἱκετεία, καὶ ἱκεσία, ἡ παράκλησις. καὶ ἴκριον, τὸ ὀρθὸν ξύλον. καὶ Ἴκαρος, κύριον. καὶ Ἰκόνιον, πόλις. καὶ ἵκω, τὸ ἔρχομαι παρὰ τοῖς παλαιοῖς, καὶ τοῖς μὴ δεόντως ἀττικίζουσι ποιηταῖς. καὶ ἵκομαι, ἐπὶ παθητικοῦ. παρὰ δὲ τοῖς Ἀττικοῖς, ἥκω μὲν τὸ ἔρχομαι, διὰ τοῦ η, ὃ δὴ καὶ ἐπεκράτησεν. ἀφίκομαι δὲ, ἐπὶ παθητικοῦ, τὸ αὐτὸ μετὰ τῆς προθέσεως ἀεὶ, καὶ διὰ τοῦ ι. καὶ Ἴκλος, ὄνομα κύριον. Ἴκος, ὄνομα νήσου. καὶ ἰνίον, τὸ ἐν τῷ τραχήλῳ νεῦρον. καὶ Ἴναχος, κύριον. καὶ ἶν ἰνὸς, ἡ δύναμις. καὶ Ἰνὼ, κύριον. καὶ ἴξαλος παρὰ ποιηταῖς, ὁ τέλειος. καὶ ἰξὺς, ἡ ὀσφύς. καὶ ἴξ ἰκὸς, εἶδος σκώληκος. καὶ Ἰξίων, ἰξίονος, κύριον. καὶ ἰξὸς, δι' οὗ τὰ στρουθία ἀγρεύουσιν. ἀφ' οὗ ἰξευτικὴ, ὥσπερ ὑφαντική. καὶ ἰξευτικά. καὶ ἰπνὸς, τὸ μαγειρεῖον, ἢ κάμινος. καὶ Ἶρος, ὄνομα κύριον, ὃν Ὅμηρος ποιεῖ, καὶ ἀπὸ τοῦ εἴρω τὸ λέγω παράγει. καὶ ἶρις, τὸ ἐν οὐρανῷ τόξον. καὶ ἴσχω, ἀντὶ τοῦ ἔχω. καὶ ἰσχάδες καὶ ἰσχάδια, τὰ ξηρὰ σῦκα. καὶ ἰσχία, αἱ μετὰ τὴν ὀσφὺν ἑκατέρωθεν σαρκώδεις προβολαί. καὶ ἰσχναίνω, ἀντὶ τοῦ κατεσκληκώς εἰμι, ἤγουν ξηρός. καὶ ἰσχὺς, ἡ δύναμις. καὶ ἰσχύω, τὸ δύναμαι. καὶ Ἴσων καὶ Ἰσαῖος, κύριον. καὶ ἰσόω ἰσῶ, τὸ ἴσον ποιῶ. καὶ ἰσοῦμαι, ἀντὶ τοῦ ἴσος γίνομαι. καὶ ἴτυς, ἡ περιφέρεια τοῦ ἅρματος, καὶ ὄνομα κύριον. καὶ Ἴτυλος, κύριον. καὶ ἰταμὸς, ὁ ἀναίσχυντος καὶ ἄγριος. καὶ ἰταμότης, ἡ ἀγριότης. καὶ ἶφι ἐπίῤῥημα, ἀντὶ τοῦ βίᾳ, καὶ ἐν ἰσχύϊ. καὶ ἴφθιμος, ὁ ἀνδρεῖος. καὶ ἰχὼρ ἰχῶρος, ἀπὸ σήψεως ὑγρόν. καὶ ἶψ ἰπὸς, εἶδος σκώληκος.

Ἰθυντὴρ, κυβερνήτης, χαλινὸς, πηδάλιον, ὁδηγὸς, ὁρμηστής. καὶ ἔτι ἰθυνῶν, κανονίζον, καὶ ἰσότητα παρέχον.

Ἰθυντήρων, ἐπ' εὐθείας ἐγένοντο.

Ἰθυντήριον, ὃ φέρουσιν οἱ μάντεις σκῆπτρον ἀπὸ δάφνης.

Ἰθύτατα, ὀρθότατα, δικαιότατα.

Ἰθύτατα παρ' Ὁμήρῳ, ὡς ἐκ τοῦ ἰθύνω ἔχει τὸ ἀμφίβολον. ἄλλος γὰρ ἐκ τοῦ ἰθὺς ἰθύτατα ὤφειλεν εἶναι, καθ' ὁμοιότητα τοῦ εὐθὺς εὐθύτατος, καὶ τῶν ὁμοίων.

Ἰθὺν, Ὅμηρος ἐν π' τῆς Ὀδυσσείας, γυναικῶν γνώομεν ἰθὺν, ἤγουν τὴν κατὰ ψυχὴν δηλαδὴ ὁρμήν.

Ἰθυπετεῖν, ἐπ' εὐθείας ὁρμῆσαι.

Ἰθυπτύονα, τὴν ἐπ' εὐθείας πετομένην κατ' ἀντικρύ. καὶ ὀρθόβουλον, κατ' εὐθὺ φερομένην.

Ἰθὺρ, τὸ σιδήριον τοῦ ἄξονος τὸ τριβόμενον.

Ἰθὺς φέρε χαλκὸν ἀτειρέα, ἀντὶ τοῦ ἴθυσον μετὰ χαλκοῦ ἤτοι μετὰ ὅπλων στῆθι, καὶ οἷον ἀντίστηθον τῷ πολεμίῳ τὰ ὅπλα.

Ἰθὺς φρόνεον. παρ' Ὁμήρῳ ταυτόν ἐστιν εἰπεῖν ἰθὺς φρονεῖν, καὶ προθυμεῖσθαι εἰς ἀντιπρόσωπον μάχην. ὁ γὰρ μὴ φρονῶν ἰθὺς, ὅ ἐστιν ἀντικρὺ καὶ πρὸς εὐθὺ, ἐκεῖνος ἢ πλαγιάζει, ἢ ὀπίσω τρέπεται.

Ἰθὺς τετράφθαι, ἴσον ἐστὶ τῷ, ἰθὺς μάχεσθαι, καὶ στῆναι ἄντα, καὶ τῷ ἰθὺς βεβῆσαι. καὶ ταῦτα παρὰ τῷ Ποιητῇ, ἰθὺν. Ὅμηρος, πρὸς ῥόον ἀΐσσειν ἀν' ἰθὺν, ἤγουν κατὰ ῥοῦν ὁρμᾶν ἐπ' εὐθείας.

Ἴθυσεν, ἐπ' εὐθείας ὥρμησεν.

Ἰθύτης, εὐθύτης.

Ἰθυτενὲς, εἰς εὐθεῖαν τεταμένον.

Ἰθύφαλλοι, οἱ ἔφοροι Διονύσου, καὶ ἀκολουθοῦντες τῷ φαλλῷ γυναικείαν στολὴν ἔχοντες. λέγεται δὲ φαλλὸς, τὸ ἐντεταμένον αἰδοῖον. καὶ ποιήματα δὲ καλεῖται, ἃ ἐπὶ τῷ ἱσταμένῳ φαλλῷ ᾔδετο μετ' ὀρχήσεως. ἰθύφαλλοι, οἱ εἰς τοὺς μηροὺς μόνον, οὐχὶ δὲ καὶ ἐν τοῖς τραχήλοις ἐπ' εὐθείας δεσμούμενοι ἐξ ἐρυθρῶν δερμάτων, εἴρηται ἐν τῷ περὶ φαλλοῦ.

Ἰθύω, ἐπιβάλλομαι.

Ἰθώμη, θετταλική. καλεῖται καὶ θούμαιον, κατὰ τὸν ἀναγραφέα τῶν ἐθνικῶν, ἀποβολῇ φησὶ τοῦ ι καὶ τροπῇ τοῦ ω εἰς τὴν ου δίφθογγον. ἔστι δὲ καὶ μεσσηνιακὴ ἰθώμη, ἐθνικὸν ἰθωμαῖος καὶ ἰθωμήτης. τῷ δὲ Γεωγράφῳ ἐμφέρεται, ὅτι τὴν ἰθώμην ὁμωνύμως τῇ μεσσηνιακῇ λεγομένην οὔ φησι δεῖν οὕτως ἐκφέρειν, ἀλλὰ τὴν πρώτην συλλαβὴν ὑφαιρεῖν. νῦν δέ φασιν θαμαὶ μετωνομάσθησαν.

Ἰθὼν, πυγὴ λαγαρὸς, καὶ πρωκτός. ἄλλοι δὲ ἀλλαντα. καὶ πόλις Θετταλίας.

ΤΟΥ Ι. ΜΕΤΑ ΤΟΥ Κ.

Ι Καὶ ι βραχεῖα εἰς ι μακρὸν κιρνᾶται, οἷον τῷ ὄφιι καὶ ὄφι.

Ἰκάζει, στοχάζει, ἀπολαμβάνει.

Ἵκανε, παρεγένετο, κατελάμβανεν, ἤρχετο, ἀφίκετο.

Ἱκάνῃ, λάβῃ, παραγίνηται.

Ἱκανὴν, ἀρκοῦσαν, πολλήν.

Ἱκάνομαι, ἱκετεύω, ἀφῖγμαι.

Ἱκανὸν, διαρκὲς, δόκιμον.

Ἱκανὸς λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ ἀρκοῦντος. ὁ γὰρ ἱκάνων, ὅ ἐστι παραγινόμενος, ἤρκεσε πρὸς τὴν ὁδόν.

Ἱκανότης, ἰσχὺς, δύναμις.

Ἱκανόων, ἢ ἰχανόων, ἐπιθυμῶν.

Ἱκάνω ποιητικῶς, τὸ καταλαμβάνω. γίνεται ἀπὸ τοῦ ἵκω. καὶ ἱκανὸς, ἀντὶ τοῦ ἀρκετός.

Ἱκάνω, ἀεὶ παρὰ τῷ Ποιητῇ ἐκτείνει τὴν παραλήγουσαν. τὸ δὲ ἱκανώτατος ἀπὸ τοῦ ἱκάνω γενόμενον, ἀμφιβόλως ἔχει, εἴτε διὰ τοῦ ω μεγάλου γραφήσεται, ὅπερ καὶ μάλιστα τοῖς πλείοσιν ἔδοξεν, εἴτε καὶ διὰ τοῦ ο μικροῦ.

Ἱκάνω, σημαίνει τὸ ἱκετεύω. ἡμεῖς ἱκανόμεθα τὰ σὰ γούνατα. σημαίνει καὶ τὸ παραγίνομαι, καὶ τὸ καταλαμβάνω ποιητικῶς.

Ἱκανώσας, ἀπώσας Ἴωνες λέγουσι.

Ἱκανῶς, ἀρκούντως.

Ἴκαρος καὶ ἰκάριος, κύριον, παρὰ τὸ ἱκέσθαι πρὸς τὸν ἀέρα.

Ἰκαριεῖς, δῆμος φυλῆς τῆς Αἰγηΐδος.

Ἴκαρ, πάνυ, ἐγγύς. καὶ παρ' ὀλίγον τοῦ ἐρημῶσθαι. ἰκάριος πόντος, μέρος τι τοῦ αἰγαίου, ὑπὸ βορρᾶ καὶ νότῳ μάλιστα κυμαινόμενος, ἔνθα ὡς καὶ ὁ περιηγητὴς ἱστορεῖ, μεγάλα ἐγείρονται κύματα.

Ἰκάριος δὲ ἢ ἀπὸ τοῦ Ἰκάρου τοῦ θρυλουμένου υἱοῦ Δαιδάλου, ὃς αὐτόθι, καταπεσὼν ἀπεπνίγη, καὶ ἀφῆκε τῷ πόντῳ τὴν ἐξ αὐτοῦ κλῆσιν. ἢ ἀπὸ νησίου τινὸς αὐτόθι ὄντος, ἐνταῦθα ἀρέσκει τοσοῦτον εἰπεῖν. ὅτι κατὰ τὸν Γεώγραφον παράκειται τῇ σάμῳ νῆσος ἰκαρία, ἀφ' ἧς τὸ Ἰκάριον πέλαγος, αὐτὴ δὲ ἐπώνυμος Ἰκάρου παιδὸς Δαιδάλου, ὃς αὐτόθι κατέπεσεν.

Ἰκασθεὶς ἢ εἰκασθεὶς, ὁμοιωθείς.

Ἴκατι ἢ εἴκατι, εἴκοσιν.

Ἴκατο, ἐλάβετο.

Ἴκεν, ἐληλυθέναι.

Ἴκελος, ὁ ὅμοιος, τὸ ἁπλοῦν ι. θεοείκελος δὲ καὶ ἐπιείκελος τὰ σύνθετα, διφθόγγῳ.

Ἶκεν οὐρανὸν, ἀντὶ τοῦ κατελάμβανεν, ἀεὶ διὰ τοῦ ι παρὰ τῷ Ποιητῇ γραφόμενον, ἀπὸ τοῦ ἵκω, ἐξ οὗ καὶ τὸ ἱκάνω, καὶ ἱκνῶ. δῆλον δὲ, ὡς πρὸ ἦν τὸ ἐν τῷ ι γραφόμενον ἵκω, τοῦ παρὰ τοῖς ὕστερον διὰ τοῦ η. ἐφ' οἷς γέγονε σύμβασις τοῖς Κριτικοῖς, ἵνα μὴ ἀμφιμάχοιντο γράφεσθαι τοῦ ἵκω τὰ μὲν ἐνεργητικὰ διὰ τοῦ η, τὰ δὲ παθητικὰ διὰ τοῦ ι καὶ οὕτω φυλάσσονται παρὰ τοῖς μεθ' Ὅμηρον ἄμφω αἱ γραφαί. δύναται δὲ καὶ ἄλλως τὸ οὐρανὸν ἶκε νοηθῆναι, κατὰ προθέσεως ἔλλειψιν, ἀντὶ τοῦ εἰς οὐρανὸν ἤρχετο. τὸ δὲ περὶ καπνῷ καινότερον συντέτακται. τὸ γὰρ κοινὸν περὶ καπνόν. καὶ ἡ ἀστεϊσμός ἐστιν. ἢ κατὰ ἀναστροφὴν κεῖται ἡ πρόθεσις, ἵνα ἡ περιειλισσομένη τῷ καπνῷ.

Ἰκεναὶ, ὀρχήσεις.

Ἰκεοβολίας, ματαιολογίας.

Ἱκέσθαι, παραγενέσθαι, ἱκετεῦσαι.

Ἱκέσθαι καὶ ἀφικέσθαι διαφέρει. ἱκέσθαι μὲν γάρ ἐστι, τὸ ἐλθεῖν· ἀφικέσθαι δὲ, τὸ ἐπανελθεῖν.

Ἱκέσθην, παρεγένοντο.

Ἱκεσίας, πρεσβείας. ἱκετηρίας, παρακλήσεις.

Ἱκεσία, καὶ τοῦτο ἀδόκιμον. ἱκετεία δὲ, Φρύνιχος.

Ἱκεσία, ἡ ἱκέτευσις.

Ἱκέσιος, ἱκετικός. καὶ ἀντὶ τοῦ ἱκετήσιος.

Ἱκέται, παρακλήτορες.

Ἱκετάονα ὄζον ἄρηος λέγει Ὅμηρος, ὃς καὶ τὸν Πρίαμον ἀμελίην, καὶ τὸ Νέστορα ἱππότην. οὐχ ὅτι νῦν, ἀλλ' ὅτι πάλαι ποτ' ἦσαν τοιοῦτοι.

Ἱκετεία, ἣν ποιεῖταί τις διὰ λόγων.

Ἱκέ-

Ἱκετεύσειν, μετοικίδῃ, ἱκέτης ἐγένετο.
Ἱκετεύω, τὸ παρακαλῶ, οἷον ἱκετεύω, σοι πρὸς ὀλίγον ἀφεθῆναι. ὅθεν ἱκέτης ὁ παρακλήτωρ, καὶ ἱκετεία.
Ἱκετηρία, ὁ θαλλὸς τῆς ἐλαίας.
Ἱκετηρία, παράκλησις, ἣν οἱ δεόμενοι κατατίθενταί του, ἢ μετὰ χεῖρας ἔχουσιν.
Ἱκετηρία ἐστὶ, κλάδος ἐλαίας ἐρίῳ πεπλεγμένος. οἱ γὰρ ἱκετεύοντες, ἐλαίας κατεῖχον κλάδον.
Ἱκέτης, ὁ δουλοπρεπῶς παρακαλῶν, καὶ δεόμενος περί τινος ὁτουοῦν.
Ἱκέτης, πρόσφυξ.
Ἱκέτης, μέση λέξις. λέγεται γὰρ καὶ ὁ ἱκετεύσας, καὶ ὁ ἱκετευθεὶς, καθὰ καὶ ὁ ξένος, καὶ τὸν ξενισθέντα δηλοῖ, καὶ τὸν ξενίσαντα. ξεῖνοι γὰρ ἄμφω ἀλλήλοιν. καθὰ καὶ ὁ ἱκετεύσας, καὶ ὁ τὴν ἱκετείαν δεξάμενος, ἤτοι κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἱκετοδόχος.
Ἵκετο, παρεγένετο.
Ἵκετο, κεῖται παρ' Ὁμήρῳ καὶ ἀντὶ τοῦ ἱκέτευσεν. ὡς τὸ ἐν Ὀδυσσείᾳ ἐν τῷ ρ', πρῶτον γὰρ ἔμ' ἵκετο νηὸς ἀποδράς.
Ἱκετορεύσομεν, ἱκετεύσομεν.
Ἱκετώσυνα, καθαρτήρια, λυτήρια, ἱκέσια.
Ἵκῃ, παραγένῃ.
Ἰκιάδες, αἱ ἐκ Ἴκου τῆς νήσου.
Ἰκιὼν, πορθμεύς.
Ἰκκὸς, ὁ Ταραντῖνος.
Ἰκμάδα, σταγόνα, ὑγρασίαν.
Ἰκμάζει, κατασκεδάζει, κατασκελετεύει.
Ἰκμαζομένην, ὑγραινομένην, μαλασσομένην.
Ἰκμάζω, ὑγραίνω. καὶ ἐξικμάζω, τὸ ξηραίνω. ἰκμάζει, κατασάζει, ῥέει.
Ἰκμαίνοντο, ὑγραίνοντο.
Ἰκμαίοιο Διὸς, ἕνεκα τῆς ἰκμάδος, ἐν τῇ Κῷ δέ ἐστιν ἱερὸν Διὸς ἰκμαίου, τουτέστι διύγρου, ἐπεὶ αἴτιος γέγονε τῆς πνοῆς τῶν ἀνέμων.
Ἰκμαλέος, δίυγρος.
Ἰκμαλέῳ, ὑγρῷ, στερεῷ.
Ἰκμᾶν, λικμᾶν, σῖτον καθαίρειν.
Ἰκμὰς, ἡ ὑγρασία, παρὰ τὸ ἵκω ἰκμάς. ὅθεν καὶ ἴκμενον οὖρον, παρὰ τὸ ἱκνεῖσθαι, ἢ παρὰ τὴν ἰκμάδα.
Ἰκμάσαι, ἐφορμῆσαι.
Ἰκμασία, ὁ ἔνδροσος ἀὴρ, ὑγρασία.
Ἴκμενον οὖρον, ἢ τὸν ὑγρὸν λέγει παρὰ τὴν ἰκμάδα, ὃ καὶ τοῖς παλαιοῖς ἀρέσκει. ἢ τὸν φορὸν, καὶ εἰς τὸ ἱκέσθαι ἐπιτήδειον, ὡς οἱονεὶ, ἰκόμενον. οὖρον δὲ τὸν εὐδιεινὸν, ὡς δι' αὐτοῦ οὐρίειν, τουτέστιν ὁρμᾶν τὴν ναῦν. ἀφ' οὗ καὶ ὁ ἐξουρίας πλοῦς, ἤγουν ὁ ἐκπνοῆς εὐδιεινῆς, ὃ καὶ πληθυντικῶς λέγεται ἐξ οὐρίων, ἤγουν ἐξ εὐδιεινῶν πνευμάτων. ἐκεῖθεν καὶ οὐρίσαι, τὸ ἀποκαταστῆσαι εἰς ὅρμον, ὥς φασιν οἱ παλαιοί. καὶ κατουρίζειν ῥῆμα τραγικῶς, ὁ μέντοι οὖρος ἄλλο τι δηλοῖ ὀξυτόνως.
Ἴκμενος, εἰ ψιλοῦται, ἀπὸ τῆς ἰκμάδος, εἰ δὲ δασύνεται παρὰ τὸ ἱκέσθαι, ὡς οἱονεὶ ἱκόμενός τις ὢν, ἤγουν ἐπιτήδειος εἰς τὸ ἱκέσθαι. εἴη ἂν ὁμηρικῶς εἰπεῖν, ὁ τοιοῦτος ἄνεμος πλησίστιος, καὶ πρὸς ὁμοιότητα εἴρηκέ τις καὶ ἄρτον πλησίγναθον, ὥσπερ αὖ πάλιν πρὸς τοῦτο εἴρηται ὁ φυσίγναθος.
Ἴκμη, φυτόν τι γενόμενον παρὰ τὸν ὀρχομενόν.
Ἰκμῶντο, ἐσείοντο, ἐπνέοντο.
Ἰκνὰ, στοφεῖα, ἁρμόνια.
Ἴκνεος, στοφεὺς, Ῥόδιοι.
Ἰκνοτέρους, ἐσταλμένους.
Ἰκνεῖται, ἔρχεται, καθάπτεται, νοσεῖ, δεῖται, ἱκετεύει.
Ἰκνοῦμαι, ποιητικῶς τὸ παρακαλῶ. ἱκετεύω, καὶ ἱκνοῦμαι χωρὶς τῆς προθέσεως, τὸ παρακαλῶ. οἷον ἱκνοῦμαι τὸν δεῖνα, ἢ σέ. μετὰ δὲ τῆς προθέσεως, οἷον ἀφικνοῦμαι, ἀφικνούμην, ἀφίξομαι, ἐὰν ἀφίκωμαι, ἀντὶ τοῦ παραγίνομαι, ἢ παρεγενόμην, ἐλεύσομαι, ἐὰν ἔλθω. ὡσαύτως καὶ τὸ ἱκνοῦμαι, καθικνοῦμαι σοῦ τῶν γονάτων.
Ἱκνουμένως, προσηκόντως.
Ἴκνυον, κόνιν, σμῆμα.
Ἵκοιτο, φθάσοι, παραγένοιτο.
Ἱκόμαν, παρεγενόμην.
Ἱκόμην παρὰ ποιηταῖς, ἀφικόμην παρὰ τοῖς λογογράφοις.
Ἰκόνιον, ὄνομα πόλεως Λυκαονίας.
Ἵκοντες, ὑπακούοντες, παραχωροῦντες.
Ἵκοντο, παρεγένοντο.
Ἱκόσιν, ἀφορπίσιν.
Ἵκου, ἐλθέ.
Ἴκρια προπαροξυτόνως ναῶν, ὡς δέμνια τὰ καταστρώματα. οἱ δὲ τὰ κατὰ πρῶραν καὶ πρύμναν σανιδώματα, ὅπερ καὶ κρεῖττον, ἤγουν τὰς κατὰ πρῶραν σανίδας. ἄλλοι δὲ ἰκριά φασι, τὰ ἐξέχοντα τῶν νηῶν ἄκρα. ὅτι δὲ ἴκριον λέγεται καὶ ἐπὶ ἱστοῦ, ἐν Ὀδυσσείᾳ κεῖται. ὅθεν καὶ ἐπίκριον τὸ κέρας τοῦ ἱστοῦ, ὃ κοινότερον κεραστάριον λέγεται, ἀλλὰ ἐκεῖνο μὲν ἀπὸ τοῦ ἐν ἄκρῳ εἶναι. τὰ δὲ σανιδώματα τὰ ἴκρια, παρὰ τὸ ἱκνῶ, περὶ ἃ ἱκνοῦνται οἱ ἐν ταῖς ναυσί.
Ἴκριον, τὸ ὀρθὸν ξύλον, ἢ ὁ σταυρὸς, ἢ ἡ φούρκα, ἢ σανιδώματα τῆς νηὸς, καὶ τὰ τῶν θεάτρων. ἃ ἦσαν, ἐν ταῖς ἐκκλησίαις, ἐπὶ ξύλων γὰρ ἐκάθηντο, πρὶν γένηται τὸ θέατρον. ξύλα γὰρ ἐδέσμευον, καὶ οὕτως ἐθεώρουν. τινὲς ἴκρια γράφουσιν. εἴρηται δὲ παρὰ τὸ εἰς ὕψος ἱκεῖν, οἷον ἱκήριά τινα ὄντα. ἢ διὰ τὸ αὐτῶν ἱκνεῖσθαι καὶ ἀναβαίνειν.
Ἴκριον, οἱ μὲν μέρος τοῦ ἱστοῦ λέγουσι. βέλτιον δὲ νοεῖν ἴκριον, τὴν καλουμένην κεραίαν. ἧς τὰ ἄκρα, ἀκρόστερα λέγονται. λέγεται δὲ ἴκρια καὶ τὰ σανιδώματα, οἷς οἱ πάσσαλοι πρόσκεινται. περόνας δὲ τοὺς πασσάλους, τοὺς ἐπὶ σανιδωμάτων. ἢ τοὺς καλουμένους τροχοὺς, οἷς τὰ σχοινία δεσμοῦσι.
Ἵκτᾳ, ἥκει, ἦλθεν.
Ἰκταίνοντο, ἠσθάνοντο.
Ἴκταρ τοῦ ψελλοῦ, ἴκταρ ἐστὶ τὸ σιώπομον.
Ἰκτῖρε, ἐθνικῶς ἰχθύς.
Ἴκταρ, πλησίον, ἐγγύς. * παρὰ τοῖς Ἀττικοῖς. εἴρηται δὲ, παρὰ τὸ ἐφικνεῖσθαι. καὶ παροιμία οὐδ' ἴκταρ βάλλει. εἴρηται δὲ κατὰ γλῶτταν, ὥσπερ τὸ διωλύγιον, ὅ ἐστι τὸ μέγα καὶ χαλεπόν. παρὰ δὲ τῷ Ἱπποκράτει ἐν δευτέρῳ τῶν γυναικείων, ἴκταρ τὸ τῆς γυναικὸς αἰδοῖον.
Ἰκτέα, ἀκόντιον.
Ἴκταρ τὸ ἐγγὺς, παρά γε τοῖς Ἀττικοῖς. ἔστι δὲ τὸ γυναικεῖον αἰδοῖον παρὰ τῷ Ἱπποκράτει.
Ἴκτερος, νόσημα. ὃς περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων.
Ἰκτῆρες, ἱκετευτικούς. ἵστασθε τοὺς δ' ἄραντες ἰκτῆρας κλάδους.
Ἴκτις, οἰκέτης, πτωχὸς, ἔπηλυς. αἱ δὲ, ἰκτῆρ.
Ἰκτίδας, εἶδος ζώου, ὡς οἱ κάστορες, ἢ ἔνυδρον. ἔστι δὲ ἰχθυοφάγον.
Ἰκτιδέα, τὸ τοῦ αἰλούρου δέρμα.
Ἴκτερος, ἀπὸ ξανθῆς χολῆς γίνεται, ἥτις πλεονάσασα καὶ πυρωθεῖσα, ὡς τὴν ἐπιφάνειαν ἐξωθεῖται, καὶ ἀναχεῖται, κἀντεῦθεν τῷ ἰκτεριῶντι ὠχρίασις.
Ἰκτερεύσομεν, ἱκετεύσομεν. Σοφοκλῆς αἰχμαλώτοις.
Ἰκτῖνα. σημαίνει τὴν λεγομένην λύτην, παρὰ τὸ ἱκνοῦμαι. Πλάτων δὲ προπαροξυτόνως λέγει, ὡς παρὰ Ἀριστοφάνει ἴκτινα παντόφθαλμον ἁρπάγα τρέφων.
Ἴκτινος, εἶδος ὄρνιθος ἁρπακτικοῦ, ἐν ἔαρι φαινομένου.
Ἴκτις, ὥς φασιν οἱ ὑπομνησταί, ἐστὶ ζῶον ὅμοιον κυνιδίῳ μελιταίῳ, ὀρνιθοφάγον, τοῖς σμήνεσιν ἐπηρεάζον, ἔχον τὸ αἰδοῖον οἷον ὀστοῦν, καὶ ἰᾶται στραγγουριῶντας. τὸν δὲ Ὅμηρον ἀφελεῖν φασὶ τὸ ι, δέον εἰπεῖν ἰκτιδέην κυνέην. ἰστέον ὅτι ἐν τῷ ἐπικτιδέην, ἀμφίβολόν ἐστιν, εἴτε μετὰ συναλοιφῆς τῆς προθέσεως ῥητέον ἰκτιδέην τετρασυλλάβως, εἴτε τρισυλλάβως κτιδέην ἀσυναλείπτως, καὶ πανοῦργον τὴν κτὶν τὸ ζῶον ἱστοροῦσι, καὶ μεῖζον μὲν γαλῆς καὶ δασύτερον, ἄλλως δὲ παραπλήσιον. οἱ δὲ, ἀγρίαν λέγουσιν εἶναι γαλῆν. καὶ ἄλλα ἄλλοι λέγουσιν, καὶ πλείω.
Ἶκτο, ἦλθεν.
Ἵκω, καταλαμβάνω.
Ἵκω, τὸ ἔρχομαι παρὰ τοῖς παλαιοῖς, καὶ τοῖς μὴ διόλου ἀττικίζουσι ποιηταῖς. καὶ ἵκομαι ἐπὶ παθητικοῦ. παρὰ δὲ τοῖς Ἀττικοῖς, ἥκω τὸ ἔρχομαι, διὰ τοῦ η.

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Λ.

Ἰλάγματα, ἱμάτια.
Ἰλαγωγικῶς, τακτικῶς, μετὰ τάξεως.
Ἰλλάδες, οἱ δεσμοί.
Ἰλαδὸν, ἤγουν κατὰ ἴλας, ὅ ἐστι φαλαγγιδόν. συστροφὴν γὰρ πλήθους δηλοῖ, καὶ τὸ βοτρυδὸν καὶ τὸ ἰλαδόν. καὶ τοιοῦτος ἄμφω εἰσὶν ἐπιῤῥήματα. τάχα δὲ καὶ τὸ ἄλις, καὶ ἠθροισμένως, δηλοῖ δὲ καὶ τὸ δασύ.
Ἰλαδὸν, ἐν ἀθροίσει κατὰ τάξιν, σημαίνει καὶ τὸ δασὺ, παρὰ τὸ ἴλη, ὃ σημαίνει τὴν ἄθροισιν, γέγονεν ἰλαδὸν, ἤτοι ὁμοῦ.
Ἰλαδὸν, ἀθρόως κατ' ἀξίαν, κατὰ σύστημα ἐπορεύοντο.
Ἰλάειρα, σελήνη.
Ἵλαθι, ἵλεως ἔσο ἱλαρὸς, περιχαρὴς τῇ ὄψει.
Ἱλάντες, ἐξευμενιζόμενοι, ἐξιλεούμενοι λιταῖς.
Ἵλαον, ἵλεων, εὐμενῆ.
Ἱλάονται, ἱλάσκονται.
Ἵλαος, ἱλαρός.
Ἵλαος κοινῶς, ἵλεως Ἀττικῶς, ὁ εὐμενής.
Ἱλαπινάζω, εὐωχοῦμαι.
Ἱλαπίνας, θυσίας, ἑορτὰς, εὐωχίας.
Ἶλαρ, ἀσφάλεια, κώλυμα, φυλακή.
Ἱλαρὸς, εὔχαρις, ἀστεῖος, ἡδύς.
Ἱλαρώτερος, εὐπροσιτώτερος.
Ἴλας, ἀγέλας, ἢ τάξεις. καὶ ἰλάρχας, ταξιάρχας. ἴλη γὰρ ἡ συστροφὴ καὶ τάξις ὄχλου ἱππικοῦ.
Ἱλὰς, τὸ σχοινίον. καὶ ἱλάσι, τοῖς δεσμοῖς.
Ἱλασάμενος, ἐξιλεωσάμενος, μετοχὴ παθητική. τὸ θέμα ἱλῶ ἱλᾷς ἱλᾷ, μέλλων ἱλάσω, ἀόριστος ἵλασα. καὶ ἱλασάμην, ἱλασάμενος, πλεονασμῷ τοῦ σ ἱλασσάμενος.
Ἱλάσθητι, ἐκ τοῦ ἱλῶ ἵλημι, ἐξ οὗ τὸ ἱλάσθητι, ἱλεώς μοι γένοιο.
Ἱλάσκεσθαι, ἐξιλεοῦσθαι, ἀπὸ τοῦ ἱλῶ ἱλάσω, ἱλάσκω ἱλάσκομαι.
Ἱλάσκονται, περὶ τὸν αὐτὸν εἱλοῦνται τόπον. ἢ ἐν κύκλῳ πλανῶνται.
Ἱλάσκω, τὸ ἐξευμενίζω.
Ἱλασμὸς, εὐμένεια, πρᾳότης, συγχώρησις, εἴτε διαλλαγή.
Ἱλάσσεαι, ἐξιλεώσαι.
Ἱλασσώμεθα, ἱλάσκομαι ἐνεστὼς, ἱλάσομαι μέλλων, ἱλασάμην ἀόριστος, ἃ παρὰ τοῖς κοινοῖς μετὰ τοῦ ἐξ εἰσὶν ἐν χρήσει. ἀπὸ τοῦ ἱλασάμην ὑποτακτικὸν ἱλάσωμαι, τὸ πρῶτον τῶν πληθυντικῶν ἱλασώμεθα, προσθήκῃ τοῦ ἑτέρου σ, διὰ τὸ μέτρον ἱλασσώμεθα.
Ἱλαστήριον, θυσιαστήριον, καθάρσιον.
Ἱλάων, ἥρως Ποσειδῶνος υἱός. ἀφ' οὗ Ἀριστοφάνης ἐν τριφαλῆτι, ἱλάονας ἔφη τοὺς φάλητας μεταφέρων, ὡς ὑπερβάλλοντας τῷ μεγέθει, ὥσπερ ἔλεγε τιτυοὺς, ἢ τινὰς τοιούτους, ἄλλοι δὲ Θεὸν πριαπώδη φασίν.
Ἱλεδανοί, οἱ δεσμοί.
Ἰλεθμὸς, ἀθροισμός.
Ἰλεὸν, λέγουσι τὸν φωλεὸν, ἀπὸ τοῦ τὰ ἑρπετὰ ἐν αὐτῷ εἰλεῖσθαι.
Ἴλεξ, ἡ πρῖνος, ὡς Ῥωμαῖοι καὶ Μακεδόνες.
Ἶλεοι, εἶδος σταφυλῆς.
Ἱλέοντο, ἐστρέφοντο.
Ἰλεὸς, ἡ κατάδυσις τοῦ ὄφεως, ὁ φωλεός. σημαίνει δὲ καὶ ὄνομα νόσου, περὶ τοὺς ἵππους γινόμενον. ἢ ὁ τῶν ἐντέρων σπαραγμός.
Ἵλεων, πρᾶον. καὶ ἵλεως τὸ Ἀττικὸν, εὐμενὴς, ἱλαρός.
Ἱλεῶ, ἐξευμενίζομαι.
Ἱλέωσιν, ἴσχωσιν.
Ἱλεωτήριον, ἱλαστήριον.
Ἴλη, ἐπὶ τάγματος καὶ πλήθους λέγεται, παρὰ τὸ εἱλῶ. καὶ ἰλυσπᾶσθαι, ὅ ἐστιν ὁμοίως ὄφει καὶ σκώληκι εἱλεῖσθαι καὶ σπᾶσθαι, ἤγουν κινεῖσθαι. ὅθεν καὶ εἰλύσπωμα, ἡ τοιαύτη κίνησις.
Ἴλη, σύστημα, συστροφὴ, τάξις ὄχλου ἱππικοῦ, κυρίως δὲ φατρία.

Ἴλη,

Digitized by Google

Ἶλη, τὴν τάξιν σημαίνει. καὶ πάλαι μὲν ἴλη καὶ τὸ ἰλαδὸν, διὰ τῆς ει διφθόγγου εἶχε τὴν ἀρχοῦσαν, ὡς ἀπὸ τοῦ εἰλῶ, τὸ συστρέφω.

Ἴλη, ἡ τάξις, ι καὶ η γράφεται.

Ἵληθι, λέγεται μὲν καὶ ἵλαθι. πρωτότυπον δὲ τοῦ ἱλάσκεσθαι, τὸ ἱλάεσθαι. ἱλάω γὰρ, ὁ μέλλων ἱλάσω, ἐξ οὗ πλεονασμῷ συνήθει τοῦ κ ἱλάσκω. θεῖαι δὲ λέξεις, ὥσπερ τὸ ἱλάω, οὕτω καὶ τὸ ἱλάσκω, καὶ τὸ ἵληθι, καὶ ὁ ἵλαος κοινῶς, καὶ ἵλεως Ἀττικῶς. καὶ ἐκ τούτου, καὶ τὸ ἱλαρύνειν καὶ ἱλαρός.

Ἵληθι καὶ ἵλαθι λέγεται. καὶ τοῦτο οὐκ ἀπέοικε τοῦ ἰλήκοις, ἀντὶ τοῦ ἵλεως εἴης. ἰστέον δὲ, ὅτι τὸ ἵληθι δόξοι μὲν ἂν θέμα ἔχειν ἄχρηστον τὸ ἵλημι, ὅθεν γένοιτ' ἂν, ὥσπερ φὰς φάντος φᾶθι, βὰς βάντος βᾶθι, οὕτω καὶ ἱλὰς ἱλάντος ἵλαθι, καὶ τροπῇ ἵληθι, ὡς βᾶθι βῆθι. δύναται δὲ καὶ ἄλλως ἀπὸ τοῦ ἱλάω, ἵλαον ἵλαες ἵλαε, ὅθεν καὶ τὸ προστακτικὸν ἵλαε, γένεσθαι, λόγῳ μεταπλασμοῦ. ἵλαθι, ὅθεν τὸ ἵληθι. ἵνα ᾖ ὡς κλῦε κλῦθι, οὕτω καὶ ἵλαθι ἵληθι. ἐκ τούτου ἱλαρὸς ἵλαος, καὶ τὸ ἱλάσκω.

Ἰλήϊον λέγει Ὅμηρος, ἤγουν ἴλιον τὸ πεδίον περὶ ὃ ἐστὶ τὸ Ἴλιος. ἐξ οὗ παρώνυμος ἡ πόλις τὸ Ἴλιον. τινὲς δὲ ἰδήϊον πεδίον γράφουσι, τὸ τῇ Ἴδῃ ὑποκείμενον, διὰ τὸ εὐθὺς ἐπαγαγεῖν τὸν Ποιητὴν, ὄφρ' ἂν ἵκωμαι Ἴδης κνήμους.

Ἰλήκησι, χρόνου παρακειμένου, οὗ ἐνεστὼς μὲν οὐχ εὕρηται. προστακτικὸν τὸ ἵλαθι, καὶ ἵληθι.

Ἰλήκοις, ἵλεως καὶ εὐμενὴς γένοιο. ἐν ἐπιγράμματι ἰλήκοις Διόνυσε τεῆς ἀμέλησα χορείης.

Ἴλην, ὄχλου συνανατροφὴν ἐν τάξει ἱππικῇ.

Ἴλια, δῶρα γυναικεῖα.

Ἰλιάδης, ὁ Ἰλέως παῖς.

Ἰλιὰς, ποίημα Ὁμήρου. καὶ ἰλιὰς κακῶν, ἐπὶ τῶν μεγάλων κακῶν. καὶ ἰλιὰς, τὸ πλῆθος.

Ἰλιὰς, ἐκ τόπου τοῦ Ἰλίου ἔχει τὴν ἐπιγραφὴν. ὡς τὰ κακὰ περιέχουσα ὁπόσα ἐν τῷ καιρῷ τῆς μήνιδος περὶ τὴν Ἴλιον συνέπεσον, οὐ μόνον τοῖς ἰλιεῦσι. ἀλλὰ καὶ μάλιστα τοῖς Ἕλλησι, τοῖς μὴ τοσούτοις πρὸ τούτου πίπτουσιν. ὡς καὶ ὁ Ποιητὴς ἐπισημαίνεται λέγων, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε. ἡ δὲ Ὀδύσσεια φανερῶς ἐξῃρημένου προσώπου τοῦ Ὀδυσσέως δῆλον ἐπιγέγραπται, ὃς μόνος ὅλην τὴν ποίησιν συνιστᾷ. προπαροξύνεται δὲ ἡ λέξις, ὁμοίως τῷ ἱερεὺς ἱέρεια.

Ἰλιβῆνοὶ, ἔθνος.

Ἰλιγγιᾶσθαι, στροφεῖσθαι, σκοτοῦσθαι. καὶ δοκεῖν περιφέρεσθαι, κύκλῳ συστρέφεσθαι.

Ἰλιγγίφθογγοι, ἡδύφωνοι.

Ἰλιγγιῶ, ὅταν περὶ τὴν καρδίαν στρόφος γίνηται, ἐπακολουθεῖ σκότος. καὶ τοῦτο καλοῦσι τὸ πάθος ἴλιγγον.

Ἴλλιγος καὶ ἴλιξ, ὁ τῆς κεφαλῆς σκοτισμός. ὁ γὰρ τῶν ἐντέρων θόρυβος, ἴλεος λέγεται, ὡς παραιμος. λέγουσι δὲ οὕτω καὶ τὴν τῶν πραγμάτων ταραχήν.

Ἰλεία, Ἀθηνᾶ, ἡ παρ' Ἰλιεῦσι τιμωμένη. καὶ ἑορτὴ ἐν Ἀθήναις ἐν Ἰλίῳ Ἀθηνᾶς ἰλιάδος, καὶ πομπὴ, καὶ ἀγών.

Ἰλιεὺς, ὁ ἀπὸ τοῦ Ἰλίου τῆς πόλεως καὶ ἰλιέων.

Ἰλικρινὲς, ἄμικτον.

Ἴλιξ, συστροφὴ ὑδάτων.

Ἰλιόθι, πρὸ τῆς Ἰλίου πόλεως.

Ἴλιον εἴσω, εἰς ἴλιον εἴσω. ἴλιον, τὸ τῆς γυναικὸς ἐφήβαιον δηλοῖ, καὶ κόσμον γυναικεῖον παρὰ Κῴοις.

Ἴλιον, παρασημειοῦνται οἱ παλαιοὶ, ὅτι Ἴλιον μὲν ὁ Ποιητὴς πολλαχοῦ τὴν Τροίαν λέγει, ἐθνικὸν δὲ οὐδαμοῦ λέγει τοὺς ἰλιεῖς ἀλλὰ Τρῶας ἁπανταχοῦ. οὕτω καὶ τὴν Εὔβοιαν εἰδὼς τοὺς πολίτας οὐ λέγει εὐβοεῖς, ἀλλὰ ἄβαντας. καὶ τοῦτο ἐπὶ ἄλλων εὕρηται.

Ἴλιος, μύστης.

Ἰλικρινῶς, ψιλῶς.

Ἰλισάμενος, ἐγκαλυψάμενος.

Ἰλίσαι, κατορχῆσαι.

Ἰλισσὸς, ὄνομα τόπου καὶ ποταμός.

Ἰλισπᾶσθαι, ἐπὶ τῆς τῶν σκωλήκων πορείας λέγεται.

Ἰλισπῶν, τὸ ἰλισπᾶσθαί ἐστι τὸ παραπλήσιον τοῖς σκώληξι καὶ τοῖς ὄφισι ἰέναι, οἱονεὶ τῇ ἰλύϊ σπᾶσθαι, τουτέστιν ἐν τῇ γῇ κυλίεσθαι.

Ἰλισπῶντες, συνειλοῦντες.

Ἰλιτενὴς, κισσὸς ἄκαρπος.

Ἶλκα, γλοιὸς, ῥύπος.

Ἰλκαίνειν, διαστρέφειν τοὺς ὀφθαλμοὺς, παρὰ τῷ Ἱπποκράτει.

Ἰλλάδας, γονὰς, ἀγελαίας, καὶ τὰς συστροφάς. Εὐριπίδης Φρίξῳ, καὶ Σοφοκλῆς Ἀκρισίῳ.

Ἰλλάδες, φασὶ κατὰ Ἴωνας δεσμοὶ ἐξ ἱμάντων ἢ λύγων, ἀπὸ τοῦ εἰλῶ τὸ συστρέφω, ὡς ἐν εἴδει στρεβλώσεως. λέγεται ἐπὶ τοιαύτης σημασίας τὸ εἰλεῖν, ὡς δηλοῖ Πανσανίας. εἰλέειν, στρεβλοῦν, πιέζειν. μάλιστα δὲ μὲν ἐπὶ ὑγρῶν οἰκεία ἡ λέξις, οἷον σταφυλῶν κατ' αὐτὸν, ἢ ἐλαιῶν. καὶ εἰλεῖν τὸ συνάγειν φασὶν εἰς ταυτό. ἕτερος δὲ τεχνικός φησιν, εἰλεῖν ἐκπιέζειν ἐλαίας, ἢ στέμφυλα. ἰστέον δὲ, ὅτι ἰλλάδες οὐ μόνον αἱ νῦν ὁμηρικῶς εἰρημέναι, ἀλλὰ παρὰ τοῖς ὕστερον, καί τινες κίχλαι. ἰλλὰς γάρ φησιν εἶδος κίχλης. τρία δὲ γένη κιχλῶν, ὧν ἡ πρώτη καὶ μεγίστη κίσσῃ πάρισος, ὡς καὶ παρὰ τῷ Ἀθηναίῳ κεῖται. καλεῖται καὶ ἰξοφάγος αὐτὴ, ἐπείπερ ἰξὸν ἐσθίει. ἑτέρα δὲ ὀνομαζομένη τριχὰς, ἴση τῷ κοσσύφῳ. τρίτη δὲ ἐλαχίστη τῶν ἄλλων, ἰλλὰς λεγομένη. κατὰ δέ τινας, τύλας συναγελαστικὴ καὶ νεοττεύουσα κατὰ τὰς χελιδόνας.

Ἰλλᾶσι, δεσμοῖσι παρ' Ὁμήρῳ. οἷον ἰλλᾶσι οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσι.

Ἰλλαοιδὸς, ἐπιμυλίδιος ᾠδός.

Ἰλλεδανοὶ, οἱ δεσμοί.

Ἴλλειν, συνέχειν.

Ἰλληόμενος, δεσμούμενος τοῦ ψελλοῦ. ἰλλούμενος, δεσμούμενος.

Ἰλλίζειν, τὸ διανεύειν, οὐκ αἰεὶ ὅτι δή μοι ἐπιλλίζουσιν Ἀχαιοὶ, ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς διανεύειν. ἴλλοι γὰρ οἱ ὀφθαλμοί.

Ἴλλικον, τὸ στραγίσκον ἐθνικῶς.

Ἰλλόμενος, ὁ δεδεμένος. καὶ ἀντὶ τοῦ συνειλόμενος, συστρεφόμενος.

Ἰλλυριοὶ, βάρβαροι θρακικοί. οἶμαι δὲ τοὺς Βουλγάρους, λέγει Ἀριστοφάνης. Ἰλλυριοὶ κεκριγότες, ἀντὶ τοῦ τοιὰν φωνὴν ἀποτελοῦντες.

Ἴλλος, κύριον. καὶ ἴλλος, ὁ ὀφθαλμός. ἴλλον, στρεβλὸν, στραβὸν, τυφλόν. Ἀριστοφάνης, ἴλλος γεγένημαι ὃ δ' οὐδέπω.

Ἰλλυρὶς γονὴ, ἀντὶ τοῦ ἰλλυρὶς γενεά. γράφεται δὲ καὶ γυνή. ὁ δὲ Καλλίστρατος γυνὴ, ἀντὶ τοῦ γῆ. χρῶνται γὰρ οὕτω, Σοφοκλῆς Τριπτολέμῳ.

Ἰλλώπτειν, στραβίζειν, ἀπὸ τῶν ἴλλων, τῶν ὀφθαλμῶν. ἐμβλέπειν, τὸ καταμύειν.

Ἰλλώπτειν, ἐν ἐπιγράμματι τὸ γλυκερὸν καὶ θῆλυ κατιλλώπτοντι προσώπῳ.

Ἰλὸς, ἰλὺς, βόρβορος, γλοιός.

Ἰλούμενος, περιστρεφόμενος.

Ἴλουσμα, ἰλουμνῆμα.

Ἰλύαται, περιειλυμένοι εἰσίν.

Ἰλύαι, ἔνθα τὰ θηρία αὐλίζεται, φωλεοί.

Ἰλύει, στρέφει, κρύπτει, κοιμᾶται, κτυπεῖ, διατρίβει.

Ἰλύθματα, πέταλα.

Ἰλύμενον, ἐρχόμενον, προβαίνοντα.

Ἰλύος, ὑλώδους, ὑποστάθμης ποταμοῦ.

Ἰλυοῖσι, ταῖς καταδύσεσιν, ἑρπετὰ δ' ἰλυοῖσιν ἐνέκρυφθεν.

Ἰλὺς οἴνου, οὐκ ὀρθῶς λέγεται. ποταμοῦ μὲν γὰρ ἰλὺς, οἴνου δὲ τρὺξ, ἡ ὑποστάθμη, Φρύνιχος.

Ἰλὺς, ὁ πηλώδης καὶ κάθυγρος τόπος, ἡ ὑπόστασις τῶν ὑδάτων.

Ἰλὺς, βόρβορος, καὶ ἰλύσι τὸ πληθυντικόν.

Ἰλὺς, ἐκ τοῦ εἰλύω διφορουμένου γίνεται, ἐξ οὗ ὁ φωλεός. περὶ δὲ τοῦ εἰλείω. ἰστέον ὅτι ἐν λεξικῷ παλαιῷ κατὰ στοιχεῖον ἐκτεθειμένον, φέρεται αὐτὸ ἐν τῷ ι στοιχείῳ οὕτως. ἰλύσω τὸ περικαλύψω ἰλύϊ. ὡρμήθη δὲ ἴσως ἡ τοιαύτη γραφὴ ἐκ τοῦ δοκεῖν παρηχεῖν ἐν τοῖς ῥηθεῖσι τὸ ἰλύος καὶ τὸ εἰλύσω. κἀντεῦθεν δόξαι, καὶ ταυτογραφεῖσθαι τὸ εἰλύειν, καὶ τὴν ἰλύν.

Ἰλυσπώμενον, συνειλούμενον. εἰς τέρμα βοῦν ἐμπεσόντα, καὶ ἰλυσπώμενον ἕως τεθνάναι.

Ἰλυσπώμενος, ἐν βορβόρῳ κυλιόμενος. καὶ ἰλυσπᾶσθαι, ἐν τῇ ἰλύϊ σπᾶσθαι ἤγουν ἐν τῇ ἰλύϊ κυλίεσθαι.

Ἰλύσω, ἰλύϊ περικαλύψω, κρύψω.

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Μ.

Ἱμαῖον, ᾆσμα τὸ ἐπὶ τῇ ἀντλήσει λεγόμενον, παρὰ τὸ ἱμᾶν. οἱ δὲ τὸ μυλωθρικόν. καί που τὶς ἀνὴρ ὑδατηγὸν ἱμαῖον ἄδει. Καλλίμαχος ἐκάλει, ἱμαῖος, ὁ ἀντλητής.

Ἱμαῖος, ἡ ἐπιμύλιος ᾠδή. δηλοῖ δὲ καὶ ὄνομα κύριον, καὶ σταφυλῆς εἶδος.

Ἱμαλία, πόλις. καὶ τὸ ἐπίμετρον τῶν ἀλεύρων, ἐπιγέννημα ἀλετρίδος.

Ἱμαλίην, αὐλαί. καὶ ὁ ἀπὸ τῶν ἀχύρων χνοῦς, καὶ περιουσία.

Ἱμάλιον, πολύφορον, καρποφόρον, νόστιμον, καὶ σταφυλῆς εἶδος.

Ἱμαλὶς, νόστος, δύναμις, ἐπικαρπία, ἡδονὴ, ἀπαρχὴ τῶν γινομένων.

Ἱμᾶν καὶ ἱμεῖν, ἀντλεῖν, ἀνέλκειν, ἀνασπᾶν.

Ἱμαντίελια, ἐν ταῖς ναυσὶν οὕτω καλεῖταί τινα. καὶ ἱμάντες, λῶροι, κάλοι ναυτικοί. καὶ ἔθνος οὕτω προσαγορευόμενον, καὶ τὰ κύκλῳ τῶν τροχῶν σιδήρια.

Ἱμαντίον, τὸ ἐν τῷ στόματι κιονίδος ἔκτασις.

Ἱμάντωσις, σύνδεσμος τῶν κορυγίων τοῦ ὑποδήματος.

Ἱμαοιδὸς, ὁ πρὸς τῇ μύλῃ καὶ τῷ αὐλήματι ᾄδων.

Ἱμὰς, χανίον ᾧ ὕδωρ ἀντλοῦμεν. καὶ τὸ ἱμᾶν, τὸ ἀντλεῖν. ἐκεῖθεν δὲ καὶ τὸ ἀνιμᾶσθαι, κάτωθεν δηλαδὴ ἄνω, καὶ τὸ ἀνάπαλιν καθιμᾶσθαι. οἷον νύκτωρ πολλοὺς διὰ τῶν τειχῶν αὐτοὺς καθιμάσαντες φεύγειν.

Ἱμάσθλη, γίνεται παρὰ τὸν ἱμάντα, ἐξ οὗ ἴσως κατὰ ἀφαίρεσιν τῆς ἀρχούσης καὶ ὁ μεμαλαγμένος λῶρος. λέγεται δὲ πολυωνυμίας λόγῳ, καὶ μάστιξ ἡ αὐτή. ἔτι δὲ καὶ κέντρον, ἀφ' οὗ ἵπποι κεντρηνεκέες.

Ἱμάσσει, ὅ ἐστιν ἱμάντι πλήσσει.

Ἱμάσσω, τὸ μαστίζω. ἵμασσεν, ἐμάστιξεν, ἔπληξεν. ἀπὸ τοῦ ἱμὰς, ὃ σημαίνει τὸν λῶρον.

Ἱμάσσω, πλήσσω, πατάσσω. μὴ τρέψῃς τὰ σσ εἰς ξ. σεσημείωται γάρ.

Ἱματίδιον, τὸ μικρὸν ἱμάτιον.

Ἱμάτιον, χιτὼν, ἀμφίεσμα, ἔνδυμα. ἔπιπλα, τὰ ἱμάτια. καταχρηστικῶς δὲ καὶ πάντα τὰ σκεύη. ἀέτριος χιτὼν, ὁ λεπτὸς καὶ εὐυφής. ἐσθὴς, ἁπλῶς τὸ ἔνδυμα. στολὴ, ἡ διάφορος. τρίβων, ὁ τῶν φιλοσόφων χιτών. τριβώνιον δὲ, τὸ κατατετριμμένον ῥάκος.

Ἱματισμὸς, ἡ ἐσθής. καὶ ἱματισμένος, ὁ ἐνδεδυμένος. ἱματισμένον καὶ σωφρονοῦντα.

Ἴμβρασος, ποταμὸς Σάμου. ὃς μετεκλήθη παρθένιος. διὰ τὸ ἐκεῖ παρθένον οὖσαν τετράφθαι τὴν Ἥραν. καὶ Καλλίμαχος μέμνηται. ὁ δὲ Ταῤῥαῖος οὕτω. παρθενία δὲ ἡ Σάμος, ἀπὸ παρθενίας τῆς Σάμου γυναικὸς ὠνομάσθη.

Ἴμβρασος, ποταμὸς Σάμου, πρότερον παρθένιον λεγόμενος.

Ἴμβρος, νῆσός ἐστιν Αἰολικὴ, οὐ πολὺ τῆς Λήμνου ἀπέχουσα, ἀντιπέραν Τενέδου. ἐκ τῆς τοιαύτης Ἴμβρου, τοὺς φυγοδικοῦντας ἰμβρίους παροιμιακῶς ἐκάλουν. φησὶ γοῦν Αἴλιος ὁ Διόνυσος οὕτως, ἴμβριοι οἱ τὰς δίκας ὑποφυγοῦντες. ἐπεί τινες εἰς δίκην καλούμενοι, ἐσκήπτοντο ἐν ἴμβρῳ εἶναι.

Ἴμβρος, ποταμός.

Ἱμείρομαι, τὸ ἐπιθυμῶ. καὶ ἱμείρω ποιητικῶς, τὸ αὐτό.

Ἱμείρους, ἔρωτας, πόθους.

Ἱμίσθω, τὸ ἐπιθυμῶ.

Ἴμεν ἀπαρέμφατον, ἐκ τοῦ ἰέναι, ποιητικῶς ἰέμεναι, καὶ ἀποκοπῇ ἰέμεν, καὶ συγκοπῇ ἴμεν. τὸ ῥῆμά ἐστιν εἶμι. οὐ γάρ ἐστιν εἰπεῖν ὡς τὸ ι καὶ ε τοῦ ἰέμεν ἐκράθη εἰς ι μακρόν. βραχὺ γάρ ἐστιν, ὡς ἐν μέτρῳ δακτυλικῷ.

Ἴμεν πρῶτον τῶν πληθυντικῶν, ἐκ τοῦ εἶμι εἶς εἶσι, ἴτον ἴτην, ἴμεν, ἴτε, ἴσι. καὶ ἴμεν, βαδίζειν, πορεύεσθαι.

Ἴμενος, πολύσαρκος.

Ἵμερα, τὰ πρὸς τοὺς καθαρμοὺς φερόμενα ἄνθη καὶ ἐστεφανώμενα.
Ἱμέρα, ὄνομα κύριον, καὶ πόλις.
Ἱμεραία, γραῦς τις καὶ πόλις, ἐκ δὲ τούτων νόσοι καὶ τροφῶν ἀπορίαι τὴν ἱμεραίαν κατεῖχον.
Ἱμερόεντα ἔργα γάμοιο, τουτέστιν εἰπεῖν ἐρόεντα καὶ ἱμερτά, ἐκ τοῦ ἱμείρω λέγεται, προσεχέστερον δὲ εἰπεῖν ἐκ τοῦ ἵμερος ἦν, ὃν Εὐριπίδης ὡς φάρμακον Ἀφροδίτης πλάττει ᾠδεῖς.
Ἱμερόεντα, ἐράσμιον, λάμποντα.
Ἱμερόεις, ὁ ἐπιθυμητικός.
Ἵμερος, φασὶν οἱ παλαιοὶ διαφορὰν φιλότητος καὶ ἱμέρου. ὅτι φιλότης μέν ἐστι τῶν παρόντων, ἵμερος δὲ τῶν ἀπόντων. οὐχ ὁμηρικῶς δέ τοι λέγουσι. λέγει γὰρ ὡς γλυκὺς αὐτὸν ἵμερος αἱρεῖ Ἥρας τῆς παρούσης. ἔοικε δὲ μᾶλλον ἡ μὲν φιλότης, τὴν ἁπλῶς φιλίαν σημαίνειν, καὶ ποτὲ μὲν τὴν ἐπαφρόδιτον, ποτὲ δὲ τὴν ἄλλως ὁμονοητικήν, ὡς τὸ φιλότητα μετ' ἀμφοτέροισι βάλλωμεν. ἐνίοτε δὲ ἀντὶ τοῦ εἰπεῖν, ὦ φίλος, ὦ φιλότης φαμέν. καὶ φιλοτήσιον κρατῆρα, τὸν φιλικὸν λέγομεν. καὶ τοιαύτη μὲν ἡ φιλότης. ἵμερος δὲ κυρίως ἐπὶ ἐρωτικῆς ἐπιθυμίας. ὅτι δὲ καὶ ἐπὶ τῆς ἄλλως ἁπλῶς ἐπιθυμίας ὁ ἵμερος τάσσεται, ἄλλοθέν τε δῆλον, καὶ ἐκ τοῦ, αἰδέστῳ καὶ Πέρσαις αἰδέω ἵμερος αἱρεῖ. ἔστι δὲ καὶ παρ' Ἀθηναίῳ κύριον ὄνομα. καὶ ἡρωὶς ἱμέρα, ἡ ὁμώνυμος πόλις σικελικῇ ἱμέρᾳ.
Ἱμερία, ποταμός.
Ἱμερτής, ὁ ἐπιθυμητής, καὶ ἱμερτόν, ἐπιθυμητόν, ἐπέραστον, καλόν, ἐράσμιον.
Ἱμερτόν, τὸν Τιταρήσιον, ἀνθρωπίνως εἶπε καὶ ἐξωμίλησε. ἄλλως γὰρ στυγητός ἐστι καὶ στυγνός, ὡς ἀπορρῶν τῆς θρᾳκικῆς στυγός.
Ἱμερωθεῖσαι, ἀντὶ τοῦ τῆς ἐπιθυμίας τυχοῦσαι, ἀνδράσι μιγεῖσαι, παρὰ τῷ Ἱπποκράτει.
Ἵμετος, δίκη σικελική.
Ἱμητόν, τὸ ἀντλητόν. ἱμονιὰ γὰρ τὸ τοῦ ἀντλήματος χοινίον. οἱ δὲ ἄβαροι ἐχώρουν, ἵνα ὁ Δάναβις ἔρρει ποταμός.
Ἱμίνα ἢ ἡμίνα, χοῖνιξ, ἢ κοτύλη.
Ἱμίστραον, ὑπόζωστον, Πάφιοι.
Ἱμονιᾶν, ἀποπατεῖν, ἀντὶ τοῦ μακρὰ χέζειν. ἀπὸ τοῦ χοινίου, δι' οὗ τὰ ὕδατα ἀρύονται, ὃ καλοῦσιν ἱμονίαν. καὶ Ἀριστοφάνης, πόθεν συνέλεξας ἱμονιοστρόφου μέλη. ἦδον δὲ ᾆσμα οἱ ἀντλητοὶ ἱμαῖον.
Ἱμονιά, ἐκ τοῦ ἱμάντος ἐλέχθη τὸ ἀντλητήριον. στρεπτός τις βοῦς εἰπεῖν καθ' Ὅμηρον οὖσα καὶ αὐτή. ἐκεῖθεν δὲ καὶ ἀνιμᾶσθαι. κυρίως δὲ τὸ διὰ τούτων ὕδωρ ἀντλεῖν.
Ἱμονιά, καλεῖται τὸ χοινίον, ἐν ᾧ ἀρύονται τοῦ ὕδατος.
Ἵμοροι, πόλεμοι.
Ἱμπάσιον, ἔμβλεψον, πάφιοι.
Ἱμπόλης, λήπτης.
Ἱμφθείς, βλαφθείς, θαμβηθείς, νυχθείς.
Ἵμψας, ζεύξας, Θετταλοί.
Ἵμψιος, Ποσειδῶν ὁ ζύγιος.
Ἱμῶσα, ἀντλοῦσα, ἀπὸ τοῦ ἱμὰς ἱμάντος. ὅθεν ὁ ἀντλητήρ, ἱμαῖος λέγεται. καὶ ἱμῶσα, γεμίζουσα.

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Ν.

ΙΝ, αὐτήν, αὐτόν, Κύπριοι.
Ἵνα ἄξωσιν, οὐ χρὴ λέγειν, ἀλλ' ἵνα ἀγάγωσιν, Φρύνιχος.
Ἵνα, σημαίνει τέσσαρα. αἰτιολογικὸν σύνδεσμον, ὡς τὸ ἵνα γνῶσι καὶ οἶδε, ἀντὶ τοῦ ὅπως μάθωσι καὶ οὗτοι. καὶ τὴν δύναμιν, ὡς τό, ἵνα κρατεῦντος ὤλεσεν θυμοφθόρον. τοῦτο δέ ἐστιν ὄνομα πτώσεως αἰτιατικῆς. καὶ τὸ νεῦρον. ὡς τὸ ἵνα τέμνειν διὰ πᾶσαν. ἔστι καὶ ἀντὶ τοῦ ὅπου, ἢ ἀντὶ τοῦ ἐκεῖ. ἔστι καὶ ἀντὶ τοῦ ἐάν, ὡς ἐν Ἰλιάδος κ', ἵνα μὴ ῥέξωμεν ὧδε, ἀντὶ τοῦ ἐὰν μὴ πράξωμεν οὕτως.
Ἵνα, εὐκτικῷ συντάσσεται, ὅτε προτίθεται παρεληλυθὼς χρόνος, οἷον ἀφίκετο, ἵνα θεῷτο. καὶ παρατατικῷ ὁριστικῷ, οἷον ἐχρῆν αὐτὸν συγγραφὴν λαβεῖν, ἵν' εἶχεν ἀπαιτεῖν κατὰ νόμους.
Ἵνα, ἀντὶ τοῦ ὅπου. καὶ ἵνα, ἀντὶ τοῦ ὅθεν. Ἀριστοφάνης, ἵνα τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα. καὶ ἵνα, ἀντὶ τοῦ διὰ τοῦτο. ὅπερ καὶ μετὰ τοῦ παρεληλυθότος συντάσσεται. καὶ ἵνα, ἀντὶ τοῦ ἐπειδή.
Ἵνα, πόλις.
Ἵνα γνώωσιν, ἵνα ἐπιγνῶσιν.
Ἰναία, δύναμις.
Ἵνα ὥσι λέγε, οὐχ ἵνα ἔσονται. πάνυ γὰρ ἀμαθὲς μετὰ μέλλοντος ἵνα, ἢ ἐάν, ἢ ἦν, ἢ ὅταν συντάσσεσθαι.
Ἵνα καὶ ἦν, ὅπως, ἡνίκα καὶ ἐάν, καὶ μετὰ ὑποτακτικοῦ καὶ μετὰ εὐκτικοῦ συντάσσονται. οἷον ἵνα τύχω καὶ τύχοιμι, καὶ ἦν δυνηθῶ ποιῆσαι τόδε, καὶ ἦν δυνηθείην ποιῆσαι τόδε, καὶ ἡνίκα ἂν ποιήσω, καὶ ἡνίκα ἂν ποιήσαιμι. ὡς καὶ παρὰ Δημοσθένει, καὶ τηνίκα λαμπρὸς Αἰσχίνης, ἡνίκα ἂν εἰπεῖν κατὰ τούτων δέοι, ἐν τούτοις λαμπροφωνότατος. τὸ δὲ ἐάν, ὅτε μὲν ἐπὶ μελλοντικῆς σημασίας λαμβάνεται, εἰς εὐκτικὸν ἀποδίδοται. ὅτε ἐπὶ πράγματος ὁμολογουμένου καὶ φανεροῦ, εἰς ὑποτακτικόν. τὸ δὲ ἐπειδὰν καὶ ὅταν ἀεὶ παρὰ τοῖς Ἀττικοῖς ὑποτακτικῷ συντάσσονται. ὁριστικῷ δὲ μέλλοντι ταῦτα πάντα οὐχ εὑρίσκεται παρὰ τοῖς Ἀττικοῖς συντασσόμενα, εἰ μὴ που σπανίως παρὰ Ποιηταῖς, ὡς παρ' Ὁμήρῳ, ἀλλ' εἶμι πόλιν δε, ὄφρα πατὴρ ὄψεται, ἀντὶ τοῦ ἵνα με ὁ πατὴρ ὄψηται. εἰς ὁριστικὸν τὸ ἵνα ἀποδιδόμενον, ὡς ἐν τῷ Θεολόγῳ, ἵν' ἐρῶ. καὶ παρ' Ὁμήρῳ, τὸ ἂν ἐπὶ μέλλοντι ὁριστικῷ, ὡς κέν τις ἐρέει, πότε μοι εὐρεῖα χθών, ἀντὶ τοῦ ὅπως ἂν ἐρεῖ τις. ταῦτα μὲν οὖν παρὰ ποιηταῖς καὶ παρὰ τοῖς ῥήτορσι σπανίως εὑρίσκονται μέλλοντι ὁριστικῷ ἀποδιδόμενα. τὸ ὅταν δέ, καὶ τὸ ἐπειδὰν ὁμοίως, καὶ τὸ ἐπὰν οὐχ εὑρέθη.
Ἵνα, ἀντὶ τοῦ ἔνθα. καὶ ἔλεγον τὸ ἵνα, ἀντὶ τοῦ καί. Ὅμηρος, ἵνα μὴ ῥέξωμεν ὧδε.
Ἰναχρίαν, εἰς ἀκρισίαν.
Ἵνα μὴ ῥέξωμεν ὧδε, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐὰν μὴ ῥέξωμεν οὕτω. σύνδεσμος γὰρ ἀντὶ συνδέσμου εἴληπται.
Ἵνα πέλεθρον, δύναμιν ἀμείζονα. πέλεθρον τὸ καὶ πλέθρον, μέζον γῆς ἔχον πήχεις ξς' δίμοιρον. ἵνα δὲ εἴρηται ἀπὸ τῆς ὀρθῆς ἴς.
Ἰνάρει, μαστεύει.
Ἰνάρετος, ἱκανός, ἐνάρετος.
Ἶνας, νεῦρα.
Ἰνᾶσθαι, ἐκκενοῦσθαι, καὶ προΐεσθαι.
Ἰνάσσαι, καταχέαι, καταπλάσαι, καταβαλεῖν.
Ἰνάσσω, ἰσχὺν παρέχω.
Ἰνατέρων, συμφώνων. λέγονται δὲ καὶ αἱ τῶν ἀδελφῶν γυναῖκες ἐνάτεραι.
Ἰνατί, ἀντὶ τοῦ διατί, ἢ ἕνεκα τίνος.
Ἰνάχειον, ἄστυ τὸ τοῦ Ἰνάχου.
Ἰναχία, ἑορτὴ Λευκοθέας ἐν Κρήτῃ ἀπὸ Ἰνάχου.
Ἴναχος, ὄνομα ποταμοῦ, παρὰ τὸ ἲς ἰνός, ὃ σημαίνει τὴν δύναμιν καὶ τοῦ χέεσθαι, γέγονεν Ἴναχος, ὁ μετὰ δυνάμεως χεόμενος.
Ἰνγρυσία παρὰ Ῥωμαίοις, τὸ τοῖς ἀσθενέσι διδόμενον σιτίον, ὃ οὔτε ζῆν οὔτε ἀποθνήσκειν ποιεῖ.
Ἰνδάλλεται, ἀπεικάζεται, ὁμοιοῦται καταχρηστικῶς. κυρίως γὰρ ἐπὶ ὀφθαλμοῦ λέγομεν τὸ ἰνδάλλειν. καὶ ἰνδάλλεται, καταφαίνεται.
Ἰνδάλλομαι, τὸ φαντάζομαι. ἰνδάλλετο. ἐφαίνετο, ὡμοιοῦτο.
Ἰνδάλματα, φαντάσματα, ὀνείρατα. ἅπερ μὴ παρόντα ὑπονοεῖ τις, ὁμοιώματα, ἀπεικονίσματα.
Ἰνδάλλω, γίνεται ἐκ τοῦ εἴδω, τὸ ὁμοιῶ, τραπέντος τοῦ ι εἰς ν, ὡς ἐπὶ τοῦ αἰεὶ αἰέν. καὶ αὐτίκα τετραμμένου τοῦ ε εἰς ι, ὡς ἐπὶ τοῦ ἔχω ἴσχω καὶ τῶν ὁμοίων. λέγεται δὲ καὶ ἐπὶ εἰκασμοῦ, καὶ ὁμοιώσεως, καὶ δοκήσεως τὸ ἰνδάλλεσθαι. ἀφ' οὗ καὶ ἐπὶ εἰδώλων τὸ ἴνδαλμα λέγεται. ἰνδάλλεται δέ τις καὶ ἐν ὀνείρασιν. ἀντίκειται δὲ πρὸς τὸ ἰνδάλλεσθαι, καὶ τὸ δοκεῖν.
Ἰνδία, μεσημβρία, Μακεδόνες.
* Ἰνδικὸν παρ' Ἱπποκράτει, ὃ καλέουσιν οἱ Πέρσαι πέπερι, καὶ ἐν τούτῳ ἔνι στρογγύλον, ὃ καλοῦσι μυρτίδανον, ὅτι μύρτῳ ἔοικεν.
Ἰνδοί, ἔθνος βάρβαρον.
Ἰνδός, ὁ τὸν ἐλέφαντα ἄγων ἀπὸ Αἰθιοπίας.
Ἴνδυρος, ἀσπάλαξ.
Ἵν' εἰδῇς, ἵνα μάθῃς, εἴδω περισπωμένῳ. ἵν' εἰδῆτε, ὅπως μάθητε.
Ἶνες, τὰ παρακολουθοῦντα νεῦρα ταῖς φλεψίν, παρὰ Θεοκρίτῳ. λέγεται δὲ παρὰ Δωριεῦσι καὶ ὁ υἱός, ἶνις. ἀπὸ γὰρ τούτων τῶν μελῶν τὸ σπέρμα συνάγεσθαι δοκεῖ.
Ἰνεῖα, τείνει.
Ἰνηθεῖσα, καθαρθεῖσα, κενωθεῖσα.
* Ἰνηθμὸς κάθαρσις κοιλίας, κένωσις. καὶ ἴνησις, ἡ κάθαρσις, καὶ ἰνεῦται, κενοῦται.
Ἰνία, λῶρα.
Ἰνίον, τὸ ὄπισθεν τοῦ τραχήλου νεῦρον, καὶ ἡ συναγωγὴ τῶν χειρῶν πρὸς ἀλλήλας, ἢ μεῖζον, ἢ υἱόν.
Ἰνιπίσας, χρήματα ποιά.
Ἶνις, υἱός, νέος, παῖς, βρέφος, ἀπόγονος, νήπιος.
Ἶνις, τοὺς ἐπέρους. καὶ ἶνις, χώρα.
Ἰνκαταίπαον, ἐγκατάβλεψον.
Ἰνκαφύτευε, ἐγκαταφύτευε.
Ἴννυν, κόρην μικράν, καὶ τὴν ἐν τῷ ὀφθαλμῷ.
Ἵννοιεν, ἐκαθέζετο.
Ἰννοί, οἱ κολοβοὶ τῶν ἵππων. νάννοι δὲ οἱ κολοβοὶ τῶν ἀνθρώπων ναννοφυεῖς. ἰνοῖ κρεμαμένῃ πρὸ ποδῶν. Εὐριπίδης.
Ἴννος, ὁ ἐξ ἡμιόνου καὶ θηλείας ἵππου. καὶ τοῦτο μόνον οἶδα μὲν ἔκ τινος παλαιοῦ εἰπόντος, ὅτι ἴννος ἐξ ἡμιόνου καὶ ἵππου.
Ἰννοῦνται, ζῶσιν.
Ἰννύεται, κλαίει, ὀδύρεται.
Ἰννύχιος, οἶνος ἀπὸ Ἰνικοῦ τῆς Σικελίας. ἔστι δὲ πολύχνιον εὔοιον.
Ἰνυνία, ἑορτὴ ἐν Λήμνῳ.
Ἶνυξ, ὄρνεόν τι ᾧ χρῶνται αἱ φαρμακίδες.
Ἰνύρετο, ἐμύρετο.
Ἰνύεσθαι, κοσμεῖν, ἱδρύεσθαι.
Ἴνφαος, εἰς τὸ φῶς.
Ἰνώδες, ἰσχυρόν, εὔτονον, νευρῶδη, ἰσχνόν.
Ἰνώμενος, ἐξελαύνων ἐκκενούμενος, τουτέστι προϊέμενος. ἀφ' οὗ καὶ ὑπέρινος λέγεται.
Ἰνώσατο, ἔπιεν, ἐδέξατο, κατέπιε, κατεκαύθη.
Ἰνώ, ἡ δὲ ἀκριβὴς ἱστορία μητρυιὰν εἰδυῖα τὴν Ἰνὼ δύστηνον τῷ Φρίξῳ τε καὶ Ἕλλῃ, πλοιάριόν τι φησὶν εἶναι τὸν κριόν, ἐκτύπωμα φέρον κριοῦ ἐν ἄκρῳ, ὁποῖόν τι καὶ παρὰ Λυκόφρονι, τὸ ταυρόμορφον τύπωμα, τὸ τὴν Εὐρώπην ἁρπάσαν. καὶ ὁποῖα πλοῖα τὰ σὺν ἑτέροις γλύμμασι, καὶ χηνίσκους ἐν τοῖς ἄκροις ἔχοντα, ἤγουν τύπους χηνῶν. καὶ βούλεται διὰ τοιούτου κριοῦ σὺν τῷ ἀδελφῷ πλεύσασαν τὴν Ἕλλην ἐκπεσεῖν, καὶ κινδυνεῦσαι. ἑτέρα δέ τις ἱστορία τοῦτον ὑπηρέτην φησὶ τὸν Κριόν, ὃς τὴν τῆς μητρυιᾶς βουλὴν ἀνακαλύψας, καὶ περισώσασθαι τοὺς δεσπότας παῖδας προθέμενος, ἐδυστύχησε κατὰ τὴν Ἑλλήσποντον. λέμβῳ γὰρ βραχυτάτῳ πιστεύσας αὐτούς, οὐκ ἔσχεν ἀμφοτέρους περιποιήσασθαι. ἀλλὰ ὁ μὲν Φρίξος περιεγένετο, ἡ δὲ Ἕλλη κατὰ πάθος ἰλίγγου, ἢ ἄλλου τινὸς τοιούτου καταπεσοῦσα, μόνον αὐτῆς ἄνω ἀφῆκε τοὔνομα φέρεσθαι, αὐτὴ δὲ καταδῦσα εἰς τὸν βυθόν. διπλάζεται δὲ τῇ Ἕλλῃ τὸ ἀμετάβολον, πρὸς διαστολὴν τοῦ ἕλη, ἡ θερμασία, ἐξ ἧς καὶ τὰς λαμπάδας ἐλάνας λεχθῆναι Ναυκρατίτης ἱστορεῖ σοφιστής. καὶ ὁ Ἕλλην δὲ κατὰ τοὺς παλαιοὺς διὰ τὴν αὐτὴν αἰτίαν ἐν δυσὶ λ γράφεται. τὸ δὲ αὐτὸ γίνεται καὶ ἐπὶ τοῦ ἄλος πόλις. καὶ ἄλλος ἡ ἀντωνυμία.
Ἰνωπός, ὄνομα τόπου, ἢ ποταμοῦ. λούσας δ' Ἰνωπῷ καθαρὸν χρόα βάθι δ' ἐς οἴκους. παρὰ τὸ ἲς ἰνός, ὃ σημαίνει τὴν δύναμιν, καὶ τοῦ ὀπόν, ὃ σημαίνει τὴν φωνήν, γέγονεν Ἰνωπός, κατ' ἔκτασιν τοῦ ο εἰς ω μέγα.
Ἴνωψ, κύριον. ἤνοψ δέ, ὁ μέλας ἢ καὶ μικρόν.

ΤΟ

Digitized by Google

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Ξ.

Ἶξαι, διωθῆσαι, ἥκειν.

Ἰξάλλην, τελείας αἰγὸς δέρμα, παρὰ τῷ Ἱπποκράτει. * ἣν μηλωτὴν καλοῦσιν, ἢ μᾶλλον εἰπεῖν αἰγίδα.

Ἰξάλου, τελείου, ἢ ὁρμητικοῦ, ἢ πηδητικοῦ. παρὰ τὸν ἴξω μέλλοντα γέγονεν ἴξαλος. δεῖ δὲ γινώσκειν, ὅτι πολλάκις τὰ παράγωγα ἀλλάσσουσι τὰ πνεύματα, καὶ ἀπὸ δασέων γίνεται ψιλά. οἷον ἅμα, ἀμυδὶς, ἥλιος, ἀπηλιώτης. οὕτως ἵξω ἴξαλος.

Ἴξαλον, αἶγα Πορφύριος λέγει, τὸν τομίαν λέγων, ὡς ἐπὶ πολὺ τῶν ἀγρίων αἰγῶν τοὺς τελείους διωκομένους κατὰ παράθλιψιν ἀποβάλλειν τὰ αἰδοῖα, ὅπερ οἱ κάστορες ἑκόντες εἰς ἑαυτοὺς κατεργάζονται. ὁποῖον δή τι καὶ Ἀριστοτέλης διὰ τὸν χλούνην ἱστορεῖ, ὃ δηλοῖ σῦν ἄγριον. ἕτεροι δὲ ἴξαλόν φασι τὸν ὀχευτικὸν, ἤτοι τὸν κήλωνα, καὶ περὶ τὰς τῶν θηλειῶν ἴξας, ἤτοι ὀσφύας ἀλλόμενον. οἱ δὲ τὸν μετὰ χειμῶνα ἐπὶ ἄλας ἰκνούμενον ποιμενικῷ νόμῳ, ἵνα μὴ ψώραν πάθῃ. τοῦτο καὶ δασύνεσθαι ἀπαιτεῖ τὴν ἀρχοῦσαν, εἰ καὶ ψιλοῦται κατὰ ἔθος αἰολικόν. καὶ ἐπὶ ἡμέρων αἰγῶν λέγοιτο ἄν, οὐ μὴν ἐπὶ ἀγρίων, ὁποῖος ἄρτι ὁ ὁμηρικὸς, τοιούτους γὰρ ἀλίζει οὐδείς. τινὲς δὲ ἀπὸ τοῦ ἅλις ἵξεσθαί φασι, πηδητικὸς γὰρ καὶ ὁρμητίας ὁ ἄγριος αἴξ. ἐν δὲ ῥητορικῷ τινὶ λεξικῷ φέρεται, καὶ ὅτι ἴξαλος ὁ προπηδῶν καὶ τέλειος. ἐν δὲ ἑτέρῳ, καὶ ὅτι ὥσπερ παρδαλῇ καὶ λεοντῇ, οὕτω καὶ ἰξαλῇ αἰγεία περισπωμένως, ἐπεὶ ἴξαλοι αἶγες.

Ἰξάνει, ἐπικάθηται.

Ἶξε καὶ ἶξον, ἀντὶ τοῦ παρεγένοντο. οἱ δ' ἶξον κοίλην Λακεδαίμονα κητώεσσαν. ἀπὸ τοῦ ἵκω, ὁ δεύτερος, ἀόριστος ἷκον, καὶ τροπῇ βοιωτικῇ τοῦ κ εἰς ξ ἶξον, οὕτως Ἀπολλώνιος.

Ἰξευτὴς, ἰξευτικός. ὁ διὰ ἰξοῦ τοὺς ὄρνεις θηρῶν, ἤτοι κόλλης τινός.

Ἰξία, κιρσοὶ, παρὰ τῷ Ἱπποκράτει. * καὶ κιρσὸς, καὶ κρουσὸς, οἴδημα φλεβῶν περὶ κνήμην ποδός.

Ἶξιν, εὐθυωρίαν, ἢ ἄφιξιν, παρὰ τῷ Ἱπποκράτει.

Ἰξιόεν, θανάσιμον φάρμακον. ὠνόμασται δὲ οὕτως, ἐπειδὴ τὰς ἐντὸς τροφὰς κατέχει, ὡς ἰξὸς, ὀδμὴν ἔχον παραπλησίαν ὠκίμῳ. ἰξιόεν δέ σε μή τι δόλῳ παρὰ χείλεσι πόμα οὐλοφόνον λήσειεν, ἴτ' ὠκιμοειδὲς ὄδωδε. τὸ ἐπίγραμμα Νικάνδρου.

Ἶξιρος, ποταμός.

Ἰξίου φύλλα, τοῦ λευκοῦ χαμαιλέοντος παρὰ τῷ Ἱπποκράτει. * διὰ τὸ ἔντισι τόποις ἰξὸν εὑρίσκεσθαι πρὸς τὰς ῥίζας αὐτοῦ, ἢ ὑπὸ τοῖς φύλλοις.

Ἶξις, παρουσία, ἄφιξις, ἱκετεία.

Ἰξίας, κιρσὸς ἐν τοῖς μέλεσιν. ὁμωνύμως δὲ καὶ τὰ ἐν τοῖς δένδροις, καὶ πόα τίς. ἡ καὶ χαμαιλέων, καὶ ἔνπερα, ἀφ' ὧν καὶ ἰξός.

Ἰξίων ἔοικεν, ὁ καὶ πρῶτος παρὰ τοῖς Ἕλλησιν ἱστορούμενος, γενέσθαι φονεὺς, φαντασιοκόπος τὶς εἶναι, καὶ πραγμάτων ἐφιέμενος ὑπὲρ αὐτὸν ὄντων, ὁποίους πολλοὺς ὁ μακρὸς χρόνος ἤνεγκε. διόπερ ὁ μῦθος ἐρᾶν αὐτὸν λέγει τῆς Ἥρας, ὕψους τινὸς δηλαδὴ ἡγεμονικοῦ. καὶ γὰρ οἱ παλαιοὶ καὶ εἰς τοιοῦτόν τι, ὡς εἴρηται τὴν Ἥραν ἐκλαμβάνονται, ζωὴν ἡρῴαν λέγοντες τὴν βασιλικήν. ἧς διεκπεσὼν ὁ Ἰξίων ἐμίγη φασὶ τῇ νεφέλῃ, σκιᾷ τινὶ δηλαδὴ καὶ φαντάσματι τῆς φιλουμένης ὑψηλῆς ζωῆς, καὶ εἰδώλου τοῦ ποθουμένου. καὶ ἀπέτεκε κενταύρους, ἀνυποστάτους δηλονότι ἐννοίας, καὶ ἃς οὐκ οἶδε φύσις τελεσφορεῖν. οὐδὲν γάρ ἐστιν ὁ ἱπποκένταυρος, ὥσπερ οὐδὲ ὁ τραγέλαφος.

Ἰξοὶ, οἱ γλίσχροι, καὶ φειδωλοί.

Ἵξομαι, παραγενήσομαι.

Ἰξόμεθα, ἱκετεύσομεν.

Ἶξον παρατατικὸς, ἐκ τοῦ ἵκω ἵξω. ἵξω δὲ μετάγεται εἰς ἐνεστῶτα, τὸ πληθυντικὸν ἵξομεν ἵξετε ἶξον. ὅτι οὐκ ἔστι δεύτερος ἀόριστος, ἀλλὰ παρατατικὸς, δῆλον ἐκ τοῦ προστακτικοῦ. βῆσε γὰρ καὶ ἶξε, ὡς τύπτε. εἰ δ' ἦν ἀόριστος, βῆσον ἂν ἦν καὶ ἶξον.

Ἶξον, ἀπὸ τοῦ ἵκω τοῦ διὰ τοῦ ι γεγραμμένου, λέγει ὁ δεύτερος ἀόριστος ἷκον, καὶ τροπῇ βοιωτικῇ τοῦ κ εἰς ξ ἶξον. οὕτως ὁ Ἀπολλώνιος. ὁ δὲ Ἡρωδιανὸς τοῦτο, καὶ τὰ ὅμοια ἐκ μέλλοντος λέγει μετατεθεῖσθαι εἰς ἐνεστῶτα, ἵξω, καὶ ὁ παρατατικὸς, ἶξον ἶξες ἶξε, τὸ πληθυντικὸν ἵξομεν, τε, ἶξον.

Ἶξον, ἤγουν κατέλαβον, φυσικῶς ἔχει τὴν ἐν τῇ ἀρχούσῃ περισπωμένην, ὡς χρονικῶς ἐκπαθέν. ἄλλως γὰρ ὤφειλε τὸ δίχρονον ὀξύνεσθαι, ὡς θέσει μακρὸν διὰ τὸ κεῖσθαι πρὸ συμφώνου διπλοῦ. παρατατικοῦ δὲ χρόνου τὸ ἶξον, ὡς ἀπὸ μέλλοντος τοῦ ἵξω, ἀναβιβασθέντος εἰς ἐνεστῶτα.

Ἰξός ἐστιν ἡ παγὶς τῶν στρουθίων, ἄξος τὶς ὤν, παρὰ τὸ ἄγειν τὰ ὄρνεα. ἢ παρὰ τὸ ἵκω ἵξω, ἰξὸς, ὀφθάνων μέχρις ἂν ἢ ἱπτάμενα τὰ ὄρνεα, μέχρις ὧν ἂν φθάνωσι τὰ πτηνὰ τόπων, ἀντὶ τοῦ ἔνθα ἱκνοῦνται καὶ παραγίνονται.

Ἰξὸς, εἶδος φυτοῦ, καὶ κάλαμος ἰξευτικός.

Ἰξὸς, ᾧ χρῶνται εἰς ἄγρευσιν πτηνῶν.

Ἰξοφόρους δρύας. τὰς ἰξὸν φερούσας. Σοφοκλῆς Μελεάγρῳ.

Ἰξύας, ἰχθύς τις.

Ἰξὺν τὴν ὀσφὺν, ἐπ' ἠνιόνι ψυχόμενον χηλάς τε καὶ ἰξύας, τουτέστι τὴν ῥάχιν.

Ἰξύον τὸ μεταξὺ τῶν ἰσχύων καὶ τῆς ὀσφύος παρὰ τῷ Ἱπποκράτει.

Ἵξων, φέρων.

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Ο.

Ἰόβακχος, ὁ Διόνυσος, ἀπὸ τῆς βακχείας.

Ἰίβας, κάλαμος παρὰ Κρησίν.

Ἰοβόλος, ὁ ὄφις. ἰοβόλος, ὁ τῷ ἰῷ καὶ τῷ φαρμάκῳ βάλλων.

Ἰοβηλαῖος, χρόνοι τεσσαράκοντα ἐννέα.

Ἰοβλέφαροι, καλλιβλέφαροι.

Ἰοβόρον, παλίγκοτον, ἤγουν ὀργίλον, σκολιὸν, ἐχθρόν.

Ἰοβρέτας, ἀπὸ ἰοὺς τοὺς βροτοὺς ἔχουσα.

Ἰογλώσσαι, μέλαινας γλώσσας ἔχουσαι.

Ἰοδνεφὲς, τὸ μέλαν φασὶν, ἢ πορφυροῦν, ἢ τὸ λεγόμενον κατὰ τοὺς παλαιοὺς ἰάνθινον. σύγκειται δὲ κατὰ πλεονασμὸν τοῦ δ ἀπὸ ἴου καὶ νέφους, ἀμφοτέρων μελάνων σωμάτων.

Ἰοδόκη, βελοθήκη.

Ἰοδόκον τὴν φαρέτραν λέγει Ὅμηρος, ὅτι δηλαδὴ τὸ δοχεῖον τῶν οἰστῶν ἐστιν, ὃ διὰ μιᾶς λέξεως εἰπὼν ἰοδόκον ἐδήλωσε.

Ἰοειδὴς πόντος, οὐ μόνον ὁ μέλας καὶ ἄνθους ἴου εἶδος ἔχων, ἀλλὰ καὶ ὁ πλατὺς καὶ ἀνεπιπρόσθητος τῇ ὄψει, δι' οὗ ἐστιν ἰέναι ἀκωλύτως τὸ βλέπειν. ὡς ἔν τινι παραβολῆς νοήματι δηλοῖ ὁ Ποιητής. ἐκ δὲ τοῦ ῥυθέντος ἄνθους τοῦ χαμαὶ καὶ νεφέλης. κατά τινα ποιητὴν ἕτερον, ἰοειδὴς ἤτοι μέλαινα.

Ἰοειδέα χροιὴν, μελάνυδρον. ἴον γὰρ εἶδος ἄνθους, ἢ τὴν ἴοις περιπεφραγμένην, τὴν ἀνθώδη, ἢ τὴν διαυγῆ καὶ καθαράν.

Ἰόεντα σίδηρον, τὸν μέλανα. ὡς ἰοειδέα πόντον τὸν μέλανα. βέλτιον δὲ εἰς ἰοὺς εὐθετοῦντα.

Ἰόζωνος, πορφυρόζωνος.

Ἰοθὸρ, ὁ πενθερὸς Μωϋσέως.

Ἴοι, ἐπέλθοι. ἰόντε, ἐρχόμενοι.

Ἰοὶ, τὰ βέλη ἀπὸ τοῦ ἰέναι, ἢ ἀπὸ τοῦ ἰοῦ. ἐχρίοντο γὰρ φαρμάκῳ τινὶ αἱ ἀκίδες αὐτῶν.

Ἰολάδα, ἰοειδῆ χρώματα.

Ἰόλεως, βοηθὸς Ἡρακλέους.

Ἰόλλειον, ἱερόν.

Ἰομαλὶς, δύναμις.

Ἰόμωροι, ἐνίοτε ἀπὸ μέρους οἱ ἁπλῶς πολεμισταί. κυρίως δὲ οἱ περὶ βέλη μεμορημένοι, ὅ ἐστι κακοπαθοῦντες, ἐκ τοῦ μόρος ὃ δηλοῖ τὴν κακοπάθειαν, ἐκπαθέντος τοῦ ο, ἢ οἱ ποιούμενοι ὤραν. ἤτοι φροντίδα τῶν ἰῶν, πλεονασμῷ τοῦ μ, τῆς αὐτῆς ἐτυμολογίας ἐγχεσίμωρος.

Ἰόμωροι, οἱ περὶ τοὺς ἰοὺς καὶ τὰ τόξα πεπονημένοι καὶ μεμορημένοι, ὅ ἐστι κάμνοντες τοξόται παρὰ τὸ μόρον, κατὰ ἔκτασιν τοῦ ο εἰς ω, ὃ σημαίνει τὴν εἱμαρμένην καὶ τὴν κακοπάθειαν. οἷον τρίγλην καὶ μορόεντα, ἢ ἀμελοῦντες.

Ἶον, παρὰ τὸ ἀνίεναι ταχύ.

Ἶον, τὸ ἄνθος.

Ἴονθος, ἡ πρώτη ἔκφυσις τῶν τριχῶν. ἀπὸ τοῦ ἰέναι, καὶ ἀνθεῖν. * καὶ Ἴονθος, ὄγκος μικρὸς καὶ σκληρὸς, ἐν τῷ κατὰ τὸ πρόσωπον δέρματι, ὑπὸ παχέος χυμοῦ συνιστάμενος. ἢ Ἴονθοι ἀνθήματα ψυδρακίοις παραπλήσια, περὶ τῷ προσώπῳ, σημεῖον ἀκμῆς. καὶ ἐξανθήματα μετὰ ἱδρῶτος, ἐρυθρὰ, στρογγύλα, σμικρά.

Ἰόνιον, τὸν ἀδρίαν καλούμενον. οὕτως ὠνόμαζον ἐνίοτε οἱ παλαιοὶ, ἐπίδαμνός ἐστι πόλις ἐς δεξιὰ εἰσπλέοντι τὸν ἰόνιον κόλπον, καὶ ἰόνιον πέλαγος.

Ἶον, σίον τινὲς γράφουσι, ὃ κρεῖττον, ὡς καὶ πολλοῖς ἀρέσκει τῶν παλαιῶν. ἴα γὰρ ἐν λειμῶσιν οὐκ εἰσίν, ἀλλὰ σία, ὡς μέχρι νῦν φαίνεται, οἷς καθὰ καὶ τοῖς σελίνοις χρεία δαψιλοῦς ὕδατος. θάλλουσι γὰρ πλέον ἐν αὐτῷ, τῶν ἴων χροιὰ οὐ μόνον πορφυρέα καὶ κιῤῥὰ, ἀλλὰ καὶ λευκὴ, δι' ἣν καὶ λευκόϊα τὰ τοιαῦτα καλοῦνται. καὶ ὅτι τὸ ἴον ἔκ τινων ἰάδων νυμφῶν ἔχει τὴν κλῆσιν, χαρισαμένων αὐτὸ Ἴωνι πρώτῳ. καὶ ἐκλήθη ἐντεῦθεν ἴον, παρωνύμως ταῖς τε ἰᾶσι, καὶ τῷ λαβόντι τὴν χάριν Ἴωνι. καὶ ὅτι καὶ τὸ κρίνον, τὸ καὶ λείριον, κατά τινας ἴον, Ὑπερίων ἐκαλεῖτο. καὶ ταῦτα μὲν περὶ ἴου.

Ἰονθάδος, ἢ τῆς νέας κατὰ τοὺς παλαιούς. ἢ τῆς ταχείας, παρὰ τὸ ἰέναι ἄδην. ὥσπερ καὶ ἴξαλος, παρὰ τὸ ἵξεσθαι ἅλις. ἵνα ταυτὸν ἰονθὰς καὶ ἴξαλος αἴξ. ἢ τῆς δασείας. ἴονθοι γάρ φασιν αἱ ῥίζαι, καὶ πρῶται τῶν ῥιζῶν ἐκφύσεις, ἤγουν τῆς ἐχούσης ἰόνθους, ὅ ἐστιν ἐξανθήματα, σώματος φησὶν ἀκμάζοντος, ἅπερ οἱ νῦν χυδαΐζοντες ἰονθάρια φασιν. ἐκ τῶν ἰόνθων δὲ τὸ ἐξιονθίζειν, ἤγουν ἐκ ῥιζῶν αἴρειν τὰς τρίχας. ἴονθοι αἱ πρῶται φυόμεναι τρίχες.

Ἰόντα, παραγινόμενα, ἐπανερχόμενα.

Ἰόντες, πορευόμενοι.

Ἰόπη, διὰ ἑνὸς π καὶ ι ἐστὶ πόλις Παλαιστίνης συστέλλει δὲ τὸ ι. εἴρηται δὲ Αἰθιοπία τὶς οὖσα. κατεῖχον γὰρ αὐτὴν Αἰθίοπες, οὕτω γὰρ εὗρον ἐγώ.

Ἰοπλόκαμος, μελανόθριξ.

Ἰόππα, μιξόδης.

Ἰόππη, ὄνομα τόπου.

Ἰορδάνης, παρὰ τὸ ἰὸρ καὶ τὸ δάνος, ὄνομα ποταμῶν. δύο γάρ εἰσι ποταμοὶ ἐν ταυτῷ μεμιγμένοι. κλίνεται Ἰορδάνου. τὰ εἰς ης κύρια, μὴ παρ' οὐδετέρου συντιθέμενα, εἰς ου ἔχει τὴν γενικὴν, οἷον ἑρμιόνης ἑρμιόνου.

Ἴορκες, τῶν δορκάδων ζώων. ἔνιοι δὲ ἡλικίαν ἐλάφου.

Ἰὸς, σημαίνει τὸν μόνον. τὰ διὰ τοῦ ιος δισύλλαβα διαφόρως τονούμενα, διὰ τοῦ ι γράφεται, βίος βιὸς, χίος χιὸς, θριὸς, μνιός. ὁ ἁπαλὸς παρὰ Εὐφορίωνι. καὶ ἰῷ ἤματι Ἰλιάδος ζ', ἐν μιᾷ ἡμέρᾳ.

Ἰὸς, ὁ τοῦ σιδήρου, καὶ ἰοειδὴς ποιητικὸν, ὁ ἔχων εἶδος ἴου. ἤγουν ὡς ὁ μέλας.

Ἰοστέφανοι, Πίνδαρος αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι.

Ἰὸς, τὸ φάρμακον. ἐκ τοῦ ἰάω ἰῶ τὸ θεραπεύω. ἰὸς δὲ τὸ βέλος, δασύνεται. ἐκ τοῦ ἵημι τὸ πέμπω. οὕτως εὗρον παρὰ τῷ Τζέτζῃ.

Ἰότης ἰότητος, λέγεται ἡ βουλὴ καὶ ἡ φροντὶς, ἀπὸ τοῦ ἰοῦ τοῦ βέλους. ἰὸς ἰότης, ἀπὸ τοῦ ἵεσθαι, καὶ εἰς πάντα ἰέναι.

Ἰότητι, βουλήσει, γνώμῃ. Ἀρτέμιστῇ δ' ἰότητι γάμος θ' ἅμα καὶ γένος εἴη τῇ Λυκομηδείου παιδὶ φιλαστραγάλῃ.

Ἰοτόκος, ὁ κατασκευάζων ὀργὴν, καὶ τὰ ἰοβόλα θηρία, καὶ ὁ τὴν οἰκείαν βουλὴν ἰσῶν.

Ἰοῦ σχετλιαστικὸν ἐπίῤῥημα, ἀντὶ τοῦ οἴμοι, φεῦ. καὶ ἰοὺ ἰοὺ σχετλιαστικὸν ὁμοίως ἐπίῤῥημα.

Ἰουβὰλ, κύριον ὄνομα τοῦ καταδείξαντος κιθάραν.

Ἰοῦ ἰοῦ, τὸ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται.

Ἰούλιος, ὄνομα μηνὸς παρὰ Ῥωμαίοις, καὶ ὄνομα

κύριον

Digitized by Google

κύριον Καρδιναλίου τοῦ μεδίκου, ὃν Φλορεντίας τῆς μεγάλης πόλεως κυβερνήτην, καὶ ὡς πηδάλιον, κάλλιστον καὶ βέλτιστον ὄντα, Λέων ὁ δέκατος μέγας Ἀρχιερεὺς, ἕνεκεν τῆς ἐκείνου δικαιοσύνης καὶ ἐλευθεριότητος, φιλοξενίας τε καὶ φιλανθρωπίας, καὶ τοῦ ἀπὸ πασῶν ἀρετῶν τὸ ἄνθος δρέψασθαι πεφυκέναι, ἐξαιρέτως ἀγαπῶν, πάντων τῶν ἐν τῇ ῥωμαϊκῇ ἐκκλησίᾳ πλουσιώτατον καὶ ἑαυτῷ μικροῦ δεῖν ἰσοδυναμοῦντα ἐποίησε.

Ἰουλόπεζα, ἡ ναῦς.

Ἴουλος, ὁ ἐν ταῖς ἀμπέλοις σκώληξ, πολύπουν δέ τι ζῶον, καὶ τὸ ἐξάνθημα τὸ ἐπὶ τῶν γενείων, καὶ τὸ ἐπὶ ταῖς καρύαις ἄνθος. καὶ ᾠδῆς τι γένος.

Ἴουλος, καὶ ὁ προσφιλὴς τῇ Ἀρτέμιδι. ἔνιοι δὲ καὶ τὸν ἐν ταῖς ὑδρείαις γινόμενον πολύποδα καὶ συστρεφόμενον, ἴουλος, ἀπὸ τοῦ ὅλον εἶναι πυκνὸν, καὶ συνεστράφθαι καὶ ἰέναι, λέγεται ἡ πρώτη ἐξάνθησις τοῦ γενείου.

Ἴουλος, σκώληξ πολύπους μικρὸς, περὶ τείχη ἀνερχόμενος. ᾧ παρεικάζει ὁ Λυκόφρων τὰς Ἀλεξάνδρου ναῦς διὰ τὰς κώπας. ἐγὼ μίαν ναῦν Ἀλεξάνδρου λέγω, καὶ βαρβαρικὸν πλοῖον ἓν, ἑκατὸν δὲ στρατιώτας ἔχων ἔπλευσεν εἰς Ἑλλάδα. ἴουλος σημαίνει δ', τὸν σκώληκα τοῦτον, τὴν ἐξάνθησιν τῶν γενείων, τὴν συστροφὴν τῶν τριχῶν, καὶ τὸν ὕμνον, ὥς φησιν Ἐρατοσθένης.

Ἰοὺς ἐκπέμπειν, κινδυνώδεις βουλὰς δηλοῖ. οὐ γὰρ ἐξ ἀνάγκης πάντες ἰοὶ ἐκπέμπονται, ἀλλὰ οἱ πλοίους ἐξέλκονται σῶοι, εἰ μὴ ἄρα διὰ τοῦ ἰοῦ τὸ ἐξ αὐτοῦ θαῦμα δηλοῦται, καὶ ὅμως οὐδὲ πᾶν θαῦμα ἐκπέμπεται.

Ἰουλόπεζαι, μεταφορικῶς αἱ πολύκωποι νῆες, ἀπὸ τοῦ ἰούλου τοῦ πολύποδος ζῴου, τοῦ πολλοὺς καὶ πυκνοὺς ἔχοντος πόδας. ὁμοίως καὶ ἡ πρώτη ἐξάνθησις κατὰ τὰς παρειὰς, ἴουλος λέγεται. ἀπὸ ἰούλου, τοῦ ζῴου.

Ἰοῦσαν, πορευομένην.

Ἴουλοι, αἱ πρῶται τῶν τριχῶν ἐκφύσεις, ἀπὸ τοῦ ἰέναι αὐτὰς οὔλας. ἴουλοι δὲ καὶ οὖλοι, αἱ ἐκ τῶν δραγμάτων συναγόμεναι δέσμαι.

Ἰοφῶν, υἱὸς τοῦ Σοφοκλέους ἐκ Νικοστράτης, ὃς δόκησιν παρεῖχεν, ὅτι τοῖς τοῦ πατρὸς ἐχρῆτο ποιήμασιν, ὡς οἰκείοις. εἰσήγαγε δέ ποτε Σοφοκλῆς ἐν δράματι τὸν Ἰοφῶντα φθονοῦντα, καὶ πρὸς τοὺς φράτορας ἐγκαλοῦντα τῷ πατρὶ, ὡς ὑπὸ γήρως παραφρονοῦντι. οἱ δὲ τῷ Ἰοφῶντι ἐπετίμησαν. Σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν, εἰ μὲν εἰμὶ Σοφοκλῆς, οὐ παραφρονῶ, εἰ δὲ παραφρονῶ, Σοφοκλῆς οὐκ εἰμί. καὶ τότε τὸν Οἰδίποδα παραγνῶναι. οὐ μόνον δὲ Χοιρίλῳ καὶ τοῖς περὶ Αἰσχύλον καὶ Εὐριπίδην, ἀλλὰ καὶ Ἰοφῶντι συνηγωνίσατο τῷ υἱῷ.

Ἰοχέαιρα ἢ ἡ χέαιρα ἰοῖς, ἢ μᾶλλον ἡ χέουσα ἰοὺς, κατὰ τὸ βέλεα στονόεντα χέοντα καὶ ἰοχέαιρα, ἡ Ἄρτεμις. ἢ ἡ φαρέτρα, ἡ ὑποδεχομένη τὰ βέλη.

Ἰόψαφος, Ἀπόλλωνος ἐπίθετον.

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Π.

Ἶπαμα, κάμινοι.

Ἶπες, ἰστέον ὅτι θηρίδιά ἐστιν, ἐμφυόμενα κέρασι, καὶ κατεσθίοντα, παραπλήσιά φασι κώνωψι. γίνεται δὲ παρὰ τὸ ἴπτειν, ὅ ἐστι φθείρειν. τινὲς δὲ ὑφὲν κεραῖπες γράφουσιν, ἀντὶ τοῦ κέρασιν ἶπες, πρὸς διαστολὴν τοῦ ἐν φυτοῖς. ἄλλοι δὲ κεραΐδες, ὡς ἀπὸ τοῦ κεραΐζειν, ἵνα δηλοῖ τὰς τῶν τόξων φθαρτικάς. κεράτινον δὲ ἦν φασὶν, ὡς φαίνεται τὸ τόξον, οὐ μόνον κατὰ τὰ πάλαι σκυθικὰ, ξύλινον. ἐκτείνεται δὲ ἡ ἀρχοῦσα τοῦ ἶπες, διὸ καὶ περισπᾶται.

Ἶπες, οἱ τοῖς κέρασιν ἐμφυόμενοι σκώληκες. θρῖπες, οἱ ἐντὸς ξύλων γινόμενοι, καὶ ταῦτα κατεσθίοντες. κίες, οἱ πυροῖς, δηλονότι σίτῳ καὶ ἐν ταῖς κριθαῖς γεννώμενοι. ἶκες, οἱ ἐν ἀμπέλῳ φυόμενοι, καὶ τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων κατεσθίοντες. ἴουλοι, οἱ περὶ τὰ τείχη ἑρπύζοντες πολύποδες. σὴς σητὸς, ὁ σκώληξ. καὶ σύρσηρος, αὐτός. ἀφ᾽ οὗ καὶ σηρικὸν ἱμάτιον, τὸ κοινῶς μεταξωτόν. μῦα, πτηνόντι ζωύφιον. καὶ σφὴξ σφηκὸς, ἀπὸ τοῦ σφήκω τὸ δεσμῶ, ὁ οἱονεὶ δεδεσμένη οὖσα ἐν τῷ μέσῳ, ἤπερ αὐ-

θις καλούμενον βδέλλα, ἀπὸ τοῦ βδέλλω τὸ ἀμέλγω. μέλιττα δὲ φανερὸν, καὶ μελισσὼν, ὁ περιεκτικὸς τόπος μελισσῶν. καὶ σμῆνος, τὸ αὐτῶν πλῆθος. καὶ βόμβος, ὁ αὐτῶν ἦχος. καὶ σύμβλοι, ἡ αὐτῶν κατοικία. ὁ δὲ καρπὸς αὐτῶν, τὸ κηρίον, ὃ κοινῶς κηρόμελι. ἰδίως δὲ ὁ κηρὸς ἀρρενικῶς, καὶ τὸ μέλι.

Ἰπὶ, σκώληκι. ἶψ ἡ εὐθεῖα, ἰπὸς, ἰπί.

Ἰπνασία, γαστὴρ παρὰ Ταραντίνοις.

Ἰπνυδόμαν, τὴν Φρυγίαν, Κρῆτες.

Ἰπνὸς, ὁ φοῦρνος, κυρίως μὲν ἡ κάμινος, ἢ ὁ φανός. καταχρηστικῶς δὲ, ἡ ἐσχάρα. καὶ ἴπνια, τὰ ἀποκαθάρματα τοῦ ἰπνοῦ, ἢ τὰ πρὸς τὴν κάμινον ἐπιτήδεια καύσιμα. Καλλίμαχος δὲ τὴν κόπρον τῶν ζῴων, σὺν δ᾽ ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ᾽ ἄειρεν.

Ἰπνὸς, κυρίως κάμινος. Αἰσχύλος, ἰπνούμενος ῥήζαισιν αἰπαίαις ὕπο. σημαίνει καὶ τὸ μαγειρεῖον.

Ἰπνὸς, τὸ μαγειρεῖον, ἢ ἡ καπνοδόχη, ἢ ὁ φανὸς, ὡς τὸ ἔνστε τοῖς ἰπνοῖσι πῦρ, ἢ κάμινος. καταχρηστικῶς ἡ ἐσχάρα.

Ἰπνοὺς λέγουσιν, οὓς νῦν ἡμεῖς λαμπτῆρας ἢ φανοὺς καλοῦμεν. τοὺς δὲ νῦν φανοὺς καλουμένους, λύχνους τινάς φασι λέγειν τῶν παλαιῶν. τὰς δὲ λαμπάδας, τοὺς τραγικοὺς φανοὺς, ἢ πανοὺς διὰ τοῦ π.

Ἶπος, ἡ πόσις, παρὰ τῷ Ἱπποκράτει.

Ἶπος, ἡ τῶν μυῶν παγὶς, καὶ τὸ πραιτώριον.

Ἰπούμενος, θλιβόμενος, πιεζόμενος, ἀναγκαζόμενος.

Ἰποὺς, τὸ ἐμπίπτον τοῖς μυσὶ ξύλον.

Ἱππαγρέτας, ἀρχὴ ἐπὶ τῶν ἐπιλέκτων ὁπλιτῶν.

Ἱππαγωγοὺς, τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς.

Ἱππάδα, τὰ τῶν ἱππέων τιμήματα. τινὲς δὲ στολὴν ἱππικὴν καὶ θυσίαν, ἣν τοῖς ἵπποις ἀπένειμον. καὶ πύλαι Ἀθήνησιν ἱππάδες ἐκαλοῦντο.

Ἱππαῖρον, τὸν ἐπὶ τοῖς ἵπποις ἔρωτα. Ἀριστοφάνης, ἢ ἵππερον.

Ἱππάζεται, οὐχ ἁπλῶς τὸ περὶ ἱππικὴν ἔχειν, ἀλλὰ τὸ ἐφ᾽ ἑνὸς ἵππου ὀχεῖσθαι. ὃ νῦν κέλητα καλοῦσιν.

Ἱππάζομαι, ἱππεύω, ὀχοῦμαι.

Ἱππάκη, σκυθικὸν βρῶμα, ἐξ ἵππου γάλακτος. οἱ δὲ ὀξύγαλα ἱππεῖον, ᾧ χρῶνται σκύθαι. πίνεται δὲ καὶ ἐσθίεται πηγνύμενον, ὡς Θεόπομπος ἐν τρίτῳ αὐτοῦ λόγῳ, καὶ μάνδρα ἵππων παρὰ Λάκωσιν.

Ἱππαλεκτρυόνα, γράφεται κολεκτρυόνα παρὰ τῷ Ἀριστοφάνει, ὡς γένος τι λάβης περσικὸν, αὐτῷ ὅμοιον. ἄλλως ἱππαλεκτρυὼν, εἰ καὶ τοῖς φιλοσόφοις ἀπηγόρευται μὴ εἶναι, ἀλλ᾽ ἔστι τῇ ἀληθείᾳ ζῶον θαλάσσιον, ὃν καί τις τῶν καθ᾽ ἡμᾶς ἁλιεὺς κατὰ τύχην ἐξιόντα ἀπέκτονε, καὶ πᾶσι νεκρὸν δείξας, ἐνέγραψεν ἐν τῇ σημαίᾳ αὐτοῦ καὶ τῇ ἀσπίδι, ὡς ἂν καὶ τοῖς μὴ εἰδόσιν ὁ ἆθλος κηρύττοιτο. τινὲς δὲ τὸ ἵππος ἐπὶ τοῦ μεγάλου.

Ἱππάριον ὄρνεον ποιὸν, παραπλήσιον χηναλώπεκι. ἵππαρος, πάθος τι τῶν ὑπὸ τὸν ἴκτερον συμβαινόντων.

Ἱππάρχειος Ἑρμῆς, ἱππάρχειοι ἑρμαῖ, ἃς ἀνέστησεν Ἵππαρχος στήλας ἐγγράψας εἰς αὐτὰς ἐλεγεῖα, ἐξ ὧν ἔμελλον βελτίους οἱ ἀναγινώσκοντες γίνεσθαι.

Ἱππαρχίαι δύο ταραντιναὶ, ἱππέων ἀνδρῶν δώδεκα.

Ἵππαρχος, ὁ τῶν νέων ἐπιμελητὴς, παρὰ Λάκωσιν.

Ἱππὰς, τίμημα μικρὸν, ὡς ἱππάδα τελῶν. Ἀριστοτέλης δ᾽ ἐν Ἀθηναίων πολιτείᾳ φησὶν, ὅτι Σόλων εἰς δ΄ διεῖλε τέλη τὸ πᾶν πλῆθος Ἀθηναίων, πεντακοσιομεδίμνους καὶ ἱππέας, ζευγίτας καὶ θῆτας.

Ἱππασία παρὰ τοῖς κοινοῖς, ἱππεία δὲ καὶ ἱπποσύνη παρὰ τοῖς ποιηταῖς.

Ἵππασι καθίζειν, ὅταν οἱ παῖδες ἐπὶ τῶν ὤμων περιβάδην καθέζονται.

Ἱππαφέσεων τὰς ἀφετηρίας, ὅ ἐστι τοῦ καγκέλου.

Ἱππεία, ἡ ἵππευσις. ἱππεία φάτνη, καὶ οὐρὰ ἱππεία, καὶ ἡ Ἀθηνᾶ.

Ἱππέας κάπας φησὶν Ὅμηρος, πρὸς διαστολὴν τῶν

βοείων. κάπη δὲ ἡ φάτνη, παρὰ τὸ κάπω, τὸ χανδὸν ἐσθίω, ὅθεν καὶ τὸ ἐνέκαψε παρὰ τῷ κωμικῷ, ἀφ᾽ οὗ καὶ ἔγκαφος ὁ ψωμὸς, ἤτοι βλωμός.

Ἵππειον τὸ ἄργος, ἀπὸ Ἵππης τῆς Δαναοῦ.

Ἵππειον κράτος, ἡ τοῦ ἵππου ἰσχύς. καὶ ἵππειον θράσος, καὶ ἵππειος ζυγός.

Ἱππείων ὁπλείων, τῶν ὀνύχων τῶν ἵππων.

Ἱππείαν, τὴν ἵππον, ἔνιοι δὲ τὴν τόξου νευρὰν, τὴν ἐξ ἱππείων τριχῶν.

Ἵππειος δρόμος, τετραστάδιός τις. ἵππειος δὲ Ποσειδῶν, φυσικῶς φασὶ, διὰ τὸ λέγειν που τῶν τ᾽ αἴθαλος ἵπποι ἀνδράσι γίγνονται κατὰ τὸν μῦθον, ἢ ὅτι ἵππους ἐγέννησε Ποσειδῶν, Ἀρίωνά φασι καὶ Πήγασον.

Ἱππεῖς λινοθώρακες. καὶ παροιμία, ἱππεῖς μὲν Θετταλία καὶ Θράκη. τοξόται δὲ καὶ τὰ κουφότερα τῶν ὅπλων, ἐν Ἰνδίᾳ καὶ Κρήτῃ καὶ Καρίᾳ.

Ἵππερον, ἱππικὸν ἔρωτα φησὶν ὁ Ἀριστοφάνης. ἔπαιξε δὲ παρὰ τὸν ἴκτερον. νόσημα δὲ ὁ ἴκτερος, ὃς περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων.

Ἵππερος, ἵππων ἔρως.

Ἵππευε, ἵππων φρόντιζε.

Ἱππεύεται καὶ ξυνωρικεύεται παρὰ τῷ Ἀριστοφάνει, νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος ὀχούμενος ἄνω καὶ κατωβακχεύει. ξυνωρὶς δὲ τὸ μὴ πλῆρες ἅρμα, ἀλλ᾽ ἐκ δυοῖν ἵππων συνεστὸς, ὃ νῦν δίφρον καλοῦμεν. τὸ δὲ ἱππεύεσθαι, ἐπὶ ἑνὸς ἵππου ὀχεῖσθαι, καὶ οὕτως καὶ ἱππάζεσθαι, ὃ νῦν κέλητα καλοῦμεν.

Ἵππευμα, πορείαν.

Ἱππευτοῦμαι, ἠγώνισμαι, Λάκωνες.

Ἱππεὺς, φυγὰς, καὶ εἶδος κοροσκομίου, καὶ ὁ ἐπὶ ἱππικῆς ἐπιστήμων. ἱππῆες δ᾽ ὀλίγον μετεκίαθον. οἱ γὰρ ἱππεῖς μετ᾽ ὀλίγον ἐπορεύοντο, καὶ σχολέως μετὰ τῶν πεζῶν.

Ἱππεύω καὶ ἱππάζομαι, τὸ ὀχοῦμαι. ἱππάζεσθαι, ἐπὶ τοῦ ἵππου φέρεσθαι. ἱππεύει καὶ ἱππάζεται καὶ ὀχεῖται, ταυτὸν πάντα σημαίνει.

Ἱππέως, ἀναβάτου, ἐπιβάτου.

Ἱππῆες βασιλῆες, Ἴωνες λέγουσιν. αὐτοὶ γὰρ τὰς εἰς ες ληγούσας εὐθείας τῶν πληθυντικῶν, εἰ μὲν ἀπὸ τῶν εἰς ευς εὐθειῶν γίνονται, διὰ τοῦ ηες ἐκφέρουσι, διότι καὶ τὴν γενικὴν οὕτω προφέρουσιν. εἰ δὲ ἀπὸ τῶν εἰς ης ἢ υς, διὰ τοῦ ε. οἷον ἀληθὴς ἀληθέες, πολὺς πολέες, ὀξὺς ὀξέες. διότι τὰς γενικὰς τὰς ἀπὸ τῶν εἰς υς εὐθειῶν, οὐ προφέρουσιν διὰ τοῦ ηος· οἷον ἡδὺς, ἡδῆος, ὀξὺς ὀξῆος, ὥσπερ βασιλῆος, οἰνῆος. ἔστιν εἰπεῖν, ὅτι οὐδέποτε ἡ παραλήγουσα τῆς γενικῆς μείζων θέλει εἶναι τῆς ληγούσης τῆς εὐθείας ἐπὶ τῶν περιττοσυλλάβως κλινομένων. οἷον αἴας αἴαντος, ἡ εὐθεῖα τὸ ας ἔχει φύσει μακρὸν, ἡ δὲ αἴαντος γενικὴ θέσει μακρὰν ἔχει τὴν παραλήγουσαν. ἀλλὰ καὶ ἡ λάχητος φύσει μακρὰν τὴν παραλήγουσαν. ἢ ἴση ὀφείλει ἡ παραλήγουσα τῆς γενικῆς τῇ ληγούσῃ τῆς εὐθείας, ἢ ἐλάττων. ὡς ἐπὶ τοῦ αἴαντος, καὶ χαρίεντος, λέοντος, οὐδέποτε δὲ μείζων. ἐπεὶ τὸ πηλεὺς καὶ τὰ ὅμοια εἶχον τὴν λήγουσαν μακρὰν, ἐποίησαν οἱ Ἴωνες τὴν παραλήγουσαν μακρὰν τῆς γενικῆς, ἵν᾽ ᾖ ἴση τῇ ληγούσῃ τῆς εὐθείας μὴ οὔσης, ἐπὶ δὲ τοῦ ἡδὺς, οὐκ ἐδυνήθησαν τρέψαι τὴν γενικὴν τοῦ ἡδέος εἰς η. οὕτω γὰρ εὑρίσκετο μείζων ἡ παραλήγουσα τῆς γενικῆς τῆς ληγούσης τῆς εὐθείας, ἐπεὶ ὁ ἡδὺς βραχεῖαν ἔχει τὴν λήγουσαν, καὶ ὀξὺς, καὶ τὰ ὅμοια.

Ἱππηλασίη ὁδός. ἐντελῶς ἐφράσθη. ἄλλως δὲ ἱππηλασία παρὰ τοῖς ὕστερον ἀπολύτως, τὸ ἐλάσαι ἵππους.

Ἱππήλατον, εὐρύχωρον. πλατὺ, λεῖον, ἐψιλωμένον.

Ἱππημολγοὺς λέγουσι, τοὺς ἀπὸ γάλακτος τρεφομένους, καὶ γαλακτοπότας, καὶ γαλακτοφάγους ὁμοίως. θρυλλεῖται δὲ ἐν ἱστορίαις ἔθνος ἱππημολγὸν περὶ Σκυθίαν, λέγονται ἔτι καὶ ἄβιοι, ὅτι ὀλιγόβιοι. εὐτελεῖς γάρ εἰσι, καὶ ἁπλοῖ τὴν δίαιταν. ἢ ἅμα τῷ βίῳ πορεύονται, ὡς ἁμαξόβιοι.

Ἱππημολγὸς, ὁ τὰς ἵππους ἀμέλγων.

Ἱππία ἐκλήθη οὕτως ἡ Ἀθηνᾶ, ἐπεὶ ἐκ τῆς κεφαλῆς τοῦ Διὸς μεθ᾽ ἵππων ἀνήλατο. ὡς ὁ ἐπ᾽ αὐτῆς ὕμνος δηλοῖ. ἢ ὅτι Ποσειδῶνος οὖσα θυγάτηρ καὶ Κορυφῆς τῆς Ὠκεανοῦ ἔχουσα

ἅρμα ὅπως ἐγεννήθη. ἢ ὅτι Ἄδραστος Θήβηθεν φύγων, ἐπὶ Κολωνῷ σώσας τοὺς ἵππους, Ποσειδῶνα καὶ Ἀθηνᾶν ἱππίους προσηγόρευσεν.

Ἱππίδιον, ἰχθύς ποιός.

Ἱππικὰ ὀνόματα, ἀγέλη ἵππων, ἱπποτρόφος, ἀγελοτρόφος, ἱππονόμος, ἱππαγωγός, ἱπποδαμαστής, πωλοδάμνης, ἱπποκόμος, ἵππων ἐπιμελητής, ἱπποφορβός. εἶεν ἵπποι φορβάδες, ἵπποι ἀγελαῖοι, ἵπποι ἀθληταὶ καὶ ἀγωνισταὶ καὶ ἀδηφάγοι, ἁμιλλητήριοι, νικηφόροι, ἀθλοφόροι, κυνηγετικοί, πολεμιστήριοι, ὁδοιπορικοί, στρατιωτικοί, πομπικοί, καὶ τὰ ὅμοια.

Ἱππικὸν ὅρμον, ὁ καμπτήρ.

Ἱππικὸν χλίδος, ἦν Ἀγαμέμνονι, ἀντὶ τοῦ χλίδημα φόρημα. οἱ γὰρ ἐποχούμενοι τοῖς ἵπποις, ἐχρῶντο κόσμου χάριν πλατέσι χιτῶσιν, ἃς καλὰς ἐφεστρίδας καὶ ξυστίδας τινὲς λέγουσιν.

Ἱππικόν, τὸ στάδιον.

Ἱππικὴ βάσις, ἡ ἐπάνω τοῦ τόξου, διὰ τὸ ἐξ ἱππείων γίνεσθαι στίχων. οἱ δὲ θάμιγγα νευρᾶς, ἱππικὴν καλοῦσιν.

Ἵππιος, ὁ Ποσειδῶν.

Ἱππιοχάρμην, τὸν χαίροντα τῇ ἱππικῇ. ἢ ἱππόμαχον. χάρμη γάρ, ἡ μάχη.

Ἱππίσκος, ἐπίθεμα κεφαλῆς, ἢ γυναικεῖον κόσμιον.

Ἱππίτας, ἱπποφορβός.

Ἱπποβάτης, ἱππεύς.

Ἱππόβοτος, μεγάλην γῆν ἔχων, δυνάμενος ἵππους τρέφειν.

Ἱπποβουκόλους, τοὺς ἵππους νέμοντας.

Ἱππόβοτον Ἄργος, τὴν Πελοπόννησον λέγει. Ἄργος μέν, ἀπὸ τοῦ πανόπτου Ἄργου. ἱππόβοτον δέ, διότι ἀφόρησε δὲ τῶν ἵππων πολλῶν καὶ ἀγαθῶν, ὡς ἱστορίαι δηλοῦσι. πρὸς δὲ τὸ ἱππόβοτον, σύγκειται καὶ βούβοτος λειμών. κατὰ αὐτὰ δὲ πως καὶ τὸ θρεψίβοτον συντέθειται, ὃ δηλοῖ τόπον κατὰ τοὺς παλαιούς, ἔχοντα καὶ ἐν θέρει νομάς.

Ἱππογνώμων, ἵππους διαγινώσκων ἐγκύους ἢ μή.

Ἱππόγαναν, ἱππάστρα.

Ἱπποδάμεια, ἀγορὰ ἐν Πειραιεῖ οὕτω καλουμένη ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος, τοῦ οἰκοδομήσαντος Ἀθηναίοις τὸν Πειραιᾶ.

Ἱπποδάμεια ἔτεκεν ἐκ τοῦ Πέλοπος, ὥς φησι Πίνδαρος, λεγέτας ἕξ, ἤγουν ἡγεμόνας. ἤγουν Ἀτρέα, Θυέστην, Πιτθέα, Ἀλκαθοῦν, Πλεισθένην, Χρύσιππον. ἄλλως, Ἀτρεύς, Θυέστης, Ἀλκαθοῦς, Ἵππαλκος, Πιτθεύς, Δίας ἢ Χρύσιππος.

Ἱππόδαμοι, ἐφ᾽ ἵππων ἀναστρεφόμενοι.

Ἱππόδαμος ἐν Πειραιεῖ κατῴκει, καὶ οἰκίαν εἶχεν, ἣν περ ἀνῆκε δημοσίαν εἶναι. καὶ πρῶτος οὗτος τὸν Πειραιᾶ κατὰ τὰ μηδικὰ συνήγαγεν. ἦν δὲ Ἀθηναίοις τίμιος. ἄλλως, Ἱππόδαμος μόνος λείβεται καὶ ἥττηται. διεβάλλετο γὰρ ἐπὶ πολυφαγίᾳ ὁ Ἱππόδαμος. Ἀριστοφάνης ἢ ὁ δὲ Ἱππόδαμος ἀνάστατος ὢν τῇ πόλει καταλείβεται τοῖς δάκρυσιν, ἀναξίως ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον.

Ἱπποδασείης, ἵππειον λόφον ἐχούσης τρίχας.

Ἱπποδίτης, Ἡρακλῆς ὁ ἐν Ὀγχηστῷ τιμώμενος, οἱ δὲ ἐν Θήβαις.

Ἱπποδιώκτας, ἡνιόχους.

Ἱππόδρομος, ἀγὼν Ἀθήνησι Θησεῖ ἀγόμενος.

Ἱπποζώνη, ἡ τοὺς ἵππους θηλάσασα.

Ἱππόθεν ἐκχύμενοι, ταυτόν ἐστι τῷ κοῖλον λόχον ἐκπρολιπόντες.

Ἱππόθοος, ἱπποδιώκτης.

Ἱππόθορος, ὄνος ἵππους βιβάζων.

Ἱπποθορονήμην, τὴν μεγάλην ἀωχίαν.

Ἱπποθοώντειον, τὸ τοῦ Ἱπποθόωντος ἡρῷον. ἦν δὲ υἱὸς Ποσειδῶνος.

Ἱππόκαμπτος, στρουθίον τι.

Ἱπποκλείδης, ὑπὸ κακοχόλως τὸ τῆς γυναικὸς μόριον Ἀριστοφάνης εἶπεν.

Ἱπποκέλλαθος, κυριολεκτικῶς ὁ πεζῇ βαδίζειν ὀκνῶν, τὰ πλείω δὲ ἀναβάλλων ἑαυτὸν εἰς τὸ ἔφιππος προϊέναι. ὁ δὴ νόμος ἦν Πέρσαις, ἐπὰν ἔμαθον λυσιτελέστερον εἶναι αὐτοῖς τὸ μεθ᾽ ἵππων πολεμεῖν, ἤπερ πεζομαχεῖν. ἱπποκέλλαθος ὁ κατ᾽ ἐξοχὴν ὁ ἡνιοχώτατος, ἴσως δὲ κατά τι ἐξαίρετον καὶ τὸν μάλιστα δι᾽ ἵππων εἰδότα μάχεσθαι δηλοῖ, ἡ μὲν οὖν καὶ πεζομάχην, ἢ καὶ τῶν ἄλλως ὡς καὶ προερρέθη, χαίροντα μεθ᾽ ἵππων βαδίζειν. ὁποῖοι κατὰ Ξενοφῶντα ὕστερον οἱ Πέρσαι, οἷς νόμος ἐτέθη μικροῦ δεῖν καθ᾽ ἱπποκελλαθοῦρας ἀεὶ ἐφ᾽ ἵππους ἰέναι.

Ἱπποκέλλαθος, ἵπποις κελλάων, ἱππεύς. ἢ ὁ πολλὴν ὁδὸν τορευόμενος.

Ἱπποκένταυρος, ἀναγωγικῶς νοεῖται. φασὶ γὰρ αὐτὸν ἰατρικὴν ἐπιδείξασθαι. ἀνάγεται δὲ καὶ οὕτως, ἐπειδὴ τὸ σῶμα αὐτοῦ, τὸ μὲν ἥμισυ ἵππου ἦν, τὸ δὲ ἥμισυ ἀνθρώπου πεφανέρωται, ὅτι διὰ τοῦ ἀλόγου μέρους ἐδήλωσε τὸ πρακτικόν, διὰ δὲ τοῦ ἀνθρωπείου τὸ λογικόν.

Ἱππόκομον, τρυφάλειαν ἐξ ἱππείων τριχῶν τὸν λόφον ἔχουσαν.

Ἱπποκόμος, ὁ τῶν ἵππων ἐπιμελούμενος.

Ἱπποκόριος, ἥρως.

Ἱπποκορυσταί, ἐφ᾽ ἵππων ὁπλιζόμενοι, ἢ ἵππους κορύσσοντες, ὅπερ ἐστὶ πολεμικοί. ἢ ἐφ᾽ ἵππων μαχόμενοι. γίνεται δὲ ἐκ τοῦ ἵππος καὶ τὸ κορυστής, τοῦτο ἐκ τοῦ κορύσσω, τοῦτο ἐκ τοῦ κορώνη, ἔστι δὲ ἐπικαμπὲς ῥόπαλον. ἱπποκορυστὴς διὰ τί οὐκ ἀνεβίβασε τὸν τόνον; ἐπειδὴ τὰ εἰς της ὑπὲρ μίαν συλλαβὴν ἐν τῇ συνθέσει τοῦ ἁπλοῦ φυλάσσει τὸν τόνον. ἐρανιστής, ἀρχερανιστής. ζήτει εἰς τὸ Ἡρακλῆς.

Ἱπποκορυσταί, ἐνόησάν τινες τοὺς ἔχοντας ἱππείας τρίχας ἐν ταῖς κόρυσιν, ἀλλ᾽ εἰ τοῦτο ἦν, ὤφειλεν ἱπποκόρυθας εἰπεῖν, ἢ οὕτω πως ὁμοίως τῷ κορυθαίκες καὶ κορυθαίολος. ἔστιν οὖν ἱπποκορυστής, ὁ καὶ ἱππιοχάρμης, ἤγουν ἱππότης, πολεμιστής.

Ἱπποκρατεία, τὸ ταῖς ἵπποις νικᾶν.

Ἱπποκράτους υἱοὶ Τελέσιππος, Δημοφῶν, Περικλῆς, διαβαλλόμενοι εἰς ὑωδίαν. καὶ Εὔπολις φησὶν ἐν Δήμοις, Ἱπποκράτους τε παῖδες ἐμβόλιμοί τινες, βληχητὰ τέκνα, καὶ οὐδαμῶς τοῦ ἀ.

Ἱππολήμορα, τὰς τριχίνους σειρὰς Πάρθοι οὕτω καλοῦσιν.

Ἱππολέστρας, ἔνθα τοὺς ἵππους ἀπένιζον.

Ἱππομανές, οὕτω λέγεται τὸ ἐπιπεφυκὸς ἐπὶ τοῦ μετώπου τοῦ πώλου, ὅπερ ἀνθέως ἡ μήτηρ κατεσθίεται. ἔστι δὲ τοῦτο τῷ μεγέθει ἔλαττον ἰσχάδος, μέλαν, πλατύ, περιφερές. ἔστι δὲ εἰς πολλὰ δόκιμον.

Ἱππομανῆ, μεγάλως μαινόμενον, ἢ τὸν ἐπὶ ἵππους μαινόμενον, καὶ ἱππικόν. ἢ πρὸς τὸν λειμῶνα ἐκληπτέον. τὸ δὲ ἵππος ἐπὶ τοῦ μεγάλου τάσσεται, ὡς ἱπποσέλινον. καὶ ἱππογνώμων, ὁ μεγαλογνώμων. εἰ δὲ ἐπὶ τοῦ λειμῶνος, τὸν ἄγαν ἀνθοῦντα καὶ ἐνυβρίζοντα τῇ χλόῃ διὰ τὸ πλῆθος. ἢ ὁ ἀλανθής, ἐφ᾽ ᾧ οἱ ἵπποι μαίνονται. Σοφοκλῆς δέ, τὸν ἱππομανῆ λειμῶν᾽ ἐπιβάντα.

Ἵππον, τὸ μόριον καὶ τὸ τῆς γυναικὸς καὶ τοῦ ἀνδρός, καὶ τὸν μέγαν θαλάσσιον ἰχθύν.

Ἵπποι ἀνέμοισιν ὅμοιοι θείειν, καὶ λευκότεροι χιόνος. δύο ὑπερβολῶν τὴν μὲν ὑπερθετικῶς ἐξέθετο, λευκότεροι χιόνος εἰπών, τὴν δὲ καθ᾽ ὁμοίωσιν προήγαγεν ἐν τῷ, ἀνέμοις ὅμοιοι, τῷ μὲν ἀδυνάτῳ εἰκάσας, τοῦ δὲ δυνατοῦ μεῖζον ἀποφήνας τὸ συγκρινόμενον. χιόνος μὲν γὰρ ἐστί τι λευκότερον.

Ἵππον ξεστόν, τὸν δούρειον λέγει Ὅμηρος, ὅ ἐστι ξύλινον. ξύλου δὲ ἴδιον τὸ ξέεσθαι, καθὰ καὶ λίθου. ὅθεν καὶ τὸ ξεστοῖσι λίθοισιν, ἐπεὶ καὶ ξύεσθαι ἐπὶ ξύλου λέγεται, εἰκότως καὶ δόρυ ξυστὸν φαμέν.

Ἱππόνομα, μισθὸς ἱππικός, καὶ τῶν ἡμιόνων.

Ἱππονώμαν, τὸν ἥλιον λέγει Ἀριστοφάνης, τὸν ἐλαύνοντα καὶ νωμῶντα τὸ ἅρμα, καὶ τοὺς ἵππους ἡνιοχοῦντα.

Ἱππόπορις, κοιλάς, αὐλή, δῶμα.

Ἱππόπορνε, ἀντὶ τοῦ μεγαλόπορνε.

Ἱπποποτάμιοι, ζῶα ἀδικώτατα. καὶ ζήτει ἐν τῷ Ἀντιπελαργεῖν.

Ἱπποπωλῶ, τοὺς ἵππους πιπράσκω.

Ἱπποπώλων, τῶν ἡνιοχούντων. ἢ ἐφ᾽ ἵπποις πωλουμένων, ἢ περὶ ἵππους ἀναστρεφομένων, ἱππικῶν.

Ἵππος, λιμένος ὄλεθρος, μάστιξ.

Ἵππος, ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ Ἀττικοί, ὁ καὶ συλληπτικῶς, καὶ ἐπὶ τῶν ἱππέων λέγεται, οἷον ὁ ἵππος τῶν Περσῶν ἐνίκησεν, ἤγουν οἱ ἱππεῖς.

Ἵππος, ζῶον φιλόλουτρον καὶ χαῖρον ἕλεσι καὶ τοῖς θολεροῖς τῶν ὑδάτων. ἵππος ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ Ἀττικοί, συλληπτικῶς καὶ ἐπὶ τῶν ἱππέων λέγεται, οἷον ἡ ἵππος τῶν περσῶν ἐνίκησεν, καὶ οἱ ἱππεῖς. καὶ παρ᾽ Ὁμήρῳ, ἵστατ᾽ Ἀχιλλεὺς ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας, ἤγουν ἱππεῖς καὶ ὁπλίτας πεζούς. καὶ ἱππεύω, καὶ ἱππάζομαι τὸ ὀχοῦμαι. ἀφ᾽ ὧν ἱππεύς, ὁ κοινῶς καβαλλάριος. καὶ ἱππασία, ἡ καβάλλα, ἣν οἱ ποιηταὶ ἱπποσύνην λέγουσι. καὶ ἵππειον βρέφος, ἐπὶ τῶν δίκην ἵππων θρασυνομένων. καὶ ἱππικὸν στράτευμα, τὸ τῶν ἱππέων. καὶ ἱππώνες καὶ ἱπποστάσεις, οἱ κοινῶς σταῦλοι, ἃ καὶ σταθμὰ λέγονται. καὶ Ἱπποδάμεια κύριον, καὶ ἵππιος, ὁ ἄρειος.

* Ἵππος παρ᾽ Ἱπποκράτει, ἐστὶ διάθεσις ἐκ γενετῆς, καθ᾽ ἣν ἀτακτοῦσι καὶ ἀεὶ κινοῦσιν οἱ ὀφθαλμοί, κίνησιν ὑπομένοντες ἐν κλόνῳ ἢ τρόμῳ ἀδιαλείπτῳ καθεστηκυῖαν.

Ἱπποσύνη, ἡ περὶ τοὺς ἵππους ἐμπειρία, ἢ ἐπιστήμη ἱππική, ἔγχει θ᾽ ἱπποσύνῃ τε.

Ἱπποσύνη, ἡ τοῦ ἱππέως ἀρετή.

Ἱππότα, ἤγουν ἱππότης, ἡ κλητικὴ ἀντὶ εὐθείας. ἔστι δὲ ὡς εἴρηται ἀλλαχοῦ τοῦτο τὸ πάθος Δρυόπων καὶ Αἰολέων καὶ Βοιωτῶν.

Ἱππότα Νέστωρ, ἀντὶ τοῦ φυγάς ἐστι. κάλλιον δέ, ἐπιστήμων ἱππικῆς.

Ἱπποτέκτων, ὁ Πανοπέως υἱὸς Ἐπειός, ἐποίησε τὸν δούρειον ἵππον, εἰς ὃν πεντήκοντα καὶ τριχίλιοι, κατ᾽ ἐμὲ κγ᾽ ἄνδρες ἐλθόντες Ἕλληνες, ἐκάθηντο, ἑλκυσθέντος δὲ τοῦ ἵππου παρὰ τῶν Τρώων ἔσω τοῦ τείχους, νυκτὸς ἐξελθόντες καὶ φρυκτὸν δείξαντες τοῖς λοιποῖς Ἕλλησιν οὖσιν ἐν Τενέδῳ, κἀκείνοις ἐλθοῦσι τὸ Ἴλιον πορθοῦσι.

Ἱππόται, ὁ ἱππεύς, ὀχούμενος τῷ ἵππῳ.

Ἵππους Ποσειδῶνι μῦθος δίδωσιν, Ἐριώλην καὶ Γλαῦκον, ἢ ἐγκέλαδον καὶ δεινοῦντα. τοῦτον μὲν διὰ τὸ στεναρὸν τοῦ ἐννοσιγαίου, παρ᾽ ὃν καὶ δυναμένου μιᾶς τῶν νηρηΐδων πέπλασται. ἐγκέλαδον δέ, διὰ τὸν κελάδοντα πόντον. Γλαῦκον δέ, διὰ τὴν γλαυκὴν θάλασσαν, ὃς καὶ δαίμονα Γλαῦκον οἶδεν ἡ ποίησις τὸν Ἀνθηδόνιον, καὶ γλαυκὴν νηρηΐδα. ἐριώλην δέ, διὰ τοὺς ὑγροὺς ἀνέμους, ὧν καὶ ἡ σφοδρὰ καὶ καταιγιδώδης ἐριώλη, ἧς μέμνηται καὶ ὁ κωμικός.

Ἱππόφεον, εἶδος βοτάνης. ὀνομάζεται δὲ καὶ κνάφον, καὶ στύβον, παρὰ τῷ Ἱπποκράτει.

Ἱπποτοξότας, ἱέρακας δηλοῖ Ἀριστοφάνης, τοὺς τὴν ὀξεῖαν αὐτῶν πτῆσιν, ἀπὸ τοῦ ἵππου. ἀπὸ δὲ τοῦ τόξου, τὸ ἐπικαμπὲς τῶν ὀνύχων.

Ἵππου κρήνη, λέγεται ἀναδοθῆναι ἐκ τῆς ὁπλῆς τοῦ Πηγάσου. ἐν γὰρ τῷ Ἄργει διψήσαντος τοῦ Βελλεροφόντου, ὁ Πήγασος τῷ ποδὶ τὴν γῆν πατάξας, ἐξέβαλεν ὕδωρ, καὶ ἐκλήθη ἵππου κρήνη. ἄλλοι δὲ πηγασίαν ταύτην καλοῦσιν.

Ἱππεῦμεν, πιέζομεν.

Ἵππουρις, διὰ τί προπαροξύνεται; τὰ εἰς ρις λήγοντα ὑπὲρ δύο συλλαβὰς διφθόγγῳ τῇ διὰ τοῦ ῡ παραληγόμενα, ἅπαντα ὀξύνεται· οἷον μελουρίς. σημαίνει δὲ τὴν σιτοφάγον ἀκρίδα. κυνοσουρίς, σεσημείωται τρία. λάμπουρις, ἡ ἀλώπηξ. τόμουρις, ὄνομα πόλεως. καὶ ἵππουρις.

Ἵππουρις, ἡ ἄνω ἔχουσα περὶ τὸν λόφον τρίχας ἐξ ἵππων οὐρᾶς, ὅπερ ἐγίνετο διὰ τὸ φοβερώτερον, διό φησιν ὁ Ποιητής, ὅτι δεινὸν δὴ λόφος καθύπερθεν ἔνευεν. φοβερώτερον γὰρ τὸν ὁπλίτην ἡ τοιαύτη ἐποίει. ἔνθα δῆλον ὡς ὁ λόφος ἀκροτάτη κόρυς ἐστίν, ὁμωνυμῶν τῷ τοῦ ὄρους λόφῳ. ἐξ οὗ καὶ ὁ γήλοφος, καὶ λοφνίδες. καὶ ἐκεῖθεν λαμπάδες, καὶ λοφιὰ ζώου, καὶ ζῶα λόφουρα. τὴν δὲ ἵππουριν, καὶ ἱπποδάσειαν ἐρεῖ.

Ἵππουριν, τὴν ἐξ ἱππείων τριχῶν κατεσκευασμένον λόφον ἔχουσαν. λόφον δὲ τὸ προνεῦον τῆς περικεφαλαίας ἀνάστημα, καταπλήξεως χάριν καὶ κόσμου ὄν.

Ἱπποφορβός, ἱπποτρόφος. φορβὴ γάρ, ἡ τροφή, καὶ ἱπ-

καὶ ἱπποφόρβιον, ἔνθα οἱ ἵπποι τρέφονται. λέγεται δὲ καὶ κατίσειον, ἢ αἰγίλιππον.

Ἵπταμαι, τὸ πέτομαι.

Ἱπτᾶσθαι, παραιτητέον εἰ καὶ ἅπαξ ἂν κείμενον ἤδεις. πέτεσθαι δὲ λέγει Φρύνιχος.

Ἵπτω, βλάπτω, μέγα δ᾽ ἴψαο λαῶν ἀχαιῶν. ἴπτω δὲ ἐπιπεπιεσμένως, ἀντὶ τοῦ θλίβω. καὶ Ἀριστοφάνης ἰπούμενος ταῖς συμφοραῖς.

Ἰπύα, σιτύα.

Ἱπφαρμος, ἀρχηγέτις.

Ἱππογηράσκοντι τὰ μείονα κύκλα ἐπίβαλλε, ἐπὶ τῶν διὰ γῆρας δεομένων ῥαστώνης τινὸς καὶ ἀναπαύλης.

Ἱππὼν ἱππῶνος, σημαίνει δὲ καὶ τόπον, ἐν ᾧ οἱ ἵπποι ἵστανται.

* Ἴπωσις, πίεσις, πιεσμὸς, ἀπὸ τοῦ ἰπτάειν, ἢ ἰποῦν, τὸ πιέζειν, ἐκθλίβειν καὶ κναφεύειν.

ΤΟ Ἰ. ΜΕΤΑ ΤΟΥ Ρ.

Ἱρὰ, ἀντὶ τοῦ ἱερὰ θύματα. καὶ ὁμοίως ἱρὸν, ἀντὶ τοῦ ἱερόν. ἴρηξ, ἀντὶ τοῦ ἱέραξ.

Ἱρὰ, ἐκκλησία. καὶ πληθυντικὸν ἱραί. ἱράων προπάροιθεν, Ὅμηρος.

Ἱρᾶνες, οἱ ἄρχοντες, οἱ ἄρχοντες, ἡλικιῶται, διώκοντες.

Ἱράσθω, ὀργιαζέτω, θυέτω. ἐκ τοῦ ἱεράω, ρῶ. οὗ τὸ προστακτικὸν, ἱέραε ἱέρα, ἱερείτω ἱεράτω, καὶ κράσει τοῦ ι καὶ ε ἱράτω.

Ἱρεῖον, τὸ θῦμα. ἱερεῖον, ὁ τάφος. εἰρεῖον, τὸ μαλλίον.

Ἱρεῖς, ἐθνικόν.

Ἱρεῖν, λέγειν. καὶ ἶρις δὲ ἀπὸ τούτου.

Ἶρες, λόγοι ἴρεσιν ἐοικότες τῷ σχήματι, ἀλλ᾽ οὐ τῷ χρώματι. ὅλοι γάρ εἰσι συνεστραμμένοι.

Ἵρεται, ἢ εἴρεται, συνάπτεται.

Ἱρεύει, μαγειρεύει, λέγει.

Ἱρὴς καὶ ἴρηξ, ἀντὶ ἱερὴς καὶ ἱέραξ Ἴωνες λέγουσι. καὶ ἴρηξ τροπῇ τοῦ α εἰς η.

Ἱρὴς ψιλοῦται, ὡς ἐν τοῖς Ἀπίωνος κεῖται, καὶ Ἡρωδιανοῦ, συναλοιφὴν ἐκ τοῦ ἱερὴς, ὡς τὸ πόλιες πόλις. καὶ λέγουσιν οἱ αὐτοὶ καὶ κανόνα αἰτιολογικὸν τῆς ψιλώσεως, οὐ πάνυ ἀναγκαῖον. κάλλιον δὲ λέγειν ἐψιλῶσθαι αὐτὸ, ὡς ἰωνικόν. ψιλωτικοὶ γὰρ καὶ οἱ Ἴωνες.

Ἱρὴ πόλις. καὶ ἴρη ἶρα, ἐρώτησις.

Ἱρῆας, τὰς ἱερείας.

Ἴρηκος, ἱέρακος.

Ἴρη. ἱστορεῖ ὁ Ἀθηναῖος οὐ μόνον πόλιν, ἀλλὰ καὶ ὄρος Μεσσήνης. λέγουσι καὶ πόλιν Λέσβου εἶναι ὁμώνυμον ταύτῃ, καὶ ἑτέραν πόλιν Μαλιέων, ἀπὸ Ἴρου. τὸ δὲ ψιλοῦσθαι δηλοῖ τὴν ἄρχουσαν τῆς τοιαύτης πόλεως, ὡς μὴ ἀπὸ ἱεροῦ τινος, ἀλλὰ ἀπὸ Ἴρου αὐτονομασθεῖσαν. εἰ δὲ καὶ βαρύνεται ἡ πόλις Ἶρα λεγομένη, μετὰ πολλῶν τῶν ἀντιγράφων οὐκ ἀνάγκη ζητεῖν.

Ἴρηξ, ὁ ἱέραξ.

Ἱρήτειρα, ἱέρεια, θύτις.

Ἴριγγας, τὰς ἀρτηρίας φησὶν Ἱπποκράτης. λέγει καὶ ὁ Ψελλὸς, τὰς ἀρτηρίας ἴριγγας.

Ἴριον, τράγος, κριός.

Ἰρικὰν, ἵππος οἰνωπὸς χρώματι, Ἴρινες μελέφηβοι.

Ἶρις, νέφος ὑγρότητος, κατ᾽ ἔμπτωσιν ἡλίου πεποικιλμένου, οἷον τὸ τόξον. ἢ αὐγαὶ ἀφ᾽ ὑγρῶν νεφῶν ἀνακεκλασμέναι, ἢ ἔμφασις ἡλίου τμήματος, ἢ σελήνης ἐν νέφει δεδροσισμένῳ κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένην κατὰ κύκλου περιφέρειαν, τῆς ἴριδος τὸ χλωρὸν, ἀέρος σημαντικόν. τὸ πυῤῥὸν, πνευμάτων. τὸ δὲ μελανίζον, ὑδάτων.

Ἶρις, Ἐκείνη ἄγγελος ἦλθε. ἶρις, ἐκ τοῦ εἴρω παράγεται, ὡς καὶ ὁ Ἑρμῆς. καὶ Ἶρος ὁ ἰθακήσιος, ὃς οὕτως ἐκλήθη, ὥς φησιν Ὅμηρος, διὰ τὸ εἴρειν, ὅ ἐστιν ἀπαγγέλλειν. ἡ δὲ πρὸς φύσιν ἀλληγορία εἰς τὸ κατὰ τὸν ἀέρα γινόμενον φάντασμα τοῦ λεγομένου τόξου μεταλαμβάνει τὴν ἶριν τὴν λαμπρόχρουν καὶ αὐτὴν ὁμοίως ἀπὸ τοῦ εἴρειν. ἀγγέλλει γάρ τι μέλλον ὑετοῦ, διὸ δὴ καὶ Διὸς, ἤτοι ἀέρος ἐκείνη ἄγγελος λέγεται. ἰστέον δὲ, ὡς ἶρις μὲν ἡ κατὰ μῦθον, καὶ ἡ παρὰ τὰ ἔνυδρα νέφη βαρυτονεῖται. ἰρὶς δὲ μυρεψικὸν εἶδος, κατὰ παλαιὰν παράδοσιν ὀξύνεται, πρὸς διαστολήν. αὐτὴν δὲ ἴρινον μῦρον, οἱ ῥήτορες ἔγραψαν. γραφικὴ δὲ αὐτῆς ἀναλογία. καὶ ἶρις, εἶδος ὀρνέου. Σῖρις, πόλις ἰταλική. ξῖρις, φυτὸν ἀρωματικόν. καλάσιρις, λινοῦς χιτὼν ἱερωτικός. ὄσιρις, αἰγυπτιστὶ ὁ Διόνυσος.

Ἶρις, ἰστέον ὅτι Ξενοφάνους περὶ τῆς ἴριδος ἐν ἡρωϊκοῖς ἔπεσιν οὕτω φράζοντος, ἥν τ᾽ ἶριν καλέουσι νέφος, καὶ τοῦτο πέφυκε πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι. οἱ ἀκριβέστεροι ὁρμώμενοι ἐκ τοῦ ἐν νέφει ἐστήριξε, φασὶν οὐ νέφος εἶναι τὴν ἶριν. ἔστι γὰρ ἡ ἶρις κατὰ τοὺς παλαιοὺς πάθος περὶ τὸν ἀέρα ἐξ ἡλιακῶν ἀκτίνων τὴν αἰτίαν ἔχουσα, ὑγρῷ νέφει ἐμφαινομένη.

Ἴρισι, ταῖς ἴρισι, ταῖς φαινομέναις ἐν τῷ οὐρανῷ.

Ἱρμὸς, ἀκολουθία.

Ἱρμοσάμην, ἐνυμφευσάμην.

Ἶρος, ὁ πτωχὸς διὰ μακροῦ τοῦ ι. ἱρὸς δὲ, ὁ ἱερὸς κατὰ κρᾶσιν. χῶρος ὅδ᾽ ἱερὸς, ὡς ἀπεικάσαι βρύων δάφνης ἐλαίας ἀμπέλου, πυκνόπτεροι δ᾽ εἴσω κατ᾽ αὐτὸν εὐστομοῦσ᾽ ἀηδόνες.

Ἶρος, κατὰ τὸν Ποιητὴν, παρὰ τὸ εἴρω τὸ ἀπαγγέλλω. ὅθεν καὶ ἡ ἶρις καὶ ὁ Ἑρμῆς. ὕστερον ἶροι καὶ πάντες οἱ ἐπαιτοῦντες, καθὰ καὶ εἵλωτες οἱ δοῦλοι ἀπὸ τῶν ἐν τῷ κατὰ Μεσσήνην ἑλεικλώτων, οἱ τοῖς Λάκωσιν εἶξαν δουλικῶς. καὶ ὡς οἱ τρυφηταὶ, Σαρδανάπαλοι, ἀπὸ τοῦ ὁμωνύμου Σαρδαναπάλου. οὕτω δὲ καὶ ἀπὸ Λικινίου, Λικίνιοι καλοῦνται ἰδιωτικῶς, οἱ ἀγρίως κολάζοντες.

Ἶρος, τόπος Θεσσαλίας καὶ τραχῖνα ὁμοίως.

Ἶρος ἄϊρος, αὐτὸν ἶρος κακοῖρος, καθ᾽ ὁμοιότητα τοῦ κακοίλιον, οὐκ ὀνομαστὴν, καὶ τοῦ ὕπνος, ἄϋπνος παρὰ Σοφοκλεῖ. ἢ καὶ ἄλλως οὐκέτι ἐσόμενος ἶρος, ἀλλὰ τεθνηξόμενος.

Ἱρῶ, ἱρῶ, λέγω.

Ἱρᾶν, εὔχων.

Ἱρωνεία, ὑπόκρισις.

Ἱρῶς τι, θεοπρεπῶς.

ΤΟ Ἰ. ΜΕΤΑ ΤΟΥ Σ.

Ἶσ ἰνὸς, ἡ δύναμις μεταφορικῶς. κυρίως γὰρ ἐπὶ νεύρων ἡ λέξις τίθεται, καὶ ἐπὶ νευρωδῶν. ἰνίον γοῦν λέγεται νεῦρον ὄπισθεν τοῦ τραχήλου τεῖνον, καθῆκον ἀπὸ κεφαλῆς εἰς αὐχένα. οὕτω δὲ κατὰ μεταφορὰν καὶ ἰνᾶσθαι παρὰ Αἰλίῳ Διονυσίῳ, τὸ καθαίρεσθαι καὶ ἐκκενοῦσθαι. καὶ ὑπέρινος, ὁ ὑπερκεκαθαρμένος, διὰ τὸ κατὰ οἷον ἶνας λεπτοῦσθαι. λέγονται δήπου καὶ αἵματος ἶνες κατά τινα ὁμοιότητα. καὶ ἶς ὄνομα ποταμοῦ, ὡς Ἡρόδοτος οἶδε.

Ἲς ἀνέμου, καταχρηστικῶς ἐῤῥέθη. κυρίως γὰρ ἐπὶ σωμάτων ἡ ἶς καὶ αἱ ἶνες ἴσαι ταῖς δυνάμεσι.

Ἶσα, κατ᾽ ἴσον ἐπιῤῥηματικῶς.

Ἶσα βαίνων, ἀντὶ τοῦ συνὼν .. ἀεὶ Δημοσθένης Ἀριστολόχῳ τῷ τραπεζίτῃ, ἴσα βαίνων ἐβάδιζεν.

Ἴσα, ἅλες, θάλασσα. οἱ δὲ, ἀγαθὴ καὶ ἴση μοῖρα.

Ἶσα, πόλις. ἴσα δὲ, τὰ ὅμοια.

Ἰσάγγελος, ἴσος ἀγγέλῳ.

Ἰσάζων, ἴσον ποιῶν, ὀχούμενος.

Ἶσαι, ψῆφοι. ἀπολύονται οἱ διωκόμενοι ἐν τοῖς δικαστηρίοις, ἴσων γενομένων ψήφων.

Ἰσαῖος, εἷς ἐστι τῶν δέκα ῥητόρων. οὗτος μαθητὴς ἦν Ἰσοκράτους μαθημάτων. Δημήτριος δ᾽ ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν, χαλκιδέα φησὶν αὐτὸν εἶναι.

Ἰσακίῳ, ἀνδρείῳ.

Ἴσακος, ὁ Ἰσαὰκ, ἑλληνιστί.

Ἴσαλην, διφθέραν, δέρμα, παρὰ τῷ Ἱπποκράτει.

Ἴσαμεν καὶ ἴσασι, γινώσκουσι.

Ἴσαμι, ἐπίσταμαι, Συρακούσιοι.

Ἰσάμμορος, δύσμορος.

Ἴσαν, σημαίνει τὸ ἐπορεύοντο, ἐκ τοῦ εἶμι. τὰ πληθυντικὰ διὰ τοῦ ι γράφεται, οἷον ἴμεν ἴτε ἴσι, ἐπὶ τοῦ παρατατικοῦ τὸ τρίτον ἴσαν.

Ἴσαν, ἰστέον ὅτι δηλοῖ μὲν ποτὲ καὶ γνῶσιν, ὡς ἐν τῷ οὐδ᾽ ἐκ ἴσαν, ὡς ἐτέτυκτο. ποτὲ δὲ ἐπορεύθησαν, καὶ εἰ μὲν κλίνεται ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι γραφομένου διὰ διφθόγγου, ὑπάγεται κανόνι τῷ βουλομένῳ, τὰ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλεσθαι. εἰ δὲ ἀπὸ τοῦ ἶμι γραφομένου ἐν τῇ παραληγούσῃ διὰ τοῦ ι. διφορεῖται γὰρ τὸ εἶμι κατὰ τοὺς τεχνικοὺς, αὐτόθεν ἔχει τὸ ι ἐκ τοῦ ἐνεστῶτος. ἀφ᾽ οὗ καὶ τὸ ἴτην ἀντὶ τοῦ ἐπορεύθησαν, καὶ ἔτι ἄλλο τοιοῦτον.

Ἰσάναν, ἰσάνιον ῥητίνην.

Ἴσαν, πεζῷ μὲν λόγῳ οὐκ ἂν εὐχρηστηθείη, ποιηταῖς δὲ χρησιμεύει. ἔστι δὲ αὐτοῦ τὸ θέμα ἴω, οὗ τὸ πληθυντικὸν ἴομεν πολλαχοῦ εὕρηται παρὰ τῷ Ποιητῇ. τοῦτο τὸ ἴω πλεονασμῷ τοῦ ε γίνεται εἴω, καὶ συναιρέσει. ἐξ οὗ καὶ τὸ ἴομεν κατὰ δρυμὰ, ἐν Ὀδυσσείᾳ. καὶ ὑπερσυντέλικος ἤειν, καὶ ἤϊα γενόμενος. δηλοῖ δέ ποτε τὸ ἴσαν καὶ γνῶσίν τινα. ὡς ἐν τῷ, οὐδ᾽ ἐκ ἴσαν, ὡς ἐτέτυκτο.

Ἴσαν ἐπὶ παρατατικοῦ, ὃ σημαίνει τὸ ἐξῆλθον, ἀπὸ τοῦ εἶμι. τούτου γὰρ παρατατικὸς ᾖν, τὰ πληθυντικὰ ἦμεν ἦτε ἦσαν. τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλουσι τὴν παραλήγουσαν.

Ἴσαν. ἰστέον ὅτι ἡ ἀπὸ τοῦ ἴω ἐνεστῶτος γίνεται, οὗ πληθυντικὸν πολλαχοῦ τὸ ἴομεν. ἵνα ᾖ, ὡς ἐκ τοῦ τίω τὸ ἔτισαν, οὕτω καὶ τὸ ἴω ἴσαν. ἢ ἐκ τοῦ ἶμι τοῦ παραληγομένου μόνῳ δίχρόνῳ. ἵνα ᾖ, ὡς τίθημι θέσαν, οὕτως ἶμι ἴσαν. ὅτι δὲ διττόν ἐστιν, εἶμι ἀντὶ τοῦ ἔρχομαι διὰ διφθόγγου, καὶ πάλιν ἶμι διὰ τοῦ ι, παραδιδόασιν οἱ τεχνικοί. καινὸν δὲ οὐδὲν διφορεῖσθαι, ὡς εἴρηται, τὸ εἶμι ὅπου γε διόρθωσιν ἔχει, καὶ τὸ πρωτότυπον αὐτοῦ. ἔστι γὰρ εἴω τὸ πορεύομαι διὰ διφθόγγου. οὗ δεύτερος ἀόριστος τὸ ἴης καὶ ἴομεν, τὰ αὐθυπότακτα ἐκ τοῦ τοιούτου, εἴω τὸ διὰ διφθόγγου εἶμι. ἔστι δὲ καὶ ἕτερον ἴω διὰ μόνου δίχρόνου, ὡς τὸ τίω. οὗ πληθυντικὸν ὡς πρὸ βραχέων ἐῤῥέθη, τὸ κοινὸν ἴομεν, ὡς τίομεν. καὶ ἐκ τοῦδε τοῦ ἴω τὸ ἕτερον ἶμι, οὗ κατάρχει μόνον τὸ ι.

Ἴσασι, σημαίνει τὸ γινώσκουσιν. ἀπὸ τοῦ εἴδω τὸ ἐπίσταμαι, ὁ μέλλων εἴσω, καὶ ἀπὸ τούτου τοῦ μέλλοντος γίνεται ῥῆμα περισπώμενον διὰ τοῦ ι ἰσῶ. οὗ παράγωγον ἴσημι, σημαίνει τὸ αὐτὸ, τὸ πληθυντικὸν ἴσαμεν, καὶ συγκοπῇ ἴσμεν. τὸ δεύτερον ἴσατε, καὶ συγκοπῇ ἴστε. τὸ τρίτον ἴσασι, καὶ οὐ περισπᾶται, ὥσπερ τὸ ἱστᾶσι καὶ κιχρᾶσι.

* Ἴσατις, βοτάνης ὄνομα.

Ἴσατο, καθίδρυσεν, ὡμοιώθη.

Ἰσγέον, γνωστέον, ἰστέον.

* Ἰσεννύουσαι, ἰσάζουσαι, μεσήλικες οὖσαι.

Ἰσεῖ, ἰσοῖ, ἰσάζει.

Ἴση μοῖρα, ἡ τῇ αὐτῇ ὁμοία.

Ἴση, μαθήσῃ. ἴσομαι, γνώσομαι.

Ἰσηγορεῖ, ἐπίσης λέγει.

Ἰσηλίκων, τῆς αὐτῆς ἡλικίας.

Ἰσημερία, αἱ τοῦ μαρτίου μηνὸς ἡμέραι.

Ἴσημι, γινώσκω, καὶ ἴσαμεν.

Ἰσημοίρα, ἀγαθὴ μερὶς, καὶ κύριον ὄνομα ἡ τοῦ ἡλίου γυνή.

Ἰσήμορτεν, ἀπέθανεν.

Ἴσης, κεῖται παρ᾽ Ὁμήρῳ πολλαχοῦ κατὰ ἔκλειψιν. λείπει γὰρ μερίδος ἢ μοίρας, διὸ ἐξ ἀνάγκης εἰς ἰσομοιρίαν ἑρμηνεύεται.

Ἴσης, παρ᾽ Ὁμήρῳ δῆλον, ὅτι λείπει τὸ μοίρας. διὸ λαμβάνεται λέξις ἀντὶ τοῦ ἰσομοιρίας ἀπεμβόμενος ἴσης.

Ἴσθι, ἀντὶ τοῦ γίνωσκε, καὶ ἀντὶ τοῦ ὕπαρχε, καὶ ἀμφότερα διὰ τοῦ σ. ἀλλὰ ὅταν σημαίνει τὸ γίνωσκε, γίνεται ἀπὸ τοῦ ἴσημι, τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἴσαμεν, καὶ συγκοπῇ τοῦ α, γέγονεν ἴσμεν. καὶ τὸ προστακτικὸν ἴσθι, τὸ τρίτον ἴστω. διαστέλλεται δὲ ἀπὸ τῆς ἐννοίας, οὐκ ἀπὸ τοῦ τὸ ἕτερον, ἤγουν τὸ ὕπαρχε, διὰ τοῦ σ γράφεσθαι, ὥς φασιν. ἐπὶ δὲ τοῦ τρίτου προσώπου λέγεται τὸ μὲν ἴστω, ἤγουν τὸ γινωσκέτω. τὸ δὲ ἔστω, ἤγουν τὸ ὑπαρχέτω. ἔστιν οὖν ἡ κλίσις τοῦ ἴσθι, ἀντὶ τοῦ γίνωσκε, διὰ τοῦ ι ἅπασα, οἷον ἴσθι ἴστω, ἴστον ἴστων, ἴστε ἴστωσαν καὶ ἴστων. τοῦ δὲ ἴσθι, ἀντὶ τοῦ ὕπαρχε, διὰ τοῦ ε. οἷον ἴσθι ἔστω, ἔστον ἔστων, ἔστε ἔστωσαν καὶ ἔστων. ἴστη προστακτικὸν, ἴστη ἱστάτω, ἵστατον ἱστάτων, ἵστατε ἱστάτωσαν καὶ ἱστάντων. καὶ συντάσσεται τὸ ἴσθι, ἀντὶ τοῦ γίνωσκε, μετὰ μετοχῆς. ἴσθι τὸν ἄνθρωπον νοσοῦντα.

Ἰσθλὴ, αἰγεία μηλωτὴ μερίς.

Ἴθμαίνονται, ἀγωνιῶντα, πνδιωῶντα.

Ἴσθμια, τὰ ἐν ἰσθμῷ τελούμενα τῆς Κορίνθου, πρότερον μὲν τῷ Ποσειδῶνι, ὕστερον δὲ Μελικέρτῃ κατὰ κέλευσιν τοῦ τότε τῆς Κορίνθου βασιλεύοντος Σισύφου τοῦ Αἰόλου. ἐν τῷ ἀγῶνι τῷ ἰσθμικῷ οἱ νικῶντες πίτυϊ ἐστέφοντο πάλαι, ὕστερον δὲ ξηρῷ σελίνῳ. Μουσαῖος δὲ ἐν τῷ περὶ ἰσθμίων δύο φησὶ γενέσθαι ἀγῶνας ἐν τῷ ἰσθμῷ, καὶ τὸν μὲν Ποσειδῶνος εἶναι, τὸν δὲ Μελικέρτου.

Ἴσθμια, περιστόμια, περιδέραια, περιτραχήλια, καὶ ἑορταὶ τῶν Ἑλλήνων. καὶ ἰσθμιάζειν, ἐπὶ τῶν κακῶς βιούντων. ἐπίνοσος γὰρ ὁ τῶν ἰσθμίων καιρός.

Ἴθμιον, τὸ περὶ τὸν ἰθμὸν, ὅ ἐστι τὸν τράχηλον, ὃς ἰθμὸς λέγεται πλεονασμῷ τοῦ σ, ὡς οἷον ἰθμὸς, δι' οὗ ἐνίενται τὰ σιτία. ἐντεῦθεν δὲ καὶ παρίσθμια, τὰ περὶ τὸν τοιοῦτον ἰθμὸν, ὃς οὐκ ἔστιν ἐν χρήσει. ὁ γὰρ περιφερόμενος ἰθμὸς τοπικόν ἐστιν ὄνομα. παρὰ δὲ τοῖς παλαιοῖς φέρεται, ὅτι καὶ μέρος τι σώματος περὶ τὸν τράχηλον ἴσθμιον. ὅθεν καὶ κόσμος παρίσθμιος. καὶ ποτήριον δέ φασι κύπελλον ἐκαλεῖτο ἴσθμιον. ὅτι δὲ ἐκ τοῦ ἰέναι προϋπάρχει τοῦ ἰσθμοῦ παράγωγον ἰθμὸς δίχα τοῦ σ, δῆλον καὶ ἐκ τῆς παρὰ τῷ Ὀππιανῷ εἰσίθμης. διαφέρει δὲ ἴσθμιον ὅρμου κατὰ τοὺς παλαιοὺς, ὅτι ὁ μὲν ὅρμος κεχάλασται ἐκκρεμάμενος. τὸ δὲ ἴσθμιον, περιτραχήλιος ὢν, καὶ αὐτῷ κόσμος τῷ τραχήλῳ προσέχεται.

Ἰσθμικὴ πίτυς, ἆθλον ἐπινίκιον.

Ἰσθμὸς, θάλασσα μεταξὺ δύο γαιῶν. πορθμὸς δὲ, γῆ μεταξὺ δύο θαλασσῶν. καὶ ἰσθμὸς, ὁ λαιμός.

Ἶσις, δαίμονός ἐστιν ὄνομα τιμωμένης παρὰ Αἰγυπτίοις, ἴσον γίνεται ἶσις. ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ, καὶ γὰρ ἡ γῆ ἴση ἐστὶ καὶ σφαιροειδής. ἄλλοι δὲ λέγουσιν αὕτη ἐστὶν ἡ Ἰὼ, τούτου χάριν διὰ τοῦ ι γράφεται. ἐπειδὴ παρὰ τὸ ἰέσθαι ἐστί. καὶ γὰρ πολλὰ ἐπλανήθη ἡ Ἰὼ μεταβληθεῖσα εἰς βοῦν. ὑπάγεται δὲ τὸ ἶσις, τῷ κανόνι τοῦ Βιθυνία. καὶ γὰρ ἔχει τὸ ι ἐν τῇ δευτέρᾳ συλλαβῇ, ὡς ἶρις.

Ἴσιον, ἴσον, ἄμεινον, μετριόν.

Ἰσκάνδιον, σαλπίγγιον.

Ἰσκαριώτης, μνήμη θανάτου ἑρμηνεύεται. * ἐν ἄλλοις σκηνὴ θανάτου.

Ἴσκεν, ἠπίσατο. οἱ μὲν γλωσσογράφοι, ἀντὶ τοῦ ἔλεγεν ἐκδέχονται. οἱ δὲ ἀκριβέστεροι, ἀντὶ τοῦ ἤισκεν, ὅ ἐστιν εἴκαζεν, ἀπεικονίζων πρὸς ἀλήθειαν παρ' Ὁμήρῳ ἐν χ'. ἴσκεν ἕκαστος ἀνήρ. τουτέστιν ἔλεγεν ἢ ὑπενόει ἤισκεν, ἐπειδὴ φάσαν οὐκ ἐθέλοντα ἄνδρα κατακτεῖναι, ἀλλὰ κατὰ ἀτεχνίαν τοῦ τοξεύειν.

Ἴσκειν, σημαίνει τὸ ἐπιγίνωσκειν, ἐκ τοῦ εἴδω, μέλλων εἴσω, καὶ πλεονασμῷ τοῦ κ εἴσκω, ἀποβολῇ τοῦ ε ἴσκω, ὁ παρατατικὸς ἴσκον, ες, ε. ὁ δὲ σημαίνει τὸ εἴκαζε καὶ ὁμοίου, ὁμοίως παρὰ τὸ εἴδω παράγεται.

Ἴσκλαι, κίχλαι, καὶ αἱ αἴγειαι μηλωταί.

Ἴσκοντες, ποιητικὴ λέξις. γίνεται δὲ ἀπὸ τοῦ εἴδω εἴσω, ἐνεστὼς εἴσκω. καὶ διαλύσει ἀναγκαίᾳ ἐΐσκω, ἵνα μονοφθογγῆται ἀναλόγως ἡ παραλήγουσα, καὶ ἀφαιρέσει ἴσκω. ἐξ οὗ τὸ ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

Ἴσκος, ὁ κλέπτης, ἐξ οὗ καὶ ἴσκω.

Ἴσκων, λέγων, καὶ κλέπτων, καὶ εἰκάζων, καὶ ὁμοιῶν.

Ἴσμα, ἵδρυμα, κτίσμα, παρὰ τὸ ἵζω ῥῆμα.

* Ἰσμαὴλ, ὁ μεθ' ἡδονῆς γέλως ἑβραϊστὶ, καὶ ἰσμαηλίτης, ὁ ἀπὸ Ἰσμαὴλ.

Ἰσμαίνει, ἀναψύχει, ὄζει, ἀποψύχει.

Ἰσμαρικὸς οἶνος. Ἀρχίλοχος, ἐν δορὶ δ' οἶνος ἰσμαρικὸς, πίνω δ' ἐν δορὶ κεκλιμένος. ἴσμαρος δὲ πόλις, ἡ νῦν Μαρώνεια λεγομένη.

Ἴσμασιν, ἀναψύξασιν.

Ἴσμεν, ἔγνωμεν, ἐκ τοῦ ἴσαμεν κατὰ συγκοπήν. καὶ ἴσμεν, οἴδαμεν.

Ἴσμη, πρόφασις, σύνεσις, φρόνησις.

Ἰσμηνὸς, ποταμὸς Βοιωτίας. ἀφ' οὗ ἰσμηνίου Ἀπόλλωνος ἱερόν.

Ἰσόβοιον, ἄνθος ὅμοιον μήκωνι.

Ἰσοβόλων, ἰσοστασίων. ἔνιοι δὲ διπλῶν.

Ἰσόγειον, τὸ ἴσον τῆς γῆς.

Ἰσοδαίτης. Ὑπερίδης ἐν τῷ ὑπὲρ φωνῆς, ξενικός τις δαίμων, ᾧ τὰ δημώδη γύναια καὶ μὴ πάνυ σπουδαῖα ἐτέλει.

Ἰσοδέτης, ὑπ' ἐνίων ὁ Πλούτων. ὑπὸ δὲ ἄλλων, ὁ Πλούτωνος υἱός.

Ἰσοδίαιτος, ὁ σίτου κοινωνός.

Ἰσοζύγιον, ἴσον ζυγῷ ἀντίσηκον.

Ἰσόθεος, ψυχὴ ἀθάνατος.

Ἴσοι, καὶ ὅμοιοι.

Ἰσοκλεὴς, ἰσόδοξος.

Ἰσόκτιτον, ἴσον κατεσκευασμένον.

Ἰσόκωλον, τὸ ἴσα μέρη ἔχον.

Ἰσολογία, ἰσοτιμία.

Ἰσομάτωρ, ὁ τῇ Δήμητρι ἴσος. Κρῆτες.

Ἰσομοιροίη, ἰσάζοιτο, μερίζοιτο. ἢ μερίζεται, καὶ ἰσότητα ἐξ ἴσου ἔχει.

Ἰσομυθοῦντες, ἀκριβολογοῦντες.

Ἴσον φάσθαι, καὶ ἴσον ἀγορεῦσαι. ἰσηγορία τῆς αὐτῆς δυνάμεως εἰσὶ, ψεκτὰ ὄντα καὶ ἄμφω, εἰ πρὸς βασιλέα γίνονται.

Ἴσον καὶ ἄνισον, ἐν τῷ ἀμπλάκημα καὶ ἐν τῷ ἴσον.

Ἰσονία, ἰσοτίμημα.

Ἰσόνομος, ἰσοτελὴς, ἰσότιμος, ἰσοπολίτης, ἰσοπολιτεία, ἰσήγορος, ἰσηγορία, ἰσοστάσιον, ἰσομέτρητον, ἰσοπληθὲς, ἰσόμηκες, ἰσομέγεθες, ἰσοχειλὲς, ἰσόπεδον, ἰσάριθμον, ἰσονομία, ἰσομοιρία, ἰσοκρατία, ἰσοπαλὴς, ἰσοκρατὴς, ἰσόψηφοι, ἰσόδρομοι, ἰσοζυγής. Ἄρχιππος δὲ ὁ κωμικὸς καὶ τὸ ἰσόχρυσον εἴρηκε. τὸ δὲ ἰσοθάνατον, Σοφοκλῆς εἶπεν ἐν Κρεούσῃ, πάνυ ἀνεκτόν.

Ἰσονύουσαι, ἰσάζουσαι μεσήλικες οὖσαι, παρὰ τῷ Ἱπποκράτει.

Ἴσονται, ἱδρύσονται, πορεύσονται.

Ἶσοξ, ἰχθύς ποιὸς χοιρώδης.

Ἰσοπαλῆ, ἴσα ἐν κλήρῳ, πάλος γὰρ, ὁ κλῆρος.

Ἰσόπεδον, ὁμαλὸς τόπος. καὶ ἰσόπεδον, ἴσην ἔχον τὴν γῆν.

Ἰσοπέλεθρον, μέγα, ἰσόμηκες.

Ἰσόπτεροι, ἰσότιμοι.

Ἰσόρροπον, ἰσοβαρὲς, ἰσοστάσιον, καὶ ἐν τῷ ἴσον.

Ἶσος, ὅμοιος, ἴκελος, δοτικῇ συντάσσεται.

Ἶσος, ὄνομα κύριον υἱὸς Πριάμου. Ὅμηρος ἐν τῷ λ'. τῆς Ἰλιάδος.

Ἰσὸς, ὄνομα ποταμοῦ.

Ἰσοστάσιος, ἴσος χρυσῷ κατὰ ὁλκὴν τίμιος.

Ἰσοστάσιον, τὸ ἴσον τῷ σταθμῷ.

Ἰσοστάσιον, ἰσόσταθμον.

Ἰσόστασις, μύρον, ἢ στακτὴ, ἢ σμύρνα.

Ἰσοτάλαντον, ἰσόζυγον.

Ἰσοτελεῖς, ἴσα τελοῦντες.

Ἰσοτελῆ, ἐκάλουν τὸν τῶν νόμων καὶ πάντων πραγμάτων μετέχοντα ξένον οἱ παλαιοὶ, πλὴν ἀρχῆς. καὶ ἰσοτελὴς, καὶ ἰσοτέλεια, τιμὴ διδομένη τοῖς ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ' ἣν καὶ μετοικίου ἄφεσις αὐτοῖς ἐγίγνετο.

Ἰσότης, φιλότης. αὕτη γνωμικὴ δηλοῦσα, ὡς ἰσότης τὴν φιλίαν συνέχει.

Ἰσοῦμαι, ἀντὶ τοῦ ἴσος γίνομαι.

Ἰσοψεῖς οἰκίαι καὶ παράλληλοι τῷ τείχει, ἐν Σίφνῳ οὖσαι καταλύματα τοῖς ἐργαζομένοις τὰ χρύσεια μέταλλα. ἰσοψὴς οὖν, ἰσοψοῦς κλίνεται.

Ἰσουργὰ, ἴσα ἐν ἔργοις ἐργαζόμενα.

Ἰσοῦται, ὁμοιοῦται.

Ἰσοφαρίζοι, ἐξισάζοιτο. ἰσοφαρίζειν γὰρ, ἐξισοῦσθαι, καὶ ἴσος φαίνεσθαι δηλοῖ, παρὰ τὸ ἴσα φάρη περιβεβλῆσθαι.

Ἰσοφόροι βόες παρ' Ὁμήρῳ ἐν τῷ σ'. τῆς Ὀδυσσείας, ἢ εἰς ἴσον φερόμενοι, καὶ ὡς εἰπεῖν ἰσοφαρίζοντες. ἢ ἴσον ἄχθος φέρειν δυνάμενοι. ἢ ἰσοκίνητοι, καὶ ἴσοι κατὰ τὸ φέρεσθαι.

Ἰσοφόροι, ἴσον ἔχοντες, κατ' ἴσον ἕλκοντες.

Ἰσοχειλεῖς, μέχρι χείλους πεπληρωμένοι. ἦσαν δὲ κρατῆρες οἴνου ἰσοχειλεῖς.

Ἰσόω, ῶ, ἴσον ποιῶ. καὶ ἰσοῦμαι, ἀντὶ τοῦ ἴσος γίνομαι.

Ἰσραὴλ, παρὰ τὸ ἶς, ὃ σημαίνει τὴν δύναμιν, καὶ τὸ ὁρῶ, τὸ βλέπω. καὶ τὸ ἢλ, ὃ σημαίνει τὸν Θεόν. ὁ δυνάμενος βλέπειν Θεὸν, ἢ νοῦς ὁρῶν Θεόν. ἢ παρὰ τὸ ὁρῶ, ὁ μετὰ δυνάμεως βλέπων τὸν Θεόν.

Ἴσσα, ἐπίφθεγμα ἐπὶ τῶν ὅλως δυσπραγούντων.

Ἴσσα, ἡ Λέσβος τὸ πρότερον.

Ἴσσασθαι, κληροῦσθαι, Λέσβιοι.

Ἰσσέλα, διφθέρα.

Ἰσσικὸς, κόλπος.

Ἴσσος, γαληνή. καὶ ἰσσὸς ὄνομα πόλεως. ἴσσος δὲ ὁ ὅμοιος, καὶ περισπᾶται.

Ἰσσωρία, ἡ Ἄρτεμις, καὶ ἑορτὴ καὶ τόπος ἐν Σπάρτῃ.

Ἴστα, ἰστάω ἰστῶ, ἴσταον ἴστων, ἴσταες ἴστας, ἴσταε ἴστα.

Ἰστάκη, δρέπανον, Βοιωτοί.

Ἰστάμεθα, δανειζόμεθα.

Ἵστακεν, ἵσταται, ἵστη.

Ἱστάμενον μῆνα, ἕως εἰκάδος ἔλεγον. μετὰ δὲ τοῦτο, πρώτην φθίνοντος, καὶ ἑξῆς.

Ἱστάναι, οὐχ ἱστάνειν.

Ἵστασο προστακτικὸν, ἀπὸ τοῦ ἵσταμαι ἵστασο ἵστω, ἀποβολῇ τοῦ σ.

Ἵστασθαι παρ' Ὁμήρῳ, δείδω μὴ τὸ χθιζὸν ὑποστήσονται Ἀχαιοὶ χρεῖος. οἷον τὸ γενόμενον αὐτοῖς ἐλάττωμα ἐν τῷ μάχεσθαι, ἀντιχρεολυτήσουσι καὶ ἀντιστήσονται, ὥσπερ ὀφειλόμενον δάνος.

Ἵσταται μίαν ὁδὸν, ποιητικὸν, ἀντὶ τοῦ πορεύεται τὴν ὁδὸν αὐτὴν, ὁ γὰρ βαδίζων μεμονωμένην ὁδὸν, καὶ μὴ ἄλλην ἐξ ἄλλης περιερχόμενος, τρόπον τινὰ ἵσταται.

Ἴστε, γινώσκετε, ἐκ τοῦ ἴσατε κατὰ συγκοπήν.

Ἰστέον, γνωστέον. ἰστέον τὴν χάριν σοὶ μόνῳ. ἰστέον, δεῖ γινώσκειν.

Ἵστη. γίνωσκε, ὅτι οὐ μόνον ἐπὶ τῶν εἰς ω ῥημάτων, ἀλλὰ καὶ ἐπὶ τῶν εἰς μι, τὰ τρίτα πρόσωπα τῶν παρατατικῶν δεύτερα γίνεται τῶν προστακτικῶν. οἷον νόει, φίλει, βόα. οὕτω καὶ οἱ Ἀττικοὶ ἐὰν μὴ χρήσωνται τῇ θι καταλήξει, χρῶνται τοῖς τρίτοις προσώποις τῶν παρατατικῶν ἐν τοῖς προστακτικοῖς. οἷον ἐτίθην ἐτίθης ἐτίθη, τίθη. ἐπίμπλην, ης, η, πίμπλη. οὕτως ἵστην ἵστης ἵστη, ἵστη. ἄλλοι δὲ λέγουσιν, ὅτι ὅταν ἀποκοπὴ γίνοιτο τῶν εἰς θι προστακτικῶν, ἐπαύξησις ἀκολουθεῖ, οἷον ἵσταθι, καὶ κατὰ ἀποκοπὴν ἵστα, καὶ ἐκτάσει ἵστη.

Ἵστημι τόδε κινούμενον. καὶ ἵστημι τόδε, ἀντὶ τοῦ ζυγοστατῶ. Λουκιανὸς ἐν τῷ τοῦ Δημώνακτος βίῳ. στῆσον ἔφη τὸ σπόδον.

Ἱστὴρ, σφύρα.

Ἵσταται, οὕτω κανονίζεται. ἵστημι, ὁ παρατατικὸς ἵστην, καὶ τὸ ὑποτακτικὸν παθητικὸν, ἐὰν ἱστῶμαι ἱστῇ ἱστῆται.

Ἱστία, ἐστὶ τὰ ἐπὶ τοῦ κέρως λίνα, οἷς ὅσα καὶ πτεροῖς ἡ ναῦς τὸν δρόμον ταχύνει.

Ἱστία, ἡ καθέδρα.

Ἱστία λευκὰ πέτασσαν, δηλοῖ μὲν τὸ ἀνεπέτασαν, καὶ ἤπλωσαν. ἀρχὴ δὲ γέγονε τοῦ πτερὰ νηὸς λέγεσθαι. διαπεπάννυνται γὰρ καὶ ὠκύτητός εἰσιν αἴτια. ὥσπερ τὰ πτερὰ τοῖς πτηνοῖς, οὕτω καὶ αὐτὰ ταῖς ναυσί.

Ἱστία, ἡ ὑφαίνουσα γυνὴ, καὶ οἰκία, καὶ δεῖπνον.

Ἱστίαια, προπαροξυτόνως μὲν κατὰ τοὺς ἀκριβεστέρους ἀναγινώσκεται ὁμοίως τῷ Νίκαια, Φώκαια. πολυστάφυλος δὲ ὑπὸ τοῦ Ποιητοῦ παρατετηρημένως εἴρηται. παρασημειοῦνται γὰρ οἱ παλαιοὶ τὸν Ποιητὴν, κατὰ μηδέν τι μηδὲ τῶν τοιούτων ψεύδεσθαι, ἢ ἀστοχεῖν. γράφεται δὲ καὶ διὰ τοῦ ε κατὰ τὴν ἀρχὴν καὶ διὰ τοῦ ι, ὥσπερ καὶ ἡ κατ' οἴκους ἱστία καὶ ἑστία λέγεται, ἰωνικωτέρα δέ φασιν ἡ διὰ τοῦ ι γραφή. ὕστερον δέ φασιν ἐκλήθη αὕτη ὠρεός. ὁ πολίτης ταύτης ἱστιαιεὺς, ὁ δὲ τῆς θεσσαλικῆς ἱστιαίας πολίτης ἱστιαιώτης. ἦν δὲ καὶ γυνὴ σοφὴ Ἀλεξανδρινὴ κατὰ τὸν Γεωγράφον ἱστιαία καὶ ἑστιαία. καὶ ἑτέρα δὲ ἀρχαία ἡρωὶς θυγάτηρ Ὑριέως, ἀφ' ἧς ἡ πόλις ὠνόμασται. κεῖται δὲ ἡ ἱστιαία ὑπὸ ὄρει παρὰ τὸν Κάλλαντα ποταμὸν ἐπὶ πέτρας ὑψηλῆς, διὸ καὶ ὠρεὸς ἐκλήθη, ἐκτάσει δηλαδὴ τοῦ ο εἰς ω, διὰ τὸ ὀρεῖς φασὶν εἶναι τοὺς προοικήσαντας. δοκεῖ δέ φασι καὶ Ὠρείων ἐνταῦθα τραφεὶς, ἀφεῖναι τὸ ὄνομα αὐτῇ.

οἱ δὲ

Digitized by Google

οἱ δὲ ἀνάπαλιν, ὅτι καὶ ὁ Ὠρίων ἐνταῦθα ταφεὶς, οὕτω λέγεται ὀνομασθῆναι.

Ἰσιάτορες, οἱ δειπνίζοντες.

Ἰσιατορία, δειπνητορία.

Ἰσίην, τὴν ἐσχάραν λέγει Ὅμηρος, τὴν καὶ ἑστίαν λεγομένην. τοῦτο μὲν ἐκ τοῦ ἱστάναι. ἐκεῖνο δὲ ἐκ τοῦ ἵσταται. αἰτία γὰρ αὕτη τοῦ τὸν οἶκον συνεστάναι καὶ ἵστασθαι διὰ τὰς ἐν αὐτῇ ὁσημέραι θυσίας. ὅθεν καὶ Ζεὺς ἐφέστιος καὶ ἐστιοῦχος, καὶ ἑστία θεὰ παρ᾽ Ἀττικοῖς. καὶ ὁ ὅλος οἶκος παρ᾽ αὐτοῖς ἑστία, ὡς κυρίου μέρους. καθὰ καὶ βωμὸς, ὁ ναὸς ἀπὸ τοῦ ἐν αὐτῷ βωμοῦ.

Ἵστινος, ῥύπος.

Ἱστίοις, τοῖς τοῦ πλοίου λαίφεσιν.

Ἱστίον σαπρὸν, ἄρμενον παλαιὸν, τρίβακον, ἢ μὴ ἁρμόζον. Ἀριστοφάνης, ἀντὶ τοῦ ἱστίον σαπρόν.

Ἱστιορράφος, πανοῦργος, ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα ῥαπτόντων. καὶ οἱ Αἰγύπτιοι δὲ λινοποιοί εἰσιν. Ἀριστοφάνης, ὀλίγον αὐτὴν ἱστιορράφος.

Ἱστοβοεὺς παρὰ τῷ Ἡσιόδῳ, βαρβαριζόμενος νῦν παρὰ πολλοῖς, οἵ φασιν αὐτὸν σταβάριον, ὡς οἷον ἱστοβοάριον. ξύλινα δὲ καὶ ἀμφότερα ὁ ῥυμὸς καὶ ὁ ἱστοβοεύς. τὸ μέντοι ἄμπορον, ἐξ οὗ παρὰ Λυκόφρονι τὸ ἀμπορεύειν, οὐ τοιοῦτόν ἐστιν. ἄμπορον γάρ φασι χοινίον, ᾧ ἐχρῶντο ἀντὶ τοῦ ῥυμοῦ, μέσον τεταμένῳ τῶν ἑλκόντων τὸν ζυγόν.

Ἱστοδόκη, ξύλον κατὰ πρύμναν ἐξέχον, καθ᾽ οὗ κλίνεται ὁ ἱστός. γράφεται δὲ διὰ τοῦ κ. διατί; τὰ παρὰ τὸ δέχω οὕτω προάγονται Ἰωνικῶς, οἷον ξενοδόκη, δουροδόκη, ἱστοδόκη. ἤδη δὲ καὶ Ἀττικῶς πανδοκεύτριαν ὁ Κωμικός φησι. καὶ ξυροδόκην, καπνοδόκην.

Ἱστὸν ἐστήσαντο, τρόπος ἐτυμολογίας, ὡς τὸ ἱστὸν στησαμένη ὕφαινεν. ἑκάτερος γὰρ ἱστὸς, ἐκ τοῦ ἵστασθαι λέγεται.

Ἱστοπέδη, ξύλον ὀρθὸν ἀπὸ τῆς τρόπιδος, ᾧ προσδέδεται ὁ ἱστός.

Ἵστορας, ἐμπείρους, μάρτυρας, συνετοὺς, συνθηκοφύλακας ἐρωτᾷς.

Ἱστορεῖ, μαρτυρεῖ, μυθεύει, ἐρωτᾷ, πύθεται, ἀνακρίνει, ὁρᾷ.

Ἱστορημέναι, πρὸς θέαν ἱστάμεναι. οὕτω γὰρ ἦσαν ἱστορημέναι μόνον, ὡς ζωγραφοῦσιν οἱ γραφεῖς τὰς εἰκόνας.

Ἱστορῆσαι, θεάσασθαι.

Ἱστόρηται, ἀντὶ τοῦ ἔρρωται Αἰολεῖς λέγουσιν.

Ἵστορι, μάρτυρι, ἢ κριτῇ.

Ἱστορία, ἡ θέα. οὐ γάρ τι που παραπλήσιον, ἢ μυστηρίων ἱστορίαν, ἢ τὴν Περσεφόνην ἐθελῆσαι ἁρπάσαι αὐτήν. καὶ ἱστορία, διήγησις.

Ἱστορία ἐστὶν, ἡ τὰ γεγονότα πράγματα περιέχουσα.

Ἱστορικὸς λόγος ἐστὶν, ὁ τῶν γεγονότων πραγμάτων ἔχων διήγησιν. πάθη δὲ διηγήσεως ἀφορμαὶ γίνονται, πρόσωπον, αἰτία, τόπος, χρόνος, ὄργανον, πρᾶξις, πάθος, τρόπος. καὶ οὐδὲν τούτων ἔξω ἐν ἱστορίᾳ περιέχει οὐδεμία διήγησις. οὕτως ἐστὶ παρὰ τῷ Ποιητῇ πολλὰ πράγματα, ὡς γεγονότα, ἢ ὡς ὄντα διηγουμένῳ. ἐνίοτε δὲ καὶ ἐν ἑκάστῳ τούτων διηγήσει ἀρεῖν ἐστι. Προσώπου μὲν, ὡς τὸ τοιόνδε. ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειὸς ἀμύμων ἱρεὺς Ἡφαίστοιο. δύο δ᾽ οἱ υἱέες ἤστην, Φηγεὺς Ἰδαῖός τε μάχης εὖ εἰδότε πάσης. Καὶ ἐν οἷς εἴδη τινῶν διαγράφει, ὡς ἐπὶ τοῦ Θερσίτου, φολκὸς ἔην, χωλὸς δ᾽ ἕτερον πόδα, τὼ οἱ ὤμω κυρτὼ ἐπὶ στῆθος συνοχωκότε, αὐτὰρ ὕπερθε φοξὸς ἔην κεφαλὴν, ψεδνὴ δ᾽ ἐπενήνοθε λάχνη, καὶ ἄλλα πολλά. Ἐν οἷς ἢ εἶδος, ἢ τρόπον, ἢ πρᾶξιν, ἢ τύχην προσώπου διέξεισι πολλάκις, ὡς ἐν τούτοις, Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεὺς, καὶ τὰ ἑξῆς. Τόπου ἐστὶ παρ᾽ αὐτῷ διήγησις, ὁποίαν περὶ τῆς νήσου τῆς γειτνιώσης τῇ τῶν Κυκλώπων λέγει. ἐν οἷς τὸ εἶδος τοῦ τόπου διαγράφει, καὶ τὸ πηλίκον καὶ ὁποῖον αὐτῇ, καὶ τὰ ἐν αὐτῇ, καὶ τὰ παρ᾽ αὐτῇ, καὶ περὶ τῶν παρακειμένων τῷ ἄντρῳ τῆς Καλυψοῦς. ὕλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα, κλήθρη τ᾽ αἴγειρός τε καὶ εὐώδης κυπάρισσος, καὶ τὰ ἑξῆς, καὶ μυρία ἄλλα τοιαῦτα. Χρόνου δὲ, οἷον ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί. καὶ χθιζά τε καὶ πρωΐζ᾽ ὅτ᾽ ἐς Αὐλίδα νῆες Ἀχαιῶν ἠγερέθοντο, κακὰ Πριάμῳ Τρώεσσι φέρουσαι. Αἰτίας δὲ, ἐν οἷς ἐμφαίνει, διὸ γίνεταί τι ἢ γέγονεν. ὥς ἐστι τὰ ἐν ἀρχῇ τῆς Ἰλιάδος εἰρημένα. τίς γάρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι, Λητοῦς καὶ Διὸς υἱός. ὁ γὰρ βασιλῆϊ χολωθεὶς, νοῦσον ἀνὰ στρατὸν ὦρσε κακὴν, ὀλέκοντο δὲ λαοί, οὕνεκα τὸν Χρύσην ἠτίμησ᾽ ἀρητῆρα Ἀτρείδης, καὶ τὰ ἑξῆς. ἐν γὰρ τούτοις λέγει τὰς αἰτίας τῆς μὲν Ἀχιλλέως καὶ Ἀγαμέμνονος διαφορᾶς, τὸν λοιμόν. τοῦ δὲ λοιμοῦ, τὸν Ἀπόλλωνος χόλον. τοῦ δὲ χόλου, τὴν ὕβριν τὴν εἰς τὸν ἱερέα τοῦ δαίμονος. Ὀργάνου δὲ διήγησιν, ὁποίαν διέξεισι τῆς ἀσπίδος, ἣν Ἥφαιστος Ἀχιλλεῖ κατεσκεύασε. καὶ ἄλλη σύντομος περὶ τοῦ Ἕκτορος δόρατος. οἷον ἐν δ᾽ Ἕκτωρ εἰσῆλθε φίλος, ἐν δ᾽ ἄρα χειρὶ ἔγχος ἔχ᾽ ἑνδεκάπηχυ, πάροιθε δὲ λάμπετο δουρὸς αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης. Πράξεως δὲ διηγήσεις εἰσὶν ἄλλαι τε, καὶ αἱ τοιαίδε. οἱ δ᾽ ὅτε δή ῥ᾽ ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο, σύν ῥ᾽ ἔβαλον ῥινοὺς, σὺν δ᾽ ἔγχεα καὶ μένε᾽ ἀνδρῶν χαλκεοθωρήκων, ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι ἔπληντ᾽ ἀλλήλοισι, πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει. Πάθους δὲ διήγησίς ἐστιν, ἐν ᾗ τὸ συμβαῖνον ἐξ αἰτίου, ἢ ἐξ ἐνεργείας τινὸς σαφηνίζεται, ὁποῖά φησι περὶ τῶν ὑπὸ ὀργῆς ἢ φόβου ἢ λύπης κατεχομένων, ἢ τιτρωσκομένων καὶ ἀποκτεινομένων, ἢ ἄλλο τι τοιοῦτο παθόντων. ἐξ Αἰτίου μὲν, ἀχνύμενος, μένεος δὲ οἱ μέγα φρένες ἀμφὶ μέλαιναι πίμπλαντ᾽ ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην. ἐξ Ἐνεργείας δὲ, αἵματί τε οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι, πλοχμοί θ᾽ οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκοντο. ὁ δὲ Τρόπος ἐστὶ ποιητικὸς, πράξεως ἢ παθήματος ἢ κινήσεώς τινος. καθ᾽ ὃν τὸ μὲν ὧδέ τι ἐνεργεῖ, τὸ δὲ ὧδέ πως ἔχει, καὶ πάσῃ ἀκολουθεῖ τῇ τοιαύτῃ διηγήσει. παράδειγμα δὲ αὐτοῦ τὸ τοιόνδ᾽ ἂν εἴη. τὸν δ᾽ Ὀδυσσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ, ἐκλίνθη δ᾽ ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρὸς βλημένου, αὐτίκα δ᾽ αὐλὸς ῥῖνα παχὺς ἦλθεν αἵματος ἀνδρομένοιο, καὶ τὰ ἑξῆς.

Ἱστορῶ, τὸ πολὺν χρόνον διέρχομαι. καὶ ἱστορῶ, τὸ παλαιὰ πράγματα ἀφηγοῦμαι, καὶ τὸ ἐρωτῶ, ποιητικῶς.

Ἱστορῶ, ἐπὶ ἱστορίας. ἱστορῶ κατὰ τοὺς τραγικοὺς, τὸ ἐρωτῶ. ἱστορῶ, τὸ διέρχομαι τόπους παρὰ τοῖς κοινοῖς. ἱστορῶ, τὸ παλαιὰ πράγματα διηγοῦμαι. καὶ ἱστορῶ, τὸ ζητῶ. Εὐριπίδης ἐν Ὀρέστῃ, ὃ δ᾽ εἰμ᾽ Ὀρέστης, ὅντινα ἱστορεῖς, ἤγουν ζητεῖς, ἢ βλέπεις. ἀμφότερα γὰρ ἐπὶ τούτου νοεῖται.

Ἱστὸς, τὸ κατάρτιον. καὶ ἱστὸς, τὸ ἱστάριον, παρὰ τὸ ἵστημι. ὅθεν καὶ Ὅμηρος, ἱστὸν ἐποιχομένην. τὸ γὰρ παλαιὸν αἱ γυναῖκες ἑστῶσαι ὕφαινον. τὸ δὲ ἐποιχομένην, ἐπὶ τὸν ἱστὸν πορευομένην.

Ἱστὸς, τὸ ὀρθὸν ξύλον, ὑπὲρ τὸ κέρας καὶ τὰ ἱστία ἠώρηνται, κατ᾽ ἐξοχὴν τινα οὕτω λεχθεὶς, αὐτὸς γὰρ μάλιστα ὀρθῶς ἵσταται.

Ἱστὸς, κυρίως μὲν ἐργαλεῖον ὑφαντικὸν ὁμώνυμον τῷ τοῦ πλοίου ἱστῷ, παρὰ τὸ ἵστασθαι. ἐνίοτε ἐπὶ ὑφάσματος ἡ λέξις κεῖσθαι δοκεῖ. ὡς δηλοῖ τὸ ὑφήνασα μέγαν ἱστὸν, οὗ μέρος τὸ φᾶρος. εἰ μὴ ἄρα ταυτὸν φᾶρος καὶ ἱστός.

Ἱστὸς. ἰστέον ὅτι Ἐρατοσθένης ἐν τῷ ἀρχιτεκτονικῷ, μέρη ταῦτά φησιν ἱστοῦ. πτέρνη, θωράκιον, ἠλακάτη, καρχήσιον, κεραία, ἰκρίον.

Ἵστραξ, ὄρνις ποιός.

Ἱστριανὰ, Ἀριστοφάνης ἐν Βαβυλωνίοις, τὰ μέτωπα τῶν οἰκετῶν ἱστριανά φησιν, ἐπεὶ ἐστιγμένοι εἰσίν. οἱ γὰρ περὶ τῷ Ἴστρῳ οἰκοῦντες, στίζονται καὶ ποικίλαις ἐσθῆσι χρῶνται. Διονύσιος δέ φησιν ἐπεὶ πρότερός τις ἱστριανὸς λέγεται, ὀλβιακὸς κατ᾽ ἀντίφρασιν εἰρῆσθαι, ὡς καθαρὰ καὶ λευκὴ τὰ μέτωπα, τοὐναντίον δεῖ νοεῖσθαι ἐστιγμένα.

Ἱστριάνιδες, αἱ σκυθικαὶ στολαὶ, καὶ παρὰ Ἀθηναίοις, σκεπάσματα, οἷς ἐκάλυπτον τὰ ἱερὰ κανᾶ.

Ἱστρίδες, ἐσθῆτές τινες οὕτω λεγόμεναι.

Ἴστρος ποταμὸς καταφέρεται ἐξ ὑπερβορέων ὀρῶν, οὗ τὸ ὕδωρ σχίζεται εἰς δύο. καὶ τὸ μὲν εἰς τὸν Εὔξεινον πόντον βάλλει, τὸ δὲ ἕτερον εἰς τὴν Τυρρηνικὴν θάλασσαν. ὅπερ οὐκ ἐμοὶ ἀρέσκει. ἔχει δὲ ὁ Ἴστρος τρία στόματα, ὧν ἓν λέγεται καλὸν στόμα, ὥς φησι Τιμάγητος ἐν τῷ περὶ λιμένων, εἰς ὅ φησι πλεῦσαι τὸν Ἄψυρτον. τὸ δὲ ἕτερον καλεῖται Ἄρηκος. ταῦτα παρὰ τῷ Ἀπολλωνίῳ.

Ἱστυάζει, ὀργίζεται.

Ἱστυλὸν, τὸ στιλπνόν.

Ἴστω, γράφει ὁ Ἡρακλείδης τοιαῦτα, τὰ διὰ τοῦ σ ἐκφερόμενα προστακτικὰ εἰς ω λήγοντα, ἀρκτικὸν ἔχει τοῦ ω τὸ θ. οἷον λεγέσθω, ποιήσθω. ἡμάρτηται οὖν τὸ ἴσω, καθὰ καὶ τὸ ἔστω, διὰ τοῦ τ λεγόμενον.

Ἴστω, γινωσκέτω. τὸ ἴστω, ἤγουν τὸ ὑπαρχέτω. ἔστιν οὖν ἡ κλίσις τοῦ ἴσθι, ἀντὶ τοῦ γίνωσκε, διὰ τοῦ ι οἷον ἴσθι, ἴστω, ἴστων, ἴστε ἴστωσαν καὶ ἴστον. τοῦ δὲ ἴσθι, ἀντὶ τοῦ ὕπαρχε, διὰ τοῦ ε, οἷον ἴσθι ἔστω, ἔστον ἔστων, ἔστε ἔστωσαν, καὶ ἔστων κατὰ συγκοπὴν, συντάσσεται τὸ ἴσθι, ἀντὶ τοῦ γίνωσκε μετὰ μετοχῆς. οἷον ἴσθι ἄνθρωπον νοσοῦντα. καὶ Λιβάνιος, ἴσθι με νοσοῦντα τὸν πόδα, μόλις δὲ ἀρτίπουν ἔσεσθαι.

Ἱστῶν λέγε, ἀλλὰ μὴ ἱστέων. ἁμαρτήσεις γὰρ ὁμοίως τῷ λέγοντι καλαμέων, ἀνδρέων, ἱππέων, δέον καλάμων ἵππων, Φρύνιχος.

Ἴστω. ἴσημι τὸ γινώσκω, ὁ παρατατικὸς ἴστην, ἡ μετοχὴ ἴσας ἴσαντος, τὸ προστακτικὸν ἴσαθι, καὶ κατὰ συγκοπὴν ἴσθι, καὶ τὸ τρίτον ἴστω ὁμοίως κατὰ συγκοπήν.

Ἵστωρ, ὁ ὁμάρτυς, παρὰ τὸ εἰδέναι. ἀφ᾽ οὗ καὶ ὁ ἴδρις, παρὰ τὸ ἴσημι τὸ γινώσκω, ἵνα δηλοῖ τὸν ἐπιστήμονα μάρτυρα, ἢ ὁ κριτής. διὰ τὸ ἐπίστασθαι καὶ αὐτός. ζήτει πεῖραν ἑλέσθαι.

Ἵστωρ, ὁ ἐπ᾽ ἄκρῳ τῷ ῥυμῷ ἐμπεπηγμένος πάτταλος.

Ἵστωρ, ὑπερίστωρ, πανσύρτῳ παμμήνῳ πολλῶν δεινῶν στυγνῶν τ᾽ ἀχέων. Σοφοκλῆς, κἀγὼ τοῦδ᾽ ἵστωρ, ἀντὶ τοῦ κἀγὼ τούτου ἐπιστήμων εἰμὶ, ὅτι ταλαίπωρός εἰμι, οἶδα ὅτι δειλαία εἰμὶ, αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων, τουτέστι τῷ πάντα σύροντι τὰ κακά. ἢ πανσύρτῳ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὁρμωμένῳ. παμμήνῳ δὲ, τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. δειλαία οὖν εἰμὶ, ὅτι πάντα τὰ ἄχη εἰς ὑμᾶς συνεσύρη, καὶ διηνεκῆ παρέμεινεν.

Ἰσφαίνει, μερμηνᾷ, ἀγωνιᾷ.

Ἴσφατον, βίαιον, πεπραγμένον.

Ἴσφωρες, λησταὶ, κλέπται. Λάκωνες.

Ἰσχάδες. ἰστέον καὶ ὅτι τῶν ἰσχάδων κοινῶς καὶ συνήθως ἐπιλεγομένων τοῖς ξηροῖς τῶν σύκων, ὡς ἀπὸ τοῦ ἰσχναίνεσθαι, οἱ παλαιοὶ τὴν λέξιν καὶ ἐπὶ ἐλαιῶν τιθέασι φάμενοι, ὅτι τὰς δρυπεπεῖς καὶ γεργερίμους ἐλαίας καὶ ἰσχάδας οἱ παλαιοὶ ἔλεγον, ὡς οἷα σεμνύνοντες αὐτὰς ὀνόματι γλυκερῷ. αἱ δὲ τοιαῦται καὶ τῶν βοτρύων παρέλκουσί τι. τριβεῖσαι γάρ φασιν, ἐλαῖαι, στέμφυλα παρὰ Ἀθηναίοις ἐκαλοῦντο, εἶτα βρύτεα. γέγονε δέ φασιν ἡ φωνὴ αὕτη παρὰ τοὺς βότρυς τῶν σταφυλῶν, ὧν εἰσὶ τὰ τοιαῦτα ἐκπιέσματα.

Ἰσχαίνω, τὸ λεπτύνω. καὶ ἀντὶ τοῦ κατεσκληκώς εἰμι, ἤγουν ξηρός.

Ἰσχάλειν, τὸ ἐπὶ τῇ πορείᾳ πολὺ ἐφ᾽ ἑκάτερα ἐκκλίνειν, ἢ ἐν τῷ ἑστάναι.

Ἰσχαλέον, ὁμηρικὸν, ἀπὸ τοῦ ἴσχω γενόμενον, ἐξ οὗ καὶ ἰσχὰς τὸ ἰσχνὸν σῦκον.

Ἰσχάλεον, λεπτὸν, ξηρὸν, ἰνῶδες.

Ἰσχαλεῦσαι, θηλάσαι.

Ἰσχαλωμέναι, δεδερματωμέναι.

Ἰσχανάᾳ δακέειν Ὅμηρος, ἀντὶ τοῦ ἐπιθυμεῖ, ἀντίσχεται. ποιηταῖς πρέπουσα ἡ λέξις, οὔπω σχηματιζουμένη. ἔχω ἴσχω ἰσχαίνω, οὗ ὁ μέλλων ἰσχανῶ, οὗ ἀναχθέντος εἰς ἐνεστῶτα συζυγίας δευτέρας τῶν περισπωμένων, τὸ ἰσχανᾷν γίνεται, ἤγουν ἐπιθυμεῖν. ὡς τὸ

μέγα

μέγα δρόμου ἰσχανόωσαν, ἤτοι πάνυ ἐφιεμένην δραμεῖν.

Ἴσχανα, ἔξυσα, ἐλέπτυνα.

Ἰσχάνει, ἀντὶ τοῦ ἴσχει, ἔχει. παράγουσι δὲ αὐτοὶ ἐν ἄλλοις τὸ ἰσχανᾶν, ὅ ἐστιν ἐπιθυμητικῶς ἀντέχεσθαι, παρ' Ὁμήρῳ.

Ἰσχάνει, κωλύει.

Ἰσχαλὸν, ἰσχυρὸν, ῥικνόν.

Ἰσχανόων, ὁ ἐχόμενος καὶ ἐπιθυμῶν.

Ἰσχανόων, σημαίνει τὸ ἐπιθυμῶν, ἀπὸ τοῦ ἴσχω γίνεται ἰσχαίνω, ὁ μέλλων ἰσχανῶ, καὶ ἐκ τούτου γίνεται ἰσχανόων.

Ἰσχανόωσα, κωλύουσα. καὶ ἰσχανόωσι, κωλύουσι, κατέχουσιν.

Ἰσχὰς, ἰσχνάς τις οὖσα. ἐπειδὴ πρὶν ἢ δοθῆναι τὴν κρεοφαγίαν τοῖς Ἀθηναίοις, ἐχρῶντο τῇ ἰσχάδι. ἢ ἐπειδὴ μέχρι ταύτης προβαίνει. πρῶτον γὰρ ὄλυνθος, εἶτα φήληξ, εἶτα σῦκα, εἶτα ἰσχὰς, ἴσχει ποιοῦσα τὴν αὔξησιν. πάντα δὲ τὰ τραγήματα ἰσχάδας ἐκάλουν.

Ἴσχε, κάτεχε. καὶ ἴσχε τέκος, καὶ ἴσχειν.

Ἴσχειν, κάλλιον, ἢ ἔχειν.

Ἴσχει, κρατεῖ.

Ἴσχειν, τὸ ἔχειν. οὐκ ἐξῆν κιχλίζειν, οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλὰξ, Ἀριστοφάνης φησί. αἵδε ξενίζειν οὐδέ ποτ' ἴσχει γ' ἡ θύρα, ἀντὶ τοῦ κωλύει, ἀποκλείει, ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων.

Ἴσχειν καὶ ἰσχανᾶν ταὐτὸν, ὅπερ παράγεται οὕτω. ἔχω, ἀφ' οὗ ἴσχω, ἐξ οὗ ἰσχαίνω, καὶ ὁ μέλλων ἰσχανῶ. τοῦτο δὲ μεταχθὲν εἰς ἐνεστῶτα συζυγίας δευτέρας, ποιεῖ τὸ ἰσχανάω.

Ἰσχέμεναι, ἐπέχειν παρ' Ὁμήρῳ.

Ἴσχεο, ἐπίσχες.

Ἴσχεο, ἀπέχου, ἀνάσχου, κάτεχε, κώλυε πάνυ.

Ἴσχεο, πέπαυσο. καὶ ἴσχεσθε.

Ἴσχεσθ' Ἀργεῖοι, μὴ βάλλετε κοῦροι Ἀχαιῶν. ἐρεῖ ἄν τις ἀναξίαν κωλύων λαοῦ. δοκεῖ δὲ τὸ ἴσχεσθε κατ' ἔλλειψιν εἰρῆσθαι. ὡς δῆλον ἐκ τοῦ, οἱ δ' ἔσχοντο μάχης. τοιαύτη γὰρ σύνταξις ὀφείλεται καὶ εἰς τὸ ἴσχεσθ' Ἀργεῖοι.

Ἴσχεσθαι, παύσασθαι.

Ἰσχέτω, κατεχέτω. ἴωμεν ἤδη, μηδὲν ὑμᾶς ἰσχέτω.

Ἴσχευ, πέπαυσο.

Ἰσχιάζειν, τὸ ἐν τῷ βαδίζειν ἐπιπολὺ ἑκατέρους ἑαυτὸν μεταφέρειν.

Ἰσχία, τὰ ὑπὸ τὴν ὀσφὺν ἐξ ἑκατέρων τῶν μερῶν ὀστᾶ, ἐν οἷς ἔγκειται τὸ ἱερὸν ὀστοῦν. ἔχουσι δὲ τὰ τοιαῦτα ὀστᾶ, τὰ λεγόμενα ἰσχία, κοιλότητάς τινας, εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται. αἱ δὲ κοιλότητες αὗται, καὶ γλουταὶ λέγονται, καὶ κοτύλαι, παρὰ τὴν κοιλότητα.

* Ἰσχιὰς ἐστὶ πολυχρόνιον καὶ δὶς λυπηρὸν ἰσχίου ἄλγημα. ἢ Ἰσχιάς ἐστι νόσος πόνον ἰσχυρὸν ἐπιφέρουσα ἰσχίου κατὰ περίοδον, ὥστε αὐτοῖς τὸν πόνον καὶ μέχρι ἰγνύας καὶ γαστροκνημίας παρακολουθεῖν.

Ἰσχίον ὁμώνυμον, ὅλον τε γάρ φησι τὸ ἄρθρον Ὅμηρος, καὶ τὸ νεῦρον τὸ πρὸς τῇ κοτύλῃ.

Ἰσχίον φασὶ τὸ ὑπὸ τὴν ὀσφὺν ὀστοῦν, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὃ καὶ γλουτὸς καλεῖται. καὶ κοτύλη δὲ, διὰ τὴν κοιλότητα. καὶ ἄλλως δὲ ἰσχίον τὸ κοῖλον τοῦ γλουτοῦ, ἐν ᾧ ἡ κοτύλη στρέφεται. Ῥοῦφος δὲ εἰπὼν πυγὰς, τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη. καὶ ἑφέδρανα, τὰ ἐφ' ὧν καθεζόμεθα, ἐπάγει. ἄλλοι δὲ γλουτοὺς καλοῦσιν. ἰσχίον δέ φησι καὶ τὸ νεῦρον, τὸ πρὸς τὴν κοτύλην, καὶ ὅλον τὸ ἄρθρον.

Ἰσχνὸν, θαλπνὸν, ἢ σαπρόν. καὶ εἰ μὲν σημαίνει θαλπεινὸν, παρὰ τὸ ἰαίνω τὸ εὐφραίνομαι. εἰ δὲ τὸ σαπρὸν, παρὰ τὸ ἵημι τὸ πέμπω, οἱονεὶ τὸ ἀποπεμπόμενον.

Ἰχνὸν, λεπτὸν, ξηρόν.

Ἰσχνομυθίας, λεπτολογίας.

Ἰσχνομυθοῦντες, ἀκριβολογοῦντες, λεπτολογοῦντες.

Ἰσχνὸς, ὁ ξηρὸς, καὶ λεπτὸς, δυσθεώρητος.

Ἰσχνόφωνος, λεπτόφωνος.

Ἰσχύς ἐστι συμμετρία τῶν ὁμοιομερῶν νεύρων τε καὶ ὀστῶν καὶ πνεύματος, τὰ χωρία ἰσχυρῶς ὄρθια ἦν, καὶ λίθων περιβολαῖς ὠχύρωτο.

* Ἰσχυριῶ, ἰσχυριστικῶς ἔχω.

Ἰσχὺς καὶ βία ἐκ παραλλήλου τὰς δυνάμεις σημαίνουσι.

Ἰσχυρίζετο, ἀντὶ τοῦ διεβεβαιοῦτο.

Ἰσχυρίσκος, ἀντὶ τοῦ ἰσχυρὸς, οὕτως Ἄλεξις.

Ἰσχυρὸν, μέγα, βαθύ.

Ἰσχυρὸς, ἰσχύος καὶ δυνάμεως δ' ἔχων.

Ἰσχυρίζεται, ἐνίσταται, φιλονεικεῖται, βεβαιοῦται.

Ἰσχυρὸν, στιβαρὸν, παχὺ, βέβαιον.

Ἰσχὺς, δύναμις, καὶ μύρμηξ.

Ἰσχυρογνώμων, σκληρὸς, ἔξαρνος.

* Ἰσχυτήριος, ἰσχυρός.

Ἰσχύων, αἰτιατικῇ, ὅταν τις θεῶν βλάπτῃ δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.

Ἰσχύων, ὃς καὶ πτερόεντ' αἰετὸν καὶ θαλασσαῖον παραμείβεται δελφῖνα, Πίνδαρος τοῦτό φησιν.

Ἰσχύω, τὸ δύναμαι καὶ ἰσχυρίζομαι. καὶ διισχυρίζομαι, τὸ διαβεβαιοῦμαι. ἰσχυρίζεται, τὸ διατείνεται. Ἀριστείδης ἰσχυρίζεται, οἷς προσείπωσιν πρὸς τὸν δημόσιον. ἔστι γὰρ ἰσχυρίζεσθαι, τὸ προτείνειν μετὰ θάρρους τινὰς λόγους ἐν δικαστηρίῳ. καὶ διισχυρίζεται ἐπὶ δικαστηρίου καὶ ἀντιλογίας.

Ἴσχω, ἀντὶ τοῦ ἔχω.

Ἴσχω, τὸ κρατῶ, ἀπὸ τοῦ ἔχω, πλεονασμῷ τοῦ σ ἴσχω, καὶ τὸ ε ἡνίκα πλεονάσῃ σύμφωνον τρέπεται εἰς ι, καὶ γίνεται ἴσχω, τὸ παθητικὸν ἴσχομαι ἰσχόμην ἴσχου, τὸ προστακτικὸν ἴσχου, καὶ κατὰ διάλυσιν ἴσχεο. σὺ δὲ ἴσχεο, ἀντὶ τοῦ παύου, καὶ κάτεχε τὴν ὀργήν.

Ἴσχω, οἱ Σικελοὶ τὸ ἀρκτικὸν ε ᾧ ἕπεται τὸ σ εἰς ι μετατιθέασιν. καὶ τὴν τοιαύτην ἀκολουθίαν ἐκεῖνοι σώζουσι, ὥστε κἂν μὴ ἕπηται τὸ σ φύσει, ἀλλ' ἔξωθεν παρεμπέσῃ, ὁμοίως ποιοῦσι. τὸ γοῦν ἔχω, ἴσχω φασὶ, καὶ τὸ ἕπω, ἴσπω καὶ ἐνίσπω. οὕτω δὲ καὶ τὸ ἕζω, ὅθεν καὶ τὸ καθέζομαι, ἵζω λέγουσι, διὰ τὸ φύσει ἑπόμενον σ τὸ ἀρκτικὸν τῆς συνθέσεως. τὸ γὰρ ζ ἐκ τοῦ σ καὶ δ σύγκειται.

Ἰσωνία, ἴση τιμὴ, ἢ ἡ ἴση ἀγορά.

Ἴσῳ ζυγῷ, ἀντὶ τοῦ ἐξίσης. ὁ δὲ ἀγαπήσας αὐτὸν καὶ φιληθεὶς, τὸ λεγόμενον ἴσῳ ζυγῷ παρ' ἐκείνου, ἡδέως μὲν αὐτῷ συνῆν. ἔπραττε δὲ οὐδὲν, ὧν μὴ πρότερον ἐκεῖνος πύθοιτο, καὶ φήσειεν εἶναι πρακτέον.

Ἴσως ἐρῶ ἴσως φαίην ἄν. τὰ εἰκαστικὰ ἐπιρρήματα δηλονότι τάχα, τυχὸν, ἴσως, ὁριστικῷ καὶ εὐκτικῷ καὶ ὑποτακτικῷ συντάσσονται. εἰ δὲ εὐκτικῷ καὶ ὑποτακτικῷ, οὐκ ἂν εἴη χωρὶς τοῦ ἂν συνδέσμου. κοινὸν δὲ τοῦτο τῶν ῥηματικῶν συντασσομένων ἁπάντων. ὡς ἂν ἔχοι, πόρρω ἂν εἴη, νὴ δί' εἴποιμι ἂν, ἴσως ἂν ἔλθοιμι, ἴσως ἂν ἔλθω. εἰ δὲ χωρὶς τοῦ ἂν συντάσσοιντο, κατ' ἐλλειπτικὸν τρόπον ἡ σύνταξις γίνεται. τοῖς μὲν προστακτικοῖς οὐ συντάσσονται παντάπασιν, οὐδεὶς γὰρ ἐρεῖ, τάχα γράφε, οὐδὲ τυχὸν γράφε.

ΤΟ Ι. ΜΕΤΑ ΤΟΥ Τ.

Ἰταβύριον, ὄρος ἔχον πηγὴν μίαν, ὅθεν τὰ θηρία πίνει. ἔστι δὲ εἰς τὴν Γαλιλαίαν ἐν Ἰουδαίᾳ, καὶ ἐστὶ λίαν ὑψηλόν.

Ἰταῖαι, αἱ ἀσπίδες. διὰ τὸ πρώτας ἐκ ταύτης τῆς ὕλης κατασκευασθῆναι.

Ἰταῖος, ὁ Ἄδωνις.

Ἴταλα, ἰτία, εἰς ἃ τοὺς ἱστοὺς διατείνουσιν.

Ἰταλιάζειν, ἐν Ἰταλίᾳ διατρίβειν δεδεμένον.

Ἰταλία, χώρα ἡ λαγγοβαρδία, Ἀττικοὶ δὲ δίφθογγον.

Ἰταλοὶ, οἱ βάρβαροι Ἰταλιῶται, οἱ ἐποικηκότες Ἕλληνες τὴν Ἰταλίαν. οὕτω καὶ Σικελοὶ φησὶν Αἴλιος Διονύσιος, καὶ Σικελιῶται διαφέρουσιν.

Ἰταλιώτης, ὁ ἀλαζὼν, ἀπὸ τῶν πυθαγορικῶν. διὰ δὲ τὴν Σύβαριν, ὁ λάγνος.

Ἰταμὸν, τὸ ἀναιδές.

Ἰταμὸς, ἀναιδὴς, σκληρὸς, ὠμὸς, παρὰ τὸ ἵεσθαι, ὅ ἐστιν ὁρμᾶν.

Ἴτας, ὅρμος, καὶ ὁ ἀναιδής.

Ἴτε λήγοντε, παρὰ Θεοκρίτῳ, παρακελευσματικὸν ἐπίρρημα τὸ ἴτε, ἀντὶ τοῦ ἄγετε.

Ἰτέα, τὸ δένδρον, παρὰ τὸ ἰέναι. ταχέως γὰρ αὔξεται.

Ἰτέα, πόλις, ἀφ' ἧς ὁ δημότης ἰταῖος.

Ἴτε, δεῦτε, ἢ ἀπέλθετε.

Ἰτέαι, εἶδός τι ἀσπίδος καλοῦνται. καὶ ἰτέαι, δῆμος τῆς Ἀκαμαντίδος.

Ἰτέον, πορευτέον.

Ἴτυ, συριγμὸς, ῥοῖζος.

Ἴτηλον, τὸ ἔμμονον, καὶ οὐκ ἐξίτηλον.

Ἴτην. εἶμι τὸ πορεύομαι. ὁ παρατατικὸς εἶν εἶς εἶ, τὸ δυϊκὸν ἴτον ἴτην. ἄλλως ἴτην, ἴω τὸ πορεύομαι, ὁ παρατατικὸς ἴον, τῶν δυϊκῶν τὸ τρίτον ἰέτην, καὶ κατὰ συγκοπὴν ἴτην.

Ἴτης, ἰταμὸς, σκληρὸς, τολμηρὸς, καὶ δι' αὐτῶν χωρῶν τῶν πραγμάτων, παρὰ Ἀριστοφάνει ἐν νεφέλαις.

Ἴτης, ὁ ὁρμητικὸς, καὶ ὁ πτωχός.

Ἰτητέον. Ἀριστοφάνης ἐν νεφέλαις, ἰτητέον τί ταῦτ' ἔχων στραγγεύομαι. ἰτητέον, πορευτέον.

Ἴτθαι, καθίσαι.

Ἰτθέλαν, διφθέραν.

Ἰτλαὶ, οἷς τείνουσι τὰς ὤας τοῦ ὑφαινομένου μυγελεῖς. οἱ δὲ τοὺς μίτους.

Ἴτον, εἶμι, ὃ δύναται. καὶ ἐπὶ ἐνεστῶτος λαμβάνεσθαι, καὶ ἐπὶ μέλλοντος. τὸ τρίτον τῶν δυϊκῶν ἴτον. Ἡσίοδος, ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους, ἀντὶ τοῦ ἐλεύσονται.

Ἰτραία, χώρα.

Ἴτρια, καπυρώδη πλάσματα. τὰ δ' ἄλλ' ἐστὶ παρεσκευασμένα, τράπεζαι, προσκεφάλαια, στρώματα, ξίφος, μύρον, τραγήματ' αἱ πόρναι. πάρα ἄμυλοι πλακοῦντες, ἴτρια, ὀρχηστρίδες. ἀλλ' ὡς τάχος σπεύδετ' ὀρχηστρίδες.

Ἴτρον, τὸ ὑποκάτω τοῦ ὀμφαλοῦ μέρος. ἐξ οὗ καὶ ἴτρια καὶ μίτρα, ἡ περὶ αὐτὸν ζώνη. καὶ ἰτρὸν, γάλα.

Ἴττιον, οὐσία. ἠλεῖσα.

Ἴττον, ἕν. Κρῆτες.

Ἴττυγα, ἐκπληκτικά. Αἰσχύλου.

Ἴττω Ἡρακλῆς, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἴστω. ἐκκαμόντι ὦμον βαστάζων.

Ἰτύκη, ἡ χώρα τῶν Ἰτυκαίων.

Ἴτυλος, ὀρφανὸς, μόνος, νέος, ἁπαλός.

Ἰτυμονῆα, ἡ ἰτυμονέα.

Ἴτυν, λέγει Ὅμηρος τὴν περιφέρειαν. ἀπὸ τοῦ ἰέναι, ὅ ἐστι περιιέναι καὶ περιάγεσθαι.

Ἴτυξ, ὄρνεον.

Ἴτυς, ποταμὸς, ἀναιδής. ἴτυς, ἀσπὶς γυραλέα.

Ἴτυς, ἡ περιφέρεια τοῦ ἅρματος, ἤγουν ὁ γύρος. ἀπὸ τοῦ ἴω, τὸ πορεύομαι, ἡ κύκλῳ διιοῦσα.

Ἴτυς, υἱὸς ἦν Τηρέως καὶ Πρόκνης τῆς ἑαυτοῦ γαμετῆς. Πανδίων γὰρ ὁ τῶν Ἀθηναίων βασιλεὺς, Πρόκνην τὴν ἑαυτοῦ θυγατέρα εἰς γάμον ἐκδίδωσι τῷ Τηρεῖ Θρακῶν δυναστεύοντι. ὁ δὲ μετὰ τοὺς γάμους ἀφικνεῖται πρὸς Θρᾴκην μετὰ Πρόκνης, ἐξ ἧς ἔσχεν Ἴτυν. μετὰ δὲ χρόνον συχνὸν ποθούσης τὴν ἀδελφὴν Φιλομήλαν τῆς Πρόκνης ἰδεῖν, ὁ Τηρεὺς Ἀθήναζε ἀπελθὼν, καὶ λαβὼν καθ' ὁδὸν αὐτὴν διεκόρευσε, καὶ τὴν γλῶτταν αὐτῆς ἀπέταμεν, μὴ δηλωθείη τὰ πραχθέντα Πρόκνῃ. ἡ μὴν ἀλλ' ὑφαίνουσα διὰ γραμμάτων ἐδήλωσε τὸ συμβάν. Πρόκνη μὲν οὖν μαθοῦσα τὴν συμφορὰν, σφάξασα τὸν υἱὸν Ἴτυν, εἰς βρῶσιν παρέθηκε τῷ Τηρεῖ. ὁ δὲ γνοὺς, ἐδίωκεν αὐτὰς ξίφει, ποῦ ποῦ φθεγγόμενος. Φιλομήλα μὲν δὴ, Τηρεὺς ἦν βοῶσα τῷ φόβῳ. Πρόκνη δὲ τὸν Ἴτυν θρηνοῦσα, ἴτυ ἴτυ ἐλεεινῶς ἐφθέγγετο. τοῦ δὲ Διὸς ἐλεοῦντος, ἡ μὲν Πρόκνη εἰς ἀηδόνα, ἡ δὲ Φιλομη-

λομη-

Digitized by Google

λομήλας εἰς χελιδόνα μεταβληθῆσαν, ἐπιζημίου καὶ Τηρέως εἰς ἔποπα, φωνῇ φθέγγονται μέχρι καὶ νῦν ἕκαστος.

Ἴτω, πορευέσθω. ἐκ τοῦ εἶμι, ὁ παρατατικὸς ᾖν· ἡ μετοχὴ εἷς ἰόντος, ἴθι ἴτω, καὶ τροπῇ τοῦ ε εἰς ι, ἴτω. ἢ ἀπὸ τοῦ εἶμι, τὸ τρίτον τῶν πληθυντικῶν ἴμεν, τὸ προστακτικὸν ἴθι, τὸ τρίτον ἴτω.

Ἴτω, ἴσθω, ἐρχέσθω.

Ἰτώνη καὶ ἰτωνία, ἡ Ἄρτεμις.

Ἴτων, πόλις, καὶ ἰτωνὶς Ἀθηνᾶ. ἢ ἀπὸ Θεσσαλικῆς Ἰτωνίας, περὶ ἧς Ἑκαταῖος μὲν ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν λέγει. Ἀρμενίδης δὲ ἐν τοῖς Θηβαϊκοῖς, Ἀμφικτύωνος υἱὸν Ἴτωνον ἐν Θεσσαλίᾳ γεννηθῆναι. ἀφ᾽ οὗ Ἴτων πόλις, καὶ ἰτωνὶς Ἀθηνᾶ. μέμνηται καὶ Ἀλέξανδρος ἐν πρώτῳ καρικῶν ὑπομνημάτων.

Ἰτωνίς, θεὰ ἐν Θεσσαλίᾳ τιμᾶται, καὶ ἐν Κορωνίᾳ πόλει τῆς Βοιωτίας, ἀπὸ Ἰτώνου ἱερέως.

Ἰτωνὶς ἰτωνίδος, χώρα.

ΤΟΥ͂ Ι. ΜΕΤΑ᾽ ΤΟΥ͂ Υ.

Ἴυγγες, λεπτοὶ πόροι. καὶ αἱ τέρψεις.

Ἴυγγι, ἐπιθυμίᾳ.

Ἰυγγίης, ὁ Διόνυσος.

Ἰυγγοδρομεῖν, ἐκβοηθεῖν. Βοιωτοί.

Ἰυγή, φωνή, κραυγή, βοή.

Ἰυγμός, τὸ αὐτὸ σημαίνει.

Ἰυγκοῦν, πυρόν.

Ἴυγξ, κυρίως ὀρνεόν ἐστιν ἀεὶ σεῖον τὴν οὐράν, ἀγωγὸν ἐρώτων. ἔστι δὲ ποικίλον τῇ τριχώσει, μακροτράχηλον, γλῶσσαν ἔχον ἐπὶ πολὺ ἐκτεταμένην, τυκνῶς περιστρεφόμενον καὶ περιδινοῦν τὸν τράχηλον, ταῖς φαρμακίσι χρήσιμον εἰς ἐρωτικὰς ἐπῳδάς. λαμβάνουσαι γὰρ αὐτὸ δεσμοῦσιν ἔκ τινος τροχοῦ, ὃν ῥομβοῦσιν ἅμα ἐπᾴδουσαι. ἄλλοι δέ φασιν ὅτι κηρίνῳ τροχῷ συμπήγνυσιν αὐτὸ ἐπ᾽ ἀνθράκων. οἱ δέ φασι τὰ ἔντερα αὐτοῦ ἐξελκύουσαι, περιάπτουσι τῷ τροχῷ. ταύτην δέ φασι τὴν ἴυγγα πρῶτον Ἰάσονι δοῦσα, ἐδίδαξε τοῦτον, ὅπως Μήδειαν θέλξῃ. λέγουσι δὲ ὅτι αὕτη ἡ ἴυγξ, γυνὴ ἦν πρότερον, θυγάτηρ Πειθοῦς ἢ Ἠχοῦς καὶ Πανός, φαρμακεύουσα δὲ τὸν Δία εἰς τὸν τῆς Ἠοῦς πόθον ὑφ᾽ Ἥρας διωκομένη ἀπωρνιώθη. ἄλλοι κιθάραν πάνυ εὐμελῆ οὖσάν φασι τὴν ἴυγγα.

Ἰύζειν, τὸ λιγυφωνεῖν, κυρίως ἐπὶ γυναικῶν. Δωρικὴ δὲ ἡ λέξις. ὅθεν ἰυγκτὴς, ὁ λιγύφωνος.

Ἰύζειν, εἶδός ἐστι συριγμοῦ. ἐξ οὗ καὶ ὄνομα ὁ ἰυγμός, ὡς τὸ, μολπῇ τ᾽ ἰυγμῷ τε. ἐξ αὐτοῦ δὲ καὶ ἴυγξ, ὄρνεον. ὡς ἀπὸ σαλπίζω, σάλπιγξ.

Ἰυζεῖν παρ᾽ Ὁμήρῳ φωνή, καὶ αὐτὴ ἄσημος. ἀφ᾽ ἧς καὶ ἴυγξ παράγεται καὶ ὁ ἰυγμός. εἰσὶ δὲ ἰύζοντες ἀνέρες καὶ γυναῖκες, οἱ ἐπὶ τῷ θανάτῳ τῶν μνηστήρων κλαυσόμενοι οἰκεῖοι, ὡς δὴ μνηστῆρας μικρὸν ὕστερον ἁρπάσει τοῦ βίου ἐλθὼν ὁ αὐτός, ὁ Ὀδυσσεὺς ἐξ ὄρεος κατὰ τὴν ἐσχατιὰν ἀγροῦ.

Ἴυρκες. αἶγες ἄγριαι, ὑστριχίδες.

Ἰυχμῷ, ἰαχῇ, φωνῇ.

ΤΟΥ͂ Ι. ΜΕΤΑ᾽ ΤΟΥ͂ Φ.

Ἰφεὺς, κύριον ἀπὸ τοῦ ἶφι. ἐξ οὗ ἶφις, εὔζωνος.

Ἰφθίμη, ἡ ἰσχυρὰ, μεγάλη.

Ἴφθιμος ψυχή, γίνεται ἐκ τοῦ ἶφι, τὸ ἰσχυρῶς, πλεονασμῷ τοῦ θ. ἵνα ᾖ, ὥσπερ ὀψὲ, ὄψιμος. ἢ καὶ ἄλλως, ὡς ἄνθος ἄνθιμος, οὕτω καὶ ἶφι καὶ ἴφιμος. καὶ πλεονασμῷ τοῦ θ ἴφθιμος. ἢ ἐκ τοῦ ἶφι καὶ θυμός, ὁ ἴφθιμος, τροπῇ τοῦ διχρόνου. ὡς ἐκ τοῦ δύο, τὸ δὶς ἐπίρρημα.

Ἶφι, ἰσχυρῶς, μεγάλως.

Ἴφια, ἡ λυχνὶς, ἄνθος. ἔνιοι λάχανον, ὃ ἡμεῖς λαβαντίδα καλοῦμεν. οἱ δὲ ἄνθη ἄγρια τῶν σπειρομένων.

Ἰφιάλου, τοῦ ἐφιάλτου.

Ἴφια μῆλα, τὰ μικρά. ἐνίοτε θρέμματα λέγει.

Ἴφια μῆλα, τὰ ἰσχυροποιὰ θρέμματα. ἐπεὶ κρέας τὸ ἐξ αὐτῶν παρὰ τὸ κρατύνειν τὰ σώματα λέγεται. ἢ καὶ ἄλλως ἴφια, τὰ μὴ ἀσθενῆ ὑπὸ νόσου, ἀλλὰ ἀναλόγως ἰσχυρὰ καὶ λιπαρά.

Ἰφιάνασσαν, οἱ νεώτεροι ταύτην Ἰφιγένειαν λέγουσιν.

Ἰφιάδαι, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.

Ἰφιγένεια, ἡ Ἄρτεμις.

Ἰφίη, βοῆ.

Ἴφικλος, δυσχερής.

Ἴφικλος, υἱὸς ἦν Φυλάκου καὶ Κλυμένης τῆς Μινύου. τοῦτον Ἡσίοδος ἐπὶ πυρίνων ἀθέρων τρέχειν φησί. Δημάρετος δὲ, ἐπὶ τῆς θαλάσσης. ἐπισημειοῦσθαι δὲ ἄξιον, ὅτι οὔτε Ἡσίοδος, οὔτε Φερεκύδης φησὶ, συμπεπλευκέναι τοῖς Ἀργοναύταις Ἴφικλον.

Ἰφικρατίδες, εἶδος ὑποδήματος. ἢ τὰ συνήθη σάνδαλα περιδεδεμένος περιενόστει.

Ἶφιν, καλήν.

Ἴφιον, τὸ λιπαρόν.

Ἶφις ἴφιλος, ὄνομα κύριον. ἢ ὁ παχύς.

Ἰφίστιος, ἥρως τις Ἀθηναῖος. ἀφ᾽ οὗ καὶ δῆμος ἰφιστιάδαι.

Ἰφίτην, ἀγνίτην.

Ἴφλημα, τραῦμα.

Ἰφύη, εἶδος ἀγρίου λαχάνου.

Ἰφύς, ὀφρύς.

ΤΟΥ͂ Ι. ΜΕΤΑ᾽ ΤΟΥ͂ Χ.

Ἰχάλη ἡ πάρυος, ἐσκευασμένος ἰχθύς, ἢ κίχλη τὸ ὄρνεον. ἰχανόων, σημαίνει τὸ ἐπιθυμῶν.

Ἰχθυάω ῶ, καὶ ἰχθυάομαι ἰχθυῶμαι, ἰχθυώμενοι ἀντὶ τοῦ ἰχθύας ἀγρεύοντες. καὶ ἰχθυᾷ, ἀντὶ τοῦ ἰχθύα ἀγρεύειν ἐπιθυμεῖ. καὶ ὅσα παρὰ ὅσα συζυγίας δευτέρας ὄντα καταλήγουσιν εἰς α, ἐπὶ τοιαύτῃ σημασίᾳ λαμβάνονται. οἷον μαθητιᾷ, ἀντὶ τοῦ ὀρέγεται μαθεῖν ἢ μανθάνειν. βασιλειᾷ, γαυριᾷ, θανατιᾷ, πατριαρχιᾷ. καὶ τὰ τούτοις ὅμοια.

Ἰχθύες ἄλλοι παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἀλλοφυεῖς φασιν οἱ παλαιοί. ἄλλο μὲν γὰρ γένος οἱ δελφῖνες, κήτη ὄντες, ἄλλο δὲ οἱ ἰχθύες. ἕτεροι δὲ τὸ ἄλλο νοοῦσι, κατὰ διαφορὰν εἴδους, ὡς τῷ γένει μὲν ἰχθύων ὄντων καὶ τῶν δελφίνων, τῷ εἴδει διαφερόντων.

Ἰχθυήμασι, λεπίσμασι φλοιῶν, παρὰ τῷ Ἱπποκράτει.

Ἰχθύην, ῥίνης θαλαττίης δέρμα ξηρόν. δηλοῖ δὲ, καὶ τὸν σιδηροῦν ὄνυχα, ᾧ περ εἰς τὰς ἐμβρυοτομίας χρώμεθα, * καὶ τὰς ἐμβρυουλκίας, διὰ τὴν πρὸς τὰς λεπίδας τῶν ἰχθύων ὁμοιότητα. παρὰ τῷ Ἱπποκράτει.

Ἰχθυηροὺς πινακίσκους, τοὺς ἐπιτηδείους ἰχθὺν χωρῆσαι.

Ἴχθον, ἄστρον, ἐγχειρίδιον, ξυλοφάνιον.

Ἰχθυοβολεὺς καὶ ἰχθυοβολκός, ἁλιεύς.

Ἰχθυόεις πόντος, ὁ περιέχων ἰχθῦς. τοιοῦτον δέ τι καὶ τὸ ἰχθυόεντα κέλευθα.

Ἰχθυόκεντρον, ἡ τρίαινα, ἤτοι τὸ καμάκιον.

Ἰχθυομένην παρὰ Λυκόφρονι, ἰχθύας κρεανῆσαν, καὶ ἀγρεύουσαν, ἢ δίκην ἰχθύος πλεύσασαν. μυθικῶς δὲ ἐστὶ Λυκόφρονι νοεῖται.

Ἰχθυοπέτης, ἰχάρα.

Ἰχθυοπῶλαι, καὶ ἰχθυοπωλεῖν. καὶ ἰχθύες, καὶ ἰχθύδια. ὄψον, καὶ ὀψοποιός. καὶ ὀψαρτυτὴς, καὶ ὀψοποιεῖν, καὶ ὀψοδιεποιία. καὶ ἡδῦναι, καὶ ἀρτῦσαι, καὶ ζωμεῦσαι. καὶ Ἀριστοφάνης τὴν χύτραν, ἐν ᾗ τὰ κρέα, δέψας ἐζωμευμένα. τὸν δὲ ὀψοποιὸν, καὶ μάγειρον λέγουσιν.

Ἰχθύς, ἐστὶ ζῶον ἐνυδροδίαιτον ἄφωνον, μὴ ἀναπνευστικόν.

Ἴχιππος, ὅπου οἱ λίθοι τρίβονται ἀκόνῃ.

Ἴχλα, ἡ κίχλα.

Ἴχμασι, ἰχνίᾳ.

Ἰχναία, ἡ θέμις καὶ ἡλίου θυγάτηρ, ὅτι κατ᾽ ἴχνος καὶ κατὰ πόδας ἕπεται, καὶ λάμπει δίκην ἡλίου.

Ἰχνᾶται, ἰχνοσκοπεῖ.

Ἰχνεία, ἡ ἰχνεύσις.

Ἰχνεύει, ἐρευνᾷ, ζητεῖ.

Ἰχνεύεσθαι, ἐπὶ τῶν θηρίων. ὁμοίως ἀνιχνεύεσθαι, διώκεσθαι, μετελθεῖν, αἱρεῖσθαι, ζητεῖσθαι, ἀναζητεῖσθαι, εὑρίσκεσθαι, ἀνευρίσκεσθαι, ἐξευρίσκεσθαι, ὑποφεύγειν, περιφεύγειν, ὑπάγειν, ἀποδιδράσκειν, αἱρεῖσθαι, ἁλίσκεσθαι, λαμβάνεσθαι, τιτρώσκεσθαι, ἀποκτείνυσθαι, ζωγρεῖσθαι. εἴποις δ᾽ ἂν, ἴχνος, ἰχνηλατεία. καὶ ἴχνη καὶ σημεῖα ποδῶν, σύμβολα ἐντετυπωμένα τῇ γῇ ἰχνεύμασι, ἴχνια, ἰχνεύσεις. καὶ τὰς ἰχνεύσεις φησὶν ὁ Ξενοφῶν ἴχνη ὀρθὰ, εὐθέα, συμπεπλεγμένα, δινεία, εὔραια, δρομαῖα, ὀξέα. ὄζει τὰ ἴχνη, ἀποζεῖ, πνεῖ, καὶ ἄλλα πολλά.

Ἰχνεύμων, εἶδος ζώου καὶ ἰχθύος.

Ἰχναίην, χώραν τὴν Μακεδονίαν. ἔνθα τὸ μαντεῖον ὁ Ἀπόλλων κατεῖχε, καὶ τιμᾶται.

Ἰχνευταί, περίφρασις τοῦ ἴχνη ἐρευνῶντες.

Ἰχνευταί, οἱ νῦν ἰχνεύμονες λεγόμενοι.

Ἴχνη, τὰς κατὰ σάρκα προγόνους τοῦ κυρίου, ἀντάλλαγμα καὶ ἴχνη ἐκάλεσαν οἱ Ἑβδομήκοντα ἑρμηνευταί.

Ἰχνηλατῆσαι, διὰ τῶν ἰχνῶν ἀναζητῆσαί τινα, ψηλαφῆσαι.

Ἴχνια, ὑποδήματα, σημεῖα.

Ἴχνια ἐρευνῶντες, περίφρασις τοῦ ἰχνευταί. ἴχνη γράφεται διὰ τοῦ η, ἀλλ᾽ ἡ ποίησις εἶλετο ἴχνια.

Ἴχνια, σημεῖα ποδός.

Ἴχνος, ὁδόν, πορείαν, βῆμα.

Ἴχνος, ὁ τύπος τοῦ ποδός. καὶ ἀπὸ τούτου καὶ ὁ ποῦς. ἀφ᾽ οὗ πάλιν ἴχνος ἡ πορεία, ἐπεὶ διὰ ποδῶν αὕτη γίνεται. μεταφορικῶς δὲ, καὶ ἐπ᾽ ἄλλων. οἷον ἴχνος χειρῶν, καὶ ἴχνος ἀνθρώπου, καὶ ἴχνος παλαιᾶς αἰτίας. καὶ ἴχνη ἀγαλμάτων, καὶ ἁπλῶς ἐπὶ πάντων τῶν ἀμυδρῶς, καὶ οἷον ἐν τύπῳ φαινομένων.

Ἰχώρ, ἰχῶρος, τὸ πεπηγὸς αἷμα.

ΤΟΥ͂ Ι. ΜΕΤΑ᾽ ΤΟΥ͂ Ψ.

Ἴψ, ὁ σκώληξ. καὶ κλίνεται ἰπός, καὶ τὸ πληθυντικὸν ἶπες.

Ἴψαι, βλάψαι.

Ἴψας, ἔβλαψας, ἐμίσησας, ἐδυσώπησας.

Ἴψαο. ἴπτω τὸ βλάπτω, ἀφ᾽ οὗ κατὰ πλεονασμὸν τοῦ α ἰάπτω. ὁ μέλλων ἴψομαι, ὁ ἀόριστος ἰψάμην, τὸ δεύτερον πρόσωπον ἴψω, καὶ Ἰωνικῶς ἴψαο, ἐκ τοῦ ἴψατο τρίτου προσώπου, ἀποβολῇ τοῦ τ.

Ἴψας, ἔβλαψας, ἐμίσησας, ὠδύνησας. ὅθεν καὶ ἶψα, καὶ πλεονασμῷ τοῦ δ δίψα, ὡς βλαπτική. καὶ πολυδίψιον Ἄργος κατά τινας, τὸ πολυβλαβές. οἱ καὶ ἕτεροι τὰ πολυπόθητόν φασιν.

Ἴψεται, ἀντὶ τοῦ βλάψει. ἰάπτω, ὁ μέλλων ἰάψω, ὁ μέσος ἰάψομαι ἰάψεται, καὶ ἀποβολῇ τοῦ α ἴψεται.

Ἰψόμενον, φθείροντα.

Ἰψόν, τὸν κισσόν, Θούριοι. καὶ ἶψον, δεσμωτήριον.

Ἴψω, ἔβλαψας, μέγα δ᾽ ἴψαο λαὸν ἀχαιῶν.

ΤΟΥ͂ Ι. ΜΕΤΑ᾽ ΤΟΥ͂ Ω.

Ἰῶ, τὸ πορεύομαι. ὁ β᾽ ἀόριστος ἴον, ες, ε. καὶ τὸ προστακτικὸν ἴε, καὶ μεταπεθεῖσαι.

Ἰῷ ἤματι, ἐν μιᾷ ἡμέρᾳ.

Ἰώ, σχετλιαστικόν.

Ἰὼ πρόσιοι τρισάθλιοι καὶ πεντάκις καὶ πολλῷ δεκάκις, ἀπολεῖσθε τήμερον. ἔστι δὲ πόλις Λακωνική.

Ἰώ, ἀντὶ τοῦ φεῦ.

Ἰωβιλαῖος ἦν, παρὰ Ἰουδαίοις τιμώμενος. Ἰστέον ὅτι τὸ ἀργὸν ἔτος κατὰ ἑπταετίαν ἐτηρεῖτο παρὰ Ἰουδαίοις, ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις.

Ἰωγή, σκέπη, ἡσυχία, φωνή, πνοή, βοή, αἰγιαλός, καταγωγή.

Ἰωδαὲ, οὗτος ἱερεὺς ἦν, ὃς διὰ τὴν πολλὴν αὐτοῦ δικαιοσύνην ἐβίωσεν ἔτη ρλ᾽.

Ἰωή, ἡ φωνή, τουτέστιν ὁ προφορικὸς λόγος, ὁ τοῦ στόματος προϊών. δοκεῖ δὲ ἡ λέξις κεῖσθαι καὶ ἐπὶ ἁπλῶς ἤχου. ὅθεν ἐν Ὀδυσσείᾳ ἰωγή, ἔνθα

Digitized by Google

θα ἢ τοῦ ἀνέμου ἰωὴ ἄγνυται, ἤτοι κλᾶται. ὡς δὲ καὶ ἴαν οἱ παλαιοί φασι τὴν ἐνταῦθα ἰωνὴν, δηλοῦσιν οἱ λοξίαν οὕτω καλεῖσθαι, εἰπόντες παρὰ τὸ λοξὴν ἴαν, ὅ ἐστι φωνὴν πέμπειν.

Ἰωῆς, ὅ ἐστι πνοῆς.

Ἰώθη, ἐχολώθη, ὠξύνθη.

Ἰῶκα, ὃ δηλοῖ τὴν ἐν μάχῃ δίωξιν. μεταπέπλασται. ὡς γὰρ φυγὴν φύγα, ἐξ οὗ τὸ φύλαγε, ὡς τὸ ἴκαδε, οὕτω καὶ ἰωκὴν ἰῶκα. ὅμοια δὲ καὶ τὸ κρίδην κρίδα. καὶ παρὰ Ἡσιόδῳ κρόκην κρόκα.

Ἰωκαλλιθύεσσα, ἐκαλεῖτο ἡ πρώτη ἱέρεια τῆς Ἀθηνᾶς.

Ἰωκὰς, ὁρμὰς, διώξεις.

Ἰωκὰς, ἐκ τοῦ ἡ διωκή. ὡς καὶ τοῦ ἰωχμοῦ ὁ διωγμὸς, ἀπελθόντος τοῦ ἐν ἀρχῇ συμφώνου. ὡς ἐν τῷ σῦς, ὗς.

Ἰῶκά τε δακρυόεσσαν, τινὲς γὰρ ἰῶ εἶναι κατὰ δακρυόεσσαν, γίνεται δὲ ἔκθεσμον. ὁ γὰρ Ὅμηρος ἰῶκα τὴν ἰωκὴν λέγει, ἤγουν τὴν δίωξιν.

Ἰωλκὸς, πόλις Θεσσαλίας.

Ἰῶλκα, αὔλακα.

Ἰωλία, φήμη, δειλή.

Ἴωλον, μέλαν.

Ἰῶμαι, τὸ θεραπεύω. ἰάθην δὲ, ἀντὶ τοῦ ἐθεραπεύθην. καὶ θεῶμαι, τὸ βλέπω. ἐθεάθην δὲ, ἀντὶ τοῦ ἐθεωρήθην ὑφ' ἑτέρου. καὶ κτῶμαι, τὸ ἔχω. ἐκτήθην δὲ, ὑφ' ἑτέρου. καὶ ἐργάζομαι, τὸ ποιῶ. εἰργάσθην δὲ, ἀντὶ τοῦ ἐποιήθην. καὶ προσδέχομαι ἄλλον, προσεδέχθην δὲ ὑφ' ἑτέρου, καὶ ἄλλα μυρία τούτοις, παραπλήσια, ὧν ἐνεργητικά εἰσιν ἄχρηστα, καὶ τὰ παθητικὰ λαμβάνονται εἰς σημασίαν ἐνεργητικήν. τούτων οἱ πρῶτοι ἀόριστοι παθητικοὶ ἐὰν ὦσιν εὔχρηστοι, εἰς σημασίαν παθητικὴν λαμβάνονται.

Ἰῷ ἐμῷ, τῷ ἐμῷ βέλει.

Ἰῶμαι, τὸ βδελύττομαι, τὸ βιάζομαι, τὸ μορμολύττομαι, τὸ δεδίττομαι, τὸ σμικρολογοῦμαι. καὶ ἕτερα πολλὰ ῥήματα παθητικῶς γραφόμενα, σημαίνουσιν ἐνέργειαν.

Ἰῶμαί σε τοῦ νοσήματος.

Ἴωμεν, βαδίζωμεν, πορευθῶμεν, ἔλθωμεν.

Ἰῶν, βελῶν. ἰὼν δὲ ὀξυτόνως, ἀντὶ τοῦ πορευθείς.

Ἰὼν, ἐκ τοῦ ἴω, τὸ πορεύομαι. Ἰστέον ὅτι τρία εἰσὶ ῥήματα βαρύτονα, ὧν ἴω τὸ πορεύομαι, καὶ κίω καὶ ἔω, ὧν αἱ μετοχαὶ ὀξύνονται. οἷον ἰὼν, κιὼν, ἐὼν, ἤγουν ὑπάρχων.

Ἴωνες, τρυφηλοὶ καὶ μαλακοί εἰσι.

Ἴωνες, οἱ περὶ τὴν Ἀσίαν.

Ἰωνιὰ, λέγεται ἡ φυτεία τῶν ἴων. ὡς καὶ τῶν ῥόδων ῥοδωνιὰ, ὅπου τὰ ῥόδα φύεται. ἄνθος δὲ τὸ ἴον διάφορον μορφὴν ἔχον. ἃ μὲν γὰρ αὐτῶν ἐστι πορφυρὰ, ἃ δὲ λευκὰ, ἃ δὲ μέλανα. καὶ ἐν τούτων τῶν ἴων θαυμαστόν ἐστιν, ὅτι τῇ ποικιλίᾳ τῆς ὄψεως αὐτὰ καθ' ἑαυτὰ δύναται λειμῶνα πληροῦν.

Ἰωνία, χώρα, καθ' ἣν ἡ Σμύρνη, καὶ ἡ Ἔφεσος.

Ἰωνικὸς ἀπὸ μείζονος, ἐκ δύο μακρῶν, καὶ ἐκ δύο βραχέων ἑξάχρονος, οἷον Δημήτριος.

Ἰωνικὸς, ἀπὸ ἐλάσσονος ἐκ δύο βραχειῶν καὶ ἐκ δύο μακρῶν ἑξάχρονος, οἷον Διομήδης.

Ἰωνικὸς, ἑλληνικὸς, Ἀθηναῖος, ἀρχαῖος. καὶ Ἰωνικῶς, ἀντὶ τοῦ ἁβρῶς, ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.

Ἰωνὶς, χώρα.

Ἴωξις, ἡ δίωξις.

Ἰωνὸς, ἰχθὺς ποιός.

Ἰώνιον πέλαγος, ὁ Ἀδρίας.

Ἰωπάτερ, τὰ ἐν τοῖς ἱματίοις σημεῖα. Λάκωνες.

Ἰωρὸς, ὁ θυρωρὸς, ὁ φύλαξ.

Ἴωρος, κύριον, σημαίνει καὶ τὸν θυρωρὸν, καὶ τὸν φύλακα.

Ἰὼ σκότος ἐμὸν φάος, ἔρεβος ὦ φαεινότατον ἐμοί.

Ἰωτάπατα, πόλις. καὶ ἰωταπατηνὸς, ὁ ἀπ' αὐτῆς.

Ἰωχμὸς, θόρυβος.

Ἰωχμὸς, κατ' ἔλλειψιν τοῦ δ' ἡ δίωξις. ὁ δ' αὐτὸς καὶ διωγμός. ὁμοίως τῷ βρέγμα καὶ βρεχμὸς, καὶ ῥῆγμα καὶ ῥωχμός. ὥσπερ δὲ ἰωχμὸς κατ' ἔλλειψιν τοῦ δ, οὕτω καὶ ἰωχὴ ἡ δίωξις.

Ἴωψ, ἰχθὺς ποιὸς, παρὰ Καλλιμάχῳ.

Τέλος τοῦ ι. στοιχείου.

ἈΡΧῊ ΤΟΥ͂ Κ.

ΣΤΟΙΧΕΊΟΥ. ΤῸ ΑΥ̓ΤῸ ΜΕΤᾺ ΤΟΥ͂ Α.

Κάππα τὸ στοιχεῖον, ὅτι κάπυός ἐστιν εὕρημα. ἢ κάπα τι ὂν, τὸ ἔχον ὄπα, ὅ ἐστι φωνήν. τὰ γὰρ ψιλὰ ὑπὸ κάτω τῆς γλώσσης ἔχει τὴν προφορὰν τῆς φωνῆς.

Κααρτίας, βάτραχος.

Κακασαύριον, πορνεῖον.

Κάαυκα, περιδέραια, πλόκια.

Κάβαισος, ἄπληστος. κάβον γὰρ μέτρον σιτικόν. καὶ τὸν μέθυσον ἡμεῖς.

Κάβαξ, ὁ πανοῦργος.

Καβάσι, κατάβηθι, Λάκωνες.

Καββαλεῖν, ἀντὶ τοῦ καταβαλεῖν Δωριεῖς λέγουσι. κάββαλεν ἐν τῷ ἰῶτα τῆς Ἰλιάδος. ἢ ἁπλῶς ἀντὶ τοῦ ἔβαλεν, ὅ ἐστιν ἔθετο. ἢ βαστάξας ἄνω, εἶτα κατέθετο. οὕτω καὶ παλαιστὴς καταβάλλει τὸν ἀντίπαλον.

Καββαλὶς. ὁ καταβαλὼν, ὁ ἀπὸ κάπης ἅλις ἐσθίων. ἢ καββάλης, ὁ καταβάλλων, οἷον ὁ ἀπὸ ἄλλης κάπης ἐσθίων.

Καβάλλης, ἐργάτης ἵππος, καὶ ἡ πρώτη τοῦ τρικλίνου τομὴ διὰ τὸ ἀνάκλιτον.

Κάββηρα, ἑορτὴ ἀγομένη.

Καβδοῦχοι, σφενδονῆται ἄριστοι.

Καβεῖροι ἐν Σαμοθράκῃ. ὧν Μνασέας φησὶ τὰ ὀνόματα. τέσσαρές εἰσι τὸν ἀριθμὸν, ἀξίερος, ἀξιόκερσα, ἀξιόκερσος. ἀξίερος μὲν οὖν ἐστιν, ἡ Δημήτηρ. ἀξιόκερσα δὲ, ἡ Περσεφόνη. ἀξιόκερσος δὲ, ὁ ᾅδης. ὁ δὲ προστιθέμενος τέταρτος, κάσμιλος ὁ Ἑρμῆς ἐστιν, ὡς ἱστορεῖ Διονυσόδωρος. Ἀθηνίων δέ φησιν, ὅτι Διὸς καὶ Ἠλέκτρας ἐγένετο Ἰασίων καὶ Δάρδανος. καβεῖροι δὲ δοκοῦσιν προσαγορεύεσθαι, ἀπὸ καβείρων τῶν κατὰ Φρυγίαν ὀρῶν, ἐπεὶ ἐντεῦθεν μετηνέχθησαν. οἱ δὲ δύο εἶναι τοὺς καβείρους φασὶ πρότερον, πρεσβύτερον μὲν Δία, νεώτερον Διόνυσον.

Κάβειος, νέος, πάφιοι.

Καβειρὼν, πόλις. καὶ κάβειροι, ὄνομα ἔθνους. σημαίνει δὲ καὶ δαίμονας.

Κάβηξ, ὁ λάρος, διὰ τὸ ἀδδηφάγον. κάβη γὰρ, ἡ τροφή.

Κάβηλος, ὁ ἀποκεκαλυμμένος τὸ αἰδοῖον. οἱ δὲ ὄνομα, ἢ καὶ πῖλος πλεκτός.

Καβησὸς, πόλις. καὶ καβησόθεν, ἀπὸ καβησοῦ πόλεως.

Κάβλημα, περίστρωμα. Λάκωνες.

Κάβλη, μάνδαλος τῶν θυρῶν. Πάφιοι.

Καβλέει, καταπίνει.

Κάβος, εἶδος μέτρου, κάβου κάβος.

Καβύλη, χώρα τῆς Θράκης. ἵδρυμα πρὸς τῷ Τάξῳ ποταμῷ κατὰ μέσον τῆς Θράκης.

Καγαθῆσαι, νεκροῖς θῦσαι.

Καγκαίνει, θάλπει, ξηραίνει.

Καγκάλεα, κατακεκαυμένα.

Καγκαλόων, ὅ ἐστι χαίρων.

Κάγκανα, κατάξηρα ξύλα.

Καγκὲς, πτύελος.

Καγκύλας, κηκίδας, αἰολεῖς.

Κάγρα, καταφυγὰς, σαλμηροί.

Καγριλαὶ, χειμεριναί.

Καγχάζων, ἀσέμνως γελῶν.

Καγχαλόωσι, χαίρουσιν.

Κάγχαμος, κισσὸς ὑπὸ Κροτωνιατῶν.

Κάγχαρμοι, τὸ τὴν λόγχην ἄνω ἔχειν, Μακεδόνες.

Καγχλάζω, κακοδαιμονῶ, κακοπραγῶ, κάμνω, καταφιῶ, ἀμεταβάτως συντάσσονται.

Κάγχρυς, τὰς κριθὰς, καὶ καγχρυδίας ἄρτος. κάγχρυσιν, τὰς ἀληλεσμένας κριθάς.

* Κάγχρυς, κάχρυς, κάγχρυ κάχρυ, λιβανωτίδος τῆς καρπίμου ὁ καρπὸς, καὶ καχρυδίων πεφρυγμένων κριθῶν, καταχρηστικῶς δὲ πάντα τὰ πεφρυγμένα.

Καδαλίων κωλοβαθριστής. καὶ κάδαλοι, κοιλώματα.

Κάδαμος, τυφλὸς, σαλαμίνιοι.

Καδαρὸν, θολερόν.

Καδδ' ἔβαλεν, ἀντὶ τοῦ κατέβαλε, κατέρριψεν.

Καδδ' ἔθορε, κατεπήδησεν.

Κάδδης, ἁγιασμὸς ἑρμηνεύεται. καὶ συνοικήσει κύριος τὴν ἔρημον κάδδης. καὶ κάδης, ὄνομα τόπου.

Καδδίαθε, κάθισον.

Καδδ' εἶσε, κατεκάθισε.

Κάδδιχον, ἡμίεκτον, ἢ μέτρον. καὶ οἱ ταῖς θεοῖς θυόμενοι ἄρτοι, κάδδιχοι.

Καδδραθέτην, ἀντὶ τοῦ κατέδραθον αἰολικῶς. ἢ ἀντὶ κατεδραθέτην.

Καδδῦσαι, καταδῦσαι.

Καδίσκι, σίπυα, εἰς ἃ τὰ ἱερὰ ἐτίθεσαν. καὶ τὰ ἀγγεῖα, εἰς ἃ τὰς ψήφους ἔφερον.

Καδίσκους, τοὺς ἐν τῷ δικαστηρίῳ κάδους, ἐν οἷς τὰς ψήφους καθίεσαν. ὑποκοριστικῶς λέγει Ἀριστοφάνης ἐπὶ τοὺς καδίσκους τοὺς κάδους τῆς κλεψύδρας, ὅπου αἱ ψῆφοι. ὑποκοριστικῶς δὲ τὰς κάλπεις, ἔνθα τὰς ψήφους καθίεσαν οἱ δικάζοντες. ἐκ τούτου δηλοῖ τὴν ἐπὶ τὸ δικαστήριον ἄφιξιν, δύο καδίσκοι ἦσαν τῶν ψήφων, εἷς μὲν ὁ ἐλέου ὀπίσω, ἕτερος δὲ ὁ ἔμπροσθεν θανάτου. ἄλλως, ἀμφορεῖς ἦσαν. ὧν ὁ μὲν κύριος λεγόμενος, εἰς ὃν τὴν κυρίαν ψῆφον καθίεσαν οἱ δικασταὶ, ἢ καὶ δικάζοντες ἢ ἀπολύοντες. ὁ δὲ ἕτερος ξύλινος, εἰς ὃν τὰς ἀκύρους καθίεσαν. ὁπότε δὲ πάντες διεψηφίσαντο, εἰς χαλκοῦν κάδον διηριθμοῦντο οἱ ψῆφοι, κατεδίκαζον μὲν αἱ τετρυπημέναι, ἀπέλυον δὲ αἱ πλήρεις.

Καδμίλος, ὁ Ἑρμῆς Βοιωτικῶς, οὗ καὶ κλεοβούλης υἱὸς ὁ Μυρτίλος, ὁ οἰνομάου ἡνίοχος.

Καδμεία νίκη, οἱ μὲν ἐπὶ τοῖς ἀκερδοῦς καὶ ἀνωφελοῦς ἐξελάβοντο ψογερῶς. οἱ δὲ, ἐπὶ τῆς ἄκρας. καὶ καθ' ὑπερβολὴν καὶ τὸ ἅλμην δὲ ἔχειν. πῆ μὲν, πικρὸν ἄνθρωπον σκώπτει, πῆ δὲ, ἡδονὴν παραδηλοῖ, καὶ ὄφασιν εὔνοσον. ὁμοίῳ δὲ λόγῳ καὶ τὸ ἀπὸ δρυὸς ἢ πέτρας εἶναί τινα, οὐ μόνον ἀρχαιολογίαν παλαιοτάτην σημαίνει ὁμηρικώτερον, ἀλλὰ καὶ ἦθος ἀτέραμνον κατὰ καιρίαν, ἐστιν ὅτε παράχρησιν.

Καδμεῖος, ὁ Θηβαῖος.

Καδμείωνας, ἐστι πρωτότυπον οἱ Καδμεῖοι, καὶ ἔστιν ὡς παρωνυμικὸν, καθ' ὁμοιότητα τοῦ Ἀτρειῶν καὶ πηλείων καὶ τῶν ὁμοίων. οἱ δὲ Καδμεῖοι, ὥσπερ καὶ οἱ καδμείωνες ἐπωνύμως ἔχουσι πρὸς τὴν πατρίδα Θήβας, ἐξ ἧς Θηβαῖοι καλοῦνται. παρώνυμοι δέ εἰσι τῷ προγόνῳ κάδμῳ τῷ ἐκ Φοινίκης. παράγονται δὲ καδμεῖοι μὲν, ἀπὸ τῆς καδμηΐδος γῆς, ἵνα ᾖ ἐκεῖθεν καδμήϊος, καδμεῖος γὰρ κατὰ τὸ ἀχρήϊος. κάδμος δὲ δοκεῖ, ἀπὸ τοῦ κάζω τὸ κοσμῶ παρῆχθαι. καὶ τοὔνομα δηλοῖ τὸν κόσμον, τραπέντος κἀνταῦθα τοῦ ζ εἰς δ συνήθως, ὡς καὶ ἐν τῷ ὀκλάζω ὀκλαδίας δίφρος, καὶ χειμάζω χειμάδιον.

Κάδμος οὐ κύριον μόνον, ἀλλὰ καὶ Ἑρμοῦ ἐπίθετον, οὗ παράγωγον ὁ Καδμίλος παρὰ Λυκόφρονι. καὶ ὄρους δὲ ὄνομα. φησὶ γοῦν ὁ Στράβων, ὅτι κάδμος ὄρος, ἐξ οὗ Λύκος ῥέει ποταμὸς ἀμεγέθης.

Κάδμος, ὡς Ἑλλάνικος ἱστορεῖ ἐν α φορωνίδος, ἔσπειρε τοὺς ὀδόντας τοῦ δράκοντος, κατὰ Ἄρεως βούλησιν. καὶ ἐγένοντο πέντε ἄνδρες ἔνοπλοι, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Περήνωρ, Ἐχίων. ὁ δὲ Ἀπολλώνιος πολλοὺς οἴεται καὶ ἄλλους πολεμίους πεπολεμηκέναι. ἐν δὲ τῷ τρίτῳ τῆς Μουσαίου τιτανογραφίας λέγεται, ὡς Κάδμος ἐκ τοῦ δελφικοῦ ἐπορεύετο προκαθηγουμένης αὐτῷ τῆς βοός. Ἱππίας δὲ ὁ δήλιος ἐν

ἐθνῶν

Digitized by Google

ἐθνῶν ὀνομασίαις φησὶν, ἔθνος τι καλεῖσθαι σπαρτοὺς, καὶ ὁμοίως Ἀτρόμενος. Φερεκύδης δὲ ἐν τῇ πέμπτῃ οὕτω φησὶν, ἐπειδὴ Κάδμος κατῳκίσθη ἐν Θήβῃσιν, Ἄρης δίδοι αὐτῷ, καὶ Ἀθηναίη, τοῦ ὄφιος τοὺς ἡμίσεις ὀδόντας, τοὺς δὲ ἡμίσεις Αἰήτῃ. καὶ ὁ Κάδμος αὐτίκα σπείρει αὐτοὺς εἰς τὴν ἄρουραν, Ἄρεως κελεύσαντος, καὶ αὐτῷ ἀναφύονται ἄνδρες ὡπλισμένοι. ὁ δὲ Κάδμος δείσας, βάλλει αὐτοὺς λίθοισιν, οἱ δὲ δοκέοντες ὑφ' ἑαυτῶν βάλλεσθαι, κτείνουσί τε ἀλλήλους καὶ θνήσκουσι, πλὴν πέντε ἀνδρῶν, Οὐδαίου, Χθονίου, Ἐχίονος, Πέλωρος, Ὑπερήνορος, καὶ αὐτοὺς Κάδμος πολίτας κατῴκισεν ἐν Θήβαις. λέγει καὶ Ἑλλάνικος, ὅτι Κάδμος ἐξελὼν τοῦ ὄφεος τοὺς ὀδόντας ἔσπειρεν, ἐκ δὲ αὐτῶν πέντε ἄνδρες ἔφυσαν, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ἐχίων, Ὑπερήνωρ, καὶ ὁ μὲν Ἑλλάνικος, μόνους φησὶ τούτους βεβλαστηκέναι. ὁ δὲ, Ἀπολλώνιος πολλοὺς καὶ ἄλλους.

Κάδος, κεράμιον.

Κάδος, παρὰ τὸ χαδῶ, τὸ χωρῶ, περισπωμένως. ὁ μέλλων χαδήσω, ἀφ' οὗ τὸ κεχάδησα κατὰ ἀναδιπλασιασμὸν, ῥηματικὸν ὄνομα χάδος καὶ κάδος, τὸ χωρητικὸν ἀγγεῖον.

Κάδουσα, εἶδος σταφυλῆς.

Καδρανὲς, καταφερές.

Κάδριστον, κάθιστον.

Κάδυρος, κάπρος, ἄνορχις.

Κάσα, καλαμίνθα.

Κάειρα γυνὴ, ἡ καρίνη κατὰ τοὺς παλαιούς. ἢ καρική. ἤτοι ἐκ Καρίας. παρὰ δὲ Ἡροδότῳ κεῖται καὶ ἐθνικῶς κάειρα. ἔστι δὲ εὑρεῖν παρά τισι τῶν παλαιῶν, καὶ ὅτι διὰ τοῦ ι τινὲς τὸ κάειρα γράφοντες, εἶτα καὶ δισυλλάβως καῖρα συναιρεθέντες, ἔλεγον. κατὰ τὸν ὅμοιον δὲ τρόπον καὶ Δάειρα κατὰ Αἴλιον Διονύσιον διὰ τοῦ ι γραφὲν πρός τινων, εἶτα συναιρεθὲν δισυλλάβως ὑπὸ Ἀττικῶν, δαῖρα ὀνομάζεται, ἣν δέ φασι μήτηρ ἐλευσῖνος.

Καθὰ, οἱ Ἀττικοὶ χρῶνται, καθὼς οὐδέποτε.

Καθαγιάσω, καύσω, καθιερώσω.

Καθαγιάζεται. ἀφιεροῦται.

Καθαλλόμενος, καταπηδήσας. ὁ δὲ καθαλλόμενος τοῦ ἵππου, καὶ τὸ ξίφος ἑλκύσας παίει αὐτόν.

Καθαίρεσις, ἡ καταστροφὴ, καὶ κατάλυσις.

Καθαιρήσετε, ἀντὶ τοῦ καθελεῖτε. οὕτως Θουκυδίδης, καὶ τῶν ἄλλων οἱ πλεῖστοι.

Καθαιρήσονται, καταλήψονται.

Καθαίρω, ἁγνίζω, ἁγνεύω, σμήχω, ἀφοσιῶ.

Καθαίρω σε τοῦ ῥύπου, καὶ ἀπὸ ῥύπου.

Καθαίρω, θεία λέξις παρὰ τοῖς παλαιοῖς. ἐξ οὗ καὶ οἱ θρυλλούμενοι καθαρμοὶ, τὸ μέντοι κάθαρμα, οὐ σεμνὴ λέξις. ὡς οὐδὲ τὸ λῦμα, ὅθεν ὁ λυμεών.

Καθαίρω παροξυτόνως, τὸ ἀποπλύνω.

Καθαιρῶ περισπωμένως, τὸ καταβάλλω. καθαιροῦμαι, τὸ καταβάλλομαι.

Καθαιρήσουσιν, ἀντὶ τοῦ καθελοῦσι τὰ βλέφαρα, καὶ οὕτω μῦσαι ποιήσουσι τοὺς ὀφθαλμοὺς καλύψαντες.

Καθάπαξ, ἀντὶ τοῦ εἰς τὸ παντελὲς, ἅπαξ εἰρεῖσθαι οἱ παλαιοὶ σημειοῦνται παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ ἐν φ΄, λέγοντες καὶ ὅτι οὐδὲ κατάληξις εἰς ξ, καὶ ἀρχὴ αὖθις ἀπὸ τοῦ αὐτοῦ ἑτέρωθι τοῦ ἐστὶ παρὰ τῷ Ποιητῇ, ἀλλ' ἢ μόνον ἐνταῦθα, ἐν τῷ καθάπαξ ξείνῳ δόμεναι.

Καθαπτόμενος ἐπέεσιν, ἀντὶ τοῦ φιλοφρονούμενος. ὅπερ ἐντελέστερον ἔχει ἐν τῷ μαλακοῖς καθαπτόμενος ἐπέεσσι.

Καθάπτεσθαι, τὸ ἐπιτιμᾶν. καὶ γενικῇ συντάσσεται.

Καθάπτεσθαι ἐν β΄ Ὀδυσσείας λέγει Ὅμηρος, τὸ ἀμείβεσθαι, ἢ ἀποτείνεσθαι ἁπλῶς διὰ λόγου πρός τινα. ἐπεὶ καὶ ἅπτεσθαι τινῶν, οὐ μόνον σωματικῶς, ἀλλὰ καὶ λόγοις λεγόμεθα, οὕτω καὶ τὸ καθαπτόμενος φίλον ἦτορ, ἀντὶ τοῦ ἑαυτῷ λαλῶν. παρὰ μέντοι τοῖς ὕστερον καθάπτεσθαι λέγεται, τὸ τραχύτερον ἐν λόγοις προσφέρεσθαι, καὶ μετὰ γενικῆς.

Καθάπτεσθαι παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, τὸ λογικῶς ἀποτείνεσθαι. οἷον ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ, τουτέστιν πρὸς τὴν καρδίαν ἀποτεινόμενος.

Καθάπτεσθαι λόγοις, οὐκ ἀεὶ ἐπὶ δυστρόπου ὕβρεως, ἀλλὰ καὶ ἁπλῶς, ἐπὶ τοῦ ὁμιλεῖν, καὶ λόγον τινὰ ἀξιοῦν. Ὅμηρος, ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσι, ἀντὶ τοῦ καθάπτου.

Καθάπτομαι τοῦ δεῖνος, καὶ ἅπτομαι, ἐπὶ τοῦ αὐτοῦ.

Καθάπτομαι, τὸ σφόδρα λυπῶ, συντάττεται καὶ πρὸς γενικὴν καὶ πρὸς αἰτιατικήν.

Καθαπτόμενος, ἐπιπλήττων.

Καθαπτόμενοι, αἰσθανόμενοι σφοδρῶς. παρὰ τῷ Ἱπποκράτει.

Καθαπτὸς, ἐνδεδυμένος. Ἀριστοφάνης, νεβρῶν δοραῖς καθαπτός.

Κάθαπτος, τῷ τόνῳ, ὡς μόναρχος. λέγει δὲ τὸν καθημένον καὶ ἐπερραμένον τὰς δορὰς καὶ τοὺς θυρεοὺς ἐξεσφηκωμένους φοροῦντα.

Καθάρβυλος, χλανὶς ποδήρης ἕως τῶν ἀρβύλων.

Κάθαρμα, παρὰ τὸ καθαίρω, ὁ μέλλων καθαρῶ, κεκάθαρκα, κεκάθαρμαι, οἱονεὶ τὸ ἀποκαθάρισμα. ἢ καὶ τὸ χοιρίδιον, ᾧ τὴν ἑστίαν ἐκάθαιρον ἐν ταῖς ἐκτροπίαις. ὁ δὲ ἐπιτελῶν δημοσίως, περιστίαρχος ἐλέγετο.

Καθαρθῆναι, μαστιγωθῆναι.

Καθαρίζων, κομψευόμενος.

Καθαρεύω, καθαρός εἰμι. Ἀριστοφάνης, τὴν γνώμην μὴ καθαρεύοι.

Καθάρματα ἐλέγοντο, οἱ ἐπὶ τῇ καθάρσει λοιμοῦ τινὸς, ἢ τινὸς ἑτέρας νόσου θυόμενοι τοῖς θεοῖς. τουτὶ δὲ τὸ ἔθος καὶ παρὰ Ῥωμαίοις ἐπεκράτησε. λέγεται δὲ καὶ καθαρισμός.

Καθάρματα, ἔτρεφόν τινας Ἀθηναῖοι λίαν ἀγεννεῖς καὶ ἀχρήστους, καὶ ἐν καιρῷ συμφορᾶς τινὸς ἐπελθούσης τῇ πόλει, λοιμοῦ λέγω, ἢ τοιούτου τινὸς, ἔθυον τούτους, ἕνεκα τοῦ καθαρθῆναι τοῦ μιάσματος. οὓς καὶ ἐπωνόμαζον καθάρματα.

Κάθαρνοι, ἱερεῖς Δήμητρος, ἢ σωροί.

Καθαροὶ, οἱ τὴν καθολικὴν ἀρετὴν κεκτημένοι, καὶ μηδὲν ἑαυτοῖς συνειδότες πονηρόν. ἢ οἱ ἐν σωφροσύνῃ διάγοντες. ὡς τὸ, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ.

Καθαρὸς τῇ καρδίᾳ ἐστὶν, ὁ μὴ λαμβανόμενος ἑαυτοῦ ἐπὶ ἐντολῇ θεοῦ ἀθετήσει, ἢ ἐλλείψει, καθηγητίς ἐστιν ἡ ἀμέλεια.

Κάθαρσίς ἐστιν, ἀπόκρισις χειρόνων, καὶ ἔκπλυσις μολυσμάτων.

Καθαροποιεῖ, σαίρει.

Καθάρσιον. Αἰσχίνης κατὰ Τιμάρχου, ἔθος ἦν Ἀθήνῃσι καθαίρειν τὴν ἐκκλησίαν, καὶ τὰ θέατρα, καὶ ὅλως τὰς τοῦ δήμου συνόδους, μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. τοῦτο δ' ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, οἵπερ ὠνομάσθησαν οὕτως, ἢ ἀπὸ τοῦ περιστείχειν, ἢ ἀπὸ τῆς ἑστίας.

Καθαρσιώτερα, λαμπρότερα.

Καθαρῶς, ἀκριβῶς, σαφῶς.

Καθ' αὑτό ἐστι, τὸ πρώτως κατ' οὐσίαν προσόν τινι, καὶ μὴ κατὰ συμβεβηκὸς, ὡς τὸ λογικόν. τοῦτο γὰρ οὐσιωδῶς πρόσεστι τῷ ἀνθρώπῳ.

Καθαῦσαι, ἀφανίσαι.

Καθ' ἑαυτὸν, καὶ κατ' ἐμαυτὸν, καὶ κατὰ σαυτὸν λέγουσιν οἱ Ἀττικοὶ, ἀντὶ τοῦ εἰπεῖν, ἰδίᾳ μηδενὸς ἄλλου γινώσκοντος.

Καθεδεῖται καὶ καθιεῖται, κάλλιον λέγειν ἢ καθίσει.

Καθεδοῦμαι, μαχοῦμαι, ὀμοῦμαι, ἃ ἐνεστῶτες ὄντες, μέλλοντος ἔχουσι σημασίαν.

Καθεδοῦμαι, καθεσθήσομαι.

Καθέδρα, ἡ ἐπίσχεσις παρὰ Θουκυδίδῃ. καὶ θυσία Ἀδώνιδος.

Καθέζομαι, ἐπὶ τὴν καθέδραν καὶ τὸν σκίποδα.

Καθέζομαι, ἐκαθεζόμην, καθεδοῦμαι, καθεδούμενος, καθεδεῖσθαι, καὶ ὅσα ἀπὸ τούτων, καθίζω καὶ καθίζομαι, καὶ καθίζω ἕτερον.

Καθεικέναι, καθεικὼς, πέμψας.

Καθεῖλον, κατέβαλον.

Καθειμένος τὸν πώγωνα, ἢ βαθὺν ἔχων, ἐκ τοῦ εἷω, μέλλων εἵσω, ὁ παρακείμενος εἷκα, ὁ παθητικὸς εἷμαι, ἡ μετοχὴ ὁ εἱμένος, καὶ μετὰ τῆς κατὰ προθέσεως καθειμένος.

Καθεῖναι, χαλάσαι. καὶ καθείς.

Καθειμένην, κεχαλασμένην.

Καθεῖλας, κατέλυσας, ἀπέκτεινας, κατέβαλες.

Καθεῖναι, ἐπὶ τὸ κάτω ἀπολῦσαι.

Καθεῖντο, ἐκρέμαντο.

Καθείργνυται, συγκλείεται.

Καθεῖρκται, ἠσφάλισται. καὶ καθειρκτω, πεφυλακίσθω παρὰ τὴν εἱρκτήν.

Καθεῖρκτο, ἐγκέκλειστο.

Καθ' εἱρμὸν, κατὰ ἡρμοσμένην ἀκολουθίαν.

Καθεὶς, ἐμβαλὼν, χαλάσας.

Καθεστὸν, εἶδος φιλήματος.

Καθεῖσεν, ἀπὸ τοῦ ἕω, οἷον τὸ κάθημαι, τροχαιοθὲν φυλάσσει τὸν τόνον, ὡς τὸ ἄνωγε, καὶ τὰ ὅμοια, καὶ εἶχε μὲν εἰπεῖν κάθισε διὰ τοῦ ι, ὡς ἐκ τοῦ καθίζω, καθίσω, ἔδοξε δὲ αὐτῷ μὴ οὕτω γράψαι. ἀλλ' ἑτέρως.

Καθεῖτο τὴν ὑπήνην, οὐ μακρὰν εἶχε.

Καθ' ἑκάστην, Ἀττικῶς λέγει τὴν ἡμέραν.

Καθεκτὸν, ἐφικτὸν, καταληπτόν.

Καθελεῖν καὶ ἡ καθαίρεσις, ὡς ἐπὶ ταπεινώσεώς λέγεταί τινος, ἢ καταρρίψεως ἀριδηλότατόν ἐστι.

Καθελεῖν, καταβαλεῖν.

Καθελεῖν σελήνην, ἐδόκουν αἱ Θετταλαὶ τὴν σελήνην κατάγειν.

Καθελεῖν ὀφθαλμοὺς, τὸ νεκρικῶς, καλύψαι.

Καθελεῖς, κατενέγκεις.

Καθέλκειν, τὸ κάτω ῥέπειν. τὸ ἐναντίον αὐτῷ, τὸ ἀνέλκειν.

Καθέλκομαι, παρασύρομαι.

Καθελὼν, ἕλω τὸ λαμβάνω ἄχρηστον, ὁ μέλλων ἑλῶ, ὁ β΄ ἀόριστος εἷλον, ὃ δηλοῖ κατέλαβον, ὡς ἐν τῷ ζῶον ἕλον. καὶ τὸ ἀνεῖλον ποιητικῶς, ἡ μετοχὴ ἑλὼν, καὶ μετὰ τῆς κατὰ προθέσεως καθελὼν, κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ ψιλοῦ εἰς δασύ.

Καθελὼν, ἀντὶ τοῦ καταβιβάσας. Δημοσθένης δὲ καὶ Στησίχορος καὶ Σοφοκλῆς ἀντὶ τοῦ ἀνελὼν, ἤτοι ἀποκτείνας.

Κάθεμα, ὁ κατὰ στήθους ὅρμος.

Καθέντες, καταγαγόντες, καταχαλάσαντες.

Καθέξει, κρατήσει.

Καθέξομαι ἀνέχομαι, ἀνέξομαι.

Κάθεο, σύνθετον ἐκ τοῦ κάθησο, ἐνδείᾳ φασὶ καὶ συστολῇ καὶ συναλοιφῇ κάθου παρὰ Μενάνδρῳ, ὁριστικὸν δὲ τοῦ κάθησο τὸ ἐκάθησο, κατὰ τὸ ἐκαθεζόμην ἐκάθευδον.

Κάθες, χάλασον.

Κάθεσαν, κατέθεσαν.

Κάθεσιν, καταγωγὴν, οἴκησιν.

Καθεσταμένος, ἐπὶ τῆς γάζης τεταγμένος.

Καθεστάμενος, ἐπιτετραμμένος.

Καθέστηκε τὸ φρόνημα, ἀντὶ τοῦ σῶον αὐτὸ ἔχει.

Καθεστῶτα, ἠρεμοῦντα.

Καθεστώτων νόμων, τῶν ὡρισμένων.

Καθεστῶτι, ἡσύχῳ, ἀταράχῳ.

Κάθετος ὁ καθήμενος εἰς τὸ πέλαγος ἀμνὸς, οὕτω Λυσίας καὶ Μελίτων.

Καθεύδειν, τὸ κοιμᾶσθαι, τὸ ἰαύειν. δηλοῦσι μὲν τὸ ὑπνοῦν. ἐνίοτε δὲ λαμβάνονται ἐπὶ τῆς ψιλῆς κατακλίσεως.

Καθεύδειν καὶ ὑπνοῦν διαφέρουσι. καὶ οὐκ ἀεὶ τὸ αὐτὸ ἐξ ἀνάγκης δηλοῦσιν. ἔστι γὰρ καθεύδειν μὲν, τὸ ἁπλῶς ἀναπίπτειν, ὡς ἐπὶ ὕπνῳ ὑπνοῦν, αὐτὸ δὴ τὸ ἐκλελύσθαι καὶ ἀπρακτεῖν τὰς αἰσθήσεις. οὕτω δὲ καὶ τὸ κοιμᾶσθαι τοῦ ὑπνοῦν διεγνώσχεν ἐν πολλοῖς, ὁμοίως τὸ καθεύδειν. ὡς καὶ ὅτε εἴπῃ, ὅτι κοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο.

Καθεῦδεν, οὐκ ἀνέδωκε τὸν τόνον, ἐπειδὴ ἀπὸ φύσει μακρᾶς ἤρξατο. τὸ γὰρ κάθευδε προπαροξύτονον προστακτικόν ἐστι ῥήματα τὰ κατὰ τοὺς παρῳχημένους χρόνους ἐν τοῖς ὁριστικοῖς ἀπαθῆ ὄντα, φυλάττει τὸν τόνον ἐν τῇ συνθέσει οἷον εἶχον κατεῖχον, εὗδε καθεῦδε.

Καθέω, οὐ μόνον τὸ κατατρέχω, ἀλλὰ καὶ τὸ κατέρχομαι Ἀριστείδης ἐν τῷ πανηγυρικῷ. οἱ δὲ εἰς αὐτὴν καθέουσί τε καὶ ἀναθέουσι.

Κάθη. ἀντὶ τοῦ κάθησαι, παράλογον, ὅτι πᾶν δεύτερον πρόσωπον τῶν παθητικῶν τῶν εἰς μι ῥημάτων, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τροπῇ τοῦ τ εἰς σ, οἷον τίθεται τίθεσαι, ἵσταται ἵστασαι, δίδοται δίδοσαι, καὶ κάθηται κάθησαι, καὶ ἀποβολῇ τοῦ σ καὶ συστολῇ κάθεσαι, καὶ κράσει κάθη.

Καθηγητὴς, διδάσκαλος.

Καθηγεῖσθαι ἀντὶ τοῦ ἡγεῖσθαι, παρὰ Ἡροδότῳ.

Καθηγητής ἐστιν ὁ προπαιδεύων τὸν προπαιδευόμενον. διδάσκαλος δὲ ὁ τὸν ἐν τοῖς προπαιδεύμασιν γυμνασθέντα διδάσκων.

Καθήγνισμαι, κεκάθαρμαι.

Καθηδυπάθειαν, τὴν σαρκικὴν ἐπιθυμίαν.

Καθῆκαν, ἐχάλασαν.

Καθῆκαν, προεβάλλοντο. οἱ δὲ ἐπ' ἐξαπάτῃ Ῥωμαίων καθῆκαν τὸν λόγον.

Καθηκούσαις, πρεπούσαις, καὶ ἀντὶ τοῦ διεκτεχούσαις. Ξενοφῶν ἐν τάφραις καθηκούσαις ἐπ' αὐτὸν τὸν τόπον.

Καθῆκε κόμας. παρὰ τοῖς μεθ' Ὅμηρον ῥήτορσι. καὶ γένειον καθημένον, τὸ βαθύ.

Καθηκόντως, δεόντως, πρεπόντως.

Καθήκειν, λέγεται καὶ ἐπὶ τοῦ προσήκειν καὶ ἁρμόττειν, καὶ ἐπὶ τοῦ ἐπιβάλλειν, καὶ ἐπὶ τοῦ διαφέρειν, δοτικῇ συντάσσεται. καθήκειν, καὶ τὸ διὰ κλίμακος κατέρχεσθαι, ἤτοι καταβαίνειν ἀμεταβάτως.

Καθήκοντα, Δημοσθένης ἐν ιά Φιλιππικῶν φησίν· ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν, ἀντὶ τοῦ τὰ ἥκοντα.

Καθηκόντως, δεόντως, πρεπόντως.

Καθηκούσαις, διεκτεχούσαις.

Καθήκουσιν, ἁρμόττουσιν.

Καθήλωσε, τοῖς ἥλοις ἔσφιγξεν.

Καθημαξευμένος, τετριμμένος, ἐγγυμνασμένος.

Κάθημαι, καὶ τὸ κάθηθαι, οὕτω κανονίζεται. ἕημι, καὶ τὸ παθητικὸν ἕεμαι καὶ ἧμι, ὡς τίθημι τίθεμαι. τὸ δὲ ἧμαι κράσει δύο εε εἰς η ἧμαι. καὶ μετὰ τῆς κατὰ, κάθημαι.

Κάθημαι ἐπὶ θρόνου, καὶ κάθημαι τήνδε τὴν καθέδραν.

Κάθημαι, ἰζάνω, καθιζάνω, ἐφιζάνω.

Καθήμενον πεδίον, τὸ ὁμαλόν. οἱ δὲ Ῥωμαῖοι ἐς καθήμενον πεδίον ἐστρατοπεδεύοντο.

Καθιμῆσε, κατένεγκεν, ἢ κατήντλησε.

Καθήπτετο, ὕβριζεν, ὠνείδιζεν.

Καθήρει, τοῦ ἀξιώματος κατέσπα.

Καθήρωτο τὰς γνώμας, ἀντὶ τοῦ εἰς δειλίαν ἐνέπιπτον.

Καθῆσθαι καὶ ἧσθαι, ἀπὸ τοῦ ἕζω, εἰς παθητικὸν παρακείμενον. τὸ δὲ κάθησθαι, ἀπὸ τοῦ ἕημι κανονίζεται. τὸ δὲ καθῆσθαι ἀπὸ τοῦ ἕζω. Διότι τὸ μὲν καθῆσθαι, σύνθετόν ἐστι. τὸ δὲ κάθησθαι, παρασύνθετον.

Καθήσθω, ἐκ τοῦ κάθημαι, ὁ ὑπερσυντέλικος ἐκαθήμην ἐκάθησο, καὶ τὸ προστακτικὸν κάθησο καθήσθω.

Κάθησο, ἐκ τοῦ κατὰ καὶ ἧσο, ἐν παραθέσει ἀναβιβάζει τὸν τόνον. ὡς τὸ ἀλλ' ἀέκουσα κάθησο. ἧσο καὶ καθῆσο, οὐκ ἀναβιβάζει τὸν τόνον, ὅτι θεματικὴν ἔχει τὴν σύνθεσιν.

Κάθησο διὰ τοῦ η, ἐπὶ τῶν καθημένων, πειρωμένων δὲ ἀνίστασθαι. ὡς φαμὲν πρός τινα ἡμῖν τῆς ἕδρας παραχωροῦντα, κάθησο, οἷον μένε καθήμενος.

Καθῆσο, ἐκ τοῦ ἕζω τὸ κάθημαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ὁ ὑπερσυντέλικος ἥσμην ἧσο ἧσο, καὶ μετὰ τῆς κατὰ καὶ συγκοπῇ καθῆσο.

Καθῆσο, ἐκαθέζετο.

Καθηρέθην, ἐκ τοῦ καθήρημαι παρακειμένου ὤφειλεν εἶναι καθηρήθην, κατὰ τὸν κανόνα τοῦ παρακειμένου λέγοντα, ὅτι ὁ ἀόριστος φυλάττει τὴν παραλήγουσαν τοῦ παρακειμένου, πλὴν ὅμως παρὰ τὸ αἱρῶ περισπώμενον.

Καθιᾶσι, τὸ χαλῶσι, αἰτιατικῇ συντάσσεται. καθιᾶσι τὴν ὁρμιὰν, ἀπὸ τοῦ καθίημι, κυρίως ἐπὶ τῶν ὑγρῶν, καὶ ἔτι ἐπὶ ἐνέδρας τὸν σφαγέα καθεὶς τὸν ὁμώτατον, ἤτοι ὑποβαλὼν, καὶ εἰς λόχον καθίσας.

Καθιγμένος, θέλων, φθάσαι.

Καθιγνίσαι, νεκροῖς θῦσαι.

Καθίδρυσαν, ἀσφαλῶς κατῴκισαν.

Καθιδρύσασθαι, βεβαιῶσαι.

Καθίδρυσεν, ἐστήριξεν.

Κάθιδρος, κεκμηκώς.

Καθίει, ἐπεχείρει, ἐνέβαλεν. ὁ δὲ καθίει πεῖραν ἐς τὸν ἄνδρα, οἰόμενος αὐτὸν ἕξειν κοινωνὸν, ὧν ὥρμηται.

Καθίει, ἀντὶ τοῦ κατέφερε, οὐ ἐτίθει τῷ τρυβλίῳ.

Καθιεὶς, ἐπιπέμπων.

Καθιεὶς, ἀντὶ τοῦ παρεσκευασμένος κεῖται παρὰ τῷ Ἀριστοφάνει. καθιεῖν δὲ κυρίως, τὸ χαλᾶν τὰ τῶν νεῶν ἱστία. καθιεὶς οὖν, ἀντὶ τοῦ καθειμένος πνέων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀνέμων.

Καθιεὶς, ἀντὶ τοῦ καταβαλών.

Καθιέναι ἑαυτὸν εἰς ζήτησιν, καθιέναι ἑαυτὸν εἰς πρᾶξιν, εἰς ἔργον.

Καθιεροῖ θεῷ, ἀνατίθησι.

Καθίεσαν, κατῆλθον.

Καθιζάνει, ἐγκάθηται.

Καθίζεσθε, καταπήξατε.

Καθίζεσθε, καθάψασθε, κρατήσατε.

Καθίζω, ἱδρύω, ἑδολιάζω, καθιδρύω.

Καθίζω ἐγὼ, καὶ καθίζω ἕτερον, καὶ ἐκάθισεν ἐκεῖνος, καὶ ἐκάθισεν ἄλλον. καὶ κεκαθικὼς ἐγὼ, καὶ κεκαθικὼς ἕτερον, καθίζω ἐνεστὼς, ἐκάθιζον παρατατικὸς, καθίσω μέλλων, ἐκάθισα ἀόριστος, καὶ εἷσα ποιητικῶς, ἐπὶ τῆς μεταβατικῆς τοῦ καθίζω σημασίας. τὸ δὲ καθέζομαι, οὔτε πάθος οὔτε ἐνέργειαν δηλοῖ. ὡς τὸ πλουτῶ, καὶ ὑγιαίνω. καὶ ἔστιν ἐνεστὼς μὲν καθέζομαι, καὶ κάθημαι ἐπὶ τοῦ αὐτοῦ, παρατατικὸς δὲ ἐκαθεζόμην, καὶ ἐκαθήμην. μέλλων καθεδήσομαι, ἢ καθεδοῦμαι, ἀόριστος ἐκαθέσθην, παρακείμενος ἧσμαι ποιητικῶς, ὑπερσυντέλικος ἥσμην ἀχρήστος, οὗ τὸ τρίτον ἧσο, καθῆσο, τὸ προστακτικὸν κάθησο, οὐχὶ κάθου. τὸ τρίτον καθήσθω, τὸ ὑποτακτικὸν κάθωμαι, ἡ μετοχὴ ὁ καθήμενος. τὸ δὲ καθεδήσομαι, καὶ ἐκαθέσθην, βάρβαρα.

Καθίκεο θυμόν. καὶ τὸ καθικέσθαι, ὅ ἐστιν ἅψασθαι, αἰτιατικῇ συνέταξεν Ὅμηρος, ὡς ἐν Ὀδυσσείᾳ, ἔνθα φησὶν ἐπεί με καθίκετο πένθος. οἱ δὲ μεθ' Ὅμηρον, γενικῇ συντάσσουσι.

Καθίκετο πένθος ἄλαστον, ἀντὶ τοῦ ἵκετο, καὶ κατέλαβε λέγει. οἱ δὲ ὕστερον ἐπὶ τοῦ καθάψασθαι τὴν λέξιν τιθέασι, καὶ γενικῇ συντάσσουσιν. οὕτω γὰρ καὶ ῥάβδῳ τις καθικέσθαι τινος λέγεται.

Καθικνεῖσθαι, καθάπτεσθαι.

Καθίκοντο, καθήψαντο, ἐχάλασαν.

Καθικόμενοι, καθαψάμενοι, ἐλθόντες.

Καθίκωμαι, αὐθυπόστακτον.

Καθιλύσας, ἀθροίσας.

Καθιμείσθω, καθιστάσθω.

Καθίμησε κατήντλησε.

Καθιμονᾶει, καθίησι.

Καθιμῶσι, χαλῶσι. καὶ καθιμῆσαι, χαλάσαι.

* Καθιννυσθαι, κατακλίνειν ἢ καθίζειν, καθίζεσθαι.

Καθίξας καὶ λυγιξεῖν, ἀντὶ τοῦ καθίσας καὶ λυγίσειν. προφέρουσι Δωριεῖς τοὺς μέλλοντας τῶν ῥημάτων εἰς ζω διὰ τοῦ ξ.

Καθίξη, γράφεται βαρυτόνως. ὁμοίως γὰρ οἱ Δωριεῖς ἡμῖν προφέρουσιν.

Καθιππάζεσθαι, συνελαύνειν, ἐρίζειν, συντρέχειν.

Καθίπταται, ἐπάνω πέτεται.

Καθίπταξις, πομπῆς ὄνομα παρὰ Λακεδαιμονίοις.

Κάθισαν, καθίδρυσαν.

Καθίσατο, ἱδρύσατο.

Κάθισον. μεταβατικῶς κεῖται παρ' Ὁμήρῳ. καθάπλούτισον, καὶ σωφρόνισον ἄλλον. ἔστι δὲ ὅτε καὶ ἀμετάβατόν ἐστιν, οἷον. καθίζω, ἀντὶ τοῦ καθέζομαι.

Κάθισον καὶ κάθησον διαφέρουσι. τὸ μὲν κάθισον, πρός τινα ἱστάμενον λέγεται, ἵνα δηλονότι καθίσῃ. τὸ δὲ κάθησο, πρὸς καθεζόμενον, ἵνα κάθηται, καὶ μὴ ἐξαναστῇ.

Καθίστα, ἑτοίμαζε, στῆσαι ποίησον.

Καθιστάμενος, πρὸς τὸ βέλτιον μετάγων.

Καθίσταται, ἀντὶ τοῦ γίνεται.

Καθίστατο, ἐπεμελεῖτο, ἐφρόντιζεν.

Καθιστῶ, δείκνυμι, ποιῶ.

Καθίστη, προστακτικὸν ἐκ τοῦ ἵστημι, παρατατικὸς ἵστην, ης, η, μετὰ προθέσεως καθίστη. Ἰσοκράτους, ἀλλὰ τὴν σεαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη.

Καθίστησι, προχειρίζεται.

Καθόδοις, ἀγωγαῖς, περιόδοις.

Κάθοδος, Ἀττικόν. ἐπάνοδος, ἐλληνικόν.

* Κάθοδος ἐπιμηνίων, ἡ τούτων ὀπισθόρμησις, ἀλλὰ δὴ καὶ ἡ τούτων ἔξοδος.

Κάθοδος, ἡ τῶν φυγάδων ἐπάνοδος, πρόοδος, ἡ προέλευσις, καὶ προχώρησις, καὶ ἡ ἐπίδοσις. ἔξοδος, ἡ ἐξαγωγή. ἧς τὸ ἐναντίον εἴσοδος, ἤτοι εἰσφορά. σύνοδος δὲ, ἡ συνέλευσις. πρόσοδος, ἡ προσφορὰ καὶ ἡ προσένεξις.

Καθολικῶς, καθόλου.

Καθ' ὁμοίωσιν τῆς ἀρετῆς, κατὰ τὸ δυνατὸν ὁμοίωσιν.

Καθολικὰ, συγγενικά. Λάκωνες.

Κάθομον, κατὰ τὸ αὐτό.

Κάθομον, κατὰ λόγον, καθ' ὅμοιον, καθ' ὁδὸν τὴν προσήκουσαν.

Καθοπτεύει, καθορᾷ.

Κάθοπτρον, ἀόρατον.

Καθορίζει, ὁρίζει.

Κάθορμα, τὰ ἔνορμα περιθέματα ἀρραβωνιακά. ἢ κόσμια περιτραχήλια.

Κάθος, πυρίς.

Καθουφλῶ, ἀλώπηκα.

Καθότι καὶ καθά. τὸ δὲ καθὼς παρὰ τοῖς δοκίμοις οὐκ (ἔστι.

Κάθου, ἐκ τοῦ ἐκάθουσο, ἀποβολῇ τοῦ σ, καὶ τροπῇ καὶ συναιρέσει ἐκάθου. καὶ τὸ προστακτικὸν κάθου. ἢ κάθου, ἀπὸ τοῦ ἕω, τὸ καθέζομαι. ὁ μέλλων ἕσω, ὁ δεύτερος ἀόριστος ἕον. ὁ μέσος ἑόμην ἕου, καὶ κράσει οὗ. τὸ προστακτικὸν μετὰ τῆς προθέσεως κάθου.

Καθοσίωσις, δικαίωσις, κατάκρισις.

Καθοσιούμενος, ἀντὶ τοῦ πληροφορῶν.

Καθοσιωθεῖσαι, ἀνατεθεῖσαι.

Καθόσον, ἐπίρρημα ὅσον.

Καθυλομανούντων, ὕλην ἐχόντων πολλήν.

Καθ' ὕπαρ, κατ' ὄναρ.

Καθ' ὑπερβολὴν, ὑπερβαλλόντως.

Καθ' ὑπερηκόντισαν, ὑπερεβάλλοντο, ἐνίκησαν.

Καθύπερθεν, ἄνωθεν, ὑπεράνωθεν.

Καθυπέρτερον, μεῖζον.

Καθυπερτέρους, πλεονεκτοῦντας.

Καθυπισχνεῖτο, ὁμολογεῖτο.

Καθυπόστασιν, τὸ ἐκ διαφόρων φύσεων ὑφεστὸς πρᾶ(γμα.

Καθυφαίνειν, ἐνδοῦναι, ὑποχωρεῖν, καθυποβάλλειν.

Καθυφηκέμην, ἀφῆκα, εἴασα.

Καθυφεὶς, καὶ καθυφέσθαι, ἢ ἐνδοὺς καὶ ἐνδοῦναι. Ἀριστοφάνης ἐν Βατράχοις, ὑφέσθαι μοι δοκεῖς.

Καθυφῆκε τοῦ ἀγῶνος, ἀντὶ τοῦ ὕφεσιν ἐποίησε.

Καθυφίεντο, ἀντελάττοντο, προεδίδοσαν τὸ δίκαιον.

Καθυφῆκεν, ἐνδέδωκεν, ὑποκατέβη.

Καθυφεὶς, προδοὺς, καταλίπης.

Καθομυρισμένα, καθ' Ὅμηρον εἰρημένα.

Καθ' ὥραν, ἐν πάσῃ ὥρᾳ, κατὰ καιρόν.

Καθωραΐζεται, σεμνύνεται.

Καθὼς, ὥσπερ, καθάπερ.

Καθωσιώθη πέλανος, παρὰ τῷ Ἀριστοφάνει, τοῖς καθήκουσι νόμοις ἀνιερώθη, καθηγνίσθη, ἢ ὁσίως ἀνετέθη.

Καθωσιωμένος, ἀνακείμενος, ἐγγεγραμμένος.

Καὶ, ὁ σύνδεσμος περιττὸς παρὰ τοῖς Ἀττικοῖς, καὶ τούτου μυρία παραδείγματά ἐστιν εὑρεῖν.

Καὶ σύνδεσμος, ἀεὶ ἐν τῷ λόγῳ διπλασιάζεται. οἷον ὁ Σωκράτης καὶ περιπατεῖ καὶ διαλέγεται, καὶ Σωκράτης γράφει, καὶ Πλάτων διαλέγεται, καὶ γράφω καὶ νοῶ, καὶ ὁ ἐμὸς δοῦλος καὶ ὁ σός, καὶ ἐγὼ καὶ σὺ γράφομεν.

Καὶ, προτάσσεται τῶν λέξεων. ὁ δὲ τε ἐπιφέρεται ἐγκλινόμενος, θεοί τε καὶ ἀνέρες. καὶ οὕτω τοι ἀλλήλοις συντάσσονται, ὥστε τὸν τε προηγεῖσθαι τοῦ καὶ. ἀρκτικὸς δὲ ὑπάρχων ὁ καὶ, δεῖ πάντως καὶ ἕτερον καὶ ἐπιφέρεσθαι, ἤτοι ῥῆμα συμπλέκοντα ῥήματι, ἢ ὄνομα ὀνόματι, ὅπως ἔτυχε συντασσόμενος ὁ πρῶτος. εἰ γάρ τις λέγοι,

Digitized by Google

λέγοι, καὶ περιπατεῖ Σωκράτης, ἐπιφέροι ἂν ἐξ ἀνάγκης, καὶ διαλέγεται, ἢ ποιοῦντι τι. εἰ δὲ Σωκράτης γράφει λέγοι, ἐποίσει δήπου καὶ Πλάτων, ἢ ἄλλος τίς. καθόλου γάρ τοι ἡγούμενος ὁ συμπλεκτικὸς, ἢ ὁ διαζευκτικὸς, ὅμοιον ἀπαιτεῖ μέρος, ἤτοι πτωτικὸν, ἢ ἄπτωτον. καὶ εἰ μὲν πτωτικὸν, τὴν αὐτὴν πτῶσιν. εἰ δὲ ἄπτωτον, τὴν αὐτὴν ἔγκλισιν, ἀλλ' οὐκ ἐξ ἀνάγκης, οἷον καὶ γράφω καὶ νοῶ, ἢ γράφω ἢ νοῶ. καὶ ὁ ἐμὸς δοῦλος, καὶ ὁ σός. καὶ ἔξεστι δὲ ἐπὶ τῆς αὐτῆς συντάξεως συνάπτειν ἀρθρικὰς εὐθείας ταῖς γενικαῖς, οἷον, ἄρισα τὰ ὁμηρικὰ ἔπη, καὶ τὰ Ἡσιόδου. διαφερούσης δὲ τῆς ἐγκλίσεως, τὸ αὐτὸ ῥῆμα φυλάττεσθαί γε ἀνάγκη. οἷον καὶ γράφω καὶ γράφοιμι, καὶ ἔλεγες καὶ λέγε. τῆς αὐτῆς δὲ οὔσης, διάφορα κεῖται τὰ ῥήματα, καὶ περιπατῶ καὶ διαλέγομαι. καὶ πτώσεις δὲ τὰς αὐτὰς ἀπαιτοῦσιν οἵτε συμπλεκτικοὶ καὶ διαζευκτικοὶ, ἡγούμενοί τε, καὶ μεταξὺ τιθέμενοι, ἐπὰν πρὸς τὸ αὐτὸ ἀναφέρωνται ῥῆμα. οἷον καὶ ἐγὼ καὶ σὺ γράφομεν, ἢ ἐμοῦ ἢ σοῦ φείδεται.

Καιάδας, παρὰ Λάκωσι βασιλικὴ φρουρὰ, καὶ Σικελιώταις. παρὰ δὲ Πέρσαις, οἴκημα μεσόνυκτέφρας. παρὰ δὲ Αἰθίοψιν, οἱ κακοῦργοι χρυσαῖς ἀλύσεσιν ἐδέδεντο. εἰς δὲ τὸν καιάδαν εἰώθασιν οἱ Λάκωνες τοὺς κακούργους ῥίπτειν.

Καίγε, καίτοι.

Καιδὴ, λοιπὸν ἤδη.

Καὶ ἄλλως, καὶ ἄνευ τούτων.

Καίατα, ὀρύγματα. ἢ τὰ ὑπὸ σεισμῶν καταῤῥαγέντα χωρία.

Καὶ αὖθις, καὶ αὖτις, καὶ πάλιν.

Καὶ αὐτῷ, καὶ ἐμοὶ αὐτῷ.

Καὶ ἀχνύμενοί περ, περιλυπούμενοι.

Καὶ γὰρ ῥὰ, καὶ γὰρ δή.

Καὶ δὴ, ἐπὶ τοῦ ἤδη.

Καὶ γάρ τοι, τοιγαροῦν.

Καὶ δή μοι, καὶ δὴ ἐμοί.

Καὶ ἓ, καὶ αὐτόν.

Καίεντο, ἐκαίοντο.

Καιέτα, καλαμίνθη, Βοιωτοί.

Καικάσαι, καταγελάσαι.

Καικίνης, ὁ καικίας ἄνεμος, ἀπὸ τοῦ καύκου ποταμοῦ.

Καικύλην, τὴν κεφαλήν.

Καὶ κλάει, κατάζει.

Καὶ μὲν δὴ, καὶ δὴ ἐμοῦ.

Καὶ μέντοι, καὶ ἔτι καὶ μήν.

Καὶ μὲν τῶν, καὶ τούτων μέν.

Καί με πρὸς μῦθος ἔειπε, καὶ προσεῖπέ με τῷ λόγῳ.

Καὶ μὴν, καὶ ἔτι.

Καί μιν, καὶ πρὸς αὐτήν.

Καὶ μὴν δὴ, ἀντὶ τοῦ ἀλλὰ μὲν οὖν, ἀντὶ τοῦ μᾶλλον μὲν οὖν.

Καιναὶ, πόλις.

Καινὸν, τὸ νεωστὶ κατεσκευασμένον, καὶ παράδοξον. κενὸν δὲ τὸ μάταιον, διὰ τοῦ ε ψιλοῦ.

Καινία, νίκη.

Καίειν τοὺς νεκροὺς, ὃ δὴ καὶ εἰσέτι παραμένει τισὶ τῶν βορείων βαρβάρων. ἐποίουν δὲ τοῦτο ἐκεῖνοι πρὸς ἔνδειξιν, τοῦ τὸ μὲν θεῖον τοῦ ἀνθρώπου ἄνω φορηθὲν, ὥσπερ ἐν ὀχήματι τῷ πυρὶ, προσμίξαι τοῖς οὐρανίοις, τὸ δὲ γήϊνον κάτω μεῖναι, τὸ μὲν πυρὶ δαπανηθὲν, τὸ δὲ ἐναπομεῖναι λειψάνοις ὀστῶν. οἱ δέ φασιν, ὅτι τὸ μὲν νεκρὸν οὐ καθαρὸν ἐδόκει, ἁγνισμὸς δέ τις ἦν, ἡ διὰ πυρὸς δαπάνη τοῦ νεκρωθέντος, ὅτι καὶ τὸ πῦρ ἁγνιστικὸν, διὸ καὶ οἱ καθαρμοὶ διὰ πυρὸς ἐγίνοντο. καὶ Εὐριπίδης δὲ τοιοῦτόν τι ἐμφαίνει, ὅπου φησὶν, ὅτι τὸ τῆς Κλυταιμνήστρας δέμας πυρὶ καθήγνισαι. ὁ δὲ Λυκόφρων τῇ προτέρᾳ ἐννοίᾳ συντρέχει, ἐν οἷς τὴν Σκύλλαν καυθεῖσαν δομηθῆναί φησιν, ἤγουν ἀνακτισθῆναι, ἀναζωωθῆναι, καὶ γενέσθαι κατὰ τὸν Ποιητὴν, κακὸν ἀθάνατον. ἔδοξε δέ τισιν οὐ μὴν ἀληθῶς, τὸν Ἡρακλέα κατάρξαι τῆς τῶν νεκρῶν καύσεως.

Καίεσθαι, ἐπὶ φλογός. τύφεσθαι, χωρὶς φλογός.

Καίεται πῦρ, ἀντὶ τοῦ ἀνάπτεται, ἢ ἐκπυροῦται. καίεταί τι ὑπὸ πυρὸς, ἀντὶ τοῦ ἀναλίσκεται.

Καικίας, ὄνομα ἀνέμου, τὸν δὲ αὐτὸν καὶ νότον καλοῦσί τινες.

Καινέα. λόγος τε κάλλος περιττὸν ἔχειν, καὶ ἀνδρεῖον εἶναι, καὶ ἄτρωτον διαμεῖναι μέχρι πέρατος τοῦ ζῆν, καθὰ καὶ ὁ Τελαμὼν Αἴας παρ' Ὁμήρῳ φαίνεται. ὁ δὲ μῦθος, φύσει ἄτρωτον αὐτὸν εἶναι. φησὶ Πλάτων, καὶ ὅτι παρθένος εὐπρεπής ποτε ἐγεγόνει. καὶ Ποσειδῶνος αὐτῇ συμμιγέντος αἰτησαμένη ἀνὴρ γενέσθαι, καὶ ἄτρωτος μεῖναι, ὧν ἤθελεν ἔτυχεν. λέγεται δὲ καὶ ὑπερφρονῆσαι. ἀκόντιον γάρ φησιν, ἐν ἀγορᾷ μέσῃ πήξας εἰς ὀρθὸν, θεὸν τοῦτο προσέταξεν ἀριθμεῖν, ὅθεν ἡ δίκη ποινὴν αὐτὸν ἀσεβείας εἰσπραττομένη, πεποίηκεν ὑπὸ τοῖς Κενταύροις, οἳ δρυσί τε καὶ ἐλάταις αὐτὸν εἰς γῆν ἤρεισαν, ἄῤῥηκτον καὶ ἄκαμπτον δῦντα ὑπὸ γῆν, θεινόμενον στιβαραῖς κατίγδην ἐλάταις ὥς φησιν Ἀπολλώνιος.

Καινέα μυθολογοῦσι πρότερον γεγονέναι γυναῖκα, εἶτα Ποσειδῶνος αὐτῇ πλησιάσαντος, μεταβληθῆναι εἰς ἄνδρα. τοῦτο γὰρ ᾔτησε καὶ ἀτρωσίαν. ἤρισε δὲ καὶ Ἀπόλλωνι, καὶ ἐνικήθη. οὗτος ἐκέλευε τοὺς παριόντας ὀμνύναι τὸ δόρυ αὐτοῦ. ἔνθα ἡ παροιμία, τὸ Καινέως δόρυ. τινὲς δέ φασι Καινέα συμπλεῦσαι τοῖς Ἀργοναύταις, οὐ κόρωνον. ὁ δὲ Ἀπολλώνιος παρὰ Πινδάρου εἴληφε λέγοντος, ὁ δὲ χλωροῖς ἐλάτῃσι τυπεὶς ᾤχετο Καινεὺς, σχίσας ὀρθῷ ποδὶ γᾶν. τοῦτο δὲ αὐτῷ συνέβη, διὰ τὸ μή τε θύειν τοῖς θεοῖς, μήτε εὔχεσθαι, ἀλλὰ τῷ ἑαυτοῦ δόρατι. διὸ Ζεὺς ἐφορμᾷ αὐτῷ τοὺς Κενταύρους. οἵτινες κατὰ γῆν αὐτὸν ὠθοῦσιν.

Καινίσαι, καινῷ χρήσασθαι. καὶ ἐγκαινίσαι.

Καινίτα, ἀδελφή.

Καινίτας, ἀδελφοὺς καὶ ἀδελφάς.

Καινεὺς, ὁποῖος ᾄδεται ὁ καινεύς.. τοιοῦτος δὲ παρά γε τοῖς μεθ' Ὅμηρον. καὶ ὁ μέγας Αἴας ἄτρωτος λεγόμενος τἆλλα δίχα γε τῆς πλευρᾶς, ὡς καὶ ἱστορεῖ ὁ Λυκόφρων.

Καινοπρεπὲς, μηχάνημά τι καινοπρεπές.

Καινὸς, τόπος ἐν τῷ δικαστηρίῳ οὕτω καλούμενος. εἰσὶ δὲ δ', παράβυστος, καινὸς, τρίγωνος, μέσος. Ἀριστοφάνης ἐς τὸ καινὸν ἐμπεσών. ἔστι δὲ καὶ ἐπίθετον.

Καινὸς, ὁ νέος οἶμαι, ὅτι κραινός τις ὢν, κατ' ἔλλειψιν τοῦ ρ καινὸς, οἱονεὶ ὁ ἤδη ἐπιτελεσθείς.

Καινοτάφια, μεθ' ὧν ἑλίσσεται ὁ νεκρός.

Καινοτομία, τὸ κατὰ πάντα τρόπον παρηλλαγμένον τοῦ νόμου τῆς κοινῆς φύσεως, καὶ ἐν μηδενὶ τῇ τῶν ἀνθρώπων συνηθείᾳ ἐξομοιούμενον, τοῦτον δὲ τὸν ὅρον ἀναγκαῖον ἐπίστασθαι, διὰ τοὺς κακῶς νοοῦντας τὴν καινοτομίαν ἐν Χριστῷ.

Καινοτομοῦνται, ἐνεργοῦνται.

Καινουργηκότα, νέα πράγματα ἐργασάμενον.

Καινουργισμὸς, ἡ ἀνακαίνισις. καὶ πρὸς τὸ ἀρχαῖον κάλλος ἀναμόρφωσις.

Καινόφιλος, καινόφιλον λέγουσι τὸν μὴ τοῖς αὐτοῖς φίλοις χρώμενον ἀεί.

Καινυμένα, διαφθείρουσα.

Καίνυσθαι, νικᾶν, ἀφαιρεῖσθαι, χοινεύεσθαι, μετρεῖν ἀγρόν.

Καίνυτο, ποιητικὴ λέξις, ἐκ τοῦ καίνυμι. εἴληπται δὲ ἀντὶ τοῦ πάνυ ἐνίκα. κυριολεκτεῖται δέ φασιν ἐπὶ τῶν ἐν πολέμῳ νικώντων, ὡς ἐκ τοῦ καίνειν, ὃ δηλοῖ τὸ κόπτειν. ἐπεὶ ταυτὸν τὸ καίνυσθαι καὶ κόπτειν.

Καινῶς, ἀντὶ τοῦ παραδόξως.

Καίνω, τὸ φονεύω. Εὐριπίδης, καίνει πατέρα παῖς. καίνω, καὶ τὸ κόπτω καὶ θερίζω.

Καιόμενα ξύλα, ἤτοι κοπτόμενα. Παυσανίας δὲ δανὰ, τὰ τοιαῦτα ξύλα δηλοῖ. φησὶ γὰρ δανὰ, εὐκέαστα, ξηρὰ, παρὰ τὸ δαίεσθαι. δῆλον δὲ, ὅτι εὐκέαστα τὰ εὔκλαστα. κεάσαι γὰρ ἐπὶ ξύλων, τὸ κόψαι, ὡς ἐν Ὀδυσσείᾳ.

Καὶ πολλὸν, καὶ πάνυ.

Καὶ ποτέ τοι, καὶ ποτέ σοι.

Καίπετος, ἀξίνη.

Καὶ προκατέδη, ἀντὶ τοῦ ἄφνω.

Καὶ ῥὰ, καὶ δὴ αὐτάρ.

Καί ῥ' ἐπιεισαμένη, καὶ δὴ ἐπελθοῦσα.

Καίραμα, μέρος νεώς. ἢ ἀμφίεσμα.

Καιράτιοι, οἱ Κνώσιοι, ἀπὸ ποταμοῦ.

Καιρατιοῦσι, τοῖς κέρασι πλήξουσι.

Καιρία, ἡ ἀπειλοῦσα θάνατον πληγή.

Καίρια, ἔγκερα, ἢ συμφέροντα. τίνι γὰρ πατρῷ φιλία γένεθλα πρόφρων ἀκοῦσαι.

Καιρίαι, τὰ μέρη τὰ λεπτὰ, βέβαια, ὠφέλιμα, ἢ ἐπικίνδυνα, θανάσιμα, ἢ ἐπιτήδεια.

Καίριον, ἢ θανάσιμον κατὰ τοὺς παλαιοὺς, παρὰ τὸ κῆρα, ἢ τὸ εὔκαιρον εἰς κίνδυνον.

Καίριον, εὔκαιρον, εὔστοχον, μέτριον. καὶ καίριον οὐδὲν λέγεις, ἀντὶ τοῦ οὐδὲν ἐπιτήδειον τῷ καιρῷ. σημαίνει καὶ τὸ ἐπικίνδυνον.

Καιριώτατα, ἐγκαιρότατα, ἐπικινδυνώτατα, θανάσιμα.

Καιρίῳ. Ὅμηρος, οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος, ἤγουν οὐκ ἐν ἐπιτηδείῳ μέρει. ὡς δηλοῖ καὶ ὁ γράψας, πληγῆναί τινα τὰ ἐπιτήδεια. ἰστέον δὲ, ὅτι καιρία πληγὴ μὲν εἰς ἣν ὁ πλήξας οὐκ ἀπώλεσε τὸν καιρόν. οὐ καιρία δὲ, ἀνάπαλιν. καὶ καίριος λόγος, καὶ ἄκαιρος, ὅμοιόν τινα νοῦν ἔχει.

Καιροθεοῦσι, κρατοῦσι, προτρέχουσι.

Καιρὸς, χρόνος ἐπιτήδειος εἰς ἐργασίαν. καὶ ἀκμὴ πρὸς τὸ συμφέρον, χρόνος ἀγαθοῦ τινὸς συνεργός.

Καιρός ἐστιν, ἐν ᾧ ἕκαστον ἐπιτήδειον παθεῖν ἢ ποιῆσαι.

Καιροφυλακῆσαι, καιρὸν ἐπιτηρῆσαι.

Καιροσέων ὀθονέων, ἀντὶ τοῦ εὐυφῶν, εὖ κεκαιρωμένων, ἤτοι ἀγαθὸν ἐχουσῶν καίρωμα, ὅ ἐστι μίτωμα. καῖρος δέ φασι καὶ καίρωμα, τὸ διάπλεγμα, ὃ οὐκ ἐᾷ τοὺς στήμονας συγχέεσθαι. ἐξ οὗ καιρωστρίδες. ἡ καιρωστρίδες γυναῖκες παρὰ Καλλιμάχῳ, ἀντὶ τοῦ ὑφάντριαι. ὁ δὲ εἰπὼν τὸ καιρωσέων, ἀντὶ κροσσωτῶν θυσανωτῶν, λέγει καὶ ὅτι καῖρος σειρὰ, δι' ἧς οἱ στήμονες καθίενται. καὶ ὅρα ἐν τούτοις τὸ καῖρος βαρυνθὲν, πρὸς διαστολὴν χρονικοῦ τοῦ καιρός. ἔτι δὲ κατὰ ἄλλους. καὶ ἑτέρως καίρωμα ἡ διαπλοκὴ τοῦ διάσματος, ἐν ᾗ οἱ στήμονες καθίενται. καὶ ἄλλως δὲ τὸ διαπλεκόμενον παρὰ τὸν μίτον, ὡς ἂν οἱ στήμονες μὴ συγχέωνται. μίτος, δι' οὗ τοὺς στήμονας ἐναλλάττουσι, εἰς πλοκὴν τῆς κρόκης. οἱ δέ φασιν, ὅτι καῖρος αὐτὸς ὁ μίτος ἐστὶν, ἐξ οὗ παράγωγον ὁ καιρόεις, οὗ θηλυκὸν, καιρόεσσα, γενικὴ πληθυντικῶν καιροεσσῶν, καὶ συγκοπῇ καιροσσῶν, καὶ Ἰωνικῶς καιροσέων. ἢ ἄλλως, ὡς εἴρηται καὶ μεταθέσει καιροσέων, ὅ ἐστιν εὐμίτων. ἄλλοι δὲ εὐθεῖαν εἶπον, ἡ καίροσσα, μονήρη λέξιν. ὅθεν γενικὴ πληθυντικὴ καιροσσῶν, καὶ καιροσέων Ἰωνικῶς.

Καιροστρίδες, αἱ ὑφάντριαι. καίρωσις γὰρ, ἡ πλοκὴ τοῦ μίτου.

Καιρῷ, ῥοπάλῳ.

Καισάρεια, ἡ μητρόπολις, ἀπὸ τοῦ Καίσαρος.

Καισάραι, περικεφάλαιαι.

Καίτραι, ὅπλα ἰβυρικὰ, οἱ δὲ κυρτίας.

Καὶ χερσὶ καὶ ἔργοις, καὶ ὡς καὶ ὅμως.

Καίω κάω, αἴθω, δαίω, πιμπρῶ, ἐμπιπρῶ, σμύχω, τύφω, φλέγω, φλογίζω.

Καίω, ὁ μέλλων καύσω. ἐφ' ὧν γὰρ οἱ Ἀττικοὶ τὸ ι ἀποβάλλουσι κατὰ τὸν ἐνεστῶτα, πλεονάζουσι κατὰ τὸν μέλλοντα, τὸ υ. οἷον κλαίω κλαύσω, καίω καύσω.

Κακὰ, κακία, ἢ ὄρνεον.

* Κακαγγελίη, κακοῤῥημοσύνη, κακολογία.

Κάκαιοι, βολβοί.

Κακὰ εἵματα ἐνδεδύσθαι, τοὺς κακοείμονας πτωχοὺς συνέθηκεν.

Κακὰ εἵμενες, κακοείμων ἂν εἴη.

Κακὰ ἐλέγχεα, εἶδος ἀγητοὶ, ἀντιθέτῳ ἔοικε σχήματι. λέγει γὰρ ὅτι καλοὶ μὲν τὸ εἶδος ἐστὲ, κακοὶ δὲ τὰς πράξεις, καὶ ἐλέγχιστοι.

Κακὰ κακῶς, παροιμιῶδες. Ἀριστοφάνης, καὶ ταῦτα μέν τοι κακὰ κακῶς.

Κακκάβη, σκεῦος πρὸς ἕψησιν ἐπιτήδειον, παρὰ τῷ κάμπτω τὸ κοιλαίνω, ἀφ' οὗ ῥηματικὸν ὄνομα κάβη. καὶ κατὰ ἀναδιπλασιασμὸν, καὶ πλεονασμὸν τοῦ κ, κάκκαβος. ἀναλογώτερον δὲ θέλουσι λέγειν ἡ κάκκαβος θηλυκῶς. τὸ γὰρ ἀρσενικὸν παντελῶς ἀδόκιμον, οὕτως Ὧρος ὁ μιλήσιος.

Κακάβα, πέρδιξ. κακκάβη, χεῖρος ἢ χύτραν, ἣν ἡμεῖς κάκκαβον.
Κάκκαβος, ἡ λοπάς, ἡ πέρδιξ.
Κακκάζειν, τὰς ὄρνις τὰς πρὸς τὸ τίκτειν φθεγγομένας, Ἀττικοί.
Κάκαλα, τείχη. Αἰσχύλος νιόβῃ.
Κακάλεα, καταπεκαυμένα.
Κακαλὶς, νάρκισσος.
Κακὰ μήσατο, κακὰ ἐβουλεύσατο.
Κάκκαλον, κάπαξον.
Κακανδρία, ἡ δειλία.
Κακανδρίας, ἐπὶ κακὰ δυνάμεως.
Κάκας, ἐπιβάθρας, τὰς τῆς κακίας ὑπηρέσιας ἐπιβεβηκότας.
Κακκεῦαι, κατακαῦσαι, κοιμηθῆναι.
Κακκεῖναι, κατακόψαι, Πάφιοι.
Κάκκη, κόπρος, ἢ κάθευδε. Λάκωνες.
Κακκὸς, ὁ μικρὸς δάκτυλος.
Κακκώνιον, σκαφίον.
Κακορραφίῃσι, κακομηχανίαις.
Κακέφατον, ἄδοξον, δύσκλεῆ.
Κακεσοῦν, κακὴν κατάστασιν, ἢ ἀφραγίαν.
Κακεῖους ἢ ἀρείους τῶν Ἀττικῶν ἐστι, καὶ τοῦτο παρ Ὁμήρῳ. οἷον οἱ πλείονες κακείους, παῦροι δὲ τε πατρὸς ἀρείους. ὃ λέγομεν κακίονες καὶ ἀρείονες.
Κακεκράγει, ἀντὶ τοῦ ἐκεκράγει.
Κακενδέχηα, ἡ πονηρία.
Κακεργέτησι, κακοεργοῖς.
Κάκερυτίας, τὴν κεφαλὴν ἀνέτειναι δίχην τῶν κερατοφόρων ζώων, ὅτι ἐδέδει.
Κάκη τὴν κάκην, ἐπὶ τῆς κακίας τίτθησι. παρὰ τὸ μετὰ κακίας τὸ ζῆν περιποιεῖσθαι, διὰ τὸ ρίπτειν τὰ ὅπλα.
Κακὴ κόνις, κακὸς ὄλεθρος.
Κακήγορός ἐστιν, ὅστις πᾶσιν ἀπλίζηται ἑαυτοῦ στόμα.
Κακηγορῶ, τὰ κακὰ ἀγορεύω, καὶ λοιδοροῦμαι.
Κακία, διώνυμός ἐστιν ἡ λέξις, ἡ ὄντως κακία. οἷον μοιχεία, πορνεία, πλεονεξία. λιμὸς δὲ καὶ λοιμὸς, θάνατοι καὶ νόσοι, καὶ τὰ ἄλλα, οὐκ ἔστι κακία, διότι πολλάκις ἡμῖν ἀγαθῶν αἴτια γίνεται, καὶ περὶ τούτων φησὶν ὁ προφήτης, οὐκ ἔστι κακία ἐν πόλει, ἣν ὁ κύριος οὐκ ἐποίησε. κακία, καὶ ἡ παρεκτροπὴ τοῦ ἀγαθοῦ, ἡ κρίσις διεφθαρμένη τοῦ νοῦ, ἢ τὸ δὶ ἑαυτοῦ φευκτὸν ὂν καὶ βλάπτον.
Κακία, ἀνάλογον ταῖς ἀρεταῖς αἱ κακίαι. αἱ μὲν γάρ εἰσι πρῶται, αἱ δὲ ὑπὸ ταύτας. οἷον ἀφροσύνη, δειλία, ἀδικία, ἀκολασία, ἀκρασία, βραδύνοια, κακοβουλία. εἰσὶ δὲ ἀγνοίας αἱ κακίαι. τὰ δὲ μετέχοντα τῶν κακιῶν, αἵ τε πράξεις αἱ κατὰ κακίαν, καὶ οἱ φαῦλοι. ἐπιγεννήματα δὲ, δυσθυμία, δυσφροσύνη, καὶ τὰ ὅμοια. κακία δέ ἐστιν, ἡ τοῦ κακοῦ αὐτοῦ τέλας αὐτὴ, παρὰ τῷ Ἀποστόλῳ.
Κακία ἐστὶ νοερᾶς ψυχῆς ἡ λήθη τῶν κατὰ φύσιν καλῶν, ἥτις ἐκ τῆς περὶ σάρκα τε καὶ κόσμον ἐμπαθοῦς ἐπιγίνεται σχέσεως. κακία ἐστὶν ἕξις χειρίστη λογικῆς ψυχῆς, καθ' ἣν δυσκίνητος γίνεται πρὸς ἀρετήν. ἡ διάθεσις, ἀνομολογουμένη περὶ βίον ἀσύμφωνον ἑαυτῇ παρεχομένη τὸ πράττοντι αὐτήν.
Κακίζει, ἐπισκώπτει, κακολογεῖ.
Κακίζω, τὸ ψέγω.
Κακῶ, τὸ βλάπτω.
Κακιζόμενοι, ταπεινούμενοι.
Κάκιθος, ὁ κακιζόμενος, παρὰ τὸ κακίζω, κάκιστος καὶ κάκιθος.
Κακιθά, λιμηρά.
Κακιθὴς, ἄβροφος, ἄμπελος.
Κακιθὲς, χαλεπὸν, λιμηρές.
Κακίμωρον, τὸν ἀτυχῆ.
Κάκιον, ἀσθενέστερον.
Κακιῶσαι, ἱδρῶν ἀρχόμεναι, Λάκωνες.
Κακίνω, τὸ κακίαν ἐμποιῶ, κακολογῶ, κακουργῶ.
Κακίων κακίονος, χείρονος.
Κακκείοντες, κείω ἄχρηστον. ἀφ' οὗ κοινῶς μὲν κεῖμαι, καὶ κοιμῶμαι. καὶ ὀνόματα κῶμα, καὶ κῶμος. ποιητικῶς δὲ κακκείω, ἐπὶ τῆς σημασίας τοῦ κοιμῶμαι. ἔχει δὲ ἔφεσιν, ὡς τὸ ἀζήω. ὁμοίως καὶ τὰ ἄλλα πάντα ῥήματα, ἃ κατὰ προσθήκην ἔστω τῆς ι διφθόγγου γίνεται. ὅσα δὲ ἐνεστώτων εἰσὶ, καὶ ἀντὶ μελλόντων λαμβάνεται.
Κάκκης, κακίας. οἱ ἀρχαῖοι τὴν ἀκαθαρσίαν κάκκην, καὶ μάλιστα τὸ δύσοσμον ἀποπάτημα. Ἀριστοφάνης, ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων.
Κάκλαιε, ἀντὶ τοῦ καὶ ἔκλαιε.
Κακόβας, ἐπὶ κακῷ ἡβῶν.
Κακοδαιμονεῖν, ὥσπερ οἱ νόθως ἀττικίζοντες. Ἀθηναῖοι γὰρ διὰ τοῦ α κακοδαιμονᾶν λέγουσι. καὶ θαυμάσαιτ' ἄν τις, πῶς εὐδαιμονεῖν μὲν λέγουσιν, οὐκέτι δὲ κακοδαιμονεῖν, ἀλλὰ κακοδαιμονᾶν. καὶ πῶς εὐδαιμονοῦσι μὲν λέγουσι, οὐκέτι δὲ κακοδαιμονοῦσιν, ἀλλὰ κακοδαιμονῶσι. Φρύνιχος.
Κακοδαίμων, δυστυχής.
Κακοδαίμων, ὁ θεῷ ἐπαχθὴς, καὶ ὁ τὴν ψυχὴν ἔχων ἐμπαθῆ.
Κακοδεκτέουσα, κακῶς δεχομένη.
Κακοδιάβολος, κακοικονόμος. Λάκωνες.
Κακοεργὸς, ὁ τὰ κακὰ ἐργαζόμενος.
Κακοείμονας, ῥακενδύτας.
Κακοέπεια, ἡ βλασφημία.
Κακοήθεια, ἡ κακοτροπία.
Κακοήθης, κακότροπος, ἢ καὶ ἄλλως κακοήθως αὐτὸς ἐκλήθη.
* Κακοήθη νοσήματα, ἴσα κίνδυνον ἀπειλοῦντα τοῖς κάμνουσιν, οὐκ ἀποκόπτει τὴν τῆς σωτηρίας ἐλπίδα.
Κακόθρυς, διάβολος, ἡ χαμαιπετὴς λόγος κακόθρυς ἐκ Δαναῶν ἐπιβῆ.
Κακοὶ, οἱ δειλοί. κάκη γὰρ οὐ μόνον ἡ κακία, κατὰ τὸν περὶ Πλάτωνα, ἀλλὰ καὶ ἡ δειλία, ἐξ οὗ κακὸς, ὁ δειλὸς, καὶ κακίζεσθαι, τὸ δειλιᾶν, ὡς τὸ ἐπεὶ οὐ κακιζόμενόν γε κατέκτα. ἐξ αὐτοῦ τὸ κακκᾶν συνήθως ἐπὶ παιδίων, ἐπεὶ καὶ δειλιῶσιν ἕπεται ῥεῦσαί τι τάχιον. ὃ δὲ ἐξιδίειν σεμνῶς ἡ κωμῳδία φησὶν, ἀρχὴν λαβοῦσα ἐχόμενα χωρεῖν, τὸ ἴδιον ὡς ἐνόησα, ἤγουν ἵδρωσα ἐξ ἀγωνίας.
Κακοίλιον, οὐκ ὀνομαστὸν. καὶ ὅρα τὸ οὐκ ὀνομαστὸν ἑρμηνευτικὸν τοῦ κακοίλιον. οὐ γάρ τι φαυλόφωνον καὶ δυσπρόσενεκτον, ἢ τῆς Ἰλίου κλῆσις ἔχει, ἀλλὰ κακοίλιος. ἢ οὐδετέρως κακοίλιον, ἡ Τροία ἐστὶν, ὡς μὴ ἀξία ἤκειν τινὶ, μὴ δεῖς μνήμην, διὰ τὰ ἐν αὐτῇ κακά. ὅσα καὶ δύναμεις, ὁ Ἀλέξανδρος. καὶ αἰνελένη, ἡ Ἑλένη. οὐ διὰ φαυλότητα κλήσεων. ἀλλ' ὅτι κακῶν ἐγένοντο αἴτιοι. διὸ ἴσως οὐδὲ μνήμης ἄξιοι, οὐδ' ἄχρι κλήσεως. ὅπερ ὕστερον χρόνῳ κατεψηφίσθη, τῆς τῆς ἐφεσίας Ἀρτέμιδος ἐμπρήσαντος τὸν ναόν.
Κακόκνημος, κακόφθαρτος, κακόσιτος.
Κακολὴ, κακοδέρκη.
Κακομήτης, κακόβουλος.
Κακομήχανος, κακόβουλος.
Κάκονες, κακὸς ὄλεθρος.
Κακόνοια, ὕβρις.
Κάκονος, κακονοῶν.
Κακοπινὴς, κακὸς, μεθυσής.
Κακοπερὴς, κακοθάπτων.
Κακὸν, τὸ δὶ ἑαυτοῦ φευκτὸν, καὶ πρὸς ἕτερον βλαβερόν.
Κακόνοι, ἐχθροὶ, καὶ κακὸν νόῳ ἔχοντες πρός τὸ πρᾶγμα.
Κακόν ἐστι τῶν φυσικῶν δυνάμεων κατεσφαλμένη κρίσις, ἐπ' ἄλλο παρὰ τὸ τέλος ἀλόγιστος κίνησις.
Κακόν ἐστι, τὸ δὶ ἑαυτοῦ φευκτὸν, ὡς βλάπτον.
Κακοπάθεια, ἡ ταλαιπωρία.
Κακοπινέστατον, τὸ τινὸς ποτὲ μὲν ἐπὶ τῆς ἰδίας, ποτὲ δὲ ἐπὶ τοῦ ἤθους λαμβάνεται. κακοπινέστατον δὲ ῥυπαρόν. πινώδης γὰρ ἀδόκιμον τῇ γνώμῃ, καὶ οὐ καθαρόν.
Κακόπτετο, ἀντὶ τοῦ καὶ ἐκόπτετο.
Κακοπράγμων, πανοῦργος.
Κακοπραγὴς, κακοεργής.
Κακόρας, καταπόψας, παρὰ Ἐθήλῳ.
Κακόρδαζε, ἀπεχώρει.
Κακορραφία, ἡ δυστροπία καὶ κακοβουλία καὶ πανουργία παρὰ τὸ κακὰ ῥάπτειν, ἤγουν συντιθέναι, κατὰ τὸ κακὰ ῥάπτομεν ἀλλήλοιν. οὐ φροντιστικὸν τὸ ὑφαίνειν, ἀφ' οὗ τὸ μῆτιν ὕφαινον. ἡ καὶ ἄλλως κακορραφία, ἡ τοῦ νοὸς κακοσυνθεσία. οὐ ἀνάπαλιν φρενήρης, ὁ τὰς φρένας ἀραρυίας ἔχων. ἀλεγεινὴ ἡ κακορραφία, διὰ τὰ κατ' αὐτὴν ἄλγη.
Κακορρόθει, κακῶς ἀγόρευε.
Κακοσσόμενος, δεινῶς ἐμβλεψάμενος.
Κακὸς δηλοῖ καὶ τὸν ἀγενῆ, καὶ τὸν δειλὸν, καὶ τὸ μὴ ἀρεστὸν, καὶ ὅλως τὸν οὐδὲν ὑγιὲς ὄντα. ἐκ τούτου δὲ καὶ κάκηνος βαρυτόνως πρὸς διαστολὴν, κηνὸς παλαιὸς, ὃς Ἡρακλῆ κατὰ τῶν Γηρυόνου βοῶν ἐπιβουλεύσας, ἐκακώθη πρὸς θάνατον.
Κακὸς καὶ ἄναλκις, τοῦτον ἄμφω νοῦσι, τεχνολογικὰς ῥηθεῖναι παρ' Ὁμήρῳ.
Κακοσινώπιτον, ἐπιβλαβέστατον, παρὰ τῷ Ἱπποκράτει.
Κακόσιτος καὶ ἀπόσιτος, ὁ ἀπειρημμένος ἀπὸ σιτίων. ὡς ἀπεχθὺς.
Κακόχολος, ὁ χόλον τιθέμενος ἐπὶ τὸ χεῖρον. ἢ καὶ ὁ πονηρὸς, ἀπὸ τοῦ χολάζειν τοῖς κακοῖς.
Κακόσπος, κακόπτοτος.
Κακοτεχνιῶν, δίκης ὄνομα, ἣν οἱ ἑλόντες τινὰ ψευδομαρτυριῶν κατὰ τοῦ παρασχομένου ἐδίδοσαν.
Κακότης, ἀπὸ κοινοῦ λέγεται ἐπὶ τῶν θεῶν καὶ τῶν ἀνθρώπων. καὶ ἐπὶ τῶν θεῶν δηλοῖ τὴν βλάβην, ἣν αὐτοὶ βλάπτουσιν. ἐπὶ δὲ τῶν ἀνδρῶν, τὴν κάκωσιν. καὶ τὴν δειλίαν, ἣν αὐτοὶ ἐν ταῖς ψυχαῖς αὐτῶν ἔχουσιν.
Κακοῦ κόρακος κακὸν ὠόν.
Κάκυλοι, κακοὶ, σκληροὶ κύαμοι.
Κακυργεῖν, ἐπὶ πάσης κακῆς ἐργασίας λεγόμενον, ἐπικρατῆσαν ἐπὶ μόνου τοῦ κλέπτειν.
Κακυργία ἐστὶν, ἡ τῷ τρόπῳ δειλόν.
Κακῦργοι, οἱ λῃσταὶ, οἱ ἐνεδρευταί.
Κακὸς, πολλάκις ἀντὶ τοῦ δειλὸς Ὅμηρος τίθησι. παρὰ τὸ χάζεσθαι, ὅπερ ἐναντίον ἐστὶ τῷ ἱστάναι κρατερῶς. αὐτὸ γὰρ ἔργον ἐστὶν ἀριστέως, οὗ περίφρασις τὸ, ὅς ἀριστεύῃ ἐν τῇ μάχῃ.
Κακυχία, ἀθένεια, ἀμέλεια, ἀθεραπευσία.
Κακοφυΐα ἐστὶ κακία ἐν φύσει, καὶ ἁμαρτία τῆς κατὰ φύσιν νόμου.
Κακόχαρτος, ὁ ἐπὶ κακῷ χαίρουσα, ἡ ἐφ' ᾗ οἱ κακοὶ χαίρουσιν.
Κακοχάσμων, ὁ δύσεροτος. ὡς παρὰ Θεοκρίτῳ, καὶ τοῦτο Δωριέων.
Κακόω, κακῶ ἕτερον, κακύνομαι δὲ ἀντὶ τοῦ κακῶς γίνομαι, ἀμεταβάτως.
Κάκτανε, φόνευε, ἀνεῖλε, κατέκτανε. ἐὰν ἐπάγηται δύο σύμφωνα παντελῶς ἀποβάλλει τὸ τ, κατάκτανε κάκτανε, κατάχεθε κάχεθε.
Κάκτος, ἀκάνθα. ὑφ' ἧς ἐὰν πληγῇ νεβρὸς, ἀχρεῖα ἔχει τὰ ὀστᾶ εἰς αὐλούς.
Κακῶν, καὶ ἐκτείνων.
Κακυχία, ὀψοφαγία.
Κακωσεῖν, ὑβρίζειν. κακύνειν τὸ πηλὸν, ὅ ἐστι τὸ ἄξιον ὕβρεως ὑβρίζειν. καὶ κακωσεῖν, ἀντὶ τοῦ μωραίνειν.
Καγχαδίαι, ἰχνόφωνοι.
Καγχάζει, ἀπάντως γελᾷ, ἀσμένως, ἀθρόως, ἀπεδέδως.
Κάγχαρτος, κατάχαρτος.
Καγχεῦσαι, τὸ καταβαλεῖν. καὶ καταχεῦσαι, καὶ συγκοπήν.
Καγχόστερον, χεῖρον.
Καγχωρεῖ, δραπετεύει, κακυργεῖ.
Κακῶν ἀπὸ χεῖρας ἔχεσθαι, παρ' Ὁμήρῳ ἐν χ' τῆς Ὀδυσσείας. οἱ μεθ' Ὅμηρον ἐλλειπτικῶς φράζουσι. ἀρχὴ γὰρ παρ' αὐτοῖς εἰπεῖν, κακῶν ἀπέχεσθαι, κατ' ἔλλειψιν τοῦ χεῖρας.
Κακῶς ὠρίνετο θυμὸς, πρὸς διαστολὴν εἴρηται παρ' Ὁμήρῳ τοῦ καλῶς ὀρίνεσθαι. ὀρίνεται γάρ ποτέ τις καὶ καλῶς κατὰ τοὺς εἰς πόλεμον ὀριμόμενον, καὶ θαρσαλέως μαχόμενον.
Κακῶς, δεινῶς, ταπεινῶς.
Κακῶς εἰδότες, ἀντὶ τοῦ ἀγνοοῦντες.
Κακώσεως δίκη ἐστὶ ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων ὑπὲρ τῶν ὀρφανῶν. ἐπίκληρος δέ ἐστι, ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ. ἡ δ' αὐτὴ λέγεται καὶ ἐπικληρῖτις.

Digitized by Google

Κάλα, παλαίθετα, ξηρὰ ξύλα· ἐκ πολλοῦ ἀποτεθέντα χρόνου. κάλον γὰρ, τὸ ξύλον.

Κάλα, τὰ ξύλα. ἐξ οὗ καὶ καλόπους, ὁ ξύλινος πούς.

Καλὰ δὴ πασιγεῖς, ἀντὶ τοῦ λέγεις.

Καλὰ, τὸ καλὰ παρὰ Ἀλκμᾶνι ἐστιν, οἷον καλὰ μελισδόμεναι.

Καλαβὰς, καλαβώτης.

Καλαβὶς, τὸ περισπᾶν τὰ ἰσχία καλαβοῦσθαι, ἐν τῷ τῆς Δερεατίδος ἱερῷ Ἀρτέμιδος ᾀδόμενοι ὕμνοι.

Καλαβρία, νῆσος πλησίον Τροιζῆνος. ἐκαλεῖτο δὲ πρότερον εἰρήνη.

Καλαβρίαν, τὴν μεσαπίων χώραν. ῥίνθων.

Καλαβριαθείησαν, χλιδαθείησαν.

Καλαβρὸς, βάρβαρος.

Καλάβροψ, ἡ ποιμενικὴ ῥάβδος. παρὰ τὸ ῥέπειν τὸ κάλον εἰς τὸ ἓν μέρος, ἐν ᾧ ἐστι τὸ παχὺ, καὶ ἡ κεκαμμένη κορδύλη.

Καλαβύστας, τοὺς καλώτας, Ἀργεῖοι.

Καλαβώτης, ἰχθύς ποιός, καὶ σαῦρος.

Καλαδηπαπίτης, καλὰ λαλεῖς.

Καλαδία, ῥυκάνη.

Καλάζει, ὀγκοῦται, Ἀχαιοί.

Κάλαθα, λάλαβοι, οἱ δὲ ἄνθη.

Καλάθαρβα, παροιμία.

Καλαθηφόροι, οἱ τὰ μαγειρικὰ φέροντες.

Καλαθίσκος, εἶδος ὀρχήσεως, ὡς καὶ σκεῦος γυναικεῖον παρὰ Μενάνδρῳ.

Κάλαθος, εἰς ὃν τὰ κάλλη ἀποτίθενται. κυρίως δὲ κάλλη, τὰ βεβαμμένα ἔρια. καταχρηστικῶς δὲ, καὶ ἐπιδεκτικὸς τῶν πυρῶν καὶ σταφυλῶν. ἢ γάλαθος, εἰς ὃν τὸ γάλα ἐπετίθεσαν τυρεύοντες.

Κάλαϊς, ὄνομα κύριον. καὶ καλάϊνον χρῶμα, Αἰσχύλος ἐν ποικίλοις χρώμασι.

Κάλαϊς, τὸ ἱστίον, καὶ ὄνομα κύριον.

Κάλαμα, ὄγκος, ἰχθύς.

Καλαμαία, εἶδος ἀκρίδος, ἣν καὶ μάντιν καλοῦσιν.

Καλαμᾶται, στυγᾷ τὰ ἀνωτέρω μέρη τῶν ἐλαιῶν, ἢ κατεσθίει.

Καλάμαι, κυρίως αἱ τῶν δραγμάτων ῥίζαι, οὐκ ἔτι καλούμεναι στάχυες μετὰ τὸν θερισμὸν, ὅτι μηδὲ σῖτον ἔχουσιν. ὅθεν ὁ στάχυς ἐτυμολογεῖται, ὡς οἷον σιτάχυς. καλεῖ δὲ τὴν καλάμην ποιητής τις καλαμαίαν, ὡς σελήνην σεληναίαν. ἀπὸ δὲ τῆς ῥηθείσης καλάμης καὶ καλαμᾶσθαι, τὸ συλλέγειν τὰ λείψανα τῶν τεθερισμένων. καὶ καλαμαῖόν φασι τεττίγιον ἐλάχιστον. καὶ καλάμιον, χρυσοῦν κοσμάριον, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ὃ τοὺς πλοκάμους περιέχει. αὐτὸ δὲ ἴσως οὐκ ἐκ τῆς καλάμης, ἀλλὰ ἐκ καλάμου παρωνόμασται. καὶ τὸ ἁπλῶς δέ φασι θερίζειν, ἀπὸ τῆς αὐτῆς καλάμης καλαμᾶσθαι λέγεται.

Καλαμᾶσθαι, ἀνασπᾶσαι, ἀπὸ τοῦ τὴν καλάμην τῶν σπερμάτων ἀνασπώντων, ἕνεκα στέγης τῶν οἰκημάτων. ἢ ἀντὶ τοῦ ἀνιμᾶν, ὡς οἱ τοῖς καλάμοις τοὺς ἰχθύας ἀνέλκοντες.

Καλαμευτὰς, ἀντὶ τοῦ θεριστὰς, λέγει Θεόκριτος.

Καλάμη, ὁ στάχυς τοῦ σίτου. καὶ καλάμη, ἀπὸ κάλου, τοῦ ξύλου. αὐτὸ δὲ ἀπὸ τῆς καύσεως.

Καλαμίνθη, δυσώδης βοτάνη, καὶ ὄφεις ἐλαύνει καιομένη.

Καλαμίτης, ἡ ἐπὶ τῆς καλάμης τοῦ σίτου, ἢ κύριον ὄνομα.

Κάλαμοι, κυρίως ἐπὶ τῶν ἐπιτηδείων εἰς τὸ γράφειν, καὶ εἰς αὐλοὺς, καὶ εἰς ἄλλα τινά. δόναξ δὲ, ἐπὶ τῶν ἐπιτηδείων μόνων εἰς αὐλούς.

Κάλαμος, παρὰ τὸ καλῶς ἀμᾶσθαι. καλαμίδας, τὰς νῦν λεγομένας ὠλένας, ἐπεὶ ἀπὸ καλάμων γίνεται. ἢ τοὺς θηλυκοὺς καλάμους, τοὺς προσυνδέσμους.

Καλαμόφθεγγα πάν, ἐξ οὗ ἡ σύριγξ, ὅτι οἱ ἀρχαῖοι καλάμῳ ἀντὶ κερατίου ἐχρῶντο. ἢ ἐπεὶ σύριγγι ᾄδεται ὁ Πάν. ἢ τις ἐστὶν ἐκ καλάμων.

Καλαμῶνται, πλεονεκτοῦσι. καὶ καλαμᾷ, ἐπανατρυγᾷ, ἢ τὰ ἀποθερίσματα συλλέγει.

Καλαμητρίδες, αἱ τὰ δράγματα συλλέγουσαι.

Καλάμια, τὰ στελέχια.

Καλαμίνδαρ, πλάτανος ἡδωνιεῖς.

Καλαμὶς, κοσμάριόν τι περὶ τοὺς πλοκάμους. ἔνιοι σύριγγα, ἄλλοι χρυσοῦν περιτραχήλιον, καὶ γραφείων θήκην, καὶ τὸν τοῦ γάλακτος ταρσὸν, καὶ ὁ ἁλιευτικὸς κάλαμος. κηρυσσοῦνται δὲ, τοὺς μικροὺς τέττιγας καλαμίνδας καλοῦσιν.

Καλαμίτης, ἥρως τῷ ἡλισίῳ πλησίον.

Κάλαμος, ὄροφος Κῷοι, καὶ τὸ ἐπιτιθέμενον τῆς λύρας ἠχεῖον, καὶ τοῦ σίτου ὁ καυλὸς καὶ αὐλός.

Καλαμοτύπους, ἰξευτὰς, Λάκωνες.

Καλαμώμενον, καλαμᾶσθαι λέγουσιν, ὅταν ἐκ τῶν τετρυγημένων ἀπολείμματά τινα συνάγωσιν, ἢ στάχυας.

Καλαμῶται, εἶδος ἐσχάρας.

Καλένδαι, ἡμέραι, ἢ μηνῶν ἀρχαὶ κατὰ Ῥωμαίους.

Καλαοιδία, ἀγὼν ἐπιτελούμενος Ἀρτέμιδι παρὰ Λάκωσιν.

Κάλαον, καλὸν ὑποπόδιον.

Κάλοι, χοῖνοι.

Καλωποδιώκτας καὶ ἀγρίους ἐκάλουν οἱ παλαιοὶ, τοὺς τὰς ἀπηγορευμένας πράξεις ποιοῦντας, τοὺς παιδεραστάς.

Καλαρῖνες, ὀχετοί. Λάκωνες.

Καλαρρίγαι, τάφροι, Ἀμερίας.

Καλασίριστα, τὰ λοχία, ἃ καλοῦσιν ὦας. καὶ καλάσιρις χιτὼν πλατὺς, οὕτως Αἰγύπτιοι. καὶ ὄνομα κύριον.

Καλαυρεῖ, στυφᾷ, ἐμπίπλαται.

Καλαύρεια, νῆσός ἐστι πλησίον Τροιζῆνος, ὡς Ἑκαταῖος ἐν περιόδῳ τῆς γῆς ἔφη. ἐκαλεῖτο δὲ πρότερον εἰρήνη ἡ καλαύρεια, καθά φησιν Ἀντικλείδης.

Καλαύροψ, ῥόπαλον ἐπικαμπὲς ἐν ἄκρῳ, οὗ τὸ κάλον ὅ ἐστι ξύλον αὖ ῥέπει. ἅπαξ δὲ τοῦτο εἴρηται παρὰ τῷ Ποιητῇ. ἴσως δὲ ὅμοιόν τι ἐστὶ καλαύρωπι, καὶ τὸ παρὰ Θεοκρίτῳ ῥοικὸν λαγώβολον. ἀπὸ τοῦ ῥέπειν γάρ τινες ἐτυμολογοῦσι καὶ τὸ ῥοικόν.

Καλαυρόφις, βακτηριοφόρος.

Κάλαφος, ἀσκάλαφος, μαγνήτης.

Καλεοίμην, κληθείην.

Κάλεον, ἐκάλουν.

Καλεὸς, ὄνομα, καὶ μοιχός.

Καλεῖν, τὸ ὀνομάζειν. Ἀριστοφάνης, ὅπως τὴν καρδόπην, ὡς τὸν Σωκράτην καλεῖν, ἀντὶ τοῦ εἰσκαλεῖσθαι. καλεῖ δή ποτε κἀκείνη ταύτην παρ' ἑαυτῇ, ἀντὶ τοῦ εἰσκαλεῖται. καλεῖν καὶ τὸ ἐπικαλεῖσθαι Ἀττικῶς, ἤγουν δέεσθαι καὶ εὔχεσθαι, αἰτιατικῇ συντάσσεται. οἷον καλῶ ἐπὶ τῷ ὀνόματι τούτῳ ἑρμῆν λόγιον, καὶ Ἀπόλλω μουσηγέτην, ἀντὶ τοῦ ἐπικαλοῦμαι. ἐκαλέσατο ἀττικὸν, ἐκάλεσε κοινόν. καλοῦμαι παρὰ τῷ Κωμικῷ, οἷον καλοῦμαι Στρεψιάδην. ἐκαλέσατο, παρ' Ὁμήρῳ παθητικῶς λεχθὲν, ᾧ ἀκόλουθον τὸ προκαλεσάμενος. παρὰ δὲ τοῖς ὕστερον Ἀττικοῖς δικαστικὴ λέξις τὸ τοιοῦτον, ὡς δηλοῖ καὶ τὸ καλοῦμαι Στρεψιάδην.

Καλεύειν, λιθοβολεῖν.

Καλέχες, κατέκεισο. Πάφιοι.

Καλεῦνται, ἀντὶ τοῦ καλοῦνται, Δωρικῶς.

Καλήμεναι, ἢ ἐκ τοῦ καλέω ἐστὶν, ἢ κάλημι. ἵνα ὡς ἐκ τοῦ τιθῶ τίθημι τιθήμεναι, οὕτως εἴη καὶ ἐκ τοῦ καλῶ κάλημι τὸ καλήμεναι.

Κάληβος, ἐπισκολυμμένος τὸ αἰδοῖον.

Καλήμενος καὶ νοήμενος, ἀντὶ τοῦ καλούμενος καὶ νοούμενος λέγουσιν οἱ Αἰολεῖς, μετατιθέντες τὴν ου δίφθογγον εἰς η.

Καλημνεῖ, καλεῖ σαφῶς.

Καλήν τ' ἐπικάστην, ἣν οἱ μεθ' Ὅμηρον ἰοκάστην καλοῦσιν.

Καλήσιος, ὄνομα κύριον.

Καλήτωρ, ἰδαῖος κήρυξ.

Καλιὰ, ἡ νοσσιά, ἢ οἶκος ξύλινος.

Καλιὰ, κυρίως ἡ νεοττιά.

Καλιὰ, ἡ φωλεὰ, ἢ ἡ ἐκ κάλων, ὅ ἐστι ξύλων κατασκευαζομένη οἰκία, μήπω εὑρεθέντων λίθων πρὸς ἐργασίαν. καταχρηστικῶς δὲ ἐπὶ τῶν λίθων τῶν οἰκιῶν.

Καλιὰ, τίθεται ἐνίοτε ἀντὶ τοῦ οἰκία. κυρίως δὲ ἡ ἐκ κάλων κατασκευασμένη. κάλα δὲ τὰ ξύλα. ξυλίναις γὰρ ἐχρῶντο τὸ παλαιὸν οἰκίαις, λίθων μηδέπω ἐπινοηθέντων.

Καλιάδες, ἔντερα. Κύπριοι.

Καλιδύη, περιβόλαιον βαρβαρικόν.

Καλιὴν, τὸν οἶκον. κυρίως δὲ τὸν ἀπὸ ξύλων οἶκον. κάλα γὰρ, τὰ ξύλα.

Κάλιθος, οἶνος, Ἀμερίας.

Κάλικον, βόθρον.

Καλινδεῖται, ἀντὶ τοῦ κυλίεται. καὶ καλινδηθεὶς, ἀντὶ τοῦ κυλισθείς.

Καλινοὶ, δοκίδες.

Καλιοὶ, τὰ εὐτελῆ οἰκήματα.

Κάλιον, κωνάριον, βακτηρίδιον.

Κάλιος, τὸ δεσμωτήριον. καὶ ξύλον, ᾧ ἐδέοντο. καὶ οἱ μικροὶ οἶκοι, καλιαὶ καὶ καλιάδες.

Καλιρρόη, πηγὴ ἡ καλῶς ῥέουσα.

Καλὶς, σκέπαρνον.

Καλλιστρεῖν, καλεῖν.

Καλιῶσαι, φράξαι, πατάξαι.

Κάλλαιοι, οἱ τῶν ἀλεκτρυόνων πώγωνες, καὶ πᾶν πορφυροειδὲς χρῶμα. ἔνιοι δὲ τὰ ποικίλα. καὶ παρ' Αἰγυπτίοις χρῶμα καλάϊνον. τίθεται δὲ καὶ ἐπὶ μύρου. καλλαὶ, τὰ βαπτὰ ἔρια.

Καλλαῒς, γένος ἰθαγενῶν.

Κάλλα, ἡ κάννα, κάλαμος.

Καλλαροὶ, βάρβαροι.

Κάλλιπε, κατέλιπε.

Κάλλει, τῷ μύρῳ τῷ τῆς Ἀφροδίτης.

Καλλιάνθη, πορφυρᾶ.

Καλλάττει, ὁ ἀμειβόμενος ποιούμενος. καὶ διαλλάττει, ὁ διαφέρων. καταλλάττεται δὲ, καὶ διαλλάττεται ὁ φιλούμενος.

Καλλάτις, πόλις.

Κάλλαισχρος, ὄνομα κύριον.

Κάλλη, τὰ πορφυρᾶ ἱμάτια, καὶ κέραμος καλάϊνος. Αἰσχύλος ἐν ποικίλοις κάλλεσιν.

Καλληΐδος, ἀνθόσμιον πρὸς βαφὴν ἁρμόζον.

Κάλλης, καρπίμου.

Κάλλιαρ, πίθηκος παρὰ Λάκωσι.

Καλλιβάντες, ὅμοια σμηλίοις καὶ ψαλίσιν, ἐν αἷς τὰς ὀσφῦς κοσμοῦσιν αἱ γυναῖκες, ἄνθη. ἢ γένος ὀρχήσεως, ἀσχημόνως τῶν ἰσχίων κρατουμένων.

Καλλιγένειαν, ἀλλὰ τὴν Δήμητραν γῆν, οὐδεὶς γὰρ οὕτως ἔφη τὴν γῆν καλλιγένειαν. οἱ μὲν τροφὸν αὐτῆς, οἱ δὲ γεραίαν, οἱ δὲ ἀκόλουθον.

Κάλλη, κυρίως τὰ βεβαμμένα ἔρια. καὶ κάλλη, τὰ ἄνθη.

Καλλιγραφεῖν, διαλελυμένως λέγουσιν ἐκεῖνοι. σὺ δὲ, εἰς κάλλος γράφειν.

Καλλίαρος, ἀπὸ Καλλιάρου φασὶν ὠνόμασται, υἱοῦ Ὀδιδόκου καὶ Λαονόμης. οἱ δὲ καλλίαρα οὐδετέρως φασὶ, διὰ τὸ εὐήροτον τῆς ἐκεῖ γῆς. ἐθνικὸν δὲ ταύτης, οἱ καλλιαρεῖς.

Καλλιγύναικα, τὴν καλὰς ἔχουσαν γυναῖκας.

Καλλίας τὶς ἐγένετο πλούσιος, ὃς εἰς πόρνας τὴν ἑαυτοῦ οὐσίαν κατηνάλωσε, καὶ λοιπὸν ἐγένετο πενέστατος.

Καλλιδώρα, καλλιονύμφη.

Καλλιέπεια, εὐφράδεια, καλλιλεξία.

Καλλιερεῖν, θύειν, ἱερουργεῖν, καλῶς τὰ ἱερὰ ποιεῖν.

Καλλιέρημα, θυσία εὐπρόσδεκτος.

Καλλιέρημα, ἡ ἀφιέρωσις. ὥσπερ τὸ τρίτον ἐπὶ μορίων, ἢ τὸ τέταρτον, ἢ τὶ ἕτερον τῆς ἀκολουθίας ταύτης. ἐνίοτε δὲ λέγεται μόνον, ἐνίοτε δὲ μετὰ τῆς συνθέσεως τοῦ μορίου, οἷον τριτημόριον ἢ τεταρτημόριον, οὕτω καὶ τὸ κακὸν ἐπὶ τρόπου. ἐνίοτε μὲν λέγεται μόνον, ἐνίοτε δὲ μετὰ τῆς συνθέσεως τοῦ τρόπου, ἤγουν κακότροπον.

Καλλιεροῦμαι, τὸ θυσιάζω. Ἀριστοφάνης, ὅτ' ἂν καλλιερεῖτό τις, μετεκάλει τὸν ἱερέα.

Καλλίζωνοι γυναῖκες, ταυτόν ἐστι τῷ εὔζωνοι. τὸ μέντοι βαθύζωνοι, ἕτερον ἐστί.

Καλλικέλαδοι, εὔφωνοι, εὐόμιλοι.

Καλλικόμος, σοφὸς ποιητής.

Καλλίκων, ὄνομα κύριον. εἶχε δὲ ἀδελφὸν Ἐμπεδοκλέα.

Καλλικολώνην, καὶ λεγόμενον θρωσμὸν πεδίοιο, παρὰ τῷ Ποιητῇ φασιν εἶναι ταυτά. φαίνεται δὲ καλός τις εἶναι ὁ θρωσμὸς οὗτος, διὸ κλῆσιν ἔσχετο καλλικολώνη, καὶ θεῶν εἶναι διατριβή.

πέπλα-

πέπλασται πένης ὡς οἶα, καὶ βραχύπαστός τις ὄλυμπος. περὶ ταύτης καὶ ὁ Γεωγράφος φησὶ, καλλικολώνη λόφος τὶς πενταστάδιος, παρ᾽ ὃν ὁ Σιμόεις ῥεῖ. ἔστι δὲ ὑπὲρ ἄνω τῆς Ἰλιέων κώμης, ἐν ᾗ τὸ παλαιὸν Ἴλιον ἵδρυτο. ἀπέχει δὲ τοῦ νῦν Ἰλίου στάδια μ΄.

Καλλικολώνη, χωρίον ἱεροπρεπές.

Καλλικόμων, εὐπρεπῶν.

Καλλίκερα, χελώνην. οἱ δὲ, φώκην.

Κάλλιμος, ὁ καλός. κάλλιστος δὲ ἢ λύρας τὸ ἠχεῖον, οἱ δὲ κάλαμος. ἡ διὰ τοῦ ιμος παραγωγὴ, ἐκ τριῶν γίνεται. οἷον πόρος πόριμος, ἀγωγὴ ἀγώγιμος, κῦδος κύδιμος. οὕτω κάλλος κάλλιμος. γίνεται καὶ ἀπὸ ῥήματος προσδοκῶ προσδόκιμος.

Καλλινάοιο, καλλιῤῥόου.

Καλλίνικος, ὁ Ἡρακλῆς. καὶ εἶδος ὀρχήσεως, ἐπὶ τῇ τοῦ Κερβέρου ἀναγωγῇ, ἢ νικητής.

Καλλινοστίη, κρήνη καλῶς ῥέουσα.

Καλλιόπη, ὄνομα μούσης, σύγκειται ἐκ τῆς καλῆς ὀπός.

Κάλλιος, ὄνομα κύριον.

Καλλιπάρηον, παρὰ τὸ κάλλος καὶ τὸ παρειὰ, καλλιπάρηον, κατὰ τροπὴν βοιωτικὴν τῆς ει διφθόγγου εἰς η. τὸ δὲ παρειὰ διὰ τῆς ει διφθόγγου. τὰ γὰρ διὰ τοῦ εια τρισύλλαβα, διὰ τῆς ει διφθόγγου γράφεται ὄντα ὀξύτονα. οἷον φορβειὰ, παρειὰ, πλὴν τοῦ καλιά. πρόσκειται τρισύλλαβα διὰ τὸ ἱμονιά.

Καλλίπνοα, εὐώδη.

Καλλιπόρε, ἱππικώτατε.

Καλλίπρωρον, εὐπρόσωπον.

Καλλίπυργος, καλὰ τείχη ἔχουσα.

Καλλιρόη, κρήνη ἡ ἐν Ἀθήναις. ἥ τις πρότερον ἐννεάκρουνος ἐκαλεῖτο.

Καλλίροον, καλῶς ῥέοντα.

Καλλιστεῖον, τὸ ἐκλεγέν τινι γέρας χάριν τοῦ κάλλους. ἀριστεῖον, τὸ ἕνεκα ἀριστείας. γέρας, πρεσβεῖον, ἢ διὰ γῆρας προτίμησις. καὶ τὸ διὰ αὐτὸ διδόμενον γέρας, κατὰ προτίμησιν. πρωτεῖα, τὰ τῆς πρώτης τάξεως γέρα. δευτερεῖα, τὰ τῆς δευτέρας.

Καλλιστέφανος, ἡ ἐλαία λέγεται. Ἀριστοτέλης ἐν τῷ πανθείῳ ἐστὶν ἐλαία. καλεῖται δὲ καλλιστέφανος. ταύτης δὲ ἔμπαλιν τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις πέφυκεν. ἀφίησι τοὺς πτόρθους, ὥσπερ ἡ μύρτος, εἰς τοὺς στεφάνους συμμέτρους. ἀπὸ ταύτης λαβὼν Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπιάσιν, ἀφ᾽ ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται.

Καλλιστρῶ, ἀπὸ τοῦ καλῶ, καλλίζω, καλλιστρὴς καὶ καλλιστρῶ.

Καλλιστὼ, ὡς λῃροῦσιν, ἡ Λυκάονος θυγάτηρ, συνόθηρος τῇ Ἀρτέμιδι. ὁ Ζεὺς εἰκασθεὶς Ἀρτέμιδι συνευνάζεται, ἄρκτον δὲ ταύτην ποιεῖ διὰ τὸ λαθεῖν τὴν Ἥραν, ἐξ ἧς ὁ Ἀρκὰς ἐγεννήθη.

Καλλίστη, ἡ Θήρα τὸ πρότερον. καὶ ἡ ἐν τῷ κεραμεικῷ ἱδρυμένη Ἑκάτη, ἣν ἔνιοι Ἄρτεμιν λέγουσιν.

Καλλίσφυρος, ἡ καλοὺς πόδας ἔχουσα.

Καλλισφύρου, εὐπρεποῦς, καλῆς, ἀπὸ μέρους τῶν σφυρῶν.

Καλλιτόκου, καλῶς τεκούσης, εὐτόκου.

Καλλιτέαι, φυτόντι θαμνώδεις.

Καλλιφθεγγεῖς, λαμπροί.

Κάλλιφυτον, τὸ ἀδίαντον. ὅπερ καὶ καλλίτριχον ὀνομάζεται, παρὰ τῷ Ἱπποκράτει.

Καλλιχέλωνος, ὀβολός. εἶχε γὰρ τὸ νόμισμα χελώνην ἐπικεχαραγμένην.

Καλλίχωρον, ἐν Κνωσσῷ τοῦ ἀδριανοῦ τόπῳ.

Κάλληψιν, κατάληψιν.

Καλλιώνυμος, εἶδος ἰχθύος. μεταφέροντες δέ τινες τὴν λέξιν. καὶ ἐπὶ τοῦ αἰδοίου ἔτασσον ἀνδρός τε καὶ γυναικός.

Κάλλος, παρὰ τὸ κάζω, τὸ κοσμῶ. ἢ παρὰ τὸ ἄλλω, τὸ πηδῶ. κάλλος, ἐπὶ τοῦ ἡμῖν νοουμένου, τίθεται καὶ ἐπὶ τοῦ μύρου τῆς Ἀφροδίτης, Ὀδυσσείας θ΄. καὶ ἀχαιίδα καλλιγύναικα, ἀπὸ τῆς καλλιγυναικὸς Ἑλλάδος.

Κάλλος ἐστὶ σώματος συμμετρία μερῶν τε καὶ μελῶν μετὰ εὐχροίας.

Καλλωΐει, κοσμεῖ. καὶ καλλωΐεσθαι, κοσμεῖσθαι, καλλωπίζεσθαι.

Καλλωπιστὴς, κουρεύς.

Κάλλωστρον, κόσμιον, παρὰ τῷ κορῶ, ὃ σημαίνει τὸ σαίρω καὶ καλλωΐω.

Καλλωπίζω, ἀγλαΐζω, κοσμῶ, εὐθετῶ, στιλῶ, διαπρέπω, κοιωσυρῶ, καλλωΐω, ὡραιῶ, ὡραΐζω.

Κάλοι, χάλοι τινὲς ὄντες, οἷς χαλᾶται τὰ ἱστία κάλοι δὲ ὀρόχθουν, σχοινία δὲ ἐστίνασσον.

Καλοῖς, βασιλεύς.

Καλοκαγαθία, ἀγαθότης, καὶ ἕξις προαιρετικὴ τῶν βελτίστων.

Καλοκοπῆσαι, ξυλοκοπῆσαι, ἢ σκηνοποιῆσαι.

Καλὸν, ὅπερ ἀγαθόν ἐστι καὶ ἡδύ. καλὸν φύσει ἐστὶν, ὃ ἀεὶ καὶ πᾶσι τοιοῦτόν ἐστι, ὃ μὴ ἄλλου τινὸς ἕνεκεν αἱρετὸν, ἀλλ᾽ αὐτὸ δι᾽ αὐτὸ ἐπιθυμητὸν, ἀεὶ ὡσαύτως ἔχον, καὶ μηδέποτε ἀμβλυνόμενον κόρῳ. καλὸν, τὸ τελείως σύμμετρον.

Καλονέοντες. διάκοντες, θορυβοῦντες.

Καλώνης, ἥρων. Ῥόδιοι.

Καλοπόδιον, σκυτοτομικὸν ἐργαλεῖον.

Καλόπους, κυρίως ὁ ξύλινος πούς. κάλον γὰρ τὸ ξύλον, ἢ καὶ εὐόφθαλμους.

Καλὸς, ἐπὶ σώματος. οὗ τὸ ἐναντίον ὁ αἰσχρὸς, ὁ δυσειδής. ἀγαθὸς, ἐπὶ ψυχῆς. οὗ τὸ ἐναντίον, κακός. ὁμοίως καὶ χρηστὸς, οὗ τὸ ἐναντίον φαῦλος.

Καλοτίθηνα, καλότροφα.

Καλότριχον, τὸ ἀδίαντον.

Καλοτύπος, ὁ δρυοκολάπτης.

Καλούμεθ᾽ αὐτοῦ, ἀντὶ τοῦ εἰς δικαστήριον ἄξομεν.

Κάλους φασὶν, οἷς τὸ ἱστίον συστέλλεται καὶ ἀνίεται. τὸ δὲ σαφέστερον οὕτω κάλοι, τὰ ἐν μέσῳ τοῦ κέρατος ἀνάγοντα καὶ χαλῶντα τὸ ἱστίον, κληθέντα οὕτω παρὰ τὸ χαλᾷν. καὶ ὅρα ὅτι κάλος οὐκ ἐκτείνει τὴν λήγουσαν παρὰ τοῖς παλαιοῖς, εἰ καὶ Ἀττικῶς μεγεθύνεται.

Καλπάζειν, τὸ ἄκρως καὶ ἁβρῶς βαδίζειν.

Κάλπη, ἡ ὑδρία.

Κάλπις δὲ ποταμός.

Κάλπις, ἵππος βαδιστής, καὶ εἶδος δρόμου.

Κάλπος, ποτηρίου εἶδος.

Κάλποι, ὑποδήματα κοῖλα, ἐν οἷς ἱππεύουσιν.

Καλτίκια, τὰ καλλίγια.

Καλύβη, σκληρὴ παστάς.

Καλυβὸς, παστός.

Καλυγὲς, τὰ ἔμβρυα.

Καλύβη, οἱονεὶ καλύφη τὶς οὖσα, παρὰ τὸ καλύπτω, κατὰ μετάθεσιν τοῦ π εἰς τὸ φ.

Καλυδίλα, γέφυρα.

Καλύδνας νήσους εἶπεν ὁ Ποιητὴς, οὐ πρὸς διαστολὴν χερσαίων καλυδνῶν, ἀλλὰ διὰ σαφήνειαν. ἵνα ἔκδηλον ᾖ, ὅτι νῆσοι αἱ καλύδναι εἰσὶν, ἃς ἕτεροι διὰ τοῦ μ γράφουσι καλύμνας. ὅτι δὲ ἀγαθὸν μέλι καλύδνιον, κεῖται καὶ αὐτὸ ἐν τοῖς τοῦ περιηγητοῦ. ὁ δὲ Γεωγράφος χωρίου τινὸς μέμνηται καρτερωτάτου καλυδνίου καλουμένου, ᾧ ληστηρίῳ ἐχρήσατο Κλέων, ὁ τῶν ληστηρίων ἡγεμών. ὃς ἀποστὰς Ἀντωνίου, καὶ προθέμενος καίσαρι, ἐτιμήθη πλέον ἢ κατ᾽ ἀξίαν, καὶ ἀντὶ λῃστοῦ, δυνάστου περιέχει τὸ σχῆμα. ἱερεὺς δὲ γεγονὼς, ὥς που ὁ Γεωγράφος λέγει, ἐντὸς μηνιαίου χρόνου κατέστρεψε τὸν βίον ὀξείᾳ νόσῳ, κατὰ μῆνιν θεοῦ. οὐ γὰρ διετέθη ὡς ἱερεὺς, ἀλλὰ διαφθορεὺς τῶν ἱερῶν. λέγει δὲ ἱστορία γεωγραφικὴ, καὶ ὅτι αἱ καλύδναι κατὰ τὸ ἐπὶ λεκτὸν πλοῦν κεῖνται. ἀκρωτήριον δέ ἐστι τὸ λεκτὸν, καὶ ὅτι καλύδναι νῆσοι κατά τινας αἱ σποράδες, ὧν μία καλύδνα, ἐξ ἧς αἱ περικείμεναι καλοῦνται. οἱ δὲ μίαν νῆσον καλύδνας φασὶ κληθῆναι πληθυντικῶς, ὡς Ἀθήνας καὶ Θήβας.

Καλύδρα, ἡ παλαιά.

Καλυδναῖον, ἀρχαῖον, παλαιόν.

Καλυδναῖος, αἰδωνεύς, καὶ πρωϊνὸς, καὶ ἀρχαῖος, παλαιός.

Καλυδώνιος, αἴξ.

Καλυδώνιον, ἔνδοξον ὦ. αἶγα δὲ, διὰ τὸ ὀδωδέναι φαῦλον, δασὺν ὄντα.

Καλυδὼν, ἀπὸ καλυδῶνος κληθῆναι λέγεται, ὃς Ἐνδυμίωνος υἱὸς, ἢ Αἰτωλοῦ γέγονε. δοκεῖ δὲ ἐν Καλυδῶνι κατοικεῖν ὁ Οἰνεὺς, ὡς δηλοῖ ὁ Γεωγράφος εἰπὼν, ὅτι τὰ περὶ καλυδῶνα οἰνεὺς εἶχε. ὁ δὲ Ποιητὴς καὶ ἑτεροίαν ἱστορίαν συνήθως ἐπιπλέκων φησὶν, ὅτι Θόας Αἰτωλῶν ἡγεῖτο, οὐ γὰρ ἔτ᾽ οἰνῆος μεγαλήτορος παῖδες ἦσαν, οὐδ᾽ ἄρ᾽ ἔτ᾽ αὐτὸς ἦν ὁ οἰνεὺς δηλαδή. ἔθανε δὲ ξανθὸς μελέαγρος. ἐκείνων δὲ ἐπιλιπόντων, τῷ Θόαντι πάντα φησὶν ἐπέταλτο.

Καλυδὼν, πόλις. καὶ καλυδώνιος, πορθμός.

Κάλυκας, ὅρμους, περιτραχηλίους κόσμους.

Κάλυκας, σύριγγας, ῥόδα κεκαλυμμένα.

Καλύκειος, λίθος ὁ ἐν ταῖς ἄλπαις γινόμενος.

Καλυκίζειν, ἀνθεῖν.

Καλυκὸν, μικρὸν ῥόδον.

Καλύκων, τῶν ὀμματοφύλλων.

Καλύκοντος, εὐόφθαλμος.

Κάλυμνος, ὁ ἐν αἰγύπτῳ σῖτος, ἀντὶ τοῦ καλύμνιος.

Καλυντήρια, καὶ πλυντήρια ἑορταὶ β΄ Ἀθήνησι.

Κάλυστρα, κόσμητρα, ἀντὶ δὲ τοῦ δόρατος κάλυστρον φέρων, καὶ κόσκινον ἀντὶ ἀσπίδος, καὶ κόφινον ἀντὶ κράνους ἐπὶ ὄνου καθήμενος.

Κάλυξ, τὸ ἄνθος τοῦ ῥόδου, τὸ μὴ ἐκπετασθὲν ἄνθος, ἡ νύμφη, καὶ τὸ ἐνώτιον, καὶ ἡ χρυσῆ σύριγξ, ἡ τοὺς πλοκάμους περιέχουσα. ἔνιοι ἔμβρυα ἀποδιδόασι κάλυκος, οἱ δὲ βλαστήματα, σημαίνει δὲ καὶ τὴν θαλασσίαν πορφύραν.

Καλύξεις, ῥόδων καλύκια.

Κάλυξις, κόσμος τὶς ἐκ ῥόδων.

Κάλυστρα, σπάθαι φοινίκων, σκόλοπες, χάρακες, σταυροί.

Κάλυπτρα, κόσμος καὶ σκέπασμα τῆς κεφαλῆς.

Καλύπτω καὶ καλύσσω λέγομεν, ἀλλὰ καλύσσω σπανιώτερον.

Καλύριον, ξυλήφιον.

Καλύψαι καὶ ἀμφικαλύψαι, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας ν΄, ἀντὶ τοῦ ἐπιθεῖναι, σκεπάσαι, καταπετάσαι, ἐπικαταστρέψαι, ὡς ἐκ μεταφορᾶς τοῦ νέφους.

Καλυψὼ, ὄνομα θεᾶς, ἡ μὴ ἁπλῆ, καλύπτουσα δὲ τὸ διανοούμενον. δολόεσσαν γὰρ λέγει αὐτὴν Ὅμηρος.

Καλχαίνει, ταράσσει, πορφύρει, στένει, φροντίζει, ἄχθεται, κυκᾷ, ἐκ βυθοῦ ταράσσεται.

Καλχαίνειν, κατὰ βάθος μεριμνᾷν. καὶ κάλχη, ἡ πορφύρα. ὅθεν καὶ πορφύρειν, τὸ μεριμνᾷν.

Κάλχας, Στράτις τὸν ποταμόν φησιν, ὅς ἐστι τῆς Χαλκίδος.

Κάλχη, διφθέρα, πορφύρα, βοτάνιον ἀνθοφόρον, μέρος κεφαλῆς κίονος.

Κάλωα, ἡ διδασκαλία.

Κάλωας, λέγουσι τὰ σχοινία. ἐνίοτε οἷς ὁ ἱστὸς ἰσχυρὸς ποιεῖται ἀφ᾽ ἑκατέρου τοῦ πλευροῦ τῆς νεώς. καὶ καθόλου δὲ πᾶν σχοινίον, κάλως λέγεται. διὰ καὶ διαιροῦντες αὐτοὺς, οἷς μὲν κατάγεται τὸ ἱστίον, μεσουρίας λέγουσιν. οἷς δὲ ἰσχυροποιεῖται ὁ ἱστὸς ἐξ ἑκατέρου μέρους, ἐπὶ τὴν πρώραν προτόνους. τοὺς δὲ κατὰ τὰς γωνίας, πόδας. ἐφεξῆς δὲ τούτων πρότοδας, μεθ᾽ οὓς εἰσιν οἱ καλούμενοι τέρθριοι, εἶτα οὓς λέγουσι μέσους.

Καλώδια, σχοινία.

Καλώδιον, σὺν τῷ ι γράφεται. συνεξηκολούθησε γὰρ τῷ λαγῴδιον, στῴδιον, κῴδιον. σημαίνει δὲ τὸ στάδιον τὴν στοάν.

Καλώνδας, ὄνομα κύριον.

Κάλως, τοῦ κάλω, οὐχ ἡ κάλως. γράφεται δὲ καὶ τὸ καλώδιον.

Κάλως, σχοινίον.

Καλῶς, ἀντὶ τοῦ εὐσεβῶς καὶ φιλανθρώπως.

Κάλω, ἔχει τὴν εὐθεῖαν κάλως. καὶ παροιμία, πάντα κάλων κινεῖν. εἴληπται δὲ ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν πλεόντων καὶ χειμαζομένων, καὶ τὰ σχοινία ῥιπτόντων σὺν ταῖς ἀγκύραις ἐπὶ θάλασσαν, ὥς τε τοῦ κλύδωνος ῥύσασθαι τὸ πλοῖον. ὁμοία δὲ τῇ πάντα λίθον κίνει. τοῦ γὰρ Μαρδονίου ἡττηθέντος ἐν Πλαταιαῖς, φήμη κατεῖχεν, ὡς ἐν τῷ περιβόλῳ τῆς σκηνῆς θησαυρὸν κατορύξας ἀπολελοίποι. πριάμενος οὖν Πολυκράτης ὁ Ἀθηναῖος τὸν τόπον, πολὺν χρόνον ἐζήτει, ὡς δὲ οὐδὲν ἐπέρανε, πέμψας εἰς Δελφοὺς ἐπηρώτα, πῶς ἂν εὕροι. τὸν δὲ Ἀπόλλωνα ἀπο-

Digitized by Google

ἀποκεκρίναθαί φασι, πάντα λίθον κίνει. καὶ ἐν ἐπιγράμματι, Καλλιμάχου τὸ πορνικὸν ἔπος τόδε, δὴ γάρ ἐπ' αὐτῷ· οὐ γὰρ τοῖς μυσίων πάντας ἴσησι κάλως. φησὶν οὖν, πάντα κίνει πράγματα.

Καμάκασος, ὡσεί τις λέγοι ἐν τῷ βαράθρῳ, ἢ τῷ κρημνῷ, ἢ τῷ δεσμωτηρίῳ.

Καμακίς, κοσμάριον, ὃ τοὺς πλοκάμους περιέχει. ἔνιοι σύριγγα.

Καμάν, τὸν ἀγρόν. Κρῆτες.

Κάμαξ, ξύλον ὀρθόν. γίνεται δὲ παρὰ τὸ κάμνειν τῷ βάρει, ἢ καὶ συγκέκοπται ἀπὸ τοῦ καλάμαξ, ὡς καλάμοις ἀνεχομένων τῶν κλημάτων. ἔοικε δὲ καὶ ἡ τῆς καμάκων αὕτη χρῆσις πολλὴ παρὰ τοῖς παλαιοῖς εἶναι. διὸ καὶ πρὸς διαφοράν, ἄμπελος χαμίων ἐλέγετο, ἡ χαμαὶ κειμένη. ὅτι δὲ καὶ ἄγγαπος βαρβαρικῶς ἐκαλεῖτο ἡ κάμαξ, δηλοῖ ὁ εἰπών, ἄγγαπας τὸ εἰς ἀναδενδράδα ξύλον. εἰ μὴ ἄρα οὐκ ἔστιν ἴσως τοῦτο κάμαξ, ἀλλ' ἐπίκειται κάμαξιν. εἰ δὲ ὁ ἄγγαπος βαρβαρίζεται, καὶ διὰ τοῦτο ἄγνωστός ἐστι τοῖς ἑλληνίζουσι.

Κάμαξ, ἀρσενικῶς μὲν σημαίνει τὸ ὄρυγμα, ἢ τοὺς πασσάλους τοὺς ἐν τῷ τάφρῳ πεπηγμένους πρὸς τὴν τῶν πολεμίων ἐρωήν. θηλυκῶς δὲ τὰς ῥάβδους, ἢ δόνακας παραπεπηγότας ταῖς ἀμπέλοις. Ἡσίοδος, σειόμενοι σταφυλῆσι καὶ ἀργυρέῃσι κάμαξι. παρὰ τὸ κάμνειν ἐν τῷ βαστάζειν τὴν ἄμπελον, οἱονεὶ κάμναξ τις οὖσα, καὶ κατὰ ἀποβολὴν τοῦ ν κάμαξ.

Καμάραι, ζῶναι στρατιωτικαί.

Καμαρδεύουσα, φιλοπονοῦσα, πορίζουσα.

Καμαρδέω, στορδέω, φιλοπονῶ, πορίζω, κακοπαθῶ, συνάγω.

Καμάρης, δεσμοῦ.

Καμαρίνα καὶ Γέλα, πόλεις Σικελίας. καὶ καμαριναῖος, ὁ πολίτης. καὶ καμάριναι, ὄνομα ἔθνους.

Καμαρία, κοιτὼν καμάρας ἔχων.

Καμαρινῶς λέγει, παροιμιακῶς λέγει, ἀποτόμως, ἀνδρείως.

Κάμαροι, στῆλαι, ἐν οἷς ἀναγέγραπται ὁ περιορισμὸς τῆς Ἀσίας.

Καμαρίς, κοσμάριον γυναικεῖον.

Καμάρψαι, καταλαβεῖν.

Κάμαρψις, μέτρον σιτικὸν τὸ ἡμιμέδιμνον, Αἰολεῖς.

Καμάσαι, σεῖσαι.

Καμάσσειν, κραδαίνειν, τινάσσειν, σείειν τὰ μέσα.

Καμασῖνες, ἰχθύες.

Καμασός, βάραθρος.

Κάμασος καὶ κάμασον, τὸ πακέτζιλον.

Καμασηνός, ἐθνικόν.

Καμάσσεται, πυρέσσεται.

Καμαστίς, μέτρον τι, Ἀμερίας.

Καματηρούς, κεκοπιακότας, μήπως καματηρούς καὶ τεθνεῶτας, ἀκμῆσι παραδῶ τοῖς βαρβάροις.

Κάματος, κόπος, νόσος, μόχθος, πόνος.

Καματήριον, ἐπίπονον, ἐπίλυπον.

Καματώδης, νοσώδης.

Καματῶν, κοπιῶν.

Καμβαθεὶς, καταπονηθείς.

Κάμβει, παύεται.

Καμβολίαι, κακολογίαι, λοιδορίαι.

Καμβρίζοντα, ἀμελοῦντα.

Κάμε τεύχων, ἀντὶ τοῦ καμὼν κατεσκεύασε. λέγεται δὲ τὸ σχῆμα, ἀλλοίωσις.

Κάμε πάντα ὅπλα, ἤγουν καμὼν ἐποίησε, ἢ παρὰ πάντα ἔκαμε.

Καμεῖν, κοπιάσαι, ἢ ὀκνεῖσαι, νοσῆσαι, ἀποθανεῖν, ἐπιμελῶς κατασκευάσαι.

Κάμεια, ὄνομα πόλεως.

Καμεῖν, λαμβάνεται ἀντὶ τοῦ ποιεῖν μετὰ πόνου μέντοι, ἢ ἀντὶ τοῦ τελεῖ κοινότερον.

Καμηραία, ἰσχάς.

Καμηλαύκιον, Ῥωμαίων ἡ λέξις. ῥηθείη δ' ἂν καὶ ἑλληνιστί, παρὰ τὸ καῦμα ἐλαύνειν.

Κάμηλος, τὸ ἀχθοφόρον ζῶον. κάμηλος, καὶ τὸ παχὺ σχοινίον ἐν ᾧ δεσμεύουσι τὰς ἀγκύρας οἱ ναῦται. ὡς τὸ ἐν Εὐαγγελίῳ κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν. κάμιλλος δὲ ὁ Ῥωμαίων στρατηγός.

Καμήλου πρωκτόν, λέγει Ἀριστοφάνης. θερμόπρωκτος γὰρ ἡ κάμηλος καὶ λάγνος. κάμιλος δὲ διὰ τοῦ ι, τὸ παχὺ σχοινίον.

Καμινοῖ γρηΐ, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, οἱ μὲν κατὰ τὸ πολὺ καλόν φασιν. ἕτεροι δὲ τὸ μὲν γρηΐ, διὰ τὸ ῥυσὸν τοῦ προσώπου εἶπον. τὸ δὲ καμινοῖ, διὰ τὸ ἐπιφαινόμενον μέλαν, ὡς οἷον ἔκ τινος ἀσβόλης. Ἀρίσταρχος δὲ καὶ Ἡρωδιανὸς καμινῷ φασι, τὴν καμινεύτριαν, ἤτοι φρύττουσαν κριθὰς πρὸς ἀχερεστέραν ἀλευροποιΐαν. αἱ δὲ τοιαῦται κριθαί, καὶ κάχρυς δισυλλάβως καὶ ἐκτεταμένως ἐλέγοντο κατὰ Αἴλιον Διονύσιον θηλυκῶς. ὅθεν καὶ κατακαχρῦσαι παρὰ Παυσανίᾳ μεταφορικῶς, τὸ καταφρύξαι καὶ συντρῖψαι. Κομανὸς δὲ σύνθετον τὴν λέξιν τῆς καμινοῦς νοῶν φησιν, οὕτω καλεῖσθαι διὰ τὸ καμεῖν τὰς ἶνας ὑπὸ γήρως.

Κάμινος, παρὰ τὸ ὑπομένειν καιομένην.

Κάμιρος, ὄνομα κύριον. καὶ ὄνομα πόλεως.

Καμισός, πόλις Θράκης, ἀπὸ καμισοῦ τινός.

Κάμινοι, εὔπλευροι βόες ἰσχυροὶ καὶ εὔσχιοι.

Κάμινος, μέρος τι τῆς νεώς.

Κάμιρος, πόλις Ῥόδου.

Κάμματα, φύλλα δάφνης, ἐν οἷς σκέπουσι τὰ ψαιστά, ὁμοίως καὶ αἱ καμματίδαι.

Κάμμη, καθέζει.

Καμμένειν, καταμένειν. Λάκωνες.

Κάμμερος, ἀχλύς.

Καμμονίη, ἡ ἐκ μονομεροῦς νίκη.

Καμμορέων, κακοπαθῶν.

Κάμμορος, ἀντὶ τοῦ κακόμορος κατὰ συγκοπήν, καὶ ἀντὶ τοῦ ταλαίπωρος.

Καμμύω, ἐκ τοῦ καταμύω κατὰ τροπήν.

Κάμνειν, ἐπὶ τοῦ ποιεῖν καὶ ἐργάζεσθαι, καὶ ἐπὶ τοῦ νοσεῖν, καὶ ἐπὶ τῶν ἀποθανόντων. προσλαμβάνων δὲ τὴν ἀπὸ πρόθεσιν, τὸ ἀπειπεῖν καὶ ἀπαγορεῦσαι καὶ ἀπογνῶναι σημαίνει.

Κάμνω, τὸ κοπιῶ. ὅθεν κάματος, τὸ πρᾶγμα ἤγουν ὁ κόπος. μετὰ δὲ τοῦ στερητικοῦ α ἀκάματος, ὁ μὴ κοπιῶν.

Κάμνω, λέξις συνήθης Ὁμήρῳ ἐπὶ πυκνῶν, πέπτωκε καὶ ὡς κοινολεξίαν, παρὰ τοῖς ὕστερον, οἷον ἔκαμεν ἐκεῖνος ὅπλα, κατὰ τὸ Ἥφαιστος κάμε τεύχων.

Κάμνων, παραινῶν.

Κάμνω, σημαίνει τέσσαρα. τὸ κοπιῶ, τὸ κατασκευάζω, ὡς τὸ κάμε τεύχων. καὶ τὸ ἀσθενῶ, ὡς τὸ καμνόντων αἰχμαλώτων. σημαίνει καὶ τοὺς τεθνεῶτας, ὡς εἴδωλα καμνόντων. καὶ κάμνοντας ἀνθρώπους, ἀντὶ τοῦ τελευτήσαντας, ἀποθανόντας. κάμνω, ὁ μέλλων καμῶ, ὁ μέσος παρακείμενος κέκαμα, ὁ δεύτερος ἀόριστος ἔκαμον, ἡ μετοχὴ ὁ καμών.

Καμμονία, οὐχ ἁπλῶς ἡ νίκη, οἷον ἡ τῶν δρομέων, ἢ τῶν ἱππέων, ἀλλ' ἡ ἐκ καταμονῆς, ὡς ἡ τῶν μονομαχούντων, καὶ πυκτευόντων. οὗτοι γὰρ καταμένοντες, ὡς τὰ πολλά, καὶ διακαρτεροῦντες ἀποκάμνειν τοὺς ἐναντίους ποιοῦσι, καὶ οὕτω νικῶσι. καὶ τοῦτο μὲν ὀρθῶς, ἕτεροι δὲ ἁπλῶς, οὕτω καμμονίαν τὴν ἐκ μονομερείας νίκην φασίν, οὐ σαφῶς λαλοῦντες ἐν τῷ ἐκ μονομεροῦς, εἴγε καὶ ἑτεραλκής.

Κάμορος, κλῆθρα, τὸ δένδρον.

Καμόντων, τῶν νεκρῶν. εἰ καί σοι βέβριθεν ὑπ' εἰδώλοισι καμόντων ὁλκάς.

Καμπανοί, ὅτι καμπτὸν ἔκτισαν πρὸς τὴν κύμην, τόπος οὕτω λεγόμενος. οἱ μὲν καὶ καμπανοὶ ἐκλήθησαν. οὕτως Ὧρος ὁ μιλήσιος.

Καμπαλέας, καμπύλας.

Κάμπιος δρόμος, δρόμοι τινὲς ἦσαν κάμπιοι, οὐκ εὐθεῖς καὶ ἁπλοῖ, ἀλλὰ καμπὰς ἔχοντες.

Καμπεσίγουνος, ἡ ἐρινύς, ἀπὸ τοῦ κάμπτειν τὰ γόνατα τῶν ἁμαρτανόντων.

Καμπεσόγυια, κάμπτοντα τὰ μέλη. γυῖα γὰρ τὰ μέλη.

Καμπή, συστροφή. καὶ κάμπιος δρόμος, οὐκ εὐθὺς καὶ ἁπλοῦς, ἀλλὰ καμπὰς ἔχων.

Κάμπη. ὅτι τὰ μὲν πλατεῖα μέσον ἀποτείνει, τὰ δὲ πρὸς τῷ τραχήλῳ κάμπτει, καὶ εἶθ' οὕτως ἐπισύρει τὰ ὄπισθεν κάμπτουσα ἑαυτήν.

Καμπή, ἡ καμπτομένη καὶ κεκαμμένη. καὶ καμπὰς φαμὲν τόπον, ὡς κλάσιν πεπονθότων χωρίων. λέγεται δὲ ζωδιάριόν τι.

Καμπισίγυια, ὁμοίως καμπικῶς, παρὰ Ἐπιχάρμῳ.

Κάμπος, ἱππόδρομος. Σικελοί.

Καμπύλη, ἐλαίας εἶδος. Λάκωνες.

Καμπελόχοις, ἀρόσοις.

Κάμπτετε, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ καταβάλλετε, ἐσθίετε.

Κάμπτειν γόνυ, ἐπὶ τοῦ καθέζεσθαι λέγεται, πρὸς διαφορὰν τοῦ ἵστασθαι. οἱ δὲ μεθ' Ὅμηρον, ἐπὶ ἱκεσίας καὶ προσκυνήσεως τίθενται, λέγοντες τοῦτο καὶ συνθέτως γονυπετεῖν.

Κάμπτω. ᾠδὰς ἔκαμπτεν, ὁπόσας ὁ Νέρων ἐλύγιζέ τε καὶ ἔστρεφε.

Κάμπτω σε, αἰτιατικῇ, ἀντὶ τοῦ μαλακίζω τὴν ψυχήν σου.

Καμπύλα τόξα, τρόπῳ ποιητικῷ πληθύνεται, καθὰ καὶ τὸ ἅρματα, καὶ ὄχεα. ὅθεν καὶ Εὐριπίδης λαβών φησιν ὀχήματα, ἤγουν ἅρμα. καμπύλα δὲ κοινῶς, πάντα τὰ τόξα. οὕτω δὲ καὶ ἀγκύλα. καὶ ῥαιβὰ δέ, ὡς παρὰ Λυκόφρονι, καὶ σκολιά, καὶ παλίντονα. τοῦτο δὲ δοκεῖ, παρὰ τῷ Ἡροδότῳ σκέψιν ἔχειν. λέγων γάρ, ὅτι τόξα παλίντονα ἀράβιοι εἶχον, δίδωσιν ὑπονοεῖν, ὡς οὐ πᾶν τόξον ἁπλῶς παλίντονόν ἐστιν, ἀλλὰ εἰς τὸ πλέον ὀπίσω τῇ ἀνέσει ῥαιβούμενον, καὶ οἷον καμαρούμενον.

Καμπυλιάζειν, κάμπτειν, καὶ στρέφειν.

Κάμψα, θήκη, γλωσσοκομεῖον.

Καμψικίζουσα, βαρβαρίζουσα.

Καμψία, κανᾶ, κανίσκια, κανάβια κυνηγετικά, ὡς γύργαθοι, ἢ ὑποδήματα ποιά.

Καμψόν, καμπύλον.

Καμῶ, ἐργάσομαι.

Κανάβιος κηρός, ᾧ χρῶνται οἱ ἀνδριαντοποιοὶ πρὸς πλάσιν.

Κάναβοι, τὰ ξύλα, περὶ ἃ τὸ πρῶτον οἱ πλάσται τὸν κηρὸν τιθέασιν. ὅθεν καὶ οἱ λεπτοὶ καὶ ἄσαρκοι κάναβοι λέγονται.

Κανάδοκα, χεῖλη ὀϊστοῦ. Λάκωνες.

Κάναδοι, σιαγόνες, γνάθοι.

Κάναθρα, ἀστράβη, ἢ ἅμαξα πλέγματα ἔχουσα, ὑφ' ὧν πομπεύουσιν αἱ παρθένοι, ὅταν εἰς τὸ τῆς Ἑλένης ἀπίωσιν ἔνιοι δὲ ἔχειν εἴδωλα ἐλάφων ἢ γυπῶν.

Κανναβίς, σκυθικὸν θυμίαμα, ὃ τοιαύτην ἔχει δύναμιν, ὥστε ἐξικμάζειν πάντα τὸν παρεστῶτα. ἔστι δὲ φυτὸν τιλινῷ ὅμοιον, ἐξ οὗ αἱ θρᾶσσαι ἱμάτια ποιοῦσιν. Ἡρόδοτος αὐτοῦ τὸ σπέρμα θυμιῶσιν.

Κάνακις, ξίφος.

Κανάξας, ταράξας.

Κἄν, μετὰ ὑποτακτικοῦ ὀφείλει τίθεσθαι, καὶ μετὰ ὁριστικοῦ. ὡς τό, κἂν δέῃ με ἀποθανεῖν, καὶ κἂν ἐπὶ σμικρὸν χρόνον ἀναβλέψῃς, ἀντὶ τοῦ καὶ ἐάν.

Κἄν, μετὰ σφοδροῦ τόνου, καὶ μετὰ εὐκτικοῦ, καὶ μετὰ ὁριστικοῦ παρῳχημένου, καὶ ἀπαρεμφάτου. Ἀριστοφάνης ἐν νεφέλαις, κἂν προσκαταθείην γ' ὥστ' ὀμόσαι τριώβολον. Σοφοκλῆς ἐν Αἴαντι, κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.

Καναστραῖα, κοῖλά τινα ἀγγεῖα.

Κανάστρα, ἀκρωτήριον μεθόριον Μακεδονίας καὶ Θράκης, οὗ πλησίον ᾤκησαν οἱ γίγαντες.

Κάναστρον, ὄστρακον, βιβλίον, κανοῦν.

Καναχή, κτύπος. καὶ καναχίζειν, ἀπὸ τοῦ κενὸν ἀχεῖν.

Καναχηδά, ἠχητικῶς.

Καναχίζει, οἰμώζει.

Κανάχιζεν, ἐψόφει, ἐφώνει, ἐκραύγαζεν.

Κανάχιζεν, ἤχει, ἐκ τοῦ καναχῶ καναχήσω, ἐξ οὗ καναχηδόν. καὶ ἡ καναχή, ἡ βοή.

Καναχνοανθῆ, ἀντὶ τοῦ δασυανθῆ. χνοῦς γάρ, ἡ πρώτη θρὶξ καὶ λεπτή, ὅπερ ἐστὶν ἐὰν ἀκμάσῃ καὶ ἡβήσῃ.

Καν-

Digitized by Google

Κανδάκη, ἡ τῶν Αἰθιόπων βασίλισσα.
Κάνδαλοι, κοιλώματα, βάθρα, κοιλόβαθρα.
Κάνδαρος, ἄνθραξ.
Κανδαύλας, Ἑρμῆς, ἢ Ἡρακλῆς.
Κανδάω, ἐπίθετον Ἄρεως, παρὰ τὸ καίνειν καὶ δαίειν.
Κανδοφόρους, μελανειμονοῦντας.
Κανδόχα, κήλη. Λάκωνες.
Κάνδυλος, βρῶμα διὰ μέλιτος καὶ γάλακτος σκευαζόμενον. ὡς καὶ ἀβυρτάκη, ἐρύκων βρῶμα, καὶ ἔστιν ἐν τῷ ἀκρόδρυα.
Κανδυτάναι, ἢ κανδύλαι, ἱματιοθῆκαι, ὅπου τὰ πολυτελῆ ἱμάτια ἔβαλλον.
Κάνδωλος, κακοῦργος, λῃστής.
Κάνδυς, χιτὼν περσικός. ἀποδύσαντες δὲ τὸν κάνδυν, καὶ τὰς ἀναξυρίδας ἐξελκύσαντες, καὶ τὸν πῖλον ἀφελόντες.
Κανεῖν, κτείνειν, ἀνελεῖν. ὅθεν τὸ κανοῦν, ἀπὸ τῶν καιομένων ἱερείων.
Κανέοισι, κανοῖς, μαγίσι, κανισκίοις.
Κάνεον, τὸ κανίσκιον καὶ κάνειον, ὁμοίως.
Κάνης, ὁ ψίαθος, καὶ κλίνεται κάνητος.
Κανηφόροι, ἐν ταῖς πομπαῖς αἱ ἐν ἀξιώματι παρθένοι ἐκανηφόρουν ὥσπερ καὶ ἐν τοῖς παναθηναίοις. οὐ πάσαις δὲ ἐφεῖτο κανηφορεῖν.
Κανηφόρος, ἀμφορεὺς τῶν νυμφῶν, ἢ τὸ ναῦν φέρουσα.
Κάνθαδε, ἀντὶ τοῦ ἐνθάδε.
Κανθαρίζειν, λέγουσιν οἱ Ἀττικοὶ τὸ τρέμειν.
Κάνθαροι αἴτναι, μεγάλοι ἀπὸ τῆς Αἴτνης.
Κανθάριος, ἀμπέλου εἶδος.
Κανθαρὶς, χρυσοειδὴς ἰχθὺς, ἢ ζωΰφιον λυμαντικὸν σίτου, ἀμπέλου, καὶ κήπων.
Κάνθαρος, παρὰ τὸ ὄνθος, ἡ κόπρος, καὶ τὸ ὀρύω, τὸ ὁρμῶ.
Κάνθαρος, ποτηρίου εἶδος, ἀπὸ τοῦ κατασκευάσαντος. καὶ ποιὸς ἰχθὺς. καὶ πλοίου εἶδος, ἢ ὁ δακτύλιος τῶν ἱερῶν.
Κανθάρου σκιὰ, παροιμία ἐπὶ τῶν φοβουμένων τὰ μὴ ἄξια φόβου.
Κανθάρων λιμὴν, οὕτω καλεῖται ἐν Πειραιεῖ.
Κανθήλη, πόλις.
Κανθήλιος, βραδὺς νοῆσαι. ἢ ἀφυὴς, ἢ ὄνος μέγας.
Κανθήλια, τὰ ἐν τῇ πρύμνῃ τῆς νεὼς ἐπικαμπῆ ξύλα, τιθέμενα πρὸς σκηνοποιΐαν, καὶ τὰ σάγματα τῶν ὄνων, καὶ τὰ τούτοις ἐπιτιθέμενα λύγινα πλέγματα, καὶ τῆς Βιθυνίας ὄρη.
Κανθήλως, ὠμὸς, μωρὸς, ὄνομα.
Κανθηλίοις, ὄνοις μεγάλοις. Ξενοφῶν, ὅτι ἐν Βαβυλῶνι οἱ φοίνικες οὐ μεῖον ἢ πλεθριαῖοι τὸ μέγεθος γίνονται. οἳ δὴ πιεζόμενοι ἀπὸ βάρους ἄνω κυρτοῦνται, ὥσπερ ὄνοι κανθήλιοι. καὶ Πολύβιος, ἐν γὰρ τοῖς ἐπιδεδεμένοις φορτίοις τὰ κανθήλια λαβόντας ἐκ τῶν ὄπισθεν, προθέσθαι πρὸ αὐτῶν ἐκέλευσε τοὺς πεζοὺς, οὗ γενομένου συνέβη παρὰ πάντας χάρακας ἀσφαλέστατον γενέσθαι πρόβλημα.
Κανθίαι, σπυρίδες.
Κανθὶς, ὀνίσκη, ὄνος.
Κανθὸς, ὁ τοῦ ὀφθαλμοῦ κύκλος, καὶ ἡ ἀναπνοὴ τοῦ καπνοῦ ἐν τοῖς ἰπνοῖς. τινὲς δὲ, καπνοδόχην. καὶ πώποτε ὡς χυτρόποδες, σικελοὶ, καὶ εἰς ὃ τὰς κάγχρυς φρύγουσι.
Κανθύλας, τὰς ἀνοιδήσεις. Αἰσχύλος Σαλαμινίαις.
Κάνθων, κυρίως ὁ ὄνος. νῦν δὲ παρὰ Ἀριστοφάνει ὑποκοριστικῶς. κάνθαρος δὲ εἴρηται, παρὰ τὸν κάνθωνα, τὸν ὄνον, καὶ τὸν θορὸν, τουτέστι τὸ σπέρμα. φασὶ γὰρ, ὅτι κάνθαρος οὕτω τίκτεται, ἐπὰν εὕρῃ ὄνου κόπρον στρογγύλον.
Κανθώνη, καθαρῷ.
Κανίας, κάλαθος.
Κἂν ἴσαι, παροιμία μετενηνεγμένη ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις φερομένων ψήφων ἴσων, ἀπολύονται γὰρ τοῦ ἐγκλήματος, ὁπόταν ἴσαι ἐξενεχθῶσιν αἱ ψῆφοι.
Κάνιστρον, κανίσκιον.
Κανναβιῶσαι, πρὸς τὴν κάνναβον ἐξιδρῶσαι καὶ πυριαθῆναι.
Κάνναθρον. Δίδυμος τὴν πίρινθον πλεκομένην, λέγει ῥίπινθον, καὶ κατὰ ἀντίθεσιν πείρινθον. τοῦτο δ' ὑπὸ Ξενοφῶντος καλεῖσθαι κάνναθρον. ἐπὶ καὶ κάνη, ἡ ψίαθος, οὕτως Ἐπαφρόδιτος Ὦρος.
Κάνναι, ψίαθοι, καὶ τὰ αἰγύπτια πλέγματα, ἀφ' ὧν καὶ τὰ κάναθρα, καὶ εἶδος γῆς χρυσολίθου.
Κάνναις καὶ καλάμαις, χρῶνται οἱ νομάδες εἰς τὴν σκηνοποιΐαν.
Κάννηκες, πλέγματα ταρσῶν.
Καννώνου πανδοκεῖον, καννώνου ψήφισμα. εἰσήνεγκε γὰρ οὗτος ψήφισμα, ὥστε διειλημμένους τοὺς κρινομένους, ἑκατέρωθεν ἀπολογεῖσθαι.
Κανόνας, λέγει Ὅμηρος, ὥς φασιν οἱ παλαιοὶ, ῥάβδους τινὰς ἀναφορέας τῆς ἀσπίδος πορπὰς ἴσως ὄντας, καὶ ὡς εἰπεῖν κανονάτους. οὔπω γὰρ ἐπενοήθησαν οἱ νῦν ἐξιμάντων πόρπακες, ἤγουν τὰ ὄχανα, δι' ὧν αἱ ἀσπίδες ἔχονται καὶ καὶ ἀναβαστάζονται. φασὶ γὰρ αὐτοὺς Καρῶν ἐπινοήματα εἶναι, ὡς Ἀνακρέων καριοεργέος ὀχανοῖ.
Κανοῦν, κανίσκιον δισκάριον. ὁμοίως καὶ κανὸν, παρὰ τὸ χαίνειν, χανοῦν καὶ κανοῦν, ἀπὸ τοῦ κεχηνέναι.
Κάντορες, οἱ κρατοῦντες.
Κανὼν, λόγος ἔντεχνος δηλωτικὸς, ἀπευθυνῶν ὁμοιότητι πρὸς τὸ καθόλου τὸ διεστραμμένον τῶν λέξεων, ἢ κανών ἐστι νόμος ἀπαράβατος, καὶ μέτρον ἀδιάψευστον, πᾶσαν πρόσθεσιν καὶ ἀφαίρεσιν μηδαμῶς ἐπιδεχόμενος.
Κανόνας, κυρίως λέγουσιν τὸ ἐπάνω τῆς τραπέζης ὂν, καὶ εἰς ἰσότητα ἄγον.
Κανονίαι ὀρθοὶ καὶ προσεσταλμένοι τὰς γαστέρας, παρὰ τῷ Ἱπποκράτει.
Κανόνιον, οὕτω καλεῖται ἡ οἱαδήποτε πραγματεία, κἂν πλειόνων τυγχάνῃ πτυχίων ἢ στίχων ἢ παγινῶν. στίχον δὲ, τὸν κατὰ τὸ κοινὸν ἔθος ὀνομαζόμενον ἀπὸ ἀριστερῶν ἐπὶ δεξιὰ ἀναγινωσκόμενον. σελίδιον δὲ, τὸ ἀπὸ τῶν ἄνωθεν ἀναγινωσκόμενον ἐπὶ τὰ κάτω.
Κανοῦν, εἰς ὃ φέρονται ἱερουργικαὶ μάχαιραι. σημαίνει κυρίως τὴν μάχαιραν. οἱονεὶ τὸ καίνειν ἔχον κείμενον, ὅ ἐστι κόπτειν, ἀπὸ τῶν γινομένων ἐν ταῖς θυσίαις σφαγῶν.
Κάνωβος, ὄνομα κύριον, καὶ ὄνομα πόλεως.
Κανωνὶς, ἐργαλεῖον καλλιγραφικὸν, ἐν ἐπιγράμματι.
Κάνωπος, τόπος ἐν Ἀλεξανδρείᾳ.
Κἀξ αὐτοῦ, καὶ ἐξ αὐτοῦ.
Κἀξεῦρες, ἀντὶ τοῦ καὶ ἐξεῦρες, ἤγουν ἐπενόησας.
Κἀξίστασθαι, ἀντὶ τοῦ καὶ ἐξίστασθαι, ἤγουν ἀποχωρεῖν καὶ πόρρω γενέσθαι. Ἀριστοφάνης, χρὴ κἀξίστασθαι τοῖς ἡμετέροις χοροῖσιν.
Καόμενοι, οἱ σπινθηρίζοντες, οἱ καλούμενοι διάττοντες, οἱ ἐν τῷ λάμπειν τοὺς σπινθῆρας πέμποντες.
Καπαλαὶ, κάπηλοι, φάτναι.
Καπαλεῦταὶ, ὀνηλάτας.
Καπαλίζει, ζευγηλατεῖ.
Καπάνη, τριχίνη κωνῆ.
Καπάνια, ἁρπεδόνες.
Καπανικώτερα, ἀπὸ τῆς φάτνης χορταστικώτερα. τινὲς δὲ ἀντὶ τοῦ μείζονα. καπάνας γὰρ ἀπήνας λέγουσιν.
Κάππα διπλοῦν, ἀντὶ τοῦ κακὸν, τρία κάππα κάκιστα. Καππαδοκία, Κρήτη, καὶ Κιλικία.
Καπακτώσαμεν, ἐφράξαμεν, ἐπληρώσαμεν, πακτῶσαι γὰρ, τὸ σφηνῶσαι.
Καπαρδεῦσαι, μαντεύσασθαι.
Κάπας, μεμβρὶς ἢ φάτνας.
Κάπατα, κατακόψεις. Πάφιοι.
Κάπατας, καθαρὸν παρὰ Δηλιῶν.
Κάπετα, κτηνῶν τροφή.
Καπεμβαφίζων, ὁ ἐπεμβάπτων.
* Καπερναοὺμ χωρίον παρακλήσεως.
Κάππεσε, κατέπεσεν.
Καπέτις, χοῖνιξ.
Κάπετος, ἀπὸ τοῦ σκάπτειν, γλώσσης ἀργείων οὖσα κατὰ τοὺς παλαιοὺς, ἧς ἡ χρῆσις καὶ παρὰ Σοφοκλεῖ, κοίλην εἰπόντι κάπετον.
Καπετὸς, τάφος, σορὸς, ὄρυγμα, βόθρος, ὁ δὲ σκαπετόν.
Κἀπέχω, παρὰ τῷ Ἀριστοφάνει τῷ στόματι προσάγω. καὶ Ὅμηρος, ὄψον ἄσειμι προτιμῶν καὶ οἶνον ἐπιχέω.
Καπετώλιον, κεφαλὴ τῆς πόλεως, ἢ ὅτι ἐκεῖσε μέλλοντες κτίσαι, εὗρον κεφαλὴν νεόσφακτον. κάπουτ γὰρ παρὰ Ῥωμαίοις ἡ κεφαλή.
Κάπη, ἡ φάτνη, παρὰ τὸ κάπω, τὸ χανδὸν ἐσθίω. ὅθεν καὶ τὸ ἐνέκαψε παρὰ τῷ κωμικῷ. ἀφ' οὗ ἔγκαφος, ὁ ψωμὸς, ἤτοι βλωμός. οἱ δὲ χυδαῖοι τὸ ποιοῦτον κάπτω, χάπτω φασί.
Κάπηθεν, καὶ καπίστριον.
Κάπηλα; ἡ κρεώπωλις, ἀγορὰ παρὰ Ταραντίνοις.
Καπηλείας, ἐμπορείας, καὶ καπηλεῖον.
Καπηλεύουσιν, ἀγοράζουσιν, ἢ πιπράσκουσι.
Καπηλεύω, αἰτιατικῇ συντάσσεται, ὅθεν καπηλεία ἡ ἐμπορία. καὶ καπηλεῖον, καὶ καπηλικῶς, ἀντὶ τοῦ πανουργικῶς.
Καπήλη, ὅπου ὁ κυβερνήτης κάθηται, πάσσαλος, περὶ ὃν κατείληται τὰ σχοινία, καὶ τὸ ἐν τῇ πρύμνῃ κοίλωμα, ἔνθα οἱ ναῦται πάντα ἀποτίθενται.
Καπηλικῶς, πανουργικῶς, ἐπεὶ οἱ κάπηλοι χρίειν καὶ ἀναποιεῖν τὰ ἱμάτια εἰώθασι. καὶ τὸν οἶνον δὲ νοθεύουσι, συμμιγνύντες αὐτῷ σαπρόν.
Καπηλὶς, παρὰ τὸ κακοῦν τὸν πηλόν. πηλὸς γὰρ ὁ οἶνος. ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἡ μετέλους οὖσα, ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν.
Κάπηλος, ὁ μεταβολεὺς, καὶ οἰνοπώλης, παρὰ τὸ χέειν τὸν πηλὸν, ἤγουν τὸν οἶνον, ἢ παρὰ τὸ κακοῦν τὸν πηλόν.
Καπηλοδύτης, ὁ ἐν τῷ καπηλείῳ ἐρχόμενος.
Καπήλτια, γυναικεῖα ἱμάτια.
Κάπνει, ἀντὶ τοῦ καὶ ἔπνει.
Κάπηξ, ξύλον τι ἐν τῇ πρύμνῃ τῆς νεὼς ὑπερέχον.
Καπύρια, εἶδος πλακοῦντος, τὰ παρ' ἡμῖν καπύρια.
Καπητήρια, καταβατήρια.
Καπήτιοι, οἱ πρηνεῖς τῆς Κυρήνης.
Καπητὸν, παράβλημα ἀλόγων.
Κάπια, τὰ σκόροδα, Κερυνῆται.
Καπίθη, ἀγγεῖον χωροῦν Ἀττικὰς κοτύλας δύο.
Κἀπικείμενοι, ἀντὶ τοῦ τύπτων κεῖται, παρὰ τῷ Ἀριστοφάνει.
Κἀπιδώσειν μοι δοκῶ τὸ χρῆμα μᾶλλον, ἀντὶ τοῦ προσθήκην χρήσειν.
Καπίστριον, ἡ τοῦ ἵππου φορβιά. κάπουτ γὰρ ῥωμαϊκῶς ἡ κεφαλὴ, καὶ ἐξ αὐτοῦ καπίστριον.
Καπίων, κιθαρῳδικοῦ νόμου ὄνομα.
Καπιχωρίως, σκωπτικῶς καὶ φλυαρῶς. ἐπιχώριον γὰρ ἦν αὐτοῖς τοῖς Ἀθηναίοις, τὸ σκώπτειν καὶ παίζειν, ἐκ πολλῆς εἰδήσεως τοῦ ἑλληνισμοῦ.
Κάπνη, ἡ καπνοδόχη. ἔστι δὲ σωληνοειδὲς ἐπὶ τῶν μαγειρείων, δι' οὗ ὁ καπνὸς ἔξεισιν, καὶ εἶδος ἀμπέλου ξηρόπαστον, καὶ δριμύτατον οἶνον ποιούσης, ὁμοίως καπνῷ ποιοῦντα δάκρυα. τινὲς καπνίαν οἶνον ἐν βενεβέντῳ τῆς Ἰταλίας γίνεσθαί φασι. καὶ καπνία, ἡ ἄμπελος.
Καπνίας οἶνος, ὃς γίνεται ἐν βενεβέντῳ τῆς ἰταλίας. καὶ καπνία ἄμπελος, ἡ μέλαινα.
Καπνίας ποιητὴς, ὁ μηδὲν λαμπρὸν γράφων.
Καπνίζω, ἐκ τοῦ καπνὸς, τοῦτο παρὰ τὸ καίω καὶ τὸ πνοὴ, κυρίως γὰρ καπνὸς λέγεται ἡ ἐκ τῆς καύσεως πνοὴ, ὅθεν καὶ καπνίζω. σημαίνει καὶ τὸ θύω, ὡς δηλοῖ Ὅμηρος, ἐν τῷ κάπνισάν τε κατὰ κλισίας. ἐκ τοῦ καπνίζειν δὲ, καπνιστὰ κρέα παρὰ τῷ δειπνοσοφιστῇ.
Κάπνισαν, ἀντὶ τοῦ πῦρ ἀνῆψαν, ἐπὶ θυσίᾳ τε καὶ ἐπὶ ἀναγκαίῳ δείπνῳ πρὸ τῆς μάχης, ἐκ τοῦ παρακολουθοῦντος ῥηθὲν, ἐπακολουθεῖ γὰρ τῇ τῶν ξύλων καύσει καπνός. πέφρασται οὖν ἐκ τοῦ πορρώτερον, τὸ μέν τοι ἐγγύτερον, παρ' Εὐριπίδῃ ἐν τῷ πῦρ ἀνάψουσι θεαῖς.

Digitized by Google

θοῖς. δύναται δὲ εἶναι τὸ ἐκάπνισαν, καὶ ἀντὶ τοῦ ἔθυσαν, ἵνα λέγῃ ὅτι θύσαντες, εἶτα ἐδείπνησαν.

Καπνοκορτυάζεται, σκιρτᾷ παρὰ Ἐπιχάρμῳ.

Καπνὸς, ἀναθυμίασις ξυλώδης ξηρὰ καὶ θερμή, ἢ ἀτμὸς δριμὺς ὑπὸ τῆς τοῦ πυρὸς ἀναφορᾶς ἐκ τῶν ὑποτυφομένων ἀναπεμπόμενος.

Καπνοσαὶ, πνέουσαι.

Καπνοῦ σκιὰ, ἐπὶ τῶν λίαν ἰσχνῶν.

Καπνομένας, καπνιζομένας.

Κάποις, κήποις.

Κάπος, ἡ συνεχὴς ἀναπνοή.

Κάπος, τὸ πνεῦμα.

Κάπος, ψυχὴ πνεῦμα, καὶ ὁ τοῦ φοίνικος φλοιὸς, ἐν ᾧ κέκρυπται ὁ καρπὸς, καὶ ἡ πρώτη ἔκφυσις.

Κάποσυκάζεις, παρὰ τῷ Ἀριστοφάνει συκοφαντεῖς. ἐχρήσατο δὲ τῷ ὀνόματι, ἀφ' οὗ καὶ συκοφάντης κέκληται, τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις τὰ σῦκα ἦν, καὶ εἴ τις διεβλήθη κλέπτων, ἐκολάζετο. φαίνειν δὲ ἔλεγον, τὸ κατηγορεῖν. ἄλλως, συκάζειν τὸ ἀποθλίβειν τὰ σῦκα ἢ ὠμὰ ἢ πέπειρα.

Κάποφανῶ, ἀντὶ τοῦ καὶ ἀποφανῶ ἀποδείξω, ἐκ τοῦ φαίνω.

Κάπυπλος, ῥάρυγξ.

Καππαστὸν, ποικίλον.

Καππάτια, γυναικεῖα ἱμάτια.

Κάππει, κατῆλθεν.

Καππεδίον, κατὰ τὸ πεδίον.

Κάππεσεν, ἀντὶ τοῦ κατέπεσεν, καδδὲ, ἀντὶ τοῦ κατὰ δέ. καὶ κάββαλεν, ἀντὶ τοῦ κατέβαλεν, Αἰολεῖς συγκόπτουσι τὰ συνθέματα τῶν ὀνομάτων, διπλασιάζοντες τὰ ἄφωνα.

Κάππαρις, ὅτι ἡ πολλὴ καὶ καλὴ ἐν κάμπῳ φύεται, οὐχ οὕτως ἐν κρημνοῖς. εἴη ἂν οὖν κάμπαρις, καὶ μεταβολὴ τοῦ μ εἰς π, κάππαρις, οὕτως Ὦρος ὁ Μιλήσιος.

Κάπρα, αἲξ Τυῤῥηνοί.

Κάπραινα, ἡ καταφερὴς, ἀπὸ τῶν κάπρων.

Καπρᾶν, κυρίως τὸ ὀρέγεσθαι κάπρου τὴν ὗν, ὡς καὶ ταυρᾶν φασι, τὸ ταύρου ἐφίεσθαι τὴν βοῦν.

Κάπρας, ἀκολασίας.

Καπρέαι, αἱ ἐντὸς τῶν πτερυγωμάτων τῆς φύσεως.

Καπρία, εἶδος ὀρχήσεως ἐνόπλου.

Καπρίσκος, ἰχθύς.

Κάπρονται, ἐκαλοῦντο. οὕτως οἱ Θρᾶκες.

Κάπρος, τὸ αἰδοῖον τοῦ ἀνδρὸς. καὶ σύαγρος, σῦς ἄγριος, ἢ τὸν φάγρον ἰχθῦν. καὶ νόσημά τι, γινόμενον ταῖς μελίσσαις.

Καπροσύρη, περικάθαρσις.

Καπροφάγος, Ἄρτεμις ἐν Σάμῳ.

Κάππα, τινὲς δὲ τὸ ἐλάχιστον, οὐκ εὖ γάρ. καὶ παρὰ Καλλιμάχῳ γράφεται κόμπα τὸ ἀνεστραμμένον ρ, ὡς ὁ μυκτηρισμός.

Καπρῶντας, ὁρμητικῶς ἔχοντας πρὸς συνουσίαν.

Κάπτει, καταπίσῃ.

Κάπτοντες, ἀποδεχόμενοι, ἐσθίοντες.

Καπάνιοι, ἀκόλουθοι.

Κάπος, πνεῦμα, κῆπος.

Καπύη, πόλις Ἰταλίας.

Καπυρὸς, καπύσσων, ἐκπνέων.

Καπέφαγε, κατέφαγε.

Κὰρ, θάνατος, φθεὶρ, πρόβατον, γένος Καρικόν.

Κάρα, ἐκ τοῦ κάρηνον, κατὰ ἀποκοπήν. καὶ κάρη, ἐκ τοῦ κάρηνον ὁμοίως κατὰ ἀποκοπὴν, ἐξ οὗ τὰ κάρηνα. κάρα δὲ καὶ κρὰς καὶ τὸ κάρα καὶ τὸ κάρηνον, κεφαλή. καὶ κάρα, τὸ μὲν πρότερον ἔχει βραχὺ, οἷον παίσας κάρα θαὔξεν. ὥστε οὐ τὰ εἰς α λήγοντα πάντα οὐδέτερα συστέλλει. κρᾶτα δὲ, τὴν κεφαλὴν, ἧς ἡ εὐθεῖα ἡ κρὰς. τὸ μὲν πρότερον μακρὸν, τὸ δὲ δεύτερον βραχύ. τὸ δὲ κρᾶτα, οὐδετέρως βραχύ.

Κάρα, αἲξ ἥμερος, πολύῤῥηνιος ὑπὸ Γορτυνίων. ἄλλοι δὲ, ἡ συκῆ. Ἴωνες, τὰ πρόβατα καὶ τὴν κεφαλήν.

Καραβαία, δίκρουν ξύλον.

Καραβίδες γραῖες, Μηθυμναῖοι.

Κάραδος, παρὰ τὸ τὴν κάραν βαίνειν, τῆς κεφαλῆς προεχούσης, ἢ καὶ τὴν ναῦν ὡσαύτως. κάρα γὰρ, ἡ τρόπις.

Κάραβος, ἔδεσμα, ὥς φασιν ὀπτωμένον ἐπ' ἀνθράκων. ὑπὸ δὲ Μακεδόνων, ἡ πύλη. καὶ τὰ ἐν τοῖς ξηροῖς ξύλοις σκωλήκια, καὶ τὸ θαλάττιον ζῶον. καὶ κάραβος, ὁ θρασὺς ψόφος, οἷον πρίων.

Καρδάλη, ἁρμενοθήκη.

Καραδοκῶ. καραδοκεῖν, τὸ τοῦ πράγματος κεφάλαιον ἐπιτηρεῖν, ὅπη χωρήσει. παρὰ τὸ κάρα καὶ τὸ δοκῶ, τὸ ἐπιτηρῶ. ἢ τῇ κεφαλῇ προβλέπειν, καὶ ἐλπίζειν ἐκδεχόμενον, μήποτε τὸ κέαρ ἔγκειται. τὸ μὲν γὰρ καρηβαρεῖν, ἢ τὸ καταβαρεῖσθαι τὴν κεφαλὴν, ἢ παρὰ τὸ βάλλειν αὐτὴν ὑπὸ μέθης.

Καραισάθω, τελευάθω.

Καρακκονδέα, ὕφαιμα παρὰ τῷ Ἱπποκράτει.

Κάραι, συκαί.

Καραιὸς, Ζεὺς παρὰ Βοιωτοῖς οὕτω προσαγορεύεται. ὡς μέν τινές φασι, διὰ τὸ ὑψηλὸς εἶναι, ἀπὸ τοῦ κάρα.

Καράμα, πίθω. καράμα, ἡ ἐπὶ τῆς ἁμάξης σκηνή.

Καράμβαν, ῥάβδον ποιμενικὴν, ἣν Μυσοὶ συκαλόβον.

Κάραμβις, ἄκρα ὑψηλή τε καὶ καταντικρὺ τῆς Παφλαγονίας, καὶ εἰς τὸ πέλαγος τείνει πρὸς ἄρκτον.

Καράννιος, κεκρύφαλος, κρήδεμνος, ἢ ἔριφος, ἢ ζημία.

Καρανούθω, τελευάθω.

Καρανῶ, τὴν αἶγα. Κρῆτες.

Καρανώσει, κορυφώσει.

Καράξω, στρώσω.

Καραρὰ, κεφαλή.

Καραρύες, οἱ σκυθικοὶ οἶκοι. ἔνιοι δὲ, τὰς κατώρεις ἁρμάξας.

Καρὰς, ὁ ἀποσπερματισμός.

Καραταὶ, κεφαλαί.

Καρατομῆσαι, ἀποκεφαλίσαι.

Καρβάζοντες, βαρβαρίζοντες.

Καρβαρίζει, καρικῶς λαλεῖ καὶ βαρβάρως.

Καρβᾶνες, οἱ βάρβαροι, οἱ ἔχοντες καρὸς βοήν. Λυκόφρων, κάρβανον ὄχον.

Καρβανίζει, βαρβαρίζει.

Κάρβανοι, τὰ τῶν σφενδονῶν καρφία, ὡς Σέλευκος.

Κάρβανοι, καὶ Περσαῖοι, οἱ ἀλφὸν ἢ λέπραν ἔχοντες. Ἕλληνες δὲ τοὺς βαρβάρους, οἱ δὲ τοὺς κόρας.

Καρβάρεοι, κάραβοι.

Καρβάτιναι, εἶδος ὑποδήματος. ἐπειδὴ ἀπέλειπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάτιναι αὐτοῖς ἦσαν, πεποιημέναι ἐκ τῶν νεοδάρτων βοῶν.

Κάρβις, μαστροπός.

Καρβῖναι, βαρβαρικαί.

Κάρδακες, οἱ στρατευσάμενοι βάρβαροι ὑπὸ Περσῶν, καὶ ἐν Ἀσίᾳ, οὕτω καλοῦσι τοὺς στρατιώτας, ἀπὸ ἔθνους ἢ τόπου.

Κάρδαμα, εἶδος βοτάνης ἀγρίου παρὰ Πέρσαις. Ἀριστοφάνης λέγει τὴν σκάφον. ταῦτα δὲ τῶν περὶ αὐτὰ φυομένων λαχάνων τὴν δύναμιν ἐπισπᾶται. καὶ πᾶν τὸ ἐν ἐκείνοις ὑγρὸν ἐπισπώμενον, αἴτιον τοῦ ξηραίνεσθαι καθίσταται.

Καρδαμύττειν, τὸ συνεχῶς τὰ βλέφαρα κινεῖν, καὶ εἰς ἐπίμυσιν ἄγειν. εἴρηται ἐκ τοῦ καρδάμου.

Κάρδαμα δριμύτατα. τοιαῦτα γὰρ τὰ κάρδαμα. Ἀριστοφάνης, καὶ βλεπόντων δριμύτατα.

Καρδαμάλη, μᾶζα.

Καρδαμίνη, τὸ ῥεῖον, ὅ ἐστιν ἐμφερὲς καρδάμῳ, γίνεται δὲ ἐν ὕδασι.

Καρδαμύλη, πόλις.

Καρδάμυσσε, κατάπιε.

Καρδία, διὰ τὸ ἀπαύστως σαλεύεσθαι, ὡς τὸ καρκῖνος.

Καρδία, πόλις Θράκης. καὶ καρδιανοὶ, οἱ πολῖται, καὶ ὄνομα πελάγους.

Καρδία τῆς ἀρετῆς ἐστιν ἡ ἐλεημοσύνη.

Καρδία, οἱ παλαιοὶ τὸν στόμαχον καρδίαν ἐκάλουν, ἔνθεν καὶ καρδιωγμός.

Καρδιαλγίαι, λῦπαι καρδίας.

Καρδίαι, οἱ Ἕλληνες περὶ σκύθαις διὰ τὸ πόλιν αὐτοὺς Ἑλληνίδα καρδίαν διαρπάσαι.

Καρδίας, θαλάσσης τοῦ βυθοῦ.

Καρδίη, καὶ ὁ λογισμὸς, καὶ τὸ συνῆθες.

Καρδιοβολεῖσθαι, λυπεῖσθαι.

Καρδιοῦσθαι, καρδιουργεῖν ἐπὶ τῶν ἱερείων.

Καρδιώττειν, τὴν καρδίαν ἀλγεῖν. τινὲς δὲ δάκνεσθαι. τὸν στόμαχον ὑπὸ λιμοῦ, τίθεται δὲ καὶ ἐπὶ τοῦ ναυτιᾶν.

Καρδιουλκίαι, πύλας καρδίας, τὰς καρδίας εἷλκον τῶν θυμάτων.

Καρδόπιον, τῆς καρδόπου τὸ στόμα, κάρδοπος δὲ ἡ μάκτρα, ἤγουν ἡ κάμπτρα, ὅπου τὰ ἄλευρα μαλάσσουσιν, ἤτοι ἀβάκην.

Καρδόπω, μάκτρα κατακαίει.

Κάρδοπος, ἔνθα τὰ ἄλευρα μαλάσσονται, ἢ σκαφίδιον.

Καρδιοφύλαξ, παρὰ Ῥωμαίοις χάλκωμα σπιθαμιαῖον πάντη πάντως, ὃ προσετίθεντο πρὸ τῶν στέρνων. οἱ δὲ ἀντὶ τούτου ἁλυσιδωτοὺς χιτῶνας περιετίθεντο περὶ τοὺς θώρακας.

Καρδιωσάμενοι, τὴν τοῦ θύματος καρδίαν τῇ πιμελῇ καλύψαντες, καὶ ἐπιθέντες τῷ πυρί.

Καρδιώττειν, δηλοῖ κατὰ Αἴλιον Διονύσιον τὸ ναυτιᾶν, καὶ ἀλγεῖν τὴν καρδίαν.

Καρέντα, καταβρωθέντα.

Κάρες, ὄνομα ἔθνους.

Καριᾶται, κεφαλαὶ, τάξεις.

Κάρη, κατὰ μὲν Ὅμηρον βαρυτόνως προάγεται, καὶ οὐδετέρως, ἀποκοπὴν ἐκ τοῦ κάρηνον. Ἡρόδωρος καὶ Ἀππίων λέγουσιν ὀξυτόνως εὑρίσκεσθαι καρὴ, καὶ θηλυκῶς. ὅθεν γίνεσθαι, καὶ Τρῶας δὲ κατακρῆθεν λάβε πένθος. καὶ παρ' Ἡσιόδῳ, ἀποκρῆθεν βλεφάρων. εἰ δὲ μὴ ἐπίσταται, φασὶν ὁ Ποιητὴς τὸ καρὴ ὀξυνόμενον θηλυκῶς, ὡς οἱ ἄλλοι, οὐδὲν θαυμαστὸν, καὶ ἄλλας γὰρ παραλόγους φωνὰς ἐπίσταται, ἀγνοῶν τὰς προστεθείσας λέξεις αὐτῶν.

Κάρη, ἡ ὥρα. ἐξ οὗ τὸ ἀκαριαῖον.

Καρήατα, ἐκ τῆς εὐθείας τὸ κάρηαρ.

Καρήατος, κάρης κάρητος, καὶ καρήατος πλεονασμῷ τοῦ α, ἢ μᾶλλον ἀπὸ τοῦ κάρηαρ καρήατος, ὁμοίως καὶ καρήατι, ἐκ τοῦ κάρης, ἢ καρήαρ.

Καρηβαρεῖν, καὶ οἴνῳ βεβαρῆσθαι, ὅπερ καὶ καρηβαρᾶν λέγεται Φερεκράτης, ὥς φησιν Αἴλιος Διονύσιος. ὃς λέγει καὶ ὅτι καρηβοᾶν, τὸ ἰλιγγιᾶν, καὶ πεπληρῶσθαι τὴν κεφαλὴν ὑπὸ κραυγῶν.

Καρηβαρία, ἡ μέθη.

Καρηβαρῶν τὴν κεφαλὴν, καρούμενος ἀπὸ μέθης οἴνου.

Καρηκομόοντας λέγει ὁ Ποιητὴς τοὺς Ἀχαιοὺς, ἤτοι κομῶντας τὰ κάρηνα καὶ πολύτριχας, διότι ἔθος ἦν αὐτοῖς κόμην τρέφειν. οὐ μόνον εἰς κάλλος, ἀλλὰ καὶ διὰ τὸ φοβερόν. οὕτω καὶ λέων χαιτήεις, φοβερώτερος τοῦ μὴ χαίτην ἔχοντος. λέγονται δὲ, τὸν μὲν ἄλλον πάντα χρόνον κομᾶν οἱ Ἕλληνες, ἐν δὲ τῷ ἐνθοῦς καιρῷ κείρεσθαι. ὡσαύτως δὲ καὶ ἐν καιρῷ ἀκμῆς, ἤτοι ἡλικίας τελείας, τηνικαῦτα γὰρ πλόκαμον κείραντες, ἀνετίθουν Ἀπόλλωνι κουροτρόφῳ, καὶ ποταμοῖς, καθάπερ Ὅμηρος ἱστορήσει ἐν τοῖς ἑξῆς. καὶ ἦν οὗτος μὲν ὁ πλόκαμος θρεπτήριος, κατὰ τὸν Ἀχιλλέα πενθήριος, ὁ ἕτερος. λέγεται δὲ τῆς τομῆς τοῦ θρεπτηρίου πλοκάμου κατάρξαι Θησεύς. κειράμενος γάρ φασιν ἐμπροσθίαν κόμην, εἰς Δῆλον ἀνέθετο τῷ Ἀπόλλωνι. εἰ δέ τινες τῶν Ἑλλήνων οὐκ ἦσαν καρηκομόοντες, παρεσημειώσατο αὐτοὺς ἡ ἱστορία, κουρῆτας αὐτοὺς ὀνομάζεσθαι λέγουσα. τοὺς δὲ ἀντιθέτους αὐτοῖς, ἀκαρνᾶνας.

Καρηκομόοντας, τὰς κεφαλὰς κομῶντας. ὅμοιον τῷ τάφρος ὀρυκτὴ, καὶ γάλα λευκὸν, καὶ ὑγρὸν ἔλαιον.

Κάρηνα πόλεων, παρ' Ὁμήρῳ ἴσως αἱ κεφαλαὶ αὐτῶν, ἤγουν οἱ Βασιλεῖς.

Κάρηνα, ἀκροπόλεως ἐξοχαὶ, ἀπὸ τοῦ κάρα κάρηνα. σημαίνει δὲ καὶ κεφαλὴν, τῇ ῥα μάλιστα ἀνδρῶν πίπτε κάρηνα.

Καρήνας, κορυφὰς, κεφαλὰς, ἀκρωτήρια.

Κάρηνον, καὶ ἀποκοπῇ κάρη ἄκλιτον. κατὰ τὸ κρῖ, καὶ τὸ δῶ, ὧν ἡ ἀποκοπὴ ἐκ τοῦ κρίμνον καὶ δῶμα. παρὰ δὲ Σοφοκλεῖ, καὶ τὸ κρᾶτα εὕρηται. καινότερον δὲ τὸ ῥηθὲν κάρηνον, κάρανον ἐν συστολῇ γεγονὸς, εἶτα συγκοπὲν, τὸ κράνιον παράγει. οὐ προϋπάρχειν τὸ

Digitized by Google

κράνον δοκεῖ, ὡς δῆλον ἐκ τῶν συνθέτων, ἀλέκρανον, καὶ ἐπίκρανον, ὅπερ ἐστὶ κεφαλὴ κίονος. καὶ κατ' Εὐριπίδην κρήδεμνον εἰπόντα ἐπίκρανον κεφαλῆς. ἐκεῖθεν δὲ καὶ τὸ κράνος, καὶ τὸ κραναόν.

Καρβυός, ἐθνικόν.

Καρηνοδὸς, πόλις καὶ ποταμός.

Κάρητι, οἱ μὲν συγκοπῆναί φασιν, ἀπὸ κάρηαρ καρήατος καρήατι. οἱ δὲ ἀρσενικῶς κλίνουσιν ἐκ τοῦ κάρης κάρητος, ὡς Δάρης Δάρητος.

Κάρητος. τῶν εἰς αρ οὐδετέρων, τὰ μὲν ὑπὲρ δύο συλλαβὰς, ἅπαντα διὰ τοῦ τος κλίνονται, ὄνειαρ ὀνείατος. οὕτως οὖν καὶ κάρηαρ καρήατος, καὶ κατὰ συγκοπὴν κάρητος. τῶν δὲ δισυλλάβων, τὰ μὲν φύσει μακρὰ, διὰ τοῦ τος κλίνονται, οἷον ἧπαρ ἥπατος. τὰ δὲ βραχέα, ἢ θέσει μακρᾷ παραλήγοντα, διὰ τοῦ ρος κλίνονται, οἷον θέναρ θέναρος, ὕπαρ ὕπαρος. σημαίνει δὲ τὸ ἀληθὲς ἐνύπνιον, τὴν λεγομένην ὀπτασίαν. ἔαρ ἔαρος, καὶ κατὰ κρᾶσιν ἦρος, κέαρ κέαρος καὶ κῆρος, ἄλκαρ ἄλκαρος, ὃ σημαίνει τὴν βοήθειαν. σεσημείωται τὸ φρέαρ φρέατος, καὶ στέαρ στέατος, ὅτι βραχεῖ παραλῆγον, διὰ τοῦ τος ἐκλίθη. λέγει δὲ Ἡρωδιανὸς, τὰ εἰς αρ οὐδέτερα παραλήγοντα τῷ ω, ἄκλιτά εἰσιν, οἷον μῶμαρ, σημαίνει δὲ τὸν μῶμον. βῶμαρ, σημαίνει δὲ τὸν μέγαν, νῶκαρ, σημαίνει δὲ τὴν στέρησιν τῆς ψυχῆς.

Καρυφαρίτης, ὁ χυδαῖος οἶνος, καὶ μὴ ἀνθοσμίας.

Κάρθαια, τόπος τίς.

Καρθμοὶ, κινήσεις.

Καρθμός, ὁ πύς.

Καρία, τόποι τίς, καὶ ἡ κεφαλὴ κατὰ γλῶσσαν, ὅθεν καὶ κέρατα.

Καρικάζειν, βαρβαρίζειν.

Καρικὰ μέλη. ἐλέγετό τις καρικὸς ῥυθμὸς, ἐκ τροχαίου καὶ ἰάμβου συγκείμενος.

Καρικὴ, ἀσύνθετος, καὶ ἄμπελος.

Καρικὸν, ἀτελὲς, μικρόν. δηλοῖ δὲ καὶ ἀφροδίσιον σχῆμα αἰσχρόν.

Καρικὸν θῦμα, ἐπὶ τῶν ἄσαρκα ἢ ἄβρωτα μέλη θυόντων. οἱ γὰρ κᾶρες κύνα θύουσιν, Εὐπάτιος.

Καρικὰς, ποταμὸς, καὶ τόπος Λακωνικῆς.

Καρικοὶ τράγοι, ὡς ἀτελῶν ὄντων, Σοφοκλῆς Σαλμωνεῖ εἰ μὴ ἄρα ὑποσυγχέων τοὺς κιλικίους.

Καρικῷ πλοίῳ, καρικῷ σχήματι, λέγεται δὲ ἀπὸ τῶν ἀκολάστων σχῆμα καρικόν.

Καρμοίρους, τοὺς ἐν μηδεμίᾳ μοίρᾳ. ἢ μισθοφόρους, διὰ τὸ τοὺς κᾶρας πρώτους μισθοφόρους γενέσθαι.

Καρῖναι, θρηνῳδοὶ μουσικαὶ, αἱ τοὺς νεκροὺς τῷ θρήνῳ παραπέμπουσαι πρὸς τὰς ταφὰς καὶ τὰ κήδη. παρελαμβάνοντο δὲ αἱ ἀπὸ Καρίας γυναῖκες.

Καρίνη, γυνή.

Κάριον, σύνθεσις σκευασίας, παρὰ τῷ Ἱπποκράτει.

Καρὶς, παρὰ τὸ σκαίρω, σκαρὶς, καὶ καρίς. ἢ παρὰ τὸ κάρα, καρίς. καὶ γὰρ ὅλη ἡ καρὶς, σχεδὸν κεφαλή ἐστι.

Καρῖται, ἱππεῖς πειραταί. κᾶρες.

Καρῶσαι, ἀποκτεῖναι.

Κὰρ μεγάλη, ἀκρίς.

Καρκαίρει, ψοφεῖ.

Κάρκαιρε, ἐκ τοῦ καρκαίρω, καρκαίρω δὲ, ἐκ τοῦ καίρω, κατὰ διπλασιασμὸν, ἔνθεν καὶ τὸ κάρκαιρε δὲ γαῖα, οἷον ἐν κινήσει καὶ ταραχῇ ἡ γῆ ἐγένετο, διὰ τὸ πλῆθος τῶν σειομένων αὐτὴν ποδῶν.

Καρκαίρω, ἠχῶ, ἐν τῷ ψαμμακοσιογάργαρα.

Καρκανὴρ, τάξις.

Κάρκαρα, ὑλαῶδι ἧττω καὶ τὰ ποικίλα τῇ ὄψει, καὶ πίτυρα παρὰ Σιμωνίδῃ. ἔνιοι τὰς μάνδρας.

Καρκαρὶς, ξύλων ἢ φρυγάνων φορτίον, ἢ δεινή.

Κάρκαροι, τραχεῖς, καὶ δεσμοί.

Κάρκα, γλεῦκος τὸ πρῶτον ἀποθλιβόμενον διὰ τῶν χειρῶν, καὶ κύρωμα.

Καρκῖνος, τὸ νῦν καρκίνωμα λεγόμενον, καὶ ὑποδήματα κοῖλα, καὶ δεσμός τις, καὶ γῆ πάρυγρος, ἢ εἶδος ζώου καὶ ἄστρον. καρκῖνος δὲ, καὶ ὁ πάγουρος, καράκινος τὶς ὢν, ὁ κινῶν ἐπὶ συχνῷ τὴν κάραν. καὶ καρκῖνος δοκεῖ ἐν ἄστροις τεθῆναι δι' Ἥραν, ὅτι μόνος Ἡρακλεῖ τῶν ἄλλων συμμαχούντων, ὅτε τὴν ὕδραν ἀνῄρει, ἐκ τῆς λίμνης ἐκπηδήσας, ἔδακεν αὐτοῦ τὸν πόδα, καθά φησι Πανύασις ἐν ἡρακλείᾳ, θυμωθεὶς ὁ Ἡρακλῆς δοκεῖ τῷ ποδὶ συνθλᾶσαι αὐτὸν, ὅθεν μεγάλης τιμῆς ἔτυχεν, καταριθμούμενος ἐν τοῖς ιβ' ζῳδίοις.

Καρκινοῦται, ὅταν ῥιζοῦται ὁ σῖτος, καὶ σκληρωῦται.

Καρκώ, λάμια.

Κάρμηλος, ὄρος ἐν τῇ Φοινίκῃ, καὶ Καρμήλιον.

Καρμητὶς, πόλις ὑποκαλυμένη.

Κάρμορον, τὸν κηρὶ μεμορημένον.

Καρμεντάλια, ἑορτὴ Ῥωμαϊκή.

Κάρνεια, ἑορτὴ Ἀπόλλωνος καρνείου, ἀπό τινος Κάρνου. οὗτος δὲ ὁ Κάρνος μάντις ὢν, εἵπετο τοῖς Ἡρακλείδαις ἀσήμαντοις μαντευόμενος· ὅν τινα ἐκστρατεὶς εἷς τῶν Ἡρακλειδῶν, Ἱππότης τοὔνομα, λόγχῃ βαλὼν ἀπέκτεινε, δι' ὃν λοιμὸς ἐγένετο ἐν τῇ Πελοποννήσῳ, καὶ ἀπελθόντες ἔλαβον χρησμὸν ἐξ Ἀπόλλωνος, κάρνειον τιμῆσαι Ἀπόλλωνα. καὶ τοῦτο ποιήσαντες ἐπαύσατο τοῦ λοιμοῦ. ταύτην οὖν τὴν ἑορτὴν, καὶ οὗτοι οἱ μετοικήσαντες ἐκ Πελοποννήσου εἰς ἑτέρας πόλεις, διὰ τὸν λοιμὸν ἐπετέλουν. ἄλλως. κάρνεια, ἑορτὴ δωρικὴ τελουμένη καρνείῳ Ἀπόλλωνι κατὰ τὴν Πελοπόννησον, ἀπὸ Κάρνου μάντεως, ὃς ἔχρησε τοῖς Ἡρακλείδαις. ἀπ' αὐτοῦ δὲ κάρνειον Ἀπόλλωνα προσαγορεύουσιν. ἡ δὲ ἱστορία παρὰ Θεοπόμπῳ, ὅτι τὸν αὐτὸν καὶ Δία καὶ ἡγήτορα καλοῦσιν Ἀργεῖοι, διὰ τὸ τὸν κάρνον ἡγήσασθαι τοῦ στρατοῦ, ὃν οἱ Ἡρακλεῖδαι ἀπέκτειναν ἀπερχόμενον εἰς Πελοπόννησον, ὑπολαβόντες κατάσκοπον εἶναι τοῦ στρατεύματος, ὃν ὕστερον ἐτίμησαν ὑπὸ λιμοῦ φθειρόμενοι. ἄλλως. Πραξίλας μὲν ἀπὸ καρνείου φησὶν ὠνομάσθαι, τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ, ὃς ἦν ἐρώμενος τῷ Ἀπόλλωνι. Ἀλκμὰν δὲ, ἀπὸ καρνέου τινὸς τρωϊκοῦ. Δημήτριος δὲ ἀπὸ τοῦ κρᾶναι, ὅ ἐστι τελέσαι. φησὶ γὰρ, ὡς ὁ Μενέλαος στρατεύσας εἰς Ἴλιον, ηὔξατο τιμῆσαι αὐτὸν ἐὰν κραίνῃ. ἄλλως. κάρνεα, ἑορτή ἐστι Διὸς, καρνεῖα ὀνομαζομένη. παρ' Ἕλλησι δὲ τελεῖται, διὰ τὸ τὸν Δούρειον ἵππον ἐκ καρνείου εἶναι ξύλου.

Καρνεᾶται, οἱ ἄγαμοι, κεκληρωμένοι δὲ, ἐπὶ τὴν τοῦ καρνείου λειτουργίαν. πέντε δὲ ἀφ' ἑκάστης ἐπὶ τετραετίαν ἐλειτούργουν.

Κάρνη, ζημία.

Καρνησόπολις, λύκτος ἡ κρητικὴ οὕτως ἐκαλεῖτο.

Καρνεῖος, ἐπίθετον Ἀπόλλωνος. ἴσως ἀπὸ κάρνου τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ.

Κάρνον, τὴν σάλπιγγα Γαλάται.

Κάρνος, φθεὶρ, βόσκημα, πρόβατον.

Καρνόπαις, ἔπακμος παῖς.

Καρνοστάσιον, στάβλος, ὅπου τὸ κάρνον ἵσταται.

Κάρος, σκότωσις, ἡ ἐξ οἰνοποσίας ἐγγινομένη μέθη. καὶ παραφορὰ, παρὰ τὸ κάρα βλάπτειν. σημαίνει δὲ, καὶ τὴν θανατοφόρον μοῖραν, ἀπὸ τοῦ κὴρ κηρὸς, συστολῇ τοῦ η κάρος, διὰ τοῦ κὴρ τὸ η εἰς α τραπῆναι, καὶ οὐκ εἰς ε, ὥσπερ φρὴν φρενός. ὅτι οὐκ ἔστι τὸ κάρος κατὰ ἀνάλογον κλίσιν, ἀλλὰ συστολῇ ποιητικῇ.

Καρὸς, κωφός. οἱ δὲ σκοτόδινος, βόσκημα, ἐγκέφαλος ὤν. ἢ καιρὸς, ἢ φθορά.

Καρορὺς, ὕδρα, Κρῆτες.

Κάρου, τοῦ ἐπὶ τὴν κεφαλὴν πλησμονῆς κάρου.

Καροῦα, κάρυα. Λάκωνες.

Καρούμενος, ὠνησάμενος.

Καροῦσθαι, ὠνεῖσθαι.

Καροῦχος, δύσχερὴς, εὔκολος.

Καρπάθιος τὸν μάρτυρα, παροιμία. καρπάθιος δὲ λαγὼν, κατ' ἔλλειψιν τοῦ ἐπηγάγετο. διὰ γὰρ τὸ μὴ εἶναι λαγωοὺς ἐν τῇ χώρᾳ, ἐπηγάγοντο αὐτοὶ, καὶ τοσοῦτοι ἐγένοντο, ὥστε τόν τε σῖτον αὐτῶν, καὶ τὰς ἀμπέλους ὑπ' αὐτῶν βλάπτεσθαι. ὁ γοῦν Ἀρχίλοχος παρὰ ταύτην τὴν παροιμίαν ἔφη, καρπάθιος τὸν μάρτυρα.

Κάρπαθος, πόλις Ῥόδου καὶ νῆσός ἐστι τῶν σποράδων, πλησίον τῆς Κῶ. περὶ ἧς Ὅμηρος εἴρηκε, Κάρπαθον δὲ νάσον τε καὶ Κῶν. ἄλλοι πλησίον Κρήτης αὐτὴν εἶναι λέγουσι.

Καρπαία, εἶδος ὀρχήσεως.

Καρπαλίμως, ταχέως.

Καρπάλιον, κάρπωμα.

Καρπαθῆναι, σκορπισθῆναι.

Καρπασινοὶ, χορτῖναι.

Καρπάτινον, ἀγροικὸν ὑπόδημα μονόδερμον.

Καρπεῖν, πλήττειν.

Κάρπεια, ὄρχησις μακεδονική.

Κάρπεσθαι, καθαίρειν.

Κάρπη, τὰ σπέρματα, καὶ τρίγωνα, ὀβελίσκους ἔχοντα.

Καρπία, κλονία.

Καρπίζεσθαι, προσοδεύεσθαι.

Καρπίζουσι, ποτίζουσιν, εὔκαρπα ποιοῦσιν.

Καρπίζω, τοὺς καρποὺς συνάγω.

Καρπνὰ, δένδρα καρπὸν ἔχοντα.

Καρποβόλον, τὸ ἰσοβόλον Ἀργεῖοι.

Καρπομανὴς, εἰς κόρον ἐξυβρίζουσα, Σοφοκλῆς Περιλάῳ.

Καρπὸς, ὁ τῶν δένδρων. ὅθεν καὶ ἄκαρπα δένδρα, ὧν ὁ καρπὸς οὐκ ἔστι βρῶσις τοῖς ἀνθρώποις. καὶ κάρπιμα, τὸ ἐναντίον. καὶ εὔκαρπα τὰ εὐφοροῦντα περὶ τοὺς καρπούς. καὶ εὔκαρπος γῆ ὁμοίως. καρπὸς, τὸ μεταξὺ τῶν δακτύλων τῆς χειρὸς καὶ τοῦ πήχεως. καρπὸς, ὁ τῶν φυτῶν. καὶ ἀπὸ τούτου ἐπὶ ἀρετῆς, ἢ ποιότητος. ἀφ' ὧν ἐγκαρπίζω, τὸ καρποὺς συνάγω. καὶ καρποῦμαι Διὸς ἢ πλοῦτον, ἢ τοιοῦτόν τι. καὶ παρὰ Λουκιανῷ, τὰ ὑπὸ τῶν ἄλλων ποιούμενα καρποῦται, ἤγουν ἐσθίει καὶ κερδαίνει. καρπὸς, καὶ πέρας τοῦ πήχεως, ἤγουν τῆς ὠλένης, τὸ πρὸς τῇ δρακὶ, οὐ τὸ πρὸς τῷ ἀγκῶνι. ἀφ' οὗ ἐπικάρπιοι κόσμοι. καρπὸς, παρὰ τὸ κάρφω, τὸ ξηραίνω, γίνεται Ἰωνικῇ τροπῇ τοῦ δασέως εἰς ψιλόν. ὃς δηλαδὴ πεπανθεὶς ἤδη κάρφεται, μηκέτι αὐξόμενος ὑγροῦ ἐπιῤῥοῇ. ὁμώνυμος δὲ ἡ λέξις, καρπὸς γὰρ καὶ μέρος, ἤτοι ἄρθρον χειρὸς, μεταξὺ βραχίονος καὶ θέναρος. ἀφ' οὗ παράγεται τὸ μεσοκάρπιον. καρπὸς δὲ, ὁ πρὸς ἄμητον ἡτοιμασμένος στάχυς. σημαίνει καὶ τὸ κοῖλον τῆς χειρὸς, ὡς τὸ κῦσε χεῖρ' ἐπὶ καρπῷ. ἔνθεν καὶ ὁ τῆς χειρὸς ξηρὸς τόπος καὶ ἄσαρκος, καρπὸς λέγεται. καρπὸς καὶ περικάρπιον διαφέρει. καρπὸς μὲν γάρ ἐστι κυρίως αἱ κεγχραμίδες τοῦ σύκου καὶ τῶν ἐλαιῶν οἱ πυρῆνες. περικάρπιον δὲ τὸ περικεχυμένον τούτοις ὑγρόν.

Καρποῦ δίκη, τῷ βλάψαντι καρποὺς δίκας ἐπετίθουν.

Καρποῦμαι δόξαν, ἢ πλοῦτον. καὶ παρὰ Λουκιανῷ, τὰ ὑπὸ τῶν ἄλλων καρπούμενα. καὶ καρποῦται, ἤγουν ἐσθίει. καρπίζουσι, καρποφοροῦσι.

Καρποφορήσει, προσφέρει.

Καρπύραι, ξύλων ξηρῶν κοπαί.

Καρπῶ, καρπιοῦμαι.

Καρπωθέντα, τὰ ἐπὶ βωμοῦ καθαγισθέντα.

Κάρπωμα, θυσία, προσφορὰ, κέρδος, γένος, σπέρμα, δῶρα.

Καρπωμένη, καρπῷ πλήθουσα.

Κάρπωσις, θυσία Ἀφροδίτης ἐν Ἀμαθοῦντι.

Καῤῥαβὰξ, καιρίως.

Κάῤῥαξον, Πάφιοι κράξον.

Καῤῥέζουσα, καταψῶσα, καταψαύουσα.

Καῤῥέξαι, καταῤῥάξαι, ῥάξαι, καταψῆσαι.

Κάῤῥον, βέλτιον.

Καῤῥόον, κατὰ τὸ ῥεῦμα, κατὰ τὸν ῥόον.

Καῤῥὸς, φυτὸν, ἢ καιρὸν, κρεῖττον, ἢ ἰσχυρόν.

Κάρσιον, πλάγιον.

Κάρτα, ἀντὶ τοῦ λίαν λέγουσιν οἱ Ἴωνες. κάρτα, καὶ ἐπ' Ἀφροδίτης.

Καρταίνειν, κρατεῖν.

Κάρταλον, τὸ πλεκτὸν ἀγγεῖον, ἐν τοῖς ὀψαρτυτικοῖς κλοβός.

Καρτάζεσθαι, κρατύνεσθαι, διισχυρίζεσθαι, καὶ διαμάχεσθαι.

Κάρτει, ἰσχύϊ.

Καρτεμνίδες, οἱ γορτύνιοι. Κρῆτες.

Καρτερὰ ἔργα, ἤγουν βίαια, παρ' Ὁμήρῳ.

Καρτερία, ἐπιστήμη. ἔστι δὲ καὶ δύναμις ἐμμενητική

Digitized by Google

τικοῖς πόνοις. καὶ ὑπομονὴ λύπης, ἕνεκα τοῦ καλοῦ.

Καρτεραὶ, παρ' Ὁμήρῳ ἐν ο' τῆς Ὀδυσσείας, ἀλλ' ὑμεῖς καρτεροὶ αἰεὶ, τουτέστι δεσπόται καὶ ἐγκρατεῖς. ὡς καὶ Ἀρχίλοχος, Ἄσιης καρτερὸς μηλοτρόφου, ὅ ἐστιν ἄρχων.

Καρτερὸς, ὁ ἐγκρατής. καρτερὸς, καὶ ὁ δυνάμενος τινὸς κρατεῖν.

Καρτερώνυχας, ἰσχυροὺς ὄνυχας ἔχοντας.

Κάρτη, εἶδος ἱματίου, παρὰ Ἰὼβ ἐν πέντε καὶ δεκάτῳ περὶ ὁμοιοτήτων. καὶ κάρτη, τὴν βοῦν Κρῆτες. καὶ τὸν οἰκέτην, οἱ αὐτοὶ, ἢ πάνυ.

Κάρτιστοι, ἰσχυροὶ, κράτιστοι, δυνατοὶ, ἔνδοξοι.

Καρτοὶ, κεκαρμένοι.

Καρτομιστὴς, χλευαστής.

Καρτύνεσθαι, ἀσφαλίζεσθαι, διισχυρίζεσθαι.

Καρύαις, λέγουσι τὰς ἀμυγδάλας καὶ κασάνους, καὶ τόπους Ἀρτέμιδος, καὶ ἑορτὴ καρύα.

Καρύα, τὸ δένδρον. κάρυα δὲ, ὁ καρπός.

Καρύανδα, πόλις Καρίας.

Καρυατία, θυσία. Λάκωνες.

Καρυᾶτις, ἑορτὴ Ἀρτέμιδος, καὶ ἱερόν.

Καρυβαρῶν, τὴν κεφαλὴν βαρούμενος.

Καρυβοᾶν, τὸ ὑπὸ ἤχου καὶ βοῆς τὴν κεφαλὴν ἀλγεῖν. καὶ ἰλιγγιᾶν.

Καρύγκη, λύδιον ἔδεσμα, ἐξ αἵματος σκευαζόμενον παρὰ τῷ Ἱπποκράτει.

Κάρυδοι, καρύλαλοι.

Καρυήματα, κάρυα. Λάκωνες.

Καρυκάζειν, ταράττειν.

Καρυκεία, ἡ ἡδύτης τῶν ζωμῶν.

Καρυκευμάτων, ἀρτυμάτων. καὶ καρυκεύουσα, ἡ δεύουσα, γλυκαίνουσα, καρύκη γὰρ, βρῶμα λύδιον ἐκ πολλῶν ἡδυσμάτων συνεστηκὸς, καὶ αἵματος. ἔστι δὲ εἶδος ὑποτρίμματος, ἐκ πλειόνων ἀρτυμάτων συντιθέμενον. καρυκεύειν δὲ, τὸ ταράττειν.

Καρύκη, ἕψημά τι ἐκ πολυτελοῦς σκευασίας συγκείμενον. ἐγὼ δὲ δι' αἵματος καὶ ἀρτυμάτων παντοίων. ὁ δὲ Δίδυμος, λύδιον βρῶμά φησιν ἐκ πολυτελοῦς. ἐγὼ δὲ οἶμαι καρύκην αὐτὸ λέγειν, ἐπειδὴ μέλαν ἐστί. φησὶ γὰρ ἐν τῷ κωμικῷ λέγων οὕτω, καρύκιον καρυοβαφές. καὶ κάρυος ῥόος, ὁ μέλανος ῥόος. οὐκοῦν ἐκ τούτου οἶμαι λέγειν καρύκην.

Καρυκίαις, μαγειρεύμασιν, ἀρτύμασι, ταραχαῖς.

Καρυκκοποιεῖν, κοσμεῖν ποικιλίᾳ τινὶ ῥημάτων τὸν λόγον. πλαγίως δὲ τῇ λέξει, ὡς μάγειρος ἐχρήσατο, Ἀριστοφάνης.

Καρύκκη, κοιλία, ἣν νῦν μονθυλευτὴν καλοῦσιν.

Καρυμνὸν, μέλαν.

Κάρυξ, κῆρυξ, ἢ καυλός.

Καρύσσωσι, κηρύσσωσι.

Καρυστεῖναι, κεκραγέναι. Λάκωνες.

Κάρυστος, ὑπὸ τῇ Ὄχῃ φασὶ κεῖται. ἥτις ἐστὶν ὄρος μέγιστον τῶν ἐν Εὐβοίᾳ, ἐξ οὗ καὶ ἡ Εὔβοια ὠνομάσθη ποτέ. ἐκλήθη δὲ Ὄχη, ἢ διὰ τὸ ἐξέχειν, ἐξ οὗ καὶ τὸ ὄχα ἐπίρρημα. ἢ κατὰ τοὺς παλαιοὺς, ἀπὸ τῆς ἐκεῖ ὀχείας, ἤτοι μίξεως Διὸς καὶ Ἥρας. ἢ διὰ τὴν αὐτόθι τῶν προβάτων ὀχείαν ἤδη καὶ τροφήν. Ἀχαιοὶ γὰρ τὴν τροφὴν ὄχην λέγουσιν ὀξυτόνως, εἰς διαστολὴν τῆς ὀρεινῆς ὄχης, γίνεται δὲ ἀπὸ τῆς ἀργείας ὄχης, καὶ ἡ εὐωχία κατ' ἔκτασιν, ὡς εὖ συνέχουσα τὸ σῶμα. τινὲς δὲ καὶ ἄλλως τὴν εὐωχίαν γίνεσθαί φασιν, ἀπὸ τοῦ εὖ ἔχειν τοὺς συνόντας εἰς εὐφροσύνην, τιμῇ τοῦ θείου, καὶ εἰς ἄνεσιν ἑαυτοὺς καθιέναι. λέγεται δέ φασιν ἡ ὄχη αὕτη, καὶ ἀρσενικῶς ὁ ὄχης. ἐκαλεῖτο δὲ ὁ κάρυστος καὶ αἴγαια, ἀπὸ τοῦ Αἰγαίωνος δυνάστου, ἀφ' οὗ καὶ πέλαγος αἰγαῖον. ἣν καὶ τὸ λατόμιον τὸ μαρμάρειον καρυστίων κιόνων, κατὰ τὸν Γεωγράφον περὶ αὐτὴν, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος μαρμαρίνου. καὶ λίθος δέ φησι περὶ αὐτὴν ἐφύετο, ἡ ξαινομένη καὶ ὑφαινομένη, ὡς τὰ χειρόμακτρα ποιεῖν. ἀρρυπωθέντα καὶ εἰς φλόγα βληθέντα ἀπεκαθαίροντο φησι τοῦ πίνου, παραπλησίως τῇ πλύσει. κεῖται δέ φασι, Κάριστος ἀντικρὺ Χίου. παρὰ τὸν περὶ τὸ μυρτῷον πέλαγος πλοῦν, ἐκλήθη δὲ ἀπὸ Καρύστου υἱοῦ Χείρωνος, ἐξ οὗ καὶ χειρωνεία ποτὲ ὠνομάσθη.

Καρύτειος οἶνος, καὶ εἶδος λίθου.

Καρυτίζεσθαι, εὐφραίνεσθαι.

Καρυχρῦς, καρυοβαρῦς.

Καρύων, πλακοῦς ἔχων κάρυα.

Καρφαμάτια, ἐν οἷς θερίζουσι τοὺς ξηροὺς στάχυας.

Καρφαλέον αὖσεν, ἤγουν ξηρὸν, καὶ σαφέστερον αὖον αὖσεν.

Κάρφει αἰτιατικῇ συντάσσεται, ξηραίνει, παρ' Ἡσιόδῳ.

Κάρφεος, σκωρία, δέσμη χόρτου.

Κάρφη, ξύλα λεπτὰ καὶ ξηρά.

Κάρφην, φορυτόν.

Κάρφη, ὁ ξηρὸς καὶ κοῦφος χόρτος.

Καρφθεὶρ, προβάτου εἶδος.

Καρφόμενος, ξηραινόμενος.

Κάρφις, ἄχυρον, χόρτος, κεραία ξύλου λεπτή.

Κάρφος, ξύλον ξηρόν. καὶ καρφαλέον, ξηρόν.

Καρφύκτοι, φρυνοὶ Ῥόδιοι.

Καρφοῦσθαι, ξηραίνεσθαι, φθείρεσθαι.

Καρφυλαὶ, αἱ ἐκ τῶν ξηρῶν ξύλων γινόμεναι κοῖται, Εὐριπίδης Ἴωνι.

Καρφύραι, νοσσιαὶ θάμνοι.

Κάρφυροι, νεοσσοί.

Κάρχαι, καρκῖνοι, καὶ ὄχλοι, Σικελοί.

Καρχαλέοι, οἱονεὶ καρφαλέοι, ὅ ἐστι κατάξηροι τήν τε γλῶσσαν, καὶ τὰ λοιπὰ τοῦ σώματος.

Καρχαρίας, ὁ θαλάσσιος κύων, καὶ ἰχθύος εἶδος.

Καρχαρόδοντα, τραχεῖς ὀδόντας ἔχοντα. καρχαρόδοντα δὲ, ὅσα στρογγύλους καὶ ἐναλλάσσοντας τοὺς ὀδόντας ἔχουσι, λέων, κύων, πάρδαλις, αἰτίδες, καὶ ἰχθύων γένος, ὅσα σαρκοφάγα εἰσί.

Κάρχαροι, οἱ ἔσχατοι ὀδόντες, τραχεῖς τε καὶ ὀδόντες ὀξεῖς.

Καρχαρόδους, τὰ ζῶα τὰ κεχαραγμένους ἔχοντα τοὺς ὀδόντας, τουτέστι στρογγύλους, καὶ ὀξεῖς, καὶ ἐναλλάσσοντας ἑαυτοῖς, ὡς λύκος λέων πάρδαλις. εἴρηται δὲ, παρὰ τὸ χαράσσω ῥῆμα, ὅπερ ἐν συνθέσει μετὰ τοῦ ὀδοὺς γίνεται χαρόδους, καὶ κατὰ ἀναδιπλασιασμὸν χαρχαρόδους καὶ καρχαρόδους. ἀμφόδοντα δὲ λέγει ζῶα, ὅσα οὐκ ἐνηλλαγμένους ἔχει τοὺς ὀδόντας στρογγύλους καὶ ὀξεῖς, ἀλλὰ παχεῖς καὶ πλατεῖς, ὡς ἄνθρωπος, ἵππος, καὶ τὰ ὅμοια. χαυλιόδοντα δὲ, ὅσα ἔχει τοὺς ὀδόντας ὑπερφερεῖς, ὡς ἐλέφας, σῦς, ἀσπάλαξ.

Κάρχαρον, τραχὺ, ἢ ὀξύ.

Καρχηδὼν, πόλις γειτονοῦσα Ἰταλοῖς ἐν Ἄφροις.

Καρχήματα, θέλγητρα.

Καρχέδημος, ὁ γλάμων.

Καρχήσιον, τὸ ἐπ' ἄκρῳ τῷ ἱστίῳ τῷ ἔχοντι τροχηλαῖον, παρὰ τῷ Ἱπποκράτει.

Καρχήσιον, εἶδος ποτηρίου, καὶ τὸ ἐπικείμενον τῶν στοῶν ξύλον, καὶ ἐργαλεῖον τεκτονικὸν δελτοειδές.

Κάρχνη, ἀργυρῆ.

Καρχῶδες, τραχύ.

Κάρψαι ἐστὶ τὸ ξηράναι, συσπάσαι. ἐκ τοῦ κάρφω, ἀφ' οὗ καὶ τὸ κάρφος. κάρφεται δὲ χροῦς ὁ τοῦ γέροντος, ὡς δηλοῖ τὸ ἀμφὶ δὲ δέρμα πᾶσι μέλεσι παλαιοῦ θῆκε γέροντος. ταυτὸν γὰρ εἰπεῖν, κάρψε χρόα, καὶ δέρμα γέροντος ἔθετο. ὀνοματοπεποίηται δὲ τὸ κάρφω. ἐξ οὗ καὶ καρφαλέον, τὸ ξηρόν. δοκεῖ δὲ ἐκ τοῦ κάρφω μέσος παρακείμενος εἶναι κέκαρπα, καὶ ἐξ αὐτοῦ καρπός.

Καρωθεὶς τὴν κεφαλὴν, σεισθεὶς, ἢ βαρυνθεὶς, ἢ σκοτοδινήσας.

Κὰς, Κύπριοι ἀντὶ τοῦ καί. οἱ δὲ δέρμα.

Κάσα, οἰκία, καλύβη, οἴκησις, παρὰ Ῥωμαίοις.

Κασαλβὰς, ἡ πόρνη, ἀφ' οὗ ποιεῖ. αἱ γὰρ πόρναι καλοῦσι μὲν, οὐκ ἔχουσαι τοὺς ἐραστὰς, καὶ σοβοῦσι δὲ τοὺς ὄντας, ἵνα τοὺς ἄλλους λάβωσι, παρὰ τὸ καλεῖν καὶ σοβεῖν.

Κασαλβάσω, Ἀριστοφάνης λοιδορήσω. ἔστι δὲ ὄνομα ἑταίρας. νῦν δὲ εἴρηκεν, ἐκ τοῦ διαγόρα λοιδορηθεῖσαν. πρὸς δὲ τὸ ῥηθὲν, ὑπὸ τοῦ ἑτέρου κασαλβάσω, ὁ στρατηγὸς ἀντέθηκεν, καὶ Νικίαν ταράξω. Νικίας δὲ στρατηγὸς Ἀθηναίων. ἄλλως κασαλβάδες, ἑταῖραί εἰσιν, αἱ αἰεὶ ἐπὶ τῶν οἰκημάτων ἑστῶσαι, ἐπὶ μισθῷ παρέχουσι τοῖς βουλομένοις. κασαλβάδες δὲ εἴρηνται, ἀφ' οὗ ποιοῦσι. καλοῦσι μὲν οὐκ ἔχουσαι τοὺς ἐραστὰς, σοβοῦσι δὲ τοὺς ὄντας, ἵνα ἄλλους λάβωσι.

Κασάνδρα, λέγεται παρὰ τὸ κάσιν ἀνδρεῖον ἔχειν τὸν Ἕκτορα. αἰολικῶς δὲ γράφεται, διὰ δύο σσ. Ἀλεξάνδρα δὲ, ἢ παρὰ τὸ ἀλύξαι καὶ ἐκφυγεῖν τὴν ἀνδρῶν συνουσίαν ἢ παρὰ τὸ ἀλέξειν καὶ βοηθεῖν τοῖς ἀνδράσιν, ἤτοι τοῖς ἀνθρώποις διὰ τῶν χρησμῶν.

Κασαρνεῖς, ἀνύεις. Λάκωνες.

Κάσαργε, τοὺς ὀφθαλμοὺς ἀνάστρεφε.

Κασαύρα καὶ κασσωρὶς, πόρνη.

Κασαυρίοις. Ἀριστοφάνης ἐν κασαυρίοις λέγων, ἀντὶ τοῦ ἐν πορνείοις.

Κασία, καθέδρα.

Κασελατίσαι, καθίσαι. Λάκωνες.

Κασεύρει, κοιμᾶται.

Κασέρην, κάθελε. Λάκωνες.

Κασθανέα, πόλις Θεσσαλίας.

Κασία, φλοιός τις λεπτότατος καὶ εὐώδης, ξυλώδει κάρφει παρατεινομένη.

Κασία, εἶδος μύρου. γίνεται δὲ παρὰ τὸ κάζω, τὸ κοσμῶ, ὁ μέλλων κάσω, ἐξ αὐτοῦ κασία, ἡ κοσμοῦσα διὰ τῆς εὐοσμίας τὰς αἰσθήσεις.

Κασίγνητος καὶ ὁμόπατρος ταυτόν. γενικὴ ὅμως λέξις ὁ κασίγνητος. εἰδικὴ δὲ ἡ ὁμόπατρος, λεχθεῖσα πρὸς διαστολὴν μὴ τοιούτων. ἔστι δὲ ὄπατρος ὁ ὁμόπατρος, ἀντιδιαιρούμενος τῷ ὁμομητρίῳ. εἰ δὲ ὤφειλεν δασύνεσθαι ἡ ἄρχουσα ἐκ τοῦ ὁμοῦ, ἀλλὰ ψιλοῦται ἄλλως, διότι τὸ ο πρὸ τοῦ π οὕτω πάσχει, εἰ μὴ κατὰ ἀναφορικὴν ἔννοιαν εἴη. σεσημειωμένου τοῦ ὀπλὴ καὶ ὅπλον καὶ τῶν παρ' αὐτῶν. ἀναφορικὰ δέ εἰσι τὸ ὁποῖος ὁπόσος ὁπηλίκος, καὶ τὰ τοιαῦτα. παραδείγματα δὲ τοῦ κανόνος, ὀπιπτεύω ὀπὴ ὀπώρα ὀπάων, παρὰ τὸ ἕπω τὸ δασυνόμενον. οὕτω Ἀπίων καὶ Ἡρόδωρος. τὸ δὲ λέγειν ὡς ἡ συγκοπὴ ἐψίλωσεν αὐτὸ, οὐ πάνυ ἀσφαλές. οὐ γὰρ πάντα δι' αὐτὴν ψιλοῦνται, ἀλλ' ἔστιν ἃ μένουσι δασυνόμενα, ὡς καὶ τὸ ἑστήκαμεν ἕσταμεν.

Κασιοβύρος, ἐν κασίᾳ γινόμενος σκώληξ.

Κάσις, οἱ ἐκ τῆς αὐτῆς ἀγέλης, ἀδελφοί τε καὶ ἀνεψιοί. καὶ ἐπὶ θηλειῶν οὕτως ἔλεγον Λάκωνες, καὶ Εὐριπίδης Ἑκάβῃ.

Κάσις, ἡλικιώτης.

Κασίαλτος, χωρὶς σιέλου.

Κάσιον, ὄρος πρὸς τῷ Εὐφράτῃ. καὶ κάσιος, Ζεύς.

Κασκαλίζεται, γαγγαλίζεται.

Κάσκανα, κασσύματα.

Κασκάνδιξ, ἡ γηθυλλίς.

Κασκὸς, ὁ μικρὸς δάκτυλος.

Κάσμορος, δύστηνος.

Κάσος, νῆσος περὶ Κῶν.

Κασπέλη, στορνύη.

Κάσπια ὄρη, καὶ κάσπιαι πύλαι. ἔστιν ἐκεῖ θάλασσα ἀπὸ τῆς ἐμβολῆς τοῦ Ὠκεανοῦ. καὶ τὸ μὲν στενότατον αὐτῆς, κάσπιαι πύλαι καλοῦνται. τὸ δὲ λοιπὸν, Ὑρκανία θάλασσα. περιοικεῖται δὲ βαρβάροις ἔθνεσιν.

Κάσπιον πέλαγος, παρὰ τῷ Ὠκεανῷ. παρ' ᾧ καὶ ἔθνος κάσπιον, ὅμορον Πέρσαις.

Κασπόδει, ἐν τῇ γῇ ἐκύλιε. Ἀριστοφάνης, κασπόδει κάπνιγε κάπετριβεν.

Κασπίῳ λίθῳ, οἱ κάσπιοι εἶχον ἀγχέμαχα δόρατα, τεθηγμένα λίθῳ κασπίῳ. ὃν ὀξύτατόν τέ φασι τρῶσαι, καί τινα ἰὸν ἐμποιεῖν τῷ τραύματι ὀλέθριον.

Κασπολέω, ὑποστρέφω.

Κάσσα καὶ κασσωρὶς, ἡ πόρνη.

Κάσσαν, κοττίστην πτωχὸν ὑπὸ Ἀχαιῶν.

Κασσανδήριον, ἰκτῖνος.

Κασσάνδρα, Ἀλεξάνδρα ἐν Λακεδαιμονίᾳ.

Κάσσας, ἀμφιτάπης, καὶ πιλωτά.

Κάσσει, κάθες.

Κάσση, νεοσσιά.

Κασσὸν, ἱμάτιον παχὺ, καὶ τραχὺ περιβόλαιον.

Κασσία, ὄνομα πόλεως. σημαίνει δὲ καὶ κύριον ὄνομα θυγατρὸς τοῦ Ἰὼβ. ἔστι δὲ καὶ εἶδος ἀρωματικοῦ, καὶ Δαβὶδ, σμύρνα καὶ στακτὴ καὶ κασσία.

Κασσιέπειαν, ἱστορεῖ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς ἐν Ἀνδρομέδᾳ, ἐρίσασαν περὶ κάλλους ταῖς νηρηΐσιν, εἰσελθεῖν εἰς τὸ σύμπτωμα καὶ Ποσειδῶνα, καὶ διαφθεῖραι τὴν χώραν

Digitized by Google

τὸ κῆτος, δι᾽ ὃ προέκειτο τῷ κήτει ἡ θυγάτηρ Ἀνδρομέδα.

Κασιέπεια, ἡ καλονὴ, καὶ ὄνομα κύριον.

Κασσίτερος δέ φασι, παρὰ τὸ θᾶσσον τείρεσθαι. καὶ ἄλλως δὲ κασσιτερός τις, πρὸς ἀντιστολὴν τοῦ ἐν τῇ καύσει ἀπυρίας χαλκοῦ. διὸ καὶ ἀναλογώτερον κασσίτερον γράφειν διὰ τοῦ ι, ἤπερ διὰ τοῦ η. δῆλον δὲ, ὡς καὶ Ἀττικῶς λέγεται καττίτερος.

Κάσσυμα, δέρμα.

Κασσύας, ὄρχαμος. περγαῖοι.

Κασσύας, συριακὸν βοτάνιον.

Κασωρὶς, ἡ κατωφερὴς, ἡ πόρνη. καὶ κασωρεύουσα, τὸ πορνεύουσα.

Κασταλία, πηγὴ ἦν ἐν τῇ καλουμένῃ Δάφνῃ, ἐν ᾗ ἐλέγετο παρεδρεύειν τὸν Ἀπόλλωνα, καὶ χρησμολογεῖν, αὔρας καὶ πνοῆς ἐκ τοῦ ὕδατος ἀναδιδομένης. ἐξ ὧν οἱ περὶ τὴν πηγὴν ἔλεγον, ἅπερ οἱ δαίμονες ἔλεγον.

Κασταλία, κρήνη ἐν Πιθάνῃ.

Καστανία, πόλις Μαγνησίας.

Κάστανα, Διὸς βάλανοι, λόβοια, κάρυα.

Κάστελλος, ὄνομα τόπου ἄνω φέροντος καὶ κάτω φέροντος, καὶ μερίζοντος τὸ ὕδωρ. κάστι δὲ καὶ τόδε.

Κάστον, ξύλον. Ἀθαμᾶνες.

Καστόριοι, εἶδός τι κυνῶν.

Καστορίδων κυνῶν, σοὶ γὰρ καστορίδων ὑλακαὶ κυνῶν ἅδε.

Καστόρειον μέλος, τὸ τοῦ κάστορος τοῦ ζώου.

Καστόριον, εἶδος βαφῆς ἀπὸ τῆς κογχύλης.

Κάστρον κατὰ Ῥωμαίους, παρεμβολὴ ἀσφαλής.

Καστρονῦσα, καταστρωννῦσα.

Καστήρια, στήριγγες, ἐρείσματα.

Κάστρωμα, περίστρωμα, κλύσεις.

Κάστωρ σημαίνει δύο. ὄνομα κύριον, ὡς τὸ Κάστορά θ᾽ ἱππόδαμον. καὶ γίνεται παρὰ τὸ κάζω τὸ κοσμῶ. σημαίνει καὶ τὸ ζῶον, καὶ γίνεται παρὰ τὸ γαστὴρ, γάστωρ, καὶ κάστωρ. ὑπογάστριον γὰρ τὸ ζῶον, καὶ σχεδὸν ὅλον κοιλία.

Καστωλὸς, ὄνομα κύριον.

Κασφυράσσεται, κατασπείρει.

Κάχετο, κατέχετο.

Κάχεθεν, ἤτοι κατέχεν. ὤφειλεν μὲν συγκοπὲν τρέψαι τὸ τ εἰς τὸ ἐπαγόμενον σίγμα. οὐκ ἔχει δὲ, διότι οὐκ ἐθέλει πρὸ συμφώνου κείμενον διπλοῦσθαι τὸ σ, ἀλλὰ πρὸ φωνήεντος, ὡς δηλοῖ σίσσυμος καὶ σύσσωμος, καὶ κατὰ δέ τινας καὶ τὸ πασσυδίη.

Κασωλάβα, οἱ μὲν πόλις, οἱ δὲ κώμη. Αἰσχύλος Ἱερείαις.

Κασωρεῖς, πόρναι.

Κασωρεῖον, πορνεῖον.

Κᾆτα, καὶ εἶτα.

Κατ᾽ ἀγυιὰς, κατὰ ἀμφόδους.

Κατά. ὅτε σημαίνει τὸ ἐπάνω, μετὰ γενικῆς συντάσσεται, οἷον κατὰ ψάμμου ἀθύρουσι τὰ παιδία, καὶ κατὰ γῆς ἵσταται. ὁμοίως μετὰ γενικῆς συντασσομένη, λόγον ἐπιφέρει τινὰ, ἢ ὕβρεως καὶ καταφορᾶς, ἢ ἐπαίνου. ὅτε αἰτιατικῇ συντάσσεται, στάσιν δηλοῖ καὶ ἔν τινι πράγματι, καὶ κίνησιν ἐνίοτε. σημαίνει δὲ καὶ ἐν τῇ συνθέσει, καὶ πλείονα ἔμφασιν. οἷον κατέφαγε. καθαίρεσιν τινὸς καὶ καταβολήν. οἷον καταβάλλω, καθαιρῶ.

Κατανδρίζομαι, καὶ καταβαίνω, γενικῇ.

Κατὰ πρόθεσις, γενικῇ καὶ αἰτιατικῇ. γενικῇ μὲν, ἐπὶ καταφορᾶς καὶ κατηγορίας, κατὰ Αἰσχίνου λόγος. αἰτιατικῇ δὲ, δηλοῖ τὸ παραβαλλόμενον καὶ ὅμοιον. οἷον καθ᾽ Ὅμηρον, καὶ κατὰ νοῦν προχωρεῖ. ἢ τὸ περί τι καὶ ἔν τινι, καθ᾽ ὁδὸν ταῦτα ἐποίουν, καὶ ἔμενον κατὰ χώραν. ἢ χρόνον, ὁ καθ᾽ ἡμᾶς γεγονὼς ἀνὴρ ἔνδοξος.

Κατὰ, αἱ δισύλλαβοι προθέσεις, ὅταν μετὰ τὰ ὀνόματα τίθενται, τοὺς τόνους ἀναβιβάζουσιν, ὡς τὸ Πάρνασον κάτα, καὶ ἀνθρώπων μέτα. πλὴν τῶν διὰ, τοῦ μὴ συνεμπεσεῖν τῇ τοῦ Διὸς αἰτιατικῇ. καὶ τοῦτο ποιηταὶ ποιοῦσιν. οἱ δὲ πεζῇ γράφοντες, μόνην τὴν περὶ μετὰ τὸ ὄνομα τάττουσιν. καὶ ἔτι ποιηταὶ μὲν μετὰ τὰς προθέσεις ἐνίοτε στίζουσιν. οἱ δ᾽ ἄλλως γράφοντες οὐδαμῶς, ἀλλ᾽ ἐν τῷ μεταξὺ τοῦ κώλου ταύτην τιθέασι. τὴν μέντοι πρὸς μόνην, προστιγμῆς γράφουσιν, ὡς τὸ μικρόν τι πρός.

Κατάβα, ἢ κατάβηθι. Ἀριστοφάνης ἐν βατράχοις, κατάβα πανοῦργε. γίνεται ἐκ τοῦ βίβημι, ὁ μέλλων βήσω, ὁ δεύτερος ἀόριστος ἔβην, ἡ μετοχὴ ὁ βὰς τοῦ βάντος, καὶ τὸ προστακτικὸν βῆθι ὡς στῆθι, καὶ τροπῇ τοῦ η εἰς α καὶ ἀποκοπῇ τοῦ θι, καὶ μετὰ τῆς κατὰ προθέσεως, κατάβα. ἐπεὶ γὰρ ἡ τοιαύτη ἀποκοπὴ Δωρική ἐστιν, οἰκείως καὶ ἡ τροπὴ τοῦ η εἰς α Δωρικῶς γέγονεν. λέγεται καὶ κατάβηθι, ὡς Ἀριστοφάνης.

Καταβαίνει τοῦ ὑπερῴου, καὶ καταβαίνει τοῦ οἴκου, ὡς καὶ παρ᾽ Ὁμήρῳ. καὶ ἐξελάθετο φρεσὶν ᾗσιν ἄψορρον καταβῆναι, ἰὼν εἰς κλίμακα μακράν. καὶ βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξασα.

Κατάβαικα, Λάκωνες ἐκοίμισεν.

Καταβάλλειν, τὸ κατατίθεσθαι μισθὸν, καὶ ἀντὶ τοῦ παρέχειν, καὶ ἀντὶ τοῦ φθείρειν, καὶ ἐπὶ πολιορκίας τὴν πόλιν ῥίπτειν.

Καταβαλεῖν, καταῤῥῖψαι ἐστί. ὃ δὴ συγκοπὲν, ποιεῖ τὸ καββαλεῖν. καὶ καταβάλλεσθαι δὲ, καὶ καταβολὴ, ἐπὶ καταθέσεως εἴτουν ἀποδόσεως.

Καταβάλλει τὶς τὸν πολέμιον, καὶ καταβάλλει τὰ σπέρματα, καὶ καταβάλλει τὸ χρέος, καὶ καταβάλλει θεμέλιον.

Καταβάλλει τὶς τινὰ καθαιρῶν, καταβάλλεται δὲ θεμέλιον, ἢ ἀρχὴν, ἢ σπόρον, ἢ χρέος, ἢ φόρον, ἢ τίμημα.

Καταβάλλεται δὲ καὶ τὸ ἀργύριον αὐτό. βαλλόμενα καὶ τὰ ἀργύρια λέγεται, καὶ καταβάλλεσθαι, ἐπὶ πάθους.

Καταβάλλω, ἐρείπω, αἴρω.

Καταβαλὴς, πολλῶν βελῶν βολὰς δεξάμενος.

Καταβάπτει, κατερυθραίνει ἐρυθρῷ βάμματι, ἢ ποντίζει.

Καταβάτης, ὁ ἀπὸ τοῦ ἅρματος ἀποβάτης.

Καταβεβλακευμένως, βραδέως καὶ τρυφερῶς. βλὰξ γάρ ἐστιν ὁ μαλθακευόμενος ἐν ὑποκρίσει τὸ σῶμα. καὶ βλακεία, ἡ μεθ᾽ ὑπεροψίας ὁμιλία.

Καταβιβάζοντες, κατασπῶντες.

Καταβλακεύουσιν, κατολιγωροῦσι παρὰ τῷ Ἱπποκράτει.

Καταβλέθει, καταπίνει.

Καταβλέπω, εἰς τὴν γῆν. ἀναβλέπω, εἰς τὸν οὐρανόν. ἀντιβλέπω, τῷ ἡλίῳ.

Καταβλὴς, μάνδαλος.

Κατάβλημα, περίβλημα ἐξ ἐπιμελήσεως, ἕνεκα τοῦ σφίγγειν τὰ ὑποκείμενα, παρὰ τῷ Ἱπποκράτει.

Καταβλώσκοντας, κατερχομένους καταμολίσκοντας, τὸ β ἀντὶ τοῦ μ. συγγενὲς γὰρ τὸ β τῷ μ. ὅθεν καὶ ὁ ψωμὸς, βλωμὸς, ἀπὸ τοῦ βλώσκειν διὰ τοῦ λαιμοῦ, ὅ ἐστι κατέρχεσθαι. καὶ πίτυν βλωθρὴν Ὅμηρος, τὴν ἄχρι τοῦ αἰθέρος μολίσκουσαν.

Καταβολάδας, κλάδους.

Καταβοᾷ, κατακράζει.

Καταβοὴ, μέμψις, κατηγορία.

Καταβολὴ, καινούργησις, ἐκ καταβολῆς, πεντήκοντα ναῦς ναυπηγήσασθαι.

Καταβολὴ, θυσία, τελετή.

* Καταβολαὶ περιοδικαὶ, ἀρχαὶ παροξυσμῶν. Γαληνός.

Κατὰ βοῦς ἄξαθε, ἄχεθε κατὰ βοός.

Καταβόσκονται, τρέφονται, νέμονται, δαπανῶσιν.

Καταβόστρυχος, ταῖς θριξὶ κεκαλυμμένος.

Καταβόστρυχος, κομῶν τοῖς βοστρύχοις. τὸ γὰρ κατὰ, πλήθους ἐμφαντικόν ἐστιν.

Καταβουκολεῖ, καταγελᾷ.

Καταβοῶ, τὸ κατακραυγάζω γενικῇ.

Καταβραβευέτω, παραλογιζέσθω, καὶ κατακρινέτω.

Καταβραχὺ, κατ᾽ ὀλίγον.

Καταβρίξας, κατακοιμηθείς.

Καταβρόξειεν, ἀντὶ τοῦ καταπίοι. παρὰ τὸν βρόχθον, ὅ ἐστι λαιμός. ὅθεν καὶ καταβροχθίζειν, τὸ καταπίνειν.

Καταβροχθίσας, ἐκροφήσας, καταπιών. λέγεται δὲ ἐπὶ τῶν ἀθρόως καὶ ἀπλήστως ἐκροφούντων.

Καταβρύξασαι, καταφαγοῦσαι, ἀπὸ τοῦ βεβρώσκω κατενεχθέν.

Καταβυσσομένους, περιβυσσομένους.

Καταγαγεῖν, καταφέρειν.

Κατάγαιον, οἴκημα. καὶ κατάγειον, ὑπὸ γῆν, αἱ δ᾽ οἰκίαι, ἤγουν κατάγειοι.

Καταγγελία, κακοῤῥημοσύνη, κακολογία παρὰ τῷ Ἱπποκράτει.

Καταγγέλλεται, κηρύττεται.

Κατάγω, ὡς λιμένα ναῦν ἐνορμίσαι, αἰτιατικῇ συντάσσεται. οἷον Δημοσθένης, ἐπὶ Θεσσαλίαν τὰς ναῦς κατάγοντες, ἐνέτυχον Ἡρακλεῖ. ἢ Ἀνδοκλεῖ γράφεται. ἀφ᾽ οὗ ὄνομα καταγωγὴ, ἡ προσόρμισις ἐπὶ τὸν λιμένα.

Κατάγειν, τὸ καταβιβάζειν, κυρίως ἀπὸ φυγῆς καὶ ὑπερορίας εἰς τὴν πατρίδα.

Κατάγειν τὰ πλοῖα, ἀντὶ τοῦ λῃΐζεσθαι.

Κατάγελως, ὀνειδισμὸς, ἐξουδένωσις.

Καταγέμων, δαψιλῶς ἔχων.

Καταγλωσθεὶς, τῇ γλώσσῃ νικηθείς.

Καταγιῶντες, οἱ θάπτοντες τοὺς τελευτῶντας. οἰκοῦσι δὲ ἔξω τῆς πόλεως.

Καταγιγαρτίσαι, συνουσιάσαι. ἢ ἀντὶ τοῦ κατὰ τῶν γεωργικῶν γιγάρτων βαλεῖν, καὶ καταμηρίσαι.

Καταγινέων, καταλύων.

Καταγελῶ, γενικῇ. Ἀριστοφάνης, μῶν σὺ καταγελᾷς ἐμοῦ.

Κατάγελως, ὁ πολὺς κατά τινος γέλως.

Καταγινώσκω, ἐπὶ κατηγορίας. καταγινώσκω σου ἀμαθίαν.

Καταγινώσκω σου τὴν ἀμαθίαν, καὶ καταγινώσκω ἐπὶ τοῖς πεπραγμένοις. ποτὲ μὲν γενικῇ, ποτὲ δὲ αἰτιατικῇ.

Καταγλωσσῶσαι, καταναλῶσαι.

Καταγλυπτὸν, εἶδος φιλήματος.

Καταγλωττίζειν, βλασφημεῖν, καὶ τὰ ἐρωτικὰ καὶ περίεργα φιλήματα.

Καταγλωττίζεσθαι, παράγεται ἐκ τῆς γλώττης. παράγεται ἔτι καὶ ὁ ἐγγλωττογάστωρ, ἤγουν ἀπὸ γλώσσης διατρεφόμενος. ἔτι δὲ καὶ ὁ γλώσσαπις, ἤτοι ὁ τῇ γλώσσῃ, ὁποίᾳ καί τινι προβολῇ χρώμενος, διὰ τὸ στωμύλλεσθαι ἀπαιδέστερον. ὁ δ᾽ αὐτός φασι καὶ κρόταλμα ἐλέγετο, καὶ κρόταλον, καὶ δοίδυξ, καὶ τορύνη, καὶ βαρβαροπόραξις, καὶ πολυκυλίνδητος, καὶ τρύπανον. ὅπερ ἐμφαίνει καὶ Ἀριστοφάνης, ὅπου τρύμην θηλυκῷ γένει τὸν τοιοῦτον ἄνδρα ἐρῶ.

Καταγλωττισμάτων, αἰσχρῶν φιλημάτων περιεργότερον. ἢ εἶδος αἰσχροῦ φιλήματος.

Καταγλώττισμα, κυρίως δὲ λέγεται, ὅταν ἐν καιρῷ τῆς συνουσίας, ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι.

Καταγλωττίσματα, περίεργα φιλήματα, καταπάσματα, ἢ περιλαλήματα. ἢ εἶδος φιλήματος περιεργότερον τὸ καταγλώττισμα, ἢ κολάκευμα.

Κάταγμα, ἐρίου κατάσπασμα, ἢ μήρυγμα.

* Κάταγμα, τῆς συνεχείας ἡ λύσις, ἕλκος μὲν ἐν σαρκώδει μορίῳ, κάταγμα δὲ ἐν ὀστῷ καλεῖται.

Καταγνύαι, κατάξαι, κατακλᾶν, συντρίβειν, ἀπὸ τοῦ ἄγνυμι.

Καταγνὺς τὸ σκέλος, κάλλιον λέγειν ἢ συντρίβων.

Καταγνῶναι, ἐπιγνῶναι, μέμψασθαι.

Καταγνῶναι καὶ γνῶναι, ταύτῃ διενηνοχέναι φασίν. ὅτι τὸ μὲν καταγνῶναι, ἰδίως ἐπὶ διαβολῇ καὶ πονηρίᾳ λέγουσιν Ἀθηναῖοι. γνῶναι δὲ, χωρὶς τῆς κατὰ προθέσεως, τὸ μαθεῖν. καταγνοὺς οὖν, οἱονεὶ καταμαθὼν καὶ αἰσθόμενος.

Καταγνώσεσθε, κατακρινεῖτε, καταδικάσετε.

Κατάγνωσις, ἡ κατὰ γνῶσιν λαβὴ τοῦ ταύτην διαμαρτόντος.

Καταγοητεύων, ἀπατῶν.

Κατάγονται, ξενοδοχοῦνται, καὶ ἐν αὐτῷ κατάγονται. καὶ ξενίων τυχόντες ἐπανῆλθον.

Καταγορεύει, καταλαλεῖ, κακολαλεῖ.

Κατάγραπτος, ποικίλος.

Καταγραφὴ, καὶ ἡμεῖς λέγομεν ἐν ζωγραφίᾳ, κατάγραψον, καὶ κατατομή.

Καταγράφων, προμηθούμενος, προξενῶν.

Καταγρεῖ, καθαίρει, καταλαμβάνει.

Κα-

Καταίγραπτος, ποικίλος.

Καταγυῖ, εἰς ἔσχατον ἀχρειότητος ἢ ἀσθενείας ἄγει, παρὰ τῷ Ἱπποκράτει.

Κατάγχει, πνίγει, κωλύει.

Καταγωγή, παρὰ Ἡροδότῳ πανδοκεῖον.

Καταγωγεῦς, ἀναπαύλης, δεξιώσεως.

Καταγώγιον, τὸ κατάλυμα, τὸ οἴκημα.

Καταγωγίς, ἱμάτιον ποιὸν περὶ πῆχυν γυναικεῖον, καὶ σκεῦος ποταμιαῖον, καὶ κρέαγρον, καὶ παρανάλωμα.

Καταγωνίζεσθαι, νικᾶν.

Καταδάκρυα λείβεις, καταστενάζεις, καταδάκρυον κλαίεις.

Καταδακτυλικὸς, παρὰ τῷ Ἀριστοφάνει ἐν ἱππεῦσιν, ἀντὶ τοῦ σκωπτικὸς κατὰ τοῦ δακτυλίκου τοῦ πρωκτοῦ.

Καταδάπτεται, προσάντυπόν ἐστι τοῦ δαρδάπτειν, ὡς καὶ τὸ μαίρειν τοῦ μαρμαίρειν. ἐκ τοῦ δάπτειν, καὶ ἡ δαπάνη, καὶ δαπτικὰ παρὰ Λυκόφρονι. ἀδηφάγα μυῖα. γίνεται δὲ τὸ δάπτειν, ἐκ τοῦ δῶ δάπτω, ὡς ῥῶ ῥάπτω, καὶ βῶ βάπτω.

Καταδαρδάπτουσι, κατεσθίουσιν.

Καταδαρθέντα, κατακοιμηθέντα, καὶ καταδαρθεῖν, κατακοιμηθῆναι. κυρίως δὲ καταδαρθεῖν, τὸ ἐν δέρμασι κοιμηθῆναι, οἱ Ἀττικοὶ παροξύνουσι, καταδάρθειν λέγοντες.

Καταδάκτυλον, εἶδος ἀριθμητικὸν, ἢ γεωμετρικὸν, ἢ ῥυθμοῦ καὶ κρούματος, τὸ καταδάκτυλον, ᾧ ἐχρῶντο οἱ αὐλοῦντες πρὸ τοῦ νόμου.

Καταδάψαι, καταδαπανῆσαι.

Καταδέα, ἐλάχιστα.

Καταδεδέσθαι, ἀντὶ τοῦ πεφαρμακεῦσθαι, καὶ δεδέσθαι φαρμάκοις.

Καταδέδαρται, καταβέβρωται, καταμεμέρισται.

Καταδεδίττεσθαι, καταφοβεῖσθαι.

Καταδέδρομε, κατέδραμεν.

Καταδεέστερον, ταπεινότερον.

Καταδεῖ, συνδεσμεῖ.

Καταδείσας, φοβηθείς.

Καταδεῖται, καταδεσμεῖται, φοβεῖται.

Κατὰ δ' ἔστυγεν, ἐμίσησεν.

Κατὰ δ' ἐφρόνιν ἤγαγεν, ἐμίσησεν, κατεφρόνησεν.

Καταδημαγωγῆσαι τὸν δῆμον, ἀντὶ τοῦ καθομιλῆσαι.

Καταδημοβορῆσαι, καταφαγεῖν.

Καταδημοθορῆσαι, ἀντὶ τοῦ καταναλῶσαι.

Καταδημομερίσαι, μερίσαι δήμῳ.

Κατὰ δήμους δικαστάς. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους, περὶ τῶν κατὰ δήμους δικαστῶν. ὡς πρότερον μὲν ἦσαν λ΄, καὶ κατὰ δήμους περιϊόντες ἐδίκαζον, εἶτα ἐγένοντο μ΄. εἴρηκεν Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ.

Κατὰ δ' ἤνιον, κατελάμβανον.

Καταδηοῦν, κατακόπτειν, καταπραΰνειν ῥομφαίᾳ.

Κατὰ δ' ἦρει Πηλείωνα, κατὰ διάλυσιν ῥηθὲν, ἀντὶ τοῦ καθῄρει.

Καταδήσας, φοβηθείς.

Καταδηώσαντες, πολεμήσαντες, πορθήσαντες, πραΰνσαντες, καταφανίσαντες.

Καταδικάσω, καταδικάσω, κατακρινῶ.

Κατὰ διάπτωσιν, κατ' ἔκπτωσιν.

Κατὰ διάστασιν, κατὰ χωρισμόν.

Καταδιελέσθαι, καταμερίσασθαι.

Καταδιιστᾶσι, καταχωρίζουσι.

Καταδικάζω καὶ κατακρίνω, τὸ καταβάλλω τινὰ ἀπὸ κρίσεως, καταδικάζω σοῦ θάνατον. καὶ καταδικάζω, καταψηφίζομαι, ἀποψηφίζομαι, κατακρίνω, καταδικάζω.

Καταδικασάμενος, ἀντὶ τοῦ νικήσας, καὶ καταδικασθῆναί τινα ποιήσας.

Καταδίκη, κατάκρισις.

Καταδίκος, κατακεκριμένος.

Καταδιχμάσαι, καταχεῖν.

Καταδίψιον, εἶδος καύματος.

Καταδουπήσαι, καταψοφήσαι.

Κατάδουπος, ὀργίλος, ὁ κατάκτυπος. δοῦπος γὰρ, ὁ κτύπος, ἢ ὁ καταῤῥάκτης.

Καταδράθοι, καθυπνώσαι.

Καταδραθαίνειν, κοιμᾶσθαι. καταδαρθεῖν ἐν κλίνῃ, ἤγουν κοιμᾶσθαι.

Καταδρομή, ἁρπαγή.

Καταδρυλλεῖν, κατέχειν.

Καταδύεσθαι, ἐγκαλύπτεσθαι, ἀναφοιτᾶσθαι, ἐρυθριᾶν, αἰσχύνεσθαι, πινεῖν.

Καταδύεται, κατακρύπτεται, καταβυθίζεται.

Καταδήμεναι, λάθρα ὑπεισελθεῖν.

Καταδυναστεύω, βιάζω.

Καταδύνοντα, κρύπτοντα.

Καταδύντος, βυθισθέντος.

Καταδύς, κατακρυβείς, κατακαλυφθείς.

Καταδύσασα, εἰσελθοῦσα.

Καταδύσαντες, τὰς ναῦς παρὰ Θουκυδίδῃ, καὶ ἐπὶ τοῦ τρώσαντες, οὐχὶ δὲ ἐπὶ τοῦ βαπτίσαντες.

Καταδύσεις, φωλεούς, ὑπονόμους, σπήλαια.

Καταδυσωπῆσαι, παρακαλέσαι.

Καταείμενον ὕλῃ, ἀντὶ τοῦ κεκαλυμμένον δένδροις, ἤγουν δασύ. ἀπὸ τοῦ ἕω, τὸ ἐνδύω. ἐξ οὗ ἕω, ἀφ' οὗ ἑνύω, τὸ σκεπάζω, καὶ πλεονασμῷ τοῦ ι εἱνύω, ὡς τὸ θριξὶ δὲ νέκυν κατείνυον.

Καταείμενος ἰσθμὸς, καταῤῥεόμενος, ἢ καταπνεόμενος, ἢ κεκαλυμμένος φυτοῖς, παρὰ τῷ Ἀπολλωνίῳ.

Καταείνυον, ἀντὶ τοῦ κατεκάλυπτον, ἀπὸ τοῦ ἕω τοῦ σημαίνοντος τὸ πληρῶ. κατὰ δὲ ἐνίους τὸ ἐνδύομαι. ἕω, ἑνύω, ὃ καὶ εἱνύω λέγεται, ὁ παρατατικὸς εἵνυον, καὶ κατείνυον. καὶ ἄλλως, καταείνυον γίνεται ἀπὸ τοῦ ἕω, τὸ ἐνδύω, καὶ ὑποκαλύπτω. καὶ πλεονασμῷ τοῦ ι καὶ ν εἵνω, καὶ παράγωγον εἱνύω. ἐξ οὗ παρατατικὸς εἵνυον, καὶ κατείνυον. ἔοικε δὲ εἱνύω προσλαβεῖν τὸ ι πρὸς ἀναπλήρωσιν τοῦ ἐνύω, ἀφ' οὗ τὸ ἀμφιεννύω, καὶ τὰ ἐξ αὐτοῦ.

Καταείσατο, κατηνέχθη, καθώρμησε, κατῆλθε.

Καταείσατο γαίην, κατέδυ καὶ κατεπλήγη εἰς τὴν γῆν, ἢ κατεφάνη.

Καταέσσας, κατακοιμηθείς.

Καταέλξαι, κατακλεῖσαι.

Καταζείνασκε, κατεξήρανεν.

Καταζῶσαι, ἱμάντες οἱ τὰ σκέλη τοῖς ἵπποις καταζωννύντες.

Κατὰ ἤθεα, κατὰ συνηθείας.

Καταήσεται, καταπνεύσει.

Καταίνεται, καταλελάληται.

Καταθεῖν, κατατρέχειν.

Κατὰ θεῖον εἰς ἀγοράν, Ἀριστοφάνης ἐπὶ τῶν ἐξαίφνης γενομένων, τουτέστιν ἀκαίρως ἐπιφαινομένων, κατὰ θεῖον ἔλεγον.

Καταθέειν, κατατρέχειν.

Καταθέλξας, ἐξαπατήσας.

Καταθεμένους, ἀποβαλόντας.

Καταθεῖναι τὴν τιμὴν, ἐν λυτῆσαι τὴν τιμήν.

Καταθεὶς, λεχθεὶς, λαληθείς.

Καταθειαγόμενα, κατακεραυνούμενα.

Καταθέαμαι, βλέπω.

Καταθεώμενοι, καθορῶντες.

Καταθέσῃ, καταπαύσῃ, καταλήξῃ.

Καταθεῶμαι, βλέπω.

Καταθῆξαι, παροξῦναι.

Καταθλῆσαι, καταγωνίσασθαι, νικῆσαι.

Καταθοινήσασθαι, καταφαγεῖν. θοίνη γὰρ, ἡ εὐωχία.

Καταθοινήσαντες, καταφαγόντες.

Καταθαρσοῦνται, κατατολμῶσιν.

Καταθρέξαι, καταδραμεῖν.

Καταθρῆσαι, κατασκοπῆσαι, κατανοῆσαι, κατιδεῖν.

Καταθνητὸς ἐτέτυκτο, ἐν ἑνὶ μέρει λόγου, κατὰ τὸ βοῶν ἐπιβουκόλος ἀνήρ, καὶ καταθνητῶν ἀνθρώπων, καὶ ὅσα τοιαῦτα.

Καταθρήσωμεν, θεωρήσωμεν, σκοπήσωμεν.

Κατάθου θοιμάτιον, ἀντὶ τοῦ τὸ ἱμάτιον, Ἀττικῶς κατάβαλε.

Κατάθου τὸ βέλος, κατάθου θοιμάτιον, κατάθου τἀργύριον. κατὰ γῆς θὲς, καὶ ἔχε, καὶ ἄπωθε, ὁμοίως κατάβαλε.

Καταθρώσκοντα, καταπηδῶντα.

Καταθύμιον, κατὰ νοῦν.

Καταθύμιος, θάνατος ἔσται σοι, ὅ ἐστιν ἐν ἐνθυμήσει καὶ κατὰ διάνοιαν.

Καταθύμιος παρὰ τῷ Ποιητῇ, ὁ κατὰ ψυχὴν λαμβανόμενος, ὁ ἐνθύμιος. παρὰ δὲ τοῖς ὕστερον, ὁ ἐν ψυχῇ ὤν, καὶ ὡς εἰπεῖν θυμήρης. οὗ τὸ ἀνάπαλιν, ἀκαταθύμιος.

Καταθύσασθαι, μαντεύσασθαι.

Καταθῶμαι, ἀναπαύσωμαι, ἀπερείσωμαι.

Καταθύσομαι ἄνδρα, παρὰ Θεοκρίτῳ, ἤγουν καταγοητεύσω ἐν πυρὶ καίουσα τὰ ἐπὶ τούτῳ συντείνοντα φάρμακα. ὥσπερ τὸ λείβειν, λέγεται μὲν καὶ ἀντὶ τοῦ σπένδειν, λέγεται καὶ ἀντὶ τοῦ χεῖν ἁπλῶς. οὕτω καὶ τὸ θύειν λέγεται μὲν ἀντὶ τοῦ τῶν παρόντων ἀπάρχεσθαι, κατὰ τὴν τῶν παλαιῶν χρῆσιν. οὕτω οὐκ ἐπὶ τοῦ σφάττειν τοῦτο ἐτίθουν, ὡς οἱ νεώτεροι, ἀλλ' ἐπὶ τοῦ ἀπάρχεσθαι τῶν παρόντων. τὸ ἔρδειν δὲ ἔλεγον, καὶ ῥέζειν ἐπὶ τῶν σφαγίων. λέγεται δὲ καὶ ἀντὶ τοῦ καίειν ἁπλῶς, καὶ ἐν πυρὶ τιθέναι τί. καθὸ λέγεται ἐνταῦθα, ἵνα καταθύσομαι, ὁριστικὸν ἀντὶ τοῦ ὑποτακτικοῦ, ὡς ἐν τῷ ἵνα εἴδομεν ἄμφω, παρ' Ὁμήρῳ.

Κατ' αἰανόν, κατὰ τὸ πρέπον.

Καταιβάτης Ζεὺς, παρὰ τῷ Ἀριστοφάνει τιμᾶται Ζεύς, διὰ τὸ καταβιβάζειν τοὺς κεραυνούς, ἢ ἀπὸ τοῦ καταβαίνειν δι' ἔρωτα τῶν γυναικῶν. παίζει δὲ τὸν Δία καταιβάτην καλῶν.

Καταβολή, ἡ περιοδικὴ νόσος.

Καταίγας, καταιγίδας.

Κατ' αἶγας ἀγρίας, παροιμία λεγομένη ἐπὶ καταρᾶς. κατ' αἶγας ἀγρίας τρέπειν τὰ κακά.

Καταιγίζω, αἰτιατικῇ τὸ βρέχω.

Καταιγίσας, καταχίσας.

Καταιγίς, ἐπιφορὰ ἀνέμου σφοδρά. λέγεται δὲ καὶ ἡ τῶν ἀνέμων ζάλη.

Κατ' αἰγίλιπος, κατὰ τῆς ὑψηλῆς. ἧς καὶ αἶξ ἀπολείπεται.

Καταιδέσῃ, ἀξίους αἰδοῦς παρασκευάσῃ.

Καταιδῆ, καταισχύνῃ.

Καταιγδὴν, ἀπὸ τοῦ καταίσσειν ἢ εἰς τὸ ἔμπροσθεν ὁρμῶσα καὶ ἀΐσσουσα. προκαταιγδὴν κοίλης ἁλὸς ἦδον.

Καταιδέσασα, κατέχουσα.

Καταιθαλωμένα, κατεσποδημένα.

Καταιθαλώσω, καταπρήσω, κατακαύσω.

Καταίθομαι, φλέγομαι.

Καταῖθυξ ὄμβρος, ὁ καταιθύσσων. φαίνεται δὲ καὶ καταίφλεξ καταφλεγόμενος καὶ ἀναζέων.

Καταίκες, συστροφαὶ καταπνοαί.

Καταινέσαντος, συγκαταθεμένου. τοῦ δὲ καταινέσαντος τὸ ναῦν εἶναι, κατίασιν ὑπόσπονδοι.

Καταινεῦσαι, συγκαταθέσθαι.

Καταΐξ, κατάσεισις, ὁρμή.

Καταιόνηται, κατέχεε, δοξάζουσιν, ἤλασεν, ἐπέβαλεν, ἐπέθετο κατέρριψεν.

Καταιονοῦσι, βρέχουσιν, ἀντλοῦσιν, ἀλείφουσιν.

Καταίρειν, τὸ εἰς λιμένα τὴν ναῦν κατάγεσθαι, καὶ μεταίρειν, καὶ ἐπαίρειν. κυρίως μὲν ἐπὶ τῶν αἰρόντων τὰ ἱστία, καὶ μετατιθεμένων, ἢ ἀπὸ τῶν ἀποδημούντων, καταχρηστικῶς δὲ, καὶ τὸ ἑτέρου ἐπαίρειν, καὶ τὸ ἀνατείθειν, καὶ ὑπεραίρειν, καὶ ὑπεραίρεσθαι.

Καταίρειν, ἀντὶ τοῦ ἀναχωρεῖν, ἀποπλεῖν, ἀπὸ τοῦ συμβαίνοντος. συμβαίνει γὰρ ἀποπλευσάσης τῆς νηὸς ἐπαίρειν τὰ ἱστία.

Καταιρεόμενος, ὡς δὲ φεύγων κατελαμβάνετο ὑπὸ ἀνδρὸς Περσέως, καὶ ὡς καταιρεόμενος ὑπ' αὐτοῦ ἔμελλε συγκεντηθήσεσθαι. ἀπὸ τοῦ αἱρῶ, Ἡρόδοτος.

Καταίρεσιν, κατάλυσιν.

Καταίροντες, καταπλέοντες.

Καταίρω, τὸ κατάγω κυρίως, καὶ εἰς ὅρμον ἔρχομαι. κυρίως ἐπὶ νηὸς τασσόμενον. ὡς Ἀριστείδης, ἐπιβᾶσα τῶν νησῶν, εἰς Δῆλον καταίρει. Σαυίσιος, ὡς δὲ τὴν ὑστεραίαν ἄλλοι κατῆραν.

Κατ' αἶσαν, οὐ μοῖραν δηλοῖ, οὐ δὲ τὸ κοινῶς λεγόμενον αἴσιον, ἐξ οὗ καὶ τὸ αἰσυμνᾶν, καὶ ὁ αἰσυμνητὴς, ἀλλὰ τὸ πρέπον καὶ ἀληθὲς, ἤτοι τοιοῦτον.

Κα-

Digitized by Google

Καταίσια, καταίσιμα, ὅθεν καὶ κατεσισίμους ἐπιφημιζόμενοι λέγουσι τὰς ἐπ' ἀγαθῷ μαντείας.

Καταιτιῶμαι, μέμφομαι.

Καταιχμάω, αἰτιατικῇ συντάσσεται. οἷον οὐ καταιχμῶ σου τὸ πάτερ, παρὰ Λουκιανῷ.

Καταῖτυξ, εἶδος περικεφαλαίας, οὐ μόνον ἀλαμπὴς ἡ τοιαύτη, ἀλλὰ καὶ χθαμαλή, ὡς μὴ ἔχουσα λόφον, ἤτοι τρίχωσιν. Διὸ καὶ καταῖτυξ καλεῖται, παρὰ τὸ κάτω τετύχθαι.

Κατὰ κάθετον, τὸ ἀπὸ ὕψους εἰς βάθος διάστημα.

Κατὰ κάθετον, ἐξ ἐναντίας.

Καταχαίειν, καταφλέγειν.

Κατακαίνειν, ἀναιρεῖν, φονεύειν.

Κατακαινῶ, ἀποκτενῶ.

Κατακαίνων, ἀναιρῶν, πλήττων. τοὺς μὲν κατακαίνων ἐν χερσί, τοὺς δὲ πλήττων, τοὺς δὲ φοβήσας. καὶ Ξενοφῶν, τοὺς μὲν κατακαίνοντες, τοὺς δὲ καταδιώξαντες.

Κατακαίριον, εἰς καίριον τόπον.

Κατακαίρισον, κατέχον, καὶ τὸ ἀποχρήσασθαι.

Κατὰ καιρὸν, κατὰ τὸν εὔκαιρον καὶ προσήκοντα καιρὸν καὶ χρόνον. οὕτως ὁ Ἀπόστολος, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανεν.

Κατακαλλύνοιτο, κατακοσμοῖτο.

Κατακαλλωπίζεται, κατακοσμεῖται, καταφαιδρύνεται.

Κατακαλύπτων, κατακρύπτων.

Κατακαλῶν, ἐπιμελῶς ἐκζητῶν.

Κατὰ κανδὸν, κατὰ θανάτου.

Κατάκτανε, ἀπόκτεινον.

Κατακάνεον, φίλτρον.

Κατάκαρπον, ἐπιτήδειον.

Κατάκαρπος, πλούσιος.

Κατακαρφεῖ, ἀφανίζει, ξηραίνει.

Κατακάρψεις, καταφλέξεις.

Κατακάσαι, κακοδαίμονες. καὶ αἱ διὰ τὰ ὀνείδη ὑπὸ αἰσχύνης ἐπ' οἰκίας μένουσαι, ἢ ἄξιαι κεκαῦσθαι.

Κατακάσα, κατωφερής, ἡ ἀξία τοῦ κατακαυθῆναι. ἢ ὅτι κάσον, τὸ σπέρμα τοῦ ἀνδρὸς, ὅθεν καὶ κασίγνητος.

Κατακαυχύσω, ῥήξω. ἐπεὶ αἱ κριθαὶ φρυγόμεναι ῥήγνυνται. τινὲς δὲ συνταράξω, καταχώσω.

Κατακείομεν, φαίνεται καὶ διὰ τοῦ ε ψιλοῦ εἶναι τὸ καίω τὸ ἐπὶ τοῦ πυρὸς, παρὰ τοῖς παλαιοῖς. ἐξ οὗ καὶ κατακείομεν αὐτούς. καὶ νεκροὺς κείομεν, ἐκ τοῦ κέω κῶ, τὸ πρωτότυπον, ἐξ οὗ παράγωγον τὸ ἕτερον καίω, διὰ τῆς αι διφθόγγου. ὡς κλῶ κλαίω, λῶ λαίω, ἐξ οὗ τὸ λιλαίω.

Κατάκηται, ἐπὶ νοσούντων. ὅπερ δὴ καὶ κοινῶς λέγεται. ὡς καὶ Ἀριστοφάνης, οἱ δὲ κατακείμενοι παρ' αὐτῷ, πῶς δοκεῖς τὸν Πλοῦτον ἠσπάζοντο. λέγεται καὶ ἐπὶ τῶν ἑστιωμένων Ἀττικῶς, ὁμοίως τῷ ἀνάκειται.

Κατακεκλεῖσθαι, καὶ κατακεῖσθαι, ἐπὶ τραπέζης. ἀνακεῖσθαι δὲ, ἐπὶ ἀνδριάντων.

Κατακέκνισμαι, παρὰ Ἀριστοφάνει ἐρωτικῶς λελύπημαι, παρακείμενος ἐκ τοῦ κνίζω, ἐκ τούτου ὁ κνισμός.

Κατακέλευσον, ἀντὶ τοῦ σιωπὴν κήρυξον.

Κατακενοῖ, τιτρώσκει.

Κατακερματίζει, εἰς πολλὰ ἀναλίσκει, διατέμνει, ἢ λεπτύνει, ἢ μερίζει.

Κατακερτομοῦντες, χλευάζοντες, φλυαροῦντες, σκώπτοντες.

Κατακερχνοῦται, τραχύνεται διὰ τὴν οὐλότητα. ἔνθεν καὶ κερχνῶσαι, τὸ καταστίξαι, καὶ οἷον τραχῦναι. καὶ πίνακες κερχνωτοί, καὶ ὄστρειον κέρχνος.

Κατακεχηνημένη, κατακεχυμένη.

* Κατακεχρημένης, παραλόγως, καὶ ἀφειδῶς ἀπολαυούσης.

Κατακεχρῦσαι, ῥῆξαι, ψοφῆσαι, ποιῆσαι.

Κατακηλεῖ, καταθέλγει.

Κατακηλούμενοι, ἐξοιστρούμενοι, καταθελγόμενοι.

Κατακηλοῦσαν αἰτιατικῇ, θέλγουσαν, πραΰνουσαν.

Κατακείσῃ, καταβληθήσῃ.

Κατακκίσασθαι, προσποιεῖσθαι.

Κατὰ κόκκας, ἢ καταικίκκας, κατάπλασμα, κατάκομον.

Καταχλαιήδην, συνθλίβδην.

* Κατάκλασις ὄμματος, ὅταν διαστρέφηται τὸ βλέφαρον.

Κατάκλεις, ἐκ τοῦ κλεὶς, ἀπὸ τοῦ ἐγκεκλεῖσθαι μέχρι αὐτῆς τὰ ἐντός. καὶ αἱ μὲν τοῦ σώματος κατακλεῖδες, εἴρηνται διὰ τὸ ἐπικαμπεῖς εἶναι, καὶ ἐοικέναι τοῖς τῶν θυρῶν κλεισίν. ἐπὶ δὲ τῶν ἐρεσσόντων, ὅτι ἐπ' αὐτοῖς ἑζόμενοι, τὸ σῶμα ἕλκων. καὶ κατακλεὶς κατακλεῖδος, ἡ τοῦ τραχήλου.

Κατάκλειστοι, ἐν Κορίνθῳ ἑταῖραί τινες.

Κατακλησία, ὅταν τῶν μειζόνων τι δέῃ πρᾶγμα ἐπικρῖναι, κατακλησίας ἐποίουν τῶν ἐν τοῖς ἀγροῖς οἰκούντων.

Κατακλινεὶς, κοινόν. κατακλιθεὶς, Ἀττικόν.

Κατακλινὴς, ἐπὶ κλίνης ἀνακείμενος, καὶ μαλακιζόμενος.

Κατάκλισις, ἡ συντριβή. καὶ κατακλίνεται ἡ οἰκία, ἤτοι καταπίπτει. ἀνάκλισις δὲ, ἡ ἀνάπαυσις. καὶ ἀνακλίνεται, ἐπὶ ἀναπαύσεως. κλίσις δὲ ἁπλῶς ἐπὶ τοιαύτῃ σημασίᾳ, ποιητικόν ἐστι.

Κατάκλιτα, κλίνας, θρόνους εἰς ἀνάκλισιν ἐπιτηδείους.

Κατάκλιτος, πλατεῖα.

Κατάκλυζε, κατακλύζεσθαι ποίησον, ὅ ἐστι γέμισον ὕδατος.

Κατακλῶθες, κατάκλωθές τε βαρεῖαι, αἱ ἐπικλώσεις τῶν μοιρῶν, παρὰ τὸ κλώθω. τοῦτο δὲ παρὰ τὸ κάτω καθέλκειν τοὺς τῶν νημάτων ὁλκούς. κλώθειν γὰρ, τὸ νήθειν. ὅθεν καὶ κλώστης, παρὰ τὸν κλώσειν μέλλοντα. καὶ κλωστήρ.

Κατακνυθεῖσαν, κατεξεσθεῖσαν εἰς ἰσχνὰ μέρη.

Κατὰ κνῆστιν, κατὰ τὴν ῥάχιν. ἣν μή ἐστι κνήσασθαι ῥάδιον.

Κατακνῆστις, τυροκνῆστις.

Κατὰ κοιλίας ποιεῖν, οἱ γυμναστικοὶ λέγουσιν. οἱ γὰρ παλαιοὶ ὑπάγειν τὴν γαστέρα λέγουσιν.

Κατακοιμίζει, καταπραΰνει.

Κατακοιρανέοντα, κατακοσμοῦντα.

Κατακονά, διαφθορά.

Κατακορέα, τὰ τῆς ἀκράτου χολῆς διαχωρήματα.

Κατακούρην, τοῦ ξηροῦ τὴν τομὴν, παρὰ τῷ Ἱπποκράτει.

Κατακορὴς, ὀχληρὸς, ἢ ἄχρι κόρου ἐσθίων, σιτίοις καὶ ποτῷ κατακορὴς, καὶ συνουσίᾳ ἐπιπλεονάζουσα.

Κατακορμάσαι, κατακόψαι.

Κατακόρου, ἀπλήστου.

Κατὰ κόσμον, κατὰ τρόπον, ἐν τάξει, κατὰ τὸ δέον, κατὰ τὸ καθῆκον.

Κατακράζουσι, καταθορυβοῦσιν, παρὰ τῷ Ἀριστοφάνει. ἰδίως δὲ ἐπὶ ὀρνέων τὸ κράζειν, ἀντὶ τοῦ κρώζειν. ἄλλως οἱ ἄλλοι ῥήτορες κράζουσιν καὶ θορυβοῦσι.

Κατ' ἄκρας ἑλεῖν, τὸ ἐξ ἐφόδου καὶ τὸ αἰφνίδιον. καὶ κατάκρας, ἐπίρρημα διόλου, παντελῶς.

Κατακρατήσατε, νικήσατε.

Κατακράτος, κατὰ πολλὴν ἐξουσίαν.

Κατακράτως, ἰσχυρῶς.

Κατακριθεὶς, κατάκριτος.

Κατακρῆθεν, κατὰ κεφαλῆς.

Κατακρημνίζων, κατακρημνῶν.

Κατ' ἄκρης, κατὰ κορυφῆς, κατὰ κράτος.

Κατάκρης. Ὅμηρος, ὡς εἰ ἅπασα Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατάκρης. τουτέστιν, ὡς ἐὰν ἡ πᾶσα Τροία πυρὶ καίοιτο διόλου, ἵνα ᾖ μέρος ἓν λόγου τὸ κατάκρης, ἢ κατὰ τῆς ἀκροπόλεως, ἐν δυσὶ λόγου μέρεσι.

Κατακριδᾶσῃ, καταλαλήσει. ἐπεὶ καὶ αἱ ἀκρίδες πολύφωνοί εἰσιν. ἢ καταναστήσει, ἐπεὶ καὶ αἱ ἀκρίδες ἀναστήματα γῆς καὶ λόφοι εἰσὶν, ἢ καταγελάσει.

Κατάκριμα, κατάκρισις, καταδίκη.

Κατάκριτος, κατάδικος.

Κατακροτεῖ, ἄγαν ἐπαινεῖ.

Κατακρούειν, κατασχίζειν, παρὰ τῷ Ἱπποκράτει.

Κατακτάμεναι, ἀποκτεῖναι.

Κατακτανέεσθαι, κτείνω, κτανῶ, ἔκτεινα, ὁ δεύτερος ἀόριστος ἔκτανον, ὁ μέλλων κτανῶ, κτανοῦμαι, κτανεῖ κτανεῖται, τὸ ἀπαρέμφατον κτανεῖσθαι, καὶ διαλύσει τῆς διφθόγγου εἰς δύο ε κτανέεσθαι, καὶ κατακτανέεσθαι.

Κατακρύπτοντες, ἀπὸ μεταφορᾶς τῶν ὑφάλων πετρῶν, αἵτινες ὑπὸ ὕδατος καλυπτόμεναι, τοῖς ἀπροόπτως προσπελάζουσι κίνδυνον ἐπιφέρουσι.

Κατακτενοκόμη, κατακτενισμένη.

Κατάκτειρα, ἱερουργός.

Κατακυνῶν, ἢ κατακύων, ὅταν τὸ χοινίον ἑλίξας τῶν ἄκρων προσκατακλείσῃς.

Κατακυριεῦσαι, κατακρατῆσαι.

Κατακυρωθεὶς, κατακριθείς.

Κατακωκῦσαι, θρηνῆσαι.

Κατὰ κῶλον, κατὰ λέξιν.

Κατακωμᾷ, καταγελᾷ.

Κατακωχὴ, ἡ κατάσχεσις, καὶ αὐτὸ τὸ χωρίον, καὶ ἐμονομάχει.

Καταλαβεὶς, πάσσαλος.

Καταλαβέσθαι, κατανοήσασθαι, φθάσασθαι, ἀφελέσθαι.

Καταλαγνευθεὶς, εἰς ἡδονὰς κατενεχθείς.

Καταλαγνώσας, καταβρέξας.

Καταλαζονεύεται, κατεπαίρεται, νεανιεύεται.

Καταλαθισταὶ, ἐξηγηταὶ, ἢ ἐνδεικνύοντες τὰ δημόσια.

Καταλαλάζειν, καταλέχεσθαι, ἢ πολεμικῶς βοᾶν.

Καταλαλεῖν, τὸ εἰς ἀπόντα ὑπό τινων βλασφημεῖν.

Καταλαλιᾶν, καταλγύνεσθαι, λυπεῖσθαι.

Καταλαμβάνω, λέγεται τὸ φθάνω, καὶ τὸ ἔχω, αἰτιατικῇ. καὶ καταλαμβάνω, ἐπὶ τὸ τόπον φθάνω, καὶ τὸ κατέχω. καταλαμβάνομαι δὲ ἐγὼ, ἐπὶ πάθους.

Καταλάμπεσθαι, τὴν ὁλοτελῆ ὄψιν δηλοῖ.

Καταλαπιώσει, ἀποκτενεῖ, καταδέξεται, κατατρυπήσει, ἢ καταπειρήσει.

Καταλγυνέσθαι, λυπεῖσθαι.

Καταλεαίνει, καταπραΰνει, καταλεπτύνει.

Καταλεάνας, κατατρίψας, ὁμαλίσας.

Κατάλεγε, τὰ προστακτικὰ βραχυκατάληκτα, ὡς ἐπὶ πολὺ ἀναπέμπει τὸν τόνον, οἷον λέγε κατάλεγε, σπεῖρε κατάσπειρε, οὕτω καὶ τὸ ἧσο κάθησο. τὸ μέντοι ἀκούουσα καθῆσο, ἀντὶ τοῦ ἡσυχάζουσα ἐκάθητο, προπερισπᾶται. διότι τὰ τροχαϊκὰ περισπώμενα, φυλάττει τὴν ἐκφώνησιν, καὶ ἐπὶ πλεῖστον καὶ μετὰ συνθέσιν, οἷον ἦγε κατῆγε, εὗρεν ἐφεῦρεν, εἶχε κατεῖχεν, εἶδε παρεῖδεν, εὗδε καθεῦδεν. οὕτως οὖν καὶ ἧσο καθῆσο. ἣν μέντοι μεταποιηθῇ εἰς βραχὺ τοῦ τροχαίου ἡ ἄρχουσα, τότε δὴ καὶ ὁ τόνος ἐν τῇ συνθέσει ἀναβιβάζεται, ὡς δηλοῖ τὸ κατάλεγε, ἔτι δὲ καὶ κάτεχεν, καὶ ὅσα ἄλλα τούτοις ὅμοια. τὸ δὲ ὡς ἐπὶ πλεῖστον πρόκειται τῷ κανόνι, διὰ τὸ οἶδα σύνοιδα, οἶσθα κάτοισθα, καὶ εἴ τι τοιοῦτον. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι τὸ καθῆσο προπερισπᾶται, ὡς ἀπὸ τοῦ ἕζω ἧσμαι, ἧσμην ἧσο ἧστο, καὶ καθῆσο.

Καταλέγειν, τὸ ἀπαριθμεῖσθαι. τί δεῖ τοὺς παλαιοὺς καταλέγειν, ἢ ποιητὰς, ἢ ῥήτορας. καὶ διηγεῖσθαι, κατάλεγε πολλοὺς κατὰ σοῦ τοὺς ἐπαίνους. καὶ τὸ τάττειν, καὶ ἐγγράφειν. οἷον καταλέγει τὸν δεῖνα εἰς τὸν τῶν ῥητόρων κατάλογον, συντάσσεται καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Καταλεγεὶς, καταλεχθείς.

Καταλέγεσθαι, ὀδύρεσθαι τὸν τεθνεῶτα.

Καταλεγέσθω, κατατασσέσθω.

Καταλείβει, καταστάζει.

Καταλείβῃ, καταδύνῃ.

Κατάλειμμα, ὑστέρημα, μέρος.

Καταλείπειν, ἀντὶ τοῦ παντελῶς ἐᾶσαι, καὶ μὴ ὑποστρέψαι αὖθις.

Καταλείπω, καταλείψω, καταλέλοιπα, κατέλιπον, καταλείπομαι, καταλέλειμμαι, κατελείφθην, καταλειφθήσομαι, καταλελείψομαι.

Κα-

Καταληφθέντες, ὑστερηθέντες.

Καταλεῖναι, καταμῖξαι.

Καταλεῖξαι, καταχαμίσαι.

Καταλάγγαλία, κάθυγρος, κατειλημμένη.

Καταλάει, λιθοβολεῖ.

Καταλεῦσαι, ἐγκλῖναι, λιθοβολῆσαι.

Καταλευσίσθω, λιθασθήτω.

Καταλευόμενοι, εἰς τὰ μέταλλα βαλλόμενοι.

Καταλεύσιμον, τὸν ἄξιον τοῦ καταλευσθῆναι.

Κατάλεξον, ἤγουν ἀγόρευσον. τὸ ῥῆμα μὲν τοῦ λέγειν, οἶδεν ὁ Ποιητὴς, τὸ δὲ ἐξ αὐτοῦ ὄνομα τὸ λόγος οὐκ οἶδεν, ἀλλὰ μῦθον ἀεὶ τὸν λόγον φησίν. ἐκλήθη δὲ τοῦτο, ὅτι οἶδεν τὸν λόγον ἐν ά. τῆς Ὀδυσσείας.

Κατάλεξον, καὶ ἀλλαχοῦ ἀτρεκέως καταλέξω, τουτέστιν ἀπαγγελῶ.

Καταλήγει, παύεται.

Καταληΐζεται, φορτάζει.

Καταληϊσάμενος, λαφυραγωγήσας, καταπατήσας.

Καταληκτικὸν μέτρον ἐστὶ, τὸ δεόμενον συλλαβῆς πρὸς ἀπαρτισμὸν, οἷον τὸ ἰώ μοι, ἢ τὸ ἰὼ φεῦ. ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικὰ, διὰ τὸ ἔχειν ὅλον πόδα, καὶ μίαν συλλαβὴν, ἤτοι ἥμισυ ποδὸς, λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν.

Καταλήξομεν, καταπαύσομεν.

Κατάληξις, παραχώρησις.

* Καταληπτικός. προκαταλαμβανόμενοι τοὺς ἀκούοντας, ὥστε θόρυβον μὴ κινῆσαι.

Κατάληψιν, τὴν γνῶσιν καὶ αἴσθησιν καὶ τὴν τέχνην λέγουσιν. οὕτω γὰρ ὁριζόμεθα τὴν τέχνην, οἷον σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, καὶ τὰ ἑξῆς. κατάληψιν εἰώθασιν οἱ μουσικοὶ λέγειν, ἐπειδὰν πλήξαντες τοῖς δακτύλοις, ἢ τῷ πλήκτρῳ τὰς χορδὰς καταλάβωσι, καὶ ἀποτείνωσι τὸν φθόγγον.

Κατάληψίς ἐστι συγκατάθεσις καταληπτικῆς φαντασίας, ἢ ἕξις καὶ συγκατάθεσις τῆς διανοίας.

Καταλιανεύσῃς, καταπραΰνεύσῃς.

Καταλιθοῦν, τὸ λίθοις βάλλειν. ἀπὸ δὲ τούτου καὶ μήλοις τινὰ καταλιθοῦσι, καὶ ἑτέροις τισί.

Καταλιμπάνω σε, ἀφίημί σε.

Καταλιπαίνειν, λιπαροποιεῖν.

Καταλίπωμεν, αὐθυπότακτον.

Κατάλιψ, μεσόδμη.

Καταλλάγδην, τὴν ἀντί τινος διδομένην δωρεάν.

Καταλλαγὴ, εἰρήνη, φιλία.

Καταλλαγὴν, δορὸς ἀνάπαυλαν, μεταλλαγὴν, κατάλλαγμα.

Καταλλάττειν καὶ διαλλάττειν, τὸ εἰς φιλίαν συνάγειν τινάς. καταλλάττεσθαι καὶ διαλλάττεσθαι, τὸ εἰς φιλίαν συνάγεσθαι πλὴν τὸ μὲν διαλλάττεσθαι, τὸ καὶ χωρὶς μέσου. ὅθεν καὶ διαλλακτὴς μέν ἐστι, καταλλακτὴς δέ οὔ.

Κατάλληλον, ἁρμόδιον, ὁμαλόν.

Κατ' ἀλλοθρόους, κατὰ τοὺς ἀλλοδαποὺς, ἢ πόῤῥω ὄντας.

Κατάλληλος, ἁρμόζων.

Καταλλήλως, ἁρμοδίως, ἀκολούθως, ἁρμοζόντως.

Καταλογάδην, τὰ πεζῷ λόγῳ γραφόμενα.

Καταλογιζέσθω, κατακρινέσθω, καταγωνιζέσθω, καταβραβευέσθω.

Καταλογιεῖται, καταριθμήσει.

Καταλογεὺς, ὁ συγγραφεὺς, ὁ συγγράφων κατ' ὄνομα.

Καταλογισμὸς, τάξις.

Καταλογὴ, τὸ τὰ ᾄσματα μὴ ὑπὸ μέλη λέγειν.

Καταλογισμῷ, ἀριθμῷ.

Κατάλογον, ἀρίθμησον.

Κατάλογος, λέγεται ἡ ἀπαρίθμησις καὶ ἡ ψῆφος. κατάλογος, καὶ αὐτὰ τὰ ὀνόματα. κατάλογος, καὶ ἡ τάξις καὶ ὁ χορὸς, ὡς καὶ παρ' Ἰουλιανῷ, πρὶν προσγραφῆναι τῷ καταλόγῳ.

* Κατάλογος ἡ ἀπογραφὴ τῶν ὀφειλόντων στρατεύεσθαι, καὶ ἡ ἐξαρίθμησις. ὁ πίναξ ἐφ' οὗ ἐνέγραφον τῶν ἐκστρατευομένων τὰ ὀνόματα.

Καταλούει. Ἀριστοφάνης, καταλούει μου τὸν βίον, καταναλίσκεις τὴν περιουσίαν. τὸ δὲ καταλούει καταναλίσκεις εἰς λουτρά. ἄλλως, δαψιλῶς ἀναλίσκεις μου τὸν βίον, ἐκ μεταφορᾶς ἐκ τῶν ἐκχεομένων ὑδάτων ἐν τοῖς βαλανείοις, ἢ ἐν τρυφαῖς, ὡς καὶ τοῦ βαλανείου διὰ τρυφὴν ὄντος. ἐπεὶ ἔθος ἦν κατὰ τὴν ἐκκομιδὴν τοῦ νεκροῦ λούεσθαι τοὺς κατ' οἶκον, καθαρμοῦ χάριν.

Καταλὺς, ληστεία.

Καταλοφάδια, κατὰ τοῦ τραχήλου. * τὰ περὶ τὸν τράχηλον.

Καταλοχίσαι, εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ.

Καταλογίζεται, δεσμεύεται, στρέφεται.

Καταλύει τὶς εἰς πανδοχεῖον, ἀπὸ μεταφορᾶς τῶν καταιρόντων ἀπὸ πελάγους εἰς λιμένα τάττεται.

Καταλύει τὶς τὸν βίον, καὶ ἀναλύει, ἤγουν διαιρεῖ εἰς τὰ ἐξ ὧν συνετέθη. ἡ ἀνὰ, τὴν εἰς τοὐπίσω ἀναστροφὴν δηλοῖ, ὡς ἐπανῆλθεν.

Καταλύειν, ἀπὸ τοῦ ξενοδοχεῖσθαι λαμβάνουσιν. ἐκ τούτου λέγεται τὸ κατάλυμα, ἐν ᾧ δηλαδὴ τὰ ὑποζύγια, ἢ τὰ φορτία λύονται.

Καταλύειν τὸν δῆμον, ἀντὶ τοῦ βλάπτειν.

Κατάλυμα, οἴκημα, καταγώγιον.

Καταλύομαι ἐγὼ ὑπό τινος. καταλύομαι τὸν δεῖνα, ἤγουν καταλύω. καὶ καταλύω, ἀντὶ τοῦ ἀφανίζω τόδε τὸ πρᾶγμα.

Καταλῦσαι, ἀπολαῦσαι, διωχθῆναι.

* Καταλῦσαι παρὰ Θουκυδίδῃ ἐπὶ τῶν ὀχουμένων ἐπὶ ἅρματος. κατάγειν δὲ ἐπὶ νηός.

Καταλύσας, καταστρέψας, ἀφανίσας, ἢ διωχθείς.

Κατάλυσις, ἡ οἰκία.

Καταλύτου, ξένου, παρόδου, καθαιρέτου.

Καταλύσομεν, ἀντὶ τοῦ ἀποζεύξομεν. καὶ καταλύειν φυλακὴν, παρὰ τῷ Ἀριστοφάνει. οὕτω λέγουσι τὸ πινυστάζειν ἐπὶ τῆς φυλακῆς. φυλακὴν καταλύειν νυκτερινὴν, ἤγουν καταλιπεῖν τὴν τάξιν. βούλομαι καὶ μελετῶ καθεύδειν, ἤγουν νυστάζω.

Καταλύω βίον, ἀντὶ τοῦ ἀποθνήσκω. καταλύει τὴν τυραννίδα, καὶ καταλύει ἐν πανδοχείῳ.

Καταμαλάσσοντα, κατασκληραίνοντα.

Καταμαλάττω καὶ καταμαλθάνω, αἰτιατικῇ.

Καταμαλθάσσων, καταπραΰνων.

Κατ' ἁμαξιτὸν, τὴν καταμαξευμένην ὁδὸν, καθ' ἣν αἱ ἅμαξαι διέρχονται.

Καταμάρψαι, καταλαβεῖν.

Καταμειδιῶν, γενικῇ, ἤγουν καταφρονῶν.

Καταμεῖναι, καταβαλεῖν, ἢ τὸν ἀρξάμενον, οὐχὶ δέκα, ἢ τὸ τὰ ἑψόμενα λάχανα ἐκπιάσαι.

Καταμεμυκέναι, ἀποπτῆξαι κατὰ μέρος.

Καταμέμφομαι, γενικῇ συντάσσεται. οἷον καταμέμφομαί σου, ἤτοι κατὰ σοῦ μέμφομαι. ὅταν ἔχῃ ἡ κατὰ πρόθεσις μείζονα, ἔμφασιν, αἰτιατικῇ συντάσσεται. Συνέσιος καθεζομένου γοῦν ἐπ' ἀμφικεφάλου καθέδρας, πολλὰ κατεμέμφετο τὴν ἀκαιρίαν τῆς συμφορᾶς.

Καταμηλῶσαι, λέγεται τὸ μήλην καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμόν. ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες τὸν δάκτυλον καθιέντες εἰς τὸν λαιμόν.

Καταμήλην, μηλῶσαι καλοῦσιν οἱ ἰατροί, τὸ μήλην καθεῖναί που. ἔστι δὲ καὶ παροιμία τὶς ἐπὶ τῶν τὰ ἄδηλα τεκμαιρομένων. λέγεται δὲ καταμηλοῦν, καὶ τὸ βάπτειν ἔρια, ὅταν πιέζεται κινούμενα.

Καταμὴρ ἐκάη, κατεκάη τὰ μηριαῖα ὀστᾶ.

Καταμησάμενος, ἐπιβαλὼν, ἐπικαταχέας.

Καταμήσας, καθάπαξ.

Καταμήσατο, ἐπεσώρευσεν, ἐπεσπάσατο. ἀμὴ γὰρ τὸ σκαφίον, ᾧ ἐπισπώμεθα. καὶ ἀμητῆρες, οἱ θερισταί.

Καταμηνύειν, κατακηρύσσειν, ζητεῖν.

Καταμηγγὺς, παρακμὴ σώματος.

Καταμιεῖ, καταπίνει, κατεσθίει. μιεῖν γὰρ, τὸ ἐσθίειν.

Κατὰ μικρὸν, κατὰ βραχύ.

Καταμισθοφορῆσαι, εἰς μισθὸν ἀναλῶσαι, μισθὸν διδόναι ἐν τῇ Ἐκκλησίᾳ, καὶ τοῖς δικαστηρίοις τὸν δραστικὸν, καὶ τὸν ἐκκλησιαστικόν.

Κατὰ μίτον, ἀντὶ τοῦ λεπτῶς, στοιχικῶς. Φερεκράτης, κατὰ μίτον τὰ πράγματα ἐκλογίζομαι.

Κατὰ μόθον, κατὰ τὸν πόλεμον.

Κατὰ μοῖραν, κατὰ τὸ πρέπον, κατὰ τρόπον, κατὰ καιρὸν, ἢ νόμον.

Κατὰ μοῖραν εἰπεῖν, τουτέστι προσηκόντως.

Καταμόνας, τὰς μισθώσεις τῶν ἐργατῶν ὡς χρόνον.

Καταμόνας, ἐπίῤῥημα τοπικόν. οἱ δὲ λέγουσι, μοναδικόν. γίνεται δὲ ἐκ τῆς κατὰ προθέσεως καὶ τοῦ μόνος.

Καταμόνας, ἀντὶ τοῦ κεχωρισμένως.

Καταμύουσι, κλείονται.

Κατάμυσον, κατάκυψον, καταμῦσαι ἡμῖν ἐπ' ὀλίγον οὐκ ἐφιᾶσι.

Καταμφωτοὶ, αὐλοί τινες οὕτω καλοῦνται.

Καταμωκᾶσθαι, καταγελᾶν.

Καταμωκώμενος, χλευαζόμενος.

Καταμώσας, καθεὶς ἕνεκα τοῦ ζητῆσαι. γέγονε δὲ ἡ λέξις, ἀπὸ τοῦ ματεύειν, ὥσπερ καὶ τὸ καταματυματούμενος, παρὰ τῷ Ἱπποκράτει.

* Καταμωλωθέντα κατὰ βραχὺ λυόμενα.

Κατανῦ, κατὰ νῦν.

Κατανδρίζεται, καταπαλαίει.

Κατανείμας, καταμερίσας.

Κατὰ ναῦν, κατὰ τάξιν, εἴρηται δὲ ἀπὸ τῆς παροιμίας, κατὰ ναῦν τὰ ἄρμενα.

Κατάνεται, ἤγουν ἀνύεται, ὄλλυται, τελευτᾶται. ἐκ τοῦ ἄνω, τὸ ἀνύω.

Καταναισιμοῦται, καταναλίσκεται, παρὰ τῷ Ἱπποκράτει.

Κατανάσα, ἡ κατωφερὴς καὶ πόρνη. εἴρηται, ἢ παρὰ τὸ καταχέεσθαι ἐπὶ παντὶ, ἢ ἡ τοῦ κατακαυθῆναι ἀξία, διὰ τὴν ἀσέλγειαν αὐτῆς.

Κατανεανιεύεται, κατισχύει ἢ καυχᾶται.

Καταναλίσκων, ἐσθίων, δαπανῶν.

Κατανάξαντες, εἰς τοὐπίσω ἀναχωρήσαντες.

Κατανεμηθείσης, καταλαβούσης.

Κατανενυγμένα, ἀμυχὰς ἔχοντα.

Κατανεύοντα, κατανοοῦντα, θεωροῦντα.

Κατανεῦσαι τῇ κεφαλῇ τὸν Δία, μέγιστον ἦν τέκμωρ, ἤτοι τέλος πράξεων. διὸ καί φησιν ἐκεῖνος, ὅτι οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν, οὐδ' ἀτελεύτητον, ὅτι κεφαλῇ κατανεύσω. ὁ δὲ λόγος οἰκεῖος ἐνδόξῳ προσώπῳ, μεγάλα ὑπισχομένῳ. ἀπειλεῖ οὐ προσήκει ὁ λόγος ἅπας. τριῶν ὄντων, δι' ἃς τις οὐ ποιεῖ τὸ ὑπεσχημένον, ἀπάτης, μεταμελείας, ἀδυναμίας. ἀπατηλὸς μὲν οὐκ ἐξ ἀνάγκης ἔσται τοῖς ἀτελέσιν ὁ λόγος τῆς ὑποσχέσεως, ἀλλ' οὐδὲ παλινάγρετος, ὅ ἐστιν ἐκ μεταμελείας ἀνάπαλιν ἀγειρόμενος, ἀτελεύτητος δὲ κατ' ἀνάγκην τινὰ ἔσται, ἤγουν ἀτελής. ἐὰν μέγα ᾖ τὸ ὑπεσχημένον, καὶ μὴ τελευτηθῆναι δυνάμενον, τῷ δὲ δυναστεύοντι, εἰκὸς ταῦτα προεῖναι· δηλοῖ δὲ ὁ λόγος, δεῖν εἶναι τοὺς εὖ γεγονότας ἐμμένειν ταῖς ὑποσχέσεσιν, ἐφ' αἷς κατανεύσουσι, τίμιον γὰρ ἡ κεφαλὴ, καὶ ὑπὲρ τὴν αὐτῆς δεῖ κατάνευσιν ἀπρακτεῖν, ὑπὲρ τοὺς λόγους ψεύδεσθαι, οἷς τῷ βασιλικῷ λογισμῷ ἡ γλῶσσα καθυπουργεῖ.

Κατανήσῃ, αὐξηθῇ.

Κατανθρακῶσαι, κατακαῦσαι, κατοπτῆσαι.

Κατανίπτης, ἢ ἐπώνυμόν τινος, ἢ ἱερωσύνη Ἀθήνησιν, ὁ τὰ κάτω τοῦ πέπλου τῆς Ἀθηνᾶς ῥυπαινόμενα ἀποπλύνων.

Κατανίφεται, καταφθείρεται, καταχιονίζεται.

Κατανεύω σε ποιήσειν, καὶ ἐκεῖνος κατένευσέ μοι ποιήσειν.

Κατανοβιστεύσας, νόμισμα ἐργασάμενος.

Κατανοοῦντι, καταβλέποντι.

Κατὰ νοῦν, τουτέστι θυμῆρες, οἰόμενος ὁπότερον γένοιτο, κατὰ νοῦν αὐτῷ ἔσεσθαι.

Καταντᾷ, καταφέρει.

Κάταντες, ἐπὶ τὰ ἔμπροσθεν.

Κατάντης, ἔχει τὸ ἐναντίον ἀντάντης, ὥσπερ κατωφερὴς, καὶ ἀνωφερὴς, ὁδὸς κατάντης, ἤγουν

Digitized by Google

ἤγουν καταφερής, καὶ ἀνάντης ὁδὸς, ἤγουν ἀ-
νωφερής.

Καταντήσας, λαχὼν, κληρώσας.

Καταντησάντων, φθασάντων.

Κατάντηστιν, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ ἐν υ', δηλοῖ τὸ ἀντικρύ φασι τοῦ ἀνδρῶνος. πλεονασμὸν δὲ τοῦ σ ἔχει ὁμοίως τῷ προμνηστῖνοι, διὰ τὸ καλλιφωνότερον. ἄλλως γὰρ οὐκ ἀναγκαίως ἔχει τὸ σ, ὡς δηλοῖ καὶ τὸ διάκτητος ἐδωδὴ, καὶ τὸ δυσάντητος.

Κατ' ἄντησιν, κατ' ἐναντίον.

Κατ' ἀντιβολίαν, κατ' ἀντίβλησιν.

Κατ' ἀντικρὺ, ἐναντίον.

Καταντήσειν, κατέναντι, ἐξεναντίας.

Καταντήσωσι, παραγένωνται.

Καταντλοῦμαι τοῖσδε, καταντλῶ σου δὲ τάδε.

Κατανυγεὶς, λυπηθεὶς, μεταγνούς. καὶ κατανυγῶ, ἀντὶ τοῦ σιωπῶ.

Κατανυγῆς, αὐθυπόπακτον.

Κατανύγητε, ἡσυχάσατε, λυπήθητε.

Κατάνυξις, ἡσυχία, ἡ λύπη.

Κατανύουσιν, καταναλίσκουσιν.

Κατανύσαι, συντελέσαι.

Κατανωτίσασθαι, ἀντὶ τοῦ κατὰ νώτου φέρειν.

Κατανύγητε, κολάσατε, τιμωρήσασθε, νύξατε, κεντήσατε.

Καταξαίνειν λίθοις, αἱμάσσειν παρὰ τῷ Ἀριστοφάνει.

Καταξαινόμενοι, μαστιζόμενοι πληγαῖς.

Καταξαίνων, κατατρίβων.

Καταξανεῖ, παρατρίψει, βασανίσει.

Κατ' ἀξίαν, κατὰ δόξαν.

Καταξῆναι, ἐκ τοῦ καταξαίνω. καὶ τέχνην ξαντικὴν λέγομεν. Σοφοκλῆς δὲ ξαῖσμα. τὸ δὲ καμεῖν ἀπὸ τῆς ἐριουργίας τὰς χεῖρας, ξαίνειν ἐλέγετο. καὶ ξάνησι νεῖν, κλώθειν, στρέφειν. στήμων, κρόκη στημονητικὴ καὶ νηθητική. Πλάτων δὲ ἐφήβην καλεῖ, τὴν κρόκην. τὸν δὲ στήμονα, νῆμα, καὶ τὸ ἔργον τοῦ νήματος, νῆσιν, εἴρηκε τὴν τῆς ἀτράκτου νῆσιν. ὁ δὲ κωμικὸς Πλάτων ἔφη, ἀκλώστους στήμονας. καὶ ἀρπεδόνας δὲ τὰ νήματα Ἡρόδοτος. Κριτίας δὲ ἐν Ἀταλάντῃ, ἀρπεδόνην τε λύσιν ἐστὶ τραγικώτερον, ἄτρακτος, σφόνδυλος, κλωστήρ. οὕτω δὲ καὶ τὴν περιστροφὴν τοῦ λίνου Εὐριπίδης ὠνόμασε, λίνου κλωστῆρα περιφέρει λαβὼν πηνίου ἀγαθόν. ὅθεν καὶ παροιμία ἀγαθῶν ἀγαθίδες, ἧ πλείστη κέχρηνται οἱ κωμικοί. φαίης δ' ἂν καὶ μίτον, καὶ μίτασθαι, τὸ μιτώσασθαι. καὶ πολύμιτος, ὡς Κρατῖνος ἔφη. καὶ ἀπὸ πηνίου, τὸ πηνίσασθαι. φιλύλιος δὲ αὐτὸ εἴρηκε.

Κατάξηροι, οἱ ὄνειροι, οἱ μὴ ἔχοντες λαβάς.

Καταξιοῦντες, τιμῆς ἀξιοῦντες.

Καταξόμενα, καταλυσόμενα.

Κατὰ ξυμφορὰν, κατὰ συντυχίαν.

Καταορᾷ, καταντεῖ.

Καταπαίει, μαστίζει, τιμωρεῖται.

Καταπάλμενος, καταπηδήσας.

Καταπάλτις, βέλος, ποιητικὸν ὄργανον, καὶ τὸ ἀφιέμενον βέλος.

Κατὰ πάντα, ὑπὲρ πάντα.

Καταπάτιον, ἀσαλὲς, οὐ ἄθρουν.

Καταπάσω, καταποικιλῶ.

Καταπαστος, κατάμεστος, πλήρης, καταπεποικιλμένος.

Καταπαῦσαι καὶ καταπαύω, αἰτιατικῇ.

Καταπειθὴς, πειθήνιον. ἄλλως τὸ ἀπίσθαλον εἶναι, καὶ οὐδαμῇ καταπειθὲς τοῖς ἐξηγουμένοις.

Καταπαρδεῖν, καταφρονεῖν, ἐκ τοῦ πέρδω, τὸ βδέω.

Καταπάσω, ἀντὶ τοῦ πληρώσω, κεῖται παρὰ τῷ Ἀριστοφάνει.

Καταπείθω σε ἐργάζεσθαι τόδε.

Καταπειρητήρια, τόπους βαθεῖς πειράζοντι, καὶ ἡ λεγομένη βολίς.

Καταπείροντες, καταδήσαντες.

Κατὰ πέλλας, κατὰ τὰ τοῦ γάλακτος ἀγγεῖα.

Καταπελτάσονται, κατακοντίσουσι καταπολεμήσουσι. πέλτη γὰρ εἶδος μηχανῆς, ἀφ' ἧς ἀκόντια καὶ ἄλλα τινὰ πέμπουσιν. ἢ καταδραμοῦνται. πέλτη γὰρ ἀσπὶς μικρὰ, μὴ ἔχουσα ἴτυν.

Καταπεμπτάμενα, καθειμένα.

Καταπέμπειν λέγεται κυρίως, ἐκ τῶν ὑπὲρ κοσμίων εἰς κόσμον. οἷον τὸ θεῖον ἐπ' εὐεργεσίᾳ τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους, καταπέμπει τοῦ δεῖνος τὴν ψυχήν. Συνέσιος οἶμαί σου τὴν θεσπεσίαν ψυχὴν ἐπ' αὐτὸ τοῦτο καταπεμφθῆναι, αἰτιατικῇ συντάσσεται.

Καταπέμπειν λέγεται, καὶ τὸ ἔγγραφα προστάγματα πέμπειν τοῖς ὑπηκόοις, τοῖς ὑπὸ χεῖρα, καὶ μακρὰν οὖσι, καὶ ἀποδημοῦσι, δοτικῇ συντάσσεται.

Καταπέποιθα, κατερρύηκα.

Καταπεπολτωμένα, καταπεπινακωμένα.

Καταπεπληγὼς, καταπεπτηχώς.

Κατάπεμνοι, καθαπτόμενοι.

Καταπεπτηῦα, ἀπὸ τοῦ πτώσσω, τὸ μετὰ φόβου κεῖμαι. καὶ ἀπὸ τοῦ πτῶμι, τρεπομένου τοῦ ω μεγάλου εἰς η ἐν τῷ παρακειμένῳ, ἀποβολῇ τοῦ κ.

Καταπεπτωκὸς δὲ λέγεται τὶς ὑπὸ λιμοῦ ὁ τὰς σάρκας κοιλανθεὶς, καὶ ῥυτιδωθείς.

Καταπέπτωκεν, ἐπτώθη.

Καταπέφνη, ἀποκτείνῃ.

Καταπεφρικότες, δηλιῶντες.

Καταπεσεῖν, ἀντὶ τοῦ κλιθῆναι.

Καταπέψει, καταδαπανήσει, ἡ μεταφορὰ ἀπὸ τῶν ἐν γαστρὶ περιπεπτομένων σιτίων.

Καταπεσὼν, ἀντὶ τοῦ φοβούμενος.

Καταπέττοι, καταράττει, καταβάλλει.

Καταπεφρόντικα, εἰς τὰς φροντίδας ἠνάλωσα, εἰς τὴν παίδευσιν καταδεδαπάνηκα.

Καταπέψαι, καταπραΰναι, ἢ ἐν αὐτῷ κατασχεῖν, μεταφορικῶς ἀπὸ τῶν πεσσομένων σιτίων.

Καταπέψη. μετηνέχθη ἀπὸ τῶν σιτίων τῶν μετὰ βρῶσιν ἱκανῶς κατασχεθέντων ἔσω ἄχρι καὶ πέψεως. παράγεται δὲ ἀπὸ τοῦ πέπτω, σεσιγημένου ἐνεστῶτος. ἔστι καὶ πέττω. διφορεῖται γάρ.

Καταπέψοι, πέπτω ἐνεστὼς Ἀττικὸς, πέσσω δὲ κοινὸς, ἔπεπτον παρατατικὸς καὶ ἔπεσον, πέψω μέλλων ἑτεροκλίτως, ἀπὸ τοῦ πέπτω ἀχρήστου, πέψοιμι, οις, οι, τὸ εὐκτικόν.

Καταπῆγας, τὰ πηγνύμενα ξύλα ἐν τοῖς ὕδασιν.

Καταπηδῆσαι τοῦ ἅρματος, καθ' ἵππων ἀλέσθαι χαμάζε φησὶν Ὅμηρος.

Καταπημήνειε, καταβλάψειε.

Κατὰ πῆχυν ἐπεδίδου.

Καταπίει, καταπίνει.

Καταπίμπρασθαι, κατακαίεσθαι κατὰ Πίνδαρον.

Καταπίονα, λιπαρά.

Καταπλαγέντα, θαυμάσαντα.

Καταπλακὼν, καταπλήξας διαμαρτών.

Καταπλαστὸν, τῶν φαρμάκων τὰ μὲν ἐστὶ καταπλαστὰ, τὰ δὲ χριστὰ, τὰ δὲ ποτά. τινὲς δὲ προπαροξύνουσι, κατάπλαστα λέγοντες. ἔστιν οὖν παστὸν, τὸ πασσόμενον. πλαστὸν, τὸ πλαττόμενον, ὃ καὶ καταπλαστὸν λέγεται. καὶ πιστὸν, τὸ πινόμενον.

Καταπλεκεῖσι, συνδεθεῖσι, περιπεπλεγμένοις.

Κατάπληξ, καταπεπληγώς.

Καταπλάσαι, μολῦναι.

Καταπλῆγες, καταπεπτηχότες.

Καταπλὴξ, ὁ συνεχῶς πεπληγμένος.

Κατάπληξίς ἐστι φόβος ἐκ μεγάλης φαντασίας.

Καταπληκμήσει, τὸ βῆμα κατάπληκμα λέγουσι, τὸ οὖν καταθῆσαι μετάγοντες ἀπὸ τῶν κυλιομένων καὶ τοῖς ποσὶ κατατρεχόντων οὕτως φασὶ κατακρατηθείς.

Καταπλήσσει, καταράσσει, φοβερίζει, κατεξανιστᾷ.

Καταπλήττομαι, τὸ φοβοῦμαι.

Κατάπλους, ἡ εἰς τὸν λιμένα ἔλευσις, ἀνάπλους τὸ ἀνάπαλιν, ὡς τοῦ θαλαττίου ὕδατος ὑπερκειμένου. διὸ καὶ ὁ Ποιητὴς λέγει εἰς Τροίην ἀναβήμεναι, ἤγουν διὰ θαλάσσης ἐκεῖ ἀνελθεῖν. ὅτι δὲ καὶ τὸ τὸν φυγάδα εἰς τὴν πατρίδα ἐλθεῖν, κατελθεῖν λέγεται, δῆλον παρὰ τοῖς μεθ' Ὅμηρον Ἀττικίζουσι. λέγεται δὲ αὐτὸ κατά τινα κυριολεξίαν, ἐπείπερ οἷα λιμὴν καὶ ἐκείνοις ἡ πατρὶς ὑπόκειται κινδυνεύσασι φθάσασιν.

Κατὰ πόδας, παραυτὰ, κατὰ τάξιν.

Καταποθῇ, καταναλωθῇ.

Καταπολαύω, τὸ καθ' ὑπερβολὴν καὶ ὑπὲρ χρείαν ἐμφοροῦμαί τινος, γενικῇ συντάσσεται. λέγεται δὲ ὥσπερ τὸ χρῶμαι, καὶ καταχρῶμαι, καὶ ἀναλίσκω, καὶ καταναλίσκω.

Καταπολεμῶ, νικῶ.

Καταπονουμένους, πειραζομένους.

Καταποντίζω, καταδύω, βυθίζω, κλύζω.

Καταποντωθῆναι, κινδυνεῦσαι.

Καταποντωθῆναι, ἀντὶ τοῦ καταποντισθῆναι, τῶν Ἀττικῶν δέ ἐστι.

Καταπορευθέντων, ἐπανόδου τυχόντων τῶν φυγάδων.

Κατὰ πορθμὸν, στενὴν θάλασσαν.

Καταπόσον, πλεονάκις.

Καταπότης, λάρυγξ.

Καταπρανοῦς, κατωφεροῦς.

Καταπραΰνεις, ἡμεροποιήσεις, στυπήσεις.

Κατάπρεμνος, κατάκλαδος.

Καταπρηνὲς, κατὰ πρόσωπον ἐπὶ στόμα κατωφερές.

Καταπροέσθαι, ἀντὶ τοῦ καταπροδοῦναι, ἀπὸ τοῦ ἵημι, ὁ παθητικὸς παρακείμενος εἷμαι, ὁ ἀόριστος ἔθην. ὁ μέσος δεύτερος ἕμην, τὸ ἀπαρέμφατον ἕσθαι καὶ προέσθαι καὶ καταπροέσθαι.

Καταπρηθῇ, κατακαυθῇ, κελεύσαντος Κύρου, ἵνα καταπρησθῇ ζῶν.

Καταπροήσεσθαι, καταπροδώσειν.

Καταπροΐξεται, καταφρονήσει, καταπροδώσει. καὶ οὐ καταπροΐξῃ, τουτέστιν οὐ μὴ καταφρονήσεις.

Καταπροΐξεται, οὐκ ὀρθῶς διαιροῦσι, δέον καταπροΐξεται.

Κατὰ προῖθην, κατὰ πρεσβυγονίαν, ἔνιοι τὸ κατὰ δαίμονα.

Καταπροΐξασθαι, ἐκ τοῦ ἵκω, τὸ ἔρχομαι, μέλλων ἵξω, ὁ μέσος ἀόριστος ἰξάμην ἵξω ἵξατο, ἵξασθαι καὶ προΐξασθαι καὶ καταπροΐξασθαι.

Καταπροϊξάμενος, καταφρονήσας, καὶ οὐκ εὐλαβηθείς. προῖκα δὲ αὐτὸ ποιήσας.

Καταπροΐξεις, καταφρονήσεις, ἢ δωρεὰν γελάσεις.

Καταπροΐξεσθαι, ἤγουν κατά τινος προαχθήσεται, καὶ καταφρονήσει.

Καταπροΐξεσθαι, ἀντὶ τοῦ προῖκα ποιῆσαι Ἴωνες λέγουσι.

Καταπροΐξῃ μου, καταφρονήσεις, παρὰ τὴν προῖκα δωρεὰν ἐπεγχανῇ μοι, καταγελάσεις μου χωρὶς ζημίας. προῖκα γὰρ ἔλεγον τὴν ζημίαν, καὶ ἀλλαχοῦ, οὔτοι μὰ τὼ θεὼ σὺ καταπροΐξει λέγουσα ταυτί. ἡ πρὸ δὲ, ἀντὶ τῆς παρὰ, προϊκνεῖσθαι. τινὲς δὲ ἀπὸ τοῦ ἵξεσθαι, ὅ ἐστι δωρεάν τινα λαβεῖν. οὐ γὰρ δὴ ἐμέγε ὧδε λωβησόμενος καταπροΐξεται. Ἀρχίλοχος. καὶ δ' ἐκεῖνος οὐ καταπροΐξεται, καὶ ἀλλαχοῦ προτείνω χεῖρα, καὶ προΐσσομαι.

Κατὰ πρόκλησιν, κατὰ χάριν, κατὰ προσωποληψίαν.

Κατὰ πρόσκλησιν, καθ' ἑτεροβαρῆ, ἢ ἑτερομερῆ.

Κατὰ προτμηστὴν, κατὰ τὸν ὀμφαλόν.

Κατὰ πρωτῆρας, ἡλικίας ὄνομα οἱ πρωτῆρες παρὰ Λακεδαιμονίοις.

Καταπτάμενος, οὐ καταπτάς.

Καταπτῆξαι πρὸς γῆν, τὸ διὰ δέος καταχύψαι, ἕως καὶ εἰς γῆν δεδιότα ἕκαστον περὶ σφετέρῃ κεφαλῇ.

Καταπτώσσει, δειλιᾷ, φοβεῖται, συστέλλεται.

Καταπτήτην, συγκέκοπται ἐκ τοῦ καταπτηξάτην, καθὰ τὸ κιχήτην. Ὅμηρος τὼ δ' ἵππω δείσαντε καταπτήτην.

Καταπτύω, ἐνεργητικῶς γράφεται. καὶ μετὰ γενικῆς συντάσσεται.

Καταπτύουσιν ἡδονῆς, καὶ καταπτύω σου, ἐμπτύω σου, οὐδεὶς τῶν δοκίμων.

Καταπύγους, κιναίδους, ἀσελγεῖς.

Κα-

Digitized by Google

Καταπυγοσύνη, πυτέστιν ἡ μαλακία.
Καταπυγωνέστερον, μαλακώτερον, πορνικώτερον.
Καταπυγῶ, κατασελγαίνω.
Καταπυγὴς, ὁ μέσος δάκτυλος, καὶ ὁ κατωφερής.
Καταπύστιν, ναῦται δέ τινες κατὰ πύστιν ἐγχώριοι. κατὰ πύστιν, κατὰ φήμην.
Κατὰ πτόλιν, κατὰ τὴν πόλιν.
Καταπτώσσει, φοβεῖται, δειλιᾷ, ταπεινοῦται.
Κατάπτυστον, ἀτελὲς, μισητὸν.
Καταπτύει, ἐνέπλησε, κατηγόνει.
Καταπύθεται, ἐρωτᾶται.
Κατὰ ῥάβδον ἔφρασε, κατεῤῥαψῴδησεν, ἢ κατὰ στίχον διῆλθεν.
Καταρράξαι, καταρρῆξαι, καταβαλεῖν, ἢ καταψῆσαι.
Κατάκρας, ἀντὶ τοῦ κατὰ κράτος. ἀπὸ τοῦ ἀκὴ, ἡ ὀξύτης, ἄκα καὶ ἄκρα πλεονασμῷ τοῦ ρ.
Καταρᾶσθαι, ἀρᾶσθαι θεοῖς.
Κατάρατος, κατάρας ἄξιος.
Καταῤῥαψῳδῆσαι, φλυαρῆσαι.
Καταράσσειν, καταῤῥίπτειν.
Καταράσσοντες, περικτυποῦντες.
Καταρβύλοις, χλαίναις ποδήρεσιν ὥστε καὶ ἐπὶ τὰς ἀρβύλας χαλᾶσθαι. Σοφοκλῆς Τρωίλῳ.
Καταργήσῃ, νικήσῃ, παύσῃ.
Καταργῶ, τὸ ἀποπαύω, καὶ πληρῶ. κατηργήθη γὰρ ὁ νόμος, ἀντὶ τοῦ ἀπεπαύθη. γίνεται ἐκ τῆς κατὰ προθέσεως, καὶ τοῦ ἀργῶ.
Κατάρδειν, εὐφραίνειν, ποτίζειν.
Κατάρδω χέων ὑποσχέσεις, καὶ καταβρέχων.
Καταρέζειν, ἔστι τὸ ῥέζειν, ἤγουν ποιεῖν πρᾶγμα οἰκεῖον, καὶ αὐτῇ τῇ χειρί. ὅπερ ἐστὶ καταψᾶν, καὶ ἅπτεσθαι ἠρέμα κολακευτικῶς. ἰστέον δὲ, ὡς τὸ πράττειν ἀσυνθέτως λέγεται ῥέζειν, ὡς τὸ τίς νύ σε τοιάδε ἔρεξε, καὶ ὡσεὶ κακὸν ῥέζουσαν ἐνωπῇ. τὸ δ' αὐτὸ καὶ ἔρξω, κατὰ μετάθεσιν, ἐξ οὗ τὸ ἔρξον, ὅπως ἐθέλεις. τὸ δὲ καταψᾶν συνθέτως καταρέζειν. καὶ ἐν συγκοπῇ δέ ποτε καῤῥέζειν, ὅθεν καῤῥέζουσα.
Κατὰ ῥέθος, ἧς ἐπὶ καλὸν ἄμυξε κατὰ ῥέθος ἀφρογένεια, ἀντὶ τοῦ ἐσπάραξεν, ἔξεσε.
Καταῤῥεῖ ὁ λειμὼν, καὶ ἡ χλόη καὶ τὰ φύλλα καὶ ὁ καρπός.
Καταρέκτης, ὁρμητικός.
Καταῤῥεπὴς, ἑτεροῤῥεπὴς, ἑτεροκλινές.
Καταρέεσθαι, καταλύειν.
Καταῤῥιπταζονται, σκορπίζονται.
Καταρειστὴν, ὀρθὴν, δυερειστὴν, παρὰ Καλλιμάχῳ τὴν χάλαζαν.
Κατάρξασθαι τοῦ ἱερείου, τῶν τριχῶν ἀποσπάσαι.
Καταροίζομαι, ῥευματίζομαι.
Κατὰ ῥοῦν, κατὰ τρόπον, κατ' εὐθεῖαν.
Κατὰ ῥόον, παροιμίαν ποιεῖ τὴν λέγουσαν, φέρεσθαι τὶ κατὰ ῥοῦν, ἤγουν εὐτυχῶς πλέειν, ἢ ὅ,τι τύχῃ. τοιοῦτον γάρ τι καὶ τὸ ἔνθα καὶ ἔνθα κατὰ ῥοῦν φέρεσθαι, ᾧ ὅμοιον καὶ τὸ ἀνὰ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα.
Καῤῥακτὴ, ὄρνεον ἁρπακτικόν.
Καταῤῥάκτης, ὀχετὸς, ῥύαξ, καὶ ὁ ἀετός. Σοφοκλῆς λακόοντι, καὶ τὰς ἁρπύας, ἐν φινεῖ.
Καταῤῥάκται, πέτραι ἐν τῷ Ἴστρῳ ποταμῷ.
Καταῤῥάξαι, κατάξαι.
Καταῤῥαπτίτης, γοργὼν ἐν τῷ περὶ θυσιῶν.
Καταῤῥάσσειν, κατακλᾶσθαι.
Καταῤῥεῖν, ἀναλίσκεσθαι.
Καταῤῥέοντες, ἀντὶ τοῦ ἀθρόως ἐπερχόμενοι, ἡ μεταφορὰ ἀπὸ τῶν ποταμίων ῥευμάτων. καὶ Ὅμηρος, τὰ δ' ἐπέῤῥεεν ἔθνεα πεζῶν.
Κατάῤῥησις, κατάγνωσις.
Καταῤῥήσσων, ἐπικροτῶν, ἐπιψοφῶν.
Κατάῤῥους, τὸ ἀπὸ τῆς κεφαλῆς καταφερόμενον ῥεῦμα διὰ τῶν μυκτήρων. ὃ καλοῦσιν οἱ ἰατροὶ κατάσταγμον, ἢ τὴν διάῤῥοιαν, ἢ τὴν δυσεντερίαν.
Κατάῤῥυτα, ἀρδεύσιμα.
Καταῤῥυθμήσας, ἀπαρτίσας.
Κάταρσον, κατάκλεισον.
Καταρτίζω, ἁρμόζω. ἐκ τοῦ ἄρτω ἀρτίζω. καὶ κατηρτίζω, τελειῶ.
Καταρτύσων, παρασκευάσων, εὐτρεπίζων.

Καταρυβδήσας, καταπιὼν, ῥοφήσας.
Καταρυῆναι, καταπεσεῖν.
Καταρυθμίζεσθαι, κατευθύνεσθαι, κανονίζεσθαι.
Καταρχὴς, ἀσφαλὴς, τέλειος.
Καταρώγεα, γλῶττά τινα πρὸς φυτείαν ἀμπέλων εὔθετον.
Καταρῶμαι, ἀρῶμαι, κατεύχομαι.
Κατὰ σαυτὸν, ἐπὶ σοῦ, κατὰ σὲ, ὅμοιός σοι.
Κατασείειν, ταράσσειν. * ἐκτινάσσειν.
Κατασεῖσαι, καταβαλεῖν.
Κατασίνεσθαι, καταβλάπτειν.
Κατασίσας, σβέσας.
Κατασεσασμένα, κατασεσεισμένα.
Κατασημήνασθαι, κατασημειώσασθαι.
* Κατασιλλαίνειν, τὸ ἐπὶ χλευασμῷ στρέφειν τοὺς ὀφθαλμοὺς, σκώπτειν, ὑβρίζειν.
Κατασίνεσθαι, καταβλάπτεσθαι.
Κατασκαφὴς, κατεσκαμμένος.
Κατασκάφιλος, καταισχύνων τοὺς φίλους.
Κατασκάψαι, κατορύξαι.
Κατασκεδάσαι, καταχέαι.
Κατασκελεῖν, κατασκελετεύειν, τὰς σάρκας καταφαγεῖν.
Κατασκευάζω, τὸ ἐργάζομαι, καὶ ποιῶ. λέγεται δὲ ἐπὶ τῶν ποικίλως συνισταμένων. καὶ ὄνομα ἐκ τούτου κατασκευὴ, ἡ ἐνέργεια τῶν κατασκευαζόντων, καὶ τὸ ἔργον τὸ κατασκευασθέν. λέγεται δὲ κατασκευὴ, τὸ ῥητορικὸν προγύμνασμα, ᾧ ἐναντίον ἡ ἀνασκευή. καὶ κατασκευὴ, ἡ αἰτία ἐπὶ λόγου * καὶ Κατασκευὴ τὸ τέλειον ἢ τελειότατον γυμνάσιον.
Κατασκευάζω, καταρτύομαι, ἐξαρτύομαι.
Κατασκευάζω, ἐπὶ τῶν τεκτόνων, τὸ δημιουργῶ. καὶ κατασκευὴ, ᾧ ἐναντίον ἀνασκευάζω.
Κατασκευάζει, ὁ ναυπηγὸς τὴν ναῦν: κατασκευάζεται δὲ ὁ ἐπὶ τῆς κατασκευῆς ταύτης τὰ ἀναλώματα διδοὺς, τοιοῦτόν ἐστι καὶ τὸ οἰκοδομεῖν, καὶ οἰκοδομεῖσθαι.
Κατασκῆψαι, κατασπεῖραι.
Κατασκήψαντος, ἐμπεσόντος.
Κατασκίδναται, διασκορπίζεται.
Κατάσκιος, πάντοθεν σκιὰν ἔχων.
Κατάσκοποι, κατοπτεύοντες, ἐπίβουλοι. ἢ δόλων ἐξιχνευταὶ, δολεροὶ, δόλιοι.
Κατασμύξαι, μαρᾶναι, καῦσαι, ἐμπρῆσαι.
Κατασοβεῖται, καταδιώκεται. καὶ κατασοβήσονται, καταδιωχθήσονται.
Κατασοφισόμεθα, τεχνασόμεθα, μηχανῇ τινι κακώσομεν.
Κατασπᾷ, ἤγουν καθέλκει.
Κατασπᾶν, χαλᾶν, ἢ σιαλίζειν ἑτέρου ἐσθίοντος, ἢ παρὰ δείπνῳ διαλεγόμενον καταπίνειν τὸν σίαλον.
Κατασπαταλᾷ, τρυφᾷ.
Κατασπέρχων, κατασπεύδων.
Κατασπείρω, τὸ φυτεύω, γενικῇ.
Καταπερχόμενος, ἐπειγόμενος, καταπλησσόμενος.
Κατασπεύσαντα, κακῶς βουλευθέντα, ἐχθρὰ βουλευσάμενον.
Κατασπιλάζων, μολύνων.
Κατ' ἀσπίδα, ἐπ' ἀσπίδα.
Κατασπληκῶσαι, κατελάσαι.
Κατασπόδησον, κατέλασον.
Κατασπουδὴν, μετὰ συντεταμμένης προθυμίας εἰποῦσα ταῦτα, ἐδόκει κατασπουδὴν εὐθὺ Λιβάνου τοῦ ὄρους καταδραμεῖν.
Κατασπώμενος, καθελκόμενος.
Κατὰ στάθμην, κατ' ὀρθὸν, κατ' ἔπαυλιν.
Καταστὰς εἰς ἀπολογίαν, ἀντὶ τοῦ ἐλθών. καὶ καταστὰς, προβληθεὶς, προχειρισθείς. ὁ δὲ Ἐσδρίαυγος ὑπὲρ πάντων καταστὰς, ἔλεξεν ὧδε.
Κατάστασις, ἡ ἔπειξις, ἡ σφοδρότης, ἡ ἀποδοχὴ, ἡ κόσμος, ἢ ἦθος * καὶ πᾶσα ἰδία παντὸς πράγματος παρ' Ἱπποκράτει.
Καταστάτης. Σοφοκλῆς, ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων. ἀντὶ τοῦ ἐπιστάτην.
Καταστέλας, ἀντὶ τοῦ κατασιγάσας.
Καταστέλλει, περικαλύπτει.
Καταστέλξαι, καταγαγεῖν τὸν βοῦν.

Κατὰ στεφάνης, ὄρους, ἐξοχῆς, ἀκρωρείας. στεφάνη γὰρ εἶδος κόσμου περὶ τὴν κεφαλὴν, ἢ περικεφαλαίας. ὡς Ὅμηρος, αὐχένʼ ὑπὸ στεφάνης εὐχάλκου.
Καταστῇ κατάστασιν, ἐν εὐδίᾳ ᾖ, Ἀριστοφάνης.
Κατάστημα, κατάστηριγμα. παρὰ τῷ Ἱπποκράτει.
Κατάστημα, ποίημα, στάσις, ὁρμή.
* Καταστῆσαι συνήθως λέγουσιν οἱ κατὰ τὴν Ἀσίαν Ἕλληνες, ἀντὶ τοῦ πρὸς τὴν οἰκείαν χώραν ἀγαγεῖν. καὶ Κατάστασις, οἱονεὶ καθίδρυσις. Γαλ.
Καταστήσονται, ἀποδείξουσιν.
Καταστῆρας, ἀποπεμπτήρια, ἐν οἵῳ τρόπῳ λεγόμενα, ἀπόπεμψον, κατάστησον. ἢ καταπαυστήρια, κατάστασιν ἔχοντα, ἀπόπεμπτα, καθεσταμένα.
Καταστίζων, βεβαιῶν, καταψηφίζων παρ' ὅσον τῶν ἀτακτούντων τὰ ὀνόματα παρέστιζον, καὶ ἐζημίουν.
Κατάστικτον, ποικίλον, καὶ Σώφρων κεντήματά φησιν.
Καταστίλβη, καταγάγη, καταλάμπη.
Κατὰ στίχους, κατὰ τάξεις.
Καταστολὴ, ἡ στολή. * ἢ εὐσχήμων στολὴ, ἢ εὐσχημοσύνη ἐν στολῇ παρ' Ἱπποκράτει.
Κατὰ στόμα, κατὰ πρόσωπον, κατὰ τὴν ἀρχήν.
Καταστομὶς, μέρος τι τοῦ αὐλοῦ, τὸ ἐνόλβιον.
Καταστοχάζεται, κατὰ σκοποῦ βάλλει, κατὰ σκοποῦ βλέπει.
Καταστολὴν, περιβολήν.
Καταστρέφει, σκανδαλίει.
Καταστρέφομαι παρ' ἄλλου, καὶ καταστρέφομαι τὸν δεῖνα. Ἡρόδοτος, ἅτε δημιῶν τε καταστρεφομένου γῆν πολλήν.
Καταστροφὴ, τέλος.
Καταστροφῆς, ἐρημώσεως.
Καταστρώματα, τῆς νεὼς μέρος, ἐν ᾧ ἑστῶτες ναυμαχοῦσιν.
Καταστύξαι, κατασύραι, συλλέξαι, μισῆσαι.
Καταστυφέλου, καταξήρου.
Κατάστυφλον, κατάξηρον. καὶ ἡμεῖς δὲ τὰς ἀνεργάστους χώρας καὶ σκληρὰς, στυφλὰς καλοῦμεν.
Κατὰ συναίρεσιν, κατὰ συνάφειαν.
Κατὰ συνδεσμὸν, κατὰ κοινωνίαν, κατὰ σύμπραξιν.
Κατασυγκυρίαν κατασύραι, ἑλκύσαι σαγήνῃ.
Κατὰ σφᾶς, καθ' ἑαυτούς.
Κατασφήκωνται, καθέλωνται.
Καταχάσαι, κατανύξαι, κατατυχεῖν, ἢ ἀμυχὰς ποιῆσαι.
Καταχεῖν, κατακρατεῖν, κατοικεῖν.
Κατάχη, αὐθυπότακτον, καὶ οὐ κατασχὼν τῆς χαρᾶς.
Κατὰ σχολὴν, ἀντὶ τοῦ μόλις, ἢ ἀψοφητί.
Κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ, παρ' Ὁμήρῳ, ἀνάπαλιν ἔχει πρὸς τὸ ἀνασχομένη, ὃ δηλοῖ τὸ ἀνατείνασα. εἴη δ' ἂν καταχέσθαι ἑανῷ, τὸ προκαλύψασθαι τὴν παρειὰν, κατὰ τὴν Πηνελόπην ἐν Ὀδυσσείᾳ σχομένην ἄντα παρειάων κρήδεμνα. ἵνα ὥσπερ τὸ ἀναχεῖν ἥλιον ἀντίκειται πρὸς τὸ καταχεῖν, οὕτω καὶ ἀναχέσθαι κρήδεμνον, ἐπὶ ἀνακαλύψει καὶ οἷον ἀναλάμψει προσώπου, ἀντικειμένως ἔχει πρὸς τὸ κατασχέσθαι, ἤγουν ὑπὸ ζόφῳ κρύψαι.
Κατάσχωμεν, οὐ κατασχῶμεν, ἐπειδὴ πᾶς ὑποτακτικὸς ἀόριστος μονοσύλλαβος εἰς ω λήγων, ἔχων τὴν μετοχὴν εἰς ο ὀξύτονον, τὸν αὐτὸν τόνον καὶ ἐν τῇ συνθέσει φυλάττει, βῶ ἀναβῶ, θῶ καταθῶ, δῶ ἀναδῶ. εἰ δὲ μὴ εἰς ο ὀξύτονον ἔχει τὴν μετοχὴν, μεταπίπτει τὸν τόνον ἐν τῇ συνθέσει, οἷον σχῶ κατάσχω, καὶ κατάσχωμεν καὶ πρόσχωμεν. σχὼν γάρ ἐστιν ἡ μετοχή.
Κατὰ τάξιν, κατὰ κόσμον.
Κατὰ ταυτὸν, ἀντὶ τοῦ ἅμα.
Κατ' αὐτὸ, οἷον ὁμονοοῦσι.
Καταχῆσαι, προφθάσαι.

Digitized by Google

Κατασχήσων, τῷ τείχει ὑπερβαλών.

Κατασχύμενοι, κατεπειγόμενοι.

Καταπεθήπειν, θαυμάζειν, δειλιάζειν. ἐκπλήττεσθαι.

Κατατείνουσαν, μακρόν τι περιέχουσαν.

Κατατέλεια, παρὰ Ἡροδότῳ τὰ ἀναλώματα, καὶ τὰ συνέδρια τῶν ἐν ἀρχαῖς, καὶ τὸ συντελεῖν εἰς τάγμα.

Κατὰ τεθνειώτων νεκύων, εἶπεν ἂν μὴ παρέλκειν τὸ κατὰ τεθνειώτων, ἀλλὰ ὡς πρὸς διῃρῆσθαι νεκύων ζώντων. εἶεν δ' ἂν οὗτοι, οἱ ἐν ταλαιπωρίαις βιοῦντες, ὁποῖοι καὶ οἱ κατὰ Τροίαν τὸν δεκαετῆ παρατείναντες πόλεμον. οἱ δὴ ζῶντες μὲν λογίζοιντο ἂν εἰς νέκυας, διὰ τὸ μὴ καλῶς ζῆν. μὴ ζῶντες δὲ, καλοῖντο ἂν νέκυες τεθνειῶτες. τοῦτο δὲ καὶ εἰς πάντας τοὺς ἐν κακοπαθείᾳ τὸν βίον διάγοντας, παρελκυσθήσεται. συντελεῖ δὲ ἐνταῦθα καὶ Στρατονίκου τὸ, ἔνθα καὶ νεκροὶ περιπατοῦσι.

Κατατεμοῦσι τοῖς ἱππεῦσιν ἐς καττύματα, καττύματα δέ ἐστι δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται.

Κατατάττω, τὸ καταλέγω, καὶ καταριθμῶ, καὶ ἐγγράφω. οἷον τοῖς ἀγαθοῖς φίλοις δὲ κατατάττω. κατατάττομαι δὲ παθητικῶς, τὸ ἐν τάξει γίνομαι.

Κατατεθηπότες, ἐκπεπληγμένοι.

Κατατεθηπὼς, δειλιάσας.

Κατατείνει ἤτοι κατεργάζεται, καὶ πιέζει, καὶ κατατρίβει. ὡς κατατείνει ἡ νόσος τὸν ἄνθρωπον. καὶ κατατείνει πληγαῖς καὶ μάστιξι τὸν δεῖνα, καὶ εἰς τὸ μῆκος ἐκτείνει. οἷον κατατείνει λόγον. κατατείνει, καὶ τὸ σπεύδει καὶ τρέχει, ὡς τὸ κατατείνει δρόμον ἐπὶ λιμένα.

* καὶ Κατατείνας ἐρῶ, ἀντὶ τοῦ μακρὸν λόγον διεξελεύσομαι.

Κατατομὴ, καθήμενος κάτω ὑπὸ τῇ κατατομῇ. Φιλόχορος δὲ ἐν ς', οὕτως αἰσχραῖος ἀναγυράσιος ἀνέθηκε τὸν ὑπὲρ τοῦ θεάτρου τρίποδα καταγυρώσας, νενικηκὼς τὸ πρότερον ἔτι χορηγῶν παισὶ, καὶ ἐπέγραψεν ἐπὶ τὴν κατατομὴν τῆς πέτρας.

Κατατιλᾷ τῶν ἑκαταίων, ἤγουν ἀσεβῶς διάκειται περὶ τὰ τῆς Ἑκάτης ἀγάλματα, ἤγουν κατὰ τῶν ἀγαλμάτων τῆς Ἑκάτης κόπρον ἐκκρίνει διάρρυτον, τουτέστιν ὑγράν.

Κατατείνεται, ἐφαπλοῦται.

Κατατίθεσθαι, συναινέσαι.

Κατατοξεύει, κατὰ τὸ κρίμα, κατὰ τὴν τάξιν, ἢ κατὰ τὸ πρόσταγμα.

Κατατείχιον, λεπτόν.

Κατὰ τὸ καρτερὸν, ἀντὶ τοῦ ἰσχυρῶς καὶ καρτερῶς.

* Κατὰ τὴν ἀγορὰν ἀψευδεῖν ἔοικε. νόμος περὶ ὠνίων κεῖται, ὃς κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ.

Κατατρέχει, ἐπὶ ἐμψύχου, γενικῇ. ἐπὶ ἀψύχου, αἰτιατικῇ, ὡς ἐπὶ τὸ πλεῖστον. εὕρηται δὲ καὶ γενικῇ.

Κατατρεχόντων, ληϊζομένων, πορθούντων.

Κατατρίψειν, καταδαπανήσειν, χρονιεῖν.

Κατάτροπον, κάταντες. πρόστροπον δὲ, τὸ ἐναντίον.

Κατατρυφὴ, καταφυγή.

Κατατρυφῶ, κατασπαταλῶ.

Κατατρύχειν, ἔλαττον πιέζειν.

Κατατρύχω δώροις καὶ ἐδωδῇ, οὐ ζημιῶ ἁπλῶς, ἀλλὰ κατατρύχω. ἐκ τοῦ τρῶ δὲ ὀνοματοπεποιημένον, ἐξ οὗ καὶ τὸ τρώγω, καὶ τὸ τρύω, καὶ τρυπῶ παραγώγως γέγονε, καὶ τρύχω ἀναλόγως τῷ ψῶ ψύχω.

Κατατρύχει τοῦτο ἐμὲ, ἤγουν δαπανᾷ, καὶ φθείρει. Θεόκριτος, τίς σε κατατρύχει.

Κατατρύχομαι, καταπονοῦμαι.

Κατατάττομαι παθητικῶς, τὸ ἐν τάξει γίνομαι. ὡσαύτως, καὶ τὸ διατάττομαι.

Κατατυχεῖν, ἐπιτυχεῖν.

Καταυανεῖ καὶ καθαυανεῖ. καταυανεῖ, ξηραίνει. αὔω γὰρ τὸ ξηραίνω, ψιλοῦται. καταυανεῖ δὲ, ἀντὶ τοῦ λαμπρυνεῖ.

Καταυγάσας, φωτίσας.

Κάταυλον, καταυλημένον, ἀναπεπταμένον.

Καταυλούμενοι, αἰτιατικῇ χλευαζόμενοι.

Καταῦσαι, κατευλῆσαι, καταδῦσαι.

Καταυστὴς, καταδυστής.

Κατ' αὐτὸν, ὅμοιον αὐτῷ.

Κάταυχμον, ἦν δὲ τὸ φρούριον τῷ καταύχμῳ τῆς ὑδρεύσεως ἁλωτὸν τοῖς πολεμίοις.

Καταφάγῃ, κατεσθίῃ.

Καταφαγεῖν, πολλάκις κεῖται παρὰ τῷ Ἀριστοφάνει, καὶ τοῖς ἄλλοις ἐμφατικῶς ἡ κατὰ, ὥσπερ καὶ τὸ ἐμφαγεῖν.

Καταφαντὸν, ἢ ἀποφαντὸν, ἐν τῷ ἀξίωμα.

Κατὰ φάλαρα, κατὰ μετωπίδια.

Καταφάναι, κατειπεῖν.

Κατάφασις, δόξα, ἤγουν κατηγορία περί τινος λεγομένη. οἷον ὁ ποταμὸς ἀνέρχεται, ὁ ἄρχων εἰσέρχεται. ἡ κατάφασίς ἐστι λόγος τινὸς ἀποφαντικὸς κατά τινος, οἷον Σωκράτης φιλόσοφός ἐστι, καὶ ἰδοὺ ἐπάνω σωκράτους τὴν φιλοσοφίαν κατηγόρησεν. πᾶσα δὲ κατάφασις, ἢ ἀλήθειαν ἢ ψεῦδος σημαίνει, οἷον Σωκράτης φιλόσοφος ἐστὶ, καὶ ἰδοὺ ἀλήθεια. εἰ δὲ Σωκράτης ἰδιώτης, ἐστὶ ψεῦδος. οὐδὲν δὲ ἕτερόν ἐστιν ἡ ἀπόφασις, εἰ μὴ κατάφασις μετὰ τῆς οὐ ἀρνήσεως. οἷον Σωκράτης φιλοσοφός οὐκ ἐστι.

Κατάφασις, πρόσρησις διὰ συγκαταθέσεως.

Καταφάσκει, προλέγει, ἐπινεύει.

Καταφατικὴν, δυσκάθεκτον.

Καταφατουμένη, κατακτωμένη, κυρίως δὲ τὸ ἐκ προκαταλήψεως.

Καταφέρειν, ἀφ' οὗ καταφορὰ, ἡ κατηγορία.

Καταφερὴς, ἐπὶ τῶν πρὸς ἀφροδίσια ἀκολάστων λέγουσιν οἱ παλαιοί. οὐδαμῶς οὕτω τῶν δοκίμων χρωμένων.

Καταφήσας, ἀπορήσας, ἀνιάσας.

Καταφθορὰ, ἡ παντελὴς ἀπώλεια. διαφθορὰ δὲ, ὅταν ἄλλη οὐσία δι' ἑτέρας ἀφανίζηται. ὥσπερ τὸ σῶμα ὑπὸ σκωλήκων.

Καταφιλοσοφήσαντες, διὰ τῆς σιγῆς νικήσαντες.

Καταφλάσαι, κατακόψαι.

Καταφλυαρήσω, ψεύσομαι.

Καταφοιτῆσαι, κατελθεῖν, παραγενέσθαι.

Καταφορεῖν, ὑπνοῦν.

Καταφορικὰς, γαστέρας πλωΐων.

Καταφορτικὸς, σφοδρός.

Καταφράζεσθε, ἀντὶ τοῦ φράζεσθε καὶ σκοπεῖτε. Ἡσίοδος, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ τὴν δεδίκην.

Κατάφρακτος, παρὰ τοῖς μεθ' Ὅμηρον, ἀπὸ τοῦ φράττω.

Καταφράκτοις ψυχαῖς. ταῖς ἐπεσκοτισμέναις, καὶ μὴ τὸ μέλλον εἰδυίαις. Ἴων Ἀλκμήνῃ, καὶ εἴδη πολεμικοῦ ὡς καταφράκτου.

Κατὰ φρένα, κατὰ διάνοιαν.

Κατὰ φρήτρας, κατὰ φρατρίας.

Καταφρονέοντα, τὸν ἐν ἔτει αἰσθανόμενον, ἐν τῷ μείζονι προρρητικῷ, παρὰ τῷ Ἱπποκράτει.

Καταφρονέων, καταβουλευόμενος.

Καταφρόνησιν, ὑπερφρόνησιν, ἤγουν τὴν ἀφροσύνην.

Καταφρονῶ, ἀλογῶ, ἀτιμάζω, ὑπερορῶ. ὡς ἐπὶ πλεῖστον μὲν γενικῇ συντάσσεται. ἔστι δὲ ὅπου καὶ αἰτιατικῇ. Θουκυδίδης, καταφρονεῖν τοὺς ἐπιόντας ἐκ τῶν ἔργων τῇ ἀλκὶ δείκνυσθαι, καταφρονῶ τούτου τοῦ πράγματος.

Καταφρύγει, διόλου καίει. Ἀριστοφάνης, καὶ καταφρύγει βάλλων ἡμᾶς.

Καταφρύγει ὁ κεραυνὸς λέγεται, ὅτι πολλάκις ὁ κεραυνὸς ἁψάμενος οὐκ ἀναιρεῖ, ἀλλὰ περιφλέγει μόνον. ἢ καταφρύγει, καταίθει. περιφλύει δὲ, περικαίει ἐπιπολῆς.

Καταφρύσσει, καταξηραίνει.

Καταφυὲν, γεννηθέν.

Καταφυλαδὸν, κατὰ ἔθνη.

Καταφύξει, κατασβέσει.

Κατὰ φύσιν, τὸ κοινῶς ὁρώμενον ἐν τῷ γένει συστατικὸν τῆς οὐσίας.

Κατάφυτος, σύνδενδρος τόπος.

Καταφωνεῖ, ταράσσει.

Καταφωραθείη, καταγνωσθείη.

Καταφωρᾶν, ἐλέγχειν, ἐρευνᾶν, ἐπιζητεῖν.

Κατάφωρον, ἐληλεγμένον, φανερὸν, ὑπαίθριον, ἢ καταφανῆ γενόμενον.

Κατάφωρος, φανερός.

Καταχαλῆ, καταβραχύ.

Κατάχαλκος πύλη, καὶ κατάχαλκοι ἀνὴρ, πεποιημένη χαλκοῦ, καὶ ἐνδεδυμένος χαλκὸν, οὕτω καὶ κατάχρυσος, καὶ κατάργυρος.

Καταχέει, κακολογεῖ.

Κατὰ χεῖρα, ἕτοιμα, εὐχερῆ, ἢ ὄνησιν πρὸς χεῖρα, καὶ εἰς πολλὰ χρήσιμος οἰκέτης.

Καταχεῖρας, εὐκόλως.

Κατὰ χειρὸς ὕδωρ ἐδέξατο, λέγει. οὐ κατὰ χειρῶν.

Καταχειροτονία, ἔθος ἦν Ἀθήνησι κατὰ τῶν ἀρχόντων, καὶ κατὰ τῶν συκοφαντῶν, προβολὰς ἐν τῷ δήμῳ τίθεσθαι. εἰ δέ τις καταχειροτονηθείη, οὗτος εἰσήγετο εἰς τὸ δικαστήριον. ἔστι δὲ πολλάκις τοὔνομα, παρὰ τῷ Δημοσθένει ἐν τῷ κατὰ Μειδίου, καὶ Ὑπερείδης ἐν τῷ ὑπὲρ Χαιρεφίλου περὶ τοῦ ταρίχους. διεξῆλθε δὲ, περὶ τῆς καταχειροτονίας, καὶ Θεόφραστος ἐν δ' τῶν νόμων.

Κατάχει τοὔλαιον ἐν τῷ χαλκείῳ. Ἀριστοφάνης, ἀντὶ τοῦ εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος, ἵνα λαμπρότερος γένηται.

Καταχὴ, καταχάσμησις, κατάγελως.

Καταχήνη, καταγελάσῃ, μυκτηρίσῃ, ἐξουθενίσῃ, καὶ ὑπὸ Πεισιστράτου καλαμία ἐμφερὲς ζῶον ἀπὸ τῆς ἀκροπόλεως προβεβλημένον, ὁποῖα τὰ πρὸς βασκανίαν.

Κατὰ χθονὸς ὄμματα πήξας, Ἀττικόν ἐστιν. ὡς καὶ τὰ κατὰ γῆς ὁ σοφὸς οὐκ ἀγνοεῖ. χρῆσις δὲ συντάξεως τοιᾶσδε σὺν ἄλλοις καὶ παρὰ τῷ Κωμικῷ, τὸ δὲ πῆξαι κατὰ γῆς τὰς ὄψεις, ὡς οἷα μελετῶντα ἐμμερίμνως, διὰ σχεδιασμὸν καὶ ἵστασθαι ὑπιδόμενον.

Καταχθόνιος, ὁ λιπαρὸς, ὁ τρόφιμος.

Καταχθόνιος, κατὰ γῆς, ἢ ὁ ᾅδης.

Καταχλευάζουσι, γενικῇ δὲ, καταχλευάζοντες δὲ τῶν παρακλητικῶν λόγων οἱ στασιώδεις.

* Καταχλιδᾶν κατατρυφᾶν.

* Κατάχλοα, χλοώδη.

Καταχρεμψαμένη, καταπτύσασα.

Καταχρέως, ἐπαρκῶν εἰς μαρτυρίαν.

Καταχρᾶται, κακῶς χρᾶται.

Καταχρήσῃ, ἀρκέσῃ.

Κατάχρησίς ἐστι, λέξις μετενηνεγμένη ἀπὸ τοῦ πρώτου καὶ κυρίως ὀνομασθέντος ἐφ' ἕτερον ἀκατονόμαστον, ἔκ τινος συνηθείας λεγομένη, καὶ μὴ ὂν κυρίως, ὡς γόνυ καλάμου, καὶ ὀφθαλμὸς ἀμπέλου, καὶ χεῖλος κεραμείου, καὶ τράχηλος. κυρίως γὰρ ταῦτα ἐπὶ ἀνθρώπου λέγεται. ἢ πάλιν, ἀνδριὰς κυρίως μὲν ἀνδρὸς ἀπεικόνισμα, καταχρηστικῶς δὲ, καὶ γυναικός. ἢ πάλιν, ὅταν τὶς τὸν ἐν ποταμῷ ἰχθύας ἀγρεύοντα, ἁλιέα εἴπῃ. κυρίως δὲ ἁλιεὺς, ὁ ἐπὶ τῆς θαλάσσης λέγεται. ἅλς γὰρ, ἡ θάλασσα. ὁμοίως καὶ τὸ ψηφίζειν, κυρίως μὲν τὸ ταῖς ψήφοις ἀριθμεῖν, καταχρηστικῶς δὲ, καὶ τὸ δακτύλοις. διαφέρει δὲ τῆς μεταφορᾶς ἡ κατάχρησις. ὅτι ἡ μὲν μεταφορὰ, ἀπὸ τοῦ κατονομαζομένου ἐπὶ κατονομαζόμενον λέγεται. ἡ δὲ κατάχρησις, ἀπὸ κατονομαζομένου ἐπὶ ἀκατονόμαστον.

Καταχρυσῶσαι, καταλιθῶσαι.

Καταχρῶμαι τῆς λέξεως, Ἀττικοὶ τῇ λέξει.

Κατάχυσις, ἀήρ.

Καταχύματα, τὰ καταχεόμενα ὕδατα ἐπὶ τῶν λουτρῶν καὶ τῶν ὁμοίων.

Κατάχυσμα, ζωμὸν, παρὰ τὸ χέεσθαι. γλυκεῖ δὲ μέλιτι δεδευμένον. ἄλλως, οὐδὲν πλέον, ἢ κατάχυσμα, ὥστε ἀπὸ τούτου, καὶ τὰ καταχύσματα λέγεσθαι.

Καταχύσματα σύγκειται ἀπὸ φοινίκων, κολλύβων, τρωγαλίων, ἰσχάδων, καὶ καρύκων, ἅπερ ἥρπαζον οἱ σύνδουλοι. κυρίως δὲ ἐλέγοντο, ὅταν δούλους ἠγόραζον, ἔφερον γὰρ αὐτοὺς ἐπὶ τὴν ἑστίαν, καὶ καθίζοντες, κατὰ τῆς κεφαλῆς κατέχεον κόλλυβα, καὶ ἰσχάδας, καὶ φοίνικας, καὶ τρωγάλια ἄλλα, καὶ τραγήματα, καὶ οἱ σύνδουλοι ταῦτα ἥρπαζον. ἐλέγοντο οὖν ταῦτα καταχύσματα.

Κατὰ χώραν μένειν. Ἀριστοφάνης οὐχὶ κατὰ

χώραν

Digitized by Google

χώραν μενοῦς, οὐκ ἐπὶ σαυτοῦ μενοῦς, καὶ ἡσυχίαν χήσεις ἐν ἵπποισι.

Καταψαίρουσι, κινοῦνται.

Καταψεφεῖ, κατασκοτίζει. ψεφὰς γὰρ τὸ σκότος, παρὰ τὸ ψεφέσθαι τὸ μεταμελεῖσθαι, καὶ οἷον σκότος περιτιθέναι τοῖς λεγομένοις τὸ καταψεφεῖν. ἔσθ' ὅτε δὲ καὶ τὸ φροντίζειν οὕτω λέγουσιν.

Καταψηφίζεται, κατακρίνεται.

Καταψηφίζομαί σου ζημίαν, καταψηφίζεται, κατακρίνει.

Καταψήσας, τῇ χειρὶ ὁμαλίσας.

Καταψήχων, ὁ ἠρέμα κολακεύων καὶ κρατῶν.

Καταψήχων, κολακεύων, ἡσυχῇ τρίβων.

Καταψιλωθήσεται, ψιλὸν γενέσθαι.

Καταψύχω, τρίβω, καὶ ὁμαλίζω.

Καταψῶν, καταπραΰνων, ὥσπερ πῶλον καταψῶντες ταῖς χερσὶν ὁμαλίζομεν.

Καταγέναι καὶ κατεαγῆναι, οὐδὲ κατεάξαι, βάρβαρον γάρ. κατέαγα τῆς κεφαλῆς Ἀττικοὶ λέγουσιν, οὐ τὴν κεφαλήν, ἤγουν κατὰ τῆς κεφαλῆς τὴν πληγὴν ἐδεξάμην. Λουκιανός, κατέαγα τοῦ κρανίου.

Κατεάγη καὶ κατεαγότα, κεκλασμένα.

Κατεαγότος. ἔχει θέμα ἄγω, τὸ κλῶ, παρακείμενος ἦχα, ὁ μέσος ἦγα. καὶ ἐν διαλύσει ἔαγα, ὅθεν μετοχὴ ὁ ἐαγώς, καὶ τὸ ἐξ αὐτοῦ κατεαγώς. ὁμοίως ἐλαττικῶς Ἀττικῶς, ἀντὶ τοῦ μέρος τοῦ κρανίου.

Κατεαγώς, καταθλάσας.

Κατεάθη, κατεθλάσθη, κατεβάλλετο, ἐτίθετο.

Κατέαξαν, κατέκλασαν.

Κατεάσας, κατακοιμηθείς.

Κατέβαινεν ὑπερῷα, κοινότερον ἐφράσθη, ἀντὶ τοῦ ὑπερώων, κατὰ ἀντίπτωσιν.

Κατέβασκε, κατέβλαψεν.

Κατεβαυκάλισε, κατεκοίμησε.

Κατέβαψεν, κατέλαβεν.

Κατεβήσατο, εἰσῆλθεν.

Κατεβόα, κατηγόρει, ἐμέμφετο.

Κατεβρόχθησεν, κατέπιεν.

Κατεβρόπωσεν, ἐμόλυνεν.

Κατεγγυᾶν, παραδιδόναι.

Κατεγήρασαν, ἐχρονοτρίβησαν.

Κατ' ἔγκλησιν, κατὰ μέμψιν, κατὰ πταῖσμα.

Κατεγλώττιζε, κατεφλυάρει, κατηγόρει, ἐλοιδόρει, διέβαλλε.

Κατεγκονῶν, ἐπειγόμενος.

Κατεγλωττισμένον. πολλαῖς γλώτταις μεμιγμένον.

Κατέγνωσαν. ἀντὶ τοῦ κατενόησαν αἰτιατικῇ. κατέγνωσαν δὲ ἐπὶ καταγνώσεως, γενικῇ.

Κατεγνωσμένος, κατακεκρυμμένος.

Κατεγνυπῶσθαι, ἀντὶ τοῦ παρειμένος εἶναι καὶ μελανῶς, ἀπὸ τοῦ εἰς γόνυ πίπτειν.

Κατ' ἐγὼ γ' ἐξηγρόμην, ἀντὶ τοῦ ἔπειτα ἐγὼ μετὰ ταῦτα ἐξηγέρθην ἐπὶ τῶν ψευδομένων.

Κατεγοήτευσεν, ἠπάτησεν, κατεμάντευσεν.

Κατέγραψαν, κατέξυσαν.

Κατεγυμνάσατο, ἐπὶ γυμνασίαν ἀνάλωσεν.

Κατεδάη, κατεκάη.

Κατέδαπτε, κατήσθιε μετὰ σπαραγμοῦ.

Κατεδάρθαι. κατακοιμᾶσθαι.

Κατεδάρθη, ἐκαθεύδησεν, ὕπνωσεν.

Κατ' ἐδάφους, ἐπὶ γῆς.

Κατεδάωσεν, κατέκαυσεν, ἐπολέμησεν.

Κατέδει, ἐδέσμει.

Κατέδευσε, κατέβρεξε, κατέρρυσε. καὶ ὅτε μὲν ἀθρόως διαχεῖσθαι καὶ τρυφᾶν, ὅτε δὲ τὸ κατηφῆ εἶναι.

Κατεδηδεσμένον, καταβεβρωμένον.

Κατεδήδοκεν, καταβέβρωκε.

Κατεδηδοκώς. ἔδω, τὸ ἐσθίω, καὶ ἐδέω ἐδῶ, μέλλων ἐδέσω, ὁ παρακείμενος ἤδεκα, καὶ Ἀττικῶς ἐδήδοκα, καὶ ἡ μετοχὴ ἐδηδοκώς, καὶ κατεδηδοκώς.

Κατεδημαγώγησε, κατεστρατήγησε, καὶ ἦρξε τοῦ δήμου.

Κατεδήουν, κατέκοπτον.

Κατέδησα, κατεδέσμευσα, κατήχυνα.

Κατεδικάσεν, κατέκρινεν, κατεδίκασε.

Κατεδικάσθην, ἀντὶ τοῦ κατεκρίθην.

Κατεδικέλοντο, κατεμερίσαντο.

Κατεδόξαζον, ἀπείκαζον, ἐνόμιζον.

Κατέδυπεν, ἐτέθνηκεν.

Κατεδράπτετο, κατεκόπτετο, κατεξύετο.

Κατέδυ, κατεπόθη, κατεποντίσθη.

Κατέδων, κατεσθίων.

Κατεζώμευεν, ἐτύρευεν ὥσπερ ζωμὸν ἐκροφήσας τὸ γάλα.

Κατέθει, κατέτρεχε.

Κατέθεον, ἐξεπόρθουν, ἐληΐζοντο.

Κατεθήπει, ἐπτοεῖτο.

Κατεθήπεσαν, ἐθαύμαζον.

Κατέθορε, κατεπήδησεν.

Κατεθύσθη, κατεκλείσθη.

Κατέθυψας, περιέπλευσας.

Κατείβετο, διεφθείρετο, κατέρρει. καὶ παρὰ Ἀπολλωνίῳ, ἀντὶ τοῦ κατετήκετο.

Κατειβόμενον, διαφθειρόμενον, καταρρέον.

Κατεῖεν μέσος παρακείμενος οὕτως, εἴω τὸ πορεύομαι, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα, εἶας, εἶεν, ἀφ' οὗ καὶ τὸ ᾔει καὶ ἤλθεν, εἰς ὑπερσυντέλικον κατ' ἔκτασιν ἀττικήν.

Κατεικής, ἐπιεικής.

Κατ' εἰκόνα, τὸ νοερὸν καὶ αὐτεξούσιον.

Κατεῖλε, κατέλεξεν, ἐποίκιλλεν.

Κατείλεα, τὰ ἐσώτερα οἰκήματα Ἐρυθραῖοι.

Κατειλεῖν, κατέχειν, καταβαλεῖν.

Κατειληθέντας, συσχεθέντας, καταβληθέντας.

Κατειλημμένον, κατεχόμενον, κυκλωθέντα.

Κατειλῆφθαι, προκαταλαμβάνεσθαι.

Κατείλοχε, κατείλεξε.

* Κατειλύμενος εἴσω ἐρευγμός.

Κατειλυσπᾶσθαι, εἰλύμενον σπᾶσθαι.

Κατειλυσπωμένην, ὁ μὲν Λυκόφρων καταρπωμένην. Ἐρατοσθένης δὲ συγκεῖσθαι τὴν λέξιν ἐκ τοῦ εἰλεῖν καὶ σπᾶσθαι.

Κατείλυται, κεκάλυπται.

Κατειλωπτεῖν, καταβλεφαρίζειν.

Κατειλωτισμένος, καταδεδουλωμένος * ἐκ τοῦ εἵλως, εἵλωτος, ὃ σημαίνει τὸν δοῦλον παρὰ Λακεδαιμονίοις.

Κατειμένον ὕλην, μεταφορικῶς ἠμφιεσμένον ἐν αὐτῷ.

Κατείνυον, θρίξὶ δὲ πάντα νέκυν κατείνυον, Ἰλιάδος ψ', ἀντὶ τοῦ κατεκάλυπτον, ἀπὸ τοῦ ἕω ἐνύω καὶ εἰνύω.

Κατεῖπε γενικῇ, κατηγόρησεν.

Κατειπών, διαβαλών.

Κατείργει, ἐκώλυεν.

Κατειργάσατο, ἐκώλυσε, κατηγωνίσατο.

Κατειργμένος, ἐγκεκλεισμένος.

Κατείρα, ἀσπίς, πέλτη.

Κατείρηκεν, λάθρα διαβέβληκεν.

Κατειρωνεύεται, ὑποκρίνεται, δουλεύεται, μεγαλοφρονεῖ.

Κάτεισι, κατέρχεται.

Κατεκάλει, ἐφώνει.

Κατεκαμάρωσεν, κατενήβρωσεν.

Κατέκανεν, ἀνεῖλεν, ἐφόνευε.

Κατεκαλλωπίζετο, ἐκοσμεῖτο, ἐλαμπρύνετο.

Κατεκαύθη, ἀττικόν. κατεκάη, ἑλληνικόν.

Κατεκέαθεν, κατεκοιμήθη.

Κατ' ἐκεῖνο καιροῦ. καὶ ἐγὼ μὲν φυλάττεσθαι παραινῶ οὕτω χρῆσθαι. εἰ δ' ὅτι Θουκυδίδης εἴρηκε, θαρρείοιτις χρῆσθαι, χρώμεθα μέν, σὺν δὲ τῷ ἄρθρῳ. παρὰ μὲν γὰρ ἄλλῳ τῶν δοκίμων οὐχ εὗρον. ἡγοῦμαι δὲ καὶ Θουκυδίδην ἐν τῇ ἢ μετὰ τοῦ ἄρθρου εἰρηκέναι, κατ' ἐκεῖνο τοῦ καιροῦ.

Κατεκερμάτισεν, συνέθραυσεν.

Κατέκηλε, σιωπῶν ἤδυνεν.

Κατεκήλησα, κατεπράϋνα.

Κατεκλάδωνεν, ἀνεῖλεν.

Κατεκλάζετο, κατεκέκλειστο, κατακεκλεισμένως εἶχεν.

Κατεκλάσθη, ἐνέδωκε.

Κατεκλάσθη φίλον ἦτορ, μετεβλήθη ἀπὸ τοῦ ξύλου, ἤ τινος τοιούτου, ἃ κατακλώμενα στέρονται τοῦ ἀπνεῦς ἔχειν.

Κατεκλάσθης εἰς λάρνακα, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ κατεκλείσθης, ἀπὸ τοῦ κλείω.

Κατεκλίνομεν, ἀντὶ τοῦ ἀνεκλίνομεν.

Κατεκνίζευν, κατέξυεν.

Κατέκνισας, ἀντὶ τοῦ ἔτεμες, ἐμέρισας, παρὰ τῷ Ἀριστοφάνει.

Κατεκόπησαν, ἐφονεύθησαν.

Κατέκπλησαν, κατεπράϋναν.

Κατέκτα, συνεῖλε τὴν λήγουσαν κατὰ τοὺς παλαιούς, ὡς μὴ ὂν δευτέρας συζυγίας, ἀλλὰ ἀποκοπὴν ἐκ τοῦ ἔκτανε, καὶ κατέκταν. ἔστι μὲν καινόσχημον, δοκεῖ δὲ αὐτὸ αἰολικὸν εἶναι, ὡς ἀπὸ τοῦ κατακτὰς κατακτάντος, ἢ μᾶλλον ἀποκοπὴν παθεῖν ἐκ τοῦ ἔκτανον πρώτου προσώπου.

Κατέκταν θεν, ἐκ τοῦ κτείνω κτενῶ, ὁ παθητικὸς ἀόριστος ἐκτάνθην, ὡς ἐφάνθην ἐκ τοῦ φαίνω, τὸ πρῶτον τῶν πληθυντικῶν ἐκτάνθημεν, κατὰ συγκοπὴν ἔκτανθεν, καὶ μετὰ τῆς κατὰ κατέκτανθεν.

Κατέλαβεν, ἐπέλαβεν, ἐπέσχε τῆς ὁρμῆς.

Κατελάσας, συνουσιάσας, ἀπὸ τῶν ἀλόγων ζώων.

Κατελάσαι, καταπῆξαι.

Κατελεγχῶσαι, καταλέγξαι, καταλέξαι.

Κατέλεκτο, κατεκοιμήθη.

Κατελελίβοντο, κατεμερίζοντο.

Κατελέξαντο, κατεκοιμήθησαν.

Κατέλεξας, ἀντὶ τοῦ ἠρίθμησας. δοκεῖ γάρ τισι μὴ ἐν χρήσει παρὰ τῷ Ποιητῇ εἶναι τὸ λέξαι, ἀντὶ τοῦ εἰπεῖν.

Κατέλεξας, ἀντὶ τοῦ ἐμέτρησας.

Κατέλευσα, ἐλέττωσα, συνέτριψα.

Κατέλευσαν, κατέβαλον λίθοις, ἐλιθοβόλησαν.

Κατέληξε, κατέπαυσε.

Κατελθεῖν, οὐ μόνον τὸ ἁπλῶς κάτω που ἐλθεῖν, ἀλλὰ καὶ τὸ εἰς λιμένα ἐλθεῖν. ὥσπερ καὶ καταβῆναι, καὶ καταπλεῦσαι, καὶ καταχθῆναι, καὶ καταίρειν, τὸ ἐλλιμενίσαι λέγεται. τὸ μέντοι ἀπαίρειν τοῦ λιμένος, ἀνελθεῖν, καὶ ἀναβῆναι, καὶ ἀναπλεῦσαι, καὶ ἀναχθῆναι, λέγεται.

Κατέλυεν, ἔμενεν εἰς τὸ δωμάτιον.

Κατ' ἐμέ, διπλῶς νοητέον κατ' ἐμέ, ἀντὶ τοῦ ὅσον κατὰ τὴν ἐμὴν κρίσιν. καὶ κατ' ἐμέ, ἀντὶ τοῦ ἐπ' ἐμοῦ, ἤγουν ἐπὶ ταῖς ἡμέραις μου.

Κατέμαρψε, κατέλαβεν, ἢ κατέβαλεν.

Κατ' ἐμαυτόν, κατὰ τὴν ἐμὴν δύναμιν.

Κατεμεγαλαυχήσατο, μεγάλως ἐκαυχήσατο.

Κατέμαρπτε, κατελαμβάνετο.

Κατεμελίτωσεν, ἡδύτητος ἐπλήρωσεν.

Κατεμήσατο χερσίν, ἀντὶ τοῦ συνῆξε ταῖς δραξί, κατὰ μίμησιν τῶν ἀμώντων.

Κατεμωκῶντο, ἐχλεύαζον.

Κατέναντι, ἐναντίον.

Κατενάρκησα, ἐβάρυνα.

Κατένασσε, ἤγουν κατῴκισε, ἤγουν οἰκίζειν ἐποίησε.

Κατένεικε, κατένεγκε.

Κατενένευσιν, ἔρχονται.

Κατενεμήσατο, κατέφαγεν, ἀνάλωσεν, ἐβοσκήθη.

Κατένευσε σιωπῇ, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ο', ἀντὶ τοῦ σημεῖον ἐνδόσεως δέδωκε τῇ κατανεύσει τῆς κεφαλῆς. τοῦτο δὲ καὶ διανεύειν λέγεται, καὶ μάλιστα δι' ὀφθαλμῶν.

Κατενήνεγκται, κατηνέχθη.

Κατενήνοχε, συνουσίακεν.

Κατενήρατο, ἀπέκτεινεν.

Κατενήνοθε. θέω τὸ τρέχω, καὶ μετὰ τῆς ἐν προθέσεως ἐνθέω, καὶ κατὰ μετάθεσιν ἐνέθω, ὁ μέλλων ἐνέσω, ὁ παρακείμενος ἤνεκα, ὁ μέσος ἤνοθα, καὶ Ἀττικῶς ἐνήνοθα, ας, εν, ἤγουν ἐπέτρεχεν.

Κατενόπλιον, εἶδος ῥυθμοῦ, πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. ἔστι δὲ ὁ ἐξ ἡμιολίου. ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσον τι ἔχει ῥυθμὸν ἐκ τριποδίας ἀναπαιστικόν, ὃς δέχεται πάντας τοὺς δισυλλάβους πόδας. οἱ δὲ ἐνόπλιον τὸν ἀμφίμακρον, ὃς καὶ κρητικὸς καλεῖται, ἀπὸ τοῦ εἰς κούρητας ἀναγομένου μέλους. τούτῳ γὰρ τῷ μέτρῳ προσωρχοῦντο σείοντες τὰ ὅπλα. καλεῖται δὲ ἐνόπλιον κατὰ δάκτυλον.

Digitized by Google

Κατ' ἐντάξιν, κατ' ἐντυχίαν.

Κατενύγησαν, ἐλυπήθησαν.

Κατεντάκτην, κατεντυγχάνουσαν. καὶ κατεντάκτης, κατήγορος.

Κατενταχθῆναι, κατεντοχηθῆναι.

Κατένεον, βαρεῖαν.

Κατ' ἐνῶπα, κατὰ πρόσοψιν. ἐνωπὴ γὰρ ἡ πρόσοψις, ὃν οὖν τρόπον τὴν ἰωκὴν ἰῶκα μεταπλάσας, οὕτω καὶ τὴν ἐνωπὴν ἐνῶπα.

Κατ' ἐνῶπα, Ἀλεξίων καὶ πλεῖους προπαροξύνουσιν, οἷς καὶ δεῖν πείθεσθαί φησιν Ἀπίων καὶ Ἡρόδωρος. ἡ δὲ συγκοπὴ τοίνυν ἀπὸ τοῦ ἐνώπια, ὡς μηρία μῆρα, σιτία σῖτα. αἱ δὲ τοιαῦται προπερισπῶνται διὰ τὴν ἁπλῆν, ἀλλ' ἐκεῖνο προπαροξύνει ἡ συνήθεια, ἀναδιδομένου τοῦ τόνου. ὡς ἐν τῷ κατενώπια, οὕτω καὶ ἐν τῷ κατένωπα. Ἀρίσταρχος δὲ ἐνῶπα φησιν, ὡς κατὰ δῶμα. καὶ ἔστι βοηθῆσαι καὶ αὐτῷ κατὰ τοὺς παλαιοὺς οὕτως. ἔστιν ἐνωπὴ ἡ πρόσοψις, ὡς τὸ κακὸν ῥέζουσαν ἐνωπῇ. ἡ αἰτιατικὴ ἐνωπήν, ὥσπερ ἰωκὴν ἰῶκα, οὕτω μεταπλασμῷ ἐνωπὴν ἐνῶπα.

Κατεξανίει, διεδίει.

Κατεξημαρίζοντος, κατηθυμοῦντος.

Κατεξαναστάντες τοῦ μέλλοντος, προμηθῶς βουλευσάμενοι.

Κατεξανίσταται, κατεπαίρεται.

Κατέξω λεῖας, ἔξω τῶν ὅρων.

Κατεπάδεσθαι, καταπραΰνεσθαι.

Κατεπάδουσα πρὸς αὐτὸν, αἱμύλαις διομιλοῦσα.

Κατεπάδω, γοητεύω, πραΰνω.

Κατεπάλαισε, κατηγωνίσατο, κατεπολέμησε.

Κατεπάλμενος, ἐφορμήσας, καθαλλόμενος.

Κατέπαλτο, καθήλατο.

Κατεπάσατο, κατεκτίσατο.

Κατεπείγει, καταπαιδεύει.

Κατέπεφνε, κατέσφαξε, κατεφόνευσε.

Κατεπεφρόντικα παρὰ τῷ Ἀριστοφάνει, εἰς τὰς φροντίδας ἀνάλωσα. ὡσεὶ ἔλεγε καταπεφρόνηκα, ἢ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα.

Κατεπὶξ, κατὰ τὸ ἔμπροσθεν τῶν θυρῶν μέρος.

Κατεπιάνθη, ἐλιτάνθη.

Κατεπίμπρατο, κατεκαίετο.

Κατεπίττωσαν, πίττῃ ἔχρισαν. καὶ τὰ τέκνα αὐτῆς κατεπίττωσαν, καὶ ἀπέκτειναν καταπρησθέντα.

Κατεπιφύεται, καταβρέχει.

Κατεπλάγη, κατέσκληκεν.

Κατέπλατο, καθήλατο, κατεπλατυνέτο, κατέπλησε, καθυπερηφανεύετο, ἀνέπλησεν, ἀνεπλήρωσεν.

Κατεπλήγη. πληγῆναι μέν φασιν ἐπὶ σώματος, καταπλαγῆναι δὲ ἐπὶ ψυχῆς. ὥσπερ καὶ ἐκπλαγῆναι, οἷον ἔρωτι θυμὸν ἐκπλαγεῖσα, παρ' Εὐριπίδῃ. ὅθεν καὶ ἔκπλαγος, καὶ κατὰ μετάθεσιν ἔκπαγλος, ὁ ἐκπλήττειν δυνάμενος.

Κατεπόθησαν, κατεποντίσθησαν, κατέπεσον.

Κατεπερπερεύετο, ἐχαριεντίζετο. πέρπερος γὰρ ὁ μετὰ βλακείας ἐπηρμένος, ὁ λάλος καὶ προπετὴς, καὶ μηδὲν μετὰ λογισμοῦ ποιῶν.

Κατεπτηχέναι, πεφοβῆσθαι.

Κατεπτήχασι, συνεστάλησαν.

Κατεπτηκότα, κατεπτοηκότα.

Κατεργάζεται, ἀναιρεῖ, φονεύει.

Κατεργάσασθαι, ἀντὶ τοῦ καταπονῆσαι. Θουκυδίδης.

Κατεργάσει ῥαδίως, παρὰ τῷ Ἀριστοφάνει. ἀντὶ τοῦ νικήσεις, περιέσει.

Κατεργὸν, πεπαλαιωμένον.

Κατέρεαι, κάθισαι. Πάφιοι.

Κατέρεζε, καθέζου.

Κατερεῖξαι, καταθραῦσαι. ἀφ' οὗ καὶ τὸ ἐρεικτὸν ἀξιοῦσί τινες, ἀπὸ τῶν ἐρεικομένων ὀσπρίων, ὅθεν καὶ τὸ ἐρεικόμενος περὶ δουρί.

Κατερεῖν, διαλοιδορήσασθαι.

Κατερείπω, καταβάλλω.

Κατερέξατο, ἐκαθέσθη.

Κατέρεξε, κατέψησε, κατεψηλάφησε, κατεπράϋνε, ἐκ τοῦ ῥέζω ῥέξω καταρέξειν. ἔστι τὸ ῥέζειν, ἤγουν ποιεῖν πρᾶγμα οἰκεῖον τῇ χειρὶ, ὅπερ ἐστὶ καψᾶν καὶ ἅπτεσθαι ἠρέμα κολακευτικῶς. ἰστέον δὲ, ὡς τὸ μὲν πράττειν ἀσωμάτως λέγεται. ῥέζειν σημαίνει τὸ πράττειν, καὶ τὸ θύειν.

Κατέριψεν, ἐσίγασεν, ἢ ἐστεφάνωσεν.

Κατερικνωμένον, συνεστραμμένον, καμπύλον γενόμενον, ἐρρυτιδωμένον.

Κατερίκνωσε, κατέρριξεν.

Κατερικτῶν χύτρας, ἢ κατακεκομμένων ὀσπρίων. λέγει δὲ ἀρίστων τὰ σχιζόμενα ὄσπρια τοὺς κυάμους τὰ ἐρεικόμενα. καὶ τὴν ἐρίγμην δὲ ἐντεῦθεν ὁμολογοῦσί τινες, ὥστε φοινικοῦν ποιῆσαι τὸ σῶμα, τὸ καταξαίνει ὡς ἐπὶ ἐρίων ἔθηκε. διὸ καὶ φοινικίδα εἶπεν ὡς ἐπὶ ἱματίου.

Κατέροντες, καταπλέοντες.

Κατέρραξας, κατὰ τοῦ ἐδάφους ἔβαλες, μεταφορικῶς ὁ λόγος.

Κατερρηγότας, διερρηγμένους.

Κατερρινημένοις, ἀπελέσιν, ἢ κατεξεσμένοις. ῥίνη γὰρ ἐργαλεῖον τεκτονικὸν, ᾧ ῥινοῦσιν. ἢ ἀπελέσιν, ὅτι ἐξαπελίζομεν τῇ ῥίνῃ.

Κατερρύη, ἠφανίσθη.

Κατερρύηκε, ἐσάπη, ἠφάνισται.

* Κατερυθμίζω, κατὰ φύσιν, κατὰ μέγεθος. Ἐρωτιανός.

Κατερυθραίνει, καταβάπτει, ἐρυθρῷ βάμματι.

Κατερύκει, κατέχει.

Κατέρυκεν, ἐπέσχεν, ἐκώλυσεν.

Κατέρχομαι, ὅταν εἰς τὴν πόλιν, ἀφ' ἧς ἐξῆλθον, ἐπανέλθω. Αἰσχύλος, ἥκω γὰρ εἰς γῆν τήνδε, καὶ κατέρχομαι.

Κατέσβη, ἐσβέσθη, ἐπαύσατο.

Κατεσήμαινον, ἔλεγεν.

Κατέσθων, κατεσθίων.

Κατεσικέλιζε, κατήσθιε σικελικὸν τυρόν.

Κατέσκαψεν, κατώρυξεν.

Κατεσκέδασέ τινος, ἤ τινί τι, καὶ κατέχεεν ὡσαύτως.

Κατεσκελετευμένα, λελεπτυσμένα, ἐξησθενηκότα.

Κατεσκήνωσαν εἰς τόνδε τὸν τόπον στρατόπεδα, καὶ κατέζευξαν. Δίων, κατέζευξαν ἐπὶ τὸν ποταμόν τινα.

Κατέσκηψε, κατέσχε.

Κατεσκιρωμένη, πεπαλαιωμένη.

Κατεσκίρρωται, ἐσκλήρωται. σκίρρος γὰρ ὁ γύψος.

Κατεσκληκὼς, κατεξηραμένος.

Κατεσκλητευμένος, ἐξίτηλος, τεταλαιπωρημένος.

Κατέσπακας, ἰδίως ἐπὶ τῶν θηλαζόντων βρεφῶν κατασπᾶν λέγουσι, τὸ ἐφέλκειν τὸ γάλα.

Κατεσπᾶσθαι, κατενηνέχθαι.

Κατέσπερχε, προετρέπετο, παρεκελεύετο, συνεβούλευε, συνώθει.

Κατεσπίλασεν, ἀπροσδοκήτως ἐπεφάνη.

Κατεσπόδησε, κατέκοψεν.

Κατεσοφίσθη, ἐπλανήθη.

Κατεστάμενος, καταθύσας.

Κατεστέμμεθα, ἐστεφανώθημεν.

Κατέστη, κυρίως ἐπὶ ὑγρῶν. οἷον ὕδατα καὶ τῶν τοιούτων.

Κατέστην εἰς λόγους σοὶ, ἀντὶ τοῦ ὡμίλησά σοι. καὶ κατέστην εἰς ἀπολογίαν, ἀντὶ τοῦ ἀπελογησάμην.

Κατέστησαν ἕτερον, καὶ κατέστησαν παθητικῶς. Ἀριστείδης, οἵγε αὐτοῖς τοῖς ἄλλοις ἀντὶ θεῶν κατέστησαν.

Κατεστήριξεν, ἀρχῇ νόμῳ ἀπέδειξεν, ἀπέδωκεν, κατεστηλίτευσεν.

Κατέστηψεν, ἐσάρκωσεν.

Κατεστιγμένον, πεποικιλμένον.

Κατέστικται, πεποίκιλται.

Κατεστόρεσεν, κατέστρωσεν, ἐπράϋνε.

Κατεστόρισε, κατέστρωσε. καὶ καθιστόρησεν, ἐθεάσατο.

Κατεστρατοπέδευσαν, κατέδραμεν πολεμικῶς.

Κατέστυγε, κατεστύγνασεν.

Κατέστυγον, κατεπλάγησαν, ἐμίσησαν.

Κατέστυξαν, ἐφοβήθησαν, ἀπὸ τοῦ στύγω.

Κατεσφηκωμένον, περιεχόμενον.

Κατεσφήκωνται, καθήλωνται.

Κατεσφραγίσθη, ἀπεκλείσθη, ἐσφραγίσθη.

Κατεσχέθη δοτικῇ συντάσσεται, ξένοις πολλοῖς κατεσχέθην.

Κατέχεσθαι, τὸ κωλύεσθαι. καὶ κρατεῖσθαι, καὶ ἐμποδίζεσθαι παθητικῶς.

Κατέχημαι κατίσχημαι δὲ βάρβαρον. οὐ γάρ ἐστιν ἰσχέω ἰσχῶ, ἀλλὰ σχέω σχῶ, ὡσαύτως καὶ κατεσχημένος, καὶ συνεσχημένος, καὶ ἀνεσχημένος, καὶ περιεσχημένος. Λουκιανὸς, ὑπὸ τηλικαύτης στρατοπέδου περιεσχημένος.

Κατεσχημένοι, κάτοχοι.

Κατεσχαρωμένης, πεπαλαιωμένης.

Κατέσχες, κατῆλθες, περιεκράτησας.

Κατέσχον, προσωρμίσθησαν.

Κατέσπαρτον, κατεκοιμήθησαν.

Κατεσπάχησε, κατέσπασε.

Κατελᾶτο, κατετολμᾶτο.

Κατέτεινε, σφοδρῶς ἔτυπτε, διήγειρε πρὸς πόνον.

Κατέτρεχεν, ἐπόρθει, ἐλκίζετο, ἐδῄου.

Κατετυμβοχόησα, ἔθαψα.

Κατευθικτήσας, ἀψάμενος.

Κατ' εὐθὺ, κατ' εὐθεῖαν.

Κατευθυνομένη, διοικουμένη.

Κατευκανάθη, ἐρράγη.

Κατευκτὸς, τὴν ἐπί τινι εὐχῇ ὑπόσχεσιν.

Κατευμαρίζοντες, εὐχερίζοντες, καθιστῶντες.

Κατ' ἔτος, Ἀττικοὶ λείπει ἕκαστον.

Κατέβρωξαν, ἐκ τοῦ βρώγω, ὁ μέλλων βρώξω, ὁ ἀόριστος ἔβρωξα, τὸ τρίτον τῶν πληθυντικῶν ἔβρωξαν καὶ κατέβρωξαν.

Κάτευγμα, κατάρα.

Κατευκήλησε, κατέπαυσε, εἰς ἡσυχίαν ἤγαγε.

Κατευμεγεθήσας, ὑπερβαλὼν, νικήσας.

Κατευμαρίζων, κατευχερίζων.

Κατευμεγεθεῖν γενικῇ, καταδυναστεύειν.

Κατευθυμηθεῖσαν, εὐοδωθεῖσαν.

Κατευθικτήσας, ἐπιτυχών.

Κατεύθυνεν, ἐπέτυχε.

Κατευνάζω, τὸ καταπραΰνω.

Κατευνάσαι, κατακοιμῆσαι.

Κατευνάσαιμι, λεχθείη ἂν καὶ κοιμήσαιμι, κατὰ τὸ κοίμησόν μοι ξένος ὅσσε. ἔτι δὲ καὶ λέξαιμι κατὰ ἔλεξα Διὸς νόον.

Κατευρυνέται, μεγαλυνέται, πλατυνέται.

Κατευρίσκοι, κωλύει.

Κατεχηρεῦτο, ἐνίκα, ὑπέπεσεν.

Κατέχεσθαι, θεοφορεῖσθαι.

Κατεύχεο, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ εὔχου, καὶ ἐκαυχῶ.

Κατεχθραίνοντα, μισοῦντα.

Κατεχμάσας, καταχών.

Κατέχμασον, καταφίνευσον.

Κατεύχομαι, τὸ καταρῶμαι, παρ' Ἡροδότῳ ζ, τὸ ἐπιπόνως εὔχομαι. ὡς ἐν τῇ πρώτῃ, πᾶσι Πέρσῃσι κατεύχεται εὖ γίνεσθαι.

Κατεφοίνιξας, κατέβαψας.

Κατεφύγγανον, κατέφευγον.

Κατεφύοντο, κατέβρεχον.

Κατεφορᾶτο, ἠλέγχετο.

Κατέχευεν, θεσπεσίην ἄρα τῷ Τηλεμάχῳ χάριν κατέχευεν, ἀντὶ τοῦ διὰ παντὸς τοῦ σώματος περιήγαγε, καὶ ἔστι καιριωτάτη ἡ λέξις, ὡς ἐπὶ ὑγροῦ περικεχυμένου ῥηθεῖσα, διὰ τὸ χάριεν τῆς τοῦ νέου ἐπιφανείας, ἐν β' τῆς Ὀδυσσείας.

Κατέχειν λέγεται, τὸ σφοδρῶς κρατεῖν, καὶ φυλάσσειν, αἰτιατικῇ συντάσσεται, καὶ ἔχει τὸ ἐναντίον ἀπολύειν.

Κατέχει, κατέχεεν, ἐπέρρει.

Κατεχειροτόνησαν αὐτοῦ, ἀντὶ τοῦ κατεψηφίσαντο αὐτοῦ.

Κατεχλαίνωσε, χλαίναις ἐστόλισεν.

Κατεχλεύαζεν, ὕβριζε.

Κατεχόρδησεν, ἀνεῖλεν, ἐξενάριξεν.

Κατεχόρευεν, ἐπέχαιρεν.

Κατεχρῶντο, ἀνῄρουν, ἐφόνευον.

Κατέψα, τῇ χειρὶ ὡμάλιζε.

Κατεψηφίσατο, κατέκρινε, κατεδίκασεν.

Κατηβολήσει, περιοδικαῖς ἀρχαῖς παροξυσμῶν, παρὰ τῷ Ἱπποκράτει.

Κατηργάσατο, κατηγωνίσατο.

Κατη-

Καταγλαϊσμένα, κατακεκοσμημένα.
Κατηγορία, λόγος λέγων τι κατά τινος, ἢ περί τινος.
Κατηγορηκότα, κατειπόντα.
Κατηγορίας ἔχω, ἀντὶ τοῦ κατηγοροῦμαι.
Κατηγορία ἐστὶ πᾶσα περὶ οὗ δήποτε πράγματος ὁριστικὴ ἔμφασις, οἷον ὁ θεὸς ἀγαθὸς φύσει, ὁ διάβολος πανοῦργος, δολερὰ ἡ ἀλώπηξ. κατηγορίαι δὲ λέγονται, ἐπειδὴ περὶ τῶν δέκα γενικωτάτων γενῶν διέλαβεν. ταῦτα γὰρ κατὰ τῶν μερικῶν μὲν κατηγοροῦνται, οὐδενὶ δὲ ὑπόκεινται.
Κατηγορῶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν, οἷον κατηγορῶ σοῦ ἀμαθίαν.
Κατηγορῶ, τὸ κατά τινος λέγω. καὶ κατηγορῶ, τὸ φάσκω παρὰ φιλοσόφοις, γενικῇ συντάσσεται. κατηγορῶ, τὸ παριστῶ, αἰτιατικῇ. ὡς τὸ κατηγορεῖ σε ἡ θλῖψις μικρόψυχον. κατηγορεῖν, τὸ κατά τινος ἀγορεύειν, οἷον κατηγορῶ σου φόνου, καὶ κατηγορῶ σου ἀδικίαν.
Κατηγορῶ, οὐ μόνον ἐπὶ κακοῦ, καὶ ἐπὶ καλοῦ ποτε. Φιλόστρατος ἀμυστίαν κατηγορεῖ τοῦ ἀνδρὸς, ἤγουν ἐπάνω αὐτοῦ ἀγορεύει, ἐνταῦθα γὰρ ἡ κατὰ, ἐπάνω θέσιν δηλοῖ, εὕρηται ἅπαξ παθητικῶς κατηγοροῦμαι, ἀντὶ τοῦ κατηγορῶ. ἰστέον, ὅτι τίθεται ἐπὶ κακοῦ ἡ κατὰ, δεῖ καὶ προσθήκης τινὸς ὀνόματος, οἷον τῶν ἐπαίνων τῶν κατὰ σοῦ. ἀπὸ γὰρ τῶν ἐπαίνων δηλοῦται ἡ δύναμις τῆς κατά.
Κατέδα, καταβεβρωμένα.
Κατῄδεσαν αὐτὸν, αἰσχυνθῆναι ἐποίησαν αὐτόν.
Κατῄδεσα, αἰσχυνθῆναι ἐποίησα.
Κατηδολέσχησά σου, ἀντὶ τοῦ κατὰ σοῦ ἐμακρολόγησα, ἐφλυάρησα.
Κατηθαλωμένη, πεφρωθεῖσα.
Κατηθαλωμένον, καὶ καυθῆναι δυνάμενον, ἢ τὸ καταλαμπόμενον ὑπὸ τοῦ ἡλίου, τὰ γὰρ ὑπερέχοντα τῶν κτισμάτων πρώτως καταλάμπονται.
Κατηθάτω, καθωμιλησάτω.
Κατηθλημένων, ἐγγεγυμνασμένων.
Κατῄκιζον, ὕβριζον, ἔξεον.
Κατῃκισμένους, βασανισθέντας, ὑβρισμένους.
Κατῃκίσατο, ἐβασάνισεν, ἐμάστιξεν.
Κατῄκισται, ἀντὶ τοῦ κακῶς ἔπαθεν, ἐκ μεταφορᾶς τῶν αἰκιζομένων σωμάτων. ἢ δεινῶς καὶ ἀηκελίως ἔχει τῆς προτέρας καταστάσεως, παρ' Ὁμήρῳ.
Κατήκοοι, ἀκροαταὶ ὦ μέγιστε θεῶν.
Κατηκόντισε, τῆς Λυσίου ψυχῆς κατηκόντισε.
Κατηλαζονεύετο, κατεπαίρετο αὐτοῦ.
Κατηλίτης, ἐπήκοος.
Κατηλέποντα, φροντίδας ποιοῦντα.
Κατῆλθον ἐκεῖσε, παρ' Ὁμήρῳ ἐν ω' τῆς Ὀδυσσείας, ἢ ἀντὶ τοῦ ἐνελιμενίσθην ὡς πολλαχοῦ, ἢ ἀντὶ τοῦ ἁπλῶς ἦλθον. Ἀττικοὶ μέντοι καὶ τὸν φυγάδα εἰς τὴν πατρίδα νοστῆσαι λέγουσιν, ἐπεὶ ἡ πατρὶς ἑκάστοις οἷα τις λιμήν ἐστι.
Κατῆλιψ, μεσόδμη, μεσότοιχον, δοκὸς ἤ ὑπό τινος βαστάζουσα τὸν ὄροφον. οἱ δὲ ἰκρίωμα τὸ ἐν τῷ οἴκῳ, ὃ καὶ βέλτιον.
Κατηλοημένη, συντετριμμένη.
Κατηλόκισται, κατατέτριπται.
Κατηλυσίη, ἡ κάθοδος καὶ ἡ ἐπέλευσις.
Κατήλυσις, κατέλευσις, πόρνη. * διὰ τὸ παρ' αὐτῇ ἕκαστον καταλύειν.
Κατηλωκυῖα, κρατηθεῖσα.
Κατημαξευμένος, πετριμμένος.
Κατημαξευμένα, κοινὰ, καταπεπατημένα, πετριμμένα, γεγυμνασμένα.
Κατήμασσον, κατέξυον, κατεσπάραττον.
Κατημελής, κατήκοος.
Κατημέλησα, ἀντὶ τοῦ ἠμέλησα.
Κατήμυσαν, ἐστύγνασαν, ταῖς λύπαις κατεκλίνθησαν, παρὰ τῷ Ἀπολλωνίῳ.
Κατημύχθη, ἐσπαράχθη.
Κατήναρε, κατέκτεινε.
Κατηναρισμένα, ἀπολωλότα, ἐκδεδαρμένα, ἐσκυλευμένα. Σοφοκλῆς, Αἴαντι μαστιγοφόρῳ.

Κατηνύετο, ἠνύετο.
* Κατηνόει, κατενόει, ἐσωφρόνει, ᾐσθάνετο.
Κατηνδράφυξας, κατέκτεινας.
Κατήνοχα, κατενήνοχα.
Κατηντιβόλουν, παρεκάλουν.
Κατήνυσεν, ἠνάλωσεν.
Κατηόνων, κατήντλουν. ἔχει τὸ ι. ἀπὸ γὰρ τοῦ καταιονῶ, καταιονᾷς, καταιονᾷ.
Κατηπιοῦντο, κατεπραΰνοντο.
* Κατηπεδανὸν, κατησθενηκός. Ἐρωτιανός.
Κατηργάσατο, κατηγωνίσατο.
Κατηργηκέναι, ἀνενέργητον εἶναι.
Κατηργμένος, κατηπεισμένος, κατεστιγμένος.
Κατῆρε, κατέπλευσε.
Κατηρειγμένος, πεπτωκὼς, καμπτόμενος.
Κατήρεε, κατέβαλεν. αἱρέω γὰρ σημαίνει, τὸ καταβάλλω. παρατατικὸς ἥρεον ἥρουν, ἥρεες ἥρεις, ἥρεε καὶ κατήρεε, κατελάμβανε, παρὰ τῷ αἱρῶ περισπωμένον, ὃ σημαίνει τὸ καταλαμβάνω. μὴ δέ σε λήθη αἱρείτω.
Κατηρέθετο, παρωξύνθη.
Κατηρείκοντο, κατεσχίζοντο.
Κατήρειξαν, ἀνήλωσαν.
Κατῆρες, κατηρτισμένη ἐν ἐρήμῳ.
Κατηρεφέα, κατεστεγασμένα.
Κατηρεφὴς, οὐ μόνον τὸ ὑψηλὸν ἁπλῶς, ἀλλὰ καὶ τὸ καλύπτον δίκην ὀρόφου, ἤτοι ἐοικὸς ὀρόφῳ.
Κατηρέψασθε, τουτέστι νοουνεχῶς ἐσκεπάσθητε.
Κατήρη, κρεμαμένην.
Κατήριπες, κατέπεσας, πέπτωκας.
Κατῆρξε, συνέκλεισε.
Κατηρομάει, μεγαλοφρονεῖ.
Κατήροσας, ἐφύτευσας, ἐγέννησας.
Κατηρράχθη, ἔπεσε, περιεστράφη.
Κατήρτυτο, καθειστήκει, ἐσωφρόνει, παρὰ τῷ Ἱπποκράτει.
Κατηρτισμένα, τέλεια. καὶ ὁ Ἀπόστολος, σκεύη ὀργῆς κατηρτισμένα.
Κατηρτίσω, ἐτελείωσας.
Κατηρτυκότα γνώμονα ἔλεγον, τὸν βαλλόμενον ὀδόντα τῷ ὄνῳ.
Κατήρυδες, αἱ βρίθουσαι καὶ καταρρέουσαι ἄμπελοι. λέγει δὲ τὰς χρυσᾶς ἀμπέλους, παρόσον οὐκ ἐκλαδεύοντο.
Κατήρυτον, κεκαλυμμένον καὶ κατεχόμενον.
Κατῆσαι, καταχηλῆσαι, καθομαλῆσαι.
Κατησάτω, κατεκλησάτω, καθωμιλησάτω.
Κατήσατο τῶν λόγων, ἐκ τοῦ ᾅδω.
Κατηύχοντο, κατηρῶντο.
Κατηφέες, κατάστυγνοι διὰ τὴν λύπην.
Κατηφῆσαι, ἀντὶ τοῦ δυσανασχετῆσαι.
Κατήφεια, συγνότης, ὄνειδος, αἰσχύνη, αἰδὼς, ἀνία, καὶ κατήφεια, σκυθρωπότης.
Κατηφὴς, ὁ ὑπὸ αἰσχύνης κάτω νεύων τοὺς ὀφθαλμοὺς, ἤγουν ὁ αἰσχυνόμενος. παρὰ τὸ φῶ, τὸ φαίνω γέγονε παράγωγον, φάω φάος, καὶ ἐν συνθέσει μετὰ τῆς κατὰ προθέσεως γέγονε καταφαὴς, καὶ ἐν συγκοπῇ κατηφὴς, ὁ ἔχων κάτω τὰ φάη, ἤγουν τοὺς ὀφθαλμούς.
Κατήφησαν, ἐκ τοῦ κατηφῶ κατηφήσω. τὸ μὲν κατηφιᾶν, κοινόν. ὅμοιον δὲ καὶ τὸ μηδῶ μηδήσω καὶ μηδιῶ. δῆλον δὲ, ὅτι ταυτὸν τὸ ἀκάχοντο καὶ τὸ κατήφησαν.
Κατηφιᾶν, ἐκ τοῦ κατηφιῶ, τὸ λυποῦμαι.
Κατηφίη, αἰσχύνη, συγνότης.
Κατηφόνες, παρ' Ὁμήρῳ ἐν τῷ ω' τῆς Ἰλιάδος. οἱονεὶ αὐτόσχημα κατήφειαν. θηλυκὴ γὰρ ἡ προσηγορία κατὰ τὸν Ἀρίσταρχον. διασαφητικὸν δέ πως ἐστὶ τοῦτο τοῦ κακὰ τέκνα. καὶ ἄλλως δὲ κατηφόνες, καθ' ὧν φόνος ψηφιστέος. ἵνα ᾖ τὸ μὲν πρῶτον ἀναλόγως τῇ κατηφείᾳ, ὧν εἶναι χρὴ κάτω τὰ φάη ἐπικρυπτομένων τὸ βλέπεσθαι. τὸ δὲ δεύτερον, ὡς ἐκ τοῦ φῶ, τὸ φονεύω. ἵνα εἶεν κατηφόνες, οἱ φόνου κατάξιοι. καὶ κατηφόνες, συγνοὶ, ἢ ἀναίσχυντοι.
Κατηχήθησαν, ἐδιδάχθησαν.
Κατήχθη, εἰς τὴν πατρίδα ἐπανῆκε.
Κατηχθημένος, βεβαρυμένος.
Κατηχίζειν, νουθετεῖν, ἐνηχεῖν.
Κατηχήσω, οἰκοδομήσω.
Κατηχθίζετο, ἐμισεῖτο.
Κατηχούμενος, διδασκόμενος.

Κατηχῶν αἰτιατικῇ, προτρεπόμενος, παραινῶν. καὶ κατηχῶ δὲ, ἀντὶ τοῦ ἠχῶ γενικῇ.
Κάτθανεν, ἀντὶ τοῦ κατέθανεν. ὀφείλοντα διὰ δύο γράφεσθαι δασέων, οἷον κάθθανεν. ὅμως δι' ἀντιστοίχων αὐτοῖς συμφώνων ψιλῶν γράφεται, ἵνα μὴ εὑρεθείη ἐν Ἑλληνικῇ λέξει δασέως διπλασμός.
Κατθέμεν, θεῖναι.
Κάτθεο, κατάθου.
Κατιαλλόμεναι, συνδεδεμέναι παρὰ τῷ Ἱπποκράτει. * ἀπὸ τοῦ ἰλλῶ ἰλλάω, τὸ δεσμεύω.
Κατίασι, τὸ κατέρχονται. κατίει μὲν ὁ Βασιλεὺς ἐφ' ἑσπέραν. κατιᾶσι δὲ, τὸ χαλῶσι κυρίως τῶν ὑγρῶν. οἷον καθιᾶς τὴν ὁρμιὰν ἢ ἄγκυραν, ὡς ἀπὸ τοῦ καθίημι. καθίημι δὲ δύο σημαίνει. ὧν τὸ μὲν λαμβάνεται ἐπὶ ἐνέδρας, οἷον καθῆκα λόχον, ὡς καὶ Συνέσιος. καὶ βαρβαρικὸν μὲν δρᾶμα συνθεὶς, τὸν σφαγέα δὲ καθεὶς τῶν σαυτοῦ λοχιτῶν τὸν ὠμότατον. ἤτοι ὑποβαλὼν, καὶ εἰς λόχον καθίσας.
Κάτιδε, θεώρησον.
Κατ' ἰδίαν, ἰδίως.
Κατ' ἴητρον, τὰ κατὰ χειρουργίαν, παρὰ τῷ Ἱπποκράτει.
Κατικτηρία, ἡ ἐπὶ καθόδῳ θυσία.
Κατιλλάνθη, κατεμυκτήρισεν.
Κατιλλοπτῶ, καθορῶ.
Κατιλύσαντες, περικαλύψαντες.
Κάτιμεν, κατερχόμεθα.
Κατίναξ, παρέστη.
Κατισχημένος, κεκρατημένος. κατησχυμμένος δὲ, ὁ ἄξιος αἰσχύνης, ἤ.
Κατισχνώθη, ἐξηράνθη, ἐλεπτύνθη.
Κατ' ἴχνος, κατὰ πόδας.
Κατιώθη, ἐρρυπώθη.
Κατίωται, ἐρρύπωται.
Κατιωμένον, κατερρυπωμένον.
Κατοικίαι, κατάχαλκα σκεύη.
Κατ' οἶκον, κατὰ τὸν οἶκον.
Κατοικτίζετο, οἴκτου τυχεῖν ἠξίου, ἐλέους κυρῆσαι.
Κατοιμώζοντες, στενάζοντες.
Κατοιμώξας, καταμεμψάμενος.
Κατοινῶσαι, κατακρύψαι.
Κατοιόμενος, ὁ νομίζων ἑαυτὸν μέγαν καὶ φυσῶν καὶ ὑπερηφανευόμενος.
Κατοίσεται, κατάξει.
Κατοιχομένων, ἀπελθόντων, τεθνεώτων.
Κατοκωχὴ, κατοχή.
Κατοκώχημαι, κάτοχον ἰσχυρόν.
Κατ' ὀλίγον, κατὰ μικρόν.
Κατολισθαινόντων, κινουμένων, ἐμπιπτόντων.
Κατολοφυρόμενοι, θρηνοῦντες.
Κατομηδασαδέον, ὑπακουστέον, παρὰ τῷ Ἱπποκράτει.
Κατομόσαι, ἀπὸ μόνου γε τοῦ τὸν θεὸν κατομόσαι, ἢ ἀπομόσαι.
Κατ' ὄναρ, οὐ γενναῖον λέγειν, ἀλλ' ὄναρ καὶ κατὰ τοὺς ὕπνους καὶ ἐνύπνιον. κατ' ὄναρ δὲ Πολέμων ὁ Ἰωνικὸς σοφιστὴς Δημοσθένους τοῦ ῥήτορος εἰκόνα χαλκῆν ἐν Ἀσκληπιοῦ τοῦ ἐν Περγάμῳ τῇ Μυσίᾳ ἀναθεὶς, ἐπέγραψεν ἐπίγραμμα τοιόνδε. Δημοσθένης παιανιαία Πολέμων κατ' ὄναρ, ἀδοκιμωτάτῳ τῷ κατ' ὄναρ χρησάμενος. ὥσπερ γὰρ καθ' ὕπαρ οὐ λέγεται, ἀλλ' ὕπαρ, οὕτως οὐδὲ κατ' ὄναρ, ἀλλ' ἤτοι ὄναρ ἰδὼν, ἢ ἐξ ὀνείρου ὄψεως. οὕτως ἄρα μέγιστόν ἐστιν ὀνομάτων γνῶσις, ὅπου γε δὴ καὶ τὰ ἄκρα τῶν Ἑλλήνων πταίοντα ὁρᾶται, Φρύνιχος.
* Κάτοξυ νόσημα, τὸ μεῖζον τοῦ ὀξέως, τὸ αὐτίκα ἀκμάζον, περὶ τὴν πρώτην δηλαδὴ τετράδα, ἢ μικρὸν ταύτης ὀξύτερον.
Κατοπάζει, ἀποκρύπτει, ἀκολουθεῖ.
Κατοπάζων, διώκων.
Κατόπιν, ἀντὶ τοῦ ὄπισθεν. Ἀριστοφάνης, ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ. Λουκιανὸς, κατόπιν δὲ ἠκολούθει.
Κατόπιν, ἑορτῆς ἥκομεν, οἷον μετὰ τοῦτο.
Κατόπτην, κατάσκοπον.
Κατοπτεύω, ἐποπτεύω, ἐπιβλέπω, ἢ καθορῶ.
Κατόπτης, ἐπιτηρητής.
Κάτοπτον, κάτοπτες, ἢ φανερὸν, ἢ ἀντικρύ.

Κάτο-

Digitized by Google

Κάτοπτα, ἀόρατον.

* Κατοπτὴρ, ὄργανον, ὁ ἑδροδιαστολεὺς, τὸ ἐκουλουμ παρὰ Λατίνοις λεγόμενον, ὥσπερ καὶ διόπτρα, ὁ γυναικῶν διαστολεύς. καὶ κάτοπτρον.

Κατοπτεύζεται, ἐν αἰσθήσει φαντάζεται, ἢ ὁρᾶ.

Κάτοπτρον, ὁ κοινῶς λεγόμενος καθρέπτης. ἔσοπτρον δὲ, τὸ κοινῶς φανάρειον.

Κατοργᾶν, ὑπερακμάζειν.

Κατοργῶν, πεπαλαιωμένοι.

Κατορθῶ, τὸ ἀνδραγαθῶ. καὶ κατόρθωμα, ἡ ἀνδραγαθία.

Κατόρθωμά ἐστι πρᾶξις ἀκόλουθος ὀρθῷ λόγῳ, ἢ νόμου πρόσταγμα.

Κατορθῶσαι, ἐπὶ πολέμου καὶ τῶν τοιούτων.

Κατορυβὰν, ἡ ἀγορά.

Κάτορρα, ἡ κατάρρα, βωμὸς ἐνόδιος.

Κατορρωδεῖ. φοβεῖται.

Κατορυγῶσι, ταφῶσι.

Κατορύττει, ἀντὶ τοῦ κρύπτει.

Κατορυχὰς, θησαυρούς.

Κατορφνᾶται, σκοτεινὴν ποιεῖ.

Κατορχούμενος, καταπαίζων.

Κατορώρυκται, κατακέχωσται.

Κατ' ὄσσων, κατ' ὀφθαλμῶν.

Κατουδαίους, ἐστὶν ἐν τῷ ὑπὸ γῆν οἰκοῦντες.

Κατουλάδα, παρὰ τῷ Ἀπολλωνίῳ σκοτεινὴ νύξ. κατουλὰξ καλεῖται παρὰ τὸ ὀλοόν. Σοφοκλῆς ἐν ναυπάκτῳ, νυκτὶ κατουλάδι. κατουλάδα τὴν κατειληθυῖαν καὶ εἰργουσαν. βέλτιον δὲ τὴν κατόλεθρον, ἢ ζοφώδη, καὶ συστροφὰς ἔχουσαν ἀνέμων.

Κατ' οὐρὰν, κατόπισθεν.

Κατουρίσας, ἀθρόως πάντα κάλων καθεὶς, καὶ μὴ διαμελλήσας.

Κατοφρυώμενος, μεγαλοφρονῶν.

Κάτοχα, τοῦ στυπάνου τὸ κατεχόμενον.

Κατόχιμοι, κατεχόμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων.

Κάτοχος, ὁ ἐνθουσιῶν. κατοχὴ ἐπὶ ψυχῆς, ἐπιληψία ἐπὶ σώματος. ὅθεν καὶ ἐπίληπτος, ὅπερ γίνεται ἀπὸ νόσου. τὸ δὲ κάτοχος ἀπὸ τοῦ θείου ἢ θεοῦ. ὅθεν καὶ τοὺς προφήτας κατόχους εἰπεῖν, ὑπὸ τοῦ θείου κεκρατημένους. * Κατοχὴ, κῶμα ἄγρυπνον.

Καστάγοντες, οἱ βόαγροι. Λάκωνες.

Καστοὺς, ὄρνις ποιός.

Κάστοπαν, κάταντες.

Καστὸς, κακός.

Κάττης κάττου, ὁ κατοικίδιος αἴλουρος.

Καττύει, διαστεπίζει, συρράπτει.

Καττύεσθαι, ὑποδύεσθαι ἐκ τῶν καττυμάτων.

Καττύεται, ἀντὶ τοῦ συντίθεται, ῥάπτεται.

Κάττυμα, ἀπάτη, δόλος.

Καττύματα λέγονται, οἱ μικροὶ ἱμάντες οἱ τοῦ κόπρου ἐρριμμένοι. καὶ παρακαττύομαι, ἐκ συλλογῆς διαστεπίζομαι, παρὰ τῷ Ἀριστοφάνει.

Καττωὶ, ἀπότριμμα δερματίου.

Καττύω, κατασκευάζω, καὶ τὸ ὑπόδημα ῥάπτω, ἢ τοιοῦτό τι. καττύεσθαι, ὑποδύεσθαι ἐκ τῶν καττυμάτων. καττύεται, συντίθεται καὶ ῥάπτει.

Καττύματα, τὰ ἄκρα δέρματα καὶ εἰς μικρὰ τετμημένα.

Κάτω ἐσμὲν, ἦλθον κάτω, καὶ κάτω εἰμί. πάντα τὰ ἐπιρρήματα τὰ ἀπὸ προθέσεως ἀρχόμενα, διὰ τοῦ ω μεγάλου γράφεται. οἷον ἀνὰ ἄνω, κατὰ κάτω, εἰς εἴσω, ἐξ ἔξω, καὶ πρὸς πρόσω. ὁμοίως καὶ τὰ ἀπὸ ἐπιρρημάτων γινόμενα διὰ τοῦ ω εἰσὶν, οἷον ἐγγὺς ἐγγυτέρω, ἔξω ἐξωτέρω, κάτω κατωτέρω, κατωτάτω, κατώτερος, κατώτατος.

Κατώγειον, ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ διὰ τοῦ ε ψιλοῦ καὶ ω μεγάλου, ὁ ἀνώγεως καὶ ἡ ἀνώγεως καὶ τὸ ἀνώγεων καὶ κατώγεων. κατώγειον δὲ λέγουσιν οἱ κοινοί.

Κατώδυνος, λυπηρά.

Κατωθήσαντος, καταβάλλοντος.

Κατωθούμενος, ἀναστρεπόμενος.

Κατωκάθεξας, ἐπὶ πτέρνην ἐκάθισας.

Κατωκάρα, κατωφερῶς. ὅτι τὸ ἐπὶ τῆς κεφαλῆς πεσεῖν, κατωκάρα Ἀττικοὶ ὑφ' ἕν.

Κατωκάρα, κατὰ κορυφὴν, οὕτως οἱ Ἀττικοὶ ὑφ' ἓν λέγουσι.

Κατωκοδόμησεν, ἀντὶ τοῦ κατέκλεισεν εἰς οἴκημα, ἀπέκτεινεν.

Κατωλιγώρησαν, ἐμικροψύχησαν, καὶ ἀντὶ τοῦ κατεφρόνησαν.

Κατώλισθον, κατέπεσον.

Κατώλυξα, κατέξανα.

Κατωμαδὸν ἤλασεν ἵππους παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀνατείνας ἕως ὤμων τὴν μάστιγα. ὤμων δὲ ἢ τῶν ἑαυτοῦ, ἢ τῶν ἵππων. καὶ κατωμάδιον δίσκον, ὃν ὡς εἰκὸς ἐπὶ τὰ ὀπίσω τὶς ἀφίησιν.

Κατωμαδὸν, κατὰ τῶν ὤμων.

* Κατωμάζειν, ὑποβάλλειν τῇ μασχάλῃ, τὸν ἑαυτοῦ ὦμον.

Κατωμιστὴς, ὁ ἀπὸ τῶν ὤμων ῥίπτων ἐπὶ τὴν γῆν ἵππος.

Κατώμορξεν, κατεσπάραξεν, κατέψησεν.

Κατωμοτικὸν, τὸ μεθ' ὅρκου βεβαιωτικὸν, οἷον νὴ τοῦτο τὸ σκῆπτρον.

Κατωνάκη, ἱμάτιον ἐστὶν ἐκ τῶν κάτω μερῶν. νάκος τουτέστι διφθέραν περιερραμμένον, σημαίνει καὶ δουλικὸν καὶ ἀνελεύθερον χιτῶνα.

Κατωνάκης, δουλικὸς καὶ ἀνελεύθερος χιτών.

Κατωνάκη, τὸν χοῖρον ἀποτετιλμένας τὰς δούλας φησί.

Κατωπιάσαι, κατωφῆσαι.

Κατωραΐζεται, σεμνύνεται.

Κατωρὴς, κάτω ῥέπων.

Κατωρυγῶσιν, ταφῶσιν.

Κατώρυχες, κατωρυγμένοι.

Κατωρυχέες λίθοι, οἱ καταρωρυγμένοι, ὅ ἐστιν διατεθεμελιωμένοι. ὧν τὸ μὲν κατορώρυκται, τὸ δὲ ὑπερφαίνεται. ῥυτοὶ δὲ οἱ ἑλκυστοὶ διὰ τὸ μέγεθος.

Κατωρχήσαντο, ἐνέπαιξαν, κατεχάρησαν.

Κατώτερα μέρη τῆς γῆς, τὸν θάνατον λέγει ὁ Ἀπόστολος.

Κατωφαγᾶς, ὅτε βαρύνεται, ἐπίθετον. ὅτε δὲ περισπᾶται, κύριον. ἴσως δὲ ἀπὸ τοῦ καταφαγεῖν τὸ ὄνομα πεποίηκε.

Κατωφερὴς, ὁ κάτω φερόμενος.

Κατωτίδες, ἅπερ οἱ νομεῖς κατὰ τῶν ὤμων φοροῦσι δέρματα.

Κατωχάνης, ὁ κάτοχος τοῦ στυπάνου κυρίως.

Κατωχάδει, πηδᾷ, ἐπικάθηται.

Κατῴχοντο, κατέβησαν, κατεγένοντο.

Καυάζοντα, ἀποσκάζοντα.

Καυαλέον, ἢ καυαλὲς ὑπὸ Αἰολέων, τὸ ἄνθος, ἢ κατακεκαυμένον, κάπυρον, ξηρὸν, θερμόν.

Καυαλὸς, μωρολόγος.

Καύαξ, λάρος.

Καυάξαι, συντρίψαι.

Καυαρὸν, κακὸν, πονηρόν.

Καυδὼ, νῆσος πλησίον Κρήτης, ἔνθα μέγιστοι ὄναγροι γίνονται.

Καύθωνος, τοῦ μαλθακοῦ.

Καυκαλίας, ὄρνις ποιός.

Καυκιάλης, βοτάνη τὶς ὁμοία κορίῳ, καὶ ὄρνις.

Καυκὸν, καυλίον, καὶ ἄγριον λάχανον.

Καυλίον, ὃ κατανέμονται οἱ ἰχθύες, καὶ τῶν κιόνων μέρος.

Καυκίον, παρ' ἡμῖν. κύλιξ δὲ, παρὰ σοφοῖς.

Καύκωνές εἰσι Παφλαγονικὸν ἔθνος, καὶ περὶ τούτων ὁ Γεωγράφος πολλὰ λέγει.

Καύληξ, ὁ λάρος, διὰ τὸ ἀδδηφάγον. καύη γὰρ ἡ τροφή.

* Καυληδὸν, καυλοῦ δίκην. εἶδος κατάγματος, ὅταν τοῦ καταγέντος ὀστοῦ μηδὲν ἀπαθὲς ὑπολείπηται, διαλυθέντων ἀπ' ἀλλήλων τῶν μερῶν, ὡς κατὰ μηδὲν τοῦτο συνέχεσθαι.

Καυλὸν λέγει Ὅμηρος, τὸ καθιέμενον ξύλον εἰς τὴν ἐπιδορατίδα, ἤγουν εἰς τὸ κοῖλον αὐτῆς. ὡς τὸ ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ.

Καυλὸς, τὸ ἄκρον ξύλον, ὃ ἐνίεται τῇ αἰχμῇ.

Καυλὸς δόρατος, ὁ τῷ σιδήρῳ τῆς ἐπιδορατίδος ἐνιέμενος. ὡς ἔπληξε τὸ δόρυ παρὰ καυλὸν ὄπισθεν τῆς αἰχμῆς. καὶ ἀλλαχοῦ παρὰ τῷ Ποιητῇ, ὡς τὸ ἀμφὶ δὲ καυλὸν φάσγανον ἐρραίσθη. ὥστε οὐκ αἰχμῆς μόνον καυλὸς, ἀλλὰ ἰδοὺ καὶ ξίφους. καὶ εἴη ἂν τοιοῦτος καυλὸς τὸ κατὰ τὴν λαβὴν τοῦ ξίφους ἐπίμηκες καὶ στενὸν, ἤγουν κώπη τοῦ ξίφους, ἀφ' οὗ καὶ κωπῆεν αὐτὸ παρονομάζεται.

Καῦλος, ἡ μὲν ῥίζα τῆς πόας ταύτης σίλφιον ἰδίως ὀνομάζεται. ἐστὶ καὶ καῦλος τὶς τόπος παρὰ τῷ Ἱπποκράτει.

Καυλῷ, τῷ ἄκρῳ τοῦ δόρατος.

Καυλωνία, χώρα.

Καυλωνία, ἐκ τοῦ αὐλωνία κατὰ πλεονασμὸν τοῦ κ, σημαίνει δὲ τὸ αὐχεῖν ἐπὶ χρηστοῖς πράγμασι. Λυκόφρων δὲ ἐπὶ φαύλων κέχρηται, ὡς τοὺς ἀκούοντας αἰσχύνεσθαι.

Καῦμα, τὸ κεκαυμένον ἄημα, ἢ θῦμα, ἢ πύρωσις.

Καυμασία, καυμελαύκιον. ἢ καυμελάκιον διὰ τὸ πρὸς τὸ καῦμα ἐπιτήδειον. ἐν ἐπιγράμματι καυσίη, ἥτοι πάροιθεν Μακεδόσιν εὔκολον ὅπλον, καὶ σκέπας ἐν νιφετῷ, καὶ κόρυς ἐν πολέμῳ.

Καύνατος ἱδαλίμου, τοῦ θερμοτάτου, ἱδρωτοποιοῦ.

Καυνάκαι, στρώματα, ἢ ἐπιβόλαια ἑτερομαλλῆ.

Καυνάκης, χλαῖνα περσικὴ ἀλεεινὴ, παρὰ τὸ ἀλεαίνεσθαι. ὁ δὲ Παλαμήδης φησὶν, καυνάκης ἐστὶ περσικὸν ἱμάτιον, ἔχον ἐκ τοῦ ἑτέρου μέρους μαλλούς. ἄλλως καυνάκης, εἶδος ἱματίου, ὅπερ καὶ περσίδα καλοῦσιν. οἱ δὲ, σισύραν θυματίδα, ὅπερ ἔοικε μορύχου σάγματι. σάγμα δὲ, ἡ θήκη τοῦ ὅπλου.

Καυνάκιον, στρῶμα.

Καύνιος ἔρως, ἐν καύνῳ τιμᾶται, καὶ ὁ σφοδρός.

Καυνὸς, κακὸς, σκληρὸς, κλῆρος, καὶ πόλις Ῥόδου.

Καυρὸς, κακός.

Καῦρος, ὁ κοῦφος ταῖς φρεσὶν, οἱονεὶ αὖρος τὶς ὤν, καὶ πλεονασμῷ τοῦ κ καῦρος. τὸν γὰρ κατὰ νοῦν ἐλαφρὸν, καῦρον ἐπονομάζουσι. βέλτιον δὲ διὰ τοῦ γ γαῦρον λέγειν, ἵν' ᾖ ὁ σφοδρὸς καὶ ὑπερήφαντος, παρὰ τὸ ἀπὸ γῆς αἴρεσθαι.

Καύσαλις, ὁ πυρετός.

Καυσία, εἴρηται μὲν καυμελαύκιον, παρὰ τὸ ἐλαύνειν τὸ καῦμα. καὶ γὰρ ἡ καυσία ἔοικε διὰ τὸ πρὸς τὸ καῦμα εἶναι ἐπιτήδειον. ἐστὶ γάρ τι κάλυμμα κεφαλῆς.

Καυσία, εἶδος πίλου βαρβαρικοῦ ἐπὶ τῆς κεφαλῆς.

* Καῦσος, πυρετὸς, ὁ μετὰ πυρώσεως πολλῆς γινόμενος, ἀνάστολην μηδεμίαν τῷ σώματι πορέχων, γλῶσσαν ἐπιξηραίνων, μελαίνων, ἐπιθυμίαν ψυχροῦ παρέχων.

Καῦσος, ἡ μέλαινα, καὶ ὑπέρυθρος.

Καυστειρὰ μάχη, μυριαχοῦ τῆς ποιήσεως ἡ θερμὴ καὶ πυρόεσσα, κατὰ τὸ μάχοντο δέμας πυρός. διὸ καὶ δηϊοτὴς καὶ δηῒς ἡ αὐτὴ, καὶ δήϊος πόλεμος, ἀπὸ τοῦ δαίω τὸ καίω.

Καυστειρὸς, ἀπὸ τοῦ καίω καύσω κέκαυμαι κέκαυσαι καυστειρὸς, κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς τὴν ει δίφθογγον.

Καυστηρῆς, καυστικῆς, θερμῆς, ὀξείας, δριμείας, διαπύρου.

Καῦσις, ἡ ἔκφυσις τῶν σταχύων, πυροὶ ἀδρυνόμενοι, καὶ χόρτος. τὸ δ' αὐτὸ καὶ ἀμφίκαυσις, καὶ ἐπώνυμον Δήμητρος. Κρατῖνος δὲ ἐπὶ τοῦ μορίου ἔταξεν αὐτὸ, καλεῖται δὲ καὶ εὔστρα καὶ στρῶμα.

Καύστιος, ποταμός.

Καύσων καὶ ὁ αἴθων, διὰ τοῦ ω μεγάλου κλίνεται. ἐπειδὴ γὰρ ἐκ μετοχῶν εἰς ὀνόματα μετεποιήθησαν, καὶ τὴν διὰ τοῦ ν, τ, κλητικὴν ἀπέβαλον κλίσιν, εἰς τὴν φυσικὴν ἔκτασιν μετέπεσον.

Καύσωνος, θέρμης.

* Καυτὴρ, χάλκιος καλαμίσκος τετρημένος κατὰ τὸν πυθμένα δι' οὗ καίειν ἐστὶ, καυτηρίδιον διαφανὲς καθιέν.

Καύτινα, καὶ εἰς τοὐπίσω.

Καυτὸν, θυσία τὶς οὕτω καλουμένη, καὶ ἐσχάρα, καὶ ἑστία, ἔνθα καίουσιν.

Καυχαλὶς, φλύκταινα.

Καυ-

Καυχᾷ, οἱ λοιποὶ ῥήτορες ἐπὶ τῆς αὐτῆς ἐννοίας αὐχεῖν λέγουσιν.
Καυχήσεται, κομπάσει. σημαίνει δὲ ἡ λέξις πλείονα. ἐπὶ καυχήσεως μὲν ὡς νῦν. ἐπὶ δ' ἀρχῆς, ὡς ἐν ἐκείνοις, οὐδ' ἠπείλησεν ἄνακτι. ἐπὶ δὲ ὀργῆς, ὡς ἐν τῷ ἠπείλει κἀκεῖνος ἐναντίβιον πολεμίζων ἐνθάδ' ἐλεύσεσθαι.
Καυχῶ, τῆς δευτέρας συζυγίας. τὸ δὲ αὐχῶ, τῆς πρώτης.
Καυχώμενος, μεγαληγορῶν.
Καφὰ, λουτήρ. Λάκωνες.
Καφάζειν, γελᾶν.
Καφάζοι, καγχάζοι, γελᾷ.
Καφὰν, κηφῆνα.
Καφάσιος, μῦς.
Κάφειλεῖν τὰ δείματα, ἤγουν καὶ ἀφελεῖν τοὺς φόβους.
Κάφος, τὸ πνεῦμα. ὅθεν καὶ κῆπος, ὁ περιπνεόμενος τόπος.
Καφηρεὺς, ἔχει μὲν καὶ Εὔβοια πρὸς τῇ ἑξῆς θαλάσσῃ καφηρέα. καφηρεὺς δὲ λέγεται τόπος θαλάσσης πρὸς τοῖς αἰγιαλοῖς τραχὺς καὶ τεναγώδης, σκοπέλοις διειλημμένος, καὶ ἕρμασι καὶ χοιράσι, καὶ τὰ πρὸς ἀπόβασιν ἀπορώτατος, ἅτε κρημνοῖς περιστοιχιζόμενος, καὶ πρὸς τοῖς ἄλλοις κακοῖς ἔτι καὶ διηνεκέσι τοῖς ἀνέμοις καταπνεόμενος, ὡς ὁ παρ' Ὁμήρῳ, προβλὴς σκόπελος, τόν τε ποτε κύματα λείπει παντοίων ἀνέμων, καφηρεὺς ὢν καὶ αὐτός. καὶ ἴσως εἴρηται ἀπὸ τοῦ καταπνεῖσθαι ἀνενδότως. κάπος γὰρ, τὸ πνεῦμα.
Κάχαρις, δασὺς, καὶ πλαγγὼν, καὶ χρυσαλλὶς τὸ κοροκόσμιον, ἡ χαρίζεσθαι μὴ δυναμένη, ἢ οὐκ εὔχαρις.
Κάχιζεν, ἀντὶ τοῦ ἀπεπάτει.
Καχεξίᾳ καὶ καχεκτοῦντες, κακῶς τὴν ἕξιν διατεθειμένοι, ἀσθενοῦντες.
Καχίλα, ἄνθη. Κύπριοι.
Καχλάζει, κιχλίζει, ἀθρόως γελᾷ, τετάρακται. γέγονε δὲ ἀπὸ τῶν κυμάτων, ἐπαίρεται, φλεγμαίνει, βράζει.
Καχλαίνει, ἐκ θορύβου ταράσσει.
Κάχληκες, λίθακες ἐν τοῖς ὕδασιν.
Κάχλικος, τοῦ κόχλου.
Καχλὶς, συμβολή.
Καχνάζει, καγχάζει.
Καχυδρίας, ὁ ἐκ κριθῆς ἄρτος, ὃν παξαμᾶν λέγομεν.
Κάχρυς, ἀντὶ τοῦ κριθὰς πεφρυγμένας, λέγει Ἀριστοφάνης ἐν ταῖς νεφέλαις. καταχρηστικῶς δὲ καὶ πάντα τὰ πεφρυγμένα, καὶ βοτάνη ποιὰ, καὶ τῆς πεύκης ἡ βλάστησις. λέγονται καὶ πυροί τινες.
Κάχρυος, ῥίζα τῆς λιβανώτιδος. ὅταν δὲ πληθυντικῶς εἴπῃ τὰς κάχρυας, τὰς πεφρυγμένας κριθὰς λέγει, παρὰ τῷ Ἱπποκράτει.
Καχρύων, ἐσκίρτα, ἀπεπόρδει.
Καχυποπτεῖσθαι, ἀντὶ τοῦ κακὰ ὑπονοεῖν κεῖται, παρὰ τῷ Ἀριστοφάνει.
Κάψα, κίστη, ἡ θήκη.
Καψάκιον, γλωσσόκομον.
Καψάμενος, ἐλάττωμα ἵππου.
Καψιδρώτιον, εἶδος χιτωνίσκου.
Καψιπήδαλος, ὁ μετὰ τῶν τὰ ἄλφιτα μὴ διδόντων ἀλλόμενος.
Καψοὶ, οἱ τοῖχοι.

ΤΟ' Κ'. ΜΕΤΑ' ΤΟΥ' Ε'.

Κεάζω, διασχίζω, ἢ κλῶ.
Κέαθοι, βοηθοί.
Κέαρ, ἡ ψυχή. καὶ κῆρ, κατὰ κρᾶσιν. ἡ γενικὴ κέαρος, καὶ κατὰ κρᾶσιν κῆρος. ἡ κὴρ τῆς κηρὸς, ἐπὶ τῆς θανασίμου μοίρας.
Κέαρ ηὐφράνθην, σοφῶς Ἀριστοφάνης τὴν καρδίαν εἶπε κέαρ. ἀλλαχοῦ γὰρ τὴν καρδίαν φησίν, ὡς τὸ ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν.
Κέαρνα, σίδηρα τεκτονικὰ, ἢ σκυτικὰ, ἢ ἀξίνη.
Κέκρος, ὄρτυξ.
Κεάσαι καὶ ἐπὶ ξύλα κοπούντων, ἐν Ὀδυσσείᾳ κεῖται, λέγει, καὶ κεφαλὴ βληθεῖσα λίθῳ, ἂν δίχα πᾶσα κεάσθη, ἤγουν ἐκλάσθη, ἐσχίσθη. θέμα τὸ κέω κεάσω, ἢ κεάζω. ὅθεν καὶ κέδρος, ἡ κεαζομένη ῥᾶον, πλεονάσαντος τοῦ δ.
Κέασε, συνέτριψε, διέσχισεν.
Κεάσματα, κλάσματα, ῥήγματα, διαρρήγματα.
Κέαται, ἤτοι κεῖνται. δῆλον ὡς Ἰωνικόν ἐστι, καθὰ καὶ δεδέαται παρ' Ἡροδότῳ, ἀντὶ τοῦ δέδενται, ἢ ἐκ τοῦ κεῖμαι κεῖσαι κεῖνται καὶ κέαται, ἢ ἐκ τοῦ κεῖται τρίτου προσώπου τῶν ἑνικῶν, διαλύσει τῆς διφθόγγου Ἰωνικῶς εἰς ε καὶ α, κεῖται καὶ κέαται, ὡς τέτυπται τετύφαται.
Κέατο Ἰωνικόν ἐστι. τὸ μὲν γὰρ κοινὸν ἔκειντο, τὸ δὲ Ἰωνικὸν ἐκέατο. καὶ ἀφαιρέσει κέατο ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν, ὥσπερ ἐτετύφατο ἐπεποιέατο. οὐ μόνον δὲ προστίθεται τὸ α, ἀλλὰ καὶ ἡ παραλήγουσα συστέλλεται, χωρὶς τῶν ἀττικῶν τοῦ τυπτοίατο καὶ τῶν ὁμοίων.
Κεβαλὴ, κεφαλὴ κύλιξ.
Κέβλη, ἡ κεφαλὴ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ φ εἰς β, γέγονε κέβλη.
Κεβλιώη, ἡ ὀρίγανος.
Κέβλος, κυνοκέφαλος, κῆπος.
Κέβρηνα καὶ κέβρην, πόλις τῆς Τρωάδος, Κυμαίων ἄποικος.
Κεβριόνα, ὀρνεόν τι φησὶν Ἀριστοφάνης τὸν κεβριόνην. ἔπαιξε δὲ ὡσεὶ ἔλεγεν, ὦ θεοὶ σμερδαλέον τὸ πόλισμα. ἐπιτηδείως δὲ τὸν Πορφυρίωνα παρέβαλεν, καὶ ὅτι ὄρνις, καὶ ὅτι εἷς τῶν γιγάντων ὁμοίως τῷ Κεβριόνῃ, ὃν ἐχειρώσατο ἡ Ἀφροδίτη. ἐπίτηδες οὖν τῶν θεομάχων ἐμνήσθη, ἐπεὶ καὶ αὐτοὶ θεομαχήσουσιν.
Κέγκλης, εἶδος ὀρνέου θαλασσίου.
Κέγνωται, τέτρωται.
Κεγνῶσθαι, τεθραῦσθαι, τετρῆσθαι.
Κέγχει, ἐπιδάκνει.
Κεγχραμὶς, τὸ ἐντὸς τοῦ σύκου σπερμάτιον.
Κεγχρανοπώλης, τραγηματοπώλης.
Κεγχρεαὶ, ὄνομα τόπου.
Κεγχρηδὼν, σπερμάτων ὁμοίων κέγχρῳ.
Κέγχρης, ὁ καρπός.
Κεγχρίλης, στιόρχης.
Κεγχριμίδες, τοῦ σύκου καὶ τῶν ἐλαιῶν οἱ πυρῆνες.
Κεγχρίνη, τὸ ἐκ κέγχρου ἕψημα.
Κεγχρίνη, εἶδος ὄφεως, καὶ ὁ ὕδρος, καὶ ὁ κεγχρῖνος ὁμοίως, ὅν τινα ὁ Λυκόφρων καὶ κεγχρίνην ὠνόμασεν. ὅτι δὲ ταῦτα εἴδη ὀφεών εἰσι, Νίκανδρος λέγει.
Κεγχρίνης, εἶδος ὄρνιθος, ὃ λέγεται μηδ' ὅλως διψᾶν, ἢ εἶδος ὄφεως.
Κεγχρὶς, ὀρνέου εἶδος.
Κέγχρος, εἶδος βοτάνης, καὶ σπερμάτιον μηλίνῃ ἐμφερές.
Κεχρώμασι, ταῖς περιφερείαις καὶ τοῖς καταστρώμασιν.
Κεδάζω, σκορπίζω, ἐξ οὗ τὸ ἐκέδασε. πρωτότυπον τὸ κεδῶ, οὗ παράγωγον καὶ τὸ κεδάνω. γίνεται δέ φασιν ἀπὸ τοῦ χέω. ἴσως καὶ παρὰ τὸ κεάσαι, ὡς τὸ διά τε ξύλα πολλὰ κεάσαι. λέγεται δὲ καὶ σὺν τῷ σ σκεδάζω, καὶ δίχα τοῦ σ κεδάζω. καθ' ὁμοιότητα τοῦ μικρὸς σμικρὸς, σῦς ὗς.
Κεδᾶται, σκεδάννυται.
Κέδματα, τὰ χρόνια ἀλγήματα λέγει ὁ Ἱπποκράτης, καὶ τὰς ἐκ ῥεύματος χρονίους διαθέσεις, ἤτοι περὶ τὰ ἄρθρα σύμπαντα, ἢ ἐξαιρέτως περὶ τὰ κατ' ἰσχίον. γράφει δὲ καὶ ὁ Ψελλός. χρόνια δὲ ἀλγήματα, τὰ κέδματα τυγχάνει.
Κεδνὴ, ἡ συνετὴ καὶ κηδεμονικὴ, ἀπὸ τοῦ κήδω κηδανὴ, καὶ συστολῇ καὶ συγκοπῇ κεδνή. οὕτω καὶ φίλοι κεδνότατοι ἐν Ἰλιάδι, οἱ καὶ κήδιστοι λέγονται, καὶ οὐ μόνον ἀμφίπολος κεδνὴ, ἀλλὰ καὶ γυνὴ, καὶ κεδνὰ εἰδυῖα.
Κεδνὸς, συνετὸς, σώφρων, φρόνιμος, κηδεμονικώτατος. κεδνὰ βουλεύματα. ἔστι ῥῆμα κοῶ, τὸ νοῶ. ὁ μέλλων κοήσω. καὶ ῥηματικὸν ὄνομα κοεδνὸς, ὡς τέρπω τερπνὸς, καὶ κατὰ συγκοπὴν κεδνός. ἢ κενδανός τις ὢν, οὗ ἄν τις κήδοιτο.
Κεδνότατοι, οἱ ἄξιοι μελήσεως. διὰ τὸ καὶ φίλτατοι εἶναι κατὰ τὸν Ποιητὴν, ἐκ τοῦ κήδομαι. οἱ δ' αὐτοὶ ὁμοίως καὶ κήδιστοι.
Κέδρακε, ῥυγοῖ, πέφρικεν.
Κεδράντας, τὸ πᾶν, ἢ λεπτὰ δύο τὰ χερσαῖα.
Κεδρίδες, ὁ καρπὸς τῆς κέδρου.
Κέδριον, δᾶδες.
Κέδροι, δένδρα ὑψίκομα καὶ ἄκαρπα.
Κέδρον, Ἀττικοὶ οὐδετέρως, δάνειον.
Κέδρος, ῥάβδος, κιβωτὸς, λάρναξ, ἢ δένδρον ἄκαρπον.
Κέδροτα, τὰ ὄσπρια.
Κέδρος, ἀρσενικῶς μὲν τὸ δένδρον. θηλυκῶς δὲ, ὁ καρπὸς, ἀλλὰ θύεται κέδρος. κέδρος, παρὰ τὸ κένδρος. κενδρώδης γάρ ἐστιν, ἢ παρὰ τὸ καίεσθαι ῥᾳδίως.
Κεδρύσιες, οἱ κυδωνιάται.
Κεδρωσία, ὄνομα πόλεως.
Κειρὸς, κοῦφος.
Κέθηγος, κύριον.
Κεθμῶντες, φωλεοί.
Καῖα, καθάρματα.
Κειάμενοι, διὰ διφθόγγου ἔχει τὴν ἄρχουσαν, ὡς ἀπὸ τοῦ κέω κῶ, οὗ παράγωγον τὸ καίω διὰ διφθόγγου.
Κείαντες, καίοντες.
Κείατο γύπεσσι πολὺ φίλτεροι, ἢ ἀλόχοισιν, ἐλλιπῶς εἴρηκεν ὁ Ποιητὴς, ἀντὶ τοῦ κεῖντο πολὺ φίλτεροι τοῖς οἰωνοῖς, ἢ τοῖς ἀλόχοισιν, ὀπλωίκα ἔζων.
Κεῖ, τέθνηκεν.
Κεῖθεν, ἐκ τοῦ ἐκεῖνος ἐκεῖνοθεν, καὶ κατὰ συγκοπὴν ἐκεῖθεν καὶ κεῖθεν, ἢ ἐκ τοῦ κεῖνος κεινόθεν, ὡς Λέσβος λεσβόθεν. οὐδὲν εἰς θεν λῆγον ἐπίρρημα τῇ ει διφθόγγῳ παραλήγει, χωρὶς τούτου.
Κεῖθι, ἐκεῖσε, εἰς ἐκεῖνον τὸν τόπον.
Κεικύνη, συκάμινος.
Κεῖμαι, κείσομαι, ἐκείμην παρατατικὸς, ἀπαρέμφατον κεῖσθαι, καὶ τὸ προστακτικὸν κεῖσο. διαλελυμένον ἔχει τὸ εὐκτικὸν αὐτοῦ, κεοίμην κέοιο, κέοιτο. ὡσαύτως καὶ τὸ ὑποτακτικὸν, ἐὰν κέωμαι ἐὰν κέῃ, ἐὰν κέηται. καὶ ὅσα τούτῳ παραπλήσια, τὴν αὐτὴν ἀκολουθίαν ἔχει.
Κεῖμαι, ἐκ τοῦ κέεμαι κεῖμαι, τὰ δύο εε εἰς τὴν ει δίφθογγον.
Κειμένους, κατακειμένους, ἢ κολαζομένους.
Κειμήλια, τὰ κείμενα, ὅ ἐστι τὰ παρ' ἡμῖν ἀκίνητα.
Κειμήλια κεῖται, Ἀττικόν ἐστιν, ὡς τὰ ἄλλα ὡσαύτως, δῆλον ὡς ἐκ τοῦ κεῖσθαι παρῆκται τὸ κειμήλιον. τὸ δὲ χαλκὸς χρυσός τε, οἷον ἐξήγησίς ἐστι τοῦ κειμήλια.
Κειμήλια, τὰ ἐναπόθετα πράγματα.
Κειμήλια ἔφη Ὅμηρος, τὰ κείμενα, ὅ ἐστι τὰ παρ' ἡμῖν ἀκίνητα, πρόβασιν δέ. ἅπερ ἡμεῖς φαμὲν αὐτοκίνητα, τὰ διὰ ποδῶν προβαίνοντα. ἐξ οὗ ἰδίως κατά τινα ἐξοχὴν ἐκλήθησαν τὰ πρόβατα.
Κεῖνα φυλάξων παρ' Ὁμήρῳ ἐν τῷ ρ τῆς Ὀδυσσείας, ἤγουν τὰ πράγματα. ἡ ἑρμηνεία τὸν σὸν καὶ ἐμὸν βίοτον.
Κείνη, ἐκείνη, κενή.
Κεινῆσι, ματαίαις, κεναῖς.
Κεινὸν, ἀντὶ τοῦ κενὸν, Ἰωνικῶς.
Κεῖνος, ἀντὶ τοῦ ἐκεῖνος.
Κεῖο, εὐκτικῶς. κείω γὰρ τὸ κοιμῶμαι.
Κεῖον πῦρ ἐνὶ μεγάροισιν, ὅ ἐστι καῦσον, ἀπὸ τοῦ κέον, πλεονασμῷ τοῦ ι.
Κεῖν' ὄχεα, ὅταν κενὸν ἅρμα ᾖ.
Κείοντες, κοιμησόμενοι.
Κεῖος, σημαίνει τὸν πολίτην τῆς κέω. Κέως δὲ νῆσός ἐστιν, ὠνόμασται ἀπὸ τοῦ κέω τοῦ Ἀπόλλωνος.
Κεῖρα, γενεὰ, ἡ ἡλικία.
Κειρηλήϊον παρ' Ὁμήρῳ ἐν τῷ λ τῆς Ἰλιάδος, ἀντὶ τοῦ εἰς κόρον ἐσθίει. ὃς δὴ κόρος ἐκ τοῦ τοιούτου κείρειν γίνεται. διὸ ἐπῆκται, τὸ ἐπεὶ κορέσσατο

σατο

σατο φόρβης. ἐκ τούτου δὲ καὶ κεραΐζειν, ὅπερ ἐπί τε ἄλλων, καὶ ἐπὶ τοῦ λέοντος εἴρηται.

Κείρειν, συνήθης λέξις τοῦ Ποιητοῦ, ὅπερ σημαίνει τὸ εἰς κόρον δαπανᾶν.

Κείρετε παρ' Ὁμήρῳ, τὸν κόρον ποιεῖν. καὶ τὸ κῆρ, ὃ δηλοῖ τὴν θανατηφόρον μοῖραν.

Κείρειν, ἐπὶ τριχῶν ἢ ἀσταχύων ἢ τοιούτων.

Κείρειν, κόπτειν, ἀπὸ τοῦ αἴρειν καὶ ἀποκόπτειν τὰς τρίχας.

Κείρεσθαι κόμην ἐπὶ νεκροῖς, πλατὺ ἔθιμον ὂν καὶ τοῖς πάλαι. ἦν καὶ αὐτὸ λύπης τε ἔνδειξις, καθὰ καὶ τὸ τίλλειν πενθητικῶς κεφαλῆς τρίχας, καὶ ἀφοσίωσις δὲ τιμῆς.

Κειρία, εἶδος ζώνης ἐκ σχοινίων, παροικὸς ἱμάντι, ᾗ δεσμοῦσι τὰς κλίνας. Ἀριστοφάνης, οὐδ' ἂν χαμεύνην πάνυ γε κειρίαν ἔχων.

Κειρίαι, οἱ ἐπιτάφιοι δεσμοί.

Κειρία, ἡ σπαργάνωσις.

Κειριάδαι, δῆμος φυλῆς ἱπποθοωντίδος.

Κηρίαι, κηραιαί.

Κειρίδες, κηρία ὄρνεα.

Κειριόνη, ἐπίκηρός ἐστιν ὁ τόπος.

Κεῖρις, ὄρνεον ἱέραξ, οἱ δὲ ἀλκυόνα.

Κείρομαι ἐνεστὼς, ἐκειρόμην παρατατικὸς, καροῦμαι μέλλων μέσος δεύτερος, ἐκειράμην ἀόριστος μέσος, ἐκάρην ἐπὶ δευτέρου παθητικοῦ, τίθεται δὲ ἐπὶ προβάτων.

Κείροντες, εὕρηται παρ' Ὁμήρῳ, καὶ ἀντὶ τοῦ ἀπλήστως ἐσθίοντες. ὅθεν καὶ ὁ κύρος παραγίνεται.

Κείρυλος, τοῦτον ἔνιοι κύρυν λέγουσιν. ἔστι δὲ ὄρνεον. ὁ δὲ Ἀντίγονος τῶν ἀλκυόνων τοὺς ἄρρενας κηρύλους φησίν.

Κεῖσε, ἐκεῖ, εἰς ἐκεῖνον τὸν τόπον.

Κεῖσθαι, τὸ ἐναντίον ἔχει ἵστασθαι.

Κεῖσθαι, λαμβάνεται καὶ ἐπὶ τοῦ πεσεῖσθαι, οἷον ἔνθα μὲν Αἴας κεῖται. νοεῖται δὲ καὶ ἐπὶ τοῦ τεθνηκέναι, οἷον κεῖται Πάτροκλος. σημαίνει δὲ καὶ τὸν νεκρὸν ἐρρίφθαι, οἷον κεῖται παρὰ νήεσσι νέκυς. λέγεται δὲ καὶ ἐπὶ τοῦ ἀπρακτεῖν, οἷον κεῖται παρὰ μνηστῇ ἀλόχῳ. εὕρηται δὲ καὶ ἀντὶ τοῦ ἐστὶν, οἷον θεῶν ἐν γούνασι κεῖται. σημαίνει δὲ καὶ τὸ πεπτωκέναι κατὰ τοὺς παλαιοὺς, ὡς τὸ Ἕκτωρ ἐν πεδίῳ κείμενος ἀργαλέῳ εἴχετο ἄσθματι κῆρ ἀπινύσσων, ἤτοι ἄλλο φρονέων, καὶ μὴ ὢν πινυτός.

Κεισιβδηλευμένοι, νωθροί.

Κείσομαι, πεθήσομαι.

Κεισὸς, βοτάνης εἶδος.

Κεῖσσα, κίσσα. Λάκωνες.

Κεισοῦμαι καὶ κεισεῦμαι, ἀντὶ τοῦ κείσομαι λέγουσι Δωριεῖς.

Κεισουρεῦται, καλλωπίζεται.

Κεῖται, ἐπίκειται κεφαλῇ πῖλον. περίκειται δὲ στέφανος.

Κεῖται, ἀντὶ τοῦ ἀπόκειται, ἀντὶ τοῦ καταβέβληται, ἀντὶ τοῦ ἵσταται, καὶ ἀντὶ τοῦ πεφόνευται. Εὐριπίδης, Μενέλαε κεῖται, σὸς κασίγνητος.

Κεῖται ἐν θαλάμῳ παρ' Ὁμήρῳ ἐν τῷ γ' τῆς Ἰλιάδος, καθὰ κεῖται ἄγαλμα. κειμήλιον εἶναι δηλοῖ καὶ τὸν τοιοῦτον ἐλέφαντα, ταυτὸν δὲ εἰπεῖν ἀπόθετον κτῆμα.

Κεῖται, ἀεὶ ἐπὶ κακοῦ τίθεται τούτου ἢ θανάτου ἢ ἀπραξίας.

Κεῖτο, πεπτώκει.

Κείω, σημαίνει τὸ καίω.

Κειῶδες, εὐώδες.

Κείων, ὁ κοιμησόμενος.

Κειώσασθαι, καθήρασθαι.

Κείων παρ' Ὁμήρῳ, ἀντὶ τοῦ κέων πῦρ κατὰ τοὺς παλαιοὺς, καὶ γράφεται διὰ τοῦ ι, πρωτότυπον ὂν τοῦ ἑτέρου καίειν, ὃ διὰ διφθόγγου γράφεται. ἢ μᾶλλον ἀντὶ τοῦ σχίζων. κέω γὰρ πρωτότυπον, ἐξ οὗ τὸ κεάζειν, καὶ τὸ κέασε, καὶ τὸ κεάσας, καὶ ὅσα τοιαῦτα· ἐξ αὐτοῦ δὲ τὸ κείω, ἐπενθέσει τοῦ ι, καθ' ὁμοιότητα τοῦ τελέω τελείω. καὶ κέω κείω, τὸ κεῖμαι καὶ τῶν ὁμοίων.

Κεκαδήσει, ὅ ἐστι στερήσει· γίνεται ἐκ τοῦ καδῶ καδήσω, καὶ κατ' ἀναδιπλασιασμὸν κεκαδήσω, ἵνα κεκαδήσῃ, τὸ ἀναγκάσαι τινὰ χάσασθαι, τουτέστιν ὑποχωρῆσαι.

Κεκαδησόμεθα, διασκορπισθησόμεθα, χωρισθησόμεθα.

Κεκαδεῖν, χωρῆσαι, στερῆσαι, σκεδάσαι.

Κεκαδήσει ψυχῆς, ὅ ἐστι στερήσει. γίνεται δὲ οὕτω. ἔστι ῥῆμα χῶ πρωτότυπον ἄρρητον, ἐξ οὗ ῥητὸν παράγωγον χάζω, ὡς φρῶ φράζω, ῥῶ ῥάζω, ἐξ οὗ ἐφάνη γενέσθαι τό, τε ῥάσατε, καὶ τὸ ἐρράδατο. τούτου τοῦ χάζω δεύτερος ἀόριστος Ἰωνικὸς ἔχαδον, ὅθεν δεύτερος μέλλων. ἐξ οὗ ἀναγωγῆς γενομένης εἰς ἐνεστῶτα, τὸ καδῶ καδήσω, καὶ κατὰ ἀναδιπλασιασμὸν κεκαδήσω. ἵνα ᾖ κεκαδήσῃ, τὸ ἀναγκάσαι τινὰ χάσασθαι, τουτέστιν ὑποχωρῆσαι. οὕτως οὖν καὶ παρ' Ὁμήρῳ ἐν φ' τῆς Ὀδυσσείας, τὸ τόξον πολλοὺς ἀριστῆας κεκαδήσει, τουτέστι ποιήσει χάσασθαι τῆς ψυχῆς.

Κεκαδησόμεθα, λυπησόμεθα, φροντιοῦμεν, ἀπὸ τοῦ ἀκάζω ἀκαδῶ, διαλύσει τοῦ ζ εἰς σ καὶ δ, καὶ ἀποβολῇ τοῦ σ, καὶ κατὰ ἀφαίρεσιν, χαδῶ χαδήσω χαδήσομαι, καὶ διπλασιασμῷ κεκαδήσομαι, καὶ τροπῇ τοῦ χ εἰς κ.

Κεκαδησόμεθα, τουτέστι κηδήσομεν, φροντίσομεν, γίνεται ἀπὸ τοῦ κηδῶ κηδήσω, τὸ φροντίζω κατὰ χρόνον μετ' ὀλίγον μέλλοντα. ἐξ οὗ καὶ ἀκηδῆσαι, τὸ ἀφροντιστῆσαι. καὶ ἀκηδέστως, τὸ ἀφροντίστως, καθ' ἕτερον μέλλοντα, ἔστι γὰρ οὐ μόνον κηδῶ κηδήσω, ἀλλὰ καὶ κηδέσω. ἐξ οὗ καὶ κηδεμὼν καὶ κηδεστής. προϋπόκειται δὲ τούτων ἐνεστὼς ἐντελὴς τὸ κηδέω, ἐξ οὗ ἐπενθέσει τοῦ υ τὸ κηδεύω, ἐπὶ τοῦ θάπτειν. ὅθεν καὶ κηδεὸς νέκυς, καὶ τὸ γαμβρεύειν. καθὸ ἔφη Αἰσχύλος, ὡς τὸ κηδεύειν καθ' ἑαυτὸν ἀριστεύει μακρῷ. ἡ δὲ ἀκηδία, οὐκ ἂν εἴη δῆλον, εἴτε ἀπὸ τοῦ κηδῶ περισπωμένου, εἴτε ἀπὸ βαρυτόνου τοῦ κήδω γίνεται, κατὰ στέρησιν τοῦ φροντίζειν δηλοῦσα.

Κεκάδοντο. χάζω, ὁ μέλλων χάσω ἔχασα, δεύτερος ἀόριστος ἔχαδον, ἐχαδόμην μέσος, καὶ τροπῇ τοῦ χ εἰς κ, καὶ ἀναδιπλασιασμῷ κέκαδον κεκαδόμην.

Κεκάδοντο, ταρασσόμενοι ἐσκορπίζοντο καὶ ἔφευγον.

Κεκάδοντο, ἐκ τοῦ χάζω τὸ ὑποχωρῶ, ἔστι μέσος δεύτερος ἀόριστος. οὗ τὸ μὲν κοινὸν, ἐχάδοντο. τὸ δὲ Ἰωνικὸν τροπῇ τοῦ δασέος εἰς ψιλὸν, καὶ συνήθει ἀναδιπλασιασμῷ, κεκάδοντο. ὁποῖον ἐπὶ τοῦ τετύκοντο, ἀπὸ τοῦ ἐτυχόμην δευτέρου ἀορίστου.

Κεκαδὼν, ὅ ἐστι στερήσας ἀορίστου δευτέρου, ἐκ τοῦ χάζω χάσω, ἔχασα ἔχαδον, καὶ Ἰωνικῶς κεκαδὼν, ὡς τὸ λελαχὼν καὶ λελαβών.

Κεκαδὼν ψυχῆς καὶ θυμοῦ, ὅ ἐστι στερήσας, μᾶλλον δὲ ὑποχωρῆσαι ποιήσας, ἐκ παραλλήλου ταυτὸ δηλοῖ ὁ θυμὸς καὶ ἡ ψυχή. κεκαδὼν, ἀρχαῖον μὲν πεζῷ λόγῳ, χρόνου δέ ἐστιν ἀορίστου δευτέρου, ἐκ τοῦ χάζω ἔχαδον χαδὼν, καὶ Ἰωνικῶς κεκαδὼν, ὡς λελαβών.

Κεκαινοτόμηται, νεωτέρισται.

Κεκαλαμινθευμένοι, καλάμη γεγονότες.

Κεκάλακας, καλὴ γέγονας, ἢ ἐκάλεσας.

Κεκαλμένον, ἐπὶ γῆς ἐκπεπτωκός.

Κεκάμω. κάμνω ἐνεστὼς, ἔκαμνον παρατατικὸς, καμοῦμαι μέλλων, κεκάμηκα παρακείμενος, ἔκαμον δεύτερος ἀόριστος, ἀφ' οὗ καὶ ὑποτακτικὸν κάμω, καὶ κατὰ ἀναδιπλασιασμὸν κεκάμω, ὡς λελάχω.

Κεκάμωσιν, ἀντὶ τοῦ κάμωσι λέγουσιν Ἴωνες.

Κεκάρθαι, ἐκ τοῦ κείρω. τὰ ἀπαρέμφατα εἰς θαι ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνεται. οἷον ἐσπάρθαι.

Κεκαρμένον, περικεκομμένον, ἢ κεκοσμημένον.

Κεκάρπωκε, τετελείωκε, καὶ ἐπέκαυσε.

Κεκάσθαι, ὅ ἐστι κεκοσμῆσθαι, παρ' Ὁμήρῳ.

Κεκασμένος. κάζω κάσω, κέκακα, κέκασμαι, κεκασμένος.

Κεκασμένον, κεκοσμημένον. κάζω γὰρ, τὸ καλλωπίζω.

Κεκασμένος, κεκαλλωπισμένος, ἀπὸ τοῦ κάζω, τοῦ κοσμῶ.

Κεκασμέναι, κεκοσμημέναι, δεδοξασμέναι, πεπληρωμέναι.

Κέκασσαι, Ὅμηρος ἐν τ', μετὰ δμωῇσι κέκασσαι, ἤγουν ἦν ἔχειν ἐν ταῖς ἀμφιπόλοις ὑπερφέρουσα ἐκείνων.

Κεκαῦθαι, κατεσκευάσθαι, κεκοσμῆσθαι.

Κεκαυτηριασμένος τὴν συνείδησιν, τουτέστιν μὴ ἔχων ὑγιῆ.

Κέκασται, κεκόσμηται, κατεσκεύασται, κρατεῖ, ὑπερέχει, ὥπλισται, τέτακται, πέποιθε, δεδόξασται.

Κεκαφηότα, ὅ ἐστιν ἐκπεπνευκότα, ἔχει κάπτω ἢ κάπω πρωτότυπον. ἐξ οὗ καὶ κῆπος καὶ κάπη, ἡ καταπνεομένη τοῖς περὶ αὐτὴν ἀλόγοις, ἐκεῖθεν παρακείμενος κέκαφα, ὃς ἀναβὰς εἰς ἐνεστῶτα γίνεται καφῶ καφήσω, οὗ μετοχὴ Ἰωνικὴ διὰ τοῦ η κεκαφηὼς, τὸ κεκαφηότα μόνον δίχα τοῦ κακῶς ἐπιρρήματος. ἔστι γὰρ εἰπεῖν κεκαφηότα, τὸν ἁπλῶς πνεύσαντα. κακῶς δὲ κεκαφηότα, τὸν δυσπνοήσαντα, ὡς καὶ τὸ ἐκπνεῦσαι. ὅτι δέ τινες καπῶ καπήσω εἶπον περισπωμένως, ἐξ οὗ Ἰωνικῶς κεκαπηὼς, καὶ μεταθέσει τοῦ ψιλοῦ εἰς δασὺ κεκαφηώς.

Κεκαφηότα θυμόν. καφῶ καφήσω, τὸ ἐκπνέω, ἐκ τοῦ κάπτω κάψω κέκαφα, ὅθεν καὶ κάπη, ἡ φάτνη. καὶ κάφος. τὸ πνεῦμα. ἐξ οὗ καὶ κῆπος, ὁ ὑπὸ ἀνέμων φασὶ καταπνεόμενος.

Κεκάδαστο, ἀντὶ τοῦ διεσκόρπιστο, παρὰ τῷ Ἀπολλωνίῳ.

Κεκεῖνα, κισσός.

Κεκεπφωμέναι, ἐπηρμέναι.

Κεκερτόμηται, κεχλεύασται.

Κέκευται, κέκρυπται.

Κέκει, φροντίζει, ἀλγεῖ.

Κεκηλίδωσαι, μεμίανσαι.

Κεκῆνας, λαγωοὺς. Κρῆτες.

Κεκηρωμένη, κεκακωμένη.

Κεκησᾶς, βοᾷς.

Κέκηφε, τέθνηκε.

Κεκιβδηλευμένοις, κακούργοις, κεκαπηλευμένοις.

Κεκινέαται, κινῶ κινήσω κεκίνηκα κεκίνημαι κεκίνησαι κεκίνηται, καὶ Ἰωνικῶς κεκινέαται κεκίνηνται.

Κεκιβδήλευται, διαβέβληται, κατέγνωσται, ἀποδεδοκίμασται, νενόθευται.

Κέκιλος, ἰσχνόφωνος.

Κέκκαλον, οἱ πλεῖστοι λέγουσι τὸν πυρῆνα τοῦ στροβίλου. Διοσκορίδης δὲ τὸν κνίδιον κόκκον εἶναί φησι, παρὰ τῷ Ἱπποκράτει.

Κεκλαμμένον, γράφεται Δωρικῶς ἀπὸ μετοχῆς τῆς κλαπεὶς, ὡς τραφείς. ὥσπερ οὖν τεθραμμένον, οὕτω κεκλαμμένον ἔφη Ἀριστοφάνης.

Κεκλάγξω καὶ κεκλάγξομαι, ἀντὶ τοῦ ὑλακτήσω ἐπὶ τῶν κυνῶν.

Κεκλειμένοι, προσανακείμενοι.

Κέκλεικα, ἠσφάλισα.

Κεκλαμένων, ἀντὶ τοῦ κεκλασμένων, κεκλαδευμένων.

Κεκλαυμένην, ἀντὶ τοῦ κεκλαυκυῖαν. ἔστι δὲ ποιητικόν.

Κέκλεισμαι καὶ κέκλειμαι, λέγεται Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ, καὶ ὑπὸ τῶν ὀρῶν συγκέκλειται.

Κεκλέϊται, ἐκ τοῦ κλείζω, τὸ δοξάζω, μέλλων κλείσω, ὁ παρακείμενος κεκλέϊκα, ὁ παθητικὸς κεκλέϊσμαι, σαι, σται.

Κέκλεο, κάλεσον.

Κεκλεῖ, καλεῖ, κελεύει, κέκληται.

Κεκλήατο, συγκεκλημένοι ἦσαν.

Κέκλετο, παρακελεύσατο, ἀπὸ τοῦ κέλετο πλεονασμῷ τοῦ κ. καὶ ἐκέκλετο, ἀντὶ τοῦ ἐκέλευεν, ἀπὸ τοῦ κέλω ἐκέλετο καὶ ἐκέκλετο.

Κεκληγὼς, κλήγω τὸ θέμα ἢ κλάζω, ὁ μέσος παρακείμενος κέκληγα καὶ κέκλαγα.

Κεκληγὼς, κεκραγὼς, βοῶν.

Κεκλήγοντες, ἀντὶ τοῦ κεκληγότες, καὶ εὔκηλος, ἀντὶ τοῦ ἕκηλος. καὶ αὐτὰρ, ἀντὶ τοῦ ἀτὰρ, τὸ πλεονάζειν ἔν τισιν τῶν Αἰολέων ἐστίν.

Κεκλήση, φίλη κεκλήση ἄκοιτις. οἱ μὲν λέγουσι σύνδεσμον εἶναι παραπληρωματικὸν τὸ κε.

οἱ δὲ

Digitized by Google

οἱ δὲ ῥῆμα. καὶ εἰ ἔστι ῥῆμα, μέλλοντος μέσου ἐστὶ κεκλήσομαι κεκλήσῃ.

Κέκληκα, ἐκ τοῦ καλέω καλῶ, καὶ συγκοπῇ κλέω κλῶ, ὁ μέλλων κλήσω ἄχρηστος, ὁ παρακείμενος κέκληκα, οὐ κεκάλεκα.

Κεκλίαται, κεῖνται.

Κεκλίαται. ἰστέον ὅτι οἱ καθαρεύοντες παρακείμενοι, τὸ α μόνον προσλαμβάνουσι κατὰ τὸ γ' πρόσωπον τῶν ἑνικῶν, καὶ εἰ μὲν μακρᾷ παραλήγει, ταύτην συστέλλει, καὶ οὕτω τὸ ἑνικὸν ποιοῦσιν. οἷον ἐρύω ἔρυται, οὕτω καὶ ἀπὸ τοῦ κλείω κέκλεισται κεκλίαται, κατὰ συστολὴν τῆς ει διφθόγγου, οἷον αἰαλὶ κεκλίαται.

Κεκλιμέναι, σανίδες, ἢ πύλαι αἱ συγκεκλεισμέναι. αἷς ἀνάπαλιν ἔχουσιν αἱ ἀναπεπταμέναι.

Κεκλιμένοι, ἀντὶ τοῦ κεκαλυμμένοι, κεκρυμμένοι. ἀπὸ τοῦ κλείω, τὸ ἀσφαλίζω κατὰ συστολὴν τοῦ ε.

Κεκλιμένος, ἀντὶ τοῦ περιεχόμενος, ὡς καὶ ἐν τῷ λίμνῃ κεκλιμένος κηφισίδι, ἢ ἀντὶ τοῦ κρυπτόμενος.

Κεκλιμένος, περιεχόμενος.

Κεκλόμενος, παρακελευόμενος.

Κέκλυ, κάλεσον.

Κέκλοφα, κλέπτω κλέψω, κέκλεφα κοινῶς, κέκλοφα Ἀττικῶς. πότε ποιοῦσιν οἱ Ἀττικοὶ ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων ἰδίους παρακειμένους; ἡνίκα τὸ ῥῆμα δισυλλαβεῖ καὶ παραλήγεται ὁ κοινὸς παρακείμενος τῷ ε, τότε τρέπουσι τὸ ε εἰς ο μικρόν. οἷον τρέφω τρέφω τέτρεφα κοινῶς, τέτροφα Ἀττικῶς. ὁμοίως καὶ ἐν τῷ λέγω καὶ πλέκω καὶ τῶν ἄλλων.

Κεκλοφέναι, κλέψαι, ὑφελέσθαι.

Κεκλυμμένον, ἀποκεκλασμένον.

Κέκλυτε, ἀκούσατε. κλῦμι, ὁ παρατατικὸς ἔκλυν, ἡ μετοχὴ κλὺς κλῶντος, τὸ προστακτικὸν κλῦθι. τὸ δεύτερον τῶν πληθυντικῶν κλῦτε, καὶ κατὰ ἀναδιπλασιασμὸν κέκλυτε.

Κέκλω, εἰ παρὰ τὸ κέλλω λάβοιμεν, πλεονασμός ἐστι τοῦ κ. εἰ δὲ παρὰ τὸ καλῶ κλῶ, οὐ πλεονασμός, ἀλλὰ διπλασιασμός.

Κεκλωσμένα ὑπὸ τῆς εἱμαρμένης, ἀμετάποιητα, γεννησμένα.

Κεκμᾶται, κεκοπίακεν.

Κέκμηκα, ἀπὸ τοῦ καμῶ καμήσω κεκάμηκα, καὶ ἐν συγκοπῇ κέκμηκα.

Κέκμηκα, κεκοπίακα.

Κεκμηότες, κάμνω καμῶ κέκμηκα, μετοχὴ κεκμηκὼς, καὶ συγκοπῇ κεκμηὼς κεκμηότος, ὁμοίως κεκμηῶτι, ἀλλὰ ἐκτάσει τοῦ ο εἰς ω.

Κεκμηῶτι, δῆλον ὅτι Ἰωνικόν ἐστι ταυτὸν ὂν τῷ κεκμηκότι, ἀποβολὴν τοῦ κ πεπονθὸς Ἰωνικῶς, καὶ ἔκτασιν τοῦ ο εἰς ω. ἴσως δὲ καὶ αὐτὸ ἐφύλαξεν, ὡς ἀλλαχοῦ ἐρρέθη, τὸ ω τῆς εὐθείας. ᾧ λόγῳ καὶ ὁ γέλως καὶ ὁ ἔρως, καὶ τὰ ὅμοια ὀνόματα. σημείωσαι δὲ ὅτι οὐ κατὰ τὴν καινοτέραν παρατήρησιν μόνα τὸ βεβῶτος, γεγῶτος, ἑστῶτος, καὶ τεθνεῶτος ἐκτείνουσι τὰς παραληγούσας, ἀλλὰ μυρίος ἕτερος ὁρμαθὸς τοιοῦτός ἐστι παρὰ τοῖς ποιηταῖς, ὡς πολλαχοῦ φαίνεται.

Κεκμητοὶ, κεκοπιακότες.

Κέκνακεν, ὑπὸ κακῶν ἀπείρηκε.

Κεκνιπωμένοι, καρποὶ ὑπὸ ἐρισύβης διεφθαρμένοι, ἢ κνιποὶ τοὺς ὀφθαλμούς.

Κεκοισυρῶσθαι, πεποικίλθαι.

Κεκοκκυγωμένον, κεχρωσμένον χρῶμα κοκκυγίῳ, ὅ ἐστι πορφυροῦν, ἀπὸ κοκκυγέας δένδρου.

Κεκόλαπται, γέγλυπται.

Κεκολαμμένη, γεγλυμμένη.

Κεκολᾶσθαι, μώλωπας ἔχειν.

Κεκολημένος, ἐκτετηγμένος, ἀδυνάτως ἔχων, ἀμηχανῶν.

Κεκομψευμένος, κεκαλλωπισμένος, σεμνός, ἀστεῖος, ἢ κομπηρὸς, ἢ τεχνικὸς, ἢ φαντασιώδης.

Κέκονα, ἀπὸ τοῦ κτείνω, ὁ μέσος παρακείμενος ἔκτονα, πλεονασμῷ τοῦ κ καὶ ἐκβολῇ τοῦ τ κέκονα.

Κεκονιασμένος, σπουδάζων πάνυ, ἔτι τὴν κόνιν τοῖς ποσὶ περιφέρων.

Κεκονιαμένοις, ἀσβέστῳ κεχρισμένοις.

Κεκονιαμένων, σπευδόντων, ἔτι τὴν κόνιν τοῖς ποσὶ περιφερόντων.

Κεκονιομένος παρ' Ἡσιόδῳ, ἤγουν κονιορτοῦ πληρούμενος.

Κεκολλυρωμένον, λευκῷ κεχρισμένον.

Κεκονδυλωμένον, διηρθωμένον.

Κέκοκεν, ἔγνωκεν ὅτι κεκακούργηκεν, ἢ πεφόνευκεν.

Κεκόπακεν, ἐπαύσατο.

Κέκοπας, ἔκοπας, ἢ κονδύλους ἔχων.

Κεκορηότε ποίης βόες, σύστασιν βοῶν, ὡς καὶ ἵππων τὸ ἀκοστεῖν. κυριολεκτεῖται δὲ πάντων ἐπὶ ἀλόγων ζώων τὸ κεκορηότες.

Κεκορυθμένα, ἠκονημένα, ἐστομωμένα, καθωπλισμένα. ἀπὸ τοῦ κόρυθος κορυθῶ κεκορυθημένα, καὶ κεκορυθμένα, ἢ ἀπὸ τοῦ κορύσσω, τὸ καθοπλίζω. οἷον τῷ σιδήρῳ ἠμφιεσμένα, ἀπὸ τοῦ τὴν κορυφὴν θήγειν καὶ ἀκονᾶν εἰς ὀξύτητα.

Κεκορυθμένος, ἀντὶ τοῦ καθωπλισμένος ἀπὸ τοῦ κόρυθος, κορυθῶ κορυθήσω κεκορύθηκα κεκορύθημαι κεκορυθημένος, καὶ κατὰ συγκοπὴν κεκορυθμένος, ὁμοίως κεκορυθμένα.

Κεκορυθμένος, τροπῇ τοῦ σ εἰς θ γίνεται, ὥσπερ καὶ μεμωυθμὸς, καὶ ἐν ἄλλοις πολλοῖς.

Κεκορυσμένα, μετεωρισμένα, ὡπλισμένα.

Κεκοσμημένος, κοσμέω, ήσω, κεκόσμηκα, κεκοσμημένος.

Κεκόσμηται, τέτακται, κεκάθαρται.

Κεκοτηότα, ἀπὸ τοῦ κοτῶ, κοτήσω κεκότηκα κεκοτηκὼς, καὶ ἀποβολῇ τοῦ κ κεκοτηὼς κεκοτηότος, ὠργισμένον, κεχολωμένον.

Κεκότητο, ὠργιστο.

Κεκοσυρῶσθαι, πεποικίλθαι.

Κεκράανται, ἐπιτετέλεσται.

Κεκραγήσει, κραυγάσει.

Κεκραγῖνες, ἄγριαι θρίδακες.

Κεκράγμασιν. Ἀριστοφάνης, δικροῖς ἐώθουν τὸν θεὸν κεκράγμασιν. ἔδει δὲ εἰπεῖν ξύλοις, καὶ εἶπε κεκράγμασι, τὸ δὲ δικροῖς, ἀντὶ τοῦ διφυέσι ξύλοις.

Κεκραγμὸς, ἡ βοή. κεκραγμὸν γάρ τινα σκαιὸν ὁ χοῖρος ἠρτημένος ἀφίει.

Κεκράγω, ἀπὸ τοῦ μέσου παρακειμένου κέκραγα γίνεται, οὗ ὁ πρῶτος ἀόριστος ἐκέκραξα.

Κέκραθι, κράξον.

Κεκραμένας, κεκαρμένας, ἢ εὐκράτους.

Κεκρανὶς, τράγου δορά.

Κεκόνισται, πεπίσωται, κέκλυσται.

Κέκρανται, τετέλεσται.

Κεκραιπαληκὼς, μεθύσας, εὐφρανθεὶς, ηὐφραμένος.

Κεκραμένη σπονδὴ, ἣν ἔθυον μόνῳ τῷ Ἑρμῇ.

Κεκραξιδάμας, ὁ τῇ βοῇ δαμάζων.

Κεκράξομαι, οὐκ ἐπὶ φωνῆς, ἀλλ' ἐπὶ προθυμίας καὶ συντόνου καὶ σπουδαίας εὐχῆς. Δαβὶδ, πρός σε κύριε κεκράξομαι.

Κεκράκτης, μεγαλόφωνος.

Κεκράχαται. κράζω, μέλλων κράξω, παρακείμενος κέκραχα, μέσος κέκραγα, παθητικὸς κέκραγμαι, ξαι, κται, καὶ Ἰωνικῶς κεκράχαται.

Κέκραχθι. ἰστέον, ὅτι τὸ κέκλυθι καὶ τὸ κέκραχθι, ὡς οἱ πλεῖστοι καὶ ἡ χρῆσις μαρτυρεῖ παρακείμενοι εἰσι. τοῦ γὰρ παρακειμένου τὰ προστακτικὰ ποτὲ μὲν εἰς ε λήγει, οἷον τέτυφε, ποτὲ δὲ εἰς θι, οἷον τέτυφθι, οὕτως οὖν καὶ κέκλυθι καὶ κέκραχθι, οὕτως ὁ Ζηνόδοτος.

Κεκρηγέναι, ἢ κεκραγέναι.

Κέκρηνα, πόλις ἐστὶ τῆς Τρωάδος. Κέκρην, Κυμαίων ἀποικία.

Κέκρηται, ἥρμοσται.

Κεκρηγότα, κεκραγότα.

Κεκριγότες, μηδὲν διασαφοῦντες. κριγμὸς γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος.

Κεκριγότες Γρυλλοὶ, Ἀριστοφάνης ἀντὶ τοῦ ποιὰν φωνὴν ἀποτελοῦντες.

Κέκρικα, τὰ εἰς νω ῥήματα ἑνὶ φωνήεντι παραληγόμενα ἀποβάλλει τὸ ν κατὰ τὸν παρακείμενον. οἱ ποιηταὶ δὲ προσλαμβάνουσι.

Κεκριμένοι κοῦροι, οἵ εἰσιν ἔκκριτοι.

Κεκριμένον, ἀντὶ τοῦ ἐγνωσμένον.

Κεκριμένος οὖρος ἐκ Διὸς, ἤγουν ἀέρος, ὁ αὐτός ἐστι τῇ εὐκρινεῖ αὔρᾳ. οὗ ἡ χρῆσις παρὰ Ἡσιόδῳ ἐν τῷ εὐκρινέες αὖραι, αἷς ἐναντίαι εἰσὶν αἱ συγκεχυμέναι καὶ ἄτακτοι. ἐπεὶ καὶ ἐναντίον τὸ εὐκρινεῖν καὶ συγχεῖν.

Κεκροπία λέγεται ἡ Ἀττικὴ, ἀπὸ Κέκροπος τοῦ βασιλεύσαντος. καὶ ἡ ἀκρόπολις τῆς Ἀττικῆς κεκροπία ἐκαλεῖτο τὸ πρότερον.

Κεκροπίδας, Ἀθηναίους, τοὺς ἀποικίδας.

Κεκροπὶς, μία τῶν Ἀθήνησι δέκα φυλῶν.

Κεκρυμένῳ, ἐνδεεῖ, καὶ οὐ πλήρει.

Κέκροψ, ἀπατεὼν, ἢ πίθηκος.

Κέκροψ ἐλθὼν ἀπὸ Σάεος πόλεως Αἰγύπτου, τὰς Ἀθήνας συνῴκησε. σάϊς δὲ κατ' Αἰγυπτίους, ἡ Ἀθηνᾶ λέγεται, ὥς φησι Χάραξ. Δίμορφον δὲ λέγουσι, καὶ Διμόρφου γηγενοῦς τὸν Κέκροπα, διὰ τὸ δύο ἀνδρῶν φυὴν καὶ μέγεθος ἔχειν. ἢ διὰ τὸ δύο φωνὰς ἐπίστασθαι, Αἰγυπτίαν καὶ Ἑλληνίδα. ἢ ὡς ληροῦσι, τὰ ἄνω ἀνθρώπου, τὰ δὲ κάτω δράκοντος εἶχεν. ὅπερ ἀλληγορῶν Δημοσθένης, ὅτι κατὰ ἀλκὴν ὅμοιος τῷ δράκοντι, ἀνθρώπῳ δὲ κατὰ τὴν φρόνησιν. ἐγὼ οὕτως ἀλληγορῶ, ὅτι ἀγαθὸς βασιλεὺς γεγονὼς, πᾶσαν θηριωδίαν ἐθνῶν οὕτως ὑπέταξεν, ὡς μίαν σύμπνοιαν πάντας ἔχειν αὐτῷ, καὶ ἀγαθὸν ἡγεμόνα καὶ αὐτοκράτορα. διὰ ταῦτα γοῦν λέγουσιν αὐτὸν διφυῆ, ἢ ὡς εὗρον ἐν Ἰωάννῃ Ἀντιοχεῖ, ὅτι πρότερον αἱ καθ' Ἑλλάδος γυναῖκες θηριωδῶς, ὥσπερ τὰ ἄλογα, καὶ οὐ κατὰ συζυγίαν ἐμίγνυντο, οἱ γοῦν παῖδες τότε μονοφυεῖς ἦσαν, μητέρα γὰρ μόνην, πατέρα δὲ οὐκ ἐπεγίνωσκον. βασιλεὺς δὲ Κέκροψ τῆς Ἀττικῆς κατέπαυσε τὸ θηριῶδες τῆς μίξεως, καὶ ἀνδράσι νομίμοις ἐποίησε τὰς γυναῖκας συνάπτεσθαι. ἐπεὶ γοῦν ἐκ τούτου οἱ παῖδες πατέρα καὶ μητέρα ἐγνώρισαν, τοὺς αἰτίους αὐτῶν τῆς γεννήσεως δύο τυγχάνοντας φύσεων, διφυὴς ὁ Κέκροψ ἐκλήθη, ὡς τοῦτο ποιήσας αὐτοῖς. ἄλλως. Κέκροψ Αἰγύπτιος ὢν τὸ γένος, ᾤκησε τὰς Ἀθήνας. ὅθεν οἱ Ἀθηναῖοι κεκροπίδαι. τινὲς δέ φασι τοῦτον καὶ διφυῆ γενέσθαι. οἱ μὲν ὅτι τὰ ἄνω ἀνδρὸς εἶχε, τὰ δὲ κάτω θηλείας. ἕτεροι δὲ, ὅτι νόμους πολλοὺς ἐφεῦρε τοῖς ἀνθρώποις, καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν. ἄλλοι δὲ, ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχεν μισγομένων ταῖς γυναιξὶν, καὶ ἐκ τούτου μὴ γινωσκομένου ἢ τοῦ παιδὸς παρὰ τοῦ πατρὸς, ἢ τοῦ πατρὸς παρὰ τοῦ παιδὸς, αὐτὸς νόμους θέμενος, ὥστε φανερῶς συγγίνεσθαι αὐταῖς, καὶ μιᾶς τυχεῖν, καὶ σχεδὸν εὑρὼν τὰς δύο φύσεις τοῦ τε πατρὸς καὶ τῆς μητρὸς, τούτου χάριν διφυὴς ἐκλήθη. εἰσί τινες, οἵ φασι τὸν Κέκροπα διφυᾶ γεγονέναι, καὶ τὰ κάτω ὄφεως ἐσχηκέναι. καὶ διὰ τοῦτο πρὸς τοὔνομα κεχαριέντισται.

Κεκρυμμένην, ἐπιμόνως κειμένην.

Κεκρυφάλους, τὰς τῶν ἵππων κορυφαστῆρας, καὶ κορυφάντας.

Κεκρύφαλος, μέρος τῆς γαστρὸς, παρὰ τὸ κρύπτεσθαι. ὡς φύλλον δὲ ἐστιν.

Κεκρύφαται, Ἰωνικῶς, κρύπτω, μέλλων κρύψω, παρακείμενος κέκρυφα, παθητικὸς κέκρυμμαι, τὸ τρίτον κέκρυπται. τραπέντος τοῦ π εἰς φ καὶ ἐνθέσει τοῦ α κεκρύφαται.

Κεκρύφαλος, σουδάριον, κεφαλοδέσμιον, σαβακάθιον.

Κεκρυπτάκασιν, ἀσχολοῦνται.

Κέκρωψ, παιγνιώδης. ἢ εἶδος θηρίου μεγάλην οὐρὰν ἔχοντος.

Κεκτημένης, τῆς δεσποίνης.

Κέκτικε, πέποκεν.

Κεκτισμένοι, πεφημισμένοι, κατεσφραγισμένοι.

Κεκύθωσιν, ἤτοι κρύψωσιν, ἢ δεύτερος ἀόριστος ἐκ τοῦ κεύθω ἔκυθον, καὶ Ἰωνικῶς κέκυθεν, ἢ μέσος παρακείμενος τοῦ αὐτοῦ ῥήματος, καθ' ὁμοιότητα τοῦ ἐληλύθωσιν.

Digitized by Google

Κεκύκη, καμπύλη·

Κέκυλται, σῦρεται τῇ χειρὶ ἑλκόμενα.

Κεκυσῶσθαι, ἐκπετιμῆσθαι.

Κεκυφότα, κατανεύοντα.

Κεκωδωνισμένοις, δεδοκιμασμένοις, ἐκλελεγμένοις ἀκριβῶς.

Κέκμηκα, μέμνηκα, πέπτωκα. διὰ τί μὴ ἔχοντα ἄφωνον πρὸ τοῦ ἀμεταβόλου, ἀνεδιπλασιάσθησαν; ἐπειδὴ αὐτὰ τῷ λόγῳ τῆς κοινῆς ἀνεδιπλασιάσθησαν. πολλάκις γὰρ καὶ ἐν τῷ μέτρῳ εὑρήσομεν τὸ μετ' ἀποτελοῦντα κοινὴν συλλαβὴν, μᾶλλον δὲ κατὰ πλεονασμὸν Αἰολικῶς.

Κεκώπωται, στρατὸς ὁ ἐπὶ κώπης.

Κεκώπηται ἡ ναῦς, καὶ τὸ ἐν ἑτοίμῳ ἔχειν τὰ ξίφη.

Κελαδῆ, βοῇ.

Κέκμημαι καὶ ἔκμημαι χωρὶς γράφουσιν. Αἰσχύλος ἐν Προμηθεῖ, κόνον ὄμμ' ἐκμημένα. Φιλόστρατος ἐν τῷ τοῦ Ἀπολλωνίου βίῳ, ὁ τὴν ἀρχὴν ἀπολωλυῖαν ἐκμημένος καὶ ἐν πολλοῖς.

Κέκμημαι, ἐκ τοῦ ἔκμημαι κατὰ πλεονασμὸν τοῦ κ αἰολικῶς, τὰ γὰρ ἀπὸ κτ οὐκ ἀναδιπλασιάζονται, ὃν τρόπον οὐδὲ ἀπὸ τοῦ πτ.

Κεκμημένον, ἔλεγον μὲν ἁπλῶς πάντα τὸν ἔχοντά τι. ἔλεγον δὲ κεκμημένον ἰδίως, καὶ τὸν δεσπότην.

Κεκμημένη, τὸ θέμα κταίω κτῶ, ὁ μέλλων κτήσω, ὁ παρακείμενος κέκτηκα, ὁ παθητικὸς κέκτημαι, ἡ μετοχὴ κεκτημένος, η, ον.

Κεκωδωνισμένος, ἐξητασμένος, ἀπὸ τῶν τοὺς φύλακας διὰ τοῦ κώδωνος ἐξεταζόντων, καὶ διακωδωνίσαι, τὸ ἐξετάσαι. Ἀριστοφάνης, ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν.

Κεκωφῶσθαι, κωφοὶ γεγονέναι.

Κεκωμῶσθαι, ἐν κώματι εἶναι, παρὰ τῷ Ἱπποκράτει.

Κελαδεινὴ Ἄρτεμις λέγεται, ὡς αἰτία τοῦ ἐν κυνηγεσίοις κελάδου. ἀκαλανθὶς Ἄρτεμις, ἡ κύων. παρὰ τὸ αἰκάλλειν ἴσως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους, ὅθεν κύνα προσαγορεύει αὐτὴν Ἀριστοφάνης ἐν εἰρήνῃ, ἐπειγομένην τυφλὰ τίκτειν. ἔστι δὲ καὶ εἶδος ὀρνέου ἡ ἀκαλανθίς.

Κελαδεινὴ Ἄρτεμις, ἤγουν κηλεδανὰ ἔχουσα, τουτέστι βέλη. ἢ ὅτι Ἐγκέλαδόν τινα σὺν Ὠρίωνι ἀνεῖλε βιαζόμενον αὐτήν. ἢ διὰ τοὺς κελαδοὺς, ἤτοι θορύβους, οὓς ἡ μὲν μυθικὴ Ἄρτεμις κυνηγετοῦσα, ἡ δὲ ἀλληγορουμένη αὐξουσα καὶ φθίνουσα. σελήνης γὰρ πάθη ἡ αὐξομείωσις, ὅτε κέλαδοι ὡς ἐπὶ πολὺ περὶ ἀέρα γίνονται.

Κελαδεινὸς, ἠχητικὸς, ἢ θορυβώδης. παρὰ τὸ κέλαδος, ὃ σημαίνει τὴν ταραχὴν, πλήθει ῥόος κελάδων. βαρυτονητέον τὴν μετοχήν. κελάδοντος γὰρ ἡ μετοχὴ γενικὴ, καὶ ἡ αἰτιατικὴ κελάδοντα οὐ κελαδοῦντος.

Κελαδήματα, ἠχήματα. καὶ κελάδησαν, ἐβόησαν, ἀφαιρέσει τοῦ ε.

Κελαδοῦσιν, ἠχοῦσι. κελαρίζειν, ἠχεῖν. κυρίως ἐπὶ τῶν ὑδάτων τὸ μετὰ ποιοῦ ἤχου καὶ ψόφου ῥεῖν, καὶ ἀμεταβάτως συντάσσονται. ἀλλὰ κελάδων κελάδοντος βαρύτονον εὕρηται. λέγομεν γὰρ κελαδῶ, τὸ ἠχῶ καὶ εὐφημῶ, ὡς παρὰ Ἀριστοφάνει, ἄγε ζαθέαις μολπαῖς κελαδεῖτε, ἤγουν εὐφημεῖτε.

Κελάδων, ὥσπερ ἀνέμου καὶ πόντου, οὕτω καὶ ποταμοῦ ἐστιν ἐπίθετον.

Κελαιναὶ, τόπος μεθόριος Ἀθηναίων καὶ Βοιωτῶν, καὶ πόλις τῆς Φρυγίας.

Κελαινεφὲς αἷμα, τὸ κελαινὸν φαινόμενον, καὶ αὐτόχρημα καθ' Ὅμηρον εἰπεῖν μέλαν. Ζεὺς δὲ κελαινεφὴς, αὐτὸς μὲν λέγοιτ' ἂν οὕτω, διὰ τὸ μέλας εἶναι καὶ δυσόρατος. μέλας γὰρ ὁ ἀὴρ, ὅθεν ἠερόειν, τὸ σκοτεινόν. καὶ ἠέρα, τὴν ἀορασίαν φησὶν ὁ Ποιητής. ἐτυμολογεῖται καὶ ἄλλως ἐκεῖνος, παρὰ τὸ τὰ νέφη κελαίνειν, ἤτοι μελαίνειν.

Κελαινεφὴς λέγεται, ὡς τὰ νέφη μελαίνων τῇ πυκνώσει. ἡ λέξις σημαίνει καὶ τὸ κελαινοφαὲς, ἤγουν τὸ μέλαν. καὶ Ζεὺς κελαινεφὴς, κατὰ ἀλληγορίαν ὁ μέλας ἰδεῖν. καὶ οἱονεὶ αὐτὸς κελαινοφαὴς, διὰ τὸ τοῦ νοῦ δυσόρατον.

Κελαινεφὴς, Ζεὺς, παρὰ τὸ κελαινὸς φαίνεσθαι. τοιοῦτος γὰρ ὁ ἀήρ. ἐντεῦθεν δὲ καὶ αἵματος ἐρεῖ κελαινεφές. ἢ παρὰ τὸ κελαίνεσθαι καὶ νίφειν, οἱονεὶ κελαινονεφής. ἢ παρὰ τὸ κελαίνεσθαι νέφεσι. νεφεληγερέτης γάρ. αἱ δὲ εἰς νῦν ἀλληγορεῖται, τότε κάλλιόν ἐστιν εἰπεῖν κελαινὸν μὲν, διὰ τὸ βαθύ. φαεινὸν δὲ, διὰ τὸ φύσει φωσφόρον.

Κελαινιόων, μελαινόμενος.

Κελαινόλωπα, κεράσια.

Κελαινοπάθιμον, τὸ μὴ φανερὸν, τὸ δόλιον, καὶ τῇ ψυχῇ δύσνουν.

Κελαινοὺς, ἤχους.

Κελαινὸν, σκοτεινὸν μέγα.

Κελαινὸν, μέλαν. κελὸν γὰρ τὸ μέλαν κατὰ διάλεκτον. αἷψά τοι αἷμα κελαινόν.

Κελαρύζειν, ὀνοματοπεποίηται, ἦχον δηλοῦν ὑγροῦ, ἠρέμα ῥοιζοῦντες ἐν τῷ καταρρέειν. καθ' ὅμοιον δέ τι ὠνοματοπεποίηται καὶ ὁ τοῦ Ἡσιόδου λακέρυζα.

Κελαρύζει, μετὰ ἤχου ῥέει.

Κελάρυξιν, ἰδίωμα ψόφου.

Κέλε, τέρπε.

Κέλσαι, κέλω σημαίνει τὸ προστάσσω, ἐκ τοῦ κελεύω κατὰ συγκοπὴν τῆς ευ, τὸ παθητικὸν κέλομαι κέλῃ κέλεται, καὶ Ἰωνικῶς κέλεαι, ἀποβολῇ τοῦ τ.

Κέλεαι, κελεύεις.

Κελέβη, ἐκ τοῦ λείβειν παράγεται, ὡς οἷον χελίβη, παρὰ τὸ χέειν λοιβὴν εἰς αὐτήν. ἢ ἄλλως παρὰ τὸ χέειν καὶ λείβειν. παρὰ Θεοκρίτῳ στέψον τὴν κελέβην.

Κελέβη, κόγχη, ἡ λεκάνη, ἢ τοιοῦτον σκεῦος, ἐν ᾧ δυνατὸν νίψασθαι πόδας.

Κελεβηνοὶ, ἔθνος.

Κελεβραὶ, λεπτὰ καὶ νεκρὰ κτήνη.

Κελέβη, εἶδος ποτηρίου ξυλίνου. παρὰ τὸ κάλον, ὃ σημαίνει τὸ ξύλον. καὶ τὸ εἴβω, τὸ ῥέω.

Κελεζηνὴ, χώρα τῶν Ἀρμενίων πλησίον Μελιτηνῆς, ἡ παρ' ἡμῖν κελζηνὴ ὀνομαζομένη.

Κελεθίζειν, τοῖς ἵπποις ἐπιβαίνειν.

Κελεὶς, ἀξίνη.

Κελένδρυινον, δρύϊνον, κελαιόν. λέγεται δὲ καὶ μισκέλενδρον, καὶ τὸ μικρόν.

Κελέοντας, ἰσόποδας. καὶ τὰ ὁπωσοῦν μακρὰ ξύλα δοκοὺς, ἱστοὺς καὶ πεῖρα, οὕτω φασὶν Σικελοί γὰρ τὰ ξύλα.

Κελέοντές εἰσιν οἱ ἰσόποδες, μεταφορικῶς δὲ λέγοι ἄν τις τὰ ὀρθὰ ξύλα.

Κελεὸς, ὄρνεον ταχύπτερον. ἀφ' οὗ καὶ τὸ κέλλειν, ὅ ἐστι ταχέως βαδίζειν, καὶ τὸν ἰσόποδα. κελεὸν λέγει ἀστεϊζόμενος.

Κελεὸς, ἥρως Ἀθηναῖος.

Κέλερ, ὄνομα κύριον. ἀπὸ δὲ τούτου, τοὺς ταχεῖς, Ῥωμαῖοι καὶ ὀξεῖς, κέλερας λέγουσι.

Κελεστικὸς, ὄνομα κύριον.

Κέλεται, ἀντὶ τοῦ κελεύεται, Δωριεῖς λέγουσι.

Κέλετρον, ᾧ τοὺς ἰχθύας θηρῶσιν ἐν τοῖς ποταμοῖς.

Κέλευθα, ἡ κέλευθος ἐπὶ τῶν ἑνικῶν θηλυκῶς. ἐπὶ δὲ τῶν πληθυντικῶν, τὰ κέλευθα οὐδετέρως. ὡς τὰ κύκλα, τὰ δεσμὰ, τὰ χαλινὰ, ὧν τὰ ἑνικὰ ἀρσενικῶς, λέγεται.

Κελευθείας, τοὺς ἐνοδίους δαίμονας.

Κελευθείοντες, ὁ δεύοντες.

Κελευθιόων, πρὸς ὁδὸν ἔχων τὴν διάνοιαν.

Κέλευθοι, αἱ περὶ γῆν ὁδοὶ, εὕρηται παρ' Ὁμήρῳ.

Κέλευθος, ἐκ τοῦ ἐλεύθω γίνεται. κατὰ γὰρ τὸν Ἀλεξανδρέα Ἡρακλείδην, ὡς πατῶ πάτος, στείβω στίβος, οὕτως ἐλεύθω ἔλευθος, καὶ πλεονασμῷ τοῦ κ κέλευθος. σημαίνει δὲ τὴν ὁδόν.

Κελεύθρας, κελεύσεως.

Κέλευθος, ἐπὶ ξηρᾶς λέγεται. τὸ δὲ κέλευθα μεταπλασμὸν γένους φασὶν οἱ παλαιοὶ, μεταπλασθέντος τοῦ ἡ κέλευθος, εἰς τὸ κέλευθον, οὕτω καὶ τοὺς μηροὺς, μηρὰ λέγει ἡ ποίησις, καὶ τοὺς ῥύπους ῥύπα, καὶ ἄλλα πολλά.

Κελεύματα, παιδιᾶς εἶδος, καὶ ἀγάλματα.

Κελευστὴς, τριήραρχος, πρωρεύς. καὶ ὁ μὲν τριήραρχος, ἄρχει τῆς νηὸς καὶ τοῦ πληρώματος, ἔστι δὲ κατ' ἐκλογὴν τῶν πολιτικῶν ἀνδρῶν. ἄρχει δὲ ὁ πρωρεὺς καὶ τῶν κωπηλατῶν, οἱ δὲ κελευσταὶ τούτων αὐτῶν καὶ τῶν ἐπιβατῶν.

Κελευστιόων, κελευστικῶς ἔχων.

Κέλευστρα ἢ κελεύστα, ἅμαξα ἡμιονική.

Κελεύσω, βουλῇ καὶ μύθοις. ἐμφαίνει Ὅμηρος, ὅτι ἔστι καὶ ἔργοις κελεύειν. καθὰ καὶ διδάσκειν οὐ μόνον λόγοις, ἀλλὰ καὶ ἔργοις ἐστί.

Κελευτιόων, παρακελευόμενος.

Κελευτιόωντες, ἀντὶ τοῦ ἐγκελευόμενοι.

Κελεύω, τὸ προστάττω. καὶ κελεύω, τὸ ἁπλῶς λέγω. Λιβάνιος ἐν ἐπιστολῇ, κελευόντων ἢ ἀναγινώσκειν, ἢ ὁμολογεῖν ἀδικεῖν. κελεύω, πρὸς ἀπαρέμφατον κατ' ἐντελῆ σύνταξιν ἀποδιδόμενον, αἰτιατικῇ συντάσσεται. παρακελεύομαι δὲ, καὶ διακελεύομαι, καὶ αὐτὰ πρὸς ἀπαρέμφατον ἀποδιδόμενα, δοτικῇ συντάσσεται. οἷον παρακελεύομαί σοι θαῤῥεῖν.

Κελεύω, ἐνεργητικῶς ἀεὶ γράφεται. μετὰ προθέσεως δὲ, παθητικῶς. οἷον ἐγκελεύομαι, παρακελεύομαι, καὶ διακελεύομαι. κέλομαι δὲ, ποιητικόν ἐστι.

Κελημοσύναις, κελεύσεσιν.

Κελῆρες, ὁ μὲν ἔφθη ὑπερβῆναι ταῖς μακραῖς ναυσίν. οἱ δὲ κελῆρες, τοῦ θεοῦ συσκοτάζοντος, ἐπείγοντο τὸ φῶς.

Κέλης, ἵππος ὁ ἄζευκτος, καὶ μᾶλλον τὸ πλοῖον οἱ κέλητες. ἐπεὶ τὸ κελεύειν, καὶ ἐπὶ πλοίων λέγεται, ὡς τὸ κατακέλευε δὴ παρὰ τῷ κωμικῷ. οἱ δὲ καὶ οἱ κελεύοντες ἐκ τοῦ αὐτοῦ ῥήματος γίνεται, ἢ ἀπὸ τοῦ κέλλειν. ἐξ οὗ καὶ τὸ ὀκέλλειν κατὰ πλεονασμὸν, οὐκ ἔστιν ἀσφαλῶς εἰπεῖν. χρῆσις δὲ τῶν κελεόντων παρά τε ἄλλοις, καὶ παρὰ Παυσανίᾳ, ὅς φησιν ὅτι κελέοντες οἱ ἰσόποδες, καὶ τὰ λεπτὰ καὶ πηνοειδῆ τῶν ξύλων. λέγει δὲ καὶ Αἴλιος Διονύσιος, ὅτι κελέοντες οἱ ἰσόποδες, καὶ πάντα τὰ μακρὰ ξύλα.

Κέλης, εἶδος πλοιαρίου μικροῦ.

Κέλητα, ἵππον λέγει Ὅμηρος τὸν ἄζυγα, τὸν κατὰ μόνας ἐλαυνόμενον.

Κελήσεται, κλίνεται κατὰ τὴν κλῆσιν τοῦ θέλω θελήσω, καὶ μέλω μελήσω, καὶ τῶν ὁμοίων.

Κελητιᾶν, κελητίζειν, ἱππεύειν.

Κελητίζειν, ὡς δ' ὅτε τὶς ἀνὴρ κελητίζειν εὖ εἰδώς. ἀντὶ τοῦ ἱππεύειν, ἵππον κέλητα ἐλαύνειν. ἐκ τοῦ κέλης κέλητος, γίνεται κελητῶ, καὶ κατὰ παραγωγὴν κελητίζω. κέλης δέ ἐστιν ἵππος ὁ μονάμπυξ καὶ δρομικὸς, ὁ νῦν σελλάριος λεγόμενος καὶ γυμνός.

Κελητίζειν, ἀπὸ κέλητος παρῆκται, ὃ δηλοῖ τὸν ἄζευκτον ἵππον, καὶ κατά τινας τὸν μονάμπυκα. ὃς νῦν φασι σελλάριος λέγεται. αὐτὸς δὲ κέλης, ἢ παρὰ τὸ κέλλειν, ὅ ἐστι τρέχειν, ἢ βαδίζειν, ὅθεν φασὶ κέλευθος. ἢ παρὰ τὸ διεσκελισμένον τινά φασι, καθῆσθαι εἰς αὐτόν. τὸ δὲ λέγειν κελητίζειν, ἐν συνθέσει τὸ ἐν κέλητι ἵζειν, ἀδιανόητόν φασιν οἱ παλαιοί. ἰστέον δὲ, ὅτι ἐν τῷ ἵπποισι κελητίζειν, καὶ πίσυρας συναγείρεται ἵππους. τὸ μὲν ἵπποισι πρὸς διαστολὴν εἴρηται, τοῦ ἐνὶ κελητίζειν ἵππῳ.

Κελήτιον, μικρὸν πλοιάριον. ἀπὸ μεταφορᾶς τοῦ κέλητος ἵππου, ᾧ εἷς ἀνὴρ ἐπικάθηται.

Κέλκοις, συάγροις, καὶ ὀπαῖς.

Κελλὰς, μονόφθαλμος.

Κέλλειν, τὸ εἰς γῆν ἐκτιθέναι τὴν ναῦν, καὶ ἐξοκέλλειν.

Κέλλεται, προστάττει.

Κέλλικας, δημότας.

Κελλίων, ἡ τῶν ὅλων φύσις.

Κελλὸν, στρεβλὸν, πλάγιον.

Κέλλω, πρωτότυπόν ἐστι, καὶ ἐξ αὐτοῦ κατὰ πλεονασμὸν ὀκέλλω.

Κελλωναεῖς, ἔθνος σκυθικὸν, ἢ κελχοί.

Κελλώριον, παιδίον.

Κελλῶσαι, πλαγιάσαι.

Κελμὰς, θέρμη, ἢ νεῦρον ἐλάφου.

Κέλμις, παῖς, ἢ λήκυθος, καὶ ὄνομα ἑνὸς τῶν Ἰδαίων δακτύλων.

Κέλο-

Digitized by Google

Κέλομαι ποιητικὸν, κελεύω κοινόν. κέλεται, ἀντὶ τοῦ κελεύεται Δωριεῖς λέγουσι.

Κέλομαι καὶ ἄνωγα, ταυτὸν δύναται ἐκ παραλλήλου.

Κελοίμην, κελεύοιμι.

Κέλσαι, ἐκκλῖναι, ὁρμῆσαι, καταλαβεῖν, ἀποβιβάσαι, ἐξοκεῖλαι, συγκλεῖσαι, εἰλῆσαι.

Κελτοὶ, ἔθνος ἀπὸ Κελτοῦ υἱοῦ Ἡρακλέους.

Κελτίω, κελεύω.

Κέλβος, ὄνομα λίμνης, εἰσβάλλουσα περὶ τὸν Εὔξεινον πόντον.

Κελύφανα, λεπίσματα.

Κελύφη, καλύμματα δικῶν, ἢ τῶν ἐγκλημάτων, παρὰ τῷ Ἀριστοφάνει. κελύφη δὲ, τὰ τῶν ὠῶν καλύμματα, ὥσπερ ἔλεγεν ἀποβλήματα δικῶν.

Κέλυφος, τὸ λέπυρον τοῦ ὠοῦ, ὅτι οἱ τὰς βαλάνους ἐσθίοντες, καὶ καλύφη ἔκαιον. καὶ κέλυφος, ὀστέον λεπτόν. κυρίως δὲ καὶ τὸ τῆς ὀπώρας καὶ τῶν δένδρων.

Κελῶ, ὁρμήσω.

Κέλωρ, κύριον ὄνομα, καὶ ἱππεύς.

Κέλωρ, ἔγγονος, υἱὸς, ἐκπομίας, γάλλος, σπάδων.

Κέλωρ, σημαίνει τὴν φωνὴν, παρὰ τὸ κέλω, τὸ προστάσσω. ἢ παρὰ τὸ καλῶ, κάλωρ καὶ κέλωρ.

Κέλωϊ πυρὶ, τῷ καυστικῷ.

Κελωρύειν, κεκραγέναι, βοᾶν.

Κελωρύσας, φωνήσας, βοήσας.

Κέλως, ὁ κελλάριος, παρὰ τὸ κέλλω.

Κεμαντὰ, καθαρὰ, ἄωδη.

Κεμὰς, ἡ νέα ἔλαφός ἐστι. διαφορὰν δέ φασιν εἶναι κεμάδος, καὶ νεβροῦ. κεμάδα γὰρ εἶναι, τὴν ἔτι κοιμωμένην ἐν τῷ σπηλαίῳ. οἷον κοιμάδα τινὰ οὖσαν. νεβρὸν δὲ, τὸν ἤδη μείζονα, καὶ ἐπὶ βορὰν ἐξιόντα, καὶ νεμόμενον.

Κεμασῖνας, ἰχθύας.

Κέμεννα, ὄνομα ὄρους. καὶ κέμεννα εἶδον ἐγώ.

Κέμμερος, ἀχλὺς, ὁμίχλη.

Κέμμης, ὄρειον.

Κέμμις, πόλις ἐν Αἰγύπτῳ.

Κέμμορ, μέγα κῆτος.

Κεμπὸς, κοῦφος, ἐλαφρὸς ἄνθρωπος.

Κεμφὰς, ἔλαφος.

Κέμων, ἑτερόφθαλμος.

Κέμφος, εἶδος ὀρνέου κούφου. καὶ κεμφωθεὶς, ἀντὶ τοῦ ἐπαρθείς.

Κὶν, ἄν.

Κενὰ, ἀπόκενα, ἄκυρα.

Κένανδρος. κενὸς ἀνήρ.

Κενεὰ, κενὰ, μάταια. Κύπριοι δὲ ἀνανδενδράδας.

* Κενεαγγείη, ἡ τῶν ἀγγείων κένωσις, κυρίως, λέγεται δὲ καὶ ἡ ἀσιτία, ὡς τῷ τοῦ γένους ὀνόματι καὶ ἐπὶ τοῦ εἴδους συνηθέστατα χρωμένων ἁπάντων τῶν ἀνθρώπων.

Κενέαρος, κενὸς, ἐλαφρός.

Κενεαυχέες, μάταια καυχώμενοι, καὶ κενῶς αὐχοῦντες.

Κενέθας, σπόγγος.

Κενεβρείων, παρὰ τῷ Ἀριστοφάνει κατὰ μεταφορὰν στοιχείου, ἀντὶ τοῦ νεκριμαίων, ὡς τῶν θνησιμαίων κρεῶν ποικιλοτέρας ἀρτύσεως δεομένων. ἄλλως. τὰ θνησιμαῖα κρέα οὕτως ἐκάλουν, οὐκ ἔστι κενέβρειον, ὅταν θύσῃ.

* Κενέβρεια, τὰ θνησιμαῖα, καὶ νεκριμαῖα κρέατα.

Κενεμβατεῖ, διὰ τὰ κενὰ ἐπιβαίνει, ἢ κενὰ ἐπιχειρεῖ.

Κενεόν τε νέεσθαι, λέγει Ὅμηρος αἰσχρόν ἐστι, κενόν τινα ὑποχωρῆσαι. ἤγουν μὴ πράξαντα τὸ τέλος, οὗ ἕνεκα ἦλθε. μηδὲ ἐκτετελεκότα, ὅπερ ὑπέσχετο, μὴ δὲ ἔχοντα λάφυρα. ἐν τῷ κενεὸν πλεονασμός ἐστι τοῦ ε. ὡς γὰρ κοῦλος κουλεὸς, οὕτω κενὸς κενεός.

Κενεὸς, ποίου εἴδους; πλεονασμοῦ ἐπέκτασις. καὶ τίσιν ἐπέκτασις; συλλαβῆς πλεονασμὸς κατὰ τὸ μέσον, τὸν οἰκεῖον τόνον φυλάττων, οἷον ἀδελφὸς ἀδελφεός.

Κενεὼν, ὡς περιεκτικόν ἐστι. καὶ ἔχει πλεονασμὸν τοῦ δευτέρου ε, κατὰ τὸ πηλεὼν, ἀκανθεὼν, χαραδρεών. λέγεται δὲ παρὰ τὸ κενὸς εἶναι ὀστῶν.

* Κενεὼν, τὸ μεταξὺ τοῦ τῆς λαγόνος ὀστοῦ, καὶ τῆς νόθου πλευρᾶς χωρίον, ὅπερ δὴ καὶ κενὸν ὀστῶν ἐστί.

Κενὴ, ἡ ματαία.

Κενὴν, μακαρίαν εἰς κενὸν, καὶ μάταιον μακαριζομένην.

Κενήριον, τὸ κενὸν μνημεῖον.

Κενῆς, ἐστερημένης, κενωμένης, ματαίας.

Κενθίππη, τόπος Ἄργους, διὰ τὸ πρῶτον ἐκεῖ κεντῆσαι τὸν Πήγασον ἵππον Βελλεροφόντης.

Κενίσαι, κεντρίσαι.

Κενοδοξία, κενῶν ὄρεξις, ματαία τις περὶ ἑαυτοῦ οἴησις. ἢ κενοδοξία ἐστὶν, ὁ πρὸ τῆς ἀπαθείας θέλων ὑπὸ τῶν ἀνθρώπων δοξάζεσθαι, ἐπὶ τοῖς πεφυκόσι γίνεσθαι δι' ἀπάθειαν καὶ γνῶσιν θεοῦ.

Κενόν ἐστιν, εἴπερ ἐστὶν διάστημα ἀφανὲς, ἢ ἀνθρώπων ἔρημον. Σοφοκλῆς.

Κενὸν φάος, τυφλόν.

Κενοσπουδία, ματαία σπουδή. καὶ κενόσπουδος, ὁ ἐπὶ ματαίοις σπουδάζων.

Κενὸς, οἱ μὲν παρὰ τὸ σκηνῶ, σκενὸς κενὸς, ἐν ᾧ ἐστι τὶ σκηνώσασθαι καὶ βάλλειν. ἢ παρὰ τὸ καίω καυὸς. καὶ κενὸς ὁ κεκαυμένος, καὶ σποδὸς ὤν. ἢ ὅτι τὰ κεκαυμένα, κοῦφα καὶ ἐλαφρὰ γίνεται. ἢ παρὰ τὸ κινῶ κινὸς καὶ κενός. τὰ γὰρ κοῦφα καὶ κενὰ, εὐκίνητα καὶ εὐβάστακτα. ἢ παρὰ τὸ χῶ, τὸ χωρῶ, χενὸς καὶ κενὸς, ὁ χωρῆσαι δυνάμενός τι, διὰ τὸ μηδὲν ἔχειν. ἢ παρὰ τὸ χέω, χενὸς καὶ κενὸς. ἢ παρὰ τὸ ξέω, ξενὸς, ὁ κατεξεσμένος καὶ κενὸς, καὶ πλεονασμῷ τοῦ ε κενεός. σημαίνει τρία διὰ τοῦ ε ψιλοῦ, σημαίνει τὸ μάταιον, καὶ κοῦφον. καὶ διὰ τῆς αι διφθόγγου, σημαίνει τὸν νεωστὶ κατεσκευασμένον, ἐξ οὗ καὶ ἐγκαίνιον. σημαίνει καὶ τὸ παράδοξον, καὶ θαυμαστόν.

Κενοτάφια, τινὰ ἦσαν ἐλιστόμενα, ὡς τύπος νεκροῦ, μὴ ἔχοντα νεκρόν.

Κενοῦχος, τὸ βαλάντιον.

Κενοφωνία, ἡ ματαιοφωνία, ἀσέβεια, ἤγουν αἱρετικά.

Κέντως, ἄντως.

Κένσαι, προστακτικὸν μέσου ἀορίστου, ἀπὸ τοῦ κεντήσω μέλλων, δύναται καὶ ἀπὸ τοῦ κεντῶ κεντήσω, ἐκέντησα, κεντῆσαι, καὶ κένσαι συγκοπῇ.

Κένσαι, ἐπιπλῆξαι, κεντρίσαι, κτίσαι, κελεῦσαι.

Κένται, ἐστι διαλέκτου. ὡς γὰρ τὸ παρ' ἡμῖν φίλτατον φίντατον, καὶ δέλται δένται, οὕτω κέλται κένται.

Κενταυρικῶς, ἀγροίκως, ἀκόσμως, ὑβριστικῶς, ὅτι καὶ οἱ κένταυροι ὑβρισταί. οἱ δὲ ἀντὶ τοῦ μαλακῶς. εἰρωνεύεται γὰρ ὁ Ἡρακλῆς.

Κενταυρίσκος, ἀγροῖκος, ἄγριος.

Κένταυροι, λησταὶ, καὶ οἱ αἰνιᾶνες, καὶ οἱ παιδερασταὶ, ἀπὸ τοῦ ὄρρου.

Κένταυρος, ὅτι γυναικεῖον μόριον σημαίνει, δηλοῦσιν οἱ παλαιοὶ, φέροντες χρῆσιν Θεοπόμπου εἰς τοῦτο. πικρότερον δὲ τοῦτο εἰς σκῶμμα, τὸ εἰρῆσθαι κένταυρον, ὃς κεντεῖ ὄρρον τὸν παρὰ τῷ κωμικῷ.

Κένταυρος, ὄρρος.

Κενταύρους, φηράς φασι κατὰ λέξιν σύνθετον ἐπιθετικῶς. οἱονεὶ φυῆρας, τοὺς ἐκ δύο φυῶν ἡρμοσμένους, ὅ ἐστι διφυεῖς. τὸ μὲν κάτω ἵππους ὄντας ἄχρι καὶ εἰς αὐχένα, τὸ δὲ ἐντεῦθεν ἀνθρώπους. καὶ τὸ ὅλον εἰπὸν, ἵππους τε ὄντας ἀκεφάλους, καὶ ἀνθρώπους ἄποδας. ὅθεν καὶ ἀστεῖον ἐκεῖνο εἴρηται, ὅτι δηλαδὴ ἐν τῇ τῶν ἱπποκενταύρων φύσει, ἵππος μὲν ἀπεράγεται ἄνδρα, βροτὸς δὲ ἀποπέρδεται ἵππον. περὶ μὲν κενταύρων ζήτει Παλαίφατον.

Κεντατατίπα, χωρίον τί.

Κεντεῖ, οὐ κεντᾷ Σοφοκλῆς, κεντεῖτε μὴ φείδεσθε πανδήμου στρατοῦ.

Κέντει, συζυγίας ἐστὶ πρώτης τῶν περισπωμένων.

* Κέντει τὸν πῶλον περὶ τὴν νύσσαν, σπεῦδε δηλονότι ἐπὶ τὸ προκείμενον.

Κεντηλίων σχολῆς. εἶδος ἀξιώματος.

Κεντήματα, ζημιώματα.

Κεντηνάριον, νομισμάτων ποσότης.

Κέντορας ἵππων λέγειν, ταυτόν ἐστι τῷ ἐλατῆρας, ἢ ἱπποδάμους. ὥσπερ ὅμοιόν τι σύνθετον τὸ ἱπποκένταυρος, ὁ κεντῶν δηλαδὴ ταύρους κυνηγετικῶς. ὅθεν ἡ κωμικὴ βλασφημία, κενταύρους ἔπαιξε τοὺς αἰσχρῶς κεντοῦντας ταῦρον, ὅπερ ἐστὶν ὄρρον, ἀφ' οὗ τὸ ὀρρωδεῖν. ἔτι καὶ λαύστρους τοὺς πάσχοντας, ὡς οἷον λασιοταύρους, ἤγουν δασεῖς τὸν τοιοῦτον ταῦρον.

Κέντορας ἵππων, Καδμείους λέγει, ὡς πωλοδαμνοῦντας ἄλλως γὰρ οὐκ ἔπαινος τὸ κεντεῖσθαι, ἀλλ' ὀκνηρίας ἔνδειξις, ὡς Πίνδαρος λέγει, ἀκεντήτου ἵππου.

Κέντορες ἵππων, οὐ μόνον εὖ πωλοδαμνοῦντες, ἀλλὰ καὶ οἱ τεχνικῶς ἡνιοχοῦντες.

Κένσα, τὰ τῶν ἵππων πλῆκτρα. καὶ κένσα διωξικέλευθα.

Κενσιωνεκέας, παρὰ τὸ διηνεκῶς καὶ συχνῶς κεντρίζεσθαι. καὶ τοῖς κέντροις εἴκοντας καὶ πειθομένους.

Κέντριον, τὸ βουκέντριον.

Κεντριάδαι, τῶν περὶ τὰ μυστήρια.

Κεντρίναι, φωνὴν, γένος τὶ ζώου.

Κέντρον, πλεονασμὸν ἔχει τοῦ ρ, ὁμοίως στύφω στυφνὸς στρυφνός. ὅπερ εὕρηται διὰ τοῦ ι στριφνὸς τέρπω τερπνὸς, στέγω στεγνός.

Κεντρότυπος, ὁ μοχθηρὸς, ἢ ὁ ἡνίοχος, παρὰ τὸ κεντρεῖν τοὺς ἵππους.

Κέντρον λέγεται, ᾧ ἀπέρχονται ἵπποι, παρὰ τὸ κεντεῖν, ἀφ' οὗ καὶ κέντορες ἵππων. δοκεῖ δὲ κέντρον εἶναι ἄλλως τὸ ἁπλῶς κεντοῦν, ὡς καὶ βούκεντρον, καὶ τὸ περὶ πτέρναν σιδήριον ᾧ νύσσονται ἵπποι. διὸ καὶ τρυγόνος θαλασσίας κέντρον λέγεται, καὶ σκορπίου δὲ καὶ σφηκὸς καὶ λέοντος καὶ ἑτέρων. τοιούτου δὲ κέντρου παρώνυμον καὶ οἱ κέντρωνες, οἵ τε ῥαπτόμενοι, καὶ οἱ γραφόμενοι. ἔτι δὲ καὶ τὸ ἐγκεντρίζειν, ἐπὶ φυτῶν. ἵνα ὥσπερ ἐγκεντρίζειν ἐστὶ, τὸ ἐγκεντεῖν καὶ ἐμβάλλειν φυτῷ τινι κλαδίσκον ἀλλοίου φυτοῦ. καὶ κέντρων ῥαπτὸς μὲν, ᾧπερ ὡσανεὶ παρακεντοῦνται διάφοροι ῥοιαὶ ὑφασμάτων, γραπτὸς δὲ, ᾧ παρατίθενται τοιούτου παρακεντίσματος δίκην μέρη ποιημάτων, καὶ στίχων ἄλλοθεν ἄλλα. ὁποῖα καὶ τὰ κληθέντα ὁμηρόκεντρα, τουτέστιν οἱ ὁμηρικοὶ κένστωνες, οἷς ὅμοιοι γένοιτ' ἂν καὶ ἐξ ἑτέρων ποιητῶν ἤδη δέ του καὶ ἐκ πεζολογιῶν, ὁποῖοι σκωφθήσονται εἶναι οἱ γεννῶντες ῥητορείας οἰκείας, ἀλλ' ὡς εἰπεῖν λογοσυλλεκτάδαι ὄντες, καὶ δι' ὅλου σπερμολογοῦντες ἐν ἐγκωμίοις. ἰστέον, ὅτι κυρίως κέντρον τὸ στίζον ἐστί. διὸ καὶ ταυτὸν παρ' Ὁμήρῳ κέντρον καὶ μάστιξ. ἐκ τοῦ στίζειν γὰρ ἤτοι κεντεῖν ἡ μάστιξ. ὡς καὶ ὁ μαστιγίας, καὶ τὰ στικτὰ, οἷς καὶ τὸ βελλιὸν ὠκείωται, ἀπὸ τοῦ βάλλειν, ὅπερ ἐστὶ κεντεῖν καὶ στίζειν.

Κέντρων, φανερὸς κλέπτης, ὅτι βασανιζομένοις αὐτοῖς κέντρα προσφέρουσιν. ἢ κέντρων τουτέστι χαλεπὸς καὶ φρικτὸς. καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν, τοὺς τοῖς κέντροις τύπτοντας. κέντρων δέ ἐστι τὸ ἐπισασσόμενον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συρραφὲν, καὶ ἐπίσαγμα τῶν ὄνων. ἄλλως. οἱ ἐκ τῶν ἄλλων συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥιπτόμενα, καλοῦνται κέντρωνες. οἱ δὲ τὸν λοίδορον ἀκούουσιν, οἱονεὶ κεντροτύπος, ὁ κεκεντρωμένος καὶ φρικτός.

Κέντρωνες κυρίως λέγονται, τὰ ἐκ διαφόρων ῥοιῶν συνερραμμένα εἰς ἓν, οἷς ὁμοιοῦνταί πως τὰ ὁμηρόκεντρα. οἱ γὰρ ἀοίδοντες τὴν Ὁμήρου ποίησιν συνέρραπτον αὐτὴν, οἷον τὰ εἰς ἓν ὕφος ᾀδόμενα. ἢ καὶ ἄλλως, διότι κατὰ μέρος φασὶ τῆς ποιήσεως διαδεδομένης, τὴν σύμπασαν ποίησιν ἐπιόντες οἱ ᾄδοντες, καὶ τὰ ἐξ ἑκατέρας ὁμηρικῆς βίβλου συρράπτοντες, ὡς ἐβούλοντο, ῥαψῳδοὶ ἐντεῦθεν προσηγορεύθησαν, τῆς δὲ τοιαύτης ῥάψεως παράδειγμα σαφὲς, καὶ οἱ κέντρωνες, τουτέστι τὰ λεγόμενα ὁμηρόκεντρα.

Κεντηρίων, ἑκατόνταρχος, ἤτοι ταγματάρχης ἑκατοντάδος. κέντο γὰρ παρὰ Ῥωμαίοις, τὸ ἑκατόν.

Κένταυρος, τοῦ τοὺς ἵππους κεντοῦντος.

Κενωθῇ, οἷον βλάβην καὶ ἐλάττωσιν ὑπομείνῃ.

Κενωθῇ, μάταιος ἀποφανθῇ.

Κενῶν φάους, τυφλῶν.

Κενώτερος, ἐλαφρότερος, κουφότερος. τὸ κενώσιμον τῆς ἰατρείας καὶ τὸ θεραπευτικόν.

Κενῶ σοι τὸν πλοῦτον, ἀντὶ τοῦ κενὸν ποιῶ. Ἀριστοφάνης, τὰς παλέστρας ἐξεκένωσε.

Κενῶσαι, ἀντλῆσαι. ἔτι δὲ καὶ ἀντὶ τοῦ τῆξαι.

Κενῶσι, κενιῶσι, λεγόσι.

Κέοιτο, ὑπάρχοι.

Κέοιτο, ὡσαύτως καὶ τὸ ὑποτακτικὸν ἐὰν κέωμαι, ἐὰν κέῃ, ἐὰν κέηται.

Κέονται, ἀντὶ τοῦ κεῖνται, παρὰ Θεοκρίτῳ.

Κέπφοι, οἱ κοῦφοι, ἀπὸ τῶν ὀρνέων. ὅθεν καὶ τοὺς ἐλαφροὺς ταῖς φρεσὶ, κούφους καλοῦμεν.

Κέπφος, εὐήθες ζῶον. οὗ μέμνηται καὶ Νίκανδρος, καὶ Ἄρατος, καὶ Καλλίμαχος. ἐκ δὲ τῆς θαλάσσης ζῆν αὐτὸν λέγουσιν, ἐσθίοντα τὸν ἀφρόν. εἶναι δὲ αὐτὸν πολὺν μὲν ἐν τοῖς στεροῖς, ὀλίγον δὲ ἐν τοῖς κρέασι, καὶ κεκραγέναι ὠδίνοντα. ὅθεν γενέσθαι τὴν παροιμίαν κέπφος ὠδίνει, ἐπὶ τῶν ἐπαγγελλομένων μὲν μεγάλα, μηδὲν δὲ ἄξιον τῆς ἐπαγγελίας ποιούντων.

Κέπφος, θαλάσσιον ὄρνεον λαροειδὲς, ὅπερ ἀφρῷ θηρῶσιν οἱ παῖδες τῶν ἁλιέων.

Κέπφον, εὐτελέστατον καὶ λάλον φασὶν ὄρνεον. ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν. τοῦτο βουλόμενοι οἱ τῶν ἁλιέων παῖδες χειρώσασθαι, ῥίπτουσιν τὸ πρῶτον πόῤῥωθεν ἀφρόν. εἶτα ἐγγύτατα φέρουσι τοῦτο ἐν ταῖς χερσὶν, καὶ οὕτω κατὰ μικρὸν ἀπατῶντες ἀχρεῖως ἀγρεύουσι τοῦτο ἐμπεσὸν εἰς τὰς χεῖρας αὐτῶν. εἴληπται οὖν εἰς παροιμίαν ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν καὶ ἀνοήτων. καλεῖται δὲ κοινῶς λάρος.

Κεπφωθεὶς, ἀντὶ τοῦ ἐπαρθείς. κέπφος γὰρ, εἶδος ὀρνέου κούφου. καὶ κεπφωθεὶς, ἐρεθισθεὶς, ὀξέως ἐλαυνόμενος.

Κέρα, κέρατα, τρίχες.

Κεράα, ἡ κεφαλὴ κατὰ γλῶσσαν, ὅθεν καὶ κέρατα.

Κέρα ἀγλαὲ, οἱ μὲν ἀντὶ τοῦ τόξοις ἀγλαϊζόμενε. ἵνα λέγῃ κέρατα τοὺς πήχεις τοῦ τόξου, οἵπερ εἰσὶν συμβεβλημένα κέρατα. οἱ δέ φασι τὸ κέρα ἀγλαὲ, ἀντὶ τοῦ κάλλιστε τὴν τρίχα. καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ ἐπὶ ἀπάτῃ παρθένων.

Κεραβάτης, ὁ τὰ ἀκρωτήρια τῶν ὀρέων, τουτέστι τὰς κορυφὰς βαίνων, οἱονεὶ ὁ ὀρειβάτης. κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα. ὥς φησι Πίνδαρος ὑψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλὸν ἀκρωτήριον.

Κεραγλαεὶ ὑφὶν, παρθενοπίπα, ἤγουν κομῶν ἐπὶ τῷ παρθένους ὑπάγεσθαι. ἕτεροί φασιν, ὡς κέρας ἐστὶν ἐμπλοκὴ τῶν τριχῶν, καθὰ παρὰ Ἀθηναίοις ὁ κρώβυλος, ὡς τῶν εὐγενῶν καὶ ἰθαγενῶν ἦν δεῖγμα. Ἡρωδιανὸς δὲ λέγει, ὅτι κέρας ἐπὶ τριχὸς μάλιστα ἐπὶ βοῶν, καὶ ἄλλων θηρίων λέγεται, καὶ ἕτεροι σπανίως φασὶν ἐπὶ τριχὸς ἀνθρώπου τὸ κέρας λέγεσθαι, κυρίως δὲ κόμην καὶ τρίχα καὶ πλοχμὸν καὶ ἔθειραν. οἱ δὲ περὶ Ἀππίονα, καὶ Ἡρόδωρον τοιαῦτά φασιν, ἐμπλοκῆς τι γένος εἰς κέρατος τύπον ἀνεπλέκοντο οἱ παλαιοί. καὶ διὰ τοῦτο οὕτως ἐκάλουν αὐτὸ, καὶ ἄλλα ἦσαν κοσμήματα τριχῶν, ὁ γοῦν Σώφρων φησίν που, κορώνας ἀναδούμενοι, καὶ Ἀθηναῖοι τέττιγας ἀνεπλέκοντο. καὶ παρ' Ὁμήρῳ πλοχμοί τινες χρυσῷ καὶ ἀργύρῳ ἐσφήκοντο. Ἀριστοτέλης δέ φασι κέρα ἀγλαὸν εἶπεν, ἀντὶ τοῦ αἰδοίῳ σεμνυνόμενον. ἐπὶ τοιούτου σημαινομένου τὴν λέξιν ἐκεῖνος νοήσας, καὶ εἰπὼν ἐντεῦθεν τὴν λέξιν πορίσασθαι ἔοικεν ὁ σκορπιάδης τὴν γλῶσσαν. Ἀρχίλοχος ἁπαλὸν κέρας αἰδοῖον.

Κεραία, τὸ κεραστήριον, τὸ διὰ πλαγίου ξύλου τῷ ἱστῷ ἐπικείμενον, οὗ καὶ τὴν ὀθόνην ἐξάπτουσι.

Κεραΐδες, τῶν προβάτων τὰ θήλεα, τὰ ἔνδον ὀδόντας ἔχοντα.

Κεραΐζειν, κυρίως μὲν ἐπὶ φθορᾶς τῆς ἐκ ζώων κερασφόρων λέγεται. καὶ ἄλλως δὲ ἐπὶ πολυορκίας, καὶ λείας πολεμικῆς. ἢ καταχρηστικῶς εἴρηται ἀπὸ τῶν ζώων βλαπτόντων τοῖς κέρασιν. ἢ ἀπὸ τοῦ κείρειν ἐξ οὗ ὁ κόρος.

Κεραΐζειν, ἐπὶ κερασφόρων ζώων κυριολεκτεῖται. λέγει δὲ Ὅμηρος κεραΐζέμεν πόλιν, τὸ ἁπλῶς ἀφανίζειν, καὶ ὡς εἰπεῖν κείρειν. ἐπὶ δὲ ἄλλων οὔ. καὶ ὅτι τὸ ἁπλῶς φθείρειν καὶ ἀφανίζειν, ἱκανῶς προδεδήλωται.

Κεραΐζων, διακόπτων, ἀναιρῶν, διαρπάζων, πορθῶν.

Κέραιε, κέραιρέ φασι τινὰ τῶν ἀντιγράφων, ὀλίγα μέντοι, οὐδὲ ἀκριβέστερα. ἵνα γίνηται τὸ μὲν κέραιε, ἀπὸ τοῦ κερῶ κεραίω, καὶ ὅτι μᾶλλον ἐπὶ ἀκράτου νοεῖται τὸ ζωρὸν, ὡς παραδηλοῖ Ἡρόδοτος, ἐν οἷς φησιν, ἐπὰν ζωρότερον βούλωνται οἱ Σπαρτιᾶται πιεῖν, ἐπισκύθισον, ὡς ἀπὸ τῶν σκυθῶν. οἵ φησιν εἰς Σπάρτην ἀφικόμενοι πρέσβεις, ἐδίδαξαν τὸν Κλεομένην ἀκρατοποτεῖν. ἰστέον δὲ, ὅτι καὶ ἐχρῆν ἀνδράσι καμοῦσιν, ἄκρατον ἐγκεράσθηναι διὰ ὄνησιν, ὥσπερ καὶ ἡ Ἑκάβη γενέσθαι ἠθέλησε κεκμηκότι τῷ υἱῷ Ἕκτορι. ἄκρατος γὰρ καὶ ἐκεῖ ὁ οἶνος ἦν.

Κέραιρε, κίρνα, ἀπὸ τοῦ κεράω κερῶ κεραίρω.

Κεραιέλοντα, ὁ εἰς κέρατα ἔλαιον ἄγων.

Κεραϊλέα, τὴν κόμην καλλωπιζομένην.

Κέραιρε, κεράννυε, κέρασον.

Κεραιοῦχον, δικαιοδότην, ἀπὸ τοῦ ἐν τοῖς ποιοῖς κεραιούχου.

Κέραιος, σταυρός.

Κέραις, κορώνη.

Κεράϊσαν. διέφθειραν.

Κεραϊστὴς, τόπος Μιλήτου, ἀπὸ τοῦ τὸν Ἀπόλλωνα κέρατα τοῦ ἄῤῥενος τράγου ἀμελγομένου ὑπ' αὐτοῦ πῆξαι ἐκεῖ, ὡς Καλλίμαχος.

Κεραϊστὴς, κομήτης, ἀλιεὺς, εἶδος ὄφεως, καὶ ὁ κέρατα ἔχων.

Κεράμβηλον, κήπου προβασκάνιον. καὶ θηρίδιόν τι, ὃ περὶ τὰς συκᾶς δεσμευόμενον ἀποδιώκει τῇ φωνῇ τοὺς κνῖπας. ἔνιοι τοὺς κανθάρους, ὡς κέρατα ἔχοντας τὸν κέραμβον.

Κεράμβυξ, ζῶον κανθάρῳ ὅμοιον.

Κεράμεια, ὁ παντοδαπὸς κέραμος.

Κεραμεῖα, ἔνθα τὰ ὀστράκινα σκεύη πιπράσκεται.

Κεραμεικαὶ, πλατεῖαι πληγαί. ἀγὼν γὰρ Ἀθήνησιν εὐτελὴς ἐν τῷ κεραμεικῷ, ἐν ᾧ τύπτουσι πλατείαις χερσὶ τοὺς μὴ τρέχοντας, καὶ τοὺς ἄλλους ἀγωνιστὰς γέλωτος χάριν.

Κεραμεικὴ μάστιξ, τὸν ὀστρακισμὸν λέγουσι, μάστιγα μὲν, διὰ τὸ βασανίζειν τοὺς ὀστρακιζομένους καὶ κολάζειν. κεραμικὴν δὲ, διὰ τὸ ἐκ κεράμου τὰ ὄστρακα εἶναι.

Κεραμεῖνῳ, εὐτελεῖ, ἢ ἀπὸ κεράμου.

Κεράμειον, ἀγγεῖον. τὸ δὲ κύριον κεράμιον διὰ τοῦ ῑ.

Κεραμεικοὶ, δύο Ἀθήνησιν. ὁ μὲν ἔνδον τῆς πόλεως, ὁ δὲ ἔξω, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ, καὶ τοὺς ἐπιταφίους ἔλεγον. εἰσὶ δὲ ἔνθεν καὶ ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις, ἔχουσαι ἐπιγραφὰς, που ἕκαστος τέθαπται. ἐν δὲ τῷ ἑτέρῳ ἦσάν τε καὶ προεστήκεισαν αἱ πόρναι. καὶ ἄλλως κεραμεικὸν, τόπος Ἀθηναίων, θεῶν τὰ ἀγάλματα ἐκεῖσε ἱδρυμένα. ἄλλως δῆμος Ἀττικῆς.

Κεραμεὺς, ὁ Λυκοῦργος.

Κεραμεύειν, κοινῶς ἀντὶ τοῦ κατεργάζεσθαι. ἦν δὲ καὶ κεραμέως πατὴρ ὁ Κέφαλος. ἔλεγον δὲ κεραμεύειν, καὶ τὸ κακῶς ποιεῖν τὰ κοινά.

Κεραμεὺς, παρὰ τὸ κέραμος, τοῦτο παρὰ τὴν ἔραν ἔραμος, καὶ κέρα κέραμος. Ἀπολλόδωρος τὴν κεκαυμένην γῆν, ἔραν φησίν. οἱ δὲ παρὰ τὸ κεκάμφθαι τῇ ἔρᾳ.

Κεραμεοῦν σκεῦος, βέλτιον λέγειν ἢ ὀστράκινον.

Κεραμεικαὶ πληγαὶ, Εὐφρόνιός φησιν, ὅτι ἀπὸ τοῦ ἐν τῷ κεραμεικῷ ἀγῶνος τῆς λαμπάδος, καὶ τοὺς ὑστάτους τρέχοντας ἀπὸ τῶν ἀγοραίων τύπτεσθαι πλατείαις ὑπὸ τῶν νεανίσκων χερσὶ, καὶ λέγονται αἱ τοιαῦται κεραμεικαὶ πληγαὶ, ἐμφαίνεται δὲ ἀπὸ τούτων, ὅτι παρὰ τοῖς κεραμεικοῖς τοῦτο μάλιστα γίνεται, Ἀριστοφάνης ἐν βατράχοις.

Κεραμίνας, δημοσίους.

Κέραμος, πίθος, καὶ πᾶν ὄστρακον, καὶ δεσμωτήριον, καὶ ὀχύρωμα, καὶ πόλις Καρίας. ἤδη δὲ ἐπὶ χρήματος.

Κεραμέως πλοῦτος, ὁ σαθρὸς, καὶ μὴ βέβαιος.

Κεραμευτὸν, παικτικὴ διάπραξις, ὅπερ ἐποίουν Ῥωμαῖοι ἐν παιδιᾶς μέρει. βαίνων κεράμους δυσμενῶν βλάβας φύγοις.

Κερᾶν, ἀπὸ τοῦ κέρατος εἴληπται, οἱ γὰρ παλαιοὶ πρὸ τῆς τῶν ποτηρίων χρήσεως κέρασιν ἐχρῶντο, ἀντὶ ἐκπωμάτων, ὡς ἐξ ἄλλων τε δῆλον, καὶ τοῦ Ξενοφῶντος, λέγοντος, κέρατα δὲ οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο. καὶ φέρων τὸ κέρας ὁ οἰνοχόος ἧκε. καὶ λαβὼν κέρας μεστὸν, εἶπε προπίνω σοι, καὶ ἀναστὰς συνεξέπιεν, καὶ συγκατεδύσατο μετ' αὐτοῦ τὸ κέρας.

Κερανίξαι, κολυμβῆσαι, κυβιστῆσαι.

Κεραννὺς, ἐκ τοῦ κεράννυμι, καὶ ἡ μετοχὴ κεραννύς. κεράννυμι δὲ ἐκ τοῦ κεραννύω.

Κεράνυσι, κεράνυμι, υς, σι, κιρνᾷ.

Κεραὸν, τέλειον, ἢ κέρατα ἔχοντα.

Κεραὸν ἔλαφον, ὁ Ποιητὴς τὸν τέλειον λέγει. κεραὸς καὶ κερασφόρος ταυτὸν. πλὴν ὅτι κεραὸς ποιητικὸν, κερασφόρος κοινόν.

Κέραξ, θρὶξ, τόξον, καὶ αἰδοῖον.

Κεραοξόος, ὁ κερατουργὸς, ὁ κερατογλύφος.

Κερασβόλα, ἄκαρπα.

Κερασβόλος, ὁ τοῖς κέρασι βάλλων.

* Κέρας, ἡ ἰσχὺς παρὰ τῇ θείᾳ γραφῇ, ἐκ μεταφορᾶς τῶν ζώων τῶν καθωπλισμένων τοῖς κέρασι, καὶ τούτοις ἀμυνομένων.

Κέρας βοὸς, οἱ μὲν κυρίως, οἱ δὲ τὴν τρίχα, ἄμεινον δὲ νοεῖν κέρας τι προσκεῖσθαι τῷ ἀγκίστρῳ, ἵνα μὴ οἱ ἰχθύες ἀποβιβρώσκωσι τὴν ὁρμιὰν, Ἰλιάδος ω.

Κέρας, κεφαλὴ, θρὶξ, σάλπιγξ, δύναμις, ἢ πολέμου μέρος, καὶ ἡ ἐξοχή.

Κέρας, ἐπὶ ζώου. ἀφ' οὗ καταχρηστικῶς, ἐπὶ νηὸς καὶ ἐπὶ πολέμου.

Κέρας οὐ μόνον ζωϊκόν ἐστιν, ἀλλά που καὶ τοπικὸν τροπικῶς, ὡς δῆλον ἐκ τοῦ ὑψηκέρατα πέτραν. καὶ κέρατα ποταμῶν, ἤτοι καμπαὶ, καὶ ἐπὶ ἰσχύος δὲ τὸ κέρας. καὶ ἐπὶ πολεμικῆς ἐκτάξεως. κέρας δεξιὸν, καὶ ἀριστερόν. καὶ κέρας, τριχῶν ἐμπλοκὴ, καὶ συμποσίου τι σκεῦος. ἐπεὶ κέρασι βοῶν οἱ παλαιοὶ καὶ πρῶτοι ἔπινον. ὅθεν καὶ Διόνυσός φησι, κερατοφυὴς ἐπλάττετο, καὶ ταῦρος ἐκαλεῖτο, καὶ ἐν Κυζίκῳ ταυρόμορφος ἵδρυτο. καὶ ἐκ τοῦ τοιούτου δὲ κέρατος, καὶ τὸ μῖξαι οἶνον ὕδατι, κεράσαι φαμὲν, καὶ κρατῆρα, τὸ εἰς τοῦτο δεξιὸν ἀγγεῖον, ὡς οἷον κερατῆρα. ἐκαλεῖτο δέ φασι, τὰ τοιαῦτα κέρατα, ῥυτά. ὠνομάζετο δέ τι σεμνῶς τοιοῦτον ποτήριον, καὶ κέρας Ἀμαλθείας, παρενεχθὲν ἀπὸ τοῦ θρυλλουμένου τοῦ κατὰ τὴν μυθικὴν αἶγα. ἄλλῳ δὲ τοιούτῳ ποτηρίῳ κλῆσις ἦν, ἐνιαυτός. ἴσως δὲ διὰ τὸ μεγαλεῖον εἶναί τι, καὶ ἐπιτελεστικὸν, ἐπεὶ καὶ τελεσφόρος, ὁ ἐνιαυτὸς λέγεται, μεγάλα δὲ ὡς εἰκός τινα τῶν κεράτων, ὡς ἐκ μεγάλων βοῶν, ὁποῖοι οἱ παρὰ Παίοσι καὶ Μολόττοις, ἐξ ὧν ἐκπώματα ἐποίουν, περιαργυροῦντες καὶ χρυσοῦντες τὰ χείλη. ὧν ὁ ἀρύτης ἐχώρει φασὶ, καὶ τέσσαρας χοὰς, ἤγουν χοέας τοὺς παρ' Ἀττικοῖς. χρῆσις δὲ συμποσιακῶν κεράτων, παρὰ Ξενοφῶντι, καὶ παρὰ Αἰσχύλῳ, ἐν τῷ ἀργυρηλάτοις κέρασι χρυσᾶ στόμια προβεβλημένοις. καὶ παρὰ Πινδάρῳ, ἔνθα λέγει τοὺς φῆρας, ἤγουν θῆρας κενταύρους, ἐξ ἀργυρέων κεράτων πίνειν. ἦν δὲ ἄρα ἡ τῶν τοιούτων κεράτων χρῆσις, οὐ πενητευτικὸν, εἴγε καὶ βασιλεῖς οὕτως ἔπινον. Φίλιππος γοῦν βασιλεὺς φασι, κέρατι προὔπινεν, οἷς ἐφιλοφρονεῖτο.

ἔστι δὲ καὶ εἶδος τὸ κέρας ἀσυλλύτου συλλογισμοῦ.

Κέρας, ἡ θρὶξ διὰ τὸ τοῖς κέρασιν ὁμοίως ἐκφύεσθαι. οἱ δέ φασιν, ὅτι ἡ ἐκ βάθους ἰκμὰς ἀπὸ τῆς θερμασίας ἀναφερομένη, κἄπειτα τῇ τοῦ δέρματος πίσει στοιχηδὸν σαρκοῦται, ἢ ἡ συνεχῶς κειρομένη. κέρας, καὶ ὄνομα ποταμοῦ, καὶ τὸ κέρατον, καὶ τὸ κερατεῖον, καὶ ἄλλα πολλὰ σημαίνει.

Κεράσαι ἐστὶ τὸ ἐπιχεῖν οἶνον ἀπὸ παλαιοῦ ἔθους. πάλαι γὰρ ἐχρῶντο κέρατι, ἀντὶ τοῦ προχόου.

Κερασβόλα, τὰ σκληρά.

Κερασβόλα, ἄκαρπα, τὰ ἄψυτα ὄσπρια. οἱ περὶ τὰ κέρατα τῶν βοῶν δεσμοί, καὶ οἱ ἐν ταῖς ἀρχαίαις λύραις κόλλαβοι.

Κέρασσε, νέκταρ ἐ δηλοῖ, κράματι, ἀλλ' ἀντὶ τοῦ ἐνέχει κεῖται, ὡς ἀπὸ τῆς παλαιᾶς χρήσεως, καθ' ἣν κέρασι ζώων ἐγχέοντες ἔπινον.

Κέρασος, δένδρον, ὃ φύεται ἐστραμμένοις. χοινίον δὲ ποιεῖ ὁ φλοιὸς αὐτοῦ, μεθ' ὃ ἀντὶ νεύρων δεσμεύουσιν.

* Κερασοῦς, πόλις Ἑλληνὶς ἐπὶ τῷ Εὐξείνῳ πόντῳ Σινωπέων ἄποικος.

Κεραστίας, ἡ Κύπρος ποτέ.

Κερασφόρος, κερατοφόρος.

Κεράσχηλοι, οἱ ἐπικαμπῆ ἔχοντες τὰ χείλη.

Κέρατα, τῆς φάραγγος τὰ ἄκρα, καὶ μετώπου μέρος, καὶ ἡ τῶν κεράτων χρῆσις.

Κέρατά φασιν ἐν Δήλῳ τῇ νήσῳ ἀνακεῖσθαι, ἐκ τῶν κατ' ἐρυθρὰν θάλασσαν τόπων. κριοῦ μὲν δίπηχυ, καὶ δακτύλων ὀκτώ, ἰσοῦν μνᾶς κϛ'. τράγου δὲ πηχέων δύο, καὶ σπιθαμῆς, σταθμοῦ ἴσου.

Κερατευταῖς, οἱ τοὺς ταύρους ἕλκοντες ἀπὸ τῶν κεράτων. καλοῦνται δὲ καὶ κερασλκεῖς.

Κερατίζειν, κορύττειν οἱ Ἀττικοὶ λέγουσιν, ὡς συντεινόντων ἀλλήλοις τῶν κριῶν, καὶ τὰς κορυφὰς πληττόντων, καὶ ῥυγνυμένων.

Κερατίνην πύλην, παρ' Ὁμήρῳ ἐν τῷ τ' τῆς Ὀδυσσείας, τοὺς ὀφθαλμοὺς ἀπέδωκαν, κατὰ τὴν ἐκ μέρους συνεκδοχήν, ὅ ἐστι σύλληψις, ἵνα λέγοι συμβολικῶς, ἡ σοφὴ Πηνελόπη πιστότερα τῶν ἁπλῶς, ὑπὸ λεγομένων εἶναι τὰ ἐξ ἀποτελέσματος ὁρώμενα. διὸ καὶ τοῖς περὶ Ὀδυσσέως ὀνειροκριτικῶς λεγομένοις, πιστεύσειν δηλαδή, ὅτ' ἂν ἴδῃ αὐτά. ἄλλοι δὲ κέρασι μὲν εἴκασαν τοὺς οὐρανίους ὀνείρους, οὓς καὶ διοπέμπτους ἔλεγον καὶ ἀληθεῖς, ἐπεὶ καὶ τὰ κέρατα εἰς ὕψος ἀνέχουσιν, ἐλέφαντι δὲ τοὺς χθονίους. τὰ γὰρ τῶν ἐλεφάντων κέρατα κάτω νεύει. δηλοῖ καὶ ἀλλαχοῦ ὁ Ποιητὴς τοὺς μὲν οὐρανίους, ἐν τῷ καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστι. τοὺς δὲ χθονίους, ἐν τῷ λευκάδα πέτραν, καὶ ἠελίοιο πύλας, καὶ δῆμον ὀνείρων. ἐθέλει οὖν εἰπεῖν ἡ γυνή, ὡς ἐμοὶ θεαθεὶς ὄνειρος οὐκ ἐκ τοῦ Διός, ἀλλ' ἄποθεν κάτωθεν. εἰσὶ δὲ καὶ οἳ οὕτως ἐνόησαν, ὡς ὅσα μέν τις ἴδοι πλησάμενος τροφῆς. οὓς καθυπουργοῦσιν οἱ ἐλεφαντοφανεῖς ὀδόντες, ταῦτα ψεύδονται. ὅσα δὲ πάντα θεῖη ὁ νήφων, καὶ ἀναπεπταμένος ὕψου, καὶ ἄνω νεύων, κατὰ τὸ κέρας τὸ ἀγχιστεῦον τῷ τῆς κεφαλῆς ἡγεμονικῷ, ταῦτά εἰσιν ἀληθῆ.

Κερατιοῦμεν, καταγωνισόμεθα, ἀπὸ μεταφορᾶς τῶν ζώων, ἃ τοῖς κέρασι καταπαλαίουσι τὸ ἀντίπαλον.

Κέρατος φυτόν, ᾧ πρὸς τὰ τόξα ἐχρῶντο.

Κερατουργός, ὁ ταῖς κιθάραις κερατοποιός.

Κερατωνία, συκῆ Αἰγύπτου. κεραβλογία, τὸ λαγωβόλον.

Κεραυνίας, ὁ κεραυνωμένος.

Κεραύνιος, ἐμβρόντιστος, καὶ Ζεὺς ἐν Σικελίᾳ, καὶ ἱμάτιον ποιόν.

Κεραυνία, ὄρη.

Κεραυνὸς Διός, ἑρμηνεία ἐστὶ τοῦ ὑπὸ ῥιπῆς Διός. ῥιπὴ γὰρ αἰθέρος, ὁ κεραυνός.

Κεραυνός, ἀστραπὴ σφοδρὰ κατιοῦσα ἐπὶ τὴν γῆν, καὶ τὰ περιτυχόντα φλογίζουσα.

Κεραυνός, ἡ μεταφορὰ ἀπὸ τῶν ζώων τῶν τοῖς κέρασι χρωμένων, καὶ διαφθειρόντων. παρὰ τὸ κεραΐζειν καὶ τὸ αὔειν, ὅ ἐστι καίειν.

Κεραυνός ἐστι πνεῦμα ἑλικοειδῆ κίνησιν ποιούμενον, ἄνωθεν κάτωθεν φερόμενον διὰ πυρός, ὡς τὰ πολλά.

Κέραφος, χλευασμός, κακολογία.

Κερβαλά, ἀσθενῆ, μεγάλα.

Κερβέριοι, ἀσθενεῖς. φασὶ δὲ καὶ τοὺς Κιμμερίους, κερβερίους, καὶ τὴν πόλιν οἱ μὲν Κερβερίαν καλοῦσιν, οἱ δὲ κιμμερίαν. ἄλλοι δὲ κίμμερα, ἔστι δέ τόπος ἐν ᾅδου κερβέριος τεμπάριος.

Κερβεροκίνδυνος, τάρταρος αἰσχρός, καὶ κύων μέγας ᾅδου.

Κερβολοῦσα, λοιδοροῦσα, βλασφημοῦσα, ἀπατῶσα.

Κέρβερον. ἡ ἱστορία βασιλέα οἶδέ τινος τοῦ μολοττικοῦ ᾅδην, καὶ κύνα γενναῖον ἐκεῖνον τὸν κέρβερον. ὃν Ἡρακλῆς εἷλεν ἐξ ἐπιταγῆς, καὶ τῷ Εὐρυσθεῖ ἐκόμισε.

Κέρβερον, τὸν τοῦ ᾅδου κύνα, οὗ τὴν κλῆσιν Ὅμηρος μὲν σιγᾷ. οἱ δὲ νεώτεροι κέρβερον αὐτὸν καλοῦσιν. καὶ κυνὸς μὲν κεφαλὰς αὐτῷ προσάπτουσι τρεῖς, οὐρὰν δὲ προσπλάττουσι δράκοντος, ἐπὶ δὲ νώτου προσφύουσιν ὄφεων κεφαλάς, καὶ τὴν τούτου ἐξ ᾅδου ἀναγωγήν, ἥν φασιν εἶναι τῶν Ἡρακλέους ἄθλων, οἱ ἐν μιᾷ καὶ ἔπεσιν ὀκτὼ ἐκείνῳ ἐνύθησαν. καὶ ταῦτα μὲν ὁ μῦθος, οἱ δ' ἱστοροῦντες λέγουσιν, ἄψυχον εἶναι κύνα τὸν κέρβερον, Ἀϊδονέως Θρακῶν βασιλέως, ἔνθα σταλέντα τὸν Ἡρακλέα ὑπὸ Εὐρυσθέως, περιγενέσθαι τοῦ κυνός, καὶ τὸν μῦθον ἐντεῦθεν πλασθῆναι, διὰ τὸ τὸν Ἀϊδονέα τὸν θρᾷκα τῷ ὑπὸ γῆν ᾅδῃ ὁμωνυμεῖν. ἡ δὲ ἀλληγορία εἰς μέθην αὐτὸν ὑπονοεῖ, ἢ ἄλλο τί τοιοῦτον κακόν, παρὰ τὸ κέαρ βαρύνειν, ὅ ἐστι τὴν ψυχήν. οὗ δὴ κερβέρου περιγίνεται Ἡρακλῆς, ὁ εἰς τὸν λόγον ἀναγόμενος.

Κερδαίνειν, παρὰ τὸ κέρδος, ἢ παρὰ τὸ κέρα ἰαίνειν, ὅ ἐστιν εὐφραίνειν.

Κερδαίνω, ἀποφέρομαι.

Κερδαίνω, μέλλων κερδανῶ, παρακείμενος κεκέρδαγκα, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, κερδαίνειν τι βούλομαι.

Κερδαῖος, ὁ ἐπὶ κέρδει τοῖς παθοῦσι καθόσον ἐκβέβρωται.

Κερδάλη, ἀλώπηξ.

Κερδαλέος, ποικίλος, πανοῦργος. κερδὼ γὰρ ἡ ἀλώπηξ, ὅ ἐστι ζῶον πανοῦργον. καὶ κερδαλέος, ὁ συνετός, καὶ παραλογιστικός.

Κερδαλεόφρων, ἀπατεών, πανοῦργος, δι' ὅλου πείθων.

Κερδαλεόφρων ἐστὶ καὶ ὁ ὕπουλος, δίκην κερδοῦς ὅ ἐστιν ἀλώπεκος τῆς δολίας, ἢ ὁ τὰ πρὸς κέρδος, ἤτοι δόλον φρονῶν.

Κερδάλια, ἐπιτάφια, ἐντάφια.

Κέρδιον, βέλτιον, κρεῖσσον, ἀπὸ τοῦ κέρδους.

Κερδέα, πανουργία.

Κέρδεσι, πανουργίαις.

Κερδίαν, ἀλωπεκίαν.

Κέρδιον, συμφορώτερον, ὠφελιμώτερον.

Κέρδιστος, ὅ ἐστιν ἐντρεχέστατος, συνετώτατος, μέση λέξις ἐστὶ κέρδιστος.

Κέρδιστος, πανουργότατος.

Κερδοσύνη, ἐπὶ δόλου καὶ ἀπάτης παρὰ τῷ Ποιητῇ κεῖται ἐνίοτε. ἐντεῦθεν καὶ κέρδεα τὰ βουλεύματα. καὶ κερδῷος Ἑρμῆς, ὃς καὶ κέρδιστον νόημα περιφραστικῶς εἴρηται παρά τινι τῶν ποιητῶν. καὶ ἡ κερδὼ ἀλώπηξ, ὅ ἐστιν ἀπατητικὴ δολερά. ἧς καὶ τὸ κύριον παρὰ τὸ ἀλᾶν, ὅ ἐστι τὸ πλανᾶν, σύγκειται. ὅτι δὲ κέρδος, εἰ καὶ διάφοράν ἐστι πρὸς τὸ κρήγυον, ὅμως ἀπὸ τοῦ τὸ κέαρ ἥδειν γίνεται. ὥσπερ ἐκεῖνο ἀπὸ τοῦ κῆρ ἡδύνειν.

Κερδοσύνην, τὴν ἐπικερδῆ λέγει βουλήν. οἱ δὲ ὕστερον τὴν δολιότητα, ὡς ἀπὸ τοῦ κερδοῦς, ἥ ἐστιν ἀλώπηξ.

Κερδοσύνην Ὀδυσσέως, λέγει ὁ Ποιητὴς τὴν φρόνησιν καὶ κερδαλεότητα.

Κερδοπά, ὄσπρια.

Κέρδος, Αἰσχύνης ἄμεινον.

Κέρδος, σύνεσις, τέχνασμα, ὠφέλεια.

Κερδώ, ἡ ἀλώπηξ, παρὰ τὴν κερδοσύνην, τουτέστι πανουργίαν. ὡς εἰδοθέα εἰδώ, καὶ ὑψηπόλη ὑψώ.

Κερδῷος, θεὸς ὁ Ἑρμῆς * ὡς κέρδους ποιητικός.

Κερέεσιν, ᾅδου συμφοραῖς.

Κερέα, ἀρχή, γράμματα.

Κερεῖ, ξυρεῖ.

Κερεῖς, θερίσεις.

Κερητίζει, βασανίζει.

Κέρκα, ἀκρίς.

Κέρκαξ, ἱέραξ.

Κερκάς, κρέξ, τὸ ὄρνεον.

Κέρκαφα, ἐγγύη.

Κερκέτης, τὸ μικρὸν πηδάλιον, ἀπὸ τῶν ὑδρόντων.

Κερκέται, ἔθνος ἰνδικόν.

Κερκίδας, δονακίνας, ἐπεὶ ταῖς αὐθυλαῖς ἐχρῶντο εἰς κερκίδας.

Κερκίδας, τοὺς προδότας καταλέγων φησὶν Ἀρκάδας κερκίδας. ὅτι δ' οὗτος τῶν τὰ μακεδονικὰ φρονούντων ἦν, εἴρηκε καὶ Θεόπομπος ἐν τῷ ε' φιλιππικῶν.

Κερκιθαλίς, ἐρωδιός.

Κερκίς, ἱστουργικὸν ἐργαλεῖον, καὶ εἶδος κυρίως φυτοῦ.

Κερκίς, ἡ τῆς πίτυος κορυφή, ἢ αἴγειρος, καὶ εἶδος ὄρνιθος.

* Κερκὶς στιβήδιον, ὕστερος.

Κερκίς, ὠνοματοπεποίηται. ἀπὸ τοῦ κρέκω γάρ, ὃ δηλοῖ τὸ ἠχῶ, γίνεται κατὰ μετάθεσιν. ἐκ τούτου δὲ καὶ ὄρνεον ἡ κρέξ, ὡς παρεμφαίνει ὁ κωμικὸς ἐν ταῖς ὄρνισι. ἴσως δὲ καὶ οὕτω καὶ ὁ κίρκος, ἀπὸ τοῦ κρίζειν, κατὰ μετάθεσιν πρὸς διαστολὴν τοῦ ὀργάνου κρίκου, ἐξ ὧν καὶ ῥῆμα τὰ κρικῶ.

Κέρχνος, ἱέραξ, ἢ ἀλεκτρυών.

Κερκόλυρα, οὕτως ὁ Ἀλκμὰν ἐχρήσατο, ἀντὶ τοῦ κρεκόλυρα. ἐστὶ δὲ τοῦτο πάθος. τὸ δὲ κερκόλυρα ἠχητικὴ λύρα. τὸ δὲ κρέκε, κρέκε ἠχός ἐστι τῆς κιθάρας.

Κέρκον, τὴν οὐράν. ἁπαλὸν δὲ καὶ στυφρὸν τὸ τοῦ λαγοῦ ἱερὸν λέγουσι. ὥστε ἀντὶ σπόγγου χρήσασθαι, διὰ τὸ ἁπαλὸν εἶναι, ὥστε λήμας περιψῆν.

* Κέρκος ἡ τῶν ἑρπετῶν οὐρά, καὶ παντὸς ζώου, παρὰ τὸ σκαίρειν καὶ ἕρπειν.

Κέρκος, θηρίδιον τὰς ἀμπέλους βλάπτον, καὶ οὐρά, καὶ ἀνδρεῖον αἰδοῖον, ὁ ἀλεκτρυών, ἢ ἀρουραῖος μῦς.

Κέρκος, διπλῆ αὐτὴ καὶ δικέλαδος, καὶ διθύσανος. ἐχρῆτο δὲ αὐτῇ μᾶλλον ὁ ἐν Κῷ πρύτανις.

Κέρκος, θηλυκῶς σκεῦός τι, ὥσπερ καὶ τρίπους, ἢ θύρα χαλκῆ, οὕτως ὁ Ἀλκμὰν ἐχρήσατο.

Κέρκουρος, εἶδός τι νεώς, Δείναρχος τυραννικῷ.

Κέρκουρος, τὸ μακρὰν πρύμναν ἔχον σκάφος.

Κέρκουρος, εἶδος πλοίου βραχέως, καὶ ἰχθύς.

Κέρκυρα, πρότερον μὲν Δρεπάνη ἐκαλεῖτο, εἶτα Σχερία. ἀποδίδωσι δὲ τὴν αἰτίαν, Ἀριστοτέλης ἐν τῇ Κερκυραίων πολιτείᾳ. φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην, μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος, ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. ἐπισχεθέντων οὖν τούτων, ἀντὶ Δρεπάνης Σχερίαν ὠνομασθῆναι. Δρεπάνη δὲ ἐκαλεῖτο διὰ τὸ τὴν Δήμητρα αἰτησαμένην δρέπανον παρ' Ἡφαίστου, τοὺς Τιτᾶνας διδάξαι θερίζειν, εἶτα αὐτὸ κρύψαι εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου. προσκλυζούσης δὲ τῆς θαλάσσης, ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνῃ. Τίμαιος δέ, ἐκ τοῦ δρεπάνου, ᾧ ἐξέτεμεν τοῦ κρόνου τὰ αἰδοῖα ὁ κρόνος, ἢ Ζεὺς τὰ τοῦ κρόνου. τοῦτο γὰρ αὐτοῦ κεκρύφθαι φησί. Μάκρις δὲ ὠνομάσθη, ἀπὸ μάκριδος τῆς Διονύσου τροφοῦ. Κέρκυρα, ἀπὸ τῆς Κερκύρας τῆς Ἀσωποῦ θυγατρός.

Κερκυραΐα, παρὰ Ἀριστοφάνει λέγεταί τις κερκυραΐα μάστιξ. συνεχῶς δὲ κερκυραῖαι ἀταξίαι γίνονται. διὰ τὸ στασιάζειν οὖν ἐπεπόλασε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις καὶ ἐλεφαντοκόποις.

Κέρκωπες, οὕτω πρότερον ἐκαλοῦντο οἱ Κύκλωπες, ὅθεν καὶ τοὺς πονηροὺς καὶ κακοὺς ἄνδρας, κέρκωπας φαμέν.

Κερκώπων, δολίων, πανούργων, ἢ γένος πιθήκων. καθάπερ τῇ κέρκῳ ἡ ἀλώπηξ τοὺς θηρατικοὺς κύνας ἀπατᾷ, τῇδε κἀκεῖσε περιτρεπομένη

Digitized by Google

πομένη. ἐφαμίλλως καὶ ὑποὶ τοὺς ἀπλουστέρους φενακίζουσι τῇ κέρκῳ τῶν λόγων.

Κερκωπίζοντες, χλευάζοντες, μωκίζοντες.

Κέρκωψι δηλοῦται ὡς ἐξαπατητῆρές τε ἦσαν καὶ ψεῦσται οἱ κέρκωπες. Ξεναγόρας δὲ ἐπιθήμους αὐτοὺς μεταβαλεῖν φησι, καὶ τὰς πιθηκίνους νήσους ἀπ' αὐτῶν κληθῆναι. Αἰσχίνης δὲ ὁ σαρδιανὸς ἐν τοῖς ἰάμβοις, καὶ ὀνόματα αὐτῶν ἀναγράφει, Ἄνδουλον καὶ Ἄτλαντον.

Κέρματα, τὰ λεπτότατα.

Κερματίζει, εἰς λεπτὰ διαιρεῖ. καὶ κατακερματιώντων, εἰς λεπτὰ διακεκομμένων ἐστί.

Κέρμη, ἐστὶ νῆσος Ὠκεανίτης.

Κερκυραῖοι ἀμφορεῖς, τὰ ἀδελανὰ κεράμια.

Κερκώπη, μικρὸν τεττίγιον, τὸ καλαμαῖον λεγόμενον, γλῶ γὰρ γένναν τεττίγων φασίν. οἱ δὲ, τέττιξ θήλεια μὴ φωνοῦσα.

Κέρμηλος, ἀφ' οὗ χαλκὸς γίνεται.

Κέρνα, ἀξίνη.

Κέρνεα, τὰ τῇ μητρὶ τῶν θεῶν ἐπιθυόμενα.

Κέρνος, στεφανίς, ἀγγεῖα κεραμεᾶ.

Κερνοφόρος, ὁ τὰς θυσίας ἄγων.

Κεροπλάστης, λεπτουργὸς ἢ στιχοκοσμητής.

Κερουτίαι, γαυρίαι. μετῆκται δὲ ἀπὸ τῶν ὑψαυχενούντων ταύρων.

Κεροβάτας, Πὰν ὁ εἰς τὰ κέρατα τῶν ὀρῶν βαίνων, ἢ ἐπὶ κέρατος βαίνων, ἢ ἐπειδὴ χηλὰς ἔχειν δοκεῖ τράγου, διὸ καὶ αἰγοβόταν καὶ τραγοβάμονα λέγουσι. Δίδυμος δέ φησιν, ἢ ὅτι κέρατα ἔχει, ἢ οἷον κεροβάτης τὴν βάσιν ἔχων κερατίνην, εἴπερ ἱστορεῖται τὰ κάτω τράγου ἔχειν, ὥστε ἀπὸ τῶν ποδῶν κεροβάτης.

Κερόεσσα, ἡ συμπλεκτική. καὶ κερόεις, ὁ συμπλεκτικός.

Κεροίαξ, τὸ κοινῶς κάβοιον.

Κερουλκοὶ, οἱ τοὺς βόας ἕλκοντες τοῖς κέρασι. καὶ κερουλκούς τινας ἄνδρας εἶδον ἐγώ.

Κερουλκὸς, ὁ Ἀπόλλων.

Κεῤῥαῖον πεδίον, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. κέῤῥα πόλις ἐστὶν ἀπέχουσα Δελφῶν σταδίους λ', ἔοικεν οὖν κιῤῥαῖον παιδίον καλεῖν ὁ ῥήτωρ, τὸ ταύτῃ παρακείμενον τῇ πόλει.

Κεῤῥὶς, ὄνομα ἰχθύος.

Κέρσαι, κόψαι, τεμεῖν, κεῖραι, γαμῆσαι, καὶ δραστήρια.

Κερουχίδες, ἤγουν κερασφόροι. κερουχίδες, αἱ κέρατα ἔχουσαι, ἢ κερατωμέναι τοῖς κέρασιν. ἢ κερουχίδες, αἱ ὅλα κέρατα ἔχουσαι. κερουλκίδες δὲ, ἀπὸ τῶν κεράτων ἑλκόμεναι.

Κέρσαι, κόψαι. κείρω, κερῶ μέλλων, αἰολικῶς κέρσω, ἀόριστος ἔκερσα, τὸ ἀπαρέμφατον κέρσαι.

Κέρσα, ἀσιανὸν νόμισμα. κέρσης, γάμος.

Κέρσει, κόψει.

Κέρτα, πόλις ὑπὸ Ἀρμενίων.

Κερτομέων, ἐρεθίζων, χλευάζων.

Κερτόμια, ἔπη τὰ ὑβριστικὰ καὶ ὀνειδιστικὰ, ὅ ἐστι μεμπτικά. τέμνονται δὲ ἄλλως κέαρ, διὰ τὸ ἐρεθιστικὰ εἶναι εἰς χόλον. κερτομῶν, ὅ ἐστι δαπανηροὺς μόνον λόγους λέγων.

Κέρτομος γὰρ λόγος, ὁ κέαρ τέμνων, ὅ ἐστι δάκνων ψυχὴν καὶ θυμοδακής, ἐξ οὗ καὶ τὸ κερτομίοις Δία κρονίωνα προσηύδα.

Κερτομεῖ, χλευάζει, σκώπτει, ὑβρίζει.

Κερτομίας, ἐρεθιστικός.

Κερτομία, παίγνια, προβασκανία, ἐρεθισμοὶ, παραλογισμοὶ, ψεῦσται, καὶ γελασταί.

Κερτομίοισιν ἔπεσιν, εἰρωνευτικοῖς, τὸ κέαρ τέμνειν καὶ λυπεῖν δυναμένοις. κερτομέεις εἰρωνεύῃ.

Κερτομῶ, τὸ λοιδορῶ, καὶ ὑβρίζω, καὶ ἐρεθίζω.

Κερχάλαιον, σκληρὸν, ξηρὸν, διψαλέον.

Κερχαλαὶ, οὕτω δὴ ἡ τε τραχύτης ὀνομάζεται τοῦ φάρυγγος, καὶ ὁ ἐν τῷ πνεύμονι ψόφος, παρὰ τῷ Ἱπποκράτει.

Κέρχανα, ἡ κεχάρνεα, ὀστέα καὶ ῥίζαι ὀδόντων.

Κερύχνη, εἶδος πλακοῦντος.

Κερχνεῖ, τραχύνει.

Κέρχνη, τὸ ἐκ τῆς μελαίνης ἔψημα, ἢ τὰ ὦτα τῶν ἰχθύων, καὶ ὀρνέου εἶδος, καὶ ἡ μελίχους.

* Κέρχνος. ἡ τραχύτης τοῦ φάρυγγος, καὶ ὁ ἐν τῷ πνεύμονι ψόφος. ἢ δῆξίς τις ὑπότραχυς, ἐρεθίζουσα κατὰ τὴν τραχεῖαν ἀρτηρίαν.

Κερχνώμασι, τραχύσμασι, κυκλώμασι, γαλισμοῖς. καλοῦσι δὲ καὶ τὸν περὶ τὰς ἴτυς τῶν ἀσπίδων κόσμον, καὶ ποτήριον ἐπίχειλον. λέγονται δὲ καὶ νικακίδες.

Κερχνωτὰ, τετορνευμένα ἀπὸ τοῦ χείλους τῶν ποτηρίων, ὥσπερ κερχνοειδῆ ποικίλα, τραχέα, πολύπαστα.

Κερῶ, κεράσω, πελνῶ.

Κερωτὴ, μιστωτή.

Κερωνία, δένδρον, ἡ συκῆ αἰγυπτία.

Κερῶνται, κιρνονται.

Κέρωνται ἐν κρητῆρσι, τρόπου ἐστὶν ἐτυμολογικοῦ. δῆλον γὰρ ὡς ἐκ τοῦ κερᾶν, ὁ κρατὴρ ὡς οἷά τις ὢν κεραστήρ. σημειωτέον δὲ τὸ κέρωνται, οὐκ ἀπὸ τοῦ περισπωμένου ἐνεστῶτος κινηθὲν, ἀλλ' ἔκ τινος βαρυτόνου ὁποῖον οὐκ ἔστι ῥαδίως εὑρεῖν.

Κερῶντας αἴθοπα οἶνον, τουτέστιν ἐμβάλλοντας εἰς κρατῆρας, οὕτω γὰρ ἄλλως ἦν οὐδεὶς ὁ πίνων, ὡς νοῆσαι νῦν. κερᾶν, τὸ διδόναι πίνειν.

Κέρως, κέρωτος.

Κέσκειτο, ἔκειτο.

Κέσκετο ἐνὶ μεγάροις, εἶχε μὲν γράψαι καὶ κατέθετο ἐνὶ μεγάροις. εἴλετο δὲ ποιητικώτερον, κοινότερον δὲ εἴη ἂν κεῖτο.

Κεσκίον, στυπεῖον, τὸ ἀποκτένισμα τοῦ λινοῦ.

Κέσκος, ἡ πόλις ἐν Κιλικίᾳ. καὶ παρ' αὐτὴν ποταμὸς ἄνους ὄνομα. διόπερ οἱ Ποιηταὶ παίζοντες τοὺς νοῦν οὐκ ἔχοντας, κέσκον οὐκ ἔχειν φασί.

Κέστερ, νεανίας. Ἀργεῖοι.

Κέστρα, ἀμυντήριον, ὅπλον, σφύρα, καὶ εἶδος ἰχθύος.

Κεστρᾶν τεμάχη.

Κεστρεῖ, τοὺς κεχηνότας καὶ πεινῶντας, κεστρεῖς λέγουσι. καὶ τοὺς Ἀθηναίους οὕτως ἔλεγον, καὶ προσηγόρευον. τὸ γὰρ ζῶον αὐτὸ λαίμαργόν τε ἐστὶ καὶ ἄπληστον.

Κεστρέαι, ἄλλοι μὲν τὰς μυραίνας ἀξιοῦσι καλεῖν. οἱ δὲ ἄλλο τι διάφορον ἰχθύων γένος. νῦν μὲν κεστρεῖς καλοῦμεν, τοὺς κεφάλους.

Κεστρεὺς, εἶδός ἐστιν ἰχθύος, ὁ λεγόμενος κέφαλος μεγάλην λεπίδα ἔχον, καὶ παχεῖαν, ὡς ὑπόνοιαν αὐτὴν ἔχειν ἀργυρίου.

Κεστὸς, ὁ κεντητὸς, καὶ ποικίλος. οὕτω πολύκεστος, ὁ πολυκέντητος καὶ πολυποίκιλτος. ἰστέον, ὅτι τὸ μὲν ἱμὰς, προσηγορικόν ἐστιν. ἐπίθετον δὲ αὐτοῦ, τὸ πολύκεστος. παρὰ δὲ τὸ κέντω βαρύτονον, ἢ παρὰ τὸ κεντῶ, διὰ τὸ πολυῤῥαφὴς εἶναι.

Κεστὸς, οὐ κλῆσις, ἀλλ' ἐπίθετόν ἐστι τοῦ ἱμάντος τῆς Ἀφροδίτης. διὸ καὶ ὁ Ποιητὴς ὁμοῦ παραθεὶς κεστὸν ἱμάντα φησί. καὶ κατὰ μόνας ἱμάντα λέγει πολλαχοῦ καὶ κεστόν. ἐτυμολογεῖται δὲ παρὰ τὸ κένσαι, ὅ ἐστι κεντῆσαι.

Κεστρίαι, σιδηραῖ.

Κεστρινικοὶ βόες, οἱ ἐν Χαονίᾳ. ἡ γὰρ χαονία πρότερον κεστρίνη προσηγορεύετο. ἔστι δὲ μοῖρα τῆς ἠπείρου διαφόρους ἔχουσα βοῦς.

Κέστρος, ἡ πρώτη ἔκφυσις τῶν σπερμάτων, καὶ ἀκόντισμα, καὶ ἡ ἐν τῇ γλώττῃ τραχύτης.

Κέστρωσις, βαφικὴ μιμουμένη.

Κεστρωτὸν, ξύλον βαρὺ ἔχον τὸ κέντρον, οὐκ ἔχει δὲ σίδηρον, οὐδὲ ἀκμήν. εἰώθασι δὲ οἱ βοτῆρες πυροῦν τὰ ἄκρα τῶν αὐτῶν ξύλων, ἕνεκα τοῦ πεπολῶσθαι πυρίκαυστον.

Κεύθεα, κοῖλα κρύφια.

Κεύθεται, κρύπτεται. κεύθω, τὸ κρύπτω, μέλλων κεύσω. καὶ ἀπὸ τοῦ κεύθω, γίνεται κευθάνω. ἐκεύθανον, ἀντὶ τοῦ ἔκρυπτον.

Κευθήμων, φωλεῶν, ἀποκρύφων τόπων.

Κευθῆνες, οἱ καταχθόνιοι δαίμονες.

Κευθμώνων, κρυπτῶν τόπων, ἐνδοτάτων.

Κευθμῶν, ἀπὸ εὐθείας ἐστὶ τῆς ὁ κευθμὸς, ὡς δρυμὸς, σταθμὸς, βαθμός. τοὺς δὲ εἰπόντας αὐτὸ συγκεκόφθαι ἐκ τοῦ κευθμόνων, εὖ πιστοῦντες οὐκ ἀποδέχονται οἱ παλαιοί.

Κευθμῶνα, κοιλάδα, καὶ τὸ κοίλωμα λέγουσι. κευθμὸς, ὁ κρύφιος τόπος.

Κευθωνύμου, κλέος ἢ αἶσχος, ἐπὶ τῶν αἴσχιον κλέος ἐχόντων, ἢ ὧν ἄν τις ἐπικρύψειε τὸ ὄνομα, ἢ δυσωνύμων.

Κέφαλα, κεφάλαιον, ἢ κόσμος τῶν νεῶν, ἢ κεφαλὴ, ἢ συναρίθμησις, ἢ ζήτημα ἄκρον.

Κεφαλαίωσον, συντόμως συνάγαγε, συντόμησον.

Κεφαλίδαι, γένος Ἀθήνησιν.

* Κεφαλαία, κεφαλαλγία πάθος πόνον κεφαλῆς ἐπιφέρον ἀνυπόστατον, κατὰ περιόδους τινάς.

Κεφάλαια, τὰ χρήματα.

Κεφάλαιον, ἡ ἀρχὴ, ἢ τὸ ζήτημα.

Κεφαλαιωδέστατον, τοῦτο τοὔνομα εὗρον ἐν ἀρχῇ τοῦ Πολέμωνος τοῦ ἰωνικοῦ σοφιστοῦ, ἱστορικῶν κατὰ προοίμιον. καὶ θαυμάζω Σεκούνδου τοῦ συγγενομένου αὐτῷ γραμματικοῦ, πῶς τὰ ἄλλα δεξιὸς ἐπὶ λέξιν ὢν, καὶ ἐπανορθῶν τὰ συγγράμματα τοῦ σοφιστοῦ, τοῦτο παρεῖδεν, ἀδόκιμον ὄν.

Κεφαλαλγίαν, ἀντὶ τοῦ κεφαλαργίαν λέγουσιν Ἀττικοί.

Κεφαλὴ, δῆμος τῆς Ἀκαμαντίδος, ἀφ' ἧς ὁ δημότης λέγεται κεφαλῆθεν.

Κεφαλὴ καὶ δέρμα κατάστικτον ὑπόκειται τῇ κόμῃ. τὸ δὲ τοῦ δέρματος γυμνὸν, κρανίον καλεῖται. καὶ τὸ ἄκρον τῆς κεφαλῆς, κορυφή. τὸ δὲ ἔμπροσθεν τούτου, μέτωπον. τὸ δὲ μεταξὺ τούτων, βρέγμα λέγεται. τὰ δὲ κατὰ διάμετρον, μήνιγγες καὶ κρόταφοι λέγονται. ἐγκέφαλος δὲ, τὸ ἐντὸς τῆς κεφαλῆς καὶ μυελός. τὸ δὲ ὑπὸ τῷ μετώπῳ, πρόσωπον, ὀφρύες, ὀφθαλμοί, κόραι, ῥῖνες, χείλη, ὀδόντες, γλῶτται, ὦτα, δεῖρη, βλέφαρον, τὸ τὰ ὄμματα καλύπτον δέρμα. βλεφαρίδες μέν τοι, αἱ ἐν τοῖς βλεφάροις τρίχες. καὶ τὸ μὲν μακρὸν τῆς ῥινὸς, χόνδρος, μυκτῆρες. κυψέλη, ὁ τῶν ὠτίων ῥύπος. καὶ κυψελὶς, καὶ τὸ ἐπικλινὲς τῶν ὤτων, πτερύγιον. τὸ κάτω, λοβός. αἱ δὲ παρειαὶ καὶ γνάθοι, καὶ μύλαι, καὶ κόῤῥαι. γενειὰς, ὁ σιαγών. ὑπήνη δὲ, τὸ γένειον. οἱ δὲ ὀδόντες, οἱ μὲν καλοῦνται μέσοι, καὶ τομεῖς. καὶ διχαστῆρες, καὶ γόμφιοι. ὑπερῶα λέγεται οὖλα, ἡ κοινῶς σταφυλή. ὀνομάζεται δὲ τὰ ὄπισθεν ὀστᾶ, σπόνδυλοι, οἷς ἐπικάθηται ὁ αὐχήν. τὸ μετ' αὐτὸν, στῆθος. ᾧ ἑκατέρωθεν ἡρμοσμέναι εἰσὶν αἱ χεῖρες. ὧν τὸ μὲν ἀγκὼν καὶ ὠλένη καὶ ἀγκάλη καλεῖται. τὸ δὲ ὀστοῦν μακρὸν, πῆχυς, καὶ κερκίς. τὸ μετ' αὐτὸ, προκάρπιον καὶ καρπὸς, ἡ κοινῶς παλάμη, καὶ τὸ κοῖλον τῆς χειρὸς, θέναρ. στῆθος δὲ, τὸ μετὰ τὸ κοῖλον. ὀνομάζονται δὲ οἱ δάκτυλοι, μικρός. ὁ μετ' αὐτὸν, παράμεσος, εἶτα μέσος. ὁ μετὰ τοῦτον, λιχανός. εἶτα ὁ ἑξῆς, ἀντίχειρ, ὡς ἀντὶ ὅλης τῆς χειρὸς δυνάμενος, ῥιζωνύχια, καὶ ὄνυχες.

Κεφαλλῆνας, λέγει Ὅμηρος ἐν τῷ καταλόγῳ, οὐ μόνον τοὺς ἐκ τῆς Κεφαλληνίας νήσου, ἀλλὰ πάντας τοὺς ἐν τοῖς τόποις ὑπὸ τὸν Ὀδυσσέα, τούς τε περὶ τὴν Ἰθάκην, καὶ τοὺς λοιπούς. ἐν οἷς καὶ οἱ καρνάνες κατὰ τὸν Γεωγράφον, οὔπω ἐπὶ Ὁμήρου ὠνομασμένοι οὕτω.

Κεφαλῆνος, ἰχθὺς ποιός.

Κεφαλλῆνες, ἔθνος παρὰ τὴν Ἰθάκην.

Κεφαλῆς, κορυφῆς, καὶ κρανίον. τριῶν τούτων ταυτοδυνάμων ὄντων, κεφαλῆς μὲν ῥῆμα, τὸ κεφαλαιώσασθαι, κοινὸν αὐτὸ καὶ γνώριμον. κορυφῆς, τὸ κορυφῶσαι, οὗ χρῆσις καὶ παρ' Ἡσιόδῳ. κρανίου ἄλλοτι παρὰ ταῦτα, τὸ ἀποκρανίζειν, ἤγουν ἀποκόπτειν τὴν κεφαλήν. ἀπεκράνισε γάρ φησιν ἐκεῖνος, τὸ τῆς κάρας ἀπεχώρισε.

Κεφαλῆται, οἱ γωνίαιοι λίθοι.

Κεφαλισμὸς, κεφαλισμοὺς λέγει Ἀριστοτέλης, τοὺς τῶν πρώτων ἀριθμῶν μέχρι δεκάδος πολλαπλασιασμούς. διὰ γὰρ τῆς περὶ τούτων γυμνασίας, καὶ οἱ τῶν ὑστέρων καὶ μειζόνων καὶ ὁμοίων αὐτοῖς πολλαπλασιασμοὶ, κατὰ μετάβασιν γνωρίζονται. ἀπὸ γὰρ τοῦ δὶς δύο τέσσαρα, γνωρίζεται ὁ δὶς κ', μ', καὶ ὁ εἰκοσάκις κ', υ', καὶ ὁ διακοσιαντάκις κ', δ', καὶ ἑξῆς ὁμοίως.

Κέφαλοι, τῶν κεστρέων τινὲς οὕτω καλοῦνται.

Κέφαλον, μέρος ἐν τῷ πλοίῳ, ἢ κόσμος, ἢ τὰ ἐρείσματα.

Κέφαλος, οὗ οἱ Κεφαλλῆνες παρώνυμοι, πρόγονος ἦν Ὀδυσσέως. Κεφάλου γὰρ Κηλεὺς, οὗ Ἀρκέσιος.

Κέφα-

Digitized by Google

Κέφαλος, δημαγωγὸς ἕτερος, οὐχ ὃν λέγει Δημοσθένης, ἀλλὰ λοίδορος Ἀριστοφῶν.

Κεφαλοτομεῖν, ἀπόρριπτε τέμνομαι, καὶ Θεόφραστον κεχρημένον αὐτῷ, λέγει κεραστομεῖν.

Κέχαδε, μέσος παρακείμενος, ἀπὸ τοῦ χῶ χάζω, τὸ χωρῶ, ὡς φράζω πέφραδα, χλάζω κέχλαδα, παρὰ Πινδάρῳ.

Κεχάδοντο, ἐκ τοῦ χάζω, μέλλων χάσω, ἀόριστος πρῶτος ἔχασα, ὁ δεύτερος ἔχαδον, ὁ μέσος ἐχαδόμην, καὶ ἀναδιπλασιασμῷ κεχαδόμην, τὸ τρίτον κεχάδοντο, ἐκ τοῦ ἔχαδον. χαδῶ περισπώμενος ἐνεστὼς, ὁ μέλλων χαδήσω, τὸ τρίτον χαδήσει, καὶ διπλασιασμῷ καὶ τροπῇ κεχαδήσει, ἀπὸ τοῦ ἔχαδον, χαδὼν, διπλασιασμῷ καὶ τροπῇ κεχαδών. σημαίνει δὲ τὸ στερήσας.

Κεχανδότα, χωροῦντα. πλεονασμὸν ἔχει τοῦ ν μετρικῶς. φύσει γὰρ δίχα τοῦ ν ἐστὶν, ὡς δηλοῖ τὸ κέχαδεν. οὐ γὰρ ἀπὸ τοῦ χαίνω, ἀλλὰ ἐκ τοῦ χάζω γίνεται. χρῆσις δὲ τοῦ κέχαδεν ἐν τῷ ἤρηδ' οὐκ ἔχαδε χόλον θυμός.

Κεχάνια, σῦκα τὰ αὐτόματα κεχηνότα.

Κεχαραγμένος, ὠργισμένος.

Κεχάροντο, ἐχάρησαν, ἢ ἐχώρησαν.

Κεχάρημαι, χαίρω, ἢ χωρῶ.

Κεχαρηότα, ἐκ τοῦ χαρῶ χαρήσω κεχάρηκα, ἡ μετοχὴ ὁ κεχαρηκὼς τοῦ κεχαρηκότος, κατ' ἀφαίρεσιν Ἰωνικὴν, κεχαρηὼς, κεχαρηότος.

Κεχαρηότα, ἐκ τοῦ χαρῶ χαρήσω. ὁ παρὰ δεύτερος μέλλων ὁ χαρῶ, ἐκ τοῦ χαίρω, ἀναδραμὼν εἰς ἐνεστῶτα, ὡς ἐν πολλοῖς γίνεται. ὁποῖόν τι καὶ τὸ δραμῶ δραμήσω, ἐξ οὗ τὸ συνδεδραμηκέναι, καὶ τὸ τυχῶ τυχήσω, καὶ ἄλλα ὅμοια.

Κεχαρησέμεν, ἀντὶ τοῦ χαρῆναι κεῖται, παρ' Ὁμήρῳ. ἀπὸ τοῦ χαρῶ χαρήσω, ἐξ οὗ κεχαρηότα νίκη.

Κεχαρισμένα, ἄριστα, προσφιλῆ.

Κεχαρισμένος, ἄριστος, προσφιλέστατος, μετὰ χαρᾶς πάντα ποιῶν.

Κεχαριτωμένη, πεφιλημένη, εὐλογημένη.

Κεχαροίατο. χαίρω, χαρῶ, ἔχαρον, ἐχαρόμην, χαροίμην τὸ Ἀττικὸν, καὶ διπλασιασμῷ κεχαροίμην, τὸ τρίτον τῶν πληθυντικῶν κεχάροιντο, καὶ Ἰωνικῶς κεχαροίατο.

Κεχειροτόνηται, προβέβληται.

Κεχειρωμένοι, ἡττωμένοι, κεκρατημένοι.

Κεχήλωμαι, πόδας δέδεμαι, συνέρραμαι τοὺς πόδας. χηλεύειν γὰρ, τὸ ῥάπτειν. καὶ χήλινον, τὸ πλεκτόν. ὁ Ἀνακρέων καὶ χήλευμα. τὸ σπαρτίον Σοφοκλῆς, Πανδώρᾳ ἢ σφυροκόποις.

Κέχηνα, ἐν ἴσῳ τὸ προσδέχομαι, ἢ δέομαι.

Κεχήνασι, ἐξαρτῶνται, ἔννοοί εἰσί.

Κεχηνέναι, παρὰ τὸ χαίνω.

Κεχηνὼς, ἡ συναίρεσις τοῦ κεχηνὼς Ἀττική. τὸ γὰρ ε καὶ α εἰς η συναιροῦσιν, εἰς τὸ αὐτὸ συναλοιφῇ, ἀντὶ τοῦ κεχηνῶσα. ἔστι δὲ τὸ κεχηνὼς ἰακόν. οἱ γὰρ Ἴωνες ἀπὸ τοῦ συμφώνου ἄρχονται. οἱ δὲ σφόδρα προσέχοντες τινὶ, κεχήνασι. δοκεῖται δὲ εἶναι κατὰ μεταφορὰν τῶν ὀρνίθων, τῶν ἔτι νεοττῶν προσδεχομένων τὴν τροφὴν, καὶ ἔτι κεχηνότων.

Κέχηνε, ἔχασκε τὸ στόμα, ἤνοιγε, προσεδόκησε, ῥέμβεται.

Κεχηνότες, οἱ μωροί. τὸ γὰρ κεχηνέναι ἐπὶ τῶν ἀνοήτων λαμβάνεται.

Κεχηνότες, χαύνως ὁρῶντες.

Κεχιλιῶσθαι, χίλια ἐζημιῶσθαι.

Κέχλαδα, μέσος παρακείμενος, ἐκ τοῦ χλάζω, παρὰ Πινδάρῳ.

Κεχλιδότα, ἀνθοῦντα.

Κεχλαδέειν, χάσκειν.

Κεχλαδοῦσι, χάσκουσιν.

Κεχληδέναι, ψοφεῖν, προσλαλεῖν.

Κεχλίαγκα, τεθέρμαγκα.

Κέχλοιδεν, διέλκετο.

Κεχλοιδιασμένους, διελκυσμένους.

Κεχμάζει, ἀνθίζει, ἀνθεῖ, ..σταται.

Κεχολωμένον, πικρὸν, ὠργισμένον.

Κεχολώσεται, χολῶ, χολώσω, κεχόλωκα, κεχόλωμαι, κεχόλωσαι. ὁ μετ' ὀλίγον μέλλων κεχολώσομαι, η, εται, ὀργισθήσεται.

Κεχρῆμαι, εἶδος πορνείας.

Κεχρημένη, ῥερυπωμένη, παραχαρατωμένη, πικραινομένη.

Κεχρηματίσθαι, πεφρύχθαι, Αἰσχύλος.

Κεχραμίδες, τῶν σύκων καὶ τῶν ἐλαιῶν οἱ πυρῆνες.

Κεχρέα, πόλις καὶ κεχραιαὶ, τόπος.

Κεχρηματίσται, ἀκήκοεν.

Κεχρημένον, ἀντὶ τοῦ χρήζοντα, λέγει Ὅμηρος, καὶ γενικῇ συντάσσει τὴν λέξιν, ἀπὸ τοῦ χρηΐζω ἢ χρήζω κινηθεῖσαν κατὰ ἔλλειψιν τοῦ σ.

Κεχρῆσθαι, ἐπὶ δύο σημαινομένων τίθησιν Ἡσίοδος. ἐνίοτε μὲν, ἐπὶ τοῦ ἔνδειαν ἔχειν, ἐνίοτε δὲ, ἐπὶ τοῦ χρείαν ἔχειν.

Κεχρησμόδηται, πεπροφήτευται, μεμάντευται, ἐκ τοῦ χρησμοδέω χρησμοδῶ, παρακείμενος.

Κεχρημένος, ἐνδεὴς ὢν, χρήζων, ἢ τερφθείς.

Κεχρησμῳδημένα, μεμαντευμένα, προφητευθέντα, λεχθέντα μετὰ θείας ἀποφάσεως.

Κέχρικεν, ἐγκέχρικεν, ἐκονίασεν, ἢ ἐγκεκέντρικεν.

Κεχρῆσθαι, πεπλῆχθαι.

Κεχρισμένα, ἠλειμμένα.

Κεχρυσωμένος, τετιμημένος.

Κεχρυσῶτο, χρυσόω, χρυσώσω, κεχρύσωκα, κεχρύσωμαι, τὸ Ἀττικὸν κεχρυσώμην κεχρυσῶο κεχρυσῶτο.

Κέω, σκέψει. Λάκωνες.

Κεάδας, βάραθρόν ἐστι, τόπος βαθὺς, ὅπου οἱ κακοῦργοι ἐνεβάλλοντο.

Κεώδης, καθαρός.

Κεῶεν, ὄζον, εὐῶδες.

Κεῶν, κοιμησόμενος.

Κέων, τὸ ἐκ τῶν θηριδίων ἄθροισμα τῶν τὸν σῖτον διαβιβρωσκόντων. ὧν ἕκαστον κικὸν ὀνομάζεται, παρὰ τῷ Ἱπποκράτει.

Κεωρεῖν, παχητιᾶν.

Κέως, ἡ νῆσος, ἀπὸ κέω τοῦ Ἀπόλλωνος καὶ Ῥοδοέσσης νύμφης.

Κεώσατο, κήρατο.

ΤΟ Κ. ΜΕΤΑ ΤΟΥ Η.

Κηδάζει, καθαίρει, κηδαλίζει.

Κηδαίνει, μεριμνᾷ.

Κηδαλία, χώρα.

Κήδαλον, αἰδοῖον, κέρας, σκάνδαθρον.

Κήδεεν, λύπει, ἔβλαπτεν.

Κηδὰρ, πένθος.

Κηδὰρ, χώρα παρακειμένη Βαβυλωνίοις, οἰκήτορας ἔχουσα βδελυροὺς, σκότος ἑρμηνεύεται.

Κήδαρ, σημαίνει τὸ σκοτεινὸν, παρὰ τὸ κήδω τὸ κοιμῶμαι.

Κήδεα, αἱ βλάβαι, ἀπὸ τοῦ κήδω, τὸ βλάπτω. τοῦ ἀντιφραζομένου μὲν πρὸς ἕτερον κήδω, ἐξ οὗ καὶ ὁ κηδεμὼν, καὶ ὁ κηδεστὴς, ἔχοντος δὲ καί τινα ὁμοιότητα. καὶ γὰρ ὁ κηδόμενος φροντίζει τῶν φιλουμένων, καὶ ὁ κήδων τῶν μισουμένων, πλὴν ὁ μὲν εἰς καλὸν, ὁ δὲ εἰς κακόν. σημαίνει τὸ κήδεται, ποτὲ τὸ βλάπτεται. καὶ κήδιστοι καὶ κηδεσταὶ οἱ τοιοῦτοι, πηοὶ λέγονται.

Κήδεα, αἱ λῦπαι. κήδεα κακὰ κεῖται, παρ' Ὁμήρῳ, πρὸς ἀντιδιαστολὴν καλοῦ κήδους, ὃ ἐπὶ ἀγχιστείας λαμβάνεται.

Κηδείαν, λέγει ὁ Ἀπολλώνιος τὸ ἐπὶ νεκρῶν πένθος.

Κηδεία, οἰκειότης.

Κῆδε δὲ, ἐλύπει δέ.

Κήδεα, φροντίδες.

Κηδεία, ἡ ταφὴ, καὶ ἡ συγγαμβρεία.

Κηδεῖν, κακοπαθεῖν, ἀνιᾶν, λυπεῖν.

Κηδείους, οἰκείους, προσφιλεῖς.

Κήδειος, προσήκων, φροντιστέος.

Κηδεμόνες, φρονтισταὶ, εὐεργέται, καὶ οἱ κατ' ἐπιγαμίαν οἰκεῖοι, ἢ συγγενεῖς.

Κηδεμόνες, οἱ ἁπλῶς ἐπιμεληταὶ, οἱ παρ' Ὁμήρῳ φίλοι, ἑταῖροι λέγονται.

Κηδεμονία, ἡ μετὰ σπουδῆς συνεχοῦς ἐπιμέλεια. καὶ γίνεται ἀπὸ τοῦ κήδομαι, τὸ ἐπιμελοῦμαι καὶ φροντίζω, συντασσόμενον γενικῇ. κηδεμὼν δὲ παρ' Ἀττικοῖς, οὐχ εὕρηται, κοινῶς δὲ σπανίως.

Κῆδεν, ἐνεργητικῶς ῥηθὲν, ἀντὶ τοῦ ἔβλαπτε καὶ ἐλύπει κεῖται, παρ' Ὁμήρῳ. ἀφ' οὗ καὶ κῆδος, ἡ βλάβη.

Κήδειος, κηδεύσιμος, ὑπὸ κηδεμονίαν πίπτων, καὶ φροντίδος ἄξιος.

Κηδεὸς, νέκυς, τουτέστι φροντίδος ἄξιος. γίνεται δὲ παρὰ τὸ κηδεύω, ἀποβολῇ τοῦ υ. ἀφ' οὗ καὶ κηδεμόνες, αἱ τῆς κηδείας φρονтισταί. ὀξύνεται δέ φασι τὸ κηδεὸς, διότι τὰ εἰς ος καθαρεύοντα, τῷ ε παραληγόμενα, ὀξύνονται ὀχεύω ὀχεὸς, καὶ πλεονασμῷ τοῦ σ ὀχεὸς. σωρεύω σωρεὸς, καὶ συγκοπῇ σωρὸς. φωλεύω φωλεὸς, οὕτω καὶ κηδεύω κηδεός. τινὲς δὲ προπαροξύνουσι λέγοντες, ὅτι ὡς καθαρεύω καθάρειος, ἐπιτηδεύω ἐπιτήδειος, οὕτω κηδεύω κήδειος. ἐξ οὗ καὶ τὸ ἐπικήδειος, ἀποβληθέντος δὲ τοῦ ι ἔμεινε κήδεος.

Κήδεται, φροντίζει, ἐπιμελεῖται, βοηθεῖ.

Κηδεστὴς * ὁ κατ' ἐπιγαμβρείαν οἰκεῖος, ἢ πενθερὸς, οὐ μόνον δὲ ὁ διδοὺς, ἀλλὰ καὶ ὁ λαμβάνων. λέγεται καὶ ὁ γαμβρὸς, ὃς μνηστὴρ λέγεται, πρὸ τοῦ γάμου. καὶ μνηστὴ, ἡ ὡρισμένη αὐτῷ εἰς γάμον γυνή. καὶ προμνήστρια, ἡ ταῦτα διατιθεῖσα καὶ οἰκονομοῦσα.

Κήδεσκον οἶκον, ἤγουν ἔβλαπτον, παρ' Ὁμήρῳ ἐν ψ' τῆς Ὀδυσσείας.

Κήδεται, γενικῇ φροντίζει, βοηθεῖ, ἐπιμελεῖται.

Κηδεύειν, φροντίζειν, ἢ θάπτειν.

Κηδεύοντα, ἐπιστατοῦντα, κηδόμενον.

Κηδεύω, τὸ τῆς προσηκούσης τοῖς νεκροῖς κηδεμονίας ἀξιῶ. καὶ κηδεία, ἡ τοῖς τεθνηκόσι προσήκουσα κηδεμονία.

Κηδέων, ἀνιῶν.

Κηδήσαντες, θεραπεύσαντες, ἢ λυπήσαντες.

Κηδήσοντες, ἀντὶ τοῦ λυπήσοντες, κεῖται παρ' Ὁμήρῳ.

Κήδιστοι, φίλτατοι, φροντιστικώτατοι, ἀναγκαιότατοι.

Κήδομαι, τὸ ἐπιμελοῦμαι καὶ φροντίζω, γενικῇ συντάσσεται. ὅθεν καὶ κηδεμονία, ἡ μετὰ σπουδῆς ἐπιμέλεια. κηδεμὼν δὲ παρ' Ἀττικοῖς οὐχ εὑρίσκεται, κοινῶς δὲ σπανίως. καὶ κήδιστοι καὶ κηδεσταὶ οἱ τοιοῦτοι, πηοὶ λέγονται.

Κήδεται, βοηθεῖ, φροντίζει, κηδεμονεύω, κηδεμονίᾳ.

Κήδιστος, φροντιστικώτατος. ὅς μοι κήδιστος ἑταίρων ἦν κεδνότατός τε, καὶ ὥσπερ παρὰ τὸ κάλλος, γίνεται καλλίων, καὶ τὸ ὑπερθετικὸν κάλλιστος, οὕτως παρὰ τὸ κῆδος κηδίων κήδιστος.

Κῆδος, κηδεία, πένθος, λύπη, φθορὰ συγγένεια, νηστεία, θεραπεία, φροντίς.

Κῆδος, ἡ συναλλαγὴ τοῦ γάμου.

Κήδομαι, τὸ φροντίζω, ἐξ οὗ κηδεμὼν, καὶ κηδεστής. ἐλέγοντο δὲ κηδεσταὶ παρ' Ἀττικοῖς, οἱ δόντες τὰς κόρας καὶ οἱ λαμβάνοντες, οὓς οἱ κοινοὶ πενθεροὺς καὶ γαμβροὺς λέγουσι. καὶ κηδεύω, τὸ τῆς προσηκούσης τοῖς νεκροῖς κηδεμονίας ἀξιῶ, καὶ ἀπὸ τούτου, καὶ τὸ κυβερνῶ. κηδεία, ἡ τοῖς τεθνηκόσι προσήκουσα κηδεμονία.

Κῆδος, ἡ κατ' ἐπιγαμίαν συγγένεια. καὶ τὸ πένθος. καὶ κῆδος, ἡ θεραπεία, καὶ ἡ λύπη, καὶ ἡ φροντίς, καὶ τὸ κτῆμα, καὶ κηδεύω τὸ ῥῆμα.

Κῆδος, λέγεται μὲν τὸ πένθος, καὶ τὸ ἄλγος. ὡς καὶ Ὅμηρος, κήδεά τε στοναχάς τε. λέγεται δὲ κῆδος, καὶ ἡ συγγένεια, ἡ κοινῶς λεγομένη συμπενθερεία. ὡς παρ' Εὐριπίδῃ, ὃ δ' εἰς Ἄργος ἐλθὼν, κῆδος Ἀδράστου λαβών. κηδεστὴς λέγεται, καὶ ὁ τὸν υἱὸν ἐκδιδοὺς, καὶ πάλιν αὖ ὁ τῆς κόρης ὁμοίως. καὶ κηδεσταὶ, πάντες οἱ ἐξ ἑκατέρου μέρους τῷ τε γαμβρῷ καὶ τῇ νύμφῃ συγγενεῖς ὄντες, οἷον θεῖα καὶ θεῖος καὶ ἀδελφαὶ καὶ ἀδελφοὶ, καὶ πάντες οἱ τῷ αὐτῷ γένει προσήκοντες.

Κήδω ἐνεργητικῶς, τὸ λυπῶ πρὸς αἰτιατικήν. ἀφ' οὗ κήδεα, αἱ λῦπαι, ἔστι δὲ ποιητικόν. κήδο-

Digitized by Google

κήδομαι δὲ τὸ φροντίζω, κοινόν.

Κηδωνίδης, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, ὑπερβαίνων τάς τε τὰς ἀγρίους κηδονίδην, παιδεραστάς τινες ἦσαν οὗτοι σφοδροί.

Κηδωλός, ὁ κηδόμενος καὶ φροντίζων ὅλων.

Κῆεν, ἔκαυσε, καὶ κήσω.

Κηθάριον, πλέγμα ἐστὶ κανισκῶδες ἐπιτιθέμενον τῇ κληρωτίδι τῶν ψήφων. λαγαρίζόμενον δὲ, τὰ λάγαρα ἐσθίοντα, ὅ ἐστιν ἄθρασα, καὶ ἀσπελῆ τινά. ἢ κηθάρια τὰ ὀξύβαφα, ἐξ ὧν τοὺς κύβους ἠφίεσαν. πλεκτὰ δὲ ἦν ταῦτα. ἄλλως, ἐκ κυθαρίου τὰ ἐκπέταλα, ξυβλία, ἃ Εὐφρόνιος κήθια. μικρὸν ἂν ῥοφῶντα ἐκ ξυβλίου καὶ ξωγαλίζοντα, οἷον κυάμους καὶ ὅσα τοιαῦτα. οὐκ ἔστι δὲ, ἀλλ' ἀγγεῖον πλεκτὸν, εἰς ὃ τὰς ψήφους καθιᾶσι τὸ κήθιον. οἷον ὡς ἀπὸ τοῦ ψηφοφορεῖν μόνον.! καὶ χαῖρις δὲ τὸ κήθιον, τρυβλίου τι εἶδος. καὶ τὸ λαγαρίζειν, τὸν ἀποτρώγοντα θηλάζειν, μήποτε μέντοι καὶ πρὸς τὴν τῶν κύβων παιδιὰν ἐχρῶντό τινι βάλλοντες ἐξ αὐτοῦ. καὶ γὰρ Ἕρμιππος ἐν θεοῖς, καὶ πρὸς κύβους ἑστήκ' ἔχων κήθιον.

Κῆθα, τάφος.

Κηκή, ὀξύτης.

Κηκάζω, τὸ λοιδορῶ, ἐξ οὗ κηκασμός, ἡ λοιδορία. καὶ κηκάς, ὁ λοίδορος. καὶ κηκάς, ἡ ἀλώπηξ, ἡ κακωτικὴ καὶ κακοῦργος καὶ πονηρά.

Κήκειδος, ἀρχαῖος διθυραμβοποιός, οὗ μέμνηται Ἀριστοφάνης καὶ Κρατῖνος.

Κύθεια, κηθάρια τὰ ὀξύβαφα, ἐν οἷς τοὺς κύβους ἔβαλλον.

Κηθεῖν, βοηθεῖν, συντρέχειν.

Κηθείδης, διθυράμβων.

Κήθαον, συνεπορεύοντο.

Κηθοί, βοηθοί.

Κήϊα, καθάρματα.

Κηκαδεῖ, λοιδορεῖ, χλευάζει..

Κήκρανον, ἐκεκράγεισαν.

Κηκάς, κακή, τιμωρός, κακολόγος, δύσφημος.

Κῆκες, λάροι.

Κηκίει, πηδᾷ, πηδάει.

Κηκίειν, ἀναφέρεσθαι, καὶ διιδροῦν.

Κηκίς, ἀτμίς, σύμμα, καὶ ὁ καρπὸς τῆς δρυός. Κῶοι δὲ, καὶ τοὺς ἀκάρπους στάχυας καὶ στερητικούς.

Κηκίδιον, τὸ τοῦ μέλανος.

Κήκιεν, ἅλμη ἐνεδίδοτο, καὶ ἀνεπήδα.

Κήκιεν, ἐφέρετο, κατέβαινεν, ἔρρει. παρὰ τὸ κίω, τὸ περιπατῶ καὶ πορεύομαι, ἔκιε, καὶ πλεονασμῷ τοῦ κ̄ καὶ ἐκτάσει κήκιεν. αἷμα δ' ἀνεκήκιε.

Κῆκις, βάμμα τι καὶ σύμμα, ἢ καρπὸς τῆς δρυὸς ἐπιτήδειος εἰς βαφήν.

Κῆλα, βέλη, θεῖα, σημεῖα, ξύλα. ὅθεν καὶ καλόπους καὶ κηλώνιον, καὶ ἱερὰ ἀγάλματα, καὶ πυρετός.

Κηλάδησαν, ἤχησαν, ἐβόησαν.

Κηλαίῳ, καυστικῷ πυρί.

Κηλαίνειν, θέλγειν, νοσεῖν.

Κηλάς, νεφέλη ἄνυδρος, καὶ χειμερινὴ ἡμέρα, καὶ αἴξ, ἥτις κατὰ τὸ μέτωπον σημεῖον ἔχει τυλοειδές, ἢ καὶ ἡ ἀλώπηξ.

Κυλάστραι, σκαφίδες, ἀγγεῖα ποιμενικά, ἢ δένδρα.

Κήλει, πραΰνει, θέλγει, πείθει, καταμαραίνει.

Κήλειον πῦρ, δῆλον ὡς καὶ κήλεον λέγεται ὁμοίως τῷ δαιδάλεον δαιδάλειον, καὶ τοῖς τοιούτοις.

Κηλείῳ, καυστικῷ, θερμῷ, λαμπρῷ.

Κήλεον πῦρ, ἤγουν καυστηρὸν, παρὰ τὸ κῆαι, κατὰ τὸ δαιδαιδάλεον καὶ τὸ τέλεον παρῆκται. αὐτά τε γὰρ ἐκ τοῦ δαιδαλέου, καὶ τελέου εἰσί, καὶ αὐτὸ ἐκ τοῦ κήλεον. οὐ μόνον παρὰ τὸ κῆαι, ἀλλὰ παρὰ τὸ κάλον, ὅ ἐστι ξύλον.

Κηλεός, καυστικός.

Κηλέστης, ὁ ἀπατεών. ἀπὸ τοῦ κηλῶ, τὸ θέλγω.

Κηλεύς, παρὰ τὸ κηλεῖν καὶ τέρπειν. οἷον κηληθμῷ δ' ἔχοντο κατὰ μέγαρα. τὸ δὲ κηληθμὸς, οἱονεὶ κηληδηθμός, καὶ κατὰ συγκοπὴν κηληθμός, ὅπως εὗρον ἐν ὑπομνήματι Ὀδυσσείας.

Κηληθμός, ἀπάτη.

Κηλήν, μέλαινα.

Κηλήτειρα, ἡσυχάστρια.

Κηλητηρίους, τὰς ψυχὰς θεραπευούσας.

Κηλητήρια, ἄσματα θελκτικά.

Κηλῆσαι, θέλξαι.

Κήλητρα, φίλτρα, παραμύθια.

Κήλη, τὸ πάθος. καὶ κηλήτης ὁ κεχαλασμένος τὰ ἐντός.

* Κήλη, πᾶς ὄγκος ἐν ὀσχέῳ.

Κηληθμός, ἡ μετ' ᾠδῆς τέρψις.

Κήλησις, ἡδονὴ καὶ θέλξις κατὰ μέλους.

Κηλίδες, μολυσμοί.

Κηλίς, ἕλκος, οὐλή, ὄνειδος, ῥυπός. καὶ εἶδος αἰσχρὸν ἐν ἱματίῳ. κηλόν, ξηρόν.

Κηλοῖ, ἄχεται θεῷ.

Κηλούμενος, ἐν ἱματίῳ τερπόμενος.

Κηλοῦν, ἄχεσθαι.

Κηλούμενος, τερπόμενος, θελγόμενος.

Κηλῶ, τὸ ἀπατῶ. καὶ θέλγω, καὶ βάπτω.

Κήλων, θερμὸς εἰς συνουσίαν. παρὰ τὸν κήσω μέλλοντα, ὃ δηλοῖ τὸ καύσω.

Κηλώνιον, ἵππος ἐπιβατήριος, παρὰ τὸ κήλων, ὃ σημαίνει τὸ θερμόν. κηλώνειον δὲ, τὸ γεράνιον μικρὸν καὶ δίφθογγον. παρὰ τὸ κάλον τὸ ξύλον, καὶ μετὰ τοῦ νάειν γέγονε καλώνειον, καὶ κηλώνειον, τὸ ἀνανεῦον καὶ κατανεῦον ξύλον.

Κῆλον, τὸ βέλος τὸ ξύλινον. παρὰ τὸ κάλον, ὃ δηλοῖ τὸ ξύλον, ἢ βέλος θεῖον, τουτέστιν ἀστραπὰς καὶ βροντάς, ᾤχετο κῆλα θεοῖο. παρὰ τὸν κήσω μέλλοντα, τὸν δηλοῦντα τὸ καύσω, ὅθεν καὶ τῷ πυρὶ κηλείῳ, τουτέστι καυστικῷ.

Κηλὶς κηλῖδος, ῥύπος, μῶμος. χρῶμα, μορφή, ἕλκος.

Κήλυγμα, ἀρχεῖον ἀσθενές.

Κήλων, ὁ ἐν τῇ νηὶ λεγόμενος, καὶ ὀχετούς, πεῦσις, καὶ ἄντλημα.

Κήμιψ, φλὲψ γεῶδες ἐν μέτραις.

Κημός, εἶδος χαλινοῦ.

Κημός, ἀπὸ τοῦ κάμνω.

Κημός, ὁ κάδος τῶν δικαστικῶν, ἔνθα ἔβαλλον τὰς ψήφους. ἄλλως. κημός, ὁ ἐπὶ τοῦ καδίσκου, εἰς ὃν τὰς ψήφους καθίεσαν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν νόμοις χοίνιον ἠθμὸν καλεῖ. τοιοῦτος γὰρ ἐγίνετο, καὶ ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ. ὕστερον δὲ ἀμφότεροι δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος. καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. ἔχει δὲ καὶ ὁ χαλκοῦς, ὥς φησιν Ἀριστοτέλης, διερρινημένου ἐπίθεμα, εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι. ἄλλως. κημὸς ἐκαλεῖτο τὸ πλέγμα, τὸ ἐπιτιθέμενον τῷ κάδῳ, δι' οὗ οἱ δικασταὶ καθίεσαν τὰς ψήφους. ἄλλως. κημός, πλέγμα κωνοειδές, δι' οὗ καθιᾶσιν οἱ δικασταὶ τὴν ψῆφον εἰς τὸν κάδον, καὶ ἀλλαχοῦ κἀπισταίην ἐπὶ τοῖς κημοῖς, καὶ τὸ τοῖς ἵπποις ἐπιτιθέμενον, καὶ γυναικεῖον προκόσμημα, καὶ αἱ αὐλητικαὶ φορβειαί, καί τι γένος κρίκου, καὶ πόα τις, καὶ ὀπεῖόν τι παρὰ Θραξί, καὶ μηχανικόν τι πορφύρον μηχάνημα, καὶ ὁ τοῖς ἵπποις περιτιθέμενος, ἐκαλεῖτο κημός, ὁ καλούμενος φιμός. καὶ πλέγμα τι ἐκ σχοινίων γενόμενον, ὅμοιον ἠθμῷ, ᾧ τὰς πορφύρας λαμβάνουσιν, εἰς ὃ αἱ πορφύραι καὶ τὰ κογχύλια εἰσέρπουσιν. ἐν αὐτοῖς δὲ τούτοις ἐστὶ καὶ τὸ δέλεαρ, ὥς φησιν Ἡρωδιανός. Αἰσχύλος ἀλληγορικῶς τοὺς δεσμούς, κημοὺς εἴρηκε, διὰ τούτων καὶ τοὺς δὲ κημοὺς στόματος. ἄλλως. φαεινὸς κημός, ὁ χάβος ὁ περιτιθέμενος τοῖς ἵπποις. καὶ κημός, τὸ συγκλεῖσαι, καὶ οἱ ἰατροὶ κημῶσαι λέγουσι, τὸ τὸν ὀφθαλμὸν μῦσαι.

Κημοστόμης, τῷ χαλινῷ ἐμφερής.

Κημῷ, χαλιναγωγῷ.

Κήμωσις, φίμωσις.

Κἢν Ἀττικῶς, ἀντὶ τοῦ καὶ ἐάν, κρᾶσις.

Κήναιδα Δωρικῶς καὶ Ἀττικῶς, ἀντὶ τοῦ ἐν τόπῳ τοῦ ᾅδου.

Κηναῖος, ὁ Ζεύς.

Κήναιον, ὄρος.

Κήνεον, καθαρόν.

Κηνοῦει, ἐκεῖ.

Κηνσήτωρ, ὁ τὴν γῆν μετρῶν.

Κῆνσος, τὸ νόμισμα.

Κηνσός, βοτάνη τίς, τὸ δὲ τέλος κινσός, διὰ τοῦ ῑ.

Κήνυγμα, τὸ κενὸν τοῦ σώματος οἷον σκιά, καὶ εἴδωλον, φάντασμα ἀσθενὲς καὶ ἀρχαῖον.

Κηνυσσόμην, εἴδωλον ἐγενόμην.

Κηνύει, καλεῖ.

Κηνῷ, ἐκεῖ.

Κὴξ εἰναλίη, ὄρνεον δηλαδή τι θαλάσσιον χελιδόνι παραπλήσιον κατὰ τοὺς παλαιούς, ἢ λάρος, ἢ αἴθυια, ἧς ἡ γενικὴ δοκεῖ εἶναι κηκός. ὅθεν ἴσως τὸ κηκάζειν, ἐπὶ βλασφημίας, πρὸς ὁμοιότητα τοῦ κακάζειν, καὶ αὐτὸ φωνὴ ὀρνιθός ἐστι.

Κηπαία, ἡ ἐν τῷ κήπῳ κηπαία παγὶς ἱσταμένη.

Κῆπε, ἀντὶ τοῦ καὶ εἶπε.

Κηπεία, ἡ κηπεύσις.

Κηπεύωνος, κήπων κηδόμενος.

Κήπιδος σκέλος, παροιμιῶδες ἦν τὸ πέρδικος σκέλος.

Κηποκόμος, κηπουρός.

Κηπίον, ὁ κῆπος.

Κήπιχαίρεται, ἀντὶ τοῦ ἐπιχαιρέτως.

Κῆπον τοῦ Ἀλκινόου εἰς τρία διεῖλεν ὁ Ποιητής, εἰς δενδροφόρον δηλονότι, καὶ εἰς ἀμπελόφυτον, ἣν ἀλωὴν εἶπε κατ' ἐξοχήν, καὶ εἰς λαχανοφόρον. καὶ κῆπος, πόλις δέ ἐστι κατὰ Βόσπορον καλουμένη κῆπος.

Κῆπος, ὁ καταπνεόμενος τόπος πρὸς ἀνάπαυσιν. παρὰ τὸ κάτω, τὸ πνέω, κάπος, καὶ κῆπος.

Κῆπος, εἶδος κουρᾶς, δύο γάρ εἰσι κουραί, σκάφιον καὶ κῆπος. τὸ μὲν οὖν σκάφιον, τὸ ἐν χρῷ. ὁ δὲ κῆπος, τὸ προμετώπιον κεκοσμῆσθαι.

Κηττοί, δῆμός ἐστι τῆς Λεοντίδος, ὡς Διόδωρος ὁ περιηγητής φησι.

Κήρ, ἐπὶ μὲν θανάτου ὀξύνεται, ὥσπερ καὶ χείρ, γίνεται δὲ ἀπὸ τοῦ χηρῶ, τὸ στερίσκω, χὴρ καὶ κήρ, κῆρ δὲ ἡ ψυχὴ οὐδετέρως περισπᾶται, ἔστι γὰρ κέαρ, καὶ ἐν συναιρέσει κῆρ. γίνεται δὲ ἀπὸ τοῦ καίω, τὸ φλογίζω, καὶ ψιλογραφεῖται.

Κηράδινον, ἢ τὸ οἰκτρόν, ἢ τὸ πυκινόν. τοιοῦτον γὰρ τὸ τῆς καρδίας.

Κηραίνει, φθείρει, μεριμνᾷ, φροντίζει, δυσθανατεῖ.

Κηραίνοντα, βλάπτοντα.

Κηραίνειν, βλάπτειν.

Κῆρ ἀπινύσσων, παραφρονῶν.

Κῆρας, ἀκαθαρσίας, μολύσματα, βλάβας.

Κῆρας ἄγοντες τοῖσδε, τὸ τοιῶσδε, ἢ τοιῶσδε, ἀποθανεῖν δηλοῖ, ἢ πνιγῆναι, ἢ κρημνισθῆναι, ἢ ἄλλο τὶ τοιοῦτον παθεῖν, ἐκεῖνο ῥητέον κῆρας.

Κῆρας ἀμύνειν, ἐκ τοῦ κῆρας ἀμύνειν, ὁ κηραμύντης ὕστερον συντέθειται, ὁ αὐτὸς ὢν τῷ ἀλεξικάκῳ, ἵνα ὡς ἐκ τοῦ ἀμύνειν ἁπλοῦ, ὁ Ἀμύντας τὸ κύριον, οὕτως εἴη ἐκ τοῦ κῆρας ἀμύνειν ὁ κηραμύντης, ὃν καὶ Σοφοκλῆς καὶ ἀλεξίμορον εἴποι ἄν. ἡ δὲ τοιαύτη ἀγωγὴ καὶ τὴν παρ' Ἡσιόδῳ ἀλεξιάρην νηὸν, καὶ τὴν χειμάμυναν χλαῖναν, καὶ τὴν ἀλεξάνεμον.

Κήραφις, κάραβος.

Κῆρες, ψυχαί, συμφοραί, μοῖραι θανατηφόροι.

Κῆρες θανάτοιο. κὴρ οὐχ ἁπλῶς ἡ μοῖρα, ἀλλ' ἡ τοῦ θανάτου. ἔστι μὲν οὖν τὸ ἐντελὲς κὴρ θανάτου, εἶπε κατὰ παράληψιν καὶ χωρὶς τοῦ θανάτου λέγεται ἐπὶ τοῦ σημαινομένου. τὸ δέ τοι κὴρ εἴδεται εἶναι ἑκατηβόλου. λέγει γὰρ τὸν Ἀπόλλωνα ἐντελῶς. εἶπε κατὰ παράληψιν καὶ ἕκατον τὸν αὐτὸν λέγει, καὶ μῶλον ἄρηος ἐντελῶς λέγει. εἶπε καὶ μῶλον χωρὶς τοῦ ἄρηος, καὶ ἐπὶ τοῦ αὐτοῦ, καὶ φίλοπιν πολέμου. οὐδὲ δύναται φιλόπιδος κορέσασθαι ὁμοίοιο. εἶπε καὶ φίλοπιν χωρὶς πολέμου.

Κηρεσιφόρητος, ὁ τὸν θάνατον φέρων.

Κηρέσιον, ὄλεθρον νοσητήριον.

Κηρεσσιφορήτους, τοὺς ὑπὸ τῆς εἱμαρμένης μετενηνεγμένους, ἢ ἀπωσθησομένους ἐνθένδε ὑπὸ τῶν μοιρῶν.

Κη-

Digitized by Google

Κηρῶαι, ἐπιθανάτια, ἐντετυλιγμένα.

Κηρὶ, εἱμαρμένη.

Κηρὶ, ψυχῇ.

Κηρῖναι, μάστιγες γίνονταί τινες κηρῖναι, ὥσπερ οἱ λεγόμενοι κηρίονες.

Κήρινθος, ἡ λεγομένη ἐριθάκη. ἔστι δὲ τροφὴ, ἣν παρατίθενται ἑαυταῖς αἱ μέλισσαι, καὶ πόλις Εὐβοίας, καὶ ἕλκος ποιόν.

Κήρινθος, ἐκλήθη ποτέ φασι καὶ ἐλλόπια, ἀπὸ Ἔλλοπος υἱοῦ Τιθωνοῦ. ποταμὸς δὲ περὶ αὐτὴν Βουδώρας, ἢ Βούδωρός φασιν, ὁμώνυμος ὄρει σαλαμινίῳ. ἔφαλον δὲ ταύτην ὁ Ποιητὴς λέγει, ὥστε μὴ ἁπλῶς ἀγχίαλον, ἀλλ' ἐπ' αὐτῆς ὡς εἰπεῖν τῆς ἁλός. κατὰ γὰρ τοὺς παλαιοὺς ταύτης τὰ θεμέλια ὑπὸ θαλάσσης ἁλμίζεται. ὁ δὲ Στράβων πολείδιον Ἱσταίων τὴν Κήρινθον λέγει, ἐπὶ τῇ θαλάσσῃ κείμενον.

Κήρινον, ἐκμαγεῖον, ἡ φαντασία τοῦ νοός, καὶ κήρινος καὶ ἐκηρώθην, ἀντὶ τοῦ ἐσκοτώθην, ἢ διὰ τὸ δέος κήρινος ἐγενόμην.

Κηρίον, τὸ σὺν μέλιτι. κηρὸς, ὁ κεχωρισμένος τοῦ μέλιτος. λαμπὰς, ἡ ἐκ τούτου πρὸς τὸ φαίνειν κατεσκευασμένη.

Κηρίον, τὸ τῶν μελισσῶν καὶ εἶδος πλακοῦντος.

Κηριοῦσθαι, ἐκπλήττεσθαι.

Κηρίφατοι ὅσοι νόσῳ τεθνήκασιν.

Κηρίπτομαι, τὸ ἐρείδομαι, ἀφ' οὗ σκῆπτρον, καὶ σκηπτάνιον τὸ ἐπιτήδειον ξύλον, εἰς τὸ ἐρείδεσθαι. καὶ σκῆπτρον βασιλικὸν, ἤγουν ῥάβδος, ἐν ᾗ ἐρείδεται ὁ Βασιλεύς.

Κηρίῳ βύσασα, εἰς τὸ στόμα τῶν παίδων ἐπιθεῖσαι κηρίον, ὑπὲρ τοῦ μὴ βοᾶν ὁπότε ὑποβάλλοιεν.

Κηριωθῆναι, ὑπὸ σκοτοδίνου ληφθῆναι.

Κηρίομα, ὁμίλημα. ἔστι γὰρ τὸ κηρίον, ᾧ προσεικάζει τοὺς ὀφθαλμοὺς τῶν φινειδῶν.

Κηρόθι, ἐκ ψυχῆς. εἰ δέ τοι Ἀτρείδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον.

Κηρὸν, λεπτὸν, νοσηρόν.

Κηροπάζουσα, βαστάζουσα.

Κηροσαίων, παλαιῶν.

Κηροπλάσται, κηροπλαστική. κηρὸν τήκειν, λεαίνειν, λύειν, ἀνιέναι, ὀργάζειν, μαλάττειν. λέγεται δὲ καὶ πηλὸν ὀργάζειν.

Κηρουλκὸς, ἡ εἰς θάνατον ἕλκουσα, παρὰ τὴν κῆρα, τὴν θανατηφόρον μοῖραν.

Κηρύει, ἐκεῖ. Κρῆτες.

Κηρουχίδαι, γένος ἐν Μιλήτῳ ἀπὸ Κηρύχου.

Κηροφορεῖν, κηρία φέρειν.

Κήρτια, τὰ κέρδη.

Κηρυβίων, καθαρματῶδές ἐστι τὸ ὄνομα. κηρύβια γὰρ κυρίως, τὰ ἀποβράσματα τῶν κυάμων.

Κήρυκας, ἀγγέλους τοῦ Διὸς ὁ Ἀχιλλεὺς λέγει, καὶ ἀνδρῶν, διὰ τὸ ἔν τε πάσαις θυσίαις αὐτοὺς διακονοῦντας μεσιτεύειν, ναὶ μὴν καὶ ἐν ἀνδρῶν βουλαῖς τε καὶ ἀγοραῖς, ἢ Διὸς μὲν, διότι καὶ αὐτοὶ γαρύοντες, ἤτοι φωνοῦντες ἀγγέλλουσιν, ὡς Ἑρμῆς τε καὶ Ἶρις, οἱ περὶ τὸν Δία εἴροντες, διότι καὶ ἐξ Ἑρμοῦ υἱοῦ Διός εἰσιν, ὡς ἀλλαχοῦ εἴρηται, καὶ εἰς ἐκεῖνον ἀναφέρονται. ἀνδρῶν διότι Βασιλέων ὑπηρέται εἰσίν. ὅτι δὲ κήρυκες μὲν ἐκ τοῦ ὡς εἴρηται, γαρύειν λέγονται, Ἑρμῆς δὲ καὶ Ἶρις παρὰ τὸ εἴρειν, δῆλόν ἐστιν.

Κηρυκεία, ὁ διδόμενος μισθὸς τοῖς κήρυξιν, ἐπὶ ταῖς γινομέναις πράσεσιν.

Κηρύκειον, ὄρος Ἐφέσου, καὶ ὁ τῶν κηρύκων μισθός.

Κηρύκειον, σύνθημα φιλίας.

Κηρύκειον, σκῆπτρον, ἢ ἐφ' ᾧ ἀναβὰς κηρύσσει.

Κηρύκειος, γραφή.

Κήρυκες, ἐνδοξότεροι θεραπόντων. βασιλικοὶ μὲν γὰρ ἄνδρες, καὶ θεῖον γένος οἱ κήρυκες, οἱ δὲ θεράποντες, ἁπλῶς ὑπηρέται εἰσὶ φίλοι, οὐ μὴν κατὰ τοὺς παλαιούς. οἱ μέντοι γλωσσογράφοι, τοὺς Κρῆτάς φασι θεράποντα τὸν ὁπλοφόρον καλεῖν. ἰστέον δὲ, ὅτι κήρυκα μὲν ὀτρηρὸν, οὐ λέγει ὁ Ποιητής. θεράποντα δὲ, πολλαχοῦ, παρὰ τὸ τρῶ, τὸ δειλιῶ, ἢ παρὰ τὸ ὀτρύω.

Κήρυκες Διὸς ἄγγελοι. Διὸς ἀγγέλους λέγει τοὺς κήρυκας Ὅμηρός φασι, διότι ἐμεσολάβουν ἐν ταῖς θυσίαις, καὶ διότι τὰς ἑορτὰς τῶν θεῶν ἤγγελον. ἢ διότι ἀπὸ τοῦ Ἑρμοῦ εἰσιν, ὃς ἄγγελός ἐστι τοῦ Διός. Ἑρμῆς φασι μιγεὶς Πανδρόσῳ τῇ Κέκροπος θυγατρὶ, ἔσχε παῖδα ὀνόματι Κήρυκα, ἀφ' οὗ τὸ τῶν κηρύκων γένος.

Κηρυκίνη, ῥάβδος ἡ τοῦ Ἑρμοῦ.

Κηρυκίνη, ἡ κατεσπειρωμένη.

Κηρύκιον, πᾶσα ῥάβδος, ι.

Κηρύκειον, σκῆπτρον, καὶ ἐφ' ᾧ ἀναβὰς κηρύσσει.

Κήρυγμα, ἀρχεῖον, ἀσθενές.

Κηρύκειον, ὄρος τῆς Ἐφέσου. ἐφ' οὗ μυθεύουσι τὸν Ἑρμῆν κηρύξαι τὰς γονὰς Ἀρτέμιδος.

Κηρύλος ὁ ἄρσην ἀλκυὼν λέγεται, ἐν δὲ ταῖς συνουσίαις ἀποθνήσκει. Ἀντίγονος δέ φησι τοὺς ἄρσενας τῶν ἀλκυόνων, κηρύλους λέγεσθαι, οὓς γηράσκοντας αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς. Ἀριστοφάνης, κηρύλος γάρ ἐστιν ὄρνις.

Κῆρυξ, ὡς παρὰ τὸ πτερὸν, γίνεται πτερῶ, καὶ πτερύσσω. οὕτω καὶ παρὰ τὸ ἐρῶ, τὸ λέγω, ἐρύσσω, καὶ ἠρύσσω, καὶ πλεονασμῷ τοῦ κ κηρύσσω, ὁ μέλλων κηρύξω, καὶ ἀποβολῇ τοῦ ω κῆρυξ.

Κήρυξ ἐν πολέμῳ, πρέσβυς ἐν εἰρήνῃ. καὶ κήρυξ, ὁ ἀλεκτρυὼν, τρίτον δὲ ᾄδει, κηρύττω αἰτιατικῇ.

Κήρυξ, εἶδος ἱέρακος. σημαίνει δὲ καὶ ὄνομα κύριον.

Κηρῦξαι καὶ ἀποκηρῦξαι λέγουσιν, ἐπὶ τοῦ κήρυκα ἀποδίδοσθαί τι. Μένανδρος, ἀπεκήρυξεν αὐτὴν ἀγαγὼν, οἷον ὑπὸ κήρυκι ἐπώλησεν.

Κήρυξας, ἀντὶ τοῦ ἐκήρυξας.

Κηρύσσειν Ἀχαιοὺς λέγει Ὅμηρος, τῇ βοῇ συγκαλεῖσθαι τοὺς Ἀχαιούς. οἱ δὲ μεθ' Ὅμηρον μετὰ δοτικῆς τὸ κηρύσσειν συντάσσουσιν, οἷον κηρύσσειν Ἀχαιοῖς.

Κηρύσσω, παρὰ τὸ κῆρυς, ὃ σημαίνει τὴν φωνήν. ἢ παρὰ τὸ ἐρῶ ἐρύσσω καὶ ἠρύσσω, καὶ πλεονασμῷ τοῦ κ κηρύσσω.

Κὴς, ὁ σκώληξ.

Κῆσσος, ὄνομα ποταμοῦ.

Κησσὸν, εὔοδμον.

Κήπα, καλαμίνθη.

Κύτει, ναίει, ἐρημία, στερήσει.

Κητῶν, θυνῶν φορά.

Κήτειοι, γένος Μυσῶν, ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ κήτεος, ἢ μεγάλοι.

Κητήνη, πλοῖον μέγα, ὡς κῆτος.

Κῆτος, ἀπὸ τοῦ κύτος τὸ πλάτος. ὡς τοὔμπαλιν ἀπὸ τοῦ ἵστημι, στῦλος καὶ στύλος.

Κήτιον, μέγαν, καὶ ᾧ τὰς ψήφους διωθοῦσιν ἐν τοῖς κληρωτηρίοις. καὶ ἐμπήριον ἀπὸ λαχάνου ἀγρίου, ὅπερ ἀντὶ πυρῶν καθίεσαν εἰς τὸ στόμα, ὡς Κρατῖνος ἐν ὥραις σημαίνει. καὶ ἥδυσμα, καὶ τὸ νεαρὸν κρόμμυον. ἔνιοι μέλος τι, οἱ δὲ τὰ ὀψαρτυτικὰ συνθέντες διὰ τοῦ γ φασὶ γήτιον.

Κῆτος, θαλάσσιον θηρίον πολυειδές. ἔστι γὰρ λέων, ζύγαινα, πάρδαλις, φύσαλος, πρῆστις, ἡ λεγομένη μάλλη, ὃ καὶ δυσανταγώνιστόν ἐστι, καὶ κριὸς ἰδεῖν ἐχθρὸν ζῷον.

Κηττοὶ, δῆμος τῆς Λεοντίδος.

Κητώεσσαν Λακεδαίμονα, μεγάλην, παρὰ τὸ κῆτος μεῖζον τῶν ἐνύγρων. κοίλην δὲ λέγει αὐτὴν, διὰ τὸ κύκλῳ μακροῖς ὄρεσί ποτε εἰλῆφθαι. ζητητέον δὲ μή ποτε ἡ Λακεδαίμων κητώεσσα λέγεται, καὶ διὰ τὸ τὴν ζωννῦσαν θάλασσαν τὰ ἐκεῖ κητοτρόφον εἶναι, καὶ οὕτω θηριώδη. καθ' ὃ καὶ Ἡρόδοτος θηριωδεστάτην φησὶ θάλασσαν τὴν περὶ τὸν Ἄθω.

Κῆυξ ὁ φωσφόρου τοῦ ἀστέρος, γήμας Ἀλκυόνην τὴν Αἰόλου, μεγαφρονήσας ἐφ' ἑαυτῷ, θεὸς ἐβούλετο νομίζεσθαι. διόπερ ἥτε γαμετὴ διὰ παντὸς αὐτὸν ἐκάλει Δία, κἀκεῖνος Ἥραν τὴν γυναῖκα. Ζεὺς δὲ ἀγανακτήσας, μετέβαλεν αὐτοὺς εἰς ὄρνεα, χωρὶς ἀλλήλων βιοῦντας. ἐκλήθη δὲ ἡ μὲν Ἀλκυόνη, ὁ δὲ Κῆυξ, παρὰ δὲ τοῖς αἰγιαλοῖς τῆς Ἀλκυόνης τικτούσης, συμβαίνει ἐπελθόντα τὰ κύματα, τὰ ἔγγονα αὐτῆς κατασύρειν. Ζεὺς δὲ θεασάμενος αὐτὴν κλαίουσαν, κατελεήσας ἐπέταξε τοῖς ἀνέμοις, καθ' ὃν ἂν καιρὸν ἡ Ἀλκυόνη τίκτει, μὴ πνεῖν μέχρι τεσσάρων καὶ δέκα ἡμερῶν, τοῦ χειμῶνος αὐξανομένου. εἴρηται δὲ Ἀλκυὼν, παρὰ τὸ ἐν ἁλὶ κύειν. οἱ οὖν γονεῖς ἀπὸ τῶν αὐτῇ συμβεβηκότων, οὕτως ἐκάλουν αὐτὴν Κλεοπάτραν, ὡς μεγαπένθην, καὶ Εὐρυσάκην, καὶ Νεοπτόλεμον, ἔκλαιεν οὖν τὸν ἄνδρα Ἴδαν, ὅτι αὐτὴν ἥρπασεν Ἀπόλλων.

Κῆφα, ἀντὶ τοῦ καὶ ἔφη, Δωρικῶς. Θεόκριτος, κῆφα Δάφνι τάλαν τί τὺ τάκεαι;

Κηφεὺς, ὡς Εὐριπίδης φησὶν, ἦν Αἰθιόπων βασιλεὺς, Ἀνδρομέδας δὲ πατὴρ, τὴν δ' αὐτοῦ θυγατέρα δοκεῖ παραθεῖναι τῷ κήτει βορὰν, ἣν Περσεὺς ὁ Διὸς διέσωσε. δι' ἣν καὶ αὐτὸς ἐν τοῖς ἄστροις ἐτέθη Ἀθηνᾶς γνώμῃ. ζήτει Κασσιεπίαν.

Κηφηΐδα γαῖαν, Νίκανδρος ἀπὸ Κηφέως, τὴν Αἰθιοπίαν.

Κηφηΐς γῆ, ἡ τοῦ Κηφέως.

Κηφὴν, εἶδος μελίσσης. ἔστι δὲ ἀργόν. τινὲς δὲ τοὺς ὑδροφόρους τῶν μελισσῶν, λέγουσι κηφῆνας.

Κηφῆνας, τοὺς ἄρρενας τῶν μελισσῶν ἀπράκτους.

Κηφησὶς κηφησίδος, ἡ λίμνη.

Κηφισὸς, ποταμός.

Κηφιώδεις, τετυφωμένοι, κατασεσιγασμένοι.

Κηφισιεῖς, γένος ἰθαγενῶν.

Κηφισσὸς, ἐκ Λιλαίας πόλεως Φοινικῆς τὴν ἀρχὴν λαμβάνει. ἔστι δὲ καὶ ἄλλος κηφισσὸς, διὰ Φωκέων ῥέων. ἔστι καὶ Ἀττικὸς Κηφισσὸς, καὶ Σαλαμίνιος, καὶ Ἀργεῖος, καὶ Σικυώνιος. καὶ λίμνη ἐν Βοιωτίᾳ ἐστὶ Κηφισσὶς, ἡ λεγομένη καὶ Ὑλικὴ παρωνύμως τῇ βοιωτικῇ ὕλῃ. οἱ παρὰ τὸν κηφισσὸν ποταμὸν, Κηφίσσιοι λέγονται. καὶ κηφισιεὺς, δῆμός ἐστι τῆς Ἐρεχθηΐδος φυλῆς.

Κηφὸν, ἀργύριον.

Κηχὶ, ῥύπος.

Κῆχος, τόπος. καὶ ποίκηχος, ποῖ γῆς. ἄλλοι κῆγχος.

Κηχρᾷ, δανείζει.

Κῆχος, πρὸ ὀλίγου, ἢ ποῦ.

Κηῶ, σύνθεσις.

Κήω, διὰ τοῦ η τὸ καίω.

Κηῶδες, τεθυμιασμένον, εὐῶδες, εὔπνουν, φωτεινόν.

Κηώδης καὶ κηώεις, ὁ εὐώδης καὶ τεθυμιασμένος οἶκος.

Κηώεις, ἐπὶ τοῦ θαλάμου. παρὰ τὸ κέω, τὸ κοιμῶμαι. ὄρσο κείων ὦ ξεῖνε, γέγονε κεώεις, καὶ κηώεις, ὁ εἰς τὸ κοιμᾶσθαι εἰργασμένος. σημαίνει δὲ τὸν τεθυμιασμένον θάλαμον καὶ οἶκον, ἀπὸ τοῦ τὰ θυμιάματα εἰς αὐτὸν καίεσθαι.

Κηῶεν, μέλαν, καθαρὸν, εὔοδμον, τεθυμιασμένον.

Κηώεντα θάλαμον, ὅ ἐστι τεθυμιασμένον. παρὰ τὸ κῆαι, ἤγουν καῦσαι, καὶ θυμιᾶσαι. κηώεντα τουτὸν, τῷ εὐωδίαν ἔχοντι. οὐκ ἐξ ἀνθέων ἢ μύρων, ἀλλὰ ἐκ τῶν ἐν αὐτῷ καιομένων εὐοδμιῶν. κυρίως δὲ ναὸς ἢ βωμὸς, ἐν ᾧ ἐκαίοντο θύματα, ὧν ἡ κνίσσα ἐποίει ὀδωδέναι τὰ ἐκεῖ. ἰστέον, ὅτι παρὰ τῇ ποιήσει τὰ διὰ τοῦ ωει ὀνόματα, βραχείᾳ μὲν παραληγόμενα συστέλλονται, οἷον σκιόεις, ἠερόεις, ἀνεμόεις. μακρᾷ παραληγόμενα ἐκτείνεται, οἷον κητώεις, ὠπόεις, κηώεις.

ΤΟΥ͂ Κ΄. ΜΕΤΑ΄ ΤΟΥ͂ Ι΄.

ΚΙ΄α, ἡ μέθη.

Κιανθεὶς, ἑταίρα.

Κιὰν, γαλῆ.

Κιανὸς, κόλπος. καὶ κιανὶς, ποταμός.

Κιάνωρ, κίναιδος.

Κίαρος, ὄνομα πόλεως.

Κίασθαι, κεῖσθαι.

Κιάτω, ἐκινεῖτο.

Κίβαλος, διάκονος, ἢ ὁ λῃστής.

Κίββα, πήρα. Αἰτωλοί.

Κιβδηλίαν, τὸν ἐκ τοῦ ἀργύρου ῥύπον λέγουσι μοχθηρίαν καὶ ζηλοτυπίαν. ἅμα δὲ καὶ ὅτι τὰ νομίσματα, κίβδηλα λέγεται, διὰ τὸ ὑπὸ κιὸς δεδηλῆσθαι. ἄλλως. κίβδηλα ἐλέγετο νομίσματα, τὰ ὑπὸ χίων δεδηλημένα, ἤτοι βε-

Digitized by Google

βλαμμένα, κατὰ στοιχεῖον τοῦ χ εἰς κ. Ἀθηναῖοι γὰρ καὶ Χῖοι πρὸς ἀλλήλους ἐμάχοντο, διὸ τὰ Χίων νομίσματα μετὰ τοῦ χ στοιχείου Ἀθηναῖοι ἐγχαράξαντες, ἀπεστρέφοντο. καὶ ἐκάλουν αὐτὰ κίβδηλα, ὡς διὰ τοῦ χ στοιχείου δῆλα ὄντα, παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν φωνὴν, τὸ δεδολωμένον νόμισμα κίβδηλον ὠνόμασεν, ἐναλλάξασα τὰ στοιχεῖα πρὸς τὸ ἁγλωττότερον.

Κιβδηλιᾷν, ὠχριᾷν.

Κιβδηλὶς, ἡ ἐν τοῖς μετάλλοις σκωρεία.

Κιβδηλιῶντας, ὠχροὺς, ὑπὸ τῆς κιβδήλεως ἐνοχλουμένους. ἔστι δὲ κιβδηλὶς ἡ ἐν τοῖς μετάλλοις σκωρεία. ἀφ' ἧς Παμφύλιοι κίβδηλον, μοχθηρὸν, φαῦλον, ψεῦμα, νόθον, ἀδόκιμον.

Κίβδηλον, τὸ ὑπόχαλκον χρυσίον.

Κίβδηλος, ἀδόκιμος, ἀπερριμμένος.

Κίβδης, κακοῦργος, πηλὸς, χειροτέχνης.

Κίβησις, ἡ κιβωτὸς, ἡ πήρα ἀργυρῆ παρὰ Ἡσιόδῳ.

Κιβικία, κιβώδα κατὰ νώτου.

Κιβλεῦραι, στοχάσασθαι.

Κίβον, ἐνεόν. Πάφιοι.

Κάβος, τὸ κιβώτιον.

Κιβυρραιώτης, τοπικόν.

Κιβύσιον, φλασκίον.

Κιβώριον, αἰγύπτιον ὄνομα ἐπὶ ποτηρίου.

Κιβωτὸς, λάρναξ ξυλίνη, ἡ σορός. ὤφειλε δὲ διὰ τῆς ει διφθόγγου, ἐπειδὴ διὰ τὸ κεῖσθαι ἐκεῖ τὴν βόσιν εἴρηται, ἀλλ' ἡ παράδοσις τὸ ι ἔχει. καὶ λέγει Ὧρος ὁ μιλήσιος, ἴσως παρὰ τὸ κίβος γέγονεν, ὃ σημαίνει τὴν τροφήν. καὶ κίβησις, ἡ πήρα. ἢ ἡ κιβωτὸς, παρὰ τὸ κεῖσθαι ἐκεῖ τὴν βόσιν, ἤγουν τὴν τροφήν. ἢ εἰς τὸ κίειν καὶ ἰέναι βόσιν ἔχουσα.

Κιγκλὸς, σπουχός.

Κίγκαλος, εἶδος ὀρνέου λεπτοῦ καὶ ἀσάρκου.

Κίγκασοι, κυβευτικός τις βόλος.

Κιγκλίδας, ἰδίως τὰς διπλᾶς θύρας, ἅς τινες δικλίδας φασίν. ἢ κιγκλὶς, ἡ ὀπὴ, δι' ἧς ἡ κλεὶς πέμπεται.

Κιγκλίζει, σαλεύει, μοχλεύει, ἦχον ποιεῖ, κινεῖ.

Κιγκλὶς, ἡ θύρα τοῦ δικαστηρίου, ἣν καὶ καγκελλωτὴν καλοῦσιν, εὕρηται παρὰ τῷ Ἀριστοφάνει.

Κιγκλισμὸς, ἀντὶ τοῦ τάραχος, οὕτως Μένανδρος, ἀπὸ μεταφορᾶς τῆς κιγκλίδος.

* Κιγκλισμὸς καὶ κίγκλησις, βραχεῖα συνεχὴς κίνησις, ἀπὸ τοῦ κίγκλου ὀρνέου, συνεχῶς κινοῦντος τὰ πυγάνεια πτερά.

Κιγκλίσαι καὶ κιγκλίσαι, τὸ σφαλίσαι, παρὰ τὴν ἀττικὴν κιγκλίδα, ἥτις ἐστὶ καγκελλωθεῖς, τοιαῦται γὰρ ἦσαν αἱ τοῦ δικαστηρίου κιγκλίδες, ἵνα ταχέως ἀνοίγωνται, καὶ κλείωνται.

Κιγκλὸς, ὁ πτωχὸς, ἀπὸ ὀρνέου τινὸς θαλασσίου, οὕτω καλουμένου. ἔστι δὲ ζῶον ἀσθενὲς, ὥστε μηδὲ ἰδίαν καλιὰν ποιεῖν, ἐν ταῖς ἑτέρων δὲ τίκτειν, κινεῖ δὲ καὶ τὰ οὐραῖα πτερά. τινὲς δὲ σεισοπυγίδα.

Κιγκρᾷ, κιρνᾷ.

Κιγκράμας, ὄρνεον.

Κίγκρεται, κνίζεται, ὀδύρεται.

Κιγχάνειν, εἰσπράττειν, λαμβάνειν. ἐπεξιέναι δὲ, οἱ περὶ Σόλωνα.

Κιγχάνω, τυγχάνω.

Κιγχλὶς, ὁ τοῦ δικαστηρίου κάγγελος.

Κιγχλισμὸς, αἰσχρὸς γέλως μετὰ ἀταξίας.

Κίδαλον, κρόμμυον.

Κιδαλία, νῆσος.

Κίδαρις, τινὲς δὲ κίδαριν λέγουσι περικράνιον πίλινον, ἢ στέφανον, ἢ φακιόλιον.

Κίδαρις, περίθεμα κεφαλῆς εὔκοσμον, δι' οὗ οἱ ἱερεῖς τὸ παλαιὸν ἐκοσμοῦντο. ἢ ἐκ τριχῶν καμηλαύκιον, ἀνὴρ παρὰ Πέρσαις τὴν κίδαριν ἐνεδήσατο.

Κιδαφεύειν, πανουργεῖν. κιδάφη γὰρ ἀλώπηξ. ἢ ἐσθίειν ἀπὸ τῶν κιῶν.

Κιδαφίων, πανούργων. κιδάφην γὰρ, τὴν ἀλώπεκα λέγουσιν. ἔνιοι δὲ παρὰ τὰς κίας φασὶ ποιεῖσθαι τὴν λέξιν, καὶ δηλοῦν τὰ διαβιβρώσκοντα.

Κίδαφος, δόλιος, καὶ ἡ ἀλώπηξ.

Κιδιᾶσθαι, σκεδάννυσθαι, σκορπίζεσθαι.

Κίδναι, αἱ ἐγχώριοι πεφρυγμέναι κριθαί.

Κιδνᾶται, σκεδάννυται, σκορπίζεται.

Κιδνὸν, ἐνθάδε. Πάφιοι.

Κιδνοπέρους, ἢ ἀκιδνοπέρους, ἀσθενεστέρους.

Κίε, πορεύου. κίω, τὸ πορεύομαι. ὅπερ ἀπὸ τοῦ ἴω, τὸ πορεύομαι, πλεονασμῷ τοῦ κ.

Κίειν, πορεύεσθαι.

Κιέλη, φέγγος, αὐγὴ, φῶς, πάχνη, ὁμίχλη.

Κίεν, ἐπορεύετο, παρεγίνετο.

Κίενεν, ἐπετέλεσεν.

Κίες, θηρίδια σιτοφάγα.

Κιθαιρὼν, ὄρος ἐν τῇ Βοιωτίᾳ.

Κιθάρα, ὄργανον μουσικὸν, ἢ ἡ λύρα.

Κιθαραοιδόσπατος, τῇ λέξει κέχρηται καὶ Εὔπολις ἐν χρυσῷ γένει, ὦ κάλαβρε κιθαραοιδόσπατε. καὶ Ἀριστοφάνης, τὸν κιθαραοιδόσπατον, ᾧ χάρις ἐφέσπετο.

Κίθαρις, ἀπὸ τοῦ κιθάρα. ὡς ἀπὸ τοῦ χαρὰ χάρις, καὶ δαμάλη δάμαλις, καὶ ἄκρη ἄκρις, ὡς τὸ ἀκρείας ἠνεμοέσσας. ἀπ' ἐκ μὲν τοῦ ἄκρη, ἀκραία Ἥρα. ἐκ δὲ τοῦ ἄκρις, ἄκριος Ζεύς.

Κίθαρις, γίνεται παρὰ τὸ κινεῖν καὶ κεύθειν ἔρωτας κατὰ τοὺς παλαιούς. κιθερείας γὰρ ὑπόκειται εἶναι δῶρον, ὡς ἀφροδίσιον. παρωνόμασται δὲ ἐκ τοῦ κιθάρα, καὶ ἔστιν ἴσως αἰολικὸν, διὸ καὶ προπαροξύνεται, κατὰ τὸ ἑορτὴ, ἔορτις. τοιοῦτόν τι καὶ τὸ αὐλὴ, αὖλις. ἔστι δὲ καὶ τὸ χαρὰ, χάρις. ὅτι δὲ τὸ σπουδαίως κιθαρίζειν ἐφιλεῖτο τοῖς παλαιοῖς, δηλοῦσιν μύριοι καὶ τῶν μεθ' Ὅμηρον.

Κίθαρις, κιθάρα, κιθάρισμα.

Κιθαριστήριοι, αὐλοί τινες.

Κίθαρος, καθ' ὁμοιότητα τῶν ὀστῶν, πρὸς τὰς χορδάς. ὁ δὲ Δοῦρις ἀπὸ τοῦ κιθαιρῶνός φησιν, ὅτι Ἀμφίων ἐκεῖσε ἐμουσικεύετο. ὅτι τὸ κιθαιρὼν ὀξύνεται τοπικὴν ἔχον ἔννοιαν. ὁμοίως καὶ μαραθὼν, καὶ τὸ ὀργανθών. τὸ μὲν ἱπποθῶν, περισπώμενον διαιρεῖται, ἱπποθόων γὰρ, τὸ κολοφὼν καὶ κατωφὼν ὀξύνεται, ὡς θηλυκὰ σημαίνει τὸν ἀδελφὸν τοῦ Ἀλκαίου.

Κίθαρον, θώρακα παρὰ τῷ Ἱπποκράτει.

Κίθαρος, στῆθος, πλευρὰ, καὶ ἰχθύς.

Κίθουρις, ἀντὶ τοῦ κίθαρις. ἔστι δὲ πίλου γένος ἡ κίθουρις, ἅπαξ ῥηθεῖσα τῷ Ποιητῇ. λέγοντες καὶ ἄλλα εἶναι ἅπαξ λεγόμενα, παρ' Ὁμήρῳ τε καὶ ἄλλοις. Ὀππιανὸς ἐν κυνηγετικοῖς ἀντίοσθαι πτερυγίοις φησὶ, καὶ ἔλαφον πτώσσειν ὑλήματον. Αἰσχύλος δὲ ὀβρίκαλά φησι, τοὺς λεοντιδεῖς. καὶ βαλλὴν, τὸν βασιλέα, ἐν τῷ βαλλὴν ἀρχαῖος βαλλήν. γλώσσης δὲ τοῦτο. ἐξ οὗ καὶ ὄρος βαληναῖον, ὅ ἐστι βασιλικὸν παρὰ Πλουτάρχῳ ἐν τῷ περὶ ποταμῶν. Λυκόφρων, σίγυμνον ἢ σίγυννον, τὸ ὁλοσίδηρόν φησιν ἀκόντιον. Εὐριπίδης δὲ ἄπος οὐδετέρως, τὸν κάματον ἔφη. καὶ ἐπεζάρει σφὶγξ, ἀντὶ τοῦ ἐπεβάρει. καὶ βέρεθρον, ζέρεθρον. καὶ κατακονὰν ὀνοματικῶς, τὴν διαφορὰν δωρικώτερον, ἢ κατακονεῖν ῥηματικῶς, τὸ καταθύειν.

Κιθάρα, μουσικὸν ὄργανον.

Κιθαρῳδὸς, ὁ μετὰ κιθάρας ᾄδων.

Κιθαριστὴς, ὁ ταύτῃ χρώμενος.

Κιθαιρὸν, ὄνομα ὄρους.

Κιθὼν, Ἰωνικῶς ἀντὶ τοῦ χιτὼν, στρέπουσι γὰρ οἱ Ἴωνες τὰ δασέα, εἰς ψιλά. καὶ τὰ ψιλὰ, εἰς δασέα. οἷον ἀκάνθιον, ἀχάντιον, καὶ βάτραχος, βάθρακος, καὶ τὰ ὅμοια.

Κίθων, πῶμα πίθου.

Κιθωνέα, ἐπίθετον Ἀρτέμιδος.

Κίβδηλον, τὸ φαῦλον νόμισμα, ἀπὸ τούτου. καὶ κίβδηλος τρόπος, ὁ οὐκ ἀδόλωτος. καὶ ἦθος κίβδηλον, καὶ παρακεκιβδηλευμένη, φιλία, καὶ ἔτι τοιοῦτον.

Κιγκλίδες, αἱ τῶν δικαστηρίων θύραι.

Κίδαρις, ἡ ἱερὰ περικεφαλαία.

Κικαῖος, ἴσον ἐλλύχνιον τὸ τῶν καρπῶν λέπος.

Κικαμία, τῷ λαχάνῳ καυλίδι ὅμοιόν τι.

Κίκελος, στοχός.

Κίκη, φυτόν.

Κίκερος, ὁ χερσαῖος κροκόδειλος.

Κίκιμον, τῆς κορώνης τὸ κόπριον.

Κικίνης, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.

Κικίννα, στιχόπλαστος.

Κικιρδὴς, συκῆ.

Κίκιρρος, ἀλεκτρυών.

Κικὶς, βάμματι. ἢ καρπὸς δρυὸς, ἐπιτήδειος εἰς βαφὴν κλινῶν.

Κίκι, εἶδος ἐλαίου, ἐλαίῳ κικίνῳ ἀναμίξαντες.

Κίκκα, ἀλεκτορίς.

Κικκαβᾷν, τὰς γλαῦκας, οὕτω φωνεῖν λέγουσιν ὅθεν καὶ κικκαβὰς αὐτὰς λέγουσιν. ἔστι δὲ ἱερὰ τῆς Ἀθηνᾶς. οἱ δὲ κικυμίδας, ὡς Καλλίμαχος, κάρτ' ἀγαθὴ κικυμίς. καὶ Ὅμηρος δὲ χαλκίδα κικλήσκουσι θεοὶ, ἄνδρες δὲ κιμίνδην. τὴν γλαῦκα, ἀπὸ τῆς μορφῆς χαλκίδα, ἐπειδὴ χαλκίζει τῷ χρώματι. ἄλλως, μίμημα τῆς τοιᾶς φωνῆς τῆς γλαυκός. ἔστι δὲ ἱερὰ τῆς Ἀθηνᾶς, διὸ καὶ εἶδος αὐτῆς πολὺ ἐν τῇ Ἀττικῇ. καὶ εἰς τιμὴν τῆς θεοῦ ἐν τοῖς νομίσμασιν ἐγχαράττουσι γλαῦκα, διὰ τὸ χαλκῶδες δὲ ἔχειν τὸ πτερόν. λέγεται δὲ καὶ χαλκὶς καὶ κύμινδις.

Κικκάβιον, ἐλάχιστον οὐδέν.

Κικκιδῶσαι, μινθῶσαι.

Κικκιλονδὶς, παιδὸς ἀφόδευμα.

Κικκὸς, ἀλεκτρυὼν, κλέπτης, διαχώρησις.

Κίκκος, ὁ νέος τέττιξ.

Κικλαίει, καλεῖ.

Κίκλην, τὴν ἄρκτον, τὸ ἄστρον Φρύγες.

Κικλησμὸς, γέλως.

Κικλήσκετο, σύστοιχόν ἐστι τῷ συγκαλέσαι. οὐκ ἐξ αὐτοῦ δὲ, ἀλλὰ μάλιστα ἐκ τοῦ συγκαλεῖν, παρῆκται ἡ σύγκλητος. ἐνεργητικῶς δὲ εἶπε τὸ συγκαλέσαι, ὡς καὶ φύξιν βουλεύωσι, τῆς μεθ' Ὅμηρον συνηθείας παθητικῶς λεγούσης, καὶ συγκαλέσασθαι καὶ βουλεύσασθαι. πολλὰ δὲ καὶ ἕτερα δέδεικται οὕτω διφορούμενα, ὧν ἐστι καὶ τὸ αὐδᾷν λεγόμενόν ποτε παθητικῶς, οἷον ποικίλως αὐδομένου. καὶ τὸ οἰκτίζειν δὲ κείμενον παρὰ Σοφοκλεῖ, παθητικῶς ἡ Ἀτθὶς φράζει. καὶ τὸ κικίειν δὲ, κατὰ πάθος πέφρασται ἐν τῷ αἱμάδα κηκιομένην, ὃ κήκιον αἷμα ἐρρέθη. οὕτω καὶ ἐν θυμῷ βάλλεαι, τὸ βάλλεις. καὶ γράφου δὲ φρενῶν ἔσω, καὶ γράφε. καὶ ἐναυλίζειν, τὸ ἐναυλίζεσθαι.

Κικλήσκουσα, οὐχ ἁπλῶς κλῆσιν δηλοῖ, ἀλλὰ ἱκετικὴν παρὰ τῷ Ποιητῇ ἐν τῷ ἰῶτα.

Κικλήσκω, ἀπὸ τοῦ κλῶ, τὸ καλῶ, γέγονε. κλήσω ὁ μέλλων, καὶ πλεονασμῷ τοῦ κ, καὶ ἀναδιπλασιασμῷ κικλήσκω τὸ καλῶ, αἰτιατικῇ συντάσσεται. Ζῆνα τύραννον ἐς χορὸν πρῶτα μέγαν κικλήσκω.

Κικλήσκουσι, καλοῦσι.

Κικνία, μικρὰ φθειρία.

Κίκνωψ, θηρίον.

Κίκονες, γένος Θρακῶν.

Κικοβαυλιτίδες, κογχυλίου τι γένος μέλαν, καὶ τὰ ἐκ στέατος σκωλήκια.

Κικόνειον, ὄρνεον.

Κικονία, χώρα. καὶ κικόνιος οἶνος.

Κικόνεσσι πέλασσεν Ἰσμάρῳ, ὅμοιον ἐς Κύπρον ἐς Πάφον.

Κίκονες, ἔθνος.

Κικερβιντὶς, ἀνδράχνη.

Κικυμῆος, γλαῦξ.

Κίκυμος, λαμπτὴρ, ἢ γλαυκὸς, ὁμοίως καὶ κίκυβος.

Κικυμώττειν, δυσβλέπειν.

Κικυμώειν, τυφλώττειν.

Κίκυς, δύναμις.

Κίκυς, ὁ ὀξὺς, ὁ ἰσχυρός. σημαίνει τὴν ἰσχὺν, παρὰ τὸ κίω, τὸ πορεύομαι. ὁ γὰρ ἰσχυρὸς ἐκ τῆς κινήσεως φαίνεται.

Κικύω, τὸ ταχύνω, τὸ ἰσχύω. καὶ γέγονε παρὰ τὸ κίκυς. ἔχει δὲ καὶ τοῦτο τὸ υ κατὰ τῆς δευτέρας συλλαβῆς.

Κίκων, ὁ κίκων ἀμυθάονος, ὃν οὐδὲν αἴσιον προθεσπίζων.

Κιλάριος, ὁ ἥλιος.

Κιλίκες, στρουθὸς ἄρσην.

Κιλι-

Κιλιβάντις, τραπεζῶν βάσις. καὶ ὑποθέματα, ἢ τρισκελεῖς τράπεζαι.

Κίλικες, οἱ ὑποπλακίους Θήβας οἰκοῦντες, ἢ δημόται.

Κίλικες, ἔθνος.

Κιλικίζεσθαι, κακοηθίζεσθαι.

Κιλίκιοι, ἁδροὶ, ῥυπαροὶ, μεγάλοι.

Κιλίκιοι λόγοι, οὗτοι ἀναφέρονται εἰς κύρβασιν, ἢ κυάρβασιν, οἱ τράγοι δασεῖς, καὶ τὰ ἐκ τριχῶν συντιθέμενα κιλίκια.

Κιλίκιος, ὄλεθρος, πονηρὸς, πονηροὶ γὰρ οἱ Κίλικες.

Κιλικίους, πικρὰς τιμωρίας.

Κίλικι, λιμῷ, ὀλέθρῳ. ἔλεγον γὰρ κιλίκιον ὄλεθρον.

Κιλίκια, τὰ ἐκ τριχῶν συντιθέμενα ὑφάσματα.

Κιλίκιοι, δασεῖς κιλίκιοι τράγοι, τοιοῦτοι γὰρ οἱ ἐν Κιλικίᾳ γίνονται τράγοι. ὅθεν τὰ ἐκ τριχῶν συντιθέμενα, κιλίκια λέγουσι.

Κίλιξ, ἀνὴρ, Κίλισσα γυνὴ, ὁμοίως Λίβυς λίβυσσα, θρᾶς θρᾷσσα, μάγνης μάγνησσα, κρῆς κρῆσσα.

Κιλίσσης, τῆς τροφοῦ Ἀχαιοῦ τοῦ μέροπος.

Κίλλα, Ἑκάβης ἡ ἀδελφὴ, Θυμάντου δὲ γυνή. αὕτη ὡς λέγουσι θυμάντῳ συγγενομένη, γεννᾷ μένιππον Κίλλαν. ἔστι δὲ καὶ πολίχνιον τῆς Τρωάδος.

Κίλλα, πόλις, ἔνθα ἱερὸν Ἀπόλλωνος.

Κίλλαι, ἀστράγαλοι, ἢ ὄνοι.

Κιλλακτὴρ, ὀνηλάτης, κυνηγός.

Κιλλαμαρίζειν, κατιλλώπτειν.

Κίλλεια, εἶδός τι λαχάνου, ἢ ἀκάνθαι τῶν ἐχίνων, ἢ πηγὴ, ἢ κρήνη, ἢ ὄρος τῆς Ἀττικῆς. χωρίον δασὺ, ὅπερ διαφόρως προσαγορεύουσιν, οἱ μὲν κάλλιον, οἱ δὲ κυλίαν, ἄλλοι κυλύπεραν.

Κιλλίβαντας, τρισκελῆ τινὰ σκευάσματα, ἐφ' ὧν ἐπιτιθέασι τὰς ἀσπίδας, ἐπειδὰν κάμωσι πολεμοῦντες.

Κιλλικύριοι, οἱ ἐπεισελθόντες γεωμόραι. δοῦλοι δὲ ἦσαν οὗτοι καὶ τοὺς κυρίους ἐξέβαλον.

Κιλλικὼν, προδότης οὕτως ἐπωνομάζετο. Ἀχαιὸς μὲν τοὔνομα, κιλλικὼν δὲ ἐπικαλλούμενος, ὃς Μίλητον προέδωκε τοῖς βασιλέως στρατηγοῖς.

Κίλλιξ, σάμνος, ἢ βοῦς τὸ ἓν κέρας ἔχων διεστραμμένον.

Κιλλὸν, εἶδος τριχώματος φαιοῦ.

Κιλλὸς, ὄνος καὶ τέττιξ πρωϊνὸς ὑπὸ Κυπρίων.

Κίλλυρος, σησοπυγής.

Κίμαι, χυλὸς πύρινος.

Κιμαὸς, χυλὸς μοραίας.

Κίμαρα, τόπος.

Κιμβάζει, στρατεύεται.

Κίμβαζε, στράτευε. κίμβαξ γὰρ ἡ ἀσπίς.

Κιμβέριον ἐνδύσομαι, εἶδος ἱματίου.

Κιμβερικὸν, χιτωνίσκου εἶδος πολυτελοῦς, ὃ λέγεται στατός.

Κιμβεύη, ὁδοιπορεῖ.

Κιμβηκία, πανουργία, ἐνεασμός.

Κίμβης, ποταμός.

Κιμβία, σκυφία, μικρολογία.

Κίμβικα, σφήκια, ἢ μελίσσια, ἢ μικρολογία, ἢ διαστροφή. ὅθεν καὶ κίμβιξ, ὁ λίαν μικρολόγος περὶ χρήματα.

Κίμβρος, ὁ λῃστής.

Κίμβιξ, ὁ φιλοχρήματος.

Κίμερος, νοῦς, Φρύγες.

Κιμιλισμὸς, βραχεῖα συνεχὴς κίνησις, ἀπὸ τοῦ κιμίλου τοῦ ζώου, παρὰ τῷ Ἱπποκράτει.

Κιμμέριοι, ἔθνος βορηότατον.

Κιμμέριοι, κατὰ μὲν Ὅμηρον περὶ τὸν δυτικὸν Ὠκεανὸν κεῖνται. κατὰ δὲ τὸν περιηγητὴν, κιμμέριοι ναίουσι ὑπὸ ψυχρῷ ποδὶ ταύρου.

Κιμμερὶς, θεὰ ἡ μήτηρ τῶν θεῶν.

Κιμμερίους, φησὶν Ἡρακλείδης ὁ ποντικὸς ὑποκάτω τοῦ Πόντου εἶναι τοὺς κιμμερίους. ἀεὶ γὰρ οἱ τοιοῦτοι ἐν χειμῶνι εἰσὶν, ἔνιοι δὲ κεμμερίους, κέμμερον γὰρ λέγουσι, τὴν ὁμίχλην, καὶ σκυθικὸν ἔθνος κιμμέριοι.

Κίμμυρος, μικρολόγος, ἢ μακρολόγος.

Κίμψαντες, ἐρείσαντες, στηρίξαντες.

Κιμωλία, ἡ λευκὴ γῆ.

Κίμων, ὄνομα κύριον.

Κίμωσις, φίμωσις.

Κιμώνια, φίμωσις.

Κιμώνια, ἐρείπια, ἔνθα ἡ χημόνουν περαινόμενοι.

Κιμώνεια, λείψανα. καὶ κιμώνειον, ἱερὸν τοῦ Κίμωνος.

Κινάμωμον, Ἡρόδοτος λέγει ὄρνιθας φέρειν ταῦτα τὰ κάρφη, ἡμεῖς δὲ παρὰ Φοινίκων μαθόντες καλοῦμεν οὕτω.

Κιμωλία, μία τῶν κυκλάδων νήσων νιτροποιὸς γῆ, ἐξ ἧς τὸ νίτρον, ἢ τῶν ἐρυθρῶν τῆς Γωνίας ἀκρωτήριον.

Κινάβαρ, χρῶμα κόκκινον. καὶ κλίνεται κιναβάρεως.

Κινάβρα, ἡ δυσωδία τῶν μασχάλων. ἢ τῶν αἰγῶν κιναβρώντων, κακὴν δυσωδίαν ἐχόντων, ἢ τὴν δυσοσμίαν ποιούντων ἐκ τῶν μασχαλῶν. κινάβρα δὲ κυρίως, ἡ τῶν κυνῶν βρῶσις, κυνοβόρα τις οὖσα. ἀλλὰ εἰ τοῦ τ' ἦν, ἐγράφετ' ἂν διὰ τοῦ υ ψιλοῦ.

Κιναβεύματα, πανουργεύματα.

Κιναθίας, κρυπτός.

Κιναθίζειν, ἰδιάζειν, ἀποθησαυρίζειν κατὰ μικρὸν συλλέγοντα. ἔνιοι μινυρίζειν, καὶ νικᾶν.

Κίναδος, τὸ θηρίον. καὶ κινάδιον, ἰδίως ἡ ἀλώπηξ, ἀπὸ τούτου κίναδος, καὶ ὁ πανοῦργος.

Κίναδος, εἶδός τι θηρίου. καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου, τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστι. πᾶν μὲν θηρίον, κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. καὶ Σοφοκλῆς ἡ πάντριπτον κίναδος ἐξήρου μ' ὅπου. κακοῦργος οὖν ὡς ἀλώπηξ. τινὲς δὲ, κίναδος ζῷον μικρὸν, τὸ αἰδοῖον εἴσωθεν καὶ ἔξωθεν.

Κίναδος, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ πάνυ φρόνιμος. κίναδος γὰρ ἡ ἀλώπηξ.

Κίναιδα, καὶ κιναιδία, ἡ ἀναισχυντία.

Κίναιδος, ἀσελγὴς, μαλακός.

Κίναιδος ἀρσενικῶς ὁ πόρνος. κίναδος δὲ οὐδετέρως ὁ πανοῦργος.

Κιναῖος, ὄνομα τόπου.

Κινάθισμα, κίνημα πλήθους παραγωγῶς, ἐξ οὗ πλῆθος παραγίνεται, ὑπακούεται.

Κιναίδιον, ὄρνεον ἴυγξ.

Κινάκεσθαι, μακρολογεῖν.

Κινάκη, ὁ ἀκινάκης παρὰ Σοφοκλεῖ. τὸ μὲν γὰρ ἀνακρεόντειον, χωρὶς τοῦ ἰῶτα γράφεται. καὶ γέγονεν ἔκθλιψις τοῦ ἰῶτα, καὶ κράσει τοῦ ω α τῷ κινάκῃ, ὥσπερ ὦ Ἄπολλον ὤπολλον. ἐὰν δὲ ἔχῃ τὸ ῑ δηλονότι ἀφαιρέσει τοῦ ᾱ, οἷον ἀστεροπὴ στεροπὴ, ἀστραπὴ, στραπὴ οἷον σὺν τῇδε τῇ στραπῇ. ἐν δὲ τοῖς ἀντιγράφοις ἔχει τὸ ῑ, καὶ δῆλον ὅτι στρεπτῇ.

Κιννάμωμον, ἄρωμά τι μυρεψικόν.

Κινάνδρα, ἀλώπηξ.

Κίναρχος, ἄψυχος.

Κιναρύζεσθαι, θρηνεῖν μετὰ τοῦ γογγύζειν καὶ κινεῖσθαι.

Κινασουδὲς, ἰχθύς.

Κιναύρα, ψύχος, τὸ ἅμα ἡμέρᾳ Κύπριοι.

Κιναφεύειν, πανουργεύεσθαι.

Κινάχυρα, ὄνομα δούλης.

Κίνδα, πόρνη, ἀσχημοσύνη.

Κίνδακας, ἀκινήτους.

Κίνδαξ, ἀκίνητος.

Κινδαψοὶ, ὄρνεα, καὶ ὄργανα κιθαριστήρια, καὶ Ἰνδοί.

Κινδαύει, κινεῖται, κερατίζει.

Κινδάφη, ἀλώπηξ.

Κινδαφίων, πανούργων ἀλωπέκων.

Κινδυνεύει, ἀντὶ τοῦ ἐγγίζει. ἢ κινδυνεύει, τοῦ πολέμου μετέχει.

Κίνδυνος, ἡ ἐν φρουραῖς, σελίς. οἱ πολέμιοι γὰρ τὴν φρουρὰν ῥᾳδίως ἐάλωνται. σελὶς δὲ ἡ καθέδρα.

Κίνδυνος, φόβου πλησιασμός. καὶ κίνδυνος κινόδυνός τις ὢν, παρὰ τὸ κινεῖν εἰς ὀδύνην, ἢ εἰς δέος.

Κινδυνεύω, ἀντὶ τοῦ ἐν κινδύνῳ εἰμί. καὶ κινδυνεύω ποιεῖν τόδε, ὅπερ οὐ θέλω δηλονότι, ἀλλ' ἀπό τινος ἀνάγκης εἰς τοῦτο συνελαύνομαι. καὶ κινδυνεύω ποιήσεσθαι τόδε, ἀφ' οὗ κίνδυνος τινὰ πείσεσθαι τόδε. ὅπερ οὐκ αὐτὸ δηλοῖ τὸ δεινὸν, ἀλλὰ τὴν ἐπὶ δεινῶν συνελαύνουσαν ἀνάγκην.

Κινδυνεύω, ἀντὶ τοῦ εἰς περίστασιν εἰμί. καὶ κινδυνεύω, ἀντὶ τοῦ βιάζομαι. οἷον κινδυνεύω τἀληθῆ λέγειν.

Κίνερμοι, οἱ μικροὶ ἰχθύες.

Κινέω κινῶ, αἰτιατικῇ συντάσσεται. οἷον παρὰ Θεοκρίτῳ, καὶ τὸ ἀπὸ γραμμᾶς κινεῖ λίθον, παροιμίας, ἤγουν πάντα τρόπον ποίει τυχεῖν σου. κινῶ, τὸ ταράττω, καὶ ἁπλῶς τὸ ἱστάμενον, οὐκ ἐῶ ἵστασθαι, καὶ τὸ διεγείρω, κινῶ, παλῶ, νομῶ.

Κινεῖς τὸν ἀνάγυρον, ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά.

Κίνημα, κίνησις, ταραχὴ, ὁρμὴ, χόλος, κόπος, ἡ ὀργή.

Κίνησις, ἀγὼν, πόλεμος, σεισμός. ἡ κίνησίς ἐστιν ἡ ἐντελέχεια, καὶ ἐντελέχεια τοῦ δυνάμει, καθὸ τοιοῦτόν ἐστιν, ὃ ἦν. κίνησις, θεωρεῖται ἐν τῇ οὐσίᾳ, καὶ ἐν τῷ ποσῷ, καὶ ἐν τῷ ποιῷ, καὶ ἐν τῇ ποῦ, κατηγορίᾳ. ἐν μὲν τῇ οὐσίᾳ, γένεσις, καὶ φθορά. ἐν τῷ ποσῷ, αὔξησις καὶ μείωσις. ἐν δὲ τῷ ποιῷ, ἀλλοίωσις. ἐν δὲ τῇ τοῦ, τὸ κυκλοφορούμενον, καὶ τὸ ἐπ' εὐθείας κινούμενον. καὶ καλεῖται τὸ μὲν πρότερον, περιφορά. τὸ δὲ δεύτερον, ἁπλῶς ἐπ' εὐθείας κίνησις. ἐπεὶ δέ τινες εἰσὶν ἐν τῇ τοῦ κατηγορίᾳ κινήσεις. τουτέστιν αἱ μεταβατικαὶ καὶ τοπικαὶ, ἡ ἄνωθεν, ἡ κάτωθεν, ἡ ἐντὸς, ἡ ἐκτὸς, ἡ δεξιὰ, ἡ ἀριστερὰ, καὶ ἡ κυκλοφορουμένη.

Κινησίας, κύριον.

Κινησίας, διθυραμβοποιὸς, ὃς ἐποιήσατο πυρρίχην, ἢ ὅτι ἐν τοῖς χοροῖς πολλῇ κινήσει ἐχρήσατο.

Κίνιφος, ὁ ποικίλος.

Κινηθέντος, ὀργισθέντος.

Κιννάβαρι, εἶδος χρώματος ἀληθινοῦ, ὃ λέγομεν κόκκινον, καὶ παρὰ τοῖς ζωγράφοις.

Κινναβρεύματα, ἀποκαθάρματα, ὄζοντα.

Κίνναβος, τὸ εἴδωλον, πρὸς ὃ οἱ πλάσται καὶ οἱ ζωγράφοι βλέπουσι.

Κινναθίδα, σχίσμα γυναικεῖον.

Κιννάμωμον. Ἡρόδοτος ἐν τῇ τρίτῃ λέγει, οὕτως ὄρνιθας λέγουσι, ταῦτα τὰ κάρφεα φέρειν. ἃ ἡμεῖς παρὰ Φοινίκων μαθόντες, καλοῦμεν κινάμωμον.

Κιννάμωμον, ἐν τῶν λιβανωτῶν ἢ τῶν ἀρωματικῶν. λιβάνιον, καὶ ὄρνις, καὶ πόα εὐώδεστάτη.

Κιννυρίδες, τὰ μικρὰ ὀρνιθάρια.

Κιννύρας, τοὺς κακούργους ἵππους.

Κιννυράδαι, ἱερεῖς Ἀφροδίτης.

Κιννύρας, Ἀπόλλωνος καὶ φαρνακῆς παῖς, βασιλεὺς Κυπρίων.

Κιννύρα, ὄργανον μουσικὸν, ἡ κιθάρα, ἀπὸ τοῦ κινεῖν τὰ νεῦρα.

Κιόκρανα. ἐκ τοῦ κιοκάρανα κατὰ συγκοπήν.

Κιονόκρανον, τὸ ἄκρον τοῦ κίονος.

Κιονὶς, μικρὰ κίων, ἥ τις λέγεται καὶ γαργαρεών.

Κίος, πόλις Μυσίας.

Κινούμενος, κατὰ νοῦν κινούμενος καὶ διαλογιζόμενος, ἀπὸ τοῦ κινῶ κινύω, κίνυμι. οὗ χρῆσις ἐν τῷ κίνυτο.

Κίνυμαι, ποιητικὸν, ἐκτεῖνον τὴν ἀρχουσαν, μετοχὴ κινύμενος, νη, νον.

Κίνυντο, ἀπὸ τοῦ κινύω, κίνυμι παρῆκται ῥήματος, ἐξ οὗ καὶ τὸ οὐδέ τε λήθω κινύμενος. τοῦ δὲ κινύω αὖθις παράγωγον, τὸ κινύσσω. ἐξ οὗ παρ' Αἰσχύλῳ αἰθέριον κίνιγμα, τὸ ἀέριον εἴδωλον, οὐκ ἀπέοικε τοῦ αἰθύγματος, ὃ ἀπὸ τοῦ αἰθύσσω γίνεται.

Κινύρετο, ἐθρήνει, παρὰ Ἀπολλωνίῳ. κυρίως δὲ κινύρεσθαί ἐστιν, ἐπὶ βοός. καὶ εἴρηται παρὰ τὸ κινεῖν τὴν οὐρὰν ἐν τῷ μυκᾶσθαι. καὶ Ἀττίων δὲ ἀρῶν τὴν ἐτυμολογίαν παρὰ Ἀπολλοδώρῳ ταύτην, ὅτι ταῦρος λέγεται παρὰ τὸ τείνειν τὴν οὐρὰν, μετέθηκε τὴν αἵρεσιν τῆς ἐτυμολογίας. Ἀριστοφάνης, τί κινυρόμεθα; τί δακρύομεν, καὶ ὀδυρόμεθα.

Κινυρὴ, οἰκτρὰ, θρηνητικὴ, λεχὼ, ἁπαλή.

Κινυρόμεθα, θρηνοῦμεν. καὶ κινυρόμεναι, μέλπουσαι, ᾄδουσαι.

Κυρομένη, ὀδυρομένη, θρηνοῦσα.

Κινύτιδος κιντικὸς, χάραδρος.

Κινύφιον, τὸ Ἀνταῖον, ἀπὸ Κίνυφου τοῦ ποταμοῦ.

Digitized by Google

Κινῶ, τὸ ταράττω, καὶ ἁπλῶς τὸν ἑστάμενον, οὐκ ἐῶ ἵστασθαι, καὶ τὸ διεγείρω.
Κινὼ, κίνησις. Δωριεῖς.
Κίνασις, χρύσοφρυς.
Κινώπετα, κνώδαλα, θηρία.
Κινυρὸν, λεπτὸν, καπυρὸν, ὀξὺ, οἰκτρόν.
Κίνυσθαι, κινεῖσθαι, ἐγείρεσθαι, ἄρχεσθαι, ἰδεῖν, πτοεῖσθαι, αἰδεῖσθαι, ὁρμᾶν.
Κινώπετον, ὄρνεον. καὶ κινώπετα, τὰ ἑρπετὰ τὰ ἀεὶ κινούμενα ἐν τῷ πέδῳ, κινώπιδα καὶ κινώπετα. οὕτως Ὧρος ὁ μιλήσιος.
Κινῶ, ἔστιν ἓν καὶ εἷς δικατάληκτον ὄνομα, καὶ σημαίνει τὴν δύναμιν, ἐξ οὗ γίνεται ῥῆμα ἰνῶ, καὶ πλεονασμῷ τοῦ κ κινῶ.
Κιξάλαι, κλέπται.
Κιξάλης, φὼρ, κλέπτης, ἀλαζών.
Κιξαλία, πᾶσα κακοτεχνία.
Κίξαντες, ἐλθόντες, πορευθέντες.
Κίξατο, εὗρεν, ἔλαβεν, ἤνεγκεν.
Κίξιοι, τέττιξ.
Κίος, ὄνομα νήσου, ἀπὸ ταύτης κῖος.
Κιονίδα, σταφυλήν.
Κίυρος, ἐμβολεὺς οἱ σύϊνος, κόφινος. ᾧ τὸν σῖτον ἀναβάλλουσιν οἱ ναυτικοὶ, ἢ μεῖζόν τι.
Κίρα, ἀλώπηξ. Λάκωνες.
Κίραφος, ἀλώπηξ.
Κίρβα, πήρα, φθηρά.
Κιρβιαῖον, ἔθνος ἐχόμενον Λυδῶν.
Κίρεται, φθείρεται, δαπανᾶται.
Κιρεὺς καὶ νηλεὺς, εὔβοιαι ποταμοί. ὧν ἀφ' οὗ μὲν τὰ πίνοντα πρόβατα, λευκὰ γίνονται. ἀφ' οὗ δὲ, ὡς ὁ Γεωγράφος καὶ τοῦτό φησι, μέλανα. ὁποῖόν τι καὶ περὶ τὸν Κράθιν συμβαίνει.
Κερίνης, ὄνομα ποταμοῦ, καὶ ὄνομα κύριον, καὶ ἰχθύς ποιός.
Κιρὶς, λύχνος, ὄρνεον, ἢ Ἄδωνις. Λάκωνες.
Κίρκασμα, τοὺς βότρυας.
Κιρκαῖον, τόπος ἐστὶ τῆς Κολχίδος, ἀπὸ Κίρκης Αἰήτου ἀδελφῆς, ἢ πεδίον. Τίμαιος δέ φησι, πεδίον ἐν Κόλχοις εἶναι κιρκαῖον. καὶ κιρκαῖον πεδίον, ἀπὸ Κίρκης. τὴν δὲ Κίρκην, τινὲς μὲν Αἰήτου ἀδελφὴν. τινὲς δὲ, θυγατέρα φασὶν εἶναι. ταύτην Διονύσιος ὁ μιλήσιος ἐν πρώτῳ τῶν ἀργοναυτικῶν θυγατέρα Αἰήτου καὶ Ἑκάτης τῆς Περσέως, ἀδελφὴν δὲ Μηδείας λέγει. Ἡλίῳ γάρ φησιν υἱοὺς γενέσθαι δύο ἐν τοῖς τόποις ἐκείνοις, οἷς ὀνόματα ἦν Περσεὺς καὶ Αἰήτης. τούτους δὲ κατασχεῖν τὴν χώραν. καὶ Αἰήτην μὲν Κολχοὺς καὶ Μαιώτας, Περσέα δὲ τῆς ταυρικῆς βασιλεῦσαι, καὶ γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινὰ, καὶ γενέσθαι αὐτῷ θυγατέρα, ᾗ ὄνομα Ἑκάτη. οἱ δὲ ἐκ νύμφης τινὸς ἐγχωρίας τὴν Ἑκάτην φασὶν αὐτῷ γενέσθαι, ἀνδρείαν περὶ τὰ κυνηγετικὰ, καὶ πρώτην θανασίμους ῥίζας εὑρεῖν, καὶ ἐμπειροτάτην γεγονέναι τῶν τε δηλητηρίων, καὶ τῶν ἰᾶσθαι δυναμένων, καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. ταύτην γήμασθαι πεμφθεῖσαν εἰς Κολχοὺς Αἰήτῃ τῷ πατραδέλφῳ, ἀφ' ἧς γενέσθαι Κίρκην, καὶ Μήδειαν. τὴν δὲ Κίρκην πρεσβυτέραν οὖσαν, ὑπερβαλέσθαι τὴν ἑαυτῆς μητέρα, τὰ μὲν μαθοῦσαν παρ' αὐτῆς, τὰ δὲ καὶ αὐτὴν ἐφευρηκυῖαν πολλὰ καὶ δεινά. Μήδειαν δὲ νεωτέραν Κίρκης, οὐχ ἡττωμένην δὲ αὐτῆς. ταῦτα μὲν οὕτοι. Ἡσίοδος δέ φησι τὴν Κίρκην τοῦ Ἡλίου θυγατέρα εἶναι.
Κίρκη, ὄνομα κύριον.
Κίρκος, εἶδος ἀετοῦ, ὁ λεγόμενος ἱέραξ. ὁ γὰρ ἀετὸς τὰ μεγάλα φονεύει.
Κίρκος, ὁ κωπηλάτης, ἢ ὁ ἱέραξ.
Κιρνᾷ, οἰνοχοεῖ.
Κιρνὰς οἶνον, ἀντὶ τοῦ κιρνῶν ἐπιλεγὲν ὡς ποιητικώτερον. ἄλλως γὰρ οὐκ ἐκώλυεν εἰπεῖν κιρνῶν αἴθοπα οἶνον. θέμα δὲ αὐτοῦ τὸ κίρνημι, οὗ παρατατικὸς ἐκίρνην, ἡ μετοχὴ κιρνὰς, καὶ συνανακιρνάμενος.
Κιῤῥὰ, ἰχθὺς ποιός.
Κίῤῥα, πόλις ἀπέχουσα Δελφῶν σταδίους τριάκοντα. καὶ κιῤῥαῖον πεδίον παρ' Αἰσχίνῃ, τὸ παρακείμενον αὐτῇ.
Κίῤῥα, πόλις ἀρχαία ἐπὶ θαλάσσης ἱδρυμένη, ἀφ' ἧς ἀνάβασις εἰς Δελφοὺς ὀγδοήκοντά που σταδίων, ἀντικρὺ Σικυῶνος. πρόσκειται δὲ τῇ κιῤῥᾳ, ὀνόματι διὰ τοῦ ἰῶτα.
Κιῤῥαῖος, ἐθνικόν. καὶ ὁ κιῤῥαίων, λιμήν.
Κίῤῥις, ὁ ἰχθὺς, ἐπειδὴ κιῤῥός ἐστι τὴν χροιάν. κειῤῥὶς δὲ, διὰ τοῦ ε ψιλοῦ. κίῤῥις, εἶδος ἱέρακος. ὁμοίως δὲ λέγεται παρὰ Κυπρίοις κίῤῥις, ὁ Ἄδωνις. παρὰ Λάκωσι δὲ, ὁ λύχνος.
Κιῤῥὸν, πυῤῥόν. καὶ ὁ κιῤῥὸς οἶνος.
Κιῤῥὸς, ὁ κίτρινος.
Κιῤῥὸν, εἶδος χρώματος, τὸ κοινῶς κίτρινον.
Κιῤῥὸν πῦρ, ἐρυθρὸν, ξανθόν.
Κίῤῥος, ὄρος, καὶ αἷμα, καὶ πῶμα γάλακτος. Λάκωνες.
Κίῤῥυλος, ἰχθύς ποιός, καὶ ὀρνέου εἶδος.
Κιρσὸς, πάθος τι περὶ τὸ σῶμα, ὅπερ τινὲς ἰξίαν καλοῦσιν, ἄλλοι κρωσσόν.
* Κιρσὸς ἐστὶν ἀνεύρυνσις φλεβὸς, ποτὲ μὲν ἐν τοῖς κροτάφοις, ποτὲ δὲ κατὰ τὸ ὑπὸ τὸν ὀμφαλὸν τοῦ ὑπογαστρίου μέρος, ἐνίοτε δὲ περὶ τοὺς διδύμους, ὡς μάλιστα δὲ κατὰ τὰ σκέλη, ἀπὸ παχέος καὶ μελαγχολικοῦ γινόμενος αἵματος.
Κίρων, ἀδύνατος πρὸς συνουσίαν, καὶ αἰδοίου βλάβη, καὶ ἀπεσκολυμμένος. καὶ κυρίως μὲν ὁ σάτυρος, καὶ ἐντεταμένος, ὁ γυναικίας, καὶ μὴ δυνάμενος χρῆσθαι.
Κὶς, εἶδος σκώληκος.
Κὶς, ὄνομα κύριον, ὁ πατὴρ τοῦ Σαοὺλ.
Κὶς, ζωΰφιον ἐν τοῖς ξύλοις, καὶ τῷ σίτῳ γινόμενον.
Κισθὼν, ὄρος τῆς Θρᾴκης. Κρατῖνος. κἀνθένδ' ἐπὶ τέρματα γῆς ἥξεις, καὶ Κισθῶνος ὄρος ὄψει.
Κίσθος, θάμνος. ἧς τὸ μὲν ἄῤῥεν, τὸ δὲ θῆλυ.
Κίσιρνις, ὄρνις ποιός.
Κίσπρα, πικρὰ τὸ ἦθος, παλίγκοτος. Κῷοι.
Κίσσα, ζῶον πτηνόν.
Κισσεὺς, κύριον.
Κισσὸς, φυτόν τι ἀνατεθειμένον τῷ Διονύσῳ, ὃ συμπλέκεται ἀεὶ τοῖς παρακειμένοις, ἢ δένδρεσιν εἰ τύχοι, ἢ οἰκοδομήμασιν, ἢ τοιούτοις τισὶν, ἀπὸ τούτου κισσᾶν ἐπὶ γυναικὸς, τὸ μεθ' ἡδονῆς συλλαμβάνειν.
Κισσίνη, πόλις καὶ ὄρος ἐν Θρᾴκῃ.
Κίσσιοι, ἔθνος Περσῶν.
Κισσαίθα, ὄνομα αἰγός. παρὰ τῷ Θεοκρίτῳ.
Κισσᾶν, ἐπὶ γυναικὸς τὸ μεθ' ἡδονῆς συλλαμβάνειν.
Κίσσηρις, βύνδρον, οὗ εἶδος ὁμαλιστηρίου.
Κίσηρις, τὸ κισήριον, παρὰ τὸ κινεῖσθαι ἐν τῷ σαίρειν. ἢ ὅτι κίσηλίς ἐστι, καὶ κατὰ μεταβολὴν τοῦ λ εἰς ρ κίσηρις. παρὰ τὸ κὶς, καὶ τὸ λὶς, ὁ ὑπὸ κιὸς λίς. λίθος γάρ ἐστι διαβεβρωμένος. κὶς γὰρ θηρίον.
Κίσσινα, πόλις.
Κισσία, χώρα.
Κίσσιρις, εἶδος ὀρνέου.
Κισσὸς, ἀνάκειται τῷ Διονύσῳ. κισσηρὸς γὰρ ὁ οἶνος, οὗ δοτὴρ ὁ Διόνυσος, Νάρκισσος ἑρμηνεύσει στεφάνωμα. Νάρκισσός τε γὰρ ἐκ τοῦ ναρκᾶν παρηχεῖται, καὶ τοῦ ναρκᾶν ἑρμηνεύεις τοῖς κακούργοις παραίτιοι.
Κισσὸς, ὁ κιρσός. Ἀχαιοί.
Κισσοέτιοι, οἱ Κνώσιοι.
Κισσὸς, εἶδος φυτοῦ, ἢ βλάστημα ἑλισσόμενον.
Κισσεὺς, ὄρος ἐν Μακεδονίᾳ, καὶ πόλις Θρᾴκης.
Κισσηὶς, Κισσέως θυγάτηρ.
Κισσονάλλα, κισάλα, κρόμμυα.
Κισσόφορος, ἐπιθετικῶς ὁ Διόνυσος.
Κισσύβιον, ποιμενικὸν ἀγγεῖον.
Κισσύβιον, ποιμενικὸν ποτήριον, ἐκ κισσίνου φασὶ ξύλου.
Κισσῶ, τὸ μεθ' ἡδονῆς συλλαμβάνω, παρὰ τὴν κίσσαν, κισσῶ. λιχνότατον γὰρ ἡ κίσσα ὄρνεον, καὶ πρὸς τὰς συνουσίας καὶ ἡδονὰς καταφερέστατον. ἐτυμολογεῖται δὲ, παρὰ τὸ κίειν, καὶ μετὰ σφοδρότητος σεύεσθαι πρὸς τὸ συνουσιάζειν. καὶ κίττα λέγεται, ὅταν ἐν γαστρὶ ἔχουσα γυνὴ, περὶ τὸν δεύτερον καὶ τρίτον μῆνα, ὀρέγηται ἀτόπων τινῶν, οἷον ὀστράκου, λίθου, ἢ ἄνθρακος ἢ ὄμφακος. γίνεται δὲ ἀπὸ τῶν μοχθηρῶν τῆς μήτρας ἀτμῶν, φερομένων ἐπὶ τὸν στόμαχον.
Κίσαμα, τὸ ξύσμα, διστός.
Κιστέρνα. λάκκος φρέατος, βάραθρα, ἢ βυθός.
Κίστας, κυρτούς.
Κίστη, παρ' Ἀττικοῖς ἡ ἐδεσματοθήκη, ὡς ἑρμηνεύουσιν οἱ πολλοί. καὶ σώζεται μέχρι νῦν ἡ τοιαύτη λέξις παρὰ τοῖς πολλοῖς. οὐκ ἄποθεν δέ φασιν ἐστὶ, τοῦ ἐγκεῖσθαί τι ἐν αὐτῇ. τουτέστιν ἔοικεν ἡ λέξις ἐτυμολογεῖσθαι παρὰ τὸ κεῖσθαι.
Κίστη, τὸ κιβώτιον.
Κίστη καὶ κίστις, ἀγγεῖον, ἐν ᾧ τὰ βρώματα κεῖται, ἢ ἱμάτιά τινα. τὸ τ ἀντὶ τοῦ θ. κίσθη γάρ. οἱ δὲ τετραγώνους κίστας ἐπεκτείνουσι, πρὸς ἄρτων ὑποδοχήν.
Κίτιον, τόπος.
Κίτριον, ἡ κέδρος.
Κίτρειον, Φαίνης ὁ ἐρέσιος ἔννοιαν ἡμῖν δίδωσι, μήποτε ἀπὸ τῆς κέδρου τὸ κίτριον ὠνόμασται. καὶ γὰρ τὴν κέδρον φασὶν ἀκάνθας ἔχειν περὶ τὰ φύλλα, ὡς τὸ κίτριον. Ἀθηναῖοι δὲ ἀπὸ τοῦ τόπου αὐτὸ ἐτυμολογοῦσιν. Ὧρος.
Κιτρίον, τὸ ἰνδικὸν μῆλον.
Κίτρον, εἶδος ὀπώρας.
Κίτρον, ὁ καρπός.
Κίττα, ἡ κίσσα, τῶν πτηνῶν ὅσα παραπλησίαν ἔχει τὴν γλῶτταν, καὶ τὴν τῶν γενύων διάθεσιν, τὴν τῶν ἀνθρώπων δύναται μιμεῖσθαι διάλεκτον, οἷον κίττα καὶ ψιττακοὶ, καὶ τὰ ὅμοια.
Κιτταὶ, πρόγονοι.
Κιττᾶν, γλίχεσθαι, ἐπὶ τῶν γυναικῶν ἐπιθυμεῖν.
Κίτταλος, μυῤῥίνη.
Κιτταίναλον, ἡ κρησέρα.
Κίτανος, ἡ κονιακὴ τίτανος.
Κίτταρις, διάδημα, ὃ φοροῦσιν οἱ Κύπριοι. οἱ δὲ τὰ διαδήματα φοροῦντες, κίτταροι λέγονται.
Κίττορ, ὁ κιττός. Λάκωνες.
Κιττὸν, καλόν. Λάκωνες.
Κίττυλα, τὰ κελύφη τῶν καρπῶν.
Κιττῷ, καλῷ, χρηστῷ, ἀγαθῷ.
Κιτύμια, γλαυκά.
Κίτωρα, πόλις. τινὲς δύο τ γράφουσι.
Κιφφὸς, μανικός.
Κιττῶ, ἐπιθυμῶ, ἀπὸ τῶν ἀρτίως τικτουσῶν γυναικῶν, καὶ ἐπιθυμουσῶν τινῶν. εἴρηται δὲ ἐπὶ τοῦ ὀρνέου τῆς κίττης, ὅπερ ἐπιθυμητικῶς ἔχον, τῶν ἀκροδρύων ταχέως δυσαρεστεῖται, ἐξ ὧν δ' ἂν ἐσθίοι, καὶ πάλιν ἑτέρων ἐπιθυμεῖ, καὶ μεταβάσεις ποιεῖται εἰς ἕκαστον τῶν δένδρων.
Κιχάνειν, εὑρίσκειν, καταλαμβάνειν, εὐπράττειν.
Κιχάνω, ἀπὸ τοῦ κίω, τὸ πορεύομαι καὶ περιπατῶ, πλεονασμῷ τοῦ χ, γίνεται κίχω βαρύτονον, καὶ περισπώμενον κιχῶ, καὶ παράγωγον εἰς μι κίχημι. ὅθεν τὸ ὄντινα μὲν βασιλέων κιχείη, εὐκτικὸν δευτέρου ἀορίστου, ἀντὶ τοῦ καταλάβοι. τινὲς κιχοίη. γίνεται καὶ κιχῶ κιχέω, ὡς βρώσω βρωσείω, ἐκ τοῦ κιχῶ, παράγωγον κιχάνω. τὰ διὰ τοῦ ηχῶ ῥήματα, μὴ ἔχοντα ὀνόματα ἀντιπαρακείμενα, εἰ μὲν βαρύνεται, διὰ τοῦ η γράφεται. μὴ ἔχοντα ὀνόματα εἶπε, διὰ τὸ λείχω τὸ καταθίω. ὡς τὸ, καὶ τὸν χοῦν ἔλειξαν. ἐξ οὗ καὶ λοιχὸς, ὁ λαίμαργος, καὶ στατιζολοιχός. εἰ δὲ περισπᾶται, διὰ τοῦ ι γράφεται, στιχῶ, ἐξ οὗ τὸ ἐστιχόωντο. καὶ αἰὲν ὁμοστιχάει διχῶ. ἐξ οὗ, διχόωσι σελήνη. σεσημείωται δύο, βληχῶ, ὅ ἐστι ποιὰ φωνὴ τῶν προβάτων. καὶ τὸ ἠχῶ, ἐξ οὗ ἤχησαν. ἐν δὲ τοῖς βαρυτόνοις, τὸ γλίχω.
Κιχείη, κιχάνω, ἀπὸ τοῦ κίω, τὸ πορεύομαι καὶ περιπατῶ. πλεονασμῷ τοῦ χ γίνεται κίχω βαρύτονον, καὶ περισπώμενον κιχῶ, καὶ παράγωγον εἰς μι κίχημι. ὅθεν τὸ ὄντινα μὲν βασιλέων κιχείη, εὐκτικὸν δευτέρου ἀορίστου, ἀντὶ τοῦ καταλάβοι, ἐκ τοῦ κιχῶ παράγωγον. Κιχεῖν, κιχῆσαι, καταλαμβάνειν, εὑρεῖν, ἐνέγκαι.
Κιχεὶς,

Digitized by Google

Κιχεὶς, καταλαβών.

Κιχεῖτε, Ἀττικὸν τὸ πάθος. ἔστι κιχῶ, κίχημι, ἐκίχην παρατατικός, ἡ μετοχὴ κιχεὶς κιχέντος, τὸ εὐκτικὸν κιχείην, κιχείημεν κιχεῖμεν, κιχείητε κιχεῖτε, κιχείησαν κιχεῖεν.

Κιχῆλαι, αἱ κίχλαι τὰ ὄρνεα.

Κιχήμεναι, ἐκ τοῦ κίχημι, ἢ κιχαίνω, ἀφ' οὗ τὸ κιχάνω, ὡς οἰδαίνω, οἰδάνω.

Κιχῆναι, κιχήσασθαι, λαβεῖν.

Κιχῆναι, ἤγουν καταλαβεῖν, ὡς ἀπὸ τοῦ κιχαίνω, ἢ κίχημι.

Κιχήσατο, εὗρε, κατέλαβε.

Κιχήσεσθαι, καταλήψεσθαι.

Κιχήτην, ἐκ τοῦ κιχησάτην συγκέκοπται. τινὲς δὲ διὰ διφθόγγου τὴν τῆς λέξεως ταύτης ἔγραψαν παραλήγουσαν, κατὰ τὸ ποιείτην, καὶ τὰ ὅμοια.

Κίχησις, ἡ λῆψις.

Κιχητὸς, εἰς ὃ ἐμβάλλεται ὁ λιβανωτός. Κύπριοι.

Κίχλα, καὶ τρίγλα, καὶ ὀμίχλα, οἱ λέγοντες ἁμαρτάνουσιν. δέον λέγειν διὰ τοῦ η, τρίγλη καὶ κίχλη καὶ ὀμίχλη. οὐδὲν γὰρ ὄνομα θηλυκὸν τῷ λ παραληγόμενον εἰς α, ἀλλ' εἰς η, ὥσπερ πύλη πύλης, κραμβύλη κραμβύλης, ἀρβύλη ἀρβύλης, οὕτως ἐροῦμεν καὶ ταῦτα.

Κίχλα, ζῶον πτηνόν.

Κίχλαι, εἶδος στρουθῶν, δοκοῦσι δὲ πρὸς τρυφὴν ἐκ τῶν ἄλλων πτηνῶν περισπούδαστοι εἶναι μᾶλλον.

Κίχλαις καὶ πελείαις εἰκάζει τὰς δμωὰς, Ὅμηρος ἐν τῷ χ' τῆς Ὀδυσσείας. τὸ μὲν ἴσως διὰ τὸν κιχλισμὸν τῶν γελώντων, οὓς ἐγέλων εὐφροσύνην ἀλλήλαις παρέχουσαι, ὅτε καὶ ἡ τοῦ Ὀδυσσέως ὑλάκτει καρδία. τὸ δὲ, διὰ τὸ κατωφερές, τοιαῦται γὰρ αἱ περιστεραί, ὧν τὸ πάντροφον διὰ τὸ ἀεὶ μίγνυσθαι. ὅτι δὲ τὰς κίχλας, κιχήλας τρισυλλάβως ἔλεγον οἱ Δωριεῖς, καὶ ὡς ἐκ τῆς αὐτῆς φωνῆς κιχλίζειν, καὶ κιχλισμὸς ἐπὶ γυναικείου γέλωτος, οὐκ ἄδηλόν ἐστιν. χρῆσις δὲ τῶν κιχηλῶν, οὐ μόνον παρὰ τῷ κωμικῷ, ἀλλὰ καὶ παρὰ Ἐπιχάρμῳ, ἐν τῷ τὰς ἐλαιοφυλλοφάγους κιχήλας, ὃ κεῖται παρὰ τῷ Δειπνοσοφιστῇ, ὃς καὶ Συρακουσίων λέξιν τὰς κιχήλας λέγει, ὡς δηλαδὴ καὶ αὐτῶν δωριζόντων. κανονίζει δὲ ὁ αὐτὸς ῥήτωρ, καὶ ὅτι Ἀττικοὶ κίχλην διὰ τοῦ η λέγουσι, καὶ ὁ λόγος οὕτως ἔχει. τὰ γὰρ εἰς λα λήγοντα θηλυκὰ πρὸ τοῦ λ ἕτερον λ ἔχει, σκίλλα, κίλλα, κόλλα, βδέλλα, ἅμιλλα, τελέσιλλα. τὰ δὲ εἰς η, οὐκ ἔτι, ὀμίχλη, χύτλη, οὕτω καὶ κίχλη, ἥ τε ὄρνις καὶ ἰχθὺς, ποικιλόστικτος αὐτὸς, ὥσπερ ὁ κόσσυφος μελανόστικτος, ἀρέσκεται τῷ τοιούτῳ κανόνι καὶ Ἡρωδιανός.

Κιχλίσκουσι, γελῶσι, μειδιῶσιν.

Κιχληβῶτις, ἀνδράχνη.

Κιχλισμὸς, γέλως σφοδρός.

Κιχλίζειν, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ λιπαροὺς ὄρτυγας τρώγειν. κίχλας ἐσθίειν, ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως.

Κιχλίζειν, λέγεται τὸ σαλεύεσθαι καὶ κινεῖσθαι.

Κιχλισμὸς, μικρὸς γέλως, ἢ πολὺς καὶ ἄκοσμος.

Κιχόριον, βοτάνη. λέγει δὲ τὸ ἀγριοιντύβιον.

Κιχρῶ, τὸ δανείζω.

Κιχρήσῃ, δανείσῃ.

Κιχηβεῖν, δυσωπεῖν, νυκτιλωπεῖν.

Κίχω, τὸ καταλαμβάνω, καὶ κιχείω ποιητικῶς, τὸ αὐτό.

Κιχῶναι, τὰ μεσόσκελα.

Κιχώρια, λαχανίδια ἄγρια.

Κίψει, κακοποιεῖ.

Κίω, τὸ πορεύομαι διὰ τοῦ ι. ἀπὸ τοῦ ἴω. καίω δὲ, διὰ τῆς αι διφθόγγου τὸ καίω.

Κίων, τὸ κιόνιον.

Κίων, ὁ λίθος, ἀπὸ τοῦ κίειν, καὶ ἀνιέναι εἰς ὕψος. κίων ὁ στύλος, καὶ τὸ ἐν τῷ στόματι, ὃ καλεῖται σταφυλή.

* Κίων τὸ ἀπὸ τῆς ὑπερῴης ἐκκρέμον σῶμα στερρὸν, μεσηγὺ τῶν παρισθμίων, κίων καὶ γαργαρεὼν καλεῖται, σταφυλὴ γὰρ πάθος ἐστὶν οὔνομα. Ἀρεταῖος.

Κίων, ἐλθὼν, βαδίζων, πορευθείς.

Κίων, ἀρσενικῶς ἐν τῷ ἔγχος μὲν στῆσαι πρὸς κίονα μακρὸν ἐρείσας, κοινότερον. ἄλλως μέντοι θηλυκῶς προηνέχθη, ἐν τῷ ἔγχος ἔστησε φέρων πρὸς κίονα μακρήν.

Κίων, ἀρσενικῶς. παρὰ δὲ τοῖς Ἴωσιν, ἡ κίων θηλυκῶς, καὶ πολλὰ ἕτερα ἀρσενικῶς γραφόμενα, θηλυκῶς οὗτοι προφέρουσι.

ΤΟΥ Κ. ΜΕΤΑ ΤΟΥ Λ.

Κλαγγή, πλεονασμὸν ἔχει συνήθη τοῦ ν πρὸς ὄγκον φωνῆς. ὡς καὶ ἐπ' ἄλλων προδεδήλωται. φύσει μὲν γὰρ, κλαγὴ ὡς ἐρυγή. ἐπενθέσει δὲ τοῦ ν κλαγγὴ, κατὰ τὸ κλάζω ἔκλαξα ἔκλαγξα. κλαγγὴν συῶν λέγει Ὅμηρος, τὴν ὀξεῖαν βοὴν, οὐ μόνον ἐπὶ συῶν, ἀλλὰ καὶ τῶν κυνῶν.

Κλαγγηδὸν, μετὰ ἤχου, ἢ μετὰ κραυγῆς.

* Κλαγγή, ποιά τις ἐκφώνησις ὁποίαν μάλιστα ἐργάζεται ἔμετος ἀσώδης. ἔστι δὲ, ἡ ἀρχομένη ἀπὸ βαρείας, καὶ λήγουσα εἰς ὀξὺ, ὥσπερ ἀπαυδῶντος τινός.

Κλαγγεῖν, κλάγξαι, φθέγξασθαι.

Κλάγξαντος, κράξαντος.

Κλαγγὸς, γάλα. Κρῆτες.

Κλαδᾶν ἀμπέλους λέγε, ἀλλὰ μὴ κλαδεύειν.

Κλάδαν, κλάδον, ῥάβδον.

Κλάδας, ἀντὶ τοῦ κλεῖδας, λέγουσι Δωριεῖς.

Κλαδεῖ, σείει, κινεῖ.

Κλαδαρόμματοι, εὔσειστοι τὰ ὄμματα.

Κλαδαρῶν, κλάδων.

Κλαδαρόρυγχος, τροχίλου εἶδος.

Κλαδᾶσαι, σεῖσαι.

Κλαδάραχοι, φραγμοί.

Κλάδεις, ζυγά. Αἰολεῖς.

Κλαδόνες, κλάδοι.

Κλαδεῖ, λοιδορεῖ, φθέγγεται.

Κλάδος, ὄζος.

Κλάδος, παρὰ τὸ καλὸν εἶδος ἔχειν.

Κλάδεσιν, μεταπλασμὸς ἀντὶ τοῦ κλάδοις, ἀπ' εὐθείας τῆς κλάδος, ὡς τὸ τέκος.

Κλάειν Ἀττικῶς, κλαίειν κοινῶς, ὁμοίως κλάουσι, καὶ κλαίουσι.

Κλάειν, στενάζειν, ὀδύρεσθαι.

Κλάειν ἐῶσι, καταφρονοῦσι, παρ' οὐδὲν λογίζονται.

Κλάειν σε μακρὰ κελεύων, τὸ μὲν εἶδος ἀρχαῖον Ἀττικὸν τῆς συνθέσεως, ὡς μακρὰ χαίρειν σοι λέγω, καὶ οἰμώζειν μακρά.

Κλάζειν, καὶ ἡ κλαγγή, οὐκ ἐπὶ μόνον ὄπων, καὶ τόξου, καὶ γεράνου, ἀλλὰ καὶ ἐπ' ἄλλων λέγεται. οἷον καὶ ἐπὶ συῶν. ὅτι δὲ ἡ ἀμβροσία, καὶ ἡ ἀμφασία, καὶ τὸ ἄμβροτον, καὶ τὸ χρίμπτειν, καὶ τὸ ῥέμφα, καὶ ὁ κόμπος, καὶ ὁ κομψὸς, καὶ τὸ καταπιμπρᾶν, καὶ ἄλλα, πλεονασμὸν ἔπαθον τοῦ ν, διὰ σεμνότητα φωνῆς, ὡς καὶ ἔκλαγξαν, καὶ τὸ λίγξε δὲ βιός, καὶ τὸ λέλογχε, καὶ ἄγγελος, καὶ τὸ καγχαλᾶν, φανεῖται ἀλλαχοῦ.

Κλάζειν λέγομεν ἀετοὺς, κλαγγάζειν δὲ γεράνους.

Κλαζομένιοι, οὕτω κωμῳδοῦνται, δοκοῦσι γὰρ ἐπικύπτοντες προσιλλᾶν.

Κλαζομένιος. οὗτος Ἡρακλείδης, ὁ Κλαζομένιός τε καὶ ὁ βασὺς καλούμενος.

Κλαζομένη, καὶ Κλαζομεναί, πόλις.

Κλαζομενεῖς, ἀντὶ τοῦ εἰπεῖν πορεύσομαι εἰς ἀγῶνα, πορεύσομαι σὺν ἀγῶνί φασιν. ὡς καὶ Ἀντιφῶν, σὺν πατρίδι βαίη, ἀντὶ τοῦ εἰς τὴν πατρίδα πορευθείη.

Κλάζοντες, κραυγάζοντες.

Κλάζων, βοῶν, ἠχίζων, καίων, ἢ κελάδων, ἀντὶ τοῦ σημαίνων τῷ ψόφῳ τὴν πορείαν.

Κλαήσει, κλαύσεται.

Κλαθμήρεμαι, ἀμεταβάτως.

Κλαίει, κλάει λέγουσιν Ἀθηναῖοι. οὕτω δὲ καὶ τὸ καίει κάει, αἰεὶ ἀεὶ, αἰετὸς ἀετός. Αἰολεῖς δὲ τὸ παλαιὸς καὶ Ἀχαιὸς καὶ ἑταῖρος, παλαὸς καὶ ἀχαὸς καὶ ἑτάρος. Ἴωνες δὲ σὺν Ἀττικοῖς τὸ χρύσειος ἀργύρειος χάλκειος, καὶ τὰ ὅμοια χρυσεός φασι καὶ ἀργύρεος καὶ χάλκεος. ὡς δὲ οἱ Αἰολεῖς πολλάκις ἐν ταῖς διφθόγγοις οὐκ ἀποβάλλουσιν, ἀλλὰ ἀρκοῦνται μόνῃ διαστάσει, ὡς ἐν τῷ Ἀτρείδης Αἰγείδης Ἀργεῖος, ἐξ ὧν τὸ Ἀτρεΐδης Αἰγεΐδης Ἀργέιος, δηλοῦσι καὶ αὐτοὶ οἱ παλαιοί.

Κλαιὸν, τὸ κανοῦν. καὶ κλαῖς, μοχλός.

Κλαίω, διχῶς παράγωγόν ἐστιν ἐκ τοῦ κλῶ, τὸ κλαίω. διακλᾶται γὰρ ἡ φωνὴ τῶν ἀνθρώπων ἐν τῷ κλαίειν, καὶ ἡ ψυχή ἐστιν ἡ τὸ κλᾶσθαι παρέχουσα. ἢ ἀπὸ τοῦ κλῶ, κλαίω, τοῦ σημαίνοντος τὸ καλῶ, εἰώθασι γὰρ οἱ ἄνθρωποι καλεῖν τοὺς ἀποθανόντας ἐν τῷ κλαίειν καὶ θρηνεῖν. ἢ ἐκ τοῦ καλῶ, κλάω, καθ' ὑπέρθεσιν. εἰώθασι γὰρ οἱ κλαίοντες ἀνακαλεῖσθαι τοὺς τεθνεῶτας, τὸ παθητικὸν κλαίομαι. αἴτιον τῆς τῶν παθητικῶν ῥημάτων γενέσεως, ἡ τῶν ἐνεργητικῶν πλαγίων μετάβασις, εἰκότως, καὶ τὰ παθητικὰ ἄρα τῶν προκειμένων ἐνεργητικῶν τοῦ κλαίω καὶ θρηνῶ καὶ τῶν ὁμοίων ὑφίσταται.

Κλαίω, κλαύσω. καὶ καίω, καύσω. διὰ τί ἐπλεόνασε τὸ υ ἐπὶ τοῦ μέλλοντος τοῦ κλαίω καὶ καίω, ἐπὶ δὲ τοῦ παλαίω παλαίσω, καὶ πταίω πταίσω, καὶ παίω παίσω, οὐκ ἐπλεόνασε τὸ υ; ἐπειδὴ ἐφ' ὧν οἱ Ἀθηναῖοι τὸ ι ἀποβάλλουσι κατὰ τὸν ἐνεστῶτα, ἐπὶ τούτων ὁ μέλλων πλεονάζει τὸ υ. καὶ ἐπειδὴ ἐπὶ τοῦ καίω καὶ τοῦ κλαίω ἀποβάλλουσι τὸ ι, καὶ λέγουσι κλάω καὶ κάω, τούτου χάριν πλεονάζει κατὰ τὸν μέλλοντα τὸ υ.

Κλαίοισθα, δηλοῖ καὶ τοῖς εὐκτικοῖς ῥήμασι προσέρχεσθαι τὴν θα ἐπέκτασιν.

Κλαμαρὰν, πλαδαρὰν, ἀσθενῆ.

Κλαμμὶς, ἀναδενδράς.

Κλαμυστῆσαι, βοῆσαι, καλέσαι.

Κλᾶν, κάμπτειν, ἐμποδίζειν, τέμνειν ἀμπέλους, ὅπερ ἡμεῖς κλαδεύειν.

Κλᾶν τὰς ἀμπέλους, οὐχὶ κλαδεύειν.

Κλᾶν, ὀνοματοποιεῖται, καθὰ καὶ τὸ θλᾶν, καὶ τὸ θραύειν, καὶ ὅσα τοιαῦτα.

Κλανία, ψέλλια βραχιόνων.

Κλάξαι, κλεῖσαι.

Κλαξῶ, ἀντὶ τοῦ κλείσω λέγουσι Δωριεῖς. Θεόκριτος, τὰν αὐλίαν ἀπόκλαξον.

Κλάοισα, κλάουσα. Δωρικῶς.

Κλαπάζειν, χρονίζειν.

Κλαραγεῖ, ἐλαφρῶς καθεύδει. Σικελοί.

Κλάρας, φοῖνιξ τὸ δένδρον.

Κλάρες, αἱ ἐπὶ ἐδάφους ἐσχάραι.

Κλαρία, κληρία, κλήμματα, ἀμπελόφυλλα, ἢ χωρίον, κλῆροι.

Κλάρια, τὰ ψέλλια.

Κλάριον, ἀμπελόφυτον, καὶ ἐπίθετον Ἀπόλλωνος.

Κλάριοι, κλάδοι, δοῦλοι.

Κλαρεά, ψέλλια.

Κλάρος, πλησίον Κολοφῶνος, ἱερὰ Ἀπόλλωνος, καὶ χρηστήριον τοῦ θεοῦ, ὑπὸ Μαντοῦς τῆς Τειρεσίου θυγατρὸς καθιδρυμένον. ἢ ἀπὸ Κλάρου τινὸς ἥρωος, ὡς Θεόπομπος. Νίκαρος δέ φησιν ὅτι κατὰ κλῆρον ὁ Ἀπόλλων ἔλαχε τὴν πόλιν, καὶ ἀπὸ τοῦ κλήρου οὕτως αὐτὴν ὀνομάσθαι. οἱ δὲ τὴν Θηβαΐδα γεγραφότες φασὶν, ὅτι ὑπὸ τῶν ἐπιγόνων ἀκροθίνιον ἀνετέθη. Μαντὼ ἡ Τειρεσίου θυγάτηρ εἰς Δελφοὺς πεμφθεῖσα. καὶ κατὰ χρησμὸν Ἀπόλλωνος ἐξερχομένη, περιέπεσε Ῥακίῳ τῷ Λέβητος υἱῷ, Μυκηναίῳ τὸ γένος. καὶ γημαμένη αὐτῷ, τοῦτο γὰρ περιεῖχε τὸ λόγιον, γαμεῖσθαι ᾧ ἂν συναντήσειεν συναπῆλθεν ἐκείνῳ εἰς Κολοφῶνα, κἀκεῖ δυσθυμήσασα, ἐδάκρυσε διὰ τὴν τῆς πατρίδος πόρθησιν. διόπερ ὠνομάσθη Κλάρος ἀπὸ τῶν δακρύων. συγγενὲς γὰρ τῷ λ τὸ ρ, ὡς ὑδρηλοὶ, ἀντὶ τοῦ ὑδρυροὶ, λέγεται δὲ, κρήνην ἀναβλῆσαι ἀπὸ τῶν δακρύων Μαντοῦς κατὰ τὴν Κλάρον, καὶ μαντεῖον ἐκεῖ Ἀπόλλωνος αὐτὴν κατασκευάσαι. οἱ δὲ Κλάρον φασὶ κληθῆναι, διὰ τὸ κληρώσασθαι ἐκεῖ Ποσειδῶνα καὶ Ἄρην. ὁ δὲ Ῥάκιος οὕτως ὠνομάζετο, διὰ τὴν πενιχρότητα καὶ κακοχειμονίαν.

Κλα-

Digitized by Google

Κλαρῶται, κλῶται.

Κλᾶθρον, κλεῖθρον.

Κλασιβώλακα, τὸν τὰς βώλους λεαίνοντα, χαλκὸν ἀροτῆρα κλασιβώλακα γηοτομῆα.

Κλάσις, ἐπὶ ὀστῶν, ἢ τοιούτων τινῶν. καὶ τὸ κλᾶν, ἐπὶ τούτων. θραύειν δὲ καὶ συντρίβειν, ἐπὶ ξηρῶν. ἔστι δὲ συντρίβειν κυρίως, τὸ εἰς χοῦν λεπτύνειν.

Κλάσματα, συντρίμματα, θρέμματα.

Κλάσμα, τὸ ἀκρωτήριον λέγουσιν Ἴωνες.

Κλαστάσεις, οἱ μὲν κλονήσεις, καὶ διασείσεις, οἱ δὲ κραυγάσεις, βέλτιον δὲ κλάσεις, ἀπὸ μεταφορᾶς τῶν τεμνομένων κλημάτων. ἄλλως ἐκ ῥιζῶν ἀνατρέψεις, ἔνθεν κλαστήριον, τὸ δρέπανον, ᾧ κλαδεύουσι καὶ ξύλα καὶ κλήματα ἐν ταῖς ἀμπέλοις.

Κλαστάσεις, πατήσεις, παλαίσεις, καταπονήσεις, ὑποτάξεις, κλονήσεις.

Κλαστήριον, δρέπανον τὸ τῆς ἀμπέλου.

Κλάστης, ἀμπελουργός.

Κλαυκίθμων, λαμπρυνόμενος τὰς ὄψεις.

Κλασῶ, κλείω, μέλλων κλείσω, παρὰ τοῖς κοινοῖς ἐν χρήσει. ποιηταὶ κληΐσκω λέγουσι, διαλύσει τῆς διφθόγγου, καὶ τροπῇ τοῦ ε εἰς η. εἶτα τοῦ η εἰς α, καὶ προσγεγραμμένου τοῦ ι, κλᾳσῶ Δωρικῶς. δοκεῖ δὲ καὶ κληΐζω εἶναι παρ' αὐτοῖς, ἐπὶ τούτου τοῦ σημαινομένου. ἀφ' οὗ μέλλων Δωρικῶς κληΐζω, καὶ τροπῇ τοῦ η εἰς α, καὶ προσγεγραμμένου τοῦ ι, κλᾴξω, κλᾳξῶ, ἀφ' οὗ κλᾴξ καὶ κλείς.

Κλαυθμὸν γυναικεῖον φράζει Ὅμηρος, τὸ κλαῖε δ' ἄρ' ἐν λέκτροισι καθεζομένη μαλακοῖσιν, ἕως κλαίουσα κορέσατο ὃν κατὰ θυμόν.

Κλαυθμός, παρὰ τὸ κλαίω κλαύσω κλαυσμὸς καὶ κλαυθμός, ἢ παρὰ τὸ κλῶ, τὸ κλάνω. κλῶνται γὰρ αἱ φωναὶ τῶν θρηνούντων.

* Κλαυθμυρίζειν, τὸ κλαῦσαι μετ' ἐντάσεως σφοδροτέρας.

Κλαυθμυριζομένων, κλαιόντων.

Κλαυμαριόμενον, κλαίοντα. Ταραντῖνοι.

Κλαυμαρεῖται, κλαίει, ἢ καίει.

Κλαυσιᾷν, κυρίως τὸ ἠχεῖν αὐτοματὶ τὸ θύριον.

Κλαῦσιν, ἀγῶνα, ἄνθος τί.

Κλαυτὰν, ποιὰν φωνήν.

Κλάω, καὶ τὸ πλέω, καὶ ὅσα τῆς ἕκτης συζυγίας ἐστὶν ἐπὶ τοῦ μέλλοντος λαμβάνουσι τὸ υ, οἷον κλαύσω πλεύσω καύσω.

Κλέα, τὰς ἀνδραγαθίας. κλέος γὰρ ἡ δόξα καὶ ἡ φήμη καὶ ὁ λόγος, βοηθήματα, ῥήματα. παρὰ τὸ κλύεσθαι, ὅ ἐστιν ἀκούεσθαι.

Κλεαινὸν, ὀνομαστόν.

Κλεαινῶν, ὀνομαστῶν, ἐνδόξων.

Κλεαρὶς, φυλή.

Κλεηδὼν, ἤγουν φήμη, ἡ καὶ κληηδὼν καὶ κληδὼν, ἡ τῆς γραός ἐστιν εὐχή, μάντευμα οὖσα τοῦ μέλλοντος. καὶ διὰ τοῦτο καὶ φήμη ὀνομασθεῖσα συνήθως, ἡ δ' αὐτὴ καὶ σῆμα, ὡς μέλλον τι σημαίνουσα, καθὰ καὶ δηλοῖ τὸ ἔπος φάτο σῆμα, τουτέστι σημεῖον. ἄνακτι, τῷ Ὀδυσσεῖ. καὶ τοιοῦτον μὲν ἡ κλεηδών. ἡ δὲ βροντὴ, τέρας κατὰ τὴν ἐξήγησιν τῆς γραὸς, οὐ μὴν σῆμα, κατὰ τὴν δηλωθεῖσαν φήμην. ἔστι δὲ τέρας αὕτη, ὡς δίχα νέφους γεγονυῖα. παρὰ φύσιν γὰρ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας υ.

Κλεηδὼν, ἀπὸ τοῦ κλέω τὸ φημίζω. καθάπερ ἀπὸ τοῦ κλήζω δυσυλλάβου, ἡ κληδών. εἰ δὲ καὶ τραπείη κατ' ἔκτασιν ἡ κλεηδὼν ἐν τῇ ἀρχούσῃ, γίνεται κληηδών.

Κλεηγένης, ὁ μικρὸς, ὁ πονηρότατος, βαλανεύς.

Κλεῖδα, ὑποδήματος εἶδος. Κρῆτες.

Κλεῖδες, ἀκρατεῖς. Κύπριοι.

Κλεῖθρα, μοχλοὶ, ἀσφάλειαι, πύλαι.

* Κλεῖθρον, ὁ περὶ τὴν κατάποσιν τόπος ὑπὸ τοῖς παρισθμίοις.

Κλείθροις, κλειδώμασι.

Κλεηδόνα, κληδόνα, φήμην, δόξαν.

Κλεῖ, ἐπαινεῖ, ὑμνεῖ.

Κλεΐζω, δοξάζω.

Κλειμάζειν, παλαίειν, σκελίζειν, ἀπατᾷν.

Κηλείμακαι, χωρίον Εὐβοίας.

Κλειμακτὴρ, κλίμαξ, βαθμὸς, ἢ χωρίον.

Κλείμαξ, καὶ κληματισμὸς, πάλαισμα ποιόν.

Κλείματα, ὑποδήματα.

Κλεῖν, κλεῖδα. λέγειν, ἐπιφημίζειν.

Κλείνιος, ἔνδοξος.

Κλεινοὶ, οἱ εἰς τὰ παιδικὰ ἐπὶ κάλλει ἁρπαζόμενοι παῖδες.

Κλεινὸς, ὡραῖος, ἔνδοξος, ὀνομαστός.

Κλείοιμι, ᾄδοιμι.

Κλείομαι, ἐπικαλοῦμαι.

Κλείουσαι, ὑμνοῦσαι.

Κλειὸων, πυλῶν, ὅπου ζεύγεσιν ἦν τόπος εἰς στάσιν.

Κλείπους, κόσμος τὶς τοῦ καλουμένου γείσου.

Κλεῖρος, κλειδίον.

Κλεὶς ἐστὶ τῆς βασιλείας τῶν οὐρανῶν, χάρισμα πνευματικὸν, τοὺς περὶ πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς μερικῶν λόγους ἀποκαλύπτον.

Κλείσατε, εἴπατε.

Κλεισθένης, διαβάλλεται ἐπὶ κιναιδοίᾳ, ὡς γυναικιζόμενος.

Κλείσιον, ἐν ᾧ ἵστανται οἱ βόες. κλίσιον δὲ, ἔνθα οἱ θρόνοι ἵστανται, ἰῶτα.

Κλεῖσις, ἡ σκηνή.

Κλεισμὸς, θρόνος, κλίνη, κλιντήρ.

Κλεῖσον, κατάκλεισον.

Κλεισοῦραι, οὕτω καλοῦνται τὰ ὀχυρώματα τῶν διαβάσεων τῇ πατρίῳ τῶν Ῥωμαίων φωνῇ.

Κλειταμέρη, καὶ ἡ οὐράνιος ἄρκτος.

Κλειταγόρα, ᾠδῆς τι εἶδος, καὶ Λεσβία τὸ γένος.

Κλεῖται, λέγεται, ὑμνεῖται, ᾄδεται.

Κλείτει, κλίματι, γωνίᾳ, ἢ ἀγαθὴ δόξα, ἢ ὀνομαστὴ, κλειτή.

Κλειτὴ, ἔνδοξος, σημαίνει καὶ ὄνομα γυναικὸς μιᾶς τῶν Ἀμαζόνων.

Κλειτόεν ὕδωρ, ποταμὸς Ἀρκαδίας. κλειταιὸν φασὶν εἶναι οἱ Κρῆτες.

Κλειτόπωλος, ὁ περὶ τοὺς ἵππους ἔνδοξος.

Κλειτοριάζειν, τὸ ἀκολάστως ἅπτεσθαι τοῦ γυναικείου αἰδοίου. ἤγουν τὸ ψηλαφᾷν.

Κλειτὸς, ἔνδοξος. καὶ κλυτὸς, ὀνομαστός. οὐκ ἀντιστρέφει δὲ, οὐ γὰρ εἴ τις κλυτὸς, ὁ ὀνομαστὸς, οὗτος καὶ κλειτὸς, ἤγουν ἔνδοξος. πολλοὶ γὰρ ἐπὶ κακίᾳ ὀνομαστοί.

Κλειτὺς, ὁ μὲν Ἀπίων τὸ καταφερὲς τῶν ὑδάτων, ἄμεινον δὲ τὰ ἀποκλίματα καὶ ἐξέχοντα τῶν ὀρέων, παρὰ τὸ κεκλίσθαι, ἢ παρὰ τὸ κλετὸς, ὃ σημαίνει τὸ αὐτὸ, γίνεται κλετὺς, καὶ πλεονασμῷ τοῦ ι κλειτύς.

Κλείω, τὸ δοξάζω παρὰ ποιηταῖς, ἀπὸ τοῦ κλέος. κλείω καὶ τὸ ἀσφαλίζω παρὰ τοῖς κοινοῖς, ἀφ' οὗ τὸ κεκλίαται παρ' Ὁμήρῳ, ἀντὶ τοῦ συγκεκλισμένοι εἰσί. παρ' Ὁμήρῳ κλείω κατὰ ἀπείρονα γαῖαν, χρόνον ἀντὶ χρόνου λαμβάνει ἀντὶ γὰρ τοῦ δοξάσω μέλλοντος εἴρηται, ἐν Ὀδυσσείας ρ.

Κλειὼ, ὄνομα μιᾶς τῶν Μουσῶν.

Κλείωμεν ὀνομάσωμεν, παρὰ τὸ κλείω, ἢ παρὰ τὸ κλύειν, ὅ ἐστιν ἀκούειν.

Κλέζω, καλῶ, φωνῶ.

Κλέεθος, κληδόνα.

Κλεμμάδον, κλοπαῖον.

Κλέμματα, καθ' ἡμέραν κλέμματα ποιούμενος, ἀντὶ τοῦ φωράματα προτιθέμενος τοῖς ἑαυτοῦ θρέμμασι.

Κλέμμιν, δίφρον ἀνακλιτόν.

Κλεμμὺς, χελώνη.

Κλεμμύειν, κηρύσσειν.

Κλεόβιος, ὄνομα ἱερέως τῶν εἰδώλων.

Κλέος, κλείζω, κληΐζω, κλήζω.

Κλέος ἐσθλὸν, ἡ εὔκλεια. ὡς εἴ τις εἴπῃ φήμη ἐσθλή. τὸ μέντοι μὴ ἐσθλὸν, δύσκλεια.

Κλέος, ἡ δόξα, καὶ ὁ ἔπαινος. κλαῖος δὲ, τὸ θρῆνος, διφθόγγῳ.

Κλέος ἐσθλὸν, περίφρασις ἤγουν ἡ εὔκλεια. δῆλον δὲ ὡς ἡ δύσκλεια, κλέος ἂν εἴη οὐκ ἐσθλόν. καὶ ὅτι κλέος ἀπολύτως ἡ φήμη, μέση λέξις οὖσα παρὰ τοῖς παλαιοῖς. στυγερὴ ἀοιδὴ καὶ χαλεπὴ φήμη, ταυτόν. οὕτω καὶ τὸ κλέος ἀρετῆς, καὶ ἀοιδὴ χαρίεσσα.

Κλέομαι, ἐπικαλοῦμαι, εὔχομαι.

Κλεόπας, ὄνομα κύριον.

Κλεοφῶν, στρατηγὸς τῶν Ἀθηναίων, καὶ εἰς τοῦτον τὸν δημαγωγὸν δρᾶμα φέρεται Πλάτωνος, καὶ ἐπιγράφεται ὁμωνύμως αὐτῷ Κλεοφῶν. τοῦτον κωμῳδεῖ Ἀριστοφάνης, ὡς ξένον, καὶ ἀμαθῆ, καὶ φλύαρον.

Κλέπας, πρότερον πηλῶδες, ἢ δασὺ, ἢ ὑγρόν.

Κλέπει, πορεύεται, ἐπιθυμεῖ, ἐξαπατᾷ.

Κλέπτειν, τὸ μέν ἐστι ταῖς χερσὶ, τὸ δὲ τῷ λογισμῷ. φησὶ γοῦν ὁ Ποιητὴς μηδ' οὕτως ἀγαθός περ ἐὼν κλέπτε νόῳ, ἀντὶ τοῦ παραλογίζου καὶ θέλε ἀπατᾷν. ἔστι μὲν ἔπος ὁ λόγος, κρᾶμα ἐπαίνου, καὶ ψόγου. ἔπαινος μὲν γὰρ, τὸ ἀγαθός περ ἐών. ψόγος δὲ, τὸ μὴ κλέπτε νόῳ.

Κλέπτεσθαι, θέλειν, ἐπιθέσθαι, πορεύεσθαι, ζητεῖν, ἐπιθυμεῖν.

Κλέπτε νόῳ, παραλογίζου τῇ διανοίᾳ.

Κλέπτης, ὃς κρυφῇ τὰ ἀλλότρια λαμβάνει ἐπὶ βλάβῃ τοῦ πλησίον. ἀπὸ τοῦ καλύπτειν, καλύπτης, καὶ κλέπτης. λάθρα γὰρ ἀφαιρεῖται.

Κλέπος, ὑψηλὸν, νοτερὸν, δασύ. καὶ φώριον κλέμμα.

Κλεπτομένου, χλευαζομένου.

Κλέπτον, ἀντὶ τοῦ κλεπτικὸν, Ἀριστοφάνης. ὡς δὲ καὶ κλέπτον βλέπει. κλέπτον δὲ βαρέως Ἀττικοὶ, καθὰ καὶ Εἰρηναῖός φησιν.

Κλεπτόμενοι, ἀπατώμενοι.

Κλέπτω, συλῶ, λωποδυτῶ.

Κλέπτουσι τὰ χρήματα. σημαίνει δὲ οὐ μόνον τὸ ὑφαιροῦμαι, ἀλλὰ καὶ τὸ ἀπατῶ. Ὅμηρος, κλέπτε νόῳ, ἀντὶ τοῦ παραλογίζου, καὶ θέλε ἀπατᾷν. καὶ κλέπτω, τὸ δωροδοκῶ, κλέπτω ὁ μέλλων κλέψω, ὁ ἀόριστος ἔκλεψα, ὁ δεύτερος ἔκλαπον. κλέπτω τῶν θεῶν τὰ ἱερὰ, καὶ τοὺς θεούς. κλέπτειν, τὸ μέν ἐστι χερσὶν, τὸ δὲ τῷ λογισμῷ.

Κλέπτω, τὸ δωροδοκῶ. Συνέσιος, φοβοῦ τοὺς δικαστὰς, ἂν μὴ κλέπτωσι, ἤγουν ἂν μὴ δωροδοκῶσι. κλεπτῶν δὲ τοὺς βλέποντας, ὑπερεκόντισεν.

Κλέπας κλιτὺς, ἀκρωτήρια.

Κλεῦ, τὸ τεῦτλον.

Κλεύθομαι. ἔστι κεύθομαι, καὶ πλεονασμῷ τοῦ λ κλεύθομαι.

Κλεύθομαι, κελεύθομαι, παραγίνομαι, ὁδεύω.

Κλεύσομαι, κελεύομαι, ὁδεύσω.

Κλευσόμεθα, ἀκούσομεν, φθεγξόμεθα.

Κλέψαι, κλέπτειν, τὸ τῶν ἀλλοτρίων ἐπιθυμεῖν.

Κλεψίμβοι. Ἀριστόξενος, μέλη τινὰ παρὰ Ἀλκμᾶνι.

Κλεψιποτῶ. τὸ φειδομένως πίνω, καὶ φενακίζω.

Κλεψύδρα, ὄργανον ἀστρολογικὸν, ἐν ᾧ αἱ ὧραι μετροῦνται.

Κλεψίρρυτον, ὕδωρ τὸ τῆς κλεψύδρας. αὕτη δὲ ἐστι κρήνη Ἀθήνησιν ἀπὸ τῆς ἀκροπόλεως ἐπὶ σταδίους εἴκοσιν ὑπὸ γῆν φερομένη, εἰς ἣν τὰ ἐμβαλλόμενα πάλιν θεωρεῖται, ἀρχομένων τῶν ἐτησίων.

Κλεψύδρα, ἡ πηγή. διὰ τὸ ποτὲ μὲν πλημμυρεῖν, ποτὲ δὲ ἐνδεῖν.

Κλεψυδρῶν, τὸ δικαστήριον.

Κλεψύδρα, ἀγγεῖον τετρημένον, ἐν ᾧ ὕδωρ ἔβαλλον, καὶ ἕως ῥεῖν ἄχρι τῆς ὀπῆς, καὶ οὕτως ἔπαυον τὸν ῥήτορα. τοῦτο δὲ ἐποίουν, διὰ τὸ φλυαρεῖν τὸν λέγοντα, καὶ ἐμποδίζειν ἄλλοις θέλουσι λέγειν, ἵνα τὰ σπουδαῖα λέξας, ἐξέλθῃ. κλεψύδρα, καὶ κρήνη ἐν τῇ Ἀττικῇ, ἥτις ἐμπεδὼ προσηγορεύετο.

Κλεωναὶ, πόλισμά φασιν ἐπὶ τῇ ὁδῷ τῇ ἐξ Ἄργους εἰς Κόρινθον, ἐπὶ λόφου περιοικουμένου πανταχόθεν καὶ τετειχισμένου καλῶς. διέχει δὲ Ἄργους μὲν στάδια εἴκοσι, Κορίνθου δὲ ὀγδοήκοντα. ἐνταῦθα καὶ Νεμέα, μεταξὺ Κλεωνῶν καὶ Φλιοῦντος. καὶ τὸ ἄλσος, ἐν ᾧ τὰ Νέμεια συνετελοῦντο. καλοῦνται δὲ Κλεωναὶ ἀπὸ Κλεώνης, τῆς Ἀσωποῦ, τοῦ Ὠκεανοῦ καὶ Μετώπης, τῆς καὶ παρὰ τῷ Πινδάρῳ. κατὰ δέ τινας ἀπὸ τοῦ νεμέου λέοντος, ὃν ἀνεῖλεν Ἡρακλῆς, οἱονεὶ λεωναί. πληθυντικῶς δὲ αὐτὴ ἀεὶ λέγεται.

Digitized by Google

γεται. ἡ μέντοι Κλεώνη νῆσος, περὶ τὴν ἀδομένην Κέρνην, αὐτὸ ἐνικῶς, καὶ διὰ δύο νν γράφεται.

Κλεώνδαι, ῥαφανίδων τι γένος, ἀπὸ τοῦ ἐν Κλεώνδαις εἶναι.

Κλήδεα, φραγμοί.

Κλήδην, κλητικῶς, καλεστικῶς.

Κληδὸν, σωρόν.

Κληδόνος, μαντείας, ἢ θείας φήμης. παρὰ τὸ κλέος, ὃ σημαίνει τὴν φήμην. Ὅμηρος, ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν, ἀπὸ τοῦ καλῶ, κλῶ, κληδών. ἐξ οὗ καὶ κλῆσις, ἡ κάλεσις.

Κληδονίζεται, μαντεύεται, ἢ φημίζεται. κλυδωνίζεται δὲ, ἀντὶ τοῦ ταράσσεται, υ ψιλὸν καὶ μέγα.

Κληδόσι, φήμαις.

Κληδοῦχος, γυνὴ, ἀπὸ τοῦ τὰς κλεῖς τῆς οἰκείας ἔχειν.

Κλήδων, καλῶν ἐξ ὀνόματος.

Κλήδων, κλέος, δόξα, φήμη.

Κλήζω, τὸ φημίζω. εἴρηται ἐκ τοῦ καλήζω, καὶ κληΐζω, τὸ δοξάζω.

Κλῆθρα, τὰ κλειδία, ἀπὸ τοῦ κλεῖς, γέγονε κλῆθρα, ἢ ἀπὸ τοῦ κλείσω. τὸ δὲ κλήω, οἱ Ἴωνες διὰ τοῦ η καὶ ι γράφουσιν, ἐξ οὗ καὶ τὸ κλῇθρα, διὰ τοῦ η καὶ ι γράφουσιν. ἡμεῖς δὲ τὸ κλεῖθρα, διὰ διφθόγγου γράφομεν.

Κλήθρη, δένδρου εἶδος, ἢ μοχλός.

Κλῆθρος, δένδρον. καὶ κλήθρη.

Κληῖδα ἐπάνυσε, ἐν τῷ α τῆς Ὀδυσσείας, κληῖδα λέγει, οὐ σκεῦος ἀπὸ σιδήρου, ἀλλὰ καὶ μοχλόν. ἐντὸς μὲν τῆς θύρας ἐξημμένον, καὶ ἐπὶ τὰ κάτω καθιμένον, ἤτοι κεχαλασμένον. ἱμάντι δὲ ἔξωθεν σπώμενον, καὶ ἀνελκόμενον, καὶ ἐπιζυγοῦντα τὴν θύραν.

Κληῖδα, ἀντὶ τοῦ κλεῖδα. καὶ ποσειδάων, ἀντὶ τοῦ ποσειδῶνος.

Κληῖδας, τὰς κλεῖδας.

Κληῖδες, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ ἐν τῷ σ', ὅπαι λεγόμεναι κατακλεῖδες, εἰς ἃς αἱ περόναι καθίενται.

Κληῖδες, αἱ τῶν ἐρεσσόντων καθέδραι. καὶ φθέγγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω, παρὰ τὴν κλάσιν τῶν γονάτων. ὅθεν καὶ τὸ μετοκλάζειν, παρὰ τὸ ἐγκλᾶν, καὶ κάμπτειν τὰ γόνατα.

Κληϊζόμενος, φημιζόμενος.

Κληΐζω, τὸ καλῶ.

Κλήϊθρον, ὁ περὶ τὴν κατάποσιν τόπος ὑπὸ τοῖς παρισθμίοις, παρὰ τῷ Ἱπποκράτει.

Κληῒς ἡ τῶν ἐρεσσόντων καθέδρα. κληῖδες, τὰ ζυγὰ, ἐφ' ὧν οἱ ἐρέται κάθηνται.

Κληῒς, πολλὰ δηλοῖ. ὥσπερ καὶ τὸ κλειδίον, καὶ ἡ κλείς. λέγεται καὶ ἐπὶ μέρους θύννων, ὡς Ἀθηναῖος παρασημειοῦται. οἷον κλεῖδες μὲν ὀπταὶ δυσπαρασκευασμέναι. πρὸς ὅπερ πυθομένου τινὸς, τὸ ἄρα αἷς τὰς θύρας κλείουσιν; ἐπάγεται ἀπόκρισις, τὸ θύννου μὲν οὖν σεμνὸν βρῶμα. ὅτι δὲ καὶ ὀρφῶν κλειδία, οἷον ἐν Γαδείροις τὰ κλειδία τῶν ὀρφῶν, καθ' αὐτὰ περιχέονται κλειδίων θύρας, χρῆσις παρὰ τῷ Κωμικῷ, εἰπόντι κακοηθέστατα κλειδία, τὰ κρυπτὰ καὶ δυσεπιβούλευτα.

Κληΐσατε, ὑμνήσατε.

Κληΐσαι, οἱ ἀρχαῖοι λέγουσιν οὕτως, οὐ κλεῖσαι, καὶ κληῖδα.

Κληῖσι, ταῖς κατακλήσεσι τῶν περονῶν.

Κληθέντας, ἀντὶ τοῦ κληθέντας Ἴωνες λέγουσι. διαλύουσι γὰρ τὴν ει δίφθογγον, εἶτα ἐκτείνουσι τὸ ε εἰς η.

Κληϊσταὶ, ἠσφαλισμέναι. Ὅμηρος, κληϊσταὶ δ' ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι.

Κλῆμα, ὑπόδημα.

Κλημακόεσσαν, τραχεῖαν καὶ ὀρθήν.

Κληματίδες, αἱ ἐκ τῶν κλημάτων, δέσμαι.

Κληματὶς, ἡ ἄμπελος.

Κληπτικοὶ, ἰσχυροὶ καὶ ἄσιτοι.

Κληροδοσία, κλῆρος, μερίς.

Κληροδόσεται, λαχμῷ δόσεται.

Κλῆροι, αἱ δύο διαθῆκαι. * τὸ δὲ, ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων, τὸ διηνεκῶς αὐταῖς προσεδρεύειν.

Κληρονόμος, παρὰ τὸ κλῆρος καὶ τὸ νόμος. τὸ δὲ κλῆρος, παρὰ τὸ κλῶ. ἢ διὰ τὸ κάλον καὶ τὸ ξύλον, κλῆρος γέγονεν. ἐπειδὴ ἐν ξύλῳ οἱ κλῆροι ἐχαράσσοντο.

Κληρονομῶ, ὡς ἐπὶ τὸ πλεῖστον μὲν, γενικῇ συντάσσεται. ἅπαξ δὲ, αἰτιατικῇ. Ἀριστείδης, τῶν ἀλλοτρίων γε κακῶν ἄξιον κληρονομῆσαι. Λουκιανὸς, ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ. καὶ αὐτὸς κληρονομήσει ἀποθανόντος ἐμοῦ τὰ κτήματα. κληρονομῶ τόνδε ἡ ἀρχαία χρῆσις οὐ λέγει, ἀλλὰ τοῦδε.

Κληρονομῶ, ὅτε σημαίνει τὸ μετέχω καὶ λαμβάνω, γενικῇ.

Κλῆρός ἐστι σημεῖον, ὃ, τις ἐμβάλλει τῷ ἀγγείῳ τοῦ λαχμοῦ, ψηφὶς τυχὸν ἢ δακτύλιος, ἢ βῶλος ἀργύρου, κατὰ Σοφοκλῆ, ἤ τι τοιοῦτον. τὸ δ' αὐτὸ, καὶ πάλος λέγεται. ἀλλὰ τοῦτο μὲν παρὰ τὸ πάλλω, τὸ κινῶ. κλῆρος δὲ, ἀπὸ τοῦ τέλους τῆς κινήσεως, παρὰ τὸ κλῶ, τὸ καλῶ, δι' οὗ ἐκπηδήσαντος καλεῖταί τις εἰς ἔργον, ἢ μᾶλλον ἀπὸ τοῦ κάλον τὸ ξύλον, κατὰ Ἡρωδιανόν. ὡς ξύλων μάλιστα πάλλεσθαι διδομένων ἐν τοῖς τοιούτοις. ἰστέον δὲ, ὅτι ὁ μὲν κλῆρος, καὶ πάλος λέγεται, κατὰ πολυωνυμίαν. παρὰ δὲ τοῖς ὕστερον, ἀπὸ τοῦ κλήρου, καὶ τὸ κληροῦν, καὶ τὸ κληροῦσθαι λέγεται. οἱ παλαιοὶ κλήρους νοοῦσι, καὶ τοὺς ὑπὲρ μαντείας μισθούς. ἐν δὲ τῷ δέλτος κλήρους ἐνδεδεγμένου, κλήρους λέγει ἢ τὰς μαντείας, ἢ σημεῖά τινα διδόμενα τῷ μάντει, ἐξ ὧν ὁρμώμενος προεφήτευε.

Κλῆρος, οὐσία, ἢ λαχμός. λέγεται κλῆρος, καὶ τὸ σύστημα τῶν διακόνων, καὶ πρεσβυτέρων. κλῆρος καὶ ἡ κληρονομία. κλῆρος, μέτρον γῆς. ὅθεν καὶ οἱ κληροῦχοι, ἀντὶ τοῦ οἱ τοὺς κλήρους καὶ τὰ μέτρα τῆς γῆς κατέχοντες.

Κλῆρος, τὸ βαλλόμενον εἰς τὸ λαχεῖν, ἢ ψῆφος, ἢ οὐσία, ἢ μέρος, καὶ σκωλήκιόν τι σμιλίοισι γινόμενον.

Κληροῦται, διαιρεῖται.

Κληρουχία, δεσποτεία.

Κλήρου σῆμα λέγει Ὅμηρος, ἢ περιφραστικῶς τὸν κλῆρον. ἢ κλῆρον μὲν, τὸ σῶμα τὸ διδόμενον πάλλεσθαι. σῆμα δὲ, τὸ ἐν αὐτῷ τυπωθὲν σημεῖον. διό φησι κλῆρον ἐσημήναντο ἕκαστος, οὐ γράμματα δὲ νοητέον ἐξ ἀνάγκης τὰ τοιαῦτα σήματα, εἴδωλα δέ τινα, ἢ ἁπλῶς ἐκτυπώματα ἐξ ὑποκειμένου εὐτελεῖ λιθιδίῳ τυχὸν, ἢ ξυλιφίῳ, ἢ τοιούτῳ τινί.

Κληρουχικὴν, παρὰ τῷ Ἀριστοφάνει, ὡς ἄγροικος γῆν τὴν ἰδιωτικὴν λέγει, τὴν ὑπὸ κλήρου δεδομένην, τὴν πολλοῦσαν. ἐπειδὴ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν, καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, κλήρῳ τὴν γῆν αὐτοῖς διένεμον. ἢ κληρουχικὴν λέγει, τὴν γεωργικήν. κληροῦσι γὰρ οἱ γεωργοὶ, διὰ τὸ τοὺς Αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν.

Κληροῦχος, γεωργός.

Κληροῦχοι. κληροῦχοι ἐκαλοῦντο, οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κληρούχους ἑκάστοις διανεμοῦντες.

Κληροῦχος, ὁ δεσπότης, καὶ ὁ γεωργός.

Κλήρων, μερίδων.

Κληρώσει, μερίσει.

Κληρωτήρια λέγει Ἀριστοφάνης, τὰς κληρωτικὰς ἀρχάς.

Κλησιάδας, τὰς θύρας τῆς σκηνῆς.

Κλησίασον, σύναξον.

Κλῆσιν, τὴν μαρτυρίαν λέγει Ἀριστοφάνης ἐν ταῖς νεφέλαις. καὶ κλῆσιν, λέγει ὁ αὐτὸς ἐν ταῖς νεφέλαις, τὴν ἐν ταῖς δίκαις εἰσαγωγήν. καλοῦνται γὰρ εἰς τὰ δικαστήρια. κλήσεις δὲ τῶν δικῶν τῇ λ' φασὶ γενέσθαι, ὅπως ὁ κληθεὶς εἰς τὴν δίκην ἔχῃ τὴν τριακοστὴν ὅλην εἰς τὸ σκέψασθαι περὶ αὐτοῦ, καὶ μὴ ἀποτομίᾳ ζημιωθῇ. κλῆσις μέν ἐστι, ἡ εἰς ὁτιοῦν τῶν δικαστηρίων. πρόκλησις δὲ, ἡ εἰς Ἄρειον πάγον.

Κλῆσον, ἀντὶ τοῦ κλεῖσον παρὰ τῷ κωμικῷ, ἐκ τοῦ κληΐζω, κατὰ συναίρεσιν κλῆσον.

Κλητεύει, καλεῖ εἰς δικαστήριον.

Κλητεύσας, μαρτυρεῖς.

Κλητὴ, νεωστεία.

Κλητῆρα, τὸν καλέσαντα, ἴων φρουροῖς.

Κλητὴ, ἡ καλεστὴ, καὶ ἡ ἐξοχωτάτη. ὡς τὸ, αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα. κλειτὴ δὲ, κύριον. καὶ ἡ ἔνδοξος, δίφθογγον. κλιτὴ δὲ, ἡ κλινομένη ἰῶτα.

Κλητῆρες, οἱ καλοῦντες εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα. καὶ κλητεῦσαι δέ ἐστι, τὸ κλητῆρα γενέσθαι. ὡς Ἰσαῖος ἐν τῷ κατὰ Κλεομέδοντος. λέγεται δὲ κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι, ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ ὑπακούωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις. καὶ ἔστιν ἐπιτίμιον κατ' αὐτῶν δραχμαὶ χίλιαι, ὡς Ἰσαῖος ἐν τῷ ὑπὲρ πύθωνος ἀποστασίου.

Κλῆτος, τὸ πλῆθος. κλῖτος δὲ, τὸ μέρος καὶ κλίμα, καὶ κλίματα, τὰ μέρη, ι. καὶ κλῆτος διὰ τοῦ η, σημαίνει τὴν ἔλευσιν καὶ τὴν συνάθροισιν.

Κλῆτος, δόξα.

Κλητὸς, ὁ κεκλημένος, καὶ μὴ αὐθαίρετος ἥκων.

Κλητικὰς, καὶ εὐθείας, ἐπίσης οἱ Ἀττικοὶ ἐκφέρουσιν. οἷον, ὦ οὗτος, ὦ φίλος, Αἴας δεύτερόν σε προσφωνῶ, καὶ κλητικὰς ἀντὶ εὐθειῶν, οἷον νεφεληγερέτα Ζεὺς, ἀντὶ τοῦ νεφεληγερέτης.

Κλητοὶ, κλήτορες.

Κλητὸν, καλούμενον, κλῆσιν.

Κλήτωρ, κῆρυξ, ἄγγελος, ὑπηρέτης, μάρτυς.

Κλητώριον, κλοπιμαῖον, τὸ ἀπὸ κλοπῆς πρᾶγμα.

Κλητώριον, ἡ βασιλικὴ δόξα, ἢ τράπεζα.

Κλίβανος, φοῦρνος, ἢ κάμινος.

Κλίδια, τείχος.

Κλιθῆναι, ἀνακλιθῆναι, ἀνακλῖναι.

Κλίμακα καὶ κλιμακωτὸν λέγουσιν οἱ παλαιοί. ἕτεροι δὲ ἐποικοδόμησιν. γίνεται δὲ σχῆμα κλιμακωτὸν, ὅταν τὸ λῆγον τῆς φθασάσης ἐννοίας, ἀρχὴ γένηται τῆς ἐφεξῆς. οἷον ὡς εἴ τις εἴποι, ὁ Βασιλεὺς ἀγαθός. ὁ ἀγαθὸς, ἀγαθὰ ποιεῖ. ὁ ἀγαθὰ ποιῶν, εὐεργετεῖ. ὁ εὐεργετῶν, θεὸν μιμεῖται. τοιοῦτόν τι, τὸ Ἥφαιστος μὲν δῶκε Διί, Ζεὺς δὲ τῷ ἑρμῇ, ἑρμεῖς δὲ, καὶ τὰ ἑξῆς.

Κλιμαδὸν, ὁ δερμάτινος δίφρος.

Κλίμακες, πάλης εἶδος.

Κλίμα, τόπος.

Κλίμακες, ξυλὰ ὀρθά.

* Κλιμακίου, τοῦ πλαγίου ἐν τοῖς κλίμαξι ξύλου.

Κλιμάζω. Δείναρχος, ὅταν οὖν κλιμάζῃ, καὶ παράγει τοὺς νόμους, ἀντὶ τοῦ παρακλίνῃ, καὶ στρέφῃ. μήποτε δὲ δεῖ γράφειν βλιμάζει, ἀντὶ τοῦ θλίβει καὶ βιάζεται.

Κλιμακισμὸς, πάλαισμα ποιόν. καὶ διακλιμακίσας, τὸ διαπαλαίσας.

Κλίμαξ, ἡ σκάλα, καὶ εἶδος παλαίσματος.

Κλιμακίζω, τὸ ἀνατρέχω.

Κλιμακόεσσαν, κλίμακα ἔχουσαν ὑψηλήν.

Κλιμακίσκοι, πάλαισμα ποιόν.

Κλιμακτῆρες, οἱ τῆς κλίμακος βαθμοί.

Κλίματα, ὑποδήματα.

Κλιματοφόρος, ὁ ἐπὶ κλιμακίου τιθεὶς τὸν νεκρόν. κλιμακίας τὶς τῶν πυρῶν.

Κλιμακίδες, αἱ τῶν πλοίων ἀποβάθραι.

Κλίναι, τροπαὶ τῶν μαχομένων. καὶ τὸ περιέχεσθαι ἔξωθεν ὑπό τινος, καὶ τὸ σύνηθες.

Κλῖναν, ἐτρέψαντο, ὑπεχώρησαν.

Κλινίδιον, κράββατος ὑποκοριστικῶς.

Κλίνη, παρὰ τὸ κλῶ. κλάσιν γὰρ λαμβάνει τὰ κλινόμενα, στερισκόμενα τῆς ὀρθότητος.

Κλίνη, τὸ κραββάτιον.

Κλίνθη, ἀπὸ τοῦ κλίνω. αἰολικῶς ἐστι τὸ τοιοῦτον.

Κλίνθη, ἐκλίθη.

Κλινθὴρ, θρόνου εἶδος, περὶ ὃν ἐστιν ἀνακλινθῆναι, ὡς δηλοῖ τὸ, ὧδε δ' ἀνακλινθεῖσα.

Κλινίδιον, ὄνομα ὑποκοριστικὸν, τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν, καὶ τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων διὰ τοῦ ιδιον γινόμενα οὐδέτερα ὑποκοριστικά, διὰ τοῦ ι γράφεται. οἷον μοῖρα μοιρίδιον, ἑταίρα ἑταιρίδιον, κλίνη κλινίδιον, πύλη πυλίδιον, πόρνη πορνίδιον, ψυχὴ ψυχίδιον. πλὴν τοῦ γῆ γήδιον, τὸ χωράφιον, ὃ φυλάττει τὸ η. ξίφος ξιφίδιον, νῆσος νησίδιον, καὶ ἕτερα, τὰ δὲ ἀπὸ τῶν εἰς ις θηλυκῶν διὰ τοῦ εως κλινομένων,

Digitized by Google

μένων, διὰ τοῦ ειδιον γινόμενα, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον θνῆσις θνήσεως θνησείδιον, ἄλυσις ἀλύσεως ἀλυσείδιον, πτύξις πτύξεως πτυξείδιον, δάμαλις δαμάλεως δαμαλείδιον, ῥῆσις ῥήσεως ῥησείδιον, λέξις λέξεως λεξείδιον, κτῆσις κτήσεως κτησείδιον, καὶ ἕτερα.

Κλινθήτην, ἐκλίνθησαν.

Κλινὶς, ἐπὶ τῆς ἁμάξης νυμφικὴ καθέδρα.

Κλινὶς, βάθρον τι ἢ κλινὶς εἰς τετμημένον ἔγκυκλον, ἀντιλαμβάνει ἀπὸ τῆς κλινίδος. καὶ κλινίδιον, ὑποκοριστικῶς.

Κλινοκοσμοῦντα, Διονύσιόν ἐστιν ἐν τῷ δαιτρός.

Κλινοπετὴς, κλινήρης. κλινήρης δὲ, παραλελυμένος.

Κλινοπετεῖς, ἐπὶ δίφρου καθήμενοι.

Κλινόστερνον, τὴν ψαλίδα.

Κλιντὴρ, δίφρος ἀνακλιτός.

Κλιντῆρες, εἶδος φορείου ἢ κλινίδιον, ἔχον ἀνακλίσεις, οἷον τὸ νῦν κλινοκαθέδριον.

Κλισιάδες, αἱ δίπτυχοι θύραι.

Κλισία, καὶ σκηνὴ ταυτὸν, πλὴν ὅσον ἡ μὲν κλισία, μιμεῖταί πως οἰκίαν, πύλας τε ἔχουσά τινας, καὶ μοχλὸν ἐπὶ τὰς πύλας. ἡ δὲ σκηνὴ, οὐκ ἀπὸ ξύλου ἐξ ἀνάγκης μόνον, ἀλλὰ καὶ ἀπὸ σινδόνων ἢ πίλων ποτὲ συνίσταται. ὅθεν καὶ οἱ σκηνῖται τὸ ἔθνος παρονομάζονται. δῆλον δὲ, ὅτι ἡ κλισία, καὶ κλησιὰς λέγεται. φησὶ γοῦν Ἡρόδοτος, ὅτι μεγάλαι κλισιάδες ἀναπέπτανται τῷ Πέρσῃ. ἔοικε δὲ ἡ κλισία, ἀπὸ τοῦ κλισίου ὑστέρου παρονομάζεσθαι. ἔστι δὲ τὸ κλίσιον, δουλικὸν καὶ ἀτελὲς οἴκημα. ὡς γὰρ τῷ Δίωνι δοκεῖ, τὸ τῶν προβάτων σκεπτικὸν καὶ φυλακτικὸν οἰκίδιον, ἀτελὲς πάντως ὂν καὶ αὐτό.

Κλισμὸς, ἡ καθέδρα, καὶ ὁ θρόνος, ὁ ἔχων ἀνάκλισιν, παρὰ τὸ κλίνω.

Κλίσια, τὰ κουβούκλεια.

Κλισία, τὸ ἀνάκλιντρον. ἡ γάρ τι κοινότερον λεγομένη κλησία, οὐ πρὸς καθέδραν, ἀλλὰ πρὸς ἐνοίκησιν ἐγίνετο σκηνὴ οὖσα.

Κλισία, παρ' Ὁμήρῳ λέγεται ἔτι, καὶ ἀτελὴς οἴκησις, ἐπεὶ καὶ σταθμὸς αὐτὴ, καὶ μέσαυλον, καὶ αὖλις, καὶ ἔπαυλις. οὐ μὴν οἶκος ἢ δῶμα ἢ μέγαρον. λέγεται καὶ κλισμὸς, ἤγουν θρόνος, ἔχων τι ἀνάκλιντρον, ᾧ καὶ τάπης ἐξ ἐρίου ἐπίκειται προσκεφάλαιον δηλαδή.

* Κλισία, ἡ Κλίνη, παρ' Ἱπποκράτει, παρὰ τὸ ἐν αὐτῇ κατακλίνεσθαι.

Κλισία, ἡ στρατιωτικὴ σκηνὴ, ἐπὶ στρατοπέδου κατεσκευασμένη, αὐτοσχέδιος, οὐδὲ πολιτικὴ, καὶ ἡ καθέδρα. ὡς ἐν τῷ κλισίην εὔτυκτον ἔθηκε. τὸ μὲν ἀπὸ τοῦ κεκλίσθαι, τὸ περιέχεσθαι. πολλάκις γὰρ Ὅμηρος τὸ κεκλίσθαι, ἐπὶ τούτου τίθησι τοῦ σημαινομένου, ὡς ἐν τῷ κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες, ἤγουν συγκεκλεισμέναι εἰσὶ, καὶ στενοχωρούμενοι. τὸ δὲ ἀπὸ τοῦ κεκλίσθαι τὸ ὑπερηρεῖσθαι, καθὸ λέγεται τὸ ἀσπίσι κεκλιμένοι, ἤγουν ἐπερηρεισμένοι. κλίνη δὲ καὶ κλιντήριον, ἀπὸ τοῦ ἀνακεκλίσθαι. ὀρθὸν μὲν τὸ σῶμα ἑστηκώς. κάμπτεται δὲ ἐν τῷ καθέζεσθαι, καὶ ἐκτεθὲν ἐπὶ τῆς κλίνης ἐν τῷ κοιμᾶσθαι, ἀνακλίνεται.

Κλισίον, πανδοχεῖον, ἡ βάσις, ἐφ' ἣν τίθεται ὁ θρόνος.

Κλίσιον, οἰκητικός ἐστιν ἀτελὴς, καὶ οἷόν τις κλισία, περὶ ἣν δμῶες ἴαυον. παρὰ μέν τοι τοῖς Ἀττικοῖς τὸ κλίσιον ἁμαξῶν καὶ ζευγῶν ἐστι δεκτικόν. λέγεται τοὺς Ῥωμαίους παρὰ τὴν στάσιν σταῦλον καλεῖν. Δίωνι μέν τοι τῷ καλῷ τὴν γλῶσσαν, δοκεῖ, κλίσιον εἶναι τὸν σταθμὸν τῶν προβάτων. εὕρηται δὲ καὶ διὰ διφθόγγου κλείσιον. θυρεὼν, ἐν ᾧ ζεύγη ἵσταται. καὶ κλεισίαι αὔλειοι. πυλῶνες, πλατεῖαι θύραι, δι' ὧν καὶ ζεύγη εἰσέρχονται. Αἴλιος Διονύσιός φησι, κλείσιον ὡς κλειδίον, καὶ ὅτι θυρὼν τοῦτο μέγας. καὶ κλεισίαι αἱ τούτου θύραι πλατεῖαι, καὶ εἰς τὸ ἐκτὸς ἀνοιγόμεναι, παρὰ Ἀττικοῖς κλίσιον, ὁ μέγας θυρών. Ὅμηρος δὲ οὐ σαφῶς ἐμφαίνει δουλικὸν οἶκον εἶναι παρ' αὐτῷ τὸ κλίσιον.

Κλίσις, ἡ κατ' ἄνδρα κίνησις.

Κλίσις ἐπὶ δόρυ ἐστὶν, ἡ ἐπὶ τὰ δεξιὰ κλίσις. ἐφ' ἡνία κλίσις, ἡ ἐπὶ τὰ ἀριστερὰ κλίσις. ἐπ' ἀσπίδα κλίσις ἐστὶ, καὶ αὐτὴ ὁμοίως ἐπὶ τὰ ἀριστερά. κλίσις, ἡ πρόκλισις, παραγγελία εἰς κρίσιν, ὥς που Δημοσθένης.

Κλισμοῖς, θρόνοις ἔχουσιν ἀνακλίσεις. παρὰ τὸ κλίνω, τὸ ἀνακλίνω.

Κλισμοὶ, θρόνοι, ἢ ἀνάκλιντρα.

Κλίσις, ὀνομασία.

Κλίται, στοαὶ, ἢ ἕδραι εἰς τὸ κατακλίνεσθαι.

Κλίτεα, τὰς ἀνακλίσεις τῶν ὀρῶν καὶ βάσεις.

Κλιτόριον, πόλις Ἀρκαδίας.

Κλιτόριον, ὄνομα πόλεως. ἀπὸ τοῦ κλύω, κλιτόριον, τροπῇ τοῦ υ εἰς ι. ἔστι δὲ καὶ πηγὴ ἐν ταύτῃ τῇ πόλει, ἧς ὁ γευόμενος ἀποστρέφεται τὸν οἶνον. σημαίνει δὲ καὶ τὸ αἰδοῖον τῆς γυναικός. ὅθεν καὶ κλιτοριάζειν λέγεται, τὸ αἰσχρῶς ἅπτεσθαι.

Κλίτος, μέρος πλάγιον. πεσεῖται ἐκ τοῦ κλίτους σου, ὁ Ψαλμῳδός φησι.

Κλιτὸς, τόπος κατωφερής.

Κλιτῦς, κατὰ τοὺς παλαιοὺς, τὰ ἀποκλίματα καὶ ἐξέχοντα τῶν ὀρέων, παρὰ τὸ κεκλίσθαι. ὥσπερ καὶ παρὰ τὸ ἀνακεῖσθαι τὰ ἄγκεα. καὶ ἄλλως δὲ φράσαι, κλιτὺς οἱ προκλιμένοι καὶ προνενευκότες ἐν ἄκρῳ τινὶ τόποι, οὓς αἱ χαράδραι παρατρώγουσαι καταρρίπτουσιν. ὅτι δὲ καὶ ἐξοχήν τινα αἱ κλιτύες δηλοῦσι, δῆλον καὶ ἐκ τοῦ ἀποτμήγουσι χαράδραι, τὰ γὰρ ἐξέχοντα καταρριπτοῦνται, χαρασσομένων τῶν ὑπ' αὐτὸ, ἐξ οὗ ἡ χαράδρα παράγεται.

Κλοιὸς, ὁ δεσμὸς, ὁ περιτιθέμενος τῷ τραχήλῳ τῶν κυνῶν, καὶ ὁ ζυγὸς, καὶ ὅσα τοιαῦτα περιτίθεται τῷ τραχήλῳ, διὰ διφθόγγου, καὶ μέρος τι τῆς νεώς.

Κλοιὸς, καὶ κλοιὰ, τὰ σίδηρα, ἃ φοροῦσιν οἱ καταδίκοι, παρὰ τὸ κλείω κλοιός. κλείει γὰρ περιτιθέμενα.

Κλοῖστρον, κλῷστρον.

Κλοιωτὰ, δεσμοῖς διειλημμένα. κλοιὸς γὰρ, εἶδος δεσμοῦ περιτραχηλίου.

Κλοιώτης, ὁ δεσμώτης.

Κλονεῖ, ταράσσει, φθείρει, φοβεῖ.

Κλονεῖται, φθείρεται, ἔρχεται.

Κλονέοντο, ἐθορυβοῦντο, ἐταράττοντο, καὶ τὰ ὅμοια.

Κλόνιον, ἰσχίον, ῥάχις, ὀσφὺς, τὰ αὐτὰ καὶ τὰ ὅμοια.

Κλονίος, ῥωμαλεώτατος, οἱονεὶ ὁ μάχιμος καὶ γενναῖος. καὶ κλονῶν, παροξύνεται παρὰ τοῖς παλαιοῖς, καθὰ καὶ τὸ σχέδιος, καὶ ὀδίος, ὡς κύριον τρίβραχυ.

Κλονόεντα, ταράσσοντα, ἀπὸ τοῦ κλονῶ.

Κλόνος, στρόφος, καὶ εἶλιξ. παρὰ τῷ Ἀριστοφάνει τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορκορύγησεν, καὶ ἡ ταραχὴ, καὶ ὁ θόρυβος.

Κλονούμενος, ταρασσόμενος.

Κλοπαὶ, παραλογισμοί. καὶ κλαπέντες, ἀντὶ τοῦ ἐξαπατηθέντες.

Κλοποπεύειν, παραλογίζεσθαι, ἀπατᾶν, κλεψιγαμεῖν, στρατεύεσθαι.

Κλοπιττεύειν, κολοπιττεύειν ὑπερθέσει τοῦ λ.

Κλονιστὴρ, παραμήριος μάχαιρα, παρίσχιον.

Κλοποφορῶ, τὸν ἐν κλοπείᾳ φέρω.

Κλοποπευτὴς, ἐξαλάκτης, ἀλαζών.

Κλοτοπεύειν, ἅπαξ εὕρηται παρὰ τῷ Ποιητῇ, καὶ δηλοῖ κατὰ τοὺς παλαιοὺς τὸ κλοπεύειν, καὶ οἷον παρακλέπτειν τὸν καιρὸν, ἢ τὸ κλυτοπεύειν, καὶ οἷον καλλιλογεῖν. καὶ κλυτοῖς ἔπεσιν ἐνδιατρίβειν, καὶ οὕτω καταργεῖν ἐν κενοῖς.

Κλύδιον, πέλαγος.

Κλύδων, χώρα. καὶ ἡ τοῦ ὕδατος φορὰ, ἢ κυμάτων σφοδρότης.

Κλυδωνίζεται, ταράττεται, παρακρούεται.

Κλυδώνιον, τὸ κῦμα τῆς θαλάσσης, ὅπερ παρὰ τῷ αἰγιαλῷ ἀδίας οὔσης, ἐπικλύζεται.

Κλυδώνιον, πέλαγος, χειμὼν, καὶ θόρυβος πραγμάτων.

Κλῦθί μευ, ἐπάκουσόν μου.

Κλύει, ἀκούει.

Κλύζει, πλημμυρεῖ, ῥέει, βρύει.

Κλύζω, τὸ διὰ κλυστῆρος ἰατρεύω, ἀφ' οὗ κλυστὴρ, τὸ ἐργαλεῖον, δι' οὗ κλύζουσι. κλύζω, τὸ ὕδατι καλύπτω, ἀφ' οὗ ἐπίκλυσις, ἡ τῶν ὑδάτων ἐπιρροία, ὅταν καλύπτει τὴν ἐπιφάνειαν. καὶ κατακλυσμὸς καὶ κλύδων, ἡ ταραχὴ τῆς θαλάττης. καὶ κλυδώνιον, τὸ κῦμα τῆς θαλάττης, ὅταν παρὰ τῷ αἰγιαλῷ ἀδίας οὔσης ἐπικλύζεται. καὶ κλυζόμενα, τὰ ὑπὸ τοῦ ὕδατος καλυπτόμενα.

Κλύζεσκον, ἤγουν ἔκλυζον, ἐξ οὗ καὶ ὁ κλύδων παράγεται.

Κλῦθι, ἄκουσον, πέπλασται ἀπὸ τοῦ ἔκλυε. θέμα γὰρ εἶναι τοῦ κλῦθι, τὸ κλῦμι οὐκ ἀρέσκει τοῖς παλαιοῖς.

Κλῦθι, δῦθι, φάθι, μακρᾷ παραλήγονται, ἀπὸ τοῦ κλῦε, δῦε, κατὰ μεταπλασμὸν γινόμενα. τὸ δὲ κέκλυθι βραχύνεται, ὁμοίως καὶ τὸ ὄρνυθι, καὶ τὸ ἴθι βραχύνεται.

Κλῦθι, κλύω ποιητικὸν, ἀκούω κοινόν. κλύω ἐνεστὼς, ἔκλυον παρατατικὸς, μέλλων ἀπὸ τούτου οὐκ ἔστι, λέγεται δὲ ὁ τοῦ κοινοῦ ἀκούσω. ἐπὶ τῇ κοινῇ γὰρ καὶ ἡ ποιητικὴ ἐρείδει, καὶ ἡ Ἀττικὴ γλῶττα, καὶ αἱ ἄλλαι, αἷς μάλιστα χρῶνται οἱ Ποιηταί. διὰ τοῦτο γὰρ καὶ κοινὴ λέγεται, ὅτι μετέχουσιν αἱ ἄλλαι αὐτῆς. κοινὸν γὰρ οὗ μετέχουσι τοὐλάχιστον δύο, καὶ προηριθμημένων ἐκείνων, αὕτη ἐπάγεται, ὄνομα ἔχουσα αὐτὸ τοῦτο πάντως δηλοῦν, ὅτι αἱ ἠριθμημέναι πᾶσαι χρῶνται αὐτῇ, καὶ αὕτη πάσαις αὐταῖς. Ἀόριστος δὲ δεύτερος ἔκλυον, ες, ε, ἀφ' οὗ προστακτικὸν κλύε, καὶ κατὰ μεταπλασμὸν κλῦθι. μεταπλασμὸς δέ ἐστιν, ὅταν τέλος ὀνόματος, ἢ ῥήματος, ἐφ' ἕτερον τέλος τραπῇ οἰκεῖον τῷ τρεπομένῳ. οἰκεῖον δέ ἐστιν, ᾧ δηλονότι ἡ αὐτὴ πτῶσις τοῦ ὀνόματος ἐν ἄλλοις χρήσαιτο ἂν, ἢ ὁ αὐτὸς χρόνος τοῦ ῥήματος, ὡς τοῦ ἀορίστου τέλος τὸ ε ἐτράπη εἰς θι, ᾧ τέλει χρήσαιτ' ἂν ἀόριστος προστακτικὸς ἐν ἑτέροις.

Κλύμενος, οὕτω λέγεται ὁ ᾅδης, ἢ ὅτι πάντας προσκαλεῖται εἰς ἑαυτὸν, ἢ ὁ ὑπὸ πάντων ἀκουόμενος.

Κλύμενος, ἰατρὸς ἀφυής. ὃν Ἀριστοφάνης φησὶν, ἀναμεμίχθαι τῷ μορσίμῳ, διὰ τὸ καὶ τὸν μόρσιμον ἰατρὸν εἶναι ἀφυῆ ἦν δὲ καὶ τραγῳδοποιὸς ἀφυὴς ὁ μόρσιμος. λέγεται δὲ καὶ ὁ κισσὸς, ὡς Ἀντίμαχος, κισσοῦ τε κλυμένοιο καὶ ἀμπελίνης.

Κλύσαι λέγεταί τις ποτήριον, ἢ ἄλλο τι ἀγγεῖον, νίψαι πρόσωπον, ἢ χεῖρα. πλῦναι δὲ ἐσθῆτας, κατακλύω μετὰ προθέσεως τὸ βρέχω.

Κλυστήριον, ἰατρικὸν ἐργαλεῖον καὶ κλυστήρ. κλυστῆρα προθέμενος, ὑπεξήγαγε τῆς ἑαυτοῦ γαστρὸς τὰ σκύβαλα.

Κλυτοὶ, ἔνδοξοι, ἀγαθοὶ, καλοὶ, τίμιοι, πολλοὶ, ἢ πανταχοῦ κηρυττόμενοι.

Κλυτίδη, κλυτοῦ παῖ.

Κλυταιμνήστρα, κύριον, ἡ γυνὴ τοῦ Ἀγαμέμνονος.

Κλυτίδην, λέγει Ὅμηρος κατὰ συγκοπήν. τὸ γὰρ ἐντελὲς κλυτιάδης ἐστὶν, ἐκ τοῦ κλυτίου, ὁμοίως τῷ Ἀλεξιάδης.

Κλυτίος, παρ' Ὁμήρῳ ὡς τρίβραχυ κύριον, παροξύνεται, καθὰ καὶ τὸ τυχίος, καὶ τὸ ὀδίος, καὶ τὸ δολίος.

Κλυτοιμαγεῖς, ἀκουσταὶ θρήνου.

Κλυτοπώλῳ, ἢ ἀντὶ τοῦ εὐίππῳ, διὰ τὸ πανταχοῦ φθάνειν τὸν θάνατον, ἢ οὗ κλυτὴ ἡ ἐπιπώλασις, ἤγουν ἐπέλασις. διὰ τὸ ἐξάκουστον τῶν θρηνούντων ἐπιθανάτια, καὶ ἡ ἀλήθεια αὐτοῦ ἔοικε προπαροξύνεσθαι κατὰ τὸ εὔπωλος. ἔστι δὲ τοιοῦτος ᾅδης, οὗ κλυτὴ ἡ ἐπιπώλασις, ἤτοι ἔφοδος. μηνύουσι γὰρ τοὺς θανόντας οἱ ἐπ' αὐτοῖς θρηνῶσι, ἢ ὁ κλυτοὺς ἔχων ἵππους.

Κλυτοπώλῳ, ἐνδοξοπώλῳ, ἱππεὺς ἀγαθός.

Κλυτὸς. παρὰ τὸ κλύω, τὸ δοξάζω, γίνεται κλυτὸς, ὁ ἔνδοξος. καὶ κλυτὰ, τὰ λαμπρὰ καὶ ἔνδοξα.

Κλυτὸς ἱπποδάμεια, δυσὶ διαλέκτοις ὑπόκειται. φασὶ γὰρ οἱ παλαιοὶ, ὅτι Δωρικὴ καὶ Ἀττική ἐστιν ἡ τοιαύτη ἐναλλαγὴ τῶν γενῶν. πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα πολλαχοῦ δηλούμενα. ὧν καὶ τὸ ἐν πύλῳ ἐν νεκύεσσι, τουτέστιν ἐν τῇ κατὰ νεκροὺς

πύλῃ,

Digitized by Google

πύλη, καὶ τὸ ἀγγελθεῖσά μοι γενναῖος, καὶ πλάνος φρενῶν, ἡ πλάνη, καὶ φαῦλος οὖσα, καὶ ὁδὸς λεῖος. καὶ ἡ θηραῖος, παρὰ τῷ Σοφοκλεῖ καὶ τηλικοῦτος, καὶ δεινὴ θεός, καὶ μάταιος σπουδή. τὸ δὲ ἤματι τῷ, ἀντὶ τοῦ τῇ ἡμέρᾳ.

Κλυτὸς Ἱπποδάμεια, Εὐβοεῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττουσιν ἐπίθετα, ὡς τὸ παρ' Ὁμήρῳ. κλυτὸς Ἱπποδάμεια, καὶ θερμὸς ἀϋτμή, καὶ αἰγὸς πολιοῖο. καὶ παρ' Ἡσιόδῳ, δαϊζομένου πόλιος. ὁμοίως δὲ καὶ τοῖς οὐδετέροις ὀνόμασιν ἀρσενικὰ καὶ θηλυκὰ ἐπίθετα, καὶ μετοχὰς ἀρσενικάς τε καὶ θηλυκὰς ἐπιφέρουσιν. οἷον ἀφυὴς παιδίον, καὶ κόριον καλλίστη, καὶ γύναιον ἐρχομένη, καὶ μειράκιον λέγων, καὶ παιδίον βαδίζον. καὶ Ὅμηρος, τέκνον φίλε τοῦτο δίδωμι.

Κλυτὸς Ἱπποδάμεια, καὶ σοφὸς γυνή, καὶ τὼ χεῖρε, τὼ γυναῖκε. καὶ παρὰ Πλάτωνι, διάγοντε καὶ φέροντε. καὶ Ὅμηρος ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς ἔφη, οὐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντε κεραυνῷ, καὶ ἤτοι Ἀθηναίη ἀκέων ἦν. ἔστι καὶ τῶν Ἀττικῶν τὰ ἐπίθετα ἀρσενικά, ἢ ἄρθρα, ἢ μετοχὰς τοῖς θηλυκοῖς συντάσσειν, ὡς φαίνεται ἐν τοῖς ἄνω.

Κλυτὰς ὄρνις, ὁ ἀλεκτρυών.

Κλυτοτέχνης, ὁ Ἥφαιστος, ὁ ἔνδοξον ἔχων τὴν χαλκευτικήν. ὥσπερ λέγεται ὁ αὐτὸς, καὶ αἰθαλόεις θεὸς, ὁ χαλκεύς.

Κλυτότοξος Ἀπόλλων καλεῖται, ὡς σὺν τῇ μαντικῇ καὶ μουσικῇ καὶ ἰατρικῇ ἐπιστάτης καὶ τῇ τοξικῇ, κατὰ τὸν μῦθον. ὅρα δὲ ὡς ἰσοδυναμεῖν δοκούντων ἐστὶν ὅτε, τοῦ κλύειν καὶ τοῦ κλέειν, ὅ ἐστι κλεΐζειν καὶ δοξάζειν. ἐκ μὲν τοῦ κλύειν, τὸν κλυτότοξον συνέθετο. ἐκ δὲ τοῦ κλέειν, κλειτὴν ἑκατόμβην φησὶν ὁ Ποιητής.

Κλύων, ἐπακούων.

Κλύω, σημαίνει τὸ δοξάζω, καὶ τὸ ἀκούω. ἐκ τούτου κλῦμι, ἔκλυν, υς, υ, κλὺς κλυῶτος, κλῦθι καὶ κέκλυθι.

Κλύω ποιητικὸν, τὸ ἀκούω κοινόν. ἀφ' οὗ κλυτὸς, ὀνομαστός. καὶ περίκλυτος, ὁ περιαδόμενος. καὶ ἀγάκλυτος, ὁ ἄγαν καὶ λίαν ὀνομαστός. καὶ τηλέκλυτος, ὁ ἐκ προγόνων ὀνομαστὸς ἢ ὁ περιβόητος, καὶ κλύω, τὸ μανθάνω. καὶ κλύω κακῶς πρὸς σέθεν, ἤγουν ἀτιμάζομαι παρὰ σοῦ.

Κλῶ, σημαίνει πέντε. τὸ καλῶ, ἐξ οὗ καὶ κλῆρος. τὸ ἐπαινῶ, ἐξ οὗ κλεῖ, τὸ ἐπαινεῖ. τὸ κλάνω, ἐξ οὗ καὶ κλαίνω κλῶ. τὸ φωνῶ, ἐξ οὗ κατὰ παραγωγὴν κλύω κλῶ. τὸ ἐμποδίζω, ἐξ οὗ καὶ κλᾶν, τὸ ἐμποδίζειν.

Κλωγμὸς, ὁ διὰ τῆς γλώττης περὶ τὸν οὐρανίσκον ψόφος, ὃν λάκησιν τινές φασιν. οἷον οἱ ὀνηλάται ποιοῦνται κυρίως.

Κλῶδις. κλέπτης.

Κλώδονες, αἱ βάκχαι τοῦ Διονύσου παρὰ Μακεδόσιν, αἱ κληθεῖσαι ὕστερον μιμαλόνες, ἀπὸ τῆς μιμήσεως.

Κλώζεται, καὶ συρίττεται, ἔστι δὲ ὅτε καὶ λίθοις βάλλεται.

Κλώζω, τὸ διὰ ψόφου τινὸς χλευάζω, ἀπὸ τῶν κολοιῶν, τὸ κλώζειν γὰρ ἐπὶ τῆς φωνῆς λέγεται αὐτῶν.

Κλώζω, καὶ κλάζω, ἐκ τοῦ κλῶ. κατὰ τὸ κλώζω, λέγονται κλώζεσθαι καὶ ἀποσυρίττεσθαι οἱ ἐν θεάτροις νικώμενοι, καὶ κλωγμὸν πάσχειν.

Κλώθει, κατασπᾷ, ἐπιμερίζει, νήθει, βλαστάνει, καλῶς αὔξεται.

Κλώθειν, στρέφειν λέγεται. εὔκλωστος, εὐστρεφής, καὶ εὔστροφος.

Κλῶθες, ἢ κατακλῶθες, μεταπλασμὸν ἔπαθεν ἐκ τοῦ αἱ κλωθοί, οὗ ἡ εὐθεῖα ἡ κλωθώ. δηλοῖ δὲ τὰς μοίρας, παρονομασθείσας ἀπὸ μιᾶς αὐτῶν τῆς κλωθοῦς. καὶ οὕτω μέν τινες. ἴσως δὲ μᾶλλον οὐχ ἁπλῶς μοῖραι, αἱ κατακλῶθες, ἀλλὰ καὶ αἶσα μὲν ἡ ἁπλῶς μοῖρα. κατακλῶθες δέ, αἱ μὴ εὐτυχεῖς, διὸ καὶ βαρεῖαι λέγονται.

Κλωθώ, μία τῶν μοιρῶν. εἴρηται δὲ, παρὰ τὸ ἐπικλώθειν ἑκάστῳ τὸ πεπρωμένον.

Κλωκυδᾶ, τὸ καθῆσθαι ἐπ' ἀμφοτέροις ποσίν.

Κλώμακας, τραχεῖς τόπους.

Κλωμακόεσσαι, πολλὰ ἀποκλίματα ἔχουσαι, ἀφ' οὗ τὴν τραχεῖαν καὶ ὀρεινὴν σημαίνει, ἢ κρημνώδη, ἢ δύσβατον.

Κλωμακόεν, ἐπὶ ὀχυροῦ τίθεται τόπου, ἐν ᾧ εἰσι κλώμακες, ὁποίων καὶ ὁ Λυκόφρων μέμνηται. ὅ ἐστι τόποι ἢ λόφοι κατὰ τοὺς παλαιοὺς ὑψηλοί. τραχεῖαι δὲ αὗται, καὶ πετρώδεις, καὶ ἀναβάσεις εἰσὶ κατακλῶσαι τοὺς δι' αὐτῶν βαίνοντας. φυλάττεται δὲ ἡ λέξις εἰσέτι καὶ νῦν, εἰ καὶ μὴ ἀκραιφνής, ἀλλ' ὑποβάρβαρος περί που τοὺς Παφλαγόνας. οἱ κρωμακωτοὺς τόπους, τοὺς πετρώδεις, καὶ οὐ ῥᾷον ἀναβαινομένους φασί.

Κλῶν, συντρίβων, κατασπῶν.

Κλώνακα, ῥάβδον, καὶ τὰ κλημακώδη χωρία.

Κλώναξ, κλάδος.

Κλῶντες, σπῶντες, συντρίβοντες.

Κλῶνες, αἱ ἐκφύσεις τῶν δένδρων.

Κλὼν κλωνός, τὸ κλωνάριον τοῦ δένδρου.

Κλωὸς σύκινος, οὕτως Ἀττικοὶ τὸν κλοιὸν ἔλεγον. σύκινον δὲ, διὰ τὸ βραχὺ τοῦ ξύλου. ἄλλως, τὸ κολλάριον τὸ παρ' ἡμῖν λεγόμενον, ᾧ εἰώθασι τοὺς κύνας δεσμεύειν ἐν τοῖς ἀγροῖς, ἔστι ξύλινον.

Κλωπᾶσθαι, ἐπιθυμεῖν, θέλειν, καὶ τὸ λάθρα καὶ ἀψοφητὶ ἰέναι, καὶ πράσσειν, καὶ κλέπτεσθαι.

Κλώπεια, ὄρχησίς τις, ὡς Ἰόβας ἐν τετάρτῳ θεατρικῶν.

Κλῶπες, κλέπται.

Κλωπομένη, λάθρα καὶ ἀψόφως περιοῦσα καὶ ἐφιεμένη, παρὰ τὸ κλέπτεσθαι, οὕτως τὸ προθυμεῖσθαι ἔλεγον.

Κλωπεύω, κλωπιτεύω, ἀντὶ τοῦ κλέπτω. κλοποπεύω δὲ, μικρόν.

Κλώσκων, ἐπικλώθων.

Κλωστὴρ, τὸ κεκλωσμένον ῥάμμα.

Κλωστῆρα, τὸν ἄτρακτον, καὶ τὸ νῆμα.

Κλὼψ, ὁ κλέπτης, καὶ ὁ λῃστής, παρὰ τὸν κλέψω μέλλοντα γίνεται, κατὰ ἀποβολὴν τοῦ ω, κλὲψ καὶ κλὸψ, καὶ κατὰ ἔκτασιν κλώψ. ὡς βλέπω βλὲψ καὶ βλὼψ, ὁ στραβός.

ΤΟ Κ΄. ΜΕΤΑ ΤΟΥ Μ΄. ΚΑΙ Ν΄.

Κμέλεθρα. δεῖ γινώσκειν ὅτι τὸ κ πρὸ τοῦ μ, οὐδέποτε εὑρίσκεται ἐν ἀρχῇ λέξεως. τοῦ γὰρ πολύκμητος οὐχ εὕρηται ἐν χρήσει τὸ ἁπλοῦν αὐτοῦ, ἤγουν τὸ κμητὸς, καὶ τὸ κέκμηκα, ὃ δηλοῖ τὸ κεκοπίακα, οὐκ ἔστιν ἀπὸ τοῦ κμῶ, ἀλλ' ἀπὸ τοῦ κεκάμηκα. λέγει δὲ ὁ Ἡρωδιανὸς τὸν Πάμφιλον ἀναγαγεῖν ἐν ταῖς γλώσσαις τὸ κμέλεθρα. σημαίνει δὲ τὰς δοκούς.

Κμητά, πεποιημένα, πεπονημένα.

Κναδάλλεται, κνήθεται.

Κνάζει, βοηθεῖ.

Κνάθω, πορεύομαι.

Κναιόμενον, καταπονούμενον.

Κναίω, τὸ λυπῶ. κναίω, τὸ κόπτω.

Κνᾶκον. ἐν ἐπιγράμματι, κνᾶκον ὑπηνήταν τὸν δ' ἀνέθηκε τράγον.

Κνακὸν δέρμα, παρὰ Θεοκρίτῳ. ἤγουν ξανθόν, ἢ λευκόν. λευκὸν μὲν, ἀπὸ τοῦ καρποῦ. ξανθὸν δὲ, ἀπὸ τοῦ ἄνθους.

Κνάκωνα, τὸν κνήκου χροίαν ἔχοντα. ἄλλως κνάκωνα, τὸν λευκὸν τράγον, ἀπὸ τῆς κνήκης τοῦ σπέρματος λευκοῦ ὄντος, ἢ λάγνον.

Κνάκωνα, λευκὸν, ἢ πυρρὸν, ἀπὸ κνήκου τοῦ σπέρματος, παρὰ Θεοκρίτῳ.

Κνακὸς, ψαρὸς ἵππος.

Κνακὸν, λευκὸν, πυρρόν.

Κνάμπτει, κάμπτει, καταξαίνει, κατέχει.

Κνάμπτομαι, κακοῦμαι, καταπονοῦμαι, καταξύομαι.

Κνᾶν, κόπτειν, ξέειν.

Κνὰξ, γάλα λευκόν.

Κνάψω, ἀπὸ τοῦ κνῶ γίνεται κνάπτω, ὡς χῶ χάπτω, καὶ ῥηματικὸν ὄνομα κνάφος. σημαίνει δὲ τὸ ἀκανθῶδες φυτὸν, ᾧ τὰ ἄθικτα τῶν ἱματίων ἐπισύροντες κατεργάζονται. Ἀλκαῖος, μὴ μέγαν περὶ κνάφου περιστείχει ἕνα κύκλον.

Κνάπτειν κελεύω γλῶτταν, συνέχειν ἐντὸς τῶν ὀδόντων κελεύω τὴν γλῶτταν.

Κναπτόμενον, ξαινόμενον.

Κνάπτω, τὸ ξέω, καὶ καθαίρω, ἐξ οὗ κναφεὺς καὶ κναφεῖον. κνάπτω, τὸ κάμπτω. ποιητικῶς.

Κνᾶσθαι τὸ οὖς, οὐ κνήθειν.

Κνάσαι, ὀλέσαι, λυπῆσαι.

Κναστήριον, ἐνήλατον. Λάκωνες.

Κναφεῖον, ἐν ᾧ τὰς ἐσθῆτας κνάπτουσιν, ὅ ἐστι βάπτουσι.

Κνάφος, ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια.

Κνάφος, ὄργανόν τι ἐν κύκλῳ κέντρα ἔχον, δι' οὗ τοὺς βασανιζομένους κτείνουσιν, ὅμοιόν ἐστι κναφικῷ κτενί. κνάφου δίκην, ὅταν ἐν κύκλῳ οἱ κναφεῖς περιέλκωσι τὰ ἱμάτια περὶ τὸν λεγόμενον κνάφον. ἔστι δὲ τοῦτο φυτὸν ἀκανθῶδες.

Κναφεύει, πλύνει τὰ ἱμάτια.

Κναφεύει. Ἀττικὸν μὲν τὸ διὰ τοῦ κ, κοινὸν δὲ τὸ διὰ τοῦ γ. οἱ παλαιοὶ δὲ Ἀττικοὶ διὰ τοῦ κ κνάφος. ἔστι δὲ ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. οἱ δὲ νεώτεροι διὰ τοῦ γ, παρὰ τὴν γνάψιν. κναφεὺς δὲ παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. Ὅμηρος, ἐπὶ δ' αἴγειον κνῆ τυρόν. καὶ κνήστι χαλκείῃ, παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος, τὸ λαμπρόν.

Κναφεὺς, ὁ πλύνων τὰ ἱμάτια. Ἀριστοφάνης, ἀπέδωκ' ὀφείλων τῷ κναφεῖ τριώβολον. Ἀττικῶς διὰ τοῦ κ, κοινῶς δὲ διὰ τοῦ γ.

Κνάω, τὸ κνήθω.

Κνεῖν καὶ ξύειν, ταυτόν ἐστιν, ἤτοι κόπτειν. ἐξ οὗ καὶ τὸ κνίζειν γίνεται, παράγει δὲ χρήσεις τοιαύτας, ξύομαι δ' οὐδὲν ἰσχύων, τουτέστι κνῶμαι. καὶ Σώφρων, βαιὰ δ' ἔξυσμαι ἐκ ποδὸς εἰς κεφαλήν, ἤγουν κέκνησμαι. ξυόμενοι ἄνθρωποι ἥδονται, καί σφιν γίνεται, ἅπερ τοῖς ἀφροδισιάζουσι.

Κνεομένων, πονουμένων.

Κνέφας. δῆλον ὡς φωτὸς στέρησίς ἐστι τὸ σκότος. διὸ καὶ κνέφας λέγεται, ὡς κενὸν φάους. Ὅμηρος δὲ σαφέστερον δηλοῖ αὐτὸ, εἰπών, ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε.

Κνεφαῖος, ἔτι σκότους ὄντος, καὶ μήπω γενομένης ἡμέρας.

Κνέφαλον, τύλη.

Κνέφας ἱερὸν, τὸ βαθὺ καὶ μέγα σκότος. ἐπεὶ καὶ ἐπὶ μεγάλου πολλάκις τὸ ἱερὸν τίθεται.

Κνέφει, σκότῳ.

Κνέφος, σκότωσις.

Κνέωρον, φυτόν τι, ὃ τοῖς θεσμοφορίοις ὑποστέρνυται, καὶ ὃ εἰς κάθαρσιν χρῶνται, καὶ γυναικεῖον μόριον.

Κνῆ, σκώπτει.

Κνηθόμενοι, τερπόμενοι, ἀποκνηθόμενοι τὴν ἀκοήν.

Κνηκίας, ὁ λύκος.

Κνηκὶς, ἡ νεφελώδης ζώνη, τὸ μικρὸν κνέφος.

Κνῆκις, κνηκοειδὴς τοῦ ἀέρος κατάστασις, καὶ δέρρις λεπτὴ, καὶ νεφέλιον λεπτὸν, καὶ μελανία, καὶ ἔλαφος.

Κνῆκις ἐπενήνοθε, μελανία τὶς τῷ σώματι. ἄλλοι ἐπὶ τῶν νεφῶν εἶπον.

Κνηκὸν, τὸ κροκίζον χρῶμα ἐπὶ τοῦ ἄνθους. ὅτε δὲ ἐπὶ καρποῦ, τὸ λευκόν.

Κνῆκος, λευκὸς, καὶ εἶδός τι σπέρματος, καὶ πυρός.

Κνῆμαι, τὰ ἔμπροσθεν τῶν σκελῶν. ὧν τὰ ὄπισθεν ἀντικνήμια λέγεται. καὶ κνημῖδες, τὰ περιτιθέμενα τοῖς σκέλεσιν ὅπλα. ἀφ' οὗ εὐκνήμιδες Ἀχαιοί, ἤγουν εὔοπλοι, ἀπὸ μέρους τῆς πάσης ὁπλίσεως νοουμένης.

Κνημαίου, τοῦ τῆς κνήμης, παρὰ τῷ Ἱπποκράτει.

Κνήμαργος, κνημώδης, παχύκνημος.

Κνήματα, ξύσματα, παρὰ τῷ Ἱπποκράτει.

Κνήμη, τὸ ἔμπροσθεν τοῦ γόνατος. γαστροκνήμη δὲ, τὸ ὄπισθεν παχύ.

Κνήμη, ἡ τοῦ σκέλους παχύτης. ἀπὸ τοῦ κινῶ, κινήμη, καὶ κατὰ συγκοπὴν κνήμη. οἷον τῆς κινήσεως αἰτία. ἰστέον, ὅτι τὰ ἔμπροσθεν λέγουσιν ἀντικνήμιον, τὰ δὲ ὄπισθεν γαστροκνήμιον. κυρίως δ' ἐκνῆμαι λέγονται, τὰ διαιροῦντα ξύλα τὴν χοινικίδα τοῦ τροχοῦ. σημαίνει δὲ καὶ τὰς ἐξοχὰς, καὶ προβάσεις, καὶ καθύγρους τόπους τῶν ὀρῶν.

Κνημίαι, φθοραί, καὶ τὰ ὀρθὰ ξύλα τῶν θρόνων, ὅπου ἐστὶν ἐπὶ κλίνην.

Digitized by Google

Κνημίδαι, οὐκ ἀεὶ λέγει πολεμικάς, ἀλλὰ βύρσας. δι' ὧν αἱ κνῆμαι τοῖς ἀγρόταις καλύπτονται. οὕτω δὲ καὶ κυνέην αἰγείην, οὐ τὴν ἐν μάχῃ χρυσῆν, ἀλλὰ τὸ ἁπλοῦς ἐξ αἰγὸς κάλυμμα τῆς κεφαλῆς.

Κνημῖδες, ὅπλον σκέπον τὰς κνήμας, ἀφ' ὧν καὶ παρονομάζονται. τούτων τὰ ἄκρα ἐπισφύρια λέγονται, ὡς τοῖς τῶν ποδῶν κάτω σφυροῖς προσαρμόζοντα.

Κνημὶς, ὅπλον σκέπον τὰς κνήμας τῶν στρατιωτῶν, ἀφ' οὗ ἐϋκνήμιδες Ἀχαιοὶ, ἀπὸ μέρους οἱ εὔοπλοι. κνημοὶ δὲ ἐπὶ ὀρεινῶν τινῶν μερῶν λέγονται, οὕτω καὶ αἱ κνημῖδες.

Κνημὶς, καὶ τὸ εὐκνήμις. βαρύνεται δὲ τὸ εὐκνήμις κανόνι τοιούτῳ. τὰ εἰς ις θηλυκὰ ὀξύτονα, εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσει τὸ θηλυκὸν μόνον γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει. οἷον σκελὶς, περισκελίς. εἰ δὲ μεταληπτὰ γίνονται, καὶ ἀρσενικοῦ γένους, μεθίστανται εἰς βαρεῖαν τάσιν. οἷον ἐλπὶς, δύσελπις. τοῦτο γὰρ κοινόν ἐστι τῷ γένει. ταύτῃ τοι καὶ τὸ καταιγὶς μὲν ὀξύνεται, ὡς μονογενές. τὸ δὲ μελάναιγις βαρύνεται. οὕτω καὶ τὸ κληῒς, εὔκληις. κνημὶς, εὐκνήμις. ὁμοίως καὶ ψηφὶς, πολυψηφίς. ὡς τὸ πολυψηφῖδα παρ' ὅρμον φλέγειν. καὶ οὕτω μὲν τὸ εὐκνήμις βαρύνεται.

Κνημὶς, ὄρος. ὅθεν οἱ ἐπικνημίδιοι, ὑπὸ ὄρος κνημῖδα.

Κνημοὶ Ἴδης, οἱ μεταξὺ τοὺς πρόποδας, ἐκ μεταφορᾶς τῶν ζωϊκῶν μετὰ πόδας κνημῶν. οἱ δέ τινες δασεῖς τόπους ἑρμηνεύουσι τοὺς κρημνοὺς, καλῶς φασι καὶ αὐτοὶ, ὡς τῶν ταπεινοτέρων τόπων ἐν τοῖς ὄρεσι δασυτέρων ὄντων, διὰ τὸ ἐκεῖ συλλείβεσθαι τὰ ὕδατα.

Κνημοὶ, τὰ ὑψηλότερα τῆς ὑπωρείας, ἔνθα συλλειβομένων τῶν ὑδάτων ὕλη πυκνοῦται. τὰ γὰρ κορυφαῖα τοῦ ὄρους δυσάντης τε ὑλοτόμοις, καὶ οὐδὲ λάσιά εἰσι.

Κνημοῦμαι, φθείρομαι.

Κνημοὺς, δασεῖς, τραχεῖς καὶ δυσβάτους τόπους.

Κνημοθῆναι, φθαρῆναι.

Κνημῶσαι, περιχῶσαι, φράξαι, κλεῖσαι, ἐλθεῖν.

Κνησείοντα, ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι.

*Κνησέρα, ῥάκος χονδροῦ καὶ ἀραιὸν δι' οὗ διηθοῦσι τινὰ ὡς δι' ἠθμοῦ.

Κνησθείην, κνῆσμα καὶ κνησμονὴ καὶ κνησμὸς, ἐκ τοῦ κνήθω.

Κνηστὴρ, φονεὺς, ὀλετήρ.

Κνῆστις, σιδήριόν τι, ᾧ ξέουσιν οἱ μάγειροι τὸν τυρόν. καὶ κνῆκος, δι' οὗ βάπτουσι.

Κνῆστις, ἰδίως ἡ τυροτόμος μάχαιρα. ἣν ὁ κωμικὸς συνθέτως τυροκνῆστιν λέγει. Ὅμηρος διαλελυμένως κατὰ τρόπον ἐτυμολογίας, αἴγειον κνῆ τυρὸν, καὶ κνήστι χαλκείῃ. καὶ γίνεται ἀπὸ κνάω κνῶ, τὸ κόπτω, ἐξ οὗ καὶ κναίνω, καὶ ἀποβολῇ τοῦ ν κναίω, τὸ κνήθω.

Κνῆστις, κωπὶς, σιδηρᾶ ξυστὴρ, ἐν ᾗ ξύουσι τὸν τυρόν. τινὲς δὲ καὶ τὴν ῥάχιν ἀκούουσιν, ἔνιοι τὸ ὀκνεῖν.

Κνηστὸς ἄρτος, Ἀρτεμίδωρος.

Κνηττὸν, τὸ κνεωρόν.

Κνησιῶντες τὰς ἀκοὰς, ἀντὶ τοῦ ἐπιθυμητικῶς ἔχοντες ἀκούειν.

Κνῆστρον, ὅπερ καὶ κνέωρον λέγεται. ἔστι δὲ καὶ μαχαιρίδιον, ὑφ' οὗ ξέεται ὁ τυρὸς, παρὰ τῷ Ἱπποκράτει.

Κνίδαι, σκνῖφαι, καὶ πόα τίς.

Κνίδη, βοτάνη, καὶ κνίδιος καρπός.

Κνίδιος, τὸ πικρόν. κνίδειος δὲ καρπὸς, δίφθογγον τὸ δει.

Κνιδᾶται, δάκνεται, ἴσως ἀπὸ τῆς πόας.

Κνίδος, νῆσος Ῥόδου.

Κνίδοντες, κνίδῃ μαστιγοῦντες.

*Κνιδώσιες, νύξεις τινὲς κνησμώδεις, οἷαι καὶ ἀπὸ κνίδης γίνονται παρὰ τῷ Ἱπποκράτει.

Κνίζειν, τὸ κατατέμνειν καὶ ἐκθλίβειν, συκάμινα κνίζειν. φασὶ γὰρ τὴν συκάμινον κάθυγρον οὖσαν κατατέμνεσθαι ξίφεσι τῶν γεωργῶν τὸν φλοιὸν αὐτῆς, ἵν' ὅπως πεπαίνειν τοὺς καρποὺς αὐτῆς ἔχῃ. καὶ γὰρ εἰ μὴ τοῦτο ἦν, ἀπώλοντο ἂν οἱ καρποὶ αὐτῆς ἐκ τῆς οὕτω πολλῆς ὑγρότητος, ὡς γεννώσης σῆψιν αὐταῖς.

Κνίζειν, τὸ ἐρωτικῶς λυπεῖν, καὶ συντάσσεται αἰτιατικῇ. κνιζᾶται δὲ κύων, ἀμεταβάτως διὰ τοῦ υ ψιλοῦ, ὅτε προσερχόμενος καὶ σαίνων, λαλιάν τινα ὑπὸ χαρᾶς ἀφίησιν. ἰστέον δὲ, ὅτι κνίζομεν, καὶ κνίδη, κοινῶς εἶδος βοτάνης, ἣν ἀκαλύφην οἱ ἰατροὶ λέγουσι. καὶ κνίσσα, καὶ ἀναπεμπόμενος ἀτμὸς, ἀπὸ καιομένων θυμάτων. καὶ κνισσᾶν, τὸ θυσίαν ἔμπυρον θύειν. ὡς παρ' Ἀριστοφάνει, ἐφ' ὅτῳ κνισσῶμεν, ὅτῳ ἀγυιεῖς, ἤγουν τοὺς ἐν ταῖς ἀγυιαῖς καὶ τοῖς στενωποῖς θεούς. ἡ εὐθεῖα ὁ ἀγυιεύς. καὶ κνισμὸς, ἡ ἐρωτικὴ λύπη.

Κνίζων ἢ κνιζείων, λυπῶν, ἢ συκάμινα τέμνων.

Κνίζων αἰτιατικῇ, λυπῶν ἢ τέμνων. παρὰ τὸ κνῶ, τὸ κόπτω. τοῦτο δὲ παρὰ τὸ κινῶ, ἐξ οὗ κνήθω καὶ κνίζω, τὸ ἐξ ἐπιπολῆς καὶ ἰσχνῶς ξύω. ἀλλ' ἀρότρῳ βραχύβωλον ἐπικνίζοντι χαράσσων.

Κνίπα, πτίλη.

Κνιπεῖν, σείειν, ξύειν μέλαθρα καὶ δοκούς.

Κνῖπες, ὄμματα περιβεβρωμένα, καὶ ζωΰφια τῶν ξυλοφάγων.

Κνιπίδος, πέρασμα δορᾶς.

Κνὶξ, ζῶον πτηνὸν, ὅμοιον κώνωπι.

Κνιπεία, ἡ φειδωλία.

Κνιπότητα, τὸν κνισμόν. ἔνιοι δέ φασι τὴν ξηροφθαλμίαν, παρὰ τῷ Ἱπποκράτει.

Κνίσα, ἀτμὸς, καπνὸς τῶν θυσιῶν, καὶ τὸ λίπος τοῦ ἱερείου, καὶ ὁ ἐπίπλους.

Κνίσματι, σπαράγματι, καὶ τὰ ποθούντων κνίσματα, καὶ μύστην λύχνον ἀπητημένη.

Κνισμός ἐστι κυρίως, ἡ πρὸς τὴν μίξιν βακχεία καὶ πύρωσις. ὃς καὶ κατακνισμὸς λέγεται. καὶ κατακέκνισμαι, ἀντὶ τοῦ ὑπ' ἔρωτος πάσχω.

Κνίσσα. κοινότερον μὲν διὰ δύο σσ γράφεται. Ἡρωδιανὸς δὲ θέλει ἀπὸ μέλλοντος αὐτὴν γενομένην τοῦ κνίζω κνίσω, δι' ἑνός τε γράφεσθαι σ, καὶ ἔκτασιν λαβεῖν τοῦ ι. δηλοῖ δέ φασιν ἡ κνῖσα τὴν κατ' ὀλίγον, ἀπὸ τοῦ ὀπτωμένου ἀναφορὰν τῇ ὀσφρήσει. καὶ ἄλλως. κνίσσα, λέγεται μὲν καὶ ἐπὶ λίπους, καὶ ἄλλων τινῶν. σημαίνει δὲ καὶ τὴν ἀπὸ κρεάτων ὀπτωμένων ἀνάδοσιν τοῦ καπνοῦ. ὅτι δὲ ἡ κνῖσα, καὶ δι' ἑνὸς σ γράφεται, καὶ ἐκτείνει τὴν παραλήγουσαν, καὶ ἐκ τοῦ κνῶ κνίζω γίνεται, κατὰ τὸν Ἡρωδιανόν. κνίσση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ, καὶ οὕτω νοεῖτ' ἂν τὸ ῥηθὲν, ἀντὶ τοῦ κνίσσαν ἤγαγον περιελισσομένην καπνῷ, εἴτ' οὖν τὸν οὐρανὸν ἐκνίσσωσαν θύμασι.

Κνίσσα, ἡ ἀναθυμίασις τῶν θυομένων τοῖς εἰδώλοις.

Κνίσσαι, φθεῖραι, ὀλέσαι, λυπῆσαι.

Κνισαλέῳ, περικνίστῳ.

Κνισῆεν, εὐῶδες.

Κνισμὸς, ζηλοτυπία, ἢ μέλος τι κνισμῷ αὐλούμενον.

Κνισολιχὸς, λίχνος.

Κνιστὰ, λάχανα συγκεκομμένα.

Κνισσάριον, τὸ μικρὸν λίπος.

Κνίφεια, κνίδας.

Κνὶψ, ζωΰφιον, ἡ γενικὴ τοῦ κνιπός, μεταπίπτει εἰς εὐθεῖαν, καὶ σημαίνει τὸν ὀλίγα δαπανῶντα.

Κνοῦς, ὁ ἐκ τοῦ ἄξονος ἦχος. λέγεται δὲ καὶ κνοὴ, καὶ ὁ τῶν ποδῶν ψόφος, ὡς Αἰσχύλος Σφιγγί. τινὲς δέ φασι κνοῦν μὲν, ἦχον. κνοίην δὲ μέρος τοῦ ἄξονος, ἡ χοινικίς.

Κνόσαρ, ὁ ξηρός.

Κνύειν, κρούειν.

Κνύειν, κνήθειν, ξύειν.

Κνῦ, τὸ ἐλάχιστον ὅπερ καὶ γρῦ.

Κνύζεσθαι, μοχθεῖν, κλαίειν, ἀσπαίζεσθαι.

Κνυζεῦνται, παρὰ Θεοκρίτῳ, ἐν τῷ κοιμᾶσθαι, ἄσημον, καὶ ἄναρθρον ἀποτελοῦσι φωνήν. ὑποψιθυρίζουσι γὰρ φαντασιαζόμενα. λέγεται δὲ κυρίως τὸ κνυζᾶσθαι ἐπὶ τῶν ὀρνέων, καὶ ἐπὶ τῆς ἀσήμου καὶ ἡσύχου ὑλακῆς τῶν κυνῶν. παρὰ δὲ Θεοκρίτῳ ἀντὶ τῆς ἀνάρθρου φωνῆς, ἣν προΐεται τὰ ὀνειρώττοντα παιδία.

Κνυζηθμὸν, ποππυσμόν τινα, καὶ ποιὸν ἦχον οἱ παλαιοὶ λέγουσι. δῆλον δὲ ὡς ἐκ τοῦ κνυζῶ, κνυζήσω κνυζηθμὸν, ὡς ὀρχήσω ὀρχηθμόν. καὶ ὡς ἄλλο ῥῆμα τοῦτο, παρὰ τὸ κνυζώσω δὲ οἱ ὄσσε, ὥς τε τὸ κνιζῶ πολλαῖς μεμέρισται συζυγίαις. τριχῶς γὰρ φέρεται, κνυζῶ, κνυζεῖς κνυζῶ, κνυζᾷς. ὡς ἐν τοῖς Ἀθηναίου. καὶ κνυζῶ, οῖς. οὐ πολλὰ δὲ τῶν περισπωμένων ῥημάτων οὕτω τριλογοῦνται.

Κνυζηθμὸς, λέγεται ποιά τις ἐπὶ κυνῶν φωνή.

Κνυζήματα, Ἴωνες λέγουσι τὰ γοερὰ ἀποφθέγματα.

Κνυζήσω, ἀπρεπεῖς ποιήσω, λυπήσω.

Κνυζὸν ἀέρα, ἐπινέφελον, καὶ πνευματώδη.

Κνυζοὶ, οἱ τὰ ὄμματα πονοῦντες.

Κνυζούμενον, στένοντα. φωνῇ κυνῶν. ἢ κνυζούμενον, γοερὸν φθεγγόμενον.

Κνυζώμενος, ἐπὶ κυνός. καὶ κνυζῶσαι, ἀντὶ τοῦ λυπῆσαι.

Κνύζωψ, λάχανον ὅμοιον σελίνῳ.

Κνυζώσω, κνυζῶ, τὸ διαφθείρω καὶ κακῶ, ὁ μέλλων κνυζώσω.

Κνυζώσω, ἀντὶ τοῦ ῥυσώσω, ἀπρεπεῖς καὶ ῥυσοὺς ποιήσω. ὁποῖοί φασιν οἱ τῶν καθευδόντων ὀφθαλμοί. κατὰ δέ τινας καὶ οἱ τῶν κυνῶν. διὸ καὶ ἐντεῦθεν παρῆχθαι δοκεῖ τὸ κνυζοῦν. καὶ κνυζηθμὸς ἐπὶ κυνῶν λέγεται. Ἡρωδιανὸς ἐμφαίνει, ἀπὸ τοῦ κνύζειν γενέσθαι τὸν κνυζηθμόν.

Κνυζοῦται κύων, ἀμεταβάτως, διὰ τοῦ υ ψιλοῦ, ὅτε προσερχόμενος καὶ σαίνων λαλιάν τινα ὑπὸ χαρᾶς ἀφίησι. γράφεται καὶ κνιζοῦται.

Κνύθα, κνυθμὸς. ἀπὸ τοῦ κνύζεσθαι, ἐπὶ τῶν κυνῶν. καὶ ἡ κόνυζα, κατὰ συγκοπήν.

Κνύθος, ἄκανθα μικρά.

Κνυθὸν, σμικρόν.

Κνύμα, ὀνοματοπεποίηται τῇ μιμήσει τοῦ ψόφου, δηλοῖ δὲ καὶ τὸν ἠρέμα στενάζοντα, ἐπὶ δὲ τῶν κυνῶν γίνεται κνυζηθμός.

Κνῦμα, ὁ ἠρεμαῖος κνησμός.

Κνυπώσω, θριγκώσω.

Κνύσσω, παρὰ τὸ ὄσσω, τὸ βλέπω, ἢ παρὰ τὸ κινεῖσθαι τοῦ βλέπειν.

Κνώδακες, οἱ ἐν τοῖς φυσητῆρσιν ἀσκοί.

Κνώδαλον, κυρίως ἐπὶ τοῦ θαλαττίου θηρίου, παρὰ τὸ ἐν ἁλὶ κινεῖσθαι. εἴρηται δὲ καὶ ἐπὶ τοῦ χερσαίου. κνώδαλον παρὰ τὸ κυσὶν ἁλίσκεσθαι. καὶ κνῶδα, τὴν τῆς μήκωνος κεφαλὴν οὕτω καλοῦμεν. καὶ ἄλλως κνώδαλα, κυρίως μὲν τὰ τῆς θαλάττης ζῶα. καταχρηστικῶς δὲ καὶ ἐπὶ πάντων τῶν θηρίων ἡ λέξις τίθεται. Ἡσίοδος ἐν θεογονίᾳ, κνώδαλα ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα. λέγεται παρ' Ὁμήρῳ τὸ χερσαῖον, παρὰ τὸ ὑπὸ κυνῶν ἁλίσκεσθαι ὅτε δὲ καὶ ἐπὶ θαλασσίου θηρίου κνώσσοντος ἐν τῇ ἁλὶ, λέγεται ἡ λέξις.

Κνώδαξ, κέντρον, ἄξων, γνώμων, ὄργανον χρυσοχοϊκὸν, καὶ χαλινόν.

Κνώδη, χωρία, θηρία.

Κνώδοντι, παρὰ τῷ Λυκόφρονι πελέκει. κυρίως δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον, παρὰ τὸ πρὸς τὸ κναίειν ὀδόντι.

Κνώδων, τὸ ξίφος. κνώδαξ δὲ κνώδακος, τὰ σιδήρια τοῦ τόρνου, ἐν οἷς τὸ τορνευόμενον ξύλον ἐμβαλλόμενον στρέφεται.

Κνώδων, ἡ ἀκμὴ τοῦ ξίφους καὶ τοῦ δόρατος.

Κνώζει, βοᾷ.

Κνώμενοι, γαργαλιζόμενοι, ἢ κνηθόμενοι ἢ θελγόμενοι.

Κνῶος, ἡσυχία πάντων.

Κνῶπες, τὰ θηρία. Νίκανδρος, ἵνα κνῶπες τραφερὴν βόσκονται ὕλην. κινώπετα δὲ καὶ κνώπετα, καὶ κνῶπες, τὰ θηρία τὰ ἐν τῷ πέδῳ, καὶ τῷ πέδῳ κινούμενα. ἤτοι τὰ χερσαῖα, ὥσπερ τὰ θαλάσσια. κνώδαλα, καὶ τὰ χερσαῖα καὶ ὀρείτροφα, ἢ παρὰ τὸ κνώσσειν, καὶ κοιμᾶσθαι ἐν τοῖς ὑδαροῖς καὶ δασέσι τόποις.

Κνωπεύς, ἄρκτος. ἔνιοι κνυπεύς.

Κνώσσειν, τὸ κοιμᾶσθαι, καὶ ὑπνώττειν, παρὰ τὸ κενὰ καὶ ἀργὰ εἶναι τὰ ὄσσα εἰς τὸ κοιμᾶσθαι, κενώσσειν, καὶ συγκοπῇ κνώσσειν.

Κνωσσὸς, πόλις, καὶ κνωσσία.

Κνώσσω, τὸ κοιμῶμαι.

Κνωσὸς,

Digitized by Google

Κνωσὸς, πόλις.
Κνωσίοντι, καθεύδοντι.
Κνωσιάκωλα, τὰ ὁρμητικά.
Κνώψ, ὁ τυφλός.

ΤΟ' Κ'. ΜΕΤΑ' ΤΟΥ Ο'.

ΚΟαῖ, ἀκύει, πέπειθεται.

Κοαλδεῖν, Λυδοὶ τὸν βασιλέα.

Κοάλεμον, λέγει Ἀριστοφάνης τὸν κολὺοντα καὶ παύοντα τὰ κακά. ὅτι καὶ αὐτὸς ἔμελλε παύσειν τὸν Κλέωνα. ἢ κοάλεμον, τὸν ἀγοράκερον οὕτως εἶπεν. ἔγκειται δὲ τῇ λέξει τό, τε ἠλίον καὶ τὸ κοεῖν, ὅ ἐστι νοεῖν. τὸν οὖν ἀνόητα καὶ μάταιον κοῦντα, κοάλεμον εἶπεν.

Κοάλεμον αἱμασπότην. Ἀριστοφάνης ἱππεῦσι, σημαίνει τὸν μωρὸν, παρὰ τὸ κοῶ ῥῆμα, δηλοῦν τὸ νοῶ.

Κοάλεμοι, οἱ ἀνόητα κοῦντες, καὶ νοῦντες.

Κοαλιοὶ, βάρβαρον ἔθνος.

Κόαλοι, βάρβαροι.

Κοάξ, βάτραχος.

Κοὰξ κοάξ, ἐπίφθεγμα τῶν βατράχων. Ἀριστοφάνης ἐν βατράχοις, βρεκεκεκὲξ κοὰξ κοάξ.

Κόαρον, ἐλάχιστον.

Κοάσαι, αἰσθέσθαι.

Κοάχλικας, ἄρτους.

Κόβαχτα, κολακεύματα, πανουργήματα.

Κόβαλα, κακοῦργα, καὶ ἀνελεύθερα. Δίδυμος, κατεστωμιλμένα, ἀπατητικὰ, καὶ κακοβούλους τοὺς κοβάλους λέγει.

Κόβαλα, καλοῦσι τὰ πανουργεύματα, σοφίσματα, κλέμματα. καὶ κοβαλεία, ἡ προσποίητος μετὰ ἀπάτης παιδιά. καὶ κόβαλος, ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ. Φιλόχορος δευτέρῳ ἀτθίδος. οὐ γὰρ ὡς ἔνιοι λέγουσι, βωμολόχον τινὰ καὶ κόβαλον, νομιστέον τὸν Διόνυσον. Ἀριστοτέλης δὲ ἐν δευτέρῳ ἱστορίας ζώων, τὸν ὦτόν φησι κόβαλον, καὶ μιμητὴν ὄντα, ἀντορχούμενον ἁλίσκεσθαι.

Κοβαλεύειν, τὸ μεταστρέφειν τὰ ἀλλότρια μισθοῦ κατ' ὀλίγον.

Κοβαλεύω, λῃστεύω, πανουργεύω.

Κόβαλοι, δαίμονές εἰσί τινες, σκληροὶ περὶ τὸν Διόνυσον. Ἀριστοφάνης καὶ ἀλλαχοῦ λέγει ἐκ παραλλήλου κοβάλους καὶ πονηρούς.

Κοβαλικεύμασι, τὸ κολακεύειν, καὶ πρὸς χάριν δημηγορεῖν. ἐπεὶ καὶ Κλέων ἐδόκει παρὰ τοῖς Ἀθηναίοις εὐδοκιμεῖν, διὰ τὸ πρὸς ἡδονὴν καὶ χάριν δημηγορεῖν, Ἀριστοφάνης.

Κόβαλος, ἀνελεύθερος, πανοῦργος, λῃστὴς, ἀπὸ τῆς κοπίδος, ἢ ὁ κακότεχνος.

Κόβαρος, ἄνθρωπος.

Κόβηρα, γελοῖα. καὶ κόβηρος, γελαστὴς, λοιδορίστης.

Κοβελίσκον, τυβλίον.

Κόγκαλος, κονιορτὸς, ῥόμβος, στρόβιλος, πάλη.

Κογκυλεύοντες, κογκύλιον ἐκπιέζοντες.

Κόγξ, ὄμπαξ, ἐπιφώνημα τετελεσμένοις, καὶ τῆς δικαστικῆς ψήφου ἦχος, ὡς ὁ τῆς κλεψύδρας. παρὰ δὲ Ἀττικοῖς, βλώψ.

Κογχαλίζειν, πεποίηται ἀπὸ τοῦ ἤχου τῶν κόγχων.

Κόγχας, καὶ χήμας, καὶ τὸ μεῖζον.

Κόγχην, τὸ ἐλάχιστον λέγουσι, καὶ κόγχης ἄξιον, τὸ οὐδενὸς ἄξιον.

Κόγχην διελεῖν, παροιμία ἐπὶ τοῦ ῥαδίως τι ποιῆσαι.

Κογχίτης, εἶδος λίθου.

Κόγχναι, αἱ ὄχναι.

Κόγχον, τὴν χήμην παρὰ τῷ Ἱπποκράτει.

Κόγχον διεῖλες, ἴσον ἐποίησας.

Κόγχος, κοχλίας.

Κογχυλαγόνες, γυναῖκες, νύμφαι.

Κογχύλαι, κηκίδες.

Κογχυλίας, λίθος σκληρὸς, ἔχων ἐν ἑαυτῷ κογχυλίους τύπους.

Κογχύλια, τὰ ὄστρεα. καὶ κογχύλη, ἡ πορφύρα.

Κόδαλα, ἰχθὺς ὁ κεστρεύς.

Κοδαλεύεσθαι, ἔνδον διατρίβειν.

Κοδαλεύομαι, ἐνδομυχῶ.

Κοδαλευομένη, ἀρεσκευομένη, ἀφραγοῦσα.

Κοδημήϊον, καμινευτικόν.

Κοδομεύει, φρύγει τὰς κριθὰς, καὶ ἔργῳ οἰκοδομεῖ.

Κοδομεύειν, τὸ ἐν ἰπνῷ φρύγειν, ἢ τινι ἀγγείῳ.

Κοδομὴ, ὄνομα. θεραπαινὶς, ἀπὸ τοῦ κοδομεύειν, ὅπερ ἐστὶν ἐν ἰπνῷ φρύγειν.

Κοδομία, ἰπνία, φρυκτία, ἀλεκτία.

Κοδράντης, τὸ πᾶν, ἢ τὸ τέταρτον τῆς φόλεως, ἢ λεπτόν. τὸ δὲ λεπτὸν, ἑξακισχιλιοστὸν ταλάντου, ὅ ἐστι νόμισμα ἕν, ἢ κόκκοι τρεῖς. τὸ δὲ τάλαντον, λίτραι ἑκατὸν εἰκοσιπέντε. ὁ δὲ κοδράντης, νομίσματα τρία. ὁ δὲ ἔσχατος κοδράντης, τὸ τέταρτον τῆς φόλεως.

Κοδρίτης, ἄρτος.

Κόδρους, οὓς ἡμεῖς λέγομεν κρονικούς τινας, τὸ ἀρχαῖον αὐτῶν ἐμφανίζοντες. Ἀθηναῖος, λαμπρὸς τῷ γένει.

Κοδύμαλον, τὸ στρούθειον μῆλον, οἱ δὲ κυδώνιον, οἱ δὲ ἄνθους εἶδος, οἱ δὲ κόσμος περιτραχήλιος.

Κοδώνεα, σῦκα χειμερινὰ, καὶ καρύων εἶδος περσικῶν.

Κοθεῖ, αἰσθάνεται, νοεῖ.

Κόθημα, ἐπὶ τοῦ αἰδοίου, καὶ κότιλον ὁμοίως.

Κοθοῦριν, ἀλώπεκα.

Κόθορνος, ὑπόδημα ἀμφοτέροις τοῖς ποσὶ πεποιημένον. τινὲς δὲ καὶ ἀνδράσι καὶ γυναιξὶν ἐφαρμόττειν φασὶ τὸ ὑπόδημα τὸν κόθορνον.

Κόθουρος, ὁ κύνδουρος. κηφῆνεσσι κοθούροις ἴκελος ὁρμὴν, παρὰ τὸ κεύθειν τὴν οὐρὰν, ἢ ὁ κολοβὴν οὐρὰν ἔχων. κόθουρος, καὶ ὁ κλέπτης, καὶ ὁ κρύπτων.

Κόθουρος, ἀργὸς, ἄκεντρος.

Κοθώ, βλάβη.

Κοθωκίδαι, δῆμος.

Κοῒ κοῒ, παρὰ τῷ Ἀριστοφάνει, αἱ παῖδες μιμοῦνται τὴν τῶν χοίρων φωνὴν, κοῒ κοῒ λέγουσαι.

Κοία, κλέψημα.

Κοιὰς, σφαίρας, ἢ λίθους.

Κοιάζει, ἐνεχυράζει.

Κοίασον, συνήθες.

Κοιᾶται, ἱερᾶται.

Κοιγὰ, κοῖλα.

Κοίελος, τὸ ἐν τοῖς κυάμοις θηρίδιον.

Κοΐζει τὰ χοιρίδια, μιμητικῶς λέγεται.

Κοίημα, γέννημα.

Κοίης, ἱερεὺς καβείρων, ὁ καθαίρων φονέα. οἱ δὲ κόης.

Κοῖκες, ἐν Αἰθιοπίᾳ φοινίκων εἶδος, καὶ τὰ πεπλεγμένα ἐκ τῶν φύλλων τοῦ δένδρου σκεύη, φορμοί.

Κοικύλλειν, περιβλέπειν. κῦλα γὰρ τὰ ἐπάνω τῶν ὀφθαλμῶν, οἱ δὲ τὸ περιστρέφεσθαι καὶ διατρίβειν περιβλεπόμενον. ἄλλοι, φθονεῖν.

Κοῖλα, τὰ ὑποκάτω τῶν βλεφάρων κοιλώματα, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς, μῆλα, τὰ ὑπώπια.

Κοιλάδες, πεδία, λιβάδες.

Κοιλᾶναι, κοῖλον ποιῆσαι.

Κοιλὰς, τὸ πλῆθος, ἢ τὸ βάθος.

Κοιλὰς, τὸ πεδίον, καὶ ἡ βαθεῖα γῆ.

Κοιλέμβολον καλεῖται, ἐπειδὰν ἡ δίστομος διφαλαγγία. τὰ μὲν ἑπόμενα κέρατα συνάψῃ, τὰ δὲ ἡγούμενα διαστήσῃ.

Κοίλουσι, βαθείαις.

Κειλία, ὀχετὸς ἐν Κυρήνῃ, καὶ τὸ ἐκ ξύλων οἴκημα.

Κοιλία, ἀπὸ τοῦ κοῖλον εἶναι, ἢ ἀπὸ τοῦ λεαίνειν τὴν τροφὴν καὶ χυλοῦν, χολία καὶ κοιλία.

Κοιλίας. Ὅμηρος διαπαντὸς γαστέρας καλεῖ, οὐ κοιλίας.

Κοιλιδιᾶν, οἷον τὰ κοῖλα τῶν ὀφθαλμῶν οἰδεῖν.

Κοιλὶς, δῆμος Ἀττικῆς.

Κοίλισκον, κοῖλον.

Κοιλοβοῦρος, σιτοκοῦρος, ἀχρεῖος, κακοῦργος, ἀλώπηξ.

Κοῖλον λόχον, ἀστείως ἔφη Ὅμηρος τὸν δούρειον ἵππον. καὶ βαθὺν δόλον, προσεῖπεν αὐτόν. λέγεται καὶ ὁ Σοφοκλῆς εἰπεῖν, ὕπουλον δούρειον ἵππον.

Κοῖλον τοῦ ποδὸς δεῖξαι, ἐπὶ τῶν εἰς φυγὴν τρεπομένων.

Κοιλοπίτυξ, ὁπλίτης. τινὲς δὲ οἰστός.

Κοῖλος αἰγιαλὸς, ἁπλῶς ὁ βαθύς. οὐ γὰρ ἦν αἰγιαλοῦ ὀφρὺς, μὴ βαθέως ὑποκειμένου τοῦ κατὰ τὸ ὕδωρ.

Κοῖλος θυρεὼν, οὐκ ἔχων θύρας.

Κοιλόσυρτος, ὁ χωλός.

Κοιλότερα, βαθύτερα.

Κοιλοῦ κρατῆρος, τοῦ μυχοῦ. τὰ γὰρ κοῖλα, οὕτως ἐκάλουν.

Κοιλώμασι, ταπεινώμασι.

Κοιλῶπις, βαθεῖα ἶδρις.

Κοιλῶπαν, περίζωμα.

Κοιλώτεα. δένδρον τί.

Κοιμᾶσθαι, μεθύειν, μαίνεσθαι, τρία πάθη ἀναισθησίας, τοῦ μὲν κοιμᾶσθαι ἐναντίον, τὸ ἐγρηγορέναι. τοῦ μεθύειν, τὸ νήφειν. τοῦ δὲ μαίνεσθαι, τὸ σωφρονεῖν.

Κοιμάστριος, κοιτών.

Κοιμηθέντι, κατακλιθέντι, οὐ πάντως ὑπνώσαντι.

Κοίμησιν, διὰ τοῦ η γραφὲν αἰολικῶς, ἔτρεψε τὸ ι εἰς η, κατὰ τοὺς παλαιούς.

Κοιμίζει, κατακλίνει.

Κοιμίσαι τὸν λύχνον, Νικοφῶν Πανδάρῳ. καὶ κοιμίσαι, ἐπὶ θανάτῳ, Σοφοκλῆς.

Κοίμισον ὀδύνας, ταυτὸν παῦσον ὀδύνας.

Κοῖμος, ὁ πάντα ἐν αὐτῷ διατεταγμένα ἔχων καὶ κεκοσμημένα.

Κοιμῶμαι, δαρθάνω, εὕδω, καθεύδω, κοιτάζω, ὑπνώττω, ὑπνῶ.

Κοιναχόρτος, κοινὴ, δημοσία.

Κοινεῖ, πορνεῖ, καπηλεῖ, μιαίνει.

Κοινοβούλας, τοὺς συνέδρους.

Κοινοδήμιον, τὸ δημόσιον.

Κοινοκαθέντας, συνθηκοφύλακας.

Κοινολογεῖται, διαλέγεται κοινῇ.

Κοινολεχὴς, ὁ κοινὸν λέχος ἐπὶ μοιχείῃ ποιούμενος.

Κοινολογία, ἡ κοινὴ διάλεκτος. κοινὴ δὲ, ἀντὶ τοῦ ἀνθρωπίνη, μεγάλη, καὶ θαυμαστή. ἐγὼ δὲ κοινῇ συμφορᾷ πεπληγμένος.

Κοινὸν ἐμοὶ καὶ σοὶ, μετὰ δοτικῆς συντάσσεται.

Κοινὸν, βδελυκτὸν, ἀκάθαρτον.

Κοινὸν γραμματεῖόν ἐστιν, εἰς ὃ ἐνεγράφοντο οἱ εἰσαγόμενοι εἰς τοὺς φράτορας, καὶ γεννητάς. τὸ δὲ ληξιαρχικὸν, εἰς ὃ ἐνεγράφοντο οἱ εἰς τοὺς δήμους ἐγγραφόμενοι, ὡς δεικνύουσιν ἄλλοι τε ῥήτορες, καὶ Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλήρου.

Κοινὸν γένος, τὸ τὰς μὲν πτώσεις ἔχον τὰς αὐτὰς, ὑποτασσόμενον δὲ ἰδίοις ἄρθροις. οἷον ὁ ἄνθρωπος, καὶ ἡ ἄνθρωπος, ὁ κύων καὶ ἡ κύων, ὁ ἵππος καὶ ἡ ἵππος.

Κοινὸν, ἢ τὸ ἐν πολλοῖς θεωρούμενον, ἢ τὸ πολλῶν κατηγορούμενον. κοινὸν, καὶ τὸ ἀκάθαρτον, ἢ τὸ μηδὲν ἔχον πλέον τῶν λοιπῶν.

Κοινὸν, τετραχῶς λέγεται. ἢ τὸ εἰς τὰ μέρη διαιρετὸν, ὡς ἡ κληρουχουμένη γῆ, ἢ τὸ ἀδιαίρετον, ἐν χρήσει κοινῇ λαμβανόμενον, ἢ τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον, εἰς δὲ τὸ κοινὸν ἀναπεμπόμενον, ὡς ὁ ἐν θεάτρῳ τόπος, ἢ ἐν βαλανείῳ, ἢ τὸ ἀδιαιρέτως. εἰς κοινὴν καὶ τὴν αὐτὴν ἔννοιαν προβαλλόμενον, ὡς ἡ φωνὴ τοῦ κήρυκος. κοινὰ δὲ καὶ ἀμέριστά εἰσιν, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα.

Κοινὸς, οἶμαι, ὅτι παρὰ τὸ κείω, τὸ κεῖμαι, κεῖνος, καὶ κοινὸς, ὁ πᾶσι προκείμενος, ἢ γινόμενος, ἢ παρὰ τὸ γῶ, τὸ χορῶ, καὶ δέχομαι, γίνεται γοινὸς, καὶ κοινὸς, ὁ δεκτικὸς καὶ εὐπρόσδεκτος.

Κοινὸς, κυρίως γὰρ ὁ ἐξ αἵματος μεμολυσμένος. σημαίνει καὶ τὸν μηδὲν πλέον τῶν ἄλλων διαφέροντα, διὰ τὸ εἰς κοινὸν ἰέναι τὰ μέρη. σημαίνει καὶ τὸν ἀναμεμιγμένον τοῖς πᾶσιν. ἐξ οὗ καὶ ῥῆμα, κοινῶ κοινώσω.

Κοινὸς Ἑρμῆς. παροιμία ἐπὶ τῶν κοινῇ τι εὑρισκόντων.

Κοινῶ, χωρὶς προθέσεως. Συνέσιος, κοινῶσαι λόγον τοῖς Ἕλλησι. καὶ ἀνακινῶ μετὰ προθέσεως. Λιβάνιος, ἐχρῆν αὐτὸ τοῦτο ἀνακοινοῦν τῷ δήμῳ.

Κοινῶ, τὸ μολύνω καὶ κοινόω.

Κοινωνείτω, μεταδιδότω. κοινωνείτω δὲ ὁ κατηχούμενος, ἀντὶ τοῦ λόγου τῷ κατηχοῦντι ἐν πᾶσιν.

Κοινωνία, ἡ τῶν θείων μυστηρίων μετάληψις, διὰ τὸ τὴν πρὸς Χριστὸν ἡμῖν χαρίζεσθαι ἕνωσιν, καὶ κοινωνοὺς ἡμᾶς τῆς αὐτοῦ βασιλείας ποιεῖν. καὶ κοινωνία, ἡ ἐλεημοσύνη.

Κοινωνικὸς, πιστικὸς, πρᾶος, προσηνὴς, ἄτυφος, συγκαταβατικὸς, ἀπὸ τοῦ μεταδότης εἶναι κοινωνίας.

Κοινωνῶ σοι τῆς δόξης, κοινωνῶ σοι τοῦ δεῖνος, ἀντὶ τοῦ συμμετέχω σοι, καὶ κοινωνῶ σοι ὧν ἔχω, ἀντὶ τοῦ μεταδίδωμι. Πλάτων, μὴ ἄλλοις κοινωνεῖν τὰ πράγματα ἔχειν. καὶ κοινωνῶ ἁπλῶς, τὸ μετέχω, πρὸς γενικὴν μόνον συντασσόμενον.

Κοινωνοῦσί τινες, οἱ μεταδιδόντες ἀλλήλοις, καὶ μεταλαμβάνοντες παρ' ἀλλήλων φιλίας, ἢ γνώσεως, ἢ τινὸς τοιούτου, τῶν παρ' ἑαυτοῖς, ἢ ἑτέρου τινὸς, ἔξω ἑαυτῶν συμμετέχοντες, οἷον τραπέζης, ἢ χωρίων, ἢ τοιούτων τινῶν.

Κοινωνήσει καὶ ποιήσει, καὶ πάντα τὰ ἐκτικὰ δύνανται λαμβάνεσθαι, ἀντὶ παρεληλυθότων χρόνων, ὅταν ἔχωσιν ὄπισθεν τὸ ὡς, ἐκδιηγηματικόν.

Κοινῶσαι, προσανενεγκεῖν.

Κοινωφελὴς, ὁ πάντας ὠφελῶν.

Κοιόλης, ὁ ἱερεύς.

Κοῖον, ἐνέχυρον. καὶ κοῖον, ἀντὶ τοῦ ποῖον λέγουσιν Αἰολεῖς.

Κοῖνος, ὁ πατὴρ Λητοῦς, παρὰ τὸ κοεῖν, ὅ ἐστι νοεῖν καὶ συνιέναι, ἤγουν ὁ συνετός.

Κοιοφόρος, ἔγκυος, ἐγγαστρωμένη.

Κοιπποιβάται, σπέρμα, Ἀχαιοί.

Κοιρανέων, κοιράνους καθιστὰς, ἢ τὰ τοῦ κοιράνου ἔργα ἐπιτελῶν, κελεύων βασιλικῶς, ἢ βασιλεύων.

Κοιρανέουσι, δηλοῖ τὸ βασιλεύουσι καὶ ἐπικρατοῦσι, ἢ βασιλικὰ δρῶσιν, ὡς Ὀδυσσεὺς κοιρανέων δίεπε στρατόν. καὶ κοίρανος λέγεται ὁ ἡγεμών. γίνεται κατὰ τοὺς παλαιοὺς, ἀπὸ τοῦ καιρὸς, τροπῇ τοῦ α εἰς ο, οἱονεὶ ὁ τοῦ καιροῦ κύριος, ἢ ἐκ τοῦ κόρος, ὁ νέος, πλεονασμῷ τοῦ ι. καὶ ἐξ αὐτοῦ πολυκοιρανία. καὶ κοιρανέειν, τὸ ἡγεμονεύειν, καὶ τὸ βασιλικὰ ἔργα ἐπιτελεῖν, ὡς τὸ κοιρανέων δίεπε στρατόν.

Κοίσκαι, δίκαιοι.

Κοισσοὶ, κορμοί.

Κοισύρα, γυνὴ Ἀθήνησιν εὐγενὴς καὶ πλουσία, μήτηρ Μεγακλέους, καὶ Λαμάχου, Ἀλκμαίωνος γαμετή. ἥ τις ἐπὶ βλακείᾳ διεβεβόητο. καὶ κοισυροῦται, καὶ κοσμεῖται, ἀπὸ τῆς κοισύρας.

Κοισυροῦται, καλλωπίζεται.

Κοίταις γυναικείαις, ἐπιθυμίαις.

Κοιτὶς, τὸ σπυρίδιον, καὶ ἀγγεῖόν τι.

Κοιτάσαι, κατακοιμῆσαι.

Κοίτη, κίστη, ἐν ᾗ τὰ βρώματα ἔφερον. οἱ δὲ, μικραὶ κοιτίδες.

Κοίτη, ἡσυχία, στρωμνὴ, παρὰ τὸ κέω τὸ κεῖμαι, ὁ παθητικὸς ἐνεστὼς ἐν τοῖς εἰς μι, κεῖμαι κεῖται, καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν κοῖτος.

Κοῖτις, Ἀττικῶς ἡ μικρὰ κίστη. τὴν γὰρ κίστην, κοίτην λέγουσιν. ἔστι δὲ ἐν αἷς κοιταζόμεναι αἱ γυναῖκες ἀποτίθενται τὰ χρήματα.

Κοίτοιο μεδώμεθα, δηλοῖ ὁ κοῖτος μὲν τὴν κοίτην. αὐτὸ δὲ τὴν ἀνάκλισιν, δι' ἧς ὕπνος περιγίνεται.

Κοῖτον, ἰαύει, εἰς τὴν κοίτην ἐγκοιμᾶται.

Κοῖτος, ὁ ἐν τῇ κοίτῃ ὕπνος, καὶ θηλυκῶς ἡ κοίτη.

Κοῖφι, κῆφι, ἢ κύφι.

Κοιτὼν, τὸ δωμάτιον.

Κοιφὸν, κοῖλον.

Κοιώσατο, ἀφιερώσατο, καθιερώσατο.

* Κόκκαλος, κῶνος, στρόβιλος. οἱ μὲν πλεῖστοι τὸν πυρῆνα τοῦ στροβίλου, Διοσκουρίδης δὲ τὸν κνίδιον κόκκον, ὑποκοριστικῶς.

Κοκκίδα, αἴγειρον.

Κοκκόαξ, κορώνη.

Κοκκοβάρη, γλαύξ.

Κοκκοῦσα, συκῆ.

Κοκκοθραύστης, ὄρνις ποιός.

Κοκκόνοι, οἱ πυρῆνες τῶν ἐλαιῶν.

Κόκκος, ἐξ οὗ τὸ φοινικοῦν βάπτεται, καὶ αὐτὸ τὸ χρῶμα, καὶ τὸ γυναικεῖον μόριον, καὶ ὁ τοῦ σίτου κόκκος.

Κοκκότιον, ὁ δῆμος Ἐλευσῖ ἁπάσης τῆς οἰκουμένης γῆς.

Κόκκου, τὴν τοῦ σίτου κεγχραμίδα, καὶ ἐπιβόημα οἰωνόμου.

Κοκκοποιὸν, κοκκοβαφές.

Κοκκοχλύζειν, συλλαβίζειν.

Κόκκυ, Ἀττικοὶ τὸ ταχύ.

Κοκκύαι, αἱ πρόγονοι, ἀφ' ὑμέων κοκκύησι καθημένη ἀρχαίησι.

Κοκκυβίας, ὄνομα κύριον.

Κόκκυγες, ἐπὶ ὑπονοηθέντων πλειόνων εἶναι, καὶ ὀλίγων ὄντων.

Κοκκυγίαν, ἄνεμον οἱ Κροτωνιᾶται.

Κοκκύζειν, κράζειν, φωνεῖν ὀξέως.

Κόκκυ, ποιὰ φωνὴ, καὶ τὸ κόκκυ, ἢ ἀντὶ τοῦ ὀλίγον. ἔστι δὲ μόνως παροξυτόνως.

Κοκκύζω, τὸ ᾄδω, ἐξ οὗ κόκκυξ, παρ' Ἡσιόδῳ. καὶ ἐπίρρημα κόκκυ, παρὰ τῷ κωμικῷ. καὶ κοκκοβόας, ὄρνις. καὶ ὀρθοκόκκυξ, ἀρτίως ἀλεκτρυών. καὶ ὁ κωμικὸς, σὺ δὲ κοκκύζων ἀλέκτωρ προσκαλεῖται.

Κοκκύμηλα, εἶδος ὀπωρῶν, τὰ παρ' ὑμῖν λεγόμενα βερίκοκκα.

Κοκκύμηλα, ὁ καρπός.

Κόκκυξ, ὄρνεον δειλὸν, ὅμοιον ἱέρακι. ὃ καὶ διὰ δειλίαν οὐ συναυλίζεται τοῖς λοιποῖς ὀρνέοις. ὃ παρὰ Ῥωμαίοις κοῦκκος καλεῖται, ἔστι δὲ δύσφωνος.

Κόκκυξ, τὸ ζῶον, ἢ τὸ ὄρνεον, καὶ ἡ βοτάνη, καὶ ὁ πρόβολος, καὶ τοῦ ὑγροῦ ὀστέου τὸ πρὸς τοῖς ἰσχίοις, καὶ λόφος, καὶ περικεφαλαία.

Κόκκυς, λόφος.

Κοκκύσδων, ἀντὶ τοῦ κοκκύζων. Θεόκριτος, ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ κοκκύσδων, νάρκησιν ἀνιηρῇσι διδότω, ἤγουν ἀπραξίαις ἀλγειναῖς διδότω. καὶ κοκκύσω, ἤγουν δίκην ἀλεκτρυόνος βοήσω.

Κοκκύσω, συνώθημα δώσω.

Κοκκύσω, συρίσω, συνώθημα δίκην ἀλεκτρυόνος βοήσω, Ἀριστοφάνης.

Κοκκῷ Ἀττικῶς, ἀντὶ τοῦ ταχεῖ.

Κόκκωνες, οἱ κόκκοι τῆς ῥοιᾶς, καὶ ὅθεν ἰξός.

Κοκρύδακοι, κυλλοί.

Κοκρύδων, λῃστῶν, κλεπτῶν.

Κοκυτὸς, ποταμὸς ἐν ᾅδῃ μυθικῶς.

Κολαβίζειν ἐστὶν, ὅταν ὁ μὲν πλατείαις ταῖς χερσὶ τὰς ὄψεις ἐπιλάβῃ τὰς ἑαυτοῦ, ὁ δὲ παίσας ἐπερωτᾷ, πότερον τέτυπται.

Κόλαβοι, οἱ μικροὶ ἄρτοι, παρὰ τὸ ἐκ τῶν μεγάλων κολαβοῦσθαι. κόλλαβοι καὶ οἱ πασσαλίσκοι τοῦ ψαλτηρίου, ἢ τῆς κιθάρας.

Κολαβρίζειν, σκιρτᾶν.

Κολαβριζομένη, κώλοις ἁλλομένη.

Κόλαβρον, τὸ κοιλίδιον.

Κολαβρισθείησαν, περιρραγείησαν, χλευασθείησαν, ἐκτιναχθείησαν, ἀτελεῖς νομισθείησαν, ἐν τῷ Ἰὼβ ἡ λέξις αὕτη.

Κολάζειν, περαίνειν, ὀγκᾶσθαι.

Κολάζω, ἀμύνομαι, εὐθύνω, τίνω, τιμωροῦμαι.

Κολάζω, τὸ τιμωροῦμαι, αἰτιατικῇ. Ἀριστοφάνης, οὐ κολάσαι ἔξεστί μοι τοὺς οἰκέτας.

Κολάζω, καὶ τὸ παιδεύω. ἀφ' οὗ κεκολασμένον ἦθος, τὸ πεπαιδευμένον. καὶ ἀκόλαστον, τὸ ἀπαίδευτον.

Κολᾷ τὸν ἄνδρα. Ἀριστοφάνης, κολούσει καὶ παύσει καὶ ταπεινώσει. ἀπὸ δὲ τῶν κόλων, ἤγουν τῶν ἐντέρων τὴν λέξιν ἐποίησεν. ἴσως δὲ αὐτὸν τύπτουσιν.

Κολακεία ἐστὶν, ὁμιλία πρὸς ἡδονὴν ἄνευ τοῦ βελτίστου. ἢ ἕξις ὁμιλητικὴ πρὸς ἡδονὴν, ὑπερβάλλουσα τὸ μέτριον, ἢ ἔπαινος ὑπὲρ τὸ πρέπον, καὶ ἀπάτη.

Κολακεύω, λέγεται τὸ ἀπατῶ. καὶ κόλαξ, ὁ ἀπατεών.

Κολαστήρια, καὶ βασανιστήρια, ὄργανα δι' ὧν κολάζουσί τινας. καὶ ἀπὸ τούτων αἱ κολάσεις.

Κολακοφοροκλείδης, Ἱεροκλείδης, ὃν ἐπὶ πονηρίᾳ κωμῳδοῦσιν. Ἕρμιππος μὲν, ἐν κέρκωψι. Φρύνιχος δὲ, ἐν κωμασταῖς. ὁ δὲ Ἀσκληπιάδης, Κλεώνυμον εἶναι ὑπέλαβεν, οὐδὲ τὸ τέλειον τοῦ ὀνόματος.

Κολακρέται, οἱ τῶν ἀργυρείων ταμίαι, οἳ τὸ τριηραρχεῖν ἔταττον.

Κολακώνυμος, ὁ Κλεώνυμος. λέγεται δὲ κολακώνυμος, ὅτι κόλαξ ἦν.

Κολαινὶς παρὰ τῷ Ἀριστοφάνει. παρὰ τὴν τῆς φωνῆς ὁμοιότητα Ἀρτέμιδι ἐπώνυμον ἡ κολαινίς. Μεταγένης δὲ ἐν αὔραις, ἡ κολαινὶς Ἄρτεμις, ἱερεὺς γὰρ ὢν τετύχηκα τῆς κολαινίδος. φησὶ δὲ Ἑλλάνικος, Κόλαινον Ἑρμοῦ ἀπόγονον ἐκ μαντείου ἱερὸν αὐτῆς ἱδρύσασθαι κολαινίδος. καὶ Φανόδημος ἐν τῇ τετάρτῃ. Εὐφρόνιος δέ φησιν, ὅτι ἐν Ἀμαρυνθῷ ἡ κολαινὶς, διὰ τὸ τὸν Ἀγαμέμνονα θῦσαι αὐτῇ ἐκ τοῦ κηροῦ κόλον. Μυρρινούσιοι δὲ κολαινίδα ἐπονομάζουσι τὴν Ἄρτεμιν. Φιλιάτης δὲ τὴν φαιρωνίαν.

Κόλαξ, ὁ ἐπαινῶν ὑπὲρ τὸ πρέπον ὁ ὡς φίλος ὑπερχόμενός τινα, ὁ ταπεινῶς θεραπεύων τινά. παρὰ τὸ κόλον παράγωγον, κόλαξ. κόλον δὲ τὸ ταπεινὸν καὶ μὴ ὁλόκληρον. τινὲς δέ φασι παρὰ τὸ κολλᾶσθαι, ἐξ οὗ καὶ δύσκολος ὁ δυσχερῶς τινι κολλώμενος. κόλαξ, καὶ ὁ παράσιτος. κόλαξ, καὶ ὁ ἀπατεών. κόλαξ, καὶ ὁ βωμολόχος.

Κολάπτει, κλᾶσθαι πρὸς τῷ γόνατι, ἢ γλύφει.

* Κολάσαι παρ' Ἱπποκράτει καθελεῖν καὶ ταπεινῶσαι.

Κόλασίς ἐστι ψυχῆς θεραπεία ἐπὶ ἁμαρτήματι γενομένη.

Κολασσία, ἀνδριάντος σκιὰ, καὶ τὸ εἰς ὕψος ἀνάστημα.

Κολάττην, κόλακα.

Κολαφίζειν, πυγμῇ παίειν, παρὰ τὸ κωλύειν τὸ φῶς, ἢ τὸ τυφλοπανιάζειν.

Κολαφίζω, καὶ κόλαφος. κόλαφος δὲ πληγὴ ἡ διδομένη διὰ τῶν μέσων δακτύλων.

Κολαφιζόμενος, ῥαπιζόμενος.

Κόλαφος, κόνδυλος. παρὰ δὲ Ἐπιχάρμῳ ἐν ἄγροστινῳ, καὶ παιδοτρίβαις ὄνομα.

• Κόλεα, ποιά τις ὄρχησις.

Κολεάζοντες, ὠθοῦντες.

Κολεάμος, ματαιόφρων.

Κολεασμὸς, τὸ περαίνεσθαι. πεποίηται δὲ ἀπὸ τοῦ κόλου, καὶ ἀπὸ τοῦ καθιέναι εἰς τὸ κόλον. τοῦτο δὲ κολεάζειν ἔλεγον.

Κολέαρχος, κακόσχολον ὄνομα.

Κολεῖν, ἐλθεῖν.

Κολεκάνοι, τοῦτο ἐπὶ μήκους σὺν λεπτότητι ἐτάσσετο. Στράτις δὲ ἐν τῷ φορτικῷ δραματίῳ, τοὺς τίς οὐκ ἄξει, τίς ἔξω τὴν ἀποῦσαν μητέρα τῶν διδύμων κολέκαν λέγων.

Κολεκτάριος, ἀργυραμοιβὸς, ἤτοι ὁ κέρμα ἀντὶ ἀργύρου ἀλλασσόμενος, τραπεζίτης, ὁ ἀργυροπράτης κολεκτάριος.

Κολεὸν, οὐδετέρως, εἴρηται, ὃ κοινότερον, κουλεὸν λέγεται μετὰ τοῦ υ.

Κολεόπτερον, εἶδος ζωυφίου πτηνοῦ, παρὰ τὸ ὡς ἐν κολεῷ τὰ πτερὰ συνέχειν τῷ ἐλύτρῳ.

Κολεμὶς, Ἄρτεμις, ἀπὸ κολέμου τοὔνομα λαβοῦσα.

Κολεὸς, καὶ κουλεὸς, ἡ ξιφοθήκη παρὰ τὸ κεκοιλάνθαι, ἢ παρὰ τὸ τὰ κῆλα, ὅ ἐστι τὰ τόξα καὶ τὰ βέλη. κωλεὸς δὲ τὸ μέγα ἔντερον.

Κολεὺς, ἡ θήκη τοῦ ξίφους, καὶ λάρναξ, καὶ ὑδρία.

Κολερὰ, νόθα, νωθρά. ἔνιοι δὲ πρόβατα τραχέα.

Κολετρῶσιν. Ἀριστοφάνης, κατὰ τοῦ κόλου τύπτουσιν, ἢ καταπατοῦσιν, ἀπὸ τῶν τὰς ἐλαίας πατούντων, ἢ τὸ ἐνάλλεσθαι τῇ κοιλίᾳ καὶ τύπτειν εἰς τὴν γαστέρα. κόλον γὰρ τὸ παχὺ ἔντερον.

Κολη βάζει, ἐσθίει, καταπίνει.

Κολία, ὀρχήσεως εἶδος, καὶ ἐπικήδεια, καὶ μέτρον τι, καὶ τὸ ἡμικόλιον, καὶ τὰ ἐκ μέλιτος τρωγάλια.

Κολιᾶν, ἐρίζειν, ἀγνωμονεῖν.

Κολιάσαι, ὀρχήσασθαι.

Κολιὰ, ἐπιθαλασσία ἄκρα τῆς Ἀττικῆς.

Κολλάβους, λέγει Ἀριστοφάνης, τοὺς ἄρτους τοὺς ἐοικότας τὴν πλάσιν τοῖς κολλάβοις τῆς κιθάρας. οἱ δὲ εἶδος πλακοῦντος τετραγώνου, ἢ ἄρτου μικροῦ παρὰ τὸ ἐκ μεγάλων κολλαβίζεσθαι. ἄλλως, ἄρτοι νέοι ἐκ νεοπύρων. καὶ οἱ λάσταυροι ὑπὸ σικυωνίων λέγονται. καὶ ἡ νάρα τοῦ ὀργάνου. ἄλλως, εἶδος ἄρτων εἰσὶ μικροὶ, ἀρτίσκοι, ἐκ τῶν μεγάλων κεκολλαβισμένοι, οὓς καθάπαξ ἄρτους οὐκ ἠξίουν καλεῖν. καὶ ἐν βατράχοις μέμνηται ἄρτους, ἔπειτα κολλάβους. σχήματος δέ ἐστιν ὄνομα, ὥσπερ κολλύραν

λέγου-

λέγουσί τινες. οὐδὲ κολύβου εἶδος εὐτελοῦς νομίσματος, ἀντὶ τοῦ οὐδὲ ὀβολοῦ.

Κόλα, τοῦ βοὸς τὸ νωτιαῖον δέρμα, ἐξ οὗ τὸ κολλᾶν.

Κόλλα, περιτμήματα δερμάτων, ἀφ' ὧν ἕψεται ἡ κόλλα τοῦ βοός.

Κόλλησις, διχῶς κατὰ ἁρμονίαν, καὶ κατὰ πρόσφυσιν, ὡς ἐπὶ ξύλων καὶ μετάλλων.

Κολλητὰς σανίδας, ἃς ἀλλαχοῦ κληϊστὰς λέγει Ὅμηρος.

Κολλήεντα, καλῶς κεκολλημένα, ἢ τὰ ἐκ συμβλημάτων ἡρμοσμένα.

Κολλίδαι, γένος ἰθαγενῶν.

Κόλλικας, εἶδός τι ἄρτου, ἢ ἔντερα.

Κόλλικας, τοὺς τροχισμοὺς, ἢ τὰ μικρὰ ἀρτίδια, παρὰ τῷ Ἱπποκράτει.

Κολλικονόμον, τὸν κόρδακα, κόλλικα λέγουσι, καὶ κορδακίσματα.

Κόλλιξ ἐστὶν εἶδος ἄρτου περιφεροῦς.

Κόλλοπες λέγονται, οἱ πασσαλίσκοι τῆς κιθάρας, εἰς οὓς ἀποδεσμοῦνται αἱ νευραὶ, καὶ τείνονται στρεφομένων.

* Κολοκυνθίνην ἀγγείαν, τὴν κολοκυνθίδα.

Κόλλοπες, τὰ τῶν ὑῶν, καὶ βοῶν σκληρὰ δέρματα περὶ τῶν τραχήλων, ἐξ ὧν καὶ τοὺς νῦν λεγομένους κολλάβους ἐποίουν. κόλλαβοι, δὲ οἱ μικροὶ, παρὰ τὸ ἐκ τῶν μεγάλων κολοβοῦσθαι. ἐλέγετο δὲ καὶ τὸ νωτιαῖον δέρμα.

Κόλλοπι, κολοβῷ.

Κολλοπίζειν, καθέλκειν.

Κολλητῶσαι, κατακολλῆσαι.

Κολλύριον, ἀπὸ τοῦ κολοβόν. κόλλιξ γὰρ ὁ ἄρτος.

Κολλύρια, τὰ κολοβὰς ἔχοντα τὰς οὐράς. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄρτων δύναται λέγεσθαι, καὶ ἐπὶ τῶν ἰατρικῶν φαρμάκων.

Κόλλοψ, τοῦ νώτου ἡ φορίνη, καὶ τῆς λοφιᾶς τὸ ἄκρον.

Κόλλοψ, ὁ παρὰ τοῖς ὕστερον κόλλαβος, δι' οὗ τείνονται αἱ χορδαί. καὶ οὕτω φασὶ λεγόμενος, διότι τὸ παλαιὸν ἐκ δερμάτων σκληρῶν ἦν, τῶν πρὸς τῷ τραχήλῳ τῶν βοῶν. ἔστι δ' ὅτε καὶ τῶν οἰῶν, ἃ καὶ αὐτὰ κόλλοπες ἐκαλοῦντο, διὰ τὸ ἐξ αὐτῶν ἀναβραττομένων κόλλαν γίνεσθαι, ὡς δηλοῖ ὁ Παυσανίας γράψας, ὅτι ἐκολλώπωσε, τῇ κόλλῃ συνήρμοσε, καὶ ἐκόλλησεν. ἀπὸ γὰρ τοῦ νωτιαίου φησὶ κόλλοπος τῶν βοῶν ἑψομένου ἐγίνετο κόλλα. ὅθεν ὁ κόλλοψ, ᾧ ἐπιτείνουσι τὰς χορδάς.

Κόλλοπες, βοῶν νεῦρα. ὅθεν κόλλα γίνεται. ἀλλαχοῦ δὲ οὕτω, κόλλοψ τὸ τραχηλιαῖον τοῦ ταύρου σὺν τῇ ὑπὸ τὴν φορίνην, ἤγουν ὑπὸ τὸ δέρμα πιμελῇ. ἐξ οὗ οἱ κόλλαβοι τοῖς παλαιοῖς. ἄλλοι δὲ γράφουσιν οὕτω κόλλοψ, ταῦρον ὑπαυχένιον δέρμα. ἐξ οὗ οἱ κόλλαβοι.

Κόλλυβα, τρωγάλια.

Κολλυβιστὴς, ὁ τραπεζίτης. κόλλυβος γὰρ εἶδος νομίσματος, καὶ ὁ ἐν τῷ χαλκῷ κεχαραγμένος βοῦς.

Κολλύρα, τὸ ἔλαττον τοῦ ἄρτου. τινὲς δὲ τὴν κολλύραν εἶδος ἄρτου, ὃ τοῖς παιδίοις διδόασι.

Κολλύρα, Θεόφραστος ἐπὶ τῶν ἐκ τέφρας πεπλασμένων, ἢ ἐν ἕλκουσα.

Κολλυρίων, ὄρνις ποιός.

Κολλύχνιον, καρίου λέπισμα.

Κολῶ, ἐκ τοῦ κόλλα. τοῦτο ἀπὸ τοῦ ἔλω τὸ κρατῶ. ἡ ἔλλα, καὶ ἡ τὰ διῃρημένα συγκρατοῦσα.

Κολοβάφινα, τὰ κολλοβαφῆ.

Κολοβὸς, ὁ παλαιὸς καὶ ὁ μικρὸς καὶ ὁ ὀλίγος. ἢ ἐστερημένος, καὶ νόμος τις κιθαρῳδικός.

Κολοβρὸς, ὁ μικρὸς χοῖρος.

Κολοβότης, ὀλιγότης, σμικρότης.

Κολοβὸν, ἐλλιπές.

Κολοὶ, τύποι κακοί.

Κολοιβάζειν, ἀπέκτως ἐσθίειν.

Κολοίδιον, παραξιφίδιον.

Κολοίδορον, ξύλον μάχας ποιούντων ἐπιφερόμενον.

Κολοίη, φωνή.

Κολοιοὶ, σκῶπες, μικραὶ κορωνίαι.

Κολοιὸς, παρὰ τὸ κλῶ ῥῆμα τὸ φωνῶ γίνεται κλὸς, καὶ κατὰ πλεονασμὸν τοῦ οἰ γίνεται κολιός. κρακτικὸν γὰρ τὸ ζῶον.

Κολοιόπτερα ζῶα, ὁ κάνθαρος καὶ ἡ μηλολόνθη, καὶ εἴ τι ἄλλο.

Κολοιὸς ποτὶ κολοιὸν ἱζάνει. φιλάλληλον γὰρ τὸ ζῶον καὶ συναγελαστικόν. τάττεται δὲ ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων.

Κολοιοὺς, ὀνόματα ὀρνέων μικρῶν λέγομεν.

Κολοίφρημα, ἄπληστον κάθαρμα.

Κολοίτεα, δένδρον τι.

Κολοῖφρυξ, ταναγραῖος ἀλεκτρυὼν, καὶ ὄρος Βοιωτίας.

Κολοκάνοι, ἀμύθεις, καὶ λεπτοί.

Κολοίστιον, ξηρόν.

Κολοκτρύων, ἀπὸ τοῦ κολονοῦ, ἀλεκτρυῶνος μεγάλου γέγονεν.

Κολόκυμα, τὸ κολὸν κῦμα, ὅπερ τυφλὸν, διὰ τὸ μὴ καχλάζειν λέγουσιν. ἢ τὸ κοῖλον καὶ ἐπιφέρον ὑψηλὸν κῦμα καὶ μέγα ἀποκορυφοῦσθαι κυλιόμενον. ἄλλως ὅπερ τινὲς κωφὸν καλοῦσι τὸ μὴ ἐπηχοῦν, μηδὲ καχλάζον.

Κολοκῶνας, τὰς βαλβίδας τινές.

Κολὸν δόρυ, τὸ κολοβόν. ὅθεν καὶ παρὰ τοῖς Γορτυνίοις κόλοι, οἱ κολοβοκέρατοι κριοί. καὶ αὐτὸ δὲ τὸ κολοβὸς, ἐπὶ κόλου βοὸς κυριολεκτεῖται. ἐξ οὗ καὶ σύγκειται κεκολουσμένος ὢν καὶ αὐτὸς τὰ κέρατα.

Κόλον, κενὸν, μάταιον.

Κόλον, τὸ μὴ τέλειον, ἀλλὰ κολοβόν.

Κολοιὸς, ὁ θόρυβος. ἡ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ, ὅ ἐστι θορυβῶδες καὶ κραυγαστικὸν ὄρνεον.

Κόλος, λέγεται ὁ τράγος ὁ μὴ ἔχων κέρατα.

Κόλος, κολοβός. ἡ μάχη ἄκαιρος. θόρυβος νοσώδης, πηρὸς, κολοβός.

Κολοσσὸς, ὁ ἀνδριάς. καὶ κολοσσὸς, ἄγαλμα.

Κολοσσὸς, σημαίνει καὶ τὸ εἴδωλον.

Κολοσσία, ἀνδριάντος σκιὰ, καὶ τὸ εἰς ὕψος ἀνάστημα.

Κολοσταθμὸς, ἔπαυλις καταβατὸν ἔχουσα τὸν πυλῶνα.

Κολοσυρτὸς, κυρίως οὐ καὶ παρὰ τῷ κωμικῷ χρῆσις, κτύπος. ὁ ἀπὸ κάλων, ἤγουν ξύλων συρομένων ἐν ὄρει. ἕτεροι δὲ τὴν ἐκ φρυγάνων συρομένων αἰρομένην κόνιν οὕτω καλοῦσι. κόλα γάρ φασι τὰ φρύγανα. καὶ ἄλλως. κολοσυρτὸς, ὁ μετὰ κολωοῦ, ὅ ἐστι θορύβου ἐπισυρμὸς, ἤγουν κυρίως, ὡς καὶ προείρηται ἐν ὄρει κάλων, ὅ ἐστι ξύλων ἑλκυσμός. καὶ ὁ ἐξ αὐτῶν θόρυβος, ἢ κτύπος γινόμενος. ἐν τῷ κόλα σύρεσθαι ξύλα. ἤγουν κολωβωθέντα, ὡς εἰκὸς τομαῖς, καὶ πελεκήμασι. τινὲς δὲ τὸν μέγαν θόρυβον οὕτω νοοῦσι. κόλον γὰρ παρ' αὐτοῖς τὸ μέγα. ἐξ οὗ καὶ κολόκυμα, τὸ μέγα κῦμα. καὶ ὁ μεγάλην δέ φασιν ἀφὴν ἔχων, κόλαφος καλεῖται. ἀφ' οὗ ῥῆμα κολαφίζειν καλεῖται. ἰστέον δὲ, ὅτι τὸ κόλον οὐ μόνον ἐπὶ μεγάλου τινὸς λαμβάνεται, ἀλλὰ καὶ τὸ κολοβὸν δηλοῖ, καὶ μὴ ἔχον ὁλότητα. ὅθεν καὶ κόλος βοῦς. καὶ ἵνα τις εἴπῃ τὸ αὐτὸ συνθέτως, ὁ κολοβός. καὶ κόλον δόρυ, οὗ ἀποτέτμηται καὶ ἡ αἰχμὴ καὶ ὁ καυλός. καὶ κολόκυμα καθ' ἑτέρους, τὸ κωφὸν κῦμα, ὃ ἐκολούθη, ὡς ἀνέμου δίχα κινούμενον. καὶ κολώνη καὶ κολώνεια καὶ κολωνὸς δὲ, τὰ λήγοντα μὲν εἰς ὀξὺ, μὴ ἀκριβῶς δὲ ἀπωξυμμένα, ἀλλ' ἔχοντά τι καὶ πλάτος ἐν τῇ κορυφῇ.

Κολοσυρτεῖ, θορυβεῖ ταράσσει.

Κολούει, Ὅμηρος ἐν τῷ υ τῆς Ἰλιάδος, μεσσηγὺ κολούει, ἀντὶ τοῦ κολοβοῖ, καὶ ἀτελὲς ἀφίησι. δῆλον δὲ ὡς ἀντίκειται ἀλλήλοις, τὸ τελεῖν ὅ ἐστι τελειοῦν, καὶ τὸ κολούειν.

Κολουᾶν, θορυβεῖν.

Κολούει, χειροκοπεῖ, ἐλαττοῖ. Ὁρῶν τοὺς παῖδας ἐκδιαιτωμένους, τοὺς δὲ στρατιώτας πολλὰ κακὰ δρῶντας, ἀπῆρε, τοὺς μὲν ἵνα ἐπιῤῥώσῃ, τοὺς δὲ κολούσηται.

Κολούεται, ἐμποδίζεται. ὡς τὸ καὶ παρεκάλει τὴν πατρίδα σώζειν ὅπλα λαβόντα πολλὰ, καὶ ὑβρίστην δῆμον κολούειν. ἀντὶ τοῦ ὑβρίζειν.

Κόλουρα, τὰ μὴ ἔχοντα κέρκον, ἢ τὰ κολοβὴν ἔχοντα οὐράν, ἅπερ ἐν ταῖς ἱερουργίαις οὐ θύεται. καθόλου γὰρ εἰ μὴ ἦν τέλειον καὶ ὑγιὲς, οὐκ ἐθύετο τοῖς θεοῖς.

Κολουραία, πέτρα κοίλη κεκαμμένη, οὐ στρογγύλη, παρὰ Καλλιμάχῳ.

Κολουρὴν, κολοβὴν, νεωτέραν.

Κολουρίᾳ, τῇ ἀποτομίᾳ.

Κολούρια, τὰ κολοβὰς ἔχοντα οὐράς. τοῦτο δὲ καὶ ἐπὶ ἄρτων, καὶ ἐπὶ ἰατρικῶν φαρμάκων λέγεται.

Κολουρῖτις, γῆ. Σικελοί.

Κόλουρον, κολοβὸν μάστιγα.

Κόλον, κώδιον, Λάκωνες.

Κολουμβεῖ, θορυβεῖ.

Κολοῦσθαι, κολοβοῦσθαι.

Κολούσματα, κλάσματα.

Κολούσας, ἀτελῆ καὶ ἄπρακτα ποιήσας. ἐκ τοῦ κολούω καὶ κολὸν κέρας. καὶ κόλος βοῦς, ὁ κεκολουσμένος τὰ κέρατα. ἐξ οὗ συντίθεται ὁ κολοβὸς, καὶ κύκλοι τροπικώτεροι μαθηματικοὶ κατ' οὐρανὸν καλούμενοι κόλουροι. καὶ ψωμοὶ δὲ ἄκυλοι, οἱ ἐν τῇ Ὀδυσσείᾳ.

Κολούων, μειῶν, ἐλαττῶν.

Κολοφῶνα, τὸ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον. λαμβάνεται δὲ ἐπὶ μεγάλων κακῶν.

Κολοφώνια, ὑποδήματα κοῖλα, καὶ μεταλλικόν τι.

Κολοφωνία, εἶδός τι παρόμοιον πίσσῃ.

Κολοφώνιοι, τῇ δοτικῇ ἀντὶ γενικῆς χρῶνται. οἷον τὴν κεφαλὴν τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ ἀνθρώπου. καὶ Ὅμηρος, νηὶ παρὰ πρύμνῃ, ἀντὶ τοῦ παρὰ τῇ πρύμνῃ τῆς νηός. καὶ Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινεν, ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ, ἀντὶ τοῦ Αἴαντος καὶ Ἀτρείδου.

Κολούω, τὸ βλάπτω.

Κολόχειρ, χείραργος.

Κόλπος ἐπὶ θεοῦ, ὁ τῶν ἀγαθῶν θησαυρός. χεὶρ δὲ, ἡ ἐνέργεια. ἵνα τί ἀποστρέφῃς τὴν χεῖρά σου ἐκ μέσου τοῦ κόλπου σου.

* Κόλπος, ὅταν ἐπὶ πλέον ἀκολουθῇ τὸ δέρμα τοῖς ὑποκειμένοις σώμασι, κόλπον ὀνομάζουσι τὸ τοιοῦτον πάθος.

Κόλπος, κατὰ τοὺς παλαιοὺς ἐν Ἰλιάδι ἐν τῷ ζ', ἡ ἀγκάλη. σημαίνει δέ ποτε καὶ τὸ ἄνω τοῦ πέπλου. ὡς δηλοῖ καὶ Ἡρόδοτος εἰπὼν, ἐνδὺς χιτῶνα μέγαν, καὶ κόλπον πολὺν καταλιπόμενος τοῦ χιτῶνος. εἴληπται δὲ ἐξ ὁμοιότητός τινος ἀπὸ θαλασσίου κόλπου, ὅς ἐστι θάλασσα δύο ἀκρωτηρίων.

Κόλπος, κατὰ τοὺς παλαιοὺς κυρίως θάλασσα ὑπὸ ἀκρωτηρίων περιεχομένη.

Κόλσασθαι, ἱκετεῦσαι.

Κόλυβα, σῖτος ἑψητός.

Κολυβιστὴς, τραπεζίτης.

Κόλυθρον. εἶδος συκῆς.

Κόλυβος, ἔπαυλις.

Κολυκρίζοντες, ἐκπελοῦντες.

Κολυβάδες ἐλαῖαι οὐ λέγονται, ἀλλὰ ἁλμάδες.

Κολυμβᾶν, οἱ Δωριεῖς κολυφᾶν λέγουσιν. ἀπὸ τοῦ κόλου ὅ ἐστι κολοβοὺς φαίνεσθαι, τοὺς ἐν ὕδατι, καὶ μὴ ὁλοτελεῖς.

Κολυμβήθρα, ὁ κόλυμβος, κόλυμβος δὲ, ὁ τοῦ λουτροῦ.

Κόλυμβος, ἀργυραμοιβὸς, ἀργυρογνώμων. ὀνόματα καπηλάκων. λέγεται δὲ καὶ κολυμβιστὴς, καὶ καπηλάκτης. ἀλλὰ ἀδόκιμα.

Κολύμβων, εἶδος νομίσματος.

Κολυμβητὰς, τοὺς ἐκ τῶν φρεάτων ἀναπέμποντας τοὺς κάδους.

Κολυμβὶς, ὄρνις ποιός.

Κόλυμβοι, αἱ κολυμβάδες τὰ ὄρνεα, ἢ ζωΰφια ἐν κολυμβήθραις.

Κολύμφατος, φλοιὸς, λεπίδιον.

Κολύοντες, περαίνοντες.

Κολυρίζοντες, ἐκκινοῦντες.

Κολυττὸς, ὄνομα δήμου.

Κολύφανον, φλοιὸς, λεπύριον.

Κολυφρὸν, ἐλαφρόν.

Κόλχοι, λέγονται καὶ Σκύθαι, Ἀσιανοὶ, καὶ Λακόσυροι. οἰκοῦσι δὲ ἐν τοῖς μέρεσι τῆς Ἀσίας περὶ Φάσιν ποταμόν.

* Κόλχοι Αἰγυπτίων ἄποικοι, οὐλότριχες γὰρ κατὰ τοὺς Αἰγυπτίους, καὶ μέλανες, καὶ τὰ ἐκείνων

ἔθη

Digitized by Google

ἔθη ἔχουσι. Κόλχοι δὲ καλοῦνται ἀπὸ Κόλχου υἱοῦ Φάσιδος.

Κολχική, ἡ Λαζική.

Κολῶ, κολάσω.

Κολῶναι, αἱ πόλεις Τροίας.

Κολωμένους, κολάσαντας.

Κολώνη, ὡς κύριον ὄνομα λαμβάνεται παρ' Ὁμήρῳ. διὸ καὶ βαρύνεται ὡς, τὸ καλλικολώνη. μᾶλλον δὲ ὡς Μεθώνη, Κορώνη, Μηθώνη, Μηκώνη. εἰ δὲ ἦν παρώνυμον ἐκ τοῦ κολωνὸς, ὡς κοινὸν, ὀξύνοιτο ἄν. ἡ δὲ κολώνη, καὶ λόφος ἂν λέγοιτο. καὶ βουνὸς δὲ, ὅπερ Ἡρόδοτος μὲν Λιβύων λέξιν εἶναί φησιν. Αἴλιος δὲ Διονύσιος λέγει, ὅτι Φιλήμων ἐπισκώπτει τὸ ὄνομα, ὡς βάρβαρον. λόφον γὰρ καλοῦσιν. ἕτεροι δὲ, ὅτι βουνόν. Φιλήμων ἐν νόθῳ, ὡς σύνηθες τίθησιν, ἄλλοθι δὲ ὡς ξένον ἐπισκώπτει. ἐκ δὲ τοῦ κολωνοῦ, παράγωγον καὶ πόλις Κολώνεια. κατά τε ἄλλα, καὶ κατὰ τὸ Θεσσαλονίκη, Θεσσαλονίκεια. δηλοῦσι δὲ ὑψηλὸν τόπον αἱ λέξεις. διὸ καὶ Αἴπεια ἐρρέθη Κολώνη. σημαίνει δὲ, ὅτι αὕτη μὲν ἡ πολιτικὴ κολώνη τῶν Πυλίων ἦν, καὶ ἑτέρα τις ἦν. Ἄλλως.

Κολώνη, καὶ καλλικολώνη, τόπον ὑψηλὸν δηλοῖ, ὅθεν παράγωγον ἡ κολώνεια, ὡς ἀστυόχη ἀστυόχεια. ἔχει δέ τι ἀπορίας, διὰ τί οὐκ ὀξύνεται ἡ κολώνη, εἴπερ ἀπὸ τοῦ κολωνὸς ὀξυτόνου, ὃ δηλοῖ μέγα ὄρος κατὰ τοὺς παλαιούς; καὶ ἴσως ἐστὶν εἰπεῖν, ὅτι συνεξηκολούθησε καὶ αὐτὸ τοῖς διὰ τοῦ ωνη θηλυκοῖς ὀνόμασιν. οἷον, τῷ κορώνη, μεθώνη, καὶ τοῖς τοιούτοις. οὐκ εἰς ὀξὺ παντελῶς ἡ κολώνη λήγει. ἔχει δέ τι ὡς εἰκὸς ἄνω κολόβωμα τῆς ὀξύτητος. διὸ καὶ κολώνη λέγεται. ὡς ἀπὸ τοῦ κολούω, τὸ κολοβῶ. ταυτὸν δὲ πάντως κολωνὸν καὶ κολώνην εἰπεῖν. νικᾷ δὲ ὅμως τὸ ὁμηρικὸν, ᾧ καὶ Σοφοκλῆς ἀκολουθῶν, κολώνην ἄκραν τάφου ἔφη.

Κολώνεια, κτητικὸς τύπος, εἰς ἰδιότητα ἀναπέμπεται. φασὶ γάρ ποτε τὸν Διόνυσον τὸν ἐπὶ Ταρσηνοὺς ἀπιόντα πόλεμον, τοὺς γεγηρακότας τῶν σειληνῶν μετὰ τῆς ἀρχήσου ἡλικίας ἐν Ἰταλίᾳ καταλιπεῖν. τοὺς δὲ στραπῆναι ἐπὶ ἀμπέλων ἐπιμέλειαν, καὶ εὔοινον γενέσθαι τὴν Ἰταλίαν. τοὺς δὲ γεωργοὺς οἱ Ἰταλοὶ κολώνας ἐκάλουν.

Κολωνία, τάφος. Ἠλεῖοι.

Κολωνὸς ὀψὲ ἦλθες, ἀλλ' εἰς τὸν κολωνὸν ἴεσο. παροιμία δὲ ἐπὶ τῶν μισθαρνούντων.

Κολωνὸς, γῆς ἀνάστημα, τόπος ὑψηλός.

Κολωνῷ, τῇ ἐξεχούσῃ ἀκρωρείᾳ.

Κολωὸς, ὁ θόρυβος κατὰ μὲν Φιλόξενον, ἀπὸ τοῦ κλῶ γίνεται, ὀνοματοπεποιημένου ῥήματος, κατὰ πρόσληψιν συλλαβῆς, διὸ οὐδὲ προσγέγραπταί φησι τὸ ῑ. ἀπὸ δὲ τοῦ τοιούτου κλῶ καὶ τὸ κλάζω γέγονε κατὰ παραγωγήν. κατὰ δὲ ἑτέρους, ἀπὸ τοῦ κολοιὸς, κατὰ ἔκτασιν τοῦ ο̄ εἰς ω̄ μένοντος δηλαδὴ τοῦ ῑ παραγεγραμμένου. κολοιὸς δὲ, τὸ ὄρνεον.

Κόλωψ, ἀμφιάστωρ.

Κολωτέα, δένδρον τί. ἢ κολουτέα.

Κολώτης, ἐπίκουρος λόγιος καὶ πάνυ δόκιμος, κατὰ τοῦτο Πλούταρχος ὁ Χερωνεὺς πολλὰ γέγραφε. καὶ ἀγαλματοποιὸς Διονύσου ἄριστος γέγονεν. ἴσως δὲ ἀπὸ τούτου παράγεται κολώτιος, ἐπώνυμον τῆς οἰκίας Ἀγγέλου τοῦ κολωτίου. ὃς εἷς ὢν τῶν τὰ ἀπόρρητα τοῦ μεγάλου ἀρχιερέως ἐπισταμένων, πάντων ὅσοι τὴν σήμερον ἡμέραν ἐν τῇ βασιλίδι τῶν πόλεων Ῥώμῃ εἰσὶ, φιλοξενίᾳ, φιλανθρωπίᾳ τε καὶ ἐλευθεριότητι, καὶ ἐκ πασῶν τῶν ἀρετῶν τὸ ἄνθος δρεπόμενος, ἀσυγκρίτως περιγίνεται. οὗτος δὲ ὁ Ἄγγελος κολώτιος ἐν τῇ αἰσίῃ πόλει τῆς Ἰταλίας ὑπὸ τῶν πελασγῶν, οἱ πρῶτοι τὰ γράμματα ἐν Ἰταλίᾳ ἐδίδαξαν, κτισθείσῃ, παλαιᾷ τε καὶ εὐγενεστάτῃ οὔσῃ γεγονὼς, ἐμοὶ παιδόθεν φίλτατος ὢν, τὰ ἑλληνικὰ ὅσον εἰς γνῶσιν τῶν παλαιῶν καὶ ποιητῶν καὶ πεζογράφων ἐσπουδακώς. τὰ δὲ λατινικὰ κατὰ πολὺ, καὶ εἰς ἄκρον παιδευθεὶς, εἰς εὐεργεσίαν πάντων ἀεὶ πρόθυμος, τὴν ἑαυτοῦ οἰκίαν πᾶσι τοῖς σπουδαίοις ξενοδοχεῖον κατέστησε.

Κολωφὼν, πέρας ἔσχατον, τέλος.

Κομᾷ, γαυριᾷ, μέγα φρονεῖ, στεφανοῦται, χλοηφορεῖ, τριχῶν ὑπερβολῇ κοσμεῖται, ἢ περιουσίᾳ χρημάτων μεγαλαυχεῖ. μὴ φθονεῖθ' ὑμῖν κομῶσιν, ἀντὶ τοῦ τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾷν ἔλεγον ἐπὶ τοῦ τρυφᾷν, καὶ γαυριοῦσθαι, καὶ μέγα φρονεῖν. ἄλλως τε καὶ τὸ ταῖς θριξὶ κομᾷν.

Κομᾷ ἀνὴρ, ἢ γυνὴ, ἀντὶ τοῦ κόμην τρέφει. κομᾷ ἀγαθοῖς, ἀντὶ τοῦ θάλλει. κομᾷ ἀνὴρ τοῖς θριξί. κομᾷ τὸ δένδρον τοῖς κλάδοις. κομᾷ καὶ ὁ πλούσιος τῷ πλούτῳ. καὶ κομᾷ τόπος, ἤγουν φυτὰ ἔχει. καὶ κομᾷ ἀντὶ τοῦ τρυφᾷ, καὶ ἐπαίρεται. Ἀριστοφάνης, ὁ μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ.

Κόμαι, αἱ τρίχες τῆς κεφαλῆς, καὶ χωρίον.

Κομαίθα, ἡ τυχοῦσα γυνή.

Κομαίονται, κοιμηθήσονται,

Κομάκτωρ, ἡ λέξις παρὰ Ῥίνθωνι ἐν Μηδείᾳ.

Κομανίαν, πορνείαν, δαψίλειαν, ἄνοιαν.

Κομαντηρήσιος, ὁ χαρτουλάριος.

Κόμαρος, εἶδος φυτοῦ.

Κομὰς, θεραπείας, καὶ τὰ συοφόρβια.

Κομάσαι, παρὰ τῷ Θεοκρίτῳ ἀντὶ τοῦ βλαστησάτω, ἀνθησάτω.

Κομᾷν ἐστι, τὸ ἐπί τινος σεμνύνεσθαι τῶν καλῶς πεπραγμένων, καὶ τρέφειν τὴν κόμην, ἤγουν τὸ πλείονα τοῦ συμμέτρου ἔχειν τὴν κόμην.

Κομάω κομῶ, τῆς δευτέρας συζυγίας, τὸ εὐφραίνομαι, καὶ ἀγάλλομαι. καὶ τὸ τὰς τρίχας τρέφω, μετοχὴ κομῶντες, καὶ ἐπενθέσει τοῦ ο̄ κομόωντες. κομῶ δὲ τῆς πρώτης συζυγίας, σημαίνει τὸ ἐπιμελείας ἀξιῶ. ὅθεν καὶ τὸ κομείτην δυϊκὸν, ἀντὶ τοῦ ἐκόμουν, ἐπιμελείας ἠξίουν. σημείωσαι δὲ καὶ ὅτι κατὰ τὴν τοῦ Ἡροδότου ἱστορίαν, ποτὲ μὲν οἱ Ἀργεῖοι διὰ τὸ πένθος κατεκείροντο τὰς κεφαλὰς πρότερον κομῶντες. Λακεδαιμόνιοι δὲ οἱ νικήσαντες, ἔθεντο μὴ κομῶντες πρόην, ἀπὸ τούτου κομᾷν, ὡς δὲ καὶ συγγενῶς ἔχει ὁ καρηκομόων καὶ ἀκειροκόμης, καὶ ὁ ἀκερσοκόμης, αἱ χρήσεις δηλοῦσιν.

Κομαροφάγα, κόμαρον ἐσθίοντα.

Κομβακεύεται, κόμπους λέγει.

Κόμβαλα, πήγματά τινα.

Κόμβη, κυρήτων μήτηρ.

Κομβεῖν, τὸ σῶμα ὡραΐσαι.

Κομβῆσαι, ἀναλαβεῖν.

Κόμβησαν, ποιὸν ἦχον ἀπετέλεσαν.

Κομβολύτης, βαλαντοτόμος.

Κομβίζων, φυσῶν.

Κόμβος, κόσυμβος, τὸ ἔκπωμα.

Κόμβος, ὁ κόμβος τῶν δύο χειριδίων, ὅταν τὶς δήσῃ ἐπὶ τῶν ἴδιον τράχηλον.

Κόμβους, ὀδόντας γομφίους.

Κομβύματα, τὰ καλλωπίσματα.

Κόμβωμα, στόλισμα, σκείρωμα.

Κομβώματα, τὰ ἐν τοῖς ῥάβδοις μικρὸν τόρνον ἔχοντα, ὑπὸ πεταλέων.

Κομβώσασθαι, στολίσασθαι.

Κομέειν, κομεῖν, ἐπιμελεῖσθαι, θεραπεύειν. ὅθεν καὶ κόμη, καὶ ἱπποκόμος.

Κομείτην, ἀντὶ τοῦ ἐπιμελείας ἠξίουν, ἀπὸ τοῦ κομῶ, ὃ σημαίνει τὸ θεραπεύω, καὶ ἐπιμελοῦμαι. ὁ παρατατικὸς ἐκόμεον, τὸ τρίτον τῶν δυϊκῶν, ἐκομεέτην ἐκομείτην, καὶ ἰακῶς κομείτην.

Κομέεσκεν, ἤγουν ἐπιμελείας ἠξίου. Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ, ἐκ τούτου γηροκομεῖν ἐστι τὸ κομέεσκεν κατὰ γῆρας, ἤγουν κομεῖν τοὺς γέροντας.

Κομέουσι παρ' Ὁμήρῳ, καὶ ὅλως κομεῖν, καὶ ὅτι κομίζειν λέγεται δῆλον. ὅθεν κομιδὴ, ἡ ἐπιμέλεια.

Κόμη, σεμνύνει τοὺς καρηκομόωντας Ἕλληνας. εἰς ὕβριν δὲ τῷ Ἀλεξάνδρῳ ἐπανθεῖ. κομᾷν γὰρ οὐ γυναικεῖον, οὐδ' ἐξ ἀνάγκης ἐπαφρόδιτον. ὅτι μὴ δὲ λέων χαίτην τρέφων, πρὸς μόνον κάλλος εὐθετίζεται, ἀλλὰ καὶ δι' αὐτῆς ἐπαύξει τὸ φοβερόν. κόμην ἔχειν δὲ, καὶ εὔκομον εἶναι, γυναικικώτερόν ἐστι, διὸ καὶ ὁ Πάρις ὀνειδίζεται, ὡς κόμην ἔχων.

Κόμη δένδρων, τὰ φύλλα λέγεται. καὶ οἱ λεπτοὶ κλαδίσκοι, διὰ τὸ εἰς κόσμον ἀπαιωρεῖσθαι, καὶ αὐτὰ τοῖς φυτοῖς ὁμοίως τῇ κυρίως κόμῃ. οἱ δὲ τραγικοὶ, καὶ φόβην αὐτὴν εἶπον. οἷον πᾶσαν αἰκίζων φόβην ὕλης πεδιάδος.

Κόμην, τὴν ὑπερβολὴν τῆς λάμψεως λέγει, καὶ τὴν εὐπρέπειαν.

Κόμη, ἡ θρὶξ, παρὰ τὸ κόσμον εἶναι τοῦ σώματος. οἱ δὲ παρὰ τὸ κομᾷν, καὶ ἐπιμελείας ἀξιοῦσθαι.

Κόμης, ἄρχων, ἡγεμών.

Κομητὰ, αὐχμηρά.

Κομήσης. Ἀριστοφάνης πλούτῳ, μηδὲν ταύτην γε κομήσης, ἀντὶ τοῦ ὑπερηφανήσης.

Κομιστικὰ πλοῖα, Ὑπερίδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν τριήρων. ἔοικε καλεῖσθαι κομιστικὰ πλοῖα, ἐν οἷς ἐκόμιζον οἱ τύραννοι τὰ ληφθέντα λάφυρα, ὡς ὁ αὐτὸς ῥήτωρ ὑποσημαίνει ἐν λ'. λόγῳ.

Κομηταμυνία, συντίθεται παρὰ τὸ κομᾷν, ὅ ἐστι φρονεῖν μέγα. ἐκ δὲ τούτου δηλοῖ Ἀριστοφάνης τὸ λακωνίζειν, παρόσον μέγα ἐφρόνουν οἱ Λάκωνες εἰς ἀνδρείαν. καὶ παρὰ τὸν ἀμυνίαν, διεβάλλετο ὡς μισόδημος. ἀμφότερα οὖν τὰ τῆς συνθέσεως εἰς οὐδὲν τείνει, ἢ ὡς ἐναντίον ὄντα τῆς πόλεως καὶ τύραννον.

Κομήτης ἐστὶν, ἀστεροειδὲς πυρὸς ἄθροισμα, ἐπί τινα συνιστάμενον χρόνον, καὶ πρός τινι ἄστρον τὴν σύστασιν ἔχον, οἷον κόμην ἐκτείνων, ἢ ἐκχέον.

Κόμητα, ἕνα τῶν ἑπτά.

Κομία, εὐωχία.

Κομιδὴ, ἡ ἐπιμέλεια. ἐκ τοῦ κομίζω, τὸ ἐπιμελοῦμαι. καὶ εὐκόμιστος κατὰ τοὺς παλαιοὺς, ὁ ἐπιμελείας τετυχώς. λέγεται καὶ κομέειν, κομιδῆ δὲ ἐπίρρημα, τὸ λίαν.

Κομιδῆ, ἀντὶ τοῦ λίαν, ἢ παντελῶς, ὁλοσχερῶς, εἰλικρινῶς, παντάπασι, τελείως.

Κομιδὴ, ἡ ἀνάσωσις, Ἡρόδοτος. λέγεται δὲ καὶ ἡ ἄφιξις.

Κομιδὴν ἀποτίνειν, ὅ ἐστιν ἐπιμέλειαν, ὅμοιόν ἐστι τῷ θρέπτ' ἀποδιδόναι, ὅ ἐστι τροφεῖα.

Κομιδῆ, ἐπίρρημα ἀπὸ δοτικῆς, ἀντὶ τοῦ ἐπιμελῶς. καὶ τὰ ἐπιρρήματα γίνονται μὲν ἐκ πάντων τῶν τοῦ λόγου μερῶν. καὶ Ἀττικοὶ μὲν μάλιστα ἰδίως ταῦτα ποιοῦσιν ἀπὸ δοτικῆς ἑνικῶν θηλυκῶν ὀνομάτων. ἐστὶ μὲν οὖν προσηγορικῶν, ὡς τὸ κομιδῇ παρρησίᾳ. ἐστὶ δὲ οὖν ἐπιθέτων, ὡς τὸ ἰδίᾳ δημοσίᾳ. καὶ ἔτι ἄρθρων τε καὶ ἀντωνυμιῶν, ὡς ᾗ τὸ καθά. καὶ ταύτῃ, τὸ οὕτω. καὶ ἀπὸ αἰτιατικῆς ἑνικῆς τῶν οὐδετέρων, καὶ πληθυντικῆς, πολὺ ἢ πολλὸν, καὶ πολλά.

Κομίδιον, τὸ τοῦ δένδρου δάκρυον.

Κομιεῖ παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ λήψει. κομίζω, μέλλων κομίσω, καὶ Ἀττικῶς κομιῶ, ὁ μέσος μέλλων κομιοῦμαι, κομιῇ, καὶ Ἀττικῶς κομιεῖ.

Κόμιζε, ἐπιμελοῦ.

Κομίζεται, αἰτιατικῇ, ἀντὶ τοῦ ἔχει. ἂν ἡ θέλουσα, πάντ' ἐμοῦ κομίζεται.

Κομιζόμενος, ἀντὶ τοῦ κομιδὴν ἔχων καὶ ἐπιμέλειαν.

Κομίζω, ὁ μέλλων κομίσω κοινῶς, κομιῶ Ἀττικῶς, ὡς νομίζω νομιῶ, κιθαρίζω κιθαριῶ. ὁμοίως καὶ τὰ παθητικῶς ἐκφερόμενα, ἐνέργειαν δὲ δηλοῦντα, οἷον ἀγωνίζομαι ἀγωνιοῦμαι. οἱ Ἀττικοὶ τῶν διὰ τοῦ ιζω ῥημάτων ὑπὲρ δύο συλλαβὰς τοὺς μέλλοντας κατὰ περιγραφὴν τοῦ ζω λέγουσι. προσκεῖται δὲ ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ ὁρίζω καὶ κτίζω. ταῦτα γὰρ ὁμοίως, κατὰ τὸν μέλλοντα βαρυτόνως προφέρονται. ἀπὸ δὲ τοῦ δανείζω δανειῶ οὐκ ἔστιν. οὐ δὲ δανειοῦμαι, ἀλλὰ δανείσω καὶ δανείσομαι. πλὴν τοῦ βαδίζω οὐ βαδιῶ, ἀλλὰ βαδιοῦμαι Ἀττικῶς.

Κομίζω ἐνεργητικῶς φέρω, καὶ ἐπιμελοῦμαι ποιητικῶς. ὡς τὸ τὰ σαυτῆς ἔργα κόμιζε. προσκομίζω σοι δῶρον, ἤγουν φέρω, κομίζομαι οὐ μόνον τὸ φέρομαι, ἀλλὰ καὶ τὸ λαμβάνω. Λιβάνιος ἐν ἐπιστολῇ, καὶ ἔδοξέ μ' οὐ φαύλους κεκομίσθαι μισθούς.

Κομιούμενος, ὠνησόμενος.

Κόμισα μόνυχας ἵππους, ἀντὶ τοῦ εὐκλείας ἔχον, κοινότερον πέφρασαι. τὸ γὰρ Ἀττικὸν ἐκομισάμην. ἄλλο δὲ πάντως τοῦτο τὸ κομίζειν. παρὰ τὸ

Digitized by Google

ρα τὸ κόμισον δέ μοι ἵππυς. ἐκεῖνο δὲ ἐπιμελείας ἐστὶ δηλωτικόν. ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια.

Κόμισαι, ἀντὶ τοῦ ἐπιμελήθητι, ἐκ τοῦ κομίζω, ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια, ὅθεν δοτικὴ ποιεῖ ἐπιῤῥηματικῶς τὸ κομιδῇ. ὅπερ ἐστὶ λίαν καὶ ὡς εἰπεῖν ἐν ἐπιμελείᾳ.

Κομιστὰς, ἐπιμελητάς.

Κομιστὴ, τροφή.

Κομιστέον, δεῖ κομίζειν.

Κομίστρια, ἐπιμελήτρια, τροφὸς, ἐμπλέκτρια.

Κομιῶ μέλλων δεύτερος Ἀττικὸς ἐκ τοῦ κομίζειν, ὅμοιος τῷ ἐγγιῶ καὶ βαδιοῦμαι, καὶ τοῖς τοιούτοις. δηλοῖ δὲ ἡ λέξις τὸ ἐπιμελείας ἀξιώσω, καὶ τὸ περιποιεῖσθαι.

Κόμμα, εἶδος φαύλου νομίσματος, παρὰ τῷ Ἀριστοφάνει. ἔοικε δὲ εἶναι τοῦ πονηροῦ κόμματος εἴτε... καὶ εἴρηται ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων, διὰ τὸ ὀλίγον μὲν ἔχειν χρυσὸν, πλείονα δὲ χαλκόν.

Κομμαγηνὴ, ὄνομα τόπου. καὶ κομμαγηνὸς, ὁ ἀπὸ τοῦ αὐτοῦ τόπου.

Κόμματα, καὶ κυρήβια. Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ, τὰ μὲν κυρήβιά εἰσι τὰ πίτυρα, τὰ δὲ κόμματα ἔοικεν εἶναι μέρη τινὰ, ἢ τῆς καλάμης, ἢ τῶν περὶ τὸν σῖτον αὐτὸν ἐν τῷ στάχυϊ γιγνομένων ἢ τῶν ἀνθερίκων.

Κομμάτιόν ἐστι δύο στίχων, ἢ τριῶν, οὐδέποτε δὲ ὑπερβάλλει εἰς τὸ τέταρτον. ὡς παρὰ τῷ Ἀριστοφάνει, ὡς τὸ ἀλλ' ἤδη χρὴ τι λέγειν ὑμᾶς σοφὸν, καὶ τὰ λοιπά.

Κομμαρδίων, θηρδίων, μοχθῶν.

Κομμοῦν τὸ σῶμα, ὡραΐζειν. ἐπεὶ καὶ κομμωτικὴν λέγουσι τὴν κοσμοῦσαν.

Κομμιάραι, ἢ κομάραι, καρίδες. Μακεδόνες.

Κόμμι, τὸ ψιμύθιον. κόμμι, καὶ ὁ λιβανωτὸς, καὶ τὸ ἐξηραμμένον ὀπῶδες δάκρυον.

Κόμμοι, ὀδόντες γόμφιοι. ἢ κόμποι, ἢ κοπετοί.

Κομμοῦν, ὡραΐζειν τὸ σῶμα.

Κομμὸς, περίεργος κόσμησις, ἤγουν γυναικῶν μυρία πληθὺς μετὰ κομμοῦ, καὶ ὀλολυγῆς, οὐ τέτι γόου καὶ ὀδυρμοῦ.

Κόμμωσις, ὁ τοῦ σώματος ὡραϊσμὸς, καὶ ὑπὸ τῶν μελισσουργῶν, ἡ τοῦ σμήνους διάχρισις.

Κομμοῦσθαι, καλλωπίζεσθαι.

Κομμωτὴς, καλλωπιστής.

Κομμωτικὸν, ἐπίπλαστον.

Κομμώτρια, ἐμπλέκτρια ἡ κοσμοῦσα τὰς γυναῖκας.

Κομμωτίζω, ἐπιμελοῦμαι τὰς παρειὰς τῷ ψιμυθίῳ. κόμμι γὰρ τὸ ψιμύθιον.

Κομπάζω, καὶ κομπέω κομπῶ. καὶ κομποῦμαι λέγεται, ἤτοι κομπαστικῶς λέγω. Σοφοκλῆς, ἐν Αἴαντι μέγ' ἀντικομπάσει.

Κομπάζειν, τὸ ἐπὶ κενοῖς μεγαλαυχεῖν, καὶ ἐπὶ τούτοις μεγαφρονεῖν.

Κόμπαρος, ὃς συνέζευκται εἰς ὑπηρεσίαν τινὶ ὁμοίως τὴν αὐτὴν ἐκτελῶν χρείαν.

Κομπάσῃς, ἢ κομήσῃς, παρ' Ἀριστοφάνει ἐν Πλούτῳ, ἀντὶ τοῦ ἐπαρθῇς ἐκ μεταφορᾶς τῶν κομώντων δένδρων, ἃ τὴν κόμην ὑψοῦ ἔχουσιν. τοιοῦτοι δὲ οἱ ὑπέρφρονες, ὑψοῦ τὴν γνώμην αἴροντες.

Κομπαστὴς, ψεύστης.

Κόμπαλος, παλαιστροφύλαξ.

Κομπαλικεύσει, προσαλαζονεύσει.

Κόμποι, ὀδόντες γόμφιοι.

Κόμποις, ὑπερηφάνοις.

Κόμπον, κτύπον λέγει Ὅμηρος, ὃν ὁ κάπρος ἀποτελεῖ θήγων ὀδόντας, πάνυ ἐπιτυχῶς ὀνοματοποιήσας. ἐντεῦθεν δὲ κατὰ μεταφορὰν, καὶ ἐπὶ φλυαρίας ἀλαζονικῆς ὁ κόμπος καὶ τὸ κομπάζειν, καὶ τὸ κομπεῖν λέγεται.

Κομπολακέω, ῶ. Ἀριστοφάνης οὐκ ἐκομπολάκουν, κενοὺς οὐκ ἐποίουν ψόφους. οὐκ ἔλεγον κομπώδη, ὡς Αἰσχύλος.

Κομποῤῥήμων, ὁ κενόδοξα λέγων.

Κόμπος, ἀλαζονεία, ἔπαρσις. καὶ κόμπος ὁ ψόφος.

Κόμπος, ἡ διὰ τοῦ λόγου ἔπαρσις, ὄγκος δὲ ἐπὶ σώματος.

Κόμπος, ἡ κενοδοξία, παρὰ τὸ κενὴν ὄπα ἔχειν, ὅ ἐστι φωνήν.

Κομποφακελοῤῥήμονα, βαρυῤῥήμονα σκληρὰ καὶ συνδεδεμένα ἔπη λέγοντα. φάκελοι γὰρ τὰ βαρέα, καὶ συνδεδεμένα φορτία τῶν ξύλων.

Κομπῶδες, ἀλαζονικόν.

Κομψὰ, τὰ στρογγύλα.

Κομψεία, ποικίλη λαλιὰ, καὶ πανουργία, ἢ οἱ σκόλυμοι. ἔνιοι τὰ τῶν κοσσύφων κρέη. οἱ δὲ γένος λαχάνων, ὅπερ τινὲς ἱπποσέλινον καὶ σμυρνίον καλοῦσι.

Κομψεία, ἐλαφρία, ἀστειότης, πιθανολογία, ἀλαζονεία, σοφιστεία.

Κομψεύεται, σεμνύνεται, ἀλαζονεύεται.

Κομψευριπιδικῶς, ἀντὶ τοῦ εὐριπιδικῶς, καὶ δεινῶς. οἷον πανούργως. κομψοὶ δὲ, παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο οἱ πανοῦργοι.

Κομψὸν, περίτρανον, περίλαλον, πανοῦργον, ἀπατητικὸν, πιθανὸν, τεχνικὸν λέγουσι. καὶ κομψεία, ἐλαφρία, ἀστειότης, πιθανολογία, ἀλαζονεία.

Κομψὸν, λέγεται τὸ χαρίεν. λέγεται καὶ τὸ σεμνόν. λαμβάνεται καὶ ἀντὶ τοῦ γλαφυρόν. καὶ ἀντὶ τοῦ, κόμπου γέμον καὶ μεγαλαυχίας.

Κομψὸς, κομψεύω, καὶ κομψεύομαι. κομψεία κομψεύει παρὰ τοῖς παλαιοῖς, τὸ περιλαλεῖ.

Κομψὸς, εἴρηται μὲν ἡ λέξις ἐπὶ τοῦ πανούργου, καὶ ἐπὶ τοῦ μετρίου, καὶ ἐπὶ τοῦ ἐπιεικοῦς. ἀμφότερα δὲ, παρὰ τὸ κάμπτω ῥῆμα. ἀλλ' ἐπὶ μὲν τοῦ πανούργου παρὰ τὸ εὐκάμπυλον, καὶ διεστραμμένον τῇ διανοίᾳ. ἐπὶ δὲ τοῦ ἐπιεικοῦς, παρὰ τὸ εὐκαμπῆ αὐτὸν εἶναι. οἷον εὐπειθῆ καὶ προσηνῆ. οὕτως Εἰρηναῖος ὁ Ἀττικὸς, ἢ κομψὸς ὁ πιθανολόγος. ὁ μετὰ ὑπερηφανίας καὶ κόμπου ῥητορεύων.

Κομῶντας ὄπιθεν, τοὺς Ἄβαντας λέγει ὁ Ποιητὴς, κατά τι ἔθος ἴδιον. φασὶ γὰρ οἱ παλαιοὶ ὅτι Κουρῆτες ἐν Χαλκίδι ᾤκησαν. συνεχοῦς δὲ πολέμου ὄντος αὐτοῖς περὶ τοῦ Λιλαντίου πεδίου, ἐπεὶ τῆς κόμης οἱ πολέμιοι δραττόμενοι κατέσπων αὐτοὺς, ὀπισθόκομοι γεγόνασι τὰ ἔμπροσθεν κειράμενοι, διὸ καὶ Κουρῆτες, ἀπὸ τῆς κουρᾶς ἐκλήθησαν, καὶ ἀγάλμασί εἰσι παρ' αὐτοῖς οὕτως ἔχοντα. μετοικήσαντες δὲ εἰς Αἰτωλίαν, φασὶν Ἀκαρνᾶνας κληθῆναι. διὰ τὸ ἀκείρους φυλάσσειν τὰς κεφαλάς. οἱ δὲ παλαιοὶ λέγουσιν, ὅτι ἴδιον κουρᾶς Εὐβοέων τὸ βαθείας ἔχειν τὰς ὄπισθεν κόμας, ἀνδρείας χάριν.

Κομῶσα, γέμουσα.

Κομῶσι, τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾷν, ἐπὶ τὸ τρυφᾷν λέγεται καὶ γαυροῦσθαι, καὶ μεγαλοφρονεῖν. ἄλλως τε καὶ ταῖς θριξὶ κομᾷν εἰς τιμὴν συγκεχώρηται αὐτοῖς.

Κὸν, εἶδος.

Κονάβησαν, ἤχησαν.

Κόναβος, ψόφος, ἦχος, παρὰ τὸ βοὴν κινεῖν.

Κόναι, φόνοι.

Κόναβος, καὶ τὸ κοναβίζειν, καὶ τὸ κοναβεῖν. διαφορεῖται γὰρ καὶ αὐτὸ, ἦχός ἐστι ξύλων ξηρῶν πεπληγότων, ἢ μᾶλλον κοινότερον εἰπεῖν, ἦχος σωμάτων ξηρῶν.

Κονάριχον, γλαφυρόν.

Κοναρὸν, εὐτραφῆ, πίονα, δραστήριον.

Κοναρώτερον, δραστικώτερον.

Κονᾶς, μέθυσος αὐλητής.

Κονάουσα, κονιορτὸν ἐγείρουσα.

Κονδιλίζω, καὶ κονδιλισμὸς, καὶ κόνδιλος. τὸ δὲ κολαφίζω καὶ κολαφισμὸς, καὶ κόλαφος, Ἀττικά.

Κόνδαξ, παρὰ τὸ κῶ τὸ κεῖμαι γίνεται κόαξ, καὶ πλεονασμῷ τῶν συμφώνων κόνδαξ.

Κόνδοι, κεραῖαι, ἀστράγαλοι.

Κονδυλίζει, κολαφίζει.

Κονδυλέμεναι, ἀνοιδοῦσαι, καθάπερ ἐπὶ τῶν βρασσομένων ὑπὸ τοῦ πυρὸς ὑδάτων.

Κόνδυλος, παρὰ τὴν κάμψιν τῶν δακτύλων, οἱονεὶ κάνδυλοι ὄντες. περὶ αὐτοὺς γὰρ ἡ κάμψις τῶν δακτύλων ἐγγίνεται. ἢ κένδυλός τις ὢν, ὁ εἰς τὰ κενὰ δυόμενος τῶν ῥαπιζομένων, κεναὶ σαρκῶν τὰ μέρη ταῦτα.

Κόνδυ, εἶδος ποτηρίου.

Κονδυλίσας, κονδύλοις πλήξας.

Κόνει, σπεῦδε, τρέχε.

Κόννιον, βοτάνη δηλητήριος.

Κονεῖν, ἐπείγεσθαι, αἰσθάνεσθαι, ἐνεργεῖν.

Κονειδεῖς, γένος ἰθαγενῶν.

Κονείδης, Θησέως παιδαγωγός.

Κονῆται, θεράποντες.

Κονθυλαὶ, αἱ ἀνοιδήσεις.

Κονθυλεῦ, κονθύλη, δῆμος Ἀττικῆς τῆς Πτολεμαΐδος φυλῆς, ἢ Πανδίονος.

Κονία, καὶ κόνις, ἐκ τοῦ καίνω, καὶ κατὰ συγκοπὴν κνῶ, τὸ κόπτω γίνεσθαι λέγεται, ἀφ' οὗ καὶ κνῆσις, ἡ διακοπτικὴ μάχαιρα.

Κονία, ἡ ἄσβεστος, ἀφ' οὗ κονιῶ τὸ ἀσβέστῳ χρίω. καὶ κεκονιαμένος τοῖχος, ὁ ἀσβέστῳ κεχρισμένος. κόνις δὲ, ἡ λεπτοτάτη γῆ. Ὅμηρος, καὶ ἀμφότερα ἐπὶ τῆς σημασίας τῆς κόνεως τίθησι. κονίσαλος δὲ τὸ αὐτὸ δύναται, παρ' αὐτῷ τῷ κονιορτῷ. παρὰ δὲ τοῖς Ἀττικοῖς, δαίμων τίς ἐστιν ὁ κονίσαλος. κονιορτὸς δέ ἐστι, κόνις αἰρομένη.

Κονιᾷν λέγεται, τὸ διὰ τιτάνου χρίειν τινὰ τοῖχον. τίτανος δὲ λέγεται, ἡ κοινῶς ἄσβεστος.

Κονιᾶται, οἱ τοὺς τοίχους παραχρίοντες.

Κόνις, ἡ κόνις, ἄμμος, μάχη, ἀκαθαρσία.

Κονίειν πεδίου, τὸ διὰ τῆς πεδιάδος κόνιν ἐγείρειν, ἐν τῷ σπουδαίως θέειν. ἐκ δὲ τοῦ τοιούτου νοήματος, καὶ τὸ ἐγκονεῖν γίνεται, καὶ τὸ διακονεῖν.

Κονίη ἀειρομένη, εὕρηται παρ' Ὁμήρῳ, ἐξ οὗ ἐπενοήθη τοῖς ὕστερον, ἡ τοῦ κονιορτοῦ σύνθεσις. δῆλον γὰρ ὡς ταυτὸν κονιορτὸς καὶ κόνις καὶ κονίη ἀειρομένη. κονία καὶ κόνις παρὰ τῷ Ποιητῇ ταυτὰ δύνανται, ὡς καὶ κονίσαλος. ἡ μὲν κονία ἄλλο σημαίνει, ὡς ἡ ἀπ' αὐτῆς σύνθετος ἐλαιοκονία δηλοῖ. ἡ δὲ κονὶς καὶ τὶ ζωΰφιον μικροφυές ἐστι, κατὰ ἄτιμον κόνιν, ἀφ' ἧς οἱ φθεῖρες γεννῶνται. ἧς ἡ κλίσις διὰ τοῦ δ. κόνις γὰρ κόνιδος.

Κονίησι, κονιορτὸν ποιήσει. καὶ κονίσουσιν ὁμοίως.

Κονίζεσθαι, ἀγωνίζεσθαι, ἢ κονιορτοῦσθαι.

Κονίζω, τὸ ἀγωνίζομαι, καὶ παρασκευάζομαι πρὸς τὸν πόλεμον, ἀπὸ τοῦ κόνις. οἱ γὰρ ἀρχαῖοι ὅταν ἔμελλον ἀγωνίζεσθαι, εἰς τὰς χεῖρας αὐτῶν πτύοντες, κόνιν προσελάμβανον διὰ τὸ ἰσχυρῶς κρατεῖν.

Κόνιν λέγει Ὅμηρος, τὴν ἁπλῶς κόνιν. οἱ δὲ μεθ' Ὅμηρον τὴν τίτανον, ἐξ ἧς καὶ ἐλαιοκονία σύγκειται, καὶ ῥῆμα γίνεται συζυγίας δευτέρας κονιῶ, κονιάσω. ἐξ οὗ καὶ τάφος καὶ τεῖχος κεκονιασμένον.

Κόνιν, τὴν μάχην ἔλεγον οἱ παλαιοί.

Κονίοντες, ἀνύοντες, λευκαίνοντες.

Κονιόπους, πολοχιδὲς ὑπόδημα, τὸ μὴ σκεπάζον ὅλον τὸν πόδα, γράφεται δὲ καὶ κονίποδα, ὅπερ ἐστὶ εὐτελὲς σανδάλιον.

Κονιορτόποδες, ἀγροῖκοι, ἐργάται.

Κονιορτὸν, συντίθεται ἐκ τοῦ ὦρτο κόνιν παρὰ τοῖς ὕστερον.

Κονιορτὸς, ὁ χοῦς παρὰ τὸ ὄρω τὸ διεγείρω, ὁ μέλλων ὄρσω. ἔστιν ὄνομα ῥηματικὸν ὀρτὸς, ὡς κείρω κορμὸς, καὶ ἐν συνθέσει μετὰ τοῦ κόνις κονιορτὸς, ὁ τὴν κόνιν ὀρῶν καὶ ὁρμῶν, καὶ διεγείρων.

Κονιορτὸν, ἀσκοὺς πλείστους εἰς ὅτι πληρώσας κονιορτοῦ, φέρειν ἔδωκεν ἑκάστῳ ἀνδρὶ, καὶ κατὰ τὴν συμπλοκὴν τοὺς ἀσκοὺς τῆς αἰθάλης νύττειν μαχαιριδίοις.

Κονιορτωσάμενον, κόνιν ἐπιβαλλόμενον. κονιορτωσάμενον καὶ ἐκπορείας κατὰ σπουδὴν ἐρχόμενον ἐπιφαίνονται.

Κονιπόδες, ὑποδήματα μοιχικά.

Κονισάλεος, κεκονιορτωμένος.

Κονίσαλοι, ἀφροδίσια.

Κονίσαλος, κονιορτὸς, ἢ δαίμων πριαπώδης, ἐκ τοῦ μὴ ὀκνεῖν καὶ ἐπὶ κόνεως μίγνυσθαι, καὶ κονισάλεος.

Κονίσαλος, ἐκ τοῦ κονίω κονίσω, ὡς ἴξω ἴξαλος, ἢ ἐκ τοῦ τὴν κόνιν σεσαλεῦσθαι. ἰστέον δὲ,

ὅτι

Digitized by Google

ὅτι ὁ κονίσαλος, καὶ πάτος λέγεται, ὡς δηλοῖ ὁ εἰπών, ὅτι ὁ ἱδρὼς τῶν γυμναζομένων μιχθεὶς τῷ πάτῳ, συντελεῖ πρὸς διαφόρησιν ὄγκων τῶν παρὰ φύσιν. καὶ κονιῶ, τὸ ἀσβέστῳ χρίω. καὶ κονίομαι, τὸ εἰς μάχην ἑτοιμάζομαι.

Κονίοντες, ἤγουν τρέχοντες. ἐν γὰρ τῷ τρέχειν, κόνις ἤγουν χῶμα ἐγείρεται. ἢ ἀπὸ τοῦ κονῶ τὸ ἐνεργῶ.

Κονίοντες πεδίοιο, ἀντὶ τοῦ κόνιν ἐγείροντες διὰ τοῦ πεδίου. ἢ μᾶλλον, ἐπὶ τοῦ πεδίου, καὶ τῆς πεδιάδος. κατὰ τὸ ἵππος εἰς πεδίον, ἐκ δὲ τοῦ κονίειν πεδίοιο, καὶ τὸ ἐγκονεῖν ἐπενοήθη, ὡς τὸ χωρῶμεν, ἐγκονῶμεν.

Κόνις καὶ κονίη. ὅτι δὲ ἡ μὲν τοιαύτη κόνις διὰ καθαροῦ τοῦ ος κλίνεται, οἷον κόνις κόνιος, ὡς τὸ κόνιος δεδραγμένος. ἡ δὲ περὶ τὰς τρίχας τῆς κεφαλῆς ἡ φθειροποιὸς, διὰ τοῦ δ, κόνις κόνιδος. δηλοῦσι τὸ μὲν Ἴωνες καὶ Ἀττικοί, τὸ δὲ Ἀριστοτέλης, ἐκ τῆς τῶν φθειρῶν ὀχείας γίνεσθαι τὰς κόνιδας λέγων, ἐν τῇ περὶ ζώων ἱστορίᾳ. σημείωσαι δὲ καὶ παραβολικῶς ὁμίχλη βαθεῖα τὴν πολλὴν εἰκάσας κόνιν, θαῤῥῶν κονίης ὁμίχλην φησὶν Ὅμηρος. καὶ κόνις ἐστὶ δ' ὅστε, ἐπὶ ταύτης λέγεται τῆς σημασίας τοῦ κακοστόπου. ἡ κόνις ὥσπερ καὶ κονία ἐφ' Ὁμήρου μὲν, τῆς αὐτῆς ἦσαν σημασίας. ὕστερον δὲ, κονία μὲν ἐλέγετο καὶ ἡ χρίουσα τὰ ὥς φασιν οἱ ῥήτορες κεκονισμένα. κόνις δὲ ἰδία ἀθλητική, ἐξ ἧς καὶ τὸ ἀθλητικῶς κονίεσθαι, καὶ κονίστρα ἡ παλαίστρα. χρῆσις δὲ τοιαύτης κόνεως, παρὰ Ἀθηναίῳ ἐν τῷ σκήπτοντί τινι τὴν τῶν ἀθλούντων κόνιν. ἐκ δὲ τῆς κόνεως πολλὰ παρῆκται, ὧν ἐστι καὶ τὸ ἐγκονέω, ῶ. καὶ αὖ τὸ διάκονος, ὁ αὐτοχειρὶ δουλεύων. καὶ διακόνιον δέ φασιν, εἶδος πλακοῦντος, ὡς ἐστὶ γενικῶς ἄρτος τὶς, ἢ πέμμα πλατὺ παρὰ τὴν πλάκα. ἵνα ᾖ ὡς τυρόεις τυροῦς, σησαμόεις σησαμοῦς, οὕτω καὶ πλακόεις πλακοῦς. ἐκαλεῖτο δὲ πλακοῦς φασι, καὶ κώμη Θηβῶν ὑποπλακίων ἀπέχουσα σταδίους ξ.

Κόνισαι, γυμνάσθητι.

Κονίσουσι, κόνιν ἐγεροῦσιν. ἢ κονίσουσιν, ἀντὶ τοῦ φθάξονται, διὰ εὐρὺ κονίσουσι πεδίον. ἐκ τοῦ παρακολουθοῦντος νοεῖται τὸ φθάξονται. οἱ γὰρ φθάνοντες, κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν.

Κονίστρα, ὁ ἀγών, ἡ παλαίστρα. ἢ ἡ κυλίστρα.

Κόνιτρον, ῥύπος. ἔλουσαν ἡμᾶς ἄνευ κονίας, Ἀριστοφάνης. καὶ οὐδετέρως κόνιον καὶ κορνιορτοῦται. καὶ κονιωμένους, κόνεως πεπληρωμένους.

Κονίω, τὸ ἀγωνίζομαι, ὥσπερ ἀπὸ τῆς μῆτις μητίω, καὶ δῆρις δηρίω, καὶ μῆνις μηνίω, οὕτω καὶ ἀπὸ τῆς κόνις κονίω.

Κονίω, τὸ τοῖχον χρίω.

Κόννα, σποδός.

Κοννάβησαν, ἤχησαν.

Κονναβίζει, ἦχον ἐπιτελεῖ, δεσμεύει.

Κόνναρον, καρπὸς δένδρου, ὅμοιος παλιούρῳ.

Κοννᾶς, αὐλητὴς ἦν, καὶ μέθυσος, ὃς εἰς συμπόσια παρῄει συνεχῶς ἐστεμμένος. οὗτος ὀλυμπιονίκης γενόμενος, καὶ πολλάκις στεφανωθεὶς, πενιχρὸς ἦν, μηδὲν ἔχων ἀλλ' ἢ κότινον. ἀφ' οὗ Κρατῖνος εἶπεν, ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα σε λιμὸς ἐχθαίρῃ. κοννᾶς δὲ, πολυστέφανος νικήσει. λέγει δὲ αὐτὸν τοσαῦτα νικήσαντα, μηδέπω τετιμῆσθαι. ἡ δὲ παροιμία στέφανον μὲν ἔχων δίψῃ δ' ἀπολωλώς. καὶ πάλιν Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχων, δίψῃ δ' ἀπολωλώς. πρὸς τὸν Κρατῖνον δὲ καὶ τοῦτο, ὅτι μέθυσός ἐστι.

Κοννεῖν, συνιέναι, ἐπίστασθαι.

Κόννις, ἀλείτης, πενίαν ἔχων, καίπερ ὢν ἄριστος.

Κόννος, ὁ πώγων, ἡ ὑπήνη, ἢ χαίρεις.

Κόννους. Πολύβιος, ἐδωρεῖτο δὲ πᾶσι τὰ πρέποντα. τοῖς μὲν παισὶ κόννους καὶ ψέλλια, τοῖς δὲ νεανίσκοις δραμβὰς καὶ μαχαίρας.

Κοννοῦσι, γινώσκουσι.

Κοννοφόρων, σκολλυφόρων.

Κοννόφροσιν, ἄφροσιν.

Κόννου ψῆφον, κιθαρῳδὸς ἦν νέος. ἔστι δὲ παροιμία ἐπὶ τῶν μηδὲν ἀξίων. Καλλίστρατος δὲ παροιμίαν φησὶ, κόννου θρῖον, παρ' ὃ παίζει. Εὐφρόνιος δὲ, ὅτι ἐλέχθη διὰ τὸ ἤδη τινὰ τὸν κόννον εἶναι. οἱ δὲ κόννον λέγουσι τὸν κιθαριστήν. μήποτε δὲ οὐδὲ ἐστὶ κόννος, ἀλλὰ κόννας ὃν προσενεκτέον, ὡς μνίδας, κόννου ψῆφος. οἷον τὸ μηδὲν ἄλλως κόννος εὐτελής. κόννος γὰρ τὰ πατρῷα κατέφαγε, καὶ πένης ἦν. ψῆφον δ' εἶπε, διὰ τὸ περὶ δικαστοῦ λέγειν.

Κονόπιδα, τὸ στενὸν σανδάλιον λέγουσι.

Κονοῦσα, τὰ Γάδειρα οὕτως ἐκαλεῖτο.

Κόνιος ἀρτοξύη, παροιμία ἐπὶ τῶν ἀνταποδιδόντων.

Κονοσκογκόλορος, ὁ ἑλληνιστὶ ὀνομαζόμενος Σαρδανάπαλος. ὃς τὰ γυναικεῖα φρονῶν, καὶ περὶ τρυφὰς ἀσχολούμενος, κατελύθη ὑπὸ Ἀρβάκου τοῦ ἰδίου στρατηγοῦ, ἀναγκασθεὶς ἐλθεῖν εἰς ἑκούσιον θάνατον, καὶ σὺν τοῖς βασιλείοις κατακαῦσαι ἑαυτόν. ὁ δὲ Ἀρβάκης οὗτος, καὶ τὴν βασιλείαν μετέθηκεν εἰς Μήδους.

Κονσουλάριος, ὑπατικός.

Κονσιστόριον κατὰ Λατίνους, θεῖον συνέδριον.

Κοντὸς μὲν, τὸ μακρὸν δόρυ. ἀκόντιον δὲ, τὸ βραχὺ καὶ ῥιπτόμενον.

Κοντὸς, παρὰ τὸ κέντω κοντὸς, ὡς στρέφω στροφός.

Κόντιλος, εἶδος ὀρνέου, ἢ ὄρτυξ. ἔστι δὲ καὶ ὄφις.

Κοντουβερνάλιος, συστρατιώτης παρὰ Λατίνοις.

Κοντῷ πλεῖν. παροιμία, ἤγουν προσηκόντως ζῆν.

Κόνυζα, βοτάνη τίς.

Κονῶ, τὸ ἀγωνιῶ.

Κονωεῖν, συνιέναι, ἐπίστασθαι.

Κόνων, ὄνομα κύριον, καὶ κλίνεται κόνωνος.

Κόξα, τὸ ὀπίσω τοῦ γονατίου μέρους.

Κόοι, τὰ χάσματα τῆς γῆς, καὶ τὰ κοιλώματα.

Κοπάδες, τὰ ἐπικεκομμένα δένδρα.

Κόπανον, ξύλον ἐκπλυτικόν.

Κόπασον, ἡσύχασον.

Κόπελλα, αἰδοῖα, καὶ τὰ ὀστώδη τοῦ σώματος.

Κοπετὸς, κόμμος, θρῆνος μετὰ ψόφου χειρῶν.

Κόπηθρον, φυτὸν λαχανῶδες ἄγριον.

Κοπήσονται, φονευθήσονται.

Κοπητὸς, ὁ θρῆνος, ἀπὸ τοῦ κόπτεσθαι.

Κόπερα, τὰ κόπρια.

Κοπίαι, ἡσυχίαι.

Κόπιες, κέντρα ὀρνίθια.

Κοπίζειν, ψεύδεσθαι.

Κοπιῆς, ὑψηλοῦ τόπου.

Κοπιοδόρπιον, στύφος τί.

Κόπις, σύντομος, ὀξὺς τῷ λόγῳ, ἤγουν λάλος, ὁ ῥήτωρ.

Κοπὶς, ἡ μάχαιρα, οὐ φονίην ἤγαγε πρὸς κοπίδα αἰδεσθεὶς ἔργον. περὶ βοὸς, ὁ λόγος. καὶ αὖθις, ὁ δὲ παίεται κοπίδι τὴν κεφαλὴν, ὡς οὐ βιωσόμενος εἶναι.

Κόπις, μερὶς, δεῖπνον, μάζα, ἄρτος, κρέα, λάχανον ὠμόν, ζωμὸς, σῦκον, τράγημα, θερμός.

Κοπιῶ, μοχθῶ, ἱδρῶ.

Κοπάεν, ξίφος παρὰ Ἀρχιλόχῳ.

Κόπος, κοπανισμός.

Κοππατίας ἵππους ἐκάλουν, οἷς ἐγκεχάρακτο τὸ κ στοιχεῖον, ὡς σαμφόρας, τοὺς ἐγκεχαραγμένους τὸ σ. τὸ γὰρ σ καὶ τὸ ν χαρασσόμενον, σὰν ἔλεγον. αἱ δὲ χαράξεις αὗται, καὶ μέχρι τοῦ νῦν σώζονται ἐπὶ τοῖς ἵπποις.

Κοπρεῦσαι, φυτεῦσαι.

Κοπρῆσαι, ὅ ἐστι κοπρεῦσαι. ἤτοι κόπρον ἐπιβαλεῖν, παρ' Ὁμήρῳ ἐν ρ'. τῆς Ὀδυσσείας.

Κοπρία, ὁ πηλός. καὶ Ἀριστοφάνης, κοπροφορήσω σ' εἴ τι γρύξεις, ἀντὶ τοῦ εἰ λαλήσεις κόπρον σου καταφορήσω, τουτέστι κόπρου πληρώσω.

Κοπρίαν, τὴν ἀποπεπιεσμένην τοῦ κηροῦ κόνιν, παρὰ τῷ Ἱπποκράτει.

Κόπρος, ἐπὶ ἀλόγων ζώων, δίχα συῶν, ὡς δηλοῖ ὁ γράψας ὑπέλεθρος, ὑὸς ἀπόπατος.

Κοπρόσυρα, τὰ συρόμενα κόπρια.

Κόπριον, θακῶν σκύβαλον.

Κόπρον λέγει Ὅμηρος, καὶ τὴν τῶν βοῶν ἔπαυλιν, ὡς ἐκ τοῦ παρακολουθοῦντος. κόπρος γὰρ πολλὴ τοῖς βουστάθμοις, ὡς εἰκὸς ἔγκειται, καὶ μάλιστα ὅπου πολλαὶ βόες. τινὲς δὲ γράφουσι κόπρου μετὰ περισπωμένης διὰ στολῆς χάριν, ὡς ἐν τύπῳ περιεκτικῷ.

Κοπροφορήσω, κόπρου σε πληρώσω. Ἀριστοφάνης.

Κόπρῳ καθεσθεὶς, ζημίας ἕξεις τόπους. ἰλὺν πεπλευκὼς, τοῦ νοὸς νόει βλάβην. ἔκδηλός ἐστι βόρβορος ψυχῆς ῥύπος.

Κόπτει, πενθεῖ.

Κόπτη, θαλάσσιον πράσον.

Κοπτομένου, ταλαιπωρουμένου.

Κοπτὸς, ἡ πόλις. ἐστὶν εἰς τὸ κωφὸς, ἀπὸ τοῦ καίνω τὸ κόπτω, γίνεται καινόπτω, καὶ συγκοπῇ κόπτω.

Κόπτω, καίνω, κείρω, τέμνω, σχίζω, καὶ τὸ κρούω, ὡς τὸ τίς ἔσθ' ὁ κόψας τὴν θύραν; παρὰ Ἀριστοφάνει. ἐξ οὗ καὶ κόμμα, καὶ κομμάτιον. κόπτειν οὖν τὴν θύραν, ἐπὶ τῶν ἔξωθεν. τὸ δὲ ψοφεῖν, ἐπὶ τῶν ἔνδοθεν λέγομεν. καὶ κόπτω τὰ ῥήματα, παθητικῶς δὲ τὸ τέμνομαι, καὶ τὸ θρηνῶ. ἐξ οὗ κοπετὸς, ὁ θρῆνος, καὶ κόπτω ἐπὶ ἄλλου πράγματος. κόπτεται δὲ ἀντὶ τοῦ θρηνεῖ. καὶ κόπτεται τὸ στῆθος, ἀντὶ τοῦ τύπτει, ὁμοίως καὶ κόπτεται τὴν κεφαλήν.

Κοραγεῖν, τὸ ἀπάγειν τὴν κόρην.

Κορακεὺς, εἶδος ἰχθύος.

Κορακίας, ὁ μέλας καὶ κολοιός. καὶ κορακῖνος ὁμοίως.

Κορακόνιοι, εἶδος ὄρνιθος.

Κορακοφοροκλείδης. ἔστι γὰρ κατά τινας ὁ ἱεροκλείδης.

Κορακῖνος, εἶδος ἰχθύος.

Κόρακος πέτρη, καὶ κρήνη ἀρεθούση, παρ' Ὁμήρῳ. Κόραξ δὲ οὗτος ἦν ἐγχώριος ἀνὴρ, υἱὸς Ἀρεθούσης γυναικὸς, ἐκ τῶν ἐκεῖ. ὃς διώκων λαγὸν ἐν Ἰθάκῃ, κατὰ τοῦ κρημνοῦ ἠνέχθη καὶ τέθνηκεν. ἡ δὲ μήτηρ διὰ τὴν λύπην ἐλθοῦσα ἐπί τινα κρήνην, ἀπήγξατο. ἐντεῦθεν ἀπὸ μὲν μητρὸς ἀρέθουσα κρήνη λέγεται. ἀπὸ δὲ τοῦ υἱοῦ, κόρακος πέτρα.

Κοράλλιον, λίθος θαλάσσιος ἐρυθραῖος.

Κοράμβην, ἀντὶ τοῦ κράμβην λέγουσιν Ἀττικοί. τοῦτο δὲ εἰκότως. φασὶ γὰρ ἐκ ταύτης τὰς κόρας ἀμβλαίνεσθαι.

Κόραννος, βασιλεὺς Μακεδονίας.

Κόραξε, πόρθει.

Κόραξ, τὸ γινωσκόμενον ζῶον, καὶ ἕτερον στεγανόπουν, καὶ ἰχθὺς ποιὸς, καὶ τῶν ἀλεκτρυόνων ἄκρα ῥύγχη.

Κοράξαι, ἄγαν προσλιπαρῆσαι, πεποίηται παρὰ τοὺς κόρακας.

Κοραξοὶ, Σκυθῶν γένος, καὶ τὸ γυναικεῖον αἰδοῖον.

Κόραξ, εἶδος ὀρνέου. ἔστι δὲ καὶ εἶδος μηχανήματος.

Κόραξ ὑδρεύει, ἐπὶ τῶν δυσχερῶς τινὸς τυγχανόντων.

Κόραξ παρὰ τὸν κόρον, ὃ σημαίνει τὸ μέλαν. ἢ παρὰ τὸ κάραν μεγάλην ἔχειν.

Κόρας, ὀφθαλμούς.

Κορασσει, ὀρχεῖται, καὶ ἄκλητος ἐλήλυθε.

Κοράττειν, κορακεύεσθαι.

Κοράττειν, τὸ ἄγαν προσκαρτερεῖν καὶ λιπαρεῖν.

Κοραύλη, ἀπόσημα.

Κόραφος, ποιὸς ὄρνις.

Κορβᾶ, οὐκ ἔστιν ἡ δωρεὰ καὶ ἡ προῖξ, ἀλλὰ κυρίως ἡ προσφορὰ λέγεται.

Κορβωνᾶς, ὁ ἱερὸς θησαυρός.

Κόρβους, τοὺς κόρακάς φασιν οἱ Ῥωμαῖοι.

Κόρδαξ, εἶδος ὀρχήσεως ἀσέμνως κωμῳδικῆς.

Κορδακισμοὶ, τὰ τῶν μίμων γελοῖα καὶ παίγνια.

Κορδαξίας, ὀρχήσεως.

Κορδακίζεται, αἰσχρῶς ὀρχεῖται.

Κορδακισμὸς, ἡ ὄρχησις.

Κορδίνημαι, τὸ καρηβαρεῖν παρ' Ἴωσι. γράφεται δὲ καὶ κορδίομαι.

Κορδύλη, πᾶν τὸ ἐξέχον καὶ συνεστραμμένον, καὶ ὁ παρὰ τὸν ὦμον δεσμός. καὶ παροιμία, κορδύλας οὐκ ἄξιος.

Κορδυλισμὸς, ἡ περιβολή.

Κορδύλημα, τὸ περίβλημα.

Κόρδυλος, ἰχθὺς ποιός.

Κόρ-

Digitized by Google

Κόρδυς, πανοῦργος.

Κορέει, πληρεῖ, χορτάζει.

Κορεία, θεραπεία, καλλονὴ, ἡ θυσία τῇ Κόρῃ τελουμένη.

Κορεῖον, περικράνειον.

Κόρεν, κορυφὴ, ἔπαλξις καινή.

Κορέει, κεῖται παρ' Ὁμήρῳ ἀντὶ μέλλοντος τοῦ κορέσει. οὐ κατ' ἀνάγκην τινὰ μέτρου τεθὲν, ἀλλὰ κατ' ἔθος ποιητικόν.

Κορεῖν, τὸ κοσμεῖν. ἀφ' οὗ νεωκόρος, ὁ τὸν ναὸν ἐπιμελούμενος καὶ κοσμῶν.

Κορέεις, μέλλοντι ἰσοδυναμεῖ τῷ κορέσεις παρ' Ὁμήρῳ.

Κορεῖν, τὸ σαίρειν, καὶ φιλοκαλεῖν, καὶ κοσμεῖν.

Κορείας, παρθενίας. ἐν ἐπιγράμματι.

Κορέννυνται, ἐκ τοῦ κορέννυμαι, τὸ τρίτον τῶν πληθυντικῶν κορέννυνται, ἔστι κορέω κορένω κορεννύω κορέννυμι.

Κορέσασθαι μὲν λέγει ὁ Ποιητής. τὸ δὲ ἐξ αὐτοῦ σύνθετον οὐ λέγει ἀκόρεστος, ἀλλὰ ἀκόρητος, καὶ ἐκ τοῦ κορῶ κορήσω. καὶ μὴν οὐδὲ τὸ ἀκόρεστος, εἰς οὐδὲν τῷ μέτρῳ λυμαίνεται. φιλεῖ δὲ ὅμως Ὅμηρος μὴ οὕτω φράσαι. ἰστέον δὲ, καὶ Ἀττικοὶ ἀκόρητόν φασι, καὶ ἀκαλλώπιστον, καὶ ἀφιλοκάλητον, ὡς δηλοῖ ὁ Κωμικὸς ἐν τῷ, βίος εἰκῇ κείμενος. τοῦ δὲ τοιούτου ἀκορήτου θέμα τὸ κορῶ. ἐξ οὗ καὶ ἐκκορεῖν Ἑλλάδα ἡ κωμῳδία λέγει, τὸ ἐκκενοῦν καὶ καθαίρειν. ὡς εἰ καὶ ἐσαροῦτο κατὰ τὰς φιλοκαλουμένας οἰκίας. τὸ δὲ πάντων μὲν κόρος, καὶ ἑξῆς πεπόρισται τῷ Ποιητῇ, ἐκ τοῦ οὐ δύνανται φιλότιδος κορέσασθαι.

Κορέσατο πόνου, οὐκοῦν ἐπὶ βρωμάτων μόνον ὁ κόρος, ἀλλὰ καὶ ἐπὶ ἄλλων πραγμάτων. ἔστι γὰρ παρ' Ὁμήρῳ, κορεσσάμενος χεῖρας δρυτόμος.

Κορεθῆναι, ὅτι κουροτρόφον, τὴν γῆν καλοῦσι. καὶ τὸν ἐκ ταύτης καρπὸν, κόρην.

Κορέων, κορύσκων, ἐξυβρίζων.

Κορεσθῆναι, τὸ πληρωθῆναι τῆς τροφῆς.

Κορζία, καρδία. Πάφιοι.

Κόρη, ἐπὶ τοῦ ὀφθαλμοῦ, οἱονεὶ χόρη τίς οὖσα. ἀπὸ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ διορατικὸν πνεῦμα. κόρη δὲ, ἡ παρθένος, ἀπὸ τοῦ κορεῖν τὸ καλλωπίζειν, ὃ καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ εἴρηται. ἢ ἡ καθαρά, καὶ ἄφθορον ἔχουσα τὴν ἡλικίαν. κορεῖν γὰρ, τὸ καθαίρειν, ἔνθεν καὶ νεωκόρος.

Κόρη, ἡ νέα, ἡ παρθένος. κόρη, ἡ τοῦ ὀφθαλμοῦ. κόρη, ἡ θυγάτηρ.

Κόρημα, τὸ κόσμητρον. μὴ ἐκκόρει τὴν Ἑλλάδα, ἀντὶ τοῦ ἔρημον ποιῶν οἰκητόρων διὰ τῶν πολέμων. ἦν δὲ ἀρά τις αὕτη τοῖς ἀρχαίοις, ὥστε καὶ Μένανδρός φησιν, ἐκκορηθείης σύγε, ἀντὶ τοῦ ἄρδην ἀπολεσθείης.

Κόρημα, τὸ σάρωμα.

Κόρη, ἡ Περσεφόνη. δηὼ δὲ, ἡ Δημήτηρ.

Κόρημα χρὴ λέγειν, οὐχὶ σάρον. καὶ κορεῖν, καὶ παρακορεῖν, ἀλλὰ μὴ σαροῦν.

Κόρη, κώλυσις τοῦ ῥεῖν, ἤτοι πρὸ τοῦ τόκου, ἤτοι πρὸ τῶν αἱμάτων. καὶ ἡ κόρη τοῦ ὀφθαλμοῦ, ὡς ἐκ τοῦ κοίλου ῥέειν τὸ δάκρυον. λέγεται ἐκ τούτου καὶ κολλύριον, τὸ κωλύον τὸ ῥέειν.

Κορήσατε, σύρατε, ποιήσατε. κόρημα γὰρ τὸ σάρον, καὶ κορῶ τὸ σαρῶ, καὶ περικόρημα τὸ περισάρωμα. ἄλλως. κορήσατε δῶμα, ἀντὶ τοῦ σαρώσατε, καλλύνατε. ὅθεν καὶ κόρημα τὸ σαρὸν, δι' οὗ φιλοκαλεῖται ἡ γῆ. καὶ κόρη, ἡ ἀπ' ἀνδρὸς καθαρὰ, καὶ τὸ τῆς ὄψεως διειδὲς, καὶ νεωκόρος καὶ τὰ κατ' αὐτόν. καὶ ἐκκορηθείης, ἀντὶ τοῦ ὡς κάθαρμα ἐκβληθείης. ἰστέον δὲ ὅτι τὸ ῥηθὲν σάρον, ἤτοι σάρωτρον, καὶ ὄφελμα ἐκαλεῖτο κατὰ τοὺς παλαιοὺς ἐν ἀντιφράσει, οὐ γὰρ ὀφέλλονται, ἤτοι αὔξονται τὰ σαρούμενα, διὸ καὶ σάρον παραιρεῖ καὶ μειοῖ. τοιοῦτον δέ τι καὶ τὸ σαροῦν, διὰ τὸ πρωτότυπον σαίρω, ἐξ οὗ σεσηρέναι ῥῆμα. καὶ χείλη σεσηρότα. ἀφ' ὧν πάντων σχίσμα τι φαίνεται, καὶ μείωσις ὁλότητος. ἐπὶ οὐδέν τι τῶν σεσηρότων ἐστὶ συνεχές.

Κορήσατε, ἐπιμελήθητε.

Κορησὸς, ὄνομα τόπου, ἢ ποταμοῦ. καὶ Κορησία, πόλις.

Κορθίλας καὶ κόρθιν, τοὺς σωροὺς, καὶ τὴν συστροφήν.

Κορθέλαι, συστροφαὶ, σωροί.

Κόρθιλος, ὄρνις, ὅν τινες βασιλικόν.

Κορθύεται, ὑψοῦται, κορυφοῦται, αὔξεται, ἀπὸ τοῦ κορύσσω. ἢ κόρυτος.

Κορθύεται, βραττόμενον μετὰ ἤχου καὶ ταραχῆς αἰρόμενον τὸ ὕδωρ διικνεῖται.

Κορθύεται θάλαττα, ἀπὸ τοῦ κόρυθος γίνεται. καὶ ἔστιν ὅμοιον τῷ κορύσσεται, ἤτοι κορυφοῦται. καὶ τὸ κορυσσομένης ἀμφιτρίτης. εἰ μικροπρεπὲς δοκεῖ, ἀπὸ κόρυθος, καὶ ζωϊκῆς κορυφῆς λέγειν κορθύεσθαι, καὶ κορύσσεσθαι, καὶ κορυφοῦσθαι, τὴν οὕτω μεγάλα ὑψουμένην θάλασσαν. ἐνθυμητέον· ὡς οὐκ ἐξ ἀνάγκης αἱ τροπαὶ ἀεὶ ποιότητος μεγαλεῖον ζητοῦσι, καὶ ποσότητος.

Κοριάλαι, τρίγλαι, ἰχθύες.

Κορίαννον, τὸ κόριον, καὶ γυναικεῖον κοσμάριον, χρόνος.

Κορίαννα, εἶδος βοτάνης, τὸ νῦν κολίανδρον.

Κορίζομαι, ὑποκορίζομαι.

Κοριθαλὴς, ἡ δάφνη. καὶ κόρος, ὁ κλάδος. καὶ κορεῖν, τὸ τοῖς κλάδοις σαροῦν.

Κορίνθιοι δοκοῦσι μάλιστα σέβεσθαι Ποσειδῶνα, διὰ τὸν ἰσθμὸν, ὅθεν καὶ γυμνικὸν ἀγῶνα τὰ Ἴσθμια ἐπιτελοῦσι τῷ τε Παλαίμονι καὶ τῷ Ποσειδῶνι.

Κορίνθιοι, τὸ ἵνα, καὶ τὸ ἂν, καὶ τὸ ὅπως, οὐχ ὑποτακτικοῖς ῥήμασι συντάττουσιν, ἀλλ' ὁριστικοῖς. ὡς τὸ ἵνα μήτ' αὐτὸς ὀφθείην πονηρὸς, μήτε ἐφάνης ἀδόκιμος. καὶ Ὅμηρος, ἵνα εἴδομεν ἄμφω, καὶ μὴ ἴομεν Δαναοῖσι μαχόμενοι, καὶ ἵνα εἴδεται πάντες. ὁριστικοῖς γὰρ χρῶνται ἀνθ' ὑποτακτικῶν.

Κόρινθος, πόλις πολυώνυμος, καὶ πολλῶν αἰτία λόγων τοῖς πάλαι σοφοῖς, ἐν οἷς ἐστι καὶ Πίνδαρος, ἔσω τοῦ ἐν Πελοποννήσῳ ἰσθμοῦ κειμένη. ἐκαλεῖτο δέ φασι ποτὲ καὶ ἐφύρα, ἀπὸ Ἐφύρης τινὸς ἡρωΐνης. καὶ ἡλίου πόλις δέ φασιν ἐκλήθη, διὰ τὸ ξηρὰ εἶναι. καὶ πάγος δὲ, ἡ αὐτή. ἀθήνησε δέ ποτε τῇ τῶν ἑταιρίδων ἀφθονίᾳ, ὅθεν καὶ κορινθιάζεσθαι, τὸ μαστροπεύειν. ἢ ἑταιρεῖν, ἀπὸ τῶν ἐν κορίνθῳ ἑταιρῶν. ἦν δέ τι καὶ σχῆμα κιόνων, κορινθιουργὲς λεγόμενον. ἡ δὲ περὶ αὐτὴν ἀκροκόρινθος ἐκαλεῖτό φασι, καὶ ἐπώπη. διότι Σίσυφος ἐκεῖθεν ἀφ' ὑψηλοῦ ἐπώπτευσεν, ὅπως ὑπὸ Διὸς ἡ Αἴγινα ἡρπάσθη. ἀφνειὸν δὲ κόρινθον ὁ Ποιητὴς φησι, διὰ τὸ ἐκεῖ ἐμπόριον κείμενον ἐπὶ τῷ ἰσθμῷ, κατὰ τὸν Γεωγράφον, ὃς καὶ δυοῖν λιμένων κύριον αὐτόν φησι. δι' ὧν αἱ ἀμοιβαὶ τῶν φορτίων ῥάδιοι ἦσαν, ἔκ τε Ἀσίας καὶ Ἰταλίας. ὑπὸ δὲ τῇ κορυφῇ τοῦ ἀκροκορίνθου ὄρους, Πειρήνη κρήνη. Θουκυδίδης, ἐμπόριον τὴν Κόρινθον τῆς Ἑλλάδος φησί. Γεωγράφος δέ φησιν, Ἀφροδίτης ἐκεῖ ἱερὸν πλουσιώτατον. πλείους οὖν ἢ χιλίας ἱεροδούλους εἶχεν ἑταίρας, καὶ διὰ ταύτας πολυωχλεῖτο ἡ πόλις καὶ ἐπλουτίζετο, ἐξαναλισκομένων τῶν ναυτίλων. ὅθεν παροιμία φησὶν, οὐ παντὸς ἀνδρὸς ἐς κόρινθον ἐσθ' ὁ πλοῦς. ἔχει δὲ ὄρος ὑψηλὸν, ὅπερ εἰς ὀξεῖαν τελευτεῖ κορυφήν. καλεῖται δὲ ἀκροκόρινθος. καὶ ἡ μὲν κορυφὴ ναΐδιον ἔχει Ἀφροδίτης.

Κορίνθιος ξένος, ἐπὶ τῶν τὰς ἀλλαγὰς ῥιπτούντων.

Κορικῶς, γυναικῶς ὡς κόραι.

Κορινθιάζειν, μαστροπεύειν, ἑταιρεύειν.

Κορίνθιαι, αἱ πίδαι, καὶ αἱ ἀπὸ Κορίνθου τῆς πόλεως γυναῖκες.

Κορίννα, θεαπία λυρική. οἱ δὲ κορινθίαν εἰρήκασι.

Κορίννουσι, κονιορτὸν ἐγείρουσιν, ἀπὸ τῆς παρ' Εὐριπίδῃ Σθενεβοίας τῷ Βελλεροφῶντι ἐποχευούσης. ὡς δὲ Ἄτταλος ἐν τῷ περὶ παροιμιῶν, ἐπὶ τῶν διὰ κάλλος, ὡς ὁ Βελλεροφόντης. λέγεται δὲ καὶ κονίουσι.

Κοριοειδὲς, κορίῳ ἢ κόρῃ ἐοικός.

Κόριον, μικρὸν κοράσιον. ἢ κορίσιον, τὸ λάχανον.

Κόριον, τὸ κορίανδρον, ἢ μᾶλλον κορίαμβλον.

Κορὶς, ἰχθύς ποιὸς, ἢ πόα, ἣν ἔνιοι χαμαιπίτυν.

Κορίσαι, ὑψῶσαι.

Κόριψ, νεανίσκος.

Κοριῶντα, γαυρούμενον.

Κορκόδρυα, ὑδρόδρυα.

Κόρκορα, ὄρνις πεογαῖος.

Κορκοραία, μάστιξ δοκεῖ ἐκείνη χαλεπωτάτη εἶναι, καὶ παιδευομένων μάστιξ.

Κορκορεύεται, ἀπονεῖται.

Κόρκορος, λάχανόν τι ἄγριον καὶ εὐτελὲς ἐν Πελοποννήσῳ, ὡς καὶ ἡ παροιμία. καὶ κόρκορος ἐν λαχάνοις, καὶ εἶδος ἰχθύος.

Κορκορυγὰς, βοὰς, ταραχὰς, θορύβους.

Κορκορύγημα, καὶ κορκορυγὴ, ὁ θόρυβος τῆς γαστρός. τοῦ ψελλοῦ κορκορυγὴ, ὁ θόρυβος. ὁ δόλιος δὲ, κέρκωψ.

Κορκορυγμοὶ, ταραγμοί.

Κορκούτης, αἰδοῖον ἀνδρῶν.

Κόρμα, ἡ τοῦ κόρματος καὶ κορυβαντίας αἰτία.

Κορμάζειν, τέμνειν, περιδεῖν.

Κορμῆται, κοσμῆται.

Κορμὸς, πλάτη, ἀπὸ τοῦ εἰς ὀλίγον κεκορμᾶσθαι. πλάτη δὲ, εἶδος πλοίου, καὶ ἕδρα, καὶ κώπη, καὶ τὸ εἰς βραχὺ συντετμημένον ξύλον.

Κόρνος, κέντρον, μυρσίνη, Σικελοί.

Κορνώπιδες, κώνωπες.

Κορονὴν, τὸ ἄκρον τοῦ τόξου, ἢ κρικίον.

Κόροιβος, ἠλίθιος, καὶ μωρὸς. ἐπὶ γὰρ τοῦ μωραίνοντος ἔταττον τὸν κόροιβον, ἀπὸ κοροίβου τινὸς μωροῦ καὶ ἠλιθίου μετάγοντες. οἷον οἴονται τὸν Μύγδονος εἶναι παῖδα τοῦ Φρυγός.

Κοροῖτις, ἀλώπηξ.

Κοροκοσμία, τὰ τῶν παρθένων κοσμήματα.

Κορονιόεντα, διφορεῖται. καὶ γὰρ κορωνιόεντα γράφεται, ἤγουν μέλανα. καὶ γὰρ τῶν ἀσταχύων, οἱ μὲν λευκοὶ, οἱ δὲ πυρροὶ, οἱ δὲ μέλανες, οἳ καὶ τῶν ἄλλων διαφορώτεροι. ἢ κορυνιόεντα, ἤγουν ῥαβδώδη, καὶ δι' εὐκαρπίαν εὔογκα. κορύνη γὰρ ἡ ῥάβδος, παρ' Ἡσιόδῳ.

Κοροπλάθοι, οἱ τοὺς κόρους πλάττοντες κηρῷ, ἢ γύψῳ, τουτέστι τὰ ζῶα πάντα. οἱ κατασκευάζοντες εἴδωλα βραχέα ἐκ πηλοῦ πάντων ζώων, οἷς ἐξαπατᾶσθαι τὰ παιδάρια εἰώθεν, οὗτος κοροπλάθος καλεῖται. κοροπλάθους λέγουσι, τοὺς ἐκ πηλοῦ τινος, κηροῦ, ἢ τοιαύτης τινὸς ὕλης πλάττοντας κόρας, ἢ κούρους.

Κόρος, ὁ βασιλεὺς τῶν Περσῶν ὁ παλαιός. ἡλίου γὰρ ἔχειν τὸ ὄνομα. κοῦρον γὰρ καλεῖν εἰώθασιν οἱ Πέρσαι τὸν ἥλιον, Ὦρος.

Κόρυς, ἡ περικεφαλαία. παρὰ τὸ κάρη, κάρυς καὶ κόρυς, ἢ παρὰ τὸ κόρση γίνεται, ὃ σημαίνει τὴν κεφαλήν.

Κόρος, πλησμονὴ, χορτασία, τρυφὴ, παῖς, κάλλωτρον, καὶ μέτρον τι σιτικόν. καὶ πλέγμα μυρσίνης πεποιημένον, καὶ πλῆθος ἀνθρώπων, καὶ τὰ νέα βλαστήματα, καὶ μέτρα.

Κόρριον, μικρὸν κοράσιον.

Κόρσακις, τράγος παρὰ Κρατίνῳ. Δίδυμος, ἤκουεν ἀπὸ τῆς κόρσσης, κόρσαι γὰρ τῆς Κιλικίας.

Κορσεὺς, κουρεύς.

Κόρση, ἡ κεφαλὴ, ἀπὸ τοῦ κορυφοῦσθαι. ἢ παρὰ τὸ κείρεσθαι. ὅθεν κορσωτὴρ λέγεται, ὁ τὰς τρίχας κουρεύων. καὶ κόρσαι, αἱ τρίχες.

Κορσίπιον, ῥίζα τὶς, ἢ νόμισμα παρ' Αἰγυπτίοις, τὸ κερσαῖον λεγόμενον.

Κορσὶς, πυγή.

Κόρσοιφος. οἰφεῖν, τὸ συνουσιάζειν. ὅθεν καὶ Θεόκριτός φησιν, αἶγ' ὤνθρωπε φιλοῖφα, τοι γένος ἢ σατυρίσκοις ἐγγύθεν, ἢ πάνεσσι κακοκνάμοισιν ἐρίσδει, ἢ τὸ ὡς κόρην οἰφόμενον, τουτέστιν ὀχευόμενον. ἢ παρὰ τὸ τὴν τρίχα ὑφειμένην καὶ ἡπλωμένην ἔχειν, οἷον κέρουφός τις ὤν. κέρας γὰρ, ἡ θρίξ. οἱ δὲ κέρας λέγουσι, τὸ αἰδοῖον καὶ κέρουφον, τὸν τὸ αἰδοῖον ἔχοντα ὑφειμένον καὶ μαλακόν.

Κορσὸν, κορμόν.

Κορσοῦν, κείρειν.

Κορσωτήριον, κουρεῖον.

Κόρταφος, παρὰ τὴν κόρσην εἶναι κόρσαφος καὶ κόρταφος, καὶ ἐν ὑπερβιβασμῷ κρόταφος. ἢ ὅτι τῆς κόρσης καὶ τῆς κεφαλῆς ἀφή ἐστι.

Digitized by Google

Κορτεῖν, κροτεῖσθαι.

Κορτερά, κρατερά, ἰσχυρά.

Κόρτην, Πάρθοι ἐσθῆτα καλοῦσιν, ἣν λαμβάνουσι παῖδες εἰς ἄνδρας ἀφικόμενοι.

Κόρτος, ὁ ἐν τοῖς κυσὶ κρότων.

Κορτυνίοι, οἱ Ἀρκάδες, ἡ γὰρ κόρτυς τῆς Ἀρκαδίας.

Κορύβαντες, ἔθνος βακχικὸν καὶ μανικόν. παρὰ τὸ κρύβειν τὸν Δία, κρύβαντες, καὶ πλεονασμῷ τοῦ ο κορύβαντες, ἢ οἱ τὴν Κόρην καταβάντες ἀναγαγεῖν, καὶ μὴ ὑποστρέφειν. κορύβαντες δέ εἰσι, δαίμονες.

Κορυβαντιᾷς, μαίνῃ, παρ' ὅσον οὗτοι οἱ δαίμονες μανίας καὶ ἐνθουσιασμοῦ ἐμποιητικοί. καὶ ἐκορυβάντιζεν, ὡς μαινόμενος καὶ κατεχόμενος ὑπὸ θεοῦ, ἀντὶ τοῦ τὰ τῶν Κορυβάντων ἐποίει αὐτῷ μυστήρια. Ἀριστοφάνης.

Κορυβαντισμῶν, καθαρισμῶν.

Κορυβαντιῶν, μέγα κτυπῶν, ἢ ὀρχούμενος, ἢ μαινόμενος.

Κορύβας, Ῥέας ἱερεύς.

Κόρυβος, ὁ κωφός, ἀπὸ κορύβου τινὸς μεθύοντος τὰ κύματα.

Κορυγγεῖν, κερατίζειν.

Κορύγης, κήρυξ. Δωριεῖς.

Κορυδαλός, εἶδος ὀρνέου, καὶ δῆμος τῆς Ἀττικῆς.

Κορυδεύς, ὄνομα κύριον. οὗτος ἐκωμωδεῖτο ἐπὶ δυσμορφίᾳ, καὶ οἱ παῖδες αὐτοῦ.

Κόρυδοι, ὄρτυξιν ὅμοιοι ὄρνιθες.

Κορυδόν, ἔνιοι κορυδαλὸν λέγουσι. γῆς δὲ ἱερὸν ὄρνεον νομίζουσιν εἶναι. κορυδὸν δὲ Ἀριστοφάνης εἴρηκε θηλυκῶς, Πλάτων δὲ ὁ κωμικὸς ἀρσενικῶς.

Κορυδός, παρὰ τῷ Ἀριστοφάνει. κορύδων λέγεται, παρ' Ἀριστοτέλει. εἰ μὴ ἕτερός ἐστι ποικίλα γὰρ τὰ ὀνόματα.

Κόρυδος, καὶ κορυδαλός, τὸ στρουθίον, τὸ ἔχον ἐπὶ τῆς κεφαλῆς ἀνεστηκότα πτερά, ὥσπερ λόφον, ὃν λόφον ὁ τῶν Ἑλλήνων μῦθος τὸν τάφον εἶναι βούλεται τοῦ πατρὸς αὐτῶν. φασὶ γὰρ αὐτοὺς εἶναι πρὸ τῆς γῆς ὑποστῆναι. ἀποθανόντα δὲ τὸν πατέρα αὐτῶν, ἐπεὶ οὐκ εἶχον ὅπου θάψωσιν, ἐπὶ ταῖς αὐτῶν ἔθαψαν κεφαλαῖς. τοῦτο βούλεται δηλοῦν καὶ παρὰ τῷ Θεοκρίτῳ, τὸ ἐπιτυμβίδιαι κορυδαλίδες, ἤγουν αἱ ἐπὶ ταῖς ἑαυτῶν κεφαλαῖς τὸν τύμβον τοῦ πατρὸς φέρουσαι.

Κόρυζα, κατάρρους, ἀρχὴ ἢ πλεονασμὸς μυξῶν.

Κορύζει, ξαίνει, μαραίνει.

Κορυθάϊκι, πολεμικῷ. ἀπὸ τῆς κόρυθος, καὶ τοῦ ἀΐσσω τὸ ὁρμῶ, ἀΐξω, ἀΐξ, γίνεται κορυθάϊξ.

Κορυθαίολον, παροξύνεται ὑπὸ τῶν παλαιῶν. δηλοῖ δὲ τὸν ἔχοντα αἰόλην κόρυθα, ἤγουν ποικίλην περικεφαλαίαν. εἰκὸς γὰρ αὐτῷ παρηλλάχθαι τὸν ὁπλισμόν, ἢ τὸν εὐκίνητον ἐν πολέμοις, παρὰ τὸ αἰόλον τὸ ταχύ ὅπερ ἀπὸ τοῦ αἰόλλω, τὸ κινῶ γίνεται. ἵνα εἴη κορυθαίολος, ὡς αἰόλος εἰς μάχην κατὰ ὅπλων, ὡς ἀπὸ τῆς κόρυθος τὸ πᾶν εἰπεῖν. τοιούτου δὲ σημαινομένου ἐστὶ καὶ ὁ κορυθάϊξ.

Κορυθάλη, ἡ πρὸ τῶν θυρῶν δάφνη τιθεμένη. εἰσὶν οἱ κλάδοι, οὓς κόρυς καλοῦσι.

Κορυθαλία, δάφνη ἐστεμμένη. τινὲς τὴν εἰρεσιώνην. ἄλλοι δέ, ὑπερόριον θεόν.

Κορυθαλίστριαι, αἱ χορεύουσαι τῇ κορυθαλλίᾳ θεᾷ.

Κορυθία, αὐλήτρια.

Κορύθων, ἀλεκτρυών, αἱ νεανίδες.

Κόρυκος, θυλάκιον, ἢ πήρα.

Κορύλλιων, ὄρνιθος εἶδος.

Κόρυμβα εἰσὶ καθ' Ὅμηρον, ἄκρα. κατὰ δὲ ὑστέρους ἀκροστόλια, καὶ οἷον κορυφαὶ νεῶν. καὶ ἔοικεν οὕτω λέγεσθαι τὰ ἐξέχοντα, καὶ μάλιστα ἐν ὄρεσιν. Ἡρόδοτος γοῦν τὸν τοῦ ὄρους φησί που κόρυμβον, ὡς εἴ τις εἴποι κορυφήν. ἀφ' οὗ κατὰ γένους μεταπλασμόν, τὸ κόρυμβον. ὅθεν ἡ κορωνίς, καὶ ἡ κόρυς, καὶ τὸ κορύεσθαι.

Κόρυμβοι, κλῶνες, ἢ ἄκροι ἐν ἐπιγράμματι.

Κόρυμβος, ὁ καυλὸς τοῦ ἀσπαράγου.

Κορύμνια, κόσμος τις γυναικεῖος περιτραχήλιος.

Κορύναι, μύξαι.

Κορυνή, διὰ τῆς λέξεως καιριον λέγεται. ἁπλῶς μὲν πᾶσα ῥάβδος κεφαλαιωτή, παρὰ τὴν κάραν λέγεται, ὅθεν καὶ ἡ κόρυς. εἰ δὲ τὸ τοῦ ξύλου ἐξ ἄκρου παχὺ σιδηροῦν, εἴη ποτὲ καὶ σιδηρείη. κορυνὴ λέγεται, ἀπὸ τοῦ κεφαλαίου τοῦ μέρους κληθεῖσα. ὥσπερ καὶ ῥόπαλόν τι λέγεται, ἀπὸ τοῦ ἄκρου μὴ ὀρθοῦ ὄντος, ἀλλὰ ῥέποντος. οὕτω καὶ ἡ πολεμικὴ χάμαξ ἀπὸ ξύλου συγκειμένη καὶ σιδήρου, δόρυ μὲν λέγεται διὰ τὸ ξύλον, αἰχμὴ δὲ διὰ τὸν σίδηρον.

Κορυνή, ῥόπαλον, οἱ δὲ ξίφος, οἱ δὲ ξύλον ἐπικαμπές.

Κορύνησις, βλάστησις.

Κορυνηφόροι, οἱ ξύλων κορύνας ἔχοντες.

Κορυνήτης, κορυνομάχος, ῥοπαλομάχος.

Κορυνθεύς, κόφινος, κάλαθος, ἀλεκτρυών.

Κόρυνθος, μάζης ψωμός.

Κορυνώδεις, ὀζώδεις.

Κόρυξ, νεανίσκος.

Κορύομαι, τὸ κορυφοῦμαι, ὃ κατὰ πλεονασμὸν τοῦ θ κορθύομαι λέγεται. οὗ μέλλων κορύσσομαι, κόρις, κορύνη. ἀπὸ δὲ τοῦ κόρυς κορύσσομαι, τὸ ὁπλίζομαι ἀπὸ μέρους τῆς πάσης ὁπλίσεως νοουμένης λέγεται κορύσσομαι, καὶ τὸ ὑψοῦμαι κατὰ τοῦτον τὸν τρόπον, καὶ ἀπὸ τοῦ θώρακος θωρήσσομαι, ταυτὸν τῷ κορύσσομαι, τῷ δηλοῦντι τὸ ὁπλίζομαι. εἰσὶ δὲ καὶ ἀμφότερα ποιητικά. ὁπλίζομαι δὲ κοινόν, ὃ γίνεται ἀπὸ τῶν ὅπλων.

Κορυπτίλος, ὁ τοῖς κέρασι πλήττων. ἀπὸ τοῦ κορύπτω, τὸ κερατίζω.

Κορυπτόληπτον, κερατιστήν.

Κορυπτόλης, κερατιστής.

Κόρυς, ἡ περικεφαλαία. καὶ κλίνεται κόρυθος, παρὰ τὸ κάρης καὶ κόρυς. ἢ παρὰ τὸ κόρση, γέγονε κόρυς. κόρση δέ, ἡ κεφαλή. καὶ τὸ κορσοῦσθαι, ἐπὶ τοῦ κείρειν ἔλεγον οἱ Ἴωνες. καὶ κορσωτῆρα, τὸν κουρέα.

Κορύσσειν, ἤγουν ὁπλίζεσθαι. ἀπὸ τοῦ κόρυς, ἡ περικεφαλαία, ἥτις ἐτυμολογεῖται ἀπὸ τοῦ κάρα ῥύεσθαι. θωρήσσειν δέ, ω μέγα καὶ η, καὶ γίνεται ἀπὸ τοῦ θώρηξ, θώραξ θώρακος. θορίσσειν δέ, ἤγουν μεθύσκειν, μικρὸν καὶ ι, καὶ γίνεται ἀπὸ τοῦ θόρηξ, ὁ ἄκρατος οἶνος.

Κορύσσεται κῦμα, μεταφορικῶς, ὅτε ὑψόσε ἀρθῇ. καὶ κόρυσσε κῦμα, ἑρμηνεύς Ὅμηρος, ἐν τῷ ὑψόσε ἀειρόμενος εὐθὺς αὐτὸ ἐπάγων.

Κορύσσεσθαι, ἐπαίρεσθαι.

Κορυστήν, ὁπλίτην.

Κορυστής, ἀγαθὸς ὁπλίτης.

Κορύστοι, οἱ γορτυνίοι, ἢ ὁπλῖται.

Κορύσσομαι τὸ ὁπλίζομαι. ἀφ' οὗ κορυστής, ὁ ὁπλίτης. καὶ ἱπποκορυστής, ὁ ἐφ' ἵππου ὁπλίτης, ὃ μετὰ τοῦ θ ἐν ἑτέρᾳ συζυγίᾳ κορθύεσθαι λέγεται, ἀφ' οὗ κεκορυθμένος.

Κορύσσεται, παρ' Ὁμήρῳ τὸ κορυφοῦται, οὐκ ἄρα ἐπὶ μόνων ὅπλων τὸ κορύσσεσθαι.

Κορύσσω, καὶ ἱπποκορυσταί, ἀπὸ κόρυθος. καὶ ἀπὸ θώρακος, τὸ θωρήσσω. καὶ ἀπὸ ἀσπίδος, οἱ ἀσπισταί. καὶ ἀπὸ αἰχμῆς, τὸ αἰχμάζειν καὶ οἱ αἰχμηταί. καὶ ἀπὸ κνημίδος, εὐκνήμιδες, ἀπὸ μέρους τὸ πᾶν τῆς ὁπλίσεως.

Κορύσσων πόλεμον Ὀδυσσεύς, ἐλλιπῶς ἔχει, ἤγουν εἰς τὸν πόλεμον.

Κορυτόν, τὸ ἐπίμεστον.

Κορύτῃ, τῇ κεφαλῇ.

Κορυφᾷ, κουφῇ, ἀκρωρείᾳ.

Κορύφαινα, ποιὸς ἰχθύς.

Κορυφάδων, τῶν κορυφῶν τῆς πρὸς τῷ ὀμφαλῷ συναγωγῆς, παρὰ τῷ Ἱπποκράτει.

Κορυφαῖος, δῖος. καὶ τὸ ἀριδείκετος, διὰ τὴν φύσιν τῆς αὐτῶν σημασίας, γενικῇ συντάσσονται, ὡς οἷα ὑπερθετικά. φησὶ γοῦν κύων ἀριδείκετος ἀνδρῶν, ὥσπερ καὶ δῖα γυναικῶν.

Κορυφαιότατον ἐνεκαλυψάμην. ἄτοπον παρὰ Φαβωρίνῳ, λέγε οὖν κορυφαῖον.

Κορυφαῖος, ἔνδοξος, μέγας. καὶ κορυφαιότατος, ὁ ἐξοχώτατος.

* Κοροφαῖος, ὁ πρῶτος τῶν χορευτῶν.

Κορύφαλος, εἶδος ὄρνιθος.

Κορυφή, τὸ μέσον τῆς κεφαλῆς. παρὰ τὸ εἰς κάρας κορυφὴν εἶναι, ἢ παρὰ τὸ κεκρύφθαι ὑπὸ τῶν τριχῶν κρυφή τις οὖσα, καὶ πλεονασμῷ τοῦ ο κορυφή. κορυφή, καὶ τὸ ἄκρον τοῦ ὄρους.

Κορυφιστής, κόσμου γυναικείου τὸ περὶ τὴν κεφαλὴν χρυσίον, καὶ κεκρυφάλου τὸ μέσον ῥάμμα.

Κορυφεῖ, καταρρεῖ.

Κόρυφος, κόρυμβος γυναικεῖος.

Κορυφοῦται, ὑψοῦται, ἐπαίρεται.

Κορυφώσασαι, ἐκτελέσασαι.

Κορφῶς, ἐλαφρῶς.

Κορύψῃ, Θεόκριτος. μήτι κορύψῃ, ἀντὶ τοῦ κερατίσῃ. τὸ γὰρ κορύπτειν, ἀντὶ τοῦ κερατίζειν Ἀττικοί φασιν, ὡς συντρεχόντων ἀλλήλοις τῶν κριῶν, καὶ ταῖς κορυφαῖς πληττόντων, καὶ ῥηγνυμένων, ὅθεν κορύπτης, ὁ κριός.

Κόρχορος, ἄγριον λάχανον, εὐτελές, καὶ στιαρόν. * διὸ καὶ ἡ παροιμία κόρχορος ἐν λαχάνοις, ἐπὶ τῶν ἀναξίων καὶ εὐτελῶν, μεταποιουμένων δὲ τιμῆς, ἢ καθ' ἑαυτοὺς μείζονος.

Κορωναῖος, ἀμπέλου ἢ συκῆς εἶδος.

Κοραίνεων, ὡς φιβάλεων. ἔστι δὲ εἶδος συκῆς, ταύτην δὲ κοράκινον λέγουσιν. ὁ γὰρ καρπὸς αὐτῆς κόρακι ἔοικε κατὰ τὸ χρῶμα.

Κορώνη, διάφορα σημαίνει. καὶ τὸ ἄκρον τοῦ αἰδοίου, ἔδοξέ τις τὸ αἰδοῖον αὐτοῦ ἄχρι τῆς κορώνης περιχοῦσθαι.

Κορώνη, τὸ τοῦ τόξου ἄκρον. ἔνθα τὸ καλὴ κορώνη, ὅμοιόν τί ἐστι τῷ χρυσέῃ κορώνῃ. ἐπεὶ πολλαχοῦ καλός, ὁ χρυσός, καὶ καλά, τὰ ἐξ αὐτοῦ. σημαίνει καὶ τὸ τῆς θύρας ἐπίσπαστρον.

Κορώνη, ἢ τὸ κοράκιον. ἢ μᾶλλον κατὰ τοὺς παλαιοὺς ὁ κρίκος, ᾧ ἐστι τὴν θύραν ἐπερύσαι, ἤγουν ἑλκύσαι, ἐπισπάσασθαι. ὅθεν καὶ ὁ ἐπισπαστήρ, παρὰ Ἡροδότῳ, ἐν τῷ ἐπιλαβόμενοι τῶν ἐπισπαστήρων, ὃς καὶ ῥόπτρον ἐλέγετο. εἰς δὲ τὸ κορώνη φασὶν οἱ παλαιοὶ καὶ ταῦτα. κορώνη, τοῦ τόξου τὸ ἄκρον, καὶ θύρας ἐπίσπαστρον, καὶ ὁ Κόραξ, καὶ ἡ Αἴθυια, καὶ ὁ Λάρος, καὶ γεράνου εἶδος, καὶ γένος ἐμπλοκῆς, καὶ πᾶν τὸ ἐπικεκαμμένον, ὅθεν κορωνίδες νῆες.

Κορώνη τὸν σκορπίον, παροιμία ἐπὶ τῶν δυσχερέσι καὶ βλαβεροῖς ἐπιχειρούντων.

Κορῶναι, ἁλίαι αἴθυιαι, κολυμβίδος τὰ περιφερῆ σχήματα.

Κορωνίδες, καμπυλόπρυμναι νῆες, καὶ οἱ ἐκ τῶν ἴων πεπλεγμένοι στέφανοι. κυρίως δέ, τὰ βλαστήματα.

Κορωνιδεύς, ὁ τῆς κορώνης νεοττός.

Κορωνίδι, χρώμεθα ἐν τοῖς δράμασι κατὰ τρόπους τρεῖς. ἤτοι ὅταν τῶν ὑποκριτῶν εἰπόντων τινά, καὶ ἀπαλλαγέντων, καταλείπηται ὁ χορός, ἢ ἔμπαλιν, ἢ ὅταν μετάβασις ἀπὸ τόπου γίνεσθαι δοκῇ τῆς σκηνῆς, τῇ δὲ παραγραφῇ, κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἰαμβικοῖς καὶ ταῖς χορικοῖς, μεταξὺ τῆς τε στροφῆς, καὶ τῆς ἀντιστρόφου. ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι ὅτι πεπλήρωται ἡ στροφὴ ἡ παράγραφος, ἐπιφερομένης ἄλλης στροφῆς. ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται, ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ. τοῦτο δέ, ἐὰν ἀντίστροφος ἐπιφέρηται, ὡς ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῶν, ἡ ἔξω βλέπουσα τίθεται, ἐπὶ τέλει ἑκάστου συστήματος παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνίς, καὶ ἑξῆς τὸ κομμάτιον τοῦ χοροῦ.

Κοραίνιος, μηνοειδῆ ἔχων κέρατα βοῦς.

Κορωνίσι, συνήνυσι κορωνίσιν ἐπικαμπεῖς ἐχούσαις τὰς ἄκρας, ὅ ἐστι τὰς πρύμνας. ταὐτ' ἐστὶ καμπυλοπρύμνοις.

Κορωνισταί, οἱ τῇ κορώνῃ ἀγείροντες. καὶ τὰ διδόμενα ὑπ' αὐτῶν κορωνίσματα.

Κορωνίς, τὸ ἄκρον ἢ τὸ τελευταῖον τῆς οἰκοδομῆς ἐπίθεμα. κυρίως ἡ ἀκρώρεια.

Κορωνός, ὁ γαῦρος καὶ ὑψαύχην.

Κορώνεια ἐκλήθη, ἀπὸ Κορώνου υἱοῦ Θερσάνδρου. εἰσὶ δὲ καὶ ἄλλαι κορώνειαι. ἰστέον δέ, ὅτι εἰ καὶ πα-

παράγωγόν ἐστιν ἡ Κορώνεια, ἐκ τοῦ κορώνη, ἀλλ' αὖ ἡ τρισυλλάβως λεγομένη Κορώνη, πόλις Μεσσήνης ἐστίν. ἐν δὲ τῷ γεωγράφῳ φέρεται, ὅτι Κορώνεια ἐγγὺς Ἑλικῶνος, ἐφ' ὕψους ἱδρυμένη, παραρρέει δὲ αὐτὴν ποταμὸς κουάριος, ἔνθα παμβοιώτια συνετέλουν ταύτης τῆς Κορωνείας φασὶν οἱ πολῖται κορώνειοι. οἱ δὲ ἐν τῇ μεσσηνιακῇ κορωνεῖς. παμβοιώτια, ἑορτὴ ἦν κοινὴ πάντων Βοιωτῶν, ὥσπερ καὶ ἡ τῶν Ἰώνων πάντων, πανιώνια. ὅμοιον καὶ τὸ παναθήναια.

Κορωνῶν, γαυριῶν. καὶ ἐκορώνα, ἐγαυρία.

Κόρωνος, πονηρός.

Κορωνόπους, πόα τίς. ἣν καὶ κορωνόποδα λέγουσι.

Κόρωνος, ὀρθόκερως ταῦρος.

Κόρων, τὸ ἐπικεκαμμένον τοῦ ῥυμοῦ.

Κόσα Ἰωνικῶς, ἀντὶ τοῦ πόσα.

Κόσαβος, σκεῦος συμποτικόν. ἐφ' οὗ τὰς λάταγας ἔβαλλον ἐρίζοντες.

Κοσάλανον, τὸ βραχὺ, καὶ τὸ δίκαιον.

Κοσάλεφοι, κόλαφοι.

Κόσβατοι, οἱ ἐπὶ θυσιῶν τεταγμένοι.

Κόσιά ἐστι κατάληξις τοῦ μετὰ τὸν ἑκατὸν ἀριθμοῦ μέχρι τῶν χιλίων. ὃς πλήθους ἐστὶ πολλοῦ σημαντικὸς, οἷον διακόσια, τριακόσια, καὶ ἑξῆς.

Κόσκικοι, οἱ κατοικίδιοι ὄρνιθες.

Κοσκιλματίοις, τοῖς περικεκομμένοις καὶ ἀπορριφεῖσι δέρμασι. βούλεται δὲ λέγειν Ἀριστοφάνης λογαρίοις αἱμύλοις. ἄλλως. κοσκίλματα καλοῦνται, τὰ περιττὰ τὰ περιτεμνόμενα ἀπὸ τῶν καττυματίων. καττυματίοις οὖν λέγει, εὐτελέσι ῥήμασιν ἢ πράγμασι.

Κοσκινηδὸν, δίκην κοσκίνου. καὶ παροιμία, κοσκίνῳ ὕδωρ ἐπιφέρει, ἐπὶ τῶν ἀδυνάτων.

* Κόσκινον, πλέγμα ἐκ σχοίνων ἐν ᾧ τὰ ἄλευρα διασήθουσιν.

Κοσκινόρινος, εἰς κοσκίνου κατασκευὴν ῥινός.

Κοσκιλμάτια, τῶν βυρσῶν τὰ σμικρότατα περικόμματα.

Κοσκυλματίοις ἐθώπευεν, ἐξηπάτα.

Κοσμᾶν, ἐρίζειν, ἀγνωμονεῖν.

Κοσμεῖν, παρ' Ὁμήρῳ ἐστὶ τὸ τάττειν. ὡς τό Τρῶας δ' ἑτέρωθεν ἐκόσμει Ἕκτωρ. ἄρχειν δὲ, ἁπλῶς τὸ προηγεῖσθαι παρατάξεως. διὸ οἱ βασιλεῖς ἐκόσμεον, καὶ ὁ Ἕκτωρ ἐκόσμει. ἀλλὰ ὅρα ὅτι τὸ ἄρχειν, εἰς ταυτὸν δοκεῖ ἄγεσθαι τῷ κοσμεῖν, ὅθεν κοσμήτωρ, ὁ παιδευτὴς καὶ τάττων ἐν κόσμῳ, ἤτοι τάξει, ἤγουν ὁ Βασιλεὺς καὶ ὁ ἐγκωμιαστής. κόσμει δὲ, ἐπιμελοῦ.

Κοσμείτην, κοσμείτωσαν.

Κόσμηθεν, διετάχθησαν, ἐκοσμήθησαν.

Κοσμῆσαι, τὸ διατάξαι. ὡς τὸ τοὺς δ' αὖ βασιλῆες ἐκόσμεον, οὐτάμενοί περ. ἀπὸ τοῦ κοσμῶ, ήσω, κεκόσμηκα κεκόσμημαι, ὁ ἀόριστος ἐκοσμήθην, τὸ τρίτον τῶν πληθυντικῶν ἐκοσμήθησαν, εἶτα ἀφαιρέσει τοῦ ε καὶ συγκοπῇ γίνεται κόσμηθεν, ὁμοίως τῷ τράφεν δευτέρου ἀορίστου τρίτον τῶν πληθυντικῶν Δωρικῶς, καὶ Ἰωνικῶς, καὶ τὰ ὅμοια.

Κοσμήτης, κουρεὺς, ἐνταφιαστής.

Κοσμήτορες, διατάκται, Ἡγεμόνες.

Κοσμήτωρ Βασιλεὺς, ποιητικῶς.

Κοσμήτορες λέγονται, ὅτι τάσσουσι τὸν στρατὸν εὐκόσμως. σημάντορες δὲ, ὡς κελεύοντες, εἴτ' οὖν σημαίνοντες.

Κοσμήτορας λέγει Ὅμηρος, τοὺς Ἡγεμόνας, ὡς κοσμοῦντας ἤτοι καὶ εὐτακτοῦντας τὸν λαόν. κόσμος γὰρ, ἡ τάξις. ἐκ τοῦ κομῶ, τὸ ἐπιμελοῦμαι. ἀφ' οὗ καὶ ὁ πάντων περιεκτικὸς κόσμος, ὃν εὐτάκτως ἡ πρόνοια ἔταξεν. ἀγαθὴ δὲ, καὶ ἄλλως εἰς ἔπαινον ἡ λέξις. ἀπ' αὐτῆς γὰρ κόσμιος ἀνήρ. καὶ πρᾶγμα κατὰ κόσμον πραχθὲν, τὸ εὔκοσμον, οὗ τὸ ἀνάπαλιν ἄκοσμος, καὶ μάψ ἀτὰρ οὐ κατὰ κόσμον γινόμενον.

Κοσμιότης ἐστὶν, ὑπεξὶς ἑκουσία πρὸς τὸ φανὲν βέλτιστον, εὐταξία κινήσεως σώματος.

Κοσμιότης, εὐταξία. κοσμιότης, καὶ σωφροσύνη.

Κόσμιον, εὔτακτον.

Κοσμίους, ἀνεπιλήπτους.

Κοσμίως, σεμνῶς.

Κοσμιωτάτη, εὐγενεστάτη, εὐκαλλώπιστος.

Κοσμογένεια, ἡ κοσμοποιία.

Κόσμος, τάξις.

* Κόσμος, ἡ τάξις τῶν κρινουσῶν ἡμερῶν παρ' Ἱπποκράτει.

Κόσμος, καλλωπισμὸς, ἢ σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τοῦ ἐν τῷ μέσῳ. κόσμος, παρὰ τὸ ἔχειν ἐν ἑαυτῷ πάντα κεκοσμημένα καὶ διατεταγμένα. ἢ παρὰ τὸ κάζω κάσω κέκασμαι, κασμὸς ῥηματικὸν ὄνομα, καὶ μεταθέσει τοῦ α εἰς ο καὶ ἐναλλαγῇ τοῦ τος κόσμος, οὕτω Φίλων.

Κόσμον, τοὺς ἐν ἀπιστίᾳ καὶ ἐν ἁμαρτίᾳ ἀνθρώπους λέγει ὁ Ἀπόστολος, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

Κοσμῶ, τὸ καλλωπίζω αἰτιατικῇ συντάσσεται καὶ δοτικῇ. Ἀριστοφάνης, πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.

Κοσσάβους, κοττάβους.

Κόσσος, Ῥωμαϊστὶ μαξίλλα, γραικιστὶ δὲ ῥάπισμα. * ἀπὸ τοῦ Αἰολικοῦ κύσσω, τὸ κόπτω.

Κοσσύμβη καὶ κόσσυμβος, ἐγκόμβωμα, καὶ περίζωμα αἰγύπτιον, καὶ τὸ ἐγκοβοῦσθαι.

Κόσαι, κριθαί.

Κοστὸς, εἶδος ἀρώματος.

Κοσίας, κοιλίας κόμορος.

Κίσυμβος, κροσσὸς, ἢ ὁ ἀνάδεσμος.

Κοσώλυφος, βόθυνος, ὄχθος, ἀνάστημα γῆς, ἢ σπέρμα.

Κοσυμβωτὸν, κροσσωτόν.

Κόσσυφος, ὄνομα πτηνοῦ.

Κοτέει, ὀργίζεται, καὶ ὑποπτεύει.

Κοτεῖται, ζηλοῦται, ἐπιθυμεῖται.

Κοτίεις, στέφανος ἐξ ἐλαίας, ἢ ὀργίλως διακείμενος.

Κοτιεῖ, φθονεῖ, ζηλοῖ.

Κοτεσσάμενος, ὀργισθείς.

Κοτέω, κοτέσω, τοῦ ἐγκοτεῖν ἐστι τὸ ἁπλοῦν.

Κοτίκας, ἀλέκτωρ.

Κοτίλλουσα, τίλλουσα.

Κοτίλλιον, αἰδοῖον ἀνδρός.

Κότιξις, μέλους τι εἶδος.

Κοτινοτράγον, κότινον ἐσθίοντα, τουτέστιν ἀγριέλαιον.

Κότινος, οὐ μόνον ὁ ἀγριέλαιος, ἀλλὰ καὶ ἡ ἄκαρπος ἐλαία.

Κότις, κότος, ὀργὴ, ἔχθρα, χόλος, ἔρις ἔμμονος, καὶ ἡ ἐγκειμένη ὀργὴ εἰς κακοποιίαν.

Κότιδι, τῷ ἰνίῳ τῇ παρακεφαλίδι, παρὰ τῷ Ἱπποκράτει.

Κότινος, ὁ Ὀλυμπιακὸς στέφανος.

Κότος, ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν, ἢ ἐναπομένουσα ὀργή. παρὰ τὸ κέω, ὃ σημαίνει τὸ κεῖμαι κέημι, ὁ παθητικὸς κέεμαι κεῖμαι, τὸ τρίτον κεῖται. ῥηματικὸν ὄνομα, κότος. ἢ παρὰ τὸ κέεσθαι κεῖσθαι, κότος.

Κοτταβίζει, ἠχεῖ. οἷον ποτηρίῳ ἀναρρίπτει, ὃ ἐποίουν οἰωνιζόμενοι. καὶ κότταβος, ὁ ἦχος.

Κοτταβίζειν, παίζειν, τρυφᾶν. εἰς χαλκᾶς δὲ φιάλας αἳ καλοῦνται λάταγες, ἐνέρριπτον ἐμβάλλοντες τὸ πόμα, καὶ εἰ ἐγένετο μείζων ψόφος ἐδόκουν ὑπὸ τῶν ἐραστῶν ἐρᾶσθαι. ἄλλως. κότταβος, παίγνιον ἦν παρ' Ἀθηναίοις τοιοῦτον. ῥάβδος ἦν μακρὰ πεπηγμένη ἐν τῇ γῇ, καὶ ἑτέρα ἐπάνω αὐτῆς κινουμένη, ὡς ἐπὶ ζυγίου. εἶχε δὲ πλάστιγγας δύο ἐξηρτημένας καὶ κρατῆρας δύο, ὑπὸ κάτω τῶν πλαστίγγων, καὶ ὑπὸ τὸ ὕδωρ, ἀνδριὰς ἦν χαλκοῦς κεχρυσωμένος. τοῦτο δὲ ἦν ἐν τοῖς συμποσίοις, καὶ πᾶς τῶν παιζόντων ἀνίστατο ἔχων φιάλην γέμουσαν ἀκράτου, καὶ μακρόθεν ἱστάμενος, ἔπεμπεν ὅλον τὸν οἶνον ὑπὸ μίαν σταγόνα εἰς τὴν πλάστιγγα, ἵνα γεμισθεῖσα βαρυνθῇ, καὶ κατελθοῦσα κρούσῃ εἰς τὴν κεφαλὴν τοῦ ἀνδριάντος, τοῦ ὑπὸ τὸ ὕδωρ κεκρυμμένου, καὶ ποιήσῃ ἦχον. καὶ εἰ μὲν χυθῇ τοῦ οἴνου, ἐνίκα, καὶ ᾔδει, ὅτι φιλεῖται ὑπὸ τῆς ἐρωμένης. εἰ δὲ μὴ, ἡττᾶτο. ἐλέγετο δὲ ὁ ἀνδριὰς ὑπὸ τὸ ὕδωρ, μανής.

Κοτταμία, πλινθεία, ἢ ληρωδία. ἄμεινον δὲ νοεῖν ἔπαθλον τῷ ἄριστα κοτταβίσαντι ἐπειδὴ γὰρ τὸ καταλειπόμενον ἐν τῷ ποτηρίῳ ἐκχέοντες, καὶ πειρώμενοι ψόφον ἀποτελεῖν, ὁ δὲ ἐπιτυχὼν μάλιστα τῷ ψόφῳ, ἐνίκα.

Κοτταβία, οὐλόθριξ.

Κοττάβινον, ὑπόδημα. Λάκωνες. ἐν ᾗ κότταβοι ἐγίνοντο.

Κοτταβίζειν, ἀποσπογγίζειν, ἢ τὸ ἠχεῖν.

Κοτταβίζειν, τὸ τῷ κοττάβῳ χρῆσθαί φασιν οἱ Ἀττικοί. ὁ δὲ κότταβος ἦν τοιοῦτόν τι, λεκάνιον ἐν τῷ μέσῳ κείμενον τοῦ συμποσίου, ἔχον ἐπιπλέον ἕτερον σμικρὸν, ὃ ἔδει καταδῦσαι τὸν πέμψαντα τὸ περιττὸν τοῦ πόματος. ἦν δὲ τοῦτο σημεῖον τοῦ ἐρᾶσθαι ὑπὸ γυναικὸς, ἢ παίδων. καὶ ἆθλα οἱ νικῶντες ἐλάμβανον πλακουντίσκους πυραμοῦντας, ἢ σησαμοῦντας, ἅπερ κοττάβια ἔλεγον. ὁ ἦχος δὲ ἐκαλεῖτο, λάταξ. καὶ ἀποκοτταβίζειν, τὸ ἀπὸ τοῦ ποτηρίου τὸ ὑπολειπόμενον πόμα ἐξαίρειν.

Κόττα βος, ὁ ἦχος.

Κότταβος, Ἀθήναιος ἐν πέντε καὶ δεκάτῳ φησὶν, ὅτι Σικελική τις ἐστὶ παιδιά. πρώτων Σικελῶν ὥς φησι Κριτίας ἐν τοῖς ἐλεγείοις, κότταβος ἐκ σικελικῆς ἐστι χθονὸς ἐκπρεπὲς ἔργον. Δικαίαρχος δὲ ὁ μεσσήνιος Ἀριστοτέλους μαθητὴς, ἐν τῷ περὶ Ἀλκαίου, καὶ τὴν λάταγα αὐτὴν εἶναι σικελικὸν ὄνομα. λατάγη δέ ἐστι τὸ ὑπολειπόμενον ἐκ τοῦ ἐκποθέντος ποτηρίου ὑγρὸν, ὃ συνεστραμμένῃ τῇ χειρὶ ἄνωθεν ἐρρίπτουν οἱ παίζοντες εἰς τὸ κοττάβιον. κότταβος δὲ ἐκαλεῖτο, καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ. καὶ τὸ ἄγγος εἰς ὃ ἐνέβαλλον τὰς λάταγας, ὡς Κρατῖνος ἐν νεμέσῃ δείκνυσιν. ὅτι δὲ χαλκοῦν ἦν, Εὔπολις βάπταις λέγει, χαλκῷ περὶ κοττάβῳ. Πλάτων δὲ ἐν Διῒ κακουμένῳ, παιδιᾶς εἶδος παροίνιον, κότταβον εἶναι ἀποδίδωσιν, ἐν ᾗ ἐξίσαντο καὶ τῶν σκευαρίων οἱ διακυβεύοντες, ἐκάλουν δὲ ἀγκύλην τὴν τοῦ κοττάβου πρόεσιν, διὰ τὸ ἐπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς. καὶ ἀγκυλητοὺς ἔλεγον κοττάβους. ἐλέγοντο δέ τινες καταπτοὶ κότταβοι. ἦν δὲ λύχνιον ἀγόμενον πάλιν τὸ συμπίπτον ὑψηλὸν ἔχον τὸν μάνην καλούμενον, ἐφ' ᾧ τὴν καταβαλλομένην ἔδει πεσεῖν πλάστιγγα. ἐντεῦθεν δὲ ἐμπίπτειν εἰς λεκάνην ὑποκειμένην πληγεῖσαν τῷ κοττάβῳ. καί τις ἦν ἀκριβὴς εὐχέρεια τῆς βολῆς. τοῦ δὲ μάνου πολλοὶ μέμνηνται. ἦν δὲ ἕτερον εἶδος παιδιᾶς τῆς ἐν λεκάνῃ. αὕτη δὲ ὕδατος πληροῦται, ἐπέκειτο δὲ ἐπ' αὐτῇ ὀξύβαφα κενά, ἐφ' ἃ βάλλοντες τὰς λάταγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν, ἀνῃρεῖτο δὲ τὰ κοττάβια ὁ πλείω καταδύσας. ὅτι δὲ τῶν ἐρωμένων ἐμέμνηντο, ἀφιέντες ἐπ' αὐτοὺς τοὺς λεγομένους κοττάβους. καὶ ἄλλα τῶν κοττάβων δύο ἦσαν εἴδη. ἓν μὲν, τοῦ καταπτοῦ λεγομένου ἦν, οἷον λύχνιον ὑψηλὸν ἔχον ἐν αὐτῷ πρόσωπον, ὃ μάνην ἐκάλουν. ἐφ' οὗ ἔδει πεσεῖν καταβαλλομένην τὴν πλάστιγγα. ἕτερον δὲ ἀγγεῖόν τι ἐοικὸς λουτῆρι πλῆρες ὕδατος, ἐν ᾧ ὀξύβαφον ἦν ἐπιπλέον τῷ ὕδατι, ὅπερ καταλύειν τοῖς λάταξιν ἐπειρῶντο.

Κόττανα, εἶδος συκῶν μικρῶν, καὶ ἡ παρθένος παρὰ Κρησὶ κοττάνα.

Κοττάρια, τὰ ἄκρα τῆς κέγχρου.

Κοττεῖν, τύπτειν, δορατταῖν.

Κόττικοι, αἱ περικεφαλαῖαι.

Κοττίδικα, πλαταγή, κρόταλον.

Κοττάναθρον, ἔνθα οἱ ὄρνιθες κοιμῶνται.

Κοττοβολεῖν, τὸ παρατηρεῖν τινα ὄρνιν.

Κόττον, ὄρνις. καὶ ἵππον δέ τινες οὕτως ἔλεγον.

Κοττυλιοί, κατοικίδιοι ὄρνεις.

Κοττύβη, τὸ φυόμενον ἐμφερὲς μύκητι.

Κοτεσσάμενος, μηνίσας. ὅρα ὅτι τὸ παρὰ τοῖς ὕστερον ἐγκοτῆσαι, κοτέσσασθαι λέγει Ὅμηρος. καὶ ὅτι ἐν τῷ κοτεσσάμενος καὶ μηνίσας, ταυτὰ οἶδε κότον καὶ μῆνιν.

Κοττυτὼ, θεὰ παρ' Ἕλλησιν αἰσχρουργίας ποιητικὴ, ἣν καὶ κότην ὠνόμαζον.

Κοτυττὼ, ὁ μὲν Εὔπολις κατ' ἔχθος τὸ πρὸς τοὺς Κορινθίους, φορτικόν τινα δαίμονα διατίθεται.

Κοτυάειον, τόπος, Κοτιάειον, μητρόπολις.

Κότυ, τὸ ταχύ.

Κοτύλαι, τὰ ἐν ποσὶ κοιλώματα.

Digitized by Google

Κοτύλαιον, ὄρος τὸ ἐν Εὐβοίᾳ, ἀπὸ Κοτύλου καλουμένου τοῦ κατασχόντος αὐτό.

Κοτύλη ποτήριον, ἤτοι ἐκπώματος εἶδος. ἔστι δὲ ὅτε καὶ τὸ ἔσω αὐτοῦ ὑγρὸν ὁμωνύμως κοτύλη λέγεται, καθὰ καὶ μέδιμνον, καὶ χοῖνιξ, τὸ τε μέτρον, καὶ τὸ μετρούμενον. ὅτι δὲ κοτύλην καὶ τὸ κοῖλον ὀστοῦν, ᾧ ἐνστρέφεται ὁ μηρὸς, κοτύλαι δὲ, καὶ τὰ περὶ τὰς πλεκτάνας τῶν πολυπόδων πυκνὰ κοῖλα σαρκία, δηλοῦται ἀλλαχοῦ. ἐκ δὲ τῆς κοτύλης καὶ κοτυλήρυτον ὕδωρ, ἢ αἷμα τὸ κοτύλῃ ἀρυόμενον. τίθεται δὲ καὶ ἐπὶ κοιλότητος χειρός. ὅθεν μὲν παιδιά τις παίζεται καλουμένη ἐν κοτύλῃ. παράγεται δὲ οὕτω, περιαγαγὼν τις ὀπίσω τὼ χεῖρε συμπλέκει τοὺς δακτύλους. ἕτερος δέ τις εἰς τὰ κοιλώματα τῶν χειρῶν, ἅπερ εἰσὶ κοτύλαι, τὰ γόνατα ἐντιθεὶς, καὶ οὕτως ἀναβαλὼν ἑαυτὸν φέρεται ἔποχος. ἐπιλαβὼν τοὺς ὀφθαλμοὺς τοῦ φέροντος.

Κοτυληδόνα, τὰ στόματα τῶν εἰς τὰς μήτρας καθηκόντων ἀγγείων, παρὰ τῷ Ἱπποκράτει.

Κοτυληδόνα, τὴν κοτύλην τοῦ ἰσχίου, παρὰ τῷ Ἱπποκράτει.

Κοτυληδόνες, κυρίως τὰ τοῖς πλοκάμοις τοῦ πολύποδος ἐπικείμενα κοιλώματα, δι᾽ ὧν τῶν πετρῶν ἐπιλαμβάνονται.

Κοτυληδὼν, πόας εἶδος.

Κοτύλη ἐστὶν εἶδος μέτρου, ὃ λέγομεν ἡμεῖς ἡμίξεστον.

Κοτυλίσκος, κρατηρίσκος, ᾧ χρῶνται οἱ μύσται, καὶ τὸ κύκλωμα. τινὲς τὰ μόνωτα ποτήρια, καὶ πλακοῦντος εἶδος, ἢ βόθρος, εἰς ὃν τὸ αἷμα τῶν τῇ γῇ θυομένων ἐνέβαλλον.

Κότυα, σκύβαλα.

Κοτώης, ὀργίλος.

Κοῦα, ἐνέχυρα.

Κούαγμα, χῶμα.

Κούαμα, μέλαν. Λάκωνες.

Κουάσαι, ἐνεχυριάσαι.

Κουβηζὸς, στουβάς.

Κοὐδὲν ἔλεξεν, ἀντὶ τοῦ καὶ οὐδὲν ἔλεξε.

Κούθουρον, τὸν κέντουρον. εἴρηνται δὲ καὶ οἱ κηφῆνες, κούθουροι, παρὰ τὸ κολούειν τὴν ἑαυτῶν οὐρὰν, ἢ ὅτι ἄκεντροι.

Κουδεὸν, ἰακῶς τὸ κολεόν.

Κοῦκα, πάππον, ἢ κυκεῶνα.

Κουλεὸν, μέγα, κατὰ τὸ κέλαδον, καὶ τὸ ζυγὸν, καὶ τὸ δεσμὸν, καὶ τὰ τοιαῦτα μεταπέπλασται. ὅμοιον καὶ τὰ δάκτυλα καὶ τὰ χαλινὰ, καὶ τὰ ταρσά.

Κουλεὸς, πρὸς κωλεὸν διαφορὰ πλείστη. κουλεὸς μὲν γὰρ ξίφους θήκη, συνήθως καὶ κοινῶς. κωλεὸς, δὲ ζώου μέρος. διὸ οἱ Δωριεῖς ἐκφέρογοντες τὴν τῆς φωνῆς συνέμπτωσιν, οὐκ ἠξίωσαν κατὰ τὸ δοῦλος δῶλος, καὶ κοῦρος κῶρος εἰπεῖν, καὶ τὸν κουλεόν. περὶ οὗ ἐν τοῖς τοῦ Ἀθηναίου φέρεται τάδε. αἱ τῶν ζώων κωλῆνες, λέγονται παρ᾽ Ἀθηναίοις μὲν θηλυκῶς κωλεοὶ, παρ᾽ ἄλλοις δὲ ἀρσενικῶς. Ἐπίχαρμος, χόρδαι τε ἁδὺ, ναὶ μὰ Δία χ᾽ ὠκωλεός. λέγουσι δὲ καὶ κωλῆν τὴν κωλῆνα οἱ Ἀττικοὶ, συναιροῦντες ἐκ τοῦ κωλέα κωλῆ. ὡς δὲ ὁ στρατιωτικὸς κουλεὸς, συντίθησι τὰ κουλεόπτερα ζωΰφια, πᾶσι δῆλόν ἐστιν.

Κουλιβατίαν, κληπίαν, τὴν σιδηρίτην πόαν, ἣν ἐλξίνην ἔνιοι.

Κουλιβὸς, ἡ πίτυς.

Κουλλύριον, εἶδος μελιττούτης.

Κουμάσιον, τὸ τῶν ὀρνίθων οἴκημα.

Κούνημα, κόκων, ἢ ὀκύων.

Κουνοῦνες, κώνωπες.

Κουπήϊον, καμάρα ἐπὶ τῶν ἁμαξῶν γινομένη.

Κουρέας καὶ κουρσωτῆρας ἐκάλουν, ὧν τὰ ἐργαλεῖα κτένες, ξυρός. ἡ δὲ θήκη, ξυροθήκη, ἢ ξυροδόχη.

Κουράνια, ἐκ μελίνης ἄλφιτα.

Κουρὰς, ἡ ἐν τοῖς ὀροφήμασι γραφὴ, ὀροφικὸς πίναξ. παρὰ δὲ Αἰσχύλῳ ἐν Μυρμιδόσιν, ἀμφιβάλλει ἐν κουράδι. ἔστι δὲ ἐγκουρὰς, ὀροφικὸς πίναξ.

Κουράτωρ, τροφεὺς, παιδοκράτωρ.

Κουράων, παρθένων, θυγατέρων.

Κουρέην, τὸν ἀκοντιστὴν, ἢ ἀκοντιστήν.

Κοῦραι, κατὰ τὸν Ποιητὴν αἱ ῥηθεῖσαι Νύμφαι, διὰ τὸ ἀεὶ νεάζειν κατὰ τὴν φύσιν, καὶ μὴ γηρᾷν. διὸ καὶ νύμφαι αἱ αὐταὶ καλοῦνται, διὰ τὸ ἀεὶ νέον, ἢ κατὰ τὸ νῦν φαίνεσθαι, ὃ συμβιβαστέον πρὸς τὸ ἀεὶ νέον ἐρχομενάων τὸ ἐν Ἰλιάδι κείμενον, καὶ εἶπεν κόρας, οὐχ ὡς παρθένους. τὰς γὰρ τὰς ὑπὸ ἀνδράσιν οὔσας, ἀλλ᾽ ἁπλῶς ἀντὶ τοῦ νέας, ὡς ταυτὸν κούρας τε καὶ νέας ἀλόχους. κρατεῖ δὲ καὶ μέχρι νῦν παρά τισι τῶν ἐῴων τὰς κόρας λέγεσθαι. καὶ μετὰ γάμον τὰς νέας ἐν ἡλικίᾳ. γίνεται δὲ κούρη ἐκ τοῦ κοῦρος.

Κοῦραι Διὸς, τουτέστιν ἀέρος. Νύμφαι λέγονται, αἱ κατὰ ἀλληγορίαν, διὰ τὸ ἐξ ἀέρος ἐκδίδοσθαι τῇ γῇ τὸ θρεπτικὸν ἐν φυτοῖς καὶ γόνιμον, εἰς ὃ αἱ Νύμφαι ἀλληγοροῦνται.

Κουρεία, καὶ κουρεῖον, ὁ τόπος ἐν ᾧ κουρεύονται καὶ κουρειῶνται τὰς τρίχας.

Κουρειῶ, ἐπιθυμῶ κουρευθῆναι.

Κουρεὺς, ὄρνις ποιὸς, ἀπὸ τοῦ φθέγγεσθαι ἐμφερὲς ἤχῳ γναφικοῦ μαχαιρίου.

Κουρεῶτις, μηνὸς τοῦ πυανεψιῶνος ἡμέρα, ἐν ᾗ τὰς ἀπὸ τῆς κεφαλῆς τῶν παίδων ἀποκείροντες τρίχας Ἀρτέμιδι θύουσιν.

Κουρεώτης, ὁ κουρεὺς, καὶ κουρεῖς πληθυντικῶς. κουρεῶτις δὲ, ἑορτὴ τῶν ἀπατουρίων ἡ τρίτη, ἐν ᾗ οἱ κοῦροι ἀποκειρόμενοι, εἰς τοὺς φράτορας ἐγγράφονται.

Κουρήσασθε, ἐπιμελήθητε.

Κουρῆτες, οἱ τὴν Πλευρῶνα οἰκοῦντες. δῆλον δὲ ὅτι πόλις αἰτωλικὴ καὶ ἡ πλευρὼν, Εὐβοίων οὖσαν ἄποικοι προφερόμενοι τῷ τόνῳ καὶ τῇ κλίσει, ὡς τὸ ἀβλὴς ἀβλῆτος. οὕτω γὰρ καὶ κουρὴς κουρῆτος. ἀξιώθη μέντοι πρὸς διαστολὴν βαρυτόνου ὀνόματος τοῦ κούρητες Ἀχαιῶν, ἀντὶ τοῦ νέοι.

Κουρῆτες ἐκλήθησαν, ἢ διὰ τὸ κούριον ὄρος ὑποκείμενον Πλευρῶνος, ἢ παρὰ τὴν κουράν. ἐπεὶ γὰρ κατὰ τὸν Γεωγράφον οἱ πολέμιοι τῆς κόμης αὐτῶν δραττόμενοι τῆς ἔμπροσθεν, κατέσπων αὐτοὺς ὄπισθεν, τοῦ λοιποῦ ἐκόμων κειρόμενοι τὰ ἔμπροσθεν. διὸ καὶ κουρῆτες ἐλέγοντο.

Κούρη, ἐπὶ γυναικῶν. ὁ κοῦρος δὲ, ἐπὶ ἀνδρῶν. ἔστι δὲ ποιητικόν. ἀπὸ τούτου δὲ κατὰ μετάθεσιν ὁ κουροτρόφος, ἐν χρήσει παρὰ τοῖς κοινῆς. ὥσπερ καὶ μῆλον, τὸ πρόβατον ποιητικὸν, μηλωτὴ δὲ κοινόν.

Κούρητας οἰσόντας Ἀχιλλεῖ τὰ δῶρα. λέγει Ὅμηρος τοὺς νέους, ὥσπερ Ἡρωδιανὸς ἀναγινώσκει, τῷ τόνῳ ὡς πένητας, κλίνων ὡς ἰαμβικὸν ἀπὸ τοῦ κόρος ὁ νέος, κόρης κόρητος. τὸ μέντοι ἔθνος, κουρῆτας, ὡς ἀδμῆτας. εἰσὶ δὲ οὓς λέγει ὧδε κούρητας οἱ νεστορίδαι, καὶ ὁ μέγης, καί τινες ἄλλοι. ἔνθα ὅρα ὡς διὰ τὸ τοῦ Ἀχιλλέως ἀξίωμα, εὐγενεῖς ἄνδρες, οἱ καὶ θεράποντες πρὸ τούτων ῥηθέντες, ὑπουργοῦσι τῇ τῶν δώρων κομιδῇ.

Κουρήτεσσι, Κρησίν.

Κούρητες, ἔθνος κρητῶν.

Κουρήτων στόμα, ἐδόκουν εἶναι μάντεις, θεσπεσιῶδον στόμα.

Κουριᾶν ἐστι, τὸ κουρᾶς ἐπιδεῖσθαι, καὶ τὴν κόμην καθιέναι.

Κουρίας, ὁ ἔσωθεν κεκομμένος τὰς τρίχας. καὶ κουριάω κουριῶ, τὸ κουρεύω.

Κουρίας, ὀροφικὸς πίναξ.

Κουρίδας, μαχαίρας. εἰ μὲν παρὰ τὴν κουρὰν παρήχθη παρωνύμως κουρὶς, οὐδὲν ζήτημα.

Κουρίδες, καρίδες, ἢ τὰς μικρὰς ἐγχλώρους. τὰς δὲ ἐρυθρὰς, καμμάρους.

Κουριδίη, λέγεται κυρίως ἡ ἐκ παρθενίας, οὐκ ἀφ᾽ ἑτέρου γενομένη ἄλλῳ.

Κουρίδιον, παρθένιον, καὶ τὸν ἐκ παρθενίας ἄνδρα. Λάκωνες δὲ κουρίδιον καλοῦσι. παρὰ δὲ αὐτοῖς, τετράχειρον Ἀπόλλωνα.

Κουριδίη ἄλοχος, ἥν τις κόρην ἔτι οὖσαν ἠγάγετο, οὐ μὴν ἑτέρῳ προσυζευχθεῖσαν εἰς γάμον, ἢ καὶ ἄλλως γραῦν.

Κουριζομέναις, ὑμαινευμέναις, γαμουμέναις, διὰ τὸ λέγειν σὺν κούροις τε καὶ κόραις. ὅπερ νῦν παρεφθαρμένως ἐκκόρευ λέγεται.

Κουρίζουσα, νεάζουσα. καὶ κουρίζων, νέος ὑπάρχων.

Κουρίζουσιν, ἤγουν ἀνατρέφουσι παρὰ τῷ Ἡσιόδῳ ἐν θεογονίᾳ. ἐκ γὰρ τῆς ποιότητος τῶν ὑγρῶν ἐστιν ἡ τροπὴ τῷ ἡλίῳ. καὶ γὰρ Ἀπόλλωνι καὶ ποταμοῖς οἱ νέοι ἀποκείρουσι τὰς κόμας, διὰ τὸ αὐξήσεως ἀνατροφῆς αἰτίους εἶναι.

Κουρίζων, ἀντὶ τοῦ νέος ὢν, κοῦρος.

Κουρίζω, νέα φρονῶ. κοῦροι γὰρ, οἱ νέοι.

Κουρὶξ, τῶν ἅπαξ παρ᾽ Ὁμήρῳ ῥηθέντων ἐστὶν αὐτὸ, δηλοῖ κατὰ τοὺς παλαιοὺς τὸ νεανικῶς. καὶ γίνεται ἐκ τοῦ κουρίζειν, οὗ μέλλων Δωρικῶς κουρίξω. καὶ ἐξ αὐτοῦ κουρὶξ, τὸ ἀνδρείως, καὶ ὡς πρέπει κούροις. καὶ οὕτω μέν φησιν ὁ Κράτης. Ἀρίσταρχος δὲ, ἀντὶ τοῦ ἐπιλαβομένους τῆς κόμης, ἵνα κατὰ αὐτὸν τὸ κουρὶξ, ἀντὶ τοῦ ἐκ τῆς κεφαλῆς, ὡς εἴ τις εἴποι ἐκ τῆς κουρᾶς.

Κουρὶξ, ἐκ πασῶν τριχῶν, ἕλκειν ἐκ τριχῶν.

Κούριξαν, ἀπέκειραν.

Κουριῶν, κουρᾶς δεόμενον, καὶ διαφέρειν φασὶ κομᾷν καὶ κουριᾷν. τὸ μὲν γὰρ κομᾷν ἐστιν ἐπιμελούμενον τρίχας ἔχειν. κουριᾶν δὲ τὸ κατὰ συμφορὰν, ἄλλως καθιέναι κόμην.

Κουροθάλεια δάφνη ἐλέχθη, διὰ τὸ κουροτρόφον τοῦ ἐραστοῦ Ἀπόλλωνος, ὃς λέγεται κουροτρόφος. εἰ δὲ καὶ ἄλλους πολλοὺς βέλεσι κατακτείνει. ἀλλ᾽ ἔχει κουροτροφεῖν, ὡς ἥλιος δύναμιν τῶν ἐναντίων ἔχων καὶ αὐτὸς, καθὰ καὶ ὁ Ποσειδῶν σεισίχθων τέ ἐστι, καὶ τὸ ἐναντίον γαιήοχος, καὶ ἀσφάλιος. καὶ Ἄρτεμις δὲ, ὡς καὶ αὐτὴ ἀγανοῖς βελέεσι κτείνουσα, καὶ αὖθις λοχεία, ὡς ἐπιστατοῦσα ταῖς λεχοῖς. ἔτι δὲ κουροτρόφοι οἱ ποταμοί.

Κουρόσυνα, κοῦρος λέγεται παρὰ τοῖς Ἀθηναίοις ἡλικία τὶς, ἐν ᾗ ποιοῦντες τραπέζας, ἔταττον ἑαυτοὺς μετὰ τῶν νεωτέρων. λέγεται δὲ καὶ ὀξυρῶν αὐτοῦ τὸ γένειον κουρὶξ, ἐκ τῆς κόρσης, τουτέστι τῆς κεφαλῆς. ὅθεν καὶ ἡ κουρὰ ἐν ὑπομνήματι χ᾽ Ὀδυσσείας. ἀλέξης δὲ κουρὶξ τῶν τριχῶν, ἢ νεανίσκος παρὰ τὸν κόρον.

Κουρόσυνον, τὸ ὑπὲρ τῆς κουρᾶς θυόμενον.

Κουρότεροι, ἤγουν νεώτεροι. τὸ συγκριτικὸν ἀντὶ τοῦ ἀπολελυμένου κεῖται τὸ κοῦροι. καὶ ἡμεῖς πολλάκις λέγομεν, νεώτεροί εἰσιν, ἀντὶ τοῦ νέοι. καὶ παρὰ τῷ Ποιητῇ δεξιτερὴν ἕλε χεῖρα, ἀντὶ τοῦ δεξιάν.

Κουροτρόφοι ποταμοὶ ἐνομίζοντο, διὰ τὴν ὑγρότητα, καθὰ καὶ ὁ ἥλιος Ἀπόλλων, διὰ θερμότητα. κουροτρόφους δέ φαμεν, τοὺς τὴν νεότητα τρέφοντας. εἰ δὲ καὶ κούριμος θρὶξ παρὰ τῇ τραγῳδίᾳ, καί τις εἰπεῖν τολμήσει τὴν λέξιν, καὶ ἀπὸ ταύτης ἔσωσαν, καὶ οὕτω κουροτρόφοι κατὰ θρασύτητα λέξεως, οἱ παλαιοὶ σεμνύνουσι τὸ ποτάμιον ὑγρὸν, καὶ ταῦτα λέγοντες. τὸ λουτρὸν ἐκ ποταμοῦ τοῖς νυμφίοις ἐκομίζετο οἰωνιζομένοις τὸ γόνιμον. διὸ καὶ ἔνορχα μῆλα ἱέρευον, ὥσπερ τῷ Ποσειδῶνι, οὕτω καὶ τοῖς ποταμοῖς εἰς τὰς πηγάς. γόνιμα γὰρ τὰ ἄρρενα, καὶ ταῖς πρὸ γάμου δὲ τελευτῶσιν ἡ λουτροφόρος φασὶν ἐπετίθετο κάλπις, εἰς ἔνδειξιν, ὅτι ἄλυτος τὰ νυμφικὰ καὶ ἄγαμος ἄπεισι, κατὰ τοίνυν τὸ ἔθος κειράμενος ὁ Ἀχιλλεὺς χαίτην, ἣν σπερχειῷ ποταμῷ ἔτρεφε τηλεθόωσαν, ἰδὼν ἐπὶ οἴνοπα πόντον, ὡς οἷα πρὸς τὸν πατρῷον ποταμὸν ῥίπτων τὰς ὄψεις λέγει, ὦ σπερχειὲ ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεὺς, ὅ ἐστιν εὔξατο, κεῖσέ με νοστήσοντα φίλην εἰς πατρίδα γαῖαν, σοί τε κόμην κερέειν, ῥέξειν θ᾽ ἱερὴν ἑκατόμβην. πεντήκοντα δ᾽ ἔνορχα παρ᾽ αὐτόθι μῆλα, ἱερεύσειν ἐς πηγὰς, ὅθι τοι τέμενος βωμός τε θυήεις, ὣς ἠρᾶθ᾽ ὁ γέρων, σὺ δὲ νόον οὐκ ἐτέλεσας.

Κουροτρόφον, τὸ τρέφον, καὶ νέους καὶ γενναίους ἵππους.

Κουροτρόφος, παιδοτρόφος. κουροτρόφος γῆ, ὑφ᾽ ἑτέρων ἡ Δημήτηρ.

Κούρους, νεωτέρους.

Κουρύσυνα, ἡ ἐν χρῷ κουρεία τῆς γενειάδος.

Κούταρον, τῶν ὀπισθίων τοῦ βοὸς ἡ σὰρξ ὑπὲρ τὰ ἄρθρα.

Κουτίδες, συκαλλίδες,

Κουτίδα, δίκτυα τὰ πρὸς τὰς συκαλλίδας.

Digitized by Google

Κόρυθος φάλον, τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας. ἔστι δὲ προκόσμημα. γίνονται γὰρ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρόποιοί τινες ἧλοι, ἕνεκα προκοσμήματος. φάλιον δὲ, τὸ λαμπρόν. ἐντεῦθεν δὲ καὶ φαλακρὸς, ὁ ἔχων φάλιον τὸ κάρα. καὶ φαληριῶσα πέτρα, καὶ φαληριόωντα κύματα.

Κουφίζω, τὸ μετεωρίζω. κουφίζω σε τοῦ βάρους.

Κούφη γῆ σε τὸν καλύπτοι, ἀντὶ τοῦ μετέωρος. λέγεται δὲ γῆ γῆς κουφοτέρα, οὐκ οὖσα ἁπλῶς κούφη. καὶ πῦρ πυρὸς βαρύτερον, οὐκ ὂν ἁπλῶς βαρύ. κοῦφον δέ ἐστι, τὸ ἐξ ἑαυτοῦ φερόμενον εἰς τὸν ἄνω τόπον. λέγεται δὲ κούφη γῆ, τῷ ἀβαστακτοτέρα εἶναι καὶ ῥᾷον ἀναβιβάζεσθαι, καὶ τὸ πῦρ βαρὺ, τὸ κάτω ῥᾷον ἑπόμενον. καὶ λέγονται ταῦτα καθ' ὁμοιότητα, ἀλλ' οὐ κυρίως.

Κουικὸν τρόπον, τὴν κομητικὴν ὄρχησιν.

Κουφολογία, φλυαρία.

Κοῦφον, κόπον μετέωρον.

Κοῦφος, ἐλαφρὸς, ταχὺς, γοργὸς, εὔκαιρος.

Κουφόσκευος, ὁ βαστάζων τὴν πανοπλίαν.

Κούφοις πνεύμασι βόσκουνέαν ψυχὴν ἀτάλλων, τουτέστι κούφῃ καὶ ἁπαλῇ ζωῇ, ἀπὸ μεταφορᾶς τῶν φυτῶν, ἅτινα οὐδὲν σφοδρὸν δύνανται φέρειν, οὔτε καύσωνα, οὔτε ἄνεμον.

Κόφινος, παρὰ τὸ κόπον ἀφεῖναι τοῖς βαστάζουσιν. ἢ παρὰ τὸ κοῦφον, ὃ σημαίνει τὸ βαθὺ καὶ κοῖλον χώρημα.

Κόφινος, ἀγγεῖον πλεκτόν.

Κουφότερος κονιορτοῦ, ἀντὶ ἀσθενέστερος.

Κουχίον, καὶ οὐχί.

Κοχλίαι, τὰ ἐσθιόμενα ζῶα. καὶ τὰ ἐν τοῖς ὀργάνοις ξύλινα.

Κοχλιάριον, παρὰ τὸ κόχλος, κοχλάριον, καὶ πλεονασμῷ τοῦ ι κοχλιάριον.

Κοχλίδιον, ὥσπερ ἀπὸ τῆς κοιλίας, γίνεται κοιλίδιον, οὕτω καὶ ἀπὸ τοῦ κοχλίας, κοχλίδιον.

Κοχλίας, ὁδὸς εἰς ἑκάτερον περιειλιγμένη.

Κοχλίας αὐτομάτως βαδίζων, προηγεῖτο τῆς πομπῆς, αὑτῷ σίαλον ἀναπτύων.

Κοχλίδιον, εἶδος ζωυφίου.

Κόχλος, τοῖς θαλαττίοις ἐχρῶντο πρὸ τῆς τῶν σαλπίγγων εὑρέσεως, καὶ ὁ στρόμβος.

Κόχλω, τὸ γυρίζω, ἐξ οὗ καὶ κοχλίας. τὸ δὲ κοχλίας, παρὰ τὸ ὀλῶ, τὸ συστρέφω, γίνεται ὀλίας, καὶ πλεονασμῷ τοῦ κ χ κοχλίας.

Κοχύ, πολύ, πλῆθος.

Κοχυδεῖν, ὑπερχέειν.

Κοχώνην, τὴν σύζευξιν τὴν ἐν τοῖς ἰσχίοις, παρὰ τῷ Ἱπποκράτει. * τὴν πρὸς ἕδραν, δηλονότι πᾶς ὁ περὶ τὴν ἕδραν τόπος οὕτως ὀνομάζεται.

Κόψα, ὑδρεία.

Κόψινα, παραστάτης χαλκός.

Κόψεν, ἐνίοτε ἐπὶ πληγῆς παρ' Ὁμήρῳ, ἐκ τούτου δὲ καὶ κόπτεσθαι παθητικῶς ἐπὶ θρήνου. ὅθεν κοπετὸς, ἐκ τούτου καὶ τὸ πληκτικὸν κόπανον. ἵνα ᾖ ὡς ξέω ξόανον, οὕτω καὶ κόπτω κόπανον. τὸ μέντοι κατακόπτει ἐπὶ σφαγῆς, οἱ μεθ' Ὅμηρον τιθέασι ῥήτορες, οἷον κατεκόπησαν ἐν πολέμῳ. καὶ ὁ κωμικὸς δὲ ὄρνιθας κατακοπῆναί φησι.

Κόψε σχίζῃ, ἀντὶ τοῦ ἔπληξεν, ἔκρουσεν. ὡς ἐπὶ συγχύσει τοῦ ἐγκεφάλου παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ.

Κόχωνα. Ἀριστοφάνης, κοχώνη, τόπος ὑπὸ τὸ αἰδοῖον καὶ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων. μέμνηται δὲ τῆς κοχώνης καὶ ἐν σκηναῖς καταλαμβανούσαις, ἀλλὰ συσπᾶσθαι δεῖ τὰς κοχώνας. αἱ αὐταὶ δὲ καὶ πύγαια, καὶ προχῶναι παρ' Ἀρχίππῳ καλοῦνται, ὑστέρως δὲ ἔφη Ἀριστοφάνης τὰ κόχωνα.

Κόψια, χύτρα.

Κόψεθε, προσοχθιεῖτε.

Κόψιχος, εἶδος ὀρνέου, ὃ κόσσυφος παρ' ἐνίων λέγεται. τίθεται δὲ καὶ ἐπὶ τοῦ θαλασσίου.

Κοῶ, αἰσθάνομαι.

Κῶν, εἰδώς. Κὸν, εἰδός.

ΤΟ' Κ'. ΜΕΤΑ' ΤΟΥ' Ρ'.

ΚΡάανον, τέλεσον.

Κραάρα, κόσκινον, ἢ ὄρυγμα.

Κράβος, ὁ λάρος.

Κράγιον, σύντριμμα ἐν κεφαλῇ.

Κραγγὼν, κίσσα.

Κράγον, βοήθημα, καὶ ὅρος.

Κραγὸν, κραυγήν.

Κράασιν, κεφαλαῖς, καὶ κράτεσφιν.

Κραγὼν, ἔνυδρον ζῶον, καὶ εἶδος καρίδος.

Κράγον, τὸν Δία ἐτίμων ἐν Λυκίᾳ.

Κραγὸν κεκράξεται, παρὰ τῷ Ἀριστοφάνει. Ἀρίσταρχος ὀξυτόνως, ἀντὶ τοῦ κραυγαστικῶς. καὶ Ἡρωδιανὸς ἐν Ἀττικῇ προσῳδίᾳ.

Κραδάειν, πρωτότυπον τοῦ κραδαίνειν ἐστὶ καὶ κραδάων. ἔχει θέμα πρωτότυπον, κραδαίνω, τὸ σείω.

Κραδάνων, καὶ κραδάων, κινῶν, σείων, δονῶν, σαλεύων.

Κράδαι, τῆς συκῆς οἱ ἀκρέμονες, παρὰ τῷ Ἱπποκράτει.

Κράδαλοι, κλάδοι συκῆς.

Κράδεμνον, κάλυμμα, στεφάνη, μίτρα, τὸ ἐπικράνιον στεφάνωμα.

Κραδαίειν, κραδαίνειν, σείειν, τινάσσειν.

Κράδη, συκῆς κλάδος, καὶ ἀγκυρεῖς, ἐξ ἧς ἐνήπτοντο οἱ ἐν ταῖς τραγικαῖς μηχαναῖς ἐπιφαινόμενοι.

Κράδη, εἶδος συκῆς. ἔστι δὲ καὶ μηχανή.

Κραδησίτης, φαρμακὸς, ὁ ταῖς κράδαις βαλλόμενος.

Κραδίην, ἀντὶ τοῦ καρδίαν. καὶ ἀτραπητὸς, ἀντὶ τοῦ ἀταρπητὸς Ἴωνες λέγουσιν. ἡ γὰρ μετάθεσις τῶν στοιχείων, αὐτῶν ἐστι.

Κραδίης νόμος, νόμον τινὰ ἐπαυλοῦσι τοῖς ἐκπεμπομένοις φαρμάκοις. κράδαις καὶ θηρίοις ἐπιραβδιζομένοις.

Κραδίης τυρὸς, ὁ ὑπὸ τοῦ ὀποῦ τῆς κράδης πησσόμενος.

Κραδοφάγος, συκοφάγος. κράδη γὰρ ἡ συκῆ, διὰ τὸ συνεχῶς κραδαίνεσθαι. σημαίνει δὲ καὶ τὸν ἀγροῖκον.

Κράθυς, ποταμὸς Σικελίας.

Κραίνει στρατοῦ, ἤγουν βασιλεύει.

Κραίνουσι, παράγωγον ἐστι τοῦ κρῶ. ἐξ οὗ καὶ ὁ κρείων, καὶ ὁ εὐρυκρείων. ὡς γὰρ χῶ χαίνω, βῶ βαίνω, ῥῶ ῥαίνω, κῶ καίνω, σέω σῶ σαίνω, οὕτω καὶ κρῶ κραίνω.

Κραίνουσι, λήγουσι, παρὰ τῷ Ἱπποκράτει.

Κραίνω, τελειῶ, ἀποπληρῶ, παρὰ τὸ κάρα καραίνω, ὡς χεῖμα χειμαίνω, καὶ συγκοπῇ κραίνω. κυρίως δὲ ἡ λέξις, ἐπὶ τοῦ τελειοῦσθαι, καὶ τὴν κεφαλὴν κάτω νεύειν τοῦ ὑποχόμενον.

Κραιπαλάω, ῶ, τὸ μεθύω. Ἀριστοφάνης, κραιπαλῶντα, ἤγουν μεθύοντα.

Κραιπάλη καλεῖται, ἡ ἐξ ἑωθινοῦ μέθη, ἢ ἡ ἀπὸ χθιζῆς μέθης οἰνοποσία.

Κραιπαλᾷν, ἐπὶ τοῦ ἀλαζονεύεσθαι. τὸν δὲ Σέσωστριν ἐπὶ τοσοῦτον κραιπαλᾷν, ὥστε ἁρμάμαξαν συμπήξασθαι χρυσοκόλλητον, λίθους τε τιμίους ταύτῃ περιβαλεῖν, καὶ ἐφιζάνων ζευγνύειν τοὺς ἡττημένους Βασιλεῖς.

Κραιπάλη, ὁ ἐκ πολλῆς οἰνώσεως παλμός. καὶ κραιπαλῶντα, ἀντὶ τοῦ ἐκ μέθης ἀπακτῶντα καὶ μεθύοντα, ἀπὸ τοῦ τὸ κάρα πάλλειν τοὺς μεθύοντας, ἢ ἀπὸ τοῦ σφάλλεσθαι τῶν καιρίων.

Κραιπαλόκωμος, κατὰ μετωνυμίαν λέγεται ὁ κατὰ μέθην γενόμενος ὕμνος, Ἀριστοφάνης.

Κραιπαλῶντα, ἀντὶ τοῦ ἐκ μέθης ἀπακτῶντα, μεθύοντα, ἀπὸ τοῦ τῶν καιρίων σφάλλεσθαι.

Κραιπνὸν τὸ ταχὺ, παρὰ τὸ ἐφ' ὕψους καὶ εἰς κάρα πνέειν.

Κραιπνὸς, ὀξύνεται λόγῳ τοιούτῳ. τὰ εἰς νος μετ' ἐπιπλοκῆς συμφώνου τριγενῆ ἁπλᾶ ὀξύνεται. κραιπνὸς, συχνὸς, πυκνὸς, πρυμνός. τὸ δὲ ὕμνος, οὔτε τριγενὲς, οὔτε ἁπλοῦν. διὸ οὐδὲ ὀξύνεται. ὡσαύτως καὶ τὸ πράμνος, καὶ ἔτι τοιοῦτον. τὸ ἀμνὸς ὀξύνεται, διὰ τὸ μὴ ἀναστρέφειν τὸν κανόνα. οὐ γὰρ ἔτι ὀξύνεται, ἤδη καὶ τριγενές ἐστι καὶ ἁπλοῦν. κραιπνὸς δέ φασιν ὁ ταχὺς, καὶ οἷον ποδώκεμος, ἢ ἀνεμώκης. ἔστι γὰρ κάπω, τὸ πνέω. ἐξ οὗ κάπος τὸ πνεῦμα. ὅθεν καπνὸς, ὡς εἰπεῖν φασιν ἀνεμόεις, καὶ πλεονασμῷ τοῦ ρ καὶ ι κραιπνός. δύναται δὲ καὶ παρὰ τὸ κάρα, καὶ τὸ πνέειν, ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ ι εἶναι καραπνός. εἶτα κραπνὸς, καὶ κραιπνός.

Κραῖρα, κεφαλὴ κυρίως ἡ ὀρθία. καὶ ὡς ἂν εἴπῃ τις, κάρα αἰρόμενον· ἵνα ᾖ κάραιρα, καὶ ἐν συγκοπῇ κραῖρα. ἐξ ἧς οἱ Ἀττικοὶ τὸ τῆς κεφαλῆς ἥμισυ, ἡμίκραιραν φασιν, ὡς εἴρηται παρὰ τῷ Κωμικῷ. ἀπὸ δὲ ταύτης καὶ νῆες μεταφορικῶς, καὶ βόες ὀρθόκραιραι, παρὰ τοῖς Ποιηταῖς.

Κραῖροι, στόλοι νεῶν, μέτωπα, κεφαλαί.

Κρακαλίδαι, τῶν κρισίων Βασιλεῖς, ἢ διάφορον γένος.

Κρᾶμα, μίγμα, κέρασμα.

Κράμβατα, κεράσματα.

Κραμβατέλος, ξηρὸς καὶ καπυρός.

Κράμβαλα, μνημεῖα.

Κραμβαλίζουσι, καπυρίζουσι, καπασείουσι.

Κράμβη, τὸ λάχανον. τινὲς κοράμβη, ἡ ἀμβλύνουσα τὰς κόρας. βέλτιον δὲ, ἡ τῷ κόρῳ ἀναβαίνουσα.

Κραμβίον, τὸ κώνειον.

Κράμβον, καπυρόν τινα γέλωτα. καὶ ξηρόν φασιν, ἢ τὴν κράμβην.

Κραμβοτάτου στόματος, ἡδυτάτου, ξηροτάτου, ἀπὸ τῆς λαχάνου κράμβης οὕτω καλουμένης. παρὰ δὲ τοῖς Ἀττικοῖς κοράμβλη, διὰ τὸ τὰς κόρας βλάπτειν. φασὶ γὰρ αὐτὴν ἐκ τῶν ὀφθαλμῶν τοῦ Λυκούργου γεγονέναι. ἡνίκα γὰρ ὁ Διόνυσος τοῦτον διαλαβηθεὶς εἰς τὴν θάλασσαν ἔδυ, ὑπὸ τῆς ἀμπέλου δεσμευθέντα δάκρυον ἐπαφηκέναι, κἀκ τοῦ δακρύου τὴν κράμβην. καὶ διὰ τοῦτο αὐτοπαθῶς ἔχειν ἀλλήλων τὴν κράμβην καὶ τὴν ἄμπελον. πιστοῦνται δὲ τὸν μῦθον γεωργῶν παῖδες. εἰ γάρ τίς φασι τὴν ῥίζαν αὐτῆς ἐξάψῃ ἐν ἀμπέλῳ, οὐκ ἂν αὕτη καρπὸν ἐνέγκοι. ὅθεν καὶ πρώτη ἐν συμποσίῳ δίδοται. καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐδεσμάτων, ἑφθὰς κράμβας ἤσθιον, διὰ τὸ μὴ μεθύσκεσθαι οἴνῳ. βέλτιον δὲ κράμβη λέγοιτ' ἂν, ἡ τῷ κάρῳ ἀντιβαίνουσα. χαριέντως δὲ ὁ Ποιητὴς ἀντὶ τοῦ χρηστοτάτου, κραμβοτάτου ἔφησεν, ἵνα ἀπὸ μικρᾶς δαπάνης καὶ τὸ ἀριστίζω ἀκόλουθον τῷ ἑξῆς λέγειν δοκῇ.

* Κράμβος, πάθος καρπῶν ὅμοιον τῇ ἐρυσίβῃ γίνεται δὲ ὅταν ὑπούσης τῆς ὑγρότητος μετὰ τὰς ψεκάδας ἐπικαύσῃ σφοδρότερον ὁ ἥλιος. καὶ κράμβος ἐπίθετον, ὁ ξηρός.

Κράμβωτον, ἴκτινος τὸ ζῶον.

Κράνα, κεφαλή.

Κρῆναι, κρῆναι τέλειαι, καὶ αἱ τῶν ὑδάτων, καὶ ἐπιτελέσας.

Κρανοίκορον, μοῖρά τις τοῦ ἱερείου.

Κραναά. Ἀριστοφάνης, ὦ κραναὰ πόλις. Αἰσχύλος καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει. λέγει δὲ κραναὰς τὰς Ἀθήνας, ἤτοι τὰς τραχείας. λεπτόγεως γὰρ ἡ Ἀττική, ἢ ἀπὸ Κραναοῦ τινος, ὃς ἦν τῶν αὐτοχθόνων εἷς.

Κραναῇ ἐν νήσῳ, ἄδηλον δέ φασιν εἴτε κύριον τῆς νήσου τὸ ὄνομα, διὰ τὸ κρανθῆναι, ἤτοι τελειωθῆναι ἐπ' αὐτῆς τὸν γάμον, εἴτε τραχεῖα ἐπιθετικῶς εἴρηται.

Κραναῶν, τῶν Ἀθηναίων, διὰ τὸ τραχὺ καὶ λεπτόγεων, ἢ ἀπὸ Κραναοῦ Βασιλέως. καὶ κραναῶν Πετρῶν, τῶν τραχείων.

Κραναῆς, τραχείας, σκληρᾶς, κάρηνα ἐχούσης, παρὰ τὸ κραναόν. τοῦτο παρὰ τὸ κρανίον, ὅπερ ἐστὶ καὶ τραχὺ καὶ ὀστῶδες.

Κράνεια, εἶδος φυτοῦ.

Κράνεος, φυτὸν καὶ τὸ γυμνάσιον, καὶ κράνεος καρπός. κρανίον δὲ, τόπος, καὶ ἡ κεφαλή.

Κράνεια, χηλευτά, πλεκτὰ ἐκ σχοίνου, ἢ ἄλλης τινὸς ὕλης μαλάκια.

Κρανεῖ, τὰ προσκεκολλημένα συρίγγια, εἰς ἃ τὰ πτερὰ ἐκβάλλεται.

Κράνεια, λεπτοκάρυα.

Κρα-

Κρανίσι, περικεφαλαίαις.

Κρανία, τόξον, εἶδος δένδρου, περικεφαλαία.

Κρανέεσθαι, τελειωθήσεσθαι. κραίνω κρανῶ, κρανοῦμαι κρανεῖται κρανεῖσθαι, καὶ διαλύσει κρανέεσθαι.

Κρανιάδων παρὰ Θεοκρίτῳ, οὐ κατὰ πλεονασμὸν ἔχει τὸ α. ἔστι γὰρ ἡ εὐθεῖα ἡ κρανιὰς, ἀπὸ τοῦ κρίνεις κατὰ μετασχηματισμόν.

Κρανίξαι, ἐπὶ κεφαλὴν ἀπορρίψαι.

Κράνιοι, τῆς Κεφαλληνίας αὗται τέσσαρες κράνιοι.

-Κράνιον, πλατὺ, ὑψηλὸν, σεμνὸν, ἰσχυρὸν, ὀχθῶδες, καὶ ἡ κεφαλὴ, ἢ γυμνάσιον.

Κρανίον, καὶ κεφαλὴ καὶ κορυφὴ, μόνοι λογογράφοι. Ποιηταὶ δὲ, ἡ κρὰς, καὶ τὸ κάρα. κεφαλὴ, ἐπὶ τῶν ζώντων. κρανίον δὲ, ἐπὶ τῶν ζώντων, καὶ ἐπὶ τῶν ἀποθανόντων.

Κράνον, ἀντὶ τοῦ κρανίον λέγουσι Δωριεῖς.

Κράνος, καὶ κωνῆ, καὶ πήληξ, ἡ περικεφαλαία γράφεται. τρυφάλεια δὲ ποιητικῶς τὸ αὐτό.

Κρανοποιῶν, λέγει Ἀριστοφάνης, κράνη καὶ λόφους διηγούμενος.

Κραντῆρες, ὀδόντες οἱ ὕστερον φυόμενοι, οἱ λεγόμενοι σωφρονιστῆρες. οἱ δὲ, τόπον Κεφαλληνίας.

Κραντῆροι, οἱ κραίνοντες καὶ ἐπιτελοῦντες.

Κράντορες, ἡγεμόνες βουχίλου. κράντορες. Ἀρκαδίης.

Κράξαι, βοῆσαι ἠχῆσαι.

Κραός, ἐν ᾧ τὴν γῆν σκάλλουσι, καὶ ἡ σκαλλομένη ἄμπελος.

Κράπαθον, ὁ Ποιητὴς εἶπε μεταθέσει τοῦ ρ, διὰ τὴν χρησίαν μέτρου, ὁμοίως τῷ καρδίᾳ, κραδίῃ. ὡς ἀπὸ τῆς Καρπάθου, Καρπάθιον πέλαγος, τὸ ἐκεῖ συνάπτον τῷ Ἰκαρίῳ, κατὰ τὸν Γεωγράφον. ἣν δέ φασι τετράπολις ἡ Κάρπαθος, καὶ ὄνομα εἶχεν ἀξιόλογον. μία δὲ τῶν αὐτῆς πόλεων ἐκαλεῖτο Νίσυρος, ὁμωνύμως τῇ νήσῳ Νισύρῳ, ἣ μία μὲν τῶν κυκλάδων λέγεται. Πορφυρὶς δέ ποτε, ἀπὸ τῶν ἐν αὐτῇ πορφυρέων ἐκαλεῖτο. ἔβλαστε δὲ καὶ παροιμία ἐκ Καρπάθου, ἐπὶ τῶν πραγματευσαμένων ἑαυτοῖς τὰ εἰς βλάβην, τὸ ὁ καρπάθιος τὸν λαγωὸν, ἐπειδὴ τῆς νήσου μὴ ἐχούσης τοιαῦτα ζῶα, κομίσαντες ἄλλοθεν οἱ νησιῶται, εἰς κακὸν ἐκείνων ἀπήλαυσαν, κειρόντων τὰ πόριμα.

Κραπαταλίας, ἀνεμώδης, καὶ ὁ ἀσθενὴς, καὶ ἀνίσχυρα λέγων. ἄμεινον δὲ ληρώδης.

Κραπάταλλοι, ἰχθύες τινές.

Κραπάταλλος, παρὰ πολλοῖς ὁ μωρὸς, ἢ νόμισμα.

Κραρᾷ, πέπονθε τὴν κεφαλήν. οἱ δὲ, βοῶν πυρετὸς, καὶ ἀκροστόλια νεῶν.

Κρᾶς, κρέας. τινὲς δὲ, κεφαλή.

Κράσβολα, κόλλαβοι δερμάτινοι.

Κράσσεα, ἀλευρωτίς.

Κρᾶσίς ἐστι, δύο φωνηέντων ἀλλοιουμένων συναλοιφή. οἷον, Δημοσθένεα καὶ Δημοσθένη. κἄλλοι, ἀντὶ τοῦ καὶ ἄλλοι. κἀγὼ, ἀντὶ τοῦ καὶ ἐγὼ, ἢ τοῦ ἑνὸς, οἷον Δημοσθένεος καὶ Δημοσθένους, Δημοσθενέων καὶ Δημοσθενῶν.

Κράσις, σωμάτων παράθεσις, ποιοτήτων ἀντιπέμβασις. ἢ σύζευξις σωμάτων, τοῖς ἐν αὐτοῖς ἀλλήλας ἀντικιρνώντων ποιότητας. ἡ κράσις ἐστὶν οὐσιῶν ἀλλήλαις ἑτεροία συνδρομὴ, καὶ τῶν περὶ αὐτὰς ποιοτήτων ἀντεμβολή.

Κράσις, μίξις οἴνου καὶ ὕδατος. καὶ ἡ ἐνέργεια δὲ τοῦ κιρνῶντος.

Κράσπεδα ὄρους, οἱ πρόποδες, τὰ ὁμαλὰ καὶ ἐπίπεδα.

Κράσπεδον, τὸ κρεμάμενον, ἤτοι κεχαλασμένον εἰς τὸ πέδον, παρὰ τὸ ἄκρα καὶ τὸ πέδον, ἡ γῆ, κατὰ ἀφαίρεσιν τοῦ α, καὶ πλεονασμῷ τοῦ σ κράσπεδον. οἱονεὶ τὸ ἔξω ὂν, καὶ τῇ γῇ πλησιάζον.

Κράσις, ὁ ἡμίξηρος χόρτος. ὅθεν καὶ τὰ ζῶα κρασίζεσθαί φασιν, οἷον ἐμφορεῖσθαι τοῦ ποιούτου χόρτου.

Κρασῆναι, διάκονοι γυναῖκες.

Κράστιν, Ἀττικοὶ διὰ τοῦ γ, οἱ νῦν γράστιν φασίν. ἔστι δὲ ὁ χλωρὸς χόρτος.

Κραταιγύαλοι, οἱ κραταιοῦντες τὰ γύα τῶν ὁπλιτῶν. ἢ κραταιὰ γύαλα ἔχοντες, ἤγουν κοιλώματα. ἐτυμολογία δὲ τῆς τοιαύτης συνθέσεως, κατὰ τὸ ἐν Ὀδυσσείᾳ κραταίπεδοι.

Κράτα, καὶ κατὰ ὑπερβιβασμὸν κάρτα, ἐκ τοῦ κραταιά.

Κράτα, τὴν κεφαλὴν, ἀπὸ τοῦ κράτους, ὡς ἐνταῦθα τοῦ ἡγεμονικοῦ τυγχάνοντος, ἢ παρὰ τὸ κραίνειν καὶ βασιλεύειν τοῦ ἄλλου σώματος. ὅθεν καὶ κρανίον, καὶ κέρατα τὰ ἐκ τοῦ κρανίου φυόμενα, οὕτω Σωρανός. ὁ δὲ Χοιροβοσκὸς, παρὰ τὸ ὁ κρὰς τοῦ κρατὸς τῷ κρατὶ τὸν κράτα.

Κραταίγανον, βοτάνη μεθ' ἧς πλέκουσι.

Κραταιγὸς, δένδρον.

Κραταὶς ἐπίρρημά ἐστιν, ἀντὶ τοῦ κραταιῶς, ὥσπερ λικριφίς. γράφεται δὲ καὶ ἐν δυσὶ λέξεσι κραταὶ ἴς, ἤγουν κραταιὰ ἰσχύς.

Κράταιϊς, προπαροξυτονεῖται τὸ κύριον ὄνομα τῆς μητρὸς τῆς σκύλλης. τὸ δὲ περισπώμενόν ἐστιν ἐπὶ τοῦ Σισύφου προσηγορικόν.

Κραταίλεον, ἔδαφος ἐκ σκληροῦ λίθου γεγονός.

Κραταίλεον, ἡ νιόβη.

* Κραταίπεδον οὖδας, λιθόστρωτον.

Κραταίωμα, ἰσχὺς, ἀσφάλεια.

Κραταιὸς, ἰσχυρός.

Κραταίπεδον, τὸ στερεὸν πέδον, ὡς τὸ λιθόστρωτον, καὶ οὕτω στερρόν. ἐπεὶ καὶ κραταίποδες, οἱ στερροὶ, καὶ ἰσχυροὶ, καθ' ὁμοιότητα τοῦ χαλκόποδος. ὅτι δὲ κραταίπεδον τὸ κραταιὸν πέδον, συντεθειμένον πρὸς ὁμοιότητα, τοῦ κραταιγύαλον οὐκ ἄδηλόν ἐστι, καὶ κραταίβιος, κραταίτονος.

Κράτει, δυνάμει, κεφαλῇ.

Κράτεια, ὄνομα πόλεως.

Κρατεῖν, νικᾷν τὸν δὲ λαγωὸν κρατεῖν, τῷ δρόμῳ τῶν διωκόντων. κρατεῖν περιγίνεσθαι, ὑπεραίρειν, ὑπερθεῖν, καταγωνίζεσθαι, κατακρατεῖν, ἐπικρατεῖν.

Κρατερὰ ἄλγεα, οὐ τὰ κατὰ τὸ σῶμα μόνον, ἀλλὰ κατὰ τοὺς παλαιοὺς καὶ τὰ εἰς ψυχήν.

Κρατερόδοντες, καρτερούμενοι.

Κρατερὸν μῦθον λέγει ὁ Ποιητὴς ἐν τῷ π τῆς Ἰλιάδος, ἤγουν τὸ γενναῖον καὶ δυσαπάντητον, οὐ μὴν ἀπειλητικὸν, ὡς ἐν ἄλλοις ἡ λέξις κεῖται.

Κρατερὸν μῦθον, τὸν μετὰ ἀπειλῆς λέγει Ὅμηρος λόγον. ἀλλαχοῦ δὲ τὸν αὐτὸν, ἀπηνέα φησὶ, κρατερόν. οἱ δὲ μεθ' Ὅμηρον, καὶ κρατερὸν ἱστοροῦσι κύριον ὄνομα. Ἀρριανὸς δὲ, ἐπὶ νικητοῦ τὴν λέξιν τίθησιν. οἷον ὁ δεῖνα κρατερὸς τοῦ δεῖνος γέγονεν. ἰστέον δὲ, ὡς δοκεῖ ταυτόν ἐστι κρατερὸς εἰπεῖν καθ' Ὅμηρον, καὶ αὖ πάλιν κραταιός. γίνεται μὲν ὁ κρατερὸς παρὰ τὸ κράτος, καθὰ καὶ ὁ καρτερὸς ἐκ τοῦ κάρτος. ὁ δὲ κραταιὸς, ἢ παρὰ τὸ κρᾶτα, ὃ δηλοῖ τὴν κεφαλὴν, κραταὸς, καὶ πλεονασμῷ τοῦ ι κραταιὸς, ὁ ἐν αὐτῷ κεφαλαιῶν τὸ πᾶν. ἢ παρὰ τὸ κρατὺς, οἷον κρατὺς Ἀργειφόντης, οὗ ἡ γενικὴ κρατέος, καὶ παραγωγῇ κρατειὸς, καὶ ὡς εἶθε αἴθε, οὕτω κρατειὸς κραταιός.

Κρατερὸν, ἰσχυρόν.

Κρατεροφόρος, γενναῖος.

Κρατερόφρονος, βουληφόρου.

Κρατερώματα, μίξις χαλκοῦ καὶ κασσιτέρου.

Κρατερώνυχες, ἰσχυροὺς ὄνυχας ἔχοντες.

Κρατευταὶ, φασί τινες τῶν παλαιῶν, τὰς τῶν ὀβελίσκων λαβὰς, ὧν πρωτότυπον τὸ κρατέω, ῶ, ἐξ οὗ τὸ κρατεύω, καθὰ ἐκ τοῦ ζητῶ παρ' Ἡσιόδῳ τὸ ζητεύω. οἱ δὲ ἀκριβέστεροι τοὺς κρατευτὰς λίθους νοοῦσιν, ἐφ' ὧν τὰ ἄκρα τῶν ὀβελίσκων ἐτίθεντο ἐν τῷ ὀπτᾶσθαι τὰ κρέα. Παυσανίας δὲ λέγει, ὀβελοὶ ἢ λίθοι ἢ σιδήριά τινα, ἐφ' ὧν οἱ ὀβελίσκοι ἐπιτίθενται.

Κρατὴρ, κοινὸν ἐκ τοῦ κερῶ κεράσω συγκοπείς. Ἰωνικὸν δὲ κρητὴρ, ἐκ τοῦ κρῶ κρήσω, ἐξ οὗ καὶ ἐπικρῆσαι τὸ ἐπικεράσαι. καὶ ὅτι παρὰ τὸ κέρας αἱ τοιαῦται λέξεις γεγόνασι. καὶ ὅτι ἐκ τοῦ κρατῆρος καὶ κρατηρίζειν τὸ συμπίνειν, δῆλον ἐκ τῶν παλαιῶν. δόξοι δ' ἂν καὶ ἡ Κρήτη καὶ ὁ κρὴς τῷ τοιούτῳ ῥήματι συστοιχεῖν.

Κρατὴρ, σκεῦός τι, ἐν ᾧ τὸν οἶνον οἱ παλαιοὶ κιρνῶντες ὕδατι, ἐξ αὐτοῦ ἔπινον λαμβάνοντες. ψυκτὴρ δὲ, ἐν ᾧ τὸν οἶνον ἔψυχον. Ἰστέον, ὅτι τρεῖς κρατῆρας ἵστασαν ἐν τῷ δείπνῳ, πρῶτον Ἑρμῇ, δεύτερον Χάρισι, τρίτον Διὶ σωτῆρι. καὶ παροιμία κρατὴρ δικῶν, ἀντὶ τοῦ δοχεῖον κακῶν. καὶ κρατὴρ, ἀναπνοὴ τοῦ ἐν γῇ πυρός.

Κρατῆρα ἐλεύθερον, εἰώθασι τῷ Διὶ ὑπὲρ ἐλευθερίας ἱστᾶναι, οἱ τοὺς πολεμίους ἀπωσάμενοι.

Κρατηρίαι, τῶν ἐνηλατῶν αἱ κεφαλαὶ, καὶ συμβολαὶ, καὶ τὰ ἄκρα.

Κρατηρίζων, ἤτοι τὸν οἶνον ἐν κρατῆρι κιρνῶν, ἢ ἀπὸ τῶν κρατήρων σπένδων.

Κρατηρίσκοι, οἱ τοῦ ὀφθαλμοῦ, οἳ καὶ μήκονες λέγονται.

Κρατί δ' ἐπ' ἰφθίμῳ, Ἀττικῶς δοκεῖ λεχθῆναι. κοινῶς γὰρ ἰφθίμῃ ὤφειλεν εἶναι. τοιοῦτον δὲ ἦν, καὶ τὸ ψυχὰς ἰφθίμους.

Κρατὶ, κεφαλῇ.

Κράτιστα, ἀντὶ τοῦ αἱρετώτερον, ἢ βέλτιον.

Κρατιστεύει, δυναστεύει, κυριεύει.

Κράτιστον, ἰσχυρότατον.

Κράτιστοι, ἢ παρὰ τὸ κάρτα, ὃ δηλοῖ τὸ λίαν, ἢ μάλιστα ἐκ τοῦ κράτος. κατὰ μετάθεσιν, ὡς βράδιστοι ἵπποι, βάρδιστοι. κράτιστοι, οἱ ἀνδρειότατοι καὶ νικηταί.

Κράτος. Ὅμηρος, φέρουσι μέγα κράτος, ἀντὶ τοῦ νίκην, ὃ τὸν ὕστερον νικηφόρον συνέθετο. ἐπεὶ καὶ ταυτόν ἐστι φέρειν κράτος, καὶ νικηφορεῖν.

Κράτος λιμένος, τῆς ἀρχῆς τοῦ λιμένος.

Κρατὸς, ἀπὸ τοῦ κράατος κατὰ κρᾶσιν, κρατός. διὸ μακρὸν ἔχει τὸ α, ὡς ἄτη, ἀπὸ τοῦ ἀάτη, ἢ κατὰ πλεονασμὸν τοῦ υ, αὐάτη ἐστίν. ὀξύνεται δὲ ὡς τὸ οἰός. διὰ τί δὲ, τὸ μὲν λᾶος, τὸ ἦρος, τὸ κῆρος, οὐκ ὀξύνεται, ταῦτα δὲ ὀξύνεται; ἴσως μιᾶς ἀκολουθίας ἀπαιτούσης αὐτὰ προπερισπᾶσθαι, διὰ τὸ δυνάμει τρισύλλαβα εἶναι. ἑτέρας δὲ ὀξύνεσθαι, διὰ τὸ ἐνεργείᾳ δισύλλαβα εἶναι, καὶ εἰς ος λήγοντα. ἐπὶ μὲν τῶν, ἐπεκράτησε τὸ τῆς ἑτέρας ἀκολουθίας. ἐπὶ δὲ τῶν, τὸ τῆς ἑτέρας. τὸ δὲ κράτος, καὶ ἀμφοτέρους τοὺς λόγους ἔχει. ἐπὶ μὲν γὰρ τῆς γενικῆς τῶν ἑνικῶν, ὀξύνεται κατὰ τὴν ἀκολουθίαν τοῦ οἰός. ἐπὶ δὲ τῆς γενικῆς τῶν πληθυντικῶν, παροξύνεται, ὡς τὸ λάων.

Κρατυνθὲν, βεβαιωθὲν, κρατηθέν.

Κρατύνει, κρατεῖ.

Κρατύνεσθαι, ὀχυροῦσθαι.

Κρατυνάμενος, ὀχυρωσάμενος.

Κρατυντῆρα, κατισχύοντα.

Κρατὺς, δοκεῖ κλίνεσθαι ὡς ἡδύς. καὶ ἴσως αὐτόθεν τὸ ἐπικρατέως ἐπίρρημα.

Κρατὺς, κρατύτερος, κρατίων, κράσσων, ἄρχων, ἐξουσιάζων.

Κρατῶ, τὸ ἅπτομαι αἰτιατικῇ. κρατῶ δὲ τὸ νικῶ, γενικῇ. οἷον, Ἀμυμώνη ἡ τοῦ Δαναοῦ κεκράτηκε τοῦ θεοῦ, ἤγουν εἰς ἔρωτα ἑαυτῆς ἐκίνησε τὸν θεὸν, καὶ ἐκράτησα ἐκεῖνον τῇ Μούσῃ.

Κρατῶ, ἔχω, ἀνέχω, ἴσχω.

Κρατῶ τὸ φέρω, αἰτιατικῇ. κρατῶ δὲ τὸ ἐξουσιάζω, γενικῇ.

Κρατόδετον, σφενδόνην δεδεμένην. τὰ γὰρ ἄκρα τῆς σφενδόνης κεφαλὰς ἐκάλουν.

Κράτων τυπτομένων, ὅ ἐστι κεφαλῶν. σεσημείωται καθὰ καὶ τὸ πάντων, καὶ δάδων, καὶ τὰ τοιαῦτα, ὡς βαρυνόμενόν φασιν οἱ παλαιοὶ, ὅτι ἐκ τῆς κράας κράτος γενικῆς ἐκλίθη, ὅθεν τῷ σῷ κράατι τίσεις ἀφ' οὗ γενικὴ πληθυντικὴ, κραάτων, καὶ κατὰ συναίρεσιν κράτων.

Κραυαλίδαι, ἢ κραυγαλίδαι, ἡ ἐν Φωκεῦσι πλησίον Κίρρας χώρα.

Κραύγαρ, ὁ ἰσχυρός.

Κραυγὴ, βοὴ, ἢ νόσημά τι παιδίοις ἐπιφερόμενον, ὃ καταβλάπτει τοῖς παιδίοις. καὶ γὰρ ἡ κραῦξ ἐριφιαρίς ἐστιν, ἡ λεγομένη βασκανία.

Κραυ-

Κραυγάζει, βοᾷ, καλεῖ.

Κραυγίας ἵππος, ὁ ὑπὸ κραυγῆς καὶ ψόφου ταρασσόμενος.

Κραυγὸς, δρυοκολάπτου εἶδος.

Κραυγὸν, ποιὸς ὄρνις.

Κραυγὴ σοδόμων, ἡ μυσαρωτάτη καὶ δυσώδης. αὕτη παρὰ φύσιν ἁμαρτία, ὑπὸ σοδομιτῶν διαπραττομένη. ὥσπερ τὶς φωνὴ ἀνερχομένη καὶ βοῶσα τὸ μέγεθος τῆς ἀσεβείας, εἰς τὰ ὦτα κυρίου σαβαώθ.

Κραυγὴ, ἐπὶ τῶν εὐχομένων, ἡ μετὰ προθυμίας καὶ σπουδαίας διανοίας ἱκετεία.

Κραυγότερον, ξηρότερον.

Κραῦρα, νόσος περὶ τὰς ὗς γινομένη. τρία δέ ἐστι πάθη, βράγχη, κραῦρα, διάρροια, καὶ ἔστιν ἐν τῷ διάρροια.

Κραῦρον, ξηρὸν, καπυρὸν, εὔθραυστον.

Κραυροὰ, νόσος μελισσῶν, ὅταν σκώληκας καὶ ἀράχνας ποιήσῃ.

Κραῦσον, τὸ πῦρ.

Κράφα, ᾧ οἱ κηπουροὶ τοὺς βόλους ἀπάγουσιν.

Κρεαπορνίδια, καταχρηστικῶς εἶπεν Ἀριστοφάνης ἐπὶ ὀρνέων. καὶ κρεάγρα, εἶδος ἐργαλείου μαγειρικοῦ χειρὶ παρεοικὸς, μόνον ἐγκεκαμμένον τοὺς δακτύλους, ἀνιμῶσα τὰ ζεστὰ διὰ τὸ τὰς χεῖρας καίεσθαι. κρεάγρα δὲ εἴρηται, ἀπὸ τοῦ τὰ κρέατα ἐπὶ τοῖς λέβησιν ἀγρεύειν καὶ ἀνασπᾶν.

Κρέας, τὰ εἰς ας οὐδέτερα, εἰ μὲν ἔχουσι πρὸ τοῦ ας φωνῆεν ἢ τὸ ρ, κλίνονται. εἰ δὲ ἔχουσιν ἄλλο σύμφωνον, οὐ κλίνονται.

Κρέας, παρὰ τὸ κραταιοῦν, καὶ ἰσχυροποιεῖν τὸ σῶμα.

Κρέας, καταχρηστικῶς ἐπὶ ὄρνιθος ἐχρήσατο. Ἀριστοφάνης ἐν νεφέλαις, κρεαπορνίθεια.

Κρεάνας, ἐλπίδας.

Κρέας καὶ τὸ σῶμα, οἱ Ἀττικοὶ ἔλεγον, καὶ τὸ διδόμενον τοῖς ἀρεοπαγίταις. ἡ γὰρ ἐξ Ἀρείου Πάγου βουλὴ, κρέας ἐλάμβανε.

Κρέασι, συμποσίοις.

Κρεββάτιον, παρὰ τὸ κρεμᾶν τὰς βάσεις.

Κρεγμῷ, τῇ κρούσει, ὑπὸ τοῦ κρούματος. κρέκειν γὰρ τὸ κρούειν.

Κρεῖον, τὸ κρεοδόχον ἀγγεῖον, οἱ πλείους τῶν παλαιῶν φασίν. Εὐφορίων δὲ, κρεῖον τὸ κρέας νοεῖ, ὥς φησιν Ἀπίων καὶ Ἡρόδωρος, διὰ τὸ τὸν Ποιητὴν μηδαμοῦ μεμνῆσθαι κρεῶν ἑφθῶν ἐν ἀγγείῳ, ἀλλὰ μόνον ὀπτῶν. καὶ συντελεῖ πρὸς τοῦτο καὶ τὸ ἐν πυρὸς αὐγῇ. οὐ γὰρ ἐξ ἀνάγκης πυρὸς αὐγὴ, καὶ αὐτὸ τὸ πῦρ περὶ ὃ αἱ χύτραι τίθενται τῶν ἑφθῶν, ἀλλὰ τὸ ἐγγὺς τοῦ πυρὸς, ἔνθα ἐστὶν ὀπτᾶσθαί τι. Παυσανίας δὲ καινοῦ παραδίδωσι τὸ κρεῖον, ἢ ἄλλο τι ἐφ' ὃ τὰ κρέα κόπτεται. ὥσπερ ἀπὸ τοῦ κρέας τὸ κρεῖον, οὕτω καὶ ἡ κρεάγρα, καὶ ὁ κρεανόμος. τὴν δὲ κρεάγραν, καὶ ἅρπαγα καὶ λύκον ὁ Παυσανίας καλεῖσθαί φησι.

Κρείουσα, σημαίνει τὸ βασιλεύουσα, ἐκ τῆς κρατείουσα μετοχῆς κατὰ συγκοπὴν κρείουσα.

Κρείσσων γὰρ βασιλεὺς παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐπικρατέστερος. καὶ κρείσσων τε γένηται, περίφρασις τοῦ νικήσῃ, ὁμοίως παρ' Ὁμήρῳ. ἰστέον, ὅτι τὰ εἰς ων συγκριτικὰ τῇ ει διφθόγγῳ παραλήγεται, οἷον χερείων, ἀρείων, μείζων, πλὴν τοῦ καλλίων, βελτίων, αἰσχίων, ἡδίων, τῶν ι παραληγομένων. κλίνεται δὲ ἅπαντα διὰ τοῦ ο μικροῦ, οἷον βελτίων βελτίονος.

Κρείσσων, ὁ βελτίων, ὡς ἀπὸ τοῦ ταχὺς γίνεται ταχείων, καὶ ὁ τρίτος τύπος θάσσων, οὕτω καὶ παρὰ τὸ κρατὺς, γίνεται κρατίων, καὶ ὁ τρίτος τύπος κράσσων, καὶ τροπῇ τοῦ α εἰς ε κρέσσων, καὶ πλεονασμῷ τοῦ ι κρείσσων. οὐδέποτε γὰρ πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγον, οἷον φρίσσω, ἀΐσσω, πλὴν τοῦ κρείσσων, καὶ κρέων, παρ' Εὐριπίδῃ, ὅθεν καὶ τὰ κύρια, ὁ κρέων καὶ ἀνακρέων. παρ' Ὁμήρῳ σύνθετον εὐρυκρείων λέγεται, ὃ δηλοῖ πολλῶν ἄρχων.

Κρείττονας, τοὺς Ἥρωας οὕτω λέγουσι. δοκοῦσι δὲ κακότυχοί τινες εἶναι, διὰ τοῦτο καὶ οἱ παριόντες τὰ ἡρῷα σιγὴν ἔχουσι, μή τι βλαβῶσι. καὶ οἱ Θεοὶ δὲ, Αἰσχύλος αἰτνῇ.

Κρειττόνων, ἀρετῶν.

Κρείττων ἡδονῆς, ὁ τὴν ἡδονὴν νικῶν, ἥττων δὲ ἡδονῆς, ὁ ὑπ' αὐτῆς ἡττώμενος. οὕτω καὶ κρείττων τοῦ χρυσοῦ ὁ ἄνθρωπος καὶ ἔρωτος, καὶ ἥττων χρυσοῦ καὶ ἔρωτος. καὶ κρείττων δὲ, ἀεὶ ἐπὶ σώματος λέγεται, ἀντὶ τοῦ ἐπικρατέστερος. οἷον τὸ στράτευμα τῶν Λακεδαιμονίων κρεῖττον τοῦ τῶν Ἀθηναίων ἐγένετο, ἀντὶ τοῦ ἐπικρατέστερον καὶ ἰσχυρότερον.

Κρειῶν, ἀντὶ τοῦ κρεῶν πλεονασμῷ τοῦ ι.

Κρείων, ὁ βασιλεὺς, ἁπλοῦν εὕρηται.

Κρέκα, τὴν τρίχα. πορφυρέην ἤμησε κρέκα, ἀντὶ τοῦ ἔκοψε.

* Κρέκην, Γαληνὸς παρ' Ἱπποκράτει, τὸν μισητὸν ἦχον.

Κρέκειν, καὶ κρεκόντων, κρουόντων, τὴν κιθάραν ἐγγιζόντων.

Κρέκανται, κερκύζονται.

Κρέκελος, θρῆνος.

Κρέκουσα ὡς αὐλὸς, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ λαλοῦσα. κυρίως δὲ, τὸ τὴν κιθάραν κρούειν. κρέκοντες, ἠχοῦντες. Ἀριστοφάνης, πτεροῦσι κρέκοντες.

Κρέκω, τὸ ἠχῶ.

Κρὲμ, ἄρχων Βουλγάρων, καὶ ἔστιν ἐν τῷ Βούλγαροι.

Κρεμάθρα λέγεται παρὰ τῷ Ἀριστοφάνει, διὰ τὸ μετέωρον εἶναι αὐτὴν κρεμωμένην. ἔστι δὲ σκεῦος εἰς ὃ τὰ περιττεύοντα ὄψα εἰώθαμεν ἀποτίθεσθαι. ἄλλως, παρεγκύκλημα. δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην ἐπὶ κρεμαστῆς καθήμενον. κρεμαστὴ δὲ λέγεται, διὰ τὸ οὕτως αὐτὴν ἀεὶ μετέωρον εἶναι κρεμαμένην.

Κρεμάσω, μέλλων. οὐκ ἀπὸ τοῦ κρεμῶ, ἀλλὰ ἀπὸ τοῦ κρεμάζω, καὶ ἀποβολῇ τοῦ σ κρεμάω, καὶ κράσει κρεμῶ, καὶ μετάγεται εἰς ἐνεστῶτα, οὕτως ἀγοράζω, μέλλων ἀγοράσω ἀγοράω ἀγορῶ. ταῦτα δὲ κλίνεται μέχρι παρατατικοῦ.

Κρεμάω, κρεμάσω, κρεμάσαι τὴν ἀσπίδα, ἀντὶ τοῦ εἰρηνεῦσαι. ἐν γὰρ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες.

Κρεμβαλιάζειν, κογχύλια καὶ ὀστᾶ ἅμα συγκροτοῦντας ἔρυθμόν τινα ἦχον ἀποτελεῖν ταῖς ὀρχομένοις.

Κρέμβολα, ἐφ' οἷς τὰς κρόκας ἐντυλίσσουσιν αἱ γυναῖκες.

Κρέμμυον, τὸ κρόμμυον.

Κρεμόω, πλεονασμὸν ἔχει τοῦ ο τῆς παραληγούσης. εἴληπται δὲ, ἀντὶ μέλλοντος τοῦ κρεμάσω.

Κρεμῶ, αἰωρῶ, περιάπτω, ἐξάπτω, ἀρτῶ, ἀναδοῦμαι.

Κρεμῶσε τοῦ ποδὸς, καὶ κρεμόω, ἀπὸ τοῦ κρεμῶ κρεμᾶς ποιητικῷ πλεονασμῷ τοῦ ο.

Κρὲξ, ὀρνεόν ἐστι θαλάσσιον Ἴβιδι ἐοικός. Ἶβις δέ ἐστι περὶ Αἴγυπτον ῥυπαροφάγον.

Κρὲξ, εἶδος ὀρνέου, ὀξὺ πάνυ τὸ ῥύγχος καὶ πριονώδες ἔχον. Ἄλλως.

Κρὲξ, κορυφαία, καὶ ὀρνεόν τι, ὃ τοῖς γαμοῦσιν οἰωνίζεται. τάσσεται δὲ καὶ ἐπὶ στοχοῦ.

Κρεωδαισία, ὁ μερισμὸς τῶν κρεῶν.

Κρεωδόχον, τὸ δεχόμενον τὰ κρέα ἀγγεῖον.

Κρεωδοσία. κρεωδαισία δὲ, ἡ κρεωφαγία, μέγα καὶ δίφθογγον.

Κρεώδης ἱερουργία, ἡ διὰ κρεῶν θυσία.

Κρέων, λέγεται καὶ κρείων. ὅθεν πόντου κρέων, ὁ Ποσειδῶν παρ' Εὐριπίδῃ. καὶ κρέων δὲ κύριον, ὡς καὶ ὁ ἀνακρέων εὐγενῶς ἐντεῦθεν τοῦ ὀνόματος.

Κρεῶν ὤπτησεν, Ἀττικῶς ἐστι λεχθὲν παρ' Ὁμήρῳ.

Κρέως, Ἀττικοὶ οὐ κρέατος.

Κρεώφυλος ὁ σάμιος ξενίᾳ ποτὲ δεξάμενος τὸν Ὅμηρον, ἔλαβε δῶρον ἐξ αὐτοῦ τὴν ἐπιγραφὴν τοῦ ποιήματος, ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν. τοῦτ' ἔστιν, ἔσχεν εἰς ἀντίδοσιν ἐξ Ὁμήρου τὸ μὴ ἐπιγράψαι τὸ βιβλίον ἑαυτῷ, ἀλλὰ τῷ φίλῳ Κρεωφύλῳ, οἷον ὅτι Κρεωφύλου σαμίου Οἰχαλίας ἅλωσις. τινὲς δὲ ἀνάπαλίν φασι, Κρεώφυλον μὲν γράψαι, Ὁμήρῳ δὲ ἐπιγραφῆναι τὸ βιβλίον διὰ τὴν ξενίαν. διὸ καὶ Καλλίμαχος ὑποδηλῶν, ὅτι ὁ Κρεώφυλος Ὁμήρῳ ἐπωνομάσας τὸ ποίημα, οὐκ αὐτὸν τὸν Ὅμηρον, ἀλλ' ἑαυτὸν ἐσέμνυνεν, ὡς δῆθεν ὁμηρίζοντα, γράφει ἐν ἐπιγράμματι οὕτως. τοῦ σαμίου πόνος εἰμὶ, δόμῳ ποτὲ θεῖον Ὅμηρον δεξαμένου. ὁμήρειον δὲ καλεῦμαι γράμμα Κρεωφύλῳ. Ζεῦ φίλε, τοῦτο μέγα. τινὲς δὲ διδάσκαλον Ὁμήρου τὸν Κρεώφυλον εἶπον, ἕτεροι Ἀριστεῖον τὸν προκοννήσιον, ὡς ὁ Γεωγράφος ἱστορεῖ.

Κρήγυον, ἀληθὲς, θυμῆρες, ἀγαθὸν, ὑγιὲς, οὐδέ ποτέ μοι τὸ κρήγυον εἶπες. παρὰ τὸ κῆρ καὶ τὸ ἡδὺ γέγονε κηρήδυον, καὶ κατὰ συγκοπὴν κρήδυον, καὶ τροπῇ τοῦ δ εἰς γ κρήγυον, τὸ τὴν ψυχὴν ἡδῦνον.

Κρήδεμνα τροίης, τὰ ἄνω τείχους, ὡς καὶ πίθου κρήδεμνον ἐν Ὀδυσσείᾳ, τὸ ἐπικείμενον πῶμα, τοιαύτης δέ τινος σημασίας καὶ τὸ κάρηνα, ἐν τῷ πολίων κατέλυσε κάρηνα, προσφυέστερον μέντοι κρηδέμνοις τροπικῶς λύεσθαι, καθότι καὶ ἀντίκειται τὸ λύειν, ὥσπερ τὸ δεσμεῖν, οὕτω καὶ τῷ δέσματι. ἐξ οὗ σύγκειται τὸ κρήδεμνον. λύεται δὲ τεῖχος ἐκ τοῦ κατὰ τὴν οἰκοδομίαν, δηλαδὴ δεσμοῦ εἰπεῖν καὶ δέματος, ἐξ οὗ καὶ τὸ δέμειν, ὅθεν ὁ δόμος, καὶ τὰ ἐξ αὐτοῦ. καὶ κρήδεμνα λιπαρὰ παρ' Ὁμήρῳ, λιπαρὰ κατὰ τοὺς παλαιοὺς τὰ ἔκδηλα καὶ λαμπρά. κρήδεμνα δὲ μεταφορικῶς καὶ τὰς τῶν πύργων στεφάνας τὰς καὶ λοιπὰς ἐξοχάς.

Κρήδεμνόν ἐστι, κεφαλῆς δεσμὸς, ἢ δέμνιον. λέγεται δὲ πρὸς καὶ κεφαλῆς ἐπίκρανον τραγικώτερον. ὡς καὶ πίθου κρήδεμνον, τὸ περὶ αὐτὸν πῶμα. ἡ δὲ τραγῳδία καὶ τειχέων λέγει κρήδεμνα, τὰς περὶ αὐτὰ στεφάνας. τροπικὰ δὲ ταῦτα. πίθου τε γὰρ κεφαλὴν, ὥσπερ καὶ χείλη, τὰ ἐκείνου ἄνω καὶ ἄκρα. καὶ τείχους δὲ ὁμοίως, οὕτω δὲ καὶ γυναικὸς, διὸ προσαρμόττει τούτοις, ἡ τοῦ κρηδέμνου λέξις. τῷ δέ γε τείχει, καὶ αἱ στεφάναι, ὡς οἱ στέφανοι τῇ γυναικί. Ἄλλως.

Κρήδεμνον, κεφαλῆς ἤ φασιν κάλυμμα παρειμένον μέχρι τῶν ὤμων, κατὰ τὸ λεγόμενον πέτασον, παρὰ τὸ κάρη καὶ τὸ δέρμα πλεονασμῷ τοῦ ν. καὶ ὁ κεκρύφαλος δέ φασι, κεφαλῆς ἤ δετὸς κόσμος.

Κρῆναι, ἤγουν ἀποτελέσαι, ἀπὸ τοῦ κραίνω κρανῶ ἔκρανα, τὸ ἀπαρέμφατον κρᾶναι καὶ κρῆναι, καὶ πλεονασμῷ τοῦ η κρηῆναι.

Κρήηνον, κραίνω κρανῶ ἔκρηνα, τὸ προστακτικὸν κρῆνον, καὶ πλεονασμῷ τοῦ η κρήηνον, ἀντὶ τοῦ τελείωσον.

Κρῆθεν παρ' Ὁμήρῳ, ἀντὶ τοῦ καρῆθεν καὶ ἐκ κεφαλῆς. νοοῦσιν ἐνταῦθα μονοσυλλάβως τὸ κρῆς, οἱονεὶ κατακάρης, ὡς ἐκεῖθεν συγκοπέν, ἤγουν κατὰ κεφαλῆς. κεφαλὴ δὲ πόλεως, ἡ ἀκρόπολις, τοῦτο οἱ ὕστερόν φασι κατ' ἄκρας.

Κρηθεῖν, κακολογεῖν.

Κρηθεὺς, ὄνομα κύριον, καὶ κρηθηὶς, νύμφη.

Κρηθεὺς καὶ Ἀθάμας ἀδελφοί. Κρηθέως, Αἴσων. Αἴσονος, Ἰάσων. Ἀθάμαντος δὲ, Φρίξος. Φρίξου δὲ, Ἄργος.

Κρηθμὸν, λάχανον.

Κρήϊα, ζῶδια.

Κρήϊνον, κεροθήκη.

Κρήϊον ἐπίκοπον, κρεοδόχον λέβητα.

Κρημνάμεναι νεφέλαι, ἀντὶ τοῦ κρεμάμεναι ἐκ τοῦ ἀέρος, οἷον ἐπικρεμάμεναι ἀλλήλαις καὶ ἐπιβαρούμεναι.

Κρυμνιβάτης, νευροβάτης.

Κρήμνη σεαυτὴν, ὡς ἀπὸ τοῦ ἵστημι, ὁ παρατατικὸς ἵστην ἵστης ἵστη, τὸ προστακτικὸν ἵστη, οὕτω καὶ ἀπὸ τοῦ κρημνῶ, γίνεται κρήμνημι, ὁ παρατατικὸς ἐκρήμνην ἐκρήμνης ἐκρήμνη, τὸ προστακτικὸν κρήμνη.

Κρήμνη, ἐκρήμνα, ἐκ τοῦ κρήμνημι κρημνίζω.

Κρημνοὶ, τὰ χείλη τῶν ἑλκῶν, καὶ τὰ πτερύγια τοῦ γυναικείου αἰδοίου, παρὰ τῷ Ἱπποκράτει, καὶ οἱ ἐξέχοντες τόποι.

Κρημνίζω, τὸ κατὰ κρημνῶν ὠθῶ.

Κρημνοκομπεῖν, κομπάζειν, ἀλαζονεύεσθαι, μεγάλας λέξεις ποιεῖν.

Κρημνὸς, παρὰ τὸ κρεμῶ κρεμὸς, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ πλεονασμῷ τοῦ ν κρημνὸς, ἢ παρὰ τὸ κάρα καὶ τὸ νεύω κάρανος καὶ κρημνὸς, ὁ ἐπὶ κάρα νεύων. κρημνὸς δὲ, ἡ κρηθὴ ἰῶτα. καὶ κρημνὸς, φάραγξ.

Κρηνάγκη, ἀρχὴ ἐπὶ τοῦ ἐπιμελείας.

Κρηναῖον ὕδωρ, καὶ κρήναιος τόπος.

Κρήνη, πηγὴ, ἐκροὴ ὕδατος.

Κρη-

Digitized by Google

Κρωίας, τοὺς κεφαλῆνάς τινες.

Κρωιῶν, καρηβαρῶν.

Κρωοφύλαξ, ὁ τὴν κρωὴν φυλάσσων.

Κρηπιδούμενος, ἀντὶ τοῦ ὑποδούμενος τὰς κρηπίδας.

Κρηπὶς, θεμέλιον, ὑποβάθρα, καὶ εἶδος ὑποδήματος.

Κρῆς, δωρικῶς τὸ κρέας.

Κρῆσαι κεράσαι, ἐπιχέαι.

Κρησίαι, καλλίονες.

* Κρησέρα, ἡ τοῦ ἀλεύρου πτίσις, ἢ ἀλευρώτησις ὀνομαζομένη, μάρσιππος δέ τις ἐστὶν αὕτη λινοῦς. Γαληνός.

Κρησέραν, τὸ περιβόλαιον Ἀριστοφάνης λέγει. κατὰ δέ τινας, δηλοῖ τὸ πῶμα. κυρίως δέ ἐστιν ἐπιβόλαιόν τι τῆς κεφαλῆς ποιόν. ἔνιοι δὲ, περιτραχήλιον ποιὸν εἶναί φασι, κακῶς. ἡ γὰρ λέξις ἀπὸ τοῦ κάρα ὠνόμασται. Ἄλλως.

Κρησέραν, τὸ περιβόλαιον τῶν κοφίνων, ἐστὶ δὲ διερρωγός. Ἀριστοφάνης, ἀλλ' οὐχὶ νωὶ κρησέραν προσαιτούμεθα. τοῦτο δὲ λέγει ὡς πρὸς γραῦν.

Κρησίπαιδα, ἐν σαμιακῇ θυσίᾳ ἡ λέξις φέρεται. δῆλον ὅτι, μέρη ἱερείων λέγεται.

Κρὴς, κρητικὸς, ἀπὸ Κρήτης.

Κρησφύγετα, τὰ πρὸς τῆς χειρὸς στεγνὰ καὶ ὀχυρώματα, σπήλαια, οἱ διαλανθάνοντες τόποι.

Κρησφύγετον, τὸ καταφύγιον.

Κρήτηθεν, ἀπὸ Κρήτης.

Κρῆτες, παρὰ τὸ ἐπὶ κρέασι βιοτεύειν. κυνηγετικοὶ γάρ. ὁ δὲ Ἀπολλόδωρος παρὰ τὸ εὖ κεκρᾶσθαι τὸν ἐπὶ τὴν νῆσον ἀέρα.

Κρήτη, νῆσος.

Κρητῆρα ἐλεύθερον λέγει, τὸν ἐν εἰρήνῃ, πεπαυμένου πολέμου.

Κρητὴρ, ὁ φάρυγξ, καὶ τὸ οἰνοχόον ἀγγεῖον.

Κρατῆρας, τοὺς κρατοῦντας.

Κρητήριον, ἐπίχυσις. κατακρῆσαι γὰρ, τὸ καταχέαι.

Κρητίζει, ψεύδεται.

Κρητικὸν, εἶδος χιτῶνος, ἢν δὲ ἱματίδιον λεπτὸν, καὶ βραχύ. τὰ γὰρ τοιαῦτα κρητικὰ ἔλεγον, καὶ γένος ὀρχήσεως.

Κρηφαγεῖν, κρέας ἐσθίειν. ἢ ἀπὸ τοῦ κρήμνου τοῦ σημαίνοντος τὸ παχὺ τοῦ ἀλεύρου. Δωριεῖς.

Κρῖ εἰπὼν ὁ Ποιητὴς ἐν τῇ υ τῆς Ἰλιάδος, πάντα ἐδήλωσε τὰ τιθέμενα ἐν ἀλωῇ ὥστε τρίβεσθαι, ἀπὸ μέρους τῆς κριθῆς καὶ τἄλλα δηλώσας, τίμιον γὰρ τοῖς παλαιοῖς ἡ κριθὴ, ὡς πρώτη εὑρεθεῖσα. καὶ διὰ τοῦτο ἀπ' αὐτῆς, ὡς ἐκ μέρους καὶ τἄλλα δηλοῦται σπέρμα. ὅθεν καὶ κρίβανος ὁ ἰπνὸς, ἐν ᾧ ἄρτοι ἁπλῶς ἕψονται, οὐ μὴ μόνον οἱ κρίθινοι. διὸ καὶ κριβανωτῶν ὁρμαθὸς, οὐ μόνον ἀπὸ κριθίνων ἀρτίσκων, ἀλλ' ὡς εἰκὸς καὶ ὁ ἐξ ἑτεροίων. ὅτι δὲ τὸ κρῖ, ἐκ τοῦ κρίμνον ἀποκέκοπται, οὐ μὴν ἀπὸ τῆς κριθῆς, δηλοῦσιν οἱ παλαιοὶ, παρ' οἷς κεῖται, καὶ ὅτι κριθὴ συνθέτως ἄφλοιος ἡ πτισάνη. ἐφ' ᾗ γρῖφος οὗτος κριθῆς ἀφλοίου, χυλὸν ὀργάσας τίς. τί δέ ἐστι τὸ ὀργάσαι, δηλοῦσιν οἱ τοῦ κωμικοῦ ὄρνιθες.

Κρῖ, ἡ ἀποκοπὴ τοῦ κριθὴ, Ἄλλως.

Κρῖ λευκὸν, ἀποκοπὴν ἔπαθεν οὐκ ἐκ τῆς κριθῆς. ἦν γὰρ ἂν θηλυκὸν καὶ αὐτὸ, καθὰ καὶ κριθὴ, ἀλλὰ ἐκ τοῦ κρῆμνον οὐδέτερον. λευκὸν δὲ αὐτὸ εἶπεν, ὡς μέν τινες οἴονται, πρὸς ἀντιδιαστολὴν μελαίνης τινὸς τὴν ἐπιφάνειαν κριθῆς, ὁποῖαι πολλαχοῦ γίνονται, μάλιστα δὲ πρὸς σύγκρισιν σίτου. ἐκεῖνος γὰρ οὐ τοιοῦτος. ἰστέον δὲ, ὅτι οὐχ οὕτω παρ' Ὁμήρῳ φαίνεται οὐδέτερον εἶναι τὸ κρῖ ἐκ τοῦ λευκὸν, ὡς ἐκ τοῦ εὐρυφυὲς, ὅπερ ἐν Ὀδυσσείᾳ, κρῖ μὲν λευκὸν κατὰ τὸν Τεχνικόν ἐστι, καὶ ἐν θηλυκῷ γένει νοῆσαι Ἀττικώτερον. οἷον κρῖ λευκὴν, κατὰ τὸ ἀρχὴν δωρητὸν οὐκ αἰτητὸν, καὶ κατὰ τὸ κλυτὸς Ἱπποδάμεια, καὶ ὅσα τοιαῦτα. κρῖ δὲ εὐρυφυὲς θηλυκῶς εἰπεῖν ἐσχηματίσθαι, οὐκ ἂν ἐξεύρηταί τις.

Κριβάνας, πλακοῦντάς τινας.

Κρίβανον οὐδετέρως, οἱ Ἀττικοὶ λέγουσι κριβῶν βαῦνον. τουτέστι καμίνων, ὡς μαρτυρεῖ Φερεκράτης αὐτὶ τί ἐστιν ὡς ἂν ἑκάστῳ τὸ κρίβανον. οὕτω δὲ λέγεται οἱονεὶ κρίβανον, ἐν ᾧ αἱ κριθαὶ ὀπτῶνται. βαύνους δὲ ἔλεγον τὰς καμίνους. καὶ κριβανίτης, ἄρτος ἐν κριβάνῳ ὀπτημένος. τὴν δὲ τῶν ἄρτων ἐν κριβάνῳ ὄπτησιν, ἄννος Αἰγύπτιος ἐπενόησεν. ὅθεν καὶ παροιμία, ἄννος κρίβανον, ἐπὶ τῶν καινόν τι ἐφευρηκότων.

Κριβανωτῶν ὁρμαθῷ, παρὰ τῷ Ἀριστοφάνει. ἀντὶ τοῦ ἄρτων δέσμῃ ἐν κριβάνῳ ὠπτημένων, δέον εἰπεῖν στεφάνῳ. κρίβανος παρὰ τὸ κρῖ καὶ τὸ βαῦνος. γράφεται δὲ καὶ ἐκ κριβανωτῶν ὁρμαθῷ.

Κρίγδανον, πέλτη, ἀσπίς.

Κρίγη, ἡ γλαῦξ. οἱ δαίμονες, εἴδωλα.

Κριγμὸς, ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος.

Κρίδιον, ὁ μικρὸς κριός.

Κρίες, ἡ χελιδών.

Κρίζει, ὀξὺ αὐλεῖ.

Κρίζειν, κεκραγέναι.

Κριζὸν, ἐπίλεκτον, διάφορον.

Κρίζαος, ψώρα, κρίζα.

Κριθαὶ, εἰ δέ που κατ' ἐξαίρετον λέγονται, ἡρωϊκῆς ἐκεῖναι ἱπποτροφίας εἰσὶν, ἡ δὲ χρῆσις παρὰ τῷ Κωμικῷ.

Κριθαὶ ἀχίλλειαι λέγονται, ὁποίας ἤσθιον οἱ Ἀχιλλέως ἵπποι. ὥσπερ δὴ καὶ σπόγγος ἀχίλλειος, λεπτότατός φασι, καὶ πυκνότατος, καὶ ἰσχυρότατος. ὃν ὑπὸ τὰ κράνη καὶ τὰς κνημίδας τιθέασιν, ὃς καὶ ἧττον πληγεὶς ποιεῖ φασι ψόφον. σπανιώτατοι δὲ οἱ τοιοῦτοι γίνονται. λέγεται δὲ καὶ ἐν Μιλήτῳ κρήνην εἶναι, ἥτις ἀχιλλείος ἐκαλεῖτο, ἧς τὸ μὲν ῥεῦμα, γλυκύτατον, τὸ δὲ ἐφεστηκὸς, ἁλμυρόν. ἀφ' ἧς καὶ περιῤῥάνασθαί φασι τὸν Ἥρωα οἱ Λήσιοι, ὅτε ἀπέκτεινε Τράμβολον τῶν Λελέγων βασιλέα, οὗ μνεία καὶ ἐν τοῖς κατὰ τὸν Λυκόφρονα. καὶ ἐν τῇ νήσῳ Τήῳ κρήνη λέγεται εἶναι, ἧς τῷ ὕδατι οἶνος οὐ μίσγεται.

Κρίθα, κρίθινον, καὶ ἵππου ἀῤῥώστημα.

Κριθήσονται, ἀντὶ τοῦ κατακριθήσονται.

Κριθὴ, παρὰ τὸ προκριθῆναι τῶν ἀκροδρύων, ἀκρόδρυα γὰρ ἤσθιον πρὸ τῶν καρπῶν. ἢ παρὰ τὸ διακρίνεσθαι τῆς ἄχνης, ἤγουν διαχωρίζεσθαι. κρίνει ἐπειγομένων ἀνέμων.

Κριθὴ, τὸ τῶν ἀνδρῶν αἰδοῖον. τὸ δὲ γυναικεῖον, μύρτον καὶ κριθίδιον ὑποκοριστικῶς.

Κριθὴ, πυρὸν, ἢ τὸ τοῦ ἀνδρὸς μόριον, ἢ ὀφθαλμῶν ἐπανάστασις παρὰ ἰατροῖς.

Κριθίασίς ἐστι, νόσημά τι ἵππων, καὶ ὑπεραίμωσις ὑπὸ πλησμονῆς.

Κριθόγιτον, ἀπόβριμα κριθῆς.

Κριθόκανον, σπέρμα μελανθίῳ ὅμοιον.

Κριθοφυλακία, ἀρχὴ ἐπὶ τῆς ἐξαγωγῆς τῆς κριθῆς, ἢ σίτου.

Κρίθον, ἐπώνυμον ἀνδροκιδάλου.

Κριθοτράγων, κριθοφάγων.

Κρίκε, συνεχέθη.

Κρίκε ζυγὸν παρὰ τῷ Ποιητῇ. ἀντὶ τοῦ τρίζε κατὰ ὀνοματοποιίαν. διὸ καὶ τρίγε, τινὲς αὐτὸ ἔγραψαν, ὡς δεύτερον ἀόριστον. δῆλον δὲ ὅτι κἀνταῦθα οὐδετέρως ἔφη τὸ ζυγὸν, κατὰ συνήθη γένους μεταπλασμόν.

Κρίκα, κρίκον.

Κρικαδιᾷν, τὸ ἐναλλάξαι τοὺς δακτύλους, ὥσπερ κρυβούς.

Κρίκεν, σημαίνει τὸ ἤχησεν, ἐψόφησε, ποιὸν ἦχον ἀπετέλεσεν, ἀπὸ τοῦ κρίζω ἀόριστος ἡμαρτημένος. ὤφειλεν γὰρ εἶναι, κρίγεν, ἢ μιμητικῶς ἐστιν εἰρημένον.

Κρίκος, τὸ κρικέλιον, παρὰ τὸ κλείω, ἀποβολῇ τοῦ ε κλίκος, ὁ πάντοθεν περικεκλεισμένος, καὶ κρίκος τοῦ λ εἰς ρ τραπέντος. ἐστὶ δὲ κίρκος, καὶ ἐν ὑπερθέσει κρίκος, ὡς κραδία καρδία.

Κρίκος, ἐξ ὀνοματοποιίας παρῆκται καὶ αὐτὸς, καθὰ καὶ ὁ κίρκος ὄρνις. τουτέστιν, ἐκ τοῦ κρίζειν, οὗ χρῆσις παρὰ Μενάνδρῳ. οἷον, ἀλλὰ καὶ χαμαιτύπη κρίζει τις, ὅ ἐστι ποιόν τινα ἦχον ἀποτελεῖ. ἐξ οὗ καὶ δεύτερος ἀόριστος κρίγε, καθ' ὁμοιότητα τοῦ ἤρυγε, καὶ τῶν ὁμοίων.

Κρίμα, τὸ κατάκριμα, ἢ ἡ καταδίκη, ὡς τὸ εἰς κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. κρίμα, τὸ δίκαιον. ὡς τὸ κρίμα δίκαιον κρίνετε, καὶ οἱ ἐξητασμένοι τοῦ θεοῦ λόγοι.

Κρίματα, αἱ οἰκονομίαι, ψῆφοι, δίκαι.

Κρίμα ἐστὶ, τὸ κριθέν. τουτέστιν, ἐκλεχθὲν ὑπὸ πολλῶν βεβαίως.

Κριμισὸς, ὄνομα ποταμοῦ.

Κριμνῆστις, πλακοῦντος εἶδος.

Κριμνοὺς, λευκάς τινας βοτάνας.

* Κρίμνα καλεῖται τὰ τοῖς ἀλφίτοις ἐμφερόμενα τῆς πεφρυγμένης κριθῆς μόρια μεγάλα, διαπεφευγότα δηλονότι τὴν ἐν τῇ μύλῃ κατεργασίαν ἀκριβῆ.

Κρίμνος, ἡ κριθή.

Κρίμνον, τὸ παχὺ τοῦ ἀλεύρου.

Κριμνώδη, Ἀριστοφάνης ἀντὶ τοῦ παχεῖαν σύστασιν ἔχοντα, παρὰ τοὺς κρίμνους. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. κρίμνος γὰρ εἶδος ἀλεύρου.

Κρίνα, ἄνθη καλλίπνοα, εὐωδιάζοντα, ἢ μάζα. ἄμεινον δὲ θυμιάματα, ἢ τὸ μέλι φυρατὸν, ἡδὺ τὸ λευκόν.

Κρῖναι, τάξαι, χωρίσαι, δοκιμάσαι, δικάσαι, ἐπιλέξασθαι.

Κρῖναι, καὶ λέξασθαι, ταυτόν. ἀφ' ὧν τοῦ μὲν ὁ ἔκκριτος, τοῦ δὲ οἱ παρ' Εὐριπίδῃ λεκτοὶ νεανίαι, καὶ ὁ ἐπίλεκτος καὶ ὁ λογὰς, καὶ ἐπιλογάδην ἐπίῤῥημα.

Κρινάμενος, ἐπιλεξάμενος.

Κρίνει καρπὸν καὶ ἄχνας, ἀντὶ τοῦ διαχωρίζει. κατὰ τὸ κρῖνε ἄνδρας κατὰ φῦλα παρ' Ὁμήρῳ.

Κρίνειν, τὸ ἐξετάζειν, καὶ δοκιμάζειν, καὶ βασανίζειν. καὶ ἀνακρίνειν Ἀττικῶς, ὡς τὸ, ἀνερωτᾶν, καὶ ἀναπυνθάνεσθαι. προσκειμένης τῆς ἀπὸ, ἢ τῆς ἐξ, ἢ τῆς διὰ προθέσεως, σημαίνει τὸ χωρίζειν, καὶ ἐκλέγειν. μετὰ δὲ τῆς ἐν, δηλοῖ τὸ ἐναριθμεῖν καὶ ἐντάττειν, καὶ ἐγκαταλέγειν. μετὰ δὲ τῆς σὺν, τὸ παραβάλλειν, καὶ παρεξετάζειν, καὶ παραθεωρεῖν. μετὰ δὲ τῆς πρὸ, τὸ προτιθέναι, καὶ προτιμᾶν.

Κρῖνε, ἀντὶ τοῦ χώριζε, ἢ δίκαζε.

Κρίνειν, οὐ μόνον ἐπὶ τοῦ δικάζειν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁπλῶς χωρίζειν καὶ ἐπιλέγεσθαι. ὅθεν ἔκκριτοι.

Κρῖνε ἄνδρας κατὰ φῦλα, καὶ κατὰ φρήτρας. ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις. τουτέστι, μὴ συγκεχυμένως ἔα τοὺς Ἕλληνας μάχεσθαι, ἀλλὰ πρῶτον μὲν κατὰ φῦλα τούτους δίελε, ὅ ἐστι κατὰ ἔθνη. οἷον Κρῆτες, ἰδία, ἐν μέρει τοὺς Ἀθηναίους. ἑτέρωθι τοὺς Σαλαμινίους, καὶ τοὺς ἄλλους ὁμοίως. εἶτα δὴ αὖθις αὐτὰ τὰ φῦλα κρῖνε, τουτέστι διαχώριζε κατὰ φρήτρας, ἢ κατά τινα τμήματα φυλετικὰ καὶ συγγενικά. φρήτρη γάρ φασί ἐστιν, ἡ τριττύς. ἤγουν τρίτον τῆς φυλῆς. ἵνα μὴ μόνον τὰ ἑτερόφυλα φῦλα ἀλλήλοις ἀρήγοι.

Κρίνθη, διεκρίθη, ἐχωρίσθη.

Κρίνη, κνίδη.

Κρίνις, ἱερεὺς Ἀπόλλωνος.

Κρινομένους, ἀναιρομένους, ἀποθνήσκοντας.

Κρίνεσθαι μένος ἄρηός ἐστι, ὅτε σύμμιξις πολέμου γένηται. τότε γὰρ διακρίνεται τὸ τῶν μερῶν μένος. καίπως διακεκριμένως οἱ τοιοῦτοι μίγνυνται, τὴν ἀρχὴν μὲν συμπλεκόμενοι, τῷ δὲ τέλει τῆς μάχης διακρινόμενοι, ὅτε νίκη ἑτεραλκὴς γένηται.

Κρίνεσιν, ὡς ἀπὸ τοῦ κρίνου κατὰ μεταπλασμόν.

Κρίνονται ἄρηι, ἀντὶ τοῦ εἰς διάκρισιν σπεύδουσιν, ἵνα τοῦ μίγνυσθαι παύσωνται, κατὰ τὸ παύσαντο φιλόπιδος καρτερῆς. ἐκ τοῦ τοιούτου δὲ κρίνει, καὶ κριτής. δι' οὗ οἱ πρὸς Ἄρην ἀναμεμιγμένοι διακρίνονται, καὶ ἄλλως δὲ κρίνονταί τινες ἄρηι, ἀντὶ τοῦ μεμερισμένως, οἱ μὲν ἔνθεν, οἱ δὲ ἐκεῖθεν μάχονται. ὅθεν φησὶν Ὅμηρος μένος Ἄρηος δατέονται, ἤγουν μερίζουσι.

Κρίνον, τὸ ἄνθος ἀπὸ τῆς διακρίσεως, διὸ καὶ τὰ τῆς διακρίσεως λέγεται κρίνον ἀμάραντον, καὶ ταχὺ

Digitized by Google

χὺ διαπίπτων. διὸ καὶ ἡ κολόκυνθα κρῖνον λέγεται. καὶ τοὺς πτωχοὺς δὲ κρῖνα λέγουσιν. αὐτὴ δὲ ἡ κολόκυνθα μηδικόν ἐστιν ὄνομα.

Κρῖνον, τὸ ξηρόν. τάσσεται καὶ ἐπὶ πτωχοῦ, καὶ νεκροῦ, καὶ ἐκπεπτωκότος. καὶ σχῆμα χορικῆς ὀρχήσεως.

Κρίνω, καὶ μετὰ τῆς ὑπὸ, ὑποκρίνομαι. ὡς τὸ ἀναστὰς ὑπεκρινάμην τὸ ὄναρ· ἤγουν ὑπελογισάμην, καὶ ἔκρινα.

Κρίνω, καὶ διακρίνω τόδε. καὶ κρίνω μηδένα δεῖν ἐχθρὸν ἔχειν.

Κρίνω καὶ ἔκρινα μακρὸν, κρινῶ δὲ καὶ κέκρικα κέκριμαι. καὶ οἱ ἀπὸ τούτων χρόνοι βραχὺ ἔχουσι τὸ ῑ, καὶ τὰ ἀπ' αὐτῶν ὀνόματα, οἷον κρίσις κρίμα, καὶ ἐπὶ πάντων τῶν διὰ τοῦ ινῶ, ἡ αὐτὴ ἀκολουθία.

Κρίνω, κρινῶ, κέκρικα. πόσα εἰσὶ ῥήματα ἐπὶ τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων σεσημειωμένα, τὰ καταβάλλοντα τὸ ἀμετάβολον ν ἐπὶ τοῦ παρακειμένου; πέντε, τὸ κρίνω κρινῶ κέκρικα, κλίνω κλινῶ κέκλικα, πλύνω πλυνῶ πέπλυκα, τείνω τενῶ τέτακα, κερδαίνω κερδανῶ κεκέρδακα.

Κρινώμεθα ἄρηϊ, παρ' Ὁμήρῳ τῷδε συνεργῷ. κρίνεσθαι Ἄρηϊ, ἀντὶ τοῦ συνεῖναι καὶ ὁμοῦ εἶναι τῷ Ἄρει. καὶ ὡς ὑπ' αὐτῷ κριτῇ τὸ μάχιμον ἔργον μεταχειρίζεσθαι. ἢ καὶ ἄλλως τὸ κρινώμεθα, ἀντὶ τοῦ συγκρινώμεθα, ἀναμισγώμεθα, συγχεώμεθα, οὗ τὸ ἀνάπαλιν διακρίνεσθαί ἐστιν. ὡς καὶ τὸ ὅτε αἰπόλους φησὶ τὰ αἰπόλια διακρίνειν, καὶ ὡς νὺξ ἐλθοῦσα, διακρινέει μένος ἀνδρῶν.

Κρινωνιά, ὁ τῶν κρίνων λειμών. ὥσπερ Ῥοδωνιά, ὁ τῶν ῥόδων. καὶ Ἰωνιά, ὁ τῶν ἴων.

Κρίξαι, ἠχῆσαι, φωνῆσαι.

Κριοκοπεῖν, τὸ τοῖς κριοῖς τοῖς μηχανικοῖς πολιορκεῖν. ὡς τὸ, οἱ δὲ τοὺς πύργους κριοκοπεῖν ἐπεχείρησαν.

Κριὸν, ἀγγεῖον.

Κριόντων, βασιλευόντων.

Κριὸν Διονύσιος ἐν τοῖς Ἀργοναυτικοῖς φησὶ γεγονέναι τροφέα Φρίξου, ὃν αἰσθόμενον τῆς ἐπιβουλῆς Ἰνοῦς, ὑποθέσθαι τῷ Φρίξῳ τὴν φυγὴν ποιήσασθαι. ὅθεν καὶ μεμυθεῦσθαι ὡς ὑπὸ κριοῦ διασωθείη. Ἡρόδωρος δέ φησιν Ἀθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας, Σχοινέα, Ἐρύθριον, Λεύκωνα, Ποῖον, νεωτάτους δὲ Φρίξον καὶ Ἕλλην. οὓς διὰ τὴν Ἰνοῦς ἐπιβουλὴν ἐκχωρῆσαι, τελευτῆσαι δὲ τὴν Ἕλλην ἐν τῇ ἀποχωρήσει.

Κριὸς ὅτε ἐκόμιζε τὸν Φρίξον, ὅτι ἐλάλησε, καὶ Ἑκαταῖός φησιν. ἔνιοι δέ φασιν αὐτὸν ἐπὶ κριοπρώρου σκάφους πλεῦσαι. Διονύσιος δὲ ἐν δευτέρᾳ, κριόν φησι Φρίξου τροφέα γενέσθαι, καὶ συμπεπλευκέναι αὐτῷ εἰς Κόλχους. διὸ καὶ μεμυθεῦσθαι τὰ περὶ τῆς κριοῦ θυσίας αὐτόθι.

Κριὸς, δῆμος τῆς Ἀττικῆς. καὶ κριόθεν, ἐπίρρημα. ἢ κριῆθεν.

Κριὸς ἀσελγόκερως, τὸν μεγαλόκερων φησὶ Πλάτων ὁ κωμικός. τὸ γὰρ ἀσελγὲς, οὐ μόνον ἐπὶ τῶν ἀκολάστων ἐλάμβανον οἱ παλαιοὶ, ἀλλὰ καὶ ἐπὶ τῶν μεγάλων.

Κριὸς, ὁ τὸ κάρα ἱέμενος. ὡς ὁ κορύπτων ἤλαυνὼ ὀπίσω. καὶ ἐν ταῖς οἰνικαῖς ἀποστάσεσι, κριὸς καλεῖται τὸ κεράμιον τὸ πρῶτον, ᾧ τὰ λοιπὰ ἐπιτηρεῖται.

Κριὸς τροφεῖα ἀπέτισε, παροιμία ἐπὶ τῶν ἀχαρίστων. καὶ γὰρ τοὺς κριοὺς ἐκτραφέντας, φασὶ κορίττειν τοὺς θρεψαμένους, ὅ ἐστι πλήττειν.

Κριὸς ἐστὶ μὲν καὶ τὸ ζῶον, ἔστι δὲ καὶ ἐν τῷ οὐρανῷ ζῴδιον. ἔστι δὲ καὶ τὸ τειχομαχικὸν ὄργανον, οὕτω καλούμενον. κριὸς τροφεῖα ἀπέτισε, παροιμία ἐπὶ τῶν ἀχαρίστων, ἐπεὶ τὰς φάτνας οὗτοι πλήττουσι.

Κριοφάγος, θεός τις, ᾧ κριοὶ θύονται.

Κρίσα, ὄνομα πόλεως, καὶ ἰχθύος.

Κρισσαῖος κόλπος, κρισσαία δὲ θάλασσα.

Κρῖσσαν ζαθέην λέγει Ὅμηρος. ἐπεὶ Δημήτριόν φασι περὶ αὐτὴν ἐπιφανές. ἢ ὡς ἀνακειμένην Ἀπόλλωνι, ἐξ ἧς καὶ πεδίον κρισσαῖον, ᾧ κόλπος ἐκεῖ κρισσαῖος, ὁ δὲ αὐτὸς καὶ κιρραῖος, διὰ τὸ καὶ τὴν κρίσσαν διπλάζουσαν κατὰ τοὺς νεωτέρους τὸ σ, διὰ τὸ κίρραν λέγεσθαι. ὡς γὰρ πυρσὸς πυῤῥὸς, τροπῇ τοῦ ἑνὸς σ εἰς ρ καὶ πυρσηνὸς πυῤῥηνὸς, οὕτω καὶ κρισσαῖος κόλπος κιῤῥαῖος.

Κρίσαμις, Κῷος ἦν πολυθρέμματος. τούτῳ φασὶν ἔγχελυν ἐπιφαινομένην κατ' ἔτος τὸ κάλλιστον τῶν προβάτων ἁρπάζειν, καὶ τὴν κρίσαμιν ἀνελεῖν. φαινομένην δὲ αὐτῷ ὄναρ, κελεῦσαι καταθάψαι αὐτήν. τὸν δὲ μὴ φροντίσαντα, πανγενῇ ἀπολέσθαι.

Κρίσεως, δοκιμασίας, ἀκολουθίας.

Κρισίαι, τάξεις ἱππικαί.

Κρίσιν, ἀκολουθίαν.

Κρίσις, ὄρεξις διαγνωστικὴ τῶν ἐφ' ἡμῖν. κρίσις καὶ ἡ κόλασις, ὡς ἐν τῷ Εὐαγγελίῳ καὶ εἰς κρίσιν οὐκ ἔρχεται. τουτέστιν, οὐ κολάζεται.

Κρίσις, ἐξέτασις, ψῆφος, βάσανος.

Κρίσις ἐστὶν, ἀπόφασις ἢ πρόσταξις τοῦ Δεσπότου, ἕκαστον κατ' ἀξίαν ἀπολύουσα. ἐν ῥιπῇ γὰρ ὀφθαλμοῦ κατ' ἀξίαν ἕκαστος ἀπολήψεται, καὶ ἡ συνείδησις αὐτοῦ πρὸς τὸ μαρτυρῆσαι ἑτοίμη ἐστὶν, ὅτε δικαίως ἀπέλαβεν.

* Κρισμὸς, κριγμός. τρισμὸς ὀδόντων.

Κρισσὸς, ἡ ἐν ταῖς δρυσὶ γινομένη διάφυσις, ὅθεν ῥέει ὁ ἰξὸς, ἢ ἡ ἐν τοῖς ἄρθροις διάφυσις, σκληρὰ καὶ ὀξώδης.

Κρίσμιον, φυλακεῖον.

Κριστὴν, κριτήν.

Κρίστανος, τέρμινθος.

Κρίστας, ὀδόντας.

Κριτήριον, δοκιμαστήριον, δικαστήριον.

Κριτὸς, ἀπὸ τοῦ κρίνω τὸ χωρίζω, καὶ διακρίνω. ἔνθεν καὶ ἀκριτόμυθος. ὁ μὴ διακρίνων τὰ λεγόμενα.

Κριτικὸν, τὸ κρίσιμον.

Κριτικοί εἰσιν, οἱ κατὰ τὴν γραμματικὴν παράδοσιν εἰδότες κρίνειν τὰ ποιήματα.

Κριτικὸς ἐνθυμήσεων, διακρίνων λογισμούς.

Κριόθεν, ἀπὸ δήμου. ἔστι γὰρ ὁ κριωεὺς δῆμος φυλῆς τῆς Ἀντιοχίδος.

Κριτὸς, ὁ κατάκριτος, ὁ κρινόμενος καὶ πάσχων.

Κριωεὺς, δῆμος τῆς Ἀντιοχίδος, κριώα.

Κροαίνω, τοῖς ποσὶ κρούω, καὶ σκιρτῶ, καὶ κροτῶ, καὶ κτυπῶ.

Κρόβυζοι, ὄνομα ἔθνους Θρακικοῦ.

Κροβάντιον, πολίον.

Κρόβαλος, ὁ μαλλὸς τῶν παίδων, καὶ αἱ τρίχες τῶν αἰδοίων.

Κρόζει ὁ κόραξ, ἡ δὲ κορώνη κράζει.

Κροιὸς, νοσώδης, ἀσθενής.

Κροκάλη, ὁ αἰγιαλός.

Κρόκη, παρὰ τὸν κρούσω μέλλοντα, ἀποβολῇ τοῦ υ. κρόκη, ἢ τὸ κρούεσθαι, διόλου παρακολουθεῖ.

Κρόκαλα, λέγονται, αἱ ψῆφοι τῶν ποταμῶν, ἀπὸ τοῦ κροτεῖν καὶ ψοφεῖν.

Κρόκησι παρὰ Λυκόφρονι, κρόκοις αἰγιαλοῖς. κρόκη δὲ λέγεται ὁ αἰγιαλὸς, ἀπὸ τοῦ κέρω τὸ κόπτω. κερόκη, καὶ κρόκη, πρὸς ἣν θραύονται καὶ κλῶνται τὰ κύματα. κρόκαι καὶ αἱ ψάμμοι, καὶ οἱ αἰγιαλοὶ τῆς θαλάσσης.

Κρόκας, παρὰ τὸ ἐν κρυφῇ ἔχειν τὴν πορείαν, ὅ ἐστι τὴν αὔξησιν.

Κρόκη, πέμματος εἶδος, ἢ ῥοδάνη.

Κρόκαλον, τὸ πανοῦργον παιδίον.

Κροκόδειλος, παρὰ τὸ δειλὸς καὶ τὸ κρόκος γίνεται κροκόδειλος. καὶ γὰρ ὁ χερσαῖος κροκόδειλος φοβεῖται τὴν κρόκον. ὅθεν οἱ μελιττουργοὶ, ἐπειδὰν ἀνέρχεται καὶ ἐσθίει τὸ μέλι, ἐπιτιθέασιν ἔξω κρόκον, ὅνπερ ὁρῶν φεύγει. ὁ δὲ θαλάσσιος παρὰ τὸ δειλαίνεσθαι τὰς κρόκας, ὃ σημαίνει τοὺς αἰγιαλοὺς, οἱονεὶ ὁ περὶ τὴν γῆν δειλός. ὁ δὲ κροκόδειλος ζωΰφιόν ἐστι μικρόν. γράφεται καὶ κρεκόδειλος κατὰ ἀναλλαγὴν τῶν στοιχείων.

Κροκόπεπλον ἠῶ, τὴν πρωΐαν λέγει ὁ Ποιητής. διὰ τοῦ κρόκου, τὸ πολὺ μὲν τῆς νυκτὸς, ὀλίγον δὲ τοῦ φωτὸς αἰνίττεται. ἡ μέντοι ῥοδοδάκτυλος ἠὼς, ἤγουν πρωΐα, τὸ πλεῖον μὲν τῆς ἡμέρας, ἔλαττον δὲ τῆς νυκτὸς ὑποδηλοῖ. ὡς πάσης ἠοῦς προηγεῖσθαι μὲν τὴν κροκόπεπλον, μετὰ δ' αὐτὴν τὴν ῥοδοδάκτυλον. ἄλλως δὲ μυθικῶς καὶ κατὰ σῶμα κροκόπεπλον μὲν ἢ κρόκεον, ἤτοι κιῤῥὸν πέπλον φοροῦσα. ῥοδοδάκτυλος δὲ, ἧς οἱ δάκτυλοι ῥόδεοι. ὡς ῥόδοις ἐοικότες αἵματος φυσικοῦ χυμῷ καλῷ ἐρευθόμενοι. καθὰ καὶ ἡ Σαπφὼ τοὺς τῶν μυθικῶν Χαρίτων πήχεις γυμνοῦσα, ῥόδοις εἰκάζει, ὡς εἶναι αὐτὰς ῥοδοπήχεις. εἶεν δ' ἂν ἠοῦς δάκτυλοι κατὰ ἀλληγορίαν, αἱ τοῦ ἡλίου ἀκτῖνες, ὡς καὶ ἑκατόγχειρ ἀλληγορικῶς λέγεται. ὅπου δὲ χεῖρες, οὐκ ἀπεοικὸς ἐκεῖ καὶ δακτύλους τὴν ἀλληγορίαν προσφύειν.

* Κροκιδίζειν, ἢ κροκοδίζειν, κροκίδας ταῖς χερσὶν ἀπὸ τῶν ἱματίων ἀποτίλλειν. Ἱπποκράτης.

Κροκίδες, γνάφαλα.

Κρόκος, τὸ κροτὸν, καὶ ἀλεκτρυόνες οἱ τὸν τράχηλον τοιοῦτον ἔχοντες κρόκη.

Κροκόττας, ζῶόν τι τετράπουν αἰθιοπικόν.

Κροκύλεγμος, τὸ κολακευτικῶς τὰς κροκίδας ἀπολέγειν τῶν ἱματίων.

Κροκύλεια, καὶ ἑνικῶς εἴρηται τὸ κροκύλειον, νῆσος. ἐθνικὸν αὐτῆς, κροκυλεύς.

Κροκύλιον, κροκίδιον.

Κροκὺς, ἡ ἐχίδνιος βοτάνη.

Κροκύφαντος, ὅτι διὰ κρόκης ὑφαίνεται. οἱ δὲ Ἀττικοὶ κεκρύφαλον αὐτὸ καλοῦσιν, ὅτι κρύπτει τὸν φαλὸν, ὅ ἐστιν ἐξοχὴ τῆς κεφαλῆς.

Κροκώδης, τινὲς ὡς δυσλύτων ὄντων τῶν ἐκ τῆς κρόκης δεσμῶν. ἔνιοι δὲ, ὡς κρόκου φυομένου ἐκεῖ. τινὲς δὲ κρωκώδη, ἐκ κροσσῶν συνεστραμμένων.

Κροκώτιον, ὑποκοριστικῶς εἴρηται. ἔνδυμά ἐστι διονυσιακὸν ὁ κροκωτός. κεῖται δὲ καὶ ἀντὶ γυναικείου ἐνδύματος.

Κροκωτὸς, εἶδος χιτῶνος.

Κροκωτῷ. Ἀριστοφάνης, ἐπὶ κροκωτῷ, Διονυσιακὸν φόρεμα, κροκωτὴν ἐφόρει λεοντῆν. Ἡρακλέους γὰρ φόρεμα ἡ λεοντῆ. κροκωτὴν δὲ, ἵνα ᾖ φοβερὸς, ἢ κροκωτῷ γυναικείῳ ἐκ πλάνης ἐνδύματι.

Κρολίαζε, πλησίαζε θᾶττον.

Κρόμβος, ὁ κόνδυλος, καὶ ὁ καπυρός.

Κρομβότατον, καπυρώτατον, κατακεκονδυλωμένον.

Κρομμύαν, τὰ κρομμυοπώλια.

Κρομμυοξυρεγμίας, ἀπεψίας. δριμεῖα γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν κρομμύων καὶ τῆς ὀξύτητος καὶ τῆς ἐρυγῆς, συνέθηκε τὴν λέξιν Ἀριστοφάνης.

Κρομμύων ὀσφραίνομαι, παρὰ Ἀριστοφάνει, σημαίνει, τὸ δακρύειν ἀκουσίως τοὺς ὀσφραινομένους κρομμύων.

Κρόμμυον, παρὰ τὸ τὰς κόρας μύειν τῶν ἐσθιόντων αὐτό. δριμὺ γάρ ἐστι.

Κρόνια, παρὰ τοῖς Ἕλλησιν ἑορτή. τὰ παρὰ τοῖς Ῥωμαίοις καλούμενα σατουρνάλια, ἢ ἀπατέρια.

Κρονίδαρ, πολυετής.

Κρονίην ἄλα λέγουσι, τὸν Ἀδρίαν. ἐνταῦθα γὰρ τὸν Κρόνον κατῳκηκέναι φασί.

Κρονικαῖς γνώμαις, ἤγουν ἀρχαίαις μωρίαις. Ἀριστοφάνης, ἀλλ' ὦ κρονικαῖς γνώμαις. παροιμία ἐστὶν, ἐπὶ τῶν ἀμβλυωπούντων, ἥ τις εἴρηται καὶ ἐν νεφέλαις.

Κρονικαὶ λῆμαι, παροιμία. ὥσπερ τὸ χύτραις λημῶν καὶ κολοκύνταις, ἐπὶ τῶν ἀμβλυωπούντων.

Κρονικώτερα, ἀρχαιότερα, μωρότερα.

Κρόνιον, τὸ ὄμμα τοῦ Κρόνου.

Κρόνιον, ἀκρωτήριον τῆς Πίσης. περὶ γὰρ τὸν κρόνιον λόφον ἄγεται τὰ ὀλύμπια.

Κρόνιον, ἑορτὴν, ἢ παλαιάν.

Κρόνιππος, ὑβριστὴς, τρυφητὴς, πόρνος.

Κρόνιππος. ὁ μέγας λῆρος, κατ' ἐπίτασιν λαμβανομένου τοῦ ἵππου, παρὰ τῷ Ἀριστοφάνει.

Κρονίων ὄζων. Ἀριστοφάνης, καὶ πῶς ὦ μῶρε σὺ καὶ κρονίων ὄζων. τουτέστιν, ἀρχαϊσμοῦ γέμων καὶ μωρίας. ἤτοι ὅτι ἑορτή τις παλαιὰ ἤγετο τῷ Κρόνῳ, ἢ ὅτι τὰ παλαιὰ καὶ εὐήθη κρόνια ἐκάλουν, καὶ κρόνους τοὺς λήρους.

Κρονίων, ἐνίοτε μὲν μακρὸν ἔχει τὸ ι, ἐνίοτε δὲ βραχύ. ὅταν μὲν οὖν βραχὺ, διὰ τοῦ ω μεγάλου κλίνεται, ὡς Ἀρυτίωνος. ὅτε δὲ μακρὸν αὐτὸ ἔχει, διὰ τοῦ ο μικροῦ, ὡς μαχάονος.

Κρονίωνας, παλαιοὺς ἀνθρώπους.

Digitized by Google

Κρόνον μέγαν καλεῖ ὁ Ποιητὴς, διὰ τὸ τοῦ ἀστέρος μέγεθος.

Κρόνος, ὁ Κρόνος τῆς νοερᾶς ζωῆς ἐστι δοτὴρ κόρος ὢν τοῦ νοῦ. μᾶλλον δὲ κόρος νοῦς καὶ καθαρός. πάντες οὖν οἱ νοερῶς ζῶντες, κρονίαν ἔχουσι πολιτείαν. ὅθεν καὶ Βασιλεὺς αὐτῶν ὁ Κρόνος λέγεται. τὸν Κρόνον φασὶν ἐκ τοῦ κρᾶν καὶ κιρνᾶν ἕκαστα τῶν γενεθλιωμάτων, καὶ μίξωντα τὸ θῆλυ τῷ ἄρρενι. Χρύσιππος δέ φησι, καθύγρων ὄντων τῶν ὅλων, καὶ ὄμβρων καταφερομένων πολλῶν, τὴν ἔκκρισιν τούτων, κρόνον ὠνομάσθαι.

Κρόνους, ἀρχαίους λέγουσι, μωρούς, λήρους, ἀναισθήτους.

Κρόνου πηγὴ, τὸ ἀρχαῖον καὶ ἀναίσθητον κερέας, ἀπὸ τοῦ κρόνου.

Κροντᾷ, κατασήπεται.

Κροντίδαι, μάντεων γένος.

Κρὸξ, κρόκος.

Κρόπιον, ἀξίνη δίστομος, δρέπανον. τινὲς δὲ διὰ τοῦ β, κρόβιον.

Κρόβας πύργων, τὰς ἀναβαθμίδας τῶν τειχῶν.

Κρόσσαι, κατά τινας αἱ ἄκραι τῶν πύργων καὶ οἷον κόρσαι καὶ κεφαλαὶ, διὸ καὶ ἐξοχὰς αὐτὰς καλοῦσι, καὶ κεφαλίδας. μέμνηται δὲ αὐτῶν ὁ Ποιητὴς, ἐν τῷ κροσσάων ἐπέβαινον. Ἀρίσταρχος δὲ πολεμικὰς κλίμακας ὑποτρόχους τὰς κρόσσας νοεῖ, ἤτοι μηχανὰς κλιματώδεις. τινὲς δέ φασιν, ὅτι κρόσσαι λίθοι ἐπὶ κορυφῇ τοῦ τείχους προνεύοντες, ἐφ᾽ ὧν καὶ ἐπάλξεις ἦσαν. διὸ καὶ συγκαταπίπτουσιν αἱ ἐπάλξεις ταῖς κρόσσαις. οἱ δέ τινες φασὶν, ὅτι κρόσσαι αἱ τῶν πύργων ἐξοχαὶ, ὡς καὶ κροσσοὺς ἱματίων φαμέν. ἄλλοι δὲ οὕτω φασί. κρόσσαι ὄργανα πρὸς τειχομαχίαν ἐπιτήδεια, ἔχοντα ἔνδον ἀνάβασιν καλυπτομένην, ἕως ἂν εἰς τοὺς πύργους, ἀνέλθῃ ὁ τειχομαχῶν. οἱ δὲ ποιοῦσι καὶ τὸ κρόσσας μὲν πύργων ἔρυον, οὕτω νοοῦσιν, ὅτι τὰς κρόσσας ὅ ἐστι τὰς τοιαύτας κλίμακας κατὰ τῶν πύργων ἔρυον, ὅπερ οἱ μὴ ἀποδεχόμενοί φασι, μὴ εἰδέναι τὸν Ποιητὴν τὴν τοιαύτην μηχανήν. προκρόσσας λέγει Ὅμηρος, τὰς ὡρμισμένας νῆας ὡς κλιμακηδὸν οἷον ἱσταμένας, διὰ τὸ ὑψηλὸν τοῦ τόπου. Ἄλλως.

Κρόσσαι, τειχόμαχοι κλίμακες. οἱ δὲ παλαιοὶ καὶ οὕτω φασὶ, προκρόσσας τὰς ἑτέρας πρὸ ἑτέρων, ὥστε θεατροειδὲς φαίνεσθαι τὸ νεώλκιον. ἔτι δὲ καὶ οὕτω. προκρόσσας, ἄλλας ἐπ᾽ ἄλλαις ἀντιπρώρους. ἡ δὲ λέξις αὕτη καὶ παρὰ Ἡροδότῳ, ὃς καὶ ἑρμηνεύων αὐτὴν φησι, προκρόσσας ὥρμουν τὰς ναῦς. οἱ μὲν γὰρ πρὸς τὴν γῆν ὥρμεον, αἱ δ᾽ ἐπ᾽ ἀγκυρέων. καὶ πάλιν, αἱ πρῶται τῶν νηῶν ὥρμεον πρὸς γῆν, ἄλλαι δ᾽ ἐπ᾽ ἀγκυρῶν ὅτε γὰρ τοῦ αἰγιαλοῦ ὄντος οὐ μεγάλου, πρόκροσσαι ὡρμοῦντο ἐς πόντον, καὶ ἐπὶ ὀκτὼ νέας. καὶ οὕτω μὲν Ἡρόδοτος τὰς παρ᾽ αὐτῷ φράζει προκρόσσας. αἱ μέντοι τῶν Ἑλλήνων ἐπὶ ξηρᾶς εἶχον τὸ πρόκροσσον, καὶ ὑψηλότερον ἵσταντο αἱ πρὸς τῷ τέλει. καὶ ἦν ἴσως καὶ τοῦτο ἀποσιμοῦσθαι, ὅ ἐστιν ἀπὸ σιμοῦ καὶ κοίλου τόπου ἀνῆχθαι ὕψου. κεῖται δὲ ἀποσιμοῦσθαι παρὰ τοῖς παλαιοῖς, παρ᾽ οἷς οὐ μόνον ἀπεσίμωσε τὸ ὕψωσε, καὶ πρὸς τὸ λαμπρότατον ἤγαγε κατὰ Πausανίαν. ἀλλὰ καὶ ἀποσιμῶσαι, τὸ μετεωρίσαι ναῦς, παρὰ Θουκυδίδῃ.

Κροσσάων, ὑποτρόχων κλιμάκων, πρὸς τειχομαχίαν ἐπιτηδίων.

Κροσσὸς, τὸ κράσπεδον. κρωσσὸς δὲ ἡ ὑδρία, ἢ τι ἄγγος ἄλλο εἰς τὸ ἐπιχέαι ὕδωρ μέγα, παρὰ τὸ ἐπιχέω. τοῦτο δὲ γέγονε, παρὰ τὸ κερῶ, κατὰ συγκοπὴν κρῶ.

Κροσσὸς, ὁμαλός.

* Κροσσοὶ τὰ κάτω τῶν ἱματίων τὰ ῥαμματώδη.

Κροσσωτοῖς χρυσοῖς, τοῖς διαφόροις χαρίσμασι τῶν τὴν ἐκκλησίαν κοσμούντων ἱερῶν ἀνδρῶν. διήρηνται γὰρ οἱ κροσσοὶ, καὶ πάλιν ἥνωνται.

Κρόσταλλος, εἶδος ὑέλου. * ἴσως, κρύσταλλος.

Κρόσινα, φυλακτήρια.

Κόσφος καλεῖται, τὸ ἀντικείμενον τῆς ἐπιδορατίδος σιδήριον.

Κροταλίζειν, ὠνοματοπεποίηται, καθὰ καὶ τὸ κροτεῖν, οὗ παράγωγον τὸ κροταλίζειν. ἔστι γὰρ κροτῶ, ἀφ᾽ οὗ κροτίζω. καὶ πλεονασμῷ κροταλίζω, καθ᾽ ὁμοιότητα τοῦ ἐγγυαλίζω. ἐκ δὲ τοῦ κροταλίζω καὶ κρόταλον, οὗ χρῆσις παρὰ τῷ Κωμικῷ. σκεύη δέ τινα τὰ κρόταλα, ἐξ ὀστράκου τυχὸν ἢ ξύλου ἢ χαλκοῦ, ἃ ἐν χερσὶ κροτούμενα θορυβεῖ. ἀπ᾽ αὐτῶν δὲ ὁ στωμύλος καὶ παρὰ τὸ δέον ἐν λαλιαῖς ὀχληρὸς, εἰς κρόταλον παροιμιάζεται.

Κρόταλος. Ἀριστοφάνης, εὔγλωττος, εὔστομος. ἡ μεταφορὰ ἐκ τοῦ κροτάλου, κρόταλον κυρίως, ὁ σχιζόμενος κάλαμος, ὁ κατασκευαζόμενος ἐπίτηδες ὥστε ἠχεῖν, εἴ τις αὐτὸν δονήσει ταῖς χερσὶ, καθάπερ κρότον ἀποτελῶν. στωμύλος οὖν ἔσῃ φησὶ, καὶ τὴν φωνὴν διηρθρωμένος, καθάπερ κρόταλον.

Κρόταφοι, κυρίως ἐπὶ τῶν ζώων τῶν κερατοφόρων, διὰ τὸ ἐξ αὐτοῦ τῶν μερῶν φύεσθαι κέρατα. οἱονεὶ κερατοφυεῖς ὄντες, ἢ ὅτι κρούουσι τὴν ἀφὴν παλλόμενοι.

Κρόταφος, καὶ κόρση, ταυτόν. κρόταφον δὲ ἐκ τῆς κόρσης ἐτυμολογοῦσί τινες, οἳ μεταθέντες τὸ ρ, ποιοῦσι κρόσην. εἶτα ἐξ αὐτῆς παράγουσι διὰ τοῦ α καὶ φ διεξοδικώτερον τὸ κρόταφον, ἵνα ᾖ κρόσαφος καὶ Ἀττικῶς κρόταφος. ὡς ξύλον, ξυλάφιον, καὶ ἔδος ἐδάφιον. ἀπὸ δὲ τῆς κόρσης γίνεται καὶ ἡ κόῤῥη, τροπῇ τοῦ σ εἰς ρ, ὁμοίως τῷ πυρσὸς πυῤῥὸς, ταρσὸς ταῤῥός. καὶ τὸ κατὰ κόῤῥης δὲ τύψαι τινὰ, τὸ κατὰ κόρσης ἤτοι κροτάφου ἐστί. παρὰ δὲ τοῖς Ἀττικοῖς, κόῤῥη ἡ γνάθος. Ἀριστοτέλης, κρόταφόν φησι τὸ μεταξὺ ὀφθαλμοῦ καὶ ὠτὸς καὶ κορυφῆς. ὅτι καὶ ἀπὸ τοῦ κορύσσειν τάφον ἐτυμολογεῖται, δηλοῦσιν οἱ παλαιοί.

Κροτήσατε, ἀλαλάξατε, βοήσατε, ἐπαινέσατε ταῖς χερσί. νενικηκότων γὰρ ὁ κρότος.

Κροτοθορύβου. παιὰν ἄναξ φίλον λεοντάριον, οἵου κροτοθορύβου ἡμᾶς ἐνέπλησας, ἀναγνόντας σου τὸ ἐπιστόλιον.

Κρότημα, ἐπὶ δολίων τάσσεται.

Κρότητα, ἐκπεπαυμένα, ἀποτίνακτα, ἐπιτετριμμένα.

Κρότοι, εὐφημίαι, ἔπαινοι.

Κρότωνες, ὁμοίως.

Κρότωνοι, κρότωνες.

Κροτονία, σταφυλὴ αὐλίς.

Κροτώνων, κυνείων φθειρῶν.

Κρότων ὁ φθεὶρ ἀπὸ τοῦ κρατεῖν, οἷς ἂν ἐμφυῇ. ὁ δὲ Ὧρος βοτάνης ὄνομα λέγει διὰ τὸ ὄζειν αὐτῆς τὸ σπέρμα διατριβόμενον ἐν τοῖς δακτύλοις. ὁμοίως τῷ ζώῳ, διὰ τοῦτο κρότων ἐκλήθη. ἔστι δὲ καὶ ὄνομα πόλεως.

Κροτῶ, κρούω, προσκρούω δέ σοι δοτικῇ. ἀνακρούομαι δὲ μέλος, ἀποκρούομαι δὲ σε. Ἀριστοφάνης, ἐγὼ δὲ τὼ χεῖρε ἀνεκρότησα ὑφ᾽ ἡδονῆς.

Κρότωνες τὰ ἐν τῷ πνεύμονι βραγχία, παρὰ τῷ Ἱπποκράτει.

* Κρότων, βοτάνη τις, ῥικίνος παρὰ Λατίνοις, κίκι δὲ ἢ κίκιον παρ᾽ Αἰγυπτίοις καλεῖται, καὶ τὰ ἐν τῷ πνεύμονι χονδρώδη βρόγχια. Γαληνὸς παρ᾽ Ἱπποκράτει.

Κρότων. οὕτω καλεῖται, ὅ τινες κίκυ αἰγύπτιον. οἱ δὲ σισαμίδα ἀγρίαν, καὶ τὸ ζῷον τὸ ἐν κυσὶ καὶ βουσὶ γινόμενον. ἄλλοι δὲ πυρσός.

Κροτώνη, τὸ ἐπιγινόμενον τοῖς δένδροις, μάλιστα τῇ ἐλαίᾳ.

Κρότωνος ὑγιέστερος. τοῦτο δὲ ἐπὶ τοῦ ζώου δέχεσθαι. διὰ τὸ εἶναι πάντοθεν ὅμοιον, καὶ μηδεμίαν ἔχειν διακοπήν. κρότων δέ ἐστι, ζωΰφιον τὸ ἐν τοῖς κυσὶ καὶ βουσὶ γινόμενον.

Κρύζω, κροβύζω.

Κρουνηδὸν, δίκην κρουνοῦ.

Κρουνοὶ, αἱ τῶν χειμάρρων ἀρχαὶ, ὥσπερ πηγαὶ αἱ τῶν ἀεννάων. καὶ οἱ τόποι ὅπου πλημύουσι.

Κρουνοχυτρολήραιον, ἀντὶ τοῦ φλύαρος εἶ, κρουνὸς τὸ χύδην καὶ ἀκρίτως, καὶ ἀθρόως ῥέον, λῆρον τὸ μάταιον. συνέθηκεν οὖν Ἀριστοφάνης ἐκ τοῦ κρουνοῦ καὶ ληρεῖν, καὶ τῆς χύτρας ἀναισθήτου οὔσης. ἵνα τὸ ὅλον δηλώσῃ τὸ ἀναίσθητον, τὸ ἀνόητον, καὶ περιττολόγον.

Κρυεροῖο, τοῦ φοβεροῦ.

Κροῦμαι, μύξαι.

Κροῦναι, τὰ ἄφορα δένδρα.

Κροῦναι, κρῆναι τέλειαι.

Κρουνοφόρον, οὕτω καλεῖταί τι τῶν ἐν ταῖς ναυσί. * ἴσως διὰ τὸ ὑπέχειν τοὺς κρουνοὺς, καὶ τοὺς ὀχετοὺς τῶν ῥείθρων.

Κρούπαλα, ξύλινα ὑποδήματα, καὶ κλεῖς. καὶ κρουπεζία καὶ κρουπεζοφόρος, ὁμοίως.

Κρουπαλίας, κλεῖδας.

Κρουπεζόμενος. τὰ ξύλινα σανδάλια, κρουπέζια λέγεται, καὶ ὑποδήματα ξύλινα, μεθ᾽ ὧν τὰς ἐλαίας πατοῦσι. θέλει οὖν δηλοῦν τοὺς τραχεῖς πόδας ἔχοντας.

Κρούπεζα, ὑψηλὰ, ἢ ξύλινα ὑποδήματα, ἢ γυναικεῖα.

Κροῦσαι τὴν θύραν, ἴσως μέντοι παραβεβίασται ἡ χρῆσις. ἄμεινον δὲ, τὸ κόπτειν τὴν θύραν.

Κρούσασθαι πρύμναν, φασί τινες λέγεσθαι ὅταν μετακαθίσαντες οἱ ἐρέται, ἐλαύνοιεν ὀπίσω ἐπὶ τὴν πρύμναν, ὅταν εἰς λιμένα εἰσέρχωνται, ἵνα τὴν πρύμναν εἰς γῆν ἔχωσι νεύουσαν, καὶ τὴν πρῷραν ἔξω, ὅπως ἄνευ τροπῆς εἴη εἰς ἔξοδον ἡ ναῦς.

Κρουσιδημῶν, ἀντὶ τοῦ κρούων τῇ βουλῇ, ἐλυμαίνου τὸν δῆμον ἀπατῶν, καὶ παρακρουόμενος τῇ βοῇ. ἔστι γὰρ παρακρουσόμενον μέτρον, ὃ λέγεται ἐπὶ τῶν τοῖς μέτροις παραλογιζομένων. καὶ παρακρούσασθαι, ἀνατρέψαι. καὶ παράκρουσιν, ἐξαπάτην, ἐμπαιγμόν.

Κρουσιὴς, ἐλατής.

Κρουσίθυρος, μέρος τι οὕτως ἐκαλεῖτο.

Κρουσιμετρεῖν, ἐλλιπῶς μετρεῖν καὶ ἐνδεῶς, οἱ γὰρ φαύλως μετροῦντες συνέκρουον τὰ μέτρα, εἰς τὸ ἀποπίπτειν τὰ μετρούμενα. ἐντεῦθεν καὶ τὸ παραλογίζεσθαι, παρακρούεσθαί φασι.

Κροῦσιν, ἀπάτην, δοκιμασίαν. παραλογισμὸν λέγει Ἀριστοφάνης, καὶ μουσικὸν ὄνομα, καὶ τὴν πρὸς τὸ λέγειν ἐν ταῖς ζητήσεσιν ὑπόκρουσιν.

Κρουστικὸς παρὰ τῷ Ἀριστοφάνει ἐν ἱππεῦσι, τὰ ὦτα τῶν ἀκροωμένων κρούων, τῇ σφοδρότητι τῶν λόγων.

Κρουτεῖται, κοκκίζει.

Κρούω, κυρίως ἐπὶ τῶν κερατοφόρων. κρούειν γὰρ, τὸ τοῖς κέρασι παίειν, ὁ μέλλων κρούσω, ὁ παρακείμενος κέκρουκα.

Κρύβδην, καὶ κρύβδα, λαθραίως, καὶ κρυφίως.

Κρύβεσθαι, καὶ κρύβεται, φεῦγε διὰ τοῦ β λέγειν. κρύπτεσθαι δὲ, καὶ κρύπτεται.

Κρυβηλὸς, κρυπτὸς πύργος.

Κρύβες, νεκροί.

Κρυβησία, νεκυσία.

Κρυβήτας, τετελευτηκότας.

Κρυεροῦ, φοβεροῦ. καὶ κρυόεντος, φοβεροῦ, ψυχροῦ, φρικτοῦ. συμβαίνει γὰρ τοὺς φοβουμένους συγκρούειν τοὺς ὀδόντας.

Κρύμα, ῥῆγμα.

Κρυμυεῖ, ῥιγᾷ, πέφρικε.

Κρυμὸς, ἢ κρυμνὸς, αὐτὸ τὸ πάγος. παρὰ τὸ κρύπτω κρυμνὸς, καὶ ἀποβολῇ τοῦ ἑνὸς μ κρυμός. ἐν χειμερίῳ γὰρ καιρῷ ἐπικρυπτόμεθα.

Κρυόεσσα, ψυχρὰ, φοβερά. ἀπὸ τοῦ κρύος κρυόεις, καὶ κρυόεσσα.

Κρύος, ψύχος, παγετός.

Κρύος, παρὰ τὴν γινομένην κροῦσιν τῶν ὀδόντων ἐν τῷ ψύχει, κρούος καὶ κρύος.

Κρυπτάδια, ὁμοίως ἔχει πρὸς τὸ ἀμφάδια, ὃ δηλοῖ τὰ φανερά.

Κρυπτάδια, οἱονεὶ κρυφαῖα. ἐκ τοῦ κρύπτω, κρυπτάδιον.

Κρυπτεύομαι, ἐνεδρεύομαι.

Κρυπτάδιος, ἀρχαῖος.

Κρύπτω, κεύθω, κρύπτω σε τὴν ἐμὴν βουλὴν, ἤγουν καλύπτω. καὶ κρυπτὸν, τὸ κεκρυμμένον. κρύφα, ἀντὶ τοῦ κρυφίως. καὶ κροβείην, τὸ αὐτό.

Κρύσταλλος, τὸ πεπηγμένον ὕδωρ ὑπὸ ψύχους, ἢ ὁλοπαγὲς ὕδωρ ὑπὲρ γῆν.

Κρύφα, ἤγουν λάθρα τῶν ἄλλων ποιεῖ. τὰ ἐπικρυπτικὰ ἐπιῤῥήματα, μετὰ γενικῆς συντάσσεται. οἷον κρύφα τοῦ δεῖνος λέγομεν. καὶ σιγῇ τοῦ δεῖνος. Ἡρόδοτος, σιγῇ τοῦ Αἰθίοπος. τίθεται δὲ ἐνταῦθα τὸ σιγῇ, ἀντὶ τοῦ ἀγνοίᾳ. καὶ κρυφᾶ Δωρικῶς, ἀντὶ τοῦ κρύφα.

Κρυφαίως, ἀντὶ τοῦ κρύφα.

Κρύφιοι, οἱ πονηροὶ λογισμοί.

Κρύφα-

Digitized by Google

Κρύφαλον, σαβάκαιον.

Κρυφανδὸν, κρυφίως.

Κρυφῆ, λάθρα, ἀδήλως, κρυπτῶς.

Κρυφίνους, ὕπουλος.

Κρύψαι καὶ κεῦσαι, ταυτὸν Ὅμηρος, οὐδέν τι κρύψω ἔπος, οὐδ' ἐπικεύσω, οὐδὲν ἔφη διάφορον.

Κρυψίνους, πανοῦργος, δόλιος.

* Κρύωξα. λάχανον ὅμοιον σελίνῳ, φυόμενον ἐγγὺς θαλάσσης. Ἐρωτιανός.

Κρυώδους, φρικώδους.

Κρωβίαλον, πόλις περὶ Παφλαγονίαν, ἧς μέμνηται Στράβων ἐν γεωγραφουμένοις.

Κρώβυλος πλέγμα τριχῶν εἰς ὀξὺ λῆγον. ἐκαλεῖτο δὲ ἐπ' ἀνδρῶν οὕτω, κόρυμβος δὲ ἐπὶ γυναικῶν, σκορπίος δὲ ἐπὶ παίδων. Θουκυδίδης, κρωβύλους ἀναδούμενοι, καὶ ἐν ἔρσει ποικίλων κρωβύλων. ἢ κρώβυλον παρ' Ἀθηναίοις, τὸ προσείλημα.

Κρωβύλου ζεῦγος, παροιμία τασσομένη ἐπὶ τοῖς ὑπερβαλλούσῃ κεχρημένοις πονηρίᾳ. μετενήνεκται δὲ, ἀπὸ πορνοβοσκοῦ τινός.

Κρωβὸν, δρέπανον.

Κρώβυλος, ὁμαλὸς τῶν παιδίων, ἢ κατά τινας τῶν αἰδοίων, ἢ ὁ κόρυμβος τῆς ἐμπλοκῆς, ἢ ἐστὶν ἀνεζωσμένη ἀπὸ μέσου τοῦ μετώπου ἐπὶ τὴν κορυφήν. οὕτω δὲ καὶ ὁ ῥήτωρ Ἡγίσιππος, ὃς καὶ δήγγος ἐκαλεῖτο.

Κρωγμὸς, ἡ βοή.

Κρωδεστὴς, ὁ δαιτρός.

Κρώζει, κράζει, ὡς κορώνη, ἢ κόραξ.

Κρώζουσιν ἐπὶ ἀψύχων, βοῶσι.

Κρωκαλέον, παιδίον, πανοῦργον.

Κρωμακόεν, κρημνῶδες.

* Κρώμακας οἱ παλαιοὶ καὶ κλώμακας, τόπους ὑψηλοὺς, τραχείας καὶ πετρώδεις ἀναβάσεις, κατακλώσας τοὺς δι' αὐτῶν βαίνοντας.

Κώμαξ, σωρὸς λίθων.

Κρώμνα, χωρίον Κορίνθου, καὶ πόλις Παφλαγονίας, οὗ ἐτιμᾶτο Ποσειδῶν.

Κρώπια, τόπος.

* Κρωπίον, τὸ δρέπανον.

Κρωπίδαι, δῆμος τῆς Λεοντίδος φυλῆς, οὓς Ἀριστοφάνης παίζων ἐναλλαγῇ τοῦ ρ στοιχείου εἰς τὸ λ, εἶπεν κλωπιδῶν.

Κρωσσοὶ, ὑδρίαι, στάμνοι, λήκυθοι, κροτάνεροι, βάναυσοι, πολῖται, καὶ ἐξελαθειρῶται.

Κρωσσὸς, παρὰ Σοφοκλεῖ. ὅ ἐστι κρατήρ. γίνεται φασὶ παρὰ τὸ κερῶ, καὶ συγκοπῇ κρῶ, τὸ στάλασσω καὶ ἐπιχέω. καὶ οἱ παρὰ Λυκόφρονι δὲ καὶ ἑτέροις κρωσσοὶ, ἀγγεῖα ἐκεῖνα δεξιὰ ὑδρεύεσθαι. λάγυνοι ἴσως, ἢ ξέσται, καὶ τὰ τοιαῦτά τινα τῷ ω μεγάλῳ παραλήγεται.

Κρώτωνας, μάντεων γένος.

Κρῶφι, καὶ μῶφι, ὄνομα ὀρῶν.

ΤΟ' Κ'. ΜΕΤΑ' ΤΟΥ Τ'.

Κτὰ, ἢ ἔκτα, ἔκτεινε.

Κτᾶν, κτάναι, φονεύειν, ἀνελεῖν.

Κτάω, ῶ, κτῆμι, κτήσω, ἀόριστος δεύτερος ἔκτην, τὸ τρίτον τῶν πληθυντικῶν ἔκτασαν, συγκοπῇ ἔκταν, καὶ ἀφαιρέσει τοῦ ε κτάν.

Κτάνειν, κτείνειν.

Κτανέεσθαι, κτείνω κτενῶ ἔκτεινα, ἀόριστος δεύτερος ἔκτανον, ὁ δεύτερος μέλλων κτανῶ, ὁ μέσος κτανοῦμαι κτανῇ κτανεῖται, τὸ ἀπαρέμφατον κτανεῖσθαι, καὶ διαλύσει τῆς διφθόγγου εἰς δύο εε κτανέεσθαι, ὡς εἴργω ἐέργω.

Κτάνθεν, ἀπώλοντο.

Κτάρα, ἰχθὺς βραχύτερος πάντων.

Κτᾶσθαι, ὅ ἐστι φονεύεσθαι, παροξύνεται, ὅτι μὴ φυσικῶς ἐκτείνει τὴν παραλήγουσαν, καὶ τὸ κτᾶσθαι, ἀφ' οὗ τὰ κτήματα.

Κτᾶσθαι, καρποῦσθαι, ἢ ἀγοράζειν, ἢ φυτεύειν.

Κτᾶται, ὠνεῖται.

Κτάτο, ἐκτήσατο, ἀπέθανεν.

Κτέαρ, τὸ κτῆμα, δῶρον, σκεῦος, καὶ κλίνεται κτέατος.

Κτέανον, κτῆμα.

Κτεάτεσσι, ποιητικὸν. κτήμασι, κοινόν.

Κτεάτεσσι, πλεονασμὸν ἔπαθε τῆς τε συλλαβῆς, καθὰ καὶ τὸ στομάτεσσι, παρὰ τῷ Ὀππιανῷ. τὸ κοινὸν γὰρ στόμασι.

Κτεατίσαι δοκεῖ ἐν περιφράσει, καὶ τὸ αἰχμαλωτίσαι, ταυτόν.

Κτεάτισσε Λαέρτης ἀγρὸν, τουτέστιν ἐκτήσατο. οὐ κατὰ λόγον ὄντα, ἀλλ' ἐπειδὴ μάλα πολλὰ ἐμόγησε κατὰ βίον ἁπλοῦν ἡρωϊκόν. τὸ δὲ τοιοῦτον μόγημα, καὶ πολυδένδρεον κατέστησε τὸν τοιοῦτον ἀγρόν.

Κτεατίσασθαι, κτήσασθαι.

Κτείνω, ἀναιρῶ, κτείνω, τὸ φονεύω μέλλων κτενῶ, παρακείμενος ἔκτακα.

Κτεὶς κτενὸς, τὸ κτένιον, παρὰ τὸ ἐκτείνειν τὰς χεῖρας, ἢ τὰς τρίχας. κτεὶς δὲ ἐπὶ τῆς θαλάσσης, παρὰ τὸ ἐκτείνεσθαι καὶ ἁπλοῦσθαι, ἢ κτεὶς, παρὰ τὸ κτείνειν τοὺς φθεῖρας.

Κτεὶς, τὸ ἐφήβαιον, τὸ μόριον, ἤγουν τὸ αἰδοῖον, καὶ τὸ τῶν τριχῶν κάλλυντρον.

Κτένας, τοὺς τῶν χειρῶν καρποὺς καὶ τῶν ποδῶν, καὶ τὰ στήθη, μεταφέροντες ἀπὸ τῶν εἰς τὰς τρίχας ἐπιτηδείων κτενῶν. λέγουσι δὲ καὶ τὰς νωτιαίας πλευράς.

Κτένια τῶν κιθάρων, οἱ ὑπερέχοντες ἀγκῶνες λέγονται.

Κτενώμεθα, , ἀναιρούμεθα.

Κτενωτὴ, ὑφαντή.

Κτενωτὴν τρίχα, τὴν ἐφαπτίδα.

Κτένιον, ἐν ᾧ κτείνομεν τοὺς φθεῖρας, καὶ τὸ τοῦ ποδός.

Κτέρας, κατὰ πολυωνυμίαν, ταυτόν ἐστι τῷ κτέαρ καὶ κτῆμα.

Κτέρα, ἐντάφια.

Κτέρεα κτερεΐξαι, οὐ μόνον ἐτυμολογικῶς ἔχει, ἀλλὰ καὶ Ἀττικόν ἐστι σχῆμα, συνεκφωνουμένου ῥήματος καὶ συστοίχου ὀνόματος, ὡς καὶ ἐπὶ τοῦ λόγον λέγει, καὶ ὕπνον ὑπνοῖ. κτέρεα δὲ κτέατα, ἤτοι κτήματα νεκρικά. ἢ κυρίως, τὰ κτενομένοις προσήκοντα, ἢ πάντα τὰ εἰς τιμὴν τοῖς κατοιχομένοις ἐπιφερόμενα.

Κτερεΐξαι, ἐνταφιάσαι. Ὅμηρος, σῆμά τε οἱ χεῦσαι, καὶ ἐπὶ κτέρεα κτερεΐξαι.

Κτερεΐξαι. τὸ τύμβον ποιῆσαι, καὶ τὰ ἐπὶ τῷ τύμβῳ τελέσαι. τύμβῳ ἐνεκτερέϊξαν, τύμβον ἔστησαν. καὶ ταρχῆσαι, τὸ θάψαι.

Κτέρες, νεκροί. καὶ ἀκτέριστοι, οἱ ἄταφοι.

Κτερίζω, κτῶμαι, σκυλεύω, ἐνταφιάζω.

Κτερίσαι, καὶ κτερίξαι, θάψαι, ἐνταφιάσαι.

Κτεριοῦσι, θάψουσι.

Κτέωμεν, ἀντὶ τοῦ φονεύσωμεν, ὅμοιόν ἐστι τῷ ἀφέωμεν καὶ φθέωμεν καὶ εἰδέωμεν. ἀντὶ τοῦ κτῶμεν ἀφῶμεν φθῶμεν καὶ εἰδῶμεν. ἐξ οὗ δῆλον ὡς πρωτότυπόν ἐστι ῥῆμα κτῶ, οὗ τὸ ἐντελὲς κτέω, καὶ πλεονασμῷ τοῦ ν κτένω, καὶ ἐπενθέσει τοῦ ι κτείνω. ὁμοίως τὸ ἕνω εἵνω, τὸ καλύπτω, οὗ παράγωγον τὸ εἰνύω.

Κτηδόνες, τριόδοντες ἰχθύες, καὶ θηρίδια, καὶ αἱ ἐπ' εὐθείας τῶν ξυλῶν ἐκφύσεις.

Κτῆλος, κριὸς, ὁδηγὸς ὁ προηγούμενος τῆς ποίμνης.

Κτῆμα, καὶ ἀπ' αὐτοῦ πολυκτήμων, ἀκτήμων, εὐκτήμων.

Κτήματα, λέγει Ὅμηρος φανερῶς πολλαχοῦ πάντα τὰ ἐν ἀγροῖς. ὥσπερ δὴ καὶ μῆλα, πάντα τὰ θρέμματα.

Κτήματα, οὐ μόνον τὰ ἐν οἴκῳ, ἅπερ οἱ μεθ' Ὅμηρον καὶ χρήματα, παρὰ τὴν χρῆσιν καλοῦσιν, ἀλλὰ τὸν ἅπαντα βίοτον.

Κτήματα, οἱ μεθ' Ὅμηρον ἰδίως, ἐπὶ πάντων ἁπλῶς τῶν ὑπαρχόντων.

Κτήνη τετράποδα κυρίως, ἐπὶ τῶν σφαζομένων εἰς βρῶσιν. κτᾶσθαι γὰρ, τὸ φονεύεσθαι. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τῶν ἄλλων. κυρίως δὲ τὰ θυόμενα, ὅσα νόμος σφάζειν καὶ κτείνειν. ἢ κτήνη κυρίως, τὰ ἥμερα. θηρία δὲ, τὰ ἄγρια.

Κτήνεα, χρήματα.

Κτηνωδέστερα, ἀλογώτερα. κτήνη γὰρ, τὰ ἄλογα.

Κτηνώδης, ἀλογώτερος.

Κτησάμενος, λαβὼν, ἔχων.

Κτησείδιον, ἡ μικρὰ κτῆσις, ἤγουν ὀλίγη περιουσία.

Κτῆσιν καὶ κτήματα λέγει ἐνίοτε ὁ Ποιητὴς τὰ ἀπόθετα, συνήθως ἑαυτῷ φράζων. περὶ δὲ τῆς λέξεως κτῆσις ἐστὶν εἰπεῖν, ὅτι ἐκ τοῦ κίω κῶ προάγεται, καὶ τὸ κέημι κέεμαι κεῖμαι, ὅθεν παράγεται κειμήλιον, ἀπόθετον πάντως ὤν, ὡς δηλοῖ καὶ τοὔνομα. καὶ αὖ πάλιν ἐκ τοῦ αὐτοῦ κίω κῶ, πλεονασμῷ τοῦ τ γίνεται κτῶ κτήσω, ἀφ' οὗ ἡ κτῆσις, ἤτοι κτῆμα, κείμενον εἰς ἀπόθεσιν καὶ αὐτό.

Κτήσιος, Ζεύς.

Κτῆσις, ἡ περιουσία, ὁ πλοῦτος.

Κτητὴν, ἀγοραστήν. Ἡσίοδος, κτητὴν, οὐ γαμετήν.

Κτητικὸν, τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκὸς, ἐμπεριειλημμένου τοῦ κεκτημένου.

Κτήτορες, οἰκοδεσπόται, κτίσται.

Κτιδέα, εἶδος περικεφαλαίας ἐξ ἴκτιδος δέρματος. ἴκτις δὲ ζῶον γαλῇ παραπλήσιον. καὶ κτιδῶτις τέχνη, ἡ τῆς περικεφαλαίας. τινὲς δέ φασι, δορὰν λύκου.

Κτίζω, κτίστης, κτιστὸν, τὸ ἐκτισμένον. κτίσις, ἡ πρᾶξις τῶν κτιζόντων.

Κτίλος, ὁ προηγούμενος τῶν προβάτων κριός.

Κτιλεύσασθαι, ἢ κτιλώσασθαι, συνηθίσαι.

Κτίλος, ὁ χειροήθης καὶ ἥμερος, ἐκ τοῦ κίω τὸ πορεύομαι. ὁ τῶν ἄλλων προπορευόμενος. ἐξ οὗ καὶ ἐκτιλλώμενος παρὰ Παυσανίᾳ, ὁ συνήθης τινί. καὶ κτιλῶσαι, ῥῆμα παρὰ Ἡροδότῳ εἰπόντι, ἐκτιλώσαντο τὰς λοιπὰς τῶν Ἀμαζόνων, ἤγουν εἰς γυναῖκας ἔχον πραΰναντες. Πορφύριος δὲ, καὶ κύριον ὄνομα οἶδε κτῖλόν τινα, ὃν Διὸς λέγει ἀπόγονον.

Κτιμένη, κατῳκισμένη, καὶ πόλις Θεσσαλίας.

Κτίμενον, τὸ οἰκούμενον.

Κτιμένη παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, Ὀδυσσέως ἦν ἀδελφὴ, ἧς ἀνὴρ Εὐρύλοχος γεγονέναι ὑπονοεῖται. ἰφθίμην δὲ αὐτὴν λέγει, καθὰ καὶ τὴν ἄλοχον τοῦ Λαέρτου, δαΐφρονα. καὶ πρὸ αὐτῆς τὴν Πενελόπην. κτέασιν, ἀπὸ τοῦ κτέαρ κτέατος. καὶ ἔστιν εἶδός τι μεταπλασμοῦ, πρὸς ὁμοιότητα τοῦ κυνέσσι, καὶ ἄνδρεσι.

Κτιννύω, φονεύω.

Κτιμένη, Δολοπηῒς πόλις τῆς Θεσσαλίας. Δολοπηΐα δὲ, τὴν Θεσσαλίαν εἶπεν ὁ Ἀπολλώνιος, ἐπειδὴ Δόλοπες Ἔθνος Θεσσαλίας.

Κτινύω, τὸ φονεύω.

Κτίσις, ὁ κόσμος. πᾶσα ἡ τοῦ Θεοῦ κτίσις διαιρεῖται εἰς ἕξ, εἰς ἀόρατα λογικὰ, σύνθετα λογικὰ, εἰς σύνθετα ἄλογα, εἰς αὐξητικὰ καὶ γεννητικὰ, εἰς ἐκπορευτὰ καὶ κινητὰ, εἰς ἀναίσθητα καὶ ἀκίνητα.

Κτίμα, κτιστόν.

Κτίσαι, ἱδρύσαι, οἰκῆσαι, ἄρξασθαι.

Κτίσμα, ποίημα, οἰκοδόμημα.

Κτίστης, Ποιητὴς, Πλάστης.

Κτόνος, ὁ φόνος. ἐξ οὗ καὶ κτιννύω, τὸ φονεύω.

Κτεριοῦσι, θάψουσι.

Κτίτωρ, κτίστης.

Κτίσται, κτίστορες.

Κτυπίων, κτυπῶν, βροντῶν.

Κτυπία, ὁ ἐπιθαλάμιος κτύπος.

Κτυπίων, τῶν ἐπικρουμάτων τοῦ θαλάμου, ἃ ἐπικτυποῦσιν ἔξωθεν, ὅταν συγκατακλίνηται τῷ νυμφίῳ ἡ γημαμένη.

Κτύπος, παρὰ τὸ τύπτω τύπος, καὶ πλεονασμῷ τοῦ κ κτύπος. τὰ γὰρ τυπτόμενα, ψοφεῖ.

Κτυπεῖ, κομπάζει, μεγαλομοῤῥημονεῖ, τῇ χειρὶ κρούει.

Κτῶαι, ἢ κτοῖναι, χωρήσεις προγονικῶν ἱερείων, ἢ δῆμος μεμερισμένος.

Κτωμένοις, κεκτημένοις.

Κτώμενος, συνάγων.

Κτῶ, τὸ κτῶμαι.

ΤΟ' Κ'. ΜΕΤΑ' ΤΟΥ Υ'.

Κύαθος, μέτρον ὑγροῦ, οὐγγιῶν δύο, ἢ κοχλιάριον. ὡς Ἀριστοφάνης.

Κυαίνων, ἔγγυος ὤν.

Κυαμεῦσαι, κυάμῳ ψηφηφορῆσαι, ᾧ ἐχρῶντο οἱ βουλευταί.

Κυαμοτρὰξ, δικαστικὸς, κυάμους ἐσθίων. κυάμοις δὲ ἐχρῶντο οἱ δικασταὶ, διὰ τὸ μὴ καθεύδειν, ἢ ἀντὶ ψήφων. ἄλλοι δὲ διὰ τοῦ σ κυαμοστρώς, ὁ

κυάμοις δικάζων, ὁ τιτρώσκων. τούτοις γὰρ ἐχρῶντο ἀντὶ ψήφων. ἄλλως. τρεφόμενος ἀπὸ τῶν κυάμων, ἐπεὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων, καὶ ἐν ταῖς ἐκκλησίαις. τοὺς οὖν τῶν ψηφιζομένων ἀργύριον λαμβανόντων, καὶ χειροτονούντων τοῖς διδοῦσι πλέον, οὕτως ὠνόμασε τὸν Δῆμον, τὸν ἀπὸ τῶν κυάμων τρεφόμενον.

Κυαμήτης, ὁ πάγκος καλούμενος.

Κυαμεύειν, κληροῦσθαι.

Κυάμου καρπὸς, τὸν ὑοσκύαμόν φησιν ὁ Διοσκουρίδης.

Κύαμος, ὄσπριον, ἢ ὁ κλῆρος, καὶ τὸ ὑπὸ τὴν θηλὴν τοῦ μαστοῦ πρῶτον συνιστάμενον γάλα, καὶ τὸ Αἰγύπτιον κιβώριον λεγόμενον καὶ καλούμενον.

Κυανέαις ἐπ' ὀφρύσιν. ἡ ὅλη νοεῖται κεφαλὴ, ἀπὸ μέρους συνεκδοχικῶς, καὶ κατὰ σύλληψιν, ὡς οἱ τεχνικοί φασι. διὰ τὸ συνεκδέχεσθαι, καὶ συλλαμβάνεσθαι, καὶ συννοεῖσθαι ταῖς ὀφρύσι, τὴν ὅλην κεφαλήν. ὅπερ ἐστὶν ἴδιον συνεκδοχῆς, ἤτοι συλλήψεως.

Κυανέμβολοι τριήρεις, ἤτοι αἱ τοὺς ἐμβόλους ἔχουσαι, κυανῷ βεβαμμένους. ὡς μιλτοπάρῃοι, μεμιλτωμέναι, ἢ αἱ τέμνουσαι τὴν θάλασσαν. κυανὸν γὰρ, τὸ ταύτης ὕδωρ.

Κυανὸν, εἶδος χρώματος οὐρανοειδές.

Κυανόπεζα, μελανόπους.

Κυανὸς, θαλάττιον ὕδωρ, καὶ ὄρνις.

Κυάνεον, τὸ μέλαν. ἐνίοτε δὲ κεράνεον. χρὴ δὲ γινώσκειν, ὅτι τοῦ κυανοῦ ἐντελὲς, τὸ κυάνεον, ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ κῦμα, κυμάνεον, καὶ ἐκβολῇ τοῦ μ κυάνεον. τοιοῦτον γάρ τοι δοκεῖ τὸ κῦμα. ἢ ἐκ τοῦ κύανος, χρῶμά τι μέλαν, ἐξ οὗ τὸ κυάνειον μετουσιαστικῶς, ἀφ' οὗ κυάνεον, καὶ κυανοῦν.

Κυανοῦν, ἐκ τῆς ἀληθείας κυάνεον. ὃ παρὰ τοῖς Ἴωσι λέγεται, ὡς τὸ χαλκοῦν χάλκεον, καὶ χρυσοῦν χρύσεον.

Κυανοχαίτης, ὁ μελανόθριξ. κυανὸν γὰρ, τὸ μέλαν. καὶ χαίτη, ἡ θρίξ.

Κυανώτατος, μελανώτατος, Ποσειδῶν.

Κύαρ, τὸ τῆς βελόνης τρῆμα. παρὰ τῷ Ἱπποκράτει, καὶ τὸ τῆς κώπης τοῦ μήλου.

Κυάρη, ἡ Ἀθηνᾶ.

Κυάρης, Ἴβυκος, οὐδὲ κυάρης ὁ Μήδων στρατηγός.

Κύβαδρα, αἷμα. Ἀμαθούσιοι.

Κύβαμος, θεός.

Κυβαΐζονται, Λάκωνες, τὸν ἐνθουσιῶντα, οὐ τὸν Ἑρμῆν.

Κυβάσαι, καταστρέψαι.

Κυβαρσία, κεφαλὴ ἀλέκτορος. ἄλλοι κυβαρσίας φασὶ, τὰς περικεφαλαίας.

Κύβας, σορός.

Κύββα, ποτήριον.

Κηβεία, πανουργεία, ἢ παίγνιον.

Κύβηρος, ἀναιδής.

Κυβείου τόπος, εἰς ὃν συνίεσαν κυβεύσοντες, ὁ νῦν τόπος δεξιός.

Κύβδα, κύπτοντα. διὰ δὲ τοῦ σχήματος, τὴν αἰσχύνην δείκνυσιν αὐτοῦ Ἀριστοφάνης.

Κύβεθρον, θήκην μελισσῶν.

Κυβέλην φασὶ τὴν Ῥέαν, παρὰ τὰ Κύβελα ὄρη. ὀρεία γὰρ θεὸς, διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει.

Κύβελον, ὄρος ἐν Φρυγίᾳ, ἔνθα τῆς μητρὸς τῆς Κυβέλης ἱερὸν ἅγιόν ἐστι.

Κυβέρνησις, φρόνησις. ἡ κυβέρνησίς ἐστι ψυχῆς ἐπιστήμη, περὶ τὴν ἄστατον φύσιν τῶν ἀνθρωπίνων πραγμάτων, παρὰ τὸ τὰ κύματα ἐρευνᾶν καὶ πρὸς αὐτὰ ἰθύνειν τὴν ναῦν, τροπῇ τοῦ μ εἰς β.

Κυβερνήτης, ὁ τοῦ πλοίου ἡγεμών.

Κυβερνῶ, αἰτιατικῇ συντάσσεται. οἷον ὁ Βασιλεὺς κυβερνᾷ τὴν πόλιν. κυβερνητέον τὴν γλῶτταν, τῇ σιωπῇ, καὶ τοῖς λόγοις.

Κύβεσις, ἡ κίβυσις, πήρα.

Κυβευτὴς, καὶ κυβιστὴς λέγεται.

Κυβεύειν ἐστὶ, τὸ διὰ ψήφων παίζειν, καὶ τὸ κύβον ῥίπτειν, καὶ εἰς κίνδυνον προπηδᾶν.

Κυβεύω, τὸ κύβοις χρῶμαι.

Κυβεύειν, δολεύειν. κυβεύω, κύβον ῥίπτω, εἰς κίνδυνον προπηδῶ. μὴ παραβάλλεσθαι κυβεύειν τῷ βίῳ.

Κυβευτὴν, σοφὸν κυβευτὴν, ἀλλὰ μὴ στενὸν τυχεῖν τὸν τοῖς κύβοις χρώμενον. ἐπιστήμην γάρ τινα ἐδόκουν. τὸ δὲ δεξιῶς χρῆσθαι, ἐπιστημονικωτέραν τὴν πεττείαν τῆς κυβείας ἐνόμιζον.

Κύβεβις, γάλλος, κίναιδος, μαινόμενος.

Κυβήβη, ἡ θεῶν μήτηρ.

Κυβήβην κυρίως, τὸ ἐπὶ τὴν κεφαλὴν ῥίπτειν. ὅθεν καὶ κύμβαχος.

Κυβηλίσαι, πελεκίσαι. κύβηλις γὰρ ὁ πέλεκυς, καὶ ἀγερσικύβηλις ὁ θύτης.

Κυβῆκαι, θεοφορεῖται, κορυβαντιᾷ.

Κυβήκη, ἡ καὶ θρηΐκη, βένδη, καὶ Ἄρτεμις. μήτηρ τῶν θεῶν, καὶ ἡ Ἀφροδίτη, καὶ ὑποδήματα παρὰ Ἀρκάσι. παρὸ καὶ Ἱππῶναξ φησὶ καὶ Διόσκουρος.

Κυβηλιστὰς καὶ κοβάλους, τοὺς κακούργους λέγουσι.

Κυβηλὶς, μάχαιρα. ἄμεινον δὲ πέλεκυν, ᾧ τοὺς βοῦς καταβάλλουσι. τινὲς δὲ τὴν τυροκνῆστιν.

Κυβηστῆρας, πηδητάς φασι, τινὲς δὲ ὀρχηστὰς ποικίλους.

Κυβιακὴ, πραγματεία, κύβευμα.

Κύβην, κυβευτήν.

Κύβωμα, σκήνωμα.

Κυβήναις, γλαυξί.

Κυβησίαν, πήραν.

Κυβησίνδα ἐπὶ κεφαλὴν, ἢ τὸ φορεῖν ἐπὶ νώτου, ἢ κατὰ νώτου.

Κυβητίσω, ἐπὶ κεφαλὴν ῥίψω, ἢ τοῖς ἀγκῶσι πλήττω.

Κύβικος, ὁ κατεχόμενος τῇ μητρὶ τῶν θεῶν, κυβηλικὸν τρόπον.

Κυβίοις, κλάδοις τοῖς δακτυλικοῖς.

Κυβιστᾶν, κυρίως τὸ ἐπὶ κεφαλῆς ῥιπτεῖν. καὶ κυβιστᾶν, κολυμβᾶν.

Κυβίστησις, συστροφὴ, ὄρχησις.

Κυβιστητὴρ, καὶ ἀρνευτὴρ, τὰ αὐτά. εἰ καὶ σαφέστερον τὸ κυβιστητήρ. ἀρνευτήρ τε γὰρ ὁ ἐπὶ κεφαλὴν εἰς θάλασσαν δυόμενος, καθ' ὁμοιότητα τῆς τῶν ἀρνῶν πορείας. οἱ σκιρτῶντες, τοῖς μὲν ἐμπροσθίοις ποσὶν ἅλλονται, τὴν δὲ κεφαλὴν τῇ γῇ πελάζουσι. διὸ καὶ τὸν ἵππουρον ἰχθὺν, τὸν καὶ ἱππουρέα διὰ τὸ συνεχὲς ἐξάλλεσθαι, ἀρνευτήν τινες ἐκάλουν, κατὰ τὴν τοῦ Δειπνοσοφιστοῦ ἱστορίαν. καὶ κυβιστητὴρ δὲ, ὁ ἐπὶ κύμβην, ὅ ἐστι κεφαλὴν ὑπὸ τῷ ὕδατι γινόμενος, ἢ ὁ κατὰ κύβου ἄνωθεν κάτω βάλλων ἑαυτόν. ὃς δὴ κύβος, ἀπὸ τοῦ κύπτειν δοκεῖ παρῆχθαι. ὡς οἷον κάτω κάρα κατὰ τοὺς ἐπικύπτοντας γινόμενος, ἐν τῷ κατακυλίεσθαι, ἀνακύψαντος τοῦ β ἐν αὐτῷ, καθὰ καὶ ἐν τῷ καλύπτω καλύβη, βλάπτω βλάβη, κρύπτω ἀποκρυβή.

Κυβιστῶ, τὸ κολυμβῶ, καὶ κυβιστής. κυβιστᾶν, καὶ τὸ ἁπλῶς ἐν γῇ κυλιόμενον στρέφειν χεῖρας καὶ πόδας.

Κυβισὶς, κήλη.

Κυβιστὴρ, ὁ ὀρχηστής.

Κυβιστᾶν, εἰς κεφαλὴν πίπτειν.

Κυβιστᾶν, κολυμβᾶν. καταχρηστικῶς.

Κυβιστῶσι, πηδῶσι, σκιρτῶσι.

Κύβος, πᾶν τετράγωνον. ὁ κύκλοθεν βάσιν ἔχων. ἢ σχῆμα γεωμετρικὸν, καὶ ἀριθμός τις, ᾧ οἱ κυβευταὶ χρῶνται. ἐκαλεῖτο δὲ τὸ τοῦ βόλου σχῆμα, καὶ παρὰ τοῖς μεταλλικοῖς κύβος, καὶ οἱ Σαλαμίνιοι λέγουσι κύβον, τὸ τοῦ ἱματίου σημεῖον. Πάφιοι δὲ τὸ τριβλύον.

Κύβιτον, τὸ ὠλέκρανον. ὅπερ καὶ ἀγκών. Διοσκουρίδης δὲ, τὸν κόνδυλον τοῦ βραχίονος εἶναι λέγει παρὰ τῷ Ἱπποκράτει

Κύβλα, κῶλα, ἢ ὀσφῦς, ἢ μεγάλα ὀστᾶ, καὶ ὠλέκρανα.

Κυγχνίδα, τὴν μακρὰν κύλικα, παρὰ τῷ Ἱπποκράτει.

Κυγχρῆος, κυγχρεὺς, Σαλαμῖνος καὶ Ποσειδῶνος υἱός. ἐβασίλευσε δὲ σαλαμινίων, ὥς φησιν Εὐφορίων. λέγεται δὲ ὥσπερ Πηλεὺς πηλῆος, οὕτω κυγχρῆος. τοῦτον δέ τινες τὸν διφυῆ Κέκροπά φασιν. ἄλλοι δὲ καὶ ὅτι ὄφις ἐλυμαίνετο τὴν Σαλαμῖνα, καὶ ἀοίκητον ἐποίει. ὃν ὁ κυγχρεὺς ἀνεῖλεν, ὅθεν καὶ ἀνάξιφος ἐκλήθη.

Κυδάζεται, λοιδορεῖ, ὑβρίζεται ὑπὸ πάντων.

Κυδάγχας, μάχας, λοιδορίας. καὶ κυδαγχώμενα, λοιδορούμενα.

Κυδαθηναῖος, ἔνδοξος ἀθηναῖος, καὶ δῆμος τῆς Πανδιονίδος φυλῆς ἐν ἄστει.

Κυδαίνει, τιμᾷ, ἀξιοῖ, θαυμάζει, ἐγκωμιάζει.

Κυδαίνω, τὸ δοξάζω. ἀπὸ τοῦ κῦδος, κυδαίνω λέγεται, καὶ κυδάνω.

Κυδάλιμος, ἔνδοξος, ἔντιμος. ἐκ τοῦ κῦδος γίνεται κύδιμος, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς κυδάλιμος.

Κυδάναν, τὴν γλαῦκα.

Κυδαντίδαι, δῆμος τῆς πτολεμαΐδος φυλῆς.

Κύδαρ, τάφος.

Κύδαρος, νεὼς εἶδος.

Κυδάττειν, ἐπιφωνεῖν.

Κύδεϊ γαίων, τῷ καθ' ἑαυτὸν ἀξιώματι.

Κύδεϊ, ἀρετῇ.

Κύδεος, ἐστὶ παρ' Ὁμήρῳ, τουτέστι φροντίδος ἄξιος. γίνεται δὲ παρὰ τὸ κηδεύω, ἀποβολῇ τοῦ υ. ἀφ' οὗ καὶ κηδεμόνες, οἱ τῆς κηδείας φροντισταί. ὀξύνεται δέ φασι τὸ κηδεὸς, διότι τὰ εἰς ος καθαρεύοντα τῷ ε παραληγόμενα ὀξύνονται, ὀχεύω ὀχεὸς, καὶ πλεονασμῷ τοῦ σ ὀχεὸς, σωρεύω σωρεὸς, καὶ συγκοπῇ σωρὸς, φωλεύω φωλεὸς, οὕτω καὶ κηδεύω κηδεός. τινὲς δὲ προπαροξύνουσι, λέγοντες ὅτι ὡς καθαρεύω καθάρειος, ἐπιτηδεύω ἐπιτήδειος, οὕτω κηδεύω κήδειος, ἐξ οὗ καὶ ἐπικήδειος. ἀποβληθέντος δὲ τοῦ ι, ἔμεινε κήδεος.

Κύδηνεν, ἐδόξασεν, ἐμετεώρησε κατὰ διάνοιαν.

Κυδιάνειρα, ἡ δοξάζουσα τοὺς ἄνδρας, κῦδος γὰρ ἡ δόξα.

Κυδίας, τὰ ἄνθη τῶν ὀδόντων.

Κύδιον, κρεῖττον, αἱρετώτερον.

Κυδιόων, σεμνυνόμενος, γαυριῶν, χαίρων, δόξῃ ἐπαιρόμενος.

Κυδιόων, ὁ γαυριῶν καὶ ὑψαυχενῶν.

Κυδιόων, σημείωσαι ὅτι τὰ διὰ τοῦ οων εἰ ἔχουσι τὴν πρὸ τοῦ ο μικρὰν συλλαβὴν βραχεῖαν συστέλλονται, εἰ δὲ μακρὰν ἐκτείνονται.

Κύδιστε, ἐνδοξότατε, σεμνὲ, τιμιώτατε.

Κυδοιμὸς, ὁ θόρυβος, ταραχὴ, ἢ πόλεμος, ἀπὸ τοῦ κύειν τὸ δέος, ἢ τὸ δεῖμα.

Κυδοιδοπᾶν, συνταράττειν. γίνεται δὲ ἐξ ἑκατέρου, ἐὰν μὲν διὰ τοῦ ν παρὰ τὸ κυκᾶν, ἐὰν δὲ διὰ τοῦ δ, παρὰ τὸν κυδοιμόν.

Κυδοιμὸς, ἀπὸ τοῦ κύων οἴδματα καὶ ταραχάς.

Κύδνος, κύκνος.

Κῦδος, κύδιμος, ἢ κυδάλιμος, ἢ κύδιστος. ἐκ τοῦ κύω τὸ φιλῶ, τὸ κῦδος.

Κῦδος, καὶ ἀγλαΐα ταυτὸν παρ' Ὁμήρῳ. ὡς ἐν τῷ ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη, καὶ ὄνειαρ. κῦδος, λοιδορία. καὶ κῦδος, ἡ δόξα, ἀρετὴ, νίκη, τιμὴ, ἀριστεία.

* Κυδύλιον, ἔνδοξον κυδάλιμον.

Κυδρὸς, ὁ ἀγαθὸς, τίμιος, ἀπὸ τοῦ κῦδος, κῦρος.

* Κυδωναῖα σῦκα, τὰ χειμερινὰ παρ' Ἀχαιοῖς.

Κύδωνες, Κρήτης ἔθνος. καὶ Κυδωνὶς, πόλις αὐτόθι, ποταμὸν ἔχουσα Ἰάρδανον.

Κυδώνιον, εἶδος ὀπώρας.

Κυδώνιον, μέγα καὶ ἀξιόλογον, ἢ ἀπατηλὸν, δόλιον, λοίδορον, καὶ τὸ μῆλον.

Κυδωνία, πόλις ἐν Κρήτῃ. Ἀλέξανδρος ἐν τρίτῳ κρητικῶν, τῇ Ἀκακαλίδι συνελθεῖν φησι τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα, καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον. ἐκ δὲ Ἑρμοῦ, Κύδωνα ἀφ' οὗ ἡ πόλις Κυδωνία καλεῖται ἐν Κρήτῃ. τὸν Ἀκακαλίδος υἱὸν Ἀμφίθεμιν, καὶ Γαράμαντα κληθῆναί φησιν. ἄδηλον δὲ, πότερον ἀπὸ τοῦ Γαράμαντος τούτου οἱ ἐν τῇ Λιβύῃ Γαράμαντες ὠνομάσθησαν οὕτως, ἢ ἀπὸ τοῦ ἔθνους ἐστὶ δὲ καὶ ναὸς παρ' αὐτοῖς, καὶ Γαράμας.

Κύει ἡ γυνὴ, ἡ κατὰ γαστρὸς ἔχουσα. καὶ κάλλιον κύει, ἢ κατὰ γαστρὸς ἔχει.

Κύειν, πρωτότυπόν ἐστι τοῦ κυνεῖν, τὸ προσκυνεῖν. καὶ κύειν, τὸ γεννᾶν.

Κυεῖν ἐστι τὸ ἔγκυον εἶναι. τίκτειν δὲ, τὸ ἀπαλλάττεσθαι τοῦ κυεῖν.

Κυζηθμὸς, ἡ ἀσαφὴς τῶν κυνῶν βοή.

Κυζι-

Digitized by Google

Κυζικηνοὶ στατῆρες, διεβεβόηντο, ὡς εὖ κεχαραγμένοι. πρόσωπον δὲ ἦν γυναικὸς ὁ τύπος.

Κύζικος Αἰνέως, Θετταλὸς ὢν τὸ γένος, ᾤκησεν ἐν Ἑλλησπόντῳ. γήμας δὲ Εὐσώρου βασιλέως τῶν Θρᾳκῶν αὐτὴν, γεννᾷ Κύζικον, ἀφ' οὗ ἡ πόλις Κύζικος, Πάνορμος λιμὴν τῆς Κυζίκου, οὗ ὁμώνυμος πόλις ἐν Σικελίᾳ.

Κύημα, τὸ κατὰ γαστρὸς, καὶ ἡ προβολὴ τῶν φυτῶν.

Κυηθείς. κυέω, ὃ σημαίνει τὸ ἐγκυμονῶ, καὶ συλλαμβάνω, καὶ οὐ τὸ τίκτω, παρὰ τοῖς ῥήτορσιν, ὁ μέλλων κυήσω, ὁ παρακείμενος κεκύηκα, ὁ παθητικὸς κεκύημαι, ὁ ἀόριστος ἐκυήθην, ἡ μετοχὴ ὁ κυηθείς.

Κύησιν, ἐν γαστρὶ ἔχειν.

Κῦθε, δεύτερος ἀόριστος τοῦ κεύθω.

Κῦθεν, ἔκρυψεν, ἐκάλυψεν.

Κυθέρεια ἡ Ἀφροδίτη, παρὰ τὸ κεύθειν τοὺς ἔρωτας, ἢ ἡ κευθόμενον ἔχουσα ἐν ἑαυτῇ τὸν ἔρωτα. ἢ ὅτι οἱ ἐρῶντες ἐν αὐτοῖς κρύπτουσι τὸ ἐρωτικὸν πάθος.

Κυθέρεια λέγεται, ἢ ἡ ἀναφανεῖσα περὶ νῆσον τὰ Κύθηρα, ἢ ἡ κεύθουσα ἔρωτας. Ἄλλως.

Κυθέρεια, ἀπὸ τοῦ κεύθειν τοὺς ἐραστὰς, καὶ λάθρα παραγίνεσθαι, ἢ ἀπὸ τοῦ κύειν τὸν ἔρωτα.

Κυθηγενέσι, κρυφογενέσι.

Κύθηρά ἐστι πόλις Κύπρου μικρά. εἴρηται δὲ οὕτω, παρὰ τὸ κεύθειν, καὶ κρύπτειν τὸ αἰσχρόν. ἢ παρὰ τὸ κύειν ἐν θέσι, παραθαλασσία γὰρ ἡ πόλις.

Κύθηρα, ἐν οὐδετέρῳ γένει, νῆσος πρὸς τῇ Κρήτῃ, ὥς φησιν ὁ γράψας τὰ ἐθνικά, ἡ ποτὲ καὶ πορφυροῦσα ἐρρέθη, διὰ τὸ καλλίστας φέρειν πορφύρας. ἐκ ταύτης καὶ ἡ Ἀφροδίτη κυθέρεια, κατὰ τὸν Ἡσιόδου μῦθον λέγεται. διὸ καὶ ζάθεα κύθηρα ἔφη ὁ Ποιητὴς, διὰ τὴν ἐν αὐτοῖς μυθολογουμένην τῆς κυθερείας ἔκφασιν.

Κυθήροθεν, ἀπὸ Κυθήρων.

Κυθηροδίκη, ἀρχή τις τὰ ξενικὰ διοικοῦσα.

Κύθηρος, δῆμος τῆς Πανδιονίδος φυλῆς.

Κυθήρων, Ἀφροδίτης ἡ πόλις.

Κυθμώλης, ἐξώλης. ἔνιοι δὲ πεποιῆσθαι τὴν λέξιν φασὶν, ἀπὸ Κύθμου τῆς νήσου. ἀπολέσθαι γὰρ αὐτὴν ὑπὸ Ἀμφικτύονος.

Κυθνὸν, τὸ ἄκυον φάρμακον. καὶ πολύκυθνα, πολύσπερμα. κυθνὸν γὰρ τὸ σπέρμα.

Κύθνος, μία τῶν κυκλάδων νήσων.

Κυθνώδης συμφορά. οὕτω λέγεται ἡ μεγάλη συμφορά.

Κύθρα, γέλως σκωπτικὸς, ἀπὸ τοῦ κύτος, κῦθος καὶ κύθρα.

Κυθρίσαι, ἐπὶ τοῦ σκῶψαι, καὶ γελάσαι. πανήγυρίς ἐστι παρ' Ἀθηναίοις οἱ κύθροι, ἐν οἷς ἀλλήλους ἔσκωπτον.

Κυθώδεος, δυσόσμου.

Κυθωνύμου, αἰσχρὸν κλέος ἔχοντος, ἢ οὗ ἄν τις ἐπικρύψειε τὸ ὄνομα, διὰ τὰς συμφορὰς καὶ τὰς πράξεις τὸ ἄξιον κεκρύφθαι.

Κυΐσκει, συλλαμβάνει.

Κυΐσκει, ἔγκυος γίνεται.

Κυΐσκω, τὸ γεννῶ.

Κυκᾶν κυρίως, κυκεῶνα ποιεῖν, μέλλων κυκήσω, ἀόριστος ἐκύκησα, καὶ ὥπλισε κυκεῶνα, τεύχειν. ἢ κυκᾶν, ἀντὶ τοῦ ταράττειν καὶ στρέφειν, καὶ ὑπόνοιᾳ τῷ κατὰ τὴν Κίρκην κυκεῶνι προσαρμόττον, ὃς ἀπὸ τοῦ χύσιν κατὰ τοὺς παλαιοὺς παρῆκται, διὰ τὸ ὑγρὸς εἶναι καὶ πόσιμος. εἰ δὲ καὶ πράγματα κυκᾶν τις λέγεται, καὶ διὰ τοῦτο κυκεὼν σκώπτεται.

Κύκαλα, δῆμος τῆς αἰαντίδος φυλῆς.

Κύκαρος, τὸ ἐλάχιστον.

Κυκεῶ, ἀποκέκοπται ὁμοίως τῷ ἱδρῷ, τὸν ἱδρῶτα καὶ ἱδρῶ, ἀντὶ τοῦ κυκεῶνα κατὰ ἀποκοπήν. ἐστι δὲ αὐτὴ τῶν Δωριέων, γίνεται δὲ ἐξ οἴνου καὶ τυροῦ καὶ ἀλφίτων πόμα.

Κυκέω κυκῶ, τὸ ἐγκυμονῶ, καὶ συλλαμβάνω, καὶ οὐ τὸ τίκτω παρὰ τοῖς ῥήτορσιν. ὅθεν καὶ κύησις, ἡ ἐγκυμόνησις, καὶ ἡ σύλληψις. κύω δὲ τὸ φιλῶ.

Κυκεὼν, ἡ ταραχὴ, ἢ ποτὸν συγκείμενον ἐκ πολλῶν βοτανῶν, ἢ πόμα δηλητηριῶδες, ἀπὸ τοῦ κυκᾶσθαι κυκεὼν καὶ κυκεών. ἐστι γὰρ πόμα κατασκευαστόν.

Κυκηθῆναι, πάνυ ἐμφατικῶς ἐπὶ ποταμοῦ καὶ συγχύσεως ἐπὶ τοῦ εἴρηται, ἀπὸ τοῦ κυκῶ, ἐξ οὗ καὶ τὸ εἶδος πόματος ὁ κυκεών. λέγεται δέ ποτε καὶ ἐπὶ ἀπραγμάτων πραγμάτων ἡ κύκησις, ἀπ' αὐτῆς δὲ καὶ παρὰ τῇ κωμῳδίᾳ τὸ κυρκανᾶν, αὐτὸ δὲ ἴσως καὶ ὠνοματοπεποίηται, ὡς καὶ ἡ κορκορυγή.

Κυκήθρα, συμφορὰ, ταραχή. κυκᾶ γὰρ, τὸ ταράσσω.

Κυκηθῆτην, ἐταράχθησαν, καὶ κυκηθρήτην.

Κυκήσω, ταράξω.

Κύκημα, τάραχος.

Κύκλα παρ' Ὁμήρῳ ἐν τῇ τῆς Ἰλιάδος σ', χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν. ὅ ἐστι κατὰ τοὺς τροχίλους, οἳ ὡς εἰκὸς ἐνείροντο τοῖς τῶν λεβήτων ποσίν. ὡς ἂν εἴς τε τὴν τῶν θεῶν ἄθροισιν δύωνται. τοῦτο γὰρ ὁ θεῖος ἀγών. καὶ οἴκαδε αὖθις εἰς τὰ ἑαυτῶν ἀπονέωνται, δίκην ἐμψύχων. τοιαῦτα γὰρ ὑποτίθενται εἶναι τὰ ἡφαιστότευκτα.

Κύκλα κατὰ μεταπλασμὸν γένους, οἱ τροχοί. ὅθεν καὶ κυκλῆσαί που ἔφη, τὸ ἐπὶ ἁμαξῶν ἀγαγεῖν. τοιούτου δὲ μεταπλασμοῦ σὺν ἄλλοις πολλοῖς, καὶ ὁ θυμὸς καὶ τὸ θυμόν. καὶ ὁ γάρος παρ' Αἰσχύλῳ, φασὶ καὶ τὸ γάρον. οὕτω δὲ καὶ ὀρίγανον καὶ ὁ ὀρίγανος.

Κυκλάζει, κύκλῳ περιέρχεται.

Κυκλαίνει, στρογγυλοῖ.

Κυκλάμινος, εἶδος βοτάνης.

Κύκλειοι αὐλοὶ, οὕτω τινὲς ἐκαλοῦντο. εἶεν δ' ἂν οἱ χορικοί.

Κέκλετε, ἢ κέκλυτε, ἀκούσατε.

Κύκλιον, εἶδος πόματος ἐξ εἰδῶν συγκείμενον.

Κυκλέω κυκλῶ, τὸ συστρέφω. κυκλόω δὲ τὸ περιλαμβάνω. καὶ κυκλοῦμαι, τὸ περιλαμβάνω καὶ τὸ περιλαμβάνομαι.

Κυκλώσωμεν, ἀντὶ τοῦ τροχοῖς ἀγάγωμεν, ἢ μάλιστα ἐφ' ἁμαξῶν κομίσωμεν. ὡς ἀπὸ μέρους. τὰ δὲ κύκλα, ἤγουν οἱ τροχοὶ, μέρος ἁμάξης.

Κυκλήσομεν ἐνθάδε πάντες, ἀντὶ τοῦ ἐφ' ἁμαξῶν ἄξομεν. ἀπὸ τοῦ κυκλῶ κυκλήσω, κύκλα οἱ τροχοί.

Κυκλήσομεν, ἀνεζεύξομεν.

Κυκλία τὰ πολλὰ, παρὰ τῷ Ἀριστοφάνει. τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. παρθένεια δὲ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη, τὰ ἐπεκτεταμένα. ἔστι δὲ διηγηματικόν. ἄλλως. ἀντὶ τοῦ κατάτεχνα, ποικίλα, οἷον ὕμνους, παιᾶνες, προσῴδια, καὶ τὰ τούτοις παραπλήσια.

Κυκλιοδιδάσκαλον, ἀντὶ τοῦ διθυραμβοποιὸν λέγει Ἀριστοφάνης. εἴρηται, ὅτι ἐγκύκλιω διδάσκουσιν. Ἀντίπατρος δὲ καὶ Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασι, φασὶ τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον Λασόν, Ἑρμιονέα. οἱ δὲ ἀρχαιότεροι, Ἑλλάνικος καὶ Δικαίαρχος, Ἀρίονα τὸν Μηθυμναῖον. Δικαίαρχος μὲν ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων. Ἑλλάνικος δὲ ἐν τοῖς κραναϊκοῖς.

Κυκλογάλων, γλίσχρων, σμικρολόγων.

Κυκλοβορεῖν, καὶ καταγλωττίζειν, χαριεντίσματά ἐστι κωμῳδίας.

Κυκλοβόρος, ποταμὸς Ἀθηναίων, ὃς οὐκ ἀεὶ οὐδὲ διὰ παντὸς ῥέει, ἀλλὰ χειμάρρους. ἔνιοι τόπος κυκλοτερὴς, ἐν ᾧ τὰ ὤνια ἐπωλεῖτο, ἃ ἐσφετερίζετο ὁ Κλέων.

Κύκλοι, ἐν τῇ νέᾳ κωμῳδίᾳ καλοῦνται, ἐν οἷς ἐπιπράσκοντο τὰ ἀνδράποδα. ἴσως καὶ τὰ λοιπὰ ὤνια, ἐφ' ὃ δὲ ἀναβαίνοντες οἱ δοῦλοι πιπράσκονται. τοῦτο τράπεζαν Ἀριστοφάνης καλεῖ, μονοπώλιον Ὑπερείδης.

* Κύκλοι προσώπου, τὰ μῆλα.

Κύκλοι εἰσὶ παράλληλοι, οἱ περὶ τοὺς αὐτοὺς πόλους στρεφόμενοι.

Κύκλοι εἰσὶν ἀρκτικοὶ, οἱ τὸ φαινόμενον ἀεὶ μέρος τοῦ οὐρανοῦ καὶ τὸ ἀφανὲς διορίζοντες.

Κύκλοι εἰσὶν μεσημβρινοὶ, οἱ διατέμνοντες τὸ ὑπὲρ γῆν ἡμισφαίριον. κύκλοι εἰσὶν ὁρίζοντες, οἱ διορίζοντες τὸ φαινόμενον μέρος τοῦ οὐρανοῦ ἀπὸ τοῦ ἀφανοῦς.

Κύκλον ποιητὸν λέγει Ὅμηρος συνήθως, τὸν τοῦ ἅρματος τροχὸν, ὡς καὶ αὐτὸν εὖ πεποιημένον. ἢ καὶ πρὸς διαστολὴν τῶν παρὰ τοῖς σοφοῖς διανοητῶν κύκλων.

Κύκλος, σφαῖρα, ἐνιαυτὸς, κόσμος.

Κύκλος ἐστὶν ἰσημερινὸς, ὁ μέγιστος τῶν παραλλήλων, ἢ ἐφ' οὗ τὰς ἰσημερίας ὁ ἥλιος ποιεῖται.

Κύκλος ἐστὶ τροπικὸς, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὰς τροπὰς ποιεῖται.

Κύκλος, περίβολος, καὶ ἐν ἀγορᾷ τόπος ἔνθα σκεύη καὶ σώματα πιπράσκονται, καὶ ἐν ταῖς κωμῳδίαις ὑπότροχόν τι κατασκεύασμα. καὶ παρὰ τοῖς γεωμέτραις ἐπίπεδον σχῆμα, ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, καὶ εἶδος ἱππασίας.

Κυκλοτερὲς, περιφερὲς, ἐπικαμπές.

Κύκλους καὶ στεφὰς, τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος ὡς Σοφοκλῆς Ἡρακλεῖ, κυκλώπειον τροχόν.

Κυκλοτερὲς τόξον λέγει Ὅμηρος, οὐ τοιοῦτον φύσει, σκολιὸν γάρ ἐστι καὶ ἀγκύλον πρὸ τῆς τάσεως, ἀλλ' ὅπερ ἑλκυσμῷ τοιοῦτον γίνεται.

Κυκλοφορεῖται, κατὰ κύκλον φέρεται, ἢ κινεῖται.

Κύκλωπες, κυκλόωπες, καὶ κατὰ συγκοπὴν κύκλωπες, ὅτι κυκλοτερὴς ὀφθαλμὸς εἷς ἐνέκειτο τῷ μετώπῳ.

Κύκλωπες, ἄγριοι ἄνθρωποι. καὶ κυκλώπειον βλέμμα. σημαίνει δὲ καὶ ὄρος.

Κυκλώπων ἕδος, ἐπειδὴ Κύκλωπες ἐτείχισαν τὰς Μυκήνας καὶ Κυκλώπων, Χαλκέων.

Κυκλῶ, κυκλώσω κοινῶς. κυκλῶ κυκλήσω, παρ' Ὁμήρῳ, τὸ ἐφ' ἁμάξης ἄγω. κύκλα γὰρ οἱ τροχοὶ, καὶ εἰσκυκλέω, καὶ ἐπικυκλέω, καὶ ἀνακυκλέω.

Κυκλῶσαι, τὸ περιελθεῖν καὶ περιοδεῦσαί τινα τόπον. κυκλῆσαι δὲ καὶ ἀνακυκλῆσαι, τὸ πολλάκις αὐτὸ μεταστρέψαι.

Κυκλοστάθμοις, ὑψηλοῖς.

Κύκλῳ, εἴτε ὄνομα, εἴτε ἐπίρρημα, σὺν τῷ ι γράφεται. ἐστι γὰρ κύκλος, κύκλου, κύκλῳ. καὶ λοιπὸν αὗται αἱ δοτικαὶ μετερχόμεναι εἰς ἐπιρρήματα, κατὰ τὴν σύνταξιν τῆς δοτικῆς, τὴν γραφὴν φυλάττει. οἷον ἰδίᾳ, δημοσίᾳ. κύκλῳ. οἷον, κύκλῳ στῶμεν.

Κύκλωψ, ἐθνικόν ἐστι, τῷ τοῦ Ποσειδῶνος υἱῷ, κύριον δὲ τὸ Πολύφημος. εἰ μὴ ἄρα ὥσπερ τὸ Αἰγύπτιος, ἐν τοῖς ἑξῆς κύριον εὕρηται ὄνομα, οὕτω καὶ τὸ Κύκλωψ ἐξ ἐθνικοῦ εἰς κύριον μεταπέπτωκεν, ἐξιδιωσαμένου τοῦ Πολυφήμου τὸ κοινόν.

Κύκλωψ ὅτι ποιμὴν ὢν, καὶ λύραν κατέχων ἡγεῖτο τοῖς αὐτοῦ θρέμμασι, καὶ ὅτι αὐτὸν Ὀδυσσεὺς ἐτύφλωσε, δηλοῖ ἡ ἱστορία.

Κύκνειον, τὸ τοῦ κύκνου μέλος.

Κύκνοι, δύο. ὁ μὲν Ἄρεως, ὁ δὲ Ποσειδῶνος. καὶ τὸν μὲν Ἄρεως, κακῶς τὰ παρὰ θαλασσίαν διατιθέντα, Ἡρακλῆς ἀπέκτεινεν. ὡς ἐν τῇ ἀσπίδι Ἡσίοδος δηλοῖ. τὸν δὲ Ποσειδῶνος, Ἀχιλλεὺς στρατευσάμενον καὶ συμμαχοῦντα τοῖς Τρωσὶν, ὡς καὶ Πίνδαρος ἱστορεῖ.

Κύκνος τῷ Ἀπόλλωνι, οὐ μόνον διὰ τὸ ᾠδικὸν καὶ μαντικὸν ἀφιέρωται, ἀλλὰ καὶ διὰ τὸ λευκὸν, ὅπερ ἐκ τοῦ λεύσσειν ἤτοι βλέπειν παράγεται, οὗπερ Ἀπόλλων ἐστὶ παραίτιος. ὅθεν καὶ δήλιος ἐπιθετικῶς ὀνομάζεται, ὡς δῆλα καὶ ἀόρατα πάντα ποιῶν.

Κύκνος, ζῶον ἀπὸ τοῦ κλῶ τὸ φωνῶ, γίνεται κλύω, κλύκος, καὶ καθ' ὑπερβιβασμὸν καὶ μετάθεσιν τοῦ λ, κύκνος. ἢ ὁ κυκλοτερῆ ἔχων τὸν τράχηλον, παρὰ τὸ κύκλος.

Κύκνος, ἄτρωτος ἦν τὸ λοιπὸν σῶμα, πλὴν κεφαλῆς. τοῦτο μῦθός ἐστιν, ὅτι κατὰ τὴν κεφαλὴν πληγεὶς ὁ κύκνος ἀνῃρέθη. ἀλλὰ περιδέξιος ὢν στρατιώτης ὁ κύκνος. καὶ κάλλιστα σκεπόμενος ἐν πολέμοις, ὡς μηδέποτε τρωθῆναι ὑποτέτακται τοῖς μύθοις, ὅτι ἄτρωτος ἦν, ἐπειδὴ πληγεὶς ὑπ' Ἀχιλλέως τὴν κεφαλὴν, ἀνῃρέθη.

Κύκνος, ὁ Σκαμανδροδίκης καὶ Ποσειδῶνος, λαθραίως τεχθεὶς, ἐρρίφη πλησίον θαλάσσης. κύκνων δὲ πέριξ αὐτοῦ καταπτάντων, ἰδόντες ἁλιεῖς ἀνείλοντο τοῦτον, καὶ κύκνον ὠνόμασαν. ὃς ἀνδρωθεὶς, ἔγημε Πρόκλειαν τὴν Λαομέδοντος, καὶ γεννᾷ Τέννην, καὶ Ἡμιθέαν. ἀποθανούσης δὲ τῆς Προκλείας, ἐπέγημεν ὁ Κύκνος Φιλονόμην τὴν Τραγασαῖς. ἥ τις ἐρασθεῖσα τοῦ Τέννου, καὶ μὴ

τυχοῦσα, κατηγόρησε πρὸς τὸν πατέρα, ἐκβιασθεῖσα ὑπ' αὐτοῦ, συμφωνοῦντος αὐτῇ καὶ αὐλητοῦ τινος Μόλπου. ὁ δὲ ὀργισθεὶς, εἰς λάρνακα βαλὼν Τέννην καὶ Ἡμιθέαν, ἀφῆκεν εἰς τὴν θάλασσαν. τῆς δὲ λάρνακος προσενεχθείσης τῇ τότε Λευκοφρύϊ νήσῳ, νῦν δὲ ἀπὸ τοῦ Τέννου Τένεδος καλουμένη, ἰδόντες οἱ τῆς νήσου τὸ συμβὰν καὶ μαθόντες τὸ δρᾶμα, βασιλέα αὐτῶν τὸν Τέννην ἐποίησαν. καὶ τὴν νῆσον ἀπ' ἐκείνου, Τένεδον προσηγόρευσαν. γνοὺς δὲ ὁ Κύκνος τὸ ἀληθὲς, ἀνεῖλε μὲν Φιλονόμην. αὐτὸς δὲ ἐλθὼν συνῴκησε τοῖς παισὶν ἐν Τενέδῳ. Ἀχιλλεὺς δὲ ἐπιστρατεύσας τῇ Τροίᾳ, ἀνεῖλε τὸν Κύκνον, καὶ Τέννην τὸν υἱὸν Κύκνου λόγῳ, ἔργῳ δὲ Ἀπόλλωνος. ἡ δὲ Ἡμιθέα διωκομένη φεύγουσα τὴν μῖξιν, εἰς γῆν κατεπόθη. μετὰ δὲ τὸ ἀνελεῖν Ἀχιλλεὺς Κύκνον, καὶ Τέννην, εἰς ἔννοιαν ἐλθὼν, ὕστερον ἀνεῖλε καὶ Μνήμονα, ὃν τινα ἡ Θέτις συνακόλουθον Ἀχιλλεῖ δέδωκεν, ὑπομιμνήσκειν αὐτῷ μὴ ἀνελεῖν Ἀπόλλωνος παῖδα, εἱμαρμένον γὰρ ἦν Ἀχιλλεῖ ἀποθανεῖν, εἰ ἀνέλῃ παῖδα Ἀπόλλωνος. ὁ δὲ Τέννης, ὡς ἔφην, υἱὸς Ἀπόλλωνος.

Κύκνος, ἀπὸ τοῦ κυκᾶν πλέον τῶν ἄλλων τὴν ἰλὺν χρήσει τροφῆς.

Κυκαίας, προγόνους.

Κυκοῦντος, θρηνοῦντος.

Κυκύϊζα, γλυκεῖα κολόκυντα.

Κύκυον, τὸ σικύον.

Κυκρὸν, ἔγκυον, ἁπαλὸν, βλαστόν.

Κυληβὶς, κολοβή.

Κυκῶ, τὸ ταράσσω, καὶ κυκῶσαι.

Κυκώμενος, ταραττόμενος.

Κυλαίνων κάτω, Σοφοκλῆς Φαίδρᾳ, τὰ ὦτα καταβαλὼν, ἅπερ οἱ σαίνοντες ποιοῦσιν, ἔσται ἐπ' οὐρὰν ὡτὶ κυλαίνων. καὶ τὸ οἷον οὐρὴ μὲν ῥ' οἵ σαίνε, καὶ οὔατα κάββαλεν ἄμφω.

Κυληβὼν, ἡ ἄκαρπος κράμβη.

Κύλα, τὰ ὑπὸ κάτω τῶν βλεφάρων κοιλώματα, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μῆλα, τὰ ὑπώπια.

Κυλίειν, λέγεται ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κατώτερα. τὸ δὲ ὠθεῖν, ἀνάπαλιν. κατακυλίεται μέν τι ῥᾶον, ὠθεῖται δὲ οὐκ εὐχερῶς.

Κυλικεῖον, ἡ θήκη τῶν ποτηρίων.

Κυλικίας, ἰδιώτης ἀπὸ τόπου, Γόβας.

Κυλικήρυτον, αἷμα, ὡς τὸ κοτυλήρυτον, οἷον πολύ.

Κυλίκρανον. Πολέμων φησὶν, ὅτι τοὺς ὤμους κεχαραγμένοι ἦσαν κύλικες. οἱ δὲ τοὺς ὑπότισιν ἡρακλεώτας, ἀπό τινων ὀνομάσθαι.

Κυλίνδει, κυλίει, ἐπιφέρει. καὶ κυλίνδεσθαι, ὁμοίως.

Κυλίνδεσθαι, τῷ κυλίνδῳ ἐξώρμηται, βαρυτόνου θέματος. τὸ γὰρ κυλινδεῖσθαι, τῶν μεθ' Ὅμηρόν ἐστιν, ὥσπερ καὶ τὸ καλινδεῖσθαι. οἷς ὅμοιόν ἐστι καὶ τὸ ἀλινδεῖσθαι. ἀφ' οὗ καὶ ἡ ἀλινδήθρα, ὅπερ ἐστὶ κονίστρα. προϋπάρχει δὲ ἀμφοῖν τὸ ἀλίζειν, ὧν χρῆσις παρὰ τῷ Κωμικῷ ἐν τῷ ἀλινδήθρας εἰπεῖν. ἤγουν κονίστρας, παλαίστρας. καὶ ἐν τῷ τὸν ἵππον ἐξαλίσας, ἤγουν κυλισθῆναι ποιήσας.

Κυλίνδεται, παρὰ τῷ Ἀριστοφάνει κεῖται, ἀντὶ τοῦ περιφέρεται.

Κυλίνδετο πῆμα, πολλαχοῦ εἶπεν ὁ Ποιητὴς, καὶ δηλοῖ τὸ ἄνωθεν ἐκ Διὸς ἥκειν αὐτό.

Κυλινδήθρα, κυλίστρα, ἀπὸ τοῦ κυλινδῶ.

Κυλίνθιον, προσώπιον ξύλινον.

Κυλινδούμενος, κυλιόμενος, περιστρεφόμενος.

Κυλινδοῦται, κυλίεται. καὶ καλινδοῦται, ἀντὶ τοῦ κυλίεται.

Κύλινδροι, ὄφεις καὶ σφραγῖδος εἶδος, καὶ πόλεμοι, καὶ λίθοι στρογγύλοι.

Κύλινδρος, κιονίσκος λίθινος στρογγύλος, ἑκατέραν ἔχων βάσιν ἐπίπεδον.

Κυλίνδω, ἀεὶ παρὰ τῷ Ποιητῇ βαρύνεται, ὅθεν κυλινδόμενος μόνον οἶδεν ὁ Ποιητὴς, ἡ καὶ παρὰ τοῖς ὕστερον περισπᾶται, οἳ κυλινδεῖσθαί φασι.

Κύλιξ, τὸ ποτήριον, ἀπὸ τοῦ κύκλος, κύκλιξ. καὶ κύλιξ φιάλη, λέγεται δὲ καὶ κυλίκιον χεῖλος, ἀποκεκρουσμένον, κεκλασμένον. καὶ κυλίκιος ἐξήγησις, οἷα δὴ ἐν στιβάσι. καὶ κύλικι ἐς τὸ ἁβρότερον ἀνακεκλιμένοις ἐπιπεσὼν ἔκτεινε, καὶ αὖθις καὶ σταγόνα σπονδῇ τιν' ἀεὶ θύουσιν ὁπηνίκ' ἂν τῆς κύλικος βαιῷ πυθμένι κάθωμεν.

Κύλιξ ῥωπαλωτὴ, τὸ παρὰ πολλοῖς διακλύστηρον.

Κύλιξ, τὸ ποτήριον, κύκλιξ τις ὤν, ἀπὸ τοῦ κυκλοειδὲς εἶναι. ἢ παρὰ τὸ χύω χύλιξ καὶ κύλιξ.

Κυλίστωτος, πόλις Ἰταλίας. Πάρθαξ δὲ τὸ πρῶτον ἐκαλεῖτο. διὰ δὲ τὸ τὸν Ἡρακλέα φονεῦσαι δράκοντά τινα ὑπερμεγέθη, καὶ κυλισθῆναι εἰς αὐτὸν, κυλίστανος ἐκλήθη.

Κυλίχναι, λεκανίδες, τρυβλία, ἢ φιάλαι. καὶ κυλιχνίδες παρὰ Ἀθηναίοις, αἱ πυξίδες, ἢ οἱ λιβανωτοὶ, ἢ ἀγγεῖα κεράμεια.

Κυλίχνιον, ἔκπωμα. ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰς πυξίδας, ἐν οἷς προσβάλλουσι τὰ πάσματα.

Κύλλα, πολύχνιον ἦν τὸ ἐγχωρικὸν κείμενον περὶ τὴν Ἀδραμυττηνὴν χώραν. τὸ δὲ ὄνομα ἔσχεν ἀπό τινος ἡνιοχοῦντος τῷ Πέλοπι, ὃς Κύλλας ἐκαλεῖτο. αὐτόθι δὲ τεθνεὼς καὶ ταφεὶς ἐτιμήθη πρὸς τοῦ Πέλοπος κτίσματι πόλεως, ἥτις δι' ἐκεῖνον Κύλλα ἐκλήθη. καὶ ἀπ' αὐτοῦ κυλλαῖος Ἀπόλλων αὐτόθι, ὁ καὶ ποταμός. ἔοικε δὲ ὁ Κύλλας διὰ τοῦ ντ κλίνεσθαι, ὡς τὸ πάλλας τοῦ πάλλαντος. διὸ καὶ οἱ κατὰ τὴν κίλλαν αὐτὴν κίλλαντες ἐκαλοῦντο.

Κυλλάδες, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μέρη, ὅθεν καὶ τὸ ταῦτα οἰδεῖν, κυλοιδιᾶν καλοῦσι. συνέσταλται δὲ τὸ υ.

Κυλλαίνει, θυμαίνει.

Κύλλαος, βόστρυχος.

Κυλλαραβὶς, δίσκος, ἢ γυμνάσιον ἐν Ἄργει.

Κύλλαρος, ὁ ἵππος κάστορος, παρὰ τὸ κέλλειν, ὁ ταχύς. Στησίχορός φησι τὸν Ἑρμῆν δεδωκέναι τοῖς Διοσκούροις φλόγεον καὶ ἅρπαγον, ὠκέας τέκνων ποδάργας, καὶ κύλλαρον.

Κύλλας, κύλλαξ. ἠλεῖοι.

Κυλλάστις ἄρτος ἐν Αἰγύπτῳ, ὑπὸ ῥιζῶν ἐξ ὀλύρας.

Κυλλαστὴς, τοὺς ὀφθαλμούς.

Κυλλήβην, κολοβόντα. οἱ δὲ τὰ κέρατα κολόβια, παρ' Ἱππώνακτι.

Κυλλήνη, οὐ μόνον ὄρος Ἀρκαδίας, ἀλλὰ καὶ πόλις ὁμώνυμος. ἔνθα δοκεῖ τὸν Ἑρμῆν τεκεῖν, ἡ τοῦ Ἄτλαντος Μαῖα, ὅθεν καὶ κυλλήνιος Ἑρμῆς. ἐξ οὗ καὶ κύλλιος κατὰ συγκοπὴν, ὡς ὁ τὰ ἐθνικὰ γράψας φησίν. ἐκλήθη δὲ Κυλλήνη, ἀπὸ τῆς Κυλλήνης Ναΐδος. ἐν τούτῳ φασὶ μόνῳ τῷ ὄρει τοὺς κοττύφους λευκοὺς γίνεσθαι, καὶ φωνὰς ποικίλας προΐεσθαι, θηρεύεσθαι δὲ πρὸς τὴν Σελήνην, τῆς δὲ ἡμέρας δυσθηράτους εἶναι σφόδρα. ἔστι δέ φασι καὶ Κύλλης Κυλλήνη. ὁ δὲ Γεωγράφος, ὅτι Κυλλήνη καὶ Ἠλείων ἐπίνειον, ἀφ' ἧς Κυλλήνιον ἀρχὸν Ἐπειῶν φησί που Ὅμηρος. ἔστι δὲ καὶ κώμη μετρία, ἔχουσα τὸν κολώτου Ἀσκληπιὸν, ξόανον θαυμαστὸν ἰδεῖν ἐλεφάντινον καὶ ὅτι οὐχ ὁ Διόνυσος κολώτης κατὰ τὴν ἀσυντήρητον παράδοσιν, ἀλλὰ τεχνίτης ἀγάλματος Διονύσου ὁ κολώτης.

Κυλλήνη, πόλις ἐστὶ τῆς Ἀρκαδίας.

Κυλλήνιος, ὁ Ἑρμῆς. μυθικῶς μὲν ἀπὸ Κυλλήνης, ἥτις ὄρος ἐστὶν Ἀρκαδίας ὀνομασθὲν ἀπὸ Κυλλήνης Ἡρωΐδος τινός. περιάδεται δὲ διαφερόντως, ἐν τοῖς περὶ τὸ τοιοῦτον ὄρος τιμᾶσθαι τὸν Ἑρμῆν, κἀκεῖθεν ἔχειν τὸ λεχθὲν ἐπίθετον. κατὰ μέν τοι ἀλληγορίαν, Κυλλήνιος ὁ τοῦ ὕπνου δοτὴρ, ὁ τὰς ἐξουσίας τῶν κύλων ἢ κυλάδων ἔχων, ὃ δηλοῖ τὰ ὑπὸ τοὺς ὀφθαλμούς. ὅθεν καὶ κυλοιδιᾶν παρὰ Ἀττικοῖς, τὸ τὰ κύκλα τῶν ὀφθαλμῶν οἰδεῖν, ἐκ μακρουπνίας τυχὸν, ἢ ἀϋπνίας. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι κύλα κατὰ Εὐθύδημον, τὰ ἐν τῷ κάτω βλεφάρῳ μακρὰ ἀνατρέχοντα ἐν τῷ μύειν. τὰ δὲ ἐν τῷ ἄνω, ἐπικύλιον.

Κύλλια, ὑπώπια μελανά.

Κύλλοβος, ξηρὰ συκῆ.

Κυλλοιδιῶ, τοὺς ὦπας ὀγκῶ.

Κυλλοιδιῶ. Θεόκριτος, κυλλοιδιῶντες, οἰδοῦντες, καὶ τοὺς ὀφθαλμοὺς ἐξογκούμενοι.

* Κυλλὸν, καὶ κύλλωσις, ἡ ἐπὶ τὰ ἔξω διαστροφὴ τοῦ σκέλους, ἐφ' ἧς συμβαίνει ῥέπειν ἔσω τὸν πόδα. καθάπερ βλαισσὸν τὸ ἀνάπαλιν.

Κυλλὸν, ἐπὶ τοῦ ποδὸς ἔπταισον, ὅρα σοὶ κυλλοπόδιον. τὸ δὲ χωλὸν, ἐπὶ τῆς χειρός. ὡς Εὔπολις, ὅτι χωλός ἐστι τὴν ἑτέραν χεῖρα οὐ λέγεις. καὶ Εὐφρόνιος μὲν χωλὸν εἶναι τὸν κινησίαν φησίν. οὐ τάχα ἐπεὶ πολλάκις ἐστὶ παρ' αὐτοῖς ποδὶ κούφῳ, ἢ ποδὶ λευκῷ, Ἀριστοφάνης.

Κυλλοπόδιον προπαροξύτονον, ὡς τὸ Ἀγαμέμνον.

Κυλλοποδίων, ὁ Ἥφαιστος. ὡς ἀπὸ τοῦ Οἰδίπους Οἰδίποδος οἰδιποδίων, οὕτω καὶ παρὰ τὸ κυλλόπους κυλλόποδος κυλλοποδίων, διὰ τοῦ ἰῶτα.

Κύλλους λέγει, κατὰ τροπὴν τοῦ χ εἰς κ, πρὸς τὴν ἐτυμολογίαν, ἀφαιρέσει δεδώκαμεν.

Κυλλὸς, πεπηρωμένος. κυλλοὺς δὲ λέγουσιν οἱ Ἀττικοὶ, ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως καὶ χωλοὺς τοὺς χεῖρα πεπηρωμένους.

Κυλλοῦ πήραν. ἡ πήρα, χωρίον πρὸς τῷ Ὑμηττῷ, ἐν ᾧ ἱερὸν Ἀφροδίτης.

Κυλώνειον ἄγος, ἀπὸ Κύλωνος, ὃν καταφυγόντα ἐπὶ τὰς σεμνὰς θεὰς, ἀποσπάσαντες αὐτὸν οἱ περὶ τὸν Περικλέα Ἀθηναῖοι, ἀπέκτειναν.

Κύλων, Ἀθηναῖος ἀνήρ. Μεγαρίδα γυναῖκα γήμας θεαγένους γυναῖκα θέλων τυραννεῖν, ἔλαβε χρησμὸν τῇ μεγάλῃ ἑορτῇ τοῦ Διὸς, ἐπιθέσθαι τῇ πόλει. ἐν Ὀλυμπίᾳ δὲ ἐπιθέμενος, νομίζων ταύτην εἶναι μεγάλην ἑορτὴν, δύναμιν λαβὼν παρὰ Θεαγένους, μὴ γνοὺς ὅτι τὰ Διάσια ἦν ἡ μεγάλη ἑορτὴ, ἐπελθὼν τῇ ἀκροπόλει ἁλίσκεται. ἐλήφθη δὲ συλῶν τὸ ἱερὸν τῆς Ἀθηνᾶς. καὶ αὐτὸς μὲν ὁ Κύλων φεύγει, τοὺς δὲ ἄλλους φονεύουσι, τινὰς δὲ καὶ ἱκέτας ἐκ τῶν βωμῶν ἀπατήσαντες ἀπέκτειναν. τοὺς οὖν ἁμαρτάνοντας εἰς τοὺς ἱκέτας ἀλιτηρίους ἔφασκον. οὓς καὶ ἐξέβαλον τῆς πόλεως, ὅτι ἐκ τῶν ἀρχαίων νόμων παρέβησαν, τοὺς ἱκέτας φονεύσαντας. ἄλλως. Κύλων τὴν ἀκρόπολιν κατέλαβεν, ἐπὶ τυραννίδι, καὶ ἐλήφθη ποτὲ συλῶν τὸ ἱερὸν τῆς Ἀθηνᾶς, καὶ ὑπὸ Ἀθηναίων ἐκλήθη. καὶ οὗτος ἐκεῖνος εὑρὼν καιρὸν φυγῇ ἐχρήσατο. καὶ οἱ φίλοι ἔφυγον εἰς τοὺς βωμοὺς τῶν θεῶν, οὓς οὗτοι ἀποσπάσαντες ἀπέκτειναν. ὅθεν ἀλιτήριοι ἐκλήθησαν. ἐκλήθησαν δὲ ἐντεῦθεν οἱ ἀλιτήριοι. λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους, καὶ οἱ πένητες τὰ τῶν ἀλούντων ἄλευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. παρέτεινε δὲ τὸ ὄνομα, καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων, ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παραγωγὸς ἀπὸ τοῦ ἀλιτραίνειν, ὅ ἐστιν ἁμαρτάνειν. λαμβάνεται δὲ παρὰ τῷ Ἀριστοφάνει τὸ ἀλιτηρίων, καὶ ἀντὶ τοῦ ἀστοχησάντων καὶ ἀποτυχόντων.

Κῦμα, παρὰ τὸ κύω τὸ γεννῶ. καὶ κύματα κωφὰ, τὰ ἄνευ ἀνέμου ἠρεμοῦντα.

Κῦμα, ὕδατος ἐπιδρομὴ βιαία, καὶ τὸ ἔτι ὂν ἐν τῇ κοιλίᾳ, καὶ τὸ γεννώμενον κύημα.

Κυμάδας, ἐγκύους.

Κυμάγχη, ἡ εἱρκτή.

Κυμαίνει, ταράσσει, καὶ ἐπὶ τοῦ ζέειν. αἶψα δὲ κυμαίνουσαν ἀπαίνυτο χυτρίδα κοίλην. Αἰλιανὸς ὅμως ἡ ψυχὴ ὑπὸ τοῦ πόθου αὐτοῦ κυμαίνεται, καὶ φλέγεται ἀκράτως ἑαυτοῦ.

Κυμαίνουσα, ταράσσουσα οἰδοῦσα, ὑπερβλύζουσα.

Κύμαρος, κόμαρος, βόστρυχος.

Κύματα μακρὰ, τὰ ὑψηλὰ λέγει Ὅμηρος, τουτέστι τὰ εἰς ὕψος κορυφούμενα. οὕτω γὰρ καὶ μακρὸς Ὄλυμπος ὁ ὑψηλός. ἔστι δὲ ὅτι ἡ λέξις καὶ τὸ βαθὺ σημαίνει. ὡς ὅτε φρέατα μακρὰ λέγονται, ἤγουν βαθέα καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάνυ βαθέα. οὐ γὰρ πᾶν βαθὺ ἤδη καὶ μακρὸν λέγεται.

Κυμάτια, τὰ χείλη διὰ τὸ κυμαίνειν. ἢ αἱ ὑπεροχαὶ, παρὰ τέκτοσι καὶ λιθοποιοῖς.

Κύματος ἐξαναδὺς, ὃ ἐρεύγεται εἰς ἤπειρον, καινῶς ἐσχημάτισται, ἐχρῆν γὰρ εἰπεῖν ὃ ἐρεύγεται.

Κύματα μακρὰ παρ' Ὁμήρῳ ἀντὶ τοῦ βαθέα. καὶ φρέατα μακρὰ ἐν ἄλλοις λέγει, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου.

Κυμά-

Digitized by Google

Κυμάτια, αἱ ὑπεροχαὶ παρὰ τέκτοσι καὶ λιθοξόοις.

Κύματι, κωφῷ, τῷ δίχα ἀνέμου ἐπαιρομένῳ, τῷ ἀψόφῳ, καὶ μηδένα ἦχον ἀποτελοῦντι. ἀνὰ γὰρ ἀνέμου τὸ κῦμα ἠρεμοῦ, μηδέπω ἀνέμου ἀ-κεινοῦς ὄντος.

Κύματος ἄκρον ἄωτον, ὁ ἀφρός.

Κυματοφορτίδες, κόγχοι.

Κυματωγὴ, ῥαχία, αἰγιαλοῦ ὑπαγωγή.

Κῦμα θαλάσσης λέγεται πρὸς διαστολήν. κυμαίνονται γὰρ καὶ λίμναι, καὶ ποταμοί. ἀλλ' οὐχ οὕτω. κῦμα δὲ παράγεται παρὰ τὸ κυκᾶσθαι, ὡς φαίνεται ἐν τῷ κυκώμενον ἵστατο κῦμα. ἐμφαίνει ὁ Ποιητὴς ἐγγὺς τοῦ κυκᾶσθαι τὸ κῦμα θέμενος τρόπῳ ἐτυμολογικῷ. ἐπεὶ τὸ κῦμα ἐκ τοῦ κυκᾶν λέγεται τίνος ἐστὶ κῦμα, ἤγουν κύημα. ὅτι δὲ κῦμα δρομέως καὶ τὸ κατὰ γαστρὸς ἔμβρυον λέγεται συγκοπὲν ἐκ τοῦ κύημα, δηλοῖ Εὐριπίδης ἐν τῷ γέμουσαν κύματος θεοσπόρου, ἤγουν ἐγκυμονοῦσαν ἐκ Ποσειδῶνος

Κῦμα, ἀντὶ τοῦ κύημα κεῖται, παρὰ τῷ Ἀπολλωνίῳ κατὰ συγκοπήν.

Κυμαίθα, παρὰ Θεοφράστῳ, ὄνομα βοὸς, καὶ αἰγὸς, παρὰ τὸ κώμυθα. ἢ παρὰ τὸ αἴθη καὶ τὸ κόμην ἢ τὰς κόμας αἴθας ἔχουσα. τουτέστι ξανθὰς, ἢ ἐγκύμων.

Κύμβαι, ὄρνιθες.

Κύμβαι, πλοῖα περιφερῆ, παρὰ Ῥωμαίοις.

Κυμαίνει, ἡ θάλασσα, ἀμεταβάτως, μεταβατικῶς ἀντὶ τοῦ ταράσσει.

Κυματολήγη, ὄνομα νηρηίδος. λέγεται αὐτὸ τὸ λήγειν τὰ κύματα.

Κυματωγὴ, αὐτὴ ἔνθα κύματα ἄγνυνται.

Κύμβαδον, ἀκρόπατον.

Κύμβαλα, ὄργανα ἠχεῖα, παρὰ τὸ κύφον, κύφαλά τινα ὄντα. καὶ κύμβαλα, θυμελικὰ παίγνια. καὶ κύμβαλ' ὀξύδουπα κοιλογχείλεα.

Κύμβαλον, παρὰ τὸ κύπελον, κύπαλον. καὶ κύμβαλον, ἢ παρὰ τὸ πεποιημένην φωνὴν ἔχειν. κύμβαλον γὰρ, ἐκ πεποιημένης φωνῆς εἴληπται, αἱ δὲ πεποιημέναι φωναὶ αὗται, κυμ, καρ, κεν, ρε, κερ, κε, τερ, χθα.

Κυμβαλικὸς τρόπος, τῷ πελέκει κακουργῆσαι.

Κύμβαλον, βακύλλιον, βαβύλιον, εἶδος ὀργάνου μουσικοῦ.

Κύμβας, ὄρνιθας, καὶ κοίλας, καὶ περιφερεῖς, καὶ εἴδη ποτηρίων.

Κυμβατᾶται, ὀρνιθᾶται.

Κύμβαχος, ἐστὶ ταυτὸν τῷ ἐπὶ κεφαλήν. ἔοικε γὰρ οὐ μόνον ἐπὶ ὀστρακοδέρμων κύστεως ἡ κύμβη λέγεσθαι, ἀλλὰ καὶ ἐπὶ κεφαλῆς, κατά τινα γλῶσσαν. ὅθεν καὶ κυβιστᾶν τὸ ἐπὶ κεφαλὴν καθάλλεσθαι. ἔστι δὲ καὶ κυμβαῖον, εἶδός τι ποτηρίου, ὡς Παυσανίας φησί. παρὰ τὸ κυφὸν δὲ ἐτυμολογεῖται ἡ κύμβη, ὡς περιφερής. ὁ δέ γε κύμβαχος, ἢ ἔχει τι ὀνοματοποιίας, διὰ τὸν δοκοῦντα ἐγκεῖσθαι αὐτῷ ἦχον, ἢ ἐκ παραγωγῆς ἔχει τὸ χ, ἵνα ᾖ. ὡς τιμὴ, τίμαχος. ὅθεν κύριον Δωρικὸν, ὁ Τιμαχίδας, οὕτω καὶ κύμβη, κύμβαχος. σημαίνει δὲ ἡ λέξις καὶ τὸ τῆς περικεφαλαίας ἄκρον, ἐν ᾧ ἐνίεται ὁ λόφος, ὡς τὸ κύμβαχον ἀκρόπατον νύξ' ἐγχεϊ. τὸ δὲ ῥηθὲν κυμβαῖον ποτήριον, κυμβίον ἕτεροι γράφουσι. λέγοντες καὶ ὅτι ἔοικε κατὰ σχῆμα πλοίῳ, καλουμένῳ κύμβη.

Κύμβαχος, ὁ ἐπὶ κεφαλὴν πεσὼν, καὶ ἄνω τοὺς πόδας ἔχων.

Κύμβαχον κόρυθος, ὅρα πρὸς διαστολὴν τοῦ τῆς κεφαλῆς εἴρηται. Ὅμηρος, κύμβαχον ἀκρόπατον νύξεν. εἶτα ἐπάγει, πρὸς σαφήνειαν δ' ἀφίππιον λόφον. πᾶς δὲ ὁ λόφος δηλαδὴ χάμαζε κάππεσεν. ἔτι δὲ καὶ ἄλλως κύμβαχον, τὸ ὑπὲρ κεφαλῆς διάκενον τῆς περικεφαλαίας, εἰς ὃ καθίεται ὁ λόφος. εἴρηται δὲ παρὰ τὸν ἦχον τῆς κύμβης, ὅ ἐστι τῆς κεφαλῆς, ὅθεν καὶ κυμβία, ποτήριά τινα κεφαλοειδῆ, ὡς εἰκός. καὶ κυβιστᾶν, τὸ ἐπὶ κεφαλὴν ἑαυτὸν βάλλειν. συμβάλλεται δὲ εἰς τὸν τοιοῦτον νοῦν, καὶ ἡ παρὰ τῷ Ὀππιανῷ ὀστρακόδερμος κύμβη.

Κύμβη, πλοίου εἶδος. ἢ ὁμώνυμον ποτήριον κύμβα, καὶ κυμβίον δὲ γένος τι ποτηρίων βαθέων ὀρθὸν, πυθμένα μὴ ἐχόντων μηδ' ὦτα.

Κύμβη, ἡ κεφαλή.

Κυμβία, τὰ κύφα ἐκπώματα, διὰ τὸ περιφερῆ εἶναι καὶ κύφα.

Κυμβία, τὰ μαζία τῶν χρυσίων

Κύμβιον, εἶδός τι ἐκπώματος ἐπίμηκες καὶ στενὸν, καὶ τὸ σχήματι παρόμοιον τῷ πλοίῳ, ὃ καλεῖται κύμβιον.

Κύμβοι, τὰ ἐμπολήματα.

Κύμβος, κοῖλος μυχὸς, βυθὸς, καὶ κεραμίου πυθμήν.

Κύμη, πόλις Ἰταλίας ἀπό τινος Κύμης Βασιλίδος, ἥτις ἐκράτει τὸν τόπον. οἱ δὲ, ἀπὸ ἐγκύμονος γυναικὸς οὕτως ὀνομᾶσθαι τὸν τόπον. οἱ δὲ διὰ τὸ πολυκύματον αὐτὴν εἶναι.

Κύμηχα, κύαμον.

Κύμινδις, ἔοικε κρύμινδίς τις εἶναι. οἱονεὶ κρύψις τοῦ ἰδεῖν, ὅπερ ὕπνῳ οἰκεῖόν ἐστι. διὸ καὶ τοιούτῳ ζώῳ τὸν ὕπνον Ὅμηρος ἐμόρφωσεν, ὃ τὴν κεφαλὴν ὑπὸ τοὺς κλάδους φασὶ κρύπτειν. ἔτι δὲ ὁ κύμινδις, ἢ ἡ κύμινδις, ἑκατέρως γὰρ λέγεται, οἰκεῖος ὕπνῳ ἐστὶ, καὶ ὡς εἰς ὕπνον φασὶν ἀπεπίφορος, καὶ ὡς τὰ πλείω νυκτὸς φαινόμενα. καθὰ καὶ ὁ ὕπνος νυκτὶ πεφίλωται μυθικῶς, καὶ ἀλληγορικῶς, καὶ δηλοῖ τοῦτο ἡ περὶ αὐτοῦ ἱστορία λέγουσα, ὅτι κύμινδις ὀλιγάκις φαίνεται, οἰκεῖ γὰρ ὄρη. μέγεθος, ὅσον φασσοφόνος ἱέραξ, τὴν δὲ ἰδέαν λεπτὸς καὶ μακρὸς, κύμιδιν δὲ καλοῦσιν Ἴωνες αὐτόν. οὗτος ἡμέρας μὲν οὐ φαίνεται διὰ τὸ μὴ βλέπειν ὀξὺ, τὰς δὲ νύκτας θηρεύει, ὡς οἱ ἀετοὶ, καὶ μάχεται πρὸς ἀετὸν, οὕτω σφοδρῶς, ὥστε πολλάκις ἄμφω λαμβάνεσθαι ζῶντας ὑπὸ τῶν νέων. νεοττεύει δ' ἐν πέτραις, ἢ σπηλαίοις. λέγει δὲ ἡ ἱστορία, καὶ ὡς μέλας ἐστὶ χαλκίζων τὴν χροιάν. ὅθεν καὶ χαλκὶς λέγεται, ζήτει χαλκίδα λέξιν.

Κυμίνδαλα, καταστροφὴ, Ταραντῖνοι.

Κύμνιδος, ὁ ἀετὸς, καὶ κυμίνδιος.

Κύμινον, εἶδος βοτάνης.

Κυμινοπρίστας, τοὺς φειδωλοὺς καὶ σμικρολόγους ἐκάλουν. συνέθηκε δὲ τὴν λέξιν Ἀριστοφάνης, κυμινοπριστοκαρδαμόγλυφον.

Κυμοδόκη, ὄνομα νηρηίδος. λέγεται αὐτὸ τὸ δεκτικὸν, καὶ πραϋντικὸν τῶν κυμάτων.

Κυμοθόη, ὄνομα νηρηίδος. λέγεται, διὰ τὸ ταχὺ τῶν κυμάτων, ἢ τῶν πλεόνων.

* Κυμοτόμος, ὑπὸ τῶν μηχανοποιῶν καλεῖται τὸ περὶ τὰς γεφύρας οἰκοδόμημα τρίγωνον, τὸ ὀξὺ ἔχον ἔμπροσθεν ἐν τριγώνῳ σχήματι, ἐμβόλῳ νηὸς μακρᾶς ἀπεικασμένον.

Κυμοῤῥόον, τὸν ὑπὸ τῶν κυμάτων ῥοῦν.

Κυνὰ, ὄνομα πόρνης.

* Κυνάβρα ἡ τῶν κυνῶν βρῶσις, καὶ ἡ δυσωδία τῶν μασχαλῶν.

Κυνὰ δέρειν δεδαρμένην, τὸ τοῦ Φερεκράτους σχῆμα δέ ἐστιν ἀκόλαστον εἰς τὸ αἰδοῖον. εἴρηται δὲ ἐπὶ τῶν ἄλλο πασχόντων αὖθις, ἐφ' οἷς πεπόνθασιν ἡ παροιμία.

* Κυνάγχη καὶ συνάγχη, ἐστὶ τῶν κατὰ τὴν φάρυγγα μερῶν φλεγμονή.

Κυνάγχη, τέχνη. ἔνιοι τὸν διὰ χειρῶν δεσμόν. οἱ δὲ τὸ κυνάγχη, ἀντὶ τοῦ κλέπτα, καὶ νόσημα κυνῶν καὶ ἀνθρωπνιγμὸς, καὶ εἱρκτή.

Κυνάδα, κυνόσβατον, οὐ φυτὸν, ὅπερ τὰς αἶγας νέμεσθαί φασι.

Κυνάδας, ἀντὶ τοῦ τὰς κουρὰς λέγουσι Δωριεῖς.

Κυνάδες, αἱ ἀπὸ μαγδαλιᾶς.

Κυνάδης Ποσειδῶν, Ἀθήνησιν ἐτιμᾶτο. καὶ κυνάδης, ἀνελεύθερος.

Κυνάδρα, κρήνη ἐξ ἧς ἔπινον οἱ ἐλευθερούμενοι. ὅθεν καὶ τὸ ἐν κυνάδρᾳ ἐλευθέριον ὕδωρ, παροιμιακῶς ἐπὶ τῆς κατ' ἐλευθερίαν ζωῆς.

Κυναιος, ὁ ἀναιδής.

Κυναιδος, λίαν ἀναιδής.

Κυνακίας, ἱμάντες οἱ ἐκ βύρσης τοῦ σφαγιασθέντος περὶ Ἀπόλλωνι βοὸς ἔπαθλα διδομένου.

Κυναλωψ, κυνοφθόρος. οἱ δὲ διελόντες, κυνὰ ἄδικον ἀπέδοσαν.

Κυναιρεῖν, ἢ κυνουρεῖν, ἀργολύκου.

Κυναλώπηξ, Φιλόστρατον λέγουσιν οὕτω τὸν Ἀθήναιον κωμῳδεῖν, ἢ τοὺς ἐξ ἀλώπεκος καὶ κυνὸς λακωνικοὺς κύνας, φασὶ λέγεσθαι.

Κυνάμυια. ἡ ἀναιδὴς καὶ θρασεῖα, παρὰ τὴν κύνα, καὶ τὴν μυῖαν, ἀναιδῆ ζῶα καὶ ἄμφω. κοινότερον δὲ τὸ κυνόμυια, καὶ ἐξ ἐκείνου δοκεῖ γενέσθαι τοῦτο, καθὰ καὶ ἐκ τοῦ μεσοπόλιος ὁ μεσαπόλιος, καὶ ἐκ τοῦ τιθοβώσσειν τιθαβώσσειν, ἐξ ὧν καὶ τὸ τιθαιβώσσειν, καὶ ὁ μεσαιπόλιος. ἔτι δὲ καὶ καθὰ ἀκρόχαλος, ἀκράχολος παρ' Ἀττικοῖς, καὶ στεφὶς ἀστεφὶς, καὶ ἀπομείρεται ἀπαμείρεται, παρὰ Ἡσιόδῳ. τινὲς δὲ κυνάμυιαν φασι, τὴν τῶν κυνῶν μυῖαν, ἤτοι τὸν κρότωνα. ἕτεροι δὲ διὰ τοῦ ι γράφουσι τὴν ἀρχὴν τῆς λέξεως, καὶ νοοῦσι κινάμυιαν τὴν μὴ ἔχουσαν τὸ βλέμμα, ἀλλὰ κινοῦσαν συνεχῶς τὰς μυίας τῶν ὀφθαλμῶν.

Κύναρος, φυτόν τι. καὶ μή ποτε ἡ κυνόσβατος, διὰ τὸ τραχὺ καὶ ἀκανθῶδες. κύνα γὰρ ξυλίνην τὴν κυνόσβατον, ὁ Θεόφραστος λέγει.

Κύνας ἀργοὺς, λευκοὺς, ἢ ταχεῖς.

Κυνδάλη, παιδιά τις. καὶ οἱ μὲν ὑπομνηματισταὶ, κυναδάλας τὰς σκυτάλας ἀπέδοσαν. οἱ δὲ, τὰ γεωμετρούμενα σχήματα, κακῶς. κυνδάλους γὰρ ἔλεγον τοὺς πασσάλους, καὶ κυνδαλοπαίστην τὸν πασσαλιστήν.

Κυνδὸς, ἄπαικτος, ἀπαράλλακτος.

Κυνδων. ποταμὸς ἐν Ἑλλησπόντῳ, οἱ δὲ ἐν Πελοποννήσῳ.

Κυνέας, τὰς περικεφαλαίας, ἤτοι τὰς ἀπὸ κυνείων δερμάτων γινομένας, ἢ ἀπὸ κυνός τινος κατασκευάσαντος πρῶτον μέμνηται Δημοσθένης ἐν τῷ κατὰ νεαίρας οὕτως, οἱ κυνᾶς τὰς σιωπὰς ἔχοντες.

Κυνεάγας, κυνόδων.

Κυνεγκέφαλος, ὁ τοῦ ῥάχεως ἀπὸ κεφαλῆς εἰς τὰ αἰδοῖα φερόμενος γόνος.

Κυνέη παρ' Ὁμήρῳ, χρήσεως παλαιᾶς ἐστιν ὄνομα. ὡς γὰρ ἐν τῷ παρδαλέη, λεοντέη, λυκέη, ἐλλείπει τὸ δορὰ, οὕτω καὶ ἐν τῷ κυνέη. δηλοῖ γὰρ κυνέην δορὰν, ἤγουν κυνὸς ποταμίου σκέπουσαν τὰς κεφαλὰς τοῖς παλαιοῖς. οἱ μὲν τοιαύτη ὕλη τοῦ σκεπάσματος ἠμελήθη, τὸ δὲ ὄνομα οὐκ ἐξέλοιπεν, ἀλλὰ καὶ τὸ ἐξ ἄλλης ὕλης ἔρυμα τῆς κεφαλῆς κυνέη καλεῖται διὰ τὴν παλαιὰν χρῆσιν, καθ' ἣν καὶ ἡ τοῦ ἄϊδος περικεφαλαία, κυνέη λέγεται.

Κυνέη ἄϊδος, ἡ Ἀθηνᾶ ἔλαθε τὸν Ἄρην ἐν τῷ τοῦ Διομήδους ἅρματι οὖσα, διότι δῦνεν ἄϊδος κυνέην, μή μιν ἴδοι ὄμβριμος Ἄρης, ἤ τις μελαντάτη ὑπὸ τοῦ μύθου λέγεται εἶναι ὑπὲρ πᾶν ὃ ἂν εἴπῃ τὶς μέλαν. διὸ καὶ πᾶς ἀφανὴς ἐν τῷ δολίως τὶ πράττειν, καὶ οἷον ὑπὸ ᾅδῃ καὶ τῷ ἐκεῖ σκότῳ τοῦ ᾅδου, λέγεται παροιμιωδῶς κυνέην φορεῖν.

Κυνέει, ἀντὶ τοῦ ἐφίλει, ἢ προσεκύνει.

Κυνεῖν, τὸ φιλεῖν, πρωτότυπόν ἐστι τὸ κύειν, ἐκ τούτου τὸ προσκυνεῖν. καὶ τὸ κύειν, τὸ γεννᾶν.

Κυνέαις, περικεφαλαίαις, πρὸς τὸν ὄμβρον ἐχρῶντο. καὶ ἐν νεφέλαις, ὁ πρεσβύτης τὸν ὄμβρον φοβούμενος λέγει. τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμονα ἔχοντα.

Κυνέη κατὰ τοὺς παλαιοὺς ἐστὶ νέφος τι πυκνότατον. ἡ τοῦ ᾅδου κυνέη, δι' οὗ καὶ οἱ θεοὶ ἀφανεῖς ἀλλήλοις γίνονται. ὡς εἶναι ταυτὸν κυνῆν ᾅδου δῦναι, καὶ ὑπὸ παχυτάτῳ γενέσθαι. ἴσως δὲ καὶ τοῦ ὑπὸ γῆν ἀΐδου ἤτοι σκότου. ἤρηταί τὸ δῦν' ἄϊδος κυνέην, ἣν περιβαλλόμενός τις, οὐκ ἂν ὁραθείη. διὸ Ἀθηνᾶ ἔδυνεν αὐτήν.

Κυνειον θάνατον, ἄγαν φοβερόν.

Κυνηος, εὔζωνος, καὶ ἰσχυρός.

Κυνεῖς, ἀναιδεῖς, κυνῶπας.

Κύνειος θάνατος, χαλεπός. ἔστι δὲ, ὁ τοῦ κυνὸς θάνατος. δυσχερῶς γὰρ ἀφίησι τὸ πνεῦμα, παρὰ τῷ Ἀριστοφάνει.

Κυνελφεῖ, κρύπτει.

Κυνεον νοῦν, λέγει ὁ Ἡσίοδος, τὸν κυνὸς ἀναιδίαν ἔχοντα ἀπὸ τοῦ κυνὸς, κύνεος, ὡς ἀπὸ τοῦ χρυσὸς χρύσεος, καὶ ἄργυρος ἀργύρεος μετουσιαστικῶς.

Κυνέπασαν, ἐξέδυσαν. ἔνιοι κυνέπασσαν, τὸ αἰδοῖον ἐπιτείναντες, οἷον ἐπίασαν.

Κύνες, τοῦ ἵππου τῆς ὁπλῆς μέρος καὶ ἧλοι. καὶ ἀναιδεῖς, καὶ οἱ δράκοντες.

Κύνεσσι, τοῖς κυσί.

Κυνεστίαν, ἤτοι Ἄρεως κόρην, ἢ Ἀθηνᾶν, ἢ παθεῖ.

Κυνέων, ἐφίλουν.

Κύνεσσι ποιητικῶς, κυσὶ κοινῶς.

Κυνῆ, γαλέη τις αὕτη. κυνῆ δὲ παρὰ τῷ Ἀριστοφάνει, ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον, ὡς Ἑρμῆς ἄγγελος ὤν. παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τῆς ἴριδος. φασὶ δὲ καὶ κυνέαν τὸν πέτασον λέγεσθαι ἐν Πελοποννήσῳ. πέτασον γὰρ ἐπὶ τῆς κεφαλῆς φορεῖ ὁ Ἑρμῆς, πρὸς ὃν τὴν κυνῆν εἶπε. καὶ Πελοποννήσιοι δὲ τὸν πέτασον κυνῆν καλοῦσι.

Κυνῆ Βοιωτία. ἐγένοντο γὰρ διάφοροι, ἀλλ' αἱ ἐν Βοιωτίᾳ καλαὶ κυναῖ, ἃς οἱ κατ' ἀγρὸν ἐφόρουν.

Κυνηγέτης λέγει, τρισυλλάβως.

Κυνηγέτης ἐμβοάσθω ταῖς κυσίν, ἐγκελευέσθω, ἐπανακραγέτω, ἐπικεκραγέχθω, ἐνσημαινέσθω, ἐπισημαινέσθω, ἐξοτρυνέτω, τὰς κύνας προσκαλείτω, παροξυνέτω, ἐπεγειρέτω, ὁρμάτω, παρορμάτω, καὶ τὰ ὅμοια.

Κυνηγῶ, κυνηγετῶ, ἀγρεύω, θηρῶ θηρῶμαι, θηρεύω, ἁλίσκω.

Κυνηδὸν, δίκην κυνός.

Κυνῆν, περικεφαλαίαν λέγουσιν, ἀγροίκων φόρημα. οὕτω δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν.

Κυνθαίνει, κρύπτει.

Κύνθιον, προσωπεῖον ξύλινον.

Κύνθος, ὄρος Δήλου. ὅθεν ὁ Ἀπόλλων, κύνθιος καλεῖται.

Κυνίας, πῖλος ἢ χείρ.

Κυνίδαι, γένος ἱερὸν Ἀθήνησιν, ἀπὸ Κύνου ἢ Κυνίδου ἥρωος.

Κυνίδιον, τὸ μικρὸν κυνάριον.

Κυνίζει, μετὰ βραχείας περισπαστοῦ.

Κυνίζω, παρὰ τὸ κίω τὸ κινῶ κινίζω. τὸ δὲ κίω, παρὰ τὸ ἴω τὸ πορεύομαι.

Κυνικοὶ οἱ φιλόσοφοι, διὰ τὸ αὔθαδες καὶ θρασὺ καὶ ἀναιδές. τοιοῦτοι γὰρ καὶ οἱ κύνες.

Κυνικός ἐστι νοῦς, ὁ θεωρητικὸς διὰ τῆς κινήσεως τοῦ θυμοῦ, πάντας ἀποδιώκων τοὺς ἐμπαθεῖς λογισμούς.

Κυνικός ἐστι νοῦς, ὁ πρακτικὸς, ὁ πάντας τοὺς ἀδίκους καθυλακτῶν λογισμούς.

Κύννιος, Ἀπόλλωνος ἐπίθετον.

Κυνίξας, ἀκροβολισμοί.

Κυνίσκας, τὰς κύνας, ὡς φιάλας καὶ φιαλίσκας λέγομεν.

Κυνισμὸς, εὔτονος ἐπ' ἀρετὴν ὁδός. καὶ κυνιᾶν δεῖ τοὺς σπουδαίους.

Κυνίσφηλον, ἀπατητικόν.

Κυνοβάμων, ἵππος τίς, οὕτω προσαγορεύεται.

Κυνοβλῶπες, κύνειον ὁρῶντες.

Κυνόγλωσσον, πόα τίς.

Κυνοδέσμη, δεσμὸς ἀκροποσθίας.

Κυνοθαρσὴς, ἀναιδής.

Κυνόκεντρον, πόα τίς.

Κυνοκεφάλαιον, πόα τίς, ἣν τινες ἀνεμώνην καλοῦσι.

Κυνοκέφαλος, ὁ Κλέων ἑαυτὸν οὕτω καλεῖ, ἀντὶ τοῦ δεινὸν καὶ ἀναίσχυντον.

Κυνοκοπήσουσι κτυπήσω σε καθάπερ κύνα. Ἀριστοφάνης, τοῦτο δὲ ὡς μάγειρος λέγει. ἔστι γὰρ κύων, ἰχθύς ποιός. ἅμα δὲ καὶ κυνείῳ σε δέρματι παίσω. ἔστι γὰρ τραχύτατον.

Κυνόλφη, σίλφη.

Κυνόμαλα, τὰ κοκκύμηλα.

Κυνόμυια, ἀναιδὴς ὡς μυῖα, ἐκ δύο ἀναιδῶν τελείων, τοῦ τε κυνὸς, καὶ τῆς μυίας. διὰ τὸ ὑπερβάλλον τῆς ἀναιδείας.

Κυνοπρίστις, ζῶόν τι.

Κυνοραῖσται, οἱ τῶν κυνῶν τὸ αἷμα ἐκπιπίζοντες.

Κυνοραιστὴς, δι' ἑνὸς μὲν γέγραπται ρ̄ φυσικῶς, διὰ τὸ μέτρον. ὡς δίχα γε αὐτοῦ ἡ σύνθεσις διπλασιάζει τὸ ρ̄ Ἀττικῶς. δηλοῖ δὲ ἢ ψεκτικῶς τὸν τοῦ θυμοῦ ῥαιστήν, ὥσπερ καὶ κυνοραῖσται λέγονται τὰ τῶν κυνῶν φθαρτικὰ ζωΰφια. ἢ καὶ ἄλλως, δι' οὗ ῥᾳδίως γίνεται ἡ ψυχὴ λυθεῖσα τοῦ κατὰ σῶμα δεσμοῦ.

Κυνοραιστείων κροτώνων, οἷον φθειρῶν. ῥαίνουσι γὰρ τοὺς κύνας, πίνοντες τὸ αἷμα αὐτῶν. ἢ κυνοραιστέων, κακῶς ἐκπνέων.

Κυνόροδον, κρίνον ὅμοιον ὑακίνθῳ.

Κυνόρχιας, βόλου ὄνομα. κυνὸς τυφλοῦ, ἢ πόλεως.

Κῦνος, ἄκρα τις τερματίζουσα τὸν ὀπούντιον κόλπον, ἐπίνειον Ὀπόεντος πόλεως Λοκρῶν ἐπὶ κνημίδων, τῶν πέραν Εὐβοίας κατὰ τὸν Ποιητὴν, ἀφ' ἧς ἦν καὶ ὁ τοῦ Ἀχιλλέως συγγενὴς καὶ ἑταῖρος Πάτροκλος.

Κυνόσαργες, χωρίον οὕτω κληθὲν, ἀπὸ κυνὸς ἀργοῦ θῦμά τι ἀφαρπάσαντος, καὶ ἐκδραμόντος ἐκεῖ. ὅθεν οὐ δὲ αἴσιον πρόσρημα, τὸ ἐς κυνόσαργες, ἀλλ' ἶσον τῷ ἐς κόρακας. ὅτι δὲ ἀθεῖα τὸ κυνόσαργες, δῆλον ἐκ τῆς δοτικῆς. ἐν κυνοσάργει γὰρ εὕρηται. ἦν δὲ καὶ γυμνάσιον ἔξω τοῦ ἄστεος Ἀθήνησιν, ὅ τινες κυνοσαργὲς ὀξυτόνως προέφερον, ὁμοίως τῷ περικαλές. κρατεῖ δὲ ὅμως ἡ τοῦ προπαροξυτόνου ἀνάγνωσις, ὡς δηλοῖ ἐν τῷ κυνοσάργει.

Κυνόσβατον, ἢ κυνὸς βάτον ἐν παραθέσει. αἰνιττόμενος δέ τις ὥσπερ αὐτὴν, ὡς ὁ Ἀθήναιος, καὶ αὐτὸ ἱστορεῖ ξυλίνην κύνα διὰ τὸ ἀκανθῶδες τοῦ φυτοῦ καὶ τραχύ. ὁ δ' αὐτὸς προσιστορεῖ, καὶ ὅτι χρησμὸν λαβών τις οἰκίζειν πόλιν ἔνθα ὑπὸ ξυλίνης κυνὸς δηχθῇ, κατὰ δηχθεὶς τὴν κνήμην ὑπὸ κυνὸς βάτου, ἔκτισεν ἐκεῖ πόλιν.

Κυνόσβατος, φυτάριόν ἐστιν ὅμοιον ῥόδῳ ἔχον τὸν καρπόν. ἔστι δὲ μεταξὺ θάμνου καὶ δένδρου παρόμοιον ταῖς ῥοιαῖς, ἢ ταῖς ῥοδέαις, ἀκανθῶδες.

Κυνόσημον, χωρίον τῆς Χερρονήσου, ἔνθα λόγος τὴν Ἑκάβην μετὰ τὴν Ἰλίου ἅλωσιν, ἀγομένην αἰχμάλωτον κατὰ τῆς θαλάττης ἑαυτὴν ἀφεῖσαν τελευτῆσαι τὸν βίον.

Κυνοσσόοι, θηρευταί.

Κυνόσουραν μὲν μικρὰν ἐκάλουν, διὰ τὴν τῆς οὐρᾶς ὁμοιότητα, τὴν δὲ ἑτέραν ἑλίκην, διὰ τὸ ἑλίσσεσθαι καὶ ἑλικώδη πως ἔχειν τὴν οὐράν. ἢ διὰ τὸ μείζονα ἕλιξιν ἔχειν τῆς κυνοσούρας, ὡς καὶ μείζων οὖσα. ἡ μὲν γὰρ περὶ τὸν πόλον, ἡ δὲ ἑλίκη περὶ τὸν βόρειον ὅλον κύκλον φασί. καὶ ἑλικῶπας τοὺς Ἕλληνας, ἀπ' αὐτῆς ὀνομάζεσθαι, διὰ τὸ πρὸς αὐτὴν ἔχειν τοὺς ὀφθαλμοὺς ἀεὶ πλέοντας, τοῦ δέον τὰς ναῦς ἀγαγεῖν. οὐ γὰρ δι' ὀφθαλμοὺς εἶναι τούτους Ὅμηρος λέγει, τοῦτο γὰρ παρθένων ἐστί.

Κυνόσουρα, φυλὴ Λακωνική, καὶ ἄκρα τοῦ Μαραθῶνος, πρὸς τὴν Εὔβοιαν τετραμμένη. καὶ ἡ μικρὰ ἄρκτος, καὶ πᾶς χερσονησώδης τόπος, καὶ οἱ Κυδωνιᾶται οὕτω καλοῦνται.

Κυνοῦπις, ἄρκτος. Μακεδόνες.

Κυνοῦραι, ἀστράγαλοι.

Κυνουρία, ὅπου μετὰ χειμῶνος κῦμα ἐκβάλλει.

Κυνοῦχος, ὁ τὸν κύνα κρατῶν δεσμός. κόλπων ἀστλέγγιστον ἀχάλκωτόν τε κυνοῦχον.

Κυνοῦχος, θυλάκιον, βαλάντιον, ἢ μαρσίππιον.

Κυνοφθαλμίζεται, ἀναιδῶς ἐμβλέπει.

Κυνόφαλοι, κορίνθιος, φυλή.

Κύνπασα, οἰκτρόπα.

Κύντατος, ὁ χείριστος καὶ ἔσχατος, παρὰ τῷ Ἀπολλωνίῳ.

Κύντερον, ἀναιδέστερον, χαλεπώτερον, παρὰ τὴν κυνὸς γενικὴν, κυνότερον, καὶ συγκοπῇ κύντερον, ὡς μελανὸν μελανώτερον καὶ μελάντερον.

Κυνύπισμα, τὸ ἀπὸ στεμφύλων ποτόν. Κύπριοι.

Κυνὼ, ἀσφάλειά τις, καὶ οἷον ἀποκεκίνηται.

Κυνώνη, ἀναιδεστάτη.

Κυνώλης, ἐξώλης.

Κυνῶν ἐπίσημα γένη παραδίδονται, Ἰνδοί, Ὑρκανοί, Μολοσσοί. πρὸς δὲ ἄλλοις καὶ Λακωνικαί, ὡς Πίνδαρος εἰδὼς εἰπών, Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέφειν, πυκινώτατον ἑρπετόν. ὅμως ἡ φύσις, καὶ ἐν ἄλλοις καὶ ἅπασι τόποις, διασπείρει κύνας ἀγαθούς, ὁποῖός τις καὶ ὁ Ἄργος. ὅτι δὲ φιλάνθρωπον φύσει ζῶον ὁ κύων, διὸ καὶ κλῆσιν ἔχειν, ἀπὸ τοῦ κύειν, ὅ ἐστι φιλεῖν, δῆλόν ἐστι.

Κυνῶν ὑλαγμὸς, ἐχθρικὴν δηλοῖ βλάβην.

Κυνῶ, τὸ προσκυνῶ.

Κυνῶπα, ἀπὸ εὐθείας τῆς ὁ κυνώπης. τὸ θηλυκὸν, ὦ κυνῶπις ὡς δηλοῦσι, καὶ αἱ τραγῳδίαι. κυνώπιδες, παρακατιὼν διαλύει τὸ σύνθετον, καὶ κυνὸς ὄμματα ἔχειν αὐτὴν λέγει.

Κυνώπιδα, ἀναίσχυντον.

Κυνώπιδος, ἀναιδοῦς ὄμμασι.

Κυνώπιδος, ψόγος ὀφθαλμοῦ, ὥσπερ αὖ πάλιν ἔπαινος τὸ κυανώπιδος.

Κύος, κύημα, ἔγκυον τὸ ἐν γαστρί.

Κύουσαν, ἔμβρυον ἐντὸς ἔχουσαν.

Κυοφοροῦσα, ἐγκυμονοῦσα.

Κύπαι, εἶδός τι νεὼς, καὶ αἱ ἐξ ὕλης καὶ χόρτου οἰκήσεις.

Κύπαλον, μεμηρασμένον.

Κυπὰς, τὸ ἱμάτιον λέγεται κυπάς τις καὶ ἱμάτιον ἐν ἐπομβρίᾳ τῶν χερμάδων, ἠγκυλωθεῖσα, παρὰ Λυκόφρονι.

Κύπασσις, οἱ γλωσσογράφοι. χιτῶνος εἶδός φασιν αὐτὸν εἶναι τὸν κύπασσιν. οἱ μὲν γυναικεῖον, οἱ δὲ ἀνδρεῖον.

Κύπασσις, κόσμος γυναικεῖος ἐνδεδυμένος.

Κύπαρα, ἡ ἐν Σικελίᾳ κρήνη Ἀρέθουσα.

Κυπαρισσήεις, πόλις Μεσσηνίας, ἐθνικὸν κυπαρισσηέντιος. Κυπάρισσος μέντοι, πόλις ἐν Παρνασσῷ, ἧς Ὅμηρος ἐμνήσθη. ἐκείνης δὲ ὁ πολίτης, κυπαρισσεύς. ὁ δὲ Γεωγράφος, καὶ ποταμὸν λέγει κυπαρισσήεντα, καὶ ὅτι κυπαρισσία ἐστὶν ἄλλη παρὰ τὸν κυπαρισσήεντα, Μεσσηνιακὴ καὶ αὐτή.

Κυπαρίσσια, εἶδος ἀλεκτρυόνων.

Κυπαρισσῶν, ἀπὸ κυπαρίσσου φασὶ καλεῖσθαι ὑπὸ Μινύου Ὀρχομενοῦ. οἱ δὲ, ἀπὸ πλήθους τῶν ἐκεῖ κυπαρίσσων. ἐκάλουν δὲ αὐτὴν καὶ Κυπαρισσοῦντα, καὶ Ἀπολλωνιάδα. πρότερον δὲ καὶ ἔρανον, ἐν δυσὶν πρὸς διαστολὴν τοῦ ἐράνου ἐν Ὀδυσσείᾳ. ἡ χρῆσις, τὸ ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστί. πρὸς ὃ παίζων τις παλαιὸς, συνείληφε, καὶ εἶπε γέρανον, καὶ ἐπάτησε τὸν ἀκούσαντα, ὡς δῆθεν περὶ ζώου γεράνου λαλῶν. ἔκειτο δὲ ἐν Παρνασσῷ, κατὰ τοὺς Δελφούς.

Κύπαρος, κυπάρους τὰ κοῖλα ἔλεγον ἀγγεῖα, καὶ χωρητικά, διὰ τοῦτο καὶ τὰς τῶν σφηκῶν κατατρήσεις, καὶ τὰς τῶν αἰδοίων βαλάνους, ἐκ μεταφορᾶς κυπάρους λέγουσιν. ὁ δὲ Θεόφραστος, προαίνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος, κύπαρον προσαγορεύει.

Κυπασὶς, περίζωμα καὶ χιτῶνος εἶδος.

Κυπάται, κίναιδοι, μαλακοί.

Κύπειρον, ἄνθος ἵπποις ἐδώδιμον.

Κύπειρος, φυτὸν, ὃ καὶ ἐρείσωντρον.

Κύπειρος, καὶ κύπαιρον, εἶδος βοτάνης.

Κύπελλον, ποτηρίου εἶδος ἐπὶ τὰ ἔσω κύπτον. οὕτω λεγόμενον, ὡς ἀπὸ τοῦ ἔκυπον δευτέρου ἀορίστου. τὸ δ' αὐτὸ καὶ ἀμφικύπελλον λέγεται, οἱονεὶ πανταχόθεν ἐπὶ τὰ ἔσω κεκυφός. πολλάκις γὰρ ἡ ἀμφὶ πρόθεσις, τὸ κύκλῳ σημαίνει, ὡς δηλοῖ, τὸ νῆσος ἀμφίαλος. ἄλλοι δὲ, κύπελλον τὸ οἰνηρόν φασι ποτήριον, εἰς ὃ χύεται, τουτέστιν ἐγχέεται πηλὸς, εἴτουν οἶνος.

Κύπερα, τὰ χοινία ἐκ κυπαίρου πεπλεγμένα.

Κύπη, τρώγλη.

Κυπρὶς, πόρνη.

Κυπρία πάλη, ἣν ἔνιοι πάμμαχον καλοῦσιν. οἱ δὲ, ἄγροικον, καὶ ἀπάλαιστρον, διὰ τὸ τοὺς ἐν Κύπρῳ ἀτέχνως παλαίειν.

Κυπρίζουσαι, ἀνθοῦσαι, αὔξουσαι.

Κύπριον, τὸ ἀρνόγλωσσον.

Κύπρινος, ἰχθύς ποιός.

Κύπριος βοῦς, ἐπὶ κοπροφάγου καὶ εἰκαίου τάσσεται τοῦτο, ἐπειδὴ οἱ Κύπριοι βόες κοπροφαγοῦσιν.

Κύπρις, ἡ Ἀφροδίτη ἡ τὸ κύειν παρέχουσα, ἢ ὅτι ἐν Κύπρῳ τιμᾶται.

Κύπρος, παρὰ τὸ κυοφόρον καὶ λιπαρὰν γῆν ἔχειν.

Κύπρος, μέτρον σιτηρόν, ἢ κεφάλαιον ἀριθμοῦ.

Κυπαί-

Digitized by Google

Κυπτάζεις ἔχων. Ἀριστοφάνης, τί κυπτάζεις ἔχων περὶ τὴν θύραν. Ἀττικῶς περιττεύει τὸ ἔχων. τὸ δὲ κυπτάζεις στραγγεύῃ, διατρίβεις.

Κύπτειν, τὸ ἐπικάμπτεσθαι τῷ σώματι.

Κυπτάζειν, τὸ στραγγεύεσθαι. Ἀριστοφάνης, τί κυπτάζεις ἔχων περὶ τὴν θύραν, καὶ βραδέως διακείμενος εἰς τὸ εἰσιέναι.

Κύπτει, κάμπτει, ἑαυτὸν κλίνει.

Κυπτὸν, πεπτανυμένον.

Κυμβάδωμεν, κρύψωμεν.

Κυρβασίκη, πῖλον δοκεῖ εἶναι ὀξὺ, ὅπερ καὶ κάρα, παρὰ τῷ Ἱπποκράτει.

Κυμβασίαν, κεφαλὴν ἀλέκτορος.

Κύρβαντες, καὶ κρύβαντες, οἱ τὸν Δία φυλάξαντες. βαίνειν γὰρ τὸ φυλάττειν, ὡς χρύσην ἀμφιβέβηκας, ἀντὶ τοῦ φυλάττεις. ἢ ὡς Ἡρωδιανὸς, παρὰ τὸ κρύβειν κρύβαντες καὶ κύρβαντες, ὅθεν καὶ κυρβασία καὶ κρυβασία. ἔνιοι δὲ, τὸ τὴν κεφαλὴν καλύπτειν. ἄλλοι δὲ, τὰς περικεφαλαίας, κυρβασίας φασί.

Κύρβις, ἡ σανὶς ἔνθα ἦσαν οἱ νόμοι γεγραμμένοι. Ἀπολλόδωρος δέ φησι, πᾶσαν δημοσίαν γραφὴν, καὶ νόμους καλεῖσθαι. ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες, τὸ δόξαν ἐναγράφοντες, οὓς μὲν ἀπὸ τῆς στάσεως, στήλας. κύρβις δὲ, ἀπὸ τῆς εἰς ὕψος ἀναβάσεως. ὕστερον δὲ τὰ ξύλα λελευκωμένα γράφοντες, ὁμοίως ἐκάλεσαν. κύρβις οὖν ἡ περιέχουσα τὰς ἱερὰς γραφὰς στήλη. ἢ ὡς Ἐρατοσθένης φησὶν, ἄξων Ἀθηνῆσιν οὕτω καλούμενος, ἐν ᾧ οἱ νόμοι περιέχονται. Ἄλλως.

Κύρβεις χαλκαῖ σανίδες, ἔνθα τοὺς νόμους γράφουσι. κατὰ δὲ ἐνίους, ἄξονες τρίγωνοι ἐν οἷς ἦσαν, οἱ τῶν πόλεων νόμοι γεγραμμένοι, καὶ αἱ δημόσιαι ἱεροποιίαι, καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἀθηναίων πολιτείᾳ φησὶ, καὶ Ἀπολλόδωρος. κύρβεις δὲ, ἤτοι παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένον, ἢ ἀπὸ τῶν Κορυβάντων. ἐκείνων γὰρ εὕρημα, ὥς φησι Θεόπομπος, ἐν τῷ περὶ τῆς εὐσεβείας.

Κυρεῖ, τυγχάνει.

Κυρεία, ἡ ἐξουσία.

Κύρειον στράτευμα, τὸ μετὰ Κύρου συναναβεβηκὸς, ὅτε ἐστράτευσεν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην, οὗ μετεῖχε καὶ Ξενοφῶν.

Κύρειος θρόνος, ὁ τοῦ Κύρου.

Κύρεται, δηλοῖ τὸ ἐντυγχάνει, ἐξ αὐτοῦ δὲ γίνεται καὶ τὸ συνέκυρσε, καὶ ἡ συγκυρία. λέγεται δὲ καὶ περισπωμένως κυρεῖν, ἐξ οὗ τὸ ἔκυρσεν, ὡς τὸ σαυτυχία κρείσσων ἔκυρσε.

Κυρεῦσαι, ἢ γυρεῦσαι, τὸ φυτεῦσαι.

Κυρέω, ῶ, τὸ ἐπιτυγχάνω ποιητικῶς. τὸ δὲ, καὶ ἀντὶ τοῦ περιτυγχάνω, καὶ ὑπάρχω, ὃ καὶ μετὰ ὑπαρκτικοῦ πάλιν ῥήματος τίθεται. οἷον κυρεῖ ὢν, ὥσπερ τυγχάνει ὤν.

Κυρηβάσει, μαχήσεται, λέγεται ἀπὸ τῶν κριῶν. ἐλέγετο τὸ τοιοῦτον καὶ κορύττειν, ἀντὶ τοῦ κερύττειν, καὶ κυρηβαττεῖν.

Κυρηβάσει. Ἀριστοφάνης, κυρηβασία λέγεται ἡ διὰ τῶν κεράτων μάχη, ἥπερ ἐν τοῖς ἀλόγοις ζώοις γίνεται. κυρηβάσεις γὰρ λέγονται, αἱ πλήξεις τῶν τράγων. καὶ γὰρ ἐκεῖνοι ταῖς κεφαλαῖς διαμάχονται.

Κυρήβια, πίτυρα μετὰ τῶν κριθῶν. ἀποβρέγματα, τὰ ἄχυρα ἢ τῶν πυρῶν, ἢ ἔνθα αἱ κάγχρυς φρύγονται. κάγχρυς δέ εἰσιν, αἱ ἀληλεσμέναι κριθαί.

Κύρητα παρὰ Κνιδίοις, ἡ Δημήτηρ. παρὰ τὸ κυρία εἶναι τοῦ ζῆν, Ὧρος.

Κύρηκος, ἔχει τὴν γενικὴν ἐκτείνουσαν τὴν παραλήγουσαν, κανόνι τοιούτῳ. τὰ εἰς ξ ἀρσενικὰ ἁπλᾶ δισύλλαβα, ὅταν τῷ υ παρεδρεύηται, ἔχῃ δὲ τῆς τελευταίας συλλαβῆς ἄρχον ἀμετάβολον, ὑ δι' ὧν ἡ πρώτη συζυγία βαρύτονος λέγεται, διὰ τοῦ κ κλίνεται. κύρηκος, πέλυκος, ἔρυκος, βέβρυκος. ὅσα δὲ τοῦτον μὴ ἔχει τὸν χαρακτῆρα, διὰ τοῦ γ κλίνεται, ὄρτυγος, κόκκυγος. σημειῶδες τὸ ὄνυξ, ὄνυχος, παραληγόμενον μὲν ἀμεταβόλῳ, μὴ κλινόμενον διὰ τοῦ κ. ζητητέον δ' ἔτι περὶ τοῦ ὄρτυγος, καὶ δοίδυκος, παρὰ τῷ κανονιστῇ Ἀθηναίῳ.

Κύρημα, ἐπίτευγμα, συγκύρημα, ἕρμαιον.

Κυρῆναι, Κυρηναῖοι. Λίβυες.

Κυρήνη, ἑταίρα τις ἐπίσημος, δωδεκαμήχανος ἐπικεκλημένη, διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔστι δὲ παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου, ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον. ἐκ δὲ τοῦ λέγειν ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης, ἤγουν ἀνὰ τὰς δώδεκα ἐκείνης αἰσχρὰς μηχανὰς, δείκνυσιν αὐτὸν πάνυ φαυλότατον ὁ Ἀριστοφάνης.

Κυρήβιον, παρὰ τῷ Ἀριστοφάνει, ἔνθα αἱ κάγχρυς φρύγονται. κάγχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαὶ, ἀφ' ὧν ἡ πτισάνη.

Κυρία, σημαίνει τὴν προθεσμίαν.

Κυρία, ἡ κατὰ φύσιν ὑπάρχουσα δύναμις. καὶ κυρία ἡ ὡρισμένη, καὶ ἐμπρόθεσμος ἡμέρα.

Κυρία ἐκκλησία, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν, εἰ δοκοῦσι μὴ καλῶς ἄρχειν, καὶ περὶ φυλακῆς τῆς χώρας, καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαι.

Κυριακὸν δεῖπνον, τὸ τοῦ Κυρίου. ἢ τὸ ἔγκληρον, ἐν ἐκκλησίᾳ ἄριστον.

Κυριακὴ μεγάλη, περὶ τῆς τριημέρου ἀναστάσεως τοῦ Χριστοῦ.

Κυριακή ἐστι, σύμβολον ἀρχῆς καὶ πληρώσεως τῆς τοῦ Κυρίου προνοίας, διὸ καὶ πρώτη καὶ μονὰς καὶ ὀγδοὰς, καὶ ἡ ἀπὸ ἕκτης τρίτη, ἥτις ἐστὶν ἀναστάσιμος τοῦ πρώτου φωτὸς καὶ λάμψις ἀκτῖνος τοῦ Ἡλίου τῆς δικαιοσύνης ἡμέρα Κυρίου. κυριακὴ ἀρχὴν λαμβάνουσα καὶ τέλος μὴ ἔχουσα, διὰ τὸ ἐν αὐτῇ βασίλειον νοερόν. καὶ ἅγιον φῶς τοῦ Χριστοῦ, καὶ τοὺς ἐν αὐτῇ θετοὺς ἀστέρας τοὺς ἐν ἡμέρᾳ συμβασιλεύσοντας τῷ Χριστῷ. τῷ Ἡλίῳ τῆς δικαιοσύνης, εἰς ἀπεράντους αἰῶνας.

Κυριάζεις, ἀποκαλεῖς.

Κυρίβια, τὰ ὑπὸ τῶν κυάμων σχίσματα.

Κυρίβια, τὰ πίτυρα.

Κυριβάτης, καὶ κύριβος, ὁ ἀσελγὴς ἐν τῷ λοιδορεῖν.

Κυριβάζεσθαι, λοιδορεῖσθαι, διαμάχεσθαι.

Κυρίβια, ἄχυρα καὶ πίτυρα. καὶ τὰ τῶν κριθῶν ἀποβράσματα, παρὰ τῷ Ἱπποκράτει.

Κυρίζεσθε, τρίβεσθε. κύριθρα, προσωπεῖα ξύλινα.

Κυρίῃσιν ἡμέρῃσι, ταῖς τὰ τοιαῦτα κρίνειν πεπιστευμέναις, παρὰ τῷ Ἱπποκράτει.

Κύριθον, τὴν σφαῖραν.

Κυρίξαι, ἢ κυρίττειν, κέρασι μάχεσθαι.

Κύριον, ἴδιον, αὐθεντικὸν, γραμμάτιον.

Κύριος, ὁ ἐξουσιαστὴς, ἢ ὁ ἐν ἀξιώματι ὑπάρχων. καὶ Κύριος, ὄνομα δηλωτικὸν τῆς Θεότητος.

Κύριος κυρίως, ὁ κεκυρωμένος καὶ βέβαιος.

Κυριότητες, εἰσὶ δυνάμεις ἅγιαι λειτουργικαὶ Κυρίου.

Κυριότης, ἡμέρα ἐν ᾗ τελειοῦται τὰ συμφωνηθέντα, καὶ εἰσενεχθέντα.

Κύριον, λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ Κύρου τοῦ Ἀρταξέρξου, τοῦ Περσῶν βασιλέως. Τὰ ἀπὸ τοῦ υ.

Κύριος, κῦμα, κυμαίνει ἡ θάλαττα, ἀντὶ τοῦ κύματα ἐγείρει. κυκλίω, ἀφ' οὗ κύλινδρος. κύκλος, κυκλέω κυκλῶ, τὸ στρέφω. κυκλόω δὲ κυκλῶ, τὸ περιλαμβάνω. κύτος πᾶν τὸ ἔχον κοιλότητα, καὶ χωροῦν τι, καὶ αὐτὴ ἡ κοιλότης καὶ διαχώρησις. κύβος πᾶν τὸ τετράγωνον κατὰ πλάτος καὶ κατὰ βάθος, ἰσάκις ἴσον. ἐπεκράτησε δὲ ἰδίως λέγεσθαι κύβους τὰ ἐστιγμένα ὀστᾶ, οἷς χρῶνται οἱ παυλίζοντες. κυβιστὴς καὶ κυβευτὴς, ὁ τούτοις χρώμενος. κυβεύω, κυβεία. Κυλλήνη πόλις Ἀρκαδίας, ἀφ' ἧς Κυλλήνιος ὁ Ἑρμῆς. κυλλὸς, ὁ βεβλαμμένος τι μέλος, ἀφ' οὗ κυλλοποδίων, καὶ κυλλοποδίων ὁ Ἥφαιστος. Κύπρος νῆσος, ἀφ' οὗ Κυπρογένεια ἡ Ἀφροδίτη. Κύπρις, ἡ αὐτή. κύκνος, ζῶον πτηνόν. κύαμος, εἶδος ὀσπρίου. κύει ἡ γυνὴ, ἤγουν ἐγκυμονεῖ. κύω τὸ φιλῶ, ὡς παρὰ Ἀριστοφάνει. κύσον με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. κύμβαχος ποιητικῶς, ὁ ἐπὶ κεφαλὴν καὶ ὤμους κείμενος. κύμβαλα, ὄργανά τινα χαλκᾶ. κύθηρα πόλις, ἢ καὶ οὐδετέρως λέγεται πληθυντικῶς, τὰ κύθηρα, ἀφ' οὗ Κυθέρεια ἡ Ἀφροδίτη. κυνῶ ποιητικῶς, τὸ προσκυνῶ. Κυρήνη, πόλις, ὁ ἀπὸ ταύτης Κυρηναῖος. κυάνεον, τὸ μέλαν. κύων, ζῶον χερσαῖον, καὶ θαλάττιον, καὶ ἐν οὐρανῷ ἄστρον, ἀπὸ τοῦ κυνὸς τοῦ χερσαίου. κύνες, γένος φιλοσόφων. καὶ κυνικοὶ, διὰ τὸ σκώπτειν, καὶ οἱονεὶ δάκνειν, ὥσπερ κύνες. κῦδος ἡ δόξα, κυδαίνω τὸ δοξάζω. κυρόω κυρῶ, τὸ βεβαιῶ. κυρέω δὲ κυρῶ, τὸ περιτυγχάνω. καὶ κυρέω, ῶ, τὸ ὑπάρχω, κατὰ τοὺς τραγικούς. κυδοιμὸς, ὁ θόρυβος. κυβιστῶ, τὸ κολυμβῶ. κυδώνιον, εἶδος ὀπώρας. κυνῆ, ἡ περικεφαλαία. κυνηδὸν, τὸ δίκην κυνός. κυαμοτρὼξ, ὁ τοὺς κυάμους ἐσθίων. Κυναίγειρος, κύριον. κύαθος, τὸ ἀντλητήριον. κύλιξ, τὸ ποτήριον. κυανοχαίτης, ὁ Ποσειδῶν, ἤγουν μελανόθριξ. Κύζικος, πόλις. κύμινον, ἀφ' οὗ κυμινοπρίστης ὁ φειδωλός. κυψέλη, ἀγγεῖόν τι πεπλεγμένον ἐκ σπάρτου, ὃ καθιᾶσιν οἱ ἁλιεῖς εἰς τὴν θάλατταν δελεάσαντες. κυψελὶς, ὁ ῥύπος τῶν ὤτων. κυνηγὸς, ὃς παρὰ Ἀττικοῖς λέγεται κυνηγέτης. κυφὸς, ὁ κυρτός. κυρίττω, τὸ κερατίζω. κυκεὼν, εἶδος πότου. κυλοιδιῶ, τὸ τοὺς ὀφθαλμοὺς ἐξογκοῦμαι. κύστις, τὸ ὑπογάστριον μέρος τοῦ σώματος. Κύθνος, νῆσος μία τῶν κυκλάδων, ὁ ἀπὸ ταύτης κύθνιος. κυνόσαργες ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων. κύρβεις ἀρσενικῶς ἐστιν, ὅπου καὶ θηλυκῶς. λίθοι οὕτως ἐλέγοντο κυβοειδεῖς, ἑστῶτες ἐν ὕψει τοὺς νόμους ἔχοντες ἐγγεγραμμένους, καὶ ἕτερα.

Κυρίττει, καὶ κυρίσσει, κέρατι τύπτει, καὶ μάχεται. κυρίως δὲ ἐπὶ κριῶν. καὶ κυρίττοντες, κερατίζοντες, κέρασι πλήσσοντες.

Κύρις, ὁ Ἄδωνις, ἢ πλέγμα τι, σχοινίον, ἢ κυρτίς.

Κυριττοὶ, οἱ ἔχοντες τὰ ξύλινα πρόσωπα κατὰ Ἰταλίαν, καὶ ἑορτάζοντες τῇ Κορυθαλλίᾳ γελοιασταί.

Κυρίττολος, κορύπτης, πλήκτης.

Κυρίττον, ἐν γαστρὶ ἦν.

Κυρίως, βεβαίως, ἰσχυρῶς, ἀσφαλῶς.

Κυρκανᾷν, ταράττειν, κινεῖν.

Κύρμα, αὐτόν ἐστι τὸ ἀτυχὲς εὕρημα, ἢ ἁπλῶς ἐντυχία, καθ' ὁμοιότητα τοῦ κατὰ συγκυρίαν.

Κύρμα, ἐπιστατικὸν, παρὰ τὸ κυρεῖν. ἄλλως, ἔντευγμα πάρεργμα νοῦ. Ἀριστοφάνης, σόφισμα, κῦρμα. ἢ κῦρμα, πολλοῖς ἐγκεκυρηκὸς πράγμασι.

Κύρνα, κρανία.

Κύρνιον, πέλαγος.

Κυρνίαστα, ἃ ἐπὶ κύρον ᾤκησαν, Τηρῆνοι.

Κυρνικὰ, κώδια.

Κύρνοι, οἱ νόθοι.

Κύρον, τὸ ὄνομα ἀπὸ τοῦ κυρεῖν, οἷον ἁπτόμενον καὶ συνερεῖδον, ὡς τὸ αἰὲν ἐπ' αὐχένι κύρει, πατέσιν, ἤγγισεν, ἐπέτυχε.

Κῦρος, ἡ ἐξουσία, καὶ ἐπιτυχία.

Κυροῖ, βεβαιοῖ, πιστοῖ.

Κῦρος, ἀπὸ τοῦ ὑπὸ κυνὸς τεθράφθαι, ἢ ἀπὸ τοῦ Ἡλίου. τὸν γὰρ Ἥλιον οἱ Πέρσαι Κύρον λέγουσιν, ἄλλοι βόθανον, καὶ προσῆκον, καὶ ὄνομα ποταμοῦ καὶ κύριον.

Κυρόω, κυρῶ, τὸ βεβαιῶ. ἐκύρωσεν ὁ ψῆφος τῷ Ὀρέστῃ θάνατον, ἀντὶ τοῦ ἔταξε.

Κυρράνη, ὄνομα γυναικείας θεοῦ.

Κυρράσειν, τοῖς κέρασιν ἐπιτυχεῖν κρούσαντα.

Κύρρος, τόπος ἐν Συρίᾳ.

Κύρσαι ἅρματι, καὶ ἐν ὁδῷ συγκύρσαι, τὸ προσκροῦσαι, κατά τινα συγκυρίαν, ὁμοῦ γενόμενον, ἢ εἰς ἓν ἐλθόντα.

Κυρσάνιε, νεανία, ἔφηβε, ἢ ἀτελέστατε. κυρσὸς γὰρ ἀτελὲς λάχανον. κυρσανίους δὲ καλοῦσιν οἱ Λάκωνες, τὰ μειράκια, καὶ τοὺς ἀτελεῖς ἀνθρώπους.

Κύρσας, κύρω κυρῶ κοινῶς, κύρσω αἰολικῶς, ἔκυρσα καὶ κύρσας.

Κύρσιον, τρωκτὸν παρὰ τῷ Ἱπποκράτει.

Κύρσας, προσκυνήσας, ἐντυχών.

Κύρσειν, ἢ κυρεῖν. τοῖς κέρασιν ἐπιτυχεῖν, ἀρεῖν.

Κυρσερίδες, τὰ τῶν μελισσῶν ἀγγεῖα, κιψελίδες.

Κύρ-

Κύρειον, μειράκιον.

Κύρτα, αἰδοῦντα, μεμισημένα. ἔνιοι δὲ, οὐκ ἀγαθά. ὑπὸ δὲ τῶν Ταραντίνων κόφρον, καὶ τὰ ἐνταῦθα δεκτικὰ κόφρων, καὶ σκυβάλων τῶν βρωμάτων.

Κύρτερον, κυρίως μὲν ἀναίδειαν δηλοῖ, ὁποίαν ἔχοι ἂν καὶ κύων, ὡς ἀλλαχοῦ δηλοῦται.

Κυρτάς, ἀλιάς.

Κυρτίας, Κελτοὶ τὰς ἀσπίδας.

Κυρτὶς, ὀρνιθοτροφεῖον.

Κυρτὴ, καὶ κοίλη, παράταξις.

Κυρτὸν, τὸ μετέωρον καὶ ὑψηλὸν, ἀπὸ τοῦ κύειν εἰς ὕψος, ἤτοι ἐπαίρεσθαι.

Κυρτονεφέλη, ἑταίρα. οὕτως ἐκαλεῖτο, διὰ τὸ μέλαν ἔχειν τὸ ἐφήβαιον, διὸ καὶ ἐν ταῖς συνουσίαις οὐκ ἀνεκαλύπτετο.

Κυρτιάδαι, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.

Κυρτὸν, λέγεται καὶ ἐπὶ κυμάτων, ὡς καὶ ἐπὶ ἄλλων ἀψύχων. γινόμενον, παρὰ τὸ κύπτειν κατὰ τοὺς παλαιοὺς, ἢ καὶ παρὰ τὸ κρύπτειν.

Κύρτωμα, ἡ λεγομένη καμάρα.

Κυρῶ, τὸ τραυοῦμαι, καὶ ἐξουσίαν δίδωμι, καὶ τυγχάνω.

Κύρω, τὰ διὰ τοῦ υρω ῥήματα, βαρυνόμενα μὲν, ἐκτείνει τὸ ῡ. περισπώμενα δὲ συστέλλει, κύρω κυρῶ, φύρω φυρῶ, πύρω πυρῶ.

Κυρῶδα, ὀλέκρανα.

Κυρῶ, κρατύνω, βεβαιῶ.

Κυρωτῆρες, ἄρχοντες.

Κῦσα γούνατα, τουτέστιν ἐφίλησα.

Κύσας, φιλήσας.

Κῦσαι, τῷ στόματι φιλῆσαι.

Κυσαμένη, κυήσασα. ἄκυθον γὰρ τὸ ἄτοκιον.

Κυσανίζει, ὁμοιεῖ.

Κῦσε γούνατα, μέρος τοῦ γουνάζεσθαι. ὡς ἱκέτου μὴ μόνον χειρὶ ἁπτομένου γονάτων, ἀλλά που καὶ φιλοῦντος αὐτά.

Κυσέρη, πυθμὴν, χάσμα.

Κυσήγη, ῥοιά.

Κύσθος, ἀπὸ τοῦ δι' αὐτοῦ γίνεσθαι τὴν κύησιν, ἢ ἀπὸ τοῦ κεύθειν τὸ ἐντός.* τὸ γυναικεῖον αἰδοῖον. ἢ κύσθος ὃ καὶ κώθων, εἶδος ποτηρίου μονώτου ὀστρακίνου.

Κυσθοκορώνη, νύμφη.

Κυστίαι, παχητίαι.

Κῦσε δέ μιν κεφαλὴν, σχῆμά ἐστι συνηθέστατον Ὁμήρῳ, καὶ ἔχει αὐτὸ συντάξεις τρεῖς. ἢ γὰρ ἔκυσεν αὐτοῦ κεφαλὴν καὶ φάεα, ἢ ἔκυσεν αὐτὸν κατὰ τὴν κεφαλὴν καὶ φάεα. ἢ ἔκυσεν αὐτὸν, ἤγουν τὴν κεφαλὴν, καὶ τὰ φάη, φιλεῖ δέ τινος ὀφθαλμούς.

Κυσοδακνία, ψωρία.

Κυσολάκων, Ἀρίσταρχός φησι τὸν Κλεινίαν οὕτω λέγεσθαι, τῷ κυσῷ λακωνίζοντα. τὸ γὰρ τοῖς παιδικοῖς χρήσασθαι, λακωνίζειν ἔλεγον.

Κυσολαμπὶς, ἡ περιλαμπομένη ταῖς νυξὶ κανθαρίς.

Κυσονίπται, πόρνοι, ἀπὸ τοῦ παρακολουθοῦντος.

Κῦσόν με, φίλησόν με. Ἀριστοφάνης νεφέλαις, κῦσόν με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.

Κυσος, ἐστὶν εἶδος βοτάνης ἀκανθώδους ἐοικυίας ῥόδοις.

Κυσὸς, ἡ πυγὴ, ἢ γυναικεῖον αἰδοῖον.

Κυσοχλὼν, εἶδος δεσμοῦ. οἱ δὲ δρυοπρωκτίαν, οἱ δὲ ξύλον ἓν, ἐν ᾧ ἁμαρτάνουσαι αἱ πόρναι ἐδεσμεύοντο.

* Κύσσαρον, τὸν ἀρχὸν, τὸν πρωκτόν. Ἱπποκράτης.

Κύστεροι, ἀγγεῖα τῶν μελισσῶν, καὶ τυρίσκοι.

Κύστη, ἄρτος σπογγίτης.

Κύστιγγα, κύστιν μικρὰν παρὰ τῷ Ἱπποκράτει.

Κύστιον, τὸ ἀλικάκκαβον.

Κύστις, ἡ κοιλία, ἢ τὰ ὑπογάστρια, ἢ ἡ φῦσα.

Κύστις, ἀπὸ τοῦ κεύθειν ἢ κύειν τὸ οὖρον. σημαίνει καὶ τὸ οὐροδόχον ἀγγεῖον.

Κύστις, ἀπὸ τοῦ κεύθω γενομένη, ἐξέωσε τὸ ε. ὁμοίως πύστις, ἤγουν μάθησις ἐκ τοῦ πεύθω.

Κύταια, πόλις Κολχίδος ἐστὶ δὲ καὶ ἑτέρα πόλις τῆς Εὐρώπης κύταια, ὁμώνυμος τῇ σκυθικῇ. ἀφ' ἧς φασὶ καὶ τὴν Κολχικὴν ἐσχηκέναι τὴν ἀρχήν.

Κυταὶς, πόλις Κολχίδος. ὅθεν αὐτὴν Μήδειαν κυταϊκὴν ἔφη Λυκόφρων. οἱ δὲ Ἰνδικοὶ Κόλχοι, Σκύθαι εἰσὶν, οἱ καὶ λεξοὶ καλούμενοι, πλησίον οἰκοῦντες Ἀφιδνῶν, ὧν Κόλχων τὰ φάρμακα αὐθημερὸν ἀναιροῦσιν. εἰς δὲ Κόλχους Αἰήτης ἀφίκετο, ὡς μὴ ἀρκεσθεὶς τῇ τῆς Κορίνθου βασιλείᾳ. Αἰήτης γὰρ καὶ Ἀλωεὺς, Ἡλίου παῖδες, καὶ Πέρσης τῆς Ὠκεανοῦ θυγατρός. διεῖλε δὲ ὁ Ἥλιος τοῖς παισὶ τὴν βασιλείαν, καὶ τὴν Ἀρκαδίαν Ἀλωεῖ δέδωκε, τὴν δὲ Κόρινθον Αἰήτῃ. Αἰήτης δὲ μὴ ἀρκεσθεὶς τῇ Κορίνθῳ, παρέθετο ταύτην Βούνῳ φυλάττειν, Ἑρμοῦ μὲν καὶ Νύμφης υἱῷ. αὐτὸς δὲ εἰς Κόλχους ἀφίκετο, ἐντειλάμενος φυλάττειν τὴν τῆς Κορίνθου βασιλείαν, ἕως οὗ ἢ αὐτὸς, ἤ τις τῶν ἐξ αὐτοῦ ἵκοιτο. ἐν κόλχοις δὲ αὐτὸς γήμας Μήδειαν Ὠκεανοῦ θυγατέρα, ἐν Κυταίᾳ πόλει Μήδειαν, Ἄψυρτον γεννᾷ. ἀδελφαὶ δὲ Αἰήτου καὶ Ἀλωέως, ἤτοι τοῦ Ἡλίου θυγατέρες, Κίρκη καὶ Πασιφάη, καθ' ἑτέρους καὶ Καλυψώ.

Κύταρον, ζωμήρυσις.

Κύτη, μεγέθη.

Κύτινοι, τῆς ῥοιᾶς τὰ πρῶτα ἐξανθήματα.

Κυτίδας ἐκάλουν, τὰς κίστας.

Κύτος, ὄγκος, χώρημα, βάθος, πλάτος, σῶμα.

Κυτταίρους, καλοῦσι τὰς τῶν σφηκίων καταστήσεις. μεταφορικῶς δὲ, τὸ κοιλότατον καὶ μυχαίτατον, κύτταρον εἶπεν Ἀριστοφάνης τοῦ Οὐρανοῦ.

Κύτταροι, αἱ τῶν κηρίων κοιλότητες. Ἀριστοφάνης, ἐστὶ δὲ ὁ ποικίλος ὁ παρακείμενος τοῖς βαλάνοις. ἄλλως, καὶ τῶν σφηκιῶν τὰ κοῖλα, καὶ τὰ τῆς πλάκης, καὶ τὰ τῆς πίτυος προανθοῦντα στροβίλια. καὶ ὁ πυθμὴν, καὶ ἡ κατάστησις. οἱ δὲ, καὶ τὰ ἐν τοῖς κηροῖς τρήματα, ἢ τὰ κοῖλα ἄγγη, καὶ τῶν αἰδοίων τοὺς βαλάνους. ἄλλως, κύτταρος τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος, ἡ τῆς βαλάνου πυελὶς, καὶ κατάστησις, ἢ τὸ ὑψηλότατον τοῦ Οὐρανοῦ. λέγουσι γὰρ κοῖλον εἶναι τὸν Οὐρανὸν, ὥσπερ τοῦ ὠοῦ τὴν λεπίδα, τὸ κοιλότατον καὶ μυχαίτατον. Θεόφραστος δὲ κυρίως λέγει κύτταρον, τὴν προάνθησιν τῆς πίτυος, ἥτις ἐστὶν ὡς στάχυς μικρὸς, ἐκ μεγάλων πυρῶν. ξηραινόμενος δὲ, θυλακοῦται καὶ ἀποπίπτει. οἷον οὖν ἀγγειῶδές φησι κύτταρον Οὐρανοῦ, ὁ αὐτὸς Ἀριστοφάνης ἐν θεσμοφοριαζούσαις.

Κύτωρις, ὄνομα ποταμοῦ.

Κυτωρὶς, τόπος παραθαλάσσιος.

Κήτωρον, πόλιν Παφλαγονίας.

Κυτώσαντες, τὸ κύτος περικαλύψαντες.

Κυφάλεα, ἐπεὶ τάχ' ἂν ἡ πολυκαμπὴς ἰξὺς κεὶς ἀίδαν ᾤχετο κυφάλεα κεκυρτωμένος.

Κυφαλεὸς, ὁ κεκυρτωμένος.

Κύφελλα, τὰ νέφη, οἱονεὶ κρύφελλα, τὰ ἀποκρύπτοντα τὴν Σελήνην. ἐτυμήγει δὲ κρύφελλα Καλλίμαχος, τὰ κούφως ἐλαυνόμενα.

Κυφανισμὸς, ἐπὶ τῶν τιμωριῶν, ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος.

Κύφερον, ἢ κυφὴν, τὴν κεφαλήν. Κρῆτες.

Κῦφον, τὸ περιαγὲς, τὸ περιφερὲς, τὸ κυρτοειδὲς, παρὰ τὸ κύπτω.

Κυφὸν, κεκυμμένον, ἐκ παντὸς ξύλου κυφὸν ἂν γένοιτο, ἐπὶ τῶν κατὰ εἶδος ἀκαταφρονήτων, χρησίμων δέ.

Κυφὸς, κυρτός.

Κυφὸς γήραϊ, πρὸς διαστολὴν εἴρηται τοῦ γυρός, ἐκεῖνος γὰρ φύσει τοιοῦτος. ὡς τὸ γυρὸς ἔην ὤμοισιν, ἐκ τοῦ κυφός. οὗ πρωτότυπον ὁ κέκυφα παρακείμενος. λέγεται σκωπτικῶς κατὰ συγγένειαν τοῦ φ, πρὸς τὸ β, κυβάλλης, ὁ ὡσπερεὶ κυφὸς, ἐκ τοῦ κατακύπτειν συχνῶς, ὃν καὶ ἡμίανδρον, καὶ ἡμιγύναικα, καὶ σποδόρχην ἐβλασφήμουν. ἐκ τοῦ αὐτοῦ κυφοῦ καὶ κυβήβα διὰ τοῦ α, ἢ κυβήβη διὰ τοῦ η, ἡ Ῥέα. ἤ φασιν ὁ κατεχόμενος, ἢ καὶ ἄλλῳ δαίμονι καταχρηστικῶς, Κύβηβος ἐλέγετο, ὁ καὶ Σάβος, καὶ σαβάζιος, καὶ Βάκχος, καὶ βαβάκτις, καὶ βάβαξ, καὶ ἐκμανὴς, καὶ φλεδών. ἐκ τοῦ κυφὸς, γίνεται καὶ ὁ κυβός.

Κυφὼν, ἡ κυνάγχη τοῦ ψελλοῦ, κηλὰς ἀλώπηξ πέφηκε, καὶ κυφὼν ἡ κυνάγχη.

Κύφωνες, ξύλα εἰσὶν ἐπιτιθέμενα εἰς τοὺς τένοντας τῶν καταδίκων, ἵνα μὴ εὕρωσιν ἀνακύψαι.

Κύφωνι, σημαίνει τῷ κυρτώματι.

Κύφων, δεσμός ἐστι ξύλινος. ὃν οἱ μὲν κλοιὸν ὀνομάζουσιν, οἱ δὲ καλοιόν. ἔνθεν καὶ ὁ πονηρὸς ἄνθρωπος κύφων. τάσσεται δὲ κατὰ πάντων τῶν δυσχερῶν, καὶ ὀλεθρίων. καὶ κυφωνισμὸς ἐπὶ τῶν τιμωριῶν. Ἀρχίλοχος δὲ, ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος. εἴρηται κύφων, παρὰ τὸ τοὺς δεσμίους ἀναγκάζεσθαι κύφειν, διπλῶς ἅμα κολαζομένους, τῇ τε τοῦ τραχήλου πιέσει, καὶ τῷ μηδαμῶς ἀνανεύειν δύνασθαι. ἢ ἄλλως ξύλα ἐστὶν, ἐπιτιθέμενα εἰς τοὺς τένοντας τῶν καταδίκων, ἵνα μὴ εὕρωσιν ἀνακύψαι. καὶ γὰρ τὸν κρινόμενον ποιοῦσι κύφειν.

Κύφων, ὁ ξύλινος δεσμὸς, ἐν ᾧ δεσμεύονται οἱ ἐν τῇ φρουρᾷ, ὃν καὶ κυφῶνα προπερισπωμένως λέγουσι. τινὲς δὲ, κύριόν φασιν ὄνομα τὸν κύφωνα, πτωχοῦ τινος. οἱ δὲ, κρημνὸν οὕτω καλούμενον.

Κυχράνος, εἶδος ὀρνέου.

Κύψαι, ἀπάγξασθαι.

Κυψέλη, κυβέρτιον μελισσῶν. λέγεται δὲ καὶ ἡ ὀπὴ τοῦ ὠτός. αἱ δὲ μέλιτται ἐκπεφωλεύκασιν, ὥσπερ ἐν κυψέλῃ.

Κυψέλικες, μελισσοφάτναι.

Κυψέλη, εἶδος μέτρου, ἓξ χωροῦσα μεδίμνους. ἐστὶ δὲ εἶδος ἀγγείου, ἢ μέτρου, δεκτικὸν πυρῶν, ἢ κριθῶν. οὕτω δὲ εἴρηται, διὰ τὸ κεκρύφθαι αὐτοῦ τὴν ἕλην. ἐστὶ γὰρ σκοτεινὸν, διαφέρει δὲ πρὸς τὴν κυψελίδα, ἥτις ἐστὶν ὁ ἐν τοῖς ὠσὶ ῥύπος. οὐ μόνον δὲ πλεκταὶ ἦσαν αἱ κυψέλαι, ἀλλὰ καὶ κεραμέαι.

Κυψελιδῶν ἀνάθημα, ἐν Ὀλυμπίᾳ.

Κυψέλη, ὁ τῶν ὠτίων ῥύπος, καὶ κυψελίς.

Κυψελόβιστον, τὸ ὑπὸ ῥύπου κεκαλυμμένον.

Κυψέλαι, καὶ κυψελίδες, ὁ ἐν τοῖς ὠσὶν ὑποσωρευσάμενος, καὶ τὰ στιπρὰ ἀγγεῖα, καὶ τὰ κενὰ σκηνή, καὶ τοῦ ὠτὸς τὸ ἔγκυλον, καὶ τῆς καμίνου μέρος τι.

Κύψελος, ὄρνις ποιὸς ὅμοιος χελιδόνι.

Κύω, τὸ φιλῶ, ἤγουν τὸ φιλοφρόνως χείλη συμβάλλειν. δηλοῖ καὶ τὸ ἔγκυον εἶναι, ὃ διαφέρει τοῦ τίκτειν. καθότι αὐτὸ ἀπαλλάττει τοῦ κύειν, καὶ φέρεται εἰς τοῦτο χρῆσις ἐξ Ἀντιόπης τὸ, κύουσα τίκτον, ἤγουν κατὰ γαστρὸς φέρουσα, εἶτα ἔτεκον. οἱ δὲ ὕστερον καὶ αὐτὸ τὸ τίκτειν, κύειν ἔλεγον.

Κύειν, τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι. φιλεῖν, ἀγαπᾶν καὶ ξενίζειν.

Κύων, ὁ σκύλος, ἀπὸ τοῦ κυνεῖν καὶ σαίνειν.

Κύων, τὸ κάτω τῆς πόσθης συμπεφυκὸς τῷ δέρματι, παρὰ τὸ κεκυνῶσθαι, καὶ ἀναδίδοσθαι, ἢ συνδεδέσθαι. κύων λέγεται ἐπὶ μὲν τοῦ ἀλόγου ζώου, παρὰ τὸ κύειν, καὶ σαίνειν, ἢ παρὰ τὸ ὠκύς. τὸ γὰρ ζῶον ταχύ ἐστιν, ὑπερβιβασμῷ καὶ ἀναδόσει τοῦ τόνου, ἢ παρὰ τὸ ὀξὺ εἶναι τὸ ζῶον.

Κύων, ἀπὸ τοῦ κύω τὸ φιλῶ παράγεται. ὤφειλε δὲ τρισυλλάβως κλίνεσθαι κύοντος, ἀλλ' ἔχει τὴν γενικὴν δισύλλαβον κατὰ πάθος, διὰ δύο κανόνων ἐναντιότητα. εἷς μὲν γὰρ κανὼν συστέλλεσθαι θέλει τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ, διὰ τὴν τοῦ γένους κοινότητα. ὁ κύων γὰρ καὶ ἡ κύων φαμέν. ἕτερον δέ τις κανὼν, φυλάττεσθαι θέλει αὐτὸ, διὰ τὸ βραχὺ εἶναι τὸ δίχρονον τῆς παραληγούσης, ὁποῖόν τι καὶ Ἀμφιτρύων Ἀμφιτρύωνος καὶ τὰ ὅμοια. ἡ γοῦν τῶν δύο κανόνων μάχη περὶ τὴν τοῦ χρόνος παραλήγουσαν, διέφθειρεν οἷον καὶ ἐξώθησεν τὸ ὑποκείμενον, καὶ τὴν τρισυλλαβίαν εἰς δισυλλαβίαν περιέστηκε.

Κύων, ὁ ἐλαυνομένου τοῦ σιδήρου τοῦ ἀργοῦ ἐξαλλόμενος σπινθήρ. οἱ δὲ τὴν Ἐριννὺν, οἱ δὲ τὴν νόσον, τὴν οὕτω λεγομένην κύνα. δηλοῖ δὲ καὶ τὸ ἀνδρεῖον μόριον, καὶ ὑλακτοῦν ζῶον, καὶ τὸν ἀναιδῆ, καὶ τὸ ἄστρον, καὶ τὸ θαλάσσιον ζῶον, καὶ ὑπὸ τῶν κυβευτῶν βόλον τινὰ, ὃς χῖος καλεῖται.

Κύων ἐπὶ δεσμά, παροιμία ἐπὶ τῶν ἑαυτοὺς εἰς κολάσεις ἐπιδιδόντων. λέγεται δὲ καὶ βοῦς ἐπὶ δεσμά.

Κύων, ἀστήρ. ἰστέον, ὡς κύριον μὲν οἷον ὄνομα τὸ ἀστήρ. ἐπίκλησις δὲ τοῦτο, ὥσπερ τὸ κύων ἁπλῶς, οὕτω καὶ τὸ κύων ὠρίωνος. ἐστὶ δὲ Ὠρίων, κυνηγέτης γενόμενος ἄριστος, κατηστέρισται μετὰ θάνατον. ἐνετέθη δὲ ἄστροις. καὶ ὁ κύων, ὡς ὁ

μῦθος

μῦθος αὐτοῦ πολαχοῦ λέγειν τολμᾷ. δῆλον δὲ ὅτι τοῦ τοιούτου κνωὸς ἐπιτέλλοντος, πολλοὶ γίνονται καύσωνες, διὸ καὶ κατακαύματα ἡ πολλὴ ὁμιλία τοιαύτης φησὶ, καὶ διὰ τοῦτο κακὸν σῆμα τοῦτον εἶναί φησιν ὁ Ποιητὴς, καὶ πυρετὸν φέρειν πολλοῖς. ὃν οἱ μὲν ἀέρος νοοῦσιν ἔκκαυσιν, ὁ δὲ φλέγμα φθάσας εἶπεν ὁ Ποιητὴς, ὁμωνύμως τῷ φυσικῷ χυμῷ. πυροῦται γὰρ καὶ οἷον φλέγεται ὁ ἀὴρ, κυνὸς ἐπιτέλλοντος.

ΤΟ' Κ'. ΜΕΤΑ' ΤΟΥ Ω'.

Κῶ, καὶ τὸν ἄθω, καὶ τὸν λαγὼ, καὶ τὴν τέω, οἱ Ἀττικοὶ δίχα τοῦ ν προφέρουσιν. ἄλλως. Κῶ καὶ τὸν Ἄθω δίχα τοῦ ν προφέρουσιν Ἀττικοί. οὐκ οἶδα δὲ εἰ τὸν λαγὼ καὶ τὸν ταώ.

Κῶ, νῆσος, κῷος τὸ ἐθνικὸν, ὥσπερ δὴ καὶ τῆς ἐν αὐτῇ πόλεως, ἣν πόλιν Εὐρυπύλου λέγει ὁ Ποιητὴς ἀγοῦ Ἡρακλέους, καὶ Χαλκιόπης, διὰ κλεῶς ἐκεῖ βασιλεύσαντος. ἰστέον δὲ, ὅτι ἡ Κῶς αὕτη, Μερόπη καὶ Μεροπὴϊς ἐλέγετο, ἀπὸ Μερόπων ἔθνους. ἢ γένους, οἰκησάντων αὐτήν. ἢ ἀπὸ Μέροπος, οὗ ἡ θυγάτηρ Κῶς. ἧς φασιν ἡ νῆσος ἐπώνυμος. καὶ ὅτι καὶ δισυλλάβως κόως, λέγεται διὰ δύο μεγάλων ωω, καὶ κόως διὰ μικροῦ καὶ μεγάλου, ἐξ οὗ τὸ κόων ἀναιομένην παρὰ τῷ Ποιητῇ. καὶ κόος δὲ διὰ δύο οο μικρῶν. ὧν συναιρεθέντων ἔοικε γενέσθαι ἡ Κῶς. κατὰ δέ τινας, καὶ ὡς πολυπρόβατος οὕτω καλεῖται. κόον γάρ φασι κατὰ γλῶσσαν τὸ πρόβατον λέγεσθαι. εὕρηται δὲ καὶ κέως λεγομένη, ὡς ἡ τέως, ἧς ἐθνικὸν κεῖος, καὶ ἐκτάσει κήϊος, ὡς τεῖος τήϊος, καὶ ἐν συναιρέσει κῷος. τῆς Κῶ κτητικὸν εὕρηται, παρὰ Πορφυρίῳ κωακόν. ἰστέον δὲ, ὅτι κατὰ ἱστορίαν κῶς ἐλέγετο, καὶ ὄρυγμά τι ἐν Κορίνθῳ, οὗ καθείργνυόν φασι φῶρας, καὶ δραπέτας. ἡ δὲ τοιαύτη λέξις, δοκεῖ καὶ ἐν τοῖς ὀρεσκῴοις ἐγκεῖσθαι.

Κῶαι, ἀστράγαλοι.

Κῶα, ἐνέχυρα.

Κωάζειν, ἀστραγαλίζειν, ἐνεχυράζειν.

Κωαθεὶς, ἐνεχυριασθείς.

Κῶας, ἡ τοῦ προβάτου δορά.

Κῶας, κώδιον, τάπης, ὀφθαλμούς.

Κώβαλα, πανουργήματα.

Κώβαλοι, κύτινοι ῥοιῶν.

Κώβαξ, ὁ μέγας τέττιξ.

Κωβήλη, συνουσία, καὶ βελόνη.

Κωβηλίνη, ὀπήτρια.

Κωβῖτις, ἡ λευκὴ ἀφύη.

Κωβιὸς, ὁ ἰχθύς.

Κωβίτης, εἶδος ἀφύας, καὶ ἔστιν ἐν τῷ ἀφύα.

Κωδάλη χοίνιξ, παροιμία ὡς μείζοσι μέτροις κεχρημένου τοῦ ἀγρονόμου.

Κωδαλῖχος, μέτρον γῆς.

Κωδεία ἐστὶν, ἡ τῆς μήκωνος κεφαλὴ, ὅ ἐστιν εἶδος βοτάνης.

Κωδία, κωδὶς, κεφαλὴ χωρὶς σώματος.

Κωδίκελος, δέρμα προβάτου, ὡς παρὰ Ῥωμαίοις.

Κώδιόν ἐστι τὸ ἅμα τοῖς ἐρίοις δέρμα σκυλαζόμενον.

Κώδιον, τὸ δέρμα. κωΐδιον γέγονε, καὶ συναιρέσει κώδιον, καὶ τὸ λαγώδιον τῷ ι, ὅτι ἀπὸ τοῦ λαγωὸς λαγωοῦ γέγονε, κατὰ συνεκδρομὴν τοῦ κώδιον, καὶ σώδιον. σημαίνει δὲ τὴν μικρὰν στοάν, συνεξέδραμε τούτοις καὶ τὸ καλώδιον, καὶ ἔχει τὸ ι προσγεγραμμένον. σημαίνει δὲ τὸ χοινίον.

Κωδωνήσας, πειράσας, ἠχήσας.

Κωδύης, γένος ἰθαγενῶν Ἀθήνησι.

Κώδων, κώδια, παρὰ τῷ Ἱπποκράτει.

Κωδωνίσω, παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ δοκιμάσω, ἐξετάσω. ἐκ μεταφορᾶς, ἢ ἀπὸ τῶν κεραμείων ἀγγείων, ἃ δοκιμάζοντες, εἰ εὔηχα καὶ ὑγιᾶ πέφυκε, πλήττουσι. καὶ εἰ περὐγιῆ εἰσιν, ἀπηχοῦσιν, ὡς κώδωνες. ἢ ἀπὸ τινῶν ὀρνέων, ἢ ἵππων δοκιμαζομένων, οὐχ ὡς κωδώνων. τὰ μὲν γὰρ τούτων γενναῖα, γενναίως φέρει τοὺς ἤχους. τὰ δὲ δειλὰ, πτοεῖ καὶ σιν. ἢ καὶ ἀπ' αὐτῶν τῶν κωδώνων δοκιμαζομένων ἐν τῷ κινεῖσθαι, εἰ εὔηχοί εἰσιν, εἴτε καὶ μή.

Κωδωνῆσαι, δοκιμάσαι, διαπειράσαι.

Κωδωνίσαι, ἀπὸ τῶν ἵππων μετενήνεκται κωδωνίσαι, καὶ κωδωνίζω, τὸ φυμίζω.

Κώδων, παρὰ τὸ ἐν τῷ κινεῖν ᾄδειν:

Κωδωνοφαλαροπώλους, κώδωσιν εἰς τὰ φάλαρα χρωμένους. οὐδ' ἐξέπληττεν αὐτοὺς κύκνους ποιῶν, καὶ μέμνονας κωδωνοφαλαροπώλους, Ἀριστοφάνης.

Κώδων, καλεῖται καὶ τὸ πλατὺ τῆς σάλπιγγος.

Κωδωνοφορῶν. οἱ περίπολοι, οἱ τὰς φυλακὰς περιπολοῦντες, καὶ περισκοποῦντες, ἐρχόμενοι ἐπὶ τὰς φύλακας, κώδωνας εἶχον, καὶ τούτους ἐψόφουν πειράζοντες τὸν καθεύδοντα. καὶ ἵνα φυλάσσοντες ἀντιφθέγγωνται. Ἀριστοφάνης, κωδωνοφορῶν περιέτρεχε.

Κώδωνας ἐν τοῖς φαλάροις καὶ χαλινοῖς τῶν ἵππων, οἱ στρατηγοὶ παρὰ τοῖς παλαιοῖς εἶχον. ὥσπερ καὶ νῦν κωδωνοφαλαροπώλους λέγει Ἀριστοφάνης, τοὺς χρωμένους κώδωσι. καὶ παρὰ Ῥωμαίοις ὁμοίως ὅπερ ἐγὼ Βαρῖνος, πολλάκις ἑώρακα.

Κωδωνοφορεῖται, ἀντὶ τοῦ δοκιμάζεται ἡ τῶν φυλάκων φρουρά. Ἀριστοφάνης.

Κώεα, δέρματα, διατεθέντα εἰς τὸ κεῖσθαι. οὐ ἡ εὐθεῖα οὐ μόνον κῶας, ἀλλὰ καὶ κῶος. ἐξ οὗ κώεα, ὡς τείχεα, βέλεα, οὕτω καὶ ὕδας καὶ οὖδος, καὶ γῆρας καὶ γῆρος, ὅθεν γηροβοσκεῖν καὶ γηροτροφεῖν.

Κῶεν, κῶθος, εἶδος ἰχθύος.

Κῶθυ, κωβίος.

Κωθύλους, ὄνους.

Κώθωνας, εἴδη ποτηρίων, ἃ ἐλάμβανον οἱ στρατιῶται. Ἄλλως.

Κώθων, εἶδος ἐκπώματος κεραμιοῦ. ἢ εἶδος ποτηρίου λακωνικοῦ καὶ στρατηγικοῦ. ἐπειδὴ μεριστὸν ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. καὶ κωθωνίσαι, τὸ μεθύσαι. ὡς τὸ, ἐρῶν δὲ καὶ κωθωνιζόμενος, ἀφ' ἡμέρας. Ἀριστοφάνης.

Κωθωνίζομαι, τὸ μεθύω διὰ κώθωνος.

Κώϊον, ἐνέχυρον, καὶ ἱμάτιον.

Κώκαλον, παλαιὸν, καὶ εἶδος ἀλεκτρυῶνος.

Κώκαλος, ὄνομα κύριον.

Κωκκύω, τὸ θρηνῶ.

Κωκκύειν ὀξὺ, γυναικῶν ἐστι. τὸ δὲ κωκύειν καὶ τὸ οἰμώζειν, κύρια ἐπὶ θρηνούντων. ὥσπερ καὶ τὰ ἐξ αὐτῶν. ὁ κωκυτὸς, καὶ ἡ οἰμωγή.

Κωκύσασα, θρηνήσασα.

Κώκυσε, μετὰ θρήνου ἀνεβόησε.

Κωκυτοιρεῖν, θρηνεῖν.

Κωκυτὸς, ποταμὸς ἐν ᾅδῃ, μυθικῶς. ἀλληγορικώτερον δὲ κωκυτὸς, ὁ θρῆνος. ὡς Ἀχέρων ἡ χεῦσις καὶ ἡ χύσις τῶν ἀχέων, καὶ τῶν θλίψεων, τῶν διὰ τοὺς τεθνηκότας.

Κῶλα, κυρίως ἐπὶ τῶν μελοποιῶν. μεταφορικῶς δὲ καὶ ἐπὶ τῶν πεζολόγων κώλοις μὴ χρωμένων. καὶ κῶλον τὸ ὀστοῦν.

Κῶλα, τὰ τῆς σφενδόνης ἑκάτερα μέρη. ὡς τὸ, ῥινοῦ χερμαστῆρος, εὔστροφα κῶλα τιταίνων Ἀλκιμένης, παιωνῶν εἶργον ἄπωθε νέφος.

Κῶλα, τὰ ὀστᾶ.

Κῶλα, τοῦ ζεύγματος. συμβαίνει γὰρ τοὺς σελλακεῖς κρατεῖν, θατέρου τῶν κώλων τοῦ ζεύγματος.

Κωλαβοῖλαι, ταῦροι.

Κωλακρέται, οἱ ταμίαι τοῦ δικαστικοῦ μισθοῦ, καὶ τῶν εἰς θεοὺς ἀναλωμάτων.

Κωλακρέτης. νόμος ἦν, τὰ ὑπολειπόμενα τῆς θυσίας τοὺς ἱερέας λαμβάνειν, ἅ εἰσιν οἷον δέρματα καὶ κωλαί.

Κωλακρέτης παρὰ τῷ Ἀριστοφάνει, περιφραστικῶς τὸν δικαστικὸν μισθόν. παρ' ὑπόνοιαν δὲ, δέον εἰπεῖν ζῶντινος.

Κωλανιζόμενοι, τάχει χρώμενοι ἀνέμοις ἴσα.

Κωλαρίας, τοὺς ἐκ τῆς ἀγέλης παῖδας.

Κωλεὰ, μέρος κρέατος, ἀγκαλὶς, δέσμη χόρτου. τινὲς σκέλος ὑὸς ὀπίσθιον, ἢ περσικῆς τὸ ἐδώδιμον.

Κωλῆον, τὸ κωλίκιον.

Κώληπα, τὸ ὀπίσω τοῦ γονατίου μέρος, ἡ κόξα. καὶ κώληψ, ἡ ἰγνύη, τὸ ὀστοῦν. κλίνεται δὲ κώληπος.

Κώλειρ, τὸ προτιθέμενον ἆθλον τοῖς ἀγωνιζομένοις.

Κωλετίναις, ἀσκαλαβώταις.

Κωλῶες, ἀκροκώλια.

Κωλῆς, Ἀριστοφάνης. οἴμοι δὲ κωλῆς, τοῦ κώληκος λεγομένου. κῶλα δὲ τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων. ἔστι δὲ ἱερὸν Ἑρμοῦ ὁ βραχίων τῶν ἀλόγων ζώων, ἄλλως τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων, τὰς ὀστώδεις ἀγκύλας. διαβάλλει οὖν Ἀριστοφάνης, ὡς ὀστέα τοῖς θεοῖς προσφέροντας.

Κωλιάδος κεραμῆες. κωλιὰς τόπος τῆς Ἀττικῆς, ἔνθα σκεύη πλάττονται. λέγει οὖν, ὅτι ὅσοι ἐπὶ τροχοὺς φέρονται. τροχὸν δὲ τὸν σκευοπλαστικὸν λέγει, τουτέστιν ὅσαι πρὸς σκευοπλαστίαν ἐπιτήδειαι, πασῶν ἡ κωλιὰς κρείσσων. ὥστε καὶ βάπτεσθαι ὑπὸ τῆς μίλτου. ἔστι δὲ ὁ τόπος ἐγκείμενος, ὅμοιος ἀνθρώπου κώλῳ, καὶ οἱ ἐνοικοῦντες κωλιοί.

Κωλιάδος παρὰ τῷ Ἀριστοφάνει, οἱ μὲν κωλιάδα τὴν Κεὸν καλοῦσι, νεανίου Ἀττικοῦ ἀποδράντος ἀπὸ λῃστῶν συμμαχίᾳ τῆς Θεοῦ, καὶ οὕτως αὐτὴν ὀνομάσαντος, καθάπερ αὐτὸς δεθεὶς τῶν κώλων ἀπελύθη ὑπὸ γυναικός. οἱ δὲ θυγατρὸς τοῦ Ἀρχιλῃστοῦ δι' ἔρωτα. οἱ δὲ τόπον ἐοικότα κώλοις ἀνδρὸς, ἔνθα ἡ Θεὸς τιμᾶται. ἔνιοι δὲ Ἴωνος θύοντος κόρακα ἁρπάσαι κωλῆν, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι, ὅθεν αὐτὸς ὠνομάσθη. ἄλλως. κωλιὰς, ναός ἐστιν Ἀφροδίτης, οὕτω καλούμενος, ἀπό τινος νεανίσκου Ἀττικοῦ ἁλόντος ὑπὸ Τυράννων, καὶ δεθέντος τὰ κῶλα, εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ Τυράννου, καὶ λυσάσης, ἐπανελθὼν εἰς Ἀθήνας, χαριστήριον τῇ Ἀφροδίτῃ ναὸν ἱδρύσατο κωλιάδος, διὰ τὸ τὰ κῶλα λελύσθαι.

Κωλίαν, ἰγνύαν, τὴν γαστροκνημίαν, τὴν κνήμην.

Κωλιὰς, ἀκτὴ εἰς θάλασσαν ἐξέχουσα. καὶ ἴσως, διὰ τὸ κώλῳ ἐμφερὴς εἶναι.

Κωλιεῖς, γένος Ἰθαγενῶν, ὅπερ ἐκ τῆς κωλιάδος.

Κωλικὴ, Σικελική.

* Κωλίφιον, ἄρτος ᾧ τινι ἐχρῶντο οἱ ἀθληταὶ, οὕτω καλούμενος, διὰ τὸ τὰ κῶλα ἶφια, ἤτοι ἰσχυρὰ ποιεῖν.

Κωλοβάθρου, τῆς λεγομένης κλάπας παρὰ πολλοῖς.

Κώλοισι, ποδίοισι.

Κῶλον, μόριον λόγου, ἐκ δύο ἢ καὶ πλειόνων μερῶν συνιστάμενον. τὰς συλλαβὰς γὰρ τέμνουσι καὶ τὰ κῶλα τῶν νοημάτων. κῶλον οὖν, ὁ ἀπηρτισμένην ἔννοιαν ἔχων στίχος. ἢ κῶλον, παρὰ τὸ ἐκεῖ κεῖσθαι ὅλον τὸ ὀστοῦν. ὅθεν καὶ κώληξ, κατὰ ἀντίφρασιν.

Κωλύματα, ἐμποδίσματα, ἐναντία, ἐναντιώματα, ἐμποδὼν, φράγματα, ἔργματα.

Κωλύμη, μεμφώλη ἢ κώλυμα, κώλυσις, ἐμπόδιον. ἔστι δὲ ἡ λέξις Θουκυδίδου.

Κωλυπὲς, δῆμος τῆς αἰγηΐδος φυλῆς.

Κωλυσανέμας, ὁ Ἐμπεδοκλῆς οὕτω καλεῖται, ὡς ὑπισχνούμενος ἐφέξειν τοὺς ἀνέμους.

Κωλύσω, λυπήσω.

Κωλυτὴρ, σημεῖόν τι ἐν θυτικῇ, καὶ θυσία τις κωλυτηρία.

Κωλύφιον μὴ λέγε, κωλῆνα δέ.

Κωλύω, καθείργω, ἀπέχω, ἐμποδίζω, ταυτὰ σημαίνουσι.

Κωλύω σε λέγοντα καὶ λέγειν, καὶ κινδυνεύοντα καὶ κινδυνεύειν.

Κωλῶτις, ἡ Ἀφροδίτη. κωλῶτις δὲ ἐκλήθη, ὅτι νεανίας ὑπὸ λῃστῶν, ἢ ὑπὸ Τυράννου κατασχεθεὶς ἐκ τῶν κώλων, ἤτοι τῶν ἀκρωτηρίων καὶ τῶν χειρῶν ἐδέθη. ἡ δὲ θυγάτηρ ἢ τοῦ ἀρχιλῃστοῦ, ἢ τοῦ Τυράννου ἐρασθεῖσα αὐτοῦ, ἀπέλυσεν αὐτὸν, μιγεῖσα τούτῳ, ὁ δὲ Ἀφροδίτης ἱερὸν κωλώτιδος ἱδρύσατο εἰς εὐχαριστίαν αὐτῆς, ὅτι δεδεμένον ὄντα ἐκ τῶν κώλων, ἐρρύσατο. κωλὶς δὲ λέγεται ἡ ἄορνις, καὶ ἀλεντία, ἡ ἐν ἄλεντι ποταμῷ κολοφῶνος τιμωμένη. ἐκεῖ γὰρ ἱερὸν αὐτῆς ἐστι.

Κωλώτης, ἀσκαλαβώτης. καὶ κωλώτης, ὁ Διόνυσος. ἔλεγον δὲ αὐτὸν καὶ γαλεώτην. δοκεῖ δὲ αὐτὸς εὐστόχως ἅλλεσθαι περὶ τοὺς μῦς.

Κῶμα, σημείωσαι ὅτι ὥσπερ ζῶ ζῶμα, βρῶ βρῶμα, στρῶ στρῶμα, Ἰωνικῶς ἡ βλάβη, οὕτω καὶ κῶ κῶμα ὁ ὕπνος. καὶ ὅτι καθὰ δεσμὰ μὲν ἔφη ὁ Ποιητὴς, οὐ μὴν δὲ καὶ δεσμὸς εὕρηται παρ' αὐτῷ, οὕτω καὶ κῶμα μὲν οἶδεν, οὐ μὴν δὲ καὶ τὸν κῶμον, οὗ τῇ χρήσει πλεονάζουσιν οἱ Ἀττικοὶ, λέγοντες κῶμον τὸν ἐν συμποσίῳ καιρὸν, δι' οὗ καταφέρεταί τις εἰς ὁμηρικὸν κῶμα. ὅπερ ἐστὶν ὕπνον. ὅθεν καὶ κωμάζειν, καὶ εἰσκωμάζειν, τὸ καταμεθύοντα ἐπέρχεσθαι αὐθαδέστερον, καὶ ἐλευθεριάζειν.

Digitized by Google

Κωμαδεῖν, ὀρχεῖσθαι.

Κῶμα, ἢ τὸ κοίμημα, καὶ ἐν συγκοπῇ κοῖμα καὶ κῶμα, ὡς ἀγκώνη ἀγκοίνη, ἢ τὸν ἐκ τοῦ ὕπνου καιρόν. ἵνα ᾖ ἐκ τοῦ κωμαίνω κῶμα, ὡς καὶ ἐκ τοῦ δημαίνω δεῖμα. ἴσως δὲ καὶ ὥσπερ χῶ χῶμα, βρῶ βρῶμα, τρῶ τρῶμα, ζῶ ζῶμα, οὕτω καὶ κεῖμαι κῶμα. ἐκ δὲ τοῦ κῶ καθ' ἑτέραν παραγωγὴν, καὶ κώμη γίνεται, ὡς γνῶ γνώμη, τρῶ τρώμη ἢ τρῶσις, βρῶ βρώμη ἢ βρῶσις. μαλθακὸν δὲ κῶμα, τὸ μαλθακοποιόν.

Κωμάζουσιν, ἤγουν ἀσακοῦσι, παίζουσιν, ἐλευθεριάζουσιν, ᾄδουσι. κωμάζειν λέγεται τὸν ἐραστὴν νυκτὸς, τὸ ἐπὶ ἐρωμένην πορεύεσθαι ἐστεφανωμένον καὶ αὐλούμενον. ἢ ἕτερόν τι αὐτῷ ἁρμόδιον ποιοῦντα. καὶ ὁ κῶμος, ἡ ἐργασία τῶν τοιούτων. ἢ κῶμος θεὸς ἦν παρὰ τοῖς Ἕλλησιν, ἔφορος τῆς μέθης. ἐξ οὗ κωμάζειν. κῶμος ἡ μέθη. καὶ κωμάζω, τὸ μεθύω. καὶ κώμη, ἡ ἀτείχιστος ἀνθρώπων συνοικία.

Κωμάζειν, τὸ ποιῶ ὀρχεῖσθαι.

Κωμάζει, ὑβρίζει.

Κῶμαι, ἀγυιαὶ, ῥῦμαι.

Κωμαίνειν, νυστάζειν, καλχαίνειν, πειράσεσθαι.

Κωμαίνεσθαι, κείρασθαι.

Κωμακὸν, ἀρωματικόν τι.

Κωμάρχης, ὁ τῶν πόλεων ἄρχων.

Κωμάσδω Δωρικῶς, ἀντὶ τοῦ κωμάζω.

Κωμασταὶ παλαιοί φασι, τοὺς μετ' ᾠδῆς ἐστεφανωμένους, καὶ εἰς τὰς ἐρωμένας ἀπερχομένους.

Κωμάσομαι, ἀσελγῶς διατεθήσομαι.

Κωμαστὴς, μέθυσος, ἢ ἀσελγὴς ἐκ μέθης, ἢ ὁ ἐν περιφορᾷ ὄνου ᾄδων.

Κωμᾶται, μαγεύει.

Κώματι, ὕπνῳ. καὶ ἔστι κατὰ συγκοπὴν, ἀπὸ τοῦ κοίμημα, ὡς οἴκημα οἶμημα, καὶ δώμημα δῶμα. καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω, κῶμα.

Κώμη, ἄμφοδον χωρίον.

Κώμη ἐστὶ, πλειόνων οἴκων σύστημα, ἔξω πόλεως κειμένων.

Κώμη, τόποι παρὰ τὸ κῶ τὸ κοιμῶμαι, κώμη. ὡς ἂν εἴποι τις, κοιμητήρια, καὶ ἀναπαύσεις ζώων τε, καὶ ἀνθρώπων, ἀπὸ τῶν ἔργων. παρὰ τὸ κῶ, τὸ κοιμῶμαι, κώμη.

Κωμηδὸν, πᾶσα πόλις.

Κώμην, οἱ πλεῖστοι τὸν στενωπὸν, καὶ τὴν οἷον γειτνίασιν.

Κωμῆται, οἱ γείτονες. κώμη γὰρ ἡ γειτονία.

Κωμικὴ, Ἀττική.

Κώμιον, ὑποκοριστικῶς λεχθέν. καὶ προπαροξυτόνως, ὡς καὶ λύρα λύριον καὶ θύρα θύριον.

Κωμίσας, ὄνομα γέροντος, παρὰ τῷ Ἀριστοφάνει, καὶ ἴσως πεποίηται, παρὰ τὴν κώμην.

Κωμωνία, χοροκοσμία.

Κῶμοι, ἀσελγῆ ᾄσματα, πορνικὰ, συμπόσια, ᾠδαὶ, ὀρχήσεις μετὰ μέθης.

Κῶμος, ἡ μετ' ὀρχήσεως ᾠδή. καὶ ἡ ἐκ μέθης ἀσέλγεια. καὶ κῶμος, ὁ ὕπνος.

Κωμύδριον, ἡ μικρὰ καὶ ἀτελὴς στόα.

Κώμυθα, δάφνην, ἣν ἱστῶσι πρὸ τῶν πυλῶν. δηλοῖ δὲ καὶ δέσμην χόρτου, καὶ τὰ κατ' ὀλίγον τῶν δραγμάτων.

Κώμηρος, ὁ Ζεὺς ἐν Ἁλικαρνασῷ τιμᾶται.

Κωμῳδεῖν, ἀτιμάζειν, καὶ ὑβρίζειν, καὶ σκώπτειν.

Κωμῳδίαι ὕβρεις, διασυρμοὶ καταγελαστικοὶ, ἐμπαίγματα, δραματικαὶ συνθέσεις πεπλασμέναι, μιμητικαὶ βίου. εἴρηται δὲ κωμῳδία, ὅτι ᾄδοντες αὐτὴν ἐν κώμαις, περιῇγον. κώμας δὲ λέγει τὰς χώρας.

Κωμῳδοποιὸς, ὁ σκώμματά τινα εἰσάγων, κατά τινος.

Κωμῳδοὶ, κωμικοὶ, τραγῳδοί. καὶ χορευταὶ, τραγῳδοὶ, οἱ τραγικοὶ ποιηταὶ διδάσκαλοι.

Κωμῳδολῃχῶν, περὶ τὸν εὐπράττοντ' ἀεὶ Ἀριστοφάνης.

Κωμῳδούμενοι, παιζόμενοι, παρὰ τὴν τραγῳδίαν.

Κωμῳδοῦντες, θριαμβεύοντες, πομπεύοντες.

Κωμώδριον, τὸ μικρὸν χωρίον.

Κωμῶν, τῶν χωρίων. ἡ εὐθεῖα, ἡ κώμη.

Κώνα, βέμβιξ.

Κωνᾶν, περιδινεῖν.

Κωνεῖαν, νάρθηκα, καὶ πόας εἶδος.

Κωνειαζομέναις, θανάσιμον φάρμακον πινούσαις· κώνειον γὰρ, θανάσιμον δηλητήριον.

Κώνειον, τὸ φάρμακον. τὸ κώνειον, τὸ παραπλήσιον τῷ καυλῷ τῆς λαμπάδος. τὰ δὲ φύλλα σελίνῳ ἀγρίῳ ὅμοια, καὶ ὑπόπικρον. καλεῖται δὲ καὶ ἐφήμερον, διὰ τὴν ὀξύτητα τῆς ἀναιρέσεως. κώνειον δὲ αὐτὸ καλοῦσι, διὰ τὸν γινόμενον εἰλιγμὸν καὶ σκότον τοῖς πίνουσι. τὸ γὰρ στρέψαι, κωνῆσαι λέγουσιν οἱ παλαιοί. ἢ παρὰ τὸ καίνειν καὶ κόπτειν. ἢ παρὰ τὸ κοίμημα.

Κωνῆσαι, πισσοκοπῆσαι, καὶ κύκλῳ περιενεγκεῖν. καὶ πισσοκόνιστον μόρον λέγουσιν. ὅταν πίσσῃ καταχρισθέντες τινες, ὑπὸ πυρὸς ἀποθάνωσιν. Αἰσχύλος, καὶ Κρατῖνος χρήσαις. πισσοκονία γὰρ ἡ νῦν πισσιδία, ᾗ χρίουσι τὰ παρείθμια τῶν προβάτων.

Κώνητες, θύρσοι.

Κωνῆσαι, κυρίως τὸ κέραμον πισσῶσαι. κωνᾶν γὰρ τὸ στρέφειν.

Κωνίαν οἶνον, τὸν πισσίτην παρὰ τῷ Ἱπποκράτει.

Κωνὶς, ὑδρίσκη.

Κωνοειδὲς, τὸ ἀπὸ πλατέος εἰς ὀξὺ λῆγον. καὶ κωνοειδὲς, σχῆμα τοιοῦτον, οἷον στροβυλοειδές.

Κῶνοι, οἱ θύρσοι, καὶ οἱ στρόβυλοι, καὶ οἱ στρόμβοι. καὶ τὸ ἀπόσκημα τῆς γῆς.

Κῶνον, καὶ οἶνον. Ἀριστοφάνης βατράχοις, κῶνον ἀνεκεράννυ, γλυκύτατον.

Κῶνος, περικεφαλαία, καὶ ὁ τῆς πίτυος καρπός. καὶ παρὰ τοῖς γεωμέτραις, σχῆμά τι στερεὸν, καὶ στρόβυλος.

Κῶνος, τόπος ἐν Κλαζομεναῖς.

Κωνοποθήρας, ὄρνις ὁ κώνωπας θηρεύων.

Κωνοφόροι, θυρσοφόροι, κῶνος δὲ λέγεται ὁ βοτρυοειδὴς τοῦ στροβύλου καρπός. ὃν ἔφερον αἱ γυναῖκες βαστάζουσαι ἐν ταῖς τοῦ Διονύσου τελεταῖς, ἐπειδὴ ὅμοιον τὸ σχῆμα τοῦ κώνου, τῇ τοῦ ἀνθρώπου καρδίᾳ. ἐπιστάτην δέ φασιν Ἕλληνες τῆς τῶν ἀνθρώπων καρδίας τὸν Διόνυσον. οἰκείῳ οὖν τινι μυστηρίῳ τοῦτο ἐποίουν, καὶ θύρσου χλωρὸν κωνοφόρον κάμακα. Κωνώπη, ὄνομα πόλεως.

Κῶνσος, ὄνομα κύριον.

Κῶον, ἱμάτιον, ἢ ἐνέχυρον.

Κῶος χῖος. ὁ κῶος ἀστράγαλος ὁ ἕξ. ὁ μὲν γὰρ χῖος ἐδύνατο ἓν, ὁ δὲ κῶος ἕξ.

Κωπαΐδας ἐγχέλεις, λίμνη ἐν Βοιωτίᾳ. κωπαῒς, ἐν ᾗ ἐγχέλεις πλεῖσται εἰσί. ἔστι δὲ καὶ πόλις ὁμώνυμος.

Κώπα, καὶ κώπεα, ὁ περιτραχήλιος κόσμος.

Κῶπαι, πόλις τῆς Βοιωτίας.

Κώπεις, τὰ εἰς κώπας εὔθετα ξύλα.

Κωπέας, σφονδύλους μεγάλους ἰχθύων.

Κωπεὸς, θρῆνος.

Κωπήεντα, μελάνδετα, ἢ σιδηρόδετα, καὶ μελανὰς βαφὰς ἔχοντα. ἔστι δὲ ἡ λαβὴ τοῦ ξίφους.

Κωπηλάτας, ἐπικόπους λέγοντες οἱ Ἀττικοὶ, ἐπιβάτας καλοῦσι τοὺς μαχητάς.

Κώπη, ξίφους, πρὸς διαστολὴν κώπης θαλασσίας, ἤγουν πλάτης.

Κώπην ἐλέφαντος, λέγει Ὅμηρος τὴν λαβὴν, διὰ τὸ τιμιώτερον, αἱ γὰρ λοιπαὶ ξύλινοι. οὐκ ἦν ἐπὶ ξίφους μόνου ἡ κώπη, ἀλλ' ἰδοὺ καὶ ἐπὶ τῆς δρεπανοειδοῦς κληῗδος, καὶ διὰ τοῦτο εὐκάμπεος.

Κῶπαι, ἀπὸ κωπέως, ἢ κωπεῶνος οὕτω καλοῦνται, υἱοῦ Ὀρχηστοῦ. ταύτης ὁ πολίτης, κωπαίων. περὶ αὐτὴν δὲ καὶ λίμνη μεγάλη κωπαῒς, ἐν ᾗ ἐγχέλεις ἀγαθαί. τινὲς δέ φασιν, ὅτι κῶπαι καὶ κωπαῒς ἐκλήθησαν, διὰ τὰς κώπας, αἷς ἐχρῶντο οἱ ἐγχώριοι πρὸς ἀλλήλους πλέοντες, διὰ τὸ ἀπολιμνωθῆναί φασι τὰ ἐκεῖ. ὅθεν καὶ ἡ ἐκεῖσέ που Πλάταια πόλις, παρὰ τὴν πλάτην, ὃ δηλοῖ τὴν κώπην, ὡς φωκὴ Φωκαία, νίκη Νικαία.

Κωπῆρες πλοῖον, ὡς ἡμεῖς καὶ Θουκυδίδης ἐν τετάρτῳ, καὶ ἡ δοτικὴ τῷ κωπῆρει.

Κώπης, τὸ ἄνω κώπαιον. τὸ δὲ κάτω, πλάτη.

Κωπητὴρ, ὁ σκαλμὸς τῆς κώπης.

* Κῶπος, ὁ μεθ' ἡδονῆς παλμός.

Κώρα, ὕβρις. Κωράλλιον, παιδάριον, κόριον.

Κωραλίσκον, μειράκιον.

Κωρέα, ἄκρα, ἀρχὴ, δέσμη.

Κωρία, κουρὶς, κουρεύτρια. Κωριδάμνας, ἀκρίς.

Κωριδεστράες, ζῶον θαλάσσιον. Κωρίθιον, χόρτον.

Κωρὶς, ψαλλός.

Κῶρος, κοῦρος, νέος, ἀπὸ τῆς τοῦ ὀφθαλμοῦ κόρης.

Κωρυκίδιον, ὅπερ οἱ τοξεύοντες δερμάτινον κοίλωμα τῷ εὐωνύμῳ πήχει περιτιθέασι.

Κωρύκιον, κώρυκος, θυλάκιον, τὸ παρ' ἡμῖν βουλγίδιον. ἢ πλέγμα δεκτικὸν ἄρτου. καὶ κωρύκιον σπήλαιον, ἐν Σικελίᾳ.

Κωρύκιον, χωρίον τῆς Κιλικίας, ἐν ᾧ διάφορος γίνεται κρόκος.

Κωρύκιον ἄντρον ἐν Παρνασσῷ, ὅθεν κωρύκιαι νύμφαι. κέκληται δὲ ἀπὸ Νύμφης κωρυκίας, ἧς καὶ Ἀπόλλωνος παῖς Λυκωρεύς. ἀφ' οὗ Λυκωρεῖς οἱ Δελφοί.

Κώρυκον, τὸν θύλακον λέγει Ὅμηρος ὃν καὶ δέρματα πυκινὰ ἔφη. καὶ ἀρρεφία δὲ ἐν τῷ ἀρραφέεσι δοροῖσιν. οἱ δὲ παλαιοὶ, καὶ κωρυκίδα τὸ τοιοῦτον σκεῦος καλοῦσι, παράγοντες καὶ Ἀριστοφάνους χρῆσιν ταύτην, συνεὶς οὐ μακρὰ καὶ κωρυκίς.

Κῶς, ἡ νῆσος, ὅθεν Ἱπποκράτης ὁ ἰατρός. ἥτις καὶ Μεροπὶς λέγεται, καὶ δέρμα, εἱρκτὴ, δεσμωτή.

Κωτιλὰς, ἢ ὡς εἰπεῖν στωμύλη, καὶ κατὰ Ἡσίοδον εἰπεῖν, αἱμύλη.

Κωτίλος, ὄρνεον οὕτω καλούμενον, ἀφ' οὗ καὶ οἱ πολλὰ λαλοῦντες καὶ κολακεύοντες, κωτίλοι καλοῦνται. τὴν χελιδόνα.

Κωτίλη, ἡ λόγοις ἀπατῶσα. καὶ κωτῖλος, ὁ πανοῦργος, ἢ κόλαξ, ἢ ἀπατεών.

Κωτίλω, πανουργεύομαι, λαλῶ.

Κωτίλω, τὸ ὑβρίζω καὶ λοιδορῶ. ἐξ οὗ κωτίλος, ὁ φλύαρος.

Κώτιλον, ἡδὺ, τρανὲς, λάλον, εὔστομον.

Κωφὰ καὶ παλαιὰ ἔπη, ψυχρὰ καὶ οὐδὲν σαφὲς ἔχοντα, ψυθυριζόμενα.

Κωφεῖ, κακουργεῖ, βλάπτει, κωλύει, πηροῖ.

Κωφεύει, μετεωρίζει, φέρει, κουφίζει. τὸ δὲ αὐτὸ καὶ κωφεύει.

Κωφεῦσαι, ἀναισθητῆσαι, ἡσυχάσαι, σιωπῆσαι.

Κωφὴν, ποταμός. καὶ κλίνεται κωφῆνος.

Κωφῆσαι, κωλῦσαι.

Κωφητέος, βλαπτέος.

Κωφίας, ὄφεως εἶδος. ὁ καὶ τυφλίας.

Κωφοὶ, οἱ ἀμαυροὶ, καὶ ἀσθενεῖς, παρὰ τῷ Ἱπποκράτει.

Κωφὸν, ἄηχον, ἀσθενὲς, ἀμβλύ.

Κωφὸν βέλος, τὸ μὴ ἔχον αἴσθησιν, ἢ οὗ οὐκ ἄν τις αἴσθησιν λάβῃ ἀπτικὴν, γέγονε γὰρ κατὰ τοὺς παλαιοὺς ἡ μεταφορὰ, ἐκ τῶν κατὰ τὴν ἀκοὴν, εἰς τὴν ἀφήν. ἢ ἄλλως ὀρθῶς λέγοιτ' ἂν ἐξ ἐναντίου βέλος κωφὸν, τὸ ἀνεπαισθήτως ἐπελθὸν, καὶ δίχα ῥοίζου, ὡς μὴ δὲ ἀκουσθῆναι, μὴ δὲ ἀέρα κινῆσαι πολύ.

Κωφὸν κῦμα λέγει που Ὅμηρος. ἔνθα σημειοῦται, ὅτι κωφὸν οὐδέ ποτε Ὅμηρος ἐπὶ ἐμψύχου τίθησι.

Καφὸν κῦμα, τὸ μή που ὕπαφρον καὶ παφλάζον, ὡς καὶ ἦχον ποιεῖν ἀκουστὸν, καθάπερ καὶ κωφὸν βέλος τὸ ἄρροιζον. κωφὰ δὲ τοιαῦτα, ὡς μὴ ἐνεργοῦντα εἰς ἀκοὴν τὴν καὶ κωφεύειν ἂν δοκοῦσαν, διὰ τὸ μὴ ἔχειν τῶν τοιούτων αἰσθάνεσθαι. ὥστε κἀνταῦθα τὸ κωφὸν μετῆκται, εἴπερ μετατέθειται ἀπὸ τοῦ μὴ ἀκούοντος, ἀλλὰ κωφεύοντος εἰς τὸ ἠρεμοῦν, καὶ μὴ κτυποῦν, καὶ διὰ τοῦτο μὴ ἀκουόμενον. ἵνα ᾖ κωφὸν κῦμα, ὥσπερ καὶ βέλος, ἐφ' ᾧ κωφεύοι ἄν τις οἷα μὴ ἀκούων. δῆλον δὲ, ὅτι Ὅμηρος μὲν κωφὸν οὐχ εὕρηται λέγων ἄνθρωπον. οἱ δὲ μεθ' Ὅμηρον οἴδασι καὶ ἐπὶ ἀνθρώπου τὴν λέξιν.

Κωφὸς, παρὰ τὸ κεκόφθαι τὴν ὄπα. ἢ κένοπός τις ὢν, ὁ μήτε φθεγγόμενος, μήτε ἀκούων.

Κωφότερος κίχλης, παρ' Εὐβούλῳ ἐν Διονυσίῳ λέγεται, ἀφωνότερος κίχλης. κωφότερος τοῦ τορωναίου λιμένος. περὶ τορώνην τῆς Θράκης, καλεῖταί τις λιμὴν κωφός. εἴρηται δὲ ἡ παροιμία, παρόσον ὁ ἐν Τορώνῃ τῆς Θράκης λιμὴν, στενὰς ἔχει καὶ μακρὰς, τὰς ἀπὸ τοῦ πελάγους κατάρσεις, ὡς μὴ ἀκούεσθαι τοῖς ἐν αὐτῷ τὸν τῆς θαλάττης ἦχον. καὶ παρὰ κωφῷ πέρδεις, ἐπὶ τῶν ἀδυνάτων.

Κὼχ, ὄνομα κύριον.

Κοχέει, συνουσιάζει.

Κωχεύειν, μετεωρίζειν, ἀνέχειν.

Τέλος τοῦ κ'. στοιχείου.

ἈΡΧΗ'

Digitized by Google

ΑΡΧΗ ΤΟΥ Λ. ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Λάμβδα τὸ στοιχεῖον, οἱονεὶ λάβατιὸν, παρὰ τὸ λείως βαίνειν ἐν τοῖς μέτροις, καὶ ἀσθενὲς εἶναι πρὸς τὸ μηκύνειν τὰς συλλαβάς.

Λᾶαν παρ᾽ Ὁμήρῳ, ὅ ἐστι λίθον, ἐκτείνει μὲν τὴν παραλήγουσαν, καὶ κλίνεται περιττοσυλλάβως λάαος, κραθὲν δὲ γίνεται λᾶς. ὅθεν Λᾶ, πόλις στάχεια, ὡς τὸ Λᾶν περήσεις παρὰ Λυκόφρονι. καὶ Λαπέρσαι, Διόσκουροι, οἱ τὴν αὐτὴν λᾶν πέρσαντες. καὶ λαξεύειν, τὸ λίθους ξέειν. καὶ λατύπος, ὁ καὶ λατόμος. τὸ μὲν ἀπὸ τοῦ τύπτειν, τὸ δὲ ἀπὸ τοῦ τέμνειν. καὶ λατύπη θηλυκῶς, τὰ τῶν λίθων ἀποξέσματα.

Λᾶ, ἐπὶ τοῦ μεγάλου καὶ τοῦ λίαν ἐτάσσετο. ὅθεν καὶ λεκάνη, ἡ μεγάλως κεχηνυῖα.

Λᾶαν, Ὅμηρος δισυλλάβως προάγει. οἱ δὲ παλαιοί φασιν, ὅτι λᾶ μονοσυλλάβως ἐλέγετο ἀρσενικῶς τε καὶ θηλυκῶς. ἤγουν ἡ λᾶ, καὶ ὁ λᾶς, ὡς καὶ ὁ Λυκόφρων δηλοῖ, ἐν τῷ, καὶ Λᾶν περήσεις. ὁ δὲ Ποιητὴς, διέλυσε φασι. κεῖται δὲ ἐπὶ πέτρας ὑψηλῆς. διὸ Λᾶ καλεῖται, ὡς ἀπὸ τοῦ λᾶς ὁ λίθος. ταύτην φασὶ τὴν Λᾶν οἱ Διόσκουροι ἐκ πολυορκίας εἷλον, διὸ ἐκλήθησαν Λαπέρσαι. οἱ δὲ οἰκοῦντες, ἄδηλον εἴτε λαοὶ ὀξυτόνως, εἴτε λᾶοι προπερισπωμένως.

Λάανα, ἐπίσταπον.

Λάας, ὁ λίθος, καὶ κλίνεται λᾶα. ἔστι δὲ καὶ λᾶς, ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ λᾶι τῶν λῶν. καὶ Λάων καὶ Λάας, ὄνομα κύριον.

* Λαβὰ ἢ καὶ λιβὰς, σταγών.

* Λαβάργυρος, ὁ μηδὲν ἄνευ λήψεως ἀργυρίου ποιῶν.

Λαβάβηρ, λεκανίσκη.

Λαβὰς, ἀντιλήψεις.

Λαβαῖς, ἐπαφαῖς, ἢ ἀφορμαῖς, ἢ μέμψεσι. λαβὰς δὲ ἀμφιστόμους τὰ ὦτα τοῦ κρατῆρος, ἤτοι τὰς ἀμφοτέρωθεν ἐστομωμένας, διὰ τὸ ἑκατέρωθεν τοῦ στόματος ταύτας εἶναι, ἢ τὰς πρόσωπά τινα θηρίων ἑκατέρων ἐχούσας.

Λαβὲ, Ἀττικῶς ἀντὶ τοῦ λάβε, ὥσπερ εὑρὲ, ἐλθὲ, εἰπέ.

Λάβε γούνων, ὅ ἐστιν ἧψατο καὶ τὸ ἕλε γούνων πολλαχοῦ τῆς ποιήσεως κεῖται. ὅτε μέντοι τὸ ἑλεῖν σημαίνει τὸ ἅψασθαι, τότε δὴ εἰς αἰτιατικὴν ἔχει τὴν σύνταξιν. οἷον καὶ τὸ, ὅτι μ᾽ εἷλες ἐν ἀλωῇ, καὶ ζωοὺς ἕλον καὶ ἄλλα μυρία.

Λαβεῖν καὶ δέξασθαι διαφέρει. λαβεῖν μέν ἐστι, τὸ κείμενόν τι ἀνελέσθαι. δέξασθαι δὲ, τὸ διδόμενον ἐκ χειρός.

Λαβεῖν τιμωρίαν, ἐκδικηθῆναι.

Λαβὴ, ἡ ἀφορμή. καὶ λαβὴ, δεσμός τις τοῦ ξίφους. καὶ λαβὴ, μέμψις. καὶ λάβη, ἐπισημασία ἐκ περιόδου, παρὰ τῷ Ἱπποκράτει.

Λαβήροις, ποτιστηρίοις.

Λάβηρος, βόθυνος.

Λαβὶς, σκεῦος χρυσοχοϊκόν.

Λαβόμενος, δραξάμενος.

Λαβοῦ, καὶ τυποῦ. καὶ πάντες οἱ μέσοι δεύτεροι ἀόριστοι περισπῶνται. σημαίνει τὸ στάπου, καὶ ἐπιλάθου, καὶ ἀφίκου.

Λαβραγόρην, σφοδρῶς δημηγοροῦντα, ἢ προπετῶς ἐν τῷ λέγειν. οἷον λαῦρον, καὶ θρασύν. τινὲς, ἄκαιρον ἐν τῷ δημηγορεῖν.

Λαβράζει, λάβρος γίνεται, ἀκολασταίνει, προπετεύεται.

Λαβράζων παρὰ Λυκόφρονι, ἤγουν ἠχῶν τοῖς πτεροῖς.

Λάβραξ, εἶδος ἰχθύος, ἀφ᾽ οὗ ποιεῖται τὴν προσηγορίαν. κέχηνέ τε γὰρ αὐτοῦ τὸ στόμα, καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει, ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας, μέγιστοι οἱ λάβρακες, διὰ τὴν ἐπεισρέουσαν λίμνην εἰς τὴν θάλασσαν. χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι, εἰς τὴν λίμνην ἐκ τῆς θαλάσσης ἀνατρέχουσι, καὶ οὕτω πληθύνουσι παρὰ τοῖς Μιλησίοις.

Λαβρεία, ἡ τοῦ λόγου ἄσκεπτος ἔκρηψις.

Λαβρεύεται, λάβρως καὶ ἀθρόως λαλεῖ καὶ προσγλωττεύει.

Λαβρεύεσθαι, κυρία λέξις ἐστὶ δηλοῦσα τὸ λάβρως, καὶ οὐ μετὰ σκέψεως λαλεῖν, ἢ καὶ ἄλλως εἰπεῖν, στωμύλλεσθαι, καὶ τὸ ἀκούοντα λίαν βαρύνειν τῇ φράσει. ὅθεν καὶ λαβραγόρας, ὁ ἐν τῷ ἀγορεύειν λάβρος. τῶν δὲ παλαιῶν τις λαβρεύειν, τὸ προσγλωσσεύειν φησί.

Λαβρεύονται, ῥέουσι, μεγάλα βουλεύονται, θορυβοῦσι σφόδρα.

Λαβραγορῶ, στομβάζω, μεγαλορρημονῶ, λαβραγορῶ, ἀμεταβάτως.

Λάβρον, ἀθρόον, προπετὲς, ταχὺ, μαινόμενον.

Λάβρον, συνήθως διὰ τοῦ β, τὸ λίαν βαρὺ, οὕτω καὶ λάβρος ἄνεμος διὰ τοῦ β, ὡς λίαν βαρύνων, εἰ καί τινες ἐπιθυμοῦσι γράφειν αὐτὸν διὰ τῆς αυ διφθόγγου, παρὰ τὴν αὔραν, καὶ ὁ λαβραγόρας, διὰ τοῦ β. οὐχ ἧττον δὲ τούτων ὁ λάβραξ, διὰ τὸ λίαν βορόν. ἡ μέντοι δημοσία ὁδὸς λαῦρα λεγομένη ἐν Ὀδυσσείᾳ, ἐστέρηται ἀναγκαίως τοῦ β, διὰ τὸ ἐπένθεσιν Αἰολικὴν ἔχειν τοῦ υ. σύγκειται γὰρ ἐκ τοῦ λαὸν ῥέειν δι᾽ αὐτῆς. τούτῳ δὲ τῷ λόγῳ καὶ γυνὴ σκωπτικῶς λέγεται ποδησιλαῦρα, ἡ ἐν δημοσίαις λαύραις ἀναφανδὸν ποδουμένη ὡς χαμαιτύπη.

Λάβρον ἄνεμον, ἀρέσκει τοῖς ἀκριβεστέροις διὰ τοῦ β γράφεσθαι, διὰ τὸ λίαν βαρύ. ἐπεὶ ζαχρηεῖς ἄνεμοι κατὰ τὸ τοιοῦτον σημαινόμενον λέγονται, οὕτω καὶ ἐπαιγίζοντα ἄνεμον λέγομεν.

Λαβρόνιον, εἶδος ποτηρίου πλατέως.

Λάβρος, πολὺς, σφοδρός.

Λαβροσιάων, χορτασμῶν ἀκόσμων.

Λαβροστομία, ἡ ἄχρηστος λαλιά.

Λαβρόταπος, σφοδρότατος.

Λαβρύσσει, λαβρεύει, δειλαίνει.

Λαβύρινθος, σπήλαιόν τι φασὶν ἦν ἐν τῇ Κρήτῃ, ποικίλον πάνυ, ἔνθα οἱ εἰσερχόμενοι ἐξιέναι οὐκ ἠδύναντο, διὰ τὰς ἐν αὐτῷ σκολιότητας.

Λαβύρινθος, κοχλιώδης καὶ σκοτεινὸς τόπος. λέγεται δὲ ἡ λέξις ἐπὶ τῶν φλυάρων, παρὰ τὸ πολλοῖς κύκλοις λόγων κεχρῆσθαι.

Λάβωμεν, τὸ θέμα λήβω τὸ λαμβάνω, ὁ μέλλων λήψω, ἀόριστος ἔληψα, ἄχρηστα πάντα. ὁ δεύτερος ἀόριστος ἔλαβον, καὶ τὸ ὑποτακτικὸν ἐὰν λάβω, τὸ πρῶτον τῶν πληθυντικῶν λάβωμεν, λάβητε, λάβωσι. λάβησι, τρίτον τῶν ἑνικῶν προσθήκῃ τοῦ σι, τὸ ἀπαρέμφατον λαβεῖν.

Λάβωρα, εἶδος ὀπώρας.

Λαγαγεῖ, ἀφορίζει.

Λάγανα, εἶδος πλακουνταρικοῦ, ὡς παπυρώδη ἀπὸ σεμιδάλεως ἐν ἐλαίῳ τηγανιζόμενον, καὶ ἀρτιβραχεῖ ἐλαίῳ.

Λαγαριζόμενοι, σκαλεύοντες. δηλοῖ δὲ, τὸ πρὸς τὰς λαγόνας τὸν ἀγκῶνα προσάγειν πυκνὰ διαπείροντα τὴν χεῖρα.

Λαγαρίττεται, μετριάζεται.

Λαγαρὸν τὸ μὴ ναστὸν, καὶ ὑπόκενον.

Λαγαρὸν, ὡς λαγαρνόν. ἐκκεκένωται γὰρ αὐτοῦ τὸ πάχος εἰς πλάτος, καὶ λιανθὲν ἀσθενέστερον.

Λαγάσσαι, ἀφεῖναι.

Λαγβατὸν, ἀνατετραμμένον. οἱ δὲ, λάγανον ἐμβάλλοντα.

Λάγγα, ἡ τῇ τροφῷ διδομένη μερίς.

Λαγγάζει, ὀκνεῖ. οἱ δὲ, λαγγεῖ.

Λαγγανώμενος, περιιστάμενος, στρατευόμενος.

Λαγγάσαι, περιφυγεῖν.

Λαγγαρεῖ, ἀποδιδράσκει.

Λαγγεύει, φεύγει.

Λαγγόβαρδος, κύριον. γράφεται καὶ λαγγίβαρβος.

Λαγγὼν, μετάβολος, ἔμπορος.

Λαγεινὰ, δεινά.

Λαγερὸς, σμίλαξ.

Λάγεσις, Θεὸς, Σικελοί.

Λάγειον αἷμα καὶ κρέας, τὸ τοῦ λαγωοῦ.

Δαγηῖς, δόρυ.

Λαγὴς, ὁ εἰς τὰ ἀφροδίσια καταφερής.

Λαγέτας, ἡγεμόνας, καὶ ἡγουμένους τῶν λαῶν λέγουσι.

Λαγινάρχος, ὁ ἐξουσίαν ἔχων τοῦ οἴνου.

Λάγκει, ἐώκει.

Λάγνα, τὰ ἄκρεα τοῦ στομίου τῆς ὑστέρας, παρὰ τῷ Ἱπποκράτει. καὶ λάγνα, κάμψα, κιβωτός.

Λαγνεία ἐστιν, ἐπιθυμία ἀφροδισίων ἄμετρος, καὶ πορνεία.

Λάγνος, ἐπὶ ἀνδρῶν, ἤγουν λίαν γόνιμος. μαχλὰς, ἐπὶ γυναικῶν.

Λάγνος, πόρνος, αἰσχρὸς, καταφερὴς πρὸς τὰ ἀφροδίσια, ὅ ἐστι τὰς συνουσίας.

Λάγνης, διὰ τοῦ η, ἀλλὰ μὴ λάγνος.

Λαγοθήρας, ἀετοῦ εἶδος.

Λαγόνα, ἣν καὶ κενεῶνα καλοῦμεν, ἤγουν τὸν ὑπὸ τὰς πλευρὰς τόπον. λαπάραν Ὅμηρος καλεῖ εἰπὼν, ὄντα κατὰ λαπάρην. καὶ γίνεται μὲν λαγὼν, παρὰ τὸ λήγειν, ἔνθα λήγουσι τὰ ὀστώδη πλευρά. κενεὼν δὲ, ὡς κενὸς ὀστῶν. λαπάρα δὲ, παρὰ τὸ λάπτειν, ὃ ταυτόν ἐστι τῷ ἐκκενοῦν, ἀφ᾽ οὗ καὶ λάφυρα, τὰ ἐκ τῶν πολεμίων σκηνῶν καὶ πόλεων ἐκκενούμενα, ταῦτα δέ τινες, καὶ ἀπὸ τοῦ τῷ λαῷ φύρεσθαι συντιθέασι.

Λαγόνες, σχίσμα γῆς.

Λαγορεῖς, ἐκκλησίαι.

Λαγορία, ὄνομα πόλεως.

Λαγρονίτης, εἶδος πλακοῦντος.

Λαγρὸν, ἢ λαγρὸς, κραββάτιον.

Λάγυνος, ἡ πάνυ δεκτικὴ, καὶ λίαν παρὰ τὸ λᾶ, καὶ τὸ γῶ τὸ χωρῶ.

Λαγχάνω, γενικῇ, καὶ αἰτιατικῇ. καὶ ὅτε συντάσσεται γενικῇ, νοεῖται ἡ αἰτιατικὴ ἐλλειπτικῶς. οἷον, ἔλαχον οὐσίας, ἔλαχον ὕπνου, ἀντὶ τοῦ μέρος οὐσίας, καὶ μέρος ὕπνου.

Λαγχάνω τὸ κληροῦμαι, αἰτιατικῇ, μεταλαγχάνω δὲ, γενικῇ. λαγχάνω δίκην τῷ δεῖνι, ἤγουν κρίσιν Ἀττικοὶ λέγουσιν, οὐκ ἐπιφέρω. διὰ κλήρου γὰρ

Digitized by Google

τὰς δίκας ἐποίουν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ. καὶ λαγχάνει Ποσειδῶν, Ἀρεῖ τὴν δίκην τοῦ παιδός.

Λαγωβολεῖον, δι' οὗ τοὺς λαγωοὺς ἀγρεύουσι.

Λαγωΐνης, ὄρνις ποιός.

Λαγών, ὁ κενεών, τὸ ἰσχίον.

Λαγώνεια, λαγοῦ κρέα.

Λαγωὸς τρέχων λέγεται φεύγει, ἔλαφος δὲ θεῖ, σῦς δὲ μαχόμενος συρρήγνυται, λέων ἐφορμᾷ, πάρδαλις πηδᾷ, ἄρκτος συμπλέκεται, ταῦρος ἐμπίπτει, ἐπὶ τοῦ πλήττειν. τοὺς μὲν ἔχουσι χηλὰς λέγεται παίειν. τοὺς δὲ κέρατα, κυρίττειν. τοὺς δὲ ποσὶ τὴν πλῆξιν ποιοῦσι, λακτίζειν. τοὺς δὲ ὄνυξι, σπαράττειν. τοὺς δὲ ὀδοῦσι, κατεσθίειν.

Λαγῴοις. Ἀριστοφάνης, ἐν πᾶσι λαγῴοις, ἐν κρέασι λαγῶν, ἐν ἀγαθοῖς πᾶσι. τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγῴοις, ἀντὶ τοῦ ἐν τρυφῇ.

Λαγωός, εἰ μὲν ἐκ τοῦ λαγὼς ἐκτεταμένου, γίνεται κατὰ πλεονασμὸν τοῦ ο μικροῦ. εἰ δὲ ἐκ τοῦ ἑτέρου τοῦ συστέλλοντος τὴν λήγουσαν, ἐπενθεῖναι δοκεῖ τὸ μέγα ω, πρὸς ἀναλογίαν τοῦ κολωὸς, καὶ τῶν ὁμοίων. φασὶ δὲ Ἰωνικὸν εἶναι τὸ λαγωὸς δισύλλαβον μακροκατάληκτον, οἱ δὲ ἄλλοι λαγὸν δηλαδὴ, διὰ τοῦ ο μικροῦ, ὡς ἀπὸ τοῦ λάω τὸ βλέπω. καὶ εἰσὶ πληθυντικὰ τούτου, ὡς δηλοῖ Ἀθήναιος. ἐκ δὲ τοῦ τοιούτου καὶ Λάγος τὸ κύριον, ὁμοίως τὸ ἀργὸς, Ἄργος. Ὅμηρος δέ φησι λαγωὸν διὰ τὸ μέτρον.

Λαγωὸς, οὐ μόνον καὶ πτὼξ, καὶ δασύπους λέγεται κοινῶς, ἀλλὰ καὶ τραχίνας εὕρηται παρὰ Λακεδαιμονίοις, παρ' οἷς καὶ ὡς οἷον πατρωνυμικὸν ὁ λαγίδης, ὡς καὶ πελαργίδης, ὁ τοῦ πελαργοῦ γόνος, καὶ λυκίδης, ὁ τοῦ λύκου, οὕτω καὶ ἀλεκτορίδης φασὶ, καὶ χηνίδης, καὶ περδικίδης.

Λαγώπυρος, ἡ οὕτω καλουμένη βοτάνη, παρὰ τῷ Ἱπποκράτει.

Λαγώς, ὁ χερσαῖος. λαγὸς δὲ ὁ θαλάσσιος, καὶ ποτάμιος. λαγὼς καθεύδων, παροιμία ἐπὶ τῶν προσποιουμένων καθεύδειν.

Λαγώς, παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τοῦ ὦς ὠτὸς, ὁ μεγάλα ὦτα ἔχων. γράφεται καὶ λαγωός.

Λαγώς, τοῦ λαγὼ Ἀττικόν, λαγωὸς τοῦ λαγωοῦ κοινόν. λαγὼς τὴν περὶ τῶν κρεῶν τρέχει. λείπει ὁδὸν Ἀττικῶς.

* Λαγώφθαλμος, ὁ τὸ ἄνω βλέφαρον ἀνεσπασμένον ἔχων, ὥστε μὴ καλύπτειν ἐν τῷ καμμύειν ὅλον τὸν ὀφθαλμόν.

Λάδανον, τὸ μὲν ἀπὸ τῶν πωγώνων τῶν αἰγῶν, καὶ τὸ κρέας. τὸ δὲ, ἀπὸ τῆς βοτάνης λήδου.

Λάδας, ἔλαφος, νεβρίας.

Λάδη, πόλις.

Λαδοίατο, λαμβάνοιτο.

Λάδομαι, γνώμην τίθεμαι.

Λαδρέοντι, παρὰ τὸ λα καὶ τὸ ῥέω λαρέοντι μεγάλως ῥέοντι, καὶ πλεονασμῷ τοῦ δ.

Λαδωγενὴς ἡ Ἀφροδίτη, ὅτι ἐπὶ τῷ ἐν Ἀρκαδίᾳ ποταμῷ Λάδωνι ἐγεννήθη.

Λάδων, ὁ ἐν Ἀρκαδίᾳ ποταμὸς τῇ γῇ συγγενόμενος ἐγέννησε Δάφνην πάνυ ὡραίαν τῷ εἴδει. ταύτης ἐρασθεὶς ὁ Ἀπόλλων ἐδίωκεν αὐτήν, ἡ δὲ συλλαμβάνεσθαι μέλλουσα ηὔξατο τῇ μητρὶ αὐτῆς γῇ, ἡ δὲ, χανοῦσα ὑπεδέξατο αὐτήν, ἡ γῆ δὲ Ἀπόλλωνα παραμυθουμένη, ὁμώνυμον τῇ κόρῃ φυτὸν ἀνέδωκεν, ὃ καὶ δάφνη καλεῖται. ἔστι δὲ ἀειθαλὲς, καὶ μηδέποτε μαραινόμενον. ἐπεὶ καὶ ἡ κόρη ἄφθαρτος ἐκ τοῦ Ἀπόλλωνος ἔμεινεν. Ἀπόλλων δὲ ἐκ τοῦ αὐτοῦ φυτοῦ τῶν φύλλων στέφανον συνείρας, ἐστεφανώσατο διὰ τὸν τῆς ὁμωνύμου κόρης ἔρωτα. ὅθεν καὶ τὰ ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος στέμματα ἀπὸ δάφνης ἦσαν κατεσκευασμένα, ὅθεν ληροῦσιν ὅτι οἱ μάντεις δι' ἀφροσύνην Ἀπόλλωνος δάφνας ἤσθιον. καὶ ταῦτα μὲν τὰ ληρώδη καὶ μυθικά. τὸ δὲ ἀληθὲς οὕτως ἐστίν, οἱ χρησμολόγοι καὶ μάντεις δάφνης φοροῦντες στεφάνους, ὡς ἀειθαλοῦς ὄντος τοῦ φυτοῦ καὶ ἀλεξικάκου, καὶ οὕτω χρήζουσι τοὺς χρησμοὺς λέγοντες καὶ λαμβάνοντές τι ἐξ αὐτῶν. καὶ οὕτω διαστρεφόμενοι τὸν μῦθον ἐπέθηκαν, ὅτι δαφνηφάγοι εἰσίν, ἤτοι ἐκ τοῦ στεφανοῦσθαι δάφνῃ, καὶ λέγειν τοὺς χρησμοὺς ἔχουσι τὰς τροφάς. ἱστορία περὶ Λάδωνος.

Λάδων. Ἀπολλώνιος, ᾧ ἔνι Λάδων, τὸν δράκοντα Λάδωνα ἐκάλουν. τοῦτον δὲ Πείσανδρος ὑπείληφεν, ἀπὸ τῆς γῆς γεγενῆσθαι. Ἡσίοδος δὲ, ἐκ Τυφῶνός φησιν. Ἀγροίτας δὲ, ἐν τρίτῳ Λιβυκῶν φησι, μὴ μῆλα εἶναι, ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη. ἔχει δὲ ταῦτα ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ὠνομάσθαι. Φερεκύδης ἐν δεκάτῳ τῆς Ἥρας γαμουμένης φησὶ τὴν γῆν ἀναδοῦναι ἐν τῷ Ὠκεανῷ μῆλα χρυσᾶ, ἢ μηλέας χρυσοῦν καρπὸν φερούσας, φυλάττειν δὲ αὐτὰς δράκοντα τὸν Τυφῶνος καὶ Ἐχίδνης, ἔχοντα κεφαλὰς ἑκατὸν, καὶ φωνὰς παντοίας. καὶ ὅτι αἱ Νύμφαι αἱ Διὸς καὶ Θέμιδος οἰκοῦσαι ἐν σπηλαίῳ περὶ τὸν Ἠριδανὸν ὑπέθεντο Ἡρακλεῖ ἀποροῦντι, μαθεῖν παρὰ Νηρέως ποῦ ἂν εἴη τὰ χρυσᾶ μῆλα, λαβεῖν δὲ αὐτὸν βίᾳ πρῶτον μὲν μεταμορφούμενον εἰς ὕδωρ καὶ πῦρ, εἶτα εἰς τὴν παλαιὰν ὄψιν καταστάντα, δηλῶσαι τὸν τόπον. ὁ δὲ ἔρχεται οὕτως ἐπὶ τὰ χρυσᾶ μῆλα, ἀφικόμενος δὲ εἰς Ταρτησσὸν, πορεύεται εἰς Λιβύην ἔνθα ἀναιρεῖ Ἀνταῖον, τὸν Ποσειδῶνος ὑβριστὴν ὄντα. εἶτα ἀφικνεῖται ἐπὶ τὸν Νεῖλον εἰς Μέμφιν, παρὰ Βούσιριν τὸν Ποσειδῶνος, ὃν κτείνει καὶ τὸν παῖδα αὐτοῦ Ἀμφιδάμαντα, καὶ τὸν κήρυκα Χάλβην, καὶ τοὺς ὀπάονας πρὸς τῷ βωμῷ τοῦ Διὸς, ἔνθα ἐξενοκτόνουν, ἀφικόμενος δὲ εἰς Θήβας, καὶ διὰ τῶν ὀρῶν εἰς τὴν ἔξω Λιβύην, οὓς ἐν τοῖς ἐρήμοις πολλὰ τῶν θηρίων τοξεύων, ἀναιρεῖ. καθήρας δὲ τὴν Λιβύην, κατέβη ἐπὶ τὴν θάλασσαν τὴν ἔξω κειμένην, καὶ λαβὼν χρυσοῦν δέπας παρὰ Ἡλίου, διαβαίνει ἐν αὐτῷ εἰς Πέργην διά τε τῆς ἔξω τῆς γῆς θαλάσσης, καὶ διὰ τοῦ Ὠκεανοῦ πλέων. ἐπελθὼν δὲ παρὰ Προμηθέα, καὶ ὀφθεὶς ὑπ' αὐτοῦ, οἰκτείρει αὐτὸν ἱκετεύοντα καὶ κτείνει τὸν αἰετὸν, ὃς αὐτοῦ τὸ ἧπαρ ἤσθιε, τοξεύσας προσπετόμενον. ἀντὶ δὲ τούτου Προμηθεὺς, μὴ ἀπιέναι ἐπὶ τὰ μῆλα ὑποτίθεται, ἐλθόντα δὲ πρὸς Ἄτλαντα κελεύειν ἐνέγκαι αὐτῷ, καὶ ἀντὶ Ἄτλαντος αὐτὸν ἀνέχειν τὸν Οὐρανὸν, ἕως ἂν ἐνέγκῃ τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων. Ἡρακλῆς δὲ ἀκούσας ἔρχεται πρὸς Ἄτλαντα, καὶ κελεύει αὐτὸν ἐνεγκεῖν τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων, τρία λαβόντα διανυσάμενον τὸν ἆθλον. δοὺς δὲ Ἄτλας ἐπὶ τῶν ὤμων Ἡρακλεῖ τὸν Οὐρανὸν, καὶ ἐλθὼν πρὸς τὰς Ἑσπερίδας, δεξάμενος παρ' αὐτῶν τὰ μῆλα, ἐλθών τε πρὸς τὸν Ἡρακλέα, τὰ μὲν μῆλα αὐτός φησιν ἀποίσειν Εὐρυσθεῖ, τὸν δ' οὐρανὸν ἐκέλευσεν ἐκεῖνον ἔχειν ἀντ' αὐτοῦ. ὁ δὲ Ἡρακλῆς ὑποσχόμενος, δόλῳ ἀντεπέθηκε τῷ Ἄτλαντι, ἦν γὰρ εἰπὼν αὐτῷ ὁ Προμηθεὺς ὑποθέμενος κελεύειν δέξασθαι τὸν Οὐρανὸν, ἕως σπεῖραν ἐπὶ τὴν κεφαλὴν ποιήσεται, ὁ δὲ καταθεὶς τὰ μῆλα εἰς τὴν γῆν ὑποδέχεται τὸν Οὐρανόν. Ἡρακλῆς δὲ λαβὼν τὰ μῆλα, χαίρειν εἰπὼν τῷ Ἄτλαντι, ἀπέρχεται εἰς Μυκήνας παρ' Εὐρυσθέα, καὶ δεικνύει αὐτῷ ταῦτα.

Λάε, ἐψόφησεν. οἱ δὲ ἐφθέγγετο. ὁ μὲν λάε νεβρὸν ἀπάγχων.

Λάειν, βλέπειν. καὶ ἀλαὸς, ὁ τυφλός.

Λάειος φόνος, ὁ τοῦ Λαΐου.

Λαευτιάριος, λιθοξόος.

Λαερτιάδης, πατρωνυμικὸν, ἐκ τοῦ Λαέρτιος. τὰ γὰρ εἰς ος ὀνόματα, εἰ μὲν καθαρὰ, διὰ τοῦ αδης ποιοῦσι τὸ πατρωνυμικὸν, οἷον νηλήιος νηλιάδης, θυέστιος θυεστιάδης. εἰ δὲ μὴ καθαρὰ, διὰ τοῦ ιδης, Κρόνος κρονίδης, λαγὸς λαγίδης. ἰστέον, ὅτι οὐ ποιοῦσιν ἀπὸ προσηγορικοῦ πατρωνυμικὰ, τὰ γὰρ προσηγορικὰ κοινά εἰσι, καὶ κατὰ πολλῶν λέγονται. εἰ οὖν ἄνθρωπος ἀνθρωπίδης εἴπωμεν, ἐδηλώσαμεν τινα ἐκ πολλῶν γεγενῆσθαι, ὅπερ ἐστὶν ἄτοπον. μόνον δὲ λέγουσι γεγενῆσθαι τὸν Πᾶνα ἐκ πολλῶν. ὅθεν καὶ αὐτὸς εἴληφε τὴν ὀνομασίαν.

Λαέρτιος, ὥσπερ δὲ λέγεται βούσιρις, ἔστω καὶ Λαέρτης λαέρτιος, παρὰ τὸ δύνασθαι λάας ἀερτάζειν, ἤγουν κουφίζειν λίθους.

Λάεσσιν. ἡ εὐθεῖα ὁ λᾶϊς, γενικὴ λάϊος, καὶ κατὰ κρᾶσιν λᾶος. ὡς τὸ, λᾶος ὑπαὶ ῥιπῆς, ἤγουν ὑπὸ τῆς τοῦ λίθου ὁρμῆς, ἡ πληθυντικὴ εὐθεῖα, λᾶες λάεσσιν. ὅθεν τὸ λάεσσιν, ὅ ἐστι λίθοις.

Λάζειν, ἐξυβρίζειν.

Λάζεσθαι, ἤγουν λαμβάνειν, ἡ ποίησις οἶδε λέγειν. ἀφ' οὗ τὸ λαζύω λάζυμι, ὡς ζεύγνυμι.

Λάζεσθαι, οὐ μόνον αἰτιατικῇ συμβιβάζεται, οἷον ὀδὰξ λαζοίατο γαῖαν, καὶ λάζετο δ' ἔγχος, ἀλλὰ καὶ γενικῇ. οἷον, ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει. παράγωγον δ' ἐξ αὐτοῦ, τὸ λαζύω λάζυμι. ἐξ οὗ παρ' Εὐριπίδῃ, τὸ γεραιᾶς χερὸς προσλαζύμεναι, ἤγουν λαμβάνουσαι.

Λάζετο, ἐκ τοῦ λάζομαι, παρατατικὸς ἐλαζόμην, ου, το.

Λάζετο, ἐκράτησε. λήβω τὸ λαμβάνω, ὁ δεύτερος ἀόριστος ἔλαβον, καὶ ἐξ αὐτοῦ λαβάζω. καὶ κατὰ συγκοπὴν λάζω.

Λαζίνης, χαραδρίας, καλαρίας ἰχθύς.

Λαζοίατο, λάζυμαι τὸ λαμβάνω. καὶ λάζομαι, ἀφ' οὗ εὐκτικὸν λαζοίμην, τὸ τρίτον τῶν πληθυντικῶν λάζοιντο, καὶ Ἰωνικῶς λαζοίατο, ἀντὶ τοῦ λάβοιεν, ἐνεστὼς ἀντὶ τοῦ ἀορίστου παρ' Ὁμήρῳ.

Λαζύμεναι, λαμβάνουσαι.

Λαζών, ἀλαζών.

Λαήμεναι, φθέγγεσθαι.

Λάουται, βούλονται.

Λαθάδαν, λάθραν.

Λάθαργοι, σκώληκες, ἢ τὰ ξυόμενα, ἀπὸ τῆς βύρσους ὑπὸ τῶν ἀρβύλων, ἢ κύνες κρυφίως δάκνοντες.

Λαθάργῳ, λαθραίῳ.

Λαθασμῷ, λήθῃ, λησμοσύνῃ.

Λάθει, ἀκηδίᾳ.

Λαθεῖν, ἑκόντα παραπέμψαι. ἢ ὅλως εἰς νοῦν οὐκ ἔχειν, διὸ ἐβλήθη.

Λαθεῖν, ἐκ τοῦ λήθω ἀχρήστου, ὅμοιος ἔλαθον, λάθε, λάθοιμι, ἐὰν λάθω, καὶ ἐπιλάθοιμι καὶ ἐπιλάθω, καὶ ἐπιλαθεῖν.

Λαθήβας, γέροντας.

Λαθηκήδεα, λανθάνειν ποιοῦντα, λήθην τῶν κακῶν ἐμποιοῦντα τοῖς πᾶσι. κήδεα γὰρ τὰ κακὰ, καὶ αἱ θλίψεις, καὶ αἱ λῦπαι.

Λαθηκηδὲς, λυσίκακον, παυσίλυπον. ἔστι δὲ ὅμοιον τῷ κακῶν ἐπίληθον ἁπάντων. καὶ λαθηκηδὴς μαζὸς, εὕρηται παρὰ τῷ Ποιητῇ.

Λαθηνόστος, ὁ βραδέως ἐπανελθεῖν.

Λάθιος, κρήνη περὶ τὴν οἴτην, ἥ τις οὕτως ὠνόμασται, διὰ τὸ τὸν Ἡρακλέα πιόντα ἐξ αὐτῆς, ἐπιλαθέσθαι τῶν ἐν ἀνθρώποις κακῶν.

Λαθίποινος, οὐ τιμωρούμενος.

Λαθήφρων, ἄφρων, ἐπιλήσμων.

Λάθρα, κρυφίως, ἠρέμα, ἡσύχως.

Λαθραίως, καὶ λαθρηδὰ, καὶ λαθρηδὸν, ἀντὶ τοῦ κρύφα.

Λαθρακάζων, χαλιναγωγῶν. Σικελοί.

Λαθρέως, ἀγνώστως.

Λάθρη, ἀντὶ τοῦ λάθρα. Δωρικῶς.

Λάθρη, ταυτόν ἐστι τῷ ἀνωϊστί. τουτέστιν, ὡς οὐκ ἄν τις οἴσαιτο, ἀμφοτέρων δὲ διασαφητικὸν, τὸ, δόλῳ ἀλόχου. πᾶν γὰρ ὃ λάθρα καὶ ἀνωϊστὶ γίνεται, δόλῳ γίνεται. παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ.

Λαθρηδίως, λαιψηρὸς, ταχέως.

Λαθροῦν, βλάπτειν.

Λάθυρος, εἶδος ὀσπρίου.

Λαθών, ἀγνώστως πράξας τι.

Λαιὰ, ἀριστερὰ, ἢ κολοβόχειρ.

Λαιὰν, ἐκκλησίαν, κτῆσιν. Δωριεῖς λαιαν, ἐπὶ τῆς λείας. Λαιάναι, λεπτῶναι.

Λαῖβας, ἀσπίδας. Κρῆτες.

Λαῖγμα, περικεφαλαίας κόσμος.

Λαΐγγες, τὰ μικρὰ λιθάρια, τὰ πρὸ τῶν χειλέων τοῦ ποταμοῦ.

Λαίγμασι, τέμμασι. οἱ δὲ σπέρμασι ἱεροῖς, ἀπάργμασι.

Λάγνος, λάσταυρος.

Λαίδιον, ἀριστερὸν, εὐώνυμον.

Λαῖδος, λῆδος, τριβώνιον.

Λαιδρὸς, λαμυρὸς, ἀναιδὴς, λεῖος, θρασὺς, ταχὺς, ἀριστερός.

Λαίειν βλέπειν. ὅθεν ἀλαὸς, ὁ τυφλός.

Λαίεται, καταλύεται. καὶ λαισὸν, τὸ ἀρχαῖον.

Λαίθαργοι κύνες λέγονται, αἱ λάθρα προσιοῦσαι καὶ δάκνουσαι. ὅθεν παροιμία, σαίνεις δάκνουσα, καὶ κύων λαίθαργος εἶ.

Λαίθαργος, ὁ κρυφοδάκτης καὶ ἀργὸς, ὁ λαθραίως δάκνων, καὶ οἷόν τις κύων λαίθαργος.

Λαιθαρύζειν, λαμυρῶσαι, διαπράξασθαι.

Λαι-

Digitized by Google

Λαιθυράζω, χλευάζω.

Λαικάζω, ἀπατῶ.

Λαικάσεις, ἀντὶ τοῦ πορνεύσεις. ὅθεν καὶ λεικάστρια, ἡ πόρνη. Ἀριστοφάνης, δέον εἰπεῖν σιτήσεις, ἢ ἐν πρυτανείῳ ἀριστήσεις, παρ᾽ ὑπόνοιαν εἶπεν ὡς ἐν κωμῳδίᾳ, λεικάσεις.

Λαικαστὰς, τοὺς πόρνους λέγει Ἀριστοφάνης.

Λαικάστρια, ἡ πόρνη. καὶ λαικαστὴς, ὁ πόρνος.

Λαικάξαι, τὴν γλῶσσαν ἐξελεῖν.

Λαίλας, ὁ μὴ ἐκ γένους τύραννος.

Λαιλάπετος, ὅταν συνεφὴς καὶ ἀνεμώδης ὁ ἀὴρ ᾖ.

Λαῖλαψ, σκότος μετὰ συστροφῆς ἀνέμου.* πνεῦμα βίαιον καὶ εἰλούμενον κάτωθεν ἄνω.

Λαῖλαψ, ὁ μὲν τῇ διανοίᾳ ἐνδιάθετος λεγόμενος συμπλοκῇ ὀνομάτων, ἢ παθημάτων ἐν ψυχῇ. ὁ δὲ ἐν τῇ προφορᾷ καὶ χρήσει λόγος ἐστὶ προφορικός. ῥῆμα ἀπὸ διανοίας ἐκπεμπόμενον μετὰ φωνῆς. ἢ ἔμφασις διανοίας, μετὰ ῥημάτων καὶ ὀνομάτων.

Λαῖμα, τὸ αἷμα. καὶ λαῖμα, τὸ ἱερὸν θῦμα.

Λαιμὰ, λάμυρα.

Λαιμάζουσιν, ἐσθίουσιν ἀμέτρως.

Λαιμαλαιὸν, ῥυσόν.

Λαίμαργος, φάγος, ἄπληστος ἐπὶ τὸ φαγεῖν, μανιώδης.

Λαιμαργία, λαιμοῦ ἔφεσις οὐκ ἐν πλήθει, ἀλλ᾽ ἐφ᾽ ἡδύτητι βρωμάτων μαινομένη.

Λαιμαργία, ἡ συντόνος ἐπιθυμία.

Λαιμάσσω, ἀμέτρως ἐσθίω.

Λαίμεται, εἰς βρῶσιν ὁρμᾶται.

Λαιμοπέδης, διὰ τῆς δεσμεῖται ὁ κύων. ἐν ἐπιγράμματι, καὶ τὸν ἀργινὸν λαιμοπέδην σκυλάκων.

Λαιμὸς, ὁ φάρυγξ, ὁ τράχηλος, ὁ λάρυγξ, ὁ βρόγχος.

Λαιμὸς, δηλοῦται ἐν τῷ λαιμὸν ὑπ᾽ ἀνθερεῶνα παρ᾽ Ὁμήρῳ, ὡς μετὰ τὸν ἀνθερεῶνα εὐθὺς ὁ λαιμός. ἰστέον δὲ, ὅτι λαιμὸς ὁμωνύμως τοῦ μέρους τοῦ σώματος, λέγεται καὶ τὸ παρὰ τοῖς ὕστερον ἰδιωτικῶς φράσει ζωγραφικῇ, λαιμίων λεγόμενον, λέγεται γὰρ ὅτι κατὰ τὴν ἐν μέσῃ Πελοποννήσῳ μεγάλην πόλιν, ἣν καὶ κρομυοφόρον ἡ ἱστορία οἶδε, κατὰ τὸν τοῦ Ἀπόλλωνος θρόνον ἦν ἀπομεμιμημένος διὰ γραφῆς λαιμὸς, ἔχων γυναικὸς μορφήν. δοκεῖ δὲ ἐκεῖνος ὁ λαιμὸς ἐπίσημος γενέσθαι, εἴπερ ἱστορίας ἠξίωται.

Λαιμωδῶ, δραπετεύω.

Λαιμώρη, ἡ λαμυρίς.

Λαίνιλα, ὄνομα πόλεως.

Λάινον ἕσσο χιτῶνα, ἤγουν λίθινον ἂν ἐνδέδυσο ἱμάτιον, λίθοις δηλονότι χωσθείς. ἢ τὸ λιθασθῆναι λέγει, ὥσπερ τι ἱμάτιον ἀμπέχει ὁ τῶν λίθων σωρός.

Λαῖνος, ἡ σιτοσπόρος γῆ, καὶ ἀριστερός.

Λαινόχειρ, σκληρόχειρ.

Λαῖον παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ λήϊον, ὡς λαΐον, λήϊον.

Λαιὸν, τὸ ἀριστερὸν, καὶ λαόν.

Λαιοτομεῖς παρὰ Θεοκρίτῳ, τὸ λήϊον θερίζεις, καὶ τέμνεις. καὶ γίνεται ἀπὸ τοῦ λήϊον τὸ χωράφιον, τροπῇ τοῦ υ εἰς α, καὶ συναιρέσει τοῦ ι λαῖον. καὶ τοῦ τέμνω. καὶ γίνεται λαιοτομῶ, δηλονότι τὸ λήϊον τέμνω.

Λαῖπος, κίναιδος, λάσταυρος.

Λαιπτύηρον, ἀναπεπλασμένον, ἰσχυρόν.

Λαῖτον, τὸ ἀρχεῖον.

Λαῖρος, ὄνομα νήσου.

Λαΐς, Κυρήνη, Λέαινα, Σινώπη, Κυρρήνη, Σικυώνη, ἐπίσημοι ἑταῖραι μνημονεύονται. Στράβων δὲ ἐν ὀγδόῳ τῶν γεωγραφουμένων, εἶναί φησιν ἐν Κορίνθῳ Ἀφροδίτης ἱερὸν, ἐν ᾧ πλεῖν ἢ χιλίας ἑταιρίδας ἀφωσιωμένας τῇ θεᾷ προκεῖσθαι τοῖς βουλομένοις, ἕκαστον τῶν ἀφικνουμένων ὑπαγούσας, μηδένα μέντοι τῶν μὴ βίῳ διαφερόντων προσιεμένας. ὅθεν τὸ λεγόμενον πεπαροιμιάσθαι, οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ᾽ ὁ πλοῦς. Φωκίων δὲ ὁ περιπατητικὸς ἐν τῷ κέρατι τῆς Ἀμαλθείας, Δημοσθένην ἱστορεῖ Λαΐδος αὐτὸν μυρίας δραχμὰς αἰτησαμένης εἰς μισθὸν παννυχίδος, οὐκ ὠνοῦμαι φάναι μυρίων δραχμῶν μεταμέλειαν.

Λαισαινοφόρος, ὁπλοφόρος.

Λαισὰς, ἡ ταφεῖα ἐξωμίς.

Λαίσασθαι, κτίσασθαι.

Λαίσεια, μῆλα.

Λαισήϊα, Ἡρωδιανός φησι, τὸ πάντα τὰ κατὰ μάχην σκεπαστήρια, λαισήϊα λέγεσθαι, διὰ τὸ ἐν τῇ λαιᾷ φέρεσθαι.

Λαισήϊα πτερόεντα, οὐ μόνον οἱ στοὶ πτερόεντες, ἀλλὰ καὶ λαισήϊα πτερόεντα. πλὴν ταῦτα μὲν ὡς κοῦφα κατὰ τὰ πτερὰ, ἐκεῖνοι δὲ ὡς πτεροῖς διοικούμενοι πρὸς ἐκπέτασμα. ἔστι δὲ λαισήϊον, ἀσπίδος γένος θυρεοειδὲς ἐκ λασίων βυρσῶν αἰγείων. οἱ παλαιοὶ ἀσπιδίσκιον, καὶ ὠμοβύρσινόν φασι τὸ λαισήϊον.

Λαίσιτος, κίναιδος, πόρνη.

Λαὶς, κάπρος. ὁ λάγνος, καὶ λαμπρὸς, παρὰ τὴν λα ἐπίτασιν, πλεονασμῷ τοῦ ι, ὡς ἐν τῷ μαστροπὸς, μαϊστροπός.

Λαίσθη, αἰχμή.

Λαίσπαις, βούπαις. λευκάδιοι.

Λαισποδιάσθαι τὴν φύσιν, ἀντὶ τοῦ κνήμην ἔχειν σαθράν. λαισποδίας γὰρ καὶ δασέας, ὡς κακόκνημοι διεβάλλοντο.

Λαισποδίας ἐστὶν, ὁ ἀκρατὴς περὶ τὰ ἀφροδίσια, ὡς καὶ κτηνοποδεῖν. ἔστι καὶ ὄνομα κύριον, ὃν καὶ στρατηγῆσαί φησι Θουκυδίδης.

Λαίστη, ἡ αἰχμή.

Λαιστὸν, τὸ ἀχθεινόν.

Λαιστριγόνες, οἱ λεοντῖνοι. εἰσὶ δὲ ἐν Σικελίᾳ, ὡς λῃροῦσιν ὑπάρχοντες.

Λαῖστρον, ξυστῆρα, πτύον.

Λαῖτα, πέλτα.

Λαῖτμα, τὸ χάσμα, καὶ μέγα πέλαγος, ἢ τὸ οἴδημα τῆς θαλάσσης.

Λαῖτμα, τὸ κῦτος τῆς θαλάσσης, καὶ διάστημα. οἱονεὶ λαίτμημα, ἢ παρὰ τὸ λατύπεσθαι ὑπὸ κυμάτων, ὅ ἐστι τύπτεσθαι. Σιληνὸς δὲ ἐν γλώσσαις, πέλαγος εἶναι, καὶ Εἰρηναῖος ἐν πρώτῳ Ἀπολλωνίου ἀποδεδώκασι.

Λαῖτος, ἀκήρατος, καὶ ὄνομα κύριον.

Λαίτρωα, πόλις ἤλιδος.

Λαϊτῶν, τῶν δημοσίων τόπων.

Λαῖφα, ἀσπίς.

Λαιφαὶ, ἀναιδεῖς, θρασεῖς, στυγναὶ, τολμηραί.

Λαιφάνεια, ὄνομα πόλεως.

Λαιφάσσοντες, ψηλαφοῦντες.

Λαίφη θηλυκῶς, ἡ χλαμύς. διερὴν ἀπεσείσατο λαίφην, οὐδετέρως δὲ, τὰ ἄρμενα, ἡ εὐθεῖα τὸ λαῖφος, ἤγουν τὸ ἄρμενον, ἢ ἱστίον, ἢ ἱμάτιον.

Λαίφεα, πτωχικὰ παχέα ἱμάτια, ὡς τὰ σπεῖρα. κυρίως δὲ λαίφεα, αἱ τῶν πλοίων φασὶν ὀθόναι. ὅθεν οἱ κοινότεροι συνθέντες ἐκ τοῦ σάγος, καὶ τοῦ λαῖφος, σαγολαίφια λέγουσι.

Λαίφια, ῥάκκη.

Λαῖφος, πτωχικόν τι ἱμάτιον, κατὰ τὸ σπεῖρον· διὸ καὶ καθὰ σπεῖρον λέγεται νηὸς, οὕτω καὶ λαῖφος.

Λαῖφος, τὸ ἄρμενον, παρὰ τὸ λίαν φαίνεσθαι.

Λαίφυρον, τὸ ἀσθενές.

Λαιφὺς, δαπανωσιβόρος.

Λαιψηρὰ κέλευθα ἀνέμων, τὰς ἀνεμώδεις νεφέλας, καὶ τὰς ἀελλοπόδας, καὶ ὅσα τοιαῦτα παρήγαγον.

Λαιψηρὸς, ὁ ταχὺς, ἐλαφρός. Λάκωνες, τὸ ἡμίξηρον.

Λακάζει, λέλακε, βοᾷ, ἀπὸ τοῦ λακεῖν.

Λάκαινα κύων. Σοφοκλῆς, κυνὸς λακαίνης, ὥς τις εὔρινος βάσις.

Λάκαιον ὕδωρ, τὸ ἀπὸ Λακαίνης.

Λάκαινα μὲν γυναῖκα ἐρεῖς, λάκαιναν δὲ τὴν χώραν οὐδαμῶς, ἀλλὰ Λακωνικήν. εἰ καὶ Εὐριπίδης παραλόγως φησὶν, ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις.

Λακάρτα, λακάρη, δένδρον τι. ἡ καὶ λακάθη καὶ λευκάρα.

Λάκας, φάραγγας.

Λακκατήσας, πατήσας.

Λάκε, ἰδίωμα ἤχου, ἐθλάσθη, συνετρίβη, ἤχησε.

Λακεδίας, ἐν ἐπιγράμματι, ἀσπίδα, φρυνὸν ὄφιν. καὶ λακεδέας, περίφευγε.

Λακεδάμα, ὕδωρ ἁλμυρὸν, ἁλσὶ πεποιημένον, ὃ πίνουσιν οἱ τῶν Μακεδόνων ἀγροῖκοι.

Λακέντιον, λαλίστατον, εὔγλωττον, εὔφωνον.

Λακεδαίμων, ἀπὸ Λακεδαίμονος ὠνόμασται, τοῦ υἱοῦ Ἀμυκλαίου. ἢ διότι συνθέμενοι κλήρῳ διανενέμησθαι τὴν χώραν Ἡρακλεῖδαι ἐποίησαν. οὕτω καὶ ὁ λαχὼν πρῶτος λαβὼν ταύτην, ἐκάλεσεν ἀπὸ τοῦ πράγματος, ὅθεν Λακεδαίμων, διότι ἀγαθῷ δαίμονι, τουτέστι τύχῃ ταύτην ἔλαβεν ὁ λαβὼν, ἢ ἔλαχεν ὁ λαχὼν, καὶ τροπῇ τοῦ β ἢ τοῦ χ εἰς κ Λακεδαίμων. λέγεται δὲ Λακεδαίμων, καὶ ἡ χώρα, καὶ ἡ πόλις. καὶ ὅτε τὶς ἀκούσει τὴν Λακεδαίμονα ἑκατόμπολιν εἶναι, τὴν χώραν νοήσει. ὁ δὲ Γεωγράφος λέγει, ὅτι ἡ Λακωνικὴ τὸ παλαιὸν μὲν ἑκατόμπολις, καὶ τὰ ἑκατόμβαια διὰ τοῦτο ἐθύετο ἐκεῖ κατ᾽ ἔτος. ἐκαλεῖτο δὲ καὶ ἀχαϊκὸν Ἄργος, οὐ μόνον ἡ Πελοπόννησος ὅλη, ἀλλὰ καὶ ἰδίως ἡ Λακωνική. ὡς δηλοῖ τὸ ἢ Μενέλαος οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ, ἤγουν οὐκ ἦν ἐν τῇ Λακωνικῇ. εἰ δὲ καὶ ἀτείχιστος κατὰ παλαιὰν ἱστορίαν ᾠκεῖτο ἡ Λακεδαίμων, πῶς ἂν πόλις λέγοιτο. κώμη μᾶλλον λέγεσθαι ὤφειλεν, οἱ περὶ Σπάρτης τοῦτό φασιν. ἱστορεῖται δὲ ὅτι Λακεδαιμόνιοι λ ἐπὶ ταῖς ἀσπίσιν αὐτῶν εἰς παράσημον ἔγραφον, ἐκ τοῦ κατάρχοντος στοιχείου χαρακτηρίζοντες ἑαυτούς. ὥσπερ οἱ μεσσήνιοι, πλησιόχωροι ὄντες αὐτοῖς, καὶ πολέμιοι, τὸ μ. Εὔπολις, ἐξεπλάγην γὰρ ἰδὼν στίλβοντα τὰ λ, ἤγουν τὰς Λακωνικὰς ἀσπίδας. ἔστι καὶ κυρία Λακεδαίμων, τὸ ἐθνικὸν Λακεδαιμόνιος, καὶ συγκοπῇ λάκων, οὗ θηλυκὸν λάκαινα, κτητικὸν Λακωνική. ἔστι δὲ καὶ κλεὶς Λακωνικὴ καινοτέρα τις. καὶ εἶδος δὲ ὑποδήματος, καὶ ὀρχήσεως εἶδος, καὶ μάστιγες Λακωνικαί.

Λακεῖν, οὐχ ἁπλῶς τὸ φωνεῖν, ἢ λαλεῖν, ὡς οἱ τραγικοὶ διθυραμβικώτερον χρῶνται, καὶ ὁ κωμικός. παίζει ἐν τῷ ὁ φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων, ἀλλὰ ποιόν τινα ἦχον ἀψύχων σωμάτων ἡ λέξις δηλοῖ. ὅθεν καὶ ἡ ἱματίοις ἢ σαρκίοις λακὶς ὠνοματοπεποίηται, καὶ ἐπὶ ὀστέων τὴν λέξιν ὁ Ποιητὴς ἔθηκε, καὶ ἐπὶ ξίφους αὐτὸ ἔθηκεν, ἐν τῷ λάκε περὶ χροῒ χαλκὸς ἀτειρής.

Λακεῖν, ψοφῆσαι.

Λάκεν, ἐψόφησεν, ἤχησεν, ἢ διεκόπη, ὡς καὶ ἐν τοῖς ἱματίοις λακίδες λέγονται αἱ διακοπαί.

Λακαίρεια, ὄνομα πόλεως, παρὰ τὸ λα καὶ τὸ ῥέω, οἱονεὶ μεγάλα ἐπιρρεομένη.

Λακερὸν, εἰκαῖον.

Λακέρυζαι, αἱ φλύαραι.

Λακερύζεσθαι, λογοποιεῖσθαι, ἢ λοιδορεῖσθαι.

Λακέρυζα, κορώνη μεγάλα κράζουσα.

Λακεροωπὰν, συνεσταλμένον.

Λάκη, ῥάκη. Κρῆτες.

Λακηδῆξαι, διαρρῆξαι.

Λακηθμὸν, ὃν οἱ Ἀττικοὶ γλωσσοκόμον καλοῦσι.

Λακιάδαι, δῆμος τῆς Ἀττικῆς.

Λακίδας λέγει Ἀριστοφάνης, τὰ διερρωγότα ἱμάτια.

Λακίδες, σπαδόνες, σπαράγματα ἱματίων, καὶ τὰ λεπτὰ τῶν ἀρμένων σχήματα.

Λακῆσαι, πατάξαι.

Λακίζει, θωπεύει, ῥηγνύει, ῥήσσει.

Λακιναρίδιον Ῥωμαῖοι, ὑπόδημα.

Λακίνιον, ἀκρωτήριον κρότωνος, περὶ οὗ φησι Θεόκριτος, καὶ τὸ ποτιῶον τὸ λακίνιον, οὗτερ ὁ πύκτας αἴγων, ὀγδοήκοντα μόνος κατεδήσατο μάζας. λακίνιον δὲ ἐκλήθη, ἀπὸ λακινίου κροτωνιάτου.

Λακὶς, ῥαχὰς, ἐμβολὴ, ῥαφὴ, τραῦμα.

Λακὶς χθονὸς, χάσμα γῆς.

Λακισθῆναι, ῥαγῆναι.

Λακίσματα, τὰ σχίσματα, τὰ ἀποπίπτοντα τῶν σαρκῶν.

Λάκκαιον, ὕδωρ, καὶ ὅρος.

Λακκέμεναι, φαγέσθαι.

Λακκίζω, λάκκον ποιῶ.

Λακκόπλουτος, ὁ Καλλίας ὑπὸ τῶν κωμικῶν, διὰ τὸ περιτυχεῖν χρυσῷ εἰς φρέαρ βεβλημένῳ.

Λακκόπρωκτος. Ἀριστοφάνης, ὦ λακκόπρωκτε

πάτη πολλοῖς τοῖς ῥόδοις. ἆρ' οἶσθ' ὅτι χαίρω πόλλ' ἀκούων κακά.

Λάκκος, ὁ θάνατος.

Λακκοπλουτίδα, τοῦ σκελετοῦ φησι διαχαλασθέντος ὀσχέου, καὶ τῶν διδύμων κρεμασθέντων, καλεῖσθαι λακκοπεδία. τοὺς δὲ διὰ παντὸς καθειμένον ἔχοντας αὐτὸ, λακκοσχέας Εὐφρόνιος. ἐπεὶ ὀσχέα λέγεται τὸ ἀγγεῖον, ὅπου οἱ δίδυμοι ἐμβέβληνται, ἀπὸ μέρους τὸ μόριον, οὐκ εὖ. φασὶ γὰρ τοῦ ὀσχέου πάντοθεν καθειμένου, λακκοσχέας προσαγορεύεσθαι τοὺς τοιούτους.

Λακκοσκάπερδον, λακκόπρωκτον.

Λάκκους ἐμποιεῖν, παρὰ τῷ Ἀριστοφάνει, Ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν Ἑλλήνων, ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ στρογγύλα, καὶ τετράγωνα, καὶ ταῦτα κονιῶντες, οἶνον ὑπεδέχοντο, καὶ ἔλαιον εἰς αὐτὰ, καὶ ταῦτα λάκκους ἐκάλουν.

Λακοπεῖν, πυνθάνεσθαι. καὶ λακόπιον, πυθίον.

Λάκοποι, ἀρχοῦ τις, ἔνθα οἱ κλέπται κρίνονται.

Λάκος, ἦχος, ψόφος.

Λακπατῆσαι, λακτίσαι, καταπατῆσαι, ἀναβῆναι.

Λακρατίδης, ἀρχαῖος ἄρχων Ἀθήνησιν. ὡς καὶ Φιλόχορος, ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου. ἐφ' οὗ πλείστη χιὼν ἐγένετο, καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα, λακρατίδας ἐκάλουν.

Λακερὶς, καὶ λάκτις, κώπη, τορύνη.

Λακτίδες, αἱ τῆς Δήμητρος ἱέρειαι, ἀπὸ τόπου.

Λάκτιν, τὴν λεγομένην κώταλιν τορύνην, ὅ ἐστι ζωμήρυσιν. Φερεκράτης λάκτιν.

Λακτίζω, αἰτιατικῇ. Ἀριστοφάνης, ἀπειρημένως τὴν θύραν λελάκτικας.

Λάκτιμα, λάκτισμα.

Λάκυρος, στεμφυλίας οἶνος.

Λάκων, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ὀπίσω τόπον. ὁμοίως δὲ ἀντὶ τοῦ τῆς ἔμπροσθεν ἐπιφανείας, τὸν ὄπισθεν.

Λάκων, εἶδος παρὰ τακτικοῖς, ἢ ὁ Σπαρτιάτης, ὁ ἄντικρυς τῶν Ἀθηνῶν.

Λάκωνες, οἱ Σπαρτιάται. εἰσὶ δὲ οὗτοι ἀνδρεῖοι, καὶ Σπαρτιάτας ἡ λόγχη γνωρίζει.

Λάκωνες ὅτι αἰσχροκερδεῖς καὶ σμικρολόγοι, δῆλον ἐκ τοῦ χρησμοῦ, ἀφιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν. ἦσαν δὲ καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι, καὶ οὐκ ἐξῆν ξένῳ τινὶ ἀεὶ τῆς Σπάρτης ἐπιβαίνειν, ἀλλὰ ὡρισμέναις ἡμέραις. διειρωνόξενοι ἐξαπατῶντες τοὺς ξένους, καὶ ψευδόμενοι δι' εἰρωνείας καὶ ὑποκρίσεως.

Λακωνίζειν, τὸ γράφειν περὶ πλείστων ὀλίγας συλλαβάς.

Λακωνίζει, ἀντὶ τοῦ τὰ τῶν Λακώνων φρονεῖ.

Λακωνικαὶ κλεῖδες, περιβόητοι δέ εἰσιν αὗται. Ἀριστοφάνης, οἱ γὰρ ἄνδρες ἤδη κλειδία φοροῦσι κρυπτὰ, κακοηθέστατα, Λακωνικὰ ἄττα.

Λακωνικὴ τάξις, ἡ κατὰ τοὺς ἄνω πολέμους.

Λακωνικὸν τρόπον, τὸ περαίνειν καὶ παιδεραστεῖν, τὸ παρέχειν ἑαυτὸν τοῖς ξένοις. ἥκιστα γὰρ φυλάττουσι Λάκωνες τὰς γυναῖκας.

Λακωνικὸς, ὁ στερρὸς, καὶ ἀνδρεῖος.

Λακωνικῶς ταῦτα, καὶ συντόμως λέγω, ἀντὶ τοῦ ἀνδρείως, τοιοῦτοι γὰρ οἱ Λάκωνες.

Λακωνικὸς χιτὼν, λεπτὴ ἐσθής.

Λακωνισμὸς, ἡ πρὸς τοὺς Λάκωνας οἰκειότης, ὥσπερ ἀττικισμὸς ἡ πρὸς τοὺς Ἀττικούς.

Λακωνικὰς λέγει Ἀριστοφάνης, εἶδος ὑποδήματος.

Λάλαγες, χλωροὶ βάτραχοι περὶ τὰς λίμνας, οὓς ἔνιοι κεμβέρους. οἱ δὲ, ὀρνέου εἶδός φασι.

Λαλαγεῦσαι, λαλοῦσαι, ἀθρόαι οὖσαι.

Λαλαγεῦσαν, ἐμμελῶς φωνοῦσαν.

Λαλάγημα, τὸ ἀναφώνημα, ἤχημα. ἱστῶ σοι θαλάμην ζωάγρια, καὶ λαλάγημα ἀντίθεμαι.

Λαλαγὴ, καὶ λαλαγῆς, κρυμὸς, κραυγή.

Λαλαγήτης, ματαιολόγος.

Λάλαζε, βόα.

Λαλάκονις, ψηφώδης κόνις.

Λαλαμὶς, λαῖλαψ, ἀντὶ τοῦ λαλαμὶς λαιμάτμησις γράφουσι.

Λαλάξαι, τὴν γλῶτταν ἐξελεῖν. καὶ λαλάξαντες, βοήσαντες.

Λαλεῖν ἐστι, τὸ ἀτάκτως ἐκφέρειν τὰ ῥήματα.

Λαλεῖν ἄριστος, λέγειν ἀδυνατώτατος. ταύτην τὴν φράσιν παρὰ Ῥωμαίοις Σαλλούστιος μιμούμενος, λόκαξ μάγις κὰμ φακοῦντους.

Λαλεῖν, λέγειν, βλέπειν, λαμβάνειν.

Λαλέοντος, λαλοῦντος.

Λάληθρον, λάλον.

Λαλητέον, ποιητέον. καὶ πάντα τὰ θετικὰ ἐπιρρήματα, εἰ μὲν ὡς παθητικὰ λαμβάνονται, ὀνόματά ἐστιν. οἷον λαλητέον τόδε τὸ πρᾶγμα, ἀντὶ τοῦ ἄξιον λαληθῆναι, καὶ ποιηθῆναι. εἰ δὲ ὡς ἐνεργητικὰ λαμβάνονται, ἐπιρρήματά εἰσιν, οἷον πρακτέον τὴν ἀρετὴν, ἀντὶ τοῦ ἄξιον πρᾶξαι. τὸ δὲ πορευτέον, εἰ καὶ ἐπίρρημά ἐστιν, ἀλλὰ παθητικῶς λέγεται ἀντὶ τοῦ ἄξιον πορευθῆναι. ἐνεργητικὸν γὰρ οὐκ ἔστιν. εἰσὶ δὲ ταῦτα τριγενῆ πάντα, οἷον λαλητέος λαλητέα λαλητέον, ποιητέος ποιητέα ποιητέον.

Λαλιὰ, ἡ δημηγορία.

Λαλίστατον, τὸ κατὰ λόγον σοφόν. λέγεται δὲ καὶ ὁ εὔγλωττος, καὶ εὐφωνότατος.

Λαλίστερον, ἀδολεσχέστερον, φλυαρώτερον.

Λαλίστερα, πολυλογώτερα.

Λάλλαι. εἰσὶ δὲ αἱ ψῆφοι, αἱ παραθαλάσσιαι, αἱ ὑπὸ τῶν κυμάτων κινούμεναι, καὶ ψόφον τινὰ ἀποτελοῦσαι.

Λάλος, φλύαρος, κομπώδης, ὀχληρὸς, ἀπεραντολόγος, ἀδόλεσχος, κουφολόγος, ἀθυρόγλωσσος.

Λαλωὴ, τάσις, τασί.

Λαλῶν, φθεγγόμενος.

Λαλῶ, φωνῶ, γηρύω, βοῶ, λαλῶ, καὶ ἐκλαλῶ σοι τὰ ἀπόρρητα. καταλαλῶ δέ σου, γενικῇ.

Λαμὰς, μῦς.

* Λάμαχος, ἄμαχος, ἀκαταγώνιστος. ἀπὸ τοῦ λα ἐπιτατικοῦ.

Λάμαχος, ἥρως. ὁ Λάμαχος οὗτος ἄριστος ἦν τὰ πολεμικά. ἦν δὲ ἐπὶ τῶν χρόνων Αἰσχύλου, καὶ Ἀριστοφάνους, στρατηγὸς Ἀθηναίων. μέμνηται δὲ τούτου καὶ ἐν Ἀχαρνεῦσι.

Λάμβαι, τὰ χάσματα, ἢ οἱ μόνοι τῶν ἀνθρώπων καὶ ἰχθύς.

Λαμβανόμενος, προβαλλόμενος, ἀποστολικὴ ἡ λέξις. πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται.

Λαμβάνω, λήψομαι, ἔλαβον, εἴληφα, λάβε, τὸ ἐνεργητικὸν αἰτιατικῇ, τὸ δὲ παθητικὸν γενικῇ, τὸ λαβοῦ καὶ τυποῦ καὶ πάντες οἱ μέσοι ἀόριστοι περισπῶνται, σεσημείωται τὸ τράπου καὶ ἐπιλάθου καὶ ἀφίκου. καὶ λαμβάνω δίκην, ἀντὶ τοῦ τιμωροῦμαι.

Λαμβάνω ἀπὸ σοῦ τόδε, ὅταν ἄκοντός σου λαμβάνω, ὅταν σύ μοι διδῷς.

Λαμβάνω, δρέπομαι, κομίζομαι, πορίζομαι, ἐπισπῶμαι, φέρομαι.

Λαμβάνω, ἄχρι τοῦ παρατατικοῦ κλίνεται, ὥσπερ λαγχάνω, τυγχάνω, μανθάνω. τὰ γὰρ εἰς ανω λήγοντα ῥήματα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται.

Λαμία, θηρίον, ἀπὸ τοῦ ἔχειν μέγαν λαιμὸν, λαιμία καὶ λαμία. Δοῦρις δὲ ἐν δευτέρῳ λιβυκῶν ἱστορεῖ, γυναῖκα καλὴν γενέσθαι λαμίαν. μιχθέντος δὲ αὐτῇ Διὸς, ὑφ' Ἥρας ζηλοτυπουμένην, ἃ ἔτικτεν ἀπολλύναι. διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι, καὶ τὰ τῶν ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν.

Λάμια, ὄρχεις παρὰ τῷ Ἀριστοφάνει. δραστικοὶ γὰρ οἱ ὄρχεις. Δίδυμος δὲ εἰδωλοποιεῖ τινας ὄρχεις λαμίας. θῆλυ γὰρ ἐντεῦθεν. καὶ λάμος ἡ πόλις τῶν Λαιστρυγόνων. λέγεται ἡ λαμία Βήλου καὶ Λιβύης θυγάτηρ, ταύτης ἐρασθῆναι τὸν Δία φασι, μεταγαγεῖν δὲ αὐτὴν ἀπὸ Λιβύης εἰς Ἰταλίαν, ἀφ' ἧς καὶ πόλις ἐν Ἰταλίᾳ Λαμία προσηγόρευται, ἔνθεν αὐτῇ συνελθὼν ὁ Ζεὺς, οὐκ ἔλαθε τὴν Ἥραν, ἥτις ζηλοτυποῦσα τὴν Λαμίαν, τὰ γινόμενα αὐτῆς τέκνα ἀνῄρει, ἡ δὲ ἀποθνησκόντων αὐτῆς τῶν παιδίων βαρυθυμοῦσα, τὰ τῶν ἄλλων παιδία διὰ φθόνον ὑποκλέπτουσα ἀνῄρει. διὰ τοῦτο καὶ τὰς τίτθας ἐκφοβούσας τὰ βρέφη, καλεῖν ἐπ' αὐτοῖς τὴν λαμίαν. μυθεύεται δὲ ὡς ἄϋπνος αὕτη διατελεῖ βουλήσει Ἥρας, ἵνα καὶ ἡμέρας καὶ νύκτας ἐν τῷ πένθει ᾖ, ἕως οὗ αὐτὴν ἐλεήσας ὁ Ζεὺς ἀφαιρετοὺς αὐτῆς καὶ τοὺς ὀφθαλμοὺς ἐποίησεν, ὅπως ἐν αὐτῇ ᾖ ἐξαιρεῖσθαι, καὶ πάλιν θεῖναι. λέγεται δὲ καὶ ἐσχηκέναι παρὰ Διὸς καὶ τὸ μεταμορφοῦσθαι, εἰς ὅ, τι οὖν βούλεται.

* Λάμιος, πρίων, ἢ πέλεκυς. καὶ ὄνομα κύριον τινὸς ξυλοφόρου πτωχοῦ. ὃς καὶ λαμίας. Ἀριστοφάνης.

Λάμμενον, λαλοῦντα.

Λαμμωδεῖ, δραπετεύει.

Λαμόπτης, ὁ ἐπιπολαίας.

Λάμος, πόλις Λαιστρυγόνων.

Λαμπάδες, ὀφθαλμοί τινες ἀστέρες.

Λαμπάδια, περὶ τὸ σφυρὸν. οἱ μὲν τὸ λεπτὸν χειρίδιον, οἱ δὲ ἐπιδέσμου εἶδος. οἱ δὲ, τὸν νάρθηκα τῶν ἰατρῶν, τὸν ναρθηκίζοντα, τὸ σφυρόν. οἱ δὲ, τὰ ἔμμοτα. Ἀριστοφάνης, λαμπάδια περὶ τὸν σφυρὸν ἀνὴρ τέτρωται χάρακι διαπηδῶν τάφρον.

Λαμπάδιον, καταδέσμου εἶδος, παρὰ τῷ Ἀριστοφάνει.

Λαμπάδιον, ἡ λαμπάς.

Λαμπάδος, καὶ λαμπάσι. τρεῖς ἄγουσιν ἑορτὰς Ἀθηναῖοι λαμπάδος, παναθηναίοις, ἡφαιστείοις, καὶ προμηθείοις.

Λαμπὰς, παρὰ τὸ λάμπω τὸ φαίνω, γίνεται λαμπάς.

Λαμπαδισταὶ ἀγῶνες, ἤγουν λαμπαδιδρομίαι. γίνονται δὲ τρεῖς ἐν τῷ κεραμικῷ, Ἀθηνᾶς, Ἡφαίστου, καὶ Προμηθέως. κεραμικὸς δὲ τόπος Ἀθήνησιν, ὅπου συνετέλουν οἱ Ἀθηναῖοι κατ' ἐνιαυτὸν λαμπαδοῦχον ἀγῶνα. πρὸς δὲ τῷ τόπῳ τούτῳ τινὰ ὑπάρχειν φασὶν, ἐφ' ὃν συμβουλεύει αὐτὸν ἀναβάντα θεωρεῖν τὴν λαμπάδα, καὶ ὅταν οἱ πρῶτοι λαμπαδίζοντες ἀφεθῶσι, καὶ αὐτὸν ἀπὸ τοῦ πύργου ἀφεῖναι ἑαυτὸν κάτω, Ἀριστοφάνης ἐν βατράχοις. ὅτι δὲ ἐν τῇ ἀφέσει τῆς λαμπάδος σημεῖον ἦν τοῖς μέλλουσι δραμεῖν, ὡς δεῖ τοῦ δρόμου κατάρξασθαι, δῆλον. ἦν δὲ τοῦτο πρὸ τοῦ εὑρεθῆναι παρὰ Τυρσηνοῖς τὴν σάλπιγγα.

Λάμπεια, ὄρος Ἀρκαδίας. ἀφ' οὗ καὶ ποταμὸς ῥεῖ Ἐρύμανθος.

Λαμπετίη, Ἡλίου κόρη.

Λαμπετόωντι, λάμπω, καὶ κατὰ παραγωγὴν λαμπετάω λαμπετῶ. ἀφ' οὗ ἡ μετοχὴ ὁ λαμπετῶν, Δοτικῇ λαμπετῶντι, καὶ πλεονασμῷ τοῦ ο λαμπετόωντι.

Λάμπην, τὸν παχὺν ἀφρὸν, τὸν ἐπιπολάζοντα τῷ οἴνῳ φασίν.

Λαμπηδὼν, λαμπυρὶς, σπινθήρ.

Λαμπήνη, ἅμαξα βασιλικὴ, ἑδώλιον περιφανὲς, ὅ ἐστιν ἅρμα σκεπαστὸν, ἢ ῥαβδίον περὶ κεφαλήν.

Λαμπίας, ὁ Ἥλιος. λαμπεύς, φῶς.

Λάμποντα, καὶ Φαέθοντα, ἵππους ἡμέρας φησὶν Ὅμηρος. ἵππος δὲ ἡμέρας ἐστὶν, ἡ περιφέρουσα αὐτὸν ὀξεῖα τοῦ οὐρανοῦ κίνησις, ὑφ' ἧς λάμπει καὶ φαίνει.

Λάμπος, παρὰ τῷ Ὁμήρῳ. γίνεται ἐκ τοῦ λάμπω, ὡς ἐκ τοῦ φαίνω, ἡ Φαίδρα, καὶ ἡ αἴθρα ἐκ τοῦ αἴθω. ἔοικε δέ πως διώνυμος εἶναι. λάμπος τε γὰρ, καὶ λάμπετος. τὸν γὰρ αὐτοῦ υἱὸν Λαμπετίδην ἐρεῖ ὁ Ποιητὴς, ἐκ δὲ τοῦ λάμπω, Λαμπετία γίνεται θυγάτηρ Ἡλίου.

Λαμπουρὶς, εἶδος ἀλώπεκος ἐχούσης λευκὴν τὴν οὐράν.

Λαμπραὶ, δῆμος τῆς Ἐρεχθηΐδος. δύο εἰσὶ λαμπραὶ, αἱ μὲν παράλιοι, αἱ δὲ καθύπερθεν.

Λαμπρὰν ἡμέραν λέγουσιν, οὐ καθαράν.

Λαμπρείμων, λαμπροφορῶν, λαμπρὰ ἱμάτια ἔχων.

Λαμπρειμονῶ, ὥσπερ καὶ τὸ λευχειμονῶ.

Λαμπρὸν, λέγεται τὸ σφοδρὸν, ὡς καὶ Συνέσιος. ἔπειτα δὲ καὶ νότος συνεπιλαμβάνει λαμπρὸς, ἀντὶ τοῦ σφοδρός.

Λαμπρόψυχος, ἀντὶ τοῦ μεγαλόψυχος.

Λαμπρυνομένων, ἀντὶ τοῦ καυχομένων καὶ νικώντων ἐν τοῖς ἅρμασι.

Λαμπρύνω, ἀγλαΐζω, φαιδρύνω, αὐγάζω, καταυγάζω, λάμπω, φαίνω, αἴθω.

Λαμ-

Digitized by Google

Λαμπρῶς, λαμβάνεται καὶ ἀντὶ τοῦ περιφανῶς. λαμβάνεται καὶ ἀντὶ τοῦ φανερῶς, καὶ ἐναργῶς. ἄλλο γὰρ τὸ περιφανῶς, καὶ ἄλλο τὸ λαμπρῶς. τίθεται δὲ τὸ λαμπρῶς, καὶ ἀντὶ τοῦ φανερῶς, ὡς καὶ παρὰ Θουκυδίδῃ, καὶ λελυμένως λαμπρῶς τῶν σπονδῶν. λέγεται λαμπρῶς, καὶ ἀντὶ τοῦ ἐπιτηδείως λαμπρῶς λέγεται καὶ ἀντὶ τοῦ ἐξαισίως. ὡς τό, λαμπρὰ μανία, ἀντὶ τοῦ ἐξαισία καὶ μεγάλη. καὶ ὡς Ἀριστείδης, καὶ κατέβαινεν ἐλλησποντίας λαμπρός, ἀντὶ τοῦ ἐξαίσιος. καὶ μὴν εἴτι οὖν περιφανές, τοῦτο λαμπρόν. οὐ μὴν πᾶν λαμπρὸν καὶ περιφανές.

Λαμπτηρά, τὰ ὀφρῶδη. λάμπη γὰρ ὁ ἀφρός, παρὰ τῷ Ἱπποκράτει.

Λαμπτῆρας λέγει Ὅμηρος, ἃς νῦν οἱ ἀγροτικοὶ λυχνίας φασίν, ἐφ' ὧν δᾶδες κείμεναι κατὰ δόρπον, ἢ ξύλα ξηρά, διὰ τὸ ἄκαπνον, ἢ καὶ ἀμφωαναμίξ, οἱ δὲ παλαιοὶ καὶ οὕτω φασί.

Λαμπτῆρες, οἱ κατὰ τὴν οἰκίαν φαίνοντες λύχνοι.

Λαμπτῆρες, ἐσχάραι μετέωροι, ἢ χυτρόποδες, ἐφ' ὧν ἔκαιον.

Λαμπυρὶς, ζωύφιον ἐκ φρυγάνων γινόμενον, καὶ ἀλώπηξ.

Λαμπυρόν, εὔλαλον, διάτρατελον, καταπληκτικόν. καὶ λαμπυρός, ὁ φλύαρος.

Λάμπω, καὶ ἐκλάμπω, ἀμεταβάτως. καταλάμπω δὲ ἕτερον μεταβατικῶς, αἰτιατικῇ συντάσσεται.

Λάμπων, χρησμολόγος γέγονεν, ὡς παρὰ Ἀριστοφάνει, ὁμοίως καὶ Διοπείθης.

Λαμυρὸν, εὔλαλον, διάτρατελον, καταπληκτικόν, τερπνόν.

Λάμυρος, ὁ λάλος, ὁ στωμύλος. καὶ λαμυρία, ἡ στωμυλία, ἡ ἡ ἀλόγιστος ἀνδρεία. καὶ λαμυρόν, τὸ πολὺ καὶ ἄθροον. καὶ λαμυρὴν τὴν θάλασσαν, οἷον πολλήν.

Λάμψακος, ὄνομα πόλεως, τοῖς Λαμψακηνοῖς ἐδόθη χρησμός, ὅπου ἂν αὐτοῖς λάμψῃ, ἐκεῖ πόλιν κτίσαι. ἀστραπῆς δὲ γενομένης, εἶδον τὸν τόπον καὶ ἔκτισαν πόλιν, ἐπονομαζομένην Λάμψακον.

Λαμώνιον, ὄνομα ὄρους.

Λᾶν, ὁρᾶν. ἢ λίθον.

Λανηθὰς, δευτέριος οἶνος.

Λανθανόντως, κρυφίως.

Λανίζει, λαγγάζει, βρέχει.

Λανὸν κῆρ, σοφωτάτην ψυχήν. καὶ λανὸν λίθον.

Λὰξ, κατὰ τοὺς παλαιούς, ἀντὶ τοῦ τῷ ὑπὸ κάτω μέρει τῶν τοῦ ποδὸς δακτύλων. καθ' ἑτέρους δέ, τὸ μόνῳ τῷ μεγάλῳ δακτύλῳ τοῦ ποδὸς πλήττειν.

Λὰξ ἐνθορεν ἰσχύϊ. ἀντὶ τοῦ, τῷ λήγοντι τοῦ ποδὸς μέρει τῷ πρὸς τοῖς δακτύλοις ἔκρουσε. τὸ ἰσχίον πρὸς τῷ γλουτῷ, ἵνα ᾖ ποιητικὴ πλάσις.

Λὰξ ποδὶ κινήσας, τῷ πλατεῖ τοῦ ποδὸς κινήσας.

Λαξευτήριον, ἐργαλεῖον οἰκοδομικόν, ἢ λιθοξοϊκόν.

Λὰξ ἐντείνων, ἀντὶ τοῦ λακτίσμασι τύπτων.

Λάξασθαι, κληρώσασθαι.

Λάξιν, μίξιν, μερισμόν, κλῆρον. Ἡρόδοτος.

Λάξις, ὅ ἐστιν οἰκοδόμημα αἱμασιᾶς. οἱ δὲ Ἀττικοὶ λίθους ἐκλέγοντες ἀνῳκοδόμουν.

Λαοβόρον, ἀνθρωποτρόφον.

Λαόγονος, τὸ κύριον προπαροξύνεται, ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων, κατὰ τὸ Ἀντίγονος. Δάρδανος δὲ καὶ Τρὼς οἱ ῥηθέντες τὸ ἐθνικόν, καὶ κοινὸν εἰς κυριωνυμίαν ἐξιδιώσαντο, τοῖς βασιλεῦσιν ὁμωνυμόσαντες. ἐξ ὧν τὰ ἐθνικά, Τρῶες καὶ Δάρδανοι.

Λαοδάμα, ὥσπερ ἀκάμας ἀκάμαντος, καὶ ἡ κλητικὴ ὦ ἀκάμα δίχα τοῦ ν, οὕτω καὶ Λαοδάμας Λαοδάμαντος ὦ Λαοδάμα.

Λαοδάμεια, ἡ ἑκάστου φίλανδρος πάνυ καὶ μὴ ἀνασχομένη ζῆν μετὰ τὸν τοῦ ἀνδρὸς θάνατον. περὶ ἧς λόγος φέρεται τοιοῦτος. Πρωτεσίλαος καὶ μετὰ θάνατον ἐρῶν τῆς γυναικὸς κατὰ μῆνιν Ἀφροδίτης, ᾐτήσατο τοὺς κάτω θέοντας ἀνελθεῖν, καὶ ἀνελθὼν εὗρεν ἐκείνην ἀγάλματι αὐτοῦ περικειμένην. αἰτήσαντος δέ φασι, μὴ ὑστερεῖν αὐτοῦ, ξίφει διεχρήσατο ἑαυτήν. ἕτεροι δέ, ἄλλως φασὶ τὴν Λαοδάμειαν. καὶ τεθνεῶτος τοῦ Πρωτεσιλάου, ἔρωτι ἐκκαίεσθαι χόλῳ Ἀφροδίτης. ἀγγελθέντος γὰρ τοῦ πάθους, οὐ μόνον χαλεπῶς ἤνεγκέ φασι, ἀλλὰ καὶ ἀναγκαζομένη πρὸς τῷ τοῦ πατρὸς γάμῳ δευτέρῳ ζευχθῆναι, οὐκ ἀπέστη τοῦ ἐρᾶν, ἀλλὰ κατεχομένη ἐνυκτέρευε μετὰ τοῦ ἀνδρός, μᾶλλον αἱρουμένη τὴν πρὸς τὸν τεθνεῶτά φασι συνουσίαν, ἢ τὴν πρὸς τοὺς ζῶντας ὁμιλίαν, καὶ ἐξέλιπεν ὑπὸ ἐπιθυμίας. μεμύθευται δὲ ταῦτα, διὰ τὸ ἐκείνης φίλανδρον ἀνειδωλοποιουμένης, ὡς εἰκὸς τὸν ἄνδρα καὶ συνεῖναι δοκούσης αὐτῷ καὶ θανόντι.

Λαοδίκη, ὄνομα κύριον, ἐκ τοῦ λαὸς καὶ τοῦ δίκη. τὰ δὲ εἰς ο ὀκταχῶς συντίθενται. Λαοδίκην δὲ οἱ νεώτεροι Ἠλέκτραν λέγουσι.

Λαοί, παρὰ τὸ λα ἐπιτατικὸν μόριον, καὶ τὸ αὔω τὸ φωνῶ. ἐξ οὗ, λααυὸς καὶ κατὰ κρᾶσιν λαός, ἐκπεσόντος τοῦ υ διὰ δυσφωνίαν. πολύφωνος γὰρ ὁ λαός, καὶ ἀλαλητός, ὅ ἐστι θορύβου αἴτιος. καὶ οὕτω μὲν ἡ κοινὴ ἐτυμολογία, ἡ δὲ ἱστορία, ἐκ τῶν λάων. ὅ ἐστι λίθων παράγει τοὺς λαούς, λέγουσα ὅτι ὁ Κέκροψ πολυανθρωποῦσαν ἰδὼν τὴν Ἀττικὴν, συγκαλεῖται τὸν ὄχλον, καὶ παρασημαίνεται τὸν ἀριθμὸν λάεσιν, ἤτοι λίθοις ἑκάστου ἕνα ῥίψαντος. κἀντεῦθεν ἐκεῖνοι λαοὶ ἐκλήθησαν, καὶ ἀπ' ἐκείνων μένει τὸ ὄνομα. ὁ δὲ μῦθος μετὰ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμόν, καὶ τὴν ἐκεῖθεν λιπανθρωπίαν δῆλος πᾶσι, καὶ παρὰ Πινδάρῳ κεῖται εἰπόντι, ἄτερ δ' εὐνᾶς ἐκτήσαντο λίθινον γόνον. λαοὶ δ' ὠνόμασθεν. ὁ δὲ τοιοῦτος μῦθος, ἀπὸ θαύματος πεπλάσθαι δοκεῖ. θαυμάζοντες γὰρ ὡς εἰκὸς οἱ τότε τὴν πάλιν μετὰ τὸν κατακλυσμὸν πολυανθρωπίαν, τοῦτο ἐπλάσαντο. οἱονεὶ λέγοντες, ὅτι ὁ κατακλυσμὸς πάντα παρέσυρε, πλὴν εἰ μὴ ἄρα λίθους ἐξ ὧν ἡ τῶν ἀνθρώπων γέγονε πολυπλήθεια, καὶ συγχωρητέον τῷ μύθῳ, ὥσπερ ἀπολιθοῦντι διὰ τῆς γοργόνος τοὺς ἀνθρώπους, οὕτω καὶ ἐκ λίθων ἀνθρώπους ποιοῦντι. ὡς καὶ τοὺς ἐξ ἀρχῆς ἀνθρώπους, ἐκ δρυῶν καὶ πετρῶν ἐγέννα. καὶ ἐκ γῆς δὲ αὐτοὺς ἀνεβλάστανεν, ὡς τοὺς σπαρτούς, καὶ ἐκ μυρμήκων δὲ μετέβαλεν. ὁ δὲ αὐτὸς μῦθος ὁ ἐκ λίθων ἀνθρώπους ποιήσας, ληφθήσεταί ποτε εἰς σκῶμμα σκληρῶν ἀνθρώπων, ὡς ἐοικέναι τοῖς τοιούτοις τὸν μῦθον τοῦτον ἐπαληθεύεσθαι. ὅτι δὲ ἡ σκληρότης εἰς λιθωδίαν λαμβάνεται, δηλοῖ ὁ Ποιητής. λαοὺς δὲ λίθους ποίησε Κρονίων, τουτέστι σκληρούς.

Λαομεδοντιάδης, πατρωνυμικῶς ὁ Πρίαμος. ἦν γὰρ παῖς Λαομέδοντος.

Λαόπαις, βούπαις.

Λαοπίζειν, ἢ λαπίζειν, τοὺς λαοὺς εἰς ὀπίσω ἄγειν καὶ ἐπιστροφὴν, διὰ τῆς ἀλαζονείας.

Λαοργὸς, ἀνόσιος. Σικελός.

Λᾶος ὑπαὶ ῥιπῆς, ἀντὶ τοῦ ὑπὸ λίθου ὁρμῆς. καὶ ἐστι τὸ μὲν λᾶος κρᾶσις ἐκ τοῦ λάας λάαος λᾶος, ὡς ἔαρ ἔαρος ἦρος, καὶ τὰ τοιαῦτα. ἡ δὲ ῥιπή, παρὰ τὸ ῥίπτω.

Λαὸς, καὶ ναός, καὶ τὰ ἐξ αὐτῶν, Μενέλαος, Πρωτεσίλαος, καὶ ἁπλῶς πάντα τὰ διὰ τοῦ αος, διὰ τοῦ εως προφέρουσιν Ἀττικοί. οἷον Μενέλεως, Πρωτεσίλεως, νεώς, λεώς. κλίνουσι πάντα κατὰ ἀποβολὴν τοῦ σ, ὡς νεώς, νεώ, νεώ.

Λαός ἐστι, Θεοῦ σύνταγμα, εἰς Θεοῦ σέβας.

Λαοσόος, ἀπὸ τοῦ λαός, καὶ τοῦ σεύω τὸ ὁρμῶ, τροπῇ τοῦ ε εἰς ο. ἰστέον ὅτι τοῦτο τὸ σέω τροπῇ Δωρικῇ τοῦ ε εἰς α σάω γίνεται, ἀφ' οὗ καὶ ὁ σάος, καὶ ὁ σαώτερος. ἀπὸ τοῦ σάος δέ, συναιρέσει τοῦ αο εἰς ω μέγα σῶς γίνεται, καὶ σῶος. ἔπειτα διαλύσει τοῦ ω μεγάλου εἰς ω μέγα καὶ ο μικρόν.

Λαοσσόος Ἄρης, οὐχὶ ὁ λαοῦ σωστικός. πῶς γὰρ τοιοῦτος ὁ βροτολοιγός, ἀλλὰ καθ' ἑτέραν ἔννοιαν λαοσσόον λέγει Ἄρην, τὸν τοῦ λαοῦ παρορμητικόν, ἢ τὸν διωκτικὸν λαοῦ. ἀπὸ τοῦ σέω. ἐξ οὗ σεύω. Ἀθηνᾶ μέντοι λαοσσόος. λέγοιτο μὲν ἂν οὕτω πως καὶ αὐτή, ὡς λαὸν σεύουσα εἰς πόλεμον, καὶ ὡς εἰπεῖν ἀγελείη, ὅ ἐστιν ἄγουσα λαόν. καὶ ἄλλως δὲ λαοσσόος, ἡ αὐτή, ὡς λαὸν σόον τηροῦσα. ἐπεὶ καὶ ἐρυσίπτολις ἡ αὐτή. καὶ λέγει τὴν Ἔριν λαοσσόον Ὅμηρος, ἤγουν τὴν τοὺς λαοὺς σεύουσαν, ἤτοι κινοῦσαν, καὶ παρορμῶσαν εἰς πόλεμον. φησὶ γάρ, ὦρτο δὲ Ἔρις κρατερὴ λαοσσόος. καὶ ἄλλως. λαοσσόοι εἰσίν, Ἔρις, καὶ Ἄρης. καὶ ἄλλως, Ἀπόλλων καὶ Ἀθηνᾶ.

Λαοσσόος ἡ Ἀθηνᾶ. ὅπερ ἐν μιᾷ λέξει δηλοῖ, ὅτε λαοὺς σόους τηρεῖ, καὶ ὅτι σεύει, ἢ σοβεῖ λαούς.

Λαοσσόον Ἀμφιάραον λέγει Ὅμηρος, ὅ ἐστι λαοὺς σόοντα, ἤτοι διώκοντα κατ' ἀνδρείαν, ἢ σώζοντα διὰ μαντικῆς.

Λαοτρόφος, ὁ λαὸν τρέφων. λαότροφος δὲ προπαροξυτόνως, ὁ ὑπὸ τοῦ λαοῦ τρεφόμενος.

Λαοφόνον, ἀνδροκτόνον.

Λαοφόρον, δημοσίαν ὁδόν, δι' ἧς οἱ λαοὶ φέρονται, ἣν περ ὁδεύουσι λεωφόρον.

Λαπάξαι, ἀφανίσαι, ἀπαλλάξαι.

Λάπαθον, ὄρυγμα εἰς θηρίων ἐνέδραν, καὶ λάχανον κενωτικὸν γαστρός. ὅθεν καὶ λαπάξαι τὸ κενῶσαι.

Λάπαθος, εἶδος βοτάνης, ἀπὸ τοῦ λαπάσσειν. ἐστι γὰρ τὸ λάχανον εὔθετον εἰς γαστέρα. ἀποπλύνει γάρ.

Λαπάξαι, τὸ κενῶσαι. καὶ λάπτειν τὸ ἐκκενοῦν. κενωτικὴ γὰρ γαστρός, ἡ λάπαθος βοτάνη.

Λαπάρα, δι' ἧς ὁ λαγὼν δηλοῦται, παρὰ τὸ λάπτω τὸ ἐκκενῶ. ὡς ὁ κενεών, ἐκ τοῦ κενῶ, ὁ λαπαχθεὶς τόπος καὶ κενὸς ὀστῶν. ὅτι δὲ ἐκ τοῦ λάπτω γίνεται, καὶ τὸ ἀλαπάξω, εἴρηται. ἀπ' αὐτοῦ δὲ λάπαθος, φυτὸν εὔθετον εἰς γαστρὸς ἐπαγωγήν.

Λαπάραι, τὰ παρὰ ταῖς πλευραῖς τοῦ σκήνους. Διοκλῆς δέ, τὴν ἐκκεκενωμένην κοιλίαν.

Λαπάρην, τὴν λαγόνα. παρὰ τὸ λελάφθαι, ὅ ἐστιν ἐκκενῶσαι τὸν τόπον πρὸς σύγκρισιν τῶν πλευρῶν. λαπάξαι γάρ, τὸ κενῶσαι. ὅθεν καὶ λάφυρα, ἀπὸ τῆς κενωτικῆς πόας.

Λαπάρας, κατωφερὴς πρὸς τὰ ἀφροδίσια. καὶ λαπάρας, λαγόνας. καὶ λαπάρην ὡσαύτως, ἢ κοιλίας ἐκκεκενωμένας.

Λαπαρὸς, ἰσχνός, ὑπεσταλμένος.

Λαπάσσειν, λαπάγειν, κενοῦν.

Λαπάττων, μαλάττων, λαγαρὸν ποιῶν.

Λαπέρσαι, λαμπέρσας. Δίδυμος, τοὺς Διοσκόρους, ἀπὸ Λαπέρσης πόλεως.

* Λάπη, πτύσμα λεπτόν, τὸ ἀπὸ τοῦ στόματος ἐκβαλλόμενον.

Λαπῆναι, λαπιθῆναι.

Λαπήνη, ἡ ἄμαξα.

Λαπιδόρχας, ὁ μεγάλους ὄρχεις ἔχων.

Λαπίζειν, ἀλαζονεύεσθαι, γαυροῦσθαι.

Λαπίθαι, ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος, καὶ Στίλβης νύμφης ὠνομάσθησαν.

Λαπίθαι, γένος ἦν ἡρωϊκὸν ἐν Θεσσαλίᾳ, Κενταύροις πολέμιον. ἀπό τινος Λαπίθου υἱοῦ Ἀπόλλωνος, καὶ Στίλβης νύμφης ἔχοντες τὴν τοῦ γένους ἀρχήν. ἔοικεν ὁ λαπίθης γενέσθαι, παρὰ τὸ λα ἐπιτατικόν, καὶ τὸ ἔπαθον, χρόνου δευτέρου ἀορίστου. εἰπεῖν γάρ, οἱ λαοὶ πείθονται, οὐκ ἐᾷ τὸ μέτρον, οἷα συστέλλον τὴν λέξεως ἀρχούσαν.

Λαπίθιον ὄρυγμα, τὸ κενωτικόν, καὶ λάχανον ἄγριον ἐδώδιμον.

Λαπιστὴς, ψεύστης, προπέτης, φλύαρος, τρυφερός, μὴ ἔχων φροντίδα.

Λαπιστρία, μετεωριζομένη, ῥεμβομένη, θέλουσα εὐωχεῖσθαι.

Λαπιστήν, καυχητήν, καὶ ἄλλα.

Λάπος, θής, δοῦλος.

Λάπτας, τοὺς ῥοφοῦντας.

Λάπτειν, τὸ ἀναρροφεῖν. κυρίως ἐπὶ τοῦ κυνός, λάπτειν τὸ ῥοφεῖν. ὀνοματοποιηθὲν καὶ κυριολεχθέν, ἐπί τε κυνῶν, καὶ λύκων, καὶ τοιούτων ζώων.

Λάπτει, ὠνοματοπεποίηται καθὰ καὶ τὸ ἐρεύγεσθαι παρ' Ὁμήρῳ, καὶ ἔχει τινὰ ἀστειότητα. οἱονεὶ λέγοντος τοῦ Ποιητοῦ, ὅτι οἱ λύκοι λάπτοντες ὕδωρ ἀντερεύγονται αἷμα ἐκεῖσε, ὑφ' οὗ τὸ ὕδωρ φοινίσσεται, δῆλον δὲ ὅτι ῥοφήσεως

μὲν

μὲν εἶδος καὶ τὸ λάπτην. τραχυφωνότερον δὲ τούτου, τὸ ῥοφεῖν, καὶ οὐδὲ κυριολεκτεῖται ἐπὶ κυνῶν.

Λαπτὶς, λαπτὴν ἔλεγον τὸν παχὺν ἀφρὸν, τὸν ἐπιπολάζοντα τῷ οἰνοπιπλώδη· οἱ ἄλλοι βόρβορον ὕλην. ἄλλοι τὸν ἐπὶ τῇ ἅλμῃ ἐφιστάμενον καὶ ταῖς λίμναις. οἱ δὲ, τὸν ἐπὶ τοῦ γάλακτος ὑμενώδη πηλόν.

Λαπτυὴρ, σφοδρῶς πτύων.

* Λάπυριν, ὑγρὸν, Ἐρωτιανὸς παρ' Ἱπποκράτει. ἄλλοι λάππυρον, καὶ λάμπηρον.

Λαρίεθος, φλοῖνον, στεγάστριον.

Λαριναῖον κύρτον οἱ ἁλιεῖς, τὸν ἐκ λεχαίας, ἢ μέγαν.

Λαρινὸς, ὁ ἡδύς.

Λάρινοι, ἰχθὺς ποιός.

Λάρεις, λάραβες, τοὺς Κυρίτας Ῥωμαῖοι.

Λαρινεύειν, τὸ σιτεύειν.

Λαρινευτὴς, ἁλιεύς.

Λαρινόν. Ἀριστοφάνης, μέγα καὶ λαρινὸν, ὡς ἐπὶ βοὸς, τοῦτό φησιν, ὡς ἐν Λαρίσσῃ μεγάλων βοῶν γενομένων. ἔστι δὲ πόλις Θεσπρωτίας. Ἄλλως.

Λαρινὸν, λιπαρὸν, ἐκ μεταφορᾶς τῶν βοῶν. λέγονται γάρ τινες λάρινοι βόες οἱ λιπαροί, ἀπὸ Λαρινοῦ τινος νομέως διὰ μεγέθους. νέμονται δὲ τὴν ἤπειρον, οὖσαι τῶν Γηρυόνος βοῶν ἀπόγονοι.

Λάρος, ποταμὸς Ἰταλίας.

Λάρισσα, πόλις Θετταλικὴ, ἣν ἔκτισεν Ἀκρίσιος, ἥτις ὠνομάσθη, ἀπὸ Λαρίσσης τῆς Πελασγοῦ, ὥς φησιν Ἑλλάνικος. εἰσὶ δὲ λάρισσαι τρεῖς. ἀρχαιοτάτη μὲν, ἡ Ἀργειῶτις ἐστὶν αὕτη ἡ Ἀκρόπολις. δευτέρα δὲ, ἡ ἐν τῷ Πελασγικῷ τῆς Θετταλίας, ἣν Ὅμηρος Ἀργισσόν φησι πλησίον τῆς Γυρτώνης. ἔστι δὲ καὶ περὶ Τροίαν, ἧς Ὅμηρος μνημονεύει, φῦλα Πελασγῶν.

Λαρκάνη, ἡ Θετταλία.

Λάρκος δημότης καλεῖται, παρὰ τῷ Ἀριστοφάνει. πλέγμα τι κοφινῶδες, ἢ ψιαθῶδες, ἐν ᾧ φέρουσι τοὺς ἄνθρακας.

Λάρναξ, σορὸς, ἢ κιβωτός. Πρίαμος ὁ κερεάλιος, ἐς τὴν Ῥωμαίων ἐσέβαλε, πρῶτον μὲν ἐς λάρνακας, μετὰ τῶν νεκρῶν δι' ἀγγέλων τινῶν καὶ ἐς ἀρρίχους, ὀπώρας ἐχούσας ἢ καλάμους ὀρνιθευτῶν, τὰ γράμματα ἀμβαλόντες.

Λάρναξ κυρίως, ἡ διὰ λάων, ὅ ἐστι λίθων κατασκευασθεῖσα θήκη, ἢ παρὰ τὸ λίαν νάσσεσθαι τὸν ἐκτιθέμενον.

Λαρὸν, τὸ ἄγαν ἀρηρὸς ψυχῇ. καὶ ὡς εἰπεῖν, θυμῆρες. παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ ἀρῶ τὸ ἁρμόζω, κράσει τῶν δύο αα εἰς α μακρόν. ἢ λαρὸν, ἡδὺ, ἀπολαυστικὸν, παρὰ τὸ λῶ πεποίηται, ὃ σημαίνει τὸ θέλω.

Λαρὸν, παρὰ τὸ λίαν ἀρηρὸς, ἢ παρὰ τὸ λῶ τὸ θέλω πεποίηται. Ἡσίοδός φησι λαροῖς ποσὶ κατ' ὄψιν ἡδέσι.

Λαρυγγίζειν, τὸ πλατύνειν τὴν φωνὴν, καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν, περιεργότερον τῷ λάρυγγι χρῆσθαι.

Λαρὸν, χλιαρὸν, προσηνὲς, ἡδύ. καί μιν ἀεὶ πέγγος νοτερὴ δρόσος, ἧς ὁ γηραιὸς λαρώτερον μαλακὸν ἔπνεον ἐκ στομάτων.

Λάρος, κεχηνὼς, ἐπὶ τῶν ἁρπακτικῶν καὶ κλεπτῶν. ἐπεὶ καὶ ὁ λάρος, ὄρνεόν ἐστιν ἁρπακτικὸν καὶ ἀδδηφάγον.

Λαρυγγιῶ τοὺς ῥήτορας. Ἀριστοφάνης, καταβοήσομαί φησι τῶν ἄλλων ῥητόρων, ἢ τὴν φάρυγγα ἐκτεμῶ, τουτέστι κατασιγάσω τοὺς ῥήτορας. τμηθείσης γὰρ τῆς φάρυγγος, οὐχ οἷόν τε τὴν φωνὴν προΐεσθαι.

Λαρυγγίζειν, εἰς τὸ λαχανίζειν.

Λάρυγξ, καὶ φάρυγξ, ταυτόν. * ὁ οἷον κεφαλὴ τῆς τραχείας ἀρτηρίας.

Λαρύζει, βοᾷ, ἀπὸ τοῦ λάρυγγος.

Λάρυμνα, πόλις Βοιωτίας.

Λαρώτερος, ἡδύτερος.

Λάσανον, ἐφ' οὗ οἱ δασεῖς τόποι οἰζοῦσιν. λάσια δὲ, τὰ περὶ τὸν φόρτον.

Λᾶς, λάας, λίθος.

Λάσα, τράπεζα πληρεστάτη.

Λάσαγγες, οἱ περὶ τὰς λίμνας χλωροὶ βάτραχοι.

Λάσαν, τὴν Λάρισσαν.

Λάσανα, οἱ χυτρόποδος καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας χρέα. * καὶ τὰ ὀπίσθια τῶν μηρῶν, ἀπὸ τῆς δασύτητος. διὰ τοῦτο καὶ τὰ βάραθρα, καὶ τοὺς ἀφοδευτηρίους δίφρους.

Λασανίαι Γραικιστὶ, αἱ πρασιαί.

Λασάθω, χλευαζέτω.

Λάσδεο, ἀντὶ τοῦ λάζου Δωρικῶς, ἤγουν λάμβανε.

Λάθαι, παίζειν, ὀλιγωρεῖν, λοιδορεῖν.

Λαθαίνειν, κακολογεῖν.

Λάθας, συμφοράς.

Λάθη, αἷμα λέγουσι.

Λάθη, χλεύη, λήθη, ὀλιγωρία, αἰσχρολογία, αἰσχύνη.

Λάθον, αἰσχρόν.

Λάσια, στήθη, ἤγουν πυκνὰ τοῖς θριξὶν, ὁποῖοι πολλοὶ τῶν θερμοτέρων. ἢ τὰ συνετὰ, κατὰ μετάληψιν λέξεως. λάσιον μὲν τὸ πυκινὸν ἤτοι πυκνόν. πυκινὸν δὲ καὶ πυκνὸν τὸ φρόνιμον ἐν πολλοῖς. ὥστε εἴη ἂν στῆθος λάσιον, ὅθεν τὸ ἀναδίδωσι βουλεύματα λάσια, ἤτοι πυκινά. καὶ τὸ τοῦ Αἰσχύλου εἰπεῖν, ἐξ οὗ τὰ κεδνὰ βλαστάνει βουλεύματα Πατρόκλου. καὶ τὸ Πυλαιμένεος δὲ λάσιον κῆρ, κατὰ τοιοῦτον σημαινόμενον. οὐ δήπου τετρίχωται τὸ κῆρ, ἐξ ἀνάγκης.

Λάσια, δασέα.

Λασιόκωφος, ὁ λίαν κωφὸς, οἷον λάσια τὰ ὦτα ἔχων.

Λασῖνος, ἄφρων, ἐπιλήσμων.

Λάσιον τὸ δασύτριχον. ὡς τὸ, ἐκ μὲν γὰρ λασίνοισι δασύτριχος εἶχε τράγοιο κνάκον δέρμα.

Λασιόμαλλον μῆλον, τὸ ἔχον χνοῦν.

Λάσιον κῆρ, ὃν λόγον φησὶν ὁ Ποιητὴς λάσια στήθη τοῦ Ἀχιλλέως, καὶ Πυλαιμένεος λάσιον κῆρ. οὕτω περιφραστικῶς Πατρόκλου λάσιον κῆρ, ἀντὶ τοῦ αὐτὸς ὁ συνετὸς Πάτροκλος.

Λάσιος, ὁ δασὺς, ἐκ τοῦ λα ἐπιτατικοῦ, καὶ τοῦ σεύω τὸ ὁρμῶ. ὀρθῶς γὰρ ὁρμῶνται δι' αὐτοῦ τὰ νοήματα. ἡ γὰρ θέρμη αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν. νῦν δὲ περὶ τοῦ θερμοειδοῦς μέρους τῆς ψυχῆς φησὶν, ἀφ' ὧν λέγεται στήθεσι λασίοισι, τουτέστι θερμοῖς. ἡ γὰρ θέρμη ἐν τοῖς δασέσι καὶ συνετοῖς τόποις. ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστι τὸ πυρῶδες ἢ ξηρῶδες, καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς. λάσιοι οὖν, οἱ πολύτριχες, ἢ συνετοί.

Λασιουργίας, ἰσουργίας, δημιουργίας.

Λασιτὸς, κίναιδος, ἢ λεσιτὸς πόρνη.

Λασιχνεύουσα, πλανωμένη. Σικελοί.

Λασίων, πόλις, ἢ χωρίον. οἱ δὲ, δρυλασίωνας.

Λασκάζει, φλυαρεῖ, θωπεύει, ῥηγνύει.

Λασκαρεῖ, διαφθέγγει.

Λάσκειν, λέγειν, φθέγγεσθαι.

Λάσκουσι κύνες, ὑλακτοῦσι.

Λάσκω, σημαίνει τὸ λαλῶ. Εὐριπίδης, τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους, ἐκ τοῦ λῶ λάσω, καὶ πλεονασμῷ τοῦ κ λάσκω.

Λάσκων, φωνῶν, βοῶν. Ἀριστοφάνης.

Λαστάγεῖ, ψοφεῖ, τύπτει.

Λαστάρνη, μάστιγξ.

Λάσταυρος, πόρνος, δασὺς τὸν ταῦρον.

Λαστρυγυλίας, λίθος τετριμμένος.

Λάστος, ἡ Ἀκράγας τὸ παλαιὸν, καὶ ἡ Μῆλος.

Λάσων, λίθων.

Λαταγὴ, κροτάλῳ τῷ ἀπορριπτομένῳ, ἀπὸ τῶν ποτηρίων καὶ ἦχον ἀποτελοῦντι.

Λάταξ, ἡ μεγάλη σταγών.

Λάταυρος, τὸ ἱμάτιον, ἀναλογεῖ γὰρ τῇ λωπίᾳ, τῷ δέρματι.

Λαταία, παραξιφὶς, καὶ ἡ περὶ ζώνην μάχαιρα.

Λατμενεία, δουλεία.

Λάτμιον, λάτμον ὄρος Καρίας, ἔνθα ἐστὶν ἄντρον ἐν ᾧ διέτριβεν Ἐνδυμίων. ἔστι δὲ καὶ πόλις, ἡ λεχθεῖσα Ἡράκλεια, τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης παῖδα λέγει, παρὰ Διὸς εἰληφότα δῶρον αὐτὸν, ταμίαν εἶναι θανάτου, ὅτε μέλλοι ὀλέσθαι. καὶ Πείσανδρος δὲ τὰ αὐτά φησι, καὶ Ἀκουσίλαος, καὶ Φερεκύδης, καὶ Νίκανδρος ἐν δευτέρῳ Αἰτωλικῶν, καὶ Θεόπομπος ἐν ἐποποιοῖς. ἐν δὲ ταῖς μεγάλαις ἠοίαις, λέγεται τὸν Ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ Διὸς εἰς Οὐρανόν. ἐρασθέντα δὲ Ἥρας, εἰδώλῳ παραλογισθῆναι τὸν ἔρωτα νεφέλης, καὶ ἐκβληθέντα κατελθεῖν εἰς ᾅδου.

Λατομῶ, καὶ λίθον ξέω, καὶ λατεύω καὶ λατευτὴς, λίθων ἐργάτης.

Λατραβιάζειν, ἐσπουδασμένως καὶ ἀσήμως λαλεῖν.

Λατραβὸς, λαμυρός.

Λατραβῶν, ἀλαζονευόμενος.

Λατράζειν, βαρβαρίζειν.

Λατραπία, λαμυρία μετὰ ἐρυθριάσεως.

Λάτραψ, ὑετός.

Λατρεία, δουλεία, Θεῷ μόνῳ πρέπουσα. καὶ λατρεία, θυσία.

Λατρεία ψιλή ἐστι, Θεοῦ δοξαστική τις προσκύνησις, ἀπὸ γνησίας διαθέσεως προσαγομένη αὐτῷ, παρὰ τῶν ὀρθῶς πιστευόντων.

Λατρεία γνωστική ἐστι Θεοῦ ἐπιστημονικὴ εὐσέβεια, διὰ λόγου καὶ σοφίας ἐντελλομένη, παρὰ σοφοῦ καὶ γνωστικοῦ.

Λατρεὺς, Ποσειδῶν λέγεται. ὅτι τῷ Λαομέδοντι ἐλάτρευσεν ἤματι τῷ, ὅτε τεῖχος ἐΰδμήτοιο πόληος ὑψηλὸν ποίησε, Ποσειδῶν καὶ Ἀπόλλων μυθικῶς.

Λατρεύω, τιμῶ, αἰτιατικῇ. δοτικῇ δὲ ἐπὶ τοῦ θύω, ὡς τὸ λατρεύειν ζῶντι Θεῷ.

Λατρεύειν κυρίως, τὸ δουλεύειν, καὶ πάντα ποιεῖν ἀπὸ διαθέσεως, καθὼς ὁ πράξας Ἀφροδίτης θοινησάμενος.

Λάτρης, ὁ μισθῷ δουλεύων. λάτρον γὰρ ὁ μισθὸς, ἢ παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ τρεῖν ὅ ἐστι φοβεῖσθαι.

Λάτρις, θεράπαινα, δούλη.

Λάτρις τὸ ἁπλοῦν, διὰ τοῦ ι. εἰδωλολάτρης δὲ, διὰ τοῦ η ἐν συνθέσει.

Λάτυμνον, βαθύσκιον ὄρος Κρότωνος, τὸ ἄγαν συνδενδρον, παρὰ Θεοκρίτῳ.

Λατύπη, λιθουργικὴ, ἢ τὸ λεπτὸν τοῦ λίθου.

Λατύσσει, πτερύσσεται, νήχεται, ταράσσει, τινάσσει, τύπτει, λακτίζει.

Λατῦος, ποταμὸς οὕτως ὠνόμασται, ἀπὸ τοῦ τὴν Λητὼ ἐκεῖ ἀποκυῆσαι.

Λαυκανία, παράγεται ὅθεν καὶ λαιμός. ὡς γὰρ ἐκ τοῦ λάω λαμὸς καὶ λαιμὸς, οὕτως ἐκ τοῦ λάω λάσω, πλεονασμῷ τοῦ υ λαυκανία, ὁ ἀπολαυστικός φασι τόπος.

Λαυκανίη, ἡ ἀρτηρία. δι' ἧς τὸ πνεῦμα ἑλκόμενον φέρεται.

Λαύκη, φοβερά.

Λαῦξις, κλῆρος, μερίς.

Λαύξει, κρατεῖ, δαίνυται, εὐφραίνει.

Λαυξίᾳ, δαρήσει. Κρῆτες.

Λαῦρα, πλατεῖα ῥύμη, δι' ἧς ὁ λαὸς παρέρχεται, παρὰ τὸ λείαν αὔραν ἔχειν.

Λαῦρα, στενὴ ὁδὸς, ἄμφοδος, δι' ἧς λαοὶ ῥέουσιν, ἤτοι φέρονται. ὅθεν φασὶ καὶ διάλαυρος, ὁ ἐν τῷ πέραν τῆς ἀμφόδου οἰκῶν, καὶ οἷον ἀντίθυρα. καὶ ὅτι λαῦρα ἡ ἀμάρα. καὶ ὅτι λαῦραι, ῥῦμαι, κῶμαι, στενωποὶ, ὑπόνομοι, ἐν ῥητορικοῖς λεξικοῖς φέρεται. σύνθετον δὲ ἐκ τῆς λαύρας, καὶ ἡ ποδησιλαῦρα, τουτέστιν, ἡ πόρνη. λεγομένη οὕτω, παρὰ τὸ διατρίβειν τὰ πολλὰ ἐν ταῖς ὁδοῖς, ἢ καὶ δημόσια συμπλέκεσθαι, ὥς φασιν οἱ παλαιοί. τὸ γὰρ ποδεῖσθαι, καὶ ἐπὶ μίξεως τίθεται. Διὸ ἡ αὐτὴ καὶ χαμαιτύπη λέγεται, ὁμωνύμως τῷ κατ' αὐτὴν στρώματι. ἔτι δὲ καὶ λεωφόρος, ἀκολούθως καὶ πανδοσία· καὶ χαλκιδῖτις δὲ, διὰ τὸ εὐτελές φασι τοῦ διδομένου νομίσματος.

Λαύρας, Ἴωνες λέγουσι τὰς στενὰς ῥύμας, τὰς ἀμφόδους.

Λαύρειον, τόπος Ἀττικὸς ποιῶν μέταλλα χρυσᾶ.

Λαύρη, πόλις Κρότωνος, ἀπὸ Λαύρης θυγατρὸς Λακινίου, ἀφ' οὗ Λακινίου, τὸ ἐν Ἰταλίᾳ ἀκρωτήριον. αὕτη ἡ Λαύρη γυνὴ, ἣν Κρότωνος, ἀφ' οὗ καὶ πόλις Κροτώνη.

Λαυ-

Digitized by Google

Λαῦρον, τὸ μέγα. λαμβάνεται δὲ ἐπὶ τῶν τριῶν στοιχείων, οἷον λαῦρος ὑετὸς, λαῦρος ἄνεμος, καὶ λαῦρον πῦρ, ἤτοι μέγα καὶ πολύ. ἀπὸ τίνων δὲ, καὶ ἀλλαχοῦ εἰς σημασίαν τοιαύτην.

Λαῦραν τὴν δάφνην, ἢ μέταλλον ἀργύρου παρὰ Ἀθηναίοις.

Λαυροστάται, οἱ ἐν τοῖς μέσοις ζυγοῖς ὄντες, ἐν στιχιστινωτοῖς μὴ θεωρούμενοι. οἱ δὲ, χώρους μέσους ἱστανται. οἱ δὲ, ἐπιτεταγμένοι πρῶτοι καὶ ἔσχατοι.

Λαῦσαι, παραπεμπεῦσαι τοῖς δεσπόταις.

Λαῦσος, ὁ σωστὸς, καὶ κύριον ὄνομα.

Λαύστρανον, τινὲς λύκον. ἄλλοι, φρέατος ἅρπαγα.

Λαυστὴρ, μοχθηρός.

Λαυφθάζει, σπεύδει.

Λαυφθάσαι, λαύρως ἐσθίειν.

Λαυθία, ἡ ἀσπὶς, ὅπλον.

Λαφθάνη, γλῶσσα.

Λάφνη, δάφνη. Περγαῖοι.

Λαφὸς, ὁ ἀριστερᾷ χειρὶ χρώμενος.

Λαφριάδαι, φρατρία ἐν Δελφοῖς.

Λαφυγμοῦ, τοῦ περὶ ἐδέσματα πολυτελείας, ἀπὸ στάσιν ἀσωτίας. λαφυγμὸν γὰρ λέγει, τὸ ἀπλέστως ἐσθίειν, Εὔπολις ἐν κόλαξι λαφύσσεται, λαφυγμὸν ἀνδρεῖον πάνυ. Ὅμηρος ἔγκατα πάντα λαφύσσει. ἔστι γὰρ λάπτω, καὶ λαφύσσω τὸ ῥοφῶ, κυρίως ἐπὶ κυνῶν, καὶ χαίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός.

Λαφύειν, τὸ εἰς αὐτὸν ἀσχημονεῖν.

Λαφύξαι, καταπιεῖν, ἀναλῶσαι.

Λαφύξας, διασπαράξας, ἀφειδῶς θοινησάμενος.

Λάφυρα, τὰ ἐκ τῶν πολεμίων ἔτι ζώντων λαμβανόμενα. τὰ γὰρ τῶν τεθνεώτων, σκῦλα λέγονται.

Λαφυραγωγῶ, ληΐζομαι, κατασύρω.

Λαφυραγωγεῖν, καὶ λαφυραγωγία ποιητικά, ληΐζεσθαι δὲ καὶ κατασύρειν, καὶ καταδρομὴ καὶ λεία, καὶ σκῦλα τῶν ῥητόρων.

Λαφυραγωγήσας, πορθήσας.

Λαφυραγωγία, αἰχμαλωσία.

Λαφυροπωλεῖ, αἰχμαλωτίζει.

Λαφύρων, αἰχμαλωσιῶν.

Λαφύσσει, ὀνοματοποιίας τρόπῳ λέγεται, τὸ ῥαγδαίως καταπίνειν, γενόμενον ἐκ τοῦ λάψω λέλαφα, ὅθεν καὶ λάφυρον. ὥσπερ ἐκ τοῦ λέλαπα μέσου παρακειμένου, ἢ τοῦ ἔλαπον δευτέρου ἀορίστου, γίνεται λαπάρα, καὶ λάπαθον, καὶ λαπάζειν. ὃ μετὰ τοῦ α, ὡς ἐπὶ πλεῖον λέγεται ἀλαπάζειν. οὕτω δὲ ἴσως καὶ ἀπὸ τοῦ λέλαμμαι, ἡ λάμμα.

Λαφύσσειν αἷμα, καὶ ἀναῤῥῆξαι βοείην, καίτοι λέξεως ἐπὶ λέοντος, καὶ λύκου, καὶ τῶν ὁμοίων.

Λαφύσσει, μετὰ θυμοῦ ἐσθίει, σπαράσσει, λάπτει, σπεύδει, μετὰ λαφυγμοῦ ἐσθίει.

Λαφύστιος, ὁ λαίμαργος, ἀπὸ τοῦ λαφύσσω λαφύξω.

Λαφύστιος, ὁ Διόνυσος, ἀπὸ τοῦ ἐν Βοιωτίᾳ Λαφυστίου ὄρους.

Λαφύττειν, καὶ λαπάζειν, ὥσπερ ἀλαπάζειν, κατὰ πλεονασμὸν τοῦ α, τὸ ἐκκενοῦν καὶ ἀναλίσκειν ἐστίν. ὅθεν καὶ τὰ διαρπαζόμενα ἐν τῷ ἀλαπάζεσθαι, ἤγουν πορθεῖσθαι πόλιν, λάφυρα λέγεται, παρὰ τὴν λάφυξιν. λάπτην δέ φησι καὶ τὸ γίνεσθαι λαγαρόν τινα, ἐκ πεττομένης καὶ κενουμένης τῆς τροφῆς, ὅπερ ἡ γαστὴρ πάσχει, καὶ διὰ βοτάνης λαπάθου. γινομένης καὶ αὐτῆς, ἀπὸ τοῦ λάπτειν. ὅθεν καὶ ἡ λαπάρα, ὡς ἀπὸ τοῦ λαγαροῦ ἢ λαγόν.

Λάφωνοι, λίαν ἄφωνοι.

Λαχαίνειν, τὸ σκάπτειν, ἤτοι παρὰ τὴν λάχνην γίνεσθαι τὴν γῆν θρυπτομένην, ἢ παρὰ τὸ σφόδρα χαίνειν αὐτὴν, σκαπτομένην.

Λάχανα, τὸ ἐπὶ τῆς ἀπήνης πεπλεγμένον, ἐν ᾧ καθίζονται.

Λαχανηρὸν, τὸ τῶν λαχάνων.

Λαχανίζειν, ἢ λαχανίζεσθαι, ἀντὶ τοῦ λάχανα συλλέγειν.

Λάχεια, γῆ βραχεῖα.

Λάχεια, παρ᾽ Ὁμήρῳ. τινὲς ὄνομα τῆς νήσου ὑπόπτευσαν, ὡς γνωσθὲν διὰ Κύρκης τῷ Ὀδυσσεῖ ἐξ ἐρωτήσεως. ἕτεροι δὲ λάχειαν, τὴν εὔγεων φασὶ καὶ ἐπιτηδείαν λαχαίνεσθαι, ἤτοι σκάπτεσθαι. ὅθεν καὶ τὸ λάχανον. οἱ δὲ γράφονται τετρασυλλάβως ἐλάχεια, εἴη ἂν ὥσπερ λιγὺς λίγεια, οὕτω καὶ ἐλαχὺς ἐλάχεια, ἡ ἐλαχίστη.

Λάχεια, σημαίνει τὴν καλῶς ἐσκαμμένην γῆν παρὰ τὸ λα ἐπιτατικὸν, ὡς ἀπὸ τοῦ χαίρω χαίρεια, καὶ ἀνθῶ ἄνθεια, καὶ κρατῶ κράτεια, οὕτως ἀπὸ τοῦ λάχω λάχεια. τὰ γὰρ ἀπὸ ἐνεστῶτος διὰ τοῦ εια γινόμενα θηλυκὰ προπαροξύτονα, διὰ τῆς ει διφθόγγου γράφονται. οἷον, μήδω μήδεια, θέρω θέρεια.

Λαχεῖν, δίκην δικάσασθαι.

Λαχεῖν, τοῦ κληρώσασθαι διαφέρει. λαχεῖν μὲν γάρ ἐστιν, ἐκ τῶν κληρουμένων τοῦ προκειμένου τυχεῖν. κληρώσασθαι δὲ, κλήρῳ χρήσασθαι ἐκ τοῦ λαχεῖν οὐ μόνον τὸ λάχος, ἀλλὰ καὶ τὸ λαιχμητήριον, καὶ ὁ λαχμός. λαχμὸς δὲ ὕπνος, ἕτεροι τοῦ ἐν Ὀδυσσείᾳ. ἐκεῖνος γὰρ δάσος ἐρίων δηλοῖ, μὴ δάσει ἀνάπαλιν ἡ λάχνη ἔχει.

Λαχεῖν, κυρίως τὸ ἀπὸ κλήρου τυχεῖν. σημαίνει ἐνίοτε, καὶ τὸ ἁπλῶς τυχεῖν. συντάσσεται δὲ τὸ μὲν λαχεῖν αἰτιατικῇ, τὸ δὲ τυχεῖν γενικῇ. λαχὼν, ἤγουν κληρωθεὶς, ἀφ᾽ οὗ λαχμὸς, ὁ κλῆρος, ποιητικῶς.

Λάχεσις, μία τῶν μοιρῶν. Ἡσίοδος, Κλωθώ τε, Λάχεσίς τε, καὶ Ἄτροπος. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν πεποιημένα. καὶ ἡ μὲν Λάχεσις, παρὰ τὴν κλήρωσιν τὴν ποιὰν, ἣν ἕκαστος γεγονὼς κεκλήρωται, ἡ δευτέρα Κλωθὼ, ἡ δὲ τρίτη Ἄτροπος, παρὰ τὸ ἀμετάτρεπτον τὰς μοίρας διὰ ἀνάγκης.

Λάχη, λῆξις, ἀποκλήρωσις.

Λαχμώας, σκάψας.

Λαχμία, ἐν ὕλῃ οὖσα.

Λαχμὸν κύρης, βάρος, λακτισμός.

Λαχμῷ, τῷ δασεῖ τῶν ἐρίων, παρὰ τὸ λίαν ἔχεσθαι. Ἀντίμαχος δὲ, τὸν λακτισμὸν τῶν ἵππων λέγει λαχμόν. οἷον λαχμὸν δ᾽ οὐ δείδιεν ἵππων. Σέλευκος δὲ, διὰ τοῦ ν γράφει λαχνῷ, ἵνα σημαίνῃ τὴν λάχνην.

Λαχμῷ στενόμενος, τῇ δασύτητι. καὶ ὁ τοῖς μαλλοῖς πεπυκνωμένος.

Λαχμὸς λέγεται, ἡ τῆς λάχνης λασιότης καὶ τρίχωσις.

Λαχνήεις, ὁ δασύς. καὶ λάχνος, ὁ αὐτός.

Λάχνη, ἡ τρίχωσις, ἢ παρὰ τὸ λαχαίνω τὸ σκάπτω, καθ᾽ ὁμοιότητα τῆς ψιλῆς γῆς, καὶ μικρά τινα ἐχούσης φυτάρια λαχαινόμενα, ἐξ οὗ παράγεται καὶ τὸ λάχανον. καὶ παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ χνοῦς, ὃ δηλοῖ βραχεῖάν τινα καὶ λεπτὴν τριχῶν ἀνάφυσιν, ὁποία καὶ ἡ τῶν βρεφῶν. δῆλον δὲ, ὡς ἀπὸ τοιαύτης λάχνης, καὶ θῆρες λαχνήεντες λέγονται.

Λάχνην λέγει Ὅμηρος, καὶ τὴν τοῦ συὸς τρίχωσιν, ἀφ᾽ ἧς τὸ λαχνοῦν λέγομεν, καὶ ἐπὶ ἀνθρώπων, ὡς δηλοῖ τὸ ψεδνὴ δ᾽ ἐπενήνοθε λάχνη. καὶ ἐπί τινων δὲ ἀλόγων ζώων, οἷον ἀρκτῶν, καὶ ἀλωπέκων, καὶ ἑτέρων τοιούτων καὶ μὴν καὶ ἐπὶ δονάκων, ὡς δῆλον ἐκ τοῦ, λαχνήεντ᾽ ὄροφον. ἤδη δὲ καὶ ἐπὶ καλάμων δι᾽ ὁμοιότητα λαχνῆεν δὲ δέρμα, τὸ ἔτι ἀκατέργαστον, καὶ μήπω ψιλωθὲν, ἢ χρόνῳ ἢ τέχνῃ. γίνεται δὲ λάχνη, παρὰ τὸ λαχαίνω, τὸ διαψαίρω, τὸ διασκάπτω. εὕρηται δὲ καὶ ἐπὶ φυτῶν. Ὅμηρος οὖν, καὶ τὸν ὄροφον. λεπτὸς δέ ἐστι δόναξ, ἤτοι καλαμίσκος, δι᾽ οὗ τὰ δώματα ἐρέφονται. λαχνήεντα λέγει, διὰ τὴν ἐν ἄκρῳ τριχοειδῆ δασύτητα.

Λαχόντα, κληρωσάμενον, τυχόντα.

Λαχοίην, ἔστι λάχοιμι, λάχοις λάχοι, ἐκ τούτου γίνεται λαχοίη, κατὰ πλεονασμὸν τοῦ η Ἀττικῶς. εἶτα προσθήκῃ τοῦ σ λαχοίης, καὶ τροπῇ τοῦ σ εἰς τὸ ν, τὸ πρῶτον λαχοίην, ὥσπερ ἐτύφθην ἐτύφθης ἐτύφθη, καὶ λοιπὸν οἱ Αἰολεῖς ἀποβάλλουσι τὸ ι, καὶ γίνεται λαχοίην.

Λάχος, μέρος, κλῆρος.

Λάχος, ἡ μοῖρα. ἐν οἷς ἦν καὶ συὸς ἀγρίου μέγα λάχος. λέγεται δὲ καὶ πρόλαχος, ἡ πρώτη μερίς.

Λαχὼν, κληρωσάμενος. Ἀριστοφάνης, πρὶν λαχεῖν τὰ κοινὰ κατεσθίεις. πρίν, πρὶν κληρωθῆναι, πρὶν χειροτονηθῆναι, πρὸ διανομῆς ἁρπάζεις. ἡ μεταφορὰ, ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς.

Λάψα, γογγυλίς. Περγαῖοι.

Λάψαι, τὸ γλώττῃ πιεῖν, ἢ ῥοφῆσαι.

Λαψάνη, εἶδος ἀγρίων λαχάνων, ἐσθιομένη.

Λαψάρων, τῇ χειρὶ ποτίζων, ἢ ἁπτόμενος.

Λάψοντες, πιόμενοι, ἀναῤῥοφήσοντες, πεποίηται δὲ ἡ λέξις ἀπὸ τῆς τῶν κυνῶν γλώττης ὅταν πίνωσιν, καὶ ἔστιν ὀνοματοποιία ὁ τρόπος.

Λάψοντες, ἐπιθυμητικῶς ἔχοντες τοῦ πιεῖν.

Λάψων, ὑποκοιλαίνων τὴν γλῶσσαν, ἀναφέρων τὸ ὕδωρ, μετά τινος ἤχου.

Λάωμεν, λάθωμεν.

Λάων, Ἀρίσταρχος ἀντὶ τοῦ ἀπολαύων, ἀφ᾽ οὗ καὶ λαιμὸς καὶ λαυκανία, καὶ αὐτὸ τὸ ἀπολαύειν, πλεονασμῷ τοῦ υ ὅθεν καὶ τὸ λάεν νεβρὸν ἄγχων, ἤγουν ἀπέλαυεν, ἐτρύφα. ἕτεροι δὲ, ὧν καὶ Κράτης, ἀντὶ τοῦ βλέπων, οὗ κατὰ στέρησιν ἀλαός. ἄλλοι δὲ ὑλάων, ἤγουν ὑλακτῶν, ὡς ἐν σχήματι χάσκοντος ἀφαιρεθέντος τοῦ υ, Ὅμηρος ἐν τῷ τ᾽ τῆς Ὀδυσσείας.

ΤΟ Λ. ΜΕΤΑ ΤΟΥ Ε.

Λέα, ὁ ἐν τοῖς ἱστίοις λίθος.

Λέαινα, ζῶον, θηρίον.

Λέαδα, ἡ ἐξοχὴ τῶν πετρῶν.

Λέαινα, ἐπὶ τυροκνήστιδος, σχῆμα συνουσίας ἀκόλαστον.

Λεαίνεται, λεαίνεται, ἐξαλείφεται.

Λεαίνομαι, θερμαίνομαι.

Λεαίνω, τὸ ὁμαλίζω ἐκ τοῦ λειαίνω, τὸ οἱονεὶ ἀποσπογγίζω, καὶ ἐκμάσσω, οὗ μέλλων λεανῶ, ἐλέηνα. λείηναν δὲ χῶρον, τοῦτο ἐκ τοῦ λεῖον, ὃ σημαίνει τὸ ὁμαλόν.

Λεαντικῶς, λειῶσαι δυνάμενος.

Λεανῶ, λεπτυνῶ.

Λεὰς, τὰς ἀπὸ τῶν ἱστῶν κρεμαννυμένας ἄκρας.

Λέβα, πόλις ὑπὸ Θρακῶν.

Λεβάδεια, πόλις τῆς Βοιωτίας, ἔνθα καὶ μαντεῖον Διὸς τὸ ἱερὸν κατεσκεύαστο.

Λεβηδὼν, τόπος, ἐν ᾧ ἐθυσίαζον οἱ κατὰ τὴν λιβανωσίαν Ἀῤῥαβίαν Μωαβῖται.

Λέβερνοι, πλοῖα πολεμικὰ, τριήρης, νῆες.

Λεβηναῖον, ἱερόν.

Λεβηρὶς, τὸ δέρμα τοῦ ὄφεως.

Λεβηρίδα, τὸ τοῦ ὄφεως γῆρας. ἔνιοι δὲ τοῦτο λέγουσι κόγχην κενὴν, παρὰ τῷ Ἱπποκράτει. τινὲς δὲ ἄνδρα λέβηριν γενέσθαι πτωχόν. οἱ δὲ, τὸ λέπος τοῦ κυάμου. λεβηρῷ, ὑγρῷ, παρὰ τῷ Ἱπποκράτει.

Λέβης, ἐν α τῆς Ὀδυσσείας λέγεται τὸ παρ᾽ ἡμῖν λεγόμενον χερνίβιον, καθ᾽ οὗ νιπτόμεθα. παρὰ τὴν λαβὴν, ὥς φασιν οἱ παλαιοί. ἢ μᾶλλον διότι λείβεται ὕδωρ εἰς αὐτὸν, τοῦτο σημαίνει ἐνταῦθα. ἐν γὰρ ἄλλοις τόποις, ἀλλοῖόν τι σκεῦος οἱ λέβητες λέγονται.

Λέβης, σκεῦος μαγειρικόν. λέγεται δὲ καὶ κάδος.

Λεβητωνάριον, χιτὼν μοναχικὸς ἐκ τριχῶν συντεθειμένος, κατὰ τὴν ἐγχώριον γλῶσσαν τῶν Φρυσαίων.

Λέβια, τὰ λεπίδας ἔχοντα, τὰ ῥύγχη, καὶ ἰχθὺς λιμναῖοι.

Λεβίνθιοι, ἐρέβινθοι.

Λέγεται, τῇ τελείᾳ καὶ τῇ θαυμαστῇ τῶν λόγων χάριτι, δοτικὴν πρὸς τὴν προλαβοῦσαν δοτικὴν ἐπαγόμενον. λέγεται καὶ τά τε ἄλλα καὶ τὸ ποιῆσαι. λέγεται Ἀττικῶς καὶ τά τε ἄλλα καὶ τὴν δοτικὴν ἐπιφέρον, ὡς ἐνταῦθα. τά τε ἄλλα καὶ τῇ τοῦ καιροῦ ὀξύτητι ἀμυνεῖς.

Λέγειν, καὶ φθέγγεσθαι, καὶ διαλέγεσθαι, καὶ λαλεῖν, καὶ αὐδᾶν, ποιητικαί, τὸ ἐνάρθρως λέγειν, ἤγουν τὸ προφορικῷ λόγῳ χρῆσθαι λέγοντι, ἀντὶ τοῦ λέγουσι Δωρικῶς. λέγω σοι, καὶ πρὸς σὲ, καὶ λέγω ἐκεῖνον ἐπιμεμελῆσθαί σοι, καὶ λέγω πρός σε τἀληθῆ. λέγω ἔχων καλῶς, περισσῶς, ἡ μετοχὴ Ἀττικῶς.

Λέγειν, εἰπεῖν, οἰκοδομεῖν, ἀριθμεῖν, καὶ ὀνομάζειν Ἀττικοί. καὶ λέγειν σὺ δεινὸς, ἢ μανθάνειν.

Λέγε-

Digitized by Google

Λέγεσθαι, συνάγειν, ἀθροίζειν, ἐκλέγεσθαι.

Λεγεὼν, τὸ ξίφος τὸ ἐκλεκτὸν, ἀπὸ τοῦ λέγω τὸ συλλέγω. τὸ δὲ λέγω σημαίνει ἕξ, καὶ γίνεται παρὰ τὸ λῶ τὸ θέλω, λέγω τὸ λαλῶ, ἐξ οὗ καὶ λόγος. λέγω τὸ μετρῶ, ἐξ οὗ καὶ ὡρολόγιον, τὸ τὰς ὥρας μετροῦν. λέγω, τὸ κοιμῶμαι. ἐξ οὗ καὶ λέχος, ἡ κοίτη. λέγω τὸ φροντίζω, ἐξ οὗ καὶ ἀλέγω. λέγω τὸ συλλέγω, ὡς τὸ, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο. λέγω, τὸ λαγχάνω, ἐξ οὗ ὁ μέσος παρακείμενος λέλογχα. ὡς τὸ, τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι.

Λέγμα, τὸ εἰπεῖν.

Λέγνα, τὸ ἔσχατον. * καὶ τὰ ἄκρα τοῦ στομίου τῆς ὑστέρας, ἃ καὶ ἄλλως ἀμφίδια καλεῖ Ἱπποκράτης.

Λέγνη, τὸ παρυφαινόμενον τῇ παραστροφῇ * (περιστροφὴ κάλλιον) διόπερ ἦν παχὺ περὶ τὴν ᾤαν ἐκ ῥάμματος.

Λέγνος, ἄναδρος σῖτος, ὁ μὴ ἁδρός.

Λεγνώδης, ποικίλας.

Λέγξ, ποιητὸν ἀπετέλεσε.

Λεγοίμεθα. εἰ γὰρ νῶϊ περὶ νηυσὶ λεγοίμεθα. οἷον, εἴ τις τοὺς ἀρίστους εἰς μάχην διαλέγοι, συλλέγοι.

Λέγοντες, ἐκλέγοντες, ἢ συνάγοντες, ἢ συναθροίζοντες.

Λέγω, ἀγορεύω, ἐρεύγομαι, φημὶ, φθέγγομαι, φράζω, ἀγγέλω, ἀπαγγέλλω, μηνύω, ταυτοσήμαντα.

Λέγω, ῥῆμα παροξύτονον καὶ βαρύτονον. διὰ τί; πάντα τὰ εἰς ω λήγοντα ῥήματα, ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, πρὸς ἀντιδιαστολὴν τῶν εἰς ω θηλυκῶν ὀνομάτων. τὰ γὰρ εἰς ω λήγοντα θηλυκὰ ὀνόματα, ὀξύνεται. οἷον κληὼ, καλυψὼ, πειθὼ, διδώ.

Λέγω σοι τὰ μέλλοντα, ὁμοίως προλέγω, καὶ καταλέγω. ἐκλέγω δὲ καὶ συλλέγω, αἰτιατικῇ μόνῃ συντάσσονται. ἀντιλέγω δοτικῇ μόνῃ συντάσσεται.

Λεγόμεθεν. οἱ Αἰολεῖς τὸ λεγόμεθα, καὶ φερόμεθα, εἰς ε ποιοῦσι, λεγόμεθεν καὶ φερόμεθεν μετὰ τοῦ ν. ἀλλὰ καὶ τὰ εἰς θεν λήγοντα ἐπιρρήματα, εἰς α ποιοῦσιν. οἷον ὄπιθεν ὄπιθα, ἄτερθεν ἄτερθα, χωρὶς τοῦ ν. ὅτε γὰρ ἢ εἰς ε τὰ ἐπιρρήματα, τότε καὶ τὸ ν, οἷον ὄπιθεν. ὅτε δὲ εἰς α, ἀφίσταται τὸ ν, ὥσπερ καὶ τὸ λεγόμεθα, εἶτα τὸ λεγόμεθεν, ἐπλεόνασε τὸ ν. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

Λεγόμεθα. παρ' Ὁμήρῳ, μηκέτι νῶϊ δηδὰ λεγώμεθα, ἤγουν καθήμεθα, καὶ οἱονεὶ κείμεθα, ἐκ τοῦ λέγω. ἐξ οὗ καὶ λέκτρον, ἡ κοίτη.

Λέγεσθαι, κυρία λέξις ἐπὶ κοιμωμένων, ἀφ' ἧς καὶ τὸ λέκτρον, καὶ τὸ λέχος, καὶ ἀλέκτωρ, τὸ ζῶον, καὶ ἠλέκτωρ, Ἥλιος.

Λέγεσθαι, μετρεῖν, ἢ ἀπαριθμεῖσθαι. ὡς τὸ, οἶδ' ἀρετὴν οἷός ἐσσι τί σε χρὴ ταῦτα λέγεσθαι. τὸ γὰρ λέγειν, ἐπὶ τοῦ λαλεῖν οὐ χρῆσθαί φασί τινες τὸν Ποιητὴν, ἀλλ' ἀντ' αὐτοῦ τῷ μυθεῖσθαι καὶ τῷ εἰπεῖν. διό φησιν, οὐδὲ κεῖται λόγος παρ' αὐτῷ, ἀλλὰ μῦθος. καὶ μὴν πολλαχοῦ ἐφάνη, καὶ ἐπὶ τοῦ διαλέγεσθαι ἡ λέξις κειμένη.

Λέγω, τὸ κοιμῶμαι.

Λεδδά, ἡ ἐξοχὴ τῶν πτερνῶν.

Λεδρεῖται, φροντίζει, θέλει, βούλεται.

Λεηλατῶ, παρὰ τὸ λεὼς καὶ τὸ ἀτῶ τὸ βλάπτω, γίνεται λεωλατῶ, πλεονασμῷ τοῦ λ. εἶτα τρέπεται τὸ ω εἰς η, καὶ σημαίνει τὸν λαὸν βλάπτω. καὶ ἐλεηλάτει, ἠχμαλώτευεν, ἐλήστευεν, ἥρπαζεν, ἐπόρθει.

Λειάδες, οἱ λειμῶνες καὶ κάθυγροι τόποι.

Λείαν, κτῆσιν λαφύρων, ἢ πρόθεσιν.

Λειανῶ, λεῖαν καὶ ὁμαλὴν ποιήσω.

Λεῖα, παρὰ Θουκυδίδῃ τὰ λιτὰ, πρὸς ἀντιδιαστολὴν τῶν ὑφαντῶν, καὶ πεποικιλμένων.

Λείας, πραίδας ἀπὸ πολεμίων. καὶ λείας, τὰ ποίμνια, τὰ βοσκήματα, παρὰ Σοφοκλεῖ.

Λεία λέγεται, καὶ τὰ ἐκ πολέμου λάφυρα, ἢ τὰ ἀπὸ λῃστείας, καὶ ἡ ὁμαλὴ ὁδός.

Λείας, ὁμαλάς, εὐθείας.

Λείβω, τὸ στάζω καὶ τὸ σπένδω.

Λείβειν, καὶ σπένδειν, ταυτά εἰσι, τὸ λείβειν οἶνον κυρίως οὐ μόνον ὁ κατὰ θυσίας, ἀλλὰ καὶ ὁ κατ' ἀρχὴν ὁδοιπορίας, καὶ ἀπόπλου, καὶ ὕπνου, καὶ ξενίας, καὶ ὅσα τοιαῦτα.

Λεῖβε δρόσον, ἤγουν στάζει. λείβει, σπένδει, βρέχει, χέει.

Λείβει αἰτιατικῇ, βάλλει, στάζει.

Λείβεται, τοῖς δακρύοις διάβροχος γίνεται.

Λειβήθριοι, ἔθνος μωρὸν ἀπὸ τόπου, Λείβηθρα καλουμένου, ἐν ᾧ κατοικοῦσιν ἄνθρωποι ἀνόητοι. Θουκυδίδης, Λειβηθρίων ἀνοητότεροι.

Λείβηθρον, ῥεῖθρον ὀχετὸν κρουνὸν, καὶ τὸν Ἑλικῶνα.

Λειβήθριον, ὄρος Μακεδονίας. καὶ λείβηθρα πόλις Μακεδονίας, ὅθεν ἦν Ὀρφεὺς, ὥς φησι, νῦν ἄγε μοι κούρη Λειβηθρίαν ἔννεπε Μοῦσα.

* Λειεντερία ἐστὶ, ταχεῖα διέξοδος τῶν ἐσθιομένων τε καὶ πινομένων, τοιούτων ὑποχωρούντων, ὁποῖα κατεπόθη.

Λείη, ἡ τῶν θρεμμάτων ἀγέλη, ἡ προσδοκὴ καὶ καλὴ, καὶ πολέμου ὠφέλεια.

Λείηναν δὲ χῶρον, τὸν τόπον ἐν ᾧ ἔμελλον χορεύειν λεῖον ἐποίησαν.

Λείηναν, λειαίνω, λειανῶ, ἐλείηνα, ἐλείηναν, καὶ Ἰωνικῶς λείηναν.

Λειήνας, ὁμαλίσας.

Λεῖκνα, κανᾶ, ἐφ' οἷς τὰ λίκνα ἐπετίθεσαν. οὕτω δὲ ἔλεγον τοὺς πρωΐμους καρπούς.

Λεῖκνον, κόσμος βακχικὸς. καὶ λεῖκνον, τὸ πτύον.

Λάκερικα, σειραὶ, σχοινία, πλέγματα.

Λειμάδες, νοτεροὶ καὶ πιώδεις τόποι. ἔστι δὲ καὶ ζῶον ὅμοιον κοχλίᾳ, ὃ καλοῦσι λεῖμα.

Λείμακος, λειμῶνος.

Λεῖμαξ, χωρίον ἐν ᾧ λειμὼν, ἢ χωρίον ἐπίπεδον.

Λεῖμμα, τὸ κατάλειμμα.

Λεῖμαξ λείμακος, ὁ σύμφυτος τόπος, ὁ κῆπος, καὶ λειμακέστεροι, οἱ σύμφυτοι καὶ συνδενδροι τόποι.

Λειμὼν, τόπος δίυγρος, ἀνθηρὰν πόαν ἔχων. κῆπος ὁ τῶν λαχάνων καὶ τῶν δένδρων. παράδεισος, ὁ δένδρα ἥμερα ἔχων. ἄλσος δὲ καὶ δρυμὼν καὶ λόχμη ἐπὶ ἀγρίων δένδρων, ἱσταμένων ἐπὶ ξηρᾶς. ἕλος δὲ, τόπος λιμνώδης καὶ καλαμώδης.

Λειμωνίαι, νύμφαι, ἐπειδὴ αἱ νύμφαι ἐν τοῖς λειμῶσι διατρίβουσι.

Λειμὼν, ὁ ὑγρὸς καὶ βοτανώδης τόπος. ἀπὸ τοῦ λείβω, λέλειμμαι. ὃν ἡ κοινὴ γλῶσσα λιβάδιον λέγει, ὡς ἀπὸ τοῦ ἔλιβον δευτέρου ἀορίστου, ἔνθα ὕδωρ συλλείβεται.

Λειμῶνες μαλακοὶ, ἐν οἷς ἐστι μαλακῶς ἐνεύδειν. σημειωτέον δὲ, ὅτι τῆς γῆς τὸ μὲν ἐστι χαῦνον, καὶ λέγεται βῶλος θηλυκῶς καὶ ἀρρενικῶς. τὸ δὲ στερρὸν, λίθος. ὀνομάζεται δὲ ἀρρενικῶς λίθος, ὁ ἁπλῶς λίθος. θηλυκῶς δὲ, ἡ λίθος ἐπί τε τῶν τιμίων, καὶ λαξευομένων. καὶ τὰ μὲν σκληρὰ, καὶ πετρώδη αὐτῆς καὶ ὑψηλότερα ὄρη λέγεται. τὰ δὲ χθαμαλὰ, πεδία. τὰ δὲ ἀνάντη, νάπαι, καὶ δρυμῶνες. τὰ δὲ κοῖλα, ὑδατώδη, πηγαὶ, καὶ ἄντρα. καὶ τὰ μὲν αὐτῆς, μεσόγεια καλεῖται. τὰ δὲ παρὰ τὴν θάλασσαν, ἀκταὶ, καὶ ἠόνες, καὶ κρημνοὶ, καὶ ἀπορρῶγες. τὰ δὲ ἐντὸς τῆς θαλάσσης, νῆσοι. πάλιν τῆς γῆς, τὸ μὲν ἀοίκητον, τὸ δὲ οἰκούμενον καλεῖται. καὶ τὸ μὲν ἔρημος καλεῖται, τῆς δ' οἰκουμένης τὸ μὲν κῶμαι λέγονται, τὸ δὲ πόλεις. καὶ κώμη μέν ἐστιν ἀνθρώπων συνοικία ἀτείχιστος, πόλις δέ ἐστιν ἀνθρώπων συνοικία τετειχισμένη. διαιρεῖται δὲ ἡ πόλις εἰς ναοὺς, καὶ εἰς οἴκους. καὶ οἱ τόποι μὲν ἐν οἷς κάθηνται οἱ βουλευταὶ, βουλευτήρια. ἀγορὰ δὲ, ἐν ᾧ πωλεῖται τὰ ὤνια. καὶ ὁδοὶ, καὶ τρίοδοι. ναὸς μὲν οὖν, καὶ ἱερὸν, καὶ τέμενος, ἐν ᾧ τιμῶνται τὰ θεῖα. οἰκία δὲ, ἐπὶ ἀνθρώπων, καὶ οἴκημα, καὶ κελλίον, καὶ δωμάτιον, καὶ θάλαμος. καὶ κοιτὼν, ὁ περιέχων πολλὰς κοίτας, καὶ ξενὼν, καὶ νοσοκομεῖα, καὶ ἰατρεῖα, καὶ μουσεῖα, καὶ σχολεῖα. τοῦ δὲ οἴκου, τὸ μὲν ἐντὸς, καλεῖται παστὰς, καὶ νυμφεῖον. τὸ μετὰ αὐτὸ, δόμος. τὸ μετ' αὐτὸ, πρόδομος. τὸ μετὰ ταῦτα, αἴθουσαι, ἤγουν τὰ κοινῶς ἐξάϊτα. εἶτα αὐλὴ καὶ ἕρκιον, αὐτῆς καὶ διήρης οἶκος, καὶ ὑπερῷον, καὶ τὰ ἀνέχοντα ξύλα. δοκὸς ἀρρενικῶς καὶ θηλυκῶς. τειχίον ἐπὶ οἰκιῶν, καὶ τοῖχος ἀρρενικῶς. οὐδετέρως μέντοι τεῖχος, ἐπὶ πόλεως. καὶ ἐπάλξεις οἱ κοινῶς πύργοι. θύραι, ἐπὶ οἰκίας. πύλαι δὲ, ἐπὶ ναοῦ καὶ πόλεως. ὀπὴ δὲ ἡ κοινῶς τρύπα. θυρίδιον δὲ, ἡ μικρὰ θύρα. ὄροφος δὲ, καὶ στέγος, τὸ σκέπασμα τῶν οἰκιῶν. ἡ δὲ ἀκρόπολις λέγεται, καὶ ἄκρα πόλις, καὶ ἄκρα μόνον. καὶ τὰ πρὸ τῆς πόλεως, προάστεια. λέγεται γὰρ καὶ ἄστυ ἡ πόλις, ὥσπερ καὶ τὰ πρὸ τῆς αὐλῆς προαύλεια. καὶ τὰ πρὸ τοῦ ναοῦ, πρόναος.

Λεῖνα, ἔρια. Κύπριοι.

Λειξοῦρα, τὸ δῶρον, ἐκ τοῦ λείχω.

Λειξουρία, ἡ λαιμαργία, ἡ πλεονεξία.

Λειόβατος, εἶδος ἰχθύος, παρὰ τὸ λεῖον.

Λειόβατος, ὁ ὁμαλὸς τόπος.

Λειοκόνιτος, ἡ τελείωσις, κόνις διαλελυμένη.

Λειοκόρης, ὁ τελείως ἐκκεκαυμένους τοὺς ὀφθαλμοὺς ἔχων.

Λεῖον ἱππόδρομον λέγουσι, τὸ περὶ τὸν καμπτῆρα χωρίον.

Λεῖον, ὁ σῖτος, ἢ ὁμαλόν.

Λεῖον, τὸ ὁμαλόν. ἐξ οὗ καὶ λεαίνω τὸ ὁμαλίζω. λειῶ δὲ λειώσω κατ' ἰατροὺς, τὸ τῶν εἰδῶν τι εἰς λεπτότατα τρίψαι. καὶ λεῖον τὸ πρᾶον.

Λειόμερος, ταχυδιάνοιος.

Λειοπετρία, ἔνθα εἰσὶν ὁμαλοὶ λίθοι.

Λεῖος πετράων, πρὸς διαστολὴν κεῖται τραχείας ἀκτῆς. ἐναντία γὰρ λειότης καὶ τραχύτης.

Λείουρος, αἴλουρος.

Λείους, ὁμαλούς.

Λειούσματα, ἢ λεγούσματα, εἶδος καταφράκτου, γάλατα.

Λειόφυλλον, φυτὸν ὁμαλόδερμον.

Λειπαρῶ, παρακαλῶ.

Λείπετο, ἔθλα, ἀπετυγχάνετο.

Λεῖπε φορῆναι, ἔλιπε φορεῖν.

Λειπογνώμων, ὁ μηκέτι βόλον ἔχων. ὁ δὲ τέλειος καὶ γεγηρακὼς, μὴ ἔχων γνωρίσματα τῆς ἡλικίας.

Λειποδρανέω, ἀσθενῶ, λειποθυμῶ.

Λειποθυμῶ, καὶ λειποψυχῶ, καὶ λειφαιμῶ, τὸ αἵματος λείπομαι. καὶ λείπομαι παθητικῶς, τὸ δέομαι, καὶ ἐνδεής εἰμι.

Λείποιτο, καταλείποι.

Λειπόκρεως, ὁ ἰσχνότατος.

Λειπὸν, τὸ ἐλλειπὲς ὄν.

Λείπομαι, δέω.

Λειπομορία, δένδρον, τὸ ἐκ τοῦ θωρακίου κατεαγὸς, ἐκ δὲ τῆς ῥίζης φέρον βλαστούς.

Λειπόνεως, ὁ λιπὼν τὴν ναῦν.

Λειποστράτιον, τὸ μὴ ἐθέλειν στρατεύεσθαι. καὶ λειποστράτιος, ὁ τὴν στρατιὰν καταλιπών.

Λειποτάκται λέγονται, οἱ τὴν τάξιν λείψαντες, οἷς ἐπιτίμια ταῦτα ἐδίδοντο, ὥστε γενέσθαι κυνῶν μέλπηθρα. καὶ ὅρα ὡς ὁ μὲν Ποιητὴς, τὴν κατὰ τῶν λειποτακτούντων ἀπειλὴν, συντομώτατα ἔφρασεν εἰπὼν, ὄφρα πρόσθ' ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ. ἑτέρωθι δὲ σαφέστερον ἐν τῷ, οὔ οἱ ἄρκιον ἐσσεῖται φυγέειν κύνας, ἠδ' οἰωνούς.

Λειποτακτεῖ, τὴν τάξιν καταλιμπάνει. ὅπερ ἐστὶν ἐπὶ τῶν στρατιωτῶν τῶν φυγοπολέμων.

Λειποτάκτης, ὁ φεύγων καὶ καταλιμπάνων τὴν τάξιν. κυρίως δὲ, ἐπὶ στρατιωτῶν φυγοπολέμων.

Λειπόμεθα, ἡττώμεθα.

Λείπωσα μῶσα, ἀντὶ τοῦ λείπουσα μοῦσα Αἰολεῖς, ἢ Δωριεῖς τῷ ω στοιχείῳ, ἀντὶ τοῦ ου χρῶνται.

Λείρια, καθόλου τὰ ἄνθη λείρια λέγεται. ἔστι δὲ κυρίως ἄνθος λεγόμενον λείριον, ὅ φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ φυτῶν τὸν Νάρκισσον εἶναι. οἱ δὲ, τὸ κρίνον, ἀφ' οὗ καὶ φωνὴ λειριόεσσα, ἡ ἀνθηρά. καὶ ποδαλείριος, κύριον. οἱονεὶ ἀνθηρόπους, ἢ διατρίβων ἰατρικῶς περὶ τὰ λείρια.

Λειριόεσσαν ὄπα λέγει Ὅμηρος, τὴν ἀνθηρὰν φωνήν. ἄνθους γὰρ εἶδος, τὸ λείριον. ὅθεν καὶ ποδαλείριος κύριον, οἱονεὶ ἀνθηρόπους.

Λειρὸς, ὁ ἰσχνὸς, καὶ ὠχρὸς, καὶ ληρίας λέγουσι κύνας, τὰς κατισχνομένας καὶ ἀποβαλούσας τὰς τρίχας, ἢ τὸν μικρὸν λαγών.

Λειρόφθαλμος. εἰ μὲν σημαίνει τὸν προσηνῆ, διὰ

Digitized by Google

τῆς ει διφθόγγου, παρὰ τὸ λείριον, ὃ σημαίνει τὸ ἄνθος. εἰ δὲ τὸν ἀναιδῆ, διὰ τοῦ ι παρὰ τὸ λίρος, ὃ σημαίνει τὸν ἀναιδῆ. τοῦτο δὲ, παρὰ τὸ λίαν ὁρᾶν. λέγει δὲ Ὦρος ὁ μιλήσιος, οὐ τῶν ἀνθῶν δεῖ λέγειν, ἀλλὰ τῶν ἀνθέων. διὰ τὴν συνέμπτωσιν τῶν ἀνθ᾽ ὧν ἐπίρρημα, ὅπερ ἐκ τῆς ἀντὶ προθέσεως, καὶ τοῦ ὧν ὑποτακτικοῦ ἄρθρου γέγονε.

Λείρως, ῥαδίως, δεινῶς, σφόδρα, τελείως, καλῶς.

Λείτειραι, ἱέρειαι.

Λειτῖνος, τέμματος εἶδος.

Λειτὸν, βλάσφημον.

Λειτουργεῖν, τὸ κατὰ νόμους διδόναι, χορηγεῖν, τὸ ἀφ᾽ ἑαυτοῦ.

Λειτουργῶ, διακονῶ, ὑπηρετῶ ὁμοίως καὶ ὑπηρετοῦμαι, καὶ ὑπουργῶ παρὰ τοῖς Ἀττικοῖς. τὰ αὐτὰ οὐδὲν διαφέρονται, καὶ δοτικῇ Ἀττικῶς συντασσόμενα. ἀπὸ μὲν οὖν τοῦ ὑπουργῶ, καὶ διακονῶ, καὶ ὑπηρετῶ, θυλυκὰ ὀνόματα παράγειν χρὴ, ὑπουργίαν, διακονίαν, καὶ ὑπηρεσίαν. ὡς καὶ Ἀριστείδης, λέγω συνελὼν ἅπασαν πρᾶξιν, καὶ προστασίαν, ἢ διακονίαν καὶ ὑπηρεσίαν καὶ ὑπουργίαν χρὴ καλεῖν, ὑπούργημα δὲ καὶ ὑπηρέτημα καὶ διακόνημα οὐδεῖ, εἰ μὴ ἐν Ποιηταῖς. ἀπὸ δὲ τοῦ λειτουργῶ καὶ λειτουργίαν, ἀλλὰ καὶ λειτούργημα, ὃ δὴ καὶ ἀττικώτερον δοκεῖ οὐδέτερον παρὰ τοῖς ῥήτορσιν εἶναι, καθ᾽ ὅσον ἐν ἐκείνοις τὰ θηλυκά.

Λειτουργικὴ, κυρίως μὲν ἡ ἱερατικὴ, καταχρηστικῶς δὲ ἡ δουλική.

Λειφαιμήσας, ἐπαλείψας τῷ αἵματι.

Δείφηστα, λείψανα.

Λειφαιμεῖ, αἱμοῤῥοεῖ.

* Λειφαίμους, τοὺς ἐνδεεῖς ἔχοντας αἷμα, κἂν μηδέπω σαφῶς ὦσιν ἄχροοι.

Λειχανὸς, φθόγγος τῆς κιθάρας, ἀπὸ τοῦ φθόγγου.

Λειχῆνες, ἡ σαρκὸς κάκωσις καὶ ἐπὶ τῶν πετρῶν φυκία τινα, καὶ τῶν χωρίων τὰ ψιλά.

Λειχὴν λειχῆνος, εἶδος ψώρας.

Λείχω αἰτιατικῇ. Ἀριστοφάνης, τὰ βλέφαρα περιέλειχον. λείχομαι, μύζω.

Λεῖψαν, κατέλιπον.

Λείψανα, περισσεύματα.

Λειψανδρία, λεῖψις ἀνδρῶν.

Λειψύδριον, χωρίον τι ὑπὲρ πάρνηθος, ὃ ἐτείχισεν Ἀλκμαίων.

Λειψυδρία, ἡ λεῖψις τοῦ ὕδατος.

Λείψανον, τὸ κατάλειμμα.

Λειώσας, διακόψας.

Λέκαιος, ὁ ἀποτεταγμένος.

Λεκαννίδες, κεράμειαι λοπάδες, ἐν αἷς ἀναθρυπτὰ ἔφερον τοῖς νεογάμοις.

Λεκάνιον, τὸ κοινὸν, παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ χαίνω. τὸ δὲ Ἀττικὸν λεκάνη.

Λεκάνιον, κρατῆρα πεπληρωμένον τῶν λαγώων κρεῶν, λέγει Ἀριστοφάνης. λεκάνια δὲ καὶ λεκανίδας, τὰ μείζονα τῶν ὀξυβάφων, καὶ ἐκπέταλα.

Λεκεντία κατὰ Ῥωμαίους, ἀμνηστία, βασιλικὴ χάρις.

Λεκιθόπωλις, ἀπὸ τοῦ χρυσίζοντος ὠοῦ, ὠόπωλις. λέκιθος δὲ κυρίως, τὸ ξανθὸν τοῦ ὠοῦ, διὰ τὸ τῷ λέπει κεῖσθαι. ἔστι δὲ καὶ εἶδος ὀσπρίου, ὃ καλεῖται πίσον, ὅτι ἐν Πίσῃ τῆς Ἤλιδος κατακόρως φύεται, διὰ τὸ ἐοικέναι τὴν χροιὰν λεκίθῳ ὠοῦ, ἀπὸ μέρους οὖν τὴν ὀσπριόπωλιν δηλοῖ.

Λέκιθον φακοῦ, τὸ ἔνδον τοῦ λέπους, παρὰ τῷ Ἱπποκράτει.

Λεκὶς, παροψὶς, λέκκη, χλαῖνα.

Λέκκον, δῆμος ἀντιοχίδος φυλῆς.

Λεκὸς, λύκιον, λυκάριον, τρυβλίον. οἱ δὲ λυκάριον.

Λεκροὶ, ὄζοι τῶν ἐλαφίων.

Λέκρανα, ἢ ὠλέκρανα τοὺς ἀγκῶνας.

Λέκρικα, σειραὶ, σχοινίον.

Λέκτρας, κοίτας. καὶ λέκτρον ἑνικῶς, ἡ κοίτη, κραββάτιον.

Λεκτὴ, χλαῖνα.

Λεκτοὶ, ἀριστεῖς.

Λέκτο, ἐκοιμήθη, ἐπελέξατο, ἠρίθμει.

Λέκτο ἀριθμὸν, ἀντὶ τοῦ ἠρίθμησε. τὸ δὲ λέκτο καὶ αὐτὸς, ἀντὶ ἀνάθη, ὡς εἰς ὕπνον.

Λεκτὸν, ὡς σεμνὸν, ἢ ἀκρωτήριον.

Λεκτρίτῃ, θρόνῳ ἀνάκλησιν ἔχοντι.

Λεκτόν ἐστι πρᾶγμα, διανοίᾳ παρυφιστάμενον, ἢ πρᾶγμα τὸ τῇ λεκτικῇ φαντασίᾳ συναπογεννώμενον.

Λέκτρον, ἐκ τοῦ λέγεσθαι παράγεται.

Λελάβησιν, ἀντὶ τοῦ λάβησι λέγουσιν Ἴωνες.

Λέλαθα, μέσος παρακείμενος, ἐκ τοῦ λήθω. παρὰ Πινδάρῳ μὲν γλυκὺ μέλλος ὀφείλων ἐπιλέλαθα, ἤγουν ἐπελαθόμην. παρ᾽ Ὁμήρῳ δὲ ἐν τῷ ο τῆς Ἰλιάδος, κατ᾽ ἐνέργειαν ἐνταῦθα ἐλέχθη, ἐν τῷ λελάθῃ ὀδυνάων. ἤγουν ἐπιλησθῆναι ποιήσῃ.

Λελάθῃ, λήθην ποιήσῃ, παύσῃ.

Λελάθοντο, Ἰωνικῶς ἀναδεδιπλασίασται ἐκ τοῦ λήθω. λήσω μέλλων, ἔλησα ἀόριστος, ὁ β ἔλαθον, ἐλαθόμην λελαθόμην, τὸ τρίτον τῶν πληθυντικῶν λελάθοντο, Ἰωνικῶς ἀναδεδιπλασίασται.

Λελάθω, ἐνεστὼς ἐκ τοῦ λέλαθα μέσου παρακειμένου. οἱ γὰρ Σικελοὶ τὸ τέλος τοῦ πρώτου τῶν παρακειμένων εἰς ω μετατιθέμενοι, ἐνεστῶτα ποιοῦσιν, ὡς πεποίηκα πεποιήκω.

Λέλακας, ἀντὶ τοῦ κέκραγας κεῖται, παρὰ τῷ Ἀριστοφάνει. λακεῖν ἐστὶ τὸ πονεῖν. καὶ ὁ Ποιητὴς λάκε δ᾽ ἀσπὶς ὑπ᾽ αὐτῆς. λάκε δ᾽ ὀστέα, καὶ δεινὸν λελακυῖα. τραγικὴ δὲ λέξις.

Λελακυῖα, ἐκ τοῦ λεληκυῖα, συστολῇ τοῦ η εἰς α. ἔχει γὰρ ὁριστικὸν παρακείμενον διὰ τοῦ η, λέληκε γάρ. δηλοῖ δὲ φωνὴν ἄναρθρον καθὰ καὶ τὸ λακεῖν. ὡς τὸ, ὀστέα λέλακεν, ἤτοι ποιὸν ἦχον ἐπετέλεσε θραυθέντα.

Λελακωμένη, βεβοημένη.

Λελάμπρωνται, τρίτον πρόσωπον τῶν ἑνικῶν ἐστιν. ὁμοφωνεῖ δὲ τῷ τρίτῳ τῶν πληθυντικῶν, διὰ τὸ φυσικῶς ἔχειν ἐγκείμενον τὸ ν ἀμετάβολον.

Λελανίσκη, τὸ ἐκ πετάλων τρυβλίον, ἡ λεκάνη.

Λελαπασμένον, εἰς τέψιν ἧκον.

Λελάσθαι, λαθέσθαι, λαβέσθαι.

Λελασμένος, ἀντὶ τοῦ λελησμένος Δωρικῶς, καὶ ἀφειμένος.

Λέλασται, ἀντὶ τοῦ λέλησται, Δωρικῶς.

Λελάχασι, τετεύχασι.

Λελαχήσωμεν, λαχεῖν ποιήσωμεν.

Λελάχνωσαι, δασὺς εἶ.

Λελάχωσι, θάψωσιν, ἢ ἀντὶ τοῦ σκάψωσι.

Λελέχωσιν. Ὅμηρος, ὄφρα πυρός με λελάχωσιν. ἤγουν ταφῆς ἀξιώσωσι. λάχος πυρὸς δόντες μοι. λαχεῖν τοὺς Τρῶας αὐτοπαθῶς ἐρρέθη. λαχεῖν δὲ αὐτοὺς τὸν δεῖνα τοῦ δέ τινος, ἀλλοπάθειαν ἔχει.

Λελάχωσιν, ἀντὶ τοῦ λάχωσι, κατ᾽ ἀναδίπλωσιν, ἥ τις ἰδία ἐστὶ τῶν Ἰώνων.

Λέλεγα, εἴρηκα.

Λελέγες, οἱ Κᾶρες εἰσίν. ἐπεὶ καὶ Λελέγων πόλις κατὰ τοὺς παλαιοὺς, ἡ τῆς Καρίας μητρόπολις. καλοῦνται δὲ οὕτω, ἀπὸ τοῦ λέγω τὸ συνάγω, ὡς ἐκ πολλῶν συλλεγέντες ἐθνῶν. ὁποῖόν τι καὶ περὶ τῶν Αἰολέων ἱστόρηται. ὁ δὲ Γεωγράφος, οὐκ αὐτὸ σχῆμα κάρας οἶδε τοὺς Λέλεγας. λέγων, ὅτι Λέλεγες ἕτεροι μὲν τῶν Καρῶν ὑπῆρξαν. ᾤκουν δὲ περὶ τοὺς καλουμένους ὑπὸ τοῦ Ποιητοῦ Κίλικας, ἐκπορθηθέντες δ᾽ ὑπὸ Ἀχιλλέως μετέστησαν εἰς Καρίαν, καὶ κατέχον τὰ περὶ Ἁλικαρνασσόν. ἑτέρωθι δὲ λῃστρικοὺς λέγει τοὺς Λέλεγας, ὥν τινές φασι πλάνητες καταμίχθησαν Κίλιξι, καὶ συνέμειναν δι᾽ ὁμοιοτροπίαν.

Λελεγκὶς, ἡ Λακεδαίμων πάλαι.

Λελεγίες, κόχλακες, ἢ κοχλάδεις τόποι. Περὶ τοῦ παθητικοῦ παρακειμένου. Λέλεγμαι, τέτυμμαι, ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου γίνεται, τροπῇ τοῦ α εἰς μαι, καὶ τοῦ δασέως εἰς τὸ ἑαυτοῦ μέσον. οἷον, τύπτω τύψω τέτυφα, τέτυβμαι ὤφειλεν εἶναι, ἀλλὰ διὰ τὴν ἀσυνταξίαν, τρέπεται τὸ β εἰς τὸ μ, γίνεται τέτυμμαι, λέγω λέξω λέλεχα λέλεγμαι. οὕτως ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συζυγίᾳ. ἐν τῇ τρίτῃ δὲ καὶ τετάρτῃ συζυγίᾳ, ὁμοίως γίνεται ἐκ τοῦ ἐνεργητικοῦ παρακειμένου, τροπῇ τῆς τελευταίας εἰς μαι, καὶ ἐπενθέσει τοῦ σ, οἷον πείθω πείσω πέπεικα πέπεισμαι, φράζω φράσω πέφρακα πέφρασμαι. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ὁ παρακείμενος τῶν βαρυτόνων ῥημάτων εἰς κα λήγων, προσλαμβάνει τὸ σ ἐν τῷ παθητικῷ παρακειμένῳ. χωρὶς τῶν ῥημάτων τῆς πέμπτης συζυγίας, καὶ χωρὶς ὀλίγων τῆς ἕκτης, ἅπερ οὐ προσλαμβάνουσι τὸ σ. ἀλλὰ σημείωσαι, ὅτι τὰ ἔχοντα τὸ ρ ἢ λ, τηροῦσιν αὐτὸ καὶ ἐν τῷ ἐνεργητικῷ καὶ παθητικῷ παρακειμένῳ, οἷον σπείρω σπερῶ ἔσπαρκα ἔσπαρμαι, ψάλλω ψαλῶ ἔψαλκα ἔψαλμαι. τὰ δὲ ἔχοντα τὸ μ, εἴτε μόνον, εἴτε μετὰ τοῦ ν, ὁμοίως τηροῦσιν αὐτὸ τὸ μ, ἐπενθέσει τοῦ η διὰ καλλιφωνίαν. ὥσπερ ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ. οἷον, νέμω νεμῶ νενέμηκα νενέμημαι, δέμω δεμῶ δεδέμηκα δεδέμημαι, καὶ συγκοπῇ δέδμηκα δέδμημαι, ὁμοίως βρέμω, τρέμω, τέμνω, κάμνω, γέμω, ποιοῦσι τὸν παρακείμενον. τὰ δὲ εἰς νω λέγοντα, ὥσπερ τὸ φαίνω, οὐ φυλάττουσι τὸ ν, ἀλλὰ τρέπουσιν αὐτὸ εἰς γ ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ διὰ τὸ ἑπόμενον κ. ἐν τῷ παθητικῷ δὲ τρέπεται εἰ μ. οἷον φαίνω πέφαγκα πέφαμμαι, καὶ τοῦτο ἐν τῷ πρώτῳ προσώπῳ, ἐν τῷ δευτέρῳ δὲ καὶ τρίτῳ φυλάττεται, οἷον πέφανσαι πέφανται. ἀλλὰ μεμίασμαι καὶ μεμόλυσμαι ἔθει ἀττικῷ, τρέπουσι τὸ γ εἰς τὸ σ.

Λελειμμένος, λειφθεὶς, νικηθείς.

Λελειουργημένα, κεκαλλωπισμένα.

Λέλεκται, εἴρηται. Περὶ τοῦ δευτέρου προσώπου.

Λέλεξαι, τὸ δεύτερον πρόσωπον τοῦ παθητικοῦ παρακειμένου, ἀεὶ ἔχει τὸ σ ἐπὶ πάντων τῶν ῥημάτων, ἢ δυνάμει, ἢ ἐνεργείᾳ. δυνάμει, οἷον τέτυψαι λέλεξαι. ἐνεργείᾳ, οἷον πέπεισαι πέφρασαι ἔσπαρσαι, ἤκουσαι, πεποίησαι βεβόησαι, κεχρύσωσαι, τέθεισαι, ἵστασαι, δέδοσαι.

Λελεγμένος, ἐκτὸς προθέσεως, μετὰ δὲ τῶν προθέσεων διειλεγμένος, καὶ κατειλεγμένος, καὶ οὐ διαλεγμένος.

Λελέξεται, λεχθήσεται, μετ᾽ ὀλίγον μέλλων.

Λελέχαται, ἀντὶ τοῦ λελεγμένοι εἰσὶ λέγουσιν οἱ Ἴωνες. οὗτοι ποιοῦσι τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ἐν τοῖς τρίτοις προσώποις τῶν ἑνικῶν, τοῖς ἔχουσι πρὸ τοῦ τ ψιλὸν τρέποντες τὸ ψιλὸν εἰς τὸ ἀντίστοιχον δασὺ, καὶ ποιοῦσι προσθήκην τοῦ α, νένιπται νενίφαται, λέλεκται λελέχαται. εἰ μέντοι εἴη τὸ κοινὸν διὰ τοῦ σαι βαρύτονον, τότε καὶ τὸ Ἰωνικὸν ἔχει πρὸ τοῦ αται τὸ χαρακτηριστικὸν τοῦ μέσου παρακειμένου, πέφρασαι πεφράδαται, ὅτι πέφραδα. εἰ μὲν ἀπὸ περισπωμένων φύσει μακρὰ παραλήγει, ταύτην συστέλλουσι πρὸ τοῦ αται εἰς τὴν ὀφειλομένην συστολὴν, πεποίηται πεποιέαται.

Λελεπρὶς, ἰχθὺς ποιὸς, ἡ καλουμένη φυκίς.

Λεληθότως, λανθανόντως.

Λελημμένοι, λεληϊμένοι, διανοούμενοι, ἐν τούτῳ τὸ λῆμα ἔχοντες. λεληματίσθαι γὰρ, τὸ τῇ διανοίᾳ πρὸς πᾶν ὁρμητικῶς ἔχειν.

Λεληΐσθαι, θέλειν, ὁρμᾶν, σπεύδειν.

Λεληϊσμένη, μεμερισμένη, προθυμουμένη.

Λεληΐται, τεθέρμανται.

Λέληκα, ἀπὸ τοῦ λαλῶ λαλήσω λελάληκα, καὶ συγκοπῇ τοῦ λα, λέληκα.

Λέληκας, βοᾷς. Ἡσίοδος, τί λέληκας, ἔχει νύ σε πολλὸν ἀμείνων, ἐκ τοῦ λήκω μέσος παρακείμενος.

Λεληκὼς, κεκραγὼς, φθεγγόμενος, κραυγάσας.

Λελῆσθαι, ἐπιλελῆσθαι.

Λελῆσθαι, εἰ μὲν ἀπὸ τοῦ λήθω τὸ λανθάνω ἐστὶν οὐκ ἔχει τὸ ι. εἰ δὲ ἀπὸ τοῦ ληΐζω ληΐσω λεληΐκα λεληΐμαι λεληΐσαι λεληΐσται, τὸ ἀπαρέμφατον λεληΐσθαι, καὶ κατὰ συναίρεσιν λελῆσθαι.

Λελησμένη, ἀπὸ τοῦ ληΐζω ληΐσω λεληΐκα, ὁ παθητικὸς παρακείμενος λεληΐσμαι, καὶ λέλησμαι, ἡ μετοχὴ ὁ λελησμένος.

Λέλησαι, ἐπελάθου.

Λελιημένος, καὶ τετιμημένος ποιητικὰ ἄμφω, οὐ μήν ποτε πεζά.

Λελιπαρημένος, ἐκ τοῦ λιπαρέω λιπαρῶ, τὸ παρακαλῶ.

Λελιημένος, προθυμούμενος, ἢ ἐπιθυμῶν. παρὰ τὸ λίαν τεθραμμένος. ἢ ἔστι ῥῆμα, λῶ τὸ θέλω, καὶ προθυμοῦμαι, ἐκ τούτου γίνεται λιλῶ, καὶ κατὰ παραγωγὴν λιλαίω. ἐξ οὗ καὶ τὸ λελίηται λελιημένος.

Λελικκὸς, ἰχθύς ποιός.

Λελικμημένη, κοσκινευθεῖσα, πτυασθεῖσα ἐπ' ἀνέμῳ.

Λέλιξε, διέσεισε.

Λέλογας, εἴρηκας.

Λέλογχα, ἀπὸ τοῦ λήχω, ὁ μέλλων λήξω, ὁ παρακείμενος λέληχα, πλεονασμῷ τοῦ ν λέλυγχα, καὶ τροπῇ τοῦ η εἰς ο λέλογχα, ἐκ τούτου λελογχὼς μετοχή. ἢ οὕτω λέλογχα, λέγω, ὁ μέλλων λέξω, ὁ παρακείμενος λέλογχα, ὁ μέσος λέλογα. λαμβάνομεν οὖν ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου τὸ χ, ἀπὸ δὲ τοῦ μέσου τὸ ο καὶ γ, καὶ γίνεται λέλογχα, οὕτω γίνεται πέπομφα καὶ κέκλοφα καὶ δέδοικα.

Λελόγχασιν, δηλοῖ τὸ ἔλαχον, μᾶλλον δὲ ἐξαιρέτως ἔχον, ἀπὸ τοῦ λέχω. ἐξ οὗ ὁ ἐπίλεκτος, καὶ τὸ ἐπιλέγδην ἐπίρρημα, καὶ οἱ λογάδες. οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ οἱ λίθοι. ἔστι δὲ χρόνου ἢ παρακειμένου καθ' ὁμοιότητα τοῦ κέκλοφα, καὶ κέκοφα. ἵνα ᾖ λέλοχα, καὶ πλεονασμῷ τοῦ ν διὰ εὐφωνίαν λέλογχα, ἢ μέσος παρακείμενος λέλογα προσλαβὼν καὶ τὸ χ, ἢ καὶ ἀμφότερα. μίγμα καὶ τοῦ τε λέλογα καὶ τοῦ λέλοχα. οὕτω δὲ μικτόν τι καὶ τὸ ἐνήνοχα, καὶ τὰ ἐξ αὐτοῦ σύνθετα. τὸ μὲν γὰρ μικρὸν ο, μέσου παρακειμένου ἴδιον, ἐνεργητικοῦ δὲ τὸ σύμφωνον τῆς παραληγούσης, καὶ οὕτω μὲν κοινότερον. Ἡρωδιανὸς δὲ ἐκ τοῦ λήχω τὸ λαγχάνω παράγων τὸ λέλοχα, τροπῇ τοῦ η εἰς ο μικρὸν, ὁμοίως τῷ πήθω πέπονθα. λέγει γὰρ πλεονάζειν ἐν τούτοις ν, ὥσπερ κέχανδα, καὶ οἶκον κεχανδότα.

Λέλογχεν, ἠξίωται.

Λελογχυῖα, λεχὼ γενομένη.

Λελογχὼς, τυχών.

Λελουμένος Ὠκεανοῖο, ἐλλείπεται προθέσεως. ἵνα ᾖ, λελουμένος ἐπὶ Ὠκεανοῦ. τὸ δέ γε κοινὸν καὶ σύνηθες, λελουμένος Ὠκεανῷ.

Λέλοχα, παρὰ τὸ λέγω, τὸ κληρῶ, ὁ μέλλων λέξω, ὁ παρακείμενος λέλεχα, καὶ τροπῇ τοῦ ε εἰς ο, λέλοχα Ἀττικῶς.

Λελοχὼς, τυχών.

* Λελυγισμένα, συνεστραμμένα, συγκεκαμμένα, ἀπὸ τῶν λύγων, ἅπερ ἐστὶν εὔκαμπτα φυτά.

Λελύθμωται, χωρίον ἀπερρωγός.

Λελυκωμένα πρόβατα, τὰ λυκόσπαστα.

Λελυμασμένος. λυμαίνω, μέλλων λυμανῶ, παρακείμενος ἐνεργητικὸς λελύμαγκα, παθητικὸς λελύμαμμαι, τροπῇ τοῦ μ εἰς σ λελύμασμαι. ἡ μετοχὴ λελυμασμένος.

Λελυμασμένος, βεβλαμμένος, παρὰ τὸ λύμη, λυμαίνω λελύμαγκα, λελύμαμμαι καὶ λελυμαμμένος, καὶ τροπῇ τοῦ μ εἰς σ λελυμασμένος.

Λέλυνται. λύω, λύσω, λέλυκα, λέλυμαι, τὸ τρίτον τῶν πληθυντικῶν λέλυνται.

Λέλυνται, ἀσθενῆ εἰσι.

Λέλυτο γυῖα ἑκάστου, παρ' Ὁμήρῳ ἐν τῷ σ', ταυτόν ἐστι τῷ λυθεῖεν. ὁριστικὸν μὲν οὖν, τεθὲν δὲ ἀντὶ τοῦ εὐκτικοῦ, ἴσως δὲ καὶ ἀπὸ τοῦ λελύοιτο συγκέκοπται.

Λελύφωκεν, ἐπέχηκεν.

Λελώβηται, βέβλαπται.

Λέμβαρχοι, λιπόδερμοι.

Λέμβος, τὸ ἐφόλκιον, παρὰ τὸ λίαν βαίνειν, ὅ ἐστι πορεύεσθαι διὰ σμικρότητα. καὶ λέμβαρχοι, οἱ ἐν ἐφολκίῳ πλέοντες.

Λέμβος, τὸ μικρὸν πλοιάριον.

Λέμμα, λέπισμα, φλοιός. * ἡ ἐπιδερματὶς Ἐρωτ. παρ' Ἱπποκρ.

Λεμὸς, λάρυγξ, φάρυγξ.

Λέμφοι, αἱ πεπηγμέναι μύξαι.

Λέμφος, ὁ μυξώδης καὶ μάταιος. δηλοῖ δὲ τὸν ἀνόητον καὶ ἀπόπληκτον.

Λέμφος οὐδετέρως, ἡ κόρυζα. καὶ ἀρρενικῶς λέμφος, ὁ κορυζώδης.

Λεηλαστῶν, λεηλατῶν, πορθῶν.

Λέντιον, περίζωμα ἱερατικόν.

Λέξαι, εἰπεῖν. ἐπιλέξαι, ἐπειπεῖν.

Λέξας τύχη τὰ βέλτιστα, σύνταξις Ἀττική, ἀντὶ τοῦ λέξῃ.

Λέξασθαι, κυρίως ἐπὶ ἀνθρώπων, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἄλλων· σημαίνει καὶ τὸ ἐπιλέξασθαι, ὅ ἐστι λεχθῆναι, κατεριθμηθῆναι. καὶ λέξασθαι, τὸ κοιμηθῆναι.

Λεξάσθων παρ' Ὁμήρῳ, δηλοῖ ἡ λέξις τὸ ἀριθμηθήτωσαν, ἢ ἐπιλεγήτωσαν. εἰπεῖν γὰρ κοιμηθήτωσαν, ἀνάρμοστον τοῖς νυκτοφυλακοῦσιν. οἱ παλαιοὶ προφέρουσι λέξεις τοιαύτας, τὴν σηπίαν ὀπισθοτίλαν. τὸν ἀλεκτρυόνα, ὀρτάλιχον. τὸν ἰατρὸν, σάκταν. βλίφυραν, τὴν γέφυραν. τῦκα, τὰ σῦκα. κωτιλάδας δὲ, τὰς χελιδόνας. τὴν ἔνθεσιν δ' ἄκολον, ἔστι δὲ ἐν τούτοις μὲν ἔνθεσις ἡ τροφή.

Λεξείδιον, εἰ μὲν ἀπὸ τῆς λέξεως Ἀττικῶς γέγονεν, διὰ τῆς ει διφθόγγου γράφεται. εἰ δὲ ἀπὸ τῆς λέξιος Ἰωνικῶς διὰ τοῦ ι.

Λέξις, μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. κυρίως δὲ λέξις, ἡ ἔχουσα τι λεκτικὸν ἐν αὐτῇ. τουτέστι σημαντικόν.

Λέξεο, προστακτικόν. γίνεται δὲ ἀπὸ τοῦ λέγω λέξω, οὗ ἀναδραμόντος εἰς ἐνεστῶτα γίνεται λέξομαι παθητικόν, οὗ ὁ παρατατικὸς ἐλεξόμην, τὸ δεύτερον ἐλέξου, καὶ Ἰωνικῶς ἐλέξεο. τὸ προστακτικὸν λέξεο, ἤγουν κοιμῶ.

Λεσβίδας, ἀπὸ Λέσβου τῆς νήσου.

Λέοντας ἰδεῖν. δυσμενῶν δηλοῖ μάχας. περὶ λέοντος, ἐν τῷ θριξότριχα. λεοντίδης, καὶ λεόντειον βρύχημα. λεοντῆ, ἡ δορὰ τοῦ λέοντος.

Λεόντειος δορὰ, τὸ δέρμα αὐτοῦ.

Λεοντίδιον, ὁ ἰσχυρὸς κατὰ τὸν λέοντα.

Λεόντιος πόρος, ὁ Ἀλφειὸς, καθότι ἐπὶ ταῖς πηγαῖς αὐτοῦ, λεόντων εἴδωλα ἀφίδρυται.

Λεοντοκόμος, ὁ τὸν λέοντα ἐπιμελούμενος, ἐκ τοῦ κομῶ, τὸ ἐπιμελοῦμαι, καὶ τοῦ λέων. τὸ δὲ λέων, παρὰ τὸ λάω τὸ θεωρῶ. ὀξυδερκέστατον γὰρ τὸ θηρίον, ὥς φησιν ὁ Μανεθὼν ἐν τῷ πρὸς Ἡρόδοτον.

Λεοντόκρανον, ἀμαζονικὸν ὅπλον.

Λεοντοφόνον, θηρίδιόν τι, πλανώμενον ἐν Συρίᾳ.

Λεοφόρους, καὶ ἀμαξιτοὺς, ἀμαξιλάτους καὶ ἱππηλάτους λέγομεν, τὰς εὐθυτέρας ὁδούς.

Λεπάδες, αἱ ταῖς πέτραις προσεχόμεναι κόγχαι, παρὰ τῷ Ἱπποκράτει.

Λέπαδνα, κυρίως πλατεῖς ἱμάντες, οἷς ἀναδεσμοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγὸν, παρὰ τὸ λέπω, τὸ λεπίζω, λέπανον, ὡς ξέω ξόανον, κόπτω κόπανον, καὶ πλεονασμῷ τοῦ δ λέπαδνον.

Λέπαδνα, συνήθως μὲν οἱ καθιέμενοι κατὰ τῶν ἱππείων τραχήλων στήθειοι ἱμάντες, ὥς φασιν οἱ παλαιοί, ἀπὸ τοῦ λέπω, τὸ λεπίζω. πλατεῖς γάρ εἰσι. τινὲς δὲ ὡς καὶ αὐτὸ προείρηται, τοὺς τῶν ἵππων μασχαλιστῆρας, οὕτω καλεῖσθαί φασιν. ἄλλως, λέπαδνα οἱ στηθιαῖοι λῶροι, ἢ οἱ μασχαλιστῆρες τῶν ἵππων.

Λέπανος, ἢ λέπαθος, λιπόδερμος. Ταραντῖνοι.

Λέπαργος, ὁ λευκὸς, ἢ ὁ λευκοποίκιλος, ἢ ὁ λευκόπλευρος.

Λεπὰς, κογχύλιον ἐφιζάνον ταῖς πέτραις, ὅτ' αὐταῖς προσπήγνυται, δυσαποσπάστως ἔχον. καὶ λεπὰς εἶδος ὀστρέου.

Λεπαστὴ, εἶδος ποτηρίου μείζονος, ἢ κύλιξ, ἢ ὁ πίθος.

Λέπαστρον, σκεῦός τι ἁλιευτικόν.

Λέπειν, ἐξ οὗ καὶ τὸ λέμμα, καὶ ἡ λεπὰς, καὶ ἡ λεπρὰς, καὶ ὁ λεπηρὸς, καὶ ἐν συγκοπῇ λεπρὸς, καὶ ἡ λεπίς. καὶ ὁ ἀλέπιστος, καθά τις εἶπεν ἰχθὺς, καὶ ἡ τὸν καυλὸν ἀπολελεμμένη θρίδαξ. λέπει, ἤγουν ἐκλεπίζει. εἰκὸς καὶ τὴν λοπάδα τοιαύτης εἶναι συστοιχίας, διὰ τὸ τῆς πλάσεως οὐ παχὺ, ἀλλὰ ὡς εἰπεῖν λεπτὸν, ὃ δὴ καὶ αὐτὸ ἐκ τοῦ λέπω γίνεται. ἔτι ἰστέον, καὶ ὅτι οὐδὲ τὸ λεπαδνὸν ἀπήλλακται τοιαύτης παραγωγῆς. καὶ ὅτι τὸ λέπειν, οὐ μόνον ἀντικείμενον ὡς ἐρρέθη ἔχει τὸ ο ἐν τῷ κινεῖσθαι, ἀλλὰ καὶ τὸ ε φυλάσσει. ὡς ἐν τῷ λέπας, ἡ ὀρεινὴ τραχύτης, καὶ τὸ λέπος. οἷον οὐδενὸς γὰρ πώποτ' ἀπέβαλεν ὀπωρίου λέπος. καὶ ὅτι ἐκ τοῦ ὁμηρικοῦ λοποῦ, ἐκτάσει καὶ λώπιον, τὸ ἱμάτιον. ὅθεν λωποδύτης, ὃς καὶ χλαινοθήρας. λοπὸς, κρομύου λέπυρον, παρὰ τὸ λέπω, καὶ τοῦτο οὐ χλωροῦ (παχὺς γὰρ ὁ τοιοῦτος) ἀλλὰ ἰσχαλέου. τοῦτο δέ φασι πρὸς τὸ εὔτονον ἐρρέθη τοῦ χιτῶνος, καὶ ἰσχνὸν, ὁ χλωρὸς λοπὸς, οὐκ εὐτόνως ἔχει.

Λεπεῖν, τύπτειν.

Λεπιδωτοὶ ἰχθύες, πᾶν τὸ τῶν ἰχθύων γένος, πλὴν τῶν σελαχίων.

Λεπίζω, ἐκδέρω. λεπιστὴς, ψεύστης, καὶ τὰ ὅμοια. Λεπὶς, καὶ λέπος καὶ λέπυρον, τὸ λέπισμα.

Λέπρα ἐστὶν, ἀπιστία ψυχῆς καθ' ἣν οὐ πληροφορεῖται ψηλαφῶσα τοὺς λόγους τοῦ θεοῦ. λέπρα, σπίλος ἐγγινόμενος τῷ σώματι, κατά τι πάθος σβεννυμένου τοῦ αἵματος, καὶ λευκαινομένου. οὐδὲν γὰρ ἕτερόν ἐστι σὰρξ, ἢ πεπηγὸς αἷμα.

Λεπρὰς τραχεῖα, ἡ λευκὴ, ἡ ὑπὸ τῶν κυμάτων λευκαινομένη, ἢ ὑψηλή. ἐπεὶ καὶ λέπας τοῦ ὄρους τὸ ἄκρον φασίν.

Λεπρεᾶται, οἱ πάλαι Καύκωνες.

Λέπρεον. Ἀριστοφάνης, τί οὐ τὸν ἠλεῖον λέπρεον, καθ' ὕφεσιν τοῦ ι, τὸ λέπρειον εἶπεν. ἔστι δὲ τῆς τριφυλλίας πλησίον πολὺ τῆς Πελοποννήσου. Δίδυμος δέ φησι λέπρεον ὀνομᾶσθαι, ἢ διὰ τὸ τὴν χώραν αὐτὸ λείπειν. διαφαίνονται γὰρ ἐκ τῆς ὀρεινῆς. πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας χρώματι καὶ διαλεύκους, ὁμοίας τοῖς τὰς ὄψεις λεπριῶσι, καὶ διὰ τοῦτο οὕτως ὠνομάσθαι ἐκ τοῦ πάθους. ἢ διὰ τὸ τοὺς πρώτως οἰκήσαντας τὴν πόλιν ταύτῃ τῇ νόσῳ κατεσχῆσθαι. τοὺς οὖν πλησιοχώρους λεπρεῶντας αὐτοὺς καλεῖν. τοὺς δὲ μὴ βουλομένους δοκεῖν ἄχθεσθαι τῷ ὀνόματι, λέπρεον τὴν πόλιν καλέσαι. οὐδετέρως γὰρ λέγεται ἡ πόλις, τὸ λέπρεον. ὁ δὲ Ἀριστοφάνης, ἀρσενικῶς εἶπε.

Λεπρωθέντας, μιανθέντας.

Λεπρὸς, παρὰ τὸ λέπος λεπαρὸς, καὶ συγκοπῇ λεπρός. καὶ λέπρα, σημαίνει τὸν ἐλεφαντιασμόν, παρὰ τὸ λέπος, ὃ σημαίνει τὸ δέρμα, γίνεται λέπηρα, καὶ συγκοπῇ λέπρα. εἰς γὰρ τὴν ἐπιφάνειαν τοῦ σώματος γίνεται ὁ ἐλεφαντιασμός. ἔστι δὲ ἐλεφαντιασμὸς, ὁ δίκην ἐλέφαντος τινὰ μὲν λευκὰ, τινὰ δὲ μελάντερα τοῦ σώματος ἔχων. ἢ παρὰ τὸ λέπος, καὶ τὸ ῥαίω, τὸ φθείρω, ἡ διεφθαρμένη σάρξ.

Λεπτὰ πλοῖα, τὰ μικρὰ, Θουκυδίδης ἐν τῇ ὀγδόῃ.

Λεπταλέον, ἰσχνὸν, λεπτόν. λεπτὰς καὶ παχείας, Λεῦκος ἐν νόμοις τὰς δραχμάς. λεπτὰς μὲν, τὰς ἐξωβόλους. παχείας δὲ, τὰς πλεῖον ἐχούσας.

Λεπτεῖν, πλέκειν, ἐπὶ τῶν πενιχρῶν τοῦτο λέγεται.

Λεπτὴ, ἀσθενής. λεπτὴ, ἰσχνή.

Λεπτὴ εἰσίθμη, τουτέστιν ἡ στενὴ δίοδος, παρὰ τὸ εἰσιέναι γινομένη, ἢ πλεονασμῷ τοῦ θ ταυτὸν σημαίνει ἀραιὴ εἴσοδος.

Λεπτήκεα, λεπτῆς ἐργασίας ποιηθέντα.

Λεπτ' ἠλάκατα, στρωφῶσα λεπτὰ μηρύματα, ἀπὸ τῆς ἠλακάτης νήθουσα. τὸ γὰρ ἔτυμόν ἐστιν, οἷον ἠλακάτα, ἀπὸ τοῦ ἐνειλίσσειν συνεχῶς. τινὲς δὲ ἠλάκατα, τὸν στήμονα.

Λεπτόγεα, κακὸς ἀγρὸς, ἢ λεπτὴ γῆ, καὶ μὴ λιπαρά. καὶ λεπτόγεως.

Λεπτόμυτις, ἡ δασεῖα ψυχή.

Λεπτόμιτον φάρος, τὸ λεπτὸν ἱμάτιον.

Λεπτομερῶς, μικρομερῶς.

Λεπτὸς, παρὰ τὸ λείπω λεπτὸς, ὁ λείπων καὶ ἐνδέων. ἢ λέπτω λεπτὸς, ὁ ἐξελεπτισμένος. ἢ παρὰ τὸ λέπος. τοῦτο παρὰ τὸ λέπω λεπίζω, ὁ μέλλων λέψω.

Λέπτυνιν παρὰ Λυκόφρονι, οἷον μὴ δεδοικυῖαν τὴν Περσεφόνην, παρόσον ἀπηθανατίσθη. ἢ ἄλλως λέπτυνιν, οἱ μὲν τὸν ᾅδην, οἱ δὲ τὴν Περσεφόνην φασὶν, ἤγουν τὴν λεπτύνουσαν τὰ σώματα τῶν ἀποθανόντων. ἢ λέπτυνιν τὴν ψυχὴν, παρὰ τὸ λεπτισμένην καὶ ἀερώδη οὖσαν· ἢ λέπτυνιν τὴν Περσεφόνην, ἤτοι τὴν κῆρα καὶ τὸν θάνατον.

Λεπυρὸν, ὀξυτόνως. σημαίνει δὲ ἢ τὸ τοῦ ᾠοῦ,

ἢ τὸ

Digitized by Google

ἢ τὸ τῆς ῥοιᾶς ἐπικάλυμμα.

Λεπυριῶσαι, ἐξαχυριᾶσαι.

Λεπτύνω, ἰσχναίνω.

Λεπτυσμός. λεπτυσμός ἐστιν, ὅταν τὸ βάθος τῆς φάλαγγος συναιρῆται, καὶ ἀντὶ τῶν πεντεκαίδεκα ἀνδρῶν ἐλάττους γίνωνται.

Λερναία, χολή.

Λέρνη, κρήνη τοῦ Ἄργους, ἱερὴ Ποσειδῶνος.

Λέρνη θεατῶν, ἀντὶ τοῦ κακῶν θέατρον.

Λερὸν, τὸ λεῖον.

Λεσβιάζειν, πρὸς ἀνδρὸς στόμα πτύειν. λεσβιάδας γὰρ, τὰς λαικαστρίας ἔλεγον.

Λεσβίδος, ἀπὸ Λέσβου τῆς νήσου.

Λεσβιεῖν, ἐπὶ αἰσχροῦ τάττεται. ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι, κατὰ τὸ ἱστορούμενον, ὅτι παρὰ Λεσβίοις τοῦτο πρῶτον ἡ γυνὴ ἔπαθε. καὶ παρὰ Θεοπόμπῳ ἐν Ὀδυσσεῖ, ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλούμενον, δι' ἡμετέρων στομάτων εἴπω σόφισμα, ὅ φασι παῖδες Λεσβίων εὑρεῖν.

Λέσβος, ἡ νῦν Μιτυλήνη ἀπὸ μέρους, ἤτοι ἀπὸ Λέσβου μιᾶς τῶν ἐν τῇ νήσῳ πόλεων, ὥσπερ καὶ ὕστερον ἡ αὐτὴ ὅλη νῆσος Μιτυλήνη καλεῖται. ὡσαύτως ἀπὸ ἑτέρας μιᾶς τινος τῶν ἐν αὐτῇ ποτε πέντε πόλεων. ἰστέον δὲ, ὅτι δοκεῖ οὐκ ἀγαθοὺς ἀνθρώπους ἡ Λέσβος ἐνεγκεῖν. ὅθεν καὶ λεσβιάσαι, τὸ αἰσχρῶς μολῦναι τὸ στόμα, κατὰ Αἴλιον Διονύσιον, ὃς καὶ τὸν τῆς παροιμίας λέσβιον ᾠδὸν Τέρπανδρόν φησιν, ἢ Εὐαινετίδην, ἢ Ἀριστοκλείδην. καὶ Ἀριστοτέλης δὲ ἐν τῇ Λακαιδαιμονίων πολιτείᾳ, τὸ μετὰ λέσβιον ᾠδὸν, τὸν Τέρπανδρόν φησι δηλοῦν. ἐκαλοῦντο δέ φασι καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν, πρῶτον μὲν ἀπόγονοι δι' αὐτοῦ, εἶτα εἴ τις ἄλλως παρείη λέσβιος, εἶθ' οὕτως οἱ λοιποὶ μετὰ λέσβιον ᾠδὸν τὸν ἁπλῶς λέσβιον. χρῆσις τοῦ λεσβιάζειν, καὶ παρὰ τῷ Κωμικῷ.

Λεσήϊα, τὰ πτερόεντα ἀσπιδίσκια, τὰ κοῦφα.

Λέσπιν, μεγάλην, ὑδρηλήν. Δίδυμος, τὴν καταδυομένην εἰς πέλαγος πέτραν, οἱ δὲ τὴν νοτεράν, ἄλλοι Λεσπίδα, βαθεῖαν, οἱ δὲ λόχμην.

Λέσχαι, τὰ κοινὰ δειπνητήρια, καὶ αἱ φλυαρολογίαι, καὶ αἱ πολυλογίαι, καὶ αἱ ὕβρεις. οἱ γὰρ καθεζόμενοι χάριν θέρμης ἐν ταῖς οἰκίαις, λόγους συνείρουσι.

Λεσχαῖος, ἐξηγητὴς, ὁμιλητής.

Λεσχέραι, αἱ σχολαὶ, ἀπὸ τοῦ λέξαι. ἐκεῖ γὰρ ὡμίλουν.

Λέσχη, ὁμιλία, καὶ ἡ φλυαρία, καὶ ὁ δημόσιος τόπος, ἐν ᾧ διέτριβον οἱ πτωχοὶ, καὶ διελέγοντο ἀλλήλοις. σημαίνει δὲ καὶ τὰ κοινὰ δειπνητήρια, καὶ τοὺς ἐν αὐτοῖς λόγους, καὶ τοὺς ἀλεεινοὺς τόπους λέσχας καλοῦσι.

Λέσχη, δημόσιον ἀθύρωτον οἴκημα. ἔνθα οἱ ἐπαῖται συναγόμενοι, ὡς λέχος τὸ αὐτὸ εἶχον, καὶ ἐλέσχαινον δὲ, ὅ ἐστιν ὡμίλουν τὰ δοκοῦντα δηλαδὴ αὐτοῖς. ἢ καὶ παρὰ τὸ λέχος λέγεται, καὶ παρ' αὐτοῦ τὸ λεσχαίνειν. ἀφ' οὗ καὶ τὸ ἀδολεσχεῖν, καὶ ὁ ἀδόλεσχος.

Λεσχηνεία, ὕβρις. καὶ λεσχηνίτης, ὁ ὑβριστής.

Λεσχηρεῖ, κόπτει, ὁμιλεῖ.

Λευγαλέον ἔπος, ἡ ἀπειλή.

Λευγαλέαις, λυγραῖς, χαλεπαῖς διατριβαῖς.

Λευγαλέοισιν, οἱ πρόχειροι εἰς λοιγὸν, ἢ εἰς τὸ λέγεσθαι, ὅ ἐστι κοιμᾶσθαι νήγρετοι. τινὲς δὲ, καὶ τοὺς φεύγειν ἑτοίμους ἐνόησαν.

Λευγαλέον, ὀλέθριον, χαλεπόν. παρὰ τὸ λοιγὸν, ὃ σημαίνει τὸν ὄλεθρον λοιγαλέον. καὶ μεταθέσει τῶν στοιχείων, λευγαλέον.

Λεύγη, μέτρον τι γάλακτος.

Λεύειν, λιθοβολεῖν. λεύσετε, ἐκ τοῦ λεύω λεύσω, τὸ λιθάσω. δι' ἑνὸς γράφεται σ, νόμῳ μέλλοντος. λεύσσω δὲ τὸ βλέπω, ἐν δυσὶ προφέρεται σσ.

Λευϊαθὰν, ἢ λευϊαθὰν, βασιλέα ὑδάτων ἑρμηνεύει.

Λευΐ, ὄνομα κύριον. οὗ ἡ φυλὴ ἱερατείας τάξιν ἐπλήρου. καὶ λευΐτης, ὁ ἱερεύς.

Λευΐτης, ὁ διάκονος, καὶ ὁ ἀπὸ φυλῆς τοῦ λευΐ. ἢ λευΐτης ἐστὶν, ὁ διακονῆσαι τὸν τοῦ θεοῦ λόγον πρὸς ὠφέλειαν ἄλλοις δυνάμενος.

Λευκάδα πέτραν, ὁ μῦθος πρὸς τῷ ἀδῃ πλάττει, ἢ κατὰ ἀντίφρασιν, μέλας γὰρ ἐκεῖ σκότος. ἢ καὶ διὰ τοὺς ἐσχάτους τῆς ἐκεῖ γῆς τόπους, οὓς εἰκὸς τὸν Ἥλιον ἔτι διαλευκαίνειν δυόμενον. ὅτι δὲ καθ' ἱστορίαν Λευκὰς τόπος ἠπειρωτικὸς, ἧς ἐγχώριοι Λευκάδιοι, δῆλόν ἐστι.

Λευκανία, ὁ λαιμὸς, ὁ στόμαχος, ὁ βρόγχος, ἢ τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος, παρὰ τὸ λευκὸν εἶναι τῇ φύσει, ἢ παρὰ τὸ χεύω, χευνία, καὶ λευκανία.

Λευκαὶ φρένες, μαινόμεναι, ἢ λαμπραὶ, ἢ ἀγαθαὶ, ἢ ἥμεροι.

Λευκαίνω, σπαλύνω. καὶ λευκή, ἀκτή.

Λευκάσπιδα, λευκῇ ἀσπίδι χρώμενον.

Λευκὰ ἄλφιτα, τὸ ἐκ κέγχρων, καὶ ἡ λευκὴ κέγχρος.

Λεύκεα, σχοῖνος.

Λευκερινεὸς, εἶδος συκῆς.

Λευκὴ, ἡ διαφανὴς καὶ λαμπρά. παρὰ τὸ λεύσσω, τὸ βλέπω.

Λευκὴ ἡμέρα, ἡ ἀγαθή.

Λεύκη, πάθος τι περὶ ὅλον τὸ σῶμα. * μεταβολή τίς ἐστι τοῦ χρωτὸς ἐπὶ τὸ λευκότερον, ὑπὸ γλίσχρου τε καὶ κολλώδους γινομένη φλέγματος.

Λεύκη, ἐστεφανωμένῳ τῷ μαράθῳ καὶ τῇ λεύκῃ. οἱ τὰ βακχικὰ τελούμενοι, τῇ λεύκῃ στέφονται, αὐτοχθόνιον μὲν εἶναι τὸ φυτὸν, χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. τὴν δὲ λεύκην πεφυκέναι φασὶ, πρὸς τῷ Ἀχέροντι, ὅθεν καὶ ἀχερωνίδα καλεῖσθαι παρ' Ὁμήρῳ. ἤριπε δ' ὡς ὅτε δρῦς ἤριπεν ἢ ἀχερωῒς, ἠὲ πίτυς βλωθρή.

Λευκὴ στάθμη, ἐκ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων.

Λευκὴ ψῆφος, παροιμία ἐπὶ τῶν εὐδαιμόνως ἢ εὐστόχως ζώντων.

Λευκὴ, νήσου ὄνομα ἐν Πόντῳ. λευκὴ δὲ λέγεται, διὰ τὸ ἐνδιαιτᾶσθαι ἐν αὐτῇ πλῆθος λευκῶν ὀρνέων.

Λευκὴν ῥίζαν, τὴν τοῦ δρακοντίου.

Λευκὴν ἡμέραν διαγαγεῖ λέγουσιν, ἤγουν ἡδεῖαν καὶ ἱλαράν.

Λεύκωμα, πίναξ γυψώδης εἰλημμένος, πρὸς γράμματα πολιτικὰ γραφόμενα ἐπιτήδειος.

Λευκίτης παρὰ Θεοκρίτῳ, ὁ λευκός.

Λευκίνη, πέζα.

Λευκοδίφθεροι, λευκοδέρματοι.

Λευκοθέα, ἡ Ἰνὼ, ὅτι ἐμμανὴς γενομένη διὰ τοῦ λευκοῦ πεδίου θέουσα, ὅ ἐστι περὶ τὴν Μεγαρίδα, ἑαυτὴν εἰς τὴν θάλασσαν ἔρριψε. Μυρσῖνος δὲ οὐ μόνον τὴν Λευκοθέαν Ἰνώ φησιν, ἀλλὰ καὶ τὰς Νηρηΐδας, λευκοθέας ὀνομάζει.

Λευκόκρας, λευκοκέφαλος.

Λευκὸν, τὸ μετέχον λευκότητος. λευκὸν δέ ἐστι, χρῶμα διακριτικὸν ὄψεως, ὅτι ἐξαπλοῖ τὴν ὄψιν. μέλαν δὲ χρῶμα, συγκριτικὸν ὄψεως, ὅτι συστέλλει τὴν ὄψιν.

Λευκὸν, τὸ λευκὸν ὁμώνυμον, ὥσπερ τὸ ἀγαθόν. τὸ μὲν ἐπὶ τοῦ σώματος λεγόμενον τὸ λευκὸν χρῶμα σημαίνει, ὅπερ ἐστὶν ὑπὸ τὴν ποιότητα. τὸ δὲ ἐπὶ τῆς φωνῆς, τὸ ποιεῖν. λευκὴ γὰρ λέγεται φωνὴ, ἡ εὐήκοος, εὐήκοος δέ ἐστιν, ἡ τὴν ἀκοὴν σφοδρῶς καὶ ταχέως ἀλλοιοῦσα. ὁμοίως καὶ τὸ ὀξὺ δεικνύοιτ' ἂν ὁμώνυμον.

Λευκονοεὺς, Δῆμος τῆς λεοντίδος.

Λευκόνιον, τόπος.

Λευκοπύγους, δειλοὺς, ὡς μελαμπύγους τοὺς ἀνδρείους, λευκοὺς λίνους ἔχοντες αὐχοῦσι μέγα.

Λεῦκος, ὄνομα κύριον. βαρύνεται πρὸς διαστολὴν τοῦ ἐπιθέτου.

Λευκὸς, ὁ διαφανὴς καὶ λαμπρὸς, καὶ εὐσυνόπτος, καὶ εὐειδής.

Λευκοστεφῆ, τὰ κεραυνόβλητα.

Λευκόσυρος, Βαβυλώνιος, λευκόχροος.

Λευκόχρως, λευκὸν σῶμα ἔχων, ἐν ἐπιγράμματι.

Λεῦκτρα, χωρίον Βοιώτιον περὶ Θεσπίαν.

Λευκώλενον Ἥρην φησὶν ὁ Ποιητὴς, ὁ κατ' ἀλληγορίαν τὸ διαφανὲς τοῦ ἀέρος αἰνίττεται. Ἰωνικὸν δὲ τὸ Ἥρη. ὡς γὰρ θήρα θήρη, οὕτω πήρα πήρη, καὶ Ἥρα Ἥρη. ὡς δὲ ἡ ὠλένη, ἀφ' ἧς ἡ λευκώλενος, ἐκ τοῦ ὀλῶ τὸ πράττω γίνεται, ἐπενθέσει τοῦ υ κατὰ Ἴωνας, ἵνα ἢ οὐλένη, καὶ Δωρικῶς ὠλένη, δῆλον.

Λευκώλενος, λευκοβραχίων, λευκόπηχυς.

Λεύκωμα, τοῖχος γύψῳ ἀληλιμμένος, πρὸς γραφὴν πολιτικῶν πραγμάτων ἐπιτήδειος.

Λεύκων ἀγνὼς, γεγονὼς ἐν τοῖς πελοποννησιακοῖς, τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα, ὄνος, ἀσκοφόροι, φράτορες.

Λευκωσία, μία τῶν σειρήνων. ἡ δὲ Παρθενόπη, πρώτη ἦν ἐν αὐταῖς. Παρθενόπην λέγουσι, διὰ τὸ ἔχειν παρθένου μικρᾶς φωνὴν, ἢ διὰ τὸ ὁμοιοῦν παρθένῳ μικρᾷ. Λευκωσία πάλιν, ἡ λευκωτέρα ἔχουσα λευκὰ ὠτία. ἢ λευκοῦ τινος θυγάτηρ, ἢ τὰ τοῦ λεύκου ὠτία ἔχουσα.

Λευμυρία, ἡ εὐτραπελία, ἡ κοινῶς διάχυσις, καὶ ἡ κατάπληξις, καὶ ἡ ἡδύτης, καὶ ἡ καθαρότης. ἀφ' οὗ λαμυρὸν ὕδωρ, τὸ καθαρόν. καὶ λαμυρὰ γραφὴ, ἡ σαφὴς καὶ καθαρά.

Λευρὰ, λεπτὰ, λεῖα.

Λεῦραι, εὑρίσκειν.

Λευρὰν, λείαν, εὐρεῖαν, καὶ πλατεῖαν.

Λευρᾶς σωφροσύνης, τελείας καὶ ἀπηνῆς κοίλης, ὁμαλῆς, μὴ τραχείας.

Λευρὸν, τὸ λεῖον καὶ πλατὺ, ἀπὸ τοῦ λίαν εὐρὺ, λελιθευμένον. λεύειν γὰρ, τὸ λίθους βάλλειν.

Λευρὸς, ὁμαλὸς, λεῖος, ἀπὸ τοῦ λίαν εὐρύς.

Λεύσσουσι, ποιητικόν. ὁρῶσι, καὶ βλέπουσι κοινόν. λεύσσω, τὸ βλέπω. λεύσσετε, ὁρᾶτε.

Λευστὰ, ὁρατὰ, λιθοβόλητα.

* Λευστὴρ, ὁ καταλευσθῆναι ἄξιος, τουτέστι λιθοβοληθῆναι.

Λευστῆρα, λιθοβόλον. Λυκόφρων, λευστῆρα οὕνεκα ῥίψε πέτρον.

Λευχηνεύω, φλυαρῶ.

Λεύχεται, κοιμᾶται.

Λευχείμων, λευκὰ ἱμάτια φορῶν.

Λευχηπατίας, δειλός. συμβαίνει γάρ τι περὶ τὸ ἧπαρ ἐπί τινων, ὃ δειλοὺς τοὺς ἀνθρώπους ποιεῖ, ἐπὶ τῶν τοιούτων οὖν εἴρηται.

Λεύω, λιθάζω.

Λεχαίης φυλάδα, τὴν πρὸς λέχη καὶ στιβάδας ἐπιτηδείαν, ὑπὸ τοῦ λέχους.

Λέχαιον, ὄνομα ὄρους. καὶ Λέχαιον, ἐπίνειον Κορινθίων, ὅπερ ἑάλω, ὑπὸ μνασίππου ἄρχοντος.

Λεχεποίης, καὶ βαθύσχοινος, Ἀσωπὸς ποταμὸς ἱστορεῖται παρὰ τῷ Ποιητῇ, ὡς πολλὴν ποίην τρέφων, ἤγουν βοτάνην, ἐν ᾗ λέξεταί τις, ἤγουν κατακοιμηθείη, διὰ τὸ δασύ.

Λεχέρνα, ὑπὸ Ἀργείων θυσία ἐπιτελουμένη τῇ Ἥρᾳ.

Λέχεσι, κοίταις.

Λεχέων στυγερῶν, μισητῶν γάμων.

Λέχη, ἐφ' οἷς τοὺς νεκροὺς κοσμοῦσι.

Λεχήρια, ἐνήλατα.

Λεχμάδα, ἤλεκτρον.

Λέχνη, τόπος.

Λέχος, δῆλον ὅτι τὴν κλίνην σημαίνει, ἣν οἱ ὕστερον καὶ ἀσκάντην καὶ σκίμποδα ἔλεγον, ὡς δηλοῖ ὁ γράψας οὕτως, ἀσκάντης Ἀττικῶς. συνηθέστερον δὲ ὁ σκίμπους, ὁ δὲ κράββατος παρ' οὐδενί. λέχος δὲ ἀσκητὸν, τὸ μὴ αὐτοσχέδιον καὶ εἰκαῖον, ἀλλὰ ἐπιμεμελημένον καὶ πολυδαίδαλον.

Λέχος, καὶ εὐνὴ, δῆλον ὡς διαφέρει. καὶ ἐστι λέχος μὲν ἡ κλίνη πυκινὴ οὖσα, ἵνα φέρειν ἔχῃ στερρῶς τὰ ἐπικείμενα. εὐνὴ δὲ, τὸ παρ' ἡμῖν στρῶμα. ἣν ἑρμηνεύων ὁ Ποιητὴς ἐπάγει, κώεα καὶ χλαίνας καὶ ῥήγεα πολλάκις.

Λέχος, ἡ κλίνη. εὐνὴ δὲ, ἡ ἐπ' αὐτὴν στρωμνή. κατὰ τὸ, ἐμβάλετ' εὐνῇ δέμνια καὶ χλαῖναν, ἅπερ ἐξηγεῖται τὴν εὐνήν. ἀλλὰ τὸ ἐνεύναιον ἀμφότερα δηλοῖ, τήν τε εὐνὴν δηλαδὴ, καὶ τὸ ὑποκείμενον λέχος.

Λέχος καὶ εὐνὴ καὶ δέμνια, ταυτὰ κατὰ πολυωνυμίαν εἰσί.

Λεχοῦντο, συνεκάθηντο.

Λέχος, μίξις, συνουσία, κοίτη, παρὰ τὸ λεχρίους ἡμᾶς ποιεῖν, ὅ ἐστι πλαγίους. ἢ παρὰ τὸ λέγω τὸ κοιμῶμαι, λέχος.

Λέχριον, πλάγιον, λοξόν.

Digitized by Google

Λέχρις, πλαγίως, ἢ ἐκ πλαγίου.

Λεχὼ, ἡ προσφάτως τετοκυῖα.

Λεχῶεν, ὑλῶδες, βοτανῶδες.

Λεχώϊα, τὰ ἐπὶ τῇ λοχείᾳ. ἀλλὰ κόραι τῷ παιδὶ λεχώϊα δῶρα φέρουσαι, θερμὰ κατὰ ψυχῆς δάκρυα χεῖτε τάφου.

Λεψυρὸς, ταχύς.

Λεὼς Ἀττικῶς, ὄχλος. λαὸς, κοινῶς.

Λεωβάτος, ὁδὸς, καὶ ἰχθὺς σελαχώδης.

Λεωκόρειον, τόπος.

Λεωκόρειον εἶναί φησι Φανόδημος ἐν τῇ ἐννάτῃ ἀτθίδος, ἐν μέσῳ τοῦ κεραμεικοῦ.

Λεωφόρος, ἡ τὸν λαὸν φέρουσα ὁδός.

Λεωκόρειον, ἱερὸν Ἀθήνησι τῶν Λεὼ θυγατέρων. ὁ δὲ Λεὼς υἱὸς Ὀρφέως.

Λεωκάνιστος, λεωλέθριος. ἢ λεωκόρητος, παντελῶς ἐξολοθρευόμενος.

Λεώλης, τελείως ἐξώλης.

Λεῷμι, θέλοιμι.

Λέων, τὸ θηρίον, καὶ παρθένος, καὶ ἰχθύς.

Λέων, παρὰ τὸ λάω, τὸ βλέπω. ἐξ οὗ ἀλαὸς, ὁ ἐστερημένος τοῦ βλέπειν. ὀξυδερκέστατον γὰρ τὸ ζῶον, ὥς φησιν ὁ Μανέθων ἐν τῷ πρὸς Ἡρόδοτον, ὅτι οὐδέποτε καθεύδει ὁ λέων. τοῦτο γὰρ ἀπίθανον. οὐκ ἐνδέχεται γὰρ ἐγρηγορέναι ἀεί. ἀλλ' ἴσως ὡς ἡ δορκὰς ἐν τῷ καθεύδειν, οὕτω καὶ ὁ λέων ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς. ἐπειδὴ τῶν ὀφθαλμῶν αὐτοῦ μεγάλων ὄντων, τὸ δέρμα τὸ ἐπικείμενον τοῖς ὀφθαλμοῖς, μικρότερόν ἐστι, καὶ οὐ δύναται σκεπάσαι αὐτούς.

Λεωπέτρα, λίθος λεῖος.

Λεωργὸν, κακοῦργον, πανοῦργον, ἀνδροφόνον.

Λέων, ὁ ἐν τῷ οὐρανῷ. ἔστι μὲν τῶν ἐπιφανῶν ἀστέρων. δοκεῖ δ' ὑπὸ Διὸς τιμηθῆναι τοῦτο τὸ ζώδιον, διὰ τὸ τῶν τετραπόδων ἡγεῖσθαι. τινὲς δέ φασιν, ὅτι Ἡρακλέους πρῶτος ἆθλος ἦν εἰς τὸ μνημονευθῆναι. φιλοδοξῶν γὰρ μόνον τοῦτον οὐχ ὅπλοις ἀνεῖλεν, ἀλλὰ συμπλακεὶς ἀπέπνιξε. λέγει δὲ περὶ αὐτοῦ καὶ Πίνδαρος ὁ ῥόδιος, ὅθεν καὶ τὴν δορὰν αὐτοῦ ἔχειν, ὡς ἔνδοξον ἔργον πεποιηκώς. οὗτός ἐστιν ὁ ἐν τῇ Νεμέᾳ ὑπ' αὐτοῦ φονευθείς. Ἱστορία. Λέων ἐν νεμέᾳ χώρᾳ τοῦ Ἄργους ἦν ἄτρωτος σιδήρῳ, καὶ βολαῖς παντοίαις. ὃν Ἡρακλῆς συνθλάσας ταῖς οἰκείαις χερσὶ, σκεπαστηρίῳ τῷ αὐτοῦ δέρματι ἐκέχρητο. φίλος δὲ ὢν τῷ Τελαμῶνι ἄπαιδι ὄντι, καὶ θύοντί ποτε τῷ Διῒ, διαπορευομένῳ, ἐκλήθη ὑπὸ τούτου εἰσελθεῖν εἰς τὴν αὐτοῦ οἰκίαν, καὶ θῦσαι τῷ ἰδίῳ πατρὶ Διΐ. οὕτως ἑστὼς μετὰ τῆς λεοντῆς, καὶ εὔξασθαι γενέσθαι παῖδα ἄῤῥενα αὐτῷ, Ἡρακλῆς δὲ λαβὼν χρυσέαν οἰνοδόχον φιάλην, ἔθυσε καὶ ηὔξατο οὕτως. καὶ μετὰ τὴν εὐχὴν διέπτη ἀετὸς, καί φησι Τελαμῶνι, ἔσται σοὶ παῖς, ὃν κάλεσον ἀετὸν, καὶ ἐκλήθη ἀετὸς κατὰ τὸ σημεῖον. καὶ γεννηθέντα τὸν Αἴαντα, ἀετὸν ἐκάλεσεν, εἶτα Αἴαντα. αὐξηθέντα δὲ, τῇ λεοντῇ τοῦτον Ἡρακλῆς διεσκέπασε, καὶ ταύτην αὐτῷ ἐχαρίσατο. ὑφ' ἧς σκεπόμενος ὡς ληροῦσιν ἄτρωτος ἦν. πλὴν μόνου τοῦ τόπου κατά τινας τοῦ σκεπομένου πρώην ὑπὸ τοῦ γωρυτοῦ, ὅτε ταύτην ἐφόρει ὁ Ἡρακλῆς. ἄλλοι δέ φασιν, ἡρακλείδην εἶναι τὸν Αἴαντα. ταῦτα δὲ λῆρος. οὕτω δὲ ἔχει τὸ ἀληθὲς, περιδέξιος ὢν στρατιώτης ὁ Αἴας, καὶ πολλοὺς πολέμους πολεμήσας, οὐδέποτε ἐτρώθη, τῷ ἄριστα τηρεῖν ἑαυτὸν καὶ σκέπεσθαι τῷ σάκει. ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν ἀνεῖλε τὸ ξίφος κατὰ πλευρᾶς ὤσας, ἢ τοῦ τραχήλου, εἰς μῦθον ἐτέθη ὅτι τούτους τοὺς τόπους εἶχε μόνους τρωτούς.

Λεοντηδὸν, φοβερῶς, δίκην λέοντος.

Λέοντος ἰδιότης, φασὶ τὸν λέοντα διωκόμενον μὴ φεύγειν προτροπάδην, ἀλλ' ἐντροπαλίζεσθαι, ὅ ἐστι συχνὰ μεταστρέφεσθαι. ὡς τὸ, ὀλίγον γόνυ γουνὸς ἀμείβειν. ὃ μεταλαβών τις ἐπὶ σκέλος χωρεῖν λέγει, οὐ φράσας κάλλιον τοῦ ποιητοῦ, ὡς τὸ γόνυ γουνὸς ὀλίγον ἀμείβειν πρὸς τὸ μακρὰ βιβάζων, ἀντιδιέστειλε.

Λέοντα παρ' Ὁμήρῳ, ἐν τῷ ρ τῆς Ἰλιάδος οἱ παλαιοὶ τὴν θήλειαν λέγεσθαί φασιν, οἷα τοῦ ποιητοῦ μὴ εἰδότος εἰπεῖν λέαιναν, ὡς καὶ περὶ Ἀρτέμιδος εἰπέ που τὸ, ἐπεί σε λέοντα γυναιξὶν ἔθηκε Ζεύς. ὅ ἐστι λέαιναν. οἱ δὲ τοῦτο λέγοντες, ἱστοροῦσι καὶ ὅτι λέων ἄῤῥην σκυμναγωγεῖ, διὸ Ζηνόδοτος οὐ παρεδέχετο τοὺς ἐνταῦθα στίχους, λέοντα μὲν αὐτὸς τὸν ἄῤῥενα νοῶν, λέγων δὲ σκυμναγωγεῖν τὸν ἄῤῥενα. καὶ μὴν Ἀντίμαχος, καὶ ἄλλοι σκυμναγωγεῖν ἱστοροῦσι ἄῤῥενα λέοντα.

Λέων κατὰ ταῦρον ἐδηδὼς, ἀντὶ τοῦ κατεδηδώς. Ἴωνες διαλύουσι τὰ συνθέτα ῥήματα, καὶ μεταξὺ τιθέασι τὰ ὀνόματα.

Λεωπετρία, λεῖος λίθος. δυνατὸν ἐστιν ἀπό τινος λεωπετρίας, ἀπόβασιν ποιησαμένους ἐκ θαλάττης εἰς τὴν χεῤῥόνησον, κατὰ νώτου γενέσθαι τῶν πολεμίων.

Λεωργός. Αἰσχύλος τόνδε πρὸς πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι περὶ Προμηθέως. τουτέστι, τὸν πάντολμον τὸν ὑπὲρ τοῦ λαοῦ ἀποθνήσκοντα, ἢ τὸν λαοὺς παρασχόντα.

Λεὼς, ἐὰν μὲν ὀξυνῆται, Ἀττικόν ἐστιν ἀπὸ τοῦ λαός. εἰ δὲ βαρύνεται, ἀποβολή ἐστι τοῦ τελέως. ὃν γὰρ τρόπον προέρχεται ἡ τοῦ ἐν τῷ τέτρομος, ἀφαιρεῖται ἐν τῷ τελεὼς τελέως.

Λεῶς, παντελῶς, παρὰ τῷ Ἱπποκράτει.

Λεωτροφίδου λεπτότερος, καὶ θυμάντιδος, ἐπὶ τῶν χλωρῶν καὶ λεπτῶν.

Λεωφόρος, ὁδὸς δημοσία.

ΤΟ' Λ'. ΜΕΤΑ' ΤΟΥ' Η'.

ΛΗ'βω, ἄχρηστον. ἀφ' οὗ τὸ λαβεῖν, καὶ τὰ λήμματα. ἔστι δὲ λῆμμα, ὃ λαμβάνει τὶς ἑτέρου διδόντος, ὅπερ ἀπὸ μὲν τοῦ διδόντος λέγεται δόσις. ἀπὸ δὲ τοῦ λαμβάνοντος, λῆμμα.

Λῆ, θέλει.

Λῃβόλε, λιθοβόλε, ἄξιε λιθασθῆναι.

Λῃβολία, δημοσία κοπρία.

* Ληγατάριος, εἶδος ἄρχοντος παρὰ Ῥωμαίοις. καὶ ληγάτον, τὸ ἐν διαθήκαις λιμπανόμενον παρὰ Ῥωμαίοις, καὶ ἐληγάτευσεν ἀπένειμε.

Ληγουρία, ληθαίη, ὄρος.

Λήγω καὶ παύω, τῆς γραφῆς, καὶ παύομαι γράφειν. καὶ ἔτι παύομαι γράφων, ἐξ οὗ λῆξις καὶ κατάληξις καὶ ἄληκτον.

Ληδάριον, θέριστρον. ἄλλως, εὐτελὲς ἱμάτιον θερινόν. Ἀριστοφάνης, καὶ ληδάριόν τι πρίασθαι.

Λήδας, ἡ εὐθεῖα, ἡ λήδα. τὰ δὲ εἰς δα ὀνόματα, καὶ εἰς ρα, καὶ εἰς θα, ὁμοίως καὶ εἰς α καθαρὸν, φυλάττει τὸ α ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς καὶ αἰτιατικῆς. τὰ μὲν εἰς δα, οἷον βασιλίνδα βασιλίνδας, ὀστρακίδα ὀστρακίδας, διελκυστίνδα, διελκυστίνδας, μυΐνδα μυΐνδας, χυτρίνδα χυτρίνδας, φρυγίνδα φρυγίνδας, κινητρίνδα κινητρίνδα, σχινοφιλίνδα σχινοφιλίνδας, ἀποδιδρακίνδα ἀποδιδρακίνδας. αὗται δὲ πᾶσαι παιδιῶν εἰσιν εἴδη. τὰ δὲ εἰς ρα, οἷον ἡμέρα ἡμέρας, Ἥρα Ἥρας. τὰ δὲ εἰς θα, οἷον Μάρθα Μάρθας, κισσαίθα κισσαίθας, κυμαίθα κυμαίθας. τὰ δὲ εἰς α καθαρὸν, οἷον μαῖα μαίας, φιλία φιλίας. ἡ δὲ αἰτία, ὅτι τὸ α μακρὸν ἔχουσι, καὶ κανὼν ἂν ὑγιῶς λέγοιτο, τῶν εἰς α βαρυτόνων θηλυκῶν, ὅσα μὲν καθαρὸν ἔχει τὸ α, ἢ μετὰ τοῦ ρ τηρεῖ αὐτὸ, καὶ ἐπὶ τῆς γενικῆς. ὅσα δὲ πρὸ τοῦ α ἄλλο σύμφωνον ἔχει, εἰ μὲν μακρὸν ἔχει τὸ α, φυλάττει πάλιν αὐτὸ ἐπὶ τῆς γενικῆς, εἰ δὲ βραχὺ τρέπει αὐτὸ εἰς η.

Ληδεῖν, κοπιᾶν, κεκμηκέναι.

Λήδιον ἔσθημα, τοῦ Ψελλοῦ. λεπρὸν, λεῖον, καὶ πλατὺ λέδιον ἔσθημα.

Λήδιον τὸ τριβώνιον, ἢ χλαμύδα παλαιάν.

Λήσαν, ὡμάλισαν.

Ληθαία, λαθραία.

Λήθαιον ὕδωρ, ἐπιληστικόν. καὶ λήθιον πόμα.

Ληθάνει, λανθάνειν ποιεῖ.

Λήθαργος, ἐπιλήσμων, ἐπίβουλος. καὶ κύων ὁ προσσαίνων μὲν, λάθρα δὲ δάκνων, καὶ τῶν ἵππων οἱ ἀβλεμεῖς καὶ νωθροὶ, καὶ πάθος τὶ σὺν πυρετῷ.

Λήθαργος, ἡ ληθώδης νόσος, καὶ ὁ ταύτην νοσῶν, ὃς καὶ ἐπιλήσμων λέγεται.

Λήθεται, ἐπιλανθάνεται.

Ληθεδόνος, ὄνομα πηγῆς. καὶ λήθεδον, λύσις.

Ληθεδανὸν φάρμακον, τὸ λήθην ἐμποιοῦν.

Λήθη, ἡ λάθησις. καὶ ληθεδὼν, ληθεδόνος.

Λήθη, μνήμης ἔξοδος καὶ ἐκβολὴ, καὶ ἀμέλεια.

Ληθηκὲς, εἰς λήθην ἄγον τὸ φάρμακον.

Λήθην κακῶν, λήθην ἐμποιούντων φαρμάκων, τῶν τετολμημένων σφίσι λήθην καταχέουσι, ἀντὶ τοῦ τολμητίαι γενόμενοι.

Ληθημόνεσσι, ληθάργοις.

Λήθης πεδίον, ἐπὶ τῶν ἀδυνάτων.

Λήθιος, λαθραῖος.

Λῆθον, βαλιόν.

Λήθομαι, ποιητικόν. τὸ ἐπιλανθάνομαι, κοινόν. καὶ λήθω ἕτερον, καὶ λανθάνω. καὶ μετὰ μετοχῆς, λανθάνω ποιῶν τόδε. καὶ ἔλαθον κλαπεὶς, ἀντὶ τοῦ λανθάνω ἐμαυτὸν, καὶ ἔλαθον ἐμαυτόν. τὰ γὰρ μεταβατικὰ ὅτε μὴ ἔχει ὅπου μεταβήσεται, εἰς τὸ ἐνεργοῦν πρόσωπον ἐξ ἀνάγκης ἀναστρέφει. οἷον μεθῆκα εἰς τὴν θάλασσαν ἐμαυτὸν δηλονότι.

Ληθότης, ἡ ἐπιλησμοσύνη.

Λήθω λανθάνω, μήθω μανθάνω, λείπω λιμπάνω, τὰ διὰ τοῦ ἄνω πλεονασμοῦ τοῦ ν συστέλλει τὴν ἄρχουσαν τῶν ῥημάτων, ἀφ' ὧν παράγονται.

Λήϊα, τὰ σιτοφόρα χωρία, καὶ συναιρέσει λῆα. ἐτυμολογεῖται παρὰ τὸ λα ἐπιτατικὸν. καὶ τὸ ἰέναι. λάϊον καὶ λήϊον, παρὰ τὸ λίαν ἰέναι, καὶ αὔξεσθαι τὸ σιτοφόρον πεδίον. ὅθεν καὶ λεία, ἡ τῶν τετραπόδων κτῆσις, ἡ νεμομένη τὰ λήϊα, ἤτοι τὰ χωράφια.

Ληϊάδας, γυναῖκας ἢ ληϊστὰς, αἰχμαλώτους, ἐλεύθερον ἦμαρ ἀπηύρας ἦγον. διοῦ δῆλον, ὡς δύναταί τις ληϊάδας γυναῖκας ἑρμηνεῦσαι τὰς δουλίδας, τοιαῦται γὰρ αἱ τὸ ἐλεύθερον ἦμαρ ἀφαιρεθεῖσαι.

Ληϊάνειρα, ἡ ποιοῦσα τοὺς ἄνδρας γυναικῶν ἐρᾶν.

Ληϊὰς, αἰχμάλωτος, δοριάλωτος.

Ληϊβότειρα σῦς, ἡ διαβοσκομένη ἀλλότριον λήϊον. ἣν ἐξοδόντιζον οἱ δεσπόται τοῦ χωρίου. ὁ νόμος δέ φασι παρὰ τοῖς Κυπρίοις. ἀπειλεῖ δὲ τοῦτο Ἶρος τῷ Ὀδυσσεῖ, ὡς ὅμοια δῆθεν παίοντι, καὶ τὸ αὐτοῦ θέρος καταβοσκομένῳ, τὴν εἰλαπίνην τῶν μνηστήρων.

Ληϊβοτείρης, ὄνομα ἐπίθετον. γέγονε παρὰ τὸ βοτὴρ βότειρα, ὡς πατὴρ πάτειρα, καὶ μήτηρ μήτειρα.

Ληϊβοτὴς, ὁ ἄγριος χοῖρος.

Ληΐδα, μερίδα, ἢ λείαν τὴν ψιλὴν κτῆσιν.

Ληΐδα καταχρηστικῶς, τὰ χρήματα. κυρίως δὲ, ἐκ λαφυραγωγίας.

Ληϊδάριον, θερίστριον, ἢ εὐτελὲς ἱμάτιον θερινόν.

Ληΐδιον, τριβώνιον εὐτελὲς, ἢ χλανίδιον παλαιόν.

Ληϊδιώδεις, τριβωνίδες.

Ληϊζόμενος, σφετεριζόμενος, αἰχμαλωτιζόμενος.

Ληΐζω, ληΐσω, ληϊστὴς καὶ ληστὴς γράφεται, καὶ ληϊστὴρ ποιητικῶς, καὶ ληϊστὼρ, ἐκ τούτου ληστρικός. ληΐζομαι δὲ, τὸ λαφυραγωγῶ. ληΐζεται, αἰχμαλωτίζεται. ληΐσατο, ἐκτήσατο. ληΐσατο, ἐλαφυραγώγησεν, αἰχμαλώτισε.

Ληΐη, προνομία, οἰκονομία, βοσκήματα.

Λήϊμνος, ἄβατος.

Λήϊνος ὕμνος, καὶ ληναῖος, Διόνυσος.

Λήϊοι, ἱεροὶ, καὶ ἄγγελοι.

Λήϊον, τὸ χωράφιον, τὸ λαίου δεόμενον. λαῖον δὲ, τὸ δρέπανον. λάϊον καὶ λάϊνος.

Λήϊον, εὐτελὲς, κολόβιον.

Λήϊον, ἀπὸ τοῦ γῆ ἐτυμολογοῦσιν οἱ παλαιοὶ, οἷον τραπέντος τοῦ γ εἰς λ. ὁποῖόν τι καὶ ἐν τῷ μόγις καὶ μόλις γίνεται. τὸ δ' αὐτὸ καὶ λάϊον Δωρικῶς λέγεται, διὸ συνελὼν ὁ Θεόκριτος, λαῖον αὐτὸ λέγει. ὥσπερ αὖθις τὰ λήϊα, λῆα ποιεῖ ἡ συναίρεσις. καθὰ καὶ τὸ ληΐδιον λήδιον, καὶ τὸν ληΐστην ληστὴν, καὶ τὸ λελῃΐσθαι λελῇσθαι, ἀπὸ τοῦ ληΐζω.

Ληῒς, κτῆσις ἡ ἐκ τῶν λαφύρων, καὶ βούλησις.

Ληῒς, ἡ λαφυραγωγία. λεία ἡ λαφυραγωγία, καὶ ἐν διαιρέσει ληΐς. τὸ δὲ λεία, οἶμαι παρὰ τὸ λαύω τὸ ἀπολαύω, λέγονται καὶ ληΐδες καὶ ληΐτιδες. αὐτὰρ ληϊάδεσσι δορυκτήταις περιαύων, ἠλαπίνησι μέλποντο ληΐτιδες.

Digitized by Google

Ληΐσατο, ἐκ λείας κατέλιπεν. Ὅμηρος, οὕς μοι ληΐσατο δῖος Ὀδυσσεύς.

Ληϊσθείς, λῃσθείς. καὶ λῃστικὸν τάγμα, καὶ πλῆθος. λῃστρικὸν δίκτυμα.

Ληϊσθέντος, κλαπέντος, ἀφαιρεθέντος.

Ληϊσθεὶς, γενόμενος.

Ληϊσμαδία, αἰχμάλωτος, λελῃσμένη.

Ληΐσατο, ἀπὸ λείας ἔλαβεν. ἐμερίσατο, ἐλαφυραγώγησε.

Ληϊστοί, κτητοί.

Ληϊστοί, ἀπὸ τοῦ ληΐζω γίνεται, ἢ μᾶλλον ἀπὸ τοῦ λείαν κατὰ διάλυσιν λειστοὶ, καὶ ψυχὴ λειστὴ διὰ τοῦ ε, ὅπερ ἐκπαθὲν εἰς η ἐποίησε τὸ ληϊστόν. ἔστι δὲ παθητικῆς μὲν διαθέσεως ὁ ληϊστάς. ληΐζεται μέν τις πολεμῶν. κτᾶται δὲ γενικώτερον, καὶ ἀνταλλαττόμενος, ἢ χάριν λαμβάνων, ἢ ἕρμαιον εὑρίσκων, ἢ ἄλλως ὁπωσοῦν. ἔστι δὲ λειστή, ἡ ἀκουσίως ἑλκομένη. ἑλετὴ δὲ, ἡ ἑκουσίως ἐπανερχομένη. καὶ ὡς ἂν εἴποι τὶς αἱρετὴ, διὰ τὸ κατὰ προαίρεσιν.

Ληϊστὸς, ὁ ἐκ λείας, ὅ ἐστι λαφύρων, κτητός.

Ληϊστοσάλπιγγες, οἱ Τυῤῥηνοί, ἐπειδὴ πρῶτοι σάλπιγγος εὑρεταὶ γεγόνασι.

Ληϊστόριον, πτύον, ἐφ' οὗ τὸ πῦρ φέρεται.

Ληΐτα, κτήματα.

Ληϊτικαὶ, ἡγεμονίαι, στρατιαὶ, λαφυραγωγίαι.

Ληΐτα, ἱέρεια. οἱ δὲ λιτή.

Ληΐτιδι. ἴσως μὲν ὅμοιόν ἐστι τῇ ἀγελείᾳ, εἴπερ ἐκείνη γίνεται παρὰ τὸ ἄγειν λείαν. ἧς μέρος καὶ τὰ λάφυρα, ἤτοι σκῦλα. ἐξ ὧν σκυλητεία παρὰ Λυκόφρονι Ἀθηνᾶ. εἰ δὲ ἀγελεία λέγεται Ἀθηνᾶ, παρὰ τὸ ἄγειν λεών, ἢ παρὰ τὸ ἄγειν ἐλαύνειν. διαφέρει οὕτως ἡ ληΐτις, καὶ ἡ ἀγέλεια.

Λήϊτο, ἐπέθετο.

Ληϊτοάρχαι, οἱ καθηγούμενοι τῶν θυσιῶν καὶ ἑστιάσεων, καὶ ἀρχαὶ, καὶ ἱερεῖς.

Λήϊτος, ἀριστέως ὄνομα. δηλοῦν τὸ ἐκ πολέμου κτώμενον, ἀπὸ τοῦ ληΐζω, τὸ λαφυραγωγῶ. ἐξ οὗ λελῃσμένος κατὰ συναίρεσιν, παρ' Εὐριπίδῃ, ὁ λεληϊσμένος. γράφεται δὲ διὰ μόνου τοῦ ἰῶτα δίχρονον κατὰ τὴν παραλήγουσαν, ὁ λήϊτος.

Ληϊτουργοὶ, ὑπουργοὶ, δημιουργοί.

Ληΐων, σιτοφόρων, ἀρούρων, χωρίων.

Ληκᾶν, τὸ πρὸς ᾠδὴν ὀρχεῖσθαι.

Ληκᾶσθαι, περαίνεσθαι, καὶ τὰ αὐτά.

Ληκεῖ, φοβεῖ, βοᾷ, κροτεῖ, φωνεῖ.

Ληκῆσαι, πατάξαι, ὑλακτῆσαι, καὶ λακοῦσιν ὁμοίως.

* Ληκτηρία νόσος. Λυκόφρων. ἡ ἀκατάληκτος καὶ ἀπερίοριστος.

Ληκτὸς, καταληκτός.

Ληκυΐζειν, τὸ μεῖζον βοᾶν, καὶ ψοφεῖν.

Ληκυθιάδες, ἐνώτια ποιά.

Ληκυθιστὴς, ὁ μικρόφωνος, οὕτω Σοφοκλῆς. καὶ ληκυθισμὸς, ὡς τὸ, περιενεγκεῖν ἀστρόφως, καὶ κεκλασμένως τὸν ληκυθισμὸν, τῶν αἰσχρῶν καὶ γελοίων ᾀσμάτων, τουτέστι τὴν ἀφωνίαν.

Λήκυθος, ἀγγεῖον ἐλαιοδόχον, παρὰ τὸ ἔλαιον κεύθειν, ἵνα ᾖ ἐλαιοκυθός τις. ὅτι ἡ λήκυθος καὶ ὄλπη λέγεται, φέρει χρῆσιν Ἀθηναίοις ἐξ Ἀχαιοῦ γλαφυροῦ φησι ποιητοῦ, λέγων καὶ ὅτι λήκυθοι καὶ ἐκ τιμίας ἐγένοντο ὕλης, οἷον στέφανοι. καὶ λήκυθον μύρου χρυσοῦν, ἢ ἀργυροῦν. καὶ ληκύθιον, θυλάκιον.

Λήκυθος, θηλυκῶς παρὰ Ἀριστοφάνει. ὃς τοῖς νεκροῖς ζωγραφεῖ τὰς ληκύθους, ὁ τῶν γραφέων ἄριστος. τοιαῦτα γάρ τινα ἐν τοῖς μνήμασιν ἔγραφε.

Ληκώμεθα, κινώμεθα. Ἀριστοφάνης, μάλισθ' ὅταν ἀπὸ τοῦ ληκώμεθα τὴν νύχθ' ὅλην.

Λήκω, τὸ μόριον.

Ληλάντιον, πεδίον τῆς Εὐβοίας, ὠνομασμένον ἀπὸ Ληλάντου βασιλέως.

Λῆμα, ἀξία, ἀνδρεία, φρόνημα, κέρδος, θράσος, τόλμημα.

Λημῶν χύτραισι, κολοκύνταις. παροιμία, χύτραις, λημῶ καὶ κολοκύνταις, ἐπὶ τῶν ἀμβλυωττόντων πάνυ.

Λημάτια, τὰ βουλεύματα.

Λῃματιᾷς, μεγαλοφρονεῖς, καὶ κομπάζεις. Ἀριστοφάνης, ἐπειδὴ λῃματιᾷς, καὶ ἀνδρεῖος εἶ, καὶ λῆμα τὸ φρόνημα.

Λημάτων, ὀρθρινῶν θελημάτων, ταχινῶν.

Λήμβων, ἐν σκαφίδι, ἢ ἐν πλοιαρίῳ.

Λήμη, λευκὸν ὑγρὸν τὸ ἐν τοῖς ὀφθαλμοῖς συναγόμενον, καὶ ἀμβλυώττειν παρασκευάζον. παρὰ τὸ λεύω, τὸ βλέπω, καὶ τὸ μή. Ἀριστοφάνης ἐν Πλούτῳ, ἀλλ' ὦ χρονικαῖς γνώμαις ὄντως λημῶντε τὰς φρένας ἄμφω.

Λήμη ἐστὶ, τὸ πεπηγὸς δάκρυον, ὅπερ καθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. τὸ τῶν γερόντων δάκρυον παχὺ ὂν, λήμας μεγάλας ποιεῖ.

Λήμμασι, προβλήμμασι, ἢ πορίσμασι, καὶ τόποις καὶ ἀφορμὰς τῶν ἐπιχειρημάτων, τῶν εἰς ἑτέρων κατασκευήν.

Λημμάτιόν ἐστιν, ὅπερ εἴληπται ὡς ὁμολογούμενον πρὸς κατασκευήν τινος.

Λῆμμα, τὸ δῶρον, ἢ καὶ δύο μμ. καὶ γίνεται ἀπὸ τοῦ λήψω τὸ λαμβάνω. λῆμμα δὲ ἡ φρόνησις, ἢ καὶ ἐν μ.

Λημμᾷς, καὶ ἀμβλυώττεις πρὸς τὰ γιγνόμενα. καὶ λημμᾷς κολοκύνταις, οὐκ οὖν λήμας ἔχεις ὁμοίας κολοκύνταις. λημῶντε τὰς φρένας, ἤγουν τυφλώττοντες, καὶ βεβλαμμένοι τὰς φρένας.

Λήμνια, φοβερὰ, μοχθηρά.

Λημνία δίκη, ἡ κακίστη.

Λήμνια κακά, ἐπὶ τοῖς ἐκεῖ παροιμιάζεται. οἱ κοιμώμενοι ἀνῃρέθησαν ὑπὸ γυναικῶν, οἴνου ὡς εἰκὸς προεμφορηθέντες. καὶ οἱ Ἀχαιοὶ δὲ ἐν Λήμνῳ πίνοντες κρατῆρας ἐπιστεφέας οἴνου, κατεκαυχῶντο Τρώων. συμπατεροῦται γοῦν, οἷον οἶνος καὶ ὕπνος. ἄλλοι δέ φασι διὰ Φιλοκτήτην ἐκεῖ διατρίβειν τὸν ὕπνον, ὡς ἂν παύῃ τὰς ὀδύνας, κατακλίνων τὸν ἥρωα. καλεῖ δὲ αὐτὸν Ὅμηρος, κασίγνητον θανάτου.

Λήμνιον πῦρ, ἐστὶν ἀναφορὰ ἐν Λήμνῳ πυρὸς χαλεπότης.

Λημνίσκοις, τὰς στενὰς Συρακούσιοι ταινίας. καὶ τοὺς μακροὺς μοτούς.

Λῆμνον, καὶ τὴν Ἴμβρον, ἀπέχειν φασὶν ἀλλήλων σταδίους ἑκατὸν εἴκοσι. περὶ δὲ Ἴμβρου, ὅτι νῆσος Θρακική, ἔχουσα καὶ πόλιν ὁμώνυμον, ὁμοίως τῇ Λήμνῳ. καὶ ὅτι Καβείρων ἱερὰ ἦν καὶ Ἑρμοῦ, ὃν Ἴμβρασον οἱ Κᾶρες ἐκάλουν, ἱστοροῦσιν οἱ παλαιοί.

Λῆμνος δίπολις. ἔχει γὰρ Ἡφαιστίαν, καὶ Μυρίνην. ἐκλήθη δὲ ἀπὸ Μυρίνης τῆς Θόαντος γυναικὸς, Κρηθέως δὲ θυγατρός.

Λῆμνος, ὄνομα νήσου, τῆς Θράκης πλησίον, ἱερὰ Ἡφαίστου.

Λημυκαὶ, γένος τι ἐπισήμων ἐν Μεταποντίῳ.

Λημῶ, τὸ ἀμβλυώττω. λήμη γὰρ λέγεται τὸ συνιστάμενον ἐν τῷ ὀφθαλμῷ λευκὸν ὑγρὸν, καὶ ἀμβλυώττειν παρασκευάζον, παρὰ τὸ λάω τὸ βλέπω.

Λήναια λεγόμενα, ἔνθα τὰ λήναια, καὶ ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ. λήναιον γάρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ Διονύσου, διὰ τὸ τὰς ληνοὺς ἐνταῦθα γεγονέναι, ἢ διὰ τὸ πρῶτον τῷ τόπῳ λήναιον τεθῆναι.

Ληναὶ, βάκχαι. Ἀρκάδες.

Ληνὸ, λίαν.

Ληναῖος, ἐπίθετον τοῦ Διονύσου.

Λήναιον, ἑορτὴ Διονυσιακή.

Ληναΐτης, χορὸς ὁ τῶν Ληναίων.

Ληναΐτην. παρὰ τῷ Ἀριστοφάνει, ἑορτὴ παρὰ τοῖς Ἀθηναίοις τὰ λήναια. ἔστι δὲ εἰς Διόνυσον, ἐν ᾗ μέχρι νῦν ἀγωνίζονται ποιηταὶ, συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν. ὅπερ ὁ Δημοσθένης εἶπεν ἐξ ἁμάξης. ἐπὶ ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι, λέγουσι καὶ ᾄδουσι τὰ ποιήματα.

Ληναιὼν μὴν, ὁ Γαμηλιὼν. ἐκλήθη δὲ οὕτως, ἐπειδὴ τῷ Διονύσῳ τῷ τῶν ληνῶν ἐπιστάτῃ ἐτέλουν ἑορτὴν τῷ μηνὶ τούτῳ. κατὰ δέ τινας ληναιὼν, διὰ τὸ τοὺς οἴνους ἐν αὐτῷ κομίζειν. οὗτος δὲ ὁ μὴν, ἀρχὴ μηνῶν ἐστιν. οἱ δὲ ληναιῶνά φασιν, ἐπειδὴ Διονύσου ἐπαίνουν ἑορτὴν ἐν τῷ μηνὶ τούτῳ, ἣν ἀμβροσίαν ἐκάλουν.

Ληνεῖ, ἐρίῳ.

Ληνεύουσι, βακχεύουσι.

Λήνεσι βεβρίθει, τοῖς ἐρίοις. ὅθεν καὶ λανάριοι καλοῦνται, οἱ κτενισταί.

Ληνὶς ληνίδος, ἡ βάκχη παρὰ τὴν ληνόν. καὶ ληνὶς, ἡ μέθη.

Ληνοβάται, οἱ ἱερεῖς.

Ληνοὶ, σοροὶ, πύελοι, καὶ τῶν ἁρματίων δίφρων αἱ κοιλότητες.

Ληνὸς, ὅπου αἱ σταφυλαὶ πατοῦνται. * καὶ ληνὸς τὸ κοῖλον τοῦ ἁρματίου δίφρου, εἰς ὃ τὰς μάστιγας οἱ ἡνίοχοι ἀπετίθεντο.

Ληνὸς, παρὰ τὸ λεαίνω τὸ λεπτύνω, λεανῶ, λεανός, καὶ ληνός.

Ληνὸς καὶ τὸ προλήνιον, αἱ ἐκκλησίαι.

Λήξαιμι χεῖρας φόνου, ἐντελῶς εἴρηται. τουτέστι παύσω φόνοιο, παρ' Ὁμήρῳ ἐν χ' τῆς Ὀδυσσείας.

Λῆξαν, ἐπαύσαντο.

Λήξεως, καταπαύσεως, κληρονομίας.

Ληξιαρχικὸν, γραμματεῖον εἰς ὃ ἐνεγράφοντο οἱ τελειωθέντες τῶν παίδων, οἷς ἐξῆν τὰ πατρῷα οἰκονομεῖν, παρὸ καὶ τοὔνομα γέγονε, διὰ τὸ τῶν λήξεων ἄρχειν. λήξεις δέ εἰσιν, οἵ τε κλῆροι, καὶ αἱ οὐσίαι.

Λῆξις, τὸ ἔγκλημα. καθ' ὃν λόγον φαμὲν, καὶ λαχεῖν δίκην.

Λῆξις, παῦσις, ἢ μερίς. κληρονομία. ὡς τὸ, καὶ θάπτει τὸν νεκρὸν, τοῖς χθονίοις θεοῖς ἀποδιδοὺς τῆς ἐκείνων λήξεως ἤδη. καὶ αὖθις, παῦσίς ἐστι κληρονομία. λῆξις δὲ μερίς. ἡ δὲ ἀποκλήρωσις, μέρος εἰς ἀμείνονα λῆξιν.

Λῆον, ἔθνη, καὶ ὄχλον.

Ληπτὴς, ὁ λαμβάνων.

Ληπτὸς, κρατητός.

Ληπτέος, ἐπὶ τῶν μὴ ἁλώτων ἐλέγετο.

Ληρεῖν, τοῦ φλυαρεῖν διαφέρει. ληρεῖν μὲν γὰρ λέγεται, ὅταν τὶς ὑπὸ μέθης λήρους λέγῃ, καί τινα ῥήματα ἀνάρμοστα. ὡς τὸ κοινῶς λεγόμενον παραλαλεῖν, ὅπερ λέγεται παραληρεῖν. φλυαρεῖν δὲ, τὸ περιττὰ καὶ μάταια φράζειν, ἤγουν τὸ ἀδολεσχεῖν.

Ληρεῖς ἔχων, καὶ παίζεις ἔχων, Ἀττικῶν ἐστι. πλεονάζει δὲ τὸ ἔχων.

Ληροὶ, τὰ περὶ τοῖς γυναικείοις χιτῶσι κεχρυσωμένα.

Ληροπεπώδη, ληρώδη.

Λῆρον ληρεῖς, ὕβριν ὑβρίζεις, φυγὴν φεύγεις, ἀττικὴ φράσις. καὶ μανίαν μαίνῃ, καὶ ζῶ ζωὴν, καὶ δουλεύω δουλείαν. ταῦτα πάντα ἀττικῶς, ἐφ' ὧν τὸ πρᾶγμα ἐπάγεται, τὸ ἀπὸ τοῦ πράγματος ῥῆμα, ὡς τὸ ὕβριν ὑβρίζεις, καὶ φυγὴν φεύγεις.

Λῆρος, ὁ διαῤῥέων καὶ τὴν μνήμην λανθάνων. ἢ φλύαρος, μάταιος, ματαιόφημος. ὡς τὸ, πολλὰ γάρ μοι ταῦτα καὶ ἐκ μειρακίων ἐδόκει, λῆροί τε καὶ φλήναφοι. καὶ αὖθις, ὁ νοῦς ἐν τῷ γήρᾳ λήροις καταληφθεὶς, οὐκ αὐτὸς εἰς ἑαυτὸν τὸ πάθος ἀνεδέξατο, ἵνα καὶ φθαρτὸς, καὶ θνητὸς λογισθῇ.

Ληρώδεις σανίδες, ἐν αἷς οἱ νόμοι γράφονται.

Ληρῳδῶ, τυδῶ, ἀοιδῶ, τὰ εἰς δω ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν, εἰς φωνῆεν λήγουσαν, περισπᾶται. ἐξέφυγε τοῦτον τὸν κανόνα τὸ ἀείδω, καὶ ἐρείδω.

Λῇς, ἀντὶ τοῦ ἐθέλεις λέγουσι Δωριεῖς. λῶ γὰρ τὸ θέλω. ὅθεν καὶ λῷον, τὸ ἐπωφελὲς, ὃ πάντες θέλομεν.

Λήσεις, ἀγνοήσεις. λήσεις σεαυτὸν, τὰς πόλεις ἐκκοκίσας, τέλεον ἀπολέσας.

Ληθέων, στρεφόμενος.

Λῆσις, βούλησις, αἵρεσις.

Λησμένη, διαλελησμένη.

Λήσομαι, ἐπιλάθομαι, λήθην ἕξω.

Λῆσος, ὁ ἐν τῇ ῥάχει τοῦ σκορπίου λαμπρὸς ἀστήρ.

Λησταὶ, οἱ πειραταί. καὶ Ὅμηρος, οἷά τε ληϊστῆρες.

Λῄσταρχος, ἀρχηγὸς λῃστῶν. λῃστὴς, ἀπὸ τοῦ ληΐζω τὸ πραιδεύω, γέγονε ληϊστὴς, καὶ κατὰ συναίρεσιν λῃστής.

Λῆστις, ἡ λήθη.

Λῃστρικὸν χρῆμα, ἢ κτῆμα. ὡς τὸ, κοσόβων τὸ λῃστρικὸν, τὴν Ἑλλάδα ἐπέδραμον. ὁ δὲ πάντων

Digitized by Google

των τῶν μέσων ἀνδρῶν ἀσθενέστατος ὢν, ληιστικὸν ἐν τῇ Ἀπουλίᾳ ἑξακοσίων ἀνδρῶν συνέστησε.

Λῆται, ἄνεμοι.

Λητὼ, ὄνομα πόλεως καὶ ἱέρεια.

Λητῆρες, ἱεροὶ στεφανοφόροι, ἀθάμαντες.

Λήτειραι, ἱέρειαι, τῶν σεμνῶν θεῶν.

Λῆτο, ἐπελάθετο.

Λητῷος, κύριον.

Λητοΐδης, Ἀπόλλων, ὡς ἀπὸ τῆς Λητοῦς.

Λῃτὸν, δημόσιον.

Λῆτος, λιμὴν, ἢ θάλασσα.

Λητοῦν, καὶ σαπφοῦν, ἀντὶ τοῦ Λητὼ, καὶ Σαπφὼ Ἴωνες λέγουσι. τὰ γὰρ εἰς ω λήγοντα θηλυκὰ, ἐπὶ αἰτιατικῆς εἰς ουν περατοῦσιν Ἴωνες.

Ληιτουργεῖν, διὰ τοῦ η, καὶ λιτουργεῖν διὰ τοῦ ι, διαφέρει. ληιτουργεῖν τὸ τῷ δήμῳ ὑπηρετεῖν. λήιτον γὰρ φασὶ τὸ δημόσιον. τὸ δὲ λιτουργεῖν, κακὰ λέγειν.

Λητὼ, ἡ μήτηρ τοῦ Ἀπόλλωνος, παρὰ τὸ λήθω τὸ λανθάνω. ἐπιληστικὴ γὰρ κακῶν ἡ θεὸς, ὡς Ἕλληνες μυθολογοῦσι.

Λητὼ ὅτι νὺξ, ζήτει τὸν Ἀπόλλω.

Λητὼ, οὐ μόνον εἰς λήθην ἀλληγορεῖται, ἀλλὰ καὶ εἰς νύκτα, τὴν τῷ ἀέρι Διὶ προσήκουσαν, ὅτι μὴ φωτὶ καταλάμπεται, οὐκ ἂν εἴη τις τῶν περὶ λόγους ἀγνοῶν.

Ληφθῆναι, κρατηθῆναι.

Λῆχμον, λῆξιν.

Ληχοῖον, κανοῦν, οὐλοχοῖον.

Λήψομαι, ἐπιληφθήσομαι.

ΤΟ' Λ'. ΜΕΤΑ' ΤΟΥ' Ι'.

ΛΙάζει, ῥίπτει, ταράσσει, ἢ λίαν σπουδάζει.

Λιάζετο, ἠπλοῦτο.

Λιαζόμενοι, σκιρτῶντες.

Λιάζω, τὸ ἐκκλίνω: καὶ λιασθεὶς, τὸ θέμα, λιάζω. τοῦτο παρὰ τὸ ἀλῶ τὸ πλανῶ, καὶ ἐκκλίνω. ἀλῶ οὖν, ἀλίζω. καὶ μεταθέσει τοῦ λ, λιάζω.

Λιάζω, ποιητικῶς τὸ ἐκφεύγω.

Λιάμαθοι, οἱ αἰπόλοι, ἀπὸ τοῦ εἶναι λίαν ἀμαθεῖς.

Λιαμάθῳ, αἰγιαλῷ, λίαν ἀμαθώδει.

Λίαν, σφόδρα, πολὺ, πάνυ, ἄγαν.

Λίαν ἔλαβον, ἰσχυρῶς ἔλαβον, ἢ πραΐδαν, διὰ διφθόγγου.

Λίαν, χάρτα λέγουσιν Ἴωνες.

Λίαν, τόσον διπλῆ ἐπίτασις, ὅμοιον λίαν, πάνυ, καὶ τοῖς τοιούτοις.

Λίαν σοφὸς, πάνυ τίμιος. καὶ λίαν σοφῶς, λίαν πονεῖ, λίαν ἀγανακτεῖ, τὰ ἐπιτατικὰ ἐπιρρήματα τοῖς ἐπιθέτοις τῶν ὀνομάτων συντασσόμενα, ὑπερθετικῶν χρείαν ἀναπληροῦνται.

Λίαν δύσθυμος, ἤγουν λελυπημένος. τὸ ἐναντίον, τὸ εὔθυμος.

Λιανῶ, λείαν καὶ ὁμαλὴν ποιήσω.

Λίαξ, παῖς ἀρχιγένειος.

Λιαροῖσι, παρὰ τῷ Ἀπολλωνίῳ, λαμπροῖς, ἢ καθαροῖς. Ὅμηρος δὲ, ἀντὶ τοῦ θερμοῖς.

Λιαρὴ, ἡ ὁμαλὴ διὰ τοῦ ι. λέγεται δὲ ὁ ἄνεμος, καθὰ λείπει ὁ Ἥλιος.

Λιαρὸν, ἐκ τοῦ χλιαρόν. οὕτω καύχημα αὔχημα, γαῖα αἶα, σμικρὸν μικρὸν, σῦς ὗς, σκεδάζω κεδάζω. φασὶ δὲ καὶ τὸ πήγανον οἱ παλαιοὶ τούτῳ τῷ λόγῳ, ἤγανον λέγεσθαι. αἱ πᾶσαι λέξεις ἐκπεσοῦσαι ἐκ τοῦ καταρχὰς συμφώνου, μένουσι πάλιν ἐπὶ τῆς αὐτῆς σημασίας.

Λιαρὸς, ἢ ὁ θερμός. θερμαίνει γὰρ τὸ σῶμα. ἢ ὁ ἡδὺς, παρὰ τὸ ἰαίνω πλεονασμῷ τοῦ λ. ἢ ὁ λαρὸς πλεονάσαντος ἰῶτα, κατὰ τοὺς παλαιοὺς, ἢ λίαν προσαρηρώς.

Λιάσαι, χωρῆσαι, ἐκκλῖναι.

Λιασθεὶς, τὸ φυγὼν καὶ σὺν δρόμῳ ἀπελθὼν δηλοῖ. καὶ ἀντὶ τοῦ ἀπελθὼν, ἁπλῶς κεῖται παρ' Ὁμήρῳ. καὶ νόσφι, ταυτὸ δύναται τῷ χωρισθεὶς, λιασθεὶς, ἐκκλίνας.

Λιασθεὶς, κεῖται παρ' Ὁμήρῳ, ἀντὶ τοῦ πεσὼν, καὶ ἀντὶ τοῦ κυλίεσθαι, τὴν λέξιν τίθησιν εἰπών. λιαζόμενον ποτὲ γαίῃ, ὡς τε οὐκ ἀεὶ λίασθαι τὸ ἐκφεύγειν, καὶ ἀλλαχοῦ. ἀμφὶ δέ σφι λιάζετο κῦμα θαλάσσης. ἤγουν ἀμφὶ τῇ Ἴριδι ἐκινεῖτο, οἷά τι αἰσθητικὸν καὶ νοῦν.

Λίβα, ὁ Ἀπολλώνιος λέγει τὴν σταγόνα, ἡ εὐθεῖα λὶψ ἀρσενικῶς.

Λιβάδα, σταγόνα, κρήνην, ἔνυδρον τόπον, ἐν ἐπιγράμματι. καὶ λιβάδες, καὶ ταῦτα βοτηρικὰ κύπελλα.

Λιβάδιον, χωρίον βοτανῶδες.

Λιβάδων, λιπαρῶν, πιόνων, εὐτραφῶν.

Λιβάζω, ἀπηθῶ ὑγρόν.

Λιβάζει, ἀπορρυήσει, ἀποφερεῖ. ἡ δὲ μεταφορὰ, ἀπὸ τῆς λιβάδος.

Λίβανος, δένδρον. ἢ καὶ ὄρος οὕτω καλούμενον. λίβανος δὲ εἴρηται, οἱονεὶ ὁ λειβόμενος καὶ σπενδόμενος. δοκοῦσι γὰρ αὐτὸν οἱ Ἰουδαῖοι ὅλον εἶναι πνεῦμα καὶ θεόν. ἀνωφερὴς γάρ ἐστι, καὶ αὐτὸν σέβονται. λίβανον. καὶ θηλυκῶς Εὐριπίδης, συρίαθ' ὡς λιβάνου καρπός. καὶ Πίνδαρος, αἵ τε τὰν χλωρὰν λίβανον, ξανθὰ δάκρυα θυμιᾶτε.

Λιβανωτὶς, πόα.

Λιβανοπῶλαι, λιβανοπωλεῖν, χαλκοπῶλαι, σιδηροπῶλαι, λαχανοπῶλαι, λαχανῆται, τυροπῶλαι, ἐριοπῶλαι, ῥιζοπῶλαι, καυλοπῶλαι, σκευοπῶλαι, χυτροπῶλαι, φαρμακοπῶλαι, φαρμακοπωλεῖν, βελονοπῶλαι, βελονοπώλιδες, πινακοπῶλαι, βιβλιοπῶλαι, καὶ ἄλλα πολλά.

Λίβανος, καὶ λιβανωτὸς, διαφέρουσι. Λίβανος μὲν γὰρ, αὐτὸ τὸ δένδρον. λιβανωτὸς δὲ, ὁ καρπὸς τοῦ Λιβάνου. ἔστι δὲ καὶ ὄρος Λίβανος καλούμενον. καὶ κατὰ νουμηνίαν ἔθος εἶχον λιβανωτοὺς ἐντιθέναι τοῖς ἀγάλμασι.

Λιβὰς, ἡ σταγὼν, ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν, ὅθεν λιβάζω Ἀριστοφάνης, οὐκ ἀπολιβάξεις. ἀπείρως δὲ ἀπολινόπτας φησὶν Ἀριστοτέλης, τοὺς τὰ θηρευτικὰ λίνα φυλάττοντας. ὡς καὶ οἰνόπτας, τοὺς οἰνοφύλακας τῶν εἰς τὰ λίνα πιπτόντων ὀρνίθων. οἱ δὲ περιεργότεροι, τὸ λίαν κατεπτηκέναι τοῦτο, λινοπτᾶσθαι λέγουσι.

Λιβάσεις, σοβήσεις, φθαρεῖς.

Λιβὰς, ὁ σταλαγμὸς τῶν δακρύων, καὶ λιβάδος.

Λιβδούμεθα, ἀπὸ τῆς λιβάδος. οἱονεὶ ἐμβυθιζόμεθα.

Λιβδύειν, ἀφορίζειν.

Λίβει, σπένδει, ἐκκενοῖ.

Λίβελλος, ἡ αἰτία τῆς ὑποθέσεως.

Λίβερνα, εἶδος πλοίου ἐκ τοῦ Λίβερνον, ὄνομα τόπου. ὡς τὸ, καράβια πηξάμενος, δρομάδας τριακοντήρεις, λιβερνίδων τῆς γῆς γέγονε.

Λίβος, τὸ δάκρυον.

Λίβος, τὸ ἐπίσταγμα τῶν ὀμμάτων.

Λιβρὸν, σκοτεινὸν, μέλαν, δίυγρον. καὶ λιβρὸν σέλας.

Λιβύα, ἡ χώρα λέγεται ἀπὸ Λιβύης τῆς Ἐπάφου καὶ Μέμφεως θυγατρὸς, καθὰ σχεδὸν οἱ πάντες ἱστορικοί φασιν, Ἄνδρων ὁ Ἁλικαρνασσεὺς. Ὠκεανόν φησι γῆμαι δύο γυναῖκας, Παμφολύγην, καὶ Παρθενόπην. ἐξ ὧν τέσσαρας θυγατέρας γεννᾷ. τὰς μὲν Ἀσίαν καὶ Λιβύην, τὰς δὲ Εὐρώπην καὶ Θρᾴκην, ἀφ' ὧν λέγει κληθῆναι τὰς χώρας.

Λίβυες, οἱ τὴν δύσιν οἰκοῦντες φράγγοι.

Λιβρὴ, ἡ σκοτεινὴ νὺξ, ἀπὸ τοῦ λίαν ἐρεβεννὴ, ἢ παρὰ τὸ λίαν βαίνειν.

Λιβύη, καὶ ὁ ἀπ' ἐκείνης, λίβυς, ὡς Μαγνησία καὶ ὁ μάγνης, Φρυγία καὶ φρὺξ, Θρᾴκη θρᾷξ, Καρία καὶ κὰρ, Κρήτη καὶ κρής.

Λιβύας, τὰς μελαίνας ὑδρίας, τὰς ἐπὶ τοῖς τάφοις τιθεμένας.

Λιβύηθεν, ἀπὸ τῆς Λιβύης.

Λίβυες, τῶν ὄφεων τινὲς οὕτω καλοῦνται.

Λιβυκοὶ λόγοι, Χαμαιλέων φησὶ λίβυν τὸν εὑρόντα τοὺς λόγους τούτους.

Λιβυρνικαὶ, νῆες ἦσαν οὐ κατὰ τὸ τριηραρχικὸν ἐσχηματισμέναι τύπον, ἀλλὰ λῃστρικώτεραι. χαλκέμβολοί τε καὶ ἰσχυραὶ, καὶ κατάφρακτοι. καὶ τὸ τάχος αὐτῶν ἄπιστον.

Λίβυσσα ὄρνις, ἡ στρουθοκάμηλος ἐν μυθικοῖς. ὡς τὸ, ἀλλὰ λίβυσσα στρουθὸς ἁλισκομένη, πλάζε καὶ ἀμφοτέρους.

Λιβυσσάτιδες, τινὲς τῶν νυμφῶν οὕτω καλοῦνται.

Λίβυς λωτὸς, ὁ ἀπὸ Λιβύης αὐλός.

Λιβυστικὸν, καὶ λιγυστικόν. λιβυστικὸν λέγεται ἀπὸ Λιβύης τῆς Ἐπάφου θυγατρός. λιγυστικὸν δὲ, ἀπὸ Λιγύος τοῦ Ἀλοβίωνος ἀδελφοῦ, ὃς Ἡρακλέα κωλύων ἀπερχόμενον ἐπὶ τὰς Γηρυόνου βοῦς, ἀνῃρέθη.

Λιβυφοίτην, τὸν ἐπιγινόμενον Λίβυσιν, Ἰόβας.

Λίβυρνον, πλοῖον πολεμικόν.

Λιβυκὸν θηρίον, οἷον ἐξηλλαγμένον. φασὶ γὰρ τὴν Λιβύην θηρία μὲν πολλὰ ἔχουσαν, ἄνυδρον δὲ οὖσαν. συνερχομένων δὲ παντοδαπῶν εἰς ἕνα τόπον διὰ τὸ ὕδωρ, εἶτα ἀλλήλοις ἐπιβαινόντων, ἐξηλλαγμένα καὶ σύμμικτα ποιεῖν ζῶα. καὶ λιβυκὸν ὄρνεον, ἀντὶ τοῦ μέγα. ὡς ἐν Λιβύῃ πολλῶν ὀρνίθων, καὶ ἐκτραπέλων ὄντων.

Λίγα, λιγυρῶς, ἡδέως, λεπτῶς, ὀξέως, προσηνῶς, ταχέως.

Λιγαίνει, τέρπει, ᾄδει, μαστιγοῖ, κηρύττει, κλαίει, ἢ ὀξέως ἐφορμᾷ.

Λιγαίνειν, ἐν τῷ λ' τῆς Ἰλιάδος οὐ τὸ ὑμνεῖν, ἀλλὰ τὸ ὀξὺ βοᾶν, ὅπερ ἀρετὴ κηρύκων ἐστί.

Λιγαίνειν, τὸ τύπτειν. ὥσπερ ἡμεῖς φαμὲν τὸ ξαίνειν. ἀφ' οὗ κατ' ἄλλον λεξικογράφον, ξάνιον τὸ κτένιον εἴη ἄν. λιγυρὰ μάστιξ, καὶ τὸ κατ' αὐτὴν λιγὺ, ὅμοιά τινα πρὸς τὸ τοιοῦτον λιγαίνειν.

Λιγαίνω, τὸ ὑμνῶ ποιητικῶς. λιγὺς, ὁ ὀξεῖαν ἔχων φωνὴν, ἐξ οὗ λιγύφθογγος ἀηδών.

Ληγαινούσης, πραϋνούσης.

Λιγάων, μέλπων, ἡδέως ὑμνῶν.

Λίγαναρ, εἶδος τέττιγος. Λάκωνες.

Λίγδα, ἡ ἀκόνη καὶ ἡ κονία.

Λιγδαρεοχύται, οἱ ἐν ταῖς λίγδαις τὰς σάρκας ἔχοντες, τουτέστι χοάναις.

Λιγδεύει, ἀπηχεῖ, ὅσον ἐπιψαῦσαι τῆς ἐπιφανείας.

Λίγγις, ὄνομα κύριον. ἦν δὲ βίαιος.

Λίγδην, οὐ κατὰ βάθους, ἀλλὰ κατὰ τὴν ἐπιφάνειαν.

Λίγδην βαλεῖν, τὸ ἄκρον δέρμα δηλήσασθαι. ἵνα ἡ λίγδην, τὸ ξεστικῶς καὶ ἐπιπολῆς. κατὰ δὲ τοὺς παλαιοὺς καὶ ἐπιψαύδην, ὁμηρικῶς δὲ εἰπεῖν, ἐπιγράβδην, ἐπιλίγδην πληγεὶς, ἐπιγράβδην ἐπλήγη. γίνεται δὲ τὸ λίγδην, ἀπὸ τοῦ λίζειν, λέξις ὠνοματοπεποιημένη. ὅθεν καὶ λίστρον ὁ ξυστὴρ, ὡς ἐν τῷ, λίστροις δάπεδον δόμον ἔξυον.

Λίγδοι, οἱ προστετριμμένοι τῶν ἀστραγάλων.

Λίγδος, παρὰ Αἰλίῳ Διονυσίῳ, ὁ χῶνος. γράφει, καὶ ὅτι λίγδος, χοιρεία ἀλοιφή. καὶ λίγδοι, χωνευτήρια, χόανα, νομισμάτων διατύπωσις. ἐν ἄλλῳ δὲ, ὅτι λίγδος χῶνος τρήματα ἔχων συνεχῆ παραπλήσια τοῖς δι' ὧν χαλκὸς ἠθεῖται.

Λίγειαι, ἡδεῖαι.

Λιγέες ἄνεμοι λέγοιντ' ἂν καὶ λιγόφωνοι, πρὸς ὁμοιότητα τῶν λιγυφθόγγων κηρύκων. ἔτι δὲ καὶ λιγυροί.

Λίγειρ, ὄνομα ποταμοῦ.

Λιγέως, ὀξέως, ἡδέως, ταχέως.

Λιγέως, ἐπὶ κλαυθμοῦ, καὶ παρ' Ὁμήρῳ τέθηται, ὡς καὶ ἐν τῷ λίγα κωκύειν.

Λιγηνόεντι, τῷ αἰθαλώδει.

Λιγηπελὲς, ἢ ὀλιγηπελὲς, ἀσθενὲς, ἀγεννές.

Λιγνὺν, κελαινὴν τὴν αἰθάλην φησὶν Ἀπολλώνιος.

Λιγνὺς, ἡ κνίσσα, ἢ ἡ ἀνάδοσις τοῦ πυρός. λέγει δὲ τὸν ἀπὸ τῶν ξυλωδῶν καιομένων καπνὸν, ἀπὸ τοῦ λίαν ἱκνεῖσθαι. αἰθάλη γὰρ, ὁ τοῦ ἀσβέστου καπνός.

Λιγνὺς, ἡ καπνώδης ἀναφορὰ, ἢ τὸ τοῦ φωτὸς ἄκρον. ἄμεινον δὲ τὸ πρῶτον.

Λίγξ, πλάγιος καμπτὴρ, ἢ χιστήρα.

Λίγξαντα, ἐπιθυμήσαντα, ἠχήσαντα.

Λίγξε βιὸς, ὀνοματοπεποίηται. μίμησίς ἐστι τοῦ ἤχου, ὃν ἀφιεμένου τοῦ βέλους ποιεῖ ἡ νευρὰ, τοῦ λίγξε ἀορίστου ὄντος, μὴ ζήτει θέμα, μήτε ἄλλο τι. σημαίνει δὲ, ἤχησε.

Λιγόκρυτον, λιγύκροτον.

Λιγό-

Digitized by Google

Λιγότερος, ὀξύτερος.

Λιγρὸν, πικρόν.

Λιγύμοχθος, ἀηδὼν οὕτω λέγεται.

Λιγυρίζει, μελῳδεῖ.

Λιγυρὸν, ὀξὺ, ἡδύτατον.

Λιγύριον, ὄνομα λίθου.

Λιγυρῇ, ἀντὶ τοῦ λιγυφθόγγῳ, ὡς τὸ μάστιγι λιγυρῇ. καὶ λιγὺς ἀγορητὴς, καὶ ὅσα τοιαῦτα.

Λιγυρῶς, ἡδέως, ὀξέως, λαμπρῶς, καλῶς, καὶ τὰ ὅμοια.

Λιγὺς, οὐ μόνον ἐπὶ ῥήτορος, ὡς τὸ λιγὺς ἀγορητὴς, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ φωνῆς ὀξείας. ὅθεν καὶ λιγεῖς ἄνεμοι, καὶ μάστιξ λιγυρά. καὶ λιγαίνειν, οὐ μόνον ῥητορικῶς ὑμνεῖν, ἀλλὰ τὸ ὀξέως φωνεῖν, ὥσπερ καὶ Πύλιοι κήρυκες ἐλίγαινον.

Λιγὺς, ἡδὺς, γλυκὺς, ὀξύς.

Λιγὺς οὖρος, ὀξὺς διὰ τὸν ἦχον, ὅσπερ αὐτόν ἐστι τῷ Ζέφυρον κελάδοντα.

Λιγυστίδες νῆσοι τρεῖς, καλούμεναι στοιχάδες, διὰ τῷ στοίχῳ πεπῆχθαι. αἵτινες οἰκοῦνται ὑπὸ τῶν λιγύων.

Λιγυστικὸν πέλαγος, καὶ λιγυστικὸς, τόπος ἐν Ἰβηρίᾳ.

Λιγύφθογγον κήρυκα λέγει Ὅμηρος, τὸν ὀξύφωνον.

Λιγύφθογγος ἀηδὼν λέγει Ἀριστοφάνης, διὰ τὸν μόχθον καὶ τὸν θρῆνον, τὸν ἡδυπάθως ἐξ αὐτῆς εἰς τὸν παῖδα γενόμενον. γράφεται λιγύμυθος, ἢ λιγύμοχθος.

Λιγύφωνος, ἡδύφωνος.

Λιδριον, βυβλίον.

Λίζει, βίνει, σάζει, παίζει.

Λιζὸν, ἢ ὀλίγον, ἔλαττον.

Λίζουσι, παίζουσι.

Λίημος, ψάμαθος.

Λίλωος, λιθοπυργία.

Λίνφος, δεινός.

Λιθαδίεσι, λίθοις.

Λίθακες, χάλικες, πέτραι.

Λιθάκων, λίθων.

Λίθαξ, ὀλισθηρὰ πέτρα, ἢ τραχεῖα, ἢ ψώρα.

Λιθάζω, αἰτιατικῇ. καὶ τὸ ὁπωσοῦν διά τινος εἴδους βάλλω.

Λιθάριον, πάνυ φυλάττου λέγειν. λιθίδιον δὲ, καθὼς δόκιμον εἶναι τοὔνομα. Φρύνιχος.

Λιθείας, πολυτελείας, τὰς λιθεὰς λεγομένας.

Λίθειος, πύλη. λίθιος δὲ, θῶκος.

Λιθήσιος, ὁ Ἀπόλλων.

* Λιθίασις, γένεσις ἐν κύστει λίθου, δι' οὗ κωλύεται ἡ τοῦ οὔρου ἔκκρισις. καὶ λιθίασις ἐν βλεφάροις λέγεται ὅταν ἐκτραφέντων τῶν βλεφάρων. ὅμοια πώροις περὶ τὰ βλέφαρα ὑπάρχει λευκὰ καὶ παχέα, καὶ οἷον λίθοις ἐμφερῆ νύσσοντα τὸν ὀφθαλμόν.

Λίθιναι ὑδρίαι. διότι τὰ τριγενῆ προπαροξύνονται. λίθινος λιθίνη, τὴν λίθινον.

Λιθοκοπία, ἡ ἐκ λίθων βολή.

Λιθόλευστος, ὁ λιθόβλητος.

Λιθολόγοι, οἰκοδόμοι.

Λιθομόται, δημηγόροι, ἐπὶ τοῦ λίθου ὀμνῦντες.

Λίθον μέλανα, τὸν μυλίτην ὀνομαζόμενον κόχλακα, παρὰ τῷ Ἱπποκράτει.

Λίθον ἕψεις, παροιμία ἐστὶν ἐπὶ τῶν ἀδυνάτων γενέσθαι. ὡς καὶ τὸ πλίνθον πλύνεις, καὶ χύτραν ποικίλλεις, καὶ εἰς ὕδωρ γράφεις, καὶ Αἰθίοπα λευκαίνεις, καὶ κατὰ θαλάττης σπείρεις, καὶ τὰ τοιαῦτα.

Λίθος ἀρσενικῶς, τὸ ἁπλῶς. καὶ ἡ λίθος δὲ ἐπὶ τῶν τιμίων, καὶ λαξευομένων, οἷον ἡ Σμάραγδος, ἡ Ἴασπις. τῶν δὲ λαξευομένων, οἷον ἡ παρία.

Λίθος, βῶλος, βωμὸς καὶ βάσις, τὸ ἐν τῇ θείᾳ ἐκκλησίᾳ βῆμα.

Λιθουλκῆσαι, τὸ στῆσαι ἐπὶ τῆς βάσεως τὸ ἀνάθημα.

Λιθουργὸς, ὁ λιθοκόπος, ἢ ὁ λιθογλύπτης.

Λίθῳ, τῷ βήματι.

Λίθων χοαὶ, ἄργυρος καὶ χρυσός.

Λικερτίζειν, σκιρτᾶν.

* Λίκιγξ, ἡ ἐλαχίστη βοὴ τοῦ ὀρνέου.

Λίκνον, ἀγγεῖον ὀστράκινον.

Λικμάζειν, περιέχειν.

Λικμᾶν, ἴσως παρὰ τὸ λίαν καὶ τὸ καμεῖν. ἐξ ὧν συγκεκόφθαι δοκεῖ. καματηρὸν γὰρ καὶ τὸ λικμᾶν. εἰ δὲ ἱκμενος οὖρος, ἤγουν ἄνεμος παρὰ τὴν ἰκμάδα γίνεται. εἴπομεν καὶ τὸ λικμᾶν παρὰ τὸ λα ἐπιτατικὸν μόριον, καὶ τὴν οὐρίαν ἰκμάδα, ἧς πολλῆς ὁ λικμῶν δέεται, ὡς ἀνέμοις ἀνύων τοῦ τοιούτου ἔργου τὸ πᾶν.

Λικμᾶν, τὸν σῖτον καθαίρειν.

Λικμηταὶ, διασκορπισταί.

Λικμητὴρ, ὁ ἀποχωρίζων τοὺς καρποὺς καὶ τὰ ἄχυρα.

Λικμητὴρ, ὁ τὸ πτύον κατέχων.

Λικμήσονται, λήξουσι.

Λικμίζει, ἀλοοῖ.

Λικμητήριον, πτύον.

Λικμῶ, ἐπὶ τῶν καρπῶν, καὶ ἀπὸ τούτου ἐπὶ πάντων τῶν εἰς ἀέρα χεομένων. ἀφ' οὗ λικμητήριον.

Λικμῶ, πτύω, τὸ διασκορπίζω. καὶ λικμᾶν, καὶ λικμώντων, ὅ ἐστι διαπτυϊζόντων, παρὰ τὸ λίαν καμεῖν.

Λικμῶντες, ἀλοοῦντες, ἢ τὰ ἄχυρα, ἀπὸ τοῦ σίτου διαχωρίζοντες.

Λικνίτης, ἐπίθετον Διονύσου, ἀπὸ τῶν λίκνων, ἐν οἷς τὰ παιδία κοιμῶνται.

Λικνοειδὴς, ῥυπαρός.

Λίκνον, τὸ πτύον, ἢ τὸ κόσκινον, ἢ κανοῦν.

Λικνοστεφεῖ, λίκνον στεφανούμενος θρησκεύει.

Λικριφὶς, ἐκ πλαγίου, καὶ κατὰ μεσότητα, ἐλαφρῶς, ὀλισθηρῶς.

Λικριφὶς, ἅπαξ μὲν ἐν τῇ Ἰλιάδι φασὶ, καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ εἴρηται. δηλοῖ δὲ, τὸ πλαγίως, καὶ ὡς ἄν τις εἴποι λέχριος, ἢ λίαν χρίμψας, καὶ πλησιάσας τῇ γῇ.

Λικροὶ, οἱ ὄζοι τῶν ἐλαφείων κεράτων.

Λίκυθον, βίασα ἐλαίου.

Λικυμνίοις βολαῖς, τοῦ ἐν τῷ Εὐριπίδῃ λικυμνίου μνημονεύοι ἂν ἴσως. κεραυνοῦται γὰρ ἡ ναῦς κατὰ τὸν ἐκεῖ λόγον, οὐχ ὡς αὐτοῦ τοῦ λικυμνίου τῆς Φωκίδος κατεσκεμμένος.

Λίλαια, πόλις λέγεται Φωκικὴ, ὁμώνυμος Λιλαίᾳ τῇ τοῦ Κηφισοῦ. ἔκειτο δὲ παρὰ τὸν Παρνασσόν. εἰ δὲ ἀπὸ τοῦ λιλαίω τὸ ἐπιθυμῶ γίνεται, οὐκ ἔστι διαβεβαιώσασθαι. περιρρέει δὲ ταύτην ὁμηρικῷ λόγῳ ὁ Κηφισός. μᾶλλον δὲ τὰς πηγὰς αὐτόθεν ἔχει. λέγει καὶ ὁ Γεωγράφος, ὅτι ὁ Κηφισὸς ἐκ Λιλαίας Φωκικῆς πόλεως τὴν ἀρχὴν λαμβάνει.

Λιλαίω, ἐκ τοῦ λῶ λαίω, οὕτω κεδῶ κεδαίω, τὸ σκεδάζω, καὶ κλῶ κλαίω, καὶ κῶ καίω, καὶ ῥῶ ῥαίω. ἐκ τούτου καὶ ῥαιστής. ἐξ οὗ καὶ κυνοραιστὴς, καὶ θυμοραιστής.

Λιλαίομαι, ποιητικῶς τὸ ἐπιθυμῶ.

Λίλαιον, λίλαντον, λιλύβαιον, ὀνόματα τόπων.

Λιλεῖ, φθονεῖ, ἐπιθυμεῖ, ὀρέγεται, σπεύδει.

Λιλουργετὰ, ἐν τῷ σώματι ἐξανθήματα.

Λίλυτον, ὕδωρ. Λίβυες.

Λιμαγχονῶ, πνίγω καὶ λιμάσσω.

* Λιμαγχία, λιμοκτονία.

Λιμακώδεις, οἱ ὑγροὶ καὶ βοτανώδεις * λιμνώδεις καὶ κατάφυτοι, καὶ ὁμαλοὶ τόποι, παρὰ τῷ Ἱπποκράτει.

Λιμαλέον, ῥυσὸν, λεπτόν.

Λιμβεύομαι, τὸ κοινῶς λιμβάζομαι.

Λιμβὸν, λίχνον ἄπληστον.

Λιμβρὸς, ἡ νὺξ, ἡ σκοτεινή.

Λιμβὸς, λαίμαργος.

Λιμένα κλυτὸν, τὸν ἀεὶ κλυδωνιζόμενον ὑπὸ τῆς θαλάσσης λιμένα. ἐκβεβλημένου τοῦ σ, οἷον λιμένα κλυστόν. καὶ Μεγακλείδης, ἄκλυτον, τὸ ἀνήκουστον, περὶ οὗ μηδεὶς ἤκουσεν. ἢ τὸ ἔνδοξον καὶ ὀνομαστὸν, καὶ ἀκουστόν.

Λιμενῆτιν. ἐν ἐπιγράμματι, τρίγλαν ἀπ' ἀνθρακιῆς, καὶ φυκίδα σοι λιμενῆτιν, Ἄρτεμι δωρεῦμαι.

Λιμενίοχος, ὁ τὸν λιμένα ἔχων.

Λιμενίοχον ἄκρην παρὰ τῷ Ἀπολλωνίῳ, ἐὰν μὲν τὴν συνεχομένην προπαροξυτόνως, ἐὰν δὲ τὴν συνέχουσαν τὸν λιμένα, παροξυτόνως.

Λιμένος εὐόρμου, ὡς τοῦ λιμένος ὅρμους περιέχοντος. καταχρηστικῶς δὲ λέγεται ὅρμος, ὁ λιμήν. λιμὴν γὰρ λέγεται τὸ ὅλον πλάτος, καὶ ὁ κόλπος ὅπου καταίρουσιν οἱ ὁλκάδες. ὅρμος δὲ, ἡ σύστασις μιᾶς ἑκάστης ὁλκάδος.

Λιμένες, νηῶν ὄχοι βαρυτόνως. ἢ ὀχοὶ ὀξυτόνως, οἱ φυλακτικοὶ τῶν νηῶν, ὡς συνέχοντες αὐτὰς, ἢ ἐφ' ὧν νῆες ὀχοῦνται καὶ ἀναπαύονται.

Λιμὸς, παρὰ τὸ λείπω. ὁ γὰρ λιμὸς, λεῖψίς ἐστι τῶν ἐπιτηδείων, ἡ παράδοσις ἔχει τὸ ι. ὠφειλε δὲ διὰ τῆς ει διφθόγγου γράφεσθαι. καί φησιν ὁ Τρύφων, ὅτι συνέπαθεν ἡ φωνὴ τῷ σημαινομένῳ. ἐπειδὴ γὰρ ἔνδειάν τινα σημαίνει, φημὶ δὴ τῶν ἐπιτηδείων, τούτου χάριν καὶ ἔνδειαν φωνήεντος ἀνεδέξατο. ὁ δὲ Ἀπολλώνιος διὰ τοῦ ι ἐξ ἀφορμῆς τοῦ λιμπάνω. ἰστέον δὲ, ὅτι παρὰ Ἀθηναίοις ἀρσενικῶς λέγεται ὁ λιμὸς, παρὰ τοῖς Δωριεῦσι δὲ θηλυκῶς ἡ λιμός. πεπράσθαι δὲ τῆς λιμοῦ κακῶς.

Λιμὴν εὔορμος, ὅλον μὲν εἶναί τι δηλοῖ τὸν λιμένα, μέρος δὲ αὐτοῦ τὸν ὅρμον. ἔνθα κατὰ τὸ ἐλλιμενισθῆναι ἡ ναῦς ὁρμεῖ.

Λιμὴν, παρὰ τὸ λίαν μένειν γίνεται.

Λιμὴν, ἀγορὰ, καὶ ἐνδιατριβή. Πάφιοι.

Λιμὴν διαφέρει ὅρμου, τῷ περιέχειν καὶ περιέχεσθαι. περιέχει μὲν γὰρ ὁ λιμήν. ἔστι δὲ λιμὴν, κόλπος θαλάσσης. ὅρμος δὲ, τὸ μέρος τοῦ λιμένος, εἰς ὃ ἑλκόμεναι αἱ νῆες δέδενται, ὃ οἱ κοινοὶ σκάλαν λέγουσι.

Λιμηρὰ, ἡ Ἐπίδαυρος, διὰ τὸ λιμένας ἔχειν εὐφυεῖς, οἷον λιμενηρά.

Λιμήρη, Πίνδαρος τοῦτο διισσόν ἐστιν, ὁπότε παρὰ τοῦ λιμένος λιμενήρη, ἢ παρὰ τὸ λειμῶνος λειμωνήρη, λιμήρη, οὕτως Ἡρωδιανός.

Λιμητανέων, ἐθνικά.

Λίμινθες, ἕλμινθες.

Λιμναγενὲς, λίμναι ἐν Ἀθήναις. τόπος ἀνειμένος Διονύσῳ, ὅπου τὰ λήναια ἤγετο.

Λιμναῖοι ἄνεμοι, οἱ ἀπὸ τῶν λιμνῶν πνέοντες.

Λίμναι, χωρίον τῆς Ἀττικῆς, ἐν ᾧ Διονύσου ἱερόν. Καλλίμαχος, λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς. νύσιος δὲ ὁ Διόνυσος τοῖς Ἰνδοῖς ὀνομάζεται, ἀπὸ τῆς ἐν Ἰνδοῖς νύσης. οὐ μόνον δὲ Ἰνδοῖς, ἀλλὰ καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν, ὥς φησι Φιλόστρατος, ἐν τῷ τοῦ Ἀπολλωνίου τοῦ Τιανέως βίῳ.

Λίμνη, τὰ συνεστῶτα ὕδατα, παρὰ τὸ λίαν καὶ διόλου μένειν.

Λίμνη, συνήθως παρὰ τῷ Ποιητῇ ἡ θάλασσα, διὰ τὸ μὴ ἀπορρέειν κατὰ ποταμοὺς, ἀλλὰ λίαν μένειν. ὃ καὶ τὴν ἁπλῶς λίμνην, καὶ τὸν λιμένα ποιεῖ.

Λιμνήτης ἰχθὺς, ὁ ἀπὸ τῆς θαλάσσης.

Λιμνομάχαι, παῖδες οἱ πυκτεύοντες ἐν τόπῳ, λίμναις καλουμένῳ.

Λίμνος, ὄνομα κύριον. σημαίνει δὲ καὶ τὴν θάλασσαν.

Λιμοδωριεῖς. οὕτως ἐκλήθησαν οἱ ἀπὸ Πελοποννήσου. ἀφορίας χαλεπῆς ἐκεῖ γενομένης, ἀποικισθέντες διὰ ταύτην τὴν αἰτίαν, καὶ κατοικήσαντες περὶ Ῥόδον, καὶ Κνίδον. Δίδυμος δὲ, τοὺς περὶ τὴν Οἴτην κατοικοῦντας οὕτω λέγει, διὰ τὸ λιμώττειν καὶ μοχθηρὰν ἔχειν ταύτην.

Λιμοῦ πεδίον, τόπος τῆς Ἀττικῆς.

Λιμόψωρος. ὑπὸ δὲ τοῦ ψύχους καὶ τῆς ἀνηλειψίας καὶ τῆς ταλαιπωρίας, ἐπιγεγόνει σχεδὸν τοῖς ἵπποις, ὁμοίως δὲ καὶ τοῖς ἀνδράσιν, ὁ λεγόμενος ἅπασι λιμόψωρος, καὶ τοιαύτη καχεξία.

Λιμὸς, ἐκ τοῦ λείπω παράγουσιν οἱ παλαιοί.

Λιμπάνω, ἀπὸ τοῦ λείπω λιμπάνω. τὰ γὰρ διὰ τοῦ ανω, εἰ μὲν πλεονάζει τὸ ν, συστέλλει τὴν ἀρχήν. οἷον λήθω λανθάνω, πήθω πυνθάνω, οὕτως οὖν καὶ λείπω λιμπάνω. εἰ δὲ μὴ πλεονάζει τὸ ν, φυλάσσει τὴν ἀρχήν. οἷον λήθω ληθάνω. ὡς παρὰ τῷ Ποιητῇ, ληθάνει ὅσσ' ἔπαθε. καὶ αὔξω αὐξάνω.

Λιμφεύειν, ἀπατᾶν.

Λιμφὸς, συκοφάντης, φειδωλός. ἢ μηνυτὴς παρανόμων.

Λιμῷ μηλίῳ, παροιμία. ἐπεὶ Ἀθηναῖοι ἐκάκωσαν Μηλίους, πολιορκοῦντες λιμῷ, ὡς Θουκυδίδης.

Λιμὼν, ἀνθοφόρον πεδίον, εὐανθὴς τόπος, ἀνθηρός.

Λιμώτ-

Digitized by Google

Λιμώττοντος, πάνυ πεινῶντος.

Λιμώττω, λιμώσσω.

Λῖν, λέοντα, περισπᾶται κανόνι τούτῳ. πᾶσα αἰτιατικὴ μονοσύλλαβος εἰς ν λήγουσα, περισπᾶται, ὡς μνᾶν, μῦν, δρῦν, κλεῖν. τινὲς δὲ ἐτόλμησαν τὸ λῖν δισυλλάβως εἰπεῖν, λέγοντες, ὅτι πλῆρες λῖνά ἐστι Δωρικῶς, ὡς τὸ θῖνα. ὥστε κατὰ αὐτοὺς δικατάληκτόν ἐστιν ὁ λὶν καὶ ὁ λίς.

Λῖνα, τὰ δίκτυα, ἢ ἱστία.

Λιναγρευμένη, ἐνημμένη λινὰ, κακοείμων, λινεργοῦσα.

Λίναμαι, τρέπομαι.

Λίναια, ἔρια.

Λιγνὺς, καπνός.

Λινδέσθαι, ἁμιλλᾶσθαι.

Λίνδιοι τὴν θυσίαν, παροιμία ἐπὶ τῶν δυσφήμως ἱερουργούντων.

Λίνδος, πόλις ἐν Ῥόδῳ, ἐξ ἧς Κλεόβουλος εἷς τῶν ἑπτὰ σοφῶν. αἱ δὲ λοιπαὶ δύο παραφωνοῦνται. ὁ δὲ Γεωγράφος, κύρια ὀνόματα οἶδε τὸν Λίνδον, τὸν Ἰήλυσον, καὶ τὸν Κάμειρον, ὧν αἱ πόλεις ὁμώνυμοι. κατὰ δέ τινάς φησι, κτίσας ὁ Τληπόλεμος τὰς πόλεις, ἔθετο αὐταῖς ὀνόματα ὁμωνύμως ταῖς θυγατράσι τοῦ Δαναοῦ. τὴν δὲ Λίνδον, ἐπὶ ὄρους ἱδρῦσθαι λέγει, ἔχουσαν ἱερὸν ἐπιφανὲς Λινδίας Ἀθηνᾶς, Δαναΐδων ἵδρυμα. Λίνδος, οὐ μόνον Ῥοδία πόλις, ἀλλὰ καί τι ἀρωματικὸν εἶδος. ὡς δῆλον ἐκ τοῦ, ὀσμὴ λιβάνου, Σμύρνης, καλάμου, στύρακος. Λίνδον καὶ τοὺς αὐτοῦ ἀδελφοὺς, οὕτω γενεαλογοῦσιν οἱ παλαιοί. Ἡλίου καὶ Ῥόδου νύμφης υἱὸς Κέρκαφος, οὗ καὶ Λυσίππης Λίνδος, οὗ Ἰήλυσος καὶ Κάμειρος, ὃν καὶ Χοιροβοσκὸς κατὰ κανόνα, διὰ διφθόγγου γράφει ἐν τῇ ὀρθογραφίᾳ. ἐκ δὲ τοῦ ῥηθέντος Κερκάφου Κερκαφίδες, αἱ Ῥόδιαι γυναῖκες ἐκαλοῦντο.

Λίνδος, Ἰήλυσος, καὶ Κάμειρος, πόλεις εἰσὶ Ῥόδου, ἀπὸ τῶν ἐγγόνων Ἡλίου, καὶ Ῥόδης, καὶ Ποσειδῶνος.

Λινέας ἀσπίδας, καὶ πλεκτὰς, καὶ ἰτέας οἶδεν ἡ ἱστορία Ἀριστοφάνης, ἰτέαν ἐνημμένος.

Λίνεος, μίτος.

Λίνεον, τὸ λινοῦν.

Λινεὺς, ὁ κεστρεὺς ἰχθύς.

Λινοθώρηξ, λινῷ θώρακι χρώμενος.

Λίνοι, ὅτε μὲν λεπτὸν ἄωτον, ὅτε δὲ λεπτὸν λινοῦν ὕφασμα, διὰ τὸ λίαν κατανενῆσθαι.

Λινοκάρυκες, οἱ τὰ λινὰ πωλοῦντες.

Λῖνον, ᾠδῆς ὄνομα, ἢ λύρας χορδὴν οἱ Ἴωνες λέγουσι.

Λῖνος, τὴν χορδὴν, ἐκ τῶν ἀνέκαθεν εἰς τοὺς ὕστερον καθήκει. πάλαι γάρ ποτε δοκεῖ λινέας εἶναι τὰς μουσικὰς χορδὰς, ὡς καὶ Αἴλινος ὑποδηλοῖ.

Λῖνον, ἐπὶ τῶν τῆς νηὸς ἱστίων λέγεται, καὶ ἐπὶ δικτύων κυνηγετικῶν. ὅθεν καὶ τὸ διελινήσατο, ἤτοι διεξέφυγε τὰ λῖνα. καὶ φυλάττεται ἡ ῥητορικὴ αὐτὴ λέξις, ἔτι καὶ νῦν παρὰ πολλοῖς τῶν ἐν τῇ Ἀσίᾳ, οἳ καὶ τὰ τοιαῦτα λῖνα λινάριά φασιν. ἔστι δ' εὑρεῖν ποτε καθὰ μίτον, οὕτω καὶ λῖνον, καὶ ἐπὶ μουσικῆς χορδῆς λεγόμενον.

Λινὸν, τὸ ἔριον, ἀπὸ τῆς λειότητος. ἢ τὸ λεπτὸν ὕφασμα λινὸν ἔλεγον, ἀπὸ τοῦ λίαν νενῆσθαι. καὶ λίνεον, ἔσθημα.

Λίνον δ' ὑπὸ καλὸν ἄειδεν, ἢ ἀντὶ τοῦ τὸν καλὸν ἐκεῖνον Ἥρωα Λίνον ἄειδεν. ἢ καλὸν, ἀντὶ τοῦ καλῶς λίνον ἄειδεν. λίνος δὲ, εἶδος ᾠδῆς κατὰ Ἀρίσταρχον. ἢ ὕμνου, ὡς καὶ ὁ παιὰν, καὶ ὁ διθύραμβος. ὠνόμασται δὲ λίνος, τὸ τοιοῦτον ᾠδικὸν εἶδος, ἢ ὡς μετὰ λίνου, ἤτοι χορδῆς ᾀδόμενος, ἢ ἀπό τινος Λίνου ἀνδρὸς Ἥρωος. φασὶ γὰρ οἱ παλαιοὶ, ποιημάτιόν τι ἐπὶ τῷ Λίνῳ εἶναι, ὡς σφαῖρα μὲν καλεῖται, εἰς Ὀρφέα δὲ ἀναφέρεται. Φιλόχορος δὲ ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι τὸν Λίνον φησὶ, διότι πρῶτος τὸν Λίνον καταλύσας χορδῇ ἐχρήσατο εἰς μουσικῆς ὄργανον. ἐτάφη δὲ ἐν Θήβαις, καὶ ἐτιμᾶτο ὑπὸ τῶν Ποιητῶν θρηνώδεσιν ἀπαρχαῖς. εἰς ὃν καὶ ἐπίγραμμά ἐστι, τοιοῦτον. Ὦ Λίνε πάντα θεοῖς τετιμημένε. σοὶ γὰρ ἔδωκαν. Ἀθάνατοι, πρώτῳ μέλος ἀνθρώποισιν ἀείδειν, Ἐν ποδὶ δεξιτερῷ. Μοῦσαι δέ σε θρηνέον αὐταὶ, Μυρόμεναι μολπῆσιν, ἐπεὶ λίπες ἡλίου αὐγάς. καὶ Ἡσίοδος, Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱὸν· ὃν δὴ, ὅσοι βροτοί εἰσιν ἀοιδοὶ, καὶ κιθαρισταὶ, Πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις, ἠδὲ χοροῖσιν. Ἀρχόμενοι δὲ λῖνον, καὶ λήγοντες καλέουσιν. ὁ μέντοι τὸν Ἡρακλέα διδάξας μουσικὸς λίνος, κατὰ τὴν παλαιὰν ἱστορίαν, ἕτερος παρὰ τοῦτόν ἐστιν, οὗ Θεόκριτος μέμνηται. ὁ καὶ ἱστορῆσαι, ὅτι τὸν Ἡρακλέα γράμματα Λίνος ἐξεδίδασκεν, υἱὸς Ἀπόλλωνος. φασὶ δὲ οἱ παλαιοὶ, καὶ ὅτι λίνῳ ἀντὶ χορδῆς τῶν παλαιῶν χρωμένων πρὸς τὴν κιθάραν, ὕστερον μείναντος τοῦ ὀνόματος ἡ χορδὴ λίνον καλεῖται. ὥσπερ φασὶ καὶ λίθος ἡ ἄγκυρα, ἐπεὶ παλαί ποτε λίθος εἰς ἄγκυραν ἐχρημάτισεν. ἄλλοι δὲ τὰ κατὰ τὸν λίνον, οὕτω συντομώτερον φράζουσιν. ἄγροικος νεανίας ὁ λίνος, ᾠδῆς τινος εὑρετὴς, Οὐρανίας υἱὸς, ὃν ἀνεῖλεν Ἀπόλλων. ἐπεὶ τὸν λίνον καταλύσας, χορδαῖς ἐνέτεινεν ὄργανον. Ἡρόδοτος δὲ λέγει, ὅτι παρὰ Αἰγυπτίοις λίνος τις ἀείδεται, καὶ θαυμάζειν ἐκεῖνός φησι τὸν λίνον, οἴκοθεν ἔλαβε τὸ ὄνομα. λέγει δὲ, καὶ ὅτι κατὰ Αἰγυπτίους, Βασιλέως παῖς ἐκεῖνος μονογενὴς ἦν. ἀποθανὼν δ' ἄωρος, θρήνοις ὑπ' Αἰγυπτίων ἐτιμήθη. καὶ ἡ ἀοιδὴ αὕτη καὶ μόνη σφίσιν ἐγένετο. ἐντεῦθεν δὲ ἀναφαίνεται, ὅτι κυρίως αἴλινος ὁ ἐπὶ τοιούτῳ λίνῳ αἰαγμος, εἰ καὶ ἄλλως διφορεῖται τῇ σημασίᾳ, κατὰ τὸν Ἀθήναιον. εἰπόντα, ὡς ἐν γάμοις μὲν ᾠδὴ, ὑμέναιος. ἐν δὲ πένθεσιν, ἰάλεμος. λίνος δὲ καὶ αἴλινος ἔν τε πένθεσι, καὶ ἐπ' εὐτυχεῖ μολπῇ κατ' Εὐριπίδην. ἡ μέντοι ἐξ Ἐπιχάρμου χρῆσις ἐθέλουσα τὸν αἴλινον ᾠδὴν ἐριουργούντων εἶναι, οὐ τὸν λίνον τὸ κύριον ἐγκεῖσθαι τῷ αἰλίνῳ βούλεται, ἀλλὰ τὸ λῖνον. ὡς δὲ ἃ παλαὶ ᾠδαὶ ἦσαν, οἷον ἴουλος ἡ τῶν ταλασιουργῶν, ἢ ἱερουργῶν. λιτυέρσης, ἡ τῶν θεριστῶν, ὡς ἔστι καὶ παρὰ Θεοκρίτῳ εὑρεῖν. καὶ ὀλοφυρμὸς, ἡ ἐπὶ θανάτοις καὶ λύπαις. καὶ βουκολισμὸς, ἡ τῶν βοσκόντων. καὶ ἐπιμύλιος, ἡ περὶ τοὺς ἀλητοὺς, ἔστι δὲ καὶ ἄλλας ἐκ τῶν παλαιῶν ἀναλέξασθαι. ἄλλοι ἐπὶ λεπτοῦ τινος νήματος, ἢ χορδῆς ἐνταῦθα τὴν τοῦ λίνου τάττοντες, οὕτω νοοῦσι τὸ, λίνον δ' ὑπὸ καλὸν ἄειδε λεπταλέῃ φωνῇ. ἀντὶ τοῦ μετὰ λίνου, λεπτόν τι ἄειδε. ἡ δὲ ἱστορία καὶ τρεῖς παραδίδωσι λίνους. τὸν τῆς Καλλιόπης, καὶ τὸν τοῦ Ἀπόλλωνος καὶ Χαλκιόπης, τὸν Νάρκισσον. παρασημειοῦνται δὲ οἱ παλαιοί, καὶ ὅτι χορδὰς ἐπιστάμενος Ὅμηρος, ὅμως λίνου καλεῖ, καθὰ καὶ χαλκᾶ ὅπλα, τὰ ἐκ σιδήρου. ἰστέον δὲ, ὅτι ἐκ τοῦ κοινότερον λεγομένου, καὶ λινίσκος ὑποκοριστικῶς, ὁ λεπτότατος λίνος. οἷον περιστεραὶ καὶ φάσσαι, καὶ τρυγόνες καθ' ὅλην ἐξίπταντο τὴν ὁδὸν ἔν τινι πομπῇ, λινίσκοις τοὺς πόδας δεδεμέναι, πρὸς τὸ ῥᾳδίως ὑπὸ τῶν θεωμένων ἁρπάζεσθαι.

Λινοπλῆγος, φρενοπλῆγος, ἡ εὐθεῖα ὁ φρενοπλήξ.

Λινοπλωΐας, τριβάς.

Λινοπτάζει, λινοπτᾷ, ἐπὶ λίνα περιβλέπει.

Λινόπτης, ὁ ἐν τοῖς κυνηγετικοῖς λίνοις ἑστὼς, καὶ ἀποσκοπῶν τὰ ἐμπίπτοντα θηρία.

Λινοπτωμένη, λῖνον ἁλιέως συνάπτουσα ψυχόμενον.

Λῖνος χαλκιδεὺς, Ἀπόλλωνος καὶ Τερψιχόρης. οἱ δὲ, Ἀμφιμάρου καὶ Οὐρανίας. οἱ δὲ, Ἑρμοῦ καὶ Οὐρανίας. λέγεται δὲ πρῶτος οὗτος ἀπὸ Φοινίκης γράμματα εἰς Ἕλληνας ἀγαγεῖν. γενέσθαι δὲ καὶ Ἡρακλέους διδάσκαλον γραμμάτων, καὶ τῆς λυρικῆς μούσης πρῶτος γενέσθαι ἡγεμών.

Λῖνος. εἶδος ὕμνου. Ὅμηρος, λῖνον δὲ ὑπὸ καλὸν ἄειδεν. οὐ διὰ τὸ τὰς χορδὰς ἀπὸ λίνου εἶναι, ἀλλ' εἶδος ὕμνου, ᾆδον, ὡς παιᾶνος, ἢ λύρας χορδή.

Λῖνος, τὸ δίκτυον ποιητικῶς. καὶ λῖνος ὄνομα ποιητοῦ.

Λινοτόμοι, οἱ τὰ λίνα διατέμνοντες, καὶ ὑγιῆ δεικνύντες.

Λινοχίτων, λινόπεπλος.

Λίγξ, πλάγιος. καὶ λίθος, πλατύς.

Λίξαντα, ὁρμήσαντα.

Λιολεθρία, παντελεῖ ὀλέθρῳ.

Λιοτρίβιον, λίθος λεῖος.

Λιοργὸς, κακοῦργος.

Λίπα, ἐκ τοῦ λιπαρὸν ἀποκέκοπται, ἐλαίῳ δὲ ἐχρίοντο οἱ λουσάμενοι, ἐμπλάττοντες τοὺς σωματικοὺς πόρους, ὡς ἂν μετὰ τὸ λουτρὸν, στέγοιεν τὴν ὑγρότητα.

Λίπα, οὐ σαφῶς φράσαι, διὰ τὴν κατ' αὐτὸ ἀποκοπήν. ἄδηλον γὰρ εἴτε λιπαρὸν ἔλαιον ἤλειψε, εἴτε λιπαρῷ ἐλαίῳ.

Λιπαίνω, πιαίνω.

Λιπαίνει, ἤγουν λιπαρὸν ποιεῖ, ζημιοῖ, ἢ κλαίειν ποιεῖ.

Λιπανθεὶς, πιανθείς.

Λιπαρὰ κρήδεμνα κατὰ τοὺς παλαιοὺς, τὰ ἔκδηλα καὶ λαμπρά. κρήδεμνα δὲ μεταφορικῶς, τὰς τῶν πύργων στεφάνας, καὶ τὰς λοιπὰς ἐξοχάς.

Λιπαρὰ, ἡ ἀφύη.

Λιπαρὰς θέμιστας, ὅ ἐστι λιπαροποιοὺς καὶ εὐδαιμονεῖν ποιούσας, διὰ τὴν θέμιν καὶ τὸ δίκαιον. ἢ καθ' Ἡσίοδον, παρ' οἷς ἡ δίκη πρεσβεύεται. τοῖσι τέθηλε πόλις, λαοὶ δὲ ἀνθεῦσιν ἐν αὐτῇ.

Λιπαρεῖ χειρὶ, ἀντὶ τοῦ λιπαρῶς καὶ συνεχῶς.

Λιπαρεῖν, παρακαλεῖν, παρὰ τὸ λίαν παρεῖναι.

Λιπαρεῖν, δεῖσθαι, κολακεύειν, προθυμεῖσθαι, φιλοτίμως δέεσθαι.

Λιπαρέως, ἀφθόνως. λιπαρὰς ἀνθηρὰς, ἀφθόνους.

Λιπάρεως, τῆς ἐν Σικελίᾳ νήσου.

Λιπαρία, ἡ προσεδρεία.

Λιπαροὶ κεφαλὰς, οἱ τρυφῶντες, ὅ ἐστι λιπῶντες. ὡς ἀπὸ μέρους εἰπεῖν, τὸ πᾶν σῶμα, Ὅμηρος ἐν Ὀδυσσείᾳ.

Λιπαροῖσιν, εὐτραφεστέροις, πλουσιωτέροις.

Λιπαρὸν, καλὸν, ἐλαφρὸν, λευκὸν, στίλβον, εὔοδμον.

Λιπαροὺς πόδας λέγει ὁ Ποιητὴς, οὐ τοὺς διὰ τρυφὴν, ἀλλὰ διὰ τὸ γυμνάσιον τοιούτους. ἀπὸ μέρους δὲ νοητέον τὸ πᾶν, ὡς καὶ τοῦ ὅλου σώματος εὐσαρκοῦντος δι' εὐεξίαν τῷ βασιλεῖ. ὅτι δὲ τὸ γυμνάσιον τοιαῦτα ποιεῖ τὰ σώματα, ζητητέον καὶ εἰς τὸ κωμικόν.

Λιπαρεῖν ἐστι, τὸ λίαν παρεῖναί τισι.

Λιπαρὸς, ἀνθηρὸς, παρὰ τὸ λίπα. στίλβει γὰρ καὶ τὸ ἔλαιον. ἢ ἀντὶ τοῦ ἀληλειμμένος. Ἀριστοφάνης πλούτῳ, λιπαρὸς χωρῶν ἐκ βαλανείου.

Λιπαρῶ, παρακαλῶ, δέομαι.

Λιπαρῶς γηράσκειν, ἐξ οὗ καὶ γῆρας λιπαρόν. συμβάλλεταί τε καὶ τὸ λιπαροὺς πόδας, καὶ τὸ λιπαρὸν κρήδεμνον. ἔστι δὲ λιπαρῶς γηράσκειν, τὸ εὐδαιμόνως, καὶ ὡς ἄν τις εἴπῃ τρυφερῶς, ἀνενδεῶς, ὡς ἐκ μεταφορᾶς τῶν λιπώντων ζώων. καὶ ἄλλως δὲ λιπαρῶς γηράσκει, ὁ ἐκ γενετῆς ὄλβιος.

Λιπαρῶ λέγεται, τὸ μετὰ πολλῆς λύπης καὶ δακρύων ἱκετεύω. λιπαρῶς δὲ ἐπίρρημα, ἀντὶ τοῦ ἐπιμόνως.

Λιπαρῶς, ἐπιμελῶς, καὶ προσεδρευτικῶς.

Λιπαυρεῖ, αὔρα ἐπιλέλοιπε.

Λίπε, κατέλιπεν, ἠλείφθη.

Λίπει, ἐπιλείπει.

Λιπερνήτης, ἐνδεὴς, πτωχὸς, ἢ ὁ ἁλιεύς. Ἡρωδιανὸς λέγει τὸν πρότερον πλούσιον, ὕστερον δὲ πένητα. παρὰ τὸ λείπεσθαι ἐρνέων, ἤγουν φυτῶν.

Λιπερνοῦντας, πενιχρούς.

Λιπήμεροι, οἱ ἐν τῷ προσήκοντι χρόνῳ μὴ γεννώμενοι.

Λιπόβιοι, νεκροί.

Λιπογνώμων, ὁ τέλειος τῇ ἡλικίᾳ καὶ ἀπογεγηρακὼς, ὡς ἂν οὐκ ἔχων γνώρισμα τῆς ἡλικίας τῶν ὀδόντων, οἷα ἀποβεβληκὼς αὐτούς.

Λιποζύγων, μοναζόντων.

Λίποιτο, καταλειφθείη.

Λίποιμι, καταλείψαιμι.

Λιπόμενος, ὁ ἀπολειφθείς. λειπόμενος δὲ ὁ ἀπολιμπανόμενος δίφθογγον. λιπώμενος δὲ ὁ λιπαρῶν, ἰ καὶ μέγα.

Λιπόνεως, ὁ τὴν ναῦν ἀπολελειπώς.

Λιπό-

Digitized by Google

Λιπόνηρος, λίαν πονηρός.

Λίπορπος, βακτηρία.

Λιποστρατίη, λιποταξία.

Λιποστίχους, φυγάς, τὴν τάξιν αὐτοῦ καταλιπών. καὶ λειποστιχήσας, καταλείψας, φυγών.

Λίπτονται, ἐπιθυμοῦνται.

Λίπωμεν, παχύνωμεν, λιπαίνωμεν.

Λιπῶσι, λιπαριῶσι.

Λιρὰ, ἀναιδῆ.

Λιραίνει, ἀναιδεύεται.

Λιριόεντα, ἡδύοσμα.

Λιριόεσσα, ἡδεῖα, λαμπρά.

Λίριον, τὸ κρίνινον ἔλαιον. οἱ δὲ μετὰ τοῦ ν λίρινον λέγουσι, παρὰ τῷ Ἱπποκράτει. κοινῶς δὲ λίριον τὸ ἄνθος, καὶ ἰδίως τὸν νάρκισσον καλοῦσιν οἱ Ἀττικοί. λιρὸς, ἀναίσχυντος, ἀναιδὴς, θρασύς.

Λῖς, ὁ λέων, παρὰ τὸ λιαρόν. ἔνθερμον γὰρ τὸ ζῶον.

Λὶς, ἐκ τοῦ λάω τὸ βλέπω γίνεται, ὥσπερ ὁ λέων, οὕτω καὶ ὁ λὶς κατὰ τὸν γραμματικὸν Ὧρον, καὶ ὀξυδερκής. καὶ ὅτι ὥς φησι Μανέθων ἐν τοῖς πρὸς Ἡρόδοτον, οὐ καθεύδει ὁ λέων, ὅπερ ἀπίθανον. οὐ γὰρ ἀεὶ ἐγρηγορεῖ. ἀλλὰ κατὰ δορκάδα τὴν ἐκ τοῦ δέρκω παραγομένην, καὶ κατὰ λαγωὸν, τὸν ἐκ τοῦ λάω, ἀνεῳγότας καθεύδων ἔχει τοὺς ὀφθαλμοὺς, οἱ πάλαι φασίν. οἱ δὲ προαναχαινομένου τοῦ α ἐν τῷ λάειν, ὅθεν καὶ ἀλαὸς, ὁ τυφλός. τὸ δὲ λὶς καινότερον, διὰ τοῦ ι γράφεται.

Λίσφη, τὰ ἰσχία παρὰ τοῖς Ἀττικοῖς, παρὰ τὸ λείπειν αὐτὰ σαρκῶν. δύναται δὲ καὶ λέσφη εἶναι, κατὰ τὴν ὀσφύν.

Λὶς, κατὰ Ἀρίσταρχον, ὥς φασιν οἱ περὶ Ἀπίωνα καὶ Ἡρόδωρον ὀξύνεται, συνεξομοιούμενον τῷ χαρακτῆρι τοῦ κὶς κιός. ἔτι δὲ καὶ τῷ τὶς καὶ θὶς καὶ ῥὶς, εἰ καὶ διαφόρως ταῦτα κλίνεται πρὸς τὸ λίς. ὁ Αἰσχρίων δέ φασι περισπᾷ, διὰ τὸ καὶ τὴν αἰτιατικὴν περισπᾶσθαι. καὶ γὰρ μῦς μῦν, δρῦς δρῦν, οὕτω καὶ λῖς λῖν. εἰ δὲ μηδὲν τῶν εἰς ις περισπᾶται, ἀλλ᾽ ὁ Αἰσχρίων τοῦτο ἐποίει, ἐκφεύγων δηλονότι ἐπίθετον ὀξύτονον τὸ λὶς πέτρη ἐν Ὀδυσσείᾳ ῥηθέν. καὶ οὕτω μὲν ἐκεῖνος τὸ λῖς ὁ λέων περιέσπα, πρὸς διαστολὴν τοῦ ἐπιθετικοῦ.

Λὶς πέτρη, παρ᾽ Ὁμήρῳ, ἀποκέκοπται ἐκ τοῦ λισσή. οἷον λισσὴ δ᾽ ἀναδέδρομε πέτρη.

Λίσκος, δίσκος.

Λίσσαι, οἱ ἀκρωτηριασμένοι τὰ κάτω μέρη.

Λίσση τῷ τόνῳ, ὡς κίσσα. Ἀπολλώνιος δὲ ὀξύνει, ὡς ψιλή. λίσση δὲ ἡ ἐντετριμμένη καὶ λεία. οὕτω γὰρ λέγονται οἱ ποιοῦντοι ἀστράγαλοι, ἀφ᾽ οὗ καὶ οἱ λίσσοι τὰ ἰσχία. Καλλίστρατος δὲ θηλείδιον λεπτὸν σφόδρα, ἀφ᾽ οὗ καὶ οἱ ἰσχία λεπτοὶ, λίσσοι λέγονται. ἄλλως, παρὰ τῷ Ἀριστοφάνει, λίαν ἐκτετριμμένη καὶ ὀλισθηρὰ γλῶσσα. ἄλλως, λίσσους καλοῦσι τοὺς ὑφ᾽ ἡμῶν καλουμένους στρυφνοὺς ἀστραγάλους. οἱ τοιοῦτοι δὲ δυστροπικοί εἰσιν ἐν τῷ παίζειν.

Λισσάδες πέτραι, ἐρρίζωνται παρὰ τῷ Ἀπολλωνίῳ, ὑψηλαὶ, καὶ ἀνάντεις, ἐν βάθει τεθεμελίωνται.

Λίσσαι, λιάσσαι, ὁρμῆσαι, βρίσαι.

Λισσάνιος, ἀγαθός. Λάκωνες.

Λίσσεσθαι, λιτανεύειν, ἱκετεύειν, παρακαλεῖν.

Λισσέσκετο γούνων, ἔλλειψιν ἔχει ἡ προθέσεως, ἵνα ᾖ λίσσετο ὑπὲρ γούνων. ἢ μάλιστα μετοχῆς, ἵνα λέγῃ, ὅτι ἐλίσσετο ἁπτομένη γουνάτων.

Λισσὴ, ἡ ὁμαλὴ, λεία.

Λισσῇ νήσῳ, τῇ τραχείᾳ καὶ ὑψηλῇ. τίθεται δὲ καὶ ἀντὶ τοῦ ὁμαλῇ. καὶ Ἀμερίας δὲ ἐν γλώσσαις, λισσὸν τὸ ὑψηλὸν ἀποδίδωσι.

Λίσσομαι, τὸ παρακαλῶ καὶ ἱκετεύω διὰ δύο σσ. λίτομαι δὲ τὸ αὐτὸ δι᾽ ἑνὸς τ. ἐνεστὼς λίσσομαι, παρατατικὸς ἐλισσόμην, λίσομαι μέλλων δι᾽ ἑνὸς, ἐλισάμην ἀόριστος, ἀφ᾽ οὗ μέσος ἀόριστος προστακτικὸς λίσαι.

Λίσσω, καὶ λίσσομαι, ὡς πλάσσω καὶ πλάσσομαι, μέλλων λίσω, καὶ πλάσσω πλάσω. λίσσομαι καὶ λιτάζομαι ποιητικῶς, τὸ ἱκετεύω.

Λίσσομαι Ζηνὸς ὀλυμπίου, ἠδὲ θέμιστος. λείπει πρόθεσις ἡ ἐπὶ, ἢ πρός. ἤγουν πρὸς Ζηνὸς καὶ θέμιστος. λίσσετο, ἀεὶ ἱκετείαν δηλοῖ παράμονον, ὃ δὴ καὶ λιπαρεῖν λέγεται, ἀντὶ τοῦ λίαν παρεῖναι.

Λισσὸν, ἄναντες, ἀπότομον, ὑψηλὸν, ἔλασσον, ἄθλιον.

Λισσοὺς, δεομένους, καὶ τοὺς ἡσυχῇ φαλακρούς.

Λίστρα, ξύστρα ἐστί.

Λίστρα, πτύα σεσιδηρωμένα. ἤγουν ξυστῆρες. καὶ λιστρῶσαι ἀπ᾽ αὐτῶν, τὸ ξῦσαι καὶ ὁμαλίσαι. λίγδος δὲ οὐκ ἐντεῦθεν γίνεται, ἀλλὰ ποθὲν ἄλλοθεν. περὶ οὗ φασιν οἱ παλαιοὶ οὕτω. λίγδος, κονία, ἀλοιφή. καὶ λίγδος, χωνευτήριον, χοάνη, ἡ τῶν νομισμάτων διατύπωσις. φασὶ δὲ καὶ τρήματα τὸν λίγδον ἔχειν συνεχῆ, δι᾽ ὧν χαλκὸς ἠθεῖται.

Λιστραίνω, τὸ σκάπτω.

Λίστρον, τὸ ξύστρον. λίστροισιν ἐοικότα, ἀπὸ τοῦ λίαν στορρεννύειν δι᾽ αὐτῶν τὴν προκειμένην ὕλην.

Λιστρεύειν, τὸ περιξύειν, παρὰ τὸ λίστρον ὅ ἐστι ξύστρον. αὐτὸ τὸ λιστρεύειν φυτὸν, ὅμοιόν ἐστι τῷ, φυτὸν ἀμφιλαχαίνειν. καὶ γὰρ ὁ λιστρεύων, φυτὸν ὀρύττει, καὶ ὁ λαχαίνων φυτόν. ἐπεὶ λαχαίνειν ταυτόν ἐστι τῷ διασκάπτειν. ἀφ᾽ οὗ καὶ λάχανον. καὶ γίνεται ἡ λέξις, παρὰ τὸ ποιεῖν λίαν χαίνειν τὴν γῆν.

Λιστρωτὸν, λιθόστρωτον, ὁμαλόν.

Λιστῆρες, οἱ λιστρεύοντες, καὶ οἱ πρὸς ταῖς ὑποκαιομέναις χύτραις ἱστάμενοι σπινθῆρες.

Λίσφοιτα, τὰ ἰσχία.

Λισφώσασθαι, ἐλαττώσασθαι.

Λίσχροι, τὰ στροφικὰ τῶν σπερμάτων.

Λίσχρος, φειδωλὸς σκνιφός.

Λιτὰ, ἁπαλὰ, ποικίλα, λευκὰ, καθαρά.

Λίτα, καταπετάσματα, ἢ λεπτὰ περιβόλαια. λίτα πετάσαντες.

Λίτα, καὶ λιτὶ, κατὰ μεταπλασμόν. λέγομεν γὰρ, λιτὸν τοῦ λιτοῦ τῷ λιτῷ. μεταπλασμὸς δὲ μεταβιβάζει τὰς κλίσεις, ὡς ἐν τούτῳ ἐκ τῆς τρίτης κλίσεως μετεβίβασε πρὸς τὴν πέμπτην.

Λιτάζομαι, παρακαλῶ, δέομαι, εὔχομαι, ἱκετεύω, ἀσπάζομαι, λιτανεύω.

Λίταινον, ἐκήρυσσον.

Λιτανεύω, ἔχει πρωτότυπον τὸ λίτω. παράγωγον δὲ ἐξ αὐτοῦ, τὸ λιταίνω. πρὸς ὁμοιότητα τοῦ μήθω μανθάνω, καὶ τῶν ὁμοίων.

Λιταργίζειν, τροχάζειν.

Λιταργιοῦμεν οἴκαδε, Ἀριστοφάνης, συντόμως δραμούμεθα. παρὰ τὸ λίαν ἀργὸν, τουτέστι ταχύ.

Λιταργισμοὺς, τὰ σκιρτήματα ἐκάλουν.

Λίταργος, ὁ ἀργός. λίταργον κῦνα, παρὰ τὸ λίαν ἀργὸν, ἢ ταχὺν εἶναι.

Λιτανεία, καὶ λιτὴ, ἡ παράκλησις.

Λίταρας, τοὺς ἱερεῖς.

Λιτὰς, χωλὰς διαζωγραφεῖ ὁ Ποιητὴς, πρὸς διαστολὴν τῆς ἀρτίποδος ἄτης διὰ τὸ σχολαίῳ ποδὶ, καὶ ὡς οἷον συμπεποδισμένους βαίνειν τοὺς λισσομένους. καὶ ῥυσσὰς δὲ, διὰ τὸ σχῆμα τοῦ προσώπου τῶν ἱκετευόντων, ὡς σκυθρωπάζον καὶ συναγόμενον ῥικνοῦται τὸ πρόσωπον. ἢ καὶ ἄλλως φράσαι ῥυσσὰς, ἤγουν γραώδεις, συνεσπαμμένας, ἐρρυτιδωμένας. ῥυτίδες αἱ ἐπὶ τοῦ προσώπου συστροφαὶ τοῦ δέρματος. ἔτι καὶ παραβλῶπας τῶν ὀφθαλμῶν, ἢ τὸ ὀφθαλμῷ διαγράφει τὰς λιτάς. τουτέστι, τὰς διεστραμμένας τὴν ὄψιν παραβαλλούσας τοὺς ὦπας καὶ παραγούσας τὴν κατὰ φύσιν ὄψεως. καὶ ὡς οἱ παλαιοί φασι στραβὰς καὶ πλαγιομμάτους, διά τε τὴν τῆς ὄψεως τῶν δυσωπουμένων παρατροπὴν, καὶ οἷον διαστροφήν. καὶ διότι οὐχ ἱλαρὸν τὸ βλέμμα τοῖς λιταζομένοις, ἀλλ᾽ ὡς εἰπεῖν δυσβλέπτουσιν ἐκεῖνοι. ὅθεν καὶ ἡ δυσωπία τὴν κλῆσιν ἔλαχεν. ἰστέον, ὅτι τὸ παραβάλλειν ὦπας, οὐ μόνον ὁ λιταζόμενος, ἔτι δὲ καὶ ὁ στραβίζων, ὁ καὶ ἰλλὸς κατὰ τοὺς παλαιοὺς, ἀλλὰ καὶ ὁ ἀποσεμνυνόμενος ἐμβριθῶς. ὀφθαλμῷ γοῦν παραβάλλεσθαι ὁ Κωμικὸς λέγει τὸν Σωκράτην, ἐν τῷ δηλαδὴ σεμνοπρεπεῖν. καὶ ὅτι παραβλὼψ μὲν ἐκτείνει τὴν λήγουσαν, ὡς σύνθετον ἐκ τοῦ ὠπὸς, βλὸψ μέντοι, τὸ μονοσύλλαβον συνέσταλται. ὅπερ ἐστὶν ὁ τῆς κλεψύδρας ἦχος μιμητικῶς κατὰ τοὺς παλαιοὺς, ὥσπερ φασὶ καὶ κὺξ ἐπὶ τῆς ψήφου, κατὰ μίμησιν καὶ αὐτό. οἱ δ᾽ αὐτοί φασιν ὁμοίως μιμητικῶς καὶ βῆ, οὐ μὴν βαὶ, μίμησιν προβάτων φωνῆς. Κρατῖνος, ὁ δ᾽ ἠλίθιος ὥσπερ πρόβατον βῆ βῆ λέγων, βαδίζει.

Λιτέσθαι, παροξυνόμενον ὁμοίως τῷ λαβέσθαι. ὁ δὲ Ἀσκαλωνίτης, ἀξιοῖ φασὶ προπαροξύνειν, ὡς ἐπὶ ἐνεστῶτος ἀπὸ τοῦ λίτομαι. τῇ μέντοι παραδόσει ἀρέσκει παροξύνειν οὐκ ἀπιθάνως. ὃν γὰρ τρόπον φασὶ τὸ ἔρεσθαι πάντων ἀξιούντων, ὁμοίως τῷ πυθέσθαι ἀναγινώσκειν, ἐπειδὴ μέσου δευτέρου ἀορίστου ἐστὶν, ὅμως ἡ παράδοσις προπαροξύνει, χαρακτῆρι πεισθεῖσα φωνῆς. τὰ γὰρ τοιαῦτα ἐνεστῶτος ὄντα, προπαροξύνεται. οἷον φέρεσθαι, δέρεσθαι. οὕτω μὲν καὶ τὸ λιτέσθαι ὤφειλε προπαροξύνεσθαι, ὡς ἀπὸ ἐνεστῶτος τοῦ λίτομαι. καταβιβάζει δὲ πρὸ μιᾶς τὸν τόνον, ἐπειδὴ τὰ εἰς θαι τῷ ε παραληγόμενα οὐκ ὄντα ἀπὸ τῶν εἰς μι, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους συλλαβῇ τὸ ι συνεσταλμένον, μὴ δὲ ἐπιφερομένων αὐτῷ, μήτε δύο συμφώνων, μήτε διπλοῦ, παροξύνεται. οἷον λυπέσθαι, πιθέσθαι, ἱκέσθαι. οὕτω καὶ λιτέσθαι οὐ λόγῳ ἐνεστῶτος, χαρακτῆρι δὲ καὶ ὁμοιότητι φωνῆς.

Λιτὴ, λιτανευτή.

Λιτὴ, ἡ παράκλησις. λιτανεύω, λιτανεία. καὶ λιτὴ, πόλις τῆς Μακεδονίας.

Λιτῆρα θαλλὸν, τὸν ἱκέσιον.

Λιτήχθων, ἀπὸ τοῦ προσκυνεῖσθαι καὶ λιτανεύεσθαι.

Λιτὶ, φασὶν οἱ παλαιοὶ, ὅτι προπερισπῶσί τινες τὸ λιτὶ, καὶ ὡς μᾶλλον καλόν ἐστιν ὀξύνειν αὐτὸ διὰ κανόνα τὸν λέγοντα, ὅτι πᾶσα δοτικὴ δισύλλαβος ἐπὶ ὀνομάτων ὀξύνεται, εἰ μὴ ἀπὸ κράσεως ἔπαθε τὴν δισυλλαβίαν. ὡς τὸ κέαρι κῆρι, τῇ ψυχῇ. καὶ ἔαρι ἦρι, τῷ ὄρθρῳ, καὶ τῷ ἀέρι. ἱστοροῦσι καὶ τὸν Ἀσκαλονίτην γραμματικὸν οἴεσθαι, μὴ καταπεπλάσθαι τὸ λιτὶ ἀπὸ τοῦ λιτῷ, ὡς κλάδῳ κλαδὶ, ἀλλὰ ἀπὸ τῆς λὶς εὐθείας κεκλίσθαι, ὃν φασι παραιτητέον. τὰ γὰρ εἰς ις μονοσύλλαβα οὐ μελετῶσι, διὰ τοῦ τος κλίνεσθαι, ἀλλ᾽ ἢ διὰ καθαροῦ τοῦ ος ὡς τὸ λὶς λιός, ἢ διὰ τοῦ νος, ὥστις τινός. ἢ διὰ τοῦ δος, ὡς κτὶς κτιδός. ἀφ᾽ οὗ κτιδέη κυνέη παρὰ τῷ Ποιητῇ. εἴληπται δὲ τῷ λιτὶ κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ ἁπαλῷ, ἢ ἀντὶ τοῦ λιτῷ, οὐ τοὐναντίον ποικίλῳ ἐξ ἀντιφράσεως. ὅπερ οἱ Ἀττικοὶ ληΐδιόν φασι τετρασυλλάβως. περὶ οὗ Τρύφων φησὶν ὡς ἔστι λεῖον λείου, ἐξ οὗ παραγωγὴ διὰ τοῦ διον, λείδιον διὰ διφθόγγου, ὡς γραφείδιον, ἀγγείδιον, καὶ ἐκτάσει τοῦ ε εἰς η λήδιον σὺν τῷ προσγεγραμμένῳ κατὰ τὸ εἴκαζον ᾔκαζον, εἴδειν ᾔδειν. Φιλήμων δὲ τὸ λήδιον ἑρμηνεύσας εὐτελὲς τριβώνιον, ἢ χλαμύδιον παλαιὸν, παροξύνει αὐτὸ, ὡς τὸ σαμνίον. φησὶ γὰρ, ὡς σαμνίον δὲ τὴν προσῳδίαν λέγω. Δίδυμος δὲ καὶ αὐτὸς οὕτω δοξάζων φησὶν, ὡς ἄλογόν ἐστιν ἡ προπαροξύτονος τάσις τοῦ λήδιον. ἐπεὶ αἱ διὰ τοῦ ιον παραγωγαὶ, εἰ μὲν ὦσιν ἐν τρισὶ βραχείαις προπαροξύνονται, θρόνος θρόνου θρόνιον, πτὺξ πτυχὸς πτύχιον. εἰ δὲ δακτυλικαὶ, πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον ψωμίον, ὠτίον. ἔτι δὲ καὶ κλειδίον, παιδίον, οὐ διὰ τὸ διον ὄντα οὐδὲ ταῦτα, ἀλλὰ διὰ τοῦ ιον. τὸ γὰρ δ τοῦ πρωτοτύπου ἐστίν. εἰ οὖν φησιν ἐν τῷ λήδιον δακτυλικὴ ἡ λέξις, δῆλον ὡς πρὸ μιᾶς ὤφειλεν ἔχειν τὸν τόνον. καὶ οὕτω παροξύνεσθαι θελήσας τὸ λήδιον ὁ Δίδυμος, ἀποστερεῖ αὐτὸ καὶ τοῦ κατὰ τὴν παράδοσιν προσγεγραμμένου ι. ἐπεί φησι τοῦ λῆδος πρωτότυπον, ὃ Δωριεῖς λάδος φασὶν, ὡς Ἀλκμὰν, λᾶδος εἱμένα καλὸν, ὅ ἐστι λήδιον ἐνδεδυμένη εὐειδές. ἀπὸ γοῦν τοῦ λῆδός φησι μὴ ἔχοντος τὸ ι, γεγονὸς τὸ λήδιον, οὐδὲ αὐτὸ ἔχει τὸ ι. καὶ οὕτω μὲν οὗτοι. δοκεῖ δὲ ἐκ τοῦ λῆδος καὶ ἡ ἐν Ὀδυσσείᾳ ἡρωῒς Λῆδα καλεῖσθαι. τὸ δέ γε λήδανον παρὰ Ἡροδότῳ, ὅ ἐστι λάδανον, ἐθνικόν ἐστιν, ὡς ἐκεῖνος ἐπισημειοῦται.

Λῖτι, λῖτα, λευκῷ ὑφάσματι, περιβολαίῳ, καὶ ὑποστρώματι, ᾧ καὶ ἐπὶ τῶν νεκρῶν ἐχρῶντο.

Λιτοβόρος, ἁπλῶς τραφείς.

Λιτοίμην, παρακαλέσαιμι.

Digitized by Google

Λιτοῖς, ὀλίγοις, ψιλοῖς, ἁπλέσι, Πολύβιος.

Λιτὸς, ὁ πένης καὶ δημόσιος, ἢ ὁ ἐκ λιτανείας ζῶν, ἢ ὁ ἐπὶ τῆς γῆς κοιμώμενος λιτὸς. σημαίνει καὶ τὸν ἁπλῆ χιτῶνα, καὶ ἀποίκιλον.

Λιτότερος, λιτότης ἡ ἁπλότης.

Λιτούργιον, κακοῦργον.

Λίτρα, ὀβολὸς, οἱ δὲ νόμισμα παρὰ Σικελοῖς, οἱ δὲ ἐπὶ σταθμῶν. οἱ δὲ Ῥωμαῖοι διὰ τοῦ β, λίβρα. * ἔστι δὲ σταθμὸς περιέχων οὐγγίας μὲν ιβ΄. δραχμὰς δὲ ἑκατὸν. κατὰ δέ τινας διὰ καὶ ἐννενήκοντα.

Λίτριον, τὸ ὑφ᾽ ἡμῶν λεγόμενον πηγανόστροφον. οἱ δὲ μέτρον τι μεθ᾽ ὃ ἐπὶ τὸ πήγανον ἄλευρον ἐπιχέουσι.

Λίτρον, ἀντὶ τοῦ νίτρον λέγουσιν Ἀττικοί.

Λιτρὶς, πυξὶς, σωματοδόχος.

Λιτρὸν, κακῶν ἀναιρετικὸν.

Λιτροσκόπους, ἀργυραμοιβοὺς, ἀπὸ Σικελικοῦ ὀνόματος, ὃ καλεῖται λίτρα.

Λίττω, τὸ ἐπιθυμῶ.

Λιτυέρσης, ὄνομα ᾠδῆς.

Λίτυον, ἡ βακτηρία.

Λιτύρα, κυρίνη.

Λιτῶς, ἀσθενῶς, ἁπλῶς, ἢ ἀσφαλῶς.

Λιφαιμεῖ, αἱμορροεῖ, λείπει τῷ αἵματι.

Λιφηροῦντες, ἐν συνδένδρῳ τόπῳ προσφιλῶς διάγοντες.

Λιχάδες, ὄστρεα πάντα. οἱ δὲ, λίθοι καὶ ψῆφοι, καὶ κογχύλια.

Λιχάζει, ἐπιθυμεῖ.

Λιχανὸς, ὁ δεύτερος δάκτυλος, παρὰ τὸ λίαν χαίνειν, ἀπὸ τοῦ πρώτου.

Λιχάξειν, ῥίψαι, βάλλειν. Κρῆτες.

Λίχας, ἀπότομος.

Λιχνεία, πύκνωσις.

Λιχνεύουσα, λίχνως ζητοῦσα.

Λιχνεύειν, λιμβεύεσθαι.

Λιχμὰς, θρίναξ, καὶ ἁπαλὴ πόα, καὶ χαμαιπετὴς, ἣν τὰ ἑρπετὰ ἐπιλείχουσι.

Λιχμώμενος, περιλείχων, ἀπὸ τοῦ λείχων, πλεονασμῷ τοῦ μ. γράφεται δὲ διὰ τοῦ ι.

Λιχμώμενος, ἀντὶ τοῦ λείχων. καὶ λιχμάζων, περιλείχων, ἀποσπογγίζων.

Λιχμήσονται, διὰ τοῦ χ, λείξουσιν. εἶτα περιλιχμησάμενοι τὰ τῶν ἁγίων σώματα. λικμῷ δὲ διὰ τοῦ κ, ἐπὶ τῆς ἅλω.

Λιχνία, λιμβία, ἀπληστία.

Λίχνος, ὁ προαπτόμενος τῶν ὄψων, καὶ κατεπιθυμῶν.

Λίχνος, ὁ λαίμαργος.

Λιχνεύομαι, λιχνεία, παρὰ τὸ λίαν χαίνειν.

Λίχνοι, οἱ πολυπράγμονες καὶ ὀψοφάγοι. ἢ λαίμαργοι, παρὰ τὸ λίαν χαίνειν. ἢ ἰχαίνειν ὅ ἐστιν ἐπιθυμεῖν.

Λιχριφὶς ἀΐξας, ὅ ἐστι πλαγίως, τοῦ συὸς ἴδιον. οὗτος γὰρ σχηματισθεὶς ἐπέρχεται πλήξων.

Λὶψ, ἐπιθυμία, πέτρα, ἀφ᾽ ἧς ὕδωρ στάζει.

Λὶψ, σημαίνει τὸν ἄνεμον, καὶ τὴν ἧτταν., καὶ λιβάδα. ὁ δὲ ἄνεμος λέγεται, καθὰ λείπει ὁ ἥλιος.

Λιψοπροσόνοις, τὰ ἄρμενα τοῖς σχοινίοις.

Λιψύδριον, χωρίον πάρνηθος ἄνυδρον.

Λιώδης, λιθόλευστος.

* Λιωργὸς, κακοῦργος.

ΤΟ Λ. ΜΕΤΑ ΤΟΥ Ο.

ΛΟβαι, χεῖρες. καὶ λόβιον, τὸ ἄκρον τοῦ ἥπατος.

Λοβοὶ, οὐ μόνον τὸ ἐλκύειν, ἀλλὰ καὶ τὸ λύεσθαι παρὰ τῷ Ἱπποκράτει.

Λοβοὶ, τὰ τοῦ ὠτὸς ἄκρα, ἔνθα ἐνείρεται τὸ ἐνώτιον. διὸ καὶ ἐλλόβια λέγονται ἀπὸ τοῦ λοβοῦ, ὡς ἀπὸ τοῦ ὠτὸς ἐνώτιον. γίνεται δὲ ὁ λοβὸς, παρὰ τὸ λαβεῖν. εὔλαβῆ γάρ εἰσιν αὐτὰ δι᾽ ἁπαλότητα. παρὰ δὲ τοῖς μεθ᾽ Ὅμηρον, καὶ μέρος ἥπατος ὁ λοβὸς, καὶ ἀγγεῖόν τι σπερμοδόχον.

Λοβὸς, ὁ μετὰ τῆς πιμελῆς νεφρὸς, ἢ τὰ ἄκρα τῶν ὤτων καὶ τοῦ ἥπατος καὶ τὰ ἄκρα πάντα, ἀλλὰ κυρίως τῶν ὤτων τὸ κάτω, καὶ τὸ ἀγγεῖον ἐρεβίνθου, ἢ κυάμου. καὶ λωβὸς, ὁ βεβλαμμένος, διὰ τοῦ ω μεγάλου.

Λογάδας, τοὺς ἐπιλέκτους. οἱ δὲ τοὺς ὄψεις. ἄλλοι τὰ λευκὰ τῶν ὀφθαλμῶν. οἱ δὲ τοὺς κανθοὺς, καὶ ψήφους λευκάς.

Λογάδην, ἐπιλέκτως. παρὰ Θουκυδίδῃ, σιδήρια λιθουργικὰ οὐκ ἔχοντες, λογάδην φέροντες τοὺς λίθους, συνετίθεσαν ὡς ἕκαστόν τι συμβαίνει. καὶ λογάδες τοῖχοι, οἱ ἐκ λογάδων λίθων ἐκτισμένοι. τουτέστι, τῶν εὐτελῶν καὶ μικρῶν.

Λογάρια, οἱ λόγοι. Ἀριστοφάνης.

Λογὰς, ἐκλεκτὴ, φρόνιμος.

Λογγάσαι, ἐνδιατρῖψαι, στρατεύεσθαι.

Λογγάσια. ἐξ ὧν τὰ πρυμνήσια δέουσι τῶν νεῶν.

Λογγάζει, ὀκνεῖ, διατρίβει.

Λογγασίη, νεὼς καὶ εἰς ἰσυέρεισμα.

Λογγεύειν, βάπτειν.

Λόγγη, τάφος.

Λογγῶνες, οἱ ἐπὶ τῶν λιμένων τρητοὶ λίθοι, ἐν οἷς ἐξαρτῶσι τὰ σχοινία τῶν νεῶν. τοὺς δὲ τοιούτους λίθους καὶ λογγάσια ἔλεγον.

Λογγοῦρος, λίμνη Σικελίας.

Λογεῖον, τὸ μαντεῖον, ὅπερ ἐφόρει ὁ ἱερεὺς, ἐν ᾧ ἦσαν ἐγκεκολαμμένοι οἱ δώδεκα λίθοι. καὶ λογεῖον, τὸ δικαστήριον.

Λογεῖον σημαίνει εἶδος κρατῆρος, καὶ τὸν τόπον τοῦ θεάτρου.

Λογεὺς, ὁ λογογράφος.

Λόγια θέσφατα, μαντεύματα, φυτεύματα, φῆμαι, χρησμοί. καὶ λόγια ἐκλογαὶ, καρποφορίαι, ἐπιλογαί. καὶ λόγια, τὰ παρὰ θεοῦ λεγόμενα κατὰ ἀποσχεδίαν. χρησμοὶ δὲ, οἵτινες ἐμμέτρως λέγονται, θεοφορουμένων τῶν λεγόντων. καὶ λόγια, ἡ συλλογὴ παρὰ τῷ Ἀποστόλῳ, καὶ τὸ ἐκ πολλῶν συνεισφερόμενον. λέγει δὲ, τὴν ἐλεημοσύνην.

Λογίδιον ὑποκοριστικῶς, ἀπὸ τοῦ λόγου.

Λογιεῖται, διαλογίζεται, ἐνθυμεῖται.

Λογίζομαι, τὸ νομίζω, καὶ ὑπολαμβάνω, τὸ ἀριθμῶ καὶ λογαριάζω. ἐξ οὗ λογιστὴς καὶ ὁ λογαριαστής. καὶ τὸ προσλογίζομαι, καὶ ἀνατίθημι. οἷον, τὰ τῶν παίδων ἁμαρτήματα, ὁ θεὸς τοῖς πατράσι λογίζεται, ἀντὶ τοῦ προσλογίζεται καὶ ἀνατίθησι.

Λογίζομαι, τῇ χειρὶ ψηφίζω, ἐνθυμοῦμαι, φημίζω.

Λογικὴν στρηνείαν, ῥητορικὴν φλυαρίαν.

Λογικὸς, ὅστις κατὰ λόγον πράττει, οἷον γραμματικὸς, ῥήτωρ.

Λογικόν ἐστι μέρος, ψυχῆς κριτικὸν, ἐν ᾧ καὶ μόνῳ ἐπιστῆμαι γίνονται, οἷον φρόνησις καὶ σύνεσις καὶ σοφία καὶ τὰ ἑξῆς.

Λόγιον, εἶδος κρατηρίσκου, καὶ ὁ τῆς σκηνῆς τόπος, ἐφ᾽ ὃν οἱ ὑποκριταὶ λέγουσι.

Λόγιος, ὁ τῆς ἱστορίας ἔμπειρος. πεπαιδευμένος, ἢ ὁ πολλὰ εἰδώς. καὶ λόγιος, ὁ διαλεκτικός καὶ λόγιος θεὸς, ὁ λόγου ἔφορος. ὡς καὶ φίλιος, ὁ φιλίας ἔφορος, καὶ ξένιος.

Λογιούμενοι, ἀπαριθμούμενοι.

Λογίσαι, σκέψαι.

Λογισμὸς, ὥσπερ ἡγεμών ἐστιν. ὁ δὲ θυμὸς, καὶ ἐπιθυμία, ὡς ἄλογά τινα ζῶα. νικώμενος οὖν ὁ λογισμὸς ἀπὸ τούτων, ἐκφέρεται τοῦ προσήκοντος, ὥσπερ ὑπὸ τῶν ἵππων. καὶ λογισμὸς, ἡ λογικὴ τέχνη.

Λογισμός ἐστιν ἀόρατος κίνησις, καὶ παραχὴ πράγματος, ἢ δαιμονιώδης εἰκὼν αἰσθητῶν πραγμάτων, συνισταμένη κατὰ διάνοιαν. μεθ᾽ ἧς ὁ νοῦς κινούμενος ἐμπαθῶς λέγει, ἢ πράττει τι ἀνόμως ἐν τῷ κρυπτῷ, πρὸς τὸ μορφούμενον εἴδωλον ἐκ διαδοχῆς ὑπ᾽ αὐτοῦ. ἐπιλογισμὸς δέ ἐστιν, ἐναντίον λογισμοῦ. καὶ λογισμὸς ἡ ἔκτισις, οὐδενὶ κόσμῳ ἑλκύσατο λογισμὸς δῆθεν τῶν βεβιωμένων πραττόμενος. ἢ ἐξέτασις λέγεται λογισμός. ὁ δὲ πλοῦς λογισμῷ τοῦ πρόσω δυοῖν μηνοῖν ξυμβήσεσθαι εἰκασθεὶς, ἀντὶ τοῦ ἀπαριθμήσει. λογισμὸς γὰρ ἡ ἀπαρίθμησις. οἱ δὲ λογισμὸν τοῦ πλήθους ἐποιήσαντο. καὶ Εὐριπίδης, τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον δυοῖν ἐρίζειν, τουτέστιν οὐκ ἔχει πρόφασιν τὸ φιλονεικεῖν.

Λογισταὶ, καὶ λογιστήρια, ἀρχή τις παρ᾽ Ἀθηναίοις οὕτω καλουμένη. ἦσαν δὲ τὸν ἀριθμὸν δέκα, οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις τριάκοντα. ὅταν τὰς ἀρχὰς ἀπόθωνται οἱ ἄρχοντες. λογιστήρια δέ ἐστι, τὰ τῶν λογιστῶν ἀρχεῖα. ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους, καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυστηρίων δηλοῦσι.

Λογισταὶ, οἱ μεθοδικοὶ καὶ περίψηφοι. καὶ λογίσομαι, ἀναψηφίσομαι, ἀναριθμήσω.

Λογιστεῦσαι, ἀπαριθμήσασθαι, ἀναμετρῆσαι οὐ δυνάμενος, ἢ οὐ βουλόμενος λογιστεῦσαι τὰ πεπραγμένα, καὶ μισῆσαι τὰ κακῶς πραχθέντα.

Λογιστὴς, κριτὴς, δοκιμαστὴς, ἐξεταστής.

Λογίστρια, ὀλοθρεύτρια.

Λογογράφος, ὁ λογοποιὸς, ὁ λόγους ποιῶν, καὶ γράφων, καὶ ὁ ψευδῆ συντιθεὶς καὶ γράφων.

Λογοποιὸς, ὁ ὑφ᾽ ἡμῶν ἱστορικὸς λεγόμενος, Ἰσοκράτης.

Λόγον ἔχειν, ἀντὶ τοῦ φροντίζειν.

Λογοποιῶν, πλαττόντων ψευδεῖς λόγους.

Λόγος ἦν, ὅτε τὴν τῆς παρ᾽ ἡμῖν ψευδομυθίας τάξιν εἶχεν. ὡς ὅτε τὸν Αἴσωπον λογοποιὸν ἀκούομεν, ἀντὶ τοῦ μυθοποιόν. παρὰ δὲ τοῖς ὕστερον, ὁ μὲν μῦθος εἰς ψευδολογίαν ἔρριπται. ὁ δὲ λόγος, ἐπὶ τῆς σημερινῆς ἀνθρωπίνης ὁμιλίας τίθεται.

Λόγος ἐστὶν, ὁ ἐνδιάθετος ὁ ἐν καρδίᾳ λαλούμενος, τριχῶς δὲ εἴρηται λόγος. ἐνούσιος, ὁ Θεὸς λόγος. ἐνδιάθετος, ὑπὸ τῶν ἀγγέλων ἡμετέρᾳ διανοίᾳ λαλῶν. λόγος καὶ ὁ προφορικὸς τῆς γλώττης. λόγος δὲ εἴρηται, ἐκ τοῦ λέγειν. λόγος ἐστὶν, ἄγγελος νοήματος, εἰς φῶς ἐκφέρων τὸ νοηθέν. ἔστι δὲ καὶ πεζῆς λέξεως σύνθεσις διανοίας ἀπηρτισμένης. ἔστι δὲ λόγος, φωνὴ σημαντικὴ, ἀπὸ διανοίας ἐκπεμπομένη. λόγος δὲ σημαίνει ιξ. διαφέρει δὲ λέξις καὶ λόγος. λέξις μὲν γὰρ ἄσημος γίνεται, ὡς τὸ βλίτυρι. λόγος δὲ, οὐδαμῶς. διαφέρει δὲ καὶ τὸ λέγειν, τοῦ προφέρεσθαι. προφέρονται μὲν γὰρ αἱ φωναί. λέγεται δὲ τὰ πράγματα, ἃ δὴ καὶ λεκτὰ τυγχάνει. ἀρεταὶ δὲ τοῦ λόγου πέντε, ἑλληνισμὸς, σαφήνεια, συντομία, πρέπον, ἀποσκευή. λόγος καὶ ἡ ὑπόθεσις. Ἀριστοφάνης, Εὐριπίδῃ λόγον παράσχῃς, καὶ τραγῳδία γένῃ.

Λογοτρόπος παρὰ φιλοσόφοις, τὸ ἐξ ἀμφοτέρων σύνθετον. οἷον, εἰ ζῇ Πλάτων, ἀναπνεῖ Πλάτων. ἀλλὰ μὴν τὸ πρῶτον, ἄρα τὸ δεύτερον.

Λόγου τυχεῖν, ἀντὶ τοῦ ἐπαίνου τυχεῖν.

Λογούριον, ὕαλος.

Λόγχαι, ἀπολαύσεις.

Λογχάσιον, εἶδος ὅπλου. καὶ λογχαῖος ὁ μετὰ τῆς λόγχης.

Λογχάδες, τὰ ἐπὶ τῶν ὀφθαλμῶν λευκά.

Λόγχας, λόγας, τὰς μερίδας Ἴωνες λέγουσι.

* Λόγχη, λῆξις, μερὶς, παρὰ τὸ λαγχάνειν.

Λόγχη ἕκαστον σύστημα, ἑνικῶς λέγουσιν, ὡς εἴ τις ἐπὶ πολλῶν ἵππων εἴποι τὴν ἵππον. λόγχη οὖν, σιδήρεον ἀκόντιον.

Λόγχια, τὰ παιδία τῶν θεῶν, κέχρηται τῇ λέξει Ἕρμιππος.

Λογχωτὸν, ἐν ἐπιγράμματι, καὶ τὸ λίθυρσον τὸ λογχωτὸν, καὶ τὸ περισφύριον.

Λόγῳ παρθένοι, τὰ μὴ ὄντα μὲν, λεγόμενα δέ.

Λοέσαι, δοκεῖ μὴ ἐκ περισπωμένου ἐνεστῶτος τοῦ λοῶ λοέσω γενέσθαι, ὅσον κατὰ ἀνάλυσιν ἐκ τοῦ λοῦσαι. κιρναμένη γὰρ ἡ ου δίφθογγος ἐκ τοῦ εο εἰς αὐτὴν, καὶ ἀναλύεται. ἔστι δὲ ὁ πρωτότυπος τοῦ λοέσαι. ἢ λούω καὶ ἐν διαλύσει λοέω, ἢ ἀνάπαλιν. καὶ ἐξ αὐτῶν τὸ λοετρὸν, καὶ τὸ λουτρὸν, καὶ τὸ λόεσθαι λοῦσθαι.

Λοεσσάμεναι, λουσάμεναι. καὶ ἐν διαλύσει τῆς διφθόγγου λοεσσάμεναι. ὁ δὲ πλεονασμὸς τῶν Δωριέων, καὶ Αἰολέων ἐστὶν, ὁμοίως λοεσσάμενος.

Λοετρὰ θερμὰ ἔφη Ὅμηρος πρὸς διαφορὰν τῶν ψυχρῶν. οἷς οἱ καλοὶ ἥρωες ἱδρῶ ἀπεψύχοντο. τὰ δὲ τοιαῦτα, καὶ Ἡράκλεια λουτρὰ ἡ παροιμία ἔλεγεν. ἦσαν δὲ ταῦτα πρῶτα καὶ κυρίως, τὰ ἐκ γῆς αὐτοφυῶς ἀναδιδόμενα, ἐπὶ ἀναψυχῇ φασιν Ἡρακλέους ἀθλοῦντος.

Λοι-

Digitized by Google

Λοετροχόοι. ἰστέον, ὅτι τὸ λοῦσαι καὶ τὸ ἐκχεῖν ὕδωρ, τὸν λοετροχόον συντιθέασι τρίποδα. καὶ ἐμφαίνουσι τρόπον ἐτυμολογικόν. καὶ ἐπισημαντέον, ὡς οὐ μόνον τρίποδες ἐκαλοῦντο λοετροχόοι, ὁποῖος ἐπὶ τῷ Πατρόκλῳ, καὶ ὃς τῷ Ἕκτορι ηὐτρεπίζεται, ἀλλὰ καὶ ἀνδράσι τὸ τοιοῦτον ἐπετέθη ὄνομα. Συβαρῖται γοῦν πρῶτοι ἱστοροῦνται λοετροχόους περιχύτας ἀγαγεῖν, πεπεδημένους τοῦ μὴ θᾶττον ἰέναι, ὥς φησιν ὁ Δειπνοσοφιστής, καὶ ἵνα μὴ σπεύδοντες κατακαίωσι τοὺς λουομένους.

Λοῖα, ἐκκλησία, ἢ ὀλεθρία.

Λοίαξ, ὁ ξηρὸς χόρτος.

Λοιβᾶται, σπένδει, θύει.

Λοιβή, σπονδή, θυσία οἴνου.

Λοιβεῖον, ἐν ᾧ αἱ θυσίαι γίνονται. καὶ λοιβεῖον τὸ θῦμα, ἐκ τοῦ λείβω.

Λοιβαὶ ἐφέστιοι, αἱ ἐν τῇ οἰκίᾳ τελούμεναι.

Λοίγια, ὀλέθρια.

Λοιγὸν, φθορὰν, ὄλεθρον. καὶ λοιγὸς, ὁ ὄλεθρος.

Λοιγὸς, ὁ ὄλεθρος, ἢ ἀπὸ τοῦ λείπω κατὰ τοὺς παλαιούς. ὅθεν καὶ ὁ λοιμός φασιν, ὁ κατὰ νόσον. καὶ φθορεύς. ἢ μᾶλλον παρὰ τὸ λέγω, ὁ λέγων, ὅ ἐστι κοιμίζων εἰς θάνατον. μάλιστα δὲ παρὰ τὸ ὀλίγος, μεταθέσει τοῦ ο, ὁ ὀλιγῶν τοὺς ζῶντας. εἰσὶ δὲ καὶ ἕτεραι μεταθέσεις τοιαῦται, ἐν αἷς φανεῖται εἶναι καὶ ὁ λοῖσθος. ἐκ δὲ τοῦ λοιγὸς καὶ ὁ βροτολοιγὸς, καὶ ὁ αἰθηρολοιγὸς καὶ λοίγιον.

Λοιδίας, ποταμὸς Μακεδονίας.

Λοιδορία ἐστὶν, ὅταν τὶς λόγους ὑβριστικοὺς λέγῃ κατά τινος, κατηγορία, μαρτυρία κακῶν, ἃ μαρτυρεῖ τις κατά τινος. ὀνειδισμὸς δὲ, ἀνάμνησις εὐεργετημάτων, ὧν τις παρέσχετο. καὶ ὀνειδίζειν ῥῆμα.

Λοιδορία, ἡ ἐν φανερῷ κακηγορία, ἢ λαθραία μέμψις. παρὰ τὸ λοιμὸς, λοιμορία, καὶ λοιδορία. ἢ παρὰ τὸ βάλλειν τοῖς λόγοις, ὡς δόρατι.

Λοιδορεῖσθαι τοὺς πονηροὺς, οὐδὲν ἐπίφθονον, ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅς τις εὖ λογίζεται. τοῦτο ἔστι τὸ τοὺς πονηροὺς λοιδορεῖσθαι τιμὴ γίνεται τῶν ἀγαθῶν. εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακὰ, αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἐμνήσθην φίλου. νῦν δ' ἀρίγνωτον γὰρ οὐδεὶς, ὅς τις οὐκ ἐπίσταται. ὅς τις ἢ τὸ λευκὸν οἶδε, ἢ τὸ ὄρθιον νόμον παρὰ τὸ λεγόμενον, εἴ τις οἶδε τὸ λευκὸν καὶ τὸ μέλαν. οἱ δὲ λέγουσιν ἀρίγνωτον κιθαρῳδὸν ὄντα, ᾄδειν τὸν ὄρθιον καλούμενον μόνον, καὶ τὸν λευκὸν, οἵ τινες ἐθαυμάζοντο κατ' ἐκεῖνον τὸν χρόνον. τοῦ δὲ ἀριφράδους, παρὰ φύσιν ἀσελγαίνοντος ταῖς γυναιξί.

Λοιδορισμὸς, ἡ λοιδορία.

Λοιδοροῦμαι, παθητικῶς δοτικῇ συντάσσεται. ἐνεργητικῶς δὲ, αἰτιατικῇ. ἢ λοιδοροῦμαι ὅταν παθητικῶς γράφεται, συντάσσεται δοτικῇ. λοιδορῶ δὲ ἐνεργητικῶς, αἰτιατικῇ.

Λοιδορῶ, καὶ λοιδοροῦμαι, ἄμφω ἐπὶ ἐνεργείας λέγονται. καὶ συντάσσεται τὸ μὲν λοιδορῶ, ὡς ἐπὶ τὸ πλεῖστον αἰτιατικῇ. ἐνίοτε δὲ καὶ δοτικῇ. τὸ δὲ λοιδοροῦμαι, ἀεὶ δοτικῇ.

Λοιδοροῦμαί σοι, καὶ διαλοιδοροῦμαι. λοιδοροῦμαι μόνον ὑπὸ σοῦ. λοιδορῶ, αἰτιατικῇ. ἔστι καὶ παθητικῆς σημασίας.

Λοῖθον, λιμόν.

Λοίκορ, κέγχρος.

Λοιμεύεται, φθοροποιεῖ, βλάπτει. καὶ λοιμὸς, ἡ φθοροποιὸς νόσος, δυσκρασία ἀέρος.

Λοίμη, ἡ φθορά. λύμη δὲ, ἡ βλάβη, ψιλόν.

Λοιμὸς, νόσος μεταδοτικὴ, ἡ φθορά. κυρίως δὲ λοιμὸς, ὁ ἐπὶ κακίᾳ πολὺς, καὶ λοιμὸς, ὁ φθορεύς.

Λοιμώδης, ὁ ὀλέθρου παραίτιος.

Λοιπὴ, τάφος.

Λοιπὸν, ἐπίρρημα.

Λοιπὸν, τὸ ἐπίλοιπον. καὶ ἀντὶ τοῦ διὰ τοῦτο, καὶ ἀντὶ τοῦ, ἀπὸ τοῦ νῦν. καὶ λοιπὸν, ἀντὶ τοῦ ἀκολούθως. γυμνὸν δὲ ἡμῖν τὸ δένδρον ἔδειξε, καὶ ἀπὸ τῆς ῥίζης αὐτῆς σαλευόμενον λοιπόν.

Λοιθῆϊ, ἀπὸ εὐθείας τοῦ ὁ λοισθεὺς, ἐξ ἧς λοιστήϊον ἄεθλιον. οἱονεὶ λοίθειον, ὡς ἀπὸ τοῦ λοιστεὺς, καὶ ἐν διαλύσει καὶ ἐκτάσει, λοισθήϊον.

Λοίσθιος, ὁ ἔσχατος. καὶ λοῖσθος, καὶ λοίσθιον. οἱ μὲν παρὰ τὸ ὄλοισθος, καθ' ὑπερβιβασμὸν τοῦ λ, λοῖσθος, καὶ λοίσθιος, οἷον ἐξολισθήσας καὶ ἐμποδισθείς. ἢ παρὰ τὴν λαίστην, ὃ σημαίνει τὴν λοιδορίαν καὶ αἰσχύνην, λαισθὸς καὶ λοῖσθος. οἷον λοῖσθος ἀνὴρ ὥριστος, ἔχει μώνυχας ἵππους.

Λοιθώνη, θρασεῖα.

Λοίσθωνας, τοὺς ἀκρατεῖς περὶ τὰ ἀφροδίσια.

Λοίσθια ἐπιρρηματικῶς, ἀντὶ τοῦ τελευταῖον.

Λοίσθιον, τὸ ἔσχατον.

Λοιτεύειν, θάπτειν.

Λοιτὸς, λοιμός.

Λόκμη, χλαμὺς ἐφαπτή.

Λοκροὶ, Ἀμφικτύοντος καὶ Χθονοπάτρας ἀπόγονος, Φύσκος. οὗ Λοκρός. ὧν ἀπὸ μὲν Φύσκου, Φύσκοι πρώην, ἀπὸ δὲ τοῦ Λοκροῦ, Λοκροὶ οἱ αὐτοὶ ὠνομάσθησαν. Λοκροῦ δὲ, Ὀποῦς. πρὸς ὃν διενεχθεὶς ὁ πατὴρ Λοκρὸς, ἐᾷ μὲν ἄρχειν ἐκεῖνον, αὐτὸς δὲ εἰς τὰ πρὸς ἑσπέραν τοῦ Παρνασοῦ ἔχων ὑφ' ἑαυτὸν τοὺς ἐκεῖ. οἵ τε ἑσπέριοι, καὶ ὀζόλαι ἐκαλοῦντο, περὶ Αἰτωλίαν ἐπὶ τῆς ἑτέρας φασὶ πλευρᾶς οἰκοῦντες, κατὰ Κρισαῖον πεδίον. ἀφ' ὧν ὕστερον καὶ ἀποικία εἰς Ἰταλίαν ἐστάλη, ἔνθα Λοκροὶ ἐπιζεφύριοι, οὓς Πίνδαρος ἐπαινεῖ, ὡς εὐνομουμένους, καὶ λογίους, καὶ μαχίμους.

Λοκρὸς Αἴας, οὐχ ὁ Σαλαμίνιος. καὶ Λοκρὶς πόλις.

Λόλλαι, τῶν λολλῶν, ὄνομα τόπου.

Λομβοὺς, τοὺς ἀπεσκολυμμένους.

Λόμβαι, αἱ τῇ Ἀρτέμιδι θυσιῶν ἄρχουσαι, ἀπὸ τῆς κατὰ τὴν παιδιὰν σκευῆς. οἱ γὰρ φάλητες οὕτω καλοῦνται.

Λόνδις, βωμολόχος.

Λοξὴ φάλαγξ, ἡ τὸ μὲν ἕτερον κέρας ὁπότερον ἂν προήρηται, πλησίον τῶν πολεμίων ἔχουσα, καὶ ἐν αὐτῷ τὸν ἀγῶνα ποιουμένη. τὸ δὲ ἕτερον ἐν ἀποστάσει δι' ὑποστολῆς ἔχουσα, δεξιὰ μὲν, ἡ τὸ δεξιὸν προβεβλημένη. λαιὰ δὲ, ἡ τὸ λαιόν. ὡς ἐν ἐπιγράμματι, δερκομένη λοξαῖς οἷα λάκαινα κόραις.

Λοξὰ, σκολιὰ, καμπύλα, οὐκ ἐξ εὐθείας γινόμενα.

Λοξίας, ὁ Ἀπόλλων, ἤγουν ὁ λοξὴν ἰαυπέμπων. λοξὰ γὰρ μαντεύεται ὁ Θεὸς, ἢ λοξὴν πορείαν ποιούμενος. ὁ αὐτὸς γάρ ἐστι τῷ Ἡλίῳ.

Λοπὰς, ἡ χύτρα.

Λοπὰς παρὰ Συρακουσίοις, τὸ τήγανον. παρὰ δὲ Θεοπόμπῳ, ἡ σορὸς, καὶ παρὰ τοῖς κωμικοῖς. καλεῖται δὲ οὕτω καὶ ὁ ἐν τῇ Ἑλλάδι γινόμενος λίθος.

Λοπὰς, εἶδος ἀγγείου, πᾶν εἰς ὀξὺ λῆγον.

Λοπᾶσι, κλέπταις.

Λοξοβάμοσι, πλαγίως περιπατοῦσι.

Λόπημα, κάστανα. οἱ δὲ, εὐβοϊκά.

* Λοπὸς, τὸ σκληρότερον καὶ πυκνότερον τοῦ ἐξωτάτου δέρματος. Ἡσύχιος, δὲ καὶ Σουΐδας, πᾶν λέπος, φλοιὸς, δέρμα λεπτὸν, ξηρόν.

Λοπὸς, κρομύου λέπυρον, παρὰ τὸ λέπω, καὶ τούτου οὐ χλωροῦ. παχὺς γὰρ ὁ τοιοῦτος. ἀλλὰ ἰσχαλέου. τοῦτο δέ φασι πρὸς τὸ εὔτονον ἐρρέθη τοῦ χιτῶνος, καὶ ἰσχνόν. ὁ γὰρ χλωρὸς λοπὸς, οὐκ εὐτόνως ἔχει. ἰστέον δὲ, ὅτι τε τὸ ῥηθὲν λέπυρον καὶ λεπτύχανόν φασιν εὑρῆσθαι παρὰ Θεοπόμπῳ τῷ Κωμικῷ. τὸ δὲ αὐτὸ καὶ λόπισμα εἴρηται. εἰ δὲ καὶ τὸ λόπιμον κάρυον παρ' Εὐβοεῦσιν, ὃ μεταξέτεροι κάρυον καλέουσι κατὰ Νίκανδρον, τῆς αὐτῆς σημασίας.

Λοπῶντα, λεπιζόμενον, ἢ λοπιζόμενον.

Λόρδωσις, ἐμπρόσθιον κύρτωμα. ὕβωσις, τὸ μετὰ τὴν κεφαλὴν πρὸ τῆς ῥάχεως πάθος. κύρτωσις δὲ, τὸ μέσον τῆς ῥάχεως.

Λορδὸν, τὸ ὑπόκυρτον, καὶ λορδότατον, τὸ ἀποσεσιμωμένον ἐναντίον τῷ κυρτῷ, ὃ καὶ κυφὸν καλεῖται.

Λόρδος, ἀπεξυλωμένος.

Λοῦ, λοῦσαι. Ἀττικοί.

Λύκα, ῥόφημα ἐξ ἀλφίτων, ὡς καύκωνες.

Λούειν, καὶ λοέειν, διαλελυμένως λέγεται. καθὰ καὶ λουτρὰ καὶ λοετρά. ὧν ὁ τόπος βαλανεῖον, καὶ λουτρὼν, οὗ γενικὴ λουτρῶνος λέγεται.

Λοῦζα βαιθὴλ, ὅ ἐστιν οἶκος θεοῦ.

Λουδεμπιστὴς, ὁ ἄρχων τῶν παιγνίων. λοῦδοι γὰρ τὰ παίγνια παρὰ Ῥωμαίοις.

Λουκιλλιανὸς, ὄνομα κύριον.

Λουκιλεία, τόπος.

Λουκερία, πόλις.

Λουκρητία, χώρα.

Λοῦμαι, πάντες Ἀττικοί. καὶ λούμενος, καὶ λελουμένος, καὶ λοῦσθαι. λοῦται ἀντὶ τοῦ λούεται, Ἀττικόν ἐστιν. Ἀττικοὶ γὰρ ἐξαιροῦσι τὰ βραχέα τῶν τοιούτων.

Λουνὸν, λαμπρόν.

Λοῦσθαι, καὶ ἐλούμην ἐλοῦντο, λοῦμαι λοῦται, λούμεθα λοῦνται, οὕτως οἱ ἀρχαῖοι λέγουσι.

Λοῦσθαι ποταμοῖο ῥοῇσι παρὰ τῷ Ποιητῇ, ὅ ἐστι ῥείθροις, ἀπὸ τοῦ λόεσθαι γίνεται, ἀφ' οὗ καὶ λόετρον. ὅθεν καὶ παρὰ τῷ Κωμικῷ, τὸ, ψυχρᾷ θαλάττῃ λούμενος. οὕτω γὰρ οἱ Ἀττικοί, οὐ μὴν λουόμενος. καὶ προϊὼν δὲ λοέσσομαι λέγει ἐν ἁπλότητι, καὶ ἀπολούσομαι κατὰ συναίρεσιν. ὅτι δὲ καθὰ λόεσθαι λοῦσθαι, οὕτω καὶ λόετρον καὶ λουτρὸν, δῆλόν ἐστι. λοῦτρον μέντοι μοναχῶς τὸ ἀπόλουμα βαρυτόνως, ὃ γλίττον ἄλλοι φασὶν, ὡς δηλοῖ ὁ ἐπιμερίσας οὕτω, γλίον τὸ εὔτονον. γλία, ἡ κόλλα. γλιᾶσθαι, τὸ παίζειν, ἢ προθυμεῖσθαι. γλίττων ὁ ἐν ταῖς ἐμβάσεσι γινόμενος ῥύπος, καὶ σημαίνει τὰς ἐμβάσεις.

Λοῦτον, παρὰ τοῖς Κυπρίοις, τὸ κολοβόν.

Λουσιεὺς, δῆμός ἐστι τῆς οἰνηΐδος. λουσία, ἀφ' ἧς ὁ δημότης λουσιεὺς, ὡς Διόδωρός φησι.

Λουτὴρ, παρὰ τὸ λούω λούσω λέλουκα λέλουμαι λέλουσαι λουστὴρ καὶ λουτήρ.

Λουτρὰ, τὰ εἰς λύσιν ἄγοντα τὰς ἀκαθαρσίας. καὶ γὰρ λύμα καλεῖται ὁ ῥύπος.

Λουτρά οἱ δὲ εἰς πόλιν παρελθόντες λουτρὰ ἔχουσαν, τὰ μὲν χειρότμητα καὶ τετεχνασμένα, τὰ δὲ ἐκ τῶν κόλπων τῆς γῆς ἀναβρύοντα. καὶ ὑπερχεόμενα μεθ' ἡδονῆς, πρὸς ὠφέλειάν τε καὶ τρυφὴν τοῖς φαινομένοις, παραδοὺς ἑαυτὸν κατὰ ῥοῦν φέρεσθαι, δοῦλος ἐγένετο τῆς ἡδονῆς.

Λουτρίδες, αἱ περὶ τὸ ἔδαφος δύο παρθένοι, αἳ καὶ ἀντλαντρίδες λέγονται.

Λοῦτρον, τὸ ἀπόλουμα, τὸ ῥυπαρὸν, ἢ τὸ ἀπόλουτρον. καὶ τῶν βαλανείων πίεται τὸ λοῦτρον.

Λοῦτρον, βαρύνεται. ἐπειδὴ πᾶν ὄνομα εἰς τρον λῆγον ἀπαρασχημάτιστον, βαρύνεται. κέντρον, δένδρον, σεῖστρον. τὸ δὲ λουτρὸν πρὸς διαφορὰν σημαινομένου, ἐπὶ μὲν γὰρ τοῦ τόπου βαρύνεται, ἐπὶ δὲ τοῦ ὕδατος, ᾧ λουόμεθα, ὀξύνεται.

Λουτροφόρους, καὶ λουτροφορεῖν. ἔθος ἦν γαμοῦσι λουτρὰ μεταπέμπεσθαι ἑαυτοῖς κατὰ τὴν τοῦ γάμου ἡμέραν. ἔπεμπον δ' ἐπὶ ταῦτα τὸν ἐγγύτατα γένους παῖδα ἄρρενα, καὶ οὗτος ἐλουτροφόρει. ἔθος δὲ ἦν καὶ τῶν ἀγάμων ἀποθανόντων, λουτροφορεῖν, καὶ ἐπὶ τὸ μνῆμα ἐφίστασθαι. τοῦ δὲ ἦν παῖς ὑδρίαν ἔχων. λέγει περὶ τούτων Δείναρχος, ἔν τε τῷ κατὰ Θεοδότου, καὶ ἐν τῇ κατὰ Καλλισθένους ἀγγελίᾳ. ὅτι δὲ τὰ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν ἐννεακρούνου καλουμένης κρήνης, πρότερον δὲ Καλλιρρόης, Πολυστέφανος ἐν τῷ περὶ κρηνῶν φησι. μέμνηνται δὲ τοῦ ἔθους οἱ Κωμικοί.

Λοφαδία, αὐχήν. οἷον κατὰ τοῦ αὐχένος, ἢ χωρίον, ὃ καλοῦσι λίβυσσαν.

Λόφαλοι, τὰ ἐπὶ τῶν περικεφαλαίων λαμπρὰ ἀσπιδίσκια. λόφοι δὲ αἱ τριχώσεις.

Λοφαμίσκους, τὸ περίπτισμα, καὶ τὸ τῆς γῆς ἔπαρμα.

Λοφᾶς, λόφους πολλοὺς ἔχεις, ὄνομα πεποίηκε νοσήματος. Ἀριστοφάνης, ὡς λεγομένην τινα ὑδερικὰν, σπληνιᾶν, χαλαζᾶν. σημαίνει δὲ, τὸ πλῆθος ἔχειν λόφων.

Λοφεῖον στρογγύλον. Ἀριστοφάνης, τὴν τοῦ κατόπτρου θήκην, ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας.

λαίας. περιφερὴς δὲ αὕτη, ὥσπερ κάστρον. λοφίον, ἐὰν μὲν ὑποκοριστικὸν δηλοῖ ἐλάττονα τῶν στερεῶν λόφων, ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, προπερισπᾶται, καὶ δηλοῖ τὴν θήκην.

Λοφίας, ὁ τράχηλος.

Λοφιὰ, ἐπὶ συὸς κυριολεκτεῖται, καθάπερ ἡ χαίτη ἐπὶ ἵππου, καὶ λέοντος. ἴσως δὲ ἡ λόφουρα. τὰς ὥς φασι τινὲς ἔχουσα λόφους, καὶ οὐράς. πρὸς ὅ ἐστιν εἰπεῖν, ὡς λοφιὰ καὶ λόφος διαφέρει. λέγεται δὲ λοφιὰ ὡς ἐν τῷ λόφῳ οὖσα, ἤ τῷ περὶ τὸν αὐχένα τόπῳ.

Λοφίαν, ἀκρώρειαν, καὶ ἡ ἐπὶ τοῦ λόφου θρίξ.

Λοφία, ὁ ὑψηλὸς τόπος.

Λοφίζω, λόφους, καὶ ὕψος ποιῶ. λοφῶ δὲ, τὸ παύω, μέγα.

Λοφίην, νῶτον, τένοντα, αὐχένα.

Λόφιον τρῆμα, τῶν ὑποζυγίων, ἢ τὸ ἀχθώμιον, ἢ περικεφαλαίῃ, ἔλυτρον, θήκη τοῦ λόφου, καὶ τὰ πρὸς ταῖς ἀμπέλοις φυόμενα, οἷον μύκαι.

Λοφνὶς, ἡ μεγάλη λαμπάς. λιοφνὶς τὶς οὖσα, ἡ λίαν μεγάλη, τουτέστι φαίνουσα, καὶ συγκοπῇ αἰολικῇ λοφνίς.

Λόφος, τὸ περικεφαλαίας ἄκρον, καὶ γῆς ἀνάστημα. σημαίνει καὶ αὐτὴν τὴν περικεφαλαίαν.

Λοφοπωλεῖν, ἐπινεύειν.

Λόφος, τράχηλος, καὶ τὸ τῆς περικεφαλαίας ἄκρον.

Λοφόῤῥωγα, τὸν ἀπεῤῥωγότα τοὺς ὤμους.

Λόφος, ὁ περὶ τράχηλον. ὅθεν τὸ καταλοφάδεια ἐν Ὀδυσσείᾳ. καὶ παρὰ Σοφοκλεῖ, τὸ ὑπὸ ζυγῷ νῶτον. διὰ λόφους φέρειν, ὡς λόφου ἐν τοῖς ζώοις ὄντος, τοῦ κατὰ τὸν τράχηλον μέρους, ᾧ ἐπίκειται ὁ ζυγός.

Λόφους, τοὺς ἱμάντας λέγει Ἀπολλώνιος.

Λοφυδνὸν, ἢ ὀλοφυδνὸν, οἰκτρόν.

Λοφωσὸς, ἐπισήμων.

Λοχαγοῖς, στρατηγοῖς, ταξιάρχαις.

Λοχαῖοι δίφροι, οἷς πρὸς τὸ τεκεῖν ὀψὲ χρῶνται αἱ γυναῖκες.

Λοχεία, ἡ ἐπὶ τῷ τόκῳ ὠδίνη.

Λοχεύει, ἐνεδρεύει, τίκτει, γεννᾷ.

Λοχεύονται, γεννῶσι, καὶ αὐτολόχευτος, αὐτογέννητος, ὁ Θεὸς ὁ ἀγέννητος.

Λοχεία, ἐπὶ γυναικὸς, ὅτε τέξεται. λοχία δὲ, διὰ τοῦ ι ἡ ἐνέδρα.

* Λοχείη κάθαρσις, ἡ μετὰ τὸν τόκον γινομένη.

Λοχεῖα Ἄρτεμις λέγεται, ὅτι δοκεῖ προΐστασθαι τοκετοῦ. τοῦτο δέ φασιν, ὅτι πανσελήνοις εὐτοκώτατοι αἱ γυναῖκες.

Λοχαῖος, κλινόμενος, εὔσιτος, ἀπὸ τοῦ εὐτροφεῖν.

Λόχησις, ἡ ἐνέδρα.

Λοχιᾷ, κρύφαια γεννᾷ, αὔξει. καὶ ἄρτος, τῇ Ἀρτέμιδι γενόμενος, καὶ ἁδροὺς ἀστάχυας ἔχουσι.

Λοχιάδες, αἱ ὗλαι.

Λοχία, μαῖα.

Λοχίαν, τὴν διατραφεῖσαν, καὶ ἁδροὺς στάχυας, ἢ καρποὺς φέρουσαν.

Λοχίζει, ἐπιβουλεύεται.

Λοχίζω, τάσσω εἰς λόχον ἄνδρας. λοχὸς γὰρ καὶ λόχησις, ἡ ἐνέδρα. λοχῶ δὲ, αὐτὸς ἐγώ.

Λοχιθὲν, γεννηθὲν, ἢ σφαγέν.

Λοχίτης, ὁ ἐνεδρεύων. τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιτης γινόμενα, διὰ τοῦ ι γράφεται. οἷον τόπος τοπίτης, λόχος λοχίτης.

Λοχμαία μοῦσα, Ἀριστοφάνης ἐν Ὄρνισι. Δίδυμος, ὅτι ἐγκεκρυμμένοι ἐν ταῖς λόχμαις φωνεῖν εἰώθασιν. ὁ λόγος δὲ, ἀπὸ τοῦ Ποιητοῦ. μοῦσα λοχμαία μέλος ὡς ὀρνίθων. οἰκείως λοχμαίαν μοῦσαν καλοῦσι διὰ μέσου τὸ τῆς φωνῆς μίμημα.

Λόχμας, συμφύτους τόπους. Ἀριστοφάνης, ἔχων τὰς μασχάλας λόχμης δασυτέρας, ὥσπερ τὴν συγκείμενον. ἔθρεφον αἱ γυναῖκες τρίχας, ἵν' ὅταν χειροτονῶσι, δοκῶσιν ἄνδρες εἶναι. καὶ ἀλειψάμεναι τὸ σῶμ' ὅλον, δι' ἡμέρας ἐχλιαίνοντο πρὸς τὸν ἥλιον, ὥστε μελανθῆναι, ὡς ἀνήρ.

Λοχμὴ, δασὺς τόπος, πλαγία, σύμφυτος καὶ λοχμώδης. λοχμὴ, καὶ ξύλοχος, ταυτά ἐστι.

Λόχμιος, ἐν ἐπιγράμματι. λόχμιον ὑλοβάταν, τουτέστι δασύν.

Λόχοι Λακεδαιμονίων φησὶν Ἀριστοφάνης τέτταρες. πέντε γάρ εἰσιν, ὥς φησιν Ἀριστοτέλης.

Λόχον, βούλεται Ξενοφῶν ἐξ ἑκατὸν συντετάχθαι. εἴσεται ὁ ἐκείνῳ ἐντυχὼν εἰπόντι, λόχος ἕκαστος εἰς ἑκατόν. ἡ δὲ τραγῳδία, καὶ ἄλλοι λόχον φασὶ τὸ ἁπλῶς στρατιωτικὸν σύνταγμα. καὶ λοχαγὸν, τὸν τούτου ἄρχοντα.

Λόχος, διττῶς λέγεται. αὐτό τε γὰρ τὸ ἔργον, ἤγουν τὸ λοχᾷν. καὶ τὸ τάγμα τῶν ἀνδρῶν τὸ τόσον, ἐξ οὗ ὁ λόχος ἀπαρτίζεται. καὶ ὅτι τὸ λεγοίμεθα πάντες ἄριστοι, ὅ ἐστιν ἐπιλεγοίμεθα, ῥῆμά ἐστιν, ἐξ οὗ παράγεται ὁ λόχος, ἐν λόχῳ γὰρ ἔκκριτοι ἐπιλέγονται, καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάντες. ἐκεῖ γὰρ οὐ τοσούτου ποσότητος χρεία. ἐτυμολογίας ἔχει τὸ λεγοίμεθα ἐς λόχον.

Λόχος, ἡ ἐνέδρα, ἀπὸ τοῦ τοὺς ἐπιλέκτους εἰς τοῦτο ἀποθετεῖν, ἢ ἀπὸ τοῦ λέξασθαι. καὶ γὰρ οἱ τοιοῦτοι ἐπίλεκτοι διεκρίνοντο εἰς τὰς ἐνέδρας.

Λόχος, παρὰ τὸ λέγω τὸ ἐπιλέγω, ἐν ᾧ εἰσιν ἐπίλεκτοι. καὶ ὡς νῦν φησιν ὁ Ποιητὴς, ἀριστεῖς. σημειωτέον δὲ, ὅπως ἐνταῦθα ὁ Ποιητὴς παρέφρασεν. ἡ ἡρμήνευσε τὸ, ἢ ὁδὸν ἐλθέμεναι, ἢ ἀνδράσιν ἶφι μάχεσθαι. τὸ δὲ λόχον δ' ἰέναι, ταυτόν ἐστι τῷ ὁδὸν ἐλθεῖν.

Λόχον δ' ἰέναι, παρ' Ὁμήρῳ σὺν ἀριστεῦσι, τὴν ἐξ ἐπικρύψεως ἐπίθεσιν σημαίνει.

Λόχους, ἔνιοι μὲν τὸ ἐξ ἀνδρῶν ὀκτὼ σύστημα λέγουσιν. οἱ δὲ, τὸ ἐξ ἀνδρῶν δώδεκα. οἱ δὲ, τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος, ὃ καὶ τέλειόν φασι καὶ σύμμετρον. καὶ λοχαγὸς, προστάτης, καὶ ἡγεμὼν, ὁ αὐτός ἐστι πρῶτος καὶ ἄριστος τοῦ λόχου. παρὰ δὲ Λακεδαιμονίοις ὑπῆρχον τέσσαρες λόχοι. οἷς ἐκέχρητο ὁ Βασιλεὺς, ὡς εὕρηται παρὰ τῷ Ἀριστοφάνει. γνώσεσθ' ὅτι καὶ παρ' ἡμῖν εἰσι λόχοι τέσσαρες μαχίμων ἀνδρῶν, ἔνδον ἐξωπλισμένων. καὶ καταλοχίσαι, τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ.

Λοχῶ, λοχήσω, δοτικῇ. ἁπλοῦν, καὶ ἐλόχησα.

Λοχοῦντες, ἐνεδρεύοντες.

ΤΟ' Λ'. ΜΕΤΑ' ΤΟΥ' Υ'.

Λύτα, στάσις, διαφορά.

Λυάζει, φλυαρεῖ, μωρολογεῖ, στασιάζει.

Λυαῖος, ὁ κατὰ οἶνον Διόνυσος καλῶς λυαῖος ἐπωνομάσθη, ὅ ἐστι στασιαστής. παρὰ τὸ εἴρειν εἰς ἓν γέγονεν. ἐκείνη δὲ παρὰ τὸ λύειν. ὀρθῶς δὲ καὶ ταύρῳ παρά τε τοῖς ἄλλοις καὶ Λυκόφρονι. εἶτι δὲ καὶ παρδάλει.

Λυβάζειν, λοιδορεῖν.

Λύβας, Λύβατος, Λυβὴρ, ὀνόματα κύρια.

Λυβρὸς, λυέμβος, ὁ ἐνιαυτὸς, ἐκ μεταφορᾶς τῶν λύκων τῶν βαινόντων κατὰ οὐράν.

Λύγαια, τὰ περὶ ταῖς χερσὶ ψέλλια.

Λυγαίας, σκοτεινῆς. λύγη γὰρ, ἡ νύξ.

Λυγαῖος, σκοτεινός. λυγαῖος δὲ ἦν ὁ τόπος αὐτοῖς. καὶ λυγαῖον τὸ φοβερόν.

Λυγαίοις, σκοτεινοῖς, κατὰ μετωνυμίαν. λύγος γὰρ τὸ σκότος, ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ, ὅπερ ἐστὶ πυκνὸν καὶ δασὺ καὶ μέλαν. καὶ τὸν ἐνιαυτὸν λυκάβαντα, οἱονεὶ λυγάβαντα. ἐπεὶ μετὰ λυγῆς βαίνει. Σοφοκλῆς, ἀπ' αἰθέρος δὲ, κἀπὸ λυγαίου νέφους.

Λυγγανόμενον, αὔξοντα ἐν τῷ κλαίειν.

Λύγδαμις, ὄνομα. οὗτος ἔκαυσε τὸν ναὸν τῆς Ἀρτέμιδος.

Λύγδη, τὸ δένδρον ἡ λεύκη. καὶ οἱ ἄλλοι φησὶ τῶν νεῶν λύγδος.

Λύγδην, λύζοντες, ἀντὶ τοῦ ὁμοῦ.

Λύγδινα, κέντερνες. ἔτι κεῖνα τὰ λύγδινα κώνια. ἔστι δὲ εἶδος λίθου, ἡ λύγδος.

Λυγίζεται, συνδέδεται, στρέφεται.

Λυγιζόμενος, στρεφόμενος, καλυπτόμενος.

Λυγίζω, διασείω.

Λυγιξεῖν, δυσμικῶς. Θεόκριτος, κατ' ἄχεο δάφνι λυγιξεῖν, ἤγουν λυγίσειν, νικήσειν, καταπαλαίσειν, καὶ κάμψειν. κυρίως δέ ἐστι, τὸ τοῖς λύγοις δεσμεῖν. σημαίνει καὶ τὸ θλᾶν. ἁπαλὸς γὰρ ὢν ὁ λύγος, εὔθλαστός ἐστι.

Λύγισμα, αἰσχρὰ φωνὴ, βδελυρὸν ᾆσμα.

Λυγίσμασιν, ἐπικάμψεσι, συγκλάσμασι.

Λυγισμὸς, ἀνάκλασις τῶν μελῶν.

Λυγισμῶν, παρὰ τῷ Ἀριστοφάνει γράφεται. καὶ καμπῶν, τουτέστι παραλογισμῶν. τὸ δὲ κάμπτειν, ἅμα μὲν πρὸς τὰ μέλη, ἅμα δὲ πρὸς τὸ ἐξελίττειν καὶ ἀναδύεσθαι. Ὅμηρος, δίδη μόσχοισι λύγοισι. Δίδυμος δὲ λυγισμῶν, ἀπὸ τῶν συνδέσεων τοῦ λόγου.

Λυγκαίη, πόλις Μακεδονίας.

Λυγκαίνουσα, ἀναβλύζουσα, στενάζουσα.

Λυγκαστήσει, αὔξει παραπλησίως. ἢ λυγκάσαι, ῥεῦσαι.

Λυγκεὺς, εἶδος θηρίου.

Λυγκεὺς, ὀξυδερκέστατος ἐλέγετο, ὥστε καὶ τὰ ὑπὸ γῆν ὁρᾶν. οὕτω μὲν μυθολογοῦσι. πρὸς δὲ τὸ πιθανὸν τοῦ λόγου, ἐπινενόηται ὅτι πρῶτος οὗτος εὗρε μέταλλα χρυσοῦ, καὶ σιδήρου, καὶ τῶν ἄλλων. ἐν δὲ τῇ μεταλλάσει λύχνους μεταφέρων ὑπὸ γῆν, τοὺς μὲν κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν, καὶ τὸν σίδηρον, καὶ τὰ λοιπά. ἔλεγον οὖν οἱ ἄνθρωποι, ὅτι Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ, καὶ καταδύων ἀργύριον περιφέρει.

Λυγκήϊον ἄργος λέγεται, ἀπὸ Λυγκέως τοῦ βασιλεύσαντος Ἄργους.

Λυγμὸς, ὀλολυγμὸς, θρῆνος, ἀνανυγμός.

Λύγξ, τόξον, καὶ ζῶον.

* Λύγξ καὶ λυγμὸς, κίνησις τοῦ στομάχου σπασμώδης, δι' ἄμετρον κένωσιν ἢ πλήρωσιν γινομένη.

Λύγοισι, φυτῷ τινι ἱμαντώδει. ὃ ἡμεῖς κύτινον λέγομεν.

Λύγος, τὸ σκότος, ὕστερον εὗρον τοῦτο. καὶ λυγὸς, ἀπὸ τοῦ λύειν τὴν αὐγήν. καὶ τὸ κατακρύπτεσθαι, ὑπολυγίζεσθαι λέγουσι. σημαίνει δὲ καὶ φυτόν.

Λύγος, τὸ ἱμαντῶδες φυτόν. καὶ λυγὸς ὄργανον, ἐν ᾧ τὰ καλλώμενα ἐμβάλλεται. οἱ δὲ τὸ στρεβλωτήριον ὄργανον.

Λύγος μὲν λέγεται, ὁ ἁπαλὸς κλάδος. λιγὺς δὲ, ὁ ὀξύφωνος. ἐξ οὗ καὶ λιγεῖα, καὶ λιγυρὸν μέλος. λοιγὸς ποιητικῶς, ὁ ὄλεθρος. ἐξ οὗ λύγοισι, καὶ βροτολοιγὸς ἄρης.

Λυγρὸν, ἀντὶ τοῦ λίαν ὑγρόν. λέγεται δὲ οὕτω τὰ κακὰ, ὡς λύπην ἐμποιοῦντα. ἐκ γὰρ τῶν ὑγρῶν καὶ ψυχρῶν φασι τὰ λυπηρὰ, ἐκ δὲ τῶν θερμῶν τὰ ἡδέα.

Λυγρὸς, χαλεπὸς, ἢ ἀσθενὴς, ὀλέθριος, κακὸς, ἰσχυρὸς, πενθικὸς, ἐλεεινός.

Λυδεία ἐσθὴς, τὰ λύδεια ὑφάσματα. καὶ λυδεία λίθος, ἡ βασανίζουσα τὸν χρυσόν.

Λυδείας μαχαίρας, τὰς μυεργεῖς.

Λυδία χώρα, ἡ καὶ Μεωνία. λυδία λίθος, ἡ καὶ βάσανος λεγομένη, ἡ τὸν χρυσὸν βασανίζουσα. καὶ λύδιον ἅρμα, τὸ ταχύ. ἐξ οὗ καὶ παροιμιωδῶς λέγομεν, ὡς πεζὸς θεῖ παρὰ λύδιον ἅρμα. καὶ λύδιος τόνος, ἐν μουσικῇ, ὁ νῦν λεγόμενος ἦχος. λυδὸς δὲ ἀνὴρ, ὁ ἀπὸ τῆς Λυδίας.

Λυδίζων, χωρεύων κατὰ τοὺς Λυδούς. οἳ σώζονται μὲν, διεσκεδασμένοι δέ εἰσι.

Λυδικὴ λίθος, σίδηρον πόλοθεν προσηγάγου. αὕτη γὰρ τὸν σίδηρον ἐπισπᾶται. ἡ δὲ μαγνῆτις, διασπᾶται τὴν ὄψιν, ὡς δοκεῖν ἀργύρεον εἶναι.

Λύδιον μέλος, ὥσπερ καὶ δώριον καὶ φρύγιον.

Λυδείῳ νόμῳ, ἀντὶ τοῦ μαντικῷ. οἱ γὰρ Λυδοὶ, μάντεις ἐδόκουν εἶναι. ἢ λυδῷ, ἀντὶ τοῦ μυσῷ. εἰσὶ γὰρ Λυδῶν ἄποικοι καὶ μαντικώτατοι. ἢ ἐπεὶ τὰς κεφαλὰς οἱ Λυδοὶ, ἄμπυξιν ἐκοσμοῦντο.

Λυδοὶ, οὕτοι τὰς θέας διαιρεῖν λέγονται. ὅθεν καὶ Ῥωμαῖοι, λούδους φασί.

Λύει, ἀντὶ τοῦ λυσιτελεῖ. λύει δὲ χαλινὸν παρθενίας, ἀντὶ τοῦ διακορεῖ.

* Λυει-

* Λυεντωρία, ὅρα λεσχηνεία.

Λύη, στάσις, μάχη, διαφορά.

Λύζει, ἐὰν μὲν μετὰ τοῦ ζ ὀλολύζει. ἐὰν δὲ χωρὶς τοῦ ζ λύει, ὅπερ ἐστὶν ἀδημονεῖ. ἢ λύζει, ἀντὶ τοῦ ποιὰν φωνὴν τραχεῖαν ἀφίησιν. ἢ λυγμῷ συνέχεται, λύζει καὶ δακρύει, καὶ λέγει πρὸς τοὺς φίλους. ὡς ἐν ἐπιγράμματι, καὶ γοερὸν λύζων ἐστονάχιζεν ἔρως. καὶ λύγδην ἐπίρρημα, ἐκ τοῦ λύζω.

Λύζει, λυθάζει, κυλινδεῖ.

Λύζω, τὸ τῷ κοινῶς λεγομένῳ κλώζω κατέχομαι.

Λύη, ἐπιστάσεως, παρὰ τὸ λύειν τὴν ὁμόνοιαν. καὶ λύμη, ἡ φθορά, ἡ λύουσα τὸ σῶμα ὅθεν καὶ λυμαίνω.

Λύθεν δὲ οἱ ἅψεα. Ὅμηρος, λυσιμελὴ δηλοῖ τὸν ὕπνον ἐξεῖναι λέγεσθαι, μὴ μόνον καθότι λύει μελεδήματα θυμοῦ, ἀλλὰ καὶ κατὰ τὸ λύειν τὰ μέλη, ὅπερ ἐστὶν ἅψεα.

Λύθη ψυχή τε μένος τε παρ' Ὁμήρῳ. ἰστέον, ὅτι ἐξ Ὁμήρου λαβόντες οἱ ὕστερον, καὶ αὐτὸ δὴ μόνον τὸ λυθῆναι, ἀντὶ τοῦ θανεῖν ἔφρασαν. ὡς δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ, ἔθανες, ἀπελύθης. καὶ ἐν τῷ, ποίῳ ἀπελύσατο τρόπῳ.

Λύθρον, μιασμὸν τὸν ἐξ αἵματος. καὶ γίνεται ἀπὸ τοῦ λύω. ἀφ' οὗ καὶ λῦμα, τὸ κάθαρμα. καὶ ἄλλως δὲ φράσαι λύθρον ἐστίν, ἀκαθαρσία αἵματος μετὰ κόνεως δεομένη λύματος, ἤγουν καθάρσεως. γράφεται δὲ διὰ τοῦ θ πρὸς διαστολὴν τοῦ λύτρου. ὃ ἐπὶ αἰχμαλώτων τίθεται. ἄλλως, λύθρῳ, φόνῳ, ἢ τῷ ἐκ μάχης μολύσματι συνισταμένῳ δι' ἱδρῶτος καὶ κόνεως καὶ αἵματος.

Λύθρος, φόνος, ἢ ὁ ἐκ τοῦ αἵματος μολυσμός, συνιστάμενος δι' ἱδρῶτος, καὶ κόνεως, καὶ αἵματος μετὰ ἰχῶρος ὡς ἐν ἐπιγράμματι. ὅπλα δέ, λύθρῳ λειβόμενος βροτέῳ σηκὸς ἄρης ἔχοι.

Λύκαια ἆθλα, ἐν Ἀρκαδίᾳ τελεῖται, ἀνακείμενα τῷ λυκαίῳ Διΐ. δίδοται δὲ ἐν τούτοις τρίπους χαλκοῦς. πολλοὶ δὲ ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ, λύκαιοι, κόρεια, ἀλέαια. ἐν δὲ Θήβαις, τὰ Ἡράκλεια. τὰ δὲ αὐτὰ καὶ Ἰολάεια καλεῖται. ἐν μὲν Θεσπιαῖς, ἐρώτια. ἐν δὲ Λεβαδείᾳ, τὰ καλούμενα βασίλεια. ἄλλως. ἐν Βοιωτίᾳ τελοῦνται διάφοροι ἀγῶνες. ἐν μὲν Θεσπιαῖς, ἐρώτια. ἐν δὲ Πλαταιαῖς, τὰ ἐλευθέρια. ἐν δὲ Λεβαδείᾳ, τροφώνια. ἐν δὲ Ὠρωπῷ, τὰ ἀμφικάϊα. ἐν Πελλήνῃ τῆς Ἀχαΐας ἀγὼν, ὁ καλούμενος θεοξένια. τινὲς δὲ τὰ ἕρμαια. τὸ δὲ ἆθλόν ἐστιν χλαῖνα. ἐν δὲ Αἰγίνῃ, τὰ αἰάκια.

Λύκαινα, εἶδος θηρίου.

Λυκαιχλίας, ὁ λυκόβρωτος.

Λυκάβας, ὁ ἐνιαυτός. οὐ μόνον διὰ τὸ λυγαίως, ὅ ἐστι λεληθότως, καὶ οἷον σκοτεινῶς παρέρχεσθαι, ἀλλὰ καὶ διόσι αἱ κατ' αὐτὸν ἡμέραι, καθ' ὁμοιότητα διαβάσεως λύκων ἀλλήλων ἔχοντας. πιστεύεται γάρ φασι τοὺς λύκους διαβαίνοντας βίαιον ποταμόν, ἐνδακόντας τὴν κέρκον τῶν ἀεὶ προηγουμένων, τοὺς ἑπομένους στιχοιδὸν διανήχεσθαι. καὶ οὕτω μὴ παρασύρεσθαι τῷ ποταμῷ ἄλλον ἀλλαχοῦ, ὡς Αἰλιανὸς ἱστορεῖ.

Λυκαβηττὸς, καὶ παρνασῶν μεγέθη, τουτέστι τὸ χρηστὰ διδάσκειν. ἐπὶ τῶν εἴς τι μεγαλαυχούντων, Ἀριστοφάνης.

Λυκαβηττὸς, ὄρος τῆς Ἀττικῆς. εἴρηται δὲ οὕτω, διὰ τὸ λύκοις πληθύειν.

Λυκαμβὶς, ἀρχή. ὁ Κρατῖνος ἐν νόμοις τὸν πολέμαρχον δηλῶν, πρὸς ὃ ἀπεγράφοντο τὰς τοῦ ἀποστασίου δίκας. λυκαμβίδα δὲ εἶπε, τὴν ἀρχήν.

Λυκαΐδες, παρθένοι τινές.

Λυκαονία, χώρα.

Λυκαονίδαο σῆμα παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ υἱοῦ τοῦ Λυκάονος, ἤγουν τοῦ Μαινάλου. ἀφ' οὗ τὸ ὄρος Μαίναλον σῶμα, ἀντὶ τοῦ σῆμα, τουτέστι μνῆμα.

Λύκαστος, πόλις.

Λυκάστιαι, χωρίον τῆς Λευκοσυρίας. ἀφ' οὗ Λυκαστίας, εἶπε τὰς Ἀμαζόνας.

Λύκαστον ἀργινόεντα, τουτέστι λευκόγειον, ἀργιλώδης γάρ πως ἡ ἐκεῖ γῆ. ταυτὸν δὲ ἀργινόεντα, καὶ ἀργιλώδη, διὰ τὴν τοῦ ν καὶ τοῦ λ συγγένειαν, τὴν δηλουμένην καὶ ἐν τῷ νεογιλός, ὁ οἷον νεογινός, καὶ ἐν συγκοπῇ νεογνός. καὶ ἐν τῷ Ἀθήνη. ἀθήλη γάρ φασιν ἐκείνη, ὡς μὴ θηλάσασα. ὠνόμασται δὲ Λύκαστος, ἀπὸ λυκάστου αὐτόχθονος, ἢ παιδὸς Μίνωος. ἔστι δὲ ποντικὴ λύκαστος, κατὰ τὸν γραφέα τῶν ἐθνικῶν.

Λυκαονία, καὶ Λυκαρνία, χωρῶν ὀνόματα.

Λυκάων, κοινῶς μὲν κύριον ὄνομα, πολλοῖς προσώποις τεθέν, ὧν ἔκ τινος καὶ χώρα Λυκαονία. παρὰ δὲ τοῖς ὕστερον, καί τι πάθος νυκτιπλάνον, ἀσχολοῦν περὶ μνήμασι, οὕτω καλεῖται.

Λυκία, ἀγὼν ἐν Ῥώμῃ. συνήθεια δέ ἐστιν αὐτοῖς, δορὰς ἔπαθλον διδόναι.

Λυκέη, λύκου δορά.

Λυκεῖον, φοβερόν.

Λύκειον, Διογένης ἐν τῷ κατὰ τιμοκράτους, ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων ἐστὶ τὸ λύκειον.

Λύκειος. λύκειον δὲ οὐδετέρως, γυμνάσιον ἐν Ἀθήναις. λέγεται ἔτι λύκειος Ἀπόλλων, ἢ διὰ τὸ ἐν Λυκίᾳ τῇ πόλει τιμᾶσθαι αὐτόν, ἢ διὰ τὸ λύκον αὐτῷ ἱερὸν εἶναι. ἢ ὅγε κρεῖττον, διὰ τὸ λυκόφως ποιεῖν τῆς νυκτὸς ὑποχωρούσης. Ἀπόλλων γὰρ ὁ Ἥλιος.

Λυκεῖον ποτὸν, ἀπὸ κριθῆς τῆς ὑπὸ Ἀπόλλωνος εὑρεθείσης, ὑπὸ λύκων πινομένης, ἀπὸ οἴνου καὶ μέλιτος.

Λυκηγενὴς Ἀπόλλων, κατὰ τὸν μῦθον, οἱονεὶ λυκιγενής, ὡς ἐν Λυκίᾳ γεγονώς. ἢ τῇ μεγάλῃ κατά τινας, ἢ τῇ μικρᾷ, ἧς Πάνδαρος ἦρχεν. ἀφ' ἧς καὶ ὁ πατὴρ Λυκάων παρωνόμασται. εἰς ἣν φασι μετὰ τὸ γεννῆσαι ἀπηλλάγη ἡ Λητώ, τὴν τῆς Ἥρας ζηλοτυπίαν ἐκκλίνασα. καὶ ἄλλως, λυκηγενὴς λέγεται, ὅτι λύκος φασὶν ἐπεφάνη τῇ Λητοῖ, ἐν τῷ τοκετῷ, ὅθεν καὶ παῖδα τὸν ἐξ αὐτῆς Ἀπόλλωνα ἐπωνόμασε, καὶ λυκηγενῆ. διὸ καὶ Ἀπόλλωνι κατὰ μῦθον ὁ λύκος ἀνεῖτο, καὶ νομίσματι ἐνεχαράττετο. καὶ λύκειος δὲ ἀπ' αὐτοῦ ἐκαλεῖτο, αὐτός τε ὁ Ἀπόλλων, καὶ ἀγορά τις ἐν τῷ Ἄργει. καὶ ἄλλως. ὥσπερ ὁ κύκνος ἱερεῦται τῷ Ἀπόλλωνι, ὡς Ἡλίῳ, διὰ τὴν λευκότητα, καὶ ὁ κόραξ διὰ τὴν νυκτερινὴν μελανίαν, ἧς οἷα καὶ μητρὸς ἀπογεννᾶται, οὕτω καὶ λύκος ἀνάκειται αὐτῷ, διὰ τὸ μέσον εἶναι ἀμφοῖν τὸ λύκειον χρῶμα. τεφρῶδες γάρ, καὶ οὔτε φαιόν, οὔτε ἄκρως μέλαν, ἀλλ' οἷόν τι τὸ πρὸ τῆς κροκοπέπλου ὑπονύκτερον χρῶμα. ὃ καὶ λυκόφως, ἡ καθωμιλημένη γλῶσσα καλεῖ.

Λυκηθμὸς, ἡ τῶν λύκων βοή.

Λυκηγενὴς Ἀπόλλων. δῆλον ὅτι ἐλέγετο, καὶ διὰ τὴν μικρὰν Λυκίαν, τὴν μικρὰν λεγομένην Τροίαν. ὡς ἐν τοῖς περὶ Πινδάρου δηλοῦται.

Λύκις, κωμῳδίας Ποιητής, ὡς ψυχρὸς κωμῳδεῖται παρὰ τῷ Ἀριστοφάνει.

Λυκιάδες κόραι, τὸν ἀριθμὸν τριάκοντα, αἳ τὸ ὕδωρ κομίζουσιν εἰς τὸ Λύκειον.

Λυκιοντέρας, τὸ τοῦ λύκου. λύκειον δὲ δῶμα, δίφθογγον.

Λύκιος, κολοιοῦ εἶδος.

Λυκίαν, τὴν Τρωϊκὴν Ὅμηρος Λυκίαν λέγει.

Λύκειον, πόλις Θετταλίας. ἔνθα λύκος ἐπιὼν τῆς πόλεως, ἀπελιθώθη. γράφεται δίφθογγον, τῷ λόγῳ τοῦ λάγειον.

Λυκηλάτης, τὰς ἐγχέλεις.

Λυκίσκος, ἡ μὴ ἔχουσα ἐξονίσκον τροχιλία. τρῆμα δὲ μόνον, ἢ ἄνοδος δώματος.

Λυκοβατίας, δρυμὸς ἐν ᾧ οἱ λύκοι διατρίβουσι.

Λυκοειδὲς, τὸ πρὸς τὴν ἕω.

Λυκοειδής, διάλευκος.

Λυκοῖρια, ἐκ λυκείου δέρματος πεπονημένα.

Λυκόζειοι, ἐθνικόν.

Λύκοι, μάνδαλοι θυρῶν.

Λυκοκτόνος, Ἀπόλλων λέγεται, ὅτι λύκους αὐτῷ ἔθυον. λέγεται καὶ ἡ ἀγορὰ λύκειος, τόπος ἐν Ἄργει, ἔνθα συνηθροίζοντο οὕτως ὀνομαζόμενος. ἣν δὲ ἀφιερωμένος τῷ Ἀπόλλωνι. λέγεται δὲ καὶ ὁ Ἀπόλλων.

Λυκομίδαι, γένος ἰθαγενῶν.

Λυκόποδες, οὕτως ἐκάλουν τοὺς τυράννων δορυφόρους. τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔβαλλον. λυκόποδες δὲ ἐκαλοῦντο, ὅτι διαπαντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι κεκαλυμμένους, ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. ἢ διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον λύκον. καὶ Ἀριστοφάνης, τοὺς ἀλκμαιωνίδας φησί.

Λυκορραίστης, ὁ τοὺς λύκους διαφθείρων.

Λυκόοργος, ἐντελές ἐστι τοῦ λυκοῦργος, οὐ μὴν τὸ λυκόεργος. λύκου γὰρ ὀργὴν, ἔστι μὲν εἰπεῖν, ἔργον δὲ οὔ. ἐπὶ γὰρ ἀνθρώπων μόνων κυριολεκτεῖται τὸ ἔργον. ἰστέον, ὅτι μέμνηται ὁ Ποιητὴς ἔτι καὶ Λυκούργου τινὸς γενναίου ἀνδρός, ὃν λέγει Δρύαντος υἱόν.

Λύκος, ποταμὸς ὁμώνυμος τῷ Βασιλεῖ. ῥεῖ δὲ διὰ τῆς τῶν Μαριανδυνῶν χώρας.

Λυκόστρατος, ὁ μόναρχος παρὰ Ἱπποχάρμῳ.

Λύκος κεχηνώς, φλυάρους δοιοὺς τρόπους. λύκος ἐστὶν ἥρως μορφὴν ἔχων τοῦ θηρίου.

Λύκος, τὸ τοῦ ἱερέως ἄνθος, καὶ ποιὸς ἰχθύς, καὶ τὸ ἐν τοῖς χαλινοῖς σιδήριον, καὶ ὁ ἅρπαξ τῶν εἰς τὰ φρέατα καθίσκων, καὶ ὁ τῆς θύρας μάνδαλος, καὶ ἀράχνιόν τι, καὶ εἷς τῶν Τελχίνων ποταμός.

Λυκοῦργος, εἷς τῶν δέκα ῥητόρων, οὗ πάππος Λυκοῦργος ὁ νομοθέτης.

Λυκοφύλιοί εἰσιν, αἱ διαλλαγαί. λυκοφυλίως, ἀντὶ τοῦ ὑπόπτως, καὶ ὑπούλως.

Λυκόφρων, δεινόφρων, ὑψηλόφρων.

Λυκόφανον, τὸν ἐχινόποδα.

Λυκόφως, τινὲς τὸ σκοτεινὸν λέγουσιν. οἷον, λυγαῖον διαλελυμένον φάος, ἢ αὐγὴ διαλυθεῖσα, ἢ μετέχον σκότους καὶ φωτός. ἀπὸ μεταφορᾶς τῶν λύκων, οἵτινες τὸ μὲν κάτω μέρος, τὸ πρὸς τῷ δέρματι λευκὸν ἔχουσι, τὸ δὲ ἄνω, μέλαν.

Λυκτὰ, οὐκ ἀνεκτά.

Λύκτος, ἧς ἐπίνειον ἡ λεγομένη Χερρόνησος, ὠνόμασται ἀπὸ Λύκτου υἱοῦ Λυκάονος, ὡς ὁ γράψας τὰ ἐθνικὰ ἱστορεῖ. ἔνιοι δέ φασι λύττον αὐτὴν καλεῖσθαι, ὡς ἐν μετεώρῳ τόπῳ κειμένην. τὸ γὰρ ἄνω καὶ ὑψηλόν, λυττόν φασι.

Λύκων φεισόμεθα μᾶλλον, ὑπὲρ τούτων: ἔστι καὶ παροιμιῶδες. ἐπεὶ τοὺς λύκους ἀπέκτεινον τὸ παλαιὸν ἐν τῇ Ἀττικῇ, καὶ νόμος ἦν λυκοκτονεῖν. διὸ ὁ μὲν φονεύων λύκου τέκνον, τάλαντον ἐλάμβανεν, ὁ δὲ τέλειον, δύο. ὅθεν καὶ τὸν Ἀπόλλωνα, λύκειον καὶ λυκοκτόνον φασί.

Λυκώπεος, αἰολικῶς παροξύνεται. ἐπεὶ γὰρ οἱ Αἰολεῖς Ἀχίλλευς καὶ Πήλευς λέγουσι βαρυτόνως, ὁμοίως καὶ λυκώπευς. διὰ τοῦτο ἡ τῶν εἰς ευς γενικὴ παρ' αὐτοῖς παροξύνεται.

Λυκωρείοιο, , ἀντὶ τοῦ δελφικοῦ κεῖται παρὰ τῷ Ἀπολλωνίῳ. οἱ γὰρ Δελφοὶ τὸ πρῶτον Λυκωρεῖς ἐκαλοῦντο, ἀπό τινος κώμης Λυκωρείας.

Λυκωρεὺς, ὑπὸ τοῦ Ἀπολλωνίου πεποίηται, οὐκ ἐξ ἱστορίας παρείληπται.

Λυκώρεια, πόλις.

Λύλιος, ἤμυλλος, οὗτος ἐπὶ μωρίᾳ ἐκωμῳδεῖτο.

Λῦμα, κάθαρμα.

Λυμαιὼν, ὁ βλαπτικός.

Λυμαίνεσθαι, καθαίρειν, φθείρειν.

Λυμαίνομαι, ἐνίοτε μὲν αἰτιατικῇ, ἐνίοτε δὲ δοτικῇ. λυμαίνομαι λέγεται καὶ τὸ λυπῶ, καὶ τὸ παραφθείρω, καὶ βλάπτω. Ἀριστοφάνης, ἑκάστοτε λυμαινόμενον τοῖς μειρακίοις. καὶ Ἀριστείδης, ὥσπερ γὰρ οἱ γεωργοί, τὰ λυμαινόμενα τῇ χώρᾳ, καὶ καθ' ἕκαστον ἐνιαυτὸν ἐκκόπτοντες. λέγεται καὶ ἐπὶ πάθους, ἀντὶ τοῦ φθείρομαι. Ἀττικῶς δὲ ἀεὶ ἐνεργητικῶς τίθεται, ἀντὶ τοῦ φθείρει καὶ λωβᾶται. καὶ Ἀριστείδης, τότε μὲν δύναμιν συλλέγων τῷ στρατῷ, νυνὶ δ' ἅπασι λελυμασμένος, ἀντὶ τοῦ λελωβημένος, καὶ διαφθείρας.

Λυμαίνεται, ἤγουν βλάβην ἐπάγει, φθείρει, ἀπολύει, ἀφανίζει. λυμαίνεται τοῖς μειρακίοις

Λυμαίνεσθαι ἐπὶ βλάβης, ἐκ τοῦ ὁμηρικοῦ τοῖς ὕστερον εἴληπται. πλὴν ὅσον ἡ μὲν ὁμηρικὴ λέξις τὸ λυμαίνεσθαι, σεμνὴ καὶ οὐδέν τι ἐπισυρμένη ψόγου ῥύπασμα, ἡ δὲ παρὰ τοῖς ὕστερον λύμη, καὶ τὸ λυμαίνεσθαι, καὶ ὁ λυμεών, ἐπὶ ψόγου λαμβάνονται. ὥσπερ δὲ τὸ βρῶμα βρώμη λέγεται παρὰ τῷ Ποιητῇ, καὶ παρὰ ἑτέροις τὸ ζῶμα

ζώμ',

Digitized by Google

στρώμη, οὕτω καὶ ὁμηρικὸν λῦμα, τὸ λύμη παρήγαγεν.

Λύμακες, πέτραι.

Λυμαντὴρ, ὁ βλαπτικός.

Λύματα, ἐνέχυρα, οἷον λύσιμα καὶ λυτρώσιμα.

Λύματα, ἐλέγοντο τὰ καθάρματα, οἱονεὶ λούματά τινα ὄντα, ἅπερ ἐν τῷ λούεσθαι ἀπεβάλλοντο. καὶ τὸ καθαίρεσθαι, ἀπολυμαίνεσθαι. διὰ τὸ εἰς ἅλα λύματα ἔβαλον. ἢ πάντως, διὰ τὸ φύσει ῥυπτικὸν εἶναι τὸ τῆς θαλάσσης ὕδωρ. εἰς τὴν ἀπέραντον οὖν φασι τὰ περιττώματα ἔβαλον. διὸ καὶ παροιμία φησὶ, θάλασσα κλύζει πάντα τἀνθρώπων κακά. παρὰ δὲ τοῖς ὕστερον ἡ λύμη, ἐπὶ βλάβης, ἣν ἄξιόν ἐστιν ἀπολύσασθαι. καὶ ὁ λυμεὼν, ὃν κάθαρμά τις εἴποι ἂν, καὶ πῖνον αὐτόχρημα.

Λύματα πάντα κάθηρεν. ἐστὶ πάντα τὸν ῥύπον, καὶ τὴν περὶ τὸ σῶμα ἀκαθαρσίαν, ἣν χρὴ ἀπολυμαίνεσθαι, ἤγουν ἀπολούεσθαι. τὸ γὰρ λῦμα ἐντεῦθεν παράγεται. οἱονεὶ λουμάτιόν.

Λύμα, τῷ γήρᾳ στρέφῃ, ἀντὶ τοῦ ἀπαίδευτος εἶ μέχρι γήρως.

Λυμάχη, ἡ εἰς διαφορὰν λύπη, ὕβρις.

Λύμη, βλάβη, φθορὰ, ὕβρις.

Λυμηνάμενος, αἰκισάμενος.

Λυμνὸς, γυμνός.

Λῶντο, ἐλύθησαν.

Λῶντο γυῖα, ἤγουν τὰ μέλη. ἐκ τούτων δὲ σύγκειται τὸ λυσιμελής. ἐντεῦθεν δὲ λαβόντες οἱ μεθ' Ὅμηρον, καὶ τὸ θανεῖν, καταλῦσαι τὸν βίον φασί.

Λὺξ, λύτρον.

Λυόμενος, ἀντὶ τοῦ λυτρούμενος.

Λύπεια, λυπαρά.

Λυπέω, αἰτιατικῇ συντάσσεται. οἷον λυπήσειν ἔμελλον τὸν σὲ γεγεννηκότα.

Λύπη ἐστὶ, δηγμὸς καρδίας καὶ σύγχυσις. τὴν λύπην διαιροῦσιν εἰς τέσσαρα, εἰς ἄχος, εἰς ἄχθος, εἰς φθόνον, καὶ εἰς ἔλεον. καὶ τὸ μὲν ἄχος εἶναί φασι λύπην ἀφωνίαν ἐμποιοῦσαν, οἷς ἂν ἐγγένηται διὰ τὴν εἰς βάθος πάροδον τοῦ λογισμοῦ. τὸ δὲ ἄχθος, λύπην βαροῦσάν τε καὶ διοχλοῦσαν ἐπ' ἀβουλήτοις συμβάμασιν. τὸν δὲ φθόνον, λύπην ἐπ' ἀλλοτρίοις ἀγαθοῖς. τὸν δὲ ἔλεον, λύπην ἐπ' ἀλλοτρίοις κακοῖς. ἡ λύπη ἐστὶ, διάθεσις ἡδονῶν ἐστερημένη.

Λυπηρότεροι σταλαγμοῦ, διὰ τὴν ἐν τῷ συνεχῶς καταστάζεσθαι ἐπήρειαν λέγεται.

Λυπηρὸς, ἄθυμος.

Λύπη ἐστὶ, πάθος ψυχῆς μηδενὸς τῶν ἀλόγων ζώων καθαπτόμενον.

Λυπινάριον, εἶδος ὀσπρίου. ἃ καὶ θέρμια λέγομεν.

Λυπρὰ, μοχθηρὰ, λυπηρά.

Λυπρόγεως, ἡ μοχθηρὰ καὶ λυπηρὰ γῆ.

Λυποῦμαι, ἀδημονῶ, ἀλγῶ, ἀλύω, ἀνιῶμαι, ἀχάλλω, ἄχθομαι, ὀδυνῶμαι, στυγνάζω, δυσχεραίνω, ἀθυμῶ.

Λυπρὰν γῆν, τὴν λεπτήν.

Λυπρῶς, εὐτελῶς, λιταρῶς.

Λυπτὰ, ἑταίρα, πόρνη.

Λυπῶ, τὸ θλίβω.

Λυπῶ, ἀνιῶ, ἀλγύνω, ἀποκναίω, δάκνω, κήδω.

Λύρα, κιθάρα, βάρβιτον.

Λύρα, κεῖται ἐν τοῖς ἄστροις. ἐστὶ δὲ μουσῶν. κατεσκευάσθη δὲ τὸ μὲν πρῶτον, ὑπὸ Ἑρμοῦ ἐκ τῆς χελώνης, καὶ τῶν Ἀπόλλωνος βοῶν, ἔχε δὲ χορδὰς ἑπτὰ ἀπὸ τῶν Ἀτλαντίδων. μετέβαλε δὲ αὐτὴν Ἀπόλλων, καὶ συναρμοσάμενος ᾠδὴν Ὀρφεῖ δέδωκεν, ὃς Καλλιόπης υἱὸς ὢν μιᾶς τῶν Μουσῶν, ἐποίησε τὰς χορδὰς ἐννέα, ἀπὸ τοῦ τῶν μουσῶν ἀριθμοῦ. καὶ προήγαγεν ἐπὶ πλέον ἐν τοῖς ἀνθρώποις δοξαζόμενος, οὕτω καὶ ὑπόληψιν ἔχειν περὶ αὐτοῦ τοιαύτην, ὅτι καὶ τὰς πέτρας, καὶ τὰ θηρία ἐκάλει διὰ τῆς ᾠδῆς. ὃς τὸν μὲν Διόνυσον οὐκ ἐτίμα, τὸν δὲ Ἥλιον μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν. καὶ ἄλλα πολλὰ λέγονται περὶ αὐτοῦ.

Λύραν, Ἀντιμενίδας δοθῆναι Ἀμφίονι ὑπὸ μουσῶν φησι. Διοσκορίδης δὲ, ὑπὸ Ἀπόλλωνος. καὶ Φερεκύδης δὲ ἐν τῇ δεκάτῃ ἱστοριῶν, ὑπὸ μουσῶν.

Λυρίτης, ζῶόν τι, ταῖς δρυσὶν ἐντίκτον.

Λύρκιν, ὄρος τῆς Ἀργείας.

Λυροφοίνιξ, εἶδος κιθάρας.

Λυρνησὸς, πόλις.

Λυρῳδία, ἡ τῆς λύρας ᾠδή. ληρῳδία δὲ ἡ φλυαρία, η̄.

Λυρῳδὸς, ὁ μετὰ λύρας ᾄδων, καὶ ψάλλων. ληρῳδὸς δὲ φλύαρος η̄.

Λῦσαι, ἀπολῦσαι, λυτρῶσαι, καθελεῖν, ἀφελεῖν, τεμεῖν.

Λύσσα, καὶ λύττα, ἡ μανία.

Λύσαιτε, ἀντὶ τοῦ λύσατε. τὸ εὐκτικὸν ἀντὶ τοῦ προστακτικοῦ, παρ' Ὁμήρῳ ἐν τῇ α. ῥαψῳδίᾳ.

Λῦσαν, ἔλυσαν, ἐλυτρώσαντο.

Λυσάνδρεια, πανήγυρις ἀπὸ Λυσάνδρου ὀνομασθεῖσα, ἤγοντο δὲ ἐν αὐτῇ ἀγῶνες, καὶ θυσίαι.

Λύσανδρος, ὄνομα κύριον. Λακεδαιμονίων ναύαρχος.

Λυσανίας, λύων τὰς ἀνίας. ὁμοίως τῷ Πausανίᾳ, ὁ παύων τὰς ἀνίας.

Λῦσε παρθενικὴν ζώνην, συνεκδοχὴ ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον παριστῶσα. ἀκολουθεῖ γὰρ τούτῳ τὸ διεκόρησεν. ἐστὶ δὲ καὶ συνεκδοχὴ ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον. ὡς ὅταν λέγῃ ἐναρίζειν, τὸ φονεύειν, ἀντὶ τοῦ σκυλεύειν.

Λύσειοι τελεταὶ, οὕτως ἐλέγοντο τινὲς τελεταί. ἐπεὶ καὶ λύσιος ἐλέγετο Διόνυσος.

Λυθεὶς, κατενεχθείς.

Λυσίαν, ὁρμὴν, συνουσίαν, μανίαν.

Λυσίας, διαστάσεις ἀπ' ἀλλήλων τῶν ἄρθρων, παρὰ τῷ Ἱπποκράτει.

Λυσίζωνος γυνὴ, ἥτις ἐνυμφεύθη. καὶ ἐπίθετον Ἀρτέμιδος.

Λυσίμαχος, ὁ Ἀριστείδου υἱὸς, τοῦ δικαίου ἐπικληθέντος. ἕτερος δ' ἐστὶ Λυσίμαχος, οὗ μνημονεύει Λυκοῦργος, ἐν τῷ περὶ τῆς διοικήσεως, ὡς εὐτελοῦς μελοποιοῦ.

Λυσιμάχειος, βοτάνη εὑρεθεῖσα ὑπὸ Λυσιμάχου.

Λυσιμελὴς ὕπνος, ὁ λύων τὰς μελεδῶνας. καὶ λυσιμελὴς συνθέτως καὶ διαλελυμένως, λύων με λεδήματα θυμοῦ. καὶ ἄλλως, καλεῖται λυσιμελὴς, παρὰ τὸ λύειν τὰ μέλη, ὡς δηλοῦται καὶ ἐν τῷ λῦθεν δέ οἱ ἅψεα πάντα. εἴη δ' ἂν τοιοῦτος καὶ ὁ κάματος, εἴγε καὶ καμάτῳ φίλα γυῖα λέλυνται.

Λύσιν, τὴν πορείαν καὶ ἔφοδον λέγουσιν οἱ Ἴωνες.

Λύσις, ἡ λύτρωσις.

Λυσιπνεῖ, φοβεῖται.

Λυσκάζει, περιφεύγει.

Λυσιτελῶ, συμφέρω δοτικῇ. τοῦτό σοι οὐ λυσιτελεῖ. Ἀριστοφάνης, οὔ φημι λυσιτελεῖν σφῷν. λυσιτελὲς καὶ λυσιτελεῖν, Ἀττικοί. οὐ λυσιτέλεια καὶ ὠφέλεια.

Λυσόμενος, λυτρωσόμενος.

Λυσσᾶν, ἴδιον τῶν κυνῶν.

Λυσσάνιε, μαινόμενε.

Λύσσα, ποδάγρα, κυνάγχη, νοσήματα τρία κυνῶν. ἀλλὰ ἡ μὲν ποδάγρα, οὐ πάντη ἀνίατος. ἡ δὲ λύσσα δυσίατος. ἡ δὲ κυνάγχη, εἰς θάνατον φέρει.

Λύσσα, ἡ μανία. παρὰ τὸ λύειν τὸν νοῦν.

Λυσσῆν, ἀντὶ τοῦ λυσσᾶν Δωρικῶς.

Λυσσῶδες, μανικόν.

Λυσσῶντες, καὶ λυττῶντες, μαινόμενοι.

Λυταίη, θετταλή.

Λυταρὶς, μύκωνος εἶδος.

Λυταῶς, σκοτεινῶς.

Λυτήριον, τὸ καθάρσιον λέγει ὁ Ἀπολλώνιος, ὅ ἐστι χοιρίδιον μικρὸν, ὅπερ οἱ ἁγνίζοντες θύσαντες τὰς χεῖρας τοῦ ἁγνιζομένου, τῷ αἵματι αὐτοῦ βρέχουσι.

Λῦτο, ἐλύθη, ἐπαύθη.

Λῦτο, ἀντὶ τοῦ ἐλύετο, τὸ ἐξαιρεῖν τὰ βραχέα τῶν ἀττικῶν ἐστιν. ὡς τὸ οἶμαι, ἀντὶ τοῦ οἴομαι. καὶ τὸ λοῦται, ἀντὶ τοῦ λούεται.

Λύτρα, ἐκ τοῦ λύεσθαι τὰ δῶρα λέγονται τὰ εἰς τοῦτο διδόμενα. τὰ δὲ αὐτὰ καὶ ἄποινα, ὡς ἄν τις εἴποι ἄφοινα, δι' ὧν τις φόνου λύεται. ὁ μέντοι μὴ ἐξωνησάμενος, ἀλλὰ τρόπον ἄλλον ἐκ τῶν πολεμίων τινὰ ἐξαγαγὼν ῥύεσθαι λέγει, οὐ μὴν λύεσθαι. καὶ τὰ ὑπὲρ τούτου διδόμενα, οὐ λύτρα, ἀλλὰ σῶστρα. ποτὲ δὲ ζωάγρια.

Λύτρα, καὶ σῶστρα, λογογράφοι. ἄποινα δὲ, ποιηταί.

Λύτρα, δῶρα τὰ ἐπὶ ἐλευθερίᾳ αἰχμαλώτων διδόμενα.

Λύτρον, παρὰ τὸ λύω λύσω. ὅθεν καὶ λύρα λύτρα τὶς οὖσα. ἐδόθη γὰρ τῷ Ἀπόλλωνι παρὰ τοῦ Ἑρμοῦ, ὑπὲρ ὧν ἔκλεψε βοῶν τοῦ Ἀπόλλωνος ὁ Ἑρμῆς.

Λύτρον, τίμημα.

Λυτρούμενον, ὡς τὸ ἐξ αἰχμαλωσίας ἀνθρώπων λυτρούμενον.

Λυτρῶν, ὁ ἀφεδρών.

Λυττεῖ, πολλὰ λαλεῖ.

Λυτροὶ, οἱ ὑψηλοὶ τόποι.

Λυττῶντες, μαινόμενοι.

Λύχνα, λύχνοι.

Λυχναῖος, καὶ λυχνίτης, ὁ διαυγὴς λίθος.

Λυχνίον, ὁ λύχνος. λυχνεῖον δὲ ὁ τόπος τοῦ λύχνου δίφθογγον.

Λυχνίτης, λίθος.

Λυχνοκαίαν, λυχναψίαν.

Λυχνοκῶσαν, λυχνοκαυστοῦσαν.

Λύχνον, τράχηλον.

Λυχνοῦχος, φανὸς, λαμπτήρ.

Λύχνος, λέγεται παρὰ τὸ λύειν τὸ νύχος, τουτέστι τὸ σκότος, ἀφ' οὗ καὶ νὺξ καλεῖται.

* Λυῶδες παρ' Ἱπποκράτει, τὸ παρακοπτικόν.

Λύωσε τοῦ δεσμοῦ, καὶ ἀπὸ τοῦ δεσμοῦ. καὶ ἀπολύω καὶ παραλύω σε τῆς ἀρχῆς, ἤγουν ἀπὸ τῆς ἀρχῆς.

Λύω, ὅταν ᾖ δεδεμένον τί. καὶ λύω ἀπορούμενον, καὶ λύει τὶς αἰχμάλωτον, ἀντὶ τοῦ λυτροῦται. καὶ λύω τὴν σύνοδον, ὡς παρ' Ὁμήρῳ, λῦσαν δ' ἀγορήν. μετὰ δὲ τῶν προθέσεων, ἀναλύω, τὸ τὰ συντεθειμένα εἰς τὰ ἐξ ὧν συνετέθησαν διαιρῶ. ἀφ' οὗ καὶ τὰ παρ' Ἀριστοτέλει ἀναλυτικά. καταλύει ἐν πανδοχείῳ, ἀφ' οὗ κατάλυμα, ἡ καταγωγή. διαλύω, τὰ ἡνωμένα. παραλύω, τὸ χαυνῶ. καὶ παραλελυμένα μέλη, τὰ χαυνωθέντα καὶ ἐνδόντα. ἀπολύω τινὰ τῆς κατηγορίας. καὶ ὑπολύω τὸν ὑποδεδεμένον.

ΤΟ Λ. ΜΕΤΑ ΤΟΥ Ω.

ΛΩ͂, σημαίνει τέσσαρα, τὸ λαλῶ. λῶ, τὸ ἀπολαύω. λῶ, τὸ βλέπω. ἐξ οὗ καὶ λέων. λῶ, τὸ ἐπιθυμῶ.

Λώβας, βλάβας, ὕβρεις.

Λωβᾶται, βλάπτει, λυμαίνεται, ὑβρίζει, ἐξαπατᾷ.

Λωβάω λωβῶ, τὸ βλάπτω.

Λωβεύειν, τούτου πρωτότυπον τὸ λωβῶ. ἐξ οὗ καὶ ὁ λωβητήρ. λαμβάνεται δὲ ἡ λέξις ἐπί τε χλεύης, καὶ ὕβρεως ὡς τὰ πολλὰ, καὶ ἐπὶ τῆς ἁπλῶς δὲ βλάβης. παράγεται δὲ, παρὰ τὸ ἐπὶ λαοῦ συμβαίνειν, οἷον λαόβη, καὶ ἐν συναιρέσει λώβη.

Λωβεύω, ἐκ τοῦ λωβῶ. καὶ λωβεύειν, ψεύδεσθαι, καταισχύνειν. καὶ λωβὸς καὶ λωβεία ἡ νόσος.

Λώβη, ἡ βλάβη, καὶ ἡ ὕβρις, παρὰ τὸ λυόβη. ἡ ἐπὶ τῷ κακῷ περιβόητος. ἢ ἀπὸ τοῦ λοβὸς, ὃ σημαίνει τὰ ἄκρα τῶν ὤτων. εὐτρήτοισι λοβοῖσιν. οἱ γὰρ παλαιοὶ τοὺς ἔν τισιν ἀτοπήμασιν ἁλόντας ἐνυβρίζοντες, τὰ ἄκρα τῶν ὤτων ἀπέτεμνον. ἢ ἀπὸ τοῦ λαβὴ, ὃ σημαίνει τὸ ξίφος, ἢ τὴν βλάβην, λώβη.

Λώβη, εἶδος νόσου. καὶ λωβὸς, ὁ ταύτης μετέχων.

Λώβη, παρ' Ὁμήρῳ. λαμβάνεται ἔτι καὶ ἀντὶ τοῦ σκώμματος, ἐν σ' τῆς Ὀδυσσείας.

Λώβη, ἡ εἰς τὸ φανερὸν ὕβρις, καὶ ὡς εἰπεῖν ἐν μέσῳ λαοῦ βαίνουσα εἴς τινα, οἱονεὶ λαόβη, καὶ κατὰ κρᾶσιν λώβη. τινὲς μέντοι παρὰ τὸ λώπιον ἐτυμολογοῦσι τὴν λώβην, ὅπερ ἐστὶν ἱμάτιον. ἀφ' οὗ καὶ λωποδύτης. καὶ ῥῆμα λωποδυτῶ. ἵνα ᾖ λώ-

Digitized by Google

ἡ λώβη, ἡ ἐν ἀπεκδύσει λωπίου ὕβρις, ἐπαγομένη διὰ μάστιγος.
Λωβήεντα, βλαβερά.
Λωβήσαιο παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐλωβήσω, ἤγουν ὕβρισας. οἱ Ἀττικοὶ πολλάκις εὐκτικὰ λαλοῦσιν, ἀντὶ παρῳχημένων. οἷον, ἐπεὶ ἔλθοι ὁ δεῖνα, ἤγουν ἦλθε. καὶ ὡς δὲ λαλήσοι, ἀντὶ τοῦ ἐλάλησεν.
Λωβητῆρα, τὸν Θερσίτην λέγει Ὅμηρος, οὐκ ἐν ἔργοις, ἀλλὰ λόγοις. τί γὰρ εἶχε βλάπτειν ἔργοις, ὁ οὐτιδανός. διὸ ἑρμηνεύων ἐπεσβόλον αὐτὸν λέγει, τουτέστιν ἔπεσιν, ὡς βέλεσι βάλλοντα. ὃ ταυτόν ἐστι τῷ βλάσφημον. βλάσφημος γὰρ, ὁ βάλλων ταῖς φήμαις λέγεται.
Λωβητῆρες, ἢ οἱ λώβας ποιοῦντες, ἢ λωβᾶσθαι ἄξιοι. αἰσχρὸν δὲ πάντως ἔπος τοῦτο, καθὰ καὶ τὸ ἐλεγχέες, τουτέστιν αἰσχυντηλὸν, ὑβριστικόν.
Λωβητὸς, λέγεται καὶ ἐφύβριστος, καὶ ἄτιμος. οὐ ἑρμηνεία παρ' Ὁμήρῳ, τὸ ὑπὸ θεοῖς τετιμημένος, ὑπὸ βροτοῖς.
Λωβώμενος, χλευάζων.
Λωγαῖος, ὄνομα κύριον. σημαίνει δὲ καὶ τὸ στῆθος.
Λωγάλιοι, ἀστράγαλοι, ἢ πόρνοι.
Λωγάλιον, τῶν βοῶν τὸ ὑπὸ τὸν τράχηλον χάλασμα.
Λωγάνιον, μέρος τοῦ σώματος.
Λωγὰς, πόρνη.
Λώγασος, ταυρεία μάστιξ.
Λώγη, καλάμη, καὶ συναγωγὴ σίτου.
Λωγύρυχος, κύριον.
Λώισται, τὴν ἅμαξαν.
Λώιον, κρεῖσσον, βέλτιον. τὰ εἰς ων καθαρὰ δισύλλαβα συγκριτικὰ, διφθόγγῳ παραλήγεται. οἷον πλείων, μείων, ῥάων, λώων. καὶ τὰ μὲν ἐκφωνοῦσι τὸ ι, πλείων, μείων. τὰ δὲ οὔ, οἷον ῥάων, λώων. οὐ γίνεται δὲ παρὰ τὸ λῶ, τὸ θέλω. ὃ γὰρ νοεῖ τις ἑαυτῷ συμφέρον, τοῦτο καὶ θέλει.
Λωισμὸν, χῶμα, ἢ κλωσμένον.
Λώιστα, συμφέροντα, ἄριστα.
Λωίτερον ἐξεφώνησεν, ἐκ τοῦ λῶον, τοῦ σὺν τῷ προσγεγραμμένῳ ἰῶτα, ὡς τὸ ῥηίτερον, καὶ τὰ τοιαῦτα. ποιητικὸς δὲ ὁ τοιοῦτος σχηματισμὸς, ὡς καὶ τὸ χειρότερον. τὸ γὰρ κοινὸν, λῶον καὶ ῥᾶον, καὶ χεῖρον.
Λωιτίνη, συμφορωτέρα.
Λωλδόνται, ἀνθοῦνται.
Λωκιά, κύριον.
Λῶλον, βρῶμα ἐκ γιγάρτων καὶ σύκων γενόμενον, παιδίοις πεφωσμένον.
Λῶμα, τὸ γυναικεῖον. ὃ ὑπὸ Ἀττικῶν, ὄχθοβος λέγεται.
Λῶμα, τὸ κράσπεδον.
Λῶμα, τὸ εἰς τὸ κατώτατον μέρος τοῦ ἱματίου ἐπίβλημα ἐκ βύσσου καὶ πορφύρας, καὶ κοκκίνου.
Λῶντι, ἀντὶ τοῦ θέλουσι. Δωρικῶς.
Λῶνος, τοῦ κρείσσονος λόγου.
Λῶος, ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ Αὔγουστος.
Λωπάζει, ψάδεται.
Λώπη, χλανὶς ἱμάτιον.
Λωπίζω, τὸ ἐκδύω.
Λώπιον, τὸ ἁπλοῦν ἱμάτιον.
Λάπιστος, ὁ Παλαμήδης, ἐκ τῆς τῶν ἱματίων ἐπιρράψεως.
Λωποδύτης, ὁ νεκροὺς ἐκδύων. καὶ λωποδυτεῖν, τὸ ἱμάτια κλέπτειν.
Λῶπος, ἱμάτιον. ἀναλογεῖ γὰρ τῇ λοπίᾳ τῷ δέρματι.
Λωποδυτεῖ, ἀποδύει τοὺς παρόντας τὰς ἐσθῆτας. Ἀριστοφάνης, κἀκβὰς τινὰ λωποδυτῆσαι.
Λώπτω, τὸ πηδῶ.
Λωρὸν, πικρόν.
Λωρυμνὸν Βαθύτατον, κατώτατον.
Λῶσα, θέλουσα.
Λῶσα, παρὰ τὸ λῶ, τὸ θέλω.
Δῶστοι, βέλτιστοι, ὄνομα ὑπερθετικὸν, ἀπὸ τοῦ λῶος λῶστος.
Λῶστος, ὁ φίλος.
Λῶτα, ἄνθη.
Λώπαξ, ὁ λῃστὴς, ἢ ὁ μύρα ἀλειφόμενος, ἢ ὁ καταδαπανῶν ἐν τοῖς αἰσχροῖς τὸν βίον αὐτοῦ, ὡς ὁ πόρνος, καὶ ὁ ἀνδρόγυνος. ἢ ὁ αὐλητής.
Λωτεῦντα πεδία, τὰ ἔχοντα λωτὸν, βοτάνην δηλαδὴ εὐτραφῆ, οὐ μὴν δένδρον, κατὰ τὸ ἐν λωτοφάγοις. φασὶ δὲ οἱ παλαιοὶ, ὡς Ἀρίσταρχος μὲν πεδία γράφει λωτοῦντα, ὅ ἐστι λωτόεντα, κατὰ κρᾶσιν. κοινὴν τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον. ἡ δὲ μασσηλιωτικὴ ἔκδοσις, λωτεῦντα γράφει, κραθέντος τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον. ὅτι δὲ λωτὸς καὶ αὐλός τις λέγεται, δηλοῦται μὲν καὶ ἐν ῥητορικῷ λεξικῷ. δηλοῖ δὲ αὐτὸ καὶ ὁ γράψας λωτοῦ κατὰ συνδύασμα μέλπει. τοῦτο δέ τινες διὰ τοῦ ο μικροῦ ἔγραψαν, ἔχοντες οἶμαι ἀφορμὴν τῆς τοιαύτης γραφῆς. καὶ τὸ λόταξ λόταγος, ὅπερ αὐλητὴν δηλοῖ.
Λωτία, ὁ στέφανος τῶν λωτῶν.
Λωτίζειν, ἀπανθίζεσθαι, ἀπολύειν.
Λωτίνας, αὐδόνας, τοὺς αὐλούς.
Λώτισμα, οἱ πρῶτοι, καὶ ἐπίλεκτοι.
Λωτόβοσκον φῦλον, οἱ μὲν τὴν Θρᾴκην, οἱ δὲ τὴν Αἴγυπτον. ἄλλοι τὴν Σκυθίαν.
Λωτοδάρη, κύριον.
Λωτὸς, λειμωνία βοτάνη ἐν τῇ Ἰλιάδι.
Λωτὸς, ὅτι καρπὸς δένδρου ἐστὶν ἐοικότος μεσπίλῳ, καὶ ὡς οἶνος αὐτοῦ ἐκθλίβεται, καθὰ καὶ τῶν φοινίκων ἱστοροῦσιν εἰς πλάτος οἱ παλαιοὶ, φυτοκομοῦντες ἐπιμελῶς.
Λωτὸς παρ' Ὁμήρῳ ἐν καταλόγῳ, οὐχ οἷος ἐν Ὀδυσσείᾳ ὁ γλυκὺς καὶ ἀνθρώπων ἐπαγωγός. βοτάνη λειμωνίας ἵπποις δ' ἀπρόσιτος. καὶ οὗτος μὲν ὁ λωτὸς, διὰ τοῦ ω μεγάλου ἔχει τὴν ἄρχουσαν, οὐ διὰ τοῦ ο μικροῦ. ὁποῖος ὁ δηλούμενος ἐν τῷ λωτοῦ κατὰ συνδύασμα μέλπει, συστέλλει τὴν ἄρχουσαν παρά τισι, καὶ δηλοῖ καλαμίσκον τινά. ἐξ οὗ ὁ λόταξ λόγος, ὁ περὶ τοιοῦτον λοτὸν πονούμενος.
Λωτὸς, τὸ γλυκοκάλαμον. ἡ βοτάνη δι' ὠδεστάτη, ἣν ἔνιοι μυρόλωτον κικλήσκουσι.
Λωτοφάγοι, ἔθνος.
Λωτὸν, δειλινὸν, ἄλειμμα. Λάκωνες.
Λωφᾷ τὶς κυρίως, ὅταν διαλίπῃ λυπούμενος. λωφᾷ τὸ πάθος. λέγεται δὲ καταχρηστικῶς καὶ ἐπὶ θυμοῦ καὶ νόσου καὶ ἄλλων. λέγεται καὶ ἐπὶ τῶν ὑποζυγίων, ὅταν ἐν τῇ ὁδῷ ἀπαγορεύσαντα πέσωσιν ἀσθμαίνοντα. ἀπὸ τούτου καὶ ἐπὶ ἀνθρώπων, ὅταν ἀπαγορεύσαντες παύσωνται ἐνεργείας τινός.
Λωφάξαλος, ἐμπηδήσας.
Λώφαρ, λώφημα.
Λωφεῖν, ἠρεμεῖν, πεπαῦσθαι.
Λωφία, ἡ κατάπαυσις.
Λωφήια ῥέξαι παρὰ τὸ Ἀπολλωνίῳ, ἐφ' οἷς λωφύσει καὶ παύσεται ἡ τῆς νύμφης ὀργὴ, τουτέστι καταπαυστικὰ τῆς ὀργῆς. λωφήια, ἐξιλαστήρια, ἀφ' οἷς λωφήσει καὶ παύσεται κακούμενος. λωφῆσαι δὲ κυρίως ἐπὶ τῶν ζώων, τὸ ἀπὸ τοῦ τραχήλου ἄχθος ἀποθέσθαι. καὶ λωφήσων, ἀντὶ τοῦ λήξων, ἀναπαύσων, ἢ ἀναπαυσάμενος τὸν λόφον, τουτέστι τὸν τράχηλον.
Λωφήσαντες, λωφήσει, καὶ λωφῶ, τὸ παύω. τηρόμενοι καμάτῳ μετελώφεον, σημαίνει τὸ παύω. μετενήνεκται δὲ ἡ λέξις, ἀπὸ τῶν τὰ φορτικὰ τιθεμένων.
Λωφήσαντος, ἀναπαυσαμένου, ἡσυχάσαντος.
Λωφῆσαι κυρίως παρὰ τοῖς παλαιοῖς, τὸ ἀποθέσθαι ἄχθος τὸ ἐπὶ τραχήλῳ, ἔνθα ἐστὶν ὁ ὑπὸ ζυγὸν λόφος, ἐκταθέντος δηλαδὴ τοῦ ο, ὡς καὶ ἐπὶ τοῦ λοφὸς, ὁ τοῦ κρομμύου γίνεται. ἀφ' οὗ λώπιον, τὸ ἱμάτιον κατὰ ὁμοίαν ἔκτασιν.
Λώφησις, παῦσις, πτῶσις.
Λωφήσομεν, ἀντὶ τοῦ παύσομεν. κυρίως δὲ λέγεται λωφῆσαι, τὸ βάρος ἀπὸ τοῦ τραχήλου ἀποβαλέσθαι. λόφος γὰρ, ὁ τράχηλος.
Λωφοῦσι, παύουσι.
Λὼψ, χλαμύς.

Τέλος τοῦ λ στοιχείου.

ἈΡΧΗ͂ ΤΟΥ͂ Μ.
ΣΤΟΙΧΕΙ͂ΟΥ. ΤΟ͂ ΑΥ̓ΤΟ͂.
ΜΕΤᾺ ΤΟΥ͂ Α.

Μῦ, τὸ στοιχεῖον, ὅτι μυγμόν τινα ἔχει ἡ τούτου ἐκφώνησις. μυγμὸς δέ ἐστιν, ὁ τοῦ μυὸς ἦχος, ὡς διὰ τοῦ μυκτῆρος ἐξερχόμενος.
Μὰ, πρόβατα. Φρύγες.
Μὰ, ἀπομωτικὸν ὂν, μετὰ τοῦ ναὶ καταμωτικὸν γίνεται. Ὅμηρος, ναὶ μὰ τόδε σκῆπτρον. καὶ Συνέσιος, ναὶ μὰ τὸν ἐμόν τε καὶ σόν.
Μὰ, ἀποφατικόν ἐστιν. οἷον μὰ τὴν δίκην, οὐ ποιήσω τόδε. καταμοτικὸν τὸ νὴ, οἷον νὴ τοὺς λόγους ποιήσω. τὸ μέντοι ὁμηρικὸν τοῦτο ναὶ, βεβαιωτικόν ἐστιν ἐπίρρημα.
Μὰ, ἢ προκειμένην ἔχει τὴν ἄρνησιν, ἢ νοουμένην. καὶ τοῦτο μὲν εἴρηται διόλου. Λιβάνιος δὲ, ἅπαξ ἐχρήσατο ἐπὶ τῶν συγκαταθέσεων, ἐν τῇ περὶ τῆς λάλου γυναικὸς μελέτῃ λέγων, ὀνείρατα διηγουμένη, πλάττουσα κἀκεῖνα μὰ τοὺς θεούς. καὶ πάλιν πλειστάκις ὠρακίασα, μὰ τὸν Ἀπόλλω. καὶ Λουκιανὸς ἐν τῷ περὶ ἀγνοίας, μὰ δί' ἐγκλάσασά σου Φιλόξενε τὰ ἔπη. ὅταν μέντοι προηγούμενον ἔχῃ τὸ ναὶ, τὴν ἰσχὺν ἅπασαν ἔχει τὸ ναί. Συνέσιος ἐν ἐπιστολῇ, ναὶ μὰ τοὺς λόγους, καὶ τὰ σὰ παιδικά.
Μὰ, ἔξωθεν λαμβάνουσι Δωριεῖς. Θεόκριτος, οὐ γᾶν, ἀντὶ τοῦ οὐ μὰ τὴν γῆν.
Μὰ τὸν, τὸ ἐλλειπτικῶς ὀμνύειν, Ἀττικῶν ἐστι. οἷον μὰ τὸν, μὴ προστιθέντες τὸν θεόν.
Μὰ τὸν, ἐλλειπτικῶς ὀμνύει. καὶ οὕτως ἔθος ἐστὶ τοῖς ἀρχαίοις, ἐνίοτε μὴ προστιθέναι τὸν θεὸν δι' εὐλαβείας χάριν. εἰώθεισαν δὲ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι ἐπευφημιζόμενοι, ὥς τε εἰπεῖν μὲν μὰ τὸν, ὄνομα δὲ μηκέτι προσθεῖναι.
Μααρὸν, μωρόν. Λάκωνες.
Μαγάδας, αὐλοὶ κιθαριστήριοι, ὄργανον ψαλτικόν. ὅθεν καὶ τὸ ψάλλειν, μαγάζειν λέγουσιν, οἷον ὀμφάλων. ἢ μαγάδης αὐλὸς, ἢ γυθηβοῆς, ἀντὶ τοῦ ὁ συνᾴδων τῇ μαγάδι.
Μαγάδιον, ὡραῖον κιθάρισμα.
Μεγαλίδες, ὄργανα ψαλτικά.
Μαγαρὶς, μικρὰ σπάθη.
Μαγαρίσκος, πινακίσκος.
Μαγαυρὸν, ὑπερῷον.
Μαγὰς, σανὶς τετράγωνος ὑπόκρυφος, δεχομένη ἐφ' ἑαυτῇ τὰς τῆς κιθάρας νευρὰς, καὶ ἀποτελοῦσα τὸν φθόγγον.
Μάγγανα, τὸ οἰνηρὸν ἀγγεῖον, ἐκ ξύλων κατεσκευασμένον.
Μάγγανα, φάρμακα δίκτυα, γοητεύματα, μηχανήματα.
Μαγγανεία, ἡ γοητεία. καὶ μάγγανον, παράδοξόν τι.
Μαγγανευτὴς, ὁ μιγνὺς παντοδαπὰ πρὸς φενακισμόν.
Μαγδαλιὰ, τὰ τῶν ἀλφίτων ἀποβλήματα. ἄλλως, ἡ τῶν κυνῶν τροφὴ, ἥ τις ἦν σταῖς. καὶ λίπος, οὕτω καὶ ὁ Ποιητὴς εἶπεν. αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ. μετὰ γὰρ τὸ δεῖπνον, τὸ σταῖς ἀπεψῶντο, καὶ τὸ λίπος κυσὶν ἀπέρριπτον.
Μάγδωλος, οἰκοδόμημά τι.
Μαγὲβ, νότου, ἢ μεσημβρίας.
Μαγεία, ἐπίκλησις δαιμόνων.
Μαγδαλιὴ, ἀπὸ τόπου.
Μάγειρος, ὁ τὰς μάζας μερίζων. καὶ μαγειρεῖον.
Μαγειρεῖον. τὸ μὲν μάγειρος δόκιμον, τὸ δὲ μαγειρεῖον, οὐκέτι. ἀντὶ δὲ τούτου, ὀπτανεῖον λέγουσι.
Μαγίσαν αὐλὸν, τὸν μαγεύοντα τοὺς ἀκροωμένους.
Μαγεύειν, γοητεύειν, θεραπεύειν θεούς.
Μαγεύω, καὶ μαγγανεύω, ἀμεταβάτως. ὅθεν μάγος, καὶ μαγεία.
Μὰ γῆν, μὰ παγίδας, μὰ νεφέλας, μὰ δίκτυα. οὕτω καὶ τὰ τυχόντα ὤμνυον, μὰ

χρύ-

Digitized by Google

κρώας, μαὶ ποταμοὺς, Ἀριστοφάνης.

Μαγῖα, τὸν ἀπομάσσοντα, τόν τε μαγῖα πόγγον, ὑπὸ σιβαρὰ κεκλιμένον κοπίδι.

Μαγίδα, τὸ μάγμα καὶ φύραμα, καὶ τὴν χειροπληθῆ μαγδαλιὰν, παρὰ τῷ Ἱπποκράτει.

Μαγίδες, οἷς ἀπομάττουσι καὶ καθαίρουσι, καὶ μάζας καταφέρουσιν οἱ εἰς Τροφωνίου κατιόντες. ἄλλως. μαγὶς, ἡ τράπεζα, ἔνθα τὰ μεμαγμένα τίθεται. παρὰ Ἄραψι τὸ σκουτέριον.

Μαγὶς ἄρτου, οἷον μέρος ἄρτου, ἢ ψωμὸς, ἢ ἐγκρυφίας.

Μαγὶς, μάχαιρα. καὶ μάγειρος, ὁ τὰς μάζας μερίζων.

Μαγίστερ, κατὰ Ῥωμαίους διδάσκαλε.

Μάγιν, ἀσπίδα.

Μαγμὸν, τὸ καθάρσιον. ἀπομάσσειν γὰρ λέγουσιν, ὅταν περικαθαίρωσι τοὺς ἐνοχλουμένους τινὶ πάθει.

Μάγνης, κυβευτικοῦ βόλου προσηγορία, καὶ ἄλλων πολλῶν λεγομένων ὀνόματα βόλων.

Μαγνῆτις, ἡ τὸν σίδηρον ἕλκουσα λίθος, ἡ καὶ σιδηρῖτις καλεῖται, καὶ ἡράκλεια καὶ λυδία. ἐμφερὴς δέ ἐστι τὴν χροιὰν ἀργῷ καὶ ἀκαθάρτῳ σιδήρῳ. Ἡράκλεια, διὰ τὸ καρτερὸν καὶ ἰσχυρὸν τῆς ὁλκῆς. ἢ μᾶλλον διότι περὶ Ἡράκλειαν τὴν ἐν Πόντῳ πρῶτον ἐφάνη. οἱ δὲ περὶ τὴν ἐν Θρᾴκῃ. μαγνῆτις δὲ ὥς φασιν, ἄνδρες λιθοφόροι Μάγνητες εὗρον αὐτῆς τὴν ἐνέργειαν.

Μαγνησία, πόλις κατὰ Θεσσαλίαν ἐστί. καὶ ἑτέρα Μαγνησία περὶ Ἔφεσον, ἐκτισμένη ὑπὸ Λευκίππου τοῦ Καρὸς, μετοικίσαντος ἐκεῖ σὺν Μάγνησι τοῖς ἐκ Κρήτης.

Μάγνητες, ἔθνος Θεσσαλίας.

Μαγνεύειν, τὸ μίσγειν.

Μάγνητες, οἱ ἐπὶ Μαιάνδρου ποταμοῦ, Δελφῶν εἰσιν ἄποικοι. Μαγνησία δὲ, πόλις ἐστὶν ἐκεῖσε.

Μάγον, τὸν ἀπατεῶνα, φαρμακευτὴν, ὃν θεοσεβῆ, καὶ θεολόγον, καὶ ἱερέα λέγουσι.

Μάγοι παρὰ Πέρσαις, οἱ φιλόσοφοι, καὶ φιλόθεοι, ὧν ἦρχε Ζωροάστρης.

Μαγυδαρὶς, ὀπὸς σιλφίου. οἱ δὲ, ἕτερον τοῦ σιλφίου εἶναι λέγουσι.

Μαγῳδὴ, ὄρχησις ἁπαλὴ, ἀπὸ Χρυσογόνου μάγου.

Μάγος, παρὰ τὸ μάσσω τὸ μαλάσσω. ὁ διὰ τῶν μαγικῶν ἐμπλάστρων τὰ μέλλοντα προλέγων.

Μαγὼν, ὁ Πέρσης.

Μαγωτέρα, θελκτικωτέρα. ἐν ἐπιγράμματι.

Μαδάρεις, τὰ πλατύτερα λόγχια τῶν κρεάτων. Κελτοί.

Μαδαρὸς, ἀραιόθριξ, ψεδνός.

Μάδεγμα, δέλεαρ, πρόβλημα. οἱ δὲ μάδευμα.

Μάδδαν, μάζαν, τροφήν. οὕτως οἱ Μεγαρεῖς διὰ δύο δδ λέγουσι.

Μάδισος, δίκελλα. οἱ δὲ μαδιβός.

Μαδίσας, τὰς τρίχας ἀποβαλών.

Μαδὸν, πόα, καὶ λεῖον.

Μάδος, τὸ ψίλωθρον.

Μαδρωθήσομαι, κολαθήσομαι, ἐπιτριβήσομαι.

Μαδὸν, καὶ μαθὸν, διὰ τοῦ θ εἰπεῖν, ταυτόν. εἰ καὶ ἄλλως ὁ αὐτὸς μαστὸς διὰ τὸ τ λέγεται, ὡς μαστευθεὶς ὢν βρέφεσι.

Μαδῶντα, παρὰ τῷ Ἀριστοφάνει λέγουσι φαλακρὸν, καθόλου τρίχαν μὴ ἔχοντα.

Μαεῖται, μωρολογεῖ.

Μάζα, κυρίως ἡ τροφὴ, ἡ ἀπὸ γάλακτος καὶ σίτου, παρὰ τὸ μάττεσθαι.

* Μάζα, φύραμα ἐξ ἀλφίτων γινόμενον, ποτὲ μὲν μετ᾽ ὀξυμέλιτος, ποτὲ δὲ μετ᾽ ὀξυκράτου, ἢ ὑδρομέλιτος, ἢ μεθ᾽ ὕδατος. Ἐρωτιανὸς, παρ᾽ Ἱπποκράτει.

Μάζα. πᾶσα ἀρτώδης βρῶσις, ὑγρῷ τινι μεμιγμένη, μάζα εἴρηται, παρὰ τὸ μάσσω. μάζα τροπῇ τῶν δύο σσ, εἰς ζ Δωρικῶς. ἢ παρὰ τὸ μῶ, τὸ ζητῶ, γίνεται παράγωγον μάζα. ἐξ οὗ καὶ μαστὸς, ὃν ζητοῦσιν οἱ παῖδες.

Μάζα, καὶ ἄρτος διαφέρουσιν. ὅτι ὁ μὲν ἄρτος πάλαι μεμάλακται. ἡ δὲ μάζα νῦν. καὶ Ἀριστοφάνης, μάζαν μεμαχότος, τὰ πεφυρμένα ἄλευρα μαλάξαντος, καὶ ἀρτοποιήσαντος.

Μαζάγόας, ἐπὶ μάζῃ, μεμψίμοιρος.

Μαζάκις, δόρυ παρθικόν.

Μάζεα, τὰ αἰδοῖα. ὅτι μέσα εἰσὶ τοῦ σώματος. Σικελοὶ δὲ καὶ Ταραντῖνοι μέσα αὐτὰ ἀποκαλοῦσι.

Μαζεὺς, ὁ Ζεὺς παρὰ Φρυξί.

Μάζης, ὤνιον, ἄρτου πρᾶσις.

Μαζιναὶ, μαζοί.

Μαζινὸς, βοῦς ὁ ἐξ ἀλφίτων.

Μαζίον, ὀλίγον.

Μαζίσκην, ἄρτον πεφυραμένον λέγουσι.

Μαζοπέπτης, ἀρτοκόπος.

Μαζονομεῖον, ἐν ᾧ ἡ μάζα φυρᾶται, ἢ ξύλινον πινάκιον καὶ κανοῦν. οὕτως Ὧρος ὁ μιλήσιος.

Μαζὸς, ἐπὶ ἀνδρῶν κεῖται, παρ᾽ Ὁμήρῳ. ὥστε οὐκ ἐπὶ μόνων λέγεται γυναικῶν. δοκεῖ δὲ γενέσθαι ἐκ τοῦ μαδὸς, κατὰ φανερὰν στοιχειακὴν τοῦ δ καὶ τοῦ ζ συγγένειαν. μαδᾷ γὰρ φύσει ἀναγκαίως ἅπας μαζὸς, ὁ καὶ μασδὸς Δωρικῶς, καὶ μαστὸς διὰ τοῦ τ. καὶ μαθὸς δὲ διὰ τοῦ θ λεγόμενος. χρῆσις δὲ τοῦ μαδοῦ, ἐν οἷς Ἡρακλείδης εἰπὼν, ἐκ τοῦ ἔδω τὸ ἔθω γίνεσθαι, τροπῇ τοῦ δ εἰς θ ὡς τὸ ἔθων οἰνῆος ἀλωήν. λέγει ὅτι καὶ τὸν μαδὸν οὕτω μαθὸν λέγουσιν οἱ Δωριεῖς. καὶ τὸ ψεῦδος δέ φησιν ἀρανττες τὸ ε, ψύθος φασί. τινὲς δὲ ἀπὸ τοῦ μῶ μάζω τὸ ζητῶ, παράγουσι τὸν μαζὸν, τοῖς βρέφεσι ζητούμενον.

Μαζὸς, μαστὸς, ὄχθος, τιτθός.

Μαζουσία. οἱ μὲν ἄλλοι, ἡ μαζουσία λέγουσι μετὰ τοῦ ἄρθρου, καὶ φασὶν αὐτὴν ἀκρωτήριον εἶναι. ἐγὼ δὲ μαζουσία φημὶ, ἡ μαστοειδὴς, ἤγουν ἡ εἰς μαζοῦ θέσιν ἐξεικασμένη.

Μαζουρώθ, τὰ συστήματα τῶν ἀστέρων, ἃ ἐν τῇ συνηθείᾳ ζώδια καλοῦνται. ἑβραϊστὶ δέ τινες φασὶ λέγεσθαι τὴν λέξιν, σημαίνειν δὲ καὶ τὸν ἀστρῷον κύνα.

Μαζοφορεὶς, ὅμοιον κανῷ.

Μαζῶντες, τρυφῶντες.

Μαζῶντα, τὸν μάττοντα τὰς μάζας.

Μαθαλίδες, ἐκπώματά τινα. οἱ δὲ μέτρα, ὡς κύαθοι.

Μάθας, μαθήσεως.

Μάθημα, ἐπιτήδευμα, ἀσχόλημα, δίαιτα, διαγωγὴ, πρόφασις.

Μαθήματα, ἃ οἱ ὑποκριταὶ ἀνελάμβανον.

Μαθητὴς, ὁ τοῦ διδασκάλου τὰ μαθήματα ἐπιποθῶν, παρὰ τὸ μήθω τὸ μανθάνω. μαθητὴν, καὶ φοιτητὴν λέγει ὁ Σόλων, οὐ γνώριμον.

Μαθητεύω, ἀντὶ τοῦ μαθητής εἰμι.

Μαθητεία, ἡ μάθησις.

Μαθητιᾷ λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ ὀρέγεται μαθητὴς γενέσθαι. μαθητιῶ τὸ μαθητὴς γενέσθαι ἐπιθυμῶ, καὶ ὀρέγομαι μαθεῖν.

Μάθυιαι, γνάθοι.

Μαθῶμαι, ζητῶ.

Μαθὼν, ἰδών.

Μαὶ, μέγα. Ἰνδοί.

Μαῖα, ἡ βοηθοῦσα γυναιξὶ ταῖς τικτούσαις.

Μαῖα, μαιεία, μαίευσις, μαιευτικὴ ἡ τέχνη, καὶ ἡ γυνή. καὶ τὸ ῥῆμα μαιεύειν, μαιεύεσθαι. καὶ τὸ ἐπίρρημα, μαιευτικῶς.

Μαῖα, καὶ μήτηρ, ἐκ τοῦ μῶ τὸ ζητῶ παράγονται.

Μαῖα μαίας μαίᾳ, ἡμέρα ἡμέρας ἡμέρᾳ, Λήδα Λήδας Λήδᾳ, Μάρθα Μάρθας μάρθᾳ, Ἀθηνᾶ Ἀθηνᾶς Ἀθηνᾶ. ὅτι ἀθηνάα, καὶ κατὰ κρᾶσιν Ἀθηνᾶ. ὁμοίως ναυσικᾶ καὶ μνᾶ, ὅτι ναυσικάα καὶ μνάα, καὶ κατὰ κρᾶσιν ναυσικᾶ καὶ μνᾶ. σημείωσαι ὅτι τὰ ὀνόματα τῆς δευτέρας κλίσεως τὰ εἰς α καθαρὸν, καὶ εἰς ρα, δα, θα, καὶ εἰς α μακρὸν λήγοντα, κοινῶς τηροῦσι τὸ α ἐπὶ τῆς γενικῆς, καὶ δοτικῆς.

Μαίανδρος, ποταμὸς Λυδίας. Ἀλφειὸς, ποταμὸς Πελοποννήσου ἐν Ἤλιδι. Ἠριδανὸς, ποταμὸς Κελτῶν. Στρυμὼν, ποταμὸς Θρᾴκης, Ἴστρος Σκυθίας, Φᾶσις Κόλχων, Ῥῆσος Τροίας, Ἀχελῷος, Ἀκαρνάνων, ἢ Αἰτωλίας. Νέσσος Θρᾴκης, Ῥόδιος Τροίας, Ἀλιάκμων Μακεδονίας. Ἑπτάπορος, καὶ Γρήνικος, καὶ Αἴσηπος, καὶ Σιμόεις, Τροίας. Πηνειὸς, Θετταλίας, Ἕρμος Λυδίας, Κάϊκος Μυσίας, Σαγγάριος τῆς ἄνω. Λάδων Ἀρκαδίας, Παρθένιος Παφλαγονίας, Εὔηνος Αἰτωλίας, Ἀρδησκος Σκυθίας, Σκάμανδρος Τροίας, ὁ ἐν Σάμῳ Παρθένιος καὶ Ἴμβρος καλεῖται. Ἴμβρασος δὲ ὑπὸ Καρῶν ὁ Ἑρμῆς καλεῖται.

Μαίτιον, εἶδος φακῆς.

Μαιεία, ἡ μαίευσις.

Μαίεσθαι, ζητεῖν, ἐρευνᾶν. καὶ μαιῶσαι, τὸ αὐτό.

Μαιεύεται, οὐχὶ μαιοῦται.

Μαιεύειν, τὸ βοηθεῖν ταῖς τικτούσαις. ἢ τὸ μαιεύειν.

Μαιευομένην, ἀντὶ τοῦ νεοττοτροφοῦσαν, περὶ γυναῖκα ὄρνιθας μαιευομένην.

Μαιευόμενοι, ζητοῦντες, ἐρευνῶντες.

Μαιευτικῶς, ἰατρικῆς μαιευτικῆ.

Μαιθαῦ, οἴμοι.

Μαίθη, καρδία. πρὸς τοῖς ἱεροῖς, καὶ ὄνομα.

Μαιμᾷ, ἐνθουσιασμοὶ, καὶ ὀξέως ὁρμαί. ἢ ὀρέγεται, προθυμεῖται.

Μαιμάκτης, μειλίχιος, καθάρσιος.

Μαιμακτηριὼν, ὁ πέμπτος μὴν ὁ ἐνιαύσιος, παρ᾽ Ἀθηναίοις. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. ὠνόμασται δὲ ἀπὸ Διὸς μαιμάκτου, μαιμάκτης δέ ἐστιν, ὁ ἐνθουσιώδης καὶ ταρακτικὸς, ὥς φησι Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθηναίων μηνῶν. ἀρχὴν δὲ λαμβάνοντος τοῦ χειμῶνος ἐν τούτῳ τῷ μηνὶ, ὁ ἀὴρ ταράττεται, καὶ μεταβολὴν ἴσχει.

Μαιμᾷν, ὀρέγεσθαι, ἐπιθυμεῖσθαι.

Μαιμᾷν τὸ πῦρ ἀνὰ τὸ ὄρος, ὡς ἐπὶ ἐμψύχου τοῦ πυρὸς εἴρηται, οἷα καὶ θεσπιδαοῦς, ὅ ἐστι θεόθεν ταυτὸν δ᾽ εἰπεῖν ποιητικῶς διόθεν πεσόντος, καὶ δαίοντος. κυρίως γὰρ ἐπὶ ἐμψύχων τὸ μαιμᾷν.

Μαίμαξ, ταραχώδης.

Μαιμάσασα, οἰστρήσασα.

Μαιμάσσει, σφύζει, προθυμεῖται. καὶ μαιμῶ, τὸ προθυμοῦμαι. ἐστι μῶ τὸ προθυμοῦμαι, καὶ διπλασιασμῷ, μαμῶ καὶ μαιμῶ. ἐκ δὲ τοῦ μῶ, γίνεται μαίω τὸ ζητῶ. οἷον μαιομένη κευθμῶνα.

Μαιμάτης, ὀρνίθων ἡ κοιλία.

Μαίμησε δέ οἱ φίλον ἦτορ. μερμήριξε δὲ ἑξῆς ταῦτα δὲ ἀνδρείῳ βουλευτῇ οἰκεῖά εἰσιν. ἐν οἷς τὸ μερμήριξε διασαφητικόν ἐστι, τοῦ μαίμησε δέ οἱ φίλον ἦτορ. ἐνθυμητέον δ᾽ ἐνταῦθα, καὶ ὅτι τὸ ἔχειν καὶ τὸ τλῆναι, τὴν γεωργικὴν ἐχέτλην συντίθησιν, ἣν δηλαδὴ ὁ ἔχων τλάει τὸν βίον. ἢ καὶ ἄλλως εἰπὼν τλήμων, διὰ τὸ ἐργατικόν.

Μαίμησε, ἐπροθυμήθη, καὶ ἐνεθουσίασε.

Μαιμῶσα, καὶ μαιμῶσα, ἐνθουσιῶσα καὶ ὀξέως ὁρμῶσα. ἡ τοῦ αἵματος γευστικῶς ἔχουσα.

Μαιμώμενος, ὁρμῶν, ζητῶν.

Μαιμῶν, κυρίως αἱμῶν, αἵματος ἐπιθυμῶν, καὶ προθέσει τοῦ μ μαιμῶν.

Μαιμῶντα, παρὰ Λυκόφρονι αἵματος διψῶντα.

Μαινάδας, μαινομένας, ζητούσας βακχεύειν, παραφρόνους. καὶ μαιναδία ἔλαφος.

Μαινὰς, ἡ πόρνη.

Μαινὰς, βάκχη.

Μαίναλον, ὄρος Ἀρκαδίας. καὶ πόλις ἀπὸ Μαινάλου τοῦ ἀρκάδος, οὗ πατὴρ, Λυκάων.

Μαίνεται, ὀργίζεται, ὑλακτεῖ.

Μαίνεται δόρυ ἐν παλάμῃσι παρ᾽ Ὁμήρῳ, ὡς οἷον ἔμψυχον τὸ δόρυ ἐκεῖ μαίνεσθαι λέγεται.

Μαινὶς, μαινίδος, εἶδος ἰχθύος.

Μαίνοιο. Ἀριστοφάνης, μὴ μαίνοιό γε. Δίδυμος, ἀντὶ τοῦ μὴ μανείης. πιθανώτερον δὲ, ἀντὶ τοῦ ὑπέλαβέ σε μαίνεσθαι ὁ Ἡρακλῆς. ἢ οὕτω, μὴ μανείης οὕτως, ὡς ὑπολαβεῖν σε τὸν Ἡρακλέα φοβηθῆναι.

Μαινόλης, παράκοπος, ἔνθεος.

Μαινόλης, μανικὸς, μαινόμενος.

Μαίνομαι, βακχεύω, κορυβαντιῶ λυττῶ, παραπαίω, σοβῶ, φοιτῶ, παραφρονῶ, θύω, θυάζω, μελαγχολῶ, αὐτοσήμαντα.

Μαίνομαι ἐγὼ, ἐκμαίνομαι δὲ ἕτερον. μεταβατικῶς αἰτιατικῇ, ἀντὶ τοῦ μανῆναι ποιῶ. ἤτοι ἐκταράττω καὶ παροξύνω. μαίνεται περὶ λόγους κρεῖττον, καὶ βακχεύει, ἢ ἐνθουσιᾷ. μαίνομαι, τὸ τὸν νοῦν βεβλαμμένον ἔχω, καὶ μὴ καθεστηκότα.

καὶ

Digitized by Google

καὶ μαίνομαι, τὸ ἐνθουσιῶ, καὶ ἁπλῶς δίχα νόσου μωραίνω. καὶ μανιώδης, ὁ μωρός.

Μαίνεται ἐμὸν δόρυ ἐν παλάμῃσι. τὸ μαίνεσθαι οὐκ ἀεὶ ἐπὶ μόνου τοῦ συνήθους τίθεται, ὡς τὸ μαινόμενος, φρένας ἠλὲ διέφθορας. ἐξ οὗ καὶ ὁ μαινόλης, καὶ ἡ κυριολεκτουμένη μανία, ἀλλὰ καὶ ἐπὶ σφοδρᾶς κινήσεως, καὶ ἐνεργείας. ὡς τὸ μαίνεται δ' ὡς ὅτ' Ἄρης, ὁ Ἕκτωρ δηλονότι. ᾧ λόγῳ καὶ δόρυ μαίνεται ἐν παλάμαις. καὶ παρασημειοῦνται οἱ παλαιοὶ, ὡς δὲ καὶ τὸ καθ' ὑπερβολὴν ἐρᾶν μανίᾳ ἔοικε, καὶ ὁ πάσχων αὐτὸ μαίνεσθαι δοκεῖ.

Μαινομένοιο, ἐνθουσιωδῶς κινουμένου, ἢ μανίας παρασκευαστικοῦ, μανιοποιοῦ.

Μαίνουργος, εἶδος ἰχθύος.

Μαίνομαι, οὐκ ἔχει ἐνεργητικὸν ἐνεστῶτα ἀσυνήθεστον ἐν χρήσει, ἀλλὰ μετὰ προθέσεως. ὡς γὰρ ὀχῶ ἄλλον, καὶ πορθῶ ἄλλον, ὀχοῦμαι δὲ καὶ πορθοῦμαι ἐγὼ, οὕτω καὶ ἐκμαίνω ἄλλον. οὗ ἡ μετοχὴ, τὸ, πέτρωρον ἐκμαίνων ὄχον γίνεται. ὁ μέντοι κατ' ἐνέργειαν παρακείμενος εὕρηται ἐν ἁπλότητι, μέμηνα γάρ. ὁ δὲ ἐνεργητικὸς ἀόριστος μετὰ προθέσεως ἐξέμηνα. δῆλον δὲ, καὶ ὅτι ἐν πολλοῖς αἱ καθ' ὑπερβολὴν ἐπιθυμίαι κλῆσιν ἔχουσιν ἐκ τοῦ μαίνεσθαι. καὶ μάλιστα αἱ φαῦλαι. χρυσομανὴς γοῦν σκώπτεταί τις καὶ οἰνομανής. καὶ ἡ ἐρωμανία δὲ τοιοῦτόν τι ἐστὶ, καὶ ὅσα τοιαῦτα. ἐν οἷς ὁ γυναιμανής. κεκλήρωται δὲ καὶ δούλοις ἐντεῦθεν κλῆσις. μάνης γὰρ δουλικὸν ὄνομα παρὰ τοῖς παλαιοῖς. ἐξ οὗ καὶ μεμίκται, καὶ εἴς τι παικτικὸν χαλκοῦν πρόσωπον, ὃ καὶ αὐτὸ μάνην ἐκάλουν. ἐκ τοιαύτης δὲ μανίας πέπαικται καὶ ἡ μανιόκηπος γυνὴ, ἤγουν ἡ περὶ μίξεις μεμηνυῖα. κῆπος γὰρ νῦν τὸ ἐπίγειον.

Μαινοῶν, ἐνθουσιῶν.

Μαίνω, ἐνθουσιωδῶς κινοῦμαι.

Μαιονία, ἡ Λυδία.

Μαιοπάλιμνος, ὄνομα τόπου.

Μαιόπαλμνος, ποταμός.

Μαιούμενος, ἐκλοχίζων.

Μαῖρα, κύων τὸ ἄστρον, ἢ ἀκμαιότατον καῦμα. οἱ δὲ τὴν Σελήνην. Ταραντῖνοι δὲ μαιριᾶν, τὸ κακῶς ἔχειν. οἱ δὲ, Προίτου θυγατέρα Αἴθρας ἀδελφὴν εἶναι.

Μαίσωλος, ζῶον τετράπουν γεννώμενον ἐν τῇ Ἰνδικῇ, ὅμοιον μόσχῳ.

Μαίσων, μαγειρεῖον. ἄλλοι βόρον, ἀπὸ τοῦ μασσᾶσθαι.

Μαιοῦται, ἐρευνᾷ τῇ φύσει.

Μαιωθήσονται, λοχευθήσονται, γεννηθήσονται, θεραπευθήσονται.

Μαιωτικὴ, χώρα.

Μαιώρεις, οἱ πρεσβῦται.

Μαίωτρον, τὸ εὔρεμα.

Μαιωτιστὶ, παρὰ Θεοκρίτῳ, ἤτοι σκυθιστί. Μαιῶται γὰρ σκύθαι, οἱ περιοικοῦντες τὴν Μαιῶτιν λίμνην. ἐχρῆτο δὲ Ἡρακλῆς τοῖς σκυθικοῖς τόξοις.

Μαιῶτις, λίμνη Σκυθίας.

Μαίωτρα, μαιώτρων, τὰ τῇ μαίᾳ διδόμενα.

Μάκαρ, ἐκ τοῦ μὴ στερητικοῦ καὶ τοῦ κὴρ, ἡ θανατηφόρος μοῖρα, ὁ μὴ κηρὶ ὑποκείμενος.

Μάκαρ, πόσας εὐθείας ἔχει, τρεῖς, μακάριος. ἀποκοπῇ τῶν δύο συλλαβῶν γίνεται μάκαρ, καὶ μένοντος τοῦ ο γίνεται μάκαρος. μάκαρες, οἱ μὴ πεπτωκότες ὑπὸ κῆραν. οἱ δὲ μακαρῖται, οἱ ἀποθανόντες.

Μάκαιρα, τελεία, εὐτυχὴς, τιμία.

Μάκαιραν, μακαρίαν ἀπὸ μάχης. ὁ δὲ Ἴων καθ' ὁμοιότητα, ἀπὸ τοῦ εἴκειν καὶ ὑποχωρεῖν.

Μακαρία, ἡ Ἡρακλέους θυγάτηρ, ἣν Ἀθηναῖοι πολυτελῶς ἔθαψαν. ὅτε γὰρ Ἀθηναίοις Εὐρυσθεὺς ἐπεστράτευσεν, ἑαυτὴν ἐπέδωκεν εἰς σφαγὴν ὑπὲρ σωτηρίας τῶν πατριωτῶν.

Μακαρία τὸν βίον, καὶ μακάριε τὸν τρόπον.

Μακαριστὸν, κυρίως ἡ Θεότης.

Μακάριος, ὁ πάντοτε ἐν ἀγαθοῖς ὤν. τοῦτο δὲ, ὁ Θεός.

Μάκαρες, μακάριοι εὐδαίμονες, ἅγιοι.

Μακαρίζειν, μακαρισμός ἐστιν ἡ κορυφὴ τῶν ἀγαθῶν.

Μακαρίζω, ὀλβίζω, ζηλῶ, εὐδαιμονίζω, ταυτά.

Μακαρίζω, καὶ ὀλβιάζω, καὶ εὐδαιμονίζω σε τοῦ κάλλους. νοεῖται ἕνεκα, καὶ ἀντιστρόφως μακαρίζω καὶ ὀλβιάζω καὶ εὐδαιμονίζω σου τὸ κάλλος.

Μακαρίνη, ἀνδράχνη.

Μακάριον, αὐτὸ τὸ ἀγαθὸν, πρὸς ὃ πᾶν ἀφορᾷ, καὶ οὗ πάντα ἐφίεται.

Μακάριος, ἀπὸ τοῦ κὴρ τοῦ σημαίνοντος καὶ τὴν θανατηφόρον μοῖραν, γίνεται κατὰ παραγωγὴν κήριος, ὁ τῇ φθορᾷ ὑποπεπτωκὼς καὶ μετὰ τοῦ στερητικοῦ α ἀκήριος, ὁ ἐστερημένος τῆς φθορᾶς. καὶ τροπῇ τοῦ η εἰς α, καὶ πλεονασμῷ τοῦ μ, μακάριος.

Μακαρῖται, οἱ ἀποθανόντες, οἱ ἤδη τὸ μῆκος ἐπιλαμβανόμενοι, οἱ μήκιστοι. ὅθεν καὶ μακραίων ὁ τύμβος, ὁ ἐς μακρόν.

Μακαριτὸν ἄποτμον, ὃ ἐστὶ τὸν δύσποτμον ἀντέθετο ὁ Ποιητής. οἱ μέντοι μεθ' Ὅμηρον, μακάριον τὸν εὐδαίμονα καλοῦντες, τὸν ἄθλιόν φασι δυσδαίμονα.

Μακάρτατος ἰστέον, ὅτι τὰ συγκριτικὰ σχηματίζονται ἀπὸ τῶν ληγόντων εἰς ων, ἢ εἰς ος, ἢ εἰς υς, ἢ εἰς ους. καὶ ταῦτα ἐὰν φυλάττῃ τριγένειαν. διόπερ μεμπτέον Σώφρονα λέγοντα φωρωτάτους ἀεὶ καπήλους. οὐδὲ γὰρ τὰ εἰς ω λέγοντα ῥήματα παρασχηματίζει συγκριτικὸν καὶ ὑπερθετικόν. ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες μακάρτατος. τὸ μέντοι φέρτερος φέρτατος, βέλτερον βέλτατος, ὕστερος ὕστατος, οὐκ οἴονται εἶναι συγκριτικὰ, ἢ ὑπερθετικὰ, συμπεπτωκέναι δὲ τοῖς συγκριτικοῖς. ὁμοίως δὲ καὶ τὸ πρότερος. εἰ γὰρ ἀπὸ τοῦ πρῶτος, ὤφειλε διὰ τοῦ ω μεγάλου γράφεσθαι.

Μακαριότης ἐστὶ, ψυχῆς νοερᾶς περὶ τὸ φύσει καλὸν ἀκόρεστος ὄρεξις. καὶ ἄλλως. μακαριότης ἐστὶ, ψυχῆς λογικῆς ἕξις, ἐφιεμένη τῶν ὑπὲρ φύσιν καλῶν.

Μακάρων νῆσοι, ἡ Ἀκρόπολις τῶν ἐν Βοιωτίᾳ Θηβῶν.

Μάκεδνα σκῦλα, τὰ οὐράνια καὶ μεγάλα. ἢ ὅτι τρόπαια μετέωρα ἵσταται.

Μακεδανὸν, ὑψηλόν.

Μακεδνὴ αἴγειρος, ἤγουν ἐπιμήκης, μακρά. παρὰ τὸ μάκος μακεδανὴ, καὶ μακεδνὴ, καὶ θρὶξ ψεδανὴ, ψεδνή. ὁμοίου δὲ τύπου, καὶ τὸ ἀλαπαδνὸν, καὶ ὀλοφυδνὸν, καὶ παιδνόν. δῆλον ὅτι ἐκ τοῦ μάκος, καὶ ἡ μακρὰ γίνεται, καὶ ἐν συγκοπῇ μακρά.

Μακεδνῆς, ἴσως μακεδονικῆς. ἢ κατ' ἐπίτασιν, λίαν κεδνῆς.

Μακεδονία, ἧς μητρόπολις ἡ Θεσσαλονίκη.

Μακέλα, φράγματα, δρύφακτα.

Μάκελλα, ἡ σκαλὶς ἡ μονόθεν κέλλουσα, ὅ ἐστι κινοῦσα καὶ τέμνουσα. ὥσπερ αὖ πάλιν δίκελλα, ἡ διχόθεν κέλλουσα. ἀμάρα δὲ, ἡ ὑδρορρόη, παρὰ τὸ μὴ ἐᾶν τὰ παραπεφυκότα μαραίνεσθαι, διὸ καὶ ψιλοῦται κατὰ τὴν ἄρχουσαν. παρά τισι δὲ δασύνεται, ὡς ἀπὸ τοῦ ἅμα ῥέειν. σκοπητέον δὲ εἴπερ καὶ λείβηθρον ἡ ὁμηρικὴ ἀμάρα ἐλέγετο. φησὶ γάρ τις ἐν ῥητορικῷ λεξικῷ, ὅτι λείβηθρον ὀχετὸς ὑδραγωγός. ἐν δὲ τοῖς Αἰλίου Διονυσίου γράφεται συστολῇ τῆς ἀρχούσης, διὰ μόνου διχρόνου, ὅτι λίβηθρα ἔνυδρα χωρία, καὶ διαρρύσεις ὑδάτων. πλείων δὲ ἡ διὰ διφθόγγου γραφὴ, καὶ οὕτω γράφουσι καὶ τὰ μακεδονικὰ λείβηθρα τὸ ὄρος. οὗ τοπικὸν οἱ βάρβαροι, λειβήθριοι, οἷς ἐν διατρῖψαι ποτὲ ὁ Ὀρφεὺς λέγεται.

Μακεσίκρανος, ἔποψ. διὰ τὸ ἔχειν ἐπὶ τῆς κεφαλῆς καθάπερ λόφον, καὶ κορυθαιόλον αὐτὸν λέγουσι. πολυώνυμον δὲ λέγεται τὸ ζῶον. σιττὴν τε γὰρ αὐτὸν, καὶ ἀλεκτρυόνα, καὶ γέλασον λέγουσι.

Μακεττία, ἡ Μακεδονία.

Μακιστὴρ, βέλος. τάσσεται δὲ καὶ ἐπὶ τοῦ μεγάλου.

Μάκιστος, πορρώτατος.

Μακκοᾶν, τὸ ἀνοηταίνειν, καὶ μωραίνειν. παρὰ τὸ μὴ καὶ τὸ κοῶ τὸ νοῶ, μηκοῶ. κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι ἡ ἐπείσοδος τῶν συμφώνων τροπὴν ποιεῖ, ὡς ἥδω ἁνδάνω. ἐπεισῆλθε τὸ κ, καὶ ἐτράπη τὸ η εἰς α.

Μάκκος, βασιλεύς.

Μακκοῦρα, χειρὶ σιδηρᾷ, ἢ χρῶνται πρὸς τοὺς ἵππους.

Μακκὼ, καὶ λαιμὼ, γυναῖκες αἳ ἐγένοντο ἐνεαὶ, τουτέστι βαρέως νοοῦσαι.

Μακοᾶν, παραφρονεῖν, προσποιεῖσθαι, μὴ ἀκούειν.

Μάκορ, ἐργαλεῖον γεωργικὸν, ὡς δίκελλα.

Μακούνιον, δίκτυον κιχλῶν. ὅπερ τινὲς, νεφέλην λέγουσι.

Μακρὰ βιβὰς, ἀντὶ τοῦ πολλά. ὥσπερ καὶ τὸ πέραν, ἐπὶ τόπου λέγεται ἀεί. πέρα δὲ, ἀντὶ τοῦ ὑπὲρ τὸ μέτρον, καὶ ἔξω τοῦ προσήκοντος. Σοφοκλῆς, μὴ πέρα λέγειν ἔα.

Μακρὰ βιβὰς, ἀντὶ τοῦ διϊστῶν εἰς μῆκος πολὺ τὰ σκέλη, διὰ τὸ θάρσος. ἀνάπαλιν ἔχει πρὸς τὸ, ὀλίγον γόνυ γουνὸς ἀμείβειν, ὃ καὶ ἐπὶ σκέλος χωρεῖν λέγεται.

Μακρὰ γραμμὴ, ἡ καταδικάζουσα. ὁ δ' ἀπολύων, βραχεῖαν ἐσημειοῦτο.

Μακρὰν οὐσίαν, οὕτω λέγουσι τὴν πολλὴν Ἀττικοί.

Μακρὰν χαίρειν, οἰμώζειν, θρηνεῖν, στενάζειν λέγουσιν οἱ Ἀττικοί.

Μακρὰ συλλαβὴ, ἡ ἔχουσα μακρὸν φωνῆεν, ἢ μηκυνόμενον, ἢ μίαν τῶν διφθόγγων. κατὰ ὀκτὼ δὲ τρόπους γίνεται ἡ μακρὰ συλλαβὴ, ὡς παρὰ τοῖς γραμματικοῖς καλῶς διώρισται.

Μακραίωνι χολῇ, πολυχρονίῳ, βραδεῖ ἀγῶνι. Σοφοκλῆς.

Μακραίωνας, μακροβίους.

Μακραίωνα, τὸν πολυχρόνιον λέγουσι.

Μακρακὲς, τὸ εὔκυκλον.

Μακρὰν λέγεται, ἐπὶ τόπου. οἷον μακρὰν ὁδὸν ἐστειλάμην.

Μακρέτηος, ὁ πολυχρόνιος.

Μακρηγορία, μακρὰ διάλεξις, ἢ ὑπαγορία.

Μακρῇσι, μεγάλαις.

Μακριέων, τῶν καλουμένων μακρώνων, οἵ εἰσιν ἄποικοι Εὐβοέων. ἀφ' οὗ καὶ Μακρῶνες ἐκλήθησαν. Μάκρις γὰρ ἡ Εὔβοια ἐκαλεῖτο. ἦσαν δὲ ἀστυγείτονες τῶν Δολιόνων οἱ Μάκρωνες. οἱ δὲ, ἔθνος Βεχείρων φασὶ τοὺς μάκριας, οἵτινες ἀεὶ πολεμοῦσι τοῖς Κυζικηνοῖς. ἦσαν δὲ πολεμικὰ ἔργα ἠσκηκότες, ὡς ἱστοροῦσι Φιλοστέφανός τε, καὶ Ἡρόδωρος, οἱ τὰ περὶ τῶν βίων αὐτῶν γεγραφότες, Διονύσιος δὲ ὁ χαλκιδεὺς, εἰρῆσθαί φησιν αὐτοὺς Μάκρωνας, ἐπειδὴ Εὐβοέων εἰσὶ Μάκρωνες ἄποικοι. ἄλλοι δὲ Μάκρωνας αὐτούς φασι λέγεσθαι, διὰ τὸ πλείστους εἶναι παρ' αὐτοῖς μακροκεφάλους, ὥσπερ παρὰ τοῖς Πέρσαις γραπτούς. μέμνηται δὲ τούτων Ἡρόδοτος ἐν δευτέρᾳ.

Μάκρις, Εὔβοια, ἡ νῆσος.

Μακρὶς, τὸ παλαιὸν ἐλέγετο ἡ Χερσία, ὠνομασμένη ἀπὸ τῆς Διονύσου τροφοῦ. ἔνθα φησὶ τὸν Ἡρακλέα παραγενόμενον, τὸν τῶν παίδων αὐτοῦ φόνον καθαρθησόμενον, Μελίτην τὴν Αἰγαίου τοῦ ποταμοῦ θυγατέρα γεγαμηκέναι, ἐξ ἧς ἔσχε τὸν Ὕλλον. ὃς ἀκμάσας οὐκ ἠθέλησε τῷ Ναυσιθόῳ ὑποταγῆναι, ἀλλά τινας τῶν Φαιάκων συναγαγὼν, εἰς τὴν Κρονίαν θάλασσαν κατῴκησε

Μακρόβιοι, αἱ νύμφαι. Ῥόδιοι.

Μακρόβιοι, οἱ Βραχμᾶνες. ζῶσι γὰρ ἑκατὸν πεντήκοντα ἔτη, διὰ τὴν πολλὴν καθαρότητα, καὶ εὐκρασίαν τοῦ ἀέρος.

Μακροκέφαλοι, ἔθνος ἐστὶν οὕτω καλούμενον.

Μακρὸν αὖσαι, ἔστι τὸ εἰς πολὺ μῆκος, καὶ διάστημα μὲν ἀέρος. λέγεται γὰρ ὥσπερ τὸ σκῆνος σκᾶνος Δωρικῶς, οὕτω καὶ μῆκος μᾶκος. ἐξ οὗ μακερὸν, καὶ ἐν συγκοπῇ μακρόν. ἐκ τοῦ τοιούτου δὲ μάκους, καὶ ἡ Μακεδονικὴ αἴγειρος.

Μακροθυμία, πέψις λύπης.

Μακρὸν ποιῶ, ἀντὶ τοῦ μηκύνω, οὕτω Φιλιππίδης.

Μακρονήχια, τὸν μακρὸν τὸν συνέχοντα.

Μακρόπνους, ὁ μακρὸν ἀναπνέων, ἢ διὰ μακροῦ. παρὰ τῷ Ἱπποκράτει.

Μακρυνῶ σε τῆς πόλεως, παρὰ τὸ μακρός.

Μακρῷ, ἀντὶ τοῦ κατὰ πολύ.

Μάκται, οἱ μάττοντες τὰς μάζας.

Μάκτρα, θυεία ἐπιμήκης, ἐν ᾗ μάττουσι τὰ ἄλευρα. καὶ γίνεται παρὰ τὸ μάσσω. ὅθεν καὶ μεμαγμένον γίνεται, καὶ ἡ μάζα.

Μάκτραν λέγουσιν, ἐν ᾗ ἔμασσον. καρδόπον δὲ, Ἀττικῶς.

Μάκτρα, ἡ κάρδοπος, ἡ πυελὶς, καὶ διφθέρα, καὶ ὀρχήσεως σχῆμα.

Μακτήριον, ἱλαστήριον, κάλυμμα ἱερὸν, χρυσίον. ἢ κύκλος ξύλινος.

Μακώεται, μεγαλωύεται, ὀρθοῦται.

Μακὼν, ἀντὶ τοῦ εἰς μῆκος ἐκταθεὶς, ἢ ποιὸν ἦχον ἀποτελέσας. ἐξ οὗ ἦχου καὶ τὸ μηκᾶσθαι.

Μάλα πάγχυ, ἐκ παραλλήλου. δηλοῖ τὸ αὐτὸ, καὶ Ἀττικόν ἐστιν. ὡς καὶ τὸ λίαν πάνυ, καὶ τὸ τυχὸν ἴσως. καὶ παρ' Ἡσιόδῳ, τὸ νόσφιν ἄτερ κακῶν.

Μάλα εἰκότως, πάνυ δικαίως.

Μάλα, ἄθροισμα, βύνισμα.

Μαλάγας, ἄδηπος, θύλαξ, ἀσκός.

Μάλαγμα, ἴαμα.

Μαλαθώδια, μαλακτικὰ, ἢ κηρώδη. μάλθη γὰρ ὁ κηρὸς, παρὰ τῷ Ἱπποκράτει.

Μάλαι, μασχάλαι.

Μαλάκα, πόλις Ἰταλίας.

* Μαλακεύειν, μαλακῶς διάγεσθαι.

Μαλακία, ῥαθυμία, νόσος, βλακεία.

Μαλακίζεσθαι, ἐν ταῖς νόσοις φασὶν οἱ Ἀττικοὶ τὰς μὲν γυναῖκας, μαλακίζεσθαι. τοὺς δὲ ἄνδρας, ἀσθενεῖν.

Μαλακίας, ὁ μαλακός.

Μαλακίζεσθαι, ἀσθενῶς διακεῖσθαι, νοσηλεύεσθαι.

Μαλακίννης, παρθένος.

Μαλάκιον, γυναικεῖον κοσμάριον.

Μαλακίοισιν, ὅσα τῶν ἐν θαλάσσῃ ἄναιμα, καὶ μὴ ἔχοντα ἀκάνθας. ἅπερ εἰσὶν, ἢ τε σηπία, καὶ ἀπολύποδες, καὶ ὅσα τοιαῦτα, παρὰ τῷ Ἱπποκράτει.

Μαλακιεῖς, τοὺς ὑπὸ κρύους κεκμηκότας λέγουσι, καὶ συνεσπασμένους.

Μαλακὸν, ἐπὶ κηρῶν καὶ τῶν τοιούτων, καὶ ἀπὸ τούτου ἐπὶ ἤθους καὶ λόγων. μαλάσσεται καὶ κηρὸς, καὶ ἦθος, καὶ λόγος, καὶ ἔτι σίδηρος ὑπὸ πυρὸς, ἤγουν χαυνοῦται καὶ ἐνδίδωσι. παρὰ δὲ τῇ θείᾳ γραφῇ, καὶ λόγοι ἁπαλύνονται ὥσπερ ἔλαιον.

Μαλακὸν θάνατον, ὥσπερ λέγει ὁ Ποιητὴς εἶναι τὸν αὐτίκα νοῦ. ὅπερ αἰτία γυναιξὶ, παρὰ τῷ Ποιητῇ Ἄρτεμιν. οὕτω καὶ μαλακὸν κῶμα, ὁ αὐτίκα νοῦ ὕπνος. ὅτι δὲ τὸ μαλακῶς θανεῖν, συγγενές τι τῷ, μαλακῶς ὑπνῶσαι, δηλοῖ Ἡσίοδος ἐν τῷ, θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι.

Μαλακὸν ἱμάτιον, πετριμμένον. Κῷοι δὲ ἀμεταχόμιστον, ἢ πολυτελὲς, ἢ ἁπαλὸν, ἢ ἀσελγές.

Μαλακὸν ὕπνον, λέγει ὁ Ποιητὴς, τὸν μαλάσσοντα ἤτοι μαλακοποιοῦντα, ὥσπερ καὶ ἔγχος ἄλκιμον, τὸ ἀλκιμοποιόν. καὶ κῶμα δὲ μαλακὸν ὁμοίως, δι' οὗ μαλάσσεταί τις. ὡς τὸ μαλακὸν περὶ κῶμ' ἐκάλυψεν. ἐντεῦθεν δὴ λαβὼν εἴρηκεν, ὁ εἰπὼν σάπητας ὕπνου μαλακωτέρους. δῆλον δ' ὡς οἱ ῥήτορες τὸ μαλακὸν, καὶ ἐπὶ βλακίας τιθέασι.

Μαλακὸς ὕπνος, ὁ γλυκὺς καὶ ἀμβρόσιος, διὰ τὴν ἀμβροσίαν νύκτα. παρ' Ὁμήρῳ λέγεται καὶ ἥδυς ὕπνος.

Μαλακὸς, ὁ ἀναπεπτωκὼς, ὁ νοσερὸς, καὶ ὁ ἀσελγής.

Μαλακόστρακοι ἰχθύες, ὅσοι ἐνδύονται. οἷον ἀστακοὶ, καρίδες, πάγουροι, καρκῖνοι. ταῦτα δὲ μόνα ἐνδύονται.

Μαλακῶς ἐνδύειν, ἑτεροῖόν ἐστι τοῦ ἐπὶ στιβάδος εὕδειν. ἐκείνη γὰρ ὡς τὰ πολλὰ οὐ μαλακή.

Μᾶλλον πλουσιώτερος οὐ χρὴ λέγειν, ἀλλὰ μᾶλλον πλούσιος. ὁμοίως καὶ τῶν ὑπερθετικῶν, μάλιστα εὐγενὴς, ἢ οὕτως, εὐγενέστατος, πλουσιώτατος. χωρὶς τοῦ μᾶλλον, καὶ μάλιστα.

Μᾶλλον σοφὸς, ἀντὶ τοῦ σοφώτερος. καὶ μάλιστα σοφὸς, ἀντὶ τοῦ σοφώτατος.

Μᾶλλον τῶν ἄλλων φιλοσοφεῖ, καὶ μάλιστα πάντων. τὰ συγκριτικὰ ἐπιρρήματα καὶ ὑπερθετικὰ, μετὰ γενικῆς συντάσσονται. τὰ συγκριτικὰ, μετὰ εὐθείας μεσοσυλλαβοῦντος τοῦ, ἢ συνδέσμου, οἷον μᾶλλον ἢ ἄλλοι.

Μαλάνιον, σάκκος.

Μαλάντερον, μαλανώτερον.

Μαλάξαι, πραῦναι.

Μάλα σαφῶς, πάνυ φανερῶς.

Μάλαοσος, τράχηλος.

Μαλάσσω, ἀλάσσω. καὶ κατὰ πλεονασμὸν τοῦ μ, μαλάσσω. πᾶν γὰρ τὸ μαλασσόμενον ἀλλάσσεται.

Μαλακτῆρες, ναῦται.

Μαλατθᾶ, αἱμωδιᾷ.

Μαλαφῶν, ζητῶν.

Μαλάχη, μολόχη.

Μαλάχια, ὅσα τῶν ἐνύδρων ὀστέα οὐκ ἔχει, οἷον σηπία, πολύπους. ταῦτα δὲ καὶ ἄναιμά ἐστι, καὶ ἄσπλαγχνα.

Μαλάχιος, ἰχθύς ποιός.

Μαλαῶν, λίαν, πάνυ.

Μαλίας, ἡ αἰτιατικὴ τὸν μαλέαν, ἀκρωτήριον καὶ ὄρος.

Μάλεοι, ὅμοιοι.

Μαλερὸν, λαμπρὸν, σποδόεν, ἰσχυρὸν, ὀξὺ, ἀσθενὲς, ξηρὸν, θερμόν. τὸ δὲ μαλερὸν πῦρ, τὸ ὀξὺ ἢ μαραντικὸν, σφοδρόν. καὶ μαλερὰς φρένας, τὰς ἀσθενεῖς καὶ ξηράς.

Μαλερὸν, ἄλευρον, στέαρ.

Μαλερὸς, οἱ νεώτεροι λαμπρός. οἱ δὲ, μαραντικός.

Μάλη, χλαῖνα.

Μασχάλη, μαλάχη.

Μαληστέον, ζητητέον.

Μάλθη, ὁ μεμαλαγμένος κηρός. Διογένης ἐν τῷ κατὰ Στεφάνου, καὶ Ἱππῶναξ. ἔπειτα μάλθῃ τὴν τρόπιν παραχρίσας.

Μαλθακὸς, τρυφερὸς, νεογνός.

Μάλθη, ῥύπος ξηρός.

Μαλθακὸν, ἔκλυτον. μαλακὸν, ἀγαθόν. μαλθακώτερον, πρὸς τὸ ἡδύτερον τοῦ βίου, καὶ εὖ ἔχον.

Μαλθάξαι, ἀγαθῦναι, καταπραῦναι. καὶ μάλθων ὁ γυναίανδρος. καὶ μάλθων τύραννος, ἀντὶ τοῦ ἔκλυτος.

* Μαλθώδεα, μαλακτικὰ, ἢ κηρώδη.

Μαλιασμὸς, νόσος περὶ τοὺς ὄνους γινομένη, ὅς ἐστι κατάρρους διὰ μυκτήρων, καὶ στρόφος περὶ τοὺς αὐτούς. οὐκ ἐκφεύγει δὲ οὐδέτερον τῶν νοσημάτων ὁ ὄνος.

Μαλία, ἀκρωτήριον τῆς Λακωνικῆς.

Μαλικᾷ πέδα, χοιριδίῳ δεσμῷ, τροχήλια, καὶ παγὶς, μαλικὰ καλοῦνται.

Μαλίη, τὸ περὶ τὰ ὑποζύγια πάθος, ὅτε βήττει.

Μαλιεῖς, ζητεῖς. μάλιον, μᾶλλον. καὶ ὄρος.

Μάλικα, τὸν Ἡρακλέα Ἀμαθούσιοι.

Μαλιργὴ, κιμωλία.

Μαλὶς, Ἀθηνᾶ. λοιπάρα ἄφθα φλεγμονή.

Μάλιστα, λίαν, πάνυ, πλέον, σφόδρα, μᾶλλον.

Μαλιωτέρα, προσφιλεστέρα.

Μαλκενὶς, ἡ παρθένος. Κρῆτες.

Μάλκην, τὸ ἐπικόπανον. Πάριοι.

Μαλκιεῖν, τὸ ὑπὸ ψύχους συνεσπᾶσθαι τὰς χεῖρας.

Μάλκιον, ἀσθενὲς, ψυχρότατον. καὶ μαλκιστότατον, ψυχρότατον. τὸ δέ μοι μαλκιστότατον, ἦμαρ.

Μαλκιώτατον, μαλακώτατον.

Μαλλαθόντες, ἐσθίοντες.

Μαλλόεις, Ἀπόλλωνος ἐπίθετον, ἢ ἐπώνυμον.

Μᾶλλον, μᾶλλον, ἀντὶ τοῦ ἀεί. καὶ μᾶλλον Ἄλεξις.

Μᾶλλον σοφὸς γέγονεν ὁ Πλάτων, τοῦ Ἀριστοτέλους, μάλιστα σοφὸς ἁπάντων γέγονεν ὁ Πλάτων, τοῦτο τῶν Ἀττικῶν ἐστι.

Μᾶλλον, τὰ τῆς συγκρίσεως ἐπιρρήματα πρὸς γενικὴν πτῶσιν συντάσσεται, καὶ ῥηματικὴν σύνταξιν ἀπαρτίζουσιν. οἷον ὁ Αἴας μᾶλλον τοῦ Ἰδομενέως ἔδραμεν, ὁ Σαρπηδὼν ἧττον τοῦ Τληπολέμου σέβεται. καὶ μετὰ εὐθείας τάσσεται, μεσολαβομένου τοῦ ἢ συνδέσμου. οἷον, οὗτος μᾶλλον ἢ ἐκεῖνος τρέχει, οὗτός με στέργει μᾶλλον ἢ πατὴρ, οὗτος ἧττον ἢ ἐκεῖνος φιλοσοφεῖ. τηρεῖται δὲ ἡ σύνταξις καὶ ἐν τοῖς συγκριτικοῖς ὀνόμασιν. οἷον Διομήδης κρείσσων ὑπάρχει ἤπερ ὁ Σθένελος. Ἄλλως. Τῶν Ἀττικῶν ἐστιν ἴδιον, μετὰ τοῦ ἁπλοῦ ὀνόματος καὶ συγκριτικοῦ ἐπιρρήματος, ἐκπληροῦν ὄνομα συγκριτικὸν, καὶ ὑπερθετικόν.

Μᾶλλον, καὶ θᾶττον, καὶ ῥᾶστον, περισπᾶται. ὅτι τὰ εἰς ον συγκριτικὰ δισύλλαβα μακρᾷ παραληγόμενα περισπᾶται. μάλα, μᾶλλον, μάλιστα, εἰκότως, πάνυ ἁρμοδίως, πρεπόντως, καὶ καλῶς.

Μαλλοπάραγος, λευκοπάρηος.

Μαλλὸς, τὸ ἔριον, καὶ ἡ καθειμένη κόμη τοῦ κεφαλῆς, καὶ σκόλλυς. καλεῖται δὲ καὶ ἡ πτιλωσία. ὅθεν καὶ μαλλωτὴν καλεῖσθαι τὴν Ἴδην, διὰ τὸ πολυπρόβατον εἶναι. καὶ λευκός.

Μάλλυκες, τρίχες.

Μαλόσσα ὁδὸς, ἢ τὰ πρόβατα βαδίζει.

Μάλουρις, λευκοκέρκος. καὶ ἥ τις τὴν οὐρὰν ἔχει λευκήν.

Μάλυρος, λεύκυρος.

Μαλόχιον, σπαθητόν.

Μάλ' ὦκα, πάνυ ταχέως.

Μάλωνος, ὄνομα ἐθνικόν.

Μαλώτης, διονυσιάδης, Φιλαρχίδου τραγικός.

Μαμαγκία, ἐν Κλαζομεναῖς τόπος.

Μαμμάκυθοι, παρὰ τῷ Ἀριστοφάνει. Ἀρίσταρχος μέν φησιν ὀνοματοπεποιῆσθαι. πῶς ἂν Δημήτριός φησιν, εἰ μὴ συνήθες αὐτοῖς τὸ ὄνομα, οὐ καὶ δρᾶμα ὅλον οὕτως ἐπιγέγραπται μαμμάκυθοι, ὅ τινες Πλάτωνος λέγουσιν. ἄλλως, ἀντὶ τοῦ μαμμόθρεπτοι. Δίδυμος, ὅτι μαμμάκυθος καὶ μελιτίδης ἐπὶ μωρίᾳ διεβάλλοντο. καθάπερ καὶ ὁ βουταλίων, καὶ ὁ κόροιβος. μήποτε δὲ γραπτέον εἴη μαμμάκουθοι, διὰ τὸν στίχον, μελιτίδην δὲ τὸν εὐήθη, παρὰ τὸ μέλι. οὗ καὶ γέγονέ τις οὕτω μωρός. τοῦ δὲ μελιτίδου καὶ κοροίβου, Λουκιανὸς ἔρωσι μέμνηται.

Μάμερτος, Ἄρης.

Μαμικὸν, μικρόν.

Μαμμᾶν, ἄσημος φωνὴ τῶν παιδίων λαλούντων.

Μάμασι, ποιήμασι, βρώμασι.

Ματίδες, ἀναδενδράδες, δόλοπες.

Μαμάζαι, ἀστραπηγοὶ παρ' Ἰνδοῖς.

Μαμβρὴ, ἀπὸ ὁράσεως.

Μάμμην, τὴν τῆς μητρὸς ἢ πατρὸς μητέρα, οὐ λέγουσιν οἱ ἀρχαῖοι, ἀλλὰ τίτθην. μάμμην δὲ καὶ μάμμιον, τὴν μητέρα. ἀμαθὲς ἂν εἴη τὸ τὴν μάμμην ἐπὶ τῆς τίτθης λέγειν.

Μαμμίαν, Ἀττικοὶ τὴν μητέρα. ἀπὸ τοῦ τὰ παιδία μαμᾶν, τὸ φαγεῖν λέγειν.

Μάμμος, οἰκέτης.

Μαμῶ, τὸ πεποθοῦμαι.

Μαμωνᾶς, τὰ χρήματα ἑρμηνεύεται, ἢ ὁ ἄδικος καὶ ὑπὲρ τὴν χρείαν πλοῦτος.

Μανᾶς, ἀπὸ τοῦ μάνης. πρὸς δὲ τὰ ἀνδράποδα, καὶ ὄνομα εἶπεν Ἀριστοφάνης δουλικόν. ὡσεὶ ἔλεγε, τοὺς δούλους μανᾶς. οὕτω γὰρ ἐκάλουν τοὺς οἰκέτας πολλάκις.

Μανάκις, ὀλιγάκις, σπανίως, ἢ πυκνά.

Μανασσῆς, ἐπιλανθανόμενος.

Μανασσῆς, κύριον. οὗτος ἅπαντα τὸν λαὸν εἰδωλολατρεῖν ἠνάγκασε. καὶ τὸν μέγαν Ἡσαΐαν ξυλίνῳ διεῖλε πρίονι. ἑρμηνεύεται δὲ, λήθη ἢ ἀπομάθησις.

Μανεύεται, πανέλκεται.

Μανδαλωτὸν, εἶδος φιλήματος ποικίλον, καὶ ἡδὺ θηλυδριῶδες, καὶ καταγλωττισμένον.

Μανδοπὰ, σημεῖα.

Μανδραγόρας, βοτάνη ὑπνωτικὴ, εἶδος ἔχουσα ἀνθρώπου. λέγεται δὲ ὁ Ζεύς.

Μανδραγορῆτις, Ἀφροδίτη.

Μάνδραι, ἕρκη, φραγμοὶ, ὗλαι, σηκοὶ βοῶν, καὶ ἵππων.

Μάνδριον, πεδίον. καὶ ὕδωρ.

Μανδύας, εἶδος ἱματίου Περσῶν πολεμικόν. ἢ μαντείας, ἅπερ καλοῦνται λωρίκιον.

Μανδύη, δόρυ, ὡς δρέπανον.

Μανέρως, καὶ περιμανὴς, ὀνόματα ᾠδῆς.

Μανήσεις, τὰς λαπίγας.

Μάνης, κυβευτικοῦ βόλου ὄνομα, καὶ βαρβαρικόν. καθάπερ Εὔβουλος ἐν κυβευταῖς παρίστησι, καὶ ἄλλων κατὰ λέγων ὀνόματα βόλων.

Μανέρως, τοῦτον φασὶν Αἰγύπτιον, ὁμολογῆσαι πρῶτον παρὰ μάγων διδαχθέντα, καὶ διὰ τοῦτο πᾶσιν ἀνὰ στόμα γενέσθαι, ὡς Κλέαρχος ἐν τοῖς περὶ παιδίας ἱστορεῖ.

Μανθάνω, ἔμαθον, μεμάθηκα, μαθήσομαι, μανθάνετε, σκοπεῖτε. μανθάνω, ῥήματα βαρύτονα διὰ τοῦ ανω, ἄχρι τοῦ παρατατικοῦ κλίνονται.

Μανθάνω τὴν γεωργίαν, καὶ μανθάνω γεωργεῖν. μανθάνω τέχνην, καὶ μανθάνω τεκτονικήν. ὡσαύτως

μαν-

Digitized by Google

μανθάνω ἰατρὸς, καὶ μανθάνω ἰατρικὴν, καὶ μανθάνω ἰατρεύειν.

* Μανία, ἡ ἄνευ πυρετοῦ παραφροσύνη.

Μανία, μέθη, ὕπνος. ταῦτα τρία εἰσὶν, ἐν οἷς λογισμοῦ καὶ αἰσθήσεως ἐστέρηται ἄνθρωπος ζῶν. μανία ἀντίκειται σωφροσύνη, μέθη δὲ τὸ νήφειν. ὕπνῳ δὲ, τὸ ἐγρηγορέναι, καὶ ἀγρυπνεῖν.

Μανιάκιον, τὸ τοῦ ἱματίου περιστόμιον.

Μανία, χολή. μανία καὶ ἡ ἀραίωσις, καὶ ἡ χαυνότης τῶν φρενῶν. μανὸν γὰρ ἔλεγον, τὸ ἀραιόν. Αἰσχύλος, ἐν μανοστήμοις πέπλοις, τουτέστιν ἀραιοῖς, ἀραιὸν γὰρ, τὸ ἀσθενές. κατὰ τοὐναντίον δὲ ἀγχίνους καλεῖται, παρὰ τὸ συνεχεῖς, καὶ πεπυκνωμένας ἔχειν τὰς φρένας.

Μανιάκης, ὁ περιαυχένιος κόσμος.

Μανικὸς, παρὰ τὸ μαίνω μανὸς, καὶ τὸ κτητικὸν μανικός.

Μανίφυλλον, ἀραιόφυλλον. μανὸν γὰρ, τὸ ἀραιὸν, οὕτως Ὧρος ὁ Θηβαῖος.

* Μάννα, τὸ ὑπόσεισμα τοῦ ὑποτεθραυσμένου κατὰ τὰ μεγάλα φορτία Λιβάνου. καὶ μάννα, δροσόμελι, ἢ ἀερόμελι ἢ κέδρινον μέλι.

Μάννα, θυσία, σπονδὴ, καὶ ἡ ἄνωθεν πίπτουσα τροφή. σημαίνει δέ τι τοῦτο, ἑσπέρα τοῦ σαββάτου μόνον ἐκρύπτετο, καὶ Χριστὸς ὁ γλυκασμὸς τῆς ζωῆς.

Μανίη, μανία. καὶ μανία ἐστὶν, ἕξις φθαρτικὴ ἀληθοῦς ὑπολήψεως.

Μανὸν, ἀραιὸν, βραχέως λέγουσι. Τηλεκλείδης, ἀντὶ τοῦ ἀκριβὲς, ἢ ὀρθὸν, ἢ ἀσφαλὲς, ἢ πυκνόν. Πλάτων, καὶ ταῦτα μανάκις τῆς ἡμέρας, ἀντὶ τοῦ μυριάκις.

Μανοστήμοις, ἀραιοστήμοις.

Μανότης, ἀραιότης.

Μανοῦμαι κάλλιον, ἢ μανήσομαι, ἐκ τοῦ μαίνομαι.

Μανσὺρ, κύων.

Μαντευόμενος, χρησμοδοτῶν.

Μαντεύει, ἀντὶ τοῦ μαντείαν δίδωσι. μαντεύεται, ἀντὶ τοῦ μαντείαν λαμβάνει.

Μαντεύομαι, θεσπίζω, οἰωνίζομαι.

Μαντία ἐστὶν, ἐπιστήμη προδηλωτικὴ τοῦ ὄντος, καὶ μέλλοντος, ζώῳ θνητῷ.

Μάντιν παρ᾽ Ὁμήρῳ. οἱ μὲν γενικῶς καὶ ἀδιορίστως εἶπον τὸν ἁπλῶς εἰδότα τὸ μέλλον, καθ᾽ οἱονοῦν τρόπον μαντικῆς. ἕτεροι κατ᾽ ἐξοχὴν μάντιν τὸν οἰωνοσκόπον ἐνόησαν, διὸ ὁ τοιοῦτος ἀνίσταται ὁ Κάλχας, οὐχ ἱερεύς. ταυτὸν δ᾽ εἰπεῖν θυοπόλος, οὐδὲ ὀνειροπόλος, ἀλλὰ οἰωνοπόλων, ὅ ἐστι τῶν περὶ τοὺς αἰσίους οἰωνοὺς πολουμένων, ἤτοι ἀναστρεφομένων ὁ ἄριστος. ἔδει γὰρ ἕνα τῶν ὀνομασθέντων τριῶν ἀναστῆναι, ἢ μάντιν, ἢ ἱερέα, ἢ ὀνειροπόλον. οὐκ ἦν δὲ οὔτε ἱερεὺς, οὔτε ὀνειροπόλος ἀνιστάς. μάντις ἄρα, ἤτοι οἰωνοπόλος κατὰ τὸν Ποιητήν. Σοφοκλῆς δ᾽ ἂν εἴπη, οἰωνοθέτης. Ὅμηρος δὲ ἐν ἄλλοις, ἕτερον ὁμολογουμένως ἔχει τὸν μάντιν παρὰ τὸν οἰωνοπόλον, λέγων οὔτε τι οὔτ᾽ οἰωνῶν σάφα εἰδώς. καὶ ἔοικε τάχα εἶναί τι μέρος. ἢ εἶδος μαντικῆς. καὶ τὸ τοιοῦτον ὄνομα τὸ μάντις ἐξιδιωθέντος ἐν αὐτῷ τοῦ γενικοῦ ὀνόματος. καὶ τοιοῦτός ἐστιν ὁ ἐνθουσιαστὴς, ἤτοι ἔνθεος, οἱονεὶ μαινόμενος, καὶ ἐξεστηκὼς ἐν τῷ προλέγειν τὰ μέλλοντα. ὅθεν καὶ μάντις παρὰ τὸ μαίνεσθαι εἴρηται. μανίαν γάρ τινα ἔνθεον ἐκστατικὴν οἱ μάντεις ἐν τῷ προλέγειν ἔπασχον. ὥσπερ γένος μὲν ὁ μάντις εἴδη δὲ αὐτοῦ ὁ ἐνταῦθα μάντις, ἤγουν ἐνθουσιαστὴς, καὶ ὁ ἱερεὺς, καὶ ὁ ὀνειροπόλος.

Μαντινέη, πόλις Ἀρκαδίας.

Μάντις, παρὰ τὸ μῶ τὸ ζητῶ, μάτις, καὶ παρώνυμον μάντις, πλεονασμῷ τοῦ ν. ζητητικὸς γάρ. οὐ γὰρ παρὰ τὸ μανίαν, ὥς τινες ὑπέλαβον. διὸ καὶ Ὅμηρος τὸν μάντιν, εὔφρονα λέγει, ὅς σφιν εὖ φρονέων.

Μαντινεία. μαντινέη μὲν παρ᾽ Ὁμήρῳ Ἰωνικῶς. εἴρηται δέ φασι καὶ μαντίνη κατὰ συναλοιφὴν, ὡς ζέλεια ζέλη. ὠνόμασται δὲ ἀπὸ Μαντίνου υἱοῦ Λυκάονος. ἐρατεινὴν δὲ αὐτὴν λέγει ὁ Ποιητὴς, διότι πεδιάς ἐστι, καὶ πολυάμπελος. συνῴκισται δὲ κατὰ τὸν Γεωγράφον, ὑπὸ Ἀργείων ἐκ πέντε δήμων. πεποίηκε δὲ τὴν μαντινείαν ἔνδοξον Ἐπαμινώνδας, νικήσας αὐτόθι Λακεδαιμονίους.

Μαντὶς, ὁ ἐν τοῖς κήποις βάτραχος, καὶ εἶδος ἀκρίδος.

Μαντοσυνῶν, μαντειῶν. καὶ μαντοσύνη, μαντεία.

Μάνυ, μικρὸν, Ἀθαμᾶνες.

Μάνυζα, μονοκέφαλον, σκόροδον. ὅπερ ἔνιοι μὲν λύζαν.

Μάνυσον, τὰ μήκιστα δήλωσον.

Μαπέειν, καταλαβεῖν.

Μάραγοι, οἱ ἀπόκρυμνοι τόποι.

Μάραγνα, γῆ ταυρεία.

Μαραθὼν, τόπος Ἀττικῆς, εἰς ὃν ἀνώρμησαν Δάτις καὶ Ἀρτάβαζος μηδικοὶ Σατράπαι, πεμφθέντες ὑπὸ Δαρείου Βασιλέως καταδουλώσασθαι τὴν Ἑλλάδα. ἔνθα συμβαλόντες αὐτοῖς οἱ Ἀθηναῖοι, Μιλτιάδου στρατηγοῦντος, μόνων Πλαταιέων συμμαχησάντων αὐτοῖς χιλίοις ἀνδράσιν, ὡς ἐξισωθῆναι τὴν τῶν Ἀθηναίων δύναμιν τῇ Περσῶν, τοῖς Ἕλλησι τῆς ἐλευθερίας αἴτιοι κατέστησαν μόνοι ἐξ ἁπάντων τῶν Ἑλλήνων, τὸν πρῶτον τῶν Περσῶν διαφθείραντες.

Μαραθωνομάχους, λέγει Ἀριστοφάνης τοὺς ἐν Μαραθῶνι τροπωσαμένους τὴν Δαρείου στρατιὰν, ἣν Δάτις ὁ τούτου στρατηγὸς ἤγαγεν, οὖσαν περὶ πεντήκοντα μυριάδας.

Μάραινα, μάστιγξ, ῥάβδος, γαυρία.

Μαραίνεται πυρκαϊὰ, παυσαμένης φλογός. Ὅμηρος, παύσατο δὲ φλὸξ, καὶ τότε ἐμαραίνετο πυρκαϊά.

Μαραίνομαι, ἀπανθῶ. ταβεφίω λατινιστί.

Μαραγμὸς, τάβο λατινιστί.

Μαραίνω, παρὰ τὸ Ἄρης, ὃ σημαίνει τὸν σίδηρον, ἀραίνω καὶ μαραίνω.

Μαραίπους, μεμαρασμένος τοὺς πόδας.

Μαραναθὰ, τοῦτο οὐ τῆς Ἑβραίων τινὲς ὑπέλαβον, ἀλλὰ τῆς Σύρων εἶναι φωνῆς. ἑρμηνεύεται δὲ, ὁ Κύριος ἦλθε. τέθεικε δὲ τὴν λέξιν ὁ Ἀπόστολος, καταστέλλων τὴν ὀφρὺν τῶν Κορινθίων, καὶ διδάσκων ὡς οὐ παιδεύσεως, ἀλλὰ πίστεως αὐτοῖς χρεία.

Μαραναθὰ, ὁ κύριος ἥκει, ἢ ἦλθεν, ἢ ἥξει, ἢ ἔρχεται.

Μαραναθὰ ἑβραϊστὶ, ἀντὶ τοῦ εἶδον τὸν Χριστόν.

Μαραξὰς, μὴν ὁ Ἀπηλλαῖος.

Μαράσται, κύνες, ὄρνιθες.

Μαργᾷ, μαργαίνει, ὑβρίζει, ἐνθουσιᾷ, μαίνεται, ὕβρεις γὰρ, αἱ μάργαι.

Μαργαίνει, μαίνεται.

Μαργαίνων, μαινόμενος, δεσμῶν, ὑβρίζων. δεσμὸς γὰρ, ἡ μαργάς.

Μαργαρίσκον, πινακίσκον.

Μαργαρῖται, δηλοῦσι δακρύων ῥόον.

Μάργη, ἡ μαινομένη. καὶ μάργος, ὁ τοιοῦτος. ὅθεν καὶ μαργαίνειν ῥῆμα, καὶ λαίμαργος, καὶ γαστρίμαργος.

Μαργηέντων, λυσσώντων.

Μάργης, καὶ μάργος, μαινόμενος. καὶ ὑπερμαργότερος, ὁ ὑπερμαινόμενος. καὶ γαστρίμαργος, ὁ περὶ τὴν γαστέρα μεμηνώς.

Μαργίτης, ὁ ἀνόητος, ἀπὸ τοῦ μάργος.

Μαργίτης, ὡς μεσομεσίτης. λέγεται δὲ μωρός τις, ἢ μὴ εἰδὼς μίξιν γυναικὸς, καὶ γυνὴ προτρέπεται αὐτόν.

Μάργος ἔρως, κατὰ μετωνυμίαν ὁ μαργαίνειν ποιῶν, ὡς καὶ μαινομένου Διονύσου. καὶ Ἀνακρέων, τακερὸς δ᾽ ἔρως. καὶ Ὅμηρος, χλωρὸν δέος.

Μάργος, ὁ ἄφρων καὶ ἀνόητος, καὶ μαινόμενος. παρὰ τὸ μὴ, καὶ τὸ ἀργός. ἢ ὁ λίαν ἀμύητος, καὶ μὴ ἐνεργός.

Μαργοπάτην, ἐπιμανεστάτην.

Μαργῶσαν χεῖρα, μαινομένην χεῖρα.

Μάρδοι, ἔθνος πολυάνθρωπον τραχεῖαν γῆν ἐποικοῦντες, καὶ μόλις ἀφ᾽ ὧν γεωργοῦσι, τρεφόμενοι ἄνιπποι, καὶ πένητες, ὡς καὶ τὴν πρώτην ἀπιστεῖσθαι τύχην.

Μαρέλη, ἣν οἱ πολλοὶ θερμοσποδιὰν ὀνομάζουσι παρὰ τῷ Ἱπποκράτει.

Μαρεῶτις, εἶδος ἀμπέλου.

Μαρήγει, λαμβάνει.

Μαρηγηλᾷ, ἀμφιπονεῖ, στρατεύεται.

Μαριανδυνοὶ, ὅμοροι τοῖς Παφλαγόσι. προσηγορεύθησαν δὲ ἀπὸ μαριανδυνοῦ τοῦ κυμμερίου παιδός.

Μαριανδυνὸς θρῆνος. δαιμονίως γὰρ περὶ τοὺς θρήνους σπουδάζουσιν. ἄλλοι, εἶδος ᾠδῆς. τωθαστικῶς τὸν μαριανδυνὸν, ὡς λιτυέρσαν.

Μαριδρυνίζεις, εἰρωνεύῃ.

Μαριζεὺς, λίθος τὶς, ὃς ἐπισταζομένου ὕδατος καίεται.

Μαρίειν, ὀχλεῖσθαι, πυρέττειν.

Μαρικᾶν, κίναιδον. οἱ δὲ, ὑποκόρισμα παιδίου ἄρρενος βαρβαρικοῦ.

Μαρίλη, ὁ χνοῦς, καὶ τὸ λεπτὸν τῶν ἀνθράκων.

Μαρίλη, ἡ ἐξ ἀνθράκων τέφρα, καὶ σποδιά.

Μαριλάδης, ὄνομα. τουτέστι γέρων ἀχαρνικός.

Μαρὶν, τὴν σῦν. Κρῆτες.

Μαρῖνος, καθαρὸς ἰχθὺς θαλάσσιος. καὶ ὄνομα κύριον.

Μαριὼθ, ἀντιλογία.

Μαριστὸν, ἓξ κοτύλας. καλεῖται δὲ ὁμωνύμως καὶ τὸ μακρὸν πέπερι.

Μαριταῖον, τὸν Δία.

Μαρκὰς, μακάριος, εὔμοιρος.

Μαρκίων μαρκίωνος, ὁ αἱρεσιάρχης.

Μάρκος, ἐντολή.

Μαρμάραι, αἱ τῷ ἐρυθροδάνῳ βεβαμμέναι.

Μαρμαίρει, λάμπει, καταυγάζει. ὅθεν μαρμαρόεσσαν λαμπράν. ποιητικῶς μέρδει.

Μαρμάρεον, λευκὸν, λαμπρὸν ἄνθος.

Μαρμαίρουσι, κυρίως καίουσι. μετενήνοχε δὲ τὴν φωνὴν ὁ Ἀπολλώνιος, ἀπὸ τῆς σφοδροτάτης φυσήσεως ἐνεργούσης ἔσωθεν.

Μάρμαρ, στερεόν.

Μαρμαρέην θάλασσαν κατὰ τοὺς παλαιοὺς, ἢ τὴν διαφανῆ. τοιοῦτον γὰρ τὸ ὕδωρ. ἢ τὴν θρεπτικὴν τοῦ μαρμαίροντος ἡλίου, ἢ λαμπροῦ. κτητικὴ δὲ λέξις τὸ μαρμαρέη, ἀπὸ τοῦ μάρμαρος λίθος. ὅθεν μαρμάρεος κτητικὸν, ἐξ οὗ μαρμάρεος ἀποβολῇ τοῦ ἰῶτα, οὗ θηλυκὸν μαρμαρέη.

Μάρμαρος, λευκὴ λίθος.

Μαρμαρυγὰς καλοῦσι, τὰς γινομένας ἀκαταλήπτους διὰ τὴν ὀξύτητα ἀποστίλψεις.

Μαρμαρυγαὶ ποδῶν, αἱ σύντονοι κινήσεις. ἐν γὰρ ταῖς ὀξείαις φασὶ κινήσεσιν ἀπόστιλψίς γίνεταί τις ποδῶν.

Μαρμαρυγὴ, φῶς, ἀστραπὴ, βῆμα, πήδημα, λαμπηδὼν, κίνησις ποδῶν συνεχὴς, αὐγὴ ὀφθαλμῶν.

Μαρμάρῳ ὀκρυόεντι βαλὼν, παρ᾽ Ὁμήρῳ, συνεκδοχὴ παριστῶσα, ἀπὸ τοῦ εἴδους γένος. εἶδος γὰρ λίθου ὁ μάρμαρος.

Μάρναμαι, μέλλων μαχήσομαι, ἑτεροκλίτως. καὶ μαχέσομαι, καὶ μαχοῦμαι, ἀόριστος ἐμαχεσάμην.

Μαρνάσθην, ἀπὸ τοῦ μάρνημι. τὸ μάχομαι, ἀπὸ τοῦ μὴ στερητικοῦ μορίου, καὶ τοῦ ἀρνῶ, τὸ διαλλάσσω. ἐν ταῖς διαλλαγαῖς γὰρ οἱ παλαιοὶ ἄρνας ἔθυον.

Μαρνάμενος, γίνεται ἐκ τοῦ μάρνημι, ὁ παθητικὸς ἐνεστὼς μάρναμαι, μετοχὴ μαρνάμενος, μάρναμαι. ἤγουν μάχομαι ἐν πολέμῳ.

Μαρναμενοΐιν, μάρναμαι ἐνεστὼς, ἀφ᾽ οὗ μετοχὴ ὁ μαρνάμενος, γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν μαρναμένοιν, καὶ πλεονασμῷ τοῦ ἰῶτα μαρναμενοΐιν, μέλλων μαχήσομαι ἑτεροκλίτως, καὶ μαχέσομαι, καὶ μαχοῦμαι, ἀόριστος ἐμαχεσάμην.

Μάρναο, μάρναμαι, παρατατικὸς ἐμαρνάμην, ἐμάρνασο καὶ ἐμάρναο, ἀντὶ τοῦ μάρνασο.

Μάρνατο δέμας πυρὸς, ἀντὶ τοῦ πῦρ, οὕτω καὶ στίλβων κάλλει, τῷ λάμπεσθαι τὴν ὄψιν.

Μάρναντο δέμας πυρὸς αἰθομένοιο, ἀντὶ τοῦ κατὰ πῦρ ἐμάχοντο. ἤγουν ὡς πῦρ ἐπενέμοντο ἅπαντα. καὶ παρὰ Ἀριστοφάνει, γνώμην ἐμὴν, λείπουσιν αἱ προθέσεις παρ᾽ Ἀττικοῖς. καὶ ἁπλῶς αἱ ἐλλείψεις τῶν Ἀττικῶν εἰσι. Μάρος, ὄρος, καὶ πόα.

Μαρπέειν, τὸ καταλαβεῖν. καὶ μάρψαι, ἐκ τοῦ μάρπτω.

Μάρπτειν οἱ παλαιοὶ χολιασταὶ κυριολεκτεῖσθαί φασιν ἐπὶ τοῦ ἐν χερσὶ συλλαμβάνειν. μάραι γάρ φασιν, αἱ χεῖρες. ὅθεν καὶ εὐμαρὲς τὸ εὐχερὲς, καὶ μάρνασθαι τὸ διὰ χειρὸς μάχεσθαι

οἱ δὲ τοιοῦτοι ἐν τῷ οὐδὲ χθόνα μάρπτε ποδοῖιν, ἐποίειν ἂν ἴσως καταχρηστικῶς ῥηθῆναι, τὸ μάρπτειν.

Μαρπήσσα. ἰστέον, ὅτι καὶ διὰ τὰ τῶν πατέρων καὶ προγόνων ἔργα ἐτίθετό ποτε ὀνόματα τοῖς ἐπιγόνοις. τὴν γοῦν Μάρπησσαν, ἀλκυόνην καλεῖσθαι φησί που Ὅμηρος ἐπώνυμον, διὰ τὸ τὴν μητέρα αὐτῆς ποτὲ πολλὰ πενθῆσαι δίκην ἀλκυόνος, καὶ τῷ Ὀδυσσεῖ δὲ ὁ πάππος Αὐτόλυκος τὸ τοιοῦτον ὄνομα ἔθετο, διότι πολλοί φησιν ἐμοὶ ὠδύσαντο, τουτέστιν ὠργίσθησαν κατὰ γῆν, ὡς κλέπτοντι τὰ ἐκείνων. οὕτω γὰρ βούλεται ὁ Ποιητὴς ἐτυμολογεῖσθαι τὸν Ὀδυσσέα, ὡς ἡ Ὀδύσσεια δηλοῖ.

Μάρπτε, κατελάμβανε, συνελάμβανε. καὶ μάρπτει, ὁμοίως.

Μαρπτήσῃ, καταλάβῃ.

Μάρπτοντα, κρατοῦντα.

Μάρπτυς, ὑβριστής.

Μαῤῥὸν, ἐργαλεῖον σιδηροῦν.

Μάρσεται, κτήσεται.

Μαρσίππιον, τὸ σακούλιον, ἢ βαλάντιον.

Μάρσιππος, ὁ ἐν αὐτῷ πάντα μάρπτων, καὶ συνέχων, ἤγουν σάκκος, θυλάκιον, σακέλλιον.

Μάρτυρ, μάρτυς.

Μαρτυρεῖν, ἐπὶ καλοῦ λέγεται. κατηγορεῖν δὲ, ἐπὶ κακοῦ. ὁμοίως μάρτυς, καὶ μάρτυρος ὀνόματα ἐπὶ καλοῦ, καὶ κακοῦ, ἔλεγχος ἐπὶ κακοῦ μόνον.

Μαρτυρῶ περὶ παρόντος τινός. ἐκμαρτυρῶ περὶ ἀπόντος, καὶ ἀποδήμου. ὡσαύτως καὶ μαρτυρία, καὶ ἐκμαρτυρία.

Μαρτυρίας νόμος, μήτε ἐθελοντὰς πρὸς τοὺς ἀγῶνας χωρεῖν φειδοῖ τῶν διωκόντων, καὶ τῶν ἀσθενεστέρων, μήτε παρόντας ἀναδύεσθαι. τὸ μὲν γὰρ θράσους ἐστὶ, τὸ δὲ ἀνανδρείας.

Μαρτυρία, διαφέρει τῆς ἐκμαρτυρίας. ὅτι ἡ μὲν παρόντων παρουσίαν δηλοῖ, ἡ δὲ ἐκμαρτυρία, ἀπόντων.

Μαρτυρίῃσι, βουλήσεσιν, ἐντολαῖς.

Μαρτύριον, ὁ ἔλεγχος, ἡ κατηγορία, ἡ κατάκρισις. ὡς ἐν τῷ Εὐαγγελίῳ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσιν. οἱ γὰρ πιστεύσαντες καταμαρτυροῦσι τῶν μὴ πιστευσάντων, σημαίνει καὶ ἕτερον.

Μαρτύριον, σκηνὴ ἔχουσα τὰς πλάκας τοῦ νόμου. τὸν γὰρ νόμον ἐντολὰς ἐκάλουν καὶ μαρτύρια, καὶ δικαιώματα.

Μαρτύρομαι, τὸ μάρτυρας καλῶ. οἷον μαρτύρομαι θεὸν, ἀντὶ τοῦ μάρτυρα καλῶ, αἰτιατικῇ συντάσσεται. μαρτύρομαι δέ σου, γενικῇ.

Μάρτυρος, τοῦ μάρτυρος, ὁ φύλακος τοῦ φύλακος, Αἰολεῖς μετάγουσι τὰς γενικὰς εἰς εὐθείας. κοινῶς γὰρ κλίνεται μάρτυρ τοῦ μάρτυρος, φύλαξ τοῦ φύλακος.

Μάρτυροι, ἡ εὐθεῖα ὁ μάρτυρος, ἀπὸ τῆς μάρτυρος γενικῆς. ὡς ὁ φύλακος, ἀπὸ τῆς φύλακος, καὶ ὁ ἑκατόγχειρος, ἀπὸ τῆς ἑκατόγχειρος. τῶν Ἰώνων δὲ τοῦτο ἐστὶν, οὕτω καὶ ἀπὸ τῆς γενικῆς ἀερσιπότητος, ἡ ἀερσιπότητος εὐθεῖα.

Μαρτύρονται, ἀντὶ τοῦ τὴν μαρτυρίαν ἐπάγονται, ἢ παρέχονται.

Μαρύεται, ἀντὶ τοῦ πέπλεκται. Θεόκριτος, οὗ περὶ μὲν τὰ χείλη ὕψου κισσὸς μαρύεται.

Μαρυκᾶσθαι, ἀναπέμπειν τὴν τροφὴν, καὶ πάλιν αὐτὴν ἀναμασσᾶσθαι.

Μάρψαι κυρίως, τὸ ταῖς χερσὶ συλλαβεῖν. μάρην γὰρ ἔλεγον τὰς χεῖρας, ὅθεν τὸ εὐχερὲς, εὐμαρές.

Μάρψῃ, συλλάβῃ, διαχρήσηται, ἀλλ' ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχείλης.

Μάρψω, καταλάβω.

Μαρώνεια, τόπος τῆς Ἀττικῆς, καὶ πόλις ἐν τῇ Θράκῃ, ἥν φασιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμένην. μαρώνειος δὲ οἶνος, οὐκ ἀπὸ τῆς Μαρωνείας, ἀλλὰ ἀπὸ τοῦ Μάρωνος λέγεται.

Μαρωνεῖτις, φυλὴ, καὶ γυνή. καὶ μαρώνιος οἶνος.

Μασαισίλιον, ἔθνος.

Μασᾶσθαι, ἐφάψασθαι, καθάραι.

Μάσῃ, μεγάλως.

Μάσης, τὸν μὲν πολίτην παράγει μασήτιον. λέγεται δέ φασι καὶ τρισυλλάβως, ἡ μασητός. ἔστι δὲ κώμη μασητὸς, καὶ λίμνη, φασὶ καὶ νῆσος. τὸ δὲ μάσιον τρισυλλάβως, ὡς τάριον ὄρος φησὶ Μεσοποταμίας, περί που τὴν ἑῴαν Νίσιβιν.

Μάθλης, ὁ μεμαλαγμένος λῶρος. παρὰ τὸ μάσσω, τὸ μαλάσσω. ἢ καὶ ὡς Ἡρωδιανὸς ἀπὸ τοῦ ἱμάσσω.

Μάσθλη, καὶ μάσθλης, δέρμα, καὶ ὑπόδημα φοινικοῦν, καὶ ἰῶια, διφθέρα.

Μάσθλης, θέρμης παρὰ τῷ Ἱπποκράτει.

Μάσθλης, κυρίως ἱμὰς μεμαλαγμένος, καὶ ἁπαλὸς καὶ τρυφερός.

Μάσθλης, ἰδίως καλεῖται, ὁ ἰταμός. ὁ κατειργασμένος, καὶ ἔκλυτος. μάσθλης οὖν ὁ πολυγνώμων, καὶ μηδὲν βέβαιον, μηδὲ σταθερὸν γινώσκων, ἀλλ' ἄλλο μὲν νοῶν, ἄλλο δὲ ποιῶν, οἱονεὶ τοὺς τρόπους ἔκλυτος. μάσθλης οὖν ὁ μεμαλαγμένος λῶρος. λέγει οὖν τὸν ὀλισθηρὸν καὶ διαβατικόν.

Μασίγδουπον, βασιλέα μεγαλόηχον, τὸν μέγαν ἐν ἤχῳ.

Μασιμάνας, τοὺς βαρβάρους, οὕτως ἔλεγον.

Μάσκη, δίκελλα.

Μάσπετα, τοῦ σιλφίου τὰ πρῶτα πέταλα, ἢ τὸ τοῦ καυλοῦ ὄπιον.

Μᾶσσαι, ζητοῦσαι, καθαρίσαι, φυράσαι.

Μάσσασθαι, μάχεσθαι, λαβέσθαι, ἀναγκάζεσθαι, ἐφάψασθαι.

Μάσσει, φυρᾷ, μαλάσσει, ζυμοῖ. καὶ μάσσω τὸ πλησιάζω, ἀπὸ τοῦ μᾶ, καὶ ἆσσον τὸ ἐγγύς. οἱ γὰρ ἐφαπτόμενοι πλησιάζειν, ἆσσον καὶ ἐγγὺς γίνονται. ἐκ τούτου τοῦ μάσσω, πλεονασμῷ τῆς αλ συλλαβῆς, μαλάσσω. ὡς κύδιμος, κυδάλιμος.

Μάσσει, φυρᾷ, ζυμοῖ ἐκθλίβει.

Μᾶσσον, μεῖζον μακρότερον. ὡς τὸ, ἐπὶ πρὸ δὲ μᾶσσον ἐπ' ἄκρου αἰγιαλέῳ θυμόεντος ἄγων μέγαν ὑπὸ νῆσον.

Μᾶσσον, πλέον. ὡς ἐν τῷ μείζονι τῶν προῤῥητικῶν, παρὰ τῷ Ἱπποκράτει.

Μασσώμενος, ἀπὸ θέματος τοῦ μασσῶ, δευτέρας συζυγίας. ὡς κλώμενος.

Μάσσων, μακρότερος.

Μάστα, ἡγεμὼν, ἢ μεγάλως.

Μαστάζει, μαστᾶται.

Μάστακα, μάσημα, τροφόν. λέγεται καὶ τὸ στόμα, καὶ τὸ μάσημα, ὁμωνύμως. ὡς καὶ χοίνικα λέγομεν, καὶ τὸ μέτρον, καὶ τὸ μετρούμενον.

Μασταλίδες, χάρακες, κάμακες.

Μάσταξ, οὐ μόνον ἡ τροφὴ, ἀλλὰ καὶ τὸ στόμα. παρὰ τὸ μαστᾶσθαι δὲ γίνεται.

Μάσταξ, τὸ μάσημα, ἤγουν ἡ μεμασσημένη τροφή. ἐν Ὀδυσσείᾳ δὲ, καὶ τὸ στόμα οὕτω λέγεται, ὡς αἴτιον μασσήσεως. φησὶ γὰρ μάστακα χερσὶ πιέζειν. ἰστέον δὲ ὅτι τὸ μασσῶμαι ῥῆμα, καὶ τὸν μαστὸν παράγει, τὸν διὰ τοῦ σ καὶ τ γραφόμενον. ὁ μέντοι διὰ τοῦ θ μασθὸς, ἢ συνήθει τροπῇ ἐκ τοῦ ἀντιστοίχου τ ἔπαθεν. ἢ ἐκ τοῦ μαζὸς, εἶτα αἰολικῶς μασδὸς προήχθη.

Μασταρύζει, συνέλκει καὶ συνάγει τὰ χείλη. ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παίδων, ἃ τὸν μαστὸν ἕλκοντα τῷ στόματι συνάγει τὰ χείλη. Ἀριστοφάνης, ὁ δ' ὑπὸ γήρως μασταρύζει.

Μαστεύω, ζητῶ. ἐξ οὗ καὶ μαστὺς. ἡ ζήτησις. Καλλίμαχος, μαστῦος ἄλλοτ' ἔκαμνον ἀλητύϊ. ὅθεν καὶ μαστοὶ καλοῦνται διὰ τὸ ἀναγκαίως ζητεῖσθαι ὑπὸ τῶν παίδων.

Μαστεύοντες, ζητοῦντες.

Μαστῆρες, ζηταταί.

Μαστὴρ, ἐρευνητής.

Μάστιγα Διὸς λέγει Ὅμηρος, τὴν θεομηνίαν. ὅθεν ἴσως Σοφοκλῆς λαβὼν, τὸν παρ' αὐτῷ μαστιγοφόρον Αἴαντα ἐπέγραψε.

Μάστιγι, παρ' Ὁμήρῳ. μάστι τινὲς γράφουσι δισυλλάβως, ἐκτείνοντες τὴν λήγουσαν ὁμοίως τῷ, μύτι τοι δρυτόμος μέγ' ἀμείνων. καὶ ἔστιν ὥσπερ μῆτις μήτιος μήτιϊ, καὶ κατὰ κρᾶσιν μήτι, οὕτω καὶ μάστις μάστιος μάστιϊ μάστι. τὸ γὰρ μάστις, ἀρχὴ τοῦ μαστίω μαστίσω. ὥσπερ τοῦ μῆτις, τὸ μητίω μητίσω.

Μάστιγας, δαρμούς.

Μάστι, τῇ μάστιγι, κατὰ ἀποκοπήν. ἔστι δὲ δοτική. μάστιν δὲ, αἰτιατική. μάστι δ' αἰὲν ἔλαυνεν. ἢ καὶ ἐφ' ἱππείην μάστιν βάλε.

Μαστιγίας, δοῦλος δι' ἁμαρτήματα μαστιγούμενος.

Μαστιγώσιμος, μαστίγων ἄξιος.

Μαστίδες, ἀκίδες, ἢ ἀγκύλαι.

Μαστίζει, πληγαῖς τύπτει.

Μαστίζω, κοινῶς. μαστίω δὲ ποιητικῶς. ἐξ οὗ τὸ μάστιε νῦν, ἤγουν μάστιζε. ἐκ δὲ τοῦ μαστίω μαστίσω, καὶ μάστιν ἐστὶν εὑρεῖν τὴν μάστιγα. τὸ δὲ μαστίζειν, καὶ ἱμάσσειν λέγεται, ὡς δηλοῖ τὸ ἵμασσε καλλίτριχας ἵππους.

Μάστιξ, φραγέλλιον.

Μάστιξεν δ' ἐλάαν, λείπει τοὺς ἵππους.

Μαστιγωτέος ἐστὶν, ἤγουν ἄξιος μαστιγωθῆναι.

Μάστις. Ὅμηρος, ἐφ' ἱπποιϊν μάστιν βάλεν. ὅμοιόν ἐστι τῷ, ἐπέβαλεν ἱμάσθλην. γίνεται δὲ ἡ μάστις, ἀπὸ τοῦ μαστίζω.

Μαστίσδοιεν, ἀντὶ τοῦ μαστίζοιεν, ἤγουν τύπτοιεν.

Μαστίχη, εἶδος μυρεψικὸν, καὶ μαστίχιον ὁμοίως.

Μαστοὶ, ἐπὶ γυναικῶν οἱονεὶ μασητοί. θηλὴ, τὸ ἄκρον αὐτῶν. μασθοὶ δὲ ἐπὶ ἀνδρῶν, οἱονεὶ μὴ ἐσθιόμενοι. τὸ μετὰ τὰ στέρνα πλευρὰ καλεῖται. τὸ δ' ὑπὸ αὐτὰς ζώνη καλεῖται. παρὰ τὸ ζώννυσθαι κατὰ τοῦτο τὸ μέρος. τὸ μετὰ αὐτὸ γαστὴρ καὶ κοιλία, ὀμφαλὸς, καὶ ἀκροφάλιον, εἶτα ἦτρον, καὶ ὑπογάστριον. τὸ μέντοι μετὰ ταῦτα, αἰδοῖον ἐπὶ ἄῤῥενος. τὸ δὲ μακρὸν, καυλός. τὸ δ' ἐκκρεμὲς, ὑπόστημα. βάλανος δὲ, τὸ τοῦ καυλοῦ ἄκρον. τὸ δὲ τούτου τρύπημα, οὐρήθρα. πόσθη δὲ, τὸ ἐπ' αὐτῇ δέρμα. κρεμαστῆρες δὲ λέγονται, τὰ τοὺς ὄρχεις ἀνέχοντα νεῦρα. τὸ δὲ θῆλυ αἰδοῖον, κτεὶς ὀνομάζεται. οὗ ἡ τομὴ, σχίσμα. τὸ δ' ἐν μέσῳ περισκαῖρον σαρκίον, νύμφη, καὶ κλητορὶς ὀνομάζεται. τὰ δὲ ἑκατέρωθεν σαρκώδη, μυρτοχειλίδες, καὶ κρυμνοί. καὶ κλητορίζειν, τὸ διαψαῦσαι καὶ μαλάσσειν τὴν κλητορίδα. νῶτα, τὰ ἐπὶ τῷ αὐχένι πλαγία κείμενα. τὸ δὲ μέσον τούτων μετάφρενον, τὰ δ' ὑπ' αὐτὸ, ῥαχίν. ὀσφῦς δὲ, τὸ ἀπὸ τούτου μέχρι γλουτῶν. γλουτοὶ δὲ καὶ ἐφέδραμα, τὰ μετὰ αὐτό. πυγὴ, τὸ μετὰ αὐτὸ καὶ πρωκτός. τὸ δὲ ἀπὸ τούτου μέχρι γονάτων, μηροί. τὰ μετὰ αὐτὸ, γόνυ. τὸ δὲ ὄπισθεν, ἰγνύη. εἶτα κνήμη, τὸ ὀστῶδες. γαστροκνήμια δὲ, τὸ σαρκῶδος. εἶτα ἀστράγαλοι. τὸ δὲ ἐγγὺς τῶν δακτύλων ὀστῶδες, ὄρος καὶ πεδίον. ταρσὸς δὲ, τὸ ἔμπροσθεν, καὶ πτέρνα, καὶ δάκτυλοι.

Μαστὸς, ἀκρώρεια, ἐξοχὴ ὄρους. ἦν γὰρ ἐν δεξιᾷ τοῦ φρουρίου μαστὸς, τοῦτον εἰ καταληφθείη, πρὸς πολλὰ οἰόμενος ἐν ὑστέρῳ χρήσιμον ἔσεσθαι, μαστὸς ἦν ὑπὲρ αὐτῶν, παρ' ὃν ἦν ἡ στενὴ ὁδός. ἢ μαστὸς διὰ τοῦ τ λέγεται, ὡς μαστητὸς ὢν βρέφεσι.

Μαστύειν, ἐπιζητεῖν.

Μασχαλᾶν, τὸ τοῖς λευκίνοις σχοινίοις τὰς ἀγκύρας σχάσαντας περὶ τὸν ἀγκυρίτην λίθον περιθεῖναι.

Μασχάλιον, κάνεον, φοινίκιον. μασχάλη γὰρ, ἡ τοῦ φοίνικος ῥάβδος. ἢ σχοινίον.

Μασχαλιστὴρ, ὁ διὰ τῶν μασχαλίων δεσμὸς τοῦ ὑποζυγίου. τὸ αὐτὸ καὶ μασχαλίς.

Μασχαλίττει, ὑπὸ κόλπον καὶ ὑπὸ μάλην φέρει.

Μασχαλὸν, τὸν χιτῶνα.

Μαστρίαι, αἱ τῶν ἀρχόντων εὐθῦναι.

Μαστρωπὸς, ὁ πορνοβοσκός. ἢ ὁ μαυλιστὴς ἐπὶ θηλυκοῦ. ἔστι δὲ παρὰ τὸ μᾶ καὶ τοὺς τρόπους, οἱονεὶ ἡ δοκοῦσα μὴ πρὸς τρόπους ἔχειν. καὶ μαστροφὸς, τὸ αὐτό.

Μαστρίλλιον, τόπος ἔνθα οἱ μαστρωποὶ διέτριβον.

Μαστρωπεύω, καὶ μαστροπεία. μαστρωπεύοντες, οἱ βασιλικοὶ τῷ Ζήνωνος ἡμῶν τοὺς ἐνήβους πρὸς τοὺς τῶν ἀῤῥένων ἔρωτας, λυσσᾶν ἐξεπαίδευσαν ἐκτόπως.

Μάστροι, παρὰ Ῥοδίοις βουλευτῆρες.

Μασχάλην αἴρεις, ἀντὶ τοῦ κωθωνισθήσῃ. οἱ γὰρ μεθύοντες ἦρον τὰς μασχάλας καταμυκώμενοι. καὶ οἱ μνηστῆρες χεῖρας ἀνίσχοντες γέλῳ ἔκθανον.

Digitized by Google

Μαχάλη, μέρος τι τῆς θύρας, ὅπου καὶ τὸ στέρθρον, ὃ καλοῦσιν ἀρτέμωνα. ἢ τοῦ τῆς ἐλαίας φύλλου τὸ μέρος.

Μασώμενος, ἐσθίων.

Μασύντης, παράσιτος.

Μασὼβ, τὸ θυσιαστήριον.

Ματαιᾷ, διατρίβει, χρονίζει.

Ματαιάζω, μακροθυμῶ ἀμεταβάτως.

Ματαιολοιχὸς, ἤτοι ὁ χρυσιμέτρης, μάτιον γὰρ εἶδος μέτρου. ἢ ὁ φειδωλὸς, καὶ σμικρολόγος. ἢ ὁ μυκτηριστής. ὀξύνει δὲ ὁ Ἡρωδιανός. ἢ μάταιον, τὸ ἐλάχιστον, ἤτοι τὸν μάταια βουλευόμενον, καὶ λοχῶντα.

Ματαιότης, ἡ φθορά. ὡς ὁ ἀπόστολος, τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα.

Ματαιότης, πρᾶγμα ἀνόητον, ἢ βουλὴ ἀνυπόστατος, ἢ σπουδὴ πέρας οὐκ ἔχουσα, ἢ καθόλου τὸ ἐπὶ παντὶ λυσιτελοῦντι ἀνύπαρχον.

Μάταιος, ἠλίθιος, τάλας.

Μάταισι, ταῖς ματαιότησι.

Ματαίωσει, μωραίνει.

Ματάζων, ματαίως ζῶν.

Ματαίως φρονῶν. ματάσαι ὁμοίως. εὕρηται παρὰ τῷ Λουκιανῷ ματαΐζω.

Μὰ τὰ λάχανα, σημεῖον τοῦτο περὶ ὅρκου. ὃ καὶ νῦν ἐπιχωριάζει. πολλοὶ γὰρ πρὸς λάχανα ὀμνύουσιν, διορκίαν ἐπιδεικνύμενοι. ἐπιχωριάζει δ' εἰσέτι καὶ τοῖς ἐλλογίμοις ἀρμενιακοῖς, τὸ, μὰ τὰ καλά.

Ματᾷν ἐν τῷ ε τῆς Ἰλιάδος, ἐπὶ ἵππων λέγεται, τὸ ματαιοπραγεῖν, καὶ ἀργοὺς ἵστασθαι. ἐξ οὗ καὶ ματίη ἐν τοῖς ἑξῆς ἐπὶ ἀνθρώπων ἡ ματαιοπραγία. ταυτὸν τὸ ματᾷν καὶ τὸ ἀκινητίζειν. ἰστέον δὲ ὅτι, οὐ μόνον ματίη θηλυκὸν ὄνομα, ἀλλὰ καὶ μάτιον οὐδετέρως παρὰ τοῖς μεθ' Ὅμηρον, εἶδος μέν τοι μέτρου ἐκεῖνο. ὅθεν καὶ ματιολοιχὸς, ὁ ἐκ τοῦ παραμετρεῖν λείχων, ἤτοι κερδαίνων. οἱ δὲ παλαιοί φασιν, καὶ ὅτι μάτιον, τὸ ὀλίγον κλάσμα. ἕτεροι δὲ, ὅτι μάτιον, τὸ ἁπλῶς μικρόν. ἐστι δὲ ὅτε καὶ ἐπὶ πολύ. ὅθεν καὶ τὸ πλεῖον ἢ δεῖ λείχοντα, ματιολοιχόν φασι. τινὲς δὲ τὸν τοιοῦτον ἄλλως ἑρμηνεύοντές φασιν, ὅτι ματιολοιχὸς, ὁ περὶ τὰ μικρὰ σινάμωρος καὶ πανοῦργος. τὸ μέν τοι ματᾷν οἱ παλαιοὶ καὶ ἄλλως διασαφοῦντες, ματῆσαί φασι, τὸ ἁμαρτεῖν, ὥστε κατὰ τοῦτο οὐ μόνον ἵππος ματᾷ, ὡς μάτην εἰς χρείαν ἐλθὼν, ἀλλὰ καὶ τοξότης, εἴπερ ἀφεὶς βέλος οὐκ εὐστοχήσει. οὕτω δὲ καὶ αἰχμητὴς, καὶ ἕτεροι. παράγωγον δὲ τοῦ τοιούτου ῥήματος τὸ ματάζειν παρὰ Σοφοκλεῖ. ποιητικὰ δὲ ἄμφω. κοινὸν δὲ τὸ ματαιάζειν.

Μάταροι, στέφανος μεμαρασμένος.

Ματεῖ, πατεῖ, ζητεῖ.

Ματεύσομεν, ἔλλειψιν ἔχει τοῦ σ. μαστεύειν γάρ ἐστι τὸ ζητεῖν, εἰ μή τις ἐρεῖ τοῦτο μᾶλλον εἶναι πρωτότυπον. ἐξ αὐτοῦ δὲ κατὰ πλεονασμὸν γενέσθαι τὸ μαστεύειν. ὡς ἀπὸ τοῦ μῶ μάσω. ἐξ οὗ καὶ τὸ αὐτόματος δέ οἱ ἦλθεν. εἰ δὲ τοῦθ' οὕτως ἔχει, καὶ ἐστι ματεύειν. ὅρα ὡς πάνυ ἑτεροιοῦται τὰ ματεύειν, τοῦ ἐν ἄλλοις εἰρημένου ματᾷν.

Μάτην λέγε, μὴ ματαίως. Ἀριστοφάνης ἐν νεφέλαις, μάτην ἐμοὶ κεκλαύσεται.

Μάτην ἄλλως, ὁμοῦ τίθενται. Δίων ὅτι μάτην ἄλλως, οὐδὲ περιάρχησα πλανωμένων.

Μάτην, καὶ εἰκῇ, καὶ εἰκέως, καὶ ἑκουσίως, τὸ αὐτὸ ἀντὶ τοῦ ματαίως.

Μάτην, ἀντὶ τοῦ ἐπὶ ματαίως, ἤγουν ἐπὶ κενοῦ, καὶ μάτην, ἀντὶ τοῦ ψευδῶς, ὡς παρὰ Σοφοκλεῖ, ἵνα μὴ σπείρῃ ματαίαν βάξιν εἰς πᾶσαν πόλιν. ἤγουν ψευδῆ φήμην. μάτην οὖν ἐρεῖς οὐ ματαίως. μάταιον δὲ, τὸ λόγῳ μόνῳ πεπλασμένον καὶ ἀνυπόστατον. οἷον τὰ τοῦ κόσμου πράγματα μάταια. μάταιον, καὶ τὸ μωρόν.

Ματὴρ, ἐπίσκοπος, ἐπιζητητὴς, ἐρευνητής.

Ματρεύειν, ματεύειν, ζητεῖν.

Μάτησεν, ἀπέτυχε. μάταιόν τι ἔπραξεν, ἠμέλησεν, ἀπέχεν.

Ματήσετον, ἀμελήσουσι.

Ματία, μαρτυρία.

Ματίη, ματαιότητι.

Μάτιον τῷ τόνῳ, ὡς βέλτιον τὸ μικρὸν καὶ ὀλίγον, καὶ μάταιον. οἱ δὲ, δερμάτιον.

Ματιολοιχὸς, ὁ περὶ τὰ μικρὰ πανοῦργος, καὶ λίχνος.

Μάτιος, ὁ μικροφάγος. ἐπεὶ μάτιον τὸ ἐλάχιστόν φασιν. ἢ ὁ μάταια βουλευόμενος, καὶ λοχῶν, ἢ χρυσιμέτρης. μάτιον γὰρ, εἶδος μέτρου.

Ματὶς, μέγας. τινὲς ἐπὶ τοῦ Βασιλέως.

Ματίσαι, ματεῦσαι, ζητῆσαι.

Μάτος, ἡ ζήτησις, ὅθεν ματεῖσθαι, τὸ ζητεῖν, παρὰ τῷ Ἱπποκράτει.

Ματρίους, τοὺς ἀβελτέρους.

Ματροξένους, τοὺς νόθους παῖδας.

Ματρύλλιον, τόπος τῶν πορνευόντων, τουτέστι πορνεῖον. ὅπου οἱ μαστροποὶ, ἤτοι μαυλισταὶ διέτριβον.

Ματταβεῖ, περιβλέπει, ἀδημονεῖ.

Μάτταθος, ὁ μωρός.

Ματταβόμενος, μέλλων καὶ ἀποκνῶν.

Μάττειν, τὸ ἀναμιγνῦναι καὶ φυρᾷν, καὶ εἰς ἓν συνάγειν. καὶ ὑπομάσσω, τὸ ὑποχειρῶ.

Μάττοντας, ἐσθίοντας πολλὰ, ἀπὸ τῆς ματτομένης μάζης.

Μάττω, τὸ ζυμῶ. μάξω, μέμαχα, μέμαγμαι, καὶ μεμαγμένος. Ἀριστοφάνης ἐν πλούτῳ, μεμαγμένον σκῶρ ἐσθίειν.

Μάττων παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ σκεπτόμενος κατασκευάζων, καὶ ἐφυβρίσκων κεῖται.

Ματύαι, γνάθοι.

Μὰ τὼ θεὼ, οὐ μόνον γυναῖκες, ἀλλὰ καὶ ἄνδρες ὤμνυον.

Ματῶν, ματαιοπραγῶν, ἢ μάτην ποιῶν.

Μαῦδιν, λαοτομίον.

Μαυκυρὸν, τὸ χλιαρόν.

Μαυλίας, τὰς μαχαίρας ἐκάλουν, διὰ τὸ ὁμοῦ αὐλίζεσθαι, οἷον ὁμαυλίας.

Μαυρὶς, ἡ μάχαιρα, καὶ ἡ μισθῷ τι ποιοῦσα.

Μαυλιστήριον παρ' Ἱππώνακτι. λύδιον λέμισμα, λεπτόν τι.

Μαῦρον, τὸ ἀμαυρὸν καὶ ἀσθενές. καὶ μαῦρος, μωρός.

Μαυσωλὸς, ὄνομα, ἄρχων Καρῶν. φησὶ δὲ αὐτὸν Θεόπομπος, μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα.

Μαυροῦσιν, ἀφανίζουσι. παρὰ τὸ μαίρω, τὸ λάμπω, μαυρῶ, τουτέστι κατὰ ἀντίφρασιν. ἢ παρὰ τὸ ἀμαυρῶ, κατὰ ἀφαίρεσιν τοῦ α.

Μαφρὴν, διάνοιαν.

Μαφόριον, τὸ τῆς κεφαλῆς περίβλημα.

Μάχαιρα, ξίφος, καὶ παραζώνη. καὶ οἷς ἀποκείρεται τὰ πρόβατα καὶ ζῶα, ἑρπετὰ πολύποδα, ἴουλος, καὶ ἐργαλεῖον τεκτονικόν.

Μαχαιρίδες, αἱ τῶν κουρέων μάχαιραι, ἀλλ' οὐ τῶν μαγείρων.

Μαχαιρίδι, ὀξυβελεῖ, τῷ φλεβοτόμῳ, παρὰ τῷ Ἱπποκράτει.

Μαχαιροδέτης, ὁ ἐν τοῖς ὁπλισμοῖς καταληπτήρ.

Μαχαιροδαίνιον, μάχαρ, ὀχύρωμα.

Μαχᾷν, ἀντὶ τοῦ θέλειν μάχεσθαι.

Μαχάτας, ἀντίπαλος.

Μαχάων, ἐκτείνει τὴν παραλήγουσαν. διὸ καὶ συστέλλει ἐν ταῖς πλαγίαις τὸ ο. καθόλου γάρ φασι τὰ εἰς ων βαρύτονα ὑπὲρ δύο συλλαβὰς διχρόνῳ παραληγόμενα, εἰ μὲν βραχὺ τὸ δίχρονον ἔχουσι, φυλάττουσι τὸ ω καὶ ἐπὶ γενικῆς, οἷον Ἀμφιτρύωνος, Δευκαλίωνος. εἰ δὲ μακρῷ διχρόνῳ παραλήγονται, συστολὴν πάσχει, τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ, οἷον Ἰξίονος, Ἰάσονος.

Μαχειόμενος, ποιητικὴ λέξις, ἐκ τοῦ μαχῶ μαχείω.

Μαχέοιτο. μάχομαι, καὶ πλεονασμῷ τοῦ ο μαχέομαι. ἀφ' οὗ τὸ εὐκτικὸν μαχέοιτο τρίτον πρόσωπον, ἀπὸ τοῦ μαχεοίμην.

Μαχεσαίμην, κεῖται παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ὀνειδιστικῶς λαλήσω, ἢ μέμψομαι. καὶ οὐ κυριολεκτεῖται ἡ λέξις ἐκεῖ, ἐν τῷ ν τῆς Ἰλιάδος.

Μάχη, καὶ ἡ χάρμη κατά τινας, παρὰ τὸ μὴ ἀχνυσθαι. πάντων γὰρ ἐλπίδι τῆς κατὰ τὴν νίκην χαρᾶς ἡ μάχη συνίσταται.

Μάχη, πόλεμός τε, ἢ ὡς διαφορὰ, καὶ νῦν τεθεῖσα, ἢ ὡς ταυτοδύναμα.

Μάχη ἐστὶν, ἀντίθεσις ὄντων, ἣν κατὰ μηδένα τρόπον ἐνδέχεσθαι συναληθεῦσαι, ἢ συμψεύδεσθαι. ὡς τὸ, ἡμέρα ἐστὶ καὶ νύξ.

Μάχην, μάχαιρα ζωγραφεῖ κρατουμένη. συνθλᾶν δὲ μαχαίρας, δυσμενῶν δηλοῖ θλάσιν.

Μαχητὸς, στρατηγός.

Μάχιμος, ὁ γενναῖος. εἰδώς με μάχιμον ὄντα, καὶ φιλοτιμούμενον.

Μαχλὰς, ἡ πόρνη.

Μάχλος, ἀσεβὴς, ἄσωτος, παρὰ τὸ κλῶ κλός. καὶ πλεονασμῷ τῆς μα συλλαβῆς μάκλος, καὶ τροπῇ τοῦ κ εἰς χ, μάχλος.

Μαχλοσύνη κοινῶς ἐστὶν, ἡ ἐν γυναιξὶ μανία. ἐπὶ ἀνδρῶν δὲ οὐ τίθεται. Ὅμηρος, τὴν δὲ νεῖκεσεν, ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.

Μάχλος, ἀκρατὴς, καταφερὴς πόρνος.

Μαχλῶντες, πορνεύοντες.

Μαχλὶς, ἑταίρα, πόρνη.

Μαχλοίων, κρομμύων.

Μαχλοίονας, τοὺς αὐτομόλους Αἰθίοπες οὕτω καλοῦσι.

Μάχομαι, πολεμῶ, διαφέρομαι, ἐναντιοῦμαι, ἀνθίσταμαι, διατείνομαι, ταυτοδύναμα.

Μάχομαι αἰτιατικῇ, συμμαχῶ δὲ, δοτικῇ. προμάχομαι δὲ, καὶ ὑπερμάχομαι γενικῇ.

Μαχοῦμαι, παρὰ τοῖς ἀρίστοις. μαχέσομαι, παρὰ τῷ πλήθει. μάχομαι μαχοῦμαι, καὶ μαχέσομαι μεμάχημαι, καὶ ἐμαχεσάμην. μάχην ἐμάχοντο, βοῦς βουκολέεσκεν, Ἀττικῶς. ἀείδω, ἄειδος.

Μὰψ αὔτως, ἐκ παραλλήλου ταυτὸν νοοῦσι, δηλοῦντα ἐπίτασίν τινα τοῦ μάτην, διὰ τοῦ διπλωθῆναι ὁμοῦ κείμενα.

Μὰψ ὀμόσαι, ταυτὸν τῷ ἐπιορκῆσαί ἐστι.

Μὰψ, ματαίως.

Μαψαῦραι, οἱ μάταιοι ἄνεμοι, οὐ κοῦφαι πνοαί.

Μαψίδιον, μάταιον, δειλὶς, χαλεπὸν, πολύδεινον, ἑκούσιον, καὶ μαψιδίως ὁμοίως.

Μαψιδίως, ματαίως, καὶ μὰ, ἀντὶ τοῦ ματαίως.

Μαψίφωνον, ματαιόφωνον.

Μάψωπος, μάταιος.

ΤΟ' Μ'. ΜΕΤΑ' ΤΟΥ' Ε'.

ΜΈγα, κλίνεται ἑτεροκλίτως τοῦ μεγάλου. ἡ αἰτιατικὴ, τὸ μέγα. καὶ ἐκ τούτου ἐπίρρημα μέγα, ἀντὶ τοῦ μεγάλως, ὡς παρ' Ἡσιόδῳ, μέγα νήπιε Πέρσα, ἀντὶ τοῦ μεγάλως.

Μέγα τεῖχος Ἀχαιῶν, τὰς τρεῖς διαστάσεις δηλοῖ. τὴν κατὰ εὖρος, καὶ τὴν εἰς ὕψος, καθ' ἃς τὸ μέγα τεῖχος.

Μέγα, σημαίνει τρία. τὸ πολὺ, ὡς τὸ νῦν δ' ἐμεῖο μέγ' ἐπείγρετο. σημαίνει καὶ τὸ μεγάλως, ὡς τὸ ἦκε μέγ' οἰμώξεις γέρων. σημαίνει καὶ τὸ ἐπιμήκες. ὡς τὸ, μέγα τόξον ἔτεινε.

Μέγα δικαστήριον, ἐν ᾧ τὰς δημοσίας ἔκρινον δίκας.

Μέγα τὸ στόμα τοῦ ἐνιαυτοῦ, οἷον, πολλὴ παῤῥησία πάντων διαφορίας γινομένης.

Μέγ' ἀάσθη, σκληρὸν μὲν λόγῳ πεζῷ, χρηστὸν δὲ εἰς ποίησιν. δύναται δὲ καὶ ἄασθη δισυλλάβως εἶναι, διὰ τό ἆσε με δαίμονος αἶσα, καὶ ἀάσθη τρισυλλάβως, διὰ τὸ ἄτω, ἣ πάντας ἀᾶται.

Μεγαβύζιοι λόγοι, μεγάλοι, ἀπὸ τοῦ Περσῶν βασιλέως. οἱ δὲ, βάρβαροι, καὶ οἱ τῆς Ἀρτέμιδος ἱερεῖς, καὶ οἱ στρατηγοὶ τοῦ Περσῶν Βασιλέως μεγάβυζοι ἐλέγοντο.

Μεγάβυζος, στρατηλάτης πορθήσας Μέμφιδα, οὗτος Σατράπης Δαρείου τὴν Αἴγυπτον εἷλεν, οὗ μνημονεύει Θουκυδίδης ἐν τῷ πρώτῳ.

Μέγαθος, ἀντὶ τοῦ μέγεθος λέγουσιν Ἴωνες.

Μεγάθυμος, μεγαλόψυχος, γενναῖος, θυμὸς γὰρ ἡ ψυχή.

Digitized by Google

Μεγαίνετοι, ὁ μάνης, παρὰ τῷ Ἀριστοφάνει. ὃν λέγει οὐ πάντως βάρβαρον, ἀλλ' ἀναίσθητον καὶ μανικόν.

Μέγα ἴαχον, μεγάλῃ φωνῇ ἀνέκραγον.

Μεγαίρω ποιητικῶς, τὸ φθονῶ, καὶ μέμφομαι. ὡς παρὰ Θεοκρίτῳ, ὃν οὐ δὲ αὐτὸς ἀείδοντι Φοῖβος σὺν φόρμιγγι, παρὰ τριπόδεσσι μεγαίροι.

Μεγαίρειν, τὸ φθονεῖν, ἀπὸ τοῦ μέγα καὶ τοῦ αἴρειν. ὁ γὰρ μεγαίρων, ἤτοι φθονῶν, τὸ μεγαλεῖον αἴρει τοῦ φθονουμένου.

Μεγακήτεα πόντον, τὸν μεγάλα κήτη ἔχοντα. ἢ ἁπλῶς μέγαν παρὰ τὸ κῆτος.

Μεγακήτεϊ νηΐ, μεγάλῃ, παρὰ τὸ κῆτος. ἢ μέγα κύτος ἐχούσης, ὅ ἐστι πλατεῖα.

Μεγακήτης, ὁ μέγας.

Μεγακήτης ναῦς, ἀσφαλῶς ἐρρέθη παρ' Ὁμήρῳ, οὐ διὰ μόνον μέγεθος, ἀλλὰ ὅτι καὶ περὶ θάλασσαν πονεῖται.

Μεγακλῆς, Κοισύρας τῆς υἱός, ἥτις τὴν ὑπερβαίνουσα γένει καὶ πλούτῳ, τὴν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυροῦσθαι, τὸ μέγα φρονεῖν, παρ' Ἐρετριεῦσι.

Μεγάλα αὐδῆσαι, σημαίνει τὸ ὑπερηφανεύσασθαι. ταυτὸν δέ ἐστι, τῷ ὑπερφίαλον ἔπος ἐκβαλεῖν.

Μεγαλαλκής, μεγαλοσθενής.

Μεγαλαυχεῖ, σεμνύνεται, καυχᾶται.

Μεγάλαυχος, μεγαλόφρων, μεγαλόψυχος.

Μεγαλαυχούμενοι, καταπαιρόμενοι.

Μεγαλαυχῶ, μεγαλαυχοῦμαι. Λιβάνιος, μεγαλαυχούμεθα ὦ σύρροι, Ῥωμαίοις διδόντες ἄνδρα.

Μεγαλαυχῶ, οὐδεὶς τῶν ἀρχαίων, ἀλλὰ μεγαλαυχοῦμαι.

Μεγάλανδροι, μεγάλοι ἄνδρες, ἢ μεγάλοι κατὰ τὴν ἀνδρείαν, ἢ πολυανδροῦντες.

Μεγαλεῖα, ὑψηλά. καὶ μεγαλεῖον, μεγαλοπρεπές.

Μεγαλεπήβολος, ὁ μεγάλων πραγμάτων κατορχόμενος.

Μεγαλήγορος, μεγάλως λέγων.

Μεγαληγορῶ, ἀμεταβάτως.

Μεγάλην κληῖδα θυράων, ὅλον τὸ θύραμα. τινὲς δὲ μοχλόν.

Μεγάλη νόσος, ἡ ἐπιληψία.

Μεγαλήτορα, μεγαλόψυχον.

Μεγαλίζεο, ἐπαίρου. Ὅμηρος, μὴ μεγαλίζεο θυμῷ.

Μεγαλίζεσθαι, τὸ ἐπαίρεσθαι ὡς τὸ μὴ δὲ μεγαλίζεο θυμῷ. καὶ σημαίνει παρ' Ὁμήρῳ ἐν ψ τῆς Ὀδυσσείας, οὔτ' ἄρτι μεγαλίζομαι, οὐδ' ἀθερίζω, ὅτι τρεῖς αἰτίας ἐμφαίνει ἀποστροφῆς, ἐνταῦθα τῆς πρός τινα οἰκειοῦσθαι θέλοντα, τὸ μεγαλίζεσθαι, τὸ ἀθερίζειν, καὶ τὸ ἄγασθαι. ἢ γὰρ ἐξαθερίζει τὶς τὸν οἰκειούμενον, τουτέστιν ἐξουθενεῖ, ὡς μὴ ἄξιον οἰκειώσεως. ἢ μεγαλίζεται, ὡς μείζων ὢν ἐκείνου ἢ ἄγαται, τὴν αἰτίαν ἐννοούμενος τῆς ζητουμένης οἰκειώσεως.

Μεγαλίζεο, μεγαλύνου, καυχοῦ.

Μεγαλίον, μύρον, μέγεθος, ὕψος.

Μεγάλ' ἴαχε, μεγάλως ἤχησε.

Μεγάλοιτος, ἤγουν κατὰ πολὺ οἰκτρά, παρὰ Θεοκρίτῳ.

Μεγαλομήτηρ, ἡ τῆς μητρὸς μήτηρ.

Μεγαλόνοια, μεγαλοφυΐα, ὑπερηφανία, μεγαλοπρέπεια.

Μεγαλοπρέπεια, φιλανθρωπία ψυχῆς μετὰ λόγου, καὶ ἡ τῶν ἔργων λαμπρότης. κατὰ δέ τινας μεγαλοπρέπεια Θεοῦ ἐστιν, ἡ γινομένη ἐν μεγάλοις παρ' αὐτοῦ ἐκφάνεια. ἡ ἡ ἐν τῇ θείᾳ αὐτοῦ προνοίᾳ καὶ δημιουργίᾳ τὸ εἰς πολὺ τὸ πρέπον ἐμφαίνουσα. ἢ μεγαλοπρέπεια, ἀρετή ἐστιν ἀποδιδοῦσα ἐνεργείας μεγάλων πράξεων. καὶ μεγαλοπρεπής, ὁ μεγαλοφανής, ἢ ὁ ἐπὶ μεγέθει ἀναλωμάτων πονούμενος.

Μεγαλουργίας, μεγάλας ἐργασίας.

Μεγαλουχία, μεγαλαυχία, ὑψηλοφροσύνη.

Μεγαλοφρονῶ, τὸ γενναίως καρτερῶ. μέγα δὲ φρονῶ, καὶ ὑψηλὰ φρονῶ, ἐπὶ ἀλαζονείας, καὶ ἐπάρσεως.

Μεγαλόφρων, ὁ μεγαλόψυχος.

Μεγαλοφυοῦς, μεγαλόφρονος.

Μεγαλορρήμονος, καὶ μεγαλορρημοσύνη, μεγαληγορία.

Μεγαλοψυχία, ἕξις ψυχῆς τοῖς συμβαίνουσι λυπηροῖς, μὴ καταλιγωροῦσα.

Μεγαλοψυχία, ἐλευθεριότης, μεγαλοδωρία. ὦ τῆς μεγαλοψυχίας.

Μεγαλόψυχός ἐστιν, ὁ πάντα εὐπετῶς φέρων. μικρόψυχος δέ, ὁ μὴ δὲ τὰ μικρά.

Μεγαλώνυμον, μεγαλόδοξον, περίφημον, ὀνομαστόν.

Μεγαλωστί, ἀπὸ τοῦ μεγάλως γέγονε πλεονάσαντος τοῦ τι ἐπεκτατικῶς. ὡς καὶ ἐν τῷ οὔτι, καὶ οὔπω τι καὶ τοῖς ὁμοίοις. καθ' ὅμοιον δὲ τρόπον γίνεται καὶ τὸ νεωστί, ἤγουν μεγαλοπρεπῶς.

Μεγαλωστί, ὁμοιότητα συνθέσεως ἔχει, οὐ μόνον πρὸς τὸ νεωστί, ἀλλὰ καὶ πρὸς τὸ δημιωστί, καὶ ἱερωστί, ἐκ τοῦ δημίως καὶ ἱερῶς, ὡς παραδιδόασιν οἱ παλαιοί.

Μεγαλοσύνη, καὶ μεγαλορρημοσύνη. Μεγαλοψυχία, ἐστὶν ἀρετὴ ψυχῆς, καθ' ἣν δύναταί τις φέρειν εὐτυχίαν τε καὶ δυστυχίαν, τιμὴν καὶ ἀτιμίαν. ἡ μεγαλοψυχία ἐστίν, ἀρετὴ ἐπάνω τῶν μεταξὺ ἀρετῆς καὶ κακίας, καὶ μάλιστα ζωῆς καὶ θανάτου.

Μεγαμάζα, οἱ Σύροι τὴν ἐπὶ Βασιλεία δέησιν οὕτω καλοῦσι.

Μεγάμυκος, μεγαλομυκήτης, ἢ ὄνομα, καὶ ὄνος.

Μεγάνορα πλοῦτον, ἔνιοι λέγουσι διὰ τὸ κατασκευάζειν τοὺς κεκτημένους αὐτὸν αὐχητικούς, καὶ ὑπερόπτας. καὶ ὅτι αὐτὸς γίνεται μεγαλήνωρ, διὰ τὸ πολλὰ δύνασθαι κατεργάζεσθαι. νεῦρα γὰρ πολέμου χρυσός. ἄλλως, μεγάνωρ ἤτοι, ὁ αὐξάνων τὰς τύχας τῶν ἀνθρώπων, καὶ ποιῶν μείζονα φρονεῖν τῶν καθηκόντων. ἢ ὅτι αὐτὸς μεγάνωρ ἐστί, διὰ τὸ πολλὰ δύνασθαι κατεργάσασθαι.

Μεγαρικαὶ σφίγγες, αἱ πόρναι οὕτως εἴρηνται. ἴσως δὲ ἐντεῦθεν καὶ σφίγκται, οἱ μαλακοὶ ὠνομάσθησαν, ἢ καὶ ἀπὸ μαίας, οὕτω λεγομένης ἐν Μεγάροις.

Μεγαρεῖς, ἐθνικόν.

Μεγαρέων ἄξιοι μερίδος, ἀντὶ τοῦ ἄτιμοι. τοιοῦτοι γὰρ οἱ Μεγαρεῖς. ὅτι δὲ τοιοῦτόν ἐστι τὸ πρᾶγμα, δῆλον. καὶ σαφεῖς οἱ μάρτυρες, οὐκ ἄδοξοί τινες, οὐδὲ τῆς Μεγαρέων μερίδος, ἀλλὰ τῶν ἐπενεγκαμένων τῆς σοφίας τὰ πρῶτα.

Μεγαρίζοντες, λιμώττοντες, ἢ μέγα λέγοντες.

Μεγαρίσαι, τὰ μεγαρέων δοξάσαι.

Μέγαρον, οὐ μόνον τὸ κοινῶς, ἀλλὰ καὶ ἰδικῶς. μέγαρα, κατάγεια οἰκήματά φησι ταῖν θεαῖν, ἤγουν Δήμητρος καὶ Περσεφόνης. Αἴλιος δὲ Διονύσιός φησι, καὶ ὅτι μάγαρον, οὐχὶ μέγαρον εἰς ὃ τὰ μυστικὰ ἱερὰ κατατίθενται.

Μέγαρον, τὸ ὑπερῷον οἴκημα. παρὰ τὸ μέγα, μεγαίρω, μέγαρον. ἐγκώμιον γὰρ οἴκου, τὸ μέγα, καὶ ἄξιον φθόνου.

Μεγαρόθεν, ἀπὸ τῶν μεγάρων.

Μεγάρσης, φθόνος.

Μέγαρτος, ἀγνώμων καὶ φθονερός. ἀμέγαρτος δέ, ὁ ἄφθονος.

Μέγας, παρὰ τὸ μήγας, ὁ μὴ ὢν ἐν τῇ γῇ, ἀλλ' ὑπερέχων αὐτῆς.

Μέγας κόσμος, ὁ ἄνθρωπος.

Μέγας, σύγκειται ἐκ τοῦ μὴ στερητικοῦ, καὶ τοῦ γῆ. ἵνα ᾖ μέγας, ὁ μὴ πρὸς γῆν ὤν, ἀλλ' ὑπεραναβὰς τὴν γῆν.

Μέγας κατὰ συγκοπὴν ἐκ τοῦ μεγάλος. τὸ δὲ οὐδέτερον μέγα κατὰ ἀποκοπὴν ἐκ τοῦ μεγάλου.

Μέγας Βασιλεύς, μέγα βασιλέα λέγει Ἀριστοφάνης τὸν τῶν Περσῶν. οὕτω γὰρ ἔλεγον αὐτόν, διὰ τὸ πλείονι δυνάμει χρῆσθαι περσικῇ. κομᾷ δὲ εἶπε, τουτέστι σεμνύνεται τῇ περιουσίᾳ τῆς ἀρχῆς, ἀπὸ τῶν μέγα φρονούντων τῇ κόμῃ.

Μέγας οὐρανός, Ὄλυμπός τε, ἢ ἐκ παραλλήλου τὸ αὐτὸ λέγουσι κατ' ἀλληγορικὴν ἀλήθειαν. ἢ Ὄλυμπον νοητέον, τὸ μακεδονικὸν ὄρος. οὐρανὸν δέ, τὸν ὑπὲρ τὰ νέφη τόπον, ὅς ποτὲ μὲν κλείεται, ὅσα καὶ πύλαι τοῖς νέφεσι, ποτὲ δὲ ὡς οἷον ἀνοιγόμενος διεκφαίνεται.

Μεγασθενής, τὰ παρὰ τὸ σθένος, καὶ τὸ γένος συνθετα ὀνόματα κύρια μὲν ὄντα παροξύνονται. οἷον Δημοσθένης, Ἀντισθένης, Διογένης, Θεαγένης. ἐπίθετα δὲ ὀνόματα, ὀξύνεται, οἷον μεγασθενής, μονογενής, εὐγενής. κατὰ ταῦτα καὶ Ἀριστοφάνης καὶ μητροφάνης, παροξύνεται κύρια ὄντα. ἀφανὴς δὲ καὶ διαφανής, καὶ προφανής, ὀξύνεται ἐπιθετικῶς λεγόμενα. ὧν τὰ μὲν κύρια, ἀπὸ τοῦ φαίνειν γίνεται. τὰ δὲ ἐπίθετα, ἀπὸ τοῦ φαίνεσθαι. τὰ δὲ εἰς ος, ἀπὸ τοῦ φαίνεσθαι, πάντα προπαροξύνονται, εἴτε κύριά εἰσιν, εἴτε ἐπίθετα, οἷον ἄφαντος, πρόφαντος, διόφαντος.

Μεγάσυρνος, εἶδος σταφυλῆς ἐν Κνίδῳ.

Μεγαχιδεῖ, μέγα χίσμα ἐχούσῃ.

Μέγα τι ἄγγελος ἐσθλός, ἐπὶ τῶν ἀγαθὰ ἀπαγγελόντων.

Μεγάφρονες, μεγαλόφρονες, ἢ μεγάλως ἄφρονες.

Μεγαφρονῶ ἐπὶ τῷ κάλλει, καὶ ἐπὶ τῷ πλούτῳ, καὶ ἐπὶ τῇ εὐγενείᾳ μεγαφρονῶ, τὸ ὑπερηφανῶ, δοτικῇ συντάσσεται, οἷον ἐπὶ ταῖς ἀρεταῖς μεγαφρονοῦσι.

Μεγαχήσεται, μέγα βοήσει.

Μέγεθος, μεγαλεῖον.

Μέγεθος, διττὸν τὸ μέγεθος, κοινὴ αἴσθησις. δύναται δὲ κατὰ ἀναλογίαν, καὶ ἐπὶ ὀσφρήσεως λαμβάνεσθαι, καὶ ἐπὶ γεύσεως. εἰσὶ γὰρ αὗται τοῦ οἰκείου μεγέθους ἀντιληπτικαί. ἡ μὲν τοῦ ἐν ὀσμαῖς, ἡ δὲ τοῦ ἐν χυμοῖς.

Μέγ' ἔξοχον, μεγάλως ὑπερέχον.

Μεγῆραι, φθονῆσαι, ζηλῶσαι.

Μεγήρατα, μεγάλως ἐπέραστα, ἢ ὑπερήφανα διὰ τὸ κάλλος. ἢ μεγάλως ἐρίζονται περὶ κάλλους. ἢ πρὸς οὓς οὐδεὶς δύναται ἐρίσαι, ἀλλὰ μετ' ἀλλήλων ἐρίζειν. Ἡσίοδος, μεγήρατα τέκνα θεάων πόντῳ ἐν ἀτρυγέτῳ.

Μέγηρον, τὸν ἐπέραστον.

Μεγήρη, τὰ τίμια, καὶ μεγαλόχαρτα.

Μέγης, ὁ μέγας.

Μέγης, ὄνομα κύριον. Ἀρίσταρχος μὲν βαρύνει τὸ μέγην, ᾧ καὶ πείθεται ἡ παράδοσις. οἱ δὲ περὶ Πτολεμαῖον καὶ τὸν Ἀσκαλωνίτην, περισπῶσιν, ὡς Ἑρμῆν. φασὶ γὰρ ὡς τὰ εἰς ης βαρύτονα δισύλλαβα ἀπὸ βραχέος ἀρχόμενα, περιττοσυλλάβως κλίνονται, λέβητος, λάχητος. οὕτω γοῦν καὶ μέγης ἔδει κλίνεσθαι, καὶ μέγητα εἶναι τὴν αἰτιατικήν. ὅτε δὲ μὴ οὕτως ἡ κλίσις ἔχει, περισπασθήσεται τὰ τοιαῦτα ἰαμβικά. ὡς Θαλῆς Θαλῆν, φαλῆς φαλῆν. ἕτεροι δέ φασι διφορεῖται μέγης καὶ μεγῆς, ὡς θάλης καὶ θαλῆς. καὶ οὗτοι μὲν οὕτως. οἱ δὲ περὶ Ἀρίσταρχόν φασιν, ὡς πολλὰ τοιαῦτα διχῶς κλιθέντα οὐ μετέβαλε τὸν τόνον, τὸ γοῦν μύνης Ὅμηρος μὲν μύνητος κλινεῖ. Σοφοκλῆς δὲ ἰσοσυλλάβως, ἔστι δὲ καὶ μύκης μύκητος καὶ μύμου, ὁποῖος ἂν καὶ εἴη αὐτός, εἴτε ὁ τοῦ λύχνου, ὃς καὶ μύζα λέγεται, εἴτε ὁ τῆς σπάθης. ἀφ' οὗ καὶ ἡ μυκήνη, καὶ τὰ λοιπά.

Μεγήριτα τέκνα. παρ' Ἡσιόδῳ μεγάλως ἐρίζοντα, ἢ μεγήριτα, πρὸς ἃ οὐδεὶς ἐρίσει. πρὸς ἄλληλα γὰρ ἐρίζουσιν. ἢ τίμια καὶ ἔνδοξα.

Μεγιστᾶνες, οἱ τοῦ Βασιλέως περίβλεπτοι, ὑπεξούσιοι.

Μέγιστον, οὐ μεῖζον οὐδέν.

Μέγ' ἴαχε, μεγάλως ἴαχεν, ἤγουν ἤχησε.

Μεγίστην, μεγάλην.

Μέγιστος ποταμός, ὁ ἐν Αἰγαίῳ πελάγει εἰσβάλλων.

Μεδάνη, ὄνομα πόλεως.

Μεδεῖσθαι, μεμελεῖσθαι, φροντίζειν, βασιλεύειν.

Μέδει, ἄρχει.

Μεδέοντα, βασιλεύοντα.

Μέδεα, τὰ αἰδοῖα. Ἡσίοδος δὲ καὶ ἄλλοι μέζεα ταῦτά φασι. συστολῇ τῆς ἀρχούσης, καὶ τροπῇ συνήθει τοῦ δ εἰς ζ.

Με-

Digitized by Google

Μεδέσθω, φροντιζέτω, ἀπὸ τοῦ μήδομαι, κατὰ συστολὴν τοῦ η εἰς ε.

Μεδεὼν, ἀπὸ Μεδεῶνος υἱοῦ Πυλάδου, καὶ Ἠλέκτρας. ἔστι δέ φασι Φωκικὴ Μεδεὼν, καὶ ἠπειρωτική. ὁ δὲ Γεωγράφος φησὶ, Μεδεὼν ὁ Φωκικὸς ἐν τῷ Κρισσαίῳ κόλπῳ, διέχων Βοιωτίας στάδια ρξ΄. ὁ δὲ Βοιωτικὸς ἀπ᾽ ἐκείνου κέκληται.

Μεδήσομαι, ὡς ἀπὸ περισπωμένου ἐνεστῶτος κεκίνηται τοῦ μεδῶ μεδήσω, ὡς αἰδῶ αἰδήσω, ἐπὶ ἐντροπῆς. ὅθεν ὁ αἰδήμων, καὶ ἐδῶ ἐδήσω. ἐξ οὗ ἐδητὺς, ἡ βρῶσις, καὶ μειδῶ μειδήσω, τὸ γελῶ. ὁ γὰρ μέδω βαρύτονος ἐνεστὼς, ἐξ οὗ καὶ ὁ κατ᾽ ἀρχήν τινα μέδων γίνεται, ὡς φροντιστὴς ὢν τῶν ἀρχομένων, καὶ βουλευτικός. οὐ δύναται οἰκεῖον ἔχειν μέλλοντα. οἷον ὡς ᾄδω ᾄσω, οὕτω καὶ μέδω μέσω, διὰ τὸ συμπίπτειν τὴν πρὸς τὴν δοτικὴν τοῦ μέσου, ὥσπερ οὐδὲ τοῦ ἕδω, ἕσω μέλλων ἐστὶν, ὡς ἂν μὴ συμπίπτῃ τῷ ἔσω ἐπιῤῥήματι. μεδέω ποιητικῶς, τὸ βασιλεύω. καὶ μέδων, ὁ βασιλεύς.

Μέδιμνον, τὸ μόδιον, ἢ μέτρον Ἀττικὸν, γινόμενον μόδιοι ἑπτὰ, ἤτοι τεσσαρακονταοκτὼ χοίνικες.

Μέδιμνος, μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν, ἢ κριθῶν. ἔχει δὲ χοίνικας ὀκτὼ καὶ τεσσαράκοντα.

Μέδιμνος, καὶ χοῖνιξ, καὶ πῆχυς, καὶ ἕτερα ποτὲ ὄργανον δηλοῦσι τοῦ μετρουμένου, καὶ αὐτὸ τὸ μετρούμενον, ὥσπερ καὶ ἡ λέξις τοῦ σταθμοῦ.

Μεδίμνος, παροξυτόνως κυρίως οἱ Ἀττικοὶ λέγουσιν, οὐ μέδιμνος.

Μεδέῳ, ἥρωϊ.

Μέδοντες, οἱ βασιλεῖς. ὅθεν καὶ μέδω, τὸ βασιλεύω, παρὰ τὸ μήδω, τὸ βουλεύω, μέδω. οἷς βουλίας δεῖ. ὅθεν καὶ βουληφόροι λέγονται.

Μεδοίατο, φροντίζοιεν.

Μεδώμεθα θούριδος ἀλκῆς, ἤγουν φροντίσωμεν τοῦ εἶναι ἄλκιμοι.

Μέδων, βασιλεύων, βασιλεύς.

Μέζεα, ἀντὶ τοῦ τὰ αἰδοῖα λέγουσιν Ἴωνες.

Μεζὸς, αἰδοῖον.

Μέζων, ἀντὶ τοῦ μείζων. καὶ τοῦτο ἴδιον τῶν Ἰώνων ἐστὶ, τὸ ἀποβάλλειν τὸ ι τῆς ει διφθόγγου.

Μέθαις, τοῖς σκεύεσι τοῖς θριαμβικοῖς, κιθάρᾳ, ἢ κύμβαλον.

Μεθαρμοζόμενος, ἐπιδιορθούμενος, μετερχόμενος.

Μεθάρμοσον, ἀντὶ τοῦ ἐπανόρθωσον. Σοφοκλῆς, μεθαρμόζειν κυρίως λέγεται, ἐπὶ μουσικῆς, ἤγουν τὸ μετατιθέναι τὴν ἁρμονίαν.

Μεθέηκεν, ἀντὶ τοῦ ἠμέλησεν, ἐκ τοῦ μεθίημι. ἐξ οὗ μεθήμων, ὁ ἀμελητής. καὶ μεθημοσύνη, ἡ ἀμέλεια. καὶ ἡ μέθη, καὶ τὸ μέθυ, ὡς ἀλλαχοῦ εἴρηται. ἐναντίον δὲ τὸ μεθεῖναι, πρὸς τὸ ἐφεῖναι, ὃ δηλοῖ τὸ ἐντείλασθαι. ἀφ᾽ οὗ καὶ ἐφήσεσθαι, τὸ ἐντελεῖσθαι, ἀλλαχοῦ ὁ Ποιητής.

Μεθεὶς, ἐάσας, ἀφείς.

Μεθεκτὸς, ἐκ τοῦ μετέχειν.

Μεθέμεν, μεθεῖσαι, συγχωρῆσαι, ἀπαρέμφατον. ἐνεστὼς ἵημι, τὸ ἀπαρέμφατον εἶναι, ἕμεν, καὶ μεθέμεν.

Μεθείθη, ἀντὶ τοῦ ἐάσῃ. ὁ δὲ μεθείθη εἰς Παρθυαίους.

Μεθεῖναι, ἀφεῖναι, ἀμελῆσαι. μεθείω, ἀφ᾽ οὗ ἐάσω. καὶ μεθείθη, ἐξ αὐτοῦ.

Μεθείω, συγχωρῶ. ἀπὸ τοῦ μεθῶ μεθείω, ὡς τελῶ τελείω.

Μεθείων, καταλείψας, ἐάσας. καὶ μέθες.

Μεθέμεν, παρὰ τὸ ἵημι τὸ πέμπω, μεθίημι. ὁ παρατατικὸς μεθίην. τὸ πληθυντικὸν, μεθίεμεν. καὶ τὸ ἀπαρέμφατον μεθιέμεναι, καὶ κατὰ συγκοπὴν μεθέμεν.

Μεθέντες, ἐάσαντες. ἐκ τοῦ μεθίημι, τὸ ἀφίημι. Ἀριστοφάνης, νῦν μεθίεμεν, καὶ μέθεσθαι νυῶ [illegible].

Μέθεξις, κοινωνία.

Μεθέπεις, ἤγουν εἰς ἡμᾶς ἥκεις. παρ᾽ Ὁμήρῳ ἐν α τῆς Ὀδυσσείας.

Μεθέπω, τὸ διώκω. ἕπομαι, τὸ ἀκολουθῶ. μεθέπουσιν αὐτὸν κατ᾽ ἴχνος, ἤγουν διώκουσι κατὰ πόδα.

Μέθεπε ἵππους, ἤγουν ἤλαυνε.

Μεθέπειν, τὸ ζητεῖν, καὶ ἐρευνᾶν. φησὶ γὰρ Ὅμηρος, ὁ δ᾽ ἡνίοχον μέθεπε θρασύν. ὃν καὶ σημάντορά φησιν, ὡς ἀπὸ τοῦ σημαίνειν, ὃ δηλοῖ τὸ ἐπιτάσσειν.

Μεθέπων, ἐπιδιώκων.

Μέθες, ἄφες, βάλε, ἀπὸ τοῦ ἵημι, ὁ δεύτερος ἀόριστος ἦν. ἡ μετοχὴ εἷς ἕντος. τὸ προστακτικὸν ἕς, καὶ μετὰ τῆς μετὰ προθέσεως, μέθες. ἔδει ὤφειλεν εἶναι, ἀλλὰ σεσημείωται.

Μεθίεθαι, καπηλιτεῖν.

Μέθεσθε. ἵημι, μέλλων ἥσω, ὁ δεύτερος ἀόριστος ἦν. ὁ μέσος ἕμην ἕσο ἕτο. καὶ τὸ προστακτικὸν, ἕσω. καὶ ἐκβολῇ τοῦ σ καὶ κράσει τοῦ ε καὶ ο εἰς ου δίφθογγον, οὗ, καὶ μετὰ τῆς μετὰ προθέσεως, μεθοῦ. τὸ δεύτερον τῶν πληθυντικῶν μέθεσθε.

Μεθεστάναι, μεταβεβλῆσθαι.

Μεθέστηκε, μεταβέβληται. Ἀριστοφάνης, πολὺ μεθέστηκε.

Μέθετε, ἐάσατέ με.

Μεθέψομεν, μεταποίσομεν.

Μεθῆκεν, ἀντὶ τοῦ ἔῤῥιψεν, ἐκ τοῦ ἵημι, πρῶτος ἀόριστος ἧκα, καὶ μεθῆκα, ας, ε.

Μεθῆκε βίῃ, παρ᾽ Ὁμήρῳ ἐν φ΄ τῆς Ὀδυσσείας, καθ᾽ ὑπερβατὸν ἡ λέξις. λέγει ὅτι μενεαίνων ἦν ὁ νέος ἐρύσεσθαι βίῃ τὸ τόξον. ὡς δηλοῖ τὸ ἐπαχθὲν, καὶ τὸ ἐτάνυσσεν ἂν βίῃ, τὸ τέταρτον ἀνέλκειν. ἐν οἷς νοητέον τὸν παῖδα ἠσκημένον εἶναι τοξεύειν. οὐ γὰρ ἄλλως τοιαῦτα εἶχε ποιεῖν.

Μέθη ἐστὶν, οἴνου ἄμετρος χρῆσις. μέθη ἐστὶ, λήρησις πάροινος, ἢ οἴνωσις ἐπιπλέον. μέθη μὲν οὖν ἐστὶν, ἀκράτου χρῆσις σφοδροτέρα. παροινία δὲ, ἡ ἐκ τῆς χρήσεως ἀκοσμία. κραιπάλη δὲ, ἡ ἐπὶ τῇ μέθῃ δυσαρέστησις, καὶ ἀηδία ἀπὸ τοῦ κραιπαλᾶν ὠνομασμένη.

Μέθη ἐστὶν, ἡ τῶν κατὰ φύσιν ἀποβολὴ λογισμῶν, δι᾽ ὧν ἡ ἀληθὴς γίνεσθαι πέφυκε τῶν ὄντων διάγνωσις.

Μεθήκειν, τὸ μεταγαγεῖν, ἢ μετελθεῖν.

Μεθ᾽ ἡμέραν, ἀντὶ τοῦ κατὰ τὴν ἡμέραν. Μάξιμος, ὡς τὸ μεθ᾽ ἡμέραν τὸν ἐρώμενον περιέπει. μεθ᾽ ἡμέραν, ἀντὶ τοῦ ἐν ἡμέρᾳ. Ἀττικὸν τὸ σχῆμα. μεθ᾽ ἡμέραν γάρ φασιν, οὐκ ἐν ἡμέρᾳ.

Μεθημοσύνη, ἀμέλεια, ῥᾳθυμία.

Μεθήμων, εὔστοχος, συνετὸς, προδότης, ἔμπειρος.

Μεθήμων, τὸν πένοντα καὶ ἀμελητὴν, καὶ ἔκλυτον σημαίνει, ἀπὸ τοῦ μεθιέναι. ἀφ᾽ οὗ καὶ ἡ μέθη γίνεται.

Μεθῆπται ἱστία, ἤγουν μετέωρά εἰσι.

Μεθῇς, ἐάσῃς, ἀμελήσῃς.

Μεθήσει τὸν χόλον, οἱ μεθ᾽ Ὅμηρον ἀφήσει φασὶ, πρόθεσιν θέντες ἀντὶ προθέσεως. ἔστι δὲ μεθήσειν, τὸ χαυνώσειν, ἀμελήσειν. ὅθεν καὶ ὁ μεθήμων. καὶ μέθη, ἡ χαυνοῦσα τὸν νοῦν, καὶ μέθυ, τὸ ταύτης αἴτιον.

Μεθήσειν, ἐᾶσθαι.

Μεθησέμεν, καὶ μεθήσειν, ἤγουν ἀμελήσειν.

Μεθησταὶ, ἀμεληταί.

Μεθιᾶσι, τὸ ἀφιᾶσι καὶ συγχωροῦσιν, αἰτιατικῇ συντάσσεται.

Μεθίει, ἀμελεῖ, ἀφίει. καὶ μεθιεὶς, ἀντὶ τοῦ καταλιμπάνων.

Μεθίης κοινῶς μὲν διὰ τοῦ η. ὡς γὰρ τίθημι τίθης, οὕτω μεθίημι, ης, ἄλλως τε κατ᾽ ἐναλλαγὴν χρόνου γράφεται, καὶ διὰ διφθόγγου. ὡς γὰρ τίθημι, ἐτίθην ἐτίθεις ἐτίθει, οὕτω μεθίημι μεθίην μεθίεις μεθίει. ὡς καὶ ἵημι ἵην ἵεις ἵει.

Μεθιέμεναι, ὅτι γενικὴν φιλεῖ παρὰ τῷ Ποιητῇ σύνταξιν, οὐκ ἔστιν ἀμφιβαλεῖν. οὐδ᾽ ὅτι ἐξ αὐτοῦ ἡ μεθημοσύνη λέξις αὕτη καίριαι ποιηταῖς. σύστοιχά ἐστι ταῦτα, μεθήσετε, μεθιέμεναι, μεθείετε, καὶ μεθείη, καὶ μεθιέντες.

Μεθιεμένους, ἰῶντας, προδιδόντας.

Μεθίεν χόλοιο, δηλοῖ μὲν τὸ μεθίεσαν καὶ ἠμέλουν. γίνεται δὲ συνήθως ἐκ τοῦ μεθιεὶς μεθιέντος, καὶ ἀποβολῇ τοῦ τος. ὁμοίως τῷ τράφεν, καὶ κόσμηθεν, καὶ ἑτέροις μυρίοις.

Μεθιέναι, καὶ τὸ ἀφιέναι, ἀπὸ τοῦ ἵημι τοῦ δασυνομένου, ὃ σημαίνει τὸ πέμπω. ἅπερ κατὰ μετάθεσιν καὶ συναίρεσιν μεθεῖναι καὶ ἀφεῖναι γράφονται, οἷόν ἐστι καὶ τὸ εἶναι παρὰ τῷ Ἀριστοφάνει.

Μεθίεται, μετέρχεται.

Μεθίετο, προΐετο, ὑφίετο. καὶ μεθιέμενα, ἀντὶ τοῦ βαλλόμενα, πεμπόμενα.

Μεθίημι, ἀφίημι, ἐνεργητικῶς αἰτιατικῇ, παθητικῶς δὲ γενικῇ.

Μεθ᾽ ἵππων, ἐφ᾽ ἵππων.

Μεθίστασθαι, τὸ μεταβαίνειν, καὶ ἀμείβειν στάσιν ἐκ στάσεως, καὶ τὸ μεταβαίνειν τόπον ἐκ τόπου. καὶ μεθίσταται, ἀντὶ τοῦ μετατίθεται.

Μεθίσταται, μεταίρει, μεταίρεται.

Μεθίστατο, ἐπὶ φίλῳ ἀνακομισθέντι ἔκ τινος κακοῦ εἴποις ἂν, τὸ ὁ δεῖνα ἑταίροισι μεθίστατο, ἀντὶ τοῦ συνίστατο. ὡς τὸ ὑπερφιάλοισι μετελθὼν, ἀντὶ τοῦ συνελθών.

Μεθιστῶ τινὰ τῆς καθέδρας, ἤγουν ἐν ἑτέρῳ τῆς καθέδρας τόπῳ μετάγω. καὶ μεθίσταμαι ἐγὼ τοῦ θρόνου, οὐχ ὑπό τινος.

Μέθλην, τὸν ἄρνα.

Μεθοδείας, ἐπιβουλὰς, ἐνέδρας, δόλους. ὡς ὁ Ἀπόστολος, πρὸς τὰς μεθοδείας τοῦ διαβόλου.

Μεθοδεύει, μετέρχεται, τεχνάζεται. ὅθεν μέθοδος, καὶ μεθοδεία.

Μεθοδευσάτωσαν, διελθέτωσαν.

Μεθόδιον, ὃ ἡμεῖς ἐφόδιον.

Μέθοδός ἐστι, λόγος σύντομος πολλῶν, καὶ κατὰ μέρος περιεκτικός. μέθοδός ἐστι λόγος εὑρετικὸς, ἀπὸ τῶν ὁμολογουμένων μετά τινος ὁδοῦ, καὶ τάξεως ἐπὶ τὰ ζητούμενα προϊών.

Μεθόδους, τέχνας, ἐφόδους.

Μέθοδος, ἕξις ὁδοποιητικὴ μετὰ λόγου.

Μεθ᾽ ὁμήλικας, παρ᾽ Ὁμήρῳ, ἤγουν ἐν ὁμήλιξι.

Μεθόπιον, μέρος τι τῆς καλουμένης ὑπὸ τῶν ἀρχιτεκτόνων τριγλυφίου.

Μεθόπωρον, ἡ μετὰ τὴν ὀπώραν τροπὴ, μετὰ θέρος.

Μεθορίζει, μετέχει.

Μεθορμηθῆναι, ἐφορμηθῆναι.

Μεθορμιζόμενος, μετερχόμενος.

Μεθορμίζεται, μετάγεται.

Μεθόριον, μεταξὺ τῶν ὅρων.

Μεθύει, πεπλήρωται.

Μεθύει, ὁ προπεπωκώς. μεθύσκεται, ὁ ἤδη πίνων. μεθύσκει δὲ ἄλλος ἄλλον.

Μεθυμναῖος, ὁ Διόνυσος.

Μεθύουσαν, δίυγρον οὖσαν.

Μεθύση γυνή, Ἀριστοφάνης ἐν νεφέλαις, γραῦν μεθύσην.

Μέθυσος, ἐπὶ ἀρσενικοῦ οὐδεὶς δοκίμων εἶπεν. ἐπὶ θηλυκοῦ λέγεται ἡ γυνὴ μέθυσος, ἐπὶ ἀρσενικοῦ λέγε μεθύων, καὶ μεθυστικός. μεθύει, ἀμεταβάτως καὶ μεταβατικῶς λέγεται.

Μεθυσοκότταβος, λάταξ χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν, οἴνου πεπληρωμένην, εἶτα εἰς μικρὰ ποτήρια ἐμβαλόντες οἶνον, εἰς ταύτην ἀπὸ ὕψους ἐῤῥίπτουν ἐπὶ τῷ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κότταβος. ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν, ἐκ τούτου οὖν μεθυσοκότταβος.

Μεθυθρίδες, εἶδος μικρῶν ὀρνίθων.

Μεθύσιον, εἶδος ἀμπέλου.

Μεθύσκομαι, πληροῦμαι.

Μεθυστάδες, ὡς οἰνόπληγες μεθυστάδες γάμων.

Μεθύω, κραιπαλῶ, οἰνοφλυγῶ.

Μεθύω, γίνεται ἐκ τοῦ μέθυ, ὃ σημαίνει τὸν οἶνον. μέθυ δὲ ὁ οἶνος, ἀπὸ τοῦ μεθύειν καὶ ἀμελεῖν τοὺς πίνοντας αὐτόν. μεθύω, παρὰ τὸ μέθυ. τοῦτο παρὰ τὸ μὴ θεῖν, ἤγουν τρέχειν. οἱ γὰρ μεθύοντες ἀκίνητοί εἰσι, μέχρις ἂν ἀπομεθυσθῶσι.

Μεθωναῖος, καὶ μεθυμναῖος, τοπικά.

Μεθώνη, πόλις Θεσσαλίας, καὶ γαστήρ.

Μεθῶμεν, ἀφῶμεν, ἀμελήσωμεν.

Μειαγωγέω, ῶ. τὸ ζυγοστατέω, ῶ. Ἀριστοφάνης,

μεια-

Digitized by Google

μεταγωγήσουσι τὴν τραγῳδίαν, καὶ κανόνας ἐξίσωσιν, ἤγουν τεκτονικὰ ἐργαλεῖα.

Μειαγωγὸς, οὕτως ἔλεγον τὸ εἰσαγαγεῖν τὸ ἱερεῖον, τὸ ἐκλεγόμενον ὑπὸ τῶν ἐγγραφομένων εἰς τοὺς φράτορας.

Μείδησεν, ἐμειδίασεν, ἐγέλασε.

Μειδίαμα Ἥρας, τὴν ἐν τῷ ἀέρι βούλεται νοεῖν ἡσυχίαν καὶ ἱλαρότητα, τὴν ἐκ τοῦ γαληνιᾶν. καθάπερ καὶ εἰρήνη γλυκὺ μειδιᾷ, καὶ ἡμέρα διαγελᾷ. καὶ ἡ χθὼν γελᾶν λέγεται παρὰ τῷ Ποιητῇ. καὶ αἰγιαλὸς ὁμοίως παρ' ἑτέρῳ Ποιητῇ γελᾷ, κύμασιν ἐαρινοῖς ἠρέμα κλυζόμενος. ἡ γῆ μειδιᾷ ἡδύτι καὶ χρυσαυγές. τὸ δὲ τοιοῦτον τῇ Ἥρᾳ μειδίαμα, Ἥφαιστος περιποιεῖται. δηλαδὴ Θερμότης κατακρατήσασα καὶ σκυθρωπότητα χειμερινὴν ἀπελάσασα. ὅθεν οὐ μόνον μειδιᾷν ἡ Ἥρα λέγεται, ἀλλὰ καὶ χρυσόθρονος εἶναι, καθάπερ ὁ Ποιητὴς ἐν τῇ ῥαψῳδίᾳ φησί, διὰ τὴν ἐκ τοῦ πυρσοειδοῦς καὶ χρυσοφαοῦς Ἡλίου ἐν ἀέρι λαμπρότητα.

Μειδιᾷ, γελᾷ. ὅθεν μειδίασμα, γέλως. ἀλλὰ τὸ μειδιᾷ, πολλῷ τοῦ γελᾶν σεμνότερον.

Μειδείας, κύριον. καὶ πονηρὸς, μειδίας.

Μειδιῶ, τὸ ἠρέμα γελῶ. ἐξ οὗ φιλομειδὴς ἡ Ἀφροδίτη, παρ' Ὁμήρῳ.

Μειδιῶ, προσμειδιῶ δέ σοι μεταβατικῶς δοτικῇ, ἐκ τοῦ μειδῶ μείδησε μειδιόω ἐνεστὼς ποιητικὸς, μειδιῶ κοινῶς. μέλλων κοινὸς μὲν μειδιάσω, ποιητικὸς δὲ μειδήσω, ἀόριστος ἐμειδίασα κοινὸς, ἐμείδησα ποιητικός.

Μείδυλος, οὕτως ἐλέγετο ὁ πατὴρ Βακχυλίδου. καὶ γίνεται παρὰ τὸ μειδιῶ, ὡς παρὰ τὸ φείδω φείδυλος.

Μείζονα πάντων, οἱ οὕτω λέγοντες ἁμαρτάνουσι. μέγιστον γὰρ χρὴ λέγειν πάντων. μείζονα δὲ, τοῦ τινός.

Μεῖζον τόδε τοῦδε, μεῖζον τόδε ἢ τόδε. καὶ μεῖζον τόδε ὥστε χαίρειν, ἀντὶ τοῦ ὑπὲρ τὴν χαράν, οὕτω καὶ μεῖζον ὥστε κλαίειν, ἀντὶ τοῦ ὑπὲρ τὸ κλαίειν. μείζων, μέγας μέγιστος, καὶ αἰολικῶς μέζων, πλεονασμῷ τοῦ ι μείζων.

Μεῖζον φόβου πρόσωπον, τὸ ἄφοβον, καὶ μὴ ὑποπῖπτον φόβῳ. μεῖζον δὲ φόβου πρᾶγμα, τὸ ὑπερβολικὸν φόβον ἐμποιοῦν.

Μείζους, Ἀττικοὶ τὰς εἰς ες εὐθείας καὶ εἰς ας αἰτιατικὰς ληγούσας τῶν πληθυντικῶν συγκριτικῶν ὀνομάτων, εἰς ους περατοῦσιν. οἷον μείζους, χείρους, καλλίους, ἀντὶ τοῦ μείζονες καὶ μείζονας, χείρονες καὶ χείρονας, καλλίονες καὶ καλλίονας.

Μείζων, παραδιδόασιν οὕτω. μέγας, ἐξ οὗ πρῶτος τύπος συγκριτικὸς μεγάτερος, δεύτερος μεγίων, τρίτος μέσσων, καὶ βοιωτικῶς μέζων. Βοιωτοὶ γὰρ τὰ δύο σσ εἰς ζ καὶ αὐτοὶ τρέπουσι, καὶ ἐπεισελεύσει τοῦ ι μείζων. ὅτι δὲ καὶ παρὰ τὸ μὴ ἔζειν δοκεῖ γίνεσθαι ὁ μείζων, ὡς καὶ παρὰ τὸ μὴ γῇ ἐγγίζειν ὁ μέγας, ἀλλαχοῦ δηλοῦται.

Μείζων, λέγεται καὶ ταχύς.

Μειζῶντες, μύοντες, λαλοῦντες.

Μειλαίνει, μελανεῖ.

Μείλανι, ἐπενθέσει τοῦ ι γέγονεν, ἐκ τοῦ μέλας μέλανος. ὃν τρόπον καὶ μελανίων, τὸ κύριον, μειλανίων λέγεται. καὶ τὸ θεμέλιον θεμείλιον. καὶ τὸ μελίσσειν καὶ ὁ μέλιχος, μειλίσσειν καὶ μείλιχος.

* Μείλαξ, ὁ λειμὼν, ὁ παράδεισος.

Μειλεῖν, ἀρέσκειν.

Μείλια, τὰ ἐκμειλίξασθαι δυνάμενα δῶρα, τὰ ἱλαστήρια.

Μείλια, σημαίνει τὰ προικῶα πράγματα, τὰ ἐξώπροικα. παρὰ τὸ μειλήσω γίνεται, Ἰλιάδος ι, πολλὰ δ' ἐπὶ μείλια δώσω. τὸ ἑξῆς, ἐπιδώσω μείλια, οἷς μειλίσσονται τοὺς ἄνδρας. τὴν προῖκα δὲ λέγει, τὴν ἡδέως διατιθεμένην τὴν ψυχήν.

Μειλίγματα, χαρίσματα, παράγματα, δῶρα, καὶ ἡ προΐξ.

Μείλιγός ἐστιν, ὁ πρὸς τοὺς ἡμαρτηκότας προσφιλής.

Μειλικτήριος, εὐμενητικός.

Μείλινον, μείλιγμα. λέγει δὲ τὴν προῖκα, τὰ χαρίσματα.

Μείλινον, τὸ ἀπὸ μελέας γέγονε μελέϊνος, καὶ κατὰ συγκοπὴν μέλινος, καὶ πλεονασμῷ τοῦ ι μείλινος. καὶ μείλινον, ἐκ ξύλου τῆς μελέας δόρυ.

Μειλίσσειν νεκρὸν παρ' Ὁμήρῳ, ἀστείως εἴρηται. ὡς γὰρ παίδων μειλίγματα, τὰ ἐκείνων θελήματα, οὕτω νεκροῦ μείλιγμα μὲν ἡ ὠκεῖα ταφὴ μειλισσομένῳ διὰ πυρός. μώλωμα δὲ, τὸ μὴ ταχὺ θάπτεσθαι. διὸ καὶ ὁ Πάτροκλος τοῦ ὀνειδίζει τῷ Ἀχιλλεῖ.

Μειλίσσεο, φιλοφρονοῦ, προσάγου.

Μειλίσσεο, λέγει ὁ Εὐστάθιος, ὅτι οὐ δηλοῖ συνήθως τὸ καταπραΰνε, ἀλλὰ ἐπὶ τοῦ λέγειν τὰ μείλιχα εἴληπται.

Μειλίσσω, μειλίσσομαι καὶ ἐκμειλίσσομαι, τὸ καταπραΰνω.

Μείλιχα, ἥδιστα, γλυκέα, προσηνῆ, ἐπιεικῆ.

Μηλίχιος, ὁ πρᾶος.

Μειλίξατο παρὰ Ἀπολλωνίῳ, ἀντὶ τοῦ παρεκάλεσε, καὶ ἔπεισε.

Μείλιχος, καὶ μειλίχιος, ὁ πρᾶος καὶ πραΰντικός. παρὰ τὸ μέλι, ὥς τινες φασίν. ἢ ἀπὸ τοῦ μέλος μέλικος, καὶ τροπῇ τοῦ κ εἰς χ, καὶ ἀναβιβασμῷ τοῦ τόνου μέλιχος, καὶ πλεονασμῷ τοῦ ι μείλιχος.

Μείλινος, σημαίνει τὸν ἀπὸ μελίας γεγεννημένον.

Μειονεκτεῖ, τὸ ἧττον φέρει.

Μεῖον, σημαίνει τὸ μικρὸν καὶ ἔλασσον καὶ ἔλαττον.

Μειονεξία, ἡ μικρὰ δόσις.

Μειόφρων, ἐλαφρὸς, καὶ ἐλάττων φρενῶν, παράμωρος.

Μειρακιεύομαι, τὰ τοῦ μειρακίου φρονῶ Λουκιανὸς, μειρακιεύῃ καὶ παραπαίεις.

Μείρακα, τὴν νέαν γυναῖκα.

Μεῖραξ, καὶ μειρακίσκη, ἐπὶ θηλείας. μειράκιον δὲ, καὶ μειρακίσκος, ἐπὶ ἄρρενος. λέγεται δὲ ἀπὸ ἐτῶν πεντεκαίδεκα, ἕως τῶν εἰκοσιδύο παρὰ τὸ εἴρω, ὃ σημαίνει τὸ λέγω, εἶραξ. καὶ πλεονασμῷ τοῦ μ, μεῖραξ ἡ δυναμένη ἤδη λέγειν. κρεῖττον δὲ λέγειν αὐτὸ, παρὰ τὸ ἱμείρω ἱμεῖραξ. καὶ μεῖραξ, ἡ τοιούτου χρόνου οὖσα, ὥστε καὶ ἐπιθυμεῖσθαι.

Μείρεται, εἰ μὲν σημαίνει τὸ μερίζεται, γίνεται ἀπὸ τοῦ μέρος, μέρω μέρομαι, καὶ πλεονασμῷ τοῦ ι μείρομαι. εἰ δὲ σημαίνει τὸ ἐπιθυμεῖ, γίνεται ἀπὸ τοῦ ἵμερος ἱμέρω καὶ ἱμείρω, τὸ παθητικὸν ἱμείρομαι ἱμείρῃ ἱμείρεται. καὶ κατὰ ἀφαίρεσιν μείρεται, ὡς ἔβη βῆ, ἔστη στῆ.

Μείρω μερῶ, καὶ ἀμείρω πλεονασμῷ τοῦ α, ὥσπερ ἐν τῷ ἄσταχυς καὶ ἀσαφής.

Μεῖστος, ὁ ἐλάττων. ἀπὸ τοῦ μείων μεῖστος, ὡς πλείων πλεῖστος, τῷ λόγῳ τῶν συγκριτικῶν.

Μείων, ὁ ἐλάττων. ἀπὸ τοῦ μικρὸς, ἢ ἀπὸ τῆς μιᾶς. τῆς γὰρ μιᾶς, οὐδέν ἐστιν ἐλαττότερον. ἢ ἀπὸ τοῦ μέρους μερίων, καὶ ἀποβολῇ τοῦ ρ, καὶ συναιρέσει τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, μείων.

Μειῶ, τὸ ἐλαττῶ. μειονεκτῶ, τὸ ἔλαττον προτιμήσας ἔχω.

Μεὶς ὁ μήν. μὴν γὰρ ἦν, καὶ ἐτράπη τὸ η Δωρικῶς εἰς τὴν ει δίφθογγον. καὶ ἐπειδὴ τὰ εἰς ν λήγοντα ἀρσενικὰ ἢ θηλυκὰ, οὐ θέλει ἔχειν πρὸ τοῦ ν δίφθογγον, οἷον σωλὴν, Πλάτων, ἔτρεψε τὸ ν εἰς σ, καὶ γέγονε μείς. πρόσκειται ἀρσενικὰ ἢ θηλυκα, διὰ τὰ οὐδέτερα, οἷον τὸ διπλοῦν, τὸ χρυσοῦν. ἔστι δὲ ἄκλιτον. εἰ γὰρ ἐκλίνετο, μενὸς εἶχεν εἶναι ἡ γενική. ὡς δὲ παρὰ τὸ ῥήσσω ῥηγμὶς, οὕτω καὶ παρὰ τὸ μειῶ, μεὶς, μακρῶς τε ἅμα καὶ ὀξυτόνως. παρὰ τὸ μειῶ δὲ εἴρηται, ὅτι μειουμένης εἰς ἄκρον τῆς σελήνης, πληροῦται ὁ μήν.

Μελαγκόρυφοι, οἱ ἀποκεκρυμμένοι. ἄμεινον δὲ νοεῖν, οἱ ἄνθρωποι. καὶ μελαγκορύφους, μοιχοὺς τοὺς γεννητικοὺς ἀνθρώπους λέγουσι.

Μελάγκρανις, ὀξύσχοινος, ἡ τὰ ἄκρα μελανίζουσα.

Μελαγρία, εἶδος βοτάνης, φυομένης ἐν ἐρήμῳ.

Μελαγχαίτης, ὁ μέλαιναν χαίτην ἔχων.

Μελαγχολᾶν, παραπαίειν, παραφρονεῖν, ἐξεστηκέναι, μαίνεσθαι, ταυτόν. ὁμοίως δὲ καὶ τὸ παρακινεῖν ἀμεταβάτως, ἀντὶ τοῦ μαίνεσθαι. παρακινεῖν δὲ μεταβατικῶς, δηλοῖ τὸ προτρέπειν.

Μελαγχολᾶν, μαίνεσθαι. Ἀριστοφάνης, μελαγχολᾶν οὕτως με οἴει. καὶ μελαγχολῶντα λέγει, ἤγουν μαινόμενον.

Μελαγχροιὴς, μελαγχρὴς λέγουσιν οἱ Ἀττικοί. ὅθεν Μένανδρος μελαγχρὲς εἶπε μειράκιον.

Μελαγχροιὴς δὲ ἱστορεῖται φύσει εἶναι Ὀδυσσεὺς, διὸ καὶ τλήμων ἦν. στερεώτερα γάρ φασι τὰ μέλαινα τῶν σωμάτων, ὡς τὰ λευκὰ ἀπαθέστερα. Ἀττικὸς δὲ ἀνὴρ συγκόψας τὸ μελαγχροιὴς, μελαγχρὴς λέγει.

Μελάγχλαινος, ἡ δυσγενής.

Μέλαθρον, οἶκον τὸν ἀπὸ τοῦ ὑπὸ καπνοῦ μελαίνεσθαι, ἀπὸ δὲ τούτου φησὶ τὸ βασίλειον.

Μέλαθρον, λέγεται κατὰ τοὺς παλαιοὺς, ἡ ὄροφος, ἢ τὸ μέσον τῆς στέγης ξύλον, ὅ φασι κεῖσθαι ὑπέρτονον. καὶ γίνεται ἀπὸ τοῦ μελαίνεσθαι αἰθομένου πυρὸς καπνῷ. ἐκ δὲ τούτου καὶ ὅλος ὁ οἶκος μέλαθρον, ὥσπερ καὶ ἀπὸ ἑστίας τῆς τοῦ πυρὸς, ὡς ἐκ μέρους, ἑστία τὸ ὅλον οἴκημα. ὥσπερ καὶ στέγη, καὶ τέγος ὁ αὐτὸς, ἀπὸ τοῦ σκέποντος ὀροφώματος, μέρους καὶ αὐτοῦ ὄντος.

Μέλαθρον, τὴν ὀροφὴν παρὰ τῷ Ἀπολλωνίῳ. Κράτης δὲ τὴν δοκὸν ἐδέξατο, ὡς καὶ παρὰ τῷ Ποιητῇ.

Μελάθρων λῶβαι, τῶν οἴκων αἱ βλάβαι.

Μελαιαὶ, ἀστράγαλοι, ἢ νωθροί.

Μέλαιναι ὀδύναι, αἱ θανατηραὶ, ὡς εἰς ᾅδην μέλαινα, ταυτὸν δὲ εἰπεῖν εἰς σκότον κατάγουσαι.

Μέλαιναι νῆες, αἱ βαθεῖαι καὶ πισσόχριστοι.

Μελαίνη, βαθεῖα. μέλαιναι δὲ αἱ φρένες, αἱ ἐν βάθει κείμεναι. τὸ γὰρ βαθὺ μέλαν.

Μέλαιος, ἄθλιος, μάταιος.

* Μέλαις πλεονασμῷ αἰολικῷ, ἀντὶ τοῦ μέλας, ὡς τάλαις, ἀντὶ τοῦ τάλας.

Μέλακες, νεώτεροι.

Μελαμφαβὲς, μέλαν ἐκ βαφῆς.

Μελάμβιος, σκοτεινὸς τὸν βίον, ἢ μελανός.

Μελάμβωλος, μελανόγειος, Αἰγύπτου μεδέουσα. μελάμβωλε, λινόπεπλε δαῖμον.

Μελάμπελος, τεινθήρης, ἢ κλῆμα μέγα.

Μελαμπέραμον, σκοτεινήν.

Μελαμπους, πρὶν μέν ποτ' ἔναιε Πύλῳ ἐνὶ μητέρι μήλων, ἀφνειὸς Πυλίοισι μέγ' ἔξοχα δώματα ναίων, δὴ τότε ἄλλων δῆμον ἀφίκετο πατρίδα φεύγων. τουτέστιν εἰς Ἄργος ἦλθε, τὴν Πύλον φεύγων. Νηλέα τε μεγάθυμον ἀγαυότατον ζωόντων, ὅς οἱ χρήματα πολλὰ τελεσφόρον εἰς ἐνιαυτὸν εἶχε ποτὲ βίῃ, διὰ τὸν ἀδελφὸν δηλαδὴ Βίαντα, ὑπὲρ οὗ ἑαυτὸν κινδύνῳ ἐκδοὺς ὁ Μελάμπους, παρὰ τῷ Θεσσαλῷ φυλάκῳ, δεσμῷ ἐν ἀργαλέῳ δέδετο κρατερὰ ἄλγεα πάσχων, ἕνεκα τῆς Πηροῦς τῆς Νηλέως θυγατρὸς, ἄτης τε βαρείης, τὴν οἱ ἐπὶ φρεσὶ θῆκε θεὰ δασπλῆτις ἐριννὺς κακωθέντι διὰ τιμὴν τοῦ ἀδελφοῦ Βίαντος. ἀλλ' ὁ μὲν Μελάμπους μαντευσάμενος τῷ φυλάκῳ, ἅπερ ἐκεῖνος ἤθελεν. ἤθελε δὲ περὶ παιδοποιίας μαθεῖν, ἔφυγε κῆρα μετ' ἐνιαυτὸν καὶ ἤλασε βοῦς τὰς τῆς Πηροῦς ἐς Πύλον ἐκ Φυλάκης. καὶ ἐτίσατ' ἔργον ἀεικὲς ἀντίθεον Νηλῆα, τὸ καὶ τὴν Πηρὼ δηλαδὴ κατεγγυῆσαι τῷ ἀδελφῷ Βίαντι, ἄκοντος Νηλέως.

Μελάμπους, ὥς φησι Δηριχίδας, ἐκλήθη οὕτω, διὰ τὸ τεκοῦσαν τὴν μητέρα ἐκθεῖναι αὐτὸν εἰς σύνδενδρον τόπον, τοὺς δὲ πόδας μελανθῆναι τῷ Ἡλίῳ, ἀσκίους ὄντας. ἐν δὲ ταῖς καλουμέναις μεγάλαις ἠοίαις λέγεται, ὡς ἄρα Μελάμπους ἀποδημῶν κατέλυσε παρὰ Πολυφάτῃ. θύοντος δὲ ἐκείνου, δράκων ἀναρπύσας, κατέφαγε τὸν θεράποντα. ἀναιρεθεὶς δὲ ἐτάφη ὑπὸ Μελάμποδος. τὰ δὲ ἔγγονα αὐτοῦ ἐκτραφέντα καὶ περιλείχοντα τὰ ὦτα τοῦ Μελάμποδος, ἐνέπνευσαν αὐτῷ τὴν μαντικήν. φωραθέντα δ' ἐπὶ κλωπείᾳ τῶν βοῶν Ἰφίκλου τοῦ φυλάκου, καὶ συλληφθέντα ὑπ' αὐτοῦ τὸν Μελάμπουν, ἐπειδὴ τὸ στέγος ἔμελλεν ὅσον οὔπω πεσεῖσθαι τῆς οἰκίας, καταμεμαθηκότα ὑπὸ μαντικῆς ἐν δεσμωτηρίῳ κατεχόμενον, εἰπεῖν τῇ θεραπαίνῃ. ὁ δὲ Ἴφι-

κλος

Digitized by Google

κλοῖ μαθὼν τὸ πρόσρημα, αὐτός τε ἀπαλλάττεται τοῦ δεσμοῦ καὶ Μελάμποδα αἰδεσθεὶς ἀπέλυσεν, ἐπιδοὺς αὐτῷ καὶ τὰς βοῦς ἃς ἀφίκετο κλέψαι.

Μελάμπυγος, ἀνδρεῖος. τὰς γὰρ δασείας τὰς πυγὰς, ἀνδρείας ἐνόμιζον.

Μελαμπύγου, μελανοκώλου.

Μελάμφυλλος, ἡ Σάμος.

Μέλανα βροτὸν, ἄνομον, ἔρημον, ἀπάνθρωπον.

Μέλανα ῥίζαν, τὴν τοῦ ἀσπαλάθρου, τοῦ ἀρωματικοῦ ἀπὸ μελαίνης τινὸς πόσεως, νομὰς ἀγαθὰς ἐχούσης κατὰ τὸ Κρισαῖον πεδίον, παρὰ τῷ Ἱπποκράτει.

Μελαναίθηρ, τῶν πυρρῶν τις οὕτω καλεῖται.

Μελαναὶ, βαθεῖαι.

Μελαναύγει, τῇ ῥύσει τοῦ αἵματος.

Μέλαν χρῶμα, συγκριτικὸν ὄψεως, ἤγουν χρῶμα, τὸ συνάγον τὴν ὄψιν.

Μελανδανίου, ἀμπέλου εἶδος.

Μελάνδετα φάσγανα, ἢ τὰ σιδηρόδετα. μέλας γὰρ κατ' ἐπικράτειαν ἐπιθετικὴν ὁ σίδηρος, ἢ τὰ ἐνδεδεμένα ἐπιμελῶς κατὰ τὴν λαβὴν, ἢ τὰ ἔχοντα μελαίνας λαβάς. ταυτὸν δὲ εἰπεῖν κώπας, ὧν ἐκ μὲν τῆς κώπης κωπῆεν ξίφος. ἐκ δὲ τῆς λαβῆς, χρυσολαβὲς ξιφίδιον ἐν ῥητορικῷ λεξικῷ, τὸ ἔχον χρυσῆν λαβήν.

Μελάνδειρος, ὀρνιθάριον ποιόν.

Μελάνδετον, πυκνὸν καὶ μακρὸν, τὸ μέλαιναν ἔχον λαβὴν, ἢ τὸ πυκνῶς δεδεμένον, τουτέστι κερατίνην.

* Μελανδόκος κίστη, τὸ μελανοδοχεῖον.

Μελανδρυὸς, ἡ ἐν τοῖς δένδροις δασύτης, καὶ ἡ τῶν ξύλων ἐντεριώνη.

Μελάνει παρ' Ὁμήρῳ, παθητικὴν ἑρμηνείαν ἔχει. δηλοῖ γὰρ τὸ μελαίνεται. πέπονθε δὲ ἀπέλευσιν τοῦ ἰῶτα. ὡς τὸ οἰδάνει, ἀντὶ τοῦ οἰδαίνει.

Μελανειμονῶ, τὸ μέλανα ἐνδύομαι.

Μελάνθει, ἠρυθρία, τὰ μελάνθεια.

Μελανθὲς, μέλαν.

* Μελάνθιος στόα, ἡ καὶ μελάνασπερμον λεγομένη.

Μελάνθιός τις ἱστορεῖται ἀνὴρ ὀψοφάγος ἐπίρρητος, οὗ μέμνηται Ἀθήναιος, εἰπὼν ὅτι τὸν αὐτοῦ τράχηλον κατατείνων ἀπήγχετο ἐκ τῶν ἀπολαύσεων, κνισσότερος ὢν τοῦ Ὀδυσσέως Μελανθίου. ἔνθα ὅρα τὸ κνισσότερος, δοκοῦν ἐκ τοῦ κνισσὸς παρῆχθαι, ὃν ἡ κοινὴ φράσις οἶδεν. εἰ δέ τις αἱροῖτο ἐκ τοῦ κνίσσος οὐδετέρου εἶναι αὐτὸ, ἔξω ἀναλογίας ἔσται. οὕτω δόξοι δ' ἂν καὶ ὡς προηγεῖται ὁ κάπρος τοῦ κάπριος, οὕτω καὶ ὁ μέλανθος τοῦ μελάνθιος, ἐπίθετον δὲ τοῦ Ποσειδῶνος ὁ μέλανθος. ὅπερ σύμβολον ἴσως ἦν τῶν κατὰ θάλατταν ἐπιθέσεων ἀναπτυχθέν. ἵνα ᾖ τὸ μὲν μέλαν, διὰ τὸν μέλανα πόντον. τὸ δὲ ἄνθος, διὰ τὴν πολιὰν θάλατταν.

Μέλανθος, προηγεῖται τοῦ μελάνθιος, ὡς κάπρος κάπριος.

Μέλανθος ὁ Ποσειδῶν παρ' Ἀθηναίοις. ἱππαγέτης ὁ αὐτὸς, παρὰ Δηλίοις.

Μελανίωνος, σωφρονέστερος.

Μελανοκάρδιον πέτραν λέγει Ἀριστοφάνης, διὰ τῆς λέξεως τὸ φοβερόν. οὐ γὰρ ἔχει καρδίαν ἡ πέτρα. ἐκ μεταφορᾶς τῶν ἀγρίων ἀνθρώπων, οὓς διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἀγριότητα, μελανοκαρδίους φησί.

Μέλανος τοῦ θηρητῆρος, παρ' Ὁμήρῳ λόγους ἔσχε πολλοὺς παρὰ τοῖς παλαιοῖς. Ἀρίσταρχος μέν φασι μέλανός του ἀναγινώσκει. τουτέστι, μέλανός τινος. ᾧ ἀντιλέγοντές τινες ἕτεροι, φασὶν οὐκ οἶδεν ὁ Ποιητὴς τὸ του ἐγκλιτικόν. ἀλλὰ ἢ τεῦ λέγει, ἢ τέο, διαλελυμένως. ἄλλοι δὲ, μελανόσσου γράφουσιν, ἤγουν μέλανας ἔχοντος ὀφθαλμούς. οἱ δὲ γράφοντες μελανόστου, ἤτοι μέλανα ἔχοντος ὀστᾶ, αἰτιάσεις πολλὰς διδόασι τοῖς τεχνικοῖς. ἤρεσεν οὖν ἐν ἄρθρῳ γράφειν αὐτοῦ μέλανος τοῦ θηρητῆρος, ὃν καὶ μελαναετὸν τινες συνήθως φασὶ, τὸν καὶ φασσοφόνον μικρὸν μέν φασιν ὄντα, τῶν ἄλλων δὲ ἰσχυρότερον.

Μελανοσυρμαῖον λέοντα, μέλανα καὶ συρμαϊζόμενον. συρμαία δὲ κρίθιόν ἐστι πόμα. λέγει δὲ τοὺς Αἰγυπτίους.

Μελανόφρυς, λασιόφρυς, βαθεῖα.

Μελανοχροιὴς, ὁ μέλαιναν χροιὰν ἔχων.

Μελάντατον, μελανόν, κατ' ἐπίτασιν.

Μελάντιοι εἰσὶ, δύο σκόπελοι οὕτως ὀνομαζόμενοι, ἀπὸ Μέλαντος τοῦ κατασχόντος τὴν χώραν, τὴν προσηγορίαν ἔχοντες. Ἀπολλώνιος.

Μελαντοκώφριον, τὴν κυπρίαν σποδὸν, ᾗ καὶ περὶ τοὺς ὀφθαλμοὺς χρώμεθα, παρὰ τῷ Ἱπποκράτει.

Μελαντιμίθειος, οἶνός τις οὕτω καλεῖται.

Μελάντιος χοιρὰς, ἢ χοιράδες, ἤγουν σκόπελοι. καὶ υἱὸς Ναξίου τοῦ πάρου μελάντιος.

Μελάνυδρος κρήνη, οὐ μόνον διότι καθόλου τὸ ὕδωρ μέλαν εἶναι δοκεῖ μὴ φωτιζόμενον, ἀλλὰ καὶ ὡς ἐκ βάθους ἀνάγουσα τὸ ὕδωρ.

Μελάνυδρος κρήνη, ἢ ἡ βαθύυδρος, καὶ διὰ τοῦτο δυσόρατος, ἢ ὅτι εἰ καὶ διαφανὲς, ἀλλὰ μέλαν ἄλλως τὸ ὕδωρ.

Μέλας πόντος, παρὰ τῷ Ἀπολλωνίῳ οὕτω λεγόμενος, ὡς ἱστορεῖ Εὔδοξος ἐν δ' τῆς περιόδου. ὄπισθεν δὲ αὐτοῦ εἶναι τὴν Σαρπηδονίαν πέτραν φασίν. ὅτι δὲ οὕτω λέγεται, καὶ Ὅμηρος λέγει, ἔνθορε μείλανι πόντῳ. ὠνομάσθη δὲ ἀπὸ Μέλανος τοῦ Φρίξου υἱοῦ ἐμπεσόντος, ἢ ἀπὸ ποταμοῦ Μέλανος καλουμένου, κἀκεῖ ῥέοντος.

Μέλας, ὁ μὴ βλεπόμενος. παρὰ τὸ μὴ καὶ τὸ λάω τὸ βλέπω.

Μέλδει, τήκει, ἕψει, φθίνει, ἐπιθυμεῖ.

Μέλδειν κυρίως ἐστὶ, τὸ τὰ μέλη ἔδειν, οἷον μελέδειν, καὶ μετοχὴ μελδόμενος.

Μελδόμενος κνίσσῃ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ τήκων τὸ λίπος τοῦ κρέατος. γίνεται δὲ τὸ μέλδειν, ἀπὸ τοῦ μέλη δαίειν, ἤτοι καίειν. καὶ ἔστιν ἡ φράσις καινή. ὤφειλε γὰρ εἰπεῖν κνίσσαν μετὰ τοῦ ν ἐν πτώσει αἰτιατικῇ. ἵνα ἔλεγεν, ὅτι τήκων ὁ λέβης τὴν κνίσσαν. Ὅμηρος δὲ ἀντὶ παθητικοῦ δεξάμενος τὸ μελδόμενος, λέγει ὅτι τηκόμενος τῇ κνίσσῃ, τουτέστιν οὐ τῷ χαλκῷ τήκων ὁ λέβης τὴν τῆξιν τῷ στερεῷ καὶ ἀτειρεῖ καὶ ἀπήκτῳ, ἀλλὰ τῇ ἐντὸς αὐτοῦ κνίσσῃ. καὶ ἔστι τὸ σχῆμα ὅμοιον τῷ, ἔφριξε μάχη ἐγχείῃσι, καὶ λήϊον ἀσταχύεσσιν. ὡς γὰρ ἐκεῖ τῶν ἀσταχύων καὶ τῶν ἐγχέων φρισσόντων ἡ μάχη, καὶ τὸ λήϊον φρίσσειν αὐτοῖς λέγονται, οὕτω κἀνταῦθα τῆς κνίσσης μελδομένης, ὅ ἐστι τηκομένης, ὁ λέβης τῇ κνίσσῃ λέγεται μέλδεσθαι. τινὲς δὲ τὰ κνίσσῃ φασὶν οὐδετέρως, λέγοντες τὸν λέβητα τήκειν τὰ κνίσση, τουτέστι τὰ λίπη ἐν τῷ ζέειν.

Μελδόμενος, καιόμενος.

Μέλδοντες, τήκοντες, ἕψοντες. γέντα βοῶν μέλδοντες, τουτέστιν ἕψοντες. καὶ κνίσσῃ μελδόμενος, ἀντὶ τοῦ μέλδων τὰ κνίσση.

Μελεάγρια, ῥίζαις αὐτοὺς μελεαγρίων, καὶ καρδίαις καλάμων ἐδεξιοῦτο. λέγονται δὲ καὶ μελέαγρα.

Μελεαγρίδες, ὄρνεα ἅπερ ἐνέμοντο ἐν τῇ ἀκροπόλει. λέγουσι δὲ οἱ μὲν, τὰς ἀδελφὰς τοῦ Μελεάγρου μεταβαλεῖν εἰς τὰς μελεαγρίδας ὄρνιθας. οἱ δὲ, τὰς συνήθεις Ἰοκαλλίδος τῆς ἐν Λέρνῃ παρθένου, ἣν τιμῶσι δαιμονίως.

Μελέαγρος, κυνηγετικὸν ὄνομα, ᾧ δηλαδὴ μέλει ἄγρας.

Μελέαγρόν φασι περιγενόμενον τοῦ συὸς, καὶ ἀποδείραντα δοῦναι τὴν αὐτοῦ κεφαλὴν καὶ τὸ δέρμα τῇ ἐρωμένῃ Ἀταλάντῃ. καὶ γὰρ καὶ αὐτὴ συνεκυνήγησεν. οἱ δὲ Θεστίου παῖδες Πλευρώνιοι μὲν ὄντες, μήτρωες δὲ Μελεάγρου, ὅ ἐστι θεῖοι τὰ πρὸς μητρὸς, ἀγανακτήσαντες, αὐτὰ τῆς Ἀταλάντης ἀφείλοντο βίᾳ, καὶ Μελεάγρῳ ἐπεβούλευον. ὁ δὲ μαθὼν, τούτους ἀπέκτεινεν, ἐφ' οἷς καὶ τὴν μητέρα λελύπηκε. τῶν δὲ Πλευρωνίων διὰ ταῦτα Καλυδωνίοις πολεμούντων, ὁ Μελέαγρος ἐξ αὐτῆς μὲν οὐ συνεμάχει τοῖς ἐν Καλυδῶνι συμπολίταις, ἀγανακτῶν πρὸς μητέρα καταρωμένην. πεισθεὶς δὲ ὕστερον τῇ γυναικὶ Κλεοπάτρᾳ, ἀπεσόβησεν ἐκ τῆς πόλεως τοὺς Κουρῆτας. οἱ δὲ αὖ νεώτεροι προσιστοροῦσι, καὶ ὡς ἡ μήτηρ ἔτι μηνιῶσα τῷ υἱῷ Μελεάγρῳ, διὰ τοὺς ἀδελφοὺς τὸν παρὰ μοιρῶν αὐτῇ δοθέντα δαλὸν ὅρον ὄντα τῆς τοῦ υἱοῦ ζωῆς κατέφλεξε. τελευτήσαντος δὲ παραχρῆμα αὐτοῦ, μεταμεληθεῖσα ἑαυτὴν κατέκαυσεν ἐπὶ τῇ τοῦ παιδὸς πυρᾷ. αἱ δὲ τοῦ Μελεάγρου ἀδελφαὶ ἀπαύστως θρηνοῦσαι, εἰς ὄρνις τὰς λεγομένας μελεαγρίδας μετεβλήθησαν. εἴη δ' ἂν ἐνταῦθα δαλὸς ἀγαθῆς διαθέσεως ζώπυρον πεφυλαγμένον δίκην φίλτρου, ὅπερ ἀφανισθὲν, ἀβίωτον ποιεῖ τῷ ποτὲ φιλουμένῳ τὸν βίον, ὡς καὶ δοκεῖν τοῦ λοιποῦ θνήσκειν αὐτόν. εἰς δὲ τὸ ἀμφὶ συὸς κεφαλῇ, σημαίνει ὅτι μέχρι καὶ νῦν πολλαχοῦ καὶ μάλιστα περὶ Λυκίαν, γέρας κυνηγέτῃ πρώτῳ βαλόντι ἔλαφον, ἢ αἶγα, ἢ σῦν, ἡ κεφαλὴ, κἂν ἀχρεῖον εἴη τὸ τῆς βολῆς. ὁ δὲ Γεωγράφος λέγει, ὅτι ὡς τὸ εἰκὸς περὶ μέρους τῆς χώρας ἐμάχοντο Κουρῆτες, καὶ Αἰτωλοί. καὶ ὅτι Θέστιος Ἀλθαίας πατὴρ Κουρήτων ἄρχων, πενθερὸς Οἰνέως κρατῶν Πλευρῶνος, καὶ ὡς πόλεμος τοῖς Θεστιάδαις πρὸς Οἰνέα καὶ Μελέαγρον. τὸ δὲ Κουρήτεσσι κακῶς ἦν.

Μελεδαίνειν, ἐπιμελεῖσθαι, θεραπεύειν.

Μελεδαίνω, φροντίδα ἔχω.

Μελεδανθέων, ἀντὶ τοῦ μεριμνῶν θεραπευτῶν. μελεδαίνειν γὰρ λέγεται τὸ μεριμνᾶν.

Μελεδένων, ἐπιμελουμένων, παρὰ τῷ Ἱπποκράτει.

Μελεδήματα, αἱ φροντίδες, καὶ αἱ λῦπαι παρὰ τὸ τὰ μέλη ἔδειν. ὅθεν καὶ μελεδῶνες.

Μελεδήματα ψυχῆς λύων. αἳ καὶ μελεδῶνες λέγονται, ὡς τὰ μέλη ἔδουσαι καὶ τήκουσαι. ὅθεν καὶ ὕπνος ἐτυμολογεῖται κατά τινας. ὡς οἱονεὶ οἷα λύων πόνους ὧν ἀνεπαίσθητος ὁ ὑπνῶν, ὥσπερ καὶ ὁ θανών. διὸ καὶ ἀδελφοὶ ἀλλήλοις μυθεύονται ὕπνος καὶ θάνατος. καὶ λυσιμελεῖς ἄμφω λέγονται.

Μελεδήματα, μεριμνήματα. μελέτη ἐστὶ, πνευματικὴ ἐμμελὴς ἀδολεσχία πνευματικοῦ λόγου πρὸς ἀποστροφὴν τῶν ἐναντίων.

Μελεδῶναι, αἱ τὰ μέλη ἔδουσαι φροντίδες. ὅθεν Ἡσίοδος γυιοκόρους αὐτὰς λέγει, τὰς ἕως κόρου τὰ γυῖα ἀναλυούσας. καὶ οἱ Αἰολεῖς σταλαγμὸν τὴν ὀδύνην λέγουσιν. ἀποστάζουσι γὰρ, καὶ ῥέουσι.

Μελεδῶναι, οὐ διὰ τοῦ ει ἡ μελεδώνη. ὅτι ἐστὶ καὶ ἡ μελεδὼν, οὐκ ἔστιν ἀμφιβαλεῖν. γίνεται καὶ ἀμφότερα παρὰ τὸ τὰ μέλη ἔδειν. ὅπερ ἀπὸ τοῦ ἔσθειν γίνεται, τροπῇ τοῦ θ εἰς δ.

Μελεδωνὸς, ὁ φροντιστής. ἀπὸ τοῦ μέλω τὸ φροντίζω. καὶ μελεδωνοὶ, ἐπίτροποι, φροντισταί.

Μέλει, ἐπὶ φροντίδος δι' ἑνὸς λ. συντάσσεται καὶ διπλῶς. Ἰωνικῶς μὲν ἀπὸ δοτικῆς εἰς εὐθεῖαν οἷον μέλει μοι ὁ ἄνθρωπος. Ἀττικῶς δὲ, ἀπὸ γενικῆς εἰς δοτικήν. οἷον μέλει μοι τοῦ ἀνθρώπου, ἀντὶ τοῦ φροντίς ἐστι. καὶ ἔστιν ἀπρόσωπον. μεταμέλομαι δὲ παθητικῶς, ἐπὶ τοῖς πεπραγμένοις. οἷον μεταμέλομαι ἐπὶ τῇ ἀπωλείᾳ τῶν χρημάτων. ἔχει δὲ πρόσωπον, καὶ μεταμέλει μοι τοῦ πταίσματος, καὶ μεταμέλει μοι ἐπὶ τῷ πταίσματι. μέλλει δὲ, ἀντὶ τοῦ ἀπόκειται καὶ βραδύνει, διὰ δύο λλ. καὶ ἔστιν ἀμετάβατον, καὶ μέλλει ὡσαύτως, ἐπὶ μέλλοντος χρόνου, καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου, ἤτοι ἐνεστῶτος, οἷον μέλλει ποιεῖν τὸ δέ τι. ἢ μέλλοντος πρώτου, οἷον μέλλει ποιήσειν. οὐδέποτε δὲ μετὰ ἀορίστου, οἷον μέλλει ποιῆσαι. μέλλει δὲ ἀντὶ τοῦ ὀφείλει, μετὰ ἀορίστου.

Μελεϊστὶ, κατὰ μέλος τι κόπτειν.

Μελείρενες, τῶν παίδων οἱ πρεσβύτεροι.

Μέλεον, μάταιον, ἄθλιον.

Μέλεος, ἄθλιος, μάταιος. μελέη δέ τοι ἔπλετο αὐτή. παρὰ τὸ λῶ τὸ θέλω. καὶ Ἰωνικῶς λέος, καὶ μήλεος, ὃν μὴ θέλομεν. οὐδεὶς γὰρ θέλει τὸ μάταιον. εἶτα συστολῇ τοῦ η εἰς ε, μέλεος. ὦ μέλεοι μὴ τλῆτε ἐμὰ παρὲξ θέσφατα βῶσαι Ῥῆβαν ὠκυρρόην ποταμὸν, ἀκτήν τε μέλαιναν. ποταμός ἐστιν ὁ Ῥήβας πλησίον τῆς Βιθυνίας, παρ' ᾧ ἀκτή ἐστι μέλαινα. Μελερὸν, μαραντικὸν, καυστικόν.

Μελετᾷ, γυμνάζεται, ἀσκεῖ. καὶ μελετῶ, παρὰ τὸ μελέτη, τοῦτο παρὰ τὸ μέλι. καὶ τὸ ἐτεὸν, τὸ ἀληθὲς, ὅ ἐστιν ἡ ἀληθινὴ γλυκύτης. ἢ παρὰ τὸ μέλειν, τὸ φροντίζειν. τὰ γὰρ μαθήματα, φροντίδων πολλῶν εἰσὶν ἄξια.

Μέλεται αὐτῷ, ἀντὶ τοῦ μέλει. ἤγουν φροντίς ἐστι.

Μελετάω, ῶ, τὸ ἀσκῶ, αἰτιατικῇ συντάσσεται. Ἀριστοφ. οὔτε τέχνην, οὔτε σοφίαν μελετῴη οὐδείς. μελετῴη δὲ Ἀττικῶς ἐκ τοῦ μελετῷμι εὐκτικοῦ,

μελετησείω, εις, ει. μελετῶ, ἀσκῶ, γυμνάζεται.

Μελέται, ἄσκησις, ἐπιμέλεια. καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας τῶν Ῥωμαίων τὰς χωρὶς αἵματος παρατάξεις, τὰς δὲ παρατάξεις τὰς μεθ᾽ αἵματος, μελέτας.

Μελετητήριον, οἶκος, ἢ ὄργανον ἐν ᾧ τις μελετᾷ, ἢ σχολεῖον.

Μελετώμενοι, διδασκόμενοι, ἐκμανθάνοντες. ὥσπερ νέοι τῶν ἀετῶν ἁπαλῶς μὲν τῷ πτερῷ παραπέτονται τοῖς γειναμένοις αὐτοὺς, μελετώμενοι ὑπ᾽ αὐτῶν τὴν πτῆσιν. ἐπειδὰν δὲ αἴρεσθαι δύνωνται, ὑπερπέτονται τοὺς γονέας]. ἄλλως τε κἂν λίχνως αἴθωνται, καὶ κνίσσης ἕνεκα πρὸς τῇ γῇ πετομένους.

Μελέτωρ, ὁ ἐπιμελούμενος. ὁ τιμωρὸς τοῦ πατρός. ἐφάνη γὰρ μελέτωρ, ἀμφὶ τὸν ἐν πένθει.

Μελετῶν. οἶκος ἐν ᾧ οἱ τραγῳδοὶ ἐμελέτων.

Μελέων, χρεῶν.

Μέλη, τὰ γυῖα. καὶ ᾠδὴ, καὶ σκέλη. συνωνύμως ἀπὸ τοῦ μεμερίσθαι μέρη, καὶ μέλη. ἢ ἀπὸ μεταφορᾶς τῶν μουσικῶν μελῶν. ἐπειδὴ παρὰ ἐνίοις ἐδόκουν οἱ ἄνθρωποι μετὰ ἁρμονίας συνεστάναι. οὕτω καὶ τὰ σώματα, οὕτω Σωρανός.

Μεληδὼν, κατὰ μέλος. καὶ ἐπίρρημα εἰς μικρὰ μέρη καὶ μέλη κοπτόμενον.

Μεληδὼν, μελεδὼν, φροντὶς, ᾠδή.

Μέλημα, φρόντισμα.

Μέλην, διαστοματίδα, τὴν διαστολέα δηλοῖ παρὰ τῷ Ἱπποκράτει.

Μήλην, πλατεῖαν τὴν σπαθομήλην. μήλης τῷ πλατεῖ τῷ κυαθίσκῳ, τοῖς ὀφθαλμικοῖς μήλης παρὰ τῷ Ἱπποκράτει. καὶ μήλη ἰσχυρὴν τὴν τραυματικὴν μήλην.

Μελήσας, ὑπερθέμενος, βραδύνας, καὶ ἐπισπουδάσας.

Μέλης, μέλητος. ὁ τοῦ Ὁμήρου πατήρ.

Μελήσεται παρ᾽ Ὁμήρῳ, καὶ κατανδάσομαι, Ἀττικά ἐστι. τὰ κοινὰ μελήσει, καὶ κατανδάσω.

Μελησία, ὄνομα κύριον. ὁ δὲ ὀργᾷ τὴν Μελησίαν, καὶ ἐρᾷ αὐτῆς.

Μελησμὸς, ἡ βραδύτης.

* Μέλησις, φρόντισμα.

Μελήσω, σπουδάσω, φροντίσω.

Μέλι ἐστὶ, δρόσος ἄγαν πεφθεῖσα. ἢ ἔργον μελίας τοῦ δένδρου. οὐχ ὡς τινες λέγουσι τὸ μακρόν. καὶ ἔγχεα ὀξυόεντα παρ᾽ Ὁμήρῳ, τὰ ἐξ ὀξείας τοῦ δένδρου αὐτὰ ὀξέα.

Μελίαν, τὸ ἔγχος λέγει Ὅμηρος, ὃν τρόπον καὶ δόρυ. πλὴν ἐκεῖνο μὲν γενικῶς, τοῦτο δὲ ἀπὸ εἴδους δένδρου μελίας. διὰ καὶ μείλινον τὸ τοιοῦτον, μετουσιαστικῶς. καὶ ἄλλως δὲ τὸ μελία ὁμωνύμως νῦν ἐρρέθη τῷ ὅλῳ. ὡς γάρ που ἐλέφας τὸ ἐξ ἐλέφαντος ὀστοῦν, οὕτω καὶ μελία, τὸ ἐκ μελίας δόρυ.

Μελίας καρπὸς, τὸ τῶν ἀνθρώπων γένος.

Μελίβδεσθαι, μέλλειν.

Μέλι, τοῦτο γλυκὺ μέν ἐστι τὴν αἴσθησιν, πικρὸν δὲ τὴν ἀνάδοσιν. χολῆς δὲ ποιητικὸν αὐτό φασιν εἶναι, καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως, ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ πικροτάτην κατηγορεῖ τὴν γένεσιν.

Μελίβοια, πόλις Θεσσαλίας.

Μέλη, παρὰ τὸ μέλω τὸ φροντίζω.

* Μελία, εἶδος δένδρου. φράξινος παρὰ Λατίνοις.

Μελίβοιον, τὴν Ὀλυζῶνα πόλιν.

Μέλιγγας, ὀλοιτόπους, θαλάσσας, παρὰ τὴν μελίαν τὸ ξύλον. ἀκούει δὲ ἐκ τούτου τὴν ναῦν. τινὲς δὲ τὸν αὐλὸν, ἢ τὸν διαύλου μελισμόν.

Μελίγυια, ἀκρόδρυα.

Μελίγηρυς, εὔφωνος, ἡδύφωνος.

Μελίγληνος, ἡδυόφθαλμος.

Μελιγουνὶς, οὕτως ἡ Λιπάρα ἐκαλεῖτο νῆσος, καὶ μία τῶν Ἀφροδίτης θυγατέρων.

Μελίγυον, πόμα τι σκυθικὸν, γινόμενον ἐκ μόνου μέλιτος, μεθ᾽ ὕδατος βοτάνης ἐμβαλλομένης.

Μελοιέοικε, μέλιτι ὅμοιον.

Μελίζωρος, γλυκεῖα.

Μελίη, δόρυ.

Μελιηδέα θυμὸν εἰπεῖν, καὶ φίλον ἦτορ ὁμοίως ἔχει. καὶ ἄρα, ὡς οὐ μόνον οἶνος μελιηδὴς, καὶ πυρὸς μελιηδὴς, ἀλλὰ ἰδοὺ παρ᾽ Ὁμήρῳ θυμὸς μελιηδὴς, ἤγουν ἡ ψυχὴ λέγεται.

Μελιηδὲς, μελιτῶδες, ἥδιστον, διὸ καὶ ἐψιλοῦτο. παρήχθη γὰρ παρὰ τὸ μέλι. ἔνιοι δὲ ὡς μέλι ἡδὺ, διὸ καὶ ἐδάσυνον.

Μελιηδέος, ἡδυτάτου, γλυκυτάτου.

Μελίην, τὴν ἐκ μελίας, ὅπερ ἐστὶ δένδρου.

Μελίκακι, σκευάσματι βρωτῷ διὰ τυροῦ.

Μελίκηρα, τὰ ὑπὸ τῶν πορφυρευτῶν συντελούμενα ἐμφερῆ κηρίοις ἐν τῇ θαλάσσῃ.

Μελικηρὶς, εἶδος ἀμπέλου, καὶ πόα τὶς, καὶ πάθος ἔνικμον, μελιτῶδες ὑγρὸν ἔχον.

Μελίκρατον, οἱ παλαιοὶ μίγμα φασὶ μέλιτος καὶ γάλακτος. οἱ μέντοι μεθ᾽ Ὅμηρον, μέχρι καὶ ἐς ἄρτι κρᾶμα μέλιτος καὶ ὕδατος τὸ μελίκρατον οἴδασι. νηφάλιον δὲ πόμα, καθὰ τὸ ἐξ ὕδατος. οὕτω καὶ τὸ ἐκ μέλιτος ψυχαῖς πρέπον, καὶ ὅλως τοῖς ἐν ᾅδου.

Μελίλωτος, πόα τὶς, καὶ λωτοῦ εἶδος.

Μελίνεως, εἶδος ἀμπέλου.

Μελίνη, εἶδος ὀσπρίου, καὶ μέρος τι τοῦ πολύποδος. ἦν δὲ καὶ σῖτος ἀπὸ μελίνης. ἔνιοι δὲ, εἶδός τι κεγχρίου νομίζουσι τὴν μελίνην. ὅπερ τινὲς καλεῖν ἔλυμον θέλουσι. Θεόφραστος δὲ ἐν ἑβδόμῳ περὶ φυτῶν, ὡς διαφέροντα ταῦτα ἀναγράφει, κέγχρον, ἢ μελίνην, ἢ ἔλυμον.

Μελίουσι, κατακόπτουσι.

Μελίσδεται Δωρικῶς, ἤγουν μελίζει, ᾄδει, ἠχεῖ λιγυρῶς. μέλη γὰρ, τὰς ᾠδὰς ἔλεγον.

Μελίσματα. ᾄσματα.

Μελισμὸς, τῶν μελῶν ἡ διαίρεσις, ἐκ τοῦ μελίζω.

Μέλισσα, ὀβολὸς, ὃ ἐστὶ μέρος δραχμῆς.

Μελισσαῖος, ὁ Ζεύς.

Μέλισσαι, αἱ τῆς Δήμητρος μύστιδες.

Μέλισσαι, παρὰ τὸ μήλοις ἐφιζάνειν, ἤγουν ἄνθεσι γίνεται.

Μέλισσα κατὰ τοὺς παλαιοὺς λέγεται, ὡς μήλοις ἐφιζάνουσα, καὶ τὸ χρήσιμον ἐκ τῶν καρπῶν ἀπανθίζουσα. παρὰ τὸ μῆλον δηλαδὴ καὶ τὸ ἵζω, τὸ κάθημαι τοῦ η συσταλέντος εἰς ε. ἴσως δὲ καὶ ὥσπερ μῆλα πάντα τὰ θρέμματα, ὡς ἀπὸ ἑνὸς εἴδους τοῦ τῶν προβάτων κατά τι ἐξαίρετον, οὕτω καὶ τὰ ἀκρόδρυα μῆλα ἐνταῦθα, ὡς ἐκ τῆς τῶν μήλων ὀπώρας, διὰ τὸ κατ᾽ ἀγλαΐαν ἐξαίρετον.

Μελισσάων, μελισσῶν.

Μελισσέμεν, πραΰνειν, παρειπεῖν, παρηγορεῖν, πρὸς ἡδονὴν λέγειν.

Μελίσσιον, τὸ σμῆνος.

Μέλισσα, ὄνομα πόλεως. καὶ ζωΰφιον, ὅπερ ἐργάζεται τὸ μέλι. μελίσσειον, κηρίον. ἀπὸ μελισσείου κηρίου.

Μελισσοκόμοι, οἱ τῶν μελισσῶν ἐπιμελούμενοι.

Μελισσόκρας, ἡ γλυκεῖα δέλτος, ἢ μέλιτι κεκραμμένη.

Μελισταγέας, γλυκέας.

Μελιστὶ, κατὰ μέλη.

Μελιταῖον κυνίδιον μικρόν. τῶν γὰρ κυνῶν οἱ μὲν ἰχνευτικοί. οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν. οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων οἰκουροί. οἱ δὲ ἐπὶ τέρψει, ὡς τὰ μελιταῖα κυνίδια, καὶ μελιταῖοι κύνες, ἐπὶ τέρψει τρεφόμενοι.

Μελίταινα, πόα τὶς, ἣν ἔνιοι μελικταίναν, ἄλλοι μελισσόφυλλον.

Μελίτεα, ὀθόνιά τινα διάφορα, ἐκ Μελίτης τῆς νήσου.

Μελιτέα, εἶδος βοτάνης, τὸ κοινῶς λεγόμενον μελισσοβότανον. τὸ δὲ φύλλον ἔχει πλατύ.

Μελίτηα, εἶδος βοτάνης γλυκυζούσης.

Μελίτειον, ὄρος Κερκύρας.

Μελιτεὺς, κάπρος, τοῦ γὰρ δήμου Μελιτεύς ἐστι. καὶ σῦν αὐτὸν ἄντικρυς ἐκάλουν, ἴσως μὲν διὰ δασύτητα, ἐπεὶ καὶ ἄρκτον αὐτόν φασι πολλαχοῦ. ἴσως δὲ, καὶ ὅτι μύλωνας ἐκέκτητο, ἐν οἷς σῦς ἔτρεφε.

Μελιτέων οἶκος, ἐν τῷ τῶν Μελιτέων δήμῳ, [οἶκός τις ἦν παμμεγέθης, εἰς ὃν οἱ τραγῳδοὶ ἐμελέτων.

Μελιτέτροπα, τὴν χλαμύδα οὕτω καλοῦσιν.

Μελίτη, ὄνομα νηρηΐδος, λέγεται διὰ τὴν τοῦ κέρδους ἡδύτητα. ἡδὺ γὰρ τοῖς πᾶσι, τὸ πλεῖν.

Μελίτη, δῆμος τῆς Ἀττικῆς, ἐν ᾗ ἐμυήθη Ἡρακλῆς, τὰ μικρὰ μυστήρια. ἔστι δὲ ἐκεῖ καὶ Ἡρακλέους ἱερόν. ἐκλήθη δὲ ἀπὸ Μελίτης Νύμφης, ᾗ ἐμίγη ὁ Ἡρακλῆς. ἐν Μελίτῃ δὲ ἐστὶν ἐπιφανέστατον Ἡρακλέους ἱερὸν ἀλεξικάκου.

Μελίτη νῆσος, Ὀρθρωνοῦ πέλας, Ὀρθρωνὸς νῆσος μεταξὺ Ἠπείρου καὶ Ἰταλίας. αὐτῇ νῆσος παράκειται Μελίτη, ἥτις προβέβληται τοῦ Παχύνου ἀκρωτηρίου τῆς Σικελίας. ὁ δὲ Ὀρθρωνὸς πρὸ τοῦ στόματος τοῦ Ἀδρίου.

Μελιτώμερον, ἡδὺ, γλυκύ.

Μελίτια, τὰ βίττα.

Μελιτίδης, μωρός τις ἦν.

Μελίτιον, πόμα τι σκυθικὸν μέλιτος ἑψομένου σὺν ὕδατι, καὶ πόᾳ τινί.

Μελτιωδῶν, ἐδεσμάτων.

Μελιτὸν, κηρίον, ἢ τὸ ἑφθὸν γλεῦκος.

Μελιτόπολιν, ἐπὶ τοῦ κρούειν καὶ ψοφεῖν [illegible], πρὸς τὸ προσιέναι μελίσσας.

Μέλιττα, ἡ μέλισσα.

Μελιττοτηχεῖν, τὸ κρούοντας ψόφον ποιεῖν, ἵνα μὴ αἱ μέλισσαι προσπέτωνται.

Μελιττοῦτται, μάζαν λέγουσι τῷ μέλιτι δεδευμένην. ἔφερον δὲ ὡς ἐδόκουν τοῖς ὄφεσιν. Ἀριστοφάνης Νεφέλαις, δός μοι μελιττοῦτταν. δέδοικα γὰρ, ὥσπερ ἐς Τροφωνίου.

Μελιττοῦτας, πλακοῦντας.

Μελίφρονα, προσηνῆ, καὶ ἡδέα. διὰ τὸ γλυκαίνειν τὰς φρένας, καὶ μελίφρων τὸ αὐτό.

Μελίφρων, ὁ κατὰ τὴν τοῦ μέλιτος γλυκύτητα ἡδὺς, παρὰ τὸ μέλι καὶ τὸ εὐφραίνειν. ἐλείπετο δὲ κἀνταῦθα τῇ ευ διφθόγγῳ, ὡς καὶ ἐν ἄλλοις πολλοῖς. ἐν ἑτέροις δὲ ἐντίθησιν αὐτὴν περιττῶς, ὡς ἐν τῷ ἐπευφήμησαν. δηλοῖ γὰρ, τὸ ἐπεβόησαν ἁπλῶς.

Μελίφυλλον, βοτάνη τὶς, ὃ καὶ μελισσόφυλλον, καὶ πράσιον.

Μελίχλωρος, ὁ χλωρός.

* Μέλκα ὄψον τι διὰ γάλακτος, ἓν τῶν ἐν Ῥώμῃ δεδοκιμασμένων ἐδεσμάτων, ὡς καὶ τὸ ἀφρόγαλα, θέρει μάλιστα ἐσθιόμενον πρὸς ἀναψυχὴν τοῦ στομάχου.

Μέλκιον, κρίνη, νύμφα, παίγνιον.

Μέλλησις, μελλησμὸς, βραδύτης, ὄκνος, στροφὴ, ὑποστροφὴ, ἀναβολὴ, ὑπερβολὴ, διαγωγή. διατριβὴ, ἀνάθεσις, ὕποπτος εἰς ἀπέλπισιν. ἡ δὲ στραγγεία παμπόνηρος, νωθρεία δὲ καὶ νωθρότης καὶ ἀμβλύτης.

Μελλέβιος, ἡμιθανὴς, καὶ μὴ συνιείς. ἢ ὁ μὴ δεδιδαγμένος.

Μέλλει, ἀντὶ τοῦ βραδύνει, διὰ δύο λλ γράφεται. καὶ ἔστι καὶ μέλλει ὡσαύτως ἐπὶ μέλλοντος χρόνου. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου, ἤτοι ἐνεστῶτος. οἷον μέλλει μοι ποιεῖν τόδε τι. ἢ μετὰ μέλλοντος πρώτου, οἷον μέλλω ποιήσειν. οὐδέποτε δὲ μετὰ ἀορίστου, οἷον μέλλω ποιῆσαι. μέλλει δὲ ἀντὶ τοῦ ὀφείλω μετὰ ἀορίστου. καὶ Ὅμηρος, καὶ μὲν δή τις μέλλει ἀνδρὶ τελέσσαι.

Μέλλειν, ἀναβάλλεσθαι, ὀκνεῖν, στρέφεσθαι, διάγειν, ἀναβάλλεσθαι, ὑπερβάλλεσθαι, βραδύνειν, διατρίβειν, ὑπερτίθεσθαι, στραγγεύεσθαι.

Μελλέποσις, ὁ μέλλων ἀνὴρ γενέσθαι.

Μέλλω ποιεῖν, καὶ μέλλω ποιήσειν. οὐ μέλλω ποιῆσαι, ἀλλὰ μετὰ τοῦ ἄν, μέλλω ποιῆσαι ἄν. προστιθέασι τὸ ἄν, ἵνα τὸν παρῳχημένον διὰ τέλους ὡς μέλλοντα δεξώμεθα. οἱ δὲ μὴ οὕτω γράφοντες, ἁμαρτάνουσι.

Μέλλω διὰ δύο λλ, ἀντὶ τοῦ εἵμαρται, καὶ πεπρωμένον ἐστί. καὶ μέλλει, ἀντὶ τοῦ ἀπόκειται. ἀεὶ πρὸς ἐνεστῶτα ὁριστικὸν, ἢ πρὸς μέλλοντα ἀποδίδοται, οἷον μέλλω ἐρεῖν σοι χρηστά. καὶ μέλλω διηγεῖσθαί σοι, ἃ ηὐχου.

Μέλλειν, οἴεσθαι, ἐλπίζειν, προσδοκᾶν, φοβεῖσθαι, ἐπιχειρεῖσθαι, συντάσσονται ἢ μέλλοντι, ἢ ἐνεστῶτι. οἷον μέλλω ποιήσειν τι, ἢ ποιεῖν, ὁμοίως καὶ τὰ ἄλλα.

Μέλλει ἄρχεσθαι, ἤγουν ἔοικας ἄρχεσθαι δύναται εἶναι, καὶ ἀντὶ τοῦ ὀφείλεις.

Μέλλησις, ὑπέρθεσις.

Μελλήσω, σπουδάσω, ἢ ὑπερθῶμαι.

Μελλητιᾶν, τὸ μέλλειν.

Μελλίρην, μελλέφηβος.

Μελλογαμβρὸς, μελλονύμφιος.

Digitized by Google

Μέλλον ἐν ἀνδράσιν ὄλβιος εἶναι, ἐπιεικῶς εἴρηται ἀντὶ τοῦ ἔοικα. ὀκνεῖ γὰρ εἰπεῖν ὄλβιος εἶναι, παρὰ Ὁμήρῳ.

Μελλονικιᾷν, τὸ βραδύνειν, καὶ ἀναβάλλεσθαι.

Μέλλονται, ἀντὶ τοῦ φροντίδα ποιοῦνται, παρὰ Ἀπολλωνίῳ. μελόντων, ἀντὶ τοῦ μελέτωσαν κεῖται παρ' Ὁμήρῳ, ἐν π' τῆς Ὀδυσσείας.

Μελλόπαις, ὁ ἀπὸ δέκα ἐτῶν, προκόπτων ταῖς τῇ ἡλικίᾳ.

Μέλλω, ἐπὶ τοῦ βραδύνω, καὶ ἐπὶ τοῦ ἐσομένου χρόνου, παρὰ Θουκυδίδῃ.

Μέλλων ἐστὶν, ὅταν περὶ μέλλοντος χρόνου τί ποιήσω κατ' αὐτὸν λέγω. ὡς ὅταν ἐρωτηθεὶς, τί ἄρα ποιήσω αὔριον, εἴπω, ὅτι γράψω. μετ' ὀλίγον δὲ μέλλων ἐστὶν, ὅταν περὶ τοῦ ὅσον οὔπω μέλλοντος χρόνου τί κατ' αὐτὸν, ἢ τί ποιήσω, ἢ τί πείσομαι. ποιήσω μὲν, ὡς ὅταν περὶ τοῦ ὅσον οὐκ ἤδη μέλλοντος χρόνου ἐρωτηθεὶς τί ποιήσω, εἴπω ὅτι πορεύσομαι. πείσομαι δὲ, ὅταν περὶ τοῦ αὐτοῦ χρόνου ἐρωτηθεὶς τί πείσομαι, εἴπω ὅτι γεγράψομαι.

Μέλλων πρῶτος ἐνεργητικὸς γίνεται ἀπὸ τοῦ ἐνεστῶτος, καὶ ἀεὶ ἔχει πρὸ τοῦ ω μεγάλου σ, ἢ δυνάμει ἢ ἐνεργείᾳ. δυνάμει, οἷον τύπτω τύψω, λέγω λέξω. ἐνεργείᾳ, πείθω πείσω, φράζω φράσω, ἀκούω ἀκούσω, ποιέω ποιήσω, βοάω βοήσω, χρυσόω χρυσώσω, τίθημι ἢ θέω θήσω, ἵστημι ἢ στάω στήσω, Δίδωμι ἢ δόω δώσω. ἀλλὰ δόω ἄχρηστόν ἐστι, χωρὶς τῶν ῥημάτων τῆς πέμπτης συζυγίας, ὧν ὁ μέλλων εἰς ω λήγων περισπώμενος διὰ τοῦ αὐτοῦ ἀμεταβόλου ἐκφέρεται, οἷον ψάλλω ψαλῶ, νέμω νεμῶ, φαίνω φανῶ, κρίνω κρινῶ. σπείρω σπερῶ. Αἰολεῖς δὲ μετὰ τοῦ σ, καὶ παροξυτόνως τούτων τῶν ῥημάτων τοὺς μέλλοντας λέγουσιν, οἷον ψαλῶ ψάλσω, μενῶ μένσω, φανῶ φάνσω, κρινῶ κρίνσω καὶ τὴν αὐτὴν τῷ ἐνεστῶτι ἔχει ἀρχὴν, χωρὶς τοῦ θρέψω καὶ θρέξω. ὧν ὁ ἐνεστὼς διὰ τοῦ τ γράφεται, οἷον τρέφω τρέχω. καὶ χωρὶς τοῦ ἕξω, οὗ ὁ ἐνεστὼς ψιλοῦται, οἷον ἔχω. ἔχει δὲ ὁ μέλλων παραλήγουσαν ἴσην τῷ ἐνεστῶτι, ἢ μείζονα. οὐδέποτε δὲ ἐλάττονα, χωρὶς τοῦ πνίγω πνίξω, ἐρύκω ἐρύξω, καὶ ψύχω ψύξω. ὧν ἡ παραλήγουσα τοῦ ἐνεστῶτος, τῇ φύσει ἐστὶ μακρά. ἡ δὲ τοῦ μέλλοντος θέσει, καὶ χωρὶς τῶν ῥημάτων τῆς πέμπτης συζυγίας. ὧν ὁ μέλλων συστέλλει τὴν παραλήγουσαν, οἷον ψάλλω ψαλῶ, κάμνω καμῶ, φαίνω φανῶ, σπείρω σπερῶ. εἰσὶ καὶ τὰ ἐναντίον τούτοις πάσχουσιν, οἷον πλέω πλεύσω, ῥέω ῥεύσω, πνέω πνεύσω, ὧν ὁ μέλλων προσλαμβάνει τὸ υ. Σημείωσαι καὶ τὸ καίω καύσω, καὶ κλαίω κλαύσω, ὧν ἡ παραλήγουσα τοῦ ἐνεστῶτος διὰ τῆς αι διφθόγγου. ἡ δὲ τοῦ μέλλοντος, διὰ τῆς αυ γράφεται. Σημειωτέον δὲ ἔτι, ὅτι οἱ μέλλοντες τοῖς ἐνεστῶσιν ἰσοσύλλαβοί εἰσιν, οἷον τύπτω τύψω, ἀκούω ἀκούσω, χωρὶς τοῦ θελήσω, μελήσω, ὠφελήσω, βουλήσω. ὧν οἱ ἐνεστῶτες οὐκ εἰσὶ θέλω, μέλω, ὀφείλω, βούλω, ἀλλὰ θελέω, μελέω, ὠφελέω, βουλέω. Σημείωσαι ἔτι, τὸ θήσω, στήσω, δώσω, ὧν οἱ ἐνεστῶτες οὐκ εἰσὶ τίθημι, ἵστημι, δίδωμι, ἀλλὰ θέω, στάω, δόω. τὰ γὰρ εἰς μι ῥήματα, οὐκ ἔχουσι τὸν μέλλοντα ἀλλὰ μόνον τὸν ἐνεστῶτα, καὶ παρατατικὸν, καὶ δεύτερον ἀόριστον, αὔξω, ἀλέξω, καὶ ἕψω βαρύτονοι οὐκ εἰσὶ μέλλοντες, ἀλλὰ ἐνεστῶτες Ἀττικοί. κοινοὶ γὰρ περισπῶσι, καὶ λέγουσιν αὐξῶ, ἀλεξῶ, ἑψῶ. τὰ γὰρ εἰς ψω καὶ ξω λήγοντα ῥήματα, περισπῶνται, οἷον διψῶ, κενοδοξῶ, φιλοδοξῶ, ἀδοξῶ, αὐξῶ, ἀλεξῶ, ἑψῶ. αὔξω δὲ καὶ ἀλέξω καὶ ἕψω ἔθει Ἀττικῶν ἐκ τῶν περισπωμένων γεγένηνται βαρύτονα, ἀλλὰ αὐτῶν οἱ μέλλοντες, οὐκ ἐκ τῶν βαρυτόνων Ἀττικῶν, ἀλλὰ ἐκ τῶν περισπωμένων γίνονται, οἷον αὐξέω αὐξήσω, ἑψέω ἑψήσω, ἀλεξέω ἀλεξήσω.

Μέλλων δεύτερος τὴν τοῦ πρώτου μέλλοντος ἔχων ἀρχὴν γίνεται ἐκ τοῦ δευτέρου ἀορίστου, τὸ χαρακτηριστικὸν σύμφωνον, ἢ φωνῆεν, ὅπερ πρὸ τοῦ ον ἐν τῷ δευτέρῳ ἀορίστῳ τίθεται προσλαμβάνων, οἷον τύπτω τύψω, ἀόριστος δεύτερος ἔτυπον. τυπῶ μέλλων δεύτερος, παύω παύσω, ἔπαον παῶ. τυφθήσομαι μέλλων πρῶτος παθητικὸς, γίνεται ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ πρώτου ἀορίστου παθητικοῦ, ἐκβολῇ τοῦ ε κατὰ τὴν ἀρχὴν, καὶ προσθήκῃ τοῦ ομαι, οἷον ἐτύφθην ἐτύφθης τυφθήσομαι. τυπήσομαι, μέλλων δεύτερος παθητικὸς, ὁμοίως ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ δευτέρου ἀορίστου παθητικοῦ γίνεται. ἀποβολῇ τοῦ ε, τοῦ κατὰ τὴν ἀρχὴν, καὶ προσλήψει τοῦ ομαι, οἷον ἐτύπην ἐτύπης τυπήσομαι, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

Μέλλων μέσος γίνεται, ἀπὸ τοῦ ἐνεργητικοῦ μέλλοντος, τροπῇ τοῦ ω μεγάλου εἰς ο μικρὸν, καὶ προσθήκῃ τοῦ μαι, οἷον τύψω τύψομαι, λέξω λέξομαι.

Μέλλων μέσος δεύτερος γίνεται, ἀπὸ τοῦ δευτέρου μέλλοντος ἐνεργητικοῦ, τροπῇ τοῦ ω μεγάλου περισπωμένου εἰς τὴν ου δίφθογγον, καὶ προσθήκῃ τοῦ μαι, οἷον τυπῶ τυποῦμαι, λεγῶ λεγοῦμαι, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

Μέλος, μέλημα, ἢ μέρος τοῦ σώματος, ἢ ἦχος ἡδὺς, ᾆσμα, ῥυθμὸς, καὶ ἀλαλαγμός.

Μέλος, ἡ σύγκρισις τοῦ ἔπους, τὸ μεμελισμένον, ἢ ἀπὸ τῆς τοῦ μέλιτος γλυκύτητος.

Μέλου, ἐπιμελοῦ. καὶ τὰ λοιπά μου μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας.

* Μελουρὶς, σιτοφάγος ἀκρίς.

Μέλπεσθαι παρ' Ὁμήρῳ, ἐν σταδίῃ, δηΐῳ μέλπεσθαι Ἄρεϊ. δηλοῖ τὸ εὐχερῶς κινεῖσθαι, καὶ οἷον παίζειν καὶ ᾄδειν ἐν τῇ κατὰ συστάδην καὶ πεζῇ μάχῃ, διὰ τὸ πολλὴν ἐν τοῖς δεινοῖς ἔχειν εὐχαίρειαν. καὶ τὸ μὲν σταδίη λείπεται τοῦ ὑσμίνῃ, ἢ μάχῃ, ἢ τοιούτου τινός. τὸ δὲ μέλπεσθαι, εἴληπται ἀπὸ τῶν καθ' ἡσυχίαν μελπόντων παιανικῶς τῷ Ἄρεϊ, λόγῳ ἑορτῆς, ἢ καὶ πρὸ μάχης καταυλουμένων, ὡς μὴ δειλιᾷν.

Μέλπηθρον, τὸ παίγνιον. παρὰ τὸ μέλπω, τὸ παίζω, σημαίνει καὶ τὸ ὑμνῶ.

Μέλποντες, ᾄδοντες, ἀνυμνοῦντες.

Μελπώδιοι, παίγνια μέλποντες, ὑμνοῦντες, ᾄδοντες.

Μέλπω, τὸ ὑμνῶ. ἐξ οὗ μολπὴ, ἡ ᾠδὴ παρὰ τὸ μέλει ἕπεσθαι. καὶ ὅτι τὸ μολπὴ ἀττικὸν ἦν, εἴπερ εὐθὺς παρέκειτο τὸ μέλπεσθαι, ἵνα ᾖ μολπῇ μέλποντες.

Μελύγιον, πομάτιον σκυθικὸν, γινόμενον ἐκ μόνου μέλιτος μεθ' ὕδατος, βοτάνης τινὸς ἐμβαλλομένης.

Μελύδριον, Ἰωνικὸν ἀντὶ τοῦ τρυφηλόν. τοιοῦτοι γὰρ Ἴωνες. Ἀριστοφάνης, δεῦρ' εἶτ' ἐπὶ τὸ μὸν στέμμα, μελίδριον εὑρεῖσαί τι τῶν Ἰωνικῶν.

Μελχισεδὲκ, ἑρμηνεύεται ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου. * εἴρηται δὲ ἀγενεαλόγητος, παρὰ τὸ μὴ ὑπάρχειν ἐκ τοῦ σπέρματος Ἀβραὰμ ὅλως, εἶναι δὲ χαναναῖον τὸ γένος, καὶ ἐκ τῆς ἐπαράτου σπορᾶς ὁρμώμενον, ὅθεν οὐδὲ γενεαλογίας ἠξίωτο. Σουίδας.

Μελχισεδὲκ, τὸ χι, ἴ ἀπὸ παραδόσεως μελχὶ, λέγεται Βασιλεύς. τὸ Σεδὲκ, εἰρήνη. λέγεται οὖν Βασιλεὺς εἰρήνης, καὶ ἀνάγεται εἰς τὸν Χριστόν.

Μελχὸμ, προσόχθισμά τι, εἴδωλον καὶ τοῦτο, προσοχθίσματα γὰρ καὶ βδελύγματα, τὰ εἴδωλα προσαγορεύειν εἴωθεν ἡ γραφή. ὅπερ δηλοῖ τὸ μῖσος καὶ ἀπόβλητον.

Μελωθεσία, ἡ τῶν μελῶν θέσις.

Μέλω, ἐν ἐπιμελείᾳ εἰμί.

Μελωδία, ἡδυφωνία.

Μελωδοῦσι, μετ' ᾠδῆς ὑμνοῦσι.

Μέλων, ἀρέσκων.

Μεμάασι, προθυμοῦνται.

Μεμαγμένη μᾶζα, ἐπὶ τῶν ἑτοίμων ἀγαθῶν.

Μεμαγμένην λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ παρεσκευασμένην, καὶ ἐν ἑτοίμῳ γενομένην.

Μεμάθεται, φυλάσσεσθαι.

Μεμακκοακότα, τὰ Μακκοῦς φρονοῦντα, ἀνοηταίνοντα. Μακκὼ γὰρ καὶ Λαμὼ ἐγένοντο ἐνεαὶ, τουτέστι βαρέως νοσοῦσαι. ἢ παραφρονοῦντα, ληροῦντα. γέγονε παρὰ τὸ μάταια κοεῖν, ὅ ἐστι νοεῖν. ὅθεν θυοσκόος, παρὰ τὸ θύω καὶ τὸ κοῶ, ὃ σημαίνει τὸ νοῶ.

Μεμακυῖαι, μυκώμεναι μήκη γὰρ, ἡ τῶν αἰγῶν φωνή. βληχὴ δὲ, ἡ τῶν προβάτων. ὅθεν καὶ μηκάδες αἰγῶν.

Μεμακυῖα, ἐκ τοῦ μεμηκυῖα, συστολῇ τοῦ η εἰς α.

Μεμακυῖαι, γίνεται ἀπὸ τοῦ μηκῶ μηκήσω. δοκεῖ δὲ συγκεκόφθαι ἀπὸ τοῦ ἐκεῖθεν γινομένου δυσεκφωνήτου παρακειμένου. ἰστέον δὲ, ὡς Ὁμήρου ἐπὶ οἴων τιθέντος τὴν τοιαύτην λέξιν, οἱ μεθ' Ὅμηρον ἐπὶ αἰγῶν μὲν εἵλοντο λέγειν τὸ μηκᾶσθαι. ταῖς οἴσι δὲ ἀπεκλήρωσαν, τὸ βληχᾶσθαι.

Μεμαλισμένους, μεμαλαγμένους, ἢ παραφρονοῦντας, μαινομένους.

Μέμαμεν, ἐκ τοῦ μῶ μάσω μέμακα, μεμάκαμεν συγκέκοπται.

Μεμάμεν, προθυμεῖσθαι, ἐπιθυμεῖν, βούλεσθαι, σπεύδειν, πεποιθέναι.

Μέμαρπον, μάρπω, τὸ καταλαμβάνω, ὁ μέλλων μάρψω, ὁ ἀόριστος ἔμαρψα, ὁ δεύτερος ἔμαρπον, καὶ Ἰωνικῷ ἀναδιπλασιασμῷ ἐμέμαρπον, τὸ τρίτον τῶν πληθυντικῶν ἐμέμαρπον, καὶ ἀφαιρέσει μέμαρπον.

Μεμαρπὼς, εἰληφὼς, ἡρπακώς.

Μέμασαν, οὐκ ἐκ τοῦ μαιμῶ, οὗ μέλλων ὁ μεμήσω, ἀλλὰ τὸ μῶ πρωτότυπον τοῦ μεμῶ. τοῦ δὲ τοιούτου μῶ παράγωγα καὶ ἡ μαῖα, καὶ ἡ μήτηρ, ἤδη δὲ καὶ ἡ μοῦσα. οὐ γὰρ ἀξύμβατα τὸ μῶ, ἤγουν ζητῶ. καὶ τὸ μῶ, ὅ ἐστι προθυμοῦμαι.

Μέμασαν, ἐκ τοῦ μῶ, τὸ προθυμοῦμαι. καὶ μεμαὼς, ὁμοίως ἐκ τοῦ μῶ μάσω μέμακα. μετοχὴ μεμακὼς, καὶ συγκοπῇ μεμαώς. μέμακα ἐκ τοῦ μέμηκα, τοῦ η εἰς α βραχὺ τραπέντος.

Μεμάσομαι, ἐκπιάζομαι.

Μεμάσσων, μεθ' ὁρμῆς ἐξερχόμενος προθύμως.

Μεμαστιλημένος, κατειργασμένος.

Μεμαυῖα, προθυμουμένη, γλιχομένη.

Μεμαχημένη, ἀπηχθημένη.

Μεμαὼς, καὶ μεμαυῖα, ἀπὸ τοῦ μεμῶ μεμάσω.

Μεμαὼς, ὁρῶν, θέλων, σπεύδων, προθυμούμενος, πεποιθώς.

Μεμαὼς μεμαῶτος, βεβαὼς βεβαῶτος, τεθνεὼς τεθνεῶτος, ἑσταὼς ἑσταῶτος. μετοχὰς ἀπαθεῖς τὰς εἰς ως διὰ τοῦ ο μικροῦ, αἱ πᾶσαι διάλεκτοι κλίνουσι. ποιηταὶ δὲ διὰ τοῦ ω μεγάλου.

Μεμαὼς, ἀντὶ τοῦ ὀργιζόμενος κεῖται, παρὰ τῷ Ἀπολλωνίῳ ἐν τῷ τρίτῳ.

Μεμβλάσαι, σπουδῆσαι.

Μέμβλεται, μεμέληται, μέμβληται.

Μέμβλετο, ποιητικὴ λέξις ἐκ τοῦ μεμέλητο γίνεται. ὅ ἐστι διὰ μελήσεως ἦν, κατά τε συγκοπὴν, καὶ ἐπένθεσιν τοῦ β, δι' εὐφωνίαν καὶ συστολὴν τοῦ παραλήγοντος η εἰς ε.

Μέμβλεται, ἐν φροντίδι ἐστὶν, ἀπὸ τοῦ μέλω. καὶ μέμβλεσθαι, καὶ ἐπιμέλεσθαι. μεμέληται, μέμβληται.

Μεμβλὶς, Μῆλος, ἡ νῆσος.

Μεμβλοκανιάζω, οἴχομαι, ἔξω τοῦ βίου εἰμί.

Μεμβλώκατον, ἀντὶ τοῦ παραβαίνουσι. καὶ μέμβλετό μοι, ἀντὶ τοῦ μετ' ἐπιμελείας ἐγένετό μοι.

Μέμβλωκα, ἐκ τοῦ μολῶ μολήσω μεμόληκα, συγκοπῇ καὶ πλεονασμῷ τοῦ β, καὶ τροπῇ τοῦ η εἰς ω μέμβλωκα καὶ παρέμβλωκα. μέμβλωκεν, ἀντὶ τοῦ μεμόληκε, παρῆλθε.

Μέμβλωκε, παραμένει.

Μεμβλώντων, τυχόντων.

Μεμβρὰς, εἶδος ἀφύας.

Μεμελημένως, πεπονημένως.

Μεμένηνται, μεμέτρηνται.

Μενετοὶ θεοὶ, ἀνεξίκακοι, καὶ οὐκ εὐθέως τιμωρούμενοι. ἄλλως, μενετοὶ θεοὶ, οὐκ ἀπατηλοί.

Μεμεστωμένοι, πεπληρωμένοι.

Μεμετρέαται, μετρῶ, μετρήσω, μεμέτρηκα μεμέτρημαι, καὶ Ἰωνικῶς μεμετρέαται.

Μέμηκε, βοᾷ μέμυκε, κραυγάζει.

Μέμηκεν ἡ γῆ, καὶ δένδρεα. παρ' Ἡσιόδῳ. ἢ ἀντὶ τοῦ ἠχεῖ, ἢ ἀντὶ τοῦ συμπέπτωκε, συγκέκλεισται, διὰ τὴν πυκνότητα τοῦ κρύους. ἐν τῷ ἀέρι γὰρ ἡ γῆ, καὶ τὰ δένδρεα ἀνοίγεται.

Μεμηκὼς, κεκραγώς.

Μέμηλε, μέσου παρακειμένου. καὶ γίνεται κατὰ συγκοπὴν ἐκ τοῦ μεμέληκα, ὡς ἐκ τοῦ λελάληκα τὸ λέληκα, καὶ τοῦ βεβούληκα τὸ βέβουλα.

Μέμηλε, διὰ φροντίδος ἐστί. μέλω ἐνεστὼς,

Digitized by Google

μελήσω μέλλων, μεμέληκα παρακείμενος, καὶ μέσος μέμηλα, ὡς βέβυλα.

Μεμήλει, μέσος παρακείμενος ὑποτακτικὸς, ἐκ τοῦ μέμηλα. ὁμοίως τῷ ὄλωλα, ὀλώλει.

Μεμηλὼς, φροντίζων, ἐπιμελούμενος.

Μέμηνε, μαίνεται.

Μεμιασμένα, μεμολυσμένα, μεμιγμένα.

Μεμιγμένοι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ συγκεχυμένοι. καὶ ἀναμὶξ κείμενοι, ὃ ἀνάπαλιν ἔχει πρὸς τὸ κεκριμένοι.

Μέμμιος, ὕπατος τῶν Ῥωμαίων. ἐστιν ἐν τῷ Ἀχαΐα.

Μεμισθαρνηκὼς, ὁ μισθῷ καμών.

Μεμίχθων, μεμιγμένοι ἦσαν.

Μεμνέωτο, ἢ ἐκ τοῦ μεμνέοιτο γίνεται κατ' ἔκτασιν τοῦ ο εἰς ω. ἢ ἀπὸ τοῦ μεμνῷτο, ἐπενθέσει τοῦ ε. ὁποῖα καὶ ἄλλα ἀττικὰ καὶ παρὰ Σοφοκλεῖ, τὸ ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνώμεθα.

Μέμνω, ἀπὸ τοῦ μένω, κατὰ συγκοπὴν μνῶ καὶ μέμνηκα, ὁ μέλλων μνήσω, ὁ παρακείμενος μέμνηκα. μέμνω δὲ, τὸ καρτερῶ.

Μέμνῃ, ἀντὶ τοῦ μέμνησαι παράλογον. ὅτι πᾶς παρακείμενος πεπονθὼς μένος, τροπῇ τοῦ τ εἰς σ ποιεῖ τὸ δεύτερον, οἷον πεποίηται πεποίησαι, μέμνηται μέμνησαι, καὶ ἀποβολῇ τοῦ σ μέμνηαι Ἰωνικῶς, καὶ κατὰ συστολὴν τοῦ η εἰς ε μέμνεαι, καὶ κράσει μέμνῃ.

Μέμνημαι, αἰτιατικῇ καὶ γενικῇ συντάσσεται παρ' Ὁμήρῳ, ὡς τὸ Τυδέα δ' οὐ μέμνημαι, καὶ Ὀδυσσῆος μέμνηται. ὁπότε κείνων μνήσομαι.

Μεμνήμην, ἀνάλογον εὐκτικὸν κατὰ τὸ κέκλημαι κεκλήμην, καὶ τὰ ὅμοια. ὡς οἱ τεχνικοὶ κανονικῶς παραδιδόασι.

Μεμνῆσθω, μένω κατὰ συγκοπὴν μνῶ, μνήσω μέμνηκα μέμνημαι, τὸ εὐκτικὸν μεμνήμην, μέμνῇο, μεμνῇτο, παρὰ Ἀριστοφάνει.

Μεμνῇτο, ἐκ τοῦ μνάω μνήσω.

Μέμνων, ὁ ὄνος.

Μεμνόνια, τὰ ὀνειά κρέα.

Μεμογημένος, μετὰ καμάτου κεκοπιακώς.

Μεμοιραμένων, λαχόντων, κληρωσαμένων.

Μεμοίραται, μετέχει, εἴληφε.

Μεμολυσμένα, τεθρασμένα, ἢ πεφυραγμένα.

Μεμολυσμένους, τοὺς κατεψυγμένους. ἔνιοι δὲ τοὺς ἐσκιρρωμένους, παρὰ τῷ Ἱπποκράτει.

Μέμονας, προθυμῇ, ἀπὸ τοῦ μένω μενεαίνω, καὶ πλεονασμῷ τοῦ ε μενεαίνω.

Μέμονε, θέλει, ὁρμᾷ, καρτερεῖ, προθυμεῖται, ἢ προεθυμήθη.

Μεμονωμένος, ἐγκαταλελειμμένος.

Μεμονὸς, ὁρμητικῶς, ἐπιθυμῶν, προθυμούμενος.

Μεμορημένον, ἠσκημένον, πεποιημένον.

Μεμόρηται, κατὰ ἔκθλιψιν τοῦ ἰῶτα. ἔστι γὰρ μεμοίραται, ἀντὶ τοῦ κεκλήρωται. καὶ μεμόρητο, μεμοιραμένως εἶχεν ἄν.

Μεμορμένον, πεπρωμένον.

Μέμορται, μεμοίραται.

Μεμορυγμένα, τὰ μεμολυσμένα, καὶ πεφυρμένα, κατὰ τοὺς παλαιούς. κρεῖττον δὲ ἠφανισμένα εἰπεῖν, παρὰ τὸν μόρον, ἐξ οὗ τὸ μορύσσω.

Μεμύση, μολυνῇ.

Μεμπτέος, μέμψεως ἄξιος.

Μεμυαλωμένα, ἄγραφη καὶ πίονα. οὕτω γὰρ καὶ ὁ νόμος ἐκέλευσε. καὶ Μαλαχίας δὲ ὁ προφήτης ἐκέλευσεν, ἄμωμά τε καὶ ἄρτια. ἐπαρᾶται, δὲ τοῖς τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσιν.

Μεμυδότος, ῥέοντος.

Μεμυημένεθα. μυέω, μυήσω, μεμύηκα, μεμύημαι. Ἀριστοφάνης, ὅσοι μεμυήμεθα, ἤγουν τὰ μυστήρια ἐδιδάχθημεν. μυστήριον δὲ ἐκλήθη, διὰ τὸ μύειν, καὶ κλείειν τὸ στόμα τοὺς μεμυημένους, καὶ μηδενὶ λέγειν τῶν ἀμυήτων αὐτά.

Μεμυημένος, πεπειραμένος, δεδιδαγμένος.

Μεμυημένος, ἐκ τοῦ μυέω. λόγος ἐπεκράτησε παρ' Ἀθηναίοις, ὡς ὁ μυστήρια διδαχθεὶς, μετὰ τὴν ἐνθένδε τελευτὴν θείας ἠξιοῦτο τιμῆς. διὸ καὶ πάντες πρὸς τὴν μύησιν ἔσπευδον.

Μεμυθῆσθαι, εἰρῆσθαι.

Μέμυκεν, οἷον μέμυκε δὲ γαῖα καὶ ὕλη. εἰ μὲν σημαίνει τὸ ἦχον ἀποτελεῖν, ἀπὸ τοῦ μυκῶ περισπωμένου ἐστίν. εἰ δὲ τὸ πεπλῆσθαι καὶ συνεστάλθαι, ἀπὸ τοῦ κρύους, δηλονότι ἀπὸ τοῦ μύω ἐστί. καὶ Ὅμηρος Ἰλιάδος ε, αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἀντὶ τοῦ ἤχησαν, ἐνεωχθησαν, ἀπὸ τοῦ παρακολουθοῦντος.

Μεμυκότα, κρύψαντα, καμμύσαντα, ἢ κεκολλημένα, καὶ φωνοῦντα, ἀνοικτὸν ἔχοντα στόμα βοῶντα. καὶ μεμυκήκασιν, ἐφώνησαν.

Μέμυκεν, οὐ τὸ ἐναντίον ἀνέῳγεν οἷον μεμυκότα χείλη, ἢ ἀνεῳγότα.

Μέμυκεν, ἐκ τοῦ μύκω, τὸ ἦχον ἀποτελῶ.

Μεμυκὼς μακρὰ, ἀντὶ τοῦ μεγάλως, καὶ οὐχ ἁπλῶς, ἀλλ' ὅτι πρὸς μῆκος πολὺ ὁ μυκηθμὸς ἐκτείνετο. ἐξ οὗ μήκους παρωνόμασται τὸ μακρόν. μέσος δὲ παρακείμενος τοῦ μεμυκηκώς ἐστι, τὸ μεμυκώς.

Μεμύληκε, διέσπαπται, συνέσπαπται.

Μεμύρικεν, συνείληκεν, ἀπὸ τῶν μυριομένων ἐρίων, παρὰ τῷ Ἱπποκράτει.

Μεμυστιλμένοι, εὐωχημένοι. ζωμὸν ἀρυσάμενοι ἄρτοις κοίλοις, καὶ μυστήρια μιμουμένοις. ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστηρίοις, οἷον μυστίλιόν τι ὄν. ἐνταύτῃ δὲ τῇ ἑορτῇ πάντες προῖκα ἤσθιον, καὶ τὴν ἀθάραν, καὶ ἄλλα τινά. μυστίλη δὲ καλεῖται, κοῖλος ἄρτος, ἤγουν ἀθάρα.

Μέμφιδες, αἱ τῶν τελωνῶν ψυχαί.

Μέμφις, ὄνομα κύριον. καὶ κλίνεται Μέμφεως, ἡ δοτικῇ τῷ μέμφει, καὶ θηλυκὸν ἡ Μέμφις. Ἄπις θεὸς Αἰγύπτου. τοῦτον Αἰγύπτιοι τιμῶσι. καὶ ἱερὸς ἦν οὗτος ὁ βοῦς τῆς Σελήνης, ὥσπερ ὁ Μέμφις τοῦ Ἡλίου.

Μέμφομαι, βασκαίνω, νεμεσῶ, ἐπιτιμῶ, ἐπιλαμβάνομαι, αἰτιῶμαι.

Μέμφομαι, ἐνίοτε μὲν αἰτιατικῇ, ἐνίοτε δὲ δοτικῇ. καταμέμφομαι δὲ σὺν γενικῇ, καὶ ἀεὶ παθητικῶς.

Μέμφεαι, ἀπὸ τῶν παθητικῶν τρίτων προσώπων Ἴωνες ἀποβολῇ τοῦ τ ποιοῦσι τὰ δεύτερα πρόσωπα, οἷον κέλεται κέλεαι, μέμφεται μέμφεαι, ἴκηται ἴκηαι, ἄληται ἄληαι.

Μεμφωλὴ, μέμψις.

Μεμψιβολῶν, μέμφεσθαι.

Μεμψίμοιρος, ὁ μεμφόμενος τὸ ἀγαθὸν, ὁ φιλεγκλήμων, ἢ φιλαίτιος.

Μέμψις, κατάγνωσις.

Μεμωκημένος, καταπεφρονημένος.

Μένεα πνείων, μεγάλα δυνάμενος.

Μενέαινε, ἐλειποψύχει. ἀλλαχοῦ δέ φησι νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν, ἀντὶ τοῦ ὀργιζόμεθα. καὶ μενέαινε κῦδος ἀρέσθαι, ἀντὶ τοῦ προεθυμεῖτο.

Μενεαίνων, ὁ προθυμούμενος. ἐκ τοῦ μενεαίνω μέν τοι, ἀντὶ τοῦ ὅμως λαμβάνεται. ὡς τὸ πέσαι μέν τοι, παρὰ Σοφοκλεῖ.

Μενάσσει, μολυνεῖ.

Μενεδάϊος ἵππος, πολεμιστήριος.

Μενεδήϊόν τινα εἰπεῖν, καὶ μενεχάρμην, καὶ μενεπτόλεμον, δῆλον ὡς ταυτόν. οἷς ἐναντίον ὁ φυζακινὸς, καὶ μάλιστα ὁ φύξηλις.

Μενεδήϊος, ἴσον τῷ μενεπτόλεμος.

Μενεδήϊον, λέγουσιν ὡς μενετικὸν ἐν τῷ πολέμῳ. δηϊς γὰρ ὁ πόλεμος, καὶ ἡ μάχη.

Μένδην, οὕτω καλοῦσι τὸν Πᾶνα Αἰγύπτιοι, ὡς τραγοπρόσωπον, τῷ καὶ τὸν τράγον τῇ αὐτῶν διαλέκτῳ οὕτω καλεῖν.

Μενδήσιον κέρας, τὸ τοῦ Νείλου στόμα.

Μενέηνα, ὠργίσθην, ὑπεράλγησα.

Μενέλαος, παρὰ τὸ μένος, ὃ σημαίνει τὴν ψυχικὴν προθυμίαν, καὶ τὸ λαὸς γίνεται μενόσλαος, καὶ μενέλαος.

Μενικτύπος, ὁ μὴ ψοφοδεής.

Μένειν παρ' Ὁμήρῳ, καὶ θάρσος ἔχειν. οὐ μακρὰν ἐστι τοῦ μένος, καὶ τοῦ θάρσος χεῖν.

Μένεος, θυμοῦ, δυνάμεως, ἢ ὀργῆς.

Μενεπτόλεμος, ἀπὸ τοῦ μένειν καὶ καρτερεῖν ἐν τῷ πολέμῳ.

Μενεπτολέμους εἶπεν ὁ Ποιητὴς τοὺς Περραιβοὺς, ὡς καὶ τὸν Πολυποίτην μενεπτόλεμον, οἱονεὶ σταθερὸν πολεμιστήν.

Μενέτην, ἔμενον, δυϊκῶς.

* Μενετοὶ θεοὶ, καὶ μὴ ἀποδιδῶσι μεσιτείαις, ἀντὶ τοῦ ἀνεξίκακοι καὶ οὐκ εὐθέως τιμωρούμενοι. Ἀριστοφάνης.

Μενεχάρμης ἐπίθετον. ἴσον δὲ, ὡς προϋποκειμένων χάρμης καὶ πολέμου καὶ δηΐδος, γίνεται ἀπ' αὐτῶν ὁ μενεχάρμης, ὁ μενεπτόλεμος, ὁ μενεδήϊος. οἱ αὐτοὶ ὄντες τῷ σταδιαίῳ μαχητῇ, ᾧ ἐναντίος ὁ φύξηλις. ὁ δὲ μενεχάρμης, εὑρίσκεται καὶ μενέχαρμος κατὰ τὸ πύλη εὐρύπυλος καὶ εὐρυπυλὶς, οὐ τὴν ὀξυτόνησιν δηλοῖ, τὸ εὐρυπυλὲς δῶμα.

Μενέχαρμος, καὶ μενεχάρμης, καρτερικὸς, πολεμικὸς, ὑπομονητικὸς ἐν τῇ μάχῃ. χάρμη γὰρ, ἡ μάχη.

Μενέχαρμος, ὅμοιον μὲν τῷ μενεπτόλεμος, καὶ μενεδήϊος. ἐναντίον δὲ, πρὸς τὸ φύξηλις, καὶ πρὸς τὸ δειλός.

Μενέω καὶ τλήσομαι, ἢ ἐκ παραλλήλου ταυτὸ νοοῦσιν, ἢ διαφοράν τινα ἔχουσιν. ἔστι γὰρ μένειν μέν τινα, μὴ τλῆναι δέ. πολλοὶ γὰρ μένουσι μὲν πρὸ κακοῦ τινος, ἐπελθὸν δὲ τλῆναι οὐ δύνανται.

Μενέων, δυνάμεων, προθυμιῶν.

Μενθῆρες, αἱ φροντίδες.

Μενθηριῶ, μεριμνήσω, διαπαίξω.

Μενὶ. Ἀριστοφάνης, νυῦ μενὶ, ἀντὶ τοῦ νυῦ μίν.

Μένης, μένε, κύριε.

Μενξίτιον, ὄνομα τόπου.

Μενοεικέα δαῖτα λέγει Ὅμηρος, ᾗ τινι τὸ μένος εἴκει, διὰ τὸ αὔταρκες, ἢ τὴν ἐπαρκοῦσαν τῷ κατὰ φύσιν μένει. ἡ δ' αὐτὴ, καὶ ἐπήρατος εἴη ἄν.

Μενοεικέα δῶρά φησιν Ὅμηρος ἐν τῇ σ' τῆς Ἰλιάδος, οἷς δηλαδὴ τὸ μένος εἶξε τὸ τοῦ Ἀχιλλέως. καὶ ἀλλαχοῦ λέγει ὕλην μενοεικέα. καὶ ἑρμηνευτικόν ἐστι τοῦτο, τοῦ ἄσπετον ὕλην, μᾶλλον δὲ διορθωτικόν. τὸ μὲν γὰρ ἄσπετον ἔχει τι καὶ ὑπερβολῆς. τὸ δὲ μενοεικὲς, εἰ καὶ ἀορίστως φράζεται, ὅμως συμμετρίαν δηλοῖ τινα τὴν κατὰ τὸ ἀρκοῦν.

Μενοεικέα, πολλὴν, προσηνῆ, δαψιλῆ.

Μενοεικὲς, ἀρεστὸν τῇ ψυχῇ, καὶ θυμῆρες, καὶ προσηνές. παραμένει γὰρ ὅ ἐστιν εἰκὸς, καὶ ἀρεστὸν τῇ ψυχῇ.

Μενοινᾷ, φροντίζει, μεριμνᾷ, προθυμεῖται, ὀρέγεται.

Μενοινὴ, ἀντὶ τοῦ βουλὴ, κεῖται παρὰ τοῖς Ποιηταῖς.

Μενοινὴν, ἀντὶ γνώμην καὶ διάνοιαν, ἢ μέριμναν.

Μενοινῶ, τὸ προθυμοῦμαι, μένω μενωνὴ, καὶ τροπῇ τοῦ ω εἰς τὴν οι δίφθογγον μενοινή. ὡς παρὰ τὴν ἀγκῶνος γενικὴν ἀγκώνη καὶ ἀγκοίνη, οὕτω μενωνὴ καὶ μενοινὴ, καὶ μενοινῶ ῥῆμα.

Μενοιτιάδης, ἀπὸ τοῦ Μενοίτιος μενοιτίδης, ὡς πλεονασμῷ τοῦ α μενοιτιάδης, ὡς νημιάδης, καὶ ἀμφιτρυωνιάδης.

Μένος, τὸ ἔμμονον ἔργον, καὶ ἀπὸ τούτου τὸ σθένος. μένος καὶ ἡ μῆνις, ἤγουν ἡ μνησικακία, γίνεται δὲ πάντα ἀπὸ τοῦ μένειν. μένος, δύναμις, ὁρμή. διαφέρει δὲ τὸ μένος τοῦ θάρσους. τὸ μὲν γὰρ μένος, ἐστὶ τοῦ σώματος, τὸ δὲ θάρσος τῆς ψυχῆς.

Μένος χειρῶν ἰθὺς φέρων παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐμάχοντο ἀντικρὺ, ἢ ἀντὶ τοῦ ἐπῆργον, ῥηθὲν καταχρηστικῶς. ἐκ δὲ τοῦ τοιούτου φέρω, καὶ φορὰ ἡ κίνησις.

Μενοῦνγε, Ἀττικῶς σύνδεσμοι τρεῖς. μὲν οὖν γε, μενοῦν διὰ τοῦτο, τοιγαροῦν.

Μενοῦνγε, ἀντὶ τοῦ ἀληθῶς, ἢ τὸ ἀληθὲς λέγω ὑμῖν.

* Μενάγρα, ὁ ἄγριος λειχήν.

Μνετιόπον, χλανίδα.

Μέντοιγε, πλὴν διὰ τοῦτο, ἢ ὅμως, ἢ ἕνεκεν τούτου.

Μενυσάνιος, πόλεμος.

Μένω ἀμετάβατον. καὶ μένω τινὰ, ἀντὶ τοῦ περιμένω, αἰτιατικῇ συντάσσεται, ὁμοίως ἀναμένω. ταυτὸν γὰρ, παρ' Ἀττικοῖς περιμένω, καὶ ἀναμένω.

Μένω καὶ συμμένω, τὸ διαρκῶ. μένω δὲ, τὸ ἐπιμένω καὶ περιμένω, αἰτιατικῇ συντάσσεται. σημαίνει καὶ τὸ προσκαρτερῶ.

Μένω, ὥσπερ θέω. ἀντὶ μελλόντων τοῦ μένω, καὶ τοῦ θεύσω, τουτέστι δραμοῦμαι, παρ' Ὁμήρῳ εὕρηται.

Μενωνίδαι, τῶν ἐφήμων ἐκ μένωνος ἰδίων.

τινὲς δέ φασι τὸν μέννωνα ἐξυστρακισθῆναι.

Μῖρα, ὄμμασι.

Μεραὶ, πταρμός.

Μεραρχίαι, αἱ δύο χιλιαρχίαι, ἀνδρῶν δισχιλίων τεσσαράκοντα ὀκτώ, τέλος ὀνομάζουσι, καὶ τὸν ἡγούμενον μεράρχην καὶ τελεσιάρχην.

Μέργιζε, ἀθρόως ἔσθιε.

Μέρδει, κωλύει, βλάπτει.

Μέραια, φυλῆς μέρος, ἐκ δέκα τριάδων συνεστός.

Μέρη ἀπὸ τοῦ μεμερίσθαι, καὶ ἄλλο ἄλλου διαφέρειν. συστατικὰ δὲ τοῦ ὅλου σώματός ἐστι.

Μερθεῖσα, στερηθεῖσα, ἀμερθεῖσα.

Μεριδαρχίας, μεριστίας κατὰ δεκαρχίας.

Μερίζομαι, τὸ εἰς μοῖραν λαμβάνω, καὶ ὡς οἰκεῖον δέχομαι. ὡς τὸ μίσθωμα πόρνης ἁγνὸς, οὐ μερίζεται, ἤγουν εἰς μοῖραν λαμβάνει.

Μερίζω, δαίω, νέμω, διανέμω, χωρίζω συντεσσήμαινε. γίνεται δὲ ἀπὸ τοῦ μέρδω, τὸ μερίζω ποιητικῶς, τὸ παρὰ τοῖς κοινοῖς μαρμαίρω, καὶ ἐκβολῇ τοῦ ι καὶ σ τοῦ ἐν τῷ ζ, τὸ λάλον γὰρ καὶ μερίζει, καὶ διαιρεῖ τὴν ὄψιν εἰς τὰ ὁρατά, καὶ μετὰ τοῦ στερητικοῦ α ἀμέρδω, τὸ ἀμαυρῶ, καὶ τῆς λαμπρότητος ἀποστερῶ, ὑμέρδον παραστατικὸς, ἀμέρσω μέλλων, ἤμερσα ἀόριστος.

Μεριχλῆσία, λόγος μὴ γνωρίζων ἐν ἑαυτῷ τὴν διὰ τοῦ ὄντος ὕπαρξιν, ἢ πρᾶγμα ἀνύπαρκτον, ἢ λόγος ἄναρθρος, καὶ ἀσήμαντος.

Μεριμνηταὶ, οἱ φιλόσοφοι.

Μεριμνῶ θρέψαι τοὺς παῖδας, μεριμνῶ περὶ τῆς τροφῆς.

Μερὶς, ἡ κληρονομία.

Μερίτην, συμμεριστὴν, Πολύβιος. καὶ πολλὰ περιελασάμενοι σώματα καὶ θρέμματα, τούτων οὐδενὸς μερίτην ἐποιήσαντο τῶν ἀλόντων.

Μέρμερα, τὰ μερίμνης ἄξια.

Μέρμερα, πολλὴν ἔννοιαν, δηλοῖ μὲν ἐν μιᾷ λέξει. ἐκφέρεται δὲ διὰ τῶν δύο εε, ὡς διϊστάμενον εἰς δάκτυλον.

Μερμέρων, φροντίζων.

Μέρμηρα, φροντὶς, καὶ ἐπίρρημα, τὸ ἀμερμηρεὶ, ὅπερ ἐστὶ δίχα μερίμνης. ἢ καὶ αὐτὰ ἐκ τοῦ μερίζειν γίνεται, ὅθεν καὶ τὸ μερμερίζειν.

Μερμήρω, τὸ φροντίζω. μεριμνῶ καὶ μερμηρίζειν, παρὰ τὸ μείρω τὸ μερίζω, γίνεται μέρος μερίζω, καὶ διπλασιασμῷ μερμερίζω, καὶ τροπῇ τοῦ ε εἰς η μερμηρίζω. ὁ γὰρ φροντίζων μερίζεται τὴν γνώμην.

Μέρμερα, τὰ μερίμνης ἄξια. παρὰ τὸ μείρω, τὸ μερίζω.

Μερμηρίζω, καὶ μερμερίζω, κυρίως ἐπὶ ἀνθρώπου. ὁρμαίνει δὲ λέων, καταχρηστικῶς δὲ καὶ ἐνηλλαγμένως αὐτὰ λέγεται, καὶ μάλιστα ἐν παραβολαῖς.

Μερμερίζειν, τὸ μερίζεσθαι εἰς διαφόρους βουλὰς, ἐξ οὗ καὶ ἡ μέριμνα. ἐτράπη δὲ τὸ ε εἰς η, ἵνα χρησιμεύσῃ εἰς μέτρον σπονδαϊκόν. καὶ Ὅμηρος δὲ, ἀπὸ τοῦ μερίζω γίνεται τροπῇ τοῦ ε εἰς η. ἡ δὲ ἀρχὴ τοῦ μερμηρίζειν, ἐξ ἀναδιπλασιασμοῦ ἐστι καὶ προσθήκης τοῦ ρ. τοῦτο δὲ καὶ ἐπὶ ἄλλων γίνεται. καὶ ἐν τῷ μαρμαίρω γὰρ, καὶ ἐν τῷ δαρδάπτω, καὶ ἐν τῷ καρκαίρω διπλασιασμός ἐστι, καὶ πλεονασμὸς τοῦ ρ. ἐκ δὲ τοῦ μερμηρίζειν. καὶ μέρμηραι παρὰ τοῖς παλαιοῖς αἱ βουλαί. μερμηρίζειν ἀεὶ διὰ τοῦ η λέγεται, χάριν σπονδείου. τὸ μὲν γὰρ μερμερίζειν, διὰ τὸν ἀμφίμακρον ἀσυντελές ἐστι τοῖς ἡρωΐζουσι.

Μερμήριξε, παρὰ τὸ μείρω, τὸ μερίζω, ἀφ' οὗ τὸ φροντίζω. ἀλλ' ἄγε μερμήριξεν, εἰς μέρη ἐμερίζετο, ἐμερίμνα.

Μερμήριχοι, οἱ πειραταί.

Μερμερίδης, Μερμέρου υἱός.

Μέρμιθι, φαεινῇ, ὅ ἐστι μίτῳ λαμπρᾷ. ἔστι δὲ μέρμις μέρμιθος, ὡς ὄρνις ὄρνιθος ἢ μίρινθος ἡ μίτος λεπτὸν γινομένη, παρὰ τὸ εἴρω ἕρμις, καὶ μέρμις. ἡ δυναμένη διαιρεῖσθαι διὰ λεπτότητα. τῶν ἅπαξ δὲ εἰρημένων παρὰ τῷ Ποιητῇ ἡ λέξις ἐστί.

Μέρμις, μέρμιθος, τὸ σπάρτινον σχοινίον, παρὰ τὸ εἴρω, τὸ συμπλέκω, ἕρμις καὶ μέρμις.

Μέρμνης, τριόρχος.

Μερόεν, μεριστικόν.

Μέροπες, οἱ ἄνθρωποι. παρὰ τὸ φύσει μεμερισμένην ἔχειν ὄπα, εἴς τε λέξεις καὶ εἰς συλλαβὰς, καὶ εἰς στοιχεῖα, ὃ μηδεμία τις ἄλλη ἔχει φωνὴ παρὰ τὴν τῶν ἀνθρώπων αὐδήν. αἱ γὰρ ἄλλαι, ὑπόπες λέγονται, ὥσπερ οὐδὲ αὐδή.

Μέροπες ἄνδρες, ἐντελῶς ἐρρέθη. τὸ δὲ μέροπες μόνον ῥηθὲν ἐλλείπεται. οὕτω καὶ βροτοὶ μὲν ἄνδρες, τὸ τέλειον. βροτοὶ δὲ μόνον, ἀτελές. καὶ τὸ παλαιὸν, οἱ Κῷοι. καὶ εἶδος ὀρνέου, οἱ καὶ φλῶροι λέγονται.

Μέροψ, ὄνομα ὀρνέου. καὶ μέροψ ὁ ἄνθρωπος, ποιητικῶς. ὃ γίνεται ἀπὸ τοῦ μεμερισμένην ἔχειν τὴν ὄπα. ἢ μέροψ, συνώνυμον παρὰ τὸ μείρω, τὸ μερίζω, ὁ μεμερισμένην τὴν ὄπα, ὅ ἐστι τὴν φωνὴν ἔχων, καὶ ἔναρθρον, ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. ἐπειδὴ ἐὰν εἴπω ἄνθρωπος, μερίζεται εἰς συλλαβάς. ἢ ὅτι οὐ πάντες τὴν αὐτὴν φωνὴν ἔχουσι.

Μερύομαι, τὸ σχοινίον συνάγω.

Μερύτης, ἀναιδής.

Μερῶν, ἐλάσσων.

Μέρωον, πωλίον.

Μὲς, ἀντὶ τοῦ μὲν λέγουσι Δωριεῖς.

Μεσαβοῦ, ἐν σ γράφεται. λέγεται δὲ τὸ ζευγνύειν κυρίως βόας. καταχρηστικῶς δὲ, καὶ ἕτερα ζῷα. μέσαβα δὲ λέγονται, αἱ τοῦ ζυγοῦ γλυφαὶ, ἔνθα οἱ αὐχένες τῶν ζώων δέδενται.

Μεσάγκυλα, ἀκόντια.

Μεσαιπόλιός ἐστιν, ὁ μὴ πάντη πολιὸς ἀλλ' ὑπερβὰς μὲν τὸν ἀκμαῖον, παραγγείλας δὲ καὶ εἰς ὑπέρακμον, ὃ καὶ ὠμογέροντα, καὶ μέσως πως ἔχων τῶν πολιῶν. ὡς οἷα μιξόθριξ κατὰ ὑποπόλιον. παραγωγὴ δὲ αὐτοῦ κατὰ τὸ πυλαιμένης καὶ τιθαιβώσσειν, καὶ ἰθαιγενὴς, καὶ κλυταιμνήστρα, καὶ ὅσα τοιαῦτα.

Μεσαιπόλοος, ὁ μεσῆλιξ, καὶ οὐ σφόδρα πεπολιωμένος, ἀλλὰ μέσος, οὔπω γέρων.

Μεσαίχμιον, μέσον αἰχμῆς, ἤγουν μέσον δόρατος, ἢ δύο στρατευμάτων. καὶ μεσαίχμιος γῆ, ἡ διὰ πόλεμον ἀργή. καὶ μεσαίχμιον, πᾶν τὸ μέσον τινός. κυρίως τῆς αἰχμῆς μέσαιχμον, κανὼν τοῦ ἱστοῦ. οἱ δὲ, ἀντίον. οἱ δὲ τὸ μεσάκτων, ἢ μεσάκρων, ἢ μεσαίπων τοίχων, ἢ τὸ μέσον τῆς αὐλῆς.

* Μεσάραιον, τὸ μεσεντέριον. κατὰ γὰρ Ἡσύχιον, ἀραιὴ λέγεται ἡ γαστὴρ, καὶ λεπτὰ ἔντερα, ὅθεν μεσάραιον λέγεται, ὡς μέσον τῶν λεπτῶν ἐντέρων κείμενον ἐκ τούτου καὶ ἀγγεῖα μεσαραϊκά.

* Μέσαρχον, τὸ μεσεντέριον.

Μεσάταν ὁδὸν, παρὰ Θεοκρίτῳ ἄνυμες. ἤγουν τὴν μέσην, ἀντὶ τοῦ τὸ μέσον τῆς ὁδοῦ. μέση γὰρ κοινὸν, μεσάτη παρὰ Ποιηταῖς.

Μέσατος, ὡς τρίτος τρίτατος, πρωτότυπον μέσος.

Μέσαυλον, καθοικία ἀγροτική. τουτέστιν, ἔπαυλις. ἐπιμερίζονται δέ.

Μέσαυλος, ἡ αὐλὴ, καὶ ἔπαυλος, καὶ αὖλις. λέγεται δὲ καὶ ἐπὶ ἀνθρωπίνης οἰκήσεως. ὡς δηλοῖ τὸ, ὅτε οἱ μέσαυλον ἵκοντο. οἱ δὲ παλαιοὶ σημειοῦνται, ὡς Ἀττικοὶ μὲν τὴν μέσην θύραν μέσαυλόν φασι. μάλιστα μὲν οὖν τὴν μέσην δυοῖν αὐλαῖν, ὥς φησιν Αἴλιος Διονύσιος. ἣν καὶ μέταυλον αὐτὸς λέγει, πρὸς ὁμοιότητα τοῦ μεθόριον καὶ μεταίχμιον. παρὰ δὲ τῷ Ποιητῇ μέσαυλος, ἐπὶ ἀγροικῆς λέγεται κατοικίας, ἤτοι ἐπαύλεως, ἢ μάνδρας. ἐπὶ δὲ μὴ τοιούτου καταλύματος τάξις αὕτη, ἕρκιον, αὐλή. αἴθουσα, πρόδομος, δόμος, καὶ τὸ ἐνδοτάτω θάλαμος. ἣν δέ φασι καὶ μεσαύλιον κροῦμά τι, μεταξὺ τῆς αὐλῆς αὐλούμενον.

Μέσαυλος, τὸ μέσον τῆς αὐλῆς, ὅπου τῶν βοῶν αἱ στάσεις. μέσαυλον δὲ οἱ Ἀττικοὶ τὴν φέρουσαν, εἴς τε τὴν ἀνδρωνῖτιν, καὶ γυναικωνῖτιν.

Μέσαυλον, ποιμενικὴ κατοικία, ἤτοι ἔπαυλις, ἀγρωτικὸς σταθμός. πολλαχοῦ δὲ κεῖται ἡ λέξις, παραγομένη ἐκ τῆς αὐλῆς, ἥτις ἐκ τοῦ ἄω, τὸ πνέω, ἐπενθέσει τοῦ υ γίνεται, ὅθεν καὶ αὐλὸς, καὶ ὁ αὐλών. ἀπὸ δὲ τῆς αὐλῆς, καὶ τὸ αὔλιον ὑποκοριστικῶς. ἢ κατὰ παραγωγὴν, ὡς τὸ ἴχνιον. καὶ ἡ αὔλειος θύρα, καὶ ἐπαύλια, τὰ μετὰ τὸν γάμον, ὡς δηλοῖ Παυσανίας ἐν οἷς λέγει ἐπαυλίαν ἡμέραν, ἐν ᾗ ἐν τῇ τοῦ νυμφίου οἰκίᾳ ἡ νύμφη πρῶτον ἐπηύλισται. καὶ ἐπαύλια, τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τοῦ γάμου δῶρα, παρὰ τοῦ τῆς νύμφης πατρὸς φερόμενα τοῖς νυμφίοις ἐν σχήματι πομπῆς. παῖς γὰρ ἡγεῖται χλαμίδα λευκὴν ἔχων, καὶ λαμπάδα καιομένην. ἔπειτα παῖς ἑτέρα κανηφόρος. εἶτα αἱ λοιπαὶ φέρουσαι λεκανίδας, σμήγματα, φορεῖα, κτένας, κοίτας, ἀλαβάστρους, σανδάλια, θήκας, μύρα, νίτρα, ἐνίοτε φησὶ καὶ τὴν προῖκα.

Μεσαύχενες, οἱ ἀπὸ μέσου τοῦ αὐχένος δεσμευόμενοι.

Μεσεγγύημα, τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ γενομένῳ ἐγγυητῇ τῆς ἀποδόσεως. καὶ μεσεγγυήσασθαι, τὸ ποιῆσαι τοῦτο λέγεται, ὡς ὑποσημαίνει Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Μεσέγγυον, μεσίτην.

Μεσόρκιον, Διός ἐπίθετον.

Μεσῆλιξ ἐστὶ, ζυγὸς ἀρετῆς, νοῦς τέλειος, ἀρχὴ σώματος, λήξεως.

* Μεσρὲμ, ὄνομα κύριον, ὁ ἐκ τοῦ Χὰμ, ἐξ οὗ καὶ Μεσρὲμ, ἡ Αἴγυπτος, ἡ νῦν Μέσερ ὀνομαζομένη, καὶ Χὰμ σκηνώματα, ἡ Αἴγυπτος.

Μεσημβρινὸν, ἐκ τοῦ μεσημερινοῦ, ἐκβολῇ τοῦ ε, καὶ προσθέσει τοῦ β.

Μεσημβρία ἐστὶ χρόνος, ἐν ᾧ τῶν σωμάτων αἱ σκιαὶ ἐλαχίστου μήκους κοινωνοῦσι.

Μεσημβρίη, μεταφορικῶς ἐν τῇ ἀκμῇ καὶ μεσόντι τῆς ἡμέρας. μεσαώριον, μεσάτιον. μέσον καὶ μέρος τοῦ ἅρματος.

Μεσηγὺς, καταμέσον.

Μεσήεις, μέσος τῇ ἡλικίᾳ.

Μησῆλιξ, ἀπὸ ἐτῶν τεσσαράκοντα ἕως πεντήκοντα.

Μεσηρεύειν, τὸ μηδετέροις συμμαχεῖν, Φίλιστος.

Μεσηρροπῶν, μέσην ὁδεύων.

Μεσητίοισι, μέσοις.

Μεσίας, ὁ κεχρισμένος, καὶ ἀλειμμένος. λέγουσι δὲ τὸν Χριστόν. μέσσα γὰρ τὸ ἔλαιον, ἤτοι τὸ χρίσμα ἑρμηνεύεται.

Μεσιδιωθῆναι, τέτριπται καὶ ἐν τοῖς δικαστηρίοις, καὶ ἐν τοῖς συμβολαίοις, ἀλλὰ σὺ μεσεγγυηθῆναι λέγε.

Μεσίτης, ὁ μεσάζων. τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιτης γινόμενα, διὰ τοῦ ι γράφεται, οἷον τόπος τοπίτης, μέσος μεσίτης.

Μέσκος, κώδιον, δέρμα. Νίκανδρος.

Μέσμα, μέσωμα.

Μέσμα, πόλις κτισθεῖσα ὑπὸ Λοκρῶν, ὁμωνύμως τῷ ποταμῷ. Ὦρος.

Μεσογάστορα ναύτην, τὸν ἐν τῇ μέσῃ νηΐ. βέλτιον δὲ, τὸν διεζωσμένον μέσην τὴν γαστέρα, ζωνογάστορα.

Μεσόγειος, γῆ ἄνευ λιμένος.

Μεσοδάκτυλα, ἐναντίασα τοῦτο ἀκούσας τοὔνομα. λέγομεν οὖν τὰ μέσα τῶν δακτύλων.

Μεσόδμαι, οὐ μόνον ἐπὶ νηῶν, ἀλλὰ ἰδοὺ καὶ οἴκου μεσόδμαι τὰ μεσόστυλα κατὰ Ἀρίσταρχον. καθ' ἑτέρους δὲ τὰ μεταξὺ τῶν δοκῶν. ἔνιοι δὲ διαφράγματα, μεταξὺ τῶν κιόνων. οἵ φασι, περὶ τοὺς τοίχους ἦσαν.

Μεσόδμαι λέγονται, τὰ μέσα ξύλα τῆς σχεδίας καὶ τοῦ πλοίου. ἰκρία δὲ, τὰ ὀρθὰ καὶ καταστρώματα.

* Μεσόδμη, τὸ μέγα ξύλον τὸ ἀπὸ τοῦ ἑτέρου τοίχου πρὸς τὸν ἕτερον διῆκον. Γαληνός.

Μεσόδμη, ἡ ἱστοδόκη. ὅπου τίθεται ὁ ἱστὸς, καὶ κλίνεται.

Μεσόδμη, ἡ ὀπὴ, δι' ἧς ὁ ἱστὸς ἐνείρεται. λεχθεὶς οὕτω παρὰ τὸ μέσον τῆς νηὸς δεδομῆσθαι.

μέση γὰρ τοῦ τοιούτου πλοίου ἐστί. λέγονται καὶ ἐπὶ οἴκου αἱ μεσόδμαι, τὰ μεσόστυλα κατὰ Ἀρίσταρχον. ἡ μεσόδμη, κατὰ τὸ μέσον.

Μεσοδόμα, γωνή. Λάκωνες.

Μεσοικέται, μέτοικοι, ἢ οἱ τὰς λαγόνας οἰκοῦντες

Μεσοκόποι αὐλοί, οἱ ὑποδεέστεροι τῶν τελείων, μέσοι.

Μεσοκουράδες, οὕτω καλοῦσι δένδρα τὰ ὑπὸ ἀνέμων καταγέντα, καὶ κυρᾶς.

* Μεσόκρανον, τὸ ἔγκοιλον τοῦ κρανίου, ἡ κορυφή.

Μεσολάνιον, μεσοδόμιον.

Μεσομφαλία, ἡ μέση τῶν Δελφῶν πόλις.

Μεσομφάλοι, φιάλαι, ἴων ὀμφάλη.

Μέσον ἔχουσι, ἡ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν, λαμβανομένων εἰς τὸ μέσον, καὶ ἡττωμένων. δηλοῖ τὸ ἔχω σε εὔψυχον.

Μέσον ἡμέρας, καὶ μεσημβρία, καὶ μεσοῦσα ἡμέρα. μέση δὲ ἡμέρα, κοινόν.

Μέσον αἰόλοι, ἐπὶ τῶν σφηκῶν οἱ μέσοι στρεφόμενοι.

Μέσον ἕρκος, τὸ μέσον τῆς αὐλῆς.

Μεσονύκτιον, ποιητικόν, οὐ πολιτικόν.

Μεσοπαγοῦ καλοῦσι, τὸ μεσσηγὺ ἐν γαίῃ ἱστάμενα δοῦρα. ἤγουν εἰς ἥμισυ, καὶ μέχρι μέσου ἐμπεπηγότα γῇ, διὰ τὸ σφοδρὸν τῆς βολῆς. ὁποῖον μεσοπαγὲς τὸ τοῦ Ἀχιλλέως δόρυ παρ᾽ Ὁμήρῳ εὕρηται. γράφεται καὶ μεσοπαλὲς δόρυ, διὰ τοῦ λ. καὶ δηλοῖ τὸ ἕως μέσου παλλόμενον, καὶ κραδαινόμενον. ἕτεροι δὲ συντόμως, οὕτω συνελόντες ἀμφοτέρας τὰς γραφάς φασιν. ὅπερ ἕως μέσου πεπηγός, ἐπάλλετο κατὰ τὸν οὐρίαχον.

Μήσοπα, ἱμάντα τὸν περὶ τὸν ζυγόν, καὶ τὸ ἄροτρον δεμένον.

Μεσοπαλὲς, κραδαινόμενον, ἐκ μέσου δόρυ.

Μεσόπτερα ἦν, μεσόφορα ἦν. τὸν μέσον, τὸν φερόμενον. τὸ γὰρ παλαιὸν τῷ π ἀντὶ τοῦ φ ἐχρῶντο, προστιθέντες τὸ τῆς δασύτητος σημεῖον.

Μεσοπερσικά, ὑποδήματα γυναικεῖα.

Μεσόπορον, μέσην ὁδόν.

Μεσόρομβος, δεσμὸς παρὰ τοῖς ἰατροῖς.

Μεσοστροφωνίαι ἡμέραι, ἐν αἷς Λέσβιοι κοινὴν θυσίαν ἐπιτελοῦσι.

Μέσος, παρὰ τὸ μετέχειν ἰσότητος, ἢ τοῦ ἴσου.

Μεσότοιχον, τὸ διάφραγμα. ὡς ὁ Ἀπόστολος, τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν τὴν πρὸς τὸν θεὸν ἡμῶν τε καὶ Ἰουδαίων λέγει. ποῖον δὲ μεσότοιχον ἔλυσε, τὴν ἔχθραν, ἡ σὰρξ τοῦ Χριστοῦ.

Μεσοτύλαρον, αἰδοῖον.

Μέσου, δουρὸς ἑλὼν, ἤτοι ἁψάμενος. ἐποίουν δὲ τοῦτο ἐν τοιούτοις καιροῖς οἱ παλαιοί. ὡς μὴ ἔχοντες βοὴν ἐξάκουστον, διὰ τὸ ἀκμάζειν ἔτι τὸν πόλεμον, καὶ ἐδείκνυον τῇ μεσολαβήσει τοῦ δόρατος, πολέμου σχολὴν, οἷα μὴ πρὸς σχῆμα μάχιμον αὐτὸ χειριζόμενοι.

Μεσοφέρδειν, μεσολαβεῖν.

Μέσπιλα, φυτόν τι.

Μεσόψυρον, ἡμίξηρον.

Μέσπλη, ἡ Σελήνη παρὰ Σκύθαις.

Μέσσαβον, ἐξ ὠμοβοείων ἱμάντα, ᾧ τὸν ἱστοβοέα πρὸς μέσον τὸν ζυγὸν προσδέουσιν, ὅν τινες ἐχέβοιον.

Μεσσαῖον, τὸ ὑπὸ τοὺς τραχήλους ὑποτιθέμενον.

Μεσσάτω παρ᾽ Ὁμήρῳ, οὗ πρωτότυπον ὁ μέσος. ὡς ὁ τρίτος τοῦ τρίτατος. μεσσαιτάτω λέγουσιν οἱ μεθ᾽ Ὅμηρον Ἀττικῶς.

Μεσσάτῳ, παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ μεσαιτάτῳ. ἐλλειπτικῶς ἐρρέθη, λείπει τὸ τόπῳ.

Μεσσηγὺς, μεταξὺ, μέσον. μέσση δὲ χίμαιρα, τὸ μέσον αἰγοπρόσωπον.

Μέσση, ἀντὶ τοῦ Μεσσήνη. ἄλλως δέ φασι μέσση οὐδαμοῦ δείκνυται. παραδέδοται δὲ καὶ αὕτη ἐν ταῖς ἱστορίαις. ἐν αἷς φέρεται, καὶ ὅτι ἡ Σικελικὴ Μεσσήνη ταύτης ἄποικος. γράφεται δὲ καὶ αὕτη, καὶ ἐκείνη ἐν δυσὶ σ, παραδίδοται δ᾽ ἔτι καὶ ἑτέρα Μεσσήνη δι᾽ ἑνὸς σ γραφομένη. ἀποκοπὴν οὖν ἡ ὁμηρικὴ ἔχει μέσση, ἀπὸ τοῦ μεσσήνη. ὥσπερ δὲ καὶ ἐκ τοῦ κρῖμνον τὸ κρῖ, καὶ Ἀλκιμέδων ἄλκιμος. Ἡσίοδος δὲ, τὸ βριθὺ, καὶ βριαρὸν βρῖ. καὶ Σοφοκλῆς ῥάδιον, ῥᾶ.

Μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ, μέσον οὐρανοῦ καὶ γῆς τόπος ἀέρος ἐστὶ, περὶ ὃν ἐλαύνει Ἥρα, τὸ ἅρμα.

Μεσσηγὺς, ἀντὶ τοῦ μεταξὺ, ἢ ἀντὶ τοῦ μέσον.

Μεσσηγὺς καὶ ὑπέρεια, κρῆναί εἰσιν, ὧν Ἕκτωρ μέμνηται, παραμυθούμενος ἴσως τὴν γυναῖκα, καὶ ἐν αἰχμαλωσίᾳ περισπούδαστον ἐσομένην. οὐ γὰρ ὑποτεταγμένως αὐτὴν ἀπαλλάξεταί τις. ἢ ἕτερος τῶν τυχόντων, ἀλλὰ εἰς βασιλικὸν γέρας ἐν Ἄργει ἐξαιρεθήσεται·

Μέσση, πόλις λακωνικῆς.

Μεσσήνη, ἡ ἀρήνη.

Μεσσίδιος, μέσος, ἴσος.

Μεσσογενεῖς, οἱ ἐν μέσῃ τῇ ἡλικίᾳ γεγονότες.

Μέσος Ὠκεανοῦ καὶ Οὐρανοῦ τόπος.

Μεσωπὴρ, ὁ μεσιτεύων κατὰ τὸν ἀγῶνα.

Μέστακα, ἢ μάστακα, τὴν μεμασημένην τροφήν.

Μεστὴ, γέμουσα.

Μεστὸς, ὁ πλήρης. ἔστιν ἐῶ τὸ πληρῶ, ὄνομα ῥηματικὸν ἐστὸς, καὶ πλεονασμῷ τοῦ μ μεστός.

Μεστόω, τὸ πληρῶ. Ἀριστοφάνης, ἡ πόλις ἡμῶν ὑπογραμματέων καὶ βωμολόχων ἀνεμεστώθη.

Μέσυϊ, ἐν μέσῳ, Αἰολεῖς.

Μέσφα, ἀντὶ τοῦ μέχρι. μέσφα ἠοῦς, ἤγουν μέχρι, ποιητικὴ λέξις.

Μέσφα τοι ἐχθὲς, ἀντὶ τοῦ μέχρι ἐχθές.

Μέσωρον, μέσον.

Μέσωρ, μέσος.

Μεσώρα, ἡ ἐν τῇ δεκαέτῃ ἡλικία, καὶ παρήλικα, καὶ ἀγγεῖα, καὶ παίγνια, οἷς ἔχαιρον, καὶ τὰ ὅπλα οἷς ἐχρῶντο καὶ παῖδες ὄντες, καὶ ἔφηβοι, καὶ τελειωθέντες.

Μετὰ πρόθεσις, μετὰ γενικῆς καὶ αἰτιατικῆς συντάσσεται. καὶ ὅτε μὲν μετὰ γενικῆς, δηλοῖ ἕνωσιν καὶ ὁμοιότητα πράξεως. ἕνωσιν μὲν, ὅταν τὸ αὐτὸ πρᾶγμα, καὶ κατὰ τὸν αὐτὸν καιρὸν μετά τινος πράττω, οἷον μετὰ σοῦ μανθάνω. ὁμοιότητα δὲ, ὅταν κατὰ ἄλλον καιρὸν ὅμοιόν τι ποιήσω. ὡς ὁ Θεολόγος φησὶ, μετὰ τῶν μάγων δωροφορήσωμεν. μετὰ δὲ αἰτιατικῆς, δηλοῖ ὑστεροχρονίαν καὶ μετάβασιν, ἀπὸ ἑνὸς πρὸς ἄλλο, καὶ τάξιν, καὶ ἐλάττονα τάξιν. οἷον μετὰ τὸν Γεώργιον ὁ δεῖνα, ἤγουν ἐλάττων κατὰ τάξιν. σημαίνει δὲ ἐν τῇ συνθέσει μετάβασιν ἀπὸ πράγματος εἰς πρᾶγμα, οἷον μεθίσταμαι ἀπὸ τοῦδε εἰς τόδε. καὶ μετουσίαν, οἷον μέτεστί μοι τοῦδε. ἄλλως, μετὰ καὶ ὀργανικῶς λαμβάνεται. Λιβάνιος, μετὰ τούτων καὶ τοὺς γνωρίμους ὠφελοῦμεν, οὖγουν μετὰ τῶν χρημάτων.

Μετὰ, συναπτομένη ῥήματι ἕτερον δηλοῖ, ἢ ἐστι, καὶ ἕτερον συναπτομένη τῇ γενικῇ, καὶ ἕτερον συναπτομένη τῇ αἰτιατικῇ.

Μετὰ, παρ᾽ Ὁμήρῳ ἐν φ᾽ τῆς Ὀδυσσείας, ἐστὶ μὲν ταυτὸν τῇ ἐν προθέσει. νοηθὲν δὲ ὑπερβατῶς, μετὰ τοῖος ἀνὴρ ἐν τοῖς δίσι πᾶσιν, ἐκ παραλλήλου κεῖται μετὰ ἰσοδυνάμου προθέσεως.

Μέτα πρόθεσις, ὅτε μὲν μόνη αὐτὴ καθ᾽ αὑτὴν, τίθεται ἀντὶ τοῦ ῥήματος μέτεστιν, ὡς καὶ Εὐριπίδης δηλοῖ. καὶ τὸ πάρα, τοῦτο δὲ καὶ ἀντὶ ἑνικοῦ λαμβάνεται ῥήματος τοῦ πάρεστι. καὶ ἀντὶ πληθυντικοῦ, οἷον πάρ᾽ ἐμοί γε καὶ ἄλλοι. ὁμοίως καὶ τὸ ἔνι, ὅπερ ἐστὶν ἡ ἐν πρόθεσις. καὶ αὐτὸ γάρ ποτε μὲν ἀντὶ τοῦ ἔνεστι νοεῖται, ποτὲ δὲ ἀντὶ τοῦ ἔνεισιν. ὡς τὸ ἐπεὶ οὔ οἱ ἔνι φρένες, οὐδ᾽ ἠβαιαί.

Μετὰ πλεόνεσσι, παρ᾽ Ὁμήρῳ ἡ μετὰ πρόθεσις συνήθως, ἀντὶ τῆς ἐν προθέσεως κεῖται.

Μεταβαίνει, τὸ μεθίσταται, καὶ μεταβαίνει, τὸ μετατίθεται.

Μεταβαίνει, στρέφει, παρέρχεται, ἀναχωρεῖ.

Μεταβαλὼν, θαυμάζει τὸν ἄνδρα, ἀντὶ τοῦ μεταβληθείς. ὁμοίως καὶ τὸ ἄριστα Ἑλλήνων.

Μεταβαλλόμενος, παρὰ τῷ Ἀριστοφάνει ἐν βατράχοις. ἀντὶ τοῦ μεταφέρων, ἀποτιθεὶς ἀπὸ ὤμου εἰς ὦμον.

Μεταβάλλω, τὸ ἀλλοιῶ, καὶ μεταποιῶ, αἰτιατικῇ συντάσσεται. μεταβάλλομαι ἐγὼ, ἐπὶ πάθους. μεταβαλλόμενος, ἀντὶ τοῦ μετατιθέμενος. Ἀριστοφάνης, μεταβαλλόμενος, τὸ ἀνάφορον, ἤγουν τὸ ἐπὶ ὤμων φορτίον. μεταβάλλει τίς τι, ἤγουν ἐξ ἑτέρου, ἕτερον ποιεῖ. μεταβάλλεσθαί ἐστι πάθος κοινόν. καὶ γὰρ καιρῶν, πράξεων, καὶ ἀφροδισίων γίνονται μεταβολαί. ὡς ἐκεῖνο, μεταβολὴ πάντων γλυκὺ, λέξις ἐμπορική ἐστιν. ὅθεν μεταβολεῖς ὀβολῶν, καὶ ἀλφίτων, καὶ τῶν τοιούτων, οἱ αὐτὰ καταλλάσσοντες.

Μεταβαλὼν, μεταποιήσας, μεταστρέψας.

Μεταβεβληκὼς, εἰς λίθον μέλαινα, ἤγουν μεταβληθείς.

Μεταβοθρεύοντες, μετασκάπτοντες.

Μεταβολεὺς, πραγματευτικὴ λέξις. δηλοῖ ὁ τῶν ἀλφίτων μεταβολεὺς, καὶ τῶν ὀβολῶν, καὶ τοῦ χρυσίου, ἐκ τῆς βολῆς ἢ τοῦ σίτου ἐκβολή. ὅ ἐστιν ἡ πρώτη ἐκ τῆς κάλυκος τῶν ἀσταχύων ἔκφυσις.

Μεταβολή ἐστιν, ὅταν τὸ αὐτὸ νόημα διαφόρως ἐξαγγελθῇ. ὡς τὸ τίνος διώκοντος; ἢ συναναγκάζοντος; οὐδενός. τίνων ἱππέων. τίνος ὑλακῆς, ἢ κραυγῆς;

Μετάβολοι, οἱ μεταπράται.

Μέταβος, υἱὸς Ἀλίβαντος. Ἡρακλέα λέγεται ἐπὶ τὰς Γηρυόνου βοῦς ἀπιόντα, ξενισθῆναι παρὰ Ἀλύβαντι, καὶ ὥστε γεννηθῆναι τὸ παιδίον, καὶ διὰ τοῦτο μέταβον προσαγορευθῆναι. ἐπεὶ μετὰ τὰς βοῦς τοῦ Γηρυόνου ἦν.

Μετάβρασκος, μέτριος. Ἑρμηνεὺς. * μᾶλλον δὲ μεταφράστης.

Μεταγγέλλομαι, παθητικῶς λέγεται, ἀντὶ τοῦ ὑπισχνοῦμαι, καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται.

Μετάγγελος, περιττὴν ἔχει τὴν πρόθεσιν, καθὰ καὶ ἐπίουρος, καὶ ἐπίμηνις, καὶ ἐπιδύσκολος ἀνὴρ, καὶ τίς ἂν καταθνητῶν ἀνθρώπων, καὶ ἀνδρῶν καταπεθνειώτων.

* Μεταγγίζειν, τὸ ἀφ᾽ ἑνὸς ἀγγείου εἰς ἕτερον ἐγχέειν, ὃς καὶ ἄλλως μετεράσαι λέγεται.

Μεταγειτνιὼν, ὁ δεύτερος μὴν παρ᾽ Ἀθηναίοις, οὕτω καλεῖται. ἐν ᾧ τούτῳ, Ἀπόλλωνι μεταγειτνίων θύουσιν, ὡς Ἀσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν.

Μεταγενὴς, μεταγενέστερος.

Μετάγνωσις, ἡ μεταμέλεια.

Μετάγω, τὸ μετατίθημι. μετάγει, μεθιστᾷ, καὶ μεταβιβάζει, καὶ μετακινεῖ, αἰτιατικῇ συντάσσεται. οἷον μετάγει τὸ δεξιὸν κέρας ἐπὶ θάτερα, ἀντὶ τοῦ μεθιστᾷ. μετάγω σε τῆς γνώμης, ἢ τῆς ὁρμῆς, ἀντὶ τοῦ ἀναπείθω.

Μεταγωγὴ, καὶ διάβασις, ἀπὸ τῶν διαιτῶν εἰς τοὺς δικαστάς.

Μεταδαίσεται, ἤγουν συνειλαπινάσει. ὅπερ ὁ Ποιητὴς ἐν τῷ σ᾽ τῆς Ὀδυσσείας σαφέστερον φράζων φησίν. οὐδέ τιν᾽ ἄλλον πτωχὸν ἔσω μίσγεσθαι ἐάσομεν αἰτήσοντα. ὁ καὶ αὐτὸ προσφυὲς ἔπαθλον τῷ περὶ δαιτὸς μαχομένῳ.

Μεταδαίσομαι, μεταλάβω, εὐωχηθήσομαι.

Μετὰ δὲ, ἐν αὐτοῖς δέ.

Μετὰ δ᾽ ἐτράπετο, ἐπεστράφη δέ.

Μεταδεῦσαν, μετάνοιαν.

Μεταδήα, μεταμελέτη.

Μεταδήμιος, ἐνίοτε ὁ ἐνδήμιος. ὡς μεταδόρπιος, ὁ ἐν τῷ δόρπῳ.

Μεταδίδωμι, ἀπὸ δοτικῆς εἰς γενικὴν, Ἀττικῶς, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ἰουλιανός, μετέδωκε γάρ μοι πρὸς Καππαδοκίαν ὄντι, πρὸς μεταγραφήν τινα. καὶ Ἡρόδοτος, μεταδιδοὺς πέντε τάλαντα, ὡς παρὰ ἑκόντος δῆθεν διδούς, μεταδίδωμί σοι τοῦ πλούτου.

Μεταδόρπιος, δείπνου ὥρα, ἤγε δείπνῳ.

Μεταδρομάδην, ἐπιδραμὼν, ἢ ἐν τῷ τρέχειν ὁμοῦ.

Μεταδῶ, ὅπερ τις ἔλαβεν ἀπ᾽ ἄλλου. ὡς καὶ ὁ Ἀπόστολος, ἵνα τι μεταδῶ ὑμῖν χάρισμα πνευ-

Digitized by Google

τρέμματικόν. τοῦτο δὲ λέγει, οὐκ ἐμόν τι δέδωκας, ἀλλ᾽ ὅπερ ἐγὼ ἔλαβον.

Μεταίνυμι, μετὰ σὲ ἐλδέσομαι.

Μεταθεὶς, ἤτοι μεταστήσας, μεταγαγὼν, ὅ ταν ἵστηται.

Μετάθεσις τῶν στοιχείων, γίνεται οὕτως καρδία κραδία, ἄβατος ἄταρπος, σφάραγον φάσγανον, ὀλίγος λοιγὸς, κάρτος ἀντὶ τοῦ κράτος. καλεῖται δὲ καὶ ἐνάλλαξις, καὶ ὑπέρθεσις. τῇ δὲ μεταθέσει χρῶνται οἱ Ἴωνες.

Μεταίγδην, ὁρμητικῶς.

Μεταΐζειν, τὸ συνιζεῖν.

Μεταΐξας, μεταδιώξας.

Μεταίσεσθαι, μετελθεῖν, μεταγνῶναι.

Μεταίρω, ἀμεταβάτως τίθεται τὸ μετοικῶ, καὶ ἀποδημῶ, αἰτιατικῇ συντάσσεται. μεταίρω τὴν οὐσίαν, ἀντὶ τοῦ μετατίθεμαι. μετατίθεμαι, καὶ μετακομίζω, καὶ μεταίρω ἐπὶ μεταθέσεως.

Μεταίσιον, μεταχθόνιον.

Μεταίσαι, ἐπαίσαι.

Μεταίφριος, ἐξαπίνης.

Μεταιχμεῖ, μοχθεῖ.

Μεταίχμιον, τὸ στενὸν δηλοῖ, τὸ μεταξὺ τῶν δύο στρατευμάτων, οἱονεὶ μεσαίχμιόν τι ὄν, Ἀττικῇ τροπῇ τοῦ σ εἰς τ, ὡς καὶ μεσόριον καὶ μεθόριον, ἀπ᾽ αὐτοῦ δὲ καταχρηστικῶς μεταίχμιον, καὶ τὸ ἁπλῶς μεταξὺ δύο τινῶν. τὸ δὲ τοιοῦτον στενὸν, ἤτοι μεταίχμιον φράζει ὁ Ποιητὴς ὀλίγη δ᾽ ἦν ἀμφὶς ἄρουρα. βαρβαρικὸν δ᾽ εἶναί φασιν οἱ παλαιοὶ, τὸ μονομαχεῖν.

Μετακαλοῦμαι, ταυτὸν τῷ μεταπέμπομαι, ἀντὶ τοῦ διά τινος εἰς ἐμαυτόν τινα ἄγω, αἰτιατικῇ συντάσσεται.

Μετακαλῶ, μεταπέμπομαι, μεταστέλλομαι.

Μετακάρπιον, τῆς χειρὸς μέρος τὸ μετὰ τὸν καρπόν.

Μετακέρας, τὸ εὔκρατον ὕδωρ, ἢ χλιαρόν.

Μετακλιθέντες, μετατραπέντες, ἢ μεταβαλλόμενοι.

Μετακλίσεις, αἱ ῥοπαὶ, αἱ μεταθέσεις.

Μετακοίνωνον, κοινωνόν.

Μετακοιτίαι, ἡμέραι μεθεόρτιοι, ἡ ἑορτὴ οὐκ ἔστι.

Μετακόνδυλοι, τῶν κονδύλων, τὸ μεταξὺ τῶν κονδύλων.

Μετακύμιον, τὸ μεταξὺ τῶν κυμάτων.

Μετακύριον, φοινικίν.

Μετακύρας, τὸ γαλακτῶδες σύγκραμα, παρὰ τῷ Ἱπποκράτει.

Μεταλαβεῖν, ἀντὶ τοῦ μετασχεῖν γενικῇ, καὶ μεταλαβεῖν, ὕστερον λαβεῖν, αἰτιατικῇ.

Μεταλαγχάνω τοῦδε, ἀντὶ τοῦ, τοῦδε μεταλαμβάνω, γενικῇ μόνῃ συντάσσεται.

Μεταλαμβάνω, γενικῇ συντάσσεται, ἀλλὰ καὶ αἰτιατικῇ, ὅτε στέρησίν τινα δηλοῖ ἢ μετουσίαν, οἷον μετὰ ποιῆσαι, ἢ παθεῖν. λαμβάνω τόδε, οἷον τὸν προσόντα μοι πλοῦτον ἀφαιρεθεὶς, τὴν τῆς πενίας κακόπαθειαν μετελάμβανον, οὕτω νοήσας καὶ τὸ μεταμανθάνω, καὶ τὸ μετονομάζομαι.

Μεταλαμβάνω, τὸ κοινωνῶ καὶ μετέχω γενικῇ. οἷον μεταλαμβάνω τῶν ἰδεσμάτων, καὶ μετέλαβε τῆς εἰκόνος, παρὰ τῷ Θεολόγῳ. καὶ αἰτιατικῇ, ὅταν λαμβάνω, καὶ αὐτὸς τὸ πρᾶγμα μετὰ τὸ πρῶτον.

Μετάλλειον, οὕτω μύρον ἔλεγον ἀπό τινος Μεταλλου σικελιώτου, ἄραντος αὐτοῦ τὴν κατασκευήν. ὃ καὶ διὰ τοῦ γ γράφει Ἀριστοφάνης.

Μεταληπτικόν, τὸ μεταδοτικόν.

Μετάληψις, ἡ κλίσις ἐστὶν, ὅταν προτεθεῖσα πτῶσις οὐ φυλάξῃ τὴν ἑαυτῆς ἀκολουθίαν, ἀλλ᾽ εἰς ἑτέραν πτῶσιν μετακλιθείη, ἢ μεταληφθείη. οἷον καὶ τὸ, τοὺς ὅσοι τὸ πελαγισκὸν Ἄργος ἔναιον, καὶ τὴν ἀοιδὴν ἐπικλείουσιν, ἀοιδοὶ ἥτις ἀκουόντεσσι νεωτάτη ἐστί. τοιοῦτον καὶ μῆνιν ἄειδε θεὰ οὐλομένην, ἣ μυρία ἔθηκεν ἄλγεα, ἐν τούτοις γὰρ αἱ αἰτιατικαὶ εἰς εὐθείας μετεκλίθησαν, ἢ μετελήφθησαν. ὅμοιον καὶ τὸ, ἄνδρα μοι ἔννεπε, ὃς μάλα πολλὰ ἐπλάγχθη.

Μετάληψίς ἐστι, κατὰ συνωνυμίαν σημαίνουσα πρᾶγμα διάφορον. οἷον, ἔνθεν δ᾽ αὖ νήσοισιν ἐπιπροέηκα θοῇσι. βούλεται σημῆναι τὰς κυρίως ὀξείας λεγομένας νήσους, ἐπεὶ συνώνυμον τὸ θοὸν τῷ ὀξεῖ. ὀξὺ δὲ οὐ μόνον τὸ κατὰ κίνησιν ταχὺ, ἀλλὰ καὶ τὸ κατὰ σχῆμα προηγμένον εἰς λεπτότητα.

Μεταλλᾶν, ἐρευνᾶν, ζητεῖν, ἐρωτᾶν.

Μεταλλᾶν, τὸ πολυπραγμονεῖν ἀεὶ παρ᾽ Ὁμήρῳ. ἀφ᾽ οὗ καὶ ἐπὶ τῶν ὑπὸ γῆν τὸ μεταλλεύειν εἴρηται. καὶ τὰ ἐκεῖθεν ἀνορυττόμενα, μέταλλα λέγονται. κληθῆναι φασὶν οὕτω, διὰ τὸ μετὰ τὰ ἄλλα πάντα ἐπινοηθῆναι. καὶ γὰρ ἔοικε τῶν περὶ γῆν πάντων τῶν ἄλλων ἀθετηθέντων, τότε δὴ μετὰ τὰ ἄλλα ἐκεῖνα ἐπιχειρῆσαι τοὺς ἀνθρώπους καὶ ταῖς γεωρυχίαις. καὶ ἀφεῖναι μὲν τὰ νῶτα τῆς γῆς, ἐπιχειρῆσαι δὲ ταῖς λαγόσιν αὐτῆς, ὡς ἂν ἔχοιεν τι κερδαίνειν, καὶ ἀπ᾽ αὐτῶν.

Μεταλλάξαντες, ἀντὶ τοῦ μεταχωρήσαντες.

Μεταλλάττειν, τὸ μεταβαίνειν ἀπό τινος εἴς τι. καθὸ λέγεται τὸ μετήλλαξε τὸν βίον, ἀντὶ τοῦ ἐτελεύτησε.

Μεταλλεῖς, τῶν μυρμήκων τινὲς οὕτω καλοῦνται.

Μεταλλεῖς, οἱ μέταλλα ἐργαζόμενοι ὀνομάζονται. ἔστι δὲ καὶ δρᾶμα Φερεκράτους μεταλλεῖς.

Μεταλλεύει, ζητεῖ, ὀρύσσει, ἀνασκάπτει.

Μεταλλήξαντι, μεταβληθέντι, παυσαμένῳ.

Μεταλλήτις, γῆτις.

Μετάλλησαν, ἐπεζήτησαν.

Μέταλλος, λίθος, θάλασσα, προμνηστρια.

Μετάλμενος, ἐφαλλόμενος.

Μεταλώφιον, ἀντὶ τοῦ ἐπαύσαντο.

Μεταμάζιον, τὸ μεταξὺ τῶν μαζῶν, ἢ τὸ ὑπὲρ τῶν μαζῶν, ἢ τὸ μετὰ μαζῶν.

Μεταμαθεῖν, μεταγνῶναι. Ἀριστοφάνης, οὐδ᾽ ἂν μεταμάθης τοῦτο. μεταμαθεῖν ἔλεγον κυρίως, τὸ μετὰ ταῦτα ἕτερόν τι μαθεῖν, ἀφιεμένου τοῦ πρώτου.

Μεταμείβων, μεταλλάσσων.

Μεταμέλειά ἐστι, δυσαρέστησις ἐπὶ πεπραγμένοις. καὶ μεταμέλεια, ἡ μετάνοια.

Μεταμέλειν, ῥῆμα παρασύνθετον ἐκ τοῦ μεταμέλομαι, καὶ μετανοῶ, καὶ μεταγινώσκω.

Μεταμέλος ἄνθρωπος, καὶ μεταμέλος ἡ μεταμέλεια. Λιβάνιος, εἰ μὴ παραχρῆμα μεταμέλος εἰσῆλθεν αὐτῷ, κατέγνω τῶν πεπραγμένων.

Μεταμελοῦμαι, παθητικῶς ἐπὶ τοῖς πεπραγμένοις. οἷον μεταμελοῦμαι ἐπὶ τῇ ἀπωλείᾳ τῶν χρημάτων. ἔχει δὲ πρόσωπον, καὶ μεταμέλει μοι τοῦ πταίσματος, καὶ μεταμέλει μοι ἐπὶ τῷ πταίσματι.

Μεταμέμβλεται, μεταμελήσεται.

Μεταμήθεια, μετάνοια.

Μεταμὶξ, ἀναμὶξ, μετὰ μίαν.

Μετάμιξις, μεταπτωσή.

Μεταμόρφωσίς ἐστι, μόρφωσις, μεταχαρακτηρισμὸς καὶ μετατύπωσις σώματος, εἰς ἕτερον χαρακτῆρα. καὶ μεταμορφοῦται.

Μετ᾽ ἀμύμονας, πρὸς τοὺς ἀγαθούς.

Μεταμφιάσκεσθαι, ἐνδύσασθαι ἐσθῆτα.

Μεταμφιέσθαι, μετενδύεσθαι τὴν ἐσθῆτα.

Μεταμώλιον, μεταμελείας ἄξιον. γράφεται δὲ καὶ μεταμώνιον, ὅ ἐστι μάταιον μετὰ ἀνέμων φερόμενον. ἀπὸ γενικῆς πληθυντικῆς γίνεται κτητικὸς τύπος εἰς ος τῷ ι παραληγόμενος, οἷον ἄμμων Ἀμμώνιος, ἀνέμων ἀνεμώνιος.

Μεταμώνια, ἢ μεταμώλια γράφεται. γίνεται τὸ μεταμώνια παρὰ τὸ μὴ ὀνεῖν μηόνια καὶ κατὰ κρᾶσιν καὶ σύνθεσιν μεταμώνια. ὁμοίως τῷ ἐπιβοήσομαι ἐπιβώσομαι, καὶ Ἀττικῶς μεταμώλια, ὡς καὶ νίτρον λίτρον, καὶ ἄλλα πολλά.

Μεταμώνια, τὰ μάταια, καὶ μὴ ὀνοῦντα. ὅ ἐστιν ὠφελοῦντα. ἵνα ἐκ τοῦ μὴ στερητικοῦ μορίου, καὶ τοῦ ὀνῶ ἔχῃ κρᾶσιν ἡ λέξις τοῦ ο καὶ η εἰς ω μέγα. ὡς καὶ ἐπὶ τοῦ δῶμα γίνεται καὶ τοῦ σιωπῇ εἰ δὲ καὶ μεταμώλια γράφεται, εἴη ἂν ὁ σχηματισμὸς Ἀττικός. Ἀθηναῖοι ἀντὶ τοῦ ν ἔστιν ὅτε τὸ λ τιθέασιν. ὁποῖον καὶ τὸ νίτρον καὶ ὁ πνεύμων, ἃ ἐκεῖνοι λίτρον καὶ πλεύμονά φασι.

Μετανάστην, φυγάδα, μέτοικον. ἀπὸ τοῦ ναίσσω, ὁ μέλλων νάσω, νένασμαι, νάστης, καὶ μετανάστης.

Μετανεγνώσθη, μετανεπείσθη, τὸ ἀναπεῖσαι ἀναγνῶναί φασι.

Μετ᾽ ἀνέρας, μετὰ τοὺς ἄνδρας.

Μετανθεῖ τὴν τρίχα, ἤγουν μεταλλάσσει τὸ χρῶμα.

Μετάνιπτρον, ἡ μετανιπτρίς, ἡ μετὰ τὸ δεῖπνον ἐπὰν νίψωνται διδομένη κύλιξ. οἱ δὲ, τὴν ὑστάτην πόσιν.

Μετάνοια, γνησία ἀπὸ πταισμάτων ἐπὶ τὸ ἐναντίον ἀγαθὸν, ἐπιστροφή.

Μετάνοιαν, καὶ μεταμέλειαν λέγομεν καὶ μετάγνωσιν. καὶ τὰ ἀπαρέμφατα, μεταμελῆσαι, μετανοῆσαι, μεταγνῶναι.

Μετάνοιά ἐστι, συναίσθησις ψυχῆς, ἐφ᾽ οἷς ἔπραξεν ἀτόποις. ἡ πρὸς τὸ κρεῖσσον ἐπιστροφή.

Μετανοῶ. ἐπὶ τοῖς πεπραγμένοις καὶ προνοοῦμαί σε, καὶ μετανοῶ σοι γράφεται.

* Μέταξα παρὰ τοῖς Νεωτέροις τῶν Ἑλλήνων, τὸ σηρικόν. ὅθεν καὶ τὸ μεταξωτόν.

Μεταξὺ, ἀντὶ τοῦ διὰ μέσου. καὶ μεταξὺ, ἀντὶ τοῦ ἐν ὅσῳ. Λιβάνιος ἐν τῷ, ἦλθες Τηλέμαχε καὶ σοῦ δέομαι μὴ μεταξὺ λέγοντος ἀπαντᾶν.

Μεταξὺ ἐν τῷ μέσῳ. μεταξὺ τοῦ ὄρους καὶ τῆς θαλάσσης. μεταξὺ τυφλούμενος λέγεται. Ἀλέξανδρον ἐξαναστῆναι ἐπὶ τὰ ὅπλα. μεταξὺ ἀναγινώσκων τοῦτο ἐποίησα.

Μεταπαιφάσσουσαν, καὶ μεταπαιφάσσεσθαι, τὸ διαλάμπον σημαίνει.

Μετὰ πᾶσιν, ἐν πᾶσι.

Μεταπαυόμενοι, παρ᾽ Ὁμήρῳ ἐν τῷ ρ΄ τῆς Ἰλιάδος, ἀντὶ τοῦ ἀμείβοντες ἀλλήλους. ὡς παύεσθαι μὲν τούτους, ἑτέρους δὲ μάχης ἄρχεσθαι. ἢ ἀντὶ τοῦ ἀναπαυόμενοι.

Μεταπαυσωλὴ, συνθέτως ἡ παῦσις, ἣν ἔφη Ὅμηρος, καὶ ἀναπνοὴν.

Μεταπείσασθαι, μεταπεισθῆναι.

Μεταπέμπεσθαι, παθητικῶς χρὴ ἐκφέρειν. ὅταν διά τινος προσκαλεῖσθαί τινα, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, ἔστι δέ μοι τοῦτ᾽ αὐτὸ θαυμαστὸν, ὅπως χρηστόν τι πράττων, τοὺς φίλους μεταπέμπεται. κἀκεῖνο, ὑμεῖς ἔτι με ἐνταυθοῖ μεταπέμψεσθον, μετακαλέσασθε.

Μεταπεσεῖσθαι, μεταβληθῆναι.

Μεταπεσεῖν, τὸ ἀπὸ δόξης εἰς ἀτιμίαν πεσεῖν, ἢ τὸ ἐναντίον.

Μεταπλασμός ἐστιν, ἐναλλαγὴ λήξεως εἰς ἑτέραν λῆξιν, τῆς αὐτῆς πτώσεως, ἢ τοῦ αὐτοῦ χρόνου, οἷον τῷ κλάδῳ τῷ κλάδι, τὼ ὄσσω τὼ ὄσσε, τῇ ὑσμίνῃ τῇ ὑσμῖνι, τῇ ἀλκῇ τῇ ἀλκὶ, τῷ ἀίδῃ τῷ ἄϊδι, ἴε ἴθι, δέδιε δέδιθι, περιπατοῖ περιπατοίην, γνοῖμι γνοίην, δοῖμι δοίην, εἴδοιμι εἰδοίην, κλῦε κλῦθι. ταῦτα μετεπλάσθη ἀπὸ τελικοῦ δηλαδὴ, εἰς τελικὸν, ὅμοιον πάθος καὶ ἐν ἐπιρρήμασιν. ὡς ὅτε τὸ διχῆ, δίχα φαμὲν, καὶ τειχῆ τείχα, καὶ τὸ σαφῆ σάφα. καὶ ἐν τούτοις γὰρ τελικῶν γέγονεν ἐναλλαγή. Καινός τίς ἐστι μεταπλασμὸς τῶν εὐθειῶν τῶν εἰς ης ἀρσενικῶν ὀνομάτων, ὅτε εἰς α μεταπλασθῶσι κατὰ τὴν λήγουσαν. οἷον ὅτε ὁ τοξότης τοξότα λέγεται, καὶ ὁ ἱππότης ἱππότα, καὶ αἰχμητὴς αἰχμητὰ, καὶ κυανοχαίτης κυανοχαῖτα, καὶ ἠπύτης ἠπύτα, ὁ κῆρυξ, ἤγουν φωνητικὸς, παρὰ τὸ ἀπύω, τὸ φωνῶ. οἱ μὲν γὰρ μεταπλασμοὶ, ὡς προεγράφη, ἀπὸ τελικοῦ γίνονται εἰς ὁμοιόπτωτον τελικὸν, οἷον τὸ ἀλκῆ ἀπὸ τοῦ η εἰς ι μεταπλασθὲν ἐν τῷ ἀλκὶ τέτυχεν ὡς. ἅπερ εἰσὶ καὶ ἀμφότερα τελικὰ δοτικῆς. ὡσαύτως καὶ τὸ ὄσσω δυϊκὸν, ὃ δηλοῖ τοὺς ὀφθαλμοὺς, μεταπλασθὲν ἐν τῷ ὄσσε, εἰ καὶ συγγενὲς μετέπεσε τελικόν. καὶ γὰρ καὶ τὸ μεταπλασθὲν ω εἰς ε, εἰ καὶ μεταπέπλασται τελικά εἰσι τῶν δυϊκῶν. ὁμοίως ἔπαθε καὶ τὸ ἐρυσάρματοι ἵπποι, ἐν τῷ ἐρυσάρματες. καὶ ἡ οι γὰρ δίφθογγος, καὶ ἡ ες συλλαβὴ, εὐθείας πληθυντικῆς εἰσι τελικά. τὸ μέντοι ἱππότης ἱππότα, καὶ τὰ ὅμοια, ἀπὸ τῶν εἰς ης εὐθειῶν εἰς α μεταπεσόντα, μεταπλασμὸν παράδοξον ἔπαθον,

Digitized by Google

θεν, καὶ ἴσως οὐδὲ μεταπλασμὸν τὸ τοιοῦτον κλητέον. τὸ γὰρ α τοῦτο, οὐκ ἀδὴ ἐστὶν εὐθείας ἑνικῆς ἀρσενικῆς ἐστὶ τελικὸν παρ' ἡμῖν, ἀλλὰ κλητικῆς τοῖς ὦ ἱππότα, καὶ ὦ τοξότα. ἔστι δὲ κατὰ τοὺς παλαιοὺς Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τύπος τοῦ σχηματισμοῦ. διὸ καί τινα ἐκ τῶν τοιούτων προπαροξύνονται. ὡς τὸ, μητίετα Ζεύς.

Μεταπληθῶ, ἐν τῷ πλήθει.

Μεταπλομένοισι, τοῖς ἐξ ἀνθρώπων γενομένοις θεοῖς.

Μεταποιεῖται, μετασκευάζεται, φροντίζει, ἀντιποιεῖται, γενικῇ.

Μεταποιοῦμαι, φροντίζω.

Μεταπόντιος, πόλις Ἰταλίας, ἀπὸ Μεταπόντου τινὸς βασιλεύσαντος ἐν αὐτῇ καὶ μεταπόντιος, διαπόντιος.

* Μεταπράσεις οἰκῶν εἰσίν, ἑκούσιοι τινὲς συμπτώσεις καταβαλόντων καὶ ἀνοικοδομούντων πρὸς τὰς ἐπιθυμίας ἕτερα ἐξ ἑτέρων.

Μεταπορεύσω ἐπελθὼν, μετελθών.

Μεταπρέπειν, καὶ ἐκπρέπειν ταυτόν. εἰ δὲ μὴ αὐτὸ ἐν χρήσει κεῖται, ἀλλὰ ὁ ἐκπρεπὴς πολλαχοῦ εὕρηται, ὥσπερ καὶ ὁ ἀριπρεπὴς, καὶ ὁ εὐπρεπὴς, καὶ ὁ διαπρεπής.

Μεταπρέπειν γαστέρι μάργῃ, ἀστείως ἐῤῥέθη, ἀντὶ τοῦ ἐκπρεπὴς ἦν ἐπὶ γαστριμαργίᾳ, ἤτοι ἀπληστίᾳ. τοῦτο γὰρ ἡ μάργη γαστὴρ διακεκλυμένως ῥηθεῖσα, ὁμοίως τῷ πόλις ἄκη, καὶ τοῖς ὁμοίοις.

Μεταπρέπειν, καὶ ἀρίγνωτον εἶναι, ταυτόν.

Μετ' ἀπρήκτους, ἀπράκτους.

Μεταπροτάλιζαι, ἐπιστρέψουσαι.

Μεταπύργιον, τὸ ἐν μέσῳ οἰκοδομημάτων ἐπὶ τοῦ τείχους πύργων, μεταπύργιον ἐλέγετο, οὕτω καὶ Θουκυδίδης πολλάκις, ὥσπερ ἐν τῇ τρίτῃ.

Μετάρσιος, ὑψηλὸς, μετέωρος.

Μεταρσιολεσχεῖν, τὸ κενολεσχεῖν περὶ μηδενὸς καὶ κενῶν πραγμάτων, οἷον περὶ τοῦ καπνοῦ λεπτολογεῖν, ὥς ἐστιν εὑρεῖν, παρὰ τῷ Ἀριστοφάνει.

Μετασκευάζω, τὸ τὰ δεδημιουργημένα μεταποιῶ, αἰτιατικῇ συντάσσεται. ὡς ὁ Θεολόγος, πάντα ποιῶν, καὶ μετασκευάζων ἐπὶ τὸ βέλτιον. μετασκευάσασθε, ἀντὶ τοῦ τὴν σκευὴν ἠλλάξατε. σκευὴ δὲ λέγεται, τὸ ἔνδυμα. ὅθεν καὶ σκευάζομαι τὸ ἐνδύομαι, καὶ μεταίρω, ὃ γέγονεν ἀπὸ τῶν σκευῶν. σκευὴ δὲ, οἷς χρώμεθα κατ' οἴκους πρὸς ὑπηρεσίαν, ἃ καὶ ἔπιπλά φασι, δηλονότι τὰ κοῦφα, καὶ πρὸς ἐπιπλεῖν ἕτοιμα. τὸ γοῦν ἐξ οἰκίας εἰς ἑτέραν οἰκίαν τὰ τοιάδε σκεύη μετατιθέναι, μετασκευάσασθαί φασιν οἱ Ἀττικοί. ὁ Θουκυδίδης λέγει, οἱ Ἀθηναῖοι διανοηθέντες ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀνασκευασάμενοι ἐς τὰς ναῦς ἐμβάντες, ναυτικοὶ ἐγένοντο. ἀντὶ τοῦ ἐνέθηκαν ἀναβιβάσαντες ἐπὶ νεῶν τὰ αὐτῶν σκεύη, ἤγουν τὰ πρὸς χρείαν ζωῆς ὄντα. ἐκ τούτου καὶ συσκευάζω, τὸ κοινῶς συμβάλλω. ὃ καὶ ἐπὶ πανουργίᾳ χρῶνται, οἷον συσκευασάμενοι δόλον. καὶ ἀποσκευάζομαι, τὸ ἀποσείομαι, καὶ ἀποῤῥίπτω. ἡ μεταφορὰ ἀπὸ τῶν πλοίων, ἅτινα κλύδωνι συνεχόμενα, καὶ τῆς θαλάττης ἔργον γενέσθαι κινδυνεύοντα, τὰ σκεύη ἀποῤῥίπτουσιν, ὅπως ἐκ τοῦ κλύδωνος διαγένωνται.

Μετασπῶν, σύστοιχόν ἐστι τῷ ἐπισπῶν, καὶ ἐπισπώμενος, καὶ ἐπισπεῖν, καὶ τοῖς ὁμοίοις. δηλοῖ δὲ τὸ καταλαβὼν, γενόμενον ἐκ τοῦ μέτασπον. ἔστι δὲ μετοχὴ ἀορίστου δευτέρου, καθὰ καὶ τὸ ἐπίσπον ἐπισπῶν ἐπισπεῖν ἐπισπέσθαι ἐπισπόμενος.

* Μέτασσαι, τὰ ὕπαρνα πρόβατα. ἢ μᾶλλον αἱ μεσήλικες, ἀπὸ τοῦ μέσαι, κατ' ἐπένθεσιν τῆς τα συλλαβῆς.

Μεταστήσω, ἀντὶ τοῦ μεταλλάξω. μεταστασθμήσω, ἢ ἀνταλλάξω, ἀντιδώσω. ἐκ μεταφορᾶς τῶν διὰ σταθμοῦ, ἀντιμεταλλασσόντων.

Μεταστοιχεὶ, λέγεται τὸ ἐπὶ στίχον. στίχος δέ ἐστιν, ἡ ἐπὶ βάθος στάσις τῶν χορευτῶν. καὶ ἔστιν μεταστοιχεὶ, τουτέστιν ἐπὶ στίχον, καὶ τάξιν τινά.

Μεταχὴ, κοινωνή.

Μετασχηματίσει, μεταλλάξει, μεταμορφώσει, μεταβαλεῖ.

Μετασχηματισμὸς, τῆς τοῦ θεωροῦντος θεωρίας μεταποίησις πρόσκαιρος. οὐ ἡ ἐξ ἄλλου εἰς ἄλλο ἐν ἀληθείᾳ μεταποίησις.

Μεταστρέπῃ, ἐπιστροφὴν ποιῇ, καὶ φροντίζεις, παρ' Ὁμήρῳ. οἷον, οὔτε μεταστρέπῃ, οὐδ' ἀλεγίζεις, ὅ ἐστι λόγον ἔχεις. τὸ ἀλεγίζειν ἑρμηνεία τοῦ μετατρέπῃ. τὸ δὲ ἀλεγίζειν, ἐκ τοῦ ἀλέγειν.

Μεταστρέπεσθαι, ἀλλοιοῦσθαι.

Μεταστρέπομαι, ἤγουν ἐπιστρέφομαι.

Μετατάττω, τὸ ἐν ἑτέρᾳ τινὰ τάξει καθιστῶ. μετέταξεν ὁ διδάσκαλος τὸν παῖδα ἐν ἑτέρᾳ τάξει, καὶ χορῷ φοιτητῶν. μετατάττεται δὲ ὁ παῖς, ἐπὶ πάθους.

Μετατίθημι, τὸ μεθίστημι, οἷον τὴν αἰτίαν τοῦ φόνου ἐφ' ἕτερον ἄγω. μετατίθεμαι, τὸ μεταβάλλομαι καὶ μετανοῶ, καὶ μεταμέλομαι τὴν πρώτην πεῖραν, καὶ ἐπιχείρησιν, καὶ οἷον μεταβουλεύομαι.

Μετατύπωσίς ἐστι, λέξις ἐνηλλαγμένα στοιχεῖα ἔχουσα. οἷον ὑπὸ παῖδα, ἀντὶ τοῦ ὑπὸ πόδα, καὶ τὸ βορέης ἠσβόρε, καὶ τὸ ἕως ὤες.

Μέταυλός ἐστιν, ἡ ῥυπαρὰ λεγομένη αὐλὴ, οὗ ὄρνιθες ἦσαν. Ἀριστοφάνης λημνίαις, καὶ Μένανδρος Θαΐδι.

Μεταφορά ἐστι, λέξις, μεταφερομένη ἀπὸ τοῦ κυρίου, ἐπὶ τὸ μὴ κύριον, ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα. ἐμφάσεως μὲν, οἷον αἰχμὴ δὲ διέσσυτο μεμαῶσα. ἡ γὰρ μεμαῶσα λέξις, οὔτις ἐστὶ προθυμουμένη, ἰδίως ἐπὶ ἐμψύχου τασσομένη. νῦν μὲν ἐπὶ ἀψύχου τοῦ δόρατος τέτακται. ὁμοιώσεως δὲ, οἷον πάντες δ' ἐσείοντο πόδες πολυπιδάκου Ἴδης, καὶ ὄρεος ἐκ κορυφῆς. πόδες γὰρ καὶ κορυφαὶ ἐπ' ἀνθρώπου ῥηθεῖεν κυρίως, ἐπὶ δὲ ὄρους ὑπώρεια, καὶ ἀκρώρεια. γίνεται ἡ μεταφορὰ τετραχῶς. ἀπὸ ἐμψύχου ἐπὶ ἄψυχα, ὡς ὅταν τὶς τὴν ἀκρώρειαν τοῦ ὄρους κορυφὴν, ἢ κεφαλὴν εἶναι λέγῃ. τὰ δὲ κάτω, καὶ παρὰ τὴν πεδιάδα, πρόποδας, ἢ πόδας. κορυφὴ γὰρ καὶ κεφαλὴ καὶ πόδες κυρίως, ἐπὶ ἐμψύχων λέγονται. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἔμψυχα, ὡς ὅταν εἴπῃ, κηλὸς ἐλεπίσθη, δέον εἰπεῖν ἐξεδάρθη. ἀπὸ δὲ ἐμψύχου ἐπὶ ἔμψυχα. ὡς ὅταν τὶς τὸν βασιλέα ποιμένα λέγῃ λαοῦ. ποιμὴν γὰρ, ὁ τῶν προβάτων κυρίως, καὶ νομεὺς λέγεται. καὶ ἀμφότεροι ἔμψυχοι, ὅτε βασιλεὺς καὶ ὁ νομεύς. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἄψυχα, ὡς ὅταν τὶς ἄνθρακα πυρὸς ἐν σποδῷ κρύψας λέγῃ, σπέρμα πυρὸς διασώσασθαι τοῖς ὑγροῖς συμβέβηκεν. ὥσπερ δὲ ὀνομάτων, οὕτω καὶ ῥημάτων εἰσὶ παρὰ τῷ Ποιητῇ μεταφοραί. οἷον ἠϊόνες βοάουσιν ἐρευγομένης ἁλὸς ἔξω, ἀντὶ τοῦ ἠχοῦσι.

Μεταφορά ἐστιν ἀπὸ κυρίως δηλουμένου πράγματος, ἐφ' ἕτερον μετενηνεγμένη, μετὰ τοῖς ἀμφοῖν ἀναλόγου ὁμοιότητος. καὶ πολλή ἐστι καὶ ποικίλη, παρὰ τῷ ποιητῇ. οἷόν ἐστιν ἧκεν ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο, καὶ νῆσος τὴν περὶ πόντος ἐστεφάνωται. ὃν γὰρ λόγον ἔχει κορυφὴ πρὸς ἄνθρωπον, τοῦτον καὶ ἡ ἀκρώρεια πρὸς τὸ ὄρος. καὶ ὃν στέφανος πρὸς τοῦτον ὃν περίκειται, τοῦτον θάλασσα πρὸς νῆσον.

Μεταφράζεσθαι Ὅμηρός φησι, τὸ μεταβουλεύεσθαι, ὡς ἐν τῷ μεταφραζόμεθα, καὶ αὖθις ὑστεροβουλίας ἐστὶ σκοπός. ὃ δὴ καὶ ἐπιφράζεσθαι καὶ ἐπιμυθεύεσθαι λέγεται.

Μετάφρασις ἑρμηνείας ἀλλοίωσις, τὴν αὐτὴν φυλάττουσα διάνοιαν.

Μετάφρενον λέγεται, τὸ ἀπὸ αὐχένος ἕως ὀσφύος. μᾶλλον δὲ τὸ ἀντικρὺ ὄπισθεν τῶν φρενῶν, μετάφρενόν ἐστι τὸ μεσσηγὺς ὤμων.

Μετάφρενα, τὰ νῶτα, ὅτι ἐξόπισθεν τῶν φρενῶν κεῖται. φρένες δὲ, ὑμένες εἰσὶ μεταξὺ τῆς καρδίας καὶ τοῦ ἥπατος.

Μεταχειρίζω, καὶ μεταχειρίζομαι, ταυτὸν συντασσόμενα αἰτιατικῇ. πλὴν τὸ μεταχειρίζομαι, ἐνεργητικόν ἐστι καὶ συντάσσεται παρὰ τοῖς Ἀττικοῖς δοτικῇ, ὅτε δηλαδὴ λαμβάνεται ἀντὶ τοῦ ἐπιχειρῶ. ἔστι δὲ καὶ τὸ μεταχειρίζω, ἀττικώτερον ἐνεργητικόν.

Μεταχειρίζομαι τὸ ἕτερον ἀφεὶς, ἕτερον εἰς χεῖρας λαμβάνω. μεταχειρίζομαι τὸ φονεύω, καὶ συντάσσεται αἰτιατικῇ. μεταχειρίζομαι καὶ μεταχειρίζω, τὸ οἰκονομῶ. μεταχειρίζω τὸ τόξον, ἢ τὸ δόρυ.

Μεταχωρῶ, τὸ μεταβαίνω καὶ μεθίσταμαι, ὡς Ἀριστείδης. καὶ οὕτω πλανήσεται, μεταχωρήσει τὰ ὀνόματα ταῦτα, ἀντὶ τοῦ μεταβήσεται.

Μεταχρωννῦντες, ἀντὶ τοῦ μετασχηματίζοντες.

Μεταψαίρων, μεταφέρων.

Μεταψαλάσσειν, μετατιθέναι.

Μεταψέφειν, μεταμελεῖσθαι.

Μεταψέφω, μεταβουλεύομαι.

Μετέβαλεν ἕτερον. καὶ μετέβαλεν, ἀντὶ τοῦ μετεβλήθη. Συνέσιος, μετέβαλεν ἡ γλυκύτης τοῦ βίου.

Μετεγνώσθη, μετανεπείσθη.

Μετεδίωξαν, διῆλθον. αἱ δὲ νῆες πολλοὺς μετεδίωξαν τόπους.

Μετέθηκε τὸ σκεῦος, καὶ μετεσκεύασε τὴν περιουσίαν. ὥστε τὸ μεταστῆσαι, ἐπὶ ἐμψύχων. τὸ δὲ μεθεῖναι καὶ μετασκευάσαι, ἐπὶ πραγμάτων.

Μέτει, καὶ ἔξει, Ἴωνες. ἴω, ὁ παρατατικὸς ἴον ἴες ἴε. καὶ κατὰ μετάθεσιν, εἶ. καὶ μετὰ τῆς προθέσεως μέτει καὶ ἔξει.

Μέτειμι, ὡς ἐπὶ τὸ πλεῖστον, ἀντὶ τοῦ μετελεύσομαι λαμβάνεται. μέτειμι ἐκεῖσε, ὅθεν ἀπέχισάς με τοῦ λόγου, ἤγουν μετελεύσομαι, ὅθεν ἀπέκοψάς με.

Μετεῖναι, προσήκειν, διαφέρειν.

Μέτεισι, λαμβάνεται καὶ ἀντὶ τοῦ ἀνιχνεύει, καὶ ἐρευνᾷ, ὡς τὸ μέτεισι τὰ θηρία ὁ κυνηγέτης. ἀντὶ τοῦ μετέρχεται, καὶ διώκει. λέγεται καὶ ἀντὶ τοῦ μετὰ ταῦτα ἔρχεται, τῆς μετὰ ἐπὶ τῆς δευτέρας χρήσεως λαμβανομένης.

Μέτεσιν ἐπὶ ἐνεστῶτος, ἐπὶ ἀσκήσεως καὶ γυμνασίας, καὶ παιδεύσεως ἤτινος οὖν. λαμβάνεται δὲ καὶ ἐπὶ τιμωρίας καὶ κολάσεως.

Μέτεισιν ὁ Θεὸς, καὶ μετέρχεται διὰ τὰς ἁμαρτίας τοὺς πταίοντας. μέτεισιν, ἀντὶ τοῦ μετελεύσεται, καὶ κολάσει.

Μετεισάμενος, πρὸς αὐτοὺς ἀφικόμενος.

Μετεισάμενος, ἤγουν μετελθών. οὐ τὸ θέμα εἴω ποιητικῶς.

Μετείω, ἀντὶ τοῦ σύνειμι. πρωτότυπον δὲ αὐτοῦ μετέω. ἐξ οὗ μετέησι, τὸ συνυπάρχει, παρὰ τῷ Ποιητῇ.

Μετ' ἐκεῖνον, παρ' Ὁμήρῳ ἐν π' τῆς Ὀδυσσείας, ἤγουν δι' ἐκεῖνον τὸν Λαέρτην.

Μετεκίαθεν, μετ' αὐτοὺς ἦλθε. κίω κιάθω, ὡς διώκω διωκάθω.

Μετεκίαθον, μετήρχοντο, περιήρχοντο, μετῆλθον, ἐπεδίωξαν.

Μετελεύσομαι. Ὅμηρος, Πάριν μετελεύσομαι. ταυτόν ἐστι τῷ μετὰ σοὶ εἰς τὸν Πάριν ἐλεύσομαι. οἱ δὲ μεθ' Ὅμηρον ἐπὶ ἀμοιβῆς καὶ ἐκδικήσεως τὴν λέξιν τιθέασιν, ἤγουν μετῆλθεν ἡ δίκη τὸν κακόν. δύναται δὲ τὸν Πάριν μετελεύσομαι, καὶ ἁπλῶς νοηθῆναι ἀντὶ τοῦ εἰς τὸν Πάριν ἐλεύσομαι. ἐν τῷ, πολλαὶ δὲ μετεσσεύοντο γεραιαί. φανερῶς δὲ ἡ μετὰ πρόθεσις, ὑστεροχρονίαν δηλοῖ, ἵνα λέγῃ, ὅτι μετὰ τὴν Ἑκάβην ὁρμὴν ἀκολουθῆσαι αὐτῇ.

Μετελθεῖν, τὸ μετέρχεσθαι.

Μέτελθε, ἄπελθε.

Μετελύειν, μεταγινώσκειν, μετανοεῖν.

Μετ' ἐμὲ, πρὸς ἐμὲ, ὡς ἐμέ.

Μετεμελλε πᾶσι, τῶν τετολμημένων.

Μετεμόχλευσε, μετεφύτευσε.

Μετ' ἐμφάσεως, μετὰ φανερώσεως.

Μετένδημος, μετάδημος.

Μετενεγκεῖν, τὸ μετακομίσαι.

Μετενίσσετο, σημαίνει τὸ μετῆλθε. νίσσω γὰρ, τὸ πορεύομαι.

Μετενείσσετο, ἀντὶ τοῦ ἐπορεύθη, μετῆλθε. διὰ διφθόγγου γράφουσιν οἱ παλαιοὶ, ὡς ἀπὸ τοῦ νέω νείω νείσω, ὥσπερ κείω κείσω, καὶ χείω χείσω, τὸ χωρῶ. οἱ ὕστερον διὰ τοῦ ι γράφουσιν, ὡς ἀπὸ τοῦ νῶ νίσσω, μετὰ τῶν δύο σσ.

Μετεξέτεροι, ἀντὶ τοῦ ἕτεροι δὲ λέγουσιν Ἴωνες καὶ μετεξέτεροι ἔνιοι.

Digitized by Google

Μετέπειτα, μετὰ ταῦτα.

Μετεποίησε, μετεσκεύασε.

Μετέτρεπεν, [illegible].

* Μετεράω, μεταγγίζω.

Μέτερρα, τοῦτο τὸ πάθος τῆς αἰολικῆς ἐστι διαλέκτου, οἷον αἰτιάω τὰ μέτερρα. ὁ γὰρ μέτριος μέτερρος παρ' αὐτοῖς εἴρηται.

Μετερρυθμωμένα, μετεσχηματισμένα.

Μετέρχομαι, τὸ τιμωροῦμαι. καὶ ἀπέρχομαι, τὸ αὐτὸ καὶ κολάζω, ἀλλὰ καὶ ἀσκοῦμαι καὶ παιδεύομαι, καὶ κολακεύω.

Μετέρχεται, ἀντὶ τοῦ ἐνεργεῖ, καὶ ἁπλῶς ἐργάζεται. Λιβάνιος, οὕτω πάντα μετέρχονται. μετέρχεται τὸ βιβλίον, ἀντὶ τοῦ κατ' ὀλίγον διέρχεται. καὶ μετέρχεται, ἀντὶ τοῦ κολάζει. Ἀφθόνιος, καὶ τὰ μὲν ἁμαρτήματα τῶν παίδων μετέρχονται.

Μετεσεύοντο, μετεδίωκον, ἐφώρμων, ἐπορεύοντο.

Μετεστειλάμην, μετεπεμψάμην.

Μετέστησε τὸν ἄνθρωπον, ἀντὶ τοῦ ἐξ ἑτέρου εἰς ἕτερον μετεβίβασε τόπον.

Μέτεστιν, ἀντὶ μετουσία ἐστὶν, ἡ μετοχή. καὶ συντάσσεται ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον μέτεστί μοι πλούτου, ἤγουν μετουσία ἐστί μοι πλούτου, ἤγουν μετοχή.

Μέτεστί μοι τοῦδε, καὶ μέτεστί μοι τόδε. ὥσπερ μέλει μοι τοῦδε, καὶ μέλει μοι τόδε, φαμέν.

Μετέσχεν, ἐκοινώνησε.

Μετέσχον, μετέλαβον.

Μετετράπετο, ὅπερ μυθικῶς μὲν δηλοῖ τὸ ἐστράφη, ὡς ἂν ἴδῃ τις ὁ τῆς κόμης ἁψάμενος. ἀλληγορικῶς δὲ, τὸ μετεβλήθη τοῦ θυμοῦ, ἢ ἐπεστράφη τοῦ φρονῆσαι. κατὰ τὸ, ὅτι μετατρέπῃ, οὐδ' ἀλεγίζεις.

Μετέχω, κοινωνῶ, μεταλαμβάνω.

Μετέφη, προεῖπεν, ἐδημηγόρησε.

Μετέχω, καὶ συμμετέχω σοι τοῦ πάθους, καὶ μετέχω σοι τὸ ἴσον πάθος, ὡς Ἀριστοφάνης. οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί.

Μετέχω τοῦδε, καὶ μετέχω τόδε, φαμέν. καὶ εὕροις ἂν τοῦτο οὐ μόνον παρὰ Ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς.

Μετέχων, μεταλαμβάνων.

Μετεωρίζει, ὑψοῖ.

Μετεωρίζωσι τῆς γῆς.

Μετεωροπολεῖ, οὐράνια σκοπεῖ.

Μετεωροκοπεῖν ἐστι κυρίως, τῷ πλάτει τῆς κώπης ματαίως τὴν θάλασσαν συγκόπτειν.

Μετεωρολέσχης, ὁ τὰ μετέωρα, καὶ ὑπὲρ ἑαυτὸν φλυαρῶν.

Μετεωρολόγοι, μεγαλορρήμονες.

Μετέωρον, ὑψηλὸν, καὶ μέγα. μετάωρον δὲ, τὸ αὐτὸ ποιητικῶς. μετέωρα, ὑψηλὰ, καὶ οὐράνια, περὶ ὧν τοῖς φιλοσόφοις τὰ ζητήματα.

Μετεωροπόλων, τῶν τὰ οὐράνια σκοπούντων.

Μετέωρος, ὁ κοῦφος, καὶ εἰς ὕψος αἰρόμενος. καὶ μετεωρίζω, ἐκ τοῦ ἀείρω, τροπῇ τοῦ α εἰς ο ὀείρω, καὶ ἐν ὑπερθέσει τοῦ ι ἐόρω, καὶ ἐκτάσει τοῦ ο εἰς ω ἐωρῶ, καὶ μετεωρῶ, καὶ μετεωρίζω, καὶ μετέωρον.

Μετεωροφένακας, τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας, ὡς Ἀριστοφάνης. φενακίζειν γάρ ἐστι, τὸ ἀπατᾶν. περὶ δὲ τῶν φιλοσόφων λέγει.

Μετῇ, ἐξῇ.

Μετήει, παρὰ πόδας τὸν παρανομοῦντα ἡ θεία δίκη, τουτέστιν ἐκόλασεν αὐτίκα.

Μετῄεσαν, ἱκέτευσαν.

Μετήεται, μεταπεποίηται, ἢ μεταποιεῖται.

Μετῆκε, μετεμελήθη, ἱκέτευσε.

Μετῆλθεν, ἀντὶ τοῦ ἐκόλασε, καὶ ἀντὶ τοῦ μετέπεσεν. Ἀφθόνιος, τὸ ῥόδον τὴν ἀρχὴν λευκὸν γεγονὸς, εἰς ὃ νῦν ὁρᾶτε μετῆλθε.

Μετῆλθεν, ἐτιμωρήσατο, μετεμελήθη.

Μετήλλαξαν, μετήμειψαν.

Μέτην, μέσην, μετουσίαν.

Μετήορα, τὰ κοινῶς μετέωρα. ὡς γὰρ ἐκ τοῦ ἀείρω, τὸ συζυγῶ παρήορος ἵππος, ὁ παρεζευγμένος, οὕτως ἐκ τοῦ ἀείρω, τὸ κουφίζω, καὶ ἄνω φορῶ τὸ μετήορον. ἐκεῖθεν δὲ καὶ τὸ μετέωρον, κατὰ περίεργον σκευωρίαν. ἐκ τοῦ ἀείρω γάρ φασιν ἄοιρος, ὁ εἰς ἀέρα ἐλαφρωθείς. καὶ τροπῇ τοῦ α εἰς ε, καὶ τῆς οι διφθόγγου εἰς ω ἐν συνθέσει μετέωρον.

Μετ' ἤχου, μετὰ κραυγῆς.

Μετίασι, τὸ μετέρχονται, καὶ ἐπιτηδεύουσιν. οἷον οἱ νέοι μετίασι τὰ βιβλία. μετίασι, τὸ τιμωροῦνται, καὶ κολάζουσιν, αἰτιατικῇ συντάσσεται.

Μετίδοιτο, ὑπερίδοιτο, ἀτιμάσειεν, μεταφρονήσειεν.

Μετίετα, ἀντὶ τοῦ μητιέτης, ὅ ἐστι βουλευτικός. Βοιωτῶν δὲ καὶ Αἰολέων ὁ τοιοῦτος τῶν ὀνομάτων μετασχηματισμός, οἷον αὐτὰρ ὁ αὖτε Θυέστα, ἀντὶ τοῦ ὁ Θυέστης. καὶ ἱππηλάτα, ἀντὶ τοῦ ἱππηλάτης. καὶ νεφεληγερέτα, ἀντὶ τοῦ νεφεληγερέτης. καὶ κυανοχαῖτα, ἀντὶ τοῦ κυανοχαίτης. παρ' ἡμῖν δὲ οὐδὲν ἀρσενικὸν ὄνομα ἐπὶ τῆς εὐθείας εἰς α λήγει.

Μετίωμεν, ἀντὶ τοῦ ἀνιχνεύσωμεν. Μάξιμος, ἀλλὰ τὸν Διογένην μὲν ἐῶμεν, μετίωμεν δὲ τοὺς νομοθέτας.

Μετιτῆλαι. αἱ ἐξ ἑκατέρου μέρους τοῦ ἅρματος ῥάβδοι. * αἱ εἰς τοὺς ἵππους βλέπουσαι ἀπὸ τῆς καπάνης μέχρι τοῦ κυρτίου.

Μετ' ὄγμους, τὰς ἐπιστίχων φυτείας.

Μετοικεσίαν, αἰχμαλωσίαν. μετοικεσίαν Βαβυλῶνος.

Μέτοικον, φυγάδα. μέτοικοι δὲ λέγονται, οἱ καταλιπόντες τὴν ἰδίαν πόλιν, καὶ ἄλλην οἰκοῦντες.

Μετοίκιον. Ὑπερίδης ἐν τῷ κατὰ Ἀρισταγόρου, μέτοικος μέν ἐστιν ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν ἐν ἑτέρᾳ, καὶ μὴ πρὸς ὀλίγον, ὡς ξένος ἐπιδημῶν, ἀλλὰ τὴν οἴκησιν αὐτόθι κατακτησάμενος. ἐδίδοντο δὲ ὑπ' αὐτῶν καθ' ἕκαστον ἔτος, δραχμαὶ δώδεκα. ὅπερ ὠνόμαστο μετοίκιον, ὅτι ὁ μὲν ἀνὴρ δώδεκα δραχμὰς ἐτέλει μετοίκιον. ἡ δὲ γυνὴ, ἕξ. ὅτι τοῦ υἱοῦ τελοῦντος, ἡ μήτηρ οὐκ ἐτέλει. μὴ τελοῦντος δ' ἐκείνου, αὐτὴ τελεῖ. ὅτι δὲ καὶ οἱ δοῦλοι ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν, ἐτέλουν τὸ μετοίκιον, ἄλλοι τε τῶν κωμικῶν δεδηλώκασι, καὶ Ἀριστομένης. ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφέας, τοὺς μετοίκους, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον.

Μετοικῶ, καὶ μεταναστεύω ἐκ τῆσδε τῆς πόλεως εἰς ἑτέραν. ὅθεν μέτοικός ἐστιν, ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν εἰς ἑτέραν, καὶ μὴ πρὸς ὀλίγον, ὡς ξένος ἐπιδημῶν, ἀλλὰ τὴν οἴκησιν αὐτόθι κατακτισάμενος.

Μετοίχεσθαι, τὸ εἴς τινα ἐλθεῖν. οἷον κήρυξ δὲ μετῴχετο θεῖον ἀοιδόν.

Μετοίχεσθαι καὶ μετέρχεσθαι εἰπεῖν, ταυτόν. ὡς δηλοῖ τὸ, ἀτὰρ σὺ πόλιν δὲ μετοίχεο.

Μετοιωνήσασθαι, ἀντὶ τοῦ μεταθέσθαι τὸν φαῦλον οἰωνόν.

Μετοκλάζει, γονατίζει, ἢ μεταχωρεῖ, παρὰ τὸ ἐγκλᾶν καὶ κάμπτειν τὰ γόνατα.

Μετοχωχή, μετοχὴ, ἐποχὴ, ἢ ὀχεία.

Μετὸν οὐδὲν αὐτῷ, ἤγουν οὐδεμίας μετουσίας οὔσης αὐτῷ.

Μετὸν, ἐξὸν, προὔπαρχον.

Μετόπιν, κατόπισθεν.

Μετόπισθεν, ὕστερον. μετὰ ταῦτα, ὕστερον, ἢ ὄπισθεν.

Μέτοποι, ἄνδρες.

Μετόπωρον, ὁ μετὰ τὴν ὀπώραν καιρός.

Μετόρχιον, τὸ μεταξὺ τῶν ὄρχων. ὄρχοι δὲ καλοῦνται τὰ μέσα τῶν ἐλαιῶν, καὶ τῶν ἀμπέλων. ἄλλως. μετόρχιόν ἐστι, τὸ μεταξὺ τῶν συμφύτων πεδίον, ἐν ᾧ ἢ σῖτος ἢ ἄλλο τι ἔσπαρται.

Μετ' οὐ πολὺ, μετ' ὀλίγον.

Μετουσιαστικὰ ὀνόματα, οἷον χρύσειον ἔκπωμα, καὶ ἀργύρειον, σιδήρειον ὅπλον, ἃ ποιητικῶς, οὕτω λέγεται. ἐνίοτε δὲ χωρὶς τοῦ ι, οἷον χρύσεον, ἀργύρεον, σιδήρεον. παρὰ δὲ τοῖς κοινοῖς συνῃρημένως ταῦτα πάντα λέγεται, οἷον χρυσοῦν, ἀργυροῦν, σιδηροῦν. καὶ πρὸς τὰ κύρια καὶ προσηγορικὰ σύνταξιν ἔχει, ὡς τὰ ἐπίθετα.

Μετοσσῶ, περιβλέπω, ἀφορῶ, ἀποβλέπω.

Μετοχαὶ, ἀντὶ ὀνομάτων. ὡς ὅτε τὴν τοῦ δεῖνος φαμὲν ἐρωμένην, ἀντὶ τοῦ γυναῖκα. καὶ νοῦσον οὐλομένην, τὴν ὀλεθρίαν. καὶ ὀνόματα, ἀντὶ ἐπιρρημάτων. ὡς τὸ πλατὺ χαίνειν, ἀντὶ τοῦ πλατέως. καὶ ὠκὺ βαδίζειν, ἀντὶ τοῦ ταχέως. καὶ ἀντωνυμίαι ἀντὶ ἐπιρρημάτων. ὡς τὸ ἄλλῃ, ἀντὶ τοῦ ἀλλαχοῦ. καὶ ταύτῃ, ἀντὶ τοῦ οὕτως. καὶ σύνδεσμος ἀντὶ προθέσεως, οἷον ὁ δὲ, ἀντὶ τοῦ εἰς, ἐν τῷ πυθῶδε, ἤγουν εἰς πυθώ. καὶ ἀγορήνδε, καὶ οἴκαδε, καὶ φύγαδε, ἀντὶ τοῦ εἰς ἀγορὰν, καὶ εἰς οἶκον, καὶ εἰς φυγήν. ἔστι δὲ καὶ ἐξ ἀντιστρόφου καὶ πρόθεσιν εὑρεῖν ποτε λαμβανομένην ἀντὶ συνδέσμου. ὡς ὅτε τὶς εἴπῃ, ὅτι ἐκ τούτου τάδε γενήσεται, τουτέστιν ἕνεκα τούτων.

Μετοχετεῦσαι, μεταγαγών.

Μετοχαῖς χρῆσθαι ἀντὶ τῶν ὀνομάτων, τῶν Ἀττικῶν ἐστιν. οἷον Ἀριστοφάνης ἐν βατράχοις, εἴπω τι τῶν εἰωθότων ὦ δέσποτα. καὶ Ὅμηρος πεπνυμένον λέγει, ἀντὶ τοῦ πινυτόν.

Μέτοχος, κοινός.

Μετοχὴ, ἐνίοτε ἔξωθεν λαμβάνεται, ὡς τὸ πρὸς τὴν ἄρκτον πλέομεν. τὸ γὰρ ἐντελὲς ἦν πρὸς τὴν ἄρκτον ἀφορῶντες. πολλάκις καὶ μετοχὴ ἀντὶ ὀνόματος λαμβάνεται, ὡς τὸ, χαλεπὸν γὰρ καὶ ἐπισταμένόν περ ἐόντα, ἀντὶ τοῦ ἐπιστήμονα.

Μετοχὴ, διὰ τοῦτο λέγεται μετοχὴ, διότι μετέχει ὀνόματος καὶ ῥήματος. εἰ δὲ οὐ μεθέξει τινὸς τούτων, οὐκέτι μετοχή. τὸ γοῦν ἐρωμένη, καὶ τὸ εἱμαρμένη, καὶ τὰ τοιαῦτα. οὐκ εἰσὶ μετοχαὶ, ἐπειδὴ οὐκ ἔχουσι τὸ ἰδίωμα τοῦ ῥήματος. τὰ γὰρ παθητικὰ τῶν ῥημάτων δοτικῇ συντάσσονται, οἷον τύπτομαί σοι. τὸ δὲ ἐρωμένη οὐ λέγεται τινὶ, ἀλλὰ τινος, οἷον ἐρωμένη τοῦ δεῖνος. μετοχὴ, ὅταν μὲν ἄρθρῳ προφέρηται, μᾶλλον πλησιάζει τῷ ὀνόματι. τὸ γὰρ ἄρθρον τοῦ ὀνόματος ἴδιον. ὅταν δὲ ἀνάρθρως, μᾶλλον τῷ ῥήματι. τὸ γὰρ ῥῆμα οὐ χρῆται ἄρθροις. διὰ τοῦτο καὶ πρὸς μὲν τῷ ἄρθρῳ ῥήματος ἐπιφερομένου τέλειον ἡ μετοχὴ λόγον ποιεῖ. οἷον ὁ ἀναγινώσκων προκόπτει, ὥσπερ ἐξ ὀνόματος καὶ ῥήματος τέλειος λόγος γίνεται. δίχα δὲ τοῦ ἄρθρου, οὐ δύναται ποιῆσαι λόγον τέλειον, οἷον ἀναγινώσκων προκόπτει. δοκεῖ γὰρ δύο ῥήματα εἶναι, καὶ ὥσπερ οὐδὲ ἐκ δύο ῥημάτων, οὐ δύναται λόγος γενέσθαι τέλειος, οὕτως οὐδὲ ἐκ τούτων. ἀλλ' εἰ δεῖ χωρὶς ἄρθρου λόγον γενέσθαι τέλειον, ἀνάγκη ὄνομα προστεθῆναι. οἷον ἀναγινώσκων τὶς προκόπτει, μὴ τοίνυν ἄρα καὶ ἔνθα τὸ ἄρθρον πρόσκειται καὶ ὀνόματος ἔξωθέν ἐστι χρεία. οἷον, ὁ ἀναγινώσκων ἄνθρωπος προκόπτει.

Μετοχαὶ εἰς ως διὰ τοῦ ω μεγάλου γράφονται. ἐπὶ δὲ τῆς γενικῆς διὰ τοῦ ο μικροῦ, πλὴν τοῦ γεγὼς τεθνεὼς ἑστώς. γεγηκὼς γὰρ ἦν, καὶ ἐκβολῇ τοῦ κ, ἐβραχύνθη ἡ παραλήγουσα.

Μετοκλάζει, ἔχει πρωτότυπον τὸ κλῶ ἐξ οὗ πλεονασμῷ καὶ παραγωγῇ, τὸ ὀκλάζειν. ὅθεν καὶ δίφρος ὀκλαδίας, παρὰ τῷ κωμικῷ.

Μετοκλάζει, μετακαθίζει ἐπ' ἀμφοτέρους πόδας. ὀκλὰξ γάρ ἐστι, τὸ ἐπὶ γόνυ, ὅ ἐστιν ἐγκλίνει τὰ γόνατα, διὰ δειλίαν μετακαθίζων.

Μέτρα πάντα, πλὴν τοῦ δακτυλικοῦ, κατὰ διποδίαν μετρεῖται, καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου. ἔστι δὲ μονόμετρον μὲν, τὸ ἔχον πόδας δύο. δίμετρον δὲ, τὸ ἔχον πόδας τέσσαρας. τρίμετρον, τὸ ἔχον ἕξ. τετράμετρον, ὀκτώ. πεντάμετρον, τὸ ἔχον δέκα. περαιτέρω δὲ οὐ πρόεισιν. εἴρηται δὲ πλὴν τοῦ δακτυλικοῦ, ἐπειδὴ τοῦτο οὐ κατὰ διποδίαν μετρεῖται. διὰ τὸ εἶναι τοὺς πόδας τρισυλλάβους.

Μετρεῖν, ἐπὶ μεδίμνου λέγεται.

Μετρεῖσθαι ἔλεγον οἱ παλαιοὶ, μέτρῳ λαμβάνειν πυρὸν, ἢ τι τοιοῦτον ἐν δάνει, ἵνα ἀποδῷ. Ἡσίοδος, εὖ μὲν μετρεῖσθαι, εὖ δ' ἀποδοῦναι.

Μετριάζειν, τοῦτο οἱ μὲν ἀρχαῖοι, ἐπὶ τοῦ τὰ συμβαίνοντα μετρίως φέρειν τιθέασι. Μένανδρος δὲ, ἐπὶ τοῦ ἀσθενεῖν παρὰ τὴν τῶν δοκίμων χρῆσιν.

Digitized by Google

Μετριάζω ἀμεταβάτως, τὸ μέτρια φρονῶ.

Μέτριοι, ἐπιεικεῖς, μικροί, ἁπλῶς, καὶ οἱ μεμετρημένην οὐσίαν ἔχοντες.

Μέτριον, καὶ καλῶς ἔχον. ἐπιεικέστατον λέγουσιν Ἴωνες.

Μέτριον, τὸ σύμμετρον, τὸ ταπεινὸν, καὶ τὸ ὀλίγον. μέτριον γὰρ φαμὲν ἦθος, τὸ ἔχον μετριότητα. τοῦ δὲ συμμέτρου παράδειγμα. Ἀριστοφάνης, μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε; ἀντὶ μετριότητα, ἤγουν ἰσότητα ἀγαπῶντος, μήτε φειδωλοῦ ὄντος, μήτε ἀσώτου.

Μετριοπαθεῖν, συγγινώσκειν, ἢ ἐκμέτρως τὰ πάθη κατέχεσθαι.

Μέτριος ἀνὴρ λέγεται, ὁ διαμετρῶν ἑαυτὸν τῷ ζῆν.

Μέτριος, ταπεινὸς, ἐπιεικής.

Μέτρον, τινὲς τὸ κοῖλον, παρὰ τὸ μέσον εἶναι. τὰ δὲ ἄλλα ἀπ' αὐτοῦ. ὁ δὲ Ἡρωδιανὸς λέγει. παρὰ τὸ ἀρῶ, γίνεται μέτρον.

Μετρονόμοι, ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων. ἦσαν δὲ τὸν ἀριθμὸν δεκαπέντε. εἰς μὲν τὸν Πειραιᾶ δέκα, πέντε δ' εἰς ἄστυ. εἶχον δὲ τὴν ἐπιμέλειαν, ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων.

Μέττον, μεῖζον.

Μέτων, ἄριστος ἀστρονόμος, καὶ γεωμέτρης γέγονε. τούτου ἐστὶν ὁ ἐνιαυτὸς ὁ λεγόμενος μέτωνος. φησὶ δὲ Καλλίστρατος, ἐν Κολωνῷ ἀνάθημά τι εἶναι αὐτοῦ ἀστρολογικόν. καὶ ἄλλοι ἄλλα περὶ αὐτοῦ λέγουσιν. Ἀριστοφάνης, σὺ δ' εἶ τίς ἀνδρῶν; ὅστις εἰμ' ἐγὼ, Μέτων.

Μετωνυμία ἐστὶ, λέξις ἐπ' ἄλλου κυρίως κειμένη, ἄλλο δὲ κατὰ ἀναφορὰν σημαίνουσα. οἷόν ἐστι παρὰ τῷ Ποιητῇ ἦμος. ὅτ' αἰζηοὶ Δημητέρα βωλοτομεῦσι. τὸν γὰρ πύρινον καρπὸν δηλοῖ ἀπὸ τῆς εὑρούσης Δήμητρος ὀνομάσας. καὶ ὅταν εἴπῃ σπλάγχνα δ' ἄρ' ἐμπείραντες, ὑπείρεχον Ἡφαίστοιο. ἐν γὰρ τῷ Ἡφαίστου ὀνόματι τὸ πῦρ λέγει. ὅμοιον τοῖς εἰρημένοις καὶ τοῦτο, ὅς κεν ἐμῆς χοίνικος ἅπτηται. λέγει γὰρ, τὰ ἐμπεριεχόμενα τῇ χοίνικι.

Μετώπιον, ἢ τὸ μέτωπον, καθ' ὁμοιότητα τοῦ ἐνώπιον, ἢ μεσόφρυον. ὡς καὶ μεταμάζιον, τὸ μεταξὺ τῶν μαζῶν. καὶ μεταίχμιον, τὸ μεταξὺ δύο στρατῶν. φησὶ γὰρ Ὅμηρος, μετώπιον ὀξέϊ δουρὶ ἔνυξε. καθὰ δὲ τὸ ἴχνιον, οὐκ ἔστι παρ' Ὁμήρῳ ὑποκοριστικὸν, οὕτως οὐδὲ τὸ μετώπιον. σημειοῦνται γὰρ οἱ παλαιοὶ, ὡς καὶ ἐν Ὀδυσσείᾳ εἴρηται, μὴ εἶναι παρ' Ὁμήρῳ ὑποκορισμὸν, διὰ τὸ μεγαλοπρεπὲς τῆς κατὰ αὐτὸν ποιήσεως, εἰ μὴ ἄρα φησὶν ἐν τῷ μάλα μέγα θηρίον, ὅπερ ἐκ τῆς ὑποκοριστικῆς χθαμαλότητος ἐγήγερται, διά τε τοῦ μάλα, καὶ διὰ τοῦ μέγα.

* Μετώπιον, αἰγύπτιον μύρον.

Μετωπὶς, ἰατρικὸς ἐπίδεσμος.

Μετώχετο, ἐπορεύετο.

Μεύει, κοιμᾶται.

* Μεχεὶρ, ἢ βεχεὶρ, μὴν Αἰγυπτιακὸς, ὁ φεβρουάριος.

Μέχρι, καὶ ἄχρι, καὶ ἕως, συντάσσονται μὲν καὶ μετὰ ὀνόματος. οἷον μέχρι τοῦ τέλους, καὶ ἕως τινός. συντάσσονται καὶ μετὰ ἀπαρεμφάτων, ἄρθρων προηγουμένων. ὡς τὸ, μέχρι τοῦ ἐλθεῖν τὸν λόγον κυρίου. συντάσσεται καὶ μετὰ ῥήματος ὑποτακτικοῦ, οὐκ αὐτοῦ τοῦ μέχρι ὑποτάσσοντος, ἀλλὰ συνυπακουομένου ἔξωθεν τοῦ ἂν, τὸ γὰρ μέχρις ἔλθῃ, οὐδὲν ἕτερόν ἐστιν, ὅτι μὴ μέχρις ἂν ἔλθῃ. μέχρι τοῦ ζῆν, ἄξιον. μέχρις ἦν ἄπειρος τῶν τοῦ βίου κακῶν.

Μέχρι, συντάσσεται μετὰ γενικῆς. εὕρηται παρ' Ἀττικοῖς καὶ μετὰ αἰτιατικῆς, μέσον τῆς πρὸς ἢ τῆς εἰς κειμένης, οἷον ἐξικνοῦνται τὰ βέλη ἄχρις ἢ μέχρι πρὸς τὸν σκόπον.

Μέχρι τούτου, Ἀττικῶς. μέχρι εἰς τοῦτο, καὶ ἱμέριος, θύμβρις δὲ ἄνωθεν ἐξ Ἰταλίας πολὺς φερόμενος, μέχρι πρὸς τὴν πόλιν πελαγίζει.

ΤΟΥ Μ. ΜΕΤΑ ΤΟΥ Η.

ΜΗ, ἐπὶ μὲν ἀορίστου συντάσσεται μετὰ ὑποτακτικοῦ. ἐπὶ δὲ ἐνεστῶτος, μετὰ προστακτικοῦ.

Μὴ ἂν, ἀντὶ τοῦ οὐ.

Μὴ γράφε, μηδέποτε λέγε, μηδαμῶς ποίει, μὴ τέτυφε. τὰ ἀπαγορευτικὰ προστακτικοῖς συντάσσονται. εἰ δέ που εὑρεθῇ τὸ μὴ ἀπαγορευτικὸν τοῖς ὁριστικοῖς συνταττόμενον, ἀντὶ τοῦ ἀποφατικοῦ οὐ προσείληπται. οἷον μὴ δὲ μὴν ἰσότητα ποιμαίνει, ἀντὶ τοῦ οὐδὲ μήν.

Μὴ θαυμάσῃς, μὴ τύψῃς, μὴ τύπτε, μὴ δὲ ἀπέχου. μὴ τύψῃς δὲ, ἐπὶ ἀορίστου τοῦ ὑποτακτικοῦ, ὡς τὸ μὴ δοκῶμεν πράττοντες, παρὰ Σοφοκλεῖ ἐν Αἴαντι, καὶ παρὰ Λιβανίῳ ἐν τῇ εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος μονῳδίᾳ. μήτε καλὴν, μήτε μεγάλην καλῶμεν ἔτι τήνδε τὴν πόλιν, ἀλλὰ τούτου χάριν γέγονε τοῦτο. ἐπειδὴ ὁ μὲν ἀπαγορεύων, ἐπὶ ἐνεστῶτος προστακτικῷ ἐξ ἀνάγκης χρῆται. ἑτέρῳ γὰρ ἀπαγορεύει. ὁ δὲ πρὸς ἑαυτὸν τὴν ἀπαγόρευσιν ποιούμενος, ἀδυνάτως ἔχει προστακτικῷ χρῆσθαι. οὗτοι τοίνυν ἐφ' ἑαυτῶν τὴν ἀπαγόρευσιν ποιούμενοι. καὶ κατὰ τοῦτο μὴ δυνάμενοι προστακτικοῖς χρῆσθαι, διὰ τὸ ἐν τοῖς προστακτικοῖς ἐπὶ παντὸς ἀριθμοῦ πρῶτον πρόσωπον μὴ εὑρίσκεσθαι. οὐδεὶς γὰρ ἑαυτῷ προστάσσει, ἐξ ἀνάγκης ὑποτακτικοῖς ἐνεστῶσιν ἐχρήσαντο. λέγοντες, μὴ δοκῶμεν, καὶ μὴ καλῶμεν. γίνωσκε δὲ καὶ τοῦτο, ὅτι ἐπὶ τῶν ἑνικῶν πρώτων προσώπων τοῦ ὑποτακτικοῦ ἀορίστου καὶ παρακειμένου, καὶ τῶν καθεξῆς χρόνων, οὐ χρώμεθα μόνῳ τῷ μὴ, οἷον μὴ τύψω, καὶ μὴ τύπω, καὶ μὴ τετύφω, ἀλλὰ μετὰ τῆς προσθήκης τοῦ οὐ, οἷον οὐ μὴ τύπω. ἰστέον, ὅτι καὶ τὸ μὴ, καὶ τὸ οὐ μὴ, οὐ μόνον ἐπὶ ὑποτακτικοῦ τίθενται, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ μελλόντων ἁπλῶς, οἷον παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ, ὅπως μὴ σαυτὸν οἰκτιεῖς. καὶ παρὰ Ἀριστοφάνει ἐν βατράχοις, ἀλλ' ἐννοεῖν ὅπως μὴ ἐρεῖς, καὶ παρὰ Συνεσίῳ, οὐ μὴ ἐρεῖς, ὡς ἔλαθεν ἡμᾶς. τὸ τοιοῦτον δὲ μὴ, οὐ μόνον ἐπὶ ὑποτακτικοῦ τίθεται, ἀλλὰ καὶ ἐπὶ εὐκτικοῦ παρὰ Λουκιανῷ, ἅπαξ καὶ ἐπὶ ὁριστικοῦ ἐνεστῶτος, ἐν τοῖς νεκρικοῖς. ὅρα γοῦν, μὴ τὸ ἐναντίον ἐστὶ, μὴ καὶ τὸ οὐ ἐκ παραλλήλου πολλάκις τίθενται. μὴ, ὅτε κεῖται μετὰ τοῦ ὅρα ὑποτακτικῷ συντάσσεται, νοουμένου τοῦ ἵνα ἔξωθεν. καὶ ὅτε κεῖται μετὰ τοῦ τί ἐρωτηματικοῦ, καὶ τότε μετὰ ὑποτακτικοῦ. οἷον μήτι γένηται, μήτι πάθω. καὶ ἐπὶ παραστάσεως νοούμενον, μετὰ προστακτικοῦ τάττεται, οἷον μὴ ἐνόχλει με, μὴ πεποίθατε. εἰ δὲ μετὰ ἀορίστου ἐστὶ, μετὰ ὑποτακτικοῦ συντάσσεται, οἷον μὴ ποιήσῃς τὸ μὴ δέον. μὴ κλέψῃς.

Μὴ ἀποσκορακίσῃς με, μὴ ἀποδιώξῃς με, μὴ ἀποδοκιμάσῃς με.

Μὴ, ἀπαγορευτικὸν σύνδεσμον, ἀντὶ τοῦ μὴν παραπληρωματικοῦ λαμβάνουσιν Ἴωνες.

Μὴ, ἀντὶ τοῦ ἄρα λαμβάνεται.

Μὴ οὐκ ἐπ' ἐκεῖνον ἐλθεῖν, οὐδεὶς ἄν με πείσειεν ἀνθρώπων. αἱ δύο ἀποφάσεις, ἀντὶ μιᾶς λαμβάνονται. ἰστέον δὲ, ὅτι τὰ τῆς ἀπαγορεύσεως ἐπιρρήματα, τοῖς δευτέροις προσώποις τῶν ἀορίστων προστακτικῶν ἐνεργητικῶν τε καὶ παθητικῶν καὶ μέσων οὐ συντάσσονται, οἷον φαμὲν μὴ τύψον, μὴ τύπε. οὐ δὲ μὴ τύφθητι, μὴ τύπηθι, οὔτε μὴ τύψαι, μὴ τυποῦ, ἀλλὰ καθὼς τοῖς αἰτιολογικοῖς. ἵνα ὅπως ἐὰν συνδέσμοις ὑποτάσσονται οἱ ἀόριστοι, οὕτω καὶ μόνον τὸ δεύτερον ἑαυτῶν πρόσωπον ἔν τε τοῖς ἑνικοῖς καὶ δυϊκοῖς καὶ πληθυντικοῖς ὑποτάσσονται τοῖς ἀπαγορευτικοῖς ἐπιρρήμασιν, οἷον ἑνικῶς μὲν μὴ τύψῃς, μὴ τύπῃς, μὴ τυφθῇς, μὴ τύπῃ. δυϊκῶς δὲ, μὴ τύπητον, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. πληθυντικῶς δὲ, μὴ τύψητε, μὴ τύπητε, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, μὴ τυφθῆτε, μὴ τυπῆτε, μὴ τύψησθε, μὴ τύπησθε. τοῖς μέντοι τρίτοις προσώποις προστακτικοῖς τούτων, φημὶ δὴ πάντων τῶν ἀορίστων, συντάσσονται, οἷον μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθὸς, μὴ δὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. καὶ ἐπὶ τῶν πληθυντικῶν, οἷον μὴ δὲ γεννηθήτωσαν. εἰ δέ που εὑρεθῇ ποιοῦν ῥηματικὴν ὑπόταξιν, ὡς ἐν τοῖς δευτέροις προσώποις, καταχρηστικῶς ποιοῦσι, καὶ οὐ κυρίως, οἷον καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσῃ με, ἀντὶ τοῦ μὴ σαλευσάτω με. τοῦτο δὲ δεῖ εἰδέναι, ὅτι κατὰ τοὺς Ἀττικοὺς, τὸ μὴ παρατιθέναι, μηδὲν πλέον δηλοῦν τῆς ἀποφάσεως, οἷον τοῖς μὴ οὐχὶ τὸν Θεὸν εἰδόσιν οὐ δεῖ πιστεύειν. καὶ ὅτι τὸ οὐ ἀρνητικὸν προτασσόμενον τοῦ μὴ ἐν τοῖς ἀορίστοις, ὑποτακτικήν τε ἅμα καὶ ἀποφαντικὴν ἀποτελεῖ σύνταξιν, οἷον οὐ μὴ ἐκβάλω, οὐ μὴ διψήσει. ὁπόταν δὲ τῷ οὖν συνδέσμῳ συνταγῇ, τὴν αὐτὴν βαρεῖαν ἐγείρει, καὶ ἐγκλιτικῶς ἀναγινώσκεται. οὔκουν ἀτιμαστέον τὴν παίδευσιν, ὅτι τοῦτο δοκεῖ τισίν. ἀλλὰ σκαιοὺς, καὶ ἀπαιδεύτους, ὑποληπτέον τοὺς οὐχ οὕτως ἔχοντας. εἰ δὲ περισπωμένως λέγοιτο τὸ οὐκοῦν, ἰσοδύναμόν ἐστι τοῖς συλλογιστικοῖς, τοίνυν τοιγαροῦν, συνδέσμοις. ἰστέον δὲ, ὅτι τὰ ἀποφατικὰ καὶ ἀπαγορευτικὰ καὶ συγκαταθετικὰ προτάσσεσθαι τῶν ῥημάτων θέλουσιν. οἷον οὐ λέγω, καὶ λέγε, μὴ λέγε. εἰ δέ που εὑρεθῶσιν ὑποτεταγμένα ῥήμασιν, οἷον ἅπαντες μὲν οὐ κοιμηθήσονται, οὐκ ἀναστροφῆς τρόπῳ εἰσὶν ὑποτεταγμένα, ἀντὶ τοῦ ἅπαντες μὲν οὐ κοιμηθήσονται.

Μὴ ἀπαγόρευσις, παρὰ τοῖς παλαιοῖς, ἀντὶ τῆς οὐ ἀρνήσεως παραλαμβάνεται.

Μή μοι τότ' ἔλθῃς, παροιμία ἐπὶ τῶν μὴ συνερχομένων τοῖς φίλοις. ἡ γὰρ παροιμία μή μοι τότ' ἔλθῃς, ὅταν ἐγὼ πράττω καλῶς.

Μηδαμοὶ, καὶ οὐδαμοὶ, Ἡρόδοτος ὡς Ἰωνικὰ, ὡς ἐν τῇ πρώτῃ. ἐβουλεύσαντο δὲ αὐτοῦ μεταδοῦναι μηδαμοῖσιν ἄλλοισιν Ἰώνων, οὐδ' ἐδεήθησαν δὲ οὐδαμοὶ μετασχεῖν.

Μήδ' ἄζεο θοῦρον Ἄρηα, μηδὲ ἐντρέπου τὸν πυδουτικὸν Ἄρη.

Μήδ' ἄλα διδοὺς, οὐ μόνον φειδωλὸς, καὶ κίμβιξ, καὶ γλίσχρος, καὶ τὸ κύμινον πρίων, καὶ συνθέτως κυμινοπρίστης. ἔτι δὲ καὶ λιμὸς, καὶ εἴ τι τοιοῦτον, ἀλλὰ καὶ μυκόνιος ἀνὴρ παροιμιακός. δοκοῦσι γὰρ οἱ μυκόνιοι διὰ τὸ πένεσθαι, λυπρὰν ἔχειν νῆσον τὴν μύκονον, γλίσχροι καὶ πλεονέκται εἶναι. Κρατῖνος οὖν, ὡς φησὶν Ἀθήναιος τὸν γλίσχρον, χόμαχον μυκόνιον εἶπεν, ἐνταῦθα χρήσιμα ἐκ τῶν παλαιῶν. καὶ τὸ κίμβριξ ὁ ῥυπαρὸς, ἀπὸ κιβδήλου φασὶ χρυσίου, καὶ ἀργυρίου. καὶ λιμοκίμβιξ δὲ ὁ αὐτὸς, καὶ κυμινοκίμβιξ, διὰ σμικρότητα, καὶ ῥυποκόνδυλος. καὶ συκοτραγίδης, παρὰ Ἱππώνακτι, καὶ Ἀρχιλόχῳ, διὰ τὸ ἀτελές φασι τοῦ βρώματος, καὶ γλίσχρον διὰ τὸ γλίχεσθαι πολλῶν. καὶ φειδὸς, ἤγουν φειδωλὸς, διὰ τὸ φείδεσθαι πολλῶν. καὶ ξυσίβιος παρὰ τῷ κωμικῷ, καὶ θυμβρεπίδειπνος. ὧν ὁ μὲν δηλοῖ τὸν τρύοντα, ἤτοι κακοπαθοῦντα περὶ τὸν βίον. ὁ δὲ, τὸν εὐτελῶς δειπνοῦντα. ὡς θύμβροις ἀρκεῖσθαι, ἅπερ ἴσως ἡ χυδαία γλῶσσα θρύμβους λέγει. τοιούτου δὲ σκώμματος καὶ ὁ μυσάλμης, γενόμενός φασιν ἐκ τοῦ μυστιλᾶσθαι ἅλμην, ἤγουν ἐκ τῶν εὐτελεστάτων ζῆν. ἣν γάρ φασι σκεύασμά τι εὐτελὲς, ὃ θαλασσίαν ἅλμην ἐκάλουν. αὐτὸ δὲ κατὰ τοὺς παλαιοὺς δύναται καὶ τὸ ἐπιπόνως βιοῦν.

Digitized by Google

Μηδαμινὸς, ἀπὸ τοῦ μηδαμῶς ἐπιῤῥήματος, τοῦ ὄντος ἀπὸ τοῦ μηδαμός. ὄνομα συγκείμενον ἀπὸ τῆς μὴ ἀπαγορεύσεως, καὶ δαμός, τοῦ ἰσοδυναμοῦντος τῷ τίς.

Μηδαμινὸς, ἄτιμος.

Μηδαμῶς, μὴ δῆτα.

Μήδ' ἀπαυδῶμεν, μήδ' εἰς ἀπείθειαν ἐμβάλλωμεν.

Μηδαπὴ, γῆ ἰδία.

Μήδεα ἀνδρῶν, παρ' Ὁμήρῳ, βούλεται μὲν εἰπεῖν ἀντὶ τοῦ ἡμῶν αἱ βουλαὶ, ἢ ὑμῶν. ἰστέον δὲ, ὅτι μήδεα παρὰ τοῖς παλαιοῖς καὶ οἱ ὄρχεις. παρὰ τὸ μέδειν, ὅ ἐστιν ἄρχειν. ἀρχὴ γάρ τις ἐν ζώοις καὶ αὐτοὶ, ὡς δηλοῦσιν οἱ παλαιοί. διαστρέφοντες αὐτὸ ἐκ τῆς πολλῆς ἐναλλαγῆς τῶν γάλλων, ἤτοι ἀποκόπων, σαφέστερον δὲ εἰπεῖν εὐνούχων. Ἡσίοδος δέ φησιν αὐτοὺς μήδεα ἐν θεογονίᾳ. ἐστέρηθι δὲ μέζεα, φυλάξας μὲν τὸ ε τοῦ μέδειν, τρέψας δὲ τὸ δ εἰς ζ, κατὰ ἀκολουθίαν, καθ' ἣν καὶ τὸ ἐρειδαίνομεν, ἀπὸ τοῦ ἐρίζειν. δῆλον ὅτι ὁμώνυμος λέξις καὶ τὰ μήδεα, δηλοῦσα, νῦν μὲν βουλεύματα, ἐν ἄλλοις δὲ, καὶ αἰδοῖα, τὰ παρ' Ἡσιόδῳ μέζεα. ὧν προκατάρχον, τὸ μέδω, ἤγουν ἄρχω. ἐξ οὗ μέδεα, ἀρχή τις ὄντα καὶ αὐτὰ ἐν τῷ ζώῳ, καὶ κατὰ τροπὴν συνήθη μέζεα.

Μήδεα, τὰ αἰδοῖα. παρὰ τὸ μέδειν, καὶ ἄρχειν τῆς γενέσεως.

Μηδὲ λόγον ἔχειν, μὴ φροντίζειν.

Μήδενες, καὶ οὔδενες, καὶ ἐπὶ τῶν ἄλλων πτώσεων τῶν πληθυντικῶν Ἀττικοὶ λέγουσι.

Μήδεια, κύριον. Μηδία δὲ χώρα.

Μηδεῖν, μὴ ἐσθίειν.

Μήδου, βουλεύου.

Μήδεσθαι, τεχνήσασθαι, βουλεύσασθαι.

Μὴ δὲ παρόντες, μὴ δὲ βοηθοῦντες.

Μηδ' ἕτερος, μὴ δεῖς.

Μὴ δή μοι τελέσειε θεὸς κακὰ κήδεα. παρὰ τῷ Ποιητῇ, κατ' ἔλλειψιν εἴρηται. λείπει γὰρ συνήθως, τὸ δείδω, ἢ τοιοῦτόν τι, ἵνα λέγῃ ὅτι δέδοικα μὴ τόδε μοι ποιήσῃ ὁ Θεός.

Μήδετο, ἐφρόντιζεν, ἐτεχνάζετο, ἐβουλεύετο.

Μὴ δὴ οὖν, μηδαμῶς οὖν.

Μηδῆται, μηδαμῶς. μηδόμενος, ποιῶν, βουλευόμενος.

Μηδίᾳ, γελᾷ. καὶ ὄνομα ἡρωΐδος, Μήδεια.

Μηδικοὶ, ὄρνεις μῆδοι, ἀλεκτρυόνες.

Μηδικὴ πόα, ἡ τρίφυλλος. οἱ δὲ λωτὸν κτήνεσιν ἁρμόζοντα.

Μηδινοῦς, μηδεὺς παρὰ μὲν Δωριεῦσι μηδοτιοῦν, μηδαμῶς. παρὰ δὲ Λυδοῖς, ὁ Ζεὺς, Ζεῦσις.

Μήδιος, μαλακὸς, καὶ βοτάνης εἶδος, καὶ λίθος τὶς μηδιάτης.

Μηδισμένος, ὁ τὰ τῶν Μήδων φρονῶν.

Μήδομαι, τὸ βουλεύομαι ποιητικόν.

Μήδετο, κατὰ ἀφαίρεσιν τοῦ ε, ἤγουν ἐβούλετο. ἔστι δὲ χρόνου παρατατικοῦ.

Μὴ δόξῃ σοι, μὴ νομίσῃ σοι.

Μηδοτιοῦν, μηδεπώποτε.

Μῆδος, καὶ μῆδοι, ἐθνικά.

Μηείην, μασᾶσθαι, ἐσθίειν, παρὰ τῷ Ἱπποκράτει.

Μὴ ἐπαίρου, μὴ ὑπερηφανοῦ.

Μὴ ἐφικνούμενοι, μὴ καταλαμβάνοντες.

Μήθομαι, παρὰ τὸ μήθω, δηλοῦν τὸ μανθάνω. ὃ γίνεται κατὰ τροπὴν τοῦ δ εἰς θ.

Μήθυμνα ἐῤῥέθη, ὥσπερ μηθώνη, παρὰ τὸ μέθυ. μέθυμνα γὰρ διὰ Διόνυσον, καὶ ἐκπτώσει τῆς ἀρχούσης μήθυμνα. ὁμοίως τῷ μεθώνη, μηθώνη. ἔστι δὲ μήθυμνα, πόλις Λέσβου.

Μηθυμναῖος, ὁ Διόνυσος.

Μήθω, ἄχρηστον, τὸ μανθάνω, ἀφ' οὗ τὸ ἔμαθον.

Μηθὼν, πόλις.

Μηθώνη, ἔκτασιν ἔπαθε κατὰ τοὺς παλαιοὺς τῆς ἀρχούσης, ἤγουν τῆς μέσης συλλαβῆς. μεθώνη γὰρ ὤφειλε ῥηθῆναι. τρεῖς δέ φασι Μεθῶναι, ἡ ἐν Μακεδονίᾳ, ἄποικος Ἐρετριέων. καὶ ἡ ὑπὸ τοῦ Φιλοκτήτου, καὶ ἡ περὶ Τροιζῆνα. καὶ [illegible] μὲν αἱ χολικαὶ, οἱ λέγοντες, καὶ ὅτι τοὺς τοιούτους μεθωναίους οἱ μὲν Αἰολεῖς φασιν, οἱ δὲ Ἀχαιοὺς, οἱ δὲ Αἰνιᾶνας, ἕτεροι δὲ περὶ Τροιζῆνα μὲν καὶ Μακεδονίαν μεθώνης οὐ μέμνηται. ἄλλως δὲ ἀριθμοῦσι τρεῖς Μεθώνας λέγοντες, ὅτι μεθώνη Φιλοκτήτου, ἑτέρα τῆς Θρακίας. ἔστι δὲ καὶ ἑτέρα Πελοποννήσιος μεθώνη, κληθεῖσα οὕτω παρὰ τὸ μέθυ. πολύοινος γάρ. ταύτης δὲ ὁ πολίτης μεθωνεὺς, ὡς κορωνεύς.

Μῆκα, κέρατα. * ὅθεν μηκάδας αἶγας κατά τινας Ὅμηρος καλεῖ τὰς κερατώδεις, ἢ κάλλιον ἀπὸ τοῦ μηκᾶσθαι.

Μηκᾶσθαι, ἐπὶ αἰγῶν, διὰ τοῦ η. ἀφ' οὗ μηκάδες αἶγαι παρ' Ὁμήρῳ. καὶ φριμάττεσθαι ἐπὶ τῶν αὐτῶν διὰ τοῦ ι, καὶ φριγμός.

Μηκεδανὸς, ποιητικῶς ὁ μακρός. μήκιστος, ὁ μακρότατος.

Μὴ κεῦθε, μὴ κρύπτε.

Μηκή ἐστιν ἡ τῶν αἰγῶν βοή. ὅθεν καὶ τὸ μηκάδας αἶγας. βληχὴ δὲ, ἡ τῶν προβάτων.

Μήκιστα, μέγιστα, ὑπερμεγέθη, ἔσχατα.

Μηκιστῆ, αἰτιατικὴ ἐκ τοῦ μηκιστεὺς μηκιστῆος, ἀποκεκομμένη. φησὶ γὰρ Ὅμηρος, μηκιστῆ δ' ἕλε Πολυδάμας. καὶ ἔστιν ὅμοιον τῷ ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί.

Μὴ κοίνου, μὴ ἀφάνιζε, μὴ μίαινε, μὴ ἀκάθαρτον νόμιζε.

Μῆκος, καὶ μήκιστον. καὶ μηκότατον, τὸ μακρότατον.

Μὴ κοτέσῃ, μὴ ὀργισθῇ.

Μηκύβερνα, πόλις ἐστὶν ἐν Θράκῃ, σταδίους εἴκοσιν ἀπέχουσα τῆς Ὀλύνθου.

Μηκωθῆ, μακρωθῆ, καὶ Ἰωνικῶς μηκρωθῆ. καὶ ἐκθλίψει τοῦ ρ αἰολικῶς, μυκωθῆ.

Μήκωον, αὔξανον, μάκρωον.

Μηκύνω τὸν λόγον κάλλιον, ἢ ἐκτείνω. ἐκτείνω. ἐκτείνω δὲ τὴν χεῖρα. Ἀριστείδης, τὴν χεῖρα ἐκτεταχώς.

Μηκύνω, εἰς μῆκος ἄγω.

Μήκων, ὄνομα φυτοῦ, ἢ σπέρματος οὐκ ἄδηλον. ἔστι δὲ καὶ μέρος τι τῶν ἐντοσθίων τοῦ πολύποδος τοῦ ἰχθύος, ὃς κεῖται ἐπάνω τῆς κοιλίας. οἱονεὶ κύστις ἐν ἑαυτῇ ἔχουσα τὸν θόλον, ὥς φησιν Αἰλιανὸς ἐν τοῖς περὶ ζώων.

Μήκων, εἶδος βοτάνης. παρὰ τὸ μῆκος μήκων. λέγει δὲ τὴν καρδίαν.

Μηκώνιον, τὸν πέπλον καλούμενον, ὃν καὶ μηκωνίτην ὀνομάζει, παρὰ τῷ Ἱπποκράτει.

Μήκωνες, πόα τις λήθην ἐμποιοῦσα, καὶ τὰ τῆς πίνης περιττώματα, καὶ τῶν ὁμοίων, καὶ μέρος, καὶ ὕφασμα βύσσινον, καὶ οἱ ἄγριοι, καὶ ἡμεροπίτυς.

Μηλάνθη, καὶ μηλολόνθη, εἴδη βοτανῶν.

Μῆλα, ὁ ποιητὴς καλεῖ καὶ τὰς αἶγας, οἷον μῆλα ὄϊές τε, καὶ αἶγες ἰαύεσκον. καὶ ἡμεῖς δὲ δήπου μηλωτὴν καλοῦμεν καὶ τὴν αἰγείαν δοράν. τὴν δὲ τῶν προβάτων ἔνιοι οἰέην. τῶν δὲ ἀρχαίων Ἀττικῶν τινὲς συναλοιφὴν ποιούμενοι, ὦαν ἐκάλουν. καὶ φέρει καὶ χρῆσιν Ἑρμίππου ταύτην, ὥρα μάττειν ἐπὶ ταῖς ἱεροῖς, καὶ τὴν ὦαν περιδεῖσθαι περὶ τὴν ὀσφύν.

Μῆλα, τὰ ἀκρόδρυα λέγει Ὅμηρος, ἐκ μέρους, ἤτοι ἐξ ἑνὸς καρποῦ τοῦ μήλου τοῦ καλοῦ, καὶ κατὰ τὸν ποιητὴν ἀγλαοῦ. καθὰ καὶ ἀκρόδρυα καὶ δρύκαρπα, ἐξ ἑνὸς δένδρου τοῦ παλαιγόνου τροφοφόρου δρυός.

Μῆλα, πάντα Ὅμηρος ἐν ρ' τῆς Ὀδυσσείας λέγει τὰ τετράποδα, ὡς ἀπὸ μέρους. οὐ γὰρ πρόβατα μόνον οἱ μνηστῆρες ἱέρευον, ἀλλὰ σύας σιάλους, καὶ αἶγας καὶ βοῦς ἀγελαίας, καὶ ἄλλα. * ὅθεν καὶ πᾶσα βύρσα, μηλωτὴ καλεῖται.

Μηλάτης, ὁ ποιμήν.

Μηλάτων ἀπάργματα, ἀπαρχὰς καὶ θυσίας προβάτων. μῆλον δὲ πρόβατον αἰολικῶς, παρὰ τὸ μέλω, τὸ φροντίζω λεγόμενον. ποιμενικὸν γὰρ καὶ γεωργικὸν βίον ἔζων οἱ παλαιοί.

Μηλαφῆσαι, ψηλαφῆσαι.

Μηλέα, οὐ συναιρεῖται εἰς μῆλον κατὰ τὴν συνήθειαν. καὶ ὅτι ὁ καρπὸς αὐτῆς τὰ μῆλα καὶ ἦλα λέγεται, δῆλον παρὰ Σελεύκῳ ἐν γλώσσαις. φέρεται καὶ ταῦτα βράβιλα ἦλα κοκκύμηλα. μάδρυα τὰ αὐτά ἐστι μάδρυα μὲν λεγόμενα, ὡς οἷον μαλόδρυα, ἤγουν Δωρικῶς μηλόδρυα, πρὸς ὁμοιότητα τοῦ ἀκρόδρυα. βράβηλα δὲ κατὰ τὴν ἐτυμολογίαν φασὶ, καὶ αὐτὸ Δημητρίου τοῦ Ἰξίονος, ὡς εὐκοίλια, καὶ τὴν βορὰν ἐκβάλλοντα. ἦλα δὲ, ὡς οἷον μῆλα, ἔτι ἐκ τῆς μηλέας. καὶ μηλίδες, αἱ κατὰ Δωριεῖς μαλίδες νύμφαι, αἱ τετρασυλλάβως μαλιάδες κατὰ τὸ φιττὰ μαλιάδες, φιττὰ ῥοιαὶ, φιττὰ μελίαι, ἐν οἷς νύμφαι μὲν εἰσιν, ὀνόματα τὰ θηλυκά.

Μήλεια, προβάτεια, παρὰ τῷ Ἱπποκράτει.

Μηλεατορεῖ, δημηγορεῖ.

Μήλην ἐξωτίδα, τὴν μηλωτίδα. μήτρη ἡ ἐπιδυμὶς, παρὰ τῷ Ἱπποκράτει.

Μήλη, ἰατρικὸν ἐργαλεῖον, δι' ἧς ψηλαφᾶται τὰ πονούμενα. μηλοῦν γὰρ, τὸ ψηλαφᾶν λέγεται καὶ μήλωγρα, τὰ πορφυρὰ βάμματα, οὕτω Σέλευκος. ὁ δὲ Ὧρος ὁ μιλήσιος, παρὰ τὸ μήδω, ὁ πολλῶν κατὰ τὴν ἰατρικὴν ἐργάτης.

Μηλιάδος, ὠμῆς τῆς ἀπὸ μήλου χαλκίτεως, ἢ συπτηρίας, παρὰ τῷ Ἱπποκράτει.

Μηλιαθμῶν, μανδρῶν τῶν προβάτων.

Μηλιάδες, νύμφαι.

Μήλιαι, ἀστράγαλοι.

Μήλιος Σωκράτης, παρὰ τῷ Ἀριστοφάνει, παρ' ἱστορίαν. Ἀθηναῖος γὰρ ὁ Σωκράτης. ἀλλ' ἐπεὶ Διαγόρας μήλιος ὢν διεβάλλετο, ὡς θεομάχος, καὶ τὸν Σωκράτην δὲ ὡς ἄθεον διαβάλλει, διὰ τοῦτο μήλιον αὐτὸν ἔφη. ἄλλως. ὁ μήλιος, ἀντὶ τοῦ ὁ ἀσεβής. Ἀρισταγόρου γὰρ τοῦ μηλίου μαθητὴς ὁ Σωκράτης. διεβέβληντο δὲ ἐπὶ ἀθεΐᾳ οἱ Μήλιοι, ἀπὸ Διαγόρου, ὃς χρήματα παραθέμενός τινι καὶ ἀποστερηθεὶς, εἰς ἀθεΐαν ἐτράπη. ἢ διότι Μῆλον ἐπολέμησαν Ἀττικοί. οἱ δὲ, ἐπειδή τις Ἀρισταγόρας διθυραμβοποιὸς ἐξορχήσατο τὰ ἐλευσίνια. οἱ δὲ μήλιον, τὸν καταπραΰνοντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν μηλίων. οἱ δὲ, τὸν κομῶντα, καὶ δασύν. καὶ πολλὰ ἄλλα περὶ τούτου λέγουσι τοῦ μηλίου. ἄλλως. ὁ μήλιος τινὲς ἐξεδέξαντο τὸν τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνοντα, πρὶν εἰσελθεῖν ἠγριωμένας, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων. μῆλα γὰρ, τὰ θρέμματα. οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό. οἱ δὲ παρέλαβον οὕτω. Διαγόρας ὁ μήλιος, ὃς πρότερον ἦν θεοσεβὴς, παρακαταθήκην ἀπό τινος ἀποστερηθεὶς, ἐπὶ τὸ ἄθεον ἐξέδραμεν. ἐφ' ᾧ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες, τὴν Μῆλον ἐκάκωσαν. ἄλλως: Διαγόρας γέγονέ τις βλάσφημος εἰς τὸ θεῖον μήλιος. καὶ ποτέ φασιν ἐν πανδοχείῳ εὑρεθεὶς, καὶ μὴ εὑρὼν ξύλα, ἀλλ' ἄγαλμα Ἡρακλέους, ἄγε φησὶ τρισκαιδέκατον ἡμῖν ἐπιτέλει ἄεθλον, καὶ ἕψησον τὸν φακόν.

Μηλοβολεῖν, πτοῆσαί τινα, καὶ εἰς ἔρωτα ὑπαγαγέσθαι.

Μηλόβοτον, τὸ καλῶς τρέφον τὰ πρόβατα. μηλόβοτον πεδίον διήλθομεν.

Μηλοβότης, ὁ τῶν προβάτων ποιμήν.

Μηλόβοτος, τόπος ἀνειμένος προβάτων εἰς βρῶσιν.

Μήλοθρα, βάμματα. οἱ δὲ, τὸ τῶν δερμάτων βάμμα, ἄλλοι, τὸ πρόστυμμα τῆς πορφύρας. οἱ δὲ, καλλωπίσματα.

Μῆλον, πᾶς καρπός.

Μῆλον, Ποιητικῶς τὸ πρόβατον. μηλωτὴ, ἡ τοῦ προβάτου δορά. καὶ ἔστιν ἐν χρήσει.

Μηλολόνθην, οὕτω γράφουσιν οἱ ἀκριβέστεροι. τινὲς δὲ λέγουσιν, ὅτι ζωΰφιόν ἐστι χρυσίζον, κανθάρῳ ὅμοιον. ὃ λαμβάνοντες οἱ παῖδες, ἀποδεσμοῦσι λίνῳ καὶ ἐκπεταννύουσιν, Ἀριστοφάνης.

Μηλὸν, ἀργὸν, νωθρόν.

Μηλονομεῖς, ποιμένες.

Μηλονομιαῖον, ἐννόμιον.

Μηλοπα καρπὸν, τὸν σῖτον, ὡς μηλοειδῆ τὴν χρόαν, ὅ ἐστι κιῤῥὸν καὶ ξανθόχρουν. ὅθεν καὶ Δημήτηρ ξανθὴ λέγεται.

Μῆλος, πόλις Θεσσαλίας. καὶ οἱ Μήλιοι πολιορκούμενοι ὑπὸ Ἀθηναίων, λιμῷ ἐπιέσθησαν, καὶ προδεδώκασιν ἑαυτοὺς, ὡς Θουκυδίδης ἐν τῇ πέμπτῃ. καὶ Ἀριστοφάνης, λιμῷ μηλίῳ, ἀντὶ τοῦ μεγίστῳ.

Μῆλος, νῆσος.

Μηλοσόη ὁδὸς, δι' ἧς τὰ πρόβατα ἐλαύνεται. Ῥόδιοι.

Μηλοσφαγεῖ, παρὰ Ποιηταῖς, ἀντὶ τοῦ θύει.

Μηλοφόροι, θεραπεία περσικὴ τοῦ Βασιλέως.

Μηλυεὶς, ἡ ἄκρα.

Μήλῳ βληθεὶς, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἔρωτι. μηλοβολεῖν γὰρ ἔλεγον, τὸ εἰς ἀφροδίσια δελεάζειν. ἐπεὶ τὸ μῆλον Ἀφροδίτης ἐστὶν ἱερόν.

Μήλωθρα, τὰ πορφυρᾶ βάμματα.

Μήλων, Ἡρακλῆς. ὀνομασθῆναί φασι τὸν Θεὸν οὕτω, διὰ τὸ μὴ ἱερεῖα θύειν αὐτῷ τοὺς Μελιτεῖς, ἀλλὰ τὸν καρπὸν, τὰ μῆλα.

Μηλῶσαι, τὸ τὴν μήλην καθεῖναί που καὶ ἐν τῷ ἑλεῖν, καθέντες τι εἰς τὸ στόμα καταμηλοῦν. καὶ τὸ τὰ βαπτόμενα ἔρια, πιέζειν εἰς τὸ χαλκεῖον.

Μηλῶται, ποιμένες.

Μηλωτὴ, τὸ τῶν προβάτων δέρμα.

Μηλωτὴ, διφθέρα.

Μή με, μηδαμῶς με.

Μημωτὰ, ψεκτά.

Μή μ' ἐρέθιζε, μή με παρόξυνε.

Μὴν τριχῶς ἀλλοιοῦται, κατὰ φύσιν τοῦ η στοιχείου. λέγεται δὲ καὶ μὴν κοινότερον, καὶ μὰν δωρικῶς. καὶ μὲν Ἰωνικῶς, οὕτω καὶ πρίηπος, οὐ μόνον ἐν τῷ η λέγεται, ἀλλὰ καὶ διὰ τοῦ α πρίαπος, καὶ διὰ τοῦ ε πρίεπος παρὰ Ἀῤῥιανῷ ἐν Βιθυνιακοῖς.

Μὴν, παρὰ μὲν τοῖς Ποιηταῖς ἀργόν. παρὰ δὲ τοῖς ῥήτορσιν, ἀντὶ τοῦ δέ. καὶ ἰδίᾳ τιθέμενον, μετὰ τοῦ γε, ἢ προηγουμένου ἢ ἑπομένου. οἷον τὸ γέμην ὡς πατέρας ἧκον. καὶ οὐ μήν γε τόδε ἐλέγετο.

Μὴν, χρόνος ἀπὸ συνόδου ἡλίου καὶ Σελήνης, ἐπὶ τὴν ἑξῆς σύνοδον. ὡς παρὰ τὸ κέφαλος κεφαλῆν, οὕτω καὶ παρὰ τὸ μεῖος μείην, καὶ κατὰ συγκοπὴν μήν. ἀφ' οὗ καὶ μήνη, ἡ Σελήνη.

Μὴν, κλίνεται μηνὸς, ὡς χὴν χηνός. τὰ γὰρ εἰς ην ὀνόματα, διὰ τοῦ ος κλίνεται. καὶ φυλάττουσι τὸ η ἐπὶ γενικῆς, πλὴν τοῦ φρὴν φρενός. ἐπὶ τῶν μονοσυλλάβων, καὶ αὐχὴν αὐχένος, ἐπὶ τῶν δισυλλάβων.

Μῆνα λέγομεν, τὴν τῆς Σελήνης ἀποκατάστασιν.

Μῆνα, τὸ μέσον τοῦ ξύλου. ὅπερ καρδία, καὶ ἐντεριώνη.

Μήνατο, ἐμήνατο, ἐμάνη, ἤρατο.

Μηναγύρτης, ὁ καθημέραν ὀχλαγωγίας ἀγείρων, καὶ συναθροίζων, καὶ ψάδη συῤῥάπτων.

Μήνη, ἡ σελήνη. ἀπὸ τοῦ μὴ ἐν ἑνὶ σχήματι μένειν. καὶ ἀπὸ ταύτης αἱ ἡμέραι, δι' ὧν αὕτη τὰ δώδεκα διέρχεται ζώδια.

Μηνιάσας, ὀργισθείς.

Μήνιγμα, μῆνιν.

Μήνιγγα, ἐγκέφαλον.

Μῆνιγξ, ὑμὴν τοῦ ἐγκεφάλου, καὶ τὸ ὑφιστάμενον τοῖς οἰνηροῖς πίθοις ἐν τῷ οἴκῳ, πρὸ τοῦ ἀνθεῖν. ἐπίπλους, καὶ δῆμος.

Μήνιε, ὀργίζου.

Μηνιθμὸς, ὀργή.

Μήνιγγες λέγονται, οἱ σκέποντες ὑμένες τὸν ἐγκέφαλον. διὰ τὸ μένειν ἐν αὐταῖς τὸν ἐγκέφαλον.

Μῆνις κατὰ τοὺς παλαιοὺς, ἡ ἐπιμένουσα ὀργή. ἐκ τοῦ μένειν, οὐκ ἐκ τοῦ μαίνεσθαι.

Μῆνις, χόλος, θυμὸς, κότος, τέσσαρα ταῦτα λέγονται ὀνόματα παρὰ τῷ Ποιητῇ. ὧν θυμὸς μὲν καὶ χόλος ταὐτά ἐστιν, ὥσπερ καὶ ἡ κοινότερον μεθ' Ὅμηρον λεγομένη ὀργή. καί εἰσι τρία ταῦτα. ὁ θυμὸς, ὁ χόλος, καὶ ἡ ὀργὴ, συνώνυμα κατὰ τοὺς γραμματικούς. κατὰ δὲ ἄλλους πολυώνυμα. καθὰ τὸ βροτὸς μέροψ, ἄνθρωπος, καὶ τὸ ξίφος, ἄορ, σπάθη, φάσγανον. παρῆκται δὲ ὁ μὲν θυμὸς, παρὰ τὸ θύειν, τὸ ὁρμᾶν, καὶ τὸ αἷμα, οἱονεὶ θύαιμός τις ὤν. κίνησις γὰρ αἵματος ἐν καρδίᾳ ἐστὶν ὁ θυμός. ὁ δὲ χόλος, παρὰ τὴν χολήν. ἡ δὲ ὀργὴ, παρὰ τὸ ὀρέγω.

Μῆνιν, Ἀττικόν ἐστι, καὶ Ἰωνικόν. μῆνιδα δὲ, τὸ κοινὸν, οὐκ οἶμαι εἴ τις ἐν χρήσει εὑρήσει. ὥσπερ ἐν τῇ γ' ῥαψῳδίᾳ τὸ ἔριδα. Δωριεὺς δὲ τὴν παρὰ τοῖς Ἀττικοῖς μῆνιν εἴποι ἄν. κανὼν δὲ τοῦ βραχυκαταληκτεῖν τὴν μῆνιν κατὰ Ἡρωδιανὸν τοιοῦτος. τὰ εἰς ι λήγοντα ἐν τῇ αἰτιατικῇ πάντα βραχέα ἐστὶν, οἷον εὔπολιν, ἄλεξιν, ἔχιν, Θέτιν, οὕτω γοῦν καὶ μῆνιν.

Μῆνιξ, μήνιγκος, ὁ καὶ κρόταφος, ἀπὸ τῶν κερασφόρων ζώων, ἀπὸ τοῦ μανὸν εἶναι, ἤτοι ἀραιόν.

Μηνίσκοι, τὰ ἐπὶ ταῖς κεφαλαῖς τῶν ἀνδριάντων τιθέμενα, ἵνα μὴ τὰ ὄρνεα ἐπικαθέζηται, καὶ τὰ χαλκώματα τὰ τῶν πηδαλίων, ὑμένες, πέταλα, περιτραχήλια, μανιάκια, περιδέραια.

Μηνίσω, τὸ ὀργίσομαι, παρὰ τὸ μῆνις μηνίω μηνίσω, ὡς κόνις κονίω κονίσω.

Μηνίειν. ἱστέον, ὡς ὁ μὲν Ποιητὴς οἶδε βαρυτόνως, οὕτω καὶ ἡ κοινὴ χρῆσις. τινὲς δὲ τῶν ὕστερον Ἀττικιστῶν μηνιᾶν εἶπον, ὡς βοᾶν. καὶ μηνιῶντες, ὡς βοῶντες. τοιοῦτοι δέ τινες τὸ συνιέναι, εἰς τὸ συνιεῖν ἐκαινοτόμησαν ἐκ τοῦ συνιῶ.

Μηνίω, τὸ μνησικακῶ. μηνιθμὸς, ὁ τῆς μνησικακίας χρόνος.

Μηνοειδὲς, σεληνοειδές.

Μῆνος, κότος καὶ ἔμμονος ὀργή.

Μηνύειν. λέγεται μὲν καὶ τὸ ἀγγέλλειν ἁπλῶς. ὡς τὸ μηνύω σοι ταῦτα, ἤτοι δηλῶ σοι. ὡς καὶ Λιβάνιος μηνύσας τῷ βασιλεῖ τὰ περὶ τὴν ἀσίαν. λέγεται δὲ καὶ τὸ τὰ κεκρυμμένα καὶ ἀπόῤῥητα ἐξαγγέλλειν. ὧν τὰ ὀνόματα ἀπὸ τοῦ μηνύειν, ὃ δηλοῖ τὸ ἀγγέλλειν. λέγεται ἀγγελιαφόρος, καὶ μηνυτής. ὡς καὶ Λιβάνιος, ὥστε ἄλλα καὶ μηνυτὴν ἔχων τῆς στοᾶς ἀκριβῆ. ἀπὸ τοῦ μηνύειν, ὃ δηλοῖ τὸ ἐξαγγέλλειν καὶ ἐκφέρειν. λέγεται ὁ προσαγωγεὺς καὶ προσαγγελεύς.

Μηνύειν ἐστὶ, τὸ κλέπτοντά τινα δεικνύειν, ἢ φεύγοντα, ἢ τοιοῦτό τι ποιοῦντα. καὶ μηνυτὴς ἐπὶ τούτων. μηνύειν καὶ τὸ σημαίνειν ἁπλῶς, καὶ δηλοῦν, οἷον ὁ κορώνης κρωγμὸς χειμῶνα μηνύει. σημαίνει καὶ τὸ ἀγγέλλω, καὶ ἀπόῤῥητόν τι δηλῶ.

Μηνύεσθαι, μηνυτρίζεσθαι, μήνυτρα δίδωσι.

Μηνυθῆναι, βούλεσθαι.

Μηνυρίζει, θρηνώδης ὁ φθόγγος.

Μὴ νύ σοι, οὐδαμῶς σοι.

Μήνυμα, παρὰ τὸ μηνύω. τοῦτο παρὰ τὸ ἀνύω, ὃ σημαίνει τὸ διέρχομαι.

Μηνυτὴς, Ἡρακλῆς ἐν Ἀθήναις.

Μηνύω, παρὰ τὸ ἀνύω, τροπῇ τοῦ α εἰς η, καὶ πλεονασμῷ τοῦ μ μηνύω, οὕτω Θεόγνωστος.

Μηονίκτης, ὁ ἐλατῶν.

Μηονὶς γυνὴ, παρ' Ὁμήρῳ, ἡ λυδή. Μαίονες γὰρ καὶ μήονες, οἱ Λυδοί. παρ' οἷς καὶ ἀγαθαὶ λέγονται εἶναι βαφαί.

Μήονες, οἱ καὶ μαίονες, καὶ λυδοὶ ἐπρώτευον κατὰ τὸ ἱππεύειν. ὅθεν καὶ παροιμία, τὸ παρὰ λύδιον ἅρμα, ἐπὶ τῶν πολὺ ὀπίσω λειπομένων.

Μὴ ὅτι, ἀντὶ τοῦ μὴ μόνον. ὡς ὁ Θεολόγος, μὴ ὅτι τοῖς δι' ἀγάπην τι πεποιηκόσιν, ἢ πεπονθόσι.

Μηοχάνη, χάσκουσα, παρὰ τῷ Ἱπποκράτει.

Μὴ πάγχυ, μὴ παντελῶς.

Μὴ παραζήλου, μὴ ὁμοιοπαθοῦς.

Μὴ παραρυῇς, μὴ ἐκπέσῃς. ἐκ μεταφορᾶς τῶν ὑδάτων.

Μὴ παχλωὴν στέπειν, μὴ αἰτιοῦ τὴν πενίαν, ὅτε δέηται.

Μήποτε πᾶσαν ὀλέσῃς ἀγλαΐαν, καὶ τὸ μή πως τοι δέσποινα χαλεπήνῃ, συνήθη ἔλλειψιν ἔχουσι τοῦ ὅρα, ἢ δέδιθι, ἢ τοιούτου τινός.

Μήπωγε μήπωγε, παρὰ τῷ Ἀριστοφάνει. ἐπαναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι ἐμφατικῶς.

Μήπωτε, παρ' Ὁμήρῳ ἀργὴν ἔχει τὴν παραπλήρωσιν. ἔστι γὰρ ἀντὶ τοῦ μή τι περιττοῦ κειμένου τοῦ πω, παρὰ δὲ τοῖς ὕστερον χρονικὴν σημασίαν ἔχει τὸ μήπω, καθὰ καὶ τὸ οὔπω καὶ παρέλκει δὲ ὁμοίως καὶ τὸ τι, καθὰ καὶ ἐν τῷ ἔτι ὅλον γὰρ τὸ μήποτε μεθίετε, ταυτόν ἐστι τῷ μὴ ἀμελεῖτε.

Μήρεσθαι, συνάγεσθαι, κλώθεσθαι.

Μηρία, τὰ μηριαῖα ὀστᾶ.

Μηρία τάμνον πάντα, ἀντὶ τοῦ ὅλα, ὅ ἐστιν ὁλόκληρα. ἄλλως γὰρ περιττὸν τὸ πάντα, ἐπὶ δύο μηρῶν μόνον κείμενα.

Μήριγξ, ἄκανθα, γινομένη ἐν τοῖς ἐρίοις τῶν προβάτων.

Μηρίνθιοι, δέλτοι, ἢ μήρινθος.

Μήρικες, ἰχθύες.

Μήρινθος, ἡ σπάρτος, παρὰ τὸ μήρεσθαι καὶ καταῤῥεῖν ἐν τῷ κλώθεσθαι αὐτήν, ἤτοι νήθεσθαι.

Μήρινθος, λεπτὸ σχοῖνος. ἱστέον δὲ, ὅτι Ὅμηρος μὲν μήρινθον οἶδε. Παυσανίας δὲ, καὶ μετὰ τοῦ σ σμήρινθόν τινες. λέγει γὰρ ἐν τῷ κατ' αὐτὸν λεξικῷ, ὅτι σμήρινθοι δεσμοί, ἢ σπασμοί. Πλάτων νόμων πρώτῳ, ταῦτα δὲ τὰ πάθη νεῦρα, ἢ σμήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς, καὶ ἀλλήλοις ἀνθέλκουσιν. ἐκ τοῦ μηρίζεσθαι δὲ ἡ λεπτὴ μήρινθος, τροπῇ ὁποίαν τάχα καὶ τὸ μερμηρίζεσθαι. καὶ Ὅμηρος. καὶ μέρμηραι, αἱ φροντίδες. δοκοίη γὰρ ἂν συντεθεῖσθαι μὲν καὶ ἐκ μηρᾶσθαι, τὸ ταχύ. μερμηρίσθαι δὲ, τὸ λεπτόν. λεπτὴ δὲ ἡ μήρινθος, καὶ τὰ λοιπά.

Μηριόνου θεῖος κατὰ τὴν ἱστορίαν, ὁ Ἰδομενεύς. Διὸς γὰρ Μίνως, οὗ καὶ Πασιφάης Δευκαλίων, οὗ Μόλος καὶ Ἰδομενεύς. Μόλου δὲ Μηριόνης.

Μηριόνης, ὁ διὰ τῶν μηρῶν τὴν ὄνησιν φέρων, καὶ ἑαυτῷ ἐμποιῶν. ταχὺς γάρ. καὶ Μόλος δὲ, ὁ τούτου πατήρ. ἀπὸ τοῦ μολίσιον.

Μήρισμα, κάταγμα, ἢ σπάσμα ἐρίου.

Μηρὸς, παρὰ τὸ μέρω, τὸ μερίζω, μερὸς, καὶ μηρός.

Μηρὸς, τόπος ἀμπέλου, καὶ ξύλον, καὶ τὸ τῆς καλάμης κῶλον, καὶ ὄρος.

Μηροψυχία ἐστὶ, κακία ψυχῆς, καθ' ἣν ἀδύνατοι εἰσὶ φέρειν δυστυχίαν, τιμὴν καὶ ἀτιμίαν.

Μηρυκίζω, ὡς μακρὰ κόπτω, ἀπὸ τοῦ μηρίου.

Μήρυμα, σπείραμα, νῆμα, κάταγμα τοῦ ψελλοῦ. μήρυμα, νῆμα, κάταγμα φωλεὸς, μυαξίας.

Μήρυμα, ἕλκυσμα. κυρίως δὲ, τὸ ξαινόμενον. ἀπὸ δὲ τούτου σημαίνει καὶ τὸ κλῶ, ἀπὸ τοῦ ὑποστατικῆς ὑπάρξεως, εἰς μεῖον καὶ ἔλαττον ἑλκεσθαι. οἱ δὲ μόρημα, ἐπεὶ διὰ πόνου ἐργάζονται. μερεῖν γὰρ τὸ πονεῖν, καὶ μηρύσασθαι, ἀντὶ τοῦ ὑφᾶναι καὶ κλῶσαι. Ἡσίοδος, στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι. καὶ μήρυμα, τὸ νῆμα.

Μηρυομένη, ἐκτεινομένη.

Μηρύσαντο, συνέστειλαν.

Μηρύω, ὅ ἐστι τὰ ἅρμενα συνάγω. ἀπὸ τοῦ μέρος μερύω καὶ μηρύω, ὡς πλῆθος πληθύω. καὶ μήρυμα, τὸ νῆμα. καὶ μηρύσασθαι, ἀντὶ τοῦ ὑφᾶναι καὶ κλῶσαι.

Μησαμένη, βουλευσαμένη.

Μήσατο, εἰργάσατο, ἐτεχνάσατο.

Μή σε, μηδαμῶς σε.

Μή σε γέρων, οὐδαμῶς σε πρεσβῦτα.

Μήσομαι ποιητικῶς. βουλεύσομαι κοινῶς. καὶ μήδεα τὰ βουλεύματα, καὶ τὰ αἰδοῖα. ἀφ' οὗ φιλομμειδὴς ἡ Ἀφροδίτη, παρ' Ἡσιόδῳ, ὅτι φησὶ τῶν μηδέων ἐξεφαάνθη.

Μῆστιν, ἀντὶ τοῦ μή ἐστι; λέγουσι Δωριεῖς.

Μῆστο, ἐβουλεύσατο.

Μήστορα, σημείωσαι μήστορα τὸ κύριον συνεῖναι τὴν παρακύγουσαν. ἐπὶ δέ γε τοῦ βουλευτοῦ ἐκτείνεται, οἷον μήστωρα φόβοιο.

Μήστωρες αὐτῆς, τοὺς Ἀθηναίους λέγει, βουλευτικοὺς ἐν μάχῃ καὶ δὴ τακτικώτατος ἱστορεῖται εἶναι ὁ Ἀττικός.

Μήστωρες αὐτῆς, ἐργάται μάχης, κραυγῆς, βοῆς.

Μήστωρ, ὁ ἐπιστήμων, παρὰ τὸ μήδω, μήσω, ὁ δυνάμενος μήσασθαι. μήδω δὲ λέγω, τὸ βουλεύομαι.

Μηταίχμιον, σημαίνει τὸ μεταξὺ δύο τινῶν πραγμάτων ὑπάρχον. κυρίως δὲ, ὁ μεταξὺ δύο στρατῶν τόπος.

Μη-

Digitized by Google

Μήτειρα, φρονίμη, καὶ ἡ μήτηρ.

Μήτιμα, μητίματα.

Μήτε εἴης, μήτε γένοιο παρ' Ὁμήρῳ ἐν τῷ σ' τῆς Ὀδυσσείας. ἢ ἀντὶ τοῦ μήτε νῦν εἴης, μήτε ἐγένου. ἔθος γὰρ τοῖς θυμουμένοις μέμφεσθαι, καὶ τὸ ἤδη γεγονὸς, καὶ ἐπαρᾶσθαι. μὴ εἶναι γενέσθαι, εἰ καὶ ἀδύνατον ἡ ἀρὰ, ἢ μήτε εἴης ἄρτι, ἀλλὰ τεθναίης, μήτε μὲν πάλιν ὕστερον γένοιο, ἵνα καὶ Πυθαγόρας ἐξ Ὁμήρου λαβὼν δοξάζῃ τοὺς ψυχικοὺς ὕστερον μεταγγισμοὺς, οἱ διὰ τὸ ὡς ἐρρέθη πάλιν γίνεσθαι κατὰ τὸν Πυθαγόραν λῆρον. καὶ παλιγγενεσίαι λέγονται, ὅθεν βλαβεὶς ὁ φυσικὸς Ἐμπεδοκλῆς, καὶ τὸ συνδοξάσας καταψάλλεται ἑαυτοῦ τὰ ἤδη πότ' ἐγὼ γενόμην, κούρη τε, κόρος τε, θάμνος τ', οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς. ὁ δὲ παραφράσας Δημοσθένης ταὐτά τε, καὶ τὴν Βουραῖον ἑρμηνείαν φησὶ, μήτε εἴης ἔτι, μήτε ὀνομάζοιο βόσκημα ἀναίσθητον.

Μὴ τέχναινε, μὴ ἐργάζου, μὴ κατασκεύαζε.

Μητέρα, εἶδος σφηκὸς, καὶ τῶν ξύλων τὸ ἐντὸς, ὃ καρδίαν τινὲς, ἢ ἐντεριώνην καλοῦσι. καὶ ὁ κλῆρος ὑπὸ Σολέων, ὡς Κλέαρχος. καὶ ἡ τῆς γυναικὸς, καὶ κεφαλῆς διάδημα βαρβαρικόν.

Μητέρα δ' εἴ οἱ θυμὸς ἐφορμᾶται, γαμέεσθαι. ἂψ ἴτω ἐς μέγαρον πατρός. τὸ ἀκόλουθον καὶ ἀσόλοικον ἦν οὕτως εἰπεῖν, κατὰ ὀρθὴν καὶ εὐθεῖαν. μήτηρ δὲ ἂψ ἴτω. ἢ ἄλλως, μητέρα δὲ εἰ οἱ θυμὸς ἐφορμᾶται ἀπόπεμψον.

Μητέρα θηρῶν, πολλὰ θηρία ἔχουσαν.

Μητέρα μήλων, πολυθρέμμονα.

Μητέρι, μητρί.

Μήτ' ἀμελαμπύγου τύχοις, μή τινος ἀνδρείου καὶ ἰσχυροῦ τύχοις.

Μήτηρ, παρὰ τὸ μὴ τηρεῖσθαι. αἱ γὰρ γυναῖκες πρὶν γένωνται μητέρες, φυλάττονται πρὸς τὸ μὴ λυμανθῆναι τὴν αὐτῶν παρθενίαν. ἡνίκα δὲ γένωνται μητέρες, οὐ τηροῦνται. ἢ παρὰ τὸ μῶ, τὸ ζητῶ, ἡ ὑπὸ τῶν τέκνων ζητουμένη, ἢ ἡ μαστεύουσα τὰ πρὸς τροφὴν τοῖς κυηθεῖσιν, ἢ ὅτι φυσικῶς αὐτὰ μαστεύει τὰ κυηθέντα ἡ μήτηρ. ἢ ἐκ τοῦ ματῶ μάτηρ καὶ μήτηρ, ὡς μάτις μῆτις, ἡ τῶν ἀδήλων ζητητική.

Μήτι, ἀπὸ τοῦ μῆτις μήτιδος μήτιδι μήτιι μήτι, ἀποβολῇ τοῦ δι, καὶ κράσει τῶν δύο ιι. μῆτις ποιητικῶς, βουλὴ κοινῶς.

Μητικλέομαι, ἀντὶ τοῦ τῇ βουλῇ εὐκλεής εἰμι. παραγώγως δὲ εἰπεῖν κλεΐζομαι.

Μήτιγε, πόσῳ γε μᾶλλον.

Μητιέτα, ἀντὶ τοῦ μητιέτης, ἡ κλητικὴ ἀντὶ τῆς εὐθείας. ἔστι δὲ πάθος Δρυόπων καὶ Αἰολέων.

Μητιέτα Ζεὺς, ἐκ τοῦ μητιέτης γενόμενον, ὃ δηλοῖ τὸν βουλευτικόν. μῆτις γὰρ ἡ βουλή. καὶ ἐκ τοῦ ἀκακήτης ὁ ἀκάκητα, ὁ εἰρηνικὸς, καὶ μὴ κακοποιῶν. προπαροξυτονικοὶ γάρ εἰσιν οἱ Αἰολεῖς ἐν πολλοῖς, σημείωσαι, ὅτι ὁ μητιέτα Ζεὺς, καὶ μητιόεις λέγεται.

Μῆτις, ἡ βουλή. καὶ μῆτις, σύνεσις, τέχνη. ὅθεν καὶ μητιάσασθαι, τὸ κατεργάσασθαι, καὶ βουλεύσασθαι.

Μῆτις, ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ. μήτι, ἐπὶ οὐδετέρου παρὰ τοῖς ποιηταῖς.

* Μήτρα, χωρίον ἐν ᾧ ἡ σύλληψις ἐστὶν, ὅτι μήτηρ ἐστὶ τῶν ἐξ αὐτῆς γεννωμένων ἐμβρύων, ἢ ὅτι τὰς ἐχούσας αὐτὴν μητέρας ποιεῖ, κατὰ δὲ τινὰς, ὅτι μέτρον ἐστὶ χρόνου πρὸς κάθαρσιν καὶ ἀπόστεξιν.

Μητραλοίας, ὁ τύπτων τὴν μητέρα αὐτοῦ.

Μήτραν λῦσαι λέγεται φυσικῶς. λύσις γάρ ἐστιν, ἡ κύησις. λέγεται δὲ καὶ κατὰ ἱστορίαν. αἱ γὰρ πρῶτον τίκτουσαι, λύσασαι τὰς ζώνας ἀνετίθεσαν τῇ Ἀρτέμιδι. ὅθεν καὶ λυσιζώνου Ἀρτέμιδος ἱερὸν ἐν Ἀθήναις.

Μητροπάτωρ, ὁ πάππος.

Μητροπόλους, τὰς πάλαι μελίσσας.

Μητρὸς, μέθυσις, τῆς ἀμπέλου.

Μητρὸς ἐριννύες, αἱ διὰ τὴν μητέρα δεξαμένην ἐπήκοοι γενόμεναι.

Μητρῶιαι, καὶ μήτρωες, μητρὸς ἀδελφοί.

Μήτρως λέγεται, ὁ πρὸς μητρὸς θεῖος.

Μήτρως εἴρηται, καθ' ὁμοιότητα τοῦ πάτρως. ὡς γὰρ παρ' Ἡροδότῳ πάτρως, καὶ ἀπὸ τοῦ πατρικοῦ ἀδελφοῦ θεῖος, οὕτω νῦν ἀπὸ τοῦ μητρικοῦ μήτρως. οἱ δὲ μεθ' Ὅμηρον, καὶ τοὺς ἁπλῶς κατὰ πατέρα προγόνους, οὕτω καλοῦσι.

Μηὔρω, ἀντὶ τοῦ μὴ εὕρω. Ἀριστοφάνης, ἐὰν δὲ μηὔρω;

Μὴ φέρειν, ἀντὶ τοῦ μὴ λαμβάνειν. διὸ καὶ μισθοφόρους λέγουσι, τοὺς μισθοὺς λαμβάνοντας, καὶ μισθοὺς φερομένους.

Μὴ φωραθῇς, μὴ ἐλεγχθῇς.

Μηχαναὶ, τέχναι, ἐπίνοιαι, βουλεύματα, ἅμαξαι, συμπεράσματα, καὶ ὄργανά τινα μηχανικά, ἐν οἷς προσδεσμούμενα τὰ κτήνη ἀλήθουσι.

Μηχανᾶται, τεχνάζεται, ἐπινοεῖται.

Μηχανεύω, τυρεύω, σκευωροῦμαι, συσκευάζω, σοφίζομαι, τεχνάζομαι, τεχνῶμαι, τριωνεύομαι, παλαμῶμαι, ταυτοσήμαντα.

Μηχανὴ, κατασκευή. οἶμαι παρὰ τὸ μήδω, μήσω, μηχανή. ἐξ οὗ καὶ τὸ μηχανόωντο, ἀντὶ τοῦ ἐμηχανήσαντο, καὶ κατεσκεύασαν.

Μηχανοῤῥάφος, ὁ κακὰ συῤῥάπτων, καὶ τεχναζόμενος.

Μηχανοῤῥαφία, ἐπίνοια, ἡ κατασκευὴ κακῶν.

Μηχανώματος, διαζώσματος.

Μῆχαρ, μηχάνημα, ὄφελος.

Μῆχος, μηχανή.

Μῆχος, παρ' Ὁμήρῳ, οὐδέ τι μῆχος, τὴν ἀμηχανίαν ὑπολαλεῖ. ὥσπερ δὲ ἡδονὴ ἦδος αἰολικῶς, οὕτω καὶ μηχανὴ μῆχος. τὸ δ' αὐτὸ καὶ μῆχαρ, κατὰ τὸ δέλος, δέλεαρ. ἄκλιτον δὲ καὶ τὸ μῆχος, καθὰ καὶ τὸ ἦδος, τὸ ὄφελος.

ΤΟ' Μ'. ΜΕΤΑ' ΤΟΥ' Ι'.

Μιαιμαχαίρα, τὴν λεγομένην κηποκουράν. μιαιμαχαίρᾳ ἐκείροντο.

Μιαίνειν, παρὰ τῷ Ποιητῇ, τὸ βάπτειν, ὅπερ ἄλλοι φαρμάσσειν φασίν. ἐντεῦθεν καὶ μιαιφόνος οὐκ ἐπὶ ψόγου, ἀλλ' ὡς αἱμοβαφὴς καὶ μιαρὸς αἵματι, οὐχ ὡς μιαραὶ ἡμέραι, παρὰ τοῖς ὕστερον αἱ τῶν κατοιχομένων, ἀλλ' ὁ αἱμοβαφὴς κατὰ τὸ οὐδέποτε μιαρός. ὅπερ ἐν τῷ τέλει τῆς Ἰλιάδος κεῖται.

* Μιαιγαμία, ἄθεσμος καὶ ἀκάθαρτος γάμος. ὡς ὁ τῶν τοῦ Σὴθ, Ἐνὼς, καὶ Ἐνὼχ παίδων.

Μιαίνω, τὸ μολύνω, καὶ τὸ μιγνύω, καὶ τὸ βάπτω. ὡς παρ' Ὁμήρῳ, ὡς δ' ὅτε τίς ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ. ἀφ' οὗ μίασμα μιαρὸς καὶ μιαιφόνος, καὶ μιῆναι. οὕτω δὲ καθ' Ἡρωδιανὸν, καὶ τὸ κυδῆναι, ἀπὸ τοῦ κυδαίνω.

Μιαίνομαι. Ἀριστοφάνης, κἀχμιαίνομαι. οὕτως ἔλεγον τὸ ἀποσπερματίζειν, ὡς οἱ ὀνειρώττοντες. τοῦτο οὖν φησιν, ὅτι ἥδομαι ὡσανεὶ ἀποσπερματίζων.

Μιαιφόνον αἷμα, μιαιφονικόν.

Μιαιφόνος, ὁ φονεὺς, ἀπὸ τοῦ μιαίνεσθαι τῷ φόνῳ. καὶ μαινόμενος τοῖς φόνοις, καὶ μεμιασμένος φόνῳ, καὶ μεμολυσκυμένος φόνῳ.

Μίαν σαββάτων, τὴν κυριακὴν καλεῖ ὁ Ἀπόστολος. μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων, προτρέπει ἐπὶ ἐλεημοσύνην τοὺς Κορινθίους ἀπὸ τῆς ἡμέρας.

Μιάνθην μιαροὶ, δυϊκὸν ῥῆμα, ἀπὸ τοῦ μιανθήτην. γεγονὸς κατὰ συγκοπὴν, ἐκ τοῦ μιαίνω.

Μιαρὰ, μεμιασμένα, ἀκάθαρτα.

Μιαραὶ ἡμέραι τοῦ ἀνθεστηριῶνος μηνὸς, ἐν αἷς τὰς ψυχὰς τῶν κατοιχομένων ἀνιέναι ἐδόκουν.

Μιαρία, ἀδόκιμον. τὸ δὲ μιαρὸς, ἀρχαῖον.

Μιαρὸς, παρὰ τὸ μιαίνω. ἢ παρὰ τὸ μία γέγονε, παρώνυμον μιαρὸν, ὡς σκιὰ σκιαρὸν, οἱονεὶ ὁ μεμονωμένος, ᾧ οὐκ ἄν τις συνέλθῃ ἐπὶ τὸ αὐτὸ, διὰ τὸ μύσος.

Μιαρὸς, καὶ παμμιαρὸς, καὶ μιαρώτατος. οὐ μιαρία, ἀλλὰ βδελυρία.

Μιὰς, ἡ μιασμὸς, μῶμος, ῥύπος, μολυσμὸς, ἀκαθαρσία, μιαρότης.

Μιάστωρ, μύσερος, λυμεών.

Μία χελιδὼν ἔαρ οὐ ποιεῖ, παροιμιῶδες τοῦτο. βούλεται δὲ εἰπεῖν, ὅτι μία ἡμέρα, τὸν σοφὸν οὐκ ἐᾷ εἰς τελείωσιν ἐμβάλλειν, ἢ εἰς ἀμαθίαν.

Μιαχρὸν, καθαρόν.

Μίαχος, μίασμα, ἀσέβημα, τίθεται δὲ καὶ ἐπὶ τοῦ δυσώδους.

Μιγάδας, τοὺς μεμιγμένους, ἢ τοὺς συμμιγεῖς.

Μιγαζομένους, μισγομένους.

Μιγάδες, τὸ ἐκ πολλῶν ἄθροισμα ξένων.

Μιγάδες, οἱ ἐν ταῖς πόλεσι καὶ τοῖς κοινοβίοις.

Μιγὰς, μεμιγμένος.

Μίγδα, ἐκ τοῦ μίγδην μεταπέπλασται, ὡς ἐκ τοῦ κρύβδην κρύβδα, καὶ κύβδα, παρὰ τῷ Κωμικῷ.

Μίγδην, ἀναμεμιγμένως.

Μίγδ' ἄλλοις, ἀναμεμιγμένως τοῖς ἄλλοις. ἀπὸ τοῦ σμίγω, ἢ μίγω, μίγδα.

Μιγδηράζειν, ὑβρίζειν.

Μιγεῖσα, μίγω, ὁ μέλλων μίξω, ὁ ἀόριστος ἔμιξα, ὁ δεύτερος ἔμιγον, ὁ παθητικὸς ἐμίγην, ἡ μετοχὴ ὁ μιγεὶς, ἡ μιγεῖσα.

Μιγέωσι, μίσγομαι ἐνεστὼς, ἐμισγόμην παρατατικὸς, μιγήσομαι μέλλων, μέμιγμαι παρακείμενος, ἐμίγην ἀόριστος. ἀφ' οὗ ὑποτακτικὸν μιγῶ, τὸ τρίτον τῶν πληθυντικῶν μιγῶσι, καὶ πλεονασμῷ τοῦ ε μιγέωσι.

Μίγη φιλότητι καὶ εὐνῇ, διαστολὴν ποιεῖ πρὸς τὰς λοιπὰς μίξεις, ὅ ἐστι συνουσίας, ἃς οἱ σοφοὶ ἐπὶ τῶν ἁπλῶς ὁμιλιῶν τιθέασι.

Μιγῆναι ἐν δαΐ, ὅ ἐστι ψαῦσαι, ἢ πελάσαι κατὰ τὴν μάχην. πρὸς διαστολὴν εἴρηται τοῦ καθ' ἕτερον καιρὸν ποιῆσαι τοῦτο, οἷον ἐν γυμνασίῳ, ἢ ἐν πείρᾳ τινί.

Μίγνυσθαι, ἐπὶ μὲν τῶν ἀλόγων ζώων, κυρίως βαίνειν καὶ ἐπιβαίνειν καὶ ὀχεύειν λέγεται. ἐπὶ δὲ τῶν ἀνθρώπων, ὁμιλῆσαι, μιχθῆναι, διαλεχθῆναι, ἐντυχεῖν, πλησιάσαι, καὶ ἕτερα.

Μίγνυται, ὁ ἀνὴρ τῇ γυναικὶ, οὐχ ἡ γυνὴ τῷ ἀνδρί.

Μίγω, γράφεται καὶ μίσγω.

Μίδας, μίδου, καὶ γέτας, γέτου κοινῶς. μίδα δὲ καὶ γέτα Δωρικῶς. Ἱστορία.

Μίδας, βασιλεὺς ὢν Φρυγίας πλουσιώτατος ὁ Μίδας, ὦτα ὄνου εἶχε. τοῦτο οὖν παροιμιωδῶς ἐλέγετο ἐπὶ τούτου. ἤτοι ὅτι πολλοὺς ὠτακουστὰς εἶχεν, ἢ ὅτι κώμην Φρυγίας κατεῖχεν, ἥτις ὦτα ὄνου ἐλέγετο. λέγεται δὲ τοῦτον τὸν Πακτωλὸν χρυσὸν ῥεῦσαι. λέγεται δὲ αὐτὸν πάλιν εὔξασθαι, ὥστε πάντα γενέσθαι χρυσὸν, ὧν ἂν ἅψαιτο. ἢ ἐπεὶ ὄνος μᾶλλον ἀκούει τῶν ἄλλων ζώων, πλὴν μυός. καὶ Μίδας δὲ πολλοὺς ὠτακουστὰς εἶχεν. οἱ δέ φασιν ὅτι ψέξας ποτὲ τὸν Διόνυσον ὁ Μίδας, μετεβλήθη εἰς ὄνον. ἢ ὅτι τοὺς τοῦ Διονύσου παριόντας ἠδίκησε. διὸ ὀργισθεὶς ὁ Θεὸς, ὦτα ὄνου αὐτῷ περιῆψε. οἱ δὲ, ὅτι ὦτα μεγάλα φύσει εἶχεν. λέγεται οὖν ἡ παροιμία, ἐπὶ τῶν μηδὲν λανθανόντων. ἄλλως. οὗτος ὁ Μίδας σφόδρα πλούσιος ὢν, ᾔτησε γὰρ ὥς φασι τοὺς Θεοὺς, ὅτι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γενέσθαι. καὶ τυχὼν τῆς εὐχῆς, λιμαγχονηθεὶς ἀπέθανεν. ὅσα γὰρ ἔλαβεν εἰς χρυσὸν μετεβάλλετο. μυθεύονται δὲ αὐτὸν καὶ ὦτα ὄνου ἔχειν, ὅτι τὰ τῆς ἀκοῆς αἰσθητήρια μέγιστα εἶχεν οἷά περ ὄνος. τὸ δὲ ἀληθὲς, ὅτι πολλοὺς εἶχεν ὠτακουστὰς, ὡς πάντα ἔχειν γινώσκειν τὰ ἐν τῇ ὑπ' αὐτοῦ χώρᾳ λεγόμενά τε, καὶ πραττόμενα.

Μιδέα παροξυτόνως, ἑτέρα τῆς Βοιωτικῆς. ἐκείνη δὲ καὶ προπαροξύνεται, ὡς πρόνοια.

Μίδηα, πόλις.

Μίειν, ἐσθίειν.

Μιῆναι, μιᾶναι, ῥυπῶσαι.

Μιῆς, χθονὸς, τῆς αὐτῆς γῆς.

* Μιθάκος, ὁ ταχὺς, καὶ ὄνομα κύριον.

Μίθρης, ὁ πρῶτος ἐν Πέρσαις Θεός.

Μίθρος, ὁ ἥλιος.

Μίθρους, ἢ μίθρους, συζευγνυμένους.

Μίκαι, λάχανα, ὄμβρια.

Μίκας, μικρολόγος.

Μικκὸν, ἀντὶ τοῦ μικρὸν, Δωρικῶς.

Μίκλας, αἶγας.

Μικρολογοῦμαι, περὶ φαύλων καὶ μικρὰ ψύχων διαλέγομαι.

Μικρολόγος, ὁ φειδωλός.

Μικρόῤῥωξ, μικροβότρυς.

Μικρὸς, παρὰ τὸ μεῖον. μεῖον, καὶ ... ἰόν. μοῖρος, καὶ συγκοπῇ μικρός.

Digitized by Google

Μικροῦ, ἐπὶ ἐπιρρήματος γράφεται. Λιβάνιος, καὶ μικροῦ τὸ σῶμα λαβὼν ἐκόμισεν οἴκαδε.

Μικροῦ δέω, παρὰ μικρὸν λείπω.

Μικρὸν ὕστερον, μετὰ μικρόν.

Μικροῦ δεῖν, ἀντὶ τοῦ σχεδόν. μικροῦ δεῖν ὑπὸ τοῦ δέους εὕρομεν κεῖνον τεθνεῶτα. μικροῦ παρῆλθον, μικροῦ διέφυγε ταύτην. ἡ φράσις δηλοῖ, τὸ ἐγγὺς τοῦ γενέσθαι, καὶ παρὰ μικρὸν συμβεβηκέναι τί.

Μικροῦ δὲ ἐλέγετο τόδε, ἤγουν μικροῦ δεήσαντος.

Μικρόψυχος, δειλός.

Μικύθινον, τὸ μικρὸν καὶ νήπιον.

Μίλαξ, εἶδος βοτάνης, καὶ κλίνεται μίλακος. Ἀριστοφάνης, μίλακος ὄζων καὶ ἀπραγμοσύνης. ἀντὶ τοῦ πάσης εὐωδίας ὄζων, καὶ ἀσφαλείας.

Μιλήσια στρώματα, ἐν Μιλήτῳ καλὴ ἡ τῶν στρωμάτων ἐργασία. καὶ τὰ μιλήσια στρώματα ποικίλα καὶ ἁπαλὰ γίνεται, καὶ διάφορα. εἰς τρυφὴν δὲ οἱ Μιλήσιοι διαβάλλονται, καὶ εἰς τὸ τῆς στολῆς πολυτελές, ἐσθῆτες ἐνταῦθα κατεσκευάζοντο ποικίλαι καὶ τάπητες, ὡς καὶ Θεόκριτος. πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνου.

Μιλήσιοι ἄλκιμοι. τινές φασιν ὅτι ἐν τοῖς παλαιοῖς χρόνοις ἰσχυρώτατοι ἦσαν οἱ Μιλήσιοι. καὶ ὅπου προσετίθεντο, πάντως ἐνίκων. Πολυκράτης οὖν ὁ Σάμιος συγκροτῶν πρός τινα πόλεμον, ἠθέλησε λαβεῖν αὐτοὺς εἰς συμμαχίαν, καὶ εἰς τὸ μαντεῖον, ἀπῆλθεν ἐρωτήσων περὶ τούτου. ὁ δὲ θεὸς ἔχρησε πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. ἄλλως. περὶ τῆς παροιμίας ταύτης, Δάμων οὕτω φησί, τῶν Καρῶν περὶ τοῦ πολέμου πρὸς τοὺς Ἀμβρακιώτας βουλευσαμένων, ἀλκιμωτάτους ὄντας ἐν πολέμῳ γειτόνων τίνας χρὴ ποιεῖσθαι συμμάχους. οἱ μὲν τοὺς Μιλησίους ἡγοῦντο δεῖν παρακαλεῖν. καὶ γὰρ εὐημέρουν τότε μάλιστα τῶν περιοίκων, καὶ διὰ τὸ γειτνιᾶν τῇ Καρίᾳ τὴν τούτων ἀρχὴν μεγίστην γεγονέναι φάσκοντες, καὶ πάντων ἀλκιμωτάτους εἶναι, κρατοῦντας τῆς Ἀσίας. ἔδοξεν οὖν τοῖς Καρσὶν ἐρωτῆσαι τὸν Ἀπόλλωνα, τὸν δὲ Θεὸν ἀποκρίνασθαι, πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. τοῦ δὲ χρησμοῦ διαδοθέντος εἰς τὰς ἀσιάτιδας πόλεις, οἱ μὲν Μιλήσιοι τὴν προφῆτιν αἰτιασάμενοι διεφθάρθαι χρήμασιν ὑπὸ τῶν μηδιζόντων πανδημεὶ τοῖς Καρσὶν βοηθήσαντες, καὶ τοῖς Πέρσαις μετ' ἐκείνων συμβαλόντες σχεδὸν πάντες ἀπέθανον. τὸν δὲ χρησμὸν διὰ τὴν ἀλήθειαν εἰς παροιμίαν ἐλθεῖν. Ἄλλοι δὲ ἄλλως λέγουσι.

Μίλητος ἡ κρητικὴ αὕτη προϋπῆρχε τῆς ἀσιανῆς Μιλήτου, ἣν ἔκτισεν ὁ παλαιὸς Σαρπηδὼν ἀγαγὼν οἰκήτορας, καὶ καλέσας αὐτὴν κατὰ τὸν Γεωγράφον ἐκ τῆς κρητικῆς Μιλήτου. ὅτι δὲ πολλαὶ Μίλητοι, καὶ ὡς πολλὰς ἀποικίας ἀπέστειλαν, δῆλον ἐκ τῶν ἱστοριῶν. ἡ δὲ Ἰωνικὴ πλουτίζεται τοῖς κατὰ αὐτὴν σεμνύμασι, τοῖς τε ἄλλοις καὶ τῷ περὶ αὐτὴν μεγίστῳ ναῷ ποτὲ, ὃς διέμεινέ φασι χωρὶς ὀροφῆς διὰ τὸ μέγεθος. καὶ τοῖς σοφοῖς δὲ, ὧν εὐφόρησε τῷ τε Θάλητι, καὶ τῷ Φωκυλίδῃ, καὶ τῷ παρρησιαστικῷ ῥήτορι Αἰσχίνῃ, ὃς οὐκ εἰς καλὸν τῆς παρρησίας ἀπώνατο, καὶ τῷ κιθαρῳδῷ Τιμοθέῳ εἰς ὃν ἐπίγραμμα τοιοῦτον. πάτρα Μίλητος τίκτει μούσαισι ποθεινὸν Τιμόθεον, κιθάρας δεξιὸν ἡνίοχον.

Μίλητος, ἀφ' οὗ καὶ ἡ πόλις Μίλητος Εὐξαντίου τοῦ Μίκωνος ἦν. οἱ δέ φασιν αὐτὸν Ἀπόλλωνος καὶ τῆς Ἀρείας τῆς Κλεόχου. ἐκλήθη δὲ Μίλητος, ὅτι ἐκρύβη ὑπὸ τῆς μητρὸς ἐν Μίλακι. οἱ δέ φασιν ὑπὸ Σαρπηδόνος τοῦ Διὸς Μίλητον κτισθῆναι, ὀνομασθεῖσαν ἀπὸ τῆς ἐν Κρήτῃ. ὀνομασθῆναι δὲ αὐτὴν πρῶτον λέγουσι Πιτυοῦσαν. οἱ δὲ, Ἀστερίαν, εἶτα Ἀνακτορίαν, εἶτα Μίλητον. καὶ Ἀριστόκριτός φησιν, ὅτι Ἀρεία θυγάτηρ ἐγένετο Κλεόχου, ἧς καὶ Ἀπόλλωνος γενέσθαι βρέφος, καὶ τοῦτο ἐκτεθεῖναι εἰς Μίλακα τὸν Κλεόχον ἀνελέσθαι, καὶ ὀνομάσαι ἀπὸ τῆς Μίλακος Μίλητον. τοῦτον δὲ ἀνδρωθέντα, καὶ φθονούμενον ὑπὸ τοῦ Μίνωος, ἀναχωρῆσαι εἰς τὴν Σάμον, ἀφ' οὗ καὶ τόπος ἐστὶ Μίλητος. καὶ ἀπὸ τῆς Σάμου μεταβὰς εἰς τὴν Καρίαν, ἔκτισε πόλιν, Μίλητον ἀφ' ἑαυτοῦ καλέσας.

Μιλιαρήσιον, μιμηλὸν τὸ μιμητικόν.

Μιλίγματα δαιτὸς, τὰ λείψανα. οἱ δὲ τὸ στεὰς, ᾧ κατέμασσον τὰς χεῖρας, καὶ τὸ λίπος ἀπέψων, ὅπερ ἀπομαγδαλίαν οἱ Ἀττικοὶ καλοῦσι.

Μιλίζω, μετρῶ.

Μίλιον, μέτρον γῆς χιλίων βημάτων. ἔστι δὲ καὶ δένδρον ὅμοιον ἐλάτῃ, ᾧ τοὺς νέους στεφανοῦσιν ἐν ταῖς πομπαῖς. ἢ μέτρον ὁδοῦ σταδίων ἑπτὰ. οἱ δὲ ἑπτὰ, ὑποδῶν τέσσαρα.

Μιλίσσεο, κεχαρισμένα, καὶ ἡδέα λέγε.

Μιλήτης, Ἀφροδίτης.

Μιλλὸς, βραδὺς, χαῦνος.

Μίλτος, χρῶμά ἐστιν ἐρυθρὸν, δι' οὗ τὰ τῶν νηῶν ἔμπροσθεν βάπτονται εἰς ὡραϊσμὸν, ἃ πρῶραι λέγονται. ὡς ἐκ τοῦ προορᾶν, κραθέντων τῶν δύο οο εἰς ω μέγα. ἐντεῦθεν δὲ καὶ οἱ Ποιηταὶ ὁρμώμενοι, τολμῶσι καὶ παρειὰς λέγειν τὰ τοιαῦτα μέρη τῶν νηῶν, καὶ πρόσωπα. Λυκόφρων δὲ εἰς πλέον ἐξαχθεὶς, καὶ κόρας τὰς νῆας φησι, λαβὼν τὴν ἀρχὴν ἐκ τοῦ μιλτοπάρῃοι. κόραις γὰρ οἰκεῖον τὸ μιλτοπάρῃοι. ἰστέον, ὅτι τὸ μὲν μιλτοπάρῃος, ἐπίθετόν ἐστι νηὸς εὐπρώρου, ῥηθὲν πρός τινα ὁμοιότητα παρθένου καλλιπαρῄου, καθότι καὶ κόραι ποιητικῶς αἱ τοιαῦται νῆες εἴρηνται. ὡς καὶ παρθένοι τοῦ τριήρεις, αἱ πρωτόπλοοι. ἔχει δὲ ὁμοίως μιλτοπαρῄῳ καὶ καλλίπρωρος, διὰ τὸ ἐν ταῖς τριήρεσιν ἔστιν οὐ ὡς οἷον εἰπεῖν εὐπρόσωπον, διὸ καὶ εὐῶπες αἱ αὐταὶ παρὰ Λυκόφρονι. αἱ δέ γε πελαργοχρῶτες, οὐ τοιαῦται μὲν, ἔχουσι δέ τι καὶ αὐταὶ κάλλους χρωζόμεναι δίολου κατὰ πελαργούς. ἐν οἷς τὸ μὲν πελὸν μελανίαν δηλοῖ, λευκότητα δὲ τὸ ἀργόν. ἡ δὲ παρὰ τῷ Σοφοκλεῖ ποικιλλόστομος ναῦς, δαιδαλόν τι χρῆμά ἐστιν ἐν πολλοῖς χρώμασι ποικιλλόμενον. ἡ δὲ εὔπρυμνος, καὶ ὀρθόκραιρα, καὶ μέλαινα, ἤτουν κελαινὴ, καὶ ἡ κορωνὶς, καὶ ἡ κοίλη, καὶ ἡ εὔσελμος, καὶ εὐκλῆϊς, καὶ εὔζυγος, ἰδίας ἐννοίας καὶ αὐτὰ ταῖς ναυσὶν οἰκειοῦσι.

Μίλτος, χρώματος εἶδος ἐρυθροῦ. καὶ Ὅμηρος, νῆες μιλτοπάρῃοι.

Μιλτοπαρήους τὰς Ὀδυσσέως νῆας καλεῖ ὁ Ποιητὴς, οὐκ ἀργῶς, ἀλλὰ ἐπίτηδες, ὅτι ἐξηλλαγμέναι ἦσαν, ὅπως εἰ καὶ ὀλίγαι, ἀλλ' οὖν διὰ τῆς χρώσεως εἶεν ἐπίσημοι. καὶ ὅτε δέοι πλεῖν μὴ σκορπίζοιντο. ἀμέλει καὶ μέσας αὐτὰς ἐν τῷ ναυστάθμῳ ἔταξαν οἱ Ἕλληνες, καὶ τὴν κοινὴν ἀγορὰν ἐκεῖ ἐποίησαν. τὸ μιλτοπάρῃοι, διὰ διφθόγγου γράφεσθαι ὤφειλεν, ὡς ἀπὸ τοῦ παρειά. ἐξενίκησεν ὅμως πρωτοτυπῆσαι τοῦτο τὸ παρήιον τετρασύλλαβον. ὅθεν μιλτοπαρήιος ναῦς, καὶ ἐν συναιρέσει μιλτοπάρῃος, ἣν καλλίπρωρον σκάφος ἡ τραγῳδία φησίν. Ὁμήρου δὲ τὸ μιλτοπάρῃον ἐπὶ νηὸς θεμένου, ὁ παρῳδὸς μέτρων, μιλτοπάρῃον Τηλύγλην ἔφη. καθὰ καί τις τῶν νεωτέρων παρῳδήσας, τὸ Κίλλαν τε ζαθέην, Τήγλαν δὲ ζαθέην εἶπε, τὴν καὶ μεγάλην καὶ καλήν. εὕρηται μίλτῳ μεμιγμένον, τὸ κιννάβαρι. φασὶ γὰρ τιγγάβαρι, τὸ κιννάβαρι Ἀττικοί. Διοκλῆς, ἡ μίλτος οἶμαι καὶ τὸ κιννάβαρι, καὶ πάλιν τιγγάβαρι καὶ μίλτος ἀναμεμιγμένη, ὧν τὴν ἐργασίαν φασὶ πρῶτον εὑρεῖν Καλλίαν τὸν Ἀθηναῖον. μιλτωρυγχία δὲ ἐλέγετο τόπος, ἐν ᾧ μίλτος ὀρύσσεται. μίλτος ἐλέγετο, καὶ ἡ ἐρυσίβη. δρόσος δὲ αὐτὴ καταληφθεῖσα, ὑπὸ καύσωνος, ὑφ' ἧς διαφθείρεται πᾶς σπόριμος καρπός.

Μιλτωρυχία, τόπος οὗ μίλτος ὀρύττεται.

Μιλτῶσαι, βάψαι.

* Μίλφη καὶ μίλφωσις, ἡ μαδάρωσις.

Μίλων, τὸν κροτωνιάτην μίλωνά φησιν ὁ Θεόκριτος, ὃν καὶ Ἀριστοτέλης πολυφάγον φησί. λέγει δὲ αὐτὸν εἶναι καὶ ἀνδρεῖον. κατεβρώθη δὲ οὗτος ὑπὸ θηρίων, ἢ κυνῶν. ἐλθὼν γὰρ εἰς ὄρος καὶ εὑρών τινας δένδρον σχίζοντας, σφῆνα δὲ βάλλοντας ἐν μέσῳ τοῦ ξύλου, θέλων αὐτὸς ἐκβαλεῖν τὸν σφῆνα, ἐκρατήθη ἐκεῖ, καὶ οὕτως ἐτελεύτησε.

Μιμαίκυλον, τὸ σῶρβον.

Μιμάκυλον, ὁ καρπὸς τοῦ κωμάρου. ἔστι δὲ ὡς μέσπιλον μικρὸν, πυρρόν.

Μιμαλῶνες ἐκλήθησαν κυρίως, γυναῖκές τινες πολεμικαὶ γάρ. παρὰ τὸ μιμεῖσθαι τοὺς ἄνδρας, ἤτι διὰ Μακεδονικὴν ἱστορίαν. ἥ τις κεῖται ἐν τοῖς Καλλιμάχου. ἢ μιμαλῶνες, αἱ βάκχαι τοῦ Διονύσου, ἀπὸ τῆς μιμήσεως. αἵτινες πρότερον κλάδωνες ἐκαλοῦντο. καὶ βοηδρόμοι, ἤτοι αἱ μετὰ βοῆς καὶ ἐκπλήξεως, διὰ τὸ κατόχους εἶναι προϊούσαι δρόμῳ. ἃς καλοῦσι καὶ γεγωνοκώμας ἔνιοι, τῷ γεγωνίσκειν, ἤτουν θορυβεῖν τὰς κώμας.

Μίμαλις, ἡ νῦν Μῆλος.

Μιμάξα, χρεμετίσασα, φωνήσασα.

Μίμαρ, ἀναιδές.

Μίμαρκις, κυρίως μὲν ἡ λαγῴα χορδὴ ἐκ τῶν ἐντέρων, χρῶνται δὲ καὶ ἐπὶ χοίρου, ἄλλως. μίμαρκις, σκευασία τις τῆς κοιλίας, ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος, καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην.

Μίμας, ὄρος κατέναντι Χίου, μεταξὺ ἐρυθρῶν, καὶ τοῦ ὑποκρήμνου, ἀπὸ Μίμαντος γίγαντος ἐν αὐτῷ κειμένου.

Μίμας, τὸ κύριον τοῦ γίγαντος. καὶ Μίμας, ὄρος Θράκης, ἀεὶ νιφόμενον. καὶ Ὅμηρος παρ' ἠνεμόεντα μίμαντα.

Μίμαστα, ἄγρια λάχανα.

Μιμαυλεῖν, μιμεῖσθαι, ὑποκρίνεσθαι.

Μιμέρα, ἡ μιμητικὴ τέχνη, καὶ ἡ μίμησις.

Μιμηλάζειν, μιμεῖσθαι.

Μίμησις, παρὰ τὸ μῖμος, ἢ μνήμη τις οὖσα.

Μιμηλὸν, ὅμοιον ἐξ ὁμοίου, παρὰ τὸ μιμήσασθαι.

Μιμιχμὸς, τοῦ ἵππου φωνή.

Μιμνάζειν, μένω, μίμνω. καὶ κατὰ παραγωγὴν μιμνάζω.

Μίμνησιν, ἀνάμνησιν ποιῆσαι.

Μιμνήσκεται, μνημονεύεται.

Μιμνήσκομαι, καὶ ἀναμιμνήσκομαι, γενικῇ. ἐνίοτε δὲ καὶ αἰτιατικῇ συντάσσεται.

Μιμνόντεσσιν, ἀντὶ τοῦ μίμνουσιν, Ἰωνικῶς.

Μίμνουσιν, ἐκδέχονται, μένουσι, καρτεροῦσι. καὶ μίμνω, παρὰ τὸ μένω.

Μιμορτοβία, ναῦς ἣ ἄνθρωποι βεβήκασιν.

Μιμοῦμαι τὸν δεῖνα, ἀντὶ τοῦ μιμητής εἰμι τούτου. καὶ μιμοῦμαι ὑπὸ τοῦ δεῖνος, ἀντὶ τὸ μιμητὴν ἐμοῦ τοῦτον ἔχω. Πλάτων ἐν Γοργίᾳ, οὐκ οἶσθα ὅτι οὗτος ὁ μιμούμενος τὸν μιμούμενον ἐκεῖνον ἀποκτενεῖ, ἐὰν βούληται.

Μὶν, ἀντωνυμία. σημαίνει τρία, αὐτὸν, αὐτὴν, αὐτό. καὶ ἔστιν ἄκλιτος.

Μίνα, μύρια. καὶ τὰ μικρὰ σῦκα.

Μίναρ, χορδή.

Μινδαλόεσσα, ἀριθμοί, καὶ ἡ περὶ τὰ οὐράνια σύνταξις, Βαβυλώνιοι.

Μίνδαξ, θυμίαμα ποιόν.

Μίνθη, ἡδύοσμος. καὶ καλάμινθος, ἀγριοηδύοσμον, καὶ ἀνθρωπεία κόπρος.

Μινθόω, τὸ κόπρῳ χρίω. Ἀριστοφάνης, καὶ μινθῶσαι τὸν ξύστιτον, ἤγουν κόπρῳ χρίσαι.

Μινθῶσαι, διοσφράναι, δυσοσμίας ἀναπλῆσαι, μιᾶναι. μίνθη δὲ τὸ παρ' ἡμῖν ἡδύοσμον. οἱ δὲ τὸν θύμον, ἢ κόπρον αἰγῶν.

Μινθώσομεν, παρὰ τῷ Ἀριστοφάνει. μίνθον, οἱ μὲν τὸν ἡδύοσμον, οἱ δὲ τὴν ἴυγγα. ὡς κεῖται ἐν τῇ κωμικῇ λέξει. οἱ δὲ εἶδος ἄνθους ἐν τῇ κόπρῳ φυομένου, ᾧ χαίρουσιν οἱ τράγοι. ἢ καὶ ἄλλως. μίνθος λέγεται κόπρος τῶν αἰγῶν. ἐπειδὰν δὲ οἱ τράγοι ψυγμῷ περιπέσωσιν, οἱ αἰπόλοι λαμβάνειν τὴν κόπρον αὐτῶν, καὶ χρίειν αὐτῶν τοὺς μυκτῆρας, καὶ οὕτω τῇ δυσωδίᾳ πταρμὸν κινεῖν. τούτῳ δὲ τῷ τρόπῳ λύειν τὸ πάθος. ὁ γὰρ πταρμὸς, θεραπεύει τὸ πάθος. ἄλλως. κοπρώσομεν. μίνθος γὰρ ἄνθος ἐν τῇ κόπρῳ φυόμενον, ᾧ χαίρουσιν οἱ τράγοι. οἱ δὲ μίνθον φασὶ τὴν ἀνθρωπίνην κόπρον, ᾧ χρῶνται παρατρίβοντες οἱ ποιμένες, τῷ δυσριγεῖ τῶν τράγων πταρμῷ.

Μίνιον, εἶδος ἀλείμματος.

Μίνυαι, οἱ ὀρχομένιοι, καὶ μάγνητες.

Μινυανθὲς, πόα ἄσφαλος καὶ τρίφυλλον.

Μινύζηνον, ὀλιγόβιον.

Μινυήιος, ποταμὸς, ὡς Γεωγράφος ἄνυγρος καλεῖται,

Digitized by Google

λεῖται, βαρὺς καὶ ὕπτιος, ἀβρώτους ἔχων ἰχθύας. τὸ δ' ἐντεῦθεν λουτρὸν, ἀλφοὺς καὶ λειχῆνας καὶ λεύκας ἰᾶται. ὠνόμασται δὲ μινύειος τετρασυλλάβως, τύπῳ κτητικῷ. καὶ ἀφελύσει, καὶ ἐκπαίσει μινυήϊος, ἀπὸ μινυῶν τῶν μετὰ Χλωρίδος τῆς μητρὸς Νέστορος αὐτόθι ἐλθόντων, ἐκ τοῦ μινυείου ὀρχομενοῦ. οἱ τῶν ἀργοναυτῶν ὄντες ἀπόγονοι, οὓς μινύας ὁ Λυκόφρων λέγει. ἐκ Λήμνου μὲν εἰς Λακεδαίμονα ἐξέπεσον, ἐκεῖθεν δὲ εἰς Τριφυλείαν. καὶ ᾤκησαν περὶ Ἀρήνην τὴν ἐν τῷ Ὁμηρικῷ καταλόγῳ. διττὴ δὲ Ἀρήνη παρὰ τῷ Ἐθνογράφῳ, ἡ μὲν Μεσσήνης, ἡ δὲ Τριφυλίας. ὁ πολίτης αὐτῶν Ἀρηναῖος. ἰστέον δὲ, ὅτι ὁ ῥηθεὶς ποταμὸς, καὶ Μινύας τρισυλλάβως λέγεται.

Μινύθω, σμικρύνομαι, καὶ ἐλαττοῦμαι. Ἡσίοδος, μινύθουσι δὲ οἶκοι, ἤγουν σμικρυνοῦνται, φθείρονται. ποιητικὴ δὲ ἡ λέξις.

Μινύκιος, ποταμὸς Πύλου.

Μίνυνθα, καὶ μινυνθάδιος, ἐπ' ὀλίγον χρόνον. καὶ οὔτοι μάλα δὴν, ἑρμηνευτικόν ἐστι τοῦ μίνυνθα, παρ' Ὁμήρῳ.

Μινυνθαδία, ἡ Σελήνη, ἀπὸ τοῦ μινύθειν.

Μινυνθάδιος, ὁ ὀλίγος ἐκ τοῦ μίνυνθα, ὃ δηλοῖ τὸ ὀλιγάκις.

Μινυνθάδιος, τουτέστιν ὀλίγος, τῷ χρόνῳ δηλαδὴ τῆς ζωῆς, ἤγουν μίνυνθα, καὶ ἐπ' ὀλίγον ζήσεσθαι μέλλων. ὥσπερ δὲ ἀμφαδὸν ἀμφάδιος, οὕτω μίνυνθα, μινυνθάδιος. προϋπάρχει δὲ ἀμφοῖν, τὸ μινυόν. ὅκαθὰ τὸ τοιοῦτον, οὕτω καὶ αὐτὸ δηλοῖ παρ' Ἀττικοῖς τὸ μικρόν. ἐξ οὗ καὶ μινύθω, τὸ ἐλαττῶ, καὶ σμικρύνω, καὶ μινύρω, καὶ μινυρίζω, τὸ ὑποκλαίω. τοῦτο δὲ καὶ κινύρεσθαι λέγεται.

Μινυνθάδιος αἰὼν, ἐξ οὗ δῆλον ὡς οὐ μόνον μινυνθάδιος ἀνὴρ, ἀλλὰ καὶ ζωὴ ἡ κατὰ ἄνθρωπον. καὶ παράγεται ἀπὸ τοῦ μινύθω, τὸ σμικρύνω, μίνυνθα ἐπίῤῥημα χρονικὸν, ἀντὶ τοῦ ἐπ' ὀλίγον, κατὰ πλεονασμὸν τοῦ ν, ᾧ ἐναντίον τὸ δηθὰ, καὶ τὸ δήν. μίνυνθά περ, οὔτι μάλα δήν.

Μινύθουσι δὲ, φθείρουσι δὲ, ἀφανίζονται δέ.

Μινύον, τὸ βλῆτον, λάχανον, ἢ κινάβαρ.

Μινύον, ἀρωματικόν τι.

Μινυρίζειν ἐστὶ, τὸ μινυὸν, ἤτοι μικρὸν καὶ ἠρέμα κλαίειν. παλαιὸς δέ τις γραφὴ, οὕτω ῥητῶς. μινυρίζειν, τὸ ἠρέμα καὶ λεπτὸν ᾄδειν. οἱ δέ τινες, τὸ θρηνεῖν καὶ ὀδύρεσθαι. ἡ δὲ χρῆσις τοῦ μινυοῦ φυλάττεσθαι δοκεῖ, καὶ εἰς ἔτι νῦν ἐν Ἀθήναις. ἔστι δὲ ἐκ τοῦ μινυὸς, ὁ μινύας τὸ κύριον. καθάπερ ἐκ τοῦ τιθὸς, ὁ Τυδεύς. θρηνεῖν. Μινύρεσθαι.

Μινυρομένη, θρηνοῦσα, καὶ τὰ ὅμοια.

Μινύρονται, προφωνοῦσι, προλέγουσι.

Μινυώριος, βραχύϋπνος, ἄχρηστος, ἀδύνατος, ὀλιγοχρόνιος, ὀλίγης ὥρας ἄξιος.

Μινώα, εἶδος ἀμπέλου.

Μινωΐδας λέγουσι τὰς κυκλάδας, ἐπεὶ Μίνως κρὴς ὢν, ἐβασίλευσε τῶν νήσων, θαλασσοκρατῶν, τοὺς Κᾶρας ἐξελάσας.

Μινωΐδης, ὡς ἥρως, ἥρωος, ἡρωΐδης.

Μινώϊον πέλαγος, πρὸ τῆς Κρήτης. αὕτη γὰρ Μίνωος, ἦν βασίλεια, ἢ ἐπεὶ θαλασσοκρατῶν ὑφ' αὑτὸν τὰς νήσους ἐποίησε, μετὰ δὲ τὸ κρητικὸν, τὸ Αἰγύπτιον.

Μινῶκα, αὐτὸν ταχέως.

Μινῶο, μίνως μίνω, καὶ πλεονασμῷ τοῦ ο μινῶο, οὕτως ἀνδρογεῶο.

Μίνως μίνω, ἄλλοι ἄλλως ἔφασαν καινότερον, ὅτι ὥσπερ ἀττικῶς Πετεὼς πετεῶ, καὶ πλεονασμῷ πετεῶο, καὶ ἀνδρόγεως ἀνδρόγεω καὶ ἀνδρογέωο, οὕτω καὶ Μίνως μίνω καὶ μίνωο. ἦν δὲ ἂν φασι καὶ Ἄθως ἄθωο, εἰ μὴ ἐκώλυε τὸ μέτρον ἐν τῷ, ἐξ ἀθόω ἐπὶ πόντον ἐδύσατο κυμαίνοντα.

Μίνως, ὄνομα κύριον, καὶ κλίνεται μίνω ἀττικῶς. Μίνως καὶ Ῥαδάμανθυς, κεῖται τῶν ἐν ᾅδου κατὰ τὴν μυθολογίαν. παρὰ τὸ μίμνω δὲ, γέγονε μίμνως καὶ μίνως, ἢ παρὰ τὸ ἶς ἰνὸς ἶνως, καὶ πλεονασμῷ τοῦ μ μίνως. τὸ δὲ μίμνω, ὃ σημαίνει τὸ καρτερῶ, παρὰ τὸ μένω.

Μινώταυρος, Πασιφάης υἱός.

Μίξαι, πεῖραι, κέρσαι, συμβαλεῖν.

Μιξίας, κύριον, παρὰ τὸ μίσγω μιξίας, ὡς σώζω σωσίας, λέξω λοξίας.

Μιξίαμβος, λοίδορος, μεμιγμένος, λοιδορία ποιηματοκόπος.

Μίξις, κοίτη, συνουσία.

Μιξοδὶη, τρίοδος.

Μίξοδος, ὁδὸς, ἣ εἰς ἑτέραν συμβάλλεται.

Μιξοιφία, μίξις, πλησιασμός.

Μιξοδίνησιν ἁλὸς, παρὰ τῷ Ἀπολλωνίῳ, μιξοδίαν καλεῖ τὸν τόπον, καθ' ὃν ἦν ἡ σκύλλα καὶ ἡ χάρυβδις, διὰ τὸ ἀντικρὺ εἶναι ἀλλήλων.

Μίονες, Κύπριοι.

Μιργάβωρ, τὸ λυκόφως.

Μιργῶσαι, πηλῶσαι.

Μίρια, λάχανα.

Μίρκα, διανθὴς, ποικίλη ἄνθεσι.

Μίρμα, ἐπὶ τοῦ κακοτινοῦς καὶ ῥυπαροῦ καὶ πονηροῦ.

Μίρον, ὅταν ἀπονυστάζῃ τὶς, λέγουσι Ταραντῖνοι.

Μίρπυλον, μῖσος, μίασμα.

Μιρύκεον, χοῖνον.

Μίσασθαι, μιαίνεσθαι.

Μισατὶς, μίσαι τῶν περὶ τὴν μητέρα τὶς, ἣν καὶ ὀμνύουσι.

Μισγάγκεια, τόπος κοῖλος εἰς ὃν τὰ καταφερόμενα μίσγεται ἀπὸ πλειόνων ὀρῶν ὕδατα. ξυνάγκεια δὲ λέγεται, ὡσαύτως ὁ κοῖλος τόπος.

Μισγάγκεια. Ὅμηρος, ὕδωρ συμβάλλει εἰς μισγάγκειαν, ἐπάγων ἑρμηνευτικῶς τὸ κοίλης ἔντοσθι χαράδρης. ἔστι γὰρ ἡ μισγάγκεια, κοίλη χαράδρα.

Μίσγεσθαι, ἤγουν μίγνυσθαι.

Μίσγεσθαι, κυρίως λέγεται ἐπὶ ὑγρῶν. χείμαῤῥοι γοῦν μίσγεσθαι λέγονται. ὅθεν καὶ ἡ μισγάγκεια, καὶ κήρυκες οἶνον ἔμισγον ἐν κρατῆρσι καὶ ὕδωρ. ἐνίοτε δὲ ἀλλήλοις μίσγεσθαι λέγονται φίλοι. συνανακίρναται γάρ πως ἡ φιλία τοῖς ἤθεσι. λέγεται δὲ ἡ λέξις καὶ ἐπὶ μάχης, καὶ ἔριδος. ὅθεν καὶ ἐπιμὶξ μάχεσθαι.

Μισγοδείη, ὅπου ἂν ὁδοὶ μίγνυνται.

Μισγόλας, θόρυβος.

Μισγονόμος, ὅπου πάντες νέμουσι γῆ.

Μίσησεν, ἐφθόνησε.

Μισητία, πορνεία, οἱονεὶ μισγητία, παρὰ τὸ μίσγεσθαι. καὶ Ἀριστοφάνης φησὶ μισητίαν, τὴν εἰς τὰς συνουσίας ἐπίφορον.

Μισητίαν, οἱ μὲν παρὰ Ἀριστοφάνει, τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν, ὅθεν μισητὴ γυνή.

Μισήτιζε, μίσει, στύγει.

Μισητὸς, ὥσπερ στυγητὸς, ὁ τοῦ μίσους ἄξιος. μισητὴ γυνὴ, ἡ μίσους ἀξία. μισήτη δὲ βαρυτόνως, ἡ καταφερής. καὶ ἁπλῶς λέγουσι μισητὸν, τὸν ἀνίκανον, ἢ ἄπληστον τῇ τροφῇ.

Μίσητρον, τὸ μῖσος ἐμποιοῦν. φίλτρον δὲ, τὸ φιλίαν ἐμποιοῦν. κατὰ ταῦτα λέγεται, καὶ θέλγητρον, τὸ ἐμποιοῦν τέρψιν. καὶ φόβητρον, τὸ ποιοῦν φόβον.

Μισθαρνεῖν, τὸ μισθὸν δηλαδὴ ἄρνυσθαι, ἐκ τοῦ ἄρνυμι.

Μισθαρνία, ἡ ἐπὶ μισθῷ γινομένη ἐργασία.

Μισθαρχίδης, ὁ ἐν τῇ ἀρχῇ μισθὸν λαμβάνων. ὀψωνίζοντο γὰρ οἱ ἄρχοντες.

Μισθὸς κυρίως, ὁ εἰς μνᾶν κατατιθέμενος.

Μισθὸς, κατὰ τοὺς παλαιοὺς, μίσους ἀπόθεσις. φιλεῖται γὰρ ὁ μισθαποδότης, ὡς φύσει δίκαιος. ἐθέλουσι δὲ οἱ μεθ' Ὅμηρον μισθὸν λέγειν, τὸ δῶρον, ὅπερ στοιχεῖ ὁ στρατευόμενος. διὸ καὶ μισθοφορὰ παρ' αὐτοῖς ἡ ὑπὲρ τοιούτων δώρων δημοσία συνεισφορά. καινότερον μέντοι, ὥσπερ μισθωτοὶ, οἱ μὴ προῖκα διδόντες, ἀλλὰ διὰ δώρων λῆψιν, οὕτω καὶ ὁ μισθὸς ὠνούμενος αὐτοῖς, ἐπὶ ἐλευθερίας ἀπεμπολήσει.

Μισθοφορὰν οἱ παλαιοὶ ἐκάλουν, τὸν μισθὸν τῶν στρατευομένων.

Μισθοφόροι τριήρεις, αἱ τοὺς ἐπὶ μισθῷ στρατευομένους ἄγουσαι.

Μισθοφορῶ, τὸ μισθὸν φέρω. καταμισθοφορῶ δὲ τόδε, ἀντὶ τοῦ εἰς μισθὸν στρατιωτῶν καταδαπανῶ. Αἰσχίνης, ἐπειδὴ κατεμισθοφόρησαν τὰ ὑπάρχοντα.

Μισθοφορεῖν. Ἀριστοφάνης, τοὺς μισθοφορεῖν, ἤγουν τοὺς μισθοὺς βουλομένους λαβεῖν.

Μίθωμα, μιθὸς ὁ ἑταιρικός.

Μίσκαιος, κῆπος.

Μίσκει, ἄρχεται.

Μίσκελος, διτελὴς, καὶ μέλας οἶνος.

Μισογυνής, μισογύναιος.

Μισόκαλος, ὁ μισῶν τὸ ἀγαθόν.

Μισσώη, ἡ ὀξύτης, παρὰ Χαλδαίοις.

Μιστύλλειν, παρὰ τῷ ποιητῇ ἐστι, τὸ διαιρεῖν εἰς μερίδας μικράς. παρὰ δὲ τοῖς Ἀττικοῖς. μιστυλᾶσθαι, τῆς δευτέρας συζυγίας. παρὰ τὸ διὰ μιστύλλης, ὅ ἐστι διὰ κοίλου ἄρτου ζωμὸν ἀρύεσθαι.

Μίστυλλον, εἰς μικρὰ διέκοπτον. μιστύλλοντες, τουτέστιν εἰς μιστὰ, ὅ ἐστιν εἰς μικρότατα κόπτοντες. τὸ δὲ μιστύλλειν, τὸ εἰς μικρὰς μερίδας κόπτειν, καὶ ὡς ἂν ἀνθ' ἑνὸς εἰπεῖν. δηλοῖ δὲ σμικρύνειν, καὶ τὸ εἰς μιστὰ, ἤγουν βραχύτατα μόρια τέμνειν, καὶ ὡς εἰπεῖν εἰς μερίδας.

Μισθωτὸς, ὁ ἐπὶ μισθῷ δουλεύων, καὶ μίσθιος. μισθόω μισθῶ, ἕτερον ἑτέρῳ, ὡς παρὰ Φιλοστράτῳ. ταῦτά τοι καὶ ἀπομισθεῖ τοὺς ὀφθαλμοὺς ἐκείνους, ἤγουν τὴν ἐνέργειαν τῶν ὀφθαλμῶν ἐπὶ μισθῷ δίδωσι. μισθοῦμαι δὲ ἐγώ τινα, ἤγουν ἐπὶ μισθῷ λαμβάνω.

Μισθόομαι, μισθοῦμαι αἰτιατικῇ, ἐμισθώσατο τὸν νεανίσκον ἐπὶ τῷ γαμεῖν αὐτὸν, καὶ μισθῶσαί τινα τῶν ἐκφερομένων.

Μισολάμαχος, ἡμέρα μισοπόλεμος. ὁ γὰρ Λάμαχος πολεμικώτατος ἦν, καὶ φιλοπόλεμος στρατηγός.

Μισοπορπακιστὰ, ἀντὶ τοῦ μισοπόλεμε, παρὰ τὸ πόρπακα. πόρπαξ δὲ κατά τινας μὲν ὁ ἀναφορεὺς τῆς ἀσπίδος. ὡς δέ τινες, τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήρεον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης.

Μῖσος, ὃ γίνεται ἀπὸ τοῦ μισῶ διὰ τοῦ ι, ἐκτείνεται, καὶ περισπᾶται. μίσος δὲ τὸ μίασμα, ὀξύνεται, καὶ βραχὺ ἔχει τὸ ι.

Μῖσος, ἐκ τοῦ μυεῖν παρῆκται, ἀφ' οὗ καὶ τὸ μῖσος. μύει γὰρ ἐπὶ τοῖς ἐχθροῖς ὁ μισῶν, τροπῇ τοῦ δίχρονου.

Μῖσος, ἡ πρὸς τὸ ἀνδὲς ἀλλοτρίωσις, καὶ ἡ τοῦ λυποῦντος ἀποστροφὴ, παρὰ τὸ μὴ ἴσος εἶναι.

Μισυοὶ, οἱ ἔχοντες τὸ ἥμισυ λευκὸν τοῦ σώματος. τὸ δὲ ἥμισυ, μέλαν, οὓς μίσγυς ἔνιοι ἔλεγον.

Μίσχη, πιλήματα, ταινίαι, μαλλοὶ, οἱ τῶν ἐρίων,

Μίσχος, ὁ παρὰ τῷ φύλλῳ κόκκος.

Μισῶ, ἀπεχθάνομαι, βδελύσσομαι, ἐχθαίρω, ἀποστοπιάζομαι, ζηλοτυπῶ, ἀποστρέφομαι, μυσάττομαι, καὶ στυγῶ, ταυτά.

Μισῶ σε τῆς ἀναιδείας, στυγῶ καὶ βδελύττομαι, καὶ ἀποστρέφομαι, καὶ μέμφομαι, ταλανίζω, καὶ κακίζω, νοεῖται ἐν ἅπασι τούτοις τὸ ἕνεκα. καὶ πάντα ταῦτα ἀντιστρόφως ἀπὸ γενικῆς εἰς αἰτιατικὴν συντάσσονται, οἷον μισῶ σου τὴν ἀναίδειαν, καὶ μέμφομαί σε τῆς ὠμότητος.

Μισέω τὰς δασυκέρκως ἀλώπεκας, Θεόκριτος, ἀντὶ τοῦ μισῶ τὰς δασυκέρκους ἀλώπεκας.

Μίτρα, παρὰ τοῖς μεθ' Ὅμηρον, καὶ ἐπὶ τῆς περὶ κεφαλὴν ταινίας λέγεται, ἤτοι κοινότερον εἰπεῖν ἐπὶ φασκίας. ὡς δηλοῖ παρ' Εὐριπίδῃ, μίτραις ἀναδέτοις ῥυθμίζεσθαι πλόκαμον, καὶ τὸ παρὰ Ἡροδότῳ, μίτραις κατειλήχατο, καὶ οἱ περὶ κεφαλῆς μιτροφόροι. ἐξ ὧν ὁρμώμενοι τινὲς, ταινίαν ἡρμήνευσαν ἁπλοϊκῶς οὕτω στέφανον. φασὶ δέ τινες, καὶ αὐτὸ τοῦτο στεφάνους εἶναί ποτε τὰς μίτρας φάμενοι. ὅτι μίτραι κυρίως, οἱ ἀπὸ φασκιῶν καὶ ὠαρίων γινόμενοι στέφανοι. γυναικεῖοι δὲ ἴσως καὶ οἱ τοιοῦτοι, παρὰ τὸν μίτον δὲ ἡ λέξις ἐτυμολογεῖται, ὡς οἷον μίτοις πρά τις οὖσα. Ἄλλως.

Μίτρα λέγεται, ὁ γυναικεῖος τῆς κεφαλῆς ἀνάδεσμος. μίτρα, ζώνη, ἡ διὰ τοῦ μίτου ὑφαινομένη. ἐφορεῖτο δὲ ἐσωτέρα τῆς λαγόνος. ἡ χαλκῆ λεπὶς, ἣν ζώννυνται περὶ τὸν κενεῶνα, χάριν πλείονος ἀσφαλείας. ἔστι δὲ προγαστρίδιός τις ὅπλισις ἁλυσειδωτὴ, ἢ πρὸ τοῦ ἤτρου φυλακτική.

Μιτάτωρ, ὁ προαποστελλόμενος ἄγγελος, παρὰ τοῦ ἄρχοντος.

Μίτος, τὸ κεκλωσμένον νῆμα.

Μίτραι κυρίως οἱ ἀπὸ φασκιῶν καὶ ὠαρίων γινόμενοι στέφανοι, ἐν καταχρήσει δὲ πᾶς στέφανος μίτρα λέγεται.

Μι-

Μίτρα λέγεται, ὁ γυναικεῖος τῆς κεφαλῆς ἀνάδεσμος.

Μιτράγχυσα, ὡς λεπὶς χυτή, ἡ τῷ μετώπῳ φορεῖται.

Μίτραν ζωννύσκετο. διασαφητικόν ἐστι καὶ αὐτὸ τῆς πολεμικῆς ζώνης, καὶ τοῦ ἐπερείδεσθαι αὐτὴν πρὸς τὴν μίτραν. ἄλλως γὰρ εἴπερ ζώνη ἡ μίτρα, πῶς ἂν ζωννύσκοιτο.

Μίτρεον, ποικίλον.

Μίτρη, θώρακι. μίτρην, χαλκῆν λεπίδα.

Μίτρην πρῶτον ἔλυσα, παρ' Ἀπολλωνίῳ. λύουσι γὰρ τὰς ζώνας αἱ πρώτως τίκτουσαι, καὶ ἀνατιθέασιν Ἀρτέμιδι. ὅθεν καὶ λυσιζώνης Ἀρτέμιδος ἱερὸν ἐν Ἀθήναις.

Μίττος, τάξις, σειρά, τόνος.

Μιτύλαν λέγουσιν αἶγα, τὴν μὴ ἔχουσαν κέρατα.

Μιτυλήνη, νῆσος.

Μίτυλλον, ἔσχατον, νήπιον. Λακεδαίμονες.

Μιχαίας, ἑρμηνείας ταπείνωσις, ἢ ταπεινούμενος.

Μιχθῆναι, ἢ μιγῆναι, ἀπαντῆσαι, συμμῖξαι, ὁμιλῆσαι.

Μιχωκεῖ, ἠχεῖ.

ΤΟ' Μ'. ΜΕΤΑ' ΤΟΥ' Ν'.

Μνάα, δεύτερον πρόσωπον παθητικοῦ ἐνεστῶτος κατὰ Ἴωνας.

Μναᾷ, μνηστεύεται.

Μνάδας, τὰς ἀμελγομένας αἶγας.

Μνᾶ, ἑκατὸν δραχμαί, ποιοῦσι μνᾶν μίαν.

Μνανόοι, μῦσαι, μνηστῆρες.

Μναμονεύθημεν, διεκλήθημεν.

Μναμοσύρειν, τὸ ἐπιτηρεῖν, ἢ μεμνῆσθαί τινι.

Μνάμων, ἱερομνήμων, ἢ μνήμονες οἱ τὰς θυσίας ἀπομνημονεύοντες.

Μνάειον, τὸ κάλυμβον. Βοιωτοί.

Μιναρὸν, ἡδύ, μαλακόν, κόρημα, θυμῆρες.

Μνάσιον, μέτρον τι διμέδιμνον.

Μναστήρ, τῶν μηνῶν οὕτω καλεῖταί τις.

Μνᾶται, ἐπὶ ἀνδρός, οἷον μνᾶται ἀνὴρ γυναῖκα. ἐπὶ δὲ γυναικός, τὸ μνηστεύεται, ἤγουν ἡ γυνὴ μνηστεύεται ἀνδρί, γράφεται καὶ ἄνδρα.

Μνείαν, τὴν μνήμην, Σοφοκλῆς.

Μνεία ἐστὶν, ἀνάμνησις ἐννοίας ἐναποκειμένης.

Μνημεῖον, ὁ τάφος.

Μνημεῖα, τὰ οἴκαδε πεμπόμενα ὑπὸ τῶν ἐν πολέμῳ τετελευτηκότων τοῖς οἰκείοις.

Μνῆμα, μνημεῖον, μνημόσυνον, ἀνάθημα, τάφος.

Μνήμη ἐστὶ, κάθεξις τῶν νοὸς τυπωμάτων, ἢ λήθης ἀποβολή.

Μνήμη ἐστὶ, διάθεσις ψυχῆς φυλακτικὴ τῆς ἐν αὐτῇ ὑπαρχούσης ἀληθείας.

Μνήμη γενικῶς, τύπωσις ψυχῆς. μνεία δὲ, λόγος φασὶ κατὰ ἀνανέωσιν λεγόμενος. καὶ μνήμη μὲν, ἡ τῷ μνημονικῷ συνοικοῦσα. μνεία δὲ προγεγονότος τινὸς ὑπόμνησις, εἰς ἴσον ἥκουσα τῇ ἀναμνήσει.

Μνήμη, ὅθεν μνηστεία ἡ περὶ γάμου συμφωνία. καὶ μνηστὴρ, ὁ μνηστευόμενος. καὶ μνηστὴ, ἡ μεμνηστευμένη. μνηστεύω ἐπὶ συμφωνίας γάμου. μνῆμα μνημεῖον, ὁ τόπος ὅλος τῆς ταφῆς, ὁ διὰ τῆς μνήμης φαινόμενος. τάφος δὲ, ὁ τὸ σῶμα τοῦ τεθνηκότος μόνον περιέχων. μνημόσυνον, μνήμων, μνήμονος, μνῆστις, ἡ μνεία, καὶ κλίνεται μνήστεως, μνήστωρ, καὶ ἕτερα. μνεία δὲ μόνον διὰ διφθόγγου.

Μνῆμα ξένου, ἀντὶ τοῦ μνήμη καὶ ἐνθύμησις. καὶ ὡς οἱ πολλοὶ λέγουσι, μνημόσυνον, ὁποίου τινὸς χάριν καὶ Ὀδυσσεὺς τὸ τοῦ Ἰφίτου τόξον ἀφεὶς ἐν τῷ οἴκῳ, ἡνίκα εἰς Τροίαν ἔπλεε.

Μνῆμ' Ἑλένης χειρῶν, παρ' Ὁμήρῳ. νῦν ἁπλῶς τὴν μνήμην λέγει. ἐξ οὗ δῆλον, ὅτι καὶ τὸ νεκρικὸν μνῆμα οὕτω καλεῖται, διὰ τὸ ἐξ αὐτοῦ μνήμην τοῦ ποτὲ ζῶντος. δῆλον δὲ, ὅτι ταυτὸν, ὥσπερ στρῶμα στρώμη, βρῶμα βρώμη, οὕτω μνῆμα μνήμη.

Μνήμονες, ἀρχὴ γυναικῶν ἐπιτελουμένων τῶν ἱερείων.

Μνημονεύω, γενικῇ ἀεί. εὕρηται δὲ παρ' Ὁμήρῳ, καὶ αἰτιατικῇ, οἷον Τυδέα δ' οὐ μέμνημαι.

Μνημονευόμενοι, ἀρραβωνιζόμενοι.

Μνημοσύνη, ὑπόμνησις.

Μνημύει, σκυθρωπάζει.

Μνήμηκεν, ὑποπτεύσει, δυσχεραίνει.

Μνήμων, ὁ προεστὼς, καὶ ἐπιμέλειαν ποιούμενος φόρτου. ὃν ἡμεῖς ἐπίπλουν καλοῦμεν.

Μνήμων φόρτου, ὁ γραμματεὺς, ἤτοι ἀποσημάντωρ διὰ γραμμάτων, ἢ καὶ ἄλλως λογιστὴς, ἐπιμελητὴς, ἐπίσκοπος δὲ, ἢ ἐπίστροφος ὁδαίων, ὅ ἐστιν ἐφοδίων.

Μνησαίατο, ταυτόντως ὃν τῷ διδάξαιεν. ὡς δοκεῖν τοὺς εἰπόντας τὰς μαθήσεις, ἀναμνήσεις.

Μνήσατο, ἀνεμνήσθη.

Μνησάσκετο, ἐμνηστεύετο.

Μνήσεσθαι, ἀλλαχοῦ παραφράζων, μνήμην ἐγγενέσθαι λέγει. φησὶ γὰρ μνημοσύνη πυρὸς γενέσθαι, τουτέστι μνήσθητε πυρός.

Μνησιχάρη, ἡδονή.

Μνησικακία ἐστὶ μνήμη τῆς παρακολουθησάσης ὀξυχολίας, ἐπὶ τῷ ἀνταποδοῦναι τῷ μαχησαμένῳ.

Μνησικακία ἐστὶ, θυμὸς εἰς κακὸν ἐνεδρεύων.

Μνησικακῶ, μνηματίζω.

Μνησιστράτειος, ὁ τοῦ Μνησιστράτου οἶκος.

Μνηστεύω ἐπὶ συμφωνίας γάμου. ὅθεν μνηστεία ἡ περὶ γάμου συμφωνία, καὶ μνηστὴρ, ὁ μεμνηστευμένος. καὶ μνηστὴ, ἡ μεμνηστευμένη.

Μνῆστις, μνήμη.

Μνηστὴ, ἡ μνηστευθεῖσα γαμετή. μνηστῆς ἀλόχοιο.

Μνηστὴρ μνηστῆρος, καλεῖται πρὸ τοῦ γάμου ὁ νυμφίος. καὶ μνήστωρ ὁ αὐτὸς, ποιητικὰ δέ εἰσι. μνηστεία δὲ γράφεται, καὶ μνᾶται ὁ ἀνὴρ γυναῖκα. μνηστεύεται δὲ ἡ γυνή.

Μνηστῆρες, οἱ ἐπιβάλλοντες γῆμαί τινα, καὶ οἱ μεμνημένοι.

Μνῆστις, πλεονασμὸν ἔχει τοῦ σ. οὐ γὰρ ὡς ἐκ τοῦ λέλησται ἡ λῆστις, οὕτω καὶ ἐκ τοῦ μέμνησται ἡ μνῆστις, ἀλλὰ ἐκ τοῦ μέμνηται.

Μνήστορα, ἐπιστήμονα. ὁ δὲ τῶν μηχανημάτων φέρει τὸν μνήστορα.

Μνήστωρ, ὁ δοὺς τοῦ γάμου ἀρραβῶνα.

Μνήστωρι, βασιλεῖ φρονίμῳ.

Μνήσω, ἤγουν εἰς μνήμην ἀγάγω. ἐν τῷ, τῶν δ' αὖτις μνήσω. γενικὴν ἔχει σύνταξιν. οὐ πρὸς ὁμοιότητα καὶ τὸ ἀναμνήσω.

Μνήτεια, γάμου δῶρα.

Μνῆτοι, δοῦλοι.

Μνία, τὰ τῆς θαλάσσης ἀνθήματα, ἢ βρύα, καὶ τὸ φῦκος.

Μνίει, ἐθίει.

Μνιόεντα, σύμφυτα.

Μνίον, τὸ κεκολλημένον ἐν θαλασσίαις πέτραις, ἢ ἐριώδες, ἢ βοτανῶδες, παρὰ Λυκόφρονι.

Μνοία, ἡ ἱκετεία.

Μνοῖον, μαλακόν.

Μνοῦνες, οἱ μηροί.

Μνοῦς, ἔριον ἁπαλώτατον, καὶ ἡ πρώτη τῶν ἀμνῶν καὶ πώλων ἐξάνθησις, καὶ τὸ λεπτότατον πτερόν. κυρίως δὲ τὸ τῶν χηνῶν, καὶ ἡ ἁπαλὴ θρίξ.

Μνῶα, δουλεία.

Μνώεο, μέμνησο.

Μνωμένη, μνηστευομένη.

Μνώομαι, ἐνεστὼς ποιητικὸς, ὡς χρώομαι, μιμνήσκομαι κοινὸς, μέλλων κοινὸς μνηθήσομαι, ἢ μεμνήσομαι. ποιητικὸς δὲ μνήσομαι, ἀπὸ τοῦ μνάομαι μνῶμαι, ὃ ἐφ' ἑτέρας ἐτάχθη σημασίας. ἀόριστος μὲν, κοινὸς μὲν ἐμνήσθην, ἀπὸ τοῦ μέμνημαι. δοκεῖ δὲ τὸ σ διὰ καλλιφωνίαν προστεθεῖναι αὐτῷ, ποιητικὸς δὲ ἐμνησάμην. παρακείμενος μὲν κοινὸς μέμνημαι, ποιητικὸς δὲ μέμνομαι, ὡς τέτρωμαι. ἀφ' οὗ τὸ μεμνέωτο, πλεονασμῷ τοῦ ε. καὶ ἐνεργητικῶς ταῦτα λέγεται, ἀναμιμνήσκω, ἀναμνήσω, ἀνέμνησα, καὶ ὑπομιμνήσκω ὑπομιμνήσω, ὑπέμνησα. ἃ οἱ Ποιηταὶ χωρὶς προθέσεως λέγουσιν, ἐπὶ τούτων τῶν σημαινομένων. μνήσω γὰρ λέγουσιν, ἀντὶ τοῦ ἀναμνήσω, ἢ ὑπομνήσω. καὶ ἔμνησα, ἀντὶ τοῦ ἀνέμνησα, ἢ ὑπέμνησα.

Μνώοντο, ἐμνηστεύοντο.

Μνώσκει, μίσγεται, ἔρχεται.

ΤΟ' Μ'. ΜΕΤΑ' ΤΟΥ' Ο'.

Μογιλάλος, ὁ ἰσχνόφωνος, καὶ μόλις τὸ φθέγμα διαρθροῦν δυνάμενος.

Μογέοντι, μογοῦσι, πυρέσσουσι. Δωριεῖς.

Μογερᾶς, ἀθλίας, πονηρᾶς, λυπηρᾶς, ἐπιπόνου.

Μογερῶν, μοχθηρῶν.

Μογήσας, κακοπαθήσας.

Μόγις, καὶ μόλις, τὸ αὐτὸ, ἀλλὰ τὸ μόλις μόνον τοῖς ῥήτορσι χρήσιμον. ἀναλογώτερον δὲ τὸ μόγις, ἀπὸ τοῦ μογῶ, τὸ κακοπαθῶ.

Μόγος, ταλαιπωρία, καὶ κάματος. παρὰ τὸ οἰμωγὴ, μόγος. ἢ παρὰ τὸ μὴ ἐᾶν τὴν ψυχὴν γάννυσθαι. καὶ μογοστόκοι, αἱ μόγον ταῖς τικτούσαις ποιοῦσαι.

Μόγος, πόνος, ὄχλησις, μόχθος, κακοπάθεια.

Μογοστόκος, ἡ ἐν τῷ τίκτειν κακοπαθοῦσα, ἢ ἡ μόγον ταῖς τικτούσαις ποιοῦσα. μογοστόκος, εἰλείθυια.

Μογοστόκοι εἰλείθυιαι, παρονομάζονται ὁμοίως τῷ πρωτοτόκοι γυναῖκες, ὡς ἐνέργειαν δηλοῦν τὴν κατὰ τῶν τικτουσῶν. τὰ γὰρ τοιαῦτα τῶν συνθέτων, ὥς φασιν οἱ παλαιοὶ, ἐνέργειαν ὑπισχνούμενα παροξύνονται. εἰ μὴ κανὼν ἄλλος κωλύει, χωρὶς τοῦ ἱππόδαμοι. αὐτὸ γὰρ ἄντικρυς τῷ κανόνι μάχεται. ἐνεργητικὸν γὰρ ὂν, καὶ κανόνα μὴ ἔχον κωλύοντα, προπαροξύνεται. πλεονασμὸν τοῦ σ τὸ μογοστόκος ἔχει, ὡς ἂν οὕτως εὐχρηστηθείη πρὸς μέτρον, οὕτω καὶ ἐν τῷ θέσφατον, καὶ θεσπέσιον, καὶ θεόσδοτον, καὶ τοῖς ὁμοίοις, δι' ὁμοίαν αἰτίαν ἐπλεόνασε. θυγατέρες δὲ Ἥρας γαμηλίου μυθικῶς αἱ μογοστόκοι εἰλείθυιαι, ὡς ἐπιστατοῦσαι τόκοις, καὶ ἐν τῷ ποιεῖν τὰ ἔμβρυα εἰς φῶς ἐλθεῖν. μόγους ταῖς τικτούσαις ἐκ τῶν ὀδυνῶν ἐπάγουσαι, ὡς εἰ καὶ βέλη ἔπεμπον. καὶ ἴσως τοιούτῳ λόγῳ τοξικὴ ἡ Ἄρτεμις, ὡς τοῖς τόκοις οὕτως ἐπιστατοῦσα καὶ αὐτή. διὸ καὶ λοχεία ἐπονομάζεται, λέγονται παρὰ τὸ ἐλεύθειν ὡς εἴρηται. διὸ καὶ γράφεται ἡ μὲν ἄρχουσα διὰ διφθόγγου, ὡς ἐπιτεθέντος τοῦ ι εἰς τὸ ἐλεύθω κατ' ἀρχήν. εἰ δὲ μετὰ τὴν ἄρχουσαν ἔχει τοιοῦτον δίφθογγον, καὶ αὐτὴ ἐκ τοῦ ἐλεύθω μετατεθείσῃ τοῦ διχρόνου υ συνήθως εἰς τὸ ι δίχρονον. ἡ δὲ παραλήγουσα τὴν διὰ τοῦ υ δίφθογγον ἔχει, διότι τὰ εἰς α θηλυκὰ ἐθέλουσιν ὡς τὰ πολλὰ τῷ ι παραλήγεσθαι, ἢ μόνῳ, ἢ μετὰ καὶ ἄλλου φωνήεντος, κατὰ λόγον διφθόγγου. μόνῳ μὲν, ὡς κοιλία, καρδία, καὶ ἄλλα μυρία. μετὰ δὲ ἄλλου φωνήεντος, ἢ τοῦ α, ὡς μαῖα γαῖα. ἢ τοῦ ε, οἷον εὐσέβεια, ἀδράστεια. ἢ τοῦ μικροῦ ο, οἷον εὔροια, σύρροια. ἢ μετὰ τοῦ ω μεγάλου, ὁποῖον ἡ ὦα τοῦ ἐνδύματος. ἢ μετὰ τοῦ υ, ὡς ἐν τῷ μυῖα καὶ ἅρπυια. οἷς συντρέχει, καὶ τὸ εἰλείθυια, ὡς μὴ δυνατὸν ὂν μετὰ τοῦ ο ἐνταῦθα συγκροτηθῆναι τὴν δίφθογγον. οὐ γὰρ προϋπόκειται τῆς εἰλειθυίας ὄνομα, ὡς ἔγκειται ο μικρόν. ἵνα ἐκεῖθεν ἡ οι δίφθογγος γεννηθῇ, ὥσπερ ἡ σύρροια ἔχει τὸ ῥόος προϋποκείμενον, καὶ τὸ νόος ἡ ἔννοια, καὶ τὸν βόα ἡ εὔβοια, καὶ τὴν χρόα ἡ εὔχροια. ἐξ ἀνάγκης οὖν τὸ εἰλείθυια συνεξηκολούθησε τῷ κυνάμυια, ὠρείθυια, ἅρπυια. διαστατέον δὲ ἐκ τοῦ εἰρημένου κανόνος τὸ μῶα, καὶ τὸ πάα, οὐ σημασία, μοῦσα πᾶσα. ἡ δὲ φιλοσοφία ἐκδεξαμένη, τελεσφορεῖ πρὸς ἀλήθειαν, λέγουσα θυγατέρας Ἥρας τὰς εἰλειθυίας. ἐπειδὴ τηνικαῦτα τὸ βρέφος εἰς φῶς ἐλεύθει, ὅταν τὰ ἐκ τῆς Ἥρας αὐτὸ προσκαλέσηται. τότε γὰρ τὸ ἔμβρυον ἐκκύπτει πρὸς γέννησιν, ἱκανῶς ἔνδον θαμαλευθὲν, ὅταν καὶ ὁλκῆς ἀέρος καὶ τῆς ἔξω ζωῆς ἐξ ἀνάγκης προσδέηται. εἶεν ἂν οὖν εἰλείθυιαι, ὡς μὲν ἓν ἀνθ' ἑνὸς φράσαι, ἐλεύσεις, σαφέστερον δὲ εἰπεῖν, αἱ εἰς φῶς ἐλεύσεις καὶ παραγωγαὶ τῶν κυοφορουμένων. οὐ μόνον πληθυντικῶς εἰλείθυιαι παρ' Ὁμήρῳ, ἀλλὰ καὶ ἑνικῶς.

Μογηρὰν, ἐπίπονον.

Μογοῦσαι, κακοπαθῆσαι, παρὰ τὸ μὴ ἐᾶν γάννυσθαι.

Μογῶ, τὸ κοπιῶ. ἀφ' οὗ μόγις ἐπίρρημα, ὅπερ Ἀττικοὶ μόλις λέγουσι. καὶ μογιλάλος, ὁ ἰσχνόφωνος ποιητικῶς. μοχθίζω μόλις,

Digitized by Google

λις, ἀντὶ τοῦ βραδέως. μόγις δὲ, ἀντὶ τοῦ μετὰ βίας.

Μόδα, γράμματα.

Μοδιωὸς, τοπικόν.

Μόδιον, μέτρον τί.

Ξόδυχνον, διοπάλιον.

Μοδῶν, ψέγων.

Μόθακες, οἱ ἀνατρεφόμενοι τοῖς υἱοῖς, δοῦλοι παῖδες.

Μόθον, τὴν μάχην φασὶ, παρὰ τὸ ὁμοῦ θέειν τοὺς μαχομένους. ϗ πόλεμον, παρὰ τὸ τὰς πόλεις μειοῦν. ϗ δηϊοτῆτα, παρὰ τὸ δαίειν, ἤτοι καίειν. ὅθεν ϗ Πλούταρχος, λαβὼν ἐξάψαι πόλεμον λέγει, τὸ ἐξεγεῖραι μάχην. διὸ ϗ οἱ παλαιοὶ πρὸς σύμβολον τοῦ κατὰ τὴν μάχην πυρσοὺς, οὐ σάλπιγγι μόνον ἐν πολέμοις ἐχρῶντο, ἀλλὰ ϗ δαλῷ ἀφιεμένῳ, σημαίνων μάχην ὡς ϗ Εὐριπίδης δηλοῖ ἐν τῷ ἐπεὶ δ᾽ ἀφείθη πυρσὸς, ἤτοι λαμπὰς, ὡς τυρσηνικῆς σάλπιγγος ἠχή.

Μόθος, ἀπὸ τοῦ μὴ ὄθεσθαι, ἤγουν ἐπιστρέφεσθαι ϗ φροντίζειν ἄλλου τινὸς πράγματος τὸν μαχόμενον, ἀλλὰ μόνου τοῦ πολέμου γίνεσθαι.

Μυθύρας, τὰς λαβὰς τῶν κωπῶν.

Μόθων ὁ ἀνόητος, ἢ φλύαρος, ϗ φορτικός. μόθος, ὁ πόλεμος.

Μόθων, ὁ εὐτελής. μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες, τοὺς παρεπομένους τοῖς ἐλευθέροις. ἔστι δὲ ϗ γένος ὀρχήσεως.

Μόθων, εἶδος αἰσχρᾶς, ϗ δουλοπρεποῦς ὀρχήσεως. οἱ δὲ Λάκωνες τοὺς παρεπομένους τοῖς ἐλευθέροις παῖδας, μόθωνας καλοῦσιν. ἄλλως. μόθων, φλύαρος, φορτικὸς, ἄτιμος, αἰσχρός. λέγουσι γὰρ τοὺς Ἀθηναίους χειρωσαμένους τοὺς μόθωνας, δουλικῇ ἀγεράστῳ παραστῆσαι τύχῃ. ὅθεν ϗ Ἀττικοὶ μόθωνες, ἢ ἀπὸ Μόθωνός τινος αἰσχροποιοῦντος, ϗ ἀεὶ ἐν τοῖς τόποις ὀρχουμένου, ἢ ἀντὶ τοῦ ἀνόητος, ἄλλοι λέγουσι δουλοπρεπεῖς, σπερμολόγους. ϗ ἄλλως. μόθωνα τὸν εἰρωνικὸν ϗ δόλιον, ϗ πανουργίᾳ προσφερόμενόν τινι ἔλεγον, ϗ τοὺς φορτικοὺς, μόθωνας.

Μοθωνία, ἡ ἀλαζονεία. παρὰ τὸ μόθος. ἔστι δὲ ϗ χώρα.

Μοιμυᾶ, τὸ τὰ χείλη πρὸς ἄλληλα προσάγειν. ϗ μοιμύλλειν, θηλάζειν, ἐσθίειν.

Μοῖος, σκυθρωπός.

Μοῖρα, ὡς ἀπὸ τοῦ σπείρω γίνεται σπορὰ, ϗ ἀπὸ τοῦ κείρω κουρὰ, οὕτω ϗ ἀπὸ τοῦ μείρω τὸ μερίζω, ὤφειλε λέγεσθαι μορά. ἀλλ᾽ ἐπειδὴ ἡ μορὰ τάγμα ἐστὶ παρὰ Λακεδαιμονίοις, τούτου χάριν πρὸς ἀντιδιαστολὴν ἐκείνου ἐβαρύνθη, ϗ ἐγένετο μόρα, ϗ πλεονασμῷ τοῦ ι μοῖρα. ἡ δὲ μοῖρα σημαίνει γ΄. τὸ καθῆκον, οἷον κατὰ μοῖραν εἶπες. τὴν εἱμαρμένην, οἷον μοῖραν οὔτινα φημί. ϗ τὴν μερίδα, μοίρας δασάμενοι.

Μοῖρα, ἡ μερίς. ϗ τὸ πρέπον, ὡς παρ᾽ Ὁμήρῳ, ναὶ δὴ ταῦτα πάντα γέρον κατὰ μοῖραν ἔειπας, ἤγουν κατὰ τὸ πρέπον. μοῖρα, ϗ ἡ παρ᾽ Ἕλλησι τύχη. ἀφ᾽ οὗ μοιρηγενὴς ϗ μοιραῖος. ϗ ἄμοιρος. ἀπὸ τοῦ μοῖρα, τὸ μοιρᾶσθαι ῥῆμα.

Μοῖρα ὀλοὴ, πρὸς διαστολὴν εἴρηται τῆς εὐμοιρίας. ὅθεν μοιρηγενὴς δηλοῖ τὸν ἐν εὐμοιρίᾳ γεννηθέντα.

Μοῖρα, Ὅμηρος οὐ κατὰ μοῖραν πέραον πάλιν οἱ Τρῶες, ἤγουν ἀτάκτως, ϗ δυσδαιμόνως. ϗ ἀκόσμως διεπέρων τὴν τάφρον, ὡς φεύγοντες. ὅπερ ἐκεῖνος ἔφη, οὐ κατὰ κόσμον φεύξεσθαι. ταυτὰ γὰρ ὥσπερ μοῖρα ϗ κόσμος, οὕτω ϗ τὸ οὐ κατὰ μοῖραν, ϗ τὸ οὐ κατὰ κόσμον.

Μοίραις, μερίσι, φυλακαῖς.

Μοῖραι χωλαὶ, παρὰ Λυκόφρονι, διὰ τὸ ἀνόμοιον τοῦ μορίδιου, ϗ ἄνισον, ϗ ὑποσκάζον, ϗ ὡς οἷον ὀκλάζον, ϗ μὴ ἀεὶ ὡσαύτως βαῖνον λέγονται.

Μοῖραν ἀναπλήσης βιότοιο, ὅ ἐστιν ἐκπληρώσεις, περίφρασίς ἐστι τοῦ θάνῃς ϗ ἡ μοῖρα δὲ τοῦ βιότου αὐτὸν τὸν βίον δηλοῖ περιφραστικῶς, Ὅμηρος.

Μοῖραν τ᾽ ἀμμορίην τε. Ὅμηρος ἐν Ὀδυσσείᾳ, Ζεὺς οἶδεν ἅπαντα μοῖραν τ᾽ ἀμμορίην τε. μοῖραν, φανερῶς τὴν εὐδαιμονίαν ϗ εὐτυχίαν φασὶν, ἧς αἴτιος Ζεὺς εἶναι δοκεῖ. ὁ δὲ τοιοῦτος ἑρμηνευτικὸς τύπος, δοκεῖ ἀρχὴν ἐνδοῦναι τοῦ εἰς εἱμαρμένην ἀλληγορεῖσθαι τὸν Δία.

Μοίρας, λέγει Ἡσίοδος τὰς ἐπιμεριζούσας. κῆρας δὲ, τὰς ἐπιψηφιζομένας τὸν θάνατον.

Μοιρηγενὲς, ἀγαθῇ μοίρᾳ γεγεννημένε.

Μοιρῆσαι, μερίσαι, ἢ διελεῖν.

Μοιρήσασθαι, λαχεῖν, ϗ τὰ ὅμοια.

Μοίριχος, Μοῖρις, Μοιραγένης, Μοιροκλῆς, ὀνόματα κύρια.

Μοιρίλογχοι, οἱ τὰ κοινὰ διαιροῦντες.

Μοιροδικῆσαι, ἀντὶ τοῦ μέρους μεταλαβεῖν.

Μοιρολαχεῖν, τὸ μερίδι λαγχάνειν, τινὲς δὲ διαιρεῖσθαι.

Μοῖσα, ἡ μοῦσα ποιητικῶς.

Μοιτοὶ, ἔντιμοι.

Μοιχάγρια. τὰ ὑπὲρ ἀγρεύσεως, ὅ ἐστι συλλήψεως μοιχῶν ἐκτιννύμενα. ἡ δὲ σύνθεσις αὐτοῦ, ὁμοία τῷ ζωάγρια, βοάγρια ἀνδράγρια.

Μοιχαλὶς, ἡ πόρνη, ἡ μοιχευομένη.

Μοιχάζω, ἀκολάστων γυναικῶν ἐμοίχασε.

* Μοιχοῖς πένησι δίκη, ἀπολραφανίδωσις ϗ παρατιλμός.

Μοιχεία, ϗ φαρμακεία ταυτόν ἐστιν ἀμφότερα. λάθρα γὰρ γίνεται, λέγονται δὲ ϗ ἐπιβουλαί. ϗ ὥστε ἡ μοιχευομένη, ὥστε ἡ φαρμακεύουσα φιλεῖ τὸν ἄνδρα.

Μοιχεία ἐστὶ διττή. ἡ μὲν σωμάτων ξένων κλοπή τις, ἡ δέ τις, ϗ δαιμόνων, ὅταν Θεοῦ τὸ φίλτρον εἰς ἐχθροὺς πέσῃ.

Μοιχίδιον, τὸν ἐκ μοιχοῦ γεγεννημένον. οὐχ ὅτι Ἑκαταῖος, ἀλλὰ ϗ Ὑπερίδης.

Μοιχεύει, ϗ μοιχᾶται ὁ ἀνήρ. μοιχεύεται δὲ γυνὴ, ὅτε ἄνδρα ἔχουσα ἑτέρῳ ἀνδρὶ μίγνυται.

Μοιχὸς, ὁ εἰς ἄλλων γυναῖκα ἀσελγαίνων. μοιχεύω, μοιχία, μοιχαλὶς, ἡ μοιχευομένη γυνή.

Μοιχὸς, εἶδος ϗ ὄνομα κουρᾶς ἀπρεποῦς κιναιδώδους.

Μοιχὸς, ἐπὶ μὲν τοῦ ἀσελγοῦς, δίφθογγον παρὰ τὸ εἴκω τὸ πρέπω, ῥηματικὸν ὄνομα, οἰκός. ϗ μετὰ τοῦ ν στερητικοῦ νοικὸς, ϗ τροπῇ τοῦ ν εἰς μ, ϗ τοῦ κ εἰς τὸ χ μοιχὸς, οἱονεὶ ὁ ἐστερημένος ϗ ἐκτὸς ὢν τοῦ εἰκότος. μυχὸς δὲ, ὁ ἐνδότατος τόπος ψιλὸν, παρὰ τὸ νὺξ, νυχὸς, ϗ μυχός.

Μοιχοτύπης, ἡ ἀπὸ μυχῶν τυπτομένη.

Μοκκωνώσεις, περιφρονεῖς, παραβλαίσεις.

Μόκρωνα, τὸν ὀξὺν, Ἐρυθραῖοι.

Μολβὶς, σταθμιόν τι ἐπταμναῖον.

Μολγὸν νέφος περιβλέσω, ἢ ἀκόλουθος. Ἀριστοφάνης, τάχα ἂν εἴη ἐκπλήρους ὁ μολγός. ὁ δὲ ἀμέλγων τὰ χρήματα, ἀμολγός. ἔνιοι δὲ μολγοὺς ἀκούουσι τοὺς μοχθηροὺς, τοὺς ἀμέλγοντας τὰ κοινὰ, κλέπτας, ϗ τὸ ἀμολγός. ἄλλοι δὲ μολγὸν, τὴν βόειον ἀσκόν. τίθεται δὲ, ϗ ἐπὶ τῶν ἁμαξῶν.

Μολγὸν γενέσθαι, παρὰ τῷ Ἀριστοφάνει. μολγὸν, ἀντὶ τοῦ τυφλὸν, παρὰ τὸ ἀμέλγεσθαι ϗ ζημιοῦσθαι. Ἐρατοσθένης, μόλγον ϗ ἀμόλγον τὸν αὐτόν. ἀμολγοὺς δὲ παρὰ τούτοις φησὶ λέγεσθαι τοὺς ἀμέλγοντας τὰ κοινά. Ἡσίοδος δὲ μάζα τ᾽ ἀμολγαίη. οἱ δὲ, ἀντὶ τοῦ ἀκμαῖον. παρὰ δὲ τοῖς Κωμικοῖς, μόλγης ὁ μοχθηρὸς, ὥσπερ γόης, οὕτω Σωκράτης. ἄλλως. μολγὸν τινὲς μὲν γλαυκὸν, οἱ δὲ τὸν βραδύν, οἷον ἀμολγὸν ϗ κλέπτην τῶν δημοσίων.

Μολεῖν, ἐλθεῖν, τρέχειν, δραμεῖν.

Μόλιβος, ϗ μόλυβδος, εἰ μὲν ι ἐστὶ, τὸ δ οὐκ ἔστιν. οἷον, ϗ μόλυβος ὥστε δίκτυον κατῆγε, Σοφοκλῆς. ἐὰν δὲ τὸ υ, τὸ δ. ἡ δὲ μολυβδαίνῃ ἰκέλη, Ἰλιάδος. ω. τουτέστι μολίβῃ ὁρμαίᾳ μόλιβος δὲ ἐπίκειται τῷ ἀγκίστρῳ εἰς τὸ καθέλκειν αὐτὸ τῷ βάρει κάτω, παρὰ τὸ μολεῖν εἰς βάθος. εἰ δὲ υ, τὸ δ ἔχει. οἷον, μόλυβδος ὥστε δίκτυον κατῆγε.

Μόλις, ἀντὶ τοῦ βραδέως.

Μολίονες, μαχηταί. ϗ μολίδες, γυναικός τινος υἱοί.

Μολιώμενα, κατὰ βραχὺ ἀπομαραινόμενα, παρὰ τῷ Ἱπποκράτει.

Μολοβόβαρ, ὁ τοῦ Διὸς ἀστὴρ, παρὰ Χαλδαίοις.

Μολοβρὸς, ὁ ἀγύρτης. ϗ μολὼν αὐτὸς εἰς βορὰν ὁποῖος ϗ ὁ γαστρίμαργος διαφέρων.

Μολοβρὸς, ὁ ἀρτοζήτης, ἀπὸ τοῦ μολεῖν, ϗ παραγενέσθαι πρὸς βορὰν, ϗ τροφήν.

Μολόβρια, τῶν ἀγρίων θηρίων τινὰ οὕτω καλεῖται.

Μολοβρὶς, ϗ μολοβρὸς, ὁ πτωχὸς, ἢ ὁ γαστρίμαργος, ἢ ὁ προσαίτης.

Μολοθοῦρος, ἀσφόδελος, ἢ ὅμοιόν τι, ϗ ἡ ὁλόσχοινος.

Μολορὸς, λυπηρὸς, ἀηδής.

Μόλος, τὸ κῦρον, ἐκ τοῦ μολεῖν γίνεται. ὅθεν ϗ μώλιος, ϗ δηλοῖ τὸ ὁρμητικόν.

Μόλος, πόνος, μάχη, φρύαγμα.

Μολοσσὸς, ϗ μολοττὸς, κύων ὁ ποιμενικὸς, ϗ μέγας.

Μολοττοὶ ἔθνος, ϗ μολοττὸς ποὺς μετρικός.

Μολούειν, ἐγκόπτειν τὰς παραφυάδας.

Μολουρὶς, αἰδοῖον, κολοβὴ λόγχη, ἢ μέλισσα ὑρῶν.

Μολουρίδαι, βατραχίδαι, ϗ τῶν σταχύων τὰ γόνατα.

Μολοῦσα, πορευομένη, ἢ πορευθεῖσα.

Μολούχιον, κόσμος γυναικεῖος.

Μόλοφθος, ἐγκρυφίας ἄρτος.

Μολὸχ, ὄνομα εἰδώλου.

Μολπάζω, τὸ ὑμνῶ. Ἀριστοφάνης, τῇ φωνῇ μολπάζων.

Μολπαστὴς, συμπαίκτης. μολπάστρια δὲ συμπαίκτρια.

Μολπὴ, ᾠδή. παρ᾽ Ὁμήρῳ δὲ, τὸ παίγνιον, μολπῇ τ᾽ ὀρχηθμῷ τε. τὰ γάρ τ᾽ ἀναθήματα δαιτός. ϗ αὖθις, μολπῆς δ᾽ οὐ λῆγε μελιτερπέος.

Μολπὴ, ἰϋγμοῦ διαφέρει, ὡς ϗ λόγος ἐμμελὴς βοῆς ἀμελοῦς. μολπὴ μὲν γὰρ, ϗ μέλπειν, μεμελισμένον ἔπος. ἰϋγμὸς δὲ, ϗ ἰΰζειν, φωνή τις ἄσημος, ὁποῖος ϗ ὁ συριγμός.

Μόλπιδος πέτραν, τὴν Ἦλιν. Μόλπις γάρ τις Ἠλεῖος εὐγενὴς, αὐχμοῦ κατασχόντος τὴν Ἦλιν, ἐκ χρησμοῦ ἀκηκοὼς παυθῆναι τὸν αὐχμὸν, εὐγενοῦς σφαγέντος τῷ Διῒ, αὐτὸς ἑαυτὸν ἑκουσίως ἔδωκεν εἰς σφαγήν. ϗ εὐθέως σφαγιασθέντος, ἐρρύη ὑετός. Ἠλεῖοι δὲ ἱερὸν ὀμβρίου Διὸς ἐποίησαν, ἐν ᾧ ἵστατο ἀνδρείας Μόλπιδος. ἢ πέτραν τὴν Ἦλιν λέγουσιν, ἔνθα ὁ Οἰνόμαος ἀναιρῶν τοὺς μνηστῆρας ἐκ τῶν κρανίων ἐκείνων ναὸν ἔμελλε κατασκευάσειν, ὥσπερ ϗ Αἰταῖος ϗ Εὔηνος φόρμας, ϗ Διονύσιος ὁ Θρᾷξ, ϗ Κύκνος, ὁ ὑφ᾽ Ἡρακλέους ἀναιρεθείς.

Μόλσον, σελίνου καυλὸς, ϗ ἄνθος. οἱ δὲ τὴν ὑποφυάδα.

Μόλσος, ὁ δῆμος. Αἰολεῖς.

Μολτύους, τὰ κοκύμηλα.

Μολύβδαινα, ϗ τὸ εἶδος τῆς μεταλλικῆς, ϗ τὰ λεῖα.

Μολύβδαινα, ὁ πρὸς τῇ ὁρμιᾷ, ϗ τῷ ἀγκίστρῳ παρατιθέμενος μόλυβδος, διὰ τὸ θᾶττον καθικνεῖσθαι, ὅ ἐστι καθίεσθαι τὸ ἄγκιστρον.

Μολυβδαίνῃ, μολυβίδι.

Μολυβδὶς, σταθμιόν τι ἐπταμναῖον. οἱ δὲ μολίς.

Μολυβρὸν, τὸ μολυβοειδές.

Μολύνει, μιαίνει, ἀναφύρει, πίμπλησι.

Μολυνίη, ἡ πυγή.

Μολύνω, ῥυπῶ, ῥυπαίνω, πιλῶ, χραίνω, κηλιδῶ.

Μολύνω, μολυσμός, παρὰ τὸ ἰλύω ὀλύνω, ϗ μολύνω. ἢ παρὰ τὸν μῶλον, ὃ σημαίνει τὴν συμβολὴν τοῦ πολέμου.

Μολυρὸν, νωθρὸν, βραδὺ, ἀνιαρὸν, ἀηδὲς, ἄχαριστον, λυπηρόν.

Μολουρίδας, τὰς ἀκρίδας φασί.

Μολουρὶς, μολυρίδος, κεφάλαιον.

Μολυσμὸς, ἀκαθαρσία, μίασμα, ἁμαρτία δυσέκπλυτος. ἢ μολυσμός ἐστιν, ἡ ἐν τῷ ἡγεμονικῷ τῶν κακῶν τύπωσις, ῥυποῦσα τὸν νοῦν, ϗ μολύνουσα. μολυσμὸς δὲ σαρκός ἐστι, τὸ ἀναμίγνυσθαι τοῖς αὐτουργοῖς, ἢ τὰ ἀπηγορευμένα. πνεύματος δὲ τὸ ἀδιαφορεῖν πρὸς τοὺς φρονοῦντας, ἢ ποιοῦντας τὰ τοιαῦτα.

Μόλυχνον, δυσαλέον

Μολῶ, πορεύομαι, παραγίνομαι.

Μόλων, παρὰ τῷ Ἀριστοφάνει, μεγαλόσωμος. Δίδυμός φησιν, ὅτι δύο Μόλωνές εἰσιν, ὁ ὑποκριτὴς, ϗ ὁ λωποδύτης. ϗ μολὼν, χωρῶν, ἐλθών.

Μολὼχ, εἴδωλον τῶν Μωαβιτῶν.

Μομβρὼ, ἡ μορμὼ, ϗ φόβητρον τοῖς παιδίοις.

Μομφὴ, μέμψις, κατάγνωσις.

Μόμψις, δύσκλεια, ἢ μόμφος.

Μοναδικοὺς, ἀναχωρητὰς, ἢ ἁπλῶς μονάζοντας.

Μοναλκὴς ἐξέχουσα, ἀνδρωδεστάτη.

Μοναμπυγία, μονοχαλίνῳ παρὰ Πινδάρῳ. νοητέον δὲ ἐν ἵππῳ τῷ λεγομένῳ κέλητι. ἄμπυξ μὲν γὰρ κυρίως ἀνάδημα τῆς κεφαλῆς τι, καὶ λῶρος χρυσοῦς, λίθοις πεποικιλμένος. ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσι, μεταφορικῶς δὲ καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται. Ὅμηρος, χρυσάμπυκας ἵππους,

Μονανδρεῖν, οὐκ ἤδεισαν Αἰγυπτίων αἱ γυναῖκες τὸ παλαιὸν μονανδρεῖν.

Μοναχὸς, ὁ μόνῳ ζῶν θεῷ.

Μοναρχία, μονοκρατορία. μονάρχου, τυράννου.

Μονὰς, ἀριθμός. αἱ ἓξ μοῖραι τῶν ἐπτάδων, καὶ κατὰ ποσὸν ἀδιαίρετον.

* Μονὰς. ἡ ἐν τοῖς νοητοῖς οὖσα. ἐν δὲ, τὸ ἐν τοῖς αἰσθητοῖς ἀριθμοῖς. καὶ ἡ μὲν μονὰς, κατὰ τὴν ἰσότητα, καὶ τὸ μέτρον λαμβάνεται. ἡ δὲ δυὰς, καθ' ὑπερβολὴν καὶ ἔλλειψιν.

Μονὴ, παραμονὴ, καὶ ἡ κατοικία. μοναχός ἐστι βία φύσεως διηνεκὴς, ἡγνισμένον σῶμα, κεκαθαρμένον στόμα, καὶ πεφωτισμένος νοῦς.

Μονήρη βίον, μοναχικὸν βίον.

Μονήτα, ἡ Ἥρα παρὰ Ῥωμαίοις.

Μονητάριος, τὸ κέρμα ἐργαζόμενος.

Μονηφορῶ, ἐν φορῶ. μονειμοφορῶ δὲ δίφθογγον, ἀπὸ τοῦ μόνου καὶ τοῦ εἷμα τὸ ἱμάτιον.

Μονίας, νήσων. τοὺς γὰρ μεθύοντας δυστέρους εἶναι φαμέν.

Μόνιμον, στάσιμον, βέβαιον, ἐρρωμένον καὶ ἐχυρὸν, πάγιον, ἀσφαλὲς, ἀμετάβλητον, καὶ ἀμετάγνωστον, ἄλυτον, ἀμετάστατον, ἀνεξάλειπτον, ἄτρεπτον, ἀραρὸς, ἑστὼς, ἀκίνητον, ἀτρεμὲς, ἰσχυρὸν, ἀρραγὲς, καὶ τὰ ὅμοια.

Μονιὸς, ὗς ἄγριος, ὁ μὴ τοῖς ἄλλοις συναγελαζόμενος. ἢ ὁ περὶ τράχηλον ὅρμος. ὁ δὲ ἅγιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ Ὠσηὲ τοῦ προφήτου, ὄνον λέγει σημαίνειν. τινὲς δὲ μέγα θηρίον, κατὰ ἀπόνοιαν κατὰ μόνας νεμόμενον.

Μονίπποις, τοῖς ἐπὶ ἑνὸς ἵππου ἀγωνιζομένοις δρόμον.

Μονιτάριοι, οἱ περὶ τὸ νόμισμα τεχνῖται, οἳ ἐπὶ Αὐρηλιανοῦ διέφθηραν τὸ νόμισμα. καὶ τὸν ἴδιον ἄρχοντα Φιλικήσιμον ἀνελόντες, ἐμφύλιον ἐγείρουσι πόλεμον. οὓς μόλις Αὐρηλιανὸς χειρωσάμενος, ὑπερβαλλούσῃ κολάσεων ὠμότητι κατειργάσατο.

Μουνυχία, τόπος παραθαλάσσιος ἐν τῇ Ἀττικῇ.

Μονογενῆ, τὴν μονότητα.

Μονοβαίας, κλέπτης.

Μονοδαβιουργοὶ, οἱ τὰς δίκας δικάζοντες.

Μονογενὴς, οὐ ἄλλο οὐ προετάχθη, καὶ μεθ' ὃν ἕτερος οὐ γέγονε.

Μονοειδὴς, οἷον μονοειδὴς οὐσία ἡ ἐν μόνῳ τῷ εἴδει αὐτῆς, καὶ οὐκ ἐν μετασχηματισμῷ ὁρωμένη οὐσίας, ἢ ἡ μονότροπος ὁρᾶσθαι δυναμένη, ἢ ἡ πάσης τροπῆς καὶ μετασχηματισμοῦ οὐσία χωρίς.

Μονοείμονα, μονοχίτωνα.

Μονόζωνοι, ἔφοδοι, βάρβαροι, ἢ ἀπελάται, μάχιμοι, καὶ οἱ τίμιοι τῶν στρατιωτῶν. οἱ μὴ τὸν αὐτὸν τοῖς ἄλλοις ζωστῆρα φοροῦντες, ἢ ἀσύντακτοι καὶ ὡσανεὶ λῃσταί.

Μονόκερως, ζῶον τὴν δύναμιν ἄμαχον καὶ ἀνυπότακτον τοῖς ἀνθρώποις. οὐ γὰρ δήσεις αὐτόν φησιν ἱμάντι, οὐδὲ κοιμηθήσεται ἐπὶ φάτνης.

Μονοκρήπιδι, τῷ Ἑρμῇ. φασὶ γὰρ τὸν θεὸν τοῦτον Περσεῖ ἐπὶ τὴν τῆς Γοργοῦς τομὴν ἀπιόντι, τὸ ἕτερον τῶν ὑποδημάτων δοῦναι, τὸ ἓν ἔχειν μόνον.

Μονολόγιστος, μονόκλονος.

Μονόλωπα, μονόδερμα, μονοχίτωνα. λώπη γὰρ τὸ ἱμάτιον.

Μόνον καὶ ἓν, διαφέρει.

Μονονουχὶ, σχεδὸν, ἐγγύς. καὶ μονονοὺ πλήττει τὸν ἀέρα, καὶ ἐξηπάτησε τὴν παρθένον μονονουχὶ, ὑποσχόμενος ὄρη χρυσοῦ. παρὰ τοῖς Λατίνοις λέγεται, σίναμ νὸν, βὲλ μόδο νόν.

Μονόμματον, μονοειδῆ, ἁπλοῦν.

Μονονομοιτῶν, Εἱλώτων ἄρχοντας.

Μονοξύλοις, πλάνοις.

Μονούσιον, τὸ μὴ ἔχον ἕτερόν τι τῆς αὐτῆς οὐσίας ὅμοιον, οἷον Ἥλιος, οὐρανὸς, Σελήνη, καὶ τὰ ὅμοια.

Μονοπείρους, τοὺς μὴ ἀθρόους, ἀλλὰ καθ' ἕνα παρατάξοντας.

Μονόρρηξ, ἀπερρηγμένος, ἀπεσπασμένος.

Μόνος πάντων, ἀντὶ τοῦ ἀπὸ πάντων, καὶ οἷος ἀπ' ἄλλων μονώτατος παρὰ ποιηταῖς. μονώτερος δὲ οὐκ ἔτι Ἀριστοφάνης ἐν πλούτῳ, μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος.

Μόνος, ὄνομα ὑπερθετικὸν κατὰ τὸ ἰδιάζον τὴν ὑπέρθεσιν ἔχον. ἀναιρεῖ γὰρ τὴν κοινωνίαν ἁπάντων. διὸ ἑτέραν ὑπέρθεσιν οὐ δέχεται κατὰ ἀκριβῆ λόγον. τὸ δὲ παρὰ Ἀριστοφάνει, πέπαικται.

Μονοσίλλη, ὁ ἐν τοῖς ὕασι λαμπρὸς ἀστήρ.

Μονοσταλὴς, ὁ κατὰ μόνας στελλόμενος.

Μονοστόλῳ τῷ κατὰ μόνας ἐλθόντι.

Μονοστόλῳ, μίαν στολὴν ἔχοντι.

Μονόστολον Ὀδυσσέα, τὸν ἓν πλοῖον ἔχοντα.

Μονοστραβὴς, ὀχὸς ἡμιόνος.

Μονότονος, μόνος ὢν, ὑπάρχων μονομάχος.

Μονότροπος, μόνος τραφεὶς, ἀγαθὸς, ἀγύναιος.

Μονότροπός ἐστιν, ὁ ἀμετάθετος ἐν ταῖς κρίσεσι τῶν πρὸς εὐαρέστησιν τοῦ Θεοῦ σπουδαζομένων.

Μονοτρόπους, τοὺς ἕνα σκοπὸν ἔχοντας, καὶ τοὺς ἀρετῆς μόνης ἐπιμελουμένους. καὶ μὴ νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα προαιρουμένους.

Μόνουα, τὰ λεπτὰ λέπαδνα.

Μονουάλον, τὸν ἐπὶ τῇ καρδίᾳ τοῦ λέοντος λαμπρὸν ἀστέρα φασί.

Μονουχία, ὁ μόνος βίος χωρὶς γάμων.

Μονόφθαλμον οὐ ῥητέον. ἑτερόφθαλμον δέ. Κρατῖνος δὲ μονόφθαλμον εἶπε τὸν κύκλωπα.

Μονόφαντος, μόνη ἐν φανερῷ, μόνη φαινομένη.

Μονοφθόρους, μονοφόρους ὄνους.

Μονόφορβος, ὁ μόνος βοσκόμενος, ἢ βόσκων μόνος.

Μονόχθηρος, ἐπίμονος, πονηρός.

Μονοψάδης, μονιὸς, ἀτιμαγέλης.

Μονῳδεῖν, τὸ θρηνεῖν. ἐπειδὴ γὰρ πᾶσαι αἱ ἀπὸ σκηνῆς ᾠδαὶ, ἐν τῇ τραγῳδίᾳ θρηνῳδοί εἰσι. μονῳδεῖν δὲ λέγεται, ὅταν εἷς μόνος λέγῃ τὴν ᾠδὴν, καὶ οὐχ ὁμοῦ ὁ χορός.

Μονώτατος, μόνος ὢν, ὑπάρχων.

Μονωτὶ, κρύφα. καὶ μόνως.

Μόζοντι, πυρέσσοντι, πονοῦντι.

Μόξος, Λυδὸς, ὃς πολλὰ ἐργασάμενος, καὶ τὴν Μήλην τῆς τυραννίδος καθελὼν τοῖς Λυδοῖς, παρεκελεύσατο τὴν δεκάτην ἀποδοῦναι, καθ' ὃ ηὔξατο τοῖς θεοῖς. οἱ δ' ἐπείθοντο, καὶ ἀπαριθμοῦντες τὰ κτήματα, ἐξῄρουν δεκάτην ἐκ πάντων καὶ κατέθυον. ἐκ τούτου μέγιστος ἀγὼν κατελάμβανε Λυδίαν, καὶ πολλὰς στρατιὰς λέγεται πεποιῆσθαι. καὶ ἦν αὐτοῦ μέγιστον κλέος ἐν Λυδοῖς, ἐπί τε ἀνδρείᾳ καὶ δικαιοσύνῃ ταῦτα πράξας, ἐπὶ τὴν Κράμβον ἐστάλη, καὶ ταύτην εἷλε καὶ ἐπόρθησε. τοὺς δὲ ἀνθρώπους εἰς τὴν πλησίον λίμνην ἀγαγὼν, κατεπόντωσε.

Μόρα, τάγμα ἐστὶ παρὰ Λακεδαιμονίοις στρατιωτικὸν, οὕτω λεγόμενον. ἢ μέρη τοῦ στρατοῦ. παρὰ γὰρ Λακεδαιμονίοις οἱ πατρίλοχοι, μόρα αὖθις ὀνομασθέντες. ἔστι δὲ ἡ μόρα, τάξις ἐξ ἀνδρῶν πεντακοσίων, ἢ ἑπτακοσίων, ἢ τριάκοντα.

Μόρα, τὰ συκάμινα.

Μοργᾶται, παρῶπται.

Μοργίας, γαστριμαργίας, καὶ ἀκρασίας.

Μόργιον, μέτρον γῆς. ὅ ἐστι πλέθρον, καὶ εἶδος ἀμπέλου.

Μόργος, φραγμός. καὶ τὸ ἐπὶ ταῖς ἁμάξαις φράγμα, ἐν ᾧ τὰ ἄχυρα φέρουσι, καὶ σκύτινον τεῦχος. ἄλλοι, τειχοβόειος.

Μοργοὺς, οὕτω καλοῦσι τὰς ἀμοργοὺς, τὸ α ἀφαιροῦντες, ὥσπερ καὶ ἐπ' ἄλλων. μαῦρον γὰρ τὸ ἀμαυρόν. καὶ σφόδελον, τὸν ἀσφόδελον καλοῦσι.

Μοργυλλεῖ, χονυλκεῖ.

Μοργύων, ταργάνων.

Μορῆσαι, μερίσαι, διελεῖν, ἐλθεῖν.

Μορθῆναι, πειραθῆναι, γενέσθαι.

Μόρια, τὰ τοῦ σώματος μέλη. καὶ μόριον, ἐπὶ τοῦ αἰδοίου, κατ' ἐξοχὴν τῶν ἄλλων μορίων τοῦ σώματος, παρὰ τὸ μείρω μερίζω, ὅτι καὶ μέρος. ἐγὼ δέ φημι, παρὰ τὸ μὴ ὁρᾶσθαι διὰ τὴν αἰδῶ, ἀλλὰ κρυφῇ κατέχειν.

Μορίαι. αἱ ἱεραὶ ἐλαῖαι τῆς Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει, μορίαι ἐκαλοῦντο. λέγουσι γὰρ, ὅτι Ἁλιρρόθιος ὁ παῖς Ποσειδῶνος ἠθέλησεν ἐκκόψαι αὐτὰς, διὰ τὸ τῆς ἐλαίας εὑρεθείσης κριθῆναι τῆς Ἀθηνᾶς τὴν πόλιν. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν, καὶ τούτου ἀποτυχὼν, ἔπληξεν ἑαυτὸν καὶ ἀπέθανε, καὶ διὰ τοῦτο μορίαι ἐλαῖαι ἐκλήθησαν. ἢ διὰ τὸ πάντα ἄνθρωπον κεκτημένον ἐλαίας, ἀναγκάζεσθαι μέρος τι παρέχειν εἰς τὰ Παναθήναια. κέραμον γὰρ ἐλαίου ἐλάμβανον οἱ νικῶντες. ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ δένδρον. ἔθος δὲ ἦν τοῖς ἀσκουμένοις, ἀλειψαμένοις ἐν τῷ ἡλίῳ τρέχειν.

Μορίδες, μάντεις.

Μορίες, μερῖται, κοινωνοί.

Μόριμον, ἤγουν μόρσιμον δίχα τοῦ σ λεχθὲν, ἀπὸ τῆς μοίρας. ἐξ ἧς καὶ τὸ ὑπέρμορον, ἀπειλήσει τοῦ ι. καὶ ἀμορία, ἡ δυστυχία, καὶ αὐτὸς ὁ μόρος.

Μορφὸν, σκοτεινὸν, μέλαν.

Μόριος, ἄπληστος.

Μόρμη, χαλεπὴ, ἐκπληκτική.

Μόρμοι, φόβοι, κοινοί.

Μορμολύξασθαι, ἐκφοβῆσαι.

Μορμολύττει, ἐκφοβεῖ. τοὺς παῖδας πάνυ τι μορμολύττοντες.

* Μορμολύκεια τὰ τῶν τραγῳδῶν προσωπεῖα, καὶ τὰ τῶν ὑποκριτῶν ἃ Δωριεῖς γοργίας καλοῦσιν.

Μορμολύττει, φοβερίζει.

Μορμόνας, πλανήτας, δαίμονας.

Μορμόνος. Ἀριστοφάνης, τῆς σῆς μορμόνος. παρὰ τὴν μορμὼ καὶ τὴν γοργόνα, ἣν εἶχεν ὁ Λάμαχος ἐπίσημον. οὕτω δὲ ἔλεγον τὸ ἐκφόμητρον, καὶ τὰ προσωπεῖα, αἰσχρὰ μορμολύκεια, ἀφ' οὗ τραγικὰ καὶ κωμικά. καὶ ἐν Ἀμφιαράῳ, ἀφ' οὗ κωμῳδικὸν μορμολύκειον ἐγίνετο.

Μόρμυρος, ἰχθὺς θαλάσσιος.

Μορμορωπὰ, καταπληκτικὰ, φοβερὰ, ἐκ μεταφορᾶς τῆς μορμοῦς, τῆς τὰ βρέφη φοβούσης.

Μορμύρειν, ὀνοματοποιΐα ἐστὶν ἤχου ῥέοντος ὕδατος καὶ ταρασσομένου ἠρέμα, ὡς καὶ ὑποφρίζειν. καὶ ἔστι τραχύτερον τοῦ μύρειν. ἐξ οὗ ὡς καὶ ἀλλαχοῦ δηλοῦται ἁλιμυρήεντές που ποταμοί. καὶ τὸ μύρεσθαι, ἤγουν κλαίειν, καὶ τὸ κλαυθμυρίζεσθαι, οὐ διασαφητικὸν ἡ κατὰ μελάνυδρον κρήνην μορμύρουσα, ἢ μύρουσα τῶν δακρύων ῥοή.

Μορμώει, δεινοποιεῖ.

Μορμύρεσκεν, ἀνέκυκε.

Μορμυρίζει, καταστράπτει, ἠχεῖ, ὡς ἐπὶ ὑδάτων.

Μορμύρονται, πλημμυροῦνται.

Μορμύρουσα θάλασσα, δεινῶς ταρασσομένη, καὶ κινουμένη φοβερῶς.

Μορμύρων, τρέχων, ταράσσων. κυρίως δὲ, ἐπὶ ποταμοῦ λέγεται ῥεῦμα ἔχοντος. ὠνοματοπεποίηται δὲ ἡ λέξις, ἀπὸ τοῦ ψόφου τοῦ ἐν τοῖς ὕδασι γινομένου.

Μορμύρων, ὁ ἀναβράττων κατὰ ὀνοματοποιΐαν, ὡς οἱ παλαιοί φασιν, ἢ θηριούμενος παρὰ τὴν μορμώ. μυθικῶς δὲ αὐτὸ δαιμόνιον ἄγριον, ἀφ' ἧς καὶ τὸ μορμολύκειον σύγκειται. καὶ ὁ κωμικὸς δὲ τὸ θηριῶδες ἐκδεικνύμενος μορμὼ τοῦ θράσους φησὶν, ὡς εἴπερ εἶπεν, ὢ τοῦ θράσους.

Μορμυρωπὸς ἥλιος, ἀμαυρὸς, ὕφαιμος, ἢ μορμυρωπὸς, ὁ πᾶσιν ὁρώμενος κατ' ὄναρ πονηρός.

Μορμύσσεσθαι, ἐμβριμᾶσθαι.

Μορμὼ τοῦ θράσους, τὸ μορμολύκειον, ἣν λέγουσι λάμιαν. μορμολύκεια δὲ ἔλεγον τὰ φοβερά, καὶ ἐπιρρηματικῶς ἐξενήνεκται.

Μορόεις, ὁ μετὰ κόπου ἐργασθεὶς τόπος.

Μορόεντα, παρὰ τὸν μόρον, τὴν κακοπάθειαν. τὰ δὲ ἐκπεπονημένα φασὶ τῇ κατασκευῇ, καὶ μεμεριμνημένα τῇ τέχνῃ.

Μόροιο, θανάτοιο.

Μοροπονεῖν, κακοπαθεῖν.

Μόρος, ὀδύνη, πόνος, θάνατος.

Μόρος, καὶ πότμος, καὶ οἶτος, μέσαι λέξεις εἰσί. καὶ γὰρ ἐπὶ εὐτυχίας καὶ δυστυχίας λαμβάνονται.

Μόρος,

Digitized by Google

Μόρος, ἤγουν μοῖρα. Ὅμηρος, οἶδα ὅτι μή μόρος, ἤγουν μοῖρά ἐστιν ἐνθάδε ὀλέσθαι, νόσφι φίλου πατρὸς καὶ μητρός.

Μόρος, ὁ θάνατος. μορέα, εἶδος δένδρου.

Μόρσων, ὄνομα κύριον. μόρσιμον, τὸ μεμοιραμένον.

Μόροττον, ἐκ φλοιοῦ πλέγματι, ᾧ ἔτυπτον ἀλλήλους ἐν τοῖς Δημητρίοις.

Μορσική, ἡ Ἰνδική.

Μόρσιμον, καὶ μελάνθιον, ἀμφω διαβάλλει Ἀριστοφάνης, λέγων οὕτω, γοργόνες ὀψοφάγοι, βατιδοσκόποι, ἅρπυιαι, γραοσόβαι, μιαροί, τραγομάσχαλοι, ἰχθυολύμαι. ὧν καταχρεμψαμένη μέγα καὶ πλατὺ Μοῦσα θεά, μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν.

Μόρσιμον, εἱμαρμένον, πεπρωμένον, μεμοιραμένον. παρὰ τὴν μοῖραν, μοιράμενον, συγκοπῇ, καὶ πλεονασμῷ τοῦ σ μόρσιμον.

Μόρσιμος, τραγῳδίας ποιητὴς ψυχρός. ἔστι δὲ Φιλοκλέους τοῦ ποιητοῦ υἱός, τὴν ὀφθαλμῶν ἰατρὸς ἀγαθός· τὴν δὲ καὶ σμικρός. υἱὸν δὲ εἶχεν Ἀμφιδάμαντα.

Μόρσιμον, τὸ μελάνθιον.

Μορτὴν, τὴν γενομένην καταβολὴν ἀπὸ τῶν καρπῶν.

Μορτὸς, ἄνθρωπος θνητὸς, μέλας, φαιός. οἱ δὲ, μορτόν φασι.

Μορτοβάτην, ἀνθρωποβάτην ναῦν.

Μόρυχος, ἐπὶ ὀψοφαγίᾳ κωμῳδεῖται. τὴν δὲ καὶ τῶν ἡδέως βιούντων. τραγῳδίας δὲ Ποιητὴς οὗτος.

Μόρυχος, ὅπερ ἔοικε μορύχου γένος καὶ σάγμα, σάγμα δὲ, ἡ θήκη τοῦ ὅπλου.

Μορφάζειν, νεύειν.

Μορφήεις, μωμητός.

Μορφὴ, τὸ καθ' ἑαυτὸ ὂν, καὶ κοινωνίας ἑτέρου εἰς τὸ εἶναι οὐ δεόμενον. παρὰ τὸ μείρω, τὸ μερίζω, μορή, καὶ πλεονασμῷ τοῦ φ μορφή. μορφὴ κυρίως, ἡ οὐσία ἐπὶ τῶν ὁσίων πατέρων ἐλήφθη, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, ὅ ἐστιν ἐν τῇ οὐσίᾳ γινωσκόμενος.

Μορφὴ, εἶδος, ἰδέα, πρόσοψις.

Μορφὸν, σκοτεινὸν, μέλαν.

Μόρφνος, τῷ μὲν τόνῳ βαρυτόνως, ὡς ἄϋπνος. ἔστι δὲ οἷον μορόφονος, ὡς φόνιος, καὶ μόρου αἴτιος τοῖς ἄλλοις ὀρνέοις. ἢ μεμορημένος περὶ φόνον, ἢ μόρον φέρων. οἱ δὲ εὔμορφος. κατὰ δὲ ἑτέρους μέλας, παρὰ τὴν ὄρφνην, πλεονάσαντος τοῦ μ, ὡς καὶ ἐν τῷ μοχλὰς καὶ συλλεκτικὸς τῶν διωκομένων. παρὰ τὸ μάρπτω, τὸ συλλαμβάνω, μέμαρφα, τροπῇ τοῦ α εἰς ο, καὶ πλεονασμῷ τοῦ ι. ὁ δὲ χαρακτὴρ τοῦ τόνου τοιοῦτος κατὰ τοὺς παλαιούς. τὰ εἰς ος δισύλλαβα ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν, ἀπαραχημάτιστα θηλυκῷ γένει βαρύνονται, χόρτος, φόρτος, ὄρκος, πόρνος, ὄρθος τὸ μονογενὲς (τὴν δὲ κύων γηρυόνου) πόρθος. παραφυλακτέον ἐν τῷ κανόνι τὰ εἰς μος, οἷον κορμὸς, φορμός. τὸ δὲ περκνὸς ὀξύνεται, ὡς τὸ πυκνός. σημείωσαι δὲ τὸν μέλανα, ὡς ἀπὸ τῆς περκαζούσης μελαίνης σταφυλῆς ἀφ' ἧς καὶ ὁ μέλας οἶνος. ὁ μέν τοι Ἀρίσταρχος ὥς φασιν ἐβάρυνε τὸ περκνὸς, ἀλλὰ ἡ παράδοσις ἐπειδὴ τοῖς ὀξύνουσιν. ὅρα δὲ ἐνταῦθα καὶ τὴν τοῦ πτηνοῦ διωνυμίαν, ὃς καὶ μόρφνος καὶ πέρκνος λέγεται. οἱ δὲ παλαιοὶ τὸν ῥηθέντα περκνὸν θηρητῆρα λογίως ἐπισκεπτόμενοί φασι, καὶ ὅτι μέλας μὲν ὢν, τὸ τῆς εἰσόδου τῷ γέροντι ἐδήλου λαθραίδιον. ὁ δὲ θηρητὴρ, τὸ ἐπιτευκτικόν. οὐδὲν δὲ κτείνων, ἢ κατέχων ἐπιφέρεται, ἀλλὰ ἥμερος, δηλῶν τοιοῦτον τὸν Ἀχιλλέα ἔσεσθαι, καὶ ὡς οὐδὲ συλληφθήσεται ὑπὸ τῶν φυλάκων, καὶ τὰ λοιπά.

Μόρφνος, εἶδος ἀετοῦ, παρὰ τὴν ὀρφνήν. οἷον νύκτα δι' ὀρφναίην, πλεονασμῷ τοῦ μ μόρφνος. ἵνα σημαίνῃ ὁ μόρφος, ἢ παρὰ τὸν μόρον, καὶ τὸ φόνος, κατὰ συγκοπὴν τῶν δύο οο μόρφνος, οἱονεὶ ὁ ἐπιφέρων τοῖς ὄρνισι φόνον.

Μόρφωμα, μορφή.

Μορφωνέα, ἡ συκάμινος.

Μορφὼ, ἡ Ἀφροδίτη.

Μορφώει, καλλωπίζει, κοσμεῖ.

Μορφὼ, παρὰ Λυκόφρονι. τοῦτο τὸ ξόανόν φησι πεποιῆσθαι τῇ Ἀφροδίτῃ ὑπὸ Λακεδαιμονίου τινὸς νομοθέτου, αἰνιττομένου τὸ μὴ ἀσελγαίνειν τὰς παρθένους, ἢ πείθεσθαι τῇ θεῷ. οἱ δὲ Τυνδάρεω φασι διὰ τὸ ἁμάρτημα τῆς Ἑλένης.

Μόρφωμα, τὸ ἐπίπλαστον. εἰκόνα καὶ σχῆμα ἔχον ἀληθείας, οὐκ ὂν δέ. καὶ ὁ Ἀπόστολος, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως, καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ.

Μόρφωσις, σχηματισμὸς, εἰκών.

Μοσσυνεῦσαι, ῥινηλατῆσαι.

Μόσσυν, πύργος.

Μοσσυνεῖν, μασᾶσθαι βραδέως.

Μόσσυνοι, ἔθνος ἀπὸ τῆς διαγωγῆς τὴν προσηγορίαν ἐσχηκός. μόσσυνοι γὰρ, οἱ ξύλινοι οἶκοι λέγονται, οἷς καὶ αὐτοὶ ἐχρῶντο.

Μόσυν, ξυλίνην οἰκίαν, ἢ τὸ ξυλόκαστρον. ὁ μόσυν, καὶ κλίνεται τοῦ μόσυνος, ὡς φόρκυν φόρκυνος.

Μόσυνες κυρίως, τὰ ξύλινα τείχη, καταχρηστικῶς δὲ παρὰ τῷ Λυκόφρονι, τὰ τείχη τῶν Ἐκτηνῶν, ἤγουν τῶν Θηβῶν εὕρηται. οὐκ οἶδα δὲ ὅθεν καλεῖ τοὺς Θηβαίους ἐκτηνας, εἰ μή που φησὶ τοὺς ἐκ κτηνῶν ποτε. διεβάλλοντο γὰρ οἱ Θηβαῖοι, ὡς κτηνώδεις καὶ ἀμαθεῖς. ὡς καὶ Πίνδαρος πρὸς τὸν χοιροδιδάσκαλον Αἰνέαν φησὶν, ἄγε δὴ ποίησον τόδε, εἰ φεύγομεν ἀρχαῖον ὄνειδος βοιωτίαν ὗν.

Μοσυνοίκια, μαζονόμια ποντικά ὁ Δίδυμος ἤκουεν. οἱ γὰρ μοσυνοίκοι ἐν πόντῳ εἰσί. λέγει δὲ τοὺς ξυλίνους πίνακας.

Μόσυχλον, ὄρος Λήμνου.

Μοσχεύει, παρὰ γεωργοῖς, τὸ ἐντιθέναι ἀνεστραμμένως τὰ κλήματα ἐν ὀρύγματι γῆς, ἐπὶ τῷ ἐκφῦσαι ῥίζας. εἶθ' οὕτως ἐμφυτεύεσθαι.

Μοσχεύματα, τὰ νεόφυτα.

Μοσχεύσας, γεννήσας.

Μόσχια, ἁπαλὰ φυτὰ, ἢ κρέα μοσχαρίου, ἢ κρομμύου τὸ σπέρμα.

Μοσχίδια σύκων, οὕτω καλοῦνται αἱ νέαι συκαῖ. μοσχίδια, τὰ νέα βλαστήματα, καὶ ἡ ἁπαλὴ καὶ νέα λυγός.

Μοσχίδια, μοσχεύματα.

Μοσχίνδα, τὸ ἑξῆς καὶ ἀνελλιπῶς.

Μοσχιναῖοι, σκιρτητικοί.

Μόσχοι, οἱ νέοι βλαστοί.

Μόσχοισι, τοῖς νεοφύτοις βλαστήμασιν, ἁπαλοῖς κλαδίσκοις.

Μόσχος, τὸ τῆς βοὸς ἔκγονον.

Μόσχος, νέος λυγὸς, κλάδος, πτόρθος, καὶ ὁ ἁπαλὸς βοῦς. λύγα δέ εἰσι, τὰ ἱμαντώδη φυτά.

Μόσχους, λυγοὺς τοὺς ἁπαλοὺς δηλοῖ Ὅμηρος, καὶ στυφερούς. καὶ φασὶν οἱ περὶ Ἀππίωνα καὶ Ἡρόδωρον, ἀπὸ τῶν ἔτι ἁπαλῶν βοῶν, ὅ ἐστι μόσχων μετενηνέχθαι τὴν λέξιν ἐπὶ τὰ στυφερὰ καὶ λυγώδη φυτά. δῆλον δὲ, ὅτι ἐκ τούτου καὶ τὸ μοσχεύειν ἡ γεωργικὴ λέξις ἐστίν. οἱ δ' αὐτοὶ καὶ λύγον φασὶν, οὐχ ἁπλῶς τὸν τοῦ τυχόντος δένδρου ἁπαλὸν κλάδον, ἀλλὰ φυτὸν ἱμαντῶδες καὶ ἁπαλὸν, ὃ καὶ ἴσον καλοῦσιν, ἐξ οὗ οἰσόκαρπον ἀγνόκοκκον. ἐπεὶ ὁ λύγος καὶ ἄγνος καλεῖται, οἱονεὶ ἄγονος. ὁ γὰρ αὐτοῦ καρπός φασιν ἐσθιόμενος, ἀφανιστικός ἐστι τῆς γονῆς. διὸ καὶ οἱ ἱερεῖς κόμας τοῦ φυτοῦ τούτου ὑπετίθεντο τῇ στρωμνῇ, ὡς φυσικήν τινα δύναμιν εἰς τὸ ἁγνεύειν ἐχούσας. ἐκ δὲ τοῦ τοιούτου λύγου, καὶ τὸ λυγίζειν, καὶ οἱ κωμῳδούμενοι ἐν φαύλαις ὀρχήσεσι λογισμοί. λέγεται δὲ λυγέα ἰδιωτικῶς, ἧς οἱ ἁπαλοὶ ἀκρέμονες, καὶ μᾶλλον αἱ παραφυάδες, καὶ εἰς πλέγμα συστρέφονται καὶ εἰς δεσμοὺς, κατά τινας σχοίνους τε καὶ ἱμάντας. ὅρα δὲ ὅπως ἀγεννῶς τοὺς Πριαμίδας ὁ ἄστειος Ἀχιλλεὺς ἐδέσμησεν. οὐ γὰρ ἱμᾶσιν, ἀλλὰ λύγοις, ὑφ' ὧν καὶ βόες συνδούμενοι ἕλκονται ἱμᾶσιν, ὥς που φησὶν ὁ Ποιητὴς, ἤγουν συνεστραμμένοις. ὡς ἀπὸ τοῦ ἰλλῶ ῥήματος. ἐξ οὗ ἰλλὸς, ὁ στραβός. ἢ ἀπὸ τοῦ εἰλῶ, ἀφ' οὗ καὶ ἴλη ἡ τάξις, καὶ τὰ παρ' αὐτήν.

Μότα, τὰ ἐπιτιθέμενα τοῖς κοίλοις τραύμασιν ὀθόνια, πρὸς ἀναπλήρωσιν τῆς σαρκός.

Μοτάριον, ᾧ χρῶνται οἱ ἰατροὶ ἐν ταῖς πληγαῖς, πρὸς τὸ μὴ συντόμως ἐμφράττεσθαι αὐτάς.

Μοτώσας, κακοπαθήσας.

Μοτὸν, τὸ εἰς ἀναπλήρωσιν σαρκὸς τιθέμενον. ἔνθεν καὶ ὁμολύτηον, οἷον πεπληρωμένον σαρκός.

Μοτρογένειον, στανοπώγωνα.

Μοττίας, ᾧ στρέφουσι τῶν ῥυτήρων τὸν ἄξονα.

Μοττοῖ, τιτρώσκει, ταράττει.

Μοττοφαγία, θυσία τις ἐν Σαλαμῖνι τῆς Κύπρου τελουμένη.

Μόττυες, οἱ ἔκλυτοι καὶ παρειμένοι.

Μοττωνῆσαι, τῇ πτέρνῃ τύψαι.

Μοττῶσαι, πληρῶσαι.

Μοτώσειεν, ἰάσεται δι' ὀθονίων.

Μουδόκει, τὸ πλῆρες μοι ἐδόκει, ἔκθλιψις καὶ κρᾶσις.

Μυῖαι, σκώληκες, οἱ γενόμενοι ἐν τοῖς κρέασι.

Μουκερῖναι, πόλις ἐν Αἰγύπτῳ, ἡ Σαΐς.

Μουκηρόβας, καρυοκατάκτης.

Μουκίζει, σιγῇ μέμφεται τοῖς χείλεσι.

Μουκτυρίζει, σκαρδαμύττει.

Μοῦ, μοὶ, μὲ, ἀντωνυμίαι τοῦ πρώτου προσώπου, ἀποβάλλουσαι τὸ κατ' ἀρχὴν ε ἐγκλίνονται, οἷον ἤκουσάς μου, ἔδωκάς μοι, ὕβρισάς με.

Μουνὰξ μάχη, ἡ μονομαχία.

Μούνας, καταμόνας. Μουνόκερα, τὸ μηκέτι ἔχον τὴν ἀλκήν, ὡς Ἀρχίλοχος.

Μουνομήτορι, ᾧ τῶν ἀδελφῶν μόνων μήτηρ ὑπάρχει.

Μουνοπάλαι, οἱ μόνοι πάλῃ νικῶντες.

Μοῦνος, μόνος.

Μουνοσταλὴς, καταμόνας στελλόμενος.

Μουνυχιὼν, ὁ δέκατος μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται. ἐν δὲ τούτῳ τῷ μηνὶ Ἀρτέμιδι θύεται. μουνιχία δὲ, τόπος θαλάσσιος.

Μοῦρκορ, μυχός.

Μούρταρ, πίλος, μουστὴ ἐπτὰ μοιρῶν.

Μούρτιβοι, θυσίαι.

Μοῦσα, ἡ γνῶσις, ἀπὸ τοῦ μῶ τὸ ζητῶ. λέγεται δὲ καὶ ἡ τέχνη. καὶ σοφοὺς καὶ μουσικοὺς τοὺς τεχνίτας ἔλεγον.

Μοῦσαι ἐκλήθησαν, ὡς ὁμοῦ ἀεὶ οὖσαι. μίαν γὰρ ἁρμονίαν ἐντεινάμεναι, συνᾴδουσι καὶ συγχορεύουσιν ἀλλήλαις, μηδέποτε ἀπ' ἀλλήλων χωριζόμεναι. Μουσᾶν, ἀντὶ τοῦ μουσῶν, λέγουσι Δωριεῖς. ὁμοίως ἐπὶ τῶν ἄλλων γενικῶν πληθυντικῶν τῆς πρώτης καὶ δευτέρας κλίσεως.

Μούσαξ, ὁ ὑπὸ τοῦ βοὸς τρεφόμενος.

Μούσειον, στόλισμα.

Μουσηγέτης, κιθαρίζων.

Μουσιαδεῖ, λαλεῖ, ὁμιλεῖ.

Μουσικὰ, τερπνὰ, τὰ δι' αὐλῶν, καὶ κινύρας, καὶ τὰ ὅμοια.

Μουσικὸς, ψάλτης, τεχνίτης. καὶ μουσικῶς, ὁμοίως.

Μουσικὴ γυνὴ, ἡ μετέχουσα τῆς μουσικῆς. μουσικὴ δὲ ἡ ἐπιστήμη, καὶ τὸ ὄργανον. ὥσπερ καὶ γραμματικὴ, ἡ τέχνη, καὶ ἡ μετέχουσα αὐτῆς, καὶ ῥητορικὴ, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Μουσοπόλος, Ποιητής.

Μουσουργοὶ, ψάλτριαι αἱ δὲ μουσουργοὶ βάρβαροι ἦσαν γυναῖκες, ὄνομα αὐταῖς ἐπιχώριον ζάρβα. καὶ τούτων αἱ μὲν αὐλοῦσιν, αἱ δὲ ψάλλουσι πενταχόρδῳ, αἱ δὲ ἑπταχόρδῳ ψαλτηρίῳ, αἱ αὐταὶ δὲ καὶ προσᾴδουσι τῷ ψαλμῷ.

Μουσιόμαντις, κομπώδης.

Μουσοκερατίδας, τοὺς τὰ μουσικὰ, ἢ μελικὰ μέλη ᾄδοντας. τὴν δὲ ταῦτα θρηνώδη.

Μοὐστὶν ἀττικῶς, ἀντὶ τοῦ ἐμοῦ ἐστιν. Ἀριστοφάνης, μεγάλων γὰρ μοὐστὶ ἀγαθῶν αἴτιος.

Μούσχανον, τὸ βλαστόν.

Μουσωθῆναι, παρὰ Μουσῶν διδαχθῆναι.

Μούσωνες, οἱ κορυφαῖοι τῶν μαγείρων, καὶ οἱ τεχνῖται.

Μοχθεῖ, κακοπαθεῖ.

Μοχθηρία, ἡ κακία, ἡ τοῦ ἀργυρίου ἐπιθυμία, ἢ ἡ αἴτησις τοῦ ἀργυρίου.

Μοχθηρὰν, ἐπίπονον, κακοπαθητικήν, ἀπὸ τοῦ μογῶ τὸ κακοπαθῶ.

Μοχθηρὸς, οὐ μόνον ὁ γεωργὸς, ἀλλὰ καὶ φαύλους ἔχων τρόπους. Ἀριστοφάνης, οὐ μοχθηρὸς τὴν τοὺς τρόπους.

Μοχθίζειν, ὅμοιόν ἐστι τῷ πολεμίζειν, καὶ τῷ νεμεσίζεσθαι, καὶ τοῖς ὁμοίοις, ἐν οἷς καὶ τὸ ὀχθίζειν.

Μοχθίζοντι ἑτώσια, ἀντὶ τοῦ ματαίως μοχθίζουσι, κοπιῶσι, Δωρικῶς. μοχθίζω ποιητικὸν, μοχθῶ κοινόν.

Μόχθος, ὁ κόπος. καὶ μοχθηρὸς, ὁ κοπηρός. μότος, τὸ κοινῶς μοτάριον, καὶ ἕτερα.

Μοχθῶ, αἰτιατικῇ συντάσσεται. πάντα ἡμῖν οἱ θεράποντες μοχθήσουσι.

Μοχλεύει, κινεῖ.

Digitized by Google

* Μοχλία ἐστὶ μεταγωγὴ ὀστοῦ, ἢ ὀστῶν ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ κατὰ φύσιν.

Μοχλία, οἱ μοχλοί. μοχλεία δὲ, ἡ μόχλευσις, δίφθογγον.

Μοχλοί, κλεῖθρα.

Μόχλος τὰ μόχλα, ὁ κύκλος τὰ κύκλα, ὁ χαλινὸς τὰ χαλινά, ὁ δεσμὸς τὰ δεσμά, ὁ ζυγὸς τὰ ζυγά, ὁ σταθμὸς τὰ σταθμά. πολλὰ ὀνόματά εἰσιν, ἃ ἐν τοῖς ἑνικοῖς ἀρσενικῶς, καὶ ἐν τοῖς πληθυντικοῖς οὐδετέρως κλίνονται.

Μοχλὸς, παρὰ τὸ ὁμοῦ ἔχειν τὴν κλεῖν, ὃς ἅμα αὐτῷ τὴν κλεῖν ἔχει.

Μοχλός ἐστι, κοντὰ αὐτεξουσίως, ἀκαμπὴς δι' αὐτὸ τὸ καλόν.

Μόψος, κηλὶς ἡ ἐν τοῖς ἱματίοις. Κύπριοι.

Μόψος, εἷς τῶν ἀργοναυτῶν, ἦν υἱὸς Ἀμπύκου καὶ Χλωρίδος τῆς ὀρχομενοῦ. ὁ δὲ Ἄμπυκος, υἱὸς ἦν Τιταιρῶνος, ἀφ' οὗ καὶ πόλις. ὡς καὶ Ἡσίοδος, μόψον τ' ἀμπυκίδην τιταρήσιον ὄζον Ἄρηος. οὗτος ὁ Μόψος τοῖς ἀργοναύταις συμπλέων, ἀνῃρέθη ὑπὸ ὄφεως ἐν Λιβύῃ. ἔνθα θάψαντες αὐτὸν οἱ ἀργοναῦται, ἔπηξαν ἐπάνω τοῦ τάφου αὐτοῦ κώπην, καὶ ἀσπίδα ἐκ τῆς Ἀργοῦς. καὶ ὁ Μόψος υἱὸς τοῦ Ἀπόλλωνος καὶ Μαντοῦς, τῆς θυγατρὸς Τειρεσίου, ἐν Κολοφῶνι τῆς Ἀσίας κεῖται. τινὲς δέ φασιν ἐν Κιλικίᾳ.

Μόων, μόθων.

ΤΟ' Μ'. ΜΕΤΑ' ΤΟΥ' Υ'.

ΜΥ', μὴ, παρ' Ἀριστοφάνει. τίθεται δὲ ὡς θρηνητικόν. ἔστι δὲ ἴαμβος, ἔχων τὸν μὲν πρῶτον βραχὺν, τὸν δὲ δεύτερον μακρόν.

Μυᾶτε, μυεῖν ἐστι, τὸ τὰ χείλη πρὸς ἄλληλα συνάγειν. τὸ δὲ αὐτὸ καὶ μύλλειν λέγεται. τινὲς δὲ τοὺς ὀφθαλμοὺς συνάγετε δυσαρεστοῦσαι, ἢ ὥσπερ μῦες καταδύεσθε, καὶ σκαρδαμύσσετε, ἢ μύλλετε, ἢ μυκτηρίζετε.

Μυγαλὴ, εἶδος ζώου.

Μύγης, γέροντος ἀδυναμία.

Μύγματα, ξύσματα, τζυκνίσματα.

Μυγμὸς, στεναγμὸς, καὶ ὁ τοῦ μυὸς ἦχος.

Μυδαίνει, στάζει, σήπει.

Μυδαλέαι, αἱ δίυγροι, ὡς ἀπὸ τοῦ ὕδατος, ὅθεν καὶ τὸ μυδᾶν.

Μυδαλέην ὀδμὴν, τὴν μισαράν.

Μυδαλέος, σεσημμένος, δίυγρος, ὀζώδης. ἀπὸ τοῦ μύω, ἢ ἀπὸ τοῦ μύζειν, καὶ ἐκθλίβειν τὸ ὑγρόν. κυρίως δὲ, ὁ ὀζώδης καὶ σεσηπὼς παρὰ τὸ μυδῶ, καὶ μυδόω. καὶ μυδόωσα, ἡ διϋγραινομένη. μυδόωσα δ' ἀπὸ χροὸς ἔρρεε λάχνη. ἀπὸ τοῦ ὕδωρ ὑδῶ ὑδώσω, καὶ πλεονασμῷ τοῦ μ μυδῶ μυδόω μυδόωσα καὶ μυδᾶν. ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων. σημαίνει δὲ, τὸ οἰδαίνειν, καὶ ὀγκοῦσθαι, καὶ φυσᾶσθαι, οἰδαίνουσι γὰρ οἱ τάφοι κατὰ τὰ ἔνδον.

Μύδης, γέροντος ἀδυναμία.

Μυδᾶν, νοτιᾶν, δίυγρον εἶναι καὶ σήπεσθαι, δευτέρας συζυγίας τῶν περισπωμένων. σημαίνει δὲ τὸ φυσᾶσθαι καὶ οἰδαίνειν, καὶ ὀγκοῦσθαι.

Μυδῆσαι, βραχῆναι, παραρυῆναι, σαπῆναι.

Μύδος, ἄφωνος.

Μυδρίασις, πάθος τι περὶ τὴν κόρην τοῦ ὀφθαλμοῦ πλατυνόμενον.

Μυδροκτύπος, χαλκεύς.

Μυδόωσαν, ὄζουσαν.

Μύει, πίπτει, κλίνεται.

Μύειν, ἐπὶ ὕπνου, ἢ τοιούτου τινὸς, καταμύειν κυρίως ἐπὶ θανάτου. ἔστι δὲ καὶ τὸ τὰ βλέφαρα συγκλείειν.

Μυεῖν. Ἀριστοφάνης, μῶν οὖν ἐμυήθης; παίζει ὁ Ποιητὴς παρὰ τὸν ἐλευσίνιον νόμον. ἔθος γὰρ ἦν ἐν οἷς τις ἱματίοις μυηθείη εἰς, θεοῦ τινος ταῦτα ἀνατιθέναι. ὥσπερ δηλοῖ καὶ Μελάνθιος ἐν τῷ περὶ μυστηρίων, πάτριόν ἐστι ταῖς θεαῖς ἀνιερῶν, καὶ τὰς στολὰς τοῖς μύσταις ἐν αἷς τύχοιεν μυηθέντες. μυστήρια δὲ δύο τελεῖται τοῦ ἐνιαυτοῦ, Δήμητρι καὶ Κόρῃ, τὰ μικρὰ καὶ τὰ μεγάλα. καὶ ἔστι τὰ μικρὰ, ὥσπερ προκάθαρσις καὶ προάγνευσις τῶν μεγάλων. ἄλλως. μεγάλα καὶ μικρὰ μυστήρια, ἐτελοῦντο ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς. μὴ ὄντων δὲ πρότερον μικρῶν, ἐλθόντος Ἡρακλέους, καὶ θέλοντος μυηθῆναι, ἐπειδὴ νόμος ἦν Ἀθηναίοις μηδένα ξένον μυεῖν, αἰδεσθέντες τὴν αὐτοῦ ἀρετὴν, καὶ ὅτι φίλος τε ἦν τῆς πόλεως, καὶ υἱὸς τοῦ Διὸς, ἐποίησαν μικρὰ μυστήρια, ἐν οἷς αὐτὸν ἐμύησαν. ἦσαν δὲ τὰ μὲν μεγάλα τῆς Δήμητρος, τὰ δὲ μικρὰ Περσεφόνης, τῆς αὐτῆς θυγατρός. ὁ δὲ μυούμενος τὸ ἱμάτιον ὃ ἐφόρει ἐν τῇ μυήσει, οὐδέποτε ἀπεδύετο, μέχρις ἂν τελείως ἀφανισθῇ διαρρυέν. ὅπερ δὲ πρὸς Ἡρακλέα, τοῦτο καὶ πρὸς Διοσκούρους ἐποίησαν.

Μυελαύξη, τροφῇ τῇ τὸν μυελὸν τρεφούσῃ.

Μυελός ἐστι μέρος σώματος, τοὺς δεσμοὺς τῆς ζωῆς ἐν ἑαυτῷ περιέχων.

Μυεῖται, διδάσκεται. μυήσομαι, ἀντὶ τοῦ τὰ μυστήρια διδάξω. ἀφ' οὗ μεμύημαι, καὶ ἐμυήθην. καὶ ὀνόματα, μύστης ὁ μαθητὴς, καὶ μυσταγωγὸς ὁ διδάσκαλος, καὶ μύησις ἡ τῶν μυστηρίων μάθησις.

Μυελὸν ἀνδρῶν, τὰ ἄλφιτα λέγει, ἀντὶ τοῦ μυελοποιά, θρεπτικά. τοῦτο δὲ Ὅμηρος εἶπε, διὰ τοὺς οἰομένους μὴ μετέχειν καὶ τὰ ὀστᾶ, δυνάμεώς τινος ψυχικῆς καὶ ζωτικῆς. διὸ ἔφη που, καὶ τὸ λίπε δ' ὀστέα θυμὸς, καὶ ἔοικεν ὥσπερ χροῦν καὶ χρῶτα τὸ πᾶν σῶμα λέγει ἀπὸ μέρους τῆς ἐπιφανείας δηλαδὴ, οὕτω καὶ ἐνταῦθα διὰ τοῦ ἐνδομυχοῦντος μυελοῦ, τὴν ὅλην παραδηλοῦν τοῦ θρεπτικοῦ ἐνέργειαν.

Μύες, ὀστρέου τι εἶδος, καὶ οἱ κατοικίδιοι καὶ ἐνάλιοι, καὶ αἱ πεπυκνωμέναι ἐν ἡμῖν σάρκες.

Μήζη, ἀπόπληκτος.

Μύζοντος, μυκτηριζομένου.

Μυζεῖ, καὶ μύζει, θηλάζει, λείχει. ἔδει δὲ εἴ τις διψώη, λαβόντα εἰς τὸ στόμα μυζεῖν τοὺς καλάμους. πάνυ γὰρ ἄκρατος ἦν ὁ οἶνος, εἰ μή τις ὕδωρ ἐπιχέοι.

Μυζῶντες, ἐκπιέζοντες.

Μυζῶ, τὸ ῥοφῶ. καὶ μυζεῖς, ἀντὶ τοῦ θρηνεῖς.

Μυήσεται κάλλιον, ἢ μυηθήσεται.

Μύησις, μάθησις, κατήχησις, ἐπιστήμη, γνῶσις, μυσταγωγία, ἢ τὸ μυστήριον, παρὰ τὸ μεμυκέναι.

Μυήλα, σάρξ τις ἐπαίρουσα τὴν γαστέρα.

Μύθα, φωνή. Κύπριοι.

Μύθαρ, μῦσος.

Μύθαρχοι, οἱ προεστῶτες τῶν στάσεων.

Μύθεαι, λέγεις.

* Μυθίης, στασιαστής. καὶ μῦθος ἡ στάσις.

Μυηθῆναι, ἐδόκουν οἱ μυούμενοι εἰς τοὺς εὐσεβεῖς τάττεσθαι. καὶ Ἀριστοφάνης, δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι.

Μυθήσας, εἰπών.

Μυθητῆρες, στασιασταί.

Μῦθοι καὶ μήδεα, διαφορὰν ἔχουσι. καθότι μῦθοι μὲν, οἱ ἁπλῶς, οὕτω λόγοι. μήδεα δὲ, οἱ κατὰ συμβουλὴν λόγοι.

Μύθοισιν, ἔπεσι, παρὰ Ὁμήρῳ. οὐ δοκεῖ διαφορά τις εἶναι, ὡς οὐδὲ ἐν τῷ κέλομαι, καὶ ἄνωγα.

Μυθολογῶν, ληρῶν, φλυαρῶν.

Μῦθον, ἀντὶ τοῦ λόγον, λέγουσιν Ἴωνες. ἀεὶ ὁ Ποιητὴς μῦθον ἁπλῶς, τὸν λόγον φησί. τὸ δὲ ἐπὶ ψευδοῦς λόγου τεθεῖναι αὐτὸν, τῶν ὑστερόν ἐστι.

Μῦθον μὲν ἐπιχεσίην, ἐν τῇ φ τῆς Ὀδυσσείας. οἱ παλαιοὶ μῦθον μὲν ἐνταῦθα ἰδίως, τὴν στάσιν λέγουσιν. ἐπεὶ καὶ Ἀνακρέων τοὺς ἐν Σάμῳ θέλων εἰπεῖν στασιαστὰς, μυθηταὶ δ' ἐν νήσῳ φησὶ διέπουσιν ἱερὸν ἄστυ, ἀντὶ τοῦ στασιασταὶ ἐπίρρητοι. ἐπιχεσίαν δὲ τὴν πρόφασιν. ἐπείπερ οἱ προφασιζόμενοι ἐπέχουσιν, ὅ ἐστι μένουσιν ἐννοούμενοί τι ἂν εἴποιεν. ὅθεν διὰ τὸ οὕτως ἐπιμένειν, καὶ μύνην τὴν τοιαύτην ἐπίσχεσιν μετ' ὀλίγα ἐρεῖ. ἐν τῷ, ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε, ἤγουν πρόφασιν, ἵνα ᾖ τις μονή. μόνοις γάρ τινος χρεία τοῖς προφασιζομένοις καὶ ἐπέχουσιν, ἤτοι ἐπέχουσιν. ἀφ' ἧς λέξεως καὶ οἱ ἐφεκτικοὶ σοφοὶ, κατὰ τοὺς παλαιοὺς, ὅ ἐστι σκεπτικοί. ἐκ δέ γε τοῦ μονὴ, γίνεται αἰολικῶς μύνη, τροπῇ τοῦ ο εἰς υ βαρυτόνως.

Μῦθος, αἶνος διαφέρει τῷ, τὸν αἶνον μὴ πρὸς παῖδας, ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι, καὶ μὴ πρὸς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν τινά. βούλεται γὰρ ἐπικρυπτόμενος, παραινεῖν τι καὶ διδάσκειν. ὅπερ καὶ Ἡσίοδος φαίνεται πεποιηκώς.

Μῦθός ἐστιν, ὁ τὰ πεπλασμένα καὶ ψευδῆ ἔχων λόγος.

Μῦθος, ἤτοι μυθολογία ἐστὶ, σύστημα λόγων πεπλασμένων εἰς τὸ μετὰ ψυχαγωγίας γίνεσθαί τινα δι' αὐτοῦ ὠφέλειαν, τοῖς μηδέπω τελείοις τὴν φρόνησιν, λόγος ψευδὴς, εἰκονίζων τὴν ἀλήθειαν.

Μύθων ὑμετέρων, παρ' Ὁμήρῳ, καὶ ῥήσεις ταῦτα δηλοῦσιν, ὥσπερ καὶ τὸ ὃς αὐτὸν οἶνον χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ, τουτέστι κατὰ τὸ αἴσιον καὶ καθῆκον.

Μυίαγρος, ὁ μαλλοθήρας.

Μῦαι καθδῆσαι, μῦαι καταδαύσασαι.

Μυάκαυξ, ἀναιδῆ.

Μυῖα, χαλκῆ δὲ παιδιά τις, ἣν οἱ παῖδες παίζοντες καταμύουσιν, ἀποτείνοντες τὰς χεῖρας ἄχρις ἄν τινος λάβωνται. καλεῖται δὲ καὶ τὸ πτηνὸν οὕτω.

Μυάων, μυῶν.

Μυίνδα, παιδιά τις οὕτω καλουμένη, ἀπὸ τοῦ συμβαίνοντος, καταμύων γάρ τις τὸ ἐρωτώμενον ἀποφαίνεται σχεδιάζων, ἕως ἂν ἐπιτύχῃ, ἐὰν δὲ ἁμαρτὼν ἀναβλέψῃ, πάλιν καταμύει.

Μυὼν, ὁ μῦς τῆς χειρὸς, τοῦ βραχίονος.

Μυῶνες, μύες, φλέβες, καὶ αἱ συνεστραμμέναι σάρκες καὶ πεπυκνωμέναι, ἢ βραχίονες.

Μύκα, μύκησις.

Μυκάλη, παρὰ τὸ ἐκεῖ μυκᾶσθαι τὰς γοργόνας, διωκούσας τὸν Περσέα. καὶ μυκάλη, ὄρος Καρίας.

Μυκαλησσὸς, μεσογεία πόλις Βοιωτίας. καλεῖται δὲ οὕτως, ἢ ἀπὸ τοῦ ἐκεῖ γεγονυίας τὰς Γοργόνας μυκήσασθαι. ἢ ἀπὸ τῆς βοὸς, ἥτις τὸν Σύριον Κάδμον καὶ τοὺς σὺν αὐτῷ ποδηγήσασα εἰς Θήβας, ἐνταῦθα ἐμυκήσατο. ἔστι δὲ καὶ ἑτέρα μυκαλησσὸς καρικὴ, ἔνθα μυκαλέως Διὸς ἱερόν. καὶ ὄρος δὲ Μυκαλησσὸς, ἐναντίον Σάμου. τῆς δὲ Μυκαλησσοῦ ὁ πολίτης μυκαλήσσιος.

Μυκαρὶς, νυκτερίς.

Μύκας μὴ λέγε, ἀλλὰ μύκητας, τὰ μανιτάρια.

Μυκᾶσθαι, ἐπὶ βοὸς, διὰ τοῦ υ ψιλοῦ, καὶ μυκᾶσθαι.

Μύκε μέγα σάκος, ἐκ βοὸς, καὶ αὐτὸ ἔχει τὴν μεταφοράν. ἔχει δέ τι καὶ ἀστεϊσμοῦ. βοῦς γὰρ λέγεταί ποτε καὶ ἡ ἀσπὶς, βοὸς δὲ τὸ μυκᾶσθαι. λέγεται δὲ καὶ ἐπὶ σώματος ἠχήεντος ἡ λέξις. καὶ πύλαι δέ που ἔμυκον ἀνοιγόμεναι, καὶ ἔμυκε σάκος.

Μυκερίνα, ἡ μέμψις. Δίδυμος τὴν στάιν. ταύτης γὰρ λέγει Ἡρόδοτος βασιλεῦσαι Μυκερῖνον.

Μύκη, ἡ θήκη τοῦ ξίφους. παρὰ τὸ μύω, τὸ κατακλείω.

Μύκη, μύσις, παρὰ τῷ Ἱπποκράτει.

Μυκηθμὸς, βοὴ βοῶν.

Μύκημα, μυκηθμὸς, μυκᾶσθαι, μυκώμενοι, τῶν βοῶν ἐστι.

Μυκήνη πόλις καλεῖται, ἢ ἀπὸ γυναικὸς ἡρωΐδος, ἢ διὰ τὸν μύκητα τὴν λαβὴν τοῦ ξίφους τοῦ Βελλεροφόντου, πάλαι ποτὲ λαμπρὰ οὖσα. ἧς βασιλεὺς γέγονεν Ἀγαμέμνων, ὡς Ἄργους ὁ Διομήδης, καὶ Νέστωρ Πύλου, καὶ Σπάρτης Μενέλαος.

Μυκήνη κατά τινας, ἀπὸ τοῦ μυκήσασθαι τὴν Ἰὼ βοῦν, ἐκεῖ γεγεννημένην. λέγεται δὲ καὶ ἑνικῶς καὶ πληθυντικῶς, ὁ δὲ πολίτης αὐτῆς, οὐ μόνον Μυκηναῖος, ἀλλὰ καὶ Μυκηνεὺς κατὰ τοὺς τὰ ἐθνικὰ γράψαντας. ἐταπεινώθησαν δέ φησι μετὰ τὰ Τρωϊκὰ αἱ Μυκῆναι, καὶ οἱ τὸ Ἄργος ἔχον-

Digitized by Google

σχοντες, ἄχρι καὶ Μυκήνας συντελέσας. χρόνῳ δὲ ὕστερον κατεσκάφησαν ὑπὸ Ἀργείων, ὡς μηδὲ ἴχνος εὑρίσκεσθαι τῆς Μυκηναίων πόλεως. καί πως ἔοικεν, ἡ ποιητικὴ μαντικὴ αὐτὸ προειπεῖν διὰ τῆς Ἥρας, ἐν τῇ τετάρτῃ ῥαψῳδίᾳ.

Μυκήνη, ἀπό τινος νύμφης φασὶ Λακωνικῆς ὠνομάσθη, ἢ ἀπὸ Μυκηνέως υἱοῦ Σπάρτωνος ἀδελφοῦ Φορωνέως. ἢ ἀπὸ μύκητος τοῦ ξίφους, ὃ ἐφόρει Περσεύς, οὗ πεσόντος φασὶ κατὰ κέλευσιν Ἑρμοῦ, τὴν πόλιν ἐκεῖ ἔκτισε. μύκης δὲ κατὰ τοὺς παλαιούς, ἡ λαβὴ τοῦ ξίφους.

Μύκηρος, ἀμυγδαλῆ. τινὲς δέ, μῆλα κάρυα.

Μύκης, τοῦ ξίφους ὁ κατὰ τὴν λαβὴν, ὁ κρανίον καλούμενος, καὶ ὁ περὶ τὴν μύξαν τοῦ λύχνου ἐφιστάμενος. ἢ πῖλος καὶ δερμάτινον ὑπηρέσιον, καὶ τὸ ἀνδρεῖον μόριον, καὶ ὁ ἐν ταῖς ἐλαίαις ἐκγεννώμενος ἧλος.

Μύκης, πολυσήμαντος λέξις λεγομένη οὐ μόνον ἐπὶ τοῦ ἐκ γῆς φυομένου ἐδωδίμου περιττώματος, ὃ δὴ ἀμανίτην φαμὲν κοινότερον, ἀλλὰ καὶ ἐπὶ τῆς μύξης, ἤ τις ἀνθρακώδης τῶν ἀναπτομένων ἐλλυχνίων προβέβληται.

Μυκησαίω, μωροπαίω.

Μύκητες οὔπω, παρὰ τῷ Ἀριστοφάνει. φασὶν ὅτι μέλλοντος ὑετοῦ γενέσθαι, οἱ περὶ τὴν θρυαλλίδα τοῦ λύχνου σπινθῆρες ἀποπηδῶσιν, οὓς μύκητας λέγει Ἄρατος. ἢ λύχνοις μύκητες ἐγείρονται περὶ μύξαν, νύκτα κατὰ νοτίην. τινὲς δέ φασι τὸν μύκητα ζῴδιόν τι εἶναι λεπτότατον πάνυ, σκνιπὶ ἐοικός, ὃ διὰ ὑπερβολὴν λεπτότητος τῆς ψύξεως τῆς περὶ τὸν ἀέρα θᾶττον ἀντιλαμβανόμενον, περὶ τὸν λύχνον ἵπταται, θέρμης ἐπιθυμοῦν καὶ περιχρῶον ἐν τῷ λύχνῳ ποιεῖ σπινθῆρας, ὅθεν τεκμαίρονται τὸν ὑετόν. καὶ Καλλίμαχος, ἄδδην ἐγίνοντο μύκητες.

Μυκηνίας, σεισμὸς, ὁ ἠχητικός.

Μύκινον, εἶδος ἀγγείου.

Μύκλαι, αἱ ἐπὶ τῶν ὄνων γραμμαὶ μέλαιναι τοῖς τραχήλοις καὶ ποσὶν ἐγγινόμεναι.

Μυκληρὸν, συνεχὲς, ἀχανές.

Μύκλος καλεῖται, ἡ ἐν τῷ τραχήλῳ τῶν ὄνων καὶ βοῶν ὑποδιπλῶσις. καὶ μύκλος, παρὰ Λυκόφρονι, σημαίνει τοὺς μνηστῆρας, διὰ τὸ ἀδδηφαγὲς καὶ κατωφερές, ὡς Καλλίμαχος.

Μύκον, ἐψόφησαν, ἠνοίγησαν ἐπετάθησαν.

Μῦκον ἤχησαν, δεύτερος ἀόριστος τοῦ μυκῶ ῥήματός ἐστι, κατὰ τὸ χραισμῶ ἔχραισμον, δουπῶ ἔδουπον, κτυπῶ ἔκτυπον, λακῶ ἔλακον.

Μυκὸς, ἄφωνος, ὡς εἴ τις εἴποι, μυσαττόμενος. καὶ οἱ μὲν, τὸν κακοήθη καὶ σκολιὸν ἄνθρωπον. οἱ δὲ τὸν ἀλαζόνα.

Μῦκος, μιαρός.

Μυκτὴρ, τῆς ῥινὸς τὸ τρῦμα.

Μυκτηρίζει, χλευάζει. ὅθεν μυκτῆρες, ῥῖνες. καὶ μυκτηρισμὸς, καὶ μύξα, καὶ ἀπομύττεσθαι.

Μυκτηρίζω, ἐξουθενῶ.

Μυκωμένου, βοῶντος.

Μυκώνειον, τόπος.

Μυκώνιος γείτων, αὕτη τάττεται κατὰ τῶν διαβεβλημένων ἐπὶ γλισχρότητι. εἴρηται δὲ ἐπὶ τῶν ἀκλήτως εἰσιόντων εἰς τὰ συμπόσια.

Μύκω, τὸ ἀνοίγω.

Μυκῶν, ἠχήσας.

Μύκων, σωρὸς, θυμών.

Μυλαβρίδες. μυλαβρὶς ἡ μαλακὴ σίλφη. γίνεται δὲ τῇ χροιᾷ ἐλάχιστος, ἀπὸ τῶν μύλων καὶ τῶν ἀλεύρων. ἔνιοι δὲ τὰς τριξαλίδας ἐν τοῖς ἀλεύροις εὑρίσκεσθαί φασιν, ἢ ἀκρὶς σιτοφάγος.

Μῦλαι, αἱ ἐπιγονατίδες, ἢ σιαγόνες.

Μύλαι, οἱ ἔνδον ὀδόντες. οἷς λεπτύνειν εἰώθασιν οἱ ἄνθρωποι τὴν τροφήν.

Μύλαι εἵατο, ἐκάθηντο, ἔκειντο, ταυτὶ γάρ πως τῷ γένει ἄμφω ταῦτα. οἱ δὲ παλαιοὶ γράφουσι, καὶ ὅτι ψιλῶς τὸ εἵατο. ἵνα ἀντὶ τοῦ ἦσαν, ὡς ἀπὸ τοῦ εἰμί. καὶ ἐστι κρεῖττον τοῦτο. κυριολεξία δὲ τοῦ εἵατο, ἀντὶ τοῦ ἐκάθηντο Ὅμηρος ἐν υ τῆς Ὀδυσσείας.

Μυλαῖος, ἀπὸ τόπου, καὶ ὁ μολυσμός.

Μύλακες, λίθοι μυλοειδεῖς, οἵ εἰσι στρογγύλοι.

ἴσως δὲ καὶ μυλλαι, οἱ αὐτοὶ παρὰ τοῖς παλαιοῖς.

Μυλακρίδαι, αἱ βολακρίαι, τὰ ζωΰφια. ἤγουν οἱ ἀλεκτρυόνες, ἢ τὸ ἄκρον τῆς μύλης.

Μύλακροι, γόμφιοι ὀδόντες.

Μυλάντειοι θεοὶ, ἐπιμύλιοι.

Μύλας λεόντων, ὀδόντας.

Μυλὰς, ἡ πόρνη, καὶ εἷς τῶν Τελχίνων, ὃς τὰ ἐν Καμείρῳ ἱερὰ μυλαντείων ἱδρύσατο.

Μυλάσσεσθαι τὸ σῶμα, ἢ τὴν κεφαλὴν, σμήξασθαι. Κύπριοι.

Μυλεία, λίθος.

Μυλεὺς, δι' οὗ τὰς μύλας, καὶ τοὺς ὀδόντας κινοῦσιν, ἢ ἀρτοδότης ἀπὸ τῆς μύλης.

Μύλη, τὸ κάτω τοῦ μύλου. ὁ γὰρ ἄνω, ὄνος λέγεται. Προκόπιος, τῶν δὲ ὀχετῶν γῆς Ῥωμαίων διαιρεθέντων, οὐκ ἔτι τὸ ὕδωρ τὰς μύλας ἐνήργει.

* Μύλα παρ' Ἱπποκράτει, τὰ ἄμορφα κυήματα καὶ σαρκοειδῆ, καὶ σύστασιν ἐν ἑαυτοῖς ἐκ διαφθορᾶς λαμβάνοντα.

Μύλη λέγεται, καὶ μύλων καὶ μύλος παρὰ τοῖς ὕστερον, ἀφ' ἧς καὶ μυλίας λίθος, ὁ εἰς ἀλετὸν χρήσιμος. ἐξ αὐτοῦ καὶ μυλλὸς, ὡς εἰκὸς ὁ διεστραμμένος τὴν ὄψιν, παρεικαζόμενος τῷ ὀξεῖ τόνῳ τοῦ μυλλοῦ, ὅπερ ἐστὶ κύριον ὑποκριτοῦ παλαιοῦ, ὃς μιλτωτοῖς φασι προσώποις ἐχρήσατο. ἴσως δὲ ἐκ μύλης, ἢ ὁμώνυμος καὶ ἡ κατὰ τοὺς ὀδόντας, καὶ τὸ μύλλειν παρὰ Θεοκρίτῳ ἐλέχθη, ἐπὶ μίξεως οὐ σεμνῆς. ὁμολογουμένως δὲ καὶ ἡ ἐπιμύλιος ᾠδὴ, ἣν περὶ τὰς ἀλετοὺς ᾖδον. αὐτὴ δὲ μυλωθρὸς ἐλέγετο ὁμωνύμως ἀνδρὶ ἢ γυναικὶ ἀθρούσῃ τὴν μύλην.

Μυλήκορον, κόρημα τὸ σαροῦν λέγεται, ἔνθα μηλύκορον.

Μυλήταν, τὴν οὐρανίαν Ἀσσύριοι.

Μυληφάτου, μυλοκλάστου, ἀληλεσμένου, ὑπὸ μύλου ἠφανισμένου. ὅθεν καὶ τὰ φάρμακα ὀδυνήφατα, ἀφανεῖς τὰς ὀδύνας ποιοῦντα.

Μυλίζειν, τὸ καταπυλίζειν τοῦ Ψελλοῦ. τὸ δέ γε ἀπεμύλιζε, τὸ καμυσέλιζέ πως.

Μύλιον, ξύλινόν τι ἐργαλεῖον καὶ σκεῦος.

Μυλιόοντες, θρηνοῦντες.

Μυλιόων, θρηνῶν. καὶ μυλιόωντες, τὰ χείλη κινοῦντες. ἀπὸ τοῦ ψύχους, ἢ συγκρούοντες τὰς μύλας, ἢ συνάγοντες.

Μυλιόωντες, παρ' Ἡσιόδῳ, οἱ τοὺς ὀδόντας συγκρούοντες, μύλαι γὰρ αἱ ἀλήθουσαι τὴν τροφὴν ὀδόντες.

Μύλλει, πλησιάζει, συνουσιάζει, ἀλήθει, ἐλαύνει.

Μύλλη, λεία.

Μύλλον, καμπύλον, σκολιὸν, κυλλὸν, στρεβλὸν, καὶ εἶδος ἰχθύος.

Μύλλος, παροιμία ἐπὶ τῶν ἀκουόντων καὶ προσποιουμένων μὴ ἀκούειν. ἔστι δὲ καὶ κωμῳδιῶν ποιητὴς οὕτω καλούμενος.

Μυλόεις, ποταμὸς Ἀρκαδίας.

Μύλοι, οἱ ὀδόντες, οὓς γομφίους καλοῦσι.

Μυλοειδὲς, στρογγύλον, τραχύ.

Μύλος πάντα ἀκούει, ἐπὶ τῶν κωφότητα προσποιουμένων, καὶ πάντα ἀκουόντων.

Μυλόσαρξ, ἣν αἱ κυοφοροῦσαι, ἀντ' ἐμβρύων φέρουσι.

Μυλωθρὸς, ὁ μύλωνα κεκτημένος, καὶ ἐργαζόμενος αὐτῷ. ἔστι καὶ τοὔνομα παρὰ Καλλισθένει καὶ παρὰ τοῖς Ἀττικοῖς πολλάκις.

Μυλώπατον, προσηνές.

Μυμαθριδάκων, τρίμμα, καὶ ὑπόχυμά τι.

Μῦμαρ, αἶσχος, φόβος, ψόγος.

Μυμαρίζει, γελοιάζει.

Μῦ, μύζει, ἀπὸ τοῦ μὴ παρῆχθαι τὸ μύζειν πολλοῖς ἄλλοις ὁμοίως. μύζειν δέ ἐστι, τὸ τοῖς μυκτῆρσιν ἦχον ἀποτελεῖν. Ἀριστοφάνης, τί μύζεις, πάντα πεποίηται καλῶς.

Μυσάμενος, προφασιζόμενος.

Μυσακωθεὶς, μυσαίων τὸν σκυτοτόμον, ἀφ' οὗ καὶ τοὐποδύσασθαι.

Μυσαρὸς, σιωπηλός.

Μυῶ δ' ἀλλάσσας, περιφαγὼν ἢ συλήσας.

Μυσίδας, ἄφωνος, καὶ πόλις Ἀσίας, ἢ ἔνθεος.

Μυσίδος, ἰχθύς. Σοφοκλῆς, ὁ μὴ αὐδῶν, ὅθεν καὶ ἄλοψ, ἀπὸ τοῦ ἐλλειπῆ τὴν ὄπα ἔχειν.

Μυώη, ἡ πρόφασις. ἐπιμονῆς γὰρ χρεία τῷ προφασιζομένῳ, εἰς τὸ ψεύδεσθαι, καὶ μὴ εἰπεῖν τὸ ἀληθές. ὥς που ἀπὸ τοῦ μονὴ μυώη, ὡς γονὴ γυνή. καὶ μυνάμενος, ἀντὶ τοῦ προφασιζόμενος, παρὰ τὸ μεμυκέναι τῷ στόματι.

Μυώησι παρέλκετε, παρ' Ὁμήρῳ ἐν τῷ φ' τῆς Ὀδυσσείας, εἰς ἀπροφάσιστον ἐρεθίζει σπουδήν.

Μυωτιζόμενος, μυωπάζων, παρακαμμύων.

Μύξα, ἡ παρ' Ἀττικοῖς κόρυζα. καὶ τὸ ταύτην ἀφαιρεῖν, ἀπομύττειν. καὶ αἱ ῥῖνες, καὶ οἱ μυκτῆρες αὐτοὶ, καὶ οἱ ῥώθωνες.

* Μύξα, ἀποκάθαρμα τοῦ ἐγκεφάλου, ὥς τε κουφίζεσθαι τὸ ἡγούμενον τῆς ψυχῆς μόριον.

Μύξα, τὸ περίττωμα τῆς κεφαλῆς. ἔνθεν καὶ μυξωτὴρ, τὸ μέρος τοῦ σώματος. λέγεται μύξοι, καὶ τὸ τοῦ λύχνου.

Μύξης, θρηνήσας.

Μυξίαι, οἱ τῶν μυῶν χηραμοί.

Μύξος, ὀλιγόγηρως παρ' ἡμῖν ἐπωδὴ, ἀλέκτωρ πίνει, καὶ οὐκ οὐρεῖ. μύξος οὐ πίνει καὶ οὐρεῖ. λέγεται δὲ καὶ εἰς δυσχέρειαν ὄνου. καὶ παροιμία ἐπὶ τῶν κομπαζόντων καὶ μεγαλαυχούντων. μύξος γὰρ ἐγένετο τῆς Ἀρτέμιδος ἱερεὺς, ἀστεῖός τις καὶ μεγάλαυχος.

Μυόδοχον, οὐδενὸς ἄξιον.

Μυοδρέπανον, εἶδος λίθου εὐτελοῦς.

Μυοπάρωνος, εἶδος πλοίου.

Μυούμενος, τελούμενος, μυσταγωγούμενος.

Μύουρον, τὸ ἐπὶ τέλει τῆς ἀπολεπτυνόμενον.

Μυόφωνον, πόα τις, ἢ καὶ ἀκόντιον.

Μύραινα, ὄνομα ἰχθύος.

Μύραινα, ἐπὶ τοῦ κακοῦ ἐλέγετο, ὡς ἔχιδνα. ἄλλοι δὲ μύρον αὐτὸν καλοῦσιν. ἔστι δὲ καὶ ἄρρην.

Μύραν, τὴν σμύρναν, παρὰ τῷ Ἱπποκράτει.

Μύργμα, ψῆγμα.

Μυρεῖν, ῥεῖν ὕδωρ, κλαίειν, θρηνεῖν, ἠχεῖν, ὀλοφύρεσθαι, καὶ ἁλιμυρηέντων, πρὸς τῇ θαλάσσῃ ῥεόντων.

Μυρέλαιον, τόπος.

Μύρεσθαι, ὅτι πρωτότυπόν ἐστι τοῦ μορμύρειν. καὶ ὅτι ποιὸν ἦχον καταφορᾶς δακρύων ἡ λέξις δηλοῖ, ἀλλαχοῦ σαφέστερον.

Μύρετο, ὠδύρετο. μύρεσθαι δὲ τὸ κλαίειν, παρὰ τὸ ῥεῖν τὰ δάκρυα, ἀπὸ τοῦ μύρω τὸ ῥέω.

Μύρεται διαμπερέως, ἀντὶ τοῦ ἐκρεῖ διαφερόμενος μεθ' ὁρμῆς ῥέων, παρὰ τῷ Ἀπολλωνίῳ.

Μυρεψὸς, ὁ τὰ μύρα καὶ τὰ θυμιάματα σκευάζων.

Μυρῆεν, λυπρὸν, θρηνῶδες.

Μυρία, πολλὰ, ἀπὸ τοῦ μεμυκέναι τοὺς δακτύλους ἐν τῇ ψήφῳ.

Μυρία, ἢ ἀορίστως τὰ πολλὰ λέγει. καὶ παροξύνεται ἡ λέξις, πρὸς διαστολὴν ὡρισμένου ἀριθμοῦ τοῦ μυρία. ἢ κατά τινας τὰ θρήνων ἄξια, ὡς ἀπὸ τοῦ μύρεσθαι, ὃ δηλοῖ ποιὸν ἦχον γοερόν. ἐξ οὗ καὶ τὸ μορμύρειν ἐπὶ ὑδάτων γίνεται, καὶ ὁ κλαυθμυρισμός. ἰστέον δὲ, ὅτι τῶν πλειόνων παροξυνόντων τὸ ὡρισμένον, ἤγουν τὰς δέκα χιλιάδας, Ἡρωδιανὸς ἑκάτερα ὀφείλειν φησὶν ὀξυτονεῖσθαι, κατὰ τὴν τρίτην ἀπὸ τέλους, ὅ ἐστι κατὰ τὴν παραλήγουσαν.

Μυριάμφορον, μυρίων ἀμφορέων ἄξιον.

Μυριάκις, μυριοντάκις.

Μυριέλικτος, ὁ πολλαῖς ἑλίξεσι στρεφόμενος. Εὐνάπιος, ὁ βαρὺς καὶ μυριέλικτος ἐκεῖνος ὄφις, ὁ πολυέλικτος, καθάπερ ὑπὸ τῆς Μηδείας ὑποψιθυριζόμενος, καὶ βαρυνόμενος τὴν ψυχὴν, κεκαρωμένον παρέδωκεν αὐτόν.

Μυρίκαι, χωρίον ἱερὸν Ἀφροδίτης ἐν Κύπρῳ.

Μυρικᾶς, ἄφωνος, ἐν ἑαυτῷ ἔχων, ὃ μέλλει πράττειν.

Μυρίκη, βοτάνη ἄχρηστος δυσώδης, κυπαρισσοειδὴς, παραπεφυκυῖα ἐν ποταμοῖς. ἢ κατά τινας φυτόν ἐστιν, αὐτομάτως ἐν πεδίῳ φυόμενον.

Μύρινα, πολύχνιον Τροίας ἐστὶν, ὅπου παρετάξαντο οἱ Τρῶες ἀκούσαντες τὴν τῶν Ἑλλήνων πλοίων ἔπελευσιν, παρὰ Πολίτου τοῦ υἱοῦ Πριάμου, ὅς τις σκοπὸς τῶν Τρώων ὑπῆρχε, θαρρῶν ποδῶν ταχύτητι, ὥς φησιν Ὅμηρος. ἔστι δέ τις προπάροιθε πόλεως αἰπεῖα κολώνη

ἐν πε-

Digitized by Google

ἐν πεδίῳ, ἀπάνευθεν περίδρομος, ἔνθα καὶ ἔνθα, τὴν ἤτοι ἄνδρες βάτειαν κικλήσκουσιν. ἀθάνατοι δὲ, σῆμα πολυσκάρθμοιο μυρίνης, ἔνθα τότε Τρῶες διέκριθεν ἠδ᾽ ἐπίκουροι. Μύριναν δὲ ἡ Πολύχνη ἐκλήθη, ὅτι μία τῶν ἀμαζόνων Μύρινα καλουμένη], ἐκεῖ τελευτᾷ, ὅτε κατὰ Τροίαν ἐστράτευσαν. αἱ δὲ λοιπαὶ τῶν Ἀμαζόνων, εἰς τιμὴν πόλιν ἀνήγειραν.

Μυρινίτης, ὁ ἐκ τῆς μυρρίνης. τινὲς τὸ μυρρίνη, διὰ δύο ρρ γράφουσι.

Μυρίοι, ἐν μεγάλῃ πόλει. Διογένης ἐν τῷ κατ᾽ Αἰσχίνου, συνέδριόν ἐστι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱστορικοί. διείλεκται δὲ περὶ αὐτῶν, καὶ Ἀριστοτέλης ἐν τῇ κοινῇ Ἀρκάδων πολιτείᾳ, ἀρχόμενος τοῦ βιβλίου.

Μυριοφραγότερον, καὶ μυριοφραττότερον.

Μύρις, ὄνομα κύριον. καὶ μυρίτης οἶνος.

Μυρίσαι μύροισι στακτοῖς, ἤγουν ὑγροῖς, Ἀττικῶς λέγεται.

Μύρκος, ὁ καθόλου μὴ δυνάμενος λαλεῖν. Συρακούσιοι, ἐνεὸς, ἄφωνος.

Μυρλέανος, ὄνομα πόλεως Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη.

Μυρμιδόνες πόθεν μυθικῶς λέγονται, πᾶσι δῆλον, οἱ δὲ, τὸν μῦθον θεραπεύοντες ἱστορικῶς γεωρύχους τοὺς Αἰγινήτας φασὶ, κοιλαίνοντας τὴν γῆν δίκην σπηλαίων. καὶ ὑπὸ μὲν τὰς καταδύσεις οἰκοῦντας. τὸ δὲ ἀναβαλλόμενον χῶμα εἰς ἄχρηστον καρποῖς γῆν διαπεταννύοντας, διὰ τὸ τὴν νῆσον τὰ μὲν ἄνω τραχεῖαν εἶναι, ἀγαθὴν δὲ τὰ ἔνερθεν. διὰ τοῦτο τοίνυν τοὺς ταῦτα ποιοῦντας μύρμηξιν εἰκάζοντες οἱ ἰδόντες, διὰ τὸ τῆς διαίτης, ὡς εἰπεῖν μυρμηκόβιον Μυρμιδόνας ἐπεκάλουν αὐτούς. ἐκεῖθεν δὲ ὕστερον τῷ Αἰακῷ συμμετοικισθέντες τινὲς εἰς Φθίαν συναπήγαγον ἑαυτοῖς καὶ τὴν κλῆσιν. καὶ τοὺς μὲν πατριώτας νησιώτας, Αἰγινήτας ἀφῆκαν καλεῖσθαι, τοὺς δὲ Φθιώτας ἐξ αὐτῶν εἰς Μυρμιδόνας μετέθεντο. καὶ οὕτω μὲν ταῦτα. ἕτεροι δὲ ἀγαθὸν εἶναι τὸν Αἰακὸν ἱστοροῦντες, τὰ εἰς τὸ ἄρχειν φασὶν ἀπὸ πολλῆς, ὅτι μάλιστα λειπανδρείας τὴν ὑπ᾽ αὐτῶν γῆν εἰς πολυανθρωπίαν ἐπαυξηθῆναι, κἀντεῦθεν διαδοθῆναι τὸν μῦθον, ὡς ὅτιπερ οἱ κατὰ χώρας μύρμηκες, ἄνδρες τῷ Αἰακῷ ἐγένοντο κατ᾽ εὐχήν. εἴωθε δὲ ἡ παροιμία καὶ ἐν ἄλλοις τὸ πολὺ τῆς εὐτυχίας ἀπὸ μυρμήκων λαλεῖν, ὡς ὅτε μυρμυκίαν φησὶν ἀγαθῶν. συντελεῖ δέ τι ἐνταῦθα καὶ Θεόκριτος, εἰπὼν, μύρμηκες ἀριθμοὶ ἐπὶ πολυπληθείας λαοῦ.

Μύρμηκος ἀτραπὸς, Ἀθήνησιν ἐν σκαμβωνιδῶν, ἐστὶ μύρμηκος ἀτραπὸς, ἀπὸ ἥρωος Μύρμηκος ὀνομαζομένη.

Μύρμηκας, ἔξω τοῦ ζώου καὶ οἱ πυκτικοὶ ἱμάντες, καὶ τῶν θαλασσίων πετρῶν εἶδος, καὶ ζῶα ὑπόπτερα, ὡς κυνάς τὸ μέγεθος.

Μυρμηκιὰ, τάσσεται δὲ καὶ ἐπὶ διδασκαλείου καὶ συμφοιτήσεως. ἦν δὲ καὶ λόγος, ὡς ὀπτύσας εἰς μυρμηκιὰν οἰδεῖ τὰ χείλη, ὡς ὁ Δεινολόχος.

Μυρμηκιῶν, ὁ ἥλους ἔχων ἐν ταῖς πτέρναις. ἄλλα δὲ ἐστὶ τὰ ἐξανθήματα, καὶ τὰ οἰδήματα, τὰ περὶ τὸ σῶμα γινόμενα.

Μύρμηξ, παρὰ τὸ μερμηρίζω, τὸ φροντίζω. ὁ μέλλων μερίξω, ἀποβολῇ τοῦ ω μερμέρηξ, καὶ συγκοπῇ μέρμηξ, καὶ τροπῇ τοῦ ε εἰς υ μύρμηξ.

Μυρμιδόνες, ἢ ἀπὸ μυρμήκων, κατὰ μῦθον ἐκλήθησαν, ὡς καὶ ὁ Λυκόφρων ὑπολαλεῖ, ἢ ἀπὸ Μυρμιδόνος ἥρωος, υἱοῦ Διός. τρισὶ τούτοις ὀνόμασιν ἐκαλοῦντο οἱ τῷ Ἀχιλλεῖ ὑποτεταγμένοι, δηλονότι Μυρμιδόνες, καὶ Ἕλληνες, καὶ Ἀχαιοί.

Μῦρμοι, μύρμηκες.

Μύρμος, φόβος.

Μύρμηξ ἐστὶν, ἄνθρωπος πρακτικὸς τὴν ἑαυτοῦ τροφὴν ἐν τῷ αἰῶνι τούτῳ παρασκευάζων.

Μυρμύρων, ἢ μορμύρων, ταράσσων. τάσσεται δὲ ἐπὶ ποταμῶν ἐχόντων ῥεύματα.

Μύροισι, μυρίσαι στακτοῖς τοῖς ὑγροῖς καὶ χρησίμοις πρὸς ἀντιδιαστολὴν τῶν ξηρῶν.

Μυρομένη, ὀδυρομένη, θρηνοῦσα.

Μῦρον, ἐπικεφαλῆς, τὸ ἀρχιερατικὸν ἔλαιον, ἐξ ἡδυσμάτων συνέκειτο, ἀλλ᾽ οὐδὲν ἐκεῖνο αὐτὸ καθ᾽ ἑαυτὸ τὴν τοιαύτην εὐοσμίαν ἠφίει. ἡ δὲ πάντων μίξις καὶ κρᾶσις πλείστην ὅσην τὴν εὐωδίαν εἰργάζετο, τούτῳ τὴν ἀδελφικὴν εἰκότως συμφωνίαν ἀπείκασεν. ἡ γὰρ τῶν πλειόνων κατορθωμάτων συνεισφορὰ, τῆς τελείας ἀρετῆς τὴν εὐοσμίαν ἐργάζεται.

Μῦρον διατριπτικὸν, παρὰ τὸ διατρίβειν καὶ ἀναβάλλεσθαι, οἷον τὸ διατριβῆς γέμον καὶ βραδυτῆτος, ἢ ὅτι ἐπιτριβόμενα ἔνια τῶν μύρων, ἡδίω γίνεται. ἅμα δὲ καὶ πρὸς τὴν διατριβήν.

Μύρον, ἀπὸ τοῦ ἐκπιέζεσθαι καὶ ἀποστάζειν. μύρω γὰρ, τὸ ῥέω, ὅσον τ᾽ ἐπιμύρεται ἰσθμός.

Μυρονήτης, ἀπὸ πόλεως. καὶ μύρτος, ὁ καρπὸς τῆς μυρσίνης.

Μύροντο, ἤγουν ἐθρήνουν, ἢ ἐχέοντο. ἐκ δὲ τούτου τοῦ μύρειν, τὸ μορμύρειν ἐπὶ ὕδατος, καὶ ποταμὸς ἁλιμυρήεις. καὶ μύρον τὸ πρῶτον ἐκχυθὲν δάκρυον, ἀπὸ Μύρρας τῆς τοῦ Θείαντος.

Μῦρος ἰχθύς ποιός, καὶ ἡ ἄρρενα μύραινα.

Μύρρα Θείαντος θυγάτηρ ἐγένετο, αὕτη ἐρασθεῖσα τοῦ πατρὸς, καὶ λάθρα μιγεῖσα αὐτῷ, καὶ ἔγκυος γενομένη, αἰδουμένη τοῦτο τοῦ πατρὸς ηὔξατο τοῖς θεοῖς εἰς ἑτέραν φύσιν μεταλλαγῆναι. ὅθεν καὶ εἰς δένδρον αὐτὴν μετέβαλλον, τὸ ἀπ᾽ αὐτῆς λεγόμενον μύρραν, ἤτοι σμύρναν αἰολικῶς. μὴ γὰρ ὡς οἱ μωροὶ, καὶ σὺ τὴν μύρραν μυρρίνην, ἤτοι μυρσίνην νοήσῃς. οὕτω δὲ μεταβληθείσης αὐτῆς εἰς μύρραν, ἐφεστῶτος τοῦ χρόνου τοῦ τοκετοῦ, διαρραγέντος τοῦ φλοιοῦ, ἀπεκύησε τὸν Ἄδωνιν. ὃν ἰδοῦσα ἡ Ἀφροδίτη ἐφίλησε, καὶ ἀνδρωθέντος ἐραστὴν ἔσχηκε.

Μυρρίνη, χώρα, καὶ εἶδος φυτοῦ, καὶ μυρρινῶν ἀρχῆς ἐπιθυμῶν. μυρρίναις γὰρ στεφανοῦνται οἱ ἄρχοντες. τὸ δὲ δένδρον μυρίκη. μυρρίνην λαβόντα τῶν Αἰσχύλου λέξαι τίμοι. οἱ γὰρ παῖδες ἐν τοῖς συμποσίοις κλῶνα δάφνης ἢ μυρρίνης λαμβάνοντες, ᾖδον.

Μυρρίνην ἔνιοι μὲν οἶνον μυρρίναι καλοῦσιν. οἱ δὲ πότον ἐσκευασμένον, οἱ δὲ πόσιν φασὶν, ᾗ ἐπεχεῖτο μῦρον.

Μυρρίνη, ἡ μυρσίνη. ὁ δὲ καρπὸς αὐτῆς μύρτα.

Μυρρινοῦς, δῆμος ἐν Ἀττικῇ μυρρίνας ἔχων. ὅθεν αὐτὸς μυρρινόεις, καὶ κατὰ συναίρεσιν μυρρινοῦς, ὥσπερ ἕτερον ῥαμνοῦς, ἀπὸ τῶν ἐκεῖ φυομένων ῥάμνων. ὧν οἱ δημόται μυρρινούσιος καὶ ῥαμνούσιος. καὶ ἡ ἐρικοῦσα λέγεται, διὰ τὰς ἐν αὐτῇ ἐρείκας, καὶ ἡ ποντικὴ δὲ Κερασοῦς, ἀπὸ τῶν φυτῶν τῶν κεράσων κέκληται. καὶ Πιτυοῦσσα, ἡ Μίλητός ποτε, διὰ τὸ πολλὰς ἔχειν πίτυας ἐκλήθη. οὕτω καί τις πιτυούσιος, ἀπὸ τόπου ἑτέρου πολλὰς ἔχοντος πίτυας.

Μυρσίνας, ἀντὶ τοῦ μυρρίνας λέγουσιν οἱ Ἀττικοί.

Μυρσίνης Στεφάνῳ ἐστεφανοῦντο οἱ μεμυημένοι, οὐχ ὥς τινες νομίζοντες κισσίνῳ. ὁ δὲ Ἀπολλόδωρος καὶ τοὺς θεσμοθέτας φησὶ διὰ τῆς μυρσίνης στέφεσθαι, ὅτι οἰκείως ἔχει πρὸς τὸ φυτὸν ἡ θεὸς, καὶ ὅτι τοῖς χθονίοις ἀνιέρωτο. μυρρίναις ἐστεφανοῦντο οἱ ἄρχοντες. καὶ μυρρινῶν, ἀρχῆς ἐπιθυμῶν.

Μύρσινος, καὶ μύρσινον, πόλις, ἐκλήθη δέ φασιν, ὕστερον μυρτοῦντιον. ἐθνικὸν δὲ αὐτῆς εὕρηται μυρτούσιος.

Μύρσος, κόφινος ὦτα ἔχων, ὃς καὶ ἄρριχος. λέγεται δὲ καὶ ἀγγεῖον πλεκτὸν ἐξ ἄγνου, ὅ ἐστι λύγου πλακείς.

Μύρτα, ὁ τῆς μυρσίνης καλεῖται καρπὸς, ὅς ἐστιν οἰκεῖος ὄρνισιν εἰς τὸ ἐσθίειν.

Μυρταλὶς, ἡ ὀξυμυρρίνη, ὡς Λάκωνες.

Μύρταινον, φρούριον ἦν ἐν Θράκῃ.

Μύρτης, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος, καταλέγων τοὺς προδεδωκότας ἑκάστῃ πόλει φησὶν, Ἀργείων Μύρτης, Τηλέδαμος, Μνασέας. Θεόπομπος δὲ, Πασέαν καὶ Ἀμύρτωον ὀνομάζει τῶν Ἀργείων τοὺς μακεδονίζοντας. ἴσως οὖν εἰ γραφικά ἐστιν ἁμαρτήματα.

Μυρτία, μυρσίνη καὶ μυρτίς.

Μυρτίδανον, πίπερι, παρὰ τῷ Ἱπποκράτει.

Μυρτίνη, εἶδος ἐλαίας.

Μυρτίλον, ζῷόν τι.

Μύρτον πεποικιλμένον ἐκάλουν οἱ παλαιοὶ, τὸ γυναικεῖον αἰδοῖον. οἱ δὲ τὸ σχῆμα τῆς γυναικός.

Μυρτούσιον, τόπος, ἢ ἄκρα περὶ Κυρήνην.

Μύρω, τὸ ῥέω. ὅσον τ᾽ ἐπιμύρεται ἰσθμός.

Μυρὼ, ῥοδία φιλόσοφος, χρείας γυναικῶν βασιλίδων, καὶ μύθους.

Μυρωνεῖα, Κρήνη ἐν τῇ Ἀττικῇ.

Μυρῶν, νύσσων.

Μῦς, ὄνομα κύριον. ἦν δὲ πύκτης. σημαίνει δὲ καὶ εἶδος ζωυφίου, καὶ κλίνεται μυός.

Μῦς δ᾽ αὖ φανεὶς, ἔνδολος ἐν τρόποις τέλει.

Μῦς λευκὸς ἐπὶ τῶν ἀκρατῶν περὶ τὰ ἀφροδίσια καὶ θηλυδρίων.

Μῦς ἄρτι πίττης γευόμενος. παροιμία ἐπὶ τῶν πρώην μὲν τολμηρῶν καὶ ἀναιδῶν, ἀθρόως δὲ δειλῶν ἀναφανέντων. οἱ γὰρ κατοικίδιοι μύες, ἄγαν πρὸς τὴν ὀχείαν κεκίνηνται. καὶ μάλιστα οἱ λευκοί.

Μυσὰ, μιαρὰ, μεμιασμένα.

Μῦσαι, καμμῦσαι. ἢ τὸ ὑπὸ μήκης Ἀττικοὶ, ἢ μιᾶναι.

Μυσάλμαι, οἱ πολὺ πεινῶντες καὶ ἐσθίοντες.

Μυσαρὰν, ῥυπαρὰν, ἀκάθαρτον.

Μυσάττεται, δυσχεραίνει.

Μυσαττόμενος, συγχαινόμενος, βδελυττόμενος, ἀποστρεφόμενος. ὅθεν μύσος, τὸ μίασμα.

Μυσάχνη, ἡ πόρνη παρὰ Ἀρχιλόχῳ. μυσαχνὴ δὲ, ἡ μισητὴ, καὶ ἀκάθαρτος.

Μυσαχνὸν, μεμολυσμένον, καὶ τὰ ὅμοια.

Μύσειεν, ἐκπορθηθείη.

Μύση, μιάσματα, ὑπάσματα.

Μύσηλοι, σκολιοὶ, καὶ οἱ πυθμένες τῶν ξηρῶν σύκων.

Μύσης, κώμη Ἀργείας.

Μυσιᾶν, ἀναπνεῖν. ἢ συνουσιάζοντα πνευστιᾶν. οἱ δὲ ἐκτροφιᾶν.

Μυσημίεκτον, τοῦ ἡμιέκτου τὸ ἥμισυ, οὗ καλοῦσι δὲ νομισμάτιον μικρόν.

Μυσικαρφὶ, Κρατῖνος ἐν ὥραις. οἱ μὲν ἀνέγνωσαν ὡς ἀκονιτὶ, καὶ φασὶν ὅτι τὸ μεμυκότως καὶ ξηρῶς ποιεῖν οὕτω λέγουσιν. ἢ ὡς ὀνομαζομένου τινὸς οὕτω τοῦ μηδὲν ἀφ᾽ ἑαυτοῦ γλαφυρὸν σκώπτοντος, ἀλλ᾽ ἐπιγελῶντος ἡδέως. ὄνομα γάρ ἐστι μυσίκαρφος. οὗ μνημονεύει καὶ Ἀπολλοφάνης ὁ κωμικός. ὥς τινες δὲ τὸν ἀρχίμαχον.

Μυσίνη, ὁ κατοικίδιος πυλών.

Μυσίων, θρακικῶν χωρίων. μέρη γὰρ τῆς Θράκης πολλὰ περὶ τὴν Μυσίαν.

Μυσιῶν, σιλλαίνων.

Μυσίων, ὀλυμπίων. ἐπεὶ πλείους εἰσὶν ὄλυμποι Μακεδονίας καὶ Θετταλίας, ἔνιοι δὲ καὶ τέσσαρας ἠρίθμησαν.

Μυσκέλενδρα, ἃ ἡμεῖς μυόχοδα.

Μυσκελὸς, ὁ στραβόπους.

Μύσκος, μίασμα, κῦδος.

Μυσοὶ, ἔθνος βαρβαρικόν.

Μύσον, τὴν ἀξίνην, μυσοί.

Μῦσος, μίασμα, βδελυγμὸς, ἀποστροφή.

Μύσπαλα, μυάγρα, παγίς.

Μυσπαλοίματα, τὰ κατάλοιπα τῶν ἀλευμένων.

Μύσπαν, μύξαν. οἱ δὲ τὸ μυὸς τρόπον ἀναστρέφεσθαι.

Μυσπίλην, μυχοισμὸν, μύσαγμα.

Μυσπολεῖ, καταδύεται, ὡς μῦς φοιτᾷ. οὕτως Ἀττικοὶ ὑπὸ μίαν λέξιν. σημαίνει καὶ τὸ διερευνᾶσθαι κρύφα.

Μύσσαν, ἐκλίσθησαν.

Μυσσάσει, μιανεῖ.

Μύσσει, κάρφεται.

Μυσσοτεύματα, ἀρτύματα.

Μυσσότριβον, ἀλετρίβανον.

Μυσσωπὰ, γέλοια. καὶ μυσσωπὸν, πάθος περὶ τὴν ὄψιν.

Μυσταγωγῶ, τὸ τὰ μυστήρια διδάσκω.

Μυσταγωγὸς, ἱερεὺς ὁ τοὺς μύστας ἄγων.

Μυστάδης, εἶδός τι καὶ φατρία μάντεων.

Μυ-

Digitized by Google

Μυστάης, ὁ μυστήριον μεταλαβών.

Μῦσαι. οἱ τὰ μυστήρια παραλαμβάνοντες, μῦσαι καλοῦνται.

Μύσακα, τὸ χεῖλος. Ἰωάννης τὸν μυστάκωνα παρεστήσατο, καὶ χαροπὸν τὸν λογγίβαρδον.

Μύσαξ, αἱ ἐπὶ τὰ ἄνω χείλη τρίχες.

Μύσαξ, ἐν ᾧ οἱ μυκτῆρες στάζουσι.

Μύσια, παιδιὰ τὶς ἐπισπλωμένη κωλυόντας τοὺς ἐξάρχοντας.

Μυστήρια ἐκλήθη, παρὰ τὸ τοὺς ἀκούοντας μύειν τὸ στόμα, καὶ μηδενὶ ταῦτα ἐξηγεῖσθαι. μύειν δέ ἐστι τὸ κλείειν τὸ στόμα, νύκτωρ δὲ ἐτελεῖτο τὰ μυστήρια, ὧν τῆς τελετῆς οὐ μόνον χορευταῖς, ἀλλὰ καὶ ἔξαρχος ἦν ὁ Διόνυσος. ἐν Ἐλευσῖνι ἱερόν ἐστι καὶ ἐν Διονυσίοις ἐτελεῖτο τὰ μυστήρια.

Μυστήρια, θεωρία πνευματική, τὴν τῶν πολλῶν κατάληψιν ὑπερφαίνουσα. παρὰ τὸ ἅ τινα μύσαντα δεῖ τηρεῖν ἔνδον.

Μυστήριόν ἐστιν, ἄρρητον σέβας, καὶ τὸ ἀπόρρητον. ὡς τὸ, ἰδοὺ μυστήριον ὑμῖν λέγω. πάντες μὲν οὐ κοιμηθησόμεθα, τὸ τὰ ἀπόρρητα λέγειν.

Μυστηπόλος, ὁ περὶ τὰ μυστήρια ἀναστρεφόμενος.

Μύστης, ὁ τὰ μυστήρια ἐπιστάμενος, ἢ διδάσκων.

Μυστικὸν, λεπτὸν, ἢ λεπτόν.

Μυστικὸς λόγος, ὁ περὶ τὰ ἀπόρρητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπουδάζετο.

Μυστικὸς, ὀπνιακός.

Μυστίλαι. ὧν ἡ μὲν ἄρχουσα διὰ τοῦ υ, ἡ δὲ παραλήγουσα διὰ τοῦ ι, ψωμοὶ εἰσὶ κοῖλοι. οἷον μύστρα κατὰ Αἴλιον Διονύσιον, τουτέστι μυστρία εἰπεῖν ἰδιωτικῶς. καὶ μυστιλᾶσθαί φησι, τὸ οὕτως ἐσθίειν· κατὰ δὲ ἄλλους, τὸ κοιλαίνειν ψωμούς.

Μυστιλλᾶται, καταβρόχει παρὰ τῷ Ἀριστοφάνει. ἰδίως δὲ παρὰ τοῖς Ἀττικοῖς μύστιλλον ἐκάλουν τὸν ἄρτον, τὸν τοῖς κυσὶ παραβαλλόμενον. καὶ ἀλλαχοῦ μεμυστιλημένας, ἀντὶ τοῦ κατειργασμένας ἤδη καὶ ἑτοίμους, τουτέστι μεμασημένας. Ἄλλως.

Μυστύλη, ὁ κοῖλος ἄρτος, ᾧ δύναταί τις καὶ ζωμὸν ἀρύσασθαι.

Μυστίλλει, τέμνει.

Μύστιλον, τὸ κοῖλον. παρὰ τὸ ἐοικέναι τῷ θαλασσίῳ μυΐ. καλεῖται δὲ μῦς ἐκεῖνο, ὅτι μύεται καὶ συγκλείεται, ὅτε θέλει.

Μυστιλῶμαι, καταβρόχω. ἰδίως δὲ μυστίλη λέγεται, ἄρτος ὁ τοῖς κυσὶ βαλλόμενος.

Μύστιξ, ἅμα τῷ σκότει.

Μυστὶς, μεμυημένη.

Μυστοδόκος δόμος, τὴν Ἐλευσῖνα λέγει ὁ Ἀριστοφάνης, μυστικὸς καὶ ἱερὸς τοὺς μύστας ἐπιδεχόμενος, ἔνθα τὰ τῆς Δήμητρος καὶ Κόρης ἐπιτελεῖται μυστήρια.

Μύστρον, ἀπὸ τοῦ μυστίλλεσθαι, καὶ μικρὰ ἐπαίρειν.

Μύσφονον, παγίς.

Μύχαι, αἱ ἀμυχαί.

Μύχλης, μύλος, εὗρος ὡς Ἀμφίλοχος.

Μύχον, τὸ ἀνδρεῖον καὶ γυναικεῖον μόριον.

Μυσῶν λείαν, παροιμία τίς ἐστιν, οὕτω λεγομένη. ἥν φησι Δημοφῶν ἐν πρώτῃ περὶ παροιμιῶν, τὴν ἀρχὴν λαβεῖν ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων ποτὲ καὶ λῃστῶν τὴν Μυσίαν, κατὰ τὴν Τηλέφου τοῦ βασιλέως ἀποδημίαν.

Μύσωνα, τὴν χιόνα.

Μυστικίζειν, κολάζειν.

Μύωψ, ἰχθὺς θήλεια, ἥτις ἄνευ ἄρρενος οὐ νέμεται, καὶ ὁ ἐννεός, καὶ ὁ μὴ λαλῶν, καὶ ὁ πρὸς τὰ ἀφροδίσια ἐκλελυμένος.

Μυτιλὸν, ἔσχατον. ἀφ᾽ οὗ καὶ τὸ νεώτατον. οἱ δὲ καὶ τὸ ἀποβαῖνον, καὶ ὁ νήπιος, καὶ ὁ νέος.

Μυτάλυσα, μεγάλα.

Μύτακες, μύκαι, Σικελοί. Ἴωνες, πώγωνα.

Μυτάξασα, στενάξασα.

Μύταξ, ὄρνις ποιός.

Μυτακάζειν, σιγᾶν.

Μυττὶς, τὸ μέλαν τῆς σηπίας. ὅπερ ἐν τῷ στόματι ἔχουσα ἐκχεῖται.

Μυττιλαινὸς, ἀπόπληκτος.

Μυττωτὸν, εἶπεν Ἀριστοφάνης. παίζων ἴσως πρὸς τὸν Ὁμηρικὸν κυκεῶνα. ἔστι δὲ ὑπότριμμα διὰ σκορόδου. κατασκευάζεται δὲ ἀπὸ τυροῦ καὶ σκορόδου, καὶ ᾠοῦ, καὶ ἐλαίου καὶ πράσου. κεῖται δέ ποτε ἀντὶ τοῦ σκόροδα ὁ μυττωτὸς, ὡς Ἀριστοφάνης, οἴμοι τάλας, μυττωτὸν ὅσον ἀπώλεσα. καὶ μυττωτεύσομεν, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ συντρίψομεν, δριμύσομεν, ἐκπικρανοῦμεν. μετῆκται δὲ ἀπὸ τῶν σκορόδων. μυττωτὸν γάρ ἐστι κυρίως, τὸ ἐκ σκορόδων καὶ τυροῦ καὶ ὄξους τρίμμα. καὶ οὕτως ὠνομάσθη, ἀντὶ τοῦ μυσωτόν τι, παρὰ τὸ μυσάττεσθαι αὐτοῦ τὴν ὀσμήν. καὶ τροπῇ Ἀττικῇ τοῦ σ εἰς τ, καὶ πλεονασμῷ μυττωτός. ὅγε καὶ ὁ Καλλίμαχός φησιν, ἦν ἐρείψαντο μυσωτὸν, ὅθεν ἀπομύττομαι ἴσως.

Μυχαίτατον, ἐσώτατον. καὶ μυχοίτατον, καὶ μυχαία ἡ Ἀφροδίτη.

Μυχαὶ, παρὰ Ἡροδότῳ, καταδύσεις, τὰ ἔνδον.

Μυχθίζεις, χλευάζεις.

Μυχθισμὸς, στεναγμός.

Μύχιος, σήραγξ.

Μυχλὸς, χολιὸς, ἰχλάτης, λάγνος, μοιχὸς, ἀκρατής. Φωκεῖς δὲ καὶ ὄνους τοὺς ἐπὶ ὀχείαν πεμπομένους.

Μυχμὸν, λέγει Ὅμηρος, τὸ διὰ τῶν μυκτήρων ἆσθμα, καὶ τὸν ἐντεῦθεν ἦχον, παρὰ τὸ μύζειν. ἐξ οὗ καὶ ὁ μυκτὴρ, καὶ μυχθίζειν, παρ᾽ Αἰσχύλῳ.

Μυχοὶ, αἱ καταδύσεις. οἱ ἐνδότατοι καὶ ἀπόκρυφοι τόποι. λιμένες, κοιλότητες, ἔσχατα, καὶ τὰ ποιήματα, ἢ τὰ ἐσώτερα μέρη.

Μυχοίτατος, ὃν μυχαίτατόν φησιν ἡ μεθ᾽ Ὅμηρον ἀτθὶς, ἤγουν ἐνδότατος. γίνεται ἐκ τοῦ μύχος, προσλήψει τοῦ ι, ὡς ἀδιάφορον ὄν. εἴτε μυχοίτατος εἴπῃ τις, εἴτε μυχώτατος. καὶ ἔστιν ὅμοιον τῷ πάρος παροίτατος, οὗ καὶ συγκριτικὸν ἐν Ἰλιάδι παροίτεροι ἵπποι. ὅπερ ἐστὶν, ἔμπροσθεν ὄντες προτρέχοντες. σημειωσαι δὲ, ὅτι καθὰ τὸ μυχοίτατος τροπῇ τοῦ ο εἰς α, μυχαίτατος γίνεται Ἀττικῶς, οὕτως ἐκ τοῦ πρωῒ πρώϊος, παράγεται πρωϊαίτερος. οὕτω δὲ καὶ ἐκ τοῦ ἔργον πρυργιαίτερος πλεονάσαντος αὐτόθι τοῦ ι, ὡς ἐν τῷ κάμινος καμιναῖος, καὶ μνᾶ μναῖος λίθος, κατὰ πλεονασμόν.

Μυχὸς, ὁ ἐνδότατος τόπος, ἢ καὶ ἀπόκρυφος.

Μυχὸς, παρὰ τὸ μύω, τὸ κρύπτω.

Μυχὸν Ἄργεος ἱπποβότοιο, καὶ Μυκήνας λέγει, ὧν Ἀγαμέμνων ἦρχε.

Μυχόπατος, ἀντὶ τοῦ ἐσώτατος.

Μύχωνας, ἀντὶ τοῦ σωροὺς τῶν ἀχύρων, λέγουσι Δωριεῖς.

Μύω, συμμύω, ἐπὶ στόματος, καὶ ἁπλῶς παῦσιν τῶν αἰσθήσεων.

Μυῶ, τελῶ σε τὰ ἀπόρρητα. μυῶ κοινὸν, καμμύω ποιητικὸν, ὡς τὸ καββαλών. καταμύω γὰρ ἦν, καὶ συγκοπῇ καμμύω, παρατατικὸς ἐκάμμυον, ὡς ἔτυπτον.

Μύω, τὸ καμμύω.

Μυὼν, ἡ γαστροκνημία ἐστίν. ἣν ἡ τῶν πολλῶν γλῶσσα ἄντζαν φησὶ, συγκειμένην ἐκ νεύρων πολλῶν καὶ συνεστραμμένων σαρκῶν. ἢ καὶ ἄλλως εἰπεῖν, περιεκτικὸν μέν τι ἐστὶν ὁ μυὼν, ὡς περιέχων μύας. μύες δὲ, σάρκες συνεστραμμέναι καὶ νευρώδεις, ἃς οἱ κοινολεκτοῦντες ποντικὰς φασὶ μεταληπτικῷ τινι τρόπῳ. φασὶ δὲ οἱ παλαιοὶ, καὶ ὅτι ἡ ἀθρόα κατὰ μυώνων πληγὴ, θανατοῖ. συμπάθειαν γὰρ καὶ αὐτοὶ ἔχουσι πρὸς τὰ καίρια, εἴπερ ἐκ νεύρων εἰσίν.

Μυώνων, τῶν νευρωδῶν τόπων, Προκόπιος.

Μυωξία, ὑβριστικὸς λόγος. σημαίνει δὲ καὶ τοὺς τῶν μυῶν χηραμούς.

Μυωξὶς, ὁ τῶν ποντικῶν φωλεὸς, ἀγωγὴ καὶ κατάληψις δηλαδὴ θείας.

Μυωπίαι, βοῦγλαι.

Μυωπάζω, τὸ φυλάττω.

Μυωπάζω, ὀφθαλμιῶ.

Μυώπη, ῥάμνος.

Μυωπίζω, πτερνίζω, ἀπὸ μύωπος, ὅ τις ἐστὶ μυῖα ἐρεθίζουσα τοὺς βοῦς. ὡς δ᾽ ὅτε μύωπι στυπόμενος.

Μυωπίζω, τὸ διεγείρω, ἐκ τοῦ μύωπος.

Μυωπιζόμενος, ἄκροις τοῖς ὀφθαλμοῖς προσέχων.

Μύωψ, εἶδος μυίας κατὰ τὸ ἔαρ γινόμενον, ἥτις ταῖς λαγόσι τῶν βοῶν ἐπικαθεζομένη, δάκνει αὐτὰς, καὶ εἰς μανίαν ἄγει. ἀφ᾽ οὗ καὶ οἶστρος λέγεται. Σώστρατος δὲ ἐν τῇ πεμπτῃ περὶ ζώων, διαστέλλει τὸν μύωπα τοῦ οἴστρου. ὁ μὲν γὰρ μύωψ, ἐκ τῶν ξύλων ἀπογεννᾶται. ὁ δὲ οἶστρος, ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων.

ΤΟ Μ. ΜΕΤΑ ΤΟΥ Ω.

Μῶ, τὸ ὑπὲρ τὸ δέον προθυμοῦμαι.

Μωὰ, ᾠδὴ ποιά.

Μωὰβ λέβης τῆς ἐλπίδος μου, ἢ λέβης ἀμεριμνίας, τουτέστιν ὁ ἀπόβλητος ἄνθρωπος ὁ ἀπειλὴν ἔχων, μὴ εἰσελεύσεται εἰς ἐκκλησίαν κυρίου. οὐκ εἰσελεύσεται γὰρ μωαβίτης, ἕως τρίτης καὶ δεκάτης γενεᾶς εἰς τὸν αἰῶνα, ἢ μωάμ. ἔντερον πατρὸς γὰρ ἑρμηνεύεται. νοεῖται δὲ, καὶ τὸ ἡμέτερον σῶμα.

Μῶδα, ἄλφιτα σίτου.

Μώδιξ, φλὸξ, φλυκτίς.

Μωδεῖ, λαλεῖ, ᾄδει.

Μώδιον, εἶδός τι πυρίδος.

Μωδύει, θάλπει, μωραίνει, ἐκλύει.

Μώδυξ, ἀπαίδευτος.

Μωκᾶται βοῦς, καὶ μυκᾶται. καὶ ἀπὸ τούτου τὸ διὰ τοιαύτης τῆς φωνῆς τὸ χλευάζειν, καὶ καταμωκᾶσθαι. τὸ καταγελᾶν.

Μωκησὸς, πόλις.

Μωκᾶν, μέμφεσθαι.

Μωκία, κύριον. μωκία καὶ ἡ λοιδορία, καὶ ὁ ἐμπαιγμὸς, μετὰ τοῦ συνήθους.

Μωκίας, καὶ μωκία, καὶ μωκισία, κινστέρνα.

Μωκίζω, τὸ ἐμπαίζω.

Μῶκος, μωρὸς, χλευαστὴς, σκώπτης.

Μωκῶ, τὸ λοιδορῶ.

Μωκώμενος, μωλωπίζω, τραυματίζω, καταβρόχω.

Μωκωμένης, χλευαζομένης, καὶ τὰ ὅμοια.

Μώλαξ, εἶδος οἴνου. οἱ δὲ, τὸ ἐν τοῖς ὁρκίοις σπενδόμενον. ἀπὸ τοῦ μώλυ, ὥς τινες. Λύδοι, τὸν οἶνον.

Μωλεία, ἑορτὴ παρὰ Ἀρκάσιν. ἐπειδὴ Λυκοῦργος λοχήσας κατὰ τὴν μάχην, εἷλεν Ἐρευθαλίωνα. μῶλος δὲ, ἡ μάχη.

Μωλεῖ, μάχεται, καὶ ἀντιμωλία δίκη, εἰς ἣν οἱ ἀντίδικοι παραγίνονται.

Μωλήσεται, μαχήσεται, πικρανθήσεται.

Μῶλον ἄγριον, λέγει Ὅμηρος, καὶ κακὸν πόνον, ὡς ταυτὸν ὄντα καὶ οὕτως εἰπεῖν.

Μῶλος, καὶ μῶλα, ὀνόματα πόλεων.

Μῶλος, ὁ πόλεμος. παρὰ τὸ μὴ ὅλος καὶ ὁλόκληρος εἶναι. πολλοὶ γὰρ ἐν τῷ πολέμῳ ἀναιροῦνται, καὶ ὁ μὴ ὅλους ποιῶν τοὺς ἀνθρώπους, ἀλλὰ κολοβούς. μῶλος, καὶ ὁ πολυχρόνιος.

Μῶλος Ἄρεως, ἡ κακοπάθεια. ἐκ τοῦ μόλις ἐκταθέντος τοῦ ο. ἢ παρὰ τὸ μὴ καὶ τὸ ὅλος, ὁ μὴ τὴν ὁλότητα φυλάττων τοῦ στρατοῦ. καὶ κατὰ κρᾶσιν μῶλος, ὡς δώημα δῶμα, σιγηωπὴ σιωπὴ, βοήσομαι βώσομαι, ὀγδοήκοντα ὀγδώκοντα, τὸ ἥμισυ τώμισυ. μάλιστα δὲ ὡς μόορος μῶρος, παρ᾽ Ἀττικοῖς ὁ παρὰ τοῖς ὕστερον ὀξυτόνως μωρός.

Μῶλος, ὁ πόλεμος. μῶλον Ἄρηος, ἤγουν πόλεμον.

Μωλόχιον, εἶδος βοτάνης.

Μῶλυ, φυτοῦ εἶδος Ἀλεξιφάρμακον, ἢ βοτάνης ἀντιπάθιον. οἱ δὲ τὸν λόγον, δι᾽ οὗ τὰ πάντα μωλύνεται, ὅ ἐστι προσγίνεται. μῶλυ γὰρ, τὰ ἄνοξα ξύλα.

Μῶλυ, εἶδος βοτάνης, ὅπερ δέδωκεν ὁ Ὀδυσσεὺς τοῖς ἑταίροις αὐτοῦ, καὶ ἀπεκατέστησεν αὐτοὺς ἀπὸ τῆς ἀλλοιώσεως τῆς Κίρκης. παρὰ τὸ μωλύνειν, τουτέστι πραΰνειν καὶ καταστέλλειν τὰς φθοροποιοὺς νόσους.

Μω-

Digitized by Google

Μωλύειν, πραΰνειν, καταστέλλειν· ἢ τὸ ἀμβλῦναι καὶ κωλῦσαι, ἀπὸ τοῦ μὴ ὀλλύειν, ἢ ἀπὸ τοῦ κωλύειν ἔχων μὲν τῇ χειρὶ μῶλυ, ἀντὶ τοῦ φάρμακον. ἔστι δὲ εἶδος βοτάνης, ἤτοι πήγανον ἄγριον.

Μωλύεται, γηράσκει.

Μώλυζαι, αἱ τῶν σκορόδων κεφαλαὶ, τοῦ Ψελλοῦ. αἱ τῶν σκορόδων κεφαλαὶ, μώλυζαι, γέλγιθές τε, γράφεται καὶ γέγλιθες. * ἴσ. ἄγλιθες.

Μωλύκνον, μεμολυσμένον.

Μώλυκα, τὸν ἀπαίδευτον, Ζακυνθιοι.

Μώλυξ, μωλυτικὴ, φοβερά.

Μωλυρόν, νωθρὸν, βαρύ.

Μῶλυς, ὁ ἀμαθής. Σοφοκλῆς ἐν Φαίδρᾳ, μεμολυσμένη, παρειμένη.

Μωλύτερον, ἀμβλύτερον.

Μώλωψ, τραῦμα συνουλωθέν. κυρίως δὲ ἡ ἐκ βοείων λώρων γινομένη πληγὴ, ἀπὸ τοῦ βοὸς καὶ τοῦ λέπους, ὅ ἐστι δέρματος, ᾧ οἱ ἱμάντες σκευάζονται. Ἄλλως.

Μώλωψ, εἶδος πληγῆς ὕφαιμον, θλασθέντος τοῦ σώματος, ἐκ τῆς ἀντιτυπίας τοῦ πλήξαντος. κυρίως δὲ ἡ ἐκ βοείων λώρων πληγὴ γινομένη, παρὰ τὸ βοῦς βοὸς, καὶ τὸ λέπω τὸ λεπίζω γίνεται βώλωψ, καὶ τροπῇ τοῦ β εἰς μ μώλωψ.

Μῶμαρ, μέμψις, ὄνειδος, αἶσχος. καὶ μῶμαρ, ὁ ψόγος, ὁ μῶμος. ἢ μῶμαρ, ὁ μωρὸς, καὶ ἡ μάχη.

Μωμᾶται, ψέγει, μέμφεται. ὅθεν μωμητὰ, τὰ ψεκτά.

Μώμεθα, ζητοῦμεν.

Μωμήσεται, μέμψεται, ψέξει.

Μῶμος, ὁ ψόγος. μωμητὸν, καὶ ἐπιμωμητὸν, τὸ ἐπίψογον. καὶ μῶμαρ, ὁ μῶμος, ὡς εἶδαρ, ἄλκαρ.

Μωμοσκόπος, ὁ φιλόψογος.

Μωμφαὶ, μέμψεις.

Μῶν, ἄρα.

Μῶν, ποιητικὸν λαμβανόμενον ἐπὶ ἐρωτήσεως. γίνεται οὖν ἀπὸ τοῦ μὴ οὖν κατὰ κρᾶσιν μῶν.

Μωνεστὴ, ἀρετή.

Μωνιὴ, ὀλιγωρία.

Μωνιὸν, μάταιον, ἀχρεῖον.

Μώνυξ, ὁ μίαν ὁπλὴν ἔχων μονώνυχον.

Μώνυχες ἵπποι, πρὸς ἀντιδιαστολὴν ἄλλων ζώων πολυωνύχων καὶ διχήλων.

Μώνυχα, ἁπλῆν καὶ διεστῶσαν.

Μωπάζειν, μέμφεσθαι.

Μωρά μοι δοκεῖς φρονεῖν, ἀντὶ τοῦ εὐήθης εἶ. νῦν βουλόμενος μαλάσσειν ἐξακμάσαντος τοῦ καιροῦ, ὁ Αἴας φησὶ πρὸς Τέκμησσαν. καὶ αὖθις, ὦ μῶρε μῶρε μὴ θεῶν κίνει φρένας δεινάς.

Μῶρα, ἀνόητα, παράλογα, λόγος γέ τοι τίς ἐστι τῶν γεραιτέρων, ὡς ἀνόητ᾽ ἄχη μῶρα βουλευσόμεθα ἅπαντ᾽ ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν. λέγεται ὅτι Ποσειδῶν καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς. νικῆσαι δὲ τὴν Ἀθηνᾶν, καὶ ἡττηθέντα τὸν Ποσειδῶνα καταράσασθαι τῇ πόλει κακῶς ἀεὶ τοὺς Ἀθηναίους βουλεύεσθαι, ἀκούσασαν δὲ τὴν Ἀθηνᾶν προσθεῖναι, κακῶς βουλεύεσθαι, καὶ ἐπιτυγχάνειν.

Μῶρα, συκάμινα.

Μωραίνω, ἀμεταβάτως, ἤγουν ἀνόητός εἰμι.

Μωραίνω, ἀνοηταίνω, ἀναισθητῶ, ἀφραίνω, παραφρονῶ, εὐηθίζω.

Μωρίαι, ἁμαρτίαι, καὶ ἵππος καὶ βοῦς ὑπὸ Ἀρκάδων.

Μωριεῖς, οἱ τῶν Ἰνδῶν βασιλεῖς.

Μώριον, πόα τίς, ᾗ πρὸς φίλτρα χρῶνται.

Μωροκακοήθη. τὴν δὲ κακοῦργός τε καὶ εὐπαράγωγος, ὃν δὴ μωροκακοήθη καλοῦσι.

Μωροὶ καὶ ἀβέλτεροι, καὶ κεχηνότες μαμμάκουθοι, μελιτίδαι, βουταλίων, κόροιβος.

Μωρὸς, ὁ ἄφρων. εἴρηται καὶ ἐπὶ τοῦ ἀθέου, καὶ ἀπίστου. ὡς τὸ, οὗτος λαὸς μωρὸς, καὶ οὐχὶ σοφός.

Μωρὸς, πάλαι ποτὲ ὀρθῶς εἶχε τοῦ προπερισπᾶσθαι, ὡς τὸ ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι. ὕστερον δὲ συνεξέδραμε τῷ πυλωρὸς, θυρωρὸς, καὶ τοῖς ὁμοίοις, ὡς καὶ τὸ ἀγαυρὸς καὶ ἀβρὸς καὶ ἀμυδρὸς, τῷ ἀφαυρὸς, ἀμαυρὸς, ἀγρὸς, ἀδρός.

Μωρὸς, ὁ ἄνους.

Μωρὸς, μωραίνω, μωρία, Μωσῆς καὶ Μωϋσῆς, κύρια καὶ ἕτερα. τοὺς γὰρ μωροὺς ἀρχαίους ἐκάλουν, ἀπὸ τῆς ἱστορίας. Ἱστορία. τοὺς Ἀρκάδας κατὰ τοὺς πρὸ Σελήνης χρόνους ἐν ταῖς ἐρήμοις διάγειν, ἢ ὑπὸ ταῖς ὕλαις, καὶ ἐκ τῶν ἀποπιπτόντων καρπῶν διαζῆν. φιλονεικησάντων δέ ποτε Ἀρκάδων, καὶ τῶν Φρυγῶν καὶ Περσῶν περὶ τῆς ἀρχαιότητος, καὶ εἰς κρίσιν ἐλθόντων, Ψαμμήτιχος ὁ βασιλεὺς Αἰγύπτου λαβὼν δύο ἀρτίτοκα παιδία, ἔν τινι ἀπέκλεισε τόπῳ, καὶ αἶγα ἐποίησε θηλάζειν. ἄλλοι δέ φασιν οὐκ αἶγας, ἀλλὰ τὰς ἑαυτῶν μητέρας ἐκτετμημένας τὰς ἑαυτῶν γλώττας, ἵνα μὴ δύνωνται διδάσκεσθαι ὁμιλουσῶν ἀλλήλων τὰ παιδία. εἶπεν τὰ μετὰ τριετῆ χρόνον ἐκέλευσε σιωπῶντα ἄνδρα εἰσελθεῖν πρὸς αὐτά. εἰσελθόντος δὲ αὐτοῦ, προσεπήδησαν τὰ παιδία λέγοντα βέκ. ἔστι δὲ τοῦτο φρυγιστὶ ἄρτος. ἐκ τούτου Φρύγες ἐφάνησαν ἀρχαιότεροι.

Μωροὺς, τοὺς τοῦ κόσμου σοφοὺς καλεῖ μωρούς.

Μῶρυ, τὸ ὄξος.

Μώρπα, σίτος.

Μωρωσὸς, ὁ τὴν διάνοιαν παντελῶς πεπληγώς.

Μῶσα, μοῦσα. Δωρικῶς.

Μῶσθαι, τὸ λανθάνειν.

Μῶσθαι καὶ πολυπραγμονεῖν, ἀντὶ τοῦ ζητεῖν, παρὰ Λάκωσι.

Μωσοῖ, ζητεῖ, τεχνάζει.

Μῶυ, τὸ ὕδωρ, παρ᾽ Αἰγυπτίοις. ἐξ οὗ καὶ Μωυσῆς.

Μωῦς, ἡ γῆ. Λύδιοι.

Μῶφις μώφιδος, ὄνομα κύριον.

Μώχεται, φθονεῖ.

Μὼψ, ὁ μὴ ὀξυδορκῶν, καθαροὺς δὲ ἔχων τοὺς ὀφθαλμούς.

Τέλος τοῦ μ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ν. ΣΤΟΙΧΕΙΟΥ. ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

ΝΥ, τὸ στοιχεῖον, ὅτι νυγμόν τινα ἔχει ἡ τούτου ἐκφώνησις. καὶ νῦ, ἀντὶ τοῦ δὴ, δῆλον.

Νάασατο, κατῴκησε.

Νaασὼν, ὄνομα κύριον.

Νάβα παρὰ Ῥωμαίοις, τὸ πορθμεῖον. φαίνεται δὲ ἐν πολλοῖς μὴ διεστῶσα τῆς Ἑλλάδος φωνῆς ἡ Ῥωμαϊκή. ναῦς γὰρ, καὶ νάβα, ἐγγύς.

Ναβὰν, ἐγκαθισμός.

Ναβάται, γένος Ἀράβων. ὁ δὲ πέμπει πρὸς ἄραβας τοὺς λεγομένους Ναβάτας. καὶ ναβαταῖοι ἐθνικόν.

Νάβις, νάβιδος, Λακεδαιμονίων τύραννος.

Νάβλα, εἶδος ὀργάνου μουσικοῦ, ἢ ψαλτήριον, ἢ κιθάρα. καὶ ναβλᾶς κιθαριστὴς, εἴδους ὀργάνου μουσικοῦ δυσήχου, καὶ ὁ ἐνεχείων. καὶ νάβλον, τὸ αὐτὸ ὄργανον.

Ναβουζαρδᾶς, ἑρμηνεύεται γαστριμαργίας.

Νάει, ῥέει, στάζει. νάω, τὸ ῥέω. ὅθεν καὶ νάαμα, καὶ κατὰ κρᾶσιν νᾶμα.

Νάει, πρωτότυπόν ἐστι τῶν Νηΐδων, καὶ τοῦ νάματος, καὶ τοῦ Νηρέως, καὶ τῶν τοιούτων.

Ναειδαμῶς, ἐναντίον τὸ οὐδαμῶς.

Νάειν ὁρῶ, παρ᾽ Ὁμήρῳ τὸ πεπληρῶσθαι, ὡς καὶ ἔξω ῥέειν. ὅθεν καὶ τὸ νᾶμα γίνεται. καὶ τὸ ναρὸν, ἐξ οὗ ὁ Νηρεὺς, καὶ τὸ ἀεὶ νάον. ὅπερ ὅμοιόν ἐστι τῷ ἀεὶ νῶν, παρὰ τῷ Κωμικῷ.

Νάερρα, δέσποινα.

Ναέται, οἱ οἰκήτορες, καὶ νασῆρες.

Ναέτωρ, ῥέων, πολύρρους.

Ναζηραῖος, μοναχὸς, ἡγιασμένος, καὶ ἀφιερωμένος τῷ θεῷ.

Νάζις, ἐθνικόν.

Ναζωραῖος, ἅγιος ἑρμηνεύεται. ἢ κατά τινας, ἄνθος. εὑρίσκεται παρὰ πολλοῖς τὸ ὄνομα.

Ναζώρειον, ὄρος.

Ναηλεῖς, πρόσφατοι. Θεσσαλοί.

Νάθμους, τὰς χοιράδας. τάσσεται καὶ ἐπὶ τῶν σημόνων.

Νάθραξ, νάρθηξ.

Ναϊάδες, ἢ ναΐδες, νύμφαι ὑδατιαῖαι καὶ πηγαί.

Ναὶ, ἀληθῶς, ἐπίρρημα συγκαταθέσεως, ναίχι, τὸ αὐτό.

Ναὶ μοίρας, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ νὴ τὰς μοίρας.

Ναὶ καὶ ναίχι, ἐπιρρήματα συγκαταθέσεως, προηγουμένης ἐρωτήσεως ἀποδίδονται μετὰ τοῦ ῥήματος, δι᾽ οὗ γέγονεν ἐρώτημα. πολλάκις δὲ καὶ χωρὶς τοῦ ῥήματος πάντως ἀπὸ κοινοῦ νοουμένου τοῦ ἐρωτηθέντος. ἡ γὰρ ἐρώτησις, δι᾽ ὁριστικῶν ῥημάτων προβάλλεται. οἷον ἔρχῃ. ἀποκρινόμενος δέ φημι, ναὶ ἔρχομαι, μετὰ τοῦ ῥήματος τῆς ἐρωτήσεως. εἰ δὲ καὶ εἴπω μόνως ναὶ, τελεία ἐστὶν ἡ ἀπόφασις, ἀπὸ κοινοῦ νοουμένου τοῦ ἔρχομαι ῥήματος.

Ναὶ μὴν, ἀντὶ τοῦ ἀληθῶς. καὶ ἔστι βεβαιωτικὸν ἐπίρρημα. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἀλλά.

Ναὶ μὰ τόδε σκῆπτρον, παρ᾽ Ὁμήρῳ πλεονάζει τὸ μὰ, κατὰ Ἀττικὸν ἔθος. ἤρκει γὰρ εἰπεῖν, νὴ τοῦτο τὸ σκῆπτρον.

Ναὶ μὰ τόδε σκῆπτρον. ἰστέον δὲ, ὅτι δύο τούτων ὄντων ἐπιρρημάτων ὁρκωμοτικῶν, τοῦ μὰ καὶ τοῦ νή. ἀπωμοτικὸν μὲν ἤτοι ἀποφατικόν ἐστι τὸ μὰ, οἷον μὰ τὴν δίκην οὐ ποιήσω τόδε. καταμοτικὸν δὲ τὸ νή. οἷον νὴ τοὺς λόγους ποιήσω τόδε. ὁ μέντοι Ποιητὴς ἐνταῦθα καὶ κατωμοτικὸν ἔχων ὅρκον, καὶ ἀπωμοτικὸν, τὴν δὲ τοῦ νὴ χρῆσιν μὴ ἔχων τότε ἐγνωσμένην, τῷ ναὶ ἀντ᾽ αὐτοῦ ἐχρήσατο ἐπιρρήματι. καὶ δίδωσιν ἀφορμὴν ἡμῖν ὑπονοεῖν, ὡς ἐντεῦθεν ὕστερον τὸ νὴ ἐπίρρημα γέγονεν, εἰπὼν ναὶ μὰ τόδε σκῆπτρον, καὶ ἐμφήνας, ὅτι καὶ καταφατικῶς ὀμόσει. καὶ κατὰ ἀπόφασιν, ἤγουν κατωμοτικῶς καὶ ἀπωμοτικῶς. διὰ μὲν τὸ ναὶ, κατωμοτικῶς. ἀπωμοτικῶς δὲ, διὰ τὸ μά. καὶ ἔστιν ὅρκος ἐνταῦθα ἐν καταφάσει μὲν τὸ ὄντως Ἀχιλλῆος ποθὴ ἵξεται Ἀχαιούς. ἐν δὲ ἀποφάσει, τὸ σὺ δ᾽ οὐ δυνήσεαι ἀχνύμενός περ χραισμεῖν. ἰστέον δὲ, ὅτι παρὰ τοῖς Δωριεῦσιν εὕρηται ἐξ ὀρθοῦ ὁρκωμοτικὸν ἐπίρρημα τὸ ναὶ. ἤγουν ναὶ τὼ σιὼ, ἤγουν νὴ τοὺς θεούς. καὶ τάχα ἐκ τούτου μάλιστα γέγονε. τὸ μέντοι μερικὸν τοῦ ναὶ βεβαιωτικόν ἐστιν ἐπίρρημα.

Ναὶ μὴν, ἀντὶ τοῦ ἀληθῶς. καὶ ἔστι βεβαιωτικὸν ἐπίρρημα, λαμβάνεται καὶ ἀντὶ τοῦ ἀλλά.

Ναΐδες, νηΐδες, ζεφυρίδες, νύμφαι ἀπὸ τῶν ναμάτων.

Ναίεθος, καὶ ναῖσος, ποταμοί. Νέσος δὲ, κύριον, ψιλόν.

Ναίειν, οἰκεῖν, ῥέειν.

Ναῖε, παρὰ τῷ Ἀπολλωνίῳ. οὐκ εὖ. ἔδει γὰρ χωρὶς τοῦ ι νάειν, ἵνα ᾖ ἔρρει. ὡς παρ᾽ Ὁμήρῳ, νάεν δ᾽ ὀρῷ ἄγγεα πάντα.

Ναίεσθαι, πορεύεσθαι.

Ναιετάουσιν, οἰκοῦνται. ναίω ναιέτης, ὡς κυνηγέτης κυνηγετῶ. ναιετῶ ναιετάω καὶ ναιετάουσιν, ἐνεργητικὸν ἀντὶ παθητικοῦ τοῦ οἰκοῦνται. καὶ εὖ ναιετάουσαν πόλιν, ἀντὶ τοῦ ναιομένην.

Ναιήσαντο, ᾤκησαν.

Ναιθροὶ, νεβροὶ, οἱ νέοι ἔλαφοι.

Ναϊκιοστορεύοντας, ἐπίτηδες διασύροντας, καὶ ἐξευτελίζοντας. τινὲς δέ φασι ναικιοστήρεις λέγεσθαι, ἐπὶ τοῦ ἐμφαίνοντος ὁμολογεῖν, καὶ μὴ ὁμολογοῦντος, τῶν κατεψευσμένων ἡ λέξις.

Ναῒς, ἡ καὶ λαΐς. ἑταίρα τὶς, ἧς μέμνηται Λυσίας. καὶ Ἀριστοφάνης ἐν πλούτῳ, ἐρᾷ δὲ λαΐς. ἄμεινον οὖν ναῒς γράφειν, ἢ λαΐς, ὡς καὶ Ἀθηναῖος ἐπισημαίνεται.

Ναίμας, ὁμολόγησις. δηλοῖ δὲ νή.

Ναὶ νεύρη, νὴ τὸν Ἄρη. Ἀττικοὶ δὲ ποδοκάκη.

Ναῖον, ὦκυ, ἔρρεον.

Digitized by Google

Ναιὸς, οἶκος. ναὸς, καὶ νεώς.

Ναίουσιν, οἰκοῦσι.

Ναίουσι νῆσοι, σχηματισμόν τινα ἔχει οὐ πάνυ συνήθη. κεῖται γὰρ τὸ ναίουσιν αἱ νῆσοι, ἀντὶ τοῦ ναίονται, οὕτω καὶ Σοφοκλῆς. σὺ μέν που ναίεις ἀλίπλαγκτος, ἀντὶ τοῦ ναιομένη τυγχάνεις. καὶ μετάγεται οὕτω τὸ ἔργον τῶν κατοικούντων εἰς τὰ κατοικούμενα. ναίουσι μὲν ἄνθρωποι, ναίονται δὲ τόποι. ὥς τε τὸ εἰπεῖν ναίουσι τόποι, ἀντέστραπται τῇ φύσει τοῦ πράγματος.

Ναὶ πρὸς θεῶν, ναὶ ἐν θεῷ.

Ναιρᾶς, νιτριστικῆς.

Ναισηελία, ἡ ἀποπληξία, καὶ ἡ ἐμβροντησία. τινὲς δὲ ναισήματα.

Ναὶ τάν, οὕτως οἱ ἀρχαῖοι, θεῶν ὀνόματα μὴ προστιθέντες.

Ναίστειρα, οἰκοδέσποινα.

Ναίχι, ἀντὶ τοῦ ναί, Ἀττικῶς.

Ναίω, τὸ οἰκῶ. ναιετάωσιν ἀπὸ τοῦ ναίω ναιετῶ. ἀλλὰ μὲν εἶναι ναιεταίουσιν, ὡς βοάουσιν, ἀλλ' ἔστιν ὅμοιον τῷ ἱδρῦσαι ἱδρῶσαι, καὶ βοῶ βῶν, Δωρικῇ διαλέκτῳ. ὥσπερ μοῦσα μῶσα, οὕτω καὶ ναιετάωσι λέγεται. λέγεται καὶ ναιέτης, ὁ μέτοικος.

Νάκεσι, δέρμασιν αἰγείοις, καὶ νάκος ἐπὶ θηλυκοῦ. κωδία δὲ καὶ κώδιον, τὸ τοῦ προβάτου.

Νάκη, καὶ νάκος, ἔντριχον δέρμα. λέγεται ὁμοίως τῷ νάπη καὶ νάπος, καὶ βλάβη βλάβος, καὶ δίψα δίψος, καὶ νείκη νεῖκος, ἡ φιλονεικία. ἐκ τοῦ νάκος καὶ νακοτίλλαι, οἱ τίλλοντες τὰ κώδια, ὥς φασιν οἱ παλαιοί. λέγεται δὲ νάκη, ὡς οἱονεὶ ἀνάγκη ἐφ' οἷς ἀνέκειντο ὑπνοῦντες.

Νάκλις, πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα ἔφακα.

Νάκολον, τὸ ἀκάθαρτον.

Νακοτίλται, οἱ τῶν προβάτων κουρεῖς.

Νάκτα, τοὺς πίλους καὶ τὰ ἐμπίλια.

Νάκυρον, νακύριον δέρμα.

Νακώλεια, ὄνομα τόπου. ἰστέον, ὅτι κοινῶς μὲν πεθήλωται ἡ φρυγιακὴ αὕτη πόλις, ἀπὸ Νακώλης νύμφης. ἐξ ἧς καὶ νακώλαιον, τὸ ἐθνικὸν αὐτῆς νακωλεύς, ὡς σελευκεύς. εἴρηται δὲ καὶ οὐδετέρως τὰ νακώλεια.

Νακώλη, πόλις Σικελίας, κατὰ τὸν ἐθνικογράφον.

Νάματα, ὕδατα, χεύματα, ῥεύματα, πηγή, προβολαί.

Ναμέρτεια, ἀλήθεια.

Νᾶμα, ποτὸν, ὕδωρ. ἀπὸ τοῦ νάω, τὸ ῥέω.

Νάνναζον, παιζόμενον.

Νάνναν, τὸν τῆς μητρὸς, ἢ τοῦ πατρὸς ἀδελφόν. οἱ δὲ, τὴν τούτων ἀδελφήν.

Νάννακος, παλαιὸς ἀνὴρ πρὸ Δευκαλίωνος. τοῦτόν φασι βασιλέα γενέσθαι πρὸ τοῦ Δευκαλίωνος, ὃς προειδὼς τὸν μέλλοντα κατακλυσμὸν, συναγαγὼν πάντας εἰς τὸ ἱερὸν, μετὰ δακρύων ἱκέτευσε. καὶ παροιμία ἀπὸ ναννάκου, ἐπὶ τῶν σφόδρα παλαιῶν καὶ ἀρχαίων.

Νάνιον, Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν ἑταιρῶν, αἶγα λέγεσθαί φησι ταύτην ἑταίραν, διὰ τὸ θαλλὸν τὸν κάπηλον καταφαγεῖν. χαίρουσι γὰρ αἱ αἶγες τῷ θαλλῷ. ἔστι δὲ αὐτῆς μνήμη, καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ περὶ τῶν ἑταιρῶν, τὴν νάνιόν φησι προσκήνιον ἐπονομάζεσθαι, διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφοτέραν εἶναι.

Ναννάριον, οὕτω καλούμενον εἶδός τι ἀσώτων. ἄμεινον δὲ τὸν τρυφερὸν καὶ καλὸν ἀκούειν.

Νανναρὶς, κίναιδος.

Νάννη, μητρὸς ἀδελφή.

Νάννος, ἐπὶ τῶν μικρῶν. δοκεῖ παρὰ τὸ ἐστερῆσθαι τῶν ἄνω εἰρῆσθαι ἡ λέξις. κατακύπτει γὰρ τὰ κυρίως νάνα, καθὰ καὶ τὰ βρέφη. ὡς καὶ μείζω τὰ ἄνω παρὰ Νεοκλείδει, καὶ Ἀριστοτέλει, καὶ Θεοφράστῳ, ὡς νάννον αἰδοῖον ἔχοντα μέγα. οἱ γὰρ νάννοι μέγα αἰδοῖον ἔχουσι. νάννοι δὲ λέγονται, οἱ κολοβοὶ τῶν ἀνθρώπων, καὶ ναννοφυεῖς. οἱ δὲ κολοβοὶ τῶν ἵππων, ἰνοί. οἱ πλείους τῶν ὑστέρων γαυνὲς τούτους γράφουσι.

Νάνας, τὰς ῥυτὰς, ἀπὸ τοῦ νάειν.

Νανῆσαι, ἵπτασθαι.

Νάνιον, ἀμνίον, σφάγιον.

Νανοκακάκα, ἡ διὰ ῥινῶν λαλοῦσα.

Νάξαι, σάξαι, βύσαι.

Νάξει, ἐρείσει, λιθάσει.

Ναξιάλιλος, ἡ ἀκόνη, ἀπὸ Νάξου πόλεως.

Νάξος, ἱερὰ Διονύσου.

Νάξος ἐστὶ, μία τῶν κυκλάδων νῆσος.

Ναξιουργὴς, κάνθαρος παρὰ τῷ Ἀριστοφάνει. πλοῖα ἦν οὕτω λεγόμενα κάνθαροι, ἐν Νάξῳ γινόμενα τῇ νήσῳ. καὶ κνιδουργεῖς δὲ ἄλλας ναῦς, ἀπὸ Κνίδου. καὶ τὴν Κέρκυρον, ἀπὸ Κερκύρας. καὶ τὴν Πόρωνα ἀπὸ Πάρου.

Νάξος πόλις, καὶ ναξία λίθος, ἡ κρητικὴ ἀκόνη. Νάξος γὰρ πόλις Κρήτης. ὁ γράψας ὅτι ναξία πόλις Καρίας, ὁ πολίτης ναξιεὺς καὶ ναξιώτης, λέγει καὶ ὅτι πόλις Σικελίας νάξος. καὶ κρητικὴ δὲ, ἀφ' ἧς ἡ ναξία λίθος. ἣν εἰ διὰ τοῦ ῑ γράφεις κριτικὴ, εἰλῆφθαι λέγει ἀντὶ τοῦ διακρίνουσα. καὶ φανεροῦσα. καὶ κυκλὰς δὲ νῆσος, ἐπίσημος ἡ Νάξος, ἢ ἀπό τινος Νάξου, ἢ παρὰ τὸ νάξαι, ὅ ἐστι θῦσαι. φασὶ δὲ τὰς ἐκεῖ ναξίας γυναῖκας, μόνας ὀκταμήνια τίκτειν παρὰ δωρεὰν Ἥρας. καὶ Διόνυσος δέ φασιν οὕτως ἐτέχθη. καὶ κρήνη δὲ καθ' Ἡρακλείδην ἐκεῖ, ἐξ ἧς οἶνος ῥεῖ μάλα ἡδύς.

* Ναὸς, παρὰ τὸ ἐνναίειν ἐν αὐτῷ τὸν θεόν.

Ναοκόρος, νᾶμα, ῥεῦμα, πηγαῖον ὕδωρ, ἢ ξύλινος ὀχετός.

Ναὸς ἐπὶ θεῶν, σηκὸς ἐπὶ ἡρώων. οὕτω γὰρ καὶ Πολυδεύκης λέγει.

Ναὸς, καὶ ἱερὸν ἔνθα τιμῶνται τὰ θεῖα. οἰκία καὶ οἴκημα, ἔνθα κατοικοῦσιν οἱ ἄνθρωποι. ὅθεν καὶ οἰκουρεῖν, τὸ ἐν οἴκῳ διατρίβειν.

Ναὸς, ἑτέρα οὐσία τοῦ κατοικοῦντος, παρὰ τὸ κατοικεῖν.

Ναός ἐστι, νοητὸς νοῦς καθαρὸς, τὴν πολυποίκιλον τέως σοφίαν τοῦ Θεοῦ καθιδρυμένην ἔχων ἐν ἑαυτῷ. ναὸς δὲ Θεοῦ, ὁ τῆς ἁγίας Μονάδος θεατής.

Νάουσι, ῥέουσι.

Νάπα, σύμφυτος τόπος.

Νάπαι, δρυμοὶ, φάραγγες, κοιλάδες. παρὰ τὸ πίω ῥῆμα γίνεται μετὰ τοῦ στερητικοῦ α ἄπη, καὶ μετὰ τοῦ νη ἑτέρας στερήσεως, γίνεται νηάπη, καὶ συγκοπῇ νάπη, οἱονεὶ ἡ ἄγαν πίνουσα.

Νάπαι, οἱ ὀρεινοὶ καὶ ἀναπεπταμένοι τόποι, οἱ σύμφυτοι.

Νάπαι, ὑπόκεινται τῇ σκοπιᾷ καὶ τῷ πρῶνι. ὅθεν καὶ δυσφώτιστοί εἰσι. καὶ διὰ τοῦτο ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ φωτὸς ἐτυμολογοῦνται, οἱονεὶ νάφαι. ἤγουν ἐστερημέναι φωτός. ἰστέον δὲ, ὅτι ὥσπερ ἐκ τοῦ νη στερητικοῦ κατὰ συστολὴν, καὶ ἐκ τοῦ φῶ κατ' ἐναλλαγὴν δασέος εἰς ψιλὸν γίνεται νάπη. ὡς ἀφώτιστος ἡλίῳ, διὰ τὸ πολὺ δάσος αὐτῆς, ἢ βάθος. οὕτω γίνεται καὶ νάπυ, τὸ παρὰ Νικάνδρῳ σίνηπι, παρὰ τὴν νη στέρησιν, καὶ τὸ φύω, ἵνα ᾖ νάφη τὸ ἀφυὲς, ἤγουν μικροφυές. ᾧ λόγῳ καὶ ἡ ἀφύη παρῆκται, ἡ μικροπρεπεστάτη ἐν ἰχθύσι. χρῆσις δὲ νάπηος, παρὰ τῷ κωμικῷ, ἐν τῷ κᾆβλεψε νάπυ. Ἀττικὴ δὲ ἡ λέξις.

Νάπας ἡ Κρήτη, ἐπὶ τῶν ὀρῶν τῆς Περσίδος ἱστορεῖται, ἡ φέρουσα τὰ ἄφοδα.

Ναπάται, πόλις Λιβύης πρὸς τῇ Αἰθιοπίᾳ. ὁ πολίτης, ναπαταῖος.

Νάπη, τὸ ἔδαφος, ἡ ὕλη, ἢ ὁ ὀρεινὸς τόπος.

Νάποινος, μάταιος.

Νάπος, γυναικὸς αἰδοῖον.

Νάπος, παρὰ τοῖς ποιηταῖς. νάπη δὲ παρὰ τοῖς κοινοῖς, ἡ κοιλότης τοῦ ὄρους.

Νάπυ, λαχάνου εἶδος. ἔστι δὲ δριμὺ τὴν φύσιν, ἀφ' οὗ σπέρματος, τὸ νῦν λεγόμενον σίνηπι λέγεται. νάπυ γὰρ τὸ σίνηπι λέγεται.

Νάρβων, ἡ Ναρβωνησία, ἐμπόριον καὶ πόλις κελτική. ἔστι δὲ καὶ λίμνη ναρβωνῖτις καὶ Νάρβις, πόλις ἰλλυριῶν.

Νάρδον, μυρεψικὸν ἔλαιον θηλυκῶς, καὶ ἐς κυανότριχα χαίτην, νάρδον ὑπὸ γλαυκῆς κλειομένην ὑάλου.

Νάρειν, κύειν, κρύπτειν, ζητεῖν, κυΐσκεσθαι, ἀμέλγεσθαι.

Ναρεῖ, τηρεῖ.

Νάρη, ἡ ἄφρων καὶ μωρά.

Νάρθηξ, ᾠκείωται τῷ μεθύσῳ, καὶ οὕτως ἐλαφρῷ Διονύσῳ. καὶ τὸ, πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι. καὶ ὅτι νάρθηξ νησίδιον ἐγγύς φασι Σάμου, ἐν δεξιᾷ τοῖς προσπλέουσι. οὗ ἐθνικὸν, ναρθηκουταῖος, ἢ ναρθηκούσιος, καὶ πανακείταν νάρθηκα κροτάφων, πλάγκτορα νηπιάχων.

Νάρθηξ, σημαίνει δύο. τὸν τῆς ἐκκλησίας νάρθηκα. καὶ γίνεται παρὰ τὸ νέρθεν εἶναι τοῦ ναοῦ. σημαίνει καὶ τὸν ἐν τῇ κοινῇ συνηθείᾳ λεγόμενον νάρθηκα. ἔστι δὲ καὶ ἰατρικόν τι τεῦχος.

Νάρθηξ, παρὰ τὸ νέρθεν, ἤγουν κάτωθεν τοῦ ἄμβωνος κεῖσθαι. σημαίνει δὲ καὶ τὸ κοινῶς λεγόμενον ναρθήκιον, καὶ γίνεται παρὰ τὸ νέαρον, ὃ σημαίνει τὸ ὑγρόν.

Νάρκη, ἔκλυσις μελῶν, καὶ εἶδος ἰχθύος.

Νάρκη, μυρμηκίασις, ὀκνηρία.

Νάρκη. μαλθακὴ μὲν ἐπαφᾶσθαι. ναρκᾷν δὲ τὸ πελάσαι ποιεῖ. ὃ δὴ ῥῆμα τουτέστι τὸ ναρκᾷν, παράγωγόν ἐστιν ἐξ αὐτῆς. οἷον νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ. Πλάτων μὲν ἐν μένωνι, διὰ τοῦ η ἐφη εἰπών, ὡς ἡ νάρκη τὸν πλησιάζοντα ναρκᾷ. Μένανδρος δέ φασι διὰ τοῦ α ἔφη, ὁμοίως τῷ τόλμη τόλμα. οἷον ὑπελήλυθέ μου νάρκα τις ὅλον τὸ σῶμα, μηδενὸς τῶν παλαιῶν οὕτω κεχρημένου. λέγεται δέ φασιν ἡ νάρκη τὸ ζῶον, τὴν ἀπ' αὐτῆς δύναμιν, καὶ διὰ ξύλων διαπέμπεσθαι ποιοῦσα ναρκᾷν τοὺς ἐν χεροῖν αὐτὴν ἔχοντας. ὡς δὲ σύμβολόν ἐστι τοῦ ναρκᾷν, καὶ ὁ νάρκισσος, προδεδήλωται.

Ναρκίον, ἀσκόν.

Νάρμαλις, πόλις Πισιδίας, ὡς Κάβαλις.

Νάρναξ, κιβωτὸς, * ἡ καὶ λάρναξ.

Ναρὺς, τοὺς φύλακας.

* Ναρὸν, σάρον, κόρημα, καὶ πλησμονὴν καὶ ὑγρόν.

Ναρκώσης, ἐκλύτου, ἐκλυομένης.

Ναρσῆς, στρατηγὸς Ῥωμαίων.

* Νάρπαλης, εἶδος ἀγγείου.

Νάρυξ, πόλις, ἱστορεῖται θηλυκῶς λεγομένη, ἡ καὶ Ναρύκιον, Ναρύκη. ἐξ ἧς ἦν ὁ λοκρὸς Αἴας.

Νάρφη, σκευαστὸς ἄρτος, ὁ καὶ μασιτρείς.

Νάρωνος, ὄνομα κύριον.

Νάσαι, προβαλεῖν, ἐπηεστανὸν γάλα νᾶσαι, ἢ ῥεῖν.

Νάσθαι, σκευάσαι, οἰκῆσαι, κτίσαι.

Νάθη. νάω, τὸ θέμα. ἐξ οὗ ἐνναέτης. καὶ νάσασθαι, τὸ οἰκῆσαι. ὡς κλαίω κλάω, οὕτω καὶ ναίω νήω, ἢ νάσσω, μέλλων νάσω νένακα νένασμαι. ἐκ τούτου νάστης καὶ μετανάστης, ὁ μέτοικος φυγάς.

Νασμὸς, ὁ ὄμβρος. ἀπὸ τοῦ νάω, τὸ ῥέω, ὅθεν νᾶμα καὶ ναύτης.

Νασμοὺς, τὰς ἀπορροίας. οἱ δὲ πληρώσεις, ῥεύσεις.

Νασμώδης γῆ, δίυγρος παρὰ γεωργοῖς.

Νάσσα, ἔκτισα. Ὅμηρος, καί κέ οἱ Ἄργει νάσσα πόλιν καὶ δώματ' ἔτευξα.

Νάσσα, ἀντὶ τοῦ κατῴκισα. οὐ γὰρ ναίω μόνον, ἀλλὰ νάω. ὅθεν καὶ ναέτης ὁ ἐγκάτοικος. καὶ ἐστοιοῦτον μὲν τὸ νάω νάσω, ἔνασα, νάσα καὶ νάσσα, διπλασιασμῷ τοῦ σ.

Ναστὰ, ῥαστὰ, Ῥόδιοι, καὶ Ἀττικοὶ ἄρτους καὶ ἱερὰ πέμματα.

Ναστραῖοι, οὗτοι θυσίαν μὲν οὐ θύουσιν, οὐδὲ ἐμψύχων μετέχουσιν. ἀρνοῦνται δὲ τὴν πεντάτευχον, τὸν Μωσῆν δεχόμενοι. καὶ λέγοντες ὡς οὐ ταύτην τὴν νομοθεσίαν, ἀλλ' ἑτέραν ὁ Μωϋσῆς ἐδέξατο.

Ναστῆρας, οἰκήτορας, καὶ ναετῆρας.

Ναστὸν, πυκνὸν, πλῆρες, μεστὸν, μὴ ἔχον ὑποκοῦφόν τι. διαφέρει δὲ τοῦ μανοῦ. τὸ γὰρ μανὸν ἀραιὸν, χαῦνον, ἢ ἀνωφερὲς ὡς φλόξ. ναστὸς δὲ ἀρσενικῶς, πλακοῦς, ἢ θερμὸς ἄρτος μετ' ἐλαίου. Ἀριστοφάνης πλούτῳ, ἧκε γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος. καὶ τοιοῦτον μὲν ἐν ὀξείᾳ τάσει ναστός. οὗ θέμα, τὸ ἐν Ὀδυσσείᾳ νάσσασθαι. νάστος μέν τοι βαρυτόνως, πόλις Θράκης, ἣ ἐλέγετο καὶ νεστός.

Ναστὸς, συνεχὴς ὁδοιπόρος, ὁλοσφύρητος. μὴ ἔχων ὑπόκουφά τινα.

Ναστὸς κυρίως, ἄρτος ζυμωτὸς, μετὰ μέλιτος καὶ σταφίδων καὶ ἄλλων εἰδῶν. Λυκόφρων δὲ ἁπλῶς τὸν ἄρτον εἶπε.

Ναστὸς μέγας πλακουντώδης ἄρτος. ὁ δὲ Ἀσκληπιάδης φησὶν, ἁπλῆ πλακοῦντα.

Ναστῆρες, ὑπηρέται, ἢ κεραμίδες.

Ναστοπρίον, πολύρροου.

Ναυαγῶ, ναυπηγῶ, ναυτιῶ, ναυτίλλομαι, ἀμεταβάτως.

Ναυαγία, κλυδωνισμὸς, ὡς διαφραγία.

Ναυαρχῶ, δοτικῇ συντάσσεται.

Ναύαρχος, ὁ τῆς νηὸς ἄρχων κυβερνήτης, ὁ αὐτὴν κατιθύνων ναύτης, ἐρέτης, πρωρεὺς. ἔμπορος δὲ, ὁ ἐπ' ἀλλοτρίας νεὼς τὸν πλοῦν ποιούμενος.

Ναυάγιον, παρὰ Θουκυδίδῃ, οὐδετέρως μὲν ὅταν τι τῆς νεὼς ἀποκλασθῇ, οἷον πηδάλιον, ἤ τι τοιοῦτον. ναυαγία δὲ θηλυκῶς, πᾶσα ἡ τῆς νεὼς ἀπώλεια.

Ναύαιθος, ποταμὸς Ἰταλίας, τῶν ἐξ Ἰλίου πλεόντων Ἑλλήνων, κατήχθησαν εἰς τὸν ποταμὸν τοῦτον. αἱ δὲ αἰχμάλωτοι δι' ὑποψίαν λαβοῦσαι τὴν ἐν τῇ Ἑλλάδι δουλείαν, καὶ τὴν ἐσομένην ζηλοτυπίαν τῶν γυναικῶν αὐτῶν, ἐνέπρησαν τὰς ναῦς. καὶ ὁ μὲν ποταμὸς ὠνόμασται ναύαιθος, ἀπὸ τοῦ αἴθω τὸ καίω. αἱ δὲ γυναῖκες, ναυπρηστίδες. αἱ δὲ νῆες, πρηστίδες.

Ναυαλὴς, ὁ ἐνάλιος.

Ναυατιανοὶ, αἱρεσῖται, τὰ Ναυάτου φρονοῦντες.

* Ναυάτος γὰρ ἔλεγεν μὴ δέχεσθαι τοὺς ἐπιτεθυκότας, ἐπὶ τὰ μυστήρια, ἀλλὰ προτρέπειν μὲν αὐτοὺς εἰς μετάνοιαν, τὴν δὲ συγχώρησιν, ἐπιτρέπειν θεῷ τῷ δυναμένῳ, καὶ ἐξουσίαν ἔχοντι συγχωρεῖν ἁμαρτήματα. μήτε δεῖν ἀξιοῦσθαι τῶν μυστηρίων, τοὺς μετὰ τὸ βάπτισμα εἰς θάνατον ἁμαρτίαν πεποιηκότας.

Ναυάτης, νεὼς ἐπιβάτης καὶ ὄνομα κύριον.

Νάει, ῥέει, βλύζει.

Ναυηγὸς ὁ κατεαγὼς τὴν ναῦν. καὶ ναυηγία, ἡ θραῦσις τῆς νεώς. ναυάγια δὲ, τὰ τμήματα αὐτῆς, τὰ ἀπὸ τῆς ναυαγίας.

Ναυπηλία, ἡ μετὰ νεῶν ἐργασία.

Ναύκληροι, ἐπὶ νηῶν. ναύκαροι παρ' Ἀττικοῖς, οἱ εἰσπραττόμενοι τὰ δημόσια χρήματα. καὶ ναυκαρεῖα, οἱ τόποι ἐν οἷς ἀπέκειντο τὰ τοιαῦτα χρήματα, ἢ κτήματα. ἐλέγοντο δὲ ὁμοίως ναύκαροι καὶ μισθωτοί.

Ναυκληρώσιμοι, στεγεστὰ πανδοχεῖα. ἐπεὶ ἔνιοι ἐμπορεῖα λέγουσιν, ὡς Στησίχορος ἐμπορικὸν οἶκον φησί.

Ναυκρατίτης στέφανος, ἀπὸ τῆς αἰγυπτίας Ναυκράτεως, ὁ βύβλινος, ἢ ὁ ἐκ φιλύρας, ἢ ὁ σαμψύχινος.

Ναυκράτορες, οἱ τῶν νεῶν ἡγούμενοι.

Ναῦλα, τὰ ἐφόδια.

Ναῦλον ἀπόδος, Καλλίστρατος. ὅτι τὸν ναῦλον ἀρσενικῶς, ἀλλ' οὐχὶ τὸ ναῦλον εἰώθασι λέγειν. διχάζεται δὲ καὶ ἔν τισιν ἡ γραφὴ, καὶ ἔτι παρὰ τοῖς νεωτέροις, ὁ ναῦλος ἡμῖν τῆς νεὼς ὀφείλεται. οὐ μόνον δὲ ἀρσενικῶς, ἀλλὰ καὶ ἐν τοῖς δύο λέγεται ἀλλ' ναῦλλος καὶ ναῦλον.

Ναύλοχον σκέπας, λέγει Λυκόφρων, τὸν γαλήνιον τόπον τοῦ λιμένος τῆς Ἰθάκης, ὃς ῥεῖθρος καλεῖται. ναύλοχον δὲ, ἐν ᾧ αἱ νῆες λοχῶσι καὶ ἵστανται.

Ναῦλον, τὸ εἰς τὸ στόμα τῶν νεκρῶν ἐμβαλλόμενον νομισμάτιον.

Ναύλοχοι λιμένες, δοκοῦσι λέγεσθαι, ἐκ τοῦ νηῶν ὄχοι συνθέτως, πλεονασμῷ τοῦ λ. τί σημαίνει ὁ ὄχος, βλέπε. λιμένες, ὄχοι.

Ναύλοχοι λιμένες, ἢ παρὰ τὸ λέχος, ἐν αἷς δηλαδὴ ἀναπαύονται νῆες. ὧν καὶ αἱ ἄγκυραι εὐναὶ λέγονται, ἢ κατὰ πλεονασμὸν τοῦ λ, ἵνα εἶεν ναύλοχοι, ἐν οἷς ὀχοῦνται νῆες κατὰ τὸ καὶ λιμένες νηῶν ὄχοι βαρυτόνως, ἢ ὀχοὶ ὀξυτόνως.

Ναυλοχῶ, τὸ τὰς ναῦς ἐνεδρεύω, ἢ ἀναπαύω καθιστῶν.

Ναυλοχῶ, τὸ ἐλλιμενίζω.

Ναῦμα, πόα τις παρὰ Πέρσαις, ἥν τινες πολύγονον λέγουσι.

Ναύμαχα, ὡς τὸ θαύματα προπαροξυτόνως. ἐξαιρέτως γὰρ τὰ παρὰ ῥῆμα οὐδέτερα σύνθετα μονογενῆ εἰς ον λήγοντα προπαροξύνονται, οἷον χειρόγραφον, ἀκρατόφορον, χειρότομον, οὕτω φασὶ καὶ ναύμαχον καὶ ναυμάχος μὲν ἀνὴρ, παροξυτόνως ὡς παμφάγος, καθ' ὁμοιότητα τοῦ μονομάχος, ναύμαχον δὲ δόρυ, παρὰ τὴν μάχην, ὡς ἱππόκομος κόρυς, παρὰ τὴν κόμην. ἰστέον δὲ, ὅτι τῶν τοιούτων ὀνομάτων ἀρέσκει τοῖς παλαιοῖς, ὅσα μὲν ἐκ τοῦ μάχη πεποίηται προπαροξύνειν τὸ τέλος, οἷον φιλόμαχον γένος, σύμμαχος, πρόμαχος, ἀντίμαχος, ἐπίμαχος. οὕτω γοῦν καὶ ναύμαχος αἰχμὴ, καὶ ἀκολούθως δόρυ ναύμαχον. ὅσα δὲ ἐκ τοῦ μάχεσθαι σύγκειται, παροξύνεται, πυγμάχος, ὁπλομάχος, τειχομάχος, πυργομάχος, μονομάχος.

Ναύμαχα, μακρὰ δόρατα, ὥστε καὶ ἀπὸ τῶν νεῶν μάχεσθαι. οὕτω καὶ Ὅμηρος παροξυτόνως. ὁ μέντοι ναυμάχος ἀνὴρ, προμιᾶς τονοῦται.

Ναυμαχία, ἡ διὰ πλοίων μάχη.

Ναυμάχιον, ὡς τοῦ μὴ στρατεύεσθαι, καὶ τοῦ λιπεῖν τὴν τάξιν, καὶ τοῦ τὰ ὅπλα ἀποβαλεῖν, ζημίαι ἦσαν ὡρισμέναι ἐκ τῶν νόμων, οὕτω καὶ τοῦ μὴ ναυμαχῆσαι. τοῦτο τὸ ὄφλημα, ναυμάχιον ἐκαλεῖτο.

Ναυμαχῶ, δοτικῇ συντάσσεται, τὸ διὰ νηὸς μάχομαι.

Ναυμαχησείοντες, πρὸς ναυμαχίαν ἑτοίμως ἔχοντες, ἢ ἐρῶντες τοῦ ναυμαχῆσαι, ἐπιθυμίαν ἔχοντες ναυμαχίας.

Ναῶ, πηγαῖον ὕδωρ, καὶ ἔριον. οἱ δὲ, νάρδον.

Ναύπακτος, ἣν Φίλιππος Αἰτωλοῖς προσέκρινεν, ἀπὸ ναυπηγίας Ἡρακλειδῶν, ἢ Λοκρῶν ἐκλήθη, στόλον ἐκεῖ ναυπηγησαμένων.

Ναυπηγοὶ, καὶ τέκτονες, οἱ τὰς ναῦς ἐργαζόμενοι λέγονται. φιλοτιμότερον δὲ, καὶ νεουργοὶ νεώτεροι.

Ναύπλιος, ἡ ἐν θαλάσσῃ πρόσοδος. καὶ ναυπλίειον.

Ναύποδα, μακρόποδα.

Ναῦρα, ἢ ναυρὸν, ὄγκος.

Ναυρίζειν, καταμωκᾶσθαι.

Ναῦς μακρὰς, τὰς τριήρεις φησὶν Ἀριστοφάνης ἐν ἱππεῦσι. τὰ δὲ στρογγύλα πλοῖα, φορτηγά εἰσι.

Ναῦς, τρεῖς διαθέσεις ἔχει. ναῦς ναὸς, νηῦς νηὸς, νεῦς νεὼς, ναῦς ναός. ὁ κανὼν, δύο μόνα εἰσὶν, εἰς αυς θηλυκὰ, ναῦς καὶ γραῦς. κλίνονται δὲ ἀμφότερα διὰ καθαροῦ τοῦ ος. ναὸς ἡ γενικὴ, καὶ ἀττικῶς νεώς. γίνεται δὲ, παρὰ τὸ νῶ, τὸ κολυμβῶ. ἢ νέω, παράγωγον νήχω, ὁ μέλλων νεύσω, νεῦς, καὶ ναῦς. Ὅμηρος παρετυμολογεῖ ἀπὸ τοῦ νῆσαι, ὅ ἐστι σωρεῦσαι.

* Ναυσιώσεις φλεβῶν. ὅρα ἐν τῷ ναυτιώσεις.

Ναυσθλώσομαι, νηὸς ἐπιβήσομαι, κυρίως δὲ τὸ ναῦς μισθώσασθαι. Ἀριστοφάνης, οὐ ναυσθλώσομαι.

Ναυτίασις, βδελυγμός.

Ναυσικάα, σημειῶδες. ἐπεὶ τὸ μὲν ἁπλοῦν νηυσὶ διὰ τοῦ η παρὰ τῷ Ποιητῇ, τὰ δὲ σύνθετα διὰ τοῦ α ναυσικάα, ναυσίθοος, ναυσίκλητος, καὶ τὰ ὅμοια.

Ναυσικάα κεκασμένη, ὅ ἐστι κεκοσμημένη ταῖς ναυσί.

Ναυσιπόρος, ὁ διὰ τῶν νηῶν περῶν. πλεόμενος.

Ναυσίποδες, οἱ νησιῶται, καὶ ναυθηδεῖς.

Ναύσταθμος, ὁ λιμήν.

Ναυστῆρες, οἱ οἰκέται.

Ναυστῆρα, μεγάλην, φοβεράν.

Ναυστολέειν, πλοῦν.

Ναυστολοῦ, καὶ ναυτιλλόμενοι, οἱ πλέοντες ναῦται.

Ναύσων, Κρατῖνος ὄνομα ἐποίησε τὸ ναύσων, παρὰ τὴν ναῦν καὶ τὸ κρατεῖν. πολλὰ δέ ἐστι τοιαῦτα. καὶ Ἀγάθων, λευκότερος Λεύκωνος.

Ναύτης, ὁ ἄγων τὴν ναῦν, ἢ διὰ τὸ τὰ νάματα τέμνειν, ἢ διὰ τὸ τὰ νάματα τείνειν, ἤγουν ἐλαύνειν.

Ναυτιᾷν, ἐκ τοῦ ναύτης κοινότερον. ναυσιᾷν δὲ ἀπὸ τοῦ ναῦς κοινότερον. ὅθεν ἡ ἀναυσία, ἡ στέρησις τοῦ μὴ ναυσιᾷν, ἤγουν ναυτιᾷν.

Ναυτία νάφθα, τὸ θεῖον, ἢ πίσσα ὑδατώδης.

Ναυτιάσαι, ἐμέσαι, ἀποκινῆσαι, πλακῆσαι.

Ναυτιᾶσθαι, πλέειν.

Ναυτιλία, ἡ ναυτική.

Ναυτίλος, ὁ ἰχθὺς καὶ ὁ ναύτης.

Ναυτιώσεις, αἱ παρεκχυμώσεις τοῦ αἵματος. μετενήνεκται δὲ ἀπὸ τῶν ἐν ταῖς ναυτίαις ἐμούντων, παρὰ τῷ Ἱπποκράτει.

Ναυτίλος, τὸ ἐν τῇ θαλάσσῃ ζῶον, ὃ τῷ ἑαυτοῦ σώματι πλοῖον ἀπομιμεῖται.

Ναυτιλλόμενοι, οἱ πλέοντες ναῦται.

Ναυτιῶντι, κλύδωνι περιφερομένῳ.

Ναυτοδίκαι, ἄρχοντες οἱ ἐπὶ τοῖς ναυκλήροις δικάζοντες, καὶ τοῖς περὶ τὸ ἐμπόριον ἐργαζομένοις. ὡς καὶ ναυφύλακες, ἄρχοντές τινες ἐπὶ τῆς νεῶν φυλακῆς. ἦν δὲ καὶ ἀρχή τις Ἀθήνησιν, οἱ ναυτοδίκαι.

Ναῦφιν ἐλευσόμεθα, κατὰ προσχηματισμὸν, ἀντὶ τοῦ ἀπὸ τῶν νεῶν. Ὅμηρος Ἰλιάδος μ', οὐ κόσμῳ παρὰ ναῦφιν ἐλευσόμεθ' αὐτὰ κέλευθα.

Ναῦφιν, ἤτοι ταῖς ναυσί. κρᾶσίς ἐστι τοῦ α καὶ ο εἰς τὴν αυ δίφθογγον. ἀπὸ τοῦ ναύσω γὰρ ναὸς, γίνεται ναόφι καὶ ναῦφιν. οἷον νᾶφον αἱματόμενοι, ἀντὶ τοῦ ἐκ τῶν νεῶν ἀποσοβοῦντες. σημαίνει δὲ τὸν σύροντα τὸν πόδα.

Ναύφρακτον, ἤτοι ναύσταθμον. τινὲς δὲ ναύφρακτον τὴν ἐν ναυσὶ στρατιὰν λέγουσιν. ἄλλως, ὁ ναυτικὸς στρατὸς ναύφρακτος καλεῖται.

Ναυωλίσομαι, ἱκετεύω.

Ναύων, νεωρίων.

Νάφθα, θεάφιον, θεῖον.

* Νάφθα, βαβυλωνίου ἀσφάλτου περίηθημα, τῷ χρώματι λευκὸν, δύναμιν ἔχον ἁρπακτικὴν πυρὸς, ὥστε καὶ ἐκ διαστήματος ἁρπάζειν αὐτό.

Νάφθα, ἀπὸ τοῦ ἀνάπτω, ἀνάψω, ἀνῆφα, ἀνῆμμαι, ἀνῆψαι, ἀνῆπται, νάπτα, καὶ νάφθα. παρεσκεύασται γὰρ ἐξάπτειν.

Ναφρὸν, λινοῦ ῥάμμα.

Ναχαδὸν, σαθρόν. ὁμοίως καὶ ναχελὲς, τὸ αὐτὸ σημαίνει.

Ναχιάστεως, τόπος.

ΤΟ Ν. ΜΕΤΑ ΤΟΥ Ε.

ΝΕ΄α, νεώματα. καὶ χωρίον Λήμνου, ὅπου δοκεῖ Φιλοκτήτης δηχθῆναι.

Νεάζομεν, ἀφικνούμεθα, ἢ νεωστὶ ἥκομεν.

Νεάζω, καὶ νεανιεύεται ἀμεταβάτως.

Νεάζων, μειρακιευόμενος.

Νέαι, ἡ δὲ παλαιαί. ὥρα ὡς τὸ νέον καὶ παλαιὸν καὶ ἐπὶ νηῶν τίθεται. ὅθεν ὁ Κωμικὸς λαβὼν ἀρχὴν παίζει τὰς μὲν μήπω πλευσάσας παρθένους λέγων, καὶ μήπω ἀνδρῶν ἄστον ἐλθούσας, τὰς δὲ παρ' Ὁμήρῳ παλαιὰς, γραίας ἀποκαλῶν.

Νέαι, νῆσος πλησίον Λήμνου, παρὰ τὸ νέω τὸ κολυμβῶ. ᾗ προσενήξατό φασιν Ἡρακλῆς, περὶ ἣν κατά τινας Φιλοκτήτης ἐδήχθη ὑπὸ ὕδρου. Νέα δὲ, φρούριον Μυσίας. τὸ ἐθνικὸν, Νεαῖος.

Νέαιρα, τὸ ἔσχατον μέρος τῆς κοιλίας. παρὰ τὸ νέω, γέγονε νέαιρα. καὶ νέατον. τὸ ἔσχατον, ὅθεν καὶ λαγὼν, τὸ αὐτὸ εἴρηται παρὰ τὸ λήγειν. τὸ δὲ νέω, σημαίνει τὸ σωρεύομαι. εἰς αὐτὴν γὰρ σωρεύονται τὰ ἐσθιόμενα.

Νειρήϊσιν ἵπποις, τοῖς ἀπὸ Νεαίρας. καὶ Σιμωνίδης νεαίραν γνάθον. Νέαιρα δὲ, χωρίον ἐν Λήμνῳ.

Νεακὲς, νεωστὶ ἠκονημένον.

Νεαλὲς, τὸ ἁλσὶ νεωστὶ πεπασμένον. οἱ δέγε περὶ προσφάτου καὶ νεαροῦ καὶ νεαλοῦς γράφοντες, καὶ ἑτεροῖόν τι τὸ νεαλὲς οἴδασι, πρόσφατον μὲν κρέας φάμενοι παρὰ τὸ φάσαι, ἤγουν φονεῦσαι. ὅθεν καὶ φάσγανον. νεκρὸν δὲ ὕδωρ τοῦ ἀρύειν ἐγκείμενον τῇ λέξει. νεαλὲς δὲ, τὸ νεωστὶ ἑαλωκός.

Νέαν, νεωτέραν, ἢ τὸν μίαν.

Νέανδρος, κύριον ὄνομα. ἐπεὶ νέος ἠνδρώσατο, ἢ νέος ὢν ἀνδρεῖος ἦν.

Νεάνθης, Ὀρέστης.

Νεανεία, ἡ ἔπαρσις.

Νεανίας, τολμηρὸς, παρὰ τὸ νέος γέγονε νεὰν, ὡς μέ-

ὡς μέγιστος μεγιστάν. καὶ παράγωγον ἐξ αὐτοῦ νεανίας καὶ νεανίσκος.

Νεανιεύεται, ἀλαζονεύεται, κομπάζεται.

Νεανιεύεται, νέου ἔργα πράττει. ἢ καυχᾶται, ἢ μεγαλοφρονεῖ ἐπὶ ἀνδρείᾳ. ἢ τολμᾷ.

Νεανικώτερον, τολμηρότερον.

Νεανιεύων, μειρακευόμενος.

Νεανὶς, ἡ παρθένος καὶ τὸ τῆς νεανιότητος ὄνομα, ἐπὶ τῆς παρθενίας εἴωθεν ἡ Γραφὴ τιθέναι.

Νεανίσκος, ἀπὸ ἐτῶν εἰκοσιτριῶν ἕως ἐτῶν τριακοντατεσσάρων, ἢ τεσσαράκοντα ἑνός.

Νέαον, ἀγκυροβόλιον.

Νεάπολις, ἡ Σαμάρεια. Νεαρὰ, τὰ ἀνανθῆ καὶ πρόσφατα.

Νεαροὶ, νεογνοὶ, νήπιοι, νέοι, ἀνόητοι καὶ ἀνανθεῖς.

Νεᾶσαι, μεταβαλεῖν τὴν ἠροτριωμένην γῆν.

Νεάσεται, νέος λόγος πορεύσεται.

Νέαται, συγκοπὴν ἔχει ἐκ τοῦ νενέαται, ὃ δηλοῖ τὸ οἰκοῦνται.

Νέαται. ἔστι νῶ ῥῆμα, δηλοῦν τὸ σωρεύω. οὗ ὁ παρακείμενος νένηκα, νένημαι. ἐξ οὗ γίνεται Ἰωνικῶς νενέαται. τὸ νέαται δὲ ὅμοιον τῷ δεδέχαται, δέχαται. σημαίνει νῶ, καὶ τὸ οἰκῶ.

Νέαται, κατῳκισμέναι εἰσίν. ἀπὸ τοῦ νῶ, οὗ παράγωγον νέω, ὡς τὸ κέαται καὶ νέαται Ἰλιάδος ι, πᾶσαι δ᾽ ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος, ἤτοι ἔσχατοι, ἢ κατῳκισμένοι εἰσί. συγκοπὴ δέ ἐστι τοῦ νεμέαται. ἔστι γὰρ νῶ ῥῆμα, δηλοῖ τὸ σωρεύω, οὗ ὁ παρακείμενος νένηκα, νένημαι. ἐξ οὗ γίνεται Ἰωνικῶς, νενέαται. φρυγάνων φάκελοι συννενέαται. νῶ σημαίνει τὸ οἰκῶ. ὁ παρακείμενος, νένηκα. ὁ παθητικὸς, νένημαι, νενήμεθα νένησθε νένηνται. καὶ Ἰωνικῶς, νενέαται. τὸ νέαται οὖν, ὅμοιον τῷ δεδέχαται, δέχαται.

Νεάτας ἀκρίας τῶν Αἰγυπτίων λέγει ὁ Ἀπολλώνιος, τὰς ἐσχατιὰς, ὡς ὑπερκειμένας τὴν οἰκουμένην.

Νέατος, ὁ ἔσχατος. καὶ νεάτη, ἡ ἐσχάτη. ἀφ᾽ οὗ νήτη κατὰ κρᾶσιν, ἡ τελευταία χορδὴ τῆς μουσικῆς.

Νέβελ, κεράμιον.

Νέβελ, ὄνομα κύριον. καὶ εἶδος μέτρου ἑβραϊκοῦ.

Νέβετα, πετάλματα τῶν ἱερῶν καὶ τῶν Σικελῶν.

Νεβλάραι, περαίνειν.

Νέβρακες, οἱ ἄρρενες νεοττοὶ τῶν ἀλεκτρυόνων.

Νεβρίδων, δορῶν, ἐλάφων.

Νεβρίζων. Δημοσθένης ὑπὲρ Κτησιφῶντος, τινὲς ὡς τοῦ τελοῦντος νεβρίδα ἐνημμένου, καὶ τοὺς τελουμένους διαζωννῦντος.

Νεβρίσιν, ἐπὶ τῷ νεβροὺς διασπᾶν κατά τινα ἄρρητον λόγον.

Νεβροὶ, τὰ νεογνὰ τῆς ἐλάφου. Ἰωνικὴ δὲ καὶ Ἀττικὴ ἡ κατὰ θηλυκὸν γένος προφορὰ τῆς νεβροῦ.

Νεβρὸς, οὐ τελεία ἔλαφος, ἀλλ᾽ ὁ νέως ἐπὶ βορὰν δεχόμενος. ἕτερος δέ τις γράφει οὕτω, ἐλάφων τὰ μὲν νέα, νεβροί. οἱ δὲ ἀρτίως ἐκ νεβρῶν ἐπ᾽ ἐλάφους μεταβάλλουσαι, καλοῦνται κεμάδες. τὰ δὲ τέλεια οὐκ ἄλλο τι, ἢ ἔλαφοι.

Νεβρὸς, ἐλάφου γέννημα, οἱονεὶ νέον ἐπὶ τὴν βορὰν ἐξιὸν, καὶ νεμόμενον. ἐτυμολογεῖται δὲ, ὡς καὶ νεοπόρος τὶς ὤν. καὶ νεβρείνα καρδία. πεινῶσα κερδὼ, κραδίην δὲ νεβρείην λάπτει πεσοῦσαν ἁρπάσασα λαθραίως.

Νέγρη, πολίχνιον Ἀρραβίας.

Νεδάλει, νηστεύει.

Νέδη, πόλις Ἀρκαδίας, ἀπὸ Νύμφης Νέδης. γράφεται καὶ Νεδέη, ὅθεν ὁ πολίτης νεδεήσιος.

Νεδίης, τὰς αἰθυίας.

Νέδων, ποταμὸς καὶ τόπος Λακωνικός. κλίνεται νέδωνος. ὅθεν νεδουσία Ἀθηνᾶ.

Νέεργε, μηνεῖ, χώριζε.

Νέεσθαι, πορεύεσθαι.

Νεεπάζουσιν, οἰκοῦσι.

Νέηαι, πορευθῇ, ἐπανέλθῃς. νέω τὸ πορεύομαι, τὸ ὑποτακτικὸν ἐὰν νέωμαι, τὸ τρίτον ἐὰν νέηται, καὶ Ἰωνικῶς νέηαι, ἐκβολῇ τοῦ τ. λέγεται δὲ καὶ νέηαι παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἀπέλθῃς. ἔνεστιν ὡς ἀντὶ ἀορίστου.

Νεηγενέας, ταυτόν ἐστι τῷ νεογνούς. ἔτι δὲ καὶ τῷ νεογγιλοῦς, οἱ νεογινδὶ ὄντες, τροπὴν ἔπαθον τοῦ γ εἰς λ, ὁμοίως τῷ νίτρον λίτρον, καὶ πνεύμων πλεύμων.

Νηγενὲς, νεωστὶ γεννηθέν.

Νεήκεσιν, οἱ μὲν ἀντὶ τοῦ νεωστὶ ἠκονημένοις. οἱ δὲ τοῖς ἔχουσι νέαν ἀκὴν, ὅ ἐστιν ἀκωκὴν καὶ ὀξύτητα. διό φασι καὶ ὤφειλεν ὀξύνεσθαι κανόνι τούτῳ. τὰ εἰς η λήγοντα θηλυκὰ, ποιοῦντα ἐκ συνθέσεως ἀρσενικὰ εἰς ης ἐπιθετικὰ, ὀξύνονται ὅταν ἔχωσιν οὐδέτερον παρεσχηματισμένον, καὶ τὴν γενικὴν περατουμένην εἰς ους, οἷον τύχη ἀτυχής. διότι τὸ μὲν οὐδέτερον εἰς ες. ἡ δὲ γενικὴ εἰς ους. πύλη, ἀπυλής. διότι ἀπυλὲς τὸ οὐδέτερον ἐν Ὀδυσσείᾳ, καὶ ἡ γενικὴ ἀπυλοῦς. ἐχρῆν οὖν φασιν ὀξύνεσθαι καὶ τὸ νεήκης. ἔχει γὰρ θηλυκὸν τὴν ἀκμήν. προῦπαρχον καὶ οὐδέτερον εἰς ες. καὶ γενικὴν εἰς ους. ἀλλ᾽ ἡ παράδοσις βαρύνει αὐτὸ κατὰ συνεκδρομὴν τοῦ ἀμήκης, καὶ μεγακήτης, καὶ τῶν τοιούτων. βαρύνεται δὲ ὁμοίως καὶ ξυρήκης, ὁ ξυρέσιμος, καὶ κουρειῶν, ὥς φησιν Αἴλιος Διονύσιος.

Νεηκλᾶ, λικμᾷ.

Νεήλατα ἄλφιτα, τὰ νεωστὶ ἀληλεσμένα, ἃ δὴ μέλιτι ἀναδεύοντες, ἀσταφίδας τε καὶ χλωροὺς ἐρεβίνθους ἐπεμβαλόντες, τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον. ἐκάλουν δὲ αὐτὰ οἱ μὲν ἀμβροσίαν, οἱ δὲ μακαρίαν. κατ᾽ ἔλλειψιν δὲ προφέρουσιν οἱ Ἀττικοὶ νεήλατα, μὴ προστιθέντες τὸ ἄλφιτα.

Νεηλάτης, ὁ ἰθύνων, ἢ ἐλαύνων τὸ πλοῖον.

Νεήλατον, νεοτευχές.

Νέηλυς, ὁ νεωστὶ ἐληλυθώς. τὰ εἰς υς σύνθετα, εἰ μὲν ὦσιν ἀπὸ τῶν εἰς υς ἁπλῶν συντεθειμένα, τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν. οἷον βραχὺς βραχέος, τρίβραχυς τριβράχεος, ὀφρῦς ὀφρύος, λευκόφρυς λευκόφρυος. εἰ δὲ ἀπὸ ἄλλων τινῶν εἰσὶ συντεθειμένα, διὰ τοῦ δος κλίνονται. οἷον, ἔπηλυς ἐπήλυδος, νέηλυς νεήλυδος. ταῦτα γὰρ οὐκ ἀπὸ τῶν εἰς υς ἁπλῶν εἰσι συντεθειμένα, ἀλλ᾽ ἀπὸ τοῦ ἐλεύθω, γίνεται ἤλυς καὶ νέηλυς.

Νέην, νέαν, καινήν.

Νεῖ, πλέει.

Νεῖαι, πορευθήσῃ.

Νεῖα, ξύλα τὰ εἰς κατασκευὴν νεῶν ἐπιτήδεια.

Νείαιραν γαστέρα λέγει ὁ ποιητής, ἢ τὴν ἐσχάτην κατὰ βάθος, ἢ δι᾽ ἧς νέονται τὰ σιτία. ἵνα ἡ νέαιρα καὶ ἐπενθέσει τοῦ ι ὦσι πρὸς διαστολὴν τοῦ κυρίου, νείαιρα * τὸ ἔσχατον μέρος τῆς κοιλίας.

Νειὰ, ἐπὶ δράκοντος, φωλεὰ ἐπὶ θηρίων. ὀπὴ, ἐπὶ μυρμήκων, καὶ μυῶν.

Νείατα πέρατα γῆς, ἤγουν ἔνθα καὶ ἡ ἀπείρων γῆ τελευτᾷ.

Νειᾶνται, οἰκοῦνται.

Νείατον πόδα Ὅμηρος καλεῖ, τὰ κατώτατα τῶν ὀρῶν μέρη.

Νείατος, ὁ ἔσχατος, κατώτατος.

Νεικέα, φιλονεικία, ἔχθρα.

Νεικείειν χολωτοῖς ἐπέεσσι, πρὸς διαστολὴν εἴρηται τοῦ ἄλλως νεικεῖν, οἷον μαχίμως. δῆλον γὰρ ὡς νεῖκος, καὶ ὁ πόλεμος λέγεται. χολωτὸν δὲ ἔπος, τὸ ὀργίλον, ἀστείως οὕτως ὀνομασθὲν, ἵνα ὥσπερ ὁρατὸν τὸ ὑποκείμενον τῇ ὁράσει, καὶ ὀσφραντὸν τὸ τῇ ὀσφρήσει, οὕτως εἴη καὶ τὸ χολωτὸν ἔπος, ὃ ὑπόκειται τῷ χόλῳ, οἷα μὴ νοὸς γεννῶντος αὐτὸ, ἀλλὰ χόλου.

Νεικείεσκε. νεικέω, καὶ πλεονασμῷ τοῦ ι νεικείω. ἀφ᾽ οὗ τὸ νεικειέσκω, ὡς ἀπὸ τοῦ ζώω ζωέσκω.

Νεικείησιν, ἐκ τοῦ νεικείω, ἐὰν νεικείω νεικείῃς νεικείῃ, προσχηματισμῷ τῆς σι νεικείῃσιν. ἢ ἐκ τοῦ νεικῶ, καὶ πλεονασμῷ τῆς ει διφθόγγου νεικείω, ἀφ᾽ οὗ ὑποτακτικὸν, ἐὰν νεικείω, τὸ τρίτον νεικείῃ, καὶ πλεονασμῷ τοῦ σι νεικείῃσι.

Νεικεῖν καὶ ὀνειδίζειν, ταυτόν. Ὅμηρος ἑρμηνεύων τὸ νείκεσσεν, ἐπάγει ὀνείδιον φάτο μῦθον.

Νεικέσαι, παρ᾽ Ὁμήρῳ τὸ λοιδορῆσαι.

Νεικῆσαι, ἐρόσαι.

Νείκησεν, ὕβρισεν, ἐφιλονείκησε. καὶ νεικείησιν, ἀπὸ τοῦ νεικῶ νεικείω νεικείῃ. καὶ ἐκτάσει τῆς σι συλλαβῆς, νεικείησι.

Νείκεσεν, ἐνείκησεν, ὑμνεῖ, ᾄδει.

Νείκεσεν, εἴρηται παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ κατεδίκασε φιλονεικῶς, καὶ ὀνειδιστικῶς, ἢ ὕβρισε.

Νεικέστιος, πολέμιος.

Νεικίων, ὀνειδίζων.

Νεῖκλον, τὸ λίκνον.

Νεῖκος, διαφορὰ, μάχη, φιλονεικία.

Νεῖκος, τῆς παλαιᾶς ἐστὶ χρήσεως. ὡς γὰρ βλάβος καὶ δίψος, οὕτω καὶ νεῖκος. ἐξ οὗ καὶ ἡ φιλονεικία. τὰ μέν τοι κοινὰ βλάβη, καὶ δίψα, καὶ νίκη, οὕτω δὲ καὶ ἡ νάπη, νάπος, παρά τε Εὐριπίδῃ, καὶ ἑτέροις. καὶ ἡ κνίσση δὲ κνῖσος. καθὰ δηλοῖ καὶ ὁ γράψας, ἀντὶ τοῦ κνίσσῃ μελδόμενος, κνίσσῃ δίχα τοῦ ν. εἴρηται δὲ καὶ νίκη νῖκος λεγομένη, ὡς καὶ ἡ σκάφη σκάφος, καὶ ἡ πάθη πάθος.

* Νείλεως, φάρμακον ἐμπλαστῶδες. καὶ ὄνομα κύριον.

Νειλόεν νᾶμα, τὸ τοῦ Νείλου.

Νεῖλος, ἀπὸ νειλέως· ὃς μετὰ μάχην ἔκτισεν Ἀκράτιν. ἢ ἀπὸ τοῦ νάειν ναίως, ὅ ἐστι κατὰ συστροφήν, ἢ παρόσον νέαν ἰλὺν φέρει. ἢ κατ᾽ ἔτος πλημμυρῶν, ὡρισμένον χρόνον νεάζειν δοκεῖ. Ἄλλως.

Νεῖλος ὁ ποταμὸς, παρὰ τὸ νέω τὸ ῥέω καὶ τὸ ἰλὺς, νέϊλος, καὶ κατὰ συναίρεσιν, νεῖλος, οἱονεὶ ὁ ῥέων ἰλύν. ὁ γὰρ νεῖλος, ἰλυώδης ἐστίν. ἢ ὥσπερ παρὰ τὸ πένθος γίνεται πένθιλος, καὶ τρωὸς τρωΐλος, καὶ ζωὴ ζωΐλος, οὕτω καὶ παρὰ τὸ νέω νέϊλος, καὶ νεῖλος. καὶ γὰρ νέος κατ᾽ ἔτος γίνεται. πλημμυρεῖ γὰρ κατ᾽ ἔτος, καὶ ποτίζει πᾶσαν τὴν Αἴγυπτον. ἢ παρὰ τὸ νέαν ἰλὺν ἄγειν ἐν τῇ ἀναβάσει. καὶ πῶς ἔχει νέαν ἰλὺν, ἐπειδὴ ἐναντίως φέρεται πρὸς τοὺς λοιποὺς ποταμούς. οἱ μὲν μὲν γὰρ λοιποὶ τῷ χειμῶνι πλημμυροῦσι, τῷ δὲ θέρει ἀνεκτότερον ποιοῦσι τὸν ῥοῦν. οὗτος δὲ τοὐναντίον. τῷ μὲν γὰρ χειμῶνι ἀνεκτότερον ῥεῖ, τῷ δὲ θέρει πλημμυρεῖ, καὶ ἐξερχόμενος ποτίζει πᾶσαν τὴν γῆν ἐκείνην.

Νεῖμ᾽ Ἀχιλλεὺς, ἀντὶ τοῦ ἐμέρισε κατὰ μοίρας, ὅθεν καὶ κρεανόμος. τοιοῦτον τὸ ἀπένειμε.

Νεῖν, τὸ κολυμβᾶν, κυρίως ἐπὶ ἀνθρώπων.

Νεῖμεν, δέδωκεν.

Νεῖμον, ὄρχησαν.

Νεῖν, καὶ νήχεσθαι, οὐ κολυμβᾶν. νεῖσθαι, κολυμβᾶν.

Νειόθεν, κάτωθεν, ἐσχάτως.

Νειόθεν, συγκέκοπται ἐκ πρωτοτύπου νειατόθεν.

Νειόθι, συγκέκοπται πάντως. ἐκ τοῦ νείατον γάρ ἐστιν, εἰ μή τι ἄρα προϋπάρχει αὐτοῦ τὸ νεῖον, ἐξ οὗ παρῆκται τὸ νείατον, ὁμοίως τῷ τρίτατον, καὶ τοῖς κατ᾽ αὐτό.

Νειοῖς, νηχίοις. λέγει δὲ τὸν πυθμένα, ὥσπερ τῆς νεὼς τὸ προτιθέμενον.

Νειὸν βαθεῖαν λέγει Ὅμηρος, τὴν ὀφείλουσαν, ἢ δυναμένην εἰς βάθος σχίζεσθαι. πρωτότυπον δὲ αὐτῆς τὸ νεᾶν, οὗ χρῆσις παρ᾽ Ἡσιόδῳ, ἐν τῷ θέρεος δὲ νεωμένη οὔ σε ἀπατήσει. ἐξ οὗ παρὰ Σοφοκλεῖ, τὸ ἀνανεώσασα λόγους, τὸ ἀνακινῆσαι. εἰπεῖν δὲ καιριώτερον, ἀναπολῆσαι.

Νεῖον, τὸ νέον, παρὰ τῷ Ἱπποκράτει.

Νειὸς, ἡ ἄρτι νεαζομένη γῆ. κατὰ δὲ τοὺς παλαιοὺς εἰπεῖν, ἀνανεομένη.

Νειὸς, κυρίως μὲν ἡ νεωστὶ μεταβεβλημένη γῆ, τουτέστιν ἠροτριωμένη. νέα γὰρ λέγεται ἀπὸ τοῦ νέα φαίνεσθαι νέῳ ἐνὶ τριπόλῳ. λέγεται δὲ καὶ πᾶσα πληθύη χώρα, ἢ θάλασσα.

Νειόπατον, κατώτατον.

Νειόφατον, νεόκρατον.

Νεῖπτα, ἔσχατα.

Νειρεὺς, ὁ κόχλος. Νηρεὺς δὲ, ὁ θαλάσσιος, ἢ. νιρεὺς δὲ, ὁ εὔμορφος ι.

Νειρὴ, κοιλία ἐσχάτη.

Νειρὸν, σφοδρὸν, ἔσχατον.

Νείσσονται, ἀντὶ τοῦ πορεύονται διὰ διφθόγγου καὶ δύο σσ. τὸ μὲν ὅτι ἀπὸ τοῦ νέομαι. τὸ δὲ, ὅτι τετάρτης ἐστὶ συζυγίας, ὡς τὸ βδελύσσομαι, καὶ φοινίσσομαι.

Νεῖται, ἀφίξεται, ἐλεύσεται.

Νείφει, βρέχει, ἀπὸ τοῦ νέφος. ἐξ οὗ νόφος, καὶ γνόφος, γίνεται νέφω καὶ νείφω.

Νεκάδεσσιν ἐν αἰνῇσιν, ὅ ἐστι δειναῖς, ἢ αἰαναῖς νεκάδεσσι. λέγει δὲ νεκάδας τὰς τάξεις τῶν νεκρῶν, Ὅμηρος.

Νέκες, νεκροὶ, ἀνίαι, ἀρχαῖοι, νέοι.

Νεκρὸς, ἀπὸ τοῦ νε στερητικοῦ καὶ τοῦ κῆρ ἡ ψυχή. καὶ ἀκήριος, ὁ μὴ ἔχων κῆρ. οἷς καὶ ὁ νῶκαρ συστοιχεῖ, παρὰ τὴν νω στέρησιν, καὶ τὸ κὰρ, ὅ ἐστι κῆρ, ἡ ψυχή.

Νέκταρ ἐτυμολογεῖται, ἀπὸ τοῦ κτῶ, τὸ κτῶμαι καὶ τοῦ νε στερητικοῦ. οἱονεὶ τὸ ἄκτητον, ὃ οὐδενὸς θνητοῦ γίνεται κτέαρ, ἤτοι κτῆμα. ἡ δὲ ἀμβροσία, ἡ ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ βροτὸς, ἣν οὐδεὶς ἔχει βροτὸς, πλεονάζοντος τοῦ ν πρὸ τοῦ β, διὰ ὄγκον φωνῆς, ὡς ἐν πολλοῖς γίνεται. ἢ μάλιστα ἐκ τοῦ ὑπερβαίνειν ῥοὴν, ἤγουν ὑπὲρ ἄνω εἶναι φθορᾶς. νέκταρ παρά τισι λέγεται, ἡ ξηρὰ ἐν θεοῖς τροφή. ἀμβροσία δὲ, ἡ ὑγρά. ἢ νέκταρ παρὰ τὸ ἀεὶ κτέαρ νέον εἶναι. ἡ νέκταρ, θεῖον πόμα. καὶ νεκτάρεον πόμα, τὸ θαυμαστὸν, καὶ ἀκήρατον. ἡ νέκταρ, τὸ τῶν θεῶν πόμα, οἱονεὶ τὸ συνέχον τοὺς πίνοντας αὐτὸ ἐν νεότητι. παρὰ τὸ ἔχω, καὶ τὸ νέον, γέγονε νέκταρον, καὶ κατὰ συγκοπὴν νέκταρ. διὸ καὶ ἡ Ἥβη αὐτὸ κιρνᾷ. τινὲς ἐπὶ τοῦ θείου νάματος. παρὰ τὸ νε στερητικὸν καὶ τὸ κτῶ, γέγονε νέκταρ. οἱονεὶ τὴν στέρησιν ποιοῦν τοῦ κτᾶσθαι καὶ φονεύεσθαι τοὺς πίνοντας αὐτό. ἀφ' οὗ δηλοῦται, τὸ ἀθάνατον. οἷον τὸ μὴ κτεῖνον διδόμενον. κατὰ δέ τινας, τὸ νέκταρ πίνεται κατὰ μῦθον, ὥσπερ αὖ πάλιν ἀμβροσία ἐσθίεται. καὶ ἔστιν αὕτη μὲν ἀναβαίνουσα ῥοὴ κάτωθεν δηλαδή. ἐκεῖνο δὲ μὴ καταρρέουσα ὑγρότης, ἀλλὰ δαπανωμένη ἄνω, ὑφ' ἧς οἱ ἀστέρες τρεφόμενοι διαγίνονται. ἢ καὶ ἄλλως νέκταρ, καὶ ἀμβροσία, αἱ ἐκ γῆς ἀναβαίνουσαι ῥοαὶ, ὑγραὶ, καὶ αὖθις νέον καταρρέουσαι. ἀφ' ὧν καὶ οἱ ἀστέρες δοκοῦσι τρέφεσθαι. ὁ δὴ Ὠκεανὸς κύκλῳ ῥέων, ὑπὸ τῶν παλαιῶν νοεῖται, καὶ ὑφ' Ὁμήρου Ὠκεανὸς θεῶν γένεσις λέγεται.

Νεκτάρας, μάστιγξ.

Νεκτάρεος ἑανὸς, ἤγουν θεῖος, ἀπὸ τοῦ πολλαχῶς δηλουμένου νέκταρος. ὡς ἀπὸ ἀμβροσίας ὁ ἀμβρόσιος, καὶ ἀπελεύσει τοῦ ι νεκτάρεος.

Νεκταροῦσιν, ἐλαφρίζουσιν.

Νεκύας ἄγειν, τὸ νεκραγωγεῖν παρήγαγεν. οὕτω καὶ δάκρυα χέειν συντίθησι, δακρυχέειν. τὸ δὲ ἄγειν ἰσοδυναμεῖ καὶ νῦν τῷ φέρειν.

Νεκυδάλαος, τὸ ἐκ τοῦ βόμβυκος ζῶον, ἢ ὁ σκώληξ τῆς κάμπης.

Νέκυι κατατεθνειῶτι παρὰ τῷ ποιητῇ, λέγεται κατὰ τὸ παρέλκον, ὡς ἐν ἄλλοις ἁπλῶς οὕτω τέθειται, τὸ τεθνειῶτι.

* Νεκύα, ἡ τῶν νεκρῶν ἑορτή. καὶ νεκυοστόλοι ὁ τοὺς νεκροὺς διαπερῶν.

Νέκυν, νεκρόν. εἴρηται δὲ παρὰ, τὸ νήκηρος ὁ μὴ ἔχων κέαρ, ὅ ἐστι ψυχήν.

Νεκυομαντία, ἡ νεκρομαντία.

Νέκυς, ὁ νεκρός. ἐστι κίκυς, ἡ δύναμις, καὶ μετὰ τοῦ νε στερητικοῦ νεκίκυς, ὁ ἐστερημένος τῆς κίκυος, καὶ κατὰ συγκοπὴν νέκυς. ἢ ὥσπερ παρὰ τὸ ἵππος γίνεται ἱππὺς, καὶ κόπος κοτὺς, οὕτω καὶ ἀπὸ τοῦ νεκρὸς νεκρὺς, καὶ ἀποβολῇ τοῦ ρ, καὶ μεταθέσει τοῦ τόνου, νέκυς.

Νεκύων κατατεθνηώτων, ὅτι θατέρα λέξις περιττῶς κεῖται, πολλαχοῦ δεδήλωται.

Νεκύων ἐν ἀγύρει, καθ' ὁμοιότητα εἴρηται τῶν νεῶν ἐν ἀγῶνι πεσόντα, ἵνα ᾖ ταυτὸν ἀγὼν καὶ ἄγυρις. ἐστι δὲ ταυτὸν νεκύων ἀγύρει εἰπεῖν, καὶ νεκάδι, ὃ ἀλλαχοῦ κεῖται, ὡς περιεκτικόν.

Νεκυώτατον, νεώτατον, προσφατώτατον.

* Νέμαυσος, πόλις Γαλλίας. ἀπὸ Ναμάσου Ἡρακλείδου.

Νεμέα, ὄρος ἐν Ἄργει. ἔνθα ἦν ὁ λέων, εἰς ὃν πρῶτον ἆθλον Ἡρακλῆς ἐποιήσατο φονεύσας αὐτὸν, ὡς νεμόμενον καὶ ἀφανίζοντα τοὺς ἐν Ἄργει τόπους.

Νέμεα, καὶ Ἴσθμια, τόποι ἐν οἷς ἐτελοῦντο ἐπέτειοι ἀγῶνες. ὅθεν καὶ λέων νεμεαῖος, ὃν ἐκεῖ νεμόμενον ἀνεῖλεν Ἡρακλῆς. λέγεται δὲ καὶ θηλυκῶς Νεμέα, ὁ τόπος.

Νεμεάδες πύλαι, ἔνιοι τὰς ἐν τῇ Κορινθίᾳ κακῶς. τοῦ γὰρ Ἄργους εἰσὶ τοὔνομα λαβοῦσαι διὰ τὸ πρὸς τῇ νεμέᾳ τετράφθαι. καὶ νεμεάδες ἰχθύες, βλαστοὶ, ὄρη ἀνειμένα, ἀπόγονοι λειμῶνες.

Νεμέθοντο, ἐνέμοντο, ἀπὸ τῆς νεμήσεως.

Νεμέας χαράδρας, τόπος τὶς ἐκαλεῖτο ἐν Πελοποννήσῳ πλησίον τῆς νεμέας χαράδρας.

Νέμεια, ἑορτὴ καὶ πόλις.

Νεμειαῖον, ὄρος Πελοποννήσου, καὶ πόλις νέμεια. ἔνθα ἦν ὁ νεμειαῖος λέων.

Νέμειν, διαιρεῖν, μερίζειν, βόσκειν, νομίζειν. ἀναγινώσκειν, καὶ χειρονομεῖν, Ἴωνες.

Νέμεις, ἀναγινώσκεις.

Νεμενίαν, νουμενίαν.

Νεμεσᾷν, καὶ νεμεσίζεσθαι, ὡς ἐπὶ πολὺ μὲν λέγεται, τὸ δικαίως μέμφεσθαι. οἷον Ζεῦ πάτερ, οὐ νεμεσίζῃ ὁρῶν τάδε ἔργα. καὶ νεμεσίσαι τέκεν ἀνὴρ αἴσχεα πόλλ' ὁρόων. καὶ νεμεσίζεσθαι θεόν τις λέγεται, ἀντὶ τοῦ δεδιέναι, καὶ δι' ἐπιστροφῆς ἔχειν. ἰστέον δὲ, ὅτι τὸ πρωτότυπον καὶ τοῦ νεμεσῶ, καὶ τοῦ νεμεσίζω, τὸ νεμῶ περισπώμενον, οὗ διχῶς ὁ μέλλων νεμήσω, ἐξ οὗ τὸ ἐνεμήσατο, καὶ διανεμῆσθαι. ἔτι δὲ νεμέσω. οὗ ἀναχθέντος εἰς ἐνεστῶτα, προάγεται τὸ νεμεσίσω. ἐξ οὗ ἡ νέμεσις. ἀποβολῇ τοῦ ω κατὰ τὸ ὑβρίζω ὑβρίσω, καὶ τὰ ὅμοια.

Νεμεσᾷν, τὸ ὑπὲρ τοῦ δικαίου ἀγανακτεῖν καὶ μέμφεσθαι.

Νεμέσεις θέας, Ἀθηναῖοι τὰς ἐν τῷ θεάτρῳ καθέδρας, ψηφίσματι νενεμημένας προεδρίας ἱερεῦσι.

Νεμεσηθεὶς, κεῖται παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐπιλαβηθεὶς τὴν νέμεσιν.

Νεμεσήθητε, αἰσχύνθητε.

Νεμεσήσομαι, φθονήσω. καὶ νεμεσῆσαι, μέμψεσθαι.

Νεμεσητὸς, ποιητὸς, μεμπτὸς, καὶ τὰ ὅμοια, πάθους ἐστὶ δηλωτικά. ἴσως δὲ καὶ ὥσπερ λαλητὸν ζῶον ὁ ἄνθρωπος, ὡς λαλῶν, οὕτω καὶ νεμεσητὸς Ἀχιλλεὺς, ὁ νεμεσῶν. δύναται δὲ καὶ κατὰ πάθος νεμεσητὸς νοηθῆναι, ὡς νεμέσεως ἄξιος.

Νεμεσητὸς δέ ἐστι κατὰ τοὺς παλαιοὺς, ἢ ὁ ἑκάστῳ τὸ δέον ἀπονέμων. ὅθεν καὶ νέμεσις, ἥτε τοῦ μύθου καὶ ἡ ἀλληγορουμένη, ἢ ὁ ἑτοιμομεμφὴς, καὶ μεμψίμοιρος.

Νεμεσήσεται, μέμψεται. καὶ νεμεσᾷ, καὶ νεμεσήσεαι. ἀπὸ τοῦ νεμεσῶ δευτέρας συζυγίας, περὶ πάθους ἐνεστῶτος ἰωνικοῦ.

Νεμεσητικὸς, ὁ ἐναντίος τῷ φθονερῷ. ὁ μὲν γὰρ φθονερὸς, λυπεῖται ἐπὶ ταῖς τῶν καλῶν εὐπραγίαις. νεμεσητικὸς δὲ, ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις.

Νεμεσίζει, μέμφεται.

Νεμεσία, Δημοσθένης ἐν τῷ κατὰ Σπουδίου, μήποτε ἑορτή τις νεμέσεως, καθ' ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα. νεμεσία οὖν, ἡ ἐπὶ τοῖς νεκροῖς γινομένη πανήγυρις. ἐπεὶ ἡ νέμεσις ἐπὶ τῶν νεκρῶν τέτακται.

Νεμεσίζομαι δηλοῖ τὸ δικαίως μέμφομαι. εὕρηται δὲ καὶ νεμεσῶμαι. ὥστε διφορεῖται καὶ αὐτὸ, καθὰ καὶ τὸ προκαλῶ προκαλίζω, καὶ ἕτερα μυρία, ἐν οἷς σέβω σεβίζω.

Νεμεσίζομαι, ἀπὸ τοῦ νεμεσῶ νεμεσίζομαι κατὰ παραγωγήν. ὡς ἀπὸ τοῦ προκαλοῦμαι προκαλίζομαι. ὧν τὰ μὲν εἰσι κοινά. τὸ δὲ νεμεσίζομαι, καὶ προκαλίζομαι, ποιητικά.

Νέμεσις, μέμψις, μομφή, οἶμαι ἀπὸ τοῦ νεμῶ γίνεται. ἡ δοτικὴ, νεμέσει. ἐκ τούτου νεμέσσι. τροπῇ τοῦ ε εἰς σ. ἢ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ σ, Ἰλιάδος ζ', οὔτοι ἐγὼ Τρώων τόσον χόλῳ, οὐδὲ νεμέσσι ἥμην.

Νέμεσις, κυρίως ἡ ἐξ ἑτέρων μέμψις, πρὸς τὸν κακόν τι πράσσοντα, εἴτε διορθοῖτο ἐκεῖνος, εἴτε μή. αἰδὼς δὲ ἡ διὰ νέμεσιν γενομένην πρός τινων. εἴτε καὶ ἐλπιζομένην, ἐπιστροφὴ καὶ διόρθωσις τοῦ κακοῦ. καὶ εἴτις δὲ ἑαυτῷ νεμεσῶν διορθοῖτο. καὶ ἡ τοιαύτη νέμεσις τῆς ἐλπιζομένης ἐξ ἑτέρων νεμέσεως ἤρτηται, καὶ εἰς αἰδῶ ἀποτελευτᾷ. καὶ ταῦτα δηλοῖ Ὅμηρος εἰπὼν, νεμεσσήθητε καὶ αὐτοὶ, ἄλλους τ' αἰδέσθητε περικτίονας ἀνθρώπους. εἶτα ἑρμηνεύων τίνες οἱ περικτίονες, ἐπάγει, οἳ περιναιετάουσι.

Νέμεσις, δίκη, καὶ ἀδράστεια, ταυτόν. οὐ νέμεσις. παρ' Ὁμήρῳ. ἤτοι οὐ νεμεσητὸν, καὶ δικαίως μεμπτόν.

Νέμεται, οὐκ ἐπὶ πυρὸς μόνον λέγεται, ἀλλὰ καὶ ἐπὶ βοσκημάτων, καὶ ἐπ' ἀνθρώπων. καὶ νέμεται, ἀντὶ τοῦ δίδοται.

Νέμεται ἡ νόσος τοὺς Ἀχαιούς. νέμω, μέλλων νεμῶ. καὶ νέμω νεμήσω, ὡς ἐθέλω ἐθελήσω. ἀπὸ τοῦ νέμω νεμῶ, τὸ ἔνειμα καὶ ἐνεμάμην. ἀπὸ δὲ τοῦ νεμῶ νεμήσω, τὸ νεμηθέν. νέμομαι δὲ, τὸ βόσκομαι. καὶ νέμομαι, τὸ πορεύομαι ποιητικῶς, νέμω καὶ διανέμω τοῖς πτωχοῖς τὰ προσόντα.

Νεμήσασθαι, διαμερίσασθαι.

Νέμομαι, τὸ βόσκω. ὅθεν νομὴ ἡ βοσκή. καὶ εὐνομία ὅταν νομῆς εὖ ἔχωσι τὰ ζῶα. ἀπὸ δὲ τοῦ νέμω, τὸ μερίζω, νόμος καὶ διανομὴ, ἡ πρὸς πολλοὺς δόσις, καὶ ἕνα. ὅθεν καὶ ἀνομία, ὅταν κακῶς ὑπὸ νόμων διοικῆται.

Νέμομαι, τὸ διάγω. Πίνδαρος, ἀδακρυν νέμονται αἰῶνα.

Νέμοιτο. Ὅμηρος, ὄφρα νέμοιτο. καὶ ὅρα, τὸ νέμοιτο ἐπὶ ἀνθρώπων λέγεσθαι, καὶ λαβὼν ἐξ Ὁμήρου ἀρχήν. ἀπὸ τούτου δὲ καὶ τὸ νέμος παρήχθη, οὐδέτερον ὄνομα.

Νέμος ἐπάκτιον, τὸ ἄλσος, τὸ ὄρος, τὸ παράλιον. Σοφοκλῆς, πάραλά τ' ἄντρα καὶ νέμος ἐπάκτιον.

Νέμος, σύνδενδρος τόπος, καὶ νομὴν ἔχων, καὶ τὸ γυναικεῖον αἰδοῖον, καὶ νάπος, καὶ τὸ τοῦ ὀφθαλμοῦ κοῖλον.

Νέμος σκληρὸν, πρὸς διαστολὴν λειμῶνος. αὐτὸς γὰρ Ἡλίῳ ἔκκειται, ὡς ἐπιπολύ. τόπος δέ ἐστι δασὺς τὸ νέμος, ἐπιτήδειος εἰς νομήν.

Νέμω, σημαίνει τέσσαρα. τὸ μερίζω, ἐξ οὗ καὶ νόμος ὄνομα. τὸ βόσκω, ἐξ οὗ καὶ νομάς ὁ βοσκός. καὶ σύννομοι, οἱ ὁμοῦ βοσκόμενοι ἵπποι, καὶ νομὴ ἡ βοσκή. τὸ πορεύομαι, τὸ φθονῶ καὶ μέμφομαι. ἐξ οὗ καὶ νέμεσις, ἡ μέμψις. νέμειν, διαιρεῖν, μερίζειν, βόσκειν.

Νέμω, τὸ βόσκω, καὶ τὸ δίδωμι, καὶ τὸ διοικῶ ποιητικῶς. νέμομαι δὲ, τὸ βόσκομαι. καὶ νέμεται τὴν ὕλην, τὸ ἀπὸ τούτου πῦρ. καὶ νέμομαι, τὸ πορεύομαι ποιητικῶς, ἀπονενέμητο, ἀντὶ τοῦ κεκλήρωτο. διανενέμητο δὲ, ἀντὶ τοῦ διαμεμέριστο. τὰ ῥήματα, ἀπονέμω καὶ διανέμω. καὶ ἔστιν ἀπονέμω, οἱονεὶ τὸ πάντα ὁρίζω ἀμετάθετον. ὡς ἔφαμεν, ἀπένειμεν ὁ Θεὸς τῇ ἡμέρᾳ τὸν Ἥλιον, καὶ τῇ νυκτὶ τὴν Σελήνην. καὶ οὕτω τῇ καθ' ἡμᾶς φύσει, τὸ ἄνωθεν ἀγαθὸν ἀπονενέμητο. διανέμω, τὸ ὅπερ ἔν τι ὂν ὑφ' ἑνὶ ταττόμενον διῃρημένως πρὸς διάφορα πρόσωπα δίδομεν, ὡς τὸ διένειμε τὸν χρυσὸν, ἀντὶ τοῦ πρὸς πολλοὺς τοῦτον ἐξέχεε. καὶ διένειμαι τὸν κλῆρον, καὶ τὸν πλοῦτον τοῖς πτωχοῖς, ἀντὶ τοῦ διασκορπίσας ἔδωκε.

Νεναμένην, ἠρτισμένην νενασμένας, πεπληγμένας. καὶ νενασμένας, ἐπιεικῶς.

Νέναστai, ἀπὸ τοῦ νάζω, ἢ τοῦ νῶ, τὸ σωρεύω. ἤγουν ὑπέστρωται, σεσώρευται.

Νεναυμαχηκὼς, ἐν πλοίῳ πολεμήσας.

Νένασται, σεσώρευται. ἀπὸ τοῦ νάω νῶ, τὸ σωρεύω.

Νενίαται ἐστὶ νῶ, τὸ σωρεύω. ὁ παρακείμενος νένηκα, ὁ παθητικὸς νένημαι, τὸ τρίτον τῶν πληθυντικῶν νένηνται, καὶ ἰακῶς νενέαται, καὶ ἰωνικῇ ἀφαιρέσει τοῦ ἀναδιπλασιασμοῦ νέαται.

Νενευκέναι, τεθνηκέναι.

Νενευκότι, συγκύψαντι, βλέψαντι.

Νενημένων, συγκειμένων.

Νένηται, πεπλήρωται, σωρεύεται.

Νενηφότως, καὶ ἐγρηγορότως, οὐκ ἐγρηγόρως.

Νένοται, ἢ κατὰ συγκοπὴν τοῦ η ἀπὸ τοῦ νενόηται, ὅπερ καὶ νενοέαται, ἰωνικῶς γίνεται. ἢ ἀπὸ τοῦ νένωται κατὰ συστολήν. ἐστὶ γὰρ νῶ ῥῆμα, τρίτης συζυγίας. Σοφοκλῆς, νένωται εἶπε καὶ νενωμένως.

Νενίηλος, τυφλὸς, ἀπόπληκτος, ἀνόητος.

Νεννὸς, ἀδελφός.

* Νέννος, θεῖος. παρὰ δὲ τοῖς μυροῖ ἀδελφὸς.

Νενὸς, ἀήθης.

Νεννάζει, κακολογεῖ.

Νένοπται, νενόφοται, συνόφεται, νενόηται.

Νένμεθα, διανενοήμεθα.

Νενώνηται, τεταπείνωται, καταπέπληκται.

Νίξαι, τὰ τρώματα.

Νεοαρδέα, νεωστὶ πεποτισμένην, καὶ ἀρδευθεῖσαν.

Νεοβόρον, νεωστὶ βεβρωμένον.

Νεόβδαλτον, τὸ νεοάμελκτον γάλα.

Νεόβροχοι, ἔγχυοι.

Νεογιλὸς, ὁ οἷον νεογενὴς, καὶ ἐν συγκοπῇ νεογνός.

Νεογνὸς, ὁ νεωστὶ γεγεννημένος, ἢ νεόγονός τις ὤν.

Νεογιλὸς, ὁ νέος καὶ μικρός.

Νεοδαμώδης, ὁ ἐλεύθερος, παρὰ τοῖς Λακεδαιμονίοις. ἤτοι ἐκ τῶν εἱλώτων.

Νεόδμητον, νεοδάματον, νεωστέραν.

* Νεοδμήτους γάμοι, οἱ ἤδη γεγονότες, παρὰ τὸ νεωστὶ ἐν αὐτοῖς δεδμῆσθαι τὴν νύμφην.

Νεοδέρπης, ἔδεσμά τι ἀβυρτακῶδες.

Νεοεργὲς, προσφάτως εἰργασμένον.

Νεοίνια, ἑορτὴ Διονύσου.

Νεοθάλαμος, καπνός.

Νεοθαλὴς, νεωστὶ βλαστήσασα.

Νεοθανὴς, νεωστὶ τεθνεώς.

Νεοθηγῆ, νεωστὶ ἀκονηθέντι.

Νεόθρεπτον, τὸν νεωστὶ πεπηγότα τυρόν.

Νεοθρόποις, νεοαυξέσιν, νεωστὶ ὁρμῶσιν, αὐξανομένοις.

Νέαιαι, ἀφροσύναι. νεοίη κυρίως, ἡ νεωτερικὴ κατάστασις. ἀπὸ τοῦ νέος νεοῖος, οὗ θηλυκὸν ἡ νεοίη. ὥσπερ καὶ ἄλλος ἀλλοῖος ἀλλοίη, καὶ ἕτερα πολλά. ὅμοιον δὲ καὶ τὸ ἠὼς ἠόος, ἢ ἠοῖος, καὶ θηλυκὸν ἠοίη. ὃ δηλοῖ πρωΐνην, ἢ ἀνατολικήν. ἔστι δὲ νεοίη, ἡ αὐτὴ τῇ πολλαχοῦ ῥηθείσῃ νηπιέῃ. ἵνα εἴη ὥσπερ ἠοῖος, οὐχ ἡ πρωΐα, ἢ ἀνατολὴ, ἀλλ' ὁ πρωϊνὸς καὶ ἀνατολικὸς, οὕτω κατὰ τικὸς καὶ νεοῖος καὶ νεοίη, ὁ νεωτερικὸς νοῦς, καὶ ἡ νεάζουσα φρήν. νεοίη, ἡ νεότης.

Νεοκαισάρεια, πόλις. * ποντική. τὸ ἐθνικὸν Νεοκαισαρεύς. οἱ αὐτοὶ καὶ Ἀδριανοπολῖται. ἔστι καὶ Βιθυνίας πόλις.

Νεοκαπηλεύτοις ἀνθρώποις φησὶ Θουκυδίδης, ἀντὶ τοῦ νεωστὶ καπηλισμένοις.

Νεοκηδέϊ, νεωστὶ πενθήσαντι.

Νεοκλείδης ὁ γλάμων, ὁ ἔχων τοὺς ὀφθαλμοὺς μεστοὺς ἀκαθαρσίας, ὁ λημῶν παρὰ τῷ Ἀριστοφάνει.

Νεοκλῆς, Ἀθηναῖος φιλόσοφος, ἀδελφὸς Ἐπικούρου.

Νεοκμήτῳ, νεωστὶ κατεσκευασμένῳ.

Νεοκόρος, ὁ τὴν ἐκκλησίαν κοσμῶν. κορεῖν γὰρ, τὸ σαροῦν.

Νεόκρατοι, τινὲς κρατῆρες ἐλέγοντο, ὧν ἡ χρῆσις δι' ὅπερ καθεστήκει. ἔν τε γὰρ τοῖς περιδείπνοις, καὶ ἐν ταῖς ἑστιάσεσιν, ἦγον σπονδαῖς.

Νεόκτιστον, νεοκαθίδρυτον, ἢ νεωστὶ κατεσκευασμένον.

Νεολαία, τὸ ἄθροισμα τῶν νέων. νέηλυς, ὁ νεωστὶ ἐλθών.

Νεόλεκτος, νεοστράτευτος.

Νεολιγὸν, νεογνόν.

Νεολώφητοι, νεωστὶ λελωφηκυῖαι τῆς μανίας.

Νέομαι, πορεύομαι, ἀπέρχομαι.

Νεόμενον, τὸ νηχόμενον παρὰ τῷ Ἱπποκράτει.

Νεομηνία, νεοσεία, ἢ φυλακὴ, καὶ νεομηνία μὴ λέγε. τῶν Ἰώνων γὰρ, ἀλλὰ νουμηνία.

Νεομηνία, ἡ πρώτη τῆς σελήνης ἡμέρα.

Νέον δ' ἐσαγείρατο θυμὸν, ἀντὶ τοῦ νεωστὶ, ἐναλλαγὴ ἐπιρρήματος. καὶ νέον ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἐν τῷ νέῳ καιρῷ. ὅ ἐστι, τῷ ἔαρι παρ' Ὁμήρῳ ἐν β' ῥαψῳδίᾳ.

Νέον ἐρχομενάων παρ' Ὁμήρῳ, λέγει τὰς μελίσσας νέον ἐξέρχεσθαι διὰ τὸ πλῆθος. ἵνα λέγῃ, ὅτι οὕτω πολλαὶ ἦσαν, ὥς τε συνεχῶς προσιοῦσαι νεωστὶ ἐδόκουν ἐξέρχεσθαι. οἱ δὲ νέον, τὸ ἐαρινοῦσι. εἰ καὶ ἄλλως πολιὸν λέγεται διὰ τὰ ἐπὶ τὰ ἄνθη. καὶ λέγουσιν, ὅτι κατὰ νέον, ἤτοι κατὰ τὸ ἔαρ ἔρχονται. τότε γὰρ μάλιστα τῶν σίμβλων ἐκπέτονται εἰς τὰ ἄνθη.

Νέονται, πορεύονται.

Νέοντας, νηχομένους.

Νέον τεῖχος, τῆς Αἰολίδος ἐστὶ τόπος, ὁ ἐκλήθη νεοτειχίτης. ὡς καὶ τὸ χηλὸν τεῖχος, τὸ περὶ Καρίαν. καὶ χηλοτειχίτης, ὁ ἀπὸ τούτου.

Νέον ἡβώοντα, ἀρτίως ἡβῶντα, ἄρτι ἀκμάζοντα.

Νεοπαθῆ, τὰ οὐ πρότερον ἱστορημένα, ἀλλ' ἀρτιμαθῆ.

Νεοπαγῆ, νεωστὶ πεπηγμένον.

Νεοπευθὴς, αἰχμάλωτος.

Νεόπλυτος, ὁ νεωστὶ πλυθείς.

Νεοπτόλεμος ἐπεκλήθη ὁ τοῦ Ἀχιλλέως υἱός. διότι νέος ὢν, ἐπολέμησε. τὸ δὲ ἄλλως κύριον αὐτοῦ, Πύρρος ἐστὶν, ὡς ὑποδηλοῖ ὁ Σοφοκλῆς. ᾧπερ ὁμώνυμος καὶ ὁ ὕστερον ἠπειρώτης διαστελλόμενος τῇ βαρυτονήσει τοῦ πυρρὸς, ὅπερ ἐστὶ πυρσοῦ. μυρία γάρ ἐστι πρὸς διάφορον σημασίαν διαφόρως τονούμενα. ὧν ἐστι καὶ ὁ πελέστης βαρυτόνως, τὸ κύριον ὡς Ὀρέστης. καὶ ὀξυτόνως πελεστὴς, τὸ ἐπίθετον.

Νεοπτόλεμος, κατά τινας ἐξ Ἰφιγενείας καὶ Ἀχιλλέως ἐγεννήθη. μετὰ δὲ τὴν Εὐρίπου Ἰφιγενείας θυσίαν, ὥς φησι Πίνδαρος. Ἰφιγένεια δὲ ἐπ' Εὐρίπῳ σφαγεῖσα, παρέθετο ὥς τινές φασιν Ἀχιλλεὺς τὸν παῖδα Δηϊδαμείᾳ ἐν Σκύρῳ τῇ νήσῳ. Τρυφιόδωρος δὲ καὶ οἱ λοιποὶ πάντες Δηϊδαμείας τῆς Λυκομήδους θυγατρὸς καὶ Ἀχιλλέως παῖδα τὸν Νεοπτόλεμον ἴσασι. φησὶ γὰρ ὁ Τρυφιόδωρος οὕτος, υἱὸς Ἀχιλλέως, καὶ ἐπαινῆς Δηϊδαμείας. τὴν δὲ Ἰφιγένειαν κατὰ τοὺς ἀκριβεῖς τῶν ἱστορικῶν, οὐ γυναῖκα ἔσχεν Ἀχιλλεὺς, ἀλλὰ κατασχεθέντων τῶν ἀνέμων ἐν τῷ διάγειν τοὺς Ἕλληνας ἐν Αὐλίδι, πέμπουσιν εἰς Μυκήνην ἀφελέσθαι πρὸς θυσίαν τὴν Ἰφιγένειαν. ἐρομένης δὲ τῆς Κλυταιμνήστρας, τίς ἡ χρεία αὐτῆς, ἔφησαν Ἀχιλλεῖ μέλλουσι συνάψαι αὐτήν. οἱ δὲ τῷ ὄντι λέγουσι, δι' Ἀχιλλέως ταύτην κομισθῆναι ἐν Αὐλίδι, διὰ τὸ σύμφωνον τὸ συμβὰν περὶ τοὺς ἀνέμους, ἔμελλεν αὐτὴν θύειν. ἡ δὲ Ἄρτεμις αὐτὴν ἐλεήσασα, κατὰ Φανόδημον τὸν ἱστορικὸν, εἰς ἄρκτον μετέβαλε. κατὰ δὲ Νίκανδρον, εἰς ταῦρον. καθ' ἑτέρους, εἰς γραῦν. καὶ κατ' ἄλλους, εἰς ἔλαφον. ταῦτα δὲ πάντα λῆρος, καὶ μῦθοί εἰσι. τὸ δ' ἀληθὲς οὕτως ἔχει. παραστάσης τῆς Ἰφιγενείας τῇ θυσίᾳ, καὶ μελλούσης θύεσθαι, ἄρκτος, ἢ ταῦρος, ἢ γραῦς, ἢ ἔλαφος διέδραμε μέσου τοῦ τῶν Ἑλλήνων στρατοῦ, καὶ προσαγῇ τοῦ μάντεως τὸ διελθὸν ἐκεῖνο, ἀναιρεῖται. ἡ δὲ Ἰφιγένεια σωθεῖσα, φεύγει περὶ Σκυθίαν, ἐν ᾗ πόλις Ἀρτέμιδος λέγεται. καὶ ἀνῄρει πάντας τοὺς τῶν Ἑλλήνων ἀφικνουμένους. τινὲς δὲ τὴν Ἰφιγένειαν ταύτην, ὥσπερ καὶ Δοῦρις, οὐκ Ἀγαμέμνονος θυγατέρα λέγουσιν, ἀλλὰ Θησέως ἐξ Ἑλένης γεννηθεῖσαν. ἄλλοι δὲ οὐκ ἐκ Κλυταιμνήστρας λέγουσι τὴν Ἰφιγένειαν, ἀλλὰ ἐκ τῆς Χρυσηΐδος. καὶ Ἀγαμέμνονος παῖδες γίνονται, Χρύσης, καὶ ἡ ῥηθεῖσα Ἰφιγένεια. μετὰ δὲ τὴν πόρθησιν Ἰλίου, ἐν τῷ τῶν Ἑλλήνων Ἀπόλλωνι, Χρύσης μὲν ἐν τῇ λεγομένῃ Χρύσου πόλει τοῦ Εὐξείνου τελευτᾷ. τὴν δὲ Ἰφιγένειαν τὴν αὐτοῦ ἀδελφὴν Ταυροσκύθαι αἰχμαλωτίσαντες, ἱέρειαν Ἀρτέμιδος ἤτοι Σελήνης ἐποίησαν. οὐκ ἀπεικὸς δὲ τὸ θυομένης τῆς Ἰφιγενείας διαδραμεῖν ἔλαφον, καὶ ταύτην τοὺς Ἕλληνας ἀνελεῖν, καὶ τὴν κόρην ἐᾶσαι. καὶ γὰρ Ἰοῦλος Πέρκαν Ῥώμης ἀστὸς, οὕτως ἔσωσε. σφαγιαζομένης γὰρ αὐτῆς, καταπεσὼν ἀπὸ τοῦ δημίου ἢ ἱερέως, ἁρπάζει δὴ τὸ ξίφος, καὶ πρὸς δάμαλιν ἐπιρρίπτει πλησίον τοῦ νεὼ νεμομένην, ἣν καὶ ἐθυσίασαν ἀντ' αὐτῆς. οὐκ ἀγνοεῖς ἀντὶ Ἰσαὰκ κριὸν ἐν φυτῷ σαβὲκ δεδεμένον.

Νεόπτραι, υἱοί, ἢ θυγατέρες.

Νεοργὴς, νεωστὶ εἰργασμένος.

Νεορράντῳ, νεαρῷ ἀπὸ τοῦ αἵματος. Σοφοκλῆς, πεδία πηδῶντα σὺν, νεορράντῳ ξίφει.

Νεορρύτοις, νεωστὶ ῥέουσι.

Νέορτον, νέον. τί δ' ἐστὶν ὦ παῖ Λαΐου νέορτον.

Νέος, νεώτερος, ἔφηβος. νέος ἐστὶ καὶ ὀξὺς, ἀμαθὴς, προπετής. ἀπὸ τοῦ νέεσθαι, ὅ ἐστι πορεύεσθαι εἰς αὔξησιν. ἢ παρὰ τὸ ὁρμᾶσθαι. ὁρμῆς γὰρ καὶ ἡλικίας ἀνάπλεως.

Νεάσμηκτον, νεόσμηκτον, νεοκάθαρτον.

Νέος, ἡ νεωστὶ ἀροτριασμένη γῆ. καί τις γεωργὸς πυρὴν εἰς νέον σπείρας, φύλασσεν ἐστώς.

Νεόσπαδῆ, νεωστὶ τὰ σπάδη πεποιημένον, ἅ ἐστι σπάργανα.

Νεοσσοὶ, τὰ νεογνὰ δηλοῖ. ὡς ἀπὸ τοῦ νέον, ἤγουν νεωστὶ ὄσσεσθαι, ὅ ἐστι βλέπειν, ἢ βλέπεσθαι. ἢ παρὰ τὸ νέον σεύεσθαι, ἤτοι κινεῖσθαι. τραπέντος τοῦ ν εἰς σ. ὡς ἐν τῷ σύσσιτος, καὶ ἐν τῷ τασσυδὶ, καὶ σύσσωμος, καὶ τοῖς ὁμοίοις.

Νεοσσὸς, ὁ νέον, ἤγουν νεωστὶ σευόμενος καὶ κινούμενος. ἢ ὁ νέον ὀσσόμενος, ἤτοι φῶς βλέπων. ἀλλὰ οὕτω μὲν εὔλογος ἡ τῶν δύο σσ γραφή. εἰ δὲ παρὰ τὸ νέον σεύεσθαι γίνεται ποτὲ ἐν σ, ἐκ τοῦ ν ἀμεταβόλου τέτραπται. ὡς ἐν τῷ τασσυδὶν, καὶ ἐν τῷ σύσσιτος, νεοττὸς, νεοττίον, νεοττία, οὐ νεοσσὸς, οὐδὲ νεοσσίον.

Νεοστάλυγες, κεκλαυθμυρισμένα παῖδες, προσφάτως νεοδάκρυτοι.

Νεοστασίη, παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἐν ἐπιστάσει ἐγένετο νέων μύθων, ἢ μύθων ἐπίστασις εἶχεν αὐτὴν, καὶ νεωστὶ προεπιστημένος λόγου συνῴεια.

Νεοστεφέος, νεοκράτου.

Νεοστισίη, ἑταιροίωσις.

Νεοσύλλεκτον, τὸ νεοστράτευτον.

Νεόστροφον, νεωστὶ ἐστραμμένον καὶ κενόν.

Νεοτελὴς, νεωστὶ τετελευτημένος.

Νεοτεύχου, νεοποιήτου.

Νεοτευχὲς, νεωστὶ κατεσκευασμένον.

Νεότης, ἀκμὴ σώματος, ἢ ἄστατος προπετοῦς γνώμη. ἢ πρόφασις ἀκολασίας τοῖς ἀκρατεστέροις, ἢ τῶν νέων ἡλικία.

Νεοττεία, ἡ ἐκλέπισις.

Νεοττιὰ, καλιά. ἐπὶ τῶν μικρῶν ὀρνίθων. φωλεὸς, ἐπὶ ὄφεως, σταῦλος, ἐν ᾧ ἵστανται ἵπποι, καὶ ὄνοι καὶ ἕτερα κτήνη. καὶ ἔστι καθολικὸν ὄνομα. ἰδικῶς δὲ λέγονται ἱππῶνες, καὶ ἱπποστάσεις ἐπὶ τῶν ἵππων. ὀνοστάσεις καὶ σταθμὰ, ἐπὶ πάντων. καὶ κτηνοστάσια, σηκὸς, ἔνθα ἐγκλείουσι τὰ νεογνὰ, ὅταν τὰς μητέρας ἀμέλγουσιν, ἢ εἰς νομὴν ἐκπέμπουσιν. αἱ δὲ τῶν ἀνθρώπων οἰκίαι ὀνομάζονται οὕτως, ἐν ᾧ κοιμῶνται, τοῦτο κάλλιον λέγεται κοινῶς καὶ Ἀττικῶς δωμάτιον, παρ' Ὁμήρῳ θάλαμος, καὶ καταχρηστικῶς κοιτών. ὁ γὰρ κοιτὼν πολλῶν κοιτῶν ὀφείλει εἶναι περιεκτικός. τὸ γὰρ μετὰ τοῦτον, πρόδομος λέγεται, καὶ παστάς. τὰ μετὰ τὸν πρόδομον, δόμος. εἶτα αἴθουσαι, τὰ κοινῶς ἐξαῖτα. εἶτα αὐλὴ, καὶ ἑρκίον αὐλῆς.

Νεόττιον, νεμεαῖον ὄρος Πελοποννήσου, καὶ πόλις λεγομένη νέμεια.

Νεοττοὶ, νεοσσοί.

Νεομένη, διαστρουμένη.

Νοῦν, τὸ ἀροτριᾶν, ἀπὸ τοῦ ἐκ τῆς ἀροτριάσεως νέαν ἀναλαμβάνειν τὴν γῆν.

Νεύαστος, νεόπαστος.

Νεόφατος, νεωστὶ τεθνηκώς.

Νεόφθιτος κόρη, ἀρτιφθαρεῖσα. ἢ σκεπάσασα, νεόφθιτος.

Νεόφυτον, τὸ νεωστὶ φυτευθέν.

Νεόφρων, ἢ νεοφῶν, σικυώνιος τραγικός.

Νεόφυτος, ὁ νεοκατήχητος.

Νεοχάρακτα, νεωστὶ κεχαραγμένα.

Νεοχμοῦντες, μετακοσμοῦντες. καὶ νεόχμωσεν, τὴν νεοκίνησιν. καὶ νεοχμὸς, ἄκοπος, ἄπορος. ἢ ἄπειρος, νεωστὶ εἰργασμένος.

Νεοχμίη, κίνησις πρόσφατος.

Νεοχμιζομένου, καινουργουμένου.

Νεοχμούμενοι, μετακοσμούμενοι, νεωτεριζόμενοι.

Νεόχμωσεν, ἠλλοίωσεν. ἢ ἐκαινοποίησεν. ἀπὸ τοῦ νέος καὶ τοῦ ἔχω γίνεται νοέχω, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ μ, νεοχμῶ.

Νέπιτα, ἡ καλαμίνθη.

Νέποδες, νηξίποδες. τὸ γὰρ ἄποδες ἀποδιδόναι, ψεῦδος, ἔχουσι γὰρ πόδας αἱ φῶκαι νέποδες.

Νέποδες δὲ οἱ ἰχθύες, οἱ ἐστερημένοι ποδῶν.

Νέπους, παρὰ τὸ πῶμι τὸ πίνω, ὁ μέλλων πέσω, ἀποβολῇ τοῦ ω μετὰ τοῦ νε στερητικοῦ νέπως. ἄνυδρον γὰρ τὸ ὄρος ἐκεῖνο. κλίνεται δὲ νέποδος.

Νέρ-

Νέρθεν, ὑποκάτωθεν. παρὰ τὸ ἔνερθεν, νέρθεν κατ' ἀφαίρεσιν τοῦ ε. τοῦτο παρὰ τὴν ἔραν τὴν γῆν, γέγονεν ἔρος, καὶ ἔνερος, ἐνέρωθεν, καὶ συγκοπῇ ἔνερθεν.

Νέρτατα, ἔσχατα.

Νέρτερον, ἐκ τοῦ ἐνέρτερον, κατὰ ἀφαίρεσιν λέγεται. αὕτη δὲ ἐκ τῶν ἐνέρων, οἳ ἔνερθεν εἰσί.

Νέρτερος, ὑποκάτωθεν. ὁ νεκρὸς ὑπὸ γῆν κατώτερος, καταχθόνιος.

Νέρτεροι καὶ νερτέριοι, οἱ τιτᾶνες, διὰ τὸ καταπεταρταρῶσθαι. καὶ χθόνιοι, νεκροί.

Νέρτος, ἱέραξ. οἱ δὲ, εἶδος ὀρνέου.

Νεθῶραι υἱῶν, καὶ θυγατέρων.

Νέσσος, ποταμός.

Νεσταῖοι. τοὺς νεσταίους Σκύλαξ φησὶν, ἔθνος ἰλλυρικὸν, ἀπὸ τούτων ἐστὶ περίπλους εἰς τὸν κόλπον. καὶ Ἐρατοσθένης ἐν γ΄ γεωγραφουμένων φησὶ, μετὰ Ἰλλυριοὺς νεσταῖοι, καθ' οὓς νῆσος Φάρος Φαρίων ἄποικος.

Νεστοριανοὶ, ὧν ἡ αἵρεσις αὕτη. ἄλλον μὲν τὸν Χριστὸν, ἄλλον δὲ τὸν Υἱὸν ἔλεγον.

Νέστωρ, εἷς παρ' Ὁμήρῳ, μελίγηρυς ῥήτωρ. οἱ δὲ λοιποὶ κατ' ἄλλους ἄλλον τρόπον παραβάλλονται.

Νέστωρ, παρὰ τὸν νέα ἱστορεῖν, ἢ παρὰ τὸ στερεὸν ἔχειν τὸν νοῦν.

* Νέστωπον, ἢ νεστώπιον, μύρον συντιθέμενον ἐκ πολλῶν μιγμάτων, οἱ δὲ, μετώπιον.

Νεύει, ἐπανέρχεται, ἢ μᾶλλον φεύγει.

Νεύειν ὀφρύσι καὶ κεφαλῇ λέγεται. τὸ μέντοι ἴρῳ ἐπιλλίζουσιν οἱ μνηστῆρες, ἤγουν ὀφθαλμοῖς νεύουσι. καὶ ἔστι κεφαλῇ κατανεύειν κατὰ τὸ ὅλον. ἐπιλλίζειν δὲ, καὶ ὀφρύσι νεύειν, ἀπὸ μερῶν. μέρη γὰρ πάντως κεφαλῆς ὀφρύες, καὶ ἴλλοι, ἐν οἷς φαίνεται κατάνευσις. ὥσπερ ἀνάνευσις στόματι μέν ἐστιν, ἐννεύειν δὲ οὐκ ἔστι.

Νεῦμαι, ἤγουν νέομαι, ὑπονοστῶ, παλιννοστῶ, ἥξω, ἐπανήξω.

Νευρὰ, καὶ χορδὴ διαφέρει. νευρὰ μὲν ἡ ἐκ τῶν νεύρων, ᾗ τινι χρῶνται εἰς τὰ τόξα, χορδὴ δὲ, ἡ ἐκ τῶν ἐντέρων εἰς τὰ ὄργανα.

Νευρομήτρα, μέρος τι τοῦ σώματος. οἱ δὲ ψυχήν.

Νεῦρον λέγει Ὅμηρος, τὸ κύκλῳ σφίγγον τὴν τοῦ σιδήρου τοῦ βέλους ἐμβολήν. καὶ νῦν μὲν φυσικῶς ἡ λέξις ἔχει. ὅτε δέ τις ἀκολουθῶν παλαιᾷ χρήσει, νεῦρα πραγμάτων ἐρεῖ, χρήματα τροπικῶς ἔφρασεν. ὥσπερ καὶ ὁ εἰπὼν ἐκνενευρίσθαι τοὺς ἀσθενῶς ἢ ἀμελῶς περὶ τὰ πρακτέα ἔχοντας.

Νεῦρον, παρὰ τὸ νεῖσθαι, δι' ὅλου τοῦ σώματος.

Νευρῆφιν, ἐκ τῆς νευρᾶς τοῦ τόξου.

Νευροσπαδὴς ἄτρακτος, παρὰ Σοφοκλεῖ ἐν Φιλοκτήτῃ, ὃν ἀφίησί τις τῇ νευρᾷ ἐπισπώμενος αὐτόν.

Νεῦσεν ἐπὶ οἱ καλέσας, ἀντὶ τοῦ προσεκαλέσατο νεύματι.

* Νευρορράφος, ὁ δέρματα συρράπτων νεύρῳ βοός.

* Νευρὶς τὸ νεῦρον, καὶ ὄνομα χόρτου.

* Νευρίτης ἢ νευρῖτις, ὄνομα λίθου παρὰ τῷ Ὀρφεῖ περὶ λίθων.

* Νευρόω, ἰσχὺν καὶ θάρρος ἐμποιῶ.

Νεῦσεν, ἐπένευσεν, ἐπέκλινε, συνεχώρησε.

Νεῦσις, πλεῦσις.

Νευσόμεθα, νηξόμεθα.

Νεῦσον, βλέψον, κλῖνον.

Νευσούμενοι, κολυμβήσοντες. Ξενοφῶν, ἐκδύντες, ἔχοντες τὰ ἐγχειρίδια γυμνοὶ, ὡς νευσούμενοι, ἐπειρῶντο διαβαίνειν.

Νευστάζων, κινῶν, ἐννεύων. καὶ νευστάζων κάραν Ἰούδας.

Νεύσταθμος, λιμὴν, ἔνθα ἵστανται τὰ πλοῖα.

Νευτὴρ, κολυμβητής.

Νεύωσοι πράξαι τόδε, νεύω νεύσω νένευκα νένευμαι, καὶ ἐκ τούτου νεῦμα.

Νεφεληγερέτης, ὁ τῶν νεφῶν ἀθροιστικὸς Ζεύς.

Νέφεα, Ὅμηρος ἐν χ΄ τῆς Ὀδυσσείας, ἢ λέγω τὸν τῶν νεφῶν τόπον, καὶ νῦν ὅπερ ἀπογνόντες αἱ ὄρνιθες κάτω ἵενται, καὶ ἀγρευόμεναι ἀγάλλουσι τοὺς θηρατὰς, ἢ μάλιστα κατὰ τοὺς παλαιοὺς δικτύων εἶδος.

Νεφέλη. οὐ μόνον ἡ καπνώδης τῆς γῆς ἀναθυμίασις, ἀλλὰ καὶ εἶδος δικτύου θηρευτικοῦ. ὡς παρὰ τῷ Ἀριστοφάνει, μὰ γῆν, μὰ παγίδας, μὰ νεφέλας, μὰ δίκτυα. οὕτω δὲ τὰ προστυχόντα ὤμνυον, μὰ κριὰς, μὰ γῆν, μὰ ποταμούς.

Νεφέλη, ἀὴρ παχὺς ἐκ τῆς ὑγρᾶς κατὰ γῆν ἀναθυμιάσεως συνιστάμενος. εἶτα μετεωρισθεὶς τοῖς ἀνέμοις, ὅταν λάβῃ παρ' αὐτῶν ἀξιόλογον ἄθροισμα, καὶ τὸ ἐκ τῆς ἐνεσπαρμένης αὐτῷ νοτίδος βάρος ἱκανὸν γένηται, τότε σταγόνας εἰς τὴν γῆν ἀφίησι, καὶ αὕτη τῶν ὄμβρων ἡ φύσις, ἀπὸ γῆς τὴν ἀρχὴν ἐχόντων, καὶ δι' ἀέρος πάλιν ἐπὶ τὴν γῆν φερομένων.

Νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη, τὸ μὲν οὔποτε λήγει. καὶ Θουκυδίδης, ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις. λεγόμενον μὲν πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον, καὶ ἐν ἄλλοις χωρίοις, οἱ Ἀττικοὶ εἰώθασί τι θηλυκῶς λέγειν, εἶτα ἐπάγειν οὐδέτερον, οὐ πρὸς τὴν φωνὴν ἀποδιδόντες, ἀλλὰ πρὸς τὸ σημαινόμενον. τὸ μὲν γὰρ οὔποτε λήγει, οὐ πρὸς νεφέλην, ἀλλὰ πρὸς τὸ νέφος ἀπήντησε. τὸ δὲ λεγόμενον πρὸς τὸ νόσημα, οὐ πρὸς νόσον.

* Νεφέλη καὶ τὸ ἐν τοῖς οὔροις ἐφιστάμενον.

Νεφελοκοκκυγία, παρὰ τὰς νεφέλας καὶ τὸν κόκκυγα, ἔστι δὲ εἶδος ὀρνέου.

Νεφθαλεὶμ, ἑρμηνεύεται στέλεχος ἀνειμένος, εἴτουν φυτὸν πλατυνόμενον.

Νέφος, σκότος, ἀχλὺς, ἄθροισμα, πλῆθος, ἀὴρ πεπυκνωμένος.

Νέφος, οἷον νέφας. τὸ ἐστερημένον φάους, ὅ ἐστι φωτός. ἢ παρὰ τὸ νείφω, τὸ βρέχω. τὸ δὲ νείφειν κυρίως, ἐπὶ τὰς ἐκ νέφους καταφορὰς τῶν ὑδάτων εἴρηται τοῦ νιφετοῦ. ἀπὸ τοῦ νέφος νέφω καὶ νείφω, σημαίνει τὸ χιονίζω.

Νεφρίδιος δημὸς, ὁ ἐπὶ τοῖς νεφροῖς.

Νεφρῖτις, νόσος περὶ τοὺς νεφρούς. * Φλεγμονὴ νεφρῶν μετ' ἀλγήματος σφοδροῦ, ποτὲ δὲ καὶ δυσουρίας, καὶ ἰνωδῶν ἀποκρίσεων, ἢ ψαμμωδῶν, μετὰ αἵματος ὀλίγου.

Νεφρὸς, παρὰ τὸ νείφεσθαι, τῷ οὔρῳ. τὸ δὲ νείφειν, κυρίως ἐπὶ τῆς ἐκ νέφους καταφορᾶς τῶν ὑδάτων.

Νεχμᾶσαι, τὸ νεωστὶ κινῆσαί τι, λέγουσιν Ἴωνες.

Νέω, τὸ κολυμβῶ, καὶ πορεύομαι. νέω, τὸ τὴν γῆν ἐργάζομαι, καὶ ἀπανέω.

Νέω, τὸ νήχομαι.

Νεωλέα, ὁ τοῦ νεὼ λαός. νεωλαία δὲ, ὁ νεόλεκτος.

Νεωλκῆσαι, ἔξω τὴν ναῦν ἑλκύσαι.

Νεωλκῶ, ἐκ τῆς ναῦς νεὼς καὶ ἕλκω, τρίτης συζυγίας.

Νεωκόρος, ὁ τοῦ ναοῦ ἐπιμελούμενος. κορεῖν γὰρ παρὰ Ἀττικοῖς, τὸ σαίρειν, καὶ τὸ κοσμεῖν, καὶ τὸ ἐπιμελεῖσθαι.

Νεώμεθα οἴκαδε, ἀντὶ τοῦ νοστήσωμεν. ἀπὸ τούτου τοῦ νέω ῥήματος, ὁ νοστὸς γίνεται, πλεονάσαντος τοῦ σ, πρὸς διαστολὴν τοῦ νότος ὁ ἄνεμος.

Νεώμεθ' ἐφ' ἡμέτερα, περίφρασίς ἐστι τοῦ νοστήσομεν οἴκονδε. ἔστι δὲ τὸ ἡμέτερα ταυτὸν τῷ οἴκονδε, φραθὲν ἐλλειπτικῶς, ἀντὶ τοῦ εἰς τὰ ἡμέτερα δώματα.

Νεῶν οἴκους, τὰ νεώρια.

Νεῶν ὕπερ, ἤτοι πρὸ τῶν νεῶν, ἢ ὑπὲρ τῆς τῶν νεῶν σωτηρίας, ὡς τὸ τεῖχος ἐτεκτήναντο νεῶν ὕπερ.

Νεῶν ἰκρία, τὰ σανιδώματα τῶν πλοίων.

Νεώνητον λέγομεν, τὸ νεωστὶ ἠγορασμένον.

Νεωνία, οὕτω τὶς τῶν ἐλαιῶν ὠνομάζετο.

Νεῶοι, πόλις ἐστὶν ἐν τῇ Φωκίδι, ἣν Ἡρόδοτος μὲν ἐν ὀγδόῃ νεῶνα ὀνομάζει.

Νεωποὺς, ἀντὶ τοῦ νεωβλέπους, ἢ νέας.

Νεωρεῖν, νεοφυλακτεῖν.

Νεώριον, λιμὴν, ἤγουν ὁ τόπος ὁ περιέχων τὰ πλοῖα, ἡνίκα ἂν ἑλκυσθῶσι.

Νεὼς, Ἀττικῶς. ναὸς, κοινῶς.

Νεὼς, ὁ ναὸς Ἀττικῶς, τὸν νεὼν, ἡ αἰτιατικὴ σὺν τῷ ν. καὶ λαγὼν, καὶ κῶς. ἡ δὲ γενικὴ καὶ δοτικὴ ἄνευ τοῦ ν. τοῦ νεὼ, καὶ λαγῶ.

Νεώσοικοι, καταγώγια εἰσὶν ἐπὶ θαλάσσης οἰκοδομημένα, πρὸς ὑποδοχὴν τῶν νεῶν.

Νεώσαντες, ἀρόσαντες.

Νεωσοῖ, καινίζει.

Νεωστὶ, ἀρτίως, προσφάτως. οἱ νέοι τῶν νέων ἐπίρρημα, νέως, νεωστί.

Νέωτα, καὶ εἰς νέωτα, ἀντὶ τοῦ εἰς τὸ ἐπιὸν ἔτος. ἀπὸ τούτου δὲ λαμβάνεται, καὶ ἀντὶ τοῦ εἰς αὔριον, καὶ ἁπλῶς εἰς τὸ ἑξῆς.

Νεωτερίζει, καινὰ πράττει. ὅθεν νεωτερισμὸς, ἀνταρσία.

Νεωτάτῃ, ἀντὶ τοῦ ἐχομένῃ τῇ ἐπιγενομένῃ ἐσχάτῃ.

Νεώτερον, οὐ μόνον συγκριτικῶς, ἀλλὰ καὶ νέον. Ἀττικοί.

Νεωτεροποιὸς, ἀντάρτης, τύραννος.

Νεόχερμος, γῆ νεωστὶ εἰργασμένη.

ΤΟΥ Ν. ΜΕΤΑ ΤΟΥ Η.

Νῆ τὼ θεὼ, ὅρκος γυναικός. οὐ μὴν ἀνὴρ ὀμεῖται, εἰ μὴ γυναικίζοιτο.

Νὴ, στερητικὸν μόριον. ὡς τὸ νήνεμος, ἀπὸ τοῦ νὴ καὶ τοῦ ἀνέμου, ἡ ταραχή.

Νὴ τὸν Θεὸν, μὰ τὸν θεόν. νὴ Δία οὐκ εἶπον, μὰ Δία οὐκ εἶπον, τὰ ὀμοτικὰ ἐπιρρήματα αἰτιατικῇ συντάσσονται.

Νῆα, εἰκόσορον, ἐμφαίνων ἅμα καὶ ἐτυμολογῶν. νῆα ἄρσας ἐρέτῃσιν ἐείκοσιν, ὅθεν δηλονότι ναῦς εἰκόσορος.

Νήαιθος, ποταμὸς Κρότωνος. ὠνόμασται, παρόσον ἐν αὐτῷ νῆας ποτὲ κατακαῆναι ἑλληνικάς φασι.

Νηαίρη, ἐσχάτη, ἢ νεάτη.

Νήδυμος, ὁ γλυκὺς, ὁ ἡδύς. νήδυμος ὕπνος, οἱ δὲ ἥδυμος χωρὶς τοῦ ν, καὶ ἴσως ἐνόμισαν ἀπὸ τοῦ ἡδὺς εἶναι παράγωγον. λέξεως δὲ δασυνομένης, οὐ συντίθεται τὸ ν κατ' ἀρχάς. ἔστι δὲ ἀπὸ τοῦ δύω δύσω. ἐξ οὗ ῥηματικὸν ὄνομα, δύμος. καὶ μετὰ τοῦ νη ἐπιτατικοῦ νήδυμος.

Νηδὺς, ἡ γαστήρ. ἀπὸ τοῦ διανενῆσθαι, ὅ ἐστι σεσωρεῦσθαι, καὶ πεπληρῶσθαι.

Νῆες, πλοῖα. ἀπὸ τοῦ νῆσαι, τὸ σωρεῦσαι. ἡ ναῦς, τῆς νηὸς, καὶ πληθυντικῶς αἱ νῆες.

Νῆα ἔλσας, ἀντὶ τοῦ ἐλάσας, κρούσας, πλήσας.

Νηγάτεον, ἢ τὸ νεωστὶ γενόμενον, οἱονεὶ νεηγάτεον. ἢ παρὰ τὸ νη στερητικὸν, καὶ τὸ γατὸν, τὸ γεγεννημένον. ἵνα δηλοῖ τὸ ἀγέννητον, καὶ ὡς εἰπεῖν ἀχειρότευκτον. ὥσπερ γάρ φασιν ἀπὸ τοῦ τείνω τατὸς, οὕτω καὶ ἀπὸ τοῦ γείνω γατὸς, καὶ νηγάτεος.

Νήγρετος ὕπνος, οὐχ ὡς ἀνέγερτος, ἀλλ' ὡς δυσέγερτος. τὸ δὲ ἥδιστος παρ' Ὁμήρῳ, πρὸς διαστολὴν τοῦ καρωτικοῦ, καὶ καρηβαρικοῦ ὕπνου πρόσκειται.

Νηδύια, τὰ ἐντόσθια, ὅ ἐστι τὰ κατὰ νηδὺν σπλάγχνα, ἅπαξ ἐν τῷ ρ τῆς Ἰλιάδος εἶπεν ὁ Ποιητὴς, ἃ τρισυλλάβως ἕτεροι νήδυα γράφουσι. ταῦτα δὲ καὶ ἔνδινά φησιν ὁ Ποιητής.

Νήδυμον, δυσέκδυτον, ἔσχατον, ἡδὺ, βαθύ. καὶ ἄδυμον μὲν, ὃ οὐκ ἔστιν ἀποδύσασθαι διὰ τὸ βάθος. οἱ δὲ ἀναγινώσκουσιν ἥδυμος ὕπνος.

Νηδύπους, ἀνυπόδετος.

Νηδὺς, γαστὴρ, μήτρα.

Νῆε, πλοῖα, ναῦς.

Νήει, σωρεύει, καὶ ἐσώρευον.

Νηεξὶς, ἐν Καππαδοκίᾳ γενόμενος μῦς, ὃν σκίουρόν τινες λέγουσι.

Νήεον, ᾠκοδόμουν, κατεσκεύαζον, ἀπὸ τῆς τῶν λίθων συνθέσεως. ἢ ἔστι νήησις, ἢ ἐσώρευσον. ἔνθα καὶ νηδύς. καὶ ναῦς, ἐν ᾗ σωρεύεται ὁ φόρτος.

Νηέρη, νόσος.

Νήεσσι, ταῖς ναυσί.

Νηῆσαι πῦρ, τὸ ἐκ φρυγάνων σωρεῦσαι. καὶ οὕτως ἄναμμα πυρὸς διὰ ξύλων ποιήσασθαι. τινὲς δὲ πῦρ ἐνῆσαι γράφουσιν, ἤτοι φυλάξαι,

ξαι, κατευνάσαι, ζωπυρῆσαι ἐν σποδιᾷ.

Νήησαν αἱ δμωαὶ, ὅ ἐστιν ἐσώρευσαν ἐν τῷ τ' τῆς Ὀδυσσείας.

Νηήσας, καὶ νήσας. ἀντὶ τοῦ σωρεύσας. καὶ νήει, ἀντὶ τοῦ ἐσώρευσε.

Νηησάσθω. Ὅμηρος, νῆα ἅλις νηησάσθω, ἤτοι σωρευσάσθω. κοινῶς δὲ νησάσθω ὤφειλεν, ὡς ἀπὸ τοῦ νῶ νήσω, τὸ σωρεύω. ἐξ οὗ ἐστενώτερον κατὰ ἀναδιπλασιασμόν.

Νήθω, τὸ κλώθω.

Νήθων ὕλην, σωρεύων ὕλην.

Νηΐδα, ἄπειρον καὶ δηλὸν, καὶ ἀμαθῆ, καὶ ἀσθενῆ.

Νηΐδες, αἱ νύμφαι, αἱ ἐν νάμασιν οὖσαι. παρὰ τὸ νάω, τὸ ῥέω.

Νηΐθη, Ἀθηνᾶ παρ' Αἰγυπτίοις.

Νήϊον τάμνεσθαι, δηλονότι ξύλον ἐπιτήδειον εἰς νῆα.

Νήϊον, μέρος λέγει τῆς νεὼς ὁ Ἀπολλώνιος, ὅπερ σύρεται κατὰ τὸ ὕδωρ.

Νήϊον, ὄρος Ἰθάκης. ἀφ' οὗ κατὰ Κράτητα αἱ νηϊάδες. οἱ δὲ τὰς διατριβούσας ἐπὶ τὰ νάματα. τὸ δὲ ὑπερνήϊον συνήθειον. ὥσπερ τὸ ἐπικνημίδιον. αἱ δὲ νηϊάδες, ἀπὸ τοῦ νήϊος, ἢ ἀπὸ τοῦ νηΐδος.

Νῆϊς νήϊδος, σημαίνει τὸν ἀνεπιστήμονα. καὶ γίνεται παρὰ τὸ νη στερητικὸν μόριον, καὶ τὸ εἴδω εἴσω, τὸ γινώσκω. νῆϊς στέρησιν τοῦ εἰδέναι δηλοῖ. ἵνα ᾖ νῆϊς, ἄπειρος, ὁ ἄτεχνος, ὁ μὴ εἰδὼς, ὥσπερ καὶ τῷ ἄϊς ἄϊδος, στέρησις ἔγκειται τοῦ ἰδεῖν. Ἄλλως.

Νῆϊς ἀέθλων, ἀντὶ τοῦ ἄπειρος, ἀνεπιστήμων. ἄϊδρις δὲ μᾶλλον εἰπεῖν οἰκειότερον. ὡς γὰρ ἄϊδρις, οὕτω καὶ ὁ νῆϊς παρὰ τὴν στέρησιν τοῦ εἰδέναι ἐτυμολογεῖται.

Νηίσι, ταῖς πύλαις ταῖς πρώταις καὶ τελευταίαις.

Νήϊστα, ἔσχατα, κατώτατα.

Νηΐτην στρατὸν, τὸν ἐν ταῖς ναυσί.

Νηΐτης, στόλος, ὁ διὰ τῶν νηῶν.

Νηκερδέα βουλὴν Θεὸς ἐνέθετο, ὅ ἐστιν ἀσύνετον, κατὰ τοὺς παλαιούς. κέρδος γάρ φασι καὶ ἡ σύνεσις.

Νηκερδέα, ἀνωφελῆ, ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ κέρδους.

Νήκεροι, οἱ μὴ κέρατα ἔχοντες. κεραοὶ δὲ, οἱ κέρατα ἔχοντες, καὶ κερασφόροι.

Νήκεστον, καὶ ἀνώνυμον, οἱ Ποιηταὶ λέγουσιν. οἱ δὲ κοινοὶ, ἀνήκεστον καὶ ἀνώνυμον.

Νήκεστον, ἀθεράπευτον. Ἡσίοδος, ἐν δὲ δίκην βλάψας, νήκεστον ἀάσθη, ὅ ἐστιν ἐβλάβη.

Νήκη ἐπαμείβεται ἄνδρας, γνωμικόν ἐστιν, ἐν ᾧ ἄνδρας ὁ Ποιητὴς λέγει, ἢ τοὺς ἀνδρείους, ἢ ἁπλῶς τοὺς πολεμιστάς.

Νηκούστησε, παρήκουσεν, ἠμέλησεν, οὐκ ἤκουσε.

Νηκταὶ, κολυμβηταὶ ἔνυδρα.

Νηλεγὲς, οἰκτρὸν, ἀθρήνητον.

Νελεγὴς, φροντιστὴς, θρηνητής.

Νηλεγέως, ἀνοίκτως.

Νηλέγω, θρηνῶ, ἢ δανῶ.

Νηλέϊ χαλκῷ, τῷ ἀνηλεεῖ σιδήρῳ.

Νηλεὲς ἦμαρ, σκληρὰ ἡμέρα.

Νηλεὴς, ὁ σκληρὸς, ὁ ἀπηνὴς, ὁ ἀνηλεὴς, ἀπὸ τοῦ ἔλεος γέγονε, καὶ τοῦ νη στερητικοῦ ἐπιῤῥήματος, οἱονεὶ ὁ ἐστερημένος τοῦ ἐλεεῖν. τὸ δὲ νηλὴς, ἀπὸ τοῦ νηλεὴς γέγονε, κατὰ κρᾶσιν, ἀπὸ τοῦ λῶ, τὸ θέλω, καὶ τοῦ νη στερητικοῦ. οἱονεὶ, ὁ μὴ θέλων εἶναι ἐλεήμων, ἀλλὰ ἀκαμπὴς καὶ σκληρός.

* Νήλαστος, ἀντὶ τοῦ ἄτρεπτος.

Νηλεῶς, ἀντὶ τοῦ ἀνηλεῶς, καὶ νηλειῶς.

Νηλήϊῳ, νηλεΐῳ, καὶ κατὰ διάλυσιν καὶ τροπῇ τοῦ ε εἰς η νηλήϊῳ, ἀντὶ τοῦ νηλέῳ, τὸ κτητικὸν ἀντὶ γενικῆς ἁπλῶς παρ' Ὁμήρῳ, ὡς ἐν τῷ Τελαμώνιε παῖ.

Νηλῆϊ, τῷ νηλεῖ, ποιητικῶς.

Νηλὴς, ὁ ἀνηλεὴς, σκληρός.

Νηλήτεις, τοὺς ἀμαρτωλούς. ὡς ἀπὸ τοῦ ἀσεβὴς γίνεται ἀσεβέες ἀσεβεῖς, οὕτω καὶ ἀπὸ τοῦ νηλήτης γίνεται νηλητέες, νηλητεῖς. παρὰ τὸ νη ἐπιτατικὸν, καὶ τὸ ἀλιτεῖν, ὃ σημαίνει τὸ ἁμαρτάνειν. τὸ ἀλιτεῖν, διὰ τοῦ ι γράφεται. τὸ δὲ νηλήτης, διὰ τοῦ η, ὅτι αἰολικῶς ἐτράπη τὸ ι εἰς τὸ η. ἕτεροι δὲ, τοὺς ἀναμαρτήτους λέγουσιν. ἀπὸ τοῦ νη στερητικοῦ, καὶ τοῦ ἀλιτεῖν.

* Νηλίπεζος, ἀνυπόδετος.

Νηλιτεῖς εἰσιν, ἢ νηλίτιδες, ἀπὸ εὐθείας βαρυτόνου καθ' ἑτέραν γραφήν.

Νηλὸς, ἔριον, ἄμεινον λινός.

Νήλιπος, ἀνυπόδετος, ἢ μονοχίτων, κατὰ στέρησιν τοῦ νη, ὥσπερ νηνεμία. τὸ δὲ νήλιποι, οἱ ἀνυπόδετοι, συνήρηται ἀπὸ τοῦ νηλίποδος.

Νήλωπος, ὁ μὴ ἔχων ἱμάτιον.

Νῆμα ἀσκητὸν, τὸ ἐπιμεμελημένον. ἔστι δὲ καὶ ἔριον εἰπεῖν ἀσκητὸν, ὡς ἐκ τοῦ ἤσκειν εἴρια καλὰ, καὶ χιτῶνα δὲ διὰ τὸ πτύξασα καὶ ἀσκήσασα χιτῶνα. καὶ λέχος δέ που ἀσκητὸν λέγει Ὅμηρος. νῆμα δὲ γίνεται, παρὰ τὸ νήθω, ἢ μᾶλλον παρὰ τὸ νῶ. ἐξ οὗ καὶ τὸ νήθω παρῆκται. ὡς ἐκ τοῦ κνῶ τὸ κνήθω. καὶ ἐκ τοῦ μῶ, ἤτοι ζητῶ, τὸ μήθω, ὅθεν καὶ ὁ Προμηθεύς. παρ' Ἡσιόδῳ δὲ χρῆσις τοῦ νῶ.

Νῆμα, οὐκ ἔστιν ἀπὸ τοῦ νήθω νῆσμα καὶ νῆμα, ἀλλ' ἔστι νῶ ῥῆμα. ὅπερ σημαίνει τὸ νήθω. τῇ γάρ τοι νεῖ, νήματ' ἀερσιπότης ἀράχνης.

Νῆμα, ὕδωρ, ὕφασμα.

Νημερτές ἐστι, τὸ μὴ ἡμαρτημένον διὰ τὸ ψεύδεσθαι, ἀλλὰ ἀληθές.

Νημερτέσατε, ἤτοι ἀληθέσατε.

Νημερτὴς, ὁ ἀληθὴς, παρὰ τὸ ἁμαρτῶ ἁμαρτὴς, καὶ μετὰ τοῦ νη στερητικοῦ νημαρτὴς, καὶ συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς ε νημερτὴς, ὁ ἐστερημένος τοῦ ἁμαρτεῖν, ἢ ὁ μὴ ἁμαρτάνων τοῦ ἀληθοῦς.

Νηνεμία, ἡ ἡσυχία, γαλήνη.

Νηνεμίας παρ' Ὁμήρῳ, σχῆμά ἐστιν Ἀττικὸν ἐλλειπτικόν. τὸ γὰρ τέλειόν ἐστι νηνεμίας οὔσης, ἢ ἐν καιρῷ νηνεμίας, ὁποῖά εἰσι καὶ τὸ θέρους καὶ χειμῶνος καὶ νυκτὸς καὶ ἡμέρας. καὶ αὐτὰ γὰρ ὁμοίως ἐλλειπτικῶς προάγεται.

Νηνεμούμενον, καθιστάμενον ἐκ ταραχῆς, εὔδιον, ἥσυχον.

Νήνεμος, ἄνεμον οὐκ ἔχων.

Νηνίται, σύγκεινται, οἱ νέοι.

Νηνιρίζοντα, θρηνοῦντα, λαλοῦντα.

Νηὸς ἰούσης, χρήσιμον εἰς νόησιν, τοῦ νηὸς ἰούσης.

Νηῶν ὅπλα, πείσματα, καὶ σπεῖρα, ἤγουν ὑφάσματα ἐξ ὧν τὰ ἱστία. ἢ σπεῖραι, δι' ὧν καὶ νῆες ἕλκονται. ἢ δι' ὧν οἱ τροχίλοι δεσμεῦνται, ἐρετμὰ καὶ πρότονοι, καὶ ἄλλα τοιαῦτα.

Νηὸς μέρη, ἡ τρόπις. εἶτα φάλκος, τὸ δὲ καταλῆγον ἐπὶ τὴν πρώραν προέμβολος. τὸ ἔδαφος τῆς νεὼς, κύτος καὶ γαστὴρ, καὶ πλευραί. τὸ ἐπάνω δὲ, κατάστρωμα, καὶ θράνος. κῶπαι μέντοι καὶ ἱστοὶ, καὶ ἱστία, καὶ λέφη τὰ κινοῦντα τὴν ναῦν. τὸ δὲ ἰθῦνον τὴν ναῦν, οἴαξ, καὶ πηδάλιον. ἡ δὲ κεφαλὴ πυκνὰ, καὶ τὰ ἄκρα αὐτῆς ἄφλαστα λέγεται. τὸ δὲ ἔστερον, πρώρα. τὰ δὲ ἄκρα τῆς κώπης. τὸ μὲν, ἐγχειρίδιον, τὸ δ' ἐμβαπτόμενον τῇ θαλάσσῃ, ταρσοὶ κωπῶν καὶ πτερά. τὰ δὲ σχοινία, κάλωες, πρότονοι, πείσματα, ἀπόγαια, πρυμνήσια, ἄγκυραι. καὶ ὑποβάθρα δὲ, καὶ διαβάθρα, ἡ κοινῶς σκάλα.

Νηουνόχος, φύλαξ πλοίου.

Νηπεκτέας, ἀκτενίστους.

Νηπέλη, ἀδυνατεῖ, παρὰ τῷ Ἱπποκράτει.

Νηπενθὲς, οὐ μόνον τὸ ἐστερημένον πένθους, ἀλλὰ καὶ τὸ στερίσκον πένθους, ὅ ἐστιν ἄλυπον.

Νηπήϊον πεδίον, παρὰ τῷ Ἀπολλωνίῳ, πεδίον νηπείας ἐστὶ περὶ Κύζικον. μνημονεύει δὲ αὐτοῦ καὶ Καλλίμαχος ἐν ἑκάλῃ. τὴν δὲ νήπειαν, Διονύσιος ὁ μιλήσιος πεδίον τῆς Μυσίας λέγει εἶναι. ὁ γὰρ Βασιλεὺς τῶν Μυσῶν θυγατέρα Ἰάσου ἔγημεν Ὄλυμπος, Νήπειαν ὄνομα, καὶ κατῴκησεν ἐν τῷ πεδίῳ τούτῳ ὃ νῦν καλεῖται Νηπείας πεδίον. Ἀπολλόδωρος δέ φησι, νηπείας πεδίον ἐν Φρυγίᾳ. ὁ δὲ Καλλίμαχός φησιν ἐν ὑπομνήμασι, νέμεσιν εἶναι τὴν τὸ πεδίον κατέχουσαν. ἔστι δὲ καὶ πόλις καλουμένη Ἀδράστεια, ἀπὸ τοῦ ἱδρυσαμένου. ὁ δὲ Ἀπολλώνιος, ἑκατέρων μέμνηται, τῆς τε πόλεως καὶ τοῦ πεδίου. φησὶ γὰρ, ἄστυ τε καὶ πεδίον νηπήϊον ἀδραστείης.

Νηπιάζεται, μωραίνεται.

Νηπιάζειν, τὸ μὴ εἰδέναι κακοποιεῖν, ἢ ἁμαρτάνειν. καὶ ὁ Ἀπόστολος, ἀλλὰ τῇ κακίᾳ νηπιάζεται.

Νηπιάας ὀχέειν, ἀντὶ τοῦ νηπιοφροσύνας φέρειν. ὀχεῖν μὲν γὰρ τὸ φέρειν τι, καὶ βαστάζειν. ὀχεῖσθαι δὲ, τὸ φέρεσθαι καὶ βαστάζεσθαι. Ἄλλως.

Νηπιάας ὀχέειν, ἀφροσύνην δηλοῖ. νηπιέη, παιδικὴ ἡλικία, ἢ ἀναστροφὴ κατ' ἔλλειψιν. καὶ ἔστι κτητικὸν ἀπὸ τοῦ νήπιος νηπίειος, οὗ θηλυκὸν νηπιείη, καὶ ἀποβολῇ τοῦ ι νηπίεη Ἰωνικῶς. Ἰστέον, ὅτι οὐ ταυτὸν νηπιάα, ὡς τὸ νηπιάας ὀχέειν. ἀλλὰ τοῦτο μὲν ἀφροσύνην δηλοῖ. οὐδὲ νηπιέη βρέφους ἡλικίαν.

Νηπιάζει, μωραίνει.

Νηπιάχειν, τὸ νηπιάζειν, μηδὲν νήπιον εἴπῃς, μηδὲν εὔηθες, μηδὲ μειρακιῶδες, μηδὲ ἀνόητον εἴπῃς, ἀπὸ τοῦ μηδὲν, τὰ νήπια παιδία εἰδέναι τι.

Νηπιέας λέγει Ὅμηρος, τὰς ἀφροσύνας, φυσὶ γὰρ ἀπειθὴς ἡγήσατο νηπιέῃσιν, ἤτοι νηπιέαις φρεσίν. νηπιέη, βρέφους ἡλικίαν δηλοῖ.

Νηπιέαις, ἀντὶ τοῦ νηπιότησιν, ἀφροσύναις, ἀσυνεσίαις. ἄλλως δὲ, κατ' ἔλλειψιν λέγεται παρ' Ὁμήρῳ, ἵνα ᾖ τὸ τέλειον νηπιέαις φρεσί.

Νηπιέη, ἀλεγεινῇ, Ἰλιάδος ι, ἐν τῇ χαλεπῇ παιδοτροφίᾳ.

Νηπιέῃσι, νεότησι.

Νήπιος, ἄφρων, ἀνόητος, παρὰ τὸ ἤπιος, πλεονασμῷ τοῦ ν νήπιος, ὁ πραῢς, καὶ προσηνὴς, καὶ νήπια ποιῶν. ἢ παρὰ τὸ νη στερητικόν. καὶ τὸ εἰπεῖν, γέγονε νηέπιος, καὶ κατὰ συναίρεσιν νήπιος, ὁ μὴ δυνάμενος λέγειν. καὶ νήβιος, ὁ ἐστερημένος τοῦ βίου.

Νήπιος, δηλοῖ ὅτε μὲν ἡλικίαν, ὅτε δὲ ἦθος. νηπίαχος δὲ συνεμφαίνει τῇ ἡλικίᾳ, καὶ τὴν βρεφικὴν ἰσχὺν, ἢ τίς ἐστι κλαυθμυρισμός.

Νήπιος, ὁ ἐν βρεφικῇ ὢν ἡλικίᾳ. καὶ ὁ ἔχων γνῶσιν βρέφους, κἂν ᾖ γέρων. ἀεὶ παρὰ τῷ Ποιητῇ ἐπὶ τοῖς μὴ κατὰ βαθεῖαν σύνεσιν γινομένοις, καὶ ἐπὶ προσώπου, οὐκ εὖ τοῦ φρονεῖν ἔχοντος.

Νήπισχοι, νήπιοι, ἀνόητοι, μάταιοι νεογνοί.

Νήποδες, ἰχθύες.

Νηποινὶ, ἄνευ τιμωρίας καὶ ποινῆς,

Νήπους, ἢ νήποδας, ἀνυποδέτους.

Νηπτικωτάτην, νῆφειν ποιοῦσαν.

Νηπυθὲς, ἄπαυστον.

Νηπύτια, βοηταὶ, κήρυξ μικρόφωνος.

Νηπύτιος, οὗ χρῆσις καὶ παρὰ τῷ Κωμικῷ, ὁ μὴ φρονῶν, ἀλλ' ἐστερημένος τοῦ πεπνῦσθαι καὶ πυκνότητος, ἤγουν φρονήσεως. τολμήσει δ' ἄν τις εἰπεῖν ἐνταῦθα συγκεκόφθαι καὶ τὸν νήπιον, ὅτε ἐπὶ ἄφρονος λέγεται. ἀντιτίθησι δὲ ὁ Κωμικὸς τῷ νηπυτίῳ τὸν τρίβωνα, ὅ ἐστιν ἐντριβὴς περὶ πράγματα. ὃν ἄλλοι φασὶ καὶ τριβακόν.

Νηπύτιος, κατ' ἔλλειψιν τοῦ νη, ὁ ἐστερημένος τοῦ πεπνῦσθαι. νηπύτιος, ἀντὶ τοῦ νήπιος.

Νηρία, μαράθου θάμνος.

Νηρεὺς, μυθικῶς μέν ἐστι δαίμων θαλάσσιος. οὗ, καὶ Δωρίδος τῆς Ὠκεανοῦ θυγατρὸς αἱ νηρηΐδες. ἀλληγορικῶς δὲ, Νηρεὺς ὁ θαλάσσιος, παρὰ τὸ νήχω.

Νηρῆς, κατὰ συναίρεσιν, ἐκ τοῦ Νηρηΐς, ὥσπερ καὶ τὸ χρυσηΐς χρυσῆς, καὶ Βρυσηΐς βρυσῆς.

Νηρῇδες, θαλάσσιοι δαίμονες, ἔχει τὸ ι. ἀπὸ γὰρ τοῦ νηρηΐδες, ὡς Βρυσηΐδες, καὶ χρυσηΐδες, Νηρῇδες, Καδμῇδες.

Νηρηΐδες, πᾶσαι αἱ τοῦ Νηρέως θυγατέρες. παραδέδοται δὲ ἄλλως, ὅτι ἐν ὑπομνήματι Βακχυλίδου τοῦ λυρικοῦ, διαφορὰ νηρείδων φέρεται, καὶ Νηρέως θυγατέρων οὕτως. εἰσὶν οἵ φασι διαφέρειν τὰς νηρηΐδας, τῶν τοῦ Νηρέως θυγατέρων. καὶ τὰς μὲν ἐκ Δωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι, τὰς δὲ ἐξ ἄλλων κοινότερον νηρηΐδας καλεῖσθαι. πιθανὸν οὖν τὰς μὲν ἐκ μιᾶς

τῆς Δωρίδος γνησιωτέρας τῶν ἄλλων οὔσας, Νηρέως θυγατέρας λέγεσθαι. νηρεΐδας δὲ τὰς συνήθως. καὶ ὅρα ἐν τύποις τὸ νηρεΐδας κοινὸν ὄν, ἢ καὶ ἀττικόν. τὸ γὰρ νηρηΐδας, ἰωνικώτερον, ἐκ τῆς Νηρῆος γενικῆς.

Νηρίδας, τὰς κοίλας πέτρας.

Νηρίθμους, ἀναριθμήτους.

Νήρικον, φασί τινες λέγεσθαι παρὰ τῷ Ποιητῇ τὴν ὕστερον Λευκάδα. ἣν καὶ ὁ Γεωγράφος ἀκτὴν ἠπείρου λέγει τῶν Καρνάνων οὖσαν, ὡς καὶ ἀμφιλοχικὸν Ἄργος καὶ χερρόνησόν φησί ποτε εἶναι, ἧς μέρος καὶ ὁ νήρικος. διορυγέντος δὲ ὕστερον τοῦ κατὰ τὴν χερρόνησον ταύτην ἰσθμοῦ Κορινθίων διακοψάντων, ἐγένετό φησι ποτὲ νῆσος ἡ Λευκάς, ἀπὸ Λευκαδίου κληθεῖσα υἱοῦ Ἰκαρίου, πατρὸς Πηνελόπης. ὅτι δὲ νήρικόν φασί τινες λέγεσθαι παρὰ τῷ Ποιητῇ τὴν ὕστερον Λευκάδα, ἣ καὶ ἤπειρος ἐλέγετο ἡ περαία τῆς Ἰθάκης, καὶ τῆς ὑπὸ τῷ Ὀδυσσεῖ Κεφαλληνίας, ὡμολόγηται.

Νήρικος, πόλις ἠπείρου.

Νηρίτη, σεμνή.

Νηρὶς, πόλις Μεσσήνης.

Νηρῖται, μεγάλοι.

Νηρίτης, ὁ θαλάσσιος κοχλίας. οὐκ ἔστι δὲ παρὰ τὸ νηρεύς. ὤφειλε γὰρ γράφεσθαι διὰ διφθόγγου, ὡς ἀπαρνεὺς ἀπαρνείτης. ὁ δὲ Τεχνικὸς λέγει, ἀπὸ τοῦ νηρὴς ἐστί.

Νήριτον, ὄρος Ἰθάκης ἐπιφανὲς, ᾧ τινι παράκειται νήϊον ὄρος. οὐ τὰ τῶν νηῶν ἐξέδεον πείσματα. ὡς εἶναι κατὰ τοῦτον τὸν λόγον, μέρος τοῦ νηρίτου τὸ νήϊον.

Νήριτον, τὸ πολὺ καὶ ἀνάριθμον. Ἀπολλώνιος, νήριτος ὀδμὴ, ἤγουν πολλή.

Νηριτόμυθα, ὑπὸ τῷ γήρᾳ πεπτωκώς. ᾧ οὐκ ἄν τις ἐρίσειε πρὸς μύθους.

Νήριτος, ὁ νηρίτης, ὅ ἐστι κογχύλιον κοχλιῶδες ποικίλον.

Νήριτος ὕλη, Ἡσίοδος. μεγάλη πρὸς ἣν οὐδεὶς φιλονεικήσειε διὰ τὸ πλῆθος.

Νηρὸν ὕδωρ, μηδαμῶς πρόσφατον, ἀλλὰ ἀκραιφνές.

Νηρός. Λυκόφρων, ἐν χθονὸς νηροῖς, μυχοῖς. τοῖς κοίλοις, ἢ τοῖς καθύγροις.

Νηρὸν, τὸ ταπεινόν.

Νῆς, τὸ ἔνης, ὅπερ ἐστὶν εἰς τρίτην. Δωριεῖς δὲ νῆς λέγουσι.

Νῆσαι πυρὰν λέγουσιν, οὐ συναγαγεῖν, οὐδὲ συνθεῖναι.

Νησαίη λίθος, ἔνιοι τὴν σάρδιον, διὰ τὸ ἐν Σαρδόνι γίνεσθαι. οἱ δὲ, σμάραγδον.

Νησαίας ἵππους, μεταξὺ τῆς σουσιανῆς καὶ τῆς βακτριανῆς, τόπος ἐστὶ κατὰ στηγῶνα, ὅπερ Ἑλλάδι γλώσσῃ νῆσος. ἐνταῦθα ἵπποι διάφοροι γίνονται νησίγδαι, ἐν νυκτὶ ἀποδιδόασι μάσημά τι ποιόν.

Νήσαντες, ἀντὶ τοῦ κλώσαντες. καὶ νήσαντες, ἀντὶ τοῦ συνάξαντες.

Νήσαντο λίνῳ μοῖραι, ἤγουν ἐπέκλωσαν. λῖνον δὲ μοιρῶν συμβολικῶς, τὰς τῶν πραγμάτων στροφὰς, καὶ τὰ ἐν βίῳ ὑφαινόμενα λέγει ὁ Ποιητής.

Νῆσις, ἡ κλῶσις, καὶ ἡ σώρευσις.

Νῆσοι, τόποι ἐν μέσῳ θαλάσσης.

Νησόμεθα, κορεσθησόμεθα.

Νῆσον δράκοντος, τὴν Σαλαμῖνα λέγει ὁ Λυκόφρων. τὴν γὰρ Σαλαμῖνα πρώην δράκων κατεῖχεν. ἢ θηρίον, ἢ κύριον ὄνομα βασιλέως. ἢ Ἀσωπὸς, κατά τινας ἐκ Θηβῶν ἐλθών. Κυγχρεὺς δὲ Ποσειδῶνος καὶ Σαλαμῖνος υἱὸς, ὡς ἔφη Εὐφορίων, ἀνεῖλε τὸν δράκοντα, καὶ τὴν τῆς Σαλαμῖνος βασιλείαν κατέχεν. οὕτω γοῦν τὴν Σαλαμῖνα δράκοντος εἴρηκε νῆσον.

Νῆσορ, νεοττός.

Νῆσος, γῆ περιτοιχισμένη ὑπὸ θαλάσσης πανταχόθεν. ἴσως δὲ εἴρηται, ἀπὸ τοῦ ὀρνέου, τῆς νήσσης, ἥτις καὶ αὐτὴ διαπαντὸς, ἐπὶ τοῖς κύμασι τῶν ὑδάτων νήχεται.

Νῆσος Γιγάντων, ὁ μὲν καισαρεὺς Προκόπιος, τὴν Δαμασκόν φησι Διὸς τρόπαιον κατὰ Γιγάντων. ἕτεροι δὲ τὴν Σικελίαν, ὅπου καὶ τὸν Τυφῶνα κεραυνοῖ, ὡς Ἡσίοδος. φλὸξ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος, οὔρεος ἐν βήσσῃσιν Αἴτνης παιπαλοέσσης. ἕτεροι δὲ Γιγάντων νήσους, τὰς πιθήκους ἤκουσαν, οἵ εἰσι περὶ τὴν Ἰταλίαν. μέμνηται δὲ αὐτῶν Αἰσχίνη ἐν ἑβδόμῳ ἐφεσίδος. ταύτας τὰς νήσους ᾤκουν πρότερον οἱ Γίγαντες. ὕστερον δὲ ὁ Ζεὺς χειρωσάμενος αὐτοὺς, ἐπέθηκεν αὐτοῖς τὰς νήσους, καὶ ἐκεῖ κατῴκισε πιθήκους ἤτοι μίμους, τοὺς καὶ σατύρους καὶ Ἀρχοβιζανούς, πρὸς ἀτιμίαν καὶ αἰσχύνην τῶν Γιγάντων.

Νῆσος, παρὰ τὸ νῶ, τὸ κολυμβῶ, ὁ μέλλων νήσω. ἐξ αὐτοῦ γέγονε νῆσος.

Νῆσσα, ὠκείωται τῷ Ποσειδῶνι. οὕτω καὶ ἄλλα τῶν ὀρνέων ἄλλοις θεοῖς, διὰ τὴν πρὸς ἐκείνους συγγένειαν. ἢ κατὰ τὸν τῆς κλήσεως τύπον, ἢ κατὰ ἐνεργείας ταυτότητα, οἷον νῆσσα Ποσειδῶνι, ὑγρὰ μὲν οὐσία ὁ ποσειδῶν. καὶ ἡ νῆσσα δὲ παρὰ τὸ νῶ νήσω, τὸ κολυμβῶ ἠτυμολόγηται. ἐξ οὗ καὶ τὸ νήχω καὶ ἡ ναῦς, καὶ ὁ νηρεύς.

Νῆσσα, τὸ νησάριον. ὡς παρὰ τὸ δόξω δόξα, καὶ ἄγω ἄξω ἄμαξα, οὕτω καὶ παρὰ τὸ νέω, τὸ κολυμβῶ, νῆσα. καὶ ἀναδιπλασιασμῷ τοῦ αὐτοῦ συμφώνου, νῆσσα. Νίσα δὲ, πόλις καὶ τόπος.

Νηστεία ἐστὶ, ψυχῆς ἀγαθὸν φυλακτήριον, σώματος σύνοικος ἀσφαλής.

Νηστεία ἐστὶν, οἴκων αὔξησις, ὑγίας μήτηρ, νεότητος παιδαγωγὸς, κόσμος πρεσβύταις, ἀκμαζόντων χαλινὸς, συζυγίας φυλακτήριον, παρθενίας τροφή.

Νηστεία ἐστὶ, τοῦ κακοῦ ἀλλοτρίωσις, ἐγκράτεια γλώσσης, θυμοῦ ἀποχὴ, ἐπιθυμιῶν χωρισμὸς, καταλαλιᾶς, ψεύδους, ἐπιορκίας.

Νηστείρα, ἡ μή ποτε στερομένη τροφῆς.

Νήστης, βάρβαρον. τὸ δὲ ἀρχαῖον, διὰ τοῦ ι.

Νῆστις, οὐ μόνον ὁ ἄγευστος σίτου, ἀλλὰ καὶ ἔντερον, μεταξὺ κοιλίας καὶ στομάχου καθωμίληται.

Νήσῳ ἐν ἀμφιρύτῃ παρ᾽ Ὁμήρῳ α τῆς Ὀδυσσείας, ἐπάγει ἀκατάλληλον λέξιν, νῆσος δενδρήεσσα. καὶ ὤφειλε μὲν εἰπεῖν νήσῳ δενδρηέσσῃ.

Νήσῳ δ᾽ ἐν κραναῇ. ἄδηλον δέ φασιν εἴτε κύριον τῆς νήσου τὸ ὄνομα, διὰ τὸ κρανθῆναι, ἤτοι τελειωθῆναι ἐπ᾽ αὐτῆς τὸν γάμον, εἴτε τραχεῖα ἐπιθετικῶς εἴρηται. τινὲς δὲ νοοῦσι τὰ Κύθηρα νῆσον Ἀφροδίτης ἱεράν. οἱ δὲ τὴν λεγομένην νῆσον Ἑλένην, πρὸς τῇ Ἀττικῇ οὖσαν ἐγγυτάτω τῆς Κέω, κατὰ τὸν Γεωγράφον.

Νήτεα, ἀνήνυτα.

Νήτην, μάτην.

Νήτη, ἡ τῆς λύρας χορδή.

Νητρία, χώρα, γράφεται διὰ τοῦ ι.

Νητὸς χρυσὸς, ὁ σεσωρευμένος. παρὰ τὸ νῶ νήσω, ἐξ οὗ ἐπενθέσει. καὶ παρὰ Ἡσιόδῳ λέγεται νήθω.

Νῆτος, ἔσχατος, ἢ πολὺς, σεσωρευμένος.

Νητρεκῶς, ἀληθῶς, παρὰ τὸ νη στερητικὸν μόριον, καὶ τοῦ τρέμω τὸ φοβοῦμαι. οἱ γὰρ τἀληθῆ λέγοντες, οὐ δειλιῶσι κατὰ γνῶσιν, ὡς οἱ ψευδόμενοι.

Νῆττα, παρὰ τὸ νήχεσθαι, ἐπεὶ ἔνυδρον τὸ ζῷον.

Νῆττον, πλῆρες, μεστόν.

Νηῦν, ἀντὶ τοῦ ναῦν λέγουσι Δωριεῖς. νῆας οὐκ ἐρεῖς, ἀλλὰ τὰς ναῦς.

Νηΰγμον, τὸ ἄφωνον, τὸ ἐστερημένον αὐτμῆς, ὅ ἐστι φωνῆς.

Νῆυς, ἡ ναῦς, διὰ τοῦ η. παρὰ τὸ νέω, τὸ νήχω. νῆυς, διὰ τοῦ α ναῦς, παρὰ Δωριεῦσι. κέχρηται οὖν ὁ Ποιητὴς ταύταις ταῖς φωναῖς. νηυσὶ, ναυσὶ, νέεσσι, νήεσιν, οἱ Αἰολεῖς νάεσσι. τί οὖν Ὅμηρος οὐκ οἶδε τὴν ναυσὶ φωνήν; ναί. ἀλλ᾽ ἐν συνθέσει, ναυσίθοος, ναυσίκλητος.

Νηφάλια ξύλα, τὰ μὴ ἀμπέλινα, ἢ συκάμινα, ἢ σύκινα. ἐκεῖνα γὰρ οἰνίσσοι λέγονται

Νηφάλιοι, νήφοντες, μὴ πεπωκότες, ἢ θύματα καὶ βωμοὶ, ἐφ᾽ ὧν οἶνος οὐ σπένδεται, ἢ σοφοί.

Νηφάλεος, ἄγρυπνος, διορατικὸς, ζέων τὸ πνεύματι. ὁ Ἀπόστολος, νηφάλεον, σώφρονα, κόσμιον.

Νηφαλισμὸς, ἡ προσοχή.

Νηφαλισμένον, ὕδατι οὐκ οἴνῳ ἡγνισμένον.

Νηφάλιός ἐστιν, ὁ ἀεὶ νήφων καὶ σύνεσιν ἔχων τῇ ἡλικίᾳ κατάλληλον.

Νήφει τις, ὅταν ἐκτὸς μέθης ᾖ. σωφρονεῖ, ὅταν ἐκτὸς μανίας ᾖ. γρηγορεῖ, ὅταν ἐκτὸς ὕπνου ᾖ. ἀφ᾽ οὗ νηφάλιος, καὶ νηφάλεος τὸ αὐτό. ἀνανήφειν, τὸ ἀπὸ μέθης ἀναλαμβάνειν τινὰ τὴν ἑαυτοῦ αἴσθησιν.

Νήφει, γρηγορεῖ. νείφει δὲ, ἀντὶ τοῦ βρέχει, δίφθογγον. νίφει δὲ ἀντὶ τοῦ χιονίζει, ι. ἐξ οὗ καὶ νιφάς. καὶ νιφετὸς, ἡ χιών.

Νήχεσθαι, νεῖν, κολυμβᾶν, δύεσθαι. περὶ κολυμβητοῦ καὶ κυβερνητοῦ ἐρεῖς. εἶτα νήκτης, δύτης, βύθιος, κολυμβητὴς, ὕφαλος, ὕφυδρος, ἐπιπολαζόμενος, ἐπινηχόμενος.

Νήχεσθαι, παρὰ τὴν νῆσσαν γίνεται, ὥσπερ καὶ τὸ κολυμβᾶν, παρὰ τὴν κολυμβίδα. ὀρνέων δὲ ὀνόματα, καὶ ἄμφω ἐν τοῖς Ἀθηναίοις δηλοῦται.

Νήχυτος, πολύχυτος.

Νήχυτον ὕδωρ, τὸ πολύχυτον. τὸ γὰρ νη καὶ στέρησιν σημαίνει καὶ ἐπίτασιν, καὶ ἀχώριστον ὕδωρ, τὸ πολὺ κατὰ Ἴωνας καὶ Σικελιώτας. Διονύσιος, πλαζομέναις ἵνα λύσσαν ἀχώριστον ἧκα βαλοῦσα.

Νήχομαι, τὸ κολυμβῶ. νήχεται δὲ ὁ ἄνθρωπος, ὅταν ἐγκυβιστῇ τοῖς ὕδασι. νήχεται ὁ ἰχθὺς καὶ ἐπινήχεται ἐπιπολάζων εἰς, ἐπιφάνειαν.

ΤΟ Ν. ΜΕΤΑ ΤΟΥ Ι.

Νίβα, χιόνα, καὶ κρήνην.

Νιβάδες, αἱ τοὺς λόφους ἔχουσαι αἶγες.

Νιβατισμὸς, εἶδος ὀρχήσεως βαρβαρικῆς.

* Νίγλαροι, τὰ τερετίσματα, καὶ περίεργα κρούματα. κροῦμα δὲ ἐστι καὶ μέλος μουσικὸν παρακελευστικὸν ὁ νίγλαρος.

Νιγλαρεύων, τερετίζων.

* Νιδάριον, παρὰ Πέρσαις τὸ πρὸς τῇ κεφαλῇ προσείλημα ὃ δὴ παρ᾽ Ἀθηναίοις καλεῖται κρώβυλον, παρὰ δὲ Κυπρίοις κορδύλη, ὡς Κρέων ἐν τῷ α τῶν ῥητορικῶν.

Νίζω, σημαίνει τὸ νίπτω, καὶ καθαίρω. νίπτω, νίζω. οἱ Αἰολεῖς τὰ εἰς πτω ῥήματα, εἰς δύο σσ μεταβάλλουσιν. οἷον νίπτω, νίσσω. Ταραντίνων δὲ φωνῇ γίνεται νίζω.

Νιίδες, παίδων αἰδοῖα.

Νίκαθρον, ἔπαθλον, ἐπινίκιον.

Νικᾷ, κρατεῖ, λικμᾷ.

Νίκαια, πόλις ἐστὶ τῆς Λοκρίδος τῆς ἐπιθαλαττίδος.

Νικάνωρ, ἥρως, ὃν καὶ τιμῶσί τινες.

* Νικασία, νησίδιον πλησίον Νάξου.

Νικατῆρες, οἱ ἀκμαιότατοι ἐν ταῖς τάξεσι.

Νίκεστρον, νικητήριον.

Νίκη, παρὰ τὸ ἐνὶ δοτικῇ, καὶ τοῦ εἴκω τὸ ὑποχωρῶ, γέγονεν ἐνιείκη. καὶ ἀποβολῇ τῶν δύο εε, τοῦ τε ἐν ἀρχῇ, καὶ τοῦ μέσου, καὶ κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ἓν, δηλονότι μακρὸν, νίκη. οἷον ἡ ἑνὶ ὑποχωροῦσα. ὡς καὶ ὁ Ποιητὴς λέγει, ἑτεραλκέα νίκην. ἄλλοι δὲ παρὰ τὸ νη στερητικὸν, καὶ τοῦ εἴκω, γέγονε νίκη κατ᾽ ἔκθλιψιν τοῦ ε, ἡ μηδενὶ ὑποχωροῦσα. ἀλλ᾽ ἀντίκειται αὐτοῖς, καὶ ἡ ἀποβολὴ, καὶ ἡ γραφή. ἡ γραφὴ μὲν, ὅτι νίκη διὰ τοῦ ι γράφεται. καὶ ὤφειλε γράφεσθαι διὰ τῆς ει διφθόγγου. ἡ ἀποβολὴ δὲ, ὅτι οὐδέποτε τὸ νη ἐπίρρημα ἀποβάλλει τὸ η, οἷον νήδυμος.

Νίκη, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ ἐνίκα.

Νίκη ἐστὶ, δύναμις κρατητικὴ περὶ ἀγωνίαν.

Νικήρωτος, νικίας, νικήτης, νικήτας, ὀνόματα κύρια.

Νίκους πέρατα, ἀντὶ τοῦ νίκη, τὸ τέλος δηλαδὴ τῶν ἀγωνιζομένων.

Νικήσει, καὶ τὸ κρείσσων δὲ γίνεται, ἐκ παραλλήλου ταυτὸν νοοῦσι, κείμενα πολλαχοῦ παρ᾽ Ὁμήρῳ, καὶ ἐν Ἰλιάδι. τὸ κρείσσων γὰρ Βασιλεὺς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ, ἀντὶ τοῦ νικητὴς ἐκείνου γένηται.

Νικῆσθαι, ἐπέχεσθαι. Νικητήριον, ἔπαθλον.

Νικόδημος, κυρίως ἑρμηνεύεται, ὁ κατὰ διάνοιαν

ἐῤῥω-

Digitized by Google

ἐῤῥωμένος εἰς τὴν ἐπίγνωσιν τοῦ Χριστοῦ. τὴν δὲ τῆς πράξεως τῶν ἐντολῶν φιλοτιμίαν, φησὶ τοῖς τῆς σαρκὸς ὡς δῆλος παρυφαινόμενος. καὶ ὁ Θεολόγος, κἂν Νικόδημος ἧς ὁ νυκτερινὸς θεοσεβὴς, μύροις αὐτὸν ἄλειψον.

Νίκορ, διαφθορά.

Νικόστρατος, εἶδος ἀμπέλου.

Νικόλαος, κύριον.

* Νικομήδεια πόλις Βιθυνίας, ἀπὸ νικομήδους τοῦ ζήλα παιδὸς τοῦ ἐπισημοτάτου βασιλέως, ἣ καὶ ὀλβία ἐκλήθη.

* Νικόπολις, πόλις ἠπείρου ὡς Μαρκιανός. ἔστι καὶ Βιθυνίας. ἔστι καὶ ἄλλη τῆς μικρᾶς Ἀρμενίας.

Νικύρτας, δουλέκδουλος.

Νικῶ, τὸ περιγίνομαι, ἀφ' οὗ νίκη.

Νικῷεν, εὐκτικόν. ὡς ἀπὸ τοῦ σιγή σιγῶ, οὕτω καὶ ἀπὸ τοῦ νίκη νικῶ, καὶ τὸ εὐκτικὸν νικῷεν. καὶ νικῴη νικῶ νικᾷς, ἡ μετοχὴ ὁ νικῶν τοῦ νικῶντος, τὸ εὐκτικὸν νικῷμι, τὸ τρίτον νικῷ, πλεονασμῷ τοῦ η Ἀττικῶς νικῴη, καὶ ἐξ αὐτοῦ νικῷ καὶ νικῴης.

Νικώλαος, ὁ σκώληξ, ὁ μὴ ἔχων ὀστοῦν.

Νικωνία, πόλις ἐν τῷ Πόντῳ πρὸς ταῖς ἐκβολαῖς τοῦ ἴστρου.

Νικῶ, τροποῦμαι, ἀνταγωνίζομαι, περιγίνομαι, ὑπερβάλλω, ὑπερβαίνω, ὑπερακοντίζω, ἐξαίρω, αἱρῶ, κρατῶ, παρευδοκιμῶ, κλίνω, καταγωνίζομαι.

Νίκωχις, πόλις.

Νιμμενὸς, ἡ κάθαρσις.

Νίμμα, κάθαρμα.

Νίμμα, ὁ πολὺς λέγει. ἡμεῖς δὲ ἀπόνιπτρον λέγομεν. ὡς Ἀριστοφάνης, καὶ οἱ ἀμφ' αὐτόν.

Νίμματα, λουτρὰ, πλύμματα.

Νὶν, ἀντὶ τοῦ αὐτὰ, παρὰ Σοφοκλεῖ. Δωριεῖς ἀντὶ τοῦ αὐτὸν λέγουσι.

Νιόβην, οἱ μὲν Ταντάλου, οἱ δὲ Πέλοπος κασίγνητον. καὶ γυναῖκα μέν τινες Ζήθου φασὶν, οἱ δὲ Ἀμφίονος, ἕτεροι δὲ Ἀλαλκομενέως. καὶ ἡ συμφορὰ δὲ αὐτῆς, κατὰ μέν τινας ἐν Λυδίᾳ, κατὰ δέ τινας ἐν Θήβαις γενέσθαι φασί. Σοφοκλῆς δὲ τοὺς μὲν παῖδας αὐτῆς ἐν Θήβαις ἀπολέσθαι φησὶν, αὐτὴν δὲ εἰς Λυδίαν ἐλθεῖν. ὁ δὲ τῶν παίδων αὐτῆς ἀριθμὸς Ὁμήρῳ μὲν κατὰ ἑξάδα μετρεῖται θυγατέρων, καὶ ἑξάδα υἱῶν προστεθεισῶν ἐν τῷ μέτρῳ τῶν θηλειῶν. ἢ ἁπλοϊκῶς, ὡς Ὁμήρῳ ἔδοξεν, ἢ καὶ συνδιατιθεμένης τῆς ποιήσεως, ἐπεὶ προσπαθέστερον ἡ μήτηρ εἶχεν αὐταῖς. Εὐριπίδης δὲ θυγατέρας ἑπτὰ Νιόβης ἱστορεῖ. τῶν δὲ ἔτι νεωτέρων, οἱ μὲν τεσσαρεσκαίδεκα τοὺς παῖδας εἶπον, οἱ δὲ εἴκοσι. δοκεῖ δὲ ὁ τῶν παίδων τῆς Νιόβης θάνατος ἐξ αἰτίας λοιμώδους γενέσθαι, ἢ καὶ ἄλλως ἀπὸ αἰφνιδίου πάθους τινός. ὅθεν Ἀπόλλωνι καὶ Ἀρτέμιδι ἀνάπτεται, οἳ τοιούτου θανάτου εἰσὶν αἴτιοι, τόξοις λεγόμενοι βάλλειν τοὺς οὕτω θνήσκοντας.

Νίναια, πόλις οἰνωτρῶν, ἐν τῇ μεσογαίᾳ. ὁ πολίτης, νιναῖος, ἢ νιναιεύς.

Νινδὶ, πόλις.

Νινόη, ἡ ἐν Καρίᾳ ἀφροδισιάς.

Νιννὸς, ἀνόητος. οἱ δὲ, νίνηκλος καὶ νινιαστὴς καὶ νινίατος, νόμος παιδαριώδης, καὶ φρύγιον μέλος.

Νίννον, τὸν καβάλλην ἵππον.

* Νῖνος, πόλις Ἀσσυρίων, ἣν ἔκτισε Νῖνος Σεμιράμιδος ἀνὴρ ἐν τῇ Ἀσσυρίᾳ.

Νίπτω, τὸ δι' ὑγροῦ καθαίρω.

Νιρεὺς τρεῖς νῆας ἦγε σύμηθεν, ἤγουν ἀπὸ τῆς νήσου Σύμης. γέγονε δὲ υἱὸς τῆς Ἀγλαΐας καὶ Χαρόπου. ὅρα δὲ ὅπως καὶ οἱ γεννησάμενοι τὸν Νιρέα πρὸς ὡραϊσμὸν ὀνομάζονται. μήτηρ μὲν γὰρ ἡ Ἀγλαΐα. Χάροπος δὲ βαρυτόνως, πρὸς διαστολὴν τοῦ ἐπιθέτου ὁ πατήρ. ἡ μὲν αἰγλήεσσα, ὁ δὲ χαρίεις, ὡς ἡ κλῆσις ὑπεμφαίνει.

Νίρνος, φθεὶρ, Ἀχαιοὶ, ἢ νίρμος.

Νίρον, μέγα.

Νίσα, ἔστι μὲν καὶ μεγαρική. ἡ δὲ ἐν Βοιωτοῖς Διονύσου ἱερὸν εἶχεν ἐπιφανές. ἔστι δὲ καὶ παρώνυμος Νίσῳ τινὶ ἥρωι. ἡ δὲ μεγαρικὴ καὶ νισαία ἐλέγετο, τῆς Μεγαρίδος οὖσα ἐπίνειον, ἀπὸ Νίσου κληθεῖσα υἱοῦ Πανδίονος. οἱ δὲ μεθ' Ὅμηρον φασὶν, ὅτι νῖσα οὐδαμοῦ φαίνεται Βοιωτίας. διὸ καὶ γράφουσί τινες. ἴσον δὲ ζαθέην ἀνθηδόνα τε. ἄλλοι νῦσαν δὲ ζαθέην. κώμη δέ ἐστιν Ἑλικῶνος ἡ τοιαύτη νῦσα.

Νίσα, τόπος, καὶ πόλις, ἐν ἐρυθρᾷ κειμένη.

Νισαῖοι ἵπποι, ἀπὸ τῆς νισαίας, ἄριστοι καὶ μέγιστοι ἦσαν, οἷς ἐχρῶντο οἱ Βασιλεῖς. καὶ ἐξ Ἀρμενίας ἦσαν. οἱ δέ φασιν, ἀπὸ Μηδείας.

Νίσαιον, τόπος Περσίδος, ἔνθα ἵπποι ὤκιστοι γίνονται, νισαῖοι λεγόμενοι.

Νισαῖος ἵππος, ὅ ἐστι ξανθός. ἡ γὰρ Νίσα πάσας τοὺς ἵππους ξανθὰς ἔχει.

Νισᾶν, ὁ ἀρτεμίσιος μὴν, ὁ μάρτιος. καὶ Ἰλίου πόλις.

Νίσεται, ἤγουν πορεύεται, ἐκ τοῦ νίω νίσω μέλλοντος γίνεται, νίσομαι ἐνεστὼς, παρατατικὸς ἐνισόμην ἐνίσου, ετο.

Νίσιβις, νισίβεως, ὄνομα πόλεως, ὁ πολίτης νισιβηνός.

Νίσομαι, εἰ μὲν διὰ δύο σσ γράφεται, τῆς ἀναλογίας ἐστὶ τοῦ δεδίσσω καὶ τῶν τοιούτων. εἰ δὲ ἐν ἑνὶ σ, ἐστὶ μὲν χρόνου μέλλοντος. ἄδηλος δὲ ὁ ἐνεστὼς αὐτοῦ, εἴτε ὁ γνώριμος νίσσω, εἴτε καὶ ὁ μὴ γνωστός. νίω, ὡς τίω. ὅπως δ' ἂν ἔχοι, οὐχ ὁ καταλογάδην γράφων αὐτοῦ δέοιτο. ὅτι δέ που καὶ διὰ διφθόγγου γράφεται ἡ τοῦ νίσσεσθαι ἀρχοῦσα, ἐν διαφόροις κατά τινας, ὡς ἀπὸ τοῦ νέω τὸ πορεύομαι, κατὰ τὸ θέω θείω, βέω βείω, ὡς τὸ, ἐς ὀρχομενὸν ποτινείσεται.

Νίσυρος, νῆσος μία τῶν κυκλάδων, ἡ καὶ πορφυρὶς, ἀπὸ τῶν ἐν αὐτῇ πορφυρῶν.

* Νισσαία, τῆς Μεγαρίδος νεώριον. Νισσαία δὲ ἐκαλεῖτο καὶ αὐτὴ ἡ μεγαρὶς ὅλη, ἀπὸ Νίσου τοῦ Πανδίονος.

Νισσόμενος, στρεφόμενος.

Νίσσεσθαι, πρωτότυπον δοκεῖ, καθὰ καὶ τὸ λίσσεσθαι. εἰ γὰρ κατά τινας ἀπὸ τοῦ νέω ἦν, εἶχεν ἂν διὰ διφθόγγου τὴν ἀρχοῦσαν. εἰ μὴ ἄρα ὁ ῥηματικὸς χαρακτὴρ εἰς τοῦτο ἐκώλυεν, ὁ τοῦ λίσσω, πτίσσω, καὶ τῶν ὁμοίων.

Νιττάριον καὶ βάτιον, παρὰ τῷ Ἀριστοφάνει. Σύμμαχός φησι νίτταρος πολὺς ἐπὶ μαλακίᾳ ὀνειδιζόμενος, ἀλλαχοῦ καὶ βάττος. καὶ τὰς μικρὰς δὲ θηλείας, βατύλους ἔλεγον. καὶ Θεοπόμπου δρᾶμά ἐστι βατύλη. τινὲς δὲ νιττάριον καὶ βάττον, εἴδη φυτῶν. θέλει οὖν εἰπεῖν Ἀριστοφάνης, ὅτι ὡς ἄνθη μετεῖχε. Δίδυμος δέ φησιν, ὑποκορίσματα πρὸς γυναῖκας. νιττάριον δὲ νεόττιον, οἱονεὶ κοράσιον. ἄλλως, φιλοφρονητικὴ ἡ προσφώνησις. βάταλον δὲ τὴν ἕδραν, παρὸ καὶ τὸ βάτιον. ἢ δύναται βάτον, ἀντὶ τοῦ τρυφερὸν καὶ μαλακὸν, οἷος ὁ βάτος τὸ ἰχθύδιον.

Νιτέριον, ἀκρωτήριον.

Νιτρία, τόπος.

Νίτρον, σαπώνιον, ἢ εἶδος ἰατρικὸν, παρὰ τὸ νίζω νίτρον, ὡς μάσσω μάκτρον, πλήσσω πλῆκτρον, φέρω φέρτρον.

Νίτρον, τοῦτο Αἰολεῖς μὲν ἂν εἴπῃ, ὥσπερ οὖν καὶ ἡ Σαπφὼ διὰ τοῦ ν. Ἀθηναῖος δὲ διὰ τοῦ λ, λίτρον.

Νιφάδες χιόνος ἐντελῶς ἔχει.

Νίφαργον, νιφάδι λελευκασμένον.

Νιφὰς, ἡ τῆς χιόνος κατ' ὀλίγον ἀπόῤῥοια. νιφάδες δ' ὡς ἔπιπτον ἔραζε. τὰς γὰρ ψεκάδας, ψιάδας, φησὶ γάρ, αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε.

Νιφάτης, ὄρος Ἀρμενίας.

Νίφει, ἐπὶ τοῦ νιφετοῦ, χιονίζει. ἀφ' οὗ νιφετὸς, ὅταν χιὼν σφοδρὰ καὶ ἀθρόα καταφέρηται.

Νιφετὸς, λέγεται ὁ καθόλου χειμών. νιφὰς δὲ τὸ μέρος, καὶ ὄμβρος, καὶ ὑετὸς, καὶ ψεκὰς, καὶ ὄρος νιφοστιβὲς, καὶ χιονόβλητον.

Νιφοβόλα, μεταπλασμῷ ἐχρήσατο Ἀριστοφάνης ἐν ὄρνισιν, ὡς ἀπὸ τῆς νιφοβόλος εὐθείας.

Νιφοβόλον, ὑψηλόν.

Νιφοβόλοις, ξενίοις.

Νίψα, πόλις Θράκης παρὰ Ἡροδότῳ.

Νίψαι, ἤγουν ἔπλυναν.

ΤΟ Ν. ΜΕΤΑ ΤΟΥ Ο.

ΝΌαι, πόλις Σικελίας. ὁ πολίτης, νοαῖος.

Νόα, πηγή. Λάκωνες.

Νόαμα, ἀντὶ τοῦ νόημα Αἰολεῖς λέγουσι. τρέπουσι γὰρ τὸ η εἰς α, οἷον Ἑκάβην ἑκάβαν, πύλην πύλαν, ἠὼς αὐώς.

Νοαρέως, νουνεχόντως.

Νόει, συλλογίζου, σκόπει.

Νοερὸν, πνευματικὸν, ἄϋλον, ἢ τὸ τὰ νοητὰ ὁρῶν, ἢ πᾶν τὸ διὰ τοῦ νοῦ νοούμενον, ἢ τὸ διαφεῦγον τὰς πέντε ἡμῶν αἰσθήσεις, ἢ τὸ μὴ ὁρώμενον. οὕτω μὲν οὖν κυρίως. λέγονται δὲ καὶ ἐναλλὰξ καταχρηστικῶς.

Νόες, οἱ ἄγγελοι, καὶ οἱ λογισμοί. ὅτι κακῶς λέγουσι καὶ παρὰ ἀναλογίαν οἱ Φιλόσοφοι τὸν νόα, αἰτιατικὴν τῶν ἑνικῶν. καὶ οἱ νόες εὐθεῖαν τῶν πληθυντικῶν, καὶ αἰτιατικὴν τοὺς νόας. δέον γὰρ τὸν νοῦν λέγειν, καὶ οἱ νοῖ. ἀπὸ γὰρ συναιρέσεώς ἐστι, καὶ δεῖ πρὸς τὸ ἐντελὲς κλίνεσθαι, καὶ τὸ συνῃρημένον. ἔστι γὰρ νόος νοῦς, νόον νοῦν.

Νοεύσας, νοήσας.

Νόημα, σύνεσις.

Νοεῦντες, νοοῦντες, αἰολικῶς.

Νόημι, τὸ νοῶ. καὶ φίλημι, τὸ φιλῶ. τὰ εἰς ω λήγοντα περισπώμενα τῆς πρώτης συζυγίας ῥήματα, εἰς μι προφέρουσιν Αἰολεῖς.

Νοήμων, συνετὸς, ἔμπειρος, γνωστικός.

Νοήσει, ἐνθυμεῖται.

Νόησεν, ἐφράσθη.

Νόησις, ἡ πρώτη τοῦ νοῦ κίνησις. παρὰ τὸ νέω, τὸ πορεύομαι. οὐδὲν γὰρ ταχύτερον τοῦ νοός.

Νόησίς ἐστιν, ἐνέργεια ψυχῆς περὶ τὰ νοητά.

Νοητά εἰσι, τὰ μὴ σωματικῶς, ἀλλὰ κατὰ νοῦν γνωριζόμενα, χωρὶς σωματικῶν ὀφθαλμῶν, καὶ τὰ μὴ ὁρώμενα.

Νοητόν ἐστι, τὸ ἐν τῷ νοερῷ ὑπεισελθὸν, καὶ νοούμενον.

Νοθεία, ἡ λαθραία γέννα, ἢ πορνεία, καὶ τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα, οὕτω καλεῖται. ἦν δὲ μέχρι χιλίων δραχμῶν. οὕτω Λυσίας καὶ Ἰσαῖος καὶ Ἀριστοφάνης καὶ Ὑπερίδης καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.

Νοθεύω, τὸ κιβδηλεύω.

Νοθογένητα, πορνογένητα. οἱ μὴ γνήσιοι παῖδες, ἀλλ' ἀπὸ πόρνης, ἢ φίλης, ἢ δούλης, ἢ παλλακῆς ἀλλότριοι, ἢ δυσγενεῖς, ἢ ψευδεῖς.

Νοθεύει, ἀπαλλοτριοῖ, ἀπατᾷ, κολακεύει.

Νοθοοῖ, φοβεῖται, ἀγριαίνει, νουθετεῖ.

Νόθος, ὁ μὴ γνήσιος υἱός. παρὰ τὸ ὀνῶ τὸ μέμφομαι, καὶ βλάπτω, γίνεται νότος, καὶ κατὰ ἀποβολὴν τοῦ ο καὶ τροπῇ τοῦ τ εἰς θ νόθος, ὁ μὴ ὢν γνήσιος υἱὸς, ἀλλ' ἐκ παλλακίδος. αἱ γὰρ παιδοποιίαι παρὰ τῷ Ποιητῇ τετραχῶς λέγονται. γνήσιος, νόθος, σκότιος, καὶ παρθένιος. γνήσιος ὁ ἐκ νομίμων γάμων. νόθος, ὁ ἐκ παλλακίδος. σκότιος, ὁ ἐκ λαθραίας μίξεως. παρθένιος, ὁ ἐκ τῆς παρθένου ἔτι νομιζομένης γενόμενος.

Νόθως, ψευδῶς.

Νοϊδίων παρὰ τῷ Ἀριστοφάνει, λεπτῶν καὶ μεμεριμσμένων. οὐ γὰρ ὑποκορισμῷ εἴρηκεν, ἀλλ' ὡς διανοημάτων παρήγαγεν, ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ, τὸ νοΐδιον ὑποκοριστικόν. τινὲς δὲ ὀνειδισμῶν, καὶ λοιδοριῶν, ἀπὸ τοῦ οἴνου καὶ τῆς μέθης κακῶς.

Νοΐδιον, καὶ βοΐδιον, ἀρχαῖα, καὶ δόκιμα. οὐχὶ νούδιον καὶ βούδιον, διὰ τοῦ υ.

Νομάδες, βοσκόμεναι ἀγέλαι, καὶ ἔθνη σκυθικὰ, ἄγριοι, βάρβαροι, οἱ λεγόμενοι ἁμαξοφόρετοι, ἢ ἁμαξόβιοι.

Νομάδες ἡμέραι, αἱ φθίνοντος τοῦ μηνός.

Νομαδόστοιχοι, ἀπὸ τῶν νομῶν κατὰ στοῖχον ἐρχόμενοι.

Νομαὶ, βοσκήματα, βοσκαί.

Νομαντία, πόλις Ἰβηρίας παρὰ Ἰόβᾳ, ἡ καὶ νουμαντία λεγομένη.

Νομάριον, σκεῦος τραγικόν.

Νομάρχης, ὁ νόμων ἄρχων. νόμους δὲ λέγουσι, τὰ μεγάλα χωρία.

Vuu　　Νόμβα,

Digitized by Google

Νόμβα, πόλις Ἰουδαίας.

Νομέας, ξύλα περιφερῆ.

Νομεῖς, βασιλεῖς, ἡγεμόνες, καὶ τῶν πλοίων τὰ ἐγχύλια, καὶ σχοῖνοι ἀρμένων.

Νομεὺς, κυρίως λέγεται ὁ κοινῶς βοσκὸς, καὶ διαιρεῖται εἰς αἰπόλον, ποιμένα, βουκόλον, συβώτην, ἱπποφορβὸν, καὶ τὰ τοιαῦτα. ἔστιν ὁ αἰπόλος νομεὺς αἰγῶν. ὁ ποιμὴν δὲ, προβάτων. ὁ βουκόλος, βοῶν. ὁ συβώτης, χοίρων. ὁ ἱπποφορβὸς, ἵππων.

Νομὴ, ἀπὸ τοῦ νέμεσθαι, τὸ βόσκεσθαι. ἀφ' οὗ εὐνομία λέγεται μελισσῶν, ἤγουν καλὴ βοσκή. ἀπὸ δὲ τοῦ νέμω, τὸ δίδωμι. γίνεται νόμος. καὶ διανομὴ, ἡ πρὸς πολλοὺς δόσις καθ' ἕνα. καὶ εὐνομία, ὅταν ὦσι καλοὶ νόμοι, ἢ ὅταν ἐνεργῶσι καλῶς κείμενοι νόμοι.

Νομὴ, διαίρεσις, μερισμὸς, νέμησις, τροφή.

Νομῆες, ποιμένες.

Νομηΐστωρ, ὁ νομομαθής.

Νομήματα, δικαιώματα.

Νομίζειν, οἴεσθαι, λέγειν.

Νομιζόμεθα, νόμιμα οἰόμεθα.

Νομίζοντες, ἀντὶ τοῦ νόμον ἔχοντες. Ἡρόδοτος, γυναῖκας δὲ νομίζοντες πολλὰς ἔχειν ἕκαστος.

Νομίζω, τὸ ὑπολαμβάνω, καὶ τὸ νόμιμον ἡγοῦμαι, καὶ νομίζομαι παθητικῶς. ἔστι δὲ νομίζεται, ἀντὶ τοῦ νομίμως πράττεται· καὶ νενομισμένα, τὰ νόμιμα, οἱονεὶ τὰ τῷ νόμῳ δοκοῦντα.

Νομίζεται, νόμιμόν ἐστι, καὶ νενομοθετημένον ἐστι. νομίζεσθαι νενομοθετημένον εἶναι. νομίζω καὶ τὸ δοκῶ, οἴομαι, ἐν τοῖς χρόνοις συντάσσονται. νομίζω, μέλλων νομίσω, κοινῶς καὶ Ἀττικῶς νομιῶ.

Νομικὸς, ὁ τῷ νόμῳ ἀκολουθῶν, ὁ τοῦ νόμου ἐξηγητής.

Νόμιμόν ἐστι, δίκαιον τεταγμένον.

* **Νομίμη ἐπίδεσις**, ἡ ὑπὸ πάντων εἰθισμένη.

Νόμιος Ἀπόλλων λέγεται κατὰ τοὺς παλαιοὺς. ἐπεὶ οἱ λοιμοὶ ἀπὸ τετραπόδων ἄρχονται. αὐτοῖς δὲ ἐπέστησαν αὐτόν. καὶ ἄλλως δὲ νόμιος ὁ Ἀπόλλων. ἐπεὶ θερμαίνων ὡς ἥλιος τὴν πόαν τοῖς θρέμμασιν ἀναδίδοσθαι ποιεῖ.

Νόμιον μέλος, ποιμενικὸν παρὰ τοὺς νομέας. ἢ νόμιον, μέλος, ὕμνος, παρὰ τοῖς ἀρχαίοις οὕτω λεγόμενος.

Νομίσας, ἀντὶ τοῦ ὑπολαβὼν, καὶ ἀντὶ τοῦ ὑποληφθεὶς, καὶ ἀντὶ τοῦ νόμον θέμενος. Θουκυδίδης, ἐπιψηφίζει καὶ γνώμας προτίθει αὖθις, Ἀθηναίοις νομίσας.

Νόμισμα, δύο σημαίνει, τό τε νόμιμον ἔθος, καὶ τὸ τύμμα τοῦ τετυπωμένου χαλκοῦ, ἢ χρυσοῦ.

Νομιστευομένων, νομίμως διοικουμένων.

Νομήτωρ, ὄνομα κύριον.

Νομοδιδάσκαλοι, οἱ γραμματεῖς ἑρμηνεύονται, συνῆσαν γὰρ αὐτοῖς καὶ οἱ λεγόμενοι νομικοί.

Νομοθέτης ἐστὶν, ὁ τεθηκὼς τὸν νόμον.

Νομοθεσία, θέσις νόμων.

Νομοθετικός ἐστιν, ὁ ἐπιστήμων τῶν νόμων.

Νομοΐστορες, νομομαθεῖς.

Νομὸς, πάνυ κυρίως ἐχειρήθεὶς ἐπὶ λειμῶνος, ὃν ἡδέως ἐπινέμονται τὰ ἐκεῖθεν τρεφόμενα. ὅτι δὲ καὶ τόποι λυβικοὶ νομοὶ ἐγχωρίως ἐλέγοντο, καθά τις ἂν εἴποι γερεῶνες, ἢ τόρμαι, ἢ μᾶλλον ἐνορίαι, ἢ πετίται, δηλοῦται παρὰ τοῖς παλαιοῖς.

Νόμος ἦν ἐν τῷ ᾅδῃ, τὸν βελτίονα ἄνδρα τῶν ἑαυτοῦ συντεχνῶν ἐγγὺς τοῦ Πλούτωνος καθέζεσθαι.

Νόμος, ὃν ἔχομεν γραπτὸν νόμον. τὸ νόμισμα, ὁ τὴν γῆν μερίζων, παρ' Αἰγυπτίοις, ἡ χώρα, ἡ συνήθεια, μέτρον γῆς. τὸ Εὐαγγέλιον.

Νόμος, λόγος προστακτικὸς τῶν πρακτέων τε, καὶ ποιητέων, καὶ μὴ παρὰ τὸ νέμω, τὸ μερίζω.

Νόμος, ὁ κιθαρῳδικὸς τρόπος τῆς μελῳδίας, ἁρμονίαν ἔχων τακτὴν καὶ ῥυθμὸν ὡρισμένον. ἦσαν δὲ ἑπτὰ οἱ ὑπὸ Τερπάνδρου. ὧν εἷς, ὄρθιος, τετράδιος, ὀξύς. Δωριεῖς δὲ ἐπὶ νομίσματος χρῶνται τῇ λέξει, καὶ Ῥωμαῖοι παρατρέψαντες νοῦμμον λέγουσιν. Ἀττικοὶ δὲ, τὰ διανενεμημένα μέρη τῆς γῆς, ὡς καὶ ἐν Αἰγύπτῳ, καὶ τὸ ἔγγραφον δίκαιον. Δαρεῖος εἶχε νόμον τόν τε Φρύγιον, καὶ Λύδιον, καὶ Ἰωνικόν. νομὸς δὲ, καὶ ἡ βοσκὴ καὶ ὁ τόπος.

Νόμος, θεσμὸς, συνήθεια.

Νόμος ἐστὶ βασιλικὴ διάταξις, ἢ πρόσταγμα βασιλέως διορθωτικὴ παντὸς ἑκουσίου καὶ ἀκουσίου πλημμελήματος, λόγος προστάσσων ἃ δεῖ, καὶ ἀπαγορεύων, ἃ μὴ δεῖ.

Νόμους οἱ παλαιοὶ, τὰς ᾠδὰς ἔλεγον. Εὐριπίδης, αἲ αἲ κατάρχομαι νόμων βακχείων.

Νόμος ἐστὶ σώματος, ἡ τῶν κακίστων ἕξις, ἀσυμμετρία τῶν ἐν σώματι στοιχείων.

* **Νόμος**, τρία σημαίνει, τὸν δίχα γραμμάτων, ὃς διὰ κτίσεως ἐδόθη τοῖς ἀνθρώποις. καὶ τὸν ἐν γράμματι διὰ Μωσέως τῶν παραβάντων χάριν κεχαρισμένον, καὶ τρίτον τὸν διὰ τῆς χάριτος.

Νόον χέθεν, ἀντὶ τοῦ ἔκρυψε τὸν μυστηριώδη λόγον κατὰ νοῦν, ἐν Ὀδυσσείᾳ.

Νοοῦμεν, νοοῦμαι. ὁ ἐνεστὼς παθητικὸς, καθόλου θέλει ἔχειν τὴν παραλήγουσαν τοῦ πληθυντικοῦ ἐνεργητικοῦ ἐνεστῶτος. οἷον τύπτομεν τύπτομαι. ποιοῦμεν ποιοῦμαι, βοῶμεν βοῶμαι, χρυσοῦμεν χρυσοῦμαι, τίθεμεν τίθεμαι, ἵσταμεν ἵσταμαι, δίδομεν δίδομαι, ζεύγνυμεν ζεύγνυμαι.

Νοοῦσι, καταλαμβάνουσι, ἐννοοῦσι, φθονοῦσιν, ἢ συνιοῦσι.

Νερβὰ, καλή.

Νορβεῖ, ἐνταμεῖται.

Νορθακινοὶ, ἀσθενεῖς.

Νόροπα. λαμπρά.

Νόῤῥος, ἄνθος μήλινον λωτοῦ. γίνεται δέ τι καὶ δένδρον ἐν παραλίᾳ, ὅπερ ἔνιοι νορειὰν καλοῦσι.

Νορύειν, γῆν ὀρύττειν. ἔστι δὲ εἶδος ὀσπρίου.

Νοσακέρως, νοσώδης, τρυφερὸς, μαλακός.

Νοσηλεία, ἀσθένεια. νοσήλεια δὲ φάρμακα, τὰ θεραπευτικά.

Νοσηλεύεσθαι, νοσεῖν, οὐκ ἐπαχθῶς. καὶ νοσηλεύω, νοσοῦντα θεραπεύω.

Νόσος, ἡ ἀσυμμετρία τῶν ἐν σώματι στοιχείων, ἡ κατακυριεύσασα ἤδη τοῦ ζώου, καὶ ἐπικρατὴς γενομένη.

Νοσοκομεῖον, ὁ ξενών. καὶ νοσοκόμος, ὁ ἐπιμελούμενος τῶν νοσούντων.

Νοσοποιεῖν, νόσους ποιεῖν.

Νόσος, παρὰ τὸ ἐστερῆσθαι τοῦ σώου, κατὰ μετάθεσιν τοῦ ω εἰς ο.

Νόσος ἐστι, διάθεσις παρὰ φύσιν, ἐνεργείας ἐμποδιστική.

Νόσος μεγάλη, ἐπιληψία.

Νοσεῖν, στασιάζειν.

Νοσσεῦσαι, γεννῆσαι.

Νοσσιδὲς, ὑπόδημα γυναικεῖον.

Νόσσον, νόσσιον, ἀμφοῖν λείπει τὸ ε, διὰ τοῦτο ἀδόκιμα. λέγε οὖν νεοττὸς, νεόττιον, ἵνα ἀρχαῖος Ἀττικὸς φαίνῃ.

Νοστῆσαι, ἐπὶ τοῦ οἴκαδε ἐπανελθεῖν εἴρηται. κεῖται δὲ παρ' Ὁμήρῳ, καὶ ἀντὶ τοῦ ἁπλῶς ἐλθεῖν. καὶ νόστος λέγεται κυρίως, ἡ εἰς οἶκον ὑποστροφή.

Νοστήσας, ἐπανελθών.

Νοστία, κώμη Ἀρκαδίας. Ἔφορος δὲ τὸ ἐθνικὸν νεστανίους εἰπὼν, δοκεῖ νεστανίαν αὐτὴν εἰδέναι.

Νόστιμον ἦμαρ, τὸ τῆς οἴκαδε ὑποστροφῆς λέγει. οἱ δὲ μεθ' Ὅμηρον καὶ βρῶμα φασὶ νόστιμον, ὡς καὶ ἀλλαχοῦ δηλοῦνται. καὶ νόστον δὲ τὴν ἡδύτητα διὰ τὸ ἡδὺ τοῦ ὁμηρικοῦ νόστου. ὅθεν καὶ εὔνοστος, φαῦλον φασὶν ἀγαλμάτιον παρὰ τοῖς μύλωσιν. ἡ εὔνοστος θεὸς, ἐπιμύλιος δοκοῦσα ἐφορᾷν τὸ μέτρον τῶν ἀλεύρων.

Νόστιμος. ὥριμος, καὶ τὰ ὅμοια.

Νόστοις, βίβλοις οὕτω καλουμένοις.

Νόστον ὅπως ἔλθησιν, ἤγουν ἐπανέλθῃ. εἰπεῖν γὰρ ἓν ἀνθ' ἑνὸς νόστος ἐστίν. ἐπανέλευσις εἴτ' οὖν ἐπάνοδος εἰς τὰ οἰκεῖα δηλαδή.

Νόστος, ἡ ὑποστροφή. νόστιμον, τὸ καθ' ὑποστροφήν. καὶ νόστιμον, τὸ γλυκύ. νοστῆσαι, ἐνίοτε σημαίνει τὸ ἁπλῶς ἐλθεῖν.

Νοσφίσεται, ἀφαιρήσεται. Ἀπολλώνιος.

Νόσφι, σημαίνει τὸ χωρὶς, ἢ πόῤῥω.

Νόσφι κατίσχεαι, παρ' Ὁμήρῳ δοκεῖ ἑρμηνεία τις εἶναι γυναικὸς ἐξαιρέτου. ταυτὸν δ' ἐστὶ τῷ νοσφίζῃ, καὶ ἰδίᾳ κατέχεις, καὶ χωρίζεις, ἢ ἀποστερεῖς.

Νοσφίδιον, κλωπιμαῖον, λαθραῖον.

Νοσφίζεαι, ἀντὶ τοῦ νόσφι γίνῃ, χωρίζῃ.

Νοσφίζεται, ἀφαιρεῖται, ἀποκλέπτει, ἀποκρύπτει.

Νοσφίζομαι, τὸ ἰδιοποιοῦμαι.

Νοσφίζεσθαι, παρὰ μὲν τῷ Ποιητῇ, τὸ νόσφι καὶ χωρὶς γίνεσθαι, καὶ ἀφίστασθαι, ἢ ἐνεργητικῶς τὸ χωρίζειν. καὶ νόσφι, τὸ πόῤῥω ποιεῖν. παρὰ μὲν τοῖς ὕστερον τὸ ἰδιοποιεῖσθαι, νοσφίζεσθαι λέγεται. τὸ δ' αὐτὸ καὶ σφετερίζεσθαι. καὶ ἄλλως δὲ φράσαι, πάλαι μὲν νοσφίζεσθαί τινας ἦν, τὸ νόσφι τινὸς ἑαυτὸν ἀπαγαγεῖν, καὶ οὕτω χωρίζειν, εἴτε λόγος ἦν ἐκεῖνος, εἴτε πρᾶγμα. νῦν δὲ νοσφίζεταί τις, εἰς ἑαυτὸν ἐπισπώμενος τὸ ἀλλότριον, καὶ νόσφι τοῦ ἔχοντος ποιῶν αὐτό. ὅτι δὲ νόσφι ἐκ τοῦ ἴς ἰνὸς γίνεται ἰνόσφι, καὶ ἀφαιρέσει, καὶ συγκοπῇ νόσφι.

Νοσφιζοίμεθα μᾶλλον παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀπεστραφόμεθα, καὶ ἀφιστάμεθα μᾶλλον, ἢ ἐδεχόμεθα.

Νοσφίζω, τὸ στερίσκω καὶ χωρίζω.

Νόσφιν, ἀντὶ τοῦ χωρὶς, καὶ ἀντὶ τοῦ πόῤῥω. παρὰ τὸ νο στερητικὸν, καὶ τὸ ἕπω, τὸ ἀκολουθῶ γίνεται νοέπι ἐπίῤῥημα, καὶ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ π εἰς φ, καὶ πλεονασμῷ τοῦ σ νόσφι, τὸ μὴ ἀκολουθοῦν, ἀλλὰ πόῤῥω ὄν. ἢ παρὰ τὸ νόστος, ὃ σημαίνει τὴν ἐπάνοδον, καὶ ἐπεκτάσει γίνεται νοσόφι. τὸ δὲ νόστος, παρὰ τὸ νέω, τὸ πορεύομαι. καὶ νοσφιδὸν ἐπίῤῥημα.

Νοσφισμὸς, χωρισμός.

Νόσφιν ἄτερ, ἀντὶ τοῦ χωρὶς ἐκ παραλλήλου. νόσφι, σημαίνει χωρὶς, πόῤῥω. νόσφι μάχης καὶ ἄνευθεν φησὶν Ὅμηρος.

Νοσφισαμένη παρ' Ὁμήρῳ. οὖγουν ἀφεῖσα.

Νοσφισάμην, ἀντὶ τοῦ ἀφῆκα. νόσφιν ἐποιησάμην.

Νοσφισθεὶς, ἀντὶ τοῦ νόσφι γενόμενος, χωρισθεὶς, ὑποχωρήσας.

Νοσῶ τὸ σῶμα, ἢ καὶ τῷ σώματι. καὶ νοσῶ νόσον, Ἀττικῶς.

Νότα, τὰ γράμματα. ἐξ οὗ καὶ νοτάριος, * ὁ γραμματεὺς, ἢ ὑπογραφεύς.

Νοτίῃσι, παρ' Ὁμήρῳ. ἔστι μὲν δὴ καὶ εἰς κοινολεξίαν παρὰ τοῖς ὕστερον, διὰ τὸ σαφῶς πεφράσθαι. ἐλλιπῶς δὲ ἔχει. τὸ γὰρ ἐντελὲς νοτίαις πνοαῖς, ἢ ὑγρότησι ταῖς ἐκ νότου, δηλαδὴ αἷς κατὰ τὴν ἐκ μέρους δήλωσιν τοῦ ὅλου συννοοῦνται καὶ αἱ βόρειοι, καὶ αἱ κατὰ ζέφυρον, καὶ αἱ λοιπαὶ πνοαί.

Νότος, ἄνεμος. καὶ νοτόθεν, ἀπὸ νότου. καὶ νότοι, καύσωνα.

Νότιος ἱδρὼς, δηλοῖ τὸν ὑγρόν. καὶ νότιον χωρίον, προκείμενον τῆς Κολοφωνίων πόλεως.

Νοτίζω, τὸ ὑγραίνω. ἀπὸ τοῦ νότου ἀνέμου, ὅστις ἐστὶν ὑγρότατος. καὶ νοτὶς, ἡ ὑγρότης.

Νοτίου, θαλαττίου. νοτίου θηρὸς, λέγει δὲ τὸ κῆτος.

Νοῦβαι, ἔθνος Λιβύης παρὰ Νείλῳ.

Νουβυστικὸν, νοῦ πεπληρωμένον.

Νουβυστικῶς, ἀντὶ τοῦ συνετῶς. νοῦ πεπληρῶσαι. νήματος ἀσκητοῖο βεβυσμένον. κεῖται καὶ ἐν ἐκκλησιαζούσαις.

Νουθέτησις, λόγος ἐπιτιμητικὸς, ἕνεκα ἀποτροπῆς ἁμαρτίας.

Νουθετῶ, τὸ παραινῶ δοτικῇ, καὶ ὑφηγοῦμαι, εἰσηγοῦμαι, συμβουλεύω, ὑποτίθεμαι.

Νουκερία, πόλις Ἰταλίας, τὸ ἐθνικὸν νουκερῖνος. Πολύβιος μέμνηται ταύτης.

Νουμηνία, ἀρχὴ τοῦ μηνὸς, Ἀθηναῖοι οὕτω τὰς ἡμέρας ἠρίθμουν, ἀπὸ νουμηνίας λέγοντες πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, τρίτη ἱσταμένου, μέχρι τῶν δέκα. μεθ' ἣν πρώτη ἐπὶ δέκα εἶτα δευτέρα ἐπὶ δέκα, καὶ ἑξῆς, ἄχρι εἰκοστῆς, ἡ αὐτὴ καὶ εἰκάς. μεθ' ἣν ἑνδεκάτη φθίνοντος, ἢ δεκάτη, ἢ ἐννάτη, ὀγδόη, ὡς ἔτυχεν ἔχων ὁ μήν.

Νουμήνιος, ὄρνεον ὅμοιον ἀτταγᾷ, ὁ καὶ τρόχιλος.

Νοῦμμος, τὸ νουμμίον.

Νουνέχοντας, νουνέχω ὑφ' ἕν, ἀπὸ τοῦ νοῦν ἔχω σύνθετον ῥῆμα.

Νουνεχῶς, πεφροντισμένως.

Digitized by Google

Νοῦς, τριχῶς λέγεται. νοῦς Θεοῦ. νοῦς καὶ ὁ Ἄγγελος. νοῦς καὶ ὁ ἡμέτερος. νοῦς ὅρασις ψυχῆς ἀσώματος, πρὸς πάντα ἐκτείνουσα. νοῦς, πρᾶγμα ἄδηλον, ἀδήλως ἄδηλα περιαθροῦν. τοῦτο γάρ ἐστι νοῦς ἐν ψυχῇ, ὅπερ ἐστὶν ὀφθαλμὸς ἐν σώματι. νοῦς, ἐστὶ ψυχῆς τὸ καθαρώτατον καὶ λογικὸν, εἰς θεωρίαν τῶν ὄντων.

Νοῦς, θύραθέν ἐστιν, ἡ ἔξωθεν ἐπιγινομένη γνῶσις.

Νοῦς, φύσις ἐπινοητικὴ παντὸς πράγματος.

Νοῦς, ἐστὶ δύναμις ἀσώματος πρὸς πᾶν ἐκτεινομένη.

Νοῦς, παρὰ τὸ νέεσθαι, τὸ πορεύεσθαι, ὁ πάντοτε ἐν ἡμῖν κινούμενος, καὶ ἐπὶ πάντων ἰών. τί γὰρ ὁρμητικώτερον τοῦ νοῦ; καὶ Ὅμηρος, ὡς δ᾽ ὅταν ἀναΐξῃ νόος ἀνέρος.

Νοῦς ἐστιν, ὥσπερ ὄψις τις ὑπὸ τοῦ δημιουργοῦ ἐν τῇ ψυχῇ ἀποκείμενος, ἤγουν ὀφθαλμός. νοῦς, τέλειός ἐστιν ὁ τὴν οὐσιώδη γνῶσιν ῥᾳδίως δυνάμενος ὑποδέξασθαι.

Νοῦ πέρα παντὸς, ὑπεράνω παντὸς νοῦ.

Νοῦς, τὸν νοοῦν καὶ τὸ νοούμενον σημαίνει. ὥσπερ αἴσθησις, καὶ ἡ αἰσθητικὴ δύναμις, καὶ τὸ ὑπὸ τὴν αἴσθησιν, ὡς ὁ Θεολόγος, ἐν τῷ νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις, οὕτως ἀπ᾽ ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν, ἤγουν τὰ νοητὰ καὶ αἰσθητά. οὐ μόνον δὲ τὸ καθολικὸν ἡ αἴσθησις, οὕτω διττῶς λέγεται, ἀλλὰ καὶ ἑκάστη τῶν πέντε αἰσθήσεων. οἷον ὅρασις, καὶ ἡ ὁρατικὴ δύναμις, καὶ τὸ ὁραθέν. ὡς ἐν τῷ, ὅρασις ἣν εἶδεν Ἡσαΐας. καὶ ὄσφρησις, ἡ ὀσφραντικὴ δύναμις, καὶ ἐπὶ τοῦ ὀσφρησμένου, οἷον ἡ ὄσφρησις τοῦ ῥόδου εὐώδης. καὶ γεῦσις, ἡ γευστικὴ δύναμις, καὶ ἐπὶ τοῦ γευστοῦ. οἷον ἡ γεῦσις τοῦ μέλιτος, γλυκεῖα. καὶ ἀκοὴ, ἡ ἀκουστικὴ δύναμις, καὶ τὸ ἀκουόμενον. ὡς ἐν τῷ τὰς ἀγγελίας θείας μὲν φωνὰς οὐκ ἴσας ἡγοῦμαι, πάσης δ᾽ ἄλλης ἀκοῆς ἀνθρωπίνης νομίζω κρείττους. καὶ ἁφὴ τῶν πτερῶν μαλακὴ, ἡ δὲ τῆς πέτρας σκληρά. καὶ ἁφὴ, τὸ ἁπτόμενον.

Νοῦσος ἰωνικῶς, ἀντὶ τοῦ νόσος. οὐκ ἐπὶ πάντων οἱ Ἴωνες τῶν τῷ ο τῷ μικρῷ παραληγομένων ὀνομάτων τὸ υ προστιθέασιν, ἀλλὰ ἐπὶ μετρίων τινῶν, ἅτινά ἐστι ταῦτα. νοῦσος, μοῦνος, οὔρεα, οὖρον, πουλὺ, κούρη, Οὔλυμπος, οὐλόμενος, οὐδός.

Νοχαλὸς, ῥάθυμος, χαῦνος.

Νόῳ καὶ ἐπίφρονι βουλῇ, διαστολή ἐστι πρὸς τοὺς ἀφρόνως καὶ ἀβούλως ὁμοψυχοῦντας.

Νοῶ, καὶ μετανοῶ σοι, δοτικῇ. καὶ μετανοῶ, ἐπὶ τοῖς πεπραγμένοις. προνοοῦμαι δέ σου γενικῇ.

Νοῶ καὶ μετὰ τῆς πρὸ προθέσεως, προνοοῦμαι, ἀντὶ τοῦ πρόνοιαν ποιοῦμαι τινός. τοῦτο γὰρ ἡ πρὸ δηλοῖ, ὡς τὸ προΐσταμαι, καὶ προμάχομαι.

Νοῶ τὸ πρᾶγμα, αἰσθάνομαι, γινώσκω, γνωρίζω.

ΤΟ Ν. ΜΕΤΑ ΤΟΥ Υ.

ΝΥ σύνδεσμος, ἐγκλίνεται. οἷον μή νύ τοι οὐ χραίσμῃ.

Νυγμὴ, κέντρον.

Νυχθήμερόν ἐστι, κόσμου περιστροφή.

Νυθὸν, ἄφωνον, σκοτεινόν.

Νυκταίετος ὄρνις, ἱερὸς Ἥρας, ὁ καὶ ἐρωδιός.

Νυκτάλωψ, παρὰ τὸ ἐν τῇ νυκτὶ ἀλᾶσθαι, ὅ ἐστι πλανᾶσθαι.

* Νυκτάλωψ ἐστὶ πάθος καὶ διάθεσις ὀφθαλμῶν, δίχα φανερᾶς αἰτίας, συμβαίνει δὲ τοῖς οὕτω διακειμένοις, ἡμέρας μὲν μὴ ὁρᾷν, νυκτὸς δὲ βλέπειν.

Νυκταλὸς, ὁ νύκτα φιλῶν, περὶ Διογένους τοῦ κυνός φασιν. οὐδὲ γὰρ ἦν τις νυκταλὸς, καὶ ὑπνηλός.

Νύκτας τε καὶ ἦμαρ, παρ᾽ Ὁμήρῳ. δηλοῖ μὲν καὶ αὐτὸ τὸ μὴ μόνον ἐν ἡμέρᾳ δεῖν ἔνεργον εἶναι τὸν ἀρχηγὸν καὶ ἐπιμελῆ, ἀλλὰ καὶ ἐν νυκτὶ, καὶ μὴ παννύχιον εὕδειν, ὡς εἴρηταί που. ἔχει δὲ τὸ ἦμαρ, ἀντὶ ἐπιρρήματος. οἷον καὶ τὸ αὐτῆμαρ, καὶ ἐννῆμαρ.

* Νύκτα, τὰς συμφορὰς πολλάκις νύκτας ἡ γραφὴ καλεῖ. ἐπειδὴ οἱ ἐν συμφοραῖς περιπίπτοντες, ἐν σκότει διάγειν νομίζουσι.

* Νύκτα δασεῖαν, τὴν χειμερινὴν φασί.

* Νυκταλὸς. ὁ νύκτα φιλῶν. περὶ Διογένους τοῦ κυνὸς φησίν. οὐδὲ γὰρ ἦν τις νυκταλοὶ καὶ ὑπνηλός.

Νυκτελεῖν, ἐν νυκτὶ τελεῖν.

Νυκτερεύειν, ἀγρυπνεῖν. Ἀττικοί.

Νυκτερινοὶ κύνες, οἱ λύκοι. τινὲς δὲ εἶδος ὑποδύματος γυναικείου.

Νυκτερὶς, πετεινὸν νυκτερινόν. * ἡ νυκτερὶς μόνη τῶν πτητικῶν ζώων, καὶ γάλα ἔχει ἐν μαστοῖς καὶ θηλάζει εὐθέως τὸ γεννώμενον.

Νυκτὶ ἐοικώς. ἡ μὲν ἀλληγορία ἐπὶ Ἀπόλλωνος, ἤγουν Ἡλίου λέγει, ὡς ἐν τῷ καιρῷ τοῦ λοιμοῦ μὴ καθαρῶς ἀκτινοβολοῦντος, μὴ δὲ φοίβου ὄντος ταῖς ἀκτῖσι, κατὰ τὸ τοῦ Ἡλίου φοίβῃ φλογὶ, ὃ δή φησιν Αἰσχύλος, ἀλλὰ διὰ τὴν παχύτητα τοῦ ἀέρος ἀμυδρὰν καὶ ἀμαυρὰν καὶ ζοφώδη κατάστασιν ἔχοντος. ὅτι γὰρ λοιμώδης νόσος ἦν ἡ τοῦ Ἀπόλλωνος τοξεία κατὰ τῶν Ἀχαιῶν, καὶ ὅτι τοιούτου κακοῦ αὐτὸς αἴτιος, πάντες οἱ παλαιοί φασι. καὶ οὕτω μὲν ἡ ἀλληγορία. ἡ δὲ ῥητορικὴ ἐπιβολὴ νυκτὶ ἐοικέναι φησὶ, τὸν βλοσυρὸν καὶ ἄγριον τὴν ἰδέαν, ὥσπερ ἥμερον τὸν μὴ τοιοῦτον. τὸ μὲν ἀπὸ τῆς ἡμέρας. φαιδρὸν γάρ τι καὶ εὐπρόσωπον ἡ ἡμέρα. ἐκεῖνο δὲ ἀπὸ τῆς νυκτὸς, δυσπροσώπου οὔσης, καὶ διὰ τοῦτο φοβερᾶς. ὅθεν καὶ δείδια λέγεται, παρὰ τὸ δεδιέναι.

Νυκτὶ θοῇ, τῇ ταχείᾳ, διὰ τὴν ἀνάπαυσιν δηλονότι. ἡ γὰρ ἡμέρα πολύμοχθος οὖσα διὰ τὰ ἔργα, μακρὰ ἡμῖν φαίνεται.

Νυκτίδαι, γένος τι τῶν τὰς λοιμικὰς νόσους ἐκδιωκόντων.

Νυκτίβιος, ὁ ἐν νυκτὶ ὡς ἐν ἡμέρᾳ διάγων.

Νυκτικόραξ, εἶδος ὀρνέου ἐρημικοῦ.

Νυκτιλόχοι, λῃσταί.

Νυκτιπόλος, ὁ λῃστής.

Νυκτέλιος, ὁ Διόνυσος.

Νυκτιπετόμενος, ὁ νυκτικόραξ.

Νυκτίμαντις, μάντεως εἶδος.

Νυκτομαχία, ἡ ἐν νυκτὶ τοῦ πολέμου μάχη.

Νυκτὸς, ἢ ἑσπέρας, ἢ μεσημβρίας ἦλθεν ἐκεῖνος, ἐλλειπτικῶς λέγουσιν Ἀττικοὶ, ἤγουν εἰς τὸν καιρὸν τῆς νυκτὸς, ἑσπέρας καὶ μεσημβρίας. κοινοὶ δὲ λέγουσι κατὰ τὴν νύκτα, καὶ κατὰ τὴν ἑσπέραν, καὶ τὰ ἄλλα ὁμοίως. Ἄλλως.

Νυκτὸς καὶ ἡμέρας Ἀττικοὶ, ἤγουν ἐπὶ τῆς νυκτὸς καὶ ἐπὶ τῆς ἡμέρας, ἐλλειπτικῶς ἔξωθεν. ἢ νύκτα καὶ ἡμέραν, ἤγουν κατὰ τὴν νύκτα καὶ ἡμέραν. τὸ δὲ νύκτωρ, καὶ καθ᾽ ἡμέραν ἁπλῶς, Ἕλληνες.

Νυκτῶν μέσων Ἀττικῶς, ἀντὶ τοῦ νυκτὸς μέσης.

Νύκτωρ Ἀττικοὶ λέγουσιν, ἀντὶ τοῦ κατὰ τὴν νύκτα.

Νυχάσας, νύξας. γράφεται δὲ καὶ νυξάσας, ὅπερ ἐστὶ νεανιευσάμενος.

Νυμφαγωγεῖ, νύμφην ἄγει.

Νυμφαγωγὸς, ὁ μετερχόμενος ἑτέρῳ νύμφην, καὶ ἄγων ἐκ τῆς τοῦ πατρὸς οἰκίας, ᾧ πρότερον γεγαμηκότι οὐκ ἔξεστι μετελθεῖν, διὸ ἀποστέλλουσι τῶν φίλων τινάς. διαφέρει γὰρ ὁ νυμφαγωγὸς τοῦ παρόχου. καλεῖται γὰρ πάροχος τῶν φίλων τὶς, ὁ ἐπὶ τῷ ὀχήματι ἅμα τῇ νύμφῃ καὶ τῷ νυμφίῳ ὀχούμενος, οἷον παράνυμφος.

Νύμφαι λέγονται, διὰ τὸ κατὰ τὸ νέον, ὅ ἐστι κατὰ τὸ ἔαρ μάλιστα ἐκφαίνεσθαι. Διὸς δὲ θυγατέρες, ὅ ἐστιν ἀέρος καὶ αἰθέρος, διὰ τὴν ἄνωθεν ἐπομένην αὐταῖς ὑγρότητα καὶ θερμότητα. ἰστέον, ὅτι καθάπερ ὁμώνυμος γυναικὶ κόρη, τουτέστι παρθένῳ ἡ μυθευομένη τῆς Δήμητρος κόρη, οὕτω καὶ αἱ μυθικαὶ νύμφαι ὁμωνυμοῦσι ταῖς παρ᾽ ἀνθρώποις. ἔτι καθάπερ παρθένοι κόραι, καὶ μετὰ γάμον κόραι, καὶ κοῦραι λέγονται διὰ τὸ νεάζειν, ὡς καὶ Ὅμηρος οἶδε, καὶ αἱ τοῦ μύθου νύμφαι, ὧν πολὺ πλῆθος ἐν τῇ ποιήσει καὶ γάμῳ ὑποπεσοῦσαι καὶ τεκοῦσαι νύμφαι καλοῦνται, κατά τινα κυριωνυμίαν. ὅτι δὲ καὶ συγγενικόν ἐστιν ὄνομα ἡ νύμφη, καὶ ὅτι καὶ προβεβηκυῖάν τινα τῇ ἡλικίᾳ νύμφην ὁ Ποιητὴς καλεῖ, οἷον δεῦρε ἴθι νύμφη φίλη. καὶ ὅτι παρώνυμος τοῦ νύμφη ὁ νυμφίος, καὶ ὅτι ὁ παράνυμφος εἰκαιότερον οὕτω λέγεται. ὀρθότερον γάρ ἐστι παρανυμφίον καλεῖσθαι τὸν συνατάγοντα τῷ νυμφίῳ τὴν νύμφην, ἢ πεζῇ ἢ ἐφ᾽ ἁμάξης, ὡς παρὰ Ἀθηναίοις, ὑφ᾽ ὧν καὶ πάροχος καλεῖται, διὰ τὸ μόνος αὐτὸς συναναβαίνειν, καὶ ὀχουμένῳ τῷ νυμφίῳ παροχεῖσθαι. καὶ ὅτι νυμφὼν περιεκτικῷ λόγῳ ὁ τόπος, ἐν ᾧ οἱ νυμφίοι. καὶ ὅτι νυμφαγωγὸς, ὁ τὴν νύμφην ἄγων ἐκ τῆς πατρικῆς οἰκίας τῷ νυμφίῳ, καὶ ὁ μάλιστα τὴν κατὰ δεύτερον γάμον, καθ᾽ ὃν οὐ θέμις τὸν νυμφίον μετιέναι, ἀλλὰ ἀποστέλλεσθαι φίλον. ὃς οὕτω προσονομάζεται, δηλοῦσιν οἱ παλαιοί.

Νύμφαι, εἰσὶ τὰ ἐν γυναικείῳ σχήματι ἐν τοῖς ὄρεσι φαινόμενα δαιμόνια.

Νύμφαι, οἱ ἀπτερωτοὶ μύρμηκες, καὶ οἱ σκώληκες, οἱ πτεροφυοῦντες, ἐν τοῖς τῶν μελισσῶν κυττάροις. οἱ δὲ καὶ αἱ ἀνὰ μέσον τῶν γυναικῶν νύμφαι, καὶ τῶν ῥόδων αἱ μεμυκυῖαι κάλυκες, καὶ αἱ νεόγαμοι κόραι, καὶ μοῦσαι, καὶ θεαί.

Νυμφαῖον ὄχθον, ὃν ὁ Ἀλφειὸς τὴν Ἀρκαδίαν παραμειβόμενος, τὰς λεγομένας γλυφὰς διέρχεται.

Νύμφαι, αἱ ἐπὶ τῆς ξηρᾶς, αἱ ἀδριάδες, καὶ ἁμαδρυάδες, καὶ ὀρεστιάδες καλοῦνται. Νηρηΐδες, αἱ ἐν τῇ θαλάσσῃ. Νηΐδες, αἱ ἐν ταῖς λίμναις. καὶ ἄλλως, τῶν Νυμφῶν αἱ μὲν εἰσὶν οὐράνιαι· αἱ δὲ ἐπίγειοι, αἱ δὲ ποτάμιοι, αἱ δὲ λιμναῖαι, αἱ δὲ θαλάσσιαι. καὶ καθόλου τὸ τῶν νυμφῶν γένος εἰς πολλὰ διῄρηται, ὥς φησι Μνησίμαχος.

Νύμφη, ἡ νεωστὶ γαμηθεῖσα, καὶ ἡ ἐν τοῖς ἄστροις αἲξ, ἡ Ἀμάλθεια, καὶ μοῦσα, καὶ τὸ μεταξὺ τοῦ γενείου καὶ τοῦ κάτω χείλους κοῖλον. καὶ ἡ τοῦ Διὸς μήτηρ.

Νυμφεύτρια, ἡ συμπεμπομένη ὑπὸ τῶν γονέων τῇ νύμφῃ παράνυμφος.

Νυμφεὼν, νυμφῶν ἱερόν.

Νυμφιγενέην, νεωστὶ νενυμφευμένην.

Νυμφικὰ λουτρὰ, τὰ μήλια λουτρά. ἦν δὲ ἀπὸ κρήνης ἀποδεδειγμένης.

* Νυμφικὰ λουτρὰ, τὰ εἰς γάμους ἐκ τῆς ἀγορᾶς ἀπὸ κρήνης λαμβανόμενα.

Νυμφίος, ὁ ἄρτι εἰς γάμον ἐρχόμενος. καὶ νύμφη ἡ ἄρτι εἰς γάμον ἐρχομένη. ἥτις ποιητικῶς, νυὸς λέγεται. νύμφαι καὶ τὰ τῶν πηγῶν ὕδατα. καὶ οἱ ἔφοροι τούτων δαίμονες παρ᾽ Ἕλλησι. καὶ νύμφιον, ἡ παστάς.

Νυμφίος, ὁ νυμφικὸς οἶκος. νυμφίος δὲ, ὁ γαμέτης, καὶ ὁ γαμβρὸς, ὡς τύχιος, ὁ τυχηρός. τυχίος δὲ κύριον. νυμφεῖος δὲ, ὁ παστὸς, δίφθογγον.

Νυμφίων βίον λέγουσιν, ἢ ὅτι οἱ γαμοῦντες στεφανοῦνται, ἢ ὅτι ἡδυπαθοῦσι πρὸς τὰς τῶν γάμων ἡμέρας.

Νυμφόβας, Ἀχαιὸς, ὃς ἦν δεινὸς ἐπιβαίνων ταῖς νύμφαις, καὶ ἐν μύροις, βαβαὶ βαβαὶ, βήσομαι γυναῖκες ἐπὶ τῆς Ἀφροδίτης.

Νυμφοκόμος, ἡ νυμφεύτρια, ἡ κοσμοῦσα τὴν νύμφην.

Νυμφόληπτοι, οἱ κατεχόμενοι νύμφαις. μάντεις δέ εἰσι καὶ ἐπιθειαστικοί.

Νυμφοπόνος, ἡ περὶ τὴν νύμφην πονουμένη.

Νυμφοστόλος, ὁ τὸν νυμφίον κοσμῶν. νυκτιπόλος δὲ, ὁ ἐν τῇ νυκτὶ ἀναστρεφόμενος. νυκτιλόχος, ὁ κατὰ τὴν νύκτα ἐνεδρεύων.

Νυμφοστόλος, ὁ νυμφαγωγός.

Νυμφοστολῆσαι, νύμφην κοσμῆσαι.

Νυμφοτερεῖς, ἄρχοντές τινες.

Νῦν, ἐπίρρημα χρονικόν. συντάσσεται πᾶσι τοῖς χρόνοις, χωρὶς τοῦ ὑπερσυντελίκου. ἐνεστῶτι, νῦν γὰρ δὴ γένος ἐστί. νῦν μὲν πειρᾶται τάχα δ᾽ ἴψεται υἷας Ἀχαιῶν. μέλλοντι δὲ, οἷον νῦν αὖτ᾽ ἔγχει πειράσομαι, αἴ κεν τύχοιμι. νῦν δ᾽ Αἰνείας βίῃ Τρώεσσιν ἀνάξει. νῦν ποιήσω. παρακειμένῳ δὲ, οἷον νῦν δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά. ἀορίστῳ δὲ, οἷον νῦν Μενέλαος ἐνίκησε σὺν Ἀθήνῃ, νῦν ὤλετο πᾶσα κατ᾽ ἄκρας. παρατατικῷ δὲ συν-

[illegible]ται, οἷον νυῦ ἐποίουν, νυῦ ἔγραφον, ἔστι δὲ καὶ νυῦ, ἀντὶ τοῦ ποτέ. οἷον νυῦ μὲν ἀγαθὸς δοκεῖ. νυῦ δὲ πᾶν τοὐναντίον. χρῶνται οἱ τραγικοί τε καὶ κωμικοὶ καὶ ἐπιρρήματι νυῦ, λαμβανομένῳ μὲν ἀντὶ τοῦ δή, ἔχοντι δὲ ἔμφασιν χρόνου τινά. καὶ παρὰ Σοφοκλεῖ ἐν Αἴαντι σίγα νυν ἑστώς, καὶ μένε ὡς κυρεῖς. καὶ παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ, σῶσόν νυν αὐτόν.

Νυῦ ἡνίκα μὲν δηλοῖ τὸ ἀρτίως, ἐπίρρημα ὄν, μακρόν ἐστι καὶ περισπᾶται. ἡνίκα δὲ ἀντὶ τοῦ νῦ παραπληρωματικοῦ συνδέσμου, σύνδεσμος τηνικαῦτα γινόμενον, βραχύνεται, καὶ ἐγκλίνεται. Σοφοκλῆς, σίγα νυν ἑστώς. καὶ Εὐριπίδης, σῶσόν νυν αὐτόν. διαφέρει μέντοι τὸ νῦ τοῦ νυῦ. ὅτι τῷ νῦ μὲν, Ὅμηρος χρῆται. τῷ δὲ νυῦ οἱ τραγικοὶ καὶ κωμικοί. ἐντεῦθεν καὶ τὸ τοίνυν παράγεται, συνεσταλμένον ὂν καὶ αὐτό.

Νυῦ καθ' Ἡρακλείδην, ἐνεστῶτι τε ἁρμόττεται. οἷον νυῦ ἔρχεται ὁ ἀγών. καὶ παρῳχημένῳ, οἷον νυῦ παρῆλθεν ὁ ἀγών. καὶ μέλλοντι, οἷον νυῦ ἔσται ὁ ἀγών. τὸ δὲ νυνί, ἐπὶ μόνου ἐνεστῶτος. τῶν Ἀττικῶν δὲ ταῦτα. καὶ νυῦ μὲν εἰς σπουδήν, νυῦ δὲ εἰς ἡδονὴν ἀποκλίνοντες, ἀντὶ τοῦ ποτὲ μὲν, ποτὲ δέ.

Νυῦ δὲ ἐν τῇ φράσει, ἀντὶ τοῦ ἀλλὰ λαμβάνεται.

Νυῦ, ὅτε δηλοῖ τὸ ἐνεστηκὸς, ἐνεστῶτι μόνῳ συντάσσεται, καὶ ἐν ἀρχῇ λόγου δύναται τίθεσθαι. τὸ δὲ νυῦ ὅτε ἀκολουθίαν σώζει προηγουμένου λόγου, οὔτε ἐν ἀρχῇ λόγου ποτὲ τίθεται, ἀλλὰ καὶ ἀεὶ τῷ δὲ συνδέσμῳ συνάπτεται, καὶ τρισὶ χρόνοις συντάσσεται. οἷον ἐγὼ μὲν ᾤμην σε καὶ τὸ ποιήσειν τὸν δεῖνα. νυῦ δὲ οὐδὲν τούτων ἐποίησεν, ἢ ποιεῖ, ἢ ποιήσει.

Νυῦ, σήμερον, εἰς τὸ νυῦ. ἡμέρῃ ἥδε, ἣ καὶ ἐν Ὀδυσσείᾳ κεῖται, ἀφ' ἧς καὶ γίνεται τὸ σήμερον.

Νυῦ, ἀντὶ τοῦ οὖν κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἐν τῷ δευτέρῳ.

Νυνὶ, ἐπὶ μόνου ἐνεστῶτος ἀεὶ τίθεται, καὶ ἐν ἀρχῇ καὶ ἐν μέσῳ καὶ ἐν τῷ τέλει τοῦ κώλου, ὅπως ἂν ὁ ἀριθμὸς διδῷ. τότε δὲ μετὰ παρῳχημένου καὶ μέλλοντος τὸ νῦν συντάσσεται, ὅταν συνωνυμίαν ἔχωσιν ἄμφω οἱ χρόνοι, καὶ ὥσπερ ἔμφασιν ἐνεστῶτος. ὡς τὸ νῦν ἔτυψα, νῦν ἐλθὼν ὄψομαι.

Νύννιον ἐπὶ τοῖς παιδίοις τοῖς κατεβαυκολημένοις φασὶ λέγεσθαι, ὁμοίως καὶ τὸ νύννιος.

Νυῦ μενὶ, ἀντὶ τοῦ νῦν μὲν πολλαχοῦ δὲ οὕτω χρῆται Ἀριστοφάνης.

Νὺξ ἀβρότη, ἀμβροσία, θεία, οἱονεὶ ἀβρότη. ἔστι γὰρ ἱερὰ τῶν θεῶν ἡ νύξ, ἐν ᾗ βροτὸς οὐκ ἀναστρέφεται. ἢ βρότος βαρυτόνως, τουτέστι μολυσμὸς καὶ φόνος οὐ γίνεται.

Νὺξ, γίνεται κατὰ τοὺς παλαιοὺς, ἐκ τοῦ νύσσω νύξω, ἀποβολῇ τοῦ ω, ἀντιφραστικῶς φασιν ἡ μὴ νύσσουσα εἰς ἔργον, ἀλλὰ μᾶλλον καταστιθεῖσα, ὅθεν καὶ θοὴ νύξ, ἡ καταθετικὴ κατά τινας. ἀπὸ δὲ τοῦ αὐτοῦ φασι νύξω νὺξ, καὶ τὸ κατὰ τοὺς δακτύλους ἔξω σκληρὸν, καὶ πλεονασμῷ τοῦ ο, πρὸς διαστολὴν ταυτοφωνίας, ὄνυξ. οὕτω καὶ κλῶ κλάζω, ἐξ οὗ ἡ κλαγγή. καὶ αὖ πάλιν, κλῶ κλάζω. καὶ ὁμοίῳ πλεονασμῷ τοῦ ο, ὀκλάζω. ἐξ οὗ καὶ δίφρος ὀκλαδίας. καὶ ἐπίρρημα δὲ ὀκλὰξ, ὅθεν ὀκλὰξ καθῆσθαι, τὸ ἐπὶ γόνυ.

Νὺξ, ἐν τῷ τὸν Ἥλιον ὑπὸ γῆν εἶναι. νυκτὸς δὲ διάστημα, ὁ ἀπὸ δύσεως μέχρις ἀνατολῆς ὑπὸ γῆν τοῦ Ἡλίου δρόμος, παρὰ τὸ νύσσω νύξω, νὺξ, δι' ἧς καμπτόμεθα. ὁ δὲ Βυζαντῖνος, παρὰ τὸν νύξω μέλλοντα, τὸ δηλοῦντα τὸ πλήξω. διὰ τὸ νύσσεσθαι καὶ προσπταίειν τοῖς ἐνεργουμένοις τι ἐν σκότει. ἢ προσκόπτειν καὶ πλήττεσθαι τοὺς βαδίζοντας ἐν αὐτῇ τῇ ὥρᾳ.

Νὺξ ὀλοὴ, πρὸς διαστολὴν ἐρρέθη παρὰ Ὁμήρῳ τῆς κατὰ φύσιν νυκτός. ἐκείνη γὰρ ἀμβροσίη νὺξ λέγεται, καὶ πειθὴν ἔχει ὡς ἀγαθὴ, κατὰ τὸ ἀγαθὸν, καὶ νυκτὶ πιθέσθαι.

Νύξαι, βαλεῖν, τὸ πέμψαι πόρρωθεν. οὐτάσαι δὲ, καὶ τύψαι, τὸ ἐκ χειρὸς τρῶσαι.

Νύξας, διεγείρας.

Νύξεν, ἐκ χειρὸς ἔτρωσεν. νύξε δ' ἐμὴν χεῖρα μέσην.

Νυὸς, ὄνομα συγγενικὸν, ὅ ἐστι νύμφη.

Νυρίζει, ξύει, νύσσει.

Νύρων, νύττων.

Νύσειν, παίει, ῥήσσει.

Νύσια, ὀρχήματος εἶδος. τῶν γὰρ ὀρχήσεων ἡ μὲν βερεκυνθιακὴ λέγεται, ἡ δὲ κρητικὴ, ἡ δὲ παριακή. νύσια οὖν τὰ βερεκύνθια. νυσιὰς γάρ ἐστιν ἡ βερεκυνθιακή. κνώσια δὲ, κρητικά. ἐν Μυσίᾳ γὰρ, καὶ Κνωσσῷ ἐπιμελῶς ἡ ὄρχησις. νύσια δὲ καὶ τὰ ἐν τῇ νύσῃ γινόμενα. ἔστι δὲ αὕτη Διονύσου ἱερὰ, καὶ τὰ κνώσια ὡσαύτως. ἄλλως, τῶν ὀρχήσεων αἱ μὲν εἰσὶ διονυσιακαὶ, αἱ δὲ κορυβαντικαὶ, αἱ δὲ ἐνόπλιοι. νύσιαι δὲ, αἱ διονυσιακαί. κνώσιαι δὲ, αἱ κορυβαντικαί. Κνωσσὸς γὰρ πόλις Κρήτης, ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων ἐτράφη ὁ Ζεύς.

Νύσσαι, ἐκ χειρὸς πατάξαι.

Νύσσαν, ὄρος λέγουσι τῆς Θράκης. νυῦ ἐν ἄλλοις νυσήϊον, καὶ Διονύσου διατριβή. ἡ δὲ νύσσα, ἐν μέν τισι χώραις ὄρος, ὡς ἐν Βοιωτίᾳ καὶ Θράκῃ καὶ Ἀραβίᾳ καὶ Ἰνδικῇ, καὶ Λιβύῃ, καὶ Νάξῳ. ὅπου δὲ πόλις, ὡς ἐν Καρίᾳ, καὶ ἐν τῷ Καυκασίῳ ὄρει. ὅπου δὲ νῆσος, ὡς ἐν Νείλῳ τῷ ποταμῷ. οὐ δεδήλωκε δὲ ὁ Ποιητὴς, ἐν ποίᾳ νύσῃ τὰ περὶ τὴν Λυκούργου δίωξιν ἐγένετο.

Νύσσα λέγεται ἡ ἀφετηρία τῶν ἱππικῶν ἀγώνων. τοὺς μὲν ἵππους κεντοῦσιν οἱ παρεστῶτες σιδηροῖς κέντροις, ὡς ἂν ὀξυτέρως ἐκπηδήσωσι τῇ πληγῇ, τοὺς δὲ πεζοὺς, λόγοις.

Νυσήϊον, ὄρος Θράκης, ὃ νύσσα λέγεται. ἀφ' ἧς ὁ Διόνυσος ὠνομάσθαι δοκεῖ. περὶ ἣν ὁ Λυκοῦργος ἔσωσε τὰς βάκχας. δηλοῖ δὲ νυσήϊον περιεκτικῷ λόγῳ διατριβήν τινα οὐ νύσσης, ἀλλὰ Διονύσου κατὰ τὸ νύσια, κνώσσια, ὅπερ ἐστὶ διονυσιακά. καὶ πῶς ἔοικε πρὸς τὸ ποσειδήϊον, ὅπερ σημαίνει Ποσειδῶνος διατριβήν. εἰσὶ δὲ καὶ ἕτεραι νύσσαι κατὰ τὰς ἱστορίας. αἱ μὲν ὄρη ὡς ἐν Βοιωτίᾳ καὶ Ἀραβίᾳ καὶ Ἰνδικῇ καὶ Λιβύῃ. ἡ δέ τις καὶ νῆσος ἐν τῷ καυκασίῳ ὄρει, καὶ ποταμῷ Νείλῳ.

Νύσσω, τὸ τιτρώσκω.

Νυστάζω, ἀμεταβάτως.

Νυσταγμὸς, ὕπνος.

Νυστάζω, ἀπὸ τοῦ νεύω καὶ τὸ στάζω, οἷον νευστάζων κόρυθα βριαρήν. ἐπειδὴ ἐπινεύουσιν οἱ κοιμώμενοι. ἔνθεν καὶ ῥηματικὸν ὄνομα, νύσταλος, νυσταλογερόντιον, ἢ παρὰ τὸ νευστάζειν, ἀποβολῇ τοῦ ε. τὸ δὲ νευστάζειν, παρὰ τὸ νεύειν τὴν κάραν.

Νύστυχον, ὀλίγον ὑπνῶσαι.

Νύττεται, ἤτοι κεντεῖται.

Νύσσαισιν, εἰς δρόμον. καὶ οὕτω μὲν ἡ ἀφετηρία νύσσα καλεῖται. ὁ δὲ καμπτὴρ νύσσα καλεῖται, παρὰ τὸ νεύω νεύσω, νεῦσα καὶ νύσσα. νεύουσι γὰρ περὶ τὸν καμπτῆρα καὶ κάμπτουσι.

Νύχα, νύκτωρ, νυκτί.

Νυχεύει, κρύπτει, νυκτερεύει.

Νύχιος, νυκτερινός.

Νύχμα, ὄνειδος. Λυδοὶ, ψωλός.

Νυχὸς, νὺξ, σκότος.

ΤΟ Ν'. ΜΕΤΑ ΤΟΥ Ω'.

Νῶ, ἀντὶ τοῦ νῶϊ, ἀποβολῇ τοῦ ι καὶ ὀξύνεται.

Νὼ, παρὰ τῷ Ἀριστοφάνει. βλέψαι ποιῆσαι νὼ, ὅτι τὸ νὼ ἀντὶ τοῦ αὐτόν. ἢ ἀντὶ τοῦ δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι.

* Νῶ. ῥῆμα. οὗ αἱ κινήσεις χρυσαί. νῶ τὸ σωρεύω. ἐξ οὗ νῆσαι τὸ σωρεῦσαι. καὶ νηδὺς, εἰς ἣν αἱ τροφαὶ σωρεύονται. νῶ τὸ κολυμβῶ, ἐξ οὗ καὶ ναῦς, καὶ νῆσσα, καὶ νῆσος, ἡ πᾶν μέρος αὐτῆς ἐν ὑγρῷ ἔχουσα. νῶ, τὸ ῥέω, οὗ ὁ μέλλων νάσω, ὅθεν καὶ ναρὸν φασι τὸ ὑγρὸν, καὶ Νηρεύς. καὶ τέταρτον νῶ, τὸ κλώθω. οὗ παράγωγον, τὸ νήθω, καὶ τὸ νῆμα.

Νῶβαι, πυγμαῖοι.

Νωβαλεύμασι, ἢ νωγαλίσμασι, τὰ κατὰ λεπτὸν ἐδέσματα. οἱ δὲ, τὰ μὴ εἰς χορτασίαν, ἀλλὰ τρυφερὰ ἀρτύματα.

Νωγαλέον, λαμπρόν.

Νωδὸν λέγουσι παρὰ τῷ Ἀριστοφάνει, τὸν ὀδόντας μὴ ἔχοντα διὰ τὸ γῆρας. οὐ γὰρ δὴ ἄφωνον, αὐδᾷ γὰρ ὁ πλοῦτος. καὶ νωδὸς, ὁ ἐστερημένος ὀδόντων. λέγεται δὲ καὶ τὸ βρέφος ἐστερημένον ὀδόντων. οὐ μὴν δὲ καὶ νωδὸν φαμὲν αὐτὸ, ἀλλ' ἐκεῖνον φαμὲν νωδὸν, τὸν ὀδόντας κτησάμενον, εἶτα ἀσθενείᾳ τινὶ ἢ γήραϊ ἀποβεβληκότα.

Νώδυνον, τὸ ἀνώδυνον.

Νῶε, ὄνομα κύριον. ἑρμηνεύεται δὲ πρόσωπον ἀκτημοσύνης. λέγεται δὲ καὶ ἡ ἀνάπαυσις.

Νωθεία, νωθρία, ὀκνηρία.

Νωθεῖς, ῥάθυμοι, βραδεῖς, οἱ ἐστερημένοι τοῦ τρέχειν.

Νωθὴς, ὁ νωθρὸς κατὰ στέρησιν τοῦ θεῖν, βραδὺς, ἀμβλύς.

Νωθὴς ὁδὸς, ἡ μακρὰ ὁδός.

Νώθητι, ἐνθυμήθητι, γνῶθι.

Νωθητὸν ἐργάτην, τὸν μηκέτι σκιρτᾶν δυνάμενον.

Νωθουργὸς, ὁ δυνατὸς συγγίνεσθαι. ἢ ὄνος.

Νωθρεία καὶ νωθεία, ἡ ῥαθυμία.

Νωθροκάρδιος, ὁ κατὰ λογισμὸν βαρὺς, καὶ ῥάθυμος.

Νωθρὸν, βραδὺ, νωχελὲς, ἀσθενές.

Νῶϊ, ἡμᾶς, ἡμεῖς, ἡμῶν.

* Νοΐδιον, διανοημάτων. παρήγαγε δὲ ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ, τὸ νοΐδιον ὑποκοριστικόν. τινὲς δὲ οὕτως. ὀνειδισμῶν, καὶ λοιδοριῶν, ἀπὸ τοῦ οἴνου, καὶ τῆς μέθης.

Νωΐτερος, ἡμέτερος.

Νῶκαρ, νύσταξις, νωθεία, κακόχολος ἔννοια.

Νῶκαρ, ὁ δυσκίνητος, ὁ οὐδ' ὁπωσοῦν ἐρρωμένος. παρὰ τὸ νω στερητικὸν, καὶ τοῦ σκαίρω τὸ σκιρτῶ, κατὰ ἀποβολὴν τοῦ σ.

Νῶλα, πόλις.

Νωλανοὶ, ἔθνος.

Νωλεμὲς, συνεχὲς, σημαίνει καὶ βιαίως. Ἀπολλώνιος, νωλεμὲς ἐμπλήξασαι ἐναντίαι.

Νωλεμέως, ἀδιαλείπτως, συνεχῶς. παρὰ τὸ νω στερητικὸν, καὶ τὸ λείπω τὸ λιμπάνω, γέγονε νωλεπέως, καὶ τροπῇ τοῦ π εἰς μ νωλεμέως, οἱονεὶ τὸ μὴ λειπόμενον, ἀλλ' ἀδιαλείπτως ὄν.

Νῶμα, νόημα, ἐνθύμημα.

Νωμᾷς, διοικεῖς.

Νωμᾶν, καὶ νέμειν ταυτόν ἐστι, καὶ ἔστι παρ' Ὁμήρῳ. ἐνώμων, ὅ ἐστι παρεῖχον.

Νωμᾶν ἔνθα καὶ ἔνθα, ταυτόν ἐστι τῷ ἀναστρέφειν. Ὅμηρος, Τηλέμαχος κέρδεα νωμῶν, ἤτοι κινῶν, στρέφων εἰς νοῦν, καὶ κέρδεα ἐν φρεσὶν ἐνώμα.

Νωμᾶται, κινεῖται.

Νώμασι, ἐπὶ τῶν ὑποζυγίων τὰ γνωρίσματα. οἱ δὲ τὰ θρέμματα.

Νωμέντια, χώρα. νομάντια δὲ μικρόν.

Νωμῆσαι βοῶν, διενεγκεῖν, βαστάξαι, ἢ κινῆσαι παρ' Ὁμήρῳ.

Νώβησαν, τουτέστι διεμέρισαν, διέδωκαν, ἐκ τοῦ νωμῶ νωμήσω, ἐνώμησα, καὶ Ἰωνικῶς νώμησαν.

Νωμῶ, κινῶ, καὶ τὸ σκοπῶ.

Νωμῶν, ἔχων, διανέμων, κρίνων, διαιρῶν.

Νώνακρις, τόπος ἐπώνυμος Ἀρκαδίας, τινὲς δὲ νώνατις.

Νῶν, καὶ σφῶν σὺν τῷ ι. ἀπὸ γὰρ τοῦ νῶϊν καὶ σφῶϊν γέγονε, κατὰ συναίρεσιν τοῦ ω καὶ ι εἰς τὴν ῳ δίφθογγον. ἄλλως τε δὲ, πᾶσα δοτικὴ ἐπὶ παντὸς ἀριθμοῦ τὸ ι ἔχει. Ὅμηρος δὲ χωρὶς τοῦ ι ἀξιοῖ γράφεσθαι λέγων, ὅτι τρία πρόσωπά ἐστι τῶν παθητικῶν, ἡμῶν, ὑμῶν, σφῶν. ἀντὶ τοῦ δύο, δυϊκόν. ἀντὶ γὰρ τοῦ σφῶϊν κεῖται. ἀλλ' ἔστιν εἰπεῖν, χωρὶς τοῦ ι γράφεται, ἐπειδὴ οὐδέποτε τῇ γενικῇ καὶ δοτικῇ τῶν δυϊκῶν κέχρηται ὁ Ποιητὴς, εἰ μὴ κατὰ διάλυσιν, οἷον τοῖν τοῖϊν, ὤμοιν ὤμοιϊν, ἀλλοίλοιν ἀλλοίλοιϊν. εἰ οὖν ἐνταῦθα τὸ ι ἔχει, ἤμελλε κατὰ διάλυσιν εἶναι.

Νῶντα, νήθοντα, ῥέοντα.

Νωνυμία, ἄκλεια, ἀσφάλεια.

Νώνυμοι, εἴτε νώνυμοι αἱ ἐστερημένοι τοῦ ὀνομάζεσθαι, ἢ ὑμνεῖσθαι, ὅ ἐστιν οἱ ἀνώνυμοι, ἢ οἱ ἀκλεεῖς.

Νώ-

Νώνυμος, ἀνώνυμος, δύσφημος, ὅτι οὐκ ἄν τις εὔφημον εἴποι, ἀλλὰ δυστυχοῦ.

Νωρεῖ, ἐνεργεῖ.

Νώρεμνος, μέγας, πολὺς, καπύσιος, ἔσχατος, ἀσθενὴς, πλατύς.

Νώρμη, καὶ Νώρα, ὀνόματα πόλεων.

Νώροπα χαλκὸν λέγει Ὅμηρος, τὸν λαμπρὸν καὶ στερίσκοντα τοῦ ὁρᾷν. οἷα δυσωπουμένης τῆς ὄψεως, πρὸς τὴν λαμπρότητα. ἔστι γὰρ στερητικὸν μὲν τὸ νη. ὁρᾷν δὲ, τὸ βλέπειν. ἐξ οὗ καὶ ὁ νώροψ. καὶ ἄλλως. ἰστέον δὲ, ὡς εἰ καὶ νώροπα κοινότερον χαλκὸν λέγουσιν οἱ παλαιοὶ τὸν λαμπρότατον, διὰ τὸ στερεῖν τοῦ ὁρᾷν τὴν ὄψιν τῇ ἐξ αὐτοῦ, ὡς οἷον ἀστραπαίᾳ στιλπνότητι. ἀλλ' ἡ σκωπτικὴ παράχρησις δύναται καὶ ἄνθρωπον ἐμφαίνειν τὸν παρ' ἄλλοις ἰλλὸν, ὥσπερ παραβλῶπα, καὶ στραβὸν. διὰ τὸ στερεῖσθαι τοῦ κατὰ ὅρασιν ὀπτικοῦ, ἵνα ᾖ νώροψ μὲν χαλκὸς, ὁ ἀποστερῶν τοῦ ὁρᾷν. νώροψ δὲ ἄλλως ἀνὴρ, ὁ ἐστερημένος τοῦ ὁρᾷν.

Νώροψ, λαμπρὸς, ὀξύφωνος, εὔηχος, ἢ ὅτι τὴν ὄψιν ἀσθενῆ ποιεῖ.

Νῶσαι, εἰς νοῦν λαβεῖν.

Νωσάμενος, νοήσας, νοῦς.

Νωτίσαι, τὸ κατὰ νώτου λαβεῖν, καὶ παραμείψασθαι φυγόντα.

Νώσασθαι, αἰσθέσθαι, ἐνθυμηθῆναι, νοῆσαι.

Νώσατο, ἐπέγνω, ἐνοήσατο, καὶ κράσει τοῦ ο καὶ η εἰς ω μέγα νώσατο. νώσω, ἐκ τοῦ νοήσω, κράσει τοῦ ο καὶ η νώσω.

Νῶσιν, ἀντὶ τοῦ νήθουσι. νήθω δὲ, τὸ κλώθω. ὡς τὸ, ταῖς χερσὶ νῶσι λίνον.

Νῶσις, ῥέμβος, πτωχός.

Νωσίχολος, ἀμελὴς, ῥᾴθυμος.

Νῶτα, ὑπ' αὐχένι κεῖται. ὧν τὸ μὲν ἔγκυρτον, χελώνιον ὀνομάζεται. τὰ δὲ ἑκατέρωθεν ὠμοπλατῶν, πτερύγια, ὧν τὰ μὲν πλάγια μεσαυχένια. τὸ δὲ μέσον τούτων καὶ τῶν νώτων μετάφρενον, περιεχουσῶν αὐτὸ τῶν ὠμοπλατῶν. ὧν τὰ περαίνοντα πλατυνόμενα, τράπεζα καλοῦνται. τὸ δὲ ὑπ' αὐταῖς, ῥάχις, ἧς τὸ μέσον κατὰ μῆκος ἄχρις ὀσφύος ἐν τῷ νώτῳ κοιλαινόμενον, κρίσις καὶ τούτης τὸ καταλῆγον ἀντίστερνον. τὸ δὲ ἀπὸ τῆς ῥάχεως ὀσφὺς, τὸ ἄχρι γλουτῶν. τὴν δὲ ῥάχιν, ἔνιοι τῶν Ποιητῶν ὠνόμαζον κλόνιν, ὥσπερ Ἀντίμαχος. ὡς εἴπε κλόνιός τε θουρίης, καὶ τὰ λοιπά. ἀπὸ δὲ νώτου ὀνόματα, κατὰ νώτου ἐπιγενέσθαι ἐν πολέμῳ, καὶ νῶτα δοῦναι. καὶ νωτίσαι παρὰ τοῖς Ποιηταῖς, τὸ κατὰ νώτου τι ἀπολιπεῖν. καὶ νωτοφόρος, ἡμίονος παρὰ Ξενοφῶντι, καὶ ὄνος. καὶ νωτεῖς δὲ τούτους ἐκάλουν, ὡς καὶ τοὺς ὑπὸ ζυγῷ ζυγίους. καὶ νωτοπλῆγα τὸν μαστιγίαν, Ἀριστοφάνης ἐκάλεσε.

Νῶτα θαλάσσης, ὅ ἐστιν ἡ ἐπιφάνεια τῆς θαλάσσης.

Νωτεῖς, οἱ ἀχθοφόροι ἡμίονοι. οἱ δὲ ἕλκοντες, ζύγιοι.

Νωτίζω ποιητικῶς, τὸ κατὰ νώτου τι παραλείπω, καὶ τὸ νῶτα μεταστρέφω. καὶ νωτίζειν, διώκειν, τρέπειν.

Νῶτος, ἡ ῥάχις. ἐπειδὴ τῶν ἄλλων μερῶν νοτίζεται μᾶλλον, καὶ εἰς τοῦτον ὁ ἱδρὼς καταῤῥεῖ, ὡς ὁ Ποιητὴς, κατὰ δὲ νότιος ῥέεν ἱδρὼς, ὥστε τροπὴν εἶναι τοῦ ο εἰς ω. ἢ παρὰ τὸ ω, τὸ ὑποστατικὸν ὦτος, καὶ νῶτος.

Νωτοφόρος, ὁ ἐπὶ τοῦ νώτου τὰ ἄχθη καὶ τὰ βάρη ἢ τὰ φορτία βαστάζων, καὶ φέρων. Νώτῳ δ' ἐπέβαλεν ἱμάσθλην, περίφρασις τοῦ ἱμάστιξε. τὸ δὲ τραγικὸν περιφραστικώτερον, ἐν τῷ, κέντρα πώλοις μεταφέρων ἰθύνει.

Νωφαιὸν, ἀφανές.

Νωφαλὴ, νωθρός.

Νωχελία, καὶ βραδύτης, ταυτολογοῦνται. ἴσον δὲ αὐταῖς δύναται καὶ ἡ ματίη, γενομένη ἐκ τοῦ ματεῖν. ἐξ οὗ τὸ ματῆσαι, περὶ οὗ προδεδήλωται.

Νωχελὴς, ὁ νωθρὸς καὶ ἀσθενὴς καὶ δυσκίνητος.

Νῶχμα, ὄνειδος.

Νῶψ, ἀσθενὴς τῇ ὄψει.

Τέλος τοῦ ν στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ξ.

ΣΤΟΙΧΕΙΟΥ. ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Ξῦ, τὸ στοιχεῖον, παρὰ τὸ ξέεσθαι ἐν τῷ γράφεσθαι τῶν ἄλλων πλέον. καὶ ἄλλως, ὅτι ὡσεὶ ξύσμα ἐστὶν ἀπὸ σιδήρου, ὁ τούτου ἦχος.

Ξαίνω, τὸ διαλύω. ὡς τὸ ξαίνει ἔρια. καὶ ξαίνω, τὸ μαστίζω καὶ τὸ τύπτω. Δημοσθένης ἐν τῷ περὶ στεφάνου, ξαίνει κατὰ νώτου πολλάς. ξαίνεσθαι, τὸ πάσχειν.

Ξαίνειν, ἔλεγον τὸ τύπτειν. καὶ ξαίνεσθαι, τὸ πάσχειν.

Ξανᾶν, πονεῖν τοὺς καρποὺς τὰς γυναῖκας τῶν χειρῶν, διὰ τὴν συνεχῆ τῶν ἐρίων ἐργασίαν.

Ξάναντες, διαλύοντες. ξένοντες δὲ, διακόπτοντες, ψιλόν.

Ξανᾶν, κοπιᾶν τὴν χεῖρα.

Ξάνδαρος, ζῶον ὅμοιον βοῒ, γενόμενον κατὰ τὸ Ἀτλαντικὸν πέλαγος.

Ξανῆσαι, κοπιάσαι.

Ξανθὴ κόμη, πυῤῥὰ λέγοιτ' ἂν, ἧς παρώνυμον πυῤῥίχος. ἔστι δὲ καὶ πυρσή. ἡ δ' αὐτὴ ῥηθείη ἂν καὶ αἰθὴ, ὡς ἐκ τοῦ αἴθος, οὗ χρῆσις ἐν τῷ αἴθος γεγένημαι. ἡ δὲ τοιαύτη αἰθὴ κόμη, παρὰ Λυκόφρονι, κομαιθὼ παρήγαγεν, ὅπερ ἴσον ἐστὶ τῷ πυῤῥοτρίχῳ.

Ξανθὴν Δήμητραν, λέγει Ὅμηρος ἀλληγορικῶς, διὰ τὸ τὸν στάχυν τοιούτου χρώματος γεγονότα, ἤτοι ἐπιτήδειον εἶναι θερίζεσθαι. τὸ δὲ αὐτὸ χρῶμα καὶ πολλοῖς τῶν ὡραίων ἐπιγίνεται, ὅτε πεπανθῶσι. ξανθίζονται γὰρ αὐτὰ ἐκ πρασοειδοῦς τοῦ πρότερον χρώματος.

Ξανθῆς εἷλε Πηλείωνα, ἡ ἀντίπτωσίς ἐστιν ἀντὶ τοῦ εἷλε τὴν ξανθὴν κόμην τοῦ Πηλείωνος, ἢ ἔλλειψιν ἔχει προθέσεως. εἷλε γὰρ τὸν Ἀχιλλέα ἐκ τῆς ξανθῆς κόμης. ὁ δὲ ξανθὸς, ὅτι ἐκ τοῦ ἄνθος γίνεται πλεονασμῷ τοῦ ξ, δηλοῦσιν οἱ παλαιοί. ἵνα ᾖ ξανθὴ κόμη, ἡ ἀνθηρά. δύναται δὲ καὶ ἀπὸ τοῦ ἐξανθεῖν εἶναι, ἀπελάσει τοῦ κατ' ἀρχὴν ε. ὃ καὶ ἐν τῷ ἐξάδιος γέγονεν, ὅν τινες τρισυλλάβως ξάδιον γράφουσιν. οὕτω δὲ καὶ τῆς ἐς προθέσεως, καὶ τῆς ἐν, ἔστιν οὗ ἀφαιρεῖται, τὸ κατάρχον ε. ὡς δῆλον ἐν τῷ ἔνερθεν νέρθεν, ἐνέρτερος νέρτερος, προσενώπιον προνώπιον, καὶ κτεὶς κτενὸς, ὡς οἱονεὶ ἐκτεὶς παρὰ τὸ ἐκτείνειν τὰς κτενιζομένας τρίχας. ὅτι δὲ καὶ ἀπὸ τοῦ ξαίνειν, ἀφ' οὗ καὶ ξάνιον, τὸ κτένιον γίνεται, ὡς οἷον ξανθὸς, διὰ τὸ εἶναι ἀξίαν τὴν τοιαύτην κτενίζεσθαι τρίχα, δηλοῦσιν οἱ παλαιοί. σκεπτέον δὲ εἰς τοιαύτην ἀντιστοιχίαν τοῦ ψιλοῦ εἰς δασὺ καὶ τὸ τιθωνὸς, ἐκ τοῦ τιθαίνω. καὶ τὸ αὐθέντης, ὁ αὐτόχειρ, ὡς δηλοῖ ψιλούμενον τὸ ἀνατ' ἔντεα, καὶ μέλαν αἷμα. ὅμοιον καὶ τὸ ἐλεφαίρω, ἐκ τοῦ ἔλπω, τὸ ἐλπίζω. καὶ τὸ σφεδανὸν, ἐκ τοῦ σπεύδω. καὶ ἐπὶ ζώων λόφος, ἐκ τοῦ λέπω, τὸ λεπίζω. καὶ ἡ φιάλη, ἐκ τοῦ πιεῖν. καὶ ἐκ τοῦ κάμπτω, ὁ κεκαφηώς. καὶ μοιχὸς παρὰ τὸ μὴ οἰκός. ἤγουν καθ' Ἡρόδοτον ἐοικὸς, δι' ὃν οὐκ ἔοικε τὰ γένη. ἀνάπαλιν δὲ ἀντιστοιχεῖ ψιλὰ πρὸς δασέα, ἐν τῷ ἀμπεχόνη, ἐκ τῆς ἀμφὶ προθέσεως. καὶ ἐκεχειρία, τὸ ἐπέχειν χεῖρας. καὶ τὸ πέφραδε, καὶ οἱ ὅμοιοι ἀναδιπλασιασμοὶ, σὺν ἄλλοις μυρίοις.

* Ξανθίας, ἰχθύς.

Ξανθίζεσθαι, κοσμεῖσθαι τὰς τρίχας, ἢ βλάπτεσθαι αὐτάς. ξανθίζετε παρὰ τῷ Ἀριστοφάνει. οἷον τῷ μέλιτι χρίετε, ἢ πυῤῥὰ τῇ ὀπτήσει ποιεῖτε. ἡ δέ γε καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστιν, ὅταν πυῤῥὰ ᾖ.

Ξανθιμίας, βόλου ὄνομα.

Ξανθίωνος, ξανθίκονος, ὁ ξανθόθριξ.

Ξανθὸν, πυῤῥὸν, καλὸν, εὖ εἰργασμένον, λωρόν.

Ξανθὸς Μενέλαος παρ' Ὁμήρῳ, ἔπαινος κόμης παρὰ τοῖς παλαιοῖς τὸ ξανθόν. διὸ καὶ ἡλιώδης κόμη, καὶ ἡλιῶσα ἡ τοιαύτη, καὶ χρυσέα δέ. καὶ ὁ ταύτην ἔχων, χρυσοκόμας. ἡ δέ γε κωμῳδία ἔτρεψεν ἄλλως τοῦτο. πυῤῥίας γοῦν ἐξ ὀρθοῦ οἱ δοῦλοι παρὰ τοῖς κωμικοῖς, ὡς τοιοῦτοι μάλιστα ὄντες. οὕτω καὶ ξανθίαι οἱ αὐτοί. κοσμεῖ δὲ Ποσειδῶνα τὸ τῆς χαίτης κυάνεον καὶ τὸν Δία.

Ξάνθος ποταμὸς λέγεται, ἐπεί φασι διαφερόντως τοὺς λουομένους ξανθίζει, ὡς καὶ ὁ λύκιος Ξάνθος. ἢ καὶ τοὺς παραπεφυκότας πεδίων καρποὺς λαχαίνει, καὶ οὕτω ξανθὴν, οἷον ποιεῖ τὴν Δήμητρα, ἣν ἕτεροι διὰ τὸ φύσει ἐγγινόμενον ὑπόλευκον ξάνθισμα τοῖς λίνοις, καὶ ἐλλήγηρον λέγουσι.

Ξάνθος καὶ Βαλίος παροξυτόνως, ἵπποι Ἀχιλλέως. οἵ φησιν ἅμα πνοιῇσι πετέσθην, ὅ ἐστιν ὁμοίως πνοαῖς ἀνέμου ἐπέτοντο, οὓς ἔτεκεν Ἅρπυια ποδάργη, βοσκομένη ἐν λειμῶνι παρὰ Ῥόον Ὠκεανοῖο. ὥς τε ἱπποφυές τι δαιμόνιον, ἡ ποδάργη, ἡ κατὰ τὸν μῦθον, καὶ βόσκεται καὶ ἵππους γεννᾷ. παραλαλεῖ δὲ ὁ τοιοῦτος μῦθος καὶ ἄτοπόν τι χρῆμα καὶ θεῖον τὴν παρωκεάνιον ταύτην ποδάργην εἶναι, καὶ τοὺς ἐξ αὐτῆς ἵππους. καὶ μὴ δὲ ἐξ ἀνθρώπων αὐτοὺς ἁπλῶς ἐλθεῖν τῷ Ἀχιλλεῖ, ἀλλὰ θεόθεν. οὐ γὰρ ἄλλως αὐτῷ ἐξ Ὠκεανοῦ κῦμα ἦλθον ἵπποι τοιοῦτοι. ὄνομα δὲ κύριον ἁρπυίας ἡ ποδάργη, ἧς παρώνυμος ὁ τοῦ Ἕκτορος πόδαργος. ἰστέον δὲ, ὅτι τοιαῦτα μυθικῶς μὲν διὰ τὸ ὑπερβάλλον τάχος τῶν τοιούτων ἵππων λέγει, ὡς οἷα ποδηνέμων ἢ ἀελλοπόδων ὄντων. τὸ δὲ φυσικὸν, ὅθεν ὁ μῦθος ἐλήφθη, τοιοῦτόν ἐστιν, ὡς αἱ ἵπποι κατὰ τὴν ζωϊκὴν ἱστορίαν, ἐξανεμούμεναι πρὸς βορέαν, ᾧ συγγενές τι καὶ ὁ ζέφυρος, εὐγενέστερον κύουσιν, ὁποῖοι ὡς εἰκὸς καὶ οἱ τοῦ Ἀχιλλέως ἵπποι τετυχήκασιν εἶναι. ἡ δὲ Ἅρπυια, εἶδός μέν τι ἄλλως ἀνέμου ἐστί. πέπλασται δὲ τῷ μύθῳ εἰς δαιμόνιον πτερωτὸν, ἱπποφυὲς ὡς εἴρηται, ὁποῖα ὁ μῦθος παραφύειν τολμᾷ. οὐ καὶ ὁ Πήγασος ἐπίνοια. ἐπεὶ δὲ ἄνεμοί τινες βίαιοι κουφίζουσι κάτωθεν, καὶ βαρέα σώματα ἐμυθεύθησαν, ἐντεῦθεν Ἅρπυιαι σωματοειδῆ τινα πλάσματα. τερατώδης πλάσις, ὑφ' ὧν καὶ λέγονται ἁρπάζεσθαι ὅσα γίνονται ἀφανῆ, ὡς δηλοῖ καὶ ἅρπυιαι ἀνηρείψαντο. ὧν μιᾶς τινος ἐξ εἴδους καὶ ἡ ποδάργη, πρέπουσα κατὰ τὸν μῦθον εἰς γένεσιν πόδας ἀργοῦ ἵππου, ἤτοι ποδώκεος. δῆλον δὲ ὡς ταῖς λοιπαῖς ἁρπυίαις ὁ μῦθος χεῖρας προσπλάττει καὶ ἁρπάζειν. ἰστέον δὲ, ὅτι ὁ Ξάνθος καὶ ὁ Βαλίος παροξύνονται πρὸς διαστολὴν τοῦ κατὰ χρῶμα ξανθοῦ. οὕτω καὶ ὁ Βαλίος ἵππος παροξύνεται, ὡς οἷα κύριον ὄνομα ἵππου. βαλιὸς δὲ ὀξυτόνως, τὸ ταχὺ, ἢ στικτὸν δηλοῖ. ὅθεν καὶ βαλιὰ ἔλαφος, ἧς θέμα τὸ βάλλειν. εἰ δὲ καὶ τὸ βαλλίζειν, ἤγουν κωμάζειν, ἢ χορεύειν, καὶ ὁ ἐξ αὐτοῦ βαλλισμὸς, οὐ παραφθορά τις, ἐκ τοῦ βάλλειν παρῆκται καὶ αὐτὸ, οὐκ ἄν τις ἀποφύγοιτο στερεῶς.

Ξάνθιππος, Περικλέους ἐγένετο πατήρ.

Ξανθοῖσιν, ὀρνέοις.

Ξάνιον, κτένιον, ὃ φοροῦσιν αἱ γυναῖκες ἐν τοῖς ἀναδήμασιν, οἷς κόσμος χρυσοῦς ἐπὶ κεφαλῆς.

Ξανίσατο, διενοήθη.

Ξαντικὰ, ἑορτὴ Μακεδόνων. ξαντικοῦ μηνὸς, ἢ ξαντικοῦ ἀγομένη. ἔστι δὲ καθάρσιον τῶν στρατευμάτων.

Ξανῶ, κοπιῶ.

* Ξαῦρος, τόπος Μακεδονίας.

ΤΟ Ξ. ΜΕΤΑ ΤΟΥ Ε.

Ξέσθαι, σπανίζεσθαι.

Ξεινήϊον δωτίνης, διαφέρειν δοκεῖ, κατὰ τὸ κειμηλιοῦσθαι καὶ μή. ποῖον δὲ ἂν εἴη κειμήλιον τῷ λαβόντι εἴτε τὸ ξεινήϊον, εἴτε ἡ δωτίνη, τουτέστι τὸ δῶρον. ξείνιον μὲν γὰρ, δίδοται καὶ τῷ τυχόντι. δῶρον, δὲ τῷ ἀξίῳ λόγου πλείονος.

Ξείνια, τὰ ξένια, δῶρα χαριστήρια ξενίας.

Ξενοδόκος, ὁ ὑποδεχόμενος ξένους, καὶ μάρτυς.

Ξεῖνοι, Θεσσαλοί.

Ξεῖνος, ὁ ἀπὸ ξένης φίλος, ὥσπερ ἀπὸ τοῦ κενὸς γίνε-

Digitized by Google

γίνεται κεῖνος, οὕτω καὶ ἀπὸ τοῦ ξένος ξεῖνος. ξεῖνος ἅμ' ἀντιθέῳ Πολυνείκει.

Ξεινοσύνη, ἡ ξενία. Ὅμηρος ἐν φ' τῆς Ὀδυσσείας, ἀρχὴν ξεινοσύνης, τουτέστι ξενίας. δηλοῖ καὶ τέλος εἶναι αὐτῆς. ὃ καὶ παραδεικνὺς ἐπάγει τὸ, οὐδὲ τραπέζῃ γνώτην ἀλλήλω, ἤγουν ἀλλήλους. τελεία γάρ ποτε ἡ ξενία, διὰ τὸ κοινὸν ἀγνίτην ἅλα, καὶ τὸ ὁμοτράπεζον, καὶ ὁμοέστιον, καὶ ὁμωρόφιον.

Ξείνους, τοὺς μισθωτοὺς, λέγει Ὅμηρος ἐν Ὀδυσσείᾳ.

Ξεῖρις, ἀρωματικόν τι φυτόν.

Ξεναγεῖ, δέχεται ξένους. ἢ τῆς ἰδοῦ ἡγεμονεύει, ἢ ξενοδοχεῖ.

Ξενάγησον, ἀντὶ τοῦ ὁδήγησον ἐμὲ τὸν ξένον. ξεναγῶ, τὸ τὸν ξένον ἄγω. ὅθεν ξεναγὸς, ὁ τῶν ξένων ἡγεμών.

Ξεναγία, δύο πεντακοσιαρχίαι, ἀνδρῶν χιλίων εἰκοσιτεσσάρων οἱ δὲ πλεῖστοι, τοῦτο τὸ πλῆθος χιλιαρχίαν καλοῦσι. καὶ χιλίαρχον, τὸν ἡγούμενον.

Ξεναλίζω, τὸ συναθροίζω.

Ξεναλόγος, ξένους συλλέγων.

Ξενία, καταγώγιον, κατάλυμα, ἢ ἡ ξεναγωγία.

Ξενιοὶ, στρατιῶται.

Ξενίας δίκη, ἐπὶ τῶν ὡς πολιτῶν μετεχόντων τῶν δημοσίων.

Ξενίζομαι, τὸ εἰς ξενίαν δέχομαι. ξενίζω Ὅμηρος, ὅπερ οἱ ὕστερον προξενῆσαι λέγουσι, μετὰ γενικῆς τὸ ῥῆμα συντάσσοντες, οἷον πειράσομαί σου προξενεῖν, ὥσπερ καὶ τὸ ξεναγεῖν. ὅπερ ταυτὸν ὂν τῷ προξενεῖν, γενικῇ συντάσσει ὁ Ἀρριανός. τὸν δὲ ταῦτα ποιοῦντα, πρόξενον ἐκάλουν οἱ μεθ' Ὅμηρον.

Ξενίζω, τὸ ξένῃ διαλέκτῳ χρῶμαι. ἢ μᾶλλον τὸ ἐν ξένῃ διατρίβειν, καὶ τοὺς ξένους δέχομαι.

Ξενίζω, οὐ μόνον τὸ ξένον ἀποδέχομαι, ἀλλὰ καὶ ἐκπλήττω. ξενίζομαί τινι, τὸ εἰς ξενίαν ἀπό τινος δέχομαι. σὺ δὲ ἐπιξενοῦμαι λέγε, ἐπὶ τρίτης συζυγίας τῶν περισπωμένων, σημαίνει ξενίζειν, καὶ τὸ ξένως διαλέγεσθαι.

Ξενικὸν ἐν Κορίνθῳ παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ, τὸ μισθοφορικὸν στράτευμα, ὃ συνεστήσατο πρῶτον ὁ Κόνων.

Ξένικος παρὰ τῷ Ἀριστοφάνει, πένης τις ἦν καὶ κωμῳδεῖται, ὡς τὰ ὄψα ἁρπάζων. τινὲς δὲ καὶ στρατηγὸν φασὶν αὐτόν.

Ξένιος Ζεὺς, ὁ φιλόξενος. * ὁ τῆς ξενίας ἔφορος.

Ξενιτεύω, ξενόω ξενῶ.

Ξενιτευομένους, ἀντὶ τοῦ μισθοφοροῦντας. ξένοι δὲ οἱ μισθοφόροι.

Ξενοδόκος, οὐ ξενοδόχος.

Ξενοδόκος, παροξύνεται διὰ τὴν ἐν αὐτῷ νοουμένην ἐνέργειαν. τὰ γὰρ παρὰ ῥῆμα σύνθετα ὀνόματα παροξύνονται μὲν, ὅτε ἐνέργειαν ὑπισχνεῖται. προπαροξύνονται δὲ, ὅτε πάθος, εἰ μὴ κανόνες κωλύοιεν, οὓς παρατίθεται Ἡρωδιανός. λιθοβόλος μὲν οὖν παροξυτόνως, ὁ λίθον βάλλων. προπαροξυτόνως δὲ, ὁ λίθῳ βεβλημένος. καὶ πρωτοτόκος μὲν ἡ πρώτως τεκοῦσα. πρωτότοκος δὲ, ὁ πρῶτος τεχθείς. οὕτω καὶ ξενοδόκος, ὁ ξένους δεχόμενος. φίλη δὲ λέξις ὁ ξένος παρὰ τῷ Ποιητῇ.

Ξενοδοκοῦμαι, μαρτύρομαι.

Ξενοδοχῶ, προξενῶ. ξενοδοχεῖον, οἴκημα ὑποδεχόμενον τοὺς ξένους.

Ξένοι, οἱ πολέμιοι. οἱ δὲ τοὺς Πέρσας. οἱ δὲ, τοὺς ἀπὸ ξενίας φίλους, ἢ ξένους.

* Ξενοκοπεῖν ἐπὶ τοῦ πληγὰς λαβεῖν. οὕτω Μεταγένης.

Ξενολόγιον, καὶ ξενολόγος, ὁ ξένους συλλέγων στρατιώτας.

Ξένος καλεῖται, ὁ ὑποδεχόμενος καὶ ὁ ὑποδεχθείς. ἰδίως δὲ ὁ ὑποδεχόμενος ξενοδόχος. ἄλλως δὲ ὁ δεσπότης τῆς οἰκίας στεγανόμος. παρὰ δὲ τοῖς Δωριεῦσι καὶ Αἰολεῦσιν ἑστιοπάμμων ὀνομάζεται. ἔνιοι δὲ αὐτὸν καὶ ναύκληρον ἐκάλεσαν, καὶ τὸν ὑπὲρ τῆς καταγωγῆς μισθὸν, ναῦλον. ὥσπερ ἐνοίκιον, ὃ οὐ παρὰ τοῖς πολλοῖς μόνον, ἀλλὰ καὶ τοῖς παλαιοῖς καλεῖται. παρὰ δὲ ἐνίοις στεγανόμιον. εἴποις δ' ἂν μισθώσασθαι, καὶ μισθῶσαι οἶκον, ὅπερ Ἡρόδοτος ἐνδιδόναι καλεῖ, ἐμισθοῦντο παρ' οὐκ ἐνδιδόντος τὴν αὐλήν.

Ξένος ὁ ἐξ ἀλλοδαπῆς φίλος, ὃν ξεῖνον Ποιηταί φασι. ξένους ἐκ πατέρων φιλόπτωχος, ταυτὸν εἰπεῖν καὶ ξένους πατρῴους. ξένος φασὶν, οὐ μόνον ὁ καταγόμενος, ἀλλὰ καὶ ὁ ὑποδεχόμενος.

Ξένος, παρὰ τὸ ἔξω εἶναι τῆς πατρίδος.

Ξένος, ὁ ἀλλότριος. καὶ ξένος, ὁ εἰς φιλίαν συνημμένος ἐξ ἀλλοδαπῆς. ὅθεν καὶ ξενίζω τὸ φιλοφρονοῦμαι, ὡς τὸ χρηστός γε ὁ ἥρως ξενίζων τοῖσι τοῖς θάκοις. ἐκ τούτου καὶ ξενία τράπεζα, ἡ τοῖς ξένοις προσκειμένη ἐπὶ φιλίᾳ. καὶ ἐπιξενοῦμαι τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ ὑπὸ τοῦ ἀνθρώπου, ὡς φίλος διακυβερνῶμαι ξένος ὤν. ἔστι ξενίζω, καὶ τὸ ξένα τινὰ φθέγγομαι, ὡς τὸ ὁ βάρβαρος προσιὼν, ξενίζει τῇ γλώττῃ, καὶ τοῖς λόγοις.

Ξένον, τὸ ἀλλότριον, τὸ παρηλλαγμένον. ὥσπερ καὶ ξενίζω, τὸ ξένον ὑποδέχομαι, καὶ τὸ ἐκπλήττω. καὶ ξενίζομαι ὑπό τινος, οὐ κρεῖττον ἐπιξενοῦμαι, οὐ τὸ θέμα ξενόω. καὶ ξένισις, ἡ ξενοδοχία. καὶ ξενία τὸ αὐτό. καὶ ἐπιξενία ὄνομα δίκης κατὰ ξένων τῶν ἐγγεγραφότων ἑαυτοὺς εἰς πολίτας, ὡς ἔτυχε. ξενία δὲ ἡ ξενιτεία. καὶ ἔτι ξένος, ὁ ὑπ' ἀλλοδαπῆς καὶ ἀλλόκοτος, καὶ παράδοξος, καὶ ὁ ἐξ ἀλλοδαπῆς φίλος, ὃς ποιητικῶς, ξεῖνος. τῷ ξένῳ οὖν ἀντίκειται ὁ ἀστός. τῷ δ' ἐνδήμῳ, ὁ ἀπόδημος.

Ξενοφῶν, παρὰ τὸ ξένος καὶ τὸ φαίνω, ὁ ἐν τοῖς ξένοις τόποις φαινόμενος.

Ξενύει, λήγει.

Ξενὼν, τὸ νοσοκομεῖον.

Ξενὼν, οἶκος ὑποδεχόμενος τοὺς ξένους καὶ ἀρρωστοῦντας.

Ξενῶνες, οἱ ἀνδρῶνες, ὑπὸ Φρυγῶν.

Ξενώσεται, ὑποδέξεται.

Ξερὸν, τὸ ξηρὸν τῆς γῆς χέρσον.

Ξέρξειος στρατὸς, ὁ τοῦ Ξέρξου.

Ξέσαι, τεμεῖν, κόψαι, ποιῆσαι, τεκτήνασθαι, κατασκευάσαι.

Ξέσμα, ξόανον.

Ξεστὴ, ἐξεσμένη, παρὰ δὲ ξεστὴν ἐπένυσε τράπεζαν. λέγει δὲ καὶ συνθέτως διεξέστησεν, ἐλάπισε.

Ξέστης, Ῥωμαϊκῶς ἐστι τὸ ὄνομα. τὸ γὰρ παρ' ἡμῖν ἓξ ἀριθμὸν, αὐτοὶ λέγουσι σέξ. καὶ μέτρον τινὸς παρ' αὐτοῖς τὸ ἕκτον, λέγουσι σέξτον. διὰ δὲ εὐφωνίαν, τὸ σέκστης ξέστης λέγεται κατὰ μετάθεσιν τοῦ στοιχείου, οὕτω Φίλων.

Ξεστίον, μέτρον ἐπὶ ὑγρῶν.

Ξεστὸν, ὡμαλισμένον.

Ξεστὸν, γλυπτὸν, λεῖον, ποιητόν.

Ξέστριξ, κριθὴ ἡ ἑξάστιχος, Κνίδιοι.

Ξέσω, ξύσω.

Ξέω, ἐπὶ ξύλου. ξύω δὲ ἐπὶ σαρκός. καὶ ἡ παροιμία, τὸν ξύοντα ἀντιξύειν.

Ξέω, κόπτω. ξαίνω δὲ τὸ διαλύω, δίφθογγον.

ΤΟ' Ξ'. ΜΕΤΑ' ΤΟΥ Η'.

Ξηνὸς, ὁ κορμός.

Ξηραλειφεῖν, καὶ ξηραλοιφία, τὸ ἄνευ λουτροῦ ἀλείφεσθαι. ἐπεὶ καὶ ξηρὸς ἱδρὼς, ὁ μὴ ὑπὸ λουτροῦ, ἀλλὰ ὑπὸ γυμνασίων καὶ πόνων γινόμενος. δῆλον δὲ ὅτι καὶ τὸ τοίχους χρίειν, ἀλείφειν λέγεται, καὶ ἀλοιφή. διὸ καὶ φέρεται ἐν ῥητορικοῖς λεξικοῖς, ὅτι ἄλλοιμος τὸ αὐτό. καὶ ἀλοιφὴ τὸ τῶν τοίχων χρίσμα. καὶ ὅτι ἀλοιφεῖον, ᾧ οἱ ἀλεῖπται χρῶνται. πάντως δὲ ὥσπερ ἀπὸ τοῦ ἀλείφω ἀλοιφὴ, ἢ ἀπὸ τοῦ εἴληφα, οὕτως ἀπὸ τοῦ ἤλειμμαι ὁ ἄλοιμος. καθὰ καὶ ἀπὸ τοῦ λείπω λέλειμμαι, λοιμός.

Ξηραίνω, τὸ ψυχραίνω, αἰτιατικῇ.

Ξηροὶ σηπεδόνι, τῇ γαγγραίνῃ, παρὰ τῷ Ἱπποκράτει.

Ξήριγγοι, ποταμοὶ ἀεὶ ῥέοντες.

Ξηρίον, φυτὸν, ἢ εἶδος βοτάνης ἰατρικόν.

Ξηρόλοφος, ὅτι τὸν ξηρόλοφον πρώην μὲν θέμα τινὲς ἐκάλουν. ἐν αὐτῷ γὰρ κοχλίαι ἑκκαίδεκα, καὶ Ἀρτέμιδος σύνθετος στήλη, καὶ Σεβήρου τοῦ κτίσαντος, καὶ θεμάτιον τρίπουν. ἔνθα ἐθυσίασε πολλὰς θυσίας Σεβῆρος. ἔνθα καὶ χρησμοὶ πολλοὶ τῷ τύπῳ γεγόνασι, καθ' ὃν καιρὸν καὶ κόρη παρθένος ἐτύθη. καὶ θέσις ἦν ἀστρονομικὴ, ἓξ καὶ τριάκοντα χρόνους διαρκέσασα.

Ξηροκόλλα, σύνθεσίς τις παρὰ τοῖς χρυσουργοῖς.

Ξηρὸν, παρὰ τὸ ξῶ ῥῆμα, ἀπὸ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων. εἴ τι γὰρ ἔξυσται, ξυρὸν γίνεται. καὶ κατὰ τροπὴν τοῦ η εἰς ε ξερὸν, οὕτω Φίλων.

Ξηρὸς ἱδρὼς, ὁ μὴ ὑπὸ λουτρῶν. ἀλλ' ὑπὸ γυμνασίων καὶ πόνων γινόμενος.

Ξηρὸς, ἀντιδιαστέλλεται πρὸς ὑγρόν. ὡς αὖον, πρὸς χλωρόν. καὶ κραῦρον, πρὸς γλίσχρον.

ΤΟ' Ξ'. ΜΕΤΑ' ΤΟΥ Ι'.

Ξίμβραι, ῥοιαί. Αἰολεῖς.

Ξίρις, φυτόν.

Ξίφαι, τὰ ἐν ταῖς ῥικάναις δρέπανα, ἢ σιδήρια.

Ξιφὴν, ὁ φέρων ξίφος.

Ξιφήρεις, ξίφη κατέχοντες, ξιφοφόροι.

Ξιφήρης καὶ ξιφοφόρος, ὁ κατέχων ξίφος.

Ξιφίας, ἰχθύος ὄνομα.

Ξιφίδρια, κοχλία.

Ξιφίζειν, ἀνατείνειν τὴν χεῖρα καὶ ὀρχεῖσθαι. παραπλήσιον ξίφει τὸ τοῦ χειρὸς σχῆμα ποιοῦντα.

Ξιφιλῖνος, ὁ ξιφῖνος.

Ξιφισμάτων, ὀρχημάτων.

Ξιφισμὸς, σχῆμα ὀρχιστικὸν τῆς λεγομένης ἐμμελείας ὀρχήσεως.

Ξιφόκτονος, ὁ ὑπὸ ξίφους φονευθείς. ξιφοκτόνος δὲ, ὁ ξίφει φονεύσας.

Ξιφοθήκη, βελοθήκη.

Ξίφος, μάχαιρα, ἢ περιζώνιον, ὁμώνυμον φάσγανον. ξιφίδιον, καὶ πόα τίς.

Ξιφιστὺς, μαχαιρομαχία, μάχη ἐκ χειρῶν.

ΤΟ' Ξ'. ΜΕΤΑ' ΤΟΥ Ο'.

* Ξόανον, ἄγαλμα, εἴδωλον, ζῴδιον, ἀνδριάς. κυρίως δὲ τὰ ἐκ ξύλων ἐξεσμένα, ἢ λίθων. γίνεται δὲ ἀπὸ τοῦ ξέω, ξέανον, καὶ τροπῇ ξόανον. διαφέρει δὲ ξόανον, καὶ βρέτας, καὶ ἄγαλμα. ξόανον μὲν γάρ ἐστι τὸ ἐξεσμένον εἴδωλον, λίθινον, ἢ ἐλεφάντινον, ἢ ξύλινον. βρέτας δὲ τὸ βροτῷ ὅμοιον, ἤτοι χαλκοῦν, ἢ ἐξ ἐμφεροῦς ὕλης πεποιημένον, ἄγαλμα δὲ τὸ τόρνινον, ἢ ἔκ τινος ἑτέρου λίθου κατεσκευασμένον.

* Ξοανογλύφος, ὁ διὰ γλύψεως ξοάνων κατασκευαστής.

* Ξοανοποιία, ἡ γλυπτῶν εἰδώλων κατασκευή.

* Ξοάνων, προθύρων ἐξεσμένων.

* Ξόης, πόλις καὶ νῆσος Αἰγυπτία ἐν τῷ μεσογειώτῃ, ἀπὸ τοῦ Σεβεννυτικοῦ καὶ Φατνιτικοῦ στόματος.

* Ξοὸς, ξεσμὸς, ὁλκός.

* Ξουθὴ, εὐμορφωτάτη.

* Ξουθία, πόλις Σικελίας.

* Ξουθίδαι, οἱ Ἴωνες, Ἴων γὰρ Ξούθου.

* Ξουθόν. λεπτόν. καπυρόν. ἀργυροῦν. ξανθὸν, καλόν. πυκνόν. ὀξὺ, ταχύ. οἱ δὲ ποικίλον, εὐειδές. διαυγές. ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν τοὺς λόφους σείων. Ἀριστοφάνης.

* Ξοῦθος, ὄνομα κύριον.

* Ξούχη, πόλις Λιβύας.

ΤΟ' Ξ'. ΜΕΤΑ' ΤΟΥ Υ'.

Ξυγγενέσθαι, συνελθεῖν. Ἀριστοφάνης, βούλει ξυγγενέσθαι ταῖς νεφέλαισιν εἰς λόγους.

Ξυγγέωργος, προπαροξυτόνως, σύνθετον γὰρ, ὡς πάγγελος, πάνσοφος. τὰ γὰρ εἰς ος ὀξύτονα συντιθέμενα βαρύνεται. Ἀριστοφάνης Πλούτῳ, τοὺς ξυγγεώργους κάλεσον.

Digitized by Google

Ξύγκλυδες, σύμμαχοι, παρείσακτοι.

Ξύει, γράφει. ὅθεν καὶ τὰ γράμματα, ξύσματα λέγονται.

Ξυήλη, ξυάλη. ἔστι δὲ καὶ ξιφίδιον, ὅ τινες δρέπανον λέγουσι.

Ξύλα δανὰ κεάσαι, τουτέστι ξηρὰ καὶ ἐπιτήδεια εἰς τὸ δαίεσθαι.

Ξύλα κάγκανα, τὰ ξηρά, τὰ καιόμενα εἰς τὸ καίεσθαι. ταῦτα δὲ καὶ δανὰ ἐλέγετο. περὶ δὲ τοῦ αὖα, πάλαι περίκηλα γέγραπται. ξύλα λέγεσθε παρ' Ὁμήρῳ, ἤγουν συνάγετε.

Ξυλεία, ἡ τῶν ξύλων σωρεία. ἀξυλία δέ, ι.

Ξυλεία, ἡ τῶν ξύλων τῶν ναυπηγησίμων συλλογή.

Ξυλεύεσθαι, ξυλίζεσθαι.

Ξυληβόρος, ξυλοφάγος.

Ξυλιζομένην, ξύλα συλλέγουσαν.

Ξύλινον καρπὸν, τῶν δένδρων.

Ξυλίας, ἰχθύς ποιός.

Ξυλλαβεῖν, ἀντὶ τοῦ ἐχθρωδῶς κρατῆσαι, αἰτιατικῇ.

Ξυλλαβεῖν, ἀντὶ τοῦ συμμαχῆσαι δοτικῇ. Ἰσοκράτης, ὁρῶ δὲ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν.

Ξυλλεκτὸν, συνειλεγμένον, παρεστώς.

Ξυλοδωνίη, τεκτοσύνη, ναυπήγησις, κωπηλασία, κυβέρνησις.

Ξύλον ἐστίν, οὐσία φυτική, φυλλοβόλος, σπερματική.

Ξύλον, εἶδος δεσμωτηρίου, ἣν ποδοκάκην λέγουσι, καὶ ποδοστράβην. Ἀριστοφάνης, οἷόν σε δήσω τῷ ξύλῳ.

Ξύλον, παρὰ τὸ ξύω. οὐδεμία γὰρ ὕλη πρὸς ξύσιν ἐπιτηδειοτέρα ξύλου.

Ξυλοφόρος, ζῶόν τι ἱστορεῖται, σκωλήκιον.

Ξυλοχίζεται, ξυλεύεται, ξύλα τέμνων συνάγει. ἔστι δὲ καὶ παροιμία, δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.

Ξύλοχος κατ' ἔλλειψιν, τόπος ὀρεινὸς πυκνὸς ξύλοις, κεῖται κατὰ γένος ὡς ἐπὶ πολύ, θηλυκόν, ὅτε καὶ λείπει τὸ ὕλη. ἵνα ᾖ ξύλοχος ὕλη. ἀφ' ἧς καὶ θῆρες ὑληκοῖται.

Ξύλοχος, θηλυκῶς εἴρηται παρ' Ὁμήρῳ, δηλοῖ τὸν ὑλώδη καὶ δασὺν τόπον, ὡς ξύλα ἔχοντα.

Ξυλύφιον, τὸ μικρὸν ξύλον. καὶ ξυλύφιον ὑποκοριστικῶς. δοκιμώτερον δέ, τὸ ξυλήριον καὶ ξυλάριον.

Ξυμβαίη, ἀντὶ τοῦ συμβαίη.

Ξυμβαίνει ὁ λόγος τῷ πράγματι, ἀντὶ τοῦ συμφωνεῖ καὶ συνάδει, καὶ συνομολογεῖ. συμβαίνει κοινῶς. ξυμβαίνει Ἀττικῶς.

Ξυμβάλλειν, νοεῖν. ξυμβαλεῖν, ἀντὶ τοῦ νοῆσαι. καὶ ξυμβαλεῖν, ἀντὶ τοῦ κοινώσασθαι. Εὐριπίδης, ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς ἔχων ξυμβαλεῖν πρὸς αὐτὸν βουλεύματα. καὶ ξυμβαλεῖν, ἀντὶ τοῦ ἁρμόσαι.

Ξυμβῇ, συμπέσῃ.

Ξυμβλῶσι, συμφωνῆσαι. Ἀριστοφάνης, ἐὰν συμβῶ τί σοι.

Ξύμβληντο, συνεβάλλοντο Νέστορι.

Ξύμβλεαι, ἀντὶ τοῦ ξυναντήσεις ἐν συμβολῇ πολέμου. τοῦτο δὲ καὶ ἀντιβολεῖν λέγεται.

Ξυμβλήτην ἀλλήλοιν, ἤγουν συνήντησαν.

Ξυμβῶ τί σοι, συμφωνήσω σοι.

Ξυμφέρω, συμβαστάζω.

Ξυμβόλους, τοὺς τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον, ἀνετίθεντο δὲ οὗτοι Δήμητρι. τινὲς δὲ τὰς διὰ τῆς φήμης γινομένας μαντείας, ὡς Φιλόχορός φησι Δήμητρα αἴρειν. Σοφοκλῆς Ἀχαιῶν συλλόγῳ.

Ξυμβολιμαίας δίκας Ἀττικοί, τὰς κατὰ συμβόλαια.

Ξύμη, ὃ καλεῖται κνυσμὸς, παρὰ τῷ Ἱπποκράτει.

Ξυμμίξασα, ξυντυχοῦσα.

Ξυμπονῆσαι, συνάρασθαι, συμβοηθῆσαι.

Ξυμφέρω, ξυμβαστάζω, φέρε νῦν ἐγώ σοι ξυμφέρω.

Ξυμφορά, δυστυχία, καὶ ἐπὶ ἀγαθοῦ τάσσεται, [illegible] καὶ ἐπὶ κακοῦ.

Ξυνοὶ, ἀττικοί. συνοὶ κοινοί.

Ξυνάγγεια, ὁ κοῖλος τόπος.

Ξυνὰ, κοινά.

Ξυνάγειραν, συνήθροισαν.

Ξυνάγον κρατερὴν ὑσμίνην, ἀντὶ τοῦ συνέβαλον εἰς πόλεμον. τοιοῦτον καὶ τὸ, συνάγωμεν ἄρηα.

Ξυνάγωμεν Ἄρηα. παρ' Ὁμήρῳ, ξυνάγειν Ἄρηα, διὰ τὰ δύο στρατεύματα τὰ ἐναντία εἴρηται. ὧν συναγομένων, ἡ μάχη ἀρτύνεται. ἄλλως γὰρ ῥήγνυσθαι ὁ πόλεμος λέγεται, οὐ μόνον ὑπὸ ῥηξήνορος τινός, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς συμβολαῖς, τῶν μὲν ἐνταῦθα, τῶν δὲ ἐκεῖ, καὶ ἄλλων ἀλλαχοῦ μαχομένων. ἐρράγη γοῦν μάχη. καὶ συρρῆξαι, καὶ ῥαγῆναι πόλεμόν φασιν οἱ Ῥήτορες, ἐναντίον τὸ συνάγειν, καὶ τὸ διακρίνειν.

Ξυνάθρον, τὴν συμβιοῦσαν, γυναῖκα, γαμετήν.

Ξύναιμος, ξυγγενής.

Ξυναίνεται, συνάπτεται.

Ξυναλιζόμενοι, συναθροιζόμενοι, ἢ συνεσθίοντες.

Ξυναλλαγή, ἀμοιβή, παραμυθία, συνάντησις. λήγει δ' ἔρις δραμοῦσα τῶν προσωπίων ἀνδρῶν γερόντων, ἐν ξυναλλαγῇ λόγου, Σοφοκλῆς. ἢ ξυναλλαγῇ, τῇ ὁμιλίᾳ.

Ξυναλλαχθέντες, κοινωνήσαντες.

Ξυνάορον, γαμετήν.

Ξυνάρασθαι, ξυναρμόσασθαι, καταθέσθαι, ἀπὸ τοῦ ἀρῶ, τὸ ἁρμόζω. ξυνάρασθαι τῷ δεῖνι κατὰ τὸν κίνδυνον. καὶ ξυνάρασθαι τὸν κίνδυνον αἰτιατικῇ μόνῃ. Θουκυδίδης, μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς μάχης.

Ξυναυλία καλεῖται, ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγωσιν. ὁ δὲ Ὄλυμπος μουσικὸς ἦν Μαρσύου μαθητής, ἔγραψε δὲ αὐλητικοὺς καὶ θρηνητικοὺς νόμους. ἄλλως, συναυλία λέγεται, ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. νόμοι δὲ καλοῦνται οἱ εἰς θεοὺς ὕμνοι. Ὄλυμπος δὲ μαθητὴς γέγονε Μαρσύου περὶ τὴν αὐλητικὴν ἄριστος, καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν.

Ξυναμοργός, δεξαμενή.

Ξυνάγεσθαι, συνανύεσθαι.

Ξυνάοροι, ἀδελφοί, ἀδελφαί.

Ξυναρμίσας, συνάψας, συνθήσας.

Ξυνάωρ, εὐναία, δάμαρ, γυνή, ἄλοχος.

Ξυναόρων, ἀνδρῶν.

Ξυνέβημεν, ὁμονοήσαμεν, συνεφωνήσαμεν.

Ξυνέβλητο, συνέτυχεν.

Ξυνεδεδέατο, συνδεδεμένοι ἦσαν. δέω ὁ παθητικὸς ὑπερσυντέλικος ἐδεδέμην, τὸ τρίτον τῶν πληθυντικῶν ἐδέδεντο, καὶ Ἰωνικῶς τροπῇ τοῦ ν εἰς α ἐδεδέατο, μετὰ τῆς ξὺν προθέσεως ξυνεδεδέατο.

Ξυνδιενεγκεῖν, συμπράξαι, συναγωνίσασθαι. συνδιήνεγκαν, συνέκαμον, συνεπράξαντο.

Ξυνεργάθειν, ἀνάπαλιν ἔχει τοῦ ἀποεργάθειν.

Ξυνεέργαθον ἄκραι παρ' Ὁμήρῳ, ἤγουν περιεῖχον καὶ συνέκλειον ἐντὸς ἄκραι, ἤτοι τὰ ῥηθέντα ἀλλαχοῦ ἀκρωτήρια, ἤγουν τὰ τοῦ ναυστάθμου κέρατα.

Ξυνέηκα, πλεονάζει ἐν τούτῳ τὸ ε ποιητικῶς, ὡς ἐν τῷ ἔειπεν. οὐχ οἱ Ποιηταὶ δὲ μόνον χρῶνται τῇ τοιαύτῃ προσθήκῃ ἐπὶ τοῦ ἀορίστου, ἀλλὰ ἤδη καὶ οἱ Ἀττικοὶ καὶ ἑώρακα, ἀντὶ τοῦ ὤρακα. καὶ ἑώσμαι, καὶ ἐωνησάμην, καὶ ἄλλα. ξυνέηκα, ἀόριστος πρῶτος ἵημι, μέλλων ἥσω, ἀόριστος ἧκα, συνῆκα, πλεονασμῷ τοῦ ε ἀττικῶς ξυνέηκα.

Ξυνέηκε, συνέβαλεν.

Ξυνειλέχθαι, ἀττικῶς ἐκ τοῦ λέγω, λέξω λέλεχα καὶ ἀττικῶς εἴλεχα, καὶ παθητικῶς εἴλεγμαι. τὸ ἀπαρέμφατον εἰλέχθαι, καὶ μετὰ τῆς σὺν προθέσεως, ξυνειλέχθαι.

Ξύνειμι, συνδιάγω.

Ξυνελάσομεν, παρ' Ὁμήρῳ ἐκ μεταφορᾶς ἔοικε ῥηθῆναι τῶν ζώων, ἃ κατ' ἀλλήλων, ὡς εἰς μάχην ἐρεθίζουσί τινες, ἢ πληγαῖς, ἢ ὠθισμοῖς. ἐπὶ τοιούτων γὰρ κυριολεκτεῖται τὸ ἐλάσαι.

Ξυνελαύνεις, συμβαλεῖς.

Ξυνεμπόρους, κοινωνούς.

Ξυνεπεῖται, συνέπεται.

Ξυνερέται, συνερέται, συνεταί, συμπολῖται.

Ξυνερρώγη, ξυνερράγη, διελύθη. ῥήσσω, ῥήξω, ἔρρηχα, ὁ μέσος παρακείμ. ἔρρηγα, ὁ ὑπερσυντέλικος ἐρρήγειν, καὶ τροπῇ τοῦ η εἰς ω ξυνερρώγη.

Ξυνέες, συνέες, ἄκουσον.

Ξυνέσιν, συνέφεσιν, συμβολήν.

Ξυνέστιν ὁ δεῖνα πενίᾳ, ἀντὶ τοῦ πένεται. καὶ σύνεστι φιλοσοφίᾳ, ἤτοι φιλοσοφεῖ. καὶ συνέστι πλούτῳ, ἤτοι πλουτεῖ.

Ξυνέετο, ἀντὶ τοῦ ἤσθετο. συνήθης δὲ ἡ τοῦ ξυνιέναι σύνταξις μετὰ γενικῆς. γράφεται δὲ καὶ ξυνέθετο, ἴσως δὲ τοῦτο οὐ καλῶς. καὶ τοῖσι δὲ ξυνέηκε δηλοῖ, ὡς καὶ ἀλλαχοῦ φαίνεται μὴ γενικῇ καὶ αἰτιατικῇ πτώσει ἀεὶ συντάσσεσθαι τὸ συνιέναι.

Ξυνεχῶς, ἀντὶ τοῦ συνεχῶς, διηπαντός.

Ξυνέχεται, συμφέρεται.

Ξυνέχοιτο, συνείη.

Ξυνήβιος, συμπότης, συνῆλιξ.

Ξυνθήματος, συνθήματος. ἔστι δὲ σημεῖον, ἢ πρόσφθεγμα διδόμενον ἐπὶ γνώρισμα τῶν οἰκείων ἐν πολέμῳ, ἢ ἑτέρᾳ τινὶ ἐπιβουλῇ.

Ξυνθάκος, συγκάθεδρος.

Ξυνθήματα, σημεῖα.

Ξυνήϊα, δηλοῖ μὲν τὰ κοινά. καὶ διὰ τοῦτο ἄλλως μὲν εἰπεῖν ἄδαστα. δριμέως δὲ κατά τινα παλαιὸν ἄληκτα. ἤγουν μήπω εἰς λάχος ἐλθόντα, ὥστε λαχεῖν τις ἐστὶν εἰς κλῆρον. γίνεται δὲ ἢ ἀπὸ τοῦ ξυνός, ὁ κοινός. οἷον, ξυνὸς ἐνυάλιος, οὗ κτητικὸν ξυνήιον, ὡς ἡμεδαπήιος. καὶ διαλύσει καὶ ἐκτάσει οὐδέτερον αὐτοῦ τὸ ξυνήϊον. ἢ καὶ ἄλλως ὡς ξεῖνος ξείνιον, καὶ πλεονασμῷ ξεινήϊον, οὕτω καὶ ξυνὸς ξυνήιον καὶ ξυνήϊον.

Ξυνήϊα, ἀπὸ τῆς σὺν προθέσεως, ἢ συναγωγός ἐστι δύο τοὐλάχιστον, ὄνομα ποιεῖ τὸ ξυνόν, ταυτὸ δυνάμενον τὸ κοινόν. εἶτ' ἐπεὶ τοῦτο κτητικοῦ δύναμιν ἔχει καὶ εἰς κτητικοῦ ἤδη τύπον αὐτὸ σχηματίζει καὶ ξυνήϊον αὐτὸ ποιεῖν κατὰ τὴν ἀκολουθίαν τοῦ πρεσβήϊον.

Ξυνήλυσις, σύνοδος.

Ξυνηρετίσεις, συνέσῃ, συζυγήσεις.

Ξυνίασι, συνέρχονται. ἵημι ὃ σημαίνει τὸ ἀπολύω, τὸ τρίτον τῶν πληθυντικῶν ἱεῖσι, καὶ Ἰωνικῶς ἱέασι, καὶ κατὰ κρᾶσιν ἵασι, καὶ ἐν συνθέσει ξυνίασι.

Ξυνιάς, λίμνη τῆς Θεσσαλίας. τινὲς δὲ πόλιν παρακειμένην τῇ Βοιβηΐδι λίμνῃ. ἀπὸ δὲ τῆς πόλεως εἴρηκε ξυνιάδα, ἐπειδὴ πλησίον αὐτῆς ἐστὶν ἡ πόλις. οἱ δέ φασι ξυνιάδα εἰρῆσθαι, διὰ τὸ ξυνὸν εἶναι, τὸ κοινόν. ταύτην δὲ εἶναι Θεσσαλίας καὶ Βοιωτίας.

Ξυνίασι, συνέρχονται. ξυνιέναι, νοεῖν, ἀκούειν· ξυνιέναι, συνιέναι, νοῆσαι.

Ξυνιέναι, ἐκ τοῦ ξυνίημι, καταλαμβάνειν. Ἀριστοφάνης, νοεῖν, ὁρᾶν, ξυνιέναι, καὶ συνιέναι.

Ξυνιέντες, συνιέντες.

Ξυνίζειν, τὸ ξενικῇ χρῆσθαι φωνῇ καὶ μὴ ἐπιχωρίῳ, ἢ τὸ ξενικοῖς χρῆσθαι ἐπιτηδεύμασι.

Ξυνίημι, πέπεισμαι.

Ξυνίημι αἰτιατικῇ. Ἀριστοφάνης, οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ Θεοῦ.

Ξύνιον, ἤκουον, συνῆκαν.

Ξύνιον, ἀντὶ τοῦ ξυνίεσαν, ὡς τὸ ἤλθοσαν καὶ ἐμάθοσαν. ἔστι μὲν χαλκιδικῆς διαλέκτου.

Ξύνιον παρ' Ὁμήρῳ, δηλοῖ τὸ ξυνίεσαν καὶ ᾐσθάνοντο, καὶ ὡς ὁ Ποιητὴς εὐθὺς ἑρμηνεύει, ἐπύθοντο δὲ μύθῳ. ἐνεστὼς δὲ ἄχρηστος τοῦ ξύνιον, τὸ ξυνίω. οὐ παράγωγον τὸ ξυνίημι, ὅπερ γενικῇ συντάσσεται. Ὅμηρος, ἐμέθεν ξύνιες ὦκα. σημαίνει τὸ ἐπείθοντο καὶ ὑπήκουον, ἐκ τοῦ ἀχρήστου ῥήματος ξυνίω, ἀφ' οὗ τὸ ξυνίεις παρὰ Σοφοκλεῖ διὰ διφθόγγου, εἰ δὲ ξυνίεις μηδέν. καθὸ καὶ μεθίει λέγεται, ἀντὶ τοῦ μεθίησιν, ἤτοι ἀμελεῖ. ξυνίεις, ὑπονοεῖς, παρὰ Ἀριστοφάνει.

Ξυνιόντας, συμπορευομένους.

Ξύνισαν, συνήρχοντο.

Ξυνίστρον, νόμισμα.

Ξυνίστωρ, συμπράκτωρ, σύμβουλος, συγγνώστης.

Ξυνενοφῦαν, σκυθρωπήν.

Ξύνοδος, σύνοδος, σύμπτωσις.

Ξυνοδόκος, ξενοδόχος, ξυνάορος, ἡ γαμετή.

Ξυνοί, κοινοί, καὶ ὅροι.

Ξυνοίσεις, μεθέξῃ. Ἀριστοφάνης, εἴ τι ξυνοίσεις.

Ξυνὸς ἐνυάλιος, ἀντὶ τοῦ κοινὴ ἡ τοῦ πολέμου τύχη,

τύχῃ, καὶ ὁ κατ' αὐτὸν κίνδυνος, καὶ οὐ μᾶλλον τούτου ἢ ἐκείνου.

Ξυνοικίαι λέγονται, αἱ μικραὶ οἰκίαι, καὶ ἀποστάσεις. ἢ οὓς νῦν φανόπτας φαμέν.

Ξυνομαρτεῖ, ἀκολουθεῖ, συνομαρτεῖ.

Ξυνὸν, τὸ κοινόν.

Ξυνουσία, ἡ συνουσία, συνήθεια.

Ξυνουσίᾳ, τῷ ἔργῳ, τῇ πείρᾳ.

Ξυνοχὴ, συνοχή.

Ξυνοχὴν ἁλὸς λέγει ὁ Ἀπολλώνιος, ὅπου στενοῦται ἡ θάλασσα, λέγει δὲ ἐπὶ τοῦ στόματος τοῦ Πόντου.

Ξυνοχῇσι, τῷ συνέχοντι τόπῳ τοῦ καμπτῆρος, καὶ στενοῦντι ἀμφοτέρων τοὺς δρόμους.

Ξυνταίονται, συσκιάζεται.

Ξυντυχεῖν, συντυχεῖν.

Ξυνωδὰ, ὅμοια.

Ξυνωμνύετον, ξυνωμοσίαν ἐποιήσατε, τουτέστιν ὅρκους καὶ πίστεις ἀλλήλοις δεδώκατε. Ἀριστοφάνης.

Ξυνωμόται, ἔλεγον τοὺς ἐπὶ καταλύσει δήμου συνερχομένους. καὶ ξυνωμότης, προδότης.

Ξυνωμοτῶν, ξυνωμοσίαν πεποιημένων. τουτέστι, πίστεις δι' ὅρκων διδόντων.

Ξυνὼν, συνυπάρχων, συνών.

Ξυνωρίδα ζυγὴν, κυρίως ἐπὶ τῶν ἡμιόνων, ἢ ἐκ δύο ἵππων λέγουσι.

Ξυνωρικεύεται, ἐπὶ ξυνωρίδος ἅρματος ὀχεῖται. Ἀριστοφάνης, ἱππάζεται καὶ ξυνωρικεύεται.

Ξυνωρὶς, ἡ δυάς. ἄρω, τὸ ἁρμόζω. ξυνάορος τὶς ὢν, ὁ μεσαίτινος συναρμοζόμενος. καὶ τὸ θηλυκὸν ξυνωρὶς, κατὰ κρᾶσιν τοῦ αο εἰς ω.

Ξύομαι, δέφομαι.

Ξυόεσσαν, εὖ ἐξεσμένην.

Ξυπετέα, δῆμος τῆς Κεκροπίδος φυλῆς.

Ξυρᾶν τὸν λέοντα, ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων. τοῦτο μὲν διὰ τὴν γενναιότητα τοῦ λέοντος, ὃν οὐκ ἂν ξυρᾶν τολμήσῃ τις. τὸ μέντοι πόκους ὄνου ἄλλον τρόπον ἀδύνατόν ἐστι, διὰ τὸ μὴ εἶναι πέκεσθαι τὸν ὄνον. ὅμοιον δέ πως καὶ τὸ ἀσκὸν δέρειν. οὐ γὰρ ἂν ἐξ ἀσκοῦ δέρμα ἕτερον ἀποσυρήσεται.

Ξυρεῖ, ἀκονᾷ.

* Ξυρεῖ γὰρ ἐν χρῷ, ὥστε μὴ χαίρειν τινά. ἀντὶ τοῦ μέχρι βάθους διϊκνεῖται ὥστε μὴ χαίρειν. τὸ δὲ τινά, παρέλκον. Σοφοκλῆς.

* Ξυρήκης, ὁ κουριῶν, ἢ ξυρήσιμος.

* Ξυρίδες, καμπάκια, ξυγάβδια, ἢ ἄλλο τὶ ὑπόδημα διάφορον. ὀνόματα ἴσως τῶν νεωτέρων Ἑλλήνων.

Ξυρεῖν, καὶ ξυρᾶν, οἱ Ἀττικοὶ ἐπὶ πρώτης καὶ δευτέρας συζυγίας λέγουσι. ξυρᾶν τὰς τρίχας. ξυρῶ τὴν κεφαλὴν, ἢ τὸν πώγωνα. ξυρέω ξυρῶ Ἀττικοὶ, οὐ ξυράω ξυρῶ.

Ξυρεύεσθαί, ἀδιακρίτως λαλεῖν, καὶ καυχᾶσθαι, Ἀττικοί.

Ξυρὸν, τομὸν, ἰσχνὸν, ὀξύ.

Ξυρὸς, παρὰ τὸ ξύειν ῥᾶον.

Ξύσαι, χαράξαι, ἐπιγράψαι.

Ξύσμα, κνηφὴ, λέπρα.

Ξυστασιάσω, σὺν σοὶ ὀπίσω τῷ ἔρωτι, ἀπὸ μεταφορᾶς τῶν κρεῶν.

Ξυσμὸς, κνυσμός.

Ξυστὰ, τὰ δόρατα, ἀπὸ τοῦ περὶ αὐτὰ δευτέρου πόνου. τμηθέντα γὰρ, τὸ μὲν πρῶτον ἐκδέρονται, ὅθεν καὶ δόρατα λέγονται. τὸ δεύτερον, ξύονται δι' ἐλαφρότητα καὶ ὀρθότητα, ἴσως καὶ ξυστὰ λέγονται, καὶ ὡς αὐτὰ μόνα τῶν πολεμικῶν πλείονος δεόμενα ξέσεως, ἢ καὶ ὡς εὔξεστα. πρωτότυπον δὲ τοῦ ξυστοῦ τὸ ξύειν, ἀφ' οὗ καὶ τὸ ξύλον, καὶ ἡ ξυσμή. τοῦ δὲ τοιούτου ἔχεται καὶ παροιμία, τὸ ξύειν τὸν ἀντιξύοντα. ἐκ δὲ τοῦ ξύω ξύσω ξὺς, καὶ πλεονασμῷ τοῦ ο ὀξὺς, ὁ θυμικός. οὐ συνθετὸν παρόξυς. οἷον οὐ μάχιμος, οὐ παρόξυς, οὐδὲ βάσκανος.

Ξυστάδες, αἱ πυκναὶ ἄμπελοι. ἄμεινον δὲ τὰς εἰκῇ, καὶ μὴ κατὰ στοῖχον πεφυτευμένας ἀκούειν.

Ξυστένομαι, συσπῶμαι, ξύομαι.

Ξυστίδα, τὸ λεπτὸν ὕφασμα, ἢ εἶδος ἐνδύματος.

Ξύστιδα, προπαροξυτόνως, ἤγουν πορφυρίδα. καὶ γὰρ μέχρι νῦν οἱ εἰσελαύνοντες ἀθληταὶ τοιούτῳ κοσμηθέντες σχήματι, καὶ ἅρματος ἐπιβάντες, διὰ μέσης πομπεύουσι τῆς πόλεως, ᾧ καὶ οἱ Βασιλεῖς χρῶνται. ξυστὶς λέγεται τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι φοροῦσι μέχρι νῦν πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ, καὶ οἱ Βασιλεῖς, καὶ οἱ ἱππεύοντες.

Ξυστὶς, γυναικεῖόν τι ἔνδυμα πεποικιλμένον. ὡς δῆλον ποιοῦσιν ἄλλοι τε πολλοὶ τῶν κωμικῶν, καὶ Ἀριστοφάνης. ἐστὶ μὲν καὶ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ἔτι δὲ καὶ ἱππικόν.

Ξυστοῖς, ἀκοντίοις.

Ξυστὸν, τῷ δόρατι ἐπικείμενον. λαμβάνεταί ποτε αὐτὸ μόνον ἁπλῶς ἐπὶ δόρατος. ὁμοίως καὶ ἱκανὸς, ἀντὶ πέπλου. καὶ βροτὸς, τὸ ἐπίθετον ἀντὶ ἀνθρώπου, οὐκ ἔστιν ἐπίθετον.

Ξυστὸς, τόπος ἀνειμένος ἀθλητῇ. ξυστὸς, καὶ ὁ κοντὸς, ὅ ἐστι τὸ κοντάριον.

Ξυστὸς, κατὰ παράληψιν τοῦ τῶν ποδῶν δρόμου, ὁ εὖ ἐξυσμένος καὶ ὁμαλὸς τόπος.

Ξύστρα ξύστρης, γέφυρα γεφύρης, οἱ κλίνοντες ἁμαρτάνουσι, δέον διὰ τοῦ α, τῆς ξύστρας, καὶ τῆς γεφύρας, λόγῳ τοιούτῳ. πάντα ὅσα τῷ ρ παραλήγεται ὀνόματα, φυλάττει τὸ α ἐπὶ πασῶν τῶν πτώσεων. οἷον σφαῖρα σφαίρας, ἑταίρα ἑταίρας, οὕτω ἄρα ξύστρα ξύστρας, καὶ γέφυρα γεφύρας. ὁμοίως κλίνονται τὰ διὰ καθαροῦ τοῦ α ἐκφερόμενα. οἷον Μήδεια Μηδείας, Σθενέβοια Σθενεβοίας. τὰ δὲ μήτε διὰ τοῦ α ἐκφερόμενα καθαροῦ, μήτε τῷ ρ παραληγόμενα, ἀλλὰ ἄλλῳ τινὶ συμφώνῳ, πάντως τρέπεται εἰς τὸ η, οἷον μέλισσα μελίσσης, θάλασσα θαλάσσης. τούτων δὲ οὕτως ἐχόντων, ζητεῖται πῶς ἡ Λήδα διὰ τοῦ α κλίνεται. καίτοι οὔτε διὰ καθαροῦ τοῦ α ἐκφέρεται, οὔτε τῷ ρ παραλήγεται, ἀλλὰ τῷ δ. πῶς οὖν ἐφύλαξε τὸ α τῆς Λήδας. λέγομεν οὖν, ὅτι ἐκτείνεται ἡ τελευταία συλλαβὴ τῆς Λήδας. πάντα γὰρ τὰ ἐπὶ τῆς τελευταίας συλλαβῆς ἐκτεινόμενα, φυλάττει τὸ α, ὁποίῳ συμφώνῳ ἂν παραλήγηται, οἷον Φιλομήλα Φιλομήλας.

Ξυστρολήκυθον, κάδη, καὶ βίσσα, ἐλαίου λουτρικά.

Ξώθεν, ἀντὶ τοῦ ἔξωθεν.

Ξώλων, ἔθνος βαρβάρων.

Ξώστρα, ψυκτεὶς ψύκτρια.

Τέλος τοῦ ξ στοιχείου.

ἈΡΧῊ ΤΟΥ͂ Ο.

ΣΤΟΙΧΕΊΟΥ ΤΟ͂ ΑΥ̓ΤΟ͂ ΜΕΤᾺ ΤΟΥ͂ Α.

Ὀ Τὸ στοιχεῖον, παρὰ τὸ ἐμφερῆ εἶναι τῷ χαρακτῆρι τὴν ἐκφώνησιν. κατὰ γὰρ περίκλασιν φωνῆς, ἐκφωνεῖται τὸ ὄνομα τοῦ στοιχείου.

Ο, ὅτι ἐν πολλοῖς πλεονάζει, οὐκ ἄδηλον. ὥσπερ ἐκ τοῦ νύσσω, νύξω, ὄνυξ. καὶ ἐκ τοῦ τλῶ ὄτλος, ἡ κακοπάθεια. καὶ ὀδύνη, παρὰ τὸ δύνω. εὑρίσκεται δὲ καὶ τὸ ὀδύρεσθαι, δύρεσθαι. εὕρηται γὰρ καὶ ὀβριάρεως καθ' ὅμοιον πλεονασμόν. δοκεῖ δέ τισι τοιοῦτον εἶναι καὶ τὸ ἰλιάδος οἴ-λους, καὶ τὸ ὀδὰξ, ὅ ἐστι δηκτικῶς.

Ο, σημαίνει ἕξ. ἄρθρον προτακτικὸν, καὶ ὑποτακτικόν. καὶ ἀντωνυμίαν τρίτου προσώπου, ἀντὶ τοῦ οὗτος. ὡς τὸ, ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν. καὶ ἀντὶ τοῦ τοῦτο. ὡς τὸ, ὃ μὲν οὔ τι τόσον τελέθει κακὸν ἔνδοθι μίμνον. καὶ ἀντὶ τοῦ ὅτι. ὡς τὸ, λεύσσετε γὰρ τό γε πάντες ὅμοι γέρας ἔρχεται ἄλλῃ. καὶ ἀντὶ τοῦ διότι. τοίου γὰρ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις.

Ο καὶ α εἰς ω μέγα κιρνᾶται, λητόα καὶ λητώ. ὁμοίως καὶ ἐπὶ τῶν ῥημάτων περισπωμένων τῆς δευτέρας συζυγίας, οἷον ἐβόαον ἐβόων.

Ὀ ἀγελαῖος, ὁ ἐν ἀγέλῃ διάγων.

Ὄα, δένδρον κάρπιμον, καὶ ὁ καρπὸς αὐτοῦ οὕτω καλεῖται * ὑπὸ δὲ πολλῶν οὔα μετὰ τοῦ υ. στυπτικῆς μετέχει ποιότητος. ἢ ὄα, ἀκροδρύων εἶδος, μήλοις μικροῖς ἐμφερὲς, καὶ ὀπώρα.

Ὄα, ἡ ἐκ τῶν οἰῶν κατὰ Αἴλιον Διονύσιον, ἐπὶ ἱματίου διὰ τοῦ ο μικροῦ. ἐν δὲ τῷ ω μεγάλῳ φησὶν ὁ αὐτὸς, ὤα, μηλωτὴ, διφθέρα. ὄϊς γὰρ τὸ πρόβατον. ἐν ἑτέρῳ λεξικῷ γράφεται, ὅτι ὦαι ἔσχαται ἄκραι. ἐν ἄλλῳ δέ. ὅτι ὤα, ἡ μηλωτὴ κατὰ ἔκτασιν. καὶ δῆλον ἐκ τῶν ῥηθέντων, ὅτι τὸ μὲν πρῶτον, ἤγουν τὸ διὰ ο μικροῦ, φυσικόν ἐστιν ἐκ τοῦ ὄϊς. τὸ δὲ δεύτερον, ἐξεπάθη. ἔνθα προσεκτέον καὶ τῷ γράψαντι, ὅτι ὄϊαι διφθέραι μηλωταί. οὐ ἐκτάσει καὶ συναιρέσει, ὦαι. ἐν δὲ τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους φέρεται ταῦτα. μῆλα ὁ Ποιητὴς καλεῖ καὶ τὰς αἶγας. οἷον μῆλ' ὄϊές τε, καὶ αἶγες ἰαύεσκον. καὶ ἡμεῖς δή που μηλωτὴν καλοῦμεν καὶ τὴν αἰγείαν δοράν. τὴν δὲ τῶν προβάτων ἔνιοι οἴην τῶν ἀρχαίων Ἀττικῶν. τινὲς συναλοιφὴν ποιούμενοι, ὤαν ἐκάλουν. καὶ φέρει καὶ χρῆσιν Ἑρμίππου αὐτὴν, ὥρα μάττειν ἐπὶ τοῖς ἱεροῖς, καὶ τὴν ὤαν περιδεῖσθαι περὶ τὴν ὀσφύν.

Ὀάνυες, ἐνέδραι.

Ὄαοι, μόνοι.

Ὄαρας, γάμους. οἱ δὲ, γυναῖκας.

Ὀαρίζειν, τὸ φιλικῶς ὁμιλεῖν. καὶ Διὸς ὀαριστὸς, ὁ ὁμιλητὴς, ὅ ἐστι φοιτητής. καθότι καὶ συνουσίαι Φιλοσόφων αἱ τοιαῦται ὀαριστύες λέγονται. καὶ ὄαρ ἐκ τοῦ ἀείρω τὸ συζευγνύω, μεταθέσει ἐκ τοῦ ἄορ, ἵνα μὴ συνεμπίπτῃ πρὸς τὸ ἄορ, τὸ ξίφος, ἡ γενικὴ ὄαρος, καὶ ὄαρες πληθυντικῶς. ὅθεν ὦρες, κατὰ κρᾶσιν.

Ὀαρίζειν, τὸ ὁμιλεῖν ἐν λόγοις. Ὅμηρος, Ἕκτωρ ἣ ὀάριζε γυναικὶ, τουτέστι διὰ λόγων ὡμίλει. παράγωγον ἐκ τούτου ὁ ὀαριστύς. καὶ ὀαριστὴς ὁ ὁμιλητής. προϋπάρχει δὲ τῶν τοιούτων, τὸ ἀείρειν καὶ ἡ ἀπ' αὐτοῦ ἄορ, καὶ ἡ συνάορος, καὶ ὁ ξυνάορος. ὅθεν ἐν μεταθέσει τὸ ὀαρίζειν.

Ὀαρίζουσιν, ἐρωτεύουσιν.

Ὀαρίζω, τὸ γυναικὶ διαλέγομαι, καὶ ὁμιλῶ. οἱονεὶ, ὁμοαρίζω, παρὰ τὸ ὁμοῦ ἀρηρέναι τῷ γάμῳ καὶ συνηρμόσθαι.

Ὀαρισμοὶ, διάλογοι.

Ὀαριστὴν, μάχην.

Ὀαριστὺς, τουτέστιν ὁμιλία. δι' ἣν οἱ τὴν μάθησιν μετιόντες ὀαρισταὶ λέγονται. ὡς ὁ Μίνως ἐν Ὀδυσσείᾳ, ὀαριστὰ Διός. ἔτι καὶ ὁμιληταὶ οἱ αὐτοί. καθὰ δὴ καὶ αἱ διδασκαλίαι, ὁμιλίαι.

Ὀαριστὺς, ἡ ἁπλῶς ὁμιλία. ταυτὸν δὲ εἰπεῖν συνουσία. δῆλον δ' ἐκ παρασημειώσεως παλαιᾶς, καὶ ὅτι ὄαρος λόγος, ὁμιλία, παιδιὰ καὶ παιδεία παροξυτόνως. καὶ ἄλλως δὲ, προμάχων τῶν ἑκατέρωθεν. καὶ ὁμιλαδὸν, τὸ ἐπίρρημα. γίνεται δὲ ἡ ὀαριστὺς; καὶ ὁ ἐν Ὀδυσσείᾳ ὀαριστὴς, ἤγουν ὁμιλητὴς, καὶ πρὸ βραχέων ὄαρος. καὶ ὁ παρὰ Πινδάρῳ δὲ ὀαρίων, καὶ κατὰ κρᾶσιν ὠρίων, ὅθεν καὶ ἡ ξυνωρὶς, καὶ τὸ τέτρωρον. καὶ ὦρες, αἱ γυναῖκες. δῆλον γὰρ, ὅτι προϋπόκειται τούτων καὶ τῶν τοιούτων τὸ ἀείρω.

Ὄαροι, αἱ γυναῖκες.

Ὀάσεις, δῆμος τῆς Πανδιονίδος φυλῆς.

Ὄασις, ὀάσεως, ἡ Αἰγυπτία.

ΤΟ͂ Ο. ΜΕΤᾺ ΤΟΥ͂ Β.

Ὀ Βάκχιος, ὁ Διόνυσος.

Ὄβδην, ἐπίρρημά ἐστι μεσότητος, ἀπὸ τοῦ ὦμμαι, ὄβδην.

Ὀβελίζω, μετρῶ.

Ὀβελίζω, τὸ διαγράφω.

Ὀβελίας ἄρτος, ὁ ἐπὶ ὀβελοῖς ὀπτώμενος. καὶ ἀκρωβελίας, ἄκρον ὀβελιαίου ἄρτου. καὶ ἐπωβελία, τὸ ἐπιδέκατον κατὰ τοὺς παλαιούς. καὶ ἡμιωβολαῖον, τὸ τιμώμενον ἡμίσεως ὀβολοῦ. καὶ τριώβολον, μισθὸς δικαστικὸς, καὶ οἱ ἁπλῶς τρεῖς ὀβολοί. ἐξ ὧν τριωβολιμαῖος, ὁ εὐτελής. καὶ τετρωβολεῖν, τὸ λαμβάνειν δικαστικὸν τετρώβολον. ἐγένετο γάρ φασι καὶ τοσοῦτόν ποτε, καὶ τετρωβόλου βίος, παρὰ Παυσανίᾳ, ἀντὶ τοῦ στρατιώτου μισθός. καὶ ἀμφώβολά φασι παρὰ Σοφοκλεῖ, αἱ διὰ σπλάγχνων μαντεῖαι.

Ὀβο-

Digitized by Google

Ὀβολοὶ, νόμισμα, καὶ τόκοι. καὶ εἴδη νομισμάτων, καὶ οἱ ἄρτι δικαστικοὶ μισθοί.

Ὀβολοὶ δύο, μισθάριον δικαστικὸν ἦσαν. καὶ τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος βάλλουσι δύο ὀβολούς.

Ὀβελισμὸς, ἡ μέμψις.

Ὀβελὸς, καὶ ὀβελίσκος, αἱ σοῦβλαι, οἱονεὶ ὀφελίσκος τις ὢν, ὁ εἰς μῆκος ὀφελλόμενος, τουτέστιν αὐξόμενος καὶ ἐλαυνόμενος. ἢ παρὰ τὸ βάλλω, βέλος. ἢ παρὰ τὸ βέλω. τὸ μὲν οὐδέτερον, βέλος. τὸ δὲ ἀρσενικὸν, βελὸς, καὶ πλεονασμῷ τοῦ ο ὀβελὸς, ὁ ἐοικὼς βέλει. οὕτως Ἡρωδιανός.

Ὀβελὸς, ἀθετήσεως σύμβολον.

Ὀβολὸς, ἡ φολίς.

Ὀβολὸς, ὁ τόκος. εἶδος νομίσματος.

* Ὀβολὸς δὲ παρ' Ἀθηναίοις, ἓξ ἐστὶ χαλκῶν. ὁ δὲ χαλκοῦς, λεπτῶν ἑπτά.

Ὀβολὸς καὶ ὀβελὸς, σκεῦός τι μαγείρου, ἐν τῷ ἄκρῳ ὀξὺ, καὶ βάλλειν δυνάμενον. καὶ βολὴν τὰς βέλους ποιεῖν. παρὰ μέντοι τοῖς ὕστερον μεγάλην ἔχον τὴν διαφορὰν, εἴπερ ὀβελὸν μὲν διὰ τοῦ ε τὸν αὐτὸν λέγουσι τῷ Ποιητῇ τὸν μαγειρικὸν, ὀβολὸν δὲ σιδήρου τι ἔλασμα ἔλεγον. σχῆμα μέν πως ἔχον ὀβελοῦ, οὐ μὴν καὶ εἰς πάντα ὀξὺ λῆγον. οὕτω δὲ ἁδρὸν ἦν παχύτητι ἐκεῖνο τὸ ἔλασμα τοῦ ὀβολοῦ, ὡς τοὺς ὀβολοὺς ἓξ τὴν δρᾶκα ἐπλήρουν. καὶ τοῦτο ἐλέγετο δραχμή.

Ὀβολοστατεῖ, ἀντὶ τοῦ δανείζει. ὅθεν ὀβολοστάτης, ὁ δανειστής.

Ὄβρυζον, χρυσίον τὸ πολλάκις ἑψηθὲν, τὸ κατακαθαρώτατον.

* Ὄβρια καὶ ὀβρίκαλα λεόντων καὶ λύκων σκυμνία.

Ὀβριμοεργὸς, ἰσχυρὰ ἢ μεγάλα ἐργαζόμενος ἔργα, μεγαλοπράγμων.

Ὄβριμον, ἰσχυρὸν, γενναῖον, παρὰ τὸ βρῖ ἐπιτατικὸν μόριον, τὸ δηλοῦν τὸ ἄγαν, γέγονε παράγωγον βριμὸν, καὶ πλεονασμῷ τοῦ ο ὄβριμον, ὡς ἐν τῷ ξύγη, ὀξύγη.

Ὀβριμοπάτρη, μυθικῶς μὲν τὸ τῆς Ἀθηνᾶς ἐμφαίνει ἐξαίρετον, ὅτι δηλαδὴ πατέρα μόνον ἔχει ὄβριμον, οὐ μὴν καί τινα μητέρα. διὸ οὐκ ἂν καὶ ἡ Ἀφροδίτη ὀβριμοπάτρη οὕτω λεχθείη.

Ὀβριταύχην, ὁ τὸν αὐχένα βαρῶν.

Ὄβρυζος, παρὰ τὸ ἁβρὸν, ὃ σημαίνει τὸ ξυφερόν.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Γ.

Ὄγαλα, τόπος.

Ὄγαρ, οὗτός γε.

Ὀγάστωρ, ὁμογάστωρ.

Ὄγγα, Ἀθηνᾶ ἐν Θήβαις, ἐπιχώριον ἐπώνυμον ἔχουσα.

Ὀγδόα, ἡμιχοίνικον.

Ὀγδόατον, παραγωγὴν ἔπαθεν, ὁποίαν τὸ τρίτατος, τέταρτος, ἑβδόματος.

Ὀγδόδιον, θυσία παρὰ Ἀθηναίοις, τελουμένη Θησεῖ.

Ὀγδοηκοντοῦτις, τὴν ὀγδοηκοντοῦτιν.

Ὄγδοος, παρὰ τὸ ὀκτὼ ὄκτοος καὶ ὄγδοος. τὰ διὰ τοῦ οος ὀνόματα προπαροξύνεται, οἷον σίγδοος, πείροος. τὸ ὄγδοος ψιλοῦται. πᾶν γὰρ φωνῆεν τῶν ἀριθμῶν, δασύνεται. πλὴν τοῦ ὀκτὼ, ἐννέα, καὶ εἴκοσιν.

Ὀγδώκοντα, κρᾶσιν ἔπαθε τοῦ ο καὶ η, οἷον καὶ τὸ δῶμα καὶ ἡ σιωπὴ καὶ τὸ ἐπιβώσομαι, ἀντὶ τοῦ βοήσω. καὶ τὸ βωστρεῖν, καὶ τὸ ὤμισυ παρὰ Ἡσιόδῳ. καὶ παρὰ Ἡροδότῳ τὸ ἐκ τοῦ θρόνου πηδήσας ἀνέβωσε. καὶ βωθήσαντες τὸν ἰθμόν.

Ὄγε, δύο μέρη λόγου εἰσὶν ὁ ἄρθρον, γε συνδεσμος.

Ὄγκαι, κώμη τῆς Βοιωτίας. ὅθεν ὀγκαία ἡ Ἀθηνᾶ. τιμᾶται γὰρ ἐν Ὄγκαις.

Ὀγκαία Ἀθηνᾶ λέγεται, ὅτι ἄγαλμα ἐν Ὄγκαις ἔχει. Ὄγκαι, πόλις ἐν Ἀρκαδίᾳ.

Ὀγκᾶσθαι, ἐπιόντι, καὶ βρωμᾶσθαι.

Ὀγκᾶται, βοᾷ.

Ὄγκειον, ἢ ὀγκίον, ἐν ᾧ τὰ σιδηρᾶ βέλη ἀποτιθέασιν. ὄγκους γὰρ, τὰς ἀγκίδας λέγουσιν.

ὡς εἶδε νευρόν τε καὶ ὄγκους.

Ὀγκηθμὸς, κραυγὴ ὄνου.

Ὀγκίαι, θημῶνες, χώματα, σιδηροθήκη.

Ὄγκινοι, αἱ ἀκίδες.

Ὀγκιόν ἐστί φασιν, ἀγγεῖον ἐν ᾧ ἔκειντο ὄγκοι. λέγονται φασὶν ὄγκοι οἱ πώγωνες τῶν ἀκίδων. καθὰ δηλοῖ καὶ τὸ, ὡς οἶδε νευρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας. ἔστι δέ φασι καὶ ἡ λέξις αὕτη, τῶν ἅπαξ εἰρημένων παρὰ τῷ Ποιητῇ. καὶ εἴρηται δὲ παρὰ τὸ ὀγκῶδες εἶναι. ἐν Ὀδυσσείᾳ γὰρ σιδηροθήκην τινὰ, ἢ βελονοθήκην ὄγκιον καλεῖ. οἱ γὰρ παλαιοί φασι καὶ οὕτω. ὄγκοι, γωνίαι. καὶ ὄγκαιον ἀγγεῖον, τὸ καὶ ὄγκιον ἐν ᾧ ἀκίδες βελῶν. ἐκ δὲ τοῦ τοιούτου ὄγκου, καὶ ἐπὶ ἀλαζονικῆς ὀξύτητος ἡ μεταφορὰ γίνεται.

Ὀγκὶς, ἡ γωνία, ἡ ἀγκὶς, καὶ μέγεθος.

Ὄγκοι, αἱ ἐξοχαὶ καὶ ἡ γωνία τῶν ἀκίδων, καὶ πώγωνες τοξικῶν βελῶν.

Ὀγκολογῆσαι, γογγύσαι.

Ὀγκοπελεθίαν, πέλεθον οὖσαν.

* Ὄγκος, εἰς μῆκος καὶ πλάτος καὶ βάθος διάστασις. ἡ ὑπὲρ τὸ κατὰ φύσιν αὔξησις. τριττὴ δ' ἐστὶν ἡ διαφορὰ τῶν ὄγκων, ἤτοι γὰρ μετ' ὀδύνης εἰσὶ, καὶ καλοῦνται φλεγμοναί. ἢ χωρὶς ὀδύνης, καὶ σκληροὶ, καὶ καλοῦνται σκίρροι, ἢ χωρὶς ὀδύνης, καὶ μαλακοὶ, καὶ προσαγορεύονται οἰδήματα.

Ὄγκος, τὸ βάρος. Σοφοκλῆς, μικροὺς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει, περὶ τῶν Ὀρέστου λειψάνων. καὶ ἄογκον, τὸ ἀβάστακτον.

Ὄγκος, φύσημα, ὑπερηφανία, ἔπαρσις, μέγεθος.

Ὀγκύλλεσθαι, ὑψαυχενεῖν, καὶ ἐπαίρεσθαι. καὶ ὄγκου περιβεβλῆσθαι.

Ὀγκύλον, σεμνὸν, γαῦρον.

Ὀγμεύω, κατὰ τάξιν θερίζω.

Ὄγμοι, φανερῶς αἱ τοῦ ἀρότρου τομαὶ, παρ' Ὁμήρῳ ἐν τῷ σ' τῆς Ἰλιάδος. εἰ καὶ ἐν ἄλλοις ἐπίστιχον φυτείαν, ἡ λέξις δηλοῖ. καὶ γίνεται παρὰ τὸ οἴγειν, ἀποβολῇ τοῦ ι. οἴγεται γὰρ τῷ ἀρότρῳ ἡ γῆ, ἢ παρὰ τὸ ἕλκω ὄλγμος. οἱ δὲ παλαιοὶ, εἰς τὴν σημασίαν τοῦ ὄγμου φασὶν οὕτω. οἶμος, ἀρχὴ, τέρμα, διέξοδος, θεριστῶν τάξις, ἔφοδος, θεριστῶν στιχηρὰ, ἐπίστιχος φυτεία. ὄγμου δέ φασι παράγωγον, ἐπόγμιος ἐπίθετον. Ἄλλως.

Ὄγμος, ἡ τάξις, ἢ ἡ ἐπίστιχος φυτουργία τῶν δένδρων καὶ κατὰ τάξιν ἀγωγή. ὥσπερ γὰρ παρὰ τὸ δαΐζω γίνεται δαϊγμὸς, καὶ παρὰ τὸ φράζω φραγμὸς, οὕτω καὶ παρὰ τὸ ἀγμὸς, ὄγμος. μεταθέσει τοῦ α εἰς ο αἰολικῶς, καὶ παροξυτόνως. ἢ παρὰ τὸ ἔχω, ἐχμὸς, καὶ ὀχμός. παρὰ τὸ ἔχεσθαι ἄλλο ἐπ' ἄλλου, καὶ πρὸς ἄλληλα ἔχειν τὴν σχέσιν. κυρίως δὲ ὄγμος, ἡ τομὴ τοῦ ἀρότρου, παρὰ τὸ οἴγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀροῦντος. Ὅμηρος δὲ, ἐπὶ τῆς ἀθείας τάξεως τοῦ θερισμοῦ φησιν. οἷον ὄγμον ἐλαύνωσιν.

Ὄγμος, κατὰ τοὺς παλαιοὺς, ἢ ἐκ τοῦ ἕλκω ὄλγμος, καὶ ἀποβολῇ τοῦ λ ὄγμος. ἢ ἀπὸ τοῦ ἄγω ἄγμος καὶ ὄγμος, ἡ ἐπίστιχος ἀγωγή. σημαίνει γὰρ ἐπίστιχον καὶ αὐλακώδη φυτείαν. βαρύνεται δὲ κανόνι τοιούτῳ, τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα, βαρύνεται. ὄκνος, ὄμβρος, ὄσσος, ὄρθρος, ὄρφνος, ὄλβος, ὄλμος. οὕτω γοῦν καὶ ὄγμος.

* Ὄγχειν, φέρειν.

Ὀγχηστὸς, ἄλσος ἱερὸν Ποσειδῶνος. ὥς φησιν Ὅμηρος, Ὀγχηστόν θ' ἱερὸν Ποσιδήϊον ἀγλαὸν ἄλσος.

Ὀγχηστὸς, ἄλσος ἐν τῇ Ἁλιαρτίων χώρᾳ, ἱδρυνθὲν ὑπὸ Ὀγχηστοῦ παιδὸς Βοιωτοῦ, ὅς φασιν ἐν τῷ τόπῳ πρῶτος, Ποσειδῶνος ἱδρύσατο ἱερόν. ἔστι δὲ καὶ πόλις μεγάλη. καὶ ποταμὸς δὲ ὁμώνυμος ταύτῃ θετταλικός. ἱέρωται δὲ Ποσειδῶνι τὸ ῥηθὲν ἄλσος, διὸ καὶ Ποσιδήϊον ἀγλαὸν ἄλσος ὁ Ποιητὴς καλεῖ. ὁ δὲ Στράβων φησὶν ὀγχηστὸς ἐν ὕψει κείμενος ψιλὸς, ἔχων Ποσειδῶνος ἱερὸν ψιλὸν καὶ αὐτό. οἱ δὲ Ποιηταὶ κοσμοῦσιν ἄλση καλοῦντες ἱερὰ πάντα, κἂν ᾖ ψιλά.

Ὀγχηστὸς, ὄνομα λιμένος.

Ὄγχναι, κυρίως αἱ ἀχράδες, ἤγουν δένδρα γεννῶντα τὰς ἀγρίους ἀπίους. γίνεται δὲ παρὰ τὸ ἄγχειν. ἄγχουσιν γάρ πως οἱ ἐκεῖθεν καρποὶ διὰ τὸ ἄγαν στυφόν.

Ὠγυγία, μέλη.

Ὄγυρον, ἱμάτιον. οἱ δὲ μάταιον.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Δ.

Ὄδα, φορτία, ὤνια. οἱ δὲ, ὀδάβα.

Ὄδαγμα, βρῶμα, ἀντὶ τοῦ εἰς τὴν ὁδόν. ἐνεκάθητο γάρ φησιν ἐν τοῖς ὁδοῖς.

Ὀδαῖον, πράσιμον, καὶ εἰς ἐκδημίαν ἐφόδιον.

Ὀδαίων, ὠνίων. ὀδῆσαι γὰρ τὸ ὠνήσασθαι.

Ὀδακτάζοντι, δάκνοντι.

Ὀδακτάσαι, δακεῖν τὴν καρδίαν, ἀκύρως τὸ τοὺς ὀφθαλμοὺς παρορύξαι.

Ὀδανὸς, ὁδηγός.

Ὀδὰξ, δηκτικῶς, καὶ μετὰ δηγμοῦ. ὡς γὰρ λήγω λὴξ, καὶ ἐν συστολῇ λὰξ, οὕτω δήκω, τὸ δάκνω δήξω δὴξ καὶ δὰξ, καὶ κατὰ πλεονασμὸν ὀδάξ. ὥσπερ τὸ ὀδὰξ ἐκ τοῦ δῆξαι, ὅ ἐστι δακεῖν. οὕτω καὶ αὐτοδὰξ, τὸ παρακεχῆμα. ἔοικε δὲ κωμικωτέρα ἡ τοιαύτη λέξις εἶναι.

Ὀδὰξ, κυρίως τοῖς ὀδοῦσι. Λυκόφρων δὲ τὸ στόμα λέγει.

Ὀδαξήσας, καὶ ὀδακτήσας, ὀδοστατήσας. ὠδυνημένος δὲ, μέγα.

Ὀδὰξ λάζεσθαι τὴν γῆν, ἤγουν λαμβάνεσθαι τῆς γῆς, ἀπὸ τοῦ δάκω δάξω δὰξ, ἢ ὡς λήγω λήξω λὴξ καὶ λὰξ, οὕτω καὶ δήκω δήξω δὴξ καὶ δὰξ, καὶ κατὰ πλεονασμὸν ὀδάξ. δηλοῖ δὲ τὸ δάκνειν τὴν γῆν τοὺς πεφονευμένους ἐν τῷ σφαδάζειν. τινὲς δὲ ὀδόντων τρισμός.

Ὀδαρὸς, ὀκνηρός.

Ὀδασμένος, ὠνεῖσθαι ἐπειγόμενος.

Ὀδάχα, κατωπύγων, Ταραντῖνοι.

Ὅδε, ἀντὶ τοῦ οὗτος. ἥδε, ἀντὶ τοῦ αὕτη. τόδε, ἀντὶ τοῦ τοῦτο.

Ὅδε αὐτὸς ἐγὼ, παρ' Ὁμήρῳ ἐν φ' τῆς Ὀδυσσείας ἐκ παραλλήλου πρὸς ἔνδειξιν σαφοῦς ἀναγνωρισμοῦ οἱ τρεῖς κεῖνται ἀντωνυμίαι. τὸ ὅδε, τὸ αὐτὸ, καὶ τὸ ἐγώ.

Ὅδεα, τὰ ἐφόδια.

Ὀδέγμην, προσεδόκων.

Ὅδ' ἐγὼ, αὐτὸς ἐγώ.

Ὀδεία, ἡ ὁδεύσις.

Ὀδειμάλεος, εὐλαβής.

Ὁ δεῖνα, ὥσπερ τὸ νεάπολις δύο ὀνόματά εἰσι καθ' ἑνὸς ὑποκειμένου. οὕτω καὶ τὸ, ὁ δεῖνα δύο ἀντωνυμίαι εἰσὶ καθ' ἑνὸς ὑποκειμένου. τινὲς δὲ λέγουσιν, ὅτι μία λέξις καὶ οὐ δύο. οἵτινες κακῶς λέγουσιν. εἰ γὰρ ἦν μία λέξις, ὤφειλε κατὰ πτῶσιν ἐναλλάττεσθαι ἡ ἀρχὴ, οἷον ὁ δεῖνα τοῦ δεῖνατος τῷ δεῖνατι. τῆς γὰρ μιᾶς λέξεως φυλάττεται ἐν κλίσει ἡ ἀρχὴ, οἷον φιλάνθρωπος φιλανθρώπου φιλανθρώπῳ. τοῦτο δὲ, διὰ τῆς ει διφθόγγου γράφεται, οὕτως ἐχούσης τῆς παραδόσεως. καὶ ἴσως πλανηθείσης ἐκ τοῦ τινὰς λέγειν, ὅτι μία λέξις ἐστίν. οἱ γὰρ λέγοντες, ὅτι μία λέξις ἐστὶ, λέγουσιν, ὅτι παρὰ τὴν ὅδε ἀντωνυμίαν γέγονεν ὀδεῖνα, καὶ ὁ δεῖνα.

Ὁ δεῖνα, ἐπὶ τριῶν προσώπων λαμβάνεται, καὶ ἐπὶ τριῶν γενῶν. Δημοσθένης, ἐν τῷ περὶ στεφάνου. ὁ δεῖνα, τοῦ δεῖνος, τὸν δεῖνα εἰσήγγειλε. καὶ ὁ Θεολόγος, ἐγὼ τοῦ δεῖνος καὶ ἡ δεῖνά μοι μήτηρ.

Ὁ δεῖνα καλός. ἴδιον ἐραστῶν ἦν, τὸ τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις, ἢ φλοιοῖς δένδρων οὕτως. ὁ δεῖνα καλὸς, τοῦ δεῖνος, τῷ δεῖνι, τὸν δεῖνα.

Ὀδεῖν, πωλεῖν.

Ὀδελὸν, Βοιωτοὶ τὸν ὀβελὸν, ὀδελὸν λέγουσι.

Ὀδέον, πράσιμον, ἢ καὶ ἐκδημίαν ἐφόδιον.

Ὄδερος, γαστήρ.

Ὅδε τις, ἀντὶ τοῦ ἄλλος δέ τις.

Οὐδ' ἄειν, οὐδὲ παρ' ἑνὶ τῶν ἐλλογίμων εὑρίσκεται.

Ὀδεύω, καὶ ὀδεύσω, εἰς τόνδε τὸν τόπον μεταβατικῶς αἰτιατικῇ συντάσσεται, ὀδεύειν ἐπὸ ξηρᾶς. πλεῖν, καὶ στέλλεσθαι, ἐπὶ θαλάσσης. το-

Digitized by Google

βαδίζεσθαι ἐπ' ἀμφοτέρων. ἀφ' ὧν ὀνόματα ὁδὸς, ἐπὶ ξηρᾶς. πλοῦς καὶ στόλος, ἐπὶ θαλάσσης. τὸ μὲν κοινὸν, τὸ δὲ στόλος ποιητικόν. ἱπορεία δὲ ἐπ' ἀμφοτέρων. ὁδεύω τὸ τὴν ὁδὸν διέρχομαι. διοδεύω, τὸ διὰ τῆς ὁδοῦ ἔρχομαι. παροδεύω, τὸ παραβαίνω. οἷον παροδεύειν τὴν πόλιν, ἀντὶ τοῦ ἐάσας τὴν πόλιν παρέρχεται.

Ὀδηγηθήσεται, ὁδηγέω, μέλλων ὁδηγήσω, παρακείμενος ὡδήγηκα, ὁ παθητικὸς ὡδήγημαι, ὁ ἀόριστος ὡδηγήθην, ὁ μέλλων ὁδηγηθήσομαι ὁδηγηθήσῃ ὁδηγηθήσεται.

Ὀδηγὸς, ὁ προπομπός.

Ὀδηγμὸς, κνησμός.

Ὀδηθεὶς, ληφθεὶς, πραθείς.

Ὄδοθος, ὄνομα κύριον.

Ὀδηγία, ἡ προπομπή.

Ὀδήμαντες, ἔθνος θρακικόν. Ἀριστοφάνης, τίς τῶν ὀδημάντων τὸ σκόρον ἀποτεθρίακεν, ἀντὶ τοῦ ἔτιλεν.

Ὀδῆσαι, πρίασθαι, ἀποδόσθαι, ὠνήσασθαι.

Ὀδησον, πώλησον.

Ὀδία, ἡ κόρη, θεός.

Ὀδίνουσα, ἀποφορὰ, ὀσμή.

Ὀδίοπος, κυβερνήτης.

Ὄδιος οἰωνὸς, αἴσιος, καὶ ἐπίθετον Ἑρμοῦ.

Ὀδίος, πρὸ τέλους ἡ ὀξεῖα, ἐπεὶ κύριόν ἐστι. τὸ δὲ προσηγορικὸν ὅδιος, ὡς σκότιος.

* Ὀδιούπολις, χωρίον Ἡρακλείας τῆς πρὸς τῷ Πόντῳ.

Ὀδίτης, ὁ ὁδοιπόρος.

Ὀδμὴ, ἀντὶ τοῦ ὀσμὴ λέγουσιν Αἰολεῖς.

Ὄδμηρος, πολύοσμος, εὔοσμος.

Ὀδοιδόκος, ὁ ἐν ταῖς ὁδοῖς πανοῦργος, κλὼψ, λῃστής. καὶ ὁδοιδοκῶ, τὰς ὁδοὺς ἐπιτηρῶ.

Ὀδοιδοκεῖ, ὁδοσκοπεῖ.

Ὀδοιπόριον Ὅμηρος λέγει μισθὸν, ἢ ἀμοιβὴν ὑπὲρ τοῦ συμπλεῦσαι. ἰστέον, ὅτι καὶ πᾶν δῶρον τὸ ὑπὲρ συνοδεύσεως, καλῶς ἂν λέγοιτο ὁδοιπόριον.

Ὀδοιπορία, ὁδοιπλανία.

Ὀδοιπόρος, ὁδίτης.

Ὀδολὰμ, ὄνομα σπηλαίου.

Ὀδολκαὶ, ὀβολοί. Κρῆτες.

Ὀδόλμυθοι ἐρέβινθοι.

* Ὀδύμαντες, ἔθνος θρακικόν.

Ὁδὸν ἐλθεῖν, σημαίνει τὸ τοὺς ἀρίστους εἰς λόχον ἐλθεῖν, ὡς δοκεῖ τοῖς παλαιοῖς. οἱ δὲ ἀπὸ Δημοσθένους φέρουσι χρῆσιν εἰπόντος ἐν τῷ κατ' Ἀριστοκράτους τὸ ἐν τῇ ὁδῷ καθελὼν, ἀντὶ τοῦ ἐν λόχῳ, καὶ ἐν ἐνέδρᾳ.

Ὀδόντες, οἱ ἐπὶ ἔδαφει ὄντες, ἔδοντές τινες. παρὰ τὸ ἔδω τὸ ἐσθίω, γίνεται ὀδοὺς, καὶ κλίνεται ὀδόντος. ὀξύνεται δὲ, καὶ διὰ τοῦ ντ κλίνεται.

Ὀδοντισμὸς, εἶδος αὐλήσεως, ὅτε ἡ γλῶττα προσβάλλεται πρὸς τοὺς ὀδόντας.

Ὀδοντομάχαι, σύες ἐλέγοντο παρὰ τοῖς παλαιοῖς. τῶν δὲ ὀδόντων κοινὴ μὲν εὐθεῖα ὁ ὀδοὺς, εἴρηται καὶ ὀδών.

Ὀδοποιῶ, δοτικῇ συντάσσεται.

Ὁδός ἐστι, νοητὴ κατάστασις ἀρίστη λογικῆς ψυχῆς, ἐφ' ἧς ὁ νοῦς τὴν πορείαν ποιούμενος, ἀπαντᾷ τε τοῖς πράγμασι, καὶ τοὺς λόγους αὐτῶν ἐπιγινώσκει. ὁδὸς, καὶ ἡ διδασκαλία. ὁδὸς καὶ ἡ οἰκονομία. ὡς ὁ Ἀπόστολος, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

Ὁδοῦ ἐπέβην, καὶ ὁδῷ ἐπεθέμην, καὶ ὁδοῦ ἡψάμην, ταυτόν. σύνοδος, ἡ συνέλευσις ἀπὸ διαφόρων πόλεων καθ. πρόσοδος, ἡ προσφορὰ καὶ ἡ προσένεξις. πρόοδος, ἡ προχώρησις καὶ προέλευσις, καὶ ἡ ἐπίδοσις. ἔξοδος, ἡ ἐξαγωγή. ἐκ τοῦ ἐναντίον, εἴσοδος ἡ εἰσφορὰ, καὶ τὸ κέρδος, καὶ ἡ εἰσέλευσις. οὗ τὸ ἐναντίον, ἔξοδος ἡ ἐξέλευσις. καὶ εἴσοδος ἐστιν ὅπου ἐπὶ συγκομιδῆς καὶ διαφορᾶς: κάθοδος ἰδίως, ἡ ἐπάνοδος τῶν φυγάδων. περίοδος, ἡ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ κίνησις.

Ὀδούρεις, τοὺς ἐν ταῖς ὁδοῖς κακουργοῦντας.

Ὀδοῦρος, ἐνεδρευτὴς, καθ' ὁδὸν ὁδοῦ κατάρχων, προοδοιπόρος, κακοῦργος.

Ὀδοὺς, ὡς παρὰ τὸ λέγω γίνεται λόγος, οὕτω καὶ παρὰ τὸ ἔδω, ὀδοὺς, ὀξύνεται ὡς μετοχή. αἱ γὰρ εἰς ους μετοχαὶ ὀξύνονται.

Ὀδοῦται, καθ' ὁδὸν πορεύεται.

Ὄδρυσσα, πόλις.

Ὀδύναι, λῦπαι, παρὰ τὸ ἔδειν τὴν ψυχήν.

Ὀδυνᾶσαι, ὀδυνάω, ῶ, ὀδυνάομαι, ῶμαι, ὀδυνᾶται. τὸ τρίτον συστολῇ τοῦ τ εἰς σ Ἰωνικῶς ὀδυνᾶσαι.

Ὀδύνη, οὐκ ἀεὶ ἐπὶ πόνου σωματικῶς κεῖται, ἀλλὰ εἴρηται καὶ ἐπὶ λύπης, μεγάλης μέντοι.

Ὀδύνησιν ἔδωκεν, ἀντὶ τοῦ ὠδύνησεν, ῥηθὲν κατὰ ἀστείαν περίφρασιν.

Ὀδυνήφατον, πρὸς ὁμοιότητα παρῆκται τοῦ προσφάτου νεκροῦ. φῶ γὰρ φάζω, τὸ φονεύω. ἐξ οὗ ὀδυνήφατον φάρμακον, καὶ πρόσφατος νεκρὸς, καὶ ἀρηΐφατος. εἴη δὲ ἂν ὁμοιοδυνάμως τὸ φάσθαι, ὅ ἐστι φονεῦσαι ὀδύνην, καὶ τὸ ἀκέσασθαι ὀδύνην. διὸ καὶ ταυτόν ἐστιν ὀδυνήφατον εἰπεῖν καὶ ἀκεσώδυνον.

Ὀδυνηρὸν, λυπηρὸν, ἐπίπονον.

Ὀδυνήφατα, τὰ ὡς εἰπεῖν ἀκεσώδυνα. ταυτὸν γὰρ οὕτως ἢ οὕτως εἰπεῖν, ὡς τὸ ἀκέσασθαι ὀδύνην. καὶ τὸ ὀδύνην φάσαι, ἤτοι φονεῦσαι, ὡς οἷά τινα πολεμίαν ταυτὰ δηλοῦντων. ἐνέργειαν δὲ σημαίνει τὸ ὀδυνήφατον. ἀνάπαλιν δὲ αὐτοῦ πάθος, τὸ μυλήφατον, καὶ τὸ πρόσφατον, ἐν τῷ πρόσφατος νεκρὸς, ὁ ἐγγὺς καὶ πρὸ ὀλίγου φονευθείς.

Ὀδυνῶμαι, τὸ ἀλγῶ. ὀδύνη. ἀφ' οὗ περιωδυνία διὰ τοῦ ω μεγάλου, ἡ ἄμετρος λύπη.

Ὀδυρμὸς, κλαυθμός.

Ὀδύρομαι, ὀδυροῦμαι, ὠδυράμην, τὸ θρηνῶ, αἰτιατικῇ. τί σεαυτὸν ὀδύρῃ. ὀδύρεσθαι ἔνδοθι θυμῷ, οὐ στεναγμὸν δηλοῖ μόνον, ἀλλὰ καὶ ἁπλῶς λύπην βαθεῖαν ἐνδιάθετον.

Ὀδυρομένους, κλαίοντας. ὀδύρομαι, ἐπὶ ἐνεστῶτος, παρὰ τὸ ὀδαύω, ὃ σημαίνει τὸ τήκομαι, καὶ καταπονοῦμαι. τοῦτο παρὰ τὸ ἔδω, τὸ ἐσθίω. ἐξ οὗ γίνεται ὀδοὺς, ὀδύρω, καὶ ὀδύρομαι. ὀδυρῶμαι δὲ, ἐπὶ μέλλοντος, μέγα.

Ὀδύρση, τουτέστι θρακική. ἢ ἀπὸ τοῦ ὀδύρεσθαι, τουτέστι θρῆνον ἐμποιοῦσα, καὶ ὀδυρμόν. Ἀριστοφάνης, λόγχη τὶς ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτική.

Ὀδύρσα κατὰ ἐναλλαγὴν τοῦ σ ὀδόρσα, τουτέστι θρακική. ἢ ἀπὸ τοῦ ὀδύρεσθαι, τουτέστι θρῆνον ἐμποιοῦσα, καὶ ὀδυρμόν. Ἀριστοφάνης.

Ὀδύσασθαι, χολωθῆναι.

Ὀδυσσάμενος, μισηθεὶς, καὶ δι' ὀργῆς ἐλθὼν, παθητικῶς. οὐ μὴν κατ' ἐνέργειαν, ὁποῖον τὸ, νύ οἱ τόσον ὠδύσαο.

Ὀδυσσεία πλάνη, ἡ τοῦ Ὀδυσσέως.

Ὀδύσσεια, καὶ ὀδύσσειος μηχανὴ, ἐπὶ τῶν πανούργων. ὁ δὲ καταδύσεις πᾶσαν ὀδύσσειον καὶ πολύπλοκον μηχανὴν, τὸν βίον ἤνυε. καὶ αὖθις, Ὀδύσσειόν τινα καὶ θεμιστόκλειον παρεληλυθὼς πανουργίαν.

Ὀδυσσεὺς, ποτὲ μὲν διὰ δύο σσ παρὰ τῷ ποιητῇ, ποτὲ δὲ δι' ἑνὸς, ὥσπερ Ἀχιλλεὺς ποτὲ μὲν διὰ δύο λλ, ποτὲ δὲ δι' ἑνός.

Ὀδυσσέα δῖον, καὶ διογενῆ, καὶ Διὶ μῆτιν ἀτάλαντον, καὶ θεοῖς ἐναλίγκια μήδεα ἔχοντα λέγων Ὅμηρος, οὐ μόνον διὰ τὸ ἀρχικὸν τοιαύτας κλήσεις αὐτῷ ἐπιτίθησιν, ἀλλὰ μάλιστα διὰ τὴν σύνεσιν, Διὶ μῆτιν ἀτάλαντον, ἤτοι ἴσον τῷ Διὶ, κατὰ τὴν βουλήν.

Ὀδυσσέα, Σιληνὸς μέντοι ὁ χῖος κατὰ τὴν ἱστορίαν ἐν δευτέρῳ βιβλίῳ τῶν αὐτῶν μυθικῶν δασύνει, παρὰ τὴν ὁδὸν λέγων, ὡς Αὐτοκλείας ὁδευούσης παρὰ τὸν νήριτον ὗσεν ὁ Ζεὺς, τὴν δὲ ὑπὸ ἀγωνίας ἐκεῖ πεσοῦσαν τεκεῖν, καὶ τὸ γεννηθὲν κληθῆναι Ὀδυσσεὺς, παρὰ τὸ ἐν τῇ ὁδῷ ὗσαι. Αὐτόλυκος δὲ παρ' Ὁμήρῳ, τῇ δέλῃ μὴ προσεσχηκὼς ἐξ ἐκείνων οἷς ἐκέκαστο, ἐθέλει ὀνομάσαι τὸν παῖδα ἐκ τοῦ μίσους δηλαδὴ, ὃ εἶχεν ἐκ πολλῶν διὰ τὴν κλεπτοσύνην. δῆλον γὰρ, ὡς ὠδύσαντο αὐτῷ ἐκεῖνοι, ὃ δὴ τίθησιν ὄνομα τῷ ἐγγόνῳ.

* Ὀδυσσεὺς, πόλις Ἰβηρίας ἀρσενικῶς.

Ὀδῷ γήρως, ἐπὶ γήραος οὐδῷ, ἐπ' ἐξόδῳ τοῦ γήρως, ὅτε ἤδη πεπέραται ὁ βίος, καὶ διεξελήλυθε δι' αὐτοῦ.

Ὄδωδα. ἐστιν ὄζω, μέλλων ὄσω, ὁ παρακείμενος ὦκα, ὁ μέσος ὦδα, καὶ Ἀττικῶς ὄδωδα. ἢ ἐκ τοῦ ὀδῶ ὀδώσω ὤδηκα, ὁ μέσος ὦδα.

Ὀδώδη ὑπερσυντέλικος, ἀντὶ τοῦ ὀδώδει. συστολῇ τῆς ἀρχούσης, καὶ τροπῇ τῆς ει εἰς η Ἀττικῶς.

Ὀδώδει, μέσου ὑπερσυντελίκου, τὸ κανόνισμα τοιοῦτον. ὄζῶ, ὀζήσω, παρὰ τῷ Κωμικῷ ἐν σφηξίν. ὃ καὶ ἄλλως ὀζέσω χρῆσις κοινὴ, πρὸς ὁμοιότητα τοῦ αἰνῶ αἰνήσω καὶ αἰνέσω, καὶ τῶν ὁμοίων. ὄζῶ οὖν ὀζήσω, ὁ ἐνεργητικὸς παρακείμενος ὤζηκα, ὁ μέσος ὦζα, διὰ τοῦ κανόνος. ἐν γὰρ τοῖς περισπωμένοις ῥήμασι μιᾷ συλλαβῇ ἐνδεῖ τοῦ ἐνεργητικοῦ παρακειμένου ὁ μέσος, οἷον ὀλῶ ὀλέσω ὤλεσα ὦλα, ὅθεν Ἀττικὸν ὄλωλα. ὤζηκα τοίνυν, ὁ μέσος ὦζα, καὶ Ἀττικῶς ὄζωζα, καὶ τροπῇ δωρικῇ τῶν δύο ζ εἰς δ, ὡς ἐστέρωθι δηλοῦται ὤδωδα. ὁ ὑπερσυντέλικος ὠζώζειν, καὶ ὠδώδειν μετὰ δευτέρας Ἀττικῶς αὐξήσεως, καὶ Ἰωνικῶς ὀδώδη, συστολῇ τῆς ἀρχούσης.

Ὀδωδέναι, μέσος παρακείμενος Ἀττικὸς, ἐκ τοῦ ὄζω, ὄσω, ὦκα, ὦσμαι, μέσος ὦδα, καὶ Ἀττικῶς ὄδωδα. τὸ ἀπαρέμφατον ὀδωδέναι.

Ὀδώδη ὑπερσυντέλικος, ἀντὶ τοῦ ὠδώδει, συστολῇ τῆς ἀρχούσης, καὶ τροπῇ τῆς ει εἰς η Ἀττικῶς.

Ὀδωδὴ, ὀσμή.

Ὀδὼν, ὀδούς.

Ὀδωνὶς, ἡ θάσος τὸ πάλαι.

ΤΟΥ Ο. ΜΕΤΑ ΤΟΥ Ε.

Ο Καὶ ε, εἰς τὴν ου δίφθογγον κιρνᾶται, οἷον βόες καὶ βοῦς. ὁμοίως καὶ ἐν τοῖς ῥήμασιν, οἷον ἐχρύσοες ἐχρύσους, ἐχρύσοε ἐχρύσου, ἐχρυσόετον ἐχρυσοῦτον.

Ὀεὰ, μηλωτή.

Ὄες, κώδεια.

Ὄεσχαι, μηλωταὶ, βαῖται, ἤγουν δερματῖναι.

Ὀέσεας, παρὰ τοῖς βαρβάροις, ὁ καλλίθριξ.

Ὄετερος ἡ εὐθεῖα, καὶ Ἀττικῶς λέγεται ἅτερος, καὶ κλίνεται τοῦ ἀτέρου, Ἀττικῶς δὲ θατέρου, ἡ δοτικὴ θατέρῳ, ἡ αἰτιατικὴ θάτερον. ἡ μὲν οὖν εὐθεῖα ἐν τοῖς ἀρσενικοῖς ὁ θάτερος, καὶ ἡ θάτερος οὐ λέγεται. βάρβαρον γάρ. ὁμοίως οὐδὲ ἐπὶ τῶν θηλυκῶν ἡ θατέρα. ἐπὶ δὲ τῶν οὐδετέρων, καὶ ἡ εὐθεῖα κατὰ συναλοιφὴν ἐκφέρεται. οἷον ἡ εὐθεῖα τὸ ἕτερον, καὶ Ἀττικῶς θάτερον, καὶ κλίνεται θατέρου θατέρῳ θάτερον.

ΤΟΥ Ο. ΜΕΤΑ ΤΟΥ Ζ. Η. Θ.

Ο Ζαι, τὰ δέρματα τῶν ὀνάγρων.

Ὀζείας, ἰσχὺς, ἰαῶ, ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ τῶν βασιλειῶν Ἀζαρίας.

Ὀζηία, θεραπεία.

Ὄζει μύρου Ἀττικοὶ, οὐ μύρον.

Ὀζόλαι εἰσὶ κείμενοι παρὰ τὰ δυτικὰ τῆς Φωκίδος, κληθέντες ἢ διὰ τὴν ἐν τοῖς τοῦ περιηγητοῦ ῥηθεῖσαν αἰτίαν, ἢ διότι φασὶν αἰγονόμοι εἰσὶ, καὶ τραγᾶς ἀβυρσεύτους καὶ δυσώδεις ἀμφιέννυνται. τραγαὶ δὲ εἰσι περισπωμένως, αἱ τῶν τράγων δοραὶ, ὡς λεονταῖ καὶ παρδαλαῖ, αἱ τῶν λεόντων, καὶ τῶν παρδάλεων.

Ὀζόλαι, ἔθνος. Ὀζύλη, πόλις.

Ὀθνεῖον, ξένον. ὡς παρὰ τὸ ἄριστος ἀριστεῖον, οὕτω καὶ παρὰ τὸ νέθος νοθεῖον, καὶ ὀθνεῖον, μεταθέσει τοῦ ν.

Ὄζος, ὁ κλάδος, καὶ ἡ ῥίζα, ὅθεν φύονται. οὐ λέγεται δὲ ὄζος, ὁ ἐστηριγμένος, καὶ ἔχων τὴν ῥίζαν ἐπὶ τῆς γῆς, ἀλλ' ὁ ἐν τῷ δένδρῳ ἐξόλης. ἐθνικόν.

Ὀζοφύδιον, θρηνητικόν.

Ὄζυγες, ὁμόζυγες.

Ὄζω μύρου, τρυγὸς, Ἀττικοί. κοινοὶ μύρον, καὶ τρύγα λέγουσιν. ὄζουσιν, εὐωδίας πλήρεις εἰσίν.

Ὀζωτὰ. Ἀριστοφάνης περὶ Εὐριπίδου φησὶν, ὀζωτὰ, καὶ στιλφωτὰ, ἅπερ ὡς αὐτός φησι,

φησι, κατεπυγωσαύνη τοῦτο ἐστὶ πρὸς χρείας μέγα.

Ὀζώδης τόπος, ὄζων.

Ὄη, δένδρον. καὶ δῆμος τῆς Ἀττικῆς.

Ὀθαρσαλέως, ἀθαρσῶς, θαρσῶν.

Ὄθεν, ἔνθεν.

Ὄθεσαν, ἐπεστράφησαν.

Ὄθεσθαι, φροντίζειν, ἐντρέπεσθαι, μέμφεσθαι, δεδοικέναι.

Ὄθέω, ἅμαξα ἡμιονική.

Ὄθέει, ἄγει, φροντίζει.

Ὄθη, φροντὶς, ὥρα, φόρος, λόγος.

Ὀθηλυδρίας, ὁ γυναικῶδος.

Ὄθι, ὅπου, ἔνθα.

Ὄθιζα, ἅμαξα.

Ὄθμασι, ὄμμασι. νεολαῖς.

Ὀθνεῖα, μάταια, ἀλλότρια, ἀλλοεθνῆ, ξένα, ἀλλογενῆ.

Ὀθοῖ, ὄνομα κύριον.

Ὄθομαι παρ' Ὁμήρῳ, ἤγουν ἐπιστρέφομαι, καὶ ἐπιστροφὴν ποιοῦμαι, ἢ τρέπομαι.

Ὀθόναι, τὰ περιβόλαια πάντα, παρὰ τὸ ἕννυσθαι. τινὲς δὲ ζώνας ἀποδεδώκασιν.

Ὀθόνη λέγεται, ἧς ὀθόμεθα, τουτέστιν ἐπιστρεφόμεθα, διὰ τὴν ἄγαν λαμπρότητα. ἢ ἡ ἀκίνητος, παρὰ τὸ ὀθεσθαι τὸ κινεῖσθαι.

Ὀθόνη, σινδὼν, ζώνη, τελαμὼν, γυναικεῖον ὀθόνιον λεπτόν. καὶ πᾶν τὸ ἰσχνὸν, κἂν μὴ λινοῦν ᾖ. ὀθόνοισι, λεπτοῖς ἱματίοις.

Ὀθόνια, λινᾶ ἱμάτια. ὀθόσια, ὑφάσματα.

Ὀθόνια, τὰ λεγόμενα παρὰ ἰατροῖς λυχνώματα.

Ὅθ' οὕνεκα, ἀντὶ τοῦ ὅτι, ἐκ παραλλήλου.

Ὀθρεῖν, ἄγειν.

Ὄθριζε, διελέγετο.

Ὄθροον, ὁμόφωνον, σύμφωνον.

Ὀθρυόεν, τραχὺ, ὑλῶδες, δασὺ, κρημνῶδες.

Ὄθρυν, Κρῆτες τὸ ὄρος.

Ὄρθυς, ὄρος Θεσσαλίας ὑψηλόν.

Ὀθρωνὸς, ἡ πρὸ Κερκύρας νῆσος.

Ὀθῶς, ταχέως.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Ι.

Οἱ, σημαίνει ἕξ. ἄρθρον προτακτικὸν ἀρσενικὸν πληθυντικόν. ὡς τὸ, οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι. καὶ ὑποτακτικὸν, ὡς τὸ ἀγχοῦ Κυκλώπων, οἵ πόδεσσι συνέσχοντο. καὶ ἀντὶ τοῦ οὗτοι. ὡς τὸ οἱ μὲν πὰρ νηυσὶ κορωνίσιν ἐμάχοντο. ἀντὶ τοῦ αὐτῷ, ὡς τὸ ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ, καὶ ἐγκλίνεται. ὀρθοτονουμένη δὲ, σημαίνει ἑαυτῷ. ὡς τὸ, ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς. ὥσπερ δὲ λέγεται σφεῖς αὐτοὶ, καὶ ἑξῆς σφῶν αὐτῶν σφᾶς αὐτοὺς, οὕτω καὶ ἐπὶ τοῦ ἑνικοῦ οἷ αὐτῷ.

Οἷ, εἴη, γένοιτο.

Οἵα, ἡ ὁποία.

Οἷα, ὥσπερ, καθάπερ. οἷα δὴ, ἅτε δὴ, ὥσπερ δὴ, ἐνέχυρα.

Οἴαγρες, γυναῖκες.

Οἴαγρος, τραγικὸς ὑποκριτής.

Οἴαγρα, πόλις.

* Οἰάδος, ἢ οἰνάδος, τῆς βρυωνίας καλουμένης, ἔστι δὲ ἀγρίας ἀμπέλου εἶδος.

Οἴαι διφθέραι, μηλωταί.

* Οἰαδὸν, μόνως, ἀπὸ τοῦ οἶος. ὡς μοναδὸν ἀπὸ τοῦ μόνος.

Οἴακες, πηδάλια, ἤτοι αὐχένια. καὶ οἱ ταῦτα ἐπιστρέφοντες κανόνες, καὶ κρίκοι, δι' ὧν οἱ ἱμάντες διήρηνται.

Οἴακες, τὰ ἐν χερσὶ τῶν ἰθυντηρίων ἡρτημένα ξυλάρια τοῖς πηδαλίοις, δι' ὧν περιάγεται τὰ πηδάλια, παρὰ τὸ οἴω τὸ κομίζω.

Οἰακίζει, ἐλαύνει, διοικεῖ, κυβερνᾷ.

Οἰακιστὴς, καὶ οἰακοστρόφος, κυβερνήτης.

Οἴαξ, πηδάλιον, ὁδηγός.

Οἴαξιν, αὐχενίοις, πηδαλίοις.

Οἴαξις, χωρίον κρητικὸν, ὑψηλόν. τινὲς δὲ ὅτι πλεονασμός ἐστι τοῦ ι. δάξις γὰρ ἦν. δραξάμενος γαίης οἰαξίδος.

Οἰασὶν, κομήτην. οἶαι γὰρ αἱ κόμαι. οἱ, αὐτοί, οἵ γε, οὗτοι.

Οἰάτιδος ἐκ νομοῦ, Σοφοκλῆς Οἰδίποδι ἐπὶ Κολωνῷ, τῆς προβατευομένης ἐκ νεμήσεως. οἱ δὲ ἀοιτοῦ δήμου κακῶς. οὐ γὰρ ἐγγὺς κεῖται.

Οἷά τις, ἀντὶ τοῦ καθὰ καὶ οἷά τινα, ὁμοίως ἀττικῶς καὶ ἀνάλογον τοῦ τίς. οἷα γελῶντι, ἀντὶ ὅπως γελῶσιν ἐπιρρηματικῶς. παρὰ Θεοκρίτῳ, οἷα, ὥσπερ, καθάπερ.

Οἰάτειον κρέας τὸ προβάτειον.

Οἰβάδης, οἰβάδου. ὄνομα κύριον.

Οἰβώνιον, ὄνομα τόπου.

Οἰγνύει, ἀνοίγει.

Οἰγόμενος, ἀνοιγόμενος.

Οἴγω ποιητικῶς τὸ ἀνοίγω. καὶ οἰδῶ, τὸ ἐξογκοῦμαι καὶ οἰδαίνω. καὶ οἶδμα ποιητικῶς τὸ κῦμα. καὶ οἰδίπους κύριον. καὶ οἶα δῆμος ἐν Ἀθήναις. καὶ ἀπὸ τούτου οἴηθεν ἐπίρρημα. καὶ οἴη, ὄνομα κύριον. καὶ οἶκος καὶ οἰκία, τὸ οἴκημα. καὶ οἰκεία ἡ τάξις διὰ διφθόγγου. καὶ οἰκεὺς, ὁ δοῦλος καὶ οἰκέτης. καὶ οἰκίσκος, ὁ μικρὸς οἶκος, παρὰ δὲ τοῖς Ἀττικοῖς οἰκίσκος τὸ ὑπὸ τῶν ἄλλων ὀρνιθοτροφεῖον. καὶ οἴνη ἡ ἄμπελος, καὶ οἶνος, καὶ ὅσα ἀπ' αὐτοῦ. καὶ Οἰνεὺς καὶ Οἰνόμαος κύρια. καὶ οἴαξ, τὸ ἄκρον τοῦ πηδαλίου. καὶ ἀπὸ τούτου ὅλον τὸ πηδάλιον. καὶ οἰκνὶς, μία τῶν δέκα φυλῶν ἐν Ἀθήναις. καὶ οἰῶ, τὸ μονῶ. καὶ οἶος, ὁ μόνος. καὶ οἷός τε εἶ, μετὰ τοῦ τε ἀντὶ τοῦ δυνατὸς εἶ. ὃ χωρὶς τοῦ τε οὐδέποτε ἐν ταύτῃ τῇ σημασίᾳ λαμβάνεται. καὶ Οἰσύμη, πόλις τῆς Θρᾴκης. καὶ οἷς τὸ πρόβατον. καὶ κλίνεται οἰός. ὃ παρὰ τοῖς Ποιηταῖς ὄϊς λέγεται διαλελυμένως, καὶ κλίνεται ὄϊος. οὗτοι δὲ καὶ τὸ ι ἐνίοτε προσλαμβάνουσιν ἐν αὐτῷ, ὅτε καὶ διὰ τοῦ δος κλίνουσιν, οἷον ὄϊς ὄϊδος. καὶ οἴχομαι τὸ πορεύομαι, ἢ φθείρομαι. καὶ οἰωνίζομαι, τὸ δι' οἰωνῶν μαντεύομαι. ἢ τὸ ἁπλῶς στοχάζομαι καὶ μαντεύομαι. καὶ ἕτερα διὰ τῆς οι διφθόγγου.

Οἶδα, αἰολικῶς πεποίηθαι ὁ Ἡρακλείδης φησὶν, ὡς καὶ τὸ δέδοικα, λέλοιπα, πέποιθα. τὰ γὰρ κοινὰ τῇ διὰ τοῦ ε καὶ ι διφθόγγῳ παραλήγεσθαι βούλονται.

Οἶδα, ἀντὶ τοῦ γινώσκω. καὶ συνοιδά σοι τόδε.

Οἶδα, ᾔδειν, εἴσομαι, καὶ ἔγνων, ἐπίστασο. προστακτικὸν, γνῶθι, καὶ ἴσθι. εἰδείην εὐκτικὸν, καὶ εἰσοίμην. ἐὰν εἰδῶ ὑποτακτικὸν, καὶ ἐὰν γνῶ. εἰδὼς μετοχή.

* Οἴδακες, οἱ λεγόμενοι φήλικες, καὶ πάντα τὰ μὴ πέπειρα ἀκρόδρυα.

Οἰδαλέον, τὸ ὑγρόν.

Οἰδανεῖ, αὐξάνει.

Οἰδένυν, οἱ δὲ δή. ἢ οὗτοι δέ.

Οἶδε, καὶ δεδάηκε. προθυστέρως ἔγραψεν Ὅμηρος. χρὴ γὰρ πρῶτον δαῆναι, εἶτα εἰδέναι. ἴσως δὲ καὶ ἐκ περιττοῦ κεῖται τὸ οἶδε.

Οἶδεν ἔχων, ἀττικόν. τὰ γὰρ γνωστικὰ ῥήματα μετὰ μετοχῆς δεῖ συντάσσειν, οἶδά σε αἴτιον ὄντα τῶν κακῶν. εἶδόν σε περιπατοῦντα. ὁμοίως καὶ τὰ ἐπὶ ὄψεως ἀεὶ συντάσσεται μετὰ μετοχῆς, τὰ τροχαϊκὰ περισπώμενα ῥήματα ἐν τῇ συνθέσει οὐκ ἀναβιβάζει τοὺς τόνους. οἷον, εἶχε κατεῖχεν, εἶχον κατεῖχον, πλὴν τοῦ οἶδα σύνοιδα, καὶ οἶσθα σύνοισθα. τὰ δὲ ὀνόματα τὰ τροχαϊκὰ, καὶ περισπώμενα τὸ ἐναντίον πάσχουσιν ἐν τῇ συνθέσει. οἷον δοῦλος, ἄδουλος, ὁμοίως καὶ τὰ παροξύτονα, οἷον πλησίος παραπλήσιος.

Οἰδαίνειν, οἰδεῖν ποιεῖ.

Οἰδαίνων, αἰτιατική, φλεγμαίνων.

Οἰδαίνει, παρὰ Ἀπολλωνίῳ, ἤγουν ἐπαίρει, μετεωρεῖ, θρασύνει. ἡ δὲ μεταφορὰ, ἀπὸ τῆς θαλάσσης, ὅταν ἄρξηται μετεωρίζεσθαι.

Οἰδαίνειν, θυμοῦσθαι, καὶ ἐπαίρεσθαι, φυσᾶσθαι. οἰδαίνω, ὁ παρατατικὸς οἴδαινον, τρέπεται τὸ ο ἐπὶ τοῦ παρατατικοῦ εἰς ω. οἷον οἰκῶ, ᾤκουν. πλὴν ἕνδεκα. οἰῶ, οἴουν, τὸ μονῶ. οἰμῶ, οἴμουν. οἰστρῶ, οἴστρουν. οἰωνίζομαι, οἰωνιζόμην. οἰωνοσκοπῶ, οἰωνοσκόπουν. οἰωνοπολῶ, οἰωνοπόλουν. οἰκονομῶ, οἰκονόμουν. οἰακοστροφῶ, οἰακοστρόφουν. οἰκουρῶ, οἰκούρουν. οἰδαίνω, οἴδαινον. οἰμάζω, οἴμαζον. ταῦτα οὐ τρέπονται διὰ τὴν ἀφωνίαν ἔθει Ἰωνικῷ.

Οἰδ' ἐπ' ὀνειαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον, ὅ ἐστιν ἔπεμπον ἢ ἔβαλλον, καὶ ἔστι τὸ ὅλον περίφρασις τοῦ ἤσθιον. γίνεται δὲ τὸ ὄνειαρ, ἐκ τοῦ ὀνήω τὸ ὠφελῶ πλεονασμῷ τοῦ ι. ὡς ἔδω ἔδαρ εἶδαρ καὶ ἔαρ εἶαρ. ὅτι δὲ ὀνήσιμον ἡ τροφὴ, δηλοῖ ὁ Ποιητὴς, ἔνθα λέγει, ἔπειτα δὲ καὶ αὐτὸς ὀνήσεαι πιών.

Οἴδημα, ὄγκωμα, ἀπὸ τοῦ οἰδαίνω. καὶ οἴμασι, τὰ ἐπάρματα, τὰ φυσήματα, ἀπὸ τοῦ οἰδήματος κατὰ συγκοπήν.

Οἰδήματα, φλυκτίδες. καὶ τὰ ὅμοια.

Οἰδημός, ψεκτός.

Οἰδήσεις αἱ φλεγμοναί.

Οἰδίποδα οὐκ οἰδίπουν ὡσαύτως καὶ ὀξύπουν, ταχύπουν ὠκύπουν. Οἰδίπους ὁ Λαΐου παῖς ἀνεῖλε τὸν πατέρα ἀγνοίᾳ. ὁμοίως δὲ καὶ τὴν μητέρα Ἰοκάστην γήμας, ἔσχεν ἐξ αὐτῆς Ἐτεοκλέα, καὶ Πολυνείκην, καὶ Ἰσμήνην καὶ Ἀντιγόνην. ὅθεν Ἐτεοκλῆς καὶ Πολυνείκης, καὶ ἀδελφοὶ καὶ υἱοὶ ἦσαν Οἰδίποδος. ἀναγνωρίσας δὲ τὴν μητέρα, ἑαυτὸν ἐτύφλωσεν. αὐτὴ δὲ ἡ μήτηρ ἀγχόνῃ διώλετο. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης περὶ τῆς βασιλείας μαχόμενοι, ἑαυτοὺς ἀνεῖλον. ὁ μὲν Ἐτεοκλῆς Θηβαίων ὑπερμαχῶν, ὁ δὲ Πολυνείκης μετὰ τῶν Ἀργείων πορθῶν αὐτοὺς, μεθ' ὧν καὶ ὁ κεραυνωθεὶς Παρθενοπαῖος.

Οἰδίπους, οἰδῶ, οἰδήσω, οἰδησίπους καὶ οἰδίπους διὰ τοῦ ι. τὰ γὰρ ἀπὸ βαρυτόνων μελλόντων γινόμενα, διὰ τοῦ ι γράφεται, ἢ διὰ τοῦ ο μικροῦ, ἐνίοτε δὲ, καὶ διὰ τοῦ ε ψιλοῦ, οἷον στήσω, στησίχορος, πράξω, πραξιφάνης. οὕτως οὖν καὶ οἰδήσω, οἰδησίπους. καὶ ἐν συγκοπῇ, οἰδίπους, οὕτω Θεόγνωστος.

Οἰδίπους ἀποβαλὼν Ἰοκάστην, ἐπέγημεν Ἀστυμέδουσαν, ἥτις διέβαλε τοὺς προγόνους ὡς πειράσαντας αὐτήν, ἀγανακτήσας δὲ ἐκεῖνος ἐπηράσατο αὐτῶν δι' αἵματος παραλαβεῖν τὴν χώραν, καὶ παρέδωκε τὴν βασιλείαν τῷ Ἐτεοκλεῖ, ὃς ἐξέβαλε Πολυνείκην τὸν ἀδελφὸν αὐτοῦ, ὡς πρεσβύτερος, παραγενόμενος δὲ οὗτος εἰς Ἄργος, εὗρε Τυδέα φυγάδα, βοηθῶν γὰρ κἀκεῖνος τῷ πατρὶ καὶ τὸν ἐναντιούμενον ἀποκτείνας ἀνεψιὸν ἔφυγεν. Ἄδραστος δὲ θεασάμενος αὐτοὺς ἠμφιεσμένους θηρῶν δοραῖς Τυδέα μὲν συὸς, Πολυνείκην δὲ λέοντος, συνέβαλε τὸν χρησμόν. ἦν γὰρ αὐτῷ δεδομένος, κάπρῳ καὶ λέοντι ζεῦξαι τὰς θυγατέρας, καὶ δίδωσι Τυδεῖ μὲν Δηϊπύλην, Ἀργείαν δὲ, Πολυνείκει. πέμψας δὲ εἰς Μυκήνας συμμαχίαν ᾔτει ἐπὶ Θηβαίους. Θυέστης μὲν οὖν ἑτοίμως ἐδίδου, σημεῖα δὲ αὐτὸν ἐκώλυσε φαῦλα. ἐπελθόντες οὖν ἐς τὰς Θήβας Ἀργεῖοι πέμπουσι πρεσβευτὴν Τυδέα, ὃς καταλαβὼν γυμνικὸν ἀγῶνα, καὶ συμμαχούσης Ἀθηνᾶς νικᾷ τὰ πάντα, ὑποστρέφων δὲ, πεντήκοντα νεανίας ἐνεδρεύοντας συλλαβεῖν αὐτὸν ἀναιρεῖ.

Οἶδμα, τὸ κῦμα, ἐκ τοῦ οἰδῶ τὸ ἐξογκοῦμαι οἰδήσω οἴδημα, καὶ συγκοπῇ οἶδμα. καὶ οἰδματα, ἐπάρματα, φυσήματα. καὶ οἴδημα, ὄγκωμα.

Οἶδνα, οἰδήματά τινα τῆς γῆς.

Οἴδοσις, αὐτόδοσις.

* Οἶδος, τὸ οἴδημα.

Οἰδῶ, τὸ ἐξογκοῦμαι. καὶ ἐξοδηκὼς τὸν πόδα, καὶ οἰδαίνω, καὶ οἶδμα ποιητικῶς, τὸ κῦμα.

Οἳ, ἓ, οἵτινες, αὐτόν. τοῦτο γὰρ σημαίνει, τὸ ἕ.

Οἴεαι, περιεργάζῃ. ὡς παρ' Ὁμήρῳ, δαιμονίη, αἰεὶ μὲν οἴεαι.

Οἴεαι, νομίζεις, ὑπολαμβάνεις.

Οἴεσθαι, ὑπονοεῖν, ὑπολαμβάνειν. καὶ οἴει.

Οἴεις, τὸ γόνυ. ἢ συνθήματος στρατιωτικοῦ ἐπώνυμον.

Οἴεται ἄφρων παρ' Ὁμήρῳ, ἀντὶ τοῦ φαίνεται, νομίζεται τὸ μέν τοι ἅπερ ἂν οἴοιτο καὶ ἄλλος. ἐνεργητικῶς κεῖται κατὰ κοινὴν συνήθειαν, ἀντὶ τοῦ νομίζοι.

Οἰετέας, παρ' Ὁμήρῳ διαφέρουσιν ἵπποι ἡλικίᾳ, χροιᾷ, μεγέθει, γένει, δυνάμει. ὧν ἡλικίαν μὲν δηλοῖ, τὸ οἰετέας. χροιὰν δὲ, τὸ ὀτρίχας. μέγεθος, τὸ σταφύλῃ ἴσας. ὅπερ τινὲς οὐ διαβήτην τὸν ἀνωτέρω ῥηθέντα ἐνόησαν, ἀλλὰ σταθμήν. ἤ τις φασίν ἐστι σχοινίον λεπτὸν χριόμενον μίλτῳ, ἢ μέλανι, ᾧ συνηγμένοι ἀπορθοῦσι τὰ ξύλα, καὶ οὕτω μὲν ἡ σταφύλη ἡλικίαν δηλοῖ. γένος δὲ, τὸ ἀμφιθηλέας. δύναμιν

δὲ, τὸ φοβὸν Ἄρεως φορεύσῃς. λέγει δὲ Θανὰς αὐτοὺς εἶναι πονεῖσθαι περὶ πόλεμον. ἀλλαχοῦ μὲν γὰρ ἀρετὴν ἵππων ἐκτιθέμενος, δεξιοὺς εἶπεν εἶναι διώκειν, καὶ αὖθις ἐν καιρῷ φέβεσθαι, ἤγουν φεύγειν ἀταράχως δηλαδή.

Οἰζάει, μογεῖ, πάχει.

Οἰζύειν, τὸ κακοπαθεῖν σημαίνει.

Ὀϊζυρὸς, ἐπίπονος, ἄθλιος, ταλαίπωρος, χαλεπὸς, ἄψυχος. καὶ οἰζὺς ἡ ταλαιπωρία, παρὰ τὸ ἵζω τὸ καθέζομαι, γίνεται οἰζύς. ὡς ἥδω, ὑδὺς, καὶ μετὰ τοῦ α τοῦ δηλοῦντος κακὸν, γίνεται αἰζὺς, ἡ κακῶς καὶ δυστυχῶς ἰζάνουσα τοῖς ἀνθρώποις. καὶ τροπῇ τοῦ α εἰς ο, οἰζός. ὡς ἄρχω ὄρχαμος. ἐκ δὲ τοῦ οἰζὺς γίνεται οἰζύω. καὶ ἐξ αὐτοῦ, οἰζυρός. ὁ δὲ Ἀπολλώνιος λέγει, ὅτι ἐστὶν οἶ, ἐπίρρημα σχετλιαστικὸν, ἢ θρηνητικόν. ἐκ τούτου γίνεται οἴζω, ὡς λίαν, λιάζω, καὶ αἶ, αἶ, αἰάζω. ἐκ δὲ τοῦ οἴζω γίνεται οἰζύω κατὰ διάλυσιν, καὶ οἰζυρός.

Οἰζυρὸς, τοιαύτην ἔχει παραγωγὴν, ὥσπερ παρὰ τὸ αἶ ἐπίρρημα γίνεται αἰάζω, καὶ παρὰ τὸ ὦ, ὤζω ἐν Αἰσχύλῳ. ἐξ οὗ τὸ οἰμώζω, οὕτω παρὰ τὸ οἶ, οἴζω. ἐξ οὗ παράγωγον οἰζύω, καὶ κατὰ διάλυσιν ὀϊζύω. ὡς τὸ ἐκεῖνο, ἀλλ᾽ ἄγε δὴ περὶ ἐκεῖνον ὀΐζυε. ἐξ οὗ ὀϊζὺς ἡ ἀξία θρηνῶν κακοπάθεια. καὶ ὀϊζυρὸς, ὁ θρήνων ἐπάξιος.

Ὀϊζυρότερος, ταλαιπωρότερος. παρ᾽ Ὁμήρῳ δὲ, μέγα τὸ ρῶ.

Ὀϊζὺς, πτωχεία, κακοπάθεια, ταλαιπωρία, κακουχία.

Ὀϊζύω, κακοπαθῶ. ἔστιν οἶ ἐπίρρημα σχετλιαστικόν. καὶ ἐξ αὐτοῦ ῥῆμα, ἴζω καὶ κατὰ διάλυσιν, ὀΐζω. καὶ ἐξ αὐτοῦ ὀϊζύω, καὶ ὀϊζύς.

Οἴη, καὶ μία, ἰσοδυναμεῖ. καὶ πολλαχοῦ ταυτὸν δύνανται.

Οἰήια, τὰ πηδάλια, οἷον, οἰήσια. ἐπειδὴ οἰήσεως χρεία τῷ κυβερνήτῃ. οἱ δὲ γλωσσογράφοι, τοὺς οἴακας.

Οἰηθῆναι, δόξαι, ὑπονοηθῆναι.

Οἰήϊον ποιητικώτερον τὸ οἰάκιον, ὅ ἐστι πηδάλιον.

Οἴηκες, κεῖνται παρ᾽ Ὁμήρῳ καὶ ἀντὶ τοῦ κρίκοι τινὲς συνέχοντες τὸ ζυγόν. ἤδη ὧν ἐνείρονται αἱ τὰς ἡμιόνους οἰακίζουσαι ἡνίαι. ὁμώνυμον ἄρα καὶ ὁ οἴαξ, οὐ μόνον κύριον, καὶ ἐπὶ νηὸς λεγόμενον, ἀλλὰ ἰδοὺ καὶ ἐπὶ ἀπήνης.

Οἰηματίας, ἐπηρμένος.

Οἴησις, ἔπαρμα, ὑπόνοια., καὶ οἴαμα ὁμοίως.

Οἰήϊον, τὸ πηδάλιον τῆς νηός. ἀφ᾽ οὗ φέρεται ἡ ναῦς. παρὰ τὸ κομίζω καὶ φέρω. ὁ μέλλων, οἴσω. καὶ ἐξ αὐτοῦ, οἶον, καὶ πλεονασμῷ τοῦ η, οἰήϊον. ἢ παρὰ τὸ οἴαξ, οἴακος, γέγονεν οἰήκιον, καὶ κατ᾽ ἔλλειψιν τοῦ κ, οἰήϊον. οἴαξ δέ ἐστιν, ὁ κανὼν, δι᾽ οὗ τὸ πηδάλιον φέρεται. παρὰ τὸ οἴω, τὸ κομίζω.

Οἱ ἥρως οὐ λέγουσιν, ἀλλ᾽ οἱ ἥρωες τρισυλλάβως, ἐπὶ δὲ τῆς αἰτιατικῆς δισυλλάβως τοὺς ἥρως. ἅπαξ βιασθεὶς Ἀριστοφάνης ὑπὸ τοῦ μέτρου οἱ ἥρως εἶπε. τῷ ἠναγκασμένῳ δὲ οὐ χρηστέον.

Οἴης, μόνης. καὶ οἵης, ὁποίας.

Οἰήσεως, δοκήσεως, ἐπάρσεως, ὑπονοίας, νομίσεως.

Οἴησίς ἐστι, προκοπῆς ἐκκοπή.

Οἴησις, ἔπαρσις, κενοδοξία.

Οἴησίς ἐστι, δόκησις εἰδήσεως, ἣ καὶ εἰς τὸ εἰδέναι ἐμποδίζει ἀεί.

Οἰήσονται, νομίσονται.

Οἰητῶν, κομητῶν.

Οἶϊας, τῶν προβάτων τὰ σκεπαστήρια δέρματα.

Οἱ καθ᾽ ἡμᾶς, οἱ πρὸς ἡμᾶς.

Οἴκαδε ἵεσθαι, ὅμοιον τῷ νοστῆσαι. ὅθεν οἴκαδε ἱέμενοι.

Οἴκαδε, εἰς τὸν οἶκον, οἴκονδε, ποιητικῶς, τὸ αὐτὸ, κίνησιν ἀεὶ δηλοῖ εἰς τὸν οἶκον. οἴκοθεν, ἐκ τῆς οἰκίας. οἴκοι, ἐν τῷ οἴκῳ. οἴκοι εἰμὶ, ἤγουν ἐν τῷ οἴκῳ. οἴκοθεν ἔρχομαι, ἤγουν ἐκ τῆς οἰκίας. οἴκαδε, ἢ οἴκονδε πορεύομαι, ἤγουν εἰς τὸν οἶκον. οἴκονδε, ἤγουν εἰς τὸν οἶκον ἐπιρρηματικῶς. ἰστέον ὅτι ταῦτα τὰ εἰς δε, εἰ μὲν ἀπὸ αἰτιατικῆς τῶν ἑνικῶν γίνεται, παρὰ μόνοις τοῖς Ποιηταῖς εἰσιν ἐν χρήσει. οἷον οἴκονδε κῶνδε, ἅλαδε, εἰ ἀπὸ αἰτιατικῆς τῶν πληθυντικῶν, εἰ τὸ ὄνομα παρὰ τοῖς κοινοῖς ἐν χρήσει, καὶ ταῦτα πάντα ἐν χρήσει. οἷον ἀθήναζε, μυκήναζε, θύραζε. ἐφ᾽ οἷς, καὶ τὸ σ καὶ δ εἰς ζ κιρνάμενα λανθάνειν ποιεῖ τὴν ἀκολουθίαν, εἰ δὲ τὸ ὄνομα ἀπηρτῆται ἐν χρήσει, ἔστι καὶ ταῦτα πάντα ἐν χρήσει διὰ τὸ ἔραζε. ἐπεὶ γὰρ τὸ ἔρα οὐκ ἦν ἐν χρήσει παρὰ τοῖς κοινοῖς, οὐδὲ τὸ ἔραζε ἐν χρήσει.

Οἴκαδε ἴμεν, δύναται καὶ πληθυντικὸν εἶναι ῥῆμα δηλοῦν τὸ ἐρχόμεθα, καὶ ἀπαρέμφατον δὲ, κατὰ σχῆμα ἐλλείψεως παρ᾽ Ὁμήρῳ ἐν τῷ ρ τῆς Ἰλιάδος. οἷον ἵνα λέγῃ, ὥς εἴ τις μοι πείσεται ἀπελθεῖν καὶ ποιήσει.

Οἴκαδις, ἀντὶ τοῦ οἴκαδε.

Οἰκανὸν, τὸ οἰκεῖον.

Οἰκάριον, τὸ ὄπισθεν γυναικωνίτιδος.

Οἴκε με, οἵ τινες δή με.

Οἰκεία, ἰδία.

Οἰκεῖ, μένει.

Οἰκειακὸς, ὁ οἰκεῖος. οἰκιακὸς δὲ ὁ ἐν τῷ οἴκῳ, ἰῶτα.

Οἰκεῖοι, οἱ κατ᾽ ἐπιγαμίαν ἀλλήλοις προσήκοντες. ἢ ἴδιοι καὶ κατὰ τὴν οἰκείαν πάντες.

Οἰκεὺς, οἰκέτης, τοῦ αὐτοῦ οἴκου.

Οἰκεῖος, καὶ οἰκιακός.

Οἰκείως, ὁμοίως.

Οἰκεῖλαι, ἐκβληθῆναι.

Οἰκειότης ἐστὶ, ταυτοῦ γένους κοινωνία.

Οἰκειώσαντο, ἰδιοποιήσαντο.

Οἰκέοιτο, οἰκοῖτο.

Οἰκέται, οἱ κατὰ τὸν οἶκον πάντες.

Οἰκετεύεται, συνοικεῖ.

Οἰκέτης, δοῦλος, ὑπουργός.

Οἰκέτις, κατοικίδιος.

Οἰκῆας, Ὅμηρος ἐνίοτε λέγει πάντας τοὺς ἐν τῷ οἴκῳ, ὁποίας ἂν καὶ εἶεν τύχης, ὡς ἐν τῷ ρ τῆς Ὀδυσσείας. οὐ γὰρ δήπου τὰ τῶν μνηστήρων δοῦλοι μόνοι ἴδεσιν, ἀλλὰ πάντες οἱ αὐτοῖς οἰκειακοί.

Οἴκημα, τὸ δεσμωτήριον, Ἀττικοὶ δὲ τὸ πορνεῖον.

Οἰκῆσαι, ἐνοικῆσαι, κατάγεσθαι, ἐγκατάγεσθαι ἐνδιαιτηθῆναι, καταλῦσαι, ἐναυλίσαι, ἐναυλίσασθαι, καταλύσασθαι, καταυλίσασθαι, σκηνῶσαι, κατασκηνῶσαι, καὶ τὰ ἄλλα.

Οἰκητόρια, σκεύη τὰ κατὰ οἶκον.

Οἰκίᾳ ναίων, ὅ ἐστιν οἴκους. Ὅμηρος, ὁδῷ ἐπὶ οἰκίᾳ ναίων, ἀντὶ τοῦ ἐν τῇ λεοφόρῳ οἰκῶν. τοῦ δὲ οἰκία, εὐθεῖα μὲν τὸ οἰκίον. ὥσπερ δὲ οὔτε θηρὸς θηρίον, οὔτε τὸ ἴχνος ἴχνιον, ὑποκοριστικῶς ἔχει παρὰ τῷ ποιητῇ, ἀλλὰ παρώνυμά εἰσι κατὰ τοὺς παλαιοὺς, οὕτως οὐδὲ τὸ οἶκος οἰκίον. ὅθεν παρὰ τοῖς ὕστερον ὑποκοριστικῶς οἰκίδιον, κατὰ τὸ ἄργυρος ἀργύριον ἀργυρίδιον. χρῆσις δὲ τοῦ οἰκία, καὶ παρὰ τῷ πεζογράφῳ Ἀιλιανῷ.

Οἰκία παρ᾽ Ὁμήρῳ οὐχ ὑποκοριστικῶς ἐξεφράσθη, ἀλλὰ κατὰ παραγωγήν. ἔγνωσται γὰρ ὅτι σπάνια τὰ ὑποκοριστικὰ παρ᾽ Ὁμήρῳ. οἱ μέντοι μεθ᾽ Ὅμηρον, ἀφειδῶς ὑποκορίζουσι σχήμασι κατασμικρύνοντες μυρίοις τὰ πρωτότυπα, οἵπερ οὐ μόνον οἰκίον φασὶ τὸν οἶκον καθ᾽ ὑποκόρισιν, ἀλλὰ καὶ οἰκίδιον. καὶ χαλκίον δέ φασιν ἐκ τοῦ χαλκὸς, καὶ τὸ χρυσὸς δὲ χρυσίον, καὶ ἐκ τοῦ κῶνος κώνειον εἶπον. οὕτω δὲ ἐκ τοῦ ποδὸς ποδίον. οἷον ἀστακοὶ τὰ ποδία ἔχουσι μικρὰ, τὰς χεῖρας δὲ μακρὰς, διὸ καὶ μακρόχειρες λέγονται. καὶ γαμψώνυχες δὲ κατὰ Ἐπίχαρμον.

Οἰκία ἔθεντο, περιφραστικῶς, ἀντὶ τοῦ ᾤκουν. ὥσπερ καὶ τὸ ἔργα ἐνέμοντο, ἀντὶ τοῦ εἰργάζοντο.

Οἰκιάδης, Σιμωνίδου καὶ Ἱππόνου πατήρ.

Οἰκιδεῖν, καθῆσθαι.

Οἰκίζουσιν, οἰκοῦσιν.

Οἰκίζω τόνδε τὸν τόπον, τὸ οἰκεῖσθαι ποιῶ, καὶ οἰκίζω τινὰ ἐν αὐτῷ. καὶ οἰκεῖται τόπος, ἤγουν κατοικεῖται. οἰκίζεται δὲ, ἤγουν εἰς κατοίκησιν ἐνεργεῖται καὶ κατασκευάζεται. οἰκίζεται πόλις ὑπὸ τῆς πρώτης τῶν συνοικητόρων ἀθροίσεως, συνοικίζεται δὲ ἡ ἐκ πολλῶν πόλεων εἰς μίαν πόλιν συναγομένη, ὑπὲρ τοῦ πλείονα δύναμιν ἔχειν. διοικίζεται δὲ, ἡ ἐκ μιᾶς πόλεως μεγέθει ἰσχυούσης εἰς πολλὰ καταδιῃρημένη, ὡς οἱ Λακεδαιμόνιοι τὴν ἐν Ἀρκαδίᾳ μεγάλην πόλιν διῴκισαν.

Οἰκιπαὶς, ὠνητὸς δοῦλος.

Οἰκιμβάζειν, στραγγεύεσθαι, διατρίβειν.

Οἰκίσκος ὁ τῶν ὀρνίθων, ἢ ἐλεεινός.

Οἰκιστὴς, ὁ οἰκίζων τὴν πόλιν, οἰκήτωρ δὲ ὁ τὴν πόλιν οἰκῶν.

Οἴκιστον, οἴκτιστον, ἐλεεινόν. ἢ αἶσχον.

Οἰκογενὴς, ὁ ἐν οἴκῳ γεννηθεὶς, καὶ ὁ δοῦλος, ἢ συγγενής.

Οἰκοδομεῖ, καὶ οἰκοδομεῖται, ὥσπερ κατασκευάζει, καὶ κατασκευάζεται. Δημοσθένης περὶ Φιλίππου λέγει, ὁ δ᾽ οὐδὲν δεόμενος τριήρεις κατασκευάζεται καὶ νεωσοίκους οἰκοδομεῖται.

Οἰκοδομὴ, οὐ λέγεται. ἀντ᾽ αὐτοῦ δὲ οἰκοδόμημα.

Οἰκοδομῶ, ήσω, ᾠκοδόμηκα, ἐδειμάμην, καὶ δειμάμενος μόνον.

Οἴκοθεν ὁ μάρτυς, παροιμία λεγομένη ἐπὶ τῶν φανερῶς ψευδομένων. ὅταν γάρ τις ἀπατῶν δοκῇ κἄπειτ᾽ αὐτοῖς ἐξελέγχεται τούτοις, δι᾽ ὧν παράγειν καὶ ἐξαπατᾶν τοὺς ἀκούοντας νομίζοι, οἴκοθεν ὁ μάρτυς λέγεται, καὶ τὰ φώρια ἐν χερσὶν ὁμοίως. καὶ οἴκοθεν κακουργεῖν, λέγεται παροιμία, καὶ ἀφ᾽ ἑστίας ἀδικεῖν. ὅταν πένης ὤν τις, εἶτ᾽ ἐν ἀρχῇ καταστὰς πρῶτον τοὺς οἰκείους ἄρξηται πλεονεκτεῖν. καὶ ἱππεῖς εἰς πεδίον προσκαλοῦνται, ἐπὶ τῶν ἔν τισι βελτίους καὶ ἐπιστημονεστέρους αὐτῶν, εἰς ἔριν προσκαλουμένων. λέγεται δὲ καὶ ἵππον εἰς πεδίον προσκαλεῖσθαι, ἐπὶ τῶν παρακινούντων τινὰ εἰς ἃ βούλεται, καὶ ἃ δύναται κατορθῶσαι.

Οἰκόθυρος, οἰκουρὸς κύων.

Οἴκοθι, ἐν οἴκῳ, ἢ ἐξ οἴκου.

Οἴκοι, ἐν οἴκῳ. οἴκοθεν, ἐξ οἴκου.

Οἴκοι λέοντες, παροιμία παρὰ τοὺς ἐν Ἀσίᾳ Λάκωνας ἀτυχήσαντας, οἴκοι λέοντες, ἐν Ἐφέσῳ δὲ Λάκωνες.

Οἰκονομία, βράβευσις, διοίκησις.

* Οἰκονομία, ἡ τοῦ Θεοῦ πρόνοια, κατὰ τρεῖς τρόπους γίνεται. κατ᾽ οἰκονομίαν. κατ᾽ εὐδοκίαν, κατὰ συγχώρησιν.

Οἰκονομίαν, χρηστὴν καὶ ἐπωφελῆ διοίκησιν. οὕτως ὁ Ἀπόστολος, εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν. οἰκονομία, καὶ ἡ πρόρρησις, καὶ ἡ ἀποκάλυψις.

Οἰκονομικὸν πρᾶγμα, οὐ πάντως ὀφεῖλον γίνεσθαι, γινόμενον δὲ διὰ σωτηρίαν, ὡς ὁ Παῦλος περιέτεμε τὸν Τιμόθεον.

Οἰκονομῶ, τὰ ἐν οἴκῳ διοικῶ.

Οἰκόπεδον, ἔρημον κατάστρωμα οἴκου.

Οἶκος καὶ οἰκία, τὸ οἴκημα. οἰκεία δὲ ἡ πατρὶς διὰ διφθόγγου.

Οἶκός ἐστι, κωλυτικὸν ὄμβρων καὶ καυμάτων, ἐκ λίθων καὶ ξύλων συνιστάμενον.

Οἰκόσιτος, μισθωτὸς, ἑαυτὸν τρέφων.

Οἰκοτρίβης, οἰκογενὴς, δοῦλος.

Οἰκότριψ, ὁ θρεπτός. διαφέρει δὲ οἰκέτης, οἰκοτρίβος. ὁ μὲν γὰρ οἰκότριψ, γονέων δοῦλος. ὁ δὲ οἰκέτης, οὐ πάντως, ἀλλὰ καὶ ὁ αἰχμάλωτος, καὶ ὁ ἐν οἴκῳ ὤν.

Οἰκοτύβιον, τὸ ἐκ δούλου δοῦλον.

Οἴκου ἀποσχήσει, ἀντὶ τοῦ πόρρω ἕξει, ἐκβαλεῖ, ἀφέξει. οὐ ἐναντίον παρέξειν, καὶ παρέχειν.

Οἰκουρεῖν, τὸ ἐν τῷ οἴκῳ διατρίβειν. ἐνίοτε δὲ, μόνον διατρίβειν δηλοῖ. καὶ οἰκεῖον εἶναι γυναιξὶ τὴν οἰκουρίαν, γνωματεύει ὁ Ποιητὴς. ταυτὸν γὰρ τὸ ἐν οἴκῳ ἔργα κομίζειν. καὶ τὸ οἰκουρεῖν. ἔστι δὲ κομίζειν, τὸ ἐπιμελείας ἀξιοῦν, ἐξ οὗ καὶ ἡ κομιδή. γίνεται δὲ ἀπὸ τοῦ κομῶ, ὡς ἐκ τοῦ νεμεσῶ τὸ νεμεσίζω, καὶ τὸ πολεμίζω ἐκ τοῦ πολεμῶ.

Οἰκούρια κυρίως, τὰ ὑπὸ τῶν μητέρων προσφερόμενα τοῖς νηπίοις παίγνια. ἢ ἡ κατ᾽ οἶκον φυλακὴ, οἰκουρία.

Digitized by Google

Οἰκουρὸν ὄφιν, τὸν τῆς Πολιάδος φύλακα δράκοντα. καὶ οἱ μὲν ἕνα φασὶν, οἱ δὲ δύο, ἐν τῷ ἱερῷ τοῦ Ἐρεχθέως. τοῦτον δὲ φύλακα τῆς ἀκροπόλεως φασὶν, ᾧ καὶ μελιττούτας παρατίθεσθαι.

Οἰκουρὸς, ὁ φροντίζων τὰ τοῦ οἴκου, καὶ φυλάττων. οὖρος γὰρ, ὁ φύλαξ λέγεται.

Οἰκοφθόρους, μοιχούς.

Οἰκτείρημα, ἔλεος.

Οἰκτείρειν κυρίως, τὸ λαλεῖν λόγους, οἳ κινοῦσιν εἰς οἶκτον, ἤτοι ἔλεον. οἰκτείρουσι τῆς ταλαιπωρίας.

Οἰκτείρω, ἐλεῶ. ἐκ τούτων ὀνόματα, οἰκτίρμων. καὶ οἰκτιρμὸς, καὶ ἐλεήμων καὶ ἔλεος, καὶ ἐλεημοσύνη.

Οἰκτίζει, θρηνεῖ.

Οἰκτίρμων, ἐλεήμων.

Οἴκτιστον, ἐλεεινόν.

Οἰκῶ τόνδε τὸν τόπον, ἤγουν κατοικῶ ἐν αὐτῷ, καὶ ἐνοικῶ τῷ τόπῳ. οἰκῶ ἐν τῷ οἴκῳ, καὶ οἰκῶ τὸν οἶκον. οἰκίζω δὲ, τὸ οἰκεῖσθαι ποιῶ. καὶ οἰκίζω ἕτερον. καὶ οἰκεῖται τόπος, ἤγουν κατοικεῖται, οἰκίζεται δὲ, ἤγουν εἰς κατοίκησιν ἐνεργεῖται καὶ κατασκευάζεται.

Οἰκῶ, τοῦ ῥήματος ζητεῖται ὁ παρατατικὸς καὶ ὁ ἀόριστος, πότερον φυλάξει τὴν οι δίφθογγον, ἢ τραπήσεται εἰς τὸ ω. οἷον ᾤκουν καὶ ᾤκησα. καὶ τὸ σύνθετον κατῴκησα, οὐχὶ κατοίκησα. ὡς καὶ ὁ Μένανδρος, ἀπὸ τοῦ οἰδῶ τὸν παρατατικὸν μεταβάλλει εἰς τὸ ω, λέγων, ᾤδουν τ' ἐν ἐμαυτῷ.

Οἰκῶ, κατοικῶ, ναίω. οἰκῶ ἐν τῷ ἀγρῷ, καὶ οἰκῶ πολὺ τῶν ἀγρῶν.

Οἰκῶ ἐν τῷ οἴκῳ, καὶ τὸν οἶκον οἰκῶ. οἰκῶ, οὐ μόνον τὸ κατοικῶ, οἷον οἰκῶ τόνδε τὸν τόπον, ἢ τήνδε τὴν οἰκίαν, ἤγουν ἐν αὐτοῖς κατοικῶ, ἀλλὰ καὶ ὡσανεὶ διοικῶ. Αἰσχίνης, τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα, καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν.

Οἰκωφελίαν, οὐ μόνον τὴν οἰκουρικὴν οἰκονομίαν, ἀλλὰ καὶ τὴν ἐμπορίαν. τὴν οἰκοδομίαν γὰρ, ὡς καὶ προερρέθη νοῆσαι ἀποδεδοκίμασται.

Οἰλάωμα, τὸ προστιθέμενον τῇ πλάστιγγι τοῦ ζυγοῦ, ἐὰν μὴ ἰσορρεπῇ.

Ὀϊλεὺς, ὀϊλῆος, καὶ ὀϊλεὺς, ἰλεὺς, εὕρηται παρά τε Ἡσιόδῳ καὶ ἄλλοις, ἀφαιρέσει τῆς ἀρχούσης. οὕτω καὶ παρ' Ὁμήρῳ ἐξάδιος, παρά τισι τῶν νεωτέρων ξάδιος, εὕρηται δίχα τοῦ κατάρχοντος ε κατὰ τοὺς παλαιούς, τὸ δὲ ὀϊλεὺς, ψιλωτέον κατὰ τὴν ἀρχοῦσαν. ὡς ἐν μέρος λόγου, κατὰ τὸν Ὅμηρον. Ἡσίοδος δὲ καὶ Στησίχορός φασι διχῶς αὐτὸ προάγουσιν. οὐ γὰρ μόνον τρισυλλάβως ὀϊλεὺς, ἀλλὰ καὶ δισυλλάβως ἰλεὺς. τοῦτο δὲ καὶ πολλοὶ ἄλλοι τῶν νεωτέρων, οἳ καὶ δασύνουσι.

Οἶμα, ἀντὶ τοῦ οἴμημα. κατὰ συγκοπὴν τὸ ὅρμημα.

Οἶμαι, τὸ ὑπολαμβάνω, ἐπὶ ὁμολογουμένου τίθεται. τὸ δὲ οἴομαι, ἐπὶ ἀμφιβόλου.

Οἶμαι ἀντὶ τοῦ οἴομαι, Ἀττικῶν ἐστιν. αὐτοὶ γὰρ ἐξαιροῦσι τὰ βραχέα τῶν τοιούτων.

Οἶμαι, καὶ βούλομαι, καὶ τὰ τοιαῦτα, ἀπαρεμφάτῳ συντάσσεται, οἷον οἶμαί σου τὴν θεσπεσίαν ψυχὴν καὶ πρὸ ἀρχῆς εὖ πράττειν. καὶ Λιβάνιος, τίνος γὰρ οἴει με γενέσθαι πυθόμενον, ποτὲ δὲ λέγεται ἀπολύτως. καὶ Συνέσιος, οὐ γὰρ οἶμαι νομίζεται νυμφευτρίαις βαδίζειν ἐπ' ἐκφοράν. καὶ Δημοσθένης, ἀλλ' οἶμαι καθήμεθα, οὐδὲν ποιοῦντες. τοῦτο δεῖ φυλάττειν, ὅτι ἀεὶ παρατατικοῖς πρὸς ῥῆμα ὁριστικὸν ἀποδίδοται.

Οἶμαι, καὶ τὸ ἐλπίζω συντάσσεται μετὰ παρῳχημένου, ὅταν ἐλπίζῃς ἢ ὑπολαμβάνῃς τὸ πρᾶγμα, ὅτι ἐγένετο. οἷον, οἶμαι πεποιηκέναι σε τόδε.

Οἶμαι Ἀττικὸν, τὸ δεύτερον καὶ τρίτον αὐτοῦ οἴει. καὶ οἴεται, ἀπὸ τοῦ οἴομαι. παρατατικὸς Ἀττικῶς μὲν ᾤμην, ποιητικῶς δὲ, ὠϊόμην. μέλλων οἰήσομαι, ἀόριστος ᾠήθην.

Οἴμας τυλίσσων, παρὰ Λυκόφρονι, ὁ δοὺς ἐρευνῶν, κἀντεῦθεν τροπικῶς, οἴμους καὶ ᾠδὰς λέγων τὴν ὁρμὴν τῶν λόγων τῆς Κασάνδρας. ἢ οἴμας τὰς ᾠδάς. οἶμος γὰρ ἡ ὁδός, οἴμη δὲ ἡ ᾠδή.

Οἱ μὲν Ἕλληνες, οἱ δὲ βάρβαροι. οἱ μὲν ἀγαθοί, οἱ δὲ κακοὶ πάντων.

Οἴμη, ἡ ᾠδή. παρὰ τὸ ἐν ταῖς οἴμαις, τουτέστι ταῖς ὁδοῖς ψάλλεσθαι.

Οἴμη καὶ ἡ ῥάβδος ἡ ὁρμῶσα εἰς ἰθὺ ἐν τῷ φύεσθαι.

Οἴμη, ἡ διήγησις, ἀφ' ἧς καὶ τὸ προοίμιον σύγκειται καὶ τὸ φροίμιον. ἀφ' οὗ καὶ ἡ φόρμιγξ, καὶ τὸ φορμίζειν παρῆχθαι δοκεῖ. καὶ οἴμη, ἡ ἐπῳδή.

Οἴμηλα. οἰμίηλα, ἀκρόδρυα.

Οἴμησεν, ὥρμησε. καὶ οἴματα. ὡς τὸ, αἰετοῦ οἴματ' ἔχων.

Οἴμοι, οὐ δύο μέρη λόγου ὑπάρχει. ἀλλ' ἕν. ὃ καὶ Ὅμηρος δεικνύει λέγων, ὤμοι ἐγώ, σχετλιαστικὸν ἐπίρρημα.

Οἶμοι δέκα μέλανος κυάνοιο, Ὅμηρος ἐν τῷ λ τῆς Ἰλιάδος, τουτέστι δέκα ζῶναι, ὁδοί, ῥάβδοι ὀρθαὶ ἔσαν μέλανος κυάνοιο. τὸ δὲ οἶμος βαρύνεται κανόνι τοιούτῳ. τὰ εἰς ος δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι ἀρχόμενα φιλεῖ βαρύνεσθαι, ὅτε πρὸ τοῦ ος σύμφωνον, ἢ σύμφωνα ὑπάρχει. οἷον οἶκος, οἶκτος, οἶμος, οἶτος. τὸ δὲ οἰὸς, δῆμος δέ ἐστιν Ἀττικῆς, ὀξυτόνως οὐκ ἔχει σύμφωνον πρὸ τοῦ ος. ὁ δὲ ῥηθεὶς οἰὸς, ἔοικε καὶ οἰὴ λέγεσθαι θηλυκῶς, διὸ ὁ ἐκ τοῦ τοιούτου δήμου οἰῆθεν ἐλέγετο, καθ' ὁμοιότητα τοῦ Ἀθήνηθεν, καὶ Θήβηθεν.

Οἶμοι, στίχοι, ὁδοί.

Οἶμον. οἶμος, ὁδός, κύκλος, τρίβος. ὅθεν καὶ τοὺς τῆς ἀσπίδος κύκλους, οἴμους ἐκάλεσαν.

Οἶμος, ἡ ὁδὸς ποιητικόν, ἀπὸ τοῦ οἰμῶ τὸ ὁρμῶ. γράφεται καὶ ὁ οἶμος, καὶ ἡ οἶμος, ἀρσενικῶς δηλονότι καὶ θηλυκῶς.

Οἰμωγὴ δέδηε, τὸν ἐκ πολέμου δηλοῖ θρῆνον. ἀπὸ τοῦ δαίω γὰρ τὸ δέδηεν. ὅθεν καὶ δαῒς καὶ δηΐς, ὁ καυστηρὸς πόλεμος εἴπουν πυρόεις, ἤδη δὲ καὶ πύρινος, κατὰ τὸ πύρινος πόλεμος σφοδρός Ῥωμαίων.

Οἰμωγὴ, ἐκ τοῦ οἰμώζω, αὐτὸ δὲ ἐκ τοῦ οἴμοι καὶ τὸ ὤζειν. ὅπερ ἐκ τοῦ ᾠδὴ γίνεται. ταύτης δὲ ἡ χρῆσις παρ' Αἰσχύλῳ. λέγει δὲ περὶ τοῦ τοιούτου ῥήματος Αἴλιος Διονύσιος οὕτω, ὤζειν τὸ θαυμάζειν. ὡς ἂν λέγειν καθὰ καὶ οἰμώζειν, τὸ οἴμοι λέγειν. καὶ φεύζειν, τὸ εὖ λέγειν.

Οἰμώζω, καὶ οἰμώττω, θρηνῶ. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης, οἰμώττουσι δὴ τοῖς ὧδε πεπραγμένοις. Ἀριστοφάνης, ὁ κατάρατος οὐκ οἰμώξεται.

Οἰμώζω, στενάζω, ἀμεταβάτως. καὶ οἰμώζω τὸν τεθνηκότα.

Οἰμωκτὶ, μετὰ θρήνου.

Οἶν, συνεῖρον τὸ οἶν ἀρρενικῶς Ἀττικοί.

Οἶνα, τὰ τῆς ἀμπέλου φύλλα.

Οἰνάδας ἀκτὰς, ἀντὶ τοῦ οἰνομαίτιδας. καὶ οἰνάδες, ἀμπελώδεις τόποι.

Οἶναι, οἱ μὲν τῆς Ἰταλίας, οἱ δὲ τῆς Πτολεμαΐδος φυλῆς εἶναι.

Οἰναίουσιν, οἵτινες οἰκοῦσιν.

Οἰναῖοι τὴν χαράδραν, παροιμία τιθεμένη ἐπὶ τῶν ἑαυτοῖς κακόν τι προσελκομένων. φησὶ δὲ Δήμων, ὅτι τῆς Ἀττικῆς ἐστι τόπος Οἰνόη. οἱ δὲ ἐνταῦθα γεωργοῦντες, παροχετεύοντες τὴν φερομένην χαράδραν ἀρδεύειν τὰ δένδρα καὶ τὰς ἀμπέλους ἐπεχείρουν. ὕδατος δὲ πολλοῦ γενομένου, συνέβη καταρραγέντα τὸν ποταμὸν, τῶν κτημάτων πολλὰ διαφθεῖραι, καὶ τῶν τόπων δὲ τοὺς κύκλους ἐγχῶσαι.

Οἰνάνθα, ἡ πρώτη ἔκφυσις τῆς ἀμπέλου λέγεται. Ἀριστοφάνης, οἰνάνθα φέρει τὸν ἱερὸν βότρυν.

Οἰνάνθη, ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς. καὶ Εὐριπίδης οἰνάνθ' ἃ καθαμέριον στάζει καὶ τὸν πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν.

Οἴναρα, τὰ τῆς ἀμπέλου φύλλα.

Οἰναρίζειν, τὸ περιαιρεῖν τῶν οἰναρίων καὶ τρυγᾶν. κυρίως δὲ οἴναρα τὰ τῆς ἀμπέλου φύλλα, καὶ ἐκεῖνο φανερῶς δηλοῖ τί σημαίνει τὸ ἐπινοιρίζειν, δεῖ γὰρ καὶ οἰναρίζειν τὰς ἀμπέλους, ἐπειδὰν πεπαίνωσιν οἱ βότρυες.

Οἰναρὶς, κληματίς.

Οἰνὰς, γένος κόρακος. οἱ δὲ, ἀγρίαν περιστεράν.

Οἰναχθὴς, μέθυσος, μεθύων.

* Οἰνεάδαι, πόλις Αἰτωλίας, κειμένη παρὰ ταῖς Ἀχελώου τοῦ ποταμοῦ πηγαῖς.

Οἴνη, ἡ ἄμπελος. καὶ κυβευτικὸς βόλος, ὁ κενὸς καὶ ἀντικείμενος. τὴν ἔξω ἀχαιός. οἰνίζειν γὰρ τὸ μονάζειν κατὰ γλῶσσαν.

* Οἰνεύεσθαι, πίνειν.

Οἰνηῒς, μία τῶν δέκα φυλῶν, παρ' Ἀθηναίοις.

Οἰνήρυσις, ἡ τοῦ οἴνου κοτύλη, ᾗ ἀρύονται. Ἀριστοφάνης, φέρε τὴν οἰνήρυσιν, ἵν' οἶνον ἐγχέω.

Οἰνία, πηδάλια.

Οἰνίαι, οἴακες.

Οἰνιὰξ, εἶδος κόρακος.

Οἰνιεῖς, ταχεῖς, ὀξεῖς.

Οἰνίζειν, τὸ μονάζειν κατὰ γλῶσσαν.

Οἰνίζεσθαι, σημαίνει τὸ οἶνον ἀγοράζειν.

Οἰνιστήρια, Ἀθήνησιν οἱ μέλλοντες ἐφηβεύειν, πρὶν ἀποκείρασθαι τὸν μαλλὸν, εἰσέφερον Ἡρακλεῖ μέτρον οἴνου, καὶ σπείσαντες τοῖς συνελθοῦσιν ἐπεδίδουν πίνειν. ἡ δὲ σπονδὴ, ἐκαλεῖτο οἰνιστήρια.

Οἰνοβαρείων, βαρύτονον. ἔχει ἐνεστῶτα κατὰ τὸ κιχείω.

Οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων κραδίην δ' ἐλάφοιο, τρεῖς ὕβρεις ὁ Ἀχιλλεὺς ἐπιρρίπτει τῷ βασιλεῖ, καὶ παρακατιὼν τετάρτην, λέγων αὐτὸν δημοβόρον. ἀντίκειται δὲ τὸ κυνὸς ὄμματα ἔχων, πρὸς τὸ κραδίην δ' ἐλάφοιο. καὶ ἔστιν ἀντίθετον σχῆμα ῥητορικόν, ἵνα λέγῃ αὐτὸν θρασὺν μὲν ὡς κύνα, δειλὸν δὲ ὡς ἔλαφον.

Οἰνοβαρὴς, οἴνῳ βεβαρημένος, μέθυσος.

Οἰνογάγγλαινον γύναιον, τὸ φίλοινον καὶ προσφυές, καὶ κάπηλον, καὶ ἁρμόζον.

Οἰνόμαος Ἄρεως ὢν παῖς, καὶ Ἁρπίνης τῆς Ἀσωποῦ, ἤτοι Εὐρυθόης τῆς Δαναοῦ, θυγατέρα ἔχων Ἱπποδάμειαν. καὶ χρησμὸν λαβὼν ἀναιρεθήσεσθαι ὑπὸ τοῦ ἰδίου γαμβροῦ, οὐκ ἐβούλετο ἐκδοῦναι αὐτὴν, εἰ μὴ τῷ νικήσαντι αὐτὸν δι' ἵππων. πρόκειτο δὲ αὐτοῖς Κλάδεως ποταμὸς, ἀφετηρία. ἰσθμὸς δὲ, τὸ τέρμα. καὶ ἀνεῖλε τρεῖς καὶ δέκα μνηστῆρας, ὡς Πίνδαρος ἱστορεῖ, οἵ πέρ εἰσιν οὗτοι. Μέρμνης, Ἱππόθοος, Πέλοψ, Ὀπούντιος, Ἀκαρνὰν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Πορθάονος Ἀριστόμαχος, Χρόκαλος. τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολλυμένων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης συμμαρτυρεῖ. τινὲς δέ φασι πεντεκαίδεκα προστιθέντες Ἱππόστρατον, καὶ Λυκοῦργον. ἐλθόντος δὲ τοῦ Πέλοπος ἐπὶ τὸν ἆθλον μετὰ ἵππων δεδομένων αὐτῷ ὑπὸ Ποσειδῶνος, ἐρασθεῖσα ἡ Ἱπποδάμεια Πέλοπος, ἔπεισε Μυρτίλον τὸν Ἑρμοῦ μὲν παῖδα. ἁρματοπηγὸν δὲ καὶ ἡνίοχον Οἰνομάου, ἐμβαλόντα κήρινον ἔμβολον ἐπὶ τοῦ ἀκραξονίου. ἢ οὐδ' ὅλως ἐμβαλόντα τὸν ἔμβολον, ὡς Φερεκύδης ἱστορεῖ. οὗ γενομένου, Οἰνόμαός τε ἐκκυλισθεὶς τοῦ τροχοῦ, ἀπέθανε, καὶ Ἱπποδάμειαν Πέλοψ ἔλαβεν. αἱ δὲ τοῦ Οἰνομάου ἵπποι, Ψίλλα καὶ Ἅρπιννα. ὁ δὲ Μυρτίλος, Ἑρμοῦ υἱὸς ἐκ μιᾶς τῶν Δαναοῦ θυγατέρων Φαεθούσης. οἱ δὲ, ἐκ Μυρτοῦς, μιᾶς τῶν Ἀμαζόνων.

Οἰνομάου χάλκεον ἔγχος. ἤγουν τὸ ἅρμα, παρὰ τῷ Πινδάρῳ.

Οἴνοπα πόντον λέγει Ὅμηρος τὸν μέλαινα, ὡς ἔχοντα οἴνου ὄψιν μέλανος, ὁ γὰρ οἶνος ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τοῦτο ῥέπει. σπάνιοι γὰρ οἱ λευκοὶ οἶνοι.

Οἰνόπεδον, ὅμοιον μὲν τὴν σύνθεσιν πρὸς τὸ θηλόπεδον καὶ στρατόπεδον. σημαίνει δὲ ἀμπέλων γῆν πεδινήν.

Οἰνοπέπηκτον, οἰνόδεσμον, μέλαν, οἰνωπόν, ἀμαυρόν, οἰνοειδές.

Οἴνοπες βόες, οἱ οἰνώδεις ἰδεῖν. καὶ διὰ τοῦτο μέ-

Digitized by Google

μέλανες. καθότι καὶ πόντον οἴνοπα φαμέν, τὸν μέλανα.

Οἰνοποτάζων, οἶνον πίνων, εὐωχῶν.

Οἰνόπτα, ἀρχὴ εὐτελής. καθ' ἣν θριαμβίδας καὶ λύχνους καὶ τὰ τοιαῦτα δεῖ τὸν αἱρεθέντα ἄρχοντα παρέχειν.

Οἰνοπόλιον, ἔνθα ὁ οἶνος πιπράσκεται.

Οἶνος, οἶνος ἐστὶν ὕδωρ ὑπὸ ἀμπέλου πεποιωμένον: οἴνους τίς ὤν, ὁ οἰήσεως καὶ πλάνης αἴτιος τοῦ νοῦ γινόμενος.

Οἶνος, μέλας εἶναι τὴν χρόαν ἔοικε τὸ παλαιὸν μήπω περιεργασαμένης τῆς τροφῆς, τοὺς πτελεοὺς καὶ τοὺς Κιρροὺς καὶ τὰς ἀνθοσμίας. καὶ βότρυες ὡς ἐπὶ τὸ πολὺ, μέλανες ἦσαν. ὅθεν καὶ οἴνοπα πόντον, τουτέστιν οἴνου ὄψιν ἔχοντα, καθ' ὁμοιότητα τοῦ αἴθοψ οἶνος, ἀντὶ τοῦ μέλας.

Οἶνός σε ἔχει, περίφρασίς ἐστι τοῦ μεθύεις, ὥσπερ δὲ ὁ θυμούμενος θυμῷ ἔχεσθαι λέγεται. τὸ δὲ ὅμοιον, ἐπὶ μανίας, καὶ ἔρωτος, καὶ ἑτέρων παθῶν.

Οἶνον ἐπισχών, παρ' Ὁμήρῳ. πάνυ καιρίως εἴρηται, καὶ δυσερμηνεύτως. δηλοῖ γὰρ τὸ λίαν εὐτελὲς τοῦ βρέφους. ὡς μηδὲ κρατῆσαι δύνασθαι τὸ δέπας, ὅθεν ἀνάγκην εἶναι τῷ παιδαγωγῷ αὐτὸν κατέχειν, καὶ ποτίζειν τὸν τιθήμενον.

Οἶνον οἰνίζοντο, Ἀττικῶς εἴρηται. καθὰ καὶ τὸ δαῖτα δαινυμένους, καὶ λέγω λόγον ἄρρητον παρὰ Σοφοκλεῖ, καὶ τὰ ὅμοια. ἔθος γὰρ εἶναι Ἀττικοῖς πέφανται, συνεκλαλεῖν ποτὲ τῷ ῥήματι περιττῶς καὶ τὸ ἐκεῖθεν ὄνομα.

Οἰνόσπονδοι, θυσίαι, ἐν αἷς οἶνος σπένδεται.

Οἰνοτρόποι, αἱ Οἰνέως θυγατέρες.

Οἰνοῦττα, μᾶζα οἴνῳ πεφυραμένη. ἢ ἡ διακονοῦσα τοῖς συμποσίοις.

Οἰνούσιος, εἶδος ἀμπέλου.

Οἰνοῦτταν, τὴν ἐν οἴνῳ πεφυραμένην μᾶζαν λέγουσι. τινὲς δὲ οἰνοῦτταν, εἶδος πλακοῦντος μετ' οἴνου καὶ μέλιτος γινόμενον.

Οἰνοφερὴς, πάροινος.

Οἰνοφλυγία, ἡ μέθη. ἔστι δὲ οἰνοφλυγία, ἐπιθυμία οἴνου ἄμετρος.

Οἰνόφλυξ, μέθυσος, ὁ εἰς τὸν οἶνον ὁρμῶν, φλύειν γάρ, τὸ ὁρμὴν ἔχειν πρός τι.

Οἰνοχοεῖν, οὐ μόνον κιρνᾶν λέγεται, ἀλλὰ καὶ ἐγκανάσσειν, ὅ ἐστιν ἐγχέειν. ὡς τὸ ἄκρατον ἐγκάναξόν μοι πολλῷ. ὅθεν καὶ κάναστρον τρυβλίον.

Οἰνοχόην, τὴν κατάχυσιν, τὸ ἀγγεῖον.

Οἰνοχίωνας, ἐλάτας.

Οἰνοχεῖν, τὸ κιρνᾶν οἶνον, καὶ ἀπὸ τούτου οἰνοχοεῖται νέκταρ, καὶ πᾶν ὅτι πίνεται.

Οἰνοχοεῖν φασὶν οἱ παλαιοὶ, εἶναι ἔργον παρθένων καὶ ἀνδρῶν νέων ὧν καὶ τὸ ὑπηρετεῖν. ὅθεν καὶ παῖδες οἱ δοῦλοι καὶ παιδίσκαι, διὰ τὸ τῆς παιδικῆς ἡλικίας ὑπηρετικόν.

Οἰνοχόοι, τὰ ἐκπώματα ἐκπλυνόντων τε καὶ διανιπτόντων καὶ κλυζόντων, καὶ καθαιρόντων. καὶ τὰς φιάλας ἐπὶ τῶν δακτύλων ἄκρων ἐχέτωσαν προσφέροντες τοῖς συμπόταις εὐλαβῶς. τὰ δὲ ἐκπώματα καὶ ποτήρια ἄντις εἴποι. τὸ γὰρ δέπας, καὶ κύπελλον, ποιητικά.

Οἰνοχόος, ἐπεγκέρνης.

Οἶνοψ, μέλαν.

Οἰνῶναι, αἱ ἀποθῆκαι.

Οἰνωᾶτιν, Ἄρτεμιν, τὴν ἐν Οἰνῃ τῆς Ἀργείας.

Οἰνώνη, θυγάτηρ Κεβρῆνος, ταύτην πρὸ Ἑλένης εἶχεν Ἀλέξανδρος, ἐξ ἧς αὐτῷ Κόρυθος, ὃν Κόρυθον ὀνειδιζομένη παρὰ τοῦ πατρὸς αὐτοῦ, διὰ τὸν ψόγον καὶ τὴν μομφὴν τοῦ ἀνδρὸς αὐτῆς, καὶ διὰ τοὺς ἐπεισάκτους γάμους τῆς Ἑλένης, ἀγελασθεῖσα ἔπεμψεν, ἡγησάμενον τοῖς Ἕλλησι τοῦ ἐπὶ Τροίαν πλοῦ. φασὶ δὲ ὅτι ἡ Οἰνώνη φαρμακουργὸς οὖσα, βουλομένη θεραπεῦσαι Ἀλέξανδρον, ἐκωλύθη παρὰ τοῦ πατρὸς αὐτῆς. τελευτήσαντος δὲ ἐκείνου, ἑαυτὴν συναναιρεῖ. ἢ κατὰ Κόϊντον, ἑαυτὴν ἐμβαλοῦσα εἰς τὴν Ἀλεξάνδρου πυράν, ἢ ἀπαγχθεῖσα. ἢ κατὰ τὸν Λυκόφρονα καταπεσοῦσα τοῦ πύργου. οὐκ ἰάσιμον δὲ τὸ ἕλκος. ἢ ὅτι τεθνηκὼς ἦν ὁ Ἀλέξανδρος, καὶ ἰαθῆναι οὐκ ἠδύνατο. ἢ ὅτι κεχρισμένα ἦν τὰ βέλη Φιλοκτήτου, οἷς Ἀλέξανδρος ἐτοξεύθη τῷ ἰῷ τῆς Ὕδρας. ἡ γὰρ Οἰνώνη, ἰατρικὴν καὶ μουσικὴν ἤσκει.

Οἰνῶντα, μονήρη.

Οἰνωπεύς, ποταμὸς Δήλου, ὃς πληροῦται ὅταν ὁ Νεῖλος ἀρδεύῃ τὴν Αἴγυπτον. ὅθεν ἔφασαν καὶ αὐτὸν ἀπὸ τῶν τοῦ Νείλου ὑδάτων πληροῦσθαι, διά τινων ἀδήλων πόρων.

Οἰνωροὶ, οἱ ἱεραγωγοὶ Διονύσου.

Οἰνωτρία γῆ, ἔνθα νῦν Ῥώμη ἐστί, χωρίον ἦν πρῶτον λεγόμενον οἴνωτρον, καθὰ Διονύσιος, καὶ Δίων, καὶ Κοκκειανὸς, οἱ Ῥωμαίων γράψαντες ἱστοροῦσιν.

Οἴνωτρον, χάρακα, ᾗ τὴν ἄμπελον ἱστᾶσι Δωριεῖς.

Οἶξας, ἀνοίξας.

Οἶξασα, ἀνοίξασα.

Οἰοβίοισι, μονοβίοις.

Οἰοβότας, αὐθαίρετος, ὡς ἂν εἴποι τις αὐτὸς ἑαυτοῦ τὴν διάνοιαν βόσκων, καὶ μηδενὶ πειθόμενος. μονότροπος. μεμονωμένος, τῷ λογισμῷ μονωθείς. ἐκτὸς φρενός.

Οἰόζωνον, μονόστολον.

Οἶοθεν, οἶος. ἐκ μόνου, μόνος, τουτέστιν εἷς. ἐκ τοῦ ἑνὸς μέρους. νυνὶ δὲ μόνος πρὸ μόνου. οἷο, τοῦ ἰδίου. ὅς, οὗ, οἷο Ἰωνικῶς. οἱ γὰρ Ἴωνες καὶ οἱ Θετταλοὶ τὰς τῆς εἰς ος εὐθείας γενικὰς, διὰ τοῦ οιο προφέρουσιν.

Οἰόθεν, οἶος ἑταίρων, παρὰ τῷ Ἀπολλωνίῳ, οὐχ ἁρμόζει νῦν τὸ οἰόθεν, οἶος. μόνος γὰρ ἀπὸ πολλῶν, ἦν δὲ εἰπεῖν οἶος ἀπ' ἄλλων.

Οἰοθόρ, ὁ Προμηθεύς.

Οἷοι, ὁποῖοι, ἢ σοί, οἵτινες.

Οἴοιτο καὶ ἄλλος. ἐνεργητικῶς κεῖται κατὰ κοινὴν συνήθειαν, ἀντὶ τοῦ νομίζοι. ὡς παρ' Ὁμήρῳ, ἅπερ ἂν οἴοιτο καὶ ἄλλος.

Οἷο ἂν κασιγνήτοιο, τοῦ ἰδίου ἀδελφοῦ. ἡ εὐθεῖα ὅς, οὗ. καὶ Ἰωνικῶς οἷο. ὁ κανών, οἱ Ἴωνες καὶ οἱ Θετταλοὶ, τὰς εἰς ος εὐθείας διὰ τοῦ οιο προφέρουσιν.

Οἰόμεθα, νομίζομεν, ὑπολαμβάνομεν.

Οἰόμενον θανέεσθαι. ἢ ἐνεργητικῶς κεῖται παρ' Ὁμήρῳ, ἀντὶ τοῦ νομίζοντα. ἢ παθητικῶς, ἀντὶ τοῦ νομιζόμενον. ἐν τῷ δ' τῆς Ἰλιάδος.

Οἶον, ἅπαξ ἕνα.

Οἷον, τὸ ὁποῖον, καὶ ὡσανεί. ὃ λέγεται καὶ οἱονεί, καὶ οἷον. καὶ οἷον, θαυμαστικόν. καὶ οἷον, σχετλιαστικόν. ὡς τό, οἷον ἔπαθον. καὶ οἷον, ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ καθά. λαμβάνεται καὶ μετὰ πληθυντικοῦ. Χρυσόστομος, οἷον εἰσὶν ἐν πόλει οἱ στρατιῶται.

Οἷον ἔτυχεν, ὁποῖον ἐγένετο.

Οἱονεὶ, εἰς τὸ ἐνθαδί, ὥσπερ τί.

Οἰονεῖς, οἰήσεις, δοκήσεις.

Οἰονίζει, μαντεύει.

Οἷόν τε, δυνατὸν λέγουσιν.

Οἰοπόλα ὄρη, οὐ μόνον τὰ ἔρημα, ὅπου δηλαδὴ παρατυχών τις οἶος, τουτέστι μόνος πολεῖ, ὅ ἐστιν ἀναστρέφεται, ἢ καὶ ἄλλως τὰ μεμονωμένα τοῦ πολοῦντος διὰ τὸ ἐρημάζειν, ἀλλὰ καὶ τὰ εὔθετα εἰς νομὰς ἀγαθά, οἷς ἤγουν θρέμματα πολεῖν ἐν τοῖς ἐκεῖ.

Οἰοπόλοι, αἱ περὶ τὰς οἶς πολοῦσαι.

Οἰοπόλος χῶρος, ὁ ἔρημος ἐν ᾧ οἷός τις, ὅ ἐστι μόνος πολεῖ. ἢ ἔνθα οἱ ὦν πῶεα πολοῦσι βοσκόμενα. ἔνθα σημείωσαι ὡς εἰ καὶ τὸ πολεῖν, καὶ πολεῖσθαι. ὅ ἐστιν ἀναστρέφεσθαι ὁ ποιητὴς ἐκτείνει, ἀλλὰ τὰ ἐκεῖθεν, οἷον οἰονοπόλος, ὀνειροπόλος, αἰπόλος, ἱπποπόλος, οἷον ἱπποπόλων Θρᾳκῶν, καὶ ὅσα τοιαῦτα, τῷ ο μικρῷ γράφεται. τὸ μέν τοι εὔπωλον γῆν ἑταιροίαν παρὰ τὰ ῥηθέντα ἔχει σύνθεσιν.

Οἷος, ὁ ὁποῖος δασύνεται. οἶος, ὁ μόνος, ψιλοῦται. τὰ κατὰ ἀποβολὴν τοῦ τ γινόμενα, καὶ τὰ ἀναφορικὰ δασύνεται. οἷον, οἷος ὅσος, ὁποῖος ὁπόσος, ὁπηλίκος, ὁπόταν, ὁπηνίκα. * πλὴν τοῦ ὄφρα καὶ τοῦ ἦμος.

Οἷος, ὁ μόνος. καὶ οἷός τε, εἰ μετὰ τοῦ τε, ἀντὶ τοῦ δυνατός εἰμι. ὁ χωρὶς τοῦ τε, οὐδέποτε ἐν ταύτῃ τῇ σημασίᾳ λαμβάνεται.

Οἷος ἐκεῖνος ἦν βουλευέμεν, ἠδὲ μάχεσθαι ἐπαινετὸς ἐστι πρακτικοῦ τε καὶ δαΐφρονος ἀνδρός. ᾧ ὅμοιόν ἐστι οἷος ἐκεῖνος ἦν τελέσαι ἔργον τε ἔπος τε.

Οἰοσαζομένης, φιλοτιμουμένης.

Οἴουλος, ἡ πρώτη τοῦ γενείου βλάστη.

Οἷου ἀνδρὸς, οἵου φωτός.

Οἰοφάγῳ σιδήρῳ, οἷον μηλοκτόνῳ.

Οἰοχίτων εἰμὶ, τουτέστι μόνον ἔχω χιτῶνα.

Οἷ παῖδα ἐοικότα, ἑαυτῷ παῖδα ὅμοιον.

Οἵπερ ἂν, ὅσοιπερ ἂν, οἵπερ δή, οἵτινες.

Οἰσορεῖν, κιρνᾶν, οἰνοχοεῖν.

Οἱ προσκείμενοι, οἱ κολλώμενοι.

Οἵ ῥα, οὗτοι δή.

Οἵ ῥά μιν ὦκα, οἵτινες δὴ αὐτὸν ταχέως.

Οἰρώνη, ἐκ τῆς καταμετρήσεως τῆς γῆς εὐθυωρία.

Ὄϊς τὸ πρόβατον, οἷς μονοσυλλάβως ἐπὶ θηλυκοῦ αἰτιατικῇ, ὄϊν κοινῶς, ὄϊδα ποιητικῶς, ὄϊς ὄϊδος προσλήψει τοῦ ι.

Ὄϊς ὄϊος διαλελυμένως παρὰ τοῖς Ποιηταῖς, οἷς, οἰὸς κοινὸν, πληθυντικῶς ὄϊδες οἷς, ὄϊδας οἷς.

Ὄϊος οἰὸς ὀξυτονεῖται, ἵνα μὴ συνεκδράμῃ τῷ οἶος ὁ μόνος. οἷς μονοσυλλάβως, οὐδέποτε εἴπεν ὁ Ποιητὴς, ἀλλὰ διαλελυμένως, ὄϊς. ἀλλὰ καὶ τὰς πλαγίους δὲ διαλύει, εἰ μὴ μέτρον κωλύει. ὡς ἐν τῷ, οἰὸς ἀώτῳ. καὶ ἔστιν ἀναλογώτερον τὸ δισύλλαβον. οὐδὲ γάρ ἐστιν ἄλλο τοιοῦτον, εἰ μὴ παρ' Ἀττικοῖς αὐτό τε καὶ τὸ φθοῖς.

Οἴσατο, ἀπὸ τοῦ οἴω γέγονε ῥήματος, κατὰ διαίρεσιν ὀΐω. μήποτε καὶ τὸ δοάσατο ἅμα τῇ τροπῇ τοῦ διχρόνου καὶ περισσῷ κέχρηται τῷ δ, ὡς καὶ τὸ δνοφερὸν ὕδωρ, παρὰ τὸ νέφος πεποίηται, καὶ παρὰ τὸ ἴψαι. Σοφοκλῆς ἐν Ἰξίονι. δίψιον φησὶ τὸ βεβλαμένον. καὶ Ὅμηρος, πολυδίψιον Ἄργος ἱκοίμην, πολλάκις βεβλαμμένον.

Οἶσε δέ μοι, πῦρ, ἐκ τοῦ οἴσω ἐνεστῶτος.

Οἴσει, ἐνέγκει, προσφέρει, κομίσει.

Οἴσετε, φέρετε. παρὰ τὸ οἴσω, τὸ ὁρμῶ. τὸ δὲ οἴσω, οὐκ ἔστι μέλλων. ἰστέον δὲ, ὅτι τοῦ φέρω μέλλων οὐκ ἔστι. τοῦ δὲ οἴσω, ἐνεστὼς οὐκ ἔστι. πλὴν ἔθος τῷ Ποιητῇ, μετάγειν ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα. οὕτως ἔχει καὶ τὸ ἄξετε. διαφέρει δὲ τὸ οἴσω, καὶ οἰσόμενος. οἴσομεν γάρ, καὶ ἑτέρῳ, οἴσετε δ' ἄρν' ἕτερον, οἰσόμενος δὲ ἑαυτῷ.

Οἴσετε ποιητικῶς, κανονίζεται ὡς παρατατικὸς ἀπὸ μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα. οἴσω γάρ, οὗ παρατατικὸς οἶσον, τὸ τρίτον οἶσε, τὸ προστακτικὸν ὁμοφώνως οἶσε: οὗ πληθυντικὸν οἴσετε, εἰς πεζολογίαν ἄχρηστον.

Οἶδα, γινώσκω. ἔστιν οἰδῶ ῥῆμα περισπώμενον. καὶ ἄλλο εἴδω βαρύτονον, τούτου βαρύνεται ὁ μέσος παρακείμενος οἶδα, κατ' Αἰολεῖς, ὡς λέγει Ἡρωδιανός. τοῦ δὲ παρακειμένου ὁ μέλλων εἰδήσω, παράγωγον εἴδημι, τὸ δεύτερον εἴδης. καὶ κατ' ἔκτασιν τῆς θα συλλαβῆς, εἴδηθα καὶ κατὰ συγκοπὴν τοῦ δη, καὶ τροπῇ τοῦ ε εἰς τὸ ο, οἶθα. ἢ ἔστιν εἴδω βαρύτονον. ὁ μέσος παρακείμενος, οἶδα. Αἰολικῶς τὸ οἶδα, οἴδηθα λέγουσι, τὸ δεύτερον οἴδη, καὶ κατ' ἔκτασιν τῆς σθα συλλαβῆς οἴδηθα καὶ οἶθα.

Οἶσθα κάλλιον, ἢ οἶδας, γινώσκεις, ἐπίστασαι.

Οἶθα καὶ οἶθας. Αἴλιος Διονύσιος γράφει, ὅτι ἄμφω ἑλληνικά εἰσι, καθὰ καὶ ἦθα καὶ ἦθας, ἅπαξ δέ φασι παρ' Ὁμήρῳ τὸ οἶδας, ἐν τῷ πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας.

Οἰσθεὶς, αἰθόμενος, εἰκασθεὶς, δόξας.

Οἰθλά, ἀγαθά.

Οἰσία, εἶδος δένδρου. καὶ οἰσυΐναις ῥάβδοις, ὅ ἐστι συκομορέαις.

Οἰσθεὶς, ὑπονοήσας, ἐκ τοῦ οἴω.

Οἶσμα, ἡ ἔπαρσις.

Οἰσόμενος, κομίσων, οἴσων. διαφέρει δὲ οἴσων καὶ τὸ οἰσόμενος. οἴσων μὲν γὰρ ἑτέρῳ, οἴσετε θῆον γρηῒ κακῶν ἄκος, οἴσετε δ' ἅρμα λευκόν. οἰσόμενος δὲ ἑαυτῷ.

Οἰσοφάγος, ὁ λαιμός. * διὰ τὸ γλώσσης τὴν ἀρχὴν ποιούμενος, εἰς κοιλίαν τελευτᾷ, ὃν δὴ καὶ ἐπὶ πεπτικῆς κοιλίας, στόμαχον καλέουσιν. Γαληνός.

Οἴσυπη, ῥυπαρῶν προβάτων ἔρια. Ἡρόδοτος. καὶ διανέμω, ὁ ῥύπος τῶν ἐρίων.

Οἴσυπη αἰγὸς, ὁ ἐπὶ ταῖς θριξὶ τῆς αἰγὸς ἐγγινόμενος ἐν τῇ ἕδρᾳ ῥύπος, παρὰ τῷ Ἱπποκράτει.

Οἰσπώτη, ὀπλὴ προβάτων. ἐκ τοῦ οἶς καὶ τοῦ πατῶ, οἰσπάτω, καὶ τροπῇ τοῦ α εἰς ω.

Οἰστὰ, φορητὰ, ἐλαφρὰ, κοῦφα.

Οἰστεύσας, τοξεύσας.

Οἰστέον, ἢ οἰστέον, κομιστέον.

Οἰστὸς, τὸ βέλος. παρὰ τὸ ἵημι τὸ πέμπω, γέγονεν ὀϊστὸς, πλεονασμῷ τοῦ σ. ἢ παρὰ τὸ οἴσω τὸ φέρω, γέγονεν οἰστὸς, καὶ ὀϊστός. ἐξ οὗ καὶ τὸ ὀϊστεύειν.

Οἰστὸς, φορητὸς, ἀνεκτὸς. ἀπὸ τοῦ οἴω, τὸ κομίζω.

Οἰστρεῖ, παρὰ Θεοκρίτῳ. διαστέλλει τὸν οἶστρον ἀπὸ τοῦ μύωπος. οἶστροι δέ εἰσι πολέμιοι τοῖς βουσίν. ὅταν γὰρ δάκνωσιν αὐτοὺς οἰστρεῖν ποιοῦσι καὶ τρέχειν ὁδὸν πολλὴν μετὰ βοῆς. καὶ τὴν Γαλάτειαν οὖν οἰστρεῖν φησιν ὁ Θεόκριτος, κατὰ μεταφοράν. ὑπὸ γὰρ τοῦ οἴστρου πεπληγμένη πατταίνει, καὶ στοχάζεται.

Οἰστροκεκαυμένοι, πυρέμενοι.

Οἴστροις, μανίαις.

Οἰστροπλῆγα, τῇ μανίᾳ πεπληγότα.

Οἶστρος θηρίδιον, ὁ καὶ μύωψ λεγόμενος, μυίας μὲν μεῖζον, τὰ δὲ ἄλλα ἐμφερὲς, τὸ ἐγχρίμπτον βουσὶ καὶ δάκνον. κατὰ δέ τινας καὶ εἰς τὰ ὦτα εἰστρέχον αὐτῶν ὅπη τύχοι κομίζον, ἀνάγκη φέρεσθαι. διὸ καὶ οἶστρος καλεῖται, παρὰ τὸ οἴω τὸ κομίζω. ἐντεῦθεν δὲ πᾶσα ὁρμὴ ἐνθουσιαστικὴ κατὰ ἔρωτα τυχὸν, ἢ μανίαν, ἢ θυμὸν, οἶστρος λέγεται. καὶ τὸ ἔχον αὐτὸν, οἰστρηλατεῖσθαι φαμὲν, καὶ οἰστρεῖν καὶ παροιστρεῖν.

Οἰσύα, ἰτέα. καὶ οἰσύιναι ἀσπίδες.

Οἰσοφάγος, βρόγχος, ἢ βρόχος.

Οἰσύινα γέρρα. οἰσύινα οἰσύα, γένος τι ἰτέας, ἀφ᾽ ἧς ἔπλεκον τὰ κανᾶ. ἐκ ταύτης δὲ καὶ τὰ γέρρα, σκεπαστήρια ταῦτα πολεμικὰ, οὐ κυκλοτερῆ δὲ ὡς αἱ ἀσπίδες, ἀλλὰ τετράγωνα καὶ οὐδὲ ταῖς παρατάξεσιν ὑφ᾽ ἑκάστου στρατιώτου φερόμενα ὡς αἱ ἀσπίδες, ἀλλὰ τοῖς σταθμοῖς καταπηγνύμενα εἴπερ ἄρα ἐξόπισθεν τῆς παρατάξεως ὡς σκέπη ἐσόμενα τῷ στρατοπέδῳ, ἀπὸ τῶν ἐκ τῆς παρατάξεως φερομένων βελῶν.

Οἴσυλος, προΐκτης, προύνικος.

Οἰσύμη, πόλις ἐστὶ τῆς Θράκης.

Οἰσύπη, * ὁ παρὰ ταῖς θριξὶ τῆς αἰγὸς ἐγγινόμενος ἐν τῇ ἕδρᾳ ῥύπος, καὶ μάλιστα ταῖς κατὰ τὴν ἕδραν συνιστάμενος ῥύπος.

Οἰσυπηρὸς, ῥυπαρός. ἔρια οἰσυπηρὰ, ῥύπου πεπληρωμένα, ῥυπάσματα ἀπὸ τῆς κόπρου. οἰσύπη δέ ἐστι τὸ διαχώρημα τῶν προβάτων.

Οἴχεα, δίδυμοι ὀρχιπέδων.

Οἴχη, ἡ ἄμπελος.

Οἰχὸς, κλῆμα, βότρυας φέρον ὀργῶντας καὶ γενναίους. καὶ ὀσχοφορία, τὰ τῆς ἀμπέλου κλήματα περιέχοντα βότρυας, παρὰ Ἀριστοφάνει.

Οἴσω, μέλλων ὢν ὁριστικὸς, οὐ λέγεται ἀπὸ τοῦ οἴω τὸ ὑπομένω. οὐδὲ γὰρ εὕρηται τὸ θέμα παρὰ τοῖς Ἀττικοῖς. εἰ οὖν ὁ ἐνεστὼς οὐχ εὕρηται, δῆλον οὐδὲ ὁ παρατατικός. ὧν γάρ τινων ῥημάτων τὰ θέματα οὐχ εὑρίσκονται, τούτων οὐδὲ οἱ παρατατικοί. ἀπὸ μὲν οὖν τοῦ φέρω θέματος, εὑρίσκεται τὸ οἴσω, καὶ οὐ φερῶ. ἀπὸ δὲ τοῦ οἴσω μέλλοντος οὐ λέγεται οἶσα. δεῖ γὰρ τοὺς παρῳχημένους τὴν ἀρχουσαν τοῦ μέλλοντος μετατρέπειν, καὶ προστιθέναι τὸν ἐπαναδιπλασιασμόν.

Οἴσω, ἀντὶ τοῦ κομίσω, καὶ ὑπομενῶ. Θεολόγος, πάντα φιλία οἴσει, κομίσει.

Οἴσων καὶ οἰσόμενος, διαφορὰν ἔχουσί φασιν οἱ παλαιοί. ὅτι τὸ μὲν οἴσων, ἀπ᾽ ἄλλου εἰς ἄλλο κινεῖ τὴν ἐνέργειαν τοῦ χρησίμου. τὸ δὲ οἰσόμενος, ἐνὶ προσώπῳ ἐμπεριγράφει. οἷον ἄπεισί τις δόρυ οἰσόμενος ἑαυτῷ. οἴσων δὲ ἑτέρῳ τινί.

Οἶτον, ὄνομα ὄρους.

Οἶτος, θρῆνος, μόρος, θάνατος. παρὰ τὸ οἱ καὶ μοὶ, στεναγμοῦ ἐπιρρήματα. ἢ παρὰ τὸ οἴσω, οἰστὸς, καὶ οἶτος.

Οἶτον ὁ Ποιητὴς, οὐ μόνον τὸν θάνατον, ἀλλὰ καὶ τὴν συμφορὰν λέγει. ὥσπερ καὶ πότμον καὶ μόρον οὐκ ἀεὶ ἐπὶ θανάτου, ἀλλὰ καὶ ἐπὶ τύχης βαρυσυμφόρου τίθησιν.

Οἴτυλον τρισυλλάβως, ὡς δάκτυλον, ἀπὸ Οἰτύλου ἥρωος, ὡς ὁ τὰ ἐθνικὰ γράψας φησίν. ἕτεροι δὲ τὸ οἴτυλον ἀμφενέμοντο, ἐν δυσὶ μέρεσι λόγου ἀναγινώσκουσιν. ἄρθρον μὲν τιθέντες τὸ οἱ, πόλιν δὲ τὴν Τύλον. ἵνα λέγῃ καὶ οἱ τὴν τύλον ἀμφενέμοντο. οὐκ ἀρέσκει δὲ τοῦτο τοῖς ἀκριβέσιν, οἳ Τύλιν μὲν πόλιν Θράκης οἴδασι κλινομένην τύλεως. Τύλον δὲ οὐ πόλιν λακωνικήν. καὶ Τυλησσὸν δὲ ὄρος ἐκεῖνοι λέγουσιν Ἰταλίας.

Οἱ φαλλοὶ, τὰ δερμάτινα μόρια, καὶ τὰ αἰδοῖα.

Οἰφεῖν, τὸ συνουσιάζειν. ὅθεν καὶ παρὰ Ἀλεξανδρεῦσι κόροιφος λέγεται, ὁ κόρην οἰφόμενος. ἢ οἰφεῖν τὸ συνουσιάζειν ἀπὸ τοῦ ὀπιπεύειν. ἔνθα καὶ οἰφόλης γυνή. ὅθεν καὶ παροιμία, ἄριστα χωλὸς οἰφεῖ. ἣν φασι διαδοθῆναι, ἐπεὶ οἱ χωλοὶ ἐν οἴκῳ καθεζόμενοι συνεχῶς ἀφροδισιάζουσιν. ἄλλοι δὲ ἄλλως λέγουσι, καὶ ἀπὸ τοῦ οἰφεῖν φιλοίφης, ἤγουν ὁ φιλῶν τὸ συνουσιάζειν.

Οἴφιον, μέτρον τι. τετραχοίνικον Αἰγύπτιον.

Οἰφόλης, ὁ καὶ φιλοίφας λέγεται ἀπὸ τοῦ οἰφεῖν. ἢ οἴφεσθαι, ὅπερ ἐστὶ περαίνειν, ἢ περαίνεσθαι.

Οἰφολὴς, ὁ μὴ καταφερὴς πρὸς γυναῖκα, ἀλλ᾽ ἐγκρατής.

Οἰφολὶς γυνὴ, καταφερὴς, μάχλος, πασχητιῶσα.

Οἰχαλία, πόλις ἐστὶν, ἧς ποτε ἦρχεν ὁ τοξικώτατος Εὔρυτος, οὗ θυγάτηρ Ἰόλη τὸ τοῦ Ἡρακλέους πλεῖστον εἴτε ἆθλον εἰπεῖν τις βούλοιτο, εἴτε κακόν. αὐτὴν γὰρ αἰχμαλωτίσας Ἡρακλῆς ἐξ Οἰχαλίας, εἶτα δι᾽ αὐτὴν οὐκ εὐκλεῶς μετήλλαξε. σημείωσαι δὲ, ὅτι οἰχαλία οὐ μία κατὰ τὸν Γεωγράφον, παρ᾽ ᾧ καὶ ἀρκαδική τις Οἰχαλία πόλις Εὐρύτου. ὁ πολίτης δὲ οἰχαλίας οἰχαλιεὺς καὶ οἰχαλιώτης, καὶ οἰχάλιος.

Οἴχεται, καὶ ἔρρει, ἀντὶ παρεληλυθότος, οἷον οἴχεται ἀντὶ τοῦ ἔφθαρται. καὶ ἔρρει ἀντὶ τοῦ ἐφθάρη.

Οἴχεται, παθητικῶς γράφεται. τὸ γὰρ ἐνεργητικὸν ἄχρηστον. ἔχει δὲ σημασίαν τριπλῆν. ἢ γὰρ ἐπὶ τοῦ ἀφανίζεται, ἢ ἐπὶ τοῦ πορεύεται. ἢ ἐπὶ τοῦ ἔφθαρται. ὁ καὶ ἐνεστώς ἐστιν. ἀλλὰ παρεληλυθότος σημασίαν δηλοῖ. οἴχεται γὰρ ἄνος φαμὲν, ἀντὶ τοῦ ἐφθάρη, καὶ τέθνηκεν. ἐπὶ δὲ τῶν ἄλλων, εἰς ἐνεστῶτα λαμβάνεται τῇ προφορᾷ καὶ τῇ σημασίᾳ. ὡς παρ᾽ Ὁμήρῳ, τῇ δήτοι μένος οἴχεται ὃ πρὶν ἔχεσκες, ἤγουν εἶχες. καὶ ὅρα τὸ ἀστεῖον τοῦ οἴχεται. οἱονεὶ γὰρ πρώην ἐνοικοῦν σοι, νῦν ἀπεδήμησεν.

Οἴχεσθαι, πολλαχοῦ καὶ τὸ θνήσκειν λέγεται. καὶ σαφῶς διαστέλλεται, λεγομένου ἐπὶ θανάτου.

Οἰχετηγὸς, ὑδραγωγός.

Οἰχήσονται, πορεύσονται, ἀπελαθήσονται, ἢ ἔρχονται. ὁμοίως καὶ οἴχη, ἢ ἠφανίσθη.

Οἰχμὴ, δύλη, οἱ δὲ οἰχμάν.

Οἰχνεῖν, πορεύεσθαι, ἀμφίβολον. ἢ παρὰ τὸ ἴχνος, ἰχνῶ, καὶ πλεονασμῷ τοῦ ο οἰχνῶ. ἢ παρὰ τὸ οἴχω, οἰχνῶ. ὡς ὀρέγω ὀρεγνῶ, σκέδω σκεδνῶ.

Οἰχνῶ, ἀντὶ τοῦ ἀναστρέφομαι, περιέρχομαι, παρὰ Σοφοκλεῖ. ἀφ᾽ οὗ ἴχνος διὰ τοῦ ι.

Οἰχυρὸς, οἰκυρός.

Οἴω καὶ οἴω διὰ μακροῦ τὸ ι, καὶ οἴομαι, καὶ ὀΐομαι ποιητικά, σημαίνει δὲ ταὐτό. οἶμαι δὲ ἀττικόν. τὸ δεύτερον δὲ καὶ τρίτον αὐτοῦ οἴει, καὶ οἴεται. ἀπὸ τούτου παρατατικὸς ᾤμην. ποιητικῶς δὲ ὠΐμην. μέλλων, οἰήσομαι. ἀόριστος ᾠήθην.

Οἴω, τὸ κομίζω, ἄχρηστον. οἴσω, εὔχρηστον.

Οἰωτουμαι, καὶ οἴω. καὶ οἶμαι τὸ αὐτὸ κοινῶς. καὶ οἴομαι, ᾤμην παρατατικὸς, ὠόμην, καὶ ὠϊόμην ποιητικῶς. ᾠήθην ἀόριστος, οἰήσομαι μέλλων, οἰόμενος μετοχή.

Οἴω σημαίνει δύο. τὸ ὑπολαμβάνω, καὶ τὸ προσδέχομαι. οἷον κεῖνον ὀϊομένη τὸν κάμμορον.

Ὀΐων. ὅς᾽ ὀΐων μέγα πῶυ, Ἰλιάδος γ΄. Ἀρίσταρχος καὶ Πτολεμαῖος ὁ ἀσκαλωνίτης δισυλλάβως ἀναγνῶν. λέγει γὰρ, ὅτι ἡ εὐθεῖα μόνη ἐστὶν, οἶς. διαμαρτάνει δέ. οὐδέποτε γὰρ ὁ Ποιητὴς μονοσύλλαβον εἶπε τὴν εὐθεῖαν, ἀλλὰ δισύλλαβον. ὡς τὸ, Τοῖσι δ᾽ ὄϊς λάσιος. καὶ τὰς πλαγίας κατὰ διάστασιν λύει, εἰ μὴ κωλύει μέτρον. ὡς τὸ, νῶτον ἔθηκ᾽ οἴος. εἰ δὲ κωλύει μέτρον, οὐ κατὰ διάστασιν λέγει. οἷον, ὀϊὸς αὐτῷ.

Οἰωνὸς, ὄρνις ὁ γύψ παρὰ τὸ οἴω τὸ μονῶ γίνεται. φασὶ γάρ τινες, ὅτι καὶ χωρὶς μίξεως πέφυκε πολλάκις τίκτειν ἐξ ἀνέμου καὶ θερμασίας, καὶ τῆς τοῦ ἡλίου ἀκτίνων.

Οἰωνοπόλος, ὀρνεοσκόπος, μάντις. ὁ περὶ οἰωνοὺς, ἤγουν γῦπας καὶ κόρακας καὶ ἄλλους ὄρνιθας περιπολῶν, ἤγουν ἀναστρεφόμενος, καὶ μαντευόμενος. ὅθεν καὶ οἰωνιστὴς, ὁ μάντις.

Οἴω τὸ ὑπολαμβάνω ποιητικῶς, ὃ παθητικῶς ἀεὶ γράφεται παρὰ τοῖς κοινοῖς, οἴω τὸ κομίζω ἄχρηστον, ἐν τῷ ἐνεστῶτι καὶ τοῖς ἄλλοις χρόνοις, πλὴν τοῦ μέλλοντος.

Οἰῶ, τὸ μονῶ, καὶ οἶος ὁ μόνος. καὶ οἷός τε εἰ μετὰ τοῦ τε ἀντὶ τοῦ δυνατὸς εἶ, ὃ χωρὶς τοῦ τε οὐδέποτε ἐν ταύτῃ τῇ σημασίᾳ λαμβάνεται.

Οἰώθη, ἐμονώθη.

Οἰώθη δὲ μάχη, ἤγουν μόνη αὐτοῖς γέγονεν οὐδενὸς ἄλλου τῶν κατ᾽ αὐτὴν δαιμόνων παρόντος.

Οἰωνίζομαι, τὸ δι᾽ οἰωνῶν μαντεύομαι. οἰωνίζομαι δὲ τόδε τὸ πρᾶγμα, ἀντὶ τοῦ ἁπλῶς στοχάζομαι. καὶ μαντεύομαι μεταβατικῶς, αἰτιατικῇ συντάσσεται.

Οἰωνισάμην, παραιτησάμην, ἢ ἐμαντευσάμην.

Οἰωνιστικὴν, ταύτην εὗρον πρῶτοι Φρύγες. ταύτης δὲ τὸ μέν ἐστιν ὀρνεοσκοπικὸν, περὶ οὗ ἔγραψε Τηλέγονος. τὸ δὲ οἰκοσκοπικὸν, ὃ συνέγραψε Ξενοκράτης. τὸ δὲ ἐνόδιον, ὃ συνέγραψε Πόλις. τὸ δὲ χειροσκοπικὸν, ὃ συνέγραψεν Ἕλενος. τὸ δὲ παλμικὸν, ὃ συνέγραψε Ποσειδώνιος.

Οἰώνιχον, μουσεῖον. τοῦτο δὲ σιωνίχου φησὶ μουσεῖον εἶναι.

Οἰωνόβρωτος, ὀρνεόβρωτος.

Οἰωνοὶ, σαρκοφάγα ὄρνεα. καὶ πάντα, γῦπες, κόρακες.

Οἰωνὸν ἐόντα ἔγνων, τουτέστι σημαντικὸν καὶ μαντευτικόν. ὅθεν καὶ οἰωνίζεσθαι τὸ μαντεύεσθαι, δῆλον δ᾽ ὅτι τοιοῦτόν τι πολλάκις καὶ ὄρνις δηλοῖ, ὡς καὶ ἐν τῷ δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ Θεοῦ.

Οἰωνοπόλος, ποιητικόν. οἰωνιστὴς κοινόν. ἐστι δὲ οἰωνιστὴς ὁ τοῖς ὀρνέοις προσέχων, καὶ διὰ τούτων μαντευόμενος.

Οἰωνοσκόπος, ὁ δι᾽ ὀρνέων μαντευόμενος.

Οἰωνὸς, ὄφις. ἐπιεικῶς γὰρ λέγεται εἰς τὰς μαντείας τοὺς ὄφεις ἔχειν, οὓς καὶ οἰωνοὺς ἔλεγον.

Οἰῶντα, μονάζοντα.

Οἰωτὸς, χιτὼν ἀπὸ ἐρίων.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Κ.

Ὀκαθεὶς, ὁ χαλάσας. καὶ ὀκαθεὶς ἡμῶν, ἐκτὸς ἡμῶν.

Ὀκαυλὸς, ὁ κλάδος.

Ὀκείλει, προσπελάζει.

Ὀκείλουσαν, τὴν ἐποκείλασαν ναῦν.

Ὀκέλλειν, ἐμβάλλειν, προσορμεῖν.

Ὀκέλλειν, τὸ ζυγοῦν, προσκέλλειν, τὸ μετὰ ἡσυχίας καταίρειν. ἐξοκέλλειν, τὸ ἀπὸ βίας τῶν κυμάτων.

Ὀχ᾽ ἡ, ὅτε ἡ.

Ὀκιμβάζειν, διατρίβειν, καταστρατεύεσθαι.

Ὄκκα, ἀντὶ τοῦ ὁπηνίκα. καὶ ὁπότε, καὶ ὅπου λέγουσι Δωριεῖς.

Ὄκκα-

Digitized by Google

Ὄκκαβος, τὰ περὶ τὸν βραχίονα ψέλλια.
Ὄκκα δὲ, τύννειλω. παρὰ Ἀλκμᾶνι, τὸ ὅτε ὄκα λέγει ἡ διάλεκτος, εἶτα διπλασιάσασα ὄκκα, περὶ παθῶν.
Ὄκκα σάζει, ὅταν τύχῃ.
Ὄκκον, ὀφθαλμόν.
Ὀκκύλαι, τὸ ὀκλάσαι, καὶ ἐπὶ τῶν πτερῶν καθέζεσθαι.
Ὀκλαδιὰν ἐστὶ, τὸ κάμπτειν τὰ γόνατα ἐν τῷ καθέζεσθαι.
Ὀκλαδίας, συγκεκλασμένος δίφρος, καὶ ποτὲ μὲν ἐντεινόμενος, ποτὲ δὲ συστελλόμενος, Ἀριστοφάνης.
Ὀκλαδίας, τὸ σελλίον.
Ὀκλαδὸν, ἀντὶ τοῦ ὀκλάσας, παρὰ τῷ Ἀπολλωνίῳ. ὀκλὰξ, ἐπὶ τὰ γόνατα καὶ ὀκλάζειν ῥῆμα.
Ὀκλάζει, χολάδει, εἰς γόνυ κάμπτεται.
* Ὀκλάσαι λέγεται, τὸ ἐπὶ τὰς κνήμας καὶ τὰς πτέρνας κάμψαντα τὰ γόνατα καθίσαι.
Ὄκλασις, ἡ ὀκνία, ἡ λύπη. ἀπὸ τοῦ ὀκλάζω.
Ὀκλὰξ, ἐπικεκαμμένως.
Ὀκνείω. ἐστὶ κατὰ παραγωγὴν, ὡς βρώσω βρωσείω, οὕτως ὀκνῶ ὀκνείω, σημαίνει τὸ ῥαθυμῶ καὶ ἀμελῶ καὶ τὸ δειλιῶ. ὅθεν ὁ Θεολόγος, ὀκνῶ γὰρ εἰπεῖν, ἀντὶ τοῦ δέδοικα.
Ὀκνεῖν, ἰστέον ὅτι κἂν Ὅμηρος ἐπὶ τοῦ ὀκνηρῶς ἔχειν ἔταξεν, ἵνα ᾖ ὀκνεῖν, τὸ ἐκονεῖν, ἤγουν μὴ ἐνεργεῖν, ἀλλὰ ἡ πλείων χρῆσις τῶν μεθ' Ὅμηρον ἐπὶ φόβου τὸν ὄκνον τίθησι, καὶ ἐστὶ πολλὴ ἡ χρῆσις παρὰ Σοφοκλεῖ.
Ὄκνος, ῥαθυμία. οἱονεὶ ἀκινός τις ὢν, καὶ συγκοπῇ ἄκνος. καὶ τροπῇ τοῦ α εἰς ο, ὄκνος.
Ὄκνος ἐστὶ, φυγὴ πόνων.
Ὄκνος ἐστὶ φόβος, μελλούσης ἐνεργείας.
Ὀκνῶ, τὸ φοβοῦμαι, καὶ τὸ ῥαθυμῶ. ὀκνεῖν ποτὲ μὲν τὸ μετ' αἰτίας τινός ἐστιν ἀναβάλλεσθαι, οἷον τὸ ἀρχόμενοι δυσηλεγέος πολέμοιο ὤκνεον ἀμφότεροι. ὅτε δὲ τὸ ἀλόγῳ καὶ ἀναιτίῳ ῥαθυμίᾳ κατέχεσθαι, ὅθεν καὶ ὀκνηρός. ὀκνῶ, ἔχει ἐναντίον τὸ προθυμῶ.
Ὁκοῖον, ὁποῖον, Ἀττικῶς.
Ὀκορνοὺς, τοὺς ἀττελάβους καὶ τὰ ἀκριδώδη οὕτω λέγουσιν.
Ὁκόσα, ἀντὶ τοῦ ὁπόσα, Ἰωνικῶς.
Ὄκρα, τόπος.
Ὀκριάζων, τραχυνόμενος.
Ὀκρίβαντες, ἐφ' ὧν ἄκρων ἱστάσιν οἱ ὑποκριταί. οἱονεὶ ἀκρίβαντές τινες ὄντες, παρὰ τὸ ἄκρον. γράφεται δὲ διὰ τοῦ ι ὡς ἀργὸν ἀργικέραυνον.
Ὀκρίβας, χῆμα ἡνιόχου.
Ὀκρίβας, σκηνὴ ἰδίως πάντων τῶν λεγόντων τὰ πλαστικὰ πήγματα, ἐν οἷς διατυποῦσι τὰς εἰκόνας. καὶ τὰ ὑπερείσματα τῶν ξυλίνων θεάτρων. βέλτιον φάναι τὸ λογεῖον, ἐφ' οὗ ἵσταντο οἱ τραγῳδοί. ἢ οἱ ὑποκριταὶ, ἐκ μετεώρου καὶ ἔλεγον. οἱ δὲ ὄνον φασὶν εἶναι. οἱ δὲ, ἄγριον κριόν. ἄλλοι κλίμακα. Πλάτων ἐν συμποσίῳ, ἰδὼν τὴν σὴν ἀνδρείαν καὶ μεγαλοφροσύνην, ἀναβαίνοντος ἐπὶ τὸν ὀκρίβαντα μετὰ τῶν ὑποκριτῶν, καὶ βλέψαντος ἐναντία.
Ὀκρυόεις, χαλεπός, μισητός. ἢ κρύους καὶ φόβου ποιητικός. παρὰ τὸ ἄκρον ἀκριόεις, καὶ ὁ ἀκρότατος φόβος. ἢ παρὰ τὸ κρύος, κρυόεις. καὶ πλεονασμῷ τοῦ ο, ὀκρυόεις.
Ὀκριόεις, ὁ τραχὺς λίθος. ὀκρίας δὲ, τὰς πέτρας φησὶν Ὅμηρος. ὀκρίας ἠνεμοέσσας, παρὰ τὸ ἄκρος καὶ τὴν ἐξοχὴν, ἐστὶν ἄκριος, κατὰ πλεονασμόν. ἢ κατὰ παραγωγὴν, γίνεται ἄκριος, ὡς αἰπόλος αἰπόλιος, καὶ βοιωτὸς βοιώτιος. ἐκ δὲ τοῦ ἄκριος, γίνεται ἀκριόεις, ὡς βροτὸς βροτόεις. καὶ τροπῇ τοῦ α εἰς ο. τὸ θηλυκὸν, ὀκριόεσσα.
Ὀκρυόεις λᾶς, ὁ ἔχων ἄκρας, ἤγουν ὀξύτητας. διὸ ἑρμηνεύων Ὅμηρος ἐπάγει, ὀξεῖ λᾶϊ. ὥσπερ καὶ ἡνιοχῆα εἰπὼν ἐπιφέρει ἵππον ἡνία ἔχοντα, τρόπῳ ἐτυμολογικῷ.
Ὀκρυόεσσα νεὸς, τραχεία.
Ὄκρις, ἐξοχὴ μεγίστη παρὰ τῷ Ἱπποκράτει.
Ὀκτάβλωμον, ἤγουν ἕκαστον τῶν κλασμάτων ἔχοντα, ὀκτὼ δήκματα ποιεῖν δυνάμενον.
Ὀκτάβλωμος, εἰς ὀκτὼ δήγματα τρωγόμενος ὀκτάβλωμος ἄρτος.
Ὀκτάδιον, καλάθιον πρὸς ὀρνιθάρια.
Ὀκτάκνημον, ὀκτάραβδον, ὀκτάμετρον. ὅτι τοῦ τετραμέτρου ἀρεταῖς Ἀριστοφάνης ὁ ποιητής. ὡσαύτως καὶ τοῦ ὀκταμέτρου.
Ὀκτάποδα πολύπουν, καὶ τὴν τρίαιναν, πολυγλώχινα σίδηρον, καὶ πολύζυγον νῆα, λέγουσιν οἱ ποιηταί. τιθέντες ἀριθμὸν ὡρισμένον ἀντὶ τοῦ ἀορίστου. ὡς ἐν τῷ ἑκατόμβην καὶ ἑκατόμπολιν.
Ὀκτὼ, ὁ ἀριθμός.
Ὀκτώβριος, ὄνομα μηνός.
Ὀκτώπουν, Κρατῖνος θράτταις, ὀκτώπουν ἀνεγείρεις, ἀντὶ τοῦ σκορπίον. καὶ παροιμία, σκορπίον γὰρ ὀκτώπουν ἀνεγείρεις.
Ὀκτώσεις, οἴσεις, οἰκήσεις.
Ὀκτώτας, ποταμός.
Ὀκτώπηχυ, τὸ ὀκτάπηχυ.
Ὀκχὴ, στήριγμα, βάσταγμα. γένετο δ' εἰρήνης σκυτάνιον, ὃ δὴ πέλε γήραος ὀκχή. καὶ ὀκχήσασθαι, ἐπικαθεσθῆναι.
Ὄκχνη, στήριγμα, βακτηρία, ἔρεισμα, σκῆπτρον.
Ὄκως, ἀντὶ τοῦ ὅπως, Ἰωνικῶς.
Ὀκωχεῖν, ἔχειν, συνέχειν.
Ὄλα, τὰ ἐντὸς τῆς σηπίας στρογγύλα.
Ὀλαὶ, αἱ μεθ' ἁλῶν μεμιγμέναι κριθαὶ καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι. Ἀριστοφάνης, ἐκ τῶν ὁλῶν.
Ὀλαεῖ, ἐνοχλεῖ. καὶ ὀλαθεῖ ὁμοίως.
Ὀλαιμὰς, ὁ τὰς ὄλας βάλλων.
Ὀλαιποὶ, σπερμολόγοι. καὶ ὀλαποί.
Ὀλβίζειν, μακαρίζειν, εὐδαίμονα ἡγεῖσθαι.
Ὀλβιοδαίμων, εὐτυχέστατος, ἡ κλητικὴ ὦ ὀλβιόδαιμον. προπαροξύνεται δὲ κανόνι τοιούτῳ. τὰ εἰς ων βαρύτονα μακρᾷ παραληγόμενα, ἔχοντα τὴν κλητικὴν εἰς ον, περισπῶνται ἁπλᾶ ὄντα. οἷον ὦ μαχάον, ὦ ἀρεταῖον. σύνθετα δὲ ὄντα, ἀναδίδωσι τὸν τόνον, κυλλιπόδιον, ποσείδαον, ὀλβιόδαιμον.
Ὀλβάχιον, κανοῦν. δεινολόχος.
Ὀλβιοδότης, πλουσιοδότης.
Ὄλβιος, ὁ μακάριος. καὶ ὀλβίζω, τὸ μακαρίζω. καὶ ὄλβος, ὁ πλοῦτος.
Ὄλβιός ἐστιν, ὁ τὸν ὅλον βίον, ἤτοι τὸν τῆς ζωῆς πάντα χρόνον ἐν εὐδαιμονίᾳ διάγων. τινὲς δὲ ὄλβιόν φασι κυρίως, τὸν ἀπὸ γεωργίας πλούσιον. οὐ ἐν ὀλαῖς, ἤτοι κριθαῖς ὁ βίος. ἃς καὶ οὐλὰς ἡ ποίησις λέγει, ἐξ ὧν ὡς ἀπὸ μέρους, τὰ ἐκ γῆς δηλοῦται ἀγαθά. αἱ δὲ ῥηθεῖσαι ὀλαὶ, καὶ τὸν ὅλμον ἴσως παράγουσιν, ἐν ᾧ δηλαδὴ αἱ τοιαῦται ὀλαὶ μειοῦνται, εἰς πτισάνης σκευήν.
Ὄλβος κατὰ μέν τινας, ἡ εὐδαιμονία, ἢ ἡ φρόνησις. ὅθεν ὄλβιος μὲν Πρίαμος. ἄολβος παρὰ μὲν Σοφοκλεῖ, ὁ ἀπαίδευτος, ὡς τὸ, ἄνολβον ἄνδρα ἐνουθέτει παρών. ἴσως δὲ καὶ ταυτὸν ὄλβος καὶ πλοῦτος. ἕτεροι δὲ ὄλβον φασὶ τὴν τῶν ἀγρῶν κτῆσιν παρὰ τὰς ὀλὰς, ὅ ἐστι τὰς κριθάς. ἵνα ᾖ ὄλβος ὁ περὶ ὀλὰς βίος. τουτέστιν ἐκ μέρους, ὁ ἐκ γεωργίας.
Ὀλέεσκον, πλεονασμὸν ἔχει τοῦ ε ἐν τῇ παραληγούσῃ.
Ὀλέθριον, μέχρι θανάτου. Σοφοκλῆς, ὀλέθριον αἰκίζει.
Ὄλεθρος, βαθὺς· ἔνιοι ἐπὶ κόσμου γυναικείου, ἀπώλεια.
Ὀλέθριος, ἐξολοθρευτής.
Ὀλέθρου πείρατ' ἐφῆπται. εἴληπται δὲ ὡς ἀπὸ χοινίου ἁπτομένου ποθὲν κατὰ τὰ πέρατα, καὶ δηλοῖ συμβολικῶς ὅτι τέλειος καὶ πεπερασμένος ὄλεθρος τῶν μνηστήρων ἧπται, καὶ οὐ ἐπέκεινα οὐκ ἔστιν εὑρεῖν ἕτερον ὄλεθρον.
Ὀλεῖ, ἐνοχλεῖ, ἐξολοθρεύει.
Ὀλεὶρ, ἑλιοσμύς.
Ὀλέκει, φονεύει. καὶ ὀλέκεσθαι, τὸ ἐπιστρόφως καὶ ἐρρωμένως ἐπ' αὐτοὺς ἐπιστρέφεσθαι.
Ὀλέκοντο, ἀπὸ τοῦ ὤλεκα. ἐνεστὼς ὀλέκω, ὡς ἀπὸ τοῦ δέδοικα, δεδοίκω. ὀλέκοντο δὲ λαοὶ, ἀπὸ τοῦ ὀλώλεκα.
Ὀλέκρανον τινὲς τὸν ἀγκῶνα, ἢ τὸ ἐπὶ τῇ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπώδυνος δὲ ὁ τόπος οὗτος τοῖς τρωθεῖσιν. ἄλλως ὀλέκρανα λέγονται, τὰ τῶν ὀλένων κρανία, τουτέστι τῶν χειρῶν. δῆλον δὲ, ὅτι τὸ ὀξὺ καὶ ἐπικαμπὲς τῶν χειρῶν, λέγει Ἀριστοφάνης, ὃν ἀγκῶνα φαμέν.
Ὀλερὸν, βορβορῶδες τεταραγμένον.
Ὀλερὸν, δυσῶδες, ἢ μέλαν παρὰ τῷ Ἱπποκράτει.
Ὀλέσαι, ἀπολέσαι.
Ὄλεσαν καὶ τὸ θῆκαν ἀνόστους, τὴν αὐτὴν σημασίαν ἔχουσι παρ' Ὁμήρῳ.
Ὀλεσίκρανον, ὀλύμπια, ἑορτὴ παρ' Ἕλλησι, μείζων τῶν ἄλλων παρ' αὐτοῖς ἑορτῶν. καὶ ὁ νικήσας ἐν αὐτοῖς, τοὺς λεγομένους ὀλυμπιακοὺς ἀγῶνας, ἐπίσημος ἦν ἐντεῦθεν, καὶ παντελῶς ἐφημίζετο.
Ὀλετὴρ, φονεὺς ἢ φθορεύς.
Ὀλετῆρες, φονεῖς, ἀφανισταί, παρὰ τὸ ὄλλω τὸ φθείρω.
Ὀλέσαι νόστιμον ἦμαρ, ἀπόλωλε κακὸν μόρον, τὸ ἐν πλάνῃ τινὰ θανεῖν οὕτω φράζει.
Ὄλεχθον, τὸν μαζονόμον.
Ὄληαι, ἀπόλῃ, ἀποθάνῃς.
Ὀληθεὶς, ὀδυνηθείς. ὀλήσαι, καὶ τὰ ὅμοια.
Ὀλιβάξαι, ὀλισθεῖν.
Ὀλιβρὸν, ὀλισθηρὸν, λεῖον, ἐπισφαλές.
Ὀλιγαρχία, τὸ ἐν τοῖς ὀλίγοις ἄρχεσθαι. ὀλιγαρτία δὲ, ἡ λεῖψις τοῦ ἄρτου.
Ὀλίγ' ἄττα, ὀλίγα τινά.
Ὀλιγαρχούμενοι, ὑπὸ ὀλίγων ἀρχόμενοι. τρεῖς εἰσι πολιτεῖαι, Βασιλεία, Ὀλιγαρχία, καὶ Δημοκρατία.
Ὀλίγαιμος, ὁ ὀλίγον ἔχων αἷμα.
Ὀλιγαύλαξ, ἡ μικρὰ χώρα. ἢ τ' ὀλιγαύλαξ σπείρεσθαι.
Ὀλιγηπελέειν, παρὰ τοῖς ὕστερον τὸ ὀλιγοθυμεῖν, καὶ λιγοψυχεῖν.
Ὀλιγηροσία, πενιχρά. ἐξ ὀλιγηροσίης μοίρας ἀλοεῖται στάχυος.
Ὀλίγγος, ὁ γόνος τῶν ἀκρίδων.
Ὀλίγινθα, ὀλίγον.
Ὀλίγιοι, εἶδος ἀκρίδων. τινὲς ῥιζίον ὅμοιον βολβῷ.
Ὀλίγιστος, ὀλιγοχρόνιος, ἐλάχιστος.
Ὀλιγογνώμων, ὀλίγωρος.
Ὀλιγοδεὴς, ὀλίγων χρήζων. καὶ ὀλιγοδεία. καὶ ὀλιγοδεία, τὸ ὀλίγων δεῖσθαι.
Ὀλιγοδρανέων, καὶ ὀλιγοδρανὴς, ὀλίγια ἰσχύων. ἢ ὀλιγοδρανέων, ὀλίγον δυνάμενος.
Ὀλίγον, ἀντὶ τοῦ οὐδ' ὅλως. Ὅμηρος, ἦ ὀλίγον σοὶ παῖδα ἐοικότα γείνατο Τυδεύς. καὶ ὀλίγον ἀντὶ τοῦ ἡσυχαίτερον. ὁ δὲ ὀλίγον φθέγγεται πρὸς τὴν κόρην, καὶ αἰτεῖ πιεῖν. ὀλίγον καὶ τὸ μικρόν. σπονδὴν ὀλίγην κιρναμένην κύλικι.
Ὀλίγον, ὀλίζον καθ' Ἡρακλείδην Ἴωνες φασίν. οἱ νεώτεροι τῷ ζ ἀντὶ τοῦ γ χρώμενοι, καὶ τὸ μὲν φύγω φύζω λέγοντες, τὸ δὲ πέφυγα καὶ πεφυγὼς, πέφυζα καὶ πεφυζώς. ἐρεῖ δὲ φησὶν οὕτω, καὶ ἐκ τοῦ φυγῶ φυγήσω πεφυγηκότες γενέσθαι τὸ πεφυζότες, ἐξαιρεθείσης τῆς μέσης συλλαβῆς, καὶ τοῦ γ τραπέντος εἰς ζ, ὃ γίνεται ἐν τῷ φυγὴ φύζα, ὅθεν φυζινὲς φησὶν ὁ δειλός.
Ὀλίγος καὶ πολὺς, δυοῖν ἐναντίων ὀνομάτων ὄντων, ὁποτέρῳ ἂν αὐτῶν προσέλθῃ τὸ οὐ ἀποφατικὸν ἐπίρρημα, ταυτὸν τῷ ἑτέρῳ γίνεται. τὸ τε γὰρ οὐ πολὺς, ταυτόν ἐστι, τῷ ὀλίγος, καὶ τὸ οὐκ ὀλίγος, τῷ πολύς.
Ὀλιγοπελέων, ἔστι καὶ ὄνομα ἡ ὀλιγοπελία, ὅ ἐστιν ὀλιγοψυχία. ἔστι γὰρ ὀλιγοπελέειν, τὸ ὀλίγον τινὰ πέλειν. ἢ ὀλιγοῦσθαι τοῦ εἶναι διά τι πάθος φθοροποιὸν, ὁποῖον καὶ ὁ αἰνὸς κάματος.
Ὀλίγου δεῖν, σχεδόν.
Ὀλίγου σε κύνες διεδηλήσαντο, ἐλλειπτικῶς ἐγράφη ἀντὶ τοῦ δι' ὀλίγου καιροῦ, ὅπερ οἱ μεθ' Ὅμηρον, καὶ μικροῦ λέγουσι, καὶ μικροῦ δεῖν.
* Ὀλιγοφόρος οἶνος, ὁ τῆς τοῦ ὕδατος μίξεως ὀλιγίστης χρήζων εἰς τὸ ποθῆναι, καθάπερ ἐκ τοῦ ἐναντίου πολυφόρος, ὁ πολὺ ὕδατος δεόμενος εἰς τὴν εὔκρατον μίξιν.

Ὀλι-

Digitized by Google

Ὀλιγόφρων, μικρόψυχος.
Ὀλιγοψύχησα, ἐμικροψύχησα.
Ὀλιγωρεῖν τὸ ἀμελεῖν, ἤγουν ὀλίγην ὤραν καὶ φροντίδα ἔχειν. καὶ ὀλίγον, οὐδαμῶς. ὡς παρ' Ὁμήρῳ, ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς.
Ὀλιγωρηκότες, ἠφροντικότες, ἠμεληκότες.
Ὀλιγωρία, ὀλιγαρτία, ἡ τοῦ σίτου ἔνδεια.
Ὀλίγωρος, ἀμελής, μικρόψυχος, παρὰ τὴν ὤραν, ὃ σημαίνει τὴν φροντίδα. τὸ δὲ ὀλίγον, ἐπὶ τοῦ οὐδαμῶς, ὡς τὸ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς.
Ὀλίζονες, οἱ ὀλίγοι. καὶ ὀλίζονος, ἀντὶ τοῦ μικρᾶς καὶ ὀλίγης καὶ εὐτελοῦς παρὰ τὸ ὀλίγον, ὀλίζον.
Ὀλίζον, λέγουσιν οἱ Θεσσαλοί, τὸ μικρόν, ὡς Δημοσθένης ἱστορεῖ ἐν κτίσεσιν.
Ὀλιζοῦται, μειοῦται, ὀλιγοῦται.
Ὀλιζών, πόλις πρὸς τὸ Αἰγαῖον. ἐκλήθη δὲ ἡ ῥηθεῖσα πόλις Μελίβοια ὁμωνύμως ἡρωΐδι γυναικί. ἡ δὲ Ὀλιζὼν καὶ ὀξύνεται καὶ φυλάσσει τὸ ω ἐν ὅλῃ τῇ κλίσει. φασὶν οὖν Ἀπίων καὶ Ἡρόδωρος ὀλιζῶνα, ὡς μεδεῶνα, δηλοῦντες ὅτι ὥσπερ ἡ μεδεών, οὕτω καὶ ἡ ὀλιζὼν ὀξύνεταί φασι πρὸς ἀντιδιαστολὴν τοῦ ὀλίζων, ἤτοι ὀλίγος. ὡς τό, λαοὶ δ' ὑπολίζονες ἦσαν. Θετταλοὶ γάρ φασι τὸ μικρόν, ὀλίζον καλοῦσιν. ὅθεν καὶ ἡ πόλις ἐκλήθη, διὰ τὸ μικρὰ εἶναι. ὁ πολίτης ταύτης, ὀλιζόνιος.
Ὀλίος τὸ ὀλίγος, λέγουσιν ἄνευ τοῦ γ.
Ὀλίκοι, ἐκκομίδαι.
Ὄλινοι, κριθῆς δεσμοί, καὶ λῖνος παρὰ Κυπρίοις.
Ὀλικῶς, ἀεί, διόλου.
Ὄλισβος, αἰδοῖον δερμάτινον, ᾧ ἐχρῶντο αἱ Μιλήσιαι γυναῖκες, ὡς τριβάδες καὶ αἰσχρουργοί, ἐχρῶντο δὲ αὐτοῖς καὶ αἱ χῆραι γυναῖκες. Ἀριστοφάνης, οὐκ εἶδον οὐδ' ὄλισβον ὀκταδάκτυλον, ὃς ἂν ἡμῖν σκυτίν' ἦ ἐπικουρία, παρὰ τὴν παροιμίαν. συκίνη ἐπικουρία, ἐπὶ τῶν ἀσθενῶν.
Ὀλισθάνοντα, ὀλισθαίνοντα, παρὰ τῷ Ἱπποκράτει.
Ὄλισθε, παρατετηρημένως, ἐπὶ τοῦ ἥπατος εἶπεν ὁ ποιητής. ὀλισθηρὰ γὰρ ἡ φύσις τοῦ ἥπατος. καὶ ἐν τούτῳ τῷ τόπῳ ἔφη κόλπον, τὴν παρὰ τὸ ἦπαρ τοῦ ἱματίου πᾶσαν κοιλότητα.
Ὀλισθεῖν, δραμεῖν, πεσεῖν, ἐλθεῖν.
Ὀλισθηρός, ἀνόλισθος, ἀσχερῶς μεταγινώσκων.
Ὀλισθηρὸς εἶ, καὶ ἐκδιδράσκεις ἐκ τῶν χειρῶν.
Ὄλισθος, παρὰ τὸ ὅλος θέειν. ἢ παρὰ τὸ ὅλος καὶ τὸ ἵζω τὸ κάθημαι, ὅλος καταπίπτων. καὶ ῥῆμα, ὀλισθαίνω τὸ καταπίπτω.
Ὄλισθος, πτῶσις, ὅλιος, σκίρος, ἔλιος.
Ὁλκάδας, τὰς ναῦς λέγουσιν. ἀπὸ τοῦ ἕλκειν.
Ὁλκαῖον, λεκάνη, νιπτήρ, κρατήρ.
Ὁλκάζει, ἕλκει, χαλιναγωγεῖ.
Ὁλκάς, τὸ μέγα πλοῖον. ἐφόλκιον δέ, ὅπερ ἐπισύρεται ἡ ὁλκάς, τουτέστι τὸ μικρὸν πλοιάριον.
Ὁλκεῖς, οἱ τὰ ἀμφίβληστρα ἐπισπῶνται.
Ὁλκῇ, δυνάμει, ἢ βάρει, ἢ σταθμῷ.
Ὁλκήν, ἐπαγωγήν, ῥοπήν.
Ὁλκήιον Ἀργοῦς, τὸ κάτω τοῦ πλοίου ξύλον τὸ πρὸς τῇ τρόπιδι, δι' οὗ ἡ ναῦς ἕλκεται, ὃ πήγνυται πρῶτον ἐπὶ γῆς, κατασκευαζομένου πλοίου.
* Ὅλκιμον τὸ βάρους ἔμφασιν ἔχον. ὀνομάζεσθαι γὰρ ἐν τῇ συνηθείᾳ κατὰ τοῦ βάρους τὴν ὁλκήν.
Ὅλκιον, μέγας κρατήρ, λουτήρ.
Ὁλκός, ὁδός, ἢ αὐλαγωγὸς ῥεύματος, ἢ οὐρά. ἢ ὁλκὸς κυρίως, τὸ τῶν δρακόντων σύρμα, καταχρηστικῶς δέ, καὶ τὸ τῆς τρόπιδος ἔκτυπωμα. δρακοντοειδὲς γὰρ διὰ πάσης τῆς νεὼς διήκον.
Ὁλκός, ἰσχυρὰ φορά, παρὰ τὸ ἕλκω, ὁλκός. καὶ φέρω, φορβός. ὅθεν καὶ ὁλκάδες αἱ νῆες. καὶ ὁλκοὶ οἱ τόποι, δι' ὧν ἑλκύονται αἱ νῆες. ὁλκός, καὶ ἡ τοῦ ὄφεως οὐρά. ὁλκός, καὶ τὸ βάρος φέρον. ὡς τὸ ὁλκὸν χρυσοῦ βαρυτάλαντον.
Ὁλκός, ἡ διαδρομὴ τοῦ ἀστέρος, παρὰ τῷ Ἀπολλωνίῳ.
Ὁλκοὺς παρὰ τῷ Ἀπολλωνίῳ τὰς φυσήσεις, καὶ οἷον ἐπάρσεις καὶ μετεωρισμοὺς τῶν κυμάτων.
Ὁλκός, ὁδός. ἢ αὐλαγωγὸς ῥεύματος παρὰ τῷ Ἀπολλωνίῳ. σημαίνει ἔτι καὶ τὴν διαδρομὴν τοῦ ἀστέρος.

Ὁλκοῖσι, ταῖς ἐγχαράξεσιν. ἑλκομένου γὰρ τοῦ ἀρότρου ἡ γῆ διαρρήγνυται. καὶ ὁλκὸν τὴν αὔλακα λέγει ὁ Ἀπολλώνιος.
Ὀλλάρια, τὰ χυτροπώλια, ἔνθα πιπράσκονται αἱ χύτραι.
Ὄλλει, φθείρει.
Ὀλλύει, ἀπολλύει, φονεύει.
Ὄλλυμι, ἐνεστώς. καὶ ὀλλύω τὸ φθείρω. ὤλλυον παρατατικός. ὀλέσω μέλλων, ὤλεσα ἀόριστος, ὀλώλεκα παρακείμενος, ὄλλυμαι ἐνεστώς, ὠλλύμην παρατατικός, ὀλοῦμαι μέλλων, ἀπωλόμην ἀόριστος, ὄλωλα παρακείμενος μέσος. ἰστέον ὅτι τὸ ἀπόλλυμι τέσσαρα ἔχει θέματα. οἷον ὄλλω, ἄχρηστον. ὀλῶ μέλλων. ἐξ οὗ καὶ ὄλωλα καὶ ἀπόλωλα καὶ ἀπολόμην. ὀλέω ὀλῶ ἄχρηστον καὶ αὐτό, ἐξ οὗ καὶ ἀπολέω καὶ ἀπολώλεκα καὶ ἀπόλεσα. ὀλλύω ὤλλυον, καὶ ἀπώλλυον. καὶ ὄλλυμι, ἐξ οὗ καὶ ὄλλυμαι καὶ ὀλλύμην.
Ὄλλυσθαι, ἀπόλλυσθαι.
Ὀλμειός, ποταμός ἐστι τῆς Βοιωτίας ἀπὸ Ὀλμειοῦ τοῦ Σισύφου παιδός.
* Ὄλμιον, πόλις Βοιωτίας.
Ὅλμος, οὐ πολλαχοῦ χρῆσις, παρὰ τὸ ὀλλεῖν γίνεται καὶ μηνεῖν τὰ ἐν αὐτῷ πτισσόμενα. περὶ τοῦ τοιούτου ὅλμου λόγος ἦν, ὡς οἱ κοιμώμενοι ἐν αὐτῷ μαντικοὶ ἐγίνοντο. Παυσανίας οὖν φησι παροιμιακῶς ἐν ὅλμῳ ἐκοιμήσω, ἤγουν μαντικὸς ἐγένου. διατὶ δὲ βαρύνεται, ἐν τοῖς περὶ τοῦ ὄγμου δηλοῦται.
Ὅλμον λέγουσι τὸ μαγειρικὸν ἐργαλεῖον, καὶ ὁ τρίπους τοῦ Ἀπόλλωνος. καὶ ὀλμειός, στρογγύλος λίθος, εἰς ὃν κόπτουσιν ὄσπρια, καὶ ἄλλα τινά.
Ὅλμος, ἐπὶ τοῦ κορμοῦ τῶν ἡμετέρων σωμάτων, διὰ τὴν ἀκρωτηρίαν ἀποκεκλιμένων τῶν χειρῶν, ὅλμῳ ἐοικώς. ὅλμος δ' ὃς ἔσσευε βαλὼν κυλινδόμενος. ὅλμος δέ ἐστι, κοῖλος λίθος, εἰς ὃν κόπτουσιν ὄσπρια, καὶ ἄλλα τινά. ἢ ἐν ᾧ πτίσσουσι τὰς κριθάς, καὶ τὰ παχύτερα τῶν μυρεψικῶν καταλεαίνουσι. τὸ δὲ τύπτον τὰς κριθάς, ὕπερον λέγεται, ὅ ἐστιν ἰγδοκόπανον.
* Ὀλόβογρα, πόλις Μακεδονίας.
Ὀλοβολάδες, θῖνες.
Ὀλόγιον, Ὀζῶνες συμπεφυκώς.
Ὀλοεῖται, ὑγιαίνει.
Ὀλοεργός, κακοῦργος.
Ὀλοεχῖνους, Θεόφραστός φησι, τοῦ ἐχίνου τρία εἴδη εἶναι, ὧν ὁ τρίτος τῷ μεγέθει καὶ τῇ ἀσαρκίᾳ διαφέρων ὀλοέχινος καλεῖται.
Ὀλοή, καὶ ὀλοιὴ ἡ ὀλεθρία. παρὰ τὸ ὀλλῶ. ἐξ οὗ καὶ τὸ ὀλλύω, γίνεται ὀλοὸς ὀλοή, ὡς θοὸς θοή. καὶ πλεονασμῷ τοῦ ι, ὀλοιή.
Ὀλοῇσι φρεσί. παρ' Ὁμήρῳ ὀλοόν, τὸ ὀλέθρου ποιητικόν. ἐνταῦθα δὲ ὀλοῇσι φρεσίν, ἀντὶ τοῦ βεβλαμμέναις.
Ὀλοῇσι φρεσὶ θύει, τὸν θυμὸν παρετυμολογεῖ. ἐκ τοῦ θύειν γάρ, ὅ ἐστιν ὁρμᾶν, παράγεται ὁ θυμός. ἐκ δὲ τοῦ ὀλοὴ φρήν, σύγκειται τὸ ὀλοόφρων, ἐκ τοῦ ῥηθέντος θύειν. καὶ θυάδες αἱ βάκχαι. αἱ δὲ αὐταί, θύσαι παρὰ Λυκόφρονι.
Ὀλοθούριον, εἶδος θαλάττιον.
Ὀλοθρευτοῦ, δύναμίν τινα λέγει ὁ Ἀπόστολος, τιμωρόν. καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.
Ὄλοισος, ὁ ἀπολλύς.
Ὁλοκαρπούμενον, ὅλον προσφερόμενον.
Ὁλοκαύτωμα, ὅλον πυρὶ καθαγιαζόμενον, ὁλόκληρον.
Ὄλοκες, αὔλακες.
Ὁλοκληρία, ἕνωσις.
Ὁλόκληρός ἐστιν, ὁ καὶ τὴν πρᾶξιν μετὰ τῆς γνώσεως, καὶ τὴν θεωρίαν οὐκ ἄπρακτον διανύων.
Ὁλόκνημοι, ὁλομελεῖς.
Ὁλοκωνίτην, βοτάνη τὶς ἀγρία λαχανώδης, παρὰ τῷ Ἱπποκράτει.
Ὀλολυγήν, τὴν τῶν γυναικῶν εὐχὴν καλεῖ ὁ Ποιητής, καὶ τὸ σὺν οἴκτῳ αὐτὰς εὔχεσθαι, ὀλολύζειν φησίν. οἱ δὲ νεώτεροι, ἐπὶ τοῦ κλαίειν τὸ ὀλολύζειν ἔθεντο. κατὰ τὸ ἀνωλόλυξε τῶν νεανιῶν. ἐξ οὗ καὶ ὄρνεον ἡ ὀλολυγών. ὡς ἐκ τοῦ τρύζειν ἡ τρυγών, ἣν λαλιστάτην κατὰ καὶ τὴν κερκώπην ἡ παροιμία οἶδεν.
Ὀλολυγμός, θρῆνος μετὰ κραυγῆς καὶ ἤχου.
Ὀλολύγον, ζωΰφιον γινόμενον ἐν ὕδασιν ὅμοιον

ἐντέρῳ. καὶ τὰς εὐήθεις δὲ οὕτως ἔλεγον.
Ὀλολυγών, ἀπὸ τοῦ ὀλολύζειν. κατὰ γὰρ Ἀριστοτέλην, πάνυ ὀλολύζει τὸ ζῶον ἐν τοῖς ἑλώδεσι τόποις κατὰ τὴν νύκτα. ὡς οὖν ἀπὸ τοῦ ὀλολύζω ὀλολυγών, καὶ στάζω σταγών, οὕτω καὶ ἀπὸ τοῦ τρύζω τρυγών, ἀηδῶ ἀηδών, πλήσσω πλαγών, καὶ κοκκύζω κόκκυξ.
Ὀλολύζειν, τὸ μετὰ κραυγῆς εὔχεσθαι. Ὀλολύζω, θρηνῶ μετὰ κλαυθμοῦ καὶ κραυγῆς τὴν φωνὴν ὑψῶ.
Ὀλομένον, δεινόν.
Ὀλόν, τὸ μέλαν τῆς σηπίας, παρὰ τῷ Ἱπποκράτει.
Ὄλονθον, τὸν γνάθον ἔπαιξέ τις, εἰπὼν τὴν ὅλην ὄνθον. ἤτοι γέμουσαν πικρίας. τοῦτο δὲ κατὰ λόγον δριμύτατος. ἄλλως γὰρ κοινότερον ὄλονθος, μετὰ πνεύματος ψιλοῦ ὁ καρπὸς τῆς ἀγρίας συκῆς.
Ὀλοοίτροχος. ἔχει μὲν πλεονασμὸν τοῦ ι, ὅμοιον πρὸς τὸ ὁδοιδόκος καὶ ὁδοιπόρος. οὐ διὰ μέτρον, ἀλλὰ πρὸς ἀποφυγὴν τῶν ἀλλεπαλλήλων ο, χάριν εὐφωνίας μόνης. καὶ εἰ μὲν ψιλοῦται κατά τινας, δηλοῖ τὸν ὀλοὸν ἐν τῷ τρέχειν, εἰ δὲ καθ' ἑτέρους δασυνόμενόν ἐστι, σημαίνει τὸν ὅλον τροχοειδῆ καὶ πανταχόθεν ἀστήρικτον. Δημόκριτος δέ φασι τὸ κυλινδροειδὲς σχῆμα οὕτω καλεῖ. Ἡρόδοτος δὲ τετρασυλλάβως ὀλοίτροχον πέτρον λέγει. ἐλλιπῶς οὖν εἴρηται παρὰ τῷ Ποιητῇ, ὀλοοίτροχος. λείπει δὲ λίθος, ἢ πέτρος.
Ὀλοοῖο, δεινοῦ, ἢ ἀγαθοῦ.
Ὀλοοίτροπα, παρὰ Ῥοδίοις ἐπιπλάσματα εἰς θυσίαν.
Ὀλοόν, κακόν, χαλεπόν, ὀλέθριον, ἢ ἀγαθόν.
Ὀλοός, δασυνομένης μὲν τῆς πρώτης συλλαβῆς δηλοῖ τὸν φρόνιμον, καὶ ὑγιῆ. ψιλουμένης δέ, τὸν ὀλέθριον, καὶ τὸν ὀλέθρια φρονοῦντα.
Ὀλοοσσών, ἡ καὶ λευκὴ προσαγορευθεῖσα, διὰ τὸ λευκάργιλος κατὰ τὸν γεωγράφον εἶναι. περραιβική φησι πόλις.
Ὀλοόφρονα, Ἄτλαντα λέγει Ὅμηρος, ὡς ὑπὲρ ὅλων φρονοῦντα, ἤγουν τῶν ὅλων φροντιστικόν.
Ὀλοόφρων, ὁ ὀλέθρια φρονῶν.
Ὀλόπτειν, λεπίζειν, τίλλειν, κολάπτειν.
Ὀλόπτοον, συμπεφυκότα.
Ὀλός, θολός.
Ὅλος, ἅπας, εἰ μὲν εἴη ἐπὶ ψυχῆς καὶ διανοίας, μεγάλα. ἐπὶ δὲ σώματος, μικρά. ὅλος ἀνάπηρος.
Ὅλος, παρὰ τὸ ὀλῶ τὸ πληρῶ.
Ὀλοσπαδεῖς, ὅλαι κατασπώμεναι, καὶ κατατεινόμεναι.
Ὀλόσφυροι, ὁλοσφύρατοι.
Ὁλοσχερής, διόλου, ἀθρόως, τέλειος, ὁλόκληρος, δυσχερής, ἐξ ὁλοκλήρου.
Ὁλόσχοινος, ὀξύσχοινος.
Ὀλότροχος, περιφερὴς λίθος.
Ὁλότης, ἡ ὁλοκληρία. ἢ περὶ οὗ ὁ λόγος ἐστί, δι' ἑαυτῆς γνωρίζουσα.
Ὀλουρίδας, εἶδος κόγχης.
Ὀλουφεῖν, τίλλειν.
Ὀλοφλυκτίδες, φλυκταίναι, παρὰ τῷ Ἱπποκράτει.
Ὀλοφυγγόνα, φλυκτὶς ἐπὶ τῆς γλώττης.
Ὀλοφυγών, καὶ πλεονασμῷ τοῦ δ' ὀλοφυγδών. ἡ παρὰ τῷ Θεοκρίτῳ ἐκ τοῦ ὀλοφύζειν. εἰ μὴ ἄρα ὥσπερ ὀλοφύζω ὀλοφυδνόν, οὕτω καὶ ὀλοφυδών, καὶ προσθήκῃ ὀλοφυγδών, κατὰ τὸ ἐδούπησαν ἐγδούπησαν. ἰστέον δέ, ὅτι καθ' Ἡρόδοτον ἐκ Λιβύων ἦλθεν εἰς Ἕλληνας τὸ ὀλολύζειν ἐπὶ ἱερῶν. ἐν Λιβύῃ γὰρ πρῶτον ἐγένετο ἡ ὀλολυγὴ ἐπὶ τῶν ἱερῶν.
Ὀλοφυδνόν, τὸ ὀλολύζον, ἔχει πρωτότυπον κατὰ Ἡρωδιανὸν ὅμοιον ὀλολύζω. ἵνα ᾖ ὡς παίζω παιδνόν, οὕτω καὶ ὀλοφύζω ὀλοφυδνόν. καὶ ὥσπερ ὀλολύζω ὀλολυγών, τρύζω τρυγών, οὕτω καὶ ὀλοφύζω ὀλοφυγδών. ὡς τὸ ὀλοφυγδόνα φύσεις. εἰ δὲ καὶ τὸ ἔθνος οἱ Ὀλοφύζιοι ἐκ τοῦ τοιούτου παράγονται ῥήματος, ἀφ' ὧν παίζει τοὺς ὀπτυζίους ὁ κωμικός, οὐκ ἔστι στερεῶς εἰπεῖν. πόλις δέ φασι θρακικὴ περὶ Ἄθων Ὀλόζος, ἀφ' ἧς ἱστορεῖταί τις Ἡρόδοτος γράψαι περὶ νυμφῶν.

Digitized by Google

Ὀλοφύρατο, ἠλεήσατο καὶ ἐπὶ τοῦ ἠλέησεν. καὶ ὀλοφυράμενος, συμπαθῶν, πάσχων, ὀλοφυρόμενος, κλαίων, θρηνῶν. κυρίως δὲ μετὰ τιλμοῦ τῶν τριχῶν.

Ὀλόφυλος, ὁ ὁλόκληρος.

Ὀλόφυξις, Θρακία πόλις περὶ Ἄθω.

Ὀλοφύρεσθαι, τὸ ὅλως ἢ μετὰ ὀλολυγῆς φύρεσθαι δάκρυσι.

Ὀλοφύρεσθαι κυρίως ἐστὶ, τὸ ἐπί τινι ὅλον φύρεσθαι δάκρυσιν. ἐκ τούτου δὲ ὀλοφυρμός, ὡς ἐκ τοῦ ὀδύρεσθαι καὶ πτύρεσθαι ὀδυρμός, καὶ πτυρμός.

Ὀλοφυρόμενος, κλαίων. κυρίως μετὰ τιλμοῦ τῶν τριχῶν κλαίειν.

Ὀλοφώϊα, κυρίως τὰ ὀλοθρευτικὰ φωτῶν, ἤτοι ἀνδρῶν, ἢ ἅπερ ὄλλυσιν ἐν τῷ φανῆναι. νῦν δὲ ἄλλως καὶ ἀντὶ τοῦ δεινά, καὶ ἐκφοβητικά. ἢ γάρ, οὐκ ἂν ἐξεφαίνεθ' ὁ Πρωτεύς; ὅστε πῦρ καὶ λέοντα ἐφάνταζε, καὶ δράκοντα καὶ ἕτερά τινα φοβερά.

Ὀλόφωνος, ὁ ἀλεκτρυών, ὥσπερ Κρατῖνος.

Ὀλοφώϊον, τὸ ἀλέθριον, τὸ δόλιον, τὸ χαλεπόν. παρὰ τὸ τοὺς φῶτας ὀλλύειν, ἤγουν τοὺς ἄνδρας φθείρειν.

Ὀλοώτερον, καὶ δικαιότερον, συγκριτικοῦ ὄντα τύπου, ἀντὶ ἁπλῶν λαμβάνονται παρὰ τῷ Ποιητῇ. οἷον οὔτι σεῖο Θεῶν ὀλοώτερος ἄλλος, ἀντὶ τοῦ ὀλοὸς ἐν θεοῖς.

Ὄλπα, ἡ ἐλπίς, καὶ χόνδρου τις ἕψεσις, λήκυθος, ἔδεσμά τι, ἢ ὄλβος.

Ὄλπια ὄρη, τὰ διείργοντα Ἰταλίαν καὶ Κελτικήν.

Ὄλπις παρὰ Θεοκρίτῳ, ἀπὸ τοῦ λέπω λόπις, καὶ ἐν ὑπερθέσει τοῦ ο ὄλπις, ὁ τοὺς λεπιδωτοὺς ἰχθύας ἀγρεύων, ἢ τοὺς ἄλλοπας. ἔστι δὲ πεποιημένον ὄνομα. ἢ κύριον τοῦ ἁλιέως. Ἄλλως.

Ὄλπις τὸ ὄνομα τοῦ ἁλιέως, παρὰ τὴν λεπίδα τῶν ἰχθύων, ἢ παρὰ τὴν τοῦ σώματος χίσιν. ὄλπιν γάρ φασι τὴν λήκυθον, ὡς εἶναι παρὰ τὴν σμικρότητα τοὔνομα. ἢ ὄλπις, ὁ τοὺς ἔλλοπας ἀγρεύων, κατὰ διαφορὰν τῶν ἄλλων ἁλιέων. εἰσὶ γὰρ καὶ ἕτεροι οἱ περὶ τὰ ὄστρεα ἀσχολούμενοι.

Ὄλπις. Καλλίμαχος, καί ῥα παρὰ σκαιοῖο βραχίονος ἔμπλεον ὄλπιν. σημαίνει δὲ ἡ λέξις τὴν λήκυθον. εἴρηται δὲ παρὰ τὸ οἱονεὶ ἐλαιόλπιν τινά, διὰ τὸ δι' αὐτῆς ὀπιπεύεσθαι τὸ ἔλαιον.

Ὀλύκειν, ἀπολλύναι, πολιορκεῖν, φονεύειν.

* Ὀλυμπίειον, τόπος ἐν Δήλῳ, ὃν κτίσαντες Ἀθηναῖοι χρήμασιν Ἀδριανοῦ, νέας Ἀθήνας Ἀδριανὰς ἐκάλεσαν.

Ὀλύμπια κάρηνα, οἰκειότερον ἐπὶ ὄρους νοεῖν, ἤπερ ἐπὶ οὐρανοῦ. Ὄλυμπος μὲν γὰρ τὸ ὄρος ἔχει κάρηνα, ἤτοι ἐξοχάς. ὁ μέντοι Οὐρανὸς σφαιροειδὴς ὤν, οὐκ ἂν κυρίως λέγοιτο κάρηνα ἔχειν. ὅλως γὰρ ὁ Ὅμηρος περὶ Ὀλύμπου, ὡς μὲν ὄρους λέγειν ἔργον ἔχει καθὰ Ποιητής. ὡς δὲ περὶ Οὐρανοῦ ἀλληγορικῶς, πάρεργον.

Ὀλύμπια, πέντε ἡμέρας ἐτελεῖτο, ἀπὸ ἑνδεκάτης τῆς Σελήνης, μέχρι τῆς ὅλης πεντεκαιδεκάτης. προεγυμνάζοντο δὲ πρώτην ἡμέρας τριάκοντα.

Ὀλυμπίασι προπαροξυνόμενον λέγεται περὶ τόπου, ἐὰν περὶ πράγματος ἡ δηλοῦσα ἡ λέξις, οἷον ὡς εἰ λέγοι τις δέκα ὀλυμπιάσιν ἐφεξῆς ἐνίκησεν ὁ δεῖνα, προπερισπᾶται. γίνεται γὰρ τὸ μὲν ἀπὸ τοῦ ὀλυμπίων ὀλυμπίασι. τὸ δὲ ἀπὸ τοῦ ὀλυμπιάς, ὀλυμπιᾶσι. ἔστι τὰ εἰς ι λεγόμενα τῶν ἐπιρρημάτων ζητεῖ τὸν πρῶτον τοῦ ὀνόματος τόνον. οἷον ὀλυμπιὰς ὀλυμπιᾶσι, πλὴν τῶν διὰ τοῦ θεν. ἐκεῖνα γὰρ ἐνήλλαξεν. οἷον ἵππος, ἱππόθεν, σεσημείωται τὸ οἴκοθεν.

Ὀλυμπιονίκης, ὁ ἐν παλαίστρᾳ γενναιότατος. ἢ ὁ νενικηκὼς κατὰ τοὺς ὀλυμπιακοὺς ἀγῶνας ἐκαλεῖτο.

Ὀλύμπιος, ὁ οὐράνιος, θαυμαστός. ὀλύμπειος δὲ αὐλησμός, ὁ τοῦ Ὀλύμπου, δίφθογγον.

Ὄλυμπος παρὰ τῷ Ποιητῇ, ὄρος Μακεδονίας. ἢ καθ' Ἡρόδοτον Θετταλίας ὑψηλότατον θεῶν οἰκητήριον. κατὰ μύθων ἄδειαν θελήσαντος, ὡς ἀνθρωποπαθέσιν αὐτοῖς καὶ τόπον τινὰ ἐξαίρετον δοῦναι εἰς ἀνθρωπικωτέραν διαγωγήν. ὅθεν καὶ ὀλύμπιοι λέγονται. ἡ δὲ ἀλληγορία, Ὄλυμπον τὸν Οὐρανὸν λέγει, ὡς οἷον ὁλόλαμπον. καὶ τάχα διὰ τοῦτο ὁ μῦθος οὐκ ἄλλο τι ὄρος αὐτοῖς ἔδωκεν, ἀλλὰ τὸν Ὄλυμπον. διὰ τὸ ἔχειν δηλαδὴ συμβιβάζεσθαι εἰς τὸν λαμπρὸν Οὐρανόν, τῇ ἀναπτύξει τοῦ ὀνόματος. ἔοικεν ἐκ τοῦ ὁλόλαμπος συγκοπῆναι μὲν ἡ λα συλλαβή, τραπῆναι δὲ τὸ δεύτερον ο, εἰς υ Αἰολικῶς. ὡς τὸ ὄνομα ὄνυμα. ἐξ οὗ καὶ τὸ ὀνυμαίνω, καὶ τὸ νώνυμος, διὸ καὶ ψιλοῦται τὸ ὄλυμπος. ψιλωτικοὶ γὰρ οἱ Αἰολεῖς.

Ὀλυμποί εἰσιν ἕξ. Μακεδονίας, Θεσσαλίας. ἐν ᾧ καὶ ὀλύμπια φησὶν Ἀπολλόδωρος ἄγεσθαι. Μυσίας, Κιλικίας, Ἤλιδος, καὶ Ἀρκαδίας.

Ὄλυνθοι λέγονται, τὰ ἄωρα σῦκα. ὄμφακες δὲ αἱ ἄωροι σταφυλαί, καὶ οἱ ἄλλοι καρποί. ὅθεν καὶ ὀμφάκιον λέγομεν ἔλαιον, τὸ ἐκ μὴ πεπείρων ἐλαιῶν γεγονός.

* Ὄλυνθος παρὰ τὸ ὅλως ἀνθεῖν, ἤγουν ἐκ πρώτης ἀνθήσεως τὸ αὐτὸ ἔχειν.

* Ὄλυνθος οὖν, ἡ ὠμὴ συκῆ. καὶ Ὄλυνθος πόλις ἐν Θράκῃ.

Ὄλυνος, τὸ ἀπόσμημα, καὶ ἀποκάθαρμα.

Ὄλυρα, κριθή.

Ὀλύραι, σπέρμιον μέλαν, μικρότερον τοῦ λεγομένου βίκου, καὶ τοῦ ὀρόβου, καὶ φυλάσσει μέχρι καὶ νῦν τὴν κλῆσιν παρά τισι τῶν παραθαλασσίων ἐποίκων τῆς μεγάλης Λυκίας.

Ὄλχον, ἔνεδραν.

Ὀλώδεα, θολερά, ἢ μέλαινα, παρὰ τῷ Ἱπποκράτει.

Ὄλωλα, καὶ ἀπόλωλα, καὶ ὀλώλεκα, καὶ ἀπολώλεκα, ἐπὶ παρακειμένου λαμβανόμενα, οὐ ταὐτὸ δηλοῦσιν. ὄλωλα δὲ ὀλώλεκα, οὐ συνήθες, εἰ μή που σπάνιον καὶ παρὰ Ποιηταῖς, μετὰ προθέσεως ἀεὶ γράφεται Ἀττικῶς.

Ὀλώλαμεν, ἀπολόμεθα.

Ὀλώλη, ὑποτακτικὸν τοῦ ὄλωλα.

Ὅλως, παντελῶς.

Ὅλως ὀψιμαθής, ὅλως σοφιστής, μέγα. ὁλοανάπηρος, μικρόν.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Μ.

Ὁμαδεῖν, ἀθροίζειν.

Ὅμαδος, ἡ ὁμοῦ αὐδή, ὁ κοινὸς θόρυβος. ὅπερ καὶ ἀλαλητὸς λέγεται, οἱονεὶ ὁμολάλητος.

Ὅμαδος καὶ βοητὺς ταυτόν. ὥσπερ αὖ πάλιν ὅμαδος καὶ ἀλαλητός.

Ὅμαδος, βοὴ σύμμικτος. ἀπὸ τοῦ ὁμοῦ αὐδᾶν. ὅ,τι δὲ τοῦτο τοὔνομα δηλοῖ Ὅμηρος ἐν δευτέρᾳ ῥαψῳδίᾳ δῆλον, ἐπάγεται γάρ, εἴ ποτ' αὐτῆς χοίατο.

Ὅμαδος, ὁ θόρυβος καὶ ὁ λαὸς καὶ ἡ συνάθροισις. κυρίως ἐπὶ ἀνδρῶν, ὁμόαυδός τις ὤν.

Ὁμαίμονας κατὰ τὸν Σοφοκλῆ, ὁμογενεῖς.

Ὁμαίμων, ὁ γνήσιος ἀδελφός.

Ὁμαιχμία, ὁμομαχία, συμμαχία, φιλία, παρὰ τὸ ὁμοῦ τὰς αἰχμὰς τίθεσθαι.

Ὁμαίχμιος, ὁ μέσος.

Ὁμαλῆ, ὁμοῦ.

Ὁμαλίζω, λεαίνω.

Ὁμαλὸν ἐποίησαν, ἀντὶ τοῦ ἀπώξυναν. κατὰ τὸ ἀποξῦναι δ' ἐκέλευσε. καὶ ἔστι μὲν καὶ τὸ ἐθόωσα ταυτὸν τῷ ἀπώξυνα.

Ὁμαλόν, λεῖον, ἴσον, ἰσόπεδον, εὐχερές.

Ὁμάξασθαι, ἐκμάξασθαι, ὁμοιωθῆναι.

Ὁμαρές, ὁμοῦ, συμφώνως.

Ὄμαρξον, ἀπόμαξον.

Ὁμαρτεῖν, καὶ ἁμαρτεῖν, ἀμφότερα ἐπὶ τοῦ ἐπιτυχεῖν καὶ ἀκολουθεῖν, τὸ δὲ δεύτερον καὶ ἐπὶ τοῦ συμπράξαι λαμβάνεται.

Ὁμαρτεῖν, τὸ ἀκολουθεῖν, καὶ τὸ ὁμοῦ τυχεῖν σημαίνει.

Ὁμαρτῇ, τουτέστιν ὁμοῦ. ἰστέον δὲ ὅτι τὸ ἁμαρτεῖν, ὃ γίνεται ἀπὸ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ, ἡ μὲν συνήθεια περισπᾷ. ὡς τὸ εἰκῇ, πολλαχῇ. καὶ ὅσα τοιαῦτα ἐν οἷς καὶ τὸ ἡσυχῇ καὶ βίῃ, ὄντα φωνῆς προβάσει ὀνοματοποιηθέν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. Ἀρίσταρχος δὲ ὀξύνει, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται λέγων ἐκ τοῦ ἁμαρτήδην συγκοπῆναι αὐτό. ἰστέον δέ, ὡς εἰ καὶ ὁμαρτῇ τὸ ῥηθὲν ἐπίρρημα γράφεται, κατά τινα τῶν ἀντιγράφων, ἔχεται λόγου, διὰ τὸ καὶ τὸ ἀκολουθεῖν, ἁμαρτεῖν τε λέγεσθαι διὰ τοῦ α καὶ ὁμαρτεῖν διὰ τοῦ ο, ἐκ τῆς αὐτῆς ἐτυμολογίας τῷ ἐπιρρήματι, ὡς ἔστι γνῶναι καὶ αὐτὸ ἐκ τῶν παλαιῶν.

Ὁμαρτήσαντες ἄμφω, ἀντὶ τοῦ ἅμα ὁρμήσαντες, καὶ ὡς εἰπεῖν ὁμοῦ ἀρηρότες ἀλλήλοις.

Ὁμαρτήτην, παρ' Ὁμήρῳ, ἐν τῷ ι τῆς Ἰλιάδος, οἱ μὲν ἐπίρρημα νοοῦσιν ἀντὶ τοῦ ὁμοῦ. ἕτεροι δέ, ῥῆμα κρεῖττόν φασιν, ἀντὶ τοῦ ἠκολούθησαν κατὰ τὴν βουλήν. οἱ δὲ φασι τελείαν ἐνταῦθα εἶναι γραφὴν ὁμάρτησαν, καὶ ὁμαρτήδην, καὶ διὰ τοῦ τ ὁμαρτήτην, ἐν πᾶσι δὲ δηλοῦσθαι τὸ ὁμοῦ. ὡ δὲ καὶ ἔστι ῥῆμα τὸ ὁμαρτήτην, παραληγόμενον τῷ η, ἐκ τοῦ ὁμαρτησάτην συγκέκοπται.

Ὅμαυλον, ὁμόκοιτον, ὁμοῦ αὐλιζόμενον.

Ὀμβρεῖ, ἀτμίζει, ἀκολουθεῖ, ὑπερχύει, αὔξει, πιαίνει, πλήθει.

* Ὀμβρείας, καὶ ὀμβρεία οἱ Ποιηταὶ λέγουσι τὰ πάντων τῶν ἀγρίων τέκνα.

Ὀμβρίζω, καὶ σταθμίζω εὕρηται παρὰ τοῖς παλαιοῖς, μέλλοντες δὲ αὐτῶν, ἢ ὅλως αἱ ἐξ αὐτῶν κινήσεις οὐχ εὕρηνται. ἀλλὰ καὶ τὸ ὤμβρισε, καὶ τὸ ἐστάθμισε, διὰ τοῦ η γράφονται, ὡς ἀπὸ θεμάτων τοῦ ὀμβρῶ καὶ σταθμῶ.

* Ὄμβρικοι ἔθνος Ἰταλικὸν περὶ τὸν Ἀδριανὸν κόλπον, μέσον τοῦ Πάδου καὶ Πικεντικοῦ. λέγονται καὶ ὄμβροι, παρὰ δὲ τοῖς Ἰταλικοῖς συγγραφεῦσι, Σίμβροι.

Ὀμβριμοεργός, ὁ μεγάλοις ἔργοις ἐπιτιθέμενος, καὶ ἰσχυρὰ διαπραττόμενος, ἰσχυροπράγμων, ἰσχυρὸς ἐν τῷ ἐργάζεσθαι, ἰσχυρὰ ἐργαζόμενος.

Ὄμβριμον, καὶ ἐπὶ ὕδατος τίθεται. ὡς καὶ ἐπὶ ἔγχους.

Ὀμβροβλυτῶν, ὑετὸν καταχέων.

Ὀμβρήσας, ὑετίσας, καταχέας. ὀμβρίζω δὲ ἐπὶ ἐνεστῶτος ι.

Ὄμβρος, χοιρίδιον. ἢ ὑετός.

Ὄμβρος, παρὰ τὸ ὁμοῦ ῥεῖν ὁμόροος, ὅμορος, καὶ συγκοπῇ ὄμβρος. καὶ ἐπεὶ τὸ μ πρὸ τοῦ ρ οὐ δύναται εἶναι, πλεονάζει τὸ β καὶ γίνεται ὄμβρος, ὁ ὁμοῦ ῥέων καὶ κατερχόμενος. ἢ ἀπὸ τοῦ φέρω κατὰ συγκοπὴν φρὸς καὶ βρός, καὶ προσθήκῃ τοῦ ο, ὄβρος, ὥσπερ στοῦν ὀστοῦν. καὶ πλεονασμῷ τοῦ μ ὄμβρος. ἢ ἀπὸ τοῦ βάρος βρός, καὶ ὄμβρος ὁ βαρέως φερόμενος.

Ὄμβρος Διός, τουτέστιν ἀέρος.

Ὁμειρόμενοι, ὁμείρονται, ἐπιθυμοῦσιν.

Ὀμεῖται, ὀμνύει.

Ὁμέστιοι, σύνοικοι.

Ὁμέστιχος, ὁμόστιχος.

Ὁμευνήτω, συγκοίτω, ὁμολέκτρου.

Ὀμή, ὁμοία, ἢ ὀμνύεις, καὶ ὁμὴ νῶϊ, ἡ αὐτὴ ἡμᾶς τοὺς δύο.

Ὁμηγερέες, ὁμοῦ ἀθροισθέντες.

Ὁμηγερέεσσιν, ὁμοῦ πᾶσιν.

Ὁμηγόροι, ἰσήγοροι, ἐν ταυτῷ συνήγοροι.

Ὁμηγύρειν, τὸ συνάξαι.

Ὁμηγύρεως, συνόδου, συναθροισμοῦ.

Ὁμηγυρίζειν, ὅμοιον τῷ σωφρονίζειν. ὁμηγυρίονται μὲν γάρ τινες αὐτοί. ὁμηγυρίζονται δὲ ὑπ' ἄλλων.

Ὁμήγυρις, πλῆθος, ὄχλος, συναγωγή, συνέλευσις.

μηγυρίσασθαι, ὁμοῦ συναγαγεῖν πολλούς.

μήθεα, συνήθη. ὁμηλαδὸν μάχεσθαί ἐστι, τὸ κατὰ πλῆθος καὶ ἀναμίξ, καὶ ὅ φασι κατὰ ἴλας. οὐ μὴν μονομαχικῶς καὶ ὡς ἂν ὁ Ποιητὴς εἴποι μόναξ.

Ὁμηλικίη, τῆς αὐτῆς ἡλικίας, συνῆλιξ.

Ὁμῆλιξ, ὁ συνηλικιώτης.

Ὁμήν, ὁμοίαν, τὴν αὐτήν.

Ὁμήνιεν, ὠργίζετο.

Ὁμηνήν, στροφήν.

Ὁμη-

Digitized by Google

Ὄμηρα, τὰ ἐπὶ συμβιβάσει διδόμενα ἐνέχυρα.
Ὁμηρεία, ἡ τοῦ ὁμήρου. καὶ ἡ συναλλαγὴ, καὶ ἀντίδοσις.
Ὁμηρεῖν, ὁμοῦ ἁρμόζεσθαι καὶ συμφωνεῖν.
Ὅμηροι, ἐγγυηταὶ, ἀκολουθεῖ.
Ὁμηρίδαι, αἱ ῥαψῳδίαι.
Ὁμήρειον ἔπος, τὸ τοῦ Ὁμήρου.
Ὁμηρεῖοι, ὁμόψηφοις ὁμογνώμοσιν.
Ὁμηρεῦσαι, τὸ συμβολῆσαι.
Ὁμηρεία, ἡ συνάντησις.
Ὁμηριάδην, ψάλλεσθαι.
Ὁμηρίδαι, οἱ τοῦ Ὁμήρου ὑποκρινόμενοι.
Ὁμηρίζω, τοῖς Ὁμήρου χρῶμαι.
Ὅμηρος, ὁ τυφλὸς καὶ ὁ ἐνεχυραζόμενος.
Ὁμηρῶρες, ἀκολουθοι συνήγοροι.
Ὅμηρος, κύριον. καὶ ὅμορος ὁ πλησιόχωρος. παρὰ τὸ συνεῖναι τοῖς λαμβάνουσιν. οἷον ὁμοῦ συνόντων.
Ὁμηρίδαι, γένος ἐν Χίῳ. Ὁμηρίδας δὲ ἀπὸ γένους εἶναι τοῦ Ποιητοῦ. ὠνομάσθησαν γὰρ ἀπὸ τοῦ Ὁμήρων, ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι, εἰς μάχην ἦλθον τοῖς ἀνδράσι, καὶ δόντες ἀλλήλοις ὅμηρα νυμφίους, καὶ νύμφας ἐπαύσαντο, ὧν τοὺς ἀπογόνους ὁμηρίδας λέγουσιν.
Ὁμηρεῖται, ἐθνικόν.
Ὁμηρῶ, περὶ διαλαγῆς λαλῶ.
Ὁμηρῆσαι, τὸ συμβαλεῖν. Ὅμηρος, ὡμήρησε δέ μοι παρ' ἑτέρων ἄγγελος ἐλθών. Θεόπομπος δὲ ὁμηρεῖν φησι παρὰ τοῖς Ἀχαιοῖς λέγεσθαι τὸ ἀκολουθεῖν. τοὺς ἐν τῇ ἀκολουθίᾳ τῶν ὁμολογουμένων διδομένους, ἐντεῦθεν ὁμήρους φασὶ λέγεσθαι.
Ὁ Μίδας, Βασιλεὺς Φρυγῶν πλούσιος.
Ὁμιλαδὸν τὸ ἐν συστροφῇ καὶ τάξει μάχεσθαι κατὰ τάγμα καὶ ἄθροισμα.
Ὁμιλεῖν, δηλοῖ τὸ ὁμοῦ τὰς ἴλας γενέσθαι.
Ὁμιλεῖ τίς τινι, ἀντὶ τοῦ διαλέγεται. καὶ ὁμιλεῖ βιβλίῳ, ἀντὶ τοῦ εἰς λόγους ἔρχεται. ὁμιλεῖ δὲ θανάτῳ, ἀντὶ τοῦ ἑνοῦται. καὶ ὁμιλεῖ συμφοραῖς, ἀντὶ τοῦ ἐνοῦται καὶ συγκυρνᾶται. ὁμιλεῖ, ἀντὶ τοῦ συναναστρέφεται. ὁμιλῶ σοι ἐπὶ σοφίᾳ, καὶ ἐπὶ λόγοις.
Ὁμιλέομεν, διαλεγόμεθα.
Ὁμιλῆσαι, πολεμικὴ λέξις, παρὰ τὸ ὁμοῦ τὰς πολεμικὰς στρατιωτικὰς ἴλας εἶναι μαχομένας, ἐν τῷ Ὀδυσσείας. ὡς ἐν τῷ ὁμιλέομεν Δαναοῖσιν, ἡ περίφρασις τὸ δῶαι ὅμιλον, καὶ τὸ ἐξ ἧς παρὰ νηυσὶ μάχην ἤγειρας. ἐκ δὲ τοῦ ὁμιλέομεν Δαναοῖς, ἤγουν ὁμόσε κατὰ πολεμικὰς ἴλας αὐτοῖς γινόμεθα.
Ὁμιλία ἐπὶ τῶν ἐνωμένων. κοινωνία, ἐπὶ τῶν συμμετεχόντων τινός. ἐπεὶ δὲ ἡ ἕνωσις καὶ διὰ λόγων, καὶ διὰ μίξεως ἀφροδισίων, καὶ δι' ἑτέρων, λέγεται ὁμιλία καὶ ἐπὶ συνουσίας καὶ διαλέξεως. ὁμιλεῖ γάρ τις τινὶ, ἀντὶ τοῦ διαλέγεται. καὶ ὁμιλεῖ βιβλίῳ, ἀντὶ τοῦ διέρχεται, λέγουσι γὰρ τὸ βιβλίον ἐμπεριέχει. παρὰ Σοφοκλεῖ τὸ ὁμιλεῖν κεῖται ἀντὶ τοῦ εἰς γάμον ἔρχεται.
Ὁμιλίαι χθονὸς, ἀντὶ τοῦ φιλίαι, ἔρωτι τῆς πατρίδος. καὶ ἀντὶ τοῦ πάλη. περὶ γὰρ τὴν πάλην ἐσπεύδασαν οἱ Θηβαῖοι.
Ὅμιλον πρῶτον, ἤγουν τὸν πρόμαχον πρῶτον. ὅμαδον καὶ πρώτην ὑσμίνην τοῦ λέγει Ὅμηρος.
Ὅμιλος τερπόμενοι. Ἀττικῶς ἐσχημάτισται. ἄλλος γὰρ ἔχει ἐστὶν ὅμιλος τερπόμενος.
Ὅμιλος, ἐπὶ μὲν τοῦ πολέμου, παρὰ τὸ ὁμοῦ τὰς ἴλας ἐμβάλλειν, ὅ ἐστι, τὰς συστροφὰς ἐπὶ δὲ τῆς ἀναστροφῆς τοῦ πλήθους, ἤγουν τοῦ ὄχλου, παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι.
Ὁμιλῶ, τὸ ἐντυγχάνω, οἷον, ὁμιλῶ συμφοραῖς. ὁμιλία καὶ οἱ κείμενοι λόγοι, εἰς τὸ ἐντυγχάνειν αὐτοῖς τινάς.
Ὁμιν, ὅτι αὐτόν.
Ὄμιχησις, ἡ οὔρησις.
Ὀμιχεῖν, σημαίνει τὸ οὐρεῖν. ἔστι δὲ βαρύτονον ῥῆμα. οἷον ὀμίχω. ὁ μέλλων, ὀμίξω. ὁ ἀόριστος, ὤμιξα. οἷον ὤμιξεν αἷμα.
Ὀμίχλη, διὰ τοῦ η. ἰστέον δέ ἐστι καθάπερ ὀμίχλη ὥσπερ καὶ κίχλη, καὶ ζάγκλη, καὶ τρίγλη, ὡς ἀρέσκον ἐστὶν Ἡρωδιανῷ. τὰ μέν τοι εἰς α φύσει τοιαῦτα ὀνόματα ὑπὲρ τὸ λ καὶ ἕτερον λ ἔχει, ἤγουν διὰ δύο λλ ἐκφέρονται, οἷον Σίβυλλα, Ἀνθύλλα. ἀδελφὴ Μέμνονος. ἀφ' ἧς ἐν τῷ Νείλῳ πόλις ὁμώνυμος. ὅθεν φασὶ τὸ γρίβλα παραλόγως γραφὴν ὑπότινων διορθωτέον, ἀναλογώτερον γὰρ τὸ γρίβλη.
Ὀμίχλη. σκότος, ἀορασία. ἡ παχὺς καὶ ὑγρὸς ἀήρ. οἱονεὶ, ὁμοίλη τις οὖσα παρὰ τὸ ὁμοῦ, καὶ τὴν εἴλησιν τῶν νεφῶν, ὁμίλη, καὶ πλεονασμῷ τοῦ χ, ὁμίχλη.
Ὀμίχματα, οὐρήματα.
Ὄμμα, ὄμμα αἰθέρος ὁ ἥλιος. ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται. ἐπεὶ καὶ οἱ τραγικοὶ εἰώθασιν ὀνομάζειν αὐτὸν ὀφθαλμόν.
Ὄμμασι, οἱονεὶ ἵματα καὶ οἵματα ὄντα, ἐπεὶ δὶ αὐτῶν ἀφίεται καὶ ὁρμᾶσθαι καὶ τὸ ὁρατικὸν, αἰολικῶς, ὅπτα τὰ περὶ τὰς ὦτας.
Ὀμματήεις πόθος, διὰ τὸ ἐκ τοῦ ὁρᾶν ἁλίσκεσθαι ἔρωτι. ἐκ τοῦ γὰρ εἰσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν καὶ ἐν Ἀχιλλέως ἐρασταῖς, ὀμματοπάλογχά φησιν.
Ὄμνυμι, τὸ ὀμνύω. ὀμόσω ἐπὶ μέλλοντος. ἀπὸ θέματος ἀρχῆς ὁ παρ' Ἀττικοῖς ὀμοῦμαι λέγεται. καὶ ὀμόσαι ἐπὶ ἀορίστου. ἀφ' ὧν, ἀνωμνύειν, καὶ συνωμνύειν, καὶ ἀπόμνυσθαι, διὰ τοῦ ο μικροῦ. καὶ ἀνωμοσία, καὶ συνωμοσία, καὶ ὑπωμοσία, διὰ τοῦ ω μεγάλου. καὶ ἀντωμοσία μένει ἐστὶν, ὅταν οἱ κατηγοροῦντες καὶ κατηγορούμενοι ἀντωμνύωσιν. οἱ μὲν ἀληθῆ κατηγορήσειν, οἱ δὲ ἀληθῆ ἀπολογήσεσθαι. συνωμοσία δὲ, ὅταν τινὲς ἐπί τινι συμφωνήσαντες ὀμνύωσιν. ἡ δὲ ὑπωμοσία, τὸ ὑποτίθεσθαί τινα δίκην μεθ' ὅρκου προφάσει χρώμενον ἀποδημίᾳ, ἢ νόσῳ, ἤ τινι τῶν παραπλησίων.
Ὄμνυμι τὸν Θεὸν, καὶ ὄμνυμί σοι εἰς τὸν Θεὸν, ἢ κατὰ τοῦ Θεοῦ. ἢ κατόμνυμι τοῦ Θεοῦ. καὶ Ἀριστοφάνης, τῷ ὄμνυτε, ἢ σιδαρέοισιν.
Ὄμνυμι, ὀμνύναι. Ἀριστοφάνης ὄρνισιν, οὐκ ὄμνυσι γὰρ, ἀλλ' εὔχεται. συντάσσεται αἰτιατικῇ, καὶ γενικῇ δὲ, ὅτε μετὰ τῆς κατὰ προθέσεως. ἢ ὄμνυμι κατὰ Θεοῦ, ἢ κατόμνυμι τοῦ Θεοῦ.
Ὀμνύω, ὀμῶ, ὀμονύω. καὶ συγκοπῇ, ὀμνύω πεπονθόν. ἢ παρὰ τὸ ὁμοῦ καὶ τὸ νεύειν, ἢ παρὰ τὸ ὄμμα καὶ τὸ νεύειν. οἱ γὰρ ὀμνύοντες κατανεύουσιν.
Ὁμοαιχμία, ὁμομαχία.
Ὁμόβωμοι θεοὶ, ἐν Ἐλευσῖνι Δήμητρος καὶ Κόρης εἰσίν.
Ὁμογάλακτες οἱ ἐκ τοῦ αὐτοῦ γένους, ἢ ἀδελφοί.
Ὁμογενῶν, συγγενῶν.
Ὁμογάστριος, ἐκ τῆς αὐτῆς γαστρός.
Ὁμόγνια, ὁμογενῆ, γνήσια, ἢ φίλα.
Ὁμόγνιος, ὁ τοῦ γένους ἔφορον δίκαια. ἢ ὁμογενὴς, ἢ γνήσιος φίλος. ὁμόγνιε Ζεῦ, τὴν ὁμοιότητα θαυμάζων λέγει, οἷον, ὦ ὁμοιότατε.
Θ' ὁμογνώμονος, ὁμοφόνε.
Ὁμοδάλιοι, ἰσοετεῖς.
Ὁμοδίαιτος, ὁμοτράπεζος.
Ὁμόδουλος, Ἀττικὸν, ὁ σύνδουλος.
Ὁμοδίαιτος, ὁμότροφος, ὁμοτράπεζος, σύνοικος.
Ὁμόδοξος, μιᾶς καὶ τῆς αὐτῆς δόξης.
Ὁμοερκὴς, ὁμότοιχος.
Ὁμόζυγος, γαμετή.
Ὁμοήγορον, ὅμοιον.
Ὁμοίη, ἔνθεος τιμή.
Ὁμόθεν, ἀπ' αὐτῆς τῆς ῥίζης, ἤγουν γένους. Ἡσίοδος, ὡς ὁμόθεν γεγάασιν, ἤγουν ἐγεννήθησαν.
Ὁμοθυμαδὸν, ἐξ ἑνὸς στόματος, καὶ μιᾷ φωνῇ.
Ὁμόθυμος, ὁμόψυχος, ὁμόφρων, ὁμολόγος.
Ὁ, μοι, ὦ τί μοι.
Ὁμοιογενῆ, ὁμόφυλον. συγγενικόν.
Ὁμοίιον, τὸν Ποιητὴν ἐπὶ φαύλου λαμβάνειν Ἀπίων καὶ Ἡρόδωρός φασιν, ὅτι οἱ γλωσσογράφοι, ὁμοίιον κατὰ διαίρεσιν φασὶ τὸ κακόν. οἷον γῆρας τείρει ὁμοίιον, καὶ νεῖκος ὁμοίιον ἔμβαλε μέσον, καὶ θάνατον μὲν ὁμοίιον. καὶ τέλος ὁμοιΐου πολέμοιο, ἵνα εἴη ὁμοίιον περὶ ὃ πάντες ὁμοίως διάκεινται, ὡς χαλεπόν.
Ὁμοίιος, ὁ ὅμοιος, πλεονασμῷ τοῦ ι, ὡς γελοῖος, γελοίιος.
Ὅμοιον, τὸ κατά τι παραλλάττον. ταυτὸν δὲ τὸ δι' ὅλου ὅμοιον.
Ὅμοιον τῷ δεῖνι, καὶ ὅμοιον τοῦ δεῖνος. ὡσαύτως ἴσον τῷ δεῖνι, καὶ ἴσον τοῦ δεῖνος.
Ὁμοιομερὲς, οὗ τὸ μέρος τῷ ὅλῳ ὁμοιοῦται. ἢ καὶ τὸ, ἄλλοις καὶ τῷ ὅλῳ ὁμώνυμον λεγόμενον.
Ὁμοιομέρεια. Ἀναξαγόρας ὁ φιλόσοφος ἔλεγεν τὴν σελήνην οἰκήσεις ἔχειν καὶ λόφους, καὶ φάραγγας. ἀρχὰς δὲ τὰς ὁμοιομερείας. καθάπερ γὰρ ἐκ τῶν ψηγμάτων λέγομεν τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερῶν τὸ πᾶν συγκεκρίσθαι.
Ὁμοιόπτεροι, ὁμοιότιμοι.
Ὁμοῖος, προπερισπωμένως ἐκφέρουσιν οἱ Ἀττικοί. ὡς παρ' Ὁμήρῳ ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει Θεὸς εἰς τὸν ὁμοῖον. καὶ ἐστιν ἀνάλογον. τὰ γὰρ διὰ τοῦ οιος ὑπὲρ δύο συλλαβὰς μὴ ὄντα προσηγορικὰ, ἅπαντα προπερισπᾶται. οἷον, γελοῖος, ἀλλοῖος, ἑταιροῖος, παντοῖος, οὕτω καὶ ὁμοῖος. κατὰ δὲ τὴν κοινὴν συνήθειαν προπαροξύνεται, οἷον ὅμοιος.
Ὁμοῖος, ἀναλόγως προπερισπᾶσαι, ἐκ τοῦ ὁμὸς, κατὰ τὸ παντὸς παντοῖος, ἄλλος ἀλλοῖος, καὶ ἄλλα ὅμοια. τὸ μέν τοι ὅμοιος ὕστερον οἱ Ἀττικοὶ προπαροξύνουσιν.
Ὁμοιόπτωτόν ἐστι σχῆμα ἰδίως, ὅταν εἰς ὀνόματα ὁμοίως κλινόμενα λήγουσιν αἱ περίοδοι, ἢ τὰ κῶλα. καὶ ταῦτα πτώσεις ὁμοίας ἔχουσιν. οἷόν ἐστι, τὸ ἠΰτ' ἔθνεα εἶσι μελισσάων ἀδινάων πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων.
Ὁμοιοτέλευτον σχῆμά ἐστιν, ὅταν τὰ κῶλα εἰς ὁμοίας τῶν ἤχων λέξεις τελευτᾷ, τὰς αὐτὰς συλλαβὰς ἐν τοῖς πέρασιν ἔχοντα, οἷόν ἐστι, τὸ χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν. καὶ ἐν ἑκέινῳ, ὅτ' ἀνέμοισι τινάσσεται, ἠδ' ὑπ' ὄμβρῳ δάεται, ἴσα χιὼν ἐπιτίλνηται, ἀλλὰ μάλ' αἴθρη πέπταται ἀνέφελος. ἐν πέτρῳ δ' ἔτ' ἔγω κῶλον μὲν τις δόρυ δεξάσθω, εὖ δέ τις ἀσπίδα θέσθω, εὖ δέ τις ἵπποισι δεῖπνον δότω ὠκυπόδεσσι, δυσὶ σχήμασι τῇ τε ἐπαναφορᾷ, καὶ ὁμοιοτελεύτῳ ὁ ποιητὴς κέχρηται.
Ὁμοιοῦσθαι, δοτικῇ συντάσσεται. οἷον, ὁμοιοῦσθαι τῷ Ἀχιλλεῖ.
Ὁμοιωθήμεναι, ἐξισωθῆναι, συμμιγῆναι.
Ὁμοιώματα, ὑφεστώτων μιμήματα. οἷον Ἡλίου, Σελήνης, ἀνθρώπων, θηρίων.
Ὁμοίωσις ἐστι, ῥῆσις καθ' ἣν ἕτερον ἑτέρῳ παραβάλλομεν, εἴδη δὲ αὐτῆς τρία. εἰκὼν, παράδειγμα, καὶ παραβολή. εἰκών ἐστι, λόγος περιώμενος ἐξομοιοῦν διὰ τοῦ παραλαμβανομένου, πρὸς ὃ παραλαμβάνεται. οἷον, οὗτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων, ταῦρος δὲ τῇ εἰκόνι, μέγεθος, σχῆμα, χρῶμα. εἰκονίζεται δὲ, ἤτοι ὅλα πρὸς ὅλα, οἷον περίφρων Πηνελόπη Ἀρτέμιδι ἰκέλη. ἢ μέρη πρὸς μέρη, οἷον, Ἄρει δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι. μέγεθος δὲ πρὸς μέγεθος. οἷον, Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον παρὰ σηκῷ. ὡς ἱστὸν νηὸς, ἐοικὸς ὅρους. σχῆμα δὲ πρὸς σχῆμα, οἷον ἠΰτε ἔθνεα εἶσι μελισσάων. χρῶμα δὲ πρὸς χρῶμα. οἷον, ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι, καὶ τὰ λοιπά.
Ὁμοκλὴ, ἡ ἀπειλή. ἐστὶ ῥῆμα κλῶ τὸ φωνῶ καὶ λέγω. τὸ δὲ κλῶ, ἀπὸ τοῦ καλῶ γίνεται κατὰ συγκοπήν. ἐκ τοῦ ἐν κλῶ, καὶ τὸ ὁμοῦ, γίγονεν ὁμοκλῶ, καὶ ὁμοκλὴ, οἱονεὶ ἡ ὁμοῦ πᾶσι λεγομένη. οἷον κατὰ δὲ Τρώεσσιν ὁμόκλα, ἀντὶ τοῦ πᾶσιν ἐφώνει καὶ ἔλεγεν. ὅθεν καὶ τὸ ἐνικλᾶν, ἀντὶ τοῦ ἀντιλέγειν, τὴν γὰρ ἐν προθέσιν, ἀντὶ τῆς ἀντὶ εὑρίσκομεν. ὡς παρὰ Σοφοκλεῖ, ἐγὼ δ' ὁπουσία τὸν σὸν ἐνσάτην λέγω. ἀντὶ τοῦ, ἀντισάτην.
Ὁμοκλῆσαι, σημαίνει τὸ ἀπειλῆσασθαι. ὅμοιον δὲ τὸ ὁμοκλᾶν πρὸς τὸ κέκλεσθαι, ὅ ἐστιν ἐγκελεύεσθαι. καὶ ἡ ὁμοκλὴ γὰρ, ἀπὸ τοῦ ὁμοῦ κέλεσθαι γίνεται, ὅ ταυτόν ἐστι τῷ κέκλεσθαι, προπαροξύτονον ἐν αὐτῷ τὸ κέλω, καὶ ἐν διπλασιασμῷ κεκέλω. καὶ ἐν συγκοπῇ κέκλω, καὶ ἐξ τὸ κέκλεσθαι.

Ὀμοκλήσασκεν, ἐκ τοῦ ὁμοκλῶ, ἀόριστος ὡμόκλησα. τὸ γ΄ ὡμόκλησε. καὶ ὁμοκλήσασκεν, ἤγουν ἠπείλησεν.

* Ὁμοκλῆς, ὁμώνυμος.

* Ὁμόκλησας ὁμοίᾳ κλήσει καλούμενος μετ᾽ ἑτέρου.

Ὁμοκλῶ ποιητικῶς, ἀντὶ τοῦ ἀπειλῶ, ὡς παρ᾽ Ὁμήρῳ.

Ὁμόλεκτος, σύγκοιτος.

Ὁμόλη ὄρος Θεσσαλίας οὕτω καλούμενον. ἢ πόλις Θράκης.

Ὁμολιῶν. ἰσάζων, καταλεαίνων.

Ὁμολοβρὸς, αἰσχρὸς, ἀναιδὴς, περίτριμμα.

Ὁμολογεῖν, λέγεται τὸ ὁμοφρονεῖν, καὶ συνᾴδειν. καὶ τὰ μέρη ὁμολογοῦντα ἀλλήλοις ἐστὶν, ὅταν ἀνάλογα πρὸς ἄλληλα ᾖ. ὡς καὶ Ἀριστοφάνης. ὁμολογῶ σοι, ἀντὶ τοῦ συμφωνῶ σοι, καὶ συγκατατίθεμαι. καθὸ καὶ Πλάτων. ὅρα μὴ οὐχ ὁμολογεῖ ταῦτα ἀλλήλοις ὦ ἑταῖρε, ἀντὶ τοῦ συνᾴδει καὶ συμμαρτυρεῖ.

Ὁμολογῶ, γράφω, συντίθεμαι, σύμφημι, δοτικῇ συντάσσονται. οἷον ὁμολογῶ σοι, ἤγουν συμφωνῶ σοι.

Ὁμολοΐδες πύλαι, ἐν Θήβαις.

Ὁμόλος παρὰ Θεοκρίτῳ Θετταλίας ὄρος. ὡς Ἔφορος καὶ Ἀριστόδημος ὁ Θηβαῖος, ἐν οἷς ἱστορεῖ περὶ τῆς ἑορτῆς τῶν Ὁμόλων, καὶ Πίνδαρος ἐν τοῖς ὑπορχήμασιν. ἢ Ὅμολος ὄρος Θετταλίας, ἔνθα τιμᾶται ὁ Πάν.

Ὁμολώϊος Ζεὺς, ἐν Θήβαις, καὶ ἐν ἄλλαις πόλεσι Βοιωτικαῖς, καὶ ἐν Θεσσαλίᾳ, ἀπὸ Ὁμολωΐας προφήτιδος τῆς Ἐννυέως, ἣν προφῆτιν εἰς Δελφοὺς πεμφθῆναι, ὡς Ἀριστόδημος ἐν δευτέρῳ τῶν Θηβαϊκῶν. Ἴστρος δὲ ἐν τῇ δωδεκάτῃ τῆς συναγωγῆς, διὰ τὸ παρ᾽ Αἰολεῦσι, τὸ ὁμονοητικὸν, καὶ εἰρηνικὸν, ὅμολον λέγεσθαι. ἔστι δὲ ὁμολωΐα ἐν Θήβαις.

Ὁμομαστιγίας Ζεὺς, ὥσπερ φαμὲν ἑταιρεῖος Ζεὺς, καὶ ὁμόγνιος, καὶ ἱκέσιος, καὶ ξένιος, καὶ φίλιος. οὕτω καὶ δούλιος, ὁ τῶν δούλων ἔφορος. ἐπεὶ δὲ οἱ δοῦλοι μάστιξιν ὑπόκεινται καὶ πληγαῖς, διὰ τοῦτο ὁμομαστιγίας εἶπεν.

Ὁμὸν, ἐν τῷ αὐτῷ. ὅμοιον ἡμῖν, ἀμφοτέροισιν ὁμόν.

Ὁμονήδιος, ἀδελφὸς γνήσιος.

Ὁμὸν νεῖκος. τὸ ὁμοῦ ποιοῦν εἶναι τοὺς μαχητάς. ἤγουν ὁμοῦ συνέρχεσθαι, καὶ ἀναμὶξ γίνεσθαι τὰ τοῦ πολέμου. ἰστέον δὲ, ὅτι δύναται ἄλλον τρόπον τὸ ὁμὸν νεῖκος, ὅμοιον εἶναι τῷ ἴση μάχη.

Ὁμόνοιά ἐστι, κοινωνία τῶν ὄντων ἁπάντων, συμφωνία νοημάτων, καὶ ὑποληψμάτων, ἢ ἐπιστήμη κοινῶν.

Ὁμόνομον, τὸ ἔχον τὴν αὐτὴν νομήν.

Ὁμούσιον, τὸ τῆς αὐτῆς οὐσίας καὶ ἐνεργείας. ἴσον ἀπαραλλάκτως ὑπάρχον, ὥσπερ ἄνθρωπος ἀνθρώπου, ἄγγελος ἀγγέλου, καὶ ζῶον ζώου, καὶ φλὸξ φλογὸς, ἐν διαφόροις μὲν ὑποστάσεσιν, ἐν μιᾷ δὲ οὐσίᾳ ὄντα.

Ὁμούσιον δὲ λέγεται, ὅτι μίαν οὐσίαν καὶ δύναμιν κέκτηται. πενταχῶς δὲ εἴρηται τὸ ὁμοούσιον. ὁμοούσιον συγγενὲς, ὁμογενὲς, ὁμοφυὲς, καὶ ὁμόφυλον. ἢ ὁμοούσιόν ἐστι, τὸ τῇ δυνάμει ἐν τῇ αὐτῇ οὐσίᾳ ἔλαττον. οἷον λίθος σαθρὸς, καὶ λίθος ἀκρότομος, ξύλον φοίνικος, καὶ ξύλον ἐβέλινον, σὰρξ ἰχθύος, καὶ σὰρξ καμήλου. ἑτερούσιον δέ ἐστι, τὸ κατὰ πάντα τρόπον, τοῦ ἑτέρου ἀνόμοιον. ὡς πῦρ καὶ ὕδωρ. ἄνθρωπος καὶ ἄγγελος, καὶ πηλὸς καὶ ἥλιος πρὸς χλόην.

Ὁμοπαιδαικάσιν, Κασάνδρας, ὁμοῦ παιδευθέντας. ἢ ὁμοῦ τεκνωθέντας, ἐπειδὴ δίδυμοί εἰσιν.

Ὁμόπτεροι, ὅμοιοι, ὁμόστιχοι, ὁμόχροοι, ἀδελφοὶ, ἥλικες, ὁμοῦ ηὐξημένοι.

Ὁμορβεῖν, ἀκολουθεῖν, ὁδοιπορεῖν.

Ὄμοργμα, ἀποπίασμα.

Ὀμόργνυ, ἀπεπίαζεν, ἀπέμασεν. ἐκ τοῦ ὀμόργνυμι. ὀμόργνυμι δὲ ἐκ τοῦ ὀμοργνύω, παρατατικὸς ἀναύξητος, Ἰωνικῶς ὀμόργνυ. ἢ ἀπὸ τοῦ ὀμόργω, ὡς ἄγω ἀγνύω. δηλοῖ δὲ ἀποπιέζω. τὸ δὲ ὀμόργω ἔχει τὴν παραγωγὴν ἀπὸ τοῦ ἀμέλγω, ὃ καὶ ἀμέργω λέγεται.

Ὀμορίτης ἄρτος, ἐκ πυροῦ διῃρημένου γεγονώς.

Ὀμορξάμενος, θέμα ἔχει τὸ ὀμόργω. ἐξ οὗ κατὰ παραγωγὴν καὶ τὸ ἀπομόργνυσθαι. καθ᾽ ὁμοιότητα παραχθὲν τοῦ ἄγνυσθαι, καὶ ἄχνυσθαι, καὶ τῶν ὁμοίων.

Ὀμόρξασθαι, ἐκμάξασθαι καὶ ὀμόργνυσιν, ἀντὶ τοῦ ἀπομάττει, καὶ ἀποπιέζει. ἀπὸ τοῦ ἀμέλγω, τροπῇ τοῦ α καὶ τοῦ ε, εἰς τὸ ο, καὶ τοῦ λ εἰς τὸ ρ. πλεονασμῷ δὲ τοῦ ν, γίνεται ὀμόργνω. καὶ ὀμοργνύω.

Ὅμορος, πλησιόχωρος, γειτνιῶν.

Ὁμορόφιον, ὁμόσκηνον.

Ὁμορροθεῖν κυρίως, τὸ ἅμα καὶ συμφώνως ἐρέσσειν. παρὰ δὲ Ἀριστοφάνει κεῖται, ἀντὶ τοῦ συνεργεῖν τῇ εἰς θεοὺς θυσίᾳ.

Ὁμόρροια, ἄθροισμα.

Ὁμορῶ, γειτονῶ, πλησιάζω.

Ὀμόσαι ἐστὶ τὸ εἰπεῖν τι θεῖον ὄνομα. οἷον νὴ τοὺς λόγους, ἢ μὰ τὴν σὴν ἱερὰν κεφαλὴν, ἢ ἄλλο τι. τελειῶσαι δὲ ὅρκον τὸ πληρῶσαι καὶ ἀποδοῦναι τὸν ἔνορκον λόγον, ἢ ἐπωμοτικῶς, ὡς προείρηται, οἷον ποιήσω τόδε. ἢ ἀπωμοτικῶς, οὐ ποιήσω.

Ὁμόσε, ὁμοῦ, εἰς τὸν αὐτὸν τόπον. ἢ ἐξ ἐναντίας, σφοδρῶς, θρασέως.

Ὁμόσιτον, ὁμοῦ τρεφόμενον.

Ὄμοσσον, ὄμνυε ἐνεστὼς, καὶ ὄμνυμι. ὤμνυον παρατατικὸς, ὀμοῦμαι μέλλων, ὀμώμοκα παρακείμενος, ὤμοσα ἀόριστος, ἀφ᾽ οὗ προστακτικὸν ὄμοσσον, πλεονασμῷ τοῦ σ Αἰολικῶς.

* Ὁμόσπονδον, φίλον.

Ὁμόστεγοι καὶ ὁμώροφοι, ταυτόν. φάλαγγες δὲ παρὰ τοῖς ὕστερον ὑπωρόφιοι, τὰ ὑπ᾽ αὐτοῖς ὀρόφοις ἰσουργοῦντα φαλάγγια, ὅ ἐστιν ἀράχνιά τινα.

Ὁμοστιχάει, τουτέστι συνοδεύει, ἐκ τοῦ στιχῶ. οὗ τὸ θέμα στείχω. οἷς ὅμοιον καὶ στείβω στιβῶ. ἐξ οὗ στίβητος καὶ ἄστιβητος.

Ὁμοστιχεῖ, ὁμοῦ περιπατεῖ.

Ὁμόστολον, τὸ σύμμορφον τῇ ψυχῇ.

Ὁμόστολος, τῆς αὐτῆς ὁδοῦ, καὶ αὖθις τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα.

Ὁμόσφυρος ὁ ἀδελφὸς, διὰ τὸ περὶ τὰ αὐτὰ σφυρὰ τῆς μητρὸς πεσεῖν γεννηθέντα.

Ὁμόσφυροι, σύνοδοι πόρνοι.

Ὁμοταγεῖς, οἱ ἐν τῷ αὐτῷ τάγματι.

Ὁμοτελεῖς, οἱ ἀπὸ τῶν αὐτῶν τιμημάτων.

Ὁμοτέρμων, ὅμορος, γείτων.

Ὁμότροφα, τὴν αὐτὴν ἡμῖν κατανομὴν νεμόμενα.

Ὁμοῦ, ἀντὶ τοῦ ἅμα. καὶ ἐν τῷ αὐτῷ, καὶ ἀντὶ τοῦ ἐγγύς. ὁμόσε, ἀντὶ τοῦ ὀρθά, καὶ εἰς τὸ αὐτό. ὁμόθεν, ἀντὶ τοῦ ἀπὸ τοῦ αὐτοῦ. ὁμοῦ παρ᾽ Ὁμήρῳ, τὸ ἐν τῷ αὐτῷ τόπῳ σημαίνει. οἷον ὁμοῦ δ᾽ ἔχον ὠκέας ἵππους. τίθεται καὶ ἀντὶ τοῦ ὁμοίως, ὡς παρ᾽ Εὐριπίδῃ, ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρες.

Ὁμοῦ, ἐπὶ συνάψει δύο κώλων λεγόμενον, καὶ ἐπὶ τοῦ προτέρου κώλου δύναται λέγεσθαι. καὶ ἐπὶ τοῦ δευτέρου, ὥσπερ καὶ τὸ ἅμα, καὶ ὁ σύνδεσμος, καὶ τὰ ἄλλα.

Ὁμοῦ λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ ἐγγύς. ὡς τό, καὶ μὴν ὁμοῦ 'στιν ἤδε. ὀμοῦμαί σοι τοὺς θεοὺς, οὐκ ὀμόσω, καὶ ποίους θεοὺς ὀμοῖ σὺ, Ἀριστοφάνης. ἤγουν ὀμόσει.

Ὁμοϋπόστατον, τὸ εἰς μίαν καὶ τὴν αὐτὴν ὑπόστασιν ἄλλῳ συντεθειμένον. τὸ αὐτὸ δὲ κατ᾽ οὐσίαν τυγχάνον, ὡς ἐπὶ ψυχῆς ἔχει καὶ σώματος, καὶ τῶν ἄλλων ὅσα φύσεως ἑτερότητι διαφέροντα, καθ᾽ ὑπόστασιν ἥνωται.

Ὀμοῦμαι. Ἀριστοφάνης, ἀντὶ τοῦ ὃν συνθῶμαι μισθόν σοι τελεῖν. ὄμνυμι τοὺς θεοὺς τοῦτόν σοι δοῦναι.

Ὁμοῦρα, σεμίδαλις ἑφθὴ, μέλι ἔχουσα καὶ σησάμην.

Ὁμούρησιν, τὴν ὁμήρησιν, Ἀττικοί.

Ὁμοροῦσι, γειτνιῶσιν, ἐν τοῖς ὅροις.

Ὁμόφρονας κούρας λέγουσι, τὰς ὅμοια σαυταῖς φρονούσας, καὶ μὴ ἐναντιουμένας ἀλλήλαις.

Ὁμοφροσύνη, ἡ ὁμόνοια καὶ πρᾳότης.

Ὁμοφυὴς, ὁ ὁμογενής.

Ὄμπαι, θύματα, πυροὶ μέλιτι δεδευμένοι.

Ὀμπᾶται, ὑβρίζει, προπηλακίζει.

Ὄμπια, παντοδαπὰ τρωγάλια.

Ὄμπναι κυρίως, πυροὶ μέλιτι βεβρεγμένοι. Λυκόφρων δὲ ἁπλῶς, δημητριακὸν σῖτον εἶπεν.

Ὄμπνειος λειμὼν, ὁ τῶν πυρῶν, καὶ δημητρίων καρπός.

Ὀμπνειόχειρ, πλουσιόχειρ, πλούσιος.

Ὀμπνεὺ νέφους, μεγάλου, πολλοῦ, ηὐξημένου.

Ὄμπνη, τροφὴ, εὐδαιμονία.

Ὄμπνια, τὰ ζωδιακά.

Ὀμπνία, καρποφόρος τροφὴ, ἄφθονος, ἀγαθὴ, νόστιμος. ἢ τὸ ἀναπνεῖν ἡμῖν διδοῦσα.

Ὄμπνιον στάχυν, πολὺν, δαψιλῆ. Ἀπολλώνιος λέγει, φιλητὰς ἐν ἀττικαῖς γλώσσαις ἀποδώκεν ὄμπνιον στάχυν, τὸν εὔχυλον καὶ τρόφιμον. Κυρηναίων δέ τινες τὸν πλούσιον καὶ εὐδαίμονα ὄμπνιον καλοῦσιν. ἄμεινον δὲ φερέσβιον εἰπεῖν. οἱονεὶ ἔμπονόν τινα ὄντα, καὶ ὄμπνιον.

Ὀμπνηρὸν ὕδωρ, τρόφιμον.

Ὄμπνη, ἡ ὁμόπνοια, ἡ ἀναπνοή.

Ὄμπνιος, ἡ Δημήτηρ, αἰτία οὖσα τοῦ ἀναπνεῖν.

Ὄμφα, ὀσμή. Λάκωνες.

Ὄμφακες, πάντα τὰ αὐστηρὰ καὶ ὀξέα, ἤγουν ὄξινα.

* Ὀμφάκη, πόλις, Σικελίας.

Ὀμφακίας λέγεται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὠμὸς, σκληρός. μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων. οὕτω δὲ αἱ σταφυλαὶ λέγονται οὖσαι, καὶ οὔπω πέπειροι. ἐκ γὰρ τοῦ ἐναντίου πέπειρον, τὸ ἥμερον καὶ ἡδύ. θηλυκῶς δὲ τὰς ὄμφακας λέγει.

Ὀμφακίζω, καὶ ὀμφακισμὸς, ὀμαλίζω. ὀμφακίζω, ὀμβρίζω, καὶ σταθμίζω, καὶ δαλινίζω ἐπὶ ἐνεστῶτος μόνον, ι καὶ μέλλοντος. ἐπὶ δὲ παρεληλυθότος, η.

Ὀμφαλητομία, ὅταν τὸν ὀμφαλὸν τοῦ βρέφους αἱ μαῖαι ἀποτέμνουσι, καὶ αὗται δὲ ὀμφαλητόμοι λέγονται. καὶ ὀμφάλιον, ὁ ὀμφαλὸς τῆς ἀσπίδος.

Ὀμφαλητόμος, μαῖα.

Ὀμφαλίδαι, πατρῷαι.

Ὀμφαλόεντα, ὀμφαλοὺς ἔχοντα ζυγόν. ὀμφαλοὺς δὲ λέγουσι, τοὺς ἐν τῷ ζυγῷ τρώγλας, ἐφ᾽ ὧν αἱ ἡνίαι δέδενται.

* Ὀμφάλιον, τόπος Κρήτης.

Ὀμφαλόεσσα ἀσπὶς, ἡ ἔχουσα μέσον αὐτῆς ὀμφαλόν. ὅς ἐστι κάλλος ὑπερανεστηκὸς, ἐπίθετον, συγκεκροτημένον.

Ὀμφαλοὶ ἀσπίδος, βοῦλλαι τινὲς λατινιστὶ, εἰς κόσμον ἐπικείμεναι, καὶ μάλιστα περὶ τὸ μέσον, ὅθεν καὶ εἴρηται καθ᾽ ὁμοιότητά τινα τοῦ ζωϊκοῦ ὀμφαλοῦ.

Ὀμφαλοὶ, ἐν ἀσπίσιν ἦσαν βοῦλαι.

Ὀμφαλὸν θαλάσσης, τὸ μέσον νοεῖ. ὁμοίως καὶ γῆς ὀμφαλὸν, καὶ μεσομφαλόν τις εἰπὼν, οὐκ ἂν ἁμάρτοι.

Ὀμφαλὸς, πολυσήμαντος λέξις, καὶ δῆλον ὅτι ἐκ τοῦ κατὰ ἄνθρωπον ὀμφαλοῦ, ὀμφαλητόμοι τε λέγονται μαῖαι. καὶ ὀμφαλητομία, ὅτε αὗται ὀμφαλὸν βρέφους ἀποτέμνουσιν.

Ὀμφαλὸς κυρίως, ἐπὶ τοῦ ἡμετέρου σώματος κατὰ τὸ μέσον εἴρηται. παρὰ τὸ ἀμπνεῖν, ὅ ἐστιν ἀναπνεῖν, γίνεται ὀμπναλὸς, καὶ ὀμφαλὸς, κατὰ τροπὴν τοῦ π εἰς φ, καὶ ἀποβολῇ τοῦ ν. ὀμφαλὸς δὲ, διὰ τὸ ἔμβρυον ἀναπνεῖ. τὸ γὰρ βρέφος κατὰ γαστρὸς ὂν, περὶ αὐτὴν εἱλεῖται, καὶ ἀναπνεῖ, καὶ τρέφεται. ἢ παρὰ τὸ φαλῷ ἐοικέναι. ἐκκρεμὴς γάρ ἐστιν ἐν ἀρχῇ πρὸ τῆς ἀποτομῆς. εἴρηται δὲ μεταφορικῶς καὶ ἐπὶ ζυγοῦ καὶ ἀσπίδος, καὶ ἄλλων τινῶν.

Ὄμφαξ, σταφυλὴ δριμεῖα οὖσα, καὶ οὐ πέπειρος. θηλυκῶς δὲ λέγει τὰς ὄμφακας, Πλάτων ὁ κωμικός.

Ὀμφὴ κυρίως, ἡ ἀληθὴς φήμη, ἢ τὸ ὂν φαίνουσα. ὡς καὶ Ὅμηρος κατὰ κυριολεξίαν, τὸ ἀληθὲς ἐνύπνιον, διὰ τὸ ὂν εἴρηται. ἡ δὲ αὐτὴ ὀμφὴ, καὶ κλυδὼν λέγεται. ὥστε τὸν ὀμφαῖον εἶναι πάντως καὶ κληδόνιον.

Ὀμφὴ καὶ κληδὼν, τὸ αὐτὸ δηλοῦσι. καὶ μέντοι

καὶ ἡ

Digitized by Google

καὶ ὑόεσσα. οἱ δὲ νεώτεροι, ἐπὶ ἁπλοῦ λόγου τιθέασι καὶ τὴν ὄσσαν καὶ τὴν ὀμφὴν, θείη δέ μιν ἀμφέχυτ' ὀμφή. ἀντὶ τοῦ περιῆλθεν.

Ὀμφὴ, θεία φήμη, θεία φωνὴ, ἢ θεῖος ὄνειρος. παρὰ τὸ φῶ φαίνω, καὶ τὸ ὂν, γέγονεν ὀμφὴ, τροπῇ τοῦ ν εἰς φ, ἢ τὸ ὂν φαίνουσα.

Ὄμφορα, ὅσα ἀπὸ τῶν ἱερῶν ἐκφέρεσθαι ὁ νόμος κωλύει.

Ὀμφώειν, αὔξειν, σεμνύνειν, ἐντιμότερον ποιεῖν.

Ὀμῶ, ὀμνύω, ὄμνυμι. τοῦ δὲ ὀμῶ ὀμόσω πολλῶν ὄντων συνθέντων, ἐνθυμητέον ἐνταῦθα τὴν συνωμότην, περὶ ἧς φασιν οἱ παλαιοὶ, ὅτι συνωμότης μὲν ὁ κατὰ τοῦ δήμου ἀνιστάμενος. ἐξωμαγωγὸς δὲ, ὁ τοὺς τοιούτους ὑποδεχόμενος. ἔτι δὲ τὴν ἀντωμοσίαν, καὶ τὴν ὑπωμοσίαν, καὶ τὴν ἐξωμοσίαν. ἀντὶ κατὰ τοὺς αὐτοὺς ἀντωμοσία μὲν ἡ δίκη ἀντωμοσμένη. προόμνυσι μὲν γὰρ ὁ διώκων δικαίως κατηγορεῖν. καὶ ἣν φασὶ τὸ αὐτὸ καὶ κατωμοσία, ἀντόμνυσι δὲ ὁ φεύγων ἀδίκως ἐγκαλεῖσθαι. καὶ ἐλέγετο οὐκ ἀντωμοσία μόνον, ἀλλὰ καὶ διωμοσία, ὁ ἀμφοῖν ὅρκος. τὴν δὲ ὡς ἐρρέθη διωμοσίαν, κατωμοσίαν Ἡρόδοτος εἴρηκεν ἐν τῷ, μετὰ δὲ τὴν κατωμοσίαν ἐδίωκε. καὶ τοιοῦτον μὲν ἡ ἀντωμοσία. ὑπωμοσία δὲ φασίν ἐστιν, ἀπόδοσις αἰτίας, δι' ἣν οὐκ ἀπήντησέ τις πρὸς τὴν δίκην. ἐξωμοσία δὲ φασιν, ἣν ὀμνύῃ τις ἀδύνατος εἶναι ποιεῖν τὸ προσταττόμενον.

Ὁμοθῆναι, ἀντὶ τοῦ ὁμοιωθῆναι, οἰκειωθῆναι, εἰς ὁμόνοιαν ἐλθεῖν.

Ὀμόκανες, ὅμοροι. ὄλακα γὰρ τὴν αὔλακα δωρικῶς. καὶ Ὅμηρος, ἱεμένων κατὰ ὦλκα.

Ὀμῶ μὲν ὀμόσω, καὶ ὀμοτὸς, καὶ ὀμοτοῦ. ἐπώμοτος καὶ ἀπώμοτος. καὶ ὁρκωμοτοῦ, ὅτι συντίθενται.

Ὀμωμοσμένος, ὀμωμοκὼς, ὀμωμοκέναι. ὀμόσας δὲ τὰ δύο μικρά.

Ὁμόνοιά ἐστιν, ὁμοδοξία ἀρχόντων καὶ ἀρχομένων, ὡς δεῖ ἄρχειν καὶ ἄρχεσθαι.

Ὁμώνυμά ἐστι, τὰ τῷ αὐτῷ ὀνόματι χρώμενα, λόγον δὲ οὐ τὸν αὐτὸν ἔχοντα. οἷον ὁ ἄνθρωπος ὁ, τε ζῶν καὶ ὁ γεγραμμένος.

Ὁμώνυμον ὄνομά ἐστι, τὸ κατὰ πολλῶν ὁμωνύμως τιθέμενον. οἷον ἐπὶ μὲν κυρίων, ὡς Θωμᾶς ὁ Χεσβαῖος, καὶ Θωμᾶς ὁ δίδυμος.

Ὁμώνυμος, ὁ τὸ ὄνομα μόνον ἔχων τινὶ κοινὸν, οὐ μὴν δὲ τὸν ὁρισμὸν τὸν κατὰ τὸ ὄνομα.

Ὁμορόφιος, ὁ ὁμόστεγος.

Ὁμῶς, ἀντὶ τοῦ ὁμοίως, περισπᾶται.

* Ὁμοχέστιοι θεοῖσιν, οἱ συμμετέχοντες τῶν αὐτῶν σπονδῶν. ἢ ὁμοβώμιοι καὶ ὁμόναοι.

ΤΟ' Ο'. ΜΕΤΑ' ΤΟΥ' Ν'.

Ὃν, ἄρθρον ἀρσενικὸν ἑνικὸν ὑποτακτικόν. ὡς τὸ, ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον. καὶ ἀντωνυμία ἀρσενικὴ τρίτου προσώπου ἀντὶ τοῦ τὸν ἑαυτοῦ. ὡς τὸ, Ζεὺς δὲ, πρὸς ὃν λέχος ἤει Ὀλύμπιος. καὶ αὐτὰρ ὅγ' ὃν φίλον υἱόν. ἢ ὂν, ὑπάρχον. ἢ ὂν, ἀντὶ τοῦ αὐτόν.

Ὄναγρος, εἶδος ζώου.

Ὄναγρος, μηχανήματα, οἱ λεγόμενοι ἅρπαγες, οἵγε ἁρπάζειν τοὺς προσιόντας ἐπιβαλλόμενοι εἶχον.

Ὀναίμην, τύχοιμι, ἀπολαύσαιμι. ὠφεληθείην. ὄναιντο, ἢ ὄναιτο, ὠφεληθεῖεν.

Ὄναιον, ἄρνιον.

Ὄναρ, οὐχ ὕπαρ εἶδον τὸν δεῖνα, οὐ κατ' ὄναρ, οὐδὲ καθ' ὕπαρ χρὴ λέγειν. ὄναρ, ἡ καθ' ὕπνον φαντασία.

Ὀνασεῖ, ἀντὶ τοῦ ὀνήσει, δωρικῶς. Θεόκριτος, τί χ' ὥτερος ἄλλον ὀνασεῖ.

Ὄνασθαι, ὠφελῆσθαι.

Ὄνδος, δῆλον, ἀνόητον, ἀχρεῖον.

Ὀνγόνοι, τοὺς ἑαυτοῦ προγόνους, ἢ τὴν ἑαυτοῦ γένεσιν.

Ὀνεία, ἡ τῶν ὄνων δορά.

* Ὀνεαβάτις, πόλις Αἰγύπτου. Ἑκαταῖος περιηγήσει Λιβύης.

Ὀνείατος, στρατηγός.

Ὀνειάτων, ὀνησιφόρων.

Ὄνειαρ, ὠφέλεια.

Ὀνήσιμον, ἀγαθόν.

Ὀνεία, ἡ ἰδέα τοῦ ὄνου.

Ὀνεια κρέα, ὄνων κρέα.

Ὀνείατα, σημαίνει ἔτι παρ' Ὁμήρῳ καὶ τὰ δῶρα, ὡς ἂν ὠφελήματα. οὐκ ἄρα τὰ βρώματα μόνον ὀνείατα.

Ὀνείατά φησιν ὁ Ἀπολλώνιος, τὰ σιτία. καὶ βρώματα ποιεῖτε καὶ πράττετε.

Ὀνείατα μυρία ἔχοντες, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ τὰ βρώματα δηλοῖ, ἐξ ὧν ἐστί τις ὄνησις.

Ὀνείδεια, φανερῶς τὰς ὕβρεις φησὶν Ὅμηρος. καὶ ἔριδας καὶ νείκεα, τὰς αὐτὰς λέγει.

Ὀνείδη, ὕβρεις, χλευάσματα, κατηγορίαι, αἰσχύναι.

Ὀνείδειος λόγος, ὁ ὀνειδιστικός.

Ὀνειδίζω, προφέρω.

Ὀνειδίζω σε, καὶ ὀνειδίζω σοι τὸ δεῖνα πρᾶγμα. Λουκιανὸς, ὀνειδίζω σοι τὴν συμφοράν.

Ὀνειδίζειν, οὐ μόνον τὸ εὐεργεσίας ἀναφέρειν καὶ προφέρειν τοῖς εὐηργετημένοις, ἀλλὰ καὶ τὸ ἁπλῶς ὁποσά τινα καὶ ἐπίμομφα λέγειν.

Ὀνειδιῶ, ἀττικὸς μέλλων.

Ὀνειδίοις, τίθεται ἐνίοτε ἐλλειπτικῶς τοῦ ἔπεσιν.

Ὄνειδος παρ' Ἡσιόδῳ τὸ αἶσχος. ὥσπερ ἔγκλημα, τὸ ἁμάρτημα. ἀκολουθεῖ γὰρ ὥσπερ τῷ ἁμαρτήματι τὸ ἐγκαλεῖσθαι. οὕτω τῷ αἴσχει τὸ ὀνειδίζεσθαι. παρ' Ἡσιόδῳ δὲ ὄνειδος οὐ τὸ αἶσχος, ἀλλὰ τὸ αἰσχρὸν ἤγουν τὸ μετέχον αἴσχους.

Ὄνειδος, μέμψις κατήφεια, καὶ κλέος. καὶ εἶδος πόματος.

Ὀνείλεον, θυσία Ποσειδῶνος.

Ὄνειον, ὄρος ἐν Κορίνθῳ. καὶ ὀνεῖον, ἐν ᾧ οἱ ὄνοι ἵστανται.

Ὀνειρείῃσι πύλῃσι, ταῖς τῶν ὀνείρων πύλαις, ἃς ὑφίσταται μυθικῶς. ὧν τὴν μὲν μίαν κερατίνην, τὴν δὲ ἑτέραν ἐλεφαντίνην. διὰ γὰρ τούτων ὄνειροι εἰσπέμπονται.

Ὀνειρόπληκτος, ὀνείρῳ πεπληγὼς, ἢ ὀνειροκρίτης.

Ὀνειρόπολος, τοῦ ὀνειροπόλου. τὸ ῥῆμα οὐ κρίσιν ὀνείρων δηλοῖ παρὰ τοῖς μεθ' Ὅμηρον, ἀλλ' ἣν σκῶμμα ἔχει. ὀνειροπολεῖν γάρ, τὸ ὡς ἐν φαντασίᾳ μετ' ἐλπίδος σκοπεῖσθαι, ἢ τὸ βλέπειν ὄνειρον σημαίνει. ὡς τὸ ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν. λέγομεν δὲ καὶ τοὺς ὀνείρους καὶ τὰ ὀνείρατα. ἀναλογίᾳ δὲ τοῦ ὀνειροπόλος, κατὰ τὸ οἰωνοπόλος, ὃν καὶ οἰωνοθέτην εἰπὼν ὁ Σοφοκλῆς. οὐκ ἂν ἀναλόγως ἕξει καὶ ὀνειροπόλον εἰπεῖν. δῆλον δὲ, ὅτι ὁ ὄνειρος, καὶ οὐδετέρως τὸ ὄνειρον λέγεται. ὡς δηλοῖ καὶ Σοφοκλῆς, ἐν τῷ τοὐμὸν ὄνειρον φρενῶν.

Ὀνειροπολῶ, τὸ φαντάζομαι καὶ ἀναπλάττω καθ' ὕπνον, ἀμεταβάτως. λαμβάνεται καὶ μεταβατικῶς συντασσόμενον. Λιβάνιος, ἐγὼ δὲ ὀνειροπολῶ τὰ τῶν Φοινίκων ἀγαθά. καὶ Ἀριστοφάνης, ὀνειροπολεῖ ἵππους, καὶ καθεύδων ἱππικήν.

Ὀνειροπολεῖν, καὶ ὀνειρώττειν ταύτῃ διενήνοχεν. ὅτι τὸ μὲν ὀνειροπολεῖν ἐπὶ τῶν ἐνύπνιον ἐρώντων. τὸ δὲ ὀνειρώττειν, ἐπὶ τῶν νυκτὸς αὐτομάτως ἀφιέντων γόνον. ὅπερ τοῖς ἐρῶσιν ἑκάστως συμβαίνει, δέξασι τοῖς παιδικοῖς συνεῖναι.

Ὄνειρος, παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ, ὄνειρος. ὡς πέσσω. πέσσειρος. αἴσσω, αἴγειρος. μάσσω, μάγειρος. ὄνοιρος δὲ δωρικῶς, ο, καὶ ι.

Ὄνειρος λέγεται, παρὰ τὸ ὂν εἴρειν, ὅ ἐστιν ἀγγέλλειν τὸ ἀληθές. ἐξ οὗ καὶ ἡ ἶρις παράγεται, ἡ τῶν θεῶν κατὰ τὸν μῦθον ἄγγελος. ὡς δηλοῖ τὸ ἶρις ἀγγελέουσα.

Ὄνειροι, πρὸς τὴν ἕω μᾶλλον ἀληθεῖς. ὡς ἤδη πεπεμμένων τῶν σιτίων, καὶ τοῦ λογιστικοῦ νήφοντος, καὶ μὴ ἐπιπροσθουμένου ταῖς ἐκ τῶν βρωμάτων ἀτμίσιν. ὄνειροι πτερωτοὶ ἐντεῦθεν ἀνεπλάσθησαν, ὅτι Ὅμηρος εἶπεν ὄνειρος ᾤχετο ἀποπτάμενος. διὸ καὶ Εὐριπίδης τὴν γῆν μελανοπτερύγων ὀνείρων μητέρα καλεῖ.

Ὀνείρωξις, ἡ τῶν ὀνειράτων δεῖξις. καὶ ὀνειρώσσω, τὸ ἐνυπνιάζομαι.

Ὀνειρώττει, ὀνείρους βλέπει.

Ὀνεύεσθαι, τὸ ἐξ ὄνων ἐπιστροφῆς τείνειν, παρὰ τῷ Ἱπποκράτει.

Ὀνηγήσιος, ὁ ὀνηλάτης.

Ὀνηθῆναι, ὠφεληθῆναι.

Ὀνήϊστον πονέεσθαι παρὰ τῷ Ἀπολλωνίῳ, ὠφελιμώτερον.

Ὀνηλάτης, ὁ ὄνους ἐλαύνων.

Ὀνήμενος, κοινότερον μὲν ἐκ τοῦ ὀνῶ ὄνημι παρῆκται. ὁμοίως τῷ δίζω δίζημι. ὅθεν τὸ ἵππους διζήμενος. καὶ τὸ φιλῶ, φίλημι. ὅθεν τὸ φίλατο παρ' Ὁμήρῳ. καὶ τὸ αἰνῶ αἴνημι. καὶ ἐν ἄλλοις μυρίοις. λέγει δὲ ὁ Ἡρακλείδης, τὸ ὀνήμενος Αἰολέων διαλέκτῳ ἀρχὴν εἶναι τὸ ὀνούμενος. δῆλον δὲ ὅτι ἐκ τοῦ ὡς ἐρρέθη ὄνημι, καὶ τὸ ὤνητο διὰ τοῦ η παρῆκται καὶ τὸ ὤνατο, καὶ τὸ ὤνασθαι, καὶ ὠνάμην, καὶ ὀνάμενος καὶ εἴ τι ἄλλο τοιοῦτον.

Ὀνήσασθαι, ὠφεληθῆναι, ἀπολαβεῖν. ὄνητην, ἐναπόλαυστον.

Ὀνήμενος εὗ παρ' Ὁμήρῳ ἐν β Ὀδυσσείας, τουτέστιν ὄναιτο αὐτῆς. καὶ εἰς ἀγαθὸν τελευτήσειεν ὅπερ ἐθέλει.

Ὀνήσεαι οἶνον πιών. φαίνεται ἐνταῦθα παρετυμολογῶν τὸν οἶνον ὁ Ποιητὴς, κατ' ἐξοχήν τινα ἐκ τοῦ ὀνεῖν, ὅ ἐστιν ὠφελεῖν. ἐξ οὗ, καὶ τὰ βρώματα ὀνείατα λέγεται. τινὲς μέντοι παρὰ τὸ οἴω τὸ κομίζω καὶ τὸν νοῦν ἐτυμολογοῦσι τὸν οἶνον. ἀκολούθως τῷ τε δειπνοσοφιστῇ, καὶ τῷ κωμικῷ εἰπόντι, ἄρδεσθαι τῷ οἴνῳ τὸν νοῦν, ὡς λέγειν τι δεξιόν. ἄλλοι δὲ παρὰ τὸ αἴτιον εἶναι ὀνήσεως τὸν οἶνον τοῖς πίνουσι, φρονηματίζει γὰρ ἀλαζονικῶς ὁ οἶνος τοὺς ἀμέτρως φιλοῦντας αὐτόν. Ὅμηρος μή μοι οἶνον ἄειρε μελίφρονα, μή μ' ἀπογυιώσῃς καὶ τὰ λοιπά.

Ὀνήσεσθαι, τὸ ὠφεληθῆναι, ἀπὸ τοῦ ὀνεῖν. ἀφ' οὗ καὶ ὄνειαρ τὸ βρῶμα.

Ὀνησιφόρος, κύριον. καὶ ὁ ὠφέλειαν φέρων.

Ὀνήσιμος, κύριον. καὶ ὁ ὠφέλιμος.

Ὄνησις, ὠφέλεια, ἰσχύς. ὤνησις δὲ ἡ ἀγορασία, μέγα.

Ὀνησιδώρα, κύριον. καὶ ἡ γῆ, ἡ παρέχουσα καὶ δωρουμένη, ὠφέλειαν.

Ὀνήσιος, τοσοῦτον ἀνιστείεν, ὁ περιφραστικῶς δηλοῖ τὸ ὄναιτο παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας φ.

Ὀνήσομαι τοῖσδε, καὶ τόδε, ἀττικῶς.

Ὄνησο, σύστοιχον τῷ ὀνήμενος, καὶ ὄνηται, καὶ ὄνητο. τὰ γὰρ διὰ τοῦ ἄλφα, οἷον ὀνάμενος ὄνατο, οἱ μεθ' Ὅμηρον λέγουσιν.

Ὀνητοὶ, μεμπτοί.

Ὀνήτωρ, ὄνησιν φέρων.

Ὄνθος, τὸ τῶν βοῶν κοπρίδιον.

Ὄνθος, βόλβιτον. τουτέστιν ἡ τῶν βοῶν κόπρος. Ὅμηρος ἐν δ' ὄνθου βοέης πλῆτο στόμα.

Ὀνίας, ἰχθύος σκαρυεῖδος.

Ὀνίας, ὄνομα κύριον.

Ὀνιδία, τοῦ ἵππου τὸ ἀφόδευμα. καὶ ὀνίδες, τὰ τῶν ὄνων ἀποπατήματα.

Ὀνίδιον, ὑποκοριστικῶς τὸ ὀνάριον, ὄνιον, ὠφέλιμον.

Ὀνιαῖα, τοῦ ἵππου τὸ ἀφόδευμα.

Ὀνίγλη, εἶδος οἴνου.

Ὀνῖναι, ἀπὸ τοῦ ὀνίνημι, ἡ μετοχὴ ὁ ὀνινεὶς τοῦ ὀνινέντος, ὡς τιθεὶς τιθέντος. ἢ ὀνινὰς ὀνινάντος, ὡς ἱστὰς ἱστάντος, τὸ ἀπαρέμφατον ὀνινέναι, καὶ κατὰ συγκοπὴν ὀνῖναι.

Ὀνίνημι ἐνεστὼς, ὠφέλησα παρατατικὸς, ὀνήσομαι μέλλων, ὠνάμην ἀόριστος. ἀφ' οὗ καὶ ὀναίμην, ἤγουν ἀπολαυσαίμην. ὄναιτο, ὠφεληθείη, ὄνασθαι τὸ ἀπολαύειν. ὀνίνησιν, ἀντὶ τοῦ ὠφελεῖ, ὅν κεν ἵκηται, ἀντὶ τοῦ εἰς ὃν ἂν παραγίνηται παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. ἀπὸ πληθυντικοῦ τὸ ἄνδρες εἰς ἑνικὸν κατέβη συνήθως. αἴτιον δὲ τούτου, ὅτι οὐ πάντες βλάπτονται διὰ τῆς γαστρὸς, ἀλλὰ ὃν ἂν ἵκηται ἡ πλάνη. ἐκεῖνος γὰρ μάλιστα διὰ τὴν γαστέρα μυρία πάσχει κακά.

Ὀνίσκος, σκυτωνικὸς θρίων.

Ὀνίστειοι, νεοσσοί.

Ὀνιτὶς, ὀρίγανον.

* Ὄννη, ἐμπόριον τῆς εὐδαίμονος Ἀραβίας.

Ὀνοβόστιδες, ὀνομάτιδες, αἱ ἐπὶ μοιχείᾳ ἁ-

Digitized by Google

λοῦσαι γυναῖκες, καὶ ἐξενεχθεῖσαι ἐπὶ ὄνων.

Ὀνόγυρος, φυτὸν ἀλεξίκακον, ὃ παρατριβόμενον ὄζει. οἱ δὲ ἀνάγυρον αὐτό φασιν. ὅθεν μετῆνέχθαι καὶ τὴν παροιμίαν, κινεῖς τὸν ἀνάγυρον, ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά.

Ὀνόγυροι, στειροὶ καὶ πόα τις.

Ὀνοδίστεροι, ἄγνωστοι.

Ὄνοι καὶ ὀνίσκοι λέγονται, οἱ ἄξονες. οἱ αὐτοὶ καὶ κάλοι ἀπὸ συμπτείου, ἢ κλίνου, ἢ κανάβεως, παρὰ τῷ Ἱπποκράτει.

Ὀνοκένταυροι, παρὰ Ἀκύλᾳ τριχίωνες, δαιμόνων τι γένος, κάθυλον καὶ σκοτεινὸν τῇ ἐπιφανείᾳ. ὅπερ σεῖλω ὠνόμασαν οἱ τὴν ἑβραϊκὴν φωνὴν μεταθέντες.

Ὀνοκίνδιος, ὀνηλάτης ἀστραβηλάτης.

Ὄνομά ἐστιν, ἀπείρων φωνῶν περιοχή.

Ὄνομά ἐστι, φωνὴ σημαντικὴ θέσει νοήματος ἁπλοῦ, χωρὶς χρόνου.

Ὄνομά ἐστι, τὸ ἑκάστου τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων, κοινὴν οὐσίαν ἢ ἰδίαν σημαῖνον. ἢ ὄνομά ἐστι, μέρος λόγου πτωτικὸν, σῶμα ἢ πρᾶγμα σημαῖνον. σῶμα μὲν, οἷον λίθος. πρᾶγμα δὲ, οἷον παιδεία. παρέπεται δὲ τῷ ὀνόματι πέντε, γένη, εἴδη, σχήματα, ἀριθμοὶ, πτώσεις. καὶ τελικὰ ἀρσενικῶν ὀνομάτων στοιχεῖά εἰσι πέντε, ν, ξ, ρ, σ, ψ.

Ὄνομα, ἀντὶ ἐπιρρήματος λαμβάνεται, οἷον ὀξὺς ἔδραμεν, ἀντὶ τοῦ ὀξέως. μετέωρος, ἀντὶ τοῦ ὑψηλῶς.

Ὄνομά ἐστι διάλεκτος ἀσύνθετος. ἑρμηνευτικὴ τοῦ κατὰ τῆς οὐσίας κατηγορουμένου, καὶ παντὸς τοῦ μὴ καθ' ἑαυτὸ λεγομένου. ὄνομά ἐστι πᾶν, ὃ μὴ σημαίνει χρόνον. οἷον ἄνθρωπος, ἵππος, λίθος, καὶ τὰ ἑξῆς.

Ὀνομάζειν, καὶ ὀνομαίνειν, ἀδιάφορον. σημαίνει δὲ, τὸ πρὸς ὄνομα καλεῖν τὸ ὀνομαίνειν.

Ὀνομάζων, ἀντὶ τοῦ φράζων, ἑρμηνείᾳ χρώμενος.

Ὀνομαίνειν δηλοῖ, τὸ ἐξ ὀνόματος καλεῖν.

Ὀνομαίνειν παρ' Ὁμήρῳ, ἐν τῷ ι, τὸ πρὸς ὄνομα καταλέγειν, ὃ δὴ ποιεῖ Βασιλεὺς ἐξαριθμούμενος ἃ δώσει τῷ Ἀχιλλεῖ.

Ὀνομαστὶ, ἐξ ὀνόματος. ὀνομαστὸς, ὁ πολύς.

Ὀνομαστὸς, περιβόητος, ἔνδοξος.

* Ὀνοματοκλυτοσάλπης, ὑφ' ἓν ἀναγνωστέον, σημαίνει γὰρ τὸ ὅλον ὀνόματι κλυτός. ὁ γὰρ αὐτὸς εἴη τῷ διαβεβοημένῳ.

Ὀνοματοποιΐα ἐστὶ, μίμησις λεκτικὴ ποιότητος ἤχου. καλεῖται δὲ οὕτω, διὰ τὸ ποιεῖσθαι ἀπ' αὐτῆς ὄνομα. ἢ λέξιν, ἥ τις ὀνοματοπεποιημένη λέγεται. οἷον φλοῖσβος θαλάσσης. σίζω, καὶ ἔκλαγξαν οἰστοί.

Ὀνοματοποιΐα ἐστὶ, λέξις κατὰ μίμησιν καὶ ὁμοιότητά τινα τοῦ σημαινομένου γεγονυῖα, ἤγουν κατὰ παραγωγὴν τοῦ καταμιλημένου ἐξενηνεγμένη. ὡς ὅταν τὶς τοὺς ἀσήμους κτύπους φωνὰς ὀνομάζῃ. καὶ ὡς ἡ γραφὴ λέγει, φωνὴν ἔδωκαν αἱ νεφέλαι, τὴν βροντὴν λέγων. διὰ τὸ περιηχεῖν ἡμᾶς φωνὴν ὀνομάζουσα. φωνὴ γὰρ κυρίως, ἡ ἐκ τοῦ νοῦ προερχομένη λέγεται. ἐπεὶ καὶ φῶς νοῦ, ἡ φωνὴ ἐτυμολογεῖται. λέγεται δὲ ἡ ὀνοματοποιΐα ἑπταχῶς, κατὰ ἐτυμολογίαν. ὡς ὅταν ἀλαβῆ, λίθον εὔληπτον λέγῃ. καὶ οὐ συνήθες κατὰ ἀναλογίαν, ὡς παρὰ Σοφοκλεῖ, γεροντάγωγῶ, καὶ ἀναπαιδεύω. ἀναλόγως γὰρ τὸ γεροντάγωγεῖν, συνήθως ἀντὶ τοῦ παιδαγωγεῖν εἴληπται. κατὰ παρωνομασίαν, ὡς χρυσοῦς ἀπὸ τοῦ χρυσοῦ, ὡς καὶ παρ' Αἰσχύλῳ ὠνόμασται. ὡς τὸ χρονίζομεν ὧδε τῆς μελλοῦς χάριν. κατὰ σύνθεσιν, ὡς τὸ ποδάρκης δῖος Ἀχιλλεὺς, καὶ νεφεληγερέτα Ζεύς. κατὰ ἐναλλαγὴν, ὡς ὅταν ἐπὶ συνθέτων ὀνομάτων ἐναλλάξῃ τὶς τὸ καθωμιλημένον, ὡς παρὰ Σοφοκλεῖ. οἱ γὰρ γυνάνδροι, καὶ λέγειν ἠσκηκότες, οἱ ἀνδρόγυνοι. κατὰ διαίρεσιν, ὡς εἴ τις τὸ σύνθετον διέλῃ. ὡς λέγει ὁ Ποιητὴς ἀκρόπολιν, καὶ διέλῃ λέγων πόλιν ἄκρην. καὶ πεποιημένην, ὡς τὸ τετριγότας, καὶ κελαρύζει, καὶ λάμψαντες γλώσσῃσιν.

Ὀνομῆναι, ὀνομάσαι, ἐπαγγείλασθαι.

Ὀνομακλυτὸς ἄλτης, κατὰ μὲν τοὺς ἓν ἀκούοντας ἔσται ὁ ἔνδοξος κατ' ὄνομα. κατὰ δὲ τοὺς διαιροῦντας, ὁ τῷ ὀνόματι κλυτός.

Ὀνόμορδον, τὴν ἐλξίνην. ἔστι δὲ λάχανον ἄγριον, καὶ εἶδος κογχυλίου.

Ὄνονται, φανερῶς βαρύτονον ὂν, ὡς ἀπὸ ἐνεστῶτος τοῦ ὄνω ὄνομαι. ὅθεν καὶ τὸ ὀνῶ ὀνόσω παράγωγον ῥῆμα καινότροπον, καὶ οὐ φύσει ὂν τρίτης συζυγίας τῶν περισπωμένων. καὶ κεῖται παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, μνηστῆρες ἀτιμάζοντες ὄνονται, ὅπερ ἐστὶ μέμφονται, ἐκφαυλίζουσιν.

Ὀνότη, ἀμπέλου εἶδος, καὶ μελαίνης εἶδος.

Ὄνος, ὁ ἀνώτερος λίθος τοῦ μύλου, καὶ τὸ ὑποζύγιον. καὶ τὸ περὶ τὰ τῶν ὑδάτων ἀγγεῖα πολύπουν ζῶον, καὶ συστρεφόμενον ὡς κύαμος.

Ὄνος, κοινῶς μὲν τὸ ζῶον. τό, τε χερσαῖον καὶ ὁ ἰχθὺς, ὃ καὶ ὀνίσκος καὶ βάκχος. ἡ δὲ ὁμωνυμία καί τι σκεῦος αὐτὸ οἶδε, παρὰ τοῖς Ἀριστοτελικοῖς. καὶ ἔστιν ἀπ' αὐτοῦ ὀνεύειν ῥῆμα, περὶ οὗ Αἴλιος Διονύσιος. ὤνευον παρὰ Θουκυδίδῃ, τὸ εἵλκυον καὶ περιῆγον. ὄνος, τοῦ μύλου τὸ κινούμενον, καὶ αἱ τοιαῦται μηχαναὶ ὄνος. τὸ δὲ νωθὴς, ὥσπερ τὸ παχὺς ἐπὶ ἵππου, οὗτος αὐτὸ ἐπίθετον οἰκεῖον ὄνῳ, ὡς ἀργῷ φύσει, καὶ ἐστερημένῳ τοῦ θέειν. ἐξ οὗ ὥσπερ ὁ νωθὴς, οὕτω πῶς καὶ ὀνωθρὸς γίνεται, ὡς ἐστερημένος τοῦ θορεῖν, ὅ ἐστι πηδᾶν καὶ σπορᾶ. ἐν δὲ τοῖς, καὶ κωμικὴ λέξις ὁ νώθουρος, ἤγουν ὁ νωθὴν ἔχων τὴν οὐρὰν φασιν ἐν τῷ συγγίνεσθαι. οὕτω γὰρ ἔλεγον τὸ κατὰ ἄνδρας αἰδοῖον. ὁ δὲ τοιοῦτος ἀνὴρ, ἄστυτος ἐλέγετο. καθὰ καὶ οἶκος ἄστυτος, ὁ μὴ ἔχων ἄνδρα. ὃς ἔχοι ἂν λέγειν τὸ στύομαι τριέμβολον, ἀλλὰ μᾶλλον τὸ Ἀστυάναξ γέγονα. ἡ δὲ εἰρημένη οὐρὰ, καὶ ἀπομύζουριν παρήγαγε γυναῖκα, τὴν αἰσχροποιόν. παρὰ τὸ μυζουῶ, ἤγουν θηλάζειν οὐράν. εἰ δὲ καὶ πανδοσία ἡ τοιαύτη ἐλέγετο πρὸς παίγνιον τῆς Πανδώρας, καὶ Βορβορόπη δὲ ὡς ἀκάθαρτος, παρὰ τὸν βόρβορον καὶ τὴν ὀπὴν, ἄλλου λόγου ταῦτα.

Ὄνος βρωμώμενος, βρῶμον ἐσθίων. ἔστι δὲ εἶδος σπέρματος.

Ὄνος, παρὰ τὴν ὄνησιν τὴν ἐξ αὐτοῦ γινομένην ἐν τοῖς ἔργοις.

Ὄνος, παρὰ τῷ Ἀριστοφάνει, εἶδος ἀγγείου. ἴσως δὲ διὰ τὸ διάπλασμα ἔχειν ὄνου μορφήν.

Ὄνος διατί τιμᾶται ἐν τῷ οὐρανῷ; ὅτε ἐπὶ Γίγαντας ἐστρατεύοντο οἱ Θεοὶ, λέγεται Διόνυσον καὶ Ἥφαιστον καὶ Σατύρους ἐπὶ ὄνων πορεύεσθαι. οὔπω δὲ ὁρωμένων αὐτοῖς τῶν Γιγάντων, πλησίον ὄντες ὠγκήσαντο οἱ ὄνοι. οἱ δὲ Γίγαντες ἀκούσαντες τῆς φωνῆς ἔφυγον. διὸ ἐτιμήθησαν ἐν τῷ καρκίνῳ εἶναι ἐπὶ δυσμάς.

Ὄνος ἄγων μυστήρια. τοῖς μυστηρίοις ἐξ ἄστεος εἰς Ἐλευσῖνα διὰ τῶν ὄνων φέρουσι τὰ εἰς τὴν χρείαν. ὅθεν ἡ παροιμία, διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας.

Ὄνοσαι παρ' Ὁμήρῳ, ἀστείως ἔφη ἀντὶ τοῦ ἢ μέμφῃ ἡμῖν δηλαδὴ, ἢ τοῖς ἀλήταις, ὡς μὴ βοροῖς οὖσι, μὴ δὲ δαπανᾶν εὖ δυναμένοις τὰ τοῦ οἴκου τῶν σῶν δεσποτῶν, καὶ διὰ τοῦτο καὶ ἑτέρους ἄγεις τοὺς ἀξιολογώτερον καταφαγομένους ἐκεῖνα.

Ὀνόσαιτο, ἐκφαυλίσοι, μέμψαιτο.

Ὄνοσις, ὄστρεον. ἔστι δὲ ζῶον πολύπουν, ὀστρείῳ ὅμοιον. ὃ καὶ ἰουλόν τινές φασιν.

Ὀνοστὰ, εὑρίσκεται ποτὲ καὶ δίχα τοῦ σ, ὁμοίως τῷ γνωστὸς καὶ γνωτός. καὶ ἐκ τοῦ ὀνοτὰ γίνεται ὀνοτάζειν, τὸ μέμφεσθαι. ὡς τὸ σκολιῶς ὀνοτάζων.

Ὀνοστύπαξ, ὀνοστύπτα, διὰ μὲν τοῦ ὄνου τὸν μύλωνα ὀνειδίζων. διὰ δὲ τοῦ στύππακος, ὅτι στυππιοπώλης ἦν.

Ὀνοταζομένη, πορθουμένη. Ἴων μεγάλῳ δράματι. κυρίως δὲ ἐπὶ τοῦ ἐκφαυλίζεσθαι.

Ὀνοτάζων παρὰ Ἡσιόδῳ, ἀντὶ τοῦ πανούργως εὐτελίζων.

* Ὄνουφις, πόλις Αἰγύπτου.

Ὀνοτὴν, μεμπτήν.

Ὀνοτὸς, μεμψίμοιρος, πτωχὸς, ἐπονείδιστος.

Ὄντα, λέγεται ἀττικῶς τἀληθῆ, καὶ τὰ μὴ μαρτυρίας εἰς παράστασιν δεόμενα. ὄντα καὶ τὰ ὑπάρχοντα, κοινῶς, ἤτοι τὰ ἐν περιουσίᾳ κτήματα.

Ὄντως, ἀληθῶς, μέγα. ὄντος δὲ, τοῦ ὑπάρχοντος. καὶ ὄντως τοῦ Θεοῦ, μικρόν. καὶ ὀντότης ἀπὸ τοῦ ὄντος.

Ὄνησις, ἡ αὔξησις.

Ὃν τρόπον ἐπιρρήματα τοῖς ῥήμασι, τὸν αὐτὸν εἰσὶ τὰ ἐπίθετα κυρίοις. ἄμφω γὰρ ἐπιτίθενται. προφέρονται δὲ τὰ τοιαῦτα λέγω ἐπίθετα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς προσηγορικοῖς, ἢ κυρίοις. ὁμοιογενῶς μὲν, ὁ καλὸς ἄνθρωπος, ἡ καλὴ οἰκία, τὸ καλὸν παιδίον. ὁμοιοπτώτως δὲ, ὡς τοῦ σοφοῦ ἀνθρώπου, ὁποία ἡ πτῶσις τοῦ κυρίου, ἢ προσηγορικοῦ, τοιαύτη καὶ ἡ τοῦ ἐπιθέτου.

Ὀνουγνάθος, Εὔπολις παίζει εἰς πολυφαγίαν. ἔστι δὲ καὶ τόπος οὕτω καλούμενος.

Ὄνου πόκαι, χωρίον ἐν ᾅδου διατετύπωκεν Ἀριστοφάνης, οὕτω λεγόμενον πλάσας. ἔστι δὲ καὶ παροιμία τὶς ὄνου πόκαι, ἐπὶ τῶν ἀνηνύτων καὶ ἀτελῶν. οὐδὲ γὰρ αἱ πέξεις τῶν ὄνων καὶ κράσεις δύνανταί τι, ὥσπερ οἱ λέγοι τὶς ὄνον κειρεῖς. παρόσον οὖν τὰ ἐν ᾅδου ἀνήνυτά ἐστι, καὶ τὸ μηδὲν, παρὰ τοῦτο τὰς τοῦ ὄνου πόκας ἔπλασεν.

Ὄνου σκιά. Ἀριστοφάνης σφηξὶ, περὶ τοῦ νῦν δὴ μάχη περὶ ὄνου σκιᾶς. ἐπὶ τῶν μηδενὸς χρησίμου φιλοτιμουμένων.

Ὄνυμα, ἀντὶ τοῦ ὄνομα λέγουσιν Αἰολεῖς.

Ὀνυμαίνω, τὸ ὀνομάζω, ἐκ τοῦ ὄνυμα. ὄνυμα δὲ ἐκ τοῦ ὄνομα, τροπῇ αἰολικῇ τοῦ ο εἰς υ.

Ὄνυξ, παρὰ τὸ νύσσω, νύξω, νύξ. καὶ πλεονασμῷ τοῦ ο, ὄνυξ. ἢ παρὰ τὸ ἀνοίγω ἀνοίξω, ἄνυξ, καὶ ὄνυξ, δι' οὗ ἀνοίγεται ἡ σὰρξ καὶ ἀραιοῦται.

Ὀνυρίζεται, ὀδύρεται.

Ὀνυχίζεται, ἀκριβολογεῖται, οὕτως Ἀριστοφάνης. ἐν δὲ τῇ συνηθείᾳ, τὸ ἐπὶ βλάβῃ τινὶ ἐξαπατηθῆναι. καὶ ἀπονυχιῶ σου τὰν Πρυτανίῳ σιτίαν, ἀντὶ τοῦ ἀφαιρήσομαι. ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων. ἀφαιρήσομαι γάρ φησι τὴν σίτησιν. ἀπονυχίσαι μᾶλλον λέγουσιν, ἢ ὀνυχίσαι.

Ὀνύχινος, εἶδος λίθου. καὶ ὀνυχίτης.

Ὀνυχίζειν, καὶ ἐξονυχίζειν, ἑκάτερα ταυτὸ σημαίνει. καὶ τίθεται ἐπὶ τὸ ἀκροβολεῖσθαι. τὸ δ' ἀπονυχίζειν, τὸ τὰς αὐξήσεις τῶν ὀνύχων ἀφαιρεῖν σημαίνει. ἐπειδὴ δὲ ὁ πολὺς συρφετὸς, λέγουσιν ὀνύχισόν με καὶ ὀνυχισάμην, διὰ τοῦτο σημαινόμεθα τὰ ὀνόματα, καὶ φαμὲν ὅτι εἰ μὲν ἐπὶ τοῦ τοὺς ὄνυχας ἀφαιρεῖν τίθησι τὶς, χρήσαιτο ἂν τῷ ἀπονυχίζειν. εἰ δὲ ἐπὶ τοῦ ἀκριβολογεῖσθαι, καὶ ἐξετάζειν ἀκριβῶς, τῷ ὀνυχίζειν χρήσαιτο ἄν.

Ὀνῶ, σημαίνει δύο. τὸ ὠφελῶ. ἐξ οὗ ὄνησις, ἡ ὠφέλεια. ἔστι δὲ συζυγίας πρώτης. τὸ δὲ ὀνῶ τὸ ἀγοράζω, ἐστὶ δευτέρας.

Ὀνῶ, τὸ μέμφομαι. καὶ ὀνοτάζω, τὸ ὑβρίζω.

Ὀνώνης, παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ, καὶ τὸ ὄνος, ἡ τοὺς ὄνους ὠφελοῦσα. ἔστι δὲ ἀκανθῶδες φυτόν.

Ὁ νῶτος ἀρσενικῶς λεγόμενος, ἁμαρτάνεται. οὐδετέρως δὲ τὸ νῶτον.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Ξ.

Ὀξάλιοι, εἶδος σύκων.

Ὀξαλὶς, ἡ ὀξεῖα τρὺξ, ἢ ὁ ξίνης οἶνος.

Ὀξέα, μεγάλα, ἀνεστρωμένα.

Ὄξει, δοτική. ἡ εὐθεῖα, τὸ ὄξος. καὶ ὀξείδιον, τὸ ὄξος. καὶ ἀλίβας λέγεται ἀπὸ τοῦ μὴ λείβεσθαι, ὅτι νενεκρωμένος οἶνός ἐστι. καὶ ἀλίβας, ὁ νεκρός.

Ὀξερίας, τυρὸς ἀχρεῖος.

Ὀξέως, ταχέως, σφοδρῶς.

Ὀξίδας, τὰ τῶν ἡδυσμάτων ἀγγεῖα. ὀξίδας μὲν εἰς ἃ καὶ τὸ ὄξος ἔνεστιν. ἐμβάφια δὲ, καὶ κεράμια, καὶ λεκάνια, καὶ τρύβλια, καὶ ὀξύβαφα, ἐν οἷς τὰ ὑδύσματα, ἢ ἐμβρώματα. ὀξύβαφα δὲ ἐκάλουν πάλαι, καὶ τὰ ὑποδεχόμενα τὰς λάττας. τὰς δὲ καλουμένας πατέλλας, λεκανίδας ὀνομαστέον, εἰ καὶ ἐξ ἀργύρου εἶεν. Θεόπομπος μὲν γὰρ ὁ κωμικὸς, εἴρηκεν

ὀρνί-

ὀρνίθων λεκάνην. Ἀριστοφάνης δὲ λεκανίσκην, ἀλλαχοῦ δὲ λεκάνην, καὶ ἄλλοθι, καί μοι λεκάνιον τῶν λαγῴων κρεῶν.

Ὀξίνα, ἐργαλεῖόν τι γεωργικὸν, σιδηροῦς γόμφους ἔχον, ἑλκόμενον ὑπὸ βοῶν.

Ὀξίνην, παρὰ τῷ Ἀριστοφάνει ὀξίδας, ἃ καλοῦμεν ὀξυβάφια.

Ὀξίνην. Ἀριστοφάνης, ἐμαχόμεθ' αὐτοῖσι θυμὸν ὀξίνην πεπωκότες. ὀξὶς δὲ, ἀγγεῖον ὄξους δεκτικὸν, ὡς ὁ αὐτὸς Ἀριστοφάνης ἐν πλούτῳ, ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον.

Ὀξὶς, ἀγγεῖον ὄξους δεκτικόν. ὀξίδες, κεράμεα μικρά ἐστιν, ἢ εἶδος λοπάδος ὀξὶς, ἢ φάλαγξ, εἶδος ἀγγείου ὀξυροῦ ἡ ὀξίς.

Ὀξόγαρος, βάρβαρον. ὀξύγαρος γάρ. ὀξύγαρον οἰνηρὸν ἔτι κεκτήσεται.

Ὄξυς, χόνδρους. εἶδος ἐλαίας.

Ὄξος, τὸ παρ' ἡμῖν. Ὦξος δὲ, ὄνομα ποταμοῦ, μέγα. ὄξος, ὡς παρὰ τὸ παχὺς γίνεται πάχος, καὶ ταχὺς τάχος, οὕτω καὶ παρὰ τὸ ὀξὺς ὄξος, τουτέστιν ὁ εἰς ὀξὺ καταβεβηκὼς οἶνος. ἐπειδὴ τέμνει καὶ κεντρίζει τὴν γεῦσιν. οἱ δὲ Κυρηναῖοι τὸ ὄξος, εἶδός φασι, καὶ ἄλλοι, γλυκάδιον.

Ὀξὺ, ἐπὶ μαχαίρας καὶ ὀφθαλμῶν λεγόμενον, ἐναντίον ἔχει τὸ ἀμβλύ. λέγεται καὶ ἐπὶ τῶν μετεχόντων ἐξόδους ποιότητος, καὶ ἔχει ἐναντίον τὸ γλυκύ. λέγεται καὶ ἐπὶ φωνῆς, καὶ ἔχει ἐναντίον τὸ βαρύ. ὅθεν ὀξυδερκῶ, ἤγουν ὀξέως βλέπω.

Ὀξυάκανθοι, οἱ ἐν Καρίᾳ καὶ Φρυγίᾳ.

Ὀξυβάφος, οὐχὶ ὀξοβάφος.

Ὀξύβαφον, τὸ δεχόμενον τὸ ὄξος. μεῖζον δὲ τὸ τρυβλίον τοῦ ὀξυβάφου. Ἀριστοφάνης ὄρνισιν, ὀξύβαφον ἐνταυθοῖ πρόσθου λαβὼν, ἢ τρυβλίον. φασὶ Διοκλέα τὸν Ἀθηναῖον εὑρεῖν τὴν ἐν τοῖς ὀξυβάφοις ἁρμονίαν, ὀστρακίνοις ἀγγείοις, ἅπερ ἔκρουεν ἐν ξυλυφίῳ.

Ὀξυβελὴς, ὀξέως βάλλων, ἢ ὀξὺ βέλος ἔχων.

Ὀξυβελὴς, φανερῶς δηλοῖ ὅτι βέλος κυρίως τὸ τοῦ οἰστοῦ σιδήρεον. ἀφ' οὗ καὶ τὸ ὅλον βέλος λέγεται. ὡς καὶ ἀπὸ τοῦ σιδήρου τῆς αἰχμῆς, τὸ ὅλον δόρυ αἰχμὴν φαμέν.

Ὀξυβολῶ, τὸ ταχέως ἀκούω.

Ὀξυδέρκεια, τὸ ὀξέως βλέπειν. ὀξυδερκία δὲ, ι.

Ὀξυωπεῖν, ὀξέως βλέπειν.

Ὀξυήκοος, ὀξέως ἀκούων.

Ὀξύθηκτος, ὀξύτατος.

Ὀξυθύμια λέγεσθαί φασι τὰ ξύλα, ἀφ' ὧν ἀπάγχονταί τινες. ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι. ταῦτα δ' ἐκκόπτοντες ἐξορίζουσι, καὶ καίουσι. καὶ ὀξυθύμια, τὰ καθάρματα λέγεται, καὶ ἀπολύματα. ταῦτα γὰρ ἀποφέρεσθαι εἰς τὰς τριόδους, ὅταν τὰς οἰκίας καθαίρωσι. καὶ τὰ ἐν τοῖς τριόδοις φησὶν Ἑκαταῖος, ποῦ τὰ καθάρσια ἔφερόν τινες, ἃ ὀξυθύμια καλεῖται.

Ὀξυλαβῆσαι, ὀξέως λαβέσθαι τοῦ πράγματος.

Ὄξυλον, ὅμοιον, ἰσόξυλον.

Ὀξύμαλα, τὰ κοκύμηλα.

Ὀξυμερίμνοις, τοῖς μετὰ σκέψεως εὑρισκομένοις, καὶ ἀσαφέσιν. Ἀριστοφάνης.

Ὀξὺν Ἄρηα, ὀξὺν πόλεμον.

Ὀξύνω, ἔχει ἐναντίον τὸ ἀμβλῶ.

Ὀξυόεντι, ὀξεῖ ἢ ὀξυΐνῳ. ὀξέα δὲ, εἶδος δένδρου.

Ὀξυπαθῶς, λίαν περιπαθῶς.

Ὀξυπευκὲς, ὀξύπικρον.

Ὀξύπετρος, γῆς ποιὸν εἶδος, ὡς οἱ γεωργοί φασιν.

Ὀξύπρωρον, ὀξυκέρατον. ἢ τὸ ὀξεῖαν ἔχον τὴν πρώραν.

* Ὀξυρεγμία, οἱ τοῖς ἀπεπτοῦσι παρακολουθοῦσα ἐποξίζουσα ἐρυγμὴ, γίνεται δὲ διὰ τὴν ψύξιν τῆς γαστρὸς, καὶ διὰ φλέγμα πολλάκις ἠθροισμένον ἐν αὐτῇ, καὶ διὰ πλῆθος σιτίων, αἳ καὶ ψυχρῶν μὴ ὄντων, ἀλλὰ ψυχρῶν τῇ δυνάμει.

Ὀξυρεγμία. ἡ δὲ περιπάτους ἐποιεῖτο συχνοὺς, ὀξυρεγμίαν προσποιουμένη. ὀξυρεγμία δὲ λέγεται, ὅταν ἡ τροφὴ ἐποξίσῃ.

Ὀξύρροπος, ταχέως μεταστρεπόμενος.

Ὀξὺς Ἄρης παρ' Ὁμήρῳ, ὁ τῶν ἤδη συμβεβηκότων εἰς μάχην. ὁ γὰρ πρὸ τῆς συμβολῆς τῆς μεθ' ὅπλων οὐκ ὀξύς ἐστιν, ἀλλ' ὡς εἰπεῖν ἀμβλὺς, διὰ τὸ ἀνυπάρκτως ἔτι καὶ ἀτρέπτως μένειν τοὺς ἀντιμάχους. καὶ ἄλλως δὲ καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, ὀξὺς Ἄρης, διὰ τὸ ὀξὺν σίδηρον. ὃς καὶ αὐτὸς Ἄρης κατ' ἀλληγορίαν λέγεται. ἵνα ᾖ ἐγείρειν ὀξὺν Ἄρην, τὸ μὴ κατακοιμίζειν ὑπὸ ἡσυχίᾳ τὰ ὄργανα τῆς μάχης, ἀλλ' ἐγείρειν καὶ ἐπανιστᾶν τοῖς ἐχθροῖς.

Ὀξὺς Ἄρης, ἢ ὁ ταχὺς, ἢ ὁ τμητικός. ἐκ μεταφορᾶς τῶν ὀξέων βελῶν. ἢ ὁ ἐνθουσιώδης. ὀξεῖς γὰρ λέγονται οἱ θυμικώτεροι.

Ὀξὺς ἐπερράγη λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ ὀξέως ἐπερράγη, ἢ βλαπτικῶς ἐκινήθη.

Ὀξυτόμους ἐμπίδας, τὰς ὀξυαδούσας.

Ὀξύτης, ὅτι τρία μέρη εὐμαθίας, ἀγχίνοια, μνήμη, ὀξύτης. καὶ μνήμη μέν ἐστι, τήρησις ὧν ἔμαθέ τις. ὀξύτης δὲ, ταχύτης τῆς διανοίας. ἀγχίνοια δὲ, τὸ ἐξ ὧν ἔμαθε θηρεύειν, καὶ ἃ μὴ ἔμαθεν.

Ὀξύτης, πονηρία, αὐστηρία.

Ὀξυτονὴς, ἡ ὀξεῖα τρίβος.

Ὀξυχολία, ἔξαψις καρδίας παραυτίκα ὀργιζομένη, κακῶσαι τὸν κακώσαντα.

ΤΟ' Ο'. ΜΕΘ' ΕΑΥΤΟΥ, ΚΑΙ' ΜΕΤΑ' ΤΟΥ Π'.

Ὀ Κῷον, εἰς τὴν οὐ δίφθογγον κιρνᾶται. οἷον λωτόος καὶ λωτοῦς. πανθόος καὶ πανθοῦς. ὁμοίως καὶ ἐπὶ τῶν ῥημάτων. οἷον ἐχρύσοον ἐχρύσουν, χρυσόομεν χρυσοῦμεν. ὁμοίως ὁ καὶ ε εἰς ου. οἷον χρυσόεντα χρυσοῦντα, χρυσοέντην, χρυσοῦντην.

Ὄϊγα, φαρέτρα.

Ὄου κλέος, οὗ δόξα.

Ὄου, ἀντὶ τοῦ οὗ τινος πλεονασμὸν ἔχει τοῦ ο, ἵνα ᾖ ὥσπερ τοῦ ὅτου καὶ τῷ ὅτῳ. ἢ ἄρθρον ὑποτακτικόν. τὸ δὲ ο, οὐκ ἔστι πλεονασμὸς, ἀλλὰ διαίρεσις. τὰ γὰρ ἄρθρα εἰώθασι διαιρεῖσθαι, οὐ πλεονάζειν. οἷον ἧς ἑῆς, οὗ ὄου. διαίρεσις οὖν, οὐ πλεονασμός ἐστιν. ἡ γὰρ διαίρεσις διαλλάσσει τὸν τόνον, ἧς ἑῆς, οὗ ὄου. δασύνεται δὲ, τὰ γὰρ πλεονάζοντα φωνήεντα ἐν λέξεσι ταῖς ἀπὸ δασυνομένου φωνήεντος ἀρχομέναις, μεταληπτικὰ γίνονται τοῦ δασέος πνεύματος. οἷον ὥρα ἑώρα, ἥνδανεν ἑήνδανεν. εἷς ἑεῖς, ὃς ἑός, ἡ ἑή, ἧκεν ἕηκε, καὶ ἀφέηκε καὶ ἀφῆκε. τὰ δὲ πλεονάζοντα ἐν λέξεσι ψιλουμέναις ψιλοῦνται καὶ αὐτά. οἷον, εἴκοσιν ἐείκοσιν, οἶκα ἔοικα, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως.

Ὄπα, φωνήν.

Ὄπα, γηρύοντες, φωνὴν φθεγγόμενοι.

Ὀπαδὸς, ἀκόλουθος, συνεργὸς, δοῦλος.

Ὀπάζω, σημαίνει ποτὲ μὲν τὸ περιποιεῖν καὶ διδόναι. ὡς τὸ, Τρωσί τε καὶ Ἕκτορι κῦδος ὀπάζει. ποτὲ δὲ τὸ καταφέρεσθαι, οἷον χείμαρρους κατ' ὄρεσφιν ὀπαζόμενος Διὸς ὄμβρῳ. ποτὲ δὲ τὸ ἐπιλέγεσθαι. οἷον ἢ καὶ νεώτερον υἱὸν ὀπάσσατο κῦδος. ποτὲ δὲ τὸ διώκειν. ἀλλ' ὅτε δὴ ῥ' ἐκίχανε πόλιν καθ' ὅμιλον ὀπάζων.

Ὀπάζει, παρέχει. ὀπάσω, χαρίσομαι.

Ὀπάζειν, οὐ μόνον τὸ παρέχειν, ἀλλ' ἔστιν ὅτε καὶ τὸ κατόπιν διώκειν. καὶ ὀπάζων, κατόπιν διώκων.

Ὀπαζόμενος, ἀντὶ τοῦ ἐπειγόμενος, ὁ ἐς κατόπιν ἐλαυνόμενος παρ' Ὁμήρῳ.

Ὀπαία, ἡ ὀπή. καὶ θυρὶς, ἡ ἐκ τοῦ κεράμου, ἡ τὴν κάπνην ἔχουσα.

Ὁ πάλαι, τοῦ πάλαι, τῷ πάλαι, τὸν πάλαι. Εἰδέναι δεῖ, ὅτι τὰ προτακτικὰ τῶν τριῶν γενῶν ἄρθρα, πολλάκις ἐπιρρημάτων προτασσόμενα δι' ὅλων τῶν πτώσεων καὶ ἀριθμῶν, ἐπιθέτων ἀναπληροῦσιν ὀνομάτων χώραν. φυλαττομένης δηλαδὴ ἀκλίτου τῆς φυσικῆς ἐπιρρηματικῆς ἰδιότητος. οἷον, ὁ πάλαι. τοῦ πάλαι, τῷ πάλαι, τὸν πάλαι, καὶ μέχρι τῶν πληθυντικῶν καὶ ἐπὶ τῶν τριῶν γενῶν. οἷον, ὁ πάλαι, ἡ πάλαι, τὸ πάλαι. ὁ πλησίον, τοῦ πλησίον. καὶ ἡ πλησίον, τῆς πλησίον. ὁ πέλας, τοῦ πέλας. καὶ ἡ πέλας, τῆς πέλας. τὸ πέλας, τοῦ πέλας. καὶ τὰ πληθυντικὰ ὁμοίως, οἱ πλησίον, αἱ πλησίον, τὰ πλησίον. οἱ πέλας, αἱ πέλας. ὁ ἔγγιστα, ἡ ἔγγιστα. οἱ ἔγγιστα, αἱ ἔγγιστα. ὁ πάνυ, τοῦ πάνυ. καὶ ἡ πάνυ, τῆς πάνυ. ὁ ἄνω, καὶ ἡ ἄνω. ὁ ἀνωτάτω, ἡ ἀνωτάτω. παραπλήσιαι δὲ τούτων εἰσὶν αἱ μετὰ προθέσεως καὶ αἰτιατικῆς, ἢ δοτικῆς πτώσεως ὀνομαστικῆς, ἢ ἀντωνυμικῆς διὰ τῶν προτακτικῶν ἄρθρων γίνονται συντάξεις. οἷον, ἡ ὑφ' Ἥλιον, τῆς ὑφ' Ἥλιον, τῇ ὑφ' Ἥλιον, καὶ ἡ ὑπ' οὐρανὸν, τῆς ὑπ' οὐρανόν, τῇ ὑπ' οὐρανῷ. καὶ μέχρι τῶν πληθυντικῶν, μενούσης τῆς προθέσεως, μετὰ αἰτιατικῆς ἀκινήτου. σημαίνομεν δὲ ἐν τῷ λέγειν, ἡ ὑφ' ἥλιον, καὶ ἡ ὑπ' οὐρανὸν, καὶ ἡ ὑπ' οὐρανῷ, τὴν ὑποκάτω τοῦ Ἡλίου καὶ τοῦ οὐρανοῦ κτίσιν. λέγοντες δὲ οἱ ὑπ' οὐρανὸν, καὶ οἱ ὑπὸ γῆν, δηλοῦμεν τοὺς ὑποκάτω τοῦ οὐρανοῦ, καὶ ὑποκάτω τοῦ Ἡλίου ἀνθρώπους. εἰ μὴ καὶ τὸ ἄνθρωποι συνταχθείη. καὶ πολλὴ ἡ τοιαύτη ἐν τοῖς ποιήμασί τε καὶ συγγράμμασι χρῆσις.

Ὀπάονας δούλους, ἀκολούθους.

Ὀπάσαι, δοῦναι.

Ὀπάσας, χαρισάμενος.

Ὄπασεν, ἔδωκεν.

Ὀπασθεὶς, ἐκ τῶν ὀπίσω δεθεὶς, καὶ ἐξαγκωνισθείς.

Ὄπασον, ἀπόδος, πάρεχε.

Ὀπάσσατο, προσελάβετο.

Ὀπάσω, χαρίσομαι.

Ὀπαστὸν, τὸ ἐφόδιον, Πέρσαι.

Ὄπατον, τὸ ἐπέτειον.

Ὄπατρος, κασίγνητος ψιλοῦται, τὸ ο ἀπὸ τοῦ μὴ κατὰ ἀναφορικὴν ἔννοιαν, ψιλοῦται. ὀπώρα. οὕτω καὶ ὄπατρος παρὰ τὸ ὁμὸς καὶ τὸ πατρός. τὸ γὰρ ὁμὸς σημαίνει τὸ ὅμοιος.

Ὄπατρον, τὸν ἐκ τοῦ αὐτοῦ πατρὸς ἀδελφόν.

Ὀπάων, ἀκολουθῶν, παρὰ τὸ ὀπάζω.

Ὀπέραν, ὁ ἐπέκεινα.

Ὀπεύει, περισκοπεῖ, βλέπει.

Ὀπὴ, ἡ νυκτερὶς, καὶ ἡ τρύπα.

Ὀπὴ, κυρίως τόπος τετρημένος. ἀφ' οὗ τις δύναται ὀπήσασθαι καὶ περιβλέψασθαι, ὥς πως Ἀριστόνικος.

Ὄπῃ, ὅπως. Ἀριστοφάνης, σὸν ἔργον φροντίζειν, ὅπῃ τὸν ἄνδρα κρατήσῃς. καὶ ὅππη, καὶ ὅππως, αἰολικῶς. ὅπου καὶ ὅπῃ διὰ τοῦ η ἐπὶ στάσεως τίθεται. οἷον, ὅπῃ εὑρίσκομαι, καὶ ὅπου οἰκῶ. ὅποι διὰ τοῦ ο καὶ ι ἐπὶ κινήσεως, οἷον, ὅποι ἔρχομαι.

Ὀπήδει, τουτέστιν ἠκολούθει.

Ὀπηδὸς, παρ' Ἀττικοῖς. κοινῶς δὲ ὀπαδὸς, ὃ δηλοῖ τὸν ἀκόλουθον ἐκ τοῦ ὀπηδῶ γίνεται.

Ὄπηκεν, ὅπῃ ἂν, ὁπηνίκα, ἡνίκα, ὁ πότε, ὅτε.

Ὀπηνίκα, ὁπότε, ὅταν. Ξενοφῶν, οἱ δὲ ἐθύσαντο, ὅπως ὀπηνίκα δοκοίη τῆς ὥρας τὴν πορείαν ποιοῖντο.

Ὀπὴ, ἡ διάτρησις.

Ὀπήσασθαι, θεωρῆσαι.

Ὀπήτιον, τὸ σουβλίον. τὸ τὰς ὀπὰς ἐμποιοῦν.

Ὀπὶ καλῇ, ἐν Ὀδυσσείᾳ, ἤγουν ἀοιδῇ.

Ὀπίαν δ' οὐκ ἔστι παρὰ τῷ Ἀριστοφάνει, παρὰ τὴν ὀπὴν τὸ ὄνομα. καὶ τυρὸν δὲ λέγουσιν ὀπίαν, τὸν τῷ ὀπῷ τῆς συκῆς πυκνούμενον.

Ὀπικοὶ, ἔθνος. Ἰταλίας.

Ὄπις, σημαίνει τὴν μῆνιν. ἐκ τοῦ ἕπω παρὰ τὸ ἕπεσθαι καὶ ἀκολουθεῖν τοῖς ἁμαρτάνουσιν. ἐξ οὗ καὶ φίλοπις, καὶ θεῶν ὄπιν.

Ὄπιδα, τὴν εἰς τὸ μέλλον θείαν ἐπιστροφήν. ἐλεητὴν δὲ, τὸν ἔλεον αἰολικῶς φασὶν οἱ παλαιοί.

Ὀπιδνὴ, φοβερὰ, πονηρά.

Ὀπίζεο, πονηρεύου, ἀπόφευγε.

Ὀπίζεσθαι, τὸ ἐντρέπεσθαι. οἷον θεῶν δ' ἐποπίζεο μῆνιν, ἀντὶ τοῦ πρόορα τὴν τῶν θεῶν μῆνιν, καὶ ἐπιστροφὴν ποιοῦ.

Ὀπί-

Digitized by Google

Ὀπίζεσθαι, τὸ ἐπιστρέφεσθαι, καὶ φροντίζειν. ὅθεν καὶ ὄπις, ἡ ἐπιστροφή.

Ὄπιθεν, ἀντὶ τοῦ ὄπισθεν πολλάκις παρὰ ποιηταῖς κατ᾽ ἔλλειψιν τοῦ σ ἐστὶν εὑρεῖν, διὰ χρείαν μέτρου. φύσει γὰρ τῷ σ ἐστὶν, ὡς ἐκ τοῦ ὀπίσω συγκοπὲν, ὅπερ Αἰολεῖς ὄπισθα λέγουσιν.

Ὀπικία, χώρα.

Ὀπίμια, τὰ λάφυρα.

Ὄπιον, βοτάνη, τὸν πιόντα αὐτὸ κοιμίζον.

Ὀπίπας, ἀπατεὼν, ἢ ἀπατητής.

Ὀπίπερα, ὀφθαλμιῶσα.

Ὀπιπτεύειν, τὸ περιέργως βλέπειν. ὅθεν καὶ ὁ παρθενοπίπης, καὶ ὁ παρὰ τῷ Κωμικῷ πιρροπίπης, καὶ γυναικοπίπης, παρὰ τὸ ὄπτω τὸ βλέπω παράγωγον ὀπτεύω, καὶ κατὰ ἀναδιπλασιασμὸν, ὀπιπτεύω, τὸ περιβλέπομαι.

Ὀπιπτεύοντα παρ᾽ Ἡσιόδῳ, τοῦτο παρὰ τοῖς κοινοῖς μετὰ προθέσεως ἐν χρήσει ἐστίν. οἷον ὑποπτεύω, ἀντὶ τοῦ ὑφορῶμαι καὶ μεθ᾽ ἑτέρας ἴσως προθέσεως, χωρὶς δὲ προθέσεως οὔποτ᾽ ἂν ῥηθείη αὐτοῖς. οἱ Ποιηταὶ δὲ καὶ τούτῳ χωρὶς προθέσεως οὐκ ὀκνοῦσι χρῆσθαι.

Ὀπιπτεύοντα νείκεα παρὰ Ἡσιόδῳ, ἀντὶ τοῦ ἔχοντα τετραμμένην εἰς φιλονεικίαν τὴν γνώμην.

Ὄπις, ἡ ἐξόπισθεν ἑπομένη τισίν. ἢ ἐπιστροφὴ, ἢ φωνή.

Ὄπισθεν, γράφεται καὶ ἐπὶ τοῦ μέλλοντος. Ἡρόδοτος, αὐτός τε οὔπω τυγχάνω ἐπιστάμενος, καὶ ἐν τοῖς ὄπισθεν λόγοις ἀποδείξω.

Ὄπισθεν ὀνομάζοι, εἰς ταυτὸν ἔθετο τῷ, ὄπισθεν ὑπέστη. ἤγουν εἰς τὸ μέλλον ὑπέσχετο.

Ὄπισθεν, μετὰ τοῦ σ γραπτέον. συγκέκοπται γὰρ ἀπὸ τοῦ ὀπίσωθεν.

Ὄπισον, λάχανον ἄγριον. ἢ τρωκτὸν, ἢ ἄπιστον.

Ὀπίσθια, τὰ παρελθόντα. ἄλλοι, τὰ τῶν ζώων οὐραῖα.

Ὀπίσσεται, ὄψεται.

Ὀπισσος, εἰς τοὐπίσω ἐπάνω φέρεσθαι.

Ὀπίσωτρον, ἡ ἀψὶς τοῦ τροχοῦ.

Ὀπισοβάμων, ὁ πάγουρος. ὀπισθοβάμονα τρίχηλον, ὀκταπουν, νηκτάν.

Ὀπισθόπους δίκη, ἡ μεθ᾽ ἡμέραν ἀκολουθοῦσα τοῖς ἀδικήμασιν.

Ὀπισθόδομος, ὁ οἶκος, ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς οὕτω καλεῖται, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα.

Ὀπισθοκρηπὶς, εἶδος ὑποδήματος.

Ὀπισθορμήσας, εἰς τοὐπίσω χωρήσας.

Ὀπισθοτίλα, σηπία.

Ὀπίστατος, ἐκ τοῦ ὄπισθεν, ὀπισθότατος ὤφειλεν εἶναι. ἀλλ᾽ ὅτι οὐχ εὕρηται ἡ τοιαύτη γραφὴ, δύναται ἀπὸ τοῦ ὀπίσω ὀπισώτατος εἶναι, καὶ ἐν συγκοπῇ ὀπίστατος, ὁ τελευταῖος καὶ ἔσχατος.

Ὀπισθότονος, ἐναντίον κύρτωμα.

Ὀπισθοτονός ἐστι, κακία φύσεως λογικῆς, καθ᾽ ἣν δυσκαμπὴς γίνεται πρὸς ἀρετὴν, καὶ γνῶσιν τὴν τοῦ Θεοῦ.

Ὀπισθοφανὲς, εἰς τοὐπίσω προσέχον.

Ὀπίσω ἐπὶ μέλλοντος χρόνου τίθεται. ὅσα μὲν γὰρ οὔπω ἐθεάθησαν, ἢ ἐγνώσθησαν, ὀπίσω ἡμῶν εἶναι δοκοῦσιν, ὡς μὴ ἐλθόντα ὅλως εἰς ὄψιν. τὰ δὲ παρῳχημένα, ὡς ἤδη τεθεαμένα, ἔμπροσθεν γενέσθαι λογίζονται.

Ὀπίσωρ, δυσάρεστος.

Ὀπίττομαι, οὐ πείθομαι, Βοιωτοί.

Ὅπλα, ποτὲ μὲν τὰ πολεμικὰ σκεύη, ποτὲ δὲ τὰ τῆς νεὼς σχοινία, καὶ τὰ χαλκευτικά.

Ὅπλα κυρίως, τὰ φυλακτήρια. οἷον, θώραξ, κράνος, κνημῖδες. ἀμυντήρια δὲ, δι᾽ ὧν μαχόμενός τις ἀμύνεται τοὺς ἐχθρούς. οἷον, σπάθη, μάχαιρα, ἔγχος.

Ὅπλα, παρὰ τὸ ὀφέλω, τὸ αὔξω, ὄφλα καὶ ὅπλα, τὰ κατὰ μῆκος ἐξελαυνόμενα ἐπὶ τοῦ ἄκμονος.

Ὁπλαὶ, αἱ πυξίδες. ἢ ὄνυχες ἵππων, καὶ ἑτέρων κτηνῶν.

Ὁπλὴ, ὁ τῶν κτηνῶν ὄνυξ, ὁ ἱονεὶ ἁπλῆ τις οὖσα, τροπῇ τοῦ α, εἰς ο.

Ὅπλεσθαι πρωτότυπον τοῦ ὁπλίζεσθαί ἐστιν.

Ὁπλίας, Λοκροὶ τοὺς τόπους, ἐν οἷς συνελαύνοντες ἀριθμοῦσι τὰ πρόβατα, καὶ τὰ βοσκήματα.

Ὁπλίζεσθαι, ἑτοιμάζεσθαι.

Ὁπλίζω, καθοπλίζω, θωρύσσω, ὁπλίζομαι, κορύσσομαι, ἐνσκευάζομαι.

Ὁπλίσαι, παρασκευάζεσθαι.

Ὁπλίσαι, συνήθως τὸ ἑτοιμάσαι. ὡς καὶ ναῦς ὁπλίζεται, ἤτοι σκευάζεται εἰς κέλευθον.

Ὁπλῖται, πελτασταὶ, ψιλοί. τῆς πεζικῆς εἰσὶ καὶ μαχίμου δυνάμεως.

Ὅπλισμα, βῆμα, καὶ τὸ τοῦ πλοίου σχοινίον.

Ὅπλον, ἔνδυμα πολεμικὸν, καὶ τὸ αἰδοῖον.

Ὁπλοσμία, ἐπίθετον Ἥρας τιμωμένης ἐν Ἤλιδι Πελοποννήσου.

Ὅπλισις, καὶ ὁπλισμὸς, τὸ αὐτό. καὶ βάδισις ὁμοίως καὶ βαδισμὸς, ὧν τὸ μὲν βάδισις καὶ ὅπλησις, παρ᾽ Ἀττικοῖς γράφεται βαδισμὸς καὶ ὁπλισμός. κοινῶς ἀπὸ μὲν τοῦ βαδίζω παράγεται, καὶ ὄνομα τὸ βάδισμα. ὅπερ δηλοῖ αὐτὴν τὴν βάσιν, ὡς καὶ παρὰ Λουκιανῷ, τὸ πρόσωπον ἐντεταμένον καὶ βάδισμα τοιούτῳ προσώπῳ πρέπον. ἀπὸ δὲ τοῦ ὁπλίζω, ἢ ὁπλίζομαι, ὅπλισμα οὐ λέγεται, ἀλλὰ ὅπλησις.

Ὁπλότεροι, ἁπλῶς μὲν οἱ νέοι, ἀλλὰ μάλιστα οἱ μάχιμοι, καὶ ὅπλα αἴρειν δυνάμενοι. ἐκεῖθεν δὲ καὶ ἐπὶ ψόγου ὑπέροπλος. καὶ ὑπεροπλίζεσθαι, τὸ καταθρασύνεσθαι. ἔτι καὶ οἱ ἁπλῶς ἐργατικοὶ καὶ ἐνεργεῖς. ὅπλα γὰρ πάσης τέχνης τὰ ἐργαλεῖα. καὶ ὁπλίζεσθαι, τὸ εἰς ἔργον ἑτοιμάζεσθαι. διὸ καὶ λέγει Ὅμηρος, δαῖτα ἐφοπλιζόμεθα.

Ὁπλότερον, ἡ ποίησις τὸν νέον λέγει, ὡς ὅπλοις προσήκοντα.

Ὀπνιδοπίπα, τιμία καὶ ἐπιστροφῆς ἀξία, παρὰ τὴν ὄπιδα καὶ ἐπιστροφήν.

Ὀπόεις, πόλις Λοκρίδος.

Ὅποι καὶ ὅπου ἀναφορικὰ ἀεὶ πρὸς τὸ ποῖ καὶ ποῦ, τὴν ἀπόδοσιν ἔχουσιν. ὧν τὸ μὲν ποῖ καὶ ὅποι, ἀεὶ ἐπὶ κινήσεως λαμβάνεται. οἷον ποῖ πορεύῃ ὦ Σώκρατες. καὶ ἴδοις ἂν ὅποι πορεύομαι. τὸ δὲ ὅπου καὶ ποῦ, ἀεὶ ἐπὶ στάσεως. οἷον ποῦ καθήμενος διδάσκεις. καὶ ὅπου τῆς ἀγορᾶς ἵστατο Δημοσθένης δημηγορῶν.

Ὁποῖος, ὁπότερος. ὅστις, τὶς ἐγκλινόμενον μὴ δηλοῦντα ὡρισμένως μηθὲν, καὶ διὰ τοῦτο ἀόριστα προσαγορευόμενα οὐ συντάσσεται ἄρθροις. τὸ δὲ ἐν τούτοις ἀρχτικὸν ο, οὐκ ἄρθρον, ἀλλὰ λέξεως μέρος.

Ὀπὸς, ὁ τοῦ σιλφίου κατ᾽ ἐξοχὴν, ὥσπερ καὶ καυλός. καλεῖ δὲ σίλφιον καὶ τὴν ῥίζαν μόνην παρὰ τῷ Ἱπποκράτει.

Ὀπός ἐστιν, ἡ πιτύα. ὀῤῥὸς δὲ, τὸ λεγόμενον τυρόγαλα. ὀπὸν τὸ τῶν δένδρων δάκρυον, καὶ τὸ ἀποστάλαγμα τοῦ γάλακτος τῆς συκῆς.

Ὁπόσον, ὁποῖον.

Ὁπόταν, ὅτε, ὅταν, ἡνίκα.

Ὁποτέροθεν, ἀπὸ ποίου μέρους.

Ὁπότερος, τὸ ἐρωτηματικὸν πότερος, καὶ τὸ ἀναφορικὸν πλεονασμῷ τοῦ ο, ὁπότερος.

Ὁπότε, μετὰ Ἀττικοῦ συντάσσεται. καὶ εἴρηται παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ ποτὲ, ἐν τῷ θ τῆς Ἰλιάδος.

Ὀπούντια ἄστεα, τὰ ὑπὸ τοῦ Ὀποῦντος ποτὲ ἐχόμενα τοῦ Διὸς υἱοῦ, καὶ Πρωτογενείας, οὗ καὶ ἡ πόλις ἐπώνυμος.

Ὀποῦς δὲ, καὶ ποταμὸς Λοκρίδος.

Ὀποῦς, πόλις Λοκρῶν, οὕτω κληθεῖσα ἀπὸ Ὀπόεντος ἄρξαντος ἐν αὐτῇ. ἐθνικὸν τοῦ ὀπόεις ὀποείσιος, ὡς σιμόεις σιμοείσιος. ὥσπερ πλακόεις, καὶ ἐν συναιρέσει πλακοῦς, καὶ σιμόεις σιμοῦς, οὕτω καὶ ὀπόεις, ὀποῦς, καὶ κλίνεται ὀποῦντος. καὶ τὸ ἐθνικὸν αὐτοῦ ὀπουντιος.

Ὅπποι, καὶ ὅππως, ἀντὶ τοῦ ὅπῃ, καὶ ὅπως, Αἰολικῶς.

Ὄππατα, ἀντὶ τοῦ ὄμματα, Αἰολεῖς λέγουσι, καὶ πετ᾽ ἐποῦ, ἀντὶ τοῦ μετ᾽ ἐμοῦ, τῷ π ἀντὶ τοῦ μ χρώμενοι.

Ὀπροστρόπαιος, ὁ ἀποστρέφων, καὶ ἐπὶ τῶν ἄλλων.

Ὀπταλέα, ὀπτὰ παρὰ, τὸ ὀπτῶ. τοῦτο παρὰ τὸ πέττω πτῶ, καὶ πλεονασμῷ τοῦ ο ὀπτῶ.

Ὀπτανία, ἡ ἀπόβλεψις.

Ὀπτανεῖον, τὸ μαγειρεῖον. ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα.

Ὀπτανία, ὀπωπὴ, ἡ ὅρασις, ἡ πρόσοψις. παρὰ τὸ ὄπτω, γίνεται ὀπή. ὡς κόπτω, κοπή. καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ ἔκτασιν, ὀπωπή. δρύψε δὲ οἱ βλέφαρον, γυμνὴ δ᾽ ἀπελείπετ᾽ ὀπωπή.

Ὀπτανώμενος, ὁρώμενος, ἐμφανιζόμενος.

Ὀπτασία, θεωρία, φαντασία, θέαμα.

Ὀπτὴ, ὀπτική. ὀπτικὸν καὶ ὀπτὸν ταυτὰ σημαίνει. ὁρατὰ, φανερὰ, προορατικά.

Ὀπτὴ λίθος, τὸ τοῦβλον. γράφεται δὲ καὶ χοῦς ὀστράκων, τὸ αὐτό. ὀπτὴ δὲ πλίνθος, ἕτερόν τι.

Ὀπτὴρ καὶ ἐπίσκοπος, ταυτόν.

Ὀπτήρια, τὰ ἐν τοῖς ἀνακαλυπτηρίοις διδόμενα δῶρα τῇ νύμφῃ.

Ὀπτιλέτην, ἱερὸν Ἀθηνᾶς.

Ὀπτοὶ ἄρτοι πυρί. ὅθεν γίνεται τὸ ὀπταλέα, πλεονασμῷ τῆς αλ συλλαβῆς. αὐτὸ δὲ κατὰ συγκοπὴν ἐκ τοῦ ὀπτοῦ ὀπτίσω. τὸ γὰρ ἀπαθὲς ὀπτιστὸν, τὸ θεατὸν δηλοῖ, ὡς καὶ Ἀθήναιος λέγει, ἔνθα σοφίζεται εἶναι ἰχθὺν ὠμὸν ὀπτόν. ἔοικε δὲ ὁμοίως ἕψω ἑψήσω ἑψητὸν γενέσθαι τὸ ἑφθὸν, κατὰ συγκοπὴν καὶ τροπήν. τάχα δὲ καὶ καθ᾽ ὁμοιότητα τοῦ ὀπτιστὸν, ὀπτὸν εἴρηται παρὰ Ἀριστοφάνει. καὶ ἑρπτὸν, τὸ ἑρπετόν.

Ὀπτιαλοὶ, ὀφθαλμοί.

Ὀπτιαλίασις, ὀφθαλμίασις.

Ὀπτὸν, παρὰ τὸ ὄπτω, τὸ βλέπω, οἱονεὶ τὸ συνεχῶς ἐποπτευόμενον.

Ὀπτὸν, ἐκ τοῦ ὀπτιστὸν συγκέκοπται.

Ὀπτὸς, φαινόμενος. ἢ ἑψημένος πυρί.

Ὄπτω, τὸ βλέπω, ὅπερ ἐστὶν ἄχρηστον. εὑρίσκεται δὲ ἐν χρήσει ἐν τῷ μέσῳ μέλλοντι, οἷον ὄψομαι. καὶ ἐν τῷ παθητικῷ παρακειμένῳ, ὦπται.

Ὀπύει, γαμεῖ.

Ὀπύειν, οἱ μὲν παλαιοὶ παρὰ τὸ διὰ ὀπῆς ὕειν γίνεσθαί φασιν. ἔστι δὲ εἰπεῖν καὶ ὅτι ὀπύειν παρὰ τὴν ὄπιν, ὃ δηλοῖ τὴν ἐπιστροφὴν γίνεται, καὶ τὸ υἱός. ἐπειδὴ γάμος ὀπίζεται, ὅ ἐστιν ἐπιστρέφεται τεκνοποιίας τῷ τοῦ υἱοῦ ὀνόματι, ὡς ἐκ μέρους συνεπινοουμένης καὶ θυγατρός διὸ καὶ οὐδὲ εἶχε μέλλοντα τὸ ὀπύειν, παρὰ τοῖς παλαιοῖς διὰ τὸ μηδέποτε μετὰ τὴν υ δίφθογγον εὑρίσκεσθαι σύμφωνον.

Ὀπυίειν, ἐξ οὗ ἡ ὀπυιομένη, οὐ διὰ μόνου τοῦ υ δίχρονου, ἀλλὰ σὺν τῷ ι ἔχει τὴν παραλήγουσαν κατὰ τὴν παράδοσιν. διὸ οὐδὲ κινεῖται ὁ τοιοῦτος ἐνεστὼς εἰς μέλλοντα, καὶ τοὺς ἐφεξῆς χρόνους, εἰ καὶ ἡ σχεδιακὴ τόλμη ἐθρασύνετο, ἐν τῷ ὠπύθη νεωτερισαμένη κατὰ τῶν παλαιῶν.

Ὀπυιομένη, γεγαμημένη ἀπὸ τοῦ ὀπυίω.

Ὄπωπα, ὄπτω ὄψω, ὁ παρακείμενος, ὦφα. ὁ μέσος ὦπα, καὶ ὄπωπα Ἀττικῶς. * ἑώρακα, ἴδον, ἐθεασάμην. καὶ ὀπώπει ὑπερσυντέλικος Ἀττικός.

* Ὀπώπια τὰ τῶν ὀφθαλμῶν ὀστά.

Ὀπωπὴ, ἡ πρόσοψις.

Ὀπώρα, τὸ θέρος, καὶ τὸ μετόπωρον. κυρίως δὲ, ἡ σταφυλὴ, καταχρηστικῶς δὲ, καὶ ἐπὶ τῶν ἄλλων ἀκροδρύων.

Ὀπωρίζομαι, τὸ ὀπώρας συλλέγω, ἢ ὠνοῦμαι.

Ὀπωρίζω γράφεται καὶ παθητικῶς, καὶ ἐνεργητικῶς. οἷον ὀπωρίζω καὶ ὀπωρίζομαι, οὕτω καὶ ἀπανθίζομαι καὶ ἀπανθίζω, τὸ τὰ ἄνθη συλλέγω.

Ὀπωριῆ, ἀντὶ τοῦ ὀπώρας λήψεται, ἐκ τοῦ ὀπωριοῦμαι Ἀττικῶς.

Ὀπωρινὸς βορέης, ὁ ἐτησίας κατὰ τοὺς παλαιούς.

Ὀπωρινὸν ἀστέρα, λέγει Ὅμηρος τὸν κύνα, ὃν ἡ κοινὴ λαλιὰ, διὰ τὸ σαφέστερον κύναστρον λέγει. οὗ ἐπιτέλλοντος Ἡλίῳ, ἤτοι μικρόν τι πρὸ ἀνατέλλοντος, οἱ πολλοὶ γίνονται καύσονες. διὸ καὶ οὔλιον αὐτὸν λέγει ἀλλαχοῦ.

Ὀπωρίωνας, τοὺς εἰς πρᾶσιν ὠνουμένους, ὀπωροφυλάκιον δὲ, ἡ σκηνὴ, ἢ καλύβη τοῦ φυλάσσοντος.

Ὀπωροφυλάκιον, τὸ τὰς ὀπώρας φυλάττον.

Ὀπωρώνης, ὁ τὰς ὀπώρας πωλῶν, ἢ ἀγοράζων.

Ὀπωροπώλης, τοῦτο οἱ ἀγοραῖοι λέγουσιν. οἱ δὲ πεπαιδευμένοι, ὀπωρώνης, ὡς καὶ Δημοσθένης.

Ὅπως, ὅτε λαμβάνεται ἀντὶ τοῦ ἵνα, εἰς ὑποτακτικὸν ἀποδίδοται, ὅταν ᾖ τὸ πρᾶγμα ὁμολογούμενον,

Digitized by Google

νον, ὅταν ᾖ ἐπαμφοτερίζον, εἰς δικτικὸν ἀποδίδοται. ὅτε δὲ λαμβάνεται ἀντὶ τοῦ πῶς, ἐπὶ παραγγελίας, πρὸς μέλλοντα ὁριστικόν. οἷον, ὅρα ὅπως ποιήσεις τὸ προσταχθέν σοι, κατὰ τὸ παράγγελμα. καὶ ὅπως ἔχει σοι τὸ σῶμα. ἤγουν πῶς. ὡς καὶ παρὰ Δημοσθένει, σκοπεῖτε δὲ τοῦτο, ὅπως τοὺς λόγους ἐροῦσιν, ἀντὶ τοῦ πῶς ἐροῦσι. λαμβάνεται δὲ, καὶ ἀντὶ τοῦ ἐπεί. οἷον ὅπως δ' εἰς ταυτὸν ἵκομεν. καὶ ἀντὶ τοῦ ὥσπερ. οἷον, ὅπως ἐξῆν. καὶ ἀντὶ τοῦ οὕτως. Εὐριπίδης ἐν Ἑκάβῃ, ὁποῖα κισσὸς δρυὸς, ὅπως τῆσδ' ἕξομαι. ὅπως ἀντὶ τοῦ ὅτε. Ἡρόδοτος, ὅπως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρὸς τηνικαῦτα ἐπέβαλε τὴν στρατιάν. καὶ ὅπως, ἀντὶ τοῦ καθά. ὅπως ἀντὶ τοῦ λίαν.

Ὅπως ἤντησας ὀπωπῆς, περίφρασις τοῦ τί εἶδες. ἔστι δὲ ἀντῆσαι μὲν τὸ τυχεῖν. ὀπωπὴ δὲ, ἡ θέα.

Ὅπως δήποτε, ἀντὶ τοῦ καθ' οἷον δήτινα τρόπον, καὶ ἀντὶ τοῦ πῶς δή.

Ὁπωσοῦν, Ἕλληνες ἁπλῶς. ὁπηοῦν δὲ, ὁπωστιοῦν, καὶ ὁπητιοῦν Ἀττικοί.

Ὀπωφᾶται, πέφυται, οἰδεῖ.

ΤΟ' Ο'. ΜΕΤΑ' ΤΟΥ Ρ'.

Ὄρα, ἀντὶ τοῦ ὥρα.

Ὀτειλή, ἀντὶ τοῦ ὠτειλή. Αἰολεῖς ἀντὶ τοῦ ω μεγάλου τῷ ο μικρῷ χρῶνται.

Ὀρακύσιον, τόπος.

Ὀράγδαιναν, ὁρμητικήν.

Ὀράδα, οἱ μὲν τὴν ὄρειον, οἱ δὲ τὴν γαλακτώδη παρὰ τὸν ὀῤῥόν.

Ὀράδες, ὑλώδεις τόποι.

Ὄραες, ἀναγκαῖοι, προσήκοντες.

Ὄραε, ἔγειρε, ἐλθέ.

Ὀράζειν, δέειν, μαλάσσειν.

Ὀράματα εἰσὶ προφητῶν, ὅσα ἐγρηγορότες βλέπουσιν οἱ προφῆται, εἴτε ἐν νυκτὶ, εἴτε ἐν ἡμέρᾳ. ἐνύπνια δὲ, ὅσα καθεύδοντες φαντάζονται. ἐὰν γένηταί φησι προφήτης ἐν ὑμῖν, καὶ τὰ ἑξῆς.

* Ὄραμνος, κλάδος.

Ὅρασις, διὰ τὸ τοὺς ὅρους, τουτέστι τὰ πέρατα τῶν σωμάτων καταλαμβάνειν.

Ὁρατικὸν, γνωστικόν.

Ὁρατὸν, αἰσθητὸν, θεωρητικὸν, καὶ θεωρητόν.

Ὁράω ὁρῶ, τὸ βλέπω. ὁ μετὰ τῆς ὑπὸ προθέσεως γράφεται παθητικῶς ὑφορῶμαι, καὶ δηλοῖ τὸ ὑποπτεύω.

Ὀργάδ' Ἀθηνᾶν, ὀργᾶν λέγουσι τὸ ἐπί τι παρασκευάζεσθαι, καὶ ὁρμᾶν.

Ὀργάδες, γεωργημένοι τόποι.

Ὀργάνη, ἡ Ἀθηνᾶ. ἣν καὶ ἐργάνην, ἀπὸ τῶν ἔργων λέγουσιν.

Ὀργανείας, παράξειας, εἰς ὀργὴν ἐμβάλοις.

Ὀργάσας, μαλάξας.

Ὄργανον, τὸ εἰργασμένον, καὶ ἐργαλεῖον.

Ὄργανον, παρὰ τὸ ὀρέγω, ὀρέγανον, καὶ ὄργανον.

Ὄργανον, δοῦλος ἄψυχος.

Ὀργάδα γῆν, παρὰ τὸ ἀργή τις εἶναι καὶ ἀνέργαστος. ἢ διὰ τὸ ἐν αὐτῇ τὰ φυτὰ πρὸς αὔξησιν ὀργᾶν.

Ὀργὰς, λοχμῶδες, καὶ ὀρεινὸν χωρίον, καὶ ἀνέργαστον. καὶ πᾶν τὸ ὀργιζόμενον, ἢ ἐντρεπόμενον, ἢ ἐπιθυμῶν, ἢ ἀκμάζον.

Ὀργὰς, ἡ εὔγειος καὶ σύμφυτος, καὶ λιπαρὰ, καὶ ἀκμαία γῆ.

Ὀργάσασθαι, ἀναμίξαι, συγκεράσαι παρὰ τῷ Ἱπποκράτει.

* Ὀργασμὸς, μαλαγμὸς, καὶ ὀργάσαι, τὸ τὰ ὑγρὰ τοῖς ξηροῖς μίξαι καὶ ἀναφυράσαι, καὶ οἷον πηλὸν ποιεῖν. καὶ ὀργίσασθαι γὰρ τὸ αὐτό. καὶ τὸ ὁρμὴν ἔχειν πρός τι.

Ὄργασον, κυρίως τὸ πίσσωσον. ὀργὴ γὰρ παρ' Ἴωσιν ἡ πίσσα. σημαίνει δὲ καὶ τὸ σπαργᾶν καὶ ὀργιάζεσθαι. καὶ τὸ μάλαξον, Ἀριστοφάνη. πηλὸν ἀποδὺς ὄργασον, ἀντὶ τοῦ φύρασον, μάλαξον.

Ὀργεῶν, ἀντὶ τοῦ ὀργεώνων. Λυσίας, ὀργεῶνες, οἱ θύται.

Ὀργεῶνες, οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες. ὀργιάζειν δέ ἐστι τὸ τὰ τῶν Θεῶν ὄργια, τουτέστι μυστήρια, καὶ νόμιμα τελεῖν.

Ὀργὴ, ἀπὸ τοῦ ῥέζω, τὸ πράττω. ὅθεν τὸ ἑορτὰ γίνεται. ἢ παρὰ τὸ ὀρέγω, τὸ ἐπιθυμῶ, ὀρεγὴ καὶ συγκοπῇ ὀργή. ἢ παρὰ τὸ εἴργω εἰργὴ, καὶ ἀποβολῇ τοῦ ι, καὶ τροπῇ τοῦ ε εἰς ο, ὀργὴ, ἡ κωλύουσα ἡμᾶς τὰ δέοντα βουλεύεσθαι. ἢ παρὰ τὸ ὄρω, τὸ διεγείρω, ὀρὴ καὶ ὀργή. σημαίνει δὲ δύο, αὐτὴν τὴν ὀργήν. ὡς τὸ, κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με. καὶ τὴν κρυφίαν.

Ὀργήγυς, ὀργὴ, κάπνη, διάδυσις.

Ὀργή ἐστιν ἔμμονος λύπη. καὶ ὁρμὴ διαρκὴς πρὸς τὴν τῶν ἠδικηκότων ἀντίδοσιν.

Ὀργή ἐστιν, ἐπιθυμία πρὸς τὸ τιμωρήσασθαι τὸν δοκοῦντα ἠδικηκέναι παρὰ τὸ προσῆκον.

Ὀργή ἐστι, παράκλησις τοῦ θυμικοῦ εἰς τὸ τιμωρεῖσθαι.

Ὀργεῶνες, οἱ ἐπὶ τιμῇ θεῶν, ἢ ἡρώων συνιόντες. ὀργιάζειν γάρ ἐστι τὸ θύειν, καὶ τὰ νομιζόμενα ὀρᾶν, ἤτοι παρὰ τὸ ὀρέγειν τὼ χεῖρε. ἢ παρὰ τὰ ὄργια. ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι καὶ τοῖς ἄλσεσι τὰ ἱερὰ δρᾶν. ὁμοίως καὶ τὸ ἐπὶ τιμῇ τινὰς τῶν ἀποθανόντων συνιέναι. καὶ ὀργεῶνας ὠνομάσθαι, ὡς ἐστι συνιδεῖν, ἐκ τῶν Θεοφράστου διαθηκῶν.

Ὄργια τὰ μυστήρια, παρὰ τὸ εἴργειν τοὺς ἀμυήτους αὐτῶν. ἢ τὰ ἐν ὀργάσι γινόμενα. ὀργάδες δὲ, οἱ σύμφυτοι τόποι, καὶ ὑγροί.

Ὀργιάζειν, τὸ θύειν καὶ τελεῖν.

Ὀργίζομαι, σκύζομαι, ὀδύσσομαι, χολοῦμαι.

Ὀργίζομαι τοῖς ἐχθροῖς. ὀργίζεσθαι, θυμοῦσθαι, καὶ χολοῦσθαι ταυτόν. πλὴν ὅτι τὰ μὲν εἰσὶ παρὰ τοῖς κοινοῖς ἐν χρήσει, τὸ δὲ χολοῦσθαι ποιητικόν. ὀνόματα δὲ αὐτῶν, ὀργὴ, θυμὸς, καὶ χόλος. τὸ μὲν ἀπὸ τῆς χολῆς τὸ δὲ ἀπὸ τοῦ θύειν, τὸ ὁρμᾶν. τὸ δὲ ἀπὸ τοῦ ἐγείρεσθαι καὶ οἰδαίνειν. οἰδαίνει γὰρ ὁ ὀργιζόμενος τὴν ψυχήν. λέγεται θυμὸς καὶ ἡ ψυχὴ, ποιητικῶς. κινηθεῖσα δὲ ὀργὴ, εἶτα μὴ ἀφεθεῖσα ἀλλὰ παραμένουσα, μῆνις λέγεται. καὶ μένος, παρὰ τὸ μένειν, ὧν τὸ μὲν ἐστὶ κοινὸν μῆνις. τὸ δὲ ποιητικὸν, τὸ μένος. ῥῆμα δὲ αὐτῶν, τὸ μηνίειν. λέγεται μένος, καὶ τὸ ἐμμένον ἐν πολεμίῳ ἔργῳ. ἀπὸ τούτου καὶ ἡ ἰσχύς. τὸ ὀργίζεσθαι δὲ, εἰ ἐπιταθείη, καὶ ἀγανάκτησιν προσλάβοι ἀμυντικὴν, χώεσθαι λέγεται, καὶ σκύζεσθαι, καὶ ἔτι ἐπισκύζεσθαι μετὰ τῆς ἐπὶ ἐντελέστερον. δηλοῖ δὲ ταῦτα οὐχ ἁπλῶς τὸ ὀργίζεσθαι. ἀλλὰ μετὰ τούτου καὶ τὸ ζητεῖν ἀμύνεσθαι καὶ κακοποιήσειν. γίνεται δὲ τὸ μὲν αὐτῶν, ἀπὸ τοῦ χαυνύω, καὶ τῶν χωμάτων. τὸ δὲ, ἀπὸ τοῦ τοὺς κατισχημένους τούτῳ τῷ πάθει συνάγειν τὸ ἐπισκύνιον. ἐπισκύνιον δέ ἐστι, τὸ μεταξὺ τῶν ὀφρύων. ταῦτα δὲ ἐναποτιθέντα τῇ ψυχῇ, καὶ παραμείναντα, τὸ κοτεῖν ποιεῖ καὶ τὸν κότον. ἔστι γὰρ κότος, ὀργὴ ἐναποτιθεμένη τῇ ψυχῇ, μετὰ ἀγανακτήσεως ἀμυντικῆς.

Ὀργίλοις, μυστηρίοις.

Ὀργίλος λέγοιτ' ἂν καὶ ὑπέρθυμος, βαρύθυμος, ἄμετρος ὀργὴν, ταχὺς ὀργὴν, ἔκμετρος χολώδης, ἐπίχολος, ἀκρόχολος, μελάγχολος, ὀξύθυμος, ὀξυθυμίας, πικρὸς, δύσκολος καὶ μεμψίμοιρος.

Ὀργιλώτατος, ὀργιφιλώτατος.

Ὀργίων, ἱερῶν, ἢ ἱερέων.

Ὀργιῶνες, οἱ θύται, παρὰ τὰ ὄργια, ὅ ἐστι τὰ θεῖα μυστήρια.

Ὀργμὴ, ῥύμη, ῥώμη.

Ὀργυιαῖος, ὁ μέγας.

Ὀργυία, τὸ ἐξηπλωμένον μέτρον τῶν χειρῶν. ἡ τὴν ἔκτασιν τῶν χειρῶν σὺν τῷ πλάτει τοῦ στήθους. παρὰ τὸ ὀρέγειν καὶ ἐκτείνειν τὰ γυῖα. ὅ ἐστι τὰς χεῖρας.

Ὄργυιαν προπαροξυτόνως, ἡ παλαιὰ Ἀτθὶς λέγει, ὥσπερ καὶ ἄργυιαν. οἱ δὲ ὕστερον παροξυτόνως.

Ὀργῶ, ἐπιθυμητικῶς ἔχω. Ἀριστοφάνης, καὶ μὴν ὀργῶ νὴ τὸν Δία. καὶ ὄργασον ὁμοίως παρὰ τῷ Ἀριστοφάνει, πίσωσαι. ὀργὴ παρ' Ἴωσιν ἡ πίσσα. σημαίνει δὲ τὸ σπαργᾶν, καὶ τὸ ὀργίζεσθαι. νῦν δὲ ἀντὶ τοῦ μάλαξον.

Ὀργῶ, τὸ ὁρμῶ, ὀρθριάζω. καὶ ὀργῶντας, ἐπιθυμοῦντας.

Ὀργῶσι παρὰ Φιλοστράτῳ, ἤγουν ἐξογκώθησαν, ὡς καὶ τρυγητοῦ δεῖσθαι.

* Ὀρδίναια, πόλις Μακεδονίας.

Ὄρδικον, τὸν χιτωνίσκον, Παράριοι.

Ὄρδημα, ἡ τολύπη τῶν ἐρίων.

Ὀρέγει, παρέχει.

Ὀρέγεται, ἐπιθυμεῖ.

Ὄρεγμα, βῆμα, ὅρμημα, αἷμα.

Ὀρέγω ἐνεργητικῶς τὸ δίδωμι, καὶ τὸ ἐκτείνω. ὀρέγομαι δὲ παθητικῶς, τὸ ἐπιθυμῶ, καὶ τὸ λαμβάνω, καὶ τὸ κομίζομαι.

Ὀρέγει τίς τινι χεῖρα. ὀρέγεται δὲ τινὸς ἐφιέμενος.

Ὀρεγνὺς χεῖρας, ταυτόν ἐστι τῷ ὑψῶσαι ἀνασχόμενος.

Ὀρεγνὺς, ἀπὸ τοῦ ὀρέγω, τὸ ἐκτείνω, ὀρεγνύω καὶ ὀρέγνυμαι. ὡς ἀπὸ τοῦ ἄγω, τὸ κλῶ, ἄγνυμαι. παρατατικὸς ὠρέγνυον. οὐ γὰρ τὸ ὠρέγνυν ἐν χρήσει, ὥσπερ οὐ δὲ τὸ ἐζεύγνυν, οὐ δὲ τὸ ἐτίθην. μετοχὴ ὁ ὀρεγνὺς, ἀπὸ τοῦ ὠρέγνυν ἀχρήστου, ὡς ὁ ζευγνὺς, καὶ τιθεὶς, ἀπὸ τοῦ ἐζεύγνυν, καὶ ἐτίθην.

Ὀρέδην, ἐκτενῶς, καὶ προθύμως.

Ὀρέεσιν, οἱ κυροῖς γυναιξίν.

Ὀρεία, ἡ ἐν ὄρεσιν ἀναστρεφομένη.

Ὀρεία, τραχεῖα, σύνδενδρος.

Ὀρείαυλος, ὁ ἐν τῷ ὄρει αὐλῶν.

Ὀρειβάτης, ὁ ἐν ὄρεσι βαίνων.

Ὀρεικὸν ζεῦγος, τὸ τῶν ἡμιόνων.

Ὄρειον πρέμνον, καὶ ὄρειος ὁμίχλη.

Ὄρειον κάστανον, τὸ ἐν ὄρει.

Ὄρειον, ἱμάτιον ἄγναφον.

Ὀρεοκόμος, ὁ τοὺς ἡμιόνους θεραπεύων.

Ὀρείοις ποσὶ, κώπαις. ἐπεὶ ἡ ἐλάτη ὄρειος.

Ὀρείωνες, ἄνδρες.

Ὀρείχαλκον, εἶδος ὕλης οὕτω καλουμένης, ἥτις νῦν οὐχ εὑρίσκεται. ἄλλοι δὲ λέγουσιν, ὅτι χείμαρσίς ἐστι χαλκοῦ τοῦ νυνὶ εὑρισκομένου λευκοῦ χαλκοῦ. Ἡσίοδος, ὃς εἰπὼν, κνημῖδας ὀρειχάλκοιο φαεινοῦ.

Ὀρεῖται, κινηθήσεται. ὄρω. ὀρῶ. μέσος μέλλων ὀροῦμαι, ὀρῇ, ὀρεῖται.

* Ὀρειτυπίη, καὶ ὀρείτυποι, οἱ ὁτιοῦν ἐκ τῶν ὀρῶν εἰς τὴν πόλιν καταφέροντες, οἷον ξύλα, καὶ λίθους, ἤτι τοιοῦτον.

Ὀρείχαλκος, ὁ διαυγὴς χαλκός.

Ὀρείτορες, ἄγριοι.

Ὀρεκτεῖν, ἐπιθυμεῖν.

Ὀρεκτῇσι, μακραῖς.

Ὀρεκτῇσι μελίῃσιν, εἰσὶ μελίαι τὰ δόρατα. διότι ἀπὸ ξύλου μελίας ἐσκευάζετο. ὀρεκταὶ δὲ, αἱ ἐκτεινόμεναι κατὰ πολεμίων. ἵνα εἶεν οἱ μὴ ἀφιέντες τὰς αἰχμὰς, ἢ μελίας, ἀλλὰ ὀρέγοντες ταῖς χερσὶ καὶ οὕτω πλήσσοντες. ὀρέξαι γὰρ, τὸ ἐκ χειρὸς πατάξαι. ὅθεν καὶ ὀρεκτὴ μελία. ἡ δὲ σοφωτέρα περὶ τῶν τοιούτων ὁμιλία, ἡ παλαιὰ τοιαύτη. διττὴ ἡ τῶν δοράτων φησὶ χρῆσις. ἡ μὲν ἐκ χειρὸς, ὅτε καὶ ἀγχέμαχοι καὶ ὀρεκταὶ λέγονται. ἡ δὲ ὡς ἐν παλτοῖς, καθὰ καὶ ὁ κοντὸς ἀμφοτέρας τὰς χρείας ἀποδίδωσι, συσταδὴν τε γὰρ, καὶ κοντοβολούντων, ὅπερ καὶ ἡ σάρισσα δύναται καὶ ὁ ὑσσός. ἔνθα σημείωσαι κοινωνίαν καὶ διαφορὰν δόρατος καὶ παλτοῦ, καὶ κοντοῦ, καὶ σαρίσσης καὶ ὑσσοῦ. λέγει δὲ ἡ αὐτὴ παλαιὰ γραφὴ, καὶ ὅτι ἀγαθοὶ οἱ Εὐβοεῖς πρὸς μάχην συσταδίην, ἣ καὶ συσταδὴν λέγεται καὶ ἐκ χειρός. ὁ δὲ εἰπὼν δουρὶ δ' ἀκοντίζω, ὅσον οὐκ ἄλλος τὶς ὀϊστῷ, τῷ παλτῷ λέγει δόρατι. καὶ οἱ μονομαχοῦντες δὲ παλτοῖς χρῶνται δόρασι πρότερον, εἶτα ἐπὶ τὰ ξίφη βαδίζουσιν. ἀγχέμαχοι, οὐ μόνον οἱ χρώμενοι ξίφει, ἀλλὰ καὶ δόρατι ἐκ χειρός.

Ὀρεκτόν ἐστιν, ἤτοι τὸ ἀγαθόν. ἢ τὸ φαινόμενον ἀγαθὸν, ἐφ' ᾧ, ἡ ὁρμή· ὁρμὴ δέ ἐστι, φορὰ διανοίας ἐπί τι.

Ὀρεκτὺς, ἐκτείνων.

Ὀρεκτῶν, ὀρέξεων.

Ὀρέξαι, δοῦναι. Ὅμηρος ὁπποτέροιν πατὴρ Ζεὺς κῦδος ὀρέξει. ἤγουν ἐκτεῖναι τὴν χεῖρα δώσει, κυρίως γὰρ ὀρέγειν, τὸ ἐκτείνειν. ὅθεν καὶ ὀρεκτὸν δόρυ. καὶ ὀργυία, ἡ εἰς πλάτος ἔκτασις ἀμφοῖν τοῖν χεροῖν. τὸ μέν τοι ὀρέξασθαι παθητικῶς οὐ δόσιν, ἀλλὰ μόνην ἔκτασιν δηλοῖ.

Ὀρεξαμένη, ἀντὶ ἁπλώσασα, ἀναπετάσασα. ἐξ οὗ καὶ ὀργυία καὶ ὀργυιοῦσθαι παρὰ Λυκόφρονι.

Ὀρεξάμενος χρόα καλὸν, ἁπλῶς μὲν ἀντὶ τοῦ ἐκπαθεὶς τὸ σῶμα. σαφέστερον δὲ εἰπεῖν, τὸ ἀλλαχοῦ ῥηθὲν ὀρεκτὸν δόρυ τείνας, εἰς τὴν τοῦ σώματος τοῦ ἀνθοπλίτου ἐπιφάνειαν. καὶ ὀρέξαντο, ἀντὶ τοῦ ἐλάβοντο.

Ὀρέξασθαι, οὐ μόνον ἐπὶ χειρῶν, ἀλλὰ καὶ ἐπὶ ποδῶν συμπάσης στάσεως καὶ διαστάσεως, ἢ ἐκτάσεως. διὸ ἐκ τοῦ τοιούτου ὀρέγω καὶ ἡ ὀργυία κατὰ συγκοπήν.

Ὀρέξατο παρ' Ὁμήρῳ, ὁ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ. ἤγουν ἐκπαθεὶς ἥψατο. συντάσσει δὲ αὐτὸ Ὅμηρος καὶ δοτικῇ, καὶ γενικῇ. ὡς τὸ, ἔγχει ὀρέξατο.

Ὀρεξάσθω χειρὶ, ἀντὶ τοῦ ἐντεινάσθω τὴν χεῖρα. οὕτω καὶ ἔγχει ὀρεξάσθω, ἀντὶ τοῦ ἔγχος ἐκτεινάσθω. ὥσπερ γὰρ ὁ τὸ δὲ τείνων ἢ χεῖρα, ποδὶ ὀρέγεται καὶ χειρὶ, οὕτω καὶ δόρυ ἐκτείνων δόρατι ὀρέγεται, τὴν τάσιν τῷ ἔγχει ποιούμενος διὰ μέσης χειρός.

Ὀρέξειν, παρασχεῖν, δοῦναι.

Ὄρεξιν, ἐπιθυμίας διακρίνουσιν οἱ περὶ ταῦτα δεινοί, καὶ τὴν μὲν ἐπὶ ἡδοναῖς καὶ ἀκολασίαις τάττουσιν, ἀλόγους οὔσας. τὴν δὲ ὄρεξιν, ἐπὶ τῶν κατὰ φύσιν ἀναγκαίων.

Ὄρεξις, ἐπιθυμία, ἢ ἡ τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς κίνησις.

Ὄρεξίς ἐστιν, ἔφεσις τοῦ οἰκείου, ἢ ἔφεσις ὀρεκτοῦ.

Ὀρεοκόμος, ὁ ἐπιμελητὴς τῶν ἡμιόνων. ἢ τῶν ἀειδάρων.

Ὀρέοντι, ὥσπερ δοκέοντι. ἐξ οὗ φαίνεται, ὅτι τρισὶν ὑποπέπτωκε συζυγίαις τὸ ὁρῶ. καὶ τὸ μὲν ὁράω ὡς βοάω πέπτωται κοινότερον. ἔστι δὲ καὶ ὀρέω πολλαχοῦ, ἰδοὺ καὶ ὀρέω παρὰ Ἀλκμᾶνι. οὗ μετοχὴ, ὀρέων ὀρέοντος.

Ὀρέοντο, ὥρμων, ἐπορεύοντο.

Ὀρέω, ἀντὶ τοῦ ὁράω, καὶ τὸ ἐχρέοντο, ἀντὶ τοῦ ἐχράοντο Ἴωνες λέγουσιν.

Ὀρέοντο, ὄρομαι ἐκτεταμένως. παρατατικὸς ὀρόμην, ἀναύξητος κατὰ Ἴωνας. τὸ τρίτον τῶν πληθυντικῶν ὄροντο. καὶ πλεονασμῷ τοῦ ε ὀρέοντο.

Ὄρεσι, προβάταις.

Ὀρεσκᾴειν, τὸ διατρίβειν.

Ὀρεσκῷοι, ἐπίθετον ἐστι πᾶσι τοῖς ὀρεινόμοις τῶν ζώων ἁρμόζον.

Ὀρεσκῷος, ἐν ὄρεσι διαιτώμενος. κείω, ὃ σημαίνει τὸ κοιμῶμαι. ἀπὸ τοῦ κείω, ὀρεσίκοιος, καὶ συγκοπῇ, καὶ τροπῇ τοῦ υ εἰς ω ὀρεσκῷος, καὶ μένει τὸ ι προσγεγραμμένον. τὰ διὰ τοῦ ωος ὑπὲρ δύο συλλαβὰς, ἔχει τὸ ι κατὰ τὴν παραλήγουσαν, καὶ προπερισπᾶται. οἷον Ἀχελῷος, Μινῷος, πατρῷος, ἡρῷος, ὀρεσκῷος. οἷς συνεξηκολούθησε καὶ τὸ ἐθῷος, χωρὶς τοῦ κολῳός, ὃ σημαίνει τὸν θόρυβον.

Ὀρέστερος, ἄγριος.

Ὀρέστης, παρὰ τῷ Ἀριστοφάνει, ὁ προσποιούμενος μανίαν τοὺς παριόντας ἀπέδυεν· ἦν γὰρ λωποδύτης. ἢ πρὸς τὴν ὁμωνυμίαν, ἀντὶ τοῦ ὁ μαινόμενος.

Ὀρέστη, χωρίον Εὐβοίας.

Ὀρεστιάδες, αἱ ἐν τοῖς ὄρεσι τὴν ἑστίαν ἔχουσαι.

Ὀρεύς, ὁ ἀείδαρος, ἢ ὁ ἡμίονος, παρὰ τὸ ἐν ὄρεσι μᾶλλον δύνασθαι ἐργάζεσθαι.

Ὄρεσφι, κατὰ προσχηματισμὸν, ἀντὶ τοῦ ὀρῶν. Ὅμηρος Ὀδυσσείας τ. ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσφιν.

Ὄρεχα, τὸ σὺν τοῖς βότρυσιν ἀφαιρεθὲν κλῆμα.

Ὀρεύειν, φυλάσσειν.

Ὀρεταὶ, ὁρμαὶ, λαβαὶ, ἐγέρσεις.

Ὀρέχθει, ἐν ὀρέξει ἦν. τίθεται καὶ ἀντὶ τοῦ ἐφώρμα καὶ ἐπεθύμει. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ἔστενεν. ὀρέχθεον ἀμφὶ σιδήρῳ.

Ὀρέχθεον, μίμημά ἐστι τραχέως ἤχου γινομένου ἐν τῷ σφάζεσθαι βοῦν. Θεόκριτος δὲ, ἐπὶ θαλάσσης τὴν λέξιν τίθησι. καθ' ὁμοιότητα τοῦ, ῥόχθει δὲ μέγα κῦμα. δῆλον δὲ ὅτι, καὶ ἐπὶ παλμοῦ καρδίας ἡ λέξις τίθεται. ὡς τὸ κραδίη δέ οἱ ἔνδον ὀρέχθει. οἱ δὲ παλαιοί φασι καὶ ὅτι τὸ ὀρέχθεον, ἀντὶ τοῦ ἀναιρούμενοι ὠρέγοντο. καὶ κατὰ τὸν ποιητὴν εἰπεῖν, τανύοντο ἀναιρούμενοι. ἢ καὶ ἄλλως, ὀρέχθεον, ἤτοι διεκόπτοντο. ὅθεν καὶ ὀρεγμός φασιν, ὁ διακεκομμένος κύαμος.

Ὄρηαι, προπαροξυτόνως, ὡς αὐτὰ ἐνεστῶτος τοῦ ὄρημι, ὁ χρῆσις παρὰ Θεοκρίτῳ. κατὰ δέ τινας ὀρῆαι προπερισπωμένως, ἐκ τοῦ ὁρῆται, ἐνδείᾳ τοῦ τ, καὶ τροπῇ τοῦ α εἰς η παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. ὄρηαι, ὡς ἔκηαι καὶ ὄληαι. τὸ θέμα ὄρω τὸ διεγείρω. μέλλων ὀρῶ, αἰολικῶς ὄρσω, ὦρκα, ὦρμαι.

Ὀρθάνης, τῶν ὑπὸ τὸν Πρίαπον ἐστὶ θεῶν, καὶ αὐτὸς ἐντεταμένον ἔχων τὸ αἰδοῖον.

Ὄρηκα, ἐκ τοῦ ὁρῶ. ὁ Ἀττικὸς παρακείμενος ὀρώρηκα παρὰ Δωριεῦσι. Δωριεῖς γὰρ φυλάττουσι τὴν φύσει μακράν.

Ὄρημαι, ὁρῶ.

Ὀρῆς, δωρικῶς, παρὰ γὰρ τοῖς Δωριεῦσι, τὸ α καὶ ει εἰς η κιρνᾶται. οἷον ὁράεις ὁρῆς, πεινάεις πεινῆς, διψάεις διψῆς. παρὰ δὲ τοῖς κοινοῖς, καὶ Ἀθηναίοις εἰς α. ὁρᾷς, πεινᾷς, διψᾷς.

Ὀρῆτε, ἀντὶ τοῦ ὁρᾶτε Δωρικῶς.

Ὀρθάγην, παρὰ Λυκόφρονι τὸν ξένον, κατὰ διάλεκτον.

* Ὀρθαγόραν, Ἀριστοφάνης, ἀντὶ τοῦ τὸ αἰδοῖον.

Ὀρθαγόρικος, χοιρίδιον μικρόν.

Ὄρθαι, διεγερθῆναι.

Ὀρθαῖς ἀκοαῖς, προθύμοις.

Ὀρθέσιον, ὄρθινον, μακρὸν, ὀξὺ, μέγα.

Ὀρθεῦν, ἀνορθοῦν.

Ὄρθη, βαρύνεται ὡς ἡ ἄρπη κατὰ τοὺς παλαιοὺς, πρὸς διαστολὴν τοῦ ἐπιθέτου. πόλις δέ φασι καὶ αὕτη Περραιβίας, ἢ Θεσσαλίας, καλουμένη φασὶ καὶ Κορσέα παρὰ τὴν κόρσην. ἴσως ὡς οἷα κεφαλῆς τις ἀκρόπολις. φασὶ γὰρ ἦν Φαλεννίων κατὰ τὸν γεωγράφον. Περραιβικὴ δὲ πόλις ἡ Φαλεννός φασι πρὸς τῷ Πηνειῷ.

Ὄρθια, παρ' Ὁμήρῳ ἐν τῷ λ τῆς Ἰλιάδος, εἴρηται Ἀττικῶς ἀντὶ τοῦ ὄρθιον. ὄρθιος νόμος παρὰ τοῖς μουσικοῖς. ὁ τρόπος ἐκεῖνος ᾠδῆς εἰς πόλεμον ἐρεθισμός. Τιμόθεος οὖν ὄρθιον ᾄσας τοσοῦτον Ἀλέξανδρον Ἄρεος ἔπλησεν, ὡς εἰς τὰ ὅπλα εὐθὺς ἀναπηδῆσαι. σαφέστερον δὲ Ὅμηρος ὑποδηλῶν οἷόν τι ὁ ὄρθιος νόμος ἐπιφέρει. τοῖσι δὲ ἄφαρ πόλεμος γλυκίων γένετο, καὶ τὰ λοιπά.

Ὀρθία λέγεται φάλαγξ, ὅταν ἐπὶ κέρας πορεύηται, πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους. καθόλου μὲν παράμηκες λέγεται πᾶν τάγμα, ὃ ἂν τὸ μῆκος ἔχῃ πλέον τοῦ βάθους. ὄρθιον δὲ, ὃ ἂν τὸ βάθος τοῦ μήκους.

Ὄρθια, ἀνατεταμένα, ἐξάκουστα, μεγάλα.

Ὀρθία Ἄρτεμις. οὕτως εἴρηται ἀπὸ τοῦ ἐν Ἀρκαδίᾳ χωρίου, ἔνθα ἱερὸν Ἀρτέμιδος ἵδρυται.

Ὀρθιάζειν, μαντεύεσθαι.

Ὀρθίας, ἱστὸς νεώς. τίθεται καὶ ἐπὶ κακεμφάτου.

Ὀρθιασμάτων, ἀναστάσεως ῥημάτων, ἢ τῶν μετὰ βοῆς κόμπων, ἢ τῶν μελῶν. παρ' ὅσον ὄρθιος νόμος ὁ κιθαρῳδικός.

Ὀρθιοκῶποι, οἱ ἐπιπόνως ἐλαύνοντες, καὶ ἀκλινῶς.

Ὄρθιον, ὄρος. καὶ ὄρθιον, πρόσαντες, ἀνατεταμένον, ὑψηλόν.

Ὄρθιος, αὐλητικὸς νόμος, οὕτω καλούμενος διὰ τὸ εἶναι εὔτονος καὶ ἀνάτασιν ἔχειν.

Ὀρθογόη, ἡ μεγάλως θρηνοῦσα. ἢ ὑπὸ τὸν ὄρθρον ἠχοῦσα. Ἡσίοδος. λέγεται δὲ ἡ χελιδών.

Ὀρθογραφίας τέτταρές εἰσιν ἀγῶνες, ἀναλογία, διάλεκτος, ἐτυμολογία, καὶ ἱστορία. καὶ ἀναλογία μέν ἐστιν, ὅταν τῷ ὁμοίῳ τὸ ὅμοιον παρατιθῶμεν, καὶ ὅταν κανόνα ἀποδῶμεν. διάλεκτος, ὅταν τὸ ὄφεως διὰ τοῦ ω μεγάλου γράφων, εἴπω οὕτω παρὰ τῇ συνηθείᾳ τῶν Ἀττικῶν γράφεσθαι. ἐτυμολογία, ὅταν τὸ ἥπειρος διὰ τοῦ η καὶ τοῦ ει διφθόγγου γράφων, εἴπω ἄπειρός τις οὖσα, καὶ τροπῇ τοῦ α εἰς η, καὶ πλεονασμῷ τοῦ ι ἤπειρος. ἱστορία, ὅταν τὸ χίλια διὰ τοῦ ι γράφων, εἴπω οὕτως αὐτὸ γράφεσθαι βούλεται ἡ παράδοσις, ὅτι τὰ Ἑβραϊκὰ καὶ ἐθνικὰ ὀνόματα παραγωγὰς οὐκ ἔχουσιν, ἀλλὰ κατὰ παράδοσιν γράφονται.

Ὀρθόδοξος, καὶ ὀρθοδοξία. ὀρθοδοξία ἐστὶν, ἀψευδὴς περὶ Θεοῦ καὶ κτίσεως ὑπόληψις. ἢ ἔννοια περὶ πάντων ἀληθής. ἢ δόξα τῶν ὄντων, καθάπερ εἰσίν.

Ὀρθόδωρον, μέτρον τὸ ὀρθὸν τῆς χειρὸς, ἀπὸ ἄκρου τοῦ καρποῦ μέχρι τοῦ δακτύλου. οἱ δὲ, σπιθαμήν.

Ὄρθρος, παρὰ τὸ αἴρειν, καὶ ὀρθίους ἡμᾶς ποιεῖν λεχήρεις ὄντας.

Ὀρθοκέρων, ὀρθόθριξ.

Ὀρθοκόρυς, ὀρθὸν πῖλον ἔχων.

Ὀρθόκραιραι βόες, αἱ ὀρθὰς τὰς κεφαλάς. κραῖρα γὰρ ἡ κεφαλὴ Ἀττικῶς. ἐντεῦθεν δὲ τροπικῶς καὶ νῆες ὀρθόκραιραι, ὧν τὰ ἄκρα εἰς ὀρθὸν ἀνίσταται. ὅθεν τῷ κωμικῷ ἐψίλωταί τις τὴν ἑτέραν ἡμίκραιραν, ἤτοι τὸ ἡμίκρανον.

Ὀρθὸν, τὸ ἱστάμενον καὶ ἄνω βλέπον, καὶ μὴ συγκεκυφὸς, καὶ σκολιόν. ἀφ' οὗ ὄρθιον, τὸ ὀρθίαν ἔχον θέσιν. καὶ ὄρθιαν ἐπὶ φωνῆς, τὸ ὑψηλόν. καὶ ὀρθῶς ἐπίρρημα, ᾧ ἐναντίον τὸ σκολιῶς, καὶ ὀρθόω ὀρθῶ τινὰ, ἀντὶ τοῦ ὀρθὸν ἵστημι. καὶ ἀνορθῶ, τὸ τὸν πεσόντα ἀνιστῶ, καὶ εἰς τὴν ἀρχὴν τάσιν καὶ ὀρθότητα ἀποκαθιστῶ.

Ὀρθοπυγιᾶν, ὅταν γυνὴ ἑαυτὴν ἐπαίρῃ, πρὸς τὸ μακροτέρα φαίνεσθαι.

Ὀρθοπλὴξ ἵππος, ὀρθὸς ἐπαιρόμενος, καὶ πλήττων. Ἀριστοφάνης ἀναγύρῳ, ὡς δὲ ὀρθοπλὴξ. πέφυκε γὰρ δυσγάργαλις.

* Ὀρθόπνοια, δυσπνοίας εἶδος, ἐν ᾧ πνίγονται κατακείμενοι, καὶ μόλις ἐξαρκοῦσιν ὄρθιον. ἔχοντες τὸν θώρακα, κατὰ μηδενὸς ἐρηρεισμένου τοῦ μεταφρένου.

Ὀρθόπολιν λέγει Πίνδαρος, τὸν τῇ ἑαυτοῦ δικαιοσύνῃ ὀρθοῦντα καὶ σώζοντα τὰς πόλεις. ὡς ἐρυσίπτολιν καὶ σωζόπολιν.

Ὀρθοπρίονι, τῇ χοινικίδι. παρὰ τῷ Ἱπποκράτει.

Ὀρθόπτερος, μεγάλους ὤμους ἔχουσα. πτερὰ γὰρ τὰ εἰς ὕψος ἀνέχοντα, ἢ μεγάλας ἔχουσα περιστόους οἰκοδομάς.

Ὀρθὸς, ὁ διεγειρόμενος, καὶ πρὸς τὰ ἄνω βλέπων.

Ὀρθοσαδὸν, τὸ ὀρθὸν, ἀφροδισιεῖς.

Ὀρθοστάδη, εἶδος τέμματος.

Ὀρθοστατῶν, παραστατῶν.

Ὀρθοστάδιοι, οἱ δὲ στατοὶ χιτῶνες, οἱ δὲ συρόμενοι συρτοί.

Ὀρθοτίτθιος, ἡ παρθένος, ἡ ὀρθοὺς τοὺς τιτθοὺς ἔχουσα. ὅθεν καὶ ἐπιτίτθιον, τοὐπομάζιον.

Ὀρθοφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων, παρὰ Ἀριστοφάνει, παρὰ τὸ ὀρθοῦν καὶ φοιτᾶν καὶ συκοφαντεῖν, καὶ ἐν δίκαις ταλαιπωρεῖν.

Ὀρθόφρων, ἀνατεταμένας φρένας ἔχων, μετέωρος. ἢ ὀρθός.

Ὀρθρεύω, καὶ ὀρθρεύομαι. Λουκιανὸς, ὡς ἔχοις ὀρθρευόμενος προανύειν τὰ πολλὰ τῶν ἔργων. ἔστι δὲ ὄρθρος, ὁ πρὸ τοῦ λυκαυγοῦς καιρὸς, ἐν ᾧ ἔτι λύχνῳ δύναταί τις χρῆσθαι. οὐκ ὀρθρίζω, ὀρθριοῦμαι, οὐκ ὀρθρεύσομαι, ἀλλ' οὐδ' ὀρθρισθήσομαι.

Ὄρθριον, τὸ ὀρθόν. καὶ ὄρθριον μέλος, τὸ ὑψηλόν. ὡς τὸ, ὅτ' ᾖδε ἀνδρὸς ὀρθίων κηρυγμάτων.

Ὄρθρος λέγεται, ὅτι εἰς ἔργα ἡμᾶς ὀρθροῖ. ὄρθρος, καὶ ἦρ τῆς ἡμέρας ἀρχὴ, διὰ τὸ ὀρθοῦν καὶ αἴρειν εἰς ἔργον.

Ὀρθῶ ἕτερον, ὀρθοῦμαι ἐγὼ ἀφ' ἑτέρου. ὧν τὰ ἐναντία σφάλλω καὶ σφάλλομαι. ἐπανορθῶ δὲ καὶ ἐπανορθοῦμαι, διορθῶ καὶ διορθοῦμαι, ταυτόν.

Ὀρθῶ οἰκίαν, καὶ τεῖχος. καὶ ὀρθοῖ τὸ πνεῦμα τὴν ναῦν, ἀντὶ τοῦ κατευθύνει.

Ὀρθωθεὶς, ἐξαναστάς.

Digitized by Google

Ὀρθωσία, ἡ ὄρθωσις. καὶ ὀρθωσία, ἡ Ἄρτεμις.

Ὄρια, τὰ νεώρια. ἔνιοι ἀποθήκας. καὶ Ῥωμαῖοι ὄρρεα καλοῦσιν.

Ὀριαχές, ὀρείκοιτον.

Ὀρειβρεμέτης, ὁ ἐν τῷ ὄρει ἠχῶν. ἰστέον δέ, ὅτι τὰ παρὰ τὸ ὄρος συγκείμενα εἰ μὲν ἔχουσι τὴν πρὸ τοῦ ρι συλλαβὴν διὰ δύο συμφώνων, διὰ τοῦ ι γράφεται. οἷον ὀρείδρομος, ὀριβρεμέτης, καὶ τὰ ὅμοια. εἰ δὲ διὰ ἑνὸς συμφώνου, εἴτε διὰ δύο φωνηέντων, εἴτε δι' ἑνός, διὰ τῆς ει διφθόγγου. οἷον ὀρειβάσιος, ὀρείχαλκος, ὀρείαυλος, καὶ τὰ ὅμοια.

Ὀρείγανον, θηλυκῶς Ἀττικοὶ λέγουσιν.

Ὀρείγανον, βοτάνη. ὤφειλε διὰ διφθόγγου γράφεσθαι. καὶ γὰρ παρὰ τὴν ὄρει δοτικὴν. καὶ τὸ γάνος, ὃ σημαίνει χαρὰν, γέγονεν ὀρείγανον. τὸ γὰρ ὀρείγανον ἐν τῷ ὄρει χαίρει. ἢ ἐκ τοῦ ὁρᾶν καὶ τοῦ γανῶ τὸ λαμπρύνω. ὁρᾶν γὰρ καλῶς ποιεῖ τὸ ὀρείγανον. ὁ δὲ γραμματικὸς Θεοδόσιος λέγει, διὰ τοῦ ι γράφεται. ἐπειδὴ παρὰ τὸ ῥιγῶ γέγονε ῥίγανον. καὶ πλεονασμῷ τοῦ ο, ὀρίγανον. οἷον, τὸ ψῦχον τινά, κατὰ ἀντίφρασιν, θερμαίνει γάρ.

Ὀρειγνύμενοι, ἐπιθυμοῦντες.

Ὀρείδρομος, ὁ ἐν τῷ ὄρει τρέχων.

Ὁρίζει, ἵστησιν, ὅρον δίδωσι, κρίνει, θεματίζει, διαιρεῖ, ἀφορίζει.

Ὁρίζω, προστάσσω, ἐπιστέλλω, ἐντέλλομαι, κελεύω, ἐφίεμαι, διορίζομαι, παρακελεύομαι, ἐπιτάττω, ἐπισκήπτω, σημαίνω.

Ὀρικὰ ζεύγη, τὰ τῶν ὀρέων. τουτέστι τὰ τῶν ἡμιόνων ὀρέας γὰρ ἐκάλουν τοὺς ἡμιόνους.

Ὀρικάνην, δεσμωτήριον. οἱ δὲ φραγμόν, οἱ δὲ σαργάνην, ἢ σκῆπτρον.

Ὀρικυπτεῖν, τὸ ἀνατείνεσθαι, καὶ ἐπ' ἄκρων ὀνύχων ἵστασθαι.

Ὀριμαλίδες, ἀντὶ τοῦ τὰ ὄρεια μῆλα λέγουσι Δωριεῖς.

Ὀρινάδες, τὰ ἀνώτερα.

Ὄρινεν, ἐτάραξεν.

Ὀρίνδην, ἄρτον παρὰ Αἰθίοψι. καὶ σπέρμα παραπλήσιον σησάμῃ, ὅπερ ἕψοντες σιτοῦνται. τινὲς δὲ ὄρυζαν.

Ὄρινε, διήγειρε, τὴν ψυχὴν ἐκίνησεν, οὐ κατὰ ἀπειλήν. ὣς φάτο, τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν.

Ὀρίνεσκον, ὥρμων, ἐτάρασσον, ἐκίνουν, δυικῶς. ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα.

Ὀρινίαι, ἀναδενδράδες.

Ὀρίνθη, ἐταράχθη, ὑψώθη.

Ὀρινόμενοι, ταραττόμενοι, διωκόμενοι, ὑψούμενοι.

Ὀρινομένη θάλασσα, ἡ ταρασσομένη. ὥς τε καὶ τὸ θυμὸς ὀρίνεται, ἢ ἦτορ.

Ὀρίνω, τὸ διεγείρω, καὶ ταράσσω, ἐνεστώς. καὶ ὀρνύω, ὤρνυον παρατατικός, ὄρσω μέλλων, ἐπιρρηματικῶς. ὦρσα ἀόριστος. κοινὰ ταυτὸ δυνάμενα τούτοις. ὁρμῶ, ὥρμων, ὁρμήσω, ὥρμησα, ὥρμημαι. παρορμῶ, ἢ διεγείρω, παρώρμων, παρορμήσω, παρώρμησα. ὁρμῷ πλεῦσαι.

Ὅριον, τείχισμα, φραγμόν, ὅριόν ἐστιν ἀνυπόστατος ἢ ἀνυπέρβατος στάσις. ἀόριστόν ἐστι, τὸ μόνον ἄκτιστον, ὁ Θεός. δυσόριστον δέ, τὸ κτιστὸν καὶ ἀόρατον.

Ὁρισθέντος, ἀποδειχθέντος, ἀποφανθέντος. καὶ ὁ Ἀπόστολος, τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει.

Ὁρισμός, δήλωσις πράγματος διὰ λόγου. οὐ χωρὶς οὐδὲ τίς ἐστιν, οὐδ' ὅτι ἐστὶ γνωρίζεται.

Ὁριστάς, ὁρίζοντας.

Ὁριστόν, τὸ ἐπιδεχόμενον ὅρον, ὡς ἔχον ὕπαρξιν, καὶ ἰδιοπεποιημένον. οἷον ἄνθρωπος, ἵππος. ὡσαύτως δέ, καὶ τὸ ἀγαθόν.

Ὀρειτρόφος, ὁ ἐν τῷ ὄρει τρεφόμενος, ι. γράφεται διὰ τοῦ τ καὶ τοῦ ρ.

Ὀριχᾶται, γλίχεται, ἐπιθυμεῖ.

Ὀρειψα, ἐριννῦς.

Ὀρκάδους, ἐφ' ὧν τὰ σῦκα ψύχουσιν.

Ὀρκάνη, μήποτε ὁ φραγμός, τουτέστι τὸ περίφραγμα, καὶ ἡ αἱμασιὰ οὕτω καλεῖται.

Ὀρκαπάτην, χλευασμὸν δὲ ὅρκων.

Ὄρκη, ὄψις.

Ὅρκια ταμνειν, τὸ διὰ θυσιῶν ὀμνύειν.

Ὅρκια πημήνειαν, περίφρασίς ἐστι τοῦ ἐπιορκήσειαν. δῆλον δέ, ὅτι πήμανσις ὅρκων ἐστίν, ἡ τούτων παράβασις, ὥσπερ καὶ τὸ ὅρκια δηλήσαντο.

Ὅρκια πιστά, τὰ πιστοποιά. ὅθεν καὶ πιστωθῆναι ὅρκῳ. τὸ πίστιν δοῦναι δι' ὅρκου.

Ὅρκια πιστὰ ταμόντες, ὁ μὲν βασιλευέτω αἰεί, ἡμεῖς δὲ ποιησώμεθα τόδε. καὶ ἔστι πως ὅμοιον καινὸν σχῆμα καὶ αὐτὸ τῷ, οἱ δὲ δύο σκόπελοι, ὁ μὲν τοῖος δε, ὁ δὲ τοῖος δε. καὶ ἔστι μὲν τοιαῦτα πολλὰ παρὰ τῷ Ποιητῇ.

Ὁρκίλλει, ὅρκον ποιεῖ, ὀμνύει.

Ὅρκιον, παρωνόμασται ἐκ τοῦ ὅρκου, οὕτω καὶ ἐκ λόγου τὰ λόγια, οἱ χρησμοί. γίνεται δὲ ὅρκος, ὅθεν καὶ ἕρκος. ἐκ τοῦ εἴργω γάρ, τὸ ἐγκλείω, καθείργνυται γάρ πως ὁ ὀμνύων οἷς ὁμολογεῖ. κατὰ δὲ τοὺς παλαιούς, παρὰ τὸ ὅρος ἀρσενικόν. ὁρίζονται γάρ τι ὁμολογητικῶς οἱ ὀμνύοντες. συντελεῖ δὲ εἰς πρώτην ἐτυμολογίαν, καὶ ἡ ὀρκάνη, ὅρκος τις οὖσα, ὡς ἀκανθῶδες περίφραγμα. προπαροξύνεται δὲ τὸ ὅρκιον, ὡς οἷα κτητικὸν ταυτόσημον, κατὰ τὸ κάπριος, αἴζηιος, καὶ τὰ ὅμοια. ἄλλως μέντοι ὤφειλε παροξύνεσθαι κανόνι φασὶ τοιούτῳ. τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικά, ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα, παροξύνονται. οἷον κυμβίον, ἱστίον, ἰσχίον, ἑρκίον. εἰ μὴ ἄρα πρὸ τοῦ ι κεῖται ἀμετάβολον. ὁποῖον ἴχνιον, καὶ ἴκριον, ὅρκιον οὐχ ὑποκοριστικόν, ἀλλὰ παράγωγον, ὡς τὸ ἴχνιον.

Ὅρκιος Ζεύς, καὶ φίλιος, καὶ ἑταιρεῖος, ὁμόγνιος, πατρῷος, πρὸς τούτοις ἑρκεῖος. ἐφέστιος Ἰωνικῶς. ἐν οἷς καὶ ξένιος, καὶ ὁ φράτριος, κοινὰ ἐπίθετα τοῦ Διός.

Ὅρκμον, φράγμα.

Ὅρκοι, δεσμοί, σφραγῖδες.

Ὅρκον Κόλχων λέγει ὁ Ἀπολλώνιος, τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ὅρκος, τύπος, οὕτω παισὶ χρήσαιο κληρονόμοις. οὕτω τά, καὶ τά, Θεός σοι δοίη.

Ὅρκος, παράληψις τοῦ Θεοῦ, ἐπὶ πίστιν τοῦ λεγομένου ἢ πραττομένου. παρὰ τὸ εἴργειν τοὺς παραβαίνοντας, ὄργος, καὶ τροπῇ τοῦ γ εἰς κ, ὅρκος.

Ὅρκον δεινοῦ Στυγὸς ὕδατός ἐστιν ἀπόρροια. τοῦτο δέ, ἢ καθά τινες εἶπον ἁπλοϊκῶς ἐρρέθη, διότι ὀμνύουσιν εἰς αὐτὸν οἱ ἐγχώριοι. ὥσπερ κατὰ τὴν ἱστορίαν τοῦ Ἀρριανοῦ καὶ Βιθυνίας ποταμός, ὅρκος ὄνομα, ὃς φρικωδέστατος ὅρκων τοῖς ἐκεῖ ἐνομίζετο, πρὸς βίαν εἰς τὰς δίνας ἕλκων τὸν ἐπίορκον, εἰ μὴ δρόμῳ ἐξεπήδησεν. ἢ γοῦν οὕτω νοητέον ἁπλοϊκῶς τὸ ῥηθὲν Ὁμηρικὸν ῥητόν, ἢ μᾶλλον ὅτι ἀπορρεῖ τοῦ ἐν ᾅδου τῆς Στυγὸς ὕδατος. ἡ δὲ Στύξ, δεινὸς ὅρκος ἐστί. κατ' αὐτῆς γὰρ ὁ μῦθος ὀμνύειν φησὶ τοὺς Θεούς.

Ὅρκυνος, ἰχθύς ποιός.

Ὀρκύπτειν, τὸ ὑπερκύπτοντας ἰδεῖν τι, τὸ ἐκτείνειν ἑαυτόν, καὶ ἐπ' ὀνύχων ἵστασθαι.

Ὁρκῶ, τῆς τρίτης συζυγίας τῶν περισπωμένων. διορκῶ δέ, τὸ πρώτης.

Ὁρκωμοσία, καὶ ὁρκωμότης, καὶ ὁρκωμοτῶ.

Ὁρκώτης, ὁ ὁρκίζων.

Ὁρμαθός, τὸ πλῆθος, ἡ τάξις. καὶ ὁρμαθός, στίχος, ἤγουν τὸ σύστημα, ἀπὸ τοῦ ἐν αὐτοῖς ἁρμόζεσθαι.

Ὁρμαθοῦ, ἐκ πέτρης τόπου ἐπαλλήλου πετρώδους συνθέσεως, ἢ τοῦ τῶν νυκτερίδων ἀθροίσματος.

Ὁρμαίνειν, κεῖται ἐπὶ τοῦ διαλογίζεσθαι, καὶ μήπω καταστῆναι, ἢ στῆσαι τὸ βούλευμα, ἀλλὰ καὶ ἐν ὁρμῇ εἶναι.

Ὁρμαίνοντα, διανοούμενον.

Ὁρμαίνων, φροντίζων, ἐν διανοίᾳ ἔχων.

Ὁρμάνη, εἱρκτή, δεσμωτήριον. ἔνιοι κρεμάθραν, ἄλλοι σαργάνην. οἱ δὲ φραγμόν.

Ὁρμανόν, ἀνεστικός, χαλεπόν.

Ὁρμάς, κινήσεις.

Ὁρμάται, οἱ ἀνδροκτόνοι Σκύθαι.

Ὁρμάω, ῶ, τὸ πορθέομαι ἐγώ. ἐξορμῶ δὲ ἕτερον.

Ὁρμαί, ὁρμαί.

Ὁρμεῖται τὸ πλοῖον, δεύτερας, καὶ ἐπὶ ἀψύχων μόνων λέγεται. ὁρμᾷ τῆς πρώτης, ἔρχεται. ὁρμᾷ ἄνθρωπος, ἀντὶ τοῦ κεκίνηται ἀμετάβατον. καὶ ὁρμᾷ μεταβατικόν. Ἡρόδοτος, ὡς δὲ τὸ στράτευμα τὸ περσικὸν ὥρμα βασιλεύς.

Ὅρμενα, ὁρμῶντα, κεκολλημένα.

Ὅρμενα, παρὰ τὸ ὄρω αἰολικῶς, ὦρκα, ὦρμαι ὠρμένος. καὶ συστολῇ καὶ ἀναδρομῇ τοῦ τόνου ὅρμενος. ἢ ἀπὸ τοῦ ὁρώμενος, κατὰ συγκοπήν.

Ὅρμενος, ὄνομα κύριον, καὶ πόλις Θεσσαλίας. καὶ οἱ μὲν τῆς κράμβης τὸ ἐντὸς κύημα. οἱ δὲ τὸν ἄγριον ἀσπάραγον, ἄλλοι πᾶν τὸ ἐκκεκαυλημένον.

Ὅρμενον παρ' Ὁμήρῳ, μετοχὴ καθαρῶς δηλοῦσα τὸ ἐγειρόμενον. παρὰ δὲ τοῖς μεθ' Ὅμηρον, δηλοῖ μετοχικῶς ἡ λέξις καὶ κράμβης καυλόν. ὅθεν καὶ ἐξορμενίζειν τὸ ἐκκαυλεῖν. φησὶ γοῦν τις τῶν παλαιῶν, ὅτι ἀσφαραγὸς ἐν τῷ φ', τὸ ἐκ τῶν ἀκανθῶν ἀναφυόμενον. τὸ δὲ ἐκ τῆς κράμβης ὅρμενον. ὁ δ' αὐτὸς λέγει, καὶ ὅτι ἀσφοδέλου τὴν ῥίζαν Θεόφραστος καλεῖσθαί φησιν ἐπιμενίδιον, ὡς δὲ καὶ τοπικὸν ὄνομα τὸ ὅρμενον ἀπό τινος ὁρμένου κληθέν, ἀλλαχοῦ εἴρηται.

Ὁρμεύτης, ἁλιεύς.

Ὁρμέω, ῶ, ἐν τῷ λιμένι ἵσταμαι. ὁρμίζω δέ, τὸ εἰς τὸν λιμένα εἰσάγομαι. καὶ ὁρμίζω ἕτερον. ὁρμέω ῶ, ἐλλιμενίζω. καὶ ὁρμεῖ ἡ ναῦς, εἰς τὸν λιμένα ἵσταται. ὁρμίζω δὲ τὴν ναῦν, ἀντὶ τοῦ εἰς τὸν λιμένα ἄγω. ὁρμίζομαι δέ, τὸ τῇ νηῒ εἰς τὸν λιμένα κατάγομαι.

Ὁρμεῖ ἡ ναῦς, ὁρμίζει δὲ ἄλλος νῆα. καὶ ἄλλως, ὁρμεῖ μὲν αὐτή, ὁρμίζεται δὲ ὑπ' ἄλλου. ὁρμίσειεν, ἀντὶ τοῦ κινήσειε. καὶ κατὰ τοὺς ὕστερον εἰπεῖν παρορμήσειε. διχῶς οὖν τὸ ὁρμίσειν, ἰδιοπαθῶς τε κατὰ τοὺς μεθ' Ὅμηρον ἀντὶ τὸ κινηθῆναι, καὶ ἀντὶ τοῦ κινήσειν.

Ὁρμή, βουλή, ἐπιθυμία, τιμή.

Ὁρμή, ὄρεξις ἐνεργητικὴ τῶν ἐφ' ἡμῖν πρακτέων. ἡ ὁρμή ἐστιν, ἔμμονος λύπη πρὸς τὴν τῶν ἠδικηκότων ἀντίδοσιν. ὁρμή, καὶ ἡ κίνησις.

Ὁρμήματα, ἐνθυμήματα, φροντίδας, μερίμνας.

Ὁρμητήριον. Πολύβιος. ἔστι δὲ ὁρμητήριον, ὅθεν τὰ πρὸς πόλεμον ἐξαρτύοντες ἐξίασι μαχησόμενοι.

Ὅρμησον, δῆσον, ἀνάπαυσον, εἰς ὅρμον κάτελθε.

Ὁρμιά, σχοινίον λεπτόν.

Ὁρμίζειν, τὸ ἐπὶ ὅρμου ἱστᾶν. οὐ διαφορὰ πρὸς τὸ ὁρμεῖν, ὡς τοῦ πλουτίζειν καὶ σωφρονίζειν, πρὸς τὸ πλουτεῖν καὶ σωφρονεῖν. ὁρμεῖ μὲν ναῦς, ὁρμίζει δὲ ἄλλος νῆα.

Ὅρμικας, μύρμηξ.

Ὅρμινοι, ὅσπριόν τι.

Ὁρμίσκος, καὶ ὅρμοι, περιτραχήλιος κόσμος, ἐνώτια, χαλαστήρια.

Ὁρμοί, ἱμάντες ὑποδημάτων.

Ὅρμος, ὁ λιμήν. τὴν δ' εἰς ὅρμον προσέρυσαν. παρὰ τὸ ἕρμα τὸ ἀσφάλισμα, γίνεται ὅρμος. ὅθεν τὸ ὁρμίσαι, τὸ ἐν ἀσφαλείᾳ εἶναι τὴν ναῦν. ἐπὶ δὲ τοῦ κοσμίου, παρὰ τὸ εἴρω τὸ συμπλέκω. ἐξ οὗ καὶ ὁρμιὰ καλεῖται ἡ σειρά, πρὸς ἣν τὸ ἄγκιστρον ἐπησφάλισται δεδεμένον.

Ὅρμος, κόσμος γυναικεῖός ἐστιν, ἐξ αὐτοῦ δὲ καὶ ὑφόρμιον χρυσοῦν κοσμάριον. ὀξύνεται δὲ παρά τισι τῶν ἐς ὕστερον ὁ τοιοῦτος ὁρμός, πρὸς διαστολὴν τοῦ κατὰ τὸν λιμένα.

Ὅρμος καὶ ἕρμα, ἀπὸ τοῦ εἴρω. οὕτω καὶ κορμὸς καὶ κέρμα, ἀπὸ τοῦ κείρω. ἐκ δὲ τοῦ εἴρω γίνεται παραγωγὴ ὁ εἱρμός, ἐξ οὗ καὶ εἱμαρμένη παρῆχθαι δοκεῖ, εἱρμαμένη τις οὖσα, διὰ τὸν κατ' αὐτὴν εἱρμόν. ὡς δὲ ὁμώνυμος λέξις τὸ ἕρμα, δηλοῦσι καὶ τὰ ἐν Ἰλιάδι ἕρματα τῶν νηῶν, καὶ ἡ ἀνερμάτιστος ναῦς.

Ὁρμούμενος, προθυμούμενος, ἢ φερόμενος.

Ὁρμῶ, ἐπὶ τῆς καθ' ὁρμὴν κινήσεως. εἰ προσλάβοι τὴν ἐξ πρόθεσιν, δηλοῖ μὲν καὶ τὸ ἐξέρχομαι. δηλοῖ καὶ τὸ παρακινῶ, καὶ ἐκπέμπω. ὁρμῶ, ὀργῶ, ὀροίω.

Ὀρναπετίοισιν, Ἀριστοφάνης, ἀντὶ τοῦ ὀρνέοις.

Ὄρνεα, ὀρνεόπωμα καὶ πετεινά, καὶ τόπος.

Ὀρνεαί, ἡ δίχα τοῦ ι ὀρνεαί, κώμη ἐστὶν Ἀργείας κατὰ τὸν Γεωγράφον. ἔστι δὲ καὶ ἑτέρα μεταξὺ Κορίνθου καὶ Σικυῶνος. ταύτην δὲ ὁ τὰ ἐθνικὰ γράψας, πόλιν λέγει, οὐ κώμην. πληθυντικῶς δὲ καὶ αὗται λέγονται, ὡς καὶ αἱ Κλεωναί. γράφονται δὲ διὰ διφθόγγου αἱ ὀρνειαί, ὡς βρυσειαί, καὶ αὐγειαί. καλεῖται δὲ οὕτως, ἢ ἀπὸ Ὀρνέως υἱοῦ Ἐρεχθέως, ἢ ἀπὸ ὀρνέας νύμφης. ἢ ὅτι ἐφ᾽ ὕψους κεῖνται. ἢ ὁμωνύμως ἀρχαίᾳ τῷ ποταμῷ. τοῦτο δέ φησιν ὁ Γεωγράφος λέγων, ὅτι ὀρνεαὶ ἐπώνυμοι τῷ παραρρέοντι ποταμῷ. νῦν μὲν ἔρημαι. πρότερον δ᾽ οἰκούμεναι καλῶς. ἐτιμᾶτο δὲ ἐκεῖ Πρίαπος, ὅθεν ὀρνεάτης ἐκαλεῖτο.

Ὄρνεον, παρὰ τὸ ὀρύειν. ἢ παρὰ τὸ αἴρεσθαι.

Ὀρνὴ, ἡ νὺξ βαρυτόνως, ὀρνὴ νὺξ ἀντὶ τοῦ σκοτεινὴ, ἐπιθετικῶς ὀξύνεται.

Ὄρνιθας γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι, παρ᾽ Ὁμήρῳ, συνεκδοχὴ ἀπὸ γένους τὸ εἶδος παριστῶσα καὶ γὰρ οὐ πάντας, ἀλλὰ τοὺς μαντικοὺς ὄρνιθας εἰπεῖν βούλεται.

Ὄρνιθες ἁπλῶς, πάντα τὰ πετόμενα. ἰδίως δὲ, οἱ εἰς μαντείαν συντελοῦντες ὄρνιθες, ἀφ᾽ οὗ καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον, ὄρνιν ἔλεγον. οἷον πταρμὸν, ἢ παλμὸν, ἤ τι τοιοῦτον. καὶ τὴν ἁπλῶς δὲ μαντείαν ὄρνιν ἐκάλουν. καὶ πᾶν κατὰ τύχην συμβαῖνον.

Ὀρνιθευτὴς, ὀρνιθοθήρας.

Ὀρνιθεύομαι, μαντεύομαι δι᾽ ὄρνιθος.

Ὀρνιθίας παρὰ τῷ Ἀριστοφάνει, ὁ σφοδρὸς χειμών. ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρεται. οὕτω δὲ καὶ ἄνεμος ὀρνιθίας, ὃς ὑπὲρ τὴν γῆν τὰ ὄρνεα στορέννυσιν ὑπὸ τῆς τοῦ ψύχους πνοῆς. ὁ δὲ Σύμμαχος, χειμῶνα ὀρνιθίαν ἀποδίδωσι, διὰ τὸ χειμῶνος ταῦτα τὰ ὄρνεα ἐπιφαίνεσθαι. ὡς παρὰ Ἀράτῳ.

* Ὀρνιθίαι. οἱ δὲ ὀρνιθίαι καλούμενοι, ἐαρινοί τινες ὄντες ἄνεμοι, βορέαι εἰσὶ τῷ γένει.

Ὀρνίθειον κρέας, τὸ τῶν ὀρνίθων ὀρνίθιον δὲ ἁπλοῦν.

Ὀρνιθοκάπηλοι, ὀρνιθοπῶλαι.

Ὀρνιθοκλόος ἀπὸ τοῦ κοεῖν τὸ συνιέναι, γίνεται ὀρνιθοκόος, εἶτα ὀρνιθοκλόος.

Ὀρνιθονομεῖον, τὸ τοὺς ὄρνιθας ἔχον οἴκημα.

Ὀρνιθόπαις, καὶ καλλίπαις, καὶ ἀνδρόπαις, διπλῶς νοοῦνται. ἡ δὲ ἔννοια ἡ παρὰ τῷ Λυκόφρονι ἐξελέγξει τὴν ἀλήθειαν, ὀρνιθόπαις γὰρ, ἡ ὄρνιθος παῖς. καὶ ὀρνιθοφυὴς παῖς. καλλίπαις, ἡ καλῆς μητρὸς παῖς, καὶ ἡ καλὴ παῖς. ἀνδρόπαις, ἡ ἀνδρὸς παῖς. καὶ τὰ λοιπὰ ὁμοίως.

Ὀρνίθων γάλα, παροιμία ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων.

Ὄρνις Ἀττικὸν, ὄρνιξ δὲ Δωρικόν.

Ὄρνις, ἡ κληδὼν, τὸ μάντευμα.

Ὄρνις, ἐπὶ εὐθείας βραχὺ τὸ ι κεκλήρωται, ἐπὶ δὲ τῆς γενικῆς μακρόν. καὶ μάρτυρες οἱ ποιηταὶ, οἷς ἐμέλησε κατὰ τὸ μέτρον. καὶ ὡσαύτως πᾶσαι αἱ εἰς θος γενικαὶ μακρᾷ παραλήγονται, πλὴν τοῦ κόρυς κόρυθος. τοῦτο γὰρ τὸν χρόνον τῆς εὐθείας ἐφύλαξε καὶ ἐν τῇ γενικῇ.

Ὄρνις δεξιὸς, αἰετὸς παρ᾽ Ὁμήρῳ, ἐν τῷ ο τῆς Ὀδυσσείας, τὸ μὲν ὄρνις γενικὸν, εἶδος δὲ ὁ αἰετός. ἢ καὶ ἄλλως ὄρνις συνήθως, ὁ σημαντικὸς τοῦ μέλλοντος οἰωνὸς, ὃς δεξιὸς ἐνταῦθα ἐπιπεταθεὶς ἀγαθὰ οἰωνίζεται.

Ὄρνιχα, ἀντὶ τοῦ ὄρνιθα Δωριεῖς λέγουσι. Πίνδαρος, Διὸς πρὸς ὄρνιχα θεῖον.

Ὄρνυμεν, ὄρνυμι ὀρνύω· ὀρνὺς ὀρνύντος, ὀρνύναι, ὀρνύμεν.

Ὀρνύμενος, διεγειρόμενος, ἐκ τοῦ ὄρνυμαι.

Ὀρνυμένου, ὁρμῶντος, διεγειρομένου.

Ὀρνύω ὄρω, τὸ διεγείρω, καὶ ὀρύω, καὶ πλεονασμῷ τοῦ ν Δωρικῶς, ὀρυύω. καὶ ὑπερβιβασμῷ, ὀρνύω. ἐξ οὗ ὄρνυμι, καὶ ὄρνυσο καὶ ὄρνυθι.

Ὀροάνδης, ὄνομα κύριον.

Ὀροβάκχη, βοτάνη τίς. οἱ δὲ τῆς ῥοιᾶς τοὺς καρποὺς, οὓς ἔνιοι κυτίνους.

Ὀροβάδων, νεβρῶν.

Ὀρόβιον, χρυσοκόλλης εἶδος.

Ὄροβος, εἶδος κριθῆς, οἱονεὶ ὁ ῥεπτόμενος ὑπὸ τῶν βοῶν.

Ὄροβος, εἶδος σπέρματος.

Ὀρόγυια, ὀρέγω τὸ ἐκτείνω, ὤρεγα, ὠρεγυῖα, ὠρεγυῖα συστολῇ καὶ τροπῇ ὀρόγυια.

Ὀροβία, πόλις.

Ὀρόδαμνοι, κλῶνες, κλάδοι, βλαστήματα ὄρπηκες, καὶ ὀρόδαμνος ποταμός.

Ὀρόδαμνος, ἡ παραφυάς.

Ὀροδεμνιάδες, νύμφαι. καὶ αἱ μέλιτται, ἀπὸ τοῦ ὄρος τῶν δεμνίων. ἐπεὶ κοιτάζονται. οἱ δὲ ἀπὸ τῶν ὀροδάμνων, οἵ εἰσι κλάδοι.

Ὀρόδαμνος, καὶ ὄρπηξ, ἐπὶ τοῦ κλάδου παρὰ τὸ ὀρύειν, κατὰ τὴν αὔξησιν.

Ὀρόδιος, φόβος.

Ὀροθέσια, τὰ χωρίζοντα τὴν γῆν.

Ὀροθύνειν, ἐρεθίζειν, ταράσσειν, θαῤῥύνειν.

Ὀροθύνω, ἐκ τοῦ ὄρω καὶ τοῦ θύνω συνέθηκεν, ὃ δηλοῖ τὸ διεγείρω, καὶ τὸ στρέφειν, καὶ δινεῖν, τὸ στρεφεδίνηθεν, καὶ καίειν τὸ πυρεῖν, τὸ καπυρόν. καὶ ἡ ἔρα καὶ γῆ, τὸ ἔργον καὶ ἐπὶ γεωργίας. καὶ τὸ ἠλεὸν, καὶ μάζειον παρὰ Ὀππιανῷ, τὸ ἠλέματον. ὁμοίως δὲ καὶ ἐκ τοῦ φιλεῖν, καὶ τοῦ ἥδεσθαι, τὸ φιληδεῖν γίνεται. καὶ ἐκ τοῦ κάσις καὶ γνωτὸς, ὁ κασίγνητος. τροπῇ τοῦ μακροῦ εἰς μακρόν.

Ὀροθύνειν, σύγκειται ἐκ τοῦ θύειν δηλαδὴ, καὶ τοῦ ὀρινύειν.

Ὄροι, οἱ ἀριθμοί.

Ὀροικλάνοι, ὀξύσχοινοι.

Ὀροίτυπος, ὁ ἐν ὄρει τὰ στύπη, ὅ ἐστι στελέχη, κόπτων. Ἀρχίλοχος, οὐρέων ἀπετύπαζον, σημαίνει δὲ τὸν ξυλουργόν.

Ὀροκωντίδος, ἑτέρα γραφὴ περιέχει τῆς ὁλοκονίτιδος, περὶ ἧς ἔμπροσθεν εἴρηται. φησὶ δὲ Διοσκουρίδης τὴν ἐν ὄρει γεννωμένην ὀροκωνίτην ὀνομάζεσθαι παρὰ τῷ Ἱπποκράτει.

Ὄρομαι, ὤρετο παρατατικός.

Ὀρόμενος, διεγειρόμενος. ὁρώμενος δὲ, ὁ βλεπόμενος, μέγα.

Ὀρόμηλις, τὸ ἀγριόμηλον.

Ὀρομαλίδας, τὰ ὄρεια μῆλα, ἢ τὰ ἐν ὄρει μῆλα. Ἀσκληπιάδης δὲ διὰ τοῦ ω μεγάλου γράφει. ἔστι δὲ τὰ συνακμάζοντα τοῖς σύκοις μῆλα.

Ὀρόντας, ὄνομα κύριον.

Ὀρόντης, ὄνομα ποταμοῦ.

Ὀρὸς, ἡ ὑδατώδης τοῦ γάλακτος ὑπόστασις. ἢ τὸ διεφθορὸς γάλα. ἢ ἡ τοῦ γάλακτος ὑποστάθμη, γίνεται δὲ παρὰ τὸ ῥέω, ὃ καὶ δηλοῖ τοῦ γάλακτος τὸ μὴ πηγνύμενον εἰς τυρὸν, ἀλλὰ ἀπορυϊσκόμενον. ἵνα ᾖ ἐκ τοῦ ῥέω ῥόος, καὶ κατὰ μετάθεσιν πρὸς ἀποφυγὴν συνεμπτώσεως τοῦ πρὸς τὸν ῥόον ὀρὸς, ὁ μέντοι ἐπὶ ζώων ὄῤῥος. ἐξ οὗ τὸ ὀῤῥωδεῖν διπλασιάσας τὸ ρ, ἐκ πέφυγε τοῦ κατὰ τὸ ὄρος φωνήν. Ἄλλως.

Ὀρὸς τὸ ὑπολειπόμενον ὑδατῶδες ἐν τῇ πήξει τοῦ γάλακτος. καὶ ἄλλως δὲ εἰπεῖν κατὰ τοὺς παλαιοὺς, ὑδατώδης καὶ ἐφθαρμένη ὑποστάθμη γάλακτος, δι᾽ ἑνὸς ρ γράφεται. ὀροῦ δὲ ἀξιοῖ τὸν Ὀδυσσέα ὁ Μελάνθιος, ὡς μὴ δικαιῶν αὐτὸν πίνειν γάλακτος.

Ὅρος, νόμος, θεσμὸς, ἢ στήλη, ἡ καταπεπηγυῖα ἐπὶ χωρίῳ, ἢ οἰκίᾳ.

Ὅρος, λόγος σύντομος δηλωτικὸς τῆς ὑποκειμένης οὐσίας, τῷ πράγματι. ἢ δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος. ὅροι δὲ λέγονται, ὡς ὁράσεις καὶ ὀφθαλμοὶ τῶν πραγμάτων τυγχάνοντες. καὶ ὡς ὁρίζοντες ἤτοι περικλείοντες συντόμως τὴν τοῦ ὀνόματος δύναμιν. οἷον ἀνθ᾽ οὗ λέγομεν, ὅτι ἄνθρωπός ἐστιν οὐσία ἐκ σαρκὸς καὶ ψυχῆς, καὶ λόγου καὶ αἵματος, καὶ στοιχείων καὶ ἑτέρων πλειόνων. περιορίζομεν οὖν ταῦτα διὰ τοῦ ὅρου λέγοντες, ὅτι ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν.

Ὅρος τῶν ὅρων ἐστὶν, ὁ πάντα μὲν ὁρίζων, αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ὁριζόμενος, ὅ ἐστι μόνος ὅρος τῶν ὅρων Θεός.

Ὅρος, σκεῦός τι γεωργικὸν σημαίνει, ξύλον τι ᾧ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν.

Ὅρος κατειμένον ὕλῃ, τὸ δασύ. καὶ οἷον ἐνδεδυμένον φυτῶν πυκνότητι, καὶ κεκαλυμμένον. ὅθεν καὶ εἵνω καλύπτω, οὗ παράγωγον, τὸ εἰνύω. ὡς τὸ, δεῖξε δὲ πάντα νάπη κατείνυον.

Ὀροτύπου δίκην, ὅτι οἱ Γίγαντες ἀποσπῶντες ἀπὸ τῶν ὀρῶν κορυφὰς καὶ πέτρας ἔβαλλον.

Ὄρυα, χορδὴ καὶ σύντριμμα πολιτικόν. εἰς ὃ Ἐπιχάρμου δρᾶμα.

Ὀρύειν, προώρμησεν.

Ὀρύματα, ὁρμήματα, πηδήματα.

Ὄρυσεν, ἐκ τοῦ ὀρύω τὸ ὁρμῶ, ὀρύσω, ὤρυσα, ὤρυσεν. Ἰωνικῶς ὄρυσα, καὶ ἀνόρυσα.

Ὀροφὴ, ἡ στέγη.

Ὀροφηφόρον, ζῷον πᾶν ὀστρακόδερμον.

Ὀροφίας, ἀντὶ τοῦ εἰπεῖν μῦς ὀροφίας. λέγονται μῦς ὀροφίαι, καὶ ὄφεις, οἱ περὶ τὰς ὀροφὰς, οἱ ταύτας κατατρώγοντες.

Ὀροφοιτῶντα, εἰς ὄρη περιερχόμενοι.

Ὄροφος ἀρσενικῶς, καὶ ὀροφὴ θηλυκῶς λέγεται.

Ὄροφος, καλαμίσκου εἶδος, ὑδροχαρὴς ἐπιτήδειος εἰς ὀροφήν. ὃς ἐν λειμῶνι τεταυθεὶς, δασεῖαν ἐπανθοῦσαν ἔχει λάχνην. ὅτι καὶ ἐστὶν ἀγαθὸς ἐρέφειν. ἀπ᾽ αὐτοῦ δὲ διὰ τὴν πάλαι ταύτην χρῆσιν, καὶ ἁπλῶς αἱ τῶν οἰκιῶν στέγαι πᾶσαι ὄροφοι λέγονται, ἀφ᾽ οὗ καὶ φάλαγγες, ἤτοι ἀράχναι ὑπωρόφιοι, οἱ φωλεύοντες ὑπὸ τοῦ ὀρόφους.

Ὄροχθον, ὄρειον ὄχθον.

Ὀρόων, πολλάκις ἐν τῇ δευτέρᾳ συζυγίᾳ τῶν περισπωμένων μετὰ τὴν συναίρεσιν, πλεονάζει ποτὲ μὲν τὸ ο τὸ μικρόν, ποτὲ δὲ τὸ α τὸ βραχύ. οἷον μετὰ τὴν συναίρεσιν τοῦ ὁρῶν πλεονάσαντος τοῦ ο γίνεται ὀρόων ὁ βλέπων, ἄλλοτε δὲ ἐν τῷ ὁρᾷ πλεονάσαν τὸ βραχὺ α πρὸ τῆς ληγούσης, τὸ ὁράα πεποίηκεν, οὕτω καὶ υἱόνες βοόωσι καὶ ῥῆμα βοάα ποτὶ χέρσον.

Ὀρόωντες. διά τι ἐν ταῖς τῶν ἐνεστώτων συνῃρημέναις μετοχαῖς τῆς δευτέρας τῶν περισπωμένων συζυγίας, τῆς μὲν πρὸ τοῦ ω τοῦ συνῃρημένου συλλαβῆς βραχείας οὔσης μικρὸν ο μεταξὺ τῶν δύο συλλαβῶν τιθέασι, καὶ τὸ, τε ὁρῶντες ὀρόωντες λέγουσι, καὶ τὸ βοῶντες βοόωντες. μακρᾶς δὲ οὔσης καὶ μακρὸν ἐντιθέασι. καὶ τὸ, τε μαιμῶντες μαιμώωντες λέγουσι, καὶ τὸ πηδῶντες πηδώωντες. καὶ ταῦτα δὲ πάντα ποιοῦσιν ὑπὸ τῶν μέτρων, εἰς ταῦτα δὴ συνωθούμενοι. ἔχουσι δὲ δὴ τὴν παραλήγουσαν ἐν ταῖς πλαγίαις αἱ τοιαῦται μετοχαὶ, διὰ τοῦ ω μεγάλου. τὸ γέμων ἱδρώοντες, καὶ ὑπνώοντες, οὐκ ἀπὸ περισπωμένων θεμάτων, ἀλλ᾽ ἀπὸ τοῦ ἱδρώω καὶ ὑπνώω βαρυτόνων ποιητικῶς καὶ αὐτῶν διὰ τοῦ ο μικροῦ, ταύτην τηροῦσιν ὡς ἀπαθῆ, καὶ μὴν κἀκεῖνο ποιοῦσι τοῖς εἰρημένοις ὁμόλογον, ἐν τοῖς ὁριστικοῖς ἐνεστῶσι τῶν τοιούτων ῥημάτων. τῆς μὲν συνῃρημένης συλλαβῆς διὰ τοῦ ω προφερομένης, ο πρὸ αὐτῆς τιθέασιν, εἰ μὲν πρὸ τοῦ συνῃρημένου ω συλλαβὴ βραχεῖα ᾖ, μικρὸν, ὡς ὁρῶ ὀρόω, βοῶσι βοόωσι. εἰ δὲ μακρὰ, μέγα, ὡς μαιμῶ μαιμώω, πηδῶσι πηδώωσι. διὰ δὲ τοῦ α ἐκφερομένης, α πρὸ αὐτῆς τιθέασιν. εἰ μὲν ἡ πρὸ τοῦ συνῃρημένου α πάλιν βραχεῖα, βραχύ. οἷον βοᾷ βοάα, γελᾶται γελάαται. εἰ δὲ μακρὰ μακρὸν, οἷον μαιμᾷ μαιμάα, πηδᾶτε πηδάατε. τοῦτο δὲ ποιοῦσιν, ἐκτείνοντες μὲν καὶ συστέλλοντες τοῦ μέτρου εἵνεκεν, ὥσπερ εἴρηται. ἐντιθέντες δὲ τῇ μὲν α, τῇ δὲ ο, διὰ τὸ δυσέκφορον ἴσως τὴν λέξιν γίνεσθαι. τοῦ μὲν γὰρ α τῷ α συμπίπτοντος, τοῦ ω, πάλιν τῷ ω, ἀχρειοτέραν σημαίνει τὴν προφορὰν ἔσεσθαι.

Ὀρόωτε. ὁράω ὁρῶ, ὁράοιμι ὁρῷμι ὁρῷμι, ὁράοιτε ὁρῷτε. καὶ πλεονασμῷ τοῦ ο ὀρόῳτε. ὅπερ οἱ μεθ᾽ Ὅμηρον ὁρώητε φασιν. ἐκ τοῦ ὁράοιτε ὁρῷτε γίνεται, πλεονασμῷ Ἰωνικῷ τῆς προπαραλήγοντος υ. πρῶτον δὲ αὐτοῦ πρόσωπον τὸ ὀρόῳμι. οὐ τὸ κοινὸν, τὸ ὁράοιμι ὁρῷμι. ἔστι δὲ τὸ φίλως ὀρόῳτε, ταυτὸν τῷ ἡδέως ἂν βλέποιτε.

Ὄρπα, ἐριννύς.

Ὄρπαξ, θρασὺς ἄνεμος.

Ὄρπας, τῆς ἀκρίδος ὁ γόνος, ἔνθεν γὰρ ὀπυίουσιν.

Ὄρπηξ γίνεται ἐκ τοῦ ὄρω τὸ πηδῶ, καὶ τοῦ πήσσω πήζω, ὁ ἀναπηδήσας εἰς αὔξησιν ταχύ. ἢ ὄρπηξ, ὁ κλάδος, παρὰ τὸ ἕρπειν, καὶ ὀρύειν εἰς ὕψος πεποίηται, κλίνεται δὲ, ὄρπηξ ὄρπηκος.

Ὀρπη-

Digitized by Google

Ὀρπασίδηρος, ἐν ᾧ τὸν ἐλέφαντα τύπτουσιν.

Ὀρριδιᾷν, τὸ ἐπὶ τὰ ἰσχία καὶ τοὺς γλουτοὺς πεσεῖν.

Ὄρμιον, ὀρίγανον.

Ὀρρόβηλος, ὁδὸς ἰσπαλιῶται.

Ὄρρον, λέγουσι τὸν λεγόμενον ταῦρον, τὸν μεταξὺ τῶν διδύμων. Καλλίστρατος τὴν ὀσφὺν, καὶ τὸ ἱερὸν ὀστοῦν. Δίδυμος τὴν τράμιν, οὐχ ὥς τινες τὸ ἰσχίον. ἔνθεν καὶ τὸ ὀρρωδεῖν, τὸν ὄρρον ἰδροῦν. Ὅμηρος, ἴδιον ὡς εἰνόουσα. τοῦτο γὰρ πάσχουσιν οἱ φοβούμενοι.

Ὀρροπύγιον, ὀρθοπύγιον.

* Ὀρρὸς, τὸ ὑδατῶδες καὶ ἀφιστάμενον τοῦ γάλακτος.

Ὄρρος, ἡ τράμις. οὐχ ὥστινες ἰσχίον. ἕτεροι δὲ ἐτυμολογοῦσι καὶ τὸ ὀρρωδεῖν. οἱ γὰρ δεδοικότες ἰδοῦσι τὸν ὄρρον, ὅ ἐστιν ἱδροῦσιν. ἢ τὸ ὀσφὺν, τὸ ὑπὸ τὴν ῥάχιν.

Ὀρρύει, ὁρμᾷ, πηδᾷ.

Ὀρρωδίων, τῶν ἄχρι τοῦ ὄρρου ἐκτεινομένων, ὄρρος δὲ τοῦ ἱεροῦ ὀστοῦ τὸ πέρας, ὅπερ καὶ ὀρροπύγιον καλεῖται παρὰ τῷ Ἱπποκράτει.

Ὀρρωδῶ, τὸ φοβοῦμαι λέγεται. ἐκ μεταφορᾶς τῶν ζώων διὰ τῆς οὐρᾶς δεικνυόντων τὸ δέος. εἰώθει γὰρ ταῦτα φοβηθέντα συνάγειν τὴν οὐρὰν ἐντὸς τῶν μηρῶν. ἀρρωδῶ δὲ κατὰ στέρησιν, τουτέστιν, οὐκ εὐλαβοῦμαι, ἀλλὰ καταφρονῶ καὶ τεθάρρηκα.

Ὀρρωδῶ παρὰ τῷ Ἀριστοφάνει, τὸ πάνυ φοβοῦμαι. ἀπὸ τοῦ ὄρρου, ὅ ἐστι μεσοπύγιον τῆς περιστερᾶς, ἔστι γὰρ τομερόν. καὶ κυρίως μὲν ἐπὶ τοῦ τῶν ἀλόγων δέους. πεποίηται δὲ παρὰ τὸ σείοντα τὴν οὐρὰν δηλοῦν τὸ δέος. ἢ παρὰ τὸ ἐγκρύπτειν τοῦτο τῷ μέρει τὰ αἰδοῖα κατὰ τὴν τοῦ δέους διάθεσιν. ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτον ἱδροῦν.

Ὀρσάγγης, σωματοφύλαξ. ἢ ὁ τοῦ βασιλέως οἶκόν ποτε εὐεργετήσας.

Ὄρσαι, ὁρμῆσαι, ἐγεῖραι, ἐρεθίσαι.

Ὄρσεο, ῥῆμα προστακτικόν. ὄρω, τὸ διεγείρω. ὁ μέλλων ὀρῶ, καὶ Αἰολικῶς ὄρσω, καὶ μετάγεται εἰς ἐνεστῶτα, καὶ κλίνεται ἄχρι παρατατικοῦ, τὸ παθητικὸν, ὄρσομαι ὠρσόμην ὤρσου. τὸ προστακτικὸν ὄρσου. καὶ διαλύσει τοῦ ου εἰς εο Ἰωνικῶς, ὄρσεο.

Ὀρσιπέτης, ὑψιπετόμενος.

Ὀρσίπους, βοὴ ἐρεστικοὺς παρασκευάζουσα πρὸς τὸν τῶν ποδῶν δρόμον.

Ὀρσοδάκνη, ζωΰφιόν τι ἐν τῇ κράμβῃ γινόμενον.

Ὀρσοθύρη, παρὰ τῷ Ποιητῇ, θύρα τις ἐπίσημος ὑψηλοτέραν ἔχουσα πρόσβασιν, εἰς ἣν οὐχ οἷόν τε ἦν ἀνελθεῖν τινὰ μὴ διὰ κλίμακος. ἴσως, ἢ ἄλλως τοὺς ἀνορούσαντα, καὶ ἀναθορόντα εἰς αὐτήν. ὅθεν καὶ ὀρθοθύρη ἐκαλεῖτο, ἤγουν θύρα, εἰς ἣν ὄρνυταί τις, θέλων ἰδεῖν ἐκεῖθεν. ἡ τοιαύτη σύνθεσις καὶ τὴν ὀρσύδραν παρήγαγεν ἐπ' ἐκείνην, δι' ἧς ὄρνυται ὕδωρ ὑψοῦ δηλονότι.

Ὀρσοὶ, τῶν ἀρνῶν οἱ ἔσχατοι γενόμενοι.

Ὀρσόλοπος, ὀρσοοπός.

Ὀρσολοπεῖται, διαπολεμεῖται, ταράσσεται, Αἰσχύλος.

Ὀρσομένη, διεγειρομένη.

Ὀρταλίζειν, παρὰ τὸ ὄρω τὸ διεγείρω, ὁ παθητικὸς παρατατικὸς ὤρμαι, τὸ τρίτον ὦρτο. ῥηματικὸν ὄνομα, ὀρτός. ἀφ' οὗ καὶ περισπώμενον, ὀρτῶ. καὶ παράγωγον ὀρτίζω, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς. ὀρταλίζω. δηλοῖ δὲ κυρίως ἡ λέξις, τὸ ἀναρρίπτειν τὰ νήπια τῶν παίδων, οἱονεὶ ὀρύειν εἰς ὕψος. κατακέχρηνται δὲ τῇ λέξει, καὶ ἐπὶ τῶν ἄλλων ἥντιναοῦν ποιεῖσθαι κίνησιν. ὡς Ἀριστοφάνης. οἷον ἀνορτάλιζες κακερατίαν, ἀντὶ τοῦ ἀναρρίπτειν ἐποίεις.

Ὀρτάλιχοι, οἱ μήπω πετόμενοι νεοσσοί. καὶ οἱ ἀλεκτρυόνες, καὶ κρεμάστραι.

Ὀρταλίχων, τῶν ἀλεκτρυόνων κατὰ τὴν τῶν Βοιωτῶν διάλεκτον.

Ὀρτὴ, ἀπὸ τοῦ ἑορτὴ, κατὰ συγκοπήν.

Ὀρτυγομήτρα, παρὰ τὸ ὄρω τὸ διεγείρω.

Ὀρτὸς, βωμός. Κύπριοι.

Ὀρτυγία, ἡ νῦν Δῆλος καλουμένη νῆσος.

Ὀρτυξὶς, πόα τις ὀρυαχόρδη ἑφθή.

Ὀρυβάδες, αἴαλγες.

Ὀρυγάνει, ἐρεύγεται.

Ὀρυγμαδὸς, κεῖται οὐ μόνον ἐπὶ πολέμου κατὰ ὀνοματοποιίαν, καὶ ἐπὶ ἤχου τομῆς ξύλων κυρίως ἐν ὄρεσιν, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ θορύβου μεγάλου. λέγεται δὲ ὀρυγμαδὸς, οὐ μόνον συνήθως ὁ κατὰ τὸ ὄρος κτύπος, ἀλλὰ καὶ ὁ ἁπλῶς θόρυβος, μεταθεὶς τὸ γ ἐκ τῆς προπαραληγούσης εἰς τὴν παραλήγουσαν. οὐ μόνον διὰ τὸ μέτρον, ἀλλὰ καὶ διὰ τὸ τραχυφωνότερον.

Ὀρύγμενος, βρυχόμενος.

Ὀρύεται, ὑλακτεῖ.

Ὄρυγξ, λαοξοϊκὸν σκεῦος. ἢ σκαφίου εἶδος, καὶ ἰχθὺς, καὶ ζῶόν τι τετράπουν δορκάδι κατὰ τὴν χροιὰν παραπλήσιον.

Ὀρυκτὴν, σκαπτήν.

Ὄρυμος, βωμός. οἱ δὲ ὄρυμβος.

Ὀρυωθεῖ, γρυλλίζει.

Ὀρύξομεν, σκάψομεν.

Ὀ ῥῦπος ἐρεῖς, οὐ τὸ ῥύπος.

Ὀρύσσω, ἐνεστώς. ὤρυσσον παρατατικὸς, ὀρύξω μέλλων, ὤρυξα ἀόριστος, ὀρυγήσομαι μέλλων δεύτερος παθητικὸς, ὀρύγην ἀόριστος δεύτερος παθητικὸς, ὀρώρυγμαι παρακείμενος. ἀνορύττω τὸ κρυπτόμενον, κατορύττω τὸ φανερόν.

Ὀρύττω, τὸ ἁπλῶς σαλεύω τὴν γῆν. διορύττω δὲ, τὸ λαθραίως ὑπὸ τοὺς θεμελίους ὑποσκάπτω.

Ὀρφακίνης, ἰχθῦς ποιός.

Ὀρφανικὸς, λαμβάνεται ἐνίοτε ἀντὶ τοῦ αὐτὸς ὁ ὀρφανὸς παῖς. λαμβανομένου τοῦ κτητικοῦ ἀντὶ τοῦ πρωτοτύπου, ὥσπερ παρθενικὴ ἡ παρθένος.

Ὀρφανισταὶ, οἱ ἐπίτροποι τῶν ὀρφανῶν. καὶ χηρωσταὶ, οἱ ἐπίτροποι τῶν χηρῶν.

Ὀρφανὴ, ἐπὶ γονέων.

Ὀρφανὸς, ὁ μή τινα ἔχων βοηθόν. παρὰ τὸ ὄροφος, ὀροφανὸς, καὶ ὀρφανός.

Ὀρφεία λύρα, ἡ τοῦ Ὀρφέως.

Ὀρφίνη, καλάμη μελίνης.

Ὀρφναία νὺξ, κυρίως ἡ μετὰ δύσιν ἡλίου, μεθ' ἣν ἡ ὄρφνη παρρησιάζεται.

Ὀρφνὴ, σκοτεινὴ νὺξ, ἢ μέλαινα. νύκτα δι' ὀρφναίην, παρὰ τὸ ἐρέφω, τὸ σκέπω, ὀροφὴ καὶ ὀρφνὴ, κατὰ πλεονασμὸν τοῦ ν, καὶ συγκοπήν.

Ὀροβόται, ἐπίτροποι ὀρφανῶν.

Ὀρφὼς, ἰχθῦς ποιός.

Ὀρφῶς παρὰ τῷ Ἀριστοφάνει ἐν τοῖς πλείστοις ὀρφῶς ἔν τισι δὲ ἐρφοῦς. μήποτε δὲ καὶ τὸ ἐνικὸν τοῦ ἰχθύος οὕτως ἔλεγον ὀρφὼς, ὡς λαγὼς καὶ ταώς.

Ὀρχάδες νῆσοι, περὶ τὸν Ὠκεανόν.

Ὄρχαμος, ἡγεμὼν, βασιλεύς.

Ὀρχὰς, περίβολος αἱμασιά. καὶ εἶδος ἐλαίας.

Ὄρχατοι, ἢ παρὰ τὸ ὀρύσσω, οἷον ὀρύχατοι, ἢ παρὰ τὸ ἔρκει ἠσφαλίσθη. ἢ παρὰ τὸ ἔρχω, ἵνα ᾖ ὄρχος, ἡ κατὰ τάξιν φυτεία. ὅθεν ὄρχατος προπαροξυτόνως, ὡς μέσος μέσατος. τὰ γὰρ ἀπὸ ὀνομάτων διὰ τοῦ τος παραγόμενα, προπαροξύνονται. τρίτος, τρίτατος. ἕβδομος, ἑβδόματος, μύχος μύχατος. μέσατος, ὄρχατος. ἢ ὄρχατος, δένδρα ἐπίστιχα, κατὰ φυτείαν ἀμπέλου. καὶ ὄρχατος, ὁ παράδεισος.

Ὄρχεα, ὄχεα. ὀχίῳ, τῇ περὶ τὸ στόμα τῆς μήτρας ἑλκοειδεῖ ἐπαναστάσει. ὄχος γὰρ καὶ μόχος, τὰ κλήματα. καὶ ἕλικες τὸ αὐτό. καὶ ἀφίδαιον ὀνομάζεται παρὰ τῷ Ἱπποκράτει.

Ὄρχεις, πληθυντικῶς. καὶ ὀρχίδιον ὑποκοριστικόν.

Ὀρχεδόνως, ἀντὶ τοῦ ἡβηδόν. Ἡρόδοτος.

Ὀρχίδιον, τὸ μόριον.

Ὀρχεῖται, διασείεται, βακχεύει.

Ὀρχηδὸν, ἡβηδόν.

Ὀρχηθμοῖς, ὀρχήσασθαι τὴν τάξιν τῆς φυτείας, ὄρχους εἰώθασι λέγειν οἱ Ποιηταί. καὶ οἱ ὀρχησταὶ ἐντεῦθεν, ὅτι κατὰ τὴν τῶν βοτρύων συγκομιδὴν ἐν τοῖς τόποις τούτοις, ἐπειδὰν ἔτυχον τρυγῶντες, ἀπήρχοντο τῷ Θεῷ χορεύοντες, καθάπερ κωμῳδοί. ἐξ οὗ καὶ τὸ ὀρχῶ, ὀρχήσω, ὀρχήσασθαι. οἱ δὲ παρὰ τὸ ὀρέγειν, ὅ ἐστιν ἐκτείνειν τὰς χεῖρας, κατὰ τροπὴν τοῦ γ εἰς χ.

Ὄρχησις γίνεται ἐκ τοῦ ὀρέγω ὀρέξω ὤρεχα κατὰ συγκοπήν. ὃ δὴ καὶ δηλοῖ κίνησίν τινα χειρῶν καὶ ποδῶν μυριαχοῦ. ὡς δὲ παρὰ τοῖς ὕστερον διάφορα εἴδη ὀρχήσεων εὕρηται, δῆλόν ἐστιν. ἦν γοῦν καὶ τραγικὴ ὄρχησις, ἡ καὶ ἐμμέλεια καθ' ἣν Βάθυλλός φησιν Ἀλεξανδρεὺς, νομίμως ὠρχήσατο. καὶ κωμικὴ δὲ ἡ καὶ κόρδαξ καὶ σίκιννις, ἧς εὑρετὴς σίκιννος τὶς βάρβαρος, ἢ Κρής. ἡ καὶ σατυρικὴ, ἐπεὶ καὶ οἱ σάτυροι σικιννισταί. ὀρχηθμὸς, ὁ ἐν γάμοις καὶ ὁ ἐν ἑορταῖς καὶ ὁ ἐνόπλιος.

Ὀρχήσεως τρία εἴδη. ἐμμέλεια μὲν τραγικὴ, σίκιννις σατυρικὴ, κόρδαξ κωμικὴ, ἥ τις αἰσχρῶς κινεῖ τὴν ὀσφύν.

Ὀρχηστὴς ἄρης, ὁ εὐκίνητος πόλεμος. ἢ ὁ μετὰ πυρρίχης, καὶ ἐνόπλου ὀρχήσεως γενόμενος. ὥσπερ ἐγίνετο τοῖς Λάκωσιν ἔν τινι καθεστῶτι ῥυθμῷ, καὶ γενναίῳ καὶ κινοῦντι πρὸς πόλεμον.

Ὀρχήστρια, αὔρα. ὀρχηστική.

Ὄρχια, ζῶον τῶν τετραπόδων, καὶ πόα.

Ὀρχιπαιδίζειν, τὸ κακοσχολεύεσθαι παρὰ τοῖς παισίν.

Ὀρχιπέδων, σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδ' ἐγὼ τῶν τριχῶν.

Ὀρχίλος ὄρνις, διὰ τὰς μοιχείας τοῦ Διὸς τὴν ὄρνιν παρέλαβεν. ἐπλάσατο δὲ τὸ ὄνομα τοῦ ὄρνιθος Ἀριστοφάνης, ἐπεὶ καταφερὴς Ζεὺς καὶ μοιχὸς, διὰ τοῦτο ὀρχιλόχον παρέλαβε διὰ τοὺς ὄρχεις.

Ὀρχμαὶ, φραγμοί. καλαμῶνες, φάραγγες, σήλυξ.

Ὄρχοι, στίχοι ἀμπέλων.

Ὀρχομενός. ἰστέον ὅτι ὁ Βοιώτιος Ὀρχομενὸς, καὶ Ἀρκαδικὸς τοῖς ἐπιθέτοις διαστέλλονται. ὁ μὲν γὰρ Ἀρκαδικὸς πολύμηλος. ὁ δὲ Βοιώτιος, μινύειος. ἐπειδὴ Μινύας ποταμὸς αὐτὸν παραρρέει. ἢ ὅτι γένος λαμπρὸν αἱ Μινύαι ἀπό τινος Μινύου βασιλέως κληθὲν, ἐν αὐτῷ ποτὲ ᾤκησαν. Γεωγράφος δὲ οὐ μόνον πλουσίους, ἀλλὰ καὶ μάλα δυνατοὺς τοὺς Βοιωτίους Ὀρχομενίους δείκνυσι, λέγων καὶ ὅτι Ἐτεοκλῆς Ὀρχομενοῦ βασιλεὺς Χαρίτων ἱερὸν πρῶτος ἱδρύσατο. καὶ ὅτι τινὲς Μινύαι Ὀρχομένιοι, ἀπῴκισαν εἰς Ἰωλκόν. ὅθεν καὶ οἱ Ἀργοναῦται Μινύαι παρὰ Λυκόφρονι. δόξοι δ' ἂν ὁ Μινύας παρὰ τὸ μινυὸν. ὅ ἐστι μικρὸν λεχθῆναι. καθὰ καὶ ὁ Τυδεὺς ἀπὸ τοῦ τυτθὸν, ὅτι δὲ ἀττικὸν τὸ μινυὸν, καὶ ὡς μέχρι νῦν ἐγχώριος Ἀθήνησιν ἡ λέξις, δῆλόν ἐστι. καὶ ὡς ἐξ αὐτοῦ καὶ μινυρίζειν γίνεται.

Ὀρχομενοὶ δύο, ὁ ἐν Βοιωτίᾳ, οὗτος ὁ Μινύειος, καὶ ὁ Πολύμηλος ἐν Ἀρκαδίᾳ. ὁ δὲ πρῶτος Ὀρχομενὸς μινύειος οὕτως ἐκλήθη ἀπὸ Μινύου τοῦ Ποσειδῶνος παιδὸς καὶ Καλλιρόης τῆς Ὠκεανοῦ θυγατρός. ὑπὲρ Μινύου καὶ Τριγονείας τῆς Αἰόλου οἱ πλείους τῶν Ἀργοναυτῶν.

Ὀρχομενὸς, καὶ ὄρος καὶ πόλις Θεσσαλίας καὶ Βοιωτίας, καὶ Ἀρκαδίας, καὶ Πόντου.

Ὄρχος καὶ ὄρχατος, στίχος ἀμπέλων, ἢ ἑτέρων φυτῶν. παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τοὺς τάξεις τῶν φοιτῶν.

Ὄρω τὸ διεγείρω. ὄρω ἐστὶ, ῥῆμα βαρύτονον, ἔνθεν ὅτε τ' ὤρετο μητίετα Ζεύς. ἀφ' οὗ ὄνομα ῥηματικὸν ὀρτὸς, καὶ ὀρτῶ ῥῆμα. τὸ δὲ ὀρτῶ ῥῆμα, ποιεῖ τὸ ὀρτίζω, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ὀρταλίζω. δηλοῖ καὶ ὀρταλίζειν, τὸ ἀναρριπτεῖν τὰ νήπια τῶν παιδίων, οἷον ὀρύειν ποιεῖν εἰς ὕψος. κατακέχρηνται δὲ τῇ λέξει καὶ ἐπὶ ἄλλης κινήσεως, ἥν τινα ἐδει κινεῖσθαι.

Ὀρῶ, κανονικῶς περισπᾶται. Ἡρακλείδης δηλοῖ γράψας οὕτω, τὰ θέματα τὰ ἔχοντα μετὰ τοῦ προηγουμένου ο ἓν σύμφωνον ἁπλοῦν ἑπόμενον περισπᾶται, νομῶ, σοβῶ, ῥοφῶ. τὸ κόπτω βαρύνεται, ἐπεὶ δύο σύμφωνα ἕπεται αὐτῷ. τὸ δὲ ὄζω καὶ δεσπόζω, ἐπεὶ διπλοῦν. ὅθεν τὸ

ὀρῶ

ὁρῶ ἀλόγως περισπᾶται, συμφώνου ἑνὸς ἑπομένου ἁπλοῦ.

Ὀρώγκου, τῶν ὀρῶν τὰ ὀγκώδη, ἃ καὶ ὀρόγχθους καλοῦσιν. ἢ ὀρῶν λόφους. τινὲς δὲ καὶ τὰ ἐργάσιμα ξύλα.

Ὀρῶ καὶ ὁρῶμαι, καὶ τὸ ἴδον καὶ ἰδόμην, Ὅμηρος.

Ὁρώη, ὁράω ὁρῶ. μετοχὴ ὁ ὁράων τοῦ ὁράοντος. καὶ τὸ εὐκτικὸν ὁράοιμι ὁρῷμι. καὶ τροπῇ τοῦ μι εἰς ην. ὁρῴην ὁρῴης ὁρῴη. ὁμοίως ἀγαπῴην, ης, η, βοῴην, ης, η.

Ὁρῶν, ἰδών, θεωρῶν.

Ὁρῶνται, ἐφορμῶσιν, ἐπακολουθοῦσιν.

Ὄρωρα. μέσος παρακείμενος, καὶ κατὰ μετάθεσιν, ἔστιν ὅτε διὰ μέσου ἀνάγκην ὤρορα, ἀπὸ τοῦ ὄρομαι. ἀφ' οὗ καὶ ὄρμενος ἐπὶ παρακειμένου. προπαροξυνεται δὲ ὄρμενος, διὰ τὸ ἀναύξητον μεῖναι κατὰ τὴν τῶν Ἰώνων συνήθειαν. ὡς καὶ τὸ βλήμενος, καὶ τὸ φθίμενος.

Ὀρώρεται, ἔχει ἀναδρομὴν παρακειμένου εἰς ἐνεστῶτα. ἐκ τοῦ ὄρωρα γὰρ τὸ ὀρώρω, ἐξ οὗ καὶ τὸ ὀρώρεται, ὥσπερ δὲ καὶ τὸ προσαρήρεται παρ' Ἡσιόδῳ, ἐκ τοῦ ἄρηρα ἀρήρω γίνεται. ὁμοίως καὶ ἐκ τοῦ ὄλωλα τὸ ὀλώλω. ὅθεν τό, ὅτε περ ποτ' ὀλώλη Ἴλιος.

Ὀρωρέχατο, παρὰ τὸ ὀρέγω ὀρέξω, ὤρεχα, ὤρεγμαι, ὠρέγμην ὠρέξω ὤρεκτο. ὠρέχατο Ἰωνικῶς, καὶ Ἀττικῶς ὠρωρέχατο. καὶ συστολῇ ὀρωρέχατο. καὶ ὀρωρέχαται Ἰωνικῶς φρασθὲν οὐκ ἄλλως, ἢ διὰ τοῦ ἐπενύσθησαν ἑρμηνεύεται.

Ὀρωρέχαται, ἐκτέτανται. καὶ ὀρωρεχότες.

Ὀρώρει, ποιητικῶς. ὀρῶ τὸ διεγείρω, μέλλων ὀρήσω, ἐξ οὗ ὤρηκα. μέσος ὦρα, καὶ ἀττικῶς ὄρωρα. ὃς ὑπερθέσει χρονικῇ γίνεται ὤρορα. ὑπερσυντέλικος κοινῶς ὠρώρειν, καὶ Ἰωνικῶς ὀρώρειν, οὗ τρίτον, ὀρώρει δ' οὐρανόθεν νύξ. Ἄλλως.

Ὀρώρει, συστολὴν ἔχει τοῦ ω μεγάλου, εἰς ο μικρόν. ὄρω γὰρ τὸ διεγείρω. ὁ μέλλων ὀρῶ. ὁ μέσος παρακείμενος ὦρα. καὶ ἀττικῶς ὄρωρα. ὁ ὑπερσυντέλικος ὤφειλεν εἶναι ὠρώρειν. τὰ γὰρ Ἀττικὰ τὰ ἀπὸ βραχέος ἀρχόμενα ἐν τῷ παρακειμένῳ, μεγεθύνονται ἐν τῷ ὑπερσυντελίκῳ. ὥσπερ συστολὴν ἔχει τὸ ὀρώρει, διὰ τὴν τοῦ μέτρου ἀνάγκην.

Ὀρώρη ὅμοιόν ἐστι τῷ ὀλώλη. ὡς γὰρ ἐκεῖνο παρακείμενός ἐστιν ὑποτακτικὸς ἐκ τοῦ ὄλωλα, οὕτω καὶ τοῦτο ἐκ τοῦ ὄρωρα.

Ὀρώρηκα, ἐκ τοῦ ὀρῶ ὀρήσω ὤρηκα, ὀρώρηκα ἀττικῶς.

Ὀρώρηται, ἐκ τοῦ ὄρωρα παρακειμένου ὤρηται, ἀναχθέντος εἰς ἐνεστῶτα τοῦ ὀρώρω.

Ὀρώρυχα, ὠρωρύχειν, ἀκήκοα ἠκηκόειν, οἱ ἀττικοὶ παρακείμενοι ἀρχόμενοι ἀπὸ βραχέος, ἐν τῷ ὑπερσυντελίκῳ χρονικῶς μεγεθύνονται. ἀλλὰ τὸ ἐλήλυθα ἐληλύθειν, καὶ ἔοικα ἐῴκειν, παρέβη τὸν κανόνα.

Ὀρῶ σε, δίχα τῆς προθέσεως, καὶ ὁρῶ εἰς σὲ μετὰ τῆς προθέσεως, καὶ ἐνορῶ σε ὁμοίως, ταῦτα αἰτιατικῇ.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Σ.

Ὅς, ἄρθρον ὑποτακτικόν. σημαίνει δὲ καὶ ἀντωνυμίαν κτητικὴν τρίτου προσώπου, ἐμός, σός, ὅς. σημαίνει καὶ ἀντωνυμίαν ἰσοδυναμοῦσαν τῷ οὗτος, οἷον, ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν. δύναται σημαίνειν καὶ αὐτός, οἷον ἀλλὰ καὶ ὃς δέδοικα Διὸς μεγάλου κεραυνόν. ἔστι καὶ ἀόριστον μόριον ἰσοδυναμοῦν τῷ ὅς τις ὑποτακτικῷ ἄρθρῳ ὁμόφωνον, οἷον ὃς ἂν ἔλθῃ μενέτω. καὶ ἄνος ὃς ἦλθεν.

Ὅς, ἀντὶ τοῦ οὗτος, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ψ'.

Ὅς, ἥ, ὅ. ἄρθρα ὑποτακτικὰ μετὰ τοῦ τὶς ὀνόματος ἀορίστου συντεθειμένα, ἀναφορικὰ γίνονται. οἷον ὅς τις, οὗτινος, ᾧτινι, ὅντινα. πληθυντικά, οἵτινες, ὧντινων, οἷστισιν, οὕστινας. θηλυκά, ἥτις, ἧστινος, ᾗτινι, ἥντινα. πληθυντικά, αἵτινες, ὧντινων, αἷστισιν, ἅστινας. οὐδέτερα, ὅτι, οὗτινος, ᾧτινι, ὅτι. πληθυντικά, ἅτινα, ὧντινων, οἷστισιν, ἅτινα. καὶ μετὰ τοῦ περ συνδέσμου ταυτὸν σημαίνει. οἷον, ὅσπερ ἀντὶ τοῦ ὅς τις, ἥπερ ἀντὶ τοῦ ἥτις, ὅπερ ἀντὶ τοῦ ὅτι. καὶ κλίνεται οὕτως, ὅσπερ, οὗπερ, ᾧπερ, ὅνπερ. ἥπερ, ἧσπερ, ᾗπερ, ἥνπερ. ὅπερ, οὗπερ, ᾧπερ, ὅπερ.

Ὃς δ' ἂν ἀνὴρ ἀπὸ ὧν. ἤγουν ἰδίων ὀχέων ἕτερα ἅρματα ἵκηται, παρ' Ὁμήρῳ ἔγχει ὀρεξάσθω. τουτέστιν, εἴ τις ἅρματος πολεμίου κρατήσει, μὴ ἀρκείσθω, ἵνα τυχὸν καὶ εἰς τὰς νῆας κατάγει τὸ κρατηθέν, ἀλλὰ ἔγχει πάλιν πολεμείτω. ἵνα καὶ τὸ πλέον κατορθώσῃ. ἢ καὶ ἄλλως. εἴ τις ἅρματι τοῦ πλησίου Ἕλληνος ἀναβῇ, ὡς ἢ ἐκπεσὼν τοῦ οἰκείου, ἢ καὶ ἄλλως κατά τινα χρείαν ἔγχει ὀρεξάσθω, τουτέστιν ἔγχος ἐκτεινάτω. ὀρέγω γὰρ τὸ ἐκτείνω. ἐξ οὗ καὶ ὀρεκτῆς ἔφη ἐν τῇ Βοιωτίᾳ μελίας, ἀπὸ χειρῶν πληττούσας.

Ὅς τις, καὶ ἥτις, καὶ ὅ, τι μετὰ τοῦ ἂν τιθέμενα, ἐπὶ εὐκτικοῦ καὶ ὑποτακτικοῦ τίθενται. Ἀριστείδης, οἶμαι ἅπαντας ἂν ὑμᾶς συμφῆσαι, ὥσπερ τῶν ἐν δικαστηρίοις λόγων τούτους ἀληθεστάτους ἡγεῖσθαι, ὧν ἂν γνωριμώτατοι μάρτυρες εἶεν, οὕτω καὶ τῶν εἰς συμβολὴν ἡκόντων, οἷς ἂν πλεῖστοι καὶ ποδαιόστατοι μάρτυρες ὦσι, τούτοις χρῆναι πιστεύειν. ὡσαύτως ἔχει καὶ τὸ τὶς ἄν.

Ὅς τις, ἀεί ποτε γενικῇ συντάσσεται. οἷον ὅς τις τῶν ἀνθρώπων.

Ὅς τις ἀόριστόν ἐστι, τὸ δὲ ὅς τίς ποτε, ἀμφίβολος λόγος. οἷον, ὅς τίς ποτε ἦν ὁ παράδεισος. ἤγουν εἴτε νοητὸς εἴτε αἰσθητός.

Ὁστισοῦν, οὑτινοσοῦν, ᾡτινιοῦν, ὁντιναοῦν, καὶ ὀντινοῦν. τὸ θηλυκόν, ἡτισοῦν, ἡστινοσοῦν, ᾑτινιοῦν, ἡντιναοῦν, καὶ ἡντινοῦν. τὸ δὲ οὐδέτερον, ὁτιοῦν, οὑτινοσοῦν, ᾡτινιοῦν, ὁτιοῦν. ἐπειδὴ τοίνυν λαμβάνεται τὸ ὅτου ἀντὶ τοῦ οὗτινος, καὶ ὅτῳ ἀντὶ τοῦ ᾧτινι λέγε, ὁτουοῦν καὶ ὁτῳοῦν, ἀντὶ τοῦ οὑτινοσοῦν καὶ ᾡτινιοῦν.

Ὅς οὐδὲν τοῖος ἦν, ὃς οὐκ ἦν τοιοῦτος, ἀλλὰ τοὐναντίον λαμπρός, ψευδοφόρος ὁ φιλοποιός.

Ὅσα, τὸ μόριον τοῦτο ἀόριστον ὄν, ἄπειρον πλῆθος δηλοῖ ἀριθμοῦ. Ἀριστοφάνης, ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν.

Ὅσα, Ἀττικῶς λέγεται ἀντὶ τοῦ ὅσον. φιλοῦσι γὰρ οἱ Ἀττικοὶ πληθυντικοῖς ἀντὶ ἑνικῶν χρῆσθαι. οἷον ὅσα κἀμὲ εἰδέναι, ἀντὶ τοῦ ὅσον λαμβάνεται.

Ὁσάκις, ποσάκις.

Ὁσημέραι λέγε, ὅσαι δὲ ὧραι. λέγεται καὶ ὅσαι ἡμέραι.

Ὁσημέραι, ἐπίρρημα. καὶ σημαίνει τὸ πάντοτε. δοκεῖ δὲ συντεθεῖσθαι, ἀπὸ τοῦ ὅσαι ἡμέραι. πλὴν γράφεται ἀεὶ συντεθειμένως. τὸ δὲ ὅσαι ὧραι, ταυτὸν ὂν τῇ σημασίᾳ διαλελυμένως γράφεται.

Ὁσία γνώμη, γνησία.

Ὁσία, ἡ ἐπὶ θανάτῳ τιμή, ἢ ἡμέρα.

Ὅσια ἄλφιτα, δεδευμένα ἐλαίῳ καὶ οἴνῳ, καὶ ἡ καρδία.

Ὁσίαν, κηδείαν.

Ὁσίη παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας π'. οὐδ' ὁσίη, ἀντὶ τοῦ οὐδ' ὅσιον ἐλλελεῖφθαι δοκεῖ. λείπει γὰρ τὸ βουλή, ἢ τοιόνδε τι. ἵνα λέγῃ, ὡς οὐκ ἔστιν ὁσία δίκη, ἢ βουλή, ἢ πρᾶξις τὸ τοὺς ἱκέτας ῥάπτειν ἀλλήλοις κακά. ὁμοίως ἐν χ', οὐχ ὁσίη. λείπει τό, δίκη ἢ ἀρχή.

Ὅσιον, χωρίον, τὸ βέβηλον, καὶ μὴ ἱερόν. εἰς ὃ ἔξεστιν εἰσιέναι. καὶ ὅσια χρήματα, τὰ μὴ ἱερά.

* Ὅσιοι, οἱ εὐσεβείᾳ συντεθραμμένοι κἂν μὴ Ἱερεῖς ὦσιν.

Ὅσιόν ἐστι θεράπευμα θεοῦ, ἀρεστὸν θεῷ. τὸ ὅσιον λέγουσί τινες, ὅτι ἐπίτασίς ἐστι τοῦ δικαίου. κρεῖττον δὲ εἰπεῖν. ὅτι διαφέρει ὅσιον. καὶ γὰρ δίκαιος μὲν λέγεται, ὁ τὴν ἰσότητα τοῖς ὁμοειδέσιν φυλάττων. ὅσιος δέ, ὁ περὶ τὰ θεῖα ἐσπουδακώς.

Ὅσιος, ὁ περὶ τὰ θεῖα δίκαιος. παρὰ τὸ ἅζω τὸ σέβομαι, γίνεται ἅσιος, καὶ ὅσιος. διὸ καὶ διὰ τοῦ ι γράφεται. οἷον ἀσπάσω ἀσπάσιος, ἀλέξω ἀλέξιος, κτήσω κτήσιος, μνήσω, μνήσιος. τὸ δεξιός, καὶ ἀνεψιός, κατὰ τὸν τόνον μόνον διήλλαξεν.

Ὁσιότης, παρὰ τὸ ὅσιος. τὸ δὲ ὅσιος, παρὰ τὸ ἅζω τὸ σέβομαι. τὸν γὰρ ὅσιον πάντες σεβόμεθα.

Ὁσιουργῆσαι, ἀποκαρδιουργῆσαι. καὶ τὸ ἐπιλέγειν ἐν ταῖς θυσίαις, ὅταν ἀπάρχωνται τῶν θεῶν αὐτῶν.

Ὁσίους θαλάμους. τοὺς μὴ θείους, ἀλλ' ἀνθρωπείους.

Ὄσιρις, ὁ καὶ Διόνυσος, Βασιλεὺς ὑπάρχων Αἰγύπτου, ὑπὸ Τυφῶνος καὶ τῶν συνόντων μεληδὸν κατετμήθη, καὶ ἐξεσπάσθη πολλαχοῦ. ἢ Ὄσιρις γὰρ καὶ ἡ Δήμητρα γυνὴ Διονύσου, μετὰ Ὥρου τοῦ υἱοῦ αὐτοῦ τὸν Τυφῶνα καὶ πάντας τοὺς ἐκείνου φονεῖς ἀναιρεῖ. τὰ δὲ τοῦ Διονύσου μέλη, καὶ μόρια συλλέξασα ἑκάστῳ ναόν, καὶ ἱεροὺς ᾠκοδόμησεν ἐν Φηγάλαις. φηγάλη δέ, πόλις Αἰγύπτου, τὸ μέγιστον ἦν τῶν ἱερῶν. ὃς καὶ μέγας ὅρκος τοῖς Αἰγυπτίοις ἐτύγχανεν, μία τῶν ἐν φηγάλῃ ἡ ὄσιρις. πάντα γοῦν εὑροῦσα τὰ μόρια, ὡς ἔφην, καὶ δειμαμένη πάντας ναούς, τὰ δὲ παιδογόνα μόρια μὴ εὑροῦσα, τοὺς δερματίνους φαλλοὺς ἐπενόησε κρεμμανύειν ἕκαστον ἑαυτῷ, καὶ σὺν τούτοις ὀρχεῖσθαι. καὶ περὶ μὲν τῆς Ὀσίριδος οὕτως ἔχει.

Ὁσιωθῆναι ἡμέρας λέγουσιν ἐπὶ θανάτῳ τινός. οἷον μὴ ἱεράς, ἀλλὰ ὁσίας νομισθῆναι.

Ὁσιώτατος τὸ σι, ἰῶτα. τὰ ἀπὸ μελλόντων διὰ τοῦ ιος γινόμενα, διὰ τοῦ ι γράφεται. οἷον, ἀζω ἄσω, ὅσιος ὁσιώτερος, καὶ ὁσιώτατος.

Ὀσκάπτω, ἀνασκάπτω.

Ὁσκόπος, καὶ τὸ σκόπος γράφεται. πλὴν παρὰ μὲν τοῖς Ἀττικοῖς, ἀεὶ ἀρσενικῶς ὁ σκόπος γράφεται. παρὰ δὲ τοῖς κοινοῖς, τὸ σκόπος οὐδετέρως.

Ὀσμὴ λέγε διὰ τοῦ σ. διὰ γὰρ τοῦ δ ὀδμή, Ἰώνων. παρανομεῖ οὖν Ξενοφῶν.

Ὀσμύλια, τῶν πολυπόδων αἱ ὀξεῖναι λεγόμεναι, καὶ ἰχθυδιακοποιά, ἀλλ' ἀτελῆ.

Ὀσμῶαι, βολβητῖναι θαλάσσιοι.

Ὅσον οὔπω πάρεστι λέγομεν, καὶ ὅσον οὐ πάρεστι. Θουκυδίδης, ἀγγέλλεται αὐτοῖς τὰς ἐκ Πελοποννήσου ναῦς, ὅσον οὐ παρεῖναι.

Ὅσον οὐκ ἤδη, ἀντὶ τοῦ συντόμως. Εὐριπίδης, ἥξει δ' Ὀδυσσεὺς ὅσον οὐκ ἤδη. καὶ μικρὸν ὅσον, ἀντὶ τοῦ ὀλίγον. Θεόκριτος, μικρὸν ὅσον ἀπωθεν ἁλιτρύποιο γέροντος.

Ὅσον τάχιστα, ἀντὶ τοῦ συντόμως. Σοφοκλῆς, ῥίψον με γῆς ἐκ τῆσδε ὅσον τάχιστα.

Ὅσον, ἐστὶν ἀναφορικόν, λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ πολύ. ὡς ὁ Θεολόγος. καὶ τὸ τάχος, ὅσον ἐκεῖθεν, τὸ γράμμα τῆς ἐξορίας.

Ὅσον αὐτίκα, ἀντὶ τοῦ συντομώτατα. Λουκιανός, ὅσον αὐτίκα.

Ὅσον σθένος μοχθῶ, ἤγουν ὅση δύναμις. ὁ σχηματισμὸς οὗτος καὶ τοῖς κοινοῖς ἐστι συνήθης. οἷον, συλλαβοῦ ὅση δύναμις. ἐκκλίνω τόδε, ὅση μοι ἰσχύς. ἐλλειπτικῶς δὲ ταῦτα λέγεται. τὰ γὰρ ἐντελῆ, συλλαβοῦ κατὰ τὴν δύναμιν, ὅση σοί ἐστι. καὶ ἐκκλίνω τόδε κατὰ τὴν ἰσχύν ὅση μοί ἐστιν.

Ὅσον ὅσον, ὀλίγον ὀλίγον. ὅσον ἀντὶ τοῦ ὀλίγον εὕρηται κείμενον.

Ὅσον, ὅτι, καὶ ὡς, λαμβάνονται ἀντὶ τοῦ λίαν. πλὴν τὸ μὲν ὅτι καὶ τὸ ὡς, ὑπερθετικοῖς μόνοις συντάσσονται. τὸ δὲ ὅσον, καὶ ἁπλοῖς ὀνόμασιν. ὑπεροχὴν δὲ δηλοῦσιν, ὅτε μετὰ τοῦ ὀνόματος κεῖνται.

Ὅσπερ ἔστησεν, ὅσπερ καὶ φανερὰ ἐποίησεν.

Ὀσπήτιον, ὀστέον. παρὰ τὸ στῶ στέον, καὶ ὀστέον τὸ αἴτιον τῆς στάσεως. παρὰ τὸ ἵστημι, καὶ ὀστεῖνον καὶ ὀστοῦν.

Ὄσπρα, ποικίλα.

Ὄσπρια, καὶ γενικῶς καὶ ἰδικῶς λέγεται.

* Ὄσπρια, ἐκεῖνα τῶν δημητρείων σπερμάτων λέγεται, ἐξ ὧν ἄρτος οὐ γίνεται.

Ὄσπριον, παρὰ τὸ σπείρω σπόριον, καὶ καθ' ὑπερβιβασμὸν ὄσπριον.

Ὄσπρος, ἰδίως τὶς λέγεται, ὡς πισὸς καὶ ἐρέβινθος.

Ὅσρα, ὅς τις δή.

Ὀσρολιή, τόπος.

Ὅσσα

Ὄσα ἐέοργας, ὅσα εἰργάσω.

Ὄσσα, θεία φήμη, καὶ κληδὼν, ἢ μαντεία. οἶμαι ὅτι παρὰ τὸ ὄπτω.

Ὄσσα, ὄρος. πρὸς τῷ τέλει τῆς Θεσσαλίας. μεθ' ὃ διαδέχεται ἡ Μακεδονία.

Ὄσσαν εἶναι ἐκ Διὸς λέγει Ὅμηρος, διότι οἱ παλαιοὶ πᾶσαν ὄσσαν καὶ ὀμφὴν εἰς τὸν Δία ἀνάγουσι. διὸ καὶ πανομφαῖος ἐλέγετο. Διὸς δ' ὄσσα, ἡ ἐκ τῆς προμάντιδος εἱμαρμένη. δηλωτικὴ γάρ ἐστι τοῦ μέλλοντος. ἢ καὶ ἄλλως, ἡ τοῦ αἰθέρος. ὡς αἴτιός ἐστι φωνῶν, διηχὴς τυγχάνων. ἰστέον δὲ, ὅτι παρ' Ὁμήρῳ οὐχ ἁπλῶς ἡ φωνὴ λέγεται ὄσσα, καθὰ παρὰ τοῖς ὕστερον, ἀλλὰ καὶ ὄσσα ἡ κληδὼν, καὶ ἡ ὀμφή. καὶ ἡ φήμη, θεόντι, καὶ σημαντικὸν τοῦ μέλλοντος σημαίνει παρ' αὐτῷ.

Ὅσσα δισκοῦρα, ὅσα δίσκου οὖρα.

Ὀσσάτιον, δύο ἔχει παραγωγάς. ἐκ τοῦ ὅσσος. ὁσσάτος γὰρ, εἶτα ὀσσάτιος.

Ὄσσε αἱματόεντα, ἢ αἱματόεντε. γράφεται γὰρ ἀμφοτέρως. εἰ μὲν αἱματόεντα ἐρεῖς, περιδήλως οὐδετέρου γένους εἶναι παρίστα τὸ ὄσσε. εἰ δὲ διὰ τοῦ ε αἱματόεντε, ἀμφίβολον αὖθις μένει τὸ γένος.

Ὄσσε, σημαίνει τοὺς ὀφθαλμοὺς, παρὰ τὸ ὄπτω τὸ βλέπω.

Ὀσσεία, ἡ μαντεία. ὁσία δὲ ἡ κηδεία, καὶ ταφή.

Ὄσσε πάλιν κλίνειν παρ' Ὁμήρῳ, ἐστὶ τὸ ἀποστρέφειν, καὶ ὡς οἷον εἰπεῖν στραβίζειν. ἐπεὶ καὶ ἐκ τοῦ στρέφειν γίνεται καὶ ὁ στρεβλὸς, καὶ ὁ στραβός. κατὰ τὴν συγγένειαν τοῦ β καὶ τοῦ φ.

Ὄσσε ὅτι διφορεῖται κατὰ γένος δεδήλωται. νικᾷ δὲ ἀρσενικοῦ εἶναι ἀπό τε τῆς πληθυντικῆς γενικῆς, ἣ παρ' Εὐριπίδῃ κεῖται ἐν τῷ, δι' ὄσσων ὄμμ' ἔχω δακρυρροῦν. ἔνθα ζήτει διαφορὰν ὄσσων καὶ ὄμματος, καὶ ἀπὸ τῆς δοτικῆς τῶν πληθυντικῶν. οὔτε γὰρ ἐκείνων ὀσσέων ὀσσῶν, ὡς βελέων βελῶν. οὔτε τοῦτο ὄσσεσιν, ὡς βέλεσιν. ἀλλὰ ὄσσοις, καὶ ὄσσοισιν, ὡς ὄζοις καὶ ὄζοισιν, ὥσπερ διφορεῖται σὺν ἄλλοις τὸ ὄνειδος. ἔστι γὰρ τὸ ὄνειδος τοιοῦτον. καὶ ὁ σκότος, καὶ τὸ σκότος. καὶ ὁ ὄχος, ἐξ οὗ παρὰ Σοφοκλεῖ, τὸ βαρβάροις ὄχοις. καὶ παρ' Ὁμήρῳ, τὰ ὄχεα ἐκ τοῦ ὄχος. ὁμοίως καὶ ὁ ἔλεος καὶ τὸ ἔλεος. κατὰ δέ τινας ὁ θρῆνος καὶ τὸ θρῆνος.

Ὄσσε, ἡ εὐθεῖα τὸ ὄσσος, ὡς ἔρκος, βέλος, τεῖχος. τὰ δυϊκὰ ὄσσεε, κατὰ ἀφαίρεσιν τοῦ ε ὄσσε, ἀπὸ τοῦ ὄσσω τὸ βλέπω. ἐξ οὗ καὶ τὸ κακ' ὀσσόμενος, ἀντὶ τοῦ κακῶς περιβλεπόμενος.

Ὄσσε, δυϊκόν. δηλοῖ δὲ τοὺς ὀφθαλμούς. γίνεται δὲ ἀπὸ τοῦ ὄσσω, τὸ βλέπω. ἐξ οὗ καὶ τὸ κάκ' ὀσσόμενος, ἀντὶ τοῦ κακῶς περιβλεπόμενος. κλίνεται μὲν κατά τινας ἀπὸ τοῦ ὄσσος οὐδετέρου ὀνόματος, ὡς βέλος. οὐ δοτικὴ ἑνικὴ εὕρηται ἐν χρήσει, τῷ ὄσσει, ὡς τῷ βέλει. καὶ ἀκολούθως εὐθεῖα δυϊκῶν ὄσσεε, καὶ κατὰ συγκοπὴν, ἢ ἀποκοπὴν, ὄσσε. ἕτεροι δέ φασιν οὕτως, ἀπὸ τοῦ ὄσσος ἀρσενικοῦ, ὡς πλόος, εὐθεῖα δυϊκῶν ὄσσω, ὡς πλόω, καὶ κατὰ μεταπλασμὸν ὄσσε, ἤγουν κατὰ μεταποίησιν τοῦ ω τελικοῦ τῆς εὐθείας τῶν δυϊκῶν, εἰς τὸ ε. ὅπερ καὶ αὐτὸ τελικόν ἐστι τῆς τῶν δυϊκῶν εὐθείας.

Ὄσσεσθαι, λέξις ποιητικὴ μαντική, ἀπὸ τῆς ὄσσης, ἣν ἀεὶ ἐπὶ μαντείας ὁ Ποιητὴς τίθησιν.

Ὀσσεύεσθαι, διακληδονίζεσθαι. Ἀριστοφάνης Λυσιστράτῃ, ὀσσευόμενος κάθηται.

Ὀσσῆξαι, ἐπιδεῖξαι.

Ὀσσητῆρα, βοηθόν.

Ὀσσίχον, ἀντὶ τοῦ ὅσον Δωριεῖς λέγουσι. Θεόκριτος, ὀσσίχον ἐστὶ τὸ τύμμα, καὶ ἁλίκον ἄνδρα δαμάσδει.

Ὄσσοι, βλέψει, ἴδοι.

Ὀσσόμενος, προσβλέπων. Αἰολικῶς τροπῇ τοῦ πτ εἰς δύο σσ, ὄπτομαι ὄσσομαι.

Ὄσσεις, βλέπεις. καὶ ὄσσετο, ἔβλεπε.

Ὀσσόμενος, ὁ βλέπων. ὀσσόμενος δέ φρεσὶν ὁ φανταζόμενος τὸ μὴ παρὸν, καὶ κατὰ νοῦν ἀποβλέπων, καὶ εἰδωλοποιούμενος. ὡς τὸ Τηλέμαχος κάθηται ὀσσόμενος φρεσὶ πατέρα ἐσθλὸν, ἤγουν ὀνειροπολῶν, ἢ προορῶν, ἢ προμαντευόμενος.

Ὄσσοντο, προέβλεπον, προεώρων.

Ὄσσος, ὁ ὀφθαλμὸς ἐν τῷ Ῥητορικῷ Λεξικῷ. ὅτι ἀρσενικῶς φέρεται ἐν τῇ τραγῳδίᾳ. παρ' Ὁμήρῳ δὲ οὐδετέρως.

Ὀσσυπηρὸν, ῥυπαρόν.

Ὄσσω αἰολικῶς τὸ ὄπτω, ὡς βλέπτω βλίσσω. ὁ ἀποβολῇ τοῦ β καὶ πλεονασμῷ τοῦ ν λίσσω, ὁμοίως ἀπὸ τοῦ πίπτω πίσσω.

Ὀσταθεὶς, ἐξαγκωνισθείς.

Ὀστακὸς, εἶδος καράβου. οἱ δὲ ἀστακὸν λέγουσιν.

Ὀστεολόγος, ὁ συλλέγων τὰ ὀστᾶ.

Ὀστάλαιξ, πλόκαμος, ἕλιξ, βόστρυχος. ἢ τὸ ἐν τοῖς βότρυσι γινόμενον.

Ὀστελίοχος, τόξευμα.

Ὀστάναι, οὕτω πρῴην παρὰ Πέρσαις μάγοι ἐλέγοντο.

Ὄστασαν, ἀνέστησαν.

Ὀσταφὶς, καὶ ἀσταφὶς, πλεονασμῷ τοῦ ο καὶ τοῦ α. σπάνιον δὲ τὸ σταφίς. σχεδὸν γὰρ ἡ χρῆσις, ἀσταφὶς ἔχει.

Ὀστέον, εἴσω, ἕως τοῦ ὀστοῦ.

Ὀστεόφιν, κατὰ προσχηματισμὸν τῆς φι συλλαβῆς. Ὅμηρος Ὀδυσσείας π', φθινύθει δ' ἀμφ' ὀστεόφιν χρώς. ἀντὶ τοῦ περὶ τὰ ὀστᾶ.

Ὀστίνοις αὐλοῖς. ἐπὶ τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. Ἀριστοφάνης, τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.

Ὀστιάριος, ἀξίωμά τι, σημαίνει δὲ τὸν θυρωρόν.

Ὄστλιγγες, αἱ λαμπηδόνες παρὰ τῷ Ἀπολλωνίῳ. σημαίνει δὲ ἡ λέξις καὶ τοὺς βοστρύχους. ὡς τὸ, ἀπ' ὀστλίγγων δ' αἰὲν ἄλειφα ῥέει.

Ὀστοῦν οὐκ ὀστέον. καὶ ὀστοῦ ὀστῷ, ὁμοίως οὐκ ὀστέου καὶ ὀστέῳ, ὁμοίως πληθυντικῶς.

Ὀστοφαγεῖν. ὀστέα ἐσθίειν. καὶ ὀσταφαγεῖν.

Ὀστρακίζομαι, καὶ ἐξοστρακίζομαι, καὶ ὀστρακισμός.

Ὀστρακίνδα, ὄνομα παιδιᾶς παρὰ τῷ Ἀριστοφάνει. θέλει δὲ εἰπεῖν θελήσεις αὐτὸν ἐξοστρακισθῆναι. ὁ δὲ τρόπος τοιοῦτος τοῦ ἐξοστρακισμοῦ· προεχειροτόνει ὁ δῆμος ὄστρακον εἰσφέρων, καὶ ὁπότ' ἂν δόξῃ ἐφράττετο σανίσιν ἡ ἀγορὰ, καὶ κατελείποντο εἴσοδοι δέκα, δι' ὧν εἰσιόντες κατὰ φυλὰς ἐτίθεσαν ὄστρακον, ἐντιθέντες τὴν ἐπιγραφήν. ἐπεστάτουν δὲ, οἵ τε ἐννέα ἄρχοντες, καὶ ἡ βουλή. ἀριθμηθέντων δὲ ὧν πλεῖστα γένοιτο, καὶ μὴ ἐλάττω ἑξακισχιλίων, τοῦτον ἔδει ἕνδεκα ἡμέραις μεταστῆναι τῆς πόλεως. εἰ δὲ μὴ γένοιτο ἑξακισχίλια, οὐ μεθίστατο. οὐ μόνον δὲ οἱ Ἀθηναῖοι ὠστρακοφόρουν, ἀλλὰ καὶ Ἀργεῖοι, καὶ Μιλήσιοι, καὶ Μεγαρεῖς, σχεδὸν δὲ οἱ χαριέστατοι πάντες ὠστρακίσθησαν. Ἀριστείδης, Κίμων τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθεὶς, καὶ διαβληθεὶς πρὸς τοὺς πολίτας. Θεμιστοκλῆς, Θουκυδίδης, Ἀλκιβιάδης, μέχρι δὲ Ὑπερβόλου ὁ ὀστρακισμὸς προελθὼν, ἐπ' αὐτοῦ κατελύθη μὴ ὑπακούσαντος τῷ νόμῳ διὰ τὴν ἀσθένειαν τὴν γεγενημένην τοῖς Ἀθηναίων πράγμασιν ὕστερον. παροξυτόνως δὲ δεῖ τὸ ὀστρακίνδα καὶ πάντα τὰ τοιαῦτα ἐπὶ παιδιᾶς τασσόμενα. διαφέρει δὲ φυγῆς ὀστρακισμὸς, ὅτι τῶν μὲν φυγῆς ἁλόντων, αἱ οὐσίαι δημεύονται. τῶν δὲ ὀστρακισμῷ ἀποστάντων οὐκ ἀφαιρεῖται τὰ χρήματα ὁ δῆμος. καὶ τοῖς μὲν χρόνοις ἐνδείκνυται καὶ τόπος. οἱ δὲ φεύγοντες, οὐδέτερον τούτων ἔχουσιν.

Ὀστρακισμὸς διαφέρει τῆς φυγῆς, καθὸ τῶν μὲν φευγόντων αἱ οὐσίαι δημεύονται. τῶν δὲ ὀστρακισμῷ μεταστάντων οὐκέτι κύριος ὁ δῆμος, καὶ τοῖς μὲν καὶ τόπος ἀπεδίδοτο καὶ χρόνος, τοῖς δὲ οὐδέτερον τούτων.

Ὀστρακὶς, ἀγαλμάτιόν τι Ἀφροδίτης.

Ὀστρακισμὸς, οἱ κακονούστατοι τῷ δήμῳ δοκοῦντες, ἐξωστρακίζοντο καὶ κατεδικάζοντο. ὀστράκοις γὰρ ἐνεγράφετο τὸ ὄνομα τοῦ φευγομένου.

Ὀστρακόδερμοι, οἱ καρκίνοι. καθάπερ καὶ οἱ στρόβυλοι. τουτέστιν οἱ κοχλίαι οἱ θαλάττιοι κήρυκες, ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι. ἐπειδὴ καὶ οἱ στρόβυλοι κώνου ἐπέχουσι δίκην. στρόβιλος δέ ἐστιν, ἡ συστροφή. Ἀριστοφάνης.

Ὄστρακον, ὁπότε τις ἀποθάνοι γάστραν πρὸς τὴν θυρῶν ἐτίθεσαν ἐξ ἄλλης οἰκίας λαμβάνοντες, καὶ πληροῦντες ὕδατος.

Ὀστράκου περιστροφὴ, παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη. Εὐνάπιος, ὥσπερ ὀστράκου μεταπεσόντος ἐπὶ τὸ βέλτιον ἐχώρησε Ῥωμαίοις.

Ὀστράκων ἀπτήν. ἄπτυθον, ἄρτι γυμνόν. ὀστράκων ἀντὶ τοῦ ᾠῶν. τινὲς δὲ κελύφων.

Ὄστρεα, τὰ κογχύλια. Λάκωνες ἄνθος.

Ὄστρεον, μυάκιον, θαλάσσιον.

Ὄστριμον, τόπος ἐν ᾧ αἱ θεριναὶ μοναί. οἱ δὲ, ἔπαυλις.

Ὄσφιν, ἀντὶ τοῦ ὅς ἐν αὐτοῖς, παρὰ τῷ Ποιητῇ.

Ὄσφρομαι, κάλλιον ἢ ὀσφραίνομαι. Λιβάνιος ἐν τῇ μελέτῃ τοῦ φθονεροῦ, ὄσφρονται τῆς εὐδαιμονίας. οἱ Λάκωνες, ὀσφρόμενος δὲ ἐπὶ τοῦ ἐνεστῶτος, ἀντὶ τοῦ ὀσφραινόμενος, καὶ ἐπὶ μέσου ἀντὶ τοῦ ὀσφρησάμενος. ἔστι γὰρ οὐ μόνον ὄσφρω, ἀλλὰ καὶ ὀσφραίνω. οὗ ὁ δεύτερος ἀόριστος ὄσφρον. ὁ μέσος ὀσφρόμην καὶ ὀσφρόμενος, τὸ δὲ ὀσφρησάμενος ἀττικόν.

Ὀσφραινόμενον, τὸ δεχόμενον τὴν ὀσμήν. ὀσφρόμενον δὲ, τὸ πέμπον τὰς ὀσμάς.

Ὄσφρεσθαι, τὸ ὀσφρανθῆναι.

Ὀσφρώμενον, τὸ πέμπον τὰς ὀσμάς. τὸ μὲν διὰ τοῦ ω μεγάλου, ἀδόκιμον παρὰ τοῖς ῥήτορσι, τὸ δὲ διὰ τοῦ ο μικροῦ. καὶ τοῦτο τοῦ δεχομένου τὴν ὀσμήν.

Ὄσφρησις, ἀέρος μετάληψις, ἢ διάκρισις ἀτμῶν. καὶ ὀσφράδιον, ἐπὶ οὐδετέρου.

Ὀσφύος, ψοιᾶς. ῥάχις καὶ τὸ πλησίον τῶν γλουτῶν.

Ὀσφῦς, τὰ κατὰ τὴν ζώνην ἑκατέρωθεν ἰσχία, αἱ κατὰ τὰς ὀσφῦς σαρκώδεις προβολαί. γλουτοὶ, καὶ κιχῶναι τὰ κατὰ τὰ ἰσχία, ἤγουν τὰ περὶ τὴν πυγὴν ὑπερέχοντα.

Ὀσφῦν, οὐδαμοῦ ὁ Ποιητὴς τιτρώσκει, ἐπειδὴ θεοῖς ἱέρωται, ὡς ζωογονίας αἰτία. ἔστι δὲ ἡ λέξις τῶν ἅπαξ εἰρημένων τῷ Ποιητῇ.

Ὄσχαι, κλήματα βοτρύων γέμοντα.

Ὄσχεα, βαλάντια, μαρσύππια, ἢ τὸ τῶν διδύμων ἀγγεῖον. καὶ κλήματα βοτρύων πλήρη.

Ὄσχεος, ὁ περὶ τὰ αἰδοῖα τόπος.

Ὄσχεσφιν, ὀχήμασιν.

Ὄσχη κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον. ταύτην δὲ ὀρεσχάδα ἔνιοι καλοῦσιν.

Ὀσχοφόροι, δύο ἦσαν τῶν γένει καὶ πλούτῳ προεχόντων.

Ὅσῳ, πλέον ἥμισυ, δηλονότι ἀπὸ τοῦ δικαίου τοῦ ὁλοκλήρου, τοῦ ἐξ ἀδικίας, παρ' Ἡσιόδῳ ὅσῳπερ ἂν, ὅσον ἄν. * ἢ τουτέστι τὸ ὀλίγον μετὰ δικαιοσύνης, τοῦ πολλοῦ μετὰ ἀδικίας, πλείονα ἔχει τὴν ὄνησιν.

ΤΟ' Ο'. ΜΕΤΑ' ΤΟΥ' Τ'.

Ὅταν, οἱ μὲν παλαιοὶ διαιροῦσιν, ὅθεν καὶ πνεῦμα καὶ τόνον τιθέασιν. οἱ δὲ νεώτεροι συνημμένως ἐκφέρουσιν. ὥσπερ καὶ τὸ διό, καὶ ἐφ' ᾧ, καὶ τἆλλα. ἔστιν ὅτε μετὰ ἀττικοῦ συντάσσεται. Λιβάνιος, ὅταν εἰδείη.

Ὅταν, παιδεύω, ἢ τύπτω.

Ὅταν σε καιρὸς εἰσάγῃ, ὅταν καιρὸς καλῇ.

Ὅταν, ἐπίρρημα, οὐ δύναται εἶναι. τὰ γὰρ εἰς αν ἐπιρρήματα ἐκτείνεται. οἷον ἄγαν, λίαν, τὸ πάμπαν. τὸ δὲ ὅτ' ἂν, δύο μέρη λόγου εἰσὶν, ὅτε ἂν, ὁμοίως καὶ ὁπότ' ἄν.

Ὅτ' ἄριστον, ὅτι τὸν κράτιστον.

Ὅτε καὶ ὁπότε μετὰ ἀορίστου συντακτέον. ὁπότε ἢ ὅτε ἐγένετο, οἱ Ἀττικοὶ ἀεί ποτε μετὰ εὐκτικοῦ, ὁπότε γένοιτο φασί, καὶ ὅτε ἔλθοι, καὶ ὁ πρότε ὅδοι καὶ τάς γε χεῖρας παγκάλους ἔχειν μ' ἔφη ὁπότε προτείνοιεν δραχμὰς εἴκοσιν. Ἀριστοφάνης.

Ὅτε, καὶ τότε, ἐπιρρήματα χρονικὰ πᾶσι παρ' ἐξ τοῦ παρακειμένου συντάσσονται. οἷον, ὅτε νοῶ, ὅτε ἐνόουν, ὅτε ἐνόησα, ὅτε ἐνενοήκειν, ὅτε νοήσω.

Ὅτε, ἀντὶ τοῦ ποτὲ οἱ ἀρχαῖοι παροξυτόνως φασίν.

Ὅτε, ἀντὶ τοῦ ἐπειδή. Δημοσθένης, ἀντὶ πολ-

Digitized by Google

λῶν ἂν ὦ ἄνδρες Ἀθηναῖοι χρημάτων ἡμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο, τὸ μέλλον συνοίσειν τῇ πόλει, περὶ ὧν νυνὶ σκοπεῖτε. ὅτε τοίνυν τοῦθ᾽ οὕτως ἔχει, οὕτω καὶ ὁπότε καὶ ὅπου καὶ ὁπόταν. καὶ Σοφοκλῆς. ὅτ᾽ οὖν τοιόνδε χρησμὸν εἰσηκάσαμεν, ἀντὶ τοῦ ἐπειδή.

Ὅτε ἔφησθα, ὅτε ἔλεγες.

Ὅτε μὴ Θεὸς αὐτὸς, ὅμοιόν ἐστι τῷ εἰ μὴ Θεὸς αὐτὸς, καὶ ὅτι μὴ Θεός. τριχῶς γὰρ τὸ τοιοῦτον οἱ ῥήτορες φράζουσιν. ἔστι δὲ κοινότερον μὲν τὸ, εἰ μὴ δὲ τόδε γένηται, Ἀττικώτερον τὸ ὅτι μὴ τόδε, καὶ ὅτε μὴ τόδε.

Ὅτε κέν σε, ὅτε ἄν σε.

Ὅτε κράτει προβεβήκει, παρ᾽ Ὁμήρῳ ἐν τῷ π᾽ τῆς Ἰλιάδος, ἀντὶ τοῦ ἐπειδὴ πολλῶν κρατῶν ὑπερέχει. οὐ γὰρ χρονικόν ἐστιν ἐπίρρημα τὸ ὅτε, ἀλλὰ δύο μέρη λόγου. τὸ μὲν ὅ, ἀντὶ τοῦ διότι. τὸ δὲ ἐφεξῆς παραπλήρωσις, καὶ παρὰ Ἀριστοφάνει τὸ ὅτε ποτὲ μὲν μόνον χρόνον δηλοῖ, ποτὲ δὲ καὶ χρόνον καὶ αἰτίαν.

Ὅτε μ᾽ ὤνατο, ὅτε κατεμέμψατο καὶ ἐξεφαύλισεν.

Ὅτεο, ἐκ τοῦ ὅτου γέγονεν, ὁμοίως τῷ ὁτέοισιν.

Ὁτέοισι, καὶ ὅτινας, οὐκ ἄν τις λογογράφων ἐπιλέξηται. πλεονάζει τὸ κατ᾽ ἀρχὴν ο, ὡς καὶ ἐν τῷ ὅτῳ, καὶ ὅτων ἀντὶ τοῦ ὧν τινων καὶ ὅτισι, καὶ ἀντὶ τοῦ οἷς, ὃ πλεονασμῷ τοῦ ε γίνεται ὁτέοισιν, ὡς τοτέοισι, καὶ ὡς τὸ ὁτέῳ ζώουσιν, ἀντὶ τοῦ ᾧ τινι.

Ὁτέων, δύο ἔχει πλεονασμούς. τὸ γὰρ κοινὸν, τῶν, ἀντὶ τοῦ ὧν τινων, τοιοῦτο καὶ τὸ ὁτέοισι, καὶ ὅτεω.

Ὅτι, ἀντὶ τοῦ λίαν. οἷον, ὅτι μάλα. τὸ μὲν γὰρ ὅτι ταυτὸν δύναταί ποτε τῷ ὡς. τὸ δὲ ὡς, ἐστὶν ὅτε ἀντὶ τοῦ λίαν. τὸ τοίνυν ὅτι, σημαίνει ἂν τὸ λίαν. ὥσπερ ποτὲ καὶ τὸ ὡς. τοιούτῳ τρόπῳ καὶ ἐν Οἰδίποδι τῷ Τυράννῳ Σοφοκλῆς ἔφη. τὸ ὅπως τάχιστα, ἀντὶ τοῦ λίαν ταχέως μεταλαβὼν τὸ ὅπως εἰς τὸ ὡς, αὐτὸ δὲ εἰς τὸ λίαν.

Ὅτι, καὶ οὕτω, ἐπιρρήματα βεβαιωτικὰ, ὁριστικοῖς συντάσσονται, οἷον λέγει ὅτι ἥξει. οὔπω δὴ κρίνει. τό γε μὴν ὅτι καὶ πρὸς εὐκτικὸν εἰ περὶ παρῳχημένου, τουτέστι διηγηματικῶς. οἷον ἠγγέλλετο ὅτι γένοιτο, καὶ εἴη, καὶ ἔσοιτο.

Ὠτίδος, τοῦ ὀρνέου. ὁ δὲ Ἀριστοτέλης, ὠτίδα διὰ τοῦ ω μεγάλου γράφει. Ξενοφῶν δὲ ἐν τῷ πρώτῳ Κύρου ἀναβάσεως, ὀτίδα διὰ τοῦ ο μικροῦ.

Ὅτι μάλιστα, λίαν, πάνυ, πλέον, σφόδρα, ἄγαν.

Ὅτι μάλιστα λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ εἰπεῖν λίαν.

Ὅτι μὴ, ὅτι οὐχί.

Ὅτινας, οὕστινας.

Ὅ, τι οἶσθα, ὅπερ οἶδας.

Ὅτι πέρ ἐστιν ὄφελος ἐν τῇ πόλει, Ἀριστοφάνης. τουτέστιν εὐγενεῖς.

Ὅτι, ταυτόν. παρὰ τῷ Ἀριστοφάνει ἐν τῷ ὅτι περιττεύει τὸ ο Ἀττικῶς. τὸ γὰρ σημαινόμενον, ἀντὶ τοῦ τί. ταυτὸν ἐν γῇ, ἐν ἐρωτήσει, ἐν σφηξίν.

Ὅτινα ἔργα, ποιητική ἐστι καὶ αὐτὴ λέξις, ἀντὶ τοῦ τινά. πλεονασμῷ τοῦ ο, ὁμοίως τῷ ὅτῳ, καὶ ὅτοισι, καὶ ὁτέοισι, καὶ ὅτεο ἀντὶ τοῦ οὗ τινος. οὐ κοινότερον. τὸ ὅτου. ᾧ ἰσοδυνάμον καὶ τὸ ὅου, ἀντὶ τοῦ οὗ. οἷον, ὅου κράτος ἐστὶ μέγιστον.

Ὅτις, ἀντὶ τοῦ ὅστις κεῖται ἐνίοτε παρὰ τοῖς ποιηταῖς.

Ὀτλεύει, πονεῖ, κακοπαθεῖ.

Ὀτλεύουσιν, ὑπομένουσιν, ὀτλησέμεν, ὑποφέρειν.

Ὀτλήβων, ὁ ἄθλιος.

Ὄτλοι, οἱ πλόκαμοι.

Ὄτλος, ἡ κακοπάθεια, καὶ ὀτλεύω, τὸ κακοπαθῶ.

Ὄτλος, ὁ καρπεριικός. ἢ καὶ ὁ μόχος.

Ὀτοβεῖς, θορυβεῖς.

Ὄτοβος, ψόφος. διὰ τὸ ἀσαφὲς τῆς λέξεως, ἤγουν τοῦ λέγειν, ἢ διὰ τῶν ὤτων βοή.

Ὄτοβος, ἄλιμος θάλασσα, θορυβώδης.

Ὅτοι γενεῇ πατρώϊόν ἐστι, ψόγος ἐστὶ Τηλεμάχου, ὡς μηδὲν ἄλλο δῆθεν ἔχοντος ἀγαθὸν πρέπον εἰς Βασιλείαν, ἀλλὰ μόνον τὸ εἶναι γένους βασιλικοῦ.

Ὀτοτύζειν, λέγειν, θρηνεῖν, βοᾶν.

Ὅτου καὶ ὅτῳ, ἀντὶ τοῦ οὗ τινος καὶ ᾧ τινι.

Ὅτου, οἱ Ἀττικοὶ ἀντὶ ὑποτακτικοῦ ἄρθρου τῆς γενικῆς τοῦ οὗ, καὶ ἀντὶ τοῦ ὑποτακτικοῦ τῆς δοτικῆς τοῦ ᾧ, τὸ ὅτου καὶ τὸ ὅτῳ λέγουσι. συντιθέντες τὰ προτακτικὰ ἄρθρα τῷ τοῦ, καὶ τῷ τῷ, μετὰ τοῦ ο. τούτοις ἀκολουθήσαντες οἱ ποιηταὶ, καὶ ἐπὶ τῶν πληθυντικῶν τοῦτο ποιοῦσι. λέγουσι γὰρ ὅτων, ἀντὶ τοῦ ὧν τινων. καὶ ὁτέοις ἀντὶ τοῦ οἷς τισιν. ἐπὶ δὲ τῶν αἰτιατικῶν οὐδέ ποτε τὸ τοιοῦτον γίνεται, οὔτε παρὰ τοῖς Ἀττικοῖς. οὔτε παρὰ τοῖς Ποιηταῖς. καὶ ὅτων ἀντὶ τοῦ ὧντινων, παρὰ Ἡσιόδῳ μόνῳ εὕρηται ἐν χρήσει.

Ὅτου χάριν, καὶ τῷ ἦλθες δεῦρο, ἀττικὴ σύνταξις.

Ὄτρα, ἡ τοῦ ἀλέκτορος οὐρά.

Ὀτραλέως, καὶ αἶψα παρ᾽ Ὁμήρῳ, ἐκ παραλλήλου τὸ αὐτὸ λαλοῦσι, καὶ ἑρμηνεύουσιν, ὀτραλέον καὶ ὀτρηρὸν θεράποντα.

Ὄτρεα, ἡμίονος.

Ὀτρεία, πόλις.

Ὀτρεὺς, καὶ Μύγδων, Βασιλεῖς Φρυγίας.

Ὀτρηρὴ ταμίη, ἡ σπεύδουσα τὸν οἶκον.

Ὀτρῆος, ὄνομα κύριον. οὗ ἡ εὐθεῖα Ὀτρεύς.

Ὄτριχας, συγκέκοπται ἐκ τοῦ ὁμότριχας. ψιλοῦται δὲ διὰ τὸ ἐπαγόμενον τ, ὡς καὶ τὸ ὀτρύνω καὶ ὀτρεὺς καὶ ὄττοβος, καὶ τὰ ὅμοια.

Ὀτρηρὸς, ταχὺς, δραστικὸς, σπουδαῖος. παρὰ τὸ ὀτρύνω, ὀτρυρὸς, καὶ τροπῇ τοῦ υ εἰς η, ὀτρηρὸς, ὁ δι᾽ ἑαυτοῦ παρωξυμμένος πρὸς τὸ ἐνεργεῖν. ἢ δι᾽ ἑτέρων. ὁ δὲ Φίλων λέγει, ὅτι παρὰ τὸ τρῶ τὸ φοβοῦμαι, τρέω, ῥηματικὸν ὄνομα, τρηρὸς, ὡς φαίνω φανερὸς, σφάλω σφαλερὸς, καὶ τήκω τηκερός. καὶ κράσει τῶν δύο εε εἰς η, γέγονε τρηρὸς, ὁ δειλός. ἀφ᾽ οὗ καὶ παρώνυμον τρήρων. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀτρηρὸς, ὁ μὴ δειλὸς, ἀλλὰ δραστικὸς καὶ ἐρρωμένος τὴν γνώμην. καὶ κατὰ μετάθεσιν τοῦ α εἰς ο, ὀτρηρός. παρὰ δὲ τὸ τρῶ, γίνεται τρεὺς, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀτρεύς.

Ὀτρυγηφάγος. τρύγη, ὁ δημητριακὸς καρπός. ἐξ οὗ τρυγηφάγος, καὶ πλεονασμῷ τοῦ ο ὀτρυγηφάγος.

* Ὀτρυγίας, παρὰ τῇ γραφῇ. τὸ ἔσχατον τῆς ὀργῆς.

Ὀτρυντὴρ, κήρυξ, κελευστὴς, σαλπιγκτήρ.

Ὀτρυντὺς, παρακέλευσις, προτροπή.

Ὀτρύνει, παροξύνει, κελεύειν, σπεύδειν, παρορμᾶν.

Ὀτρύχη, χόρτος, καλάμη.

Ὀτρύνω, ὄρω τὸ διεγείρω, ὀρύνω, ὀρυνῶ. καὶ πλεονασμῷ τοῦ τ ὀτρύνω. σημαίνει τὸ ἐπισπεύδω, καὶ παρορμῶ, καὶ διεγείρω. καὶ ὀτρύνει, παροξύνει.

Ὅττεο με χρὴ, ἤγουν οὗ ἐμοὶ χρεία, κατὰ ἀντίπτωσιν. ἢ καὶ ἄλλως, ὅπερ εἰς ἐμὲ χρεία, τουτέστιν ἐμὲ χρή.

Ὀττεία, ἡ μαντεία.

Ὄττεσθαι, κληδονίζεσθαι.

Ὅττι, ἀντὶ τοῦ ὅτι, κατὰ διπλασιασμόν. ἔστι δὲ διπλασιασμὸς, ὅταν ἔν τινι τῶν συμφώνων τὸ αὐτὸ σύμφωνον διπλασιάζεται. οἷον ὅσος ὅσσος, πόσος πόσσος. ἔστι δὲ τοῦτο τῶν Δωριέων καὶ τῶν Ἰώνων.

Ὅττι τάχιστα, ἐπίτασιν ἔχει τὸ ὅτι. καὶ οὕτω δὲ ἔχων μετὰ ὑπερθετικοῦ τίθεται. καὶ παρὰ τῇ κοινῇ συνηθείᾳ. ὅτι πλεῖστον δύνασαι, ἀττικὴ σύνταξις. ὁμοίως παρὰ τοῖς Λατίνοις, ὡς Τερέντιος. ὅτι δυνήσῃ, τὸ δῶρον ἡμέτερον ῥήμασι κοσμήσεις.

Ὄττοβος, ὅμαδος, ἦχος, ψόφος. διὰ τὸ ἀσαφὲς τῆς λέξεως, ἤγουν τοῦ λέγειν. ἢ ἡ διὰ τῶν ὤτων βοή. ὄτοβος ἄπληστα ὀρώρει.

Ὀττοτοῖ, θρηνῶδες ἐπίφθεγμα, καὶ ἀντὶ τοῦ φεῦ.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Υ.

ΟΥ δίφθογγον εἰς ω τρέπουσι Δωριεῖς. οἷον τὰς μούσας μώσας, τὸν οὐρανὸν ὠρανὸν, καὶ τὸν κοῦρον κῶρον λέγοντες.

Οὗ, ἀντὶ τοῦ ὅπου. Θεόκριτος, οὗ λέγεται τὰν Κύπριν ὁ βουκόλος δηλονότι γνῶναι, καὶ αἰσχῦναι.

Οὗ ἕθεν, ἑαυτοῦ.

Οὐαὶ, φυλαί.

Οὐ, ἀπόφασιν πολλάκις περιττὴν οἱ Ἀττικοὶ λαμβάνουσιν. Ὅμηρος, οὐ μὰ γὰρ Ἀπόλλωνα Διΐφιλον μὴ νύ τοι οὐ χραίσμῃ σκῆπτρον. κἂν τῇ συνηθείᾳ δὲ πολλάκις ἀποφάσεσι χρώμεθα. ὡς τὸ ἀπαγορεύω σοι μὴ ποιεῖν, ἀντὶ ἀπαγορεύω σοι ποιεῖν.

Οὐάραι, ἡμεῖς, Κύπριοι.

Οὐ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει, οὐ κατάρας πλήρης ἐστίν. οὔαρον δὲ ἔλαιον, Κύπριοι.

Οὖας, σημαίνει τὸ οὖς. παρὰ τὸ αὔω τὸ φωνῶ, γίνεται αὖας, καὶ τροπῇ τοῦ α εἰς ο, οὖας. τὸ τῆς φωνῆς ἀντιληπτικὸν αἰσθητήριον, καὶ κλίνεται οὔατος.

Οὔατα, ὦτα.

Οὐβατὸν, οὐ πορεύσιμον.

Οὐ βρῶσις, λιμός. ἢ οὐ βρώτους.

Οὐ γάρ πώποτ᾽ ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους. ἐνταῦθα δηλοῖ ὁ Ποιητὴς ὅτι πολέμου ἀφορμὴ τοῖς παλαιοῖς, ὡς ἐπιτοπολὺ τὸ βοῦς ἢ ἵππους ἀπελαῦσαί ποθεν, ἢ καρπὸν γῆς ἐπιδραμόντας δηλήσασθαι, ἤγουν βλάψαι.

Οὐ, ἀντὶ τοῦ οἱ χρῶνται Ἀττικοὶ, ὡς ὅταν λέγωσι τοὔγκλημα, ἀντὶ τοῦ τὸ ἔγκλημα. τοὔμπαλιν, ἀντὶ τοῦ τὸ ἔμπαλιν.

Οὔατα, ἰωνικὴν ἐπένθεσιν ἔχει τοῦ υ. εὐθεῖα γὰρ αὐτοῦ ἑνικὴ ὄας κατὰ Ἡρωδιανὸν, ὡς φόας. διὸ καὶ συναιρεθέντα εἰς φῶς, καὶ ὦς, ἃ δὴ μόνα ἐν οὐδετέροις εἰς ως λήγει, διὰ τοῦ τ κλίνεται.

Οὔατε, ῥῖνας τε ἀμήσαντες, ἀντὶ τοῦ ἐκτεμόντες, καὶ ῥᾷον ἀποκόψαντες. ὡς εἰ καί τι φυτὸν ἀμώμενον.

Οὐ γάρ οἴω σε Θεοῦ ἀέκητι γενέσθαι, τετραφέμεν τε. φασί τινες λέγειν τὸν Ποιητὴν, ὡς οὐκ οἴομαι νόθον σε εἶναι τῇ Πηνελόπῃ, οἷα τῶν νόθων μὴ θείως γενομένων, διὰ τὸ τῆς μίξεως οὐκ ἔνθεσμον. ὅθεν φασὶ τεθεῖσθαι καὶ τὸ νόθος ὄνομα, παρὰ τὴν νο στέρησιν καὶ τὸ θεῖον. ἵνα ᾖ νόθος, ὁ τοῦ θειοτέρου ἐστερημένος. ὅ ἐστι τῆς ἐξ ἐννόμου γάμου γεννήσεως.

Οὐ γὰρ μοῦσιν, ἀλλ᾽ ἀκουστέα, τὸ τέλειον. οὐ γὰρ, ἀλλά μοι ἐστὶν ἀκουστέα, ἀντὶ τοῦ πάνυ γάρ. Ἀριστοφάνης βατράχοις, καὶ ἐν ἱππεῦσιν. ἄπιθ᾽ οὐ γάρ. ἀλλὰ τοῦ παραθέντος ἡ χάρις, ἀντὶ τοῦ καὶ γὰρ, τοῦ παραθέντος ἡ χάρις.

Οὐ γὰρ, ἢ ἴσον τὸ οὐ γὰρ δή. οὐ γὰρ δὴ ὑγιαίνει, οὐδ᾽ οὐδέ.

Οὐδ᾽ ἀεσίφρων, οὐδὲ ἀνόητον.

Οὐδ᾽ ἅλα δοίης παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ οὐδὲ ἅλας, τὸ ἐπὶ ξενίᾳ διδόμενον, ἵνα λέγῃ παροιμιωδῶς, ὅτι οὐδὲ τὸ εὐτελέστατον ἂν δοίης. ὅτι δὲ τὸν ξένιον ἅλα θεῖον ὁ Ποιητὴς οἶδεν, ἐδήλωσεν ἐν ταῖς λιταῖς. ἔνθα ἐγράφη καί τινα συντεθημένα ἐκ τοῦ ἁλός. νῦν δὲ μνηστέον, καὶ ὅτι καθὰ κρέας ἁλίπαστον. καὶ ἰχθὺς, οὕτω καὶ χωρίον ἁλίπαστον, αὐτὸ μέντοι ἐξ ἐπιβολῆς ποτε πρὸς τὸ μὴ φύειν καρπόν. ὅθεν φασὶ καὶ οἱ δεινῶς δυσθεράπευτοι τὰ σώματα, ἁλίσπαρτοι κωμικώτερον ἐκαλοῦντο. λέγουσι δέ τινες παρὰ τὸν ἅλα καὶ νεαλὲς, τὸ ἁλσὶ νεωστὶ πεπασμένον. οἱ δέ γε περὶ προσφάτου καὶ νεαροῦ, καὶ νεαλοῦς γράφοντες, καὶ ἑτεροῖόν τι τὸ νεαλὲς οἴδασι. πρόσφατον μὲν κρέας φάμενοι παρὰ τὸ φάσαι, ἤγουν φονεῦσαι, ὅθεν καὶ φάσγανον. νεαρὸν δὲ ὕδωρ, τοῦ ἀρύειν ἐγκειμένου τῇ λέξει. νεαλὲς δὲ τὸ νεωστὶ ἑαλωκὼς, μνηστέον ἐνταῦθα καὶ ἀνδραπόδων ἀλωνήτων, ἅπερ ἁλὸς ὠνοῦντό τινες, οἱ ὡς εἰκὸς κατὰ τὸν Ποιητὴν, οὐκ εἴδεισαν θάλασσαν. καὶ διὰ τοῦτο πολλοῦ ἠξίουν τὸ ἅλας, ὡς καὶ τὸ τιμιώτατον τὸν ἄνθρωπον ἅλμης, οὕτω πεπηγυίας ἀντιδιδόναι. καὶ τοιοῦτον

τον μὲν τὸ οὐδ' ἄλα δοίης, ὡς γράφει Ἀρίσταρχος.

Οὐδαῖοι, χθόνιοι, ἐπίγειοι.

Οὐδαμινός, οὐδενὸς λόγου ἄξιός ἐστι, βραχύς, ἀτελής.

Οὐδαμῶς, οὐδέποτε, οὐδέν.

Οὐδ' ἂν εἷς, καὶ μηδ' ἂν εἷς. δοκιμώτερον λέγειν, ἢ οὐδεὶς ἂν καὶ μηδεὶς ἄν. Ἀριστοφάνης ἐν Πλούτῳ, οὐδ' ἂν εἷς ἐπιθύσειεν. ὡσαύτως καὶ μὴ ἂν ἕνα, μηδένα τῶν πάντων. καὶ εἷς ἂν οὐδεὶς τῶν πάντων, ἢ μηδένα τῶν πάντων, καὶ μηδεὶς τῶν πάντων. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ οὐδετέρου.

Οὐδᾶν, μάτην γῆν.

Οὐδ' ἀπὸ παλαιφάτου δρυός, τῆς πάλαι φημιζομένης, ὅτι ἐξ αὐτῆς ἐγίνοντο ἄνθρωποι. τινὲς δὲ γράφουσι παλαιφάτου, ἐπειδὴ παλαιόν ἐστι φυτὸν ἡ δρῦς.

Οὐδ' ἀπόνητον, οὐδὲ ὄνησιν ἔλαβεν.

Οὗ, δασυνόμενον μὲν δηλοῖ ἄρθρον ἀρσενικόν, καὶ οὐδέτερον ὑποτακτικόν. καὶ σύναρθρον ἀντωνυμίαν τρίτου προσώπου, ἐμοῦ, οὗ.

Οὖδας, αὐτὸ μὲν λέγεται κατ' εὐθεῖαν ἄκλιτον ὄν. τοῦ δὲ οὖδος εὐθεῖα μὲν οὐχ εὕρηται παρὰ τῷ ποιητῇ. δοτικὴ δὲ αὐτοῦ πολλαχοῦ, ὡς ἀνωτέρω ἐν τῷ οὔδει ἐνισκίμψαντε καρήατα. ὥστε τὸ μὲν οὖδας οὐκ ἔχει πλαγίας, τὸ δὲ οὔδει ὠρφάνισται οἷον μῆτος, εὐθείας, καθ' ὁμοιότητα τοῦ γυνή. ὅπερ οὐδ' αὐτὸ διοδεύει ταῖς πτώσεσι, καὶ τοῦ γυναικός, οὗπερ εὐθεῖα οὐ πρόσκειται.

Οὐδὲ ἕ, φημί, οὐδὲ αὐτὸν λέγω.

Οὐδ' ἐλεαίρει, οὐδὲ ἐλεεῖ.

Οὐδ' ἐμάτησεν, οὐδ' ἐλήρησεν.

Οὐδέμεν, οὐδεμίαν.

Οὐδὲν ἀπὸ τρόπου, ἀντὶ τοῦ οὐκ ἀπεικός.

Οὐδ' ἐν δέρματι, ἀντὶ τοῦ γυμνὸς ὑπερβολικῶς.

Οὐδένεια, ἡ ἀπανθρωπεία.

Οὐδένες, οἱ οὐδαμινοὶ τῶν ἀνθρώπων.

Οὐδενείας, ἀτελείας.

Οὐδ' ἦν ἔνθ' ἀφίκεαι οὐ σύ γ' ἔγωγε ἀλέγω, περιττὸν συνήθως καὶ Ὁμήρῳ κατὰ τοὺς Ἀττικοὺς ἡ οὐ ἄρνησις.

Οὐδὲ ἕν, ἀντὶ τοῦ οὐδέν, Ἀττικῶν ἐστιν.

Οὐδεὶς οὐδοστισοῦν, μηδεὶς μηδοστισοῦν, οὐδὲν οὐδοτιοῦν, καὶ μηδὲν μηδοτιοῦν, οὐθὲν οὐθοτιοῦν, καὶ μηθὲν μηθοτιοῦν, παρὰ τοῖς λογογράφοις. παρὰ δὲ τοῖς Ποιηταῖς, οὔτις καὶ μήτις ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ, καὶ οὔτι καὶ μήτι ἐπὶ οὐδετέρου.

Οὐδείς, οὐδεμία, οὐδέν. καὶ μηδεὶς μηδεμία μηδέν, παρὰ τοῖς κοινοῖς. παρὰ τοῖς Ποιηταῖς δὲ οὔτις, καὶ οὔτι ἐπὶ οὐδετέρου.

Οὐδενὸς ἄξιος ὀδεῖνα λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ ἄτιμος ὀδεῖνα.

Οὐδεὶς λέγει τοῦτο, λέγει τοῦτο οὐδείς, ταυτὸ σημαίνει. Ἀττικοὶ γὰρ διπλασιάζουσι τὴν ἀπόφασιν.

Οὐδέ μας, οὐδὲ φυήν, οὔτε φρένας, οὔτε τι ἔργα. ἐπαινεῖται ὁ Ποιητὴς ἐν ἑνὶ στίχῳ πᾶσαν γυναικὸς ἀρετὴν ἐμπεριλαβών, τὴν τοῦ σώματος εὐσυνθεσίαν, τὸ εὐφυές, τὸ συνετόν, καὶ τὸ ἐργατικόν. εὐφυὲς δέ φαμεν, τὸ δεξιὸν τοῦ ἤθους καὶ ἐπαγωγόν. οὐ στερούμενον τὸ κάλλος δὲ ἔλεαρ ἐστι, κατὰ τοὺς παλαιούς, ἄτερ ἀγκίστρου νηχόμενον.

Οὐδέν, καὶ οὐθέν, τὴν μετάθεσιν τοῦ δ καὶ τοῦ θ, τῶν Αἰολέων εἶναί φασιν. ὅθεν ἐξουδενῶ ἐξουθενῶ, μήδω μήθω, δάσος θάσος.

* Οὐδένεια, ἡ ἀπανθρωπεία.

Οὐδὲν μᾶλλον, ἀντὶ τοῦ οὔ, τῆς Ἀττικῆς διαλέκτου χαρακτήρ.

Οὐδὲν πρὸς ἔπος, ἀντὶ τοῦ ὡς ἔτυχεν, ἐκ τοῦ μηδενός.

Οὐδὲν ἱερόν. παροιμία λεγομένη ἐπὶ τῶν πλέον ἀξιούντων πρὸς τὸ συλλαβέσθαι καὶ ἐπαρκεῖν καὶ ἑαυτοῖς καὶ τοῖς γνωρίμοις. φασὶ δὲ Ἡρακλέα πρῶτον, θεασάμενον τὸν Ἄδωνιν εἰπεῖν, οὐδὲν ἱερόν. ἴσως ἦν ἀνίδρυτον, διὰ τὸ πρὸς μηδὲν εἶναι χρήσιμον.

Οὐδενόσωρα, προπαροξύτονον μέν, ὡς τὸ κυνόσουρα δηλοῖ τὰ οὐδεμιᾶς ὥρας, ὅ ἐστι φροντίδος ἄξια. ὤραν γάρ, τὸ φροντίζειν, καὶ φυλάσσειν. ἔνθεν τὸ ὀλιγωρεῖν, καὶ πολυωρεῖν. Ἀπίων δέ, οὐδενὸς φυλακτικά.

Οὐδ' ἐν σελίνοις. παροιμία ἐπὶ τῶν μηδὲ κατὰ τὸ ἐλάχιστον διηνυκότων, οἷς ἐπέθεντο. ἐν γὰρ τοῖς λεγομένοις παρακηπίοις, τὰ σέλινα καὶ τὰ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν ἡ παροιμία οὕτως, οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος. καθάπερ οὐδὲ οἱ εἰς τοὺς κήπους εἰσιόντες, ἐν τοῖς σελίνοις εἰσίν.

Οὐδένυτον, οὐδέποτον.

Ὀδένυπως, οὐδαμῶς.

Οὐ δεόντως, παρανόμως.

Οὖδεος, ἐδάφους.

Οὐδέ τη ἐστιν, ἐλλειπτικῶς ἔχει, καὶ ὡς οἷον εἰπεῖν μυστικῶς. ἵνα λέγῃ, οὐδέ τῃ ἐστὶ δέον, ἢ πρέπον, ἢ ὅσιον, ἢ θεοφιλές, ἢ τι τοιοῦτον.

Οὐδέποτε, καὶ οὐκέτι, καὶ οὔπω, καὶ οὐδεπώποτε, διαφέρει. τὸ μὲν γὰρ οὐκέτι καὶ οὐδέποτε πρὸς μέλλοντα ὁριστικὸν ἀποδίδοται, οἷον οὐκέτι καὶ οὐδέποτε ποιήσω. ὡς καὶ Ἀριστοφάνης, οὐδέποθ' ἡμέρα γενήσεται. καὶ παρὰ Δημοσθένει, οὐκέτι γὰρ φανεῖταί τις χρηστός, καὶ τὰ δίκαια λέγων. τὸ δὲ οὔπω καὶ οὐδεπώποτε, ἐπὶ παρωχημένου τάττεται. οἷον οὔπω ἦλθε, καὶ οὐδεπώποτε ἐποίησα. ὡς καὶ Ἀριστοφάνης, οὐκέτ' ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε. καὶ παρὰ Ξενοφῶντι, τοσαῦτα μὲν εἶπεν, οὔπω δ' ἐφαίνετο χρηστὸς εἶναι. καὶ παρὰ Συνεσίῳ, ἕως ἡμέρα τε ἦν, καὶ τὰ δεινὰ οὔπω παρῆν. τὸ δὲ οὔπω, καὶ ἐπὶ παρωχημένου, καὶ ἐπὶ μέλλοντος καὶ ἐπὶ ἐνεστῶτος τάττεται.

Οὐδέποτε ἴσα ἔσεται, ἀστείως εἴρηται, ἀντὶ τοῦ ἀεὶ ἐλαττωθήσεται. εἰ γὰρ μὴ ἴσα, πολλῷ μᾶλλον οὐ μείζονα ἐστι, ἄρα ἐλάττονα.

Οὐδέποτ' ἴσχει ἡ θύρα, παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων. μέμνηται Ἀριστοφάνης, καὶ Εὔπολις, καὶ Καλλίμαχος. ἴσχει δέ, ἀντὶ τοῦ κωλύει, ἢ ἀποκλύει.

Οὐδεπώποτε, μόνον ἐπὶ παρωχημένου, ὥσπερ τοὐναντίον τὸ εἰσαεί, καὶ αὖθις ἐπὶ μέλλοντος. εἰσαεὶ ἔσται κίνησις, αὖθις διδάξω. οὔπω, μετὰ παρωχημένου καὶ ἐνεστῶτος συντάσσεται. οἷον οὔπω γίνεται, οὔπω γέγονε. καὶ ἀναιρεῖ τὸ παρεληλυθός. εἰσάγει δὲ τὸ μέλλον, οἷον οὔπω ἐστὶ καιρός, ἀντὶ τοῦ παρὰ τοῖς κοινοῖς ἀκμήν, οὐκ ἔστι καιρός, ἀλλὰ ἔσται δηλονότι. τὸ δὲ οὐκ ἔτι, τὸ μέλλον ἀναιρεῖ. οἷον οὐκ ἔτι ἐστὶ καιρός, ἀντὶ τοῦ ἀπὸ τοῦ νῦν οὐκ ἔστι καιρός, ἀλλὰ παρῆλθε δηλονότι. συντάσσεται οὖν τὸ οὔπω μετὰ τοῦ παρωχημένου. τὸ δὲ οὐκ ἔτι, μετὰ μέλλοντος.

Οὐδ' ἐπινυκτίδος, οὐδὲ ἐπὶ μιᾶς νυκτός, οὐδὲ πρὸς μίαν νύκτα.

Οὐδ' ἐπηρώτων, οὐδ' ἠρώτων.

Οὐδ' ἐρέοντο, οὐδ' ἀνεπυνθάνοντο.

Οὐδέτερον, οὐδὲ ἓν τῶν δύο.

Οὐδὲ τὰ τρία Στησιχόρου γινώσκεις, ἐπὶ τῶν ἀπαιδεύτων καὶ ἀμούσων.

Οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης. ἀνοίκειον ἐλευθέροις μέχρι κόρου ἐσθίειν, καὶ ὡς οἱ παλαιοί φασι δουλοπρεπές. τὰ γοῦν σεμνὰ πρόσωπα ὁ Ποιητὴς ἐσθίειν φησίν, ἕως οὐκ ἔτι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης, καὶ ἕως πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο, ἤγουν ἐπλήρωσαν τὴν τοῦ φαγεῖν καὶ πιεῖν ἔφεσιν. ἕξεντο γὰρ τὸ ἐπλήρωσαν.

Οὐδέ τι πάμπαν, ἰσόν ἐστι τῷ οὐδαμῶς, οὐδ' ὅλως.

Οὐδέ τις ἡμῶν, ταυτόν ἐστι τῷ ἡμῶν οὐδείς.

Οὐδ' ἐξύπνησε κρόκην, οὐδ' εἰργάσατο.

Οὐδὲ φυήν, οὐδὲ τὴν φύσιν.

Οὐδ' ἠβαιόν, ἀντὶ τοῦ οὐδ' ὅλως. καθ' ὁμοιότητα τοῦ ἧττον, ἀντὶ τοῦ οὐδαμῶς, καὶ τοῦ ἠβαιόν, οὕτω παρὰ Σοφοκλεῖ. καὶ τοῦ ὀλίγον, οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.

Οὐδ' ἥμαρτεν, οὐκ ἀπέτυχεν.

Οὐδηναιός, οὐ χρόνιος.

Οὐδ' ἥντιναοῦν, οὐδὲ τὴν τυχοῦσαν.

Οὐδητοσοῦν, μὴ λέγε. ἀλλὰ δοκίμως οὐτινοῦν.

Οὐδηρόν, ἀντὶ τοῦ τάχιστα, ὁ τρόπος ἀντίφρασις.

Οὐδῆσαι, πρίασθαι, ἀποδόσθαι.

Οὐδήπω, οὐδαμῶς.

Οὐ διεκρίθη, οὐκ ἀμφέβαλεν, οὐκ ἐδυσπίστησεν.

Οὐ δίκαον, οὐ δίκαιον.

Οὐδ' ἴκταρ βαλεῖ, εἴρηται δὲ κατὰ γλῶτταν, ὥσπερ τὸ διωλύγιον. ἀντὶ τοῦ, οὐδὲ μικρὸν ἐξισάζει.

Οὐδιπανοῦ, ἢ οὐτιδανοῦ, εὐτελοῦς, οὐδενὸς λόγου ἀξίου.

Οὐ διωσόμεθα, οὐκ ἀποβαλούμεθα, οὐκ ἀπορρίψομεν.

Οὐδ' ὅγε πρίν, οὐδὲ οὗτος καὶ πρίν.

Οὐ δοκέουσιν, οὐ προσδοκῶσιν, οὐ νομίζουσιν.

Οὐδ' ὅλως, οὐδὲ τοῦ τυχόντος.

Οὐδ' ὀνομήνω, οὐδ' ὀνομάσω.

Οὐδός, βαθμός, βατήρ, ὁ πρὸ τῆς θύρας βαθμός, καὶ ὁδὸς ἐπένθεσιν ἔχει τοῦ υ.

Οὐδ' οἴοιτο, οὐδ' ἂν ἐνοήθη.

Οὐδ' ὁσίη, ἀντὶ τοῦ οὐδ' ὅσιον, ἐλελεῖφθαι δοκεῖ. λείπει γὰρ τὸ βουλή, ἢ τοιόνδε τι, ἵνα λέγῃ, ὡς οὐκ ἔστιν ὁσία δίκη, ἢ βουλή, ἢ πρᾶξις. παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ.

Οὐδ' ὁτιοῦν, οὐδὲ τὸ σύνολον.

Οὐδραία, ὑδρεία, μέτρον τι, Ἀττικοῦ μέτρου ἥμισυ.

Οὐδραίνει, παρακαθαίρει. Λάκωνες.

Οὐδύεται, ἐρίζει.

Οὐδ' ὑπεραῖσαν, ταυτόν ἐστι τῷ κατ' αἶσαν.

Οὕνεκεν, διότι ἕνεκεν.

Οὗ ἔθεν, οὐδαμῶς αὐτῆς.

Οὖθα, ὁδός, ἢ ὁδός.

Οὖθαρ ἀρούρης, τὸ πιότατον, καὶ τροφιμώτατον, ὡς εἰπεῖν ὁ μαστὸς τῆς γῆς.

Οὔθαρα, ἐπ' ἰάσκου, ὁ κατὰ τὸ οὖθαρ τόπος. οἱ δὲ περὶ ὃν στρέφεται ὁ χορός, ἢ ὁ τροχός.

Οὔθατα, οἱ μαζοὶ τῶν προβάτων.

Οὔθατα βόσκει, αἶγας.

Οὐθείς, οὐδὲ εἷς.

Οὐθείς, διὰ τοῦ θ εἰ καὶ Χρύσιππος, καὶ οἱ ἀμφ' αὐτὸν οὕτω λέγουσι, σὺ δὲ ἀποτρέπου λέγειν. οἱ γὰρ ἀρχαῖοι διὰ τοῦ δ λέγουσιν.

Οὐ θέμις, οὐ δίκαιον.

Οὐ θέμις, ἀντὶ τοῦ οὐ δυνατόν, καθὰ καὶ ἀλλαχοῦ ἡρμήνευται, ἢ ἀντὶ τοῦ ἀθέμιτον.

Οὐθέν, οὐδέν. ἔστι καὶ ὄνομα οὐδείς.

Οὐθένεια, μηδαμινή, εὐτελής.

Οὐθενείας, ἀθενείας.

Οὐθήν, οὐ μήν, οὐ δηλαδὴ πάντως.

Οὐθὴν μέν, πόσοι τόνοι; δύο. διατί, ἡνίκα εὑρεθῇ ἐγκλιτικὰ ἐφεξῆς ἀλλήλων κείμενα, πολλαὶ ἔσονται καὶ παράλληλοι αἱ ὀξεῖαι.

Οὐθ' ὕεται, οὔτε ἡλιοῦται, ἐπὶ τῶν ἔξω πάσης φροντίδος ὄντων.

Οὐΐτον, τὸ ὑπ' ἐνίων αἰτόν.

Οὐκ ἀθεεί, οὐκ ἄνευ Θεοῦ, ἢ οὐ χωρὶς θαύματος.

Οὐ καθέστηκεν, οὐ νήφει, μαίνεται.

Οὐκ ἀγεννῆ, οὐκ ἀνίσχυρα, ἀταλαίπωρα.

Οὐκ αἰδεσθείς, οὐκ αἰσχυνθείς.

Οὐκ αΐεις, οὐκ ἀκούεις.

Οὐκ ἄκοντες, οὐχ ἑκόντες.

Οὐ κάκιστος, ἀλλ' ἄριστος, ἐντελῶς ῥηθὲν σαφηνείας χάριν. ἐξ οὗ δῆλον, ὅτι καὶ ἐν τῷ οὐ γάρ μιν ἀφαυρότατος βάλεν Ἀχαιῶν, χρὴ προσεννοεῖν, τὸ ἀλλ' ὁ ἀνδρειότατος. ἄλλως γὰρ καὶ ὁ οὐκ ἀφαυρότατος, καὶ ὁ οὐ κάκιστος, οὐκ αὐτόθεν ἁπλῶς νοοῦσι τὸν ἄριστον, καὶ τὸν ἀνδρειότατον.

Οὐκ ἀλαπαδνόν, οὐκ ἀσθενές.

Οὐκ ἀλεγίζω, οὐ λόγον ἔχω.

Οὐκ ἀλέγοντες, οὐ φροντίζοντες.

Οὐκ ἀλέγων, παρ' Ὁμήρῳ ὄνομα κύριον, ὡς εἴ τις εἴποι, ὁ μηδενὸς ἀλέγων. οὕτω καὶ Ὀδυσσεύς που ἐξ ἀποφάσεως τὸν πλαστὸν Οὖτιν παρήγαγεν.

Οὐκ ἄλκαρ, οὐ βοήθεια.

Οὐκ ἄλλως ποιεῖται, ἀντὶ τοῦ οὐ μάτην.

Οὐκ ἁλώσιμα, οὐκ εὐάλωτα.

Οὐκ ἄμοιρος ἦν, οὐκ ἐκτὸς μοίρας ἦν.

Οὐκ ἀμώμητος, οὐκ ἄψεκτος, οὐχ ὑγιής.

Οὐκ ἂν δή, οὐδαμῶς ἄν.

Οὐκ ἀναλίσκεται, οὐκ ἐκλείπει.

Οὐκ ἀνδάνουσιν, ἀκατάκριτον.

Οὐκ ἀνέχομαι, οὐ καταδέχομαι.

Οὐκ ἀνίει, οὐκ ἀφίει, οὐκ ἐπιτρέπει, καὶ οὐκ ἀνήσει τὰ αὐτά.

Οὐκ ἄντι, οὐδαμῶς ἄν.

Digitized by Google

Οὐκ αἰνήσει, οὐκ ἀφήσει.
Οὐκ ἀξιοχρέως, οὐχ ἱκανῶς.
Οὐκ ἀξιῶ, οὐχ ὑπολαμβάνω, οὐκ ἄξιον νομίζω.
Οὐκ ἀπάδοντα, οὐκ ἀλλότριον.
Οὐκ ἀπαδοῦμεν, οὐκ ἀπαρνούμεθα.
Οὐκ ἀπαναίνεται, οὐκ ἀποστρέφεται.
Οὐκ ἀπεικὸς, οὐκ ἄτοπον, ἄξιον, ὀφειλόμενον, πρέπον.
Οὐκ ἀπέχρη, οὐκ ἤρκει.
Οὐκ ἀπηξίωσεν, ἠξίωσεν.
Οὐκ ἀπολείπεται, οὐκ ἀποστερεῖται.
Οὐκ ἀπολιβάζεις, ἀντὶ τοῦ οὐκ ἐς κόρακας καὶ λιβύην ἀποφθερῇ. ἀπὸ τοῦ λιβὰς, ὅ ἐστιν ἡ σταγὼν, ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. Ἀριστοφάνης, οὐκ ἀπολιβάξεις ὦ κάκιστ' ἀπολούμενε.
Οὐκ ἀπορηθήσεται, οὐ χρήζει.
Οὐκ ἀπορρυήσεται, οὐκ ἀποπεσεῖται.
Οὐκ ἀποφώλια, οὐκ ἀδίδακτα, οὐ μάταια.
Οὐκ ἀπόχρη, οὐκ ἀρκεῖ.
Οὐκ ἀποσκαντάσεις, οὐκ ἀποπαίξεις.
Οὐκ ἀπώναντο, οὐκ ὠφελήθησαν.
Οὐκ ἄσημοι, ἐπιφανεῖς, οὐκ ἀφανεῖς, οὐκ ἄδοξοι.
Οὐκ ἀσκίῳ, οὐκ ἀσκίῳ μὲν τ' ἄρ ἐμορμολύττετ' αὐτοὺς, εἰ τὰ δ' ἔστ' ἀληθῆ. παροιμία ἐπὶ τῶν καὶ τὰ κενὰ δεδοικότων. ἐπεὶ κενὸς ὁ ἀσκός.
Οὐκ ἄστεκτος, οὐ φορητὸς, οὐκ ἀβάστακτος.
Οὐκ ἀσυντελὲς, οὐκ ἄχρήσιμον.
Οὐ κατὰ κόσμον, οὐ κατὰ τρόπον.
Οὐ καταναρκήσω, οὐ κατοκνήσω.
Οὐ καταςυμφανὲς, δῆλον.
Οὐ καταβενεῖς, οὐ καταβιάσῃ, οὐ καταβαρήσῃ.
Οὐ κατενάρκησα, οὐ κατεβάρησα.
Οὐκ ἄωρον, οὐ κατὰ καιρὸν, παρὰ καιρόν.
Οὐκ ἐᾷ, οὐ συγχωρεῖ.
Οὐκ ἔασαν, οὐκ ἀφῆκαν.
Οὐκ ἔασκεν, οὐκ εἴα.
Οὐκ ἔγρυζεν, οὐκ ἐφθέγξατο.
Οὐκ ἐδέξατο, οὐ προσήκατο.
Οὐκ ἐῶ, οὐ δυνατόν ἐστι.
Οὐκ ἐθέλεσκον παρ' Ὁμήρῳ, ἀντὶ τοῦ οὐκ ἐδύναντο. συνήθες τῷ Ὁμήρῳ οὕτω λαμβάνειν τὴν τοιαύτην λέξιν. τὸ δὲ ἀμυνέμεν οὐκ ἐθέλουσιν, ἄλλως εἴρηται ἐν Ὀδυσσείᾳ.
Οὐκ ἐθέλω παρ' Ὁμήρῳ, ἀντὶ τοῦ οὐ δυνήσομαι, καὶ πολλαχοῦ ἐπὶ τοιαύτης σημασίας ἡ λέξις κεῖται.
Οὐκ εἴασκεν, οὐκ ἤφιεν, ἐκώλυσεν.
Οὐκ εἴκουσαν, οὐχ ὑποχωροῦσαν.
Οὐκ εἰσῄεις, οὐκ εἰσήρχου.
Οὐκ εἰσμένισαν, οὐκ ἐχάρησαν.
Οὐκ εἰῶ, οὐκ ἐῶ.
Οὐκ ἐκάθισεν, οὐκ ἐνέμεινεν.
Οὐχ ἑκὼν, οὐ βουλόμενος.
Οὐκ ἐκνεομένως, οὐ προσηκόντως.
Οὐκ ἔλαθες, οὐκ ἐλάνθανες.
Οὐκ ἐλελήθεις, οὐκ ἔλαθες.
Οὐκ ἐμβαρεῖ, οὐ φρονεῖ, ἀπὸ τῆς ἐμβάρου φρονήσεως.
Οὐκ ἐμφορούμενοι, οὐ πληρούμενοι.
Οὐκ ἔνναιμος, οὐ δίκαιος, οὐκ ἐναποδώσομαι, οὐ καθοπλισθήσομαι.
Οὐκ ἐνδέχεται, οὐ δυνατόν ἐστιν.
Οὐκ ἐνδώσει, οὐ χαυνώσει.
Οὐκ ἐνῆν, οὐκ ἠδύνατο.
Οὐκ ἐνήνοχά σοι, οὐκ ἀγήοχα, οὐκ ἤνεγκά σοι.
Οὐκ ἐνὸν, οὐ δυνατόν.
Οὐκ ἐξήρκεσεν, οὐκ ἀντέχει πρὸς τοὺς τρόπους ἡμῶν.
Οὐκ ἐξὸν, οὐ προσῆκον, οὐ πρέπον.
Οὐκ ἔξωροι, οὐκ ἄκαιροι, οὐκ ἄκληροι.
Οὐκ ἐπέοικεν, οὐ πρέπον ἐστίν.
Οὐχ ἕπεται, οὐκ ἀκολουθεῖ.
Οὐκ ἐπέπυστο, οὐκ ἀκηκόει.
Οὐκ ἐπιεικὲς, οὐ μέτριον.
Οὐκ ἐπιγλωττίσομαι, οὐ βλασφημήσω.
Οὐκ ἐπιλήσομαι, οὐκ ἐπιλαθήσομαι.
Οὐκ ἐπιτεύξεται, οὐκ ἐπιτυχὴς ἔσται.
Οὐκ ἐρηρεισμένος, οὐκ ἐστηριγμένος.
Οὐκ ἔσθενον, οὐκ ἴσχυον.
Οὐκ ἔσθ' ὅπου, ἀντὶ τοῦ οὐδαμοῦ, τουτέστι τρόπος, ὅπως.

Οὐκ ἔσθ' ὅτε, ἀντὶ τοῦ οὐδέποτε, τουτέστιν οὐκ ἔστι χρόνος ὅτε.
Οὐκ ἔσθ' ὅπως, ἀντὶ τοῦ οὐδαμῶς. Ἀττικῶς.
Οὐκ ἐστάλασεν, οὐκ ἐτόλμησεν.
Οὐκ ἔστερξεν, οὐχ ὑπέμεινεν.
Οὐκ ἔστιν ὅπως, ἀντὶ τοῦ οὐκ ἔστι τρόπος, ὅπως.
Οὐκ ἔσφαλεν, οὐκ ἐκινδύνευσεν.
Οὐκ ἔτι, τὸ μέλλον ἀναιρεῖ. οἷον οὐκ ἔτι ἐστὶ καιρὸς, ἀντὶ τοῦ, ἀπὸ τοῦ νῦν οὐκ ἔστι καιρὸς, ἀλλὰ παρῆλθε δηλονότι. συντάσσεται οὖν τὸ οὔπω, μετὰ παρῳχημένου. τὸ δὲ οὐκ ἔτι, μετὰ μέλλοντος.
Οὐκ ἔστι καὶ οὐδέποτε, πρὸς μέλλοντα ὁριστικὸν ἀποδίδονται, οἷον οὐκ ἔτι, καὶ οὐδέ ποτε ποιήσω. ὡς καὶ Ἀριστοφάνης, οὐδέποθ' ἡμέρα γενήσεται, καὶ παρὰ Δημοσθένει, οὐκ ἔστι γὰρ τῇ πόλει φανεῖταί τις χρηστὸς καὶ τὰ δίκαια λέγων.
Οὐκ ἐτὸς, οὐκ ἀλόγως, ἀλλὰ δικαίως παρὰ τῷ Ἀριστοφάνει, ἢ ἀντὶ τοῦ οὐκ ἀληθῶς. ἐπιρρηματικὸν γάρ ἐστιν, ἀντὶ τοῦ ἐτῶς ἀπὸ τοῦ ἐτέως συνηρημένον.
Οὐκ ἐτυρώθη, οὐκ ἐπαισχύνθη.
Οὐκ ἐτῶς, οὐκ εἰκότως, οὐ μάτην.
Οὐκ εὐδιάθετος, οὐ δυναμένη εὐχερῶς γήμασθαι. ἢ εὐμαρῶς γίνεσθαι, οὐκ εὐθυσκόπου, οὐκ ἀκριβῶς, ἢ ὀρθῶς βλέποντος.
Οὐκ ἐφέξεις, οὐ παύσῃ.
Οὐκ ἐφέπετο, οὐκ ἠκολούθει.
Οὐκ ἐφίενται, οὐκ ἐπιθυμοῦσιν.
Οὐκ ἐφικνεῖται, οὐ φθάνει.
Οὐκ ἔχαδεν, οὐκ ἐχώρησεν.
Οὐχ ἥκιστα, οὐ μάλιστα.
Οὐκ ἤμειψεν, οὐκ ἤλλαξεν.
Οὐκ ἠσμένισαν, οὐκ ἐχάρησαν.
Οὐκί, οὐχί.
Οὐ κιγχάνει, οὐχ εὑρίσκει.
Οὐκ ἱκνεομένως, ἀντὶ τοῦ προσηκόντως, οὐ καθηκόντως λαμβάνεται παρ' Ἴωσιν.
Οὐκ ὄθεται, οὐκ ἐπιστρέφεται.
Οὐκ οἰστὰ, οὐ φορητά.
Οὐκ ὀλεῖσθαι, οὐ φθαρήσεσθαι.
Οὐ κομῶ, οὐ μεγαλοφρονῶ.
Οὐκ ὄναρ, ἀλλ' ὕπαρ. ἐσθλὸν καὶ παροιμιῶδές ἐστιν, ἐπὶ τῶν ἐμφανῶν ἀγαθῶν. ἀντίκειται δὲ, τὸ ὄναρ καὶ τὸ ὕπαρ. καὶ γίνεται ὄναρ μὲν παρὰ τὸ ὂν καὶ τὸ αἴρειν. ὕπαρ δὲ, παρὰ τὸ ὕπνον καὶ τὸ αἴρειν. ἵνα εἴη ὕπαρ μὲν ὕπνου ἄρσις διὰ τὴν ἐγρήγορσιν, ὡς οἱονεὶ ὕπαρ. ὄναρ δὲ, παρὰ τὴν τοῦ ὄντος ἄρσιν. φαντασία γὰρ καθ' ὕπνους καὶ οὐκ ἐν ὀντότητι.
Οὐκ ὀνησιφόρον, οὐκ ὠφέλιμον.
Οὐκ ὀρθῶς τὸ κολλυβιστής. πάλιν οὐδὲν ἡμᾶς μολωίων διαπαύεται ὁ Μένανδρος, τὸν ἀργυραμοιβὸν, κολλυβιστὴν λέγων. ὁ μὲν γὰρ νόμισμα κόλλυβος, δόκιμον. ὁ δὲ κολλυβιστὴς, παρασεσημασμένον.
Οὔκουν, παροξυτόνως μὲν ἀποφαντικὸν, ἴσον τῷ οὐχὶ οὖν. οἷον οὔκουν ἀπιστεῖν δεῖ. περισπωμένως δὲ, συλλογιστικός ἐστι σύνδεσμος, καὶ σημαίνει ἀπόφασιν.
Οὔκουν, ἥκιστα, οὐ μὲν οὖν, οὐδαμῶς, οὐδ' ὁτιοῦν, οὐδ' ὅλως, ταυτά. οὐκοῦν δὲ περισπωμένως, τίθεται ὡς αἰτία, ἀντὶ τοῦ διὰ τοῦτο.
Οὐκ ὤετο, οὐκ ἐγένετο.
Οὐ κωφεῖ, οὐ βλάπτει, οὐ πηροῖ.
Οὐλάδες, πῆραι, θύλακοι.
Οὐ λαίνει, οὐ χολάζει.
Οὐλαμηφόρος, ὁ ὀλεθρίαν, ἢ οὐλαμὸν καὶ τάξιν στρατιωτικὴν ἐμποιῶν.
Οὐλαμὸς ἀνδρῶν, ἤγουν τὸ πύκνωμα καὶ σύστρεμμα τοῦ λαοῦ. Ὅμηρος, ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν, ἀπὸ τῆς σαρκικῆς οὐλώσεως, ὥς φασιν οἱ παλαιοὶ, ἢ ἀπὸ τῆς οὐλότητος τῶν συνεστραμμένων τριχῶν. οὐλαμὸς δὲ τάξις συνεστηκυῖα ἐκ τεσσαράκοντα ἀνδρῶν. ἡ γὰρ φάλαγξ, τάξις ἀπὸ ἑκατὸν εἴκοσι ἀνδρῶν. καὶ οὐλαμὸς, ἡ μάχη.
Οὐλαφορεῖ, νεκροφορεῖ.
Οὔλαφος, νεκρός.
Οὐλὰς, κριθάς. ἐνίοτε δὲ καὶ τὸ μαλακὸν, ὅ ἐστι τὸ ἁπαλόν. ὅθεν καὶ τὰ ἐπάνω τῶν ὀδόντων, πάνυ μαλακὰ ὄντα, οὖλα καλεῖται. καὶ ἡ γαστήρ.
Οὖλε, ἐν τῷ ω' τῆς Ὀδυσσείας, ἀντὶ τοῦ ὑγίαινε, τουτέστιν ὅλος καὶ ὑγιὴς ἔσο. ἐκ δὲ τοῦ τοιούτου ῥήματος, καὶ ἡ τοῦ τραύματος οὐλὴ, ὁλότης οὖσα καὶ αὐτοῦ σώματος. ἅπαξ δὲ εἴρηται, καὶ τὸ οὖλε.
Οὐλεῖν Ἴωνες. ὑγιαίνειν κοινοί. ὅθεν καὶ τὰ ὑγιῆ τῶν τραυμάτων, οὐλὰς λέγουσι.
Οὖλη βαρύνεται, ἀπὸ τοῦ οὖλος. λόγῳ τοιῷδε, κατὰ Ἀππίωνα καὶ Ἡρόδωρον. τὰ εἰς λος δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, τῷ ο δὲ παραληγόμενα, ἢ μόνῳ, ἢ ἐν διφθόγγῳ, βαρύνεται. οἷον πόλος, στόλος, κοῖλος. οὕτω καὶ οὖλος. ἐξ οὗ, καὶ τὸ οὔλη δ' ἐπενήνοθε λάχνη. καὶ οὐχ ὡς ἡ κοινὴ συνήθεια, οὖλος ἄνθρωπος καὶ οὐλὴ κόμη. τὸ θολὸς, ἐπὶ σημασίας, πρὸς ἀντιδιαστολὴν τοῦ ἐπὶ κτισμάτων, ὀξύνεται.
Οὐλὴ, τὸ ὑγιανθὲν τραῦμα, παρὰ τὸ οὐλῶ τὸ ὑγιαίνω. οὖλέ τε καὶ μέγα χαῖρε, οἱονεὶ ἡ τὴν ὅλην ἀναλαβοῦσα σάρκα.
Οὐ λήγουσαν, οὐ παυομένην.
Οὔλη μὲν χλαῖνα βαρύνεται, πρὸς ἀντιδιαστολὴν τοῦ μονογενοῦς ὀξυτόνου. ἤγουν τοῦ οὐλὴ ἡ κριθή. καὶ οὐλὴ, τὸ ὑγιασθὲν τραῦμα.
Οὔλην χλαῖναν, ἢ τὴν συνεστραμμένην λέγει Ὅμηρος ἐν Ὀδυσσείας τ', καὶ εὔκλωστον, ἢ τὴν ὅλην καὶ ὑγιῆ, ἢ τὴν ἁπαλήν. τινὲς δὲ τὸ οὔλην συνάπτοντες μετὰ τοῦ πορφυρέην φασὶ καὶ ἀμφαδηλοῦν τὴν ὁλοπόρφυρον. οὖλον γὰρ πάντως που καὶ τὸ ὅλον.
Οὐλιᾶσθε, ὄνησίν τινα ἔχετε.
Οὐλίοιεν, ἐν ὑγείᾳ φυλάσσοιεν.
Οὔλιος ἀστὴρ κατά τινας, ὁ τοῦ κυνὸς ὡς φθοροποιὸς, διὰ τὰ ὑπὸ κύνα ὀλέθρια καύματα. οἱ δὲ κομήτην ἀστέρα τοῦτον νοοῦσιν, ὃς φθορὰν ὑποσημαίνει φανείς. οἱ δὲ τὸ οὔλιον, αὔλιον γράφουσιν, ὅ ἐστιν ἕσπερον, ὃς δηλαδὴ εἰς αὖλιν ἄγει τὰ ζῶα, τουτέστιν αὐλίζεσθαι ποιεῖ.
Οὔλιος, ὁ Ἀπόλλων, ἰατρὸς γὰρ ἦν. σημαίνει δὲ καὶ ὀλέθριος.
Οὐλοβάται, οἱ κολοβοί.
Οὐλόθυμος, σχέτλιος, δεινόθυμος.
Οὐλοθυσία, τελεία θυσία.
Οὖλοι, οὖλα δράγματα.
Οὖλοι τάπητες, ἢ οἱ δασεῖς καὶ τριχωτοὶ, ὁποῖα τὰ κοινῶς νῦν λεγόμενα ἐπάρχια. ἢ εὐείλητοι καὶ εὔκλωστοι. ὅθεν καὶ οὐλόθριξ. ἢ καὶ ἄλλως εὐείλητοι, ὅ ἐστιν εὐδίπλωτοι.
Οὐλοκάρηνος, ὁ παρὰ Ἡροδότῳ οὐλόθριξ. καὶ ἔστιν ἐκεῖνο τοῦ παρ' Ὁμήρῳ σαφέστερον. τοῦτο γὰρ διὰ τοῦ ὅλου τὸ μέρος ἔφρασεν. οὐ γὰρ τὸ κάρηνον οὖλον, ἀλλ' αἱ περὶ τὸ κάρηνον τρίχες.
Οὐλομελίη, καθόλου, συλλήβδην. ἄλλοι ἐπὶ τῆς ἀθρόας τῶν ὅλων φύσεως. τὸ γὰρ ὅλον οὖλον λέγει.
Οὐλομενὲς, οὐλοτελὲς, ὑγιὲς, ὁλόκληρον.
Οὐλόμενε, ὀλέσθαι ἄξιε, ἢ ὀλέθρου αἴτιε.
Οὐλομένη μῆνις, παρὰ τὸ μένος καὶ τὸ ὀλοὸν συντίθησιν ὁ Πορφύριος τὸ οὐλομένην καὶ τὴν οὐλομένην μῆνιν. ἔστι γάρ φησιν, οὐλόμενος μὲν, καὶ ὁ ὀλοὸν ἔχων μένος, ἤγουν σθένος. τουτέστιν ὁ φθαρτικὴν ἀρετὴν κεκτημένος. ἀρετὴ γὰρ τὸ σθένος. οὐλομένη δὲ μῆνις, ἡ ἐξ ὀλοοῦ μένους γεγενημένη. οὐ γὰρ αὐτὸ εἶχεν ὀλοὸν μένος, ἀλλὰ ὁ Ἀχιλλεὺς ὁ χρησάμενος αὐτῇ. οὐ δοκεῖ δὲ ἀκριβῶς ἔχειν ἡ ἀπόδοσις αὕτη. λέγεται γὰρ καὶ οὐλόμενον γῆρας, καὶ οὐλομένη πενία. καὶ οὐλόμενον Πάριν ὁ Εὐριπίδης φησίν. ἐφ' ὧν οὐκ ἔχει χώραν οὐδεμίαν ταῦτα τὰ σημαινόμενα. τῷ μὲν γὰρ Πάριδι, σθένος οὐδεὶς μαρτυρεῖ. πενία δὲ καὶ γῆρας πῶς ἂν εἴη κατὰ ταῦτα οὐλόμενα. εἰ δὲ ἐπὶ τούτων βιάσαιτό τις τὸν λόγον μεταφέρων τὸ σημαινόμενον ἐπὶ τῆς βλαπτικῆς ἁπλῶς ὁρμῆς καὶ δραστηριότητος, ἀλλ' ἐπὶ τοῦ Πάριδος, κατ' οὐδεμίαν ἁρμόσειεν ἂν μηχανήν. ἔστι δὲ ταῦτα μᾶλλον, ὡς ἔοικεν ὀνόματα μετοχικὰ, ἀπὸ τοῦ ὀλόμην, καὶ δηλοῖ τὸν ἀπωλείας ἄξιον, καὶ τὴν ἀπωλείας ἀξίαν. ὀνόματα δὲ εἴρηται μετοχικὰ, ἀλλ' οὐ μετοχαί. ἐπεὶ εἰ ἦσαν μετοχαὶ, ἔμενον ἐπὶ τοῦ σημαινομένου

τῆς

Digitized by Google

τῆς μετοχῆς. καὶ ἦν ἂν οὐλόμενος μὲν ὁ φθαρεὶς, οὐλομένη δὲ, ἡ φθαρεῖσα. νῦν δὲ ἐπεὶ μετέπεσον ἐφ' ἕτερον σημαινόμενον, ἀπίστησαν καὶ τοῦ μετοχαὶ εἶναι.

Οὐλομένην, παρ' Ὁμήρῳ, Πορφύριος ὄνομα σύνθετον λέγει ἐκ τοῦ ὀλοὸν, καὶ τοῦ μένος, οἱονεὶ τὴν ἔχουσαν οὖλον, ἤτοι ὀλέθριον μένος. ἕτεροι δὲ, μετοχὴν μέσου ἀορίστου δευτέρου· ἵνα λέγῃ παθητικῶς οὐλομένην, Ἰωνικῇ ἐπενθέσει τοῦ υ, τὴν ὀλομένην καὶ ἀξίαν ὀλέσθαι. ὅπερ καὶ οὐλομένη καὶ ἀπολυμένη λέγεται κατὰ χρόνον μέσου ἀορίστου δευτέρου. ἄλλοι λέγουσιν, ὅτι ἐνέργειαν σημαίνει ἐπαγαγὼν ὁ Ποιητὴς, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε, λέγων μῆνιν οὐλομένην, οὐχ ὅτι αὐτὴ ἔπαθέ τι, ἀλλ' ὅτι μάλιστα ἐνήργησεν.

Οὖλον ἄρτον ἑλὼν, παρ' Ὁμήρῳ ἐκάλεσάν φασιν ἄρτον οὕτω, διὰ τὸ κατὰ στρογγύλον. ἐπειδὴ τῶν σχημάτων ὁ κύκλος ἀπήρτισται, καὶ ἔστι τέλειος. ὅπερ ἴσως ἐμφαντικὸν τὸ οὖλον ἄρτον ἑλὼν, ὅπερ ἐστὶν ὅλον, ἤγουν τέλειον.

Οὖλον ὄνειρον λέγει Ὅμηρος, τὸν ὀλέθριον. δηλοῖ δὲ καὶ τὸν προσηνῆ, καὶ τὸν ὁλόκληρον, ὡς ἐν Ὀδυσσείᾳ φησὶν, οὖλον ἄρτον ἑλών. δηλοῖ δὲ καὶ τὴν τῶν τριχῶν συστροφήν. οὖλον δὲ ὄνειρον οὐκ αὐτὸν ὀλέθριον ὄντα, ἀλλὰ τὸν ἐπ' ὀλέθρῳ πεμπόμενον. ἢ οὖλον τὸν ὑγιῆ, ὥσπερ λέγεται οὐλὴ τραύματος. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ὑγιαίνειν, ὡς ἐν ἐκείνῳ, οὖλέ τε καὶ μάλα χαῖρε, Θεοὶ δέ τοι ὄλβια δοῖεν.

Οὐλὸς, ὁ συνεστραμμένας ἔχων τὰς τρίχας.

Οὖλος, σημαίνει τέσσαρα, τὸν ὁλόκληρον, τὸν προσηνῆ, τὸν μαλακὸν, καὶ τὸν ὀλέθριον.

Οὖλος Ἄρης, ἀντὶ τοῦ ὀλετὴρ, δεινὸς, καὶ ταραχώδης.

Οὐλοχόϊον, ἀγγεῖον εἰς ὃ αἱ οὐλαὶ ἐμβάλλονται πρὸς ἀπαρχὰς τῶν θυσιῶν.

Οὐλοχύται, ὡς μὲν ἓν ἀνθ' ἑνὸς εἰπεῖν, τὰ προθύματα. οὐλοχύτας γὰρ πρὸ τῆς θυσίας κατεχειρίζοντο. καὶ ὥς φησιν ὁ ποιητὴς, προεβάλλοντο, ἤγουν προὐθεντο, προέρριψαν. εἰ δὲ χρὴ καὶ πλατύτερον λέγειν, οἱ οὐλοχύται οὐλαὶ ἦσαν, τουτέστι κριθαὶ μετὰ ἁλῶν, ἃς ἐπέχεον τοῖς βωμοῖς πρὸ τῆς ἱερουργίας. ἐποίουν δὲ τοῦτο, ἢ πολυπλήθειαν καρπῶν οἰωνιζόμενοι, ὧν ἀπαρχαὶ, οἷον οὐλαὶ αὗται προσήγοντο. ἢ ἄλλως, διὰ τὸ πρὸς θεοὺς εὐχάριστον ὑπὲρ τῆς εἰς τὸ ζῆν εὐεργεσίας, ἐπεὶ τοῦ βαλανηφαγεῖν καὶ τῆς τῶν δρυκάρπων ἀπαλλαγέντες τροφῆς, εἰς ἥμερον βίον τὸν ἐκ σπορίμων μετέπεσον. διὰ τοῦτο γὰρ καὶ κριθὰς προεβάλλοντο σπέρμα ἥμερον. ἃς πρώτας κρατεῖ λόγος εἰς χρῆσιν ἐλθεῖν, τοῖς πάλαι ποτὲ ἀπαλλαγεῖσι τοῦ βαλανηφαγεῖν. διὸ καὶ κριθαὶ ἐκλήθησαν. διότι αὐτῶν εὑρεθεισῶν, διεκρίθησαν τῶν ἀλόγων ζώων οἱ ἄνθρωποι. ἐντεῦθεν δὲ καὶ ὁ κρίβανος, οἱονεὶ κριθῆς βαῦνος. καλοῦσι δὲ βαῦνον μέχρι καὶ ἐς ἄρτι Πελοποννήσιοι τὸν τοῦ πυρὸς τόπον, ὃν καὶ παριστίαν λέγομεν ἰδιωτικῶς. ἐκεῖθεν δὲ καὶ παρὰ τῷ Κωμικῷ κριβανωτοὶ ἄρτοι, δηλαδὴ ὀπτηθέντες κριβάνῳ. ὃν καὶ διὰ τοῦ λ κλίβανόν φασιν. εἰς εὐχάριστον οὖν μνήμην τῆς παλαιᾶς βρώσεως, αἱ οὐλαὶ προυβάλλοντο, καὶ τὴν ἀρχὴν ὅλαι, ἤτοι σῶαι ἠσθίοντο, πρὶν ἢ γενέσθαι τὰ τοῦ ἀλετοῦ. διὸ οὐλαὶ λέγονται κατὰ πρόσληψιν τοῦ υ, ὅλαι ἄλλως ὀφείλουσαι λέγεσθαι. ὅθεν καὶ ὁπηνίκα μὴ παρῆσαν οὐλαὶ, τουτέστι κριθαὶ, ἀντὶ κριθῶν δρυὸς φύλλα προεβάλλοντο, ἀνατρέχοντες καὶ οὕτω πρὸς παλαιοτάτην μνήμην διαίτης, καὶ ἀναμιμνησκόμενοι τῆς ἐκ τῶν δρυοκάρπων παλαιφάτου διαίτης. τινὲς δὲ τῶν ὕστερον, οὐ συνθέτως οὐλοχύτας, οὐλὰς δὲ μόνον φασίν. ἔστι δὲ καὶ ἄλλως συντομώτατον φράσαι περί τε οὐλοχυτῶν, καὶ τῆς διοίνου σπονδῆς, ὅτι διττῆς οὔσης ἐν ἡμῖν τροφῆς ἀναγκαιοτάτης, ξηρᾶς τε, ἥτις ἐν σπέρμασι θεωρεῖται, καὶ καρποῖς. ἔτι δὲ καὶ τῆς ὑγρᾶς τε θεωρουμένης, πρώτως μὲν ἐν ὕδατι, δευτέρως δὲ ἐν οἴνῳ, ἀπαρχὰς οἱονεὶ τῆς ὅλης ζωογόνου τροφῆς. μετὰ δὲ τὰς οὐλοχύτας αἱ θυσίαι, καὶ ἡ ἐν αὐταῖς κρεωφαγία. διότι καὶ μετὰ τὴν τῶν ἀναγκαίων τροφῶν εὕρεσιν, ἡ τῆς κρεωδαισίας πολυτέλεια, καὶ τὸ τῆς τρυφῆς ἐπείσακτον εὕρηται.

Οὐλοχύτας, οἱ μὲν τὰ κανὰ, ἐπεὶ δι' αὐτῶν φέρεται τὰ πρὸς θυσίαν. οἱ δὲ τὰς κριθὰς, ἐπειδὴ οὐλὰς τοῖς βωμοῖς ἐνέβαλλον.

Οὑμαὶ, ὑμέτεραι.

Οὑμὰ τὸν, μὰ τόν.

Οὐ μάλα ἐγγὺς, δηλοῖ πολλὰ μακράν.

Οὑμὰν, ἐμήν.

Οὐ μάτην, οὐκ ἀληθῶς. Μένανδρος ἐν ὀργῇ.

Οὐ μεθεὶς, οὐκ ἐῶν.

Οὐμ' εἴας, οὐ συνεχώρεις με.

Οὐ μέλλον αὐτῷ, οὐ φροντιστέον.

Οὐ μὲν δὴ, ἀντὶ τοῦ ὅμως δὴ, ἥκιστα δή.

Οὐ μὲν οὖν, οὐδαμῶς. οὐ μὴν δὲ οὐδαμῶς.

Οὐ μέν πως, ναῦ ἐστιν ἀπὸ δρυός. οὐδ' ἀπὸ πέτρης, ὑπόληψιν εἶχον οἱ παλαιοὶ, ὡς ἐκ δρυῶν καὶ πετρῶν, τῶν ἀνθρώπων γεγονότων.

Οὐ μεταδὴν, οὐ μετὰ πολὺν χρόνον.

Οὐ μεταμελεῖ, οὐ μετανοεῖς.

Οὐ μετρίως, μεγάλως.

Οὐ μὴ προῶμαι, οὐ μὴ παραχωρήσω. οὐ μή σε ἀνῶ, ἀντὶ τοῦ ἐάσω.

Οὐ μὴν, ἀντὶ τοῦ οὐδαμῶς. καὶ οὐ μὴν, ἀντὶ τοῦ ἀλλά. καὶ ἀντὶ τοῦ ἔτι, οἷον ὕβρισεν. οὐ μὴν ἀλλὰ καὶ ἔτυψε, καὶ ἀντὶ τοῦ οὐ μόνον τοῦτο, ᾧ ἐπαγόμενός ἐστιν ὁ ἀλλὰ σύνδεσμος.

Οὑμὸς, ὁ ἐμός. οὑμοί, οἱ ἐμοί. τἀδελφῷ, τῷ ἀδελφῷ. τἀμὰ, τὰ ἐμά. ἅτερος, ὁ ἕτερος. τοῦ ἑτέρου, θατέρου. ἅτεροι, οἱ ἕτεροι. οὐ μόνον τὸ ο, ἀλλὰ καὶ πάντα τὰ παρ' αὐτοῖς φωνήεντα μετὰ τοῦ ε ἐν τούτῳ τῷ ὀνόματι εἰς α κιρνῶσιν, ἀποβάλλοντες καὶ τὰ ἐπὶ τέλους σύμφωνα. οἷον ἐν τῷ ἑτέρῳ θατέρῳ, τῶν ἑτέρων θατέρων. οἱ Ἀττικοί συναιροῦσι τὰ ἄρθρα, καὶ οὐκ ἀποβάλλουσι τὰ φωνήεντα. συναιροῦσι δὲ, ἢ εἰς τὸ ἐπαγόμενον φωνῆεν, εἰ ἐκτεινόμενόν ἐστιν. εἰ δὲ μὴ ἐκτεινόμενον τοῦτό ἐστι, συναιροῦσι τὸ ἐπαγόμενον εἰς τὸ παρ' αὐτοῖς. ἢ ἐκτεινόμενον αὐτό ἐστιν, ἢ μακρόν.

Οὖν, σύνδεσμος παραπληρωματικὸς, μετὰ τῆς οὐκ ἀρνήσεως, ὁ ἀποφαντικῶς περιλαμβάνονται ἐγκλίνουσιν. οἷον οὔκουν ἐάσω τὴν δὲ γῆν οἰκεῖν ἔτι, περισπώμενος γὰρ, κατάφασιν σημαίνει, συλλογιστικὸς ὢν ἐπιφορικός. οὐκοῦν ἂν ἤδη τῶν θεατῶν τις λέγοι.

Οὖν κεῖται παρὰ τοῖς Ποιηταῖς πολλαχοῦ ἀργὸν, κατά τινα παραπλήρωσιν.

Οὖν, καὶ τὸ δὴ, καὶ μόνα καθ' ἑαυτὰ τίθενται, καὶ ὁμοῦ. θατέρου τούτων, ἢ ἡγουμένου, ἢ ἑπομένου. οἷον ὅσα οὖν γέγονε, καὶ ὅσα δὴ γέγονε. καὶ πάλιν, ὅσα οὖν δὴ γέγονε, καὶ ὅσα δὴ οὖν γέγονε.

Οὖν, εὕρηται παρὰ τῷ Ποιητῇ ἀντὶ τοῦ δή. ἵνα εἴη τὸ ἐπεὶ οὖν, ταυτὸν τῷ ἐπειδή. δύναται δὲ καὶ Αἰτιολογικῶς κεῖσθαι, ὡς ἂν ἐκ παραλλήλου ταυτίζηται, τὸ ἐπεὶ, καὶ τὸ οὖν.

Οὔνει δεῦρο, δράμε. Ἀρκάδες.

Οὕνεκα, σημαίνει τὸ ὅτι, εἵνεκα, χάριν, σύνδεσμός ἐστιν αἰτιολογικός. γέγονε δὲ ἀπὸ τοῦ οὗ ἕνεκα. διὸ καὶ δασύνεται παθὸν ἔκθλιψιν τοῦ μετὰ τὴν κατ' ἀρχὴν β φωνήεντος. ὡς καὶ μή ἐστι, μή 'στι, καὶ τὰ ὅμοια.

Οὐ νέμεσις, οὐ μέμψις.

Οὐ νέομαι, οὐ πορεύομαι.

Οὔνεσθε, Ἰωνικόν ἐστιν, ἀπὸ τοῦ ὀνῶ, ὄνημι. οὗ παθητικὸν, ὄνομαι. ὄνησίν τινα ἔχετε, κατ' εἰρωνείαν.

Ὀνηκερδὲς ἔειπες παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, κερδαλεόφρονα τὸν ξένον ὑποδείκνυσι. τοιοῦτος γὰρ ὁ μὴ ἀκερδῆ λαλῶν. κερδαίνει δὴ καὶ αὐτὸς τὸ χλαῖναν ἐπὶ σκέπῃ λαβεῖν.

Οὖνις, κλέπτης, κλεπτῶν συμφορεία.

Οὔνιος, δύνις, δρομεὺς, κλέπτης.

Οὖνοι, ἔθνος.

Οὔνομα, ὄνομα.

Οὖνον, ὑγιές. Κύπριοι, δρόμον.

Οὐολοῦσκοι, ἔθνος.

Οὖυ, σχεδόν.

Οὐ παρεξένεγκεν, οὐ παρῆλθεν.

Οὐ παντὸς ἀνδρὸς, ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς. Ἀριστοφάνης, ἐπεὶ δοκεῖ τοῖς ἐς Κόρινθον εἰσπλέουσι ξένοις, χαλεπή τις ἡ πόλις εἶναι, διὰ τὴν τῶν ἑταιρῶν γιτνείαν. ἐσπούδαζον γὰρ ἐπὶ τοῦτο οἱ Κορίνθιοι, καὶ ῥαθύμως διὰ τοῦτο διῆγον.

Οὐ παρελεύσεται, οὐ παρέλθῃ, οὐ παραλείψει.

Οὐ παρέργως, οὐχ ὡς ἔτυχεν.

Οὐ περιέσται, καὶ οὐ περιγενήσεται.

Οὐ παρομαρτεῖ, οὐ παρακολουθεῖ.

Οὐ πεπλασμένον, ἄπλαστον.

Οὔπερ, ὅπου.

Οὐ περπερεύεται, οὐ προπετεύεται.

Οὐ περαίνουσιν, οὐ πληροῦσιν.

Οὖπις, ἐπίθετον Ἀρτέμιδος. ἢ παρὰ τὸ ὀπίζεσθαι τὰς τικτούσας αὐτὴν, ἢ παρὰ τὴν θρέψασαν αὐτὴν Οὖπιν.

Οὔποθι, οὐδαμοῦ.

Οὐ ποιῶ, οὐ τρέχω, οὐδὲ τὰ φθονῶ. τὰ ἀρνητικὰ ἤγουν ἀποφατικὰ ἐπιρρήματα, τοῖς ὁριστικοῖς μόνον συντάσσονται ῥήμασιν, ὡς τὰ ἄνω. εἰδέναι χρὴ, ὡς ἡνίκα δέῃ συντάσσειν τὸ ἀρνητικὸν ἐπίρρημα, λέξεσιν ἀρχομέναις ἀπὸ φωνήεντος, εἰ μὲν ψιλούμενον ᾖ πλεονάζει τὸ κ μεσογραφόμενον. οἷον οὐκ εὔχομαι, οὐκ ἐπορεύθην, οὐκ ἔστιν. εἰ δὲ τὸ κατ' ἀρχὴν φωνῆεν δασυνόμενον ᾖ, τὸ χ πλεονάζει. οἷον οὐχ εὕρηται, οὐχ ἕλκεται, οὐχ ἡμεῖς. ὅθεν οὐκ ἐπιτίθεται ἀπόστροφος.

Οὐ πολιᾷ, οὐ γηράσκει.

Οὐ πολλὰ χαιρήσεις, τὸ πολλὰ λυπηθήσῃ δηλοῖ.

Οὔποτε, οὐκ ἄν ποτε, οὐδέποτε.

Οὐ πρὸ πολλοῦ. Λατῖνοι μιμούμενοι λέγουσιν, πολλοῦ πρό.

Οὐ προσαμύνει, οὐ βοηθεῖ.

Οὐ πρὸς σὲ, οὐ κατὰ σὲ, οὐκ ἄξιόν σοι.

Οὐ προσείλετο, οὐκ ἠθέλησεν.

Οὐ προσεποιήσαντο, οὐκ ἠγάπησαν.

Οὐ προσήκαντο, οὐ προσεποιήσαντο.

Οὐ προσίεται, οὐ προσδέχεται, οὐκ ἀρέσκεται.

Οὐ προσώχθησαν, οὐκ ἀπεστράφησαν.

Οὐ προτιμᾷ, οὐκ ἔχει λόγον.

Οὔπω καὶ οὐδεπώποτε, ἐπὶ παρῳχημένου τάττεται. οἷον οὔπω ἦλθε, καὶ οὐδεπώποτε ἐποίησεν, ὡς Ἀριστοφάνης, οὐκ ἄρα ὡς ἐμὲ ἦλθεν οὐδεπώποτε. καὶ παρὰ Ξενοφῶντι, τοσαῦτα μὲν εἶπεν, οὔπω δὲ ἐφαίνετο χρηστὸς εἶναι. καὶ παρὰ Συνεσίῳ, ἕως ἡμέρα ἦν καὶ τὰ δεινὰ οὔπω παρῆν.

Οὔπω πᾶν εἴρηται, καινῶς λεχθέν. λείπει γὰρ ἢ τὸ ἔπος, ἢ τὸ νόημα, ἢ ἴσως τὸ ῥῆμα ληφθὲν ἀπὸ κοινοῦ, ἐκ τοῦ εἴρηται.

Οὔπως, οὐδένα τρόπον. Ὅμηρος, ὦ γέρον οὔπως ἔγωγε τοῦτο τελέεσθαι οἴω.

Οὖρα, ἡ παροξυτόνως ἐπίουρα. εἰσὶ τὰ ὁρμήματα, ὡς ἀπὸ τοῦ ὀρούειν. ἢ τὰ μεταξὺ διαστήματα, ὡς ἀπὸ τοῦ οὖρος ὁ περιορισμὸς κατὰ γένους μεταπλασμὸν, ὁποίου τρόπου ἐστὶ καὶ τὰ δάκτυλα, καὶ τὰ ταρσὰ, καὶ τὰ λύχνα, καὶ τὰ πεσσά. ὡς τὸ καὶ πεσσὰ πεντάγραμμα, καὶ κύβων βολαί. ἔστι δὲ ὁ μὲν πρὸς ἡμιόνους εἰκασμὸς τοῦ Δόλωνος, ὁ δὲ πρὸς βόας τῶν διωκόντων Ἑλληνικῶν ἡρώων. εὐγενέστερος οὗτος πάνυ ἐκείνου. προφερέστεραι δὲ, αἱ ταχύτεραι, καὶ ἔμπροσθεν φερόμεναι. Ὅμηρος ἐν τῇ Ἰλιάδι, ἀλλ' ὅτε δή ῥ' ἀπέην ὅσσον τ' ἐπὶ οὖρα πέλονται ἡμιόνων. αἱ γάρ τε βοῶν προφερέστεραί εἰσιν ἑλκέμεναι.

Οὖρα δίσκου, οἱ παλαιοὶ τὰ ὁρμήματά φασι. παρὰ τὸ ὀρούω τὸ ὁρμῶ, ἃ καὶ δίσκουρα λέγονται ἀλλαχοῦ. τινὰ μέντοι τῶν ἀντιγράφων δίσκουρα ἔχουσιν ἐν δυσὶ μέρεσι λόγου κατὰ συναλοιφήν. μεταπέπλασται δὲ οὖρος, καὶ λέγεται οὖρον, ὡς ἐρρέθη ὅρμημα. καθὰ καὶ εἰς τὸ λύθρον, ὁ λύθρος.

Οὐρὰ, τὸ ὄπισθεν τῶν ζώων, καὶ ἀπὸ τούτου οὐρὰ, καὶ ἡ πρύμνη τῆς νεώς. ὅθεν οὖρος ποιητικῶς, ὁ ἀπὸ τῆς οὐρᾶς φορὸς, καὶ ἐπιτήδειος ἄνεμος, ὃς κοινῶς λέγεται οὔριος. ὅθεν καὶ τὸ ἐξ οὐρίας πλεῖν, καὶ οὐρὰ ἡ κέρκος, ἢ τὸ αἰδοῖον.

Οὐραγεῖν, ὑστερίζειν.

Οὐραγέω, μέλλων οὐραγήσω, παρακείμενος οὐράγηκα. τὰ ἀρχόμενα ῥήματα ἀπὸ τῆς ου διφθόγγου, οὐ τρέπουσι τὴν ου δίφθογγον. ἐπειδὴ γνήσια μεγέθη ἔχουσιν ἐν τοῖς παρῳχημένοις.

Οὐράγια, στρατηγίας οὐρά. τουτέστι, τὸ τέλος τῆς στρατιᾶς, καὶ τῆς τάξεως.

Digitized by Google

Οὐράγιον, ἔσχατον.

Οὐραγὸς, τῆς οὐρᾶς ὁ ἔσχατος ἡγεμὼν, καὶ τοῦ εὐωνύμου κέρατος φύλαξ. ὁ δὲ τοῦ δεξιοῦ, δεξιοφύλαξ.

Οὐράδιον, οὐκ εὐχερές.

Οὐραδίως, κακῶς. Θουκυδίδης.

Οὐρανίαν, ὅταν τὴν σφαῖραν ἀναβάλλωσιν, καὶ τὴν τοιαύτην δὲ καθόλου παιδιὰν, οὐρανίαν καλοῦσι. καὶ οὐρανιάζειν, παρὰ τοῦτο οὖν ἔπαιξεν Ἀριστοφάνης.

Οὐρανίαφι φίλη, κατὰ προσχηματισμὸν τῆς φι, ἀντὶ τοῦ ἡ οὐρανία φίλη.

Οὐρανίη δ' αἴξ, ὡσεὶ λέγοι τὶς, τὸ τῆς Ἀμαλθείας κέρας. ὅτι γάρ τις εὔξαιτο ἐλάμβανεν ἔχων τοῦτο. ἐπήκοος δέ ἐστιν αὐτὴ ἴσως, ὅτι κατ' ἐνίους ἡ Σελήνη τῇ αἰγὶ ἐποχεῖται. ταύτῃ δὲ τὰ γυναικεῖα ηὔχετο, διὰ τὸ καὶ αὐτὴν ἐπὶ τῷ Ἐνδυμίωνι τὰ αὐτὰ παθεῖν, ὅθεν καὶ ἀκταίαν φασὶν αὐτὴν ἔνιοι.

Οὐρανίδην, ἀπὸ τοῦ οὐρανοῦ.

Οὐρανίου αἵματος, παρὰ τῷ Ἀπολλωνίῳ. Ἀκουσίλαος ἐν τῇ τρίτῃ φησὶν, ὅτι ἐκ τῆς ἐκτομῆς τοῦ οὐρανοῦ ῥανίδας ἐνεχθῆναι συνέπεσε, τουτέστι σταγόνας κατὰ τῆς γῆς, ἐξ ὧν γεννηθῆναι τοὺς Φαίακας. οἱ δὲ τοὺς Γίγαντας. καὶ Ἀλκαῖος δὲ κατὰ τὰ αὐτὰ Ἀκουσιλάῳ λέγει τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῶν σταγόνων τοῦ οὐρανοῦ. Ὅμηρος δὲ, οἰκείους τοὺς Φαίακας τοῖς θεοῖς φησι, διὰ τὴν ἀπὸ Ποσειδῶνος γένεσιν.

Οὐρανίσκος, ἢ ἡ ὅρασις ἄνω, ἢ ὁ ὁρώμενος ἄνω. ἢ ὅτι ὁρᾷ εἰς ἄνω. ὑποκοριστικὸν ἐπὶ τοῦ σωματικοῦ μέρους, οἱονεὶ ὁ μικρὸς οὐρανός. ὅτι μετεωρότατός ἐστι τῆς εὐρυχωρίας οὗτος ὁ τόπος, ἀπὸ μεταφορᾶς τοῦ ἐν ὅλῳ τῷ κόσμῳ οὐρανοῦ.

Οὐρανίζετο, πρὸς τὸν οὐρανὸν διϊκνεῖτο.

Οὐράνιον ἄχος, τὸν κονιορτόν. δηλοῖ δὲ καὶ τὸ μέγα καὶ ὑψηλόν.

Οὐράνιοι, οἱ τὸν οὐρανὸν κατοικοῦντες.

Οὐρανίωνας, τοὺς ὑπὸ τὴν οὐρανοῦ ἀρχὴν τεταγμένους.

Οὐρανίωνες, οἱ Τιτᾶνες οὕτω λέγονται.

Οὐρανοβάμονος, οὐρανοφοίτου.

Οὐρανόθεν, ἐκ τοῦ οὐρανοῦ, οὐρανόθι, ἐν τῷ οὐρανῷ. οὐρανόσε, εἰς τὸν οὐρανόν. τὰ διὰ τοῦ οθεν ἐπιρρήματα εἰ μὲν ἀπὸ ὀνομάτων γίνονται, μικρογραφοῦνται καὶ τὴν ἐκ τόπου κίνησιν σημαίνει. οἷον οὐρανόθεν, ποντόθεν, κυκλόθεν. τὸ δὲ κύκλωθεν, ὡς ἀπὸ τοῦ κύκλω γενόμενον, μεγαλογραφεῖται. πλὴν τοῦ ἑτέρωθεν, ἑκατέρωθεν, ἀμφοτέρωθεν. εἰ δὲ ἀπὸ ἐπιρρημάτων, ἀμφω καὶ κίνησιν, καὶ στάσιν, οἷον ἔξωθεν λαμβάνει. ἤγουν ἐκ τῶν ἐκτός. ταῦτα τοίνυν τὰ εἰς θεν ἐπιρρήματα ἔχουσι τὴν ἀπὸ πρόθεσιν ἐν ἑαυτοῖς, καὶ οὐ δύναται αὖθις ληφθῆναι. οἷον ἀπ' οὐρανόθεν Ὅμηρος, ὃς Ποιητικῇ ἀδείᾳ τοῦτο λέγει.

Οὐρανόθι πρὸ, ἐν τῷ ὑπὸ τὰ νέφη τόπῳ.

Οὐρανομήκην, ὑψηλὸν λίαν.

Οὐρανὸς, ὁ κατεστερισμένος τόπος. Πέρσαι δὲ τὰς βασιλείους σκηνὰς καὶ αὐλὰς, ὧν τὰ καλύμματα κυκλοτερῆ, οὐρανοὺς λέγουσιν.

Οὐρανός ἐστιν ὁ περιέχων τὰ ἄλλα πάντα πλὴν ἑαυτόν.

Οὐρανοσκόπος, ἰχθύς ποιός.

Οὐρανοφάντωρ, οὗ ἡ λαμπρότης εἰς ὕψος φαίνεται.

Οὐρανοφοιτᾶν, ἐν οὐρανῷ διατρίβειν.

Οὔρεα, Δοῦρις φησὶ τοὺς ὑπὸ Γιγάντων κατενεχθέντας λίθους, τοὺς μὲν εἰς τὴν θάλασσαν πεσόντας, γενέσθαι νήσους. τοὺς δὲ εἰς τὴν γῆν, ὄρη.

Οὐρέας, ἡμιόνους.

Οὔρεος ἐν βήσσῃσιν, ἐν τοῖς βασίμοις τόποις τοῦ ὄρους.

Οὐρεσίφοιτος, ὁ ἐν τοῖς ὄρεσι πλανώμενος.

Οὐρεὺς. Ὅμηρος ἐν τῷ κ', ἤ τινα οὐρήων διζήμενος, ἤ τινα ἑταίρων. φασὶν οἱ παλαιοὶ, ὅτι οὐρῆας νῦν τοὺς φύλακας νοητέον. ὡς γὰρ ἡνίοχος ἡνιοχεὺς, υἱὸς υἱεὺς, ὑδροχόος, ὑδροχοεύς. παρὰ τῷ Ἀράτῳ, πατρόφονος πατροφονεὺς, οὕτως οὖρος οὐρεύς. οὐρῆας γὰρ ὧδε νοῆσαι τοὺς ἡμιόνους οὐ θέλουσιν.

Οὐρεὺς ἀπὸ τοῦ ὄρους παρωνομάσθη. ὅτι δὲ ταυτὸν οὐρέα εἰπεῖν καὶ ἡμίονον δηλοῖ τὸ, ἔκδησαν ἡμιόνους, αἱ καὶ θηλυκῶς προφέρονται.

Οὐρητὸν, ἀγγεῖον.

Οὔρησας, ἔστησας, ἔσωσας.

Οὐρητιάσῃς, οὐρῆσαι βουλήσῃ, ἢ στραγγουρίας περιπέσῃς νοσήματι.

Οὐριαθεῖτε, ὀρχεῖσθε.

Οὐρίας, φωτισμὸς Θεοῦ.

Οὐρίαχον, τὸν σαυρωτῆρα. ἔστι δὲ σιδήριον ἐγκεκαμμένον εἰς τὸ ἕτερον μέρος τοῦ δόρατος.

Οὐρίαχος, τὸ ἀντικείμενον τῇ αἰχμῇ, καὶ οἷον οὐρὰ δούρατος, ὃ καὶ στύραξ λέγεται καὶ σαυρωτήρ. τουτέστι τὸ ὄπισθεν μέρος τοῦ δόρατος. ὃ καὶ γρόσφον καὶ στόρθυγκά φασιν.

Οὐρίζειν ῥῆμα τὸ ἐξ οὐρίων πλέειν, ἐκ τοῦ οὖρου. δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ κατ' ὀρθὸν οὐρίσας. δῆλον δὲ καὶ ὅτι διαφέρει παρ' Ὁμήρῳ τὸ οὖρος καὶ οὐρός.

Οὐρίη, ὀπισθία.

Οὐρίθρεπτα, ἐν ὄρεσι τραφέντα.

Οὐριοδρομήσαντες, ἀντὶ τοῦ φορῷ ἀνέμῳ πλεύσαντες.

Οὐριομβικὸν, τὴν ἀμίδα, ἢ οὐροδόχην.

Οὔριον ἄνεμον, ἢ ὀξέως πνέοντα, ἢ ἄγριον.

Οὔριον, σωρείον, ἢ ὄπισθεν πνέον. καὶ οὔριον, φυλακὴ, σημεῖον.

Οὐρίσαι, παρασκευάσαι.

Οὐροδόχην, τὴν ἀμίδα.

* Οὖρον, ὑγρὸν τροφῆς περίττωμα. ὁ τῶν χυμῶν ὀῤῥὸς. ὃν καθ' ἡμέραν ἀποκρίνομεν.

Οὖρον κατέλειπον, ἀντὶ τοῦ φύλακα, ἀπὸ τοῦ ὁρᾶν, καὶ ἔστι τοῦτο ἁπλοῦν. ἐξ οὗ ἐπίουρος. ὡς τὸ οὖρος Ἀχαιῶν, ὅ ἐστι φύλαξ, ἔφορος, ὁ ἄλλοις ἐπίουρος.

Οὖρος, ὁ ἔφορος ἄνεμος, παρὰ τὸ ὀρούειν, ὅ ἐστι παρορμᾶν καὶ προπέμπειν τὴν νῆα.

Οὐροὺς ἐξεκάθαιρον. οὐροὶ λέγονται οἱ τόποι, ὅθεν ἡ ναῦς ὀρούει. τουτέστιν ὁρμᾷ καθελκομένη εἰς θάλασσαν. σημειώδης δέ φασιν ἡ λέξις ὀξυνομένη πρὸς ἀποφυγὴν τοῦ οὔρου τοῦ δηλοῦντος τὸν ἄνεμον. ἄλλως γὰρ τὰ εἰς ρος δισύλλαβα ἁπλᾶ ἔχοντα τὴν ου δίφθογγον βαρύνονται. κοῦρος νέος, θοῦρος ὁ ὁρμητικὸς, οὖρος ὁ ἄνεμος. δῆλον ὅτι ἐν τῷ μοῦνος, νοῦσος, οὐδὸς, οὐρὸς, ὁ πλεονασμὸς τοῦ υ σχῆμα ποιεῖ, ὃ φασιν οἱ γραμματικοὶ ἐπένθεσιν, ἥτις ψιλοῖ τὰ δασέα.

Οὖρος, ἢ ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω. προορῶνται γὰρ τὰ ἐπιόντα οἱ φύλακες, ὅθεν καὶ φρουροὶ λέγονται, ἢ παρὰ τὸν ὅρον τὸν ἐν τοῖς γηδίοις. ὁρίζειν γὰρ πῶς καὶ ὁ φύλαξ πέπαυσθαι τὰ φυλασσόμενα, καὶ ἀποδιϊστᾶν τῶν ἐπιόντων βλαβερῶν.

Οὖρος ἄνεμος, ὅτι ὁ φορὸς, ἐκδηλότατόν ἐστιν.

Οὖς, ὃ κλίνεται ὠτὸς ἑτεροκλίτως, παρὰ τοῖς ποιηταῖς λέγεται, οὖας, οὔατος, οὔατι.

Οὖς Ἀττικοὶ, οὐκ ὠτίον.

Οὖσα, τὰ χοινία, παρὰ τὸ οἴω τὸ κομίζω. οἶσα καὶ Ἰωνικῶς οὖσα. ἢ τὰ ἀπὸ τῆς οἰσίας φυτοῦ, ἤτοι λύγου. πρότερον γὰρ ἀπὸ λύγου χοίνους ἐποίουν, πρὸ τῆς εὑρέσεως τῆς καννάβεως.

Οὖς Ἀφροδίτης, οἱ ἁλιεῖς ὄστρεόν τι οὕτω καλοῦσιν.

Οὔ σε ἔοικε, τί διαφέρουσιν αἱ ἐγκλινόμεναι ἀντωνυμίαι τῶν ὀρθοτονουμένων; διαφέρουσιν. ὅτι αἱ μὲν ὀρθοτονούμεναι διαστολὴν ἔχουσιν ἑτέρου προσώπου. οἷον ἐμοὶ ἔδωκε καὶ οὐκ ἄλλῳ, ἐμοῦ ἤκουσας καὶ οὐκ ἄλλου. αἱ δὲ ἐγκλινόμεναι, ἀπόλυτα πρόσωπα δηλοῦσιν, ὡς σέο νῦν ἔραμαι.

Οὐ σθενῶς, οὐκ ἰσχυρῶς.

Οὐσία πρώτη ἐστὶ, πᾶν τὸ καθ' ἑαυτὸ ὑφεστὼς, οἷον λίθος. οὐσία δὲ λέγεται δευτέρα, αὐξητικὴ, καθὸ αὔξει καὶ φθίνει τὸ φυτόν. τρίτη δ' οὐσία ἔμψυχος αἰσθητικὴ τὸ ζῶον, οἷον ἵππος. δύο δ' οὐσίαι ἔμψυχοι, αἰσθητικὴ καὶ λογικὴ, ὁ ἄνθρωπος. διὸ καὶ ἔσχατος γέγονεν. ὡς οὖν ἐκ πάντων τὴν ψυχὴν ἔχων ἄϋλον, καὶ τὸν νοῦν Θεοῦ εἰκόνα.

Οὐσία, ἐξουσία, ὁσιότης, πλοῦτος, ὕπαρξις, εἶδος ὑφεστώς. βίος, κτῆσις.

Οὐσίας ἴδιον, τὸ ἐν πᾶσι καὶ πάντων φυσικῶς κατηγορεῖσθαί τε καὶ προφαίνεσθαι.

Οὐσία, καὶ φύσις, καὶ μορφὴ, ταυτόν ἐστιν. ἄτομον, ὑπόστασις, καὶ πρόσωπον, ταυτόν ἐστιν.

Οὐσιῶδες δέ ἐστιν, ὃ οὔτε παρὸν σώζει, οὔτε ἀπὸν φθείρει, ὡς ἐπὶ τοῦ λευκοῦ.

Οὐ συγγινωσκόμενοι, οὐ συγκατατιθέμενοι.

Οὐ συμβαίνει, οὐ συμφωνεῖ.

Οὐ συνέσχεν ὀργὴν, οὐ κατεκράτησεν ὀργῆς.

Οὐ σὺν ἱδρῶτι, οὐ σὺν καμάτῳ.

Οὐ σχολαίτερον, ταχέως.

Οὖτα, ἀντὶ τοῦ οὔτασε κατὰ ἀποκοπὴν, ἔπληξεν.

Οὖτα κεῖται παρ' Ὁμήρῳ προπερισπώμενον, διὰ τὴν ἀποκοπὴν τὴν ἐκ τοῦ οὔτασεν, ὃ σημαίνει τὴν ἐγγύθεν πληγήν. φησὶ γοῦν οὖτα Δαμαστορίδην αὐτοσχεδὸν, ἤγουν ἔγγιστα. ἔνθα εἰ καὶ μὴ προσέκειτο αὐτοσχεδόν· καὶ ἄλλως τὸ οὖτα τὴν αὐτὴν σημασίαν εἶχεν ἄν.

Οὖται χαλκῷ, τὸ ἐντελές ἐστι τοῦ προγραφέντος οὖτα.

Οὐτάμενος, παρὰ τὸ οὔτημι, οὔταμαι, μετοχὴ οὐτάμενος, ἢ ἐκ τοῦ οὐτασμένος, καὶ ἀποβολῇ τοῦ σ οὐτάμενος. καὶ παροξύνεται, ἐπειδὴ αἱ τοιαῦται μετοχαὶ προπαροξύνονται. οἷον ἐληλασμένος, ἐληλάμενος.

Οὐτάσαι καὶ οὐτάναι, ἀπαρέμφατον. τὸ μὲν οὐτάσαι, ἀπὸ τοῦ οὐτάζω. τὸ δὲ οὐτάναι, ἀπὸ τοῦ οὔτημι.

Οὔτε, ἐπὶ παρῳχημένου, καὶ ἐπὶ ἐνεστῶτος, καὶ ἐπὶ μέλλοντος τάττεται. οὔτε ποιῶ, οὔτε ποιήσω.

Οὔτε προσδιαλέγεται, οὐδέν. δύο ἀποφάσεις ἀντὶ μιᾶς, ὅπερ Ἀττικῶν ἐστιν.

Οὔτε παρεξελθεῖν, οὔτε ἁλιῶσαι. ἔστι δὲ παρεξελθεῖν μὲν, τὸ μερικῶς παραβῆναι, καὶ ὁμηρικώτερον εἰπεῖν παρὲκ Διὸς ἐλθεῖν. ἁλιῶσαι δὲ, τὸ παντελῶς ματαιῶσαι, καὶ ἀφεῖναι διεκπεσεῖν ἄπρακτον.

Οὐτωθεὶς, τρωθείς.

Οὐτήτειρα, πληκτική. οὐτήτειρα, διψὰς ἔχιδνα.

Οὐτιδανὸς ποιητικῶς, ὁ οὐδενὸς ἄξιος. ἀπὸ τοῦ οὔτις κατὰ παραγωγὴν οὐτιανὸς, εἶτα προστιθεμένου τοῦ δ διὰ εὐφωνίαν, ὡς καὶ ἐν τῷ ἰχθυδοτῷ, σημαίνει τὸ ἀσθενὴς, ἄψυχος, οὐδενὸς ἄξιος λόγου.

Οὐτιδανὸς, πλεονασμός ἐστι τοῦ δ. ἴσως δὲ καὶ ἡ ὅλη δα συλλαβὴ πλεονάζει, ὥσπερ ἐν τῷ πολυδίψιον Ἄργος. ἐχθοδοπὸς μὲν γὰρ ἐκ τοῦ ἔχθω καὶ τοῦ ὄπτω, ἢ τοῦ ὄψ ὀπὸς, ἵνα ᾖ ἐχθροπὸς, ὃν μισοῦμεν βλέποντες, ἢ προσφωνοῦντες. οὕτω δὲ καὶ τὸ κνώδαλον, εἴτε ὑπὸ κυνῶν ἁλίσκεται, εἴτε κνώσσει ἐν τῇ ἁλὶ, πλεονασμὸν ἔχει τοῦ δ, ὡς καὶ ἡ ἀχέρδος, ἧς οὐκ ἔστι χειρὶ ἅψασθαι διὰ τὸ ἀκανθῶδες, καὶ τὸ ἀπὸ τοῦ ὕω γινόμενον ὕδωρ.

Οὔτι κάκιστος Ἀργείων, ἀντὶ τοῦ ἀνδρειότατος εἴληπται.

Οὔτι κράτει γε, οὐ τῇ δυνάμει.

Οὔτι μάλα δὴν, οὐκ ἐπὶ πολύ.

Οὔτι μέλει, οὐ μέλει.

Οὔτι μοι ὔμμες, οὐκ ἐστέ μοι ὑμεῖς.

Οὔτινος οὖν, οἱονδήποτε.

Οὔτι που, οὐδαμῶς.

Οὔτοι ἀπόβλητον, οὐκ ἀποβληθῆναι ἄξιον.

Οὑτοιΐ, δεικτικῶς κεῖται παρὰ τῷ Ἀριστοφάνει, καὶ τοῖς ἄλλοις.

Οὗτος, αὕτη, τοῦτο, δεικτικαὶ ἀντωνυμίαι. δέχονται δὲ τὸν προσχηματισμὸν τοῦ ι, διὰ πλείονα δεῖξιν. οἷον οὑτοσὶ, αὑτηΐ, καὶ τουτὶ, ὁμοίως καὶ ἐν τῇ κλίσει αὐτῶν πάσῃ.

Οὗτος, τὸ θηλυκὸν αὕτη, κλητικὰς ἔχουσιν. οἷον ὦ οὗτος, καὶ ὦ αὕτη. καὶ ἐπὶ πληθυντικῶν, ὦ οὗτοι, ὦ αὗται, ὅπερ οὐδεμιᾷ ἑτέρᾳ ἀντωνυμίᾳ συμβαίνει. ἔστι δὲ δεικτικὴ, καὶ ἔχει πλείονα δεῖξιν, ὅταν τὸ ι προσλάβῃ, οἷον οὑτοσὶ, καὶ αὑτηΐ. ἔστι δὲ ὁ προσχηματισμὸς οὗτος Ἀττικὸς, διαφέρει δὲ τῶν ποιητικῶν προσχηματισμῶν, τῷ μὲν ἐνταῦθα εἶναι τὸ ι μακρὸν, ἐν ἐκείνοις δὲ βραχὺ, οἷον ἵπποισιν, ἀνθρώποισι. καὶ τὰ Ἀττικῶς προσχηματισμένα ὀξύτονα εἶναι, οἷον οὑτοσὶ, αὑτηΐ. τὰ δὲ ποιητικῶς ἀεὶ βαρύτονα. καὶ ὅτι τὸ οὑτοσὶ μόνον ἐν τῇ εὐθείᾳ προσλαμβάνει τὸ ν, φωνήεντος ἐπιφερομένου. τὸ δὲ αὑτηΐ, καὶ τουτὶ οὐδαμῶς. τὰ δὲ ποιητικὰ πάντα τὸ

Digitized by Google

τὸ ν προσλαμβάνουσιν, εἰ φωνῆεν ἐπιφέρεται. ἐν τῇ δοτικῇ γὰρ ταῦτα ὁρίζεται, οὐς ἴδιον προσλαμβάνειν τὸ ν.

Οὔτηροι, δραστικοί, σπουδαῖοι.

Οὔπω τι Διὶ μέλλει φίλον εἶναι, ἤγουν οὕπως ἴσως ἔοικε φίλον εἶναι τῷ Διΐ.

Οὕτως, ὥσπερ ἀπὸ τοῦ οὗτος γίνεται τὸ οὕτως ἐπίρρημα παρὰ τοῖς κοινοῖς, καὶ δηλοῖ δύο. λαμβάνεται γὰρ καὶ ἀντὶ τοῦ τοῦτον τὸν τρόπον, καὶ ἔχει ἀνταποδοτικὸν τὸ ὡς, οἷον οὕτω ποιῶ, ὡς ἐκέλευσας. καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν. οὕτως ἀπὸ τοῦ αὐτοῦ, τὸ αὔτως παρὰ ποιηταῖς, κατὰ τὰ δύο ταῦτα σημαινόμενα λέγεται τὸ αὔτως, καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, ἐφ' ᾧ σημαινομένῳ, τὸ ὡσαύτως λέγεται παρὰ τοῖς κοινοῖς, καὶ ἀντὶ τοῦ ὡς ἔτυχε. τὸ δὲ οὕτως ὅταν ἔχῃ ἐμπροσθεν φωνῆεν μετὰ τοῦ σ γράφεται, ὅταν δὲ ἔχῃ σύμφωνον δίχα τοῦ σ.

Οὐφαντῶς, ἀφάντως.

Οὐφαυλόταται ἁμαρτάνεις, τὸ μέγιστα ἁμαρτάνεις δηλοῖ. καὶ ὅσα τοιαῦτα ἔχουσιν ἀπόφασιν, κατάφασιν δηλοῦσι, κατὰ τὴν ἐναντίαν ὑπέρθεσιν.

Οὕφεκα, οὐκ ἀρεστῶς, οὐ κούφως.

Οὐ φέλλαν γῆν, τὴν εἰς τὰ ἱμάτια.

Οὐφίδρωμα, τοῦ σφίγματος ἡ πρὸς τῇ πλευρᾷ διφθέρα.

Οὐ φοιβήσεται. φοιβᾶν ἐστὶ τὸ ἐπὶ νεκρῷ, ἢ δαιμονικῷ μαντεύεσθαι.

Οὐφορητὸν, μέγα, βαρύ.

Οὐχ οὕτως, οὐχὶ οὕτως.

Οὐ χάζομαι, οὐ σέβομαι, οὐκ ἐντρέπομαι.

Οὐχ ἅλις, οὐχ ἱκανός.

Οὐχ ἁπλῶς, οὐχ ὡς ἔτυχεν, οὐκ ἀκαίρως.

Οὐχ ἥκιστα, μάλιστα.

Οὐ χάζεις, οὐκ ἄγχεις, οὐ πιέζεις συνεχῶς.

Οὐχ ἕδος, οὐ καιρὸς τοῦ καθέζεσθαι, οὐ καθέδρας φροντίς.

Οὐχ εἴκων, οὐχ ὑποχωρῶν.

Οὐχ ἑκὼν, οὐ βουλόμενος, οὐ θέλων.

Οὐχναὶ, φαῦλοι.

Οὐχ ἕπεται, οὐκ ἀκολουθεῖ.

Οὐχ ἧττον, Ἀττικοὶ ἀντὶ τοῦ μᾶλλον λαμβάνουσι. οἷον οὐδεὶς Σωκράτους ἧττον ἀμαθὴς ἐγένετο, ἀντὶ τοῦ μᾶλλον φρόνιμος.

Οὐχὶ, οὐδαμῶς, οὐ δῆτα.

Οὐχ οἷοί τε, οὐ δυνατοί.

Οὐχ ὅπως, ἀντὶ τοῦ οὐ μόνον τὸ οὐχὶ λαμβάνεται. οἷον πενταετὴς χρόνος οὐχ ὅπως φιλοσοφοῦσιν ἀπαρκεῖν ἐμοί γε φαίνεται, ἀντὶ τοῦ οὐ μόνον οὐχὶ τοῖς φιλοσοφοῦσιν.

Οὐχ ὁράας παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ, ἢ ἀντὶ τοῦ νοεῖς. ἐπεὶ νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει. ἢ καὶ ἀντὶ τοῦ ἀκούεις. ὡς ἂν εἴη αἴσθησις, ἀντὶ αἰσθήσεως.

Οὐχ ὁρέοντα, οὐ ζῶντα.

Οὐ χραισμεῖ, οὐ βοηθεῖ.

Οὐ χρὴ, οὐ δεῖ.

Οὐχ ὑπέλειπες, οὐχ ὑστέρησας, οὐ κατέλιπες.

Οὐχ ὑποίσω, οὐχ ὑπενέγξω, οὐ βαστάξω.

Οὐχ ὑφίσταται, οὐκ ἐνδίδωσιν.

Οὐχ ὑφίσταται, οὐχ ὑποφέρει, οὐχ ὑπομένει.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Φ.

Ὀφάρυγξ, ἀρσενικῶς μὲν Ἐπίχαρμος λέγει. ὁ δὲ Ἀττικὸς, ἡ φάρυγξ.

Ὄφατα, δεσμοὶ ἀρότρων. Ἀκαρνᾶνες.

Ὀφειλὴ, τὸ χρέος, καὶ ὀφείλημα.

Ὀφειλέτης, χρεώστης.

Ὀφείλω, τὸ χρεωστῶ, καὶ ὀφλισκάνω δίκην. ὀφείλω δὲ ὀφειλήσω, ὃ ἐδανεισάμην. ὀφείλω δάνειον, καὶ ὀφείλω λέγεται τἀληθές.

Ὄφλει τις ἐπὶ καταδίκῃ. ὀφείλει δέ τις ὡς ἡμεῖς ἐκδεχόμεθα. καὶ ὀφείλω ταυτό σοι διὰ τοῦτον.

Ὀφείλω σοι χρήματα, καὶ ὀφείλω πολὺ χρυσίον, καὶ ὀφείλω τὰ δίκαια ποιεῖν.

Ὄφελε θάνατός μοι ἁδεῖν. ταυτὸν δὲ εἰπεῖν κοινῶς ὤφειλες, καὶ Ἰωνικῶς ὄφελες. ἐκτείνεται δὲ ἡ λήγουσα τοῦ ὄφελες λόγῳ κοινῆς συλλαβῆς πρὸς θεραπείαν τῆς τοῦ στίχου λαγαρότητος.

Ὀφέλειεν, ἀόριστος τρίτος ἐστὶν εὐκτικοῦ τοῦ ὤφελε, καθ' ὁμοιότητα τοῦ τύψειε, καὶ ποιήσειεν.

Ὄφελες, ῥῆμά ἐστι κατὰ παντὸς ἀριθμοῦ φερόμενον, γράφεται καὶ μέγα καὶ μικρόν. Καλλίμαχος δὲ ἐπίρρημα εὐκτικὸν, ὡς τὸ ὄφελε μὴ δ' ἐγένοντο θοαὶ νῆες.

Ὀφέλλοις παρὰ τῷ Ἡσιόδῳ, ἀντὶ τοῦ ὄφελλε, τὸ εὐκτικὸν ἀντὶ τοῦ προστατικοῦ. νείκεα καὶ δῆριν ὀφέλλοις, ἀντὶ τοῦ ὄφελλες.

Ὀφέλλω, σημαίνει τὸ αὐξάνω, καὶ διαβάλλω. ἐξ οὗ πλεονασμῷ τοῦ ι γίνεται ὀφείλω. ὅθεν καὶ τὸ ὀφείλημα τὸ αὐξανόμενον ἐν τῷ τόκῳ δάνειον.

Ὄφελμα, αὔξημα, κάλυμμα, κάλλυντρον.

Ὀφέλμασι, σαρώμασιν.

Ὄφελον, ταυτὸ ὂν τῷ ὤφελον. ἀναυξίαν δὲ Ἰωνικὴν ἔχει, καὶ ἀπέλευσιν τοῦ ι.

Ὄφελον, εἰ μὲν λαμβάνεται ἀντὶ τοῦ εἴθε, εὐκτικῷ συντάσσεται, ὡς ἐν τῷ ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου. καὶ μετὰ παρεληλυθότος χρόνου. οἷον ὄφελον ἐγένετο, ἀντὶ τοῦ εἴθε ἐγένετο. καὶ γράφεται διὰ τοῦ ο μικροῦ. εἰ δὲ ἀντὶ τοῦ ἐχρεώστουν, διὰ τοῦ ω μεγάλου, καὶ κανονίζεται ἀπὸ τοῦ ὀφείλω εἰς παρατατικόν. οἷον ὀφείλω. καὶ ὁ παρατατικὸς, ὤφελον, ες, ε. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου. οἷον ὤφελον γενέσθαι τόδε. μετὰ τοῦ ὡς γράφεται ἀντὶ τοῦ εἴθε. ὡς ἐν τῷ, ὡς ὤφελόν γε, μηδὲ τὴν προεδρίας, μετὰ δὲ τοῦ ὡς, καὶ τοῦ οὐκ, καὶ ἔτι τοῦ πότε, ἀντὶ τοῦ ἐχρεώστουν. οἷον ἐπεὶ παρεγενόμην ἐνταῦθα, ὡς μὴ ὤφελον. καὶ τόδε, ὡς οὐκ ὤφελον. σημείωσαι δὲ ὅτι ταῦτα συνυπακουόμενον ἔχει τὸ ἀπαρέμφατον ἅπαξ ῥηθὲν, τὸ πεποίηκα, ἢ παρεγενόμην, ἢ τοιοῦτόν τι. οἷον ἐπεὶ τόδε πεποίηκα, ὡς μή ποτ' ὤφελον ποιῆσαι δηλονότι.

Ὄφελος, ὠφέλεια, ὠφέλημα, κέρδος, κερδαλέον, ἐπικερδὲς, ἐμπόλημα, ἕρμαιον, εὕρημα, εὐερμία. τάχα δὲ θησαυρός. ἐρεῖς ὠφελίμως, ἐπωφελῶς, κερδαλέως, ἐπικερδῶς. ὠφελεῖσθαι, κερδαίνειν, ἐμπολᾶν, εὐερμεῖν. ἑτέρας δὲ χρείας, ὠφέλιμον, χρειῶδες, χρηστὸν, πάγχρηστον, χρήσιμον, ἀναγκαῖον, ἐπιτήδειον, ἐπωφελὲς, λυσιτελὲς, συμφέρον, σύμφορον, πρόυργον, ὀνήσιμον. τὸ γὰρ ὀνησιφόρον, μοχθηρόν. ἀπὸ δὲ τούτων, ἡ ὄνησις. καὶ τὸ συνοῖσον, ἡ χρεία. ἡ ὠφέλεια, τὸ κέρδος. φαῦλον ἡ λυσιτέλεια. τὰ δὲ ἐναντία, ἀχρεῖον, ἄχρηστον, βλαβερὸν, ἀσύμφορον, ἀλυσιτελὲς, ἀνωφελὲς, ἀνόνητον, ἀνεπιτήδειον.

Ὀφελοῦσα, θρασύνουσα, σώζουσα, παρασκευάζουσα.

Ὀφέλτης καὶ Ζάραξ. ὄρη Εὐβοίας ὁ μὲν ὀφέλτης, ἀπὸ Ὀφέλτου τοῦ καὶ Ἀρχιμόρου κληθεὶς. ὃς υἱὸς ἦν Λυκούργου ἱερέως τοῦ νεμείου Διός. Ζάραξ δὲ ἀπὸ Ζάρακος τοῦ υἱοῦ Καρίστου. ὁ δὲ αὐτὸς Ζάραξ, κατὰ Φίλωριν καὶ ἑτέρους, Καφηρεὺς λέγεται. νῦν δὲ ὁ Καφηρεὺς, ἰδιωτικώτερον ξυλοφάγος καλεῖται, Τρυχάτα καὶ Νέδων, Διρφωσσὸς, ὄρη Εὐβοίας. ὅτι δὲ ἐκεῖ διεκρίθησαν ὁ Ἥφαιστος καὶ ἡ Ἀθηνᾶ, καὶ ὁ Προμηθεύς. Ἥφαιστος λέγων μὲν, ὅτι καλὸν ὁ ἄνθρωπος Ἑρμῆς. Προμηθεὺς δὲ, ὅτι καλὸν ἡ οἰκία. Ἀθηνᾶ, ὅτι καλὸν ὁ βοῦς, ὥς τό φασιν οἱ μῦθοι.

Ὀφελτρεύω, ὀφελτρεύουσι, κοσμοῦσαι πέδον. Λυκόφρων, σημαίνει τὸ καλλύνουσιν.

Ὄφελτρον, κάλλυντρον.

Ὀφθαλμίαν, ἰδίως τὴν πήρωσίν φασιν.

* Ὀφθαλμία, ἡ κατὰ τοὺς ὀφθαλμοὺς ἀπὸ νοσήματός τινος γινομένη βλάβη.

* Ὀφίασις ἐστὶ πάθος τῆς κεφαλῆς, καθ' ὃ αἱ τρίχες, πρῶτον ἐκκλεπτυνόμεναι, ἔπειτα κατ' ὀλίγον ἐκπίπτουσι δίκην ὄφεως ἕρποντος.

Ὀφθαλμιάσαι, φθονῆσαι, ἐπιβαλεῖν ὀφθαλμόν.

Ὀφθαλμιῶ, ἀμεταβάτως τὸ τοὺς ὀφθαλμοὺς νοσῶ. Ἀριστοφάνης.

Ὀφθαλμοῦ ἀλάωσε. περιττεύει τὸ ὀφθαλμοῦ, κείμενον ἁπλῶς οὕτω διὰ σαφήνειαν. ἄλλως γὰρ καὶ χωρὶς τοῦ ὀφθαλμοῦ νοεῖται τὸ ἀλάωσεν ἐπὶ τυφλότητος.

Ὀφθῆ, ὤρθη, φανῇ.

Ὀφθαλμὸς βασιλέως, ὁ πεμπόμενος κατάσκοπος.

Ὀφιγοί, οἱ νῦν ὀπτικοί.

Ὀφιδεύειν, χολάζειν, διατρίβειν, οἰκεῖν.

Ὀφιομάχης, εἶδος ἀκρίδος μὴ ἔχον πτερά.

Ὀφιόδηκτος, ὁ ὑπὸ ὄφεως δηχθείς. ὄφις ἀπὸ τοῦ ἰὸς, ὄϊς, ἐν ὑπερθέσει, καὶ πλεονασμῷ τοῦ φ, ὄφις.

Ὀφιόπους, γυνὴ ἕρπουσα.

Ὀφιοῦρος, ὄρνις ποιὸς ἐν Αἰθιοπίᾳ.

Ὀφίους. Ἡρόδοτος διὰ τὸ πλῆθος τῶν ὄφεων.

Ὄφις παρὰ τὸ ὄπτω τὸ βλέπω. ὀπτικὸν γὰρ, ὅτι κοιμώμενον ἀνεῳγμένους ἔχει τοὺς ὦπας.

Ὄφις, ποιὸς ἰχθύς. καὶ τὸ χρυσοῦν περιβραχιόνιον, καὶ ὁ δράκων, ὁ φυλάσσων τὰ χρυσᾶ μῆλα, ὃν ἀπέκτεινεν Ἡρακλῆς.

Ὄφλα, ὄνομα χωρίου ὅπου ἦν τεῖχος Ἱερουσαλήμ.

Ὀφλάνειν, ὀφλισκάνειν, ὀφείλειν.

Ὄφλημα, τὸ ἐκ καταδίκης τῷ δημοσίῳ ὀφειλόμενον. κυρίως ὀφείλημα τὸ ἐκ δανείου, καὶ τὸ ἁπλῶς χρέος. χρέος δὲ τὸ ἰδιωτικὸν δάνειον.

Ὀφλίσκουσι, καὶ ὄφλουσι χρεωστοῦσιν.

Ὀφλισκάνοντες, χρεωστοῦντες, ὑπομένοντες.

Ὄφνις, ὕννις, ἄροτρον.

Ὄφρα, εἰ μὲν ὑποτακτικὸν ἐπιφέρεται, σύνδεσμός ἐστιν ἀντὶ τοῦ ὅπως. εἰ δὲ ὁριστικὸν ἐπιφέρεται, ἐστὶν ἐπίρρημα, ὡς τὸ ὄφρα μὲν ἠὼς ἦν, ἀντὶ τοῦ ἕως.

Ὄφρα εἰδῆτε, ὅπως εἰδῆτε, ἵνα θεάσησθε.

Ὄφρ' ἄν, ἕως ἄν.

Ὄφρ' εὖ ἴδω, ὅπως καλῶς ἴδω.

Ὄφρυα, τὰ ὑψηλὰ, καὶ ὑπερκείμενα χωρία. τινὲς, αἱμασιάς.

Ὀφρυαγμοσεμνακουστίνους, παρὰ τῷ Ἀριστοφάνει, ἀπὸ τοῦ ὀφρῦς ἢ φρύαγμα καὶ σεμνὸν, ἀντὶ τοῦ ὑπερήφανον.

Ὀφρυάζειν λέγεται, τὸ ταῖς ὀφρύσι νεύειν.

Ὀφρυγνᾷ, ὅλως Βοιωτοί. οἱ δὲ μέσον, καὶ ὑψηλόν.

Ὀφρυγὴ, χῶμα, λόφος, αἱμασιαί.

Ὄφρυες, παρὰ τὸ ὄπτω γίνονται καὶ τὸ ῥύω τὸ φυλάσσω τροπῇ συνήθει, ὡς ἐν πολλοῖς τοῦ π εἰς φ. φυλάσσουσι γὰρ τὴν ὄψιν ἐκ τῶν ἄλλων, καὶ τοῦ μὴ κακουργεῖσθαι ὑπὸ ὑδρώπων.

Ὀφρύκνηστον, ἐρυθριῶντα. οἱ γὰρ ἐρυθριῶντες κνῶνται τὰς ὀφρῦς.

Ὀφρυὼν. λέγει ἐνίοτε ὁ Ποιητὴς τὴν τοπικὴν ἐξοχήν. ὡς ἐν τῷ ἐπ' ὀφρύσι Καλλικολώνης. ὥσπερ φησὶ κράατα Ὀλύμπου, καὶ ὀρέων κάρηνα. καὶ ὀφρῦς, τὰ κρημνώδη καὶ τραχέα τῶν ὀρῶν καὶ ἔπαρσις καὶ ὑπερηφάνεια.

Ὀφρύνειον, πόλις ἐστὶ Τρωάδος. ὡς δηλοῖ Ἀνδροτίων ἐν τρίτῃ Ἀτθίδος.

Ὀφρυόεν, μετέωρον.

Ὀφρυόεσσα Τροία, ἡ ἐπὶ ὀφρυώδους τόπου κειμένη. καὶ διὰ τοῦτο καὶ ἠνεμόεσσα. ὄφρυες γὰρ αἱ ὀρειναὶ ἐξοχαί.

Ὀφρυόεντα, λοφώδη, ὑψηλόν. καὶ ὀφρυόεντες, ὑπερήφανοι.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Χ.

Ὄχα, ἐξόχως. ἀπὸ τοῦ ἐξέχω ἔξοχος, τὸ ἔξοχον, τὰ ἔξοχα, ἐπίρρημα ἔξοχα, καὶ ἀποβολῇ τῆς ἐξ προθέσεως ὄχα. ἀποβάλλεται γὰρ πολλάκις ἡ πρόθεσις, ὡς ἐπὶ τοῦ καταιγὶς, αἰγίς.

Ὄχανον, τὸ κράτημα τῆς ἀσπίδος. καὶ ὄχανον, ὁ δεσμὸς καὶ ὁ λῶρος. ἐξ οὗ ἀποκρέμαται ἡ ἀσπὶς, γίνεται δὲ παρὰ τὸ ἔχω, ὃ σημαίνει τὸ κρατῶ, ἔχανον, καὶ ὄχανον.

Ὄχ' ἄριστος, ταυτὸν τῷ μέγ' ἄριστος. καὶ ἐξόχως ἄριστος. ὑπέρθεσις ἐπὶ ὑπερθέσει, κατὰ συνήθειαν Ποιητικήν.

Ὀχᾶσθαι, ἄλλεσθαι. ὁ λόγος ἐπὶ Ἀχιλλέως, οὐ βαρυσκελεῖς ποιεῖ, ὁ τῶν νεβρῶν μυελός.

Ὀχέειν

Digitized by Google

Ὀχέειν οἴζυῖ, τὸ ὀχεῖν, φέρειν, βαστάζειν. τοιοῦτον καὶ τὸ οὐκέτι σε χρὴ νηπιάας ὀχέειν. ἰστέον δὲ, ὅτι ὀχέοντας οἴζυῖ, περίφρασίς ἐστι τοῦ ὀϊζυροὺς εἶναι, καὶ εἴρηται ἐκ μεταφορᾶς τῆς ἀχθοφορικῆς. καὶ λέγεται ὀχεῖν. καὶ ὀκχεῖν.

Ὀχέεσκον, ἀντὶ τοῦ ὤχουν. ἤτοι ἔφερον, ἐβάσταζον.

Ὀχέεσθαι, ἄλλοθι μὲν ἐνεργητικῶς νοεῖται. οὕτω γὰρ φαμὲν ὡς θέλει τὶς ἐφ' ἵππου ὀχεῖσθαι. ἄλλοθι δὲ ὀχέεσθαι λέγει τοὺς Ἀχιλλέως ἵππους παθητικῶς, ἀντὶ τοῦ ὑπὸ ἡνιόχῳ γίνεσθαι.

Ὀχεία, ποντία. ἡ ἄγκυρα. παρὰ τὸ ὀχεῖν ἐν τῷ πόντῳ τὰς ναῦς.

Ὀχεία, ἡ μίξις, καὶ ἡ συνουσία.

Ὀχεῖον, ἅρμα, δίφρος, ἅμαξα, ὄχημα. ἢ καὶ τόπος εἰς ὀχείαν ἐπιτήδειος.

Ὀχεῖσθαι, ἄλλως μὲν κοινότερον ἐνέργειαν δηλοῖ, λαμβανόμενον ἐπὶ τοῦ ἡνιοχεῖν καὶ ἐπιβαίνειν. λαμβάνεται καὶ παθητικῶς παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἡνιοχηθῆναι.

Ὀχεῖται, μετέωρος φαίνεται.

Ὀχέοντες, ἐν αὐτοῖς ἔχοντες.

Ὀχεσκον, ὑπέμενον, ἔφερον.

Ὀχεσφιν, κατὰ προσχηματισμὸν Ὅμηρος Ἰλιάδος ε. εὗρε δὲ τόν γε ἄνακτα παρ' ἵπποισι καὶ ὄχεσφι, τοῖς ὀχήμασιν, ἢ τοῖς ἅρμασιν.

Ὀχετεύειν ἐστὶ κυρίως, τὸ ὕδωρ διαὐλακος ἄγειν. ἀφ' οὗ μετοχετεύειν, τὸ μετάγειν ὕδωρ ἐφ' ἑτέραν αὔλακα.

Ὀχετεύει, ἐπιχέει, σαλεύει, μεταφέρει.

Ὀχετλα, τὰ ὀχλήματα, οἱ δὲ, τὰ συντεθραυσμένα.

Ὀχετὸς, σωλὴν, ἀγωγός, ῥύαξ, ὕδωρ, ὑδραγωγεῖον.

Ὀχετοκράνια, τὰ χηλώνεια, ἢ ἐκχύσεις αἱ λεγόμεναι τῶν μηχανημάτων. εἰσὶ δὲ αὗται ξύλιναι, ἢ κεραμαῖαι. οἱ δέ φασι τοὺς ὑπονόμους, καὶ τοὺς ὑπὸ τὴν γῆν ὀχετούς.

Ὀχεῦνται, ἠρέμα κινοῦνται.

Ὀχεὺς, ὁ μοχλὸς, ἡ νῦν λεγομένη σειρά. ἤγουν σερά. ὁμοίως τῷ ζειὰ ζεά, καὶ δειρὴ δερά. καὶ γίνεται παρὰ τὸ ἔχω, ὁ τὰς θύρας συνέχων. διὸ ὁ ποιητὴς τρόπῳ ἐτυμολογίας ἔφη, ἔντοσθεν ὀχῆες εἶχον. καὶ οὐδ' ἄρ ὀχῆες ἐσχεθέτην.

Ὀχεὺς, ὁ τῆς περικεφαλαίας ἱμάς.

Ὀχὴ ὀξυτόνως, ἡ τροφή. ἀφ' ἧς καὶ τὸ εὐωχεῖν κατά τινας παρ' Ἡσιόδῳ. καὶ ἡ εὐωχία δὲ κατὰ ἔκτασιν. ὅμοιον δὲ πρὸς τὰ ῥηθέντα, καὶ τὸ πλείων πλείονος τὸ συγκριτικόν. καὶ τὸ πλειὼν ὀξυτόνως κατὰ περιοχὴν ὁ ἐνιαυτὸς ὁ καθολικὰ πλεία ἐμπεριειληφώς. ἔτι δὲ Τύρος πόλις βαρυτόνως. καὶ τυρὸς ὀξυτόνως, ὁ ἀπὸ τοῦ γάλακτος. καὶ νόμος μὲν ὁ τὸ δίκαιον διδούς. νομὸς δὲ ἐν ὀξείᾳ τάσει, ὁ τῆς νομῆς τόπος, καὶ ὁ κατὰ Αἰγυπτίους ἐν ἐνορίαις. καὶ κατὰ τόνον ὀξὺν, ὁ χρόνος. καῖρος δὲ προπερισπωμένως τὸ μίτωμα. καὶ Ἄνεκτος μὲν προπαροξυτόνως κύριον, ἀνεκτὸς δὲ ὀξυτόνως ὁ φορητός.

Ὀχῆας, τοῦ ζωστῆρος φασί τινες κρίκους εἶναι, οἷς διόλου συνείχετο ὁ ζωστήρ.

Ὀχῆες, οἱ μοχλοὶ, ἀπὸ τοῦ συνέχειν τὰς θύρας.

Ὀχὴς, ὁμίχλη. καὶ φωνή.

Ὄχημα, ἅμαξα, ἅρμα, δίφρος.

Ὄχησις, ἱππασία, φόρησις.

Ὀχήσομαι, βασταχθήσομαι.

Ὄχθας οὐ μόνον ποταμοὶ ἔχουσιν, ἀλλὰ καὶ τάφρους. αἱ δέ εἰσι χείλη καὶ ἀνασκαφαὶ κοίλης τάφρου. διὸ καὶ κάπετον εἶπεν Ὅμηρος ἐν τῷ ω τῆς Ἰλιάδος, ἵνα ἐμφήνῃ τὰς ἐκ τοῦ σκάπτειν ὄχθας.

Ὄχθη ἐπὶ ποταμοῦ λέγεται, ἀκτὴ δὲ ἐπὶ θαλάσσης. ἀπὸ τούτου γίνεται ὀχθῶ ὀχθήσω ποιητικῶς τὸ βαρύνεσθαι. καὶ ὀχθίζω τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς καὶ προσοχθίζω, καὶ προσοχθίσματα.

Ὄχθη, ὁ ἀνεστηκὼς τόπος, καὶ κρημνώδης ἐν ποταμῷ. ὁ τοιοῦτος ἐν θαλάσσῃ λέγεται ἀκτή. ἀκτῆς δὲ ἀκτὴ, τὸ δῶρον. ἀπὸ τούτου λέγεται καὶ Δημήτερος ἱερὸν ἀκτήν. οἷον τὸ ἐξαίρετον τοῦ σίτου καὶ προέχον. ὁ ἐπίπεδος τόπος ἐπὶ μὲν τοῦ ποταμοῦ λέγεται ποταμών. ἐπὶ δὲ θαλάσσης, Αἰγιαλός. καὶ ἠϊὼν καὶ θὶν, ποιητικῶς.

Ὀχθῆσαι, τὸ δεινοπαθῆσαι, ἢ πονῆσαι. ὅθεν καὶ Ἡσίοδος εὐοχθεῖν λέγει τὸ ἐπὶ καλοῖς κοπιᾶν. ἢ καὶ ἄλλως ὀχθῆσαι. τὸ εἰς ὕψος ἐπᾶραι τὸν θυμόν. ὄχθος γὰρ τοπικὴ ἐπανάστασις, τὸ γοῦν μέγ' ὀχθήσας, ἀντὶ τοῦ λυπηθείς. καὶ τὸ ὤχθησαν Θεοὶ, ἀντὶ τοῦ ἐδεινοπάθησαν, ἠχθέσθησαν, ἢ ὕψωσαν τὸν θυμόν, ἢ τὸν φόβον. ἐκ δὲ τοῦ ὁμηρικοῦ ὀχθεῖν καὶ τὸ παρὰ τοῖς ὕστερον προσοχθίζειν παρῆκται, καὶ τὸ ἐξ αὐτοῦ προσόχθισμα.

Ὄχθησις, θόρυβος, τάραχος.

Ὄχθοι, οἱ τραχεῖς καὶ δύσβατοι τόποι, καὶ αἱ ἐξοχαὶ τῶν πετρῶν.

Ὀχθοιβοι, περιάπτει τινὰ εἰώθασι περὶ τοὺς χιτῶνας, ἃ καλοῦσιν ὀχθοίβους, εἰσὶ δὲ τὰ λεγόμενα λώματα.

Ὄχθος χρόνου, ἡ ὀλυμπία. πρώην γὰρ Κρόνου λόφος ἐκαλεῖτο.

Ὄχθος, κρημνὸς, πέτρα, τὸ ὑψηλὸν τοῦ ποταμοῦ, ἢ τῆς γῆς, ἢ ἀπόκρημνον στόμα τῆς θαλάσσης. κυρίως δὲ, ποταμῶν ἄκρα.

Ὀχλαγωγῆσαι, θορυβῆσαι, ἢ συναγαγεῖν ὄχλον, ἢ ταράξαι.

Ὀχλεῖ, στένει, λυπεῖ, κωλύει μετὰ ὄχλου.

Ὀχλεῦνται, ἀπὸ ἐνεστῶτος γίνεται τοῦ ὀχλέω, ἐξ οὗ παράγωγον τὸ ὀχλίζω. ὡς ἐκ τοῦ ὁπλέω τὸ ὁπλίζω. καὶ τοῦ ἀφρέω τὸ ἀφρίζω, ὠνοματοπεποίηται τὸ ὀχλεῖν, καὶ μιμεῖται ἡ λέξις καχλασμὸν ἠρεμαιότερον τοῦ κελαρύζειν, καὶ τοῦτο μὲν σωφρόνως πέφρασται τῷ Ποιητῇ ἐπὶ ψηφίδων. Θεόκριτος δὲ θρασέως ἔφη τὸ πᾶσα λίθος ἀείδει, δῆλον δ' ὅτι ἐκ τοῦ ὀχλεῖν καὶ τοῦ ὄχλου πλεονασμῷ τοῦ μ γίνεται ὁ μοχλός, καὶ ἐκ τοῦ ὄχθος ὁ μόχθος.

Ὀχλεῦντι, ἀπὸ ἐνεστῶτος γίνεται τοῦ ὀχλέω.

Ὀχλεὺς, μοχλὸς, στρόφιγξ, δεσμὸς, ἅρμα, πομπή.

Ὄχλησις, χολή. ὀχλημῶν, μοχλῶν.

Ὀχλίσσειαν, κινήσειαν.

Ὀχλιζομένων, συναγομένων.

Ὀχλίζω, τὸ κινῶ.

Ὄχλογος, κάπηλογος, λαός.

Ὀχλοισίαν, ἱκεσίαν, ἐκκλησίαν.

Ὄχλος, πλῆθος, σύνοδος, σύλλογος, δῆμος, ἄθροισμα, συναγερμὸς, σύστασις. τάχα καὶ συναγωγὴ, καὶ συλλογὴ, καὶ θίασος, καὶ χορός. ὡς εἰ λέγει τὶς ἀνδρῶν ὄχλος, καὶ γυναικῶν πλῆθος, καὶ παίδων σύνοδος, καὶ ξένων σύλλογος, καὶ μετοίκων δῆμος, καὶ δούλων ἄθροισμα, καὶ ἐμπόρων ἀγερμὸς, καὶ καπήλων σύστασις, καὶ ναυτῶν συναγωγὴ, καὶ κυβερνητῶν συνδρομὴ, καὶ παιδευόντων θίασος, καὶ παιδευομένων χορός.

Ὄχλος. ἡ ὄχλησις παρὰ τοῖς Ἀττικοῖς, παρὰ δὲ τῇ θείᾳ γραφῇ καὶ τοῖς ἄλλοις Ἕλλησι, τὸ πλῆθος τοῦ λαοῦ.

Ὀχλῶ, καὶ ἐνοχλῶ, ἐνίοτε μὲν αἰτιατικῇ, ἐνίοτε δὲ δοτικῇ συντάσσεται. ἐπηρεάζω, σοβῶ.

Ὀχλώδης, ὁ ταραχώδης.

Ὄχμα, πόμπημα.

Ὀχμάζουσα, κατέχουσα, βαστάζουσα. κυρίως δέ ἐστιν ὀχμάσαι, τὸ ἵππον ὑπὸ χαλινὸν ἀγαγεῖν, ἢ ὑπὸ ὄχημα. σημαίνει καὶ τὸ ἐν μάχῃ κρατῆσαι. ἀπὸ τῆς αἰχμῆς.

Ὀχμοὶ, σταχύων φυτεῖαι.

Ὄχναι, κυρίως αἱ ἀχράδες. ἤγουν δένδρα γεννῶντα τὰς ἀγρίους ἀπίους. γίνεται δὲ παρὰ τὸ ἄγχειν. ἄγχουσι γάρ πως οἱ ἐκεῖθεν καρποὶ διὰ τὸ ἄγαν στῖφον.

Ὄχνη, εἶδος κύστου, ἢ κυστμίνου.

Ὀχοὶ, οἱ συνέχοντες τὰς ναῦς, καὶ διακρατοῦντες.

Ὄχος, ποιητικόν. ὄχημα δὲ, κοινόν. ὄχημα ἐφ' ᾧ ὀχεῖταί τις.

Ὄχος ποιητικῶς τὸ ἅρμα, τὸ ἐκ τῆς ἁμάξης κατεσκευασμένον, καὶ ὑπὸ τῶν ἵππων κινούμενον, καὶ ὀχούμενον. καὶ ὀχοῦμαι τὸ ἐπὶ ἅρματος τοιούτου φέρομαι. καὶ ἅρμα κροτητὸν, τὸ ποιοῦν κρότον.

Ὀχοῦμαι, καὶ ἀντὶ τοῦ ἐπιβάτης εἰμί. καὶ τὸ ἐφ' ἵππου κάθημαι. ὅθεν καὶ ὄχημα τὸ ἅρμα. καὶ ὀχῶ καὶ ὀχεύω, τὸ ἀφροδισιάζω. καὶ ὀχεία τὸ πρᾶγμα, καὶ οὐχὶ ὄχημα. παρὰ τοῖς Ἀττικοῖς δὲ λέγεται καὶ ὀχεῖσθαι ποιῶ, καὶ ἐπιβάτην καθίστημι ἕτερον, ὡς Ἀριστοφάνης. αὐτὸς βαδίζω καὶ πονῶ. τοῦτον δὲ ὀχῶ, ἀντὶ τοῦ ὀχεῖσθαι ποιῶ.

Ὀχρὸς, ὀχούμενος, φερόμενος.

Ὀχρύνει, βαίνει.

Ὀχυρὸς, ἰσχυρὸς, ἀσφαλής.

Ὀχύρωμα, στερέωμα.

Ὀχύρωσεν, ἠσφαλίσατο, ἐφυλάκισεν.

Ὀχῶν, ὀχευτικῶς ἔχων, ἢ τροχῶν, ἢ ἁρμάτων.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Ψ.

Ὄψ, ὄψις, ὀφθαλμὸς, ἡ φωνή.

Ὄψα, λέγονται τὰ τοῦ σίτου ἡδύσματα, παρὰ τὸ ὀψέ. καὶ τοῦτο διχῶς. ἢ γὰρ ὅτι ὀψὲ ὥρας εἰς δόρπον προσεφέροντο αὐτὰ, παυσάμενοι ἤδη τῶν ἔργων, ἢ ὅτι ὀψὲ χρόνου ἐξευρέθησαν, κατὰ τὰς ἀναγκαίας ἐξ ἀκροδρύων καὶ ποεμίων τροφάς.

Ὀψαλίδαι, οἱ ἀρχηγέται τῶν Αἰτωλῶν.

Ὄψανον, ὄψις, ἡ φωνή.

Ὀψάριον, τὸ ἰχθύδιον.

Ὀψαρτύτης, μάγειρος.

Ὀψαρτυτικὴ, μαγειρική.

Ὄψεαι, θεωρήσεις.

Ὄψεως, θέας.

Ὀψὲ, οὐ μόνον ἀντὶ τοῦ μόλις, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐν ὑστέρῳ, μετὰ προσθήκης ὀνόματος χρονικοῦ. οἷον ὀψὲ τῆς ἡμέρας. χωρὶς δὲ τῆς προσθήκης, ἀντὶ τοῦ ἑσπέρας καθαρῶς. παρὰ Θουκυδίδῃ. οἷον καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ.

Ὀψὲ δύων, ἐν δυσὶ μέρεσι λόγου δεῖ γράφειν κατὰ τοὺς παλαιούς. οὐ συνθέτως ὑφ' ἓν ὀψεδύων. διὰ τοῦ ι γὰρ ἂν ἐγράφετο. ὡς τὸ ὀψιμαθὴς, ὀψιτεκτὸς, ὀψιτέλεστος.

Ὀψείοντες αὐτῆς καὶ πολέμοιο, ἀντὶ τοῦ ὀπτικῶς ἔχοντες. φασὶ γὰρ οἱ παλαιοὶ, ὡς τὰ τοιαῦτα ῥήματα ἔφεσίν τινα δηλοῦσι, καὶ τὸ ἐπιθυμητικῶς τινὸς ἔχειν, ὅθεν καὶ βρωσείω, τὸ βρωτικῶς φασιν ἔχω. καὶ κακείοντες, οἱ κοιμητικῶς ἔχοντες. σημειοῦται δὲ, ὡς οἱ τοιοῦτοι ἐνεστῶτες οὐ προχωροῦσιν εἰς μέλλοντας.

Ὄψεις, ὄνειροι, ὀφθαλμοὶ, ὁράσεις.

Ὀψέποτε, μόλις ποτέ.

Ὄψεσθε, ἐνεστῶτά φησιν εἶναι Ἡρωδιανός. ἀπὸ τοῦ ὄψομαι.

Ὀψία, ἡ βραδεία.

Ὀψιγενὴς, ὁ βραδέως γεννηθείς.

Ὀψίας, ἑσπέρας.

Ὀψίγονοι, οἱ ὀψὲ καὶ εἰς τὸ μέλλον γεννησόμενοι. τούτους δὲ καὶ ἐπιγόνους φαμέν.

Ὀψιμαθὴς, ὁ ὀψὲ ἀρξάμενος μανθάνειν.

Ὄψιμον, χρόνιον, ὕστερον.

Ὄψιμον, ὀψιτέλεστον, ἐκ παραλλήλου. τῆς αὐτῆς εἰσιν ἐννοίας δηλωτικὰ, διὰ σαφήνειαν.

Ὀψινὸς, ὁμοίως τῷ ὀρθρινὸς, καὶ τοῦτο ἁμάρτημα. χρὴ οὖν ἄνευ τοῦ ν ὄψιος.

Ὀψιπαίδωνας, τοὺς, ἕως ζῶσιν ἄξοντας παῖδας βράδιον.

Ὄψις ἐστὶν, ἕξις διακριτικὴ σωμάτων, ἢ διάκρισις αἰσθητῶν. καὶ ἡ πρόσοψις, ἤτοι τὸ πρόσωπον. ἡ ὁρατικὴ δύναμις, καὶ τὸ ὁραθέν.

Ὀψιτελέστων, μετὰ πολὺν χρόνον πληρωθησομένων.

Ὀψοδεία, ἡ ἔνδεια τῶν ὄψων.

Ὄψομαι, καὶ ὦπται μόνα ἐν χρήσει. τὰ ἄλλα τούτων ἄχρηστα.

Ὄψον ἁπλῶς φασιν οἱ παλαιοὶ, πᾶν τὸ συνάμα σιτίοις ἐσθιόμενον. καὶ γίνεταί φασιν ἡ λέξις, παρὰ τὸ ὀψέ. διότι, οὐχὶ ἕωθεν, ἀλλ' ὀψὲ τοιαύτας τροφὰς προσεφέροντο. ἢ μᾶλλον ὅτι ὀψὲ καιροῦ εἰς χρῆσιν ἦλθεν ἀνθρώποις ἡδονῆς χάριν τὸ ὄψον. τὰ πρὸ τούτου γὰρ, ἁπλοϊκῶς ἔζων,

Digitized by Google

ἴζων, τὸ δὲ εἰπεῖν ὡς ἐκ τοῦ ἕψειν γίνεται. τὸ ὄψον, οὐ πάνυ δοκοῦσι, σπάνια ἄλλα, καὶ ὅτι τὸ μὲν ἕψω δασύνεται, τὸ δὲ ὄψον ψιλοῦται. γίνεται δὲ ἐκ τοῦ ἕψειν μᾶλλον ἑψητός, εἶδος μικρῶν τι λεπτῶν ἰχθύων, ἀφύης τυχὸν, ἢ Ἀθερίνης, ἢ βιχλίδων, ὥς φασιν οἱ παλαιοί, ἢ σμαριδίων, ἢ καρκινιδίων. ὅς δὴ ἑψητός, πληθυντικῶς φασι λέγεται ὡς ἐπὶ πολύ. ἑψητοὶ γάρ φασιν ἰχθύδια ὑπολειπόμενα ἐν διώρυξιν, ὅταν ὁ Νεῖλος ὑποπαύηται τῆς πλημμύρας. ἰστέον δὲ, καὶ ὡς οἱ ὕστερον ἐπὶ μόνου ἰχθύος τὴν λέξιν ὥρισαν, ὡς καὶ Ἀθηναῖος παρασημαίνεται. ὅθεν καὶ ὀψάριον, καθάπερ καὶ τέμαχος, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ, ἐπὶ μόνων τμημάτων ἰχθυηρῶν, παρὰ τοῖς παλαιοῖς ἰδιάζεται. ὀψαρίου δὲ πολλαὶ χρήσεις ἐπὶ ἰχθύος παρὰ τοῖς παλαιοῖς.

Ὄψος, μοχθηρός.

Ὄψου, παντὸς προσεψήματος.

Ὀψοφαγία, καὶ ὀψοφάγος, λαίμαργος, ὄψα ἐσθίων.

Ὀψώνη, τὴν πρὸς τὸ ὀψωνεῖν σπυρίδα.

Ὀψώνια, κέρδη, χαρίσματα.

Ὀψωφαγία, ἀδηφαγία.

ΤΟ Ο. ΜΕΤΑ ΤΟΥ Ω.

Ὠγύγιος, ὁ ἀρχαῖος.

Ὠκύμορος, ὁ ταχυθάνατος.

Ὠκύπλοος, ὁ ταχέως πλέων.

Ὠκύπορος, ὁ ταχέως πορευόμενος.

Ὠκύπτερος, ὁ ταχύπτερος, ὀξύπτερος.

Ὠμηστὴς, ὁ ὠμὰ κρέα ἐσθίων.

Ὤν, Θεός, ὁ ἀεὶ ζῶν, καὶ ὑπάρχων.

Ὠνούμενος, ὁ ἀγοράζων.

Ὀάρων, γυναικῶν. παρὰ τὸ ὀαρίζειν.

Τέλος τοῦ ο στοιχείου.

ΑΡΧΗ ΤΟΥ Π.

ΣΤΟΙΧΕΙΟΥ ΤΟ ΑΥΤΟ

ΜΕΤΑ ΤΟΥ Α.

Πῖ, τὸ στοιχεῖον, παρὰ τὸ παίω. ὁ γὰρ τούτου φθόγγος, ὥσπερ παίοντος καὶ κρούοντος ἦχός ἐστι.

Πᾶ, ἀντὶ τοῦ πῆ δωρικῶς. ὡς παρὰ Θεοκρίτῳ, πᾶ μοι ταὶ δάφναι.

Παάπης, οὗτος ποτήριά τινα τοῖς Ἀθηναίοις ἔπεμψε δῶρα. Λεύκων φράστερσιν, ἀπὸ ῥόμεγακλέους ὑστάτου παάπιδος, ὑπέρβολος ἐκπώματα κατεδήδοκε.

Παγαίη, ἡ χιών· σκυθιστί.

Πάγανα, σφύρα. καὶ ἠάργω· ἐπάγη.

Παγανοί, ἀστράτευτοι.

Παγανός, ἰδιώτης, ἄφρων.

Παγάς, γῆ τις ὑπὸ τῶν γεωργικῶν. καὶ πάγας, δίκτυα, παγίδας.

Πάγασα, θύρα· καὶ παγάσαι.

Παγασαῖος, ὁ Ἀπόλλων, ὁ ἐν Παγασαῖς τόπῳ τιμώμενος.

Παγασαί, πόλις καὶ ἀκρωτήριον Μαγνησίας. ὠνομάσθη δὲ ἀπὸ τοῦ πηγαῖς περιρρέεσθαι τοὺς τόπους. ἔστι δὲ καὶ παγασαίου Ἀπόλλωνος ἱερόν.

Παγασιτικὸς, κόλπος.

Πάγγαιον, ὄνομα ὄρους.

Παγγάς, πλάνος.

Παγγενῆ, ἐπίρρημα μεσότητος.

Παγιλὸς, ὁ ἐν τῷ ποδὶ ἀστράγαλος.

Παγετὸς, κρύσταλλος, ψύχος, κρημνός, σκόπελος.

Παγὴ, παγὶς, ποδάγρα, βρόχος.

Πάγην, παγίδα, ἢ ὑψηλὸν τόπον.

Παγῆναι, στερεωθῆναι, πηγῆναι.

Παγηνὸς, ὁ ἐξ ὁδοιπορίας καὶ διωγμοῦ κονιορτός.

Πάγιον, στερεὸν, πιστὸν, κάτοχον, βέβαιον, ἀσφαλές.

Παγὶς, ἐνέδρα. παρὰ τὸ πήσσω πηγὶς, καὶ παγίς. λέγεται καὶ πάγη δίκτυον, ἢ θηρατικὸν ὄργανον τετράγωνον.

Παγκάλης, πάνυ καλῆς.

Παγκαρπία, πανσπερμία.

Πάγκοινος, ὁ λίμνη ἢ τοῦ ᾅδου.

Παγκράδη, ἀπὸ τῆς κράδης τῶν σύκων.

Παγκρατὴς Ζεύς, Ἀθηναῖοι.

Παγκρατιάζειν καὶ παγκράτιον, τὸ αὐτό, τὸ τρὶς πλησιάζειν. καὶ τὸ κιχόριον, ὅ ἐστι πόα.

Παγκρατιασταῖς, ἀθληταῖς, πύκταις, ταῖς χερσὶ καὶ ποσὶ πυκτομαχοῦσι.

Παγκράτιον, πυγμὴ, ἀγὼν, πάλη, ἄθλησις.

Πάγκυφος, ἐλαίας εἶδός τι κατακεκυφὸς καὶ ταπεινὸν, ἐν τῇ ἀκροπόλει.

Παγλαδία, ἑορτὴ παρὰ Ῥοδίοις, ὅταν ἡ ἄμπελος τμηθῇ.

Πάγοι, πετρώδεις ἐξοχαὶ, ἢ εἰς ὕψος ἀνέχουσαι ὀξεῖαι πέτραι.

Πάγον διατειχῆ, ἐν ὄρει τετειχισμένον.

Πάγον λέγουσι, διὰ τὸ ἐξ ὕδατος πεπῆχθαι. πάγος, ὕδωρ τὸ πεπηγμένον ἀπὸ ψύχους, καὶ τὸ σκληρὸν καὶ πετρῶδες ὄρος.

Πάγος, ὄχθος, βουνὸς, ψύχος.

Παγούαιρ, μάρμαρος, ἢ μικακύς.

Πάγουροι, οἱ καρκίνοι, παρὰ τὸ οὐρεῖν καὶ φυλάττεσθαι ἐν τοῖς πάγοις. πάγοι δέ εἰσιν, οἱ κρημνώδεις τόποι. παρὰ τὸ πεπῆχθαι εἰς ὕψος, καταστρέφει δὲ εἰς τὸ διατρίβειν ἐν τοῖς πάγοις, ὡς τὸ δυσκηδὴς νύκτα φυλάξω, ἀντὶ τοῦ διατρίψω.

Πάγχαρος, Ζεύς.

Παγερνίτης, ὄνομα χώρας καὶ τόπος.

Πάγχυ, παντελῶς, παῖον, ἀσφαλές, βέβαιον.

Παγχυρισμὸς, πολυσύγκριτος.

Παγῶν, πηγῶν.

Παδηχίαι, σχίζαι.

Πάδος, ὄνομα ποταμοῦ, τοῦ παρ' Ἕλλησιν Ἠριδανοῦ ὀνομαζομένου.

Πάζιον ἢ τοπάζιον, λίθος πολύτιμος.

Παθαίνεσθαι, ἀπὸ τοῦ ἀγανακτεῖν. καὶ παθαίνεσθαι, ἀντὶ τοῦ πάθος μεταλαμβάνειν, ἢ δεινοπαθεῖν.

Πάθας, πάθη, ξυμφοράς.

Πάθη, δύο σημαίνει. πόνον καὶ ἡδονήν. καὶ ἡ μὲν ἡδονὴ, λεία κίνησις. ὁ δὲ πόνος, τραχεῖα κίνησις. καὶ ἡ μὲν ἡδονὴ, εὐδοκητὴ πᾶσι ζώοις, ὁ δὲ πόνος, ἀποκρουστικός.

Πάθη, ἡ κάκωσις, ἀκόλουθον σφίσι. πάθη δὲ θηλυκὸν, τὸ πάθος.

Παθητικὴ ποιότης ἐστὶν, ἢ ὡς εἶδος, οὐσιωμένη τῷ πράγματι. ἢ διὰ βάθους χωροῦσα, ἢ ἐπιπολαία.

Παθιῶται, συγγενεῖς, πελάται.

Πάθος, λέξεως ὁμωνυμία. ὡς κύων, μεταφορὰ, ὡς τιθήνη ἡ γῆ, κατάχρησις. ἐντεῦθεν καὶ ἡ ἀσάφεια.

Πάθος μεταποίησις τοῦ δέ τινος, οὐ ἦν εἴτε ἐπ' ἀγαθῷ, εἴτε καὶ ἄλλως. ἢ τὸ μεταποιηθῆναι δυνάμενον εἰς τοῦτο, ὃ οὐκ ἦν πρότερον. ἢ πάθος ἐστὶ δύναμις, καθ' ἣν παθητικοὶ γινόμεθα. πάθος ἐστὶ ψυχῆς κίνησις ἄλογος, δι' ὑπόληψιν κακοῦ ἢ ἀγαθοῦ. πάθος κίνησις ἐξ ἐνεργείας ἑτέρου εἰς ἕτερον, τὴν μὲν ἀρχὴν ἔχον ἐν τῷ ποιοῦντι, τὸ δὲ τέλος ἐν τῷ πάσχοντι.

Πάθω. Ἀριστοφάνης, ἦν τι πάθω, ἀντὶ τοῦ ἐὰν συμβῇ με πεσόντα ἀποθανεῖν.

Πάθωμεν, αὐθυπότακτον.

Παῖ. Ἀριστοφάνης, τί δ' ἐστὶν ὦ παῖ. παῖδα γὰρ κἂν ᾖ γέρων καλεῖν δίκαιον, ὅστις ἂν πληγὰς λάβῃ.

Παιὰν, εἶδος ᾠδῆς. ὁ δ' εἶπε κλαύσας φρύνος οὐχὶ παιᾶνος, τοῦτ' ἐστὶν ἡμῖν, φροντίδος δὲ, λύπης.

Παιᾶνας, κώμους, εὐφημίας. παιᾶνες δύο ἦσαν. ἐνυάλιος, ὅτε ἦρχον, ὃς καὶ πρὸ τῆς μάχης ἐγένετο. καὶ ἕτερος, ὅτε ἐνίκων. δύο παιᾶνας ᾖδον οἱ παλαιοί. πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει. μετὰ δὲ τὸν πόλεμον, τῷ Ἀπόλλωνι. τὸ δὲ, ὡς ἐπὶ πλεῖον λέγει Θουκυδίδης, ἀντὶ τοῦ ὡς πρὸς τὸ ἄρξαι τὸν πόλεμον.

Παιανίζω, τὸ παιᾶνα ᾄδω καὶ παιωνίζω. παιὰν γὰρ καὶ παιών, Ἀριστείδης ἐν τῷ παναθηναϊκῷ, ἐκ Θεῶν ἀρξάμενοι, καὶ τοῦ φίλου παιῶνος.

Παιὰν δὲ ἐστὶ ὕμνος τῶν Θεῶν ἀεὶ τιθέασι καὶ μάλιστα τοῦ Ἀπόλλωνος, ἐπὶ ἀπαλλαγῇ τοῦ λοιμοῦ. τὸ δὲ παιὼν καὶ παιωνίζω, ἀλλὰ δὴ καὶ τὸ παιανίζω, ἐπὶ νίκης πολέμου κυρίως. καταχρηστικῶς δὲ, καὶ ἐπὶ ἁπλῶς εὐφροσύνης.

Παιανισμὸς, ᾠδὴ ἐπὶ ἀπαλλαγῇ κακῶν.

Παιγνημονέστατος, τοῖς παιγνίοις ἐπιστήμων.

Παιγνία, ἑορτή. ὡς τῇ Ἑκάτῃ ποιοῦσαι παιγνίαν.

Παιδαγωγηθεῖσαν πόλιν, ἀντὶ τοῦ ἀχθεῖσαν. καὶ παιδαγωγῶ, αἰτιατικῇ.

Παιδαγωγία, παιδεία, διδασκαλία.

Παιδαγωγός, παιδευτής, καὶ τὰ ὅμοια.

Παιδάκια, μειράκια.

Παῖδαι, ἡμέραι τινές.

Παῖδα δέ μοι, τὴν θυγατέρα δέ μοι.

Παιδαλήθριον, παιδασκάριον.

Παιδάρια, τὰ μείζονα, καὶ τὰ ἀρτίως γεγονότα.

Παιδαριώματα, παιδάρια.

Παιδάριον, οὐ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τῶν παρθένων.

Παιδαριώδη, ἀσυνέτα.

Παιδεία ἐστὶ, παίδευσις τῆς κατὰ τὸν βίον εὐταξίας ἐπιστήμη, καὶ σωφρονισμὸς ἀμαθίας ἀπαλλακτική. παιδεία δὲ ἀγωγή τις ὠφέλιμος τῆς ψυχῆς, ἐπιπόνως πολλάκις τῶν ἀπὸ κακίας κηλίδων, ἑαυτὴν ἐκκαθαίρουσα. ἥτις πρὸς μὲν τὸ παρὸν, οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτοῦ γεγυμνασμένοις ἀποδίδωσιν εἰς σωτηρίαν. καὶ παιδεία, ἠθῶν κατόρθωσις ἐπὶ τὸ κρεῖττον φέρουσα. παιδεία γάρ ἐστιν ἁπλῶς μὲν ἡ ἀρετὴ, συνέσεως δὲ, ἢ φρονήσεως, ἢ ἐπιστήμης. ἢ γνῶσις, ἡ τοῦ Χριστοῦ παιδεία, καὶ ἡ τῶν μαθητῶν ἀνάληψις, κατὰ τὸ γεγραμμένον περὶ τοῦ Μωϋσέως, ὅτι ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων.

Παιδερασταὶ σφοδροὶ, ὅ, τε Κυδωνίδης, καὶ ὁ Αὐτοκλίδης.

Παιδέρως, οἱ μὲν σφραγῖδος ὄνομα, οἱ δὲ ἀλείμματα, οἱ δὲ μύρου εἶδος.

Παῖδες, τὸ πάλαι μὲν τέκνα ἀρσενικὰ καὶ θηλυκά. μεταπεσούσης δὲ τῆς χρήσεως νῦν, καὶ οἱ δοῦλοι.

Παιδεύειν, παιδοτροφεῖν.

Παιδεύειν, ἀντὶ τοῦ κολάζειν οὐδεὶς τῶν ῥητόρων εἶπεν, ἀλλὰ παρὰ μόνῃ τῇ θείᾳ γραφῇ τοῦτο εὑρίσκεται.

Παιδεύω, καὶ παιδοτριβῶ, καὶ νουθετῶ σε τὰ καλά.

Παιδεῶτις, παιδοκτόνος.

Παιδιὰ, παίγνιον. ἐδόκει δὲ τὴν βασιλέα καὶ τὸν εὐνοῦχον κατὰ πάρεργον παιδιάν τινα θησόμενος ὁ Τιμάσιος.

Παιδικὰ, ἐπὶ θηλειῶν καὶ ἀρρένων ἐρωμένων τάττεται ἡ λέξις. λέγεται δὲ παιδικὸν, καὶ παιδαριῶδες, οἷον τὸ ἁρμόζον παιδί. ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. ἔστι δὲ οὐδέτερον πληθυντικόν. τοῦτο δέ τινες ἐπ' ἀγαθοῦ ἔρωτος, τινὲς δὲ ἐπ' αἰσχροῦ λαμβάνουσι.

Παιδικώτερον, ἱλαρώτερον.

Παιδικέορ, ὁ ἐν γυμνασίῳ ὑπηρέτης.

Παιδίον, παρὰ τὸ παιδείας δεῖσθαι.

Παιδίνορ, παιδίσκη.

Παιδισκάριον, τὸ κοράσιον Ἀττικοὶ, ἐπὶ τῆς ἡλικίας. καὶ λίθος, ᾧ πρὸς πλασιουργίαν χρῶνται.

Παιδίσκοι, οἱ ἐκ παίδων εἰς ἄνδρας μεταβαίνοντες.

Παιδίσκη, ἡ ἐλευθέρα, καὶ ἡ δούλη, καὶ παιδισκάριον. παιδάριον δὲ Ἀττικῶς μὲν τὸ θυγάτριον, ἑλληνικῶς δὲ τὸ ἄρρεν.

Παῖδνες, ἀλαλαγμοὶ ἐν πολέμῳ.

Παι-

Παιδνὸς, ὁ πάνυ νέος, παρὰ τὸ παίζειν, καὶ ὁ ἀειγενής. ἢ ὁ νεώτατος παῖς.

Παιδοβάτιον, εἶδος ἀμπέλου.

Παιδόθεν, ἀρχῆθεν, ἐκ ῥίζης, ἀπὸ γενέσεως, ἐκ παιδικῆς ἡλικίας.

* Παιδοκτίσαι, παιδοποιῆσαι. κτίσαι γὰρ τὸ ποιῆσαι.

Παιδοκομοῦντα, παῖδα τρέφοντα.

Παιδοκόρος Ἑρμῆς, τιμᾶται ἐν Μεταποντίοις.

Παιδολέτειρα, παιδοφθόρον.

Παιδομαθῆ, ἐκ παιδὸς ἠσκημένον ὄντα. νέον μὲν, ὁρμῆς δὲ πλήρη, καὶ παιδομαθῆ περὶ τὰ πολεμικά.

Παιδονόμος, ἀρχή τις παρὰ Λάκωσι.

Παιδονίκαι, οἱ προϊστάμενοι τῆς τῶν παίδων εὐκοσμίας.

Παιδοπίπην, τὸν παράγοντα καὶ παρακρουόμενον, καὶ ἀναπείθοντα τὰ μειράκια λέγουσι. τοῦτον δὲ Κρατῖνος πιρρόπιπην λέγει.

Παιδοποιία, παρ' Ὁμήρῳ τετραχῶς. οἱ μὲν γὰρ γνήσιοι ἐκ νομίμων γάμων, οἱ δὲ νόθοι οἱ ἐκ παλλακῶν. οἷον, υἱὸν Πριάμου νόθον. καὶ εἰν ἑνὶ δίφρῳ ἐόντε, νόθον καὶ γνήσιον ἄμφω. οἱ δέ τινες σκότιοι, οἱ ἐκ λαθραίας μίξεως. οἷον σκότιον δ' ἐγείνατο μήτηρ. καὶ ἄλλοι παρθένιοι, οἱ ἐκ τῆς ἔτι νομιζομένης παρθένου γεννώμενοι. ὡς τὸ, παρθένιος, τὸν, ἔτικτε χορῷ καλὴ πολυμήλη. ἡ δὲ τοιαύτη λέξις, διφορεῖ τὴν παραλήγουσαν. ὁ μὲν γὰρ παρθένιος υἱὸς τὸ ι ἔχει. ἡ δὲ παρθένειος ἡδονὴ, ἐν Ἱππολύτῃ τὴν ει δίφθογγον φιλεῖν λέγεται.

Παιδοτρίβας, ἀλείπτας, γυμναστάς.

Παιδοτριβικῶς, ἀληπτικῶς.

Παιδοτριβοῦσι, παιδεύουσι.

Παιδουργία, παιδοποιία.

Παίδουσα, ἢ παιδοῦσα, ἐγγύμων.

Παιδολέτρια, παιδοφόνος.

Παιδῶνας, τοὺς μισθοῦ ἐκ τῆς ἀγορᾶς κομίζοντάς τι.

Παίει, αἰτιατικῇ. τύπτει, πλήττει, κρούει, δέρει, ἢ ἐσθίει.

Παίει μὲν ὁ τύπτων, παραπαίει δὲ ὁ παραφρονῶν, τῆς παρὰ προθέσεως τοῦτο δηλούσης.

Παίειν ἐφ' ἁλὶ τὴν μάζαν, παρὰ τῷ Ἀριστοφάνει. ἐσθίειν μετὰ τῶν ἁλῶν τὸν ἄρτον, διὰ τὸ ἀπορεῖν προσφαγίου.

Παίζω τὰ πράγματα, προσπαίζω σοι. παίζω, τὸ ἐναντίον τὸ σπουδάζω. παῖσαι παρ' Ἀττικοῖς, ἀντὶ τοῦ παῖξαι. παιδιὰ τὸ ἐναντίον τῇ σπουδῇ, παίγνιον. δοῦλοι παίζουσι τοὺς ἑαυτῶν δεσπότας.

Παίζω, ἀθύρω.

Παίζω, σεσημείωται ὡς μὴ ἀναλογοῦν. λέγεται γὰρ, ὅτι τὰ εἰς ζω εἰ παραλήγεται τῇ αι διφθόγγῳ, ἀνεκφώνητον ἔχουσι τὸ ι. οἷον σφαδάζω, βοράζω, τὸ ἐσθίω. ματάζω, τὸ μάταια φρονῶ. τὸ παίζω δέ φασιν ἐκ τοῦ παῖς παιδὸς, παιδίζω συγκέκοπται.

Παιηοσωη, ἰατρεία.

Παιητέον, πληκτέον.

Παιήων, ὕμνος τίς φασιν εἰς Ἀπόλλωνά ἐστιν, οὐ μόνον ἐπὶ παύσει λοιμοῦ, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου. καὶ ὁ μὲν Ποιητὴς, καὶ Παιήονα τοῦτον καλεῖ, οἱ δὲ μετ' αὐτὸν Παιῶνα. ἐξ οὗ καὶ ῥῆμα παιονίζειν. ἔτι καὶ Παιᾶνα. ἐξ οὗ καὶ οἱ Παιᾶνες. καὶ τὸ τούτου ῥῆμα, παιανίζειν. γίνονται δὲ αἱ τοιαῦται λέξεις, ἐκ τοῦ παίω τὸ θεραπεύω. αὐτὸ δὲ ἐκ τοῦ παύω, τροπῇ τοῦ διχρόνου εἰς δίχρονον. ἐπεὶ ἐπὶ καταπαύσει κακοῦ τινος ὁ τοιοῦτος ὕμνος ἐξεύρηται. ἔστι δὲ καὶ Παιήων ὄνομα ἰατροῦ, τοῦ παρὰ Θεοῖς. ἐτυμολογεῖται δὲ αὐτὸ ὁμοίως, ἐπεὶ θεραπευτικὸν καὶ καταπαυστικὸν κακοῦ, τὸ τῶν Ἀσκληπιαδῶν φῦλον. τὸν δὲ ῥηθέντα Παιήονα, ἰατρόν τινες τὸν αὐτὸν εἶναι νομίζουσι τῷ Ἀπόλλωνι. διὸ καὶ παρ' Ὁμήρῳ σίζοντες εἰς τὸ καλὸν ἀείδοντες, ἐπάγουσι Παιήονα μέλποντες ἑκάεργον, ἀντὶ τοῦ ὕμνον ᾄδοντες εἰς τὸν Παιήονα Ἀπόλλωνα, ἀλλ' οὐκ ἀρέσκει τοῦτο τοῖς ἀκριβεστέροις. ὥσπερ δὲ παίω παιήσω, ἐπὶ τοῦ τύπτω, κατὰ τὸ τοιαῖσδε σφενδόναις παιήσομεν, οὕτως ἴσως καὶ παίω παιήσω ἐπὶ θεραπείας, ἐξ οὗ ὁ παιήων, ὅθεν κατὰ συστολὴν παιάων. εἶτα ὥσπερ Ἀλκμάων Ἀλκμὰν παρὰ Πινδάρῳ, οὕτω παιάων παιάν. ὁ δὲ παιήων συγκοπεὶς γίνεται παιών, ὡς τὸ ἰὴ παιών. καὶ παιῶνος ἀμενοῦς τυχών. σημείωσαι, ὅτι εὕρηται παιωνία θεραπευτικὴ βοτάνη. καὶ παιωνία χεὶρ, ὅ ἐστι θεραπευτική. καὶ παιονία χώρα, ἐκ τοῦ Παίων παίονος ὄνομα κύριον.

Παιλαγρέται, ἀρχή τις ἐπὶ ἱππέων.

Παιλλὸς, ἄρρην, νήπιος.

Παιμνημονέστατος, ὁ τῶν παιγνίων ἐπιστήμων.

Παίμματα, πλακούντια.

Παῖξαι, Δωριεῖς διὰ τοῦ ξ. ὁ δὲ Ἀττικὸς, παῖσαι καὶ παίσατε. καὶ συμπαίστης διὰ τοῦ σ ἐρεῖ.

Παιόλημα, κίνημα, ἀποπλάνημα. καὶ τὴν ἀπάτην, πανούργημα λέγουσι.

Παίονες, ἔθνος βαρβαρικὸν, δοῦλοι, καὶ ἰατροί. καὶ παιονία χώρα.

Παῖον, ἀσφαλὲς, βέβαιον.

Παίπαλα καλοῦμεν τὰ δύσβατα. καὶ παιπάλη λέγεται, τὸ λεπτότατον τοῦ ἀλεύρου. ἀφ' οὗ παλύνειν, τὸ λευκαίνειν. ὡς τὸ, πολλὰς δὲ χιὼν ἐπάλυνεν ἀρούρας.

Παιπαλᾶν, περισκοπεῖν, ἐρευνᾶν.

Παιπάλλειν, σείειν.

Παιπάλη κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου. καὶ παιπάλημα, πολλὰς ἐκτροπὰς καὶ διεξόδους ἔχον. κυρίως δὲ, τὸ λεπτὸν ἄλευρον.

Παιπάλημα, τὸ πανοῦργον, καὶ ποικίλον ἐν κακίᾳ, καὶ παμπόνηρον σὺν ἀγχινοίᾳ. πεπάλημα, τὸ πολλὰς ἐκτροπὰς καὶ διόδους ἔχον, κυρίως δὲ τὸ λεπτὸν ἄλευρον.

Παιπαλόεις, ὁ τραχὺς, κατὰ πλεονασμὸν τοῦ π. παρὰ τὸ αἶπος, ὃ σημαίνει τὸ μέγα καὶ τραχύ.

Παιπαλόεσσαν, ὑψηλήν. ἔστη δὲ σκοπιὴν εἰς παιπαλόεσσαν ἀνελθών.

Παιπανεία, ἡ κενοδοξία.

Παιρεὺς, παιρέτης.

Παῖς δαῖς, ἀπὸ τοῦ παῖς δαῖς. Αἰολεῖς διαιροῦσι τὰ μονοσύλλαβα ὀνόματα, τὰ εἰς αις λήγοντα.

Παιδικά, τὰ ἐρωτικά.

Παῖς παιδὸς, παιδεύω. παιδεία, ἡ παίδευσις. παιδιὰ ὀξυτόνως, τὸ παίγνιον. παῖς παιδίον παρ' Ἀττικοῖς τὸ θυγάτριον. πολὺς δὲ ἔπαινος τοῦ Ὀδυσσέως τὸ ἐν παιδικῇ ἡλικίᾳ διὰ ὑπερβολὴν συνέσεως πρέσβυν δημοσίᾳ πεμφθῆναι, οὐ παρὰ μόνου πατρὸς, ἀλλὰ καὶ τῶν γερόντων, ὡς ἐν Ὀδυσσείας φ'.

Παισὶ καὶ χήραις, ἐν β' Ὅμηρος ἀπεικάζει τοὺς Ἕλληνας, ὀνειδίζων αὐτοὺς καὶ κωμῳδῶν. διὰ μὲν τῶν γυναικῶν εἰς μικροψυχίαν, διὰ δὲ τῶν παίδων εἰς ἀφιλοπονίαν, καὶ εἰς μαλακότητα. καὶ οὐχ ἁπλῶς παισὶν, ἀλλὰ νεαροῖς, οἳ μικρόν τι τοῦ οἴκου ἀπολειφθέντες, νόσου μέμνηνται. καὶ οὐδὲ γυναιξὶν ἁπλῶς, ἀλλὰ χήραις. αἵτινες κηδεμόνα τοῦ οἴκου μὴ ἔχουσαι, τάχιον ἐπαναλύειν θέλουσιν, ἐπειδὰν βραχύ τι ἀποδημήσωσι. καὶ ἔστι τοῦτο οἷον περίφρασις τοῦ Ἀχαιΐδες, οὐκέτι Ἀχαιοί.

Παῖς ὁ τὴν τοῦ παιδίου παραδραμὼν ἡλικίαν, οὔπω δὲ ἀφιγμένος ἐπὶ τὴν τῶν μειρακίων. εἰσὶ δὲ ἡλικίαι ἑπτὰ, ὥς φησιν Ἱπποκράτης. ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέομεν. παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνὴρ, πρεσβύτης, γέρων. καὶ παιδίον μὲν, ἄχρι ἑπτὰ ἐτέων ὀδόντων ἐκβολῇ. παῖς δ' ἄχρι ἐκφύσιος ἐς τὰ δὶς ἑπτά. μειράκιον δ' ἄχρι γενείου λαχνώσεως ἐς τὰ τρὶς ἑπτά. νεανίσκος δ' εἰς τὰ τῆς αὐξήσεως ὅλου τοῦ σώματος, εἰς τὰ τετράκις ἑπτά. ἀνὴρ δ' ἄχρι ἑνὸς δέοντος ἐς τὰ ἑπτάκις ἑπτά. πρεσβύτης δ' ἄχρις ἐτῶν πεντήκοντα καὶ ἕξ, εἰς τὰ ἑπτάκις ὀκτώ. τὸ δ' ἐντεῦθεν, γέρων λέγεται.

Παῖς ὁ ἐν παιδικῇ ὢν ἡλικίᾳ. ἀρτίπαις, ὁ ἐκβεβηκὼς τὴν παιδικὴν ἡλικίαν. βούπαις, μέγας παῖς. καὶ παρ' Ὁμήρῳ παίδων παῖδες, οἱ μετόπισθεν γένωνται. ταῦτα περὶ Αἰνείου παρ' Ὁμήρῳ ἐν τῷ υ τῆς Ἰλιάδος, καὶ παρὰ Οὐεργιλίῳ ἐν τῷ τρίτῳ τῆς Αἰνεΐδος. τοῦτο δὲ λέγεται διὰ τὴν τῶν Ῥωμαίων ἀρχὴν, ἥν φασιν εἰκὸς εἰδέναι τὸν Ποιητὴν ἐκ τῶν Σιβύλλης χρησμῶν, ἢ αὐτὸν οἴκοθεν εἰδότα. Ποιητοῦ γὰρ ἀρετὴ, τὸ μαντικὴν ἐπιστήμην ἔχειν, ὥς φασιν ἄλλοι πλατύτερον. καὶ ὅρα ὅπως ὁ Ποιητὴς οὐ μόνον τὰ Τρωϊκὰ ἱστορεῖ, πολλὰ δὲ καὶ πρὸ τῶν Τρωϊκῶν, ἀλλὰ καὶ ὑστέρας τινὰς ἱστορίας παραδίδωσιν, ὧν ἐστι καὶ ἡ τοῦ Αἰνείου ἀρχή. ἣν φημιζομένην ὡς εἰκὸς Ἀχιλλεὺς μὲν ὀνειδίζων ἀστεῖα, τὸ δὲ μοιρίδιον ἐξετέλεσεν εἰς αὐτὸ, καὶ παίδων παῖδας, ὡς εἶπεν ὁ Ποιητής. ὁ δὲ Γεωγράφος λέγει, ὅτι τὸν Αἰνείαν τινὲς μέν φασι μετὰ τοῦ Ἀγχίσου πατρὸς καὶ Ἀσκανίου τοῦ παιδὸς λαὸν ἀθροῖσαι, καὶ πλεῦσαι εἰς Σικελίαν, ἐκεῖθεν δὲ εἰς τὴν Λατίνην χώραν ἐλθεῖν κατά τι λόγιον. ἕτεροι δὲ οἰκῆσαι αὐτόν φασι περὶ τὸν μακεδονικὸν Ὄλυμπον. ἄλλοι δὲ εἰς Σικελίαν καταραι. Ὅμηρος δὲ ἐμφαίνει φησὶν ἐν Τροίᾳ μεῖναι αὐτὸν, καὶ διαδεξάμενον τὴν ἀρχὴν παραδεδωκέναι τοῖς παισὶν, ἠφανισμένων τῶν Πριαμιδῶν. ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων. καὶ τὰ ἑξῆς. τινὲς δέ φασι γράφουσι, νῦν δὲ δὴ Αἰνείαο γένος πάντεσσιν ἀνάξει, καὶ παίδων παῖδες, τοὺς Ῥωμαίους λέγοντες. παρ' οἷς τὸν Αἰνείαν καὶ καταστρέψαι τὸν βίον φασί τινες. ὅρα δὲ, καὶ ὅτι τοῦ μὴ ἔχοντος τοὺς διαδόχους ἄσπερμος ἡ γενεὴ λέγεται, καὶ ἀφανῶς ὀλέσθαι. καὶ ὅτι ἐπὶ διαδόχου κράτους καλὸν εἰπεῖν. τὸ νῦν γὰρ δὴ ὁ δεῖνα ἀνάξει καὶ παίδων παῖδες οἱ μετόπισθεν γένωνται.

Παῖσαι Ἀττικοὶ, οὐχὶ παῖξαι. Ἀριστοφάνης ἐν πλούτῳ, βούλει διὰ χρόνου πρός με παῖσαι, ὅπερ ἡμεῖς παῖξαι, ταινιοῦσθαι, στεφανοῦσθαι. ταινία γὰρ ῥάμμα τοῦ στεφάνου.

Παισαρεύμασι, περικόμμασι.

Παίσατε, ἀντὶ τοῦ παίξατε. ὡς ἀπὸ τοῦ παίζω παίσω. ὅθεν καὶ ἡ συμπαίστρια, καὶ ὁ συμπαίστωρ Ἀττικῶς, ὡς τοῦ παίζω παίξω δωρικοῦ ὄντος. ὅθεν καὶ τὸ παίγνιον καὶ ὁ συμπαιγμός. ἡ χρῆσις τοῦ τοιούτου παῖσαι, καὶ παρὰ τῷ Κωμικῷ. Ἡρόδοτος λέγει, οὗτος μὲν ὁ λόγος ἄλλως πέπαισται ὑπὸ Ἑλλήνων. τινὲς δὲ τὸ παίσατε, ἀντὶ τοῦ τύψατε, ὅ ἐστιν ὀρχηστικῶς κρούσατε τὴν γῆν. καὶ τοῦτο παρὰ τῷ Ποιητῇ ἐν Ὀδυσσείᾳ.

Παίσδη, παιδαρίδιη.

Παισὸς, πόλις μεταξὺ Παρίου καὶ Λαμψάκου. ἥτις καὶ μετὰ τοῦ α λέγεται ἄπαισος. λέγεται δέ φασι Παισὸς, διότι ἐκεῖ που Ἀργὼ ὑπὸ πνευμάτων ἀντιπνόων ἀνεπαίσθη, ἤτοι ἀνεκρούσθη, ὅτε καὶ τῷ Κριῷ προσωρμίσθη.

Παίσωμεν, συγχορεύσωμεν.

Παιτοὶ, ἔθνος θρακικόν. ἔπαιξε δὲ Ἀριστοφάνης, παιτὸν παίειν.

Παιφάσσειν, τὸ ἐνθουσιωδῶς, καὶ ἐπιφανῶς ὁρμᾶν. ὅθεν ἐκπαιφάσσειν, τὸ ἐμφανῆ ὁρμὴν ἔχειν. καὶ παίφασσεν, ἐψηλάφα, ἢ ἀντὶ τοῦ ἐνθουσιωδῶς ἐφέρετο.

Παιφάσσουσα, ἀπὸ τοῦ φῶ ἀρχῆς. φαίνω κοινῶς. ποιητικῶς δὲ φάσσω. καὶ κατὰ ἀναδιπλασιασμὸν πάφασσω, καὶ πλεονασμῷ τοῦ ι παιφάσσω. ἀφ' οὗ τὸ παιφάσσουσα, ἤτοι διαπρέπουσα, περιφανὴς οὖσα. καὶ παρ' Ὁμήρῳ ἐνθουσιωδῶς ἔχουσα, καὶ ὁρμῶσα ἐπὶ τὰς Ἀθήνας.

Παιφάσσω, φανεροποιῶ, ἢ ὁρμῶ.

Παίω, τὸ τύπτω. εἰσπαίω, τὸ εἰσέρχομαι. Ἀριστοφάνης ἐν πλούτῳ, εἰσέπαικεν εἰς τὴν οἰκίαν. ἐκπαίω, τὸ ἐξέρχομαι. παραπαίω, τὸ παρακρούω. συμπαίω, τὸ συγκρούω. ὑπερπαίω μέντοι, τὸ ὑπερβάλλω.

Παίων πρῶτος, ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν πεντάχρονος, οἷον στησίχορος.

Παίων δεύτερος, ἐκ βραχείας καὶ μακρᾶς, καὶ δύο βραχειῶν, πεντάχρονος, οἷον ὀνήσιμος.

Παίων τρίτος, ἐκ δύο βραχειῶν, καὶ μακρᾶς καὶ βραχείας, πεντάχρονος, οἷον κλεόβουλος.

Παίων τέταρτος, ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, πεντάχρονος, οἷον ἐπιγενής.

Παιῶνας, ἰατροὺς καὶ ἀλαλαγμούς. καὶ παιωνίζειν, τὸ ἀλαλάζειν.

Παιώνειον, ῥίζης φάρμακον. παιώνειον, ἰατρεῖον θεραπευτήριον. ἢ σωτήριον φάρμακον.

Παιω-

Digitized by Google

Παιωνία, παρὰ τῷ Ἀριστοφάνει. ἔστι δὲ παιωνία ἑορτὴ Ἀθήνησιν, Ἀπόλλωνι ἴσως ἀνακειμένη. καὶ παιωνίοις τισὶ φαρμάκοις σωτηρίοις, ἰατρικοῖς, θεραπευτικοῖς. καὶ ἀλλαχοῦ λέγει, παιωνίαισι χερσί.

Παιωνίσαντες, εὐφημήσαντες, ἀλαλάξαντες, τὸν παιᾶνα Ἐπικαλεσάμενοι. ἦν δὲ ἔθος καὶ ἐπὶ ἔργου ἀρχομένους, καὶ ἐπί τινι νίκῃ τοῦτο λέγειν.

Παιωνίσας, εὐξάμενος, τοῖς Θεοῖς ὁμολογήσας χάριν. παιὼν γάρ ἐστιν, ὕμνος εὐχαριστήριος.

Παιώνιος, Διόνυσος.

Παιῶνος, τοῦ ὕμνου. Παίωνος δὲ, τοῦ ἰατροῦ.

Πακόρεια, πόλις.

Πακοπὴ, ἀποσκοπή.

Πακτὰ, ἡρμοσμένα, πεπορπημένα.

Πακτοῦν, κλείειν, ἀσφαλίζεσθαι. μοχλοῖσι γὰρ τὰ προπύλαια πακτοῦν, Ἀριστοφάνης Λυσιστράτῃ.

Πακτωὴ, ὄνομα πόλεως, καὶ πακτώη.

Πακτωλὸς, ποταμὸς Λυδίας, ὁ νῦν χρυσορρόας λεγόμενος.

Πάλα, ζώνη.

Παλαιγενὲς πρεσβῦτα. Ἀριστοφάνης, χαῖρ᾽ ὦ πρεσβῦτα παλαιγενές.

Παλάθαι, μάζαι σύκων. καὶ παλαθίων, τῶν πεπατημένων ἰσχάδων. παλάθαι δὲ καὶ εἶδος βοτάνης. παλάθαι καὶ τὰ ἐκ τρυγὸς πλάσματα, ἢ ἡ ἐπάλληλος θέσις τῶν σύκων.

Παλαία, ἀλφιτισμός. οἱ δὲ πόσιν σίτου.

Παλαιθεὺ, παλαιᾶς Θεοῦ.

Πάλαι, ἐπίρρημα χρόνου δηλωτικόν.

Παλαιβίσκα, πόλις.

Παλαίμων, ἐκ τοῦ πάλη, ὃ σημαίνει τὴν παλαίστραν γίνεται, καὶ τὸ αἵμων, τουτέστιν, ὁ ἔμπειρος τῆς παλαιστικῆς. καὶ παλαίμων, ὁ Ἡρακλῆς.

Πάλαι παρά τε τῷ Κωμικῷ, καὶ ἑτέροις δείκνυται, οὐκ ἀεὶ μακρὸν χρόνον σημαῖνον, ἀλλ᾽ ἔστιν οὗ καὶ πρόσφατον Ἀττικῶς, ὡς μάλιστα δῆλον καὶ παρὰ Σοφοκλεῖ, ἀλλαχοῦ τε καὶ ἐν τῷ, νῦν τε καὶ πάλαι λέγω. νῦν μὲν γὰρ ἔφη τὸ προσεχῶς ἄρτι. πάλαι δὲ, τὸ ἐν τῷ ἀνωτέρω ἐκεῖ προσεχεῖ στίχῳ.

Παλαιοθέτως, παλαιοπράγμων, δραστήριος.

Παλαιὸν, ἀρχαῖον, σαθρόν.

Παλαιὸς, ὁ ταῖς φρεσὶν ἐξεφθαρμένος. ἤδη ἄφρων, ὁ καὶ ἠλίθιος.

Παλαιότερος, ἐπὶ ἀψύχων. πρεσβύτερος δὲ, ἐπὶ ἐμψύχων.

Παλαιὸν, ἐνίοτε μὲν πρὸς ἕτερον λέγεται νέον. ὡς παλαιὰ Ῥώμη, πρὸς τὴν νέαν. ἐνίοτε δὲ οὐ τῶν πρός τι ἐστὶν, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονός. παλαιὰ πρᾶξις, ἡ πάλαι γεγονυῖα, καὶ ἁπλῶς τὸ παρῳχηκός. ἢ τὸ πάλαι μὲν τὴν ἀρχὴν εἰληφὸς, οὔπω δὲ παυσάμενον.

Παλαιὸς, ῥάπισμα, καὶ παλαιά.

Πάλαι ποιῶ, ἤγουν ἐκ μακροῦ. καὶ πάλαι ἐπαίνεσα, ἤγουν πρὸ μακροῦ. καὶ παρ᾽ Ὁμήρῳ ἐκπερισσοῦ κεῖται, καὶ οὐ κατὰ κυρίαν σημασίαν ἐν τῷ μοῖραν ὁ ξεῖνος ἔχει πάλαι. οὐ γὰρ κυρίως πάλαι μοῖραν ἔχει, ὁ νῦν αὐτίκα λαβὼν αὐτήν. Ἀττικῶν δὲ τὸ σχῆμα, παρ᾽ οἷς καὶ τὸ ποτὲ καὶ τὸ πάλαι ἁπλῶς ὑπόκειται, δίχα τοῦ σημαίνειν πολυκαιρίαν τινά.

Παλαίπολις, τὸ παλαιὸν Ἄργος.

Πάλαιρον, τόπος.

Παλαίστρα, ὁ τόπος ἔνθα παλαίουσι. καὶ αὐτὴ ἡ πάλη.

Παλαίσμασιν, ἀντὶ τοῦ στρατηγήμασι.

Παλαιστὴς, ἀνταγωνιστὴς, σοφὸς παλαιστής.

Παλαιστίνη, ὄνομα χώρας.

Παλαιστὴ, σημαίνει τὴν τῶν τεσσάρων δακτύλων ὀρδιναίαν σύνθεσιν, πελαστή τις οὖσα, ὅτι πέλας συνάγει τὰ ὀστᾶ, τουτέστι πλησίον ποιεῖ τοὺς δακτύλους. παρὰ τὸ πελάζειν οὖν τὰ ὀστᾶ, παλαιστή. ἔστι δὲ τετραδάκτυλον μέτρον. λέγεται καὶ δόχμη, ὅτι πλατείᾳ τῇ χειρὶ μετροῦμεν. ποιεῖ δὲ ἀπὸ τῶν μεγάλων δακτύλων πρὸς τὸ λιχανὸν ἄκρον, δακτύλους δέκα. ἡ δὲ σπιθαμὴ, ἔχει δόχμας τρεῖς. οἷον παλαιστὰς τρεῖς, δακτύλους δὲ δώδεκα. ὡς ἐχούσης τῆς δόχμης δακτύλους τρεῖς, ὁμοίως καὶ τῆς παλαιστῆς. ἀπὸ δὲ τοῦ μικροῦ δακτύλου διεστaμένων τῶν δακτύλων ἕως τοῦ ἀντίχειρος, λέγεται σπιθαμὴ παρὰ τὸ ἀποσπασμὸν ποιεῖν, διὰ τὸν ἀποσπασμὸν ἀπὸ τοῦ μεγάλου τοῦ ἀντίχειρος, πρὸς τὸ τοῦ μικροῦ ἄκρον. ὡς δὲ Χρύσιππος, διὰ τὸ ἀποσπᾶσθαι τὴν ὅλην χεῖρα.

Παλαιστρικὸς, ἄλεξίν φασιν εἰρηκέναι. ὁ δὲ Ἀρχαῖος, παλαιστικὸν λέγει.

Παλαίτατος, ὁ παλαιός.

Παλαίτεροι, λέγονται πλάνοι. καὶ οἷον εἰπεῖν ἀνδραποδιστήριαι περιστεραί.

Παλαίφατα, ἐκ παλαιοῦ χρόνου πεφατισμένα, ὅ ἐστι μεμαντευμένα. οἱ δὲ, πάλαι τέλος ἔχοντα.

Παλαίφατον, τὸ πάλαι ῥηθέν.

Παλαίω, προσπαλαίω σοι. καὶ καταπαλαίω σε, μεταβατικόν.

Παλακῖνος, πολεμιστήριος.

Παλάμαι, αἱ τέχναι, αἱ χεῖρες. ὦ παλάμαι θνητῶν, ὦ δύστηνα γένη βροτῶν, οἷσι μέτριος αἰών.

Παλαμᾶσθαι, τεχνάζεσθαι. καὶ παλαμάσθω πρὸς ταῦθ᾽, ὅτι χρή. καὶ παλαμάσθω, καὶ πᾶν ἐπ᾽ ἐμοὶ τεκταινέσθω, τὸ γὰρ εὖ μετ᾽ ἐμοῦ καὶ τὸ δίκαιον ξύμμαχον ἔσται, καὶ οὐ μήθ᾽ ἁλῶ κακὰ πράσσων. καὶ αὖθις, ὁποῖα παλαμᾶται, ἀντὶ τοῦ τεχνάζεται. καὶ ἀπάλαμος παρ᾽ Ὁμήρῳ, ὁ ἄτεχνος.

Παλαμήδης, ὁ Ναυπλίου καὶ Κλημένης, σοφώτατος ὢν τῶν κατ᾽ αὐτὸν ἀνθρώπων, συνέπλευσεν ἐπὶ Τροίαν τοῖς Ἕλλησι, φθόνῳ δὲ Ὀδυσσέως, καὶ πεπλασμέναις τούτου γραφαῖς κατηγορηθεὶς, ὡς προδώσων τῷ Πριάμῳ τοὺς Ἕλληνας, λιθοβοληθεὶς ἀναιρεῖται. γέγονε δὲ ἐν Λεποτύμνῳ ὄρει Μεθύμνης ἱερὸν τοῦ ἀνδρός. τότε μαθὼν τὴν τούτου ἀναίρεσιν ὁ τούτου πατὴρ Ναύπλιος, ἔπλευσε πρὸς τοὺς Ἕλληνας, καὶ τὴν τοῦ παιδὸς ἀπήτει ποινὴν, ἄπρακτος δὲ ὑποστρέψας πάντων χαριζομένων τῷ Βασιλεῖ Ἀγαμέμνονι, μεθ᾽ οὗ Παλαμήδην ἀνεῖλεν Ὀδυσσεὺς, παραπλέων λοιπὸν τὰς ἑλληνικὰς χώρας, παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι. Κλυταιμνήστραν Αἰγίσθῳ, Αἰγιάλειαν τῷ υἱῷ Σθενέλου, Μήδαν δὲ τοῦ Ἰδομενέως ὑπὸ Λεύκου, ἣν καὶ ἀνεῖλε Λεῦκος, καὶ Κλεισιθύραν τὴν θυγατέρα αὐτῆς ἐν τῷ ναῷ κατασφάξας. καὶ δέκα πόλεις τῆς Κρήτης ἀποσπάσας ἐτυράννησε, καὶ μετὰ τὸν Τρωϊκὸν πόλεμον, καὶ τὸν Ἰδομενέα τῇ Κρήτῃ καταίροντα ἐξήλασε, ταῦτα πάντα ταῖς τοῦ Ναυπλίου γέγονε συσκευαῖς. ὕστερον δὲ ἀκούσας τὴν τῶν Ἑλλήνων ἐπάνοδον ἐπὶ τὴν πατρίδα, ἧψε φρυκτὸν ἐπὶ τὰ κοῖλα τῆς Εὐβοίας, καὶ ὃν εἴπομεν Καφηρέα, νῦν δὲ ξυλοφάγον καλούμενον, ὅπου πλεύσαντες οἱ Ἕλληνες, αὐτοῦ δοκεῖν λιμένα εἶναι, διεφθάρησαν. τὰ δὲ περὶ τὸν Παλαμήδην καὶ Εὐριπίδης ἐν τῷ δράματι Παλαμήδους φησί.

Παλάμη, ἐκ τοῦ πάλλω τὸ κινῶ καὶ σείω, ὁ παθητικὸς παρακείμενος, πέπαλμαι, καὶ ἐξ αὐτοῦ παλάμη, δι᾽ ἧς ἡ χεὶρ κινεῖται. εἰς τὸ παλιμπετές.

Παλαμησάμενος, μηχανησάμενος, καὶ ἐγχειρήσας, ἀπὸ τῆς παλάμης ᾗ τὰ πολλὰ κατασκευάζομεν.

Παλάμηφι, ἀντὶ τοῦ παλάμῃ κατὰ προσχηματισμὸν τῆς φι συλλαβῆς.

Παλαμναῖος, ὁ ταῖς οἰκείαις χερσὶ φόνον ἐργασάμενος.

Παλαμναῖος λέγεται, ὁ φόνον εἰργασμένος. παρὰ τῷ Ἀπολλωνίῳ δὲ παλαιμναίας ἱκεσίας λέγουσι, τὰς ὑπὲρ φόνου γινομένας, ὧν τὸν Δία τιμήορον, ἤγουν τιμητὴν φασι.

Παλαμωμένων, χερσὶν ἐργαζομένων. τὴν ἐκ τῶν Ῥωμαίων παλαμήσασθαι σωτηρίαν.

Παλαμῶν, τεχνῶν, ἢ χειρῶν.

Παλαξέμεν, παλάξειν, τὸ ἀναδεύσειν ὥς φασιν οἱ παλαιοὶ, καὶ φύραι καὶ μολῦναι.

Παλάσσεσθαι λέγει Ὅμηρος, τὸ μολύνεσθαι. ἢ πλεονασμῷ τῆς λα συλλαβῆς ἀπὸ τοῦ πάσσεσθαι. ἀφ᾽ οὗ ἡ παιπάλη. ὡς ὁ Κωμικὸς, καταπατούμενος παιπάλη γενήσομαι. καὶ νῦν ὁ τοῦ Διομήδους θώραξ παλάσσεται αἵματι, ἤγουν μολύνεται. ἰστέον δὲ ὅτι Αἴλιος Διονύσιος μέμνηται τοῦ Θουκυδίδου εἰπόντος, τὸ ἐμπασσόμενοι, ἀντὶ τοῦ ἐμπλεκόμενοι, περιπειρόμενοι, δόρατι φυρόμενοι.

* Παλαντία, πόλις Ἰβηρίας.

* Παλάντιον πόλις Ἀρκαδίας.

Παλάσσετο, ἐμολύνετο, ἐβρέχετο. ἀπὸ τοῦ παλάσσω, τὸ μολύνω.

Παλαστῶσαι, χειροτονῆσαι.

Παλάττω, μολύνω.

Παλάχη, ἀρχὴ, λῆξις, μοῖρα, γενεά.

Παλαχῆθεν, ἐκ γενεᾶς, ἐκ παλαιοῦ.

Παλεὸς, ὁ σκώπτης. τίθεται καὶ ἐπὶ τοῦ ἄφρονος.

Παλεύειν, θηρεύειν, προκαλεῖσθαι. εἰώθασιν ἐκτυφλοῦντές τινα τῶν ὀρνέων ἱστάναι ἐν δικτύῳ, ὅπως τῇ φωνῇ προσκαλοῖτο τὰ ὁμοιογενῆ. Ἀριστοφάνης, καὶ τοῦτο γλωσσηματικὸν παλεύειν ἔλεγον.

Παλεῦσαι, ἐξαπατῆσαι, ὑπαγαγέσθαι. παροιμία παλεύει καλῶς τὴν ἀλώπεκα. καὶ παλεύτρια περιστερὰ, πλάνος.

* Πάλη καὶ παιπάλη, τὸ λεπτότατον τοῦ ἀλεύρου.

Πάλη, ἡ παλαίστρα, ἀπὸ τοῦ πάλλεσθαι τὸ σῶμα.

Πάλη, καὶ παλαιστὴς, καὶ ἀγωνιστής. καὶ ὁ παλαιστικός. διαπαλαίειν, παλαίσματα, παλαίειν, προσπαλαίειν. παλαιστικὸς, ἰσόπαλος, ἀντίπαλος, συγκεκληρωμένος, συλλαχὼν, ἔφεδρος. σφοδρῶς καταπαλαίειν, προσπαλαίειν.

Παληγόνες, οἱ Γίγαντες. Καλλίμαχος, πηλαγόνων ἐλατῆρα, εἴρηνται παρὰ τὸ ἐκ πηλοῦ γεγονέναι, τουτέστιν ἐκ γῆς.

Παλημάτιον, τὸ λεπτὸν ἄλευρον.

Πάληξ, κυρίως σημαίνει τὴν ὕβριν. ἔστι δὲ ἡ λέξις πεποιημένη, ὥσπερ καὶ τὸ παροινία. εἴρηται δὲ ἀπὸ τῆς τῶν παλήκων ὕβρεως, πάληξ πάληκος, παληκίζω, οἱονεὶ παληκισμὸς, καὶ ἐν ὑπερθέσει πηλακισμὸς, προπηλακισμός. ἄλλοι δὲ λέγουσιν, ὅτι οἱ ἀρχαῖοι, ὅτε ἤθελον ὑβρίσαι τινὰ καὶ ἐμπαῖξαι, πηλὸν ἔχριον τὸ πρόσωπον αὐτοῦ. ἀπὸ τοῦ πηλὸς, πήλαξ πήλακος, πηλακίζω.

Παλήσειε, διαφθείρειε.

Πάλθοις, τόξοις, σφενδόναις.

Παλιγγενεσία, τὸ ἐκ δευτέρου γεννηθῆναι, ἢ ἀναπλασθῆναι. ἢ τὸ ἅγιον βάπτισμα λέγεται.

Παλιγκάπηλοι λέγονται, οἱ τὰ αὐτὰ πωλοῦντες, καὶ ἀγοράζοντες. πέντε δέ εἰσιν αἱ διαφοραὶ τῶν πωλούντων, αὐτοπώλης, κάπηλος, ἔμπορος, παλιγκάμπηλος, μεταβολεύς. καὶ ἔστιν αὐτοπώλης μὲν, ὁ ἐν τῇ ἰδίᾳ χώρᾳ πωλῶν τὴν αὐτοῦ πρόσοδον. κάπηλος δὲ, ὁ ἀγοράζων ἀπὸ τοῦ αὐτοπώλου, καὶ πωλῶν ἐν τῇ χώρᾳ ἐν ᾗ ἠγόρασεν. ἔμπορος δὲ, ὁ ἀγοράζων καὶ ἐπὶ ξένης πωλῶν, ἢ ἀπὸ τοῦ αὐτοπώλου, ἢ ἀπὸ τοῦ καπήλου. παλιγκάπηλος, ὁ ἀπὸ τοῦ ἐμπόρου ἀγοράζων καὶ πωλῶν. μεταβολεὺς, ὁ κατὰ τὴν κοτύλην πωλῶν. ὥσπερ οἱ νῦν λεγόμενοι κάπηλοι. εἴρηται παρὰ τὸ συνεχὲς μεταβάλλειν, καὶ αὗται μέν εἰσιν αἱ σημασίαι κυρίως τῶν πωλούντων. καταχρηστικῶς δὲ πᾶς ὁ πωλῶν, κάπηλος λέγεται.

Παλίγκλαστον, σκολιὸν, αὐστηρὸν, δύστροπον.

Παλικοὶ, Ἀδράνου δύο γεννῶνται υἱοί. παλικοὶ, οἱ νῦν τῆς Συρακουσίας εἰσὶ Κρατῆρες, οἱ καλούμενοι παλικοί. οἱ καὶ κατοικήσαντες αὐτῇ.

Παλίγκοτος, ὀργίλος, στυγνὸς, φοβερὸς, ἐναντίος. Ἀριστοφ. μὴ γένῃ παλίγκοτος ἀντιβολοῦσιν ἡμῖν, ἤγουν μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς. καὶ πάλιν μετανοήσῃς ἐφ᾽ οἷς ἡμᾶς εὐεργετεῖν διέγνως. καὶ ἐν ἐπιγράμματι, Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος, ἓν δέ τι καλὸν ἔλαχεν, ἐχθαίρειν τὰς σοβαρευομένας.

Παλίγκοτος, ἀντὶ τοῦ ἐναντίος κεῖται, παρὰ τῷ Ἀριστοφάνει.

Παλίγκυρτος, ἁλιευτικὸν ἀγγεῖον.

Παλιγκώα, πλάνη.

Παλιγλώσσῳ, βλασφήμῳ.

Παλίζεσθαι, σφαιρίζειν.

Παλίλλογα, παλισύλλεκτα.

Παλιλογία ἐστὶ, λέξις. ἢ φράσις, τοῦ μὲν προηγουμένου

μένου καὶ λήγουσα κατάληξις, τοῦ δὲ ἑπομένου ἀρχή. οἷον πάλιν Γνωσθεὶς ὁ ἐμὸς, καὶ πάλιν μυστήριον, μυστήριον οὐκ ἀπατηλὸν οὐδὲ ἄκοσμον, οὐδὲ τῆς Ἑλληνικῆς πλάνης καὶ μέθης.

Παλιλογία, ταυτολογία.

Παλιμβάκχειος, ἐκ δύο μακρῶν καὶ βραχείας, πεντάχρονος. οἷον, Ἥφαιστος.

Παλιμβαλὴς, ὁ ἀνάπαλιν πεσὼν, ὁ ὕπτιος.

Παλίμβιος, ὁ ἐξ ἀναβιώσεως.

Παλιμβολία, ἡ ἀμετάβλητος γνώμη, Ἀγαθίας.

Παλίμβολον, ἀβέβαιον, ἄπιστον. τὸ γὰρ σκυθικὸν εἶναι παλίμβολον.

Παλίμβολος, ἀδόκιμος, ἀμετάβλητος, ἀνελεύθερος, Κλήμης. δύναται καὶ ἀντὶ τοῦ παλίμβολος ἐναντιόβολος, ἐναντιογνώμων. ὡς καὶ Παλίνδης, ἄνομα.

Παλίμβολον κήρυκα τινὲς, τὰ ἐναντία βουλόμενον. οὐκ εὐγνώμονα γὰρ δηλοῖ.

Παλίμβολος. οὐ μόνον οὕτω λεγόμενος, ἀλλὰ καὶ ὁ ἐπὶ δούλου ἐν τῷ παλίμβολος τρίπρατος, καὶ πολλάκις ἀπημπολημένος. ἴσως δὲ καὶ ὁ τοιοῦτος ἐκεῖθεν γέγονεν. ὅθεν καὶ ὁ μεταβολεὺς, ἵνα ᾖ παλίμβολος δοῦλος, ὃν πάλιν καὶ πάλιν οἱ τῶν ἀνδραπόδων μεταβολεῖς ἤλλαξαν, οἷα τρίπρατον.

Παλιμπαγηδὸν, τὸ εἰς τοὐπίσω ἀναποδίζειν.

Παλιμπετὲς ἀπονέονται, ἀντὶ τοῦ παλιμπετεῖς. ἤγουν πεσόντες ἀνάπαλιν τοῦ σκοποῦ. καὶ ἔστιν ἐκ πεσσῶν ἡ μεταφορὰ πιπτόντων, ὅπως ἂν τύχῃ. δύναται δὲ καὶ ἐπίρρημα τοῦτο εἶναι, καλῶς ὀξυνόμενον. τὰ μὲν γὰρ ἐκ τοῦ πέτεσθαι γινόμενα, βαρύνονται. οἷον, αἰετὸς ὑψιπέτης, καὶ τὰ τοιαῦτα. τὰ δὲ ἐκ τοῦ πεσεῖν, ὀξύνονται. οἷον παλλάδιον ὑψιπετές.

Παλιμπετὲς, παλιγκινὲς εἰς τοὐπίσω, παλιγκαμπές.

Παλιμπετὴς. παρὰ μέντοι τοῖς μεθ᾽ Ὅμηρον, ὁ ἑαυτῷ μαχόμενος, καὶ ἐναντιούμενος οἷς εἶπεν, ἢ ἔπραξεν, ὃς καὶ περιπετὴς λέγεται. οἷον ὁ δεῖνα παλιμπετὴς, ἤτοι περιπετὴς ἑαυτῷ ἐγένετο, ἀνάπαλιν ἑαυτῷ καὶ οἷς εἶπε πίπτων. καὶ τὰ ἐπιρρήματα παλιμπετές. Ὅμηρος δὲ ἐν τῷ ἐπὶ νῆας ἔεργε Πάτροκλος παλιμπετὲς, τὰς τῶν Ἀχαιῶν δηλαδὴ φάλαγγας ἐπὶ τὸ ὀπίσω, καὶ ἀνάπαλιν, τὴν λέξιν τίθησιν. ἕτεροι δὲ εἶπον παλιμπετὲς ἐπιρρηματικῶς, τὸ εἰς τὸ ὀπίσω πίπτειν. δύναται δὲ καὶ αἰτιατικὴ εἶναι θηλυκὴ πληθυντικὴ, κατ᾽ ἀποβολὴν τοῦ ι, ἐκ τοῦ παλιμπετεῖς. ἢ συγκοπῇ τοῦ ἀπὸ τοῦ παλιμπετέας, ὁμοίως τῷ ἐρέτας. ἐπιτηδὲς καὶ ἀκλέες οὕτως, ἤγουν ἀκλεεῖς.

Παλιμπλαγχθέντας, οἱ μὲν ἀντὶ τοῦ ἐκ δευτέρου πλανηθέντας χρώμενοι τῇ τῶν νεωτέρων ἱστορίᾳ τῇ λεγούσῃ, ὅτι τὰ πρῶτα ἐπιστρατεύσαντες τῇ Τροίᾳ οἱ Ἕλληνες, ἥμαρτον τῆς ὁδοῦ, καὶ τὴν μηδὲν αὐτοῖς εἰς τιμωρίαν προσήκουσαν γῆν ἐληΐζοντο. ἡ δὲ ἦν ἡ ὑπὸ τῷ Τηλέφῳ Μυσία. ὁ δὲ Τήλεφος ἀντικαταστὰς ἐποίησέ τι κακὸν, καὶ ἔπαθε. πέπονθε μὲν τραῦμα δεινὸν ὑπ᾽ Ἀχιλλέως, ἀμπέλου ἕλικι συμποδισθέντος αὐτῷ τοῦ ἵππου, κατὰ Διονύσου πρόνοιαν, καὶ πεσόντος εἰς γῆν. ἐποίησε δὲ τὸ ἀπράκτους ὑποχωρῆσαι τοὺς Ἕλληνας. ὡς δὲ τὸ τραῦμα εἶχεν ἀθεράπευτον, χρᾶται. καὶ ὁ χρησμὸς ἀνεῖπε τὸ θρυλλούμενον, ὡς ἄρα ὁ τρώσας ἰάσεται. πλέει γοῦν τὴν ταχίστην ἐπ᾽ Ἀχιλλέα, καὶ συμβαίνει τὸν μὲν ἰάσασθαι τὴν ὠτειλὴν, τὸν δὲ δοῦναι μισθὸν τῆς ὑγείας τὴν εἰς Τροίαν ὁδηγίαν. ὡς οὖν ἅπαξ ποτὲ τὴν ἀρχὴν ἐπλανήθησαν, οὕτω φασὶ δέδιε καὶ νῦν Ἀχιλλεὺς, μὴ πάλιν πλαγχθῶσιν, ἤτοι τὸ δεύτερον. καὶ οὕτω μέν τινες ἀκολουθοῦντες καὶ τῷ γεωγράφῳ εἰπόντι, ὅτι ὁ τοῦ Ἀγαμέμνονος στόλος Μυσίαν ὡς Τρωάδα πορθῶν ἐπαλινδρόμησεν αἰσχρῶς. ἄλλοι δὲ, οὐκ ἀρεσκόμενοί φασιν, ὅτι οὔτε τὸ πάλιν ὅλως ἐπὶ τοῦ ἐκ δευτέρου κεῖταί που παρὰ τῷ Ποιητῇ, καὶ οὐ δὲ φαίνεται ὁ ποιητὴς Τηλέφῳ ἢ ἑτέρῳ τινὶ ἀνατιθεὶς τὴν ὁδηγίαν τὴν εἰς τὸ Ἴλιον, ἀλλ᾽ ἢ τῷ μάντει Κάλχαντι. ἐρεῖ γὰρ, ὅτι ὁ Κάλχας διὰ τὴν αὐτοῦ μαντοσύνην, ἡγήσατο ταῖς τῶν Ἀχαιῶν νηυσὶν εἰς τὴν Ἴλιον.

Παλιμπρυμνηδὸν, οἷον παλίμπρυμνον χώρησιν προὔλθεν εἰς τοὔμπροσθεν ἀνακάμπτουσα, ὡς ἐπὶ πρύμνας κρούσαι.

Παλιμπαύρους, βάκχους.

Παλίμφημα, κακὰ, ἐναντία, κακόφημα, δύσφημα.

Παλίμφημον, βλάσφημον. τὸ παλίμφημον δόγμα.

Πάλιν, ἐν τῇ παραθέσει, καὶ ἐν τῇ συνθέσει δύο σημαινόμενα ἔχει. σημαίνει γὰρ καὶ ἐν τῇ παραθέσει, καὶ τὸ ἐκ δευτέρου, καὶ τὸ εἰς τὰ ὀπίσω. καὶ ἐν τῇ συνθέσει ὡσαύτως. σημαίνει καὶ τὸ ἐκ δευτέρου, καὶ τὸ εἰς τὰ ὀπίσω.

Πάλιν, σημαίνει τρία. τὸ εἰς τοὐπίσω, ὡς τὸ χειρὶ πάλιν ἐρύσατο. τὸ ἐκ δευτέρου, ὡς τὸ οὐθέ μιν πάλιν ὀνήσεται θυμός. σημαίνει καὶ τὸ ἐξ ἐναντίας. ὡς τὸ οὔτις τοι τὸν μῦθον ὀνόσσεται, οὐδὲ πάλιν ἐρέει.

Πάλιν παρ᾽ Ἀριστοφάνει, ἀντὶ τοὐπίσω.

Πάλιν ἐλθεῖν, τὸ ἐπανελθεῖν, ὃ παλινζωΐα καὶ παλιγγενεσία λέγεται.

Παλινάγγελος, ὁ ἐξ ὑποστροφῆς ἄγγελος, ὅταν ἀπαγγείλας τινὶ, ἀπὸ τούτου ἑτέρῳ ἅ φησιν, ἐπιφέρῃ.

Παλινάγρετα, ἀμετάβλητα, τὰ χαρίσματα, τὰ ἐκ μεταμελείας πάλιν ἀναλαμβανόμενα. καὶ παλινάγρετον, παλίλυτον, μεταμελητόν.

Παλινάγρετον, ἀπατηλὸν, ἀτελεύτητον, παρ᾽ Ὁμήρῳ. οὕτω φασὶν οἱ παλαιοὶ, ὅτι διὰ τοῦ οὐ παλινάγρετον δηλοῖ, ὡς βέβαιός ἐστι, διὰ δὲ τοῦ οὐδ᾽ ἀπατηλὸν ἐμφαίνει, ὅτι καὶ φιλαλήθης ἐστί. διὰ δὲ τοῦ οὐδ᾽ ἀτελεύτητον, ὅτι τελεσιουργός ἐστιν. ἐν τῷ τῷ, οὐ γὰρ ἐμὸν, λείπει τὸ ἔπος.

Παλιναίρετα, τὰ ἐπεσκευασμένα, καὶ οἷον ἐπίγναφα. οὐ καινὰ δὲ, οὐδὲ ὑγιῆ.

Πάλιν, αὖθις ἀεὶ λέγουσιν Ἴωνες, καὶ οὐκ αὖθις.

Πάλιν ἀφίκετο πρὸς οἶκον, ἀντὶ τοῦ ἐπέστρεψε πρὸς οἶκον.

Παλινδινία, ἡ ἐξ ὑποστροφῆς ὑδάτων.

Παλινδὲς, παλίγγνωστον.

Παλινδικεῖν, ἐπισυνάπτειν δίκην. καὶ παλινδικίαν δίκην, τοῖς ἀδίκως καταδικασθεῖσι.

Παλινδικία, ἡ ἐξ ἀρχῆς δίκη.

Παλινδίνητον, συνεχές.

Παλινδορία, τὸ σκύτος. Πλάτων, σύρφακι καὶ μωμοθύρᾳ παλινδορίαν παίσας αὐτὸν καταθήσω.

Παλινδρομεῖν, εἰς τοὐπίσω ὑποστρέφειν.

Παλίνδρομος, ὀπισθόρμητος, πέμψας αὐτῷ μνᾶς εἴκοσι, παλινδρόμους ἀπέλαβε.

Παλινερέει, ἐναντιωθήσεται, ἢ ἀντερεῖ.

Παλινοδία, ἐναντία ὁδός. παλινῳδία δὲ, ἐναντία ᾠδὴ, ἢ τὸ τὰ ἐναντία εἰπεῖν τοῖς προτέροις. καὶ ῥῆμα παλινῳδῶ, διὰ τοῦ ω μεγάλου.

Παλίνοπτα, τὰ ἀπὸ τοῦ ἡλίου ἀπεστραμμένα, παρὰ τῷ Ἱπποκράτει.

Παλίνορον, παλινόρμητον. διπλοῦν ἐποίησε τὸ ἀνάπαλιν ὁρμώμενον ποιεῖν. Ἀριστοφάνης, τὸ σφῦρον παλίνορον ἐξεκόμισε.

Παλίνορσος ἀπέστη, καὶ ἂψ ἀνεχώρησε, ταυτόν. ὥσπερ καὶ τὸ παλίνορσος, καὶ ἄψορρος. ἂψ, ταυτὸν τῷ αὖτις, ἤγουν ὀπίσω.

Παλινορμένων, ἀντὶ τοῦ ὄπισθεν ὁρμῶν, ὡς παλιμπλαγχθέντες, καὶ εὐρυκρείων. σημαίνει δὲ τὸ ὑποστρέψαντες καὶ παλινδρομήσαντες.

Παλινοστήσας, ἐπανελθών.

Παλινοστῶ, καὶ νοστῶ, ποιητικά.

Παλίντιτα, ἄντιτα λέγεται, ἀντὶ τοῦ ἀντίτιτα, ἤγουν ἀντίποινα. ἔστι δὲ παλίντιτον, οὗ ἡ τίσις πάλιν, ἤγουν ὕστερον ἐν τῷ μέλλοντι γίνεται.

Παλίντιτα, ἐφθὴ πίττα.

Παλινστάγης, χήρα γυνή.

Παλινσκίῳ, σκοτεινῷ, τὸ γὰρ πάλιν, ἐπίτασιν δηλοῖ, ὡς παλιγκάπηλος, καὶ παλίμπρατος. ἡ κοινὴ συνήθεια, παλίνσκια λέγει, τὰ μὴ ὑπὸ τοῦ Ἡλίου θερμαινόμενα πεδία.

Παλίνσκιος, Ἰσαῖος μὲν ἀντὶ τοῦ σύσκιον. Ἀρχίλοχος δὲ, ἀντὶ τοῦ σκοτεινόν. καὶ Σοφοκλῆς, χειμῶνι παλινσκίῳ, ἀντὶ τοῦ ζοφερῷ.

Παλίντορα, εἰς τοὐπίσω τεινόμενα.

Παλίντονα, ὀπισθότονα. ἢ τὰ ἐπὶ θάτερα στρεπόμενα.

Παλινστάπελον, ἀντεστραμμένον, ἐναντίον.

Παλιντριβεῖ, κακεντρεχεῖ.

Πάλιν στρέψειν ἵππους, ἀντὶ τοῦ στραφῆναι ὀπίσω, καὶ ἀνακάμψαι τῆς ὁδοῦ ποιῆσαι. ὅμοιον τούτῳ καὶ πάλιν στρέψεν ὄσσε φαεινώ. καὶ πάλιν στραφῆναι, ἀψικέσθαι φησὶν ὁ Ποιητής. δῆλον δὲ, ὡς ἐκ τοῦ πάλιν στρέψειν, ὁ παλίντροπος σύγκειται. καὶ τὸ πάλιν στρωπάασθαι, ὃ καινότερον διὰ τοῦ ο μικροῦ γράφεται, ἀνάπαλιν τοῦ στωπᾶσθαι, ἴσως διὰ τὴν συνήθειαν.

Παλιντροπίῃσιν, ταῖς περιεπιστροφαῖς. ἢ διὰ τὸ ἔμπαλιν στρέφεσθαι, παρὰ τῷ Ἀπολλωνίῳ.

Παλίντροπος, ὀπισθόρμητος. γυμνὸν ἰδοῦσα Λάκαινα παλίντροπον ἐκ πολέμοιο παῖδ᾽ ἑὸν, ἐς πάσαν ὠκὺν ἱεῖσα πόδα.

Παλιντρωπᾶσθαι, ἡ ἀρχή ἐστι τοῦ παλίντροπος, ἀφ᾽ οὗ τὸ ο μικρῷ παραληγομένου γίνεται παλιντροπάασθαι γραφὴν ὁμοίαν ἔχον καὶ αὐτὸ, καὶ οὐ μεγεθυνόμενον κατὰ τὴν ἀκολουθίαν τοῦ τρωπᾶσθαι. ὅπερ διὰ τοῦ ω μεγάλου γράφεται ἀναλόγως τῷ στρωφῶ, νωμῶ, τρωχῶ, καὶ τοῖς ὁμοίοις.

Παλινῳδία, ἡ προτέρα ᾠδὴ, ἢ ἡ ἐναντία, ἢ δόγμα τοῖς προτέροις ἀνόμοιον.

Παλίνωξις, ἡ ἐξ ὑποστροφῆς δίωξις.

Παλίνωρον, εἰς τοὐπίσω ἐξέκλασε, καὶ ἐξέβαλεν. ἀπὸ τῶν ἐκκοκκιζομένων ῥοιῶν.

Παλινώρους, ἄκοντας.

Παλίουρος, κάδος, ἀντλητὴρ, καὶ τὸ θαμνῶδες δένδρον.

Παλίουρος, εἶδος φυτοῦ ἀκανθώδους.

Παλιπάλιμα, σημαίνει τὸν πανοῦργον καὶ ποικίλον ἐν κακίᾳ, καὶ παμπόνηρον σὺν ἀγχινοίᾳ. λέγεται δὲ καὶ ὁ τραχὺς ἄνθρωπος καὶ ἀνώμαλος.

Παλιρρόθιον, ἤγουν παλίρροιαν, ὃ ὁ Ποιητὴς ἑρμηνεύων λέγει, πόντον δὲ βαλὼν βέλος ἤγαγε νῆα, αὖθις ἐς Ἤπειρον. ἔστι γὰρ αὖθις ἐς Ἤπειρον ἤγαγε, ταυτὸν τῷ παλιρρόθιον ἔφερε.

Παλίρροια, ἡ ἄμπωτις.

Παλίρρυτον, εἰς τοὐπίσω ἑλκόμενον.

Παλίσκιον, τὸ ὑποσκιαζόμενον ὑπ᾽ ἄλλου.

Παλισσυτῶ, εἰς τοὐπίσω ὁρμῶ.

Παλίσσυτοι, ὀπισθόρμητοι, ἀναχωρήσαντες.

Παλισύλλεκτον, ἐξ ὑψηλοῦ δὲ ἐς, ἢ μεταμελητόν.

Παλίφημα, δύσφημα, κακὰ, ἐναντία.

Παλίωξις, ἡ ἀνάπαλιν δίωξις τῶν διωκομένων στραφέντων εἰς τοὺς διώκοντας.

Πάλκος, πηλός.

Πάλλα λατινιστὶ, σφαῖρα ἐκ ποικίλων νημάτων πεποιημένη.

Παλλάδιον, τὸ ἐν Τροίᾳ, φασὶ διοπετὲς μὲν εἶναι. ἤγουν ἐξ ἀέρος ἄνωθεν οὐρανόθεν πεσόν. ἀνδρὸς δὲ δορὰν ἀμφιέσθαι, στέμμα τε ἔχειν καὶ ἠλακάτην, ἐν δὲ τῇ κεφαλῇ πῖλον, καὶ δόρυ ἐν τῇ δεξιᾷ.

Παλλάδιον, τοῦτο ἦν ζώδιον μικρὸν ξύλινον, ὃ ἔλεγον εἶναι τετελεσμένον φυλάττον τὴν Βασιλείαν τῆς Τροίας.

Παλλαδίων χρυσουμένων, ἐν ταῖς πρώραις τῶν τριήρων οἱ Ἀθηναῖοι ἀγάλματά τινα ξύλινα τῇ Ἀθηνᾷ καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν.

Παλλάδος πρόσωπον, στατήρ. ἐπὶ μὲν ἑνὸς μέρους Ἀθηνᾶς πρόσωπον, ἐπὶ δὲ θατέρου, τὴν γλαῦκα.

Παλλακὶς, ἡ παῖς. κατὰ Δωριεῖς πάλλαξ λέγεται.

Παλλὰς ἡ Ἀθηνᾶ, παρὰ τὸ πάλλειν τὰ ὅπλα. πολεμικὴ γὰρ, καὶ ἐν τῷ γεννᾶσθαι ἀπὸ τῆς τοῦ Διὸς κεφαλῆς, ἐξέθορε τὰ ὅπλα κινοῦσα. ἢ παρὰ τὸ παλλομένην τὴν τοῦ Διονύσου καρδίαν ἀνενεγκεῖν τῷ Διΐ. Διόνυσον γὰρ τὸν Ζαγρέα καλούμενον, υἱὸν Διὸς καὶ Περσεφόνης ὑπάρχοντα, μεληδὸν οἱ Τιτᾶνες ἐσπάραξαν. οὗ τὴν καρδίαν ἔτι παλλομένην ἀνήνεγκεν. ἢ ὅτι ἐν ταῖς συμβολαῖς τῆς μάχης τῶν Γιγάντων καὶ τῶν θεῶν, Πάλλαντα ἕνα τῶν Γιγάντων ἀνεῖλεν. ἢ Πάλλαντα τὸν ἴδιον πατέρα πτερωτὸν ὑπάρχοντα, καὶ βιαζόμενον ταύτην ὡς θέλοντα συγγενέσθαι. ἢ τὴν παρθενίαν τιμῶσα, τοῦτον ἀνεῖλε. καὶ τὸ δέρμα αὐτοῦ ὡς αἰγίδα περιεβάλετο. καὶ τὰ πτερὰ τούτου τοῖς ποσὶ ταύτης προσήρμοσεν. ὅθεν αὐτὴν ἐθεοποίησαν οἱ Ἕλληνες, καθάπερ καὶ τὴν πολεμικωτάτην Ἀθηνᾶν, ἵππων ἰδοῦ

μὲν

μὲν ὑπάρχουσαν θυγατέρα, Ἰοδάμου δὲ ἀδελφήν. τὴν Ἰοδάμας ἀντιπολεμοῦσαν ἀνεῖλεν, ὥς φησι Σιμωνίδης ὁ γενεαλόγος Πηλιάδης. ἐνθέμβεον, εἰ σορόωντες ἔργον Ἀθηναίης Ἰτωνίδος, ἠδὲ καὶ αὐτοὺς ἥρωας χείρεσιν ἐπικραδίοντας ἐρετμῶν. Φερεκύδης δὲ παλλάδια λέγει τὰ χειροποίητα μορφώματα, καὶ πᾶν τὸ ἐξ οὐρανοῦ εἰς γῆν βαλλόμενον. καὶ τὸ παλλάδιον δὲ τῆς Ἀθηνᾶς, τοιοῦτον ἦν τρίπηχυ, ξύλινον, ἐξ οὐρανοῦ καταπεσὸν ἐν Πεσιμοῦντι τῆς Φρυγίας. ὅθεν ὁ Διόδωρος καὶ Δίων τὸν τόπον ἀπὸ τοῦ πολὺς ἐκεῖ πεσεῖν ἐν τῇ συμβολῇ τοῦ πολέμου, ὁπότε διὰ τὴν ἁρπαγὴν Γανυμήδους ἐμάχοντο Τάνταλος ὁ ἐραστὴς Γανυμήδους, καὶ Ἶλος ὁ ἀδελφὸς αὐτοῦ. Ἰωάννης δὲ ὁ Ἀντιοχεὺς ἐξ οὐρανοῦ λέγει πεσεῖν τὸ παλλάδιον, Ἄσιον δέ τινα φιλόσοφον μαθηματικὸν ποιῆσαι ὡροσκόπον κάλλιστον, ἀπόρθητον εἶναι τὴν πόλιν ἐκείνην, ἔνθα ἂν τοῦτο μείνῃ πεφυλαγμένον καὶ ἄσυλον, χαρίσασθαι δὲ τὸ τοιοῦτον παλλάδιον τῷ Τρωΐ. Ἀπολλόδωρος δὲ λέγει, μετὰ τὸ κτίσαι Ἶλον τὴν Ἴλιον, τῇ βοῒ ἀκολουθήσαντα εὔξασθαι ἰδεῖν σημεῖον, καὶ οὕτως ἰδεῖν τὸ παλλάδιον, ὃ τρίπηχυ ἦν τῷ μεγέθει, τοῖς δὲ ποσὶ συμβεβηκός, καὶ τῇ μὲν δεξιᾷ δόρυ ἔχον, τῇ δὲ λαιᾷ ἠλακάτην καὶ ἄτρακτον. φασὶ γὰρ Ἀθηνᾶν περὶ τῷ Τρίτωνι τρέφεσθαι, οὗ θυγάτηρ ἦν Παλλάς, ἀμφοτέρας διδασκάλους τὰ κατὰ πόλεμον εἰς φιλίαν ἐλθεῖν. μελλούσης δὲ πλήσσειν τῆς Παλλάδος, φοβηθεὶς ὁ Ζεύς, ἀνέτεινε τὴν αἰγίδα, ἥτις τρωθεῖσα ὑπὸ τῆς Ἀθηνᾶς πίπτει. Ἀθηνᾶ δὲ περίλυπος γενομένη, ξόανον ἐκείνης ὅμοιον κατασκευάσασα, περιέθετο τοῖς στέρνοις, ὃ λέγουσιν αἰγίδα, καὶ ἐτίμα ἱδρυσαμένη περὶ τῷ Διΐ. ὕστερον δὲ Ἠλέκτρα τούτῳ προσεγγίσασα ἔρριψεν εἰς τὴν Ἴλιον τῆς μισονύμφου. τοῦτο δῆλον, ὅτι ἡ τιμῶσα παρθενίαν τὰς νυμφευθείσας μισεῖ. διαφέρει δὲ παρθένος, καὶ κόρη, καὶ νεᾶνις, πρὸς νύμφην, γυναῖκα, γραῦν. παρθένος μὲν γάρ ἐστιν, ἡ μὴ γευσαμένη συνουσίας ἀνδρῶν. νύμφη δὲ, ἡ νεωστὶ ζευχθεῖσα, μήπω δὲ τετοκυῖα. γυνὴ δὲ, ἡ γονῆς δεκτικὴ καὶ τίκτουσα. γραῦς δὲ, ἡ διαφθαρεῖσα τοῦ τίκτειν.

Παλλάδα τὴν Ἀθηνᾶν λέγει κατὰ ἀλληγορίαν, διὰ τὸ τῆς προνοίας ἢ φρονήσεως, εἰς ἣν ἡ Ἀθηνᾶ λαμβάνεται, ὀξυκίνητον. ὡς ἀπὸ τοῦ πάλλω, τοῦ δηλοῦντος τὸ κινῶ. ἐξ οὗ καὶ πάλος, ὁ κλῆρος λέγεται. καὶ κραιπάλη, ὁ ἐκ μέθης παλμός, ὅ ἐστι κίνησις καὶ δίνησις τοῦ κάρα, ἤγουν τῆς κεφαλῆς. ἡ δὲ ἱστορία εἰς αὐτὸν ἄγει νεανίδι τὴν Παλλάδα, ὑπὸ παρὰ τοῖς παλαιοῖς τὰς μείρακας ὀνομάζεσθαι λέγουσα. ὅθεν καὶ ἡ παλλακὶς παρωνόμασται. καὶ πάλλαντες παρὰ τοῖς ἀρχαίοις, οἱ νέοι. ὥς φησι Φερεκύδης. τὸ δὲ λέγειν οὕτω καλεῖσθαι αὐτὴν, ἐπειδὴ ἐν τῇ γιγαντομαχίᾳ Πάλλαντά τινα πεφόνευκε γίγαντα, ἢ ὅτι ἐκ τῆς τοῦ Διὸς ἀνέπαλτο κεφαλῆς. ἢ ὅτι κεραυνῷ τῆς Σεμέλης βληθείσης, καὶ τοῦ Διονύσου διεκπεσόντος ἐμβρύου, παλλομένην τὴν τοῦ ἀμβλώματος καρδίαν ἤνεγκε τῷ Διΐ. εἴτι δὲ τοιοῦτον ἄλλο λέγεται, μύθου ἐστὶ παραπλήρωμα. καὶ ἐκεῖνο μέντοι ἰστέον, ὅτι τὰ τῆς Παλλάδος εἴδωλα, παλλάδια τοῖς παλαιοῖς ὀνομάζονται. καὶ ὅτι φρόνησις ἠθικῶς ἐστιν Ἀθηνᾶ, ὡς ἐρρέθη.

Παλάθη, ἡ τῶν σύκων ἐπάλληλος θέσις.

Παλλάκιον, μειράκιον.

Πολλακὸς, ἐρώμενος.

Παλλάντιος Ζεὺς, ἐν Τραπεζοῦντι.

Παλλαντὶς, ἡ Τριτωνὶς λίμνη.

Παλλασίων, τῶν πεπατημένων ἰσχάδων. τινὲς δὲ τῶν παλάθων. παλάθη δὲ εἶδος βοτάνης. Ἀριστοφάνης.

Παλλάσσειν, ῥαίνειν, βρέχειν, μολύνειν.

Παλλάκχανον, κρόμμυον, ἀσκαλωνίται.

Πάλλει, κινεῖ, σείεται, ἅλλεται, καὶ ἐπὶ τῷ δὲ τὸν θυμὸν συνελέξατο ὁ βάρβαρος, καὶ τῷ παλλεύεσθαι ὑπὸ τοῦ τρόμου ἔληξε.

Πάλλεν, ἔλαβεν, ἐκέρδανε.

Πάλλεσθαι, κληροῦσθαι, ἅλλεσθαι.

Πάλλευκον, ἀνήμερον.

Παλληνεῖς, δῆμός ἐστι τῆς Ἀττικῆς. ἔνθα Πεισιστράτῳ τῷ βουλομένῳ τυραννεῖν, καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν, πόλεμος συνέστη. παρὰ τῷ Ἀριστοφάνει κεῖται πάλληνα. συγκέκοπται ἡ λέξις. τὸ γὰρ ὁλόκληρόν ἐστι παλλήνεια.

Παλληνία, ἡ Ἀθηνᾶ ἐν Χαλκίτῃ.

Παλλήνη, δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ ἐκ τόπου ἐπίρρημα. ἔστι δὲ καὶ ἐν Θράκῃ Παλλήνη Γναίριμον.

Παλληνικὸν βλέπειν, ἀντὶ τοῦ γενναῖον.

Πάλληξ, βύπαις.

Παλλία, ἀγών. οἱ δὲ τὸ παλαιὸν, ἔνιοι δὲ τὸ πᾶν.

Παλλίλογα, γέγονε τροπῇ τοῦ ν εἰς λ, ὁποῖον καὶ τὸ πάλλευκον κάρα.

Παλλιχίαρ, πιμμάτιόν τι παρὰ Λάκωσι.

Παλλόμενον, ἀλλόμενον, πληρούμενον.

Πάλλονται οἱ ὀφθαλμοὶ, καὶ σάρκες, ὑπὸ πνεύματος ἐντὸς ἀποληφθέντος. ἀφ' οὗ παλμὸς καὶ παλμοσκόπος, ὁ τῶν παλμῶν ἑρμηνεύς. καὶ πάλλεταί τις καρδίαν, ὑπὸ φόβου.

Παλλύσαις, ὄργανον βασανιστήριον.

Πάλλω, πάλω ἔπηλα, ὅθεν πάλος ὁ κλῆρος.

Παλλωία, τὰ μὴ τυχεῖν βάλλοντα.

Πάλμυς, γέῤῥον.

Παλμικὸν οἰώνισμα. ὅπερ Ποσειδώνιος συνεγράψατο, οἷον ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμὸς, τόδε σημαίνει.

Παλμισὸς, πόλις.

Παλμὸς, τρόμος, σεισμός. * κίνησις ἀβούλητός τε καὶ ἀκούσιος, ὑπὸ πνεύματος γινόμενος.

Παλμυὸς, Βασιλεὺς, πατήρ. οἱ δὲ πάλμυς.

Παλμύτης, Αἰγύπτιος Θεός.

Πάλνης, πλάνης, ἀπάτη.

Πάλος, κλῆρος. ὁ δὲ Δαρεῖος τούτοις κελεύει πάλλεσθαι, παλλομένων δὲ, λαγχάνει ἐκ πάντων Βαγαῖος.

Παλτὰ, τὰ δόρατα. ὁ δὲ Κῦρος ἀναβὰς ἐπὶ τὸν ἵππον, τὰ παλτὰ ἐπὶ τὰς χεῖρας ἔλαβε, Ξενοφῶν. καὶ Ἀῤῥιανὸς, ἐξηκόντιζον εἰς τοὺς προμαχομένους τοῦ τείχους, οἱ μὲν παλτὰ, οἱ δὲ τοξεύματα. ἐν δὲ τῇ δεξιᾷ ἔχοντες παλτὸν, ὡς τὸ ἑξάπηχυ. ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὐτοῦ τοῦ ξύλου σφαιροειδές.

Παλτάρια, σεμίδαλις.

Πᾶλτο, ἥλατο, ἀπέβη.

Πάλτον, κληρωτήν.

Παλῦναι, ἐπιστάσσειν, παρὰ τῷ Ἱπποκράτει.

Παλύνας ἀλφίτου ἀκτῇ, παρ' Ὁμήρῳ, ἐν Ὀδυσσείᾳ, τουτέστι λευκάνας καταπάσας ἀλφίτου ἀκτῇ, τουτέστι δώρῳ, ἢ κλάσματι.

Παλύνειν, δηλοῖ τὸ λευκαίνειν, κυρίως δὲ ἐπὶ ἀλεύρου λέγεται. ὅθεν καὶ ἡ παιπάλη. ὁ δὲ Κωμικὸς δοκεῖ καὶ ἀντὶ τοῦ καταπάσσειν νοεῖν τὴν λέξιν, ἐν τῷ καταπαττόμενος, παιπάλη γενήσομαι. καὶ ἔστι φασὶ πάλη, τὸ ἀποπαλλόμενον λεπτότατον τοῦ ἀλεύρου. ἐξ οὗ καὶ τὸ παλύνειν, καὶ ἡ παιπάλη κατὰ ἀναδιπλασιασμὸν, καὶ ἐπενθέσει τοῦ ι. εἰ δὲ λέγεται παλύνειν καὶ τὸ μολύνειν κατὰ Ἀππίωνα, λυσιτελεῖ τοῦτο εἰς τὸ ξανθὸν κρᾶτα διεπάλυνε, παρ' Εὐριπίδῃ.

Παλύνων, ἀντὶ τοῦ ἐπιπάσσων Ἴωνές φασι.

Παλύνω, ὡς Ἀππίων τὸ μολύνειν καὶ βρέχειν. ἄμεινον δὲ τὸ λευκαίνειν.

Πάμβαξ, καὶ παμβακὶς, τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον, καὶ τὴν στιβοδόκην κοιτίδα παμβακίδων.

Παμβωτάδης, τῆς Ἐρεχθηΐδος δῆμος.

Παμβῶτις τύχη, ἐλπὶς παντοτρόφος.

Παμισὸς, ποταμός.

Παμμάκαρ, κατὰ πάντα μακαριστός.

Πάμματα, καλεῖται παρὰ Δωριεῦσι τὰ κτήματα. καὶ πάσασθαι, τὸ κτήσασθαι, ἐκτεινομένου τοῦ α.

Παμμάχιον, παγκράτιον.

Παμμέγεθες, λίαν μέγα.

Παμμέλεσιν, μέλεσι γλυκεροῖς.

Παμμήστορα, πάντων τεχνίτην.

Παμμήτωρ, ἡ γῆ, ἀπὸ τοῦ τρέφειν πάντας.

Πάμπαν, παντελῶς, ὁλοτελῶς.

Πάμπανον, ἡ Δημήτηρ ἐν Ἡρακλείᾳ.

Παμπήδην, παντελῶς, ὁλοσχερῶς.

Παμπησίαν, τὴν πᾶσαν κτῆσιν λέγει Ἀριστοφάνης.

Παμπληθεῖ, καὶ πάμπληθες, ἀντὶ τοῦ πολύ. καὶ παμπληθεῖς, πάνυ πολλάς.

Παμποίκιλος, πολύτροπος.

Πάμπρωτον, πάντων πρῶτον.

Παμπόλη, ὄνομα πόλεως. παμπόλλη δὲ, ἡ πολλὴ καὶ ποικίλη.

Παμφάγον καλοῦσι τὸ πῦρ. οὐ ὡς φάγου καὶ τὸ δάπτειν ἐστί.

Παμφάγος, ὁ πάντα δαπανῶν.

Παμφαὴς, ἡ πᾶσι φαίνουσα φαιδρότης.

Παμφαίνειν, λάμπειν, στίλβειν, ἀστράπτειν.

Παμφαίνησιν, κατὰ ἐπέκτασιν ἀπὸ τοῦ ἐὰν παμφαίνῃς παμφαίνῃ παμφαίνῃσιν, ὥσπερ ἔχῃσι.

Παμφαλᾶν, τὸ μετὰ πτοήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν πάντῃ. κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων. Ἀπολλώνιος, πόλλ' ἐπιπαμφαλόωντες, πολλὰ ἐπιβλέποντες, σημαίνει καὶ τὸ ἐπιφέρεσθαι.

Παμφαλύζει, τρέμει.

Παμφανόωσα, σφόδρα λάμπουσα. παμφαίνω, καὶ ἀπὸ τούτου παμφανάω, ῶ, καὶ πλεονασμῷ τοῦ ο, παμφανόω.

Παμφαὺς, λαμπρᾶς.

Παμφθόγγῳ, παμφώνῳ.

Πάμφι, παντάπασι.

Παμφίδες, γυναῖκες Ἀθήνησιν, πάμφου τὸ γένος ἔχουσαι.

Παμφίδων, κεράτων.

Πάμφιλον, τόπος.

Πάμφιλος καὶ Βελονοπώλης παρὰ Ἀριστοφάνει, ἀμφότεροι πλούσιοι, ἀντὶ τοῦ εἰπεῖν πλουτοῦσιν, εἶπεν οὐχὶ κλαύσονται. ὁ Πάμφιλος δὲ δημαγωγὸς ἦν, οἱονεὶ πολιτευόμενος, καὶ ἔκλεπτε τὰ τοῦ δήμου. τινὲς δὲ τὸν βελονοπώλην παράσιτον φασὶ τοῦ Παμφίλου. δυστυχοῦντος οὖν τοῦ Παμφίλου, ἀνάγκη καὶ αὐτὸν συνδυστυχεῖν αὐτῷ.

Πάμφιλος παρὰ τῷ Ἀριστοφάνει, ζωγράφος ἦν. ὅς τις τοὺς Ἡρακλείδας ἔγραψεν ἱκετεύοντας τὸν τῶν Ἀθηναίων δῆμον. μετὰ γὰρ θάνατον Ἡρακλέους Εὐρυσθεὺς διώκει τοὺς Ἡρακλείδας, διὰ τὸ πρὸς τὸν Ἡρακλέα τὸν ἐκείνων πατέρα ἐμφύλιον μῖσος. ταύτην τὴν ἱστορίαν ἔγραψε Πάμφιλος τραγικός. κατὰ δέ τινας ζωγράφος ἦν, ὃς τὴν Ἡρακλειδῶν τύχην χαρακτῆρι ὑφηγήσατο. καὶ ἄλλα πολλὰ περὶ τούτου ἄλλοι λέγουσι.

Πάμφορον, πολύκαρπον.

Πάμφορος, παντοῖα φέρων.

* Παμφυλία, χώρα προσεχὴς τῇ Ἰσαυρίᾳ, ἀπὸ Παμφύλης τῆς Ῥακίου, καὶ Μαντοῦς. καὶ Παμφυλία πόλις Μακεδονίας.

Πάμψυχος, ὁ Ἀμφιάραος, ὅτι πασῶν ἀνάσσει ψυχῶν ἐν ᾅδου, ἢ ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν. ἢ ὁ διαπαντὸς τὴν ψυχὴν σώζων, ὅ ἐστιν ἀθάνατος.

Πάμωχος, ὁ κύριος. Ἰταλοὶ καὶ ἡ δεκὰς, καὶ τὸ φιλεῖν τῷ στόματι τὰ παιδία καὶ τὸν πατέρα.

* Πάναβρος, ὁ πάνυ ἁβρὸς καὶ τρυφηλός.

Παναγὲς, καθαρόν. ἄγος γὰρ καὶ ἁγνεία, καὶ μῦσος, κατ' ἀντίφρασιν.

Παναγιστίας, παναγίας.

Πάναγρα, τὰ δίκτυα, ἀπὸ τοῦ τὰ πάντα ἀγρεύειν.

* Παναεργὲς, πάντως ἀκατέργαστος, ἢ ἀδιάπεπτος.

Παναθήναια, ἑορτὴν παρ' Ἀθηναίοις εἶναι μεγίστην παρὰ πάντων ᾄδεται, ἐν οἷς ὠρχοῦντο οἱ παῖδες ἐν ὅπλοις. ἐπεὶ οὖν ἐν τοῖς παναθηναίοις πᾶσαι αἱ ἀπὸ τῶν Ἀθηνῶν ἀποικισθεῖσαι πόλεις βοῦν τυθησόμενον ἔπεμπον, συνέβαινεν ἄδειαν εἶναι τῶν κρεῶν, ὡς πληροῦσθαι πάντας, καὶ παρὰ τὸ δέον ἐσθίοντας, διὰ τὴν ἀφθονίαν τῶν κρεῶν.

Παναίθη κόρυς, βαρύνεται, ἢ ὡς σύνθετον. ὡς γὰρ καλὸς πάγκαλος, κακὸς πάγκακος, οὕτως αἰθὸς πάναιθος. οὗ θηλυκὸν ἡ παναίθη, ὡς ἡ παγκάλη. ἢ καὶ ἄλλως, κανόνι τοιούτῳ. τὰ εἰς α λήγοντα θηλυκὰ δισύλλαβα ὀξυνόμενα, ἢ μὴ

γινόμεναι ἐν τῇ συνηθείᾳ κύρια, τῶν προθέσεων μὲν φυλάσσει τὸν τόνον. οἷον ἐπιτομὴ ἀνατομή, ἐπιτολὴ ἀνατολή, ἐπιρροή. τὸ ἀναρρόη συμπεραστικὸν βαρυνόμενον. μετὰ ἄλλου τινὸς ἀνάγει τὴν τάσιν, ἰσοδόκη κατνοδόκη, ὑδρορρόη καλλιρρόη, οἰνοχόη. πανάιθη κόρυς, ἡ λαμπρά. ὑπὸ δὲ Εὐφράνορος, οἱ πλείους δὲ ὀξυνοῦσι τὴν τοιαύτην λέξιν. ὡς ἐν τοῖς Ἀππίωνος καὶ Ἡρωδιανοῦ δηλοῦται, φυλάσσοντες τὸν τοῦ ἁπλοῦ τόνον, ἡ χρῆσις παρὰ τῷ Κωμικῷ, ἐν τῷ αἰθὸς γεγένημαι.

Πᾶνα, οἱ μὲν λέγουσιν υἱὸν Πηνελόπης, καὶ πάντων τῶν μνηστήρων, καὶ διὰ τοῦτο λέγεσθαι καὶ Πᾶνα. Ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασιν αὐτοῦ, Διὸς καὶ Καλλιστοῦς Πᾶνα καὶ Ἀρκάδα, διδύμους. Ἀρίστιππος δὲ ἐν τῷ Ἀρκαδικῷ, Διὸς καὶ Νύμφης Οἰνηΐδος. οἱ δὲ λέγουσι διὰ τοῦτο πάν, ὅτι τῆς ὥρας ἐστὶ σημεῖον, τουτέστι τοῦ παντός. ὅθεν κυρίως προσαγορεύεται πάν. συνοικειοῦται γὰρ ἡ μορφὴ τοῦ θεοῦ τῷ περιέχοντι. καὶ τὸ μὲν τῶν κεράτων ἀπομίμημα Ἡλίου καὶ Σελήνης, καὶ μηνίσκους φασὶν εἶναι. τὸ δὲ πάρδαλιν εἰλῆφθαι, τῆς γῆς φαντασίας ἕνεκα. τὰ δὲ κάτω λάσια τῶν τῆς γῆς μερῶν, καὶ τῶν ἐν αὐτῇ πεφυκότων. τὴν δὲ σύριγγα, τῶν ἐν τῷ κόσμῳ πνευμάτων μίμησιν εἶναι. τὸ δὲ αἰγωπὸν, τῶν καταιγίδων τὰς αἰφνιδίους ταραχάς, καὶ τῶν ἀπὸ νεφῶν γινομένων περὶ τὸν ἀέρα μεταβολῶν, καὶ τὰ κάτω, τουτέστι τοὺς μηροὺς δασεῖς σημαίνοντας, τοὺς ὑλώδεις τόπους. καὶ τὰ κάτω τραχέα, σημαίνοντα τῶν ὀρῶν τὰ τραχέα. ἔχει καὶ τῇ μιᾷ χειρὶ τὸ δρέπανον, σημαῖνον τὴν ἐργασίαν, τῇ δὲ ἄλλῃ τὴν σύριγγα σημαίνουσαν τοὺς ἀνέμους.

Παναίγυλος, πεγκακοῦργος.

Παναιεῖς, Ἀθήνησιν ἱερεῖαι.

Παναίθησιν, ὅλαις λαμπραῖς, παναίθησι κορύθεσσι.

Παναίθετος, πάντα ἀπαραίτητος.

Πάναια, ἱερεία, ἥτις οὐ μίσγεται ἀνδρί.

Πάναιοι, ἔθνος Θρᾴκης.

Παναίολος, παμποίκιλος.

Πανακή, θεραπεία.

Πάνακες, βοτάνη τίς, ἣ πολλοῖς ὀνόμασι καλεῖται.

Πάνακτος, ἡ ὀρίγανος, καὶ τόπος ἐν τῇ Ἀττικῇ.

Παναλκής, ἰσχυρότατον.

Παναλκοῦς, ἰσχυρᾶς, γενναίας, παντοδυνάμου, ἐκ τῆς παναλκοῦς χειρός.

Πανάμερος, δι᾽ ὅλης ἡμέρας.

Πανάμωμος, ἀρεστός.

Πανάνυτον, πάντη δυνατόν.

Πανάποτμος ἦρα, αὐτὸν τῷ δυσάμμορος. περὶ οὗ ἀλλαχοῦ εἴρηται.

Πανάποτμος, ἄθλιος, δυστυχής.

Πανάπυστος, ἀνήκοος.

Πανάργυρον, ὅλον ἀργυροῦν.

Παναριστίδης, ὄνομα κύριον.

Παναρκέος, τοῦ μεγάλου καὶ δυνατοῦ. Ἡλίου δὲ παναρκέος, τοῦ πανταχῆ λάμποντος.

Παναρμόνιον, πάντοθεν ἡρμοσμένον. ἢ παναρμόνιον, ἐξ ὅλου πεπηγμένον. ἁρμονία γὰρ ἡ ἄπακτος ἀκολουθία. καὶ παναρμόνιον, ἐκμελέστατον.

Παναυγὲς, πάνυ λαμπρόν.

Παναφῆλιξ παῖς, ὁ τῶν ἡλικιωτῶν ἀπηλασμένος. ἢ πάντη ἀφῆλιξ, οἷα τῇ ἀφηλικιότητι προστεθέντων τῶν τῆς ὀρφανίας κακῶν. καὶ παναφήλικα λέγει Ὅμηρος, τὸν πάντων ἡλικιωτῶν ἐστερημένον. τουτέστιν, ἐλαυνόμενον τῆς ἀπ᾽ αὐτῶν συντριβῆς.

Παναχαΐδα, τὴν Θεσσαλίαν λέγει Ἀπολλώνιος, ὅτι αὕτη πρώτη ἐκλήθη Ἀχαιά, ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου.

Παναχαιῶν, πάντων Ἑλλήνων.

Παναώριον, ἢ τὸ πάντη ἄωρον λέγει Ὅμηρος, παρὰ τὴν ὥραν τὸν καιρὸν, διὸ καὶ ἐδασύνετο παρά τισι κατὰ τὴν παράληψιν. ἢ παρὰ τὸ τὴν ὥραν τὴν φροντίδα, τὸν πάνυ πεφροντισμένον. ἢ ἀνάπαλιν, ὡς ἐν ἤθει τὸν πάνυ δίχα φροντίδος, ὅθεν τινὲς καὶ ἐψίλουν αὐτό.

Πανδαισίας, πολυτελοῦς τραπέζης, εὐωχίας.

Πανδαισία. Ἀριστοφάνης, ὥσπερ μάζα καὶ πανδαισία. πανδαισία, ἡ δαψιλὴς καὶ παντοία εὐωχία. μάζα δέ ἐστιν ὁ στρυφνὸς ἄρτος. ἄλλως. ὅταν γὰρ εἰς κοινὸν ἑστιῶνται ἑκάστου φέροντος ἑαυτῷ δεῖπνον, πυκνὰ πάντα φαίνεται. τῇ μὲν τὰ προσφάγια φερόντων, τῇ δὲ αὐτῶν ἑστιωμένων. ἄλλως. φασὶ γὰρ τὸ δεῖπνον ἐν ᾧ ἕκαστος αὐτῷ κομίζων εἰς κοινὸν κατατίθεται. καὶ πάντες πάντων μετέχουσι. τὸ δὲ εἶδος αὐτῶν, εἰκάζει ἀλφίτοις καὶ μάζῃ, διὰ τὸ πυκνόν. καὶ ἐπειδὴ πυκνοῦται, ὅπου μὲν τὰ ἄλφιτα, ὅπου δὲ οἱ ἑστιώμενοι. πανδαισίαν δὲ τὴν ποικίλην καὶ ἐκ διαφόρων ὄψων εὐωχίαν. ὅταν ἕκαστος τὰ ἑαυτοῦ ὄψα ἀνενέγκῃ, καὶ καθῆται εἰς τὸ κοινόν. ἢ ὅταν πολλῶν προκειμένων ἐδεσμάτων, λάβῃ τὶς ὃ θέλει. αἱ δὲ πανδαισίαι, λάχανόν τι ἔχον παντοῖον ἔδεσμα. τὸ δὲ ὅλον πυκνὸν οὖν, ὥσπερ μάζα καὶ πανδαισία.

Πανδαμάτορα, τὸν ὕπνον ἔφη Ὅμηρος. Σιμωνίδης δὲ σμικροπρεπῶς φησι δαμασίφωτα, δέει τοῦ μὴ καὶ τὸ θεῖον κοιμᾶσθαι, παραποιήσας τὴν ὁμηρικὴν ἀκρίβειαν. ὃς οὐ πάντας, ἀλλὰ πάντα δαμάζεταί φησιν ὕπνῳ, τὰ πεφυκότα ὑπνοῦν, ὡς οἷα τῶν τοιούτων πάντων ἰσχυροτέρῳ, ἢ πάντων ἄνακτι, κατὰ τὸ ὕπνε ἄναξ. δαμᾶν γὰρ καὶ δαμάζειν, τὸ ταπεινοῦν καὶ ὑποπιέζειν. ὅθεν καὶ δμῶες καὶ δμωΐδες, παρὰ τὸ δεδμῆσθαι. τοῦτο δὲ ἀπὸ κτηνῶν φασιν ὑποζυγίων. ἃ δαμαζόμενα εὐπαθέστερον ὑπείσι τὸν ζυγὸν, καὶ ἡσυχέστερον σφαδάζουσι. καὶ ἡ δάμαρ δὲ ἐνθένδε κέκληται, φασὶν ἀνδρὶ συνεζευγμένη, καὶ δεδαμασμένη. τοιαύτην δὲ ὑποβάλλει ἔννοιαν καὶ Λαοδάμας, καὶ ὁ λαγέτας. ὃς δηλαδὴ δαμάζει, καὶ ὑφ᾽ ἑαυτῷ ἄγει λαὸν ὑπὸ ζυγῷ νῶτον εὐλόφως φέροντα. καὶ οὕτω μὲν πανδαμάτωρ ὁ ὕπνος. εἰ δὲ καὶ λυσίπονος καὶ λυσιμελής ἐστιν, ὡς λύων μελεδήματα θυμοῦ, ἐρρέθη ἀλλαχοῦ.

Πανδαμικοί, παιδικοὶ χιτῶνες, ἐν ταῖς πομπαῖς.

Πανδαρέου, δύο κούρας τὰς ἐκείνου λειφθείσας, ἐκόμισαν Ἀφροδίτῃ. ὡραίας δὲ γάμου γενομένας ἀνηρείψαντο ἅρπυιαι, καὶ παρεδόθησαν ἐριννύσιν ἀμφιπολεύειν. ἴσως γὰρ περικαλλεῖς μὲν οὖσαι, δι᾽ ὀρφανίαν δὲ δυσπραγοῦσαι, καὶ εἰς ὑποδύσκολον, καὶ οἷον εἰπεῖν ἐριννυῶδες ἦθος μεταβληθεῖσαι τῇ λύπῃ, ᾤχοντο ἀνώνυμοι, καὶ διὰ τοῦτο ἀνέμοις ἐπαχθῆναι, καὶ ἐριννύσι παραδοθῆναι μυθεύονται. ἡ δὲ Πηνελόπη παρ᾽ Ὁμήρῳ ἐν υ, εὔχεται ταῖς τοῦ Πανδαρέου θυγατράσιν ὁμοιωθῆναι. κατά γε τὸ ἁρπαγῆναι θυέλλαις προφερούσαις εἰς ἠερόεντα κέλευθα. περὶ δὲ τοῦ ῥηθέντος Πανδαρέου φέρεται λόγος, ὅτι κύνας κλέψας χρυσοῦς ἐν Κρήτῃ, Ἡφαίστου ἔργον ἔμψυχον ἐκ τοῦ Διὸς τεμένους, παρεκάθετο Ταντάλῳ. Διὸς δὲ ἀπαιτοῦντος τὸ κλέμμα δι᾽ Ἑρμοῦ, ὤμοσεν ὁ Τάνταλος μὴ ἔχειν. καὶ Ζεὺς μὲν τὸν κύνα Ἑρμοῦ ὑφελομένου ἀπολαβὼν, κατέστρεψε τῷ Ταντάλῳ τὸ Σίπυλον. ὁ δὲ Πανδάρης ἢ Πανδάρεως φυγὼν εἰς Ἀθήνας, ἐκεῖθεν εἰς Σικελίαν διέβη. ἔνθα διεφθάρη φασὶ μετὰ τῆς γυναικὸς Ὁρμοθόης.

Πανδάρεως, κυρίως ὁ πάντα δράσας, ἕνεκα κέρδους καὶ πλεονεξίας, Ὦρος.

Πάνδαρον λέγει ὁ ποιητὴς, ἐξ αὐτοῦ τοῦ Ἀπόλλωνος λαβεῖν τὸ τόξον, ἤγουν τὴν τοξείαν, ὅ ἐστι τὴν τοξικὴν ἐπιστήμην. καὶ ἔστι φασὶν ὁ τρόπος, μετωνυμία. ἔθος δὲ ποιηταῖς, ἱστορεῖν τοὺς περί τινα τέχνην δεξιοὺς, θεόθεν ἔχειν τὰ ὄργανα. οὕτω καὶ ἄλλος τὶς, αὐλῶπιν ἔχει τρίπτυχον τὴν οἱ πόρε φοῖβος Ἀπόλλων. καὶ κίθαριν δέ τις, καὶ ἕτερος λύραν. καὶ ἄλλος ἀσπίδα, ἤ τι ἀλλοῖον ὅπλον, ἐκ θεῶν λαβεῖν μεμύθευται. τοὺς γὰρ εἰς ἄκρον φασὶν δεξίους, θεοῖς ἀνατιθέασιν, οἱ Ποιηταί.

Πάνδεια, ἑορτή τις Ἀθήνησι μετὰ τὰ Διονύσια ἀγομένη.

Πανδελετίους γνώμας, τουτέστι δυστρόπους. ἐπεὶ Πανδέλετος συκοφάντης ἦν φιλόδικος, καὶ γράφων ψηφίσματα, καὶ ἦν εἷς τῶν περὶ τὰ δικαστήρια διατριβόντων.

Πανδέλετος, ἐπὶ πανουργίᾳ διαβεβόητο. συκοφάντης δὲ ἦν, καὶ φιλόδικος, γράφων ψήφων ψηφίσματα. πανδελετίους εἶπεν Ἀριστοφάνης γνώμας, ἀντὶ ἄρτων πανουργίαι σιτούμενος, μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος. οὗτος καὶ ψηφίσματα ἔγραψε.

Πανδερκεῖς, πάντα ὁρῶντας.

Πᾶν δ᾽ ἦμαρ, δι᾽ ὅλης δὲ τῆς ἡμέρας.

Πανδήμιος, παράγεται ἐκ τοῦ πανδήμου. καὶ δύναταί τις ἐγκαίρως πανδήμιον εἰπεῖν, ποτὲ τὸν κοινὸν ζημιώτην. ὡς ἀπὸ τοῦ παρὰ τοῖς ὕστερον κολαστικοῦ δημίου. ἐξ οὗ σκῶμμα πονηροῖς ἐπέκειτο τὸ δημόκοινος. ὃς καὶ ἀνδράχνες, ἢ ἄνδραγχοι ἐπεκαλεῖτο. καὶ ὅτι παρὰ τοῖς μεθ᾽ Ὅμηρον πτωχὸς μὲν, ὁ δι᾽ ἔνδειαν ἐπαιτῶν. ἀκολούθως Ὁμήρῳ καὶ ὑπὸ τὴν γαστέρα βόσκων. πένης δὲ, ὁ χερσὶ πονούμενος, καὶ οὕτω ζῶν. τοὺς δὲ τοιούτους χειρομάχας πληθύ, ἔστιν ἐν τοῖς τοῦ Ἀθηναίου εὑρεῖν. καὶ ὅτι τὸν πτωχὸν ἀστείως νεκρῷ εἴκασεν ὁ Μένανδρος εἰπὼν, ἄνθρωπε πέρυσι πτωχὸς ἦσθα, καὶ νεκρὸς, νῦν δὲ πλουτεῖς.

Πάνδημος Ἀφροδίτη, οὕτως ἐκάλουν τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν, διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν, ἃς ἐκάλουν ἀγοράς. ἔστι δὲ τὸ πάνδημον, πανήσιμον.

Πανδήμου, παντὸς τοῦ πλήθους, ἢ παντὸς τοῦ δημώδους καὶ ἀγελαίου ὄχλου.

Πανδοκεῖς, καὶ πανδοκεύτρια καλοῦνται, οἱ τὰ πάντα πιπράσκοντες. καὶ τὸ χωρίον πανδοκεῖον, καὶ τὸ πρᾶγμα πανδοκεύειν, καὶ πανδοκεία. οἱ δὲ εἰς τὰ πανδοκεῖα κατειγόμενοι, κατάκειται ἂν λέγοιντο. μᾶλλον δὲ οἱ τὰ πάντα πωλοῦντες, παντοπῶλαι, καὶ ὁ τόπος παντοπωλεῖον. τὴν δὲ παντοπῶλιν, καὶ τὴν παντοπωλίαν, εἶπεν Ἄρχιππος ἐν ἰχθύσι.

Πανδοκεύς, πανδοχεύς, ὁ πάντας δεχόμενος.

Πανδοκεύτρια, ἡ καπηλίς, παρὰ τὸ δέχεσθαι πάντας, εἴρηται δὲ καπηλίς, παρὰ τὸ κεκύνειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος, ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπηλος ἔστι ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν.

Πάνδοξ, ὁ ἐν πανδοκείῳ οἰκῶν.

Πανδοῦρα, ἢ πανδουρίς, ὄργανον μουσικόν. πάνδουρος δὲ, ὁ μεταχειριζόμενος τὸ ὄργανον.

Πανδοσία, πόλις τῆς Ἠπείρου, καὶ Ἰταλίας.

Πανδοῦρα, μάχαιρα κρεωκόπος, ἡ πυκτίς.

Πανδοχεῖον, οἱ διὰ τοῦ χ λέγοντες, ἁμαρτάνουσι. διὰ γὰρ τοῦ κ χρὴ λέγειν πανδοκεῖον, καὶ πανδοκεύς, καὶ πανδοκεύτρια.

Πάνδοχοι, αἱ πάντας ὑποδεχόμεναι. τοῦτο δὲ ἴσασιν ᾠδὴ περιφερόμενον. καὶ πάνδοχαι γρᾶες. καὶ πανδοχεῖον, τὸ πάντας ὑποδεχόμενον οἴκημα.

Πάνδροσος, ὄνομα γυναικός.

Πανδώρα, κεῖται παρὰ τῷ Ἀριστοφάνει ἀντὶ τῆς γῆς. ἐπειδὴ πάντα κατὰ τὸ ζῆν δωρεῖται. ἀφ᾽ οὗ καὶ ζείδωρος, καὶ ἀνησίδωρος λέγεται.

Πανδώρη, εἴρηται ὅτι παρὰ πάντων δῶρα ἔλαβεν. ἢ ὅτι δῶρον πάντων τῶν θεῶν, ὥς φησιν Ἡσίοδος.

Πάνεια, κεχορτασμένη.

Πανείπας, ἀναιδής.

Πανέλληνας, οὐ κατὰ Ζηνόδοτον, ἀλλ᾽ ὁμηρικῶς ἑρμηνευτέον κατὰ τοὺς παλαιοὺς λέγοντας τὸ πανέλληνας καὶ Ἀχαιοὺς, ἀντὶ τοῦ Θεσσαλοὺς, καὶ Ἀργείους. ἵνα ἀντιδιαιρῇ τοῖς ὅλοις Ἀργείοις τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ λεγομένους ἰδίως Ἕλληνας κατά τινα ἐξοχήν. Ἑλλάδα γὰρ οὐ τὴν οἰκουμένην χώραν ὑπὸ Ἑλλήνων λέγει, ἀλλὰ μίαν τινὰ πόλιν Θετταλικὴν, καὶ τοὺς ἐκεῖθεν Ἕλληνας.

* Πάνελος ἀρσενικῶς, πόλις περὶ τὸν Πόντον.

Πάνεμος, ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ Ἰούλιος.

Πανέξαλλον, ἐν πᾶσιν ἀλλότριον.

Πᾶνες, τοὺς ἐσπουδακότας σφοδρῶς περὶ τὰς συνουσίας πᾶνας ἔλεγον.

Πανέφ-

Πανέφθη, ἑψηθεῖ, καὶ ἀφανισμένου, καὶ ὑγροῦ τὴν φύσιν. Ἡρόδοτος δὲ ἀπέφθη, Ἡσίοδος δὲ, πανέφθη. γέγονε δὲ παρὰ τὸ ἕψω ἑψήσω ἑψητὸς, ὡς ἀγαπῶ ἀγαπήσω ἀγαπητὸς, καὶ τροπῇ τοῦ τ εἰς φ, καὶ πλεονασμῷ τοῦ θ ἑφθητὸς, καὶ συγκοπῇ ἑφθὸς, καὶ ἐν συνθέσει πάνεφθος πανέφθη.

Πανέψιον, πᾶσι συναπτόν.

Πανήγυρις, θέατρον, συνάθροισις, ἀγείρω, ἄγορις καὶ ἄγυρις. καὶ πανήγυρις, εἰς ἣν πάντες ἀγείρονται.

Πανήδυμοι, διὰ βίου.

Πανημέριος, καὶ ἐφημέριος, ὁμοίως παρῆκται.

Πανημέριος, σημείωσαι ὅτι πανῆμαρ μὲν λέγει καὶ ἠμάτιον, τὸ ἡμερινόν. πανημάτιον δὲ οὐ λέγει, ἀλλὰ πανημέριον. οἷον πανημέριος κακὸς ἔσομαι. καὶ τοῖς πανημερίοις νεῖκος ἦν.

Πανημέριοι, παρ᾽ ἑτέροις Ποιηταῖς εὕρηται πανήμεροι, ὁμοίως τῷ ἐφήμεροι, ἐκβληθέντος τοῦ ἀμεταβόλου ι.

Πανήμερον, τὸ δι᾽ ὅλης ἡμέρας πραττόμενον, ἢ καὶ πανημέριον. ὡς καὶ τὸ δι᾽ ὅλης τῆς νυκτὸς, πάννυχον καὶ παννύχιον. τὸ δὲ διὰ μιᾶς ἡμέρας πραχθὲν, αὐθημερόν. καὶ τὸ τὴν αὐτὴν ὁδὸν διὰ μιᾶς ἡμέρας ἀντεπανελθεῖν, αὐθημερίσαι. καὶ τὸ δι᾽ ὅλης τι πρᾶξαι ἡμέρας, ἡμερεῦσαι, καὶ διημερεῦσαι. οἷον ἐπὶ τῶν βαναύσων ὁ Πλάτων εἴρηκε, πρὸς πῦρ ἡμερεύοντας. λέγοιτο ἂν καὶ παρημερεῦσαί τινι ἔργῳ, ἢ ἀνθρώπῳ. καὶ ὁ δι᾽ ὅλης ἡμέρας θέων, ἡμεροδρόμος. τὸ δὲ εἰς τὴν ἐπιοῦσαν μὴ μένον, ἐφήμερον. τὸ δὲ παρὰ μίαν, παρήμερον, ἑτερήμερον. φαίης δ᾽ ἂν τῇ ἐπιούσῃ ἡμέρᾳ, καὶ τῇ παρελθούσῃ, καὶ τῇ ἐξηκούσῃ, καὶ τῇ προτεραίᾳ, καὶ τῇ προτέρᾳ, καὶ τῇ χθές. ἐπὶ δὲ τοῦ ἐν αὐτῇ πραχθέντος, χθιζὸν, ἔωλον. ἐπὶ δὲ τῆς παρούσης ἡμέρας, τήμερον καὶ σήμερον, καὶ ἡ ἐνεστῶσα καὶ ἡ ἐνεστηκυῖα. ἡ δ᾽ ἐπιοῦσα ἡμέρα, καλεῖται αὔριον, καὶ ὑστεραία καὶ προσιοῦσα. τὴν δὲ μετ᾽ αὐτὴν εἰκάσαις ἂν, ὡς ἔνηφι Ἡσίοδος καλεῖ, εἰ μὴ τὴν τριακάδα οὕτω λέγει. ἰδίως παρὰ Ἀθηναίοις καλοῦνται τριακάδες, ἐπὶ τῶν τετελευτηκότων. φιλοτιμότερον δὲ προστιθέναι τὴν εἰς πρόθεσιν ταῖς ἐπιούσαις ἡμέραις. οἷον εἰς αὔριον, καὶ εἰς τὴν ἐπιοῦσαν, καὶ εἰς ἡμέραν τρίτην, καὶ εἰς ἡμέραν τετάρτην. λέγεται δὲ, καὶ εἰς ἡμέραν ῥητὴν, εἰς ἣν ἂν ὁρισώμεθα. καὶ εἰς ἡμέραν ὡρισμένην, καὶ εἰς ἡμέραν διωμολογημένην. καὶ ἡμέρα κυρία, ἡ ἐπί τινι τεταγμένη. καὶ χωρὶς δὲ τῆς ἡμέρας εἴπωσιν ἂν οἱ ῥήτορες, παρούσης τῆς κυρίας, καὶ ἐνεστώσης τῆς κυρίας. προσυπακούεται γὰρ, τὸ τῆς ἡμέρας. ἐπὶ δὲ τῶν παρελθουσῶν ἡμερῶν, ἡμέρα τρίτη, καὶ τρίτην ταύτην ἡμέραν, καὶ τὰς ἄλλας ὁμοίως.

Πανήπορος, πανάπορος, ἐνδεής.

Πανήρεα, πᾶσιν ἀρέσκοντα.

Πανηρίαισι, κατὰ πάντα ἡρμοσμέναις.

Πανῆρες, πᾶσιν ἀρέσκον, ποικίλον, παμμήχανον.

Πάνθειον, τόπος ἀνὰ τὸ πεδίον τῶν Ῥωμαίων. ναὸς ἦν κοινὸς πάντων τῶν Θεῶν, πάνθειον ἐκάλουν αὐτὸν οἱ ἐπιχώριοι.

* Πανθήρα, πᾶσα ἡ θήρα.

* Πάνθηρον δάπεδον, παντοδαπῶν θηρίων δεκτικόν.

Πανθοίδης, ἐκ τοῦ πάνθοος γίνεται. ὡς ἐκ τοῦ βοηθόος βοηθοίδης Ἐτεωνεύς.

Πανθοίδης, καὶ ἐν συναιρέσει πανθοίδης, κατὰ πατρωνυμίαν λέγεται, ὁμοίως τῷ βοηθοίδης Ἐτεωνεὺς ἐν Ὀδυσσείᾳ ὁ τοῦ Βοηθόου υἱός.

Πανθοινίαν ἔλεγον, ὥς φησιν Εὐφρόνιος, ὁπότε εἰς κοινὸν καταθέντες τὰ κομισθέντα δεῖπνα πάντες ἀπήλαυον.

Πανθοινεί, ἐπίρρημα. καὶ πανθοινεῖν, τὸ κατευωχεῖσθαι.

Πάνθοος, κύριον ὄνομα, ἐξ οὗ πανθοίδης πατρωνυμικὸν, καὶ ἐν συναιρέσει πανθοίδης ὁ Πολυδάμας. οὕτω καὶ βοηθοίδης βοηθοίδης ὁ Βοηθόου υἱός.

Πάνθοος, Πολυδάμαντος ἦν πατὴρ, ἀνὴρ μαντικός.

Πάνθυς, πανθέατος.

Πάνθρῳ δήμῳ, παρρησίαν ἄγοντι δήμῳ, πάντα θροοῦντι, ὥστε μηδὲν ὑποστέλλεσθαι.

Πανθρύλλιον, τὸ πάντα θρυλλεῖν.

Πανθύλλῃ, μονογενῆ τοῖς τόξοις, ἢ σφενδόναις.

Πανθυμαδὸν ὀχλιᾶσθαι, τὸ ὡς εἰκὸς ὀλοψύχως τραχύνεσθαι, ἀφ᾽ οὗ λίθος ἀκριόεις, ὁ τραχύς.

Πάνθ᾽ ὑπὸ μλωιθμόν, περὶ πάντα τὸν τῆς μλώιδος χρόνον.

Πάνθυτα, πανσέβαστα.

Πανία, ἡ Πελοπόννησος.

Πανίας, βόσκας, ὡς ἀπὸ τοῦ Πανός. Αἰσχύλος Καλλιστοῖ, καὶ ὁ λευκὸς πάνυ, ἢ ὁ λευκὸς πάντῃ, καὶ καθαρὸς, καὶ ὁ μέλας καθαρός.

Πάνικον. Ἕρμιππος στρατιώταις, ὥρα τοι νῦν μετ᾽ ἐμοῦ χωρεῖν τὸν κοπτῆρα λαβόντα, καὶ προσκεφάλαιον, ἵν᾽ ἐς τὴν ναῦν ἐμπηδήσας ῥοθιάζῃς. ἀλλ᾽ οὐ δέομαι πάνικον ἔχων τὸν πρωκτόν.

Πάνιον, αὐτόχρουν, ὁμόχρουν, λευκὸν, καθαρόν. καὶ πάνιον, ὄνομα τόπου. ἔνθα καὶ κάστρον παρὰ αἰγιαλῷ, ὃ λέγεται πάνιον πρὸς τοῖς τῆς Ἡρακλείας μέρεσι.

Πανιώνιος, κρατὴρ.

Πανίῳ δαίμονι, μανιώδει δαίμονι.

Πανιώνιος, ἱερὸν Ἀπόλλωνος ἐν Ἰωνίᾳ.

Πανκαρπία, πανσπερμία.

Παγκρατὴς, πάντων κρατῶν, καὶ ἄρχων καὶ βασιλεύων.

Παννόας, ὁ ἀπόπληκτος, καὶ ἀδολέσχης.

Παννυχίζω, ἀντὶ τοῦ διανυκτερεύω. Λιβάνιος, ἐπαννύχιζον.

Παννύχιοι. ἀπαθὲς δὲ πάντως ἐκ φυσικῆς κλίσεως τὸ παννύχιοι.

Πανοικεί, σὺν ὅλῳ τῷ οἴκῳ.

Πανόλβιος, παμμακάριστος.

Πανομφαῖος Ζεὺς, κατὰ μὲν ἀλληγορίαν εἰς ὃν πᾶσα ὀμφὴ, ἤγουν ἁπλῶς φωνὴ ἀνάγεται, τουτέστιν ὁ πάσης φωνῆς αἴτιος ἀήρ. φωνὴ γὰρ, ἀέρος ἐστὶ πληγὴ, κατὰ δὲ μῦθον πανομφαιός ἐστιν, ὁ πάσης μαντείας αἴτιος. οἱ γὰρ ἄλλοι πάντες ὑποφῆται, Διός εἰσιν, εἴτε δαίμονες ἐκεῖνοι, εἴτε ἄνθρωποι.

Πανομφαίῳ, παμφήμῳ, ἀπὸ τῆς ὀμφῆς.

Πανόπαια, ὄρνις οὕτω καλουμένη.

Πανόπη, ὄνομα Νηρηΐδος λέγεται, ἡ πᾶσιν ὁρωμένη.

Πανόπη, πόλις Φωκίδος κληθεῖσα ἀπὸ Πανοπέως υἱοῦ Φώκου. ταύτης δέ φησιν ὁ πολίτης Πανοπεὺς ὁμοφώνως τῷ πρωτοτύπῳ κυρίῳ.

Πᾶν ὅτι οὖν, πᾶν τὸ τυχόν.

Πανοπεὺς, ἀπὸ Πανοπέως ὠνόμασται υἱοῦ Φώκου. ἕτεροι δὲ Πανόπην μὲν γράφουσι τὴν πόλιν, Πανοπέα δὲ τὸν αὐτῆς πολίτην, ὡς καὶ ἐν τοῖς ἐθνικοῖς γράφεται. ζήτει δὲ καὶ τὸν Σοφοκλῆν εἰπόντα φανοτεὺς, ὁ Φωκεύς. φασὶ γὰρ οἱ παλαιοὶ ἐκεῖ τινὰ χρήσιμα τοῖς ἐνταῦθα. φάμενοι δὲ οἱ ἀρχαῖοι, ὅτι ὁ Ζηνόδοτος ἐν τῷ καὶ δαυλίδα καὶ πανοπῆα γράφεται καὶ Πανοπέων, ὡς μενέλεων, αἰτιῶνται τὴν γραφὴν, διότι ἄμετρον ποιεῖ τὸν στίχον, καὶ οὐδὲ σχηματίζει καθ᾽ Ὅμηρον τὸ ὄνομα. ἔστι γὰρ Πανοπέως, ὡς Ἀχιλλέως. ἐν δὲ τῷ Γεωγράφῳ κεῖται Πανοπεὺς, ὁ νῦν φανοτεὺς ὅμορος τοῖς περὶ Λεβάδειαν τόποις. καὶ ὅτι ἐνταῦθα ἡ τοῦ Ἐπειοῦ πατρὶς, καὶ ὅτι ἐκεῖ μυθεύονται τὰ περὶ τὸν Τιτυὸν, ἤγουν ἡ τῆς Λητοῦς βία ὑπ᾽ αὐτοῦ, δι᾽ ἣν οἱ μυθικοὶ γῦπες αὐτῷ κατὰ τοῦ ἥπατος ἐμφύονται, καὶ κείρουσι, τροφὴν εὑρηκότες ταύτην καλὴν καὶ διηνεκῆ, καὶ ἀδάπανον, ὡς ὁ μῦθος βούλεται.

Πανόπτης, πολυόφθαλμος, καὶ ὁ πανταχόθεν φαινόμενος.

Πάνορμοι λιμένες, οἱ ἀγχιβαθεῖς εἰς οὓς διὰ παντὸς πᾶσαι ταῖς καὶ ἐν παντὶ ἀνέμῳ ὁρμίζεται.

Πανορμίης, ἐπίθετον Ἀπόλλωνος.

Πανὸς σκόπος, οἷον νυκτερινὰς φαντασίας.

Πανοσκώλον, ὄνομα σχήματος. ὅπερ ἀπὸ σκώλου ἢ πεπληγὼς, ἄνθρωποι, λέγεται σχῆμα.

Πανόσπερμα, ἡ ἐκ τῶν ὀσπρίων μίξις.

Πανόσπερμα, σύνοδος συμμιγὴς, πληθύς.

Πᾶν ὅτι οὖν, οἷον δή ποτ᾽ οὖν. πᾶν τὸ τυχόν.

Πανουλεὺς, ἐξώλης.

Πανουργία ἐστὶν, ἐπιστήμη τοῦ καλοῦ, καὶ τοῦ κακοῦ, δι᾽ ἣν οὐκ ἐκπεσεῖταί τις εἰς κακόν.

Πανουργία ἐστὶν, ἐνέργειά τις κατ᾽ ἐπιτήδευσιν τεχνικήν. ἡ τοῦ πανούργου προσηγορία δύο σημαίνει. καὶ ὁ μὲν ἐπὶ βλάβῃ ἑτέρων τῇ ἐπινοίᾳ τῶν ἔργων χρώμενος, πονηρός. ὁ δὲ ἐπαινετὸς Πανοῦργος, ὁ ὀξέως καὶ συνετῶς τὸ οἰκεῖον ἀγαθὸν ἐξευρίσκων, καὶ τὰς δολίως καὶ ἐπιβούλως παρ᾽ ἑτέρων αὐτῷ βλάβας σκαιωρουμένας ἀποδιδράσκων.

Πανοῦργος κυρίως, ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, καὶ ὁ δραστήριος, καὶ ἐνεργής. καταχρηστικῶς δὲ, καὶ ὁ ἐπὶ κακοῖς νοήμασιν εὐεπίβολον ἔχων γνώμην. ὡς καὶ παντουργὸς, ὁ πάντα ἐργαζόμενος, καὶ ὁ μηχανικός.

Πανούριος, πάντα οὔριος.

Πανοψ, ἥρως Ἀττικῶς. ἔστι δὲ αὐτοῦ καὶ ναὸς καὶ ἄγαλμα καὶ κρήνη.

Πανόψιον ἔγχος, ἢ τὸ πᾶσιν ὁρατὸν. ἢ τὸ πάντων τελευταῖον καὶ ἔσχατον, καὶ μεῖζον. ἀπὸ τοῦ ὀψὲ, ἢ ἀπὸ τῆς ὀψίας, ἥτις ἐστὶν ἔσχατός τις καιρός. Ἀντίμαχος δὲ ὑπονόσφιον γράφει, καὶ τί μὲν σημαίνει οὐχ ἑρμηνεύουσιν οἱ παλαιοί. φασὶ δὲ ὡς καὶ τὶ θέλει δηλοῦσθαι, δῆλον. ἴσως γὰρ δηλοῖ τὸ ἐκ τοῦ Διομήδους ὑπὸ αὐτῆς νοσφισθὲν, ἤτοι χωρισθὲν καὶ ἁρπασθέν.

Πανσαγία, ἡ πανοπλία. ἴσως ἀπὸ τοῦ σάκου εἴρηται, * ἢ ἀπὸ τοῦ σάγη ὃ δηλοῖ τὸ ὅπλον.

Πανσελήνου, πεντεκαιδεκατέας πεπληρωμένης Σελήνης.

Πανσθενεστάτῳ, ἰσχυροτάτῳ.

Πανσπερμία, παγκαρπία.

Πανστρατί, σὺν ὅλῳ τῷ στρατοπέδῳ.

Πανσυδὶ, καὶ διὰ τῶν δύο σσ γράφουσιν οἱ παλαιοὶ, ὡς τὸ σύσσιτος, σύσσωμος, καὶ τὰ ὅμοια. δηλοῖ δὲ κατά τινας, τὸ παμπληθεί. ἕτεροι δέ φασι πανσυδὶ, ἀντὶ τοῦ πανστρατιᾷ, μηδενὸς ἀπομαχομένου. ἄλλοι δὲ πανσυδὶ, ἀντὶ τοῦ πανορμεί. Αἴλιος δὲ Διονύσιος, ἀντὶ τοῦ παντελῶς. ὅθεν παρὰ Θουκυδίδῃ τὸ πανσυδεὶ διεφθάρθαι.

Πάντα κάλων σείει, παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων.

Πάντα δ᾽ ἀπὸ πλευρῶν χρόα ἔργαθεν. οὐ κατὰ βάθους ἔτρωσεν, ἀλλ᾽ ἀπεῖρξε τοῦ χρωτὸς, καὶ τῶν πλευρῶν τὸ δόρυ.

Πάντα γυναῖκες ἴσασι, καὶ ὡς Ζεὺς ἠγάγεθ᾽ Ἥρην, παρὰ Θεοκρίτῳ. φησὶν ὅτι τὰ πάντα αἱ γυναῖκες γινώσκουσι, καὶ ὅτι Ζεὺς λάθρα τῇ Ἥρᾳ συνῆλθε. καὶ Ὅμηρος, εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας. Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν τῷ περὶ Ἑρμιόνης ἱερῷ, ἰδιώτερον περὶ τοῦ Διὸς καὶ τῆς Ἥρας γάμου. Ἱστορία. τὸν γὰρ Δία μυθολογεῖ ἐπιβουλεύειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. βουλόμενος δὲ ἀφανὴς γενέσθαι, καὶ μὴ ὀφθῆναι ὑπ᾽ αὐτῆς, τὴν ὄψιν μεταβάλλει εἰς κόκκυγα, καὶ καθέζεται εἰς ὄρος, ὃ πρῶτον μὲν θρόναξ ἐκαλεῖτο, νῦν δὲ κόκκυξ. τὸν δὲ Δία χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ, τὴν δὲ Ἥραν πορευομένην μόνην ἀφικέσθαι πρὸς τὸ ὄρος, καὶ καθέζεσθαι ἐπ᾽ αὐτὸ, ὅπου νῦν ἐστιν ἱερὸν Ἥρας τελείας. τὸν δὲ κόκκυγα ῥιγῶντα, καὶ τετρεμικότα διὰ τὸν χειμῶνα, καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς, τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν, οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν, καὶ ἐπιλαβέσθαι τῆς Ἥρας, τῆς δὲ τὴν μίξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα αὐτὴν ποιήσασθαι. καὶ παρ᾽ Ἀργείοις δὲ οἱ μέγιστοι τῶν Ἑλλήνων τιμῶσι τὴν Θεόν. τὸ δὲ ἄγαλμα τῆς Ἥρας ἐν

ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ, τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ κόκκυξ.

Πανταίνα, βυβλίον.

Παντάπασιν, ἀντὶ τοῦ παντελῶς καὶ τελείως, καὶ καθάπαξ, τὸ παράπαν, διόλου, ταυτὰ καὶ ἐπὶ τοῦ αὐτοῦ λαμβανόμενα.

Παντaρκέα, πᾶσι βοηθόν.

Πανταρκὴς, ὁ πᾶσιν αὐταρκῶν.

Πάνταρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκε. συνεκδοχὴ ἀπὸ τῶν παρεπομένων τὴν πρᾶξιν παριστῶσα. ἀπὸ γὰρ τοῦ τόξου, τὴν περὶ τόξον ἐμπειρίαν δηλοῖ. καὶ οἱ δὲ πανημέριοι σεῖον ζυγὸν, ἤγουν ἔσειχον.

Πανταίσκιος, ὁ πάντοθεν σκιὰν οὐκ ἔχων.

Πανταχῆ, πανταχοῦ, πάντα τόπον, ἐν παντὶ τόπῳ, καὶ πανταχόθι. πανταχοῦ δὲ καὶ πανταχόσε, εἰς πάντα τόπον.

Πανταχῆ τῶν τόπων περισκεψάμενοι, καὶ πανταχοῦ γῆς.

Πανταχόθεν, καὶ πάντοθεν. Δημοσθένης, ὑπὸ πάντοθεν καταπεφρονηκότως ἐκεῖνοι χρῶνται. πάντοθεν, ἀντὶ τοῦ ἀπὸ παντὸς μέρους, καὶ ἀντὶ τοῦ εἰς πάντα τὰ μέρη.

Πανταχοῦ, καὶ τὸ ὅπου, μετὰ γενικῆς. οἷον πανταχοῦ τῆς πόλεως. καὶ ὅπου γῆς ὦμεν.

Παντελῶς, κοινῶς. καθόλου δὲ, Ἀττικῶς.

Παντελὲς, παντελῶς, ὁλοτελῶς. καὶ παντεπόπτης, ὁ πάντα καθορῶν.

Πάντες, ἀντὶ τοῦ οἱ πλεῖστοι.

Πάντεσιν, ὑπὲρ πάντων.

Πάντ' ἔχεις, πάντ' ἔγνωκας.

Παντέλειον, ὁλόκληρον.

Παντευχία, πανοπλία.

Πάντη, πάντως, πανταχοῦ, πάντοθεν.

Παντῆ, περισπώμενον Δωριεῖς λέγουσι. Πίνδαρος, πρόφαντος σοφία καθ' Ἕλλανας ἐόντα παντῆ.

Παντικάπαιον, ὄνομα πόλεως. * μεγίστης τῶν κατὰ Βόσπορον. μητρόπολις.

Παντὶ σθένει, ὅλῃ δυνάμει.

Παντίτῳ, παντί τινι.

Παντοδαπὰ, παντοῖα.

Παντοδαποῖς, διαφόροις.

Πάντοθεν, προπαροξύνεται κανόνι τοιούτῳ. τὰ εἰς θεν τῷ ο παραληγόμενα ἐν τούτοις μόνοις προπαροξύνονται, οἴκοθεν, ἔνδοθεν, ἄλλοθεν, ἑκάστοθεν, ἀπόπροθεν, ἔκτοθεν, πάντοθεν. τὰ δὲ ἄλλα πάντα παροξύνονται, οἷον ποντόθεν, τὸν ἐκ Πόντου. αἰνόθεν, τὸν ἐξ Αἴνου πόλεως καὶ τὸ ἐξ αἰνοῦ πράγματος. οἷον αἰνόθεν, αἰνῶς. θεόθεν, ἀβυδόθεν, οἰόθεν, ἐκ τοῦ οἶος ὁ μόνος. πατρόθεν, καὶ ὅσα τοιαῦτα.

Παντοίων, πάντων πολυτρόπων.

Πανδοκεύτρια. κεῖται παρὰ τῷ Ἀριστοφάνει ἀντὶ τοῦ κάπηλις, ἀπὸ τοῦ δέχεσθαι πάντας. εἴρηται δὲ κάπηλις παρὰ τὸ κακύνειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος, ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπηλος οὖσα ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. ἢ πανδοκεύτρια, ἡ πάντα δεχομένη καὶ καταπίνουσα, ἢ πάντα ἐπιτηροῦσα.

Παντοκράτωρ, ὁ Θεὸς ὁ πάντων κρατῶν.

Παντοκρατορία, παναρχία.

Παντoλιγοχρόνιος, παντελῶς ὀλιγοχρόνιος.

* Παντομάτριον, πόλις Κρήτης.

Παντομάντειραι, μοῖραι.

Παντομιγὲς, πολυειδές.

Παντώνια, παντοδαπά.

Πάντοσε, εἰς πάντα μέρη. πάντοθι, παντὶ μέρει. πάντοσε ἴσας ἀσπίδας λέγει Ὅμηρος, περιφερεῖς.

Πάντοτε μὴ λέγε, ἀλλ' ἑκάστοτε, καὶ διὰ παντός.

Πανοῦργος, πάλαι μὲν ὁ πανοῦργος, νῦν δὲ θεία ἐστὶν ἡ λέξις. καὶ ἡ συμφορὰ μέση οὖσα λέξις, καὶ τιθεμένη ποτὲ καὶ ἐπὶ συμφέροντος, νῦν κακὸν μόνον δηλοῖ. ὁ Τύραννος τὸ βασιλικόν ποτε ὄνομα, βλασφημεῖται νῦν. ἐλέγετο ἐξαίσιόν ποτε καὶ ἔκδικον, τὸ ἔξω τοῦ αἰσίου καὶ δικαίου, νῦν δὲ ἀγαθολογοῦνται, χυδαῖοι. οἱ πεπληθυσμένοι, νῦν οἱ οὐδαμινοί. πολλοστὸς, οὐχ ὡς οἱ πάλαι, ὁ πολὺς, ἀλλὰ ὁ τὸ μηδὲν. ὠμὸς, οὐχ ὡς στερρὸς, καὶ ἀνένδοτος, ἀλλὰ ἐπὶ φαυλότητος, νῦν δὲ ὁ ἀνόσιος.

Πανουργῷ, πάντα πράττοντι.

Πάντων ἐκπαγλότατε, ὑπὲρ πάντας ἐκπληκτικώτατε.

Πάντως, παντελῶς, ἴσως δυνάμει, ἀληθείᾳ κυρίως.

Πάνυ σφόδρα, ἐκ παραλλήλου, τὸ αὐτὸ καὶ πάνυ λίαν.

Πανυπερτάτη, πασῶν ὑπερκειμένη τῶν παρακειμένων νήσων.

Πανυπείροχον, πάντων μέγιστον.

Πάνυσα, στροφὸς, ἀναδέσμη. οἱ δὲ κειρίαν, ᾗ τὰς τρίχας ἀναλαμβάνουσι.

Πανύστατον, πάντων ἔσχατον.

Πὰν, φάν τις ὢν διὰ τὸ ἐπιφαίνεσθαι ἀκαίρως τοῖς ἐνθουσιῶσι.

Πανωλεθρία. καὶ πανώλης, ὁ πανώλεθρος.

Πὰξ, ὑπόδημα ἀνυπόδητον. ἢ τέλος ἔχειν.

Παξαμὰς, ὁ δίπυρος ἄρτος. ἔστι δὲ ἡ λέξις Ῥωμαική.

Πάππα, προσφώνησις τιμητικὴ υἱῶν πρὸς πατέρα. οὕτω δὲ λέγεται παρὰ Συρακουσίοις ὁ πατὴρ πᾶς, καὶ κατὰ ἀναδιπλασιασμὸν, καὶ πλεονασμὸν τοῦ π πάππας.

Παππάζουσι παρ' Ὁμήρῳ τὸ παππάζειν. ὡς καὶ τὸ ποππύζειν, ὠνοματοπεποίηται. καὶ δηλοῖ τὸ βρεφικῶς προσφέγγεσθαι τὸν πατέρα, καθά φασιν οἱ παλαιοί. ὥσπερ καὶ μᾶ, ἡ μήτηρ. καὶ κατὰ ἀναδιπλασιασμὸν, πάππας καὶ παππίας, ὡς μαμία ἡ ῥηθεῖσα μᾶ. ἐνταῦθα δὲ χρήσιμον καὶ τὸ τοῦ Ἀρριανοῦ εἰπόντος ἐν Βιθυνικοῖς, ὅτι Βιθυνοὶ ἀνιόντες εἰς τὰ ἄκρα τῶν ὀρῶν ἐκάλουν πάππαν τὸν Δία, καὶ Ἄττιν τὸν αὐτόν. ὁμοίως καὶ τὸ Ἡροδότου, καλεῖται Ζεὺς ὑπὸ Σκυθῶν ὀρθότατα παππαῖος. ἐξ ὧν συνάγεται θείαν εἶναί τινα λέξιν τὸ πάππας καὶ πάππος καὶ τὰ τοιαῦτα.

Παππάζοιεν, παρακαλοῖεν.

Παππαίδην, παντελῶς.

Παππαὶ, σχετλιαστικὸν ἐπίρρημα.

Πάππαξ, παππὰξ, ἦχος πορδῆς, Ἀριστοφάνης νεφέλαις.

Παππασμὸς, προσφώνησις, παρὰ παιδὸς εἰς πατέρα γινομένη.

Παππῶ, ψηλαφῶ. παππῶ παππεῖς δευτέρας συζυγίας. τὸν ἁπαλῇ τε χειρὶ παππήσαντα. ἀπὸ τοῦ ἀφῶ τὸ ψηλαφῶ, ἀφῶ οὖν, φαφῶ, καὶ τροπῇ τῶν στοιχείων παππῶ.

Παππίας, παρὰ τὸ πάππα, ὃ σημαίνει τῇ τῶν Ῥωμαίων φωνῇ, τὸν πατέρα.

Πάππος, ἀπὸ τῆς τῶν μικρῶν παίδων προσφωνήσεως. Ὅμηρος, οὐδέ τι μὶν παῖδες ποτὶ γούνασι, παππάζουσι.

Πάπποι, αἱ ἐπὶ τοῦ κάτω χείλους τρίχες. μύσταξ δὲ, αἱ ἐπὶ τοῦ ἄνω.

Πάππος, ὁ πατρὸς πατήρ. καὶ πάτρως ὁ τοῦ πατρὸς ἀδελφὸς, ὡσαύτως καὶ μήτρως, ὁ μητρὸς πατὴρ, καὶ ὁ ταύτης ἀδελφός.

Παπποφόνος, ὁ Περσεὺς, καθὼς ἱστορεῖ καὶ Λυκόφρων. τὸν γὰρ πάππον Ἀκρίσιον μετὰ τὸν κατὰ Γοργόνης ἆθλον ἀπέκτεινε καὶ ἀφείλετο.

Παπταίνω, σημαίνει τὸ περιβλέπω, καὶ περισκοπῶ τῇδε κἀκεῖσε. Πίνδαρος, μηκέτι πάπταινε πόρσιον, ἤγουν περισκόπει πορρωτέρω. παπταίνειν τὸ πάντα διατεταμένως, ἤγουν ὧδε καὶ ἐκεῖ τὴν θέαν.

Παπυλαιῶνος, σχλωῆς, ἤτοι πένης.

Πάπυρος, θηλυκῶς ἡ πάπυρος. λαμπάδα κηροχίτωνα, κρόνου τυφήρη, λύχνον χοίνῳ, καὶ λεπτῇ σφιγγομένην παπύρῳ.

Παρα. ἰστέον, ὅτι οὐ μόνον ἀντὶ τοῦ πάρεισι, καὶ πάρεστι λαμβάνεται, ἀλλὰ κοινότερον, καὶ ἀντὶ τοῦ πάρειμι πρώτου ἑνικοῦ προσώπου, ὡς ἐν παλαιῷ περὶ παθῶν σκέμματι φέρεται. ὅπου καὶ χρῆσις κεῖται, τίς ἔσθ' ὁ πωλῶν τ' ἀνδράποδα; ἐγὼ πάρα.

Παρὰ πρόθεσις, ὅτε πλησιότητα δηλοῖ, ἐπὶ μὲν ἐμψύχου δοτικῇ συντάσσεται. οἷον παρὰ Βασιλεῖ κάθηται. ἐπὶ δὲ ἀψύχου, αἰτιατικῇ. Λουκιανὸς δὲ ὁμηρικῷ ζήλῳ, ἐπὶ μὴ ἀψύχου εἰς αἰτιατικὴν εἶπε. καὶ θρόνος αὐτῷ ἐπεὶ ἦν παρὰ Κῦρον τὸν Πέρσην τὸν πρότερον. Ὅμηρός φησιν ἐν α΄ Ἰλιάδος, νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν. ὡσαύτως καὶ Πλάτων ἐν Φαίδωνι, καὶ στὰς παρ' αὐτὸν ὦ Σώκρατες ἔφη. ὅτε δὲ ἐστὶν ἀντὶ τῆς εἰς, ἐπὶ κινήσεως ἀεὶ τίθεται, ἀλλ' ἔστιν ὅτε καὶ χωρὶς κινήσεως, ὁ αὐτὸς ἐν τῷ αὐτῷ. καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει, καὶ διελέγετο. ἐνίοτε ἡ παρὰ γενικῇ καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεται. μετὰ γενικῆς σημαίνει τὸ λαμβάνειν τι ἀπό τινος, μετὰ δοτικῆς σημαίνει πλησιότητα, οἷον παρὰ Βασιλεῖ κάθηται. καὶ ὕπαρξιν τινὸς ἔν τινι. ἔχει ἐν τῇ τοιαύτῃ σημασίᾳ, τὸ ὑπαρκτικὸν ῥῆμα ἀεὶ ἢ προσκείμενον, ἢ νοούμενον. οἷον παρὰ τῷ Θεῷ τὸ κλέος, ἤγουν ἐν τῷ Κυρίῳ. μετὰ δὲ τῆς αἰτιατικῆς, δηλοῖ κίνησιν, οἷον παρὰ σὲ ἦλθον. καὶ αἰτίαν, οἷον οὐ παρὰ τοῦτο ἐγὼ κακὸς, ὅτι σὲ ἔτυπτον ἀμελῆ ὄντα. ἀντὶ τοῦ διὰ τοῦτο. καὶ ἔξω, οἷον παρὰ τὴν ἀλήθειαν λέγεις, καὶ παρὰ τὸ δίκαιον πράττεις, ἀντὶ τοῦ ἔξω τῆς ἀληθείας, καὶ τοῦ δικαίου. κατὰ τοῦτο τὸ σημαινόμενον λέγεται, καὶ τὸ παρό. οἷον σπείρει μὲν ὁ λαγωὸς κατὰ φύσιν, ἀποκυΐσκει δὲ ὁ αὐτὸς, παρὸ πέφυκεν, οἷον ἔξω οὗ πέφυκε. καὶ παραγωγὴν τινὸς ἀπό τινος, καὶ ἐξέλευσιν. οἷον παρὰ τὸ πορίζεσθαι ἔμπορος, καὶ παρὰ τὸ δῆμος καὶ σθένος Δημοσθένης. σημαίνει ἐν τῇ συνθέσει παραδραμεῖν τι, ἢ καταφρονεῖν, οἷον παρεώρακα· ἢ σπουδῇ χρήσασθαι, οἷον τρέχων μετά τινος παρέδραμον τόπον, καὶ παρῆλθον αὐτόν.

Παρὰ, συναπτομένη ῥήματι ἕτερον δηλοῖ ἢ ἔστιν. οἷον μετὰ τοῦ πρεσβεύω, τὸ ἔξω τῆς πρεσβείας τι πράττω. ὡσαύτως καὶ πάρειμι, ἀντὶ πλησίον εἰμί.

Παρὰ, ὡς ἐπίρρημα, ἀντὶ τοῦ πλησίον.

Παρὰ πρόθεσις σημαίνει τρία. τὴν ἐκτὸς σχέσιν, ὡς ἄνομος παράνομος, λαλῶ παραλαλῶ, εἴπω παρείπω. τὴν πλησιότητα, ὡς τρέχω παρατρέχω, ἕζετο παρέζετο. καὶ τὴν πλείονα σχέσιν, ὡς τὸ ὁρμῶ παρορμῶ. καὶ τὸ ἔξω δηλοῖ, ὡς παραπλεῖν, τὸ ἔξω πλεῖν.

Παρὰ δὲ χρυσόθρονος Ἥρη, ἔλλειψιν ἔχει. ὡς γὰρ τὸ μετὰ δὲ ἀντὶ τοῦ μετὰ ταῦτα δέ. καὶ ἐπὶ δὲ, καὶ πρὸς δὲ, ἀντὶ τοῦ ἐπὶ τούτοις καὶ πρὸς τούτοις, οὕτω καὶ παρὰ δὲ χρυσόθρονος Ἥρη, ἤγουν παρὰ δὲ αὐτῷ ἡ χρυσόθρονος Ἥρη. ἐν δὲ τῷ χρυσόθρονός φασιν οἱ παλαιοὶ, τὸν χρυσὸν, ἀντὶ τοῦ πυρὸς εἰλῆφθαι ἀλληγορικῶς. πυρώδης γάρ φασι πρὸς τῷ αἰθέρι καὶ τῷ ἡλίῳ.

Παρὰ ἐλπίδα τοῦτο ἐμοὶ συνέβη, ἤγουν ἔξω.

Παράσσον, παραχρῆμα, εὐθέως. Ἀπολλώνιος, ὡς φάτο, τὴν δὲ παράσσον Ἀθηναίη προσέειπε.

Παρὰ πόδα βαίνει, ἀντὶ τοῦ πλησίον ἀκολουθεῖ. παρὰ πόδας, ἀντὶ τοῦ ἐγγύτατα. Συνέσιος, ἀλλὰ καὶ παρὰ πόδας ἀποδίδως τὴν χάριν.

Παρὰ τόπον, ἀντὶ τοῦ εἰς κακὸν τόπον. οἱονεὶ ἔξω τοῦ καλοῦ τόπου. Συνέσιος, παρὰ τόπον ὁρμήσαντο, διὰ τὴν ἀπορίαν.

Παρὰ, τὴν εἰς τὸ μέσον ἄφιξιν δηλοῖ. ὡς τὸ κἀγὼ παραστὰς εἶπον ἐν μέσοις, ἀντὶ τοῦ εἰς τὸ μέσον ἐλθών.

Παραβαίνειν, τὸ ἐγγὺς βαίνειν. ταὐτὸν δὲ εἰπεῖν ἄγχιστα ἑστάναι. ἐξ οὗ καὶ ὁ ἐφ' ἅρματος παραβάτης γίνεται.

Παραβαίνει τοὺς νόμους, καὶ τὰς σπονδὰς, καὶ τὰ συντιθέμενα. ὡς Ξενοφῶν, καὶ παραβαίνειν μὲν Ἀριαῖος τὰς μεθ' ἡμῶν σπονδὰς, παραβαίνει δὲ καὶ Τισσαφέρνης ὁ Βασιλεύς. παραβαίνει, καὶ τὸ μεταβαίνει.

Παραβαλέσθαι, τὸ ἐξαπατῆσαι. ὅθεν καὶ παραβλήδην, ἀντὶ τοῦ ἀπατητικῶς.

Παραβαλεῖς, παραθήσεις, ἢ πλησιάσεις.

Παραβάλλεσθαι, ἀντὶ τοῦ ἀσπάζεσθαι φησὶ Λιβάνιος.

Παραβάλλομαι, τὸ μάχομαι, δοτικῇ συντάσσεται.

Παραβαλλόμενον, ἀντὶ τοῦ διαμαχόμενον.

Παραβάλλω, τὸ συγκρίνω καὶ παρατίθημι, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται.

Πα-

Παραβάλλω, τὸ πλησιάζω, καὶ τὸ παροικάζω, τὸ ἔρχομαι, καὶ τὸ παρεξετάζω. παραβάλλω, τὸ ὁρμῶ, καὶ πρὸς δεῖνα πορεύομαι.

Παραβάλλει, ἀντὶ τοῦ παραγίνεται. καὶ παραβάλλει, ἀντὶ τοῦ συγκρίνει. καὶ παραβάλλει, ἀντὶ τοῦ ἐμβάλλει, καὶ ἀντὶ τοῦ τρέφει ἄλογον ζῶον. ὅθεν καὶ παράβλημα, ὡς παρ' Ὁμήρῳ παραβλήματα, αἱ τροφαὶ τῶν ἵππων.

Παραβάλλομαι, παθητικῶς τὸ παρεξετάζομαι, καὶ συγκρίνομαι, καὶ τὸ ῥιψοκινδυνῶ ὥς τι πάω πρὸς κῦμα παραβαλλόμενος. καὶ Ὅμηρος παραβαλλόμενος ἐμὴν ψυχὴν, κινδύνοις παραπίπτων.

Παραβαλοῦ, ἀντὶ τοῦ ὅρμισον τῇ γῇ τὴν ναῦν. παρὰ τῷ Ἀριστοφάνει ἐν τῇ νηῒ ὢν ὁ Χάρων λέγει.

Παράβασις, παρὰ τῷ Ἀριστοφάνει. ὦ θεώμενοι, δοκεῖ λέγεσθαι ἐκ τοῦ χοροῦ. εἰσάγει δὲ τὸ ἑαυτοῦ πρόσωπον ὁ Ποιητής. παράβασις δέ ἐστιν, ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς, ἀπαγγέλλῃ πρὸς τὸν δῆμον ἀφορῶν. εἴδη δὲ παραβάσεως ἑπτά. ἁπλᾶ μὲν τρία, κατὰ δὲ σχέσιν τέσσαρα. ἅπερ τῷ βουλομένῳ, ἔξεστιν εὑρεῖν ἐν τοῖς εἰς τὰς Ἀριστοφάνους κωμῳδίας σχολίοις.

Παραβάσει κέχρηται ὁ χορὸς, μηδὲν περὶ τοῦ προκειμένου λέγων, ἢ τὸν ποιητὴν ἐπαινῶν. παράβασιν δὲ τοῦτο ἐκάλουν, ἀπὸ τοῦ παραβαίνειν τὸν χορὸν, ἀπὸ τῆς νενομισμένης στάσεως εἰς τὴν κατ' ἀντικρὺ τοῦ θεάτρου ὄψιν. ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι, ἔξω τῆς ὑποθέσεως, ἀνὰ τῶν ὑποκριτῶν πρὸς τὸ θέατρον διὰ τοῦ χοροῦ. ἐστρέφετο δὲ ὁ χορὸς καὶ ἐγίνοντο στίχοι τέσσαρες. εἶτα διελθόντες τὴν καλουμένην παράβασιν, ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ αὐτοὶ ποιοῦσιν οἱ ποιηταὶ τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν.

Παραβάται λέγονται, οἱ μαχόμενοι ἐν τοῖς ἅρμασι, παρ' Ὁμήρῳ.

Παραβάτης, ἐνίοτε ὁ ἡνίοχος εὑρίσκεται λεγόμενος, ὡς ὅτε τὸν Ἕκτορα θρασὺν ἡνίοχον ὁ Ποιητὴς λέγει. εὑρίσκεται δέ που καὶ ἡνίοχος, διὰ τὸ ἡνία λαβεῖν καὶ ὅλως ἐπαλλάσσειν, αἱ λέξεις αὗται ἀλλήλαις φέρονται. εἰ δὲ καὶ ὁ νυμφικὸς πάροχος ἄρα λέγεται παραβάτης, φανεῖται ἀλλαχοῦ.

Παραβεβαῶτες, παραβεβηκότες.

Παραβέβληνται, παραβόλως κέχρηνται.

Παραβεβάζεσθαι, παραβαίνεσθαι.

Παραβλέπουσα παρ' Ἀριστοφάνει, οὐκ ἀτενίζουσα φησὶν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα.

Παραβλέψας παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ πλησίον βλέψας. καὶ γὰρ παραβλέψας τι μειρακίσκης, νεωὶ κατεῖδον. σημαίνει καὶ τὸ πλαγίως βλέψας.

Παραβλήδην παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀπατητικῶς, παραλογιστικῶς. παραβάλλεσθαι γάρ φησι καὶ τὸ ἐξαπατᾶν. ἐκ τούτου καὶ παραβαλέταιρος, ὁ ἀπατῶν τοὺς φίλους, ἀλλὰ καὶ ἁπλῶς παρατιθέναι. ἀφ' οὗ καὶ παράβλημα κοινῶς, τὸ ζώοις εἰς τροφὴν παρατιθέμενον, ἐκεῖθεν δὲ καὶ ὁ παράβολος ἄνθρωπος, ὁ κινδύνοις ἑαυτὸν παραβάλλων, ὅ ἐστι παρατιθείς. καὶ πρᾶγμα ὅπερ ὁ τοιοῦτος ποιεῖ, ὑποβλήδην γίνεται, ἐκ τοῦ βάλλειν μετὰ τῆς ὑπὸ προθέσεως. καὶ μετὰ τῆς ἀνὰ προθέσεως, τὸ ἀμβλήδην γοόωσα, ὡς ἐκ τοῦ μουσικῶς ἀναβάλλεσθαι, καὶ τὸ ἀνεβάλλετο καλὸν ἀείδειν. οὕτω καὶ τὸ παραβλήδην, ὃ δηλοῖ τὸ ἐκ παραβολῆς καὶ συγκριτικῶς.

Παραβλήδην παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ παραβάλλουσα τοῖς εἰρημένοις. οὐ γὰρ ἀκουστέον ἐπὶ τοῦ ἀπατᾶν. Παλαμήδης δὲ, ἐξ ἀντιβολῆς. ἢ παραλογιστικῶς, καὶ ἐξ ἀποκρίσεως.

Παραβληθησόμενος, συγκριθησόμενος.

Παραβλῶπες, παρορῶντες, διεστραμμένους ἔχοντες τὰς ὄψεις.

Παραβλύσας, παραβαλὼν, ἀποπτύσας.

Περὶ παραβολῆς.

Παραβολὴ, παράθεσίς ἐστιν ὁμοιωματικὴ, ἐπὶ σαφηνείᾳ τῶν ὑποκειμένων. ἢ παραβολή ἐστι, παραπλησίων πραγμάτων παράθεσις, ἔχουσα ἀνταπόδοσιν τὴν ἀπὸ τοῦ προκειμένου διηγήματος. καὶ ἔστι παρὰ τῷ Ποιητῇ ποικίλα τὰ εἴδη τῶν παραβολῶν. συνεχῶς γὰρ καὶ πολυτρόπως παρατίθησι ταῖς ἀνθρώπων πράξεσι, καὶ σχέσεσι, ζώων ἄλλων ἐνεργείας καὶ φύσεις. καὶ ἔστι μὲν ὅταν ἀπὸ τῶν ἐλαχίστων ποιεῖται τὴν ὁμοίωσιν οὐ πρὸς τὸ μέγεθος τοῦ σώματος, ἀλλὰ πρὸς τὴν φύσιν ἑκάστου ἀφορῶν. ὅθεν τὴν μὲν ἰταμότητα, ἀπείκασε μυίᾳ. οἷον καὶ οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκε. καὶ τὴν συνέχειαν αὐτῷ τῷ ζώῳ, ἠΰτε μυιάων ἀδινάων ἔθνεα πολλά. τὸν δὲ ἀθροισμὸν καὶ τὴν πολυπλήθειαν μετὰ εὐταξίας, μελίσσαις. ἠΰτ' ἔθνεα εἶσι μελισσάων ἀδινάων. οὕτω δὲ καὶ τὴν ὀργὴν καὶ τὴν δίωξιν εἰπὼν σφήκεσσιν ἐοικότες εἰνοδίοισι. καὶ ἔτι προσθεὶς, οὓς παῖδες ἐριδαίνουσιν ἔθοντες, ἵνα μᾶλλον τὸ ἐκ φύσεως αὐτῶν θυμοειδὲς τῷ ἀπὸ τῶν παίδων ἐρεθισμῷ ἐπιτείνῃ. ἐπὶ δὲ συνεχοῦς φωνῆς φησὶν, ἐσθλοὶ τεττίγεσσιν ἐοικότες. λαλίστατον γὰρ ζῶον, καὶ ἄπαυστον ἐν τούτῳ. τῶν δὲ ἀσυντάκτως φερομένων φωναῖς παμμιγέσιν, οὕτως εἴκασεν, ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό. τὰ δὲ εἰς τάξιν καθιστάμενα πλήθη, τοῖς καθημένοις ὀρνέοις ὁμοιοῖ, κλαγγηδὸν προκαθιζόντων. τὴν δὲ ὀξύτητα τῆς ὄψεως καὶ τῆς πράξεως, ποτὲ μὲν ἱέρακι παραβάλλει, ὠκεῖ φασσοφόνῳ, ὅς τ' ὤκιστος πετεηνῶν. ποτὲ δὲ αἰετῷ, ὅντε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτώξ. παρίστησι γὰρ τὴν ὀξυδερκείαν ἐν τῷ πόρρωθεν ἰδεῖν. τὸ δὲ τάχος, ἐν τῷ ποδωκέστατον ζῶον ἑλεῖν. τὸν δὲ ἐκπλαγέντα πρὸς ὄψιν πολεμίου, δράκοντος ὁράματι προσείκασεν, οὐκ ὀκνήσας οὐδὲ ἀπὸ τῶν ἑρπετῶν παραδείγματα λαβεῖν. ὡς δ' ὅτε τίς δράκοντα ἰδὼν παλίνορσος ἀπέστη. ἀπὸ δὲ τῶν ἄλλων ζώων, δειλίας μὲν ἀπὸ τοῦ λαγωοῦ λαμβάνει, καὶ ἀπὸ τῆς ἐλάφου ὁμοίως, τίφθ' οὕτως ἕστητε τεθηπότες ἠΰτε νεβροί. κυνῶν δὲ, ὅτε μὲν ἀλκὴν, ὡς δ' ὅτε καρχαρόδοντε δύω κύνε, οἵτ' ἐπὶ θύροις. ὅτε δὲ φιλοτεκνίαν, ὡς δὲ κύων ἀπαλῇσι περὶ σκυλάκεσσι βεβῶσα. ὅτε δὲ προμυθίαν πρὸς τὸ φυλάσσειν. ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσονται ἐν αὐλῇ. ἁρπαγὴν δὲ ἅμα μυθικῶς καὶ ἰταμῶς πρασσομένην, λύκοις εἴκασεν, ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον, ἢ ἐρίφοισι. τὸ δὲ ἄλκιμον καὶ ἄτρεπτον, διά τε συῶν ἀγρίων καὶ παρδάλεων καὶ λεόντων ἔδειξε, μερίζων ἑκάστῳ τὸ πρὸς τὴν φύσιν οἰκεῖον, τῶν μὲν συῶν τὴν ὁρμὴν, ἣν ἔχει πρὸς μάχην ἀνυπόστατον ποιῶν. Ἰδομενεὺς δ' ἄρ' ἐνὶ προμάχοις συΐ εἴκελος ἀλκήν. τῶν δὲ παρδάλεων τὸ ἄπαυστον τῆς τόλμης, ἀλλά τε, καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει. λεόντων δὲ τὸ μέλλον μὲν, εἰς τέλος δὲ γενναῖον, οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται. πάλιν δὲ παραβάλλει δρόμον ἀνδρὸς γενναίου, ἵππῳ τροφῆς κεκορεσμένῳ. ὡς δ' ὅτε τὶς στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ. καὶ τοὐναντίον βραδεῖαν πορείαν ἀήττητον ἐν τῷ καρτερεῖν, ὄνῳ ἔδειξεν. ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας. σχῆμα δὲ βασίλειον καὶ ὑπερέχον ἐτύπωσε, διὰ ταύρου. ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων. οὐ κατέλιπε δὲ οὐδὲ τῶν θαλασσίων ζώων ὁμοιότητας, πολύποδος μὲν τὸ παράμονον καὶ δυσαπόσπαστον τῶν πετρῶν. ὡς δ' ὅτε πολύποδος θαλάμης ἐξελκομένοιο. δελφῖνος δὲ τὸ ἡγεμονικὸν, καὶ κρατιστεῦον τῶν ἄλλων. ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι. πολλάκις δὲ ὑπὲρ ἀνθρώπων πρασσόμενα, ἄλλαις ὁμοίως πράξεσι παραβάλλει, ὥσπερ ἐν τούτῳ. οἱ δ' ὥς τ' ἀμήτορες ἐνάντιοι ἀλλήλοισι. τὴν ἔνστασιν καὶ καρτερίαν δεικνύων τῶν ἀνδρῶν. τῷ δ' ἀγεννῶς δακρύοντι, ὀνειδίζει μετὰ ἐναργοῦς ὁμοιώσεως. τίπτε δεδάκρυσαι Πατρόκλεις ἠΰτε κούρη νηπίη. ἐτόλμησε δὲ καὶ τοῖς στοιχείοις παραβαλεῖν πράξεις ἀνθρωπίνας, ὡς ἐν τούτῳ. Ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον, ὡς ὅτε κῦμα Ἀκτῇ ἐφ' ὑψηλῇ, ὅ, τε κινήσει νότος ἐλθὼν Προβλῆτι σκοπέλῳ, τὸν δ' οὔποτε κύματα λείπει παντοίων ἀνέμων ὅταν ἔνθ' ἢ ἔνθα γένωνται. ἐν οἷς δῆλός ἐστι καὶ ὑπερβολῇ καὶ αὐξήσει κεχρημένος. οὐ γὰρ ἤρκεσε κύματος ἠχῷ τὴν κραυγὴν ἀπεικάσαι, ἀλλὰ τῶν προφερομένων ἀκτῇ ἐφ' ὑψηλῇ, ὅπου μετεωριζόμενον τὸ κῦμα, μείζονα ἦχον ἀποτελεῖ. καὶ οὐχ ἁπλῶς κῦμα, ἀλλὰ τὸ κινηθὲν ἀπὸ νότου τοῦ μάλιστα ὑγρὰ κινοῦντος. καὶ ἐπὶ σκοπέλῳ προβλῆτι, τῷ ἀνατεταμένῳ εἰς τὸ πέλαγος, καὶ περικλυζομένῳ ὑπ' αὐτοῦ, ὃς καὶ ἀδιάλειπτον ἔχει τὸν κλύδωνα, ὁπόθεν ἂν προσπίπτωσιν οἱ ἄνεμοι πνέοντες. Ἄλλως.

Παραβολή ἐστι λόγος διὰ παραθέσεως ὁμοίου πράγματος, τὸ ὑποκείμενον μετ' ἐνεργείας παριστῶσα. ἢ ἡ δι' ὁμοίων καὶ γινωσκομένων ἐπ' ὄψιν ἄγουσα τὸ νοούμενον, ὡς ἡ τοῦ Κυρίου περὶ τοῦ ἀσώτου παραβολή. ἐν ᾗ δείκνυσι τὴν πολλὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τὴν αὐτοῦ ἀγαθότητα καὶ φιλανθρωπίαν. γίνονται δὲ αἱ παραβολαὶ τετραχῶς, ἢ πάθους πάθει, ὡς δ' ὅταν ἀσπασίως, ἢ διαθέσεως διαθέσει. ὡς δ' ὅτ' ἄν τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη. καὶ, ὡς ἄν τις καθ' ὅμιλον ἴδοι Τρώων ἀγερώχων. ἢ φύσεως φύσει. οἵηπερ φύλλων γενεὴ, τοίη δὲ καὶ ἀνδρῶν. ἢ πράξεως πράξει, οἱ δ' ὥς τ' ἀμητῆρες ἐνάντιοι ἀλλήλοισι. γίνονται δὲ αἱ παραβολαὶ τριῶν ἕνεκεν. αὐξήσεως, ἐνεργείας, καὶ σαφηνείας.

Παραβουλευσάμενος, εἰς θάνατον ἑαυτὸν ἐκδούς.

Παραβόλιον, ἀδόκιμον τοῦτο. τῷ μὲν οὖν ὀνόματι οὐ κέχρηνται παλαιοί, τῷ δὲ πράγματι. φασὶ γοῦν οὕτω, παραβάλλομαι τῇ ἐμαυτοῦ κεφαλῇ, χρὴ κἀπὶ τούτων λέγειν. παραβάλλομαι ἀργυρίῳ.

Παραβόλως, ἀντοφθαλμίσας.

Παραβολώτερος, ἀνόητος.

Παράβολος, κεῖται παρὰ τῷ Ἀριστοφάνει.

Παραβραβευθεὶς, καταρραγεὶς, παραμεληθείς.

Παραβραβεύοντα, διακρίνοντα, διορίζοντα, ἀποκλίνοντα τὸ περσικόν.

Παράβυστον, ἐκαλεῖτο τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ἕνδεκα. ἐκαλεῖτο δὲ καὶ τις ἐν τοῖς νυμφικοῖς δωματίοις, καὶ κλίνη παράβυστος, ἧς μέμνηται Ὑπερίδης. λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ μεταφορὰν, ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων.

Παράβυστον, παρακεκαλυμμένον, λάθρα γινόμενον.

Παραγάγῃς, παρηγορήσῃς.

Παρ' ἀγαυοῦ Τιθωνοῖο, παρὰ τοῦ λαμπροῦ Τιθωνοῦ.

Παραγγείλας. ὁ δὲ ἀνεχώρησεν, οὐδὲ τὸ ἀνακλητικὸν παραγγείλας, ἀντὶ τοῦ σημήνας. καὶ αὖθις, πολίσματα ἔκτοπα τὸ παντελὲς ὑπάρχοντα τῶν γραφομένων καὶ παραγγελλομένων.

Παραγγέλλει, παραινεῖ, παρακατατίθεται.

Παραγγέλλοντα τὴν ἀρχὴν, ἀντὶ τοῦ δεχόμενον τὴν ἀρχήν. ὁ δὲ Φάβιος λαβὼν τὴν ἀρχὴν, Πόπλιον ἀποδείκνυσιν Ὕπατον, οὐδ' αὐτὸν παραγγέλλοντα τὴν ἀρχήν.

Παραγγέλλω, τὸ ἐντέλλομαι, καὶ προστάσσω, συντάσσεται μετὰ δοτικῆς, καὶ ἀπαρεμφάτου. Ἀριστοφάνης ἐν Πλούτῳ, ἐμοὶ δὲ παρήγγειλε καθεύδειν τοῦ Θεοῦ πρόσπολος.

Παραγγέλλω εἰς ἄνδρας, ἀντὶ τοῦ μετὰ τῶν ἀνδρῶν τάττομαι, καὶ εἰς ἀνδρικὴν ἡλικίαν ἀφικνοῦμαι. οἷον ἐπεὶ εἰς ἄνδρας παρήγγειλε, τὰ τῶν γερόντων διεπράττετο.

Παραγγέλλων, ἀντὶ τοῦ συνδιερχόμενος, συνδιατρίβων, συναναστρεφόμενος. ἢ ἀντὶ τοῦ ἀπροόπτως ἐρχόμενος.

Παράγγελμα, προτροπὴ, προκατάρξις, παράγγελσις. αἱ γὰρ παραγγέλσεις, οὐ καθ' ἓν ὡς πρότερον, ἀλλὰ διτταὶ ἐγίνοντο.

Πάραγε, ἐγγὺς δέ. ἢ κόψον.

Παράγει, παρέρχεται, παραπέμπεται, φυλάσσεται, εἰσπορεύεται.

Παράγει ὁ Θεὸς πάντα, ἀντὶ τοῦ ἐργάζεται καὶ ποιεῖ. καὶ παράγει τὶς τινὰ, ἀντὶ τοῦ ἀπατᾷ καὶ φενακίζει. ὅθεν δυσπαράγωγος, ὁ δυσεξαπάτητος.

Digitized by Google

Παράγειν, τὸ εἰς φῶς ἄγειν, καὶ εἰς μέσον. Ἀριστοφάνης, τὸν Ποιητὴν μὴ παράγειν.

Παράγεσθαι, μεταπείθεσθαι.

Παραγινώσκω τόδε, οἱ Ἀττικοὶ δὲ πολλάκις καὶ γενικῇ τοῦτο συντάσσουσιν, ὡς Φιλόστρατος, παραγινώσκοντες τοῦ δικαίου, ἤγουν παρὰ τὴν γνῶσιν τοῦ δικαίου πολιτευόμενοι.

Παραγκωνίσας, ἀποστρέψας. ἐκ τῶν ἀγκώνων δήσας.

Παραγνούς, παρανοήσας.

Παραγόρευσιν, ἄρνησιν.

Παραγραμματίζων, ὅπερ παρήχημα λέγεται.

Παραγραμματισμὸς, ὅταν γράμμα ἀντὶ γράμματος τεθῇ, οἷον ἀντὶ τοῦ μυρσίνη, βυρσίνη, β ἀντὶ τοῦ μ. ὡς Ἀριστοφάνης, ἀντὶ τοῦ μ, τῷ β' ἐχρήσατο, δέον γὰρ εἰπεῖν μυρσίνη, βυρσίνη εἴρηκε. ταῖς γὰρ μυρσίναις ἀποσοβοῦσι τὰς μυίας. ὁ δὲ ἔπαιξε διὰ τὸν βυρσοδέψην. καὶ μυρσίνῃ ἐστεφανοῦντο οἱ στρατηγοί. ἢ ὡς ὅταν λέγῃ ἐγκλοπιδῶν, ἀντὶ τοῦ Κεκροπιδῶν, λ' ἀντὶ τοῦ ρ'.

Παραγράπτους, καὶ παρεγγράπτους, νόθους, ξένους.

Παραγράφει τὶς, ὡς ἐν βιβλίῳ παρὰ τὴν σελίδα γράφει. παραγράφεται δὲ τὸν μάρτυρα, ἀντὶ τοῦ διακρούεται.

Παραγράφεται, ἐξουθενεῖ, παραιτεῖται, ἀποβάλλεται.

Παραγραφὴ, ζημία.

Παραγραφῆς, ἀντὶ τοῦ οὐδὲ μέχρι τινὸς ὡρισμένον. καὶ παραγεγραμμένον, ὅπερ ἐστὶν ὡρισμένον.

Παραγράψεται, οὐ παραδέξεται.

Παραγράψαι, ὃ ἡμεῖς λέγομεν διαγράψαι, καὶ τὸ ἐκ τραπέζης λαβόντα διὰ γραμμάτων τοῦ τραπεζίτου πιστώσασθαι.

Παραγυμνῶσαι, φανεροποιῆσαι.

Παράγω, τὸ παρελαύνω φαίνομαι. καὶ παράγω σε εἰς τὸ δικαστήριον. παράγω σε ἀντὶ τοῦ ἀπατῶ. ἐγὼ δὲ τῷ φόβῳ παρηγόρουν. παράγει μὲν ὁ παρελθών. παράγεται δὲ κατὰ γραμματικοὺς λέξις ἐκ λέξεως. καὶ παράγεται, τὸ ἀπατᾶται.

Παραγωγαῖς, ἐξαπάταις. σοφίσμασι δὲ καὶ παραγωγαῖς, ἀεί τε καθ' ἡμέραν ἡμᾶς ἐκκρούοντες, κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται.

Παραγωγὰς, χιτὼν, παρὰ Πάρθοις.

Παραγωγὴ λέγεται, ὅταν ἡ φάλαγξ πορεύηται ἐκ τῶν εὐωνύμων τοὺς Ἡγεμόνας ἔχουσα, ἢ ἐκ τῶν δεξιῶν, κἂν μὲν ἐκ τῶν εὐωνύμων ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται. ἐὰν δὲ ἐκ τῶν δεξιῶν, δεξιὰ παραγωγή. εἴτε δὲ ἡ πορεία ἐν ἐπαγωγῇ γίνεται, εἴτε ἐν παραγωγῇ, ἐν μονοπλεύρῳ, ἢ διπλεύρῳ, ἢ τετραπλεύρῳ τάγματι βαδιεῖ. μονοπλεύρῳ μὲν, ὅταν μονόθεν φοβῇ. διπλεύρῳ δὲ, ὅταν διχόθεν. τριπλεύρῳ δὲ, ὅταν τριχόθεν. τετραπλεύρῳ δὲ, ὅταν πανταχόθεν οἱ πολέμιοι ἐπιτίθεσθαι ὑφορῶνται.

Παρὰ δὲ, ἐγγὺς δέ.

Παρὰ ἔδραμε, παρεμνήσθην.

Παράδειγμα, ἐπὶ ἐμψύχου. παραβολὴ δὲ, ἐπὶ ἀψύχου.

Παράδειγμά ἐστι, πράγματος προγεγονότος παράθεσις, καθ' ὁμοιότητα τῶν ὑποκειμένων πρὸς παραίνεσιν, προτροπῆς, ἢ ἀποτροπῆς ἕνεκεν. προτροπῆς μὲν, οὐκ ἀΐεις οἷον κλέος ἔλαβε δῖος Ὀρέστης, ἐπὴν ἔκτανε πατροφονῆα Αἴγιστον δολομήτιν. ἀποτροπῆς δὲ, οἷον οὐδὲν γὰρ οὐκ υἱὸς κρατερὸς Λυκόοργος δὴν ἦν, ἐπεὶ ἀθανάτοισιν ἔριζε.

Παράδειγμα, εἰκών. ἢ χαρακτὴρ ἔννοιαν ἔχων αἰσθητοῦ πράγματος. ἰστέον δὲ, ὅτι ἄλλο παράδειγμα, καὶ ἄλλο παραβολή. παράδειγμα μὲν γάρ ἐστιν, ὅταν ἀντιπαραθῇ τις ὅμοιον ὁμοίῳ. οἷον λογικὸν λογικῷ. παραβολὴ δὲ, ὅταν ἀνόμοιον ἀνομοίῳ, οἷον ἀλόγῳ λογικόν. ἢ ἔμπαλιν. ἢ παράδειγμά ἐστι λόγος ἀπὸ τῶν καθέκαστα ἐπὶ τὰ καθόλου. ἢ δεῖξις πιστουμένη τὸ μερικὸν, διὰ μερικοῦ ὁμοίου. ἢ παράδειγμα, ὑπόδειγμα. ἢ παρασκευασθέν τι ἔλαττον εἰς μείζονα.

Παραδειγματίσαι, φανερῶσαι, θριαμβεῦσαι.

Παράδεισος. ἐπειδὴ ἔμελλεν ὁ Θεὸς ἐξ ὁρατῆς καὶ ἀοράτου κτίσεως πλαστουργεῖν τὸν ἄνθρωπον κατ' οἰκείαν εἰκόνα τε καὶ καθ' ὁμοίωσιν, ὥσπερ τινα βασιλέα καὶ ἄρχοντα πάσης τῆς γῆς, καὶ τῶν ἐν αὐτῇ προκαθίστησιν αὐτῷ, οἷόν τι βασίλειον ἐν ᾧ διαιτώμενος μακαρίαν καὶ πανόλβιον ἔζη ζωήν. καὶ οὗτός ἐστιν ὁ θεῖος παράδεισος Θεοῦ χερσὶ πεφυτευμένος. Ἐδὲμ δὲ τρυφὴ ἑρμηνεύεται, ἐν τῇ ἀνατολῇ μὲν πάσης τῆς γῆς ὑψηλότερον κείμενος, εὐκραὴς δὲ ἀέρι λεπτοτάτῳ, καὶ καθαρωτάτῳ περιλαμπόμενος, φυτοῖς ἀειθαλέσι κομῶν, εὐωδίας πλήρης, φωτὸς ἔμπλεος, ὥρας ἁπάσης αἰσθητῆς, καὶ κάλλους ὑπερβαίνων ἔννοιαν, καὶ ἄλλα πολλὰ περὶ τούτου.

Παράδεισος, τίθεται ἐπὶ τῶν ἀναισθήτων, οἷός ἐστιν ἐν περιπάτοις, ἢ τόπος ἔνυδρος, ἤτοι εὔυδρος, ἐν ᾧ περίπατοι, καὶ ἡ βασιλέως κατάλυσις.

* Παράδεισος, πόλις συρίας. ἔστι καὶ κώμη Σικελίας τοιῶσδε λεγομένη.

Παραδειχθῶ, οὐ φαίνομαι.

Παρὰ δέ σοι, πάρεστι δέ σοι.

Παραδήμῳ, ἐξακούστῳ.

Παραδιαιτᾶσθαι, τὸ παρ' ἑτέρῳ τινὶ τρέφεσθαι.

Παραδίκη, παρὰ τὸ δίκαιον.

Παραδοκιμῶ, εἰς δόξαν ὑπερβαίνω.

Παρὰ δόξαν, παρ' ἐλπίδα, παρὰ προσδοκίαν.

Παράδοξον, θαυμαστὸν, ἀπροσδόκητον.

Παράδοξος, ὁ παρὰ δόκησιν λεγόμενος.

Παράδοσις, ἄγραφος διδασκαλία.

Παραδόσεων, διδασκαλιῶν.

Παραδραθεῖν, παρακοιμηθῆναι.

Παραδρώωσιν, ἤγουν παραδιακονοῦσι παρ' Ὁμήρῳ. δῆλον δὲ ὅτι ποιητικωτέρα λέξις τὸ τοιοῦτον δρᾶν. καὶ ἀπ' αὐτοῦ κινήσεις, καθὰ καὶ τὸ περᾶν. ἤγουν πέραν πιπράσκειν, καὶ τὸ περάσαι.

Παραδύομαι, παροιμία. ἐπειδὴ εἰς τοὺς πλουσίους οἱ πένητες παραδύονται.

Παραδῶσι, πληθυντικὸν συντρέχει.

Παραείδειν, ὕφεσίν τινα ἔχει πρὸς τὸ ἀείδειν. καὶ δηλοῖ τὸ ἐγγὺς, ἤτοι σχεδὸν, ἐν Ὀδυσσείας χ'. ἰστέον δὲ, τὸ ἔοικα δέ τοι παραείδειν, ὥς τε Θεῷ, ἤρτηται τοῦ Θεοῖς καὶ ἀνθρώποις ἀείδω. ἵνα λέγῃ, ὅτι νῦν οὐχ ὡς ἀνθρώπῳ σοι παραείδω, ἀλλὰ ὡς Θεῷ. αὐτὸ δὲ τὸ θεοῖς καὶ ἀνθρώποις ἀείδειν, πρός τινα ὁμοιότητά ἐστι τοῦ, κήρυκες Διὸς ἄγγελοι καὶ ἀνδρῶν.

Παραζήλου, παρερέθιζε, παροξύνου.

Παραζηλῶν, αἰτιατικῇ, παροξύνων, ζηλοτυπῶν, παροξύνων.

Παραζωστρὶς, μικρὰ μάχαιρα.

Παραθαλπόμενος, παραθερμαινόμενος.

Παράθεμα, ἐπίθεμα.

Παραθέντες, ἐκβληθέντες.

Παραθέει, ἀντὶ τοῦ ἐγγύτατα τρέχειν, καὶ ἀντὶ τοῦ ὑπερτρέχειν.

Παραθήγειν, παροξύνειν, ἀκονᾶν.

Παραθήξονται, παρακονήσονται.

Παραθήκη λέγε, καὶ παρακαταθήκη. καὶ παρατίθεται, καὶ παρακατατίθεται. οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσι.

Παρὰ θῖνα, παρὰ τὸν αἰγιαλόν.

Παρὰ θῖνα, παρ' Ὁμήρῳ, ἡ παρὰ, τὸ πλησίον δηλοῖ.

Παράθερμος, παρὰ τὸ προσῆκον ἐργαζόμενος.

Παράθεσις, σύγκρισις. παράθεσις καὶ ἡ παραγγελία παρὰ τοῖς ταξάσι. φασὶ γὰρ ἔλαβον παράθεσιν.

Παραθεωρήσω, παρεξέλθω εἰς ἑτέραν θεωρίαν.

Παραθραξίας, παραδραμείας.

Παράθρανος, κώπη τις ἐν ταῖς παραθρόνοις.

Παραθραύοντες, ταλαιπωροῦντες, ἀδυνατοῦντες.

Παραθρήσεις, παρείδῃς.

Παραιθύξας, παραπνεύσας, τουτέστι πνοὴν ποιήσας τῇ βίᾳ τῶν πτερύγων, Ἀπολλώνιος.

* Παραιγιαλῖται, ἰχθύες περὶ τὸν αἰγιαλὸν εὑρισκόμενοι, ὥσπερ ἀχελῶται, καὶ παρωκεανῖται.

Παρ' αἰγείρου θέα, Ἐρατοσθένης φησὶν, ὅτι πλησίον αἰγείρου τινὸς θέα. αἴγειρος δέ ἐστι φυτοῦ εἶδος ἐγγὺς τῶν ἰκρίων. ἕως οὖν τούτου τοῦ φυτοῦ ἐξετείνετο, καὶ κατεσκευάζετο τὰ ἴκρια, ἅ ἐστιν ὀρθὰ ξύλα ἔχοντα σανίδας προσδεδεμένας, οἷον βαθμούς. ἐφ' αἷς ἐκαθέζοντο πρὸ τοῦ κατασκευασθῆναι τὸ θέατρον.

Παραιθέματα, τὰ ἀπὸ τῶν μικρῶν δακτύλων, παρὰ τὸ θέναρ, ἤγουν ἐπὶ τὸν καρπόν.

Παραικάτια, αἱ ἐπὶ τοῖς ζεύγεσι τῶν ὁπλιτῶν τάξεις.

Παραίλεως, ὄρος ἐγγὺς Μαραθῶνος.

Παραίνεσις, συμβουλὴ, νουθεσία, σωφρονισμός.

Παραίνυται, ὀλίγῳ ἀφαιρεῖται.

Παραινῶ, τὸ συμβουλεύω. Ἀριστοφάνης, Αἰσχύλε παραινῶ σοι σιωπᾶν.

Παραίπαιμα, παρακοπή.

Παραὶ ποσὶ, παρὰ τοῖς ποσί.

Παραιρήμματα, παραράμματα ἱματίων.

Παραίρημα, ἀφαίρημα.

Παραιρήσεται. Θουκυδίδης, διέφθειρον σφᾶς αὐτοὺς, οἱ μὲν ἀπὸ κλινῶν σπάρτοις, οἱ δὲ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, τουτέστιν ἀφαιρήματα, ἀπήγχοντο.

Παραιροῦμαι, τὸ παρασύρω καὶ ἀφαιρῶ. Λιβάνιος, τὰ μέγιστα καὶ τιμιώτατα τῶν ἔργων, τὰ μὲν ἤδη παραιρούμενος.

Παραιροῦμαι, καὶ ἀφαιροῦμαι. ἀφαίρεσις δὲ μόνον, οὐ παραίρεσις.

Παραιρεῖται, ἀντὶ τοῦ ἐλαττοῖ.

Παραιροῦνται, ἀφαιροῦνται. καὶ παραιρούμενος, ἀφαιρούμενος.

Παραισαβάζειν, παρανενομηκέναι, ἀπὸ τοῦ σάβου.

Παραίσιμα, ἀλλοῖα τῶν προσηκόντων.

Παραίσια, ἀπαίσια, χαλεπά.

Παραιτεῖτο, παρεκάλει, ἐλιπάρει.

Παραιτηθεὶς, παρακληθείς. παραιτηθεὶς δὲ διὰ τῶν φίλων τοῦτον ἀπέλυσε τῆς αἰτίας.

Παραιτησάμενος, ἀπέδωκε τὸν χρυσὸν, ὡς παραιτησόμενος τοῦ Θεοῦ δι' αὐτοῦ τὸν χόλον.

Παραιτητὴς, παρακλήτωρ, ἢ ἀπολογούμενος.

Παραιτοῖτο, παρακαλοῖ, ἀπαγορεύοι.

Παραιτώνιον, τόπος.

Παραιτοῦμαι, ἀντὶ τοῦ ἀφίημι, καὶ ἀπορρίπτω. ὡς τὸ παρῃτήσατο τὴν ἀρχήν. παραιτοῦμαι, τὸ ἀπολύω καὶ ἐλευθερῶ. ὡς τὸ, παραιτοῦμαί σε μέμψεως. παραιτοῦμαι τὸ ἀποπέμπω, ὡς τὸ παραιτοῦμαί σε τῆς οἰκίας. παραιτοῦμαι τὸ συγγνώμην αἰτῶ, καὶ τὸ ἀπολογοῦμαι. Ἀριστείδης ἐν τῷ ὑπὲρ τῶν τεσσάρων, παραιτεῖσθαι μὲν οὐκ οἶδα ὅτι δεῖ περὶ τῶν αὐτῶν πολλάκις. καὶ παραίτησις, ἡ συγγνώμης αἴτησις, καὶ ἡ ἀπολογία. παραιτοῦμαι τὸ ἀποστρέφομαι, καὶ ἀθετῶ. ὅθεν καὶ ἀπαραίτητον, τὸ ἀμετάθετον. παραιτοῦμαι, τὸ ἐκβάλλω. παραιτοῦμαι, ἀντὶ τοῦ παρακαλῶ τυχεῖν συγγνώμης. παραιτοῦμαι, ἀξιῶ. Ἡρόδοτος, παραιτησάμενος βασιλέα εἰς Σικελίαν ἀπίκετο. καὶ παραιτοῦμαι, τὸ αἰτίας ἀπολύω.

Παραιφάμενοι, παραινέσαντες. παραιφάμενος, παραινούμενος, πλεονασμῷ τοῦ ι.

Παραίφασις, παραίνεσις, συμβουλὴ, παραλογισμὸς, ἀπολογία.

Παραιφασίῃσι, παραινέσεσιν, ὑποθήκαις.

Παραιφάσσει, τινάσσει, πηδᾷ, παρακινεῖ, καὶ τὰ ὅμοια.

Παραιφηλούμεθα, παραγόμεθα.

Παρακαίρια ῥέζων, παρ' Ἡσιόδῳ, ἤγουν ἀπρεπῆ καὶ ἀνάρμοστα πράττων.

Παρακαλοῦμαι παθητικῶς, παρακινοῦμαι, καὶ ὑπ' ἄλλου ἱκετεύομαι. παρακαλοῦμαί σε εἰς μάχην, ἀντὶ τοῦ παρακινῶ σε. παρακαλοῦμαι κυρίως, ἐπὶ πολέμου καὶ μονομαχίας. ἀπὸ τούτου δὲ καὶ ἐπ' ἄλλων, αἰτιατικῇ συντάσσεται. Λιβάνιος, παρακαλούμενος οὖν με φίλον εἶναι, προκαλῇ. ὃ καὶ προκαλῶ ποιητικῶς λέγεται. οἷον αὐτὸς δὲ προκάλεσσον Ἀχαιῶν ὅς τις ἄριστος.

Digitized by Google

Παρακαλῶ, τὸ προτρέπομαι. ὅθεν καὶ παράκλησις, ἡ προτροπή, καὶ ἡ παρακίνησις. σπανίως δὲ, καὶ τὸ δέομαι.

Παρακαλῶ. ἐνεργητικῶς μὲν λαμβάνεται ἀντὶ τοῦ ἱκετεύω καὶ δέομαι, καὶ αἰτιατικῇ συντάσσεται Ἀττικῶς, ἀντὶ τοῦ παρακινῶ καὶ διεγείρω. ὁμοίως συντάσσεται αἰτιατικῇ μετὰ προθέσεως. Λιβάνιος, σὺ μὲν παρακαλεῖς με πρὸς παρρησίαν.

Παρακαλῶ, ἀντὶ τοῦ καθικετεύω, καὶ ἀντὶ τοῦ καθέλκω. Λυκιανός, παρακαλοῦμαί σε τραύματος εἰς Ἄρειον Πάγον. καὶ παρακαλῶ, τὸ παραμυθοῦμαι.

Παρακαρησός, ὄνομα ποταμοῦ.

Παρακαταβολή, πρόθεσις δεκάτου μέρους τοῦ τιμήματος. εἴρηκεν ὁ δανειστὴς πρὸς στρεψιάδην. παρακαταβολή, καὶ παρακαταβάλλειν, οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων, πρὸς τὴν πόλιν. καὶ οἱ περὶ κλήρων, ἢ ἐπὶ κλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες.

Παρακαταθήκη, ἐνέχυρον.

Παρακαταθήκην, τὴν χάριν τοῦ Πνεύματος λέγει ὁ Ἀπόστολος, ἣν διὰ τῆς χειροτονίας ἐδέξατο ὁ Τιμόθεος. ὦ Τιμόθεε τὴν παρακαταθήκην φύλαξον. ἤγουν, τὴν ἐντολήν, ἣν σοι δι᾽ ἐμοῦ ὁ Θεὸς παρέθετο.

Παρακατῆχον, ἐχονοτρίβυν.

Παρακατάστασις, ἀργυρίδιόν ἐστι, παρακαταβαλλόμενον ἐν τοῖς διαιτηταῖς ὑπὸ τῶν δικαζομένων. ἡ παρακατάστασις, λέγεται καὶ παρακαταβολή, καὶ παρακαταβάλλειν τὸ πρᾶγμα.

Παρακατέλεκτο, παρακατέκειτο.

Παρακείμενα, τὰ νῦν ἱκανὰ κακά. τὰ παρακείμενα.

Παρακείμενος, συμπληρούμενος. ἤδη διὰ τὸ παρακεῖσθαι αὐτῷ τὴν συμπλήρωσιν.

Παρακείμενός ἐστιν, ὅταν περὶ τοῦ ἄρτι παρεληλυθότος χρόνου λέγω τί πεποίηκα κατ᾽ αὐτόν, ὡς ὅταν ἄρτι πεπαυμένος τοῦ γράφειν, καὶ ἐρωτηθεὶς τί πεποίηκα, εἴπω ὅτι γέγραφα, καλῶς ἄρα καὶ παρακείμενος λέγεται. ὁ γὰρ ἄρτι παρεληλυθὼς χρόνος, παράκειται πάντως τῷ ἐνεστῶτι, καὶ ἐγγύς ἐστι τούτου.

Παρακείμενοι, οἰκείως ἔχουσιν ἀντὶ ἐνεστώτων λαμβάνεσθαι, οὐ μέντοι πάντες οἱ παρακείμενοι οὕτω λαμβάνονται, ἀλλ᾽ εἰσὶ μὲν οἳ ἐπὶ σημασίας ἐνεστῶτος παραλαμβάνονται ἀεί. ὡς ὁ δέδορκα, δέδοικα, πέφρικα, καὶ ἕτεροι. εἰσὶ δὲ οἳ οὐδέποτε ἐπὶ ἐνεστῶτος λαμβάνονται, ἀλλ᾽ ἀεὶ ἐπὶ παρεληλυθότος. ὡς ὁ πέπονθα, καὶ πεποίηκα, καὶ ἕτεροι. εἰσὶ δὲ οἳ ἐνίοτε μὲν ἐπὶ ἐνεστῶτος, ἐνίοτε δὲ ἐπὶ παρεληλυθότος λαμβάνονται, ὡς ὁ πεποίημαι.

Περὶ τοῦ σχηματισμοῦ αὐτῶν.

Παρακείμενος ἐνεργητικὸς ἀπὸ τοῦ μέλλοντος γίνεται, τροπῇ τῆς τελευταίας εἰς φα, ἢ χα, ἢ κα. οἷον τύψω τύφα, λέξω λέχα, πείσω πεῖκα. καὶ ἐκ τοῦ παρατατικοῦ. καὶ γὰρ εἰ ὁ παρατατικὸς ἄρχεται ἀπὸ μακρᾶς φύσει, ἢ θέσει, ἀπ᾽ αὐτῆς καὶ ὁ παρακείμενος ἄρχεται. οἷον, ἦχον ἦχα, ἔσπειρον ἔσπαρκα. εἰ δὲ ἀπὸ βραχείας, ἢ κοινῆς, τότε ὁ παρακείμενος διπλασιάζει τὸ τοῦ ἐνεστῶτος σύμφωνον μετὰ τῆς αὐξήσεως τοῦ ε, τοῦ προσληφθέντος ἐν τῇ ἀρχῇ τοῦ παρατατικοῦ. οἷον τύπτω ἔτυπτον τέτυφα, κείρω ἔκειρον κέκερκα, γράφω ἔγραφον γέγραφα. χωρὶς τῶν ἀρχομένων ἀπὸ τοῦ γνω, καὶ γρη. ταῦτα γὰρ οὐκ ἀναδιπλασιάζουσι τὸ τοῦ ἐνεστῶτος σύμφωνον, διὰ τὴν κακοφωνίαν. οἷον γνωρίζω ἐγνώριζον ἐγνώρικα, γρηγορέω, ἐγρηγόρεον, ἐγρηγόρουν ἐγρηγόρηκα. καὶ τὰ ἀρχόμενα ἀπὸ τοῦ ρ, οὐκ ἀναδιπλασιάζουσιν, οἷον ῥίπτω ἔρριφα, οὐ ῥέριφα, τὰ δὲ ῥερυπωμένα, καὶ τὰ ἄλλα, ποιητικά εἰσι. τὰ δὲ ἀρχόμενα ἀπὸ τῶν δασέων, ἤτοι θ, φ, χ ἀναδιπλασιάζουσι τὸν παρακείμενον, τροπῇ τῶν δασέων εἰς ψιλά. οἷον θείνω θενῶ τέθακα, φράζω φράσω πέφρακα, χαίρω χαρῶ κέχαρκα. τὰ δὲ τῆς πέμπτης συζυγίας ῥήματα, οὐ ποιοῦσι τὸν παρακείμενον ἀπὸ τοῦ κοινοῦ μέλλοντος, ἀλλὰ ἀπὸ Αἰολικοῦ. οἷον ψάλλω ψαλῶ, καὶ ψάλσω Αἰολικῶς, ἔψαλκα, σπείρω σπερῶ σπέρσω ἔσπαρκα. τὰ δὲ ἔχοντα τὸ μ, φυλάττουσι τὸ μ ἐν τῷ παρακειμένῳ, καὶ προσλαμβάνουσι τὸ η μεταξὺ τοῦ μ καὶ κ διὰ τὴν καλλιφωνίαν. οἷον νέμω νεμῶ νενέμηκα, οὐ νένεμκα. ὁμοίως τὸ βρέμω, δέμω, τρέμω, τέμνω, κάμνω, καὶ γέμω. τὰ δὲ εἰς νω ῥήματα οὐ φυλάττουσιν ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ τὸ ν, ἀλλὰ τρέπουσιν εἰς τὸ γ. καὶ τοῦτο ὅτι ἑπομένων γ κ ξ χ, ἀεὶ τρέπεται εἰς τὸ γ. οἷον φαίνω φανῶ πέφαγκα, μολύνω μολυνῶ μεμόλυγκα. δισύλλαβα δὲ, ἔχοντα πρὸ τοῦ ν ἢ ι, ἢ ει δίφθογγον, ἢ υ, ἀποβάλλουσι τὸ ν ἐν τῷ παρακειμένῳ. οἷον κρίνω κρινῶ κέκρικα, κτείνω κτενῶ ἔκτακα, θύνω θυνῶ τέθυκα. τὴν αὐτὴν παραλήγουσαν ἔχει ὁ παρακείμενος καὶ ὁ μέλλων, οἷον τύψω τέτυφα, λέξω λέλεχα, πείσω πέπηκα. χωρὶς τῶν δισυλλάβων ῥημάτων τῆς πρώτης καὶ δευτέρας συζυγίας, τὸ ε ἐν τῇ παραληγούσῃ τοῦ ἐνεστῶτος ἐχόντων, ἐφ᾽ ὧν οἱ Ἀττικοὶ ποιοῦσιν ἴδιον παρακείμενον, τρέποντες τὸ ε εἰς ο. οἷον κλέπτω κέκλεφα κοινῶς, καὶ κέκλοφα Ἀττικῶς. πέμπω πέπεμφα κοινῶς, καὶ πέπομφα Ἀττικῶς. καὶ χωρὶς τῶν ῥημάτων τῆς πέμπτης συζυγίας, ἃ ἐν τῇ παραληγούσῃ ἔχουσι τὸ ε, οὗ τραπέντος εἰς α ποιοῦσι τὸν παρακείμενον. οἷον σπείρω σπερῶ ἔσπαρκα, φθείρω φθερῶ ἔφθαρκα. Σημειωτέον καὶ τοῦτο, ὅτι πᾶς παρακείμενος εἰς κα, μακρὰν ἔχων τὴν παραλήγουσαν, ἐὰν ἀποβάλῃ τὸ κ, συστέλλει αὐτήν, ἔθει Ἰωνικῷ. οἷον βέβηκα βέβαα, ἕστηκα ἕσταα, δέδοικα δέδια, γέγηκα γέγαα.

Παρακείμενοι δισύλλαβοι ἔχοντες δύο σύμφωνα, φυλάττουσι καὶ ἐν τῇ συνθέσει τὸν τόνον. οἷον εἶργμαι καθεῖργμαι, ἧγμαι κατῆγμαι, ἧσμαι καθῆσμαι. οἱ Ἀττικοὶ ποιοῦσιν ἴδιον παρακείμενον ἐπὶ τῶν ἀρχομένων ῥημάτων ἀπὸ μεταβολικῶν φωνηέντων, ἤτοι τοῦ α ε ο, ἑπομένου συμφώνου, ὃ ἀρχὴ ᾖ τῆς δευτέρας συλλαβῆς. οἷον ἀκούω, ἐρείδω, ὀρύσσω. καὶ μή τε ἀπὸ τῆς μακρᾶς ἄρχηται τὸ ῥῆμα, ὡς ᾄδω, προστιθέντες τῷ κοινῷ παρακειμένῳ τὰ δύο ἀρχικὰ γράμματα τοῦ ἐνεστῶτος, καὶ τὴν τρίτην συλλαβὴν ἀπὸ τῆς ἀρχῆς συστέλλοντες, οἷον ἀγείρω ἀγερῶ, ἤγερκα κοινῶς, καὶ ἀγήγερκα Ἀττικῶς, καὶ ἀγήγερμαι παθητικῶς. ἀκούω ἤκουκα, ἤκουα μέσος παρακείμενος, καὶ ἀκήκοα Ἀττικῶς. ἀλείφω ἤλειφα, καὶ ἀλήλιφα Ἀττικῶς. ἄγω ἦχα, καὶ Ἀττικῶς ἄγηχα, καὶ ἐπεκτάσει τῆς γο συλλαβῆς, ἀγήγοχα. καὶ ἐκβολῇ τοῦ γ διὰ καλλιφωνίαν ἀγήοχα, ἐλεύθω ἤλευθα ἐλήλυθα, ὀρύσσω ὤρυχα καὶ ὀρώρυχα ὁ μέσος ὤρυγα καὶ ὀρώρυγα.

Παράκειται, καὶ τὸ πλησίον ἐστίν. οἷον Ἀριστείδης, παράκειται δὲ αὐτῇ τῇ χώρᾳ. καὶ δοτικῇ συντάσσεται. ἔστι δὲ καὶ ἀντὶ τοῦ δέοντος ἔξω τιθέναι. οἷον ὁ τοῦ Τιμοκράτους νόμος παράκειται τοῖς τῆς πόλεως, ἀντὶ τοῦ ἔξω τοῦ προσήκοντός ἐστιν.

Παρακεκινδυνευμένον, ὑψηλόν, βλάσφημον, παράδοξον, ἀσυνήθες.

Παρακεκλημένος, παρατετραμμένος.

Παρακεκλημένοι, παραμυθηθέντες, καὶ παρακληθέντες.

Παρακεκομμένος, μαινόμενος, ἐξεστηκώς, παράφρων, ἀνδράρια μοχθηρά, παρακεκομμένα, ἄτιμα, καὶ παράσημα, καὶ παράξενα.

Παρακέκοπται, παρανοεῖ.

Παρακεκρόαται, τῶν φρενῶν ἠλαττοῦντο.

Παρακέκρουσται σὺν τῷ σ, ἐνεργητικόν ἐστι, καὶ σημαίνει τὸ ἐξηπάτηκε. τὸ δὲ χωρὶς τοῦ σ παθητικόν, καὶ σημαίνει τὸ ἐξηπάτηται.

Παρακελεύεται, προτρέπεται, διεγείρει, παρακελεύομαί σοι τοῦτο ποιεῖν.

Παρακεχόρδηκεν, οἷον παρημάρτηκε. λέγουσιν Ἀττικοί, παράχορδον.

Παρακεώμεθα, ἐγκείμενοι ὦμεν.

Παρακινῶ, παρακαλῶ, διεγείρω, παρατρέπομαι, ἐπαίρω, ἐπιθήγω, σπαράττω, θέλγω, ἐρεθίζω, διερεθίζω, μυωπίζω, ἐξορμῶ, ὀρῶ ὀρίνω, ὀτρύνω, παροτρύνω. παρακινῶ, τὸ μεθιστῶ καὶ διεγείρω. τὸ μὲν ἐπὶ ἀψύχων, τὸ δὲ διεγείρω, ἐπὶ ἐμψύχων.

Παρὰ κληῖδος, ἱμάντα. παρὰ τοῦ τρυπήματος παραγόμενον τοῦ κλείθρου, δι᾽ οὗ τὸ ἱμάντα ἐνιᾶσι.

Παράκλησις, ἀντὶ τοῦ παρατροπή. Ἰσοκράτης παραινέσεσι, δι᾽ ὅπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες. τίθεται μέντοι σπανίως, καὶ ἀντὶ τῆς δεήσεως.

Παράκλησίς ἐστιν, ἀνάκλησις ψυχῆς ἀτόνου, διὰ λόγου πνευματικοῦ.

Παράκλητον Πνεῦμα λέγεται, ὡς τὰς παρακλήσεις τῶν ὅλων δεχόμενον.

Παρακλήτορες, παραμυθηταί.

Παρακλιδόν, τὸ παρατετραμμένως, καὶ κατ᾽ ἔκκλισιν, ἐκ τοῦ παρακλίνω. καθὰ καὶ ἐκ τοῦ διακρίνειν καὶ νοσφίζειν, τὸ διακριδὸν γίνεται, καὶ νοσφιδόν. καὶ ἔστι ταῦτα τὸ παρὲξ εἰπεῖν, καὶ τὸ παρακλιδὸν εἰπεῖν, καὶ τὸ ἀπατῆσαι.

Παρακλιδὸν εἰπεῖν, καὶ τὸ ἀπατῆσαι.

Παρακλιδόν, παρακεκλιμένως.

Παρακλίνασαι, παρανοίξασαι.

Παρακλίνω ἕτερον, ἀντὶ τοῦ παρατρέπω. καὶ παρακλίνω ἀμεταβάτως, ὡς ἐκκλίνω.

Παρακμάζων, παραμυθούμενος.

Παρακοᾶν, παρανοεῖν, καὶ παραφρονεῖν. κοᾶν γάρ, καὶ κονᾶν, τὸ φρονεῖν. παρακονᾶν δὲ, τὸ ἐν τῷ φιλεῖν διατρίβειν τὸ γένειον.

Παρακομίζομαι, τὸ παραγίνομαι. καὶ παρακομιδή, ἡ προσέλευσις. Θουκυδίδης, ἐν δὲ τῇ παρακομιδῇ τῆς εἰς τὴν Σικελίαν, καὶ πάλιν ἀναχωρήσει.

Παρακοίτης, ὁ ἀνήρ. παράκοιτις δὲ, ἡ γυνή.

Παρακοπὴ φρενῶν, ἡ φρενιτίασις.

Παρακόπτει, μαίνεται.

Παρακόρησον, παρακάλλυνον.

Παρακοττεῖ, παραφρονεῖ.

Παρακούω, τὸ παρανοῶ. ὅπερ τὶς εἰς ἑτέραν ἔννοιαν εἰπών, ἐγὼ ἑτέρως ἐνόησα. καὶ παρακούω, τὸ παρέργως ἀκούω, καὶ μὴ μετὰ σπουδῆς. καὶ παρακούω, λάθρα ἀκούω. Ἀριστοφάνης, παρακούων δεσποτῶν, ἤγουν λάθρα ἀκροώμενος λεγόντων.

Παρακόψας τὸν νοῦν, παρατραπείς.

Παρακροτοῦντες, παραθαρσύνοντες, παρορμῶντες.

Παρακροτῶν, παροξύνων.

Παρακρούει, πλανᾷ, ἐξαπατᾷ. * ἐπ᾽ ὀλίγον παραφρονεῖ, παραληρεῖ.

Παρακρούεται, ἀπατᾷ, ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν τῶν οὐ καταβαλλόντων ἀλλ᾽ ἐν ὥρᾳ παρακρουόντων, ἢ ποδὶ ἢ χειρί, καὶ οὐ ῥιπτούντων. καὶ παρακρουσάμενος, ἐξαπατήσας, παραπείσας. καὶ παρακρούσασθαι, ἀναστρέψαι.

Παρακρουσθέντες, παραλογισθέντες.

Παράκρουσιν, ἐξαπάτην.

Παράκρουσιν χοίνικος, παραλογιζόμενος ἐν τῷ μέτρῳ. εἴρηται δὲ οὕτω, διὰ τὸ κρούειν τὰ μέτρα, καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν.

Παράκρουστος, μωρός.

Παράκτης, ὁ τῶν κυνηγῶν τοὺς κύνας ἐπὶ τὴν θήραν ἄγων.

Παράκτιοι ἠϊόνες, ἤτοι παραιγίαλοι ἠϊόνες. καὶ ἠϊόνες ὡς ἂν θέλῃς γράφε, εἴτε τρισυλλάβως, εἴτε τετρασυλλάβως.

Παρὰ κωφὸν ἀποπαρδεῖν, παροιμία. πρόδηλος δὲ αὐτῆς ἡ αἰτία, παραλαλοῦντος.

Παρακωχή, παρὰ Θουκυδίδῃ παροχή, ὡς ἡ ἀνακωχὴ καὶ διακωχή.

Παραλαλεῖ, φλυαρεῖ, μὴ γινώσκων ἃ λαλεῖ.

Παραλαμβάνω, κοινῶς λέγεται, τὸ διαδέχομαι. ὡς παρὰ Λιβανίῳ, παραλαβὼν τὴν βασίλειον ἀρχήν, ἀντὶ τοῦ διαδεξάμενος.

Παράλαμψις, ἡ ἐν τῷ μέλανι τῶν ὀφθαλμῶν ἐπιλάμπουσα οὐλή, διὰ τὸ ἡσυχῇ καὶ βαθυτέρα εἶναι τῆς αἰγίδος, παρὰ τῷ Ἱπποκράτει.

Παρὰ λαπάρην, παρὰ τὴν λαγόνα.

* Παραλέγειν, τὸ παρὰ τὸ κατὰ φύσιν λέγειν, τουτέστι παραφρονεῖν.

Παραλία, πάραλος. καὶ παράλιος, παραθαλάσσιος.

Παραληροῦντα, διαποροῦντα, καὶ ἀσχημονοῦντα λέγει Ἀριστοφάνης τὸν Κρατῖνον. καὶ παραληρούντων, μωρὰ λαλούντων.

Digitized by Google

Παράλιον, εἶδος τιθυμάλλου. καλεῖται δὲ καί τι κράμβιον παράλιον, παρὰ τῷ Ἱπποκράτει.

Παράλιος, καὶ πάραλος χώρα. ἦν δὲ Ἀθήνησι καὶ ἱερὰ ναῦς πάραλος καλουμένη. ὅθεν καὶ πάραλοι, οἱ ἐν τῇ νηὶ τῇ παράλῳ πλέοντες, καὶ οἱ τὴν πάραλον χώραν οἰκοῦντες.

Παραλλαγῆς, ἐναλλαγῆς, ἀλλοιώσεως.

Παραλλάξας, ἐνηλλαγμένως παρελθών.

Παράλλαξον, πάρελθε.

Παραλλάττειν, παρέρχεσθαι. καὶ τὸ κατά τι μὲν ὁμοιοῦσθαι, κατά τι δὲ διαφέρειν, καὶ τῇ παραθέσει ἀλλοῖον δείκνυσθαι. ἀφ' οὗ παραλλὰξ ἐπίρρημα, ἀντὶ τοῦ παρηλλαγμένως. ὅταν ἐφεξῆς ἑτέρῳ ἕτερον ἀλλοῖον κέηται, καὶ ἁπλῶς τὸ ἐφεξῆς ἑτέρῳ ἕτερον κεῖσθαι.

Παρ' ἀλλήλοισι τιταίνων, καὶ παρ' ἀλλήλοισι τέταινον, ἤγουν ἐγγὺς ἀλλήλων. ὅθεν καὶ παραλληλίζειν, ἐπὶ παραθέσεως, ἤτοι συγκρίσεως, καὶ λόγοι παράλληλοι. τὸ δέ γε ἐν ἀλλήλοις, πλεῖόν τι δηλοῖ τοῦ ἐγγὺς ἀλλήλων. ὡς δηλοῖ καὶ ὁ εἰπὼν, τὸ οὐ παρ' ἀλλήλοις, ἀλλ' ἐν ἀλλήλοις.

Παράλληλον σχῆμά ἐστιν, ὅτε δύο λέξεις ὁμοῦ κεῖνται παράλληλοι, προφορᾷ μόνῃ διαφέρουσαι, σημαίνουσαι δὲ τὸ αὐτό. οἷον θάνατον μόρον τε, ταὐτὸν γάρ, αἱ λέξεις ἄμφω δηλοῦσι. καὶ βάσκ' ἴθι, ἀντὶ τοῦ πορεύθητι, ἄπελθε. καὶ ποθέεσκε δ' ἀϋτήν τε πόλεμόν τε, καὶ ῥινοὺς βοῶν τ' ἀποιησάων. ῥινὸς γὰρ ἐνταῦθα καὶ βόες, ταὐτὸν νοοῦσιν. ὅμοιον πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι, καὶ τὸ λίαν πάνυ, καὶ τυχὸν ἴσως, καὶ ὅσα τοιαῦτα.

Παραλλήλων, ὁμοίων, ἀκολούθων, ἐγγὺς ἀλλήλων.

Παραλογίζομαι, ἀντὶ τοῦ ἀπατῶ. οἷον παραλογίζομαί τινα, ἀντὶ τοῦ λαθὼν παρασύρω αὐτὸν εἰς ψευδῆ λογισμόν. καθὸ λέγεται καὶ παράγειν, τὸ ἀπατᾶν.

Πάραλος, ἡ Σαλαμινία.

Παραλογισμὸς, ἀπάτη λογισμοῦ.

Παραλογισμός ἐστι, λόγος σοφιστικὸς πιθανὸς, συγκρύπτων καὶ συσκιάζων τὴν ἀλήθειαν.

Παραλογιστὴς, ἀπατεών.

Παραλόγως, ἀνελπίστως.

Παράλογον, ἀλόγιστον.

Πάραλος, μία τῶν παραθαλασσίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριηρῶν. ἀπό τινος ἥρως, τοὔνομα Παράλου. οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλοῦντο πάραλοι. οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν τέτταρας ὀβολοὺς ἐλάμβανον, καὶ τὸ πλεῖον μέρος τοῦ ἐνιαυτοῦ οἴκοι ἔμενον.

Παραλουργεῖς, οἱ ἥττονες ἔνδοξοι, καὶ ἔντιμοι. ὡσεὶ λέγει τις παραβαφής. ἁλουργὲς γὰρ τὸ ἐκ τῆς θαλαττίας πορφύρας ὕφος.

Παράλους λέγει Ἀριστοφάνης, τοὺς κωπηλάτας. κοινῶς πάραλος γὰρ καὶ ἡ Σαλαμινία τριήρης. κοινῶς δὲ παράλους, τοὺς ἐκ τῶν τριήρων ναύτας.

Παραλοὺς, παρακρατηθεὶς, συνεχεθείς.

Παραλύσας, ἀντὶ τοῦ διαδεξάμενος, παραλύσας αὐτὸν τῆς ἀρχῆς.

Παραλῦσαι, ἀφελέσθαι, βουλόμενος ἀναπαῦσαι καὶ κόπου παραλῦσαι, τοὺς ἰδίους στρατιώτας.

Παράλυσίς ἐστι, δυσκινησία ψυχῆς λογικῆς, πρὸς τὰς πρακτικὰς ἀρετάς.

Παραλυθῆναι, ἀπολυθῆναι.

Παραλύομαι, παροιμιωδῶς. ἐπεὶ ὑπὸ τῶν πλουσίων οἱ πένητες παρελύοντο.

Παραλύω, ἐπὶ νοσούντων, ἐξ οὗ παρέλυσεν ἡ νόσος τὰ μέλη. παραλύει, ἀντὶ τοῦ διαλύει. καὶ παραλύει τὸν δεῖνα τῆς ἀρχῆς, ἀντὶ τοῦ ἐκβάλλει.

Παραλώματα, τὰ ἔξωθεν τῶν μητέρων σκεπάσματα.

Παραμαρτὼν, ἀποτυχών.

Παραμέμβλωκε, παραμεμένηκε. πάρεστι, προθυμεῖται, ἐκ τοῦ μέλω μεμέληκα καὶ μεμέλωκα, καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ β μέμβλωκα.

Παραμένειν λέγε τινὰ, ὅταν βουλόμενον ἀπέρχεσθαι κρατῇς εἶναι παρὰ σαυτόν.

Παραμείψεται, γειτνιάσει.

Παραμέστιον, παρὰ τῷ Ἀπολλωνίῳ, παρέπλεον.

Παραμεῖψαι, παραλλάξαι, ἐκβαίνειν.

Παραμείψας, παραναγνούς.

Παραμήξας, παραλλάξας.

Παραμιδὴν, ἡ τῶν θεῶν μοῖρα. Λυδοί.

Παραμνείσω, παραμένοντι, καὶ καταφαίνοντι τὸ μένος, ἤγουν δύναμιν.

Παρὰ μοῖραν, ἀντὶ τοῦ παρὰ τὸ καθῆκον.

Παράμονος, καρτερός.

Παραμπυκίζεται, παραπλέκεται τὰς τρίχας.

Παραμυθήσαι, αἰτιατικῇ, συμβουλεῦσαι. καὶ παραμυθήσασθαι, ὡσαύτως.

Παραμυθήσασθαι, τὸ παρηγορῆσαι, καὶ παραινέσαι. ἰστέον, ὅτι μῦθος, αἶνος, φάσκειν, ἀγορεύειν, εἰπεῖν, εἰρηκέναι, ὁμοίων εἰσὶν νοημάτων δηλωτικά. διὸ καὶ προσλαβόντα τὴν παρὰ πρόθεσιν, ὁμοιότητά τινα ἔχουσιν ἐννοιῶν. καὶ γίνεται ἐκ τοῦ μύθου μὲν τὸ παραμυθεῖσθαι, τοῦ αἴνου δὲ τὸ παραινεῖν, τοῦ δὲ φάσκειν τὸ παραιφάσκειν καὶ πάρφασις καὶ ἡ παραίφασις, τοῦ δὲ ἀγορεύειν τὸ παρηγόρημα, τοῦ δὲ εἰπεῖν τὸ παρειπεῖν, τοῦ εἰρηκέναι τὸ παρειρηκοί. ἐτόλμησε δέ τις ἐντεῦθεν ἐκδοῦναι καὶ πάρρησιν τὴν παράρρησιν. δῆλον δὲ, ὅτι μυθέεσθαι μὲν καὶ μυθεῖσθαι καὶ παραμυθεῖσθαι. ὁμηρικά. μυθέεσθαι δὲ τὸ ψευδῶς λέγειν, τοῖς μεθ' Ὅμηρόν ἐστι χρήσεως.

Παραμυθία, ἐπί τινι ἐνδόξως τεθνεῶτι ἐν πολέμῳ. τὸ τοιοῦτον μὲν ἴσομεν ἀχνύμενοί περ κεῖσθαι. ἐπειδὴ πρῶτα θεοῦ ἰότητι δαμάσθη.

Παραναλώματα, τῆς τρυφῆς ἐποιεῖτο φόνους οὐδὲν ἠδικηκότων ἀνθρώπων, τουτέστι πρόσοψημα.

Παρὰ ναῦφιν, παρὰ τῶν νεῶν.

Παρὰ νῆας, παρὰ τὰς ναῦς.

Παρὰ νηυσί, παρὰ τοῖς πλοίοις.

Παράνοια, ὑπερηφανία.

Παρανομία ἐστὶν, ἡ παρὰ τὴν τοῦ νόμου διάταξιν ἔχθιστος πρᾶξις.

Παράνομος, ὁ πεπιστευκὼς μὲν εἰς Θεὸν καὶ τὸν νόμον αὐτοῦ δεξάμενος, μετὰ φαύλης δὲ διανοίας καὶ διεστραμμένης τοῦτον κατέχων. καὶ Θεῷ μὲν πιστεύειν νομίζων, μετὰ χείστως δὲ καὶ βουλήσεως τῇ πρὸς Θεὸν αὐτοῦ πίστει ἐναντίος.

Παρανόμων, τὸν δεῖνα γράφομαι λέγουσιν Ἀττικοί.

Παρανομῶ, παραχέω.

Πάραντα, τὰ παρὰ τὸ ἀντικρύ. οἷον πλάγια τὰ παρατετραμμένα τῆς εὐθείας ὁδοῦ.

Παράνυμφος, νυμφευτρία.

Παραξιφὶς, καὶ ἐγχειρίδιον λέγεται. φησὶ γοῦν Ἡρόδοτος, καὶ ἐγχειρίδια παρὰ τὸν δεξιὸν μηρόν. δῆλον δὲ, ὅτι ἐκ τοῦ παρὰ καὶ τοῦ ξίφος, ἡ παραξιφὶς συντίθεται, Ὁμήρου καὶ εἰς τοῦτο ἐνδόντος ἀρχὴν, καὶ εἰς τὸ ἐγχειρίδιον. καὶ αὐτὸ γὰρ δοκεῖ λεχθῆναι τοῖς ὕστερον, ὡς ἀπὸ τοῦ ἐρύσατο χείρεσσι μάχαιραν.

Παραξόνια, κινδυνώδη καὶ παράβολα, παρὰ τὸν τροχὸν ἑλκόμενα. καὶ ἄλλως παραξόνια, κινδυνώδη, ἀπὸ τοῦ ἄξονος. ἀεὶ γὰρ τὸ μέρος τοῦτο κινδυνεύει.

Παράορος, σειραφόρος.

Παραὸς, ἀετὸς, ὑπὸ Μακεδόνων.

Παραύροι, χαῦνοι, ἢ παραφύλακες.

Παράπαγος, μάνδαλος θύρας.

Παραπαίει ὁ παραφρονῶν, παίει ὁ τύπτων.

Παραπαίει, παρακόπτει, μαίνεται, ληρεῖ, παραφρονεῖ.

Παράπαιστος, παραπλὴξ, ἢ παρειμένος.

Παράπαν, καθόλου, παντελῶς.

Παράπαν, τίθεται ἀντὶ τοῦ παντελῶς, κατὰ πάντα τρόπον.

Παραπασσόμενος, ἐπιβαλλόμενος.

Παραπαίσει, παραπαίξει.

Παραπέμπειν, τὸ παρακολουθεῖν διόλου τινὶ, καὶ δορυφορεῖν. οἷον παραπέμπει τὶς τινὰ, ὅταν μεθ' ἑαυτοῦ ἔρχεται θεραπεύων, καὶ οἷον δορυφορῶν. καὶ παραπέμπει ἡ ὕελος τὴν ἀκτῖνα, ἤγουν παραχωρεῖ καὶ δίδωσιν, ἵνα δι' ἑαυτῆς ἔλθῃ.

Παραπεπληγμένα, μανικά. ὅσ' ἂν πράξωσιν, ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα.

Παραπεπήγασιν, ἐγγίζουσι, παρομοιοῦνται.

Παραπέμπειν, ἐπὶ χρόνου. οἷον μακρὸς χρόνος ὡς ἡμᾶς παραπέμπει διὰ τῆς ἱστορίας τὰ πρόσθεν γεγενημένα. παραπέμπειν καὶ τὸ ἀποπέμπειν, καὶ ἀποδιώξασθαι, αἰτιατικῇ.

Παραπεισθεὶς, ἀπολεῖς, ἐπὶ πλεῖον παρελκύσεις.

Παραπεπτωκὼς, ἀντὶ τοῦ ὑποπεπτωκώς.

Παραπέτασμα, πετάλοις ἐσκεπασμένα. αἱ δὲ θύραι ἦσαν κόσμῳ διαπρεπεῖς, ἀργύρῳ τὰ τῶν ἔμβολα, καὶ χρυσῷ τὰς πρύμνας παραπέταλοι.

Παραπέτασμα, παρακάλυμμα, παράπλωμα, τὸ λεγόμενον βῆλον.

Παραπετάσμασι, ταῖς σκηναῖς, τοῖς περσικοῖς βήλοις, ἢ βηλοθύροις.

Παραπέφυκε τῇ πηγῇ, ἤγουν πλησίον τῆς πηγῆς ἐβλάστησε.

Παράπηγμα, κανὼν, καὶ εἶδός τι ὀργάνου ἀστρονομικοῦ.

Παραπήχυ, ἱμάτιον τὸ παρ' ἑκάτερον μέρος ἔχον πορφύραν.

Παραπικραίνειν, παροξύνειν, παροργίζειν.

Παραπλαγιάσας, πλέσας, πλασάμενος.

Παραπλάσματα, τὰ κηρία τὰ ἐπιτιθέμενα τοῖς ζητήμασιν ἐν τοῖς βιβλίοις.

Παραπλασμὸς, ὁ ἐν ταῖς τῶν αὐλῶν τρύπαις ῥύπος.

Παραπλεῖν, τὸ τόπον τινὰ διέρχεσθαι πλέοντα, καὶ τὸ εἴσω τινὸς πλεῖν. Ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ὥς τε καὶ παραπλεῖν, καὶ περιπλεῖν, καὶ πεζεύειν, καὶ παραστεῖν, τὸ ἔξω τοῦ πρέποντος πεσεῖν.

Παραπλέξασα, παρακρυφθῆναι ποιήσασα.

Παραπλῆγα, ἄφρονα, μωρὸν, ἀπὸ τῶν κρουμάτων τῶν διαπεπτωκότων ἐναρμονίου ῥυθμισμοῦ. ἀληθῶς ἡ ἀσωτία, παραπεπληγμένη ἐστὶ διάνοια.

Παραπλῆγας πέτρας, παραλίας πλησσομένας ὑπὸ τῆς θαλάσσης.

Παραπλῆγες ἠϊόνες κατὰ τοὺς παλαιοὺς, πάραλοι, πλησσόμεναι ὑπὸ ἁλός. μάλιστα δὲ αἱ μὴ ἀπεναντίας, ἀλλὰ ἐκ πλαγίων πλησσόμεναι κύμασι.

Παραπλῆγος, μανιώδους.

Παραπλήγων, μαινομένων.

Παραπλὴξ. μαινόμενος, παράφρων. καὶ παραπλῆγες, οἱ πεπληγμένοι τόποι, καὶ μὴ προσάντεις.

Παραπληγία, μανία.

Παραπλήσιον, παρόμοιον, προσόμοιον, ἀκόλουθον. ταυτὰ καὶ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου λαμβάνονται, καὶ δοτικῇ συντάσσονται. ὥσπερ δὴ καὶ ἐμφερὴς λέγεται, ὡς καὶ παρὰ Σοφοκλεῖ, κατ' αὐτὸν ἰδὼν τὶς ἐμφερὴς ἐμοί, ἀντὶ τοῦ ὅμοιος.

Παραπλέκαμος, ἡ παραπεπλεγμένη τὰς τρίχας.

Παραπλομένοισι, παροῦσι.

Παράπλους, καὶ περίπλους, καὶ ἔκπλους. ὡς τὸ καὶ παράπλοι, καὶ περίπλοι, καὶ ἔκπλοι ναυτῶν ἀπάντων, οὔ ποτε λείπουσι.

Παραπλώζειν, τὸ παρὰ τὴν ὁδὸν ἵστασθαι, ἢ ἰέναι.

Παραπόδας, ἐπίρρημα, σημαῖνον τὸ εὐθέως ἢ ἐγγὺς ἢ πλησίον, παραυτίκα.

Παραποδίζειν, ἐμποδὼν γίνεσθαι, οὕτω Πολύβιος.

Παρὰ ποδί, παρὰ τοῖς ποσί.

Παραποιεῖν, παραπράττειν.

Παραποιήσασθαι, παρασφραγίσαι.

Παραπολὺ, οὐ μόνον ἀντὶ τοῦ κατὰ πολὺ, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐπ' ἔλαττον, οἱονεὶ ἐκτὸς τοῦ πολλοῦ. Φιλόστρατος, καὶ θέατρον παραπολὺ τῆς ἀξίας.

Παραπολὺ, ἐπίρρημα ἀντὶ τοῦ πάνυ, καὶ παντελῶς.

Παραπολὺ, κατὰ πολὺ, σφόδρα ὡς παρὰ Θουκυδίδῃ ἐν πρώτῳ, Κερκυραῖοι παραπολὺ ἐνίκησαν.

Παραπομπὴ, μετακομιδή.

Παραπρονοῆσαι, ἐνθυμηθῆναι, νοῆσαι.

Παραπτῆναι λέγεται, ὅταν πετῶσι δύο πτηνὰ, καὶ διαβαίνει τὸ ἓν τὸ ἕτερον. παρατρέχειν δὲ ἐπὶ δύο ἀνθρώπων, ὅταν τρέχωσι, καὶ παρατρέχῃ ὁ εἷς. τὸ παρέρχεσθαι δὲ, ὅταν περιπατῶσιν, οὕτως ἁπλῶς, καὶ διαβαίνει ὁ εἷς τὸν ἕτερον.

Παράπτωμά ἐστιν, ἡ κατὰ ἄγνοιαν τῆς τοῦ νοῦ συνέσεως διεσφαλμένη πρᾶξις.

Παραρρητοῖς, παρηγορικοῖς λόγοις, παραμυθήμασιν, ὑποθήκαις. οἱ δὲ συμβούλοις.

Πάραρος, ὁ παρηρτημένος τὴν γνώμην, ὁ ἀνάρμοστος, ὁ ἄχρηστος, καὶ μάταιος, ἐκ μεταφορᾶς τῶν παρηόρων ἵππων οἵτινες τῷ ζυγῷ οὐ χρησιμεύουσι.

Παραρρήματα, δέρεις, σκεπάσματα.

Παραρρυῶμεν, παραπέσωμεν, ἐξολισθῶμεν.

Πα-

Digitized by Google

Παραρτίζεσθαι, παρασκευάζεσθαι.

Παραρυεὶς, ἀντὶ τοῦ παρασυρείς.

Παράρυμα. Σοφοκλῆς Πολυξένῃ, παράρυμα ποδὸς, ὡς κρεμαμένων τινῶν ὑφασμάτων ἐκ τοῦ ἅρματος, πρὸς κάλλος. τινὲς δὲ χοινίον ἐν ταῖς ναυσὶ, οἱ δὲ ὑπόδημα.

Παραρυμὶς, τὸ παρὰ τὸν ῥυμόν.

Παραρυτεῖν, παρέχειν.

Παρασαγγιλόγοι, οἱ Πέρσαι τοὺς διαγγέλοντας οὕτω λέγουσι.

Παρασάγγης, εἶδος μέτρου περσικοῦ, ὅπερ ἐστὶ τριάκοντα στάδια.

Παρασαρῶσαι, ἐροῦσι δὲ καὶ κάλλυθρον, ἢ κάλλυντρον τὸ σάρον, καὶ κόρηθρον καλεῖται.

Παρασεσυρμένοι, παρελκυσμένοι, ὑπεσκελισμένοι.

Παρασημαίνει, δηλοῖ, χαράττει.

Παρασημαίνομαι, καὶ ἐπισφραγίζομαι, τὸ σφραγῖδα ἐπιτίθημι καὶ ἀσφαλίζομαι. ἔστι δὲ κάλλιον τὸ ἐπισημαίνομαι, τοῦ ἐπισφραγίζομαι.

Παράσημα, τὰ κίβδηλα τῶν νομισμάτων λέγονται, τὰ φαῦλα καὶ ἀδόκιμα. παρὰ τὸ κακῶς σεσημάνθαι, ὅ ἐστιν ἐσφραγίσθαι.

Παράσημος ῥήτωρ, Διογένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος, ἐκ μεταφορᾶς εἴρηται τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα, ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινὶ, ᾧ τὴν φαυλότητα δηλοῦσιν. ἐπεὶ δὲ παρατετύπωται, καὶ παρακεχάρακται. ὅτι γὰρ ἐπὶ νομισμάτων λέγεται τὸ παράσημον, δεδήλωκεν ὁ ῥήτωρ ἐν τῷ κατ' Ἀριστοκράτους.

Παράσειρος, ὁ ἀκόλουθος ἵππος.

Παράσημος, ἀδόκιμος. καὶ παράσημον τὸ σεσημασμένον, καὶ ὕποπτον. καὶ παράσημον ἦν τὸ λεγόμενον, καὶ φυγὴν ἐδόκει δηλοῦν.

Παράσιος, Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως, ὅτι μὲν ζωγράφος ὁ παῤῥάσιος, πάντῳ δῆλον. Ἰόβας δὲ ἐν ὀγδόῳ περὶ ζωγράφων διεξέρχεται τὰ περὶ τὸν ἄνδρα, φησὶ δ' αὐτὸν εἶναι υἱὸν καὶ μαθητὴν Εὐήνορος. ἐφέσιον δὲ τὸ γένος.

Παράσιτοι, οἱ κόλακες.

Παράσιτος, κοσοτράπεζος.

Παράσιτος, ἐν τοῖς τοῦ Δειπνοσοφιστοῦ ἑαυτὸν σεμνύνων, ἄλλα τέ τινα γλυκέως λέγει περὶ ἑαυτοῦ κατὰ εἰκασμὸν ἀστεῖον, καὶ ὅτι ἀναβλῶναι πρὸς κλιμάκιον κατανδὶς εἰμὶ, ὑπομένειν πληγὰς ἄκμων, ὕδωρ δὲ πίνειν βάτραχος, ἀπολαῦσαι θύμων, λαχάνων τε, κάμπη. πρὸς τὸ μὴ λοῦσθαι, ἤγουν μὴ λούεσθαι, ῥύπος, ὑπαίθριος χειμῶνα διάγειν. κόψιχος, ὅπερ ἐστὶ κόσσυφος, πνῖγος ὑπομεῖναι. καὶ μεσημβρίας λαλεῖν, τέττιξ. ἐλαίῳ μὴ χρῆσθαι, κονιορτός. ἀνυπόδητος ὄρθρου περιπατεῖν, γέρανος. καθεύδειν μὴ δὲ μικρὸν, νυκτερίς. εἰς τοῦτο δὲ χρήσιμον καὶ λαγωός. τύπτεις προσθετέον ἐκεῖθεν, καὶ τὸ τύπτεσθαι μύδρος εἰμὶ, τύπτειν κεραυνὸς, τυφλοῦν τινὰ ἀστραπή. φέρειν τὶν ἄναντα, ἄνεμος. ἀποπνῖξαι, βρόχος. θύρας μοχλεύειν, σεισμός. εἰσπηδᾶν, ἀκρίς. δειπνεῖν ἀκλήτως, μυῖα. μὴ ἐξελθεῖν, φρέαρ. προσφυῶς ἐτόλμησεν ὁ ποιητικὸς λῆρος νυκτερίσι παραβαλεῖν, καὶ ὅτι τὸ τῆς νυκτερίδος ἄγρυπνον παρασίτῳ ἐπισκόπτει ἐγρηγορότι, κολακικῶς.

Παράσιτος, ὁ ταῖς τῶν πλουσίων τρεφόμενος τραπέζαις, κόλαξ. καὶ παρασιτικὴ, ἡ τοιαύτη τέχνη. καὶ Ἀττικῶς παράσιτος, ὁ δημοσίᾳ σιτούμενος ἐν τῷ κοινῷ πρυτανείῳ.

Παρασιώπησις λέγεται, ἐν καιρῷ καὶ αὐτὴ καὶ ἐλλόγως γινομένη, παρὰ τῷ Ποιητῇ. διαφέρει δὲ σιγῆς, ὅτι αὐτὴ μὲν εἰς τὸ παντελὲς σιωπᾷ τὰ τοῦ πράγματος. ἡ δὲ ἔλλειψις, τὸ μὲν λέγει, τὸ δ' οὔ.

Παρασιώπησίς ἐστι, λόγος ἐν ᾧ δύο ὀφειλόντων πραγμάτων, κατὰ τὸ πλῆρες λέγεσθαι. καὶ τοῦ μὲν ἑτέρου ἐστὶν ἡ ἐπαγγελία, τὸ δὲ ἕτερον κατὰ τὸ ἀνάλογον νοεῖται. οἷον αὐτὰρ ὁ Διομήδης δόρυ μὲν ἔθηκεν. ὡς μὲν ἔθηκεν, εἶπεν, ὡς δὲ ἀνέλαβεν οὔ.

Παρασιωπῶν, μακροθυμῶν.

Παρασκευάζω, τὸ εὐτρεπίζω, καὶ οἰκονομῶ, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Σωσίσιος, ἀπὸ τούτων ἐν παρασκευάζουσιν αὐτῷ δόξαν, ὡς ἀνδρὶ γενναίῳ.

Παρασκευάζομαι, ἀντὶ τοῦ ἑτοιμάζομαι, αἰτιατικῇ συντάσσεται. κυρίως ἐπὶ πολέμου τιθέμενον. Δημοσθένης, ἐστὶ δὲ τά γ' ἐμοὶ δοκοῦντα ψηφίσασθαι μὲν ἤδη τὴν βοήθειαν, καὶ παρασκευάσασθαι τὴν ταχίστην.

Παρασκήνια. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. ἔοικε παρασκήνια καλεῖσθαι, ὡς καὶ Θεόφραστος ἐν τῷ εἰκοστῷ νόμων ὑποσημαίνει, ὁ παρὰ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος, ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. ὁ δὲ Δίδυμος, τὰς ἑκατέρωθεν τῆς ὀρχήστρας εἰσόδους, οὕτω φησὶ καλεῖσθαι.

Παρασπὰς, φυτὸν ἀπεσπασμένον.

Παρασπάσεσθαι, ἀφελεῖσθαι.

Παρασπίζουσα, συνοῦσα, συνοικοῦσα.

Παρασπιστὴς, παρεστὼς, ὁπλίτης.

Παρασπονδήσας, παραβὰς τὰς σπονδάς.

Παρασπονδοῦμαι, παραβαίνομαι.

Παραστάδες, οἱ πρὸς τοῖς τοίχοις τετραμμένοι κίονες.

Παραστάδον, παραστατικῶς κατὰ τρόπον, κατὰ τὸ δέον.

Παρασταθμίδες, τῆς θύρας αἱ πρὸς τῷ στρόφιγγι.

Παράστανον, λόγχη.

Παράστασις, φυγή. καὶ τὸ φυγαδεῦσαι, παραστήσασθαι.

Παράστασις, Ἰσαῖος ἐν τῷ περὶ τοῦ πύῤῥου κλήρου, τοὔνομα παρὰ πολλοῖς ἐστιν Ἀττικοῖς. ἔστι δὲ δραχμὴ καταβαλλομένη, ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας. Δημήτριος δὲ ὁ φαληρεὺς ἐν τοῖς περὶ νομοθεσίας, τοὺς διαιτητάς φησι λαμβάνειν τὰς δραχμάς. μίαν μὲν ἀπὸ τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν. ἑτέραν δὲ, κατὰ ὑπωμοσίαν ἑκάστην.

Παράστασις, στάσις παρά τινος ἄτιμος. γίνεται δὲ ἐπὶ τῶν χειροφιλιτῶν.

Παράστασις, ὁρμὴ, προθυμία. καὶ παράστασις, ψυχῆς.

Παραστάται, τὰ ἀπὸ τῶν νεφρῶν ἀγγεῖα, καὶ οἱ πρὸς τὰς ὤας στήμονες.

Παραστατήσειν πέλας, ἐκ παραλλήλου. τὸ γὰρ παραστατήσειν, τὸ πέλας στήσεσθαι δηλοῖ.

Παραστάτησον, παραστάτης γενοῦ, νίκησον.

Παραστάται, οἱ ὁμόζυγοι τῶν λόχων. προτοστάται, καὶ ἐπιστάται διὰ τὸ παρ' ἀλλήλους ἵστασθαι. καὶ παραστατεῖν, τὸ συμμαχεῖν.

Παραστάται, ὑπ' ἐνίων καλοῦνται αἱ γόνιμοι φλέβες, αἱ τῇ γενέσει παρεστῶσαι. λέγονται καὶ αἱ νῦν ὑπηρετοῦντες βασανισταί.

Παραστατὶς, ἀγγεῖον θερμαντικόν.

Παρασταυροῦντες, ὀρθὰ ξύλα πηγνῦντες.

Παραστέλλεται, ἀναστέλλεται.

Παραστήσασθαι, ἀντὶ τοῦ εἰς δίκην προσκαλέσασθαι.

Παραστήσομαι ἐναντίον σου, ἐνώπιόν σου στήσομαι, τὸ πρωῒ παραστήσομαί σοι. τοῦτο δὲ ἁρμόδιον λέγειν τοῖς κατὰ ἡλικίαν βεβιωκόσι, καὶ παθῶν ὑπανεστηκόσι.

Παραστησάμενος, ἑλὼν, παραλαβὼν, καταστρεψάμενος. παρεστήσαντό με, ἐνίκησαν. ἐπεὶ οἱ ἡττώμενοι, παρίστανται νενικηκόσιν, ὡς δοῦλοι δεσπόταις.

Παραστόρνυται, καὶ τὸ λεῖον ποιῆσαι ξίφος, καὶ τὸ παράστρωτον.

Παραστορῶ, ἐκτείνω, ἀπὸ τῶν βυρσῶν, ἐγώ σε νὴ τὸν Ἡρακλέα παραστορῶ.

Παρασύρει, χλευάζει, παρατρέπει.

Παρασύρω τὸν χιτῶνα, ἀντὶ τοῦ ἀνέλκω.

Παράσφιν, ἢ παρὰ σφίσιν, παρ' ἑαυτοῖς.

Παράχασον, ἀναχώρησον.

Παραχαράζομένη, παραχαραττομένη.

Παραχεδὼν, ἀντὶ τοῦ ἐγγὺς λαμβάνεται, καὶ ἀντὶ τοῦ παραυτίκα.

Παραχήσομαι κάλλιον, ἢ παρέξομαι. παρέξομαι δὲ, ἢ παρέξω.

Παράταξις, πόλεμος ἐμπαράσκευος, ἢ φάλαγξ, καὶ ὄνομα.

Παρατάσσεται, ἐν πολέμῳ ἀνθίσταται.

Παρατατικός ἐστιν, ὅταν παρεληλυθότος χρόνου, τὶ κατ' ἐκεῖνον ἐποίουν. ὡς ὅταν ἐρωτηθεὶς, τί χθὲς ἀνατέλλοντος ἡλίου ἐποίουν, λέγω ὅτι ἔγραφον. τοῦτο γὰρ ὃ νῦν λέγω ὅτι ἔγραφον. νῦν μὲν ὅταν τοῦτο λέγω, παρελήλυθε χθὲς τοῦ ἡλίου ἀνατέλλοντος, ἐνεστηκὸς ἦν. καὶ εἰ μέν τις εἴρετο τηνικαῦτα, τί ποιῶ, εἶπον ἂν, ὅτι γράφω.

Παρατατικὸς, γίνεται ἀπὸ τοῦ πρώτου προσώπου τοῦ ἐνεστῶτος, τροπῇ τῆς τελευταίας εἰς ον, προσθήκῃ τοῦ ε κατὰ τὴν ἀρχήν. ὅπερ κοινόν ἐστι πᾶσι παρῳχημένοις ῥημάτων, τῶν ἀρχομένων ἀπὸ συμφώνου, οἷον τύπτω ἔτυπτον, λέγω ἔλεγον. ἀλλ' ὅτε ὁ ἐνεστὼς ἄρχεται ἀπὸ τοῦ ρ, τότε ὁ παρατατικὸς διπλασιάζει τὸ ρ, οἷον ῥίπτω ἔῤῥιπτον. ὅτε δὲ ὁ ἐνεστὼς ἄρχεται ἀπὸ φωνηέντων, ἢ διφθόγγων μεταβολικῶν, τροπῇ τοῦ βραχέος φωνήεντος εἰς μακρὸν, γίνεται ἡ αὔξησις χρονικὴ, οἷον ἀκούω ἤκουον, ἐρίζω ἤριζον, ὁράω ὥρων, αἱρέω ᾕρουν, αὐδάω ηὔδων, οἶμαι ᾤμην. παρὰ ποιηταῖς δὲ ταῦτα ἀναύξητα εὑρίσκονται, ἔθει Ἰωνικῷ. ὅτε δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ φωνηέντων ἀμεταβόλων, ἤτοι η ι υ ω, ὁμοίως καὶ ἀπὸ διφθόγγων, οὐ γίνεται τροπὴ ἐν τῷ παρατατικῷ αὐτῶν. ὁ παθητικὸς παρατατικὸς γίνεται ἀπὸ τοῦ ἐνεργητικοῦ, ἐπενθέσει τοῦ μη μεταξὺ τοῦ ο καὶ τοῦ ν, οἷον ἔτυπτον ἐτυπτόμην, ἔλεγον ἐλεγόμην, οὕτω καὶ ἐπὶ τῶν ἄλλων.

Παρατάσσεται, πολεμεῖ, ὁπλίζεται.

Παρατάττω τοὺς Θηβαίους τῷ πολεμίῳ Φιλίππῳ. παρατάσσομαι δὲ ἐγὼ τῷ δεῖνι, κυρίως ἐπὶ πολέμου, ἀντὶ τοῦ παρασκευάζομαι πολεμήσων. ὥσπερ καὶ ἀντιτάττω, δοτικῇ καὶ αἰτιατικῇ. ὁμοίως καὶ τὸ ἀντιτάττομαι, ταυτὸ δηλοῦν τῷ παρατάττομαι. πλὴν τὸ μὲν παρατάττω, καὶ παρατάττομαι. εἴποις ἂν κυρίως ἐπὶ πολέμου καὶ πλήθους ἀντιτάττομαι, καὶ ἀντιτάττομαι ἐφ' ἑνός. ἐπιτάττω δὲ καὶ προστάττω τὸ αὐτό. καὶ ἐπίταγμα καὶ πρόσταγμα, πλὴν ἀκριβέστερον τὸ ἐπιτάττω, καὶ ἐπίταγμα.

Παραταχθεὶς, παρ' αὐτὸν ταχθείς.

Παρατέθηγμαι, παρηκόνημαι, παρωξύνθην.

Παρατεῖναι, τὸ ἐπιτρίψαι, καὶ ἀπολέσαι.

Παρατείνει, τὸ παρέλκει, καὶ μέχρι πόῤῥω προάγει. οἷον παρατείνω τὴν ὁμιλίαν. παρατείνει, ἤτοι ἐπί τινος ἐξαπλοῖ, ἤγουν ἐπάνω τινός. ἤγουν παρατείνει τὸ σκῦτος ὁ σκυτοτόμος τῷ ξύλῳ, παρὰ Λουκιανῷ.

Παράτεινον, ἐξάπλωσον, πλάτυνον.

Παρατεκτήναιτο, ἤγουν παραποιήσει. δηλοῖ δὲ διὰ τούτου φιλοσόφους, μὴ ἂν εἶναι δυνατὸν τὸ γεγονὸς μὴ γεγονέναι. τέτραπται δὲ τὸ παρατεκτήναιτο, ἐκ τῶν τεκτονικῶς τεχνωμένων παραποιεῖν τὰ κατ' αὐτοὺς ἔργα, ἐκ τοῦ τεκταίνω ῥήματος.

Παρατέτακται, ἡτοίμασται.

Παρατέταμαι, ἐξόγκωμαι. Ἀριστοφάνης, παρατέταμαι γὰρ ἐσθίων. λέγεται καὶ ἑνικῶς ἡ ἀφύη.

Παρατέταται, παρακείμενος ἐκ τοῦ τείνω, ὁμοίως παρετάθη.

Παρατετολμηκότες, ἑαυτῶν ἀφειδήσαντες. Πολύβιος, παρατετολμηκότες, καὶ τελέως ἀπελπίσαντες τὴν σωτηρίαν.

Παρατηρημάτων, ἐπιτηρήσεων, κληδονισμῶν, καὶ ἀπαντήσεων, καὶ οἰωνοσκοπιῶν, καὶ μαντειῶν.

Παρατιθέναι, καὶ παραβάλλειν, τὸ συγκρίνειν, καὶ παρεικάζειν. ἀφ' ὧν παράθεσις, καὶ παραβολή.

Παρατίθημι, οἷον εὐωχίαν ἢ τράπεζάν τινα παρατίθημι. καὶ τὸ συγκρίνω, καὶ παραβάλλω. παρατίθεμαι οὐκ ἔστιν.

Παρατίλλεσθαι, καὶ πιτυοῦσθαι ἀρχαῖον. τὸ δὲ δρωπακίζειν, ἀδόκιμον. παρατίλλεται παρ' Ἀριστοφάνει, τὸ ἀνασπᾶται τὰς ὑπογαστρίους τρίχας.

Παρατίλλεται, ἔθος ἦν τοὺς ἁλόντας μοιχείας παρατίλλεσθαι, ἵνα δοὺς ἀργύριον ποινῆς λυθῇ. παρατίλλεται ἢν διασείεται, τὰς τρίχας τοῦ πρωκτοῦ τίλλεται. αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς πένησιν, ἀποραφανίδωσις, καὶ παρατιλμός. οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο.

Παρὰ τὸ δέον, παρὰ τὸ προσῆκον.

Παρὰ τὸ καθεστηκὸς, οἷον παρὰ τὸ πρέπον.

Παράτοπον, εἰς κακὸν τόπον. παράτοπον ὁρμήσαντες διὰ τὴν ἀπειρίαν. ἔστι δ' ὅτε καὶ διὰ τὰς ἀμπώτεις τῆς θαλάττης.

Digitized by Google

Παρὰ τούτου, ἀντὶ τοῦ ἀπὸ τούτου. καὶ παρὰ τοῦτον, ἀντὶ τοῦ πρὸς τοῦτον, οὕτω πανταχοῦ Ἀρριανός.

Παρατέριον, ἀκτίπανον, κράσπεδον.

Παρατρέπει, παραγορεῖ.

Παραστείχειν, λέγεται ἐπὶ δύο ἀνθρώπων, ὅταν στείχωσι. καὶ παραστείχει ὁ εἷς. παρέρχεσθαι δὲ ὅταν περιπατῶσιν. οὕτως ἁπλῶς, καὶ διαβαίνει, ὁ εἷς τὸν ἕτερον.

Παρατρέψαι, παρενέγκαι, πορθῆσαι.

Παρατρέψας, παρελάσας.

Παρατριβὴ, λογομαχία, ἔρις. τὴν γενομένην πρὸς αὐτὸν παρατριβὴν καὶ ζηλοτυπίαν. Πατρόπατον, προϋπάρχον. καὶ πατρόπις, ἐπὶ θηλυκοῦ. πατρότης κατὰ Πλάτωνα, προΰπαρξις υἱόπατος. ἡ δὲ ἐκκλησία συνύπαρκτον καὶ συνάναρχον λέγει τὸν Υἱὸν τῷ Πατρὶ, πρὸ τῶν αἰώνων. ταῦτα καὶ τὰ τοιαῦτα καλῶς ὁ Θεοφόρος Βασίλειος ἐπιστάμενός φησι πρὸς Ἀμφιλόχιον. φύσις δὲ καὶ οὐσία ἐν τοῖς ἐκκλησιαστικοῖς δόγμασι.

Παρατροπὴ, τὸ ἔξω τοῦ δέοντος, ἢ μεταβολή.

Παρατροπέων, παρατρέπων, παραπείθων.

Παρατροχάσαι, ἀντὶ τοῦ παραδραμεῖν.

Παρατρύζει, παραφωνεῖ, γογγύζει.

Παρατρωπῶσι, παρατρέπουσι, παραπείθουσιν, ἀπὸ τοῦ τρέπω τρωπῶ, ὡς στρέφω στρωφῶ.

Παρατυχὸν, ἀντὶ τοῦ παρατυχόντος. ὡς καὶ ἐξὸν, ἀντὶ τοῦ ἐξόντος.

Παραυδᾶν, τὸ παραμυθεῖσθαι, παρ' Ὁμήρῳ. παραυδήσας, ἤγουν παραμυθησάμενος.

Παραδαῦται, ὅ ἐστι παρηγορεῖται.

Παραυδᾶν, τὸ παραμυθεῖσθαι. ὡς γὰρ ἐκ τοῦ μυθεῖσθαι καὶ φάσκειν καὶ ἀγορεύειν καὶ αἰνεῖν γίνεται τὸ παραμυθεῖσθαι καὶ τὸ παραφάσκειν, καὶ τὸ παρηγορεῖσθαι, καὶ τὸ παραινεῖν, οὕτω καὶ ἐκ τοῦ αὐδᾶν ἰσοδυνάμου ἐκείνοις ῥήματος, τὸ παραυδᾶν.

Πάραυλος, ὁ ἐν ἀγροῖς. ἡ πάραυλος, παρατεταμένη, ἡ ἐγγὺς παρὰ τὴν αὐλήν. ἡ θρηνητική, παρὰ τὰς αὐλάς. Σοφοκλῆς· τίνος βοὴ πάραυλος ἐξέβη νάπους.

Παραυτόθεν, αὐτίκα, ἀπὸ τοῦ παρόντος χρόνου.

Παραυτόφι, ἀντὶ τοῦ παραυτῷ. Ὅμηρος Ἰλιάδος μ΄. εἴπερ γὰρ χ' εὕρησι παρ' αὐτόφι βώτορας ἄνδρας.

Παραυχενίζων, παρακλίνων.

Παραφαίνω, τὸ ἀμυδρῶς δεικνύω. καθὸ λέγεται τὸ παραψαύειν, τὸ μετρίως ψαύειν. παραφαίνω καὶ τὸ πλησίον ἄγων φαίνω. καθὸ λέγεται παρατιθέναι, καὶ παραβάλλειν, τὸ συγκρίνειν καὶ παρεικάζειν, ἀφ' ὧν παραβολὴ καὶ παράθεσις.

Παράφασθαι, παράψασθαι μετὰ καταθέσεως. ὥσπερ τὸ ἐσάφασα εἰσβαλόντα τὴν χεῖρα ἅψασθαι. ἐντεῦθεν δὴ καὶ τὰς κρυπτὰς τόπους τὰς κατὰ τὸ γυναικεῖον αἰδοῖον παραφάσιας ὀνομάζουσι, παρὰ τῷ Ἱπποκράτει.

Παράφασις, παραφρόνησις, ὥς καί τινές φασι, χρὴ δὲ ἀναγνωστέον, ἀλλ' οὐχ ὥσπερ τὸ πρὸ αὐτοῦ παραφᾶσθαι. ἔγκειται γὰρ ἐκείνῳ τὸ τῆς ἀφῆς ὄνομα, παρὰ τῷ Ἱπποκράτει.

Παράφημι, δοτικῇ παρ' Ὁμήρῳ συντάσσεται, ἤγουν παραινῶ καὶ συμβουλεύω. ἐξ ὁμοίας δὲ ἀγωγῆς καὶ τὸ πεῖσαι λόγοις, παρειπεῖν ὁ ποιητὴς λέγει, ὡς τὸ δέδοικα μή σε ἡ Θέτις παρείπῃ. ταυτὸν γὰρ τὸ φάναι. ἀφ' οὗ τὸ παράφημι, καὶ τὸ εἰπεῖν, ἐξ οὗ τὸ παρειπεῖν. οὕτω δὲ λέγει ὁ Ποιητὴς, καὶ παραρρήτους, τοὺς λόγοις πειθομένους, ὃ καὶ οἷον ἐτυμολογῶν φησι, παραρρητοί τ' ἐπέεσσιν, ἐκ τοῦ παράφημι, καὶ παράφασις.

Παραφάσθαι ἐπέεσσι μαλακοῖς, ἤτοι παράφαθι, παραλόγισαι. ἰστέον δὲ, ὅτι εἰ καὶ ἐν ἄλλοις ταυτὸν τὸ παραυδᾶν καὶ τὸ παραφάσθαι. ἀλλὰ τὸ παραυδᾶν, ἀγαθὸν ἐνίοτε. τὸ δὲ παραφάσθαι, ὃ σύστοιχόν ἐστι τῷ παραφάσκειν, καὶ τῷ παραιφάσει, ἔχει τι ψόγου διὰ τὸ δηλοῦν ἀπάτην καὶ παραλογισμόν.

* Παραφέρεσθαι, παραφρονῆσαι, παραληρῆσαι.

Παραφθαίη πόδεσιν, ἀντὶ τοῦ παραδράμῃ, νικήσῃ, παρέλθῃ. χωρὶς δὲ προθέσεως, τὸ ἁπλῶς φθάσαι ἡ λέξις δηλοῖ, ὅ ἐστι προλαβεῖν.

Παραφθάμενος, καὶ τὸ φθάς, καὶ τὸ ἔφθη, ἐκ τοῦ φθῆμι. καὶ παραφθαίη ἐν Ἰλιάδος χ΄, ἀντὶ τοῦ φθάσοι, παρέλθοι, παραδράμοι, προλάβοι.

Παράφορα, παρατετραμμένα.

Παράφορμα, ἀρχή τις τῶν συνεξιόντων βασιλεῖ.

Παράφορος, ὁ μωρὸς, ἢ ὁ μανικός. κατάφωρος δὲ, ὁ φανερὸς, μέγα.

Παράφορος, ὁ παρ' ἑαυτὸν καὶ ὑπὸ δαίμονος παραφερόμενος. ὡς τὸ, συνενθουσιῶντες αὐτοῖς, καὶ τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ τῇ κακίστῃ δαιμόνων ἐκρατισθέντες ἀπολώλασι.

Παράφρασις, ἡ ἐναλλαγὴ τῶν λέξεων κατὰ τὸ ποσὸν τῶν αὐτῶν. ὡς τὸ, μῆνιν ἄειδε Θεά, τὴν ὀργὴν εἰπὲ ὦ Μοῦσα.

Παραφρόνιμον, παράφρονα, ἀνόητον, καὶ ἄτοπον περὶ τὰ φρονήματα. ἴσθι δὲ παραφρόνιμον ἄπορον ἐπιφρόνημα πεφάνθαι μ' ἂν εἴ σε νοσφίζομαι.

Παραφρονῶ, καὶ τὸ μαίνομαι, καὶ τὸ ἀνοηταίνω, ἁπλῶς ταυτό.

Παραφρυκτωρεῖν, τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον κεχρῆσθαι.

Παραφρυκτωρευόμενοι, οἱ κακουργοῦντες παρὰ τὰς φυλακὰς, καὶ φρυκτοὺς ἀνατείνοντες ἐναντία τοῖς πεπιστευκόσι τὴν φυλακὴν, καὶ ἐπὶ τῷ συμφέροντι τῶν ἀντικαθεζομένων παραφρυκτωρεύεσθαι λέγονται, ὥς φησι Λυσίας.

Παραφρυκτωρεῖν, τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων. ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, ὡς καὶ Δείναρχος ἐν οἰκείῳ λόγῳ ἐχρήσατο.

* Παραφυάδες, παραφύσεις, παραβλαστήματα.

Παραφυλάσσω, προσδοκῶ.

Παρὰ φύσιν, ὃ ὁ Θεὸς οὐκ ἐποίησεν, οἷόν ἐστιν ἡ ἁμαρτία, καὶ ὁ θάνατος.

Παραφυλακτωρευόμενοι, περὶ τὰς φυλακὰς καὶ φρυκτοὺς ἀνατείνοντες ἐπὶ τὰ συμφέροντα τῶν πολεμίων.

Παραχαράκτης, διαστροφεύς.

Παρὰ χεῖρα, μετὰ χεῖρα, ἐν χερσί.

Παραχορδιεῖς, παράσημον ποιήσεις. ὡς τὸ, μηδὲν προσφθέγξῃ, ἀλλ' ἃ δεῖ εἰπεῖν εἴπῃς σαυτῷ προσέχων, ὅπως μηδὲν παραχορδιεῖς, ὧν δεῖ σ' ἀποδεῖξαι.

Παραχορδίζειν, διαφωνεῖν, ἁμαρτάνειν.

Παραχρᾶται, κακῶς λέγει.

Παραχρῆμα, ἀντὶ τοῦ αὐτίκα, αὐτόχρημα, ἀντὶ τοῦ ἄντικρυς. παραχρῆμα κεῖται ἐνίοτε ἀντὶ τοῦ κατ' αὐτὸ τὸ πρᾶγμα, καὶ ὡς εἰπεῖν παραυτίκα, οὐ μὴν πρὸ τοῦ πράγματος.

Παραχρῆται πολὺ, σφοδρῶς συνουσιάζει, ἀκολάστως μίγνυται.

Παραχωρεῖν ἄκοντι, συγχωρεῖν ἑκοντί. τὸ δὲ παραχωρῶ, τὸ ἐξίσταμαι. οἷον παραχωρῶ σοι τοῦ θρόνου, καὶ παραχωρῶ σοι τῆς ἀρχῆς, δοτικῇ καὶ γενικῇ συντάσσεται.

Παραψίδες, ἢ παροψίδες, τὰ μεγάλα τρυβλία.

Παραψυχὴ, ἡ παραμυθία.

Παρδάκων, διύγρων.

Παρδαλέη, ἡ δορὰ παρδάλεως. ὥσπερ καὶ λεοντέη, ἡ τοῦ λέοντος κατὰ ἔλλειψιν τοῦ δορά. καὶ λυκέη, ἡ τοῦ λύκου. καὶ τραγέη, ἡ τοῦ τράγου. ἰστέον δὲ, ὅτι παρ' Ἡροδότῳ κεῖται καὶ ἀνθρωπέη, ἡ τοῦ ἀνθρώπου δορά. ἐν τῷ, σφάξας ἀπέδειρε πᾶσαν τὴν ἀνθρωπέην. ἐντελῶς δὲ εἶπεν Ἡρόδοτος, ἀνθρωπέην εἰπών. τοιοῦτον δὲ καὶ ἡ ταυρέη, καὶ ἡ ἐν Ὀδυσσείᾳ αἰγέη, κυνέη, καὶ ὅσα τοιαῦτα. ἐν οἷς καὶ ἡ ἀπαθὴς παρδαλέη, καὶ λεοντέη, καὶ λυκέη, καὶ τραγέη. ἃ ἐξωθήσαντα τὸ τῆς διφθόγγου ι, παρδαλῆ γίνεται, καὶ λεοντῆ, καὶ λυκῆ, καὶ τραγῆ, καὶ τὰ ὅμοια, κατὰ τὸ κυνέη, καὶ κτιδέη. κραθέντα δὲ κατὰ τὸ συκέα συκῆ, γαλέα γαλῆ, καὶ μυγαλῆ, νέα νῆ, σελήνη. ἀμυγδαλέα ἀμυγδαλῆ, ἀναγκαίως περισπᾶται κατὰ τὸ χαλκέα χαλκῆ, χρυσέα χρυσῆ, καὶ ὅσα τοιάδε. διὸ καὶ τὰς τραγᾶς ἀναλόγως περισπῶμεν. ἰστέον δὲ, ὅτι παροιμιωδῶς παρὰ τοῖς ὕστερον παρδαλῆν ἐνεῖσθαι λέγεται ὁ ποικίλος τὸν τρόπον. καὶ οἷον πολύστικτος τὸ ἦθος, κατὰ τὴν παρδαλῆν. ὥσπερ ἀλωπεκῆν ὁ κερδαλέος, καὶ δόλιος, κατὰ τὴν κερδώ. καὶ λυκῆν ὁ ὕπουλος ἅρπαξ. φορεῖν δὲ καὶ νεβρίδα ῥηθείη ἂν διονυσιακῶς ὁ δαλός, καὶ μέθυσος ἤδη καὶ ποικίλος, καὶ παλίμβολος. ἐπεὶ καὶ στικτὸν ἡ νεβρίς.

Παρδαλέη δορά, παρδάλεως ἀπὸ ἀρσενικοῦ τοῦ πάρδαλιος. ἐκ δὲ αὐτῆς κατὰ συναίρεσιν παρδαλῆ, ὡς λεοντέη λεοντῆ. γράφεται δὲ αὐτὸ μὲν ἀεὶ διὰ τοῦ α κατὰ τὴν ἀρχήν. τὸ δὲ ζῶον καὶ διὰ τοῦ ο πόρδαλις, παρὰ τὸ προσάλλεσθαι, μεταθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ δ.

Πάρδαλις, τὸ ζῶον. παρδαλῆ δὲ, τὸ δέρμα αὐτοῦ, περισπᾶται. παρδαλέα παρδαλῆ. ὥσπερ λεοντῆ, τὸ τοῦ λέοντος δέρμα, καὶ κυνῆ τὸ τοῦ κυνός.

Πάρδικος, ἡ οἰκοδομὴ τῆς καθέδρας.

Παρειάσαι, πλαγιάσαι.

Παρεβάθην, βίβημι, βήσω, βέβηκα. ὁ παθητικὸς βέβαμαι. καὶ ἀόριστος ἐβάθην, καὶ παρεβάθην.

Παρέβαλεν, ἐχθροὺς καὶ ἀλλοτρίους εἰργάσατο. ὁ δὲ παρέβαλε τοὺς ἀνθρώπους τοῖς ὄχλοις, ὥστε μετὰ πάσης ὕβρεως συλληφθέντας ἀναδεχθῆναι δεδεμένους. σημαίνει δὲ καὶ παρεβάλετο, ὥρμησεν, εἰσήλασε.

Παρέβασκε, παρεβάτει.

Παρέβλαψε, κατὰ φρένας νοεῖται ἐνίοτε. ὅθεν τὸ βλασίφρον σύγκειται.

Παραβλήδην, ἐρεθιστικῶς.

Παρεγγεγραμμένος, ὁ μὴ ἀστός.

Παρέγγραπτον, νόθον. καὶ παρεγγράπτους ξένους, νόθους.

Παρεγγραφέντων, ῥᾳδιουργηθέντων.

Παρεγγυᾷ, δοτικῇ, παραδίδωσι.

Παρεγγυᾶται, διδάσκει, ἐντέλλεται.

Παρεγγύησε, καὶ παρεγγυηθέντος. παρεγγύησε μὲν ἀντὶ τοῦ παρέδωκεν. Ἰσαῖος. παρεγγυηθέντος δὲ, ἀντὶ τοῦ παραλαβέντος. ὁ αὐτός.

Παρεγγυήσαντος, παρασχόντος. καὶ παρεγγυᾷ, παρήγγειλεν. ὁ δὲ παρενεγγύα αὐτῷ Πέρσαις μὴ συμπλέκεσθαι.

Παρενεγγύησε, παρῄνεσε, συνεβούλευσε. ταύτῃ τοι παρεγγύησε δηλητηρίῳ φαρμάκῳ διαφθεῖραι αὐτούς.

Παρεγεύετο τοῦ νέκταρος, ἤτοι μετρίως καὶ ὀλίγον. ὥσπερ καὶ τὸ παρακινδυνεύω, καὶ τὸ παραπολαύω.

Παρεγχρίμψετο, ἐγγίσει, προσπελάσει.

Πάρεδρος, παρακαθήμενος.

Πάρεδρος. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. πολύ ἐστι τοὔνομα παρά τε τοῖς ῥήτορσι, καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ, λαμβάνουσι δὲ παρέδρους ὅ, τε ἄρχων καὶ ὁ πολέμαρχος δύο ἑκάτερος, οὓς ἂν βούληται. καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν, ἐπεὶ παρεδρεύωσι.

Παρέδωκεν, ὡς ὁ Ἀπόστολος λέγει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, τουτέστι συνεχώρησε.

Παρεζόμενος, παρακαθήμενος.

Παρεθέντος, ἐκλυθέντος. καὶ παρεθεὶς, παραλυθείς. καὶ παρείθη, ἐξελύθη, ἐχαυνώθη. καὶ παρείθησαν, ἀντὶ τοῦ παρελύθησαν.

Παρεθεωροῦντο, κατεφρονοῦντο.

Παρεθήγοντο, παρωξύνοντο.

Παρέθην, καὶ ἀφέθην, ἐκ τοῦ παρίημι παρήσω. ὁ παρακείμενος παρεῖκα, ὁ παθητικὸς παρεῖμαι. ὁ ἀόριστος παρείθην, καὶ ἀποβολῇ τοῦ ι, παρέθην, καὶ ἀφέθην. ἢ ἀπὸ τοῦ ἕω, τὸ ἀπολύω, εἵσω, εἷκα, εἷμαι, εἵθην, καὶ ἔθην.

Παρέθρισαν, σημαίνει τὸ ἔκοψαν.

Παρέθρισαν, ἀντὶ τοῦ παρεθέρισαν, κατὰ συγκοπήν. σημαίνει δὲ τὸ ἀπέκοψαν παρὰ τῷ Ἀπολλωνίῳ.

Πάρει, ἀντὶ τοῦ παρεγένου, καὶ ἦλθες. Σοφοκλῆς ἐν Αἴαντι.

Παρειά, ἡ γνάθος διὰ διφθόγγου. παρεῖαι ὄφεις, ὠνομασμένοι, διὰ τὸ παρειὰς μείζους ἔχειν. καὶ καλλιπάρῃος Ποιητικῶς διὰ τοῦ η.

Παρεῖαι ὄφεις, ὀνομάζονται δέ τινες ὄφεις.

οὕτω,

Digitized by Google

οὕτω, παρὰ τὸ τὰς παρειὰς μείζους ἔχειν. ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου φησὶν, εἶναι τοὺς ῥήτορας ὁμοίους τοῖς ὄφεσι. τούς τε γὰρ ὄφεις μισητοὺς μὲν εἶναι πάντας, τῶν δὲ ὄφεων αὐτῶν, τοὺς μὲν ἔχεις τοὺς ἀνθρώπους ἀδικεῖν, τοὺς δὲ παρείας, αὐτοὺς τοὺς ἔχεις κατεσθίειν.

Παρείατο δακρυχέουσα, ἀντὶ τοῦ παρῆν. ἧμαι τὸ κάθημαι, ἢ τὸ ὑπάρχω. παράγωγον εἶμι. ὁ μέσος ἀόριστος ἥμην ἧσο ἧτο καὶ εἷτο. καὶ πλεονασμῷ τοῦ α, εἵατο καὶ παρείατο. οἱ δὲ πληθυντικὸν, ἀντὶ τοῦ ἑνικοῦ. τὰ γὰρ εἰς το λήγοντα, πληθυντικά εἰσιν, εἰ ἔχει τὸ α, ὡς ποιοῖατο.

Παρεῖδεν, ἀντὶ τοῦ παρέβλεψεν, ὅπερ αἰτιατικῇ συντάσσεται. παρεῖδε καὶ ἀντὶ τοῦ ἀνεῖδεν, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Παρείθη, εἰάθη, παρελύθη. εἶτα μέν τι τὰ δεξιὰ παρείθη μέρη.

Παρείκαμεν, παρεπέμψαμεν.

Παρείκῃ, κανονίζεται οὕτως. ἵημι, ὁ μέλλων ἥσω. ὁ παρακείμενος εἷκα, καὶ τὸ ὑποτακτικὸν ἐὰν εἵκω, ῃς, ῃ. καὶ μετὰ τῆς παρὰ προθέσεως, παρείκῃ: σύγκειται δὲ ἐπί τε ὑποτακτικοῦ καὶ εὐκτικοῦ, ἀντὶ τοῦ συγχωροίη καὶ ἐνδιδοίη. ὧν τὸ μὲν ὑποτακτικὸν εἴρηται, τὸ δὲ εὐκτικὸν οὕτω, παρίημι τὸ ἐνδίδωμι, ὁ μέλλων παρήσω ἄχρηστος, ὁ παρακείμενος παρεῖκα, ἡ μετοχὴ ὁ παρεικὼς διὰ διφθόγγου. καὶ τὸ εὐκτικὸν παρείκοιμι, οις, οι. ἀντὶ τοῦ ἐνδιδοίη.

Παρείκοι, ὑποχωροίη. πέμποντες ἱππέας ἐκδρόμους ὅπῃ παρείκοι, τροφὰς ἐλάμβανον, ὅπου ἦν δυνατόν. καὶ αὖθις, σφοδρότατα σφᾶς ἐπιδιώκομεν, ὅπῃ παρείκοι, ὅπου ἐστὶ δυνατὸν, ὅπου τρέποιτο ὁ πόλεμος. καὶ αὖθις. ὁ δὲ Τραϊανὸς ἔγνω μάλιστα εἰ παρείκοι ἐξελεῖν τὸ ἔθνος. εἰ δὲ μὴ, συντρίψας γε παῦσαι τῆς ἄγαν ἀπαθαλίας.

Παρείκοι, ἁρμόζει. ἐκ τοῦ παρείκοντος.

Παρηκότος, παραλελυμένου.

Παρεικὼς, μετοχή. καὶ παρεικέναι ἀπαρέμφατον, ἐκ τοῦ εἷκα παρακειμένου. τοῦτο δὲ ἐκ τοῦ ἵημι.

Παρειμένας, παραλελυμένας.

Παρειμένον, κεχαυνωμένον.

Παρειμένος, παρεωραμένος.

Παρείμην, συγχωρήσαιμι.

Παρείμην, εὑρέθην, ὑπῆρχον.

Πάρειμι, ὑπάρχω.

Παρεῖναι, τὸ παρόντα εἶναι. καὶ παρεῖναι, τὸ παραλιπεῖν.

Παρεῖναι, καὶ παραγίνεσθαι καὶ ὑπάρχειν. παρεῖσθαι δὲ, χαλασθῆναι.

Παρεῖξαι, παραχωρῆσαι.

Παρειορέων, παρεισερχόμενος.

Παρείπῃ παρ' Ὁμήρῳ, ἀπατήσῃ, παραλογίσηται, παραπείσῃ.

Παρείποι, παραπείσοι.

Παρειποῦσα, ταυτόν ἐστι τῷ παραπείσασα.

Παρειπὼν, παραινέσας. Ὅμηρος, παρέπεισεν ἀδελφοῦ φρένας αἴσιμα παρειπὼν, ὁ δ' ἐπείθετο. ἐνταῦθα φανερῶς ὁ Ποιητὴς διττολογεῖ. ἤρκει γὰρ ἓν μόνον εἰπεῖν. καὶ τὸ μὲν εἰπὼν καὶ παρειπὼν ἔχουσι πολλὴν διαφορὰν, ὡς τοῦ παρειπεῖν λαμβανομένου, ἐπὶ παραινέσεως. τὸ δὲ παρέπεισε, καὶ τὸ ὁ δ' ἐπείθετο, κατὰ μόνην διαφέρουσι τὴν σχέσιν τοῦ πείθοντος καὶ τοῦ πειθομένου. ὁ γὰρ πείθων πειθόμενον πείθει. καὶ οὐδεὶς ἂν ἐρεῖ πεῖσαι, τὸν μὴ αὐτῷ πεισθέντα. ἵνα μὴ καὶ ἐπ' αὐτοῦ ῥηθῇ τὸ τοῦ κωμικοῦ, τὸ οὐ πείσεις οὐδ' ἢν πείσῃς. ἔστι δὲ εἰπεῖν τὸ παρέπεισεν. ὁ δ' ἐπείθετο ὅτι ἐν ταυτολογίᾳ εἶπεν ὁ Ποιητὴς, διὰ τοὺς τῷ δοκεῖν μὲν πείθοντας, οὐ μὴν καὶ τῇ ἀληθείᾳ πείθοντας. ἵνα εἴπῃ, ὅτι ὁ βασιλεὺς οὐ μόνον ἔδοξε πεῖσαι, ἀλλὰ καὶ ἀληθῶς ἔπεισε τὸν ἀδελφόν.

Παρείρωνται, παρεισβαλόντα.

Παρεῖρξαν, ἐκώλυσαν.

Παρείρπυσεν, εἰσῆλθεν.

* Παρειρύεσθαι. κατασπᾶσθαι ἢ διαστρέφεσθαι, καὶ εἰρύεσθαι, ἕλκεσθαι.

Παρεὶς, ἐάσας, ἀφείς.

Παρεὶς, ἀμελήσας, ἐπικατακλίνας, ὀλιγωρήσας. καὶ παρεὶς ἑαυτὸν ὑπὸ λύπης ἔκειτο. παρῆς δὲ ἀντὶ τοῦ ὑπῆρχες.

Παρείσακτον, ἀλλότριον, ξένον.

Παρεῖσαν, εἴασαν, ἀφῆκαν.

Παρείσανον, κράσπεδον, ἀκρωτήριον.

Παρεισελθεῖν, τὸ μετ' ἄλλου πλαγιάσαντος συνεισελθεῖν. ἐλθεῖν δὲ γυμνῇ τῇ παῤῥησίᾳ χρήσασθαι. διὰ τοῦτό φησιν ὁ Ἀπόστολος, παρεισῆλθεν ὁ νόμος.

Παρείθωσαν, παραλυέσθωσαν.

Παρείσθω, συγχωρείσθω.

Πάρεισι, πάρεισιν, καὶ παραγεγόνασι. καὶ πάρεισιν, ἀντὶ τοῦ παρόντες εἰσί.

Πάρεστιν, αὐτῷ τέκνα, ἀντὶ τοῦ παρόντα εἰσίν.

Παρεισκρίνει, παρεισέρχεται, παρεισβάλλει.

Παρεισκυκλεῖν λόγους, τὸ ὡς ἐκ περιόδου τινὸς κυκλικῶς παρεισάγειν, καὶ στρογγύλειν τὸ φραζόμενον. ἔτι δὲ καὶ ἄλλως, τὸ πολλάκις περὶ τὸ αὐτὸ στρέφεσθαι, καὶ οἷον τροχοειδῶς εἱλεῖσθαι.

Παρεῖτε, παραγίνεσθε.

Παρείτω, ἠμελείτω. παρήτω, καὶ παρείτω, διαλυέτω.

Παρὲκ, καὶ παρέξ. σημείωσαι ὡς ἐν τοῖς τοιούτοις, ποτὲ μὲν ἡ ἐξ πρόθεσις, ἐπικρατοῦσα νικᾷ, οἷον παρὲκ νόον, ἤγουν μακρὰν νοὸς ἤγαγεν. ποτὲ δὲ ἡ παρά.

Παρὲκ νόον, παρὰ τὴν βουλὴν παρὲκ νοῦν ἤγαγε. δηλοῖ δὲ καὶ νῦν τὸ παρέξ ἐγγύτητα μὲν διὰ τῆς παρὰ προθέσεως, διάστασιν δὲ, διὰ τῆς ἐξ. καὶ ἔστι παρὲξ μὲν εἰπεῖν, τὸ ἔξω μὲν ἀληθείας, ἐγγὺς δὲ ὅμως αὐτῆς.

Παρεκαττύετο, ἀντὶ τοῦ ἐκ συλλογῆς ηὐτρέπιζε, καὶ συνετίθη. ἡ μεταφορὰ ἀπὸ τῶν καττυμάτων. καττύματα δὲ λέγονται, τὰ μικρὰ τμήματα τῶν σκυτῶν.

Παρεκβαίνω, γενικῇ. Ἡσίοδος, μήτε παρεκβαίνουσι δικαίου.

Παρέκβασίς ἐστι, λόγος χάριν ἱστορίας ἢ γενεαλογίας παραλαμβανόμενος, ὥσπερ ἅ φησιν Φοίνιξ περὶ Κουρήτων, παρ' Ὁμήρῳ.

Παρεκβατικῶς, συντόμως.

Παρεκίρνα, παρέμισγε.

Παρεκλήθη, παρεμύθη.

Παρέκλησε, παρῆλθε.

Παρέκνοον ἤγαγεν Ἕκτωρ, ἀντὶ τοῦ παρηπάτησεν. ἐξηπάτησε τὸν νοῦν.

Παρεκνόον, ἀντὶ τοῦ παρέλπιδα παρεκνόον εἰλήλυθας.

Παρεκρότει, παρώξυνε.

Παρεκόπτου, παρήρου, ἐλυμαίνου. ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων.

Παρεκότει, ὠργίζετο.

Παρεκρότουν, παρώρμων. τούτους ἀθροίζοντες ἀλλήλους παρεκρότουν.

Παρεκρούσατο, ἐπλάνησεν, ἐχλεύασε.

Παρεκστῆναι, παρεκτραπῆναι. ὥστε καὶ τοὺς ἐν τῷ συνεδρίῳ ἀχανεῖς γενέσθαι καὶ παρεκστῆναι ταῖς διανοίαις συμπάσχοντας τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ.

Παρεκτικὸς, παρὰ τὸ παρέχω παρέξω, ὁ παρακείμενος παρέσχηκα, ὁ παθητικὸς παρέσχημαι παρέσχηται. καὶ ἐξ αὐτοῦ παρεκτὸς, καὶ παρεκτικὸς κτητικόν.

Παρεκτικὸν, χορηγητικόν.

Παρέλαβες, ἐπαιδεύθης.

Παρελάσας, παραδραμών.

Παρελαύνω, τὸ νικῶ, αἰτιατικῇ συντάσσεται. ὁμοίως καὶ ἐξελαύνω.

Παρελέγετο, παρὰ τὸν αἰγιαλὸν ἔπλεεν.

Παρελέξατο, ἐκοιμήθη, παρεκλήθη, ἢ παρεπλέξατο. τὸ γὰρ παραπλέξαι τινὰς, παραλέξασθαι καὶ λέξασθαι λέγουσι.

Παρελεύσεται παρ' Ὁμήρῳ, ἔχει τι λεληθότως καὶ σκωπτικὸν οἱονεί. λέγει γὰρ, ὅτι εἰ καὶ τῇ ποδωκείᾳ παρελθεῖν με δυνάσαι, ἀλλὰ ἀπάτῃ καὶ δολιευόμενος οὐκ ἄν με νικήσας παρέλθῃς.

Παρεληλυθὼς παρελθὼν, παροδεύσας.

Παρελθεῖν, ἀντὶ τοῦ φθάσαι. εἰς τόπον παρελθεῖν, καὶ τὸ παραδραμεῖν. ὅπερ τίθεται ἐπὶ καιροῦ καὶ ἀγῶνος, καὶ ἀντὶ τοῦ νικῆσαι. παρελθεῖν καὶ εἰς τὸ μέσον ἐλθεῖν. ἐκ τοῦ ἐλεύθω ἐλεύσω, ἤλευσα. ὁ δεύτερος ἤλυθον, καὶ ἦλθον. καὶ τὸ ἀπαρέμφατον ἐλθεῖν, καὶ μετὰ τῆς παρὰ προθέσεως, παρελθεῖν.

Παρέλθῃ ποσὶ, πρὸς διαστολὴν ἐῤῥέθη. ἔστι γὰρ τροπικῶς, καὶ νόῳ καὶ δόλοις παρελθεῖν.

Παρελθὼν, ἀντὶ τοῦ εἰσελθών.

Παρέλκει τι, ἀντὶ τοῦ ἔξω τείνει τοῦ κειμένου, καὶ παραπόλυσίς τις τί, ἀντὶ τοῦ ἔξω τοῦ πρέποντος ἀναλίσκει.

Παρέλκεται, διατρίβει.

Παρέλκον, περιττὸν, ἢ παρατεῖνον, καὶ σύρον.

Παρέλκοντες, παρατείνοντες, καὶ σύροντες.

Παρέλκυσις, ὑπέρθεσις, βράδος.

Παρέλλειψίς ἐστιν, ὅταν ἓν τῶν διπλασιαζομένων συμφώνων παραλείπηται, οἷον κάλιον, ἀντὶ τοῦ κάλλιον. θᾶτον, ἀντὶ τοῦ θᾶττον.

Παρελογίσασθε, ἠπατήσατε, ἢ ἐκρατήσατε, ἢ ἐψεύσασθε, ἢ ἐχλευάσατε.

Παρελπίδας, ἀντὶ τοῦ ἀνελπίστως. Εὐριπίδης, λεύσσεθ' ὡς παρελπίδας μοῖρα βαίνει. καὶ παρελπίδα, ἐπίῤῥημα.

Παρελύθησαν, ἀπήλλαξαν, μετέστησαν.

Παρελύθησαν, ἠσθένησαν.

Παρέλυσαν, ἀπήλλαξαν, μετέστησαν.

Παρέλυσεν, καθεῖλεν, ἐξέβαλεν.

Παρεμβαλεῖ, ἐπισκέπτει, παρεντίθησι.

Παρεμβαλόντων, κυκλωσάντων.

Παρεμβολὴ καλεῖται, ὅταν ἔξωθέν τινα μηδὲν προσήκοντα τοῖς προκειμένοις ἐμβάληται, ἃ κἂν ἐξέλῃ τις, οὐδὲν τῆς συντάξεως ἀφαιρεῖ. οἷόν ἐστι παρ' Ὁμήρῳ, τὸ ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔποτε φύλλα καὶ ὄζους φύσει μέχρι τοῦ, ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν.

Παρεμβολὴ, σκηνὴ, κάστρον, στρατόπεδον.

Παρεμβολὴ, παρεντάξεως διαφέρει. παρεμβολὴ μὲν γάρ ἐστιν, ἡ τῶν ὁμοίων παρένθεσις. οἷον, ὁπλιτῶν πρὸς ὁπλίτας, ἢ ψιλῶν πρὸς ψιλούς. παρένταξις δὲ, ἡ τῶν ἀνομοίων. οἷον ὁπλιτῶν πρὸς ψιλοὺς, ἢ ψιλῶν πρὸς ὁπλίτας. πάλιν παρεμβολὴ λέγεται, ὅταν προτεταγμένων τινῶν εἰς τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων, καθιστῶνται αὐτοῖς ἐπ' εὐθείας.

Παρεμβολὴ, παράταξις. καὶ παρεμβάλλειν, παρατάττεσθαι.

Παρ' ἐμοί ἐστι τόδε, ἤγουν ἐν τῇ οἰκίᾳ τῇ ἐμῇ, ἢ τῇ γνώμῃ.

Παρεμπίνειν, τὸ ἐκ τοῦ λόγου πίνειν.

Παρέμπτωσις, προσθήκη φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν. οἷον ξένος ξεῖνος, ἔνατος εἴνατος.

Παρεμφῆναι, παραδεῖξαι, παρασημᾶναι.

Παρεμφάρακτος, ἀσελγής.

Παρεμφαίνεσθαι, παραδηλοῦσθαι.

Παρὲν, κατὰ τὸ ἑξῆς.

Παρενεγκεῖν, τὸ παραγαγεῖν. τὸ δὲ αὐτὸ καὶ ἀπαγαγεῖν.

Παρενείρει, παρεμβάλλει, ἤγουν λέγει.

Παρενδατῇ, παρατιθῇ.

Παρενθέμενος, παραλογισάμενος.

Παρενήνεον, λέξις ποιητική. δηλοῖ τὸ σωρεύειν, καὶ ἐμφαίνει τὸν πληθυσμὸν τοῦ σίτου, ἀπὸ τοῦ νῶ τὸ σωρεύω. κατὰ ἀναδιπλασιασμὸν νενῶ, καὶ ἐκτάσει νηνῶ. παρατατικὸς ἐνήνεον. ὅμοιον τούτῳ, ἤτοι τετρίσκω. τοιοῦτον καὶ τὸ ἀνακηκίειν. ὅμοιον καὶ τὸ κηκάζειν. ὅθεν καὶ ἐπικήκαστον τὸ ἐπονείδιστον. ὅτι δὲ καὶ τὸ κακκίζειν ἐν χρήσει ἐστὶ, δῆλον ἐπὶ ὀρνίθων ὀνοματοποιηθέν.

Παρένθετος, παρείσακτος.

Παρενθῆκαι, μετενήνεκται ἀπὸ τῶν τεχνιτῶν τῶν παρεργαζομένων ἔνια λεπτὰ, ἢ ἀπὸ τῶν πλωϊζομένων. παρενθέασι γὰρ τοῖς φορτικοῖς κοῦφα ἀπὸ τῶν καμίνων. τοῖς γὰρ πίθοις πινακίσκοι παρεντίθενται, καὶ λεπτά.

Παρενοχλεῖν, παροξύνειν.

Παρέντες, παραλυθέντες, ἀμελήσαντες, ἐάσαντες.

* Παρέντιον πόλις, καὶ λιμὴν πλησίον Ἰσερίας.

Πάρεξ, καὶ τὸ παρὲξ διαφέρουσι. τὸ μὲν γὰρ πάρεξ, σημαίνει τὸ ἐκτὸς, καὶ βαρύνεται, καὶ συντάσσεται μετὰ γενικῆς, ἔστι δὲ κοινόν. τὸ δὲ παρὲξ, οὐ τὸ ἐκτὸς μόνον σημαίνει, ἀλλὰ καὶ τὸ πλησίον. ὡς τὸ παρὲξ ἅλα, ἤγουν πλησίον τῆς θαλάσσης. καὶ ὀξύνεται, καὶ συντάσσεται μετὰ αἰτιατικῆς. ἔστι δὲ ποιητικόν.

Παρεξειρεσία, τὸ ἔξω τῶν ἐρεσσόντων. καὶ παρεξειρεσίας, παρὰ Θουκυδίδῃ, τὸ κατὰ πρῷραν πρὸ τῶν κωπῶν. ὡς ἂν εἴποι τις, τὸ πάρεξ τῆς εἰρεσίας.

Παρὲξ ἀγορεύειν, δηλοῖ τὸ παρὰ τὸ δέον, ἢ τὸ παρακελευόμενον ἀγορεύειν. παρὲξ, παρ᾽ Ὁμήρῳ εὕρηται συνταχθὲν αἰτιατικῇ, καὶ διὰ τοῦ κ γραφὲν, ἐν τῷ παρὲκ μέγα τείχιον αὐλῆς.

Παρὲξ ἅλα, ἐπίρρημά ἐστι τοπικὸν, συγκείμενον ἀπὸ τῆς παρὰ καὶ ἐξ προθέσεως. δηλοῖ δὲ τὸ παρὰ τὴν ἅλα, ἢ μᾶλλον τὸ ἔξω μὲν ἁλός. παρ᾽ αὐτὴν δὲ, ἤτοι ἐγγὺς αὐτῆς. ἰστέον δὲ, ὡς ἡμεῖς μὲν οἱ ὕστερον πάρεξ ἀεὶ φαμὲν βαρυτόνως κατὰ τὴν κοινὴν διάλεκτον, καὶ ἀντὶ τοῦ χωρὶς τὴν λέξιν νοοῦμεν, καὶ διὰ τοῦ ξ γράφομεν αὐτὴν, καὶ μόνῃ γενικῇ συντάσσομεν. Ὅμηρος δὲ λέγει ὀξυτόνως παρὲξ, ἀκολουθῶν τῷ κανόνι τῶν προθέσεων, καὶ ἀντὶ τοῦ ἔξω μὲν, ἐγγὺς δὲ τὴν λέξιν λαμβάνει. καὶ φωνήεντος μὲν ἐπιφερομένου, φυλάσσει τὸ διπλοῦν. συμφώνου δὲ ἐπαγομένου, τρέπει συνήθως τὸ ξ εἰς ἄφωνον τὸ κ, οἷον παρέκνοον ἤγαγεν. ἔστι δὲ ὅτε καὶ οὕτω φυλάσσει τὸ ξ, ὡς ἐν τῷ παρὲξ τὴν νῆσον ἐλαύνομεν, καὶ τὴν σύνταξιν δὲ διφορεῖ. Ἀπίων καὶ Ἡρόδωρος φασὶν, ὅτι ἐπὶ τοῦ παρὲξ. ἔστι μὲν, ὅτε τὸ νοητὸν ἐπικρατεῖ τῆς ἐξ, ἔσθ᾽ ὅτε δὲ τῆς παρὰ, ἤγουν ἐπεὶ τὸ παρὲξ, ἐκ δύο σύγκειται προθέσεων, τῆς παρὰ καὶ τῆς ἐξ, ποτὲ μὲν ἡ τῆς ἐξ προθέσεως νόησις ἐπικρατεῖ, καὶ προκαλεῖται γενικὴν σύνταξιν, ὡς τὸ παρὲξ ὁδοῦ, ἤγουν ἔξω τῆς ὁδοῦ. ποτὲ δὲ ἡ παρὰ πρόθεσις νικῶσα προάγεται εἰς αἰτιατικὴν, ὡς τὸ παρὲξ τὴν νῆσον, ἤτοι παρὰ τὴν νῆσον. λαμβάνει δὲ τὴν λέξιν Ὅμηρος ὡς φαίνεται, καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν μάλιστα ἐπὶ τῶν μή τε πάνυ ἀπεχόντων, μή τε ἐγγύτατα ὄντων. ἀλλὰ ἔξω μὲν, ὅπερ ἡ ἐξ πρόθεσις δηλοῖ. ὅμως δὲ ἐγγὺς, ὅπερ διὰ τῆς παρὰ δηλοῦται προθέσεως, σημαινούσης ἐγγύτητα, ὥσπερ ἐπὶ τοῦ πάρεδρος, καὶ παρακαθίζω, καὶ τῶν ὁμοίων.

Παρεξελθεῖν, τὸ μετρικῶς παραβῆναι, καὶ ὁμηρικώτερον εἰπεῖν, παρὲκ Διὸς νόον ἐλθεῖν.

Παρεξελθεῖν, ἀντὶ τοῦ παραδραμεῖν. Ἡρόδοτος, σιγῇ δὲ παρεξελθεῖν τὸν κάμνοντα.

Παρεξηυλημένον νοῦν, οἷον διεφθαρμένον, καὶ ἀμυδρόν.

Παρέξω πράγματα, παρὰ Ἀριστοφάνει, ἤγουν ὀχλήσεις.

Παρεοικὼς, παρόμοιος.

Παρεόντα, παρόντα.

Παρέπαφε, παρέπεισε.

Παρέπεισεν, ὡς παρ᾽ Ὁμήρῳ ἐστὶν εὑρεῖν, ἐνίοτε πλεῖόν τι δηλοῖ τοῦ ἔπεισε. πειθοῦς γὰρ τάχος ἡ παρὰ πρόθεσις ἐμφαίνει, σημαντικὴ οὖσα ἐγγύτητος. τὴν δὲ τοιαύτην παρασημασίαν ἑλκυστέον, καὶ εἰς τὸ παραιφάσκειν, καὶ εἰς τὸ παρειπεῖν, καὶ εἰς τὰ ὅμοια.

Παρεπίδημος, πάροικος.

Παρεπίδημος, καὶ ὁ βίος ἡμῶν παρεπιδημία. καὶ παρεπίδημος διαβάτης, παροδίτης.

Παρεπιπνείειν, τὸ ἐπ᾽ ὀλίγον πνεῖν σημαίνει.

Παρεπλάγχθη ἰὸς, ἀστοχίαν δηλοῖ σκοποῦ. Ὅμηρος.

Παρεπλάγχθη, παρεκρούσθη.

Παρεπτάμενον, περιττόν.

Παρέπτη, παρῆλθε.

Πάρεργον, νόθον, ὡς μικρόν τι τῶν ἀναγκαίων.

Παρέργως, ὀλιγώρως. οὐ μὴν οὐδὲ τὸ πάρεργον ἄξιον σιωπῆσαι, καθάπερ ἀγαθοῦ τεχνίτου.

Παρεργώτατα, κατερρωγότατα. παρέργως, ἀκαίρως, ῥαθύμως.

Παρερέωσαν, παρετάξαντο ἐν πολέμῳ, ἀντέστησαν.

Παρ᾽ ἐρινεὸν, ἐρινεὸς κατὰ μέν τινας καὶ ἡ ἀγρία συκῆ, καὶ ὁ καρπὸς αὐτῆς, ὥσπερ καὶ ἐλαία τὸ φυτὸν, καὶ ὁ καρπός.

Παρερπύσασα, ἠρέμα, εἰσελθοῦσα.

Παρερρυπωμένα, βιβλία οἷς κηροὺς προσπλάσσομεν πρὸς τὸ ζητῆσαί τινα.

Παρερρωγότα, κατερρωγότα, παρεσταμένη γῆ, ἐφ᾽ ᾗ τις ὀφείλει δάνειον, καὶ ἡ ἐκδεδομένη ἐπὶ γεωργίᾳ.

Παρέρχομαι, τὸ νικῶ, καὶ ὑπεραίρω, καὶ κάτω που τῶν ἐμαυτοῦ καλῶν πάντας ἐῶ.

Παρέρχομαι, καὶ παρῆλθον, ἐπὶ δικαστηρίου καὶ ἀγῶνος κυρίως λέγομεν, ἀντὶ τοῦ εἰς μέσον ἦλθον. ὡς καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου, οὐδέ ποτε παρῆλθες, οὐδὲ ἀπέδωκας, οἷς συνάπτει καὶ τὸ εἰς μέσον, περιττὸν δοκεῖ παρά τισιν. οἷον παρέρχομαι, παρῆλθον εἰς τὸ μέσον. πλὴν εὑρίσκεται καὶ οὕτω παρὰ τοῖς Ῥήτορσι, καὶ τοῖς Ἀττικοῖς. ὡς καὶ παρὰ Λουκιανῷ, ἐγὼ δὲ θαρρήσας παρῆλθον εἰς τὸ μέσον, οὐ χεῖρον τοῦ Παφλαγόνος ὡπλισμένος. καὶ ἔτι παρέρχομαι, καὶ παραβλέπω τάδε, καὶ παρορῶ, καὶ παρῆλθον, καὶ ἐπὶ τοῦ αὐτοῦ παρέρχομαι, καὶ διαβαίνω. καὶ παρῆλθε μὲν τὸ θέρος, ἐλήλυθε δὲ τὸ φθινόπωρον. καὶ παρῆλθεν, ἀντὶ τοῦ διέβη.

Παρέρχεται, ἀντὶ τοῦ νικᾷ, καὶ ἀντὶ τοῦ φθείρεται. καὶ παρέρχεται, ἀντὶ τοῦ ἁπλῶς ἔρχεται.

Παρέρχομαι, παραμείβω, παραλλάττω, παρατρέχω.

Πάρες, ἔνδος, ὑποχώρησον. Σοφοκλῆς, ἀλλά με πάρες, κἂν σμικρὸν εἰπεῖν, ἐκ τοῦ παρίημι.

Πάρεσθ᾽ ὃ δὴ λοιπὸν, ἤγουν τὸ ὑπόλοιπον πάρεστι.

Παρεσθίεται, παραβιβρώσκεται.

Πάρεσιν, ἄφεσιν, συγχώρησιν.

Πάρεσις, νέκρωσις, ἔκλυσις.

Παρέσμεθα, ἤλθομεν.

Παρέσομαι, ἐκ τοῦ ἔσω ἐῶ ἔσομαι καὶ παρέσομαι, ἀλλ᾽ οὐκ ἀπὸ τοῦ εἰμὶ σχηματίζεται.

Παρεσπονδημένοι, ἔκθεσμοι, παρηνομημένοι.

Παρέσσυτο, παρώρμησε. καὶ παρεσσυμένη, παραγινομένη.

Παρεστάλατο, παρεγίνετο.

Παρέστη, λέγεται ἀντὶ τοῦ ἐπῆλθεν, οἷον παρέστη μοι λογίσασθαι. παρέστη καὶ τὸ πλησίον ἔστη. ὡς παρ᾽ Ὁμήρῳ, τῷ δ᾽ ᾧ παρίστατο δῖος Ὀδυσσεύς. παρέστη, καὶ ἀντὶ τοῦ ἑάλω. παρεστήσατο, καὶ ἀντὶ τοῦ ἐξηνδραπόδισε καὶ ᾐχμαλώτευσε τὸ κοινῶς λεγόμενον παρέλαβεν, ἀντὶ τοῦ ἐπολιόρκησεν. ὡς καὶ Ἀριστείδης, Αἰγύπτου δ᾽ ἀποστάσης, Βασιλεὺς οὐδὲν σπουδάσας τὴν ἐν τοῖς αὐτοῖς, οὕτω ῥαδίως ἐκείνην παρεστήσατο, ἀντὶ τοῦ ἐπολιόρκησε, καὶ ἠφάνισε.

Παρεστηκότες, συνημμένοι. τεθαρρηκότες, καὶ παρεστηκότος, προϋπάρχοντος, παρισταμένου, ἐνεστῶτος.

Παρέστης χερσὶν, ἀντὶ τοῦ συνεμάχησας ἔργῳ, οὐ λόγῳ. τοῦτο δὲ λέγεται, ἐπὶ τῶν μετὰ σπουδῆς ἐργαζομένων.

Παρέστη, ἀντὶ τοῦ πλησίον ἐγένετο δοτικῇ, οἷον παρέστη τῷ δεῖνι.

Παρεστησάμην, ἀντὶ τοῦ ἐδουλωσάμην.

Παρέστησαν, ἀντὶ τοῦ πλησίον ἔστησαν, καὶ ἀντὶ τοῦ εἰς τὸ μέσον ἔστησαν, καὶ ἀντὶ τοῦ ἐπόρθησαν. ὡς τὸ, πολιορκούμενοι χρόνῳ παρέστησαν. παρεστήσαντο δὲ, ἀντὶ τοῦ ἐπόρθησαν. καὶ παρέστησαν, ἀντὶ τοῦ ἐνίκησαν. Δημοσθένης.

Παρεστήσατο φρούριον, ἀντὶ τοῦ ἐνίκησεν, ἐξεπόρθησε.

Πάρεστιν, ἀντὶ τοῦ πλησίον ἐστίν. καὶ παρὼν, ἡ παροῦσά ἐστιν. ἢ παρόν ἐστιν, ἐπὶ τοῦ οὐδετέρου.

Παρεσυνεβλήθη, ὁμοιώθη.

Παρέσφηλε, παρεμφαίνεται, ἐσφάλη, ἀπερρύη.

Παρέσχεν, ἔδωκεν.

Παρετάξατο, ἐν πολέμῳ τέθνηκε.

Παρετέον, σιωπητέον, ἀνετέον.

Παρέτμηξεν, ἐξηφάνισε.

Πάρετος, παραλελυμένος.

Παρεξειβάζες, παραίσια σήματα φαίνων. παρ᾽ Ὁμήρῳ ἐν γ᾽ τῆς Ἰλιάδος, ἤγουν ἐκώλυσε. πολλάκις ἡ παρὰ πρόθεσις ταυτὸν τῇ ἀπὸ προθέσει δύναται. ὡς ἐν τῷ παραίσια, τὰ παρὰ τοῖς ὕστερον ἀπαίσια.

Παρεξώπασκε, παρεξίπτετο.

* Παρευδισταὶ ὄρνιθες, οἳ ἐν ταῖς εὐδίαις παρὰ τὸ ξηρὸν νέμονται.

Παρευδοκιμησάσης, νικησάσης ἤτοι εἰς δόξαν ὑπερβάσης. καὶ παρευδοκιμῶ, αἰτιατικῇ.

Παρευημερεῖσθαι, νικᾶσθαι.

Παρευημερηθεὶς, παροραθείς.

Παρευθύνει, παραφέρει, βιάζεται.

Παρευνάζων, παρακοιτάζων.

Παρευνηθεὶς, παρακοιμηθείς.

Παρευρημένως, δικαιότατα. καὶ παρευρημένως κρινόντων.

Παρεφέρετο, ἐδαιμονίζετο.

Παρέφησε, παρεγράψατο, ἠπάτησε.

Παρεχάζετο, παρεχώρησε.

Παρέχει ἰχθῦς, ἀντὶ τοῦ ἐγγὺς ἔχει καὶ πολλαχοῦ φαίνεται, τοῦτ᾽ ἐστιν ἄγει ἐγγὺς χάριν ἄγρας, οὐκ ἀπάγει παρὰ ἄβυσσον. ἢ καὶ ἄλλως που μακράν. Ὅμηρος ἐν τῷ τ.

Παρέχειν τι, τὸ ἐγγύς τινος ἔχειν. ἀπέχειν δὲ, τὸ πόρρω ἔχειν. Ὅμηρος, ἐγὼ δ᾽ εὖ πάντα τοι ἐξ παρέξω. οὐ τὸ ἀνάπαλιν, ἀφέξω. καὶ ἄπισχε φάσγανον ὀξύ.

Παρεχέμεν, καὶ ἐχέμεν, ἰωνικά. καὶ σημειῶσαι ὅτι ἔχειν μὲν, τὸ ἐν αὐτῷ κεκτῆσθαι. παρέχειν δὲ τὸ πλησίον τοῦ ληψομένου ἔχειν. ὁ γὰρ δωρούμενός τινι οὐκ ἔτι μὲν αὐτὸς ἔχει, ὡς οἷον ἐντὸς αὐτοῦ, πλησίον δὲ ἄλλου ἔχει. ἤδη δὲ καὶ ἑαυτὸν κατὰ ἐγγύτητα τῆς παρὰ προθέσεως, τῇ σχέσει τῇ φιλικῇ. εἰ γὰρ παρ᾽ αὐτῷ ἐστι τῷ ἑταίρῳ ὁ τὸ δῶρον λαβὼν, καὶ τὸ δῶρον παρ᾽ αὐτῷ ἐστι.

Παρέχομαι ἐμαυτὸν τῷ δεῖνι, καὶ παρέχεται τὰ ὄρη δένδρα τοιάδε. παρέχεται δέ τις τινὶ νόμισμα ἤτοι ἕτερον. παρέχεσθαι ταυτὸν τῷ παρέχειν. παρέχω ἐνεργητικῶς, τὸ δίδωμι. οἷον ἄρτον ἡ Δημήτηρ παρεῖχε, καὶ παθητικῶς γράφεται, παρεχόμενος ἡμῖν τἀγαθά. καὶ παρέχω πράγματά τινι, ἤγουν ὀχλήσεις.

Παρεωραμένος, καὶ παρεωρημένος, καταφρονηθείς.

Παρῇ, ἔλθῃ.

Παρηβηκὼς, ὁ ἔξωρος, καὶ γηράσας.

Παρηβῆσαι, παρακμάσαι.

Παρῆβον, παρὰ Κρησὶ ξύλον τί.

Παρήγαγε, παρηνέγκεν ἐν τῷ δείπνῳ.

Παρήγγελλον, ἐτάσσοντο, συνηριθμοῦντο.

Παρηγοραῖς, παραγωγαῖς, ἀπάταις.

Παρηγορία, ἡ προτροπὴ, καὶ ἡ συμβουλή.

Παρηγόρεσκε, παρεκάλει, ἐφιλοφρονεῖτο.

Παρηγορῶ, τὸ παραμυθοῦμαι. καὶ τὸ παραινῶ, καὶ παραμυθικῶς λέγω.

Παρηγορέεις, ἀντὶ τοῦ παραμυθικῶς λέγεις. Ἀπολλώνιος.

Παρήειν, ἀντὶ τοῦ εἰς τὸ μέσον τοῦ τόπου τοῦ δέεσι. σημαίνει γὰρ ἡ παρὰ πλησιότητα, ὥσπερ καὶ παρῆλθέ τις εἰς τὸ στάδιον. σημαίνει δὲ καὶ ταῦτα τὸ παρελθεῖν, τῆς παρὰ δηλούσης τὸ ἔξω. οἷον παρήειν τὸ στάδιον, ἀντὶ τοῦ ἔξω ἐγενόμην. παρήει, ἀντὶ τοῦ ἐνίκησεν. οἷον παρήει πολλοὺς ἐν τῷ φιλεῖν. καὶ γίνεται ἀπὸ τοῦ εἴω τὸ πορεύομαι, ὁ μέσος παρακείμενος εἶα, καὶ ἐν διαλύσει καὶ τροπῇ τοῦ ε εἰς η, ἤα. ὁ ὑπερσυντέλικος ἤειν, ἐξ οὗ παρήειν.

Παρήεσαν, παρῆλθον.

Παρηέρθη, παρηνέχθη, παρεκρεμάσθη. ἀείρω ἀερῶ ἤερκα ἤερμαι ἠέρθην, καὶ μετὰ τῆς παρὰ προθέσεως παρηέρθη, ἐξ οὗ τὸ παρήορος γίνεται.

Παρήθη, ἰάθη.

Παρήϊον ἔμμεναι ἵππων παρ᾽ Ὁμήρῳ, τὸ τοῦ χαλινοῦ παραγναθίδιον, καὶ ἱππυκόσμος. λέγεται δέ ποτε οὕτω, καὶ αὐτὸ ἡ παρειά. ὅρα δ᾽ ἐντεῦθεν, καὶ ὅτι παρειὰ καὶ ἐπὶ ἀλόγων ζώων φαίνεται λέγεσθαι.

Παρήϊξαν, ἐκώλυον.

Παρήκαμεν, ἐπέμψαμεν, ἢ ἀφήκαμεν.

Παρήκασι, παρῆλθον. παρείκασι δὲ, ἀντὶ τοῦ παρέπεμψαν, δίφθογγον.

Παρῆκεν, εἴασεν, ἀφῆκε, κατέλειψε.

Παρηκόνηνται, παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ ὀξύνονται εἰσὶν ἐπὶ ξιφῶν εἴληπται, ἀπὸ τῶν ἀκονώντων οἱ πρὸς μάχην ἀπερχόμενοι ἄνθρωποι. ἐκ τοῦ ἀκονάω, ἤσω, ηκα. ημαι. σαι. τὸ τρίτον τῶν πληθυντικῶν ἠκόνηνται, καὶ μετὰ τῆς παρὰ παρηκόνηνται.

Παρῆκον, μὴ διὰ πάσης ἰέναι ἐξετάσεως, ἀλλὰ μετρίας, κατὰ τὸ παρῆκον τῆς αὐτῶν προαιρέσεώς τε καὶ δυνάμεως.

Παρήκοντα, παρατείνοντα, ὡς διήκοντα ἐπιτεινόμενα. ἐκ τοῦ παρήκοντος δὲ, ἀντὶ τοῦ ἀναδιδόντος.

Παρῆκται, ἐκ τοῦ ἄγω παράγεται, μέλλων ἄξω, παρακείμενος ἦχα, παθητικὸς ἦγμαι ἦξαι ἦκται, καὶ μετὰ τῆς παρὰ παρῆκται.

Παρήκων, πάντα πράττων ἐπὶ κακῷ.

Παρήλασεν, ἀντὶ τοῦ παρέδραμεν, ἢ ἐνίκησε. λέγεται καὶ ἐπὶ νηὸς καὶ ἐπὶ ἁρματηλάτου.

Παρήλατοι, παραμύθιοι.

Παρῆλθον καὶ παρελήλυθα, καὶ παρέδραμον, καὶ παρήλασα, τουτέστι. λαμβάνονται δὲ ἐπὶ τῆς σημασίας τοῦ νενίκηκα.

Παρῆλθεν ὁ καιρὸς, παρῆλθεν ὁ δρομεὺς τὸν δρομέα. παρῆλθεν ὁ δεῖνα τὸν δεῖνα τῇ μάχῃ, ἤγουν ἐνίκησε.

Παρήλθοσαν. ὡς τὸ, Κύπριος μιῶτες παρήλθοσαν τρεῖς.

Παρήλιος, νεφέλη πεπυκνωμένη καθ' ὑπερβολὴν, καὶ αὐγαζομένη ὑπὸ τοῦ ἡλίου.

Παρήλλαξαν. ἐπειδὴ παρήλλαξαν τὴν ἐνέδραν, ἄφνω πάντες ἐπεφάνησαν, ἀντὶ τοῦ παρῆλθον.

Παρήλλαξα, οὐ μόνον ἐνήλλαξά τι, ἀλλὰ καὶ τὸ παρῆλθον.

Παρημένων, παρειμένων.

Παρήμενος, παρακαθήμενος. καὶ παρειμένος, ἔκλυτος.

Παρημοσύνη, θεραπεία.

Παρῆν, παρήμην ἑνικῶς, κατὰ Ἀττικούς.

Παρηνέχθη, ἐπὶ μεθύοντος ὅταν παραβαίνῃ, ἕτερα ἀνθ' ἑτέρων φθέγγηται. ἡ γὰρ παρὰ, τὸ ἔξω σημαίνει, ὁμοίως τῷ παραπαίει, ὅταν ἐκτὸς τις τοῦ καθεστηκότος ἐστί. καὶ τὸ παρηνέχθη, ἐπὶ τοῦ θέοντος ἵππου, ἀντὶ τοῦ ἔξω γέγονε τῆς προκειμένης ὁδοῦ.

Παρῆξαν, ἐκώλυσαν.

Παρηορίαι, αἱ παρηρτημέναι τῷ ζυγῷ σειραὶ, εἰς δεσμὸν περισσοῦ ἵππου, ὅ ἐστι παρήορος, καθὰ προδέδεικται. οὐ παρώνυμοι αἱ παρηορίαι. παρηορίην, μετέωρον λέγουσι ναῦν.

Παρηορίας ἀπέταμνεν, ἤγουν τὰς τοῦ παρηόρου ἡνίας.

Παρήορος. Ὅμηρος, πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα, ἐπὶ μεγάλων σωμάτων καὶ ἐκλύτων λέγεται. δηλοῖ δὲ τὸ μὲν ἔνθα καὶ ἔνθα, τὸ εἰς μῆκος καὶ εἰς πλάτος. τὸ δὲ παρήορος, ἀντὶ τοῦ παρηρτημένος, ὅ ἐστι κεχυμένος, ὥδε καὶ ἐκεῖ ἔκλυτος, χαῦνος, καὶ ὑπὸ πολλοῦ ἐπέχων τόπον τῷ σώματι. εἴληπται δὲ ἡ λέξις, ἐκ μεταφορᾶς τοῦ παρηόρου ἵππου.

Παρήορος, ὁ παρεζευγμένος, ἤγουν ὁ ἐγγὺς ὢν τοῦ ζευγηλάτου, ἢ τῶν ζυγίων κατὰ τὸν Κωμικόν. ὁ δὲ τοιοῦτος καὶ παράσειρος λέγεται παρὰ τοῖς ὕστερον. ἔτι δὲ καὶ σειραῖος, ὃ δηλοῖ Σοφοκλῆς ἀπὸ τῆς σειρᾶς. ὅθεν καὶ ἀνασυράζειν ἵππον, τὸ ἀναχαιτίζειν.

Παρήπαφεν, ἠπάτησεν, ἐξέστησεν.

Παρηρηκὼς, λαβών.

Παρηρημένην, ἐκβεβλημένην, ἀποκεχωρισμένην, ἀπὸ τοῦ αἱρῶ.

Παρήρουν, ἀφήρπαζον, ἀφηροῦντο.

Παρηρῆσθαι, ἀφηρῆσθαι.

Παρήρηται, παρατέτμηται.

Παρήρτητο, καὶ παρηρτημένος τῷ ξίφει, ᾧ ἔτυχε παρηρτημένος. ἀντὶ τοῦ φορῶν, βαστάζων, ἑαυτὸν διέφθειρε.

Παρῆς, ὑπῆρχες. καὶ παρῆσαν, ὑπῆρχον.

Παρῆσθαι, καὶ παρῆσο, παρακαθέζεσθαι.

Παρήσω, παρήσω.

Παρήσω. Ἀριστοφάνης, οὐ παρήσω, οὐ συγχωρήσω.

Παρῆτε, παρεγένεσθε.

Παρῃτεῖτο, ἀντὶ τοῦ ἐμέμφετο, παρεκάλει, παρ' Ἡροδότῳ. ὁ δὲ ἐλθὼν, παρῃτεῖτο τὸν Πέρσην.

Παρῃτεῖτο, ἀποτίσειν τοὺς βοῦς ὡμολόγει, καὶ κακῶς παρῃτεῖτο τὸ ἁμάρτημα, καὶ ἐπὶ τοῦ παρεκάλει. οἱ δὲ παρῃτοῦντο τοὺς προμαχομένους μικρὸν ἀναχωρεῖν.

Παρῄτησεν, ἐξῄτησε.

Παρῃτήσαντο, παρεμυθήσαντο, ἢ ἐρρύσαντο τῆς δίκης. καὶ ἀπέλυσαν τῆς αἰτίας. Ἀριστοφάνης.

Παρηυμάρησαν, κατεφρόνησαν.

Παρθέμενοι κεφαλὰς, ἀντὶ τοῦ προτείναντες, ἢ ὡς ἐν ἐπιξήνῳ, ὅταν ἐπικόπτῳ, ἤτοι ἐπικορμίῳ θέντες, ὥστε κοπῆναι.

Παρθένια προπερισπωμένως, ὄνομα. ἔστι δὲ τὰ εἰς παρθένους ᾀδόμενα.

Παρθένειος, ὁ ἐκ παρθένου ἔτι δοκούσης εἶναι γεννηθείς. καὶ παρθένειον, λέχος.

Παρθενία, ὁ καθαρὸς βίος. καὶ παρθένειον, πέλαγος.

Παρθενία ἐστὶν, ἡ τοῦ σώματος ὑπερφυὴς ἑκούσιος πρᾶξις, δῶρον λόγον ἐπέχουσα.

Παρθενικὴ, ἀντὶ τοῦ παρθένος. τὸ λαμβάνειν τὰ κτητικὰ ἀντὶ πρωτοτύπων, Ἀττικῶν ἐστι. καὶ αὖ τὰ πρωτότυπα ἀντὶ κτητικῶν, ὡς τὸ γυναῖκα τιθήσατο μαζὸν, ἀντὶ τοῦ γυναικεῖον ἐθήλαζε μαζόν.

Παρθενικὴ ὀξυτόνως, ἡ παρθένος. Παρθένικη δὲ βαρυτόνως, κύριον, ᾗ συγγενόμενός φασιν Ὠκεανὸς, γεννᾷ Εὐρώπην καὶ Θρᾷκα. καὶ Ῥίπη μὲν πόλις, καὶ ὄρος ῥίπαι. ῥιπὴ δὲ, ἡ πνοὴ ὀξυτόνως. καὶ Ῥύμος μὲν ποταμὸς Σκυθίας, ῥυμὸς δὲ ὀξυτόνως ἅρματος.

Παρθενικαί τε καὶ ἠΐθεοι, ἀταλὰ φρονέοντες. ὅταν κοινῶς ἀρρενικῷ καὶ θηλυκῷ ὀνόματι ἐπιφέρηται ῥῆμα, ἢ μετοχὴ τὸ ἀρρενικὸν ἐπικρατεῖ, ὡς ἐν τῷ ἄνω.

Παρθένιοι λέγονται παῖδες, οἱ κρύφα τικτόμενοι, παρὰ τῶν ἔτι νομιζομένων εἶναι παρθένων.

Παρθένιον, τὸ μικρόφυλλον. καλεῖται δὲ παρθένιον, καὶ ἡ ἀνθεμὶς, καὶ ἡ ἑλξίνη, καὶ ἡ λινόζωστις, καὶ τὸ ἀμάρακον. ἀλλὰ καὶ Διοσκουρίδης μή ποτέ φησιν ἀκουστέον, ἤτοι τῆς ἑλξίνης, ἢ τῆς λινοζώστεως τὸ εἶδος ἔχει τὸ μικρόφυλλον, παρὰ τῷ Ἱπποκράτει.

* Παρθένιος, ποταμὸς ἐν μέσῳ τῆς Ἀμαστριανῶν πόλεως ῥέων. ἐκλήθη δ' ἐκ τοῦ συνεχῶς περὶ αὐτὸν τὸν παρθένον Ἄρτεμιν κυνηγετεῖν. ἢ διὰ τὸ ἠρεμαῖον καὶ παρθενῶδες τοῦ ῥεύματος. ἢ ὅτι ἐν αὐτῷ ἔπεσεν ἡ παρθένος Παλαιτίνος βασιλέως θυγάτηρ. ἔστι δὲ καὶ ἀκρωτήριον πλησίον Ἡρακλείας.

Παρθένιος, ὁ διδάσκων καὶ ἀποδεχόμενος τὴν παρθενίαν, ὑπὲρ τὸν γάμον.

Παρθένος ὀνομάζεται, ὁ ἑκουσίως ἑαυτὸν προσαγαγὼν τῷ Κυρίῳ, καὶ ἀποταξάμενος τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ βίον προτιμήσας.

Παρθένος, παρὰ τὸ παρακατατίθεσθαι τὴν παιδικὴν ἡλικίαν, ἢ παρὰ τὸ παραθέειν τῇ μητρὶ, ὡς ὁ ποιητής.

Παρθενοπίπης, ὁ τὰς παρθένους ὀπιπτεύων, ὅ ἐστιν ἐπιτηρῶν. οἷα γυναιμανής, ὡς προείρηται, ὡς γυναικοπίπης, ὁ τὰς γυναῖκας. πρὸς ὃ παίζων ὁ Κωμικὸς, πυρροπίπην σκώπτει τινὰ, ὡς ὀπιπτεύοντα τοὺς πυρρούς. τινὲς δέ φασι, καὶ ὅτι παρθενοπίπην τὸν Πάριν εἰπὼν, πικρῶς κατηγόρησεν. εἴπερ μὴ μόνον γυναιμανής ἐστιν, ἀλλὰ καὶ μέχρι τῶν κατακλείστων παρθένων τῇ ἀπάτῃ φθάνει. ἕτεροι δὲ παρθενοπίπαν γράφουσιν, ὅ ἐστι παρθένοις ἐοικὼς τὴν ὄψιν. ἐπαφρόδιτος γὰρ ὁ Πάρις.

Παρθένος ἀλέκτωρ, ἡ μὴ πειραθεῖσα λέκτρου. καὶ ἀλέκτωρ δύναται λέγεσθαι ἡ Ἀθηνᾶ.

Παρθενῶνες, τὰ μοναστήρια, τὰ ἀσκητήρια.

Παρθενῶνος, τοῦ τῶν παρθένων χοροῦ.

Πάρθις, ὁ παρθένιος.

Παρθυοῦ, πόλις.

Παρία λίθος, θηλυκῶς ἡ λίθος. Αἰλιανός. καὶ μέντοι καὶ παρίας λίθου ἄγαλμα ἀνακείμενον Διονύσῳ, ποίημα θαυμαστὸν, ἀνείλετο θεοσυλήσας.

Παριαμβίδες. Ἀπολλόδωρος παρὰ τοὺς ἰάμβους αὐτά φησι πεποιῆσθαι, ἃς οἱ κιθαρῳδοὶ ᾄδουσιν.

Παριανὸς, ἐξ ἐπιθέτου πρίαπος.

Παρίασι καὶ παριᾶσι, μετὰ τῆς παρὰ λέγομεν παριᾶσι τὸ ἀπολύουσιν, καὶ ἐῶσι. αἰτιατικῇ συντάσσεται, ἐκ τοῦ παρίημι παρίασι, τὸ πλησίον γίνονται, διὰ τὸ ὁδοιπορεῖν, δοτικῇ. παρίασι, καὶ εἰς τὸ μέσον ἔρχονται. καὶ παρίασι πρὸς τὸ δικαστήριον οἱ ἀντίδικοι.

Παριαύων, παρακοιμώμενος.

Παριδόντες, καταμελήσαντες.

Παριδρύσαντες, παρακαθίσαντες.

Παρίεμαι, παραιτοῦμαι.

Παρίεμαι, ἀντὶ τοῦ ἐφίεμαι, γενικῇ συντάσσεται. Πλάτων, πάνυ ὦ ἄνδρες Ἀθηναῖοι τοῦτο ὑμῶν δέομαι, καὶ παρίεμαι.

Παριεμένους, περιερχομένους.

Παριέναι, συγχωρεῖν, ἀφιέναι.

Παρίεσθαι, τοῦτο δοκεῖ τοῦ παραιτεῖσθαι δύναμιν ἔχειν, τοῦτο ὑμῶν δέομαι καὶ παρίεμαι.

Παρίημι, ἐῶ, καταλιμπάνω.

Παρίεται, παραλύεται, ἐᾶ, παραπέμπεται.

Παρίημι, συγχωρῶ. εἴ τις ἐπελθὼν ὑμῶν εἰς τὴν παρεμβολὴν τολμήσει, παρίημι λέγειν εἰς τὴν πατρίδα.

Παρίημι, καταλιμπάνω.

Πάριθεν ὄμφακες, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ πρὸ ὀφθαλμῶν. οἷα βλεπόμεναι καὶ μὴ εἰς τὸ ἐπιὸν ἔτος ἐλπιζόμεναι, τὸ ἄνθος ἀφιεῖσαι. ἑρμηνευτικόν ἐστι τοῦ ὄμφακες. ὄμφακες γάρ εἰσι κατὰ τοὺς παλαιοὺς, αἱ τὸ ἄνθος καὶ τὴν κύπριν μεταβάλλουσαι εἰς σταφυλάς. ἐπεὶ ἀστεῖον δέ πως σταφυλὴν ἐπεὶ βούλεται εἶναι ὁ Ποιητὴς, ὥσπερ τὸ μὲν αὐτῆς εἰληθέρεται, τὸ δὲ τρυγᾶται, τὸ δὲ πατεῖται. ἄλλως δὲ, ἄνθος ἀφίησι, τὸ δὲ περκάζει, ὅ ἐστι μελαίνεται.

Παρικτὸν, περιερχόμενον.

Παρίλια, ἑορτή.

Παριλλαίνουσα, παρεμβλέπουσα. ἴλλοι γὰρ, οἱ ὀφθαλμοί.

Πάριον, ὄνομα ἀγροῦ.

Παριόντων, περιερχομένων.

Πάριον, πιστὸν, κάτοχον.

Παριππεύει, ἀντὶ τοῦ ἀφίησιν αὐτοὺς, καὶ ἄλλῃ ἀπέρχεται, ἡ ὁδεύει.

Παριππεύσαντες, παραδραμόντες.

Πάριππον, καὶ κόρη, τόπος Ἀθήνησιν οὕτω καλούμενος.

Παρ' ἵππων, παρὰ τῶν ἵππων. ἱστορία. Πάρις, ὁ Ἀλέξανδρος. κατὰ γαστρὸς ἔχουσα ἡ Ἑκάβη, ὄναρ ἐθεάσατο, ὅτι ἔτεκε δαλὸν, ἀφ' οὗ κατεφλέχθη πᾶσα ἡ πόλις. τὸ οὖν τεχθὲν, οὐ γνώμῃ τῶν μάντεων ἐξετέθη, ἀλλὰ γνώμῃ Θεῶν. ὃς ὑπὸ τοῦ Ἀγέλαου τραφεὶς ἐτράφη βουκόλου. ἄρκτον γὰρ αὐτῷ γάλα ἐπιχέουσαν θεασάμενος, ἀνέθρεψεν. ἐκλήθη οὖν Πάρις, οὐχ ὅτι ὥς τινές φασιν ἐν πήρᾳ ἐτράφη, ἀλλ' ὅτι τὸν μόρον παρῆλθεν. ὕστερον δὲ Ἀλέξανδρος, ὅτι τῇ πατρίδι ἠλέξησεν, ὅ ἐστιν ἐβοήθησε, πολέμου ἐπελθόντος.

Πάρις, παρὰ τὸ παριέναι τὸν μόρον, τουτέστιν ἐκφυγεῖν τὸν θάνατον. ἢ παρὰ τὴν πήραν, ὃ σημαίνει τὸ μαρσίπιον ἀπὸ τοῦ ἐν τῇ ποιμαντικῇ πήρᾳ ἀνατραφῆναι.

Πάρισα καὶ ὁμοιοτέλευτα, ἢ ἰσοκατάληκτα, τὸ αὐτό ἐστιν, οἷον στῦλε, τῦλε, ἔγραψεν, ἔτυψεν.

Παρίσθμια, τὰ περὶ τὴν φάρυγγα, διὰ τὸ παρακεῖσθαι τῷ ἰσθμῷ. ἰσθμὸς δέ ἐστι στενὸς τόπος, δι' οὗ ἵενται τὰ ἐσθιόμενα καὶ πινόμενα, ἢ παρὰ τὸ ἰέναι τὴν πνοήν. οὕτως Ἡρωδιανός. λέγονται δὲ καὶ ἀντιάδες, ἀπὸ τοῦ ἀντικεῖσθαι ἀλλήλοις.

Πάρισόν ἐστι, τὸ ἐν τῷ τέλει τῶν λέξεων ὁμοιοτέλευτον, οἷον παρ' Ὁμήρῳ, τὸ θηξάσθω,

Digitized by Google

ξάσθω, θέσθω, μεθέσθω.

Πάρισον σχῆμα γίνεται ἐκ δυοῖν ἢ πλειόνων κώλων, ἴσας ἀλλήλαις τὰς λέξεις ἐχόντων. καὶ τοῦτο δὲ πρῶτος Ὅμηρος ἐποίησεν εἰπὼν, αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι. καὶ πάλιν, μισθὸν μὲν ἀπορρίψαι, φιλότητα δ' ἑλέσθαι.

Παριστάνετε, ποιεῖτε, ἀποδεικνύετε, παρασκευάζετε.

Παρίσταται, ἀντὶ τοῦ ἐπέρχεται. Δημοσθένης, ἀλλὰ παρίσταταί μοι τῶν ἀναγνόντων τόνδε τὸν λόγον.

Παρίσταται δοῦλος δεσπότῃ, καὶ παρίσταταί τις τινὶ, ἀντὶ τοῦ συμμαχεῖ. ἀφ' οὗ παραστάτης. προΐσταται δὲ, ὁ ἔμπροσθεν ἱστάμενος, καὶ βοηθῶν τοῖς ὄπισθεν, ἀφ' οὗ προστάτης. παρίσταται καὶ ἀντὶ τοῦ συμβαίνει, καὶ ἐπέρχεται. ὡς τὸ, παρίσταταί μοι θαρρεῖν τε καὶ δεδιέναι. παρίσταται ἁπλῶς, ἀντὶ τοῦ πλησίον ἵσταται.

Παρίστησί τις, ὃ ἀποδείκνυσι. παρίσταται δέ τινι τόδε, ἀντὶ τοῦ δοκεῖ. καὶ παρίσταται, ὁ πλησίον τινὶ ἱστάμενος. Ἀριστοφάνης, παρίστατον, ἤγουν πλησιάζετε, καὶ ἀντὶ τοῦ συμμαχεῖ. ἀφ' οὗ παραστάτης. καὶ παρίσταμαι, ἀντὶ τοῦ ὡς δοῦλος ἵσταμαι, καὶ ἐπὶ ἀορίστου ὡσαύτως. παρέστη, ἀντὶ τοῦ ἐβόησε, καὶ ἀντὶ τοῦ πλησίον ἔστη. παρεστήσατο δὲ φρούριον, ἀντὶ τοῦ ἐνίκησεν, ἐστρατεύσατο.

Παριστῶ, τὸ εἰς φανερὸν ἄγων ἱστῶ. καθὸ λέγεται καὶ παράγειν, τὸ εἰς φῶς ἄγειν.

Παρισώματα, ὁμοιοειδῆ.

Παρίτω, ἐλθέτω.

Παρκατέλεκτο, παρεκοιμᾶτο.

* Πάρμαι, δερμάτινοι θυρεοὶ παρὰ Καρχηδονίοις.

Παρμέμβλωκε, τρία σημαίνει. ἓν μὲν τὸ μεμέληκε, καὶ φροντίδα ἔχει. καὶ γίνεται ἐκ τοῦ μέλω μελήσω, καὶ συγκοπῇ μέμληκα, καὶ πλεονασμῷ τοῦ β διὰ καλλιφωνίαν, καὶ τροπῇ τοῦ η εἰς ω μέμβλωκα. ἕτερον δὲ παραμεμόληκεν, ἤγουν παρῆλθεν. ὡς εἴ τις εἴποι, ὅτι παρμέμβλωκεν ἡμέρα, ἤγουν παρῴχετο. καὶ γίνεται ἐκ τοῦ μολῶ μολήσω, κατὰ τὸ αὐτὸ κανόνισμα. τρίτον δὲ παραμεμόληκε, τουτέστιν ἐγγύς ἐστι, πάρεστιν. ὡς λέγει Ὅμηρος ἐν δ' τῆς Ἰλιάδος, ἀντιθετικῷ σχήματι. ὡς ὑμεῖς μὲν νόσφι κάθησθε. ἡ δὲ ἀεὶ τῷ Ἀλεξάνδρῳ παρμέμβλωκε, ἤτοι παρακολουθεῖ ἐγγὺς οὖσα, οὐ νόσφι καθημένη.

Παρμέμβλωκε, πάρεστι, προθυμεῖται. ἐκ τοῦ μέλω μεμέληκα καὶ μεμέλωκα, ὡς ὤχηκα, παρῴχωκα. εἶτα συγκοπῇ, καὶ πλεονασμῷ τοῦ β μέμβλωκα.

Παρνάσιοι, ἀντὶ τοῦ μεγάλοι. τὸν γὰρ Παρνασσὸν, ἐπὶ τοῦ μεγάλου ἐτίθεσαν. οἱ δὲ τοὺς ἀπὸ Πάρνηθος τοῦ ὄρους τῆς Ἀττικῆς ἄνθρακας. ὡς παρὰ τῷ Ἀριστοφάνει, ἄνθρακες Παρνάσιοι, ἀντὶ τοῦ μεγάλοι.

Παρνασσὸς, ὠνομάσθη ἀπὸ Παρνασσοῦ τοῦ ἐγχωρίου ἥρωος, Ἑλλάνικος. ἀνδρῶν φησιν δὲ ἐπεὶ προσωρμίσθη, ἡ λάρναξ τοῦ Δευκαλίωνος, καὶ τὸ μὲν πρότερον Λαρνασσὸς ἐκαλεῖτο, ὕστερον δὲ κατὰ φθορὰν τοῦ στοιχείου, Παρνασσός.

Πάρνης, ὄρος τῆς Ἀττικῆς, τοῦτο καὶ ἀρσενικῶς λέγεται. καὶ παρνήθιον, ὄρος.

Παρνησὸς, πόλις.

Πάρνοπες, εἶδος ἀκρίδων, οἱ δὲ κωνώπων. εὕρηται δὲ παρὰ τῷ Ἀριστοφάνει.

Πάρνοψ, ἀκρίδος εἶδος. οἱ δὲ μελίσσας ἀγρίας, καὶ κλίνεται πάρνοπος. οἱ δὲ, κώνωπας. Ἀριστοφάνης.

Παρὸ, ὥσπερ λέγεται παρὰ τὸ δίκαιον πράττεις, ἀντὶ τοῦ ἔξω τῆς ἀληθείας καὶ τοῦ δικαίου. κατὰ τοῦτο τὸ σημαινόμενον, λέγεται τὸ παρό. οἷον σπείρει μὲν ὁ λαγωὸς κατὰ φύσιν. ἀποκυΐσκει δὲ ὁ αὐτὸς, παρὸ πέφυκεν, ἤγουν ἔξω οὗ πέφυκε.

Παροδεία, ἡ παρέλευσις.

Παροδεύω, τὸ παρατρέχω. οἷον παροδεύει τὴν πόλιν, ἀντὶ τοῦ ἐάσας τὴν πόλιν παρέρχεται.

Παροδικὸς, ὁ παρόδῳ χρώμενος.

Πάροδος, εἴσοδος, ἢ ἄφιξις, καὶ μέρος τι τῆς νεώς.

Παροδούμενον, παροιμιαζόμενον, ᾀδόμενον.

Παρόδους, διαβάσεις.

Πάροιθεν, ἔξωθεν, ἔμπροσθεν, ἐπὶ τόπου καὶ χρόνου.

Παροικία ἐστὶ, βίος πρόσκαιρος. οὐχ ἱδρυμένη ζωὴ, ἀλλὰ παροδικὴ, ἐπ' ἐλπίδι τῆς ἐπὶ τὰ κρείττονα μεταστάσεως ὑποφέρουσα. καὶ παροικία, ἡ παροῦσα ζωή.

Πάροικοι, ξένοι, παρεπίδημοι.

Παροιμία ἐστὶ, λόγος ὠφέλιμος. καταχρηστικῶς δὲ πᾶν παρῳδικὸν διήγημα. οἶμος γὰρ ἡ ὁδὸς, ἢ παροιμία ἐστὶ, λόγος ἀπόκρυφος δι' ἑτέρου προδήλου σημαινόμενος. καὶ παροιμία, βοῦς ἐπὶ γλώσσης, ὅ ἐστι νόμισμα. ἁρμόζει δὲ ἡ παροιμία αὕτη, ἐπὶ τῶν Ῥητόρων τῶν λαμβανόντων νομίσματα, ὑπὲρ τοῦ μὴ κατασυνηγορῆσαί τινι, ἀλλὰ σιωπῆσαι.

Παρ' οἶμον, παρὰ τὴν ὁδόν. καὶ πάροιμος, ὁ γείτων.

Παροιμώσαντες, ἐκτραπέντες τῆς ὁδοῦ.

Παροινίας, ὕβρεις.

Παροινικώτατος. καὶ γὰρ ἦν τῶν ξυνόντων πολὺ παροινικώτατος, καίτοι παρῆν Ἱππόλυτος, Ἀντιφῶν, Λύκων, Λυσίστρατος, Θεόφραστος, οἱ περὶ Φρύνιχον. τούτων ἁπάντων ἦν ὑβριστότατος καὶ μακροπαροίνιος. εὐθὺς γὰρ ὡς ἐνέπλητο πολλῶν ἀγαθῶν, ἐνήλατ' ἐσκίρτα ἀπεπόρδει, κατεγέλα.

Πάροινος, μέθυσος, ἁμαρτωλὸς, μεθυστὴς, ὑβριστὴς, λοίδορος, ἔκλυτος.

Παροίξας, διανοίξας. Ἀριστοφάνης. τί δὴ παροίξας τῆς θύρας.

Πάροιος, πρᾷος.

Παροῖραι, ἡγούμεναι, πρότεραι.

Παροισθέντι, παρενεχθέντι.

Παροίσομεν, παρενέγκομεν, παρακομίσομεν.

Παροιστρήσαντες, ἁμαρτήσαντες.

Παροιστρῶσι, μαίνονται.

Παροιστρῶσα, ἐξεστηκυῖα, ἐρεθίζουσα. καὶ παροιστρῶσι, παρακαθίσωσι, θυμῷ. παροιστρῶσα δὲ, οἴστρῳ μαινομένη.

Παροίτατος, ἀντὶ τοῦ πρότερος. ἐσχημάτισται δὲ ἀπὸ τοῦ πάρος. καὶ Ὅμηρος, ἄλλοι με δοκέουσι παροίτερον ἔμμεναι ἵππον.

Παροιτέρη, ἀντὶ τοῦ ἔμπροσθεν. κεῖται παρὰ τῷ Ἀπολλωνίῳ. ὄνομα, ἀντὶ ἐπιρρήματος.

Παροίτεροι, ἀντὶ τοῦ τοπικοῦ, πρότεροι κατὰ τὸν δρόμον. καὶ παροίτερος, παλαιότερος, ἀρχαιότερος.

Παροκλάζων, γονατίζων.

Παρολίγον, τῷ βίῳ ἐκινδύνευε, σύνταξις.

Παρολκὴ, ὑπέρθεσις, διατριβὴ, βραδύτης.

Παρομαρτεῖ, παρακολουθεῖ.

Παρὸν, καὶ ἐνὸν, καὶ ὅσα ἄλλα οὐδέτερα μετοχικὰ, οὐδέποτε πλαγιάζονται κατὰ γενικὴν, κατὰ τοὺς Ἀττικοὺς, εἰ καὶ πλαγιασμὸν ἡ σύνταξις ἀπαιτεῖ. οἷον οὐκ ἐρεῖς δέοντος γενέσθαι τόδε, ἐγένετο τοὐναντίον. ἀλλὰ δέον ὂν, ἢ δέον χωρὶς τοῦ ὂν, ὡς καὶ Λιβάνιος. καὶ δέον τὴν Εὐθυκράτους ζηλῶσαι προαίρεσιν, ἐμισοῦμεν. καὶ δέον πρὸς τῷ Πειραιεῖ ποιήσασθαι τὴν συμβολὴν τοῦ πολέμου, ἐπεστραύμεσ. ὁμοίως καὶ τὸ δεῖσαν, καὶ τὸ οὐδ' ὁτιοῦν συμβαῖνον δυσχερές. καὶ παρ' Ἀριστοφάνει, ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου. ἀντὶ τοῦ λαχόντος τοῦ γράμματός σου.

Παρὸν, ἐξὸν, δυνατὸν, δέον.

Παρ' ὄντιν' οὖν, παρὰ πάντα.

Παρόντα, προκείμενα.

Παροξυνταὶ, οἱ τρεφόμενοι ὑπὸ τῶν ἑταιρῶν, ὡς ἂν δὴ ἐρασταί.

* Παροξυσμὸς ἐστὶ κίνημα νοσήματος μερικὸν, ἐπὶ τὸ χεῖρον ἀπὸ ἀνέσεως.

Παροξύνω, τὸ διεγείρω καὶ ἐκπολεμῶ ἕτερον κατά τινος, οἷον παρώξυναν οἱ Ὀλύνθιοι Ἀθηναίους κατὰ Φιλίππου. καὶ Δημοσθένης, φημὶ δεῖν θελῆσαι καὶ παροξυνθῆναι, καὶ τῷ πολέμῳ προσέχειν.

Παροπαιδία, εἶδός τι πήρας.

Παροπαίδιον, ἡ μικρὰ μάχαιρα.

Παροπᾶσθαι, εἰκότως ἐδόκουν οἱ Καρχηδόνιοι παροπᾶσθαι, τὴν τῶν ὅπλων παράδοσιν ὑποπτεῦσαι, ὑφορᾶσθαι.

Παρόρειον, τὸ πλησίον τοῦ ὄρους.

Παρορμᾷ, διεγείρει, παροξύνει, προτρέπεται.

Παρ' ὅρμον, παρὰ τὸν λιμένα.

Παρορῶ, περιορῶ, καὶ ὑπερορῶ, τὸ αὐτό. πλὴν τὸ μὲν παρορῶ, αἰτιατικῇ συντάσσεται, καὶ περιορῶ ὁμοίως αἰτιατικῇ συντάσσεται. Λιβάνιος, συμβουλεύω τοῖς ἐμαυτοῦ πολίταις, μὴ ταῦτα περιορᾶν, ἀλλὰ ἀνακτῆσαι, καὶ κωλῦσαι.

Πάρος χρονικῶς, καὶ τοπικῶς, ἀντὶ τοῦ ἔμπροσθεν.

Παρ' ὅσον, ἀντὶ τοῦ ἐπιπολύ.

Παρ' ὃ, τὸ, ὅσον δήποτε μικρόν. καὶ ὁ Ἀπόστολος, παρ' ὃ εὐηγγελισάμην ὑμῖν, ἀνάθεμα ἔστω.

Παροτρύνει, διεγείρει.

Παρ' οὐδὲν εὔκολον, εἰς οὐδὲν πλέον.

Παρ' οὐδὲν θέμενος τοῦτο, ἀντὶ τοῦ καταφρονήσας, παραλογισάμενος, τὰς σπονδὰς παύσας, καὶ τοὺς ὅρκους παρ' οὐδὲν θέμενος.

Παρουσία, ἀντὶ τοῦ περιουσία, ἡ αἰτία πλούτου οὐσία. Διογένης ἐν τῷ περὶ τῆς συντάξεως, καὶ Δείναρχος ἐν τῷ ὑπὲρ τῆς νεώς. θηρίοις ἔχοντες ἀπαθῆ βίον παρουσίαν τε χρημάτων.

Παρ' ὄχθας, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ κατ' ὄχθας. οἱ δὲ μεθ' Ὅμηρον, παρ' ὄχθαις φασί.

Παροχετεύει, παραπλαγιάζει. ἢ ἀπὸ ἑτέρου ὕδρηγοῦ εἰς ἕτερον ἐπιβάλλει ἢ μεταφέρει τὸ ὕδωρ. καὶ παροχετεύοντες, μεταφέροντες.

Παροχλίζουσι, μετακινοῦσι.

Πάροχος, ὁ ἀναβαίνων εἰς τὸ ἅρμα, τὸ ζεῦγος. πάροχοι λέγονται, καὶ αἱ παράνυμφοι, παρὰ τὸ παροχεῖσθαι τοῖς νυμφίοις. ἐπ' ὀχήματος γὰρ τὰς νύμφας ἦγον.

Παροχῶν, δωρημάτων, χαρισμάτων.

Παροψὶς, τὸ τρυβλίον λέγεται. παρὰ μέν τοι τῷ Πλάτωνι, ποικίλον ὄψον ἡ παροψὶς, ὥστε καὶ σκεῦος ἡ παροψὶς, καὶ ποιὸν ὄψον. ἐκεῖθεν δὲ καὶ ῥῆμα ὀψᾶσθαι, ὡς βᾶσθαι. καὶ εὐοψία, ἡ τῶν ὄψων εὐπορία. καὶ ἀνάπαλιν ἀνοψία, κατὰ τὸ δεινῶς πάνυ τὴν ἀνοψίαν φέροντες. φαύλη δὲ συνήθεσις ὄψου, οὐ μόνον τὸ ἀσυμμέτρως ὀψωνεῖν, κατὰ τὸν κωμῳδούμενον ὀψωνεῖν τὰς νηρείδας, διὰ τὸ πολυτελὲς τῆς τῶν ἰχθύων ἐξωνήσεως, ἀλλὰ καὶ τὸ ὀψοφαγεῖν, ὅπερ ἐστὶ παρὰ τὸ δέον ὄψοις χρῆσθαι. οὗ ἕνεκεν ἤρεσεν ὀψονόμους Ἀθήνησιν αἱρεῖσθαι ὑπὸ τῆς βουλῆς δύο ἢ τρεῖς. δῆλον δὲ, ὅτι τοῦ ὀψοφάγου ἐπίτασις ὁ ὀψοφαγίστατος, οἷον ὀψοφαγίστατος καὶ βλακίστατος, ἃ δὴ λέγεται κεῖσθαι παρὰ Σοφοκλεῖ.

Παροψὶς, ἐμβάφιον, ὀξυβάφιον.

Παροψωνοῦσι, λάθρα ὀψωνοῦσι.

Πάρπαγος, ὁ ἄνω τῆς θύρας μάνδαλος.

Πάρπαρος, ἐν ᾧ ἀγὼν ἤγετο, καὶ χοροὶ ἵσταντο.

Παρπεπιθόντες, παραπείσαντες, παραλογισάμενοι.

Παρπυλεῶνα, παρὰ τὸν πυλεῶνα.

Παρπυμάτην, παρὰ τὴν ἐσχάτην.

Παρρασία πόλις, ἀπὸ Παρρασοῦ ἑνὸς τῶν Λυκάονος παίδων. Νικάνωρ δέ τις φησὶν, ὡς ὁ τὰ ἐθνικὰ γράψας λέγει, παρβασίαν αὐτὴν κεκλῆσθαι, διὰ τὴν τοῦ Λυκάονος εἰς τὸν Δία παρανομίαν, καὶ κατ' ἐναλλαγὴν τοῦ β παρρασίαν.

Παρράσιον λαὸν, τὸν ἀρκαδικόν. ἀπὸ μιᾶς Ἀρκαδικῆς πόλεως, καλουμένης παρρασίας.

Παρρήκης, πάντα πράττων ἐπὶ κακῷ.

Παρρησία, ἐξουσία, ἄδεια.

Παρρησίας, ἀντὶ τοῦ βλασφημίας, καὶ λοιδορίας. Ἰσοκράτης βουσίριδι.

Παρρησιάζομαι, ἐλευθεροστομῶ. παρρησία δὲ λέγεται κυρίως, ἡ εἰς τὸ μέσον τῆς ἐκκλησίας οὑτινοσοῦν ἐπὶ δημηγορίαν πάροδος. ἀπὸ τῆς παρὰ προθέσεως τῆς δηλούσης τὴν εἰς τὸ μέσον ἄφιξιν, καὶ τοῦ ῥῶ ῥήσω ἄχρηστον, τὸ λέγω. καὶ μάρτυς Εὐριπίδης ταύτῃ τῇ παρὰ χρώμενος λέγων. κἂν παριστὰς εἶπον ἐν μέσοις τάδε, ἀντὶ τοῦ εἰς τὸ μέσον ἐλθών. ἔστι γοῦν παραρρησία, καὶ κατὰ συγκοπὴν παρρησία, ὅθεν διὰ δύο ρρ γράφεται. ἐκ τούτου δὲ καταχρηστικῶς ἐρρέθη παρρησία, καὶ τὸ θάρρος, καὶ ἡ ἐξουσία.

Παρσέδαι, ἄμπελοι.

Πάρταζον, ὕγρανον. Λάκωνες.

Digitized by Google

Παραίνεσαι, παραινεῖται.

Πάρτοι, πάρεισι σοι.

Παρωμὶς, μικρὸν τῷ μήκει βιβλίδιον.

Παρύσατις, εἶδος παροιμίας, καὶ ὄνομα κύριον, ἡ μήτηρ τοῦ Κύρου.

Παρυστρίδες, αἱ τὸ ἔλαιον ἔχουσαι.

Παρυφὴ, ἡ ἐν ἐσθῆτι ἐργασία.

Παρυφὴ, κατὰ τὸν Ἀθηναῖόν ἐστι κόσμου εἶδος ἐν ἱματίῳ, οὐκ ἀδιάρθρωτος πάνυ σαφῶς. ἔοικε δὲ εἶναί τι κάλλος συνυφασμένον περί τινα μέρη, οὐ μὴν κατὰ διηνεκὲς ποίκιλμα, ὁποία ἡ τῆς Ἑλένης δίπλαξ. χρῆσις δὲ ἐν τῷ ἐφόρουν παρυφὴν διαφανῆ πάντες, αἷς ναοῦ ὁ τῶν γυναικῶν ἁβρύνεται βίος. φανερὸν ὅτι ἐκ τῆς παρυφῆς, ἡ πάρυφος στολή.

Παρφάμεν, παραβῆναι ἅπαντα.

Παρφάμενος, οὐχ οὕτω παρ' Ὁμήρῳ, ἀντὶ τοῦ παραινέσας, ἢ παραπείσας, ὡς ἀντὶ τοῦ παραλογισάμενος.

Παρφάμενος, ἀντὶ τοῦ παραπείσας. ἐξ οὗ καὶ ἡ παραίφασις γίνεται. δηλοῖ δὲ ἡ λέξις οὐ τὴν ἁπλῶς πειθὼ ἐκ παραινέσεως, ἀλλὰ τὸ παράγειν λόγοις, ὅ ἐστι παραλογίζεσθαι.

Πάρφασις, παραίνεσις, συμβουλία, παρηγορία, ἢ ἀπάτη.

Παρφυσίδες, βάτραχοι.

Παρῶ, ἀφῶ, παραλείπω, σιωπῶ, συγχωρῶ.

Παρωαί. παρωαὶ λέγονται, ἵπποι τινὲς, τὸ χρῶμα πυῤῥοί.

Παρῳδούμενος, λεγόμενος. καὶ παρῳδία.

Παρῳδοῦντες, παρατραγῳδοῦντες, χλευάζοντες, ἢ λέγοντες, ἢ ἐκβάλλοντες.

Παρωθοῦντες, ἐκβάλλοντες.

Παρῴκισμαι, Ἀττικοί, οὐ παρῳκίσθην.

Παρώκλασεν, ἐγονάτισεν.

Παρώλισθεν, ὠλίσθησεν, ἐξέπεσε.

Παρώλοφα, τὰ ἀπὸ τῶν τενόντων μέρη.

Παρώμοιμα, παρωνυμίασμα.

Παρὼν ἀποδημεῖ, ἐπὶ τῶν αἴσθησιν ἑαυτοῖς μηδεμίαν παρεχόντων. Ἀριστοφάνης. ὁ νοῦς δέ σου παρὼν ἀποδημεῖ.

Παρῶνα, εἴδη πλοίων. ὁ δὲ ἔπλει παράπλους ποιησάμενος, τὰς Σιδητῶν παρῶνας, ἦκον γὰρ Ῥοδίοις εἰς συμμαχίαν.

Παρώνεια, τόπος.

Παρώνησεν, ἀσελγῶς ἐξύβρισε.

Παρονομασία, σχῆμά ἐστιν, ὅταν παρὰ τὸ προκείμενον ἕτερον ὄνομα ἐμφερὲς τεθῇ ἀληθὺς, κατὰ τὸ σύμμετρον διάστημα, οἷόν ἐστιν, οὐδὲ γὰρ οὐδὲ Δρύαντος παῖς κρατερὸς Λυκοῦργος. καὶ ἐν ἄλλῳ, τῶν ἥρωι πρόθοος θοὸς ἡγεμόνευε.

Παρονομασία ἐστὶν, ὅταν τῶν ληφθέντων εἰς διάνοιαν ὀνομάτων ἢ ῥημάτων, βραχὺ μεταποιήσαντες, ἑτέραν κινήσωμεν ἔννοιαν. οἷον οὐ τὴν ὑλακὴν, ἀλλὰ τὴν φυλακήν. καὶ τῆς ἐμῆς εἴτε ἀνοίας, εἴτε μωρίας, ὃ καὶ παρήχησις ὀνομάζεται.

Παρώνυμον, ἐκ τοῦ συμβεβηκότος λεγόμενον.

Παρώνυμον, τὸ ἀπό τινος ἔχον τὴν προσηγορίαν. ὡς ἐκ τῆς δικαιοσύνης, δίκαιος.

Παρωνυχία, ἐστὶν ἀπόστημα παρὰ τὴν ῥίζαν τοῦ ὄνυχος συνιστάμενον.

Παρωνυχία, πόα. ὠνόμασται δὲ, ἐκ τοῦ τὴν παρωνυχίδα ἰᾶσθαι. δύναμις δὲ αὐτῇ λεπτομερής τε καὶ ξηραντική, καὶ ἄδηκτος.

Πάρωος, εἶδός τι πυῤῥοῦ χρώματος ἵππου.

Παρώπαλα, τὰ περὶ τοῖς ὀφθαλμοῖς, ὡς ἐν τῷ περὶ ἱπποτροφίας.

Παρώπανος, ἐμβρόντητος.

Παρώπια, καὶ ἀντήλια, τὰ παρὰ τὰς ὄψεις τῶν ἵππων δερμάτια.

Παρώπτο, παρεώρατο.

Πάρωρον, παρὰ καιρόν.

Παρωσάμενος, ἀπωθήσας, ἢ ἀποδιώξας.

Παρώσας, παρεκβαλών.

Παρώζυναν, παρώξυναν.

Παρῴχετο, παρήρχετο.

Παρῳχήκει, παρῆλθε.

Παρῳχηκότων, παρεληλυθότων.

Παροχετεύων, ὅταν ἀπὸ τούτου τοῦ μέρους στρέφῃ τὸ ὕδωρ εἰς ἄλλον ὑδραγωγόν.

Παρώχωκα, ἐκ τοῦ παρώχηκα, τροπῇ τοῦ η εἰς ω.

Πᾶς, καθόλου τι δηλοῖ, καὶ διωρισμένον ποσόν. τὸ δὲ ὅλον ἐπὶ συνεχοῦς τινος ἑνότητος τίθεται. λαμβάνεται μέντοι καὶ αὐτό ποτε, ἀντὶ τοῦ πᾶς. ὡς, ὅτε τις εἴπῃ ὅλον τὸ πλῆθος, καὶ ὅλος ὁ στρατός. τὸ δὲ αὐτὸ ποιεῖ Ὅμηρος, καὶ ἐν τῷ πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι, καὶ πᾶν ἐξηράνθη πεδίον, καὶ ἐγκέφαλος ἔνδον ἅπας πεπάλακτο, καὶ ἔγχος ἐν χειρὶ πᾶν κομίσαιο, καὶ ἐν ἄλλοις πολλοῖς, ἐν οἷς καὶ τὸ πᾶσαι δ' ᾠίγνυντο πύλαι.

Πᾶσα ἡ τοῦ Θεοῦ κτίσις, διαιρεῖται εἰς ἕξ, εἰς ἀόρατα λογικὰ, εἰς σώματα λογικὰ, εἰς σώματα ἄλογα, εἰς αὐξητικὰ καὶ γεννητικὰ, εἰς ἐκπορευτικὰ καὶ κινητικὰ, καὶ εἰς ἀναίσθητα καὶ ἀκίνητα.

Πᾶσα γῆ πατρὶς, παροιμιακόν.

Πᾶσαι. ἐπὶ μὲν τοῦ ἡμῖν συνήθους. φῦσαι δ' ἐν χοάνοις ἐείκοσι πᾶσαι ἐφύσων. ἐπὶ δὲ τοῦ ὅλου, πᾶσαι δ' ᾠίγνυντο πύλαι. οὐ γὰρ πολλαὶ ὑπέκειντο πύλαι κατὰ τὸν Ἀρίσταρχον. καὶ πᾶσαι γὰρ ἐπώχατο, ἀντὶ τοῦ κεκλεισμέναι ἦσαν.

Πάσακα, ἀντὶ τοῦ πάσσαλον λέγουσι Δωριεῖς.

Πασάμενοι, γευσάμενοι. καὶ πάσασθαι, γεύσασθαι. καὶ ἄπαστος, ὁ ἄγευστος.

Πασάμην, ἐδεξάμην.

Πάσασθαι. βραχέως μὲν ὄντος τοῦ α, τὸ γεύσασθαι σημαίνει. ἐν ἐκτάσει δὲ ὄντος, τὸ κτήσασθαι.

Πάσασθαι, τὸ γεύσασθαι. ἀφ' οὗ καὶ ἄπαστος ἐδητύος, ὁ ἄγευστος, ὧν προϋπάρχει τὸ πῶ τὸ κτῶμαι. ὅθεν καὶ τὸ πάϋ, καὶ πηὸς, ὁ ἐξ ἀγχιστείας ἐπίκτητος συγγενής. καὶ πολυπάμων, ὁ πολυθρέμμων, εἶναι πολύκτητος, ταυτὸν δὲ φάναι πολυκτήμων.

Πάσασθαι, γεύσασθαι, παρὰ τὸ πατῶ, ὃ σημαίνει τὸ ἐσθίω.

Πάσασθαι, τοῦ πάσσειν διαφέρει. τοῦτο μὲν ἀντὶ τοῦ γεύσασθαι. ὅθεν καὶ ἄπαστος, ὁ ἄγευστος. πάσσειν δὲ, τὸ, τε ποικίλλειν. ὅθεν καὶ ὁ παστάς. καὶ τὸ τιθέναι ἅλας πρὸς ταριχείαν. ἀφ' οὗ καὶ τὰ παστὰ, καὶ ἐπίπαστα.

Πάσῃ μηχανῇ, ἀντὶ τοῦ κατὰ παντὸς τρόπου.

Πάσῃ τέχνῃ, ἐκ παντὸς τρόπου.

Πασιδίκειν, περὶ πάντων δέ.

Πασιθέη, ὄνομα νηρηΐδος. λέγεται, ἢ ἀπὸ τοῦ παρὰ πάντων θαυμαζομένη, ἢ εἰς ἣν πάντες θέουσι.

Πασιμέλουσα Ἀργὼ λέγεται, διά τε τὸ πολυΐστόρητος εἶναι, καὶ διὰ τὸ πᾶσι τοῖς ἐξ Ἑλλάδος διὰ μελήσεως τεθῆναι, οἷα τοὺς Ἀργοναύτας ἐκεῖθεν φέρουσα.

Πᾶσις, κτῆσις.

Πάσχος, πηλός.

Πάσμα, ᾧ συνήρτηται πρὸς τὸ τοῦ φυτοῦ φύλλον. ἔνιοι, μᾶλλον ἐρίου.

Πάσον, πάθος. Λάκωνες.

Πασπαλέτης, ὁ κεγχραλέτης, παρὰ τῷ Ἱπποκράτει. πασπάλη γὰρ ὁ κέγχρος.

Πασπάλη, ἡ ἀλευρόπαστις, τὸ λεπτὸν τοῦ ἀλεύρου. πασπάλη δὲ παρὰ πολλοῖς λέγεται.

Πασπάριος, ὁ Ἀπόλλων παρὰ Παρίοις καὶ Περγαμηνοῖς.

Παστάγην, πανοπλίαν. εἷλε δὲ παστάγην, τόδε δ' ἔννεπε.

Παστακίζουσα, πασσαλεύουσα.

Πάσσακον, πάσσαλον.

Πασσαλίσκῳ, τῇ μικρᾷ πασσάλῃ, ὑποκοριστικῶς παρὰ τῷ Ἱπποκράτει.

Πάσσαλερ, σφῆκας.

Πασσάλιον, τοῦ ζυγοῦ τῆς κιθάρας τὸ μέσον.

Πάσσαλος, ὑποκοριστικῶς. πάσσαξ λέγεται παρὰ τοῖς κωμικοῖς.

Πάσσαλος, παρὰ τὸν πήσσω μέλλοντα. ἔστι δὲ ξύλον ἐπίμηκες πρὸς τὸ κρεμᾶσθαι.

Πάσσαλος. ἧλος κρατῶν, τὰ κέντρα τῶν ἐχθρῶν βλέπε.

Πασσάριος, σταυρός.

Πάσσεν, ἐπὶ μὲν τοῦ ἡμῖν νοουμένου. πάσσε δ' ἁλὸς θείοιο. ἐπὶ δὲ τοῦ ἐποίκιλλε, πολέας δ' ἐνέπασσεν ἀέθλους. ἔνθεν καὶ παστὸς, τὸ γαμικὸν ποίκιλμα.

Πάσσεται, ἐσθίει.

Πάσσειν φάρμακα παρ' Ὁμήρῳ, δηλοῖ οὐκ ἀλείμματα. πάσματα δὲ, ἀπὸ ῥιζῶν, ἢ ὅλως φυτῶν τρίψεως.

Πάσσονα, τὴν παχυτέραν ἀπὸ τοῦ πήσσω, ἢ πλατυτέραν καὶ πάσσους εἶναι.

Πάσσοντος, εἰς ἀέρα χέοντος, ἢ σκορπίζοντος, ἢ ῥίπτοντος.

Πασσυδεὶ, παντελῶς. καὶ πασσυδίῃ, μετὰ πάσης ὁρμῆς, πανστρατιᾷ, ὁμοθυμαδόν.

Πασσυδίῃ, ἀπὸ τοῦ πᾶν καὶ τοῦ σεύομαι. τρέπεται δὲ τὸ ν εἰς σ, ὡς ἐν τῷ σύσσυτος.

Πασσύριον, ἀντὶ τοῦ πασσυδίην, Αἰολεῖς. τὸ πασσύριον ἡμῶν ἁπάντων γένος.

Πασσύρως, ἄρδην.

Πάσσω, τὸ γεύομαι, γενικῇ.

Πάσσον, ὄνομα συγκριτικόν. γίνεται ἀπὸ τοῦ παχὺς παχίων, πάσσον πάσσονος, ὁ παχύτερος. πάσος δὲ πάσου, οἶνός τις ἐν τοῖς τοῦ Ἀθηναίου.

Παστὰ, βρῶμα ἐκ τυροῦ ἀνάλου μετὰ σεμιδάλεως καὶ σησαμίου σκευαζόμενον. οἱ δὲ, ἔτνος ἀλφίτοις μεμιγμένον.

Παστάδαι, παστοὶ, στοαὶ, καὶ τῶν ἀμπέλων αἱ συστάδαι, καὶ τόποι ἔνθα ἐδαίτυον, ἀπὸ τοῦ πάσσασθαι. ἴσως δὲ καὶ οἱ διαγεγραμμένοι οἶκοι. πάσαι γὰρ τὸ ποικίλαι, καὶ ἔτνος ὅμοιον.

Παστὰς, πάσσαλος.

Παστὰς, ἡ παστὸς, ὁ νυμφών.

Παστὰς καὶ θάλαμος, κυρίως ἐπὶ νυμφικῶν οἴκων. καταχρηστικῶς δὲ, καὶ ἐπὶ οἴκων ἁπλῶς εἰς ὑποδοχὴν ηὐτρεπισμένων. τὸ δὲ κοινῶς κελλίον, δωμάτιον Ἀττικῶς λέγεται.

Παστὰς γαμικὴ, ἐκ τοῦ πάσσειν. αὐτὸ δὲ γίνεται παραγώγως ἐκ τοῦ πῶ τὸ κτῶμαι. ἐκ δὲ τοῦ τοιούτου πάσσειν, καὶ ὁ τοῖς ἄνθεσι καταπαστος νικητής. ἔοικε δὲ ἡ λέξις καθ' ὁμοιότητα εἰρῆσθαι τοῦ ἑτέρου πάσσειν. οἷον πάσσε δ' ἁλὸς θείου. ἀφ' οὗ καὶ τὸ ἁλίπαστον.

Πασίλη, ἡ ἐσχάτη ἡμέρα τοῦ ἐνιαυτοῦ. πασίλη δὲ, τὸ ξύσμα τοῦ δέρματος.

Παστήρια, σπλάγχνα, τὰ ἐντοσθίδια, κοιλία.

Παστὸς, παρὰ τὸ πάσσειν τὸ ποικίλλειν. ἢ διὰ τὸ ἐν αὐτῷ ἡμᾶς σιτεῖσθαι, παρὰ τὸ πάσασθαι, ὅ ἐστι φαγεῖν, ἢ γεύσασθαι.

Παστὸς, ἡ ἐκ παραπετασμάτων ποικίλων κατεσκευασμένη σκηνὴ, ἥτις ἐστὶ πεποικιλμένη, καὶ νυμφικὸς οἶκος, παρὰ τὸ πάσσειν. ἐξ οὗ καὶ τὸ, πολέας δ' ἐνέπασσεν ἀέθλους, ἀντὶ τοῦ ἐνεποίκιλλεν.

Παστοφόριον, τὸ τὸν παστὸν φέρον, ἢ οἰκονομία, ἢ συναγωγὴ, ἢ ναὸς διανθής.

Πάσχα, διάβασις ἑρμηνεύεται. πάσχα, καὶ ἡ πρὸς τὸν ἀνθρώπινον τοῦ νοῦ λόγον διάβασις.

Πασχαλκὰς, πολύτεχνος.

Πάσχειν, πράττειν, θεωρεῖν διαφέρει. πάσχειν τὸ ἐν ἑαυτῷ καὶ οὐκ ἐν ἑτέρῳ ἔχειν τὴν αἰτίαν τοῦ πάσχειν. πράττειν δὲ, ἐφ' ὧν οὐ διαμένει τὸ τέλος, ἤγουν τὸ ἀποτέλεσμα, ὡς ἐπὶ τῆς αὐλητικῆς καὶ ὀρχηστικῆς. τὸ δὲ θεωρεῖν, ἐπὶ τοῦ ἀστρονομεῖν, γεωμετρεῖν, νοεῖν, καὶ τῶν τοιούτων λέγεται.

Πάσχειν, ὅτι ἡ ἀλλοίωσις καὶ ὅλως τὸ πάσχειν διττόν. τὸ μὲν ἐπὶ φθορὰν ἄγον, τὸ δὲ εἰς τελείωσιν. πάσχει γὰρ καὶ ὁ μαθητὴς ὑπὸ τοῦ διδασκάλου.

Πασχητιᾷ, πάσχειν ἐθέλει.

Πασχητιᾷν, ἐπὶ κιναίδου λέγεται, ὅταν τι αἰσχρὸν πάσχει.

Πάσχω ἐνεστὼς, ἔπασχον παρατατικὸς, πείσομαι μέλλων, ἔπαθον ἀόριστος δεύτερος, πέπονθα παρακείμενος.

Παταγημα, ἀντὶ τοῦ λάλος. καὶ πανοῦργος.

Πάταγος, κυρίως ἐπὶ ἀνέμου καὶ βροντῆς. ἦχος ἐπὶ μέλους καὶ βροντῆς. πάταγος λέγεται, ὁ κτύπος ἐκ τοῦ παταγεῖν.

Παταγοῦσιν, ἦχον ποιοῦσιν, ὥς ἐστιν ἡ βροντὴ, ὅθεν πάταγος.

Παπάζω, τὸ πλήττω. Ἀριστοφάνης, τὴν καρδίαν ἐπάταξε.

Παταικίων, ὄνομα, κλέπτης, καὶ τοιχωρύχος.

Digitized by Google

Πάταικοι, θεοὶ Φοίνικες, οὓς ἱστᾶσι κατὰ τὰς πρύμνας τῶν νεῶν.

Πάτανα, τρυβλία.

Πατάνια, τὰ ἐκπέταλα λοπάδια, καὶ τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια, ἃ παιδάχαια καλοῦσι. τινὲς δὲ διὰ τοῦ β βατάνια λέγουσι.

Παπαιτοῦ, πάλαι ποτέ.

Πάταρις, πόλις, καὶ ὄρος Λυκίας.

Πατάσσει, πλήττει: ὁ δὲ λαβὼν τὸ ξίφος, πατάσσει τὰ στέρνα.

Πατάσσει, πλήσσει, κρούει, τρέμει, πηδᾷ, φοβεῖται, ἄλλεται, ἢ πατάξαι.

Πατάσσειν ἐν στήθεσι θυμόν, ὅ ἐστι τὸ κατὰ τὴν καρδίαν. ὀνοματοπεποίηται, κατὰ μίμησιν ἤχου. ἀφ' οὗ καὶ τὸ πατεῖν, καὶ ὁ περίπατος ἡ ὁδός, καὶ πάταγος. δηλοῖ δὲ ἡ λέξις τὸ ποιὸν ἦχον τὴν καρδίαν ἀποτελεῖν, ἐν τῷ κραδαίνεσθαι, ἀφ' οὗ παράγεσθαι αὐτὸ δοκεῖ.

Πατάξω, ἐκ τοῦ πτῶ τὸ φοβοῦμαι, ὁ μέλλων πτήσω, συστολῇ τοῦ η πατήσω, καὶ πλεονασμῷ τοῦ α πατάσσω, μεταγομένου τοῦ μέλλοντος εἰς ἐνεστῶτα, ἢ παρὰ τὸ πατῶ πατάσσω.

Πάταχνον, σκεῦος λοπαδίῳ ἐμφερές.

Πατεῖν, πορεύεσθαι.

Πατέοντο, ἐγένοντο.

Πατοῦσι, καταπατοῦσι, καταφρονοῦσι.

Πατέρα, ἢ πάτρα, ὡς πατέρι πατρί. ἔστι γὰρ πάτρα ἡ πατρίς, ὥσπερ μητέρα μήτρα, ὡς μητέρι μητρί. ἔστι γὰρ μήτρα ἡ νηδύς. τὴν μέντοι θυγατέρα θύγατρα λέγομεν, ὡς θυγατέρι θυγατρί. τὸ γὰρ κωλῦον οὐκ ἔστι.

Πατέρες, πλούσιοι, ἢ πρόγονοι.

Πατερίζει, πατέρα καλεῖ. Ἀριστοφάνης.

Πατητικόν, θηρατικόν.

Πατητόν, πεπατημένον, κοινόν.

Πατὴρ ἀνδρῶν τε θεῶν τε, Ζεὺς λέγεται, ὡς αὐτὸν ὄντα τρόπον τινὰ βασιλέα τε καὶ πατέρα εἰπεῖν. διὰ τὸ χρῆναι τὸν ἄρχοντα πατρὸς δίκην, τῶν ὑπηκόων κήδεσθαι: ὃ καὶ ἐν Ὀδυσσείᾳ φανερῶς δηλοῦται. ὅπου λέγει, πατὴρ δ' ὡς ἤπιος ἦεν. διὸ καὶ παρ' Ἡροδότῳ, Καμβύσης μὲν δεσπότης, Κῦρος δὲ πατὴρ τοῖς Πέρσαις ἦν. ὁ μὲν ἀγρίως ἦρχεν, ὁ δὲ ἠπίως. ἢ λέγεται πατὴρ ἀνδρῶν τε θεῶν τε, οἷον ἁπάντων αἴτιος. ὡς γὰρ βωτιάνειρα μὲν γῆ, πρὸς μέρος ἡ ἄνδρας τρέφουσα, καθόλου δὲ ἡ παμβῶτις γῆ, οὕτω καὶ πατὴρ μὲν ἀνδρῶν καὶ θεῶν κατά τι μέρος.

Πατήρια, ἐγκύλια, καὶ τῆς Λήμνου μέρη τινά.

Πατῆσαι, ἐνδιατρίψαι, ἀφικέσθαι.

Πάτησαν, κατεπάτησαν.

Πατήσας, καταφρονήσας.

Πατηταί, αἱ ξυπηταί.

Πατίαι, χῶραι.

Πατνή, καλή, ὑπὸ Πάρθων.

Πατνώματα, στεγάσματα οἴκου.

Πάτος, ἡ ἀναστροφή, ἤτοι ὁδός. ὅθεν ἀπόπατος ἡ ἄφοδος, ἤτοι κόπρος. καὶ ἀποπατεῖν, τὸ ἀφοδεύειν. καὶ παροιμία τοῦ ἐκ πάτου, ἀντὶ τοῦ ἐκποδών. ὀνοματοποιεῖται δὲ καὶ αὐτό, καθὰ καὶ ὁ κτύπος, καὶ ὁ δοῦπος, καὶ τὰ τοιαῦτα.

Πάτος ἀνθρώπων, ὃ δηλοῖ κατὰ ὀνοματοποιΐαν ὁδόν, ὅ ἐστι τρίβον, βαρύνεται κανόνι τοιούτῳ. τὰ εἰς ος δισύλλαβα βραχυπαράληκτα μὴ μονογενῆ, βαρύνονται, κρότος, κότος, μίτος, ὁ, τε τῶν ὑφαινόντων, καὶ ὄνομα ποταμοῦ. νότος, πότος, οὕτω καὶ πάτος. ἀντίκειται τὸ στρατός, βροτός. Διχῶς φασιν ἐκπίπτειν τοῦ κανόνος, ὅτι τε κοινόν ἐστι καὶ οὐ μονογενές, καὶ ὅτι ἀντίφασιν ἔχει πρὸς τὸ βρότος, ὃ δηλοῖ τὸν μολυσμόν. ἰστέον δέ, ὅτι ἐκ τοῦ πάτος γίνεται τὸ ἀναπατεῖν. ἤγουν ἄνω τοῦ οἰκήματος ἀργοῦντα κινεῖσθαι. καὶ τὸ ἀποπατεῖν δέ, καὶ ὁ ἀπόπατος. ἐπεὶ γὰρ ταυτὸν πάτος καὶ ὁδός, ὡς ἀπὸ τοῦ ἀπὸ καὶ τῆς ὁδοῦ τὸ ἀφοδεύειν, οὕτω καὶ ἀπὸ τοῦ πάτου τὸ ἀποπατεῖν, ὅπερ ἐκ τοῦ ὁδοῦ εἴρηκεν Ἡσίοδος. ἐκ δὲ τοῦ πάτου καὶ τὸ περιπατεῖν, καὶ ὁ περίπατος. ἐκεῖθεν δὲ καὶ ἀπάτη καὶ ἀπατᾶν. οἱονεὶ τὸ μὴ εὐθείας ὁδοῦ ἔχεσθαι, καὶ ὡς ἐπὶ ἀτραποῦ βαδίζειν, ἀλλὰ καμπὰς ἑλίττειν, καὶ παράγειν ὧδε κἀκεῖσε. εἴη δ' ἂν τούτῳ τῷ λόγῳ καὶ ἐναντία ἡ ἀπάτη καὶ ἡ ὁδηγία. ἀπατᾶν μὲν γάρ, τὸ ἀπάγειν τῆς ὁδοῦ. ὁδηγεῖν δέ, τὸ ἄγειν εἰς ὁδόν. ἐκ τοῦ πάτου δέ, καὶ τὸ πατήσειν. καὶ τοιοῦτος μὲν ὁ Ὁμηρικὸς πάτος. ὁ δὲ παρὰ τῷ κωμικῷ βάδος, οἷον μετὰ σὲ τὸν δεῦρο τὸν βάδον βαδίζομεν, ἴσως πέπαικται. καὶ ἔστιν ὡς ἐκ τοῦ κινῶ ἀπόκινος παρὰ τῷ αὐτῷ, οὕτω καὶ ὁ βάδος ἐκ τοῦ βάδω, οὗ τὸ παράγωγον βαδίζω.

Πατούμενοι, ὑβριζόμενοι.

Πατράδελφος, θεῖος πρὸς πατρός.

Πάτραι, πόλις τῆς Ἑλλάδος.

Πάτρα, λέγεται ἡ πατρίς.

Πατραλοίας, ὁ τὸν πατέρα τύπτων. εὔχονται δὲ οἱ ἥρωες τοῖς μὲν οὐρανίοις θεοῖς, ἄνω τὰς χεῖρας ἀνίσχοντες, μεγάλ' εὐχετόωντο ἕκαστος. τοῖς δὲ θαλασσίοις, πολλὰ δὲ μητέρι φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς, εἰς θάλασσαν δηλονότι. τοῖς καταχθονίοις δέ, κόπτονται τὴν γῆν. ὡς ἐνθάδε φησὶν Ὅμηρος, χερσὶν ἀλοία ταῖς χερσὶν ἔτυπτεν, ὅθεν καὶ πατραλοίας.

Πατραλοίας, πατροτύπτης. καὶ πατραλώας, ὁ αὐτός.

Πατρεύς, ὁ ἀπὸ Πατρῶν, ἡ δοτικὴ Πατρεῖ.

Πατρέμβατοι, ὑψηλοί.

Πάτρην, πόλιν ἐπαρχίας φυλήν, πατρίδα.

Πάτρις, πατρίδος. σημαίνει δὲ καὶ τὴν ἐκ τοῦ αὐτοῦ πατρὸς γένεσιν.

Πατριά, ἀπὸ τοῦ πατὴρ πατέρος γίνεται. διαφέρει δὲ πόλεως.

Πατριαί, αἱ φυλαί.

Πατρίδα γαῖαν, πατρίδα μόνον εἰπεῖν ἐλλειπῶς ἔχει, ὥσπερ τὸ πατρίς. πατρίς τε γὰρ γῆ, δηλαδὴ ἡ ἐκ πατέρων. καὶ πατρίδα δὲ εἰπὼν γῆν συνάγει. πρωτότυπον δὲ πατρίδος ἡ πάτρα, ἧς χρῆσις πολλαχοῦ.

Πατρίκιος, οἱονεὶ πατὴρ τοῦ κοινοῦ.

Πάτριον, τὴν πομπήν.

Πάτριος, θεός.

Πατριώτης, πατριώτην ἀττικόν ἐστιν, ὡς γὰρ φαμὲν πολίτην τὸν συμπολίτην, καὶ ἡλικιώτην τὸν συνηλικιώτην, οὕτω καὶ πατριώτην, τὸν συμπατριώτην. καὶ ἐπὶ θηλυκοῦ, ἡ πατριῶτις στολή, ἡ κατὰ τὰ πάτρια ἔθη γινομένη. ἐκ τούτου γὰρ καὶ παράγεται. πάτρια δὲ ἀπὸ τοῦ πατήρ. καὶ παράγονται ἐκ τούτου διάφορα. οἷον πάτρια ἐπὶ τῶν ἐθῶν, πατρικὸς φίλος, καὶ πατρῷος κλῆρος, καὶ πάτρως πάτρω ποιητικῶς, ὡς μήτρως μήτρω, ὁ τοῦ πατρὸς καὶ τῆς μητρὸς ἀδελφός. καὶ πάτρων πάτρωνος παρὰ τοῖς νομικοῖς, ὁ πατρὸς τάξιν ἐπέχων.

Πατρόθεν περδικάδαι, ὅτι πατέρων εἰσὶν ὄνων ἡμίονοι.

Πατροκασίγνητος, καὶ θεῖος λέγεται. καὶ πάτρως, καθ' ὁμοιότητα τοῦ μήτρως.

Πατροκλῆς, καὶ Πάτροκλος λέγεται, ὡς Ἐτεόκλος καὶ Ἐτεοκλῆς. διὸ καὶ ἡ κλητικὴ Πατρόκλεις ἐστίν. ὡς Ἡράκλεις. τὸν Πάτροκλον ἡ παλαιὰ ἱστορία καὶ συγγενῆ τῷ Ἀχιλλεῖ παραδίδωσι λέγουσα, ὅτι Ἡσίοδός φησι Μενοίτιον τὸν Πατρόκλου πατέρα, Πηλέως εἶναι ἀδελφόν, ὡς εἶναι ἀνεψιοὺς οὕτως ἀμφοτέρους ἀλλήλοις. ἄλλοι δέ φασιν, ὅτι Διὸς Μυρμιδών, οὗ Ἄκτωρ. ὃς Αἴγιναν γήμας, μετὰ τὸ τεκεῖν τὸν ἐκ Διὸς Αἰακὸν ποιεῖται Μενοίτιον, οὗ Πάτροκλος. αὐτῷ τοίνυν τῷ λόγῳ, Αἰγίνης παῖδες ἀμφιπάτορες, Αἰακὸς καὶ Μενοίτιος. καὶ οὕτω πάλιν γνησία συγγένεια τῷ Πατρόκλῳ καὶ τῷ Ἀχιλλεῖ. τὸ δὲ Μενοίτιος πλεονασμὸν ἔχει τοῦ ι, ὡς ἐκ τοῦ μένος.

Πατρονομούμενοι, οἱ τοὺς παρὰ τῶν πατρώων παραδεδομένους νόμους τηροῦντες.

Πατρόπολις, ἡ πατρῴα οἰκία.

Πατροπόβλητος, ἐκ τοῦ πατρὸς προβαλλόμενον.

Πατροραίστης, ὁ τὸν πατέρα τύπτων.

Πατρὸς ἐμοῖο, ὁ πατήρ, περιπέφρασται διὰ σαφήνειαν, καὶ δηλοῖ τὸν πρὸς πατρὸς πάππον, ὃς καὶ γεροντίας ἐλέγετο λακωνικῶς, ὅπερ ὁ ἐπάνω τῷ χρόνῳ ἐπίπαππος. οὐχὶ πρόπαππος λέγεται, ὥς φησί τις ἀποσημειωσάμενος ὀνόματα γενικά.

Πατρούχου, παρθένου τῆς ὀρφανῆς, καὶ ἐπικλήρου, τῆς προσήκει τὰ τοῦ πατρὸς ἔχειν.

Πατροφονεύς, οὐ μόνον ὁ τὸν ἑαυτοῦ πατέρα ἀνελών, ἀλλὰ καὶ ὁ ἀλλότριον.

Πατρῷα, τὰ πατρικά.

Πατρώζουσι, τὰ τοῦ πατρὸς φρονοῦσι.

Πατρώϊα. Ὅμηρος ἐν Ὀδυσσείας χ', εἰ δ' ἐμὰ πατρώϊα πάντα ἀποδοῖτε. ἵνα λέγῃ πατρώϊα μὴ τὰ περιελθόντα ἐκ πατέρων τῷ Ὀδυσσεῖ, ἀλλὰ τὰ τοῖς μνηστῆρσι πάλαι ποτὲ πατρῷα. καὶ οὕτω παράγοιντο οἱ τρεῖς χρόνοι, ὁ πρώην, ὁ νῦν, καὶ ὁ εἰσέπειτα. ὡς φαμένου Ὀδυσσέως, μὴ ἂν καταλλαγήσεσθαι τοῖς μνηστῆρσιν, οὐδ' εἴπερ τὰ ἐκ πατέρων αὐτοῖς προσόντα δοῖεν, μήτε ἃ νῦν ἔχουσι, μήτε ἅπερ εἰσέπειτα κτήσονται.

Πατρῶν, παρ' Ὁμήρῳ ποιητικόν ἐστιν, ὥσπερ καὶ θυγατρῶν. εἰ δέ του καὶ μητρῶν, ἀλλ' οὐ προφανὴς ἡ χρῆσις.

Πατρωνικὸν δίκαιον, τὸ ἐκ προσώπου δίκαιον πατρώων. πατρῷα λέγουσιν οἱ ῥήτορες, ὅσαν αὐτοῖς ὁ λόγος ᾖ περὶ χρημάτων, ἢ τόπων.

Πατρῷος, κτητικὸν μέν ἐστι, γίνεται μὲν ἐκ τῆς πατρὸς γενικῆς πατρόϊος, ὁ τοῦ πατρός, ὡς ταυτὸς ταυτοῖος, καὶ ἐκθλίψει τοῦ ο εἰς τὸ πατρῷος, μένοντος τοῦ ι ἐν προσγραφῇ. ἔστι δὲ μητρῷος γίνεται, καὶ τὸ παππῷος. εἰωθότος δὲ τοῦ προσγεγραμμένου ι, καὶ ἀλλ ὡς ἐκφωνηθέντος, γίνεται πατρώϊος μητρώϊος παππώϊος. οὕτω καὶ ὁ μινῷος μινώϊος ἐκφωνεῖται, καὶ τὸ λῷον λώϊον, καὶ τὸ ὑπερῷον ὑπερώϊον. ὅθεν τὸ ὑπερώϊθεν, παρὰ τῷ Ποιητῇ.

Πατρῷος Ζεύς, καὶ πατρῷος Ἀπόλλων, ἐν Ἀθήναις τιμῶνται. ὁ Ζεὺς μὲν κατὰ τὴν ἐν Ἀρκαδίᾳ, ἢ ὡς ἕτεροι κατὰ τὴν ἐν Κρήτῃ εἶναι τροφήν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη, καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν. οἵτινες αὐτῇ τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δέ, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν, ἐξ ἧς γίνεται ὁ Ἴων, ὡς πρόγονον οὖν αὐτὸν ἐτίμα καὶ οἱ ἄρχοντες ὅτε ἐκ προσκαλοῦντο: εἰ γὰρ τὸ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον. ἄλλως. οὕτω τιμᾶται παρ' Ἀθηναίοις Ζεὺς πατρῷος, καὶ Ἀπόλλων, διὰ τὸ πρώτους ὑποδέξασθαι τοὺς θεοὺς εἰς τὴν χώραν, καὶ θυσίας συντελέσαι κατὰ φρήτρας, καὶ δήμους, καὶ συγγενείας, μόνους ἀλλήλων.

Πατρωνυμικὸν ὄνομα τέσσαρας ἔχει παραλήξεις. τὴν ει δίφθογγον, εἰ τὸ πρωτότυπον εἰς ευς λήγει, καὶ διὰ τοῦ εως κλίνεται, οἷον Πηλεύς Πηλέως τὸ πρωτότυπον, καὶ τὸ πατρωνυμικὸν Πηλείδης. τὸ ι, εἰ τὸ πρωτότυπον λήγει εἰς ος μὴ καθαρεῦον. ὁμοίως καὶ εἰ ἐκ γονικῆς τῆς πέμπτης κλίσεως, τῆς ος ληγούσης, οἷον Αἰακὸς Αἰακίδης, Τάνταλος Τανταλίδης, Πρίαμος Πριαμίδης, Ἀγαμέμνων Ἀγαμέμνονος Ἀγαμεμνονίδης, Ἕκτωρ Ἕκτορος Ἑκτορίδης, Νέστωρ Νέστορος Νεστορίδης, Πέλοψ Πέλοπος Πελοπίδης, Κέκροψ Κέκροπος Κεκροπίδης. καὶ τὸ α, εἰ λήγει τὸ πρωτότυπον εἰς ος καθαρεῦον, οἷον Ἥλιος Ἡλίου Ἡλιάδης, Μενοίτιος Μενοιτίου Μενοιτιάδης. καὶ τὴν οι δίφθογγον, εἰ ἔχει τὸ πρωτότυπον καὶ λήγουσαν καὶ τὴν παραλήγουσαν διὰ δύο ο καθαρευόντων, οἷον Πάνθοος τοῦ Πανθόου Πανθοΐδης, καὶ κατὰ συναίρεσιν Πανθοίδης, Λητὼ Λητοῦς Λητοΐδης καὶ Λητοίδης, καὶ τὸ ὅμοιον χωρὶς τοῦ Κυθνείδης, ὃ μόνον ἀπὸ τῶν εἰς ος διὰ τῆς ει διφθόγγου γράφεται. τὸ δὲ Παλαμήδης, καὶ Γανυμήδης καὶ Θρασυμήδης, οὐ πατρωνυμικά εἰσιν, ἀλλὰ ὀνόματα κύρια ἀπὸ τοῦ μήδομαι συγκείμενα τὸ βουλεύομαι. ὅθεν διὰ τοῦ η τὴν γραφὴν ἔχουσιν. ἰστέον, ὅτι τοῖς πατρωνυμικοῖς συντάσσεται τὰ τῶν παίδων ὀνόματα, ὅταν δύο ἀδελφοὶ ὦσιν, ἢ πλείους, οἷον Ἀτρείδης Ἀγαμέμνων. ὅταν μονογενὴς υἱὸς ᾖ, οὐκ ἔτι χρεία τῆς τοῦ κυρίου προσθήκης, πῶς κλίνεται Πηλείδης, διὰ τοῦ ου. κανὼν γάρ ἐστιν, ὅτι πάντα τὰ εἰς δης λήγοντα πατρωνυμικά, διὰ τοῦ ου κλίνεται, οἷον Πηλείδης Πηλείδου, κατὰ τὴν πρώτην κλίσιν.

Digitized by Google

Πάξως πάξω ἀττικῶς. λέγεται δὲ ὁ πρὸς πατρὸς θεῖος. ὡς καὶ ὁ πρὸς μητρὸς μήτρως, καὶ μήτρων καὶ πάτρων.

Πατταλεῦσαι, προσπῆξαι.

Πάτταλος πατταλῳ ἐκκρούεται, καὶ τὸ δεινὸν ὑπὸ ἑτέρου καλύπτεται.

Παττάλευς, πασσάλευς.

Πάτωσι, πολλοῖς τοῖς ῥόδοις.

Πατῶ πατήσω, ἐκ τοῦ πάτος, τοῦτο ἐκ τοῦ πόπος.

Πατήσας, κατατριβύσας.

Παυγάζει, ἤγουν ἐπιλάμπει.

Παῦε, παῦ᾽ ὦ δέσποθ᾽ Ἑρμῆ. νεκρὸν γὰρ ὄντα τὸν Κλέωνα ἐλοιδόρει. ἔθος δὲ ἦν τοῖς ἀρχαίοις τοὺς ἀποιχομένους μὴ λοιδορεῖν.

Παύεται, ἡσύχως γίνεται.

Παῦλα, ἀνάπαυσις. καὶ τὸ δὴ λεγόμενον παῦσις κακοῦ, μεῖζον κακόν. διόπερ ἐν κακῶν αἱρέσει, τοὐλάχιστον δεῖ ἑλέσθαι.

Παῦλος, θαυμαστός, ἢ ἐκλεκτὸς σύμβουλος.

Παῦνον, μικρόν. οἱ δὲ μέγα, ἢ ἀγαθόν.

Παῦνις, ἀπόχεως. παῦνον, μέγα.

Παύομαι, παθητικῶς, μετὰ μετοχῆς. οἷον παύομαι ποιῶν τὰ ἀποικότα, παύομαι τοῦ ἔργου. Ἀριστοφάνης: παύσεσθε μάχης καὶ λοιδορίας. ὡσαύτως παύω σε ποιοῦντα τόδε, καὶ παύω σε τῆς ἀρχῆς τῶν πραγμάτων. καὶ παύω τοῦ ποιεῖν χωρὶς τῆς προσθήκης τοῦ ἄρθρου, παρὰ ποιηταῖς εὑρίσκεται διὰ τὴν ἀνάγκην τοῦ μέτρου.

Παύομαι ἀναβάδην, ἤγουν ἄλλον ἐπ᾽ ἄλλῳ τῶν ποδῶν ἔχων.

Παῦρα, ὀλίγα, βραχέα, ἀναρίθμητα.

Παυράκις, ὀλιγάκις, ἢ οὐδὲν ὅλως.

Παυρακὶς, τὴν πέμπτην Σαμοθρᾶκες καλοῦσιν.

Παῦροι, ὀλίγοι, ἐλάττους, ὀλιγόστοι.

Παύσασθαι χόλου, διχῶς φράζει Ὅμηρος, Ἀτρείδη σὺ παῦε τεὸν μένος: καὶ πάλιν λίσσομαι μεθέμεν χόλον. παυτὸν δὲ τὸ παῦε μένος καὶ μεθέμεν εἰπεῖν, καὶ μεθεῖναι, καὶ ἀφεῖναι, πεζὸν ἀντιδιαστέλλον τῷ ἱππότῃ, φησὶν Ὅμηρος, ὡς τὸ λίπον τοὺς ἵππους δηλαδὴ, αὐτὰρ πεζοὶ ἐς Ἴλιον ἦλθον. καὶ ἀλλαχοῦ πεζοί θ᾽ ἱππῆές τε.

Παυσιβάκτρων, ἰσχυραῖς βακτηρίαις χρωμένων.

Παυσικάπη, μηχάνημα τροχαῖς ἐμφερὲς, δι᾽ οὗ τὸν τράχηλον διεῖρον τῶν ὑποζυγίων, ὥστε μὴ ἐσθίειν, καὶ τῶν ἀνθρώπων, ὡς μὴ δύνασθαι τὰς χεῖρας τῷ στόματι προσάγειν.

Παῦσίς ἐστι κληρονομία. λῆξις δὲ μερὶς, ἡ δὲ ἀποκλήρωσις, μέρος εἰς ἀμείνονα λῆξιν. ἀποκληρῶσαι θεοποιῷ φροντίδι οὐδὲν ὤκνησε.

Παυστήρια, ὄρη τῆς Ἀχαΐας, ἐν οἷς ὁ Ὠρίων ἀπέθανε, καὶ προβλήματα, ἢ φράγματα.

Παυσωλή, κατάπαυσις τελευτὴ, κατάληξις.

Παύω, ἀντὶ τοῦ ἀφίσταμαι, καὶ λήγω.

Παύω, ἐνεργητικῶς αἰτιατικῇ καὶ γενικῇ συντάσσεται. οἷον παύω σε τοῦ γέλωτος. καὶ παύω σε ποιοῦντα τόδε. Ἀριστοφάνης, ἵν᾽ ἐπομνύμενον παύσω σε τῆς ἐκκλησίας.

Παφία, ἡ Ἀφροδίτη.

Παφλαγόνες, ἔθνος.

Παφλάζειν, τὸ ἐκ βρασμοῦ ἀναδόσεως γίνεσθαι.

Παφλάζουσιν, ὀνοματοπεποίηκε τοὺς πταίοντας, καὶ ἐπαναλαβόντας ἐν τῷ διαλέγεσθαι, δηλῶσαι βουλόμενος, παρὰ τῷ Ἱπποκράτει.

Παφλάζοντα, ἠχοῦντα, ἀναζέοντα, ἢ τὸ ταράσσοντα. παφλάζειν δὲ, κυρίως σημαίνει τὸ ἠχεῖν κυμαινομένην τὴν θάλατταν. παφλάζω, ἀναζέω.

Πάφων, κτείνας.

Παχείᾳ χειρὶ, τῇ ἰσχυΐ.

Παχείῃ δραχμῇ, τὸ δίδραχμον, Ἀχαιοί.

Παχεῖς, οἱ Ἀθηναῖοι τοὺς πλουσίους καλοῦσι συνήθως.

Παχίων, παχύτερον, κατὰ συγκοπὴν τοῦ υ καὶ τοῦ ρ.

Παφήμερον, τὸ μενδήσιον λεγόμενον.

Πάχνη, ἐπειδὰν ἐκ γῆς, ἢ ἐκ θαλάττης ὑφ᾽ ἡλίου ὑγρασία ἀνενεχθεῖσα μὴ κατεργασθῇ, καταψυχθῇ δὲ πάχνη καλεῖται. παχνοῦται, πήσσεται. πήγνυται, λυπεῖται.

Παχνουμένης, ἀνιωμένης.

Παχνοῦται, ἀντὶ τοῦ φθείρεται, λυπεῖται, ἡ μεταφορὰ ἀπὸ τῆς πάχνης, τῆς φθειρούσης. Ἡσίοδος, ἐπάχνωσε φίλον ἦτορ, ἤτοι ἐλύπησεν ἔφθειρε.

Παχνοῦται ἦτορ, κεῖται μὲν καὶ παρ᾽ Ἡσιόδῳ ἐν τῷ ἐπάχνωσε φίλον ἦτορ. δηλοῖ δὲ τὸ πυκνοῦται, καὶ οἷον πήγνυται τῇ λύπῃ. ἐπεὶ καὶ ἡ πάχνη δρόσος ἐστὶ πεπυκνωμένη, καὶ πεπηγμένη. ἢ καὶ ἄλλως παχνοῦται, ἀντὶ τοῦ ψύχεται. εἰώθασι δὲ οἱ παλαιοὶ ψυχρὰ λέγειν τὰ ἀηδῆ, ὥσπερ οὖν πάλιν ἐκ τοῦ ἐναντίου θερμὰ, τὰ προσηνῆ. διὸ καὶ θαλπωρὴ, ἡ ἐλπίς.

Παχνώθη, ἀντὶ τοῦ ἐπάγη, ἐλυπήθη, ὁ τρόπος εἴληπται ἀπὸ τῆς πάχνης. Ἀπολλώνιος.

Παχνώσσοι, παχνώσεις, ἀνόητοι. τοσαύτην δὲ ἡμεῖς παχύτητα, καὶ ἀμαθίαν κατεγνώκαμεν.

Παχυμερῶς, ἀδρῶς, παχέως.

Παχύποδα, τὸν ὑπὸ λιμοῦ, καὶ φιλαργυρίας οἰδήσαντα.

Παχύτερον, ἀμβλύτερον οὐκ ἀκριβές.

Παῶται, συγγενεῖς, οἰκεῖοι. Λάκωνες.

ΤΟ Π. ΜΕΤΑ ΤΟΥ Ε.

ΠΕ'αρ, γλαυκέας, λιπαρόν.

Πεδάασκεν ἐμὲ Θεὸς ἄλγεσιν, ἤτοι ἐδέσμει, καὶ ἐγὼ ἀλήτης ἐκ Θεοῦ πεδούμενος.

Πεδάγρετον, μεταμέλητον, μεταληπτὸν, ποικίλον.

Πέδαι, δεσμὰ, παρὰ τὸ τοὺς καὶ τὸ δέω, τὸ δεσμεύω. ἢ παρὰ τὸ πιέζειν τοὺς πόδας.

Πέδαλα, ποικίλα.

Πεδαλευόμενος, μεταμελόμενος, μεταδιωκόμενος.

Πεδανῷ, ὕπνῳ. ἢ πεδανῷ, κύφῳ, Γων Ἀγαμέμνονι. τινὲς δὲ οὐδὲ βεβαίῳ.

Πεδανὸς, ταπεινὸς, πεδεινὸς, ἢ ὁ τῷ μάντει διδόμενος μισθός.

Πεδαρσίου, μετεώρου, πεπτωμένου, παρὰ τὸ ἐκ τοῦ πέδου αἴρεσθαι.

Πεδαυνὰ, τὰ ἐκπέταλα καὶ φιλοειδῆ ποτήρια.

Πεδαχνοῦται, ἐξυπτίωται καὶ τρυφᾷ.

Πεδαωριστὴς, ἵππος φρυαγματίας καὶ μετεωριστής.

Πέδελθε, ἱκέτευσον, μέτελθε.

Πέδευρα, ὕστερα. Λάκωνες.

Πέδη, ὁ δεσμὸς, παρὰ τὸ δέω ἔδη, καὶ πλεονασμῷ τοῦ π πέδη. ἔστι δὲ εἶδος ἱππασίας.

Πέδη, κυρίως ἐπὶ ποδῶν λέγεται, καὶ ἐπὶ χειρός. ὅθεν συνθέτως χειροπέδη.

Πεδῆται, πεπεδημένος, συνδεδεμένος. καὶ πεδήτης ὁ δεσμευθείς.

Πέδησεν, ὑποχείριον ἐποίησε.

Πεδιακὰ πρόβατα, πρόβατα ἀπὸ πεδιάδος, καὶ οὐ λειμῶνος.

Πέδιλα δησάμενος ὑπὸ ποσὶ, τὰ ὑποδήματα ἐτυμολογεῖ, ταυτὰ δηλαδὴ τοῖς πεδίλοις ὄντα.

Πεδιάλαι, μεταπέμψασθαι, μεταλαβεῖν.

Πεδιά τινες πύλαι, τὰς πλησίον τοῦ Θυμβραίου ἐν Γλίφ φησὶν, ἅς τινες ἐπιχηλὰς καλοῦσι.

Πεδινὸς, ὁ ὁμαλὸς τόπος.

Πεδιόθεν, ἐκ γῆς. παιδόθεν δὲ δίφθογγον, ἐκ νεαρᾶς ἡλικίας.

Πεδίον, κατὰ τοὺς παλαιοὺς ὁ μακρὸς καὶ ἀναπεπταμένος τόπος, ὃς καὶ πεδιὰς λέγεται. πέδιον δὲ προπαροξυτόνως καθ᾽ ὑποκορισμὸν, ἡ μικρὰ πέδη, πρὸς ὁμοιότητα τοῦ λύριον, θύριον.

Πεδόθεν, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ λέγεται, ἀντὶ τοῦ ἐκ γενετῆς, καὶ ὡς οἷον ἐκ πέδου, τουτέστιν ἐκ γῆς, καὶ ὡς εἰπεῖν ἐκ ῥίζης αὐτῆς. ἡ δὲ μεταφορά φασιν ἐκ τῶν φυτῶν, ἢ ἀντὶ τοῦ βρεφόθεν, καὶ ἐξ αὐτοῦ πέδου, εἰς ὃ καὶ πίπτουσι καὶ ἕρπουσιν οἱ ἀρτιγενεῖς.

Πεδοῖ, ἐπιρρηματικῶς ἀντὶ τοῦ εἰς γῆν.

Πεδοίκους, μετοίκους.

Πεδοίκου, χελιδόνιος συνοίκου, Αἰσχύλος Τροφοῖς.

Πέδον, γῆ, ἔδαφος. ἐφ᾽ οὗ βεβήκαμεν τοῖς ποσὶ τὸ πεζεύειν. καὶ πεζοὺς φασι, τοὺς διὰ τῶν οἰκείων ποιουμένους τὴν πορείαν.

Πεδότριψ, δικθλίβων.

Πέδουρος, μετέωρος.

Πέδοσα, ἡμέρα, ἐν ᾗ οὐ γίνεται ἑορτή.

Πεδῶ, πεδήσω, κυρίως τὸ τοὺς πόδας δεσμῆσαι.

Πεδῶ, δευτέρας συζυγίας τῶν περισπωμένων εὕρηται, ὡς δηλοῖ τὸ πεδάα, ὅμοιον δὲ τῷ βοάα καὶ ὁράα.

Πεδὼ, ἡ νῦν καλουμένη κλεψύδρα, κρήνη ἐν ἄστει.

* Πέζα, τὸ ὑπὸ τῇ κνήμῃ μέρος, ὃ καὶ σφυρὸν καλεῖται.

Πέζα, ὁ πούς, ἢ τὸ ἀπολῆγον τοῦ χιτῶνος, ὃ ἡμεῖς ᾤαν λέγομεν. τὸ γὰρ πρότερον ὑπὲρ τοῦ μὴ τρίβεσθαι, δέρμα προσέρραπτον. καὶ ἀργυρόπεζα, ἡ λευκοὺς πόδας ἔχουσα.

Πέζαι, μόσχοι, ἑταῖραι, αἱ χωρὶς ὀργάνων εἰς τὰ συμπόσια φοιτῶσαι.

Πεζέτεροι, πολλαὶ περὶ τούτου φέρονται ἐξηγήσεις. οἱ μὲν γὰρ αὐτῶν λέγουσιν ὄνομα στρατεύματος, οὕτω λεγομένου. οἱ δὲ, ὅτι τινὲς ἦσαν παρ᾽ αὐτοῖς στρατιῶται, τὸν ἕτερον πόδα γυμνὸν ἔχοντες, τὸν δὲ ἕτερον ὡπλισμένον. διό φασι καὶ πεζετέρους αὐτοὺς καλεῖσθαι, παρὰ τὸ τὸν ἕτερον πόδα γυμνὸν ἔχειν. πέζα γὰρ, τὰ κάτω τοῦ ποδός. ὅθεν καὶ πεζεύειν, τὸ χαμαὶ περιπατεῖν. οἱ δέ φασι, τοὺς ἀπὸ τοῦ πλήθους τῶν πεζῶν, ὧν εἶχε ξένων, ἑταίρους καὶ φίλους γενομένους αὐτῷ. οἱονεί τινας ἐκλελεγμένους διὰ τὸ ἀνδρεῖον, ἵνα φυλάττωσιν αὐτόν. ἡ δὲ γραφὴ, πρὸς διάφορον ἐξήγησιν.

Πεζεύειν, ἐπὶ ξηρᾶς λέγεται, καὶ ἐπὶ θαλάττης, ὅταν ἐπάνω τῶν κυμάτων περιπατεῖ τις.

Πεζεύω, τὸ πεζῇ περιπατῶ, ἀμεταβάτως.

Πεζεῦσαι, τοῦ ἅρματος ἵππων ἀποβῆναι, λέγει Ὅμηρος.

Πεζὴ στρατιὰ λέγε, ὡς Δημοσθένης καὶ πάντες, καὶ μὴ πεζική. ποιητικώτερον γὰρ τοῦτο.

Πεζῇ βάδην, καὶ παροιμία πεζῇ βαδίζων. νῦν γὰρ οὐκ ἐπίσταμαι, ἀντὶ τοῦ οὐ δύναμαι.

Πεζὴ λέξις, κοινὴ λέξις.

Πεζήν, τὴν συνήθη, ἢ κοινήν.

Πεζίτης, ὁ πεζός.

Πεζίτια, στέμματα ἐπὶ ἀνθρώπων, στεφάνη, ζώνη. ἐπὶ δὲ ξύλων, τὰ κυμάτια.

Πεζολόγος, συγγραφεύς.

Πεζὸς, ἐκ τοῦ πέδον γίνεται, κατὰ συγγένειαν τῶν συμφώνων. ἔστι γὰρ πεζὸς, ὁ ἐν τῷ πέδῳ βαίνων, ἢ ἀπὸ τοῦ πέζα ὁ πούς. καὶ δηλοῦσιν ἀνθρώπους ποσὶν ἁπλῶς βαίνοντας. πεδοὶ, δέ ἐστι παρὰ τὸ πέδον. ἐξ οὗ τροπῇ συνήθει τοῦ δ εἰς ζ, γίνεται καὶ ἡ πέζα καὶ ὁ πεζός.

Πεζὸς, κοινὸς, ταπεινός. πεζοῖς δὲ, τοῖς ἐκ ποδῶν πεζεύουσι.

Πεζοφόροις, ζώμασιν. Αἰσχύλος τοξότισιν, ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων. τινὲς δὲ ποδήρεσι. ζῶμα δὲ τὸ ἔνδυμα.

Πεζῶν, τῶν ὁδευόντων.

Πηδαίρουσα, δέρουσα.

Πειθανάγκη, ἡ μετὰ βίας πειθὼ, ὑπολαμβάνων διὰ τούτων πειθανάγκην προσάξειν τοῖς Λευκαδίοις, τοῦ συγχωρεῖν τοῖς ὑπ᾽ αὐτῶν ἐπιταττομένοις. πολλὰς δὲ τῶν γυναικῶν τῇ πειθανάγκῃ κατήγαγεν. οὕτω γὰρ ἦν λάγνος. καὶ εἶξα τῇ θετταλικῇ πειθανάγκῃ, κτείνας αὐτὸς τὸν αὐτοῦ δεσπότην.

Πειθαρχήσαντες, πεισθέντες.

Πείθεο, πείθου.

Πειθήνιος, ὑπήκοος, πειθόμενος.

Πειθοῖ, τῇ πεισμονῇ.

Πείθονται, πειθήνιοί εἰσι.

Πειθὼ, ἡ ὀγδοάς.

Πείθωνος, ὀνομαζόου.

Πειθω, σημαίνει τρία. τὸ ἐλπίζω, ἐξ οὗ καὶ πίστις. τὸ φιλονεικῶ, ἐξ οὗ καὶ πεῖσμα. σημαίνει καὶ διὰ τοῦ η τὸ πάσχω, ἐξ οὗ καὶ τὸ ἔπαθον β ἀόριστος. ἐκ δὲ τοῦ πείθω τὸ ἐλπίζω, γίνεται ὁ μέσος παρακείμενος πέποιθα. πείθει δέ τις ἢ λόγοις, ἢ χρυσῷ, ἢ διὰ δακρύων, ἢ διὰ τοῦ κάλλους. ὁ παρακείμενος πέπεικα, ὁ παθητικὸς πέπεισμαι, ὁ ἀόριστος ἐπείσθην.

Πείθω σε τόδε τὸ πρᾶγμα. πείθομαί σοι κελεύοντι πάντα, ἤγουν κατὰ πάντα.

Πεινασμῶσιν, ὀξείαις καὶ λεπταῖς.

Πεικειν, κτενίζειν, ξαίνειν.

Πευκὸν, πικρὸν πελεκητόν.

Πεικὸς, ἔριον, ξάμμα.

Πειλὸς, πᾶν τὸ πεπιλωμένον.

Πεῖνα, ἡ δι᾽ ἔνδειαν τροφῆς ἐπιθυμία, διὰ διφθόγγου. πίνα δὲ, ὁ ἰχθὺς, διὰ τοῦ ι. ἔστι δὲ πεῖνα ἐπιθυμία ξηροῦ καὶ θερμοῦ, ἡ δίψα δὲ ψυχροῦ. σωζομένου γὰρ ἡμῶν ἐνθένδε τοῦ σώματος, τρέφεται δι᾽ αὐτῶν, ὅπως ἰσχύῃ κατεργάζεσθαι, καὶ πέττειν καὶ ἐξομοιοῦν τὰ προσαγόμενα.

Πεινάκιον, τὸ τῆς πείνης ἄκος. πινάκιον δὲ, ἐν ψιλῷ ἰῶτα, ι.

Πειναρὸν, ῥυπαρόν.

Πεινέων, πεινῶν.

Πεινεῖν, πεινῆν.

Πείνη, ἡ πεῖνα.

Πεινήμεναι, τοῦ ῥήματος ἐστὶν ἡ προφορὰ ζηλωτή, ὅτε ἡ τοῦ θέματος εὕρεσις. τὸ μὲν γὰρ πεινήμεναι, προϋπάρχει πεινῆναι. αὐτοῦ δὲ τὸ θέμα τὸ πείνημι. ἢ τὸ πειναίνω, ἐκ τοῦ πεινῶ, ἀπόθεσις καὶ αὐτὴ τῇ ποιήσει. καθὰ καὶ τὸ πένθημι, ἢ πενθαίνω. ἐξ οὗ τὸ πενθήμεναι ἄκριτον. καὶ τὸ θαυμαίνω, ἀφ᾽ οὗ τὸ ἄεθλα θαυμαίνοντες. εἰκὸς δὲ ἄλλως τὸ πεινήμεναι, ἀκολούθως ἔχειν τῷ φιλήμεναι καὶ νοήμεναι.

Πεινῆς, διψῆς, καὶ ζῆς, χρῶνται Ἀθηναῖοι.

Πεινῶ, οὐ πεινᾶν λέγομεν Ἀττικῶς.

Πεινῶ, λιμώττω, βουλιμιῶ.

Πεῖρα, ὁ δόλος, καὶ ἡ ἀπάτη καὶ ἡ τέχνη. ὅθεν καὶ πειραταὶ, οἱ κατὰ θάλατταν κακοῦργοι. πεῖρα δὲ, καὶ ἡ βλάβη.

Πειρᾷ ἐνεργητικῶς, ἀντὶ τοῦ συγγίνεται, αἰτιατικῇ οἷον πειρᾷ ἀνὴρ γυναῖκα. πειρᾶται δὲ ἀντὶ τοῦ ἀπόπειραν ποιεῖ. γενικῇ. πειρῶμαί σου καλοῦ, ἀντὶ τοῦ διὰ πείρας σε καταλαμβάνω καλόν. καὶ πειρῶμαι τῆς γνώμης καὶ εἰ μὴ μεταβέβληκεν, ἀντὶ τοῦ θέλω διὰ πείρας καταλαβεῖν αὐτήν. πειρῶμαι βλάπτειν σε, ἀντὶ τοῦ ἐπιχειρῶ. πειρῶμαι οὖν πειράσομαι, πεπείραμαι, καὶ ἐπειράθην.

Πειραιεὺς, λιμένας ἔχει τρεῖς, πάντας κλειστούς. εἷς μὲν, ὁ Κανθάρου λιμὴν, οὕτω καλούμενος ἀπό τινος ἥρωος Κανθάρου, ἐν ᾧ τὰ νεώρια. εἶτα τὸ ἀφροδίσιον, εἶτα κύκλῳ τοῦ λιμένος στοαὶ πέντε.

Πειράζειν, κατάρχεσθαι.

Πειράζειν ἐμέθεν, γενικῇ συντεχθὲν, κατὰ τὸ πειρᾷ ἐμεῖο γεραιέ. ἔστι δ᾽ ὅτε καὶ ἀπολύτως κεῖται, χωρὶς οἱασοῦν συντάξεως.

Πείραζεν, παρὰ τῷ Ἀπολλωνίῳ κεῖται, ἀντὶ τοῦ ἥρμοττεν.

Πειράζων, ἐνεδρεύων, λῃστεύων.

Πειράζων, παρ᾽ Ὁμήρῳ κοινῶς ῥηθὲν, ἀντὶ τοῦ δοκιμάζων. πρωτότυπον δὲ αὐτοῦ τὸ πειρῶ, ὡς δηλοῖ τὸ πειρᾷ ἐμεῖο γεραιέ.

Πεῖραι, πειρατεῖαι, δόλοι.

Πειραίδαο, Πειραίου παῖδα.

Πειραιεὺς, λιμὴν οὕτω καλούμενος.

Πειραιεὺς, ἐμπόριον τῶν Ἀθηναίων παρὰ τῇ θαλάττῃ κείμενος, ὃς ἀπέχει τῆς πόλεως σταδίους πέντε καὶ τριάκοντα.

Πειραίνουσιν, ἀντὶ τοῦ περατοῦσι.

Πειραιῶς, Ἀττικόν. πειραιέως, κοινόν.

Πειρᾶν, πειράζειν.

Πεῖραν, πορείαν, ὁδόν.

Πειρᾶν, τὸ λόγους περὶ συνουσίας προσφέρειν. καὶ πειραθῆναι, τὸ ἀκοῦσαι λόγους τοιούτους.

Πειράναντες, ἀντὶ τοῦ περατώσαντες, ἐκδήσαντες. καὶ ἔστι τὸ ἐξ αὐτοῦ πειρήναντες, σύστοιχον, τῷ ἐκ δ᾽ αὐτοῦ πείρατ᾽ ἀνῆφθαι. πρωτότυπον τοῦ πειράναντι, τὸ περαίνω.

Πεῖραρ, πέρας, τέλος. τὸ μὲν πέρας τοῦ χοινίου, πεῖραρ ἐπαλλάξαντες ἐπ᾽ ἀμφότερα τάνυον. ἐπὶ δὲ τοῦ πέρατος, πεῖραρ οἰζύος. καὶ πείρατα, ἐπὶ μὲν τῶν δεσμῶν, ἐκ δ᾽ αὐτοῦ πείρατ᾽ ἀνῆφθη. ἐπὶ δὲ τοῦ πέρατος, ἐς ἠλύσιον πεδίον, καὶ πείρατα γαίης.

Πεῖραρ ἑλέσθαι, ἀρετὴν δηλοῖ καὶ μάρτυρος, καὶ κριτοῦ ἀγαθοῦ, οἳ πέρας οἴδασι τιθέναι τοῖς πράγμασι.

Πειραστὴς, ὁ πειράζων δαίμων.

Πειρατεία, ἡ λῃστεία.

Πειρατέον, δεῖ πειρᾶν.

Πειρατήριον, ἀπὸ τοῦ πεῖρα, ὃ σημαίνει τὴν ἐμπειρίαν. τοῦτο δὲ γίνεται παρὰ τὸ πείθω, τὸ καταπείθω, ἢ παρὰ τὸ πειρῶ τὸ τελειῶ.

Πειρατὴς, καταποντιστὴς, κατὰ θάλασσαν, λῃστῶν. πεῖρα γὰρ ὁ δόλος, καὶ ἡ ἀπάτη καὶ ἡ τέχνη. ὅθεν καὶ πειραταὶ, οἱ κατὰ θάλατταν κακοῦργοι.

Πείρειν, παρ᾽ Ἀπολλωνίῳ, τὸ διαπλέειν. καὶ διαπερᾶν, ὡς τὸ ἀλγινόεντα κύματα πείρων. ἀλλαχοῦ δὲ καὶ τὸ διατρυπᾶν, ὡς τὸ σπλάγχνα δ᾽ ἄρ᾽ ἐμπείραντες.

Πειρεσιαὶ, πόλις Μαγνησίας. Μάγνησα δὲ, πόλις τῇ χώρᾳ ὁμώνυμος.

Πειρηθεῖμεν, ἤτοι πειρηθείημεν.

Πειρηθῆναι Ἕκτορι, δοτικῇ συντέτακται παρ᾽ Ὁμήρῳ, διὰ τὸ μέτρον ἀντιπτωτικῶς, δακτύλου χάριν.

Πείρηθοι, Νύμφαι ἐν Κύπρῳ.

Πειρήνη, ὄνομα πηγῆς καλλιρρόου. λαὸς δ᾽ ἔχω πολιῆτιν Ἀζώνοιο Κορίνθου, Πειρήνης λαχὼν φαιδροτέραν λιβάδων.

Πείρησαι, ἀντὶ τοῦ ἀπόπειραν λάβε. παρὰ τὸ πειράζω, ἢ παρὰ τὸ πειρῶ πειρᾷς ἐπείρασα, καὶ τὸ προστακτικὸν πείρασαι, καὶ ἰωνικῇ πείρησαι, προπαροξύτονον προστακτικόν.

Πείρησαν, δοκιμὴν, ἢ ἀπόπειραν ἔλαβον.

Πειρῆσθαι, ἐσθ᾽ ὅτε λῃστεῦσαι.

Πειρήσω, ἔχει καὶ παθητικὴν κίνησιν ἐν ἄλλοις παρὰ τῷ Ποιητῇ.

Πειρητίζειν, ταυτὸ τῷ πειρᾶσθαι. γίνεται δὲ ἀπὸ τοῦ πεῖραρ πείρατος, κατὰ τροπὴν φωνήεντος ἔθιμον.

Πειρητίζειν, ἐκ τοῦ πειρῶ πειρήσω πειρητὸς. ὅθεν πειρητῶ, ὡς ἀπέκτως ἀπακτῶ, καὶ κατὰ παραγωγὴν πειρητίζω, ὁμοίως τῷ πολεμῶ πολεμίζω.

Πειριεῖς, νῆσοι, ἡ καὶ ἀστερία.

Πειρίθους, φασί τινες ὅτι Ἀθηναῖος ἦν ἀνὴρ, Ἰξίονος υἱὸς, ἐν Θετταλίᾳ βασιλεύσαντος. ἀπὸ δὲ τοῦ περιθέειν οὕτως ὠνόμασται, οἱονεὶ ὁ περιττὸς εἰς τὸ θέειν. ὁ δὲ μῦθός φησι, τὸν Δία ὁμοιωθέντα ἵππῳ περιθέειν τὴν αὐτοῦ μητέρα πειρῶντα, κἀντεῦθεν κληθῆναι περίθοον, καὶ πλεονασμῷ τοῦ ι, Πειρίθοον. ὅτι Δῖα ἐκαλεῖτο ἡ τοῦ Πειριθόου μήτηρ. καὶ ὅτι ὡς Πάνθοος Πάνθους, οὕτω καὶ Πειρίθοος Πειρίθους, καὶ Δωρικῶς Πειρίθοος διὰ τοῦ η ὡς πλάων πλήων, μείων μήων.

Πείρινθα, εἶπεν ὁ Ποιητὴς, τὸ τῆς ἁμάξης ἄνω τοῦ ἄξονος φορτοφόρον πλινθίον, ἐς πείρινθα δίφρου, ἔνθα ὁ διφρηλάτης ἐκάθητο. ὡς καὶ ἐκεῖ ὁ ἁμαξηλάτης, τὰ βασιλικὰ δῶρα τίθησιν, παράγεται δὲ ἀπὸ τῆς περὶ προθέσεως, καὶ τοῦ θῶ τὸ τίθημι. λέγεται καὶ ὑπερτερία, ἐπὶ τῆς κατὰ τὴν Ναυσικάαν ἁμάξης, ὅπερ οἰκεῖον ἐσχάραν καλοῦσι. ζητητέον δὲ, εἰ πείρινς πείρινθος, ἡ εὐθεῖα τῆς λέξεως ταύτης, εἴτε τὸ πείρινθον.

Πειρῶ, ὡς ἐπιτοπολὺ συντάσσω, αἰτιατικῇ συντασσόμενον. εὕρηται δὲ καὶ ἀντὶ τοῦ δοκιμάζω, αἰτιατικῇ καὶ αὐτό. καὶ πρὸς γενικὴν παρὰ Θουκυδίδῃ, ὡς τὸ πειράσαντες τοῦ χωρίου. καὶ ἀντὶ τοῦ δοκιμάζω δὲ, παρ᾽ αὐτῷ πολλάκις εὑρίσκεται.

Πείρω, τὸ σουβλίζω, καὶ κεντῶ.

Πειρῶμαι, ἀντὶ τοῦ πεῖραν λαμβάνω.

Πειρῶν, προσβάλλων, συνουσιάζων, τῆς Κορινθίας φησί. τοῦτο γάρ ἐστι τὸ πειρᾶν. Ἀριστοφάνης Πλούτῳ, ὅταν μέν τις αὐτὰς πένης πειρῶν τύχῃ, οὐδὲ προσέχειν τὸν νοῦν.

Πείρων, τοῖς κύμασι προσνεμητέον. τοῖς δέ γε πολέμοις ἐπιλογιστέον οἰκεῖαν τινὰ ἑτέραν μετοχήν. συνήθη δὲ τῇ ποιήσει ταῦτα. ὁποῖον σὺν πολλοῖς ἄλλοις, καὶ τὸ σῖτον καὶ οἶνον ἔδοντες. Πάμφιλος δέ φασι περισπᾷ τὸ πειρῶν, παράγων εἰς ὁμοιότητα τὸ περόωσι, καὶ τὸ περάει μέγα λαῖτμα. ἀφ᾽ ὧν φησιν εἶναι τὸ πειρῶν. τὴν γὰρ τοῦ ι πρόσθεσιν μὴ ἐξαλλάσσειν τὸν τόνον. Ἀρίσταρχος δὲ βαρύνει, ὡς τὸ κείρων ἐν Ὀδυσσείᾳ λέγεται, παννύχιον πεῖρε κέλευθον. ὡς ἐν ἔκειρε κείρων, οὕτως ἔπειρε πείρων. διαστῶσιν οὖν οἱ παλαιοὶ, ὅτι τὸ μὲν σὺν τῷ ι, βαρυνθήσεται, τὸ δὲ χωρὶς τοῦ ι, περισπασθήσεται.

Πειρῶνται, πειράζονται διὰ λόγων.

Πειρῶν τύχῃ, Ἀττικῶς ἀντὶ τοῦ πειρᾷ.

Πείρσεια, πόλις.

Πείσαντες, ποτίσαντες, ὑγράναντες.

Πείσεα, τὰ ὑδρηλὰ χωρία, τοὺς καθύγρους τόπους. ἀπὸ τοῦ εἶναι ἐν αὐτοῖς πεῖσαι, ὅ ἐστι ποτίσαι.

Πείσεσθαι, παθεῖν.

Πείσεται, ὑπομενεῖ.

Πείσῃ. Ὅμηρος, τῷ δὲ μάλα ἐν πείσῃ κραδίη μένε. ἤγουν τὸ ῥηθὲν ἦτορ τετληυῖα. ἔστι δὲ τὸ πείσῃ, ἀντὶ τοῦ πειθοῖ, ἀπὸ εὐθείας τῆς ἡ πεῖσα. ἅπαξ δὲ ἐν τῷ Ὀδυσσείας υ´ κεῖται.

Πείση, πεισματικὴ χάρα.

Πεισιανάκτειος στοὰ, ἡ ἀπὸ Πολυγνώτου ζωγράφου, ποικίλη κληθεῖσα.

Πεισοθάνατος, ὁ Ἡγησίας ἐλέγετο.

Πεῖσιν, τὴν πειθὼ, ἡ εὐθεῖα ἡ πεῖσις.

Πείσματα, τὰ ἀγκύρεια σχοινία. παρὰ τὸ πείθεσθαι δι᾽ αὐτῶν τὴν ναῦν.

Πεισμονὴ, τὸ πεισθῆναι τοῖς λέγουσι περιπέμπεσθαι.

Πεισόμενον, παθεῖν μέλλοντα.

Πείσεα, λειμῶνες, ἕλη, πέδη, ποταμοὶ πιώδεις, ὑδατώδεις τόποι.

Πειστέον, δεῖ πείθεσθαι, ἢ πιστεύειν.

Πειστὴρ, ὁ ὑπήκοος.

Πειστικῶς, πειθηνίως.

Πείχισον, δοκίμασον.

Πειώλης, ὁ πόρνος, * ὁ διὰ τὸ πέος ἀπολλύμενος, ἀπὸ τοῦ πέος, καὶ τοῦ ὄλω.

Πέκειν, τὸ κείρειν ἢ ξαίνειν λέγεται. ὅθεν καὶ ὁ πόκος, καὶ τὸ πέσκος, ὃ δηλοῖ τὸ πεκόμενον δέρμα. ἐξ οὗ καὶ τὸ ἐκ κωδίων ὡς ἐπέχθη. ὃ κεῖται παρὰ τῷ κωμικῷ. καὶ πόκον πέξω εἰς χλαῖναν, ἀντὶ τοῦ κερῶ ἔρια, ἵνα ποιήσω χλαῖναν. καὶ πέκειν κυρίως, τὸ ξαίνειν.

Πέκειν ἔρια χερσὶ, τὸ ἐπιμελεῖσθαι. καὶ ὡς ἄν τις εἴπῃ, κτενίζειν κατὰ τὸ, ἐκτενίζομεν τρίχας, τοῦτο δὲ καὶ ἀσκεῖν λέγεται, ὡς τὸ ἤσκειν ἔρια καλά, ἐκ τοῦ πέκειν ὁ πόκος εἴρηται. καὶ αἶγες δὲ ὧν εὐγενὲς τὸ ἔριον ἐργαλείῳ τινὶ σιδηρῷ πέκονται.

Πέκος, δέρμα, κώδιον. ἐξ οὗ καὶ πεκτῆρες. τὸ δ᾽ αὐτὸ καὶ πέσκος.

Πέκτειν, πυκάζειν, κείρειν τὰ θρέμματα.

Πεκτῆρες, οἱ τὸ δέρμα τίλλοντες.

Πεκτούμεναι, τιλλόμεναι, ξεόμεναι.

Πέκω, τὸ ὄϊς κείρω. ὅθεν καὶ πόκος.

Πελάγια, τὰ κρόταλα. οἱ δὲ ῥίνη πελαγία.

Πελαγίζει, εἰς πέλαγος καθιστᾷ μεταβατικῶς. καὶ πελαγίζει, ἀντὶ τοῦ πλατύνεται ἀμεταβάτως. ὡς ὁ Θεολόγος, πελαγίζει δὲ ὁ λόγος, οὐχ ὁρῶν ὅρμον φαινόμενον.

Πελαγίζειν, τοὺς ὀδόντας συγκρούειν, καὶ ἀλαζονεύεσθαι, καὶ ψεύδεσθαι μεγάλα.

Πελαγιζούσαις, εἰς πέλαγος πλευσάσαις. πελαγιζούσαις δὲ ταῖς ναυσὶ, συνέβη τὰς πλείους καταδῦναι.

Πελαγιῶτις, λίμνη.

* Πελαγονία, χώρα Σικελίας.

Πέλαγος, τὸ μὴ πέλας γῆς. ἢ παρὰ τὸ τῆλε, ὃ σημαίνει τὸ πόρρω καὶ τὸ γῆ, τήλεγός τι ὂν, τὸ πόρρωθεν τῆς γῆς.

Πέλαγος μέγα μετρήσαντες, ἀντὶ τοῦ διαπεραιωσάμενοι.

Πελάζει, πλησιάζει. πελάσαι, πλησιάσαι, ἐγγίσαι.

Πελαία, τοπικόν.

Πέλαινα, πόπανα, μειλίγματα.

Πέλωρον, τὸ ἐφικτόν, μέγιστον.

Πέλαν, τὴν πορφυρᾶν οἶν φασὶν οἱ Δωριεῖς. τὴν μέλαιναν γὰρ τοῦ σώματος ἐπιφάνειαν, ἡνίκα ἂν διεκδρομὴν ὕδατος μελαίνηται, πελείαν καλοῦσι.

Πέλανοι, πέμματα ποιά. Ἀττικοὶ δὲ πᾶν τὸ πεπηγὸς, οὕτω λέγουσι.

Πέλανος, ὁ διαπεπηγμένος, καὶ ῥυπαρὸς κατὰ Ἀττικούς. ὡς καὶ Εὐριπίδης. στόματος ἀφρώδη

ἔτι

ἔτι πέλανον. φησὶ δὲ τοὺς ἀκαθάρτους, καὶ ὠτειλὰς ἄρνας. οὓς ὁ Θεόκριτος δωρικοὺς φησι.

Πέλανος. ἰστέον ὅτι τὸν πέλανον ἐν τῷ πυρὶ ἔρριπτον. τὰ δὲ πόπανα καὶ τοὺς πλακοῦντας, καὶ τὰ ἄλλα ἐν μέρει τοῦ βωμοῦ ἐτίθεσαν. ἢ πέλανος, ἑρμηνεία ἐστὶ τοῦ προθύματα, καὶ τῶν ἄλλων, παρὰ τῷ Ἀριστοφάνει ἐν πλούτῳ.

Πέλανον, ἀφρόν. τὸν περὶ τὴν γῆν ἀφρὸν, ἢ τὸ σῶμα τι πλακουντῶδες.

Πέλανορ, τὸ τετράχαλκον. Λάκωνες.

Πελαργᾶν, τὸ νουθετεῖν ἐκάλει ὁ Πυθαγόρας.

Πελαργικὲ, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ πελασγικέ. ἅμα δὲ ἴσως καὶ παρὰ τὸν πελαργὸν, καὶ ὅτι ὁ Ποσειδῶν πελάγους ἔφορος.

Πελαργικοὶ νόμοι, διὰ τὸ ἀντεκτρέφειν τοὺς γονεῖς. οὕτως Ἀριστοφάνης.

Πελαργικὸν, τὸ ὑπὸ Τυῤῥηνῶν κατασκαφὲν τεῖχος. οὓς καὶ θεασάμενοί τινες, Πελαργοὺς ὠνόμασαν, διὰ τὰς σινδόνας ἃς ἐφόρουν.

Πελαργοὶ, δικαιοπραγεῖς ὄντες ἐπὶ πτερῶν βαδίζουσι τοὺς πατέρας γεγηρακότας βαστάζοντες. περὶ μὲν οὖν τὸ τοὺς πελαργοὺς ἀντεκτρέφειν τὸν πατέρα, Ἀριστοτέλης ἱστορεῖ, προθεὶς αὐτοῖς καὶ τοὺς ἀέροπας, λέγων οὕτω, περὶ μὲν οὖν πελαργῶν, ὅτι ἀντεκτρέφονται, θρυλλεῖται παρὰ πολλοῖς. φασὶ δὲ καὶ τοὺς ἀέροπας τοῦτο ποιεῖν. ὅθεν καὶ ἀντιπελαργεῖν.

Πελαργὸς κυρίως, διὰ τὸ ἔχειν πτερὰ μελάντερα, ἢ λευκά. πελὸν γὰρ τὸ μέλαν. καὶ ἀργὸν, τὸ λευκὸν, οὕτω καλεῖσθαι τὸ ζῶον.

Πελαργὸς, ἄγγος τι κεράμεον.

Πέλας, καὶ τοπικὸν, καὶ χρονικὸν, καὶ ἐπὶ συγγενείας, καὶ γείτων, καὶ ἐγγὺς, καὶ πλησίον.

Πελάσαι, ἐγγίσαι, πλησιάσαι.

Πελασγία, ἡ Θεσσαλία, ἀπὸ Πελασγοῦ τοῦ βασιλεύσαντος ἐκαλεῖτο.

Πελασγίδ' ἤραν Ὁμηρικῶς εἶπεν Ἀπολλώνιος, ἐκ τῆς θεσσαλικῆς χώρας. Πελασγοὶ γὰρ ἐλέγοντο, οἱ τὴν Φθιωτικὴν κατοικοῦντες. ὥς φησιν Ὅμηρος. καὶ ὅσσοι τὸ πελασγικὸν Ἄργος ἔναιον.

Πελασγικὸν Ἄργος, τὸ θετταλικὸν λέγει ἀπὸ Πελασγῶν, οἱ πολυπλάνητοι ὄντες, ὡς πολλαχοῦ δηλοῦται, ᾤκησαν καὶ ἐκεῖ. ὅτι δὲ Ἄργος οὐχ ἓν, ἀλλὰ πολλὰ, δηλοῦται ἀλλαχοῦ. ὅτι δὲ πελασγικὸν ἦν, καὶ τὸ πελοποννήσιον Ἄργος, καὶ Εὐριπίδης δηλοῖ, παρ' ᾧ ἱστορεῖται, καὶ ὡς ἐφθάσαν οἱ ἐκεῖ πάλαι μὲν Πελασγοὶ, Δαναοὶ κληθῆναι ὕστερον.

Πελασγοὶ, οἱ Θεσσαλοὶ, ἀπὸ Πελασγοῦ τοῦ Ἰνάχου, ἢ ἀπὸ Πελασγῶν ἔθνους βαρβαρικοῦ οἰκησάντων τὴν Θεσσαλίαν καὶ τὸ Ἄργος, ἢ ἀπὸ Πελασγοῦ τοῦ Ποσειδῶνος υἱοῦ καὶ Λαρίσσης. Στάφυλος δὲ ὁ ναυκρατίτης Πελασγόν φησιν ἀργεῖον τὸ γένος, μετοικῆσαι δὲ εἰς Θεσσαλίαν, καὶ ἀπ' αὐτοῦ Πελασγίαν τὴν Θεσσαλίαν κληθῆναι. ὅτι δὲ καὶ αὐτοὶ οἱ Ἀργεῖοι ἐκαλοῦντο Πελασγοὶ, Σοφοκλῆς ἐν Ἰνάχῳ φησὶ, καὶ οἱ Τυρσηνοὶ Πελασγοί.

Πέλας σου, ἤγουν πλησίον σου, τοῦτο κοινὸν, ἐκεῖνο ποιητικόν.

Πελάτης, ὁ διὰ τὴν ἀναγκαίαν τροφὴν μισθοῦ δουλεύων, ὁ ἀντιστρέφων, καὶ ὑπηρετῶν, ὡς τὸ συναγανακτεῖν τοῖς πελάταις, κατὰ πλῆθος ἐληλυθόσιν, ὑπηρέτην σε καὶ θεράποντα δηλοῖ.

Πελάχνην, βυβλίον ἐκπέταλον.

Πελδασταὶ, ἢ πελτασταὶ, οἱ τὰ ἀσπιδίσκια ἔχοντες.

Πελεθὸν, βῶλον λέγει Ἀριστοφάνης.

Πελεθόβαψ, Θεόδωρος ὁ κωμικὸς ὑποκριτὴς οὕτως ἐπεκαλεῖτο. τινὲς δὲ Ποιητὴν αὐτόν φασι γεγονέναι.

Πελάθρισμα, τὸ δρόμημα.

Πέλεθρον, μέτρον γῆς, ὅ φασι μυρίους πόδας ἔχειν. τινὲς δὲ σταδίους ἑκατόν.

Πελεθρόνιον, ποτὸν φάρμακον. καὶ πελεθρόνιος ὁ Χείρων, ἀπὸ τοῦ πελεθρόνου,* ὄρους Θετταλίας. ἐν ᾧ ἐτράφη.

Πέλεια, οὐχ ἁπλῶς περιστερὰ, εἶδος δέ τι περιστερᾶς μελαντέρας, ὡς ἡ λέξις ὑποδηλοῖ. πελὸν γὰρ τὸ μελανίζον, ἐξ οὗ ὁ πελαργός.

Πέλεια, περιστερᾶς εἶδος, ὅμοιον φάττῃ, ὥς φησιν Ἀριστοτέλης.

Πέλει, ὑπάρχει, ἐστί.

Πελειάδες, περιστεραί. καὶ πέλειαν, περιστεράν. παρὰ τὸ πελὸν, ὃ σημαίνει τὸ μέλαν, καὶ πελειάς, καὶ πελειάδα χειρὶ μεμαρπώς. ὥσπερ παρὰ τὸ μαῖα γίνεται μαιάς, οὕτω καὶ παρὰ τὸ πέλεια, πελειάς, οὕτως ὁ Χοιροβοσκός.

Πελειοθρέμμονα νῆσον. Ἀριστοτέλης φησὶ διατρέφειν περιστεράς, καὶ πελειάς.

Πελεκᾶν τι, παρὰ τῷ Ἀριστοφάνει, μήποτε πελέκας προσενεκτέον, ὡς αἰγίθαλος. ὁ δὲ πελεκῖνος τῷ πελεκᾶν τι προσέῤῥιπται. πελεκὰν μέντοι πελεκᾶνος κοινῶς. πελεκᾶς δὲ πελεκάντος Ἀττικῶς, πελεκᾶς πελεκᾶ, δωρικῶς, ὄνομα ὀρνέου ξυπῶντος τὰ δένδρα. ἀφ' οὗ καὶ δενδροκολάπτης καλεῖται.

Πελέκεα, πέλεκυν δίστομον.

Πελέκεων, οὐ μία σημασία. δηλοῖ γὰρ ἡ λέξις ὁμωνυμίας λόγῳ κατὰ τοὺς παλαιοὺς, καὶ σταθμὸν ἐν Κρήτῃ ἑξάμνουν, ἢ δεκάμνουν. ὅρα δὲ τὸ ἑξάμνουν καὶ δεκάμνουν καινῶς παρασχηματισθὲν ἐκ τῆς μνᾶς. ἐκείνης γὰρ ἡ ἀνάλογος παραγωγὴ, μναῖος καὶ μναῖον εἶναι ὤφειλεν. Ἀριστοτέλης δὲ, μναιαῖος ἔφη φυλάξας τὴν τετραγράμματον ἀρχὴν, ἥπερ ἦν μνᾶ.

Πελέκκησι, διὰ τὸ μέτρον διπλάζει τὸ κ, ὡς καὶ ἡμιπέλεκκα. ὅτι δὲ πελεκᾶν μὲν ἐπὶ ξύλων, πελεκίζω δὲ, ἐπὶ προβάτων καὶ βοῶν, καὶ ὅλως ζώων, καθωμίληται τοῖς γραμματικοῖς.

Πέλεκκον, οὐδετέρως ὁ στειλειὸς, τουτέστιν ἡ λαβὴ τοῦ πελέκεως, ἤτοι τῆς ἀξίνης, ὡς καὶ ἐν τῷ ἡμιπέλεκκα. ἐκεῖνα γε μὴν στειλειοὺς δηλοῖ, ἀλλὰ μικρούς τινας πελέκεας.

Πέλεκυς, παρὰ τοῖς ὕστερον πέλυξ.

Πέλεκυς, παρὰ τὸ πέλειν ὠκύς. τὸ γὰρ πέλω σημαίνει καὶ τὸ γίνεσθαι, καὶ εἶναι, σημαίνει καὶ ἀναστρέφεσθαι. ὅθεν ὁ μέλλων πελήσω. ἐξ οὗ καὶ πόλος, ὁ οὐρανός.

Πέλεκυς, ἀξίνη δίστομος, ἢ σταθμίον ἑξαμνιαῖον ἀρχαῖον. οἱ δὲ, δωδεκαμνιαῖον.

Πέλεκυς πελέκεως, τὸ τεκτονικὸν ἐργαλεῖον.

Πελεκύστερον, τὸν στελεόν.

Πελεκᾶν, πελεκῆσαι ξύλα. πελεκίζω δὲ, τὸ μετὰ τῆς σπάθης κόπτω.

Πελεμίζειν κυρίως τὸ παλάμῃ κινεῖν. ὅθεν ἴσως καὶ πόλεμος ὁ καὶ παλαμναῖος, καὶ παλαμναίων δεόμενος. προσφυὴς δὲ ἡ λέξις ταῖς δὲ ἠρεμαία κινήσει ὀλύμπου. ὡς τὸ ἐλελίζειν, οὕτω καὶ πελεμίζειν.

Πελεμίζω, παρὰ τῷ Ποιητῇ, τὸ κινεῖν καὶ μετακινεῖν. ἐντεῦθεν ἴσως γίνεται καὶ ὁ πόλεμος, ὡς οἱονεὶ πέλεμος, οἷα κινῶν, ἢ καὶ πολλοὺς τοῦ βίου μετακινῶν.

Πελεμίχθη, ἐκινήθη, ἐσείσθη. ἐκ τοῦ πελεμίζω, τὸ κινῶ ἀχρήστου ῥήματος.

Πέλεν, ἦν, ὑπῆρχε.

Πελένα, ζεῦγος βοῶν.

Πελεός. Ἀχαιὸς, ἐν Φρίξῳ καὶ μήποτε τὴν παρ' Ὁμήρῳ πελλόν. δύναται δὲ καὶ τὰ πέλη τὰ ἐν Θεσσαλίᾳ λεγόμενα δηλοῦν.

Πελεσόθρην, νῆσον τὴν Σαλαμινίαν.

Πελεσύδραι, συστρέμματα ὑδάτων.

Πέλεται, ὑπάρχει, γίνεται.

Πελλήνη, ὄρος Θράκης, καὶ πόλις, ὅθεν ἦν Πρωτεύς.

Πέληρ, περιστερᾶς, καὶ περσικῆς τὸ ἥμισυ. Λάκωνες.

Πέληται, γένηται.

Πελητὸς, γέρων.

Πελιανὸν, μολύβδῳ ἐοικὸς, κατὰ τὴν χρόαν.

Πελιγᾶνες, οἱ ἔνδοξοι. παρὰ δὲ Σύροις, οἱ βουλευταί.

Πελίγξαι, ἐπιδραμεῖν.

Πελιδνὸν, μέλαν. λέγεται δὲ καὶ πελιδνὸν παρὰ Θουκυδίδῃ, καὶ πελιδνωθεῖσα, ὠχριάσασα. καὶ πελιδνουμένη, ἀντὶ τοῦ μελαινομένη. πελιδνὸν δὲ, τὸ μεταξὺ ὠχρότητος, καὶ μελανίας, οἱονεὶ μολιβδόχρουν, παρὰ Θουκυδίδῃ.

Πελικὰν, εἶδος πελεκάνου ξυλίνου, διὰ τὸ πεπελεκίσθαι. ἄλλοι, ξυλίνη λεκάνη.

Πελιναῖος, Ζεὺς, ἐν Χίῳ.

Πελιοὶ, μέλανες, ὠχροί.

Πελιώματα, τὰ ἴχνη τῶν πληγῶν.

Πέλλα, τὸ σκυφοειδὲς ἀγγεῖον, ὃ πυθμένα εἶχε πλατύτερον, εἰς ὃ ἤμελγον τὸ γάλα, ἐκ τοῦ πελεκῶ γίνεται, ὡς ξύλινον οἱ παλαιοὶ δηλοῦσι. χρῆσις δὲ αὐτῆς, καὶ ἐν τῷ περιγλαγέας κατὰ πέλλας. ὅθεν πελλὶς καθ' ὑποκορισμόν. Ἱππῶναξ, ἐκ πελλίδος πίνοντες.

Πέλλα, λίθος.

Πέλλαι, ἀγγεῖα ποιμενικὰ, ὡς ἀπὸ τοῦ πεπελεκίσθαι τοὺς παλαιούς.

Πελλαῖον, ὄρος. καὶ πελλαῖος, ὁ ἐκ Πέλλης πόλεως Μακεδονίας. ὅθεν πελλαῖος Ἀλέξανδρος.

Πελλασταὶ, ὑποδήματα, ἃ περιετίθεσαν οἱ δρομεῖς περὶ τὰ σφυρὰ, ἵνα μὴ ἔξω στρέφωνται.

Πελλαιχρὸν, ἢ πελλαιχνὸν, πυῤῥόν.

Πελλάνιος, Ποσειδῶν ἐν Κυρήνῃ.

Πέλλας, πέλλητος, πρεσβύτης.

Πελλαντῆρα, ἀμολγέα.

Πελληναῖος χιτὼν, ἐπὶ τὸν παλαιὸν φοροῦσαν ἱμάτιον. ἐν δὲ Πελλήνῃ διάφοροι χλαῖναι ἐγίνοντο.

Πελλὴν, κύφην καὶ φαιὰν τῷ χρώματι.

Πελλήνη πόλις Ἀχαΐας, καὶ τὸ ἐθνικὸν, Πελληνεὺς, καὶ Πελλήνιος. Παλλήνη δὲ διὰ τοῦ α πόλις ἐστὶ τῆς Θράκης, καὶ χεῤῥόνησος τρίγωνος, ἡ καὶ Φλέγρα λεγομένη, περὶ ἣν Ἡρακλῆς τοὺς γίγαντας κατεπολέμησεν. ὁ δὲ Γεωγράφος φησὶν, ὅτι μετὰ Σικυῶνα Πελλήνη κεῖται, εἶτα Αἴγειρα δευτέρα, τρίτη Αἰγαί. ἃς καὶ Αἰγὰς λέγουσι Ποσειδῶνος ἱερὸν ἔχουσα τέταρτα βωμὰ, μεθ' ἣν Ἑλίκη. μετὰ δὲ αὐτὴν Αἴγιον, καὶ Πατρεῖς, εἶτα Ὤλενος. παρ' ᾧ ποταμὸς μέγας Μέλας, εἶτα Δύμη κληθεῖσα, διὰ τὸ δυσμικωτέρα κεῖσθαι. πρότερον γάρ φασι Στρατὸς ἐκαλεῖτο. ἔστι δὲ κώμη Πελλήνη. ὅθεν καὶ πελληνικαὶ χλαῖναι, ἃς ἔπαθλα ἐτίθεσαν ἐν τοῖς ἀγῶσιν, ὡς ὁ Κωμικὸς δηλοῖ ἐν ὄρνισι.

Πέλληνον, στέφον.

Πέλληρ, πολυφάγος, ἀμολγός. καὶ πελλητῆρες ὁμοίως.

Πέλλιξ, κρανός.

Πελλὶς, ἢ πελλὰς, λεκάνη.

Πελλὸς, ἔνθα τυρὸν κατασκευάζουσι, γάλα ἀμέλγοντες, σκάφη τίς.

Πελλὸν, φαιὸν χρῶμα ἐμφερὲς τῷ πελιδνῷ.

Πελλοπλαύραστον, ὀξύθυμον, ἢ ἔκλυτον.

Πελλύρον, μετέωρον.

Πελλυταὶ, οἱ δεσμοὶ οἱ περὶ τὰ σφυρὰ, καὶ τοὺς ἀστραγάλους τῶν δρομέων περιειλισσόμενοι, εἰς τὸ μὴ ἐκστραφῆναι.

Πέλμα, παρὰ τὸ πεπιλῆσθαι πλέον τοῦ λοιποῦ σώματος, ἢ παρὰ τὸ πέλας ἀεὶ καθεστάναι τοῦ ποδός.

Πελοπίδαι, Ἀγαμέμνονος γένος.

Πελοποννασιστὶ, ἀντὶ τοῦ πελοποννησιστὶ Δωρικῶς.

Πελοπόννησος, τὸ ἀρχαῖον Αἰγιάλεια ἐκαλεῖτο, ἀπὸ Αἰγιαλέως τοῦ υἱοῦ Ἰνάχου, τοῦ ἐν Ἄργει ποταμοῦ, καὶ Μελίας τοῦ Ὠκεανοῦ. ὕστερον δὲ πάλιν Ἀπία ἐκλήθη, ἀπὸ Ἄπιδος τοῦ Φορωνέως παιδός. εἶθ' οὕτως Ἄργος, ἀπὸ Ἄργου τοῦ πανόπτου, τελευταῖον δὲ πάντων Πελοπόννησος, ἀπὸ τοῦ κρατῆσαι τῆς χώρας τὸν Ταντάλου υἱὸν Πέλοπα.

Πελτασταὶ, τοξόται, οἱ τοὺς ξυστοὺς κατέχοντες.

Πέλται, λόγχαι, καὶ ἀσπίδες τετράγωνοι. καὶ καταπέλται.

Πέλτον, θωρακικὸν ὅπλον, καὶ εἶδος τείχους. ἢ ἀσπὶς ἴτυν μὴ ἔχουσα.

Πέλτη ἀσπὶς ἦν, δέρματι κεκαλυμμένη αἰγὸς, ἢ οἰός.

Πέλω, εἰμὶ, δίδωμι, γίνομαι.

Πελωριάει, φανερῶς ποιεῖ.

Πέλωρ πέλωρος πελώριον, καὶ ἔλωρ ἔλωρος ἐλώριον. ἀλλὰ πέλωρ μὲν κοινόν ἐστι τῷ γένει. ἔλωρ δὲ, μόνως οὐδέτερον. οἷον Πατρόκλοιο δ' ἔλωρα

με-

μενοιτιάδαο. δύο γὰρ φασὶ μόνα οὐδέτερα εἰς ωρ, ὕδωρ καὶ ἔλωρ. ὧν τὸ μὲν διὰ τοῦ ρ κλίνεται, τὸ δὲ διὰ τοῦ τ.

Πέλω, βαρυνόμενον μὲν, σημαίνει τὸ ὑπάρχω. περισπώμενον δὲ, τὸ προσεγγίζω.

Πέλωρ, σημαίνει τὸ ἐξαίσιον καὶ φοβερόν.

Πελωρὶς, νῆσος, ἢ τόπος, ὡς Διονύσιος ὁ περιηγητής. λέγεται δὲ πελωρὶς, καὶ εἶδος ὀρνέου παρὰ τὸ πέλωρον, ὃ σημαίνει τὸ μέγα.

Πέλωρον, τρεῖς πολλαχοῦ ἔχει κινήσεις. λέγεται γὰρ πελώριον, καὶ πέλωρ, καὶ πέλωρον, ἤγουν μέγα καὶ τεράστιον.

Πέλωρος, πρωτότυπον τοῦ πελώριος. καὶ ἐκ τῆς τοιαύτης λέξεως καὶ πελωρὶς, οὐ μόνον σικελικὸν ἀκρωτήριον, ἀλλὰ καὶ χόας εἶδος ἐκδηλόπιστον ἐκ τῶν παλαιῶν, παρ' οἷς καὶ Διὸς ἐπίθετον ὁ πέλωρος. καὶ πελωρία, ἑορτὴ παρώνυμος αὐτοῦ.

Πέμμασι, πλακούντια. Ἀρριανὸς, οἱ δὲ ξένια ἔφερον, θύννους ἐν κριβάνοις ὠπτημένους, καὶ πέμματα ὀλίγα, καὶ βαλάνους φοινίκων.

Πεμπάδος, πεντάδος, πεμπαζόμενοι, ἐπιστρεφόμενοι, ἐκπληττόμενοι, μετρημονοῦντες.

Πεμπάζειν, τὸ κατὰ πέμπε, ἤγουν πέντε ἀριθμεῖν, αἰολικὴ ἡ λέξις τὸ πέμπε. ὅθεν καὶ πεμπάδαρχον οἱ παλαιοί, καὶ πεμπάδα φασίν. ὅτι ταυτὸν τὸ πεμπάζειν καὶ ἀριθμεῖν δηλοῖ ὁ Ποιητὴς εἰπὼν, ἀριθμήσει, εἶτα ἐπάγει, τὸ πεμπάσεται.

Πεμπὰς, τριακάς.

Πέμπε, οἱ Αἰολεῖς τὰ πέντε φασίν. ὅθεν καὶ πεμπάζειν κυρίως, τὸ κατὰ πεντάδας ἀριθμεῖν. ἐξ οὗ ἀναπεμπάζειν μεταφορικῶς, τὸ ἀναμετρεῖν καὶ ἀναλογίζεσθαι.

Πεμπάσασα, ἐξαριθμήσασα.

Πεμπάσεσθαι, σημαίνει τὸ διελθεῖν, ἐρευνᾶν. τὸ θέμα πεμπάζω.

Πέμπην, τὸ πομπεύειν.

Πέμπελος, γέρων καὶ γραῦς. παρὰ τὸ πέμπεσθαι εἰς τὸν ᾅδην.

Πέμπελον, στωμύλον, λάλον. οἱ δὲ λίαν γηραλέον.

Πέμπελον, τὸν ὑπέργηρων, παρὰ τὸ ἤδη πέμπεσθαι εἰς τὸν ᾅδην. Λυκόφρων δὲ, τὸν Τειρεσίαν λέγει. ἐπειδή φασιν αὐτὸν ἑπτὰ γενεὰς ζῆσαι, ἀπὸ Κάδμου, ἕως δὲ κατωτέρω Ἐτεοκλέους καὶ Πολυνείκους.

Πεμποβόλους, πέντε ὀβελίσκους ἐκ μιᾶς λαβῆς συνεχομένους τριαινοειδῶς.

Πεμπταῖον, τὸ μετὰ τὴν πέμπτην.

Πεμπταμέροις ἁμίλλαις, παρὰ τῷ Πινδάρῳ, ἐπειδὴ ἐπὶ πέντε ἡμέρας ἤγετο τὰ ὀλύμπια ἀπὸ ἑνδεκάτης μέχρις ἑκκαιδεκάτης.

* Πέμπτη, πόλις Αἰγύπτου.

Πέμπω, ἀφίημι, ἐφίεμαι, περιέρχομαι, περισοβῶ, περιπολῶ.

Πέμπω καὶ ἔρχομαι, μετὰ μετοχῆς μέλλοντος συντάσσονται. οἷον ἔρχομαι ποιήσων τόδε. πρωτότυπον δέ ἐστι τῆς θριαμβικῆς πομπῆς τὸ πέμπω. ὅθεν ἡ πομπή.

Πέμπω, τὸ ἀνατέλλω, καὶ τὸ ἀφίημι ἐπὶ βέλους.

Πέμπω σοι γράμματα. μεταπέμπομαι δὲ, καὶ ἀποπέμπομαι αἰτιατικῇ μόνῃ.

Πεμπώβολά φασιν οἱ παλαιοὶ, ὡς οἱ μὲν ἄλλοι τρισὶν ἔπειρον ὀβελοῖς, οἳ λέγοιντο ἂν τριώβολα. μόνοι δὲ οἱ Κυμαῖοι, αἰολικὸν δὲ οὗτοι ἔθνος, πεμπωβόλοις ἐχρῶντο. ἔστι δὲ ἡ τοῦ πεμποβόλου λέξις αἰολικὸν, καθὰ ἡ χρῆσις. πέμπε γὰρ οἱ Αἰολεῖς τὰ πέντε φασίν. ὅθεν καὶ πεμπάζειν κυρίως, τὸ κατὰ πεντάδας ἀριθμεῖν. ἐξ οὗ ἀναπεμπάζειν μεταφορικῶς τὸ ἀναμετρεῖν, καὶ ἀναλογίζεσθαι ἔοικε δὲ τῷ παρὰ τοῖς Κυμαίοις τοῦτο.

Πεμπώβολον δακτύλοις πτύου λικμητικοῦ, ἢ ὀδοῦσι τριαίνης, οἷς ἐνεπείρετο τὸ ὀπτώμενον. ὅρα δὲ ὅπως τὸ μὲν ἁπλοῦν ὀβελὸς διὰ τοῦ ε. τὸ δὲ ἐξ αὐτοῦ σύνθετον διὰ τοῦ ο, ἀπὸ τῆς βολῆς. πεμπώβολον γὰρ, καὶ δηλοῖ ἐργαλεῖόν τι μαγειρικὸν πεντεδάκτυλον.

Πέμφελα, δύσκολα, τραχέα, βαθέα.

Πεμφιγώδεις, ἤτοι νοτίδος μεστοὶ καὶ ὑγρότητος, ἢ καὶ πνευματώδεις, παρὰ τῷ Ἱπποκράτει.

Πεμφίδες πεμφόλιγες, καὶ τῶν ψυχαί.

Πεμφιδώδεις πυρετοὶ, φλεκταινώδεις, πυδματίαι.

Πεμφὶξ, πνοὴ, ψυχὴ, καὶ αἱ τοῦ ἡλίου ἀκτῖνες.

Πέμψις, ἀνεχυρασμός.

Πενεῖν, πενητεύειν.

Πενειαδεῖν, κατεπιστατεῖν.

Πενελόπη, Πενελόπεια, ὥσπερ Ὑψιπύλη, Ὑψιπύλεια, καὶ Περσεφόνη Περσεφόνεια, καὶ Βερονίκη Βερονίκεια. παράγονται δὲ ὁμοίως καὶ ἄλλα πολλά. λέγεται δὲ Πενελόπη ἢ παρὰ τὸ πένεσθαι περὶ τὸ λόπος. λόπος δέ ἐστιν ὕφασμα λεπτὸν κατὰ κρομύου λοπὸν, ὅ φησιν ὁ Ποιητής. ἐξ οὗ κατ' ἔκτασιν λώπιον, καὶ ὁ ἐπιβουλεύων αὐτῷ λωποδύτης, ἢ παρὰ τὸ πήνιον ἑλεῖν. πήνιον δέ ἐστιν ὁ μίτος, ἐξ οὗ καὶ χρυσεοπήνιτον ἄμφιον. καὶ ἐκπηνίζω, ῥῆμα παρὰ τῷ Κωμικῷ. καὶ ἐκπηνιεῖται. ὅ ἐστι μηρύσεται. καὶ κατὰ Παυσανίαν, ἐξειλήσει εἰς πήνιον. καὶ ἔστι κατὰ τὴν ἐτυμολογίαν ταύτην, καὶ Πηνελόπη, κλῆσις ἰσουργῷ γυναικὶ πρέπουσα.

Πενελόπην, Δοῦρις ὁ σάμιος λέγει συγγενέσθαι πᾶσι τοῖς μνηστῆρσι, καὶ γεννῆσαι τὸν Πᾶνα.

Πενέσται, οἱ δοῦλοι τῶν Θετταλῶν, ὡς οἱ τῶν Λακεδαιμονίων εἵλωτες, καὶ τῶν Κρητῶν κλαρόται.

Πενέστας. φασὶ λέγεσθαι τὸ θητικὸν παρὰ τοῖς Θετταλοῖς. ἔθνος δὲ ἦν πάλαι ἀπὸ Πενέστου τὴν ἐπωνυμίαν ἔχον, ὃς ἀνέφερε τὸ γένος εἰς Θεσσαλὸν τὸν Ἡρακλέους.

Πένεται, πονεῖ, ἐνεργεῖ, ἀχρηματεῖ, κάμνει.

Πένης, ὁ ἐξ ἀρχῆς ἐν ἐνδείᾳ ὤν. καὶ πένης σημαίνει τὸν ἐκ πόνου καὶ ἐνεργείας τὸ ζῆν ἔχοντα, παρὰ τὸ πένω τὸ ἐνεργῶ, καὶ πράττω.

Πένης ἐστὶν, ὁ πολλῶν ἐνδεής. οὐ ὁ μετὰ πόνων τὰ ἀναγκαῖα περιποιούμενος. πένης δὲ εἴρηται ἀπὸ τοῦ πονεῖν καὶ ἐργάζεσθαι, πορίζόμενος τὸν βίον. καὶ πένης, ὁ αὐτοδιάκονος.

Πένης, πενητεύω. πενητεία, πενία δὲ διὰ τοῦ ι.

Πένησσα, πτωχή.

Πενθεῖν, ἐπὶ τοῦ λυπεῖσθαι, καὶ ἐπὶ τοῦ μελανειμονεῖν. πενθῶ τὸ τὸν καιρὸν τοῦ πένθους διανύω. πενθῶ δὲ ποιητικῶς τὸν πατέρα, αἰτιατικῇ.

Πενθήριον, τὴν προῖκα. Θάσιοι.

Πενθερὸς, ὁ τῆς γυναικὸς πατὴρ τῷ νυμφίῳ. καὶ πενθερὰ, ἡ μήτηρ. ἑκυρὸς δὲ, ὁ τοῦ ἀνδρὸς πατὴρ τῇ νύμφῃ. καὶ ἑκυρὰ, ἡ μήτηρ.

Πενθήμεναι, τὸ κοινὸν πενθῆναι. ὡς ἀπὸ τοῦ πένθημι, ὡς κίχημι κιχῆναι. ἢ ἀπὸ τοῦ πενθῶ, πενθαίνω. ὁποῖον καὶ τὸ ὀνομαίνειν καὶ φοραίνειν. ἐξ ὧν, ὀνομῆναι καὶ φορῆναι.

Πενθημιμερὴς μέν ἐστι, ὅταν μετὰ δύο πόδας ἀφαιρεθῇ συλλαβὴ ἀπαρτίζουσα εἰς μέρος λόγου. ὡς τὸ μῆνιν ἄειδε θεὰ, καὶ Ἀτρείδη ποῖόν σε ἔπος. ἔχει γὰρ τῶν πέντε τὸ ἥμισυ. ἑφθημιμερὴς δὲ, ὅταν μετὰ τρεῖς πόδας ἀφαιρεθῇ συλλαβὴ ἀπαρτίζουσα εἰς μέρος λόγου. οἷον τὸν δ' ἀπαμειβόμενος προσέφη. καὶ τὸ, Ἀτρείδη ποῖόν σε ἔπος, ἔχει τῶν ἑπτὰ τὸ ἥμισυ. τροχαϊκὴ, ὅταν μετὰ δύο πόδας εἰς μέρος λόγου τροχαῖος ἀπαρτίζῃ. οἷον οἰωνοῖσί τε πᾶσι. τετάρτη βουκολικὴ, ὅταν μετὰ τέσσαρας πόδας ἀπαρτίζηται ὁ στίχος εἰς μίαν συλλαβήν. οἷον Ζεὺς μέν τό γε οἶδε, καὶ Ἀθάνατοι.

* Πενθόλη, πόλις Λέσβου. οἱ πολῖται Πενθηλεῖς.

Πένθος, τὸ μελανειμονεῖν. θρηνεῖν δὲ, τὸ κλαίειν.

Πένθος, διάθεσις ψυχῆς σκυθρωπὴ, ἐπὶ στερήσει τινὸς τῶν καταθυμίων συνισταμένη. ὅπερ ἐπὶ τῶν ἐν ἀθυμίᾳ βιούντων χώραν οὐκ ἔχει, ἡ αἴσθησις ἀλγεινὴ, τῆς τῶν εὐφραινόντων στερήσεως. εἴρηται πένθος, παρὰ τὸ βάθος, καὶ πλεονασμῷ τοῦ ν βένθος καὶ πένθος, τροπῇ τῶν στοιχείων. κυρίως δὲ, ἐπὶ τῶν κατοιχομένων ἐν βαθυτάτῳ εἶναι τὴν ἑαυτῶν λύπην. ὁ δὲ Ἡρωδιανὸς, παρὰ τὸ πάθος πλεονασμῷ τοῦ ν καὶ τροπῇ, πένθος.

Πένθος, ἐκ τοῦ πάθος μεταπλάγη. καθὰ καὶ τὸ βάθος, ἐκ τοῦ βένθος.

Πενία, στέρησις χρημάτων, καὶ κτημάτων.

Πενία καὶ πτωχεία διαφέρουσι. πενία μέν ἐστι, μεμετρημένη ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα. παρὰ δὲ τὸ πένεσθαι, ὅ ἐστιν ἐνεργεῖν εἴρηται, καὶ ἐκ πόνων πορίζειν τὰ χρειώδη. ὁ δὲ πτωχὸς, παρὰ τὸ πτώσσειν πάντας.

Πενιχραλέον, ἀτελὲς, πενιχρὸν, καὶ ψαυστὸν, ὀλίγον δράμα πενιχραλέον.

Πέονα, πτέρνα.

Πένομαι, πένης εἰμί. Ἀριστοφάνης, ὁ Ζεὺς δή που πένεται.

Πενὸν, μεμελανωμένον.

Πένοντο, καὶ ἀμφιπένοντο, ἀντὶ τοῦ ἐνήργουν, καὶ ἠσχολοῦντο. ἀπὸ τοῦ πένω, τὸ κάμνω.

Πενταετηρικὸς ἀγὼν, καὶ πενταετηρὶς μὴ λέγε, ἀλλ' ἀφαιρῶν τὸ α, πεντετηρὶς καὶ πεντετηρικὸς ἀγών.

Πενταέτηρον, πέντε ἐτῶν.

Πένταθλος ἦν, πυγμὴ, δρόμος, δίαλμα, δίσκος, καὶ πάλη.

Πένταθλον, οἱ μέντοι τὰ περὶ ἱερῶν ἀγώνων ἐπισκεψάμενοι, οὕτως ἐμμέτρως τοὺς ἄθλους μετροῦσιν, Ἅλμα ποδὸς, δίσκου τε βολὴ, καὶ ἄκοντος ἐρωὴ, καὶ δρόμος, ἠδὲ πάλη. μία δὲ ἔπλετο πᾶσι τελευτή. καὶ τοῦτό ἐστι φασὶ πένταθλον. ἕτεροι δὲ οὕτως. ἅλμα, πάλη, δίσκευμα, κοντὸν, καὶ δρόμος. εἴδη δὲ δρόμου, δίαυλος, δολιχὸς, τέθριππον, κέλης, ἀπήνη.

Πεντάλεκτρον θυάδα, ἤτοι βάκχον, τὴν Ἑλένην καλεῖ ὁ Λυκόφρων. πέντε γὰρ ταύτην ἔγημαν ἄνδρες, πρῶτος Θησεὺς, ἐπειδὴ ταύτην ἁρπάσας. καθά φησι Δοῦρις ὁ σάμιος, ἀφαιρεθεὶς αὐτὴν ἐν τῷ ὑπαθλῆναι ὑπὸ Πολυδεύκους καὶ Κάστορος τῶν αὐτῆς ἀδελφῶν, ἐν Ἀφίδναις πολύχνιον τῶν Ἀθηνῶν, γεννήσασαν Ἰφιγένειαν, καὶ θετὴν παῖδα τὴν Κλυταιμνήστραν ποιεῖται. εἷς μὲν οὖν Ἑλένης νυμφίος, ὡς ἔφημεν, ὁ Θησεύς. δεύτερος ὁ Μενέλαος, νομίμως ἐκ κλήρου ταύτην λαχών. τρίτος, Ἀλέξανδρος, ἁρπάσας αὐτήν. τέταρτος μετὰ θάνατον Ἀλεξάνδρου Δηΐφοβος, ὁ αὐτοῦ ἀδελφὸς, ἀριστεύσας κατὰ πόλεμον, καὶ ταύτην ὡς ἀριστεῖον λαβὼν, ἢ βίᾳ κατὰ Εὐριπίδην. πέμπτος Ἀχιλλεὺς, πρὸ Δηϊφόβου ὀνείρῳ ταύτῃ μιγεὶς, ὡς ληροῦσιν.

Πεντάπηχυν, πεντάπηχυ, ἑξάπηχυ, καὶ ἑξαέτης, ἐνταῦθα ἀφαιρήσεις τὸ α. ἕξπηχυ, καὶ ἑξέτης, καὶ ἔκπλεθρον, καὶ ἕξπλεθρον λέγε, οὐχ ἑξάπλεθρον.

Πένταχα, εἰς πέντε μέρη. καὶ πεντάχα, ἡ χείρ.

Πεντάχοινον, στάδιον.

Πένταχον, τὸν πάλαρον Βοιωτοί.

Πεντεκοῖται, τοσοῦτοι τοῖς Κωμικοῖς ἔκρινον. οὐ μόνον Ἀθήνησιν, ἀλλὰ καὶ ἐν Σικελίᾳ.

Πεντεκτενῆ, ἐνδύματα. οἷον πριόνων ὀδοῦσιν ἐμφερῆ, πεποικιλμένα.

Πεντέκτενοι, περιπόρφυροι. διὰ τὸ ἐνυφάνθαι περὶ τὰς ὤας, πέντε κτένας πορφυροῦς.

Πεντελεία, ὄρος Ἀρκαδίας. ἐξ οὗ Λάδων ὁ ποταμὸς καταφέρεται.

Πέντε πτύχας, παρ' Ὁμήρῳ δηλοῖ τὴν ἀσπίδα πεντάπτυχον, ὧν πρώτη χρυσῆ, ὡς τιμία. δευτέρα δὲ χαλκῆ, ὡς ἰσχυρά. ὁμοίως χαλκῆ ἡ πέμπτη ἡ ἐνδοτάτη. αἱ δύο τοῦ κασσιτέρου, ὡς συνάπτειν δυνάμεναι τὰς ἑκατέρωθεν πτύχας. διὸ ὁ Ποιητὴς, πεντεπτύχας τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο. ἤτοι ἔνδον τῶν δύο χαλκέων, τὴν δὲ μίαν χρυσῆν, τὴν ἐξωτάτην δηλαδή.

Πεντεστατήριον, πενταετῆ.

Πεντεσύριγγον ξύλον, πέντε ὀπὰς ἔχον, κατὰ τὸ δεσμωτήριον. τέσσαρας μὲν, ὡς εἰς οἱ πόδες καὶ αἱ χεῖρες διηρῶντο. μίαν δὲ, δι' ἧς ὁ τράχηλος.

Πεντετάλαντος δίκη διαγέγραπταί μοι. τὸ πέντε, ἄτρεπτον τηρεῖται παρὰ τοῖς Ἀττικοῖς.

Πεντετηρὶς, πενταετηρίς.

Πεν-

Πεντηκοντάρχος ναῦς, ὁ τῆς πεντηκοντόρου ἄρχων. ὡς δηλοῖ Διογένης ἐν τῷ περὶ τοῦ ξενηραρχήματος. ὅτι δὲ πεντηκόντορος ἐκαλεῖτο ἡ ναῦς, ἡ ὑπὸ πεντήκοντα ἐρεσσομένη, πρόδηλον.

Πεντηκοντόγυον, τὸ ἐν πεντήκοντα ζεύγεσιν, ἢ ἀροτήρων. γύης γὰρ μέρος ἀρότρου. ἢ τὸ πεντηκοντάπλεθρον. γύη γὰρ, μέτρον τῆς γῆς.

Πεντηκοντεμίσολμον, πολύστεγον, ἀργαὶ μισόδμαι, στέγαι.

Πεντηκοντόστολον, ὅπου οἱ στρατιῶται ἀνάγονται.

Πεντηκοστὴ, καὶ πεντηκοστεύεσθαι, καὶ πεντηκοστολόγος. πεντηκοστὴ μὲν, τέλος τι. πεντηκοστεύεσθαι δὲ ἀντὶ τοῦ πράττεσθαι τὴν πεντηκοστήν. καὶ πεντηκοστολόγοι, οἱ τοῦτο τὸ τέλος ἐκλέγοντες. ταῦτα δ᾽ ἐστὶν εὑρεῖν ἐν τῷ κατὰ Μειδίου, καὶ ἐν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν Δημοσθένης, καὶ Ὑπερείδης ἐν τῷ περὶ τῶν ἀβουλευτῶν.

Πέντοζος, ἡ χείρ, παρὰ τὸ πέντε ὄζους ἔχειν.

Πεντώροβον, ἡ γλυκυσίδη.

Πεντώβολος, ὁ πέντε ὀβολοὺς ἔχων.

Πεξάμενος, κτενίσας, ξάνας.

Πεξίς, ψίλωσις, κουρὰ, ξύρησις.

Πέξω, ἐκ τοῦ πέκω πέκειν κυρίως τὸ ξαίνειν. παρὰ δὲ Θεοκρίτῳ τὸ καίρειν, ὡς καὶ παρὰ Ἡσιόδῳ, ἡμὲν ὄϊς πέκειν, ἠδ᾽ εὔφρονα καρπὸν ἀμᾶσθαι.

Πέος, τὸ αἰδοῖον. καὶ πέος, τὸ σύλλαιον.

Πεπάγυσα, ἁπαλή.

Πεπαθυῖα, ἀσυνήθης εἰς χρῆσιν. διὸ οὐδὲ περιλαληθήσεται, εἰ μὴ μόνον ἐκ τοῦ πάθω ἀχρήστου ἐνεστῶτος γίνεται, ὡς τὸ παθεῖν δηλοῖ. ὅθεν καὶ τὸ πάθω, ἐξ οὗ τὸ παθήσω, ὡς τυχήσω. οὗ παρακείμενος πεπαθηκὼς, καὶ κατὰ πάθος πεπαθώς. ὅθεν ἡ πεπαθυῖα ὡς Ἡρακλείδης λέγει.

Πεπαθὼς, καὶ πεπαθυῖα ἐκ τοῦ πεπαθηκὼς, Ἰωνικὴ συγκοπῇ.

Πεπαιδεῦσθαι, πεπαιδοποιῆσθαι.

Πεπαίνει, πραΰνει.

Πεπαίνεται, μελανοῦται, ὀπτᾶται, μαλάσσεται, πέπειρον γίνεται, πραΰνεται.

Πέπαιξεν, ἐπέπαιξε.

Πεπαισμένος, ἀπὸ τοῦ πεπαίνω, καὶ πεπαισμένος τὰς φρένας.

Πεπαλαγμένος, παλάσσω, μέλλων παλάξω, πεπάλαχα, πεπάλαγμαι. πεπαλαγμένος, ἤγουν μεμολυσμένος.

Πεπάλακτο, ὅπου μόνον κεῖται, ἐλλειπῶς ἔχει. τὸ γὰρ πλῆρες, πεπάλακτο λύθρῳ, ἢ αἵματι, ἢ ἀμφοτέροις.

Πεπάλαχθε, κληρώσασθε, λάχετε. πάλος γὰρ ὁ κλῆρος, παρὰ τὸ πάλλω ῥῆμα τὸ κινῶ, καὶ σείω, παλῶ παλάσσω. ἐπειδὴ ἡνίκα ἂν κληθῶσιν οἱ κλῆροι, πάλλονται.

Πεπαλάχθαι κλήρῳ, ἀντὶ τοῦ κλήρῳ λαχεῖν, ἢ κληρώσασθαι. παλάσσειν γὰρ, οὐ μόνον τὸ μολύνειν, ἀλλὰ τὸ καὶ κληροῦσθαι. παρὰ τὸ πάλον, ὃ κλῆρον δηλοῖ. ἐξ οὗ καὶ ἀντίπαλος, ἢ παρὰ τὸ πάλλω τὸ κινῶ. ἀντίπαλος δὲ ὁ κατὰ πάλον ἐναντίος, ἢ καὶ ἰσοπαλὴς, ὡς προδεδήλωται, καὶ κατὰ πάλον ἴσος. καὶ παλτὸν, εἶδός τι ὅπλου. ἐξ οὗ καὶ ὁ παρὰ Σοφοκλεῖ δίπαλτος φονεύς. καὶ παλτὸν πῦρ, τὸ κεραύνιον. ἐκ τοῦ παλλῶ δὲ καὶ παρὰ Πινδάρῳ δυσπαλές.

Πεπάλαχθε, ἤτοι κληρώσασθε, ὅ ἐστι κλήρους βάλλετε, ἐκ τοῦ παλάσσειν παράγεται, οὐ μόνον τὸ μολύνειν, ἀλλὰ καὶ τὸ κληροῦσθαι καὶ λαγχάνειν δηλοῖ.

Πεπάλη, τὸ τοῦ ἀλεύρου λεπτὸν, ὅπερ οἱ Ἀττικοὶ πασπάλην λέγουσι πλεονασμῷ τοῦ σ, ὅπερ ἐπιπάσσεσθαι δύναται διὰ τὴν λεπτότητα. παρὰ τὸν πάσω μέλλοντα πάλη, ὡς δαμάσω δαμάλη. τινὲς διφθογγογραφοῦσι τὸ παιπάλη, ἐγὼ δὲ λέγω, ὅτι πάλη ἐστί.

Πεπαληκέναι, ἐκπεσεῖν.

Πεπαλημέναι, βεβλαμμέναι.

Πεπαλόεντος, τραχέος.

Πεπαλόεσσα, ἡ ξηρὰ, καὶ ἀποπλύσα πάλην. πάλη δὲ κυρίως κατὰ Αἴλιον Διονύσιον, ἄλευρον καὶ τέφρα. ἡ δὲ τοιαύτη ἀναδιπλασιασθεῖσα κατὰ τὴν λέξιν, καὶ κατὰ τὸ παιφάσσειν, ἀποτελεῖ τὴν παιπάλην.

Πεπαλὼν, ἀντὶ τοῦ ἀνατείνας, σείσας. πάλλω παλῶ, ἔπηλα. ὁ δεύτερος ἀόριστος ἔπαλον. ἡ μετοχὴ ὁ παλὼν, καὶ ἀναδιπλώσει πεπαλὼν Ἰωνικῶς.

Πεπαμένος, κεκτημένος.

Πέπανα, πλακούντια.

Πεπάναι, πραΰναι.

Πεπάναι, μαλάξαι, ὑποχαλάσαι, Ἀριστοφάνης.

Πεπανθέντες, σικυοί, ἢ ἄπιοι. ἰστέον δὲ ὅτι οὐ μόνον τοὺς σικυοὺς φαμὲν πέπονας, ἀλλὰ καὶ τοὺς ἀπίους καὶ ἄλλους πλείονας καρπούς.

Πεπανὸς, ὁ πολὺν χρόνον ἔχων, παρὰ τὸ ὀπτηθῆναι.

Πεπαρεῖν, ἐνδεῖξαι, σημῆναι.

Πεπαράσιμον, εὔφραστον, σαφές.

Πεπαρθενεῦσθαι, διεπτυρῆσθαι τῇ μίξει.

Πεπάρθαι, παρακεῖσθαι.

Πεπαρμένον, πεπειρονημένον, καθηλωμένον, πεζευγμένον.

Πεπαρμένη, ἐκ τοῦ πήρω τὸ κεντῶ. περῶ πέπαρκα πέπαρμαι. ἡ μετοχὴ πεπαρμένος, η, ον.

Πεπαρῳνήκασιν, ἡμαρτήκασιν, αἰσχρῶς ὑβρίκασιν.

Πεπᾶσθαι, κεκτῆσθαι.

Πεπάσωται, τριόπους γέμει.

Πέπαστο, ἐγέγαστο, ἐπεπλήρωτο.

Πεπαταγμένος φρένας, ὁ ἐκπεπληγμένος καὶ ἐμβρόντητος, ὁποῖοι πολλοὶ ἀπὸ παταγῶν, ὅ ἐστι κτύπων. δῆλον δὲ, ὅτι ἐκ τοῦ πάτω καὶ τοῦ πατεῖν, τὸ πατάσσειν γίνεται. ἀφ᾽ οὗ ὄνομα ῥηματικὸν, ὁ πάταγος.

Πεπάτηκας, ἀντὶ τοῦ ἀνέγνως. παρὰ τῷ Ἀριστοφάνει, οὐδ᾽ Αἴσωπον πεπάτηκας.

Πέπατο, ἐκέκτητο. τὸ γὰρ τὸ κτῶμαι. καὶ πολυπάμων, ὁ πολλὰ κεκτημένος.

Πέπαυται, πεπραΰνται.

Πεπεδημένος, δεδεμένος.

Πεπείθαται, πείθω, μέσος παρακείμενος πέπειθα, παθητικὸς πέπεισμαι, σαι, ται. τὸ τρίτον τῶν πληθυντικῶν πεπεισμένοι εἰσὶ, καὶ Ἰωνικῶς πεπείθαται.

Πεπιθεῖν. πείθω, πείσω, ὁ δεύτερος ἀόριστος ἔπιθον, καὶ ἀναδιπλώσει ἐπέπιθον, ὁ μέλλων β' πεπιθῶ, τὸ ἀπαρέμφατον πεπιθεῖν.

Πεπειρῆσθαι, γεγυμνάσθαι, πεπαρθενεῦσθαι.

Πέπειρον, πεπανθὲν, ὥριμον.

Πέπειρον, ἀκμαῖον. εἴρηται δὲ ἐπὶ ὀπώρας ὡρίμου, γραῦς. φησὶν Ἀριστοφάνης, οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔνεστιν, ἀλλ᾽ ἐν ταῖς πεπείροις. οὐδέ τι στέργειν μᾶλλον ἂν ἐθέλοι, ἢ ἐγὼ τὸν φίλον.

Πεπείρους, ἑψημένους, ἐπὶ ὀπώρας λαβεῖν, ἤτοι σταφυλῆς.

Πέπειρος, ὁ ὥριμος καρπός.

Πέπεισμαι, ἤλπισα, θαρρῶ.

Πεπελωμένα, πεπιναρωμένα.

Πεπεμμένην, ζυμωθεῖσαν, ἐν κλιβάνῳ ἄρτον γενομένην.

Πεπελμένου πλακοῦντος, ἀντὶ τοῦ ποιηθέντος.

Πεπεραγκέναι, ἐνεγκέναι.

Πεπερασμένον, πεπληρωμένον.

Πέπερι, παρὰ τὸ πέπτω, πέσσω, τὸ εἰς πέψιν ἄγον, τῇ θερμότητι τοῦ πνεύματος.

Πεπερόνημαι, καθήλωμαι.

Πέπηκται, πέπυκται.

Πεπιασμένοις, μεμιασμένοις. πεπιασμένοις, καὶ κακόσμοις.

Πεπιθήσω, πείθω, καὶ ἐξ αὐτοῦ πιθῶ πιθήσω, καὶ κατὰ ἀναδιπλασιασμὸν πεπιθήσω κατὰ Ἴωνας. μέλλων ἐστὶ διπλασιασθεὶς ἐκ τοῦ πιθῶ πιθήσω.

Πεπιθημένος, πεπιθήσας. θαρρήσας καὶ πεποιθὼς, θαρρῶν.

Πεπίθοιμεν, πείσοιμεν.

Πεπιλημένη, συνεσφιγμένη.

Πεπλαδηκὸς, ὑγρανθὲν, σεσηπὸς, ἢ ξηρανθέν.

Πεπλασμένῳ, κακούργῳ.

Πέπλαται, ἥπλωται.

Πεπλαχομένοις, πεπυκνωμένοις.

Πεπλεγμένον, μεμολυσμένον, μὴ ἀληθὲς, ψεῦδος.

Πεπλεγμένη φάλαγξ ἐστὶν, ἥτις ὑπὸ τῶν ἐπιόντα τόποις ἀναγκαζομένη ἐξομοιοῦσθαι.

Πεπληγέμεν, ἐκ τοῦ πέπληγα, ἐνεστὼς πεπλήγω, τὸ ἀπαρέμφατον πεπλήγειν. πέπληγε, καὶ πεπληγέμεν, καὶ πεπληγέμεναι.

Πεπληγμένον, κεκοσμημένον, ἐκπεπνισμένον, πεπλεγμένον.

Πέπληγον, Ἰώνων καὶ Συρακουσίων λέξις. ὁ ἐνεστὼς πεπλήγω, ἐκ τοῦ πέπληγα, ὥσπερ ἐκ λέλαθον, ἐκ τοῦ λέλαθα λελάθω. Σικελοὶ γὰρ καθ᾽ Ἡρακλείδην τὸ α τῶν παρακειμένων εἰς ω μετατιθέασιν, οἷον πεποίηκα πεποιήκω, ὡς καὶ πέφυγα πεφύγω, καὶ κατὰ Ἀλκαῖον πεφύγω. Ἀριστόνικος δὲ, οὐ σικελικὰ ταῦτα λέγει, ἀλλὰ ἀναδιπλώσεις ἰακὰς βούλεται εἶναι, κατὰ τὸ κεκάμω καὶ λελάβω.

Πεπληγὼς, καὶ ἀντὶ τοῦ πλήξας, καὶ ἀντὶ τοῦ πληγεὶς. ἐστὶ δὲ ποιητικόν.

Πέπλιον, ὅπερ δὴ καὶ πέπλις, καὶ ἀνδράχνη ἀγρία, παρὰ τῷ Ἱπποκράτει.

Πέπλος τὸ αὐτό, καὶ χαμαισύκη, καὶ μήκων, καὶ ἀφρώδης, καὶ μηκώνιον.

Πέπλος, ἰδίως παρὰ τοῖς Ἀθηναίοις, πέπλος τὸ ἄρμενον, τῆς παναθηναϊκῆς νεώς.

Πέπλος, γίνεται παρὰ τὸ πρέπω, πρέπαλος, ὁ ἐκπρεπὴς καὶ λαμπρός. καὶ ἀφαιρέσει πέπαλος, καὶ συγκοπῇ πέπλος. ὅτι δέ ποτε καὶ ἐπὶ ἀνδρείου ἱματίου ὁ πέπλος τίθεται, δηλοῖ που Εὐριπίδης. καὶ Σοφοκλῆς δὲ ἐν Τραχινίαις, ὃς Ἡρακλέους χιτῶνα, ὃν ἐκάλυψε Δηιάνειρα τῷ ἐκ Νέσσου φαρμάκῳ. καὶ διαφῆ πέπλον λέγει, καὶ καινὸν πέπλωμα καὶ ἐνδυτῆρα πέπλον, καὶ θανάσιμον πέπλον.

Πέπλον, φασί τινες τὸ μέγαν, καὶ περικαλλέα, καὶ ποικίλον, περιβόλαιον εἶναι σκέπον τὸν ἀριστερὸν ὦμον, καὶ ἔμπροσθεν καὶ ὄπισθεν συνάγων τὰς δύο πτέρυγας εἰς τὴν δεξιὰν πλευρὰν, γυμνὴν ἐῶν τὴν δεξιὰν χεῖρα καὶ τὸν ὦμον. εἰ δὲ τοῦθ᾽ οὕτως ἔχει, τί δή ποτε δώδεκα περόνας ἐχρῆν ἔχειν αὐτό; δοκεῖ δὴ μάλιστα γυναικεῖον ἱμάτιον εἶναι ὁ πέπλος, κατὰ τὰ δωρικὰ, χιτὸν ἐπὶ μόνα τὰ ἔμπροσθεν, καὶ διὰ ταῦτα ἐθέλον πολλὰς περόνας. κλεῖδες δὲ, ὅπαὶ λεγόμεναι κατακλεῖδες, εἰς ἃς αἱ περόναι καθίεντο.

Πεπνυμένος, ὁ φρόνιμος καὶ συνετὸς. ἀπὸ τοῦ πνύω ἐνεστῶτος γίνεται. αὐτὸ δὲ, ἢ ἀπὸ τοῦ ποιῶ ποιύω κατὰ συγκοπὴν, ὃ δηλοῖ ἐνεργῶ. ἐνεργὴς γὰρ, ὁ φρόνιμος. ἢ ἀπὸ τοῦ πινύσσω τὸ φρονῶ. ἐξ οὗ καὶ ἀπινύσσειν, τὸ ἀφραίνειν καὶ πινυτὸς, ὁ φρόνιμος.

Πεπνοιῶν, ἐνεργῶν, θεραπεύων.

Πέπνυσαι, συνετὸς εἶ.

Πεποδήγημαι, δεδίδαγμαι, ὡδήγημαι.

Πεποδισμένοι, τοὺς πόδας δεδεμένοι. πεποδισμένοι δὲ, τοὺς πόδας κατεσχημένοι.

Πεποιέαται, ἀντὶ τοῦ πεποίηνται, Ἰωνικῶς. ἐκ τοῦ τρίτου προσώπου ἑνικοῦ γίνεται τὸ τρίτον πληθυντικὸν, συστολῇ τοῦ η εἰς ε, καὶ προσθέσει τοῦ α.

Πεποιημένον, ποιότητα ἔχον.

Πεποίηται, κεῖται ἐνίοτε ἀντὶ τοῦ πέπρακται. ποιεῖν γὰρ λέγεται, τὸ ποιητικῶς γράφειν.

Πεποιήκαντι δωρικῶς, κοινῶς πεποιήκασι. Δωριεῖς γὰρ τρέπουσι τὸ σ εἰς τ, ἐπεισόδῳ οὐ πλεονασμῷ τοῦ ν.

Πεποιήμην, ηο, ητο. ποιέω, ποιήσω, πεποίηκα, πεποίημαι, τὸ εὐκτικὸν πεποιήμην, πεποιῇο, ῇτο.

Πέποιθα ἐπὶ σοὶ, καὶ ἐπὶ σέ.

Πέποιθας, ἀντὶ τοῦ λογίζῃ. πέποιθας σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν.

Πεποίθεα χερσί τ᾽ ἐμῇσιν, ἤγουν ἐθάρρουν. Ἰωνικὰ ὑπερσυντέλικα τὸ πεποίθεα, καὶ τὸ ᾔδεα.

Πέποιθεν, ἐλπίζει, θαρρεῖ.

Πεποίθομεν, ὥσπερ ἐκ τοῦ πέπληγα γίνεται τὸ

πε-

πεπλήγω, καὶ ἐκ τοῦ πέφυκα τὸ πεφύκω, οὕτως ἐκ τοῦ πέποιθα ἐνεστὼς ἀσυνήθης πεποίθω, ἐξ οὗ πεποίθομεν, κατὰ τοὺς Συρακυσίους.

Πεποιθόμενε, προσφιλέσατε, φίλοι.

Πεποιθότες, αἰολικόν ἐστι καθ' Ἡρακλείδην, ὅς λέγει ὅτι τὸ οἶδα, πέποιθα, λέλοιπα, δέδοικα αἰολικοί εἰσι παρακείμενοι. τὰ δὲ κοινὰ αὐτῶν, οἶδα, πέποιθα, λέλοιπα, δέδοικα.

Πεποιωμένον, ποιότητα ἔχον, ποιότης δέ ἐστιν ἐνούσιος δύναμις. ὡς τοῦ ὕδατος ἡ ψυχρότης, καὶ τοῦ πυρὸς ἡ θερμότης, καὶ τοῦ λίθου ἡ σκληρότης, καὶ τῆς γῆς ἡ ξηρότης. ποιότης δὲ, καὶ ἰδιότης, καὶ διαφορὰ, καὶ ἰδίωμα, ἓν καὶ τὸ αὐτὸ σημαίνει.

Πεποίωνται, ὅτι τις ῥέπει.

Πεπολέμωνται, ἀντὶ τοῦ εἰς ἔχθραν προσαχθεῖσιν, καὶ πολέμιος γενόμενος. ὁμοίως ἐκπεπολέμωται, εἰς ἔχθραν προήχθη.

Πεπόλισται πόλις, ἐτυμολογικός ἐστι τρόπος, ὡς τῆς πόλεως, ἐκ τοῦ πολίζω λεγομένης, τὸ μέντοι πολίζω παράγωγόν ἐστι τοῦ πολῶ, ἤτοι περιστρέφω. ὡς νεμεσῶ νεμεσίζω, καὶ ὅσα τοιαῦτα.

Πέπομφα, καὶ κέκλοφα, καὶ ἀνέστροφα, ἐκ τοῦ ἀναστρέφω παρακείμενος ὢν, καὶ οὐ μέσος, παρέβη τὸν κανόνα. ὁ κανὼν γάρ φησιν, ὅτι τῶν δισυλλάβων μελλόντων τῶν τῷ ε παραληγομένων, μόνος ὁ μέσος παρακείμενος ἔχει ἐπ' ἀδείας τρέπειν τὸ ε εἰς ο ἐπὶ τῆς παραληγούσης αὐτοῦ. οἷον πλέκω πλέξω πέπλοκα, λέγω λέξω λέλογα.

Πέπομφα, ἔπεμψα.

Πέπον, προσφιλέστατε, προσηνέστατε.

Πέπονες, ἔκλυτοι, ἀσθενεῖς. πεπόνων δὲ καρπὸν ἀπ' ἀσταχύων, ἀντὶ τοῦ ὡρίμων.

Πέπονθα, ἐκ τοῦ πονῶ πονήσω πεπόνηκα πέπονα, ὁ μέσος παρακείμενος, καὶ πλεονασμῷ τοῦ θ πέπονθα.

Πεπορασμένος, φανερός.

Πέπορδα. Ἀριστοφάνης, ἥδομαι γὰρ, γέγηθα, καὶ πέπορδα, καὶ γελῶ μᾶλλον, ἢ τὸ γῆρας ἐκδὺς, ἀντὶ τοῦ ἐάσας. ἡ μεταφορὰ ἀπὸ τῶν ὄφεων, τῶν ἐκδυομένων τὸ γῆρας. ἥδομαι γὰρ ἐκφυγὼν τὴν ἀσπίδα, τουτέστι τὸν πόλεμον, μᾶλλον ἢ ἐκδὺς τὸ γῆρας.

Πεπορεῖν, δοῦναι.

Πεπορθῆσθαι, ἀπολωλέναι, συντελέσθαι.

Πεπορπημένος, ἱμάτιον διπλοῦν περικείμενος, πόρπῃ συνεχόμενον, ὡς μὴ ἀφίστασθαι τῶν ὤμων.

Πεποροποιημένος, ἐκ τοῦ πόρος.

Πέποσθε, ἐκ τοῦ πεπόνησθε κατὰ συγκοπήν. ἢ ἐκ τοῦ πήθω πήσω πέπηκα πέπησμαι, σαι. τὸ δεύτερον τῶν πληθυντικῶν πέπησθε, καὶ συστολῇ τοῦ η εἰς ο πέποσθε, ἀντὶ τοῦ πεπόνθατε.

Πέποχε, πάχω πάσξω πέπαχα, τὸ τρίτον πέπαχε, καὶ κατὰ τροπὴν τοῦ α εἰς ο πέποχε. ἀλλ' οὐκ ἐμοὶ ἀρέσκει.

Πεποτέαται, ἐκ τοῦ πεπότηται. ἀλλὰ κρεῖττον κατὰ διάλυσιν τοῦ παραλήγοντος η εἰς ε καὶ α, ὡς ἥλων ἑάλων, ἦγη ἐάγη.

Πεποτήαται. ποτάομαι ποτῶμαι ἐνεστὼς, ἐποτώμην ἐποτώμην παρατατικὸς, ποτήσομαι μέλλων, πεπότημαι παρακείμενος, τὸ τρίτον τῶν πληθυντικῶν πεπότηνται, καὶ Ἰωνικῶς πεποτήαται, παρ' Ὁμήρῳ μέλισσαι, ἀντὶ τοῦ πέτονται, Ἰωνικόν ἐστιν. Ἡρόδοτος δὲ καὶ στρατεύεσθαι, ὁρμέαται. ἀντὶ τοῦ ὥρμηνται.

Πεπότηται, ἀνέπτη, καὶ ἀνεκουφίσθη, καὶ μετέωρα φρονεῖ. Ἀριστοφάνης, πέπρακα, ἐκ τοῦ περῶ περάσω πεπέρακα, καὶ κατὰ συγκοπὴν πέπρακα.

Πεπραδίλαι, εἶδος ἰχθύων.

Πέπρακται, πράσσω, ὁ παρ' Ἴωσι πρήσσω, ὁ μέλλων πράξω καὶ πρήξω, ὁ παρακείμενος πέπραχα ἄχρηστος, ὁ μέσος πέπραγα, ὃς ἀντὶ τοῦ ἔπαθον λαμβάνεται, καὶ οὐκ ἀντὶ τοῦ ἐποίησα. ὁ παθητικὸς πέπραγμαι, ξαι, κται. ἔστι δὲ τὸ πρᾶ, φύσει μακρὸν, καὶ οὐ θέσει. καὶ διὰ τοῦτο καὶ τὸ πρᾶγμα προπερισπᾶται, καὶ πρᾶξις, καὶ πρᾶσσε, καὶ πρῆξις.

Πεπράξεται, μετ' ὀλίγον μέλλων. ἐκ τοῦ δευτέρου τοῦ παρακειμένου πέπραγμαι, ξαι, ξομαι.

Πεπραξικοπηκόσι, ἀντὶ τοῦ προδώσουσι.

Πεπρᾶσθαι, καὶ πωλεῖσθαι, διαφέρει. τὸ μὲν γὰρ πεπρᾶσθαι, πάντη καὶ πάντως ἀπέβη. τὸ δὲ πωλεῖσθαι, ἔστιν ὅτε καὶ οὐκ ἀποβαίνει. ἐνδέχεται γὰρ τὸ ἔτι πωλούμενον μὴ πραθῆναι.

Πεπράσομαι, ἀττικώτερον, ἢ πραθήσομαι.

Πεπράτωρα, θαυμασία.

Πεπράχαμεν, ἐπράξαμεν.

Πεπρημένες, πεφυσημένος.

Πεπρίλος, ἰχθύς ποιός.

Πέπρισαι, κέκοπται.

Πεπρυμένοι, συνετοί.

Πεπρυτανευκὼς, ἐπιμεμελημένως, καὶ προαιρηλακώς.

Πέπρωται, εἱμαρμένον ἐστὶ, καὶ πεπεράτωται.

Πεπρωμένη, εἱμαρμένη, τύχη, γένεσις. πεπρωμένον, εἱμαρμένον, ὡρισμένον, πεπερασμένον, ἀπὸ μοίρας εἰς πέρας.

Πεπρωμένον. Ὅμηρος, πάλαι πεπρωμένον αἴσῃ, τουτέστι πεπερατωμένον, καὶ εἰς τέλος ἐλθόντα τοῦ ζῆν.

Πέπρωται, ἐκ τοῦ παρακειμένου πεπεράτωμαι, σαι, ται. πέπρωσαι συγκοπῇ.

Πέπρωται, τετύπωται, ὥρισαι, τὸ εἱμαρμένον ζητεῖν.

Πέπταμαι, ἐκ τοῦ ἵπτημι, ὁ παθητικὸς παρακείμενος ἔπταμαι, σαι, ται. καὶ πλεονασμῷ τοῦ π πέπταμαι Αἰολικῶς. οἱ γὰρ Αἰολεῖς εἰώθασι προστιθέναι σύμφωνον.

Πέπτασθαι, ἀνεῳχθῆναι, περιέχειν.

Πέπταται, ἥπλωται.

Πέπταται. πτῶ, πτῆμι, ὁ μέλλων πτήσω, ὁ παρακείμενος πέπτηκα, ὁ παθητικὸς πέπταμαι. σαι. ται. ἀπὸ τοῦ ἵπταμαι.

Πέπταμαι, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐξήπλωμαι. ἀπὸ μικροπρεποῦς λέξεως εἰς μέγα πρᾶγμα τέτραπται. κυρίως γὰρ ἐπὶ πτηνῶν ἡ λέξις.

Πεπτάμενον, παρὰ τῷ Ἀπολλωνίῳ, Ἡρωδιανὸς παροξύνει.

Πεπταμένας πύλας, ὅ ἐστιν ἀνεῳγμένας. εἴληπται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τῶν ἐξηπλωμένων πτερύγων τοῖς πετομένοις. χαίρων δὲ τῇ λέξει ὁ Ποιητὴς, λέγει καὶ πεπτάσθαι τὰς πύλας, ὅ ἐστιν ἀνοιγῆναι.

Πέπτει, πραΰνεται τὴν τροφήν.

Πεπτέον, φυλακτέον, ἀρωστέον.

Πεπτερύγωμαι, ἐκ τοῦ ἐπτερύγωμαι. προσθέσει τοῦ π αἰολικῶς.

Πεπτεῶτα, τὸ ἁπλοῦν πεπτωκὼς, τος. καὶ ἐν συγκοπῇ πεπτῶτος, καὶ πλεονασμῷ τοῦ ε, πεπτεῶτος τι. πεπτεῶτα.

Πεπτεῶτα, ἔχει τὸ ἁπλοῦν πεπτωκὼς πεπτωκότος, καὶ ἐν συγκοπῇ πεπτῶτος, ὡς βεβρωκὼς βεβρωκότος βεβρῶτος, οὗ χρῆσις παρὰ τῷ Σοφοκλεῖ. εἰ δὲ πλεονασμὸν ἔχει τὸ ε καὶ διφορεῖται κατὰ τὴν γραφὴν, οὐ καινοπαθεῖ. κοινὰ γὰρ ταῦτα πάθη λέξεων, καὶ μάλιστα ποιητικῶν.

Πεπτηὼς, περιβλεψάμενος.

Πεπτηῶτα, πτώσσω, ξω. ἔπτωχα, ἐπτυχὼς, καὶ πεπτηχὼς, καὶ ἀποβολῇ τοῦ χ πεπτηὼς. ἢ ἐκ τοῦ πεπτηκὼς, ἀποβολῇ τοῦ κ.

Πεπτηῶτα, ἀντὶ τοῦ ἐκπεπταμένον. σημαίνει δὲ καὶ τὸν πεπτωκότα.

Πεπτηὼς, ὁ καταπτηχὼς, ὁ διὰ δειλίαν συνεσταλμένος. ὃς καὶ πεπτεὼς κατὰ συστολὴν τῆς παραληγούσης λέγεται.

Πέπτωκα, ἐκ τοῦ πέπτηκα, τροπῇ τοῦ η εἰς ω μέγα.

Πέπτωκα, ἐκ τοῦ ἔπτωκα, προσθέσει τοῦ π αἰολικῶς. πτῶ πτώσω ἔπτωκα, καὶ πλεονασμῷ τοῦ π πέπτωκα.

Πέπτωκε, τὸ θέμα αὐτοῦ ἄχρηστον, ἀντ' αὐτοῦ λέγεται τὸ πίπτω, ὁ μέλλων πεσοῦμαι. ἀφ' ἑτέρου καὶ οὗτος θέματος, ὁ παρακείμενος πέπτωκα.

Πεπτῶτα. ἀπὸ τοῦ πεπτωκότα, γίνεται κατὰ συγκοπὴν πεπτῶτα.

Πεπύθωνται, ἀκούσωσιν, Ἀττικῶς.

Πεπυκασμένα ἅρματα, τὰ ἐσκεπασμένα. ἵνα μὴ κατὰ τῷ ἀεικίζωνται, ἢ ἀναπίμπλωνται κόνεως.

Πεπυρακτωμένα, πεπυρωμένα.

Πέπυσαι, ἠκηκόει.

Πεπύσθην, ἤγουν ἐπύθοντο, γενικῇ συνήθως συντάσσεται παρ' Ὁμήρῳ ἐν τῷ ρ τῆς Ἰλιάδος.

Πέπυσμαι, ἀπὸ τοῦ πεύθω πεύσω πέπευκα, ὁ παθητικὸς πέπευσμαι. ἆρον τὸ ε, πέπυσμαι.

Πέπυσμαι, ἀκήκοα, ἔμαθον, ἴδον.

Πεπωγμένον, κεκλασμένον.

Πέπωκα, ἔπιον.

Πέπων, ποτὲ μὲν ἐπὶ φιλίας λαμβάνεται. ποτὲ δὲ ἐπὶ τοῦ χαύνου καὶ ἁπαλοῦ. ἀμφότερα δὲ εἴληπται, ἀπὸ τοῦ πέπονος καρποῦ. πᾶς γὰρ πέπων ὑγρὸς καρπὸς, φίλος μέν ἐστι διὰ τὸ ὡραῖον, ἔκλυτος δὲ διὰ τὸ ἤδη πεπανθῆναι, καὶ μὴ πολὺ πνευματῶδες καὶ φυσῶδες ἔχειν. ὅπερ εἶχεν ἐν καιρῷ ὠμότητος. καὶ τὸ ὠμὸν δὲ ὁμοίως ἐπαμφοτερίζει. καθότι μὲν γὰρ ἄβρωτον, οὐκ ἐν ἐπαίνῳ κεῖται, οὔτε αὐτὸ, οὔτε τὰ ἀπ' αὐτοῦ λεγόμενα. οἷον ὁ ὠμηστὴς καὶ ἡ ὠμότης, καὶ τὰ τοιαῦτα. ἄλλως, πέπονες παρ' Ὁμήρῳ κυρίως ἐπὶ τῶν πεπανθέντων σικύων λέγεται τοὔνομα ἐπιθετικῶς. κατὰ μεταφορὰν δὲ, καὶ ἐπὶ νοσημάτων καὶ ἑλκῶν πεπανθέντων. ὡς παρ' Ἱπποκράτει. πέπονα θεραπεύειν καὶ κινέειν, μὴ ὠμά. Ὅμηρος δὲ καὶ ἐπὶ φίλων αὐτὸ τάττει, διὰ τὸ ἔγκαιρον τῆς ἀληθοῦς φιλίας καὶ ἀπηλλαγμένον πάσης σκληρότητος. καὶ ἔτι ἐπὶ τῶν ἐκλελυμένων καὶ ἀνάνδρων, διὰ τὸ χαῦνον τῶν πεπανθέντων, ἢ πέπονες οἱ ἔκλυτοι, ἀπὸ μεταφορᾶς τῶν πεπόνων, οἱ ἔκλυτοι γίνονται πεπανθέντες. ὥσπερ αὖ πάλιν οἱ ὠμοὶ τῶν καρπῶν σκληροὶ ὄντες ἐπίθετον γεγόνασι τοῖς ἀνενδότοις ἀνθρώποις, καὶ ἀνυπείκτοις. δῆλον οὖν, ὅτι πέπων κυρίως πᾶς καρπός φασιν ὡραῖος τοῦ φαγεῖν. οὕτω δὲ καὶ μῆλα καὶ μῶρα πέπονα. καὶ ὅτι ἐντεῦθεν καὶ τὸ πεπαίνειν, οὐ μόνον τὸ κοινὸν, ἀλλὰ καὶ τὸ παρὰ Θεοκρίτῳ λεχθὲν, ὡς ἐν λόγῳ σεμνῷ. τὸ ἐπὶ χρωτὶ χρὼς ἐπεπαίνετο.

Πέπων, ἡ ὀπώρα καὶ ὁ προσηνὴς φίλος, ἀπὸ τοῦ πεπείρου καὶ ἀσφαλοῦς, ἢ ἀπὸ τοῦ πεπαίνω.

Πεπωρωμένα, ἐσκληρωμένα, πετυφλωμένα.

Πεπώρωται, τετύφλωται.

Πέπωται, ἐκ τοῦ πῶ ἀχρήστου, πώσω, πέπωκα, πέπωμαι, πέπωσαι, πέπωται.

Περάαν, διεκπεραν.

Περᾷ, πλέει. καὶ πέρα, πλέον, ἐπέκεινα, ὑπεράνω. καὶ συντάσσεται γενικῇ, οἷον πέρα τοῦ μετρίου φιλάνθρωποι.

Περαιβοὶ, ἔθνος θεσσαλικόν.

Περαίην φησὶν Ἄρατος ἀνατολήν. Ὅμηρος, νύκτα μὲν ἐν περαίῃ δολιχὴν σχέθεν. λέγεται δὲ περαία καὶ ἡ δύσις. πέρατα γάρ εἰσι τῆς γῆς.

Περαίην γῆν λέγουσι, τὴν κατὰ τὸ ἐναντίον κειμένην.

Περαίνει, ἐπὶ πέρας ἄγει, πληροῖ, ἀνύει.

Περαίνειν, τὸ τελειοῦν, καὶ τὸ συνουσιάζειν, καὶ τὸ ἐξανύειν, καὶ ἀποπληροῦν.

Περαίνω, τὸ τελειῶ, περαιῶ μεταβατικῶς. περῶ δὲ ἀμεταβάτως.

Πέραινον, οἱ Πυθαγορικοὶ τὰ περὶ τοὺς ἀριθμούς.

Περαιόθεν, γέγονεν ἀπὸ τοῦ περαία, καὶ πέρας, καὶ τὸ περαιόθεν. ὅθεν καὶ ἤπειρος λέγεται πᾶσα γῆ καταχρηστικῶς. κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς φανερὸν Εὐριπίδης πεποίηκεν. ἤπειρον, ὡς ἄπειρον ἐκβάλλων χθόνα.

Περαιτέρω, παρέμπροσθεν, ἢ πορρωτέρω πλέον πάνυ.

Περαίτης, ἀλαζὼν, ψευδόπλουτος. ἐκαλεῖτο δὲ καπνὸς, ὅτι πολλὰ ὑπισχνούμενος, οὐδὲν ἐτέλει.

* Περαιωθεῖσαι, εἰς ἀλλήλας συνδύσασαι, ὡς ἑκατέραν λαβεῖν τέλος. Ἐρωτιανὸς παρ' Ἱπποκράτει.

Περαιωθέντες, περάσαντες.

Digitized by Google

Περαιωθῆναι, πληρωθῆναι. πέρα λόγου, ὑπὲρ λόγον.

Περᾶν, σημαίνει ἐνίοτε καὶ τὸ τοῦ διαπωλῆσαι. οἷον ἐν νήσοις πηλεδαπαῖς.

Περάναι, τελειῶσαι. καὶ περάνῃ, αὐθυπότακτον ἀντὶ τοῦ τελειώσῃ.

Πέρας, τὸ τέλος, καὶ ἡ λύσις, καὶ τὸ τῆς γῆς πέρας.

Πέρασε, καὶ ἐπέρα. δηλοῖ μὲν τὸ πέραν ἀπέδοτο, καὶ διὰ θαλάσσης πλεύσας διεπώλησε, κυρία εἰς ποίησιν λέξις. διὸ καὶ πολλάκις χρῆται αὐτῇ ὁ ποιητὴς, οἷον εἰς λῆμνον ἐπέρασε, καὶ εἰς λῆμνον πεπερημένος. καί μ' ἐπέρασας. ἐντεῦθεν καὶ ἡ ἁπλῶς πρᾶσις, παρὰ τοῖς ὕστερον κατὰ συγκοπήν. ἐκ δὲ τοῦ τοιούτου περᾶν, καὶ ὁ πεπερημένος, καὶ τὸ πέρνημι παράγωγον. ἐξ οὗ καὶ τὸ περνάμενος, καὶ τὸ περνὰς νήσων ἀπ' ἀλλοδαπάων.

Περάσηται, Ὁμήρῳ συνήθες. ὃς περάσαι οἶδε, τὸ πέραν ἁλὸς διαπωλῆσαι. καὶ ἔστιν αὐτὸ πρωτότυπον τοῦ παρὰ τοῖς ὕστερον πιπράσκειν, καὶ τῆς πράσεως. περῶ γὰρ περάσω πεπέρακα πέρασις. ἐξ ὧν κατὰ συγκοπὴν πράσω, πέπρακα, πρᾶσις.

Περατάει, ὁρίζει, στέλλει, λέγει.

Περάτη, σημαίνει κατά τινας καὶ τὸ ὑπὸ γῆν ἡμισφαίριον. λέγεται δὲ κυρίως ἡ ἀνατολή. πέρας γὰρ αὕτη τῆς οὐρανοῦ κινήσεως. ἐκεῖθεν γὰρ ἔρχεται, καὶ εἰς αὐτὴν τελευτᾷ.

Περάτην ἅπαξ φησὶν ὁ Ποιητὴς ἐν τῷ ψ' τῆς Ὀδυσσείας, κατὰ γένος θηλυκὸν, καὶ δηλοῖ ἡ λέξις τὸ πέρας τοῦ Ὠκεανοῦ. νῦν οὐ τὸ ἀνατολικὸν, ἀλλὰ μᾶλλον τὸ δυτικὸν, δι' οὗ ἔμελλεν ἡ νὺξ δῆθεν σωματικῶς κατελθεῖν, ὡς ἂν ἑτέρωθεν ἀνέλθῃ ἡ ἠώς. διὸ καὶ ὁ Ποιητὴς εἶπε, νύκτα μὲν ἐν περάτῃ σχέθε, τῇ δὲ δύσιν δηλαδή. καὶ ἔστι πρὸς τὴν ἔννοιαν ταυτὸν ἡ περάτη, καὶ τὸ πέρας τοῦ Ὠκεανοῦ, κατά τε δύσιν κατά τε ἀνατολήν. εἰ καὶ νῦν ὁ Ποιητὴς δυτικὴν περάτην φησί. παρασημειοῦνται δὲ οἱ παλαιοὶ τὸν Ποιητὴν ἐξ ἰδίου προσώπου λέγειν ἀεὶ, ἀπ' Ὠκεανοῦ τὴν ἠῶ ἀνατέλλειν δίχα γε τούτου ἑνός.

Περατουμένην, ἐκπληρουμένην.

Περάτρια, ἡ παραγγέλλουσα τὴν ὥραν ταῖς κεκλημέναις.

Περγαμηναὶ, αἱ μεμβράναι, λατινιστὶ αἱ δέρρεις.

Περγάμιον, δήμιον.

Πέργαμον. Ὅμηρος τὴν τῆς Ἰλίου ἀκρόπολιν μόνην ὀνομάζει θηλυκῶς. οἱ δὲ νεώτεροι, πάσας ἀκροπόλεις οὕτω καλοῦσιν. οἱ καὶ οὐδετέρως τὰ πέργαμά φασι. δῆλον ὡς πέργαμος καὶ πόλις λέγεται. ἡ δ' αὐτὴ καὶ ἀκρόπολις, καὶ ἄκρα πόλις, κατὰ διάλυσιν ἐν ᾗ καὶ ναὸς Ἀπόλλωνος.

Πέργαμον μὲν πόλιν Ἴωνες λέγουσιν. οἱ δὲ πάντα τὰ ὑψηλά.

Περγασῆσιν, ὄνομα δήμου. Ἀριστοφάνης.

Περγάση, δῆμος τῆς Ἐρεχθηΐδος.

Περγέα Θεὸς, ἡ Ἄρτεμις.

Πέργης, πρέσβεις, οἱ αὐτοί.

Περγοῦλον, ὀρνιθάριον, ἄργει λευκόν.

* Πέρδησις, πορδή. φῦσαν δὲ ἀνευ ψόφου μὲν καὶ περδήσεως διεξιέναι ἀόριστον.

Περδίκκα, ἀγρίππα, σίττα, ψίττα, ποιμενικὰ, αἰπολικὰ, καὶ βουκολικὰ ἐπιφθέγματα. εἰσὶ δὲ ἐπιρρήματα. ἔλεγον δὲ ταῦτα διώκοντες.

Περδίκειος χάρα, καὶ περδίκειος πούς.

Πέρδιξ, ὄρνεον πανοῦργον, ὅπερ ἐξαπατᾷ τοὺς θηρεύοντας αὐτό.

Πέρδιξ, ὄνομα κύριον. ἀφ' οὗ φασὶ τὴν παροιμίαν, πέρδικος σκέλος, ἐπὶ τῶν λεπτοπόδων. Ἄλλως, ὁ πέρδιξ ὄνομα καπήλου. χωλὸς δὲ ἦν οὗτος. τούτου πολλοὶ μέμνηνται. ἀπὸ τούτου φασὶ καὶ ἡ παροιμία. ἧς καὶ Ἀριστοφάνης ἐν ταῖς ἀμείβοις παροιμίαις μνημονεύει.

Πέρδιξ, παρὰ τὸ περισσῶς ἄδειν, ἢ παρὰ τὸ πηδᾶν ἀπὸ τόπου εἰς τόπον. ἢ πέρδιξ, ὁ περισσῶς διωκόμενος, καὶ φεύγων. ἢ παρὰ τὸ πέδον, ὃ σημαίνει τὸ χαμαὶ τὴν γῆν. χαμαιπετὲς γὰρ τὸ ζῶον. καὶ μὴ σφόδρα εἰς ὕψος αἰρόμενον, μηδὲ περιδινεῖσθαι ἐν ἀέρι δυνάμενον.

Πέρδω, τὸ βδέω. Ἀριστοφάνης, προσιόντος γὰρ αὐτοῦ μέγα πάνυ ἀπέπαρδον.

Πέρην, δηλοῖ τὸ πέραν. ἔστι δὲ ἐπίρρημα, μεταληφθὲν ἀπὸ θηλυκῆς αἰτιατικῆς. πέρα γὰρ ἡ γῆ κατὰ γλῶσσαν, ὅθεν ἡ περαία παράγεται, ἧς αἰτιατικὴ πέραν, καὶ μεταβολῇ τοῦ α πέρην. ἐξ οὗ τὸ ἐπίρρημα. δηλοῦν τὸ ἀπὸ τῶν ἐνταῦθα εἰς τὴν ἐκεῖθεν ἀντικρὺ γῆν.

Περήσειν. Ὅμηρος, πύλας ἀΐδαο περήσεις, ἤγουν εἰς ᾅδην ἀπέλθῃς.

* Περητήριον, τρύπανον λεπτὸν καὶ ὀξύ, ἔστι γὰρ ἕτερον καὶ ἡ χοινικίς.

Περήτρια, ἡ περιαγγέλλουσα τὴν ὥραν.

Πέρθαι. πέρθω, πέρσω, πέπερκα, πέπερμαι, σαι, ται. τὸ ἀπαρέμφατον, πεπέρθαι. καὶ ἀφαιρέσει Ἰωνικῇ πέρθαι. πέρθαι ὅμοιόν ἐστι τῷ δέχθαι, καὶ τοῖς τοιούτοις.

Πέρθω, τὸ πορθῶ, τὸ πολιορκῶ.

Περὶ, περισσῶς.

Περὶ, ὅταν σημαίνῃ τὸ ἕνεκεν, γενικῇ συντάσσεται, οἷον μάχομαι περὶ τῶν λελειπομένων μοι κλήρων, ἀντὶ τοῦ ἕνεκεν. ὅτε δὲ πρόσκειται τὸ δέδοικα καὶ τὰ ἰσοδυναμοῦντα τούτῳ, δοτικῇ· ὡς παρ' Ὁμήρῳ, δέδοικα περὶ ξανθῷ Μενελάῳ, ὅπερ ποιητικὸν ἐπεκράτησε παρὰ τοῖς κοινοῖς. ὅτε δὲ τὴν κύκλῳ σχέσιν δηλοῖ, μετὰ αἰτιατικῆς συντάσσεται, οἷον ἕνα περὶ αὐτὸν σωματοφυλάκων, καὶ ἕνα περὶ Ἀντίγονον, καὶ ὅτε πλησιότητα δηλοῖ, οἷον περὶ τὴν Ἀλεξάνδριαν. καὶ ὅτε ἐνέργειαν εἴς τι δηλοῖ, οἷον τί τὸ περὶ ἐμὲ τοῦτο γέγονε μυστήριον; καὶ ὅτε τὴν ἐπὶ τόπου διαγωγὴν δηλοῖ, οἷον περὶ τὸν τοῦ σεμνείου τόπον διῆγε. δηλοῖ δὲ ἐν ταῖς συνθέσεσι τὴν κύκλῳ σχέσιν, ὡς ἐν τῷ περιδινεῖν, τὸ περιστραφῆναι. καὶ τὸ κρεῖττον, οἷον περιεγένετο ὁ δεῖνα τοῦ δεῖνος. δηλοῖ καὶ πλῆθος, οἷον περίεστί μοι πλοῦτος, ἤγουν περιουσία ἐστὶ καὶ πλοῦτος.

Περὶ, ὅταν ἀντὶ τοῦ ἕνεκα λαμβανομένη ἀναβιβάζει τὸν τόνον, οὐ μόνον ἐγγύς ἐστι τοῦ ὀνόματος ᾧ ἕπεται, ἀλλὰ καὶ μεθ' ἕτερά τινα τίθεται. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ, ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε σμικρὸν πέρι ἐπαΐω.

Περὶ, πρόθεσις καινῶς μετὰ δοτικῆς λέγεται ἐν τῷ περὶ κτήμασι, καὶ βουσὶ, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ.

Περιαγγέλλειν, τὸ μὴ συνάγειν ὄχλον ἐπὶ τὰς ἐκφορὰς τῶν τετελευτηκότων.

Περιάγει καὶ τὸν ἕτερον, ἤγουν ἐν κύκλῳ ἄγει, αἰτιατικῇ.

Περιάγει, τὸ περιέρχεται, καὶ περινοστεῖ, ἀμεταβάτως. περιῆγε πλανώμενος ἐν Ἀθήναις.

Περιάγνυται, περικλᾶται, οἱονεὶ περιέχεται. καὶ περιαγνυμένου, περικλωμένου.

Περιάγξαι, περιστρέψαι, σαυτρέψαι.

Περιαγοραῖος, λάλος, περιαγορευτής.

Περιάγω, τὸ πᾶσι καταφανῆ ποιῶ τινα. καὶ περιενέγκατε παρὰ τῷ Συνεσίῳ, εἰς τὴν τοιαύτην σημασίαν.

Περιάγω τὴν πομπὴν, ἀντὶ τοῦ καταφανῆ ποιῶ.

Περιάγω τὼ χεῖρε, ἤτοι εἰς τοὐπίσω δεσμῶ.

Περιαγωγὰς, τὰς ἐν κύκλῳ περιφοράς.

Περιαδεῖς, περίρρυτοι, περίπνοοι.

Περιαθρεῖν, περισκοπεῖν, περιβλέπειν.

Περιαίνυτο, περιελάμβανε, περιεῖχε.

Περιαιρεῖν, ἀφαιρεῖσθαι, ὑποκόπτειν, καθυφεῖσθαι, συγχωρηθῆναι.

Περιαιρῶ, τὸ μετρίως στερίσκω. περιαιρεῖν, τὸ ἐξαρτᾶν, καὶ κρεμᾶν, αἰτιατικῇ συντάσσεται. περιαιρεῖσθαι, ταυτὸ τῷ καθαιρεῖσθαι.

Περίακτος, ὁδός.

Περιαλγῶν, ἀχθόμενος. κἀγὼ περιαλγῶν τοῖς γεγονόσι, διὰ γραμμάτων ἐδεόμην ἀναπεμφθῆναι ὡς τὸ ὑμέτερον.

Περίαλος, τὸ ἰσχίον, ὅταν εἱλεῖν.

Περιαλουργὸς, ὁ κακοῖς βεβαμμένος, ἢ ὁ βαθὺς τοῖς κακοῖς. μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφύρας τῆς θαλάσσης, ὅτι ἐκ βάθους τὸ ὄστρακον εὑρίσκεται. ἁλουργὶς ἐσθὴς ἡ πορφυρᾶ.

Περιαμησάμενος, θερίσας.

Περιάμματα, τὰ κατὰ τοὺς τραχήλους, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας βεβαμμένα κλώσματα, ἅτινα αἱ γυναῖκες περιάπτουσι.

Περιαμύξας, ἐν κύκλῳ περιξύσας, παρὰ τῷ Ἱπποκράτει.

Περιανθίζω, ἄνθη συλλέγω.

Περιαοιδὸς, ἐγκύκλιος ᾠδή.

Περιάπτων, περιαμμάτων.

Περίασι, τὸ περινοστοῦσι. καὶ περιέρχονται, αἰτιατικῇ συντάσσεται.

Περιαυθαδίζεται, ἐν ὑπερηφανίᾳ ἀναστρέφεται, ἢ μέγα φρονεῖ περὶ ἑαυτοῦ.

Περιαυθίζεται, περὶ αὐτοῦ μεγαλοφρονεῖ, ἢ ἐν αὐτῇ τῇ λέξει διατρίβει, ἢ περὶ τῶν αὐτῶν πάλιν λέγει.

Περιαυτολογεῖν, περὶ ἑαυτοῦ λέγειν, τοῦτ' ἔστι μετὰ ὑπερηφανίας.

Περὶ αὐτὸν, πρὸς αὐτόν.

Περιάψαι, παρὰ τῷ Ἀριστοφάνει ἐν πλούτῳ, ἴσον ἐστὶ τῷ προσάψαι. λέγεται δὲ τὸ αὐτὸ καὶ ἀνάψαι, ὡς παρ' Ὁμήρῳ ἐν τῷ, ἐθέλεις δέ κεν μῶμον ἀνάψαι. ἔστι δέ τι καὶ ἄλλο σημαινόμενον τοῦ περιάπτω, ἐξ οὗ τὰ γοητευτικὰ περίαπτα. δηλοῖ δὲ ἀπαιώρησίν τινα ἡ λέξις. ὅθεν καὶ τὰ ῥηθέντα περίαπτα, ὧν ἀπαιωρουμένων τοῦ σώματος, δοκοῦσιν οἱ φαῦλοι τὸ ἔχειν τὸ ζῆν δι' αὐτά, ὡς εἶναι μᾶλλον αὐτοὺς ἀπαιωρουμένους τῶν τοιούτων, οἷς ἐλπίζουσιν ἐπ' αὐτά.

Περιβάδην, ἀμφιπλίξ. παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. πλὶξ γὰρ, τὸ βῆμα. καὶ πλίγματα, τὰ πηδήματα.

Περιμβαίνειν, καὶ ἀμφιβαίνειν. σημαίνει ὅτι ἐνίοτε σημαίνουσι τὸ σκέπειν καὶ βοηθεῖν κειμένῳ τινί. καὶ ὅτι τὸ ἀμφιβαίνειν αἰτιατικῇ συντασσομένου, οἷον ὃς χρύσην ἀμφιβέβηκας, δοκεῖ μὲν ἐνίοτε ἡ διάλυσις ἀλλοιοῦν τὴν σύνταξιν. Ὅμηρος, ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε, καὶ περὶ πόρτακι, καὶ περὶ Πατρόκλῳ βαῖνε. πλὴν καὶ δίχα τῆς διαλύσεως μετ' ὀλίγα φησὶ Πατρόκλῳ περιβάς. Ἰστέον δὲ, καὶ ὅτι οὐ μόνον μετὰ τοῦ βαίνειν ἡ ἀμφὶ καὶ περὶ δοτικῇ συντάσσεται, ἀλλὰ καὶ μετὰ τοῦ ἵστασθαι, οἷον ἀμφὶ Μενοιτιάδῃ ἑστήκει, καὶ ἑστεῶτες περὶ Πατρόκλῳ.

Περίβαλα, ὑποδήματα. καὶ περιβαρίδες, ὑποδήματα γυναικῶν.

Περιβάλλειν, τὸ ἐνδύειν, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν, οἷον περιβάλλω σοι τὰ ἱμάτια. ἢ ἀπὸ αἰτιατικῆς εἰς δοτικήν, οἷον περιβάλλω σε τοῖς ἱματίοις.

Περιβάλλειν, τὸ περιττὰ τιθέναι, ἤτοι περισσὰ ἐμβάλλειν.

Περιβάλλει ἅπαντας, ἀντὶ τοῦ ὑπερβάλλει καθὰ καὶ Ἀχιλλεὺς ἐν Ἰλιάδι, περιβάλλειν λέγει τοὺς αὐτοῦ ἵππους, ὅ ἐστι τῶν ἄλλων ὑπερτερεῖν, ὡς τῆς περὶ προθέσεως δηλούσης ποτὲ περιττότητα. ὅθεν ἡ παρὰ τοῖς ῥήτορσιν ἐκλήθη περιβολὴ, μέγεθος ποιοῦσα λόγου καὶ περιττότητα.

Περιβαλλόμενος, προσπορισάμενος, περιβαλλόμενος πολλὴν λείαν.

Περιβαλλομένους, προσλαμβανομένους.

Περιβάλλω, τὸ ἐνδύω καὶ περιτίθημι, συντάσσεται δοτικῇ καὶ αἰτιατικῇ, οἷον περιβάλλων τοῖς τείχεσιν ἄνδρας ὁπλισμένους. καὶ περιβάλλω τινὰ, ἤγουν περιπλέκομαι, αἰτιατικῇ συντάσσεται.

Περιβάλλω τί τινι, ἤγουν περιτίθημι. καὶ περιβάλλω τινὰ, ἤγουν περιπτύσσω, καὶ περιπλέκομαι. καὶ περιβάλλει ὁ Θεὸς τὸν οὐρανὸν ἐν νεφέλαις, ἤγουν ἐνδύει. περιβάλλομαι, τὸ ἐνδύομαι, αἰτιατικῇ.

Περίβαρα, ὑποδήματα.

Περιβὰς, ἐποχησάμενος. περιβὰς δὲ τὸν ἵππον ἐλαύνει, ὡς ἐπὶ τὸ θορυβούμενον.

Περιβασὼ, ἡ Ἀφροδίτη.

Περιβεβλημένον. εἶτα ἐν ἑτέρᾳ σκηνῇ ξυνῆλθεν ἠμφιεσμένη τε, καὶ κατεπεπυκασμένη, οὐκ ἄλλως ἐξ ἱματίων σηρικῶν.

Περιβεβυσμένος, περιπεφραγμένος.

Περιβῆναι. Ὅμηρος, οὐδ' ἔτλη περιβῆναι ἀδελφεοῦ κταμένοιο. ἔστι δὲ καὶ περιβῆναι, τὸ ἐπάνω τοῦ νεκροῦ στάντα ὑπερμαχῆσαι, ὃ καὶ ἀμφιβῆναι λέγεται. κυριολεκτεῖται δὲ μάλιστα ἡ λέξις, ἐπὶ κυνῶν καὶ λεόντων καὶ τοιούτων, ἃ τῶν σκύμνων ὑπερμάχονται ἀμφιβαίνοντα. καὶ εἰσιν

ἄμφω λέξεις συμμαχικαί.

Περίβυσαν, ὑπερίασισαν, καὶ τὰ ὅμοια.

Περιβλέπεται, περισκοπεῖ.

Περίβλεπτος, ἐξοχὰς, μέγιστος, περιβόητος.

Περιβλύει, περικλύζει, κατὰ μίμησιν ἤχου.

Περιβόητος, ὁ ἐπὶ κακοῦ ἢ ἀγαθοῦ φήμην ἔχων.

Περιβόλαιον, περιβολὴ, ἔνδυμα. ἄβυσσον δὲ περὶ τὴν ὑγρὰν οὐσίαν ἡ θεία γραφή. ἐπεὶ οὖν ἡ γῆ πανταχόθεν ὕδασι περιέρχεται μεγάλοις καὶ μικροῖς πελάγεσιν, εἰκότως περιβόλαιον αὐτῆς εἴρηκεν ὁ Δαβίδ.

Περιβολὴ, λόγος, ἰδέα, καὶ λόγος ἐμπερίβολος.

Περίβολοι, τείχη πόλεων, ἢ περίδρομοι.

Περίβολος, ὁ τῆς νηός.

Περιβόμβεισθαι, περιηχεῖσθαι.

Περιβρομέεσκον ἀκουαί. Ἀπολλώνιος, ἐνήχουν αἱ ἀκοαί.

Περίγειος, πρὸς τὴν γῆν.

Περίγειον, πέπερι. παρὰ τὸ πέπτω, τὸ εἰς πέψιν ἄγειν.

Περιγηθὴς, περιχαρής.

Περιγίνεται τοῦ δεῖνος, ἀντὶ τοῦ νικᾷ τὸν δεῖνα. περιγίνεταί μοι τόδε, ἐκ περιοσσοῦ γίνεταί μοι. περιγίνεται, ἀντὶ τοῦ κύκλῳ περίεισι. καὶ περιγίνεται, ἀντὶ τοῦ περιττὸν δοκεῖ, καθὰ καὶ Ἀριστοφάνης, περιγενέσθαι αὐτῷ μηδέν.

Περιγλαγέας πέλλας, ἀντὶ τοῦ περισσῶς πληθούσας γλάγους, ὅ ἐστι γάλακτος.

Περιγλωττὶς, σκεπαστήριον τῆς γλώττης. πιθανόν φασι τὸν αὐλητὴν καλούμενον περιγλωττίδα ὑμενώδη φορεῖν, καὶ προσκλύζειν τὴν γλῶτταν πρὸς τὰς ἀπολαύσεις. καὶ δακτυλήθρας ἔχοντα ἐσθίειν λέγεται τὸ ὄψον, ἵν᾿ ὡς θερμότατον ἀναδιδῷ τῇ γλώττῃ.

Περὶ γύναια σύνασθαι, περιφραστικῶς, ἀντὶ τοῦ γυναίζεσθαι.

Περίγρα. ἡ ἐκ τοῦ γραίειν καὶ γράφειν γίνεται, ἢ πέριξ ὁπλαδὸν γραύσα, ἤγουν ἐσθίουσα, ἢ γράφουσα, ὅ ἐστι ξέουσα, καὶ ὅπως ἀπορθοῦσα τὰ ξύλα, οἷς ἐπισύρεται περιαγομένη. καὶ ὅπως ἐξακριβοῦσα χωμάτων ἰσότητα, κατὰ τὸ καὶ ἐκ περίγρας τετράγωνον, ἤγουν ἴσος πάντῃ καὶ στερεὸς, ὡς αἱ καὶ ἐπιτραγωνισθεῖσα διά τινος περίγρας. ἔστι δὲ περίγρα, ὁ διαβήτης.

Περιγραπτὸν, ὅπερ διανοίᾳ καὶ γνώσει καταλαμβάνεσθαι δυνατὸν, καθὰ καὶ Ἄγγελοι ἀλλήλων τὴν φύσιν.

Περιγράφειν, τὸ περιορίζειν. περιγράψαι, τὸ ἀποκτεῖναι. ἐπεὶ οἱ ἀποθανόντες περιγράφονται. διαγράφειν, τὸ ἀχρειοῦν. ἐπιγράφειν, τὸ ῥίπτειν καὶ ἐπιτιθέναι.

Περιγραφὴ, ἡ περιέχουσα αὐτὸ τὸ ὅλον σῶμα.

Περίγραφον, οἱ δανείζοντες τοῖς μὴ ἀποδιδοῦσι τὸ ἀργύριον, περιέγραφον, καὶ οὐχ ὑπερέβαινον.

Περιγράψαι, οἷον ἀποκτεῖναι. ἐπεὶ οἱ ἀποθανόντες, περιγράφονται.

Περιγυρίδα, περιφέρειαν.

Πέρι δ᾿ ἄλλων, ὑπὲρ τοὺς ἄλλους φησὶ γενέσθαι, ταυτὸν δ᾿ εἰπεῖν, περιττότερον γενέσθαι τῶν ἄλλων. οὕτω δὲ καὶ περιεῖναι τινῶν, τὸ περιττότερον ἐκείνων εἶναι. οἷον, περὶ μὲν βουλῇ Δαναῶν ἐστὲ, ὡς νοεῖσθαι τὴν περὶ πρόθεσιν ἐν τοῖς τοιούτοις, ἀντὶ τοῦ περιττότερον, ὃ γινόμενον ἐκ τῆς περὶ προθέσεως καὶ τοῦ σόου τὸ ὁρμῶ, δηλοῖ τὸν ἄγαν πολὺν καὶ συνεχὸν, καὶ ἁπλῶς εἰπεῖν μέγαν καὶ πολὺν κατά τινα ἀρετήν. ὡς δηλοῖ τὸ περιττὸς Ἀριστείδης, καὶ περιττὸς τὴν σοφίαν, ὅμοιον ὂν τὰ θεῖα καὶ τοῖς τοιούτοις. λέγει δέ που καὶ Εὐριπίδης ἐπὶ ἐπαίνῳ τὸ περιοσσὸς ὢν ἀνὴρ, ἀντὶ τοῦ μέγας, καὶ πολὺς, καὶ οὕτω μὲν ὡς ἐπὶ πολύ. λαμβάνεται δέ ποτε τὸ περιττὸν, καὶ οὐκ ἐπὶ ἐπαίνῳ, ὡς καὶ ἐν τῷ, τὸ γὰρ περισσὰ πράττειν, οὐκ ἔχει νοῦν οὐδένα. καὶ ἐν τῷ, τὰ γὰρ περισσὰ καὶ ἀνόνητα σώματα. καὶ εἴη ἂν πρός γε τὸ τοιοῦτον περιττὸν, ἐπαινετὸν μάλιστα τὸ ἀπέριττον.

Περιδαρδάπτεσθαι, κατεσθίεσθαι.

Περιδ᾿ ἐδρύφθη, περιεξέσθη.

Περιδέδετο, οἰκεῖον ἐπὶ κνημίδων ὡς ἐπὶ πεδίλων, τὸ ὑποδεδέσθαι.

Περιδείδια Δαναῶν, ἣν μὲν εἰπεῖν Δαναοῖς περιδείδια, ἐφράσθη δὲ ἄλλως διὰ συγγένειαν τῆς δοτικῆς καὶ τῆς γενικῆς.

Περιδεία, περιττὸς φόβος. καὶ περιδεὴς, περίφοβος, καὶ τὰ συμπεσόντα αὐτοῖς πολλὰ καὶ δεινὰ τῷ περιδεεῖ τῆς ὄψεως ἐμίνυον.

Περιδεὴς, ὁ περίφοβος.

Περιδεῖν, ἀντὶ τοῦ περιδεσμεῖν.

Περίδεινος, περιπαθής.

Περιδεινοῦσι, περιστρέφουσι.

Περίδειπνον, καὶ περίδειπνον τῶν νεκρῶν.

Περίδειρον, τὸ κατώτατον τῆς περιγραφῆς τοῦ τραχήλου.

Περιδείσασα, περισσῶς δείσασα, περισσῶς εὐλαβηθεῖσα.

Περιδεῖσθαι, συντείνεσθαι.

Περὶ δὲ κλίσιον θέε πάντῃ. περιεπεπήγειτο δὲ κλίσιον κύκλῳ, περιεβέβλητο, καὶ παρέκειτο κλίσιον, διὰ τὸ ἐν κύκλῳ κρηπίδωμα βαθροειδὲς ἔχειν.

Περιδέξιος, ὁ τῇ ἀριστερᾷ ἐργαζόμενος, περιδέξιόν ἐστι πᾶν διλήμματον. ἑκατέρωθεν γὰρ βούλεται συνάγειν. περιδέξιος, καὶ ὁ σοφός.

Περιδέραιον, περιτραχήλιος κόσμος. ἀπὸ τοῦ δέρρη Αἰολικῶς, ὃ σημαίνει τὸν τράχηλον.

Περὶ δ᾿ ἐστὲ μάχεσθαι, συγκροτεῖν ὁ ποιητὴς δοκεῖ τοὺς λέγοντας τὰ ἀπαρέμφατα ῥημάτων εἶναι ὀνόματα. τὸ γὰρ μάχεσθαι δίχα ἄρθρου ληφθὲν, ταυτόν ἐστι τῇ μάχῃ. λέγει γὰρ ὅτι περίεστε βουλῇ καὶ μάχεσθαι, ἤγουν τῇ μάχῃ.

Περίδ᾿ ἐστὶ, ὑπερέχεται δὲ, ἢ ὑπάρχετε, ἢ κρατεῖτε.

Περιδαλὲς, περιοσσῶς πεποικιλμένον.

Περιδεῶν, ἐμφόβων.

Περιδήλιον, πειρατήν.

Περιδίδομαι, συνθήκην τίθημι. Ἀριστοφάνης, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι. περίδου καὶ ταχέως ἀνὴρ γενοῦ, εἰ βούλει περίδου μοι.

Περιδινεῖσθαι, περικινεῖσθαι, τορνεύεσθαι.

Περιδινηθήτην, δυϊκῶς ἀντὶ τοῦ περιεστρέφοντο.

Περιδινήσεως, περιόδου.

Περιδινοῦνται, περιοδεύονται, περιστρέφονται.

Περιδόσθαι, συνθήκην θεῖναι. καὶ περιδώμεθα, ταυτέστι συνθήκας ποιησώμεθα. καὶ Ὅμηρος, δεῦρό γε νῦν τρίποδος περιδώμεθα.

Περίδου, περίθες.

Περίδοσιν, συνθήκην.

Περίδου νῦν ἐμοὶ, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ συνθήκας ποίησον. παρὰ τὸ Ὁμηρικὸν, δεῦρό γε νῦν τρίποδος περιδώμεθα. γίνεται δὲ οὕτω. δίδημι τὸ δεσμεύω, ὁ μέλλων διδήσω, δεύτερος ἀόριστος ἔδην, μέσος ἐδέμην, ἔδεσο, καὶ ἀποβολῇ τοῦ σ, ἔδεο, καὶ τὸ προστακτικὸν δοῦ καὶ περίδου.

Περὶ δουρὶ, περὶ τῷ δόρατι.

Περιδράττεσθαι, περιέχεσθαι.

Περίδρομοι, τοῦ δικτύου τὸ διειρόμενον σχοινίον. διὰ τὸ καὶ κάτω βρόχοις καὶ πάντῃ περιέχεσθαι. τόποι περιφερεῖς, στρογγύλοι.

Περίδρομοι κύνες, οἱ πανταχοῦ δυνάμενοι περιστρέφεσθαι. λέγει δὲ Ἀριστοφάνης τὰς ἐριννῦς.

Περιδρόμους τείχους, τοὺς περιβεβλημένους τοίχους κύκλῳ.

Περιδρύφει, περιξέει.

Περιδύεται, κρύπτεται, εἰσδύεται. καὶ περιδυθῶσαι, ἐκδυθῶσαι.

Περιδύσας, ἐκδύσας, ἀφελόμενος. περιδύσας οὖν τὸν ναὸν, ὡς καὶ τὰ σκεύη τοῦ Θεοῦ βαστάσαι.

Περίδυσο, ἀπόδυσο. περιδύω, ὅμοιον.

Περιδύω, ἀντὶ τοῦ ἐκδύω ἐπὶ λῃστείας. ἀποδύω καὶ ἐκδύω, ἐπὶ ἀγῶνος. καὶ περιδύω, καὶ ἀποδύω σε τὰ ἱμάτια.

Περιδώμεθα, ἀντὶ τοῦ συνθώμεθα, συμφωνήσωμεν. καὶ ὡς οἱ παλαιοί φασι, θῶμεν στοίχημα. ἢ σαφέστερον καὶ κοινότερον εἰπεῖν, δώμεθα, ὅ ἐστι δεσμηθῶμεν συνθήκαις, ὧν ὁ διαιτητὴς καὶ κριτὴς ἢ μάρτυς ἴστωρ ἐλέγετο, παρὰ τὸ εἰδέναι. ὁπποῖός τις κεῖται καὶ ἐν τῷ, ἄμφω δ᾿ ἐσθλὴν ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι.

Περιδώσομαι αὐτῆς, παρ᾿ Ὁμήρῳ ἐν Ὀδυσσείας ψ, ἀντὶ τοῦ συνθήσομαι, βεβαιώσομαι, καὶ τὸ δημοκοπούμενον στοίχημα θήσω ὑπὲρ ἐμοῦ αὐτῆς. ἢ διασαφητικὸν, τὸ κτεῖναί με, οἰκτίστῳ ὀλέθρῳ. ἔστι δὲ περιδώσεσθαι καὶ ἑτέρου τινὸς, ὡς ἡ Ἰλιὰς δηλοῖ ἐν τῷ, τρίποδος περιδώμεθον, ἠὲ λέβητος. ἀλλ᾿ ἐπιτιμητικὸς ἡ τοιαύτη φράσις ἔχει. τὸ γὰρ ἐντελὲς, περί τινος δοῦναι λόγον ἢ συνθήκην.

Περὶ δ᾿ ἐκτύπος ἦλθε ποδοῖιν, παρ᾿ Ὁμήρῳ. ἔστι δὲ τὸ περιῆλθε, ταυτὸν τῷ ἠχήθη, περὶ αὐτὸν ἦλθε. παρὰ δὲ τοῖς ὕστερον περιελθεῖν λέγεται, καὶ τὸ ὑπτίως μετελθεῖν, καὶ τὸ κατεργάσασθαι δέ. οἷον περιῆλθε τὸν δεῖνα τὸ φάρμακον. δῆλον δὲ, καὶ ὅτι ταυτὸν τῷ περὶ δ᾿ ἐκτύπος ἦλθε ποδοῖιν, καὶ ποδῶν δ᾿ ὑπὸ δοῦπον ἄκουσε.

Περιεβάλοντο, ἐπεκτήσαντο.

Περιεγένετο, ἀντὶ τοῦ ἐνίκησε γενικῇ, ὡς καὶ περιγέγονεν. εἴρηται περιεγένετο, καὶ ἀντὶ τοῦ προσεγένετο, καὶ ἀντὶ τοῦ ἐπερίσσευσεν. Ἀριστείδης, περιγενομένων τῇ πόλει χρημάτων, ἐκ τῶν ἔργων τῶν ἀργυρείων. περιεγένετο, καὶ ἀντὶ τοῦ ἐσώθη, καὶ ἔζησε.

Περιεδίνει, περιεκύκλευε.

Περιεδρύφθη, περιεξέσθη.

Περιέδυσεν, ἀφείλετο τὰ ἱμάτια. ὁ πατὴρ αὐτοῦ τὴν Συρίαν ἅπασαν περιέδυσεν, ὡς οὕτω ταῦτα τῶν σαρκῶν περὶ ὀστέων λέγων.

Περιεζόμενον, περιεχόμενον.

Περιεζώσατο, ἀντὶ τοῦ περιεβάλετο.

Περιέθει, περιέτρεχε.

Περιειλάμενος, περιειλησάμενος.

Περιείλημμαι, πανταχόθεν κεκράτημαι. Ἀριστοφάνης, οἴμοι περιείλημμαι μόνος, ἐκ τοῦ λήβω ἀρχαίου ῥήματος, λήψω, λέληφα, καὶ Ἀττικῶς εἴληφα. ὁ παθητικὸς παρακείμενος εἴλημμαι, μετοχὴ εἰλημμένος καὶ περιειλημμένος, καὶ περιείλημμαι.

Περιείληπτο, περιεγέγραπτο, ἢ ἐκεκράτητο, ἐκ τοῦ περιλαμβάνεσθαι.

Περιειλόμενος, συστραφεὶς, ἢ περιληφθείς. εἴλειν γὰρ τὸ συνέχειν.

Περιειλοῦμαι, τὸ περιστρέφομαι. καὶ περιειλόμενος, περικαλυπτόμενος.

Περίειμι, ζῶ, ἔτι σώζομαι.

Περίειμι, τὸ κύκλῳ βαδίζω. καὶ περίειμι, τὸ νικῶ, γενικῇ συντάσσεται.

Περίειμι νόον, καὶ ἐχέφρονα μῆτιν, παρ᾿ Ὁμήρῳ ἐν τ τῆς Ὀδυσσείας, μαρτυρεῖ καλῶς περίφρονα τὴν Πηνελόπην λέγεσθαι.

Περιεῖναι. ποτὲ μὲν τὸ ὑπερέχειν δηλοῖ. καὶ περιττότερον, ὡς ὅταν τις εἴποι, ὁ δεῖνα περίεστι τοῦ δεῖνος, ὥσπερ Ἀχιλλεὺς καὶ Ἀγαμέμνων περιεῖναι λέγονται πάντων, ἔν τε βουλῇ καὶ μάχῃ. ποτὲ τὸ περιεῖναι λέγεται ἐπὶ περιουσιασμοῦ τοῦ ἐν τῷ βίῳ. ὡς ὅτε τις εἴποι, ὡς πολλὰ κεκοπίακα, οὐδὲν δέ μοι περίεστιν, ἀντὶ τοῦ ἐκ περιοσσοῦ κεῖται, ἐξ οὗ ἡ περιουσία λαμβάνεται. δηλοῖ δὲ πολλάκις, τὸ περιεῖναι, καὶ τὸ ἁπλῶς ζῆν.

Περιεῖναι, περιγενέσθαι.

Περιεῖναι, ἐν βίῳ διάγειν, ζῆν. τότε μὲν οὕτως Ἰουστίνῳ περιεῖναι ξυνέβη. καὶ ἀντὶ τοῦ νικᾶν.

Περιεῖναι, εὕρηται αἰτιατικῇ καὶ δοτικῇ, καὶ ἀπαρεμφάτῳ συντασσόμενον. ὡς δηλοῖ παρ᾿ Ὁμήρῳ, τὸ νόον καὶ βουλῇ καὶ τὸ μάχεσθαι. οὕτω, περὶ μὲν νόον ἐστὲ βροτῶν, περὶ βουλῇ Δαναῶν, περὶ δ᾿ ἐστὲ μάχεσθαι.

Περιεῖπον, περί τινα ἦσαν θεραπευτικῶς.

Περιείργασμαι, ποιητὸν ἐποίησα.

Περίεισι, τὸ ἐν τοῖς ζῶσιν εἰσίν. ὡς Σαβέστιας, ἕως ἔτι περιῆν ὁ μακαρίτης Θεόδωρος, ἀντὶ τοῦ ἐν τοῖς ζῶσιν ἦν. περίεισι, καὶ ἀντὶ τοῦ κρείττων ἐστὶ, συντασσόμενον γενικῇ, καθὰ καὶ τὸ περιεγένετο τῶν πολεμίων. περίεισι, καὶ ἀντὶ τοῦ περιττοί εἰσι καὶ ὑπὲρ τὸ ἀναγκαῖον. καθὸ λέγεται καὶ τὸ περιγίνεται, ἀντὶ τοῦ περιττόν ἐστιν. ὡς καὶ Ἀριστοφάνης. περιγίνεσθαι αὐτῷ μηδέν.

Περιεῖχεν, ὑπερεῖχε.

Περιεκέχυτο, πανταχόθεν, περιέρρει.

Πε-

Περιεκόκκυσα, περιεκορδάκισα. ἔστι δὲ εἶδος ὀρχήσεως. τινὲς δὲ τὸ μὲν ἀπεπυδάρισα, ἀπέπαρδον. ἄλλοι δὲ ἀπεσκίρτησα, καὶ ὠρχησάμην. τὸ δὲ περιεκόκκυσα περιερόγχασα, καὶ ὑπερεῖδον, καὶ κατεφρόνησα.

Περιεκονάβησαν, περιήχησαν. κοναβέω κοναβῶ, ἐν πρώτῃ συζυγίᾳ τῶν περισπωμένων. λέγεται καὶ κοναβίζω, ἐν τετάρτῃ τῶν βαρυτόνων. ποιὰ δ᾽ ἐστὶ φωνή, ἀπὸ τοῦ ἤχου πεποιημένη, ὃν ποιεῖ τὰ ξηρὰ σώματα συγκρουόμενα.

Περιεκτικὰ ὀνόματα, μουσεῖον, χολεῖον, κουρεῖον, ἰατρεῖον, μαγειρεῖον, πανδοχεῖον, διδασκαλεῖον, ταξιαρχεῖον, ὡρεῖον, τὸ σιτοδοχεῖον. ἀρχεῖον, τὸ παλάτιον.

Περιεκτικὰ ῥήματά ἐστιν, ὅσα δρᾶσιν καὶ πάθος ἐμφαίνουσιν, οἷον βιάζομαι, δωροῦμαι, σφαγιάζομαι, καὶ ἄρχομαι.

Περιεκτικόν, τὸ περιέχον ἤτοι γενικόν, ἢ περιληπτικόν. ἐκ τοῦ περιβάλλειν, ἢ ὑπερέχον.

Περιεκτικόν, τὸ καθόλου, ἢ τὸ ἐν ἑαυτῷ τὰ μερικὰ συνάγειν, καὶ ἀναπληροῦν.

Περιελάσωσι, ὑποτεμοῦμαι. ὡς βυρσοδέψης δὲ τοῦτο λέγει. ὑποτέμνουσι γὰρ τὰ δέρματα, διὰ τὸ φαίνεσθαι παχέα.

Περιέλαι, κόψον, ἔπαρον, ἀφελοῦ.

Περιέλεψε παρ᾽ Ὁμήρῳ, ταυτὸν τῷ τοῦ φλοιοῦ ἐγύμνωσε. καὶ ἀντὶ τοῦ ἁπλῶς περιῄρηκε. περιέλεψεν ἐχαλκὸς τὰ φύλλα καὶ τὸν φλοιόν, ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν.

Περιελόμενος, ἐπάρας.

Περιελιχμήσατο, τῇ γλώττῃ ὡς σπόγγῳ περιεκάθηρε.

Περιελῶ σ᾽ ἀλαζονείας, οἷον ἀποδύσω σε καὶ παύσω τῶν ἀλαζονευμάτων, ἡ μεταφορὰ ἀπὸ τῶν ἱερεσσόντων, παύσω καὶ περικόψω τῆς ἀλαζονείας. περιελάσω, νικήσω. Ἀριστοφάνης.

Περὶ ἐμέ, πρός με.

Περιεμεκτήσας. ὁ δὲ περιεμεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκου, καὶ διαλυσάμενος τὴν ξενίαν, ἐπαίει ποιάδε, ἀντὶ τοῦ δεινοπαθήσας. ὁ δὲ Θεμιστῶν ἀνὴρ ἦν φρόνιμος περιεμέκτησεν αὐτὴν ἐν τῷ πελάγει.

Περιενεγκεῖν, τὸ κύκλῳ ἀγαγεῖν.

Περιέπει, περιέρχεται, περιεργάζεται.

Περιέπειν, αἰτιατικῇ, φυλάσσειν, ἢ ἐνεργεῖν.

Περιέπειραν, περιπείρω ἐνεστώς, περιέπειρον παρατατικός, περιπερῶ μέλλων, περιέπειρα ἀόριστος. παθητικά, περιπείρομαι ἐνεστώς, περιεπειρόμην παρατατικός, περιπαρήσομαι μέλλων, περιεπάρην ἀόριστος, περιπέπαρμαι παρακείμενος.

Περιέπειραν, ἔπηξαν. πείρω γὰρ τὸ σουβλίζω.

Περιέπεσον ἀτυχίαις, ἀντὶ τοῦ ἠτύχησαν, καὶ συντάσσεται δοτικῇ.

Περιεπτισμένον, λελεπτυσμένον, περιεξεσμένον, κεκαθαρμένον.

Περιεπτισμένοι, οἷον ξένων ἀπηλλαγμένοι, καὶ καθαροὶ ἀστοί. κυρίως δὲ πτίσσειν ἐστὶ τὸ λεπίζειν καὶ καθαροποιεῖν. ἔνθεν καὶ πτισάνη, ἡ λελεπτυσμένη κριθή.

Περιέπτυξαν, ἐκύκλωσαν.

Περιέπω, τὸ φίλον τινὰ κυβερνῶ καὶ θάλπω καὶ φυλάσσω. περιέπουσιν, ἀντὶ τοῦ περιφυλάσσουσιν, ἐπὶ τῶν φιλστόργων, οἷον οἱ γονεῖς τὰ τέκνα, ἢ τὰ στρατόπεδα, τὸν ἄλλον λαόν. καὶ περιέπουσιν, ἀντὶ τοῦ ὑποβλέπουσι.

Περιεργαζόμενος, πονηρευόμενος.

Περιεργάσασθαι, περιγενήσεσθαι. ὁ δὲ περιεργασάμενος τοὺς οἴκους, ἐν οἷς συντρέχοντες ἐκκλησιάζουσι, τούτοις συνέχηκε.

Περιεργάσει, πράξει περισσά.

Περίεργον, περιττόν, ἢ στρεβλόν.

Περιερεία, καθαρσία.

Περιεσπέμοντο, περιήλασαν.

Περιεσπέτων, κωπηλατῶν.

Περιέρρων, ζητῶν. περιέρρων αὐτὸν ἐξ ἑωθινοῦ, κραταπάλοις Φερεκράτους, ἀπὸ τοῦ ἔρρων, ὃ σημαίνει τὸ φθειρόμενος.

Περιερρύη, ἐξεχύθη, ἐξέπεσε.

Περιέρχομαι, παρὰ τῷ Ἀριστοφάνει, ἐνεδρεύω, ἐξαπατῶ, ἢ σοφίζομαι, καὶ ὑπέρχομαι.

Περίεσα, καθαρά.

Περιέσεσθαι, περιγενήσεσθαι.

Περιεσκεμμένος, ἠκριβωμένος.

Περιεσόμεθα, περιγενησόμεθα.

Περιέσπασαν, ἀτίμως περιεῖλον.

Περιεσπάσθην λέγουσί τινες, ἐπὶ τοῦ ἐν ἀσχολίᾳ γενέσθαι, τιθέντες πάνυ κιβδήλως. τὸ γὰρ περισπᾶν καὶ περισπᾶσθαι, ἐπὶ τοῦ παραιρεῖν καὶ παραιρεῖσθαι τάττουσιν οἱ ἀρχαῖοι. δέον οὖν ἄσχολος ἦν λέγειν.

Περιεσπάσθη, ἐσείσθη, περιεδέδετο.

Περιέσσατο, περιεβάλετο.

Περιέσσεισεν, ἀλλοκότως. ἔχρην γὰρ ἐπερίσσευσε λέγειν.

Περιέσται, νικήσει. ἢ περιγενήσεται, ὑπάρχει.

Περιεστέλλετο, τοῖς περιβολαίοις ἑαυτὸν ἔσκεπε, παρὰ τῷ Ἱπποκράτει.

Περιέστη, ἀντὶ τοῦ ἐν κύκλῳ ἔστη. καὶ Ὅμηρος, περισταδὸν ἄλλοσε ἄλλος φησί. καὶ περιέστη, ἀντὶ τοῦ εἰς τοὐναντίον ἦλθε. καὶ περιέστη, ἀντὶ τοῦ κατήντησεν. ὁμοίως καὶ περιγίνεται. ἀντὶ τοῦ κύκλῳ περίεισι. καὶ περιγίνεται, ἀντὶ τοῦ περιττὸν δοκεῖ. καθὸ καὶ Ἀριστοφάνης, περιγενέσθαι δ᾽ αὐτῷ μηδέν. καὶ περιγίνεται, ἀντὶ τοῦ ὑπεραίρει καὶ νικᾷ. καὶ περιγίνεται, ἀντὶ τοῦ εἰς τὸ ἐναντίον συμβαίνει.

Περίεστι, ἀντὶ τοῦ περιουσία ἐστίν, ἤγουν πλῆθος. καὶ συντάσσεται ἀπὸ δοτικῆς πρὸς γενικήν, οἷον περίεστί μοι σοφίας. περίεστιν, ἀντὶ τοῦ κρεῖττόν ἐστι. καὶ Ὅμηρος, οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ᾽ ἐστὲ μάχεσθαι. ἤγουν περίεστε μὲν καὶ κρείττους ἐστὲ ἐν τῇ βουλῇ τῶν Δαναῶν. περίεστε δὲ καὶ ἐν τῷ μάχεσθαι, ἤτοι ἐν τῇ μάχῃ. περίεστιν, ἀντὶ τοῦ ζῇ. ὡς τὸ ἔτι γὰρ περίεστιν, ἤγουν ζῇ.

Περίεστιν ὁ δεῖνα, ἀντὶ τοῦ ζῇ. καὶ περιῆν, ἀντὶ ἔζη. περιῆν μοι σπουδῆς τοσοῦτον, ἀντὶ τοῦ κατὰ τοσοῦτον περιττότης καὶ περιουσία σπουδῆς ἦν μοι. περίεστί μοι πλοῦτος, ἀντὶ τοῦ ὑπερβολή ἐστί μοι πλούτου. περίεστι, καὶ τὸ περιττόν ἐστί μοι, καὶ γίνεται. καὶ περίεστιν, ἀντὶ τοῦ ἐναντίον συμβαίνει, καὶ ἐμποδών ἐστι.

Περιεστοιχισμένοι, οἱ περιέχοντες, καὶ περιεχόμενοι.

Περιεστήξει, περιστοιχισθήσεται, περιφράξει, ἢ περικυκλώσει.

Περιετίθουν, ἐκρέμουν.

Περιεπέτυκτο τῶν ἄλλων, ἤγουν ἐπέκεινα καὶ περισσότερον τῶν ἄλλων ἐπέτυκτο. καὶ κυρίως μέντοι ἐπὶ τῶν κατὰ τέχνην ἡ λέξις κεῖται.

Περιέτισαν, ἐτίμησαν.

Περιέτυχον, συνέτυχον.

Περιετρέφετο παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ πέριξ ἐπήγνυτο. ἔπαγε τοῦτο, συνίστατο, ἐστερεοῦτο. ὅθεν καὶ τροφὴ ἡ συμπηγνῦσα καὶ στερεοῦσα τὸ σῶμα. οὕτω καὶ γάλα θρέψας Κύκλωψ τυροποιεῖται.

Περιέτριζεν, ἔκλαιεν, ἠντιβόλει. πεποίηται ἡ φωνή, ἀπὸ τῶν πτηνῶν τῶν περιϊπταμένων, καὶ θρηνούντων τοὺς κινδυνεύοντας ἑαυτῶν νεοττούς.

Περιεττίζεσθαι, ἀποδοῦναι αὐτῷ.

Περιέφραξαν, ἐσκέπασαν, ἐφύλαξαν.

Περιέχεσθαι, τὸ σφόδρα καὶ συντεταμένως ἔχεσθαί τινος καὶ ἀντιποιεῖσθαι, γενικῇ.

Περιέχεσθαι, γενικῇ. ἀντέχεσθαι, φροντίζειν.

Περιεχόμενον, ἀντιποιούμενον.

Περιέχοντες, περιλαβόντες, καὶ τὰ ὅμοια.

Περίζυξ, ὁμόζυγος, σύζυγος.

Περίζυγα. Ξενοφῶν, ἔχειν δὲ χρὴ καὶ ἱμάντας. τούτων γὰρ τριβομένων καὶ ῥηγνυμένων, ἀνάγκη ἀργεῖν, εἰ μή τις ἔχοι περίζυγα.

Περίζωμα, τὸ ὑπὸ τὰ αἰδοῖα σκέπασμα. γυμνῶν μαχομένων τῶν Ῥωμαίων, ἐν τοῖς περιζώμασι.

Περίζωμα, περιβόλαιον.

Περιηγέα, περιφερῆ.

Περιήγγειλεν, ἐκέλευε.

Περιήγει, ἐζωγράφει.

Περιηγεῖται, ἀντὶ τοῦ διηγεῖται.

Περιηγεῖτο, πανταχόσε περιήρχετο.

Περιηγές, κυκλοτερές, περιφερές.

Περιήγητος, ὁ περιπόρφυρος χιτών.

Περιηγμένα, περιφερόμενα.

Περιηγοῦμαι, τὸ εἰς λεπτὸν διηγοῦμαι. ἐξ οὗ καὶ περιηγητής, ὁ κατὰ λεπτὸν διηγούμενος. καὶ παρὰ Λουκιανῷ, περιήγησαί μοι τὰ ἔνδον.

Περιήεσαν, περιήρχοντο.

Περιήθελεν, ἠγάπα.

Περιήκασε, περιώρυξε, περιέγραψε.

Περιηκὴς μοχλός, ὁ ἠκονημένος. εἰ δὲ βαρυτόνως γράφεται περιήκης, συνηγορεῖται ὑπὸ τοῦ τανυήκες ξίφος, καὶ τῶν ὁμοίων. δύναται δὲ περιήκης εἶναι, καὶ ὁ πυρίνην ἔχων ἀκήν, ἀφ᾽ ἧς ἡ ἀκωκή.

Περιῆλθεν, ἀντὶ τοῦ ἐν κύκλῳ ἦλθε. καὶ περιῆλθέ μοι τόδε, ἀντὶ τοῦ περιττὸν ἐγένετο. καὶ περιῆλθεν, ἀντὶ τοῦ εἰς τὸ ἐναντίον συμβέβηκεν. ὥσπερ δὲ λέγεται καὶ τὸ περίεστι καὶ περιγίνεται. καὶ περιῆλθεν, ἀντὶ τοῦ ἐξηπάτησε.

Περιημεκτεῖ, ἀγανακτεῖ, ἀνιᾶται, δυσκολαίνει.

Περιημάκετον, ἐδυσφόρουν.

Περιῆν, ἀντὶ τοῦ ἔζη. Συνέσιος, ἕως ὅτε περιῆν ὁ μακαρίτης Θεόδωρος. καὶ περιῆν, ἀντὶ τοῦ ἐνίκα. οὔτε πρότερον ἐγὼ περιῆν.

Περιῆν, ὑπῆρχεν, ἐπλεόναζε.

Περιήρης, ἐκ τοῦ περιήρης, ἆρον τὸ η περίηρς. ταύτῃ ἐάν σοι προστεθῇ παρ᾽ Ἀλκμᾶνι, ὅτι κλῖνον αὐτό, μὴ κλίνης. οὐ γὰρ ἀκολουθεῖ ἡ κατάληξις. εἰ γένοιτο περιήρους πρὸς τὴν περιήρης. Ἐκθεῖαν, περὶ παθῶν.

Περιηχήθην, περιεψιθυρίσθην.

Περιηρημένον, κεκομμένον.

Περιήσω, περιδώσω.

Περιθείης, μάθοις, πειρασθείς.

Περιθειῶσαι, περικαθάραι, κυρίως, θείως.

Περιθέσθαι, περιποιήσασθαι, προσλαβέσθαι, κυκλωθῆναι.

Περιθέσθαι ὅπλα, καὶ ἀμφιβαλέσθαι, καὶ περιβαλέσθαι, ταυτά εἰσι.

Περίθετος, προσωπεῖον. Ἀριστοφάνης, ἥδιον μὲν οὖν κεφαλὴν περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ. διαβάλλεται δὲ Ἀγάθων ἐπὶ μαλακίᾳ, ἵνα λανθάνῃ νυκτός, καὶ ὡς γυνὴ πάσχῃ.

Περιθοῖδαι, δῆμος φυλῆς τῆς Οἰνηΐδος.

Περίθου, ὅπερ ἡμῖν σύνηθες ἐπίθου λέγειν Ἀριστοφάνης.

Περιθραυσθέντα, περιπεσόντα, ῥαγέντα.

Περιθρεκτέον, περιδραμητέον.

Περιθυρεῖν, τὸ ἐπὶ ταῖς θύραις ἵστασθαι.

Περίθριξ, ὁ ἀπὸ γενέσεως πλόκαμος.

Περιθυροῦσιν αἱ μέλισσαι, ἤγουν αἱ περὶ τὴν ὀπὴν ἑαυτῶν.

Περιίδμεναι, περισσῶς εἰδέναι.

Περιιδεῖν, οὐ μόνον ἀντὶ τοῦ καταφρονῆσαι, ἀλλὰ καὶ ἀντὶ τοῦ περισκοπῆσαι.

Περιιόντα, περιερχόμενον.

Περιϊπτάμενον, περιτρέχων.

Περιίσσεται ὥρας, περιέρχεται τὰς ὥρας.

Περιίσταμαι τὸν δεῖνα, μὴ εἴπῃς. πῶς ἂν ὁ εἴς τινα περισταίη, ἀλλὰ περιϊστάμεθα. Λιβάνιος, περιϊστάμεθα τὰς ἐπιστολάς.

Περιίστασο, ἀντιλαβοῦ. περισκέπασον, κύκλωσον, σκόπησον. περίφραγε, ἀνάστρεπε, περιστοιχείωσαι.

Περιίσταται, ἀντὶ τοῦ κύκλῳ ἵσταται.

Περιίσταται, ἀντὶ τοῦ κρύπτεται, Ἰώσηπος. καὶ τὴν αἰτίαν ἐπυνθάνετο, δι᾽ ἣν πρότερον ἡδόμενος τῇ πρὸς αὐτὸν ὁμιλίᾳ, νῦν φεύγει ταύτην. καὶ περιίσταται, ἀντὶ τοῦ τρέπεται. Συνέσιος, εἰς τοὐναντίον μοι περιίσταται, καὶ ἀντὶ τοῦ καθίσταται.

Περικαθαίρων, ἀναλύων τὸν πεφαρμακευμένον, ἢ τὸν γεγοητευμένον.

Περικαθάρματα, ἀντὶ τοῦ ἀποψήγματα, καὶ ὥσπερ ἀποσαρώματα.

Περικάθηνται, οἱ πολέμιοι τὰ φρούρια, ἤγουν πολιορκοῦσιν. ἡ γὰρ περί, τὸ κύκλῳ σημαίνει.

Περικακῶ, ἐκκακῶ.

Περικαλλές, λίαν καλόν, λαμπρόν.

Περικαλλὲς κάνεον εἰπὼν Ὅμηρος, σιγᾷ τὴν ὕλην, ὡς μὴ ἀναγκαῖον ὂν δηλωθῆναι καὶ αὐτήν.

Περικαλλέα λίμνην, τὸν Ὠκεανὸν λέγει Ὅμηρος, ἀφ᾽ οὗ δοκεῖ ἀνατέλλειν ὁ Ἥλιος.

Περικάμπτεται, περικινεῖται.

Digitized by Google

Περὶ καπνῷ, περὶ τὸν καπνόν.
Περικάρπιος, τὸ λέπυρον, σκέπασμα.
Περικαῶς, ἐρωτικῶς. περικαῶς τῆς γυναικὸς ἔχων.
Περίκειται, τὸ περιειλεῖται, καὶ ἐν κύκλῳ κεῖται, δοτικῇ συντάσσεται.
Περικεῖσθαι, κεῖται παρ' Ὁμήρῳ συνταχθὲν δοτικῇ, λαβὼν αὐτὸ ἀντὶ τοῦ συγκεῖσθαι, καὶ περιπλέκεσθαι. ἡ μέντοι συνήθεια ἐπὶ τοῦ βαστάζειν, καὶ φορεῖν τὴν λέξιν τίθησι. καὶ αἰτιατικῇ συντάσσει. ὡς ἐν τῷ, περίκειται τύφον, ἢ πλοῦτον, ἢ δυναστείαν. λέγεται δέ ποτε περικεῖσθαι, καὶ τὸ περιττῶς κεῖσθαι. καὶ εἰς ἃ εἰπεῖν περιττεύεσθαι, περιουσιάζεσθαι, κειμηλιοῦσθαι. ὡς τὸ οὐδέ τί μοι περίκειται, ἀντὶ τοῦ οὐδέν τι περιττὸν ἔχω ἀποκείμενον.
Περικεκλασμένοι, περικεκαμμένοι γρυποί, καὶ ἐπικαμπεῖς παρὰ τῷ Ἱπποκράτει.
Περιρικεκλασμένοις, ἐνέδραν εἶχεν ἐν τόποις περικεκλασμένοις, καὶ δυσθεωρήτοις.
Περικεφαλαία φασὶν ἐλέγετο, καθὰ καὶ περιπροσωπὶς, ἡ περὶ τῷ προσώπῳ τιθεμένη. ἧς καθ' ὁμοιότητα, παρώπια τὰ ὀφθαλμοῖς ἵππων περιτιθέμενα δέρματα, καὶ τὰ χάριν σκιᾶς ἀντήλια, τὰ προβεβλημένα δηλαδὴ τῶν προσώπων τοῖς ἡλιαζομένοις.
Περικεφαλαιῶν. αἱ μὲν ἄφαλοι, ὡς ὁ αὐτός που λέγει Ποιητής. αἱ δὲ φαλωταὶ, ἤτοι ἔχουσαι φάλον, ὡς καὶ ἡ τοῦ Πάριδος. ἔφη γοῦν, ὅτι ἔπληξε Μενελάου κόρυθος φάλον. τὴν δὲ αὐτὴν καὶ τρυφάλειαν λέγει, ὡς τρεῖς φάλους ἔχουσαν. ἐρεῖ δέ που τινὰ καὶ ἀμφίφαλον, καὶ τετράφαλον. σκοπητέον δὲ, καὶ ὅτι ἐν μὲν τῷ δίφρος, τροπῇ τοῦ υ δίχρονου γέγονεν εἰς τὸ ι. ἐν δὲ τῷ τρυφάλεια ἔμπαλιν ἔχει ἡ τοῦ διχρόνου τροπή.
Περικεφαλαιῶν εἴδη εἰσὶ διάφορα παρὰ τῷ Ποιητῇ, οἷον ἡ τρυφάλεια, ἡ ἀμφίφαλος, ἡ τετράφαλος, ἡ στεφάνη, ἡ νῦν λεχθεῖσα καταῖτυξ. ἔτι δὲ καὶ ἡ ὡς ἂν εἴποι τις ὀδοντωτὴ, ἣ τις τὴν τοῦ Ὀδυσσέως ἐπύκασε κεφαλήν. καὶ μὴν καὶ ἡ τὸν Δόλωνα σκεπάσασα κτιδέη κυνέη, καὶ ἡ κυρίως λεγομένη κυνέη, καὶ ταυρείη, καὶ ἡ αἰγείη, καὶ ἡ ἁπλῶς ῥινοῦ τινὸς ποιητή. τινὲς δὲ καὶ τὴν ῥηθεῖσαν, σκάνδιαν, περικεφαλαίας εἶδος ἐνόησαν.
Περικέχυται, περιείληφε.
Περικήδεο, φείδου φροντίζων.
Περίκηλα, περισσῶς ξηρά. τὰ περικεκαυμένα, περιεσχισμένα.
Περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων. τρεῖς ἐπιτάσεις ἔχει τὸ περὶ, τὸ μακάρτατος, καὶ τὸ ἔξοχον, πρὸς ἔνδειξιν πάνυ πολλῆς μακαριότητος.
Περικλῆς, περικλέους, περικλεῖ, περικλέα, καὶ περίκλεις, καὶ πάντα τὰ εἰς κλης, οὕτω κλίνεται.
Περικλῆς πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἠνάλωσεν. ἦν δὲ Ἀθηναῖος. ἐπὶ τούτου ἤρξατο ὁ πελοποννησιακὸς πόλεμος.
Περικλυζόμενος, δοραζόμενος λίαν.
Περίκλυμος, ὁ πλοῦτος. καὶ πόα, ἡ κυκλάμινος.
Περικλύτῳ, σφόδρα ἐνδόξῳ.
Περικνημὶς, σκεπαστήριον τῆς κνήμης.
Περικοῖται, κλῶπαι, λησταί.
Περικόμματα. ἐκ τοῦ Ἀριστοφάνους, περικόμματα τὰ ἐκ τῶν μαγείρων περιαιρούμενα τῶν κρεῶν, τοῦτο βούλεται λέγων κατὰ μέρος συγκόψω τὸ σῶμα. ὡς μάγειρος δὲ λέγει.
Περικοπὴ, μέρος τι τῆς ὑποθέσεως. ὁ δὲ προηγε ποιήσας ὅλον τὴν ἀκολουθίαν, καὶ τὴν περικοπὴν τῆς ἐκδημίας.
Περίκουροι, οἱ ἐκ τοῦ κυκλωθῆναι ἁλισκόμενοι ἐν ταῖς μάχαις.
Περικτίονες, περίοικοι, γείτονες, πέριξ οἰκοῦντες.
Περικτίονος, τοῦ πέριξ οἰκοῦντος.
Περικτῖται, οἱ περίοικοι.
Περικτίονες, οἱ ἄλλως ἁπλῶς περίοικοι.
Περικυκλίσας, περιειλήσας, καὶ περισυρείσας. Ἀριστοφάνης, περικυκλίσας τοῖν ποδοῖν. περὶ τοῦ κανθάρου τοῦτο λέγει. ἔθος δὲ τοῖς κανθάροις, τὰς ὀνίδας περικυλίειν. λέγεται δὲ ὁ κάνθαρος εἰς ὄνθον ἀποσπερματίζειν. καὶ οὕτω περιστρέφειν τοῖς ποσὶν, ὡς ἂν τὸ σπέρμα ἐγγυμνασθὲν, ἀποδοθείη καὶ ἐγγεννήσῃ. θῆλυς γὰρ κάνθαρος οὐ γίνεται, ἀλλὰ πάντες ἄρσενες.
Περικυκλῶ, περιβάλλω, περιτειχίζω, περιστέφω.
Περικωδωνῆσαι, περιρομβῆσαι.
Περίκωμα, κοίμημα.
Περικωνῆσαι κυρίως ἐστὶ, τὸ πισσῶσαι τὰ κεράμια.
Περιλαβεῖν, περιβαλεῖν, καὶ τὰ ὅμοια.
Περιλακιζομένη, ἀντὶ τοῦ περισχιζομένη, καὶ διακοπτομένη.
Περιλαλοῦσιν, αἰτιατικῇ, ἀντὶ τοῦ περιττολογοῦσι, φλυαροῦσι.
Περιλάμπεσθαι, τὴν μερικὴν λάμψιν δηλοῖ. καταλάμπεσθαι δὲ, τὴν τελείαν.
Περίλαος, ὄνομα κύριον.
Περιλέγειν, τὰ περισσὰ φράζειν.
Περιλεγνὲς, περιποίκιλον.
Περιλείπεταί μοι, ἀντὶ τοῦ ἐκ περισσοῦ λείπεταί μοι, ἤτοι ὑπόλοιπόν ἐστί μοι.
Περίλεξις, περιττολογία, περίφρασις. καὶ περιττῶς, καὶ περιέργως περιτείνεσθαι τῶν λόγων, καὶ δύνασθαι ἑρμηνεύειν τὸ νοηθὲν, ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. δείκνυσι δὲ ἐξ ὅσων συνέστηκε ῥητορική. δεῖ γὰρ νοεῖν, εἶθ' ἑρμηνεύειν. ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου, ἢ τὸν παραλογισμὸν, καὶ τὴν ἀπάτην τὸ συναρπάσαι τὸν ἀκούοντα, ἢ δοκιμασίαν, ἐπεὶ τὰ σαθρὰ κρουόμενα, δοκιμάζεται.
Περιλέποντες, τὸν φλοιὸν περιαιροῦντες. Ἡρόδοτος, τῶν δὲ δενδρέων τὸν φλοιὸν περιλέποντες, καὶ ἐσθίοντες.
Περιλεσχηνευτὸς, περιποιητὸς, περιλάλητος.
Περιληπτικὰ ὀνόματα, οἷον τὰ δι' ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαίνοντα, ἑνικοῖς καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. οἷον ὁ δῆμος εἶπε, καὶ ὁ δῆμος εἶπον, καίτοι τἆλλα πάντα τῶν ὀνομάτων ἑνικῶς μὲν προφερόμενα, ἑνικοῖς συντάσσεται ῥήμασι. δυϊκῶς δὲ, δυϊκοῖς. πληθυντικῶς δὲ, πληθυντικοῖς. πλὴν τῶν Ἀττικῶν, συντασσομένων ἑνικοῖς οὐδετέρων. Ἀττικοὶ τὰς πληθυντικὰς τῶν οὐδετέρων ὀνομάτων εὐθείας, ἑνικοῖς συντάσσουσιν, οἷον παίζει τὰ παιδία.
Περιληπτικὸν, ἐφαπτόμενον.
Περίληψις, ἡ περισσοτέρα νόησις, ἐκ τοῦ λήβω τὸ λαμβάνω.
Περιλιχμήσασα, περιλήξασα.
Περιλιχμώμενος, κατασπαζόμενος. ὁ δὲ τὴν γυναῖκα πολὺν χρόνον περιλιχμώμενος, καὶ τοὺς πόδας εἱλούμενος, συνέπεισεν ἄνδρα νομίσαι.
Πέριλος, τὸ αἰδοῖον, δι' ἑνὸς λ.
Περιλογίζεσθαι, περιστρέφεσθαι.
Περὶ λύχνων ἀφὰς, ὀψιαίτερον. μικρὸν δὲ μετὰ λύχνων ἀφὰς ἄρτι ἐς θοίνην ἰόντων. ἐπιπεσόντες ἀδόκητοι, τῶν πολεμίων πολλοὺς κτείνουσι.
Περίμανως, καὶ μάνερως, ὀνόματα ᾠδῆς, Εὔβουλος Καμπυλίωνι.
Περιμάχητον, ὑψηλὸν, μέγα, ἰσχυρόν.
Πέρι μὲν, περισσῶς μέν. καὶ πέρι μὲν φάσθαι, διαφερόντως λέγειν.
Περίμετρον, ὑπέρμετρον, μέγα, τινὲς δὲ τὸν κύκλον.
Περιμήκεος, μακροτάτου.
Περίμηκες, ὑπερμέγεθες.
Περιμήκετος, ὑψηλὸς, ὑπέρμηκος, ἢ περισσῶς μακρὰν καὶ ὑψηλὴν ἐλάτην ἀναβὰς, περιμήκετον.
Περιμήκει ῥάβδῳ, ἁλιευτικῷ καλάμῳ.
Περιμήκης, βαρύνεται κανόνι τοιούτῳ. τὰ εἰς ης σύνθετα, γενόμενα παρὰ οὐδέτερα εἰς ος, τῷ η παραληγόμενα βαρύνεται. κῆτος, μεγακήτης. μῆκος, περιμήκης. ἦθος, κακοήθης. τὸ λαθικηδὴς καὶ οἰνοπληθὴς, οὐκ ἀπὸ τοῦ κῆδος καὶ πλῆθος, ἀλλὰ παρὰ ῥῆμα τὸ κηδῶ καὶ πλήθω γεγόνασι.
Περίναιος, τὸ αἰδοῖον. οἱ δὲ τὸν καυλὸν, ἢ τὸ τῶν διδύμων δέρμα, ἤγουν ὁ ταῦρος.
* Περιναιὸν, ἢ περίνεον, τοῦ σώματος ἡμῶν ἐκεῖνο τὸ μέρος, ὃ μεταξύ τῆς ἕδρας ἐστὶ, καὶ τῆς ἀρχῆς τοῦ αἰδοίου, ἔνθα τῆς κύστεως ὁ τράχηλος. Ἱπποκράτης.
Περιναὶ, μελαίνουσαι, πελιδναὶ οὖσαι, παρὰ τῷ Ἱπποκράτει.
Περιναιέται, καὶ περιναῖται, οἱ περίοικοι λέγονται. καὶ οἱ πέριξ, ὅ ἐστιν ἀμφὶς ναίοντες.
Περινάμενα, περιρρασσόμενα.
Περινενήματος, περικλύσματος, παρὰ τῷ Ἱπποκράτει.
Περίνεως, τοὺς περιττοὺς τῇ νηὶ ἐπιβάτας, οἷον δούλους.
Περινήσαντες, περισωρεύσαντες.
Περινήσσεια, περιβόλαια, οἷς ἐν κύκλῳ πορφύρα παράκειται.
Περινῆσον, ἱμάτιον ἔχον πορφύραν κύκλῳ.
Περινεῖ, περικλύζει, περινήχεται, παρὰ τῷ Ἱπποκράτει.
Περίνοια, ὑπερηφάνεια, ἢ μηχανὴ, ἢ τέχνη. περίνοια δὲ, μερικὴ γνῶσις. τοῦ Θεολόγου, ἐν περινοίᾳ Θεοῦ.
Περινοεῖ, περισσῶς νοεῖ.
Περινοστεῖν ἐστι. Ἀριστοφάνης, κυρίως μὲν ἡ ἐπ' ἀλλοδαπῆς οἴκαδε ἄφιξις· καταχρηστικῶς δὲ, ἡ ἀπὸ τόπου εἰς τόπον μετάβασις καὶ πορεία.
Περινοστεῖ, περιέρχεται, ἀναστρέφεται.
Περινοστῶ, τὸ πολλάκις περὶ τὸν αὐτὸν τόπον ἐπαναστρέφω καὶ κυκλεύω καὶ περιφέρομαι. τὸ κυρίως δὲ καὶ νοστῶ, ποιητικά.
Πέριξ, κύκλῳ, ἐπίρρημα. πέριξ ἑλίξειν τὴν πόλιν, ἀντὶ τοῦ περιελίξειν, ἤγουν κυκλώσειν.
Περιοδεία, ἡ περιόδευσις.
Περίοδος, περιέλευσις, κύκλος. * ἡ ἐπὶ τὸ αὐτὸ ὁμοία ἐπάνοδος. ὁ ἐξ ἐπιτάσεως καὶ ἀνέσεως ἐν νοσήμασι χρόνος.
Περίοδος, ἡ καταβολὴ πυρετοῦ. περιοδικὰ νοσήματα καλοῦσιν οἱ ἰατροὶ, τὰ τεταγμένως ἀνιέμενα, καὶ αὖθις ἐπιγινόμενα, οἷον τριταίους καὶ τεταρταίους. καὶ γὰρ ἐπὶ τούτοις οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς ἀνέσεως ἡμέραις μηδὲν νοσεῖν, ἀλλ' ὑγιεῖς εἶναι.
Περίοδος μὲν λέγεται καὶ ἡ περιδρομὴ τοῦ ἡλίου, λέγεται καὶ Ἀττικῶς περίοδος ἡ πομπή.
Περίοιδε νοῆσαι, ἤγουν περιττῶς οἶδε νοῆσαι.
Περιοίκιον. Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην, καὶ τὸ περιοίκιον καὶ τὴν οἰκίαν. μή ποτε ὃ ἡμεῖς λέγομεν ἐποίκιον.
Περίοικος, ὁ περὶ τὴν οἰκίαν, ἢ τὴν ἔπαυλιν τόπος.
Περιοχωχὴ, περιωπή.
Περιοίσειν, τὸ περιέσεσθαι, καὶ ἀνθέξειν. Θουκυδίδης ἐν τῇ ἑβδόμῃ. σημαίνει δὲ καὶ τὸ ἀνοίσειν ἐκ τῆς νόσου.
Περιοιστικὸς, φορητός.
Περιὸν, ὑπερβάλλον. τὰ δὲ καὶ προῖκα πολλαχοῦ τοῖς ἑαυτοῦ τέλεσι προῖκας πεπορισμένας ἔχοντες, ἐκ τοῦ περιόντος καρπώσονται.
Περὶ ὄνου σκιᾶς, παροιμία ἐστὶν, ἴσον τῷ, περὶ μηδενός. ἔστι δὲ ἐπὶ τῶν τὰ ἀνόητα φιλονεικούντων. ἔστι δὲ ἀπὸ τοιαύτης αἰτίας. φασί ποτε ἐν Ἀθήναις τινὰ δεηθέντα ὀνηλάτου μισθώσασθαι ὄνον, ἐπὶ τῷ τὰ φορτία βαστάσαι μόνον ἐπὶ τὰ Μέγαρα, καὶ δὴ ὑποδόξαν αὐτοῖς ἐπιθέντες τὰ φορτία ὥδευον. μεσημβρίας δὲ γενομένης, καὶ τῶν ὑπὸ κύνα καυμάτων σφοδρῶς αὐτοῖς ἐπικειμένων, οὐχ εὑρίσκοντες σκέπην, καθεῖλε τὰ φορτία ἀπὸ τοῦ ὄνου ὁ δεσπότης αὐτῶν, καὶ δι' αὐτῶν ἑαυτῷ σκιὰν ἐποίησε, πρὸς ὃν μαχόμενος ὁ ὀνηλάτης, ἔλεγεν ὄνον μεμισθωκέναι ἐπὶ τῷ φορτία φέρειν, οὐ σκιὰν παρέξειν. ὁ δὲ ἔλεγεν μεμισθῶσθαι, ὅπως ἂν ὡς βούλοιτο χρῷτο. ἐκ δὲ ταύτης τῆς φιλονεικίας μηδὲν οὔσης, ἡ παροιμία.
Περιωπὴ, τὸ ὕψος, ἡ ἀκρώρεια.
Περιόντας, ζῶντας.
Περίοπτον, περιθέατον, μέγα, ὑψηλὸν, περίβλεπτον.
Περιορᾶσθαι, καραδοκεῖν, ἀποθεωρεῖν, περισκέπτεσθαι, φροντίζειν.

Πε-

Digitized by Google

Περιοργὴς, ὠργισμένος.

Περιοργῶς, ὑπεροργόνως, καὶ παρωρμημένως.

Περιορεία, ἑορτὴ ἐν Κύπρῳ.

Περιορειζόμενον, περιγραφόμενον, ὅ ἐστι περιεχόμενον.

Περιορεῖσαι, περινοῆσαι.

Περιορισθῆναι, γνωρισθῆναι, ἢ ὑπὸ ὅρον γενέσθαι, καὶ περιληφθῆναι.

Περιορισμὸς, ἐξορισμός.

Περιορῶ, τὸ καταφρονῶ. περιορῶμαι δὲ, οὐ μόνον ἀντὶ τοῦ καταφρονοῦμαι, ἀλλὰ καὶ πῆ μὲν ἀντὶ τοῦ καταφρονῶ. Θουκυδίδης ἐν δευτέρᾳ, μὴ περιορᾶσθαι τοὺς πολεμικοὺς κινδύνους. πῆ δὲ ἀντὶ τοῦ περισκοπῶ, ὡς ὁ αὐτὸς ἐν τῇ πετάρτῃ. καὶ τοὺς Μεγαρέας ἐπιστάμενοι περιορωμένους ὁποτέρων ἡ νίκη ἔσται. πῆ καὶ ἀντὶ τοῦ φροντίζω, γενικῇ συντασσόμενον.

Περιουσία, περίσσευμα, πλεονασμὸς, ὑπεροχὴ, ἀσύγκριτος οὐσία.

Περιούσιος, ἐξηλλαγμένος.

Περιούσιος λαὸς, ὁ ἐγκτητος. ὡς τὸ, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. ἀντὶ τοῦ εἰς κτῆμα, καὶ εἰς κτῆσιν. οὐσίαν γὰρ, τὴν ὕπαρξιν.

Περιουσιασμὸς, πλῆθος, ὕπαρξις φυσική.

Περιουσίαις, πλήθους, πλούτῳ.

Περιοχὴ, περιπέτεια καὶ ὑπόθεσις, θλίψις, συνοχή. καὶ ὁ Δαβὶδ, ἐν πόλει περιοχῆς, τουτέστι περιβόλῳ. περιοχὴ δὲ, καὶ ὀχλῆρος.

Περιόψεται, καταφρονήσει, περιίδοι.

Περιπαθῶς διαπονηθεὶς, συμπαθητικῶς, λυπηρῶς.

Περιπαλαχθῆναι, περιπλακῆναι.

Περὶ παντὸς ποιοῦμαι τὰ σὰ, ἀντὶ τοῦ κρείττονα πάντων ἔχω. ἡ γὰρ περὶ πρόθεσις, σημαίνει τὸ πλέον.

Περὶ πάντων ἤδεε μαντοσυνάς, ἤγουν μαντικώτατος ἦν. τὸ δὲ περὶ πάντων, ἀντὶ τοῦ ὑπὲρ πάντας, καὶ περιττότερον πάντων μάντεων. καὶ περὶ γάρ μ' ἐφίλει, καὶ περίφρων Πηνελόπη, ἡ περιοσῶς φρονοῦσα.

Περιπαρῆναι, περικεντηθῆναι.

Περίπατοι, αἱ ἱστορίαι καὶ οἱ λόγοι, ἢ τόποι διὰ κινήσεων.

Περιπατῶ, στείβω, στέλλομαι, βαδίζω, περιστρέφω, ταυτά.

Περίπατος, ἡ περὶ σχέσιν κυκλοτερῆ δηλοῖ. ὡς τό, περιέρχεσθαι, περικάμπτειν, οὕτως ἔχει καὶ ὁ περίπατος. πάτος γὰρ, τὸ πατούμενον. ἐξ οὗ τὸ κατὰ κυκλοτερίαν, περίπατος λέγεται.

Περιπεζία, ταπείνωσις.

Περιπεζίας, πορευτοὺς, ἐπιβατοὺς, καταληπτούς.

Περιπέζια, τὰ παρὰ τὴν γῆν προσπελάζοντα. πέζα γὰρ οὐ μόνον ὁ πούς, ἀλλὰ καὶ ἡ γῆ, παρὰ τὸ ἵζω.

Περιπείρει, περικεντεῖ.

Περιπέμπειν, τὸν ἐν κύκλῳ καὶ πανταχῇ καὶ ἑκασταχοῦ πέμπειν, αἰτιατικῇ συντάσσεται.

Περιπέπληκα, περιπεπώληκα, περιπέπληγμαι.

Περιπεπλεγμένα, περιπεπλεγμένα τοῖς μέλεσιν. οἱ γὰρ ἀλεῖπται τὸ βῆμα, πλέγμα λέγουσι.

Περιπεπλῆχθαι, διηλλαχέναι τὰ σκέλη ἀσχημόνως.

Περιπέπταται παρὰ Θεοκρίτῳ, τὸ περικέχυται σημαίνει.

Πεπέττουσι παρὰ τῷ Ἀριστοφάνει, ἢ ἀντὶ τοῦ περικαλύπτουσι τὴν ἀσέλγειαν, ἢ διὰ τὸ τῷ προσθέτῳ κοσμεῖσθαι κόσμῳ, καλύπτουσι τὴν μοχθηρίαν, ἤγουν τὴν τοῦ ἀργυρίου ἐπιθυμίαν, ἢ τὴν τῆς αἰτήσεως. τὸ δὲ περιπέττειν, ἤτοι ἀπὸ τοῦ παραπετάσματος εἴρηται, ἢ ἀπὸ τοῦ ζύμῃ τὰ ἄλφιτα περιλαμβανόντων, καὶ τούτοις περικαλυπτόντων τινά. εἰώθασι γὰρ τὰ καταλιμπανόμενα ἀφ' ἑκάστου ἄρτου, μιγνύντες ποιεῖν ἄρτον.

Περιπεπάσθαι, πετάσαι, περιαπλῶσαι.

Περιπέτασαν, ἀπὸ τοῦ πετάζω, μέλλων πετάσω, ἐπέτασα ἀόριστος.

Περιπετασὸν, κατιμανδαλωτόν. εἴδη φιλημάτων ἐρωτικῶν, ἐν ᾧ δεῖ τὴν γλῶτταν τῶν καταφιλούντων λείχειν.

Περιπέτεια, προπέτεια, ἢ σύμπτωμα, ἢ σύμβασις.

Περιπετεῖς, περιπίπτοντες. περιπετεῖς δὲ γίνονται βοτάνῃ τινὶ θανασίμῳ, ἀντὶ τοῦ ἀκουσίως περιπίπτοντες.

Περιπετεῖς, περιερχόμενοι, ἐναντίοι, ἢ προπετεῖς, ἢ περιπεσόντες.

Περιπετὲς, περιπεπηγὸς αὐτῷ. πηκτὸν δ' ἔγχος περιπετὲς κατηγορεῖ, ἤγουν ᾧ περιέπεσεν ὁ Αἴας.

Περιπέτεσθε παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἕνα τόπον ἔχετε.

Περίπετον, πανταχόθεν ἐξέχον.

Περίπετος, διακινητήριον, ἢ αὐτὸ τὸ βάδισμα.

Περιπετρίζεσθαι, περιχρύεσθαι.

Περιπευκὲς, περιοσῶς πικρὸν, διὰ τὸ χεῖσθαι. πικρὰ γὰρ, ἡ πεύκη.

Περιπεφθεὶς, ἀπανθείς. Ἀριστοφάνης, τούτοις τοῖς ῥηματίοις περιπεφθείς.

Περιπηγεὶς, περιπαγεὶς, ἐμπαγείς.

Περιπηχυνάντες, περιπλεξάμενοι, παρὰ Καλλιμάχῳ.

Περίπλας, περιόδους.

Περιπλεγνύμενος, καὶ φιλῶν, ἀντὶ τοῦ περιπλεκόμενος.

Περιπλεεὶς, ἐκ τοῦ πλέονες, ἄρσει τοῦ ον, πλέες καὶ περιπλέες.

Περιπλεεὶς, λίαν, πλεονάκις.

Περιπλεῖν, τὸ περὶ σκάφος ἀναστρέφεσθαι, περὶ τὸν αὐτὸν τόπον.

Περιπλεῖν, τὸ κύκλῳ τινὸς πλεῖν. καὶ παράπλους καὶ περίπλους καὶ εἴσπλους.

Περίπλεων, πλήρη.

Περίπλεως, ἔμπλεως.

Περιπληθὴς, δηλοῖ τὸ πολυάνθρωπος. παραλαμβάνεται δὲ κατὰ κάλλος πρὸς τὸ οἰνοπληθής.

Περίπληξ, περιπλέγδην, περιβάδην, περιειληφώς.

Περιπλομένων δηίων, ἤγουν περιπολούντων, κυκλούντων. ὡς χρησιμεῦον, εἰς τὸ περιπλομένων ἐνιαυτῶν ληφθὲν καὶ αὐτὸ, ἀντὶ τοῦ περιπλομένων, περιστρεφομένων.

Περιπλομένων ἐνιαυτῶν, ἐκ τοῦ περιπλομένων λέγεται, ὅ ἐστι γινομένων. ἢ περιπολούντων, κατὰ συγκοπήν. ὅτι δὲ τὸ πέλεσθαι καὶ ἐπὶ τοιούτου λέγεται, δηλοῖ τὸ ἤματα μακρὰ πέλονται.

Περιπλομένου ἐνιαυτοῦ. πολεῖν, τὸ στρέφειν. καὶ ἀναπολεῖν, τὸ ἀναστρέφειν. καὶ περιπολεῖ ὁ οὐρανὸς, ἤγουν περὶ τοὺς πόλους στρέφεται. ἀφ' οὗ περιπολοῦμαι, καὶ περιπολούμενος, εἶτα κατὰ συγκοπὴν περιπλόμενος.

Περιπνευμονία, πάθος τί. * φλεγμονὴ πνεύμονος μετὰ πυρετοῦ ὀξέως, καὶ δυσπνοίας, γίνεται δ' ἐπ' αὐτῶν καὶ ἐνερευθῆ τὰ μῆλα.

Περιπνέω. λεπτὴ δέ τις αὔρα περιέπνει τούτους.

Περὶ πόδα, οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσί.

Περιποδίην, τὴν κύκλῳ ὑπὸ πόδας οὖσαν, καὶ κάτω, παρὰ τῷ Ἱπποκράτει.

Περιποιήσαντες, ἀντὶ τοῦ διασώσαντες. Ἡρόδοτος, Κροίσῳ μέν τοι συνήδεσθαι περιόντι ἐκείνους μέν τοι περιποιήσαντες οὐ καταπροΐξεσθαι.

Περιποιήσει, κτήσεται. καὶ περιποιουμένους τῆς σωτηρίας τῶν παίδων. ἀντὶ τοῦ φροντίζοντας, κηδομένους.

Περιποίησις, κτῆσις, πλεονασμός.

Περιποιεῖται, προξενεῖ, ζωοποιεῖ.

Περιποιητικὸς, διοικητής.

Περιπολεύειν, ἀναστρέφεσθαι.

Περὶ πολλοῦ ποιοῦμαι τόδε, περὶ πλείονος τόδε τοῦδε, καὶ περὶ πλείστου ποιοῦμαι, ἀντὶ τοῦ εἰς πολλὴν φροντίδα ἔχω. οἷον περὶ πλείστου ποιοῦμαι τὸ μανθάνειν, τῶν χρημάτων. ὧν τὸ ἐναντίον περὶ ἐλάττονος ποιοῦμαι τόδε τοῦδε, ἀντὶ τοῦ ἐλάττονα φροντίδα ἔχω.

Περιπόλος, φρουρὸς, ἔφορος.

Περιπόλους, τοὺς φύλακας λέγομεν, ἢ ζητητάς, ἀπὸ τοῦ περιπολεῖν.

Περιπολῶν, περιτρέχων.

Περιπόνηρος ἀρτέμων, παρὰ τὴν παροιμίαν, στὴν περιφόρητος ἀρτέμων. εἰσὶ δὲ ἀρτέμωνες δύο.

Περιπτάσει, ὅταν ἀφῇ αὐτὴς, καὶ ἀληθεύει.

Περὶ πρὸ γὰρ ἔγχει θῦεν, ἀντὶ τοῦ περιοσῶς προώρμα τῶν ἄλλων δόρατι προμαχόμενος, ἢ ἐν ἔγχει προμαχόμενος.

Περιπρωκτιῶσα, συφερευομένη ἐπὶ τῇ πυγῇ.

Περίπτερα, ἀποσινθηρισμοί.

Περίπτερον, πανταχόθεν ἐξέχον, ἢ ὑψηλόν.

Περιπτεύσαντες, περιδραμόντες.

Περιπτύξαι, περιλαβεῖν. περιπτύσσομαι, τὸ περιλαμβάνω. ὅθεν περιπτύχαι, περιβλήματα.

Περιπτυξώμεθα, ἀσπασώμεθα.

Περιπτύσσει, καταφιλεῖ.

Περιπτύσσεσθαι, προσφύεσθαι, περιπλέκεσθαι.

Περιπτύσσεται, αἰτιατικῇ. περιβάλλεται.

Περιπτυχαὶ, περίβολοι.

Περιπτυχὴς, περικεκυλισμένος.

Περιπτώσεις, συμφοράς.

Περίπυστος, ὁ περιβόητος.

Περίπυστον, ἐξάκουστον.

Περιρέζειν, τὸ ἐπὶ τοῖς καθαρσίοις θύειν.

Περιρεμβαῦσαι, περιφθαρῆναι.

Περὶ ῥέθεσι, περὶ ταῖς παρειαῖς.

Περιρηδεῖς, οἱ ἐπὶ ὀχημάτων ἐπικείμενοι, ἢ οἱ ἐρριμμένοι.

Περὶ ῥίον, περὶ τὸ ἀκρωτήριον.

Περιρραίνεσθαι, περιρραντίζεσθαι.

Περιρραντήσια, σκεύη. κατὰ δὲ τὸ μέσον τοῦ ἐν διαιτήματος, κάλπεις τε χρυσαῖ καὶ περιρραντήρια, ἔτι τε πίθοι χρυσοῖ.

Περιρρέουσα, ἡ λεπτὴ καὶ ἀραχνώδης, καὶ μαλακή.

Περιρρεδὲς, περικεκλασμένον ἐφ' ἑκάτερα, παρὰ τῷ Ἱπποκράτει.

Περιρρηδὴν, τὸ κατὰ περιφέρειαν δηλοῖ.

Περιρρηδὴς, ἐπὶ πρόσωπον, μεθ' ὁρμῆς κατενεχθείς. ἐπιρραγεὶς εἰς τοὔμπροσθεν, ἢ ἐπενεχθείς. ὡς παρὰ τῷ Ποιητῇ. περιρρηδὴς δὲ τραπέζῃ κάππεσεν ὁ Εὐρύμαχος, ἀντὶ τοῦ περιφερόμενος. τὸ κατὰ κύκλον πεσεῖν, οὕτω λέγεται.

Περιρρηδὴς, ὁ ἐρραντισμένος αἵμασι, ἢ ὕδατι, ἀπὸ τοῦ ῥάζω. οὗ δεύτερος ἀόριστος, ἔρραδον, ὅθεν περιρρηδής. εὕρηται δὲ καὶ ἀμφιρρηδὴς, λεχθὲν καθ' ὁμοιότητα.

Περίρρυτος Κρήτη, κοινὸν πάσης νήσου ἐπίθετον, ἐπεὶ καὶ πᾶσαι ἀμφίαλοι. ἴσως δὲ καὶ τὸ περίξ ἐντὸς, τὸ πολύυδρον τῆς νήσου δηλοῖ. οὗ χάριν, καὶ καλή ἐστι καὶ πίειρα.

Περιρρῶγος, ἐπὶ ὄχθου τινὸς ἀποτόμου. καὶ περίρρωγος ἐπετείχιζον αὐτοῖς φρούριον, ἱκανὸν φυλάττεσθαι τοσαύτῃ στρατιᾷ.

Περισαίνοντες, κολακεύοντες. παρὰ τὸ σαίνειν, ὡς τῶν κυνῶν τὴν οὐρὰν κινούντων.

Περὶ σὲ, περὶ σοῦ, ἐγγύς σου, γνησίως διάκειμαι.

Περισείρια, τὰ πλάγια τῆς γλώττης.

Περισεύομεν, τουτέστιν εὐδοκοῦμεν.

Περίσημα, διαβόητα.

Περισθενὴς, περιττῶς τῷ σθένει χρώμενος. καὶ οὐ δυνάμενος αὐτὸν κατέχειν, ἐν οἵῳ τρόπῳ λέγεται τὸ περιώδυνος καὶ περιαλγής.

Περισκαίρουσι, περισκαρίζουσι.

Περισκελὲς, σκληρὸν, δυσχερές.

Περισκελῆ, βρακία, φεμουράλια λέγουσι Λατῖνοι.

Περισκέλια, ἃ ἐφόρουν οἱ Ῥωμαῖοι περὶ τὰ σκέλη. ἦσαν δὲ κροκοβαφῆ.

Περισκέλιόν ἐστι νοητὸν, νέκρωσις τοῦ ἐπιθυμητικοῦ, τῆς τοῦ Θεοῦ γνώσεως ἕνεκεν.

Περισκεπὲς, περικεκαλυμμένον.

Περισκήπτειν, περιθλίβειν.

Περίσκεπτος χῶρος, καὶ περιωπὴ, ῥηθείη ἂν καὶ σκοπία, καὶ τόπος ἄποπτος.

Περισκέπτῳ, περισκέπτῳ ἐνὶ χώρῳ, τῷ ὑψηλῷ. ὅθεν ἐστὶ περισκέψασθαι διὰ τὸ ὕψος, καὶ ἀπιδεῖν. ἢ ὅθεν ἐστὶ τὸ περιξιδεῖν, ἢ περίσκεπτον, ὅτις ἂν κατανοῶν θαυμάσειε.

Περίσκεψις, βάσανος.

* Περίσκληρα φύματα, τὰ τὸ μέσον ἑαυτῶν ἔχον-

χοκαὶ μελανὸν καὶ νεανίσκον, ὅσον δ' ἐστὶν κύκλῳ, ἀποσκληρὸν καὶ διεσκευασμένον, ἢ ὅλως κεκαττυμένον.

Περισκοπῶ. ἁρμοδία λέξις. ἔστι δὲ τὸ βλέπειν ἐνθα κἀκεῖσε.

Περισκυθίσαι, κυρίως τὸ ἀποτεμεῖν τὸ ἐπὶ τὴν κεφαλὴν δέρμα σὺν ταῖς θριξί. καὶ περισκυθίσαντες, σπαράξαντες, ἐκδερματίσαντες.

Περισοβῶ, τὸ περιέρχομαι. καὶ ἀνασοβῶ, τὸ ἀναπτερῶσαι. σοβῶ δὲ, καὶ τὸ πεπαρρησιασμένως χωρῶ. Συνέσιος ἐν ἐπιστολῇ, ὁ γὰρ ἰδὼν τὸν πορνοβοσκὸν σοβοῦντα διὰ τῆς ἀγορᾶς. καὶ τὸ ἀνασοβεῖν, καὶ διεγείρω.

Περισοβεῖν παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ περιέπεσθαι, καὶ εἰς δικαστήριον καλεῖν.

Περίσονται, περιποιήσονται.

Περισπᾶν, ἐξαπατᾶν, καὶ τὸ μετὰ βίας ἀφαιρεῖσθαι, τι.

Περισπάσασθαι, περιποιήσασθαι.

Περισπασμὸς, ἐκ δυοῖν ἐπιστροφῶν, τοῦ σώματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπον. ἐκπερισπασμὸς δὲ ἐστὶν ἐκ τριῶν ἐπιστροφῶν συνεχὴς τοῦ σώματος κίνησις, ὥστε μεταλαμβάνειν, ἐὰν μὲν ἐπὶ δόρυ γίνηται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν. ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν.

Περισπερχὴς, περιαλγῶς.

Περισπερχθεὶς, περιπλακεὶς, περιελχθείς.

Περισπερχὲς, βαρύ. ὡς τὸ περισπερχὲς πάθος.

Περὶ σπονδῶν, περὶ εἰρήνης.

Περισπῶ, τὸ περιαιρῶ. ὡς τὸ περισπάσας τὴν ἀσπίδα.

Περισπωμένη, ποιότης συλλαβῆς ἐκ τοῦ περικεκλάσθαι δοκεῖ τις σεσωρευμένη εἶναι. ποιότης δέ ἐστι, φωνὴ δηλοῦσα τὴν ποσότητα τῆς σημασίας.

Περισσεία, ἡ δαψίλεια. καὶ ὁ Ἀπόστολος, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος.

Περισσοεπῆσαι, περισσολογῆσαι.

Περισσομένη, πορθουμένη.

Περισταδὸν, ἀνάλογόν ἐστι κατὰ παραγωγὴν τῷ παρασταδὸν, καὶ ἀποσταδόν.

Περίστασις, ἡ συμφορὰ, κατὰ τοὺς στωϊκούς. κατὰ δὲ τοὺς ἀρχαίους, ἡ διά τινα τάραχον πλῆθος παρουσία, καὶ ἡ αἰτία. καὶ περιστατικὰ παρὰ ῥήτορσι κεφάλαια, τὰ σημαίνοντα δηλονότι, τά τε ἄλλα καὶ αἰτίαν ἀφ' ἧς ὡς μείζονος καὶ ἀναγκαιοτέρας, καὶ τἆλλα ὑπήχθη τῇ αὐτῆς ὀνομασίᾳ.

Περισταδὸν παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ περιέστησαν κεῖται. οὐ περιεστῶτας, καὶ ἐναντιουμένους, οὐ ἐξισοῦντας.

Περισταλεὶς, κοσμηθεὶς, ἤτοι ταφείς.

Περιστάραδον, περισταζόμενον, περιρρεόμενον τῷ χόλῳ.

Περίστασίς ἐστι θλῖψις, ἀνάγκη, μέριμνα, ἢ συνέχεια πραγμάτων πανταχόθεν εἰς ἀδημονίαν τοὺς ὑπ' αὐτὴν ὄντας εἰσάγουσα.

Περιστατήρια, σπλάγχνα.

Περιστατὸν, τὸ ἀναστατόν.

Περίστατοι, περίβλεπτοι. ἐφ' οἷς ἄν τις σταίη, βουλόμενος θεάσασθαι.

Περιστεγανὸν, περισσῶς στεγανόν.

Περιστεῖλαι, περικαλύψαι.

Περιστείλας, διαχειρισάμενος.

Περιστείλασα. ἐν ᾧ τῆς Ὀδυσσείας διακοσμίαν δηλοῦσα, νῦν μὲν ἐπὶ νεκροῦ. παρ' ἄλλοις δὲ καὶ ἐπὶ ζώντων. τοιαύτης δὲ δυνάμεως καὶ ἡ περιστολή.

Περιστοιχίζεται. Δημοσθένης ἐν Φιλιππικοῖς φησι μέλλοντας ὑμᾶς καὶ καθημένους περιστοιχίζεται. ἐκ μεταφορᾶς τῶν κυνηγετῶν. κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα περιιστᾶσιν, ἃ καλοῦσι στοίχους, ἢ στοίχους, καταπετανύντες αὐτῶν δίκτυα, ἵν' ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ, ὡς ὑποσημαίνει Ξενοφῶν ἐν τῷ κυνηγετικῷ. ἐν ἐνίοις μέντοι γράφεται περιστοιχίζεται, ἐν ἄλλοις δὲ καὶ περιχοινίζεται.

Περιστέλλει, καλύπτει, συστέλλει, κοσμεῖ, σκέπει, φυλάττει, περιβάλλει.

Περιστέλλοντες, περικοσμοῦντες. περιστέλλων τὸ σῶμα καὶ τὸν τάφον, παρὰ Σοφοκλεῖ. τάφον περιστέλλοντες δυστήνου νεκροῦ.

Περιστένεται, περιτείνεται, στενοχωρεῖται.

Περιστένειν, στενοχωρεῖν, ἢ καὶ τὸ στενάζειν, καὶ ἀθυμεῖν εἶναι.

Περίστενος. οὕτος δράκων καλεῖται.

Περιστερὰ, παρὰ τὸ πέτεσθαι στερρῶς. ἢ παρὰ τὸ περισσῶς ἐρᾶν. θερμόταται γὰρ κατὰ συνουσίαν εἰσὶ, διὸ καὶ τῇ Ἀφροδίτῃ ἀνάκεινται, καὶ πολλάκις τίκτουσιν ἐν τῷ ἐνιαυτῷ, τῶν ἄλλων ὀρνέων μὴ ποιούντων τοῦτο.

Περιστέρια, κοσμάρια παιά.

Περιστεφανωσάντων, κυκλωσάντων, περιστεφανωσάντων τοῖς ὅπλοις τὸ τεῖχος.

Περιστήθιον, ἱερατικὸν ἔνδυμα.

Περίστησαν ἑταῖροι, αὐτὸν τῷ περιέβησαν, ὅ ἐστιν ὑπερεμάχησαν, ὡς μυριαχοῦ λέγεται παρ' Ὁμήρῳ.

Περιστιαῖν, ἐπὰν τὸν νεκρὸν ἐκπέμψαντες ὑποστρέψωσι, καὶ τὸ καθάρσιον ποιήσωσι.

Περιστίαρχος, ὁ περικαθαίρων τὴν ἑστίαν, καὶ τὴν ἐκκλησίαν, καὶ τὴν πόλιν, ἀπὸ τῆς ἑστίας, ἢ τοῦ περιστοιχεῖν. Ἴστρος δὲ ἐν τοῖς Ἀττικοῖς, περίστιά φησι προσαγορεύεται τὰ καθάρσια. καὶ οἱ τὰ ἱερὰ καθαίροντες, περιστίαρχοι. ἔξωθεν γὰρ περιέρχονται μαχαιροφοροῦντος ἑκάστου τῶν ἱερῶν, οἰκίαις περιειλημμένοι δημοσίαις, περίδρομον ἔχοντες.

Περιστίαρχος, ὁ τῶν καθαρσίων προηγούμενος ἐν ταῖς ἐκκλησίαις, περιστίαρχος ἐκαλεῖτο. περίστια γὰρ τὰ καθάρσια.

Περιστίλβει, ἤγουν στιλβὸν καὶ λαμπρὸν ποιεῖ.

Περιστίσαι, περικυκλῶσαι. περιελθεῖν, περιελάσαι, ἀπὸ τοῦ στίχου.

Περίστιξας, ἀντὶ τοῦ περιῆλθες, παρ' Ὁμήρῳ.

Περιστλεγγίσαι, περιξύσαι. στλεγγὶς γὰρ, ἡ ξύστρα.

Περίστοιχοι, ἀνδραπόδων φυτευτήρια ἐλαιῶν περιστοίχων κατέκλασε. Φιλόχορος στοιχάδας προσηγόρευσε. μή ποτε δὲ περιστοίχους κέκληκεν ὁ ῥήτωρ τῶν κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκότων.

Περιστοιχίσαντες, περικυκλώσαντες, περιστάντες, περιλαβόντες.

Περιστολὴ, περιβολὴ, ἐπαγωγὴ, ἔνδυμα.

Περιστόμιον, ὁ τῆς περιγλωσσίδος τόπος ἐν τῷ βρόγχῳ.

Περιστοναχίζεται δῶμα, ἀντὶ τοῦ περιηχεῖται. ὡς καὶ τοῦ τοιούτου δώματος ἠχήεντος ὄντος.

Περίστροφος, ὁ τῆς ὑποσφραγίδος.

Περίστωον, τὸ περισσὰς στοὰς ἔχον, σὺν τῷ ι γράφεται. χαρακτῆρι τῶν διὰ τοῦ ωον. καὶ ὅτι ἀπὸ τοῦ στοιὰ γίνεται, τοῦ σημαίνοντος τὸ στοὰ περίστοιον, καὶ ἐκτάσει τοῦ ο εἰς ω περιστώϊον, ἀλόγως προπαροξύνεται. τὸ δὲ πρόστῳοι προπερισπᾶται, καὶ ὤφειλεν ἢ τὰ δύο προπερισπᾶσθαι, ἢ τὰ δύο προπαροξύνεσθαι. ἐπειδὴ ἀπὸ τοῦ στοιὰ ἀμφότερα γέγονεν. ἀλλ' ἡ παράδοσις τὸ μὲν ἕν, οἶδε προπαροξύτονον, τὸ δὲ ἕτερον προπερισπώμενον.

Περισυλᾷ, ἀφαιρεῖται. ὁ δὲ ἀποκτείνει αὐτοὺς καὶ περισυλᾷ, ὅσα ἐπηγάγοντο. ἦν δὲ κόσμος καὶ σκευὴ περὶ τὴν τέχνην τὴν ἑκατέρου, οὐδαμῇ εὐκαταφρόνητα.

Περισύρει, σύρει.

Περίσφακτα, τὰ ἐπιθρηνητὰ καὶ ἐπονείδιστα, καὶ μοχθηρᾶς ἐπιφωνήσεως ἄξια.

Περισφάτως, περιωδύνως, περιβοήτως.

Περισχελὲς, δυσχερές.

Περίσχεο παιδὸς ἑῆος, ἤγουν βοήθησον, περισσῶς ἀντίσχου. τοῦ δὲ ὁ κοινὸς ἐνεστὼς ἀντέχω ἐστίν. ἰστέον δὲ, ὅτι ἐν τῷ ἀντίσχεο παιδὸς ἑῆος, ἀπὸ τοῦ ἑὸς ὁ ἴδιος, γίνεται ἑὺς, καὶ ἐκτάσει τοῦ ε ἠὺς, ἡ γενικὴ ἠέος, καὶ μεταθέσει ἑῆος. ἢ καὶ ἄλλως, ἀπὸ τοῦ εὖ, ἐὺς, ὁ ἀγαθὸς καὶ τὰ λοιπὰ, καθ' ὁμοίαν ἀγωγήν. ἢ καὶ παρὰ τὸ ἥδω τὸ εὐφραίνω, ἡδὺς καὶ ἀποβολῇ ἠὺς, ἢ παρὰ τὸ ἕω τὸ ἀπολαύω, καὶ τροπῇ τοῦ ε κατὰ τὴν εἰρημένην ὁμοιότητα, τὰ ἑξῆς. ἢ καὶ ὡς πνίγω πνιγεὺς, ἕω καὶ ἕω ἑεύς, ὅθεν Ἰωνικῶς ἑῆος.

Περισφίγξας, περιστείλας. Σοφοκλῆς, ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγώ.

Περισφύριον, καὶ τὸ διθύριον, τοῦτο τὸ λογχωτὸν, καὶ τὸ περισφύριον.

Περίσχεο, ἀντίσχου. ἐνεστὼς ἀντέχομαι, ἢ ἀντιλαμβάνομαι. ὃ λέγεται ἐπὶ τῶν ἀναδεχομένων τοὺς δεομένους. λαμβάνεται μὲν γὰρ, καὶ ἔχεται ὁ δεόμενος οὗ δεῖται, ἀντιλαμβάνεται καὶ ἀντέχεται οὗτος ἀντεισφέρων τὴν ἀναδοχὴν, παρατατικὸς ἀντειχόμην, καὶ ἀντελαμβανόμην. μέλλων ἀνθέξομαι.

Περισχέσθαι, τὸ βοηθῆσαι, καὶ περιποιήσασθαι. κυριώτερον δὲ εἰπεῖν, τὸ οἱονεὶ περιλαβεῖν. καὶ ἄλλως δὲ τὸ περιχεῖν ἐνταῦθα, ὅμοιόν ἐστι τῷ ὑπερέχειν. ἐξ οὗ καὶ τὸ ὑπερέχειν τοῦ δεῖνος χεῖρα θεὸς, ὅπερ Ὅμηρός φησιν ὑπερέσχεθε. δῆλον γὰρ, ὅτι ἐν πολλοῖς καθάπερ ἡ πρὸ, οὕτω καὶ ἡ περὶ πρόθεσις λαμβάνεται ἀντὶ τῆς ὑπὲρ, κατὰ λόγον ὑπερθέσεως καὶ περιττώσεως, ὡς καὶ ἡ περίφρων δηλοῖ, καὶ τὸ περίσχεο παιδὸς ἑῆος.

Περισχέσθαι, ἀγαπῆσαι.

Περισχιδῆς, εἶδος ὑποδήματος εὐτελές.

Περισχόμεθα, περισσῶς ἐρχόμεθα, ἀντιλαμβανόμεθα.

Περισχὼν, κατασχὼν, περιλαβών.

Περιτάμνεσθαι, περιορίσαι τι διὰ τῆς αὔλακος.

Περίτανος, ὁ περιττῶς αἰνούμενος εἰς κάλλος.

Περιτετμῆσθαι, ἰουδαϊκὸν χρηματίζειν. Ἰουδαίων γὰρ ἡ περιτομή.

Περιταμνόμενον, περιελαύνοντα, μεταφορικῶς ἀπὸ τῶν γειτόνων.

Περιτ' ἀμφὶ, κύκλῳ, πέριξ.

Περίτ' εἰμὶ, ὑπερέχω, ὑπερφρονῶ.

Περιτελλόμεναι ἐνιαυτοὶ, ἢ ἀλλαχοῦ περιτελλόμενοι, ὅ ἐστι συντελούμενοι. ἀφ' οὗ ῥήματος καὶ τὸ τέλος γίνεται. ἢ μᾶλλον οἱ ἀπαρτιζόμενοι διὰ τῶν πέριξ ἀναπλοῶν τοῦ ἡλίου.

Περιτέρμα λαβούσας, περιελάσας τὴν καμπτῆρα.

Περιτετάσθαι, ἡπλῶσθαι ἐπὶ τὰ ἴχνη.

Περιτελλομένων, περιερχομένων.

Περιτεύξεται, συντύχοι, περιπεσεῖται.

Περιτεχνᾶσθαι, δολιεύεσθαι, κακὰ μηχανᾶσθαι.

Περιτηρίῳ, τῷ ξυτάνῳ, τῷ ἀγγείῳ καὶ ὀξεῖ. ἔστι γὰρ καὶ ἐπεὶ ἡ χοινικὶς, παρὰ τῷ Ἱπποκράτει.

Περὶ τὴν λέξιν, ἐν αὐτῇ τῇ λέξει.

Περιτίθημι, τὸ περιάπτω, οἷον περιτίθημί σοι δόξαν καλλίστην, ἢ στέφανον, ἤτοι περιποιοῦμαί σοι. περιτίθημι καὶ τὸ περιστέλλω, καὶ ἐνδιδύσκω, καὶ περιβάλλω. καὶ περιτίθεμαι, τὸ ἐνδύομαι.

Περίτιος μὴν ὁ φεβρουάριος, κατὰ Μακεδόνας.

Περιτομεὺς, ἡ σμίλη.

Περιτομή ἐστι περιαίρεσις ἀκροβυστίας. αὕτη δὲ τοῖς Ἰουδαίοις διὰ τρεῖς αἰτίας ἐδόθη, ὥστε σημεῖον εἶναι πίστεως, καὶ τοῦ Ἀβραμιαίου γένους δηλωτικὸν, καὶ σύμβολον πολιτείας σώφρονος. ὥστε οὐχ ὡς δικαιοσύνης ποιητικὴ ἐδόθη, ἀλλὰ καὶ σημεῖον τῆς ἐκ πίστεως δικαιοσύνης τοῦ Ἀβραάμ.

Περιτομὶς, μέρος τι τῆς νεώς.

Περιτόνεον, μέρος τι τῆς νεὼς, καὶ τὸ δένδρον.

* Περιτόναιον, ἢ περιτόνειον, ὁ ἀπὸ τῶν νεφρῶν ἐπὶ πάντα τὰ ἔντερα τείνων χιτών.

Περιτράγη, περικόψῃ. περιφάγῃ, ἀντὶ τοῦ κλέψῃ.

Περιτρέπεται, ἰλιγγιᾷ.

Περιτρέπει, ἕτερος ἕτερον. καὶ περιτρέπῃ, ἀντὶ τοῦ περιτρέπεται. ὡς ὁ Θεολόγος, καὶ τὴν καὶ αὐτὰ τὸ πάθος γνωρίζεται. περιτρέπῃ γάρ.

Περιτρέπειν, περιάγειν.

Περιτρέφετο, περιεπήγνυτο. ὅθεν καὶ τροφαλὶς, τὸ πεπηγμένον.

Περιτριβομένων, παρεσομένων.

Περιτριβέας χεῖρας, τὰς πολὺ πονησάσας ὑπὸ τοῦ κόπου.

Περιτροπάδην, περιτρέποντες.

Περιτροπέων ἐνιαυτὸς, ὁ ἐν ταῖς τροπαῖς τῆς κατ' αὐτὸν συμπληρούμενος, καὶ ὡς εἰπεῖν μέλλων τελειοῦσθαι. ὅρα δὲ, ὡς τὸ μὲν ἁπλοῦν τραπῶν, μεγεθύνεται, τὸ δὲ περιτροπέων, συστέλλει τὴν τρο συλλαβὴν, ὡς συνάδοντι καθὰ καὶ τὸ παλιντροπάασθαι.

Περιτροπῇ, ἐν περιόδῳ τῆς νυκτὸς τῆς καιρὸν, εἰς ὃν τοῖς

ἐν τοῖς Γσαύροις ἢ φυλακῇ τῇ τοῦ τείχους, ὕπνου ἐκ περιβοῆς τῶν ἄλλων αἱρουμένων ἐπέθετο.

Περιβόητος βεβαῶσαι, ἀντὶ τοῦ περιβόητον ἐποχούμενον τῇ βοῇ, δίκην κέλητος, καὶ περιθεύσας.

Περιβοητεύοντες, περιχωροῦντες.

Περίτροχον, ὅ ἐστι περιφερές. τὴν αὐτὴν ἐτυμολογίαν ἔχει τῷ τροχῷ.

Περιττά, τὰ ἐν τῇ ἀριθμητικῇ καλούμενα ἄζυγα. οἷον ἕν, τρία, καὶ τὰ ὅμοια. ἄρτια δὲ τὰ ζυγά, οἷον δύο, τέσσαρα. τὰ μὲν περιττεύοντα τῶν λόγων, ἄφες.

Περιττεύοντες, συλῶντες.

Περιττοεπής, ὁ περισσολόγος.

Περιττοί, καὶ πεσσοί, τὰ βόλια ἐν οἷς ἀβλίζουσι.

Περιττός, ἀντὶ τοῦ πολύς.

Περιττὸν λέγεται, τὸ μὲν πρὸς τὸ χρήσιμον καὶ ἐπίκαιρον, ἤτοι τὸ ἔγκαιρον, καὶ δηλοῖ τὸ ἀργὸν καὶ κενὸν ἐκ προσθήκης, καὶ παρὰ Κυτείῳ. ὁ μὲν οὐδὲ μὴ ἐξωρός τις ἔμελλε δόξειν, καὶ παύουσι περιττοὺς ἀνθρώπους, ἀντὶ τοῦ κενούς. τὸ δὲ πρὸς τὸ ἀναγκαῖον, ὅπερ ἐμφαίνει φιλοτιμίαν. καὶ δηλοῖ τὸ ποικίλον καὶ εὔπορον. ὡς καὶ τοὺς Αἰγυπτίους περιττούς φασιν εἶναι τὴν σοφίαν, ἀντὶ τοῦ εὐπόρους, καὶ ποικίλους. ὡς καὶ Χωίσιος, ὁ μῦθος Αἰγύπτιος, περιττοὶ σοφίαν Αἰγύπτιοι.

Περιττότερα, μείζονα. τὰ δὲ λεγόμενα χρυσᾶ μῆλα τῶν Ἑσπερίδων, οὐ χρυσᾶ ἦσαν, ἀλλὰ περιττότερα τῶν ἄλλων.

Περίττωμα, τὸ περὶ τὸ σῶμα καθάρσιον, οἱονεὶ τὸ περισσὸν ἀπὸ τῶν τρεφόντων τὸ σῶμα, καὶ εἰς οὐδὲν ἡμῖν ὠφέλιμον. ἢ ἀπὸ τοῦ περὶ τὸ σῶμα εἶναι, καὶ οὐκ ἐν τῷ σώματι μένειν.

Περιτυγχάνω λέγεται, τὸ ἔν τινι γίνομαι, καὶ τὸ ἐντυγχάνω αὐτῷ.

Περιυβρισμένος λέγεται, ὁ προπηλακισμένος, ὁ διεπτυσμένος, ὁ καταπεφρονημένος.

Περιφαλλία, πομπὴ Διονύσῳ τελουμένη τῶν φαλλῶν.

Περιφάνεια, οἷον λαμπρότης.

Περίφρασις. Πολύβιος, ἐκέλευσε διασαφεῖν αὐτῷ πάντα τὰ γινόμενα διὰ τῶν πυρσῶν, ἐπὶ τὸ Τίσαιον. ἔστι δὲ τῆς Θετταλίας ὄρος, εὐφυῶς κείμενον πρὸς τὰς τῶν προειρημένων τόπων ἐπιφάσεις.

Περιφανέστερον, ἐμφανέστερον.

Περιφέρεια, καὶ περιφορά, ἐπὶ τῆς κύκλῳ φορᾶς.

Περιφέρεται, πλανᾶται.

Περιφερόμενα, καλύμενα.

Περίφημος, ὀνομαστός.

Περιφήτης, ὁ κορυνήτης.

Περιφθάς, ἐκ τοῦ ἀχρήστου θέματος φθῆμι, ὡς ἵστημι, ἐξ οὗ φθάμενος.

Περιφθείρεται, τοὺς φθεῖρας συλλέγει, ἢ μειοῦται, ἐλαττοῦται.

Περιφλέγει, ἐπὶ πολὺ καίει. Ἀριστοφάνης, τοὺς δὲ ζῶντας περιφλέγει.

Περιφοιτῶντα, περιερχόμενον, περιγινόμενον.

Περιφορᾶς, περισπασμοῦ, πλάνης.

Περιφραστικῶς, δύο λέξεων τὸ αὐτὸ σημαινουσῶν ὄνομα.

Περιφορά, κίνησις κατὰ κύκλον. * τὸ σκέλος ἐκτείνειν κατὰ τὴν ἔξω χώραν.

Περιφόρητα, ἀκτά. Ἡρόδοτος.

Περιφοριῶσθαι, Λυσίας ἢ τὸν ὀφθαλμὸν τὸν ἕτερον γλαυκότερον εἶναι. ἢ περιφοριῶσθαι, ἐπὶ τοῦ ἀποκεκλιμένου, Εὐφορίων κέχρηται τῷ ὀνόματι. εἰσὶ δέ τινος ὀφθαλμοὶ κεχαλασμένα τὰ βλέφαρα ἔχοντες, καὶ οἱονεὶ μύοντες. ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι, ἀπὸ τῆς φορίνης. τίθεται γὰρ ἐπὶ ἀνθρώπων τὴν φορίνην.

Περιφραδέως, ἀντὶ τοῦ πάνυ ἐπιστημόνως, καὶ ἐντέχνως. ἐμπειρίας δὲ προσδεῖ τοῖς ὀπτῶσι, διὰ τὸ συχνοτέρως ἐποπτεύειν. παρὰ τὸ φράζω, φράδμων, φράδης. καὶ φραδέως ἐπὶ τῶν κατὰ λόγον καὶ ἐπιστήμης τι πραττόντων, καὶ ποιούντων. ὡς παρ' Ὁμήρῳ τό, ὀπτῆσαί τε περιφραδέως.

Περίφρασίς ἐστιν, ὅτε διὰ πλειόνων λέξεων τὸ σημαινόμενον ἀποδίδωσιν. ὡς ὅταν λέγῃ Ὅμηρος, υἷας Ἀχαιῶν τοὺς Ἀχαιούς, καὶ βίην Ἡρακλείην τὸν Ἡρακλέα. ἢ ὅταν τὸ διὰ μιᾶς λέξεως ῥηθῆναι δυνάμενον, διὰ πλειόνων ἐκφέρηται. οἷον μένος Ἀλκινόοιο, Ποσειδάωνος σθένος, Πριάμοιο βίη, καὶ μένος Ἀτρείδαο, καὶ ἲς Τηλεμάχοιο, καὶ Πατρόκλεες λάσιον κῆρ.

Περίφρασις, ἡ περιττὴ φράσις. ὡς τὸ κάλεσόν μοι τὴν βίην τοῦ Ἡρακλέους, ἀντὶ τοῦ Ἡρακλῆ. καὶ ἄλλως, περίφρασίς ἐστι, περισσὴ φράσις διὰ πλειόνων λέξεων, ἕν τι σημαίνουσα. ὡς ἀντὶ τοῦ εἰπεῖν μὰ τὸν Θεόν, εἴποι μὰ τὴν ἰσχὺν καὶ δυναστείαν, ἀντὶ τὸ πᾶν σημαινόμενον. οὐδὲ γὰρ πλέον τι ἐσήμανε διὰ τῶν πολλῶν τούτων λέξεων εἰμὴ τὸν Θεόν.

Περιφρονεῖν, ὑπερφρονεῖν.

Περιφρονῶ, διπλοσήμαντόν ἐστι, καὶ ἀντὶ τοῦ περινοῶ, καὶ ἀντὶ τοῦ περιφρονῶ. ἀμφότερα εἰς Σωκράτην ποιεῖ ὁ Ἀριστοφάνης.

Περιφῦναι, περιλαβεῖν, περιπλακεῖν.

Περίφρων, περισσόφρων.

Περιφύς, ἀντὶ τοῦ περιπλακείς. καὶ ἔστιν ὅμοιον τῷ ἐμφὺς χειρί, ἢ ἐμφὺς χείλεσι, καὶ ὅλως μέρει τινί.

Περιφώσαντες, σκεπάσαντες, θυμιάσαντες. πλῆθος δὲ θηρίων ἀθροίσαντες, ἱκανὸν εἰς χύτρας καινὰς ἐνέβαλον. καὶ περιφώσαντες αὐτάς, εἶχον ἐν ἑτοίμῳ πρὸς τὴν χρείαν.

Περιχαίρω, δοτικῇ. περιχάρηθι τῷ ἀγαθῷ.

Περιχάρεια, ἡ χαρά. καὶ περιχαρείαν, περιττὴν χαράν.

Περιχαρής, χαιρόμενος, γελωτοποιός.

Περιχάσκειν, ἀνοῖξαι τὸ στόμα.

Περιχειλοῦντες, ἀντιάδην κορεσθέντες.

* Περίχειρον, κόσμος ταῖς χερσὶ περιτιθέμενος, τοῦτο δ' ἐστὶ χρυσοῦν ψέλλιον ὃ φορέουσι περὶ τὰς χεῖρας καὶ τὸν τράχηλον. Πολύβιος.

Περιχέας χρυσῷ, περιπάσας χρυσίῳ.

Περιχλανίζεται, περιβάλλεται, περικαλύπτεται, καλλωπίζεται, παραστρατεύεται.

Περιχόραι, περιχορεῖαι.

Περιχορίζειν, ἐνόπλως ἢ σωφρόνως ὀρχεῖσθαι.

* Περιχρήματος, πλουσιώτατος, ὑπέρπλουτος.

Περὶ χροῒ νώροπα χαλκὸν ἕσαντο, δῆλον ὅτι ἀντὶ τοῦ ἐπὶ χροΐ. ἡ γὰρ περί, ἀντὶ τῆς ἐπί εἴληπται.

Περιχωρεῖ, συμμίσγεται.

Περιχώρησον, μέτρησον, περίστησον.

Περίψημα, βδέλυγμα.

Περίψημα, τὸ σάβανον. ὃ τοὺς ἱδρῶτας τοῦ κάμνοντος ἀποψύχει. ἢ τὸ ἀπορριπτόμενον σκύβαλον, ὡς περιττόν. ἀπὸ μεταφορᾶς τῶν τὰς τραπέζας ἀποψώντων μετὰ τὸ φαγεῖν.

Περιψῆν, ἀντὶ τοῦ καταμάσσειν, ἀποσπογγίζειν.

Περιψύχως, περιπόθητος, ἐκ ψυχῆς ὅλης ἀγαπώμενος.

Περὶ ψυχέων ἐμάχοντο, παροιμιῶδές ἐστιν. οἱ γὰρ ἐπικινδύνως ἀγωνιζόμενοι, τὸν περὶ ψυχῆς θεῖν λέγονται. ἢ τὸν περὶ ψυχῆς μάχεσθαι, ἢ ἀγωνίζεσθαι.

Περιώγανα, ἐπίσωτρα. οἱ δὲ τὰς κνημῖδας, αἳ περιπήγνυνται ταῖς ἁμάξαις.

Περιωδυνίαν, ἀλγηδόνα. καὶ περιττὴν ὀδύνην.

Περιώκαλα, ὑπέρσεμνα, ὑπερβαλόντως καλά.

Περιωπή, ἀκρώρεια, ὑψηλὸς τόπος.

Περιωπή, καὶ πίσυνοι, καὶ πύσται, πάνυ ταῦτα γλωττώδη, παρὰ Θουκυδίδῃ. καλεῖ δὲ περιωπὴν τὴν φροντίδα, καὶ τὴν περίσκεψιν, οὐ τὸν τόπον. ὡς Ὅμηρος, καὶ Ἀγαθίας δὲ τὴν περίσκεψιν λέγει. ὁ δὲ Ναρσῆς, ἧστο εἰς ὑπερῷόν τι δωμάτιον, ἐν περιωπῇ τοῦ πεδίου, τιθεὶς ἐν περισκέψει. καὶ Σιμόκαττος, καὶ οἱ ἄττουσι πρὸς τὰ ὑψηλὰ καὶ περισκοποῦσιν ἔκ τινος μεγίστης περιωπῆς, καὶ τὸ πολέμιον ἀφανές.

Περιώσας, ὠθήσας, ζώσας.

Περιώσιον. ἤτοι μέγα. καὶ γίνεται καθ' ὁμοίωσιν τοῦ θαυμάσιον. ὡς γὰρ ἐκεῖνο Ἰωνικῶς ἐκ τοῦ θαυμάζω θαυμάσιον κεκίνηται, οὕτω καὶ τοῦτο ἐκ τοῦ περιάω περιώσιον, [illegible]. ἢ περιώσιον, τὸ ἐξαίσιον τῇ ἐκφωνήσει, καὶ [illegible] περιώσιον.

Περκάζει, ὅ ἐστι μελαίνεται καὶ πεπαίνει. δηλοῖ δὲ τὴν τοῦ περκάζειν σημασίαν, καὶ ὁ περκνός, ὁ ἀετός, ἀπ' ἄλλου τι.

Περκάζουσι, παρὰ Φιλοστράτῳ, ἤγουν ἄρχονται πεπαίνεσθαι.

Περκαίνειν, διαποικίλλεσθαι, καὶ τὰ ὅμοια.

Πέρκανα, τὰ τοῦ ἰσοῦ περιπλέγματα.

Περκνός, μέλανι κατάστικτος.

Περκώματα, τὰ ἐπὶ τοῦ προσώπου ποικίλματα.

Περκώτη, πόλις Τροίας, ἧς καὶ Ὅμηρος μέμνηται.

Περκώσιον, οὕτως. καὶ Περκώτη, ὄνομα τόπου.

Περμησσός, ποταμὸς τῆς Βοιωτίας. ἐμβάλλει δὲ εἰς τὴν Κωπίδα λίμνην. τὰς δὲ πηγὰς ἔχει ἐν τῇ Θεσπιακῇ χώρᾳ, καὶ ἀπ' αὐτῆς ῥεῖ εἰς τὴν Κωπίδα λίμνην.

Περνᾶν, καὶ πιπράσκειν, ὡς [illegible], ὅθεν καὶ ἡ πρᾶσις, καὶ τὸ πιπράσκειν.

Πέρναξ, θρίδαξ.

Πέρνας, ὅθεν νεκροπέρνας. παρὰ τῷ Λυκόφρονι ὁ Ἀχιλλεύς, ὁ πιπράσκων τοὺς νεκρούς, ἐπεὶ τὸν Ἕκτορα νεκρὸν ὄντα, πέπρακεν. ἐκ τοῦ πέρνημι, ἡ μετοχὴ ὁ πέρνας.

Πέρνασθαι, ἤτοι πωλεῖσθαι εἰς κέρδος. σημειῶσαι δὲ ὅτι τὸ περᾶν, μετὰ τοῦ μὴ προσκεῖσθαι καὶ ἐπὶ τοῦ πωλεῖν λαμβάνεται. δίχα τοῦ ν καὶ ἑτέρας σημασίας προβάλλεται.

Πέρναται, πιπράσκεται, ἔνθεν καὶ πόρνη, ἡ πωλοῦσα τὴν μῖξιν. ἢ παρὰ τὸ πεπυρωμένον ἔχειν τὸν νοῦν.

Πέρνη, ἔνιοι μετὰ τοῦ τ Πτέρνη. εἶναι γάρ τι ἀκρωτήριον τῆς Αἰγίνης, οὕτω προσαγορευόμενον.

Πέρνησον, πώλησον.

Περνός, κυνηγετικὸς ἀετός, ὁ περισσῶς κείρων καὶ κόπτων.

Περόζης, ὁ Περσῶν βασιλεύς.

Περόνη, κόσμος τις, καὶ περόναις χρυσαῖς διαπεπερονημένοι, καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι.

Περόνη, παρὰ τὸ πείρειν, ὅ ἐστι κεντεῖν καὶ διαπερᾶν, γίνεται ἐμπερονῶ. πόρπη δέ, ἡ σύγλα.

Περόνη, πόρπη. καὶ δίβολον περόνην, καὶ τοξίδα, τανυσθὲν τόξον, αὐλός, ὁ εἰς αὐτὸ ἐξακοντισμὸς τοῦ αἵματος. ὁ δὲ περόνας, μέτρον καὶ μουσικῆς ὄργανον.

Περόνην, ποτὲ μὲν ὀστοῦν ὅλον κῶλον, ποτὲ δὲ ἐπίφυσιν ὀστοῦ, ποτὲ δὲ ἐπιφύσεως ἐπανάστασιν, παρὰ τῷ Ἱπποκράτει.

Περονήσατο χλαῖναν, ὅτι περόνας εἶχον κομβίοις συνδεδεμένας διπλῆν [illegible]. ἤτοι ὡς εἰπεῖν ποδηνεκῆ, ὁποῖος ὁ παρὰ Ἡσιόδῳ τερμιόεις χιτών.

* Περουσία, πόλις Τυρρηνῶν.

Περόχια, τὰ ῥάκη.

Περπερᾷ, προβαίνει.

Περπερεία, ἡ κολακεία, ἡ ἀγάπη. οὐ περπερεύεται, ὁ Ἀπόστολός φησι. τουτέστιν, οὐ προπετεύει.

Περπερεία, ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται. ἢ καὶ βλακεία, καὶ ἡ προπέτεια.

Πέρπερος, ὁ μετὰ βλακείας ἐπηρμένος, οἷον κάλος, προπετής, μηδὲν λογισμῷ ποιῶν. καὶ πέρπερος, ὁ φλύαρος.

Πέρρημος, Περίρημος αἰολικῶς. πόσα δύο ρρ, καὶ πόσα ἕν; καὶ ἔστιν εἰπεῖν, ὅτι ἐὰν σύμφωνον ἐπιφέρηται ἕν, οἷον [illegible], ἔχει δύο ρρ, ὑπερεδυνάσατο δύο ρρ. καὶ ἐὰν μὲν ᾖ καθαρόν, δύο, ἐὰν δὲ σύμφωνον, ἕν.

Περρεθήκατο, περιεθήκατο.

Περρεῦς, Ἀθήνησι τιμᾶται.

Περρέχειν, ὑπερέχειν.

Περρυσιπτίαν, τὴν ἀναβιβάσαι ἵππον.

Περ-

Περρίδαι, τῆς Ἀττικῆς δῆμος ἐν Ἀφίδναις.

Πέρσα. Ὅμηρος, αὐτὰρ ἐγὼ τὴν πέρσα, ἤγουν αὐτὴν πορθήσας ὅλον.

Πέρσαι, οὐδεμίαν ὁδὸν ἤνυον πεζῇ, ἀλλ' ἐφ' ἵππων. οἱ δ' αὐτοὶ καὶ ἱερὸν Ἡλίῳ τὸν ἵππον νομίσαντες, ἔθυον ἵππον ἐκείνῳ, τῷ ταχυτάτῳ φασὶ τὸ ἐν ζώοις τάχιστον. ἡ δὲ ποίησις οὐκ ὤκνησε τὸν Ποσειδῶνα τῷ ἐκεῖθεν ἐπιθέτῳ σεμνῦναι. ἵππιος γάρ. καὶ κυριωνυμίαι δὲ μυρίαι, φιλοῦσιν ἐκεῖθεν ἐλλάμπεσθαι, οἷον ἡ περιᾳδομένη Ἱπποδάμεια, ὁ Ἱππηκόων, ὁ Μακεδὼν Φίλιππος, ὁ σοφὸς Ἵππαρχος, ὁ Ἱππίας, οὐ ὁ Πεισίστρατος, καὶ λοιπαὶ στίχες ὀνομάτων σεμνῶν ἵπποις, ὡς ἄν εἴπῃ τις ἐπώχοι. καὶ τῶν πολεμικῶν δὲ ταγμάτων τὸ ἔξοχον, οἱ ἱππόται ἦσαν.

Πέρσαι. αἱ εἰς αι λήγουσαι, ἐπὶ τῆς ὀνομαστικῆς πληθυντικῆς, ταῦται ἐπὶ τῆς γενικῆς περισπῶνται. οἷον Πέρσαι Περσῶν. καὶ τὰ παραπλήσια πληθυντικῶν τριγενῶν, ξέναι ξένων, φίλαι φίλων. ἔστι γὰρ τριγενῆ, ὁ ξένος, ἡ ξένη, καὶ τὸ ξένον, ὁ φίλος ἡ φίλη καὶ τὸ φίλον. πῶς οὖν πόρναι πορνῶν περισπῶμεν. καίτοι καὶ αὐτὸ τριγενές ἐστιν, ὁ πόρνος ἡ πόρνη καὶ τὸ πόρνον μειράκιον; λέγομεν οὖν, τοῦτο περισπῶμεν, πρὸς ἀντιδιαστολὴν τοῦ ἄρρενος, καὶ πρὸς τὸ νοεῖσθαι, ὅτι περὶ θηλυῶν ὁ λόγος οὐκ ἀρρένων τῶν πόρνων.

Πέρσαντες, ὀλέσαντες, πορθήσαντες, ἀνελόντες.

Περσέα, ῥοδακινέα.

Περσεῖδαι, ἀπὸ Περσέως.

Περσεὺς ἐπειδὴ ἐν τοῖς ἄστροις, διὰ τὴν δόξαν. τῇ γὰρ Δανάῃ ὡς χρυσὸς μιγεὶς ὁ Ζεὺς, ἐγέννησεν αὐτόν. ὑπὸ δὲ Πολυδέκτου ἐπέμφθη εἰς Γοργόνας, τήν τε κυνῆν ἔλαβε παρ' Ἑρμοῦ, καὶ τὰ πέδιλα, ἐν οἷς διὰ τοῦ ἀέρος ἐποιεῖτο τὴν πορείαν. δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φόρκυσι φησὶν, ὁ τῶν τραγῳδῶν Ποιητής.

Περσεύς ἐστιν ὁ Ἥλιος, καὶ ἡ ὀξυκίνητος τοῦ οὐρανοῦ κίνησις. Ἀθηνᾶ δὲ, ὁ ἀὴρ καὶ ἡ ἀναθυμίασις, ἡ κινοῦσα τὸν οὐρανόν. ἐξ ἀναθυμιάσεων γὰρ κινεῖται. Περσεὺς δὲ λέγεται, παρὰ τὸ περισσῶς σεύεσθαι, καὶ ὁρμᾶν τοῦτον. ὃν ἡ ἐρώδης ἀναθυμίασις αὕτη πέμπει ἐπὶ τὰς Γοργόνας, ἤτοι τὴν θάλασσαν καὶ τὸ σύστημα τῶν ὑγρῶν, γοργόνη λεγομένη, διὰ τὴν ταύτης κατάπληξιν. γοργὸν γὰρ, τὸ καταπληκτικόν. πέμπει δὲ τοῦτον ἀνελεῖν τὴν Μέδουσαν τὴν λεπτομερεστέραν οὐσίαν, ὡς ἐξισουμένην αὐτῇ· καὶ γὰρ ἡ πᾶσα θάλασσα, ἀερώδης ἐστί. τὸ γὰρ λεπτότερον αὐτῆς εἰς ἀέρα μεταβάλλει. ὁ γοῦν Περσεὺς, ὁ Ἥλιος οὕτω καλούμενος, κινούμενος τῇ οὐρανίῳ φορᾷ, τὴν μὲν Σθενὼ καὶ τὴν Εὐρυάλειαν, ἤτοι τὸ δυνατὸν καὶ καταμήκη πέλαγος τῆς θαλάσσης ἐκτεταμένον, οὐκ ἀναιρεῖ ἤγουν οὐ μεταστρέπει, οὐδὲ ἀνιμᾶται ὡς ἀθάνατον, ὡς μὴ μεταστραπῆναι δυνάμενον. τὴν δὲ Μέδουσαν μόνην, ὡς θνητὴν ἀναιρεῖ, πλήττων τῷ ξίφει, ἤτοι βασιλικώτατον καὶ λεπτὸν τῇ ὀξείᾳ κινήσει μεταποιεῖ, καὶ ἀνιμᾶται. τῇ δὲ καρατομήσει ἐκ τοῦ τραχήλου ὁρμᾷ χρυσάορ, καὶ πήγασος. ἀνιμωμένου γὰρ τοῦ Ἡλίου καὶ τοῦ ἀέρος, τὸ κεφαλαιῶδες, ὡς ἔφην, καὶ λεπτότερον καὶ ἀτμῶδες, συμβαίνει τὸ βαρύτερον καὶ ἀναφερόμενον κάτω πηγάζειν καὶ χέεσθαι, ὃ καὶ πήγασον ὠνομάκασι διὰ τὸ κατωφερὲς, κατωφερῆ γὰρ τὰ ἄλογα. τὸ δὲ λεπτομερέστερον εἰς τὸ πυρῶδες μεταβάλλει. ὅπερ καὶ χρυσάορα κεκλήκασι. αὐτῷ γοῦν τῷ ἐξ ὕδατος ἀναφερομένῳ πηγάσῳ, τῇ κινήσει τοῦ οὐρανοῦ τῇ ἡλιακῇ ἀνιμήσει ἐποχουμένη συναναφέρεται ἡ ἡμέρα. σφαιροειδὴς γάρ ἐστιν ὁ οὐρανὸς, καὶ κινεῖται ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς, συμπεριφέρων αὐτῷ καὶ τὸν ἥλιον. οὗπερ ἡλίου δύναντος εἰς τὸ ὑπὸ γῆν ἡμισφαίριον γίνεται νύξ. ἔνθεν τοὺς πηγάσους ἀτμοὺς ἀναστᾷ, καὶ ἡμέραν ἐργάζεται. οὕτως ἡμῖν δοκεῖ ταῦτα μυθουργήματα. οὐ γάρ πού τις ἐπτερωμένον ἵππον εὑρήσειεν, ἀλλὰ πλοίῳ ἐμβὰς, οὗ πτερὰ τυγχάνει τὰ λαίφη. πήγασος ἡ κλῆσις, ὡς διὰ τῶν πηγαζόντων ὑδάτων νηχομένων. τὴν χείμαιραν ἀναιρεῖ τὴν τρικέφαλον καὶ πυρίπνουν, ὅπερ ἀλληγορεῖται ῥητορικῶς.

Περσηΐδα, τὴν Ἑκάτην λέγει Ἀπολλώνιος, ὡς τοῦ Πέρσεως θυγατέρα. τινὲς δὲ αὐτὴν φασι Διὸς εἶναι παῖδα. ἐν δὲ τοῖς Ὀρφικοῖς, Δήμητρος γενεαλογεῖται, καὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν. Βακχυλίδης δὲ, νυκτός φησιν αὐτὴν θυγατέρα, Ἑκάτα δαδοφόρε νυκτὸς μεγαλοκόλπου θύγατερ. Μουσαῖος δὲ, Ἀστερίας καὶ Διός. Φερεκύδης δὲ, τοῦ Παίονος.

Περσίδα πόλιν, περσικήν. Περσιθέα, ἡ Ἀφροδίτη.

Περσικαὶ, εἶδος ὑποδήματος αἱ περσικαί, ὡς καὶ Ἡρόδοτος. ἐπεὶ δὲ καὶ δένδρου ὄνομά ἐστι περσικαί, διὸ καὶ περιέφυσαν εἶπεν Ἀριστοφάνης, ὡς ἐπὶ δένδρου. ἔστι μὲν γὰρ καὶ δένδρον, ἔστι δὲ καὶ ὑποδημάτων εἶδος γυναικείων, διὸ ἐπιφέρει. ὑπολύσας, διὰ τὸ δένδρον παίζων, περιέφυσαν εἶπεν.

Περσικὸς ὄρνις, ὁ ἀλέκτωρ, διὰ τὴν λοφιάν. ἢ ὅτι τὰ πολυτελῆ πάντα, οἷς ὁ Βασιλεὺς ἐχρῆτο, ἐκαλεῖτο περσικά. καὶ μὴν παρὰ Ἀριστοφάνει, οὐκ ἰδίως ὄρνις περσικός.

Πέρσικα, εἴδη καρύων, ἢ εὐτελῆ ὑποδήματα, καὶ ὀρθαὶ βακτηρίαι, καὶ ὄρχησις περσική.

Πέρσος, ἰχθύς ποιὸς ἐν ἐρυθρᾷ γινόμενος.

Περσινὸν, ἔφηβον, τὸν ἐξ ἐφήβων.

* Περσινοῦς, πόλις Γαλατίας, ἀπό τινος Γάλλου Περσινοῦντος. τὸ ἐθνικὸν Περσινούντιος.

Περσύας, ὁ περισσὸς, οἷον περισσύας τις ὤν. καὶ αὐτέτην ὀνομάζει, οἷον τὸν αὐτοετῆ, παρὰ τῷ Ἱπποκράτει.

Πέρυσι, ὁ παρεληλυθὼς χρόνος.

Περέφρες, θεωροί.

Περφίλα, κύριον ὄνομα.

Περῶ, περάσω, ἐπέρασα, πεπέρακα, περαιοῦμαι, περαιώσομαι, ἐπεραιώθην ὑφ' ἑτέρου. ἰστέον δὲ, ὅτι τὸ περάσαι, καὶ τὸ ἐάσαι, καὶ ὅσα δευτέρας συζυγίας τῶν περισπωμένων ὄντα, πρὸ τοῦ α φωνῆεν ἢ τὸ ρ ἔχουσι, μακρὸν ἔχουσιν αὐτὸ ἐξ ἀνάγκης, οἷον ἐάω ἐῶ ἐάσω, περάω περῶ περάσω. ὅσα δὲ ἕτερον σύμφωνον ἔχουσι βραχὺ, τὸ α ἔχουσιν, οἷον γελάσω.

Περώσιον, μέγα.

Πεσέεσθαι, πεσεῖσθαι.

Πεσεῖν, ἐπὶ τῆς ἁπλῶς πτώσεως, καὶ ἀπὸ τούτου ἰδίως ἐπὶ τῶν ἐν πολέμῳ φονευομένων. καὶ παρ' Ὁμήρῳ ἐπὶ τοῦ γενέσθαι. ἀφ' οὗ λέγει διιπετέας ποταμοὺς, ἤγουν ἀπὸ τοῦ Διὸς γεγεννημένους. ἀφ' οὗ τὸ ἐμπεσεῖν, ἀντὶ τοῦ ἐπιθέσθαι ἐν πολέμῳ. καὶ ἀντὶ τοῦ ἑνὸς πεσεῖν, καὶ ἀπολειφθῆναι, ὥσπερ ἐν ἄρκυσι, καθὸ λέγεται συμφοραῖς ἐμπεσεῖν, καὶ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. καὶ εἰσπεσεῖν, ἀντὶ τοῦ εἰσελθεῖν. ὃ λέγεται ἐπὶ οἰκίας, ἢ τοιούτου τινός. τὸ δὲ ἐμπεσεῖν, ἐπὶ παιδίου, καὶ τὸ ἐκπεσεῖν τοῦ πλούτου, ἢ τῆς πατρίδος, ἀντὶ τοῦ στερηθῆναι καὶ ἁπλῶς τὸ ἐκφυγεῖν, καὶ παρελθεῖν. ἢ ἔξω τοῦ πρέποντος πεσεῖν, καὶ συμπεσεῖν, ἀντὶ συμβῆναι, ἢ συγκροτῆσαι μάχην, καὶ προσπεσεῖν, τὸ ἐξαίφνης ἀποκτεῖναι τινὰ μὴ εἰδότα. καὶ ἀντὶ τοῦ προσελθεῖν, καὶ ὑποταγῆναι. καὶ προσπεσεῖν, τὸ ἐνώπιόν τινος πεσεῖν, οἷον προπεσοῦνται Αἰθίοπες. καὶ ἀναπεσεῖν, ἀντὶ τοῦ ἀνακλιθῆναι. καὶ καταπεσεῖν, ἀντὶ τοῦ κατακλιθῆναι. καὶ μεταπεσεῖν, ἀντὶ τοῦ μετατεθῆναι, καὶ παραπεσεῖν, τὸ ἔξω τοῦ πρέποντος πεσεῖν. καὶ ἀντιπεσεῖν, τὸ ἐναντιωθῆναι. καὶ ἐπιπεσεῖν, ἐπιθέσθαι, καὶ τὸ περιπεσεῖν θλίψεσιν, ἢ τοιούτοις τισί. καὶ ὑποπεσεῖν, ἀντὶ τοῦ ὑποκάτω πεσεῖν τινὸς, ἢ ὑποταγῆναι.

Πέσησι, κοινῶς, καὶ ἁπλοϊκῶς λεχθὲν, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας χ', ἀντὶ τοῦ ἀποθάνῃ. τὸ δὲ ἐν τοίχῳ πέσεν, ἀντὶ τοῦ ἐνέπεσε.

Πέσημα, πτῶμα. πρὸς τῷ δ' ὄλωλε θανασίμῳ πεσήματι. περὶ Αἴαντος φησὶν, ὅτι ἑαυτὸν ξίφει διεχρήσατο.

Πέσκος, τὸ πέκος, ὡς προεγράφη, δέρμα, κώδιον. καὶ πεκτῆρες, οἱ τὸ δέρμα τίλλοντες.

Πέσμα, πίεσμα, ἢ μόχος. ἔστι δὲ ἐξ οὗ τὸ φύλλον ἤρτηται.

Πέσον, ὄρος, χωρίον Κύπρου, πεδίον Αἰολῆς, τινὲς ὁμαλές.

Πεσσοὶ παρ' Ἀττικοῖς, οἱ παρ' ἄλλοις Ἕλλησι κύβοι.

Πέσσει, κατέχει, ἢ καταπραΰνει. καὶ πεσσέμεν, ἀπὸ ἐνεστῶτος, τὸ θέμα ἐστὶ πέσσω. ὅθεν καταπέψῃ, ἀντὶ τοῦ κατάσχῃ, καταδαπανήσῃ, ὅ ἐστι καταπραΰνει.

Πέσσειν βέλος, τὸ θεραπεύειν. τὰ γὰρ πρὸς θεραπείαν φασὶ γενόμενα ἕλκη, πέπτεσθαι λέγεται. νοεῖται δὲ καὶ ἀντὶ τοῦ παρακατέχειν. ὁμοίως τῷ, χόλον καταπέψῃ.

Πέσσεται, ὀπτᾶται. Ἀρκάδες ὀπτῆσει.

Πεσσεύου, μετατίθεσο τὴν γνώμην πρὸς τὸ κρεῖσσον.

Πεσσήματος, πτώσεως, πτώματος.

Πεσσινοῦντος, πόλεως.

Πεσσοὶ, βόλια κυβιστῶν. πέσσα ὁμωνύμως, ἡ γραμμὴ, καὶ ὁ ψῆφος. πέντε δὲ ἦσαν οἷς ἐχρῶντο. καὶ πέσσα, πεντάγραμμα, καὶ τάχα ἡ πεττεία, οἱονεὶ πεντεία τις οὖσα. εὗρε δὲ αὐτὴν Παλαμήδης. καὶ δηλοῖ τὸ ἐπίγραμμα τῶν τριακοντάεξ. πρὸς τοὺς τόπους οὓς ἔχει τὸ παλαμήδειον ἀββάκιον. ἔστι πέσσω, ὃ σημαίνει τὸ καταπίπτω.

Πεσσόμενα παρὰ Ἡροδότῳ, κοπτόμενα.

Πεσσοὺς, κύβους. καὶ πεσσοὶ, ψῆφοι, παρὰ Ἡροδότῳ, ἐν οἷς ἔπαιζον.

Πέσσειν γέρα, τὸ κατέχειν καὶ ταμιευχεῖν. ὅμοιον τῷ, χόλον καταπέψῃ. τινὲς δὲ ἀντὶ τοῦ κατακυβεύσειν, ἀπὸ τοῦ πέσσου, ὡς δῆθεν τοῦ Ἀγαμέμνονος, πλεονάζοντος τῇ τοιαύτῃ παιδιᾷ.

Πέσσυμπτον, σκυτίον.

Πεσσύπτω, σκυτεύτρια.

Πέσσυρα, πίσυρα τέσσαρα. καὶ πέσσυρες, τέσσαρες. Αἰολεῖς.

Πεσσῶν εὕρεσιν, Πλάτων ἐν Φαίδρῳ Αἰγυπτίοις ἀνατίθησι, λέγων αὐτοὺς πρῶτον ἀριθμὸν, καὶ λογισμὸν εὑρεῖν, καὶ γεωμετρίαν, καὶ ἀστρονομίαν. ἔτι δὲ καὶ πεττείαν τε καὶ κυβείαν, καὶ δὴ καὶ γράμματα.

Πέσσων, κατὰ Ἡρακλείδην, τοῦ πέσσω τὸ πέπτω προϋπέστιν, ὡς καὶ τοῦ ὄσσω τὸ ὄπτω. οἷα τῶν Αἰολέων, ἐν τοῖς εἰς πτω λήγουσι ῥήμασι, τὸ πτ εἰς δύο σσ τρεπόντων. Διόπερ ὁ Ποιητὴς ἄμφω εἰδὼς, τά τε προϋποκείμενα καὶ τὰ ἐξ αὐτῶν αἰολικά, ἐκ μὲν τοῦ πέπτω, τὸ αὐτῆμαρ καταπέψῃ ἔφη. ἐκ δὲ τοῦ αἰολικοῦ πέσσω, τὴν μετοχὴν πέσσων, καὶ τὸ γέρα πεσσέμεν. οὕτω δὲ καὶ ἐκ μὲν τοῦ πρωτοτύπου ὄπτω τὸν ὀπτῆρα λέγει. καὶ τὸ ὀπιπτεύειν παρ' αὐτοῦ παράγει. καὶ τὸ ὄψεαι, ἣν ἐθέλῃσθα, ἐξ ἐκείνου κλίνει. καὶ τὸ ὀπτὸν ἐκεῖθεν σκευωρεῖ. ἐκ δὲ τοῦ κατὰ αἰολέας ὄσσω τὸ ὄσσεσθαι λέγει, καὶ τὸ ὀσσόμενος πατέρα ἐσθλόν. καὶ οὕτω μὲν τὰ τοῦ Ὁμήρου. οἱ δὲ ὕστερον, ἐκ τοῦ πέπτω πέψαι πεπέμμεναι παράγουσι τὸ πέμμα. καὶ τὸν πέπονα δέ τινες, ἐκ τοῦ αὐτοῦ ἐνεστῶτος ποιοῦσιν. ἐκ δέ γε τοῦ ὡς εἰκὸς μέσου παρακειμένου πέπονα, τὸ πόπανον, πέμμα τι ὂν καὶ αὐτό. καὶ μὴν τοῦτο, καὶ ἄλλως δοκεῖ οὕτω κληθῆναι, παρὰ τὸ πόπος, ὅ ἐστι Θεός, καὶ τὸ ἄναξ, ἵνα ᾖ πόπανον, ὡς καὶ προερρέθη, τὸ τῷ πόπῳ ἄνακτι ὁσιούμενον. ὡς δὲ τοιοῦτον ἦν τὸ πόπανον, ἐμφαίνει καὶ ὁ Κωμικὸς ἐν τῷ Πλούτῳ.

Πεσῶ, καὶ πεσοῦμαι, κατὰ μίμησιν Δωριέων περισπῶμεν.

Πεσῶν, πάσχων.

Πέσω, μέλλων ἐκ τοῦ πέτω ῥήματος ἀρρήτου βαρυτόνου. ἔστι καὶ εὔχρηστος, ὃ Δωριεῖς καὶ Αἰολεῖς πεσῶ λέγουσιν, ὡς ἐσῶ, κλαυσῶ. ἐξ ὧν τὸ πεσεῖται, ἐσεῖται, κλαυσεῖται, καὶ τὰ ὅμοια. ἐκ δὲ τοῦ πεσῶ ἀνελθόντος εἰς ἐνεστῶτα, καὶ τὸ πέσημα, ὅ ἐστι πτῶμα. κεῖται παρὰ τοῖς τραγικοῖς.

Πέτα, πτῶσις, στάχυες.

Πέταβρα, σύγνα. Βάβριος, ὃδ' ἐκ πετάβρου κλανὸν εἶπε βοήσας, πόθεν μαθήσῃ, πόσον εἰς ἕω. λείπει τὸν ὠρονόμον θύσας με.

Πετάζει, ἁπλοῖ, σκεπάζει.

Πε-

Digitized by Google

Πεταιστὰ, μετέωρα, ἀμπελουργία, ὡς αἱ ἀναδενδράδες.

Πέταχνον, ποτήριον. ἐκπέταλον διὰ τὸ, καὶ πέταχνον.

Πέταλα, τὰ ἀναπεπταμένα, καὶ πλατέα φύλλα. ὅτι καὶ πέταλα λέγεται, δῆλόν ἐστιν. οἱ γοῦν περὶ Λυκίαν πετάλια μέχρι καὶ ἐς ἄρτι καιροῦ, τὰ τοιαῦτα φασίν. ἐκ δὲ τῶν ὁμηρικῶν πετάλων καὶ ποτήρια ἐκπέταλα τὰ πλατέα.

Πετάλα, ὀνόματα θήλεια, καὶ βοῦς.

Πεταλίζειν, βλαστεῖν, φυλλολογεῖν.

Πεταλισμὸς, ὁ διὰ φύλλων ὀστρακισμὸς γινόμενος.

Πεταλίδων, ὑῶν. μετήχθη ἀπὸ τῶν μόσχων. πέταλοι γὰρ οὗτοι λέγονται.

Πεταλοῦνται, ἐξυπτοῦνται, τρυφῶσιν.

Πεταλωτὸν, ἀκμαιότατον, ἀνθέστατον.

Πετάσαι τὰς χεῖρας. δηλοῖ μὲν τὸ ἁπλῶσαι οἷα πτέρυγας. χεῖρε πετάσας, ἤγουν ἐξαπλώσας, ἐκ μεταφορᾶς εἴρηται τοῖς τῶν ζωικῶν πτερύγων ἐκπετάσεως.

Πέτασαν, πετάζω, πετάσω, ἐπέτασα. ἱστία λευκὰ πέτασαν.

Πετάσας χεῖρας, μετῆνεγκται τροπικῶς ἐκ τῶν ἐν τῷ πέτεσθαι, οὕτως ἁπλουμένων τὰς πτέρυγας.

Πετάσειε θυμὸν μνηστήρων παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ διαχέοι, ἐκ μεταφορᾶς ἐῤῥέθη τῶν διαπεταννυμένων σωμάτων. ὅθεν καὶ πόρων διαπέτεια, παρὰ τοῖς σοφοῖς, ἵνα λέγῃ, ὅτι τοῖς μνηστῆρσιν αἱ ψυχαὶ συγκεχυμέναι, καὶ οἷον πεπιλημέναι, διὰ τὸ δύσελπι. ὅμως διαπεταννῦντο ἡνίκα τὴν ἐρωμένην ἔβλεπον. καὶ ἄλλως δὲ τὸ πετάσειεν, ἐκ μεταφορᾶς τῶν πετομένων. ἀντὶ τοῦ κούφους, καὶ μετεώρους τῇ ἐλπίσι ποιήσειε.

Πετάσειεν, ἁπλώσειεν, κουφίσειεν. ἀπὸ ἐνεστῶτος τοῦ πετάζω.

Πετᾶσθαι κεκτῆσθαι.

Πέτασος, εἶδος ὑφάσματος. ἐπιῤῥιψάντων Δράκοντι τῷ νομοθέτῃ τῶν Ἀθηναίων πετάσους πλείονας, καὶ χιτῶνας, ὡς ἀποπνιγῆναι ἐν τῷ θεάτρῳ.

Πέτασος, τὸ τῶν ἐφήβων φρόνημα. πέταυρα, τίγνα.

Πέταυρον, παγὶς, βάθος, σανίς. οἷον πέτευδον, παρὰ τὸ εὕδειν ἐν αὐτῷ τὰ πετεινά. πέταυρον καὶ τὰ σανίδια, ἐν οἷς στεγάζομεν τὰ ὀπωρίτια, ἀπὸ τοῦ ταῖς αὔραις, ὅ ἐστι ταῖς πνοαῖς πέτεσθαι. κοῦφα γάρ εἰσι, καὶ ὑπηνέμια.

Πετάω, πετῶ, τὸ ὑψῶ. οἷον διεπέτασας τὰς χεῖρας. καὶ ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. πέπεται ὅσα ἔχουσι πτερά. ὅπερ οὐκ ἔχει ἐνεργητικὸν ἐν χρήσει. πέτομαι οὖν, πτήσομαι, ἔπτην. πέτομαι, ὃ καὶ πέταμαι, καὶ πετῶμαι γράφεται, πέταμαι οὐδεὶς ῥητόρων, ἀλλὰ πέτομαι.

Πετεινὸν, οἱ μὲν διὰ διφθόγγου γράφουσιν. ἐκ τοῦ τὴν πτέρυγα τείνειν ἐτυμολογοῦντες. ὁ δὲ Ἡρωδιανὸς, ἐκ τοῦ πετῶ πετάσω, πτῶ πτήσω πτηνὸν, καὶ πετηνόν. τὸ δὲ πετηνὸν, ὡς ῥηματικὸν, διὰ τοῦ η ἐκ τοῦ πετῶ πετήσω, πετηνὸν, καὶ πλεονασμῷ τοῦ ε ποιητικῶς πετηνόν. ἔστι δὲ καὶ τοῦτο γενικόν.

Πετελκὲς, καμπύλον.

Πετηνὰ, τὰ πτῆναι δυνάμενα. καὶ ὡς εἰπεῖν, ἐκπετήσιμα. πετηνὸν ποιητικῶς, κοινῶς πτηνὸν καὶ πετεινόν.

Πέτεσθαι, ἐπὶ τῆς πτήσεως, παρὰ τὸ πίπτω, ἐκ τούτου πέτομαι. ἢ πέτεσθαι, ἐπὶ τῆς πτήσεως, παρὰ τὸ πέπτω, τὸ πίπτω. παντὶ γὰρ τῷ τοῦ σώματος μέρει δοκεῖ πίπτειν τὰ πετόμενα ἐπὶ τοῦ ἀέρος. ὁ ἐνεστὼς παθητικὸς πέτομαι, ὅθεν πέτονται.

Πέτεσθαι, τοὺς τοῦ Διὸς ἵππους μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος, σύμβολόν ἐστι τοῦ ἀλληγορεῖσθαι αὐτὸν εἴς τε ἀέρα, καὶ εἰς αἰθέρα, στοιχεῖα ταῦτα, πληροῦντα τὸ μεταξὺ γῆς τε καὶ οὐρανοῦ.

Πετέσθην, λεγόμενοι οἱ ἵπποι, καὶ ἀελλόποδες ἂν εἰκότως ῥηθεῖεν, καὶ ποδηνέμοι, καὶ ὁπλαῖς ἁρπυίαις ἴσοι κατὰ Λυκόφρονα. τὸ δὲ τοιοῦτον πέτεσθαι, οὐ μόνον ἐτυμολογίαν παραλαλεῖ. ἐκ τοῦ ἵπτασθαι γὰρ οἱ ἵπποι συντίθενται ἀλλὰ καὶ ἀφορμὴ τῷ μύθῳ γέγονε τῆς τοῦ δήπου πτερωτοῦ Πηγάσου πλάσεως, διὰ τὸ ὡς εἰκὸς ἀπαράμιλλον τάχος ἐκείνου. οὐκ ἀέκοντε δὲ, ἀρετὴν ἵππων δηλοῖ.

Πέτευρον, σανίδιον λεπτὸν καὶ τετμημένον, ᾧ καὶ εἰς τοὺς ὀρόφους ἀντὶ κεραμίων χρῶνται. οἱ δ' αἰθαλόεν πέτευρον, τὴν δοκὸν λέγουσιν. ὡς καὶ Ὅμηρος, αὐτοὶ δὲ αἰθαλόεντας ἀνὰ ῥῶγας μεγάροιο. τινὲς δέ φασιν αἰθαλόεν εἰπεῖν τὸ πέτευρον, διὰ τὸ αἴτιον εἶναι αἰθάλης, ἢ ἀπὸ τοῦ αἴθεσθαι λίαν.

Πετεὼν, κώμη αὕτη Θηβαΐδος κατὰ τὸν Στράβωνα, πρὸς τῇ ἐπ' Ἀνθηδόνος ὁδῷ κειμένη. οὐκ ἠξίωται λόγου πολλοῦ τοῖς παλαιοῖς, ἢ μόνον εἰς τοσοῦτον, ὅτι ἀπὸ Πετεῶνος ἐκλήθη τινός.

Πετεὼν, πόλις * Βοιωτίας. τὸ ἐθνικὸν Πετεώνιος.

Πετεῶ, ἀπὸ τοῦ πετεὼς πετεῶ γίνεται ἀττικῶς, ὡς λαγὼ λαγὼς, ταὼς ταὼ, καὶ πλεονασμῷ τοῦ ο μικροῦ, πετεῶο κατὰ τὸν Ἡρωδιανόν. ἡ δ' εὐθεῖα ἐστὶ κοινὴ, κατὰ Ἀρίσταρχον Πετεὸς, ὡς καλός. οὗ ἡ γενικὴ πετεοῖο, ὡς καλοῖο, καὶ ἐκτάσει πετεῶο.

Πετηλὰ, φύλλα δένδρων, ἀπὸ τοῦ πέτεσθαι.

Πέτηλας, τοὺς μικροὺς καὶ θαμνώδεις φοίνικας.

Πετηλὶς, ἀκρίς.

Πετῖτον, πειρατικὴ σκάφη.

Πετόμενος, φερόμενος.

Πέτομαι παρὰ τοῖς Ἀττικοῖς. πέταμαι, παρὰ τοῖς κοινοῖς.

* Πέτρα, πόλις νῦν τῆς τρίτης Παλαιστίνης, ὁ πολίτης Πετραῖος.

Πέτρα στερεά ἐστι, πίστις ἀῤῥαγὴς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. εἰς οἰκοδομὴν ψυχῆς ἐν τῷ ἡγεμονικῷ θεμελίῳ προθεμελιουμένη.

Πέτρα, ἐνίοτε λαμβάνεται, ἀντὶ τοῦ ὄρος, ὡς παρὰ τῷ Ποιητῇ κεῖται ἐν τῷ ν' τῆς Ἰλιάδος. καὶ πέτρα μὲν κοινῶς, πέτρος δὲ ἀττικῶς.

Πετραδεῖλαι, οἱ μὲν τοὺς ἀποπνευματισμούς. οἱ δὲ εἶδος ἰχθύων.

Πέτραι ἠλίβατοι, ὑψηλοὶ κρημνοὶ, ἀκρώρειαι.

Πετρηδὸν, δίκην πετρῶν.

Πέτρην αἱμονίην, λέγει Ἀπολλώνιος, τὴν θεσσαλίαν πέτραν. χωρίον δέ ἐστιν, ἐν ᾧ Ποσειδῶνος ἄγεται ἀγὼν, ὡς ἀπὸ τοῦ τόπου πετραῖον καλεῖσθαι. Πίνδαρος, παῖ Ποσειδῶνος πετραίου.

Πετρήεσσα, πετρώδης, βαθεῖα.

Πέτρην τ' ὠλενίην, πόλις.

Πετρεφράμη, θρασεῖα, θερμή.

Πετρόβολον, ἡ λίθου βολή. διώβολον δὲ, μέγα.

Πετροπομπὴν, μηχάνημα, δι' οὗ πέμπεται ἡ πέτρα.

Πέτρον, λίθον.

Πέτρος, γενικὴ λέξις, καθὰ καὶ ὁ λᾶς. ἰδικὴ δὲ, ὁ μάρμαρος, ἀπὸ τοῦ μαρμαίρειν λεχθείς. ὃν ἡ κοινὴ γλῶσσα κατὰ γένος προφέρει οὐδέτερον.

* Πέτροσσα, νῆσος Κιλικίας. τὸ ἐθνικὸν Πετρουσαῖος.

Πεττεύει, μεταφέρει ἀπὸ τῶν πεττῶν, τουτέστι τῶν κύβων. καὶ ὁ δραπέτης, ὁ ἀποδρὼν τῆς δουλείας, ὁ τὸ δρᾶν πεττεύων, ὅ ἐστι φεύγων.

Πεττεύουσι, παυλίζουσι. καὶ πεττείαις παιδιαῖς, αὐλοῖς. καὶ πεττὸς ὁμοίως.

Πέττομαι, ἵπταμαι, πετῶμαι.

Πέττουσα, ἀρτοποιοῦσα. καὶ πέσσουσιν, ἀρτοποιοῦσι. καὶ πέττουσιν, ἕψουσι.

Πεττοὶ, βόλια ἐν οἷς παυλίζουσι.

Πέττω, τὸ χωνεύω. ἐξ οὗ καὶ πέψις. τριττὴ δέ ἐστιν ἡ πέψις ἐπὶ τοῖς ἐναίμοις ζώοις. καὶ πρώτη μὲν, ἡ ἀπὸ τῆς οἱασοῦν τροφῆς, εἰς χυλοποίησιν μεταβαλλομένη. δευτέρα, ἡ διὰ τῆς κοίλης φλεβὸς τῆς κυρτῆς ὀνομαζομένης, ἐκ τῆς κοιλίας εἰς τὸ ἧπαρ ἑλκομένη, κἀκεῖσε εἰς αἷμα μετασκευαζομένη. τρίτη, ἡ ἀπὸ τοῦ αὐτοῦ ἥπατος, εἰς ἓν ἕκαστον μόριον τοῦ ὅλου σώματος ἀναδιδομένη, καὶ τροφὴν τὴν αὐτοῖς ἁρμόζουσαν παρεχομένη. ἐν ᾗ δηλαδὴ τρίτῃ πέψει, ἐστὶν ἡ αἱματοποίησις, ἡ αὐτὴν τὴν σάρκα γεννῶσα. διὸ καὶ ὁρίζεται τί ἐστι σὰρξ, αἷμα πεπηγὸς ὑπὸ φύσεως.

Πετώνιον, τὸ τοῦ ὕδατος.

Πευδεία, ἀρτοθήκη.

Πεύθεται, πυνθάνεται.

Πευθὴν πευθῆνος, ὁ μανδάτωρ λατινιστί. καὶ κλίνεται πευθῆνος, ἀπὸ τοῦ πεῦσις ἡ ἐρώτησις, ἢ ἀπόκρισις. οἱ γὰρ μανδάτορες, ποιοῦσι τὰ μηνύματα, ἔν τε τοῖς δικαστηρίοις, καὶ τοῖς ἐν αὐτοῖς δικαζομένοις.

Πευθῆνες, πιστοὶ, περίεργοι.

Πεύθω, σημαίνει τὸ ἀκούω, σημαίνει καὶ τὸ ἐρωτῶ.

Πευκίδας, λαμπάδας.

Πεῦκαι, λαμπάδες, δᾶδες. αἱ δ' αὐταὶ καὶ φέγγος ἐδαδούχουν, περὶ πασσῷ πεῦκαι, καὶ ὠθιμένοις νέρθεν ἔφαινον ὁδόν. καὶ παροιμία, πεύκης τρόπον, ἐπὶ τῶν πανολεθρίᾳ ἀπολλυμένων. ἐπεὶ ἡ πεύκη κοπεῖσα, οὐκ ἀνίησι βλαστόν.

Πευκαλεῖται, ξηραίνεται, ἢ ἀντὶ τοῦ ζητεῖται, Ἀριστέας.

Πευκαλέον, ξηρὸν ἀγγεῖον.

Πευκαλίμαις, συνεταῖς, ὀξείαις, πικραῖς, ἢ ἀγαθαῖς.

Πευκαλίμη, θερμὴ, θρασεῖα, καὶ φλεγμαίνουσα.

Πευκάνα, πευκονία, ἰσοῦ παράπλεγμα, τραχίαι.

Πευκεδανὸν, πικρόν.

Πευκεδανὸς, καυστικὸς, θερμός. λέγει δὲ τοιοῦτον τὸν πόλεμον, παρὰ τὴν πεύκην τὴν πρὸς καῦσιν ἐπιτηδείαν. σύνηθες δὲ Ὁμήρῳ τὸν πόλεμον πυρὶ παραβάλλειν, διὰ τὸ, τῶν μαχομένων πυροῦσθαι τὸ περικάρδιον αἷμα.

Πευκελαῦτις, ὄνομα πόλεως.

Πευκέτιοι, οἱ περὶ τὸ Βρεντήσιον οἰκοῦντες.

* Πεύκη, νῆσος ἐν τῷ Ἴστρῳ.

Πεύκη ἐστὶ ξύλον, πρὸς πλοίων κατασκευὴν ἐπιτήδειον.

Πεύκης φυτὸν, Ἡφαίστῳ ἀνάκειται. οὐ μόνον ὅτι εὐέξαπτον, ἀλλὰ καὶ διὰ τὴν δᾶδα, ἥτις ἀπὸ τοῦ δαίω τὸ καίω παράγεται. καθὰ καὶ ἐκ τοῦ αἴθειν, ὁ Ἥφαιστος. ἡ τρίγλα, κατὰ τοὺς παλαιοὺς, Ἀρτέμιδος ἄγαλμα. παρόσον ἡ τρίγλα μὲν, κατὰ τὸν Κίλικα ποιητὴν, τριγόνοις γοναῖς ἐπωνόμασται, τρὶς γεννῶσα τοῦ ἔτους. καὶ Ἄρτεμις, ταυτὸν δὲ εἰπεῖν σελήνη τριταία, μετὰ τὴν γέννησιν σαφῶς διεκφαίνεται. τῇ δ' αὐτῇ Ἀρτέμιδι, ταυτὸν δὲ εἰπεῖν Ἑκάτῃ, μαινίδα θύεσθαί φασι, διὰ τὸ δοκεῖν μανιῶν αἰτίαν εἶναί τισιν, ὡς οἷον εἰπεῖν τοῖς σεληνιαζομένοις. καὶ ἄλλοι δὲ ἰχθύες ἀνάκεινταί τισι, κατὰ οἰκειότητα. οἷον Ἀπόλλωνι μὲν Κίθαρος, ἤτοι κιθάρα. ἐπεὶ κιθαριστὴς ἐκεῖνος περιάδεται. Ἑρμῇ δὲ Βόαξ, ὡς κήρυκι διὰ τὴν βοήν. παρ' ἣν καὶ βοώτης, κήρυκος ὄνομα. Ἀφροδίτῃ δὲ, Ἀφύη, ἥτις καὶ Ἀφρίτης, διὰ τὸ ἄμφω ἐξ ἀφροῦ φῦναι, τήν τε ἀφύην φυσικῶς, καὶ τὴν δαίμονα φυσικῶς. οὕτω καὶ Λύκος Ἀπόλλωνος ἄθυρμα, διὰ τὴν ἀμφιλύκην νύκτα, μεθ' ἣν ἐκφαίνεται ὁ Ἥλιος. καὶ λαγὼς Ἐρώτων ἀνάθημα, διὰ τὸ ταυτὸν τῆς κατὰ κλῆσιν γενέσεως. λαγώς τε γὰρ ἀπὸ τοῦ λάειν, καὶ ἔρως ἐκ τοῦ ὁρᾶν, ἅπερ τὸ βλέπειν μηνύουσι.

Πευκινόδακρυν, πίσσαν.

Πεύκλα, ἁμαξοχίαι.

Πεύσει, γνώσει, Ἀττικοὶ τὰ τῶν παθητικῶν χρόνων δεύτερα πρόσωπα, ἀεὶ διὰ διφθόγγου γράφουσιν. ὥσπερ τὸ βούλει, καὶ ὄψει, καὶ οἴει.

Πεύσῃ, ἀντὶ τοῦ ἐρωτήσεις, μαθήσῃ, ἀκούσεις. καὶ πεύσομαι, ἐρωτήσω.

Πεῦσις, ἡ ἐρώτησις, ἢ ἀπόκρισις. ἀπὸ τοῦ πεύθω, τὸ μανθάνω.

Πευσόμενος, ἐρωτήσων. πεύθομαι, παρὰ τοῖς Ποιηταῖς.

Πευστὸς, ὑπήκοος.

Πέφαμαι, σημαίνει δύο. τὸ ἐλέλεγμαι, καὶ τὸ πεφόνευμαι. ἐκ τοῦ φῶ, ὃ σημαίνει τὸ λέγω. καὶ τὸ φονεύω, παράγωγον φημὶ φήσω, πέφαμαι παρακείμενος παθητικός.

Digitized by Google

Πεφάναται, φαίνω, φανῶ, πέφαγκα, πέφηνα, μέσος, πέφασμαι παθητικὸς, πέφανσαι πέφανται, ἰωνικῶς πεφάναται. ὡς σπείρω σπερῶ, ἔσπαρκα ἔσπαρμαι ἔσπαρσαι ἔσπαρται, καὶ ἰωνικῶς τὸ τρίτον τῶν πληθυντικῶν ἐσπάραται. ὁμοίως τῷ ἔφθαρται ἐφθάραται.

Πεφαργμένος, ἀντὶ τοῦ πεφραγμένος.

Πεφασμένος, ἐκ τοῦ φάζειν. πεφασμένον οὐχ ἁπλῶς, ἀντὶ τοῦ εἰρημένον κεῖται παρ' Ὁμήρῳ. πρέπον γὰρ τοῦτό γε, ἀλλὰ ἀποφαντικῶς καὶ μὴ ἐνδοιαστικῶς, ἀλλὰ ἀξιωματικῶς ῥηθησόμενον, ὥς ἐστι πρέπον τῷ βουλευτῇ. καὶ μῦθον πεφασμένον, εὖ λέγει ἀλλαχοῦ ὁ ποιητής.

Πεφασμένον, εἰρημένον, ἢ πεφανερωμένον.

Πεφασμένος, ἀντὶ τοῦ γεγενημένος.

Πεφασμένη, φανερὰ γενομένη.

Πέφαται, φημὶ φήσω πέφηκα, πέφαμαι πέφασαι πέφαται, τὸ τρίτον τῶν πληθυντικῶν πέφανται, ἤγουν πεφανισμέναι εἰσίν.

Πέφαται, λέγεται παρὰ τῷ Ἀπολλωνίῳ, Κυρίων πέφαταί τις. πέφαται ἢ καὶ ἔπειτα πεφήσεται, παρ' Ὁμήρῳ ἐν τῷ ν τῆς Ἰλιάδος. ἀντὶ τοῦ τέθνηκεν, ἢ τεθνήξεται.

Πέφανται, παρ' Ὁμήρῳ, τέλος ὕπατον πέφανται, ἀντὶ τοῦ πέφηνεν. ἀπὸ τοῦ φαίνω φανῶ πέφαγκα, πέφαμμαι πέφανσαι πέφανται, ὥσπερ ἀπὸ τοῦ ξηραίνω ἐξήρανται. πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα, ἐν οἷς καὶ τὸ κατέξανται δέμας παρ' Εὐριπίδῃ, καὶ πέφανται λιμὴν παρὰ Σοφοκλεῖ, καὶ κλεινὸν ἔπος πέφανται.

Πέφανται. ὁμοφωνεῖ μὲν τρίτῳ πληθυντικῷ, ἔστι δὲ ἑνικὸν ἀπὸ τοῦ φαίνω, φυλάσσων τὸ ν, ὡς καὶ τὸ ἐξήρανται χείρ, καὶ κατῄσχυνται ὁ δεῖνα, ἢ μεμίανται, καὶ ὅσα τοιαῦτα. οἷς πᾶσι συμβέβηκεν ὁμοφωνεῖν τοῖς αὐτῶν πληθυντικοῖς τρίτοις προσώποις, διὰ τὸ φυσικῶς ἔχειν ἐγκείμενον τὸ ν ἀμετάβολον.

Πεφάσμεσα, ἐνθυστιῶδες ὁρμῶσα.

Πεφαύλαγεν, ἤμβλυκε.

Πεφαυλισμένον, ἀποδεδοκιμασμένον.

Πεφαῦθαι, φονεύεσθαι καὶ ἀναιρῆσθαι, ὅθεν καὶ φάσγανον.

Πεφείδεσθαι, φείσασθαι.

Πεφενάκισεν, ἠπάτησεν.

Πεφεισμένοι, φειδόμενοι.

Πέφηνα, ἐκ τοῦ φαίνω φανῶ ἔφηνα, μέσος παρακείμενος πέφηνα, ὡς χαίνω χανῶ κέχηνα ἔχηνα, μαίνω μανῶ μέμηνα ἔμηνα, δαίω τὸ καίω, δέδηα καὶ ἔδηα, καίω κέκηα ἔκηα. ἰστέον, ὅτι ἐὰν ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγεται, τρέπεται ἐν τῷ μέσῳ παρακειμένῳ καὶ ἐν τῷ ἐνεργητικῷ ἀορίστῳ τὸ α τοῦ μέλλοντος εἰς η. ἢ πέφηνα, ἀπὸ τοῦ φαίνω τὸ δεικνύω, μέλλων φανῶ, ἀντὶ τοῦ δείξω. πέφαγκα, ἄχρηστος παρακείμενος, ὁ μέσος πέφανα, καὶ τροπῇ τοῦ α εἰς η πέφηνα. καὶ λαμβάνεται εἰς μόνην παθητικὴν σημασίαν, ἀντὶ τοῦ ἐδείχθη, καὶ ἐφανερώθη.

Πέφηνεν, ἐφανερώθη.

Πεφηνὼς, ἕτοιμος, φανερός.

Πεφήσεται. ὁ χρόνος μέν ἐστι μετ' ὀλίγον μέλλοντος, δηλοῖ δὲ τὸ φονευθήσῃ, ἀπὸ τοῦ φῶ φήσω γίνεται, ἀφ' οὗ καὶ τὸ φαύζειν. ὅθεν καὶ τὸ πεφασμένος, καὶ τὸ σφάζειν. φῶ δὲ λέγεται καὶ τὸ φαίνω, ἐξ οὗ καὶ τὸ φῶς. σημαίνει δὲ, καὶ τὸ καίω. ἐξ οὗ φαύζειν, τὸ φρύγειν ἀττικῶς, κατὰ τοὺς παλαιούς. καὶ φῶδες, αἱ ἀπὸ φλογὸς φλυκταίναι. ὧν καὶ ὁ Κωμικὸς μέμνηται, καὶ φώγνυται, τὸ φρύγειν. ὅθεν καὶ ἰσχάδες πεφωγμέναι, τὸ μέντοι ῥηθὲν φαύζειν, ἀπὸ τοῦ φρύγειν τινὲς παράγουσι.

Πεφήσεται, ἀναιρεθήσεται. πεφειδήσεται δὲ, φείσεται.

Πεφιδήσεται, φιδῶ, φιδήσω, πεφίδηκα, πεφίδημαι, πεφίδησαι, πεφίδηται, ὁ μετ' ὀλίγον μέλλων πεφιδήσομαι, σῃ, ται, ἀντὶ τοῦ φείσεται. ἀπὸ τοῦ φείδω, φιδῶ, ὡς πείθω πιθῶ. ἢ μέσος μέλλων, κατὰ διπλασιασμὸν ἰωνικόν.

Πεφιδοίμην, πεφίδοιο, πεφίδοιτο, ἰωνικός ἐστι μέσος ἀόριστος, μέσος δεύτερος τοῦ φείδω ῥήματος. ὁμοίως τῷ πεφιδέσθαι, ἐκ τοῦ φείδω.

Πεφίληκα, καὶ πεφίληκα, καὶ πεφίληκα χωρὶς τοῦ ι, παρακείμενοι ἐκ τοῦ φιλῶ.

Πεφίμωσο, παῦσον, φιμώθητι.

Πεφλάζει, βράζει.

Πεφλοιδὼς ὁ τὸν φλοιὸν ἀποβαλών.

Πεφλοιδέναι, φλυκταινοῦσθαι.

Πέφνειν, κτείνειν.

Πέφνεν, ἀνεῖλεν, ἐφόνευσε.

Πέφνω, στιπαθής. ἐπειδὴ γὰρ διπλασιασμὸν γενόμενος ἐκ δισυλλάβου τοῦ φένω, κατὰ ἀντιστοιχίαν δασέως πεφένω. καὶ συγκοπὴν ἐν τῷ πέφνω.

Πεφοβήατο, φοβῶ φοβήσω, πεφόβηκα, πεφόβημαι, ἐπεφοβοίμην. τὸ τρίτον τῶν πληθυντικῶν ἐπεφόβηντο, καὶ ἰωνικῶς πεφοβήατο.

Πεφοβημένοι, εἰς φυγὴν τετραμμένοι.

Πεφοβῆσθαι, κεκοσμῆσθαι, κομᾶν, δεδοικέναι.

Πεφοινιγμένη, ἡμαγμένη, ἡματωμένη, πεπυρωμένη. ἀπὸ φόνου, ἢ φοίνικος.

Πεφοιτηκότες, παραγενόμενοι.

Πεφόνηκεν, ἐφόνευσε.

Πεφορημένα, ἐνηνεγμένα, πεπληρωμένα, κεχορτασμένα.

Πεφορῦσθαι, μεμιάνθαι, μεμολῦσθαι.

Πεφορυγμένον, κεκαλυμμένον διασάκι τετρόγυον, ποταμοῦ πεφορυγμένον ἀφρῷ.

Πεφράδαται, ἐκ τοῦ φράζω, μέλλων φράσω, παρακείμενος πέφρακα, μέσος πέφραδα, διὰ τοῦ δ. ὁ παθητικὸς πέφρασμαι, σαι, ται. ἰωνικῶς πεφράδαται.

Πέφραδε, ἀντὶ τοῦ εἰπέ. ἢ μέσος παρακείμενός ἐστι τοῦ φράζω, ἢ δεύτερος ἀόριστος φράδε. καὶ κατὰ διπλασιασμὸν, πέφραδε. οἷον, μῦθον πέφραδε πᾶσι.

Πεφρασμένος, παρεσκευασμένος. εἰς τὸ φρασθῆναι προσακτικὴν ἔχων δύναμιν.

Πέφρικα, φρίζω φρίξω, πέφριχα, ὁ μέσος πέφρικα.

Πέφρικαν, ἀντὶ τοῦ πεφρίκασι, καὶ τὰ ὅμοια. χαλδαϊκῆς διαλέκτου. ὡς τὸ ἔχησαν, καὶ εἴποσαν, καὶ τὰ ὅμοια.

Πεφρικυῖαι, ἀντὶ τοῦ ὀρθούμεναι. πᾶν δὲ τὸ φρίσσον, τινὶ φρίσσει τῷ λόγῳ τῶν πρός τι, κατὰ ὁμηρικὴν συνήθειαν. τὸ λήιον, ἀσταχύεσσιν. ὁ κάπρος, τῇ λοφιῇ. ὁ ἄνθρωπος, ταῖς θριξίν. ἡ μάχη, ταῖς ἐγχείαις. ἡ θάλασσα, κύμασιν. οὕτω καὶ αἱ φάλαγγες φρίσσουσι σάκεσί τε καὶ ἔγχεσι.

Πεφρονιματισμένος, οἰήσεως πληρωθείς. ὁ γὰρ κατὰ τὰς μάχας πολλάκις εὐημερῶν, καὶ πεφρονιματισμένος ἐπ' ἀνδρείᾳ.

Πεφρυγμένα, τὰ εἰς τὴν χεῖρα λεπτυνόμενα χίδρα σίτου καὶ κριθῆς.

Πεφυγμένον, ἐκ τοῦ πεφευγμένον γέγονεν, ἀπελθόντος τοῦ ε, διὰ τὸ λειότερον τῆς φωνῆς.

Πεφυγμένος, ἀντὶ τοῦ πεφευγμένος, ἐκ τοῦ φεύγω.

Πεφυγμένον ὄλεθρον, ἐχρῆν εἰπεῖν πεφυμένον εἶναι ὄλεθρον. κατὰ τὸ οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων.

Πεφυγμένον ἄμμε παρ' Ὁμήρῳ, ἤγουν φυγόντας ἡμᾶς, ἐστραμμένως ἔχον συντάξεως, ἤπερ ἐν Ὀδυσσείᾳ, τὸ πεφυγμένον ἦεν ἀέθλων. ὥστε διαφορεῖται ἡ σύνταξις τοῦ πεφυγμένος.

Πεφυζότες, ἀπὸ τοῦ φύζα φυζῶ, φυζήσω πεφύζηκα, πεφυζηκὼς, καὶ συγκοπῇ πεφυζὼς πεφυζότος. καὶ πεφυζότες. ἢ ἐκ τοῦ φύγω, καὶ ἰωνικῶς ἔτρεψε τὸ γ εἰς ζ, καὶ γέγονε φύζω. ὁ μέσος πέφυγα. καὶ κατὰ τὴν αὐτὴν διάλεκτον τροπῇ τοῦ γ εἰς ζ, πέφυζα. ἡ μετοχὴ πεφυζὼς, τος.

Πεφυζότες, δειλιῶντες, λέξις ἀπεστραμμένη τὴν πεζολογίαν. δοκεῖ δὲ ἀπὸ ῥήματος συγκεκόφθαι τοῦ φυζῶ φυζήσω, πεφύζηκα, πεφυζηκώς.

Πέφυκα, τὸ ἐγεννήθην, ἐκ τοῦ φύω, μέλλων φύσω πέφυκα πέφυκεν, ἀντὶ τοῦ φύσιν ἔχει, καὶ ἀντὶ τοῦ ἀναβλαστάνει. παραπεφύκασι τῶν ὄχθαις φυτά. πέφυκεν ἐσθλὸς, ἤγουν ἀγαθὸς ὑπάρχει.

Πεφύκαμεν, ἐσμὲν, ὑπάρχομεν.

Πεφύκει, ἐνεστὼς ἐκ τοῦ πέφυκα παρακειμένου. οὐ παρατατικὸς, παρ' Ἡσιόδῳ ἐν θεογονίᾳ, τὸ ἐπέφυκον.

Πεφυραμένους, μεμιγμένους.

Πεφύρθαι, συγκεχύσθαι, ἐκ τοῦ φύρω.

Πεφυρμένον, ἀντὶ τοῦ μεμιαμμένον, ἐκ τοῦ φύρω καὶ πεφυρμένος, μεμολυσμένος.

Πεφυσιγγωμένοι, πεφυσημένοι. φῦσιγξ δὲ, τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων.

Πεφώραται, πεφανέρωται, εὕρηται.

Πεφωρημένα, ἐληλεγμένα, κατειλημμένα. φωράσαι γὰρ, τὸ θεάσασθαι.

Πεφωσμένος, κεκαυμένος. ἀπὸ τοῦ φώζω.

Πέχαρις, ἔλαφος, Ἀμερίας.

Πέψαι, ἑψῆσαι. ἡδὺν κατασκευάσαι, ἢ πραῦναι.

Πέψις, ἡ ἀρτοποιία.

ΤΟ' Π. ΜΕΤΑ' ΤΟΥ Η.

ΠΗ ἐπίρρημα ἐγκλίνεται, οἷον πῆ ἦλθες, ἐλθὲς πῆ. Ἄλλως.

Πῆ διὰ τοῦ η γραφόμενον παρὰ τοῖς Ῥήτορσιν, ἀεὶ ἀντὶ τοῦ πῶς ἐπεκράτησεν ἐπιρρήματος. παρὰ δὲ τοῖς ποιηταῖς ἐστιν ὅτε καὶ αὐτὸ ἐπὶ κινήσεως λαμβανόμενον. ὡς καὶ παρὰ Σοφοκλεῖ. πᾶ πᾶ γὰρ οὐκ ἔβαν ἐγώ. ὁμοίως καὶ παρ' Εὐριπίδῃ, πᾶ βῶ, πᾶ στῶ, πᾶ κέλσω. σὺν τούτοις λέγεται καὶ τὸ οἷ, καὶ τὸ οὗ. ὧν τὸ μὲν οἷ, ἐπὶ κινήσεως ἀεὶ λαμβάνεται. τὸ δὲ οὗ, ἐπὶ στάσεως, παραπλησίως τῷ ποῖ, καὶ ποῦ, καὶ ὅποι, καὶ ὅπου.

Πῆ, ποῦ. εἰς τίνα τόπον. πῆ δὴ τῶνδε μολοβρὸν ἄγεις, Ὅμηρος.

Πῆ, εἰς τίνα τόπον. πῆ γῆς, εἰς ποῖον τόπον.

Πῆ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν; καὶ τὰ λοιπὰ παρ' Ὁμήρῳ. ἔστι δὲ ὁ λόγος βαρὺς ἅμα καὶ εἰρωνικὸς, ἵνα λέγῃ ὅτι ἐοίκασιν αἱ βουλαὶ ἡμῶν καὶ αἱ σπονδαὶ, καὶ τὰ τοιαῦτα συγκατακαυθῆναι, ὥστε ταῖς τῶν ὅρκων θυσίαις, καὶ ἀπολέσθαι. Σημείωσαι, τὸ γενοίατο ἀντὶ τοῦ ἐγένοντο. σημείωσαι καὶ ὅτι τὸ γενοίατο καὶ τὸ φθίατο ἰωνικά ἐστι, πλεονασμὸν ἔχοντα τοῦ α μετὰ τὴν τοῦ ν ἀπέλευσιν. ὅλως γὰρ τὰ διὰ τοῦ αται καὶ ατο τρίτα παθητικὰ τῶν πληθυντικῶν, ἰωνικοῦ εἰσι σχηματισμοῦ. ὁποῖον καὶ τὸ λελέχαται, καὶ τὸ τετύφαται, καὶ ἐσπάραται. καὶ παρ' Ἡροδότῳ, τὸ ἐσεσάχαται, ἀντὶ τοῦ ὡπλισμένοι ἦσαν. ὡσαύτως καὶ τὰ κατὰ πλεονασμὸν τῆς δα συλλαβῆς, οἷον τὸ ὠνομάδαται, καὶ ἐρηρέδαται, καὶ ἐσκεδάδατο, καὶ ἀγωνίδαται, παρεσκευάδατο, καὶ κατὰ ἀποβολὴν τοῦ ν καὶ διάλυσιν τοῦ παραλήγοντος η εἰς ε καὶ α. οὕτω γοῦν Ἡρόδοτος δίχα πολλῶν ἑτέρων καὶ ἀποκεκλείαται φησι. καὶ ἀρέαται, ἀντὶ τοῦ ἠρῶνται. καὶ ὑμνέαται. καὶ ἐκτέατο, ἀντὶ τοῦ ἐκέκτητο, καὶ ἐτιμέατο. ἃς ὅμοια καὶ ἐν ὀνόμασι παρ' αὐτῷ, τὸ Ἀρισταγόρην, Ἀρισταγόρεα, καὶ Καμβύσεα, καὶ Μιλτιάδεα. ἐν τούτοις γὰρ τὸ η μὲν διαλύεται, ἀπέρχεται δὲ τὸ ἐπαγόμενον ν.

Πηγάδας, κρυώδεις ἡμέρας, παγετούς. Ἡσίοδος, πάχνην ἀλέασθαι καὶ πηγάδας.

Πηγάζει, ἀντλύζει.

Πηγαὶ λέγονται πληθυντικῶς ἐπὶ τῆς ἀρχῆς τῶν ποταμῶν, οὐ πηγή. οἷον αἱ πηγαὶ τοῦ Ἀχελώου, καὶ αἱ πηγαὶ τοῦ Νείλου. καὶ ἐκβολαὶ, αἱ εἰσελάσεις αὐτῶν εἰς τὴν θάλασσαν.

Πηγαὶ τῶν ὀφθαλμῶν, οἱ πρὸς τῇ ῥινὶ κανθοί.

Πηγαὶ, τόπος ἐν Μεγάροις. ὡς ἐν τετάρτῳ τῆς Ἀτθίδος φησὶν Ἑλλάνικος.

Πηγαῖον, τὸ ὄστρακον. ὃ καὶ ἀρδάνιον ὁμοίως λέγεται.

Πηγαῖον ὕδωρ, τὸ προκαθαῖρον τὰ πρὸ τῆς οἰκίας τῶν ἀποπεμπομένων, ὅτε ἐξεκόμιζον.

Πήγανον, εἶδος βοτάνης.

Πηγὰς γάλακτος, πολὺ γάλα. ὡς πηγὰς δακρύων, πολλὰ δάκρυα.

Πήγασος ἵππος ὁ μυθευόμενος, λέγεται γεννηθῆναι τοιῶσδε. σταλεὶς Περσεὺς εἰς τὰς Γοργόνας προστάξει τῆς Ἀθηνᾶς, τὴν μὲν Σθενὼ καὶ Εὐρυάλειαν ἀθανάτους οὔσας, παρέδραμε, καρατομεῖ δὲ τὴν Μέδουσαν. ἐκ τοῦ τραχήλου δὲ ταύτης ὁ Πήγασος ἵππος ἀνέθορεν, ὑπόπτερος ὤν. Χρυσάωρ, ἄνθρωπος χρυσοῦν ἄορ κρατῶν.

Πηγε-

Digitized by Google

Πηγεσίμαλλος, ὁ δασύμαλλος.

Πηγεσιμάλλῳ ἀρνειῷ, δυσπαγεῖ, καὶ δυσβαφεῖ, ἢ μελανομάλλῳ. ὁ γὰρ τοιοῦτος ἀρνειός, ἐν μεγάλῳ λευκῷ ποιμνίῳ διάδηλος. καὶ κῦμα γὰρ πηγόν, τὸ μέλαν. οἱ δὲ πηγεσίμαλλον, τὸ λευκόμαλλόν φασιν. ὡς καὶ Λυκόφρονος πλόκαμον πηγὸν εἰπόντος. σκοπητέον δέ, μή ποτε ἐστὶ ῥῆμα πηγῶ πηγέσω, ἐξ οὗ πηγεσίμαλλος. ἢ τὸ πῆγος. ἐξ οὗ ἂν πηγεσίμαλλος γίνοιτο.

Πηγὴ διαφυγῆς, τὰς νόος λύει λύπας.

Πηγήδιον ἡ μικρὰ πηγή.

Πηγή, ἀνάβλυσις τῆς ὑπὸ γῆν ἀτμίδος, ἥτις ὑπὸ τῆς ἐντὸς ψυχρότητος κατὰ μικρὸν βληθεῖσα, ὅμως τε συνήχθη καὶ ἐξεδόθη.

Πηγνύω πήγνυμι, ὀμνύω ὄμνυμι, ῥηγνύω ῥήγνυμι. τὰ διὰ τοῦ υω ῥήματα, ἔχοντα παράγωγα εἰς μι, ἄχρι παρατατικοῦ κλίνονται.

Πηγὸν κῦμα, ἢ τὸ δυσβαφές, ἢ ζοφόεν, ἢ ζοφέον. ἢ τὸ δυσπαγές. καθ' ὁμοιότητα ὀρεινοῦ πάγου. ὥσπερ καὶ ἵπποι πηγοί, οἱ στερεοί. ἢ τὸ δυσπαγὲς κῦμα, τὸ κατηρεφές. ἢ κῦμα πηγόν, τὸ μέλαν κατά τινα γλῶσσαν. ὅθεν καὶ κριὸς πηγεσίμαλλος.

Πηγός, ὁ δυσβαφὴς καὶ δυσπαγής. σημαίνει καὶ τὸ μέλαν, ἢ τὸ ηὐξημένον.

Πηγοὺς ἵππους, τοὺς δυσπαγεῖς λέγει, καὶ στερεούς. οἱ δὲ παλαιοὶ θέλουσι νοεῖν μέλανας, ὡς τοὺς ὄντας ἀρίστους. τῆς δὲ τοῦ πηγοῦ λέξεως, μνεία κεῖται πηγεσιμάλλῳ.

Πηγυλίς, ἤγουν παγετός, κατὰ τοὺς παλαιούς, ἢ παγετώδης.

Πηγυλὶς αὐτμή, ἡ παγετώδης καὶ ψυχρά.

Πηγῷ, τῷ μέλανι, καὶ δυσβαφεῖ ἀλλαχοῦ, παρὰ δὲ Λυκόφρονι, τῷ λευκῷ.

Πήδαιον, τόπος οὐκ ἐπίσημος περί που τὰ κατὰ Τροίαν. ἔνθα ἔναιεν ὁ καθ' Ὅμηρον ἔμβριος.

Πηδαῖος, πόλις, καὶ ὄνομα κύριον.

Πηδάλια, οἴακες, αὐχένες.

Πηδάλιον, τὸ τῆς μεγάλης νεώς. πλήθριον δέ, ἢ πληθάριον, τὸ τῆς σχεδίας.

Πηδάλιον, ὅτι καὶ ἐφόλκιον λέγεται, δηλοῦσιν οἱ παλαιοί. τὸ αὐτὸ δὲ παρά τισι καὶ αὐχήν. ἔτι δὲ καὶ οἴαξ καὶ πηδάλιον λέγεται.

Πηδαλιουχεῖν, κυβερνᾶν.

Πηδάλιον, πηδός ἐστιν εἶδος δένδρου. οἷον μέγα δ' ἔβραχε πήδινος ἄξων. λέγεται οὖν πηδός, ἡ πλάτη, διὰ τὸ ἐκ πίδου κατασκευάζεσθαι ξύλου.

Πηδᾶν, ἀντὶ τοῦ ὑπερηφανεῖν. οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας πηδᾶν ὅτι λέξει.

Πήδασος, τόπος, ἢ πόλις καὶ ὄρος, καὶ ἔθνος βαρβαρικόν. καὶ κύριον ὄνομα, καὶ ἵππου.

Πηδάω, θρώσκω, ἅλλομαι. πηδῶ ἐπὶ τοῦ ἀγῶνος. πηδῶ δὲ τὴν τάφρον, καὶ ὑπερπηδῶ τὴν δίκην, μεταβατικῶς αἰτιατικῇ. προσπηδῶ δέ σοι, δοτικῇ μεταβατικῶς. πηδῶ, παρὰ τὸ ἥδω, τὸ εὐφραίνομαι. οἱ γὰρ πηδῶντες εὐφραίνονται.

Πήδινος, ἀντὶ τοῦ φήγινος οἱ παλαιοὶ γράφουσιν εἰπόντες, ὅτι πῆδος εἶδος ξύλου. ὅθεν καὶ πηδός, ἡ πλάτη, ὡς ἐκ τοιούτου ξύλου σκευασθεῖσα.

Πηδόν, οὐ πηδάλιον λέγει Ὅμηρος ἐν η΄ τῆς Ὀδυσσείας. οὐ γὰρ ἔχειν δοκοῦσι πηδάλιον αἱ τῶν Φαιάκων νῆες, οἷα κατὰ τὸ ποιητικὸν τέρας αὐτὸ νοοῦσιν, ὅποι πλεύσονται. κώπη δέ ἐστιν, ἄρτι τὸ πηδόν. ἐν δὲ σχολίοις παλαιοῖς εἴρηται, καὶ ὅτι εἶδος ξύλου τὸ πηδόν. δῆλον δὲ ὡς ἐκ τοῦ πηδὸν γίνεται πλεονασμῷ τῆς α συλλαβῆς, τὸ πηδάλιον.

Πηδόν, τὴν κώπην.

Πηδύειν, νάειν, βλύζειν, βρύειν.

Πηδυλίς, πέτρα ἐξ ἧς ὕδωρ ῥέει.

Πηδώνη, ἡ κώπη, ἢ πηδόν.

Πήθων, πίθηκος.

Πῆι, πόκα.

Πηκαλίζειν, ἐμπαίζειν.

Πηκαλισμένος, ὁ ἐμπαιγμένος.

Πήκειν, κυρίως τὸ ξαίνειν. ὅθεν καὶ τὸ πηξάμενοι χερσίν. ἐνίοτε δέ, ἀντὶ τοῦ κείρειν. ὡς τὸ ἡ μὲν ὄϊς πήκειν.

Πηκίων, ἡ κυρία.

Πῆκος, ὁ καὶ Ζεύς, παραδοὺς τὴν τῆς δύσεως ἀρχὴν τῷ ἰδίῳ υἱῷ Ἑρμῇ τελευτᾷ, ζήσας εἴκοσι καὶ ἑκατὸν ἔτη. καὶ τελευτῶν ἐκέλευσεν ἀποτεθῆναι τὸ ἑαυτοῦ σῶμα, ἐν Κρήτῃ τῇ νήσῳ, ἐν ᾧ ἐπιγέγραπται. ἐνθάδε κεῖται θανὼν Πῆκος ὁ Ζεύς. μέμνηνται τοῦ σοφοῦ τούτου πλεῖστοι ἐν τοῖς ἰδίοις συγγράμμασι.

Πηκτὰ δάκρυα, παρὰ τὸ πεπηγέναι, ὡς ἐκ πηγῆς ῥέοντα.

Πηκτὰ δωμάτων, τὰς θύρας λέγει Ἀριστοφάνης. Ὅμηρος, θύρας πυκινῶς ἀραρυίας.

Πηκτή. ἐν ἐπιγράμματι, τῇδε καὶ παφίᾳ πακτὶν, καὶ κηρία σίμβλων ἀνέθηκεν ὁ βουκόλος. καὶ εἶδος ἀκολάστου σχήματος. καὶ πῆκται, θηρευτικὸν ὄργανον παρ' Ἀριστοφάνει.

Πηκτίς, πηκτίδος, πανδουρομάχαιρα κρεωκόπος. παρὰ δὲ Ἀριστοφάνει ἐν Θεσμοφοριαζούσαις, εἶδος ὀργάνου κιθαρῳδικοῦ. τὴν γραῦν ἐρωτᾷς, ἢ φέρειν τὰς πηκτίδας, ἢ εἶδος ἀκολάστου σχήματος. καὶ ἐν ἐπιγράμματι, ἁδὺ μέλος νὴ Πᾶνα τὸν ἀρκάδα πηκτίδι μέλπεις.

Πηκτὸν ἄροτρον, ἢ τὸ δυσπαγές, ἢ στερεόν. ἢ ἄλλως τὸ καθ' Ἡσίοδον ἀντιδιαστέλλεται πρὸς τὸ αὐτόγυον. Ἄλλως.

Πηκτὸν ἄροτρον, τὸ εὐπαγὲς ἢ τὸ πρωτοπαγές, ἢ αὐτόγυον, ὡς παρ' Ὁμήρῳ, ἐν τῷ ν΄ τῆς Ἰλιάδος. ἢ πηκτὸν ἄροτρον, τὸ ἐκ συμβολῆς ἔχον τὸ ἔλυμα. ἔστι δὲ τὸ ἔλυμα, ἐν ᾧ ὁ ὕνις ἐντίθεται. τὸ δὲ ξύλον τὸ ἀπὸ τοῦ ἐλύματος τεῖνον ἐπὶ τοὺς βόας, γύης καλεῖται. τὸ δὲ ἀπὸ τοῦ γύου, ἰσοβοεύς. τοῦ δὲ ζυγοῦ τὰ ἐπὶ τοὺς αὐχένας τῶν βοῶν ἐπιτιθέμενα, οἱ μὲν ζεύγλας, οἱ δὲ μέσσαβα λέγουσι. τοιοῦτον μὲν τὸ πηκτόν, αὐτόγυον δέ ἐστιν, οὗ τινος τὸ ἔλυμα οὐκ ἔστιν ἐκ συμβολῆς. τὴν δὲ κατασκευὴν τῶν ἀρότρων, Ἐρατοσθένης ἐν τῷ ἀρχιτεκτονικῷ καταγράφει.

Πηκτὸς θάνατος, ὁ τοῦ Σαλαμινίου Αἴαντος τοῦ μανέντος, ὃς τῷ ξίφει ἐπιπεσὼν ἀπέθανε.

Πηλάγονες, γέροντες παλαιοί, γηγενεῖς.

Πηλαγονία, μοῖρα Μακεδονίας. τὸ ἐθνικὸν πηλαγών, καὶ ὄνομα Γίγαντος.

Πῆλαι, κραδαίναι, σεῖσαι.

Πηλακισμός, ὁ ἐμπαιγμός.

Πηλαμίς, ἰχθὺς ἐν Πόντῳ, παρὰ τὸ ἐν τῷ πηλῷ μένειν.

Πήλαξ, ῥαγάς.

Πηλεγών, ὀξύνεται. ὡς λεστρυγών, κατὰ τοὺς παλαιοὺς λέγοντας, ὅτι τὰ εἰς γων ὀξυνόμενα τρέπει τὸ ω εἰς ο ἐπὶ γενικῆς, οἷον πηλεγόνες, λεστρυγόνες. καὶ ἀνάπαλιν, τὰ μὴ φυλάσσοντα ἐπὶ γενικῆς τὸ ω, δῆλον ὅτι ἐπ' εὐθείας ὀξύνονται. τὰ δὲ μὴ ὀξυνόμενα, ἢ φυλάσσει τὸ ω, ὡς τὸ φαλάγωνος, αἴγωνος. ἢ διὰ τοῦ ντ κλίνεται, ὡς τὸ οὐκ ἀλέγοντος, τὸ καταπύγων βαρυνόμενόν φασι. καὶ διὰ τοῦ ο κλινόμενον, ἔχει ἀφορμὴν τὴν ἐκ τοῦ ο καταπύγος παρωνυμίαν, ὡς καὶ τὸ ἀπείρων, τὴν ἐκ τοῦ ο ἄπειρος.

Πῆλεν, ἔπαλε.

Πηλεύς, Φῶκον τὸν ἀδελφὸν κατὰ τὴν πατρίδα σὺν Τελαμῶνι δολοφονήσας, φεύγει εἰς Φθίαν πρὸς Εὔρυτον τὸν Ἄκτορος, ἀφ' οὗ καὶ καθαίρεται, ἐκεῖθεν ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου ἐλθών, Εὐρύτῳ ἐντυγχάνει, καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν ὁ Πηλεὺς ἐκ Φθίας φυγών, εἰς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται, καὶ καθαίρεται ὑπ' αὐτοῦ. Ἀστυδάμεια δὲ ἡ γυνὴ ἐρασθεῖσα Πηλέως, καὶ μὴ πείσασα αὐτὸν διὰ σωφροσύνην συνελθεῖν αὐτῇ, καταψεύδεται αὐτοῦ πρὸς Ἄκαστον ὡς ἀποπειραθέντος αὐτῆς. ὁ δὲ κτεῖναι μὲν ὃν καθῆρεν οὐκ ἐβουλήθη, ἄγει δὲ αὐτὸν εἰς θήραν εἰς τὸ Πήλιον. ἀποκοιμηθέντα δὲ αὐτὸν Ἄκαστος καταλιπὼν καὶ τὴν μάχαιραν ὑπὸ τὴν κόπρον τῶν βοῶν κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστάς, καὶ μὴ εὑρὼν τὴν μάχαιραν ἤμελλεν ἀπολλύσθαι καταληφθεὶς ὑπὸ τῶν Κενταύρων. σώζεται δὲ ὑπὸ Χείρωνος, ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας, δίδωσιν αὐτῷ.

Πηλεύς, ὥς φασιν οἱ παλαιοί, παρὰ Χείρωνος ἔμαθε πάλλειν τὸ δόρυ. Ἀχιλλεὺς δὲ αὖθις παρὰ τοῦ πατρός, αὐτὸς δὲ οὐδένα ἐδίδαξε. διὸ αὐτὸς μόνος οἶδε πάλλειν, καὶ οὐδεὶς ὀψίγονος ἀπώνατο, οὐδὲ τῆς τοιαύτης τοῦ Ἀχιλλέως ἀρετῆς, Ὅμηρος λήθην ποιεῖν δυνάμενος λέγων, οὐκ ἄλλος Ἀχαιῶν πάλλειν, ἀλλὰ μὲν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεὺς Πηλιάδα μελίην. πῆλαι, ὅ ἐστι κραδᾶναι.

Πηλεὺς ἐν κυνηγεσίῳ ἄκων ἀνεῖλεν Ἄκτορα τὸν Ἀκάστου υἱόν. ἔπεμψε δὲ Ἀκάστῳ ἄποινα τοῦ φόνου τοῦ παιδός, βόας καὶ πρόβατα, ἃ λύκος διέφθειρεν, ὃν Θέτις ἀπελίθωσεν. ἄλλοι δέ φασι Τελαμῶν καὶ Πηλεὺς τὸν αὐτῶν ἀδελφὸν Φῶκον, υἱὸν δὲ Ψαμάθης τῆς Νηρηίδος ὄντα φθονοῦντες ἀνεῖλον. ἡ γοῦν Ψαμάθη, ἔπεμψε τοῖς βουσὶ τοῦ Πηλέως καὶ τοῖς ποιμνίοις λύκον, ὃς ἐκεῖνα ἐλυμαίνετο. Θέτιδος δὲ δεηθείσης ἀπελίθωσε τοῦτον πάλιν ἡ Ψαμάθη.

Πηλεύς, ἐγένετο σωφρονέστατος. καί ποτε Ἱππολύτης τῆς γυναικὸς Ἀκάστου ἐρασθείσης αὐτοῦ, καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης, ὡς ἄρα ἐπεχείρησε βιάσασθαι αὐτήν, ὁ Ἄκαστος μαθών, καὶ λαβὼν αὐτὸν εἰς ἐρημίαν, τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτόν, καὶ ἀνεχώρησεν εἰπών, εἰ δίκαιος εἶ, σωθήσῃ. ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο ἡφαιστότευκτον διὰ Ἑρμοῦ, καὶ οὕτως ἔφυγε τὸν κίνδυνον.

Πῆλε χερσίν, ἤγουν διεκίνησεν εἰς ἀέρα, ὧδε καὶ ἐκεῖ. ἔχει δὲ ἀπαρέμφατον πῆλαι, καθ' ὁμοιότητα τοῦ σφῆλαι. καὶ τοῦ ἰῆλαι, καὶ τοῦ ἀγῆλαι, ἀντὶ τοῦ τιμῆσαι, παρ' Εὐριπίδῃ. ὥσπερ δὲ πάλλω ἔπηλα, οὕτω καὶ ψάλλω ἔψηλα.

Πηλέως μάχαιραν, τὴν παροιμίαν ταύτην ἀναγράφει. καὶ Ἀριστοφάνης οὕτω, μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ, ἣ ἐδόκει σωφροσύνης γέρας ἡφαιστότευκτος, ἣν εἰλήφει μάχαιραν ὁ Πηλεύς.

Πηληϊάδεω, ἐκ τοῦ Πηλείδου. καὶ διαλύσει τῆς διφθόγγου πηλεΐδου, καὶ τροπῇ τοῦ ε εἰς η, πηληΐδου, καὶ προσθήκῃ τοῦ α πηληϊάδου, καὶ Ἰωνικῶς πηληϊάδεω. καὶ ἔστι παρατήρησις τοιαύτη παλαιά, τὰ εἰς ας καὶ εἰς ης ἰσοσυλλάβως κλινόμενα κοινῶς μὲν καὶ ἀττικῶς εἰς ου τὴν γενικὴν ποιοῦσιν. οἷον ὁ Αἰνείας, τοῦ Αἰνείου. ὁ Πηλείδης, τοῦ Πηλείδου. ὁ Ἀτρείδης, τοῦ Ἀτρείδου. δωρικῶς εἰς α μακρὸν περαίνει τὴν γενικήν, οἷον τοῦ Αἰνεία, τοῦ Πηλείδα, τοῦ Ἀτρείδα. ἰωνικῶς δὲ διὰ τοῦ εω. οἷον αἰνείεω, πηλείδεω, ἀτρείδεω. βοιωτικῶς δὲ διὰ τοῦ αο. οἷον Αἰνείαο, Πηλείδαο, Ἀτρείδαο. μακρᾶς ἐξ ἅπαντος οὔσης τῆς παραληγούσης. καὶ ἰστέον ὅτι αἱ οὕτω χασμώμεναι, ἐν διαλύσει γενικαί, οὐδέποτε τὴν παραλήγουσαν ἰσόχρονον ἔχουσι τῇ ληγούσῃ, ἀλλὰ ἀνομοίαν ἀεί. καὶ ἐὰν μὲν ἡ λήγουσα μακρὰ εἴη, βραχεῖά ἐστιν ἡ παραλήγουσα ὡς ἐπὶ τοῦ αἰνείεω, πηλείδεω, ἑρμείεω. ἐὰν δὲ τὸ λῆγον βραχύνηται, μακρὸν ἔσται τὸ παραλῆγον. ὡς ἐν τῷ αἰνείαο, ἑρμείαο, πηλείδαο. οὕτω καὶ τὸ Πριάμοιο, δένδροιο, καὶ τὰ τοιαῦτα, θετταλικὰ ὄντα κατά τινας ἀνομοιόχρονον τῇ παραληγούσῃ ἔχει τὴν λήγουσαν. διὸ καὶ τὸ ἐμέο, καὶ σέο, καὶ ἕο ἀναλογώτερον ἔχει προσλαβόντα τὸ ι ἐν τῇ παραληγούσῃ καὶ γινόμενα ἐμεῖο, καὶ σεῖο, καὶ εἷο. καὶ ἀνομοίαν ποιήσαντα τῇ ληγούσῃ, τὴν παραλήγουσαν. ἰστέον ὅτι καὶ τὸ α οὐκ ἀεὶ ποιητικῶς πλεονάζει ἐν τοῖς διὰ τοῦ ιδης πατρωνυμικοῖς, ἀλλὰ μόνον ἐξ ἀνάγκης, ὅτε πρὸ τοῦ ι μακρά ἐστι συλλαβή. οἷον Τελαμωνίδης τελαμωνιάδης, Νηληΐδης νηληϊάδης, οὕτω καὶ Πηληϊάδης. ἐὰν γὰρ μὴ πλεονάσῃ ἐν τοῖς τοιούτοις τὸ α, καὶ οὕτως ἀπαρτισθῇ δάκτυλος, οὐ συντελοῦσιν εἰς μέτρον ἡρωϊκόν, διὰ τὸ καταπεραιοῦν εἰς πόδα ἀμφίμακρον. ἀμέλει ἐν τῷ Ἀτρείδης καὶ Πηλείδης οὐ πλεονάζει τὸ α. οὐ χρεία γάρ. καὶ οὕτω μὲν ἐν τούτοις φανερῶς πλεονάζει τὸ α. δῆλος δέ ἐστι κατὰ τοὺς παλαιοὺς ὁ πλεονασμός, ἀπὸ τοῦ μέτρου τῶν συλλαβῶν. τὰ γὰρ ἀπαθῆ πατρωνυμικὰ μή τε συγκοπὴν παθόντα, ἢ συναίρεσιν, μή τε πλεονασ-

Digitized by Google

ομόν, μιᾷ συλλαβῇ πλεονάζει τῷ γενικωτέρως πρωτοτύπου γενικῆς. ἀφ' ἧς ἡ παρωνυμία γίνεται. οἷον ἡ Πηλαμηνιγενικὴ, ἐν ξ' ἐισὶ συλλαβαῖς ἐστὶ, Πριαμίδης δὲ, ἐν τέσσαρσι. ὁμοίως καὶ Νίτορος νεστορίδης, Ἀντέος ἀντεΐδης, Ἕκτορος ἑκτορίδης, Ἀξίου ἀξίδης. παρὰ Πινδάρῳ.

Πήληξ, δῆμός ἐστι τῆς Λεοντίδος πήληκες, ὥς φησι Διόδωρος ὁ περιηγητής.

Πήληξ πήληκος, ἡ περικεφαλαία.

Πηλακίσματα, φενακίσματα.

Πηλιὰς, τὸ δόρυ. πηλιάδα μελίην, ἀπὸ μελίας δένδρου.

Πηλιδνὸν, πελιδνόν.

Πηλίκον, ποταπὸν, διάφορον.

Πηλίκον τὸ μεγέθους δηλωτικόν. καὶ τὸ ἐν ἀμορφίᾳ ὄν. ἴδετε πηλίκοις γράμμασιν ὑμῖν ἔγραψα τῇ ἐμῇ χειρὶ, ὡσεὶ ἔλεγε, καὶ τοῖς μὴ εἰδόσι γράφειν καλῶς.

Πηλίκος ἐστὶ, δίπηχυς, παχὺς, λεπτὸς, ἰσχνός.

Πηλίναις, χοϊκαῖς.

Πήλινος, ἐκ πηλοῦ, χοϊκός.

Πήλιον ὄρος, ὑψηλὸν, εἰνοσίφυλλον.

Πήλιον ἀντίκειται τῇ Ὄσσῃ. ὄρη δὲ ἄμφω. δυσανάβατα περὶ Ὄλυμπον, δι' ὧν ἐκρέει ὁ Πηνειός. ἔστι δὲ καὶ πόλις Θεσσαλίας, καὶ τὸ ἐθνικὸν Πηλιεὺς, καὶ Πηλιώτης. Πήλιον ὄρος. ὅθεν ἐτμήθη τὸ ξύλον. πηλὸς, ἐκ τοῦ πάλλω, ἢ παλάσσω τὸ βρέχω, καὶ μολύνω, γίνεται πηλός, ἡ βεβρεγμένη γῆ. πηλὸς λέγεται καὶ ὁ οἶνος, παρὰ τὸ πάλλειν καὶ σείειν ἡμῶν τὰς φρένας, οἱ γὰρ πίνοντες αὐτὸν, σείονται. ὅθεν κραιπάλη.

Πηλούσιον, ὄνομα τόπου, κλεὶς τῆς Αἰγύπτου καὶ εἰσόδου καὶ ἐξόδου. καὶ Πηλουσιώτης, ἀπολίτης.

Πηλοφορεῖται παρὰ τῷ Ἀριστοφάνει, ὡς χωροτεχνίαι, καὶ μισθωτοί.

* Πηλυγὶς, ἡ ὀρθόπτερον πηγελὶς, ἡ ἐκ τοῦ χρύσου πήξις.

Πήλυξ, ῥαγάς.

* Πήλυξ, ὁ τῆς περικεφαλαίας λόφος, καὶ ὀργανόντι, ψαλτήριον.

Πῆμα, κακὸν, βλάβη, δυστυχία. πῆμα καὶ ὁ κακὸς γείτων.

Πημαίνει, κακοῖ, βλάπτει.

Πημανεῖται, βλάψει, λυπήσει.

Πημανθῶ, βλαβερά.

Πῆμιν, ὅπη μέν.

Πημήνασθαι, βλάψασθαι.

Πημονὴ, ἡ βλάβη.

Πημῶς, πῶς.

Πηναις, ἀτράκτοις, νήμασι, παρὰ τὸ πῆνος τὸ ἐνεργοῦ. πῆνα δὲ τὸ ζῶον, παρὰ τὸ πῆνος, ὃ σημαίνει τὸν ῥύπον.

Πηνέλεως, στρατηγικὸν ὄνομα. παρὰ τὸ πένεσθαι καὶ ἐνεργεῖν περὶ λαόν. ἵνα ᾖ πένω Πηνέλεως, καθάπερ καὶ μένω Μενέλεως. καὶ πάλιν ὥσπερ Μιθώνη μηθώνη. Φέρης φέρητος φηρητιάδης. Ἄδμητος καὶ Ἄμητος, ἔστω καὶ Πηνέλεως πηνέλεων ἀττικῶς. ὁ τῷ κοινῷ ἄχρηστον ἡρωϊκῷ μέτρῳ. ἔγουν τὸ Πηνέλαος. ..ώων δὲ καὶ Ἀρκίλεως.

Πηνέλοψ, ὀρνίθειδος νήσσῃ μὲν ὅμοιον, περιστερᾶς δὲ μέγεθος, μέμνηται δὲ αὐτοῦ Στησίχορος.

Πηνειὸς, ὄνομα ποταμοῦ.

Πηνίκα, μὴ ἄτης ὑπὸ χρόνου. ἐστὶ γὰρ ὥρας δηλωτικόν. οἷον εἰπόντος τινὸς πηνίκα ἀποδημήσεις, ἐὰν εἴπῃς μετὰ δύο καὶ ἕξ ἡμέρας, οὐκ ὀρθῶς. ἐὰν δὲ εἴπῃς ἕωθεν, ἢ περὶ μεσημβρίας ἐρεῖς. ἐὰν δὲ εἴπῃς ἕωθεν, ἢ περὶ μεσημβρίας ὀρθῶς ἐρεῖς. οὕτω γὰρ εὕρηται παρὰ βελτίοσι, ὀρθῶς ἐρεῖς. ὡσαύτως καὶ τὸ πηνικαῦτα, παρὰ τοῖς δοκίμοις. ὡσαύτως καὶ τὸ πηνικαῦτα, καὶ πηνικάδε, καὶ πηνίκα λέγε.

Πλάπων ἐν Κείμων. τὸ πηνικάδε ἀφίξαι ὦ Κρίτων.

Πηνίκη, τὸ κεφαλοδέσμιον. πηνίκη δὲ, ἡ ψὰ τὸ νῦ ψιλόν.

Πηνίκη, περικεφαλαία ξίχων, καὶ περίθετη κόμη. ἔνθεν καὶ πηνικίζειν, τὸ ἀπατᾶν. τῆς δὲ περιθέτης κόμης, τὸ μὲν ἔνζιχον, τὸ δὲ φενάκιον, τὸ δὲ πηνίκην ἐκάλουν.

Πηνίκη, ἀντιδιεταῖτινα τοῖς πλακοῦσι λεγόμενα πήνια, ἐστὶ δὲ λάκκα καὶ προσόμοια τοῖς πηνίοις ὄντας.

Πηνικίζειν, ἀπατᾶν.

Πηνικισμάτων, φενακισμάτων.

Πηνίον, τὸ μίτον.

Πηνίον, ὁ ἄτρακτος ἐν ᾧ εἰλεῖται ἡ κρόκη, καὶ τὸ ξοχαῖς πηνία. ὡς τὸ, κερατοῖς τοῖς δὲ ποτὶ ῥογίας, καὶ σπάθας ἐμβριθεῖς πολυάργυρα. καὶ Ὅμηρος, πηνίον ἐξέλκουσα. ὅθεν καὶ τὸ ἐκπηνιᾶται.

Πηνίον, ζῶον ὅμοιον κώνωπι. Ἀριστοφάνης νεφέλαις, κάσσοθον ὥσπερ πηνίῳ βινυμένῳ, ἀντὶ τοῦ ξηροί. σκώπτει γὰρ τοὺς περὶ Χαιρεφῶντα, ὡς ξηρόσαρκας καὶ ἀσθενεῖς, ὅτι δὲ κώνωπος εἶδός ἐστι, Σαδίσιππος ἐν τῷ δωδεκάτῳ τῶν ὁμοιοτήτων φησὶν οὕτως, πηνίον, ἐμπὶς, κώνωψ.

Πηνίον κατὰ τὸν Πάνα, ὅς ἐστί φασιν ἄριστος ὑφαντικῆς. ἀφ' οὗ καὶ τὸ πανίον, ἡ ἀγοραία λέξις. ἐκ δὲ πηνίκης καὶ τὸ ἐκπηνίζειν παρὰ τῷ Κωμικῷ, καὶ ἡ Πηνελόπη δι' αὐτοῦ. καὶ τὸ χυσοπηνίτον. ἑρμηνεία δὲ τὸ πηνίου μίτον. πηνίον γὰρ τὸ εἰς μίτον χρήσιμον, ὅς δὴ μίτος ὁ αὐτὸς τῷ πηνίῳ.

Πηνίσματα, ὑφάσματα.

Πηνιζόμενον, πηνιζόμενον, ξιβόμενον.

Πῆνος, ὕφασμα.

Πῆξαι, ἐπὶ τῆς τῶν ξύλων ἁρμογῆς λέγεται κυρίως, καταχρηστικῶς δὲ ἐπὶ τοῦ κατασκευάσαι.

Πήσας ὄμματα κατὰ χθονὸς, ὅ ἐστιν ἐρείξας, στηρίσας. τὸ τοῦ βλέμματος ἐμφαίνει καθεστηκός.

Πῆξε θυμὸν, ἐπλήξε τὴν ψυχήν.

Πῆξις, ἡ ἑδραίωσις.

Πῆξον, ἑδραίωσον.

Πηοὶ παρ' Ὁμήρῳ, ὄφρα ἴδης προτερόν τε πόσιν, πηούς τε, φίλους τε. πηοὺς μὲν δοκεῖ λέγειν, τοὺς ἐξ ἀγχιστείας οἰκείους. φίλους δὲ, τοὺς ἀφ' αἵματος.

Πηὸς, ὁ κατ' ἐπιγαμίαν συγγενής. καὶ πηοσύνη, ἡ συγγαμβρεία. καὶ πηῶν, τῶν συγγενῶν.

Πήρα λέγεται, παρὰ τὸ πηρεῖν τὰ βαλλόμενα εἰς αὐτήν. διχῶς δέ φασιν ἡ πήρα. λέγεται γὰρ οὕτως ὃ φέρουσιν οἱ ποιμένες ἐπ' ὤμων. καὶ ἰατρικόν τι ἐγχειρίδιον, καὶ πηρίδιον.

Πήρα, ἡ θήκη τῶν ἄρτων. καὶ παροιμία, πτωχοῦ πήρα οὐ πίμπλαται, ἐπὶ τῶν ἀπλήστων.

Πήραξον, ἀφόδευσον.

Πήρεια, χωρίον Θετταλικόν. ὅπερ τυχὸν ἐλώδες ἦν, καὶ ἀγαθὸν ἵππους τρέφειν. Ἀπόλλων δὲ τὰς Ἀμίλης θρέψειν ἵππους, ὡς νομάς. καὶ θητεύσας φασὶ τῷ Ἀδμήτῳ, ἢ ἐξ ἀνάγκης τοῦ Διὸς δι' ὃ ὁ φονευκὼς τοὺς Κύκλωπας, ὁ τοῖς ἐν Ὀδυσσείᾳ, ἀλλ' ἑτέρους.

Πηρεφονία, περσεφονία, Λάκωνες.

Πηρεῖν, δικασπληκτικόν ἐστι. σημαίνει δὲ τὸν ὄρχιν. ἀπὸ τοῦ πήρω πηρεῖν, καὶ πηρῖν, παρὰ τὸ σπείρειν δι' αὐτοῦ τέκνα.

Πηρῖν πηρῖνος, τὸ αἰδοῖον.

Πήρινα, πηρίνεον. ἐν δὲ τῷ περὶ αἱμορροΐδων καὶ συρίγγων τὴν ἕδραν λέγειν δοκεῖ, ὡς παρὰ τῷ Ἱπποκράτει.

Πήριξ, πέρδιξ, Κρῆτες.

Πηρὸν, ἐστερημένον τῆς φωνῆς. ἢ τὸν παντάπασι μὴ ὁρῶντα.

Πηρὸς, ὁ παθὼν τὴν ὅρασιν. καὶ ὁ παντάπασι μὴ ὁρῶν, ὁ βεβλαμμένος, ὀξυτόνως. Ἀττικοὶ δὲ φασι προπερισπωμένως, ὁμοίως τῷ λῆρος. οὕτω δὲ αὐτοὶ καὶ τὸ μωρὸς μῶρός φασι.

Πηροῖς, βλάπτοις.

Πηρῶ πηρῶ, ὁ μέλλων πηρώσω. ὁ παρακείμενος πεπήρωκα, ὁ παθητικὸς πεπήρωμαι. ἡ μετοχὴ, ὁ πεπηρωμένος. γίνεται τὸ πηρῶ, ἀπὸ τοῦ πηρὸς, ὁ βεβλαμμένος τι μέλος.

Πήρωσις, τύφλωσις, βλάβη, λύπη.

Πήσασθαι, μέμψασθαι.

Πήσσω, τὸ πηγνύω.

Πῆτα, πίτυρα.

Πητῖται, πιτυρίαι ἄρτοι. Λάκωνες.

Πητυκὸς ὁ ποὺς ὁ τυρῶν τὸ γάλα. καὶ παροιμία, αὐτὸς γὰρ εὗρες τὸ κακὸν τὸ πῆτυκον, ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.

Πῆχυ παρ' Ὁμήρῳ, ὅπερ ἐστὶ πῆχυ ἑλών. αὐτὸ μὲν τὸ ἐστὶ πηχελὼν, ἀντὶ τοῦ κρατήσας καὶ θεὶς τὸν ὀϊστὸν ἐπὶ τῷ πήχει τοῦ τόξου, ἔχων τῷ κέρατι, ἔνθα ἡ τοξὴ λάβη. κεῖται δὲ ἡ λέξις καὶ ἐν Ἰλιάδι. οἷον, ὁ δὲ τόξῳ πηχυιάναλως.

Πηχέων, πηχῶν.

Πηχίσκοις, ξυλαρίοις πηχυαίοις. τῶν δὲ τὸν χάρονον ἑλκυσάντων, ἐν τοῖς πηχίσκοις τινὰς ἐμβαλόντας, ἀνάβασιν ἀσφαλῆ ἀπεργάσασθαι.

Πήχυον φορέχοντα. Ἀπολλώνιος, οἱ μὲν μικρὸν ἱματίδιον τὸ σωΐχον τὴν κνήμην πρὸς τὸν σκελμὸν, ὅπερ Ἀττικοὶ πηχυαλεῖα καλοῦσιν. οἱ δὲ ὀπίσω μέρος τῆς κνήμης.

Πῆχυς, πήχεως, τὸ ἀπὸ τοῦ ἀγκῶνος μέχρι τῶν δακτύλων τῆς χειρὸς ἔκταμα. ὁ πῆχυς, ἔχει πόδας δύο. ὁ δὲ πούς, δακτύλους ἑκκαίδεκα.

Πηῶν, φίλων, συγγενῶν.

ΤΟ' Π. ΜΕΤΑ' ΤΟΥ' Ι.

Πιαίνει λέγε, μὴ σιτίζει. οὐ γὰρ ῥητορικὸν πιαίνω, τὸ σιτίζω. πῖον, τὸ λιπαρόν.

Πιαίνων, θεραπεύων, ὑποτρέφων.

* Πίακος, πόλις Σικελίας.

Πιαλέον, πόσιμον, ἢ λιπαρόν.

Πιαλέοις ὄφεσιν, ὡς διψαλέοις. ἰδίως τοῖς κατὰ τὴν Ἱεριχὼ μάλιστα ὑπερηχημένοις. ἐξ ὧν οἱ Ἰατροὶ, ὡς τὰ πολλὰ τὴν θηριακὴν σκευάζουσι.

Πιαλὸν, παράλακον.

Πιανῶ, πιονοποιήσει.

Πιάνη, αὐθυπόσακτον.

Πιανῶ, λιπαρὸν ποιήσω.

Πιαρὶ, τῷ λιπαρῷ.

Πίαρ, παρὰ τὸ πῖον, ὃ σημαίνει τὸ λιπαρόν. ἀπὸ τοῦ πιῶ δὲ, ὅ ἐστιν ὑγραίνεσθαι, γίνεται πῖον ἐξ ἀναδόσεως τῶν σιτίων. παρὰ τὸ πῖον, ὃ σημαίνει τὸ ποτίζω, ὁ μέλλων πίσω. καὶ πιαλία, ἡ κάθυγρος λιβάδα ἔχουσα, ἐκ τοῦ πίω.

* Πιάσαι, ἔθνος πρὸς τῷ πόντῳ.

Πίγγαλος, σαυρὸς, ὁ καλούμενος χαλκίς.

Πιγγαρέδιον, Ἀμερίας γλαυκόν.

Πιγύη, κρικοσό τὸν τυρὸν πηγνύων.

Πίγρης, πίγρητος, ὄνομα τοῦ πηγμοῦ καὶ πίγρητος, ὄνομα τόπου.

Πίδακες, ναγόνες, πηγαί. καὶ κυρίως κατ' αὐτὸ πηγαὶ, ἁλμυροῦ ὕδατος θάσσειν πάσας.

Πιδακίων, πίδαξ, πηγὴ, ἢ ναγών. καὶ ἀπίδαξ χῶρος, ὁ καλὴν πηγὴν ἔχων, πορφυρίαν τὸ βότρυν μέθυ πίδακα πυκνορράγα, ἐν ἐπιγράμματι.

Πιδακοίσσης, καθύγρου.

Πίδαξ, λιβὰς, κρήνη, ἀναβολὴ ὑδάτων, πηγὴ, ἀκραιφνὴ τοῦ ὕδατος.

Πιδηέσσης, καθύγρου, πηγὰς ἐχούσης. πίδαξ γὰρ, ἡ πηγή. ὅθεν καὶ πολυπίδακα, τὴν πολλὰς πηγὰς ἔχουσαν.

Πίδυος, ποταμός.

Πιδύειν, ἀναδιδόναι.

Πιδῶ, δῆμος ἐν Ἰθάκῃ.

Πίε, πίθι.

Πιεζόμενος, βαρυνόμενος, δαμαζόμενος. καὶ πίεζε, ἀντὶ τοῦ λύπει.

Πιέζω, παρὰ τῷ Ποιητῇ διφορεῖται. οὐ μόνον βαρυτονούμενον, ἀλλὰ καὶ περισπώμενον. καὶ ἐστιν ἡ τοῦ περισπωμένου χρῆσις, καὶ παρὰ Πλουτάρχῳ, καὶ ἑτέροις, ὡς τὸ πιέζειν λέγεται.

Πιεῖν, πιῶν.

Πιέζω, πιάζω ὤφελεν εἶναι. τρία μόνα ἐστὶν εἰς ζω δισύλλαβα, τῷ ι παραληγόμενα, ῥίζω, ἴζω, χίζω. οὐδὲν δὲ ὑπερδισύλλαβον τῷ ι παραλήγεται. κατὰ τροπὴν ἂν γίνεται πιέζω. Ἴωνες μὲν ἐν καὶ Ἀττικοὶ, πιέζω λέγουσιν. οἱ δὲ Δωριεῖς, πιάζω.

Πίειρα, λιπαρὰ, ἀδδαίμονα, πλουσία. καὶ πίειρη.

Πιε-

Digitized by Google

Πιερία, ὄρος Θράκης, ἐν ᾧ διέτριβεν Ὀρφεύς.
Πιερία, ὄρος Βοιωτίας, ἐν ᾗ αἱ Μοῦσαι ἐγεννήθησαν.
Πιερίδες, αἱ ἐν Μακεδονίᾳ Μοῦσαι.
Πιέσαι, πιάσαι.
Πιεσθείς, δαμασθείς.
* Πίεσμα, ἐκπίεσμα, ἀπόθλιμμα. τὸ ὑπόλοιπον ἀπόθλιμμα τὸ γεῶδες καὶ σκληρόν.
Πιεστήριον, τὸ ἐκθλίβον.
Πιέστρῳ, τῷ ἐμβρυοθλάστῃ καλουμένῳ, παρὰ τῷ Ἱπποκράτει.
Πιήνασα, λιπαροὺς ἐργασαμένου.
Πιῆλαι, ὠφελῆσαι, αὐξῆσαι.
Πιήεντας, λιπαρά, ἀνθηρά, ψαιστά τε πιήεντα, καὶ ἀθήσαυρον ἔλαιον.
Πίη, αὐθυπόστατον.
Πιθάκνη, ὑποκοριστικῶς ὁ μικρὸς πίθος, ὡς πολίχνη. παρὰ δὲ Ἀριστοφάνει πιθάκναι, οἱ ἔρημοι τόποι. διὰ γὰρ τὸν πόλεμον σπηλαίοις ᾤκουν οἱ ἐκ τῶν ἀγρῶν. οἱ δὲ παλαιοί, φιδάκνην λέγουσι.
Πιθανόν. πιθανὸν ἀξίωμά ἐστι, τὸ ἄγον εἰς συγκατάθεσιν, οἷον εἴ τις τί ἔτικτεν, ἐκείνη ἐκείνου μήτηρ ἐστί. ψεῦδος δὲ τοῦτο. οὐ γὰρ ἡ ὄρνις, ᾠοῦ ἐστι μήτηρ.
Πιθαρχία, τὸ πι, ἰῶτα. ὡς ἴκελον μὲν ἀπὸ τοῦ εἴκω. ἰκέλη δὲ χρυσῇ Ἀφροδίτῃ, ὅτι τὰ ὀνόματα τῶν ῥημάτων βραχύτερα.
Πιθανούς, τοὺς ἀπειθεῖς.
Πιθανολογία, διάλεξις ἀληθής.
Πιθηκισμοῖς, ἀπάταις, καὶ κολακεύμασιν. ἄλλως, μιμήμασι παρὰ τῷ Ἀριστοφάνει. καὶ πιθήκειον βλέμμα, τὸ τοῦ πιθήκου.
Πίθηκος, ἡ μιμώ. πίθηξ δὲ παρά τισιν, ὁ βραχὺς ἀνθρωπίσκος. καὶ ἀποπιθηκίσαι, διαπαῖξαι, ἀπὸ τῶν πιθήκων. φιλοπαιγμονέστατον γὰρ τὸ ζῶον.
Πιθών, πόλις.
Πιθήσας, πιστεύσας.
Πίθι, ἐκ τοῦ πίε κατὰ μεταπλασμόν. ὡς ἐκ τοῦ ἴε ἴθι, ἢ ἀντὶ τοῦ πίε πίθι, κατ᾽ ἔκτασιν τῆς θι συλλαβῆς πίεθι, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ι εἰς ι μακρόν, πῖθι.
Πῖθι ἐλλέβορον, παρὰ τῷ Ἀριστοφάνει. ἐπισημειοῦνται τὴν λέξιν, ὅτι τὸ μὲν πῖθι ἐπὶ φαρμάκου λέγουσι. καὶ λαγὼν ταράξας, πῖθι τὸν θαλάσσιον. τὸ δὲ πίε ἐπὶ τοῦ ποτοῦ. ἐκ δὲ τοῦ ἐλλεβόρου καὶ ἐλλεβοριᾶν, τὸ ἐλλεβόρου δεῖσθαι, ὡς Καλλίας φησί, καὶ ἐλλεβορίζειν.
Πιθοίατο. ἐπὶ τῶν γ᾽ προσώπων τῶν πληθυντικῶν εὐκτικῶν, εἰώθασιν οἱ Αἰολεῖς τὰ ἀμετάβολα τρέπειν εἰς α, πίθοιντο πιθοίατο, δέοιντο δεοίατο.
Πιθοίατο, πάθοιεν.
Πιθοιγία, ἡ τοῦ πίθου ἀνοιγή.
Πιθοίγια, ἑορτὴ Ἀθήνησι.
Πείθομαι, κοινῶς διὰ διφθόγγου ἀεί. ποιητικῶς δέ, διὰ τοῦ ι.
Πίθος, τὸ οἰνηρὸν, ἀγγεῖον.
Πίθος, ὁμωνύμως τῷ ἀγγείῳ, δῆμος τῆς Κεκροπίδος φυλῆς.
Πιθοῦ, περισπᾶται. ἔστι γὰρ δεύτερος ἀόριστος, οὕτως Ἀττικοὶ περισπῶσι, καὶ ἡ χρῆσις ἠκολούθησε τῇ διαλέκτῳ. ἡ γὰρ ἀναλογία βαρύνει. πιθοῦ τίμοι, πρὸς σοῦ γάρ, οὐδ᾽ ἐμοῦ φράσω.
Πιθραύσκεται, φανεροῦται.
Πιθών, ὀξυτόνως, καὶ διὰ τοῦ ι. δεύτερος γάρ ἐστιν ἀόριστος.
Πίκειν, ξαίνειν.
Πικεντῖνοι, ὄνομα ἔθνους.
Πίκεται, κονίζεται.
Πικέριον, τὸ βούτυρον, παρὰ τῷ Ἱπποκράτει.
Πικκαίριον, ῥίζαν τοῦ Ψελλοῦ. σίραιον τὸ ἕψημα πικκαίριον τὴν ῥίζαν.
Πικῆνοι, ὄνομα ἔθνους.
Πικόν, πικρὸν Χαλδαῖοι.
Πικράσι, πικροῖς.
Πικρόν, οἱ μὲν ἀπὸ τῆς πεύκης παράγουσιν, ἀποβολῇ τοῦ ε, καὶ τροπῇ τοῦ δίχρονου εἰς δίχρονον. οἱ δέ, ἀπὸ τοῦ πίκου ἡρωϊκοῦ παλαιοῦ ὀνόματος, τὸ γλυκὺ δηλοῦντος ἵνα ᾖ πικηρόν, καὶ ἐν συγκοπῇ πικρόν.
Πικρὸν κυρίως, ἐπὶ γεύσεως λέγεται. καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ἄλγους τῆς ψυχῆς. ὃ γὰρ ἐπὶ γεύσεως, τοῦτο ἀλγεινόν ἐστι ψυχῆς λέγεται. καὶ πικρόν τι, ὡς πρόξενον πικρίας, οὐχ ὡς πικρὸν αὐτὸ ὄν.
Πικρὸν ὀδμήν, λέγει Ὅμηρος, καὶ Φωκαίων ἀκούσαντος ὀδμή, Ἀττικῶς. καὶ μυρία ἄλλα τοιαῦτα παρεσημειώθη πολλαχοῦ.
Πικρὸν ὀϊστόν, λέγει Ὅμηρος, τὸν πικροποιόν. ἔστι δὲ αὐτοῦ καὶ ὀδύνης ἐπίθετον, ἢ θανάσιμον ὁποῖον ἀλλαχοῦ τὸ τοῦ Ἀπόλλωνος βέλος ἐχεπευκές.
Πικρῶς, κατακόρως, ἀκρατῶς.
Πιλᾶτος, ἀπὸ τοῦ σπίλος, ὃ σημαίνει τὸν ῥύπον, γίνεται σπιλᾶτος, καὶ κατὰ ἀφαίρεσιν τοῦ σ Πιλᾶτος.
Πιλθέντα, πυκνωθέντα.
Πίλημα, περίβολον, περιφερὲς σκέπασμα. ζώνη, καὶ μίτρα.
Πιλήσεσι, πυκνώσεσι, τῶν ἀχθοφόρων ζώων. διὰ τὰς πιλήσεις οὐ δεόντων τὰ πρὸς ἔδαφος παράγειν. καὶ αὖθις, ἐνοδίῃ σοι τόνδε φίλῃ ἀνεθήκατο κόρσης πῖλον.
Πιλίδιον τοῦ Τηλέφου παρὰ τῷ Ἀριστοφάνει, τὸ νῦν καμελαύκιον καλούμενον.
Πιλιπαγμός, ποιά τις φωνή.
Πιλνᾷ παρ᾽ Ἡσιόδῳ, πελάζει ἐμπίπτων.
Πίλνανται οὔδει, ἤτοι πλησιάζουσιν. ὃ γίνεται ἀπὸ τοῦ πέλω, τὸ πελάζω καὶ ἐγγίζω. ὡς γὰρ ἔχω ἴσχω, ὀρέγω ὀριγνῶ, μένω μίμνω, γένω γίγνω, πέτω πίτνω καὶ πίπτω, ῥέπω ῥίπτω, οὕτω καὶ πέλω πιλνῶ καὶ πίλνημι. ἐξ οὗ παθητικὸν τὸ πίλναται, ὡς ἵσταται καὶ πίλνατο, ὡς ἵστατο.
Πιλνόν, φαιόν. Κύπριοι.
Πίλοις, πιλητοῖς, ὃ καὶ πίλημα λέγεται. φοροῦσι δὲ ἐπὶ ταῖς κεφαλαῖς θώρακας πιλητούς, ὧν τὰ κύτη ὑπάρχουσι γέρρα, διὰ τὴν χρηστότητα τῶν πιλημάτων.
Πῖλος, οὐ μόνον δὲ ὁ ἐπὶ τῶν κεφαλῶν ἐπιτιθέμενος οὕτως ἐκαλεῖτο, ἀλλὰ καὶ ὁ παρὰ τοῖς ποσίν. ὡς δηλοῖ Κρατῖνος ἐν μαλακοῖς λέγων, λευκοὺς ὑπὸ ποσὶν ἔχων πίλους. ὁ δὲ Πλάτων ἐν συμποσίῳ, καὶ ἀρνακίδας τοῖς πίλοις προσθέμενοι, ἐνειλιγμένων τοὺς εἰς πίλους τε, καὶ ἀρνακίδας.
Πῖλος, ὁ εἰς ὀξὺ ἀπολήγων. οἱ δέ, σκιάδειον.
Πῖλος, ὑετοῦ ἕνεκα, ἤγουν ἐπὶ κωλύσει ὑετοῦ εὕρηται.
Πιλῶ, τὸ ὁμαλίζω. καὶ πιλωτός.
* Πίλωρος, πόλις περὶ τὸν Ἄθων. τὸ ἐθνικόν, πιλωρίτης.
Πιμελή, πάχος, λιπαρότης. πιμελὴ δέ, καὶ στέαρ διαφέρει. τῷ τὴν πιμελὴν ψυχομένην, ἄπηκτον διαμένειν. τὸ δὲ στέαρ, διαπήσσεσθαι, ὥστε καὶ θρύπτεσθαι. ἡ μὲν οὖν πιμελὴ ἄθραυστος, διὸ καὶ οἱ ζωμοὶ τῶν πιμελωδῶν, οὐ πήσσονται. καθάπερ ὑός, καὶ ἄρκτου, καὶ τῶν ἄλλων. οἱ δὲ τῶν στεατωδῶν, πήσσονται, ὡς βοός, αἰγός, προβάτου.
Πιμενταρίοι, οἱ βοτανολόγοι.
Πίμπλαμαι. πίμπλημι τὸ πληρῶ, ἐκ τοῦ πιμπλῶ, καὶ πιπλάνω, καὶ πιπλάνεται, τὸ πληροῦται.
Πιπλάνεται, ὅμοιον τῷ οἰδάνεται. ἄμφω γὰρ παρῆκται, τὸ μὲν ἐκ τοῦ οἰδῶ, τὸ δὲ ἐκ τοῦ πιμπλῶ, ὡς πρῶ καὶ πλῶ, καὶ διπλασιασμῷ πιπρῶ, ὡς πιπλῶ, καὶ πλεονασμῷ τοῦ ν καὶ παραγωγῇ πίμπρημι, καθὰ καὶ πίμπλημι.
Πίμπλαντο μένεος παρ᾽ Ὁμήρῳ, τὸ πολὺ δηλοῖ τοῦ θυμοῦ. οὐ γὰρ ἁπλῶς ἐχόμενος, ἀλλὰ πίμπλαται μένεος, ἐκ μεταφορᾶς τῶν ὑδροδόχων ἀγγείων, ἃ πίμπλανται ὑγροῦ.
Πίμπλαντο, πλῆμι, ἐκ τοῦ πλῶ, καὶ ἀναδιπλασιασμῷ, καὶ πλεονασμῷ τοῦ μ δι᾽ ὄγκον φωνῆς, πίμπλημι τὸ καίω.
Πιμπλεία, πόλις καὶ κρήνη, καὶ ὄρος Μακεδονίας, ἧς μέμνηται Καλλίμαχος ἐν ὕμνοις.
Πίμπλημι προστακτικόν, ἀντὶ τοῦ πίμπλα, Δωρικῶς.
Πίμπλημι, ποιητικῶς. πιμπλῶ, κοινῶς. ἐμπιπλῶ χωρὶς τοῦ μ, διὰ τὸ κακόφωνον, ἐνεπίμπλων παρατατικός, μετὰ τοῦ μ ἐμπλήσω μέλλων ἐνέπλησα ἀόριστος, ἐνέπλησα ἀόριστος, παθητικὸς ἐνεστὼς πίμπλαμαι, καὶ ἐμπίμπλαμαι, ἀπὸ τοῦ πίμπλημι ἀχρήστου. ἀφ᾽ οὗ πίμπλασο, ἐπὶ τοῦ παρατατικοῦ, ἐμπλησθήσομαι μέλλων, ἢ ἐμπεπλήσομαι ἐνεπλήσθην ἀόριστος, ἐμπέπλησμαι παρακείμενος. καὶ ἐμπιπρῶ ὁμοίως κατὰ πάντα τούτῳ ἔχει. ἐμπιπρῶ ἐνεστώς, ἐνεπίμπρων παρατατικός, ἐμπρήσω μέλλων, ἐνέπρησα ἀόριστος, παθητικὸς ἐνεστὼς ἐμπίπραμαι, ἐνεπιμπράμην παρατατικός, ἐμπρισθήσομαι μέλλων, ἢ ἐμπεπρήσομαι, ἐνεπρήσθην ἀόριστος, ἐμπέπρισμαι παρακείμενος.
Πιμπλιάς, χωρίον κατὰ Πιερίαν. οἱ δὲ ὄρος Θράκης. οἱ δὲ κρήνην καὶ κώμην τῆς Πιερίας.
Πίμπρασθαι, πίμπραται πρησθαί ὀφθοί, ὀφθαλμῶν τὰ μέλανα. Ἠλεῖοι.
Πίμπραται, καίεται, ἐμπυρίζεται.
Πίνα, εἶδος ἰχθύος, καὶ ὀστεῶδες κογχύλιον.
Πίνακες, ἐν α τῆς Ὀδυσσείας, τὰ ἐπὶ τραπέζης ξύλινα σκεύη. ἀλλαχοῦ δέ, καὶ αἱ σανίδες οὕτω λέγονται, ἃς τινες νεῶν πίνακας ἀπειρο- τὰς ἐρεῖ. λέγει δέ τις καὶ ὁ Κωμικός, πινακηδὸν ἀποτῶν, ὅτι δίκην σανίδων. ἰστέον δέ ὅτι Ὅμηρος μὲν πίνακας οἶδε λέγειν καὶ κάνεα. οἱ δὲ ὕστερον, καὶ τρυβλία. ἕτεροι δέ, καὶ ὀξύβαφα.
Πίνακες, τὰ ἀγγεῖα ἐν οἷς ἐσθίομεν. καὶ αἱ διὰ σανίδων εἰκόνες. πινάκια, καὶ οἷς ἐνεγράφοντο, τὰ κατὰ τῶν εἰσαγγελλομένων ἐγκλήματα, καὶ ἐν οἷς τὰ δικαστήρια ἐγράφοντο, καὶ αἱ ἀρχαί. ἃ καὶ ἐλάμβανον οἱ λαχόντες δικάζειν, ἢ ἄρχειν. κρειῶν πίνακας, πρὸς διαστολὴν κεῖται τοὺς πίνακας σίτου, καὶ τῶν σιτίων, ἐν οἷς καὶ οἴνου πίνακες λέγοιντο ἄν, καὶ μᾶλλον τοῦτο κυρίως, δοκεῖ γὰρ ἐκ τοῦ πίνειν παρῆχθαι ὁ πίναξ.
Πινακηδόν, πινακηδὸν ἀποτῶν, ὥσπερ πίνακας ἀπὸ πλοίων. πίνακες δέ, αἱ μεγάλαι σανίδες τῶν πλοίων.
Πινακίδες, αἱ μεγάλαι σανίδες τῶν πλοίων. δίκην σανίδων τῶν ἐκ νεὼς ἀποσπωμένων ἐν τρικυμίᾳ.
Πινάκιον, πυξίον. οἱ δὲ ἄρχοντες περὶ μέσας νύκτας ἔφερον τὸ ἀπὸ τοῦ στρατηγοῦ πινάκιον.
Πινακίοις, ἔθος ἦν τοὺς ταξιάρχους διὰ κήρυκος ἀπαγγέλλειν τοῖς ἑαυτῶν στρατιώταις τὰ δεδογμένα, οἷον ποῦ δεῖ πορεύεσθαι, καὶ πόσων ἡμερῶν δεῖ σιτία προνοεῖσθαι. Ἀριστοφάνης ὄρνισι.
Πινάκια, τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρονόμων. ἔοικε δὲ ταῦτα εἶναι χαλκᾶ, ὡς ὑποσημαίνει Δημοσθένης ἐν τῷ περὶ ὀνόματος. ἐν δὲ τοῖς φιλιππικοῖς, ὅταν λέγῃ ὁ Ῥήτωρ, μικρὸν ὦ Ἀθηναῖοι, μικρὸν πινάκιον. τυχὸν πινάκιον λέγει, ἐν ᾧ ἐγγράφεται τὰ ἐγκλήματα, τὰ κατὰ τῶν εἰσαγγελλομένων.
Πινακίδιον, δέλτος, πιττάκιον, χαρτάριον.
Πινακοπώλης, ὁ ὀρνεοπώλης, ὅτι τὰ λιπαρὰ τῶν ὀρνέων ἐπὶ πινάκων τιθέντες, ἐπώλουν. ἢ πίναξ, εἶδος ὀρνέου.
Πίναξ, σανὶς ἐζωγραφημένη.
Πιναρά, εὐτελῆ, ῥυπαρά, ταπεινά.
Πιναρός, καὶ πινώδης, ὁ ῥυπαρός, παρὰ τὸ πῖνος, ὃ σημαίνει τὸν ῥύπον. τοῦτο παρὰ τὸ σπῖνος, ἀποβολῇ τοῦ σ. τοῦτο παρὰ τὸ σπίλος, τροπῇ τοῦ λ εἰς ν.
* Πίναρα, πόλις μεγίστη, ὑπερκειμένη τῷ Κράγῳ ὄρει τῆς Κιλικίας.
Πίνια, τὰ κίνναβα.
Πιννοτήρης, ὁ πιννοφύλαξ λεγόμενος. πίννα δέ, εἶδος ὀστρέου.
Πῖνος. ὁ δὲ ἦν καὶ λέγειν ἱκανός, οὐ τοὺς νεωτέρους ἐκμιμησάμενος σοφιστάς, ἀλλὰ πρὸς τὸν ἀρχαῖον πῖνον τῆς λογογραφίας ἁμιλλώμενος, Δαμάσκιός φησι.
Πινύεσσα, ῥυποῦσα, αὐχμῶσα. ὡς τὰ θυμοβορῆς ἀρετᾶς, μύρομαι ἐζαμένα ἀπλόκαμος, πινύεσσα διὰ κρίσιν, ὅτι Πελασγῶν οὐκ ἀρετὰ νικᾶν ἔλαχεν, ἀλλὰ δόλος.
Πινύσκω, πινυτὸν ποιῶ, σωφρονῶ.

Πινυ-

Πινυτὰ φρένας ἵκει παρ' Ὁμήρῳ, ἀντὶ τοῦ φρόνησις. καὶ ὅρα, ὡς λέγεται πινυτὴ Πηνελόπη, τουτέστι μετέχουσα φρονήσεως. νῦν δὲ πινυτὴ, αὐτὴ ἡ φρόνησις.

Πινυτὸς, ὁ φρόνιμος. καὶ πινυτόφρονος, ἐμμελὴς, συνετὸς, ἕνεκεν ἀμαθίης, πινυτόφρονος, ἣν ὁ μειλιχὸς ἤσκησε μουσῶν, ἄμμιγα καὶ χαρίτων.

Πίνω τοῦ ὕδατος, καὶ ἀρύομαι, ὅταν αὐτοῦ μέρος πίνω. ὅταν δὲ ὅλον πίῃ τὶς τὸ ὕδωρ, συντάσσεται αἰτιατικῇ. πίνει τὶς, ὅταν ἔτι πίνῃ. ἐκπίνει δὲ, ὅταν ἐκπληρᾷ τὸ ἔκπωμα. ὡς τὸ, ἐξέπιε τὴν κύλικα, πίνω, πίομαι, ἔπιον.

Πινῶ, τὸ ῥυπῶ.

Πίοι οἴνοιο, Ἀττικῶς ἐῤῥέθη. ἄλλως γὰρ πίνειν αἰτιατικῇ συντάσσεται. ἴσως δὲ καὶ οὐδὲ ἔμελλε τὸν ὅλον ἐκπιεῖν οἶνον, ἀλλά τι μέρος αὐτοῦ, ὡς εἰώθασι ποιεῖν οἱ προπίνοντες.

Πίομαι, καὶ πιόμενος, καὶ πίδι ἢ πιοῦμαι καὶ πιούμενος, καὶ πίε λέγεται.

Πιόμενα, ποτιζόμενα.

Πίονα, ὄργανα τὰ γεωργικὰ κατ' ἐξοχὴν, τὰ ἡμᾶς πιαίνοντα.

Πίονα νηὸν λέγει Ὅμηρος, τὸν πιαινόμενον λιπαροῖς θύμασι.

Πίονα χῶρον λέγει Ἡσίοδος, λιπαρὰν γῆν, εὐδαίμονα, καὶ εὔξαφη.

Πίονες, στεατῖται, πλακοῦντες.

Πίονι δημῷ, τουτέστι λίπει, ὅπερ ὅμοιον ἔχει νῦν τῷ καπνῷ τε κνίσσῃ ἐκάλυψε. δημῷ δὲ ἀρνῶν, καὶ ἐρίφων. τοιαῦτα γὰρ Νύμφαις ἐθύοντο ὡς θαλεραῖς, ὥσπερ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ', εἴ ποτ' Ὀδυσσεὺς ὔμμιν ἐπὶ μηρία ἧκε, καλύψας πίονι δημῷ.

Πῖον καὶ πῖαρ, τὸ λιπαρόν.

* Πῖον, οὐ μόνον τὸ λιπαρὸν, ἀλλὰ καὶ τὸ γλυκὺ, καὶ ὅλως τὸ ἐν τοῖς κατὰ φύσιν ἔχουσιν ἡδύ.

Πίονος, λιπαροῦ, ἀγρίου, εὐτραφοῦς, πλουσίου, μεγάλου.

Πῖος, εὐσεβής.

Πιόταιον, συγκοπὴν ἔπαθεν ἐκ τεσσαρασυλλάβου, τὸ πῖον πίονος πιονώτατος. καὶ πιόταιος ἄνεμος, θρεπτικὸς, αὐξητικὸς, ὡς ἐν ἐπιγράμμασι.

Πιοῦμαι, σὺν τῷ ῡ λέγων, οὐκ ὀρθῶς ἐρεῖς. πίομαι γάρ ἐστι τὸ ἀρχαῖον. καὶ πιόμενος ἄνευ τοῦ ῡ. Δίων δὲ ὁ φιλόσοφος σὺν τῷ ῡ λέγων ἁμαρτάνει.

Πιπαλὶς, ἡ παρά τισι χαλκίς. παρὰ δὲ ἐνίοις, σαύρα.

Πιπάλων, κραδαίνων, πάλλων.

Πίπαν, τὸν ἀκριβῆ τοξότην.

Πιπίζουσι, κατὰ μίμησιν τῶν ὀρνέων πεποίηται ἡ λέξις. λέγεται δὲ καὶ τὸ ποτίζειν πιππίζειν.

* Πίσκω, ποτίζω.

Πιφαῦσαι, φυσῶσαι, Ἀπολλώνιος.

Πιφάσκω ἐνεστὼς, ἐπίφασκον παρατατικὸς, φράσω μέλλον, πέφρακα παρακείμενος, πιφάσκομαι ἐνεστὼς, ἐπιφασκόμην παρατατικὸς, πέφρασμαι παρακείμενος, πέφρασαι, πέφραται, πεφράσθαι, πεφράσομαι μέλλων καὶ φραδήσομαι, ἐφράσθην ἀόριστος.

Πίπτω, πεσοῦμαι, ἔπεσον, πέπτωκα. πίπτω ἀμεταβάτως, καὶ πίπτω εἰς γῆν. ἐκπίπτω δὲ τῆς ἀρχῆς, γενικῇ. καὶ ἀναπίπτω, τὸ ἀναπίπτειν ποιῶ. πιτνῶ, τὸ πίπτω. Εὐριπίδης, αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πιτνεῖ, ἤγουν ἔπεσεν. ἐφονεύθη.

Πίπτουσι, φονεύονται.

Πιπὼ, ὄρνεον θαλάσσιον ὑπερετίς.

Πιρεσία, χώρα ἢ πόλις, ἧς ἐγγὺς ἦν τὸ φυλλεῖον ὄρος.

Πιρίσσας, ἐλέφας.

Πίσαι, ποτίσαι.

Πισάκιον, περισόμιον.

Πισάκνα, πιθάκνη.

Πίσεα, λέγει ὁ Ποιητὴς, τοὺς ὑγροὺς τόπους καὶ δυναμένους πίσαι, τουτέστι ποτίσαι. οὗ ἡ χρῆσις παρὰ Πινδάρῳ. οἱ δὲ παλαιοὶ ἑρμηνεύουσιν οὕτω πίσεα, ἕλη, πεδία, λειμῶνες, ποτίστραι. οἱ δὲ αὐτοὶ λέγουσιν, ὅτι καὶ Εὔπολις ἐν δήμοις πῖσα φησίν, ἀντὶ τοῦ ποτιεῖ. ἐξ οὗ καὶ πίστρα, ἡ ποτίστρα. καὶ πιστὸν, τὸ πινόμενον, οὗ χρῆσις παρ' Αἰσχύλῳ εἰπόντι φάρμακα τὰ μὲν χριστὰ, τὰ δὲ πιστά. ἡ πίσεα, τοὺς συμφύτους, ἢ ἐλώδεις καὶ πηλώδεις τόπους σημαίνει. ἢ πίσεα, τόπος δυνάμενος πίσαι, ὅ ἐστι ποτίσαι. καὶ διὰ τοῦτο ποιήεις, ἤτοι βοτανώδης. ὡς γὰρ μύω μύσω μῦσος, εἰς ὃ μύομεν μὴ ἐμβλέπειν ἀνεσχόμενοι, ἢ πρὸς ὃ τὰ χείλη λύομεν, οὐ προσφωνοῦντες, οὕτω πίω πίσω πῖσος. τοῦ δὲ πίω χρῆσις παρὰ Πινδάρῳ, ἐξ αὐτοῦ καὶ Πίσα πόλις, καὶ πίσα πηγὴ, ὡς ἂν εἴποι τὶς ποτίστρα. καὶ πιστὰ παρ' Αἰσχύλῳ φάρμακα, τὰ πινόμενα.

Πισῦσαι, πιτυρίνοι ἄρτοι.

* Πισιδία. οἱ πισίδαι, πρότερον σόλυμοι, ἀπὸ Σολύμου τοῦ Διὸς καὶ Χαλδήνης, ἔστι δὲ ἔθνος βάρβαρον κατοικοῦν περὶ τὴν Ἀσπένδαν.

Πισμὸς, πιστὴρ, ποτίστρα, ληνός.

Πίσον, εἶδος ὀσπρίου.

Πίσορ, πίθον. Λάκωνες.

Πισὸς, παρὰ τὸ πτίσαι, τὸ καθαίρειν, πτισὸς καὶ πισός.

Πίσσα, ὄνομα πόλεως, καὶ ἡ ἄσφαλτος. οἱ μὲν ἀπὸ πίσσης τινὸς ὠνομάσθαι, ἢ ὅτι κάθυγρός ἐστιν ὁ τόπος, καὶ πολύυδρος ἔχουσα. πίση δὲ τὰ τοιαῦτα λέγουσιν οἱ παλαιοί. ὡς Ὅμηρος, καὶ καὶ πίσεα ποιήεντα, ἀντὶ τοῦ τοὺς καθύγρους τόπους.

Πίσσα ὠνόμασται ἀπὸ τῆς Πίσσης τῆς Ἐνδυμίωνος θυγατρός. ἔνιοι δὲ ὑποσυγχέουσι τὴν Πίσαν, καὶ Ἦλιν οὐκ ὀρθῶς. διέστηκε γὰρ ἀπ' ἀλλήλων τὰ χωρία σταδίων πεντήκοντα.

Πισσᾶται, οἱ τὴν λευκὴν ἔχοντες λέπραν.

Πισσοκωνίας, Ἡρόδοτος πισσοκωνίαν εἶπε, διὰ τὸ τὰ πρόβατα πίσσῃ χρίεσθαι.

Πίσταν, πιστῆρα Πόλις οὕτως εἶπε.

Πιστεύω τῷδε, καὶ ἀπιστῶ ὁμοίως τῷδε. πιστεύω τῷ Θεῷ, καὶ εἰς τὸν Θεόν. καὶ πιστεύω τινὶ, ὅταν ὡς ἀληθῆ λέγοντα αὐτὸν δέχομαι. καὶ πιστεύω σοι τόδε, ἀντὶ τοῦ θαῤῥῶ σοι, ἀφ' οὗ τὸ θάῤῥος, ἡ πίστις. πιστεύω καὶ πέποιθα, καὶ θαῤῥῶ καὶ θαρσῶ, καὶ θάῤῥος καὶ θάρσος. πεποίθησις δὲ οὐκ ἔτι, ἀλλὰ πίστις, καὶ πεποιθέναι.

Πιστὴν γνώμην, βεβαίαν.

Πιστὴρ, ληνός.

Πιστήριον, ποτιστήριον. πίσαι γὰρ τὸ ποτίσαι. καὶ πίστραι, αἱ ποτίστραι.

Πίστις ἐστὶν, ἀδήλων ἀβασάνιστος συγκατάθεσις, ὡς ἔλεγχος βλεπομένων. γνῶσις δὲ κατειλημμένων περίεργος συγκατάθεσις, ὡς ὁρωμένων ἔλεγχος. πίστις ἐστὶν ἀπραγμων συνάθεσις, ὁμολογία ψυχῆς εὐσεβοῦς, ἀπερίεργος λόγος εὐσεβείας, κατὰ τῆς ἀσεβείας φερόμενος. πειθὼ ἀπερίεργος τοῦ πιστεύοντος περὶ τὸ πιστευόμενον, ἀποδείξεως κρείττων, ἢ ὁ τὴν πνευματικὴν ἀναγέννησιν εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος εἰληφώς.

Πίστις, ἁπλῆ λογισμῶν, καὶ ἀπερίεργος συγκατάθεσις, ἡ ἐνδιάθετος ὕπαρξις. πίστις δὲ εἴρηται, κατὰ τὸ πείθεσθαι εἴς τι. διττῶς δὲ νοεῖται ἡ ὀρθὴ πίστις. ἔστι γὰρ πίστις ἐξ ἀκοῆς τοῦ κηρύγματος. καὶ ἔστι βεβαιοτέρα πίστις, ἡ τῶν ἐλπιζομένων ἀγαθῶν. καὶ τὴν μὲν ἐξ ἀκοῆς πάντες ἄνθρωποι ἔχειν δύνανται, τὴν δὲ δευτέραν οἱ δίκαιοι μόνοι.

Πίστις ἐστὶ, πρόληψις ἑκούσιος. θεοσεβείας συγκατάθεσις, ἡ ἑκούσιος, ἡ ὑπόληψις εὐγνώμων προκαταλήψεως. ἄλλοι δὲ ἀφανοῦς πράγματος ἑνωτικὴν συγκατάθεσιν ἀπέδωκαν εἶναι τὴν πίστιν, ὥσπερ ἀμέλει τὴν ἀπόδειξιν ἀγνοουμένου πράγματος φανερὰν συγκατάθεσιν.

Πιστὸς, ὁ εὐσεβής.

Πιστὸς, ἀντὶ τοῦ ἀληθής.

Πίστρα σημαίνει τὴν ποτίστραν, καὶ γίνεται παρὰ τὸν πίσω μέλλοντα.

Πιστωθῆτον παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ πίστιν λάβοιτε, πιστεύσοιτε.

Πιστώσαντο, ἤγουν πίστιν ἐποίησαν. Ὅμηρος χεῖράς τ' ἀλλήλων λαβέτην καὶ πιστώσαντο. πιστώσεως γὰρ δηλωτικὸν, τῶν δεξιῶν χειρῶν ἡ συμβολή.

Πιστωσάμενος, πίστεις καὶ συνθήκας ποιησάμενος. τὸν δὲ ὁ Σωσίβιος διὰ πλειόνων λόγων πιστωσάμενος, καὶ παρασκευάσας εὔνουν ἑαυτῷ.

Πιστώσαντες αὐτὸν τοῖς ὅρκοις, ἀντὶ τοῦ ὅρκον ἐξ αὐτοῦ λαβόντες. ὅταν γὰρ λέγωμεν πιστῶσε ὅρκῳ, ἀντὶ τοῦ ὅρκον ἐκ σοῦ λαμβάνω. καὶ πιστοῦμαί σε ὅρκῳ, ἀντὶ τοῦ ὅρκον σοι δίδωμι.

Πιστώσαντο, ἀντὶ τοῦ πιστὰ ἐποίησαν, παρ' Ὁμήρῳ.

Πίσυα, πίτυρα. Ἀχαιοί.

Πισύγγιον, σκυτίον.

Πίσυνος, οὐκ ἔχει θηλυκὸν ἡ πισυνὴ, οὐδὲ ἡ θαρσυνὴ τοῦ θάρσυνος. φασὶ δὲ καὶ ὅτι τὰ διὰ τοῦ συνη θηλυκὰ, οὐκ ἐπίθετα εἰσὶ τῷ ποιητῇ, ἀλλὰ οἷον κυρίων σημαντικὰ πραγμάτων καὶ ἐνεργημάτων τινῶν, ὁποῖον τὸ κερδοσύνη, δρηστοσύνη, παλαισμοσύνη, καὶ πλαγκτοσύνη, τοξοσύνη, βροτοσύνη. ὅμοιον δὲ καὶ τὸ ἀφροσύνη, πραγμάτων κατηγορικὰ, καὶ παθημάτων δηλωτικά.

Πίσυνος, Συρακουσίων γλώσσης ἐστὶ, ἀπὸ τοῦ πείθω πείσω γίνεται, ἐκβολῇ τοῦ ε τῆς διφθόγγου, καὶ τὸν θάρσυνον, καὶ πεποιθότα δηλοῖ.

Πίσυνος, πεπιστευκὸς, τεθαῤῥηκώς.

Πίσυρα, ἀγγεῖα.

Πίσυρες, ἀντὶ τοῦ τέσσαρες, κατὰ τὴν κοινωνίαν τοῦ τ πρὸς τὸ π, καὶ τοῦ ε πρὸς τὸ ι, καὶ τοῦ α εἰς τὸ υ, οἷον τέσσαρες, καὶ πίσυρες.

Πιτθεὺς, πιτθέως. δῆμος τῆς Κεκροπίδος, ὁ πιτθίς.

Πιτανάτης στρατὸς ὁ τῶν Ἑλλήνων, ἤτοι ἀνδρεῖος, ἢ διὰ τὸν Μενέλαον, ὃς ἦν πιτανάτης, οὗ χάριν ἐστράτευσαν. ἔστι δὲ ἡ πιτάνη φυλή.

Πιτίμια, τὰς ἀξίας τιμωρίας, πιτίμιά φασι.

Πιτνὰς, ἐκτείνων τίμια φασί.

Πίτνα, ἐκ τοῦ πέτω γίνεται. ὑφ' οὗ καὶ τὸ πίπτειν σημαίνεται, καὶ τὸ πέτεσθαι. ἰστέον γὰρ, ὅτε τὸ πέτω προσλήψει τοῦ π πρὸ τοῦ τ, τὸ πίπτειν ποιεῖ. παραλαβὸν δὲ τὸ ν μετὰ τοῦ τ, τὸ πιτνᾷν ἀποτελεῖ.

Πιτνῶ, προσπελάζω, διαῤῥήσω.

Πίτται. τόν τε πίτταν τῶν βαλανείων ἐξαιροῦνται, καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας, ἐς τὸ ἀρχαῖόν τε καθισαμένους πάντα, ὅθεν παλαίστραι τε ἀνήβησαν, καὶ σπουδαὶ καὶ τὰ φιλίτια ἐπανῆλθε, καὶ ἐγένετο ἡ Λακεδαίμων ἑαυτῇ ὁμοία.

Πιττάκειον, μετουσιαστικὸν τὸ τοῦ πιττακοῦ. καὶ Σίμων φησὶν ἄνδρ' ἀγαθὸν ἀλαθέα γενέσθαι, χαλεπὸν τὸ πιττάκειον. εἴρηκε γὰρ ὁ Πιττακὸς, χαλεπὸν ἐσθλὸν ἔμμεναι.

Πιττάλακος. καλύψω δὲ νέους ἄφρονι πιττάλακῳ.

Πιττοῦν κυρίως, τὸ τὰς ναῦς πίσσῃ χρίειν, ἢ τὰ διεῤῥωγότα τῶν ἀγγείων, ἵνα μὴ τὸ ἐντὸς ὑγρὸν ἐκρέῃ, ἐκ μεταφορᾶς οὖν τούτου μετήνεγκεν ὁ Ἀριστοφάνης τὴν λέξιν, ἐπὶ τοῦ συνουσιάζειν. ἱκανὸν γὰρ αὐτὴν πρότερον ἐπίττουν χρόνον.

Πίτυα ἐξέτεινε. καὶ πιτυμένων τὰ σκέλη, ἀλειφομένων.

Πιτυάνη, ἀσκὸς μικρός. πιτυάνη εἰμί. αὕτη παρ' Ἀλκαίῳ κεῖται. λέγεται δὲ καὶ κατὰ τῶν πυκναῖς συμφοραῖς χρωμένων, ἅμα καὶ εὐπραξίαις, παρόσον καὶ τῇ πιτάνῃ τοιαῦτα συνέβη πράγματα. ὧν καὶ Ἑλλάνικος μέμνηται. φησὶ γὰρ αὐτὴν ὑπὸ Πελασγῶν ἀνδραποδισθῆναι. καὶ πάλιν ὑπὸ Ἐρετριέων ἐλευθερωθῆναι.

Πιτύα. Λάμψακος τὸ πρότερον πιτύα προσηγορεύετο, ἣν τινες πιτύαν ὀνομάζουσι. τινὲς δέ φασιν, ὅτι Φρίξος γενόμενος ἐνταῦθα, θησαυρὸν ἔθηκε, καὶ ἀπὸ τούτου ἡ πόλις ὠνομάσθη. Θρᾶκες γὰρ τὸν θησαυρὸν, πιτύην λέγουσι. μνημονεύει δὲ αὐτῆς Ὅμηρος.

Πιτύϊνα, ὁ καρπὸς τῆς πίτυος.

Πιτυλίαις, ταῖς καταφοραῖς τῶν τειχέων.

Πιτύλοις, ψόφοις ὑδάτων.

Πίτυλος, κτυπητὴς, φαντασιοσκόπος.

Πιτυλεύσας, πίτυλος καλεῖται, ἡ καταβολὴ τῆς κώπης, καὶ κτυπητὴς φαντασιοσκόπος. καὶ πιτυλίζω ῥῆμα. ὡς τὸ, οἷόν ἐστιν ἰχθύων γένεσιν ἰδεῖν ἐν κολύμβοις πιτυλίζουσαν, τοῖς ἑψητοῖσι δὲ τοῖς ἰχθυδίοις. Ἀριστοφάνης.

Πίτυ-

Digitized by Google

Πίτυλος, ὀρνιθάριόν τι ἄγριον. ἡ συστροφὴ τῆς χειρὸς, ὅταν πικρῶς ἐπιφέρηται.

Πιτύλους, οἱ ἀλεῖπται τὰς ἐν πυκνάδι καταβολὰς τῶν πληγῶν. οἱ δὲ ναυτικοὶ, τὸ προσχέλλειν μὲ ἐλάσαι.

Πιτυὼν, κνῆκος, ὁ τὸν τυρὸν πηγνύων.

Πίτυρα, τὰ τῶν σίτων, ἢ κριθῶν φλοιά.

Πίτυρις, ἡ θλαστὴ ἐλαία.

Πίτυς, δένδρον ἐμφερὲς πεύκῃ.

Πιφαλὶς, πίφιγξ.

Πιφάσκεσθαι, τὸ φαίνειν καὶ ἐνδείκνυσθαι. οἷον πιφάσκεο φλόγα πολλήν. καὶ γίνεται ἐκ τοῦ φάω τὸ λάμπω, φάσκω, καὶ ἀναδιπλασιασμῷ καὶ πλεονασμῷ τοῦ υ πιφαύσκω. σημαίνει καὶ τὸ λέγειν.

Πιφάσκεο, ὅ ἐστιν ὡς καὶ προεδηλώθη, ἐπιδείκνυσο, καὶ φαῖνε.

Πιφάσκομαι, τὸ φάσκω.

Πιφάσκεται, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ λέγειν κεῖται. οὕτω καὶ ἐν τῷ πιφάσκομαι ἠδ' ἀγορεύω. δηλοῖ καὶ τὸ δεικνύειν, ὡς τὸ πιφασκόμενος τὰ ἃ μῆλα.

Πιφασκόμενος, πεζολογοῦντι ἄχρηστον. δηλοῖ δὲ οὐ μόνον τὸ λέγων, ὡς ἀπὸ τοῦ φῶ τὸ λέγω, ἀλλὰ καὶ τὸ ἐπιδεικνύμενος, ἐκ τοῦ φῶ τοῦ φαίνω, ἐξ οὗ φάσκω, καὶ ἀναδιπλασιασμῷ καὶ ἐπενθέσει τοῦ υ πιφαύσκω.

Πιφάσκω, ἐμφανίζω, φανεροποιῶ.

Πιφάσκων Διομήδεϊ δίῳ, τουτέστι δηλῶν.

Πιφασκόμενος, μαντευόμενος. Ὅμηρος, μνηστῆρσι δὲ μάλιστα πιφασκόμενος τάδε εἴρω.

Πίφιξ, εἶδος ὀρνέου, παρὰ τὸ πίω. χαίρει γὰρ τὸ ὄρνεον τοῦτο τοῖς ὕδασι.

Πίχειρον, ἀνταπόδοσις.

Πίχνος, βραχεῖον μέτρον.

Πίω, καὶ πίνω λέγομεν.

Πίων, σημαίνει τὸν λιπαρόν. ἔστι πίω, ἐξ οὗ καὶ πιῶ, ὁ δεύτερος ἀόριστος ἔπιον. λοιπὸν ἐκ τοῦ πίω γίνεται ὄνομα πίων. ὁ γὰρ λιπαρὸς πιότητα ἔχοι αὐτοῦ. πιότης γάρ τὸ ὑγραίνεσθαι τῇ ἀναδόσει τῶν σιτίων. οἱ δὲ παρὰ τὴν πόαν, τὸ πι μακρόν. κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ων δισύλλαβα τῷ ι παραληγόμενα, μὴ ὄντα κύρια, ἐκτείνει αὐτὸ, οἷον κίων.

ΤΟ Π. ΜΕΤΑ ΤΟΥ Λ.

Πλαγὰν, πληγήν. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ, πολλὰς δ' ἀντήρεις ᾔσθου στέρνων πλαγὰς αἱμασσομένων, θρηνοῦσα γὰρ ἡ Ἠλέκτρα, ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον.

Πλάγγας, τὰς συμπληγάδας πέτρας.

Πλαγγόνιον, μύρον τι παρὰ Ἀθηναίοις.

Πλαγγόνων, τὰ κηράκια θρυπτόμενα παρὰ ταῖς τίτθαις, σωμύλλεσθαι καὶ λέγειν, περὶ κρόκης καὶ στημόνων καὶ πλαγγόνων, ἐάσωμεν.

Πλαγγὼν, κήρινόν τι χοροκόσμιον, σφαῖρα, καλαθίς. καὶ πλαγγόνες, κεκρύφαλοι.

Πλαγία, φάλαγξ, ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον.

Πλαγιάσαι, παραλογίσασθαι, πλανῆσαι.

Πλαγίως, δολίως, βεβαίως, ἀσφαλῶς.

Πλαγκὸν, ἀνόητον τὰς φρένας, βεβλαμμένον, πλανώμενον.

Πλαίσιον, τετράγωνος στάσις στρατεύματος. καὶ τὸ ἐκ ξύλων τετραγώνων πῆγμα. ὅ τινες πλινθίον καλοῦσιν, ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παραταξηταί τις, ἑτερομήκει σχήματι.

Πλαγκταὶ πέτραι, ἐν τῷ πορθμῷ εἰσιν, ὡς Τίμαιος καὶ Πεισίστρατος ὁ λιπαραῖος λέγουσιν, Ἀπολλώνιος τὰς κυανέας λέγει.

Πλαγκτὲ, ἀντὶ τοῦ ἔμπληκτε, παραπλὴξ, ἢ πλαζόμενε τὴν διάνοιαν, οὐ μὴν σταθηρέ.

Πλαγχθέντες, πληγέντες, πλανηθέντες.

Πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός. ἀπεκρούσθη ἀπὸ τοῦ σιδήρου. παρὰ τὸ πλάζω πλάζομαι πλάχθη.

Πλάγχθη, ἀπὸ τοῦ πλάζω, πλάξω, πέπλαχα, πέπλαγμαι, ἐπλάχθην, πλεονασμῷ τοῦ γ ἐπλάγχθη. τὸ δὲ πλάζω ἐκ τοῦ πλανῶ πλανάζω, καὶ συγκοπῇ πλάζω.

Πλάγχθη, ἀπὸ τοῦ πλάζω γενόμενον πλεονασμὸν ἔπαθε τοῦ ν, διὰ καλλιφωνίαν καὶ ὀγκον ἦχου. ὡς καὶ ἐπὶ τῆς ἐμφάσεως ἐγένετο, καὶ ἐπὶ τοῦ ἄμβροτος καὶ τερσίμβροτος, καὶ τύμπανον, καὶ πίμπλημι, καὶ χίμπτω καὶ φαεσίμβροτος λίγξε βιός. καὶ ἐπὶ τοῦ λαγχάνω, καὶ λέλογχε, καὶ φυγγάνω, θιγγάνω, ἐρυγγάνω, τυγχάνω. ἑρμηνεία δὲ τοῦ πλάζειν κοινῇ διαλέκτῳ τὸ πλανᾶν, ὃ κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ ἄλη γίνεται, προσθέσει στοιχείων τοῦ π καὶ λ.

Πλαδαρὸν, τὸ δίυγρον.

Πλαδαρώτερος, ἐκλυτώτερος, καὶ τὰ ὅμοια.

Πλαδήωσα, σεσημμένη.

Πλαδιᾶν, παραφρονεῖν, πολεμεῖν, πλησιάζειν.

Πλαδιῇ, ματαΐζει, σοβαρεύεται.

Πλαδόωσαν ἄρουραν, ἄνυγρον ἔτι οὖσαν. καὶ πλαδαρὸν, τὸν χαῦνον.

* Πλάδος, ἡ περιττὴ, καὶ ὑπὲρ τὸ κατὰ φύσιν ἐγγινομένη ὑγρότης.

Πλαδόω, τὸ σήπομαι, τοῦ ψελοῦ.

Πλάζομαι, βαρέως εἴρηται ἀντὶ τοῦ ἔρχομαι, ὡς παρ' Ὁμήρῳ πρὸς τὸ, τίς οὕτως ἀνὰ στρατὸν ἔρχεται. ἄλλως γὰρ οὐ πλανᾶται ὁ Βασιλεὺς, εἰδὼς ὅποι ἔρχεται οὕτως. Ὀδυσσεὺς λέγει τῷ Νέστορι, τί ποτε ἀνὰ στρατὸν ἀλᾶσθε. ἰστέον δὲ, ὅτι τοῦ πλάζεσθαι, πρωτότυπόν ἐστι, τὸ πλῶ, καθὰ τοῦ χάζω τὸ χῶ, καὶ τοῦ βάζω, τὸ βῶ. αὐτὸ τὸ πλῶ συγκέκοπται ἀπὸ τοῦ πολῶ τὸ ἀναστρέφομαι, ὃ δὴ τοῖς πλαζομένοις παρέπεται.

Πλάζοντος, ἀποπλανῶντος τοῦ δέους τὰς ὄψεις.

Πλάζω, ἐνίοτε κεῖται ἀντὶ τοῦ πλανῶ, τοῦ ἐγρηγορέναι, ἢ τοῦ φρονεῖν, ἢ τῆς κατὰ φύσιν ἐνεργείας. καὶ πλάζουσι παρ' Ὁμήρῳ, ἀποπλανῶσι τοῦ σκοποῦ.

Πλαθάναι, ἐν αἷς διαπλάττουσι τοὺς ἄρτους.

Πλάθανον, εἶδος ἀγγείου τινὸς, ἐν ᾧ σκευάζουσι τὰ πόπανα Δωριεῖς.

Πλάθειν, πελάζειν. πλάθειν, παρὰ Σοφοκλεῖ, ἐκ τοῦ πλῶ τὸ πελάζω γίνεται, ἐξ οὗ ἴσως ἡ πλαθάνη, ἡ παρὰ τῷ Κωμικῷ.

Πλάθειν, πλησιάζειν.

Πλάθεται, παραγίνεται, προσπελάζει.

Πλάθος, πλῆθος.

Πλαίσια, τὰ τῶν ξύλων τετράγωνα. πλαίσιον γὰρ πλινθίον τετράγωνον. Ἀφθόνιος, καὶ τὸ σχῆμα πλαίσιον τυγχάνει τοῦ μηχανήματος.

Πλαίτερ, πέτραι. οἱ δὲ πάστερ.

Πλάκα ἡλιακὴν, τὴν ἀνατολικὴν γῆν, ἢ τὴν ἡλιακήν. πλάκα καὶ τὴν ὅλην χώραν, καὶ τὴν κοινήν, ἢ τὴν γῆν.

Πλάκας, δέλτους.

Πλακάτην, ἐριουργικὸν ἐργαλεῖον.

Πλακερῷ ζωστῆρι, ἀντὶ τοῦ πλατεῖ. πλακὸν, τὸ πλατὺ, παρὰ Θεοκρίτῳ.

Πλακιεῖδαι, δῆμος τῆς Ἀττικῆς. ἔνθα ῥαφανίδες μεγάλαι γίνονται.

Πλακία, χώρα παρὰ τὴν Θρᾴκην, εἰς ἣν, ἀποικίαν ἔπεμψαν Ἀθηναῖοι.

Πλακίησιν, ἁμαρτίαις.

Πλακὶς, κλινίδιον κατεσκευασμένον ἐξ ἀνθῶν, τῇ ἑορτῇ τῶν παναθηναίων.

Πλακόεις πλακοῦς, πλακόεντος πλακοῦντος, πλακόεντι πλακοῦντι, πλακόεντα πλακοῦντα, ὦ πλακόεν πλακοῦ. ὁμοίως κλίνεται Σιμόεις σιμοῦς, σιμόεντος σιμοῦντος, σιμόεντι σιμοῦντι, σιμόεντα σιμοῦντα, ὦ σιμόεν σιμοῦ.

Πλάκος, ὄρος τῆς Λικίας. τινὲς δὲ, Πλακούσιον λέγουσι.

Πλακοῦς, πλάκας ἐκάλουν πάντα τὰ εἰς πλάτος ἐκτεταμένα. ὅθεν πλακόεις, καὶ ἀττικῇ συναιρέσει πλακοῦς.

Πλακοῦς, ἐκτὸς τοῦ πέμματος, καὶ ὁ σπερματικὸς τύπος τῆς ἡμέρας μαλάχης.

Πλακτὴρ, τὸ τοῦ ἀλεκτρυόνος πλῆκτρον.

Πλᾶκτρον, πλάνημα, πλῆθος, ἢ τὸ πλέκτρον.

Πλάκτος, παράφρων πεπλανημένος.

Πλὰν, ἀντὶ τοῦ πλὴν, λέγουσι Δωριεῖς.

Πλάνα, τριακάς.

Πλανᾶσθαι λέγεται, τὰ μὴ τεταγμένην ὁδὸν ἐρχόμενα, ἀλλὰ ἐνίοτε μὲν ταύτην, ἐνίοτε δὲ ταύτην.

Πάνεται, καθαίρεται, ἢ ὑβρίζεται.

Πλάνη, ἡ τοῦ σκοποῦ ἀποτεύξις.

Πλάνητες, ὀνόματα ἀστέρων, παρὰ φιλοσόφοις πλανῆται. γράφεται ἡ εὐθεῖα, ὁ πλανήτης.

Πλανήτης, ξένος. καὶ πλανῆται, οἱ τῇδε κἀκεῖσε περινοστοῦντες.

Πλανὶς, τὸ τῆς νύμφης χρυσοῦν διάδημα.

Πλάνων, ἄφρων, ἄνους, καὶ ἡ πλατεῖα πέτρα.

Πλανύττομεν, πλανώμεθα, παρὰ τῷ Ἀριστοφάνει, Ἀττικῶς δὲ περιῆκται.

Πλανῶ, ἀποπλανῶ, ἀποβουκολῶ. πλανάομαι, πλανῶμαι.

Πλὰξ, ἐπὶ τῆς γῆς, καὶ μέρος, καὶ τὰ μεμαζωμένα, καὶ τὸ διπλοῦν, καὶ ἡ πλατεῖα πέτρα. ἢ πλάκας, τῆς κοιλίας, καὶ ἡ γαστήρ.

Πλαριᾶν, μίγνυσθαι.

Πλάσμα, τὸ ψεῦδος, σημαίνει καὶ ἔργον τύπου καὶ εἴδους καὶ διαμορφώσεως.

Πλάσις, ἀνάμιξις, ἐκτύπωμα, μάλθαξις.

Πλησιστίος ἄνεμος, ὁ πληρῶν καὶ γεμίζων τὰ ἱστία ἄρμενα.

Πλαστὰ, προσπελαστά.

Πλασαρεύοντες, πλάσσοντες.

Πλάστης, καὶ πλάσις, καὶ πλάσμα, ἐκ τοῦ πλάττω παράγεται.

Πλάστιγξ, τὸ κατηρτημένον τοῦ ζυγοῦ μέρος, ᾧ ἐπιτίθεται τὰ ζυγά.

Πλαταγὴ, εἶδος ὀργάνου ἦχον καὶ ψόφον ἀποτελοῦντος. ὁ δὲ πλαταγὴν χαλκευσάμενος, ἐπλατάγει.

Πλαταγὴν ὀξυτόνως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου. σημαίνει δὲ τὸν κρόταλον. φασὶν αὐτὴν ἡφαιστότευκτον οὖσαν, Ἡρακλεῖ παρὰ τῆς Ἀθηνᾶς δοθῆναι. ὁ δὲ Ἑλλάνικός φησιν αὐτὸν κατασκευάσαι.

Πλάστιγξ, τὸ κοῖλον τοῦ κοττάβου καὶ τοῦ ζυγοῦ.

Πλαστὶς, ὄνομα μελίσσης.

Πλαστοῖς, ψευδέσι.

Πλαστουργὸς, ποιητὴς, πλάστης.

Πλάστρα, ἐνώτια, καὶ Θεῶν τόποι.

Πλαταγώνιον, τὸ μηδέν. κυρίως δὲ, τὸ τῆς μήκωνος φύλλον, καὶ τὸ τῆς ἀνεμώνης. ἀπὸ τοῦ πλατάσσειν, ἤγουν ἠχεῖν. τιθέντες γὰρ αὐτὸ κατὰ τὸν ἀντίχειρα, καὶ τὸν λιχανὸν δάκτυλον, τύπτουσι τῇ ἑτέρᾳ χειρί. καὶ οὕτω σημαίνονται εἰ ἀγαπῶνται ἀπὸ τῶν ἐρωμένων. ὥσπερ ἀπὸ τοῦ τῆς πλαταγῶνος ψόφου, εἰ ἄψοφος ἀντικρουσθείς.

Πλαταγὴ, κρόταλον χαλκοῦν, ἄλλοτε πλατείην πλαταγὴν ἐνὶ χερσὶ τινάσσων.

Πλαταγωνήσας, ἀποληκυθίσας, καὶ ψοφήσας.

Πλαταγώνιον, τὸ τῆς μήκωνος καὶ τῆς ἀνεμώνης φύλλον.

* Πλάται, αἱ ὠμοπλάται.

Πλάται, καὶ πληθυντικῶς δὲ αἱ Πλαταιαὶ, πολὺς ὁ τῆς πόλεως ταύτης λόγος, τά τε ἄλλα, καὶ τάφους φασὶ καὶ τρόπαια ἔχειν ἀγαθῶν ἀνδρῶν, τῶν τὴν Ἑλλάδα ἐλευθερωσάντων, καὶ τὸ βασίλειον στράτευμα δουλωσάντων. ὁ δὲ πολίτης αὐτῆς Πλαταιεὺς, οὗ αἰτιατικὴ ἑνικὴ τὸν πλαταιᾶ, ὡς πειραιᾶ, πληθυντικὴ εὐθεῖα οἱ πλαταιεῖς, αἰτιατικὴ τοὺς πλαταιεῖς, καὶ πλαταιᾶς. ὁ δὲ Γεωγράφος φησὶ πλάταια, ἀπὸ τῆς πλάτης τῶν κωπῶν. καὶ πλαταιεῖς, οἱ ἀπὸ κωπηλασίας ζῶντες. πλαταιαὶ μεταξὺ Κιθαιρῶνος, καὶ Θηβῶν ἐν ὁδῷ τῇ εἰς Ἀθήνας καὶ Μέγαρα. παραρρεῖ δ' αὐτὰς Ἀσωπὸς, ἔνθα Μαρδόνιον καὶ τὰς τριάκοντα μυριάδας Περσῶν Ἕλληνες ῥίψαντες, ἱδρύσαντο ἐλευθερίου Διὸς ἱερόν. καὶ τοὺς ἐν μάχῃ τελευτήσαντας δημοσίᾳ θάψαντες, ἀγῶνα γυμνικὸν στεφανίτην ἀπέδειξαν, τὰ ἐλευθέρια.

Πλαταιεὺς, καὶ πλαταιέα ναῦς, καὶ Πλαταιεῖς ἐθνικόν.

Πλάταιον, τὸ ἔκπωμα.

Πλαταμὼν, ἔφαλος πέτρα λεία, παρὰ τῷ Ἱπποκράτει. * περὶ ἣν πλατοῦνται τὰ κύματα.

Πλαταμῶνος, ὄνομα ποταμοῦ, καὶ ὁ αἰγιαλός. καὶ λέγεται μὲν ἁπλῶς ἐπὶ γῆς πλάτους, πλαταμών. κυρίως δὲ, ἐπὶ θαλάσσης ἐχούσης καὶ πέτρας ὑποκειμένας.

Πλάταν, πλοῖον.

Digitized by Google

Πλατάνιστος, ὄνομα παρώνυμον. τὸ γὰρ πλατάνιστος καὶ πρώτιστος, τῇ μὲν φωνῇ εἰσιν ὑπερθετικά. τῷ δὲ σημαινομένῳ καὶ τῷ χαρακτῆρι, ἀντὶ ἁπλῶν εἰσι. καὶ εἰσι παρώνυμα. γίνεται δὲ ἐκ τοῦ πλάτους. λέγεται γὰρ εἶναι αὐτὴν πλατύφυλλον.

Πλάτανον, ἥτοι κατὰ παραγωγὴν πλατάνιστον καλὴν λέγει Ὅμηρος, ὡς ἂν εἴπῃ τις ἀηδῆ. τοιοῦτον γὰρ τὸ φυτὸν ἄκαρπον μὲν, καλὸν δὲ τοῖς σκιατραφουμένοις. διὸ καὶ τὸν Ξέρξην πλατάνου ἔχειν ἐραστὴν, ἣν καὶ κοσμήσας νυμφικῶς ἐνηγλαΐζετο ὑπὸ ταύτης σκιατραφούμενος, ὅτε ἦγεν ἐκεχειρίαν. χαίρει δὲ ὕδατι τὸ φυτὸν, καὶ ὡς οἱ παλαιοὶ, διυδατίζεσθαι θέλει. διὸ καὶ μεγεθυνομένη διὰ τὸ πλατὺ καὶ ἀνώφορον αὐτῆς, πλάτανος λέγεται.

Πλατέα, τὰ ἐν πλάτει νεμόμενα, μεγάλα.

Πλατεῖα, κόσμος τίς.

Πλατειαδάοντες, οἱ γυμναζόμενοι τοῖς ἐφήβοις.

Πλατεῖαι, οἱ καρποὶ τῶν χειρῶν.

Πλατείαις, ῥύμαις, ἀγοραῖς.

Πλατεινὴ, ἔνθα πλατυνέεται τὰ κύματα, παρὰ τῷ Ἱπποκράτει.

Πλάτη, κώπη. πλάτη, καὶ εἶδος πλοίου, καὶ ἡ θάλασσα.

Πλαταγῆσαι, τὸ πλατείᾳ τῇ χειρὶ παῖξαι.

Πλάτιγξ, τῆς κώπης τὸ ἄκρον, ᾧ πλήσσεται τὸ ὕδωρ.

Πλατὶ γυναικῶν, τὴν ἄθροισιν. πλατὶς, ἡ γυνὴ ἡ ἄπιστος, κλὼψ, σύνοδος, ἄθροισμα.

Πλάτιδι, τῇ γυναικὶ, παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην. Ἀριστοφάνης, καὶ τοῖσι παιδίοισι, καὶ τῇ πλάτιδι.

Πλατίζειν, ἀλαζονεύεσθαι.

Πλατίστακος, οἰκεῖον αἰδοίων, καὶ ἰχθύς ποιός.

Πλατωρία, θυσία. Λίνδιοι.

Πλάτος, παρὰ τὸ πλῶ τὸ πληρῶ. ἢ παρὰ τὸ πολὺ πεπτᾶσθαι, ἢ παρὰ τοῦ πολὺς καὶ τὸ ἄτος, ὃ σημαίνει τὸ εὖρος.

Πλάττειν λέγεται τὸ κατασκευάζειν ἀγάλματα, ἢ σκεύη τινά. ὅθεν καὶ πλάσται, αἱ τοιοῦτοι χειροτέχναι, ὡς ἀνδριαντοποιοί, οἱ διὰ χαλκοῦ καὶ σιδήρου δημιουργοῦντες. ὁμοίως ἱερογλύπται, οἱ τὰ ἱερὰ γλύφειν ἐπιστάμενοι. πλάττειν δὲ καὶ πλάττεσθαι ἐπὶ ἐνεργείας, διαφόρων μὲν τῶν σημαινομένων. πλάττειν μὲν γὰρ λαμβάνεται παρ᾽ Ἀττικοῖς τετραχῶς. πλάττειν λέγεται καὶ τὸ διαπλάττειν καὶ ῥυθμίζειν, ἀφ᾽ οὗ καὶ πλάσις παρὰ τῷ Θεολόγῳ, τὴν καλὴν πλάσιν, ὃ καὶ διαπλάττεσθαι παρ᾽ αὐτῷ λέγεται. καὶ πλάττουσιν αἱ μαῖαι τὰ βρέφη. πλάττειν, τὸ ποιεῖν καὶ δημιουργεῖν, καὶ συντιθέναι. οἷον πλάττει τὶς λόγους, ἢ ἐπιστολὰς, ἀντὶ τοῦ δημιουργεῖ. πλάττειν καὶ τὸ συμπλάττειν, ἤτοι σοφίζεσθαι καὶ ψεύδεσθαι καὶ τὰ μὴ ὄντα συντιθέναι. καθ᾽ ὃ δὴ, καὶ τὸ συμπλάττειν λέγεται, ἀντὶ τοῦ τὰ ψευδῆ συντιθέναι καὶ τεχνάζεσθαι. πλάττεσθαι δὲ δηλοῖ, τὸ ὑποκρίνεσθαι καὶ σχηματίζεσθαι, οἷον πλάττεταί τις δικαιοσύνην, ἀντὶ τοῦ πλάττεταί τις δίκαιος εἶναι, καὶ ἀντὶ τοῦ ὑποκρίνεται, ὡς καὶ Δημοσθένης, καὶ πλασσάμενος σχῆμα τραγικόν. πλάσσει κεράμιον κεραμεὺς, καὶ λόγους ψευδόμενος.

Πλάττω καὶ πλάσσω, μέλλων πλάσω, παρακείμενος πέπλακα, παθητικὸς πέπλασμαι, μετοχὴ πεπλασμένος.

Πλάττω, δημιουργῶ, δρῶ, πράττω, ἐργάζομαι, ἐνεργῶ, ποιῶ, ταῦτα πάντα δραστικά.

Πλατυγίζει, τοῖς πτεροῖς κρούει. πλατυγίζειν καὶ θαλαττοκοπεῖς, ἄμφω μεγαλορρημοσύνης ῥήματα, ἀντὶ τοῦ πλατύνῃ, καὶ ἀλαζονεύῃ, ἀπὸ τοῦ πλατυτέρου μέρους τῆς κώπης. ὃ τῇ θαλάττῃ μᾶλλον προσερείδει καὶ τύπτον τὸ ὕδωρ, τῇ εἰρεσίᾳ κτύπον ἀπεργάζεται, ἡ μεταφορά. κυρίως δὲ πλατυγίζειν ἐστὶ, τὸ ἐπιτιθέναι τὸ πλαταγώνιον τῇ ἀριστερᾷ χειρὶ, καὶ παίειν τῇ δεξιᾷ, καὶ ἦχον ἀποτελεῖν.

Πλατὺ, μέγα, εὐρὺ, ἁλμυρόν.

Πλατυάδοισαι ἅπαντα παρὰ Θεοκρίτῳ, ἤγουν δωριάζουσαι πάντα. οἱ γὰρ Δωριεῖς, πλατυστομοῦσι τὸ α πλεονάζοντες.

Πλατυνέειν, μυρύειν.

Πλατὺν Ἑλλήσποντον, τὸ κατὰ τὴν Τροίαν μέρος τοῦ Ἑλλησπόντου, ἀπὸ τοῦ ὅλου, τὸ μέρος ποιητικῶς λέγων.

Πλατύνω, εὐρύνω.

Πλατύπιλος κυνῆ, Θεσσαλὶς, περὶ πίλου λέγει.

Πλατὺρ, δοῦλος, ἢ δῆμος.

Πλατὺς γέλως ἐρεῖς, οὐχὶ πολὺς γέλως.

Πλάτων, χαλκωμάτιόν τι, ᾧ τὸν ὀρρὸν ἀντλοῦσιν, ὅτε γάλα σημπήσωσι.

Πλέας, ἀπὸ τοῦ πλέονας, κατὰ συγκοπήν. ὁμοίως καὶ πλέες, κατὰ συγκοπὴν τοῦ ο καὶ τοῦ ν, ἐκ τοῦ πλέονες.

Πλεγματεύεσθαι, ἐμπλέκεσθαι.

Πλέες καὶ περιπλέες Ἰωνικῇ συγκοπῇ τοῦ ο καὶ τοῦ ν ἐκ τοῦ πλέονες. τὸ μέντοι κοινὸν, τὸ πλείους, τὸ ν μόνον ἐξέθλιψεν, εἶτα συνεῖλε τὸ λειφθὲν, ὡς καὶ μείζους καὶ κρείττους, καὶ τὰ λοιπά.

Πλέθρα, μέτρα γῆς, ἤγουν αἱ τοῦ σταδίου ἄρουραι, ἢ τοὺς διύγρους τόπους καὶ βοτανώδεις φασίν. ἔχει δὲ τὸ πλέθρον πήχεις ἑξηκονταοκτὼ δίμοιρον. πλέθρον καὶ τὸ τοῦ σταδίου ἕκτον μέρος, ὅπερ ἐστὶ πηχῶν ἑξηκονταοκτώ. ὅλον γὰρ τὸ στάδιόν ἐστι τετρακοσίων. ἢ πανταχόθεν ἔχον πόδας τριακονταοκτώ. καὶ πλεθριαῖον διάστημα. ἔχει δὲ τὸ πλέθρον πόδας ἑκατόν. Ξενοφῶν φησι, πλεθριαίους φοίνικας φύεσθαι ἐν Βαβυλῶνι, ἢ καὶ μείζονας σταδίου, πηχῶν τετρακοσίων. ἐξέδωκεν ἡ πόλις Ἀθηναίων τὰς θυγατέρας Ἀριστείδου, καὶ Λυσιμάχῳ τῷ παιδὶ, δύο δραχμὰς τῆς ἡμέρας ἐδίδου. καὶ γῆς πεφυτευμένης ἐδωρήσατο ὀκτὼ πλέθρα ἀροσίμης, ἑκκατόν. ἀφ᾽ οὗ ἀπέλεθρον, τὸ πάνυ μακρὸν, ὃ οὐκ ἔστι πελέθρῳ μετρῆσαι, ὡς παρ᾽ Ὁμήρῳ.

Πλεῖ, τὸ προστακτικὸν, οὐχὶ πλεῦθι, οὐδὲ πλέε. τοῦτο γὰρ ἰακόν. καὶ πνεῖ, οὐχὶ πνέε. καὶ δεῖ, καὶ ῥεῖ, καὶ θεῖ, τὰ προστακτικὰ λέγω. Εὐριπίδης, πλεῖ κατὰ πορθμόν. Ἕρμιππος, ἀλλ᾽ ἐκεῖσε δεῖ θεῖν τοῦτον.

Πλεῖαι χαλκοῦ κλισίαι, τοῦ πλεῖαι ἡ ἑνικὴ ὀρθή. καὶ παρ᾽ Ἡσιόδῳ κεῖται ἐν τῷ πλείη μὲν γαῖα κακῶν. καὶ ὅτι προάρχει αὐτῶν ἀρσενικὸν ὁ πλέος κοινῶς, ὃ ἐκταθὲν Ἀττικῶς ποιεῖ τὸ ἔμπλεως καὶ ἀνάπλεως, καὶ τὰ τοιαῦτα, καὶ ὅτι ἐκ τοῦ ὁ πλεῖος καὶ ἡ πλείη παράγεται συγκριτικὸν ὁ πλείων, ἡ πλείων.

Πλειάδες, θυγατέρες ἐγένοντο δώδεκα, καὶ υἱὸς Ὕας. ὃν ἐν Λιβύῃ κυνηγετοῦντα, ὄφις κτείνει. τῶν δὲ ἀδελφῶν αἱ μὲν πέντε διὰ τὸ ἐπὶ τῷ θανόντι πένθος, οὐκ ἔτ᾽ ἦσαν οὐδὲ αὐταὶ, ἀλλὰ καταστερισθεῖσαι, ἐπωνομάσθησαν τῷ ἀδελφῷ, ὑάδες ἐξ αὐτοῦ παρονομασθεῖσαι. ἔπαθον δὲ τὰ αὐτὰ μετὰ ταῦτα καὶ αἱ ἑπτὰ, διὸ καὶ πλειάδες εἴρηνται, διὰ τὸ πλείους εἶναι τῶν πέντε. κατὰ δέ τινας Πληιάδες λέγονται, ἀπὸ τῆς μητρὸς Πληιόνης, ἢ ὅτι πλείους ὁμοῦ κεῖνται. βότρυν γοῦν τινες αὐτάς φασιν. ἢ καὶ ὅτι πλησίον ἀλλήλαις εἰσὶν, ἢ ὅτι πλείω τινὰ δι᾽ αὐτῶν ἐπισημαίνονται, ἢ ὅτι πλειῶνα σημαίνουσι ὅ ἐστιν ἐνιαυτὸν, ὡς καὶ Ἡσίοδος, πληιάδων ἀτλαγενέων, καὶ τὰ ἑξῆς. φασὶ δέ τινες κατηστερίσθαι αὐτὰς, πενθούσας ἐπὶ τῇ Ἄτλαντος δυστυχίᾳ, ὃς ἀχθοφορεῖ τοὺς μυθευομένους κίονας, ἑπτὰ δὲ οὐσῶν ἀμαυρός ἐστιν ὁ ἕβδομος ἀστήρ. μυθεύονται δὲ συνελθεῖν μὲν ἐξ αὐτῶν Ταϋγέτην μὲν, καὶ Μαῖαν, καὶ Ἠλέκτραν Διί, ἐξ ὧν Ταϋγέτης μὲν Λακεδαίμων, Μαίας δὲ Ἑρμῆς, Ἠλέκτρας δὲ Δάρδανος. τὴν Ἀλκυόνην δὲ μιγῆναι τῷ Ποσειδῶνι. τὴν Στερόπην δὲ τῷ Ἄρει, ὧν Οἰνόμαος. τὴν δὲ Μερόπην Σισύφῳ, ἐξ ὧν Γλαῦκος. αἱ δὲ παρθένους φασὶν εἶναι τὰς ἑπτὰ, καὶ συγκυνηγετεῖν τῇ Ἀρτέμιδι. Ὠρίωνος δὲ διώκοντος κατ᾽ ἔρωτα, παρακαταλήπτους γενομένας μεταβαλεῖν δι᾽ εὐχῆς εἰς πελειάδας. εἶτα καὶ καταστερισθῆναι. ὅθεν καὶ πλειάδας κληθῆναι, οἱονεὶ πελειάδας κατὰ συγκοπήν. διὸ καὶ πολλοὶ τῶν ποιητῶν, ὡς καὶ προδεδήλωται, πελειάδα τὸ ἄστρον τοῦτο καλοῦσι. κεῖται δὲ κατὰ τὴν οὐρὰν τοῦ Ταύρου. τὴν δὲ ἑβδόμην Ἠλέκτραν, τὴν ὡς ἐρρέθη ἀμαυρὰν φασιν, οὐκ ἀνεσχομένην Ἰλίου ἅλωσιν ἰδεῖν, μεταστῆναι τῆς ἀδελφικῆς ἀλληλουχίας, καὶ ἀμαυρωθῆναι. καὶ ταῦτα μὲν περὶ πλειάδων.

Πλειὰς, ὡς ἐκ πλειόνων ἀστέρων οὖσα. πλειὰς, ἀπὸ τῆς Πληιόνης, θυγατρὸς μὲν Ὠκεανοῦ, γυναικὸς δὲ Ἄτλαντος. λέγει δὲ Πίνδαρος περὶ τοῦ καταστερισμοῦ αὐτῶν, ὅτι τῆς Πληιόνης πορευομένης μετὰ τῶν θυγατέρων κατὰ τὴν Βοιωτίαν, συναντῆσαι αὐτῇ Ὠρίωνα, εἶτα ἐρασθεὶς, ὥρμησε πρὸς τὸ ἁρπάσαι. τὴν δὲ φευγούσαν μετὰ τῆς θυγατρὸς, Ὠρίων ἐδίωκε, γενέσθαι δὲ αὐτῶν τὸν δρόμον, πέντε ἔτη ἀδιάληπτον. τὸν δὲ Δία διὰ τὴν κακοπάθειαν αὐτῶν, οἱονεὶ μνήματα καταστερεῖσθαι τὰς πλειάδας φευγούσας τὸν Ὠρίωνα, ὅς ἐστιν ἐνιαυτός. σημαντικαὶ δὲ, καὶ θέρους καὶ χειμῶνος αὗται. ἢ παρὰ τὸ πλεῖον, ὃ σημαίνει τὸ πλῆρες γίνεται. καὶ πλείων ἐξ αὐτῆς ὁ ἐνιαυτὸς, οἷον ὁ πλήρης χρόνος, ἢ ἀπὸ τοῦ πλείονας χρόνους περιέχειν ἐν ἑαυτῷ, ἢ παρὰ τὸ πολεῖν καὶ διέρχεσθαι κατὰ τοὺς τεταγμένους χρόνους, καὶ ἐν τῷ αὐτῷ τόπῳ ἀναστρέφεσθαι, πολειὼν, καὶ συγκοπῇ πλειών. ἢ παρὰ τὸ πλειὰς γίνεται. καὶ γὰρ αἱ πλειάδες, σημαντικαί εἰσι τοῦ ἐνιαυτοῦ, δύουσαι μὲν γὰρ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ δηλοῦσιν. ἀνατέλλουσαι δὲ, τὸ τέλος. ὀξύνεται δὲ τὸ πλειὼν, ἐπειδὴ δοκεῖ περιεκτικὸν εἶναι.

Πλεῦθι, πλεῦσον, ἰακόν ἐστι.

Πλεῖθι, καὶ ζῆθι, τὸ προστακτικὸν οἱ λέγοντες ἁμαρτάνουσι, δέον λέγειν, σὺ ζῆ, καὶ σὺ πλεῖ. εἰ καὶ δοκεῖ συνεμπίπτειν, τῷ τρίτῳ προσώπῳ τοῦ ὁριστικοῦ, ἐκεῖνος ζῆ, καὶ ἐκεῖνος πλεῖ. ὁμοίως καὶ τὸ προστακτικὸν τοῦ ῥήματος, ἀπὸ τοῦ τρίτου προσώπου γίνεται, ἀφαιρουμένης μόνης μιᾶς συλλαβῆς. εἰ οὖν ἐστι πεμπέτω τὸ δεύτερον πρόσωπον, ἐγένετο πέμπε. ὁμοίως καὶ κρατείτω ἐκεῖνος, κράτει σὺ, ἀφαιρεθείσης μόνης τῆς συλλαβῆς, οὕτως ἄρα εἰ πλείτω λέγομεν τὸ τρίτον πρόσωπον, καὶ ζήτω καὶ δράτω, ἀφελόντες τὴν τελευταίαν συλλαβὴν, καὶ ἐροῦμεν τὸ δεύτερον πρόσωπον, σὺ πλεῖ, καὶ σὺ ζῆ, καὶ σὺ δρᾶ.

Πλείην, τὴν ἔγκυον.

Πλείμην, ἀντὶ τοῦ πλευσαίμην.

Πλεῖ, τὸ κατ᾽ εὐθὺ πλέειν. καὶ πλεῖν θάλασσαν. Ἀττικῶς, καὶ πλεῖ Αἰγαίου κύματα.

Πλεῖν, τὸ μετὰ νεὼς πλεῖν. ἐπέμπλει τὰ πτερὰ τῷ ὕδατι, καὶ ὅσα κοῦφα καὶ φύσιν ἔχοντα μὴ καταδύεσθαι ἐν τῷ ὕδατι, πλεῖν λέγεται, ὅθεν καὶ τὸ ἐπιπολάζειν. νεῖν δὲ τὸ κολυμβᾷν μετὰ τέχνης, ὥστε τὸ πλεῖν ἐστι φύσει, τὸ δὲ νεῖν τέχνῃ. ἀπὸ τοῦ κολυμβᾷν δὲ γίνεται ὄνομα ὁ κολυμβητής. καὶ τὸ στέλλεσθαι ἐπὶ θαλάττης λέγεται, οἷον ἐστείλατό τις τὸν δὲ τὸν πλοῦν. τὸ δὲ ὁδεύειν ἐπὶ ξηρᾶς, ἀφ᾽ ὧν ὀνόματα ὁδὸς ἐπὶ ξηρᾶς, πλοῦς καὶ στόλος ἐπὶ θαλάττης λέγεται. οἷον ἐστείλατό τις τόνδε τὸν πλοῦν. τὸ δὲ ὁδεύειν ἐπὶ ξηρᾶς, ἀφ᾽ ὧν ὀνόματα τὸ μὲν πλοῦς, κοινόν. τὸ δὲ στόλος ποιητικὸν, πορεία δὲ ἐπ᾽ ἀμφοτέρων.

Πλεῖν, ἀντὶ τοῦ πλέον λέγουσιν Ἀττικοί. Ἀριστοφάνης, πλεῖν σταδίου λαλίστερα, καὶ γίνεται κατὰ κρᾶσιν Ἀττικὴν ἐκ τοῦ πλέον.

Πλεῖν ἢ μύριοι, ἀττικώτερον ἀντὶ τοῦ πλείους ἢ μύριοι. Ἀριστοφάνης ἐν πλούτῳ, ἀποπατησόμενοι πλεῖν ἢ μύριοι.

Πλεῖν ἢ μαίνομαι, παρὰ τῷ Ἀριστοφάνει Ἀττικὸν, ἀντὶ τοῦ μᾶλλον ἢ μαίνομαι. ἄλλως, ἀλλὰ πλέον ἢ μαίνομαι ἐπ᾽ αὐτῷ, τουτέστιν ὑπερβαλλόντως μοι ἀρέσκει.

Πλεῖον, τὸ πεπληθυσμένον καὶ γέμον. καθὸ λέγεται παρὰ Ἡσιόδῳ, ἤματος ἐκ πλείου, καὶ κλίνεται πλείου. ἔστι δὲ τριγενές. ὁ πλεῖος γὰρ, ἡ πλεία, καὶ τὸ πλεῖον, ὡς ὁ χρεῖος ἡ χρεία τὸ χρεῖον. πλεῖον δὲ ἐπὶ συγκριτικοῦ, τὸ περισσότερον. καὶ πλέον χωρὶς τοῦ ι. καὶ κλίνεται πλείονος καὶ πλέονος. καὶ αὐτὰ τριγενῆ, ὁ πλείων ἡ πλείων τὸ πλεῖον, καὶ ἔτι πλέον, ὧν ἁπλᾶ ὁ πολὺς, ἡ πολλὴ, καὶ τὸ πολύ. ὑπερθετικὰ δὲ, ὁ πλεῖστος ἡ πλείστη καὶ τὸ πλεῖστον.

Digitized by Google

Πλεῖον δέπας, τὸ γέμον. δηλοῖ τὸ παρὰ τοῖς ὕστερον ἔμπλεων. ὃ παρ' ἐκείνοις μὲν ἐκτείνεται Ἀττικῶς, παρὰ δὲ τοῖς παλαιοῖς συστέλλεται κοινότερον.

Πλείοις δεπάεσσιν, εὐθεῖαν ἔχει τὸ πλεῖον, ὅ ἐστι πλῆρες. οὗ ἀρσενικὸν μὲν, ὁ πλεῖος. θηλυκὸν δὲ, ἡ πλείη. ὡς τὸ πλείη μὲν γαῖα κακῶν. ἁπλᾶ δὲ τούτων ὁ πλέος, ἤτοι ὁ γέμων. καὶ τὸ ἐξ αὐτοῦ πλέον. κοινὰ δὲ ταῦτα, καὶ παλαιά.

Πλειόνη, σπείρει.

Πλείονες, οἱ πεπλευκότες.

Πλειότερος, οὕτω κατεσκεύασται, ὅτι οὐ πάντα παρ' αὐτοῖς τὰ ὀνόματα ποιοῦσι συγκριτικὰ, ἀλλὰ μόνα τὰ παραληγόμενα θηλυκῷ καὶ οὐδετέρῳ γένει. τῶν γέτοι ὀξυτονουμένων οὐδὲν εἰς σύγκρισιν κλίνεται. οὐδὲ γὰρ τοῖς γένεσι παρασχηματίζεται. οἷον σωφρονέστατος, τλημονέστατος, ἀπὸ τοῦ σώφρων καὶ τοῦ τλήμων. ἀλλ' εἶμι γὰρ ἤδη τλημονεστάτην ὁδόν. τὸ οὖν παρὰ Καλλιμάχῳ πλειοτέρη, οὐ παρὰ τὸ πλεῖον πεποίηται, πλειονέστερον γὰρ ἂν λέγοιτο, ἀλλὰ παρὰ τὸ πλεῖος. ἀφ' οὗ καὶ Ὅμηρος, πλεῖοι μέλανος θανάτοιο, καὶ πλεῖαι οἴνου κλισίαι, πλεῖος οὖν καὶ πλειότερος. ἡμάρτηται δὲ ὁμολογουμένως, τὸ πολὺ χερειότερον παρὰ Ἡσιόδῳ. καὶ γὰρ συγκριτικὸν ὂν τὸ χεῖρον, ἐξ αὐτοῦ συγκριτικὸν ἐποίησεν, ὅπερ ἀδύνατον. καὶ εἰ ὅλως ὤφειλεν εἰπεῖν, χειρονέστερον ὤφειλεν. ἴσως οὖν ὁ Ἡσίοδος παρὰ τὸ χεῖρος τοῦτο ἐποίησεν, ὡς ἀπὸ τοῦ πλεῖος τὸ πλειότερος, οὕτω Φιλόξενος.

Πλείους, πλήρεις. ἀπὸ δὲ κρητῆρες Ἀθήνη. πλεῖοι καὶ ἀνδρῶν δυσμενέων, πλεῖος δόμος, τὸ πλείους οἱ πλείονες, πλείους αἱ πλείονες, πλείους τοὺς πλείονας, πλείους τὰς πλείονας, πλείω τὰ πλείονα, Ἀττικῶς.

Πλειοθένης, ἀπὸ τοῦ πλέον καὶ τοῦ σθένος πλεοσθένης, καὶ κατὰ κρᾶσιν Ἀττικὴν πλεισθένης.

Πλειστηριάζειν, τὸ ὑπερβάλλειν τῇ τιμῇ τῶν πιπρασκομένων.

Πλείστη, ἡ θάλασσα.

Πλειστηριάσαντες, πλείονος πωλήσαντες, οὐκ ὠνήσαντο.

Πλειστηριασμὸς, ὑπερθεματισμός.

Πλειστοβάλλειν, παίζειν ἀστραγάλοις.

Πλειστοβολεῖν λέγουσιν, ὡς ἡμεῖς Ἀττικοί.

Πλειστοῖο, Ἀπολλώνιος, πολλὰ δὲ Κωρύκαι νύμφαι πλειστοῖο θύγατρες. τινὲς ἀναγινώσκουσι προπερισπωμένως. ἐπεὶ δὲ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται πλειστὸς ὀξυτόνως. ἔστι δὲ ἄντρον ἐν Παρνασῷ, ἀπὸ Νύμφης Κωρυκίας καὶ Ἀπόλλωνος.

Πλεῖστον, ὅσον πολύ.

Πλειστὸς, ποταμὸς Δελφίδος.

Πλειὼν, ὁ ἐνιαυτὸς, ἀπὸ τοῦ πλείονας χρόνους περιέχειν ἐν ἑαυτῷ, ἢ παρὰ τὸ πολεῖν καὶ διέρχεσθαι κατὰ τοὺς πεπηγμένους χρόνους, καὶ κλίνεται πλειῶνος.

Πλεονεκτῶ, τὸ πλέον ἔχω, γενικῇ. πλεονεκτῶ δὲ τὸ ἀδικῶ, αἰτιατικῇ, ὡς τῷ πλεονεκτεῖ ἡμᾶς ὁ διάβολος.

Πλέκει, μηχανᾶται.

Πλέκεται, μαστιγοῦται, συκοφαντεῖται.

Πλέκος, τὸ πλέγμα, τὸ πεπλεγμένον σπυρίδιον.

Πλεκοῦν, τὸ συνουσιάζειν, παρὰ τὸ πλέκεσθαι. καὶ σπεκλοῦν τὸ αὐτό.

Πλεκτάναι, οἱ πλόκαμοι.

Πλεκτανέων, πλεγμάτων, ἀπαρτημάτων περιπλεκτῶν, παρὰ τῷ Ἱπποκράτει.

Πλεκτὴ, σειρὰ ἡ ἐξ ἱμάντων.

Πλέμνιον, ἀρχαῖον, πλῆρες.

Πλεναραὶ, μυξώδεις. ἐξ οὗ καὶ πλένα ἡ μύξα, παρὰ τῷ Ἱπποκράτει.

Πλέον, τὸ περισσότερον, ἀφ' οὗ τὸ πλεῖν, κατὰ κρᾶσιν Ἀττικήν. ὥσπερ δεῖν, τὸ δέον παρ' αὐτοῖς, δοκέον δοκεῖν. καὶ πλέα ἡ πεπληρωμένη. ἀφ' οὗ τὸ πλείη, κατὰ πλεονασμὸν τοῦ ι, καὶ τροπῇ τοῦ α εἰς η.

Πλεονασμός ἐστιν, ὅταν πλεονάσῃ συλλαβὴ λέξεως, καὶ πάλιν τὸ αὐτὸ σημαίνῃ, ὡς ἔχει τὸ ἀντίος καὶ τὸ ἐναντίον. ταυτὸν γάρ ἐστιν, καὶ τὸ ἐνάντι, κατεναντι, καὶ τὸ πανταχοῦ ἁπανταχοῦ, καὶ τὸ θέλω ἐθέλω, καὶ ἕτερα, εἴδη δὲ τοῦ πλεονασμοῦ εἰσι τρία, παραγωγὴ, ἔκτασις, καὶ παραπλήρωμα. παραγωγή ἐστι, λέξις ἔχουσα ἐν αὐτῇ τὸ πλεονάζον, οἷον κελαινεφὲς αἷμα, καὶ τὸ χθονὸς εὐρυοδείης. ἔκτασις δέ ἐστι, λέξις ἐκτεινομένη παρὰ τὸ σύνηθες, οἷον καλῆσι, θέλησιν, ὁπόσοισι. παραπλήρωμα δέ ἐστι, λέξις ὅλη ἐκ περισσοῦ παραλαμβανομένη, παρὰ τὸ σύνηθες, οἷον ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν. ὁ γὰρ καὶ σύνδεσμος, πλεονάζει, καὶ ἀρχοὺς αὖ νηῶν ἐρέω, νῆάς τε προπάσας, πλεονάζει ἡ πρὸ πρόθεσις. Ἄλλως.

Πλεονασμός ἐστιν, ὅταν λόγου μόριον προστεθῇ περιττὸν, κόσμου χάριν ἢ ἐμφάσεως, οὗ ἀφαιρεθέντος, ἡ διάνοια οὐδὲν βλάπτεται.

Πλεονασμὸς στοιχείου, οἷον στάχυς ἄσταχυς, πνοὴ πνοιὴ, τοῦτον τουτονί.

Πλεονασμὸς συλλαβῆς, οἷον λοιπὸν προλοιπὸν, ἔτυμος ἐτήτυμος, ἔφη ἔφησθα.

Πλεονασμὸς ἐπὶ λέξει, οἷον βοῶν ἐπιβουκόλος ἀνήρ. χρυσοῦ δὲ στήσας Ὀδυσσεὺς δέκα πάντα τάλαντα. ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός. ἔνθα μὲν τὸ πάντα, ἔνθα δὲ τὸ μάλα πλεονάζει. τοιοῦτο δὲ καὶ τὸ ὀφθαλμοῖσιν ἴδωμαι. τὸ γὰρ μάλα, καὶ ὀφθαλμοῖσι, πλεονάζει κατὰ συνήθειαν Ἀττικήν.

Πλεονέκτης ἐστὶν, ὁ τῇ κτίσει τὴν χρείαν ὑπερβαίνων. καὶ τῷ ἀμεταδότῳ τρόπῳ, ἀδικῶν τοὺς ἐνδεεῖς.

Πλεονεκτῶ σύνθετον ὂν, ἀεὶ μετὰ γενικῆς πρὸς τὸ πρόσωπον. πρὸς δὲ τὸ πρᾶγμα δοτικῇ, ὡσαύτως καὶ τὸ μειονεκτῶ. μειονεκτεῖ τῶν ἄλλων τοῖς πόνοις, πλεονεκτεῖ δὲ τοῖς λόγοις, ἤτοι πλέον ἔχει τῶν ἄλλων ἐν τοῖς λόγοις, καὶ τοῖς πόνοις.

Πλεονεξία, ἐναντίον τῇ μειονεξίᾳ.

Πλεονεξία, ἡ ὑπὲρ τῆς ἐπιθυμίας τοῦ πλείονος βλάβη. παρὰ τῷ Ἀποστόλῳ. παρὰ δὲ Διονυσίῳ τῷ Ἁλικαρνασεῖ, πλεονεξία ἡ νίκη. πλεονεξία παρὰ τοῖς ῥήτορσιν, οὐ μόνον ἐπὶ τῶν παρὰ τὸ δίκαιον ἀξιούντων πλέον ἔχειν, καὶ τὸ πλεονεκτεῖν, ἀλλὰ καὶ ἐπὶ τοῦ βελτίονος ἑκάτερον αὐτῶν ἔταξεν, ὅταν τοῦ ἀγαθοῦ πλέον ἔχῃ τις ἑτέρων. Σοφοκλῆς, ὦ πλοῦτε καὶ τυραννικὴ τέχνη. τέχνης ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ, ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

Πλέχος, πλέγμα σκεπαφόρον στρατιωτικόν. ἔστι δὲ καὶ ζῶον, ὃ καλεῖται ὑπό τινων χοιρογρύλλιος.

Πλεύμονα, ἀντὶ τοῦ πνεύμονα, λέγουσιν Ἀττικοί.

Πλευμονία, νόσος ἡ ἐρωτική.

Πλεῦμος, φθόη, ἢ πλευμῶδες πάθος, παρὰ τῷ Ἱπποκράτει.

Πλεῦμαι, πλευμώδεις, παρὰ τῷ Ἱπποκράτει.

Πλεῦνος, ἀντὶ τοῦ πλείονος.

Πλευραὶ, οἷον αἱ πλήρεις οὖσαι καὶ ἀμύχωτοι. ἢ πλεωραί τινες οὖσαι, αἱ φυλάττουσαι τὸν πνεύμονα. ἢ πολυευραί τινες οὖσαι, ὡς πλατεῖαι. καὶ πλευρὸν παρὰ τὸ πέλειν εὐρὺ, ἤγουν πλατύ. καὶ πλευρὰ, παρὰ τὸ πολὺς καὶ τὸ εὖρος πολύευρά τινα ὄντα, τουτέστι πλατέα.

Πλευρῖτις, νόσος ἡ ἐν τῷ πλευρῷ. * ὀδύνη πλευροῦ σὺν ὀξεῖ καὶ ἀδιαλείπτῳ πυρετῷ, μετ' ὀδύνης νυγματώδους ὁμοῦ καὶ φρίκης, καὶ δυσπνοίας καὶ βηχός.

Πλευρόθεν, ἀπὸ τῆς πλευρᾶς.

Πλευρὼν, οἰκητήριον γέγονέ φασι Κουρήτων. περὶ ἣν καὶ Κούριον ὄρος. ὅθεν αἱ Κουρῆτες ὀνομασθῆναι δοκοῦσι πλευρώνιοι ὄντες. ὁ πολίτης αὐτοῖς οὐ μόνον πλευρώνιος, ἀλλὰ καὶ πλευρωνεύς.

Πλευρωνίας Ἑλένης. πλευρὼν γὰρ πόλις Πελοποννήσου, καὶ Θεράπνη ὁμοίως, ὅθεν Ὀρφεὺς καὶ Τρυφιόδωρος. θεραπναίαν καλοῦσι τὴν Ἑλένην. Λυκόφρων δὲ πλευρωνίαν, ὁ δὲ Ὅμηρος ἀργείαν.

Πλεφίλερ, ἡ πεφρυγμένη σησαμίς. καὶ πλεφὶς, σησιμίς.

Πλέω, ἀναπλέω, ναυτίλλομαι.

Πλέω, τὸ μετὰ νεὼς περῶ τὴν θάλασσαν. καὶ νέω, καὶ τὸ κολυμβῶ.}

Πλέων, καὶ κατάπλεων, δοκιμώτερον ἢ πλῆρες.

Πλέω νὺξ, τῶν δύο μοιρῶν. πλέον μέρος καὶ νυκτὸς, αἱ δύο μοῖραι, ὁ τρόπος ἀναστροφῆς.

Πλέως, Ἀττικῶς κατ' ἔκτασιν. καὶ τὸ πλέων ὁμοίως, ὅθεν ὁ ἔμπλεως, καὶ τὸ ἔμπλεων. ὃ καὶ αὐτὸ ἡ ποίησις ἐνίπλειον λέγει κοινότερον, ὡς τὸ δῶμα ἐνίπλειον βιότοιο.

Πλήγανον, βακτηρία.

Πληγὰς, δρέπανον.

Πληγεῖον, παλαιόν.

Πληγέντε κεραυνῷ, ῥηθὲν ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς Ἀττικῶς, δίκην ἀρσενικοῦ, ἢ οὐδετέρου ἐσχημάτισται. καὶ Ἡσίοδος δὲ οὕτω φησὶ, προλιπόντε ἀνθρώπους, αἰδὼ καὶ νέμεσις. καὶ Εὐριπίδης, ταῦτα ἔχοντε γράμματα, ἤγουν ἔχουσαι. καὶ Ἠλέκτρα παρὰ Σοφοκλεῖ ἐφ' ἑαυτῇ τε καὶ τῇ ἀδελφῇ λέγει. ἴδεσθε τώδε τὼ κασιγνήτω, ἤγουν ταύτας τὰς ἀδελφάς. τούτω χρὴ τιμᾶν, ὦ ψυχῆς ἀφειδήσαντε, ὅ ἐστι ταύτας αἳ ψυχῆς ἀφειδήσασαι. καὶ οὐ ταῦτα μόνον καινοτομοῦσιν Ἀττικοὶ, ἀλλὰ καὶ τὰς ἑνικὰς ἀρρενικὰς εὐθείας, τῇ προφορᾷ ἐκθηλύνοντες ἡ κλυτὸς, καὶ ἡ γενναῖος, καὶ ἡ ἀδελφός. καὶ ἄρρενα δὲ ἄρθρα τοῖς θήλεσι προσαρμόζουσι, τὼ γυναῖκε, καὶ τὼ χεῖρε λέγοντες.

Πληγενεῖς, οἱ μὴ ἐκ τοῦ αὐτοῦ ὄντες πατρὸς, μητρὸς ἀδελφοί.

Πλήγη, ἐξεπλάγη.

Πληγὴ φλεγμαίνουσα, ἡ μήπω συνουλωθεῖσα.

Πλῆγμα, ἡ πληγή. πλίγμα δὲ τὸ βάδισμα τῶν ἰώνων.

Πλήθει, πελάζει, ἢ κρείττονι ἀριθμῷ.

Πλήθει πρόσθε βαλόντε, τῷ πλήθει τῶν θεωμένων συνεγερθέντες, ὅ ἐστι βοηθηθέντες, ἢ τῷ πλήθει τῶν θεατῶν κωλυθέντες. ἢ τῷ πλήθει τῶν ἁρμάτων ἐμποδισθέντες, ἢ τῷ πλήθει τῶν ἡνιόχων. δίδυμοι γὰρ ἦσαν οἱ ἡνιοχοῦντες.

Πλήθειν, ταυτόν ἐστι τῷ πλημμύρειν. ἐκ γὰρ τοῦ πλήθω ῥήματος, ἥ τε παρὰ τῷ Γεωγράφῳ πλήμμη γίνεται, καὶ ἡ ἐξ αὐτῆς πλημμύρα.

Πλῆθος, ἀθροισμὸς, ὄχλος.

Πλῆθος παρὰ Θουκυδίδῃ, καὶ ἐπ' ὀλίγων λέγεται.

Πλήθουσα ἀγορὰ, ἀντὶ τοῦ πεπληρωμένη. ὡς ἐν τῷ, πληθούσης ἀγορᾶς, ἐν μέσῳ στὰς εἶπε. ὥρα τρίτη ἠκροβολίζοντο περὶ πλήθουσαν ἀγοράν. λέγεται καὶ πληθυούσης ἀγορᾶς.

Πλήθουσα, πλεονάζουσα, πλήρης.

Πλήθουσιν ὕδατα γάλακτος, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ πεπληρωμένα εἰσὶν, ἐνεργητικὸν ἀντὶ παθητικοῦ.

Πλήθουσι ποταμοὶ, σαφῶς ἑρμηνεύει πλήθοντας ποταμοὺς ὁ Ποιητὴς, τοὺς ἐξ ὄμβρου πληρουμένους λέγεσθαι, ὃς δὴ ὄμβρος τὸ τοῦ Διὸς ὕδωρ. τοὺς μὲν χειμάρρους αὐτὸ χεῖμα γεννᾷ, ὅθεν καὶ διιπετεῖς ἐκεῖνοι κυρίως λέγονται, τοὺς δὲ ἀενάους ὑποκένους ὄντας, οὐ μόνον ἐπιχειλεῖς ποιεῖ, ἀλλὰ καὶ ὑπερχειλεῖς, ὅ ἐστι πλήθοντας.

Πλῆθρον, κλῆθρον, ἢ εἶδος μέτρου.

Πληθύω, ἐκ τοῦ πληθὺς, τοῦτο παρὰ τὸ πληθύω, τοῦτο παρὰ τὸ πλήθω. καὶ πλῆθος, τοῦτο ἀπὸ τοῦ πλῶ πλήθω.

Πληθυντικὰ ἑνικῶς ἐκφέρειν, Ἀττικῶν ἐστιν, οἷον τὸν Λακεδαίμονα, τὸν Παίονα, ἀντὶ τοῦ τοὺς Λακεδαιμονίους, καὶ τοὺς Παίονας.

Πληθύουσιν, αὐξάνουσι, πλεονάζουσι.

Πληθὺς, ὄχλος, δῆμος.

Πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο, ἐν τούτῳ ὁ Ποιητὴς ἐναλλάσσει τὸν ἀριθμόν. προθεὶς γὰρ ἑνικὸν, ἐπήγαγε τὸ πληθυντικόν. δηλονότι, πρὸς τὸ σημαινόμενον ἀναφέρων. ἐπειδήπερ ἡ πληθὺς, τὴν μὲν προσηγορίαν ἑνικόν ἐστι. πολλοὺς δὲ ἐν αὐτῷ περιείληφεν. ἐκ τοῦ ἐναντίου δέ ἐστι τὸ ὅμοιον, ἐπειδὰν προτεθέντος τοῦ πληθυντικοῦ, τὸ ἑνικὸν ἐπενεχθῇ. ὡς ἐν τούτῳ, οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες, πρόσω πᾶς πέτετο. τὸ γὰρ πᾶς τῷ λόγῳ ἑνικόν ἐστι. τέτακται δὲ ἐπὶ πλήθους ἴσον δυνάμενον τῷ πάντες. τῆς δ' αὐτῆς τοῦ σχήματος ἰδέας ἐστὶ κακεῖνο. οἱ δὲ Πύλον Νηλῆος, ἐΰκτίμενον πτολίεθρον

ἷξον.

ἶξον, τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον. νοοῦνται γὰρ οἱ Πύλιοι.

Πληθώρα, ἡ πλησμονή. καὶ πληθωρεῖται ὁ Νεῖλος, ἤγουν πληθύεται.

Πληθώρα, τὸ πάθος, ἡ πλησμονή. καὶ πληθωρικαὶ, αἱ πλησμονικαί.

Πληϊάδες, ἑπτὰ ἀστέρες εἰσὶ, κείμεναι ἐπὶ τὴν πλευρὰν τοῦ Ταύρου. ὁ γὰρ ταῦρος, σῶος οὐκ ἀνιστόρηται, ἀλλ' ἕως τῶν ἰσχίων. αὗται δὲ εἰσὶν Ἄτλαντος καὶ Πληϊόνης θυγατέρες, ὧν τὰ ὀνόματα, Μαῖα, Ταϋγέτη, Κελαινὼ, Μερόπη, Ἠλέκτρα, Στερόπη, Ἀλκυόνη. Ἄτλας εἷς τῶν Γιγάντων μιγεὶς Πληϊόνῃ τῇ Ὠκεανοῦ, ἔσχε θυγατέρας ἑπτὰ, αἳ τὴν παρθενίαν ἀγαπήσασαι, συνεκυνήγουν τῇ Ἀρτέμιδι. θεασάμενος δὲ Ὠρίων, ἠράσθη καὶ ἐδίωκεν αὐτὰς, μιγῆναι βουλόμενος. αἱ δὲ περικατάληπτοι γιγνόμεναι, θεοῖς ηὔξαντο μεταβαλεῖν τὴν φύσιν. Ζεὺς δὲ ἐλεήσας αὐτὰς πελειάδας ἐποίησε, καὶ δι' αὐτῶν ἄστρον κατηστέρισεν. ὠνομάσθησαν δὲ πληϊάδες, ἀπὸ Πληϊόνης τῆς μητρὸς αὐτῶν. φασὶ δὲ Ἠλέκτραν οὐ βουλομένην τὴν Ἰλίου πόρθησιν θεάσασθαι τὸ κτίσμα τῶν ἀπογόνων, καταλιπεῖν τὸν τόπον ἔνθα κατηστέριστο. διόπερ οὔσας πρότερον ἑπτὰ, γενέσθαι ἕξ, ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς.

Πλῆκται, πολεμικοί. εἰσὶ δὲ πλῆκται ἀγαθοὶ καὶ παρὰ Βακχαίοις.

Πλήκτης, μάχιμος, ὑβριστής.

Πληκτίζεσθαι, διαπληκτίζεσθαι, στασιάζειν.

Πληκτιζομένους, μαχομένους.

Πληκτικώτερον, ὑβριστικώτερον.

Πλῆκτρον, ἀμυντήριον ὅπλον παρὰ τῷ Ἀριστοφάνει. ἡ μεταφορὰ, ἀπὸ τῶν ἀλεκτρυόνων. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα οἷς μάχονται, ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων, ἐκεῖνοι πλῆκτρα. πλῆκτρα δέ εἰσιν, ἔμβολα χαλκᾶ, τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων. καὶ πλῆκτρον, τὸ τῆς κιθάρας ἐν ᾧ τὰς χορδὰς ὁ κιθαρίζων κινεῖ. ἢ τὸ προσπελάζον, ἢ τὸ πλῆσσον, καὶ τὸ μέρος καθ' ὃ ἡ κεφαλὴ τοῦ μηροῦ τῇ κοτύλῃ προσπελάζει, καὶ διὰ τὸ πεπλῆχθαι τὸν μηρόν.

Πλῆμα, πλήρωμα.

Πλημαθῆναι, πληθῆναι.

Πλημαιόν, παλαιόν.

Πλήμη, ἡ πλημμύρα τῆς θαλάσσης. καὶ πλημμυρὶς, ἡ ταραχή.

Πλημμελεῖν καὶ ἐξυβρίζειν ἐρεῖς. λάμβανε δὲ τὸ ἐξυβρίζειν καὶ ἐπὶ πλημμυροῦντος ποταμοῦ, καὶ τὰ γειτονοῦντα παρασύροντος. καὶ πλημμελεῖν, τὸ ἁμαρτάνειν. παρὰ δὲ τοῖς Ἀττικοῖς, τὸ ἐξυβρίζειν.

Πλημμέλεια, ἀπὸ τοῦ πλημμελές. τὸ δὲ πλημμελὲς, παρὰ τὸ πάλιν, ὃ σημαίνει τὸ ἐκ δευτέρου, καὶ τὸ φροντίζω, γίνεται παλιμμελῶ, καὶ συγκοπῇ πλημμελῶ. σημαίνει δὲ τὸ ἐκ δευτέρου τὰ αὐτὰ φροντίζειν τοῦ λέγειν, ἢ ἐπαναλαμβάνειν.

Πλημμελὲς, ἁμαρτητικὸν, ἢ τὸ ῥᾴθυμον καὶ ἀπαίδευτον.

Πλημμυρεῖ, καὶ πλημμύρειν βαρυτόνως γράφεται, ἀφ' οὗ τὸ ἐπλήμμυρεν, ἐπὶ ὕδατος, καὶ ἐπὶ τῶν καθ' ὕδωρ χεομένων. ἀπὸ τούτου λέγεται καὶ πλημμυρὶς καὶ πλημμυρία, οἷον συστολὴ, καὶ ἀνάπαυσις. λέγεται καὶ πλήμμυρις, ἀλλὰ ἄμεινον πλημμυρίς. τὰ γὰρ ἀπὸ βαρυτόνων ῥημάτων θηλυκὰ ὀνόματα εἰς ις, ὀξύνεται. οἷον βασιλεύω βασιλὶς, πλημμύρω πλημμυρίς. καὶ πλημμύρα, ἡ ἀνάχυσις τοῦ ὕδατος εἰς τὴν γῆν. ἅπαντα καὶ μακρὸν ἔχουσι τὸ υ. ἄμπωτις δὲ, τὸ ἐναντίον τῇ πλημμύρᾳ, ἤγουν ἡ συστολὴ, καὶ οἷον ἀνάπαυσις.

Πλῆμναί εἰσιν, αἱ τῶν τροχῶν χοινικίδες, ἤτοι σύριγγες, ὅ ἐστιν ὀπαὶ, ἅς τινας καὶ χνόας φασὶν, ὡς δηλοῖ καὶ Σοφοκλῆς, ἤγουν τὰ μέσα τῶν εἰρημένων συρίγγων, εἰς ἃς ἐντίθενται τὰ τοῦ ἄξονος ἄκρα, πλῆμναι καλούμεναι, διὰ τὸ πλήθεσθαι, ἢ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος. ἰστέον δὲ, ὅτι πλεονασμὸν τοῦ ν ἔχει ἡ ὁμηρικὴ πλήμνη. ὡς δῆλον ἔκ τε τῆς πλήμνης τῆς ἐν ὕδασιν, ὁποῖαι καὶ περὶ τὸν Ὠκεανὸν μάχεσθαι ἱστοροῦνται γίνεσθαι, ἧς πλήμνη παράγωγον, ἡ πλημμύρα. ἔστι δὲ καὶ ἀπὸ τῆς παρὰ τῷ Ἀθηναίῳ πλημοχόης, ᾗς προϋπάρχει ἁπλοῦν ἡ πλήμη. σκεῦος δέ φησιν ἡ πλημοχόη κεραμεοῦν βεμβικῶδες, ἑδραῖον ἡσυχῇ, ἀπὸ τοῦ οἴνου πλῶ πλήσω, ἐξ οὗ τὸ πλήμη. καὶ ἐξ αὐτοῦ πλήμνη. οὕτω καὶ τόρνη καὶ μυσάχνη, καὶ αἴτνη. σημείωσαι δὲ ὡς ἡ πλήμνη, καὶ τόρμη λέγεται, καθὰ δηλοῖ ὁ γράψας τόρμη, ἡ πλήμνη εἰς ἣν ὁ ἄξων ἐνήρμοσται. καὶ ὁ ἐν τῷ ἱπποδρόμῳ δὲ δρόμος, ἢ ἡ καμπὴ, καὶ ὁ ὕσπληξ. Παυσανίας δὲ ἐκ τῆς τόρμης, καὶ ἐκτορμεῖν λέγει τὸ τοῦ καθήκοντος δρόμου ἐκβαίνειν.

Πλήμνη, ἡ τοῦ τροχοῦ τρύπα, ἡ πληρουμένη ὑπὸ τῶν ἀξονίων. ἢ πλῆμναι, αὐτὰ τὰ ἀκροξόνια.

Πλήμνη καὶ πλήσμη, διαφέρει. ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ. ἡ δὲ πλήσμη, τὴν πλημμύραν τοῦ ποταμοῦ. διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον, αὐτὸς δὲ ἐν πλήσμησι Διιπετέος ποταμοῖο, οὐχ ὥς τινες ἐν πλήμνησι.

Πλῆμνος, ἀφρός. πλῆμναι δὲ, αἱ περιέχουσαι τὸν ἄξονα χοινικίδες.

Πλημοχόη. τῇ ὑστεραίᾳ ἡμέρᾳ τῶν μυστηρίων κοτυλίσκους πληροῦσιν, οὓς καλοῦσι πλημοχόας.

Πλὴν, ἐκτὸς, ἢ ὁμοίως.

Πλὴν, τρία σημαίνει. πλὴν ἀντὶ τοῦ χωρὶς γενικῇ. πλὴν ἀντὶ τοῦ εἰμὴ, εὐθείᾳ, καὶ αἰτιατικῇ. πλὴν, ἀντὶ τοῦ ὅμως ἀσύντακτον.

Πλημοδίᾳ, παρανόμῳ, τετιμημένῃ, τῇ πεπλανημένῃ τῆς ὀρθῆς ὁδοῦ, τουτέστιν ἀδίκῳ.

Πλημώδους, ἀσθενοῦς.

Πλῆντο, προσεπέλασαν, ἀπὸ τοῦ πέλω πλῶ, καὶ σημαίνει τὸ ἐπληροῦντο. ὡς τὸ πλῆντο δ' ἄρα αἴθουσαί τε, καὶ ἕρκεα ἀνδρῶν.

Πληξάρα, περιγλάδιον.

Πλήξας, τύψας, θαυμάσας.

Πλήξιππος ὑπὸ Ὁμήρου κέκληται, ὡς εἰς τὴν ἡνιοχείαν αὐταρκήσας. πλήξιππος καὶ ἱππόδαμος ταυτὸν, δηλοῦσι δὲ τὸν ἱππικὸν καὶ πολεμικόν.

Πλῆρες, ἰσοχειλὲς, μεστὸν, ἐπίμεστον, ἔμπλεων, ὑπέρπλεων, ὑπερχειλές. τὸ δὲ μικρῷ ἐνδεέστερον, ἀπλήρωτον, ἐπιχειλές. βίαιον γὰρ τὸ ἐπιδεές. ἴσως δὲ τὸ ἐνδεὲς, καὶ ἐλλιπὲς, τὸ δὲ εἰς ἥμισυ τελοῦν, ἡμιπλήρωτον. ἡμιδεὲς, ἡμίμεστον, ἡμίκενον.

Πλήρης, παρὰ τὸ πολὺ πολυήρης, καὶ κατὰ συγκοπὴν πλήρης.

Πληροῦται, ἀντὶ τοῦ γεμίζεται. καὶ πληροῦται, ἀντὶ τελειοῦται. ὡς ὁ Θεολόγος, ἀλλά μοι νῦν ἐκεῖνο πληροῦσθαι δοκεῖ καθαρῶς. τὸ θέμα πληρόω πληρῶ, ἀπὸ τοῦ πλήρης.

Πλῆξαι, πατάξαι.

Πληροφόρησον, πλήρωσον. ὡς ὁ Ἀπόστολος, τὴν διακονίαν σου πληροφόρησον.

Πλήρωμα, ναῦς τραγική. καὶ πλήρωμα, πλῆθος, ἀναπλήρωμα.

Πληρώματα, ὁ τῶν νεῶν φόρτος. πλήρωμα δὲ, καὶ οἱ ἐπιβάται.

Πληρωταί. Δημοσθένης κατὰ Ἀριστογείτονος, πληρωτὰς ἐκάλουν τοὺς ἀποδιδόντας τὸν ἔρανον τοῖς ἤτοι λαχοῦσιν, ἢ ὠνημένοις. εἶεν δ' ἂν οὗτοι, οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι.

Πληρώσας, πλήσας.

Πλησαίατο θυμὸν, ἴσον ἐστὶ τῷ κορεσαίατο.

Πλησιάζω, πλεονάζω. ἐνίοτε δὲ αἰτιατικῇ, μεταβατικῶς. πλεονεκτῶ, πλημμυρῶ, πλουτῶ ἀμεταβάτως.

Πλησιάζω, ἐγγίζω, προσπελάζω, ἐγχρίπτομαι, παραβάλλω, γειτνιῶ.

Πλησίαι, ἀπὸ τοῦ ὁ πλήσιος ἀρσενικοῦ ὀνόματος. ἐξ οὗ καὶ τὸ πλησίον ἐπίρρημα, ὁμοίως τῷ ἐναντίος, ἐναντίον. χρῆσις τοῦ πλησίαι, καὶ παρὰ Σοφοκλεῖ, ἐν τῷ πλησίᾳ τῷ νυμφίῳ.

Πλησιέστερον, ἐγγύτερον καὶ πλησίον, παρὰ τὸ πέλω παράγωγον πελάζω, ῥηματικὸν ὄνομα, πλατὸς καὶ πλητὸς, κατὰ τροπὴν τοῦ τ εἰς σ, καὶ κατὰ παραγωγὴν πλήσιος, ὡς ἄμβροτος ἀμβρόσιος.

Πλησίον, ἐνίοτε χρονικόν ἐστι, ὡς παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας υ, πλησίον ἐβρόντησεν, ἤγουν αὐτίκα. οὕτω καὶ ἡ γυνὴ ἐλάλησε πλησίον, ἤγουν εὐθὺς, πλησίον ἐπίρρημα γενικῇ συντάσσεται. πλησιάζω δὲ δοτικῇ, πλησίον ἐγγύς.

Πλήσιος, τὰ παρὰ μέλλοντα γινόμενα προπαροξύνονται. τὸ ἀνεψιὸς, καὶ δεξιὸς ὀξύνονται. τὸ δὲ πλήσιος ἀπὸ τοῦ πλητὸς πλήσιος, ὡς ἄμβροτος ἀμβρόσιος, ἀπὸ τοῦ τέλους οὐ γέγονε δὲ τὸ πλήσιος παρὰ μέλλοντα. οἱ γὰρ Λάκωνες τὰ παρὰ μέλλοντα, εἰς τὸ σ τρέπουσιν, ἀλλ' ἀπὸ τῶν εἰς τος. ἐνιαυτὸς, ἐνιαύσιος, ἐνιαύτιος λέγουσιν. ὑπόμνημα διδόντες τοῦ πρώτου τ. πλοῦτος, πλούσιος, πλούτιος. τὸ δὲ πλήσιος, πλήτιος λέγουσι.

Πλησίστιος, ὁ φορὸς ἄνεμος, ἄνεμος, ὁ πληρῶν τὸ ἄρμενον.

Πλησιφαὴς, ἡ πληροσέληνος ἡμέρα.

Πλῆσον, πλήρωσον.

Πλησμοναῖς, ὑπερβολαῖς. ἢ πεπληρωμέναις.

Πλήσσων, ῥηγνύων, σχίζων, τύπτων, ἀδικῶν, βλάπτων.

Πλήσσοντο, διέβαινον.

Πλήστιγγας, νάρθηκας, παρὰ τὸ πλήσσειν, παρὰ τῷ Ἱπποκράτει.

Πληστώσωσι, δηλῶσι.

Πλήτης, πλησιαστής.

Πλητῖνες, δέλται.

Πλήτομον, παλαιόν. Ἀκαρνᾶνες.

Πλῆτο, σύστοιχόν ἐστι τῷ πέλασαν. ἀπὸ γὰρ τοῦ πέλω, γίνεται πλῶ, καὶ ἀπ' αὐτοῦ τὸ πλῆτο, καὶ τὸ ἐν τῷ ἔδει πλῶτο, πλῆτο χθονὶ, τουτέστιν ἐπέλασε.

Πλῆτο, τὸ θέμα πλῆμι. τοῦτο δὲ ἐκ τοῦ πλῶ τὸ πληρῶ, καὶ τὸ παθητικὸν πλῆμαι, καὶ ὁ παρατατικὸς ἐπλήμην ἔπλησο ἔπλητο, καὶ ἀφαιρέσει τοῦ ε πλῆτο.

Πλήττειν, τοῦ πατάσσειν διαφέρει. πλήττειν μὲν γὰρ λέγεται, τὸ τιτρώσκειν καὶ ποιεῖν τραῦμα, ἀφ' οὗ καὶ πληγή. πατάσσειν δὲ, τὸ ἁπλῶς κρούειν κοινῶς, καὶ ἐπὶ ἐμψύχων καὶ ἀψύχων τιθέμενον. ὡς Ὅμηρος, Ἕκτορι τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν, ἀφ' οὗ καὶ πάταγος. ὡς καὶ Ἀριστοφάνης. οὔτω περὶ τοῦ πατάγου καὶ τῆς βροντῆς ἐδίδαξας. καὶ παταγῶ, παρ' αὐτῷ ῥῆμα κοινῶς γραφόμενον.

Πλήττω πλήξω, ἀπαλλάττω ἀπαλλάξω. καὶ ὅσα ἄλλα τοιαῦτα, τοὺς μὲν δευτέρους ἀορίστους, διχῶς κατ' Ἀττικὴν συνήθειαν ἔχουσι. πρώτους δὲ οὐδαμῶς, οἷον ἐπλήγην δέον λέγειν, καὶ οὐκ ἐπλήχθην. ἀπηλλάγην, καὶ οὐκ ἀπηλλάχθην. τὸ δὲ πεπληγμένος παρακείμενος ὢν, καὶ ἐπὶ ἐνεργείας καὶ ἐπὶ πάθους λαμβάνεται.

Πλήττω, ἀράσσω, καταράσσω, παίω, κτείνω, φονεύω, διαχρῶμαι, νεκρῶ, φθείρω, κεραΐζω, ἐξαιστῶ, διαφθείρω, ἀπόλλυμι, ταυτά.

* Πληχὰς, τὸ μεταξὺ τῶν δύο σκελῶν χωρίον. τὸ μεταξὺ τῶν βουβώνων ἑκατέρου σκέλους, τὸ μεταξὺ τοῦ ποδήματος, καὶ ὄρχεως, καὶ μηροῦ.

Πλίγματα, τὰ πατήματα. καὶ πλὶξ, τὸ βῆμα, παρὰ Ἀριστοφάνει.

Πλινθεία, ἐκ τοῦ πλινθεύω, ἡ πλίνθευσις.

Πλινθεῖον, ὁ τόπος ἐν ᾧ οἱ πλίνθοι πλάττονται, οὕτω Λυσίας.

Πλινθεῖον, παρατάξεως εἶδος. αὐτὸς δὲ ἐν πλινθείῳ ἄγων τὴν στρατιὰν, βάδην ἐπορεύετο.

Πλινθεύεται, ἐξαπατᾶται, ἀπὸ τῆς ἀναισθησίας τοῦ πηλοῦ.

Πλινθίον, τὸ τετράγωνον σχῆμα.

Πλίνθος, μέρος τι τῆς κεφαλῆς τοῦ κίονος. ἢ πηλὸς ὀπτηθεὶς, πλίξ.

Πλίνθος. παροιμία τρεῖς. πλίνθους πλύνεις, χαμαὶ ἀντλεῖς, φακὸν κόπτεις, ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηνύτων, καὶ μὴ ὄντων λέγεται.

Πλινθουργεῖν, τὰς πλίνθους ἐργάζεσθαι.

Πλινθωτὸν, ἡ πλινθεία λέγεται, ὅταν ἐν τετραγώνῳ σχήματι ταυτὸ τοῦτο πράξῃ, ὅπερ Ξενοφῶν ἐν τοῖς γρύλλου,

θρύλλου, πλαίσιον ἰσόπλευρον καλεῖ.

Πλίξ, ἔνθεν καὶ τὸ περιβάδην ἀμφιπλίξ, παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος, αἱ δ' εὖ μὲν τρόχων, εὖ δ' ἐπλίσσοντο πόδεσσιν· ἔλεγον δὲ πλίξιν, καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα, καὶ τὸ μεταξὺ τῶν μηρῶν ὁμοίως.

Πλίξαντα, διαβάντα καὶ ἀναστάντα, καὶ διαβάντα.

Πλινθενίτης, κόλπος.

Πλίσσοντο, λέξις ἐστὶν ἰωνική, κατὰ δὲ τοὺς πλείονας δωρική. δηλοῖ δὲ τὸ βηματίζειν, καὶ μεταφέρειν σκέλος παρὰ σκέλος, ὅθεν καὶ πλὶξ τὸ βῆμα. τὸ δὲ αὐτὸ καὶ πλίγμα. καὶ πλίξας, ὁ βηματίσας. καὶ περιπεπλιγμένον, τὸ περιβεβηκός. καὶ ἀπεπλίξατο, τὸ ἀπέβη παρὰ τῷ Κωμικῷ. καὶ Ἱπποκράτης λέγει πλίγμα τὸ μεταξὺ τῶν μηρῶν διάστημα. ὅθεν καὶ διαπεπλίχθαι, τὸ περιπλέκειν τοὺς πόδας. ἔστι δὲ τὸ μὲν τροχάζειν, συντόνου κινήσεως. ἐπεροίας δὲ τὸ πλίσσεσθαι πόδεσσιν, ἵνα λέγῃ τὰς ἡμιόνους ἀγαθὰς εἶναι καὶ τρέχειν. καὶ ἄλλως, ἁπλῶς βαδίζειν.

Πλοάδες, τῶν ἐπερχομένων τινὲς οὕτω καλοῦνται.

Πλοιάρια, πλοῖα μικρά, ἢ ὑποδήματα ποιά.

Πλοΐζει, πορεύεται. πλοῦς γάρ, καὶ ὁδός.

Πλοϊκή, καὶ πλόϊμος θάλασσα.

Πλόϊμα, πλευστικά, ἢ τὰ πλῷ πεμπόμενα.

Πλόϊμος ἄνεμος, ὃ ἐστι πλεόμενος. καὶ πλόϊμος καιρός, ἤτοι πλεόμενος. πλόϊμος θάλασσα, τουτέστι πλεομένη. καὶ πλοϊμότερος ὁ χρόνος, ἤτοι ἐπιτήδειος, πλόος μικρός.

Πλόκαμα, τὰ περιόστεα νεῦρα.

Πλοκάμους φαεινούς, ἔφη Ὅμηρος τὰς ὑπερξανθίζοντας. δῆλον δέ, ὡς ἐπὶ γυναικῶν λέγεται πλόκαμος, ὃς ἐκ τοῦ πλέκειν γίνεται. καὶ ἀπ' αὐτοῦ δὲ συγκοπέντος γίνεται ὁ πλογμός, κατὰ τὸ ἔαγμεν, ὃ συνεκόπη ἐκ τοῦ ἐοίκαμεν. οὐδὲ κατὰ τὸ δόγμα, τὸ ἐκ τοῦ δοκῶ. ἀλλὰ πλοχμός, οἷα τραπέντος τοῦ γ εἰς χ, κατὰ τὸ ῥωχμὸς ῥαγμός, καὶ βρέγμα βρεχμός.

Πλοῖα, κατάφρακτα, σεσανιδωμένα πλοῖα, ὥστε κάτω μὲν τιθέναι τὰ ὅπλα, αὐτοὺς δ' ἄνω διάγειν.

Πλοῖον ἢ κυνῆ, ἐπὶ τῶν ἀμφιβόλων πραγμάτων. Ἀριστοφάνης ὄρνισι, καθὸ ἐπτέρωτο ἡ ἶρις καὶ τὰ πτερὰ διεπέτατο, ὥσπερ κώπας, ὅτι εἶχε περικεφαλαίαν τὸν πέτασον.

Πλόκαμοι, αἱ μακραὶ τρίχες, αἱ ἐπιτήδειοι οὖσαι εἰς τὸ πλέκεσθαι, παρὰ τὸ πλέκω.

Πλοκαμῖδα, τὸν ὅλον βόστρυχον.

Πλόκιοι μῦθοι, οἱ πεπλεγμένοι, καὶ σκολιοί. δῆλον γάρ, ὅτι σκολιοῦται πᾶν τὸ πλεκόμενον, καὶ οὐκ ἔχει τὴν προτέραν εὐθύτητα.

Πλόκιον, ἐπὶ ὑποθέσεως πεπλεγμένης τιθέασιν οἱ εἰκαῖοι.

Πλόκον, πλέγμα ἐκ τριχῶν. Ἄρτεμι, σοὶ πλόκον οἰκείας τὸν δ' ἀνέθηκα κόμας, παρθένε ἱμερτοῦ κειραμένη πλοκάμου.

Πλόμενον, φανέν, γενόμενον, δῆλον.

* Πλόμος, ἡ καὶ φλόμος λεγομένη βοτάνη, βερμπάσκουν παρὰ Λατίνοις. Ἀριστοτέλης γράφει τοὺς ἰχθῦς ἀποθνήσκειν τῷ πλόμῳ. Πλίνιος δὲ τὴν στρογγύλην ἀριστολοχίαν τοῦτο δύνασθαί φησι μεμιγμένην ἀσβέστῳ.

Πλόος ἄλλος. Ἡρόδωρος ἐν τοῖς Ἀργοναυτικοῖς φησι, διὰ τῆς αὐτῆς θαλάσσης ἐπανελθεῖν, δι' ἧς καὶ ἐπορεύθησαν εἰς Κόλχους τοὺς Ἀργοναύτας. Ἑκαταῖος δὲ ὁ Μιλήσιος, ἐκ τοῦ Φάσιδος διελθεῖν εἰς τὸν Ὠκεανόν. εἶτα ἐκεῖθεν εἰς τὸν Νεῖλον, ὅθεν εἰς τὴν ἡμετέραν θάλασσαν. τοῦτο δὲ ὁ ἐφέσιος Ἀρτεμίδωρος ψεῦδός φησιν εἶναι. τὸν γὰρ Φάσιν μὴ συμβάλλειν τῷ Ὠκεανῷ, ἀλλὰ ἐξ ὀρέων καταφέρεσθαι. τὸ αὐτὸ καὶ Ἐρατοσθένης ἐν τῷ τρίτῳ τῶν γεωγραφικῶν φησι. Τιμάγητος δὲ ἐν πρώτῳ περὶ λιμένων, τὸν Ἴστρον φησὶ καταφέρεσθαι ἐκ τῶν Κελτικῶν ὀρῶν, εἶτα ἐκδιδόναι εἰς Κελτικὴν λίμνην. μετὰ δὲ ταῦτα, εἰς δύο σχίζεσθαι τὸ ὕδωρ. καὶ τὸ μὲν εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλειν, τὸ δὲ εἰς τὴν Κελτικὴν θάλασσαν. διὰ δὲ τούτου τοῦ στόματος πλεῦσαι τοὺς Ἀργοναύτας, καὶ ἐλθεῖν εἰς Τυρρηνίαν. κατακολουθεῖ δὲ αὐτῷ καὶ Ἀπολλώνιος. Ἡσίοδος δὲ καὶ Πίνδαρος ἐν πυθιονίκαις, καὶ Ἀντίμαχος ἐν Λυδῇ, διὰ τοῦ Ὠκεανοῦ φησιν ἐλθεῖν αὐτοὺς εἰς Λιβύην, καὶ βαστάζοντας τὴν Ἀργώ, εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι.

Πλουθυγίειαν, συνθεμένως Ἀριστοφάνης λέγει τὸν πλοῦτον, καὶ τὴν ὑγίειαν εἰς ἓν συναγαγών. σημαίνει δέ, εὐδαιμονίαν, βίον, εἰρήνην, νεότητα, γέλωτα, χορείαν, θαλίαν, γάλα ὀρνίθων, ὥς τε παρέσται σκοπιὰν ὑμῖν, ὑπὸ τῶν ἀγαθῶν, οὕτω πλουτήσετε πάντες.

Πλοῦς, τὰς ναῦς τὸ περίγραφον, μέχρις οὗ τὸν φόρτον λαβεῖν ὀφείλει. ἀλλὰ καὶ τὴν πεζὴν ὁδόν, πλοῦν ἔλεγον.

Πλούσιοι εἰσιν, αἱ ὑπερβαίνοντες τοῦ νόμου τὸν ὅρον. πένητες δέ. οἱ ἐν χρείᾳ τῶν ἀναγκαίων καθεστηκότες.

Πλούσιον, θαλασσιωδές. οἱ δέ, τὸ ὕδωρ.

Πλούσιος, εὔπορος, ἀφνειοῦ, ὀλβίου, καὶ εὐτυχοῦς, διαφέρει. πλούσιος γὰρ ὁ πολυούσιος, ἤγουν ὁ πολλὴν οὐσίαν ἔχων. εὔπορος, ὁ πρὸς τὰς ἐπιβαλλούσας χρείας ἀνενδεής. ἀφνειός, ὁ ἀπὸ ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων. ὄλβιος, ὁ λίαν βιούς, ἤγουν εὐδαιμόνως, καὶ μετὰ δαψιλείας. εὐτυχὺς δέ, ἰζῶν ἡδέως καὶ ἀλύπως.

Πλουτεύς, ὁ ἅδης.

Πλοῦτος, κτῆσις κτημάτων καὶ χρημάτων, παρὰ τὸ πολὺς καὶ τὸ τῷ, τὸ λαμβάνω καὶ δέχομαι, πολύτητος, καὶ συγκοπῇ πλοῦτος. ἢ ὅτι ἐκ τοῦ πηλοῦ καὶ τῆς γῆς ὁ πλοῦτος εὑρίσκεται τοῖς ἀνθρώποις.

Πλουτώ, θυγάτηρ Κρόνου, ἧς Τάνταλος, ὁ πατὴρ Πέλοπος.

Πλουτῶ, εὐπορῶ, χρηματίζομαι. πλουτῶ ἐγώ, ἀμεταβάτως. πλουτίζω δὲ ἕτερον, μεταβατικῶς. καὶ Πλούτων, ὁ ἅδης.

Πλουτῶ καὶ πένομαι, ἀλλ' ὅσον χρημάτων ἐπλούτει, τοσοῦτον λόγων ἐπένετο.

Πλούτων, ὁ καταχθόνιος δαίμων.

Πλόχανον, πλέγμα, ᾧ ὁ σῖτος καθαίρεται.

Πλοχμός, ἐπὶ ἀνδρῶν, οἷοι πλοχμοὶ οἳ χρυσῷ καὶ ἀργύρῳ ἐσφήκωντο. πλόκαμοι δὲ ἐπὶ γυναικῶν, ὅθεν καὶ εὐπλόκαμοι ἐκεῖναι. δῆλον δέ, ὅτι πλοχμὸς μὲν ἐκ τοῦ πέπλεγμαι, πρός τινα ὁμοιότητα τοῦ βέβρεχμαι, βρεχμός. πλόκος δέ, ὁ παρὰ Λυκόφρονι, ἐκ τοῦ πλέκω. ἐξ αὐτοῦ δὲ ὁ κοινὸς γραφόμενος πλόκαμος, καθὰ ἐκ τοῦ θάλλω θάλος καὶ θάλαμος, καὶ ἄρχω ἀρχὸς καὶ ὄρχαμος.

Πλυνῇ, καθαίρῃ.

Πλυνέεται, λοιδορεῖται, αἰσχρῶς ὑβρίζεται. πλύνειν γὰρ παρὰ τοῖς παλαιοῖς, τὸ ἐλέγχειν.

Πλυνεύς, οἱ ὕστερον λέγουσιν. οἱ Ἀττικοί, κναφεύς.

Πλυνοὶ παρ' Ὁμήρῳ ἐν τῷ χ' τῆς Ἰλιάδος πύελοι, ὁποῖαί τινες καὶ περὶ Εὔβοιαν φαίνονται. τουτέστι λεκανίδες ἐκ λίθων, ἐπιτήδειαι πλύνειν. ὅθεν ὁ Ποιητὴς ἐτυμολογῶν φησιν, ὅτι πλύνεσκον γυναῖκες, ὧν ἔργον τὰ τοιαῦτα. ἐν δὲ τῇ Ὀδυσσείᾳ, βόθροι, ἢ σκάφαι τινὲς οἱ πλυνοὶ παραποτάμιοι, πρὸς πλύσιν χρήσιμοι αὐτοί, ὧν πρὸς διαστολὴν οἱ λαίνεοι λέγονται, ὅ ἐστι λίθινοι.

Πλυνός, ὁ ἄτιμος, καὶ ὑβρισμένος.

Πλυνὸς ὀξυτόνως, τὸ ἀγγεῖον αὐτό. παροξυτόνως δέ, τὸ πλυνόμενον.

Πλυνὸς, πόλις Λιβύης. ὅθεν ἦν Ἄτλας. Πληιόνης καὶ Ἄτλαντος ἑπτὰ θυγατέρες, ὧν μία καὶ Ἀστερόπη.

Πλυνούσῃ ναυσικάᾳ, παρ' Ὁμήρῳ. ἔθος ἦν καὶ τοῖς ἐνδόξοις τὸ τοιοῦτον ἔργον, ὡς ἐδήλωσεν ἡ ναυσικάα, καὶ ἡ μήτηρ τοῦ Εὐμαίου ἐν ὀ τῆς Ὀδυσσείας.

Πλυσμός, πλυντήρ.

Πλυντήρια. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας, ἑορτὴ παρ' Ἀθηναίοις, ἣν ἐπὶ τῇ ἀγλαύρῳ τῇ Κέκροπος θυγατρὶ ἄγουσι.

Πλυνῶ, πλυνιῶ, πέπλυκα.

Πλῶ, τὸ πλησιάζω.

Πλώζω ἔχει τὸ ι, καὶ σημαίνει τὸ πλωΐζω.

Πλωθεῖα, δῆμος τῆς Αἰγηΐδος. ὅθεν ὁ δημότης πλωθεύς.

Πλώϊμος, τὸ ἀξίωμα. καὶ πλωτήρ, ὁ ναύτης. καὶ πλωτός, ἤτοι πλεόμενος. καὶ πλωτὴ θάλασσα, ὅ ἐστι πλεομένη, καὶ πλωΐζω καὶ πλώζω, καὶ πλώω καὶ πλώοντες. καὶ πλωϊσάμενος, ὁ πλεύσας καὶ πλωάς, εἶδος ὀρνέου μεγάλου.

Πλωάς, εἶδος ὄρνιθος.

Πλωΐζεσκεν, ἀπὸ τοῦ πλέω πλώω. ἀφ' οὗ πλωΐζομαι, καὶ ἀπὸ τούτου πάλιν πλωϊζέσκω ἐνεστώς, καὶ πλωΐζεσκον παρατατικός.

Πλῶον, ἔπλεον.

Πλώτιμον, διαβατόν.

Πλώσσειν, φθείρεσθαι.

Πλωτὰς φησὶ νήσους Ἀπολλώνιος, ἤτοι πάσας ἐπιθετικῶς καλῶν διὰ τὸ περικεχύσθαι, καὶ κλείεσθαι ὑπὸ τῶν κυμάτων. ἢ ἰδίως ταύτας φησὶ πλωτὰς εἶναι, ἐν αἷς ὑπὸ τῶν Βορεάδων κατειλήφθησαν, κατὰ τὸ μυθολόγημα οὕτω κληθείσας. σχεδὸν δὲ Ποιηταὶ οὕτως αὐτὰς ὀνομάζουσιν. εἰσὶ δὲ ἐν τῷ σικελικῷ πελάγει, ταύτας δὲ ὁ Ποιητὴς Καλύδνας νήσους καλεῖ, εἰ καὶ Λυκόφρων ἄλλας νήσους καλεῖ Καλύδνας.

Πλῶτε, πλεῖτε. Πλωτῆρες, ναῦται.

Πλωτόν, πλεόμενον.

ΤΟ Π. ΜΕΤΑ ΤΟΥ Ν.

Πνεῦμα, τὸ θεῖον, ὁ ἄγγελος, ἡ ψυχή, ὁ ἄνεμος, ὁ νοῦς, ὁ δαίμων. ἢ Πνεῦμά ἐστι, νοερὸν καὶ ἀστελές, ἁπλοῦν καὶ λεπτόν, σαφὲς καὶ τρανόν, ἀπήμαντον καὶ ἀμόλαντον, μονογενὲς καὶ πανεπίσκοπον. ἢ Πνεῦμά ἐστι, λεπτὴ καὶ ἄϋλος, καὶ ἀσχημάτιστος, ἐκπορευτικὴ ὕπαρξις. Πνεῦμα δὲ εἴρηται, ὡσανεὶ πᾶν νεῦμα. διὰ τὸ ὡς νεῦμα ὀξέως παντὶ νεῦον, καὶ κινούμενον. εἴρηται δὲ ἐν τῇ γραφῇ τὸ πνεῦμα τετραχῶς. Πνεῦμα τὸ ἅγιον. πνεῦμα, ὁ ἄγγελος. πνεῦμα, ἡ ψυχή. πνεῦμα, ὁ ἄνεμος. ἔστι δὲ καὶ ὁ νοῦς τοῦ ἀνθρώπου πνεῦμα λέγεται. Πνεῦμα ἅγιόν ἐστι, δύναμις ἁγιαστική, ἀσχημάτιστος, τῷ Πατρὶ καὶ τῷ υἱῷ ὁμοούσιος, ἐκπορευτικῶς, οὐχ υἱϊκῶς ἐκ τοῦ Πατρὸς προϊοῦσα. πνεύματα, καὶ ἡ δασεῖα, καὶ ἡ ψιλή. καὶ διατί εἰσι δύο πνεύματα; διότι ἡ μὲν δασεῖα, ἐκ τοῦ θώρακος ἐξέρχεται, ἡ δὲ ψιλὴ ἐξ ἄκρων τῶν χειλέων. καὶ διὰ τοῦτο οὐ προσέχεν ὁ Ποιητὴς τρίτον πνεύματος, τῆς φύσεως μὴ ἀπαιτούσης. διατί δὲ λέγονται πνεῦμα διὰ τὸ ἐν τοῖς πνεύμασιν αὐτὰ παρακαθῆσθαι, πνεῦμα δέ ἐστιν, ἐκφορὰ λέξεως, ἀθρόως ἢ μετρίως παραλαμβανομένη.

* Πνεῦμα. δώσω αὐτοῖς πνεῦμα καινόν, οὐ τὸ πανάγιον λέγει, ἀλλὰ τοῦ λογικοῦ τὴν ὁρμήν.

* Πνευματέμφορον στόμα, τὸ ἀπὸ πνεύματος πεπληρωμένον.

Πνευματικὸν σῶμα. φασὶ μετὰ τὴν ἔξοδον τῆς ψυχῆς ἐκ τοῦ σώματος, ἐξῆφθαι ταύτης σῶμα λεπτομερές, ἀεροειδέστερον καὶ αὐγοειδέστερον, ὃ πάντως αἰσθήσεται ἀλγηδόνος, καὶ αὕτη ἡ φλυαρία ἑλληνική. τούτου δὲ τοῦ σώματος ἀχώριστον εἶναι λέγουσιν θυμὸν καὶ ἐπιθυμίαν, ὡς ἐν τοῖς τόποις Ἀριστοτέλης πᾶν πνεῦμα φθαρτὸν εἶναι λέγει.

Πνευματώδης ἀνήρ, ὅ, τε ἐμπεφυσημένος, καὶ ὀδύσπνους, παρὰ τῷ Ἱπποκράτει.

Πνεύμων, λέγεται καὶ διὰ τοῦ λ. ὅτι οὐ πάντα τὰ ζῶα ἔχει φωνήν, μόνα δὲ τὰ ἔχοντα πνεύμονα, καὶ ἀναπνέοντα. ὕλη γάρ ἐστι τῆς φωνῆς ὁ ἀναπνεόμενος ἀήρ. οὔτε δὲ τὰ ἔντομα ἀναπνεῖ, οὔτε τὰ ἄναιμα, οὔτε πάντα τὰ ἀμφίβια φωνοῦσιν, οὔτε τὰ ὀστρακόδερμα, οἷον οἱ κοχλίαι. οὔτε τὰ μαλακόστρακα, οἷον οἱ καρκῖνοι, ἀστακοί. φωνοῦσι δὲ τῶν ἀμφιβίων, ποτάμιος ἵππος, καὶ Κροκόδειλος. φωνεῖ γὰρ οὗτος κατὰ βραχύ. οἱ δὲ περὶ τὸν Ἀχελῷον ἰχθύες δοκοῦντες φωνεῖν, οὐ φωνοῦσιν. οὐ γὰρ διὰ τῶν φωνητικῶν ὀργάνων φωνοῦσιν, ἀλλὰ κατά τινα τῶν βραγχίων κίνησιν. νηχόμενοι γὰρ κατὰ τὴν τοῦ ὕδατος ἐπιφάνειαν, ἐναπολαμβάνοντες πολὺ ὕδωρ ἐν τοῖς βραγχίοις, εἶτα συστέλλοντες τὰ βράγχια ἐκπέμπουσι τὸ ὕδωρ, καὶ ταράττουσι τῇ ἐκπομπῇ. τὸ δὲ ταραττόμενον ἀπολαμβάνει τινὰ ἀέρα, ὃς ἐκθλιβόμενος τῇ γῇ, ἠχεῖ, καὶ ταύτῃ δοκοῦσι φωνεῖν. οἱ δὲ τέττιγες, διϊμένος τινὸς ὑπὸ τὸ στῆθος, καὶ τὴν ἐπιφάνειαν ἐμπεφυκότος ἀέρος, ὃν θλίβοντες

ταῖς πτέρυξι τὸν ἐναπειλημμένον ἀέρα φωνοῦσιν. οὐ γὰρ διὰ τῶν φωνητικῶν ὀργάνων φωνοῦσιν. αἱ δὲ μυῖαι τοῖς πτεροῖς τραχέσιν οὖσι, πλήττουσι τὸν ἀέρα, καὶ ἠχοῦσιν. ἀμέλει σταθεῖσαι, οὐκ ἔτι βομβοῦσι. καὶ οἱ σκάροι τῷ στόματι ὕδωρ ἐξωθοῦντες, μετὰ ῥοίζου τὸν ἦχον ἀποτελοῦσιν, ἀμέλει ἐν τῷ βάθει ὄντες οὐ φωνοῦσι.

Πνεύσας σφοδρῶς, ὀργισθείς.

Πνευστιῶν, φυσῶν, ἐμπνέων.

Πνέω, καὶ ἀναπνέω. πνέω δὲ μάχην. καὶ ἐμπνέω σοι προθυμίαν, μεταβατικῶς δοτικῇ καὶ αἰτιατικῇ. καὶ ἔτι μὲν ἐμπνέω, βραχὺ ἀναπνέω, αἰτιατικῇ. διαπνέω δὲ, τὸ θνήσκω, καὶ τὰ λοίσθια πνέω. λέγεται δὲ καὶ ἄλλως, διαπνεῖ ὁ ζέφυρος τὸν λιμένα. πνεῖ τις θυμοῦ καὶ θυμόν, ἀναπνεῖ δὲ ἀέρα, οὐχὶ πνεῖ. ἔξωθεν γὰρ ἀντιλαμβανόμεθα τοῦ ἀέρος.

Πνεῖ δίκην, κοινόν. πνεῖ δὲ δίκης, ἀττικόν. πνεῖ, ῥεῖ, ζεῖ, καὶ ὅσα τοιαῦτα, παρ' ἡμῖν δὲ οὐκ ἄσχετα τὰ διαλελυμένα.

Πνέω, πνευστιῶ, ἀσθμαίνω. ταῦτα λέγονται ἐπὶ ἀναπνοῆς συνεχοῦς, τῆς ἀπὸ δρόμου ἢ κόπου γενομένης. καὶ τὰ τούτων ὀνόματα, ἆσθμα, καὶ κάπος.

Πνίγει μετρίῳ, συμμέτρῳ καύματι, τῷ πρὸς ἔαρι. καὶ τὸ πληθυντικὸν, τὰ πνίγη.

Πνιγεὺς, ἡ τῶν ἀνθράκων κάμινος, κυρίως δὲ ἔνθα οἱ ἄνθρακες ἔχονται, καὶ πνίγονται. ἢ πνιγεὺς, ὁ κρίβανος. ἢ ἡ κάμινος, παρὰ τῷ Ἀριστοφάνει. καὶ πνιγεὺς, τὸ πνῖ παρὰ τοῖς Ποιηταῖς φύσει μακρὸν εὑρίσκεται. ῥῖγος δὲ, καὶ ψῦχος, ὁμοίως καὶ παραψυχὴ, καὶ ψυχὴ βραχέα.

Πνιγηρὰν λέγει Ἀριστοφάνης, τὴν καυματώδη, ἅμα μὲν ὅτι θερμὴν, ἅμα δὲ ὅτι πνίγει.

* Πνῖγος, θάλπος καῦμα.

Πνῖγος ἁμαρτάνουσιν οἱ βραχύνοντες τὸ ι. ἐκτείνεσι γὰρ τοὔνομα, καὶ τὰ ἀπ' αὐτοῦ. οἷον πνιγηρὰ καλύβη.

Πνίξαντες, ὀπτήσαντες. ἔστι δὲ εἶδος ὀπτήσεως τρικόν.

Πνίξις, ὁ πνιγμός.

Πνοὴ, ἀνάψυξις. δυσωδίαν νόμιζε τὴν ἀηδίαν. καὶ πνοὴ, τὸ ἆσθμα.

Πνοιὴ, πνοῦν, ταχύ.

Πνοΐμος, τροφή.

Πνόος, φθόγγος, πνοή.

Πνὺξ, δικαστήριον ἐν Ἀθήναις, καὶ ἡ ἐκκλησία παρὰ τὴν τῶν λίθων πυκνότητα. ἢ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας, ἐν τῇ ἐκκλησίᾳ.

Πνύω, ἐπνεύσεν, ἐνόησε. καὶ πόα, καὶ ἡ τῆς γῆς αὐτομάτως βλαστάνουσα φυτεία, καὶ ὁ σῖτος. καὶ κοινῶς τὸ ἀπὸ ῥίζης φυλλοβολοῦν φυτόν.

Πνυτὸς, ἔμφρων, σώφρων.

ΤΟ Π. ΜΕΤΑ ΤΟΥ Ο.

Πόα μηδική, παρ' ἡμῖν χόρτος ἀρίστη, καὶ καλλίστη, καὶ ἐπιτηδειοτάτη ἵπποις. ἡ αὐτὴ δὲ τρίφυλλος λέγεται.

Ποαλὶς, εἶδος ἐπικρίδος.

Ποάστριαι, οὐ μόνον αἱ τὴν πόαν ἐκ τοῦ σίτου, ἀλλὰ καὶ τὴν καλάμην ἐκτίλλουσαι, καὶ καθόλου αἱ κατ' ἀγροὺς μισθοῦ ἐργαζόμεναι.

Ποδαβρὸς, ὁ τὸν πόδα ἁβρός. πόδες, διὰ τὸ παίειν τὸ ἔδαφος.

Ποδάγρα, τὸ τῶν ποδῶν πάθος, καὶ πάγη.

Ποδαγκώνιδας, συκοφάντας. ἢ τοὺς κατὰ τῆς ἀρχῆς τι λέγοντας, ἢ πράττοντας.

Ποδαλείριος, καὶ Μαχάων, ἐπιφανεῖς ἰατροὶ παρὰ τοῖς Ἕλλησι. καὶ Ποδαλείριος μὲν, περὶ δίαιταν ἐπονεῖτο, Μαχάων δὲ περὶ τραύματα.

Ποδαλείριον, Μαχάονα, Ἰασὼ, καὶ Πανάκειαν, καὶ Αἴγλην νεωτάτην, τοῦ Ἀσκληπιοῦ παῖδας λέγουσιν. ἄλλοι δὲ προστιθέασιν Ἰάνισκον, καὶ Ἀλεξήνορα. ἔστι δὲ καὶ Ἀμφιαράου θυγάτηρ Ἰασώ.

Ποδαλείριος, παρὰ τὸ ἔχειν τὸν πόδα περὶ τὰ λείρια, ἤγουν τὰ ἄνθη. καὶ ποδαλείριος χιτών.

Ποδάνεμοι, ταχεῖς.

Ποδάνιπτρα ποδῶν, καὶ αὐτὴν λέγει ὁ Ποιητὴς τὴν νίψιν τῶν ποδῶν. ἢ τὸ ὕδωρ, ᾧ πόδες νίπτονται, ὃ καὶ ἀπόνιπτρον ἔλεγον, ὡς ὁ Κωμικός. ἰστέον δὲ, καὶ ὅτι καθάπερ ἐν τῷ βοῶν ἐπιβουκόλος ἀνὴρ περιττεύει τὸ βοῶν, καὶ τῷ οἶνον οἰνοχοεῖ, τὸ οἶνον. καὶ ἐν τῷ αἰπόλος αἰγῶν, τὸ αἰγῶν. αἰπόλος γὰρ οὐδενὸς ἄλλου ζώου λέγεται, ἀλλὰ μόνον αἰγῶν. οὕτω καὶ ἐνταῦθα παρέλκει τὸ ποδῶν, ἐν τῷ ποδάνιπτρα ποδῶν.

Ποδαπὸς, ἐπὶ γένους λέγων, ὀρθῶς εἴποις ἄν. οἷον ποδαπός ἐστι, Θηβαῖος ἢ Ἀθηναῖος. ἔστι γὰρ οἷον ἀπὸ ποίου δαπέδου. καὶ Ἀριστοφάνης ἐν νεφέλαις, αὐτὶ ποδαπὰ θηρία, ἤγουν ἐκ ποίου γένους. γράφεται δὲ καὶ ὁ ποδαπὸς, ποταπός. Λιβάνιος ἐν ἐπιστολῇ, ἠρόμην τὸν καλὸν φωσφόρον, ποταπός τε εἴη τοὺς τρόπους. περὶ δὲ τρόπου ἐρωτῶν, οὕτως ἐρεῖς. ποταπὸς τὸν τρόπον Σωκράτης; ἐπιεικής. Λιβάνιος, ποταπὴ τὴν γλῶτταν ἡ παρθένος.

Ποδάρκης, ὁ ταχὺς περὶ τὸν δρόμον, ὡς ποδάρκης Ἀχιλλεύς.

Πόδας καθαίρειν, φροντίδων δηλοῖ λύσιν.

Πόδας πλατεῖς ἔχοντα, σημαίνει λύπας.

Πόδας ὠκὺς, τοῖς ποσὶ ταχύς.

Ποδαύρου, ἐρρωμένου τοὺς πόδας.

Πόδες, τὰ κάτω δύο σχοινία, οἷς πρὸς πρῷραν καὶ πρύμναν δεσμεῖται τὸ ἱστίον. καλοῦνται δὲ πόδες, διὰ τὸ κάτω εἶναι. ἀπεναντίας τῶν προρρηθείσαις ὑπέραις, ὡς οἷον ὕπερθεν κεφαλαῖς τοιούτων ποδῶν. ἐξ ὧν ῥῆμα ποδῶ ποδώσω, ὡς δηλοῖ καὶ ὁ Λυκόφρων. ἔνθα ποδωτὰ λῖνα τὰ ἱστία φράζει. οἱ δὲ παλαιοί φασι, καὶ οὕτω πόδες πλοίου, σχοῖνοι κάτωθεν συνέχοντες τὴν ὀθόνην. ἢ οἱ μεταγωγοὶ τοῦ κέρατος. ἢ κατὰ ἄλλους, οἷς συνέχεται ἀπὸ πρῴρας καὶ ἀπὸ πρύμνης ὁ ἱστὸς, ἢ τὰ ἑκατέρωθέν φασι προσδεδεμένα τοῖς ἀρμένοις σχοινία.

Πόδες φέρον, παρὰ τῷ Ποιητῇ, φασὶν οἱ παλαιοὶ ἐνταῦθα. ὡς ἔθος Ὁμήρῳ, οὕτω φράζειν ἐπὶ τῶν κατὰ σπουδὴν θεόντων, ὡς μὴ κινούντων τοὺς πόδας, ἀλλὰ φερομένων ὑπ' αὐτῶν, ὡς οἷα ὑπό τινων πτερῶν.

Πόδες Ἴδης, τὰ ἔσχατα καὶ κατώτατα μέρη. οἱ δὲ, δένδρα.

Ποδεῶνες, εἶδος γεωργικόν. καὶ στηταὶς ποδεῶνας. καὶ ποδεῶνες, οἱ ἑκατέρωθεν τοῦ ἀσκοῦ προέχοντες.

Ποδηγῶν, ὁδηγῶν, παιδαγωγῶν.

* Ποδηγέστερον, ὁδηγητικώτερον.

Ποδηνεκέα, τελείαν, βαθεῖαν. ὥστε ἀπὸ τῶν ποδῶν μέχρι τοῦ αὐχένος διϊκνεῖσθαι. τινὲς δὲ τὴν ναῦν.

Ποδηνέμος, ὑπόπτερος, ἢ τοῖς ποσὶ ταχεῖα.

Ποδήρης στολὴ, τὸ εἰς κάτω τοῦ ἱματίου κεκονισμένον. καὶ ποδήρης, ἡ ναῦς ἡ τοῖς ποσὶν ἐρεσσομένη ταῖς κώπαις, ἤτοι πολύπους, ἢ μέχρι τῶν ποδῶν ἱμάτια.

Πόδιοι, ἐνειλήμματα ποδῶν, ἤγουν φασκίας.

Ποδιάζειν, τὸ ἐπὶ τὸ αὐτὸ ἀναστρέφειν καὶ ὑποστρέφειν.

Πόδικε, πρόσειψον.

Ποδίκρα, ὄρχησις πρὸς πόδα γινομένη. Λάκωνες.

Ποδοῖϊν, ποιητικὸν, παρὰ τὸ πούς ποδὸς ποδοῖν, καὶ πλεονασμῷ τοῦ ι ποδοῖϊν, ὡς τὸ ἵπποιϊν καὶ ὁμοιϊν.

Ποδοκάκκη, ξύλον εἰς ὃ ἐν εἱρκτῇ τοὺς πόδας ἐμβάλλοντες συνέχουσιν, ὃ παρὰ Ῥωμαίοις κήππος καλεῖται. ἐν εἱρκτῇ τε καὶ ποδοκάκκῃ στρεβλούμενοι, καὶ ταλαιπωρούμενοι ἔμενον. λέγεται καὶ ποδοστράβη, ὡς ἐν ποδοστράβαις τισὶ τοῖς βόθροις ἐνειργόμενοι ἐκτείνοντο. καὶ ποδοκάκκη ὁ ἐν τῷ ξύλῳ δεσμὸς τῶν ποδῶν, ἤτοι διὰ τὸ τοὺς πόδας κακοῦν. ἔστι δὲ εἶδος παγίδος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὰ θηρία. καὶ ξύλον, ἐν ᾧ οἱ κακοῦργοι δεσμοῦνται, ποδοκατόχη τις οὖσα, ἐν ᾗ οἱ πόδες κατέχονται.

Ποδορρώρη, ἐπώνυμον Ἀταλάντης. παρὰ τὸ πούς καὶ τὸ ὀρούειν, οἷον ἡ τοῖς ποσὶ ὁρμῶσα.

Ποδὸς τεταγὼν, τὸ ποδὸς ῥιφῆναι τὸν Ἥφαιστον, ἀπὸ βηλοῦ θεσπεσίοιο ὑπὸ τοῦ Διός. ὅθεν ἀλλόδηλοι, ἢ ὅτι πολλάκις αἱ ἄνω ἐκπυρωθεῖσαι ἀναθυμιάσεις, ἐν τοῖς μετεώροις, κάτω ῥιπτοῦνται. ὥσπερ οἱ κεραυνοὶ, καὶ ἄστι ἄλλο τοιοῦτον. καὶ οὐκ ἔστιν ἐπὶ πολὺ παραμεῖναι τοῖς ἄνω τόποις τοιοῦτον Ἥφαιστον, ἀλλὰ, ἢ ἄλλως ἀφανιζόμενος λύεται καὶ σκεδάζεται, ἢ κάτω βάλλεται.

Ποδὸς παρείην, μεταφορικῶς ἀπὸ τῶν πλεόντων ἐχρήσατο. ἐπειδὰν γὰρ πλείων ἄνεμος ἐμπέσῃ τοῖς πλέουσι, συστέλλουσι καὶ παραιροῦσι τῶν ἱστίων τὰ πολλά. ἢ τὸ μὲν ἓν μέρος τοῦ ἱστίου, τὸ δὲ ἕτερον ἀναστέλλεται. οἷον ἐὰν μὴ χρεία ᾖ, καὶ ὁ καιρὸς ἀπαιτῇ. πόδας δὲ καλοῦσιν οἱ ναῦται, τοὺς παρ' ἑκάτερα τὰ μέρη κάλως ἐνδεδεμένους τῆς ὀθόνης.

Ποδηγέστερον, ἐκ τοῦ ποδηγὸς, ἀντὶ τοῦ ὁδηγητικώτερον.

Ποδηγετεῖ, παρὰ Λυκόφρονι, λέξις ἀπὸ τῶν κυνῶν μετηνέχθη. ἕπονται γὰρ οἱ κύνες τοῖς τῶν θηρίων ἴχνεσιν, ἐν τοῖς κυνηγίοις.

Ποδηνεκὲς, δέρμα ἐστὶ, τὸ τερμιόεν καὶ μέχρι ποδῶν ἐνεχθέν. παραγωγὴ δὲ τῆς λέξεως κατὰ τὸ δουρηνεκὲς, διηνεκές.

Ποδίζειν κυρίως, τὸ τοῖς ποσὶ μετρεῖν τι χωρίον. καὶ τὸ τὴν σκιὰν μετρεῖν, πρὸς ἣν ἐπὶ τὸ δεῖπνον ἐβάδιζον.

Ποδὸς φυτὶς, τὸ τῶν ποδῶν ἕλκεσθαι.

Ποδοστράβας, μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ τὰ θηρία ἐμβαίνοντα, ἡλίσκοντο. διείλεκται Ξενοφῶν περὶ τῆς κατασκευῆς αὐτῶν, ἐν τῷ περὶ κυνηγετικῶν, καὶ τῆς χρήσεως.

Ποδοστράβη, τὸ γινόμενον πρὸς τὰ στρέμματα τῶν ποδῶν. ἄλλοι τὴν τοῖς ἐλάφοις ἱσταμένην πάγην.

Ποδοτρόχαλος, ὁ τῷ ποδὶ τὸν κεραμικὸν τροχὸν κινῶν.

Ποδώκεια, ἡ ταχεῖα.

Ποδώκεας. Ἀπίων καὶ Ἡρόδωρος οὐκ εὐλόγως προπαροξύνεσθαι λέγουσι. τὰ γὰρ εἰς υς ὀξυνόμενα, φυλάττοντα ἐν τῇ συνθέσει τὴν αὐτὴν κατάληξιν, ἀναδιδόασι τὸν τόνον, οἷον δριμὺς ἄδριμυς, τραχὺς ἄτραχυς. μὴ οὕτω δὲ ἔχοντα, ἀλλὰ τρέποντα τὸ τέλος, ἵσταταί φασιν ἐπὶ ὀξείας, οἷον ἡδὺς ἀηδὴς, βαρὺς ἀβαρὴς, ἠὺς ἐνηὴς, βαθὺς ἀβαθής. οὕτω γοῦν καὶ ὠκὺς ποδώκης, ὥστε κατ' αὐτοὺς καὶ ποδώκης ἵππος ὀξυτόνως ὤφειλε, καὶ πληθυντικὸν ποδωκέας. τὸ μέντοι ποδώκης Ἀχιλλεὺς, οὐ παρασαλεύουσιν οἱ ῥηθέντες, ἀλλά φασιν ὅτι τὸ ποδώκης Ἀχιλλεὺς, εἰς ἰδιότητα τοῦ ἥρωος βεβαρυτόνηται, ὥσπερ ποδώκης. καὶ τραγικῶς, ἀνεμώκης ταυτὸν, οὕτω καὶ ποδηνέμος καὶ ἀελλόπους. ἐξ οὗ ἀπελθόντος τοῦ υ, γίνεται ἡ ἀελλόπος ἀναγκαίως. ἄλλως γὰρ ἄχρηστος ἡ λέξις μέτρῳ δακτυλικῷ, καθὰ καὶ οἰδίπους, καὶ ὅσα ἀμφίμακρα.

Ποδώνυμος, ἐσθὴς ἱερὰ τῆς Πανδρόσου.

Ποηφάγον θηρίον, τὸ τὰς βοτάνας ἐσθίον.

Ποθέεσκεν, ἐπόθει, ἐπεζήτει.

Ποθέεσκε, ποθέω ποθῶ, ἐπόθεον ἐπόθουν. ἐπόθεε, καὶ πλεονασμῷ τῆς σκε συλλαβῆς, καὶ ἀφαιρέσει τῆς ἀρχούσης, ποθέεσκε.

Ποθεινὸς, πεποθημένος, ἀγαπητός.

Ποθεῖς τὸν οὐ παρόντα, καὶ μάτην καλεῖς. Ἡρακλῆς πλέων μετὰ τῆς Ἀργοῦς εἰς Κόλχους σὺν Ἰάσονι, ἐν Κίῳ τῇ νήσῳ ἐξελθὼν, καὶ πέμψας τὸν ἐρώμενον αὐτοῦ Ὕλαν ὕδωρ ἀντλῆσαι, περιέμενεν αὐτόν. τοῦ δὲ ὑπὸ Νυμφῶν ἁρπαθέντος, Ἡρακλῆς πολὺν χρόνον ἐζήτει. ὕστερον δὲ ὑπό τινος αἰθερίας φωνῆς ἤκουσε, ποθεῖς τὸν οὐ παρόντα, καὶ μάτην καλεῖς. ἐλήφθη ἐν τοῦτο εἰς παροιμίαν, ἐπὶ τῶν μάτην προσδοκώντων.

Πόθεν, ἐνίοτε μὲν ἐστὶν ἐρωτηματικὸν, καὶ λαμβάνεται ἀπὸ ποίου τόπου, ἢ ἀπὸ ποίας αἰτίας. ἐνίοτε δ' ἀπορρηματικὸν, ὅτε καὶ ἀντὶ τοῦ οὐδαμῶς λαμβάνεται, ὡς παρὰ Εὐριπίδῃ ἐν Ἑκάβῃ, ὡς μὲν ἀξία πόθεν, ἀντὶ τοῦ οὐδαμῶς.

Πόθεν ἐπίρρημα, ἐκ τόπου κίνησιν ἐμφαῖνον, ἰσοδυνάμον τῇ ἐκ προθέσει. ὁ γὰρ ἐρωτῶν πόθεν πορεύῃ, ἀντακούει ἐκ τῆς οἰκίας. τὸ ποῦ

στάσιν,

τῆς φύσεως, οἷον πῦ μένει ὁ Πλάτων, ἐν τῇ οἰκίᾳ. ἰσοδύναμον τῷ ἐν προθέσει. τοῦτο τὸ πῦ συντάσσεται καὶ μετὰ γενικῆς. ποῦ τῆς πόλεως ὁ Ἀριστοτέλης κατοικεῖ. ἰσοδυνάμον τῷ, ἐν ποίῳ μέρει τῆς πόλεως. ἐμφαίνει δὲ καὶ τὸ πόθεν, αἰτίαν. οἷον πόθεν κινούμενος δέδρακάς με κακά, ἀντὶ τοῦ ἐκ τίνος αἰτίας καὶ ἀφορμῆς.

Πόθεν ἐπίρρημα, ἐγκλίνεται. πόθεν ἦλθες, ἦλθέν ποθεν. καὶ ὁμοίως πόθι, ἦλθές ποθι.

Ποθέσαι, ἀντὶ τοῦ ποθῆσαι. δοκεῖ μὲν ποιητικὸν, ἔστι δὲ ἀληθῶς Ἀττικόν, λέγεται τοίνυν ἑκατέρως καὶ ποθῆσαι, καὶ ποθέσαι. ἀφ᾽ οὗ καὶ ἀπόθετος κύων, ὁ ἠμελημένος, καὶ ἀπόθητος. καὶ ἐν Ὀδυσσείᾳ, κύων ἀπόθετος, ὃ ἐστι μὴ ποθούμενος.

Ποθεῦντι, ἀντὶ τοῦ ποθοῦσι, ζητοῦσι, παρὰ Θεοκρίτῳ.

Ποθὴ, ἡ ἐπιζήτησις.

Ποθή ἐστιν, ὁ πόθος. καὶ ἀπ᾽ αὐτοῦ παρήχθη, ὡς χόλος χολή. ὀξύνεται δὲ ποθὴ κανόνι τῷ λέγοντι, τὰ εἰς ος δισύλλαβα τῷ ο παραληγόμενα βαρύτονα ἀπαρασχημάτιστα οὐδετέροις, ἐὰν ποιῶσι θηλυκὸν, ὀξύτονον αὐτὸ ποιοῦσι, στρόφος στροφὴ, νόμος νομὴ, ῥόος ῥοὴ, πλόκος πλοκὴ, οὕτω καὶ πόθος ποθή. σεσημείωται τὸ κόρη, ἐκ τοῦ κόρος, ὁ νέος. ἐναντιοῦται τῷ τοιούτῳ κανόνι, καὶ ἡ βιοτὴ ἐκ τοῦ βίοτος, εἰ καὶ τρισυλλαβεῖ.

Ποθήμεναι, δῆλον ὡς ἀπὸ τοῦ ποθαίνω ἀχρήστου παράγεται ῥήματος, ὡς καὶ τὸ φορῆναι ἀπὸ τοῦ φοραίνω, ἴσως δὲ καὶ ἄλλως αὐτό. τὸ μὲν ἐκ τοῦ ποθῶ πόθημι, τὸ δ᾽ ἐκ τοῦ φορῶ φόρημι γίνεται.

Πόθι, ποῦ, καὶ ποῖ κοινῶς. τὸ μὲν ἐπὶ στάσεως, τὸ δὲ ἐπὶ κινήσεως πόθι, καὶ πόσε ποιητικῶς. λέγεται δὲ τὸ μὲν ποῦ ἐνίοτε μὲν ἐπὶ τόπου, ἐνίοτε δὲ ἀντὶ τοῦ ἴσως. ἔστι δ᾽ ὅτε καὶ περισπωμένως κεῖται, ὅτε δὲ ἐπὶ τόπου. ἐνίοτε μὲν κατ᾽ ἐρώτησιν προφέρεται, ἐνίοτε δὲ χωρὶς ἐρωτήσεως, ἐπὶ μὲν τῶν ἄλλων ἁπάντων ἐγκλίνεται. ὅτε δὲ κατ᾽ ἐρώτησιν λέγεται, οὐ δύναται ἐγκλίνεσθαι.

Ποθολκὶς, ἡ ἡνία τῶν ὑποζυγίων. * Δωρικῶς ἴσως ἀντὶ τοῦ προσολκὶς, ὅτι ταύτῃ προσέλκεται τὰ ὑποζύγια.

Πόθος, ἔρωτος διαφέρει. καθὸ ὁ μὲν ἔρως λέγεται καὶ ἐπὶ παρόντων, καὶ ἐπὶ μὴ παρόντων πραγμάτων. ὁ πόθος δὲ ἀεὶ λέγεται ἐπὶ ἀπόντων. καὶ ἀπὸ τούτων ῥῆμα ποθεῖν, καὶ ἐρᾶν. ὧν τὸ μὲν ἐρᾶν, καὶ ἐπὶ παρόντων, καὶ μὴ παρόντων λέγεται, ποθεῖν δὲ τὸ μὴ παρόντα ἀνακαλεῖν, καὶ ἀναζητεῖν. καθὸ καὶ παρ᾽ Ἀριστοφάνει παροιμιακῶς λέγεται, τὸ ποθεῖς τὸν οὐ παρόντα, καὶ μάτην καλεῖς.

Πόθος ποιητικῶς, κοινῶς ποθὴ, κατὰ τὸ χόλος χολὴ, βίοτος βιοτὴ, ἐκ τοῦ πείθω, ὁ πόθος, ποθή.

Πόθος ἐστὶν, ἐπιθυμία πραγμάτων ἀπόντων. ἐπιθυμία δὲ καὶ ἵμερος τὸ αὐτὸ, καὶ λέγεται ἐπὶ τῶν ἀπόντων.

Πόθος, παρὰ τὸ πήθω τὸ πάσχω γίνεται πόθος, τροπῇ τοῦ η εἰς ο. ἢ ἀπὸ τοῦ πείθειν, τὸ εἰς συγκατάθεσιν ἄγειν, ἐξ οὗ τὸ πέποιθα. ὁ γὰρ πόθος, πείθει τὸν ποθοῦντα ποθεῖν ὃ ποθεῖ. ἐκ τοῦ πόθος ποθεινὸς, ὡς σκότος σκοτεινός.

Ποῖ ἐρωτηματικὸν, καὶ ἀόριστον. τίθεται ἐπὶ μὲν κινήσεως μόνον τὸ ποῖ, καὶ διὰ τοῦ ο καὶ ι διφθόγγου γράφεται. διὰ δὲ τοῦ η γραφόμενον, καὶ ἐπὶ στάσεως καὶ κινήσεως τίθεται. καὶ δῆλον ἐκ τοῦ πᾶ βᾶ, πᾶ στῶ, παρ᾽ Εὐριπίδῃ. εἰ δέ που καὶ διὰ διφθόγγου εὕρηται ἐπὶ στάσεως, κατὰ παράχρησίν ἐστι.

Ποιὰ, ἡ πεποιημένη φωνή.

* Ποιὰ ἀμάχου ἡ βοτανώδης ὕλη, ὡς πυροὶ καὶ κριθαὶ, ἀλλὰ καὶ ἡ ποίησις.

Ποίαν, ταραχὴν, θόρυβον, τάραχον, συναθροισμὸν, πτυρμόν.

Ποιάνθιον, πεδίον.

Ποῖ, ἀντὶ τοῦ πῦ, Σοφοκλῆς.

Ποῖ γῆς ἀπεδήμεις. ὁ Διόνυσος λέγει, ποῖ γῆς. ὁ δέ φησιν, ἐπεβάτευον Κλεισθένει. τὸ ἐπιβατεύειν ἐπὶ συνουσίας, ἀπὸ μεταφορᾶς τῶν ζώων. διὰ ἐπιβαίνοντα συνουσιάζει.

Ποῖ ἄττη, ἔστω συνταχθέν διὰ τοῦ ι. πῦ δὲ ἄττει διὰ τοῦ υ ἁμάρτημα, ἵν᾽ δὲ τῷ υ πῦ διατρίβεις.

Ποιάντιον, Ποίαντος παῖδα.

Ποιεῖν, τὸ ἐν ἑαυτῷ ἔχειν τὴν αἰτίαν τῆς ἐνεργείας, ποιεῖν λέγεται ἐπὶ τῶν ποιητικῶν τεχνῶν, τεκτονικῆς φημὶ, καὶ τῶν τοιούτων.

Ποιεῖν ἐστι, τὸ εἰς ἄλλο ἑτερογενὲς ποιεῖν τι, ἢ δρᾶν.

Ποιεῖσθαι, τὸ τίθεσθαι παρὰ τοῖς ῥήτορσιν. οἷ φασιν ἔθετο ὁ δεῖνα τὸν παῖδα τοῦ δεῖνος, ἤγουν θετὸν υἱὸν ἔχειν.

Ποιοῦμεν, ποιῦμεν.

Ποιέομαι, ποιοῦμαι, ἡ πρώτη συζυγία τῶν περισπωμένων συναιρεῖ τὸ εο εἰς ου, ἐπὶ τοῦ παθητικοῦ ἐνεστῶτος. ἡ δευτέρα δὲ συναιρεῖ τὸ αο εἰς ω, οἷον βοάομαι βοῶμαι. ἡ τρίτη δὲ καὶ τὰ δύο οο εἰς ου, οἷον χρυσόομαι χρυσοῦμαι.

Ποιήεσσαν, σιτοφόρον, βοτανώδη.

Ποιήεις βοτανώδης, ἀπὸ τοῦ πόα, ὃ σημαίνει τὴν βοτάνην.

Ποιεῖν ἐστι, τὸ κατασκευάζειν τί. περιποιεῖν δὲ, τὸ περικτᾶσθαι, ἢ κοσμεῖν. ποιεῖν, ἀντὶ τοῦ πράττειν, καὶ ἀντὶ τοῦ ποιητικῶς γράφειν.

Ποιέω ποιέεις ποιέει. παρατατικὸς ἐποίεον, εες, εε, προστακτικὸν ποίεε, ποιεέτω, εὐκτικὸν ποιέοιμι, έοις, έοι. ὑποτακτικὸν ἐὰν ποιέω, έῃς, έῃ. ἀπαρέμφατον ποιέειν, ἡ μετοχὴ ὁ ποιέων τοῦ ποιέοντος. οἱ Ἴωνες τοῖς ἐνεστῶσιν ὁμοίως καὶ τοῖς παρατατικοῖς ἐν πάσαις ταῖς ἐγκλίσεσι καὶ μετοχαῖς τῶν πάντων περισπωμένων ἐντελῶς χρῶνται, χωρὶς συναιρέσεως.

Ποίην, τὴν ἔχουσαν τὸ φύλλον, ὅμοιον οἰνάρῳ τὴν φύσιν, ὡς τὸ τῆς κισσαμπέλου καλουμένης εἶδος παρὰ τῷ Ἱπποκράτει.

Ποίην, πόαν, βοτάνην. καὶ ποιηφάγον.

Ποίη κατὰ τὸ ἔαρ δρεπόμενος, ἢ κειρόμενος χόρτος δοκεῖ. καὶ ὁ Ποιητὴς ἐν Ὀδυσσείᾳ, ἐν τῷ κεκορηότε ποίης, οὐ μόνον δηλοῖ τὸν χόρτον, ἀλλὰ καὶ καρποὺς Δήμητρος, οἷς καὶ βοῦς πιαίνεται. ἐν σταθμοῖς.

Ποίη, τὰ πρωτογάλακτα, τὰ ἐξ αὐτῶν πηγνύμενα, παρὰ τῷ Ἱπποκράτει.

Ποιήσαντο, ἀντὶ τοῦ ἰσχάδασαν. καὶ ἔστι λέξις κοινὴ μὲν, κατεσπαρμένη δὲ πολλαχοῦ κειμένη καὶ ἐνεργητικῶς καὶ παθητικῶς.

Ποιήσειε, κοινωνήσειε, καὶ πάντα τὰ εὐκτικὰ δύνανται λαμβάνεσθαι, ἀντὶ παρεληλυθότων χρόνων, ὅταν ἔχωσιν ὄπισθεν τὸ ως. ἐκδιηγηματικὸν γὰρ τὸ ως.

Ποίησις, τὸ ὅλον βιβλίον, οἷον ἡ Ἰλιὰς, καὶ ἡ Ὀδυσσεία. Ἰλιὰς δέ ἐστιν ἡ τῆς Τροίας ὑπόθεσις. Ἴλιον γὰρ ἡ Τροία. Ὀδυσσεία δὲ, ἡ πλάνη τοῦ Ὀδυσσέως. εἰσὶ δὲ καὶ αἱ δύο αὗται, ποιήσεις τοῦ Ὁμήρου. διαιρεῖται δὲ τριχῶς ἡ ποίησις, εἰς διηγηματικὸν, εἰς μιμητικὸν, καὶ μικτόν. καὶ διηγηματικόν ἐστιν, ἡνίκα ὅλος ὁ λόγος ἐκ ποιητικοῦ μόνου προσώπου λέγεται. μιμητικὸν δὲ, αἱ τραγῳδίαι καὶ κωμῳδίαι. μικτὸν δὲ, ἐξ ἑκατέρου εἴδους. ποίημα δὲ ποιήσεως διαφέρει. ποίησις μὲν γάρ ἐστιν ὡς εἴρηται, τὸ ὅλον βιβλίον. ποίημα δὲ ἡ ῥαψῳδία. εἴρηται δὲ ῥαψῳδία, ἀπὸ τοῦ δαφνίνῃ ῥάβδῳ περιερχομένους ᾄδειν τὰ Ὁμήρου ποιήματα. καὶ διὰ τί δαφνίνην ῥάβδον κρατοῦντες ᾖδον τὰ Ὁμήρου ποιήματα; ἢ ὅτι μαντικὴ ἡ δάφνη, μαντικὴ δὲ ἡ ποιητική. οὐδὲ γὰρ εἴη τις τέλειος Ποιητὴς, εἰ μὴ ἱστορήσει καὶ μαντεύσεται καὶ διηγήσεται.

Ποιησῶ, ἀντὶ τοῦ ποιήσω δωρικῶς. Δωριεῖς γὰρ περισπῶσι τοὺς μέλλοντας, τύψω κοινῶς, τυψῶ δωρικῶς, ὁμοίως τυψοῦμαι.

Ποίθοι, τέσσαρες αἱρετοὶ παρὰ Λάκωσι, δύο καθ᾽ ἕκαστον Βασιλέα σύσσιτοι.

Ποικάζουσαι, σκεπάζουσαι.

Ποῖ κῆχος, ζήτει καὶ τοῦτο ποῖ κῆχος, εἰς τὸν Οὐρανόν. καὶ Ἀριστοφάνης, ποῖ κῆχος, εὐθὺς. Σικελίας. καὶ παρὰ Φερεκράτει, ποῖ κῆχος. καὶ εἰ μὲν παρεζευγμένον εὑρήσεις τὸ ποῖ τῷ κῆχοι, Ἐρατοσθένης δὲ λαμβάνει ἐκ ταύτης τῆς συντάξεως τοῦ ἐγγὺς, καὶ εἰς τίνα τόπον, τοῦ ἄγχος, τοῦ κῆχος. τὸ τοῦ, κῆ. τοῦ ἐγγὺς, τῇ ἄγχος, ὅπερ ἐστὶν ἐν τῷ ἔναγχος, κῆχος. ἔλλειψις ἄρα τοῦ γ κῆχος ἄγχος, ἔχει αὐτὸ ἐν τῷ ἔναγχος, Ἡρωδιανὸς περὶ παθῶν.

Ποικίλα, πεποικιλμένα, κεκαλλωπισμένα.

Ποικίλη στοὰ, ἐν Ἀθήναις, ἔνθα ἐγράφησαν οἱ ἐν Μαραθῶνι πολεμήσαντες.

Ποικίλον, πολύτροπον.

Ποικιλομήτης, ποικιλόβουλος.

Ποικίλον, ἱμάτιον, ζωγραφητόν.

Ποικίλος, σημαίνει τὸν ἐπιμελῶς κατεσκευασμένον, παρὰ τὸ πύκα, ὁ πολλὰς ἔχων πυκνότητας ποικιλίας.

Ποικιλῳδὸς, ἡ σφίγξ, τὸ πρὸς ποσὶ σκοπεῖν.

Ποικιλόστερνος, ποικιλόβουλος.

Ποικιλὶς, ὄρνις ποιός.

Ποικιλτικὴν, πολυμιταρικήν.

Ποικνὸς λόγος, ὁ πυκνός.

Ποιητὴς ἀπροσδιορίστως λεγόμενος, γενικόν ἐστιν ὁμώνυμον ὄνομα, εἰς εἴδη διαιρούμενον πλείονα, εἰς τὸν κατ᾽ ἐξοχὴν καὶ ἀπροσδιορίστως λεγόμενον ποιητὴν, εἰς λυρικὸν ποιητὴν, εἰς διθυραμβικὸν, εἰς ἰαμβογράφον, τραγικὸν, σατυρικὸν, κωμικὸν, εἰς ἐλεγειογράφον, εἰς ἐπιγραμματογράφον, τὸν καὶ ἀναθεματικὸν, καὶ ὑμνογράφον, εἰς ᾀσματογράφον καὶ ᾠδὸν, εἰς ἐπιθαλαμιογράφον, εἰς μονῳδὸν, καὶ εἰς μυρία ἕτερα εἴδη, ἅπερ μακρόν ἐστι λέγειν καὶ ὀχληρὸν, καίπερ ἀκριβῶς ἐπιστάμενον. λεκτέον δέ μοι τὰ τῶν ῥηθέντων γνωρίσματα, καὶ χαρακτηρίσματα, τῶν μὲν ἀπροσδιορίστως καὶ κατ᾽ ἐξοχὴν ποιητῶν λεγομένων, τέσσαρα ταῦτα τυγχάνουσι τὰ γνωρίσματα, μέτρον ἡρωικὸν, μῦθος ἀλληγορικὸς, ἱστορία, καὶ ποιὰ λέξις, ὧν χωρὶς ἐποποιοὶ λέγονται. γεγόνασι δὲ ὀνομαστοὶ Ποιηταὶ πέντε, Ὅμηρος, Ἡσίοδος, Πάνυσις, Ἀντίμαχος, Πείσανδρος. νέοι δὲ ὅσα τὰ φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ. καὶ ταῦτα μὲν τὰ γνωρίσματα τῶν καλουμένων κατ᾽ ἐξοχὴν Ποιητῶν. λυρικῶν δὲ γνωρίσματα, τὸ πρὸς τὴν λύραν τὰ τούτων ᾄδεσθαι μέλη. καὶ χορὸς ἑστὼς κυκλικῶς, ἄνδρας ἔχων πεντήκοντα, οἵπερ καὶ δῶρον ταῦρον ἐλάμβανον. οἱ δὲ διθυραμβικοὶ τῶν λυρικῶν εἶχόν τι πλέον, τὸ πρὸς Διόνυσον πολυστρόφως πλέκειν τοὺς ὕμνους, καὶ τρίποδα ἐλάμβανον. διὸ καὶ διθύραμβοι ἀπὸ τοῦ Διονύσου ἐλέγοντο, τοῦ διὰ δύο θυρῶν ἐκβάντος, τῆς τε γαστρὸς τῆς Σεμέλης, καὶ τοῦ μηροῦ τοῦ Διός. λυρικοὶ δὲ ὀνομαστοὶ δέκα, Στησίχορος, Βακχυλίδης, Ἴβυκος, Ἀνακρέων, Πίνδαρος, Σιμωνίδης, Ἀλκμὰν, Ἀλκαῖος, Σαπφὼ, Κόριννα. διθυραμβικὸς δὲ διάσημος Ποιητὴς, Φιλόξενος ὁ Κυθήριος. ἰαμβογράφων ποιητῶν γνωρίσματα, λοιδορία δι᾽ ἰάμβων. καταχρηστικῶς δὲ καὶ δι᾽ ἑτέρου οἱουδή τινος μέτρου. ἀριθμητοὶ δὲ ἰαμβογράφοι, Ἀνανίας, Ἀρχίλοχος, Ἱππῶναξ. τραγικῶν σατυρικῶν ποιητῶν, κοινὸν μὲν τὸ τετραγώνους ἔχειν ἱσταμένους τὸν χορὸν, καὶ τὸ λαμβάνειν τράγον, ἢ τρύγα, τουτέστι νέον οἶνον, καὶ μιμητικῶς ὡς ἐν τῇ θυμέλῃ τὰ τούτων δράμματα λέγεσθαι, καὶ δρᾶσθαι. διαφορὰ δὲ αὐτοῖς, τὸ τὴν κωμῳδίαν γέλωτας ἔχειν καὶ σκώμματα, καὶ εἰκοσιτέσσαρας χορευτάς. τὴν δὲ τραγῳδίαν, καὶ τοὺς σατύρους ἐπίσης μὲν ἔχειν χορευτὰς, ἑκκαίδεκα. διαφέρει δὲ πρὸς ἀλλήλας, ὅτι ἡ μὲν τραγῳδία θρήνους μόνον καὶ οἰμωγὰς, ἡ δὲ σατυρικὴ ποίησις συγκιρνᾶται ταῖς ὀλοφύρσεσιν, ἱλαρότητι, καὶ ἀπὸ δακρύων εἰς χαρὰν καταντᾷ. διαφέρει δὲ καὶ τοῦτο κωμῳδία καὶ τραγῳδία, ὅτι ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησι. κωμῳδία δὲ ἐκλήθη, ἢ ὅτι κατὰ τὸν καιρὸν τοῦ κώματος, ἤγουν τοῦ ὕπνου εὑρέθη. ἢ ὅτι ἐν ταῖς κώμαις, τουτέστιν ἐν ταῖς στενωποῖς, ἢ ταῖς πόλεσιν, ἢ τοῖς μεγίστοις χωρίοις, ἢ ὅτι ἐν ταῖς κώμοις τοῦ Διονύσου εὑρέθη. ἡ δὲ τραγῳδία, ἀπὸ τοῦ τράγου ἢ τρύγα λαμβάνειν, τουτέστι νέον οἶνον, καὶ ἀπὸ τοῦ τρυγὶ χρίεσθαι τὰ πρόσωπα κα-

τάρ.

τ' ἀρχὰς, ἢ ὅτι τοὺς τραγῳδοὺς ἵστων τὸ τραγῳδεῖν, ἀπὸ τοῦ τραχείας ᾠδὰς ἔχειν τοὺς θρήνους, τραχῳδία καὶ τραγῳδία. σατυρικὴ δὲ, ἀπὸ τῶν σατύρων ἐκλήθη, τῶν ἀγροίκων αὐτὴν, ἤτοι γεωργῶν καὶ ἁπλῶν ἀνθρώπων. τραγῳδοὶ ποιηταὶ, Ἀρίων, Θέσπις, Φρύνιχος, Αἰσχύλος, Σοφοκλῆς, Εὐριπίδης, Ἴων, Ἀχαιὸς, καὶ ἕτεροι μύριοι. κωμῳδοὶ, Κρατῖνος, Πλάτων, Εὔπολις, Φερεκράτης, Ἀριστοφάνης, καὶ ἕτεροι. καὶ νέοι, Μένανδρος, Φιλήμων, Φιλιστίων, καὶ πλῆθος πολύ. σατυρικὸς δὲ, Πρατίνας. καὶ ταῦτα μὲν περὶ σατυρικῶν, καὶ κωμικῶν ποιητῶν. Ἐλεγειογράφων γνωρίσματα ποιητῶν, τὸ προσεθηκότας οἴκτους συγγεγραφέναι, καὶ ὀλοφύρσεις ἐν ἐλεγείῳ τῷ μέτρῳ κυρίως, καταχρηστικῶς δὲ καὶ ἑτέρῳ. ἐλεγείων δὲ ποιηταὶ, Καλλίμαχος, Μίμνερμος, Φιλητᾶς. Ἐπιγραμματογράφων δὲ γνωρίσματα καὶ ἀναθεματικῶν, τὸ γεγραφέναι εἰς ἀνδριάντας ἐπιγράμματα, καὶ εἰς τὰ ἐν ναοῖς ἀναθήματα, καὶ εἰς ἕτερα τοιαῦτά τινα. ὡς Ὅμηρος ἐποίησεν, ἐπὶ τῇ δοθείσῃ τούτῳ φιάλῃ παρὰ τῶν Μιδουιῶν. ἣν ἀνέθετο ἐν Δελφοῖς Ἀπόλλωνι, ἐπιγράψας οὕτω, Φοῖβε Ἄπολλον, δῶρόν τι καλὸν Ὅμηρος ἔδωκεν, ἧσιν ἐπιφροσύναις, σοὶ δέ μοι κλέος ἐσθλὸν ὀπάζοις. ἐπιγραμματογράφοι δὲ ποιηταὶ, Σιμωνίδης ὁ παλαιὸς, οὗ Ἡρόδοτος μέμνηται. Ἀλκαῖος ὁ νέος, ὃς ἦν ἐπὶ Οὐεσπεσιανοῦ τοῦ Ῥωμαίου καὶ Τίτου. Ἀθηναῖος, Πρόκλος, Παλλαδᾶς, Ἀγαθίας, καὶ ἕτεροι μύριοι. Ὑμνογράφοι ποιηταὶ, οἱ εἰς θεοὺς γράφοντες ὕμνους, ὥσπερ ὁ παλαιὸς ἐκεῖνος Ὀρφεὺς, Ὅμηρος, Ἡσίοδος, Ἀσκληπιάδης, καὶ ἕτεροι. γράφει δὲ Ὀρφεὺς χωρὶς τῶν ἀστρολογικῶν καὶ μαγικῶν καὶ ἐπῳδικῶν, καὶ ὕμνους εἰς Δία, καὶ τοὺς λοιποὺς οὕτω, Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος, Ζεὺς κεφαλὴ, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται. καὶ Ὅμηρος, μνήσομαι, οὐδὲ λάθωμαι, Ἀπόλλωνος ἑκάτοιο, καὶ οἱ λοιποὶ ὁμοίως. Ἀσματογράφων καὶ ἀοιδῶν γνωρίσματα, τὸ ἄσματα καὶ ᾠδὰς γράφειν πρὸς μουσικὴν, καὶ φόρμιγγα, καὶ βάρβιτον καὶ κιθάραν, καὶ πᾶν ὄργανον μουσικὸν ᾀδόμενον. οἷοί περ ἦσαν Ποιηταὶ, ὡς ὁ Φαληρεὺς Δημήτριος γράφει, Αὐτομήδης, Δημόδοκος, καὶ Λάμος, οἱ κερκυραῖοι, καὶ ὁ ἰθακήσιος Φήμιος. καὶ οἱ λοιποὶ, οὓς ὁ Φαληρεὺς γράφει. Ἐπιθαλαμιογράφοι δὲ Ποιηταὶ, ὅσοι πρὸς τοὺς νυμφίους ἐν γάμοις ἐγκώμια ἔγραφον. οἷος ἦν, Ἀγαμήστορος ὁ φαρσάλιος, καὶ ἕτεροι. καὶ Ἡσίοδος αὐτὸς γράψας ἐπιθαλάμιον εἰς Πηλέα καὶ εἰς Θέτιν, τρὶς μάκαρ Αἰακίδη, καὶ τετράκις ὄλβιε Πηλεῦ, ὅς τις ἐν Μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις. μονῳδοὶ δὲ ποιηταὶ λέγονται, οἱ μονοπροσώπως ὅλην ὑπόθεσιν ἀφηγούμενοι.

Ποιμαίνουσι παῖδες Ἀχαιῶν, παρ' Ὁμήρῳ. ἐπεὶ κατὰ τὴν ἱστορίαν ἔθος τοῖς παλαιοῖς, κατὰ τὴν πρώτην ἡλικίαν βουκολεῖν, ἢ ἱπποφορβεῖν, ἢ ποιμνίοις ἐπιστατεῖν, καρτερίας καὶ ἀσκήσεως χάριν τὴν ἀνθρωπικὴν ποιμαντικὴν ἀσκουμένοις ἐν τῇ τῶν ἀλόγων ἐπιμελείᾳ, διὸ καὶ ποιμένες λαῶν ἐλέγοντο. κυριολεκτεῖται δὲ τὸ ποιμαίνειν ἐπὶ προβάτων. ἐπεὶ καὶ ποιμὴν κυρίως, ὁ τῶν οἴων ἐπιμελητὴς, παρὰ τὸ ὄϊς, καὶ τὸ μῶ τὸ ζητῶ, ὡς οἷον ὀϊμὴν τις ὢν, ἤγουν ὄϊς ζητῶν, καὶ ἐν συναιρέσει οἰμὴν, καὶ πλεονασμῷ ποιμὴν, καθ' ὁμοιότητα τοῦ ἤγανον, πήγανον. ἔτι δὲ καὶ τοῦ μῆλα, ὗλα.

Ποιμανδρία, πόλις Βοιωτίας, ἡ Τάναγρα λεγομένη, ἔνθα ἄριστοι βόες γίνονται.

Ποιμαντικὴ, διδασκαλικὴ ἡ τῶν ποιμένων.

Ποιμάνωρ, λέγεται παρ' Αἰσχύλῳ, καὶ τὸ ποίμνιον ποιμανόριον.

Ποιμένα λαῶν, Βασιλέα τῶν ὄχλων.

Ποιμένων, κηδεμόνων. ἐπεὶ καὶ ποιμαίνειν, τὸ φροντίζειν.

Ποιμαίνει, βόσκει, ἢ διδάσκει.

Ποιμανίδαι, γένος, ἐξ οὗ ὁ τῆς Δήμητρος ἱερεύς.

Ποιμὴν, ὁ τῶν προβάτων νομεὺς, ὃς ποιητικῶς λέγεται ποιμάνωρ. καὶ ποίμνιον, ἡ ἀγέλη τῶν προβάτων, ὥσπερ ἡ τῶν αἰγῶν αἰπόλιον, καὶ αἰπόλος ὁ νομεὺς αὐτῶν. καὶ τῶν βοῶν βουκόλιον. καὶ βουκόλος ὁ νομεὺς αὐτῶν. καὶ ποιμαίνω, τὸ πρόβατα νέμω. καὶ ποιμαντικὴ ῥάβδος, δι' ἧς ὁ ποιμὴν ἐλαύνει τὰ πρόβατα.

* Ποιμὴν, ὄρος τῆς Ποντικῆς ἀφ' οὗ καταῤῥεῖ ὁ Παρθένιος, σχίζων τὴν Ἄμαστριν. ἔστι καὶ ὄρος Ποιμαίνιον ἐν τῇ Μακεδονίᾳ.

Ποιμνήϊον, ἡ ποίμνη, πλεονασμὸν ἔχει τοῦ η, καθὰ καὶ τὸ πολεμήϊον, καὶ τὸ οἰήϊον, ὃ δηλοῖ πλοίου οἴακα, καὶ οὐκ ἂν ἔχῃ ἀμφιβολίαν, ὡς τὸ ξεινήϊον.

Ποινὰ, ποιά. Λάκωνες.

Ποιναλίζω, βασανίζω.

Ποιναῖς, ἐφικταῖς ἐριννύσι, τιμωρίαις.

Ποινᾶσθαι, ποινὴν λαμβάνειν. ὅταν ἀντέκτισιν τὶς λάβῃ. τὸ δὲ αὐτὸ καὶ συριάζεσθαι.

Ποινάτορας, τιμωρούς.

Ποινηλατήσας, ἐλάσας.

Ποινὴ, τιμωρίαν, ἀντέκτισιν πρόσιμον.

Ποινὴν λέγει Ὅμηρος ἐν τῷ ε τῆς Ἰλιάδος, ἀντὶ τοῦ ἀντάλλαγμα, ὥς τε σημειωτέον ὅτι ποινὴ οὐ μόνον λέγεται τὸ ὑπὲρ φόνου, ἀλλὰ καὶ τὸ ἁπλῶς ἀντισήκωμα. ἡ δὲ χρῆσις πολλὴ παρὰ τῷ Πινδάρῳ. ἰστέον δὲ, ὅτι καθὰ ἡ ποινὴ ἀμοιβή τινά ἐστιν ὅτε δηλοῖ, οὐχ ὡς ἀπὸ τοῦ φόνου ἴσως, ἀλλὰ τοῦ πόνου, ὅπερ ἐστὶ τῆς ἐπαινετῆς ἐνεργείας, οὕτω καὶ ἄμυνα. φησὶ γὰρ ὁ γραμματικὸς Ἀριστοφάνης, τὸ ἀμύνεσθαι οὐ μόνον σημαίνειν τὸ κακῶς παθόντα ἀντιδιατιθέναι, ἀλλὰ τίθεσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι ὁτιοῦν.

Ποινώματα, τιμωρήματα.

Ποιοίην κατὰ μεταπλασμὸν τῆς μι εἰς ην γίνεται, οἷον ποιοῖμι ποιοίην, πλοῖμι πλοίην.

Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων, ἤγουν κατὰ τὸ ἕρκος τῶν ὀδόντων. ἢ γὰρ τὸ σε ἀντὶ πτώσεως ἑτέρας ἐλήφθη. σοῦ γὰρ ὤφειλεν εἰπεῖν. καὶ ἔστι τοῦτο ἀντίπτωσις. ἢ πρόθεσιν προσληπτέον ἔξωθεν, οἷον ποῖόν σε ἔπος ἐξέφυγε κατὰ τὸ ἕρκος τῶν ὀδόντων. τοῦτο δὲ μάλιστα ἐκδηλότατον ἀπὸ τοῦ ἐντελῶς, ἐν Ὀδυσσείᾳ ῥηθέντος, εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβῃσιν. ὅπερ εἰ δίχα προθέσεως ἐῤῥέθη, εὖτ' ἄν μιν κάματος γυῖα λάβῃσιν, ὅμοιον ἦν τῇ ἐνταῦθα καινοπρεπείᾳ τοῦ σχήματος. ἢ γοῦν, ὡς εἴρηται, νοητέον ὅτι ἐξέφυγε κατὰ τοὺς ὀδόντας, ἢ στικτέον εἰς τὸ ἔφυγε. καὶ τὸ μὲν σε, νοητέον δηλοῦν τὸν ὅλον ἄνθρωπον. τὸ δὲ ἕρκος ὀδόντων ἐπηνέχθαι εἰς δήλωσιν τοῦ μέρους. ὅθεν ὁ λόγος φυγὰς ἐδραπέτευσεν. ὅπερ εἰσὶ τὰ χείλη, αἱ θύραι τοῦ στόματος. ταὐτὸν καὶ τό τί σέ ποτε πένθος ἵκετο φρένας, δηλαδὴ ὅμοιον. καὶ τὸ ἐπεί μιν ἄχος κραδίην καὶ θυμὸς ἵκανεν. ἐπειδὴ αὐτοῦ τὴν καρδίαν λύπη κατέλαβεν. ἢ αὐτὸν κατὰ τὴν καρδίαν λύπη κατέλαβεν, ἤγουν τὴν καρδίαν αὐτοῦ. τοιοῦτον δὲ Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας, καὶ τὸ ἄλγος τέ μιν ἵκετο θυμὸν, καὶ κρατερὸν ῥά ἑ πένθος ὀφθαλμοὺς ἐκάλυψε. καὶ τοὺς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα, καὶ Τρῶας δ' ἄχος ἔλλαβε θυμόν.

Ποιότης, ἡ τὴν διαφορὰν ἐκ τῶν ἄλλων ἐν ἑαυτῇ δεικνύουσα, ἢ ποιότης ἐστὶν ἐκείνη, καθ' ἣν παρωνύμως τὰ μετέχοντα αὐτῆς λέγεται. ποιότης ἐστὶ καὶ ἡ ἐνούσιος δύναμις, ὡς τοῦ ὕδατος ἡ ψυχρότης, καὶ τοῦ πυρὸς ἡ θερμότης, καὶ τοῦ λίθου ἡ σκληρότης, καὶ τῆς γῆς ἡ ξηρότης. ποιότης καὶ ἰδιότης καὶ διαφορὰ καὶ ἰδίωμα, ἓν καὶ τὸ αὐτὸ σημαίνει. ἔστι καὶ ἑτερόν τι ποιότης, φωνὴ δηλοῦσα τὴν ποιότητα, ἢ τῆς φωνῆς, ἢ τῆς σημασίας. ἐὰν γὰρ εἴπω πὺξ, λὰξ, τὴν ποσότητα τῆς φωνῆς ἐδήλωσα.

Ποιούντων, ἀντὶ τοῦ ποιούντων.

Ποιπνύει, ὑπουργεῖ, διακονεῖ.

Ποιπνύειν, ἐνεργεῖν, διακονεῖν, οἱονεὶ τὸ μετὰ σπουδῆς καὶ πνεύματος ποιεῖν τι. τῷ γὰρ μετὰ σπουδῆς ἐνεργοῦντι, ἕπεται τὸ πνευστιᾶν. πνέειν οὖν καὶ πνύειν, καὶ ἐν συνθέσει μετὰ τοῦ ποῖ, ποιπνύειν, ἢ παρὰ τὸ πονῶ πονύειν, ἢ ποιπνύειν λέγει ἡ ποίησις, τὸ μετὰ σπουδῆς πονεῖσθαι. ὃ γίνεται ἀπὸ τοῦ πονῶ πονύω, ὡς ἀλγῶ ἀλγύω, κινῶ κινύω, καὶ ἐν συγκοπῇ πνύω, καὶ ἀναδιπλασιασμῷ ποπνύω, καὶ πλεονασμῷ τοῦ ι ποιπνύω. ὁμοίως δὲ ἀναδιπλασιασμοῦ καὶ τὸ ποιφύσσω, ἤγουν φυσῶ παρὰ Λυκόφρονι.

* Ποιεῖν καὶ πηρεῖν, δηλοῖ ποτὲ μὲν τὸ ἀγγεῖον τῶν διδύμων, ποτὲ δὲ τὸ ἄκρον τοῦ αἰδοίου, ἐξ οὗ αἱ προῤῥεύσεις γίνονται.

Ποίσει, φθερεῖ.

Ποίφυγμα, σχῆμα ὀρχηστικόν.

Ποιφύσσω, σφοδρῶς καὶ μετὰ ἤχου τὴν πνοὴν ἐκπέμπω.

Ποιφύξαι, φυγεῖν, ἐκφοβεῖν.

Ποιῶ τοῖς φίλοις ἀγαθὸν, καὶ ποιῶ τοὺς φίλους ἀγαθόν. Συνέσιος, πρόθυμον εἶναι τοὺς φίλους ἀγαθόν τι ποιεῖν.

Ποιῶ, καὶ ποῶ Ἀττικῶς. ποιήσω, ἡνίκα ὁ ἐνεστὼς μακρᾷ παραλήγεται, τότε ὁ μέλλων διὰ τοῦ η ἐκφέρεται, οἷον ᾠθῶ ᾠθήσω, δρῶ δρήσω, χωρὶς τοῦ ἀρκῶ ἀρκέσω, λακῶ λακέσω. εἰ δὲ βραχείᾳ παραλήγεται, τότε ὁ μέλλων ποτὲ μὲν τῷ η παραλήγεται, οἷον νοῶ νοήσω, φιλῶ φιλήσω, ποθῶ ποθήσω. ποτὲ δὲ τῷ ε, οἷον ὀλῶ ὀλέσω, τελῶ τελέσω. ποτὲ δὲ διφορεῖται, οἷον φορῶ φορήσω καὶ φορέσω.

Ποιῶδες, βοτανώδεις.

Πόκα Δωριεῖς, ποτὲ κοινοί. Θεόκριτος, τὺ πόκ' ἀρ' ἤδ' ὄκα Δάφνις ἐτάκετο.

Ποκάδες, αἱ διεκτενισμέναι τρίχες.

Ποκίξατο, ἔκειρε, πόκους ἐποίησε.

Πόκον ὄνου, φαίνεται παροιμιῶδες εἶναι, τὸ ἄχρηστον. οὐδὲ γὰρ αἱ τοῦ ὄνου πόκες χρησιμεύουσιν. ἡ δὲ παροιμία λέγεται ἐπὶ τῶν ἀνηνύτων, παρόσον τὸν ὄνον οὔτε τέξαι τὶς δύναιτ', οὔτε κάρσαι. λέγεται ὄνον κείρεις, ἐπὶ τῶν ἀνηνύτοις ἐπιχειρούντων, ἐν ᾧ τρόπῳ φαμὲν καὶ τὸ χύτραν ποικίλλεις, καὶ κόπρον ἀναθορεῖς. ἀνιῶντα δὲ καὶ τὰ ἐν ᾅδου. διὸ τοῦτο ὄνου πόκας ἀνέπλασεν Ἀριστοφάνης λέγων, τίς ἐς ὄνου πόκας.

Πόκος, ποκάριον, ἢ τὸ συνειλιγμένον ἔριον, ὅθεν καὶ τὸ εἰροπόκοις ὀΐεσσι παρὰ τὸ πέκω τὸ κτενίζω, καὶ τὸ ξαίνω τὸ διαλύω, ὡς σπείρω σπόρος, καὶ μείρω μόρος.

Πολέας, ἀντὶ τοῦ πολλούς. ἀπὸ εὐθείας τῆς πολύς, ὡς ταχύς. ἀπὸ δὲ τῆς πολλὸς, πίπτει πολλούς. ἀπὸ τῆς πολλὸν, πολλάκις.

Πόλει ἄκρῃ, ἀκροπόλει.

Πολείδιον, ὄνομα πόλεως μικρᾶς.

Πολεῖν, τὸ στρέφειν, καὶ ἀναπολεῖν. καὶ περιπολεῖ ὁ οὐρανὸς, ἤγουν περὶ τοὺς πόλους στρέφεται. ἀφ' οὗ περιπολοῦμαι, καὶ περιπολούμενος, εἶτα κατὰ συγκοπὴν περιπλόμενος, ἐπεὶ τὸ περιπλόμενος, ἀνοικείως πρὸς τὸ μέτρον εἶχε, τρία ἐφεξῆς ἔχον βραχέα.

Πολέμαρχος, ὄνομα ἀρχῆς, οὐ τοῖς πολίταις προσῆψεν Ἀριστοφάνης, ἀλλὰ τοῖς ξένοις. αἱ γὰρ ξενικαὶ δίκαι, ἐπὶ τοῦ πολεμάρχου εἰσήγοντο. οἱ δὲ καὶ βοηθείας δεόμενοι, ἐπὶ τὴν ἀρχὴν κατέφευγον τοῦ πολεμάρχου, ἀλλὰ καὶ αἱ κατηγοροῦντες γονέων κακώσεως, πρὸς τὸν πολέμαρχον ἐδικάζοντο, κἀκεῖνος ἔκρινεν. ἄλλως. πολέμαρχος ἄρχων, πρὸς ὃν κατηγγυῶντο τοὺς ξένους. ἡ ἀρχή τις παρὰ Ἀθηναίοις οὕτω καλουμένη. ἔστι δὲ οὗτος εἷς τῶν θ' ἀρχόντων. διοικεῖ δὲ οὗτος ἄλλα τε, καὶ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ κλήρων τοῖς μετοίκοις, καὶ τἄλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος καὶ ἐπὶ κλήρων. παρὰ δὲ Αἰτωλοῖς, τὸν πολέμαρχον συνέβαινε κλείειν τὰς πύλας, καὶ ποιεῖσθαι τὸ καθ' ἡμέραν τὴν δίαιταν ἐπὶ τῶν πυλώνων. ἔστι δὲ καὶ κύριον ὄνομα, τοῦ Λυσίου ἀδελφός.

Πολεῖς, κοινόν. πολλοὶ καὶ τοὺς πολλοὺς ποιητικόν. πολεῖς, ἀπὸ τοῦ πολὺς πολέος, ὡς ἡδὺς ἡδέος, ἡ εὐθεῖα τῶν πληθυντικῶν πολέες καὶ πολεῖς κράσει, αἰτιατικὴ πολέας καὶ πολεῖς, ἀντὶ τοῦ πολλούς.

Πολεμήϊον, πολέμιον ἢν ποιητικῶς, καὶ διαλύσει πολεμέϊον, καὶ ἐκτάσει πολεμήϊον.

Πολεμήϊα ἔργα, ἃ τὸν Πάτροκλον λέγει Ὅμη-

ρος

… Πατρόκλῳ, ὄνομα κύριον. ἐφ' ἑτέρου κυρίου ὀνόματος τύπον μετασχηματίζων, … καὶ τὰ πολεμήϊα λέγει, ὁμοίως τῷ βασιλήϊα, κτητικὸν ὄνομα ἐφ' ἐπιρρηματικῷ, τύπον μετασχηματίζων. κατὰ τὸν τόπον, καὶ τὰ ξένια δῶρα ξεινήϊα λέγει, καὶ ἐν ἄλλοις πολλοῖς τῷ μετασχηματισμῷ κέχρηται, ἴχνια γὰρ λέγει ἰχνήϊα. κατὰ τὸν τόπον καὶ τὰ ἕλωρα ἑλώρια, καὶ τὰ ἕρκη ἕρκια, καὶ τοὺς ὅρκους ὅρκια.

Πολεμησείει, πολεμικῶς ἔχων. καὶ πολεμησείοντες, πολέμου ἐπιθυμοῦντες.

Πολεμιστία εἶναι ἐνστάχη, ἀντὶ τοῦ δεῖν πολεμεῖν. ἰστέον δὲ, ὅτι τὰ τοιαῦτα δεικτικὰ ἐπιρρήματα ἔχουσιν ἐν αὐτοῖς ἢ τὸ χρὴ, ἢ τὸ δεῖ, οἷον γαμητέον, ἀντὶ τοῦ δεῖ γαμῆσαι. πλεύσιον, ἀντὶ τοῦ δεῖ πλεῦσαι. καὶ ἐπαραδοτέα, ἀντὶ τοῦ χρὴ παραδοῦναι.

Πολεμίζω, τὸ μάχομαι, ὅ ποιηταὶ λέγουσι πολεμίζω. πολεμοῦμαι δὲ, ὅπερ κατὰ τὰς ἐξ προθέσεως ἔρχεται κυρίως, τὸ εἰς πόλεμον παρορμῶ τινά. πολεμῶ τῇ δοτικῇ, καταπολεμῶ τὴν δὲ γενικῇ. ἐκπολεμῶ δὲ ἕτερον ἑτέρῳ, ἤγουν ἐχθρὸν ποιῶ.

Πολεμίζειν δὲ ἰδίως μάχεσθαι, ταυτὸν σημαίνει ἐκπαρεκάλει.

Πολεμίζων, πολεμῶν. τὸ δὲ τοιοῦτον σχῆμα παρωνομασία καλεῖται.

Πολεμική ἐστιν ἐμπειρία πολέμου, συμμαχία δὲ, κοινωνία πολέμου.

Πολεμιστήρια, καθ' ἅ τινας ἀγὼν Ἀθήνησιν ἐτελεῖτο δρόμου. ἦν δὲ δρόμον ἔχουσιν, ὡς τὰ ἐφιππιστήρια. πολεμιστήρια καλεῖται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ' ὧν ὁπλίτας ἐπιβίβασαν ἅμα τῷ παραβάτῃ. τοῦτο δὲ ἐξεῦρεν ὁ Θησεύς. ὁμιλητήρια δὲ, τὰ ἀγωνίσματα.

Πολεμοσπείρας, σημεῖον πολέμου.

Πολέμιος, ὁ ἐν τῷ ἀλλοτρίας χώρας ἐχθρός. ἐχθρὸς δὲ, ὁ ἀπὸ τῆς αὐτῆς. πᾶς ἄν πολέμιος καὶ ἐχθρὸς, οὐ μὴν πᾶς ἐχθρὸς καὶ πολέμιος. καὶ πολέμιος, ὁ κατὰ πόλεμον ἐναντίος. ὅπου καὶ ἀντίπαλος, ὁ ἐναντίος κατὰ τὴν πάλην.

Πόλεμόν τε καὶ διόσητα, ταυτὸν τῷ πόλεμόν τε μάχην τε, ὁπολαχοῦ κεῖται.

Πόλεμοί τε μάχαι τε, ἢ ἐκ παραλλήλου δηλοῖ τὸ αὐτό, ἢ καὶ διαφορά τίς ἐστι ταῖς λέξεσιν, εἴγε μάχεται μέν τις καὶ λόγοις, ὡς ἡ λογομαχία δηλοῖ. καὶ αὐτὸς δὲ ὁ Ποιητής που φησὶ, μαχεσσαμένω ἐπέεσσι. πολεμεῖν δὲ λόγος οὐ λέγεται. … μάχη μὲν αὐτὴ ἡ τῶν ἀνδρῶν συμβολὴ … παρὰ τὸ ἅμα χέειν. ὁ δὲ πόλεμος καὶ ἐπὶ παρασκευῆς καὶ μαχίμου καιροῦ λέγεται. χρήσιμον δὲ ὧδε, καὶ τὸ πολεμίζειν, καὶ μάχεσθαι.

Πόλεμος, ἡ μάχη. ἀφ' οὗ πολεμίω πολεμῶ, τὸ μάχομαι. οἱ Ποιηταὶ πολεμίζω λέγουσιν, ἀφ' οὗ πολεμιστής, καὶ πολεμιστήριος ἵππος, παρὰ τοῖς κοινοῖς. ἐκπολεμῶ δὲ ἐκπολεμῶ, τὸ εἰς πόλεμόν τινα παρορμῶ.

Πολέμοιο, ἰωνικῶς ἀντὶ τοῦ πολέμου. Ἰωνικὰ δὲ λέγονται αἱ γενικαὶ, διφθογγίζονται, ἀνθρώπου ἀνθρώποιο, Θεοῦ Θεοῖο. διὰ τοῦδε τὸ λόγου, ἡ ου δίφθογγος πολλάκις κιρνᾶται ἀπὸ τοῦ διόσοο, οἷον πολλοῖο πλεῦς. λοιπὸν Ἰωνικὰ καὶ διαλύεται, ἐς ταῦτα, ὡς ἐνταῦθα ἀνθρώποιο εἰς τὸ ἀνθρώποιο. ἀλλ' ἐστὶ κανὼν ὁ λέγων, ὅτι ἐν ταῖς διαλελυμέναις γενικαῖς, Ἰωνικὰ συλλαβαῖς λήγουσα, ἐκτείνεται ἡ παραλήγουσα. Ἰωνικὰ δὲ ἐκτείνεται ἡ λήγουσα, συστέλλεται παραλήγουσα. οἷον κοχλίου καὶ κοχλίοιο. τοῦ μὲν κοχλίου ἡ λήγουσα ἐκτείνεται, καὶ συστέλλεται ἐξ ἀνάγκης ἡ παραλήγουσα. τὸ δὲ κοχλίοιο, ἐπειδὴ ἡ λήγουσα συνεστάλη, ἐκτείνεσθαι ἔδει συστέλλεσθαι καὶ ἡ παραλήγουσα, τοῦτο χάριν … ἵνα ἐκταθῇ ἡ παραλήγουσα … λήγουσα συσταλείσης.

Πόλεμον πολεμίζειν, ἀττικῶς ἔχει συμπαρακείμενον, τῷ ῥήματι τὸ ἐξ αὐτοῦ ὄνομα.

Πόλεμος, ἀπὸ τοῦ τοὺς πόλεις μιαίνειν, ἢ παρὰ τὸ πολλοὺς ἀμᾶν, ἢ παρὰ τὸ τὰς πόλεις ὀλλύειν, ἢ παρὰ τὸ ὀλλύειν, καὶ πόλεμος.

Πολεμῶ, δοτικῇ. Ἀριστοφάνης, καὶ τῷ δήμῳ πολεμοῦσι. πολεμῶ τῷ δεῖνι. καὶ πολεμῶ κατὰ τοῦ δεῖνος τῷ δεῖνι, ἀντὶ τοῦ σύμμαχον ἔχων. καὶ πολεμῶ κατὰ τοῦ δεῖνος, ἀντὶ τοῦ μάχεται.

Πολεμώνιος, πόλις Πόντου, ἀπὸ Πολέμωνος βασιλέως, ὃς ἦν ἐπὶ Ἀντωνίου τοῦ ἐπ' Αὐγούστου.

Πολέμων, ὁ Ἡρακλῆς, διὰ τὸ παλαῖσαι Ἀνταῖον. Φερεκύδης λέγει, ὅτι μετὰ τὸ παλαῖσαι αὐτὸν Ἀνταῖον καὶ ἀποκτεῖναι, συνῆλθε τῇ γυναικὶ αὐτοῦ Ἰφινόῃ, καὶ ἐγέννησε Πολέμωνα. Ὧρος.

Πολέμωνος, εἶδος ζώου.

Πολεμῶσαι, πολέμιον καταστῆσαι, καὶ ἀπολεμῶσαι.

Πολίσκη, ὅτι ἐκ τοῦ πέλω πόλος πολῶ, ἤγουν ἀναστρέφομαι γίνεται, κατὰ τὸ τρίτον τρόπον τροπῇ, καὶ τὸ ἔμμα. μᾶλλον τῷ πολῶ πολίσω, ἐξ οὗ τὸ πολίσκω, ὡς ἀρῶ ἀρίσω ἀρίσκω.

Πολεῖν, στρέφειν, οἰκεῖν, περιέχειν, θεραπεύειν, περιάγειν.

Πολεύω, ζητῶ.

Πόλημος, πόλεως.

Πόλημος, ὁ μάντις.

Πολιὴ, ἡ τοῦ γήρως. καὶ πολιάς, ἡ Ἀθηνᾶ.

Πολιὰν ἅλα λέγει Ὅμηρος, ἀντὶ τοῦ λευκὴν ἅλα. ἀλλὰ τοῦτο, ἡ περὶ τὸν αἰγιαλὸν μέρους τῆς θαλάσσης κατὰ τοὺς παλαιούς ἐστιν ἐπίθετον, ὡς δεῖ τῆς παραιγιαλίτιδος λευκοπτέρας αὐτῆς ἢ Πόντου, ὡς ἐστι τὸ τῆς θαλάσσης βαθύ. ἢ τὴν ἐπαφρίζουσαν δηλοῖ, καὶ οὐ μελάναν διζηθεῖσαν. διὸ μέλανθος Ποσειδῶν παρὰ Λυκόφρονι. τὸ μὲν διὰ τὴν τοῦ πόντου μελανίαν, τὸ δὲ διὰ τὸ οἷον ἐπανθοῦν, καὶ ὑπόπολιον τοῦ ἀφροῦ.

Πολίειον, πόλις ἐστὶν Ἰταλίας, πρότερον Σῖρις καλουμένη, ἀπὸ πόλιδος μητρός. ἢ ὅτι Ἀθηνᾶς πολιάδος ἱερὸν ἐν αὐτῇ ἐστί.

Πολίετον, ἀκρόπολιν.

Πολίζω, τὸ πόλιν κτίζω.

Πολιῆς, λευκῆς.

Πολιήτης, ὁ πολίτης, πλεονασμῷ τοῦ η.

Πολιοὶ λύκοι, γράφονται καὶ τελαιοί, πυρροί, ἢ μύλακες. ὡς παρὰ τῷ Ποιητῇ Ἰλιάδος κ΄, ῥινὸν πολιοῖο λύκοιο. ἢ ὑπότεφροι, ἢ τίμιοι. τίμιον γὰρ τὸ ζῶον, καὶ παρ' Ἀθηναίοις ὁ ἀποκτείνας λύκον ἀγείρει αὐτῷ τὰ πρὸς ταφήν. καὶ ἴσως ἐπειδὴ ἡ Λητὼ ἔγγυος οὖσα διὰ δώδεκα ἡμερῶν ἀσῆλθε μεταβαλοῦσα εἰς λύκον. διόπερ κατὰ τὸ ὡρισμένον τίκτει παῖδα λύκαινα. ἢ πολιοὺς λέγει τοὺς λευκούς, αἱ γὰρ τρίχες αὐτοῦ, τὸ μὲν ἔχουσι πυρρόν, τὸ δὲ λευκόν, τὸ δὲ μέλαν ἐν αὐταῖς. οἷον τὸ μὲν κάτω πρὸς τῷ δέρματι λευκόν, τὸ δὲ μέσον μέλαν, τὸ δὲ ἄνω πυρρόν, καὶ τὸ ἀνάπαλιν. εὑρίσκεται οὖν ἡ θρὶξ τρεῖς ἔχουσα χροιάς. πολιοὺς οὖν ἀπὸ τοῦ λευκοῦ μέρους τῶν τριχῶν τοὺς λύκους εἶπε.

Πόλιν ἀναρρώσασα, καὶ πόλιν καταστρέψασα. ἡ παροιμία ἐστὶ διὰ λόγων ἢ ὠφελούντων, ἢ βλαπτόντων.

Πολιορκία, πόλεως πόρθησις λέγεται, καὶ ἡ χαράκωσις.

Πολιορκεῖν, τὸ περικυκλοῦν πόλιν μετὰ στρατεύματος. ἐκπολιορκεῖν δὲ, τὸ ἐκπορθεῖν. ὥσπερ καὶ τίνειν, ὅταν ἐπὶ τίνῃ. ἐκτίνειν δὲ, τὸ ἐκπληροῦν τὸ τινόμενον. ὡς τὸ, ἐξέτισε τὴν κύλικα.

Πολιορκουμένη λέγεται κυρίως πόλις, ἡ ὑπὸ πολεμίων κυκλουμένη, δίκην ἕρκους καὶ περιφράγματος, ἀπὸ τοῦ πόλις καὶ τοῦ ἕρκος πολιορκέομαι, πολιορκοῦμαι.

Πολιοκροτάφους γέροντας, ἀπὸ μέρους πολιοὺς συνεκδοχικῶς, ἢ τοὺς ἐντίμους καὶ λαμπροὺς ταῖς διανοίαις.

Πολιορκῶ, αἰτιατικῇ. καὶ πολιορκία, φυλακὴ πόλεως.

Πολιὸν, παρὰ τῷ Ἀπολλωνίῳ τὸ διαφανές.

Πολιὸς ἀὴρ δοκεῖ οὕτως εἰρῆσθαι, διὰ τὸ λευκὸν τῆς ἐν αὐτῷ αἰθέρος.

Πόλιον, εἶδος βοτάνης. δύο δὲ αὐτοῦ εἴδη, τὸ οὖν μικρότερον θερμαίνει τι, καὶ ξηραίνει κατὰ τὴν τρίτην ἀπόστασιν. διὸ καὶ ἐμφράττει ἅπαντα τὰ σπλάγχνα, καὶ οὖρα καὶ ἔμμηνα κινεῖ. καὶ χλωρὸν μὲν ἐστι, κολλᾷ τὰ μεγάλα τραύματα, ξηρὸν δὲ, τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶται ἐπιπαττόμενον.

Πολιὸς σίδηρος, ὁ λευκός. φασὶ τῷ σμήξει, ἢ ὁ πολιτικός, ἢ ἔνθυμος, ἢ ὁ πολύς. λέγει δὲ τοῦ σίδηρον τὰς προρρηθείσας τελείας Ὅμηρος ἐν τῷ φ΄ τῆς Ὀδυσσείας. καὶ πολιὸς, λαμπρός.

Πολιὸν σίδηρον εἶπεν Ὅμηρος, ὡς ἐντιμον, ὡς χρυσὸν καὶ ἄργυρον, καὶ τὸ ὅμοιον ὑλῶν χαλυβικώτερον, καὶ πολιτικώτερον.

Πολιοῦχος Παλλάς, ἡ τὴν πόλιν κατειληφυῖα, καὶ περιέχουσα, ἐπεὶ καὶ ἦρχε τῆς πόλεως. ἔφορος γὰρ αὐτῆς ἡ Θεός.

Πόλις πεπόλισται ἀττικῶς πόλις, καὶ ὁ τόπος, καὶ οἱ κατοικοῦντες. ἄστυ δὲ μόνον ὁ τόπος. Ὅμηρος ἐν τῷ β΄ τῆς Ἰλιάδος, φράζεο νῦν ὅπως καὶ πόλιν καὶ ἄστυ σώσεις. ἐνταῦθα ζητητέον, εἰ πόλιν μὲν λέγει τὸ κατώτερον, ἄστυ δὲ τὴν ἀκρόπολιν, ἢ καὶ ἀνάπαλιν. ἴσως δὲ ἐκ παραλλήλου, πόλιν καὶ ἄστυ, ὡς ἰσοδυναμοῦντα. οἱ δὲ παλαιοί φασι, πόλιν μὲν τὴν πολιτείαν, ἄστυ δὲ τὰ τείχη.

Πόλις, εἶδος παιδιᾶς. καὶ παροιμία, πόλεις παίζομεν.

Πόλις, σύστημα ἱδρυμένον, καὶ κατὰ νόμον διοικούμενον.

Πόλις, σημαίνει δύο, τὰ κτίσματα. ὡς τὸ γαλλ' ἄγε δὴ τὸν δύστηνον ἄγ' εἰς πόλιν. σημαίνει καὶ τὸ πλῆθος, καὶ τὸν λαόν. ὡς τό, Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε θάρσυνος. γίνεται ἐκ τοῦ πέλω, τὸ ἀναστρέφομαι, παρὰ τὸ πολεῖν ἐν αὐτῇ, ἐν ᾗ ἀναστρέφονται οἱ ἄνθρωποι.

Πολίσαμεν πόλιν, ἐτειχίσαμεν, περιεβάλομεν, ᾠκοδομήσαμεν, ἀπὸ τοῦ πολίζω.

Πολιτεία, πρᾶξις, ἢ βίος κατὰ νόμον φυσικὸν διεξαγόμενος.

Πολιτεύομαι, καὶ πολιτεύω λέγομεν. ἔστι δὲ καὶ πολιτεύομαι, τὸ μάχομαι. Δημοσθένης, πρότερον μὲν γὰρ εἰσεφέρετε κατὰ συμμορίας, νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας.

Πολιτεύω αἰτιατικῇ. καὶ πολιτεύμασι, ταῖς πολιτείαις, ἢ ταῖς ἄλλαις αἱρέσεσι.

Πολίτης λέγει ὁ τῷ δεῖνι, ἤγουν συμπολίτης. πολίτης ἐστὶν ἐμοὶ οὐδεὶς, οὐδέ τις κατὰ τῆς σοῦ, ἤγουν ἀπὸ τῆς αὐτῆς ἐστὶν ἐμοὶ πόλεως. συμπολιτεύεται δέ μοί τις, κατὰ τῆς σὺν, ἤγουν τὴν αὐτὴν ἐμοὶ πόλιν οἰκεῖ. πολίτης, δημότης, φυλέτης, ἀπὸ τῆς σὺν προθέσεως λέγων, ἀττικῶς ἐρεῖς. συνέφηβος δὲ καὶ συνδιαιτητὴς καὶ συμπότης, ὅτι καὶ πρόσκαιρος αὐτοῖς ἡ κοινωνία. ἐπὶ δὲ τῆς προτέρας οὐχ ὁμοίως.

Πολιτικὸς, ἀστεῖος, μετά τινος τέχνης, ἢ ὁ ἐν πόλει ἀναστρεφόμενος.

Πολίχνια, αἱ μικραὶ πόλεις.

Πολιήτης, ἐκ τοῦ πόλις πολίτης, καὶ πλεονασμῷ τοῦ η πολιήτης.

Πολίτας λέγει, ἀλλὰ μὴ συμπολίτας.

Πολιτογραφεῖ, πολιτικὰ γράφει.

Πολίχνια, πολύδεια, πόλις.

Πολίων, πολιῶν, καὶ τῶν πόλεων.

Πολλά γ' ἡμᾶς λανθάνει, ἀντὶ τοῦ οὐ πάντα γινώσκομεν τὰ πράγματα.

Πολλά, πρωτότυπόν ἐστι τοῦ πολλάκις. ὡς καὶ τὸ δηθὰ τοῦ δηθάκις, καὶ τοσαῦτα, τοῦ τοσαυτάκις.

Πολλὰ φρεσὶ μερμηρίζων, ὁμοιόν ἐστι τῷ δαίεται ἦτορ, μερίζειν γάρ ἐστι τὸ δαίεσθαι, καὶ τὸ μερμηρίζειν. τούτοις δὲ ὅμοιόν ἐστιν ἐν μιᾷ λέξει τὸ δαίφρων, ἤτοι δαιόμενος τὰς φρένας ζόφῳ συμβολῆς.

Πολλά, βόας καὶ ἴφια μῆλα παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ψ΄, τὸ πολλά, ὡς πρὸς πράγματα ἀπλῶς ἀποδίδοται. ὁ πολλαχοῦ εὕρηται κατά τι σχῆμα ἴδιον φράζειν ὁ ποιητής.

* Πολλαγόρασος, ὁ πολλὰ ἀνύμενος.

Πολλάκι, ἀποβολῇ ἐπειδὴ τὸ σ. ὡς καὶ τὸ πλεοσάκι καὶ τοσαυτάκι καὶ δηθάκι, καὶ τὰ ὅμοια, ἐστὶ μεταπλασμὸς τις ἐκ τοῦ ἐπιρρηματικῶς. ποιηκὸν γὰρ ἐπιρρημάτων, ὥσπερ τὸ ἐς βαρύτονον, οἷον πολλάκις, δηθάκις, ὡς καὶ τὸ ἤ, ὃ ἐμαυτόθι, καὶ δὴ, ὅθι. πρὸς ἃ μεταπίπτεται

ται τὸ πολλάκι καὶ τὰ κατ' αὐτό. καθάπερ καὶ τὸ χωρεῖ, χωρεῖς μὲν γὰρ ὀξύτονον, αἱ τὰ λιχρίφις.

Πολλαπλῆν, πολλαπλασίονα.

Πολλαῖς πληγαῖς δρῦς δαμάζεται, παροιμία πρὸς τοὺς δυσαλώτους, καὶ δυσκατεργάστους.

Πολλαχῶς, ἀναριθμήτως, καὶ πολλαχῆ.

Πολλὴν, ἐπὶ θηλυκοῦ, καὶ ἔστιν ἡ εὐθεῖα ἡ πολλὴ τῆς πολλῆς, τῇ πολλῇ, τὴν πολλήν. πολλὴν δὲ ἐπὶ ἀρσενικοῦ, καὶ ἔστιν ἡ εὐθεῖα, ὁ πολὺς, ἑτεροκλίτως, τοῦ πολλοῦ, τῷ πολλῷ, τὸν πολλόν.

Πολλὴν ἀσπίδα, καὶ ἵππον καὶ χεῖρα καὶ δύναμιν, τὴν στρατιὰν λέγουσι. δόρυ δὲ καὶ αἰχμὴν καὶ ἔγχος, τὸν πόλεμον, τὰ πρότερα λέγουσι λογογράφοι, τὰ δ' ὕστερα οὐ, ἀλλὰ ἀντ' ἄλλων ὀνόματα.

Πολλὴ φρέατα, πολλοὶ τοξόται.

Πολλοῖς Ὀδυσσεὺς ἐσκεφθαί. ὁμοιοῦται πρὸς τὸ, ἐπεὶ κἀκεῖνος ἐπίστροφος ἦν ἀνθρώπων.

Πολλόγειος, ἡ ψισθεία σταφυλή.

Πολλοῖς, ἡ εὐθεῖα ὁ πολὺς, καὶ κλίνεται πολλοῦ ἑτεροκλίτως, ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ πολλοὶ, ἡ γενικὴ τῶν πολλῶν, ἡ δοτικὴ τοῖς πολλαῖς. ἰστέον, ὅτι ἀντιστρόφως τοῦτο κλίνουσιν οἱ Ποιηταί. λέγουσι γὰρ οὗτοι, ὁ πολλὸς τοῦ πολέως, τῷ πολέϊ, τὸν πολλόν. καὶ τὰ πληθυντικὰ, οἱ πολέες καὶ πολεῖς, τῶν πολέων, τοῖς πολέσι, τοὺς πολέας καὶ πολεῖς.

Πολλὸν, οὐχὶ τὸ πολύ. καὶ ὁ πολλὸς, οὐχὶ πολὺς λέγουσιν οἱ Ἴωνες.

Πολλὸς, ἀρσενικῶς ἀντὶ τοῦ πολύς.

Πολοστημόριον, τὸ ἔσχατον μέρος τῆς γῆς.

Πολλοστῷ, ἐσχάτῳ. οὔτε καθ' ἡλικίαν σου, οὔτε εἰς τὰ ἄλλα προὔχοντος, ἀλλὰ τοῖς πᾶσι πολλοστῷ ὄντι.

Πολλοστὸν, τὸ ἀκαριαῖον.

Πολλοῦ, οἱ Ἀττικοὶ λέγουσιν ἀντὶ τοῦ κατὰ πολύ. Ἀριστοφάνης, θρασὺς εἶ πολλοῦ, ἤγουν κατὰ πολύ.

Πολλοῦ χρόνου οὐχ ἑώρακά σε, ἤγουν ἐκ πολλοῦ, καὶ πολλὸν χρόνον λέγομεν.

Πολλοῦ δὴ δέω καὶ λέγειν, σιωπῶ. πόῤῥω λίαν εἰμὶ τοῦ λέγειν, οὐ βούλομαι λέγειν.

Πολλοῦ γε καὶ δεῖ λέγουσιν, Ἀττικοὶ, ἀντὶ τοῦ εἰπεῖν οὐδαμῶς. προηγησαμένης ἐρωτήσεως, ὁ δεῖνα ὅμοιος τῷ δεῖνι, πολλοῦ γε καὶ δεῖ.

Πολλοῦ δεήσει, ἀντὶ τοῦ παντελῶς καὶ ὅλου. Συνέσιος, δεήσομεν κοινωνῆσαι τῆς ἀποῤῥήτου τελετῆς, ἀντὶ τοῦ οὐδ' ὅλως κοινωνήσομεν. καὶ πολλοῦ δέη συνελθεῖν, ἀντὶ τοῦ οὐδόλως ἐλάσομαι.

Πολλῷ μᾶλλον, καὶ πολλῷ μεῖζον, καὶ οὐ πολὺ λέγομεν.

Πόλοι δύο εἰσὶ, περὶ οὓς ὁ οὐρανὸς πολεῖται, καὶ συστρέφεται.

Πόλον ἄν τις εἴποι, τὸ καλούμενον ὡρολόγιον. φήσαντος Ἀριστοφάνους ἐν γυρηπίδῃ, τουτέστιν ἑκάστοτε ὁ ἥλιος τέτραπται.

Πόλος, ὁ οὐρανός. καὶ πόλου οὐρανοῦ, ἢ κόσμου. ἔστι δὲ ἄστρων θέσις, παρὰ τὸ περὶ αὐτοὺς ἀναστρέφεσθαι τὸν κόσμον, ἤγουν τὸν οὐρανὸν, ἅ τε πόλον καλούμενον. πῶλος δὲ, ὁ ἀείδαρος μέγα.

Πόλος ἀπὸ τοῦ πολεῖσθαι. πόλον γὰρ οἱ παλαιοὶ, οὐχ ὡς οἱ νεώτεροι, σημεῖόν τι καὶ πέρας ἄξονος, ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ, καὶ τὸν Ἀτλάντιον φρουρῶν πόλον, ὡς αὐτοῦ τε περιπολουμένου, καὶ δι' αὐτοῦ πάντων ἐρχομένων.

Πολοῦνται, περὶ τὸ αὐτὸ ἀναστρέφονται.

Πόλτυν, ξυλόκαστρον, παρὰ τὸ πέλω, τὸ ἀναστρέφομαι κατ' ἀντίφρασιν. καὶ κλίνεται πόλτυνος, ὡς φόρκυν φόρκυνος.

Πόλτος, τὸ πυανεψιὸν ἕψημα.

Πολὺ, πλεῖστον.

Πολυάϊκος πολέμοιο, διὰ τὰς ἐν αὐτῷ πολλὰς ὁρμὰς καὶ μεταστροπὰς λέγεται.

Πολύαινος, πολλοῦ ἐπαίνου ἄξιος. ὦ πολύαιν' Ὀδυσσεῦ.

Πολύαινε, ἢ ἐπὶ ἐπαίνῳ εἴρηται. πιστὸς δὲ ὁ ἐκ τῶν πολεμίων ἔπαινος. εἰ μή που πρὸς εἰρωνείαν λαλεῖται, ἢ ἀντὶ τοῦ στωμύλε, μυθολόγε. Αἶνος γάρ ἐστιν, ὁ καὶ ὁ μυθώδης λόγος, ὡς καὶ παρ' Ἡσιόδῳ, αἶνον βασιλεῦσιν ἐρέω, ἤτοι μυθώδη παραίνεσιν. περὶ οὗ δὴ αἴνου καὶ τοιαῦτά φασιν οἱ παλαιοί. αἶνος καὶ παροιμία διαφέρουσι, καθὸ ὁ μὲν αἶνος, λόγος ἐστὶ μυθικῶς ἐκφερόμενος ἀπὸ ἀλόγων ζώων, πρὸς ἀνθρώπων παραίνεσιν, ὥς φησι Λούκιλλος ὁ ταῤῥαῖος. ἀπὸ μὲν ἀλόγων, ὡς παρὰ Ἀρχιλόχῳ. ἀπὸ φυτῶν, ὡς παρὰ Καλλιμάχῳ.

Πολυάϊξ, πολυκίνητε, πολυόρμητε, ἢ πολλὰς ἔχων αἶγας.

Πολυάνδρειον, μνῆμα, τάφος, τὸ θρυλλούμενον παρὰ πολλοῖς ξενοτάφιον.

Πολυαύλακος, μεγάλου, πλατέως. οὐ πεδίου πολυαύλακος εἰμ' ὁ γεραιός.

Πολυάῤῥητος, πολύευκτος.

Πολυαρκῶς, τελείως ἀρκῶν.

Πολύαρνι, πολυθρέμμονι, πολλῶν θρεμμάτων δεσπότης.

Πολύαρνι, παρ' Ὁμήρῳ κατὰ μετασχηματισμὸν, ἀντὶ τοῦ πολυάρνῳ. πολυθρέμμονα δὲ θέλει δηλοῦν αὐτὸν ἀπὸ μέρους.

Πολυβέλεμνοι, οἱ ὑπομνηματισάμενοι τὰς πολυστίχους, ὅτι τὸν Ὀρφέα ἀπέκτειναν πολλοῖς βέλεσι.

Πολυβενθέος, πολὺ βάθος ἔχοντος.

Πολύβοια, θεός τις. ὑπ' ἐνίων μὲν Ἄρτεμις, ὑπὸ δὲ ἄλλων Κόρη.

Πόλυβος, συγκοπὴ καὶ οὐχ ὑφαίρεσις. εἰ γὰρ κατ' ἔλλειψιν ἐγίνετο τοῦ υ, ὤφειλεν εἶναι πολύβος, ὡς ὠκύπος. προπαροξύνεται τοίνυν, ἢ ἀπὸ τοῦ πολύβους συγκοπὴ, ἢ ἀπὸ τοῦ πολύβιος, ὡς ἐν τῷ περὶ παθῶν.

Πολυβότειρα, πολλοὺς τρέφουσα.

Πολύβοτον, ὄνομα τόπου, ἢ τὸ πολλοὺς τρέφον, λιπαρόν.

Πολύβουλος, συνετή.

Πολυβοῦται, πολλὰς ἀγέλας, ἢ βόας ἔχοντες, πολυβούτας, πλούσιος, ἢ ὁ δημόσιος δοῦλος.

Πολυβοτραφεῖ, τῷ ἀναθρέψαντι πόλυβον νάματι.

Πολυβώτης, εἷς τῶν Γιγάντων ὑπὸ Διὸς βληθεὶς ἠνείχετο, Ποσειδῶν δὲ ἐπ' αὐτὸν ἀφεὶς τὴν τρίαιναν, τοῦ μὲν ἥμαρτε. γέγονε γὰρ νῆσος, τὸ βληθὲν νίσυρος ἐκαλεῖτο, καὶ πορφυρεὺς ἀπὸ τῶν ἐν αὐτῇ πορφυρέων. ὁ οἰκήτωρ, νίσυρος, καὶ νισυριακὸς, καὶ νισυρίτης. ὅθεν τὸ θηλυκὸν ἐν ἐπιγράμματι, νῦν δὲ βάρος πέτρης νισυρίτιδος ἔγκυκλον ἕλκω.

Πολυγάστορα, πολυστένακτα.

Πολυγηθὴς, πολυχαρής.

Πολυγλεύκου, πολυοίνου. οὐ δὲ πολυγλεύκου γειόμορος βότρυος.

Πολύγληνον, πολυόμματον. οἷα πολύγληνον βουκόλον ἰναχίης, ἐν ἐπιγράμματι.

Πολύγνωτος, οὗτος ζωγράφος μὲν ἦν τὴν τέχνην. Θάσιος δὲ τὸ γένος, υἱὸς δὲ καὶ μαθητὴς Ἀγλαοφῶντος. τυχὼν δὲ τῆς Ἀθηναίων πολιτείας, ἢ ἐπεὶ τὴν ποικίλην στοὰν ἀνέγραψε προῖκα, ἢ ὡς ἔνιοι τὰς ἐν τῷ θησαυρῷ, καὶ τὰς ἐν ἀνακείῳ γραφάς.

Πολυγκακὴς, ξηραντικός. παρὰ τὸ κῶ, τὸ καίω, παράγωγον κείω. οἷον σχίζω δρυὸς, ἣν λίπε κείων. ἐκ τοῦ οὖν κῶ, γίνεται πολυκὴς, καὶ κατ' ἀναδιπλασιασμὸν καὶ πλεονασμὸν πολυκαγκής.

Πολυγράῳ, πολυφάγῳ, καὶ γένος αἰζηῶν ἔγρας κηδεμόνα, Καλλίμαχος, ἀντὶ τοῦ κατέφαγες.

Πολυδαίδαλος ἀσπὶς, ἤγουν ποικίλη κατὰ τὰ ἔργα τοῦ Δαιδάλου.

Πολυδαιδάλου, πολλὰ ποικίλματα ἔχοντος.

Πολύδακρυ, πολύθρηνον.

Πολυδάμας, φερωνύμως, ἢ κατ' ἐνέργειαν ὁ πολλοὺς δαμάζων ἐν τῷ νικᾶν, ὁποίου δὴ λόγου καὶ ὁ πρὸ τούτου Χερσιδάμας, καὶ ὁ Ἰφιδάμας. ἤδη δέ πως καὶ ὁ Ἀμφιδάμας, ἐν ᾧ ἀμφιδεξιότατος ἔμφασις. οὐχ ἥκιστα δὲ σὺν ἄλλοις καὶ ὁ Ἀστυδάμας, οὗ παροιμία ἐξώρμηται, τὸ σαυτὸν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας. ἔτι δὲ καὶ ὁ Λαοδάμας, ὁ πολλὰ δαμασθεὶς, ὅ ἐστι πολλοῖς πράγμασιν ἐντριβής. οὐ καθ' ἑτέραν ἔννοιαν, ὁ ἀδάμας. καὶ οὐ μόνον τὸ κύριον, ἀλλὰ καὶ ὁ παρὰ τοῖς ὕστερον ὁμώνυμος αὐτῷ λίθος.

Πολύδακρυς Ἄρης, ἀνάπαλιν ἔχει πρὸς εἰρήνην, καθ' ἣν καὶ φιλομειδὴς ποτὲ Ἀφροδίτη παῤῥησιάζεται.

Πολυδειράδος, πολλὰς ἐξοχὰς ἔχοντος, οἷον πολλοὺς τραχήλους καὶ λόφους, δειραὶ δὲ, ὁ τῶν ἀλόγων ζώων τράχηλος, ἐπεὶ ἐκεῖθεν ἐκδέρεται.

Πολυδειρὰς ὄλυμπος, τὸ ὄρος δηλαδὴ τὸ ἔχον πολλὰς ἐξοχάς.

Πολυδέσμου, πολυγόμφου. δεσμοὶ γὰρ τῶν νεῶν εἰσιν οἱ γόμφοι.

Πολυδευκέα φωνὴν, πολλοῖς ἐοικυῖαν.

Πολυδεύκης, πολυδεύκους. τὰ εἰς ης ὀνόματα κύρια σύνθετα, ἀπὸ ῥήματος παρηγμένα, εἰς ους ἔχει τὴν γενικὴν, ὡς Ἀριστοφάνης Ἀριστοφάνους.

Πολυδίψια, πολύβουλον.

Πολυδίψιον Ἄργος, καλεῖ Ὅμηρος, ἢ ὡς πάνυ ποθούμενον Ἕλλησι γενέσθαι, ἢ ὅτι μυθεύεται ἄνυδρόν ποτε εἶναι. ὕστερον μέντοι ἔνυδρον, Ποσειδῶνος ἀναῤῥήξαντος τὰς ἐν Λέρνῃ πηγάς, διὰ τὸν τῆς Ἀμυμώνης ἔρωτα. ἐξ ἧς καὶ ἀμυμώνια ἐν Ἄργει ὕδατα. ἢ καὶ ἀπὸ τῶν Δαναΐδων, αἳ παραγενόμεναι ἐξ Αἰγύπτου φρεωρυχίαν ἐδίδαξαν. ὡς Ἡσίοδος, Ἄργος ἄνυδρον ἐὸν, Δαναὸς ποίησεν ἔνυδρον.

Πολύδοτος, κοχλιοειδής.

Πολύδωρος γυνὴ, ἤτοι πολλὰ δῶρα λαβοῦσα παρὰ τοῦ μνησαμένου, ἢ πολλὰ δῶρα ἐπενεγκαμένη τῷ τοῦ ἀνδρὸς οἴκῳ. ἡ Πολύδωρος γυνὴ, καθ' ὁμοιότητα τῆς μυθικῆς Πανδώρας. Πριαμίδης δὲ Πολύδωρος, ἐκ δώρων φύσεως παρονομάζεται, ἅπερ ἀλλαχοῦ ὁ Πάρις θεόσδοτα εἶπεν. ἰστέον δὲ, ὅτι δῶρον κοινῶς μὲν τὸ διδόμενον. ἔστι δὲ καὶ κύριον ὄνομα, καὶ οὐ μόνον παλαιὸν, ἐξ οὗ καὶ οἱ Δωριεῖς, ἀλλὰ καί τις ὑστερογενὴς, ἐφ' ᾧ νέῳ τε ὄντι καὶ μεγάλῳ καὶ καλῷ καὶ ἐπιδεικνυμένῳ πρός τινος ἐπὶ θαύματι ἐν Ἀθήναις ἀρίστων ὁ Κῖος ἔφη τὸ τοῦ Ὀδυσσέως πρὸς Δόλωνα, ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμὸς, ἤγουν ἀγαπᾷς τὸ μέγα δῶρον, μεταλαβὼν ἀστείως τὴν γενικὴν τῶν πληθυντικῶν εἰς γενικὴν ἧς ἡ εὐθεῖα, ὁ μεγαλόδωρος, οὐ κλητικὴ παρ' Αἰσχύλῳ, ὡς τὸ ὦ μεγάλε Ζεῦ. περὶ δὲ τοῦ μνημονευθέντος Πολυδώρου ἱστορεῖ Ὅμηρος, ὅτι αὐτὸν οὔτι πατὴρ εἴασκε μάχεσθαι, οὕνεκά οἱ μετὰ παισὶν νεώτατος ἔσκε γόνοιο, καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα, δὴ τότε νηπιέῃσι, τουτέστι παιδικαῖς ὁρμαῖς, δηλαδὴ ἢ φρεσὶ, ποδῶν ἀρετὴν ἀναφαίνων θῦνε διὰ προμάχων, εἷος φίλον ὤλεσε θυμόν.

* Πολυδώρα, νῆσος τῇ Κυζίκῳ. τὸ ἐθνικὸν Πολυδωρεύς.

Πολυειδὲς, τὸ ἐν μιᾷ θεωρίᾳ διάφορα εἴδη ὑποδεικνύον. ᾧ συγγενές ἐστι τὸ ἀπαραλείπτως ἑτέρῳ ἐξομοιούμενον, ἢ τὸ εἰς διαφόρους μορφὰς ἐκ μεταβολῆς φαινόμενον.

Πολύειδος, Ἰλιάδος ε, ὁ δ' Ἄβαντα μετῴχετο καὶ Πολύειδον. ἐν ἄλλοις δὲ, διὰ τοῦ ι σώους αλμένου. ὡς παρὰ Σοφοκλεῖ, ὁρῶ πρὸ χειρῶν Πολυΐδου τοῦ μάντεως. καὶ πάλιν ὁ αὐτὸς, οὐκ ἔστιν εἰ μὴ Πολυείδῳ. Χοιροβοσκός.

Πολύενος, ὁ πολυχρόνιος.

Πολύευκτον, τίμιον πολυπόθητον, εὐχῆς ἄξιον.

Πολυειδὴς, πολύμορφος. καὶ πολυειδία, ἡ ποικιλία.

Πολυέλικτον, πολύκυκλον, ᾆδον.

Πολυετὴς, μακρόβιος, μακροβιότης, πολυχρόνιος, καὶ μακροχρόνιος. λέγεται δὲ καὶ ἐπὶ γήρως οὐδῷ, ἐπὶ δυσμαῖς βίου.

Πολύζηλος. ὦ πλοῦτε, καὶ τυραννὶ καὶ τέχνη τέχνης ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ, ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

Πολύζηλος, οὗτος πηρωθεὶς ὡς φάσμα θεασάμενος μεῖζον, ἢ ὥς τε τοῖς ὀφθαλμοῖς ἐνεγκεῖν τῷ Πανὶ κρύπτων τὴν ἀσπίδα. σύμμαχον τὸν Πᾶνα δ' εἰκάζουσιν εἶναι, ἐλάχιστα ὡς ὁρῶν,

Digitized by Google

ὁρῶν, καὶ διέκρινε τῇ φωνῇ τοὺς ἰδίους καὶ τοὺς πολεμίους.

Πολύζυγος ναῦς, ἡ πολύεδρος, ἣν καὶ πολυκληΐδα λέγει Ὅμηρος ἀλλαχοῦ, ὡς ζυγοῦ τῆς καθέδρας λεγομένης, ἢ ἡ πολύδεσμος, ὡς ζυγῶν λεγομένων τῶν μεγάλων ξύλων, τῶν τοίχους δεσμούντων, καὶ συνεχόντων δίκην ζυγοῦ. τῶν δὲ αὐτῶν καὶ κληΐδων λεγομένων, ὡς δίκην κλειδὸς τὰ ἑκατέρωθεν συνεχόντων, ὡς εἶναι ταυτὸν τὴν πολύζυγον νῆα, καὶ τὴν πολυκληΐδα. τὴν δὲ πολύζυγον νῆα, ἐν ἄλλοις ἑκατόζυγον λέγει. τὸ μὲν ἄζυγον, ἅρματός ἐστιν ἐπίθετον.

Πολυήκοος. οὐδὲ ἦν τῶν βιβλίων πολυήκοος, ἀλλὰ Ῥώμῃ τῆς φύσεως, καὶ Θεῶν ἀγχιστορίᾳ, ἐν ταῖς ἐξηγήσεσιν ἦν θαυμάσιος. εἶπεν ἄν τις τῶν φιλοσοφούντων, ὡς οὗτος ὁ ἀνὴρ οὐ φθέγγοιτο λόγους, ἀλλὰ πραγμάτων οὐσίας.

Πολυήρατον γῆν, πᾶσιν ἐράσμιον λέγομεν.

Πολυήρατος, πολύευκτος, ἐπὶ πολλαῖς εὐχαῖς γεννηθείς.

Πολύηρος, πολυάργυρος, πλούσιος.

Πολυηχέα φωνήν, τὴν πολλοῖς ἤχοις καὶ μέλεσι χρωμένην.

Πολύθεστος, πολυαγάπητος, πολύσεπτος.

Πολύθρονον, πολυφάρμακον. θρόνα γὰρ, τὰ ἄνθη. Ὅμηρος, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε. τάττεται δὲ καὶ ἐπὶ τοῦ πανούργου.

Πολυθρύλλητος, πεφημισμένος, διαβεβοημένος, ὀνομαστότατος.

Πολυθύσανε. Ἄρτεμι πολυθύσανε κούρα. διὰ τὸ θυσάνους, καὶ αὐτὴν χρῆσθαι, ἢ ὅτι πολλαχόθεν αἴσσεται ὡς κυνηγέτις, ἢ πολυθαύστος, ἢ πολυθυσίαστος.

Πολυΐδακος, πολυόρμητος, πολυΐδρις, ἐμπειρότατος.

Πολυϊδρεία, ἡ πολυπειρία.

Πολυϊδρείη, διὰ διφθόγγου ἔχει ἀεὶ τὴν παραλήγουσαν, ὡς καὶ ἡ αἰδρεία, διὰ τὸ ἀναφέρεσθαι τὸ ε, κατὰ κλίσιν τοῦ ἴδρις ἴδρεως, ἐπ' οἷόν τι ἔχει ἐλεγχείη, καὶ ἡ ἐγχείη.

Πολυκάγκεα δίψαν λέγομεν, τὴν ξηροποιὸν, καθὰ κάγκανα ξύλα, τὰ ξηρὰ καὶ ἐπιτήδεια καίεσθαι.

Πολυκαρπότατος, τόπος εὔγεως.

Πολυκερδία, πανοῦργον.

Πολυκέρδιον, πολὺ βέλτιον.

Πολυκερδείη, ὁμοίως τῷ ἐλεγχείη, διὰ διφθόγγου ἔχει τὴν παραλήγουσαν, ὡς ἀπὸ τοῦ κέρδεος.

Πολύκεστον, ἐπίθετον τοῦ ἱμάντος. τὸ φύσει πολύζηλον τῆς τοῦ σώματος Ἐπιφανείας παραλαλεῖ, καὶ πολύπορον. ἢ καὶ ἄλλως τὸ τῶν ἐρώτων πολύτροπον, καὶ ποικίλον. φέρει δὲ αὐτὸ ἐν στήθεσι μὲν Ἀφροδίτη, Ἥρα δὲ ὑπὸ κόλπῳ, διότι καλυπτέον τὸ πάθος τοῦ ἔρωτος, καὶ ἐγκαλυπτέον ἐπ' αὐτῷ. ἢ καὶ διότι τῶν ἐρώτων οἱ ἀγαθοί φασι, διὰ γονὴν γίνεται παίδων, οἱ παῖδες ταῖς τικτούσαις ὑπὸ κόλπῳ τρέφονται, καὶ μαζόθεν, καὶ ὅτι ὁ ῥηθεὶς κεστὸς φορούμενος, οὐ μόνον τὸ φοροῦν πρόσωπον ἐποίει ἐράσμιον, ἀλλὰ καὶ ἑτέροις ἀπὸ τοῦ φοροῦντος ἐνεποίει ἔρωτας. οὕτω ἡ Ἥρα, διὰ τοῦ κεστοῦ θαρρεῖ Ὠκεανὸν καὶ Τηθὺν εἰς φιλίαν συναγαγεῖν.

Πολύκεστος, πολυκέντητος, πολύρραφος, ποικίλος.

Πολυκέφαλος, τῶν κιθαρῳδικῶν τι μέλος.

Πολυκηδέος, πολυφροντίστου.

Πολυκηδὲς, πολλῶν κακῶν αἴτιον.

Πολύκλειτος, πάνυ ἔνδοξος. πολύκλητοι δὲ, οἱ ἐκ πολλῶν κεκλημένοι τόπων.

Πολυκληΐδι, ἀδιάφορον βαρύτονον ἔχει, διὰ σύνθεσιν ἡ πολυκληΐς ἐκτείνουσα τὴν λήγουσαν.

Πολυκληῖσι προπαροξυτόνως ἀναγινώσκουσιν οἱ παλαιοί. ἔστι μὲν γὰρ ὀξυτόνως κληῒς, ἡ ναυτικὴ καθέδρα, παρὰ τὸ κλῶ, ἔνθα κλᾶται τὸ σῶμα συγκαμφθέν. ἡ δὲ σύνθεσις βαρύνει αὐτὸ, καὶ γίνεται πολυκληῒς πολυκληΐδος. ἰστέον δὲ, ὅτι πολυκληΐδες νῆες, οὐ μόνον αἱ πολυκάθεδροι, ἀλλὰ καὶ μᾶλλον αἱ πολυκλείδωτοι, παρὰ τὴν κληῗδα, τουτέστι κοινῶς τὴν κλεῖδα. πολυκλείδωτοι γὰρ ἀληθῶς αἱ νῆες διὰ τὸ πολυγόμφωτον καὶ διάρμοστον. ταυτὸν γὰρ κατὰ τοὺς παλαιοὺς κληῒς καὶ ἑδώλιον. γενικὴ δὲ τῆς κληῗδος, καὶ ἐν συναιρέσει κλῇδος, ὡς νηρῇδος. ὅθεν κλήδων παρὰ Λυκόφρονι, δοκεῖ δὲ καὶ ὁ τῆς εἰρεσίας ζυγὸς ἑδώλιον εἶναι.

Πολύκλητοι ἔσαν ἄνδρες, παρ' Ὁμήρῳ, ἤγουν ἐκ πολλῶν συγκληθέντες γλωσσῶν. οἱ γὰρ Ἕλληνες ὡς ὁμόγλωσσοι, οὐ πολύκλητοι.

Πολύκμητος σίδηρος, ἴσως ὁ ἀκατέργαστος, περὶ ὃν πολλά ἐστι καμεῖν. μάλιστα δὲ ὁ εἰς ἔργα χαλκευθεὶς πολλῷ καμάτῳ. εἰ δὲ καὶ στονόεντα ξίφη εἰσὶ, τὰ τοιαῦτα ἔργα λέγεται τὴν ἐκαῦτα πολύκμητος σίδηρος, δι' οὗ πολλοὶ ἂν κάμοιεν, ὅ ἐστι θάνοιεν, διὰ τὸ εἴδωλα καμόντων. ἢ ἀκατέργαστος λέγεται.

Πολύκνημον, δύσβατον, ὀρεινὸν, τραχὺ τόπον.

Πολυκοιρανίη, ἡ πολυαρχία. οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος γὰρ, ὁ Βασιλεύς.

Πολύκοινον. πᾶσι κοινόν.

Πολυκρατίη, πολυαρχία.

Πολύκρατον, τὸ κρατειγόνον ὀνομαζόμενον, παρὰ τῷ Ἱπποκράτει.

Πολύκρημνος μὲν διὰ τοῦ η, ἡ πολλοὺς κρημνοὺς ἔχουσα. διὰ δὲ τοῦ ι, πολλὰς κριθὰς ἔχουσα, διὰ τὸ εὔκαρπον τοῦ τόπου.

Πολύκρημνον, δύσβατον, ὀρεινόν.

Πολυκτήμων, πολλὰ κτήματα ἔχων.

Πολυκτέρος, ὄνομα τόπου.

Πολυκύμονος θαλάσσης, πολυταράχου.

Πολύκτονον, τὸ πολλοὺς κτεῖνον.

Πολυκυλίνδητος, πολλαχοῦ κυλιόμενος.

Πολυλήϊοι, ἤτοι ἀπὸ τοῦ ληΐου, τοῦ σιτοφόρου πεδίου. ἢ ἀπὸ τῆς λείας, ὅπερ βέλτιον.

Πολυλήϊον λέγουσι τὴν πολύπυρον, ἢ πολυθρέμμονα.

Πολυλήϊος, ὁ πολύπυρος. ἢ ὁ πολλὰ βοσκήματα ἔχων. καὶ πολύλαος, τὸ πλῆθος τοῦ λαοῦ, καὶ ἀπὸ τούτου ἴσως πολυλᾶς, ὅ ἐστι συνώνυμον Ἀλεξάνδρου πολυλάου, πολίτου Κερκύρας, ὃς τῆς παρούσης ἕνεκα βίβλου ἐκ γράφων τε καὶ συλλέγων λίαν πονήσας, ἄξιός ἐστι τυχεῖν ἐπαίνου. γέγονε δὲ οὗτος μαθητὴς τοῦ αἰδεσιμωτάτου ἐν Ἐπισκόποις, Βαρίνου Φαβωρίνου τοῦ Νουκερίας, ὃς ταύτην τὴν πάνυ ὠφέλιμον βίβλον, τοῖς θέλουσι πᾶσι προὔθηκεν ἑτοιμοτάτην. ἢ πολυλήϊος, ὁ πολλὰ κτήματα ἔχων, πλούσιος, ἢ πολλὰ θρέμματα.

Πολύλικτον, πολυπλάνητον, πανταχοῦ περιφερές.

Πολύλιστος, πολυλιτάνευτος.

Πολυμερὲς, εἰς πολλὰ μεριζόμενον.

Πολυμερῶς, διαφόρως, καὶ ποικίλως. ὡς ὁ Ἀπόστολος, πολυμερῶς καὶ πολυτρόπως.

Πολυμήλη, πολυθρέμματος γῆ.

Πολύμητις, πολύβουλος.

Πολυμήχανον Ὀδυσσέα καλεῖ ὁ Ποιητὴς, ὡς ἀληθῶς τοιοῦτον. πολλῶν γὰρ εὕρηται τεχνῶν ἔμπειρος. ἦν γὰρ ὡς καὶ ἐν Ὀδυσσείᾳ σημειοῦνται οἱ παλαιοὶ, οὐ μόνον πύκτης, καὶ παλαιστὴς, καὶ δισκεύειν εἰδὼς, καὶ τόξῳ ἀριστεύειν, καὶ ἀκοντίζειν ὅσον οὐκ ἄλλος τις οἰστῷ, ἀλλὰ καὶ γεωργὸς, ὅτε δρέπανον ἐκεῖ ζητεῖ, καὶ πηκτὸν ἄροτρον, καὶ κυβερνήτης, ὡς ἡ σχεδία δηλοῖ, ἣν συνεπήξατο. καὶ κυνηγὸς, καὶ μάντις, ὥς ἐστιν εὑρεῖν παρὰ τῷ Ποιητῇ, καὶ ἄλλα πολλὰ εἴδε.

Πολύμνηστος, καὶ Ἀριφράδης, καὶ Οἰώνιχος ἀρρητοποιοί. καὶ Πολυμνήστεια δὲ, καὶ αὐτὴ κωμῳδεῖται ἐπὶ αἰσχρότητι. Κρατῖνος, καὶ πολυμνήστει' ἀείδει μουσικήν τε μανθάνει. Ἀριστοφάνης, ὅς τις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα λυμαίνεται, οὔποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.

Πολυμνήστην, ἀγαθὴν, σώφρονα.

Πολυμέρμερον, πολυμέριμνον.

Πολυμερῶς, πολυσχεδῶς, δαψιλῶς, πολλὰ σχήματα ἔχων.

Πολύμηλον, πολυπρόβατον.

Πολύμητι, πολύβουλε.

Πολυμήχανε, συνετὲ, πολύτεχνε.

Πολυμνία, ἡ θάλασσα, ἡ πολὺ φυκίον ἔχουσα.

καὶ ὄνομα κύριον.

Πολύμυθος, φλύαρος, περίεργος.

Πολυνείκης. πολυνείκους μὲν ἀπὸ τοῦ νεῖκος. ὅσα γὰρ ἀπὸ οὐδετέρων ὀνομάτων εἰς ος ληγόντων παράγονται, τὴν αὐτὴν ἔχει κλίσιν τῷ οὐδετέρῳ. ὁμοίως καὶ τὰ ἐκ ῥημάτων συγκείμενα, οἷον Ἀριστοφάνης. ὀλυμπιονίκης δὲ, ὀλυμπιονίκου, ὅτι ἀπὸ τοῦ νίκη.

Πόλαυστα, ἄλφιτα.

Πολυξένης Ἀχιλλεὺς ἐρασθεὶς, καὶ δι' αὐτῆς ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἀναιρεθεὶς ναῷ μετὰ τὴν Ἰλίου πόρθησιν, ἠτήσατο καθ' ὕπνους σφαγιασθῆναι αὐτῷ τὴν Πολυξένην, ἣν οἱ Ἥρωες τῷ τάφῳ αὐτοῦ διὰ Νεοπτολέμου τοῦ παιδὸς ἐκείνου σφαγιάζουσιν, ὡς ἐν Ἑκάβῃ Εὐριπίδης φησίν. ὁ δὲ Φιλόστρατος φάλιος, μόνην τὴν Πολυξένην φησὶν ἐξελθεῖν τῆς Τροίας, ἔτι μὴ πορθηθείσης, καὶ ἀποσφάξαι ἑαυτὴν ἐπὶ τῷ τάφῳ αὐτοῦ, πόθῳ κατεχομένην τοῦ ἥρωος, καὶ δικαίως λογισαμένη, ὡς οὐχ ἑτέρου τινὸς ἀμοιρήσει ἀνδρὸς καὶ νυμφίου.

Πολύξενος, εἷς τῶν ἡρώων.

Πολύξεινος, ἡ γῆ.

Πολυωπὸν, στιβάνιον μικρόν. πολυωπὸν δὲ, δίκτυον μέγα.

Πολύοπτος, πολυθέατος.

Πολυπαίδης, παρῳδεῖται ἐκ τῶν Θεόγνιδος, βόμβων ἐπαινήσω.

Πολυπαίπαλοι, οἱ αὐτοὶ Φοίνικες παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ', τουτέστι στεγανοὶ καὶ οὐχ ὑγροὶ, μᾶλλον πολυπαίπαλοι, οἱ μοχθηροὶ, καὶ κακοήθεις. τὴν γὰρ παιπάλην ὁ Κωμικὸς, ἐπὶ πονηρίας τίθησι. καὶ τὸ παιπάλημα δὲ, τοιοῦτόν τι δηλοῖ. οἱ δὲ αὐτοὶ καὶ τὸ ἠπεροπευταί. κατὰ τὸ, τὴν δ' ἄρα Φοίνικες ἠπεροπεύειν, ἐξ ἀποτελέσματος δὲ, καὶ ἀνδραποδισταί.

Πολύπαιλος, αἰθὴρ πεποικιλμένος, οὐχ ὁμαλός.

Πολυπάμμονα, τὸν πολυκτήμονα λέγει Ὅμηρος. πάμμονα γὰρ παρὰ Δωριεῦσι, τὰ κτήματα. καὶ πάσασθαι τὸ κτήσασθαι. ὅθεν καὶ τὸ πῶυ. καὶ πηὸς, ὁ κατὰ ὁ ἐξ ἀγχιστείας συγγενής. σκοπητέον δὲ εἰ Δώριον τὸ πάμμα, καὶ ὁ πολυπάμμων, πῶς ἐν αὐτοῖς διπλασιάζεται τὸ ἀμετάβολον. οὐ γὰρ Δωριέων τοῦτο, ἴσως οὖν καὶ Αἰολέων τὰ ῥηθέντα εἰσὶν, ἀφ' ὧν διπλοῦνται τὰ σύμφωνα.

Πολυπενθέος, πολυπαθοῦς.

Πολυπήμονα, πολυβλαβῆ.

Πολυπίδακα Ἴδην, πολλὰς ἀναβολὰς ἔχουσαν, ἤγουν ἀναβλύσεις, ἐκ τοῦ πολυπίδαξ, κος. οὗ ἀναδραμόντος εἰς εὐθεῖαν, ὡς δηλοῖ τὸ πολυπιδάκου, εἴη ἂν καὶ ἡ αἰτιατικὴ πολυπίδακον. ἐκ τοῦ πιεῖν δέ φησιν ἡ πίδαξ, ἢ ἐκ τοῦ πιδύειν, ὅ ἐστι γῆθεν ἅλλεσθαι. αὐτὸ δὲ κατὰ ἀναλογίαν φασὶν Αἰολικὴν, ἐκ τοῦ πηδᾶν γίνεται. ἀφ' οὗ καθ' ὁμοίαν τροπὴν, καὶ πιδήεσσα, ἡ κάθυγρος. ἐκ δὲ τοῦ πιδύειν, καὶ πιδύτης κύριον, ὡς ἐκ τοῦ πτύειν πτύτης.

Πολυπίδακος Ἴδη. λέγεται δὲ οὕτω, διότι πολυπόταμός ἐστι.

Πολύπικρα καὶ αἰνὰ, τουτέστι πολυπίκρως καὶ αἰνῶς. βίας ἀποτίσειν ἐλθὼν, ἤγουν πειραθῇς ἀμυντικῶς ἐκδικῆσαι τὰς βίας αὐτῶν, ἀλλά ἐστιν ἐνταῦθα ἔλλειψις. λείπει γὰρ τὸ σκόπει, ἢ σκέπτου, ἢ δέδοικα, ἵνα λέγῃ, ὅτι δέος ἐστὶ, μὴ τίσασθαι τοὺς κακοὺς προθέμενος, πικρανθῇς αὐτὸς, Ὅμηρος ἐν Ὀδυσσείας π'.

Πολύπιστος, ὁ πολλὴν πίστιν ἔχων, ἔμπιστος.

Πολυπλάγκτοις, εἰς πολλὰ μέρη πλανωμένοις.

Πολύπλαγκτος ἄνεμος, ὁ μὴ ἀεὶ μένων ἐν αὐτῷ. διὸ καὶ τοὺς κατὰ νοῦν ἀστάτους, ἀνεμιαίους φαμέν.

Πολυπλάγκτου, πολυπλανήτου, πανταχοῦ περιφερομένου.

Πολύπλοκος, πολύτροπος.

* Πολύπους, ὄγκος παρὰ φύσιν ἐν τοῖς ῥισὶ, τῷ θαλασσίῳ ἐοικὼς πολύποδι, συνιστάμενος ἐξ ὕλης μικτῆς, τούς τε μυκτῆρας ἐμφράττων δυσεργίαν παρέχει κατά τε τὴν ἀναπνοὴν καὶ τὴν διάλεκτον.

Πολύποδος δίκην, αὐτὸς ἑαυτὸν κατεσθίων.

Πολύποδος ὁμοιότης, πρὸς τοὺς ἐξομοιοῦντας τισὶν ἑαυτούς.

Digitized by Google

Πολύποδες, εἶδος ἰχθύων. ἢ εἶδος φθειρῶν.

Πολυποίτης, ὄνομα φερώνυμον οἱ παλαιοὶ λέγουσι. φάμενοι οὕτως αὐτὸν ὀνομασθῆναι, διότι ὁ πατὴρ πολλοῖς Κενταύροις ἐπέθετο ἐγχειρήσασιν ἐνυβρίσαι τοῖς γάμοις αὐτοῦ τῆς μυρτός, οἱονεὶ γοῦν πολυποινίτης, καὶ ἐν συγκοπῇ πολυποίτης, καί ἐστι φασὶν, ὅμοιον τῷ Τισαμένης. υἱὸς δὲ οὗτος Ὀρέστου τὴν κλῆσιν ἔσχε, ἀπὸ τοῦ τὸν πατέρα Ὀρέστην τίσασθαι τοὺς φονέας τοῦ πατρός.

Πολυπραγμονεῖν, τοῖς πράγμασι τῶν ἄλλων καὶ πονηρίαις ἑαυτὸν ἐνδιδόναι.

Πολυπραγμοσύνη, καὶ πολυπράγμων. ὁ σπουδαῖος οὐκ ἔστι πολυπράγμων, τοῦτο βουλόμενοι δεῖξαι, τὴν πολυπραγμοσύνην μεταλαβόντες εἰς φιλοπραγμοσύνην, ἀνασκευάζομεν τὸ προκείμενον. ὁ μὲν γὰρ πολυπράγμων οὐδέπω φανερὰν ἁμαρτίαν σημαίνειν δοκεῖ, εἴγε πολυπράγμων μέν ἐστιν, ὁ ἐν πολλοῖς κυλιόμενος πράγμασι. δύναται δὲ τοῦτο, καὶ ἀπὸ τύχης τινὶ περιγενέσθαι. ὁ δὲ φιλοπράγμων, διάθεσίν τε καὶ οἰκειότητα τὴν πρὸς τὰ πράγματα δηλοῖ, καὶ σπουδὴν καὶ αἵρεσιν, ὃ ἀλλότριον τοῦ σπουδαίου.

Πολύπρεμνος, πολυστέλεχος ὕλη.

Πολυπρώτιστον, τινὲς τῶν ἀντιγράφων ὑφὲν γράφουσι. τοῦτο δὲ καὶ φερωνυμίαν τινὰ παραλαλεῖ τῆς τοῦ Πρωτεσιλάου κλήσεως, ὡς μὴ ἁπλῶς πρώτου ἐν λαῷ τῷ Ἀχαϊκῷ, ἀλλὰ ὡς πολὺ πρωτίστου καὶ πηδήσαντος, καὶ πεσόντος, ἐκ τοῦ πρωτέσω μέλλοντος παρήχθη τὸ Πρωτεσίλαος, οἱονεὶ προτεσίλαος, καὶ ἀπελεύσει τοῦ ῡ, Πρωτεσίλαος. τὸ δὲ πολυπρώτιστος, ὁ Πρωτεσίλαος. περὶ οὗ σημείωσαι μὲν ὅτι κοινῶς μὲν λεγόμενος, πίπτει εἰς μέτρον ὁμηρικόν. ἀττικῶς δὲ οὔ, Πηνέλεων μὲν γὰρ ἐρεῖ τις καὶ Γόλεων, πρωτεσίλεων δ' οὐκ ἂν εἴπῃ, ὥσπερ οὐδὲ Μενέλεων. οὐ γὰρ παραληπτέα τὰ τοιαῦτα εἰς μέτρον δακτυλικόν.

Πολύπτυχος Ὄλυμπος, τὸ μὲν ὄρος διὰ τὸ πολλὰς ἔχειν πτύχας, ἤτοι περιοχὰς ἀνακλίσεων. ὁ δὲ Οὐρανὸς ἀλληγορικῶς διὰ τὰς ὀκτὼ σφαίρας, ἃς ἔχει τὴν μίαν τῶν ἀπλανῶν, καὶ τὰς τῶν πλανήτων. ἢ καὶ ἄλλως, πολύπτυχος, ὁ ἰσχυρὸς καὶ στερεός. καθ' ὁμοιότητά τινος πολυπτύχου, ὁποία καὶ ἡ τοῦ Ἀχιλλέως ἱστόρηται ἀσπίς.

Πολύπτωτον λέγεται, ὅταν ὁ αὐτὸς λόγος πολλῶν πτώσεων ἀντιλαμβάνηται.

Πολύπυρος, πολύσιτος.

Πολύρρηνες, καὶ πολυβοῦται, οἱ ἁπλῶς πολυθρέμμονες, ὡς ἀπὸ μέρους τὸ πᾶν. ἔστι δὲ τὸ μὲν πολύρρηνες, ὁμοιοσύνθετον τῷ οἷς ὑπόρρηνος. τὸ δὲ πολυβούτης, τῷ ἀβούτης, ὃ παρ' Ἡσιόδῳ κεῖται. δῆλον δὲ καὶ ὡς σφοῦ πόκειται ὁ βούτης τοῦ βώτωρ, καθὰ καὶ ὁ δότης τοῦ δότωρ ἡ δὲ δωτίνη, ἔκτασιν ἔχει τῆς ἀρχούσης κατὰ τὸν δώτορα.

Πολύρρηνες, πολυθρέμματοι, πλούσιοι. ῥῆνες γὰρ, οἱ ἄρνες.

Πολύρρητος, πολύφραστος.

Πολυρρήτοισι, πολυπόνοις.

Πολύρρινον σάκος, τὸ πολύβυρσον.

Πολύς, ἐναντίον ἐστὶ τῷ ὀλίγος, ὁποτέρῳ ἂν αὐτῶν προσέλθῃ τὸ οὐ ἀποφαντικὸν ἐπίρρημα, ταυτὸν τῷ ἑτέρῳ γίνεται. τό, τε οὐ πολὺς ταυτὸν τῷ ὀλίγος, καὶ τὸ οὐκ ὀλίγος, τῷ πολύς.

Πολὺς τὸν λόγον, λείπει ἡ κατά. ὥσπερ οἱ χαρίεντες τῶν ἀνθρώπων, λείπει ἡ ἀπό.

Πολύς, σφοδρός.

Πολύσκαρθμος, ἡ ἡνιοχικὴ καὶ πολυκίνητος. γίνεται γὰρ ἐκ τοῦ σκαίρω, τὸ πηδῶ ὁ σκαρθμός, πλεονάσαντος τοῦ θ, ὡς καὶ ἐν τῷ μηνυθμὸς καὶ κλαυθμὸς καὶ ὀρυθμός, παρὰ Κοΐντῳ. τινὲς δὲ τὸ πολύσκαρθμος, πρὸς τὸν τόπον ἡρμήνευσαν, ὡς πολλῶν φασιν ἐνεργουμένων αὐτόθι ἐν τῷ πολέμῳ σκαρθμῶν, ὅ ἐστι κινήσεων ποδῶν. ἔστι δὲ κατὰ τοὺς παλαιοὺς σκαρθμός, δρόμος, βάσις, πούς. ἕτεροι δὲ πολύσκαρθμος, ἀντὶ τοῦ ταχεῖα ἐνόησαν, ὡς παρ' Ὁμήρῳ ἐν τῷ καταλόγῳ.

Πολυσμαράγοις, ἠχητικοῖς.

Πολύσπειρον, πολυέλικτον.

Πολυσπαθής, ὁ πλειστάκις ὑπὸ σπάθης ἐνεργηθείς.

Πολυσπερέας, ἐπὶ πολλὰ μέρη διεσπαρμένας. πολυσπερέας τὰς φάλαγγας.

Πολύστικτος, πολυπόρφυρος.

Πολύστονα, πολλῶν στεναγμῶν αἴτια.

Πολυσφέλμου, πολυφλοίου.

Πολυσχιδής, πολυμερής. καὶ πολυσχιδῆ ζῶα, ἄνθρωπος, κύων, λέων, καὶ εἴτι ἄλλο, οἷς συμβέβηκε πολυποκεῖν.

Πολυτελὲς, δαπανηρόν. καὶ πολυτελέσι, πολυδαπάνοις. τέλος γὰρ τὸ δαπάνημα. καὶ πολυτέλεια, πλουσιότης.

Πολυτελῆ, τὰ πολυδάπανα. ὡς ἀτελῆ, τὰ ἀδάπανα.

Πολυτιμητιζόμενος, θεραπευόμενος.

Πολυτίμητος. ἐψηλάφων τοὺς ὑπομνηματισμοὺς, οὓς ὁ πολυτίμητος Ἡρακλείδης ἧκεν ἔχων, ὁ πολυτιμώρητος.

Πολύτιμον, τὸ πολλοῦ τιμήματος ἠγορασμένον. πολύτιμον δὲ, τὸ πολλῆς τιμῆς, ἤγουν δόξης ἀξιωθέν. Ἀριστοφάνης ἐν νεφέλαις, ὦ πολυτίμητοι νεφέλαι.

Πολύτλας, πολλὰ ὑπομείνας, ἢ κακοπαθήσας, πολλὰ ἀνατλάς, ταλαίπωρος.

Πολύτορον, δέρμα ἐχίνου, ἤτοι διὰ τὰς ἀκάνθας. ἐπεὶ τιτρώσκουσιν, ἢ ἐπεὶ ἐκ φύσεως πολλὰς ἔχουσι.

Πολυτρήρωνα, πολλὰς περιστερὰς ἔχουσαν.

Πολύτρητοι σπόγγοι, πρός τινα ἴσως ὁμοιότητα τοῦ πολυωπὸν δίκτυον.

Πολύτροπον, ταυτόν ἐστι τῷ εὐκίνητον, ποικίλον, πολύμητιν, πολύνουν, ἐπιχειρηματικόν, πολύβουλον, πολύστροφον. οὐκ ἐφ' ἑνὸς ἑστῶτα, οἷα γεγραμμένην εἰκόνα, τρεπόμενον δὲ πολλὰς ὁδοὺς βουλευμάτων, ὡς Ὀδυσσεῖ πρέπει τῷ πολυμηχάνῳ, τῷ παντίοις δόλοις κεκοσμημένῳ, καθά φησιν ὁ Ποιητής. ὡς τόν γε μὴ οὕτω πολύτροπον, ἀλλὰ στρόφιν, κατὰ τὴν κωμῳδίαν. καὶ ὡς οἱ μεθ' Ὅμηρον σκώπτουσι πολύποδα, κακίζει ὁ Ποιητής, ἐν οἷς φησι μισεῖν ἄνδρα, ὃς ἄλλο μὲν κεύθει ἐν φρεσὶν, ἄλλο δὲ βάζει. πολύτροπος οὖν, ὁ διὰ πολλὴν ἐμπειρίαν πολύφρων.

Πολυφασίας, πολυλογίας. φάσις γὰρ, ἡ φήμη, καὶ ὁ λόγος.

Πολύφατος ὕμνος, πολύφημος, ὁ ὑπὸ πολλῶν φημιζόμενος καὶ λεγόμενος, πολυθρύλλητος.

Πολύφερνος, πολύεδνος.

Πολύφημος Εἰλατίδης ἐν Μυσίᾳ καταλειφθεὶς, ἔκτισε πόλιν Κίον τὴν οὕτως ὠνομασθεῖσαν, ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. μαχόμενος πρὸς Χάλυβας οὗτος ἐτελεύτησεν, ὥς φησι Νυμφόδωρος. ὅτι δὲ τὴν Κίον ἔκτισεν, εἴρηκεν Αὐτόχαρις ἐν πρώτῳ χρόνων.

Πολύφημον, Ἐλάτου παῖδα εἶπεν Ἀπολλώνιος. Ἰσοκράτης δὲ καὶ Εὐφορίων, Ποσειδῶνος.

Πολύφημον ἀγορὰν λέγει ὁ Ποιητής, ἐν ᾗ πολλαὶ ἐνίοτε φῆμαι λαλοῦνται, ἤγουν μαντικοί τινες λόγοι.

Πολυφλοίσβοιο, πολυταράχου, πολυκινήτου.

Πολυφόρβη γῆ, ἡ πολλοὺς τρέφουσα.

Πολύφορβος γῆ, ἀκριβῶς ἐρρέθη. φορβῆς γὰρ ὡς ἐπὶ πολὺ ἐπὶ ἀλόγων κειμένης. πολύφορβος οὖν ὀρθῶς, οὐ μὴν πάμφορβος, εἰ μὴ ἄρα καταχρηστικῶς. φορβὴ μὲν ἡ ἁπλῶς τροφή, πολύφορβος γῆ, ὡς ἐκ μέρους ἡ πάντροφος, ἤγουν παμβῶτις, κατὰ τὸν Σοφοκλῆν. ὅτι δὲ τὸ φέρβω, ἐξ οὗ ἡ φορβή, καὶ ἡ πολύφορβος, ἐκ τοῦ φέρειν βίον γίνεται, καὶ ὅτι ὥσπερ ἐκ τοῦ βόσκω βοσκὰς βοσκάδος, ὄρνεον ἧττόν φασι νήττης, οὕτω καὶ ἀπὸ τοῦ φέρβω φορβὰς φορβάδος, ἐπί τε ζώων καὶ ἐπ' αὐτῆς τῆς γῆς, ὡς τό, φορβάδος ἐκ τε γᾶς ἑλεῖν, δῆλον ἐκ τῶν παλαιῶν.

Πολυφόρῳ δαίμονι παρὰ τῷ Ἀριστοφάνει, πολλά μοι κακὰ ὑφ' ἕνα καιρὸν ἄγοντι. ἢ ποικίλα. εἴρηται δὲ ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου οἴνου, ἤγουν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν. εἴρηται δὲ ὅτι πολύφορον μὲν ἔλεγον, τὸν πολλὴν κρᾶσιν δεχόμενον. ὀλιγόφορον δὲ, τὸν ὀλίγην. ἢ μεταφορικῶς ἀπὸ τῶν πολυκάρπων χωρίων, ἢ πολυανθῶν δένδρων.

Πολυφραδέστερον, συνετὸν ἐν λόγοις.

Πολυφραδέως, πολυκερδοῦς, ἢ λίαν συνετοῦ.

Πολύφρονα, σώφρονα, συνετὸν, φρόνιμον.

Πολύχαλκος οὐρανὸς, ὁ στερρός. διὸ καὶ σιδηροῦς που λέγεται, εἰ καὶ ὡς λαμπρὸς χρυσέῳ δαπέδῳ λάμπεται. ἢ πολὺν ἔχων χαλκὸν μυθικῶς, διὰ τὰ ἐν αὐτῷ ἡφαιστότευκτα χαλκοβατῆ δώματα.

Πολυχανδέα, πολλὰ χωροῦσαν.

Πολυχειρία, πλῆθος ἐργαζομένων, καὶ ἀνυόντων.

Πολύχουν, πολυφόρητον, ἢ πολυειδῆ.

Πολύχους, πεπλουτισμένους.

Πολύχρυσον, τὴν Μυκήνην λέγει Ὅμηρος, ἢ ὡς τοιαύτην ἀληθῶς οὖσαν, διὰ τὸν ἐν αὐτῇ εὐρυκρείοντα. δεῖ γὰρ οὕτω χρημάτων τῷ εὐρυκρείοντι, εἴπερ τινὶ ἄλλῳ. ἢ κατὰ τοὺς νεωτέρους, πολύχρυσος λέγεται, ὡς εἴ τις εἴποι πολύφθοροι, οἷα τοῦ χρυσοῦ βιοφθόρου ῥηθέντος παρά τινων. τοῦτο δὲ τὰς ἐν αὐτῇ δυσπραγίας τῶν ἀρχόντων τοῦ τε Ἀτρέως, καὶ τοῦ Θυέστου, καὶ τῶν μετ' αὐτούς, περὶ ὧν Σοφοκλῆς ἔφη, τὸ πολύφθορόν τε δῶμα Πελοπιδῶν.

Πολυωδυνία, καὶ πολυώδυνος, ὁ ἐν μεγάλῃ θλίψει ὤν.

Πολυώνυμον, τὴν μονάδα οὕτως ἐκάλουν. καὶ ἐπίθετον Ἀπόλλωνος.

Πολυωπὸν δίκτυον κατὰ τοὺς παλαιοὺς, τὸ πολλὰς ὀπὰς ἔχον, καὶ ἐκταθέντος τοῦ ο. βίαιον γάρ φασι πολυωπὸν εἰπεῖν τὸ πολυόφθαλμον, καὶ τοῦτο μὲν ὀρθόν. εἰ δέ τις ἐνθυμηθείη, καὶ τεχνιτοὺς εἶναι ὀφθαλμοὺς, ὁποῖοι οἱ κατὰ τὰς τριήρεις. λέγονται γὰρ ὀφθαλμοὶ ῥητορικῶς ἐν ἐκείναις αἱ ὀπαί, ὧν αἱ κῶπαι διείρονται, οὐκ ἂν ἀπαγορεύσοι πολυωπὸν εἰρῆσθαι δίκτυον, οὗ πολλοὶ τεχνικῶς οἱ ὀφθαλμοὶ πολυοπὸν μέντοι ῥάκος, οὐ κατὰ τέχνην ἔχον ὀφθαλμοὺς, ἀλλὰ τετρημένως. ἄλλως. ἐκ πάθους εἰς ὀπάς. ἐθέλει τῷ ο μικρῷ παραλήγεσθαι. καὶ πολυοπὸν ἱμάτιον.

Πολυωρήσεις, μέλλων. ἔστι δὲ παρὰ τὸ ὠρῶ τὸ φυλάσσω, καὶ μετὰ τοῦ πολὺ ἐπιρρήματος, πολυωρῶ, πολυωρήσω, σεις. ἤγουν ἐπὶ πολὺ φυλάξεις. ἢ πολλὴν φροντίδα ποιήσεις. καὶ πολυωρία, ἡ ἐπιμέλεια.

Πόλφοι, τὰ ἐκ τῶν χίδρων καὶ τῆς ἰρίνης ἑψόμενα.

Πολῶ, τὸ ἀναστρέφω. ἀφ' οὗ ἀναπολῶ, τὸ ἀναλογίζομαι, καὶ κατὰ νοῦν στρέφω. καὶ περιπολῶ τὴν πόλιν, ἤγουν κύκλῳ διέρχομαι. καὶ περίπολος, ὁ κατὰ κύκλον πορείας ἐμπολῶν, καὶ ἀπεμπολῶ, ὀνειροπολῶ. πολῶ, καὶ τὸ ἀναστρέφομαι, καὶ ἐπιφοιτῶ, καὶ πυρπολῶ.

Πόμα κεκραμένον, δύο καὶ τρία. τρία μέρη ὕδατος ἐπιδεχόμενον, οἴνου δὲ δύο. ἀρίστη κρᾶσις οἴνου δύο μέρη, καὶ ὕδατος τρία. Ἀριστοφάνης, ἔχε πιεῖν κεκραμένον, τρία καὶ δύο. ἡ τριτογενὴς αὐτὸν ἐνετριτώνισε. βούλεται οὖν εἰπεῖν, ὅτι ἡ Ἀθηνᾶ τοιοῦτον αὐτὸν ἐποίησεν, ὡς δύνασθαι τρία μέρη φέρειν ὕδατος.

Πόμαλα, τρόπον τινά.

Ποματίας, ὁ κοχλίας.

Πομήριον, τόπος.

Πομμῦσαι, ὁμιλοῦσαι.

Πομπαῖος, ὁ ἀπὸ τῶν γηΐνων εἰς τὰ οὐράνια πέμπων. καὶ πομπαῖος Ἑρμῆς, ὁ τὰς ψυχὰς εἰς τὸν ᾅδην καταπέμπων τε, καὶ παραπέμπων.

Πομπεία, λοιδορία. καὶ οἱ δικανικοὶ χρῶνται τῷ ὀνόματι. λέγεται πομπεῖα, καὶ τὰ εἰς πομπὰς κατασκευαζόμενα σκεύη. ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τοῖς κατὰ Ἀνδροτίωνος ὑποσημαίνει. Φιλόχορος δέ φησιν, ὡς πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς οὐσίας τῶν τριάκοντα κατασκευασθεῖσιν. ὀψὲ δὲ καὶ Ἀνδροτίων ἄλλα κατεσκεύασε.

Πομπεύει, ὡς νενικηκὼς μεγαληγορεῖ.

Πομπεύς, ἐκ τοῦ πομπεύω. ὡς ἡγεμονεύς, ἐκ τοῦ ἡγεμονεύω. καὶ ἡνιοχεύς, ἐκ τοῦ ἡνιοχεύω.

Πομπεύω, τὸ δημοσίᾳ προέρχομαι. πομπὸς, ὁ προπέμπων καὶ ὁδηγῶν. καὶ πόμπιμος, ὁ δυνάμενος προπέμπειν καὶ ὁδηγεῖν τινά. πομπεύει, ἀντὶ μετὰ τιμῆς προάγεται. τὸ ἐνεργητικὸν, ἀντὶ τοῦ παθητικοῦ, ὡς ὁ Θεολόγος. πομπεύει διὰ τῆς ἀγορᾶς, καὶ πομπεύει ἕτερος ἕτερον μεταβατικῶς, ἀντὶ τοῦ δημοσιεύει καὶ ἀτιμάζει. ὅθεν πομπεία, ἡ ἀτι-

Digitized by Google

ἡ ἄτιμος περιαγωγή. πομπὴ δὲ, ἐπὶ τιμῆς.

Πομπὴ, συνάθροισις τοῦ λαοῦ ἐπί τινι. καὶ πομπεῖα πληθυντικῶς, τὰ ἱερὰ σκεύη τὰ προπεμπόμενα τῆς πομπῆς.

Πομπὴ, ἡ ἐν ταῖς τῶν Θεῶν πανηγύρεσι πρόοδος, καὶ ἡ μετὰ νίκην ἐν θριάμβῳ προέλευσις. καὶ πομπεῖα, θυμιατήρια, καὶ αἱ χέρνιβες, οἷς ἐν ταῖς πομπαῖς ἐχρῶντο. πομπεία θηλυκῶς, ἡ ὕβρις. ἀπὸ τοῦ τοὺς πομπεύοντας χρῆσθαι πρὸς ἀλλήλους σκώμμασι. πομπεία καὶ ὁ μετὰ κάλλους, καὶ ὡραϊσμοῦ θριαμβισμός. καὶ πομπεύω, τὸ ὑβρίζω, καὶ δημοσίᾳ προέρχομαι. καὶ πομπὸς, ὁ ὁδηγῶν καὶ προπέμπων. καὶ πόμπιμος, ὁ πέμπειν δυνάμενος, ἤγουν ὁδηγεῖν καὶ προπέμπειν ἕτερον.

Πομπὴν, πέμψιν, ἀποστολήν.

Πομπήλιος, ὄνομα κύριον. καὶ πομπίλος, ἰχθύς.

Πομπὸν, συνοδοιπόρον, καὶ προπέμποντα.

Πομπὸς, ἄγγελος, συνόδος. καὶ πομπὴ, ἡ Ἀποστολή, Ἰλιάδος ζ'. λέγεται δὲ πομπὴ, καὶ ἡ μετὰ Σταυροῦ λιτὴ, καὶ ἄφοδος, καὶ δημοσίευσις.

Πομποστολεῖ, ἐκπέμπει τῇ νηὶ τὸν στόλον.

Πομποβόλῳ, πέντε ὀβελίσκοις.

Πομπυσμάτων, συρισμάτων.

Πομφαγαγεῖ, τὴν πομπὴν ἄγει.

Πομφαγεῖται, φυσᾶται, ἀνακράζει.

Πομφόλυγες, αἱ ἐκ τῶν ὄμβρων, ἢ ἄλλως καταφερόμεναι. ὁ δὲ δίκην πομφολύγων ἐκφύσεως διαλύει τὸ ὕπνον.

Πομφόλυγες, τῶν ἀσπίδων, αἱ ἔξοδοι. αἱ ἐν τῷ ὕδατι γενόμεναι οἰδήσεις, ἢ φυσήματα ὕδατος. ἐπὶ τῶν διὰ κενῆς φυσιωμένων λέγεται ἡ λέξις.

Πομφόλυξ, ἐκβρασμὸς ὕδατος.

Πομφολυγοπαφλάσμασιν, ἐν ταῖς δίναις τῶν ὑδάτων. πομφόλυγες γὰρ αἱ φλυκτενώδεις δῖναι. ἀπὸ τοῦ παφλάζειν, ὥσπερ πομφόλυξ ῥαγεῖσα ἀφανίζεται, οὕτω μνήμη ὑπερηφάνου ὄλλυται μετὰ θάνατον.

* Πομφοὶ, ἐπαναστάσεις τοῦ δέρματος ἰχθυώδεις τε ἅμα, καὶ πλαδαραὶ, καὶ ἐνερευθεῖς.

Πόμφυκα, τὸν κόγχον.

Πονεῖν, ποιεῖν, ἀσκεῖν, κακοπαθεῖν, ἐνεργεῖν.

Πονέεσθαι, ἐνεργεῖσθαι. καὶ τὰ ὅμοια.

Πονεῖν, τὸ ἐνεργεῖν σημαίνεται. πονέεσθαι, Ἰωνικῶς ἀντὶ τοῦ πονεῖσθαι. οἱ Ἴωνες γὰρ ἐνίοτε ἐξαιροῦσι τὸ ι τῶν λέξεων. πονέω, μέλλων πονέσω, καὶ πονήσω, ψυχικῶς μὲν διὰ τοῦ η, σωματικῶς δὲ διὰ τοῦ ε δεῖ λέγειν πονῶ. καὶ πονοῦμαι γράφεται, καὶ διαπονοῦμαι τόδε. πονῶ, ἀπὸ τοῦ πένομαι.

Πονέοντο, ἦγον ἐπάνω. ἐξ οὗ τὸ ποιπνύειν παράγεται.

Πονεύμενον, ἐπιπνοῦντα, μαχόμενον. ἐκ τοῦ πονέω πονέομαι. πονεόμενον, καὶ κράσει Δωρικῇ πονεύμενον, καὶ κατὰ φιλίαν ποιητικὴν ἐφράσθη τῷ ποιητῇ.

Πονεύμενον, ἐνεργοῦντα.

Πονήματα, κόποι.

Πονηρεύω, παρὰ τὸ πονηρὸς, πονηρεύω, καὶ εἰ μὲν κατὰ ψυχὴν ὀξύνεται. εἰ δὲ κατὰ τὸ σῶμα, βαρύνεται. ὅθεν καὶ πονηρία.

Πονηρὸν λέγει ὁ Ἀπόστολος, τὸ ἐκ κατασκευῆς εἴς τινα παρ' αὐτοῦ πόνον γινόμενον. λέγεται δὲ καὶ πονηρὸν ὕδωρ, τὸ νοσοποιὸν, πονηροὶ λέγονται καὶ οἱ ἐπίπονοι.

Πόνηρος, γεωργὸς, ἢ ἄθλιος. εἴρηται οὕτω μετατιθεμένου τοῦ τόνου Ἀττικῶς. Ἀριστοφάνης, ἃ μὴ λέγε πόνηρε ἤγουν γεωργὲ, ἢ ἄθλιε. καὶ ἀλλαχοῦ εἶπε, παπαὶ, πονήρους εἶπας. ἤγουν ἐπιπόνους, ἀτυχεῖς, ἀθλίους, ἢ τοὺς πόνου φροντίζοντας, ἧσσον τῷ ἀσθενεῖς, ἀπράκτους. ὡς φαμὲν πονήρως ἔχει τὰ πράγματα ἡμῖν.

Πονηρὸς, ὁ μοχθηρός. πονηρὸς δὲ, ὀξυτόνως ὁ κακὸς, καὶ σύνεργος μὲν, ὁ συγκάμνων τεχνίτης. συνεργὸς δὲ ὀξυτόνως, ὁ βοηθός. καὶ σταφυλὴ μὲν κιονὶς, καὶ καρπός. σταφύλη δὲ βαρυτόνως, τεκτονικὸν σκεῦος. καὶ σπάθη μὲν, ξίφος. σπαθὴ δὲ ὀξυτόνως, ναυτικὸν ξύλον. καὶ σίγηλος μὲν, κύριον ὄνομα ναρκίσου. σιγηλὸς δὲ ὀξυτόνως, ὁ σιωπηλός. καὶ Τεῦκρος μὲν κύριον. Τευκρὸς δὲ ὀξυτόνως, ἐθνικόν. καὶ φιλήτης μὲν, κλέπτης. φιλητὴς δὲ ὀξυτόνως, ὁ ἐραστής. Ἄλλως.

Πονηρὸς ὁ τὴν γνώμην ἔχων διεστραμμένην. πόνηρος δὲ προπερισπωμένως, ὁ αὐτουργὸς, καὶ περὶ τὴν γῆν πονούμενος.

Πονήρως, ἐπωδύνως.

Ποιήσατο, Ἀττικόν. ἐπόνησε κοινόν.

Πονήσατο, κατεργάσατο.

Πονῶμεν, πονῶμεν.

Πόννα, τὸ γράφος, ἢ μάγος.

Πόνον σπείρειν. παροιμία, ἐπὶ τῶν μάτην πονούντων.

Πόνος παρὰ τῷ Ποιητῇ, ἐνέργεια. ὡς καὶ ἐν τῷ, αὐτὰρ ἐπεὶ παύσαντο πόνου, ὅπερ ἑρμηνεύων φησὶ, τετύκοντο δεῖπνα. οἱονεὶ γάρ φησιν, ὅτι πόνος νῦν ἡ ἑτοιμασία τῆς δαιτός.

Πόνος, σπουδὴ ἐπίτασις. καὶ ἦν πόνος μυρίος ἑκάστοις ἐπειγομένοις δρᾶσαι τὸ προσαχθὲν, καὶ ἀγώνισμα ἐτίθετο ἕκαστος ἑαυτοῦ, τῆς Περσῶν προθυμίας τε, καὶ σπουδῆς.

Πόνος, ἐμποδισμὸς τῆς κατὰ φύσιν ἐνεργείας.

Πόνος ἐστὶ, σώματος μὲν τραχεῖα κίνησις, εἰς αἴσθησιν ἀποτελοῦσα, ψυχῆς δὲ, ἡ ἐκ λόγου πληγῆς. ἢ ἐξ ἀγαθοῦ συνειδότος ἐγγινομένη αὐτῇ συναίσθησις.

Πόντια ῥάκη, σπόγγοι, ἢ τὰ τούτων σπαράγματα.

Πόντιος, θαλάσσιος. ἐκλήθη δὲ, καὶ ὁ Πιλάτος πόντιος, ὡς ἀπὸ πόλεως.

Ποντοβρόχους, ὑπὸ θαλάσσης βρεχομένους.

Ποντοπόρος, πέλαγος διαπορευομένη, πελαγοδρόμος.

Ποντοπόσειδον, ἀπὸ τοῦ πόντου. ὦ μέγιστε Πόσειδον.

Πόντος ἀγαθῶν, πλῆθος καὶ μέγεθος θέλων σημᾶναι λέγει.

Πόντος, κυρίως τε, καὶ κοινῶς πᾶν πέλαγος. ὡς δηλοῖ Ὅμηρος ἐν τῷ πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα. ἰδίως δὲ πόντος παρὰ τοῖς ὕστερον, καὶ ὁ Εὔξεινος. * ἔστι καὶ πόντος πολεμωνιακὸς, ἐπαρχία.

Πόντος ἁλὸς, καὶ θαλάσσης λέγεται, ὡς εἴ τις εἴποι κόλπον, ἢ τόπον. ἄλλως δὲ, πόντος ἀπολύτως λέγεται.

Πόντον Ἰκαρίοιο, τοῦ Ἰκαρίου πελάγους, ὅπερ ὠνομάσθη ἀπὸ Ἰκάρου τοῦ Δαιδάλου παιδὸς πεσόντος εἰς αὐτὸ, καὶ ἀποθανόντος.

Πόντῳ κεκλιμένοι, περιερχόμενοι ὑπὸ τῆς θαλάσσης.

Πόνῳ πόνηρε, ὦ ἀσκήσει καὶ μελέτῃ πεπονημένε τῆς τυραννίδος, παρὰ τῷ Ἀριστοφάνει.

Ποπάδες, ἡ δὲ μελισσῶν Ἀμβροσίη πυκναί τ' ἰβίνεαι ποπάδες.

Πόπανα, πλακούντια πλατέα καὶ λεπτὰ, καὶ περιφερῆ, καὶ ἐπὶ τέσσαρσι ποπάνοις ἔθυον βοῦν, καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν.

Πόπανα εἰδικόν. προθύματα γενικόν.

Πόπαρ, πατὴρ, καὶ ὁ πατρὸς πατήρ.

Ποπίζειν, παρὰ Θεοκρίτῳ, τί δ' οὐκ ἀρκεῖ σοι φησὶ σὺν κορύδονι ποπίζειν. ἤγουν καλάμην φυσᾶν, καὶ αὐλεῖν, ὡς οἱ παῖδες. τοῦτο δὲ χλευαστικὸν, ὅτι οὐκ οἶδεν αὐλεῖν, εἰ μὴ μόνον ποπίζειν. τὴν δὲ καλάμην, οἱ παῖδες νεαρὰν ἀποτεμνόμενοι φυσῶσι δι' αὐτῆς, ὃ δὴ νῦν ποπίζειν καλεῖ.

Πόποι, παπαὶ, ἐπίφθεγμα σχετλιαστικόν. Ἀπίων δέ φησιν, οἱ δαίμονές εἰσι πόποι, καὶ ἔστιν ὦ δαίμονες.

Πόππυζε, ἐν ἐπιγράμματι παῖζε. μόνη τὸ φίλημα μάτην πόππυζε σεαυτῇ, ἀντὶ τοῦ κολάκευε, κήλει.

Ποππύζω, ποιὰ λέξις παρωνομασμένη ἀπὸ τῶν ἡμερούντων τοὺς ἵππους.

Ποππύσματα, κολακεῖαι εἰς τοὺς ἀδαμάστους ἵππους.

Πὸρ, πούς, Λάκωνες.

Πόρδαλιν ἡ ποίησις λέγει, διὰ τοῦ ο, παρὰ τὸ προάλλεσθαι, πλεονάσαντος τοῦ δ. ἐν δὲ ῥητορικῷ λεξικῷ. εἴρηται οὕτως, πόρδαλιν οἱ ἄλλοι, Ἀττικοὶ δὲ πάρδαλιν. Ὅμηρος δὲ, τὸ μὲν ζῶον διὰ τοῦ ο, τὴν δορὰν δὲ, διὰ τοῦ α.

Πορδοσελήνη, μεταξὺ Λέσβου καὶ Μυσίας νῆσος.

Πορεῖα, τὰ εἰς πορείαν χρήσιμα.

Πορεῖον, τὸ διδόμενον τοῖς πρεσβευταῖς περὶ τὸ πορευθῆναι εἰς τὴν πρεσβείαν ὥσπερ ἐφόδιον.

Πόρσειν, ἀντὶ τοῦ παρέχειν. ἔστι πόρω, τὸ παρέχω, καὶ πορῶ περισπώμενον πορήσω, ἐπόρησα. ὁ δεύτερος ἀόριστος, ἔπορον καὶ πόρον Ἰωνικῶς. καὶ πόρε τὸ τρίτον.

Παρεύομαι ἐγὼ, καὶ πορεύω ἕτερον, ἀντὶ τοῦ ἄγω. ὡς παρὰ Πλάτωνι, ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι, ἀντὶ τοῦ ἀγαγεῖν. τίθεται δὲ καὶ ἀντὶ τοῦ πέμπειν παρὰ Σοφοκλεῖ, πορεύομαι ἐπὶ τὴν θάλατταν, καὶ ἐπὶ τῆς θαλάττης. πορεύομαι ποιήσων τόδε, στέλλομαι ποιήσων τόδε. ἰστέον ὅτι τῶν ῥημάτων ὅσα δηλοῦσι πορείαν, μετὰ μετοχῆς μέλλοντος συντάσσονται.

Πορεῦσαι, πέμψαι, ἀγαγεῖν.

Πορευτέον, εἰ καὶ ἐπίρρημά ἐστιν. ὅμως παθητικῶς λέγεται, ἀντὶ τοῦ πορευθῆναι, ἐνεργητικὸν γὰρ οὐκ ἔστι.

Πορεύω, γράφεται καὶ ἐνεργητικῶς. Σοφοκλῆς πόρευσόν με πρὸς τὸν τάφον. καὶ Ἰουλιανὸς, πορεύοιεν δέ σε σὺν Ἀσκληπιῷ πάντες Θεοὶ, καὶ πάλιν ἡμῖν συντυχεῖν δοῖεν.

Πορεύω, παρὰ τὸ πόρος. τὸ δὲ πόρος, παρὰ τὸ περῶ τὸ τελειῶ. σημαίνει δὲ τρία, τὸν περάσιμον τόπον τοῦ ποταμοῦ. ὡς τὸ ἀλλ' ὅτε δὴ πόρον ἷζον, καὶ τὸν τραχὺν, καὶ λιθώδη τόπον. καὶ διὰ τοῦ ω μεγάλου σημαίνει κύριον ὄνομα.

Πορθεῖν, προνομεύειν, ὀλλύειν.

Πορθήσειας, ἕλοις, λάβοις.

Πόρθησις, ἐρήμωσις, καθαίρεσις, ἁρπαγή.

Πορθμεῖον, τὸ πλοῖον. καὶ πορθμεῖον τὸν ναῦλον. ἀφ' οὗ πορθμεύω, καὶ διαπορθμεύω.

Πορθμεῖς, εἴτουν πορθμευταὶ λέγονται, ὡς διὰ πορθμοῦ ὅ ἐστι στενοῦ πόρου θαλάσσης τοὺς περαιουμένους ἄγοντες. ἄλλως γὰρ οἱ διὰ μακρᾶς θαλάσσης στέλλοντες, οὐκ ἂν πορθμῆες λέγοιντο, ἤγουν πορθμευταὶ, ὧν καὶ ὁ μισθὸς, ἤτοι ὁ ναῦλος, ἢ οὐδετέρως τὸ ναῦλον πορθμεῖον λέγεται, καὶ τὸ αὐτῶν πλοῖον οὐ ναῦς ἁπλῶς, ἀλλὰ παρωνύμως τῷ τόπῳ πορθμίον.

Πορθμεύει, ἀρίσκει Νέσσον πορθμεύοντα μισθοῦ, καὶ πείθει αὐτὸν, ὡς πορθμεύσειεν Ἀλκμήνην καὶ Δηϊάνειραν.

Πορθμῆες δ' ἄρα παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας υ', ἡ δὲ τοῦ Φιλοιτίου καὶ Μελανθίου εἰς Ἰθάκην ἔλευσις, πιθανή ἐστι διὰ τὴν τῆς νυμφείας ἑορτὴν, δι' ἣν ἦλθε καὶ αὐτὸς ἠπειρόθεν βοῦν στεῖραν ἄγων, καὶ πίονας αἶγας, ὃ καὶ σαφηνίζων ὁ Ποιητὴς, ἵνα μή τις αὐτὸν καὶ Μελάνθιον ἔσω τῆς Ἰθάκης οἴηται μένειν, φησὶ πορθμῆες δ' ἄρα τούς γε διήγαγον.

Πορθμήϊον, ὁ μισθὸς τοῦ ναύλου.

Πορθμὶς, καὶ πορθμίδιον, τοῦ δ' Ἀχέροντος ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ.

Πορθμὸς, πόλις ἐστὶ τῆς Εὐβοίας.

Πορθμός ἐστι, στενὴ θάλασσα μεταξὺ δύο γαιῶν. ἀνάπαλιν πάντως τῷ ἰσθμῷ, ὃς δύο μεσιτεύει θαλάσσαις.

Πορθμὸς, διέχει σταδίους ἑπτὰ ἀπὸ Σικελίας εἰς Ἰταλίαν, τῶν τριῶν αὐτῆς ἀκρωτηρίων ἀφορᾷ πρὸς Ἰταλίαν ἡ Πελωρίς. ὑπόκειται δὲ αὐτῇ Χάρυβδις. ἡ δὲ Σκύλλα, ἐν τῇ Ἰταλίᾳ ἀντικρὺ ταύτης. ἀκρωτήριον δέ ἐστιν ἡ Σκύλλα, ἐξέχον εἰς θάλασσαν, ὁμοίωμα καὶ πρόσωπον ἔχον γυναικός. κάτω δὲ τοῦ ἀκρωτηρίου εἰσὶ πέτραι πολλαὶ καὶ μεγάλαι, ἔχουσαι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς θαλάσσια θηρία μένουσιν. ὅσα μὲν τῶν πλοίων τὰς πέτρας ἐκκλίνονται, ὑπὸ τοῦ κλύδωνος εἰς τὴν Χάρυβδιν ἀποθῶσιν, ἀναφοροῦνται ὑπ' αὐτῆς συγκαταφερόμενα τῇ θαλάσσῃ. ὅσα δ' αὖ ὑπὸ τῆς ἐν Χαρύβδει θαλάσσης, εἰς τὰς πέτρας τῆς Σκύλλης ὑφάλους καὶ τραχείας οὔσας ἀποθῶσι, συγκατακλᾶται καὶ διαφθείρεται. εἶτα ἐξιόντες θαλάσσιοι κύνες, καὶ ἕτερα διάφορα θηρία, ἐσθίουσι τοὺς ἐκ τῶν νεῶν ἄνδρας. δοκεῖ δὲ ἡ Σκύλλα, καὶ λέγεται παρὰ τοῖς Ποιηταῖς ἔχειν κύνας ἐξέχοντας ἀπὸ τῶν πλευρῶν καὶ τοῦ στήθους, καὶ ἀναιρεῖν τοὺς δι' αὐτῆς πλέοντας, ἐπεὶ κάτωθεν ἐκ τῶν κοίλων μερῶν τῶν πετρῶν,

ὑφ' ὧν μένουσιν ἄνω ἀνιόντες, ὑπονοοῦνται καὶ ὁρῶνται, ὡς ἐξιόντες ἐκ τοῦ στήθους αὐτοῖς ἔσωθεν, καὶ τῶν πλευρῶν. καὶ τὴν ἐν τῷ μεσοπύργῳ δὲ κατάβασιν, χαράδριν ὕδει τινὲς τῶν ποιητῶν ὠνομάκασι.

Πόρθος, πόρθος, κλάδος, βλαστός.

Πορθυγγίς, πατίλη, βυβλίον.

Πορεῖς, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.

Πόρεις, νέοι βόες, μόσχοι.

Πορίζειν, εὑρίσκειν, συνάγειν.

Πορίζω, τὸ παρέχω. πορίζομαι δὲ παθητικῶς, τὸ λαμβάνω, οἷον ἐπορισάμην πρόσταγμα. Ἀριστοφάνης, εἰ πᾶσιν ἀνθρώποισι πορίζομεν ἀγαθόν. καὶ τὸ σφηκώδεις αὐτοῖς, σὺ πορίζεις, ἠχηνισμένος. λαμβάνεται δὲ τὸ πορίζομαι, καὶ ἀντὶ τοῦ πορίζω.

Πορίμῳ, ἄνυσιν καὶ ἐπίνοιαν ἔχοντι. ἐγχειρεῖν χρὴ ἔργῳ πορίμῳ.

Πορισμώτατος, αὐτὴν ἔδοξεν εἶναι πορισμωτάτην ἐπιβολήν, ἀντὶ τοῦ ἐπικερδῆ. καὶ ποριοῦνται, ἀντὶ τοῦ κερδήσουσι.

Πόριστα, πόρτις, ποριστής.

Πορισμὸν, κέρδος. ὡς ὁ Ἀπόστολος, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. τοῦτο λέγει, ὑποκρίνονται εὐσέβειαν, ἵνα δι' αὐτῆς ἐρανίζωνται πορισμὸν, ἀπὸ χρημάτων καὶ κέρδους.

Περιέσονται, περιποιήσονται.

Πορισταὶ, οἱ τοὺς πόρους εἰσηγούμενοι, δημαγωγοὶ, ἐπὶ τῷ ἑαυτῶν λυσιτελεῖ.

Πόρκης ἐστὶ κρίκωμα, συνεκτικὸν τοῦ ξύλου καὶ τῆς αἰχμῆς. οἰκεῖον δὲ ἐπ' αὐτοῦ τὸ περιθέειν ἤτοι περικυκλεῖν, ὡς καὶ τὸ περιϊέναι, ὅθεν ἴτυς ἡ περιφέρεια, καὶ τὸ περιάγεσθαι. ἀφ' οὗ ἄγκιστρον περιηγὲς, τὸ περιφερές.

Πόρκης, ἐπιδορατίδος δακτύλιος. ἀφ' οὗ καὶ τὰ στρογγύλα, καὶ κρικώδη λέγεται.

Πόρκις, πόρκιος, οἱ μὲν πόρκιον δίκτυον ἀπέδωκαν οὐκ εὖ. ἔστι δὲ σχοινίου πλέγμα. οἱ δὲ κύρτον, οὐδὲ οὗτοι ὑγιῶς. ὁ γὰρ Πλάτων, ἕτερόν φησιν εἶναι τὸν κύρτον τοῦ πόρκου. ἐν σοφιστῇ λέγων οὕτω, κύρτους δὴ καὶ δίκτυα, καὶ βρόχους, καὶ πόρκους, καὶ τὰ τοιαῦτα.

Πόρκος, κύρτος θαλάσσιος, ὁ εἰς ἄγραν ἰχθύων.

Πόρκος, οἱ μὲν τὸ δίκτυον ἀπέδοσαν. ἔστι δὲ σχοινίου πλέγμα. πόρκον δὲ τὸν περὶ τῷ δορατικρίκον φησιν, ὁ συνέχων τὸν σίδηρον πρὸς τὸ ξύλον τοῦ δόρατος, διὰ τὸ περιέχειν. περὶ δὲ χρύσεος θέε πόρκος.

Πόρκος, ζῶόν ἐστι παρὰ τὸν Ἴστρον ποταμὸν, τὸν λεγόμενον Δανούβιον, παρασκελὶς, λεπτῷ περιεχόμενον δέρματι. ὃ φυσώμενον, γίνεται ὡς ἀσκὸς, καὶ νήχεται ἕως ἂν λεπτυνθῇ, καὶ ἐξέρχεται ἐπὶ τὴν γῆν, καὶ νέμεται, ὃ καὶ ἀθρόον ψυχόμενον θνήσκει.

Πορνεία ἐστὶ διττή. ἡ μὲν σωμάτων ξένων κλοπή τις. ἡ δὲ καὶ δαιμόνων. ὅταν θεοῦ τὸ φίλτρον εἰς ἐχθροὺς πέσῃ. ἡ πορνεία ἐστὶ, πάθος τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς, καθ' ὃ τοῖς πράγμασι κινοῦντα ἐν ἡμῖν φαντασίας λόγους, ἐμπαθῶν περισκοπεῖ.

Πορνεῖα, τόπος ἔνθα αἱ πόρναι διάγουσιν. ἐς τὰ πορνεῖα εἰσιὸν δ' ἑκάστοτε. Ἀριστοφάνης.

Πορνεία, ἡ εἰδωλολατρία. καὶ πόρνος, ὁ εἰδωλολάτρης. παρὰ τὸ πόρρω νεύειν, ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ, ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι. πορνεία καὶ ἡ ἀκολασία, παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν.

Πόρνη, παρὰ τοῦ πέρνω τὸ πωλῶ. ὅθεν τὸ περνὰς νήσων ἐπὶ τηλεδαπάων, ἀντὶ τοῦ πιπράσκων. οἱονεὶ πέρνη τις οὖσα, ἡ τὴν μίξιν πωλοῦσα. ἐπὶ δὲ τοῦ ἀνδρὸς, παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν, τουτέστιν ἐσκοτισμένον.

Πορνάμεναι, κεντούμεναι, πωλούμεναι.

Πορνίδιον, ἡ μικρὰ παῖς ἐπὶ πορνείᾳ.

Πορνοκόπος, οὕτω Μένανδρος. οἱ δ' ἀρχαῖοι πορνότριψ λέγουσι.

Πορνόπαι, αἱ ὧραι.

Πόρνος, ἐξ οὗ πορνεύω, πορνεία.

Πόρον, ἐλαίας ἱερόν. Ἀριστοφάνης, πορισμόν φησι.

Πόρον, διέξοδον, τρίβον, καὶ περαίωσιν ποταμοῦ.

Πόρος, πέρας, ἢ ποταμός. ἢ ὁδὸς, ἢ φυσήματα ὑδάτων, ἢ μηχανὴ ἢ τεχνάσματα, ἢ διάβασις. πόρος δὲ κυρίως, ἐπὶ ὑγρῶν λέγεται. καὶ εὔπορος, ὁ ἔχων ἀεὶ ἐπιρρέοντα πλοῦτον, ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου.

Πόρος, πορεύομαι, πορεία. καὶ πόρος δῆμος τῆς Ἀκαμαντίδος.

Πορπάλλα, χλαμύς.

Πόρπαξ, τὸ ἐντὸς τῆς ἀσπίδος πρόσθημα, δι' οὗ τὴν χεῖρα διεῖρον. τοῦτο δὲ καθ' ὁμοιότητα τῆς πόρπης. ἀφ' ἧς καὶ ἐπιπόρπημα κατὰ τοὺς παλαιοὺς, ἡ τῶν κιθαρῳδῶν ἐφεστρὶς, ἣν οἱ Δωριεῖς ἐπιπόρπημά φασι.

Πόρπαξ, ἐν ᾧ τὴν ἀσπίδα κατέχουσιν, ὃ καλεῖται ὄχανος. ἀνετίθεσαν γὰρ τὰ ἐκ τῶν πολέμων ὅπλα ἄνευ ὀχάνων, ἵνα μὴ ἑτοίμως αὐταῖς ἔχωσι χρῆσθαι. οὐ γάρ σε χρὴ εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας ταύτας ἐᾶν, αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.

Πόρπαξ, κατὰ μέν τινας, ὁ ἀναφορεὺς τῆς ἀσπίδος. ὡς δέ τινες, τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης. Σοφοκλῆς Αἴαντι, ἀλλ' αὐτός μοι σὺ παῖ λαβὼν ἐπώνυμον Εὐρύσακες, ἴσχε διὰ πολυρράφου στρέφων πόρπακος, ἑπταβόειον ἄρρηκτον σάκος.

Πόρπη, ἡ παρὰ Ῥωμαίοις φίβλα. ὁ δὲ τὴν πόρπην αὐτοῦ πάσας, ἀεὶ φασὶν ὑμεῖς οἱ περὶ τῶν Ἀχαιῶν ἐστὲ κύρυκες τοιοῦτοι. καὶ πορποῦσθαι, φιβλοῦσθαι.

Πόρπημα, εἶδος ὅπλου.

Πόρριν, δάμαλιν, παρὰ Λυκόφρονι. διὰ δύο ρρ δεῖ γράφειν. πόρτις γάρ τις ἦν, καὶ τροπῇ τοῦ τ εἰς ρ πόρρις. ὁ Λυκόφρων δὲ ἀδείᾳ οὐ ποιητικῇ, ἀλλὰ μωρίᾳ, οὐ χρῆται.

Πόρρω, καὶ ἀντὶ τοῦ μακρὰν, καὶ ἀντὶ τοῦ εἰς βάθος. οἷον πόρρω σοφίας ἐγένετο. πόρρω γνώσεως ἥκεις, ἀντὶ τοῦ εἰς βαθύτατον τῆς σοφίας, καὶ πόρρω δεινῶν, καὶ πόρρω νυκτῶν, ὁμοίως ἐκ τοῦ πόρρω, πορρωτέρω, πορρωτάτω, πορρώτερος, πορρώτατος.

Πορσαίνοντες, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ τιμῶντες. ἀλλαχοῦ δὲ, ἀντὶ τοῦ ὑπηρετεῖν. ὁμοίως πορσανέουσιν, ἀντὶ τοῦ τιμήσουσι.

Πορσαίνω, τὸ καλλωπίζω, καὶ εὐτρεπίζω, ὁ μέλλων πορσανῶ, ἡ μετοχὴ πορσανῶν, πορσανοῦσα, καὶ πορσανέουσα, διαλύσει ἰωνικῇ, ἢ πλεονασμῷ τοῦ ε.

Πορσύνεσκον, παρὰ τῷ Ἀπολλωνίῳ, ἔτερπον, ἐπιμελείας ἠξίουν, καὶ ηὔξανον.

Πορσύνω, σημαίνει τὸ εὐτρεπίζω καὶ ἑτοιμάζω, κοσμῶ καὶ περιέχω.

Πορσυνέουσα. Ὅμηρος, ἐκεῖσε οὐκ εἶμι κείνου πορσυνέουσα λέχος, ἐν τοιούτῳ δηλαδὴ καιρῷ, σεμνῶς εἴρηται. δῆλον γὰρ, ὅτι πορσύνειν λέχος, τὸ συγκοιτάζεσθαι πρός τινα ῥηθὲν ὁμοιότητι, τοῦ ἐμὸν λέχος ἀντιόωσαν. γράφεται δὲ καὶ πορσανέουσα λέχος, ὡς ἀπὸ τοῦ πορσαίνω ῥήματος. ποιητικὰ δὲ ἄμφω, καὶ δηλοῦσι τὸ παρέχειν καὶ εὐτρεπίζειν, ὡς ἀπὸ τοῦ πόρρω πόρσω. οὕτω δὲ ποιητικὸν καὶ τὸ ὀϊζύς ἀπὸ τοῦ ὀϊζύω. ἐξ οὗ ὀϊζυρὸς, ὡς ὁ ἰσχυρὸς ἐκ τοῦ ἰσχύω.

Πόρσω, ἔμπροσθεν, ἢ πόρρωθεν ἐγγίσαι.

Πορσωτάτω, τὰ πόρρω καὶ μακράν.

Πόρτα, παρὰ τὸ τὸν πόρον τηρεῖν.

Πορτάζει, δαμαλίζεται.

Πορτάκινον, μοσχίον, ἢ δάμαλις.

Πόρτις, ἡ μικρὰ βοῦς, ἀφ' ἧς ὑποκοριστικῶς πόρταξ. δηλοῖ μὲν δάμαλιν τὴν ἄρτι πορεύεσθαι δυναμένην, καθ' ὁμοιότητά τινα τοῦ νεβροῦ. γράφεται δέ ποτε καὶ χωρὶς τοῦ τ πόρις, ὥσπερ καὶ τὸ πόρτις, οὕτω καὶ τὸ βοὸς θηλυκῶς νοητέον, ὡς δηλοῖ τὸ βοσκομενάων. σημειωτέον δὲ, καὶ ὅτι τὸ μὲν βοὸς, καὶ νῦν γενικόν ἐστιν ὄνομα. τὸ δὲ πόρτις, εἰδικόν. καὶ ὅτι πάντως μὲν βοῦς ἐστιν ἡ πόρτις, ὁ δὲ ὅρος τὸ μὲν γενικὸν, ἐφύλαξε τῇ τελείᾳ βοΐ. τὸ εἰδικὸν δὲ, ἀπεκλήρωσε τῇ ἁπαλῇ.

Πορτιφάροι, οἱ αἴροντες τὰ κόρρεα, ἐπὶ τῶν ὤμων.

Πορσύνομεν μάζαν, τῇ χειρὶ προσπήξωμεν.

Πορσύναν, παγίδα.

Πορφίτῃ, περόνῃ.

Πορφύρειν, τὸ βαθέως διαλογίζεσθαι, ἢ κυμαίνεσθαι διαλογισμοῖς, ὡς ἀπὸ θαλάσσης, ἐφ' ἧς καὶ τὸ πορφύρειν, καὶ τὸ ἰοδνεφὲς, καὶ τὸ μέλαν, καὶ τὰ τοιαῦτα λέγονται. τὸ δ' αὐτὸ καὶ καλχαίνειν, ἀπὸ τῆς κάλχης, ὃ πορφύραν δηλοῖ. πολλὰ δέ μοι κραδίη πόρφυρεν ἰόντι, τουτέστι διενοεῖτο, ἐταράττετο. οὐκ ἀεὶ δὲ βαθὺν ταραγμὸν τὸ πορφύρειν σημαίνει, ἀλλά ποτε καὶ ἠρεμαῖον ὡς δηλοῖ τὰ εὔδια πορφύροντα.

Πορφύρεον θάνατον λέγει Ὅμηρος, οὐ μόνον τὸν ἐξ αἵματος, ἢ τὸν μέλανα, ὡς κῦμα πορφύρεον, ἀλλὰ καὶ τὸν ἐκ μιᾶς πληγῆς, ὡς καὶ ὁ Αἰλιανός φησιν, ἱστορῶν τοὺς πορφυρέας, μιᾷ καταφορᾷ χειρὸς τὴν ζῶσαν πορφύραν συντρίβειν, ἵνα καλὸν οὕτω τὸ βάμμα τῆς πορφύρας γένηται. ὅθεν καὶ θάνατος πορφύρεος, ὁποῖον ἂν πάθοι πορφύρα μιᾷ καὶ τῇ αὐτῇ θανατουμένη πληγῇ. γνωστὸν δὲ ἐξ ἱστορίας ἐστὶν, ὅτι πορφυρεύς τις δολιευσάμενος ἐν βαφῇ, καὶ ἀπαγόμενος εἰς θάνατον κατ' ἔθος, προυκαλέσατό ποθεν εἰς ἀστεῖον σκῶμμα, ἐκ τῶν Ὁμήρου, τὸν δ' ἔλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή.

Πορφύρειον, κυάνεον, καὶ οἰνωπὸν πόντον πολλάκις λέγει ὁ Ποιητής. διαφοραὶ εἰσὶ μελανίας, ὥσπερ καὶ τὸ δνοφερὸν ὕδωρ, ὅτε τοίνυν πόντος μέλας ἢ πορφύρεος, ἤτι τῶν τοιούτων λέγεται, ὡς ἀπὸ μερῶν εἰς τὸ πᾶν τὰ ἐπίθετα φέρεται. πορφύρεος θάνατος, καὶ πορφύρειν, χαίρειν λέγεται.

Πορφύρεον κῦμα, ἀντὶ τοῦ μέλαν. ὥσπερ καὶ αἷμα πορφύρεον. ἐοίκασι γάρ πως ἄμφω τὰ χρώματα, ἐπεὶ ἐγγὺς μελανίας ἐστὶ τὸ πορφυροῦν. καὶ ἐπὶ θαλάσσης δὲ τὸ πορφύρειν λέγεται. ἐξ οὗ καὶ τὸ ἐν βάθει διανοεῖσθαι, οἷον κυμαίνεσθαι διαλογισμοῖς, πορφύρειν λέγεται, οἷον κραδίη δέ οἱ πόρφυρε.

Πορφύρεος, ὁ πορφυροῦς.

Πορφύρεσκεν, ἀντὶ τοῦ κατὰ βάθους ἐνεθυμεῖτο. πορφύρα γὰρ, εἶδος ἰχθύος, ἐν βάθει τῆς θαλάσσης εὑρισκόμενον.

Πορφυρίων πορφυρίωνος, εἶδος ὀρνέου παρὰ Ἀριστοφάνει.

Πορφυρόπολις, ἡ τὰ πορφυρᾶ πωλοῦσα.

Πορφυρώματα, τῶν ταῖς θεαῖς τιθεμένων χοιρῶν τὰ κρέα.

Πόρω, τὸ παρέχω, ὁ μέλλων πορῶ, καὶ πλεονασμῷ τοῦ σ πόρσω. καὶ ἀπὸ τούτου πορσύνω, τὸ παρέχω. καὶ πορίζω, τὸ αὐτό.

Ποσειδάων, ἐκτείνει ἀεὶ τὴν παραλήγουσαν αἰολικῶς, ὡς καὶ αἱ γενικαὶ τὸ πυλάων, μουσάων, νυμφάων. καὶ αἱ λοιπαί.

Πόσαι, ἀντὶ τοῦ πολλαὶ εὑρονται. Ποσειδῶν καὶ Ἀθηνᾶ περὶ τῆς Ἀττικῆς ἐφιλονείκουν. καὶ Ποσειδῶν μὲν ἐπὶ τῆς ἀκροπόλεως τῆς Ἀττικῆς κρούσας τῇ τριαίνῃ, κῦμα θαλάσσης ἐποίησεν ἀναδοθῆναι. Ἀθηνᾶ δὲ, ἐλαίαν. κριτὴς δὲ αὐτῶν γενόμενος Κέκροψ, ὁ τῶν πρώτων τῆς Ἀττικῆς βασιλεὺς, τῇ θεᾷ προσένειμε τὴν χώραν. εἰπὼν, ὅτι θάλασσα μέν ἐστι πανταχοῦ, τὸ δὲ φυτὸν τῆς ἐλαίας ἴδιον Ἀθηνᾶς. ἡ ἱστορία παρὰ Καλλιμάχῳ.

Ποσαπλῶς, ποσαχῶς, ἀναριθμήτως, ἓν μέρος λόγου ἐστί. καὶ ἐπίτασιν τοῦ πόθου σημαίνει. συμφωνεῖ γὰρ τῷ ἔρωτι τῆς ψυχῆς, καὶ ἡ σὰρξ, καὶ τοῖς ἐκείνου οὐκ ἀντιτείνει βουλεύμασι.

Ποσειδεὼν, ὁ ἕκτος μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται, ὁ Δεκέμβριος.

Ποσείδιον, ὄνομα τόπου.

Πόσε, ἀντὶ τοῦ ποῦ.

Πόσηδον, οἱ Αἰολεῖς, οἱ δὲ Δωριεῖς Ποσείδαον, τὴν κλητικὴν λέγουσι.

Ποσειδῶν σὺν Ἀπόλλωνι ὀργῇ Διὸς θητεύσας τῷ Λαομέδοντι, καὶ προπυργώσας τὴν Ἴλιον, ἐπεὶ μετὰ πεπαγμένον χρόνον τῆς λατρείας μισθὸν οὐκ ἐδέξαντο, ἀγανακτῶν κατὰ Λαομέδοντος ἔπεμψε κῆτος θαλαττοκόπον, ὅπερ

τὴν

τὴν χώραν κατέκλυζεν, ἀποπτύων τὴν θάλασσαν. ἐκ χρησμοῦ δὲ Λαομέδων ἀναγκασθεὶς, Ἡσιόνην τὴν θυγατέρα κοσμήσας βασιλικῶς ὡς πρὸς βορὰν τῷ κήτει ἐξέθετο. διερχόμενος δὲ Ἡρακλῆς μετὰ Ἰάσονος, μέλλοντος πλεῖν ἐπὶ τὴν Κολχίδα γῆν, μέλλων λαβεῖν τὸ χρυσόμαλλον δέρας, ὃ ὁ Δράκων ἐφύλαττε, μετὰ τῆς καλουμένης Ἀργοῦς νηὸς, ἀφ' ἧς Ἀργοναῦται, προσωρμίσθησαν τῷ Ἰλίῳ, ἰδόντες τὴν Ἡσιόνην ἐν τῷ αἰγιαλῷ δεδεμένην, καὶ μαθόντες τὴν αἰτίαν, ὁ Ἡρακλῆς εἶπεν δυνατῶς ἔχειν ῥύσασθαι ταύτην. καὶ ὑποσχεθεὶς παρὰ Λαομέδοντος ἀθανάτους ἵππους λαβεῖν, οὓς Ζεὺς ἔδωκε Λαομέδοντι, ὑπὲρ Γανυμήδους τοῦ υἱοῦ αὐτοῦ. χωστὸν τεῖχος ποιήσας, καὶ στὰς ὡπλισμένος παρὰ τὸ στόμιον, ὡς κεχηνὸς ἐπήει τὸ κῆτος, ἀθρόως τῷ τούτου ἐμπεπήδηκε στόματι, τρισὶ δὲ ἡμέραις κατατεθέμενος αὐτῷ ἐξῆλθεν ἀποβεβληκὼς καὶ τὴν ἑαυτοῦ τρίχα. μὴ δεξάμενος δὲ τὰ ὑπεσχημένα παρὰ Λαομέδοντος, ἓξ νῆας ἀνδρῶν παρὰ τῆς Ἑλλάδος πληρώσας, παραγεγονὼς πάλιν πορθεῖ τὴν Ἴλιον, Τελαμῶνος πρώτου τὸ τεῖχος ῥήξαντος, καὶ εἰσβάντος, Λαομέδοντα μετὰ τῶν ἐκείνου υἱῶν ἀναιρεῖ Ἡρακλῆς, πλὴν Ποδάρκου τοῦ Πριάμου καλουμένου καὶ Ἡσιόνης. τὴν δὲ πόλιν τιμωρεῖ, καὶ Ἡσιόνην δὲ γέρας δίδωσι Τελαμῶνι, ὡς ἀριστεύσαντι. ἐξ ἧς ὕστερον Τελαμὼν τὸν Τεῦκρον γεννᾷ. τότε δὲ Ἡρακλῆς καὶ τῇ Ἡσιόνῃ χαρίζεται, ὃν ἂν θέλῃ τῶν αἰχμαλώτων ὠνήσασθαι. ἡ δὲ τὴν ἑαυτῆς δοῦσα καλύπτραν, τὸν ἑαυτῆς ἀδελφὸν Ποδάρκην ἐπρίατο. ὅθεν ἐκλήθη καὶ Πρίαμος.

Ποσειδῶνα, καὶ Ἀπόλλωνα λέγουσι τειχίσαι τὸ Ἴλιον, τὸ δὲ οὐχ οὕτως ἔχει. ἀλλ' ὁ Λαομέδων ἐτείχισεν αὐτὸ, οὐχ ὁσίως. ἦν γὰρ ἐν τῇ ἀκροπόλει ἱερὸν Ἀπόλλωνος, καὶ Ποσειδῶνος διαφερόντως, ὅθεν Λαομέδων ἀνήλισκε τὰ χρήματα εἰς τὴν τοῦ τείχους κατασκευήν.

* Ποσθία, κριθὴ, ἀποστημάτιον κατὰ τὸν τοῦ βλεφάρου ταρσὸν ἐπίμηκες.

Πόσθη, τὸ μόριον τοῦ ἀνδρός. * τὸ ἐπὶ τῇ βαλάνῳ δέρμα, οὗτινος τὸ προῦχον, ἀκροπόσθιον λέγεται.

Πόσιας, τοὺς ἄνδρας.

Ποσιδατεῦντο, ἰσχυρῶς τοῖς ποσὶ περιεπάτουν.

Πόσιος, τοῦ ποτοῦ, Ἰωνικῶς.

Ποσιπτερνίδας, τὰς ἐν ταῖς πτέρναις οὔσας φλέβας, φησὶν Ἱπποκράτης.

Πόσις ἥρας, τουτέστιν ἀνὴρ κατὰ τὸν μῦθον, οὐ ἡ ἀλληγορία ἔκδηλός ἐστι.

Πόσις στυγνὸς Τορώνης, ἤγουν ἀνὴρ κατηφὴς, καὶ ἀγέλαστος τῆς Τορώνης. ἡ Τορώνη δὲ γυνὴ Πρωτέως.

Ποσις, δύο σημαίνει τὸ, τὸ πόμα καὶ τὸν ἄνδρα. λέγεται ἀπὸ μεταφορᾶς τοῦ ὕδατος ὁ ἀνὴρ πόσις, παρὰ τὴν τοῦ ὕδατος φύσιν. ἐπειδὴ μιγνυμένου τῇ γῇ γεννητικὸν γίνεται τῶν φυτῶν καὶ σπερμάτων. οὕτω καὶ ὁ ἀνὴρ μιγνύμενος τῇ γυναικὶ, αἴτιος γίνεται τῆς τῶν παίδων γενέσεως.

Πόσον, ἔχει τὴν ἐρώτησιν περὶ πλήθους εἰ πολὺ, ἢ ὀλίγον ἐστί.

Ποσόν ἐστι, τὸ ἐν τῷ καταμερεῖσθαι ἔχον τὴν ὑπόστασιν.

Πόσον χρόνον δεμνίοις πέπτωχ' ὅδε, ἤγουν ἐπὶ πόσον κεῖται ἐν τοῖς δεμνίοις.

Πόσος, ποῖος, πότερος, πόσος, πηλίκος, ποδαπὸς, ποσταῖος, τίς. τὰ πευστικὰ, οἷον τὰ ἀπόκρισιν ἀορίστως ζητοῦντα, ἥκιστα ἄρθροις συντάσσεται, ἐπ' ἐρωτήσει ἀρκτικῇ λόγου. ὅτι τὸ μὲν πύσμα, ἀγνοοῦντος. τὸ δὲ ἄρθρον, ἀναφέροντος. ἐπ' ἐρωτήσει δέ τοι τοῦ εἰρημένου καὶ ἐνάρθρως, ἔσθ' ὅτε. οἷον τὰ ποῖα λέγεις. συντάττεται δὲ τὰ ἐρωτηματικὰ, καὶ μάλιστα τὸ τίς, τῶν ῥημάτων τοῖς ὑπαρκτικοῖς τε καὶ κλητικοῖς. ἐπαγομένου δὲ ὀνόματος καὶ ἡ ἀντωνυμία ἐκ τρίτου πρόσκειται. τίς ἐστιν οὗτος, ἢ τίς ὅδε καλεῖται, ὅτι Σωκράτης. καὶ ἐλλείψει τοῦ ὑπαρκτικοῦ, τίς οὗτος.

Πόσου πρίωμαί σοι τὰ χοιρίδια λέγε, τὸ μὲν ἕτερον ταίν σκορόδων τριφυλλίδος. τὸ δ' ἄτερον, χοίνικος μόνης ἁλῶν.

Ποσότης ἀριθμοῦ πέρας, ἤγουν μονάδος σύνθεσις.

Ποσσῆμαρ, ἤτοι πόσας ἡμέρας. καθ' ὁμοιότητα τοῦ αὐτῆμαρ, καὶ ἐννῆμαρ λέγεται.

Ποστημόριον, ὀλίγον μέρος.

Πόστος, ἀντὶ τοῦ πόσος. ὡς τρίτος τρίτατος, οὕτω πόσος πόσατος, καὶ κατὰ συγκοπὴν πόστος.

Πόστον, ἔχει ἐρώτησιν περὶ ἀριθμοῦ πεπηγμένου, ὀκτὼ ἢ δέκα.

Ποσῷ, ὀλίγῳ τινὶ, παρὰ τῷ Ἱπποκράτει.

Ποσῶς, μερικῶς.

Ποτὰ παρὰ Λυκόφρονι, ὁ ποτὸς. ἔστι δὲ τὸ σχῆμα μεταπλασμός. ἀπὸ τοῦ ἀρσενικοῦ εἰς οὐδέτερον.

Πόταγ' ὠγαθὲ παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ πρόσαγε σαυτὸν ὠγαθέ. ἤγουν πρόσελθε, ἧξον.

Ποτάγχυμεν, προσορμίζομεν.

Ποταίνια, ἀντὶ τοῦ πρόβατα λέγουσιν Ἴωνες.

Ποταμηδὸν, δίκην ποταμοῦ.

Ποταμοδάρτης, ὁ περῶν ἀεὶ τὸν ποταμόν.

Ποταινέα, τὰ πρόσφατα. ὡς οἱ Δωριεῖς φασιν.

Ποταίνιον, τὸ ξένιον, ἢ νέον.

Ποταινὶ, προσφάτως.

Ποταμὸς, δῆμος τῆς Λεοντίδος, οὗ ὁ Δημότης ποτάμιος. ἐκωμῳδοῦν τὸ δὲ ὡς ῥαδίως δεχόμενοι τοὺς παρεγγράφους, ὡς ἄλλοι τε δηλοῦσι, καὶ Μένανδρος ἐν ταῖς διδύμαις.

Ποταμὸς θαλάττῃ ἐρίζεις, παροιμία ἐστί. λέγεται αὕτη, ἐπὶ τῶν διατεινομένων πρὸς κρείττονας.

Ποταμὸς, παρὰ τὸ πότος παρώνυμον. ποτὸς δὲ ὀξυνόμενον σημαίνει τὴν πόσιν. παροξυνόμενον δὲ, σημαίνει τὸ συμπόσιον. ἢ παρὰ τὸ ποτίζω, τὸ ῥέω. ἢ παρὰ τὸ πότιμον ὕδωρ ἔχειν.

Ποτανὸν, πτηνὸν, πετεινόν.

Ποταμόχωστος, γῆ τις ἀπὸ τοῦ συμβαίνοντος.

Ποταπὸς, διὰ τοῦ τ μὴ εἴπῃς. ἀδόκιμον γὰρ, διὰ τοῦ δ' δὲ λέγων ἐπὶ γένους θήσεις, ποδαπός ἐστι, Θηβαῖος, ἢ Ἀθηναῖος. ἔστι γὰρ οἷον, ἐκ τίνος δαπέδου. ποταπὸς δὲ ἐστιν εἰ εἴποι, ποταπὸς τὸν τρόπον Φρύνιχος; ἐπιεικής. χρὴ οὖν οὕτως ἐρωτᾶν, ποῖός σοι τις δοκεῖ εἶναι.

Πόταρος, γνώριμος.

Ποτάω, ποτίσω. τὰ τὰς φρένας ἐκπεπότησαι, Θεόκριτος. ἤγουν πῆ ἔχεις τὸν νοῦν ἐκπεποτισμένον.

Ποταῶον λακίνιον, ποιητικῶς οὕτω λέγεται. δεῖ γὰρ ἢ τὸ πρὸς ἕω λέγεσθαι, ἵνα ᾖ τὸ πρὸς ἀνατολὰς τετραμμένον, ἢ τὸ ἑῷον χωρὶς τῆς προθέσεως. τὸ δὲ λακίνιον, ἀκρωτήριόν ἐστιν, ἀπό τινος Λακίνου ὠνομασμένον.

Πότε, λέγεται πρὸς τὸ νῦν, κατ' ἄμφω, καὶ κατὰ τὸ παρεληλυθὸς, καὶ κατὰ τὸ μέλλον. κατὰ μὲν τὸ παρεληλυθὸς, οἷον πότε ἐγένετο. κατὰ δὲ τὸ μέλλον, οἷον πότε ἔσται.

Ποτὲ τοῦ χρόνου. οὐ δὲ ἐπὶ ποτὲ τῶν χρόνων. τὰ χρονικὰ ἐπιρρήματα ἐνίοτε μετὰ γενικῆς συντάσσονται, ἐνίοτε ἀπολελυμένως, ἐνίοτε ἀναφορικῶς. οἷον, τότε, ὅτε, τηνικαῦτα, ἡνίκα, τέως, ἕως.

Ποτὲ, οὐκ ἀνέκαθεν προχρονίζων, ἀλλὰ τὸν ἐγγὺς χρόνον δηλοῖ ἐνίοτε. ὡς ἐν τῷ παρ' Ὁμήρῳ, οὔς ποτε ἀπ' αἰνείαν φησὶν ἑλόμην, τουτέστιν ἐληϊσάμην τὴν χθὲς ἡμέραν.

Ποτὲ, παρ' Ὁμήρῳ περιττὸν κεῖται. ὅν ποτε ἀτίμα, ἐν φ τῆς Ὀδυσσείας. δῆλον δὲ ὅτι χθὲς ἠτίμα τὸν Ὀδυσσέα. ἔστι δὲ ὅμως καὶ τοῦτο χρόνου δηλωτικὸν, εἰ καὶ μὴ μακροῦ κατὰ κοινὴν συνήθειαν. καὶ γὰρ ὁ χθὲς ἀτιμῶν, ποτὲ ἀτιμᾷ, καὶ ὁ σήμερον δὲ ἕωθεν ποιῶν τι, ποτὲ ποιεῖ. οὕτω καὶ ὁ νῦν αὐτίκα ἐνεργῶν, ποτὲ ἐνεργεῖ.

Ποτεκλεπτόμην, προσεπορευόμην.

Ποτεχχειτήρια, πορνευτήρια.

Πότερον, ὄνομα ἐρωτηματικὸν, ἐπὶ δύο τὴν ἐρώτησιν ἔχον. καὶ ἐπίρρημα ὁμοίως ἐρωτηματικὸν, ὃ καὶ πληθυντικῶς λέγεται πότερα. πότερον σιωπῶ; τί λέγω; ὅλως ἐρώτησις διαπορητικὴ, ὑποτακτικὸν τοῦ ῥήματος ἀπαιτεῖ. οἷον βούλει εἴπω; βούλει ποιῶ;

Ποτὴ, ἡ πτῆσις τῶν πτηνῶν, ἀπὸ τοῦ πέτω ποτὴ, ὡς ἔχω ὀχή.

Πότημα, ποτήριον, ἢ ὁ πότος αὐτός.

Ποτὴν, αἰθυιὰν φησὶν ὁ Ποιητὴς, ἐκ τοῦ πάντως ἀρσενικὸν ὁ ποτὸς, ἤγουν ὁ πετόμενος.

Ποτήριον. λέγεται ποτήριον καὶ τὸ ἐξ ἱερέων ἔνδυμα. ἐπεὶ ποτήριον ἦν, παρὰ τὸ τὴν πόσιν τηρεῖν. σημαίνει καὶ τὴν τιμωρίαν. ὡς τὸ, ὅτι ποτήριον σωτηρίου λήψομαι. καὶ τὸν θάνατον. ὡς τὸ, Πάτερ εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. σημαίνει καὶ τὸ ἀγγεῖον, ἐν ᾧ πίνομεν. οὐ παρὰ τὸ ποτὸς, ἢ πότον, ἀλλ' ἀπὸ τῆς ποτῆς, ποτῆτος, ποτὴρ, ὡς ποιητὴς ποιητὴρ. ὅθεν καὶ οἰνοποτὴρ, παρ' ὃ κτητικὸν ποτήριον.

Ποτὴρ, μεῖζον ποιόν.

Πότης λύχνος, ὁ ταχέως ἀναλίσκων τὸ ἔλαιον.

Ποτητὰ, γενικῶς τὰ πτηνὰ, ἃ ὥσπερ πτηνὰ ἐκ τοῦ πτῶ πτήσω, οὕτω καὶ ποτητὰ ἐκ τοῦ ποτῶ ποτήσω.

Ποτὶ, τὴν πρὸς πρόθεσιν σημαίνει Δωρικῶς.

Ποτὶ σμήνεσσιν, ἀντὶ τοῦ ἐν τοῖς σμήνεσιν.

Ποτὶ, ποτὲ παρὰ τῷ Ἱπποκράτει.

Ποτὶ γαίῃ, πρὸς τῇ γῇ.

Ποτίδαια, ὄνομα πόλεως, καὶ Ποτιδαιάτης.

Ποτιδέγμεναι. λαμβάνω ἀπὸ σοῦ τόδε, ὅταν ἄκοντος σου λαμβάνω. καὶ λαμβάνω ἀπὸ σοῦ, ὅταν σύ μοι δίδως. δέχομαι δὲ, ἁπλῶς τὸ διδόμενόν μοι λαμβάνω. μετὰ δὲ τῶν προθέσεων ἐνδέχεται τόδε γενέσθαι, ἤγουν ἐγχωρεῖ, κατὰ μεταφορὰν ἀπὸ τῶν δεκτικῶν ἀγγείων, καὶ δυναμένων δέξασθαί τι. εἰσδέχομαι αἰκίαν τινὰ, ἢ λιμὸν, ἢ τοιοῦτόν τι. ἐκδέχομαι δὲ, ἐπὶ πλειόνων. λέγεται γὰρ καὶ ἐπὶ τόπου, καὶ προσώπου, καὶ πράγματος, καὶ χρόνου, καὶ ἐφ' ἑτέρων, καὶ ἐπὶ πάντων τούτων διττῶς. λέγεται γὰρ καὶ ἐπὶ τοῦ μήπω ἀφιγμένου, προσδοκωμένου δὲ ἀφίξεσθαι, καὶ ἐπὶ τοῦ ἤδη παραγενομένου. ἐκδέχομαι γάρ τινα, ἀντὶ τοῦ ἀπό τινος τόπου προσδοκῶ δέξασθαι αὐτὸν παραγεγονότα. καὶ ἐκδέχεται αὐτὸν ἕλος βαθὺ, παρὰ Φιλοστράτῳ, ἤγουν ἀπὸ τῆς λόχμης ἤδη τὴν ὁδὸν ἀνύσαντα δέχεται. καὶ ἐκδέχομαι ἀπό τινος βοήθειαν, ἤγουν προσδοκῶ βοήθειαν ἐξ ἐκείνου δέξασθαι, ἢ ἀφιγμένην ἤδη ἀπ' αὐτοῦ δέχομαι. ἔνθα καὶ ἡ ἀπὸ προσετέθη οὐκ ἔξω λόγου, ἐπεὶ γὰρ τὸ ἐκδέχεσθαι ἀοριστίαν δηλοῖ, ἐπηνέχθη δὲ τὸ ὡρισμένον, ἀναγκαίως ἡ ἐπανάληψις ἐγένετο, τῆς ἀπὸ ταυτὸ δυναμένης, τῇ ἐκ. καὶ ἐκδέχομαι ἀπὸ τῆς ἐπιμελείας ὠφέλειαν, ὁμοίως καὶ ἀπὸ τοῦδε τοῦ τρόπου, καὶ ἀπὸ ταύτης τῆς αἰτίας. καὶ ἐκδέχομαι τὸν χρόνον, ὅτε γενήσεται τόδε, ὃ ἐφ' ᾧ προσεδόκων γενήσεσθαι τόδε, ἤγουν κινούμενον ἀπὸ διαστήματος προσδοκῶ δέξασθαι, ἢ ἀφιγμένον ἤδη δέχομαι. καὶ ἐκδέχομαι ἀποκατάστασιν τῶν πραγμάτων, τουτέστι κινουμένου τοῦ χρόνου προσδοκῶ αὐτὴν δέξασθαι, ἢ ἀφιγμένην ἤδη τῇ τοῦ χρόνου κινήσει. δέχομαι, καὶ ἐκδέχομαι τὸ ῥητὸν, οὕτω κατὰ μεταφορὰν, ἤγουν τοιαύτην ἔννοιαν εἰρῆσθαι δέχομαι. ἐφ' ᾧ σημαινομένῳ λέγεται, καὶ τὸ ἀκούω. κακῶς ἐξεδέξω τὸν νοῦν τῆς ἐπιστολῆς, τουτέστιν οὕτως ὡς ἐδέξω ἔχειν, κακῶς ἐδέξω. προσδέχομαι, τὸ προσιέμενος δέχομαι, καὶ τὸ ἐλπίζω δέξασθαι ἀσπασίως ἐρχόμενον. καθὸ λέγεται ἐνταῦθα, τὸ ποτιδέγμεναι, καὶ τὸ ἐμὴν ποτιδέγμενος ὁρμήν. ἀναδέχομαι, τὸ ἐπ' ἐμοὶ δέχομαι. καταδέχομαι, ἤγουν κατανεύων δέχομαι. διαδέχομαι, τὸ διὰ πολλῶν ἐρχόμενον ἀφ' ἑτέρου ἕτερον ἐπ' ἐμὲ ἰκὼν δέχομαι, ἤγουν κατανεύων δέχομαι. καθὸ διαδέχεταί τις τόνδε τὸν πατριάρχην, ἀντὶ τοῦ τὸ ἀξίωμα τοῦ πατριάρχου, ὃ νῦν αὐτὸς ἔχει. τὸ γὰρ ἀξίωμα, οὐχ ὁ τὸ ἀξίωμα ἔχων. παραδέχομαι, τὸ ὑποτιθεὶς τὰς χεῖρας δέχομαι, καὶ τὸ δεξιοῦμαι, καὶ φιλοφρονοῦμαι.

Ποτιδέρκεται. προσβλέπεται. Ὅμηρος Ὀδυσσείας ρ, ποτιδέρκεται ἀοιδὸν, συνιούμενον ἔχει,

Digitized by Google

ἔχει καὶ τὸ ἀκύειν. οὐ γὰρ χρεία τοῦ ἀσιδοῦ, ὡς μόνον προσδέρκεσθαι, ἀλλὰ μᾶλλον ἀκύειν. ἐπεὶ οὕτω θέλγει ἀκυόμενος δηλαδή.

Ποτιδόρπια, προσσίτια.

Ποτιδόρπιον λέγει Ὅμηρος, καὶ τὸ τῆς ὕλης ἄχθος, καὶ τὸ γάλα. ἐν Ὀδυσσείᾳ περὶ τοῦ Κύκλωπος.

Ποτὶ ἑσπέρᾳ, πρὸς τῇ ἑσπέρᾳ.

Ποτίζω, ἄρδω, ἀρδεύω. ποτίζω σε οἶνον. Θεόκριτος, τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων, ἀντὶ τοῦ ποτίζων.

Ποτίκρανον, πρόσκρανον, τὸ προσκεφάλαιον, καὶ τὸ δερμάτινον ὑπηρέσιον, ἐφ' ᾧ καθέζονται οἱ ἐρέσσοντες.

Ποτίκαρρον, προσῳκοδομημένον τοῖχον.

Ποτινίσσεται, πορεύεται, προσέρχεται. ἀπὸ τοῦ νίω νίσσω νίσσεται, καὶ ποτινίσσεται, πλεονασμῷ τοῦ σ. τὸ δὲ ποτὶ τὴν πρὸς πρόθεσιν σημαίνει Δωρικῶς.

Ποτιόσσεται, προσδοκᾷ.

* Ποτίολοι, πόλις Τυρρηνίας, κτίσμα Σαμίων, ἥτις καὶ Δικαιάρχεια. τὸ ἐθνικὸν Ποτιολεῖς.

Ποτισπερνίδας, τὰς ἐν ταῖς πτέρναις φλέβας οὔσας φησὶν Ἱπποκράτης.

Ποτὶ πλάκεσσιν, ἐπὶ ταῖς θαλασσίαις πλαξί.

Ποτὶ φῦλα, πρὸς τὰ ἔθνη.

Ποτὶ χαλκοβατὲς δῶ, πρὸς δῶμα καὶ οἴκημα χαλκοβατές. τὸ ποτὶ, ἀντὶ τῆς πρὸς προθέσεώς ἐστι Δωρικῶς. ἡ γὰρ πρὸς πρόθεσις, ἀποβάλλει τὸ ι Δωρικῷ ἔθει, καὶ τρέπει τὸ σ εἰς τ, καὶ πλεονασμῷ τοῦ ι ποτί. διότι οὐ δύναται λέξις ἑλληνικὴ εἰς ἄφωνον καταλήγειν, ὅθεν προσλαμβάνει τὸ ι.

Πότμον ἀναπλήσαντες, τίθεται ἀντὶ τοῦ ἐντελῶς θανόντες, καὶ μὴ κατὰ ἡμιθανεῖς διατεθέντες. ἢ καὶ ἄλλως ἀντὶ τοῦ τὴν τύχην πληρώσαντες ταῖς δυσποτμίαις. καὶ δυσποτμίαις γὰρ οὐχ ὑπόκεινται οἱ τεθνεῶτες, οὕτω καὶ μοῖραν ἀναπλῆσαι βιότου, τὸ πληρῶσαι τὴν ζωήν. τὰ δὲ τοιαῦτα περίφρασίς ἐστι τοῦ θανεῖν.

Πότμον ἐφήσω, ἀντὶ τοῦ ἐπιπέμψω, ὡς ἀπὸ τοῦ ἱημι ἥσω. ἀφ' οὗ καὶ ἥμων, ὁ ἀκοντιστής. ἢ ἀντὶ τοῦ ἐντελοῦμαι, ἀπὸ τοῦ ἐφίημι. ὅθεν καὶ ἐφετμὴ, ἡ ἐντολή. ἵνα λέγῃ, ὅτι ὄλεθρον ἐντελοῦμαι.

Πότμον, μόρον, θάνατον. καὶ εὔποτμος, ὁ καλῶς τὸν βίον καταστρέφων, ὃς οἰκτρῶς καὶ ἐλεεινῶς ἐς γῆρας ἦλθεν οὐδαμοῦ εὔποτμον.

Πότνα, ἀπὸ τοῦ πότνια, κατὰ συγκοπήν. πότνια δὲ, σεβασμία καὶ ἔντιμος σημαίνει.

Πότνα, δέσποινα.

Πότνα, σεμνὴ, ἔντιμος.

Ποτνιάδες θεαὶ, αἱ μανιοποιοί. Εὐριπίδης Ὀρέστῃ, περὶ τῶν ἐριννύων. Πότνιαι γὰρ χωρίον Βοιωτίας, ἔνθα φαγοῦσαι βοτάνην αἱ Γλαύκου ἵπποι τοῦ Βελλεροφόντου, καὶ μανεῖσαι, διεσπάσαντο τὸν ἴδιον δεσπότην. ἀλλὰ καὶ Γλαῦκος ὁ Ἀνθηδόνιος ἁλιεὺς, ἑωρακὼς ἰχθὺν παρὰ ψάμμῳ βοτάνης γευσάμενον, καὶ ἀναζήσαντα, φαγὼν καὶ αὐτὸς ἐμμανὴς γέγονε, καὶ ἥλατο εἰς τὴν θάλασσαν.

Πότνια, δυσωπητικὴ, σεμνὴ, σεβασμία.

* Πότνιαι, πόλις Βοιωτίας, τὸ ἐθνικὸν, Ποτνιεύς.

Ποτνιάδες, αἱ βάκχαι, ἀντὶ τοῦ μαινάδες, καὶ λυσσάδες, μανίας αἴτιαι.

Ποτνιάζειν, τὸ παιδικοῖς χρῆσθαι. πότνιον γὰρ τὸν δακτύλιον λέγουσι.

Ποτνιάζου, εὔχου, παρακάλει.

Ποτνιᾶσθαι, τὸ μετὰ λύπης τὸν Θεὸν ἐπιβοᾶσθαι.

Ποτνιῶμαι τὸ δυσφορῶ, καὶ τὸ μετὰ δεινοπαθήσεως ἱκετεύω. Συνέσιος ἐν ἐπιστολῇ. τί οὖν ποτνιᾷ καὶ ταῖς ἐπιστολαῖς τῶν δακρύων ἐγχεῖς.

Ποτνιώμενοι, παρακαλοῦντες, ἐξιλεούμενοι, ἐλεεινὰ ῥήματα λέγοντες, καὶ ποτνιᾶσθαι κυριώτερον ἄν τις φήσῃ ἐπὶ γυναικῶν, ὅταν κακόν τι πάσχουσαι ἱκετεύωσι.

Ποτὸν οὐδετέρως, τὸ ἁπλῶς πινόμενον. πότος δὲ ἀρσενικῶς, ἡ τῶν πολλῶν ἐν συγκαθέδρᾳ σὺν ἔριδι πόσις. ὅθεν καὶ συμπόσιον, καὶ συμπότης.

Ποτόμφει, προσόζει.

Πότος, καὶ ποτὸς διαφέρουσι. ποτὸς τὸ πινόμενον ὑγρὸν ὀξύνεται. πότος δὲ τὸ συμπόσιον, βαρύνεται.

Ποτταν. Ἀριστοφάνης, σάφ' ἴσθι ποτταν ματέρα εἰκασθήσεται. ποτταν ματέρα δὲ, πρὸς τὸ τῆς μητρὸς αἰδοῖον.

Ποττῶ Διὸς, ἀντὶ τοῦ πρὸς τοῦ Διὸς δωρικῶς. ὁμοίως ποττὸν ἔρωτα, ἀντὶ τοῦ πρὸς τὸν ἔρωτα.

Ποτώμεναι, διατρίβουσαι. ποτῶνται δὲ, ἤγουν πέτονται.

Ποῦ, τοπικὸν ἐπίρρημα, γενικῇ συντάσσεται, οἷον ποῦ γῆς, καὶ ποῖ γῆς πέφευγεν, ἀντὶ τοῦ εἰς ποίαν γῆν, Ἀττικῶς.

Ποῦ, καὶ τοπικὸν καὶ ἐρωτηματικὸν, καὶ ἀντὶ τοῦ ἴσως καὶ ἀργὸν εὕρηται.

Ποῦ μὴν, ποῦ δὴ οὖν.

Ποῦ, ὅταν ἐπιρρηματικῶς λαμβάνηται, μετὰ δεικτικοῦ. ποῦ εἴη τὰ τηλικαῦτα ὄρη, ὡς ἀπορῶν τοῦτό φησιν. ὅταν δὲ τοπικῶς κατ' ἐρώτησιν, μετὰ ἐνεστῶτος. ποῦ κατοικεῖ ὁ δεῖνα, ἤγουν ἐν ποίῳ τόπῳ. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἴσως.

Ποῦ ἂν οἱ ἑφθοὶ κύαμοι, ὄσπριον.

Πῦμμα, ἡ τῆς χειρὸς πυγμή.

Πού ποτε, ἐρωτηματικῶς κείμενον, οἷον ποῦ ποτέ ἐστιν ὁ δεῖνα. περισπᾶται γὰρ μόνον τὸ ποῦ. τὸ δὲ πού ποτε ἀντὶ τοῦ ἐστὶν ποῦ λαμβανόμενον, καὶ ἀορίστως ἐκφερόμενον ὀξύνεται, διὰ τὸ ἐγκλινόμενόν ποτε. αὐτὸ γὰρ τὸ ποῦ οὐκ ἔχει τόνον ἴδιον, ἀλλὰ καὶ αὐτὸ ἐγκλίνεται, ὥσπερ τὸ εἴπερ που.

Πούρδαιον, μαγειρεῖον. Λάκωνες.

Πουρέακος, κρίκος σιδηροῦς τετρυπημένος, καὶ δῆλον ἔχον ἐν τῷ τρυπήματι στρεφόμενος, ᾧ χρῶνται πρὸς δεσμὸν συῶν πουστάκους, ὡς Ἀριστοφάνης φησὶν ἐν ἐξηγήσει λακωνικῶν.

Ποῦριν, σαθρόν.

Πούς, ἀπὸ τοῦ παύω παύσω παῦς καὶ πούς. εἰς ὃν ἀναπέπαυται τὸ ὅλον μέρος τοῦ σώματος. καὶ γὰρ ἐν τοῖς ποσὶν ἀναπαύεται καὶ καταλήγει τὸ σῶμα, ἢ ὅτι εἰσί τινα εἰς ος ὀνόματα πρὸς διάφορον σημαινόμενον, διάφορον ἔχοντα καὶ τὸν τόνον. οἷον φόρος ἐστὶν, ὁ φέρων. φορὸς δὲ, ὁ φερόμενος. τρόχος ὁ τόπος, ἐν ᾧ τρέχουσι. τροχὸς δὲ, ὁ τρέχων.

Πούστιν, ἀντὶ τοῦ ποῦ ἐστιν, ἀττικὴ κρᾶσις.

Ποῦ σχήσειν δοκεῖς, ἀντὶ τοῦ ποῦ ἀπάξαι τὴν ναῦν.

Ποῦ τοι τόξον, ποῦ σοι ἡ διὰ τόξων ἐμπειρία.

Πουφορίζεται, σικχάνει, πράγει, ὑπερέχει, ὑπερβάλλει, συμφέρει.

Ποῦ χώρας, καὶ ποῦ λόγου τάξομεν, οἱ Ἀττικοὶ λέγουσιν, ἀντὶ τοῦ εἰς ποῖον μέρος τοῦ λόγου, καὶ εἰς ποῖον μέρος τῆς χώρας.

ΤΟ Π. ΜΕΤΑ ΤΟΥ Ρ.

Πράγματα κἀντιγραφάς. Ἀριστοφάνης, οὕτως ἐκάλουν τὰς δίκας πάσας, πράγματα κἀντιγραφὰς, διὰ τὰς ἀντιθέσεις καὶ λύσεις τῶν ἐπιφερομένων.

Πράγματα πράττεται, ἀττικῶς λέγεται. Ἀριστοφάνης, τὰ δὲ πράγματα οὐχὶ διὰ σὲ πάντα πράττεται. ἐκ τοῦ πράττω πράξω, πέπραχα πέπραγμαι, παράγεται τὸ πρᾶγμα.

Πράγματα, ἐπὶ κακῷ χρῶνται τῇ λέξει οἱ παλαιοί. καὶ Μένανδρος, ἐν πράγμασιν, ἐν μάχαις. καὶ Ἀριστοφάνης ἐν πλούτῳ, ἄκουε τοίνυν ὡς ἐγὼ τὰ πράγματα ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ. καὶ αὖθις, ἀλλά σοι παρέξω πράγματα, ἀντὶ τοῦ ἐνοχλήσω.

Πράγματα, κακοπάθειαι. ὀρεινά τε ἦν καὶ στενὴ ἡ ὁδὸς, καὶ πολλὰ πράγματα εἶχον ἀμφὶ τοῖς ζεύγεσιν οἱ στρατιῶται, ἀντὶ τοῦ κόπους.

Πράγματα, δυσχέρειαι.

Πραγματεία, πολυπραγμοσύνη, κακοπάθεια, πόλιν πολυάνθρωπον καὶ στρατῷ μεγάλῳ πεφραγμένην εἷλεν ἄνευ πραγματείας ὁ Βασιλεύς.

Πραγματεία, σύγγραμμα βίβλου, ἢ λόγος.

Πράγματ' ἐξ ἀπραξίας, ἐπὶ τῶν παραδόξων, καὶ παρ' ἐλπίδα συμβαινόντων.

Πραγματεύομαι, αἰτιατικῇ, μεταχειρίζομαι. Ἀριστοφάνης, ἐγὼ ταῦτα ἐπραγματευόμην.

Πραγματευτιαὸς ἄνθρωπος λέγεται, ὁ ἔμπορος, καὶ ἐμπολαῖος ὁμοίως.

Πραγματοδίφης, ὁ δικολόγος. καὶ πραγματοδίφης, ὦ μακάριε τῆς τέχνης.

Πραγματικώτατον, ἐνεργητικώτατον. ὃν δὴ καὶ πραγματικώτατον γεγονέναι, τὸ διαβύλιον. καὶ αὖθις, τοῦτο δὲ ἐποίει νουνεχῶς ἅμα, καὶ πραγματικῶς.

Πραγματωδεστέρα τάξις, ἡ δυστυχεστέρα.

Πραγματομαθής, καὶ πραγματομαθεῖς. ὁ δὲ ὢν ἀγχίνους καὶ τριβῇ κινδύνων πραγματομαθής. καὶ πραγματομαθεῖς, οἱ τῶν πραγμάτων εἰδήμονες, διὸ καὶ οἱ Ῥωμαῖοι πραγματομαθεῖς ὑπάρχοντες ὑφεωρῶντο τὰ τῆς τύχης ἄδηλα.

Πραγορίτης, οἶνός τις.

Πρᾶγος, ἡ πρᾶξις. πρᾶγος δ' ἀτίζειν, οὐδὲν ἀνθρώπων χρεών. ἄνθρωπον ὄντα φησὶν, οὐ δεῖ πρᾶγμα κακίζειν.

Πραθέειν, τὸ ἐντελὲς, καὶ οἷον ὑγιές.

Πραθεῖν, ἀπὸ τοῦ πέρθω εἰς δεύτερον μέλλοντα, κατὰ μετάθεσιν τοῦ ρ, καὶ ἐπένθεσιν τοῦ ε πραθέειν.

Πράθειν, πορθῆσαι, ἐξελεῖν.

Πραθενεύεσθαι, θρασύνεσθαι, ἐπαγγέλλεσθαι λόγοις.

Πραινεστὸς, ὄνομα τόπου.

Πραιτώριον, τόπος ἔνθα συνάγεται ὁ λαός.

Πρακτέον, δεῖ πράττειν.

Πράκνον, μέλανα.

Πρακτικὴ ἀρετή ἐστι, μέθοδος πνευματικὴ, τὸ παθητικὸν μέρος τῆς ψυχῆς ἐκκαθαίρουσα, ἡ ὀδύνης καὶ λύπης καὶ στεναγμοῦ ἀπάθεια. γνῶσις δὲ θεωρητικὴ ἀσφαλείας, καὶ ἀπορίας ἀποβολή.

Πρακτικὸν, ἀνυστικόν.

Πράκτιον, πόλις Τροίας.

Πρακτικός ἐστιν, ὁ τὸ παθητικὸν μέρος τῆς ψυχῆς μόνον ἀπαθὲς κεκτημένος, καὶ ὁ τῆς σαρκὸς ἐξελθὼν τὴν ἡδονὴν καὶ τὴν ὀδύνην. γνωστικὸς δὲ, ὁ τῆς ψυχῆς ἐξαφανίσας τὴν λήθην καὶ τὴν ἄγνοιαν. θεωρητικὸς δὲ, ὁ τὸν νοῦν τῶν πολλῶν ἀπολύσας τύπων, καὶ μόνῳ τῷ κατὰ φύσιν καὶ ὄντως κρυφίῳ τῆς Θεότητος καταλαμπόμενος, καὶ τὴν φύσιν πρὸς ἑαυτὴν ἀποκαταστήσας ἄρτιον.

Πράκτορα, ἔκδικον φόνον τοῦ αὐτὸν πράκτορας ἵζεσθαι πατρός.

Πράκτορες, ἀπαιτηταί.

Πράληξ, ὁ λίαν ἄγροικος.

Πράμνειος οἶνος, μέλας. οὗτος ἦν καλούμενος οὕτως, ἢ ὅτι πραΰνει μένος, ἢ ὅτι παραμεμενηκὼς παλαιωθείς. οἱ δέ φασι πέτραν, ἢ ὄρος οἰνοφόρον ἐν Ἰκάρῳ τῇ νήσῳ εἶναι Πράμνην καλουμένην, ἐν ᾗ πρῶτον ἔφυ ἄμπελος. ἀφ' ἧς ὁ οἶνος πράμνειος. καίτοι τοιούτῳ λόγῳ διὰ τοῦ ι ὤφειλεν ἔχειν τὴν γραφὴν, ὡς ὁ θάσιος, καὶ ὁ σάμιος οἷα τοπικόν. νῦν δὲ οὕτω στερεῶς ἔχει τὸ διὰ διφθόγγου γραφῆς, ὡς τε καὶ πράμνεος, ὡς χρύσεος χρύσειος. ἐν δὲ τοῖς Ἀθηναίου φέρεται τάδε πλατύτερον, γίνεται κατά τινας ἐν Ἰκαρίῳ τῇ νήσῳ ὁ πράμνειος, γένος τι οἴνου. καὶ ἔστιν οὔτε γλυκὺς, οὔτε παχὺς, ἀλλ' αὐστηρὸς καὶ σκληρός. τινὲς δέ φασιν, ὅτι ἐν Ἰκαρίῳ πράμνειος πέτρα, καὶ παρ' αὐτῇ ὄρος μέγα, ἐξ οὗ πράμνειος οἶνος, ὁ καὶ φαρμακίτης. ἐκαλεῖτο δὲ ἡ ἄμπελος ἡ τοῦτον φέρουσα ὑπὸ τῶν ξένων μὲν ἱερὰ, ὑπὸ δὲ τῶν οἰνοέων, πόλις δὲ ἡ οἰνόη ἐν τῇ εἰρημένῃ νήσῳ, Διονυσιάς. Δίδυμος δέ φασι πράμνειον οἶνον λέγει ἀπὸ πραμνείας οὕτω καλουμένης ἀμπέλου. τινὲς μὲν ἰδίως τὸν μέλανα. ἔνιοι δὲ ἐν τῷ καθόλου, πάντα τὸν πρὸς παραμονὴν ἐπιτήδειον, ὡς οἱονεὶ παραμένειον. οἱ δὲ τὸν ἁπλῶς πραΰνοντα τὸ μένος. καὶ ἄλλα πολλὰ περὶ τοῦ πραμνείου οἴνου λέγεται.

Πραμνίου δαίμονος παρὰ τῷ Ἀριστοφάνῃ, τοῦ προσηνοῦς. ἤτοι ἀπὸ πραμνίας ἀμπέλου, ἢ ἀπὸ τοῦ πραΰνειν τὸ μένος. ἢ διὰ τὸ πολυχρόνιον παραμέ-

ραμένην, ἢ πραμνία πέτρα γινομένη. δέον δὲ εἰπεῖν δαίμονος ἀγαθοῦ, εἶπε πραμνίου. ἐπειδὴ ὁ πράμνειος οἶνος, πολυτίμητός ἐστιν. ἢ παρὰ τὸ ἐμμένειν, καὶ μὴ ἐξιστάναι τοὺς πίνοντας.

Πρὰν, ἀντὶ τοῦ πρώην λέγουσι Δωριεῖς. Θεόκριτος, ἔγνων πρὰν.

Πρανὲς, κάταντες, καὶ κατωφορές.

Πρανὴς ὁδὸς, κατωφερής. ἐν δέ τινι πρανεῖ στενῷ καὶ ἐπιμήκει καὶ ὀλίσθου γέμοντι, πολλοὶ παρεφέροντο.

Πρανῆ, κοῖλα.

Πρανιχθέντα, πεσόντα ἐπὶ στόμα.

Πρανὼ, ἀκρίδος εἶδος.

Πραξάμενος, ἀπαιτήσας.

Πράξαντες, ἀντὶ τοῦ βουλευσάμενοι, Θουκυδίδης, οἱ δὲ μετὰ Ἀθηναίων πράξαντες ἔφθασαν ἀνοίγειν τὰς πύλας.

Πραξιεργίδαι, οἱ τὸ ἕδος τὸ ἀρχαῖον τῆς Ἀθηνᾶς ἀμφιεννύντες.

Πραξιδίκη, δαίμονά τινά φασι τὴν ὥσπερ τέλος ἐπιτιθεῖσαν τοῖς τε λεγομένοις καὶ πραττομένοις. διὸ καὶ τὰ ἀγάλματα κεφαλὰς γίνεσθαι, καὶ τὰ θύματα ὁμοίως.

Πραξικοπήσας, ἐξ ἐπιβουλῆς βουλευσάμενος, δολιευσάμενος· καὶ πραξικοπήσας, δωροδοκηθείς.

Πρᾶξις, καὶ πρᾶγμα, ἐκ τοῦ πράττω, ὥσπερ ἐκ τοῦ ἐργάζομαι. καὶ ἐνεργῶ, ἔργον ἐργάτης. καὶ ἐργασία, ῥητορικὸν ἐπιχείρημα. καὶ ἐνεργὸς, καὶ ἐνέργημα. καὶ ποιητὸν, καὶ ποιητὸς, ὁ πεποιημένος. καὶ ποίησις καὶ ποίημα.

Πρᾶξις, κοινότερον μὲν πᾶσα λογικὴ ἐνέργεια, ἰδίως δὲ καὶ κυριώτερον, ἡ κατὰ προαίρεσιν, τουτέστιν ἡ κατ᾽ ἀρετὴν ἢ κακίαν ἐνέργεια γινομένη. καὶ πρᾶξις, ἡ προδοσία. ἔστι δὲ πρᾶξις μὲν, ἡ πρὸς τὸ τέλος τείνουσα ἐνέργεια. ἔργον δὲ, τὸ τέλος.

Πρᾶος, θυμοῦ καὶ ἐπιθυμίας παντελὴς πρὸς τὰ παρὰ φύσιν ἀκινησία. καὶ πρᾶεις, οἱ μὴ ὀξύρροποι πρὸς τὰς ἐμπαθεῖς τῆς ψυχῆς κινήσεις, ἀλλὰ κατεσταλμένοι τῷ λόγῳ, ὡς τὸ μακάριοι οἱ πρᾶεις. ἡ φύσις γὰρ πρὸς κακίαν εὐκολός ἐστι, καὶ ὀξύρροπος ἐπὶ τὸ χεῖρον. καὶ πραότης, ἡ βραδεῖά τε, καὶ δυσκίνητος ἕξις. οὐ γὰρ καθόλου τὴν ἀπάθειαν τῇ ἀνθρωπίνῃ φύσει νομοθετεῖ ὁ Θεός. οὐδὲ γὰρ δυνατὸν τῇ ἐνύλῳ ζωῇ, τὸ ἄϋλον. εἴρηται δὲ παρὰ τὸ πάντα ῥαδίως ποιεῖν.

Πραότης ἐστὶν, ἀρετὴ τοῦ θυμοειδοῦς. καθ᾽ ἣν ὑπὸ ὀργῆς γίνονται δυσκίνητοι. πραότης ἐστὶ, τὸ δύνασθαι φέρειν τὰ μέτρια ἐγκλήματα. καὶ ὀλιγωρίας καὶ ἀγνοίας καὶ πονηρίας, καὶ μὴ ταχέως ὁρμᾶν καὶ ὠθεῖν ἐπὶ τιμωρίας, καὶ τὸ μὴ εὐκίνητον εἶναι πρὸς ὀργάς, ἄπικρον δὲ τῷ ἤθει καὶ ἀφιλόνεικον ἔχοντα τὸ ἑρμαῖον ἐν τῇ ψυχῇ καὶ στάσιμον. παρέπεται δὲ τῇ ἐπιεικείᾳ, μετριοφροσύνη καὶ εὐστάθεια.

Πραπίδας, τὰς φρένας εἰπεῖν, χρήσιμον εἰς οὐδὲν τῇ λογογραφίᾳ. διὸ φυλαττέσθω ἀπόθετον τῇ ποιήσει. γίνεται ἴσως ἡ πραπὶς, ἐκ τῆς πρὸ, καὶ ἀπὸ προθέσεως, καὶ τοῦ ἰδεῖν, ἢ εἰδέναι, ἵνα ᾖ πραπὶς, ἡ προβλεπτικὴ καὶ προγνωστικὴ τοῦ μέλλοντος φρήν.

Πραπίδες, καὶ φρένες, ταυτόν. τὸ μὲν ποιητικῶς, τὸ δὲ κοινῶς λεγόμενον. φασὶν οἱ παλαιοὶ, ὅτι φρένες οὐ μόνον ἐστὶ δύναμις, καθ᾽ ἣν νοοῦμεν, ἀλλὰ καὶ σπλάγχνον. ὥσπερ διάφραγμα, οἱ περὶ Πλάτωνα πρῶτοι ὠνόμασαν. ἔστι δὲ νευρώδης ὑμὴν, τὰ σπλάγχνα διεζωκὼς, οὗ ὡς νευρώδει συμπάσχει φλεγμαίνοντι, καὶ ὁ ἐγκέφαλος, καὶ παραφρονεῖν ποιεῖ.

Πρασιαὶ, τετράγωνά τινα σχήματα ἐν τῇ γῇ οἱονεὶ περασίαι τινὲς οὖσαι, παρὰ τὸ πεπερατῶσθαι, καὶ κατὰ συγκοπὴν, τὸ γεωργικὸν σχῆμα.

Πρασιαὶ, τόποι λαχανοφόροι, ἀπὸ μέρους τῶν πράσων κληθέντες, ἀφ᾽ ὧν καὶ χρῶμα τὸ πράσιον, περιεκτικὴ ἡ λέξις.

Πρασιαὶ, πόλις λακωνικὴ, καὶ αἱ τοῦ κήπου λαχανίαι. καὶ λάχανον πράσιον, καὶ πράσινον χρῶμα.

* Πρασίαι, δῆμος Ἀθήνησιν, Πανδιονίδος φυλῆς. ἔστι καὶ λακωνικὸν πολίχνιον. ὁ πολίτης Πρασιεύς.

Πράσα, τὰ βρύα, καὶ τὰ φυκία.

Πρασιανός. ὅτι πρασιανὸς λέγεται καὶ βενετιανὸς καὶ παλμουλάριος καὶ σκουτάριον, παρὰ Μάρκῳ Ἀντωνίνῳ.

Πρασικουρίς, ζῶον χλωρὸν, κεῖρον τὰ ἐν τοῖς κήποις λάχανα.

* Πράσιοι, ἔθνος ἰνδικὸν, Διονυσίῳ πολεμῆσαν.

Πράσις, ἡ πώλησις.

Πρᾶσις, ἡ ἐπὶ τῆς πραγματείας, οἱονεὶ περασίς τις οὖσα, ἡ ἐξ ἑτέρου εἰς ἕτερον μεταβαίνειν ποιοῦσα τὰ πιπρασκόμενα, κατὰ συγκοπὴν τοῦ ε.

Πράσον, κακόχυμον. ἔστι δὲ δριμύ. ὡς δέ φησι Διοσκορίδης, δυσόνειρον, εὐκοίλιον, διουρητικὸν, λεπτυντικόν. ἔχει δὲ καὶ ῥυπτικόν.

Πρασόργην, δρέπανον, ᾧ τὰ πράσα κείρουσι.

Πράσου φύλλῳ, τὸ τῶν ἐρώντων δέδεται βαλάντιον. ἐπὶ τῶν δι᾽ ἔρωτα πολλὰ ἀναλισκόντων, καὶ ἀσωτευομένων.

Πράσιλλος, πόλις Θράκης.

Πραπὰ, ἡ νουμηνία.

Πράπαμον, μαλλόν.

Πρατίνιον, τὸ ὕστερον Ἀττικοὶ, καὶ ἡλικία τὶς προβάτου νέου. ὡς δὲ ἔνιοι, τοῦ πρώτου γεννωμένου. οἱ δὲ, ἐνιαυσιαίου. ἄλλοι, ἀρχομένου συνουσίας.

Πραταροσία, κατάρχη, ἀρχομένης ἀροτριώσεως.

Πρατίας, ὁ τὰ δημόσια πωλῶν, καὶ κηρύσσων.

Πρᾶτος, καὶ πράτιστος Δωριεῖς, ἀντὶ τοῦ πρῶτος καὶ πρώτιστος.

Πράττεσθαι, ἀπαιτεῖσθαι.

Πραττομένους, ἀντὶ τοῦ ἀπαιτουμένους. Ἰσοκράτης, καὶ τοὺς μαθητὰς μικρὸν πραττομένους:

Πράττω, δρῶ, ἐνεργῶ, ἔρδω, ἐργάζομαι, κατεργάζομαι, ποιῶ, μετέρχομαι, ταυτά.

Πράττω, τὸ ἐνεργῶ, καὶ τὸ διάκειμαι. οἷον εὖ πράττω, ἀντὶ τοῦ καλῶς διάκειμαι. κακῶς πράττω, ἤγουν κακῶς διάκειμαι. ἀφ᾽ οὗ εὐπραγία καὶ δυσπραγία, πράττω πράξω πέπραχα ἔπραξα, καὶ οἱ ἐξ αὐτοῦ χρόνοι. μετὰ μὲν τῆς τοῦ εὖ ἢ κακῶς προσθήκης, ἐνέργειαν. τὸ δὲ πέπραγα, καὶ οἱ ἐξ αὐτοῦ χρόνοι, καὶ μετὰ προσθήκης, καὶ χωρὶς προσθήκης, ἀεὶ πάθος ἐμφαίνουσι.

Πράττω, οὐ μόνον τὸ ποιῶ καὶ πάσχω, ἀλλὰ καὶ τὸ ἀπαιτῶ, ὃ καὶ εἰσπράττω λέγομεν. πράττομαι καὶ μετὰ τῆς προθέσεως, καὶ χωρὶς τῆς προθέσεως, καὶ τὸ ἀπαιτῶ καὶ τὸ ἀπαιτοῦμαι. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ, ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους, καὶ χρήματα πράττομαι. καὶ πράττω κακῶς, ἀντὶ τοῦ δυστυχῶ. πράττω καλῶς, ἀντὶ τοῦ εὐτυχῶ. εἰσπράττομαι, τὸ ἀπαιτῶ. καὶ εἰσπράττομαι, τὸ ἀπαιτοῦμαι. πράσσω, καὶ πρήσσω ποιητικῶς, ὁ μέλλων πράξω Ἀττικῶς, πρήξω Ἰωνικῶς, ὁ παρακείμενος πέπραχα ἄχρηστος. ὁ δὲ μέσος πέπραγα, ὃς ἀντὶ τοῦ ἔπαθον λαμβάνεται. ὁ παθητικὸς πέπραγμαι, ξαι, κται. καὶ ἔστι τὸ πρᾶ, φύσει μακρόν. καὶ διὰ τοῦτο τὸ πρᾶγμα περισπᾶται. καὶ πρᾶξις, καὶ πρᾶσσε προστακτικόν. ἐπειδὴ πρῆγμα καὶ πρῆξις καὶ πρῆσσε Ἰωνικά, καὶ οὐ διὰ τὸ θέσει μακρὰ εἶναι. ἦ γὰρ ἂν καὶ τὸ τάγμα, καὶ γράμμα, καὶ ἄλλα.

Πραΰνεται, μαλάσσεται.

Πραϋμένως, προθύμως. πράῳ τῷ μένει χρώμενος.

Πραΰνει, κατασιγαίνει, κατακοιμίζει.

Πραϋπάθεια, ἡσυχία, πραότης.

Πραΰς, ἀπὸ τοῦ ῥᾷον, ὃ σημαίνει τὸ εὔκολον, γίνεται ῥαῢς, πλεονασμῷ τοῦ π πραῢς, ὁ εὔκολος καὶ ἀγαθός.

Πρέμνα, τὰ ἰσχυρὰ στελέχη, τῶν καταβλαστημάτων.

Πρέμνια, τὰ πάχος ἔχοντα ξύλα.

Πρεμνιάσαι, ἐκριζῶσαι.

Πρέμνον ἑστίας, τῆς οἰκίας θεμέλιος.

Πρέμνος, ὁ κλάδος. καὶ πᾶν ῥίζωμα δένδρου τὸ γηράσκον, ἢ τὸ τῆς ἀμπέλου πρὸς τῇ γῇ πρέμνον.

Πρεμνουσία, κρήνη ἐν τῇ Ἀττικῇ.

Πρέπει, προσήκει, καθήκει, δεῖ.

Πρέπει, ἀεὶ δοτικῇ. τὸ δὲ πρέπον, οὐ δοτικῇ μόνον, ἀλλὰ καὶ γενικῇ. ὡς Θουκυδίδης, πρέπον ἡμῶν, καὶ ὡς ἡ χρεία προάγει.

Πρέπειν, συγκοπὴ ἐκ τοῦ περιέπειν ἐστίν, ἐξ οὗ διαπρεπὴς καὶ ἐκπρεπὴς, ὁ ἄξιος τιμητικῶς περιέπεσθαι.

Πρεπὶς, ὁμοίωσις.

Πρέπον, ὅμοιον, μέτριον, συμφέρον, ὡραῖον, ἄριστον. καὶ πρέπον τέρας, Κύπριοι.

Πρεπτὰ, φαντάσματα, εἰκόνες.

Πρέσβα ἄτη, ὅπερ ἐκ τοῦ πρέσβειρα συγκέκοπται, ἢ κατὰ χρόνον. ἀεὶ γὰρ ἐν ἄτῃ τὰ κατὰ ἀνθρώπους, ἢ κατὰ τιμὴν, ὡς χρεὼν ὂν ἐκδύεσθαι τὴν ἄτην, οἷα δυναμένην βλάπτειν, καὶ οὐλομένην. Διὸς δὲ θυγάτηρ τοῦ κατὰ τὴν εἱμαρμένην δηλαδὴ νοουμένου. ἁπαλοὶ δὲ οἱ πόδες αὐτῇ, διότι λανθάνει ἀψοφητὶ ἐπιφοιτῶσα, κατὰ τὰς παρὰ τῷ Ἡσιόδῳ νόσους.

Πρεσβεία, ἡ τῶν πρέσβεων ἐνέργεια, καὶ τὸ πλῆθος αὐτῶν. καὶ πρεσβεύω, τὸ πρεσβείαν ποιῶ. πρεσβεύομαι δὲ, τὸ ἀποκρισιάριον στέλλω. ἰστέον, ὅτι οἱ πρέσβεις λέγονται πληθυντικῶς, καὶ αἱ λοιπαὶ πτώσεις. ἑνικῶς δὲ οὐ λέγεται ὁ πρέσβυς, ἀντ᾽ αὐτοῦ δὲ λέγεται ὁ πρεσβευτής.

Πρέσβα θεά, ἤγουν πρεσβυτάτη, ἐντιμοτάτη, ἀπὸ τοῦ πρέσβεια κατὰ συγκοπήν. ὡς γὰρ ἥμισυς ἡμίσεια, οὕτω πρέσβυς πρέσβεια.

Πρεσβεῖον, ἡ διὰ γῆρας προτίμησις. καὶ τὸ δι᾽ αὐτὸ διδόμενον γέρας κατὰ προτίμησιν. ἀριστεῖον, τὸ ἕνεκα ἀριστείας γέρας. καλλιστεῖον, τὸ ἐκλεγέν τινι γέρας. πρωτεῖα, τὰ τῆς πρώτης τάξεως γέρα. δευτερεῖα, τὰ τῆς δευτέρας.

Πρέσβειρα, ἐντιμοτάτη, παρακλήτρια, πρεσβεύτρια.

Πρεσβεύεται, ἀντὶ τοῦ πρεσβείαν δέχεται. Ἱμέριος, λάθρα δὲ ὑπὲρ αὐτοῦ παρὰ βασιλέως πρεσβεύεται. καὶ ἀντὶ τοῦ πρεσβείαν πέμπει. πρεσβεύονται, οἱ τοὺς πρέσβεις χειροτονοῦντες καὶ πέμποντες. πρεσβεύουσι δὲ, οἱ χειροτονούμενοι καὶ πεμπόμενοι πρὸς τὴν πρεσβείαν. τοῦτο δὲ παθητικῶς γράφεται, καὶ μετὰ τῆς διὰ προθέσεως, οἷον διαπρεσβεύομαι. πρεσβεύω ἐνεργητικῶς τὸ τιμῶ, καὶ τὸ ἄρχω ποιητικῶς, οἷον ὁ πρεσβεύων τοῦ Ὀλύμπου, ἤγουν τὰ πρεσβεῖα ἔχων. πρεσβεύω, καὶ ἀντὶ τοῦ πρεσβευτὴς γίνομαι. καὶ ἀντὶ τοῦ πρεσβευτὴν πέμπω. καὶ διαπρεσβεύομαι, εἰς τὴν αὐτὴν σημασίαν.

Πρεσβεύω, τὸ παρακαλῶ δοτικῇ. καὶ πρεσβεύω, τὸ τιμῶ αἰτιατικῇ. πρεσβεύω, καὶ τὸ πρεσβύτερός εἰμι, γενικῇ. Θουκυδίδης ἐν τῇ ἕκτῃ, διὰ τὸ πρεσβεύειν τε ἀπ᾽ αὐτοῦ καὶ τυραννεῦσαι. Ἡρόδοτος, τῶν μὲν δὴ προτέρων ἐπρέσβευεν Ἀρτοβαζάνης.

Πρεσβεύω, τὸ ἀποκρισιάριος πέμπομαι, καὶ τὸ μεσιτεύω. πρεσβεύομαι, τὸ ἀποκρισιάριον πέμπω.

Πρεσβήϊον, ἤτοι πρεσβεῖον, δῶρον δηλοῖ τίμιον, ἤγουν τοῖς πρεσβυτέροις καὶ ἐντίμοις. ὅπερ ἀριστεῖον οἱ μεθ᾽ Ὅμηρόν φασιν. ἐπεὶ οἱ αὐτοὶ καὶ γέροντες λέγονται, καθ᾽ Ὅμηρον, ὡς τίμιοι. καὶ ἀριστεῖς δὲ εἰσιν. εἴη καὶ τὸ αὐτῶν γέρας καὶ ἀριστεῖον, διὰ τοὺς ἀρίστους. καὶ πρεσβεῖον, διὰ τοὺς κατὰ τιμιότητα γέροντας.

Πρεσβήϊον, ἀντὶ τοῦ πρεσβεῖον. διαλύσει Ἰωνικῇ πρεσβέϊον. καὶ πρεσβήϊον. τὸ ὑπὲρ τιμῆς διδόμενον δῶρον.

Πρεσβυγένεια, παλαιοτέρα γένεσις, καὶ συγκριτικῶς.

Πρέσβυς, πρεσβύτου, ἑτεροκλίτως.

Πρέσβυς, ὁ γέρων, οὐ κλίνεται πρέσβυος, ὡς μονογενές, ἀλλὰ πρέσβεως. συνεξακολου-

θῶν

θῶν τῆς τύχεως, καὶ τελέχεως. ἐπεὶ γὰρ διὰ τοῦ μεγάλου κλίνουσι ταῦτα οἱ Ἀττικοί, ἀναγκαίως καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ι μεταβάλλουσι. τοῦτο ἡ εὐθεῖα τῶν πληθυντικῶν πρέσβεις, καὶ πλεονασμῷ τοῦ ι, ἢ τροπῇ τοῦ ε εἰς η πρεσβῆες, καταβιβαζομένου καὶ τοῦ τόνου διὰ τὴν λογικὴν ἔκτασιν, ὡς πολλάκις εἴρηται. διφορεῖται δὲ ἡ παραλήγουσα, ὥσπερ ἐν τῷ τεθνειώς. καὶ γὰρ κἀκεῖ ἀπὸ τοῦ τεθνεώς, καὶ πλεονασμῷ τοῦ ι, ἢ κατὰ τροπὴν τοῦ ε εἰς η τεθνηώς γίνεται, διφορουμένου κατὰ τὴν γραφήν.

Πρεσβυτάτην, ἐντιμοτάτην.

Πρεσβύτερος, τιμιώτερος, μείζων.

Πρεσβύτερος κόδρου, ἀντὶ τοῦ παλαιότερος.

Πρέσβυς, καὶ πρεσβύτης, ἀπὸ ἐτῶν ἑξηκονταεννέα, μέχρι τέλους τῶν ὀγδοήκοντα, παρὰ τὸ προβεβηκέναι τὴν ἥβην.

Πρευμενής, ἐκ τοῦ πρᾶος καὶ εὐμενής. καὶ ἐκ τοῦ ἀπάγειν καὶ ἀπελαύνειν τὸ ψιλούμενον, ἀγηλατεῖν. καὶ ἐκ τοῦ χύρω, καὶ χέω κατὰ τοὺς παλαιούς, κυκεών. καὶ ἐκ τοῦ θρῦς, καὶ βοή, ὁ θόρυβος. καὶ ἐκ τοῦ μόρος καὶ φόβος, ὁ μόρφνος αἰετός. καὶ ἐκ τοῦ χρέος, καὶ ὀφειλή, ὁ χρεωφειλέτης. καὶ ἐκ τοῦ πτίσσειν, καὶ αἰνεῖν, ταυτοδυνάμων λέξεων, ὡς φησι Παυσανίας, ἡ πτισάνη. καὶ ἐκ τοῦ ἄττειν καὶ ἅλλεσθαι, κατά τινας ἀττέλαβη. καὶ ἐκ τοῦ θορεῖν καὶ ἀΐσσειν, ὁ θρᾷξ. καὶ ἐκ τοῦ καίειν, καὶ δαίειν, κανδάνων, ὁ Ἄρης, διὰ τὴν καυστηρὰν μάχην, τὴν καὶ δηΐδα. καὶ ἐκ τοῦ φονεύειν, καὶ κτείνειν, τὸ φονοκτονεῖν. καὶ ἐκ τοῦ δονεῖν καὶ πάλλειν, τὸ δνοπαλίζειν καὶ ἐκ τοῦ ἱκέσθαι καὶ θύειν, ὁ ἰχθύς. καὶ ἐκ τοῦ ἄρχειν καὶ ἡγεῖσθαι, ὁ ἀρχηγός. καὶ ἐκ τοῦ χέειν, ῥέειν, νάειν, ὁ χρόνος. καὶ ἐκ τοῦ νάειν καὶ ῥέειν, ὁ Νηρεύς. καὶ ἐκ τοῦ σύεσθαι, ἤγουν ὁρμᾶν, καὶ τοῦ κύειν, ἡ συκῆ. ἐκ τῶν αὐτῶν δὲ, κατὰ τοὺς παλαιούς, καὶ ὁ σικυός, κατὰ μετάθεσιν ἢ τροπὴν διχρόνου. καὶ ἐκ τοῦ θῶ, τὸ τίθημι, καὶ τὸ θῶ, τὸ θηλάζω, τιθήνη, ἡ ἀντιθεῖσα ἔνθεσιν, ἤγουν τροφὴν τῷ θηλάζοντι βρέφει. καὶ ἀπὸ τοῦ τείρω, καὶ ἔδω, τερηδών, ζωΰφιον ἐμφυόμενον ὀστοῖς καὶ ξύλοις. ἐμφύονται σώμασι τὰ τοιαῦτα θηρίδια, ὧν εἶδος αἱ ἶπες. ἔτι ὁμοίως ἐκ τοῦ ἐναίρειν, καὶ κτείνειν, νεκροκτάνος ὁ θάνατος. τοιοῦτον δὲ καὶ ἡ ὁμηρικὴ ἀλοσύδνη, καὶ ἡ τοῦ Καλλιμάχου ὑδατοσύνη. ὀνόματα δὲ τὰ τοιαῦτα Νηρηΐδων. οὐκ ἀπεοικε δὲ τῶν τοιούτων οὐδὲ ὁ Ὡραπόλλων, ἀνὴρ λόγιος. οὗ ἡ σύνθεσις ἐκ τοῦ ὧρος, καὶ Ἀπόλλων. ἃ καὶ ἄμφω ἐπίθετά εἰσι Φοίβου. συμφωνεῖ καὶ τὸ μυθολογεῖν, ὅπερ ἐστὶ μυθεῖσθαι καὶ λέγειν. ἤδη δὲ καὶ τὸ λογολεσχεῖν. λόγος γάρ τις, καὶ ἡ λέσχη ἐστί. τὴν δὲ τοιαύτην σύνθεσιν παρεισήγαγεν ὁ ἐκ παραλλήλου σχήματος. ὃς οὐ ἐννοίας ὁμοίας ἀλλήλαις ἐπισοιβάζει, οἷον ὁ μέγας βασιλεὺς ἦλθεν, ὁ τρισμέγιστος ἄναξ παραγέγονεν. ἄμφω γὰρ τὰ κῶλα ταῦτα, ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῦσι νόημα, ἢ λέξεις ἰσοδυνάμους παραλληλίζει, οἷον τυχόν, ἴσως οὕτω γέγονε. καὶ λίαν, πάνυ, ταχέως. τοιοῦτον δὲ φιλόφιλος, φαυλεπίφαυλος, καὶ τὸ πάμπαν ἐπίρρημα.

Πρέψας, εἰκασμένος, εἰκασθείς.

Πρηγορεών, προαγορευτής, ἢ δημοκόπος.

Πρηγορεῶνα, τὸν λεγόμενον γαργαρεῶνα λέγουσι. κυρίως δὲ ἡ τῶν ὀρνέων φάρυγξ, ἐν ᾗ ἀγείρεται ἡ τροφή.

Πρηγορεῶνας, παρὰ τῷ Ἀριστοφάνει, κυρίως τῶν ὀρνίθων ὁ λεγόμενος πρόβολος. ἑκάστερον δὲ, ἀπὸ τοῦ συναθροίζειν ἐκεῖ τὴν τροφήν. Δίδυμος δὲ, τοὺς βρόγχους τῶν ὀρνέων, τοὺς λεγομένους προλόβους, ὅτι συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δὲ καὶ ἐπὶ ἀνθρώπων πρηγορεὼν πάλιν, ὁ βρόγχος.

Πρῆθμα, πολύποδος κεφαλή, ἔνιοι πλεκτάνη.

Πρήθω, σημαίνει τὸ ἐμπυρίζω. ὡς τὸ πρῆσε δὲ πυρὸς δηΐοιο θύρετρα. Ἀριστοφάνης, πῶς δῆτ' οὐχὶ Σίμων ἐνέπρησε. σημαίνει καὶ τὸ φυσῶ, ὡς τὸ πρῆσε δ' ἄνεμος μέσον ἱστίον. καὶ δάκρυον πρήσας, ἀντὶ τοῦ ἀναφυσήσας.

Πρήϊον, πρότερον.

Πρηκτῆρα, δραστῆρα. ποτὲ δὲ ἔμπορον. πρηκτῆρα τε ἔργων, ἃ δεῖ πράττειν δηλοῦντα.

Πρημάδες, καὶ πρῆμναι, εἶδος θυννώδους ἰχθύος.

Πρημαινούσας θυέλλας, λέγει Ἀριστοφάνης συστροφὰς ἀνέμου. πρημαινούσας δὲ, ἀντὶ τοῦ μαινομένας, καὶ λάβρως φυσώσας, πρῆσαι γὰρ, τὸ φυσῆσαι.

Πρημαίνω, τὸ μαίνομαι.

Πρημνήσια, τὰ ἀπὸ τῆς πρύμνης σχοινία. οἷς δεσμοῦσι τὴν ναῦν ἐπὶ τῆς γῆς ἐπὶ πέτρᾳ, ἢ τοιούτῳ τινί. τὰ αὐτὰ καὶ ἀπόγεια λέγεται.

Πρὼν, ταῦρος.

Πρηνᾶς, εἶδος ἰχθύος.

Πρηνεῖς κεῖνται, πάντες οἱ φεύγοντες ἐν πολέμῳ. ὕπτιοι δὲ, ἀντιστάντες τῷ ἐχθρῷ. οὕτω γάρ τις βληθεὶς τὸ στῆθος, ὕπτιος ἔπεσε.

Πρῶνες, οἱ προνενευκότες τόποι τῶν ὀρέων, ἢ γάργαρον ἶσον πρηῶνι μαλείης. ᾧ ἐκυκήθη κῦμα, πολυψάμμους ὥσεὶ ἐπὶ ψαμάθους.

Πρηνές, ἐπὶ ἐμψύχων λέγεται. καὶ γίνεται ἀπὸ τοῦ παρανεύειν, ἢ κατὰ τοὺς παλαιούς, ἀπὸ τοῦ προνενευκέναι. δύο δὲ τούτων ἀντικειμένων πρανοῦς καὶ ὑπτίου, κυρίως πρανὲς λέγεται τὸ πεσὸν ἐπὶ πρόσωπον. ὕπτιον δὲ, τὸ ἀνάπαλιν. λέγεται δὲ καὶ διὰ τοῦ η πρηνές. ἐξ οὗ καὶ πρηνίξαι, τὸ ἐπὶ πρόσωπον ῥίψαι, εἴτε ἄνθρωπον, εἴτε καὶ πόλιν. παρὰ πολλοῖς δὲ τῶν ὕστερον νικᾷ πρανὲς λέγεσθαι διὰ τοῦ α, ὡς ἀπὸ τοῦ παρανεύειν ἢ μᾶλλον παρανέειν, ὅ ἐστι κολυμβᾶν. ἐπειδὴ παρανεύουσιν οἱ πρηνεῖς κείμενοι. λέγεται δὲ μεταφορικῶς πρανής, καὶ ὁ κατάντης τόπος. ὅθεν καὶ παροιμία τὸ σφαῖρα, κατὰ πρανοῦς, καὶ κατὰ πρηνὲς βαλέειν Πριάμοιο πόλιν, ἀλλαχοῦ παραφράζων ὁ Ποιητής, ἡμύσαι φησὶ τὴν πόλιν τοῦ Πριάμου.

Πρηνής, εἰς τοὔμπροσθεν, ἐπὶ στόματος, ἐπὶ προσώπου.

Πρηνής, ἐπὶ πρόσωπον. ἡ πρηνὴς, ἔπεσε. πρηνὴς κεῖσθαι λέγεται, ὁ ἐπὶ στόμα κείμενος. ὁ δὲ ἀνάπαλιν ὕπτιος.

Πρήνιζε, κατέλαβε.

Πρηνίσσω, πίπτω.

Πρηνιχθῆναι, τὸ ἐπὶ πρόσωπον πεσεῖν. μεταφορικῶς δὲ, καὶ τὸ εἰς γόνυ πεσεῖν. ἐπρήνιξε τὴν Εὐρυμέδοντος πόλιν.

Πρῆξαι, φλέξαι, φυσῆσαι. ἐμπρῆσαι πυρὸς δηΐοιο θύρετρα. καὶ δάκρυα ἀναπρήσας, ἀντὶ τοῦ ἀναφυσήσας. ὅθεν καὶ ἡμεῖς τοὺς πεφυσημένους πεπρημένους φαμέν.

Πρῆξαι δ' ἔμπης, πρᾶξαι δ' ὅμως.

Πρηξῖνος, παρὰ τὸν πράξω μέλλοντα γίνεται πρηξῖνος κατὰ ἔκτασιν.

Πρῆξις, ἄνυσις.

Πρῆξις ἰδίη, οὐ δήμιος. οἱ μεθ' Ὅμηρον τὸ ἰδιωτικόν φασι, καὶ τὸ δημόσιον πρᾶγμα.

Πρῆον, τὸ ὑπερέχον.

Πρηροσία, θυσία Ἀθήνησι.

Πρῆσαι, τὸ καῦσαι, ἀπὸ τοῦ πυρῶ πυρώσω, οὗ συγκοπέντος εἰς τὸ πρῶ, γίνεται παράγωγον τὸ πρήθω, ἐξ οὗ καθ' ὑπέρθεσιν καὶ συστολὴν τὸ πέρθω. ἐκ δὲ τοῦ ῥηθέντος πυρῶ πυρώσω, παράγωγον τὸ ἐμπυρίζω, ὥσπερ καὶ τοῦ πρῶ κατ' ἀναδιπλασιασμὸν τὸ ἐμπιπρῶ, καὶ τὸ ἐμπίπρημι.

Πρῆσε δὲ ἀνὰ στόμα, καὶ κατὰ ῥῖνας, παρ' Ὁμήρῳ χανών, ὅ ἐστι διεπέρασε καὶ ἐξήγαγεν, ἐν τῷ π' τῆς Ἰλιάδος. φασὶ δὲ οἱ φυσικοὶ τὴν αἱμορραγίαν, διὰ τῶν ὀφθαλμῶν προφαίνεσθαι, διὰ τὴν τῶν ἐκεῖ ὑμένων λεπτότητα. ὅθεν καὶ τοὺς ἰκτεριῶντας, ἀπὸ ὀφθαλμῶν τὰ πρῶτα δήλους εἶναι, τῆς χολῆς ὑποδραμούσης τοὺς ἐν αὐτοῖς ὑμένας, ἤτοι χιτῶνας.

Πρήσσοντος, φυσῶντος.

Πρῆσεν ἄνεμος παρ' Ὁμήρῳ, ὅ ἐστιν ἐφύσησε. θέμα δὲ ἢ τὸ πρήθω, ἢ τὸ περῶ συγκοπέν, ἐξ οὗ τὸ πρήσσουσα.

Πρήσσουσα, διαπερῶσα. ἀπὸ τοῦ πρήσσω ἐνεστῶτος. τοῦτο δὲ ἐκ τοῦ περῶ περάσω, καὶ συγκοπῇ τοῦ ε καὶ τροπῇ καὶ πλεονασμῷ τοῦ ἑτέρου σ πρήσσω, ὁ παρατατικὸς ἔπρησσον καὶ διέπρησσον πεδίοιο, καὶ διαπρήσσουσα κέλευθα, ἀντὶ τοῦ περάσουσα.

Πρηστήρ. εἴδη κεραυνῶν. πρηστήρ, ὁ καὶ πυρὸς κεχυμένος, ὃς καταφερομένου τοῦ πνεύματος, καὶ ἐκπυρωθέντος γίνεται. σκηπτὸς δὲ καὶ ὁ καταβάτης, γίνεται παχυνθέντος τοῦ πυρώδους πνεύματος ἀργός. ὃς διὰ τὸ πάνυ λεπτότατος, οὐ φλέγει. μελαίνει δέ. ψολόεις, ὁ ἐν τῇ καύσει ὀλλύων. ἑλικίας δὲ, ὁ συστροφὰς καὶ ἕλικας ποιῶν, διὰ μέσων παχύτητος καὶ ὑγρότητος, τῇ πυκνότητι τοῦ ἀέρος ἐνωθέμενος.

Πρηστήρ, καὶ σφοδρὸς ἄνεμος, τῆς ὠνοῦς, καὶ τοῦ πολέμου.

Πρῆστις, εἶδος κήτους θαλασσίου, ἡ λεγομένη μάλθη, ὃ καὶ δυσανταγώνιστόν ἐστι.

Πρήσωμεν ὁδοῖο, τελέσωμεν ὁδεύσωμεν. καὶ πρήσωμεν ὁδοῖο, ἤγουν περάσωμεν διὰ κελεύθου.

Πρητῆνας, τοὺς ἐνιαυσίους ἄρνας.

Πρηΰνω, τὸ πραΰνω, κατὰ τροπὴν τοῦ α εἰς η.

Πρηῶνος, τῆς ἐξοχῆς τοῦ ὄρους. πριῶνας δὲ τοῦ ἐργαλείου, ι καὶ ο μικρόν.

Πρίαιτο, ἀγοράσειε.

Πριάμενος, ἀγοράσας, ὠνησάμενος, καὶ ὄνομα.

Πρίαμος, παρὰ τὸ πρίασθαι λέγεται, ἱστορεῖ Λυκόφρων. ὅτι γάρ ποτε ἡ Τροία ἑάλω ὑφ' Ἡρακλέους, πριαμένη αὐτὸν Ἡσιόνη ἀδελφὴ, δοῦσα καλύπτρας γυναικείας, αὐτὴ μὲν ἀπῆλθεν αἰχμάλωτος, ὑπὸ Τελαμῶνι οὖσα. τὸν δὲ ἀδελφὸν ἀφῆκε ζώπυρον γένους ἐκεῖ, ἔχοντα ἐπ' ὀνόματος τὸ τοῦ πρίασθαι ὄνειδος. ἐξ οὗ καὶ μετωνομάσθη Πρίαμος, Ποδάρκης πρώην καλούμενος.

Πρίαμος, Ἑλένην καλέσατο φωνῇ, πρὸς διαστολὴν λέγει τῆς διὰ νεύματος κλήσεως, ἢ διὰ ἀγγέλου, ἢ χειρῶν.

Πριαμωθῆναι, ξυρηθῆναι. τὸ γὰρ τοῦ Πριάμου πρόσωπον, ξυρίας ἐστί.

Πρίαπος, τὸ ἄγαλμα τοῦ τριώπου, τοῦ Ὥρου παρ' Αἰγυπτίοις καλουμένου, ἀνθρωποειδὲς ποιοῦσιν, ἐν τῇ δεξιᾷ σκῆπτρον κατέχον, ὡσανεὶ παρ' αὐτοῦ φανεῖσαν τὴν ξηράν, καὶ τὴν θάλασσαν. ἐν δὲ τῇ εὐωνύμῳ κρατοῦν τὸ αἰδοῖον αὐτοῦ ἐντεταμένον, διότι τὰ κεκρυμμένα ἐν τῇ γῇ σπέρματα, φανερὰ καθίστησι. τὰ δὲ πτερὰ τὴν ταχύτητα τῆς κινήσεως δηλοῖ. τὸν δὲ κύκλον τοῦ δίσκου, τὴν περιφέρειαν. αὐτὸν γὰρ τῷ Ἡλίῳ δοξάζουσι.

Πρίασθαι, ἀντὶ τοῦ ὠνήσασθαι. ὅπερ ἐπὶ τοῦ ἀορίστου μόνον ἐστὶν ἐν χρήσει. ἐπὶ δὲ τῶν ἄλλων χρόνων, τὰ ἀπὸ τοῦ ὠνοῦμαι γράφεται, οἷον ὠνοῦμαι, ὠνούμην, ὠνήσομαι, ἐώνημαι.

Πρίεται, σχίζεται, φυσᾶται.

Πρίεν, ἀντὶ τοῦ ἔλαβεν. οἷον κραταιὸς δ' ἔπριεν χόλος.

Πρίεται, σχίζεται.

Πρίζω, τὸ σχίζω. πρίω δὲ τοὺς ὀδόντας.

Πρίημι, ἀγοράζω, καὶ πριάμενος.

Πρίηπος, ὁ πρίαπος, κατὰ τροπὴν τοῦ α εἰς η.

Πριηπίδος, τῆς πρὸ Βοσπόρου πόλεως Ἑλλησποντιακῆς ἣν τὸν Πρίαπον τὸν Διονύσου καὶ Περκώτης, φασὶν οἰκῆσαι.

Πρὶν, ἢ μετὰ ὑποτακτικοῦ συντάσσεται, νοουμένου ἔξωθεν τοῦ ἄν. ἢ μετὰ ἀπαρεμφάτου, νοουμένου τοῦ ἤ. οἷον πρὶν γένηται, ἢ πρὶν ἂν γένηται, ἢ πρὶν γενέσθαι, καὶ πρὶν ἢ γενέσθαι.

Πρὶν, ἀντὶ τοῦ πρότερον, μετὰ παρεληλυθότος. καὶ πρὶν, ἀντὶ τοῦ πρωΐ, μετὰ ἀπαρεμφάτου, οἷον πρὶν τόδε γενέσθαι ἐγένετο τόδε, καὶ πρὶν ποιῆσαι τόδε ἐποίησα τόδε. δοκεῖ δὲ μετὰ ἀπαρεμφάτου μὲν λέγεσθαι ἐπὶ τοῦ ποιουμένου πράγματος. μετὰ ἀορίστου δὲ, ἐπὶ τοῦ ποιοῦντος αὐτό. ἔστι δὲ ὅτε δύο κεῖται πρὶν ἐν τῷ λόγῳ. ἔνθα τὸ πρῶτόν ἐστιν ἐξ ἀνάγκης, ἀντὶ τοῦ πρότερον. τὸ δὲ δεύτερον, ἀντὶ τοῦ πρωΐ.

Πρὶν ἢ πτίσαι τὰ ἄλευρα. παροιμία, καὶ πρὶν τοὺς ἰχθῦς ἑλεῖν, σὺ τὴν ἅλμην κυκᾷς, ἐπὶ τῶν τοὺς καιροὺς προλαμβανόντων, καὶ πρὶν ἐσφάχθαι δέρεις.

Πριμιγγιλίων τιμῶν, ἤτοι βασιλικῶν δωρεῶν, ἢ προνομίων.

Πριμμικήριος, ὁ πρῶτος τάξεως τῆς τυχούσης. * διότι πρῶτος ἐν τῇ κηρωτῇ σανίδι ἐσημειοῦτο.

Πριμμιλογίων, τιμῶν βασιλικῶν, προνομίων.

Πρι-

Πριμολοκάριος, ὁ τὸν ἀκρότατον βαθμὸν τῆς στρατιᾶς ἔχων, ὕστατος δὲ τῇ τιμῇ.

Πριμοπιλάριος, ὁ τὸ μεῖζον ἀξίωμα τῶν στρατιωτῶν ἔχων, παρὰ Ῥωμαίοις.

Πρὶν ἐν παρεληλυθότι, πρὸς ὁριστικόν. πρὶν εἶπεν, οὐ μόνον ἀλλὰ καὶ σὺν ἀπαρεμφάτῳ. πρὶν καὶ διὰ μέσου τοῦ ἤ, πρὶν ἢ εἰπεῖν. ὥσπερ διὰ τοῦ ἂν ἐπὶ μέλλοντος πράγματος, πρὶν ἂν γένηται, ὁμοίως τῷ ἕως, καὶ τὰ ἰσοδυναμοῦντα ἕως παρατείνω, ἕως παρατεῖναι.

Πρίνινοι, στερεοί, καὶ σκληροί. ἰσχυρὸν γὰρ τὸ τοῦ πρίνου ξύλον. καὶ Ἡσίοδος, πρίνου δὲ γύην. καὶ πάλιν, πρίνινος γὰρ φύσιν ὀχυρώτατός ἐστι.

Πρινόκοπος, κόπτων πρίωνας, χηρῶν τοὺς δεσμούς. πρίοντες, τὰ ὑγιῆ ἔχοντα.

Πρῖνος, ξύλον, πυκνότατον.

Πρινώδη, τὸν σκληρὸν λέγουσιν, ἀπὸ τοῦ ξύλου τοῦ πρίνου.

Πριόλας, ὄνομα κύριον, ἀδελφὸς Λύκου, ὃς προηγούμενος Μαριανδυνῶν ἐν τῇ μάχῃ ἔπεσε. καὶ Πριόλα, πόλις πλησίον Ἡρακλείας.

Πριόμενος, κοπτόμενος. πριώμενος δέ, ὁ ἀγοράζων, μέγα.

Πριόνωτοι, ὄφεις οὕτω λεγόμενοι.

Πρίου, ἐλευθέρωσον.

Πριόνατον, τόπος ἐργαστηρίου.

Πρίσαι, τὸ πρίονι σχίσαι, προπεπρισμένως. πρίομαι, ἀντὶ τοῦ τέμνομαι, καὶ οἱονεὶ διαιροῦμαι ὑπὸ λύπης, ἢ τοιούτου τινός, ἀπὸ μεταφορᾶς τῶν διαιρουμένων τῷ πρίονι. πριστὰ ξύλα, τὰ τῷ πρίονι ἐσχισμένα.

Πρισθείς, ἐξαφθείς, δεσμευθείς. ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων, ἐκνάμπτετ' αἰέν, ἔς τ' ἀπέψυξε βίον.

Πρισμοῖς, ταῖς βιαίοις κατοχαῖς.

Πριστηροειδὴς αἰχμή, ἐκ τοῦ πρίζω.

Πρίστης, ῥίνων, πρίων.

Πριστὸς ἐλέφας, τὸ ἐλεφάντινον ὀστοῦν, πρὸς διαστολὴν τοῦ ζώου.

Πρίω, ἀγόρασον. Ἀριστοφάνης, μὴ πρίω παῖ δᾶδα. ἐκ τοῦ πρίαμαι, παρατατικὸς ἐπριάμην ἐπρίασο καὶ ἐπρίω, τὸ προστακτικὸν πρίω.

Πριῶμαι. γράφει Συνέσιος, πριῶμαι τρεῖς ἢ τέτταρας τῶν ἀναβολῶν. καὶ πρίαμαι. κύπριος, ὃ πολλῶν ἂν οὗτοι πρίαιντο χρημάτων. καὶ πρίομαι.

Πριώμασι, πρίσμασι.

Πρίων, τὸ τεκτονικὸν ἐργαλεῖον, ὡς ἐν ἐπιγράμματι.

Πρὸ πρόθεσις, ἀεὶ γενικῇ συντάσσεται, οἷον πρὸ τῶν θυρῶν, πρὸ τοῦ χρόνου. δηλοῖ δὲ ἐν τῇ συνθέσει τὸ ἔμπροσθεν, καὶ τὴν προτέραν ὕπαρξίν τινος, οἷον προγενέστερος ὁ δεῖνα τοῦ δεῖνος καὶ τὸ ὑπέρ τινος ἵστασθαι, οἷον προΐσταμαί σου, καὶ προασπίζω σου. πρὸ παίδων καὶ γυναικῶν μάχεσθαι, ἀντὶ τοῦ ὑπέρ. ἔστι πολλάκις εὑρεῖν παρὰ τοῖς Ποιηταῖς, τὰς προθέσεις ἀντὶ προθέσεων τιθεμένας. ὡς παρ' Ὁμήρῳ, ὃς τὴν κατὰ ἀντὶ τῆς ἀπὸ λαμβάνει, καὶ ἐν παραθέσει. οἷον βῆ δὲ κατ' Ἰδαίων ὀρέων. καὶ βῆ δὲ κατ' Οὐλύμποιο καρήνων. καὶ ἐν συνθέσει, ὅταν λέγῃ κατατεθνηκότας, τοὺς ἀποτεθνηκότας. καὶ ἀπὸ τῆς πρὸ προθέσεως, γίνεται συγκριτικὸν μὲν πρότερον. ὑπερθετικὸν δέ, πρῶτον. λέγεται γὰρ τὸ μὲν πρότερον, ὅταν ἓν μόνον ἐπάγηται, ἢ πολλὰ ἐν μιᾷ τάξει, ἢ ἐν ἑνὶ χρόνῳ ὄντων, οἷον πρότερος ὅδε τοῦδε. καὶ πρότερος ὁ δεῖνα ἡμῶν, ἢ τῷ χρόνῳ, ἢ τῇ τάξει ἡμῶν, δηλονότι ἐν μιᾷ τάξει, ἢ ἐν ἑνὶ χρόνῳ ὄντων. τὸ δὲ πρῶτος ὅταν πολλὰ ᾖ ἐπαγόμενα, ἄλλο ἄλλου πρότερον ἐφεξῆς, ἢ κρεῖττον. ἀκολουθεῖ δὲ πρὸς μὲν τὸ πρότερον, τὸ δεύτερον μόνον. ἢ πληθυντικῶς τὰ δεύτερα, κατὰ τὸν εἰρημένον λόγον. πρὸς δὲ τὸ πρῶτον, δεύτερον, τρίτον, καὶ τὰ ἑξῆς.

Προαγωγός, διδάσκαλος κακῶν.

Προαλόμενος, προπηδήσας.

Προαλέστατον, προπετέστατον.

Προαλίσαντας, προαθροίσαντας.

Προάστεια, τὰ πρὸ τῶν τειχῶν τοῦ ἄστεος χωρία. ἃ καὶ προπόλεια λέγονται. καὶ προπόλειος κόσμος, ὁ πρὸ τοῦ τείχους τῆς πόλεως.

Προάστειος, ἀρχή ἐστι τοῦ παρὰ τοῖς ὕστερον προαστείου.

Προαναθρώσκειν, προπηδᾶν.

Προανάχοι, προανατεῖλαι.

Προανεκρούετο, ἀντὶ τοῦ προκατήρχετο, τῆς ᾠδῆς προανεβάλλετο.

Προαύλιον, τὸ ἔμπροσθεν τῆς αὐλῆς.

Πρὸ ὁδοῦ ἐγένοντο, περίφρασίς ἐστι τοῦ προώδευσαν. ἐκ δὲ τούτου τοῦ πρὸ ὁδοῦ, συνετέθη τὸ φροῦδος. οἷον φροῦδος γὰρ ἤδη τοῦ κακοῦ, μείων λόγος. καὶ ἐπεὶ δὲ φροῦδος Ἀργείων στρατός, ὅ ἐστιν ἐπεὶ ᾤχοντο οἱ Ἀργεῖοι. ὁμαλῶς μὲν οὖν ἐκφωνεῖται τὸ πρὸ ὁδοῦ, τραχύφωνον δὲ τὸ φροῦδος. λαμβανομένου ποτέ, καὶ ἀντὶ τοῦ ἀφανοῦς σκωπτικῶς. σημείωσαι δέ, ὅτι πρὸ ὁδοῦ οἱ μεθ' Ὅμηρον λέγουσιν, ὡς ὁ Παυσανίας δηλοῖ, τὸ ἀναγκαιότερον, καὶ ὡς εἰπεῖν προύργου.

Πρὸ πρό, ἐμφαντικῶς αἱ προθέσεις τίθενται. καὶ παρ' Ὁμήρῳ, προπροκυλινδόμενος. καὶ παρ' Ἀπολλωνίῳ, πρὸ πρὸ ἀφειδήσασα, ἐμφαντικὴ ἡ ἐπαναδίπλωσις τῆς προθέσεως. ἐμφαίνει γὰρ μᾶλλον τὸ μετὰ σπουδῆς καὶ προχείρως γεγενῆσθαι τὴν δόσιν.

Προαγγέλλω, τὸ πρότερός τι δηλῶ.

Προάγει τίς τινα, τουτέστι προφθάνει. προάγεται δέ, τὸ εἰς ἀνάγκην καθίσταται. τὸ δέ τι ποιεῖν ἢ λέγειν. προάγει, καὶ τὸ εἰς τοὔμπροσθεν ἄγει, ἢ εἰς τοὔμπροσθεν ἔρχεται, αἰτιατικῇ συντάσσεται, οἷον προάγει ἡμᾶς εἰς τὴν Γαλιλαίαν.

Προαγωγός, προαγωγεύω, προαγωγεία.

Προαγωγεύων, προξενῶν.

Προαθύροντες, προπαίζοντες.

Προαιρεῖσθαι, προλαμβάνειν, προδέχεσθαι. προαιρεῖσθαι, οἷον τὰ κάλλιστα τῶν ἱματίων βιβλία προαιρεῖσθαι.

Προαίρεσις, ἀδούλωτόν τι χρῆμα, αὐτεξούσιον ἐν τῇ ἐλευθερίᾳ τῆς διανοίας κείμενον, ἢ ὄρεξις βουλευτικὴ τῶν ἐφ' ἡμῖν πρακτέων. ἡ προαίρεσίς ἐστι δυοῖν τινων προκειμένων, τὸ αἱρεῖσθαι καὶ ἐκλέγεσθαι τοῦτο πρὸ τοῦ ἑτέρου. καὶ τοῦτο φανερόν, ὅτι βουλή ἐστι μετ' ἐπικρίσεως. ἡ προαίρεσις, καὶ ἐξ αὐτῆς τῆς ἐτυμολογίας. προαιρετὸν γάρ ἐστι, τὸ ἕτερον πρὸ τοῦ ἑτέρου αἱρετόν. οὐδεὶς δὲ προκρίνει τι μὴ βουλευσάμενος, οὐδὲ προαιρεῖται μὴ προκρίνας.

Προαίρεσις, ἐπὶ δύο πραγμάτων, ὅταν τὸ ἓν προτιμήσεις τοῦ ἑτέρου. αἵρεσις, ἡ ἁπλῶς βούλησις.

Προαιροῦμαι τόδε τοῦδε. προαιροῦμαι ζωὴν θανάτου, καὶ αἱροῦμαι ἀναγινώσκειν μᾶλλον, ἢ γράφειν.

Προακτικόν, τὸ προβαῖνον.

Προαλὴς χῶρος, ὁ κατωφερὴς καὶ κατάντης. σημαίνει δέ ποτε ἡ λέξις καὶ τὸν ἀναιδῆ καὶ πρὸ τοῦ δέοντος ὁρμητίαν.

Προαλεστάτην, προπετεστάτην, προχειροτάτην.

Προαμείψασθαι, προαλλάξασθαι, παρελθεῖν.

Προαμευτής, ἐργάτης, προηγούμενος.

Προαναθρήσας, προσιδών.

Προαναθρώσκειν, προπηδᾶν.

Προανακρούεται, αναχαιτίζει.

Προανάχοι, προανακτείνει.

Προαναφώνησίς ἐστι, λόγος περὶ τῶν μελλόντων, προαναφωνούμενος, μεταξὺ τῆς συνεχούσης διηγήσεως. αἶψα δ' ἑταῖρον ἑὸν Πατρόκλῆα προσέειπε, φθεγξάμενος παρὰ νηός. ὁ δὲ κλισίηθεν ἀκούσας ἔκμολεν ἶσος Ἄρηϊ, κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή.

Προαπάντησις γίνεται, ὅταν δύο τινὰ θέντες, πρὸς τὸ δεύτερον ἀπαντήσωμεν πρότερον, οἷον καλὸν προσευχὴ καὶ ἀγρυπνία, καὶ πειθέτω σε ἑκκαίδεκα ἀγρυπνῶν πρὸ τοῦ πάθους.

Προαπίδων, φρενῶν, διανοιῶν.

Προαρτᾷ, προαρμόζει, προτείνει.

Προασπιστής, ὁ βοηθός, ὁ πρόμαχος.

Προάστειον, καὶ προάστειον, τὸ πρὸ τῆς πόλεως.

Προαυξέας, νόσους τινὰς οὕτως ὀνομάζει. ἤγουν τὰς τοῖς προβεβηκόσι κατὰ τὴν ἡλικίαν γενομένας, ὅτι καὶ αὐτοὺς τούτους τοὺς προβεβηκότας, ἐνίοτε οὕτως Ἱπποκράτης καλεῖ.

Προαύλια, τὰ προαυλήματα. ὥσπερ προάμβυλα, τὰ προκιθαρίσματα.

Προβάδην, περιπατῶν. Ἡσίοδος, μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς.

Πρόβασιν, τὴν περιουσίαν ἔλεγον οἱ παλαιοί, διὰ τὸ ἐν ζώοις περιουσιάζεσθαι, τοῖς αὐτόθεν δυναμένοις προβαίνειν.

Προβαίνει, τὸ προβιβάζεται. καὶ προτείνεται, καὶ εἰς μῆκος ἐκτείνεται. ἤγουν ἐν ὁμιλίᾳ προβαίνει, ἐπὶ μήκιστον προβαίνει, ἀντὶ τοῦ προτείνεται, καὶ μηκύνεται.

Προβαλεῖ, τὼ χεῖρε παρ' Ἀριστοφάνει, ἤγουν προτενεῖς, καὶ ἁπλώσεις.

Προβαλέσθαι, πάνυ κυρίως ἐπὶ θεμελίων λέγεται, ταυτὸν ὂν τῷ προθέσθαι, ὅθεν τὰ θεμέλια.

Προβάλλειν, τὸ προτείνειν, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. οἷον, τοῖς παλαιοῖς Ἕλλησιν ἔθος ἦν τοιαύτας ἀλλήλοις ἀπορίας προβάλλειν. ἐν αὐτῇ τῇ σημασίᾳ προβάλλεσθαι, καὶ τὸ προτείνειν καὶ προΐσχεσθαι, καὶ προέχειν, αἰτιατικῇ συντάσσεται. ὡς ὁ Δημοσθένης, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα. προβάλλεσθαι, καὶ ἀποβαλέσθαι, αἰτιατικῇ συντάσσεται.

Προβάλλει ἡ πηγὴ τὸ νᾶμα τοῖς ὁδοιποροῦσιν, ἀντὶ τοῦ προχεῖ, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται.

Προβάλλει τίς τι, ἤγουν προστίθησι. προβάλλεται δὲ μάρτυρα ἢ αἰτίαν. οἷον προβάλλομαι νόσον, ἤγουν προφασίζομαι, καὶ ἔμπροσθεν ἄγω τινὰ εἰς βοήθειαν. προβάλλομαί τινα μάρτυρα εἰς βοηθόν, ἤγουν πρόβολον ποιοῦμαι, ἀπὸ μεταφορᾶς τῶν ἔμπροσθεν ἱσταμένων ἐν πολέμῳ, καὶ βοηθούντων τοῖς ὄπισθεν.

Προβάλλειν, οὐ μόνον τὸ προαφιέναι, ἀλλὰ καὶ τὸ προστιθέναι. καὶ προβάλλεσθαι, τὸ προΐσχεσθαι, ἀφ' οὗ καὶ τὸ προφασίζεσθαι, καθ' ὁμοιότητα τῶν τιθέντων τι ἐπίπροσθεν τῆς βολῆς, ὅθεν καὶ ὅπλον πρόβλημα. καὶ προβλὴς πέτρα, ἡ προβεβλημένη τῆς θαλάσσης. μᾶλλον δὲ ἣν ἡ γῆ προΐσχεται πρόβλημα. οὐ προβλῆτος, ὁ σχηματισμὸς ὅμοιος τῷ ἐπιβλὴς ἐπιβλῆτος. ὃ δηλοῖ τὸν τῆς θύρας μοχλόν. καὶ ἀβλὴς ἀβλῆτος, ἐπὶ οἰστοῦ. ἐκ τοῦ προβάλλειν δέ, καὶ τὸ ῥητορικὸν πρόβλημα. καὶ τὸ κεφάλαιον ἡ προβολὴ λεγομένη οὕτως, ἢ διὰ τὸ προτίθεσθαι τῶν ἄλλων, ἢ ὡς πρὸ τῶν λοιπῶν κεφαλαίων βάλλουσα τὸν διωκόμενον. ὅμοιόν τι καὶ ὁ πρόβολος, ὡς οἷον πρόμαχος.

Προβάλλεται, ἐπὶ ἐνεργείας, καὶ ἐπὶ πάθους.

Προβαλλομένους, ἀντὶ τοῦ ὑποτιθεμένους, οἷον πρὸ τῆς πράξεως εἰς τὸν νοῦν ἐμβαλλομένους.

Προβαλοίμην, κεῖται παρ' Ὁμήρῳ ἐν τῷ τ' τῆς Ἰλιάδος, καὶ ἀντὶ τοῦ ὑπερβαλοίμην, ὅθεν πρόφρων, ὁ ὑπέρφρων, καὶ πρὸ παίδων καὶ γυναικῶν, ἀντὶ τοῦ ὑπὲρ παίδων καὶ γυναικῶν. ἔνθα καὶ ὅρα τὸ καινὸν τῆς συντάξεως. γενικῇ γὰρ συντάσσει τὸ προβαλοίμην. νοήματι γάρ σου προβαλοίμην φησί. καὶ ἴσως κάλλιον ἑαυτῆς εἶναι τὴν πρόθεσιν μὴ ληφθῆναι, ἀντὶ τῆς ὑπέρ. ἵνα λέγῃ Ὀδυσσεύς, ὅτι πρὸ τοῦ Ἀχιλλέως βαλοίμην, καὶ ἐπιτυχὴς γενοίμην ἐν τῷ νοήματι, ὥσπερ αὖθις σὺ πρὸ ἐμοῦ βάλοιο ἂν τῷ ἔγχει. βάλλειν γὰρ καὶ τὸ ἁπλῶς ἐπιτυγχάνειν, ὅθεν καὶ νηὸς ἐπήβολος ἐν Ὀδυσσείᾳ.

Πρόβαλος, ἀσπίς.

Προβαλοῦ, ἐρώτησον.

Προβάς, ὑπερβάς.

Πρόβασις, ἡ τῶν βοσκημάτων κτῆσις.

Προβατεύς ὁ τῶν προβάτων ποιμήν, καὶ προβατέων, χωρικῶν ἀνθρώπων.

Πρόβατα φασί τινες, τὰ τετράποδα πάντα βοσκήματα. παρὰ τὸ τῆς πρώτης, ἤτοι τῆς ἔμπροσθεν βάσεως, ἑτέραν βάσιν ἔχειν.

Προβατεία, ἡ τῶν προβάτων νομή, καὶ κτῆσις.

Προβατίματα, πρόβατα.

Πρόβατον, καὶ προβάτιον, λέγουσιν οἱ Ἀττικοί. Ἀριστοφάνης ἐν πλούτῳ, προβατίων βληχώντων. καὶ πάλιν ἐν τῷ αὐτῷ, ἑπόμενον τοῖς προβατίοις.

Προβατοπώλης, ὁ Καλλίας. καὶ ἡ ἐπ' αὐτοῦ πολιτεία. ἡ Λυσικλῆς ἐξ Ἀσπασίας. στυππειοπώλης δὲ ὁ Εὐκράτης, ὃς καὶ σύππαξ ἐκαλεῖτο. βυρσοπώ-

λευσε δὲ ὁ Κλέων. καὶ οὐκ ἐπὶ τοῦ πωλεῖν τὰς βύρσας παρείληπται, ἀλλ' ἐπὶ τοῦ τῆς πόλεως ἀποδίδοσθαι τὰ πράγματα.

Προβέβηκας παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἁπλῶς προέχεις. διὸ καὶ γενικῇ συντάσσεται. ἀσυνήθως μέντοι. κυρίως δὲ προβεβηκέναι, ἐπὶ τῶν ἐν ὁδῷ ἢ δρόμῳ προβαινόντων. ἐξ αὐτοῦ δὲ καὶ ἡλικίᾳ, καὶ ἁπλῶς χρόνῳ προβεβηκέναι τὶς λέγεται.

Προβέβηκεν, ὁ δεῖνα τοῦ δεῖνος τῇ ἡλικίᾳ. καὶ προήκων, ἐπὶ ἡλικίᾳ ἐρχόμενος.

Προβεβλῆταί τις, ἤγουν πρόβολος ἵσταται. καὶ προβέβληται, ἤγουν ἔμπροσθεν ἵσταται.

Προβέβουλα, βούλομαι ἐνεστώς, ἐβουλόμην παρατατικός, βουλήσομαι μέλλων ἐπιρρηματικῶς, ἐβουλήθην ἀόριστος, βέβουλα μέσος παρακείμενος. ὥσπερ μέλω μελήσω μεμέληκα, καὶ μέσος παρακείμενος μέμηλα, καὶ ὄλεκα ὦλα, τεθέληκα τέθηλα. οὕτω καὶ βεβούληκα βέβουλα καὶ προβέβουλα, τοιοῦτόν τι καὶ τὸ λέληκα, δαιμονίη τί λέληκας, καὶ τὸ δεδούπηκα δέδουπα, κατὰ Ἡρωδιανόν. καὶ ἕτερα οὐκ ὀλίγα. ἐν οἷς καὶ τὸ ἐκτύπηκα ἔκτυπα. εἰσὶ γὰρ καὶ περισπώμενοι τοιοῦτοι μέσοι παρακείμενοι.

Προβήμασιν, ἀντὶ τοῦ πηδήμασιν. ἐκτυπεῖτο δὲ ἐμβὰς γερόντων ἀρρύθμοις προβήμασιν. ἐμβάδες δέ εἰσιν ἀνδρῷα ὑποδήματα, παρὰ τὸ ἐμβαίνειν.

Προβιβάζεις, παραινεῖς, πείθεις, εὖ προβιβάζεις.

Προβιβάζοντες, ἀντὶ τοῦ κατ' ὀλίγον ἄγοντες.

Προβιβάσαντες, προάξαντες.

Πρόβλαστος, ὁ Διόνυσος. ἐπειδὴ ὅταν βλαστάνωσιν αἱ ἄμπελοι, θύουσιν αὐτῷ, ἢ ὅταν μέλλωσι κλᾶν καὶ κλαδεύειν. θρασὺς, ὅτι ἀναιδεῖς οἱ οἰνωθέντες.

Πρόβλημα, θεώρημα. πρόβλημα δὲ, καὶ ὁ παροιμιακὸς λόγος.

Πρόβλημα. σημείωσαι, ὅτι ἐπὶ παντὸς πράγματος τέσσαρά ἐστιν. εἰ ἔστι, τί ἐστιν, ὁποῖόν τί ἐστι, καὶ διὰ τί ἐστι. τὸ μὲν ὅτι ἔστι καὶ τὰ συμβεβηκότα, λαμβάνομεν ἐκ τῆς ἐνεργείας. καὶ τὸ τί ἐστι, τοῦ ὁρισμοῦ, ἐξ αὐτῶν τεκμαιρόμεθα. ἐκ δὲ ὁρισμοῦ, οὐχ ὅτι ἐστὶ τὰ συμβεβηκότα γινώσκομεν. διὰ δὲ τοῦ τί ἐστι τοῦ ὁρισμοῦ, τὰ λοιπὰ προβλήματα ἐκ τῶν συμβεβηκότων. ἢ πρόβλημα, λόγος συνεσκιασμένος, καὶ αἰνιγματώδης, ἢ ἐρώτημα.

Προβλῆτα σκόπελον, λέγει Ὅμηρος, λίθον προβεβλημένον τῆς θαλάσσης, ὡς ἐν ἀκρωτηρίῳ. ἐξ οὗ ἔστι πολὺν τόπον κατασκοπεῖν. ἱστέον δὲ, ὡς ἐπεὶ ἐκ τοῦ σκοπὸς γίνεται σκόπελος, λέγοιτ' ἂν καὶ σκοπιὰ, ἤδη δὲ καὶ περιωπή.

Προβλῆτας, ἔξω προβεβλημένας ὑπὲρ ἀσφαλείας.

Προβλῆτες ἀκταί. ἁπλῶς μὲν αἱ προβεβλημέναι, καὶ μὴ κρυπτόμεναι.

Προβλώσκειν, ἤτοι προϊέναι, ἢ προμολίσκειν.

Προβολὰς, ἀντὶ τοῦ ἀσφαλείας, ἐκ πόλεων ἢ τειχῶν, ἢ τινῶν ἄλλων δυνάμεων, ἐπὶ σωτηρίᾳ καὶ κράτει γιγνομένων. Διογένης ἐν τῷ περὶ τῶν Ἀλεξάνδρου συνθηκῶν, εἰ γνήσιος. παρὰ δ' Αἰσχίνῃ, ἐν τῷ περὶ τῆς παραπρεσβείας ἡ προβολὴ τοὔνομα γέγονεν, ἀπὸ τοῦ προβάλλεσθαί τινα ἀδικεῖν.

Πρόβολοι, αἱ εἰς θάλασσαν προκείμεναι πέτραι, καὶ οἷον ἀκταί τινες.

Πρόβολον, πρόμολον, πρόμαχον. καὶ πρόβολος ἐμὸς, ἤγουν προβαλλόμενος, προστάτης, τεῖχος, ἀσφάλεια. Ἀριστοφάνης νεφέλαις πρόβολος ἐμὸς, σωτὴρ δόμοις.

Πρόβολος, τὸ τῶν σιτίων δοχεῖον.

Πρόβολος, ἔξαρχος τοῦ βουλευτηρίου, Εὐνάπιος.

Προβόλῳ, προβεβλημένῃ εἰς θάλασσαν πέτρᾳ. καὶ πρόβολοι, αἱ εἰς θάλασσαν προκείμεναι πέτραι.

Προβοσκὶς, ἡ τοῦ ἐλέφαντος προνομαία.

Προβολὴ, γραφὴ κατὰ τῶν συκοφαντούντων, φέρε νῦν ὁρισώμεθα τὴν προβολὴν αὐτοῦ τῆς αἱρέσεως, ἐφ' ᾗ τὸν παρόντα τοῦτον ἐποιησάμεθα βίον.

Προβόλιον, εἶδος δόρατος, ᾧ χρῶνται ἐπὶ τὴν τῶν συῶν θήραν.

Πρόβουεν, ἐπέρανε.

Προβούλευμα, τὸ ὑπὸ τῆς βουλῆς ψηφισθὲν, πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὁ καὶ δίχα τῆς προθέσεως ἀεὶ ἐπὶ ἑνὸς τάττεται. ὡς καὶ παρὰ Σοφοκλεῖ. ἢ καὶ τὸ βούλευμα, ὡς ἐπ' Ἀργείοις τόδ' ἦν.

Προβοῶντας, προφωνοῦντες, ἐγκελευόμενοι, προβαίνοντας.

Πρὸ βραχέος, πρὸ ὀλίγου.

Προβύσσειν, παρὰ τῷ Ἀριστοφάνει, τὸ ἔμπροσθεν βαλεῖν τὸ ἐλλύχνιον.

Πρὸ γὰρ ἧκε, προέπεμψε γάρ.

Προγένιος, ἀγένιος.

Προγένοντο. οἱ μὲν μεθ' Ὅμηρον, ἐπὶ προλήψεως τιθέασι χρονικῆς, οἷον προεγένοντο τὰ Τρωϊκὰ τῶν Περσικῶν, ὅπερ Ὅμηρος προτετύχθαι λέγει. ἐν τῷ, ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἐνταῦθα. ἤγουν ἐν τῷ σ' τῆς Ἰλιάδος, ἀντὶ προέκοψαν τῇ ὁδῷ, ἢ ἄντικρυ καὶ ἔμπροσθεν ἐγένοντο. σαφέστερον δὲ αὐτοῦ ὡς ἐντελέστερον τὸ πρὸ ὁδοῦ ἐγένοντο, ῥηθὲν ἀλλαχοῦ.

Προγονεῦσαι, προελθεῖν.

Πρόγονοι, πατὴρ, πάππος, πρόπαππος, καὶ οὐκ ἀνωτέρω. ἀπόγονοι δὲ υἱὸς, ἔγγονος, καὶ οἱ κατωτέρω. πρόγονοι καὶ οἱ ἀπὸ τοῦ προτέρου γάμου γεγεννημένοι, ἂν ὁ πατὴρ ἢ μήτηρ εἰς δεύτερον ἔλθῃ γάμον.

Πρόγονοι, καὶ μέτασσαι, καὶ ἕρσαι, διακεκριμέναι, παρ' Ὁμήρῳ. πρόγονοι, τουτέστι τὰ πρωτογεννήματα. μέτασσαι, ὅ ἐστιν αἱ μέσσαι, κατὰ πλεονασμὸν τῆς μέσης συλλαβῆς, ἤγουν αἱ μεταγεγεννημέναι, αἱ μεσήλικες. ἕρσαι δὲ, νεώταται, καὶ οἷον δροσεραὶ, διὰ τὸ ἁπαλόν.

Πρόγονοι, καὶ ἄνω τοῦ γένους, οἷον πρόπαππος, καὶ οἱ ἀνωτέρω, καὶ δὴ καὶ οἱ προϋπαρχούσης τινὶ γυναικὸς παῖδες τῆς ὕστερον ληφθείσης, πρόγονοι λέγονται.

Προγνώστης ἐστὶν, ὁ τὰ μέλλοντα προγινώσκων μόνον, προφήτης δὲ, ὁ προγινώσκων τὰ πρώην, καὶ προλέγων τὰ μέλλοντα.

Προγονίαν, τῶν ἠπορημένων ἡ λέξις. ἔστι δὲ ὑφασμάτιον ποικίλον, ὃ ἐπικαλυψάμενος ὁ μάγειρος θύει, ὡς ἐν Δαμασκῷ.

Προγορεὼν, τόπος ἐστὶν ὅπου ἀγείρεται ἡ τροφή.

Προγράμματα, ἐκθέματα.

Προδανὶς, πρότερον.

Προδέδαε, προμεμάθηκε.

Προδ' ἐνῆκε, προέπεμψε δέ.

Προδέξαντες, προδείξαντες.

Πρόδηλος, προφανὴς, προδιαλαβών.

Προδιασάφησίς ἐστιν, ὅταν πεπληρωμένῳ λόγῳ ἐπενεχθῇ ὄνομά τι πλέον διασαφοῦν. οἷον περινοεῖν τι διανοίᾳ μεῖζον, καὶ ὑψηλότερον. πλήρει γὰρ τῷ λόγῳ ἐπῆκται ἡ διάνοια.

Προδιασύρας, παραβὰς τὰς συνθήκας.

Προδικασία, οἱ τὰς ἐπὶ φόνῳ δίκας ἐγκαλούμενοι ἐν πρυτανείῳ πρὸ τῆς δίκης διατελοῦσιν ἐπὶ τρεῖς μῆνας, ἐν οἷς ἐξ ἑκατέρου μέρους λόγοι προάγονται, καὶ τοῦτο ἔλεγον προδικασίαν.

Προδίδωμι, ἐπὶ προδοσίας. ἀφ' οὗ καὶ προδότης. καὶ προδίδωμι, τὸ καταλιμπάνω. προδίδωσί τις τινὰ βασιλεῖ, καὶ προδίδωσί τις τὴν φιλίαν, ἀντὶ τοῦ ἀπολύει.

Προδικεῖν, ἐπιτροπεύειν.

* Πρόδικον, δικαστὴν ἐπὶ φίλων καὶ διαιτητήν. Ἀριστοφάνης.

Πρόδικος, συνήγορος.

Προδήλως, φρονίμως, ἀνδρείως.

Προδοκάζων, παρατηρῶν, ἐνεδρεύων.

Πρόδομον, καταχρηστικῶς πρόναον, εἴρηκεν Ἀπολλώνιος.

Πρόδομος, ἡ πρὸ τῆς οἰκίας στοά. ἣν ὁ Ὅμηρος αἴθουσαν καλεῖ.

Πρόδοσιν, προδομάτιον.

Προδόμῳ, τῇ πρὸ τοῦ οἴκου παστάδι.

Προδοσίκομπος, ὁ ὑποσχετικὸς, ὁ τὰς ἑαυτοῦ ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενος, ἀλλὰ προδιδούς.

Πρόδρομα, τὰ ἐν τῷ ἄξονι ξύλα, ἢ τὰ πρωϊκὰ μάζοντα σῦκα.

Πρόδρομος, ὁ προτρέχων.

Προδωμάτιον, τὸ πρὸ τοῦ κοιτῶνος τὰ ἴδιον.

Προδώσουσιν, ἀμελήσουσι.

Προεγκεῖσθαι, ἐπικεῖσθαι, προϋπάρχειν.

Πρόεγμα, σύγγραμμα.

Προεδρία διὰ τοῦ ι. ἄλλοι περισπάσαντο ἡ προεδρεία. προσεδρεία δὲ, διὰ διφθόγγου, ἀπὸ τοῦ προσεδρεύω.

Προεδρία, τιμῆς οὕτως ὄνομα. ἐξῆν δὲ τοῖς τιμῆς ταύτης τυχοῦσι, καὶ ἐν βουλευτηρίῳ, καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν παντὶ ἄλλῳ συλλόγῳ τοὺς προλαμβάνοντας μεταθεῖσθαι, ἢ ἐξεγείραντας αὐτοὺς, εἰς τὸν ἐκείνων καθίσαι τόπον. πεποίηται δὲ τὸ ὄνομα, ἀπὸ τοῦ τὴν πρώτην αὐτοὺς ἕδραν ἔχειν. Ἀριστοφάνης, νῦν δ' ἂν μὴ προεδρίαν φέρωσι, καὶ τὰ σιτία ἀποφέρωσιν. ἀντὶ τοῦ λάβωσι, σιτία δὲ, ἀντὶ τοῦ τὴν ἐν Πρυτανείῳ σίτησιν.

Πρόεδρος, ὁ τῆς πολιτείας ἀρχηγὸς, καὶ ἡγεμών.

Πρόεδρος, προεδρεύω, προεδρία.

Προέδωκεν, ὁ δεῖνα τοῖς πολεμίοις τὴν πόλιν, ἀντὶ τοῦ λάθρᾳ καὶ ἐπιβούλως παρέδωκεν. ὅθεν καὶ προδοσία, καὶ προδότης. καὶ προέδωκεν ὁ ποταμὸς, ἀντὶ τοῦ ἐνέδωκε καὶ ἐπέλιπεν. ὡς τὰ οὐδὲ μηδῶμα παρίσταται προδοῦναι τὰ ῥεῖθρα τῶν ποταμῶν, ἀντὶ τοῦ ἐνδοῦναι καταποθῆναι τῷ στρατοπέδῳ. λέγοιτο δ' ἂν καὶ προδοσία, ἡ τοιαύτη ὕφεσις καὶ ἔκλειψις.

Προέηκε, προέπεμψε.

Προεθυμήθησαν, μετὰ προαιρέσεως προσηνέγκαν.

Πρόενθεν, πρὸ αὐτοῦ.

Προειδόμενοι, προγνοῦσαι, καὶ προγινώσκοντες.

Προεκαλινδοῦντο τοῦ Καίσαρος καὶ ἱκέτευον. προεκυλινδοῦντο δὲ κρεῖττον, ἀντὶ τοῦ ἔμπροσθεν τῶν ποδῶν ἐκυλίοντο. καὶ προεκυλινδεῖτο.

Προειλόμην, προέκρινα. ἐξελεξάμην.

Προείλοντο, ἠθέλησαν, προέκριναν, καὶ προαιρούμεθα.

Προεῖπεν, ἀόριστος δεύτερος. εἴπω, τὸ λέγω ἄχρηστος, ὁ ἀόριστος πρῶτος εἶπα, ἄχρηστος Ῥήτορσιν. οὐ τὸ δεύτερον εἶπας, ἄχρηστον. καὶ ἡ ἄλλη κλίσις αὐτοῦ ἄχρηστος, ὁ δεύτερος εἶπον εὔχρηστος. καὶ πᾶσα ἡ κλίσις αὐτοῦ ὡσαύτως, καὶ αἱ ἕτεραι ἐγκλίσεις αὐτοῦ εὔχρηστοι. οἷον εἰπὲ εἴποιμι, ἐὰν εἴπω, εἰπεῖν... ἡ μετοχὴ εἰπών.

Προεισπεπτωκότες, προεισελθόντες.

Προεκνὸν, ποικιλόχροον, ἐλαφρόν.

Προελθεῖν, ἀντὶ τοῦ γεννηθῆναι, καὶ ἀντὶ τοῦ ἐξελθεῖν λέγεται, καὶ ἀντὶ τοῦ πρότερον τῶν ἄλλων ἐλθεῖν. προσελθεῖν δὲ, ἀντὶ τοῦ προσπεσεῖν, καὶ ἀντὶ τοῦ πλησίον ἐλθεῖν.

Προέμβολα, τὰ πρὸς τῇ πρῴρᾳ τῆς νηὸς, ὥσπερ ἀκρόστομα. καὶ προέμβολα ἐκμιμησάμενοι.

Προέμενος, ἐκδιδοὺς, περιφρονήσας, προαφείς.

Προεμπίπτειν, τὸν βασιλέα πάντων θεραπευόντων, αὐτὸς ἡσύχαζε μὴ βουλόμενος προεμπίπτειν εἰς γνῶσιν.

Προεξηρεσία, τοῦ πλοίου τόπος, ἐν ᾧ ἐρέσσουσι. κωπωτῆρας δὲ ἐφ' ἑκατέραις ταῖς πλευραῖς. καὶ οἷον προεξηρεσίας τινὰς ἐμηχανήσαντο.

Προερρέθη, προελαλήθη.

Προέρχομαι, τὸ νικῶ καὶ ὑπεραίρω, καὶ κάτω που τῶν ἐμαυτοῦ καλῶν πάντας ἐῶ, καὶ παρῆλθον, καὶ παρέδραμον, καὶ παρήλασα, καὶ παρήλλαξα. ταῦτα λαμβανόμενα ἐπὶ τῆς τοῦ ἐνίκησα σημασίας.

Προερύσαι, προελκύσαι.

Πρόες. ἵημι, μέλλων ἥσω ἧκα εἶν, ἀόριστος δεύτερος εἷς ἕντες, τὸ προστακτικὸν ἕς καὶ πρόες. πρόες παρ' Ὁμήρῳ, καὶ πρόου. εὕρηται. ἀλλὰ σὺ μὲν νῦν τῷδε Θεῷ πρόες, καὶ τὸ πρόου ὡσαύτως, πρόου τὰ πάντα καὶ Θεὸν κτῆσαι μόνον.

Προέσθαι, προδοῦναι. προέσθαι δὲ τὸ προτιμήσασθαι, αἰτιατικῇ.

Προε-

Digitized by Google

Προεϊέρνισα, περιεπτυξάμην, καὶ προσερνισάμενος.

Προετικὸς, χαριστικός.

Προετύπου, προεδήλου.

Προέτυψαν, προεχώρησαν.

Προέφηνε, προέδειξε.

Προέχειν, τὸ ὑπερφέρειν, καὶ διαφέρειν.

Προεχόμεθα, ὑποβαλλόμεθα, ἢ προβαλλόμεθα.

Προσψιᾷ, προαγορεύει.

Προηγγελκέναι, προμεμηνυκέναι.

Προηγεῖται, προέστηκε, παρακολουθεῖ.

Προηγόρει, προηγόρευε, προέλεγε.

Προηγορεὼν, ὁ λεγόμενος γαργαρεὼν, ὁ λαιμός. προηγορεὼν δὲ κυρίως, ὁ ἐχῖνος τῶν ὀρνίθων, ὅπου προαγείρεται ἡ τροφή.

Προηγορεῶνας, τοὺς βρόγχους τῶν ὀρνέων. κυρίως τοὺς λεγομένους προλόβους, ὅτι συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δὲ καὶ ἐπὶ ἀνθρώπων ὁ προηγορεὼν, πάλιν ὁ βρόγχος. ἑκάτερον δὲ, ἀπὸ τοῦ ἀθροίζειν ἐκεῖ τὴν τροφὴν, ἢ φάρυγγας ὀρνέων.

Προηγούμενόν ἐστιν, ὅπερ ἔσωθεν ἐκ τοῦ σώματος ἔχει τὴν κίνησιν.

Προηγοῦμαι, ἄρχω, ἡγοῦμαι.

Προήει, προήρχετο.

Προήειν, ἤγουν ἔμπροσθέν τινος πράγματος ἦλθον. προσήειν τῷ δεῖνι, ἤγουν πλησίον ἐκείνου ἐπορεύθην.

Προήκαμεν, προεπέμψαμεν.

Προήκατο, προδέδωκε. καὶ προήκουσιν, ἀντὶ τοῦ αὐξηθεῖσι, προελθοῦσι.

Προηκέα, κατὰ τὸ ἔμπροσθεν προηκονημένα.

Προήρημαι, θέλω.

Προηρόσια, ὄνομα θυσίας.

Προηροσίαι, αἱ πρὸ τοῦ ἀρότου γινόμεναι θυσίαι, περὶ τῶν μελλόντων ἔσεσθαι καρπῶν.

Προήρτηται, κρέμαται.

Προήσεται, ἀντὶ τοῦ ἀποδόσεται, καὶ πωλήσει. οἷον προήσεται τὴν πατρίδα χρημάτων.

Προήσθε, πέμψητε.

Προήσομαι, προπέμψω, προδώσω.

Προῄχθη, προετράπη, ὡς καὶ ἐξεχύθην, καὶ ἐξετράπην.

Προθέει, προτρέχει.

Προθεῖναι, προεργάσασθαι.

Προθέλυμνα, παρ' Ὁμήρῳ, τὰ πρόρριζα, καὶ ἐξ αὐτῆς τῆς θέσεως ἀνασπώμενα. καὶ ὡς εἰπεῖν ἐκ θεμέθλων. διὸ καὶ Ὅμηρος εἰπὼν προθέλυμνα, ἐπάγει αὐταῖς ῥίζαισιν Ἀττικῶς, ἀντὶ τοῦ σὺν αὐταῖς ταῖς ῥίζαις. δηλοῖ δέ ποτε ἡ λέξις καὶ τὸ συνεχὲς, καὶ ἄλλο ἐπ' ἄλλῳ τιθέμενον, ἢ ἁπλῶς τὸ πυκνόν. ὡς τὸ, τρύχας προθελύμνους. καὶ ὡς ὅτε σάκος εἴπῃ προθέλυμνον, οὗ αἱ τῶν βυρσῶν θέσεις πυκναί. καὶ τετραθέλυμνον δὲ, τὸ τετράθετον.

Προθέλυμνα, συνεχῆ, ἄλλα ἐπ' ἄλλοις, παρὰ τὸ τέλος τέλυμνος. καὶ θέλυμνος, ὁ πρόρριζος.

Προθέλυμνα, τὰ ἐπαλλήλους κλάδους ἔχοντα δένδρα, ἀπὸ τοῦ θηλυμανεῖν.

Προθέλυμνον σάκος, τὸ πυκνὸν καὶ ἀλληπάλληλον, καὶ ἐν ᾧ ἐστι τὸ ἄλλο πρὸ ἄλλου τεθεῖσθαι.

Προθελύμνους, προρρίζους.

Προθέματα, προγραφάς.

Πρόθεμα, τὸ πρόγραμμα, τουτέστιν ἡ ἐκ βασιλέως πρόσταξις ἐγγράφως, δημοσίᾳ ἀνατεθειμένη.

Προθεμενισάμενος, περιπτυξάμενος.

Προθέντα, προβαλλόμενον, ἐπαγγειλάμενον.

Προθέουσιν ὀνείδεα μυθήσασθαι, ἤγουν προτρέχουσιν, ὡς ὕβρεις εἰπεῖν.

Πρόθεσις, λέξις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν, ἔν τε συνθέσει καὶ συντάξει. ἐν συνθέσει μὲν, οἷον ἀναφορὰ, εἰσφορά. ἐν συντάξει δὲ, οἷον ἐπὶ τῆς χώρας, κατὰ τῆς χώρας. διὰ τί δὲ προτίθεται πάντων τῶν τοῦ λόγου μερῶν; διὰ τὴν ἐνυπάρχουσαν αὐτῇ ἀσθένειαν. ὥσπερ γὰρ ὁ ἄρρωστος ὁ μὴ δυνάμενος περιπατῆσαι, ὑπὸ ἄλλων βασταζόμενος ἐκφέρεται, οὕτω καὶ ἡ πρόθεσις ἀσθενεστέρα πάντων οὖσα τῶν τοῦ λόγου μερῶν, ὑπὸ ἄλλων λέξεων βασταζομένη ἐκφέρεται. προθέσεις δέ εἰσι τῇ μὲν φωνῇ ὀκτωκαίδεκα, τῷ δὲ σημαινομένῳ ἑπτακαίδεκα. ἡ γὰρ ἀμφὶ καὶ ἡ περὶ, τὸ αὐτὸ σημαίνουσι, καὶ ἐν τῷ ἅμα ὀφείλουσι λέγεσθαι. ὡς ἐν τῷ, Ἕκτωρ δ' ἀμφιπεριστρώφα καλλίτριχας ἵππους. καὶ μονοσύλλαβοι μέν εἰσιν ἕξ. οἷον ἐν, εἰς, ἐξ, σὺν, πρὸς, πρό. δισύλλαβοι δὲ δυοκαίδεκα, οἷον ἀνὰ, κατὰ, διὰ, μετὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ, ἀπὸ, ὑπὸ, ὑπέρ. διαφέρουσιν αἱ μονοσύλλαβοι προθέσεις τῶν δισυλλάβων, ὅτι αἱ μὲν μονοσύλλαβοι πᾶσαι, εἰς σύμφωνα κατέληξαν. μία δὲ ἐξ αὐτῶν εὑρέθη, λήγουσα εἰς φωνῆεν, ἡ πρό. αἱ δὲ δισύλλαβοι πᾶσαι εἰς φωνήεντα κατέληξαν, μία δὲ ἐξ αὐτῶν εἰς σύμφωνον, ἡ ὑπέρ. καὶ πρόθεσις, ὁ προορισμὸς, κατὰ τὸν Ἀπόστολον, κατὰ πρόθεσιν οὖσαν ἀπ' αἰώνων, ἢ κατὰ πρόγνωσιν. ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ. καὶ ἡ γνώμη κατὰ πρόθεσιν, τοῦ τὰ πάντα ἐνεργοῦντος.

Πρόθεσις, τριχῶς μετὰ τῶν τοῦ λόγου μερῶν λαμβάνεται. ἐν συνθέσει, ἐν παρασυνθέσει, καὶ ἐν συντάξει. ἐν συνθέσει, οἷον καταγράφω, καταβολή. ἐν παρασυνθέσει, οἷον κάθημαι. ἐν συντάξει, οἷον κατὰ τῆς πόλεως.

Πρόθεσις, ἀντὶ τοῦ ἐπιρρήματος. Ὅμηρος, Θεὸς διὰ πάντα τελευτᾷ, ἤγουν διόλου.

Πρόθεσις, προαίρεσις, βουλὴ, γνώμη. σημαίνει δὲ καὶ προθεσμίαν, ἀπὸ τοῦ προθεῖναι τὴν ἡμέραν.

Προθέσεις τοῖς ῥήμασι συντεθεῖσαι, τὴν ἰδίαν ἔτι φυλάττουσαι σημασίαν, ἀπαιτοῦσι τὴν αὐτῶν πτῶσιν, ὡς ἁπλῶς εἰπεῖν ἅπασαι, οἷον κατηγορῶ σου, ἀφίσταμί σου, ὑπερέχω σου, παραινῶ σοι. ἡ γε μὴν κατὰ συντεθεῖσα, καὶ ἐπιτείνει ὁμοιοπτώτως. οἷον κατεσθίει πάντα, κατεῖπέ μοι, ἀναστρέφονται μονοσύλλαβοι ἐπὶ τέλει τῶν ἐπῶν, ὡς ἐπὶ τῶν Ὁμηρικῶν ἐκείνων. οὐ μέντοι κακὸς εἴδεται οὐδὲ κακῶν ἐξ, καὶ ἦλθεν Ἀργυρότοξος Ἀρτέμιδι ξὺν.

Προθεσμία, ἀπὸ τοῦ προθεῖναι τὴν ἡμέραν, ἐν ᾗ τόδε γενέσθαι χρήσιμον, οὐκ ἀπὸ τοῦ προθεσπίζειν. ἢ ἀπὸ τοῦ θεσμὸς, ὃ σημαίνει τὸν νόμον.

Προθεσμίας νόμος. Δημοσθένης ὑπὲρ Φορμίωνος, τὴν τῶν πέντε ἐτῶν ἂν λέγοι προθεσμίαν. ὡς ἐν τῷ λόγῳ ὑποσημαίνει, καὶ Λυσίας ἐν τῷ πρὸς Μενέστρατον, εἰ γνήσιος.

Προθεσπίζοντα, προστάττοντα, ἢ προμαντευόμενον.

Προθεσπίζων, προφητεύων.

Προθεώμενος, προορῶν.

Προθέων, προτρέχων.

Προθῆβαι, ἀρτίως ἀκμάζοντες.

Πρόθημα, δόμα. οἷά τι πρόσθημα. καὶ προσθήκη, ἡ πλεκταμένη.

Προθοήνωρ, θάρσους ἔνδειξις. δηλοῦται γὰρ δι' αὐτοῦ ὁ προθέων ἐν ἠνορέῃ, ἤγουν ἀνδρείᾳ, ἢ ὁ προθέων τῶν ἀνδρῶν ἐν καιρῷ ἔργου. ἡ δὲ ἀναλογία τοῦ προθοήνωρ, κατὰ τὸ ῥηξήνωρ, ἀγαπήνωρ, ἀγήνωρ, ἐλεφήνωρ, καὶ τὰ τοιαῦτα.

Προθορὼν, προπηδήσας.

Προθύματα, παρὰ τῷ Ἀριστοφάνει, ἢ θυλήματα γράφεται. σημαίνει δὲ τὰ προκατάργματα, ἢ τὰ πρὸ τῆς θυσίας γενόμενα θυμιάματα, ἢ πλακούντια.

Προθυμία ἐστὶν, ἐμφανισμὸς προαιρέσεως, ὡς πρακτικῆς.

Πρόθυμος ἀνὴρ, εἰς τὰ πράγματα. προθυμοῦμαι. μαιμῶ.

Προθύμως, ἱλαρῶς.

Προΐαι, ἄπιοι, αἱ πρῶται γινόμεναι.

Προϊάλλειν, προπέμπειν, προτιθέναι.

Προΐασι, τὸ προέρχονται, μετὰ προθέσεως συντάσσεται. προσιᾶσιν, οὐχ εὕρηται ὥσπερ πρόσιασι.

Προϊαίστατος, πάνυ πρότερος.

Προΐαψεν, ἐκ τοῦ ἴπτω. ἰάπτω τὸ βλάπτω, καὶ τὸ μετὰ βλάβης τι ποιῶ, πλεονάζοντος τοῦ α. καὶ ἔστιν ἀναύξητον Ἰωνικόν. ἡνίκα ἄρχεται τὸ θέμα ἀπὸ τοῦ ι, πάλιν τὸ ι φυλάσσει, καὶ ἐν τοῖς παρῳχημένοις. ἡ αὔξησις δὲ γίνεται κατὰ τὸν χρόνον, ἤγουν εἰ ἔστι τὸ ι βραχὺ ἐν τῷ ἐνεστῶτι, αὐξάνεται ἐν τοῖς παρῳχημένοις, καὶ ἔστι φύσει μακρόν. ὁμοίως δὲ γίνεται ἐν τῷ υ ψιλῷ.

Προΐαψεν, ὡς τῷ Γεωγράφῳ δοκεῖ, φθορὰν καὶ βλάβην τινὰ δηλοῖ ἡ λέξις, ὡς ἀπὸ τοῦ ἴπτω, ἐξ οὗ φησι καὶ Ἄργος πολυδίψιον, τὸ πολυΐψιον, ἤτοι πολύφθορον. προΐαψεν οὖν, ἤγουν μετὰ βλάβης εἰς ᾅδην πρὸ τοῦ δέοντος ἔπεμψεν. ὡς τῆς πρὸ προθέσεως καιρόν τι δηλούσης. ἢ ἁπλῶς ἔπεμψεν, ὡς πλεοναζούσης τῆς προθέσεως.

Προΐει, χρόνου ἐστὶ παρατατικοῦ. δύναται εἶναι καὶ προστακτικόν. Ὅμηρος, ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, ἀντὶ τοῦ προέπεμπεν ἀμπεπαλών. ἢ ἀντὶ τοῦ ἀνακινήσας. ἐκ τοῦ ἱέω ἱῶ, ἵεον ἵουν, ἵεες ἵεις, ἵεε ἵει, καὶ προΐει.

Προϊέμενοι, ἀπολύοντες, παραχωροῦντες, ἀπορρίπτοντες.

Προϊέμενος, προδιδούς. καὶ προΐενται, ἀντὶ τοῦ ἀπορρίπτουσι, μεταδιδοῦσι.

Προϊέναι, ῥίψαι, ἀπολέσαι.

Προϊέναι, ἀντὶ τοῦ προδιδόναι. κεῖται παρὰ τῷ Ἀριστοφάνει, εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι.

Προΐενται, προάγονται.

Προΐενται. παθητικὸν ἐν χρήσει, ἀντὶ τοῦ ἐνεργητικοῦ λαμβάνεται, ὥσπερ καὶ τὸ προϊέμενος, καὶ πρόου.

Προΐεσθαι, προδιδόναι. ὡς τὸ, ὁ δὲ Βασιλεὺς, οὐκ ἠξίου προΐεσθαι τὰ παρὰ τῶν πόλεων δῶρα.

Προΐζα, πρωΐαν.

Προϊζήσαντες, προσκομίσαντες.

Προΐηλεν, ἰάλλω τὸ ἐμβάλλω, ἰαλῶ. ἴηλα καὶ προΐηλα, ας, εν. οὐκ ἀεὶ δὲ ἁπλῶς κεῖται ἀντὶ τοῦ προέπεμψεν, ἀλλὰ τὸ προέτεινε σημαίνει, κατὰ τὸ χεῖρας ἴαλλον, ἢ τὸ προέθηκε. πρωτότυπον τοῦ ἰάλλω τὸ ἰῶ, τουτέστι τὸ πέμπω. Ἄλλως. Προΐηλεν, ἀπὸ τοῦ εἵλω εἷλεν, ἐν ὑπερθέσει ἴελε καὶ ἴηλε. σημαίνει δὲ δύο. ἐπὶ μὲν τοῦ προσέφερε, καὶ προεξέτεινε, καὶ προέθηκε. πρῶτον μὲν, ἐπιπροΐηλε τράπεζαν. ἐπὶ δὲ τοῦ ἐξέπεμψε, Ζεὺς δ' ἔριδα προΐαλε.

Προΐημι, σημαίνει μετὰ τῆς πρὸ προθέσεως τὸ προδίδωμι, οἷον οὐ προΐημι τὴν ψυχήν μου.

Προΐησι, Δωρικῶς ἀντὶ τοῦ προΐησι.

Προΐθες, προφανῶς, προβεβηκώς.

Προῖκα, δωρεὰν, ἄνευ μισθοῦ, καὶ τοπικὸν ἐπίρρημα ἀντὶ τοῦ ὅπου. τὰ δὲ καὶ προῖκα πολλαχῇ τοῖς ἑαυτοῦ τέλεσι πεποιησμένα, ἀντὶ τοῦ ἄνευ κόπου.

Προϊκέσθαι, ἐπικέσθαι.

Προίκιος, ἄνευ μισθοῦ. προίκιος ἀνθρώποισι κελαδήσουσιν ἀοιδός.

Προικὸς, πονηρός. οἱ δὲ μωρὸς, πτωχός.

Προικὸς, δόσεως, ἀντὶ τοῦ δωρεᾶς. πᾶν γὰρ δῶρον οὕτω καλεῖ ὁ Ποιητὴς, ἢ εὐθεῖα προίξ.

Προίκτης ἀνὴρ, ὁ προϊκετεύειν ὑπὲρ τοῦ λαβεῖν, ἢ ὁ προῖκα ζητῶν λαμβάνειν. παρὰ τὸ προίκω προίξω, ὅθεν συναιρεῖται προὶξ, τουτέστι τὸ δῶρον. οὕτω γὰρ οἱ παλαιοὶ ἐχρῶντο, εἰ καὶ ὕστερον ἐπὶ γαμηλίου μερικεύεται δωρεᾶς. ἐκ δὲ τοῦ τοιούτου προίκειν, καὶ καταπροίξεσθαι, τὸ δοῦναί τι δωρεάν. καὶ προικὸς γεύσασθαι Ἀχαιῶν, ἤγουν δωρεᾶς.

Προίκτης ὁ πένης καὶ μεταίτης, καὶ οἰκουρὸς, οἱ αὐτοὶ εἰσι.

Προίκτης, ὁ ἐπαίτης. προῖκται καὶ γόητες καὶ βωμολόχους, ἀποκαλοῦσι.

Πρόϊμον σῦκον, προακμάζον.

Προΐξω, καταγνώσομαι.

Προϊόντες, προδόντες.

Προΐρης, πρώρας.

Προΐσαμαί σου, ἀντὶ τοῦ προστάτης σου εἰμί. καὶ προΐσταται, ἤγουν ἔμπροσθεν ἵσταται, καὶ βοηθεῖ τοῖς ὄπισθεν.

Προΐστορες, οἱ μαρτυροῦντες.

Προΐσχεται, προβάλλεται.

Προϊσχομένου, προειπόντος, προθανόντος, ἡ πρὸ ἀντὶ τῆς ὑπέρ.

Προϊσχόμενος, προβαλλόμενος.

Προιτίδες, χάριτες.

Προϊχνεύειν, θεραπεύειν.

Προϊὼν, παρών.

Πρόκα, ἐξαίφνης, παρὰ τῷ Ἱπποκράτει.

Πρόκα, εὐθὺς, παραχρῆμα, ἢ ἐξαίφνης, ἢ πρόσος.

Προκαδέστερον, προυργιέστερον.

Προκαλεῖσθαι, ποτὲ μὲν ἐπὶ τοῦ ἀλαζονικοῦ εἰς ἅμιλλαν ἀρετῆς καλεῖσθαί τινα. ποτὲ δὲ ἐπὶ τοῦ ἀγομένου καὶ προξενουμένου.

Προκαλεῖν, προξενεῖν, δεῖσθαι, ἱκετεύειν.

Προκαλέστερον, ἑτοιμότερον.

Προκαλίζετο, προεκαλεῖτο.

Προκαλίζετο, παρ' Ὁμήρῳ, ἐκ τοῦ προκαλῶ παρῆκται. ὡς καὶ τὸ προμάχιζεν, ἐκ τοῦ προμαχῶ, πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα.

Προκαθεὶς, προπέμψας.

Προκαλοῦμαί τινα εἰς πόλεμον. καὶ πρόκλησις ἐπὶ πολέμου. καὶ πρόκλησις ὄνομα δίκης, ἐκκαλοῦμαι δὲ, τὸ διά τινος καλῶ τινα ἀπὸ τῆς οἰκίας.

Προκαλοῦνται, παρὰ τῷ Ἀριστοφάνει κεῖται, ἀντὶ τοῦ παρέχουσι, καὶ δεξιτίζουσι.

Προκάρδιον, τὸ ὑπὸ τῷ στήθει ἔγκοιλον μαλακὸν, καὶ σαρκῶδες κατὰ τὸ στόμα τῆς κοιλίας. ὑπόκειται δὲ τῷ χόνδρῳ τοῦ στήθους, ὅ ἐστιν ὀστοῦν ἐκπεφυκὸς τοῦ στήθους, καὶ λήγον εἰς αὐτὸ τὸ τοῦ στήθους ἄκρον, ὃ καὶ ξιφοειδὲς καλεῖται.

Προκάρηνος, ἐπὶ κεφαλὴν ἐν μύθοις, ἠχήεις ἐπάνωσε βαλὼν, προκάρηνον αἰπύς.

Πρόκας, ζῶόν τι ὅμοιον ἐλάφῳ, ὁ λεγόμενος νεβρός. Διονύσιος δέ φησιν ὁ Ἀθηναῖος ἐν ταῖς κτίσεσι, τὰς ἐλάφους οὕτω λέγεσθαι πρόκας, ὅθεν καὶ Προκόννησος. ἐπεὶ ἐν ταύτῃ πληθύουσιν ἔλαφοι. οἱ δὲ προκόννησον λέγουσιν εἰρῆσθαι, ἀπὸ τῆς προχόου, ἣν ἔχουσα τοῖς Μιλησίοις ἀπήντησεν ἡ παρθένος, ὅτε τὴν ἀποικίαν ἔστελλοντο. οἱ δὲ πρόχων νῆσον ἐτυμολογοῦσι, καθὰ πρότερον οὖσα νῆσος, προσεχώσθη. ὑπό τινων δὲ προκόννησος, καὶ ἐλαφόννησος ἐκλήθη. Φιλητᾶς δέ φησι πρόκας λέγεσθαι, τὰς ἐλάφους τὰς πρώτως τικτούσας, οἷον πρωτοτόκους.

Προκαταβολὴ, καὶ προσκαταβόλημα. τῶν τελῶν πιπρασκομένων, δύο προθέσεις ἐδίδοντο τοῖς ὠνουμένοις, ἐν αἷς ἔχρην εἰσενεχθῆναι τὸ ἀργύριον. ὅπερ οὖν μέρος χρημάτων πρὶν ἄρξασθαι τοῦ ἔργου εἰσφέρουσιν εἰς τὸ δημόσιον, τοῦτο προκαταβολὴ καλεῖται. τὸ δὲ τῇ δευτέρᾳ προθεσμίᾳ διδόμενον, προσκαταβόλημα.

Προκαταθήγεσθαι, προακονᾶσθαι.

Προκαταθήσεσθαι δεῖ, προκομίσασθαι δεῖ.

Προκαταρκτικόν ἐστιν αἴτιον, ὅπερ ἔξωθεν ποιεῖ καὶ ἀναχωρεῖ.

Πρόκαυτα, προειρημένα, προηκυσμένα.

Πρόκειμαι, ἤγουν προκείμενός εἰμι εἰς ὄψιν.

Προκείμενα, παρακείμενα.

Πρόκειται, λέγεται ἐπὶ νεκροῦ καὶ ἐπὶ ἀγορᾶς, καὶ ἐπὶ δείπνου. προκείμενον νεκρόν, Ἀριστοφάνης ἐν ἐκκλησιαζούσαις.

Προκελευσματικὸς, ἐκ τεσσάρων βραχειῶν τετράχρονος, οἷον φιλόσοφος.

Προκελῆσαι, προκελεῦσαι.

Προκέοιτο, προκείμενος εἴη.

Πρόκες φασὶ δορκάδων εἶδος, ἢ ἐλάφων ἔκγονα νεογνὰ, παρὰ τὸ προΐξεσθαι. ὅθεν πρόξ, ταχεῖα γάρ.

Προκεχηνότες, πρὸς τὰ κάτω βλέποντες.

Προκεχειρισμένον, προβεβλημένον, ἡτοιμασμένον.

Προκεχωρηκότος, προεληλυθότος.

Προκήκει, μαχαιρίδι τῇ φλεβοτόμῳ, παρὰ τῷ Ἱπποκράτει. ἴσ: προκίδι. ἢ προμήκει.

Προκινδυνεύω, προκάμνω.

Προκιόνιον, τὸ πρόθυρον.

Προκλήσεις, παρὰ τὸ προκαλεῖσθαι. ὅπερ ἐστὶν εἰς συμβάσεις καὶ συνθήκας, καὶ διαλλαγὰς παρακαλεῖν.

Πρόκλησις, εἰώθεσαν ὁπότε δικάζοιντό τινες, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας ἢ θεράποντας εἰς βάσανον, ἢ εἰς μαρτυρίαν τοῦ πράγματος, καὶ τοῦτο ἐκαλεῖτο προκαλεῖσθαι. τὸ δὲ γραμματεῖον τὸ περὶ τούτου γραφόμενον, ὠνομάζετο πρόκλησις.

Προκλητὰ, τὰ προειρημένα, προηκυσμένα.

Πρόκλητος, πρόθυμος, πρὸ τοῦ κληθῆναι.

Προκλόνιον, τόπος Θεσσαλίας.

Πρόκνης, εἶδος ἰσχάδων.

Πρόκοιτος, καὶ προκοιτία, ἡ προφυλακὴ καὶ ὁ προφύλαξ. ἢ πρόκοιτος, ὁ ἔμπροσθεν κοιμώμενός τινος.

Προκόλπιον, τὸ πρὸ τοῦ κόλπου. λαμβάνεται δὲ καὶ ἐπὶ δωροδόκου.

Προκομίδην, προκομιζόντως.

Προκόμιον, κόμην. * αἱ πρῶται, καὶ κατὰ τὸ ἔμπροσθεν καθειμέναι τρίχες. Πολυδεύκης, ἡνίκα καὶ προκόμιον προθετόν.

Προκομισάριος, ὁ ἐκ συναινέσεως δύο μερῶν μεταξὺ ληφθεὶς διαιτητής.

Προκόνδυλα, τὰ μετὰ τοὺς κονδύλους ἐν ταῖς χερσί.

Προκόννησος, ὄνομα νήσου.

Πρόκοος, πόλις, ἢ πονηρός.

Προκόπτειν, δόκιμον. τὸ δὲ ὄνομα ἡ προκοπὴ, ἀδόκιμον.

Προκοπὶς, ἡ χαίτη.

Προκόπτοντα, διερχόμενον, ὀχήματι κεχρημένον, καὶ διὰ τοὺς λεωφόρου προκόπτοντα, καταλαμβάνει τὸν ἕβδομον.

Προκόττα, εἶδος κουρᾶς, ἢ κεφαλῆς τρίχωμα. κόττα γὰρ ἡ κεφαλή. καὶ οἱ ἀλεκτρυόνες κοττοὶ, διὰ τὸν ἐπὶ τὴν κεφαλὴν λόφον.

Πρόκριμα, ἡ προτίμησις.

Προκρίνω, τὸ προτιμῶ.

Προκρίνω, αἱροῦμαι, προαιροῦμαι αἱρετίζομαι, ἐκλέγω, ἐκλέγομαι, ἀναλέγομαι, προτίθημι, ταυτά.

Πρόκρις, θυγάτηρ Ἐρεχθέως.

Πρόκριτον, ἐκλεκτὸν, ἢ πονηρόν.

Πρόκροσσαι, ἄλλη ἐπ' ἄλλῃ. Ἡρόδοτος, αἱ δὲ νῆες πρόκροσσαι ὡρμαίνοντο ἐς πόντον, ἐπὶ πεντήκοντα νέας, οἱονεὶ προκάροσσοί τινες οὖσαι, παρὰ τὸ κάρα αἱ κατὰ κεφαλὴν συντιθέμεναι.

Πρόκροσσον, οὐ καθαρὸν κλιμακωτόν.

Προκυκλὶς, ἡ προμνήστρια.

Προκυλινδεῖσθαι, τὸ ἐπὶ γόνυ πεσόντα, προσκυνεῖν τῷ βασιλεῖ. ἴδιον γὰρ τοῦ βασιλέως, τὸ γονυπετεῖσθαι ἐξ ἀνθρώπων, καὶ προκυλινδεῖσθαι ἰκτίνοις. ἔαρος ἰκτῖνοι ἐφαίνοντο, ἐφ' ᾧ ἡδόμενοι, ἐκυλινδοῦντο ὡς ἐπὶ γόνυ πίπτοντες.

Πρόκυμον, πρόθυμον.

Προκωεῖν, τὸ ἐγχωρεῖν.

Πρόκωνα, τὰ ἐκ τῶν μὴ πεφυραμένων κριθῶν ἄλφιτα.

Προκώνιά ἐστι, πυροὶ μέλιτι κεχριμένοι. Ἀριστοφάνης δὲ ὁ γραμματικὸς καὶ Κράτης, τὰ ἐξ ἀφρύκτων κριθῶν, οὕτω φασὶν ὀνομάζεσθαι. ἔοικε δὲ ἐκ πυρῶν καὶ κριθῶν γίνεσθαι, ὡς Αὐτοκλείδης ἐν τοῖς ἐξηγητικοῖς ὑποσημαίνει. Δήμων δ' ἐν τῷ περὶ θυσιῶν φησι, καὶ προκώνιά ἐστι, κάγχρυς κατεριγμέναι μετὰ ἀρωμάτων.

Πρόκωπον ἔχων τὸ ξίφος, ἀντὶ τοῦ γυμνόν.

Προλάλος, ὁ προαλὴς ἐν τῷ λέγειν, καὶ τὸν καπεσίγασαν τὴν ἄλως προλάλον τε καὶ ἰταμὸν ὄντα.

Προλαμβάνω λέγεται κυρίως, ἐπὶ τῶν δρομέων ὅταν ἀλλήλους παρελαύνωσιν ἀγωνιζόμενοι καὶ προτρέχοντες, γενικῇ συντάσσεται.

Προλέγειν, σημαίνει δύο. τὸ, τὸ μαντεύεσθαι καὶ ἐπιφωνεῖσθαι. οἷον ὁ νόμος προλέγει θάνατον τοῖς ἱεροσυλεῖν τολμῶσιν, ἤτοι ἐπιφωνεῖται.

Πρόληψις, γνῶσις. ὁ δὲ Χρύσιππος ἐν τῷ δωδεκάτῳ τῶν φυσικῶν λόγῳ, τρία φησὶν εἶναι κριτήρια, αἴσθησιν, γνῶσιν, καὶ πρόληψιν. ἔστι δὲ πρόληψις, ἔννοια φυσικὴ τῶν καθόλου. Ἐπίκουρος δὲ ὁ φιλόσοφος λέγει πρόληψιν, οἱονεὶ κατάληψιν, ἢ δόξαν ὀρθὴν ἢ ἔννοιαν, ἢ καθολικὴν νόησιν ἐναποκειμένην, τουτέστι μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος, οἷον τὸ τοιοῦτον ἄνθρωπός ἐστιν. ἅμα γὰρ τῷ ῥηθῆναι ἄνθρωπος, εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται. δεῖ γὰρ κατὰ πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. οὐδ' ἂν ὠνομάσαμέν τι, μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. ἐναργεῖς οὖν εἰσιν αἱ προλήψεις. καὶ τὸ δοξαστὸν ἀπὸ προτέρου τινὸς ἐναργοῦς εἴρηται. ἐφ' ὃ ἀναφέροντες λέγομεν, οἷον ὅθεν ἴσμεν εἰ τοῦτό ἐστιν ἄνθρωπος. τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσι. λέγεται δὲ ὅτι καὶ διαφορά ἐστιν ἀληθείας καὶ συνηθείας. ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητουμένη, πάντως εὑρίσκεται. τὸ δὲ ἔθος ὁποῖον ἂν παραληφθείη, εἴτε ἀληθὲς εἴτε ψευδὲς, ἀκρίτως ὑφ' ἑαυτοῦ κρατύνεται, καὶ οὔτε ἀληθεῖ ὄντι αὐτῷ ἥδεται ὁ παραλαβὼν, οὔτε ψευδεῖ ἄχθεται. οὐ γὰρ κρίσει, ἀλλὰ προλήψει ὁ τοιοῦτος πεπίστευκε.

Πρόλοβος, ἐπὶ τῶν πεπτικῶν ὀρνίων λέγεται, πρόλοβος ὁ μετὰ τὸν στόμαχον κόλπος νευρώδης, ὅμοιος σκύτει. εἰς ὃν ἡ τροφὴ ἀκατέργαστος μένει. ὃ καὶ τοῖς ἀλεκτρυόσι πᾶσιν ἔνεστιν, ὃ καὶ ὑπ' ἐνίων καλεῖται φῦσα.

Προλογίζω, πρότερος λέγω προλοχίζω δὲ, τὸ ἐνεδρεύω.

Πρόλοβος, ὁ περιτιθέμενος τοῖς προελθοῦσιν ἐπὶ δεῖπνον, καὶ ὁ γαργαρεὼν τῶν ὀρνίθων.

Προμάλας, μάζας προμεμαγμένας.

Πρόμαλος, μυρίκη, ἢ ἄγνος.

Προμαλχατεύειν, μεταστοπεύειν.

Προμάχεσθαι φίλων, ἐντελῶς γέγραπται. ἀπ' αὐτοῦ δὲ καὶ ἐλλιπῶς ἐπινενόηται τὸ προμάχεσθαι. ὥσπερ ἡ σημασία τὸ πρὸ φίλων, ἢ πατρίδος, ἢ γονέων, ἢ ἑτέρων τινῶν μάχεσθαι. ἑκάτερον εὕρηται παρ' Ὁμήρῳ.

Προμάχιζε, προεμάχετο. προεπολέμει, ἀπὸ τοῦ προμαχῶ προμαχίζω, ἢ προμάχιζεν, καὶ προκαλίζετο πάντας ἀρίστους, καὶ ἔρχεσθαι προπάροιθεν ὁμίλου, ταυτά ἐστιν. ὁμοίως καὶ ἐν προμάχοις φανῆναι, καὶ πρόμον εἶναι.

Πρόμαχος, ὑπὸ Κρητῶν μάζα ἑβδομαίῳ παιδίῳ γινομένη.

Προμαχῶνος, καὶ προμαχεῶνος, τοῦ τείχους τῆς ἐπάλξεως.

Προμένεοι, ῥοιαί τινες.

Προμέρου κύνες. τοῦτόν φασι βασιλικὸν δοῦλον ὄντα, μισῆσαι Εὐριπίδην καθ' ὑπερβολὴν, ὥστε καὶ κύνας ἀγρίους ἐπαφεῖναι αὐτῷ, οἵτινες αὐτὸν κατεθοινήσαντο.

Προμετρητὴς, ὁ τοὺς πιπρασκομένους πυροὺς ἐν τῇ ἀγορᾷ, καὶ τῶν ἄλλων σπερμάτων ἕκαστον διαμετρῶν. καὶ ὁ τούτου τοῦ ἔργου μισθὸν λαμβάνων, προμετρητὴς ἐκαλεῖτο.

Προμετωπίδιον, τὸ ἔμπροσθεν τοῦ μετώπου.

Προμήθεια, πρόνοια, ἐπιμέλεια.

Προμηθεύομαι, τὸ προνοοῦμαι γενικῇ.

Προμηθεὺς, ἐδέδετο ἐν τῷ Καυκάσῳ, καὶ ὁ ἀετὸς τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. Ἀγροίτας δὲ ἐν τρισκαιδεκάτῃ τῶν σκυθικῶν, δαπανᾶσθαί φησι τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ ἀετοῦ, διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν τὸν καλούμενον Ἀετὸν φθείρειν. ἧπαρ δὲ παρὰ πολλοῖς, ὥσπερ καὶ οὖθαρ τὴν εὔκαρπον λέγεσθαι γῆν. Ἡρακλέους δὲ ἐξοχετεύσαντος διώρυξι τὸν ποταμὸν, τόν τε ἀετὸν δόξαι ὑπ' αὐτοῦ κεχωρίσθαι, καὶ τὸν Προμηθέα λελῦσθαι τῶν δεσμῶν. Θεόφραστος δὲ τὸν Προμηθέα φησὶ σοφὸν γενόμενον, μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας. ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον, ὡς ἄρα πυρὸς μεταδοίη. καὶ Ἡρόδωρος ξένος περὶ τῶν δεσμῶν τοῦ Προμηθέως ταῦτα. εἶναι γὰρ αὐτὸν Σκυθῶν βασιλέα φησί, καὶ μὴ δυνάμενον παρέχειν τοῖς ὑπηκόοις τὰ ἐπιτήδεια διὰ τὸ τὸν καλούμενον Ἀετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία, δεθῆναι ὑπὸ τῶν Σκυθῶν. ἐπιφανέντα δὲ Ἡρακλέα, τὸν μὲν ποταμὸν ἀποστρέψαι εἰς τὴν θάλασσαν, καὶ διὰ τοῦτο μεμυθεῦσθαι ἀνῃρηκέναι τὸν Ἀετὸν Ἡρακλέα, τὸν δὲ Προμηθέα λῦσαι τῶν δεσμῶν. Φερεκύδης δὲ ἐν δευτέρῳ, Τυφῶνος καὶ Ἐχίδνης τῆς Φόρκυός φησι τὸν Ἀετὸν ἐπιπεμφθέντα Προμηθεῖ. καὶ ὅτι δὲ ὁ Ἀετὸς ἤσθιε τῆς ἡμέρας τοῦ ἥπατος, τὸ δὲ λειπόμενον ηὔξετο τῆς νυκτὸς, καὶ ἐγίνετο ἴσον ἰλλόμενος χαλκείοισιν δεθῆναι τὸν Προμηθέα φησὶν Ἡσίοδος, καὶ τὸν Ἀετὸν ἐπιπεμφθῆναι αὐτῷ, διὰ τὴν τοῦ πυρὸς κλοπήν. Δοῦρις δέ φησι διὰ τὸ τῆς Ἀθηνᾶς ἐρασθῆναι, ὅθεν τοὺς περὶ τὸ καυκάσιον οἰκοῦντας μόνῳ Διῒ καὶ Ἀθη-

Digitized by Google

Ἀθηνᾶ μὴ θύειν, διὰ τὸ κολάσεως αἰτίας Προμηθεῖ γενέσθαι. καθ' ὑπερβολὴν δὲ εὐσεβεῖν Ἡρακλέα τῆς τοῦ ἀετοῦ τοξείας χάριν. εἰκότως οὖν Ἀπολλώνιος περὶ Καύκασον γενόμενος, καὶ τούτων ἐμνήσθη.

Προμήθεια, πρόνοια.

Προμηθεῖσθαι, προβουλεύεσθαι, προνοεῖσθαι.

Προμηθήσασθαι, προνοήσασθαι.

Προμήτωρ, πατὴρ μητρός.

Πρὸ μικροῦ, πρὸ ὀλίγου.

Προμνηστῖνοι ἐσέλθετε, ἀντὶ τοῦ κατὰ τάξιν, ἐφεξῆς. ὁ ἑρμηνεύων φησὶν Ὅμηρος, μὴ δὲ ἅμα πάντες. καὶ ἔτι μᾶλλον σαφέστερον πρῶτος ἐγὼ, μετὰ δὲ ὑμεῖς. ἤγουν μετὰ δὲ ἐμὲ ὑμεῖς, ὃ καὶ γίνεται. εἰσὶ δὲ προμνηστῖνοι, τουτέστιν ὡς οἷον εἰπεῖν προμενεστῖνοι, οἱ προμένοντες ἀλλήλους, καὶ μὴ ἅμα πάντες προϊόντες κατὰ τὸν Ποιητὴν, ἀλλὰ πρῶτος οὗτος, εἶτα ἄλλος, καὶ ἐφεξῆς. πλεονάζει δὲ τὸ σ ἐν τῷ προμνηστῖνοι.

Προμνήστρια, ἡ προνοήσασα τῶν γάμων, προμνήστρια καλεῖται, ἡ νῦν προξενήτρια.

Προμνῶμαι, προξενῶ, προμνηστεύομαι.

Πρὸ μοίρας θανὼν, ὁ βιαίως ἀποθανών. πρὸ ὥρας δὲ, ὁ ἐν νεότητι.

Πρὸ μοίρης, πρὸ τῆς μοίρας.

Πρόμοις, προμάχοις, προαγωνισταῖς, προστάταις, προηγουμένοις.

Πρόμολε, πρόελθε.

Προμολὴ, ἡ ἔξοδος, ἀπὸ τοῦ εἰς τοὔμπροσθεν μολεῖν. ἐντεῦθεν καὶ τὰς πρώτας προφάσεις τῶν ὀρῶν, προμολὰς λέγουσιν, ἐν προμολῇ τῇ προστάδι καὶ τοῖς προθύροις. λέγονται προμολαὶ, καὶ τὰ ἐξάπυλα μέρη, ὡς αὐτός φησιν ἐν τοῖς πρώτοις.

Προμολοῦσιν, ἀλλαχοῦ παρὰ τῷ Ἀπολλωνίῳ προμολὰς εἴρηκε, τὰς ἐκτὸς ἀνδρὸς τόπους.

Προμόνη, πρόμαχος, ἀντίδικος.

Προμόνης, προπετὴς, καὶ προπετέστερον. οἱ δὲ πρόθυμος, προσηνευδικῶς.

Πρόμος καὶ πρόμαχος, ταυτόν. ἐλέγετο δὲ κατὰ συγκοπὴν, ἢ ἐκ τῆς προθέσεως, καὶ τοῦ μῶ τὸ προθυμοῦμαι. ἵνα ᾖ πρόμος, ὁ πρὸ τῶν ἄλλων προμηθούμενος.

Πρόμυλος, πρόβουλος.

Προμαχέοι, τὰ προβεβλημένα τῶν τοίχων.

Προμυλαίνη, προεπεπτώκει, προέχει εἰς τοὔμπροσθεν. παρὰ τῷ Ἱπποκράτει.

Προμύλια, Θεός. προμύλιος, ὃν ἀφιδρύοντο ἐν τοῖς μυλῶσιν, ὡς εὔνοσον.

Προμυλλήνας, προτείνας ἔξω τὰ χείλη, παρὰ τῷ Ἱπποκράτει.

Προμυχθίζει, χαλκοδεσμῷ ὅπλων, ἀντὶ τοῦ προχωρεῖ.

Προάνειος, Ποσειδῶν.

Προνοεῖ, τὸ ἁπλῶς πρότερον νοεῖ τι. προνοεῖται δέ τινος ὁ προμηθούμενος.

Πρόνοια, Ἀθηνᾶ. οἱ μὲν διὰ τὸ πρὸ τοῦ ναοῦ τοῦ ἐν Δελφοῖς ἑστάναι αὐτήν. οἱ δὲ, ὅτι προὐνόησεν ὅπως τέκοι ἡ Λητώ. ἡ τοῦ Θεοῦ πρόνοια, κατὰ τρεῖς τρόπους γίνεται, κατ' οἰκονομίαν, κατ' εὐδοκίαν, κατὰ συγχώρησιν.

Προνομαία, καὶ προβοσκὶς, ἡ τοῦ ἐλέφαντος ῥίς.

Προνομεύειν, τὸ καταστρέχειν καὶ σκυλεύειν. καὶ προνομία, ἡ σκύλευσις. οὐχ εὕρηται δὲ οὔτε τὸ προνομεύειν, οὔτε ἡ προνομία παρὰ Ῥήτορσιν, ἀλλὰ ἀντὶ τούτων ληΐζεσθαι καὶ κατασύρειν, καὶ καταδρομή. τὰ δὲ πράγματα, λεία, καὶ σκῦλα, πληθυντικῶς καὶ τὰ λάφυρα.

Προνόμια, τὰ ὀφειλόμενα τῷ ἀξιώματι, ἢ ἡ ἐκ τῶν νόμων ἐξουσία, ἢ διαρπαγή.

Προνομίων, προβλημάτων. προπετῶς σαυτῷ τὰ προνόμια τῶν ἀλλοτρίων ἐπαρχιῶν διεκδικῶν.

Προνόμων, θεσμῶν, δικαιωμάτων.

Προνοοῦ, ἐνθυμοῦ, ἐπιμελοῦ.

Προνόστως, προτεταμένως. προνευστικῶς οἱ δὲ προπετὴς, ἕτοιμος, πρόχειρος.

Προνούστερος, προμηθέστερος, προνοητικώτερος.

Προνώπια, τὰ ἔμπροσθεν τῶν πυλῶν. καθάπερ ἐνώπια, τὰ ἔνδον, ὅπου αἱ εἰκόνες τίθενται.

Προνώπιον, προεκκείμενον, πρόθυρον.

Πρὸξ, ἐλάφου γέννημα.

Προξένει. λέγε, ὦ φίλταθ' ὡς νῦν πᾶς τελοῦντι προξένει. ἢ ὅτι ὡς φὴς προξένει μοι, καὶ πάρεχε τὰ χρήσιμα.

Προξενεῖ, μαρτυρεῖ.

Προξενία, ἡ τῶν ξένων ὑποδοχή. ὡς τὸ καὶ αὐτῷ προξενίαν ἔδωσαν οἱ Λακεδαιμόνιοι, καὶ ἡ πρὸς πόλιν φιλία κοινή. Ἀριστείδης, ἔσωζεν αὐτὸν τὸ σχῆμα τῆς προξενίας.

* Προξενόπολις, περὶ Ναυκρατίαν.

Πρόξενος, ὁ ὑπὸ πόλεως ἠξιωμένος ἐν τῇ σφετέρᾳ προΐστασθαι ξένων, οἷος ὁ Ἀντήνωρ ἐν τοῖς Τρωσὶ, καὶ ὁποῖοι οἱ βασιλικοὶ διοικηταί. καὶ ἐπ' αὐτοῦ δὲ ὁ καλοῦ τινὸς ἢ κακοῦ αἴτιος κατὰ μεταφορὰν οὕτω λέγεται, οἷον ἀπωλείας πρόξενος, ἢ φθορᾶς, ἢ σωτηρίας, ἢ ὑγιείας, ὡς παρ' ἑαυτῷ ξενίσας, οἷον τὸ πρᾶγμα. εἶτα ἑτέροις διαπεμψάμενος, ἰδιόξενος, ὁ ἰδίᾳ ἢ πατρόθεν ξένος, ὡς Μενελάῳ Τηλέμαχος, καὶ ὁ μυθικὸς Μέντης τῷ Τηλεμάχῳ. Ἀστόξενος δὲ, ὁ ἐκ προγόνων τισὶν ἐπιχώριος, ὡς Ἀτρεὺς Φρυξὶ, καὶ Τεῦκρος Τρωσίν. ἀπὸ προγόνων γὰρ, Φρὺξ μὲν ὁ Πελοποννήσιος Ἀτρεὺς, Τρωϊκὸς δὲ Τεῦκρος. δοριξένος δὲ, ὁ πολέμου χάριν, ἢ ἐκ πολέμου φιλιωθεὶς, ὡς Γλαῦκος καὶ Διομήδης. καὶ πρόξενος, ὁ προστάτης. ἢ πρόξενος, ὁ αἴτιός τινί τινος πράγματος. ὅθεν καὶ τὸ προξενῶ, τὸ αἴτιος γίνομαί τινί τινος πράγματος. προξενῶ καὶ τὸ ξενοδοχῶ γενικῇ, ὡς Δημοσθένης παρὰ σοὶ κατέλυον Αἰσχίνη. καὶ σὺ προὐξένεις αὐτῶν. ὡσαύτως καὶ πρόξενος, ὁ ξενοδόχος. πρόξενοι παρ' Ἴωσιν οἱ προστάται τῶν πόλεων, καὶ οἱ φροντισταὶ ξενίας ὑποδεχόμενοι. κατὰ δὲ Αἴλιον Διονύσιον, οἱ ὅλης τῆς πόλεως ξένοι, παρ' οἷς καὶ πρέσβεις κατάγονται, καὶ αὐτοὶ πρεσβείας προάγουσι πρὸς τὸ δημόσιον. ἀστόξενοι δὲ, οἱ ἐκ προγόνων μὲν ἀστῶν, αὐτοὶ δὲ ξένοι, καὶ ἀνανεώσεως δεόμενοι, ὁποῖος Ἀγαμέμνων ἐν Λυδίᾳ. δοριξένοι δὲ, οἱ ἐκ πολέμου ξένοι γεγονότες τισίν. ἰδιόξενοι δὲ, οἱ ἰδίᾳ καθ' ἑαυτοὺς ξένοι ὄντες. Παυσανίας δὲ περὶ ἀστοξένων οὕτω φησίν. ἀστόξενοι, οἱ γένει προσήκοντες τῇ πόλει τὸ ἀνέκαθεν. οὐκ ὄντες δὲ πολῖται, ὡς ἐν Κορίνθῳ Γλαῦκος, ὁ Ἱππολόχου τοῦ Βελλεροφόντου. ἕτεροι δὲ οὕτω. ἀστόξενοι οἱ γένει μὲν ἐξ ἀρχῆς προσήκοντες, ἐπὶ ἀλλοδαπῆς γεγονότες. περὶ δὲ δοριξένου, ὁ αὐτὸς Παυσανίας φησὶν, ὅτι δορύξενος ὁ ἐκ πολεμίων φίλος, καὶ ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖέν τινες.

Πρόξενος, ὁ αἴτιός τινί τινος, καὶ ὁ κοινῇ τῆς πόλεως ὅλης φίλος. ἰδιόξενος, ὁ ἑνὸς μόνου φίλος. δορύξενος, ὁ κατὰ πόλεμον φίλος. καὶ πρόξενος, ὁ ξενοδόχος. προξένους ἐκάλουν τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους, τοὺς ἐξ ἄλλων πολέμων ἥκοντας.

Προξενῶ σοι κέρδος, δοτικῇ.

Πρόοδοι, οἱ ἔμπροσθεν ὀψικεύοντες.

Προόδων κατὰ Παυσανίαν, ὁ τοὺς ὀδόντας ἐξωτέρω ἔχων τοῦ δέοντος, καὶ χαυλιόδων, καὶ ἀμφόδων, καὶ ὁ χαλκόδων, καὶ τὰ τοιαῦτα.

Προοικίαι, παρὰ Κλειτοδήμῳ, ἐν ἴσῳ τῷ δήμῳ.

Προοίμιον, πρόλογος, ἀρχὴ παντὸς λόγου.

Πρόοιντο, παραδώσουσι.

Προολεῖ, καταλιπεῖ.

Πρόοπτος, προφανὴς, πρόδηλος.

Προϊοῦ, ἀπὸ τοῦ ἵημι τὸ πέμπω, ὁ δεύτερος ἀόριστος ἧν, ὁ μέσος ἕμην ἕσο ἕτο, ἀποβολῇ γίνεται ἕο καὶ οὗ, καὶ συνθέσει προοῦ, ἤγουν πρόπεμψον. καὶ περισπᾶται. ἡνίκα γὰρ συντεθῇ μετὰ μονοσυλλάβου προθέσεως περισπᾶται, οἷον προοῦ, ἡνίκα δὲ μετὰ δισυλλάβου, βαρύνεται, οἷον ἄποθου, κατάθου, παράθου, ἡ λοιπὴ αὐτοῦ τοῦ προοῦ κλίσις προέσθω, πρόεσθον προέσθων πρόεσθε προέσθωσαν, ὡς θοῦ θέσθω, θέσθον θέσθων, θέσθε θέσθωσαν.

Πρόουρον, τὸ ἀπόσταγμα τῆς σταφυλῆς πρὶν πατηθῇ· * ὃ καὶ πρόδρομος οἶνος, ἢ πρότροπος λέγεται.

Προπαδίζων, προβαίνων, ὑπὸ τῆς ἀσπίδος.

Προπαίδεια, τὰ πρῶτα μαθήματα.

Πρόπαις, ὁ προαγωγὸς, μαστρωπὸς καὶ μάντις, μαστρωπεύσις.

Προπαλῶς, δαψιλῶς.

Προπαρεγγυηθέν. προπαρεγγυηθὲν οἱ παρὰ τοῦ Βασιλέως.

Προπάροιθεν, ἔμπροσθεν.

Προπάροιθεν, ἐθ' ὅτε ἐπὶ χθονὸς, εἰ δὲ θέλεις ἑπόμενον. ἐγὼ δ' εἶμι προπάροιθεν.

Πρόπας στόλος, πᾶσα ἡ δύναμις. νοσεῖ δέ μοι πρόπας στόλος.

Προπάσας νῆας παρ' Ὁμήρῳ, ἡ περιττὴ ἡ πρὸ πρόθεσις, ἢ τὸ διόλου δηλοῖ.

Προπάστεον, τὸν πρὸ τῆς παστάδος τόπον.

Προπάτωρ, ὁ πρόγονος, καὶ πατρὸς πατήρ.

Προπέμπειν, τὸ συνακολουθῆσαί τινι. καὶ προπέμπουσιν, οἱ ἔμπροσθεν ἐρχόμενοι, ἐπὶ τιμῇ τῶν ὄπισθεν, καὶ οἷον δορυφορίᾳ. προπέμπω, τὸ ἔμπροσθεν πέμπω. προπέμπειν, προπομπὴν ποιεῖσθαι, ὅμοιον τῷ παραπέμπειν.

Πρόπεμπτα. Δίδυμός φησι, μήποτε ἄλλα τινὰ εἰσὶν ἐπιτίμια, τὰ πρὸ τῆς καταβολῆς. εἰσὶ γάρ οἱ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαί φασι. εἰ μὴ ἄρα πρόπεμπτα, ὡς Δημοσθένης, πρὸς ἡμέρας πέντε.

Προπεπηλάκισται, καθύβρισται.

Προπεπωκότες, ἀντὶ τοῦ προδεδωκότες. ἢ προπεπωκότες, ἀντὶ τοῦ παραδεδωκότες.

Προπερίζομενος, ἀγκαλιζόμενος.

Προπεσεῖν, τὸ ἐνώπιόν τινος πεσεῖν.

Προπέτεια λέγεται, ἡ ἰταμότης, καὶ ἀναιδὴς παρρησία, τουτέστιν ἡ αὐθάδεια. καὶ προπετὴς, ὁ παρὰ τὸ δέον δημηγορῶν, καὶ ἀπαυθαδιαζόμενος, λέγεται Ἀττικῶς παροξυτόνως. μετήχθη δὲ ἀπὸ τῶν νεοττῶν, τῶν μὴ δυναμένων πέτεσθαι. λέγεται δὲ προπετὴς, ὁ ἔμπροσθεν πίπτων, ὡς καὶ παρ' Εὐριπίδῃ, ἢ δεῖ σ' ἐπιδεῖν τύμβου προπετῆ, ἀντὶ τοῦ ἔμπροσθεν κειμένην καὶ πίπτουσαν. καὶ προπέτεια, ἡ ἀχάλινωτος γλῶσσα.

Προπετὴς, ὁ ἔμπροσθεν κείμενος. προπέτης δὲ παροξυτόνως, ὁ προαρπάζων τι, καὶ παρὰ τὸν καιρὸν παρρησιαζόμενος. ἀπὸ μεταφορᾶς τῶν στρουθίων, τῶν πρὸ καιροῦ ζητούντων πέτεσθαι. τὸ μέντοι ἐπίρρημα ἐπὶ ταύτης τῆς ἐννοίας, προπετῶς λέγεται περισπωμένως καὶ προπετὴς δὲ, ὁ πρόγλωσσος.

Προπέφανται ἅπαντα, ἤγουν προφανῆ εἰσιν, ἐκ τοῦ φαίνομαι, παρακείμενος παθητικός.

Προτεῶντες, προεστῶτες.

Προπηλακίζει, ὑβρίζει. ὅθεν προπηλακισμὸς, ἡ ὕβρις. προπηλακισθεὶς, ἀδικηθεὶς, ὑβρισθεὶς, διασυρθείς. * παρὰ τὸ πηλὸν ἐπιχεῖσθαι τὰ πρόσωπα τῶν ἀτιμίαν, καὶ ὕβριν καταψηφιζομένων, οὓς ἀρτίως ἀσβόλῳ χρίουσι.

Προπλωὲς, ἔμπροσθεν, κατωφερές.

Προπίνει, διὰ τοῦ οἴνου τιμᾷ.

Προπίνειν ἐστὶ, τὸ ἅμα τῷ κράματι τὸ ἀγγεῖον χαρίζεσθαι, παρὰ Πινδάρῳ. Ἀνακρέων, ἀλλὰ πρόπινε ῥαδινοὺς ὦ φίλε μηρούς, ἀντὶ τοῦ χαρίζου. καὶ Δημοσθένης, τοὺς προδιδόντας τὰς πατρίδας τοῖς ἐχθροῖς, προπίνειν ἔφη τοῖς ἐχθροῖς.

* Προπίνειν, οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον, ἐν φιάλαις χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοὶ, ἀπέπινον δὲ μικρὸν τῆς κύλικος, ὡς συμβόλου ὄντος τούτου φιλίας πολλῆς, καὶ τότε παρείχοντο ᾧ ἂν ἐβούλοντο καὶ τὴν κύλικα, καὶ ἐκαλεῖτο προπίνειν. ἡ δὲ ἡμέρα, φιλοτησία.

Προπίνω, αἰεὶ αἰτιατικῇ. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας, προὔπιε τὴν Ἑλλάδα. Λιβάνιος, τὴν μὲν φιλοσοφίαν προπίνων.

Πρόπιον, μάντευμα. καὶ θεοπρόπιον, τὸ ἐκ Θεοῦ μάντευμα.

Πρόποδες ὄρους, τῶν ὀρῶν τὰ προέχοντα, καὶ τὰς προκειμένας τῆς αἰγιαλοῦ νήσους.

Πρόποδες, μεγάλους πόδας ἔχοντες.

Προποδίζων, προβαίνων.

Πρὸ ποδῶν, τὸ παρατυχὸν, οἷον δὴ ποτε. καὶ πρὸ ποδῶν, ἔμπροσθεν τῶν ποδῶν.

Προπόλεος, τὸν προπόλεον κόσμον τοῦ ἄστεος προκείραντες.

Πρόπολοι, δούλη προπολεύουσα. ἡ θεράπων καὶ θεράπαινα πρόσφυξ, Ἀριστοφάνης νεφέλαις. παρὰ δὲ Ἡροδότῳ, πρόπολος ὁ νεωκόρος.

Προπόλῳ, καὶ προπόλῳ, θεράποντι.

Προπόλων, θείων ἑρμηνέων.

Πρόπομα, ἐκ τοῦ φορτίου.

Προπομπία, ἐν συνθέσει διὰ τοῦ ι. πομπεία δὲ, ἁπλῶς διὰ διφθόγγου.

Προποντὶς, ἡ πρὸ τοῦ Πόντου θάλασσα, ἐν τῷ Βυζαντίῳ ἐπικειμένη.

Προπρηνέϊ τύψας, πρηνέϊ καταφερῆ πληγὴν ἐπενεγκών. δῆλον δὲ, ὅτι ἐν τῷ προπρηνέϊ, λείπει τὸ χειρί. ἄλλως γὰρ οὐκ ἔστι κατασῆσαι τὸ νόημα ὡς χρή.

Προπροκυλινδόμενος παρ' Ὁμήρῳ, ἤγουν ἱκετεύων καὶ ἱκετευτικῶς, ἀπὸ τοῦ τρεῖς τόπον ἥκων. αἱ δὲ δύο προθέσεις ἐν τῷ προπροκυλινδόμενος, τὸ ἄγαν ὑποπτωτικὸν τοῦ ξένου δηλοῦσιν, ἐν τῷ ἱκετεύειν.

Προπροκυλινδόμενος, τὸ ἐπίμονον δηλοῖ διὰ τῆς προθέσεως.

Πρίν πως ἐστὶν, ὅταν ὀφθαλμὸς κινηθεὶς προτίσῃ.

Προπύλα, ἡ Ἑκάτη.

Προπύλαιον, πρόθυρον.

Προπεπτωκότες, τροπικῶς ἀντὶ τοῦ προδεδωκότες.

Πρόχειρα, ἀκρατῆ ἄφημα. πρόχειρα, ἕτοιμα, ἀνεμπόδιστα.

Πρόσιον, τὸ μεταξὺ τῆς σαρκῶν καὶ τοῦ δέρματος.

Πρόῤῥησιν, πρόλεξιν, προφητείαν. καὶ πρόῤῥησις, λόγος, καὶ τὰ ὅμοια.

Πρόῤῥιζον, ἐξ αὐτῆς τῆς ῥιζῶν. καὶ πρόῤῥιζος, ἀντὶ τοῦ πανταπασι.

Πρὸς πρόθεσις δηλοῖ κίνησιν πρὸς ἔμψυχον, κυρίως ὅτε συντάσσεται αἰτιατικῇ, οἷον ἀπέρχομαι πρὸς τὸν δεῖνα. δηλοῖ καὶ ὕπαρξίν τινα, ἢ ἐνέργειαν. προσεπιφέρει καὶ τούτῳ καὶ ἄλλῳ, καὶ συντάσσεται δοτικῇ, ὡς τὸ πρὸς τῷ ποιῆσαι τόδε, ἐποίησας τόδε. τοῦτο δὲ ἐν τῇ συνθέσει ἔχει, οἷον πρόσεστί μοι καὶ τόδε. ἐμφαίνει γὰρ καὶ ἄλλο ὅπερ ἔχω καὶ πρὸς ἐκεῖνο καὶ τοῦτο. λαμβάνεται δὲ καὶ ἐπὶ ὅρκου, καὶ ἀντὶ τοῦ ἐνώπιον, οἷον πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων. ἢ τὸ καθῆκον, οἷον ὁ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδάς. δοτικῇ συντάσσεται, ὅταν τὸ ἐγγύς τι, καὶ πλησίον. καὶ ἀντὶ τῆς παρὰ προθέσεως, καὶ συντάσσεται γενικῇ. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι, καὶ τὸ ἔρχεσθαι πρός τι, μετὰ σχέσεως δυνατῶς, οἷον προσῆλθόν σοι, προσέδραμον τῇ ἐκκλησίᾳ.

Πρὸς, παρέλκει παρὰ τοῖς Ἀττικοῖς νενόμισται, ὡς ὁ Θουκυδίδης, καὶ πρὸς αὐτῆς τῆς Ἀθηναίων. καὶ ὁ Ἀφθόνιος, τοιαῦτα γὰρ ἀρεταὶ πρὸς βίαν ἰσχύσι κτώμεναι, ἀντὶ τοῦ βιαίως. πρὸς, Ἀττικοὶ εἰς τὴν σημασίαν τῆς ὑπὲρ χρῶνται ἐνίοτε. Ἀριστείδης, τοῦτο πρὸς ἡμῶν ἐστι, πρέπει ὑπὲρ ἡμῶν.

Πρὸς δὲ, εἰς μῆκος δὲ, ὅσον πόδας ἑξήκοντα. καὶ πρὸς, ἀντὶ τοῦ πλέον, περισσότερον.

Προσαγγέλλει, ἀντὶ τοῦ μηνύει ἑαυτὸν ἄξιον θανάτου.

Προσαγγέλλω, λέγεται καὶ τὸ ἀπαγγέλλω. λέγεται καὶ τὸ διαβάλλω καὶ προδίδωμι, αἰτιατικῇ.

Πρὸς ἀγαθὸν, ἐπ' ἀγαθῷ, ἐπὶ καλῷ.

Προσάγει, τὸ οἰκειοῦται, καὶ προσφέρει ἕτερον, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. οἷον πρόσαγε δὴ πᾶσαν μὲν πεῖραν, πάσας δὲ δεήσεις τῷ πατρί. καὶ προσάγει τὸ προέρχεται, ἀμεταβάτως.

Προσάγεταί τίς τινα, ἤγουν ἕλκει. προσάγομαί τινα, ἀντὶ τοῦ ἕλκω. προσάγω, τὸ προσφέρω. προσάγει, προσκομίζει.

Προσαγόμενον, ἀγαπήσαντα, προσκτησάμενον.

Προσαγώγιον, τὸ τῆς τεκτόνων ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα.

Προσαγορεύει, ἀσπάζεται.

Προσαγορεύουσι, καλοῦσι.

Προσαγωγὴ, προσέλευσις.

Προσαθύρονται, προσπαίζονται.

Προσαιθύσσουσα, πόμπιμον φλόγα πρὸς τὸν αἰθέρα ποιοῦσα, ὥστε ἀναπέμπεσθαι τὴν φλόγα.

Πρὸς αἵματος, τῆς συγγενείας. Σοφοκλῆς, ἀρ' οὖ δ' ἄριστος ἐξ ἀρίστοιν δυοῖν βλαστὼν ἄν, αἰσχύνοιμι τοὺς πρὸς αἵματος.

Πρόσαιχος, δῆμος τῆς ἀκαμαντίδος.

Προσαίρων, προσελκόμενος, προσαγόμενος.

Προσαίτης, ὁ ἐπαίτης. προσαῖτις δὲ θηλυκὸν, διὰ τοῦ ι.

Προσαιτεῖ, παρὰ τῷ Ἀριστοφάνει, εὕρηται ἀντὶ τοῦ πολλὰ αἰτεῖ.

Προσακὲς, ἐγγύς.

Προσακεσμὸν, πρὸς ὑγείαν.

Προσάκτιδες, οἱ τοὺς μυλωθροὺς πρὸς τῷ στόματι μικροὶ παῖδες.

Πρὸς ἀκτῖνα, εἰς ἀνατολήν.

Προσαλισκόμεθα, ἀντὶ τοῦ πρὸς τούτοις καταδικαζόμεθα καὶ ζημιούμεθα, καὶ προσαλισκόμεθα.

Προσαμυνόμεν, βοηθοῦμεν.

Προσαμφιῶ, πρὸς οἷς ἔχεις, ἐνδύσω.

Προσανάθου. Λουκιανὸς, ἐμοὶ προσανάθου, ἐμοὶ κοινώνησον. ἀπὸ τοῦ προσανατίθεμαι, τὸ κοινωνῶ.

Προσαναγκάζουσαν, ἐκτρεπίζουσαν, στρωννύουσαν.

Προσανανεωσάμενος, ἀνακαινίσας, καὶ ἀνεγείρας.

Προσανατεινόμενος, ἀπειλῶν. τὸ μὲν παρακαλῶν, τὸ δὲ προσανατεινόμενος.

Προσανατιθεὶς, ὀργισθεὶς, ἐπαρθείς.

Προσανέχων, προσέχων, προσκεκολλημένος.

Πρὸς ἀνίσχοντα ἥλιον, ἀνατέλλοντα.

Πρόσαντες, δυσχερὲς, καὶ ἐναντίον.

Πρόσαντες, τὸ δύσκολον, τὸ προϊστάμενον τῇ γνώμῃ, ἀπὸ μεταφορᾶς τῆς ἐν ὄρεσι προϊσταμένων, καὶ ἐμποδιζόντων.

Προσαυξῶν, προσαύξων. ἀνήνεγκε γὰρ τὸ αὔξειν, καὶ αὐτὴν τὴν αὔξησιν.

Προσαυδᾶν, προσκαλεῖν, προσαγορεύειν, προσφθέγγεσθαι, προσομιλεῖν.

Προσαπτῆλαι, τιμῆσαι.

Προσαποβαλεῖς παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ζημιωθήσῃ χεῖται, ὡς τὸ προσαποβαλεῖς κύσαι πρὸς ταῖς δώδεκα.

Προσάπτει, προσπλέκει, συνάπτει.

Πρὸς ἄρκτον, πρὸς μεσημβρίαν.

Προσαύξω, προσάγω.

Πρὸς αὔριον, εἰς αὔριον.

Προσαυρῶν, προσυχῶν.

Προσακουσίασω, προσφωνήσω.

Πρὸς ἀφοσίωσιν, πρὸς τιμήν.

Προσάψας, συνάψας.

Προσαρασσόμενα, προσρηγνύμενα, προσκρουόμενα.

Προσαιτησάμενος, ἀξιῶν τι προσῆκον. ὁ δὲ παρακαλέσας αὐτὸν, καί τι προσαιτησάμενος πλεῖον.

Πρὸς αὐτῷ, ἀντὶ τοῦ ὑπὲρ αὐτοῦ.

Προσβάλλειν, τὸ προσταράττειν, καὶ συγκρούειν ἐπὶ μάχης. ὅπερ συμβάλλειν κοινῶς λέγεται, καὶ δοτικῇ συντάσσεται. καὶ προσβάλλει τὸ κῦμα τῇ νηΐ, προσβάλλων τοῖσδε, καὶ προσβάλλω τάδε χρῆται, προσβαλὼν, προσελθών.

Προσβαίνει, ἐγγίζει.

Προσβάλλει τὸ κῦμα τῇ νηΐ, καὶ προσβάλλει ὁ ἄνεμος τῷ δένδρῳ. προσβάλλει καὶ τὸ προσρήγνυσι, καὶ συμπίπτει, κυρίως ἐπὶ πολέμου. ὁ καὶ συμβάλλει κοινῶς γράφεται, ὡς καὶ παρὰ Ξενοφῶντι. καὶ προσβάλλοντες περὶ δεύτερον, μέχρι τῆς ἑσπέρας ἐμάχοντο.

Πρὸς βίαν, ἀντὶ τοῦ βιαίως, καὶ ἀντὶ τοῦ μετὰ βίας. ὥσπερ πρὸς λύραν ᾄδει, ἀντὶ τοῦ μετὰ λύρας. πρὸς ἀργύριον δὲ διαλέγεται, ἀντὶ τοῦ διὰ τὸ λαβεῖν ἀργύριον.

Προσβολὰς, ὁρμάς. προσβολὴ ἐστιν, ἀνείδωλον κίνημα καρδίας. ὅτε δὲ εἰκόνες λογισμῶν, ἐκεῖ συγκατάθεσις γέγονε. κίνημα γάρ ἐστιν ἀνείδωλον, ἀναίτιος προσβολή. προσβολὴ τοῦ σατανᾶ ἐστὶ μονολόγιστος ἐμφάνεια πράγματος πονηροῦ.

Προσβληθὲν, κολλητόν.

Προσβολοχεῖ, προσχαίρει, λέγει.

Πρόσγειον, τὸ πρὸς γῆν.

Πρόσγειος, ὁ πετεινὸς, ὁ περὶ τὰ γήϊνα ἀσχολούμενος.

Προσγελῶ αὐτὸν, ὑγκαυτῷ, Ἀττικοί.

Προσγραφὴ, προσκρίνει.

Προσδεῖσθαι, καὶ ἐνδεῖσθαι διαφέρει. τὸ μὲν γὰρ δηλοῖ ὀλίγων τινῶν κτῆσιν. τὸ δὲ, παντελῆ ἀπορίαν τοῦ ὅλου δηλοῖ.

Προσδέξασθαι. προσδέξασθαι δὲ τὸ δεῖ λεγόμενον πρὸς τὰς πλευρὰς τῆς πολεμίας, ἀντὶ τοῦ σώζεγγυς.

Προσδέχομαι, τὸ προσιέμενος δέχομαι, καὶ τὸ ἐλπίζω δέξασθαι ἀσπασίως ἐρχόμενον. καὶ προσδεχόμενοι, ὁμοίως προσδοκῶντες.

Προσδίδομαι, αἰτιατικῇ. διαφέρει προσδοκία, ἐλπίδος. ἐλπὶς μὲν γάρ ἐστι, προσδοκία ἀγαθῶν. καὶ ὁ φοβούμενος προσδοκᾷ, ἀλλ' οὐ προσδοκᾷ ἀγαθά. κακῶν γὰρ προσδοκία ἐστὶν ὁ φόβος, ἀγαθῶν δὲ ἡ ἐλπίς. ἐπεὶ ἐνοχῇ ὑφισταμένων πραγμάτων οἱ ἀσεβεῖς προσδοκῶσιν, ἀπόλλυται αὐτῆς ἡ ἐλπὶς, ἡ μένουσι τοῖς εὐσεβέσι χρῶνται.

Προσδεῖται, προσδέεται.

Προσδιαστεῖλαι, χρονίσαι.

Προσδιορισμὸς, πρόῤῥημα σημαῖνον ἐπὶ ποσὸν ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. καὶ ὁ μὲν προσδιορισμὸς τὸ ποσὸν σημαίνει. ὁ δὲ τρόπος, τὸ ποιόν, τὸ ποσὸν. οἷον πᾶς ἄνθρωπος, τὶς ἄνθρωπος. τὸ ποιὸν βαδίζει, ἢ οὐ βαδίζει.

Πρὸς Διὸς, παρὰ τοῦ Διός.

Προσδοκᾶν, τὸ ἐλπίζειν ἀγαθὰ καὶ κακὰ, μετὰ τοῦ μέλλοντος καὶ ἐνεστῶτος συντάσσονται. προσδοκῶ καὶ τὸ ἐλπίζω, ἁπλᾶ καὶ ἀντιθέμενα, μέλλοντι συντάσσονται καὶ ἐνεστῶτι. εἰ δὲ ἀπολελυμένως, οἷον ἐλπίδα ἔχω. καὶ προσδοκίαν ἔχω, καὶ πρὸς παρῳχημένον, καὶ πρὸς μέλλοντα. Ἀριστείδης ἐν Λευκτρικῶν τρίτῳ. προσδοκίαν τινὰ ἔξουσι δι' ἡμᾶς πάλιν σωθήσεσθαι. Θουκυδίδης ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν νικῶν. καὶ αὖθις, ἐλπὶς γὰρ μάλιστα αὐτοῖς ἦν φοβηθῆναι. προσδοκῶ ἀπαλλαγήσεσθαι τῆς νόσου, καὶ προσδοκῶ ἀπαλλαγὴν τῆς νόσου, καὶ προσδοκῶ πείσεσθαι κακὰ, καὶ προσδοκῶ κακὰ. ἀσφαλῶς, ἐλπίζω ἐλευθερωθήσεσθαι, καὶ ἐλπίζω ἐλευθερίαν.

Προσεβιάσατο, προέβη.

Προσεγχεῖσθαι, ἐγχεῖσθαι, ἐπιχεῖσθαι.

Προσεγεγόνει, συνεμίχθη, συνηνέχθησαν.

Προσεδρεία, προσεδρία.

Προσεδρεύει, σχολάζει.

Πρόσεδρος, τὸ τ' ἐκ προσέδρου λυγαίου διασφαίρου ὀφθαλμὸν ἄρας, εἴδ' ἐν πολλῷ στρατῷ.

Προσειδῶ, προσεῖδον.

Προσειλήφεισαν, ἀντὶ τοῦ ὑπέλαβον. Γένεσις, προσειλήφεισαν γὰρ ἐκ τοῦ σχήματος μηδὲν αὐτοῦ νοῆσαι, ἐκ τῆς ὑπονοηθέντων.

Προσείλια, τὰ θαλπόμενα ὑπὸ τοῦ Ἡλίου.

Προσείλη, προσειλάβει, συνειλῆμεναι.

Προσήλιος, πρὸς τὸν ἥλιον, ἤτοι τὴν θερμασίαν, εἴλη γὰρ ἡ τοῦ ἡλίου αὐγή.

Προσεῖναι, ἀπὸ τοῦ προσιέναι, κατὰ μετάθεσιν καὶ συναίρεσιν. ὡς παρὰ τῷ Ἡσιόδῳ, τῷ προσιόντι προσεῖναι.

Προσεῖπα, ἀντὶ τοῦ προσηγόρευσα, αἰτιατικῇ.

Προσείποις, ἀντὶ τοῦ ἐπονομάσεις. Μάξιμος, ἐρῶντα μὲν τὸν φιλόσοφον, ἐρῶντα δὲ καὶ τὸν μοχθηρὸν ἄνδρα, μὴ προσείποις τὸ πρᾶγμα ὀνόματι ἑνί. καὶ προσείποις, ἀντὶ τοῦ χαιρετίσεις.

Προσείρηκε, καὶ ἀντὶ τοῦ ὠνόμασεν, ὡς τὸ προσείρηκε τοῦτον δαίμονα. καὶ ἀντὶ τοῦ ἐχαιρέτισεν. ὡς τὸ προσείρηκε τοὺς φίλους, καὶ ἀντὶ τοῦ ἐνεκόμισεν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ, καὶ ἐν τοῖς ἐπιταφίοις λόγοις, τῆς ἀποθανόντων ἐνίους προσειρήκασιν. ὡς καὶ περὶ τὸν προσεπιτεινόει, καὶ προσεφθέγξατο.

Προσείρων, προσάπτων.

Προσείσας, προσεπανασείσας. καὶ οἷον ἀπαγγείλας, ἀπὸ τῆς περιαγόντων τοῦ πετάσοδα ὅπη βόλον-

Digitized by Google

βούλονται, τοὺς γὰρ θαλλοὺς σείοντες, ἐπεδίδοσαν.

Πρόσεισιν, ἀντὶ τοῦ ἐπελεύσεται. πρόσειμι τὸ πορεύομαι. καὶ πρόσεισιν, ἀντὶ τοῦ προσέρχεται. ἐν χρήσει εἰσί, διὰ τοῦτο καὶ προσίασι.

Προσείκετο, ἀντὶ τοῦ προσεῖχε.

Προσέκοψεν, ἀντὶ τοῦ προσέπταισε. καὶ προσέκοψε τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ ἠλογίσατο, ὑπὸ Ποσειδίππου.

Προσεκτέον, συνδαστέον.

Προσεκτικώτερος, νηφαλιώτερος.

Προσελαύνομεν, εἰσβάλλομεν.

Προσελεῖν, τὸ ὑβρίζειν κατὰ Ἀρκάδας. ἐπειδὴ οἱ ἀρκάδες λοιδορητικοί εἰσιν. Ἀριστοφάνης ἐν ταῖς παλαίστραις καὶ χοροῖς καὶ μυστικῇ προσελοῦμεν.

Προσέλληνοι, Ἀρκάδες. ἐτρέφοντο γὰρ πρὸ συνόδου τῆς σελήνης, πυρὶ ὀπτῶντες τὰς βαλάνους. οἱ προσέλληνοι, οἱ ὑβρισταὶ λέγονται. προσελεῖν γάρ, τὸ ὑβρίζειν. ἄλλοι δέ, ὡς μωροὺς αὐτοὺς διαβάλλουσιν, ὡς λέγοντας ἀρχαίους εἶναι, καὶ τῆς σελήνης παλαιοτέρους. τὸ δὲ ἀληγορικώτερόν ἐστιν ἀστρολογίαν, καὶ ἐνιαυτόν, μῆνας, ἰσημερίας, καὶ τὰ τοιαῦτα, Πᾶν Ἀρκάδων βασιλεύς, ἢ Ἄτλας Λιβύας, εὗρεν ἀπὸ σελήνης τοὺς μῆνας συλλογισάμενος, ὕστερον δὲ Θαλῆς. ἄλλοι δέ φασιν, ὅτι Ἀρκάδες θυσίας θεοῖς κατέδειξαν, πρῶτον μὲν, δεύτερον ἱππόκλον.

Προσελεῖ, προπηλακίζει.

Προσεληνίδες, αἱ Ἀρκαδικαὶ νύμφαι.

Πρόσελθε, πρός με ἐλθέ.

Προσελθών, προσβαλών, ἐξαντιστρόφως.

Προσελίσθη, λίαν προσήγγισε.

Πρὸς ἐλυτρεροὺς, πρὸς τὸ κεκλεισμένον.

Προσελοῦμεν, ἀντὶ τοῦ προπηλακίζομεν.

Προσέμαξε, προσπαρέθηκε, προσεκόλλησε. μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι, καὶ φυρᾶν, καὶ εἰς ἓν συνάγειν τὰ ἄλευρα. Ἀριστοφάνης, τῷ Πειραιῷ προσέμαξε.

Προσεμβῆναι, ἐπιπηδῆσαι. καὶ ἀντὶ τοῦ προσεπεμβῆναι, ἐπὶ τῶν λὰξ ἐναλλομένων λέγεται τὸ ἐπεμβαίνειν.

Πρὸς ἐμοῦ λέγοντι. παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὑπὲρ ἐμοῦ.

Πρὸς ἐμοῦ εἶ, οἰκεῖός μοι, ἐγγύς μου, φίλος μου, παρ' ἐμοί.

Προσεμπεδοῦντες, ἐπιβεβαιοῦντες.

Προσεμπρῆσαι, καῦσαι.

Προσενέπει, προσαγορεύει.

Πρόσεξίς ἐστι, συνεργία ψυχῆς πρὸς τὸ καταμαθεῖν.

Προσέξονται, ἀντὶ τοῦ προσκολλῶνται. προσέξονται ταῖς κοτύλαις αἱ πέτραι.

Πρὸς ἐπάλξησιν, πρὸς βοήθειαν.

Προσεπέλασε, προσήγγισε.

Προσεπεμβαίνει, ἐπιβαίνει, ἐπιπηδάζει, ἐπιγελᾷ.

Προσέπηξαν, προσήλωσαν.

Προσέπεσε τῷ δεῖνι ἐχθρός, μὴ κινηθέντι.

Προσέπαισε, προσέπαιξε. Πλάτων τῷ σ ἀντὶ τοῦ ξ κέχρηται.

Προσεπιμετρῶν, πλείω τοῦ μεμετρημένου διδούς. προσεπιμετρῶν ἀεὶ τῷ δεομένῳ, πρὸς τὸ παρὰ πάντων ὁμολογουμένως γίνεσθαι τὴν ἐπὶ τούτοις χάριν.

Προσεπιτραγῳδήσουσι, δεινολογήσουσι. δεδιὼς μὴ πολλαπλασιάσαντες τὸ προτέρημα. καὶ προσεπιτραγῳδήσαντες καταπλήξωνται τοὺς ἐπὶ τοῖς Τυράννοις.

Προσεπλάκη, ἐπλησίασε.

Προσεποιήθη. ὁ δὲ ὠργίζετο ἀθετηθείς, οὐ μὴν προσεποιήθη κατὰ τὸ παρόν, ἀντὶ τοῦ ἐφανέρωσεν, ἐνεδείξατο.

Προσεποιήσαντο, ἀντὶ τοῦ ἀντεποιήσαντο.

Προσεποίσω, προσεπάξω.

Προσερέχθονται, τεταγμένοι ἦσαν.

Προσεργάζεται, ἐργάζεται.

Προσερήσομαι, ἐρωτήσω.

Προσέρραιον, προσέβαλον. Ἀριστοφάνης.

Προσερρύη, προσεφοίτησε.

Προσέσθαι, ἐνδῦναι.

Προσῆλθε, προσέρρευσε.

Πρόσεσθε, καὶ πρόσθε, ἀπὸ τοῦ μέσου ἀορίστου δευτέρου, ὡς τὸ θέσθε. καὶ ἁπλῶς τῇ αὔξει τοῦ τίθημι ἀκολουθῶν ἀσφαλῶς κανονίσεις, καὶ πάντα ἀπὸ τοῦ ἵημι.

Πρόσεστιν, ἀντὶ τοῦ σὺν ἄλλοις ἔχω, ἔστι μοι καὶ ἄλλοτι.

Πρόσεστιν, ἀντὶ τοῦ πρὸς τοῖς ἑτέροις, καὶ ἄλλο ἐκ περισσοῦ κεῖται, πρόσεστιν καὶ ἀντὶ τοῦ ἐμποδών ἐστι.

Προσέσχεν, ἡ ναῦς τῷ λιμένι, ἀντὶ τοῦ προσωρμήθη, οἷον προσχών, ἀπέβη τῆς νεώς, καὶ αἱ νῆες εἰς Αἴγυπτον ἔσχον, ἀντὶ τοῦ προσωρμήσαντο.

Προσέσχεν, ἐξώκειλε.

Προσέσχε, κατῆρεν, ἐπλησίασεν.

Προσεχές, ἐγγύς. ἐπὶ τάδε τῆς πόλεως ὁρμεῖν οὐκ ἐδύνατο, διὰ τὸ προσεχεῖς εἶναι ἀκτὰς τοῖς Ἐφεσίοις. ἀλίμενος γάρ ἐστι, καὶ προσεχής, ὁ τῇδε αἰγιαλός.

Προσεταιρισάμενος, ἑταίρους προσλαβόμενος.

Προσετίλησε, προσερράντισεν. Ἀριστοφάνης, οἰκείως δὲ νῦν τὸ προσετίλησε κέχρηται, ὡς ἐπὶ κοιλίας.

Προσετρίψατο, ἐπέβαλε, κατέχεε. τῷ βίῳ τῶν ἀνθρώπων κηλίδα προσετρίψατο.

Πρὸς ἀλήθειαν, πρὸς ὀρθότητα.

Προσευχή, συνουσία, καὶ ἕνωσις Θεοῦ καὶ ἀνθρώπων, ἡ αἴτησις ἀγαθῶν, μεθ' ἱκετηρίας προσαγομένη τῷ Θεῷ. ἡ τῆς πρὸς τὰ ῥηθέντα κακὰ τοῦ πεπηρηκότος μεταποιήσεως αἴτησις, ἡ ἀρετῆς ἔπαθλος. ὃ μάλιστα χαίρων, Θεὸς ἀντιδίδωσιν. ἡ προσευχή ἐστιν, ὁμιλία νοῦ πρὸς Θεόν, ἡ κατάστασις νοῦ φθαρτικὴ παντὸς ἐπιγείου νοήματος, ἡ αἴτησις ἀγαθοῦ παρὰ τῶν εὐσεβῶν εἰς Θεὸν γινομένη, ἡ αἴτησις ὧν πέφυκεν ὁ Θεὸς ἀνθρώποις δωρεῖσθαι πρὸς σωτηρίαν. ἡ προσευχή, ὅτι τὸ ἀξίωμα τοῦ Θεοῦ νοήσας, αἰτῶ τι παρὰ τοῦ Θεοῦ, τό τε προσεύχομαι.

Προσευχολεῖν, ἐπιμελῶς βλέπειν.

Προσέφη, προσεῖπεν.

Προσέφυ, προσεγένετο.

Προσέφυσας, προσήρμοσας. Ἀριστοφάνης, εὖ προσέφυσας, ἤγουν ὡς ἔδει καλῶς προσήρμοσας.

Προσέχω σοι τὸν νοῦν κάλλιον, ἢ προσέχω σοι μόνον. Ἀριστοφάνης, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ. καὶ προσέχειν, τὸ προσκεῖσθαι.

Προσέχεια, ἡ προσοχή.

Προσέχοιεν, ἐπιμελῶς τηρεῖεν.

Προσέχω τοῖς πράγμασιν, ἀντὶ τοῦ πρόσκειμαι. καὶ προσέχω, ἀντὶ προσάγω, ἐπὶ τοῦ νοῦ, ὡς ἐπὶ τὸ πλεῖστον λεγόμενον, οἷον προσέχω τὸν νοῦν τοῖς λεγομένοις.

Προσεψία, προσαγόρευσις, καὶ ἡ πρός τινα ὁμιλία.

Πρὸς ἕω, πρὸς ἀνατολήν.

Προσηγάγου, ἀντὶ τοῦ περιεπλέξω, παρὰ σεαυτὸν ἔλαβες.

Προσηβάθησαν, ὑπερεθαύμασαν.

Προσηγγελμένοις, τοῖς ἤδη ἀγγελθεῖσι. τοῖς προσηγγελμένοις ἐπαρκέσαντες, οὐδὲν προυργιαίτερον ποιήσετε μετὰ ταῦτα τοῦ βοηθεῖν σφίσι κατὰ δύναμιν.

Προσηγλαΐσο, ἐλαμπρύνετο.

Προσήγορος, ὅπου θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.

Προσηγορία, φίλη προσλαλιά. καὶ προσαγορία, ἡ καὶ ὀνομασία.

Προσήγορος, προσκυνητής.

Πρὸς ἡδονὴν λέγω τάδε, ἀντὶ τοῦ λέγω τούτους τοὺς λόγους πρὸς τέρψιν ἀποβλέποντας.

Προσήειν τῷ δεῖνι, ἀντὶ τοῦ πλησίον αὐτοῦ ἐπορεύθην.

Προσήϊκται, προσέοικε.

Προσήκατο, προσελάβετο, προσεδέξατο, ἀπὸ τοῦ ἵημι. ὃ μετὰ τῆς πρός, προσίημι γίνεται, καὶ σημαίνει τὸ προσλαμβάνω. μετὰ δὲ τῆς πρός, τὸ προδίδω, ὡς τὸ προΐημι τὴν ψυχήν μου. ἀόριστος προσῆκα, ὁ μέσος προσηκάμην, τὸ τρίτον προσήκατο.

Προσήκατο τόδε, ἀντὶ τοῦ ἐδέξατο, καὶ προσελάβετο.

Προσήκει, ἀντὶ τοῦ πρέπει, καὶ ἁρμόζει. οἷον προσήκει μοι τόδε, καὶ προσήκει μοι τοῦδε, ἀντὶ τοῦ μέτεστί μοι τοῦδε, καὶ μετοχή ἐστι. παρὰ δὲ τοῖς ποιηταῖς λαμβανόμενον ἀττικόν ἐστιν, ὥσπερ ἔδει, ἀντὶ τοῦ δεῖ. Ἀριστοφάνης, οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ πόλιν μοι εὐεργετεῖν. προσήκει λέγεται, ἐπὶ τῶν συγγενῶν.

Προσήκοντες, οἱ συγγενεῖς.

Προσήλια, τὰ πρὸς ἀνατολήν.

Προσήλυτος, ὁ ἀπὸ ξένους ἐλθών, καὶ πρόξενος λέγεται, καὶ πάροικος, καὶ ἀλλοεθνής.

Προσήλυτοι, οἱ ἐξ ἐθνῶν προσεληλυθότες, καὶ κατὰ τοὺς θείους πολιτευόμενοι νόμους. Δαβίδ, καὶ προσήλυτον ἐφόνευσαν.

Προσήλωσαν, προσέπηξαν, ἔτρωσαν, ἐσταύρωσαν.

Προσήλωται, ἀνεσταύρωται.

Πρὸς σῆμα μητρυιᾶς κλαίεις, ἐπὶ τοῦ ἀφροντίστου, ἢ προσποιουμένου, ἐπὶ τῶν ἀδυνάτων.

Προσημπόλησα, προσέλαβον.

Πρὸς ἡμῶν, ὑπὲρ ἡμῶν.

Προσηνάντες, βλάψαντες.

Προσηνές, καλόν, ἡδύ, ἐπιεικές, ἀγαθόν, πρᾶον, χρυσόν.

Προσηνέον, ὑψηλόν, τίμιον.

Προσηνής, προσφιλής.

Προσηρηκότος, προσαρμόσαντος. ὁ δὲ κατεσκεύασε στοάς, καὶ διὰ τούτων προσηρηκότος τῷ τείχει, τὰς κριοφόρους μηχανάς.

Προσήρεινε, προσέθιγε.

Προσηρτημένος, προσκεκολλημένος.

Προσηρτῆσθαι, ἀπηωρεῖσθαι.

Προσήσεσθαι, ἀρεσθῆναι, δέξασθαι.

Προσηταιρήσατο, φιλικὰ ἐποίησεν, οὐκ ὀλίγους τε ἀπὸ τούτων προσηταιρήσατο.

Προσῆχεν, ἀντὶ τοῦ προσῆγεν.

Πρὸς ἠιών, συνηθές ἐστι τῷ ἐκ τῶν ἰώνων, τὸ προθέσεως κειμένης ἀντὶ ἑτέρας προθέσεως, ὃ μυριαχοῦ γίνεται.

Πρόσηται, προσεγγίζει.

Προσηύδα, προσεῖπε, προσελάλει.

Προσηύρετο, προσέτυχε, προσηγάγετο.

Πρὸς ἠῶ, πρὸς ἀνατολήν.

Πρόθε, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ πρότερον.

Προθεῖναι τὰς θύρας, ἀντὶ τοῦ ἀποκλεῖσαι. ἢ τὸ παραδοῦναι τῷ ὠνουμένῳ ὑπὸ κήρυκι, ὅπερ νῦν κυρῶσαί φασι.

Προσθείς, προσθήκην λαβών.

Προσθέματα, τὰ πυγιαῖα.

Προσθέλυμνον, ἢ προθέλυμνον, ὅ ἐστιν ἄρδην. φαίνεται δὲ καὶ Ἀριστοφάνης, καὶ ἄλλοι πολλοὶ τὸ προθέλυμνον, ἀντὶ τοῦ πρόρριζον ἀκούειν. καὶ παρ' Ὁμήρῳ. πολλὰ δ' ὅγε προθέλυμνα. Ἀρίσταρχος δέ, τὸ συνεχές, καὶ ἄλλο ἐπ' ἄλλῳ δηλοῦσθαί φησι, φράξαντες δόρυ δουρί, καὶ σάκος σάκει προθελύμνῳ, καὶ σάκος θέτο τετραθέλυμνον, τουτέστι τέσσαρας ἐπ' ἀλλήλων ἔχον πτύχας.

Πρόσθεμα, ἡ προσθήκη.

Πρόσθεμα καὶ προσθέματα, ἐπὶ τῶν αἰδοίων, παρὰ τὸ ἀλλήλοις ἐν ταῖς συνουσίαις προστίθεσθαι, ἢ διὰ τὸ ἐπὶ τὰ ἔμπροσθεν μέρη εἶναι.

Πρόσθεν ἵσταμαι, ὅμοιόν ἐστι τῷ προΐσταμαι. δῆλον γὰρ ὡς ὁ πρόσθεν τινὸς ἱστάμενος, προΐσταται ἐκείνου.

Πρὸς Θεόν, κατὰ τὸν Θεόν, ἐπὶ τὸν Θεόν.

Προσθέοντα, ἔμπροσθεν τρέχοντα.

Πρὸς θεοῦ, τὸ τυχόν. Ἀττικοὶ δὲ χάριτι Θεοῦ φασὶν εἶναι.

Προσθέσθαι, συμπολεμῆσαι.

Προσθέσης, δευτερώσης.

Προσθήκη, πρόσθεσις.

Προσθιάξειν, ἀφελεῖν τὰς ἐκ τῆς ὀσφύος τρίχας.

Πρόσθ' ἵσταμαι, προΐσταμαι, ἐμποδίζω, ὑπερμαχῶ.

Πρὸς θυμοῦ αὐτοῖς ἐγένετο, ἀντὶ τοῦ ἀρεστόν, καὶ θυμῆρες. καὶ αὖθις, τοῖς δὲ οὐ πρὸς θυμοῦ ὁ πόλεμος ἐγίγνετο.

Προ-

Digitized by Google

Πρόσιασι, τὸ προσέρχονται, δοτικῇ συντάσσεται. μετὰ τῆς πρὸ, λέγομεν ὃ προσίασι. μετὰ δὲ τῆς πρὸ, προσάξειν, ὃ προίασι.

Προσίει, ἐγγίζει.

Προσίεμεν, προσερχόμεθα.

Προσίεμαι, ὁμοίως προσήσομαι, ὁ ἀόριστος προσηκάμην, ὁ δεύτερος ἀρχηστος προσακτικὸν πρόσω, τὸ ὀκτικὸν προσείμην. τὸ ὑποτακτικὸν προσίω, ἡ μετοχὴ προσέμενος. ὡσαύτως καὶ τὸ προΐεμαι, τὸ ἀμελῶ.

Προσιζάνω, προκάθημαι.

Πρὸς ἱεροῖς ἱκετεύω, Ἀττικοὶ λέγουσιν, ὃ πρὸς ἱερά.

Προσίεσθαι, ἐφέλκεσθαι, προσφέρεσθαι.

Προσίεται, αἰτιατικῇ, ἀρέσκεται, προσδέχεται ἡδέως λαμβάνει. Ἀριστοφάνης, τὰ μὲν ἄλλα μ' ἤρεσε τῶν πραγμάτων. ἓν δ' ὃ προσίεταί με, ἀντὶ τοῦ ὃ πάθω με, ὅτι μόνος τὸν ζωμὸν ἐκροφήσεις.

Προσιζήσαντες, προσκαθίσαντες, προσκομίσαντες.

Πρόσιθι, προσέρχου, ἐκ τοῦ εἶμι προστακτικόν.

Προσίκτωροι, προσικέτωροι, ἀπὸ τοῦ προσικνεῖσθαι τοὺς ἱκέτας.

Πρόσιμεν, προσερχόμεθα, πρεσβεύομεν.

Προσινάντες, βλάψαντες.

Προσίονται, προσάγονται.

Προσιοῦσα, παρερχομένη.

Προσέπλαζεν, ἐκ τοῦ προσπελάζειν συγκέκοπται. ὁμώνυμον δὲ ἐνταῦθεν, τὸ πλάζειν. τὸ μὲν ἀντὶ τοῦ πελάζειν, τὸ δὲ ἀντὶ τοῦ πλανᾷν.

Προσίπταται, προσπέτεται.

Προσίρων, προσάπτων.

Προσίσαμαί σοι, ἤγουν ἐμποδών σοι γίνομαι.

Προσίσταται, ἀντὶ τοῦ ἐμποδίζει. καὶ προσιστάμενον, τὸ ἐμποδίζον.

Προσίσταται, ἀντὶ τοῦ ἐμπροσθενίσταται, καὶ βοηθεῖ τοῖς ὄπισθεν, ἀφ' οὗ προστάτης. προσίσαμαί σοι παθητικῶς, τὸ ἐναντιοῦμαι.

Προσίστατο, ἐνεπόδιζε.

Πρόσισχε, τὸ πρόσεχε. Κρατῖνος, καὶ μὴ πρόσισχε βαρβάροις βουκόλοις. καὶ Εὔπολις, πρόσισχε τὸν νοῦν τῇδε. καὶ Θουκυδίδης ἐν τῇ τρίτῃ. παρανίσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως.

Προσίσχεται, τὸ προσπέφυκε καὶ προσκολλᾶται, καὶ προσβάλλεται.

Προσιτὸν, προσδεχόμενον.

Προσιὼν, προσερχόμενος.

Προσκαθῆσθαι, ἐνυπάρχειν, τῷ γὰρ μηδεμίαν ἔννοιαν μηδενὶ προσκαθῆσθαι τοῦ μέλλοντος, πάντας εἰς ἔκπληξιν ἤγαγε τοὺς φοινικὰς, προσκαθίσει ὅπῃ ὕποπτοι ἦσαν ἐπελεύσεσθαι οἱ πολέμιοι. προσκαθίσιν, ἀντὶ τοῦ ἐπολιορκασίαζε.

Προσκαλεῖταί τις εἰς συμμαχίαν τινά. ὅθεν πρόσκλησις ἐπὶ τούτου.

Πρὸς κάρα κατίζεις, ἐπὶ τοῦ ὁμοίω. ὡς καὶ τὸ πρὸς Κρῆτας κρητίζεις.

Προσκαταθεῖναι, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ζημιωθῆναι τίθεται.

Πρόσκειμαί σοι, ἀντὶ τοῦ οἰκείως ἔχω σοι. καὶ πρόσκειμαί σοι, ἀντὶ τοῦ ἐπίκειμαί σοι. ὡς Θουκυδίδης, προσκείμενον καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτούς. καὶ πρόσκειμαι, τὸ ἀνάκειμαι.

Προσκείμενοι, οἷον κολλώμενοι, προσεγγίζοντες. καὶ προσκειμένων τῶν θυρῶν, πάντεσιν ἠσφαλισμένων. ὁ δὲ ἐντυχὼν προσκειμέναις ταῖς θύραις, ἀντὶ τοῦ κεκλεισμέναις.

Πρόσκειται, τὸ προσέχει, καὶ χαίρει, καὶ ἐμμένει. Ἀριστοφάνης, οἴμοι δείλαιος πρόσκειται ὁδί. πρόκειται, λέγεται καὶ ἐπὶ νεκροῦ, καὶ πρόκειται ἐπ' ἀγορᾶς, καὶ πρόκειται ἐπὶ δεῖπνοι. ὡς καὶ παρ' Ὁμήρῳ, οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

Προσκεκλήσεσθαι, παρὰ τῷ Ἀριστοφάνει κεῖται ἐν ταῖς νεφέλαις, ἀντὶ τοῦ διὰ μαρτύρων ἀπαχθήσεσθαι, εἰς τὸ δικαστήριον κληθήσεσθαι, κατὰ κοινοῦ δὲ δοκεῖ.

Προσκεκρουκὼς, ἐχθρὸς γεγονώς, πρὸς κέντρα λακτίζεις, πρὸς κεφάλαιον, οὕτω φησὶν Ἀριστοφάνης.

Πρὸς κέντρα λακτίζεις, παροιμία ἐπὶ τοῦ κατὰ τῶν ἐναντίων τι λέγειν ἢ πράττειν.

Προσκέψομαι, περισκοπήσω. περιεργάσομαι ἐσελθών, καὶ κατανοήσας.

Προσκηδεῖς, κατ' ἐπιγαμίαν οἰκεῖοι.

Προσκηδέος, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ κηδεμονικῆς, φροντιστικῆς, ἐμφρόντιδος. ἐναντίον δὲ τοῦ προσκηδέος.

Προσκήνιον, τὸ πρὸ τῆς σκηνῆς παραπέτασμα. ἡ δὲ τύχη παρελκομένη τὴν πρόφασιν, καθάπερ ἐπὶ προσκήνιον, παραγύμνωσε τὰς ἀληθεῖς ἐπινοίας.

Πρόσκηπτε, προσήμαινε, πρόλεγε, προμήνυε.

Προσκίρτησον, χόρευσον.

Προσκινήσομαι. Ἀριστοφάνης, κακῶς παρέξω οὐχὶ προσκινήσομαι, σαυνσιάσαι αὐτῷ δηλονότι.

Προσκληδονιζόμενος, ἐπ' ἀγαθῷ ὀττευόμενος.

Προσκλήσεις, πρὸς ἃς καλεῖ τις εἰς δικαστήριον, ἢ βιβλία κλητῆρας ἔχων. πρόκλησις δὲ, χωρὶς τοῦ σ. καὶ προκαλεῖσθαι, ἐπιδιωκτείω. καὶ ἄλλον ἐπὶ βάσανον ὄντινος ἀνδραπόδου, ἢ μαρτυρίαν ἐπί τινος βαλέσθαι.

Πρόσκλησις, ἡ εἰς δικαστήριον κλῆσις. καὶ προσκαλέσαι, τὸ παραγγέλλειν εἰς δίκην.

Πρόσκλισις, ἐπιρρομένα μὴ διαπράξασθαί τι κατ' ἔχθραν, ἢ κατὰ πρόσκλισιν.

Προσκλιτὸν, ἐν ᾧ ἀκομβίζομεν.

Προσκομιδὴ, ἀναφορά.

Προσκομίσασθαι, προσωρίσασθαι.

Προσκομιστέον, προσενεκτέον.

Πρόσκομμα, ζημία, βλάβη, σκάνδαλον, ἁμάρτημα, πρόσκρουμα.

Προσκοπὴν, πρόσκρουσιν, σκάνδαλον. ὡς τὸ, ὁ δὲ τῶν τοῦ βασιλέως φίλων, ἐπὶ ταῦτον εἰς διαφορὰν ἧκοι καὶ προσκοπὴν, ὡς τε ἀπιδεῖν αὐτοὺς περιβαλεῖν αὐτὸν, ἀνηκέστῳ τινὶ κακῷ.

Προσκόπτειν, ἁμαρτάνειν, προβλέπειν.

Προσκόπων, προφυλάκων.

Προσκορὴ, ἀηδὴ, ἀχαρῆ.

Πρὸς κόρυκον γυμνάζεσθαι, ἐπὶ τῶν διὰ κενῆς μοχθούντων.

Πρὸς κοτυληδονόφιν, πυκιναὶ κοτῦλαι ἔχονται, ἀντὶ τοῦ πρὸς κοτυληδόνας, κατὰ προσχηματισμόν.

Προσκόψης πρὸς λίθον τὸν πόδα σου, ἀντὶ τοῦ προσπταίσῃς.

Προσκώπους, τοὺς πρὸς ταῖς κώπαις ναύτας, τοὺς κωπηλάτας.

Προσκρούειν, τὸ ἁμαρτάνειν τοῖς ἄνω μέρεσι, καὶ κεφαλῇ.

Προσκρούειν, ἐναντιοῦσθαι. Πλούταρχος, ἐπεὶ δὲ προσέκρουσε Πλάτων, καὶ Διονύσιος, ἤγουν διεφέρετο, καὶ ἀπήχθετο Διονυσίῳ.

Προσκροῦσαι, παροργίσαι, προσηλῶσαι.

Προσκρούνιον, πρόφραγμα.

Προσκρούω, προσκόπτω, προσπταίω.

Προσκυνῶ, προσεγγίζω, προσπίπτω.

Προσκυνῶ, αἰτιατικῇ μόνῃ συντάσσεται, παρὰ τοῖς ἐλλωίζειν εἰδόσι. καὶ μάρτυς ὁ Κωμικὸς λέγων, καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν ἥλιον. παρὰ δὲ τῇ θείᾳ γραφῇ, δοτικῇ.

Προσκυροῖ, βεβαιοῖ.

Πρόσκυσον, προσκύνησον.

Προσλαμβάνω, τὸ μετὰ ἐμαυτοῦ καὶ ἑτέρους ἄγω. Θουκυδίδης, καὶ προσλαβὼν αὐτόθεν ὁπλίτας τε καὶ φρουρούς. προσλαμβάνω κυρίως λέγεται, ἐπὶ τῶν δρομέων, ὅταν παρελαύνωσιν ἀλλήλους οἱ δρομεῖς, προεξέχοντες.

Προσλέγειν, οὐχ εὕρηται. προλέγειν δὲ σημαίνει δύο. λέγεται γὰρ προλέγειν, τὸ μαντεύεσθαι. καὶ προλέγειν, τὸ ἐπιφωνεῖσθαι. καὶ προλέγειν, οἷον ὁ νόμος προλέγει θάνατον τοῖς τολμῶσιν ἱεροσυλεῖν, ἀντὶ τοῦ ἐπιφωνεῖται.

Πρὸς λέοντα, δορκάδες ἅπτουσι μάχην, ἐπὶ τῶν πρὸς κρείττονας ἐριζόντων.

Προσλαζόμενα, προσλαμβανόμενα.

Πρόσληψίς ἐστιν, ἀπόδοσις τῆς ἰδιότητος, ἐν τῷ ὅλῳ αὐτῷ μέρει διῃρημένῳ. οἷον ἀετοὶ πέτονται, οὗτος ἄνωθεν, ἐκεῖνος κάτωθεν, ἐν τῇ προσλήψει ζητοῦνται πέντε, τὸ ὅλον, τὰ μέρη τοῦ ὅλου, ἡ ἀπόδειξις τῶν μερῶν, ἡ ἰδιότης, ἤτοι τὸ ῥῆμα, καὶ ἡ πτῶσις. διτλῆ ἐστιν ἡ πρόσληψις. ἐν τῷ καὶ ἐν γράμματι, ἤγουν σῶα καὶ ἀπλῶς, πάντεσιν ἔν τινι σιωπῶσά τινα. καὶ σῶά ἐστιν, ἤγουν ἐν τῷ καὶ ἐν γράμματι, ἐν ᾧ αἱ πέντε ζητούμενα. οἷον ὁ Καῖσαρ καὶ ὁ Πομπήϊος μάχονται, ὁ δὲ ὅπλοις, ἕτερος δόλῳ. ἡ ἐλλιπής ἐστιν, ἐν ᾧ σιωπῶνταί τινα, οἷον ἄνθρωποι φθονοῦσιν, ἕτερος ἑτέρῳ.

Προσλιπαρῶ, τὸ ἱκετεύω. καὶ τὸ ἐπίρρημα λιπαρῶς. καὶ λιπαρῶς, ἀντὶ τοῦ βιαίως.

Πρὸς λύραν ᾄδει, ἀντὶ τοῦ μετὰ λύρας. καὶ πρὸς βίαν, ἀντὶ τοῦ βιαίως, καὶ μετὰ βίας. καὶ πρὸς ἀργύριον διαλέγεται, ἀντὶ τοῦ διὰ τὸ λαβεῖν ἀργύριον. ὃ πρὸς ἡδονὴν λέγω, ἤγουν ὃ πρὸς τέρψιν.

Προσμελῆ, ἐπιμελῆ.

Προσμίξας, προσελθὼν, συνάψας.

Προσμολεῖν, οὐκ ἀπὸ τοῦ μολεῖν μολῶ γίνεται (ἀρχηστον γὰρ τοῦτο) ἀλλ' ἀπὸ τοῦ μόλω.

Προσόδια μεγάλα, παρὰ τῷ Ἀριστοφάνει, ἀπὸ τῶν προσόδων. οὕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς θυσίας. καὶ προσῴδια τὰ εἰς τὰ πανηγύρεις τῶν θεῶν ποιήματα, τὰ παρὰ τῶν λυρικῶν λεγόμενα.

Πρόσοδοι, παρὰ τῷ Ἀριστοφάνει ἐν νεφέλαις, θρησκεῖαι περὶ τοὺς βωμούς. πρόσοδοι τοῖς θεοῖς καὶ προσελεύσεις.

Πρόσοδος, εἰσφορὰ, εἴσοδος, ἡ παρουσία.

Προσωδοῦσαν, προσάδουσαν, συνῳδόν.

Προσοικίσαντες, προσκαθίσαντες.

Πρόσοικος, οἰκειότερον μᾶλλον τὸ ὅμορος. ἐπὶ γὰρ ὅρων τοῦτο λαμβάνεται.

Προσοικῶ, ἐπὶ μὲν ἐμψύχου, δοτικῇ. ἐπὶ δὲ ἀψύχου, αἰτιατικῇ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ, προσοικεῖ τὴν ὄχθην ἑκατέραν τῶν πόλεων. καὶ προσοικοῦμεν, ὡς ἔπος εἰπεῖν τὰς ὄχθας.

* Πρόσοιμα, τὸ προσφερόμενον.

Πρὸς οἶμον, πρὸς τὴν ὁδόν.

Προσοίσηθε, προσδέξηθε.

Πρόσοιτο, προσδέξοιτο, ἐπισπάσοιτο.

Προσοκείλας, τὸ αἰγιαλῷ προσεγγίζω, καὶ προσοκείλαντες, προσορμίσαντες.

Πρὸς ὄλεθρον, πρὸς θάνατον.

Προσομιλεῖν, προσαγορεύειν, προσδιαλέγεσθαι.

Πρὸς ὀργὴν, ἀντὶ τοῦ ὀργίλως. καὶ πρὸς βίαν, ἀντὶ τοῦ βιαίως. καὶ πρὸς ἀσέβειαν, ἀντὶ τοῦ ἀσεβῶς. καὶ πρὸς ἀλήθειαν, ἀντὶ τοῦ ἀληθῶς, καὶ πολλὰ ἕτερα λέγεται οὕτως ἀντὶ τῶν ἐπιρρημάτων.

Προσορμίσαντες, προσοκείλαντες.

Πρόσω, μετὰ τῆς προθέσεως πρὸς, μόνον λέγομεν, καὶ πρόσω. ὡς πρόσωθε, ὃ πρόσθε, ὡς πρόσω.

Προσουδίζει, τῷ ἐδάφει προσκρούει, ἐκ τοῦ ἵππου ῥίψας προσουδίζει χαμαί.

Προσουδίζει, πρὸς τὸ ἔδαφος ῥίπτει.

Προσοχήσαντες, ἀδυδρομήσαντες, ἀδοκιμάσαντες. ἐν ἐπαγγελίας δράματι ἐπαινεθέντες.

Προσοχεῖα, ἐπιτηδεία.

Προσοχὴ, κατανόησις, νῆψις.

Προσοχὴ, ἀκριβὴς ἐπιμέλεια ψυχῆς τοῦ ἰδίου σώματος. ἐπιμελητικῶς δὲ ἔχει ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζωος, οὔτε πρὸς καλλωπισμὸν, οὔτε μὴν ὀλιγώρως. ἀλλ' ὥστε διὰ τὴν ἰδίαν προσοχὴν, εἰς ὀλίγα πάνυ ἰατρικῆς χρήζειν φαρμάκων, καὶ ἐπιθεμάτων ἐντὸς καὶ ἐκτός.

Προσοχθίσματα ἡ γραφὴ καλεῖ, τὰ εἴδωλα. καὶ προσώχθισα, δυσηρεστήθην, ἐβδελυξάμην.

Προσοχθισμὸς, πρόσκρουσις, ξενοπάθεια, πάθος γνώμης. συμπάθεια.

Πρὸς ὄψιν, πρὸς θεωρίαν. Σοφοκλῆς.

Προσπαίζω τὸν κοινὰ, ὃ τῷ κοινῷ. καὶ προσπαίζει ἀκταῖς. ἐπὶ μὲν ἐμψύχου αἰτιατικῇ, ἐπὶ δὲ ἀψύχου δοτικῇ.

Πρόσπαιον, πρόσφατον, νέον, * καὶ ἐκ προσπαίου, ἐξαπίνης.

Προσπαλαίει, προσπελάζει, προσεγγίζει.

Πρόσπαλτος, δῆμος τῆς ἀκαμαντίδος.

Προσπατταλεύσω, προσηλώσω, προσπήξω, αἰτιατικῇ καὶ δοτικῇ. Ἀριστοφάνη, καὶ τοῦτο πρὸς τὸ μέ-

τὸ μέτωπον, ὥσπερ κοτίνῳ προσπατταλεύσω πατρί.

Προσπελάζει, προσεγγίζει.

Προσπεριβάλλεται, προσπεριλαμβάνεται.

Προσπεσεῖν, καὶ συμπεσεῖν διαφέρουσι. προσπεσεῖν, τὸ ἐξαίφνης μὴ εἰδότα τινὰ ἀποκτεῖναι. συμπεσεῖν δὲ, τὸ ἀλλήλοις μάχεσθαι. καὶ προσπεσεῖν, ἀντὶ τοῦ προσκυνῆσαι εἴρηται.

Προσπέσῃ, συμβῇ, αὐθυπότακτον.

Προσπεσόντων, ἀγγελθέντων.

Προσπεταννύντες, προσφέροντες, προσαράττοντες, ἀπὸ μεταφορᾶς τῶν ἐν ταῖς ναυσὶν ἱστίων, ὅταν ἀνέμου πνέοντος χαλῶσιν οἱ ναῦται τὰ ἱστία διαπλευσούμενοι. καὶ ἀναπέτασον τὰς πύλας, παρ' Εὐριπίδῃ, ἀντὶ τοῦ διάνοιξον.

Προσπεφυκότως ἀπρὶξ οὖν, ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς. καὶ ἀπρὶξ προσπεφυκότως, οὐχ οἷόν τε ἀφίσαι διὰ τὴν σύγχυσιν.

Προσπεφύραται, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ηὐτρέπισται. ἡ μεταφορὰ ἀπὸ τῶν τὰ ἄλευρα φυρώντων, εἶτα μάζας ποιούντων. διαμάττειν δὲ, διαπλάττειν. Ἀριστοφάνης, προσπεφύραται λόγος εἷς μοι.

Προσπήγματα, μέρος τι τῆς νεώς.

Προσπίπτουσαι, συναντῶσαι.

Προσπιπτούσης, ἀντὶ τοῦ ἀγγελλομένης.

Προσπίτνω, τὸ προσκυνῶ καὶ ἱκετεύω, ὁ παρατατικὸς προσέπιτνον. λέγεται καὶ τὸ ὑποπτώσσεσθαι. λέγεται καὶ τὸ προσβάλλειν, ἐπὶ τῆς ἀκτῖνος τοῦ ἡλίου.

Προσπλάζει, προσπελάζει.

Προσπλήξω, τύψω.

Προσποιοῦμαι, σχηματίζομαι, ὑποκρίνομαι, πλάττομαι.

Προσποιοῦμαι, τὸ ὑποκρίνομαι. καὶ προσποίησις ἐπὶ τῆς αὐτῆς σημασίας. ἔστιν ὅτε καὶ τὸ ποιοῦμαι εἴρηται. Συνέσιος ἐν τῷ Δίωνι. οὐ γὰρ ἐποιεῖτο Σωκράτης σοφὸς εἶναι. καὶ προσποιοῦμαι, τὸ ἐπαγγέλλομαι. καὶ προσποίησις, ἡ ἐπαγγελία. προσποιοῦμαι, καὶ τὸ οἰκειοῦμαι, οἱονεὶ τὸ πρὸς ἐμαυτὸν ποιοῦμαι. ὅθεν καὶ προσποίησις, ἡ οἰκείωσις. προσποιῶ, τὸ ὑποτάττω. Ἡρόδοτος, καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι.

Πρόσπολος, ὁ δοῦλος. ἀμφίπολος, ἡ δούλη.

Προσπορευομένων, προσερχομένων.

Προσπορισθέν, ἐπινοηθέν, προσοδευθέν.

Προσπταίειν λέγεται, τοῖς κάτω μέρεσιν, ἢ ποσὶν, ἢ κνήμῃ.

Πρόσπταισμα, πρόσκομμα.

Προσπταίω, προσκρούω, ἁμαρτάνω, ἐπὶ θεῶν καὶ ἀνθρώπων λέγεται. ἐξαμαρτάνω, ἐπὶ θεοῦ. δυστυχῶ, καὶ προσπταίω περὶ δῆμον.

Προσπτύξατο, ἐδεξιώσατο, ἐφιλοφρονήσατο τοῖς λόγοις.

Προπτύξομαι, ὑποβαλῶ, παραμυθήσομαι.

Προσπτύσσεσθαι μύθῳ, τὸ λόγοις συμπλέκεσθαι, ἀπὸ μεταφορᾶς τῶν πτυσσομένων σωμάτων, οἷς πελάζοντα εἰσὶν ἀλλήλοις τὰ μόρια. ἴσως δὲ καὶ κλῶνόν τινα δικαστικὸν αἰνίττεται τὸ προσπτύσσεται. οὕτω γὰρ καὶ ἔγχεα πτυσσόμενα ἐν Ἰλιάδι ἔφη ὁ Ποιητής. οἱ δὲ μεθ' Ὅμηρον, ἐπὶ φιλήματος, ἢ σωματικῆς περιπλοκῆς τιθέασι τὸ προσπτύσσεσθαι.

Προσπτύσσετο, ἐλιπάρει, παρεκάλει, παρ' Ἀπολλωνίῳ.

Προσπτύξομαι τὸν ξεῖνον, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ προσείπω, διὸ καὶ ἐπάγει ἐν Ὀδυσσείας ρ, πρὸς ἑρμηνείαν, τὸ ἠδ' ἐρέομαι.

Προσπτύξατο, περιέλαβε.

Προσραίνουσι, προσβάλλουσι, προσέρχονται.

Προσρῆξαι, προσράξαι.

Προσρήσεσι, προσηγορίαις. καὶ πρόσρησις, προσηγορία, λόγος κατ' ἐπαγγελίαν λεγόμενος.

Πρόρριζα, σὺν ταῖς ῥίζαις.

Προσερραπτόμενον τοῖς κύμασι, περικρουόμενον, κυματιζόμενον.

Προσρυέντων, προσελθόντων. (κῶς.)

Πρὸς σοῦ λαμβάνω τόδε, ἀντὶ τοῦ παρὰ σοῦ Ἀττι-

Περὶ τῶν προστακτικῶν.

Προστακτικοῖς, ἀντὶ ὑποτακτικῶν ἀπαγορευτικῶν, καὶ αὖ τοῖς προστακτικοῖς ἀντὶ ὁριστικῶν οἱ Ἀττικοὶ χρῶνται. οἷον Ἀριστοφάνης, μὴ ψεῦσον ὦ Ζεῦ τῆς ἐπιούσης ἐλπίδος. τοῦ δευτέρου δὲ Μένανδρος, οἶδ' ὅτι ποίησον, ἀντὶ τοῦ ποιήσεις. καὶ Εὐριπίδης ἐν Πολυδώρου δράματι, οἶσθ' οὖν ὃ δρᾶσον, ἀντὶ τοῦ δράσεις.

Προστακτικὰ ἐνεργητικὰ τῶν βαρυτόνων καὶ περισπωμένων ῥημάτων, γίνονται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παρατατικοῦ, ἀποβολῇ τῆς συλλαβικῆς ἢ χρονικῆς αὐξήσεως, οἷον ἔτυπτε τύπτε τυπτέτω, ᾖδε ᾆδε ᾀδέτω, ἐποίει ποίει ποιείτω, ἐβόα βόα βοάτω, ἐχρύσου χρύσου χρυσούτω. τὰ δὲ παθητικὰ ἐκ τοῦ δευτέρου γίνονται. οἷον ἐτύπτου τύπτου τυπτέσθω, ᾐδόμην ᾔδου ᾄδου ᾀδέσθω, ἐποιούμην ἐποιοῦ, ποιοῦ ποιείσθω, ἐβοώμην ἐβοῶ βοῶ βοάσθω, ἐχρυσούμην ἐχρυσοῦ χρυσοῦ χρυσούσθω. τὰ δὲ προστακτικὰ ἐνεργητικὰ, τῶν εἰς μι ῥημάτων γίνονται, ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς, τροπῇ τῆς τελευταίας εἰς θι, καὶ ἐκβολῇ τοῦ ν, οἷον τιθεὶς τιθέντος τίθετι, θεὶς θέντος θέτι ἢ θές, ἱστὰς ἱστάντος ἵσταθι, στὰς στάντος στᾶθι ἢ στῆθι, τροπῇ τοῦ α εἰς η, διδοὺς διδόντος δίδοθι, δοὺς δόντος δόθι ἢ δός. καὶ ἀεὶ ἔχουσι τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν, οἷον τίθεμεν τίθετι, ἵσταμεν ἵσταθι, δίδομεν δίδοθι, ὁμοίως ζεύγνυθι. τὰ δὲ παθητικὰ γίνονται ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ παρατατικοῦ, οἷον ἐτιθέμην ἐτίθεσο, τὸ προστακτικὸν τίθεσο, ἐθέμην ἔθεσο, θέσο καὶ θοῦ θέσθω, ἱστάμην ἵστασο καὶ ἵστω ἱστάσθω. τὸν ἀόριστον τὸν παθητικὸν τοῦτο τὸ ῥῆμα οὐκ ἔχει, ἐδιδόμην ἐδίδοσο δίδοσο διδόσθω, ἐδόμην ἔδοσο, δόσο καὶ δοῦ δόσθω, ἐζευγνύμην ἐζεύγνυσο ζεύγνυσο ζευγνύσθω. τὰ δὲ ἄλλα, δῆλα παρὰ τοῖς γραμματικοῖς.

Πρόσταμα, κοιτών.

Πρὸς τάνδε αὐλὰν, πρὸς ταύτην τὴν αὐλήν.

Πρόσταξις, πρόσταξίς ἐστιν, ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως, ἢ ἐκ θατέρου, κατὰ τὸ κέρας αὐτὸ προστεθῇ τι στίφος τῇ πάσῃ φάλαγγι, κατευθὺ τοῦ μετώπου τῆς τάξεως.

Προστασία, βοήθεια. ὁ δὲ ἐξέπεμπε τὸν Πόπλιον μετὰ μεγάλης προστασίας, δυνάμεως, ἐξουσίας. καὶ αὖθις, καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι, διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ προστασίαν.

Προστάται, οἱ μετοίκων. καὶ οἱ μὴ ἔχοντες, ἀπροστασίου ἐδιώκοντο.

Προστατεία, προστασία δέ.

Προστατήριος, τὸν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν αὐτὸν ἀφιδρύοντο.

Προστάτης οἱ τῶν μετοίκων Ἀθήνησι προεστηκότες, προστάται καλοῦνται. ἀναγκαῖον γὰρ ἦν ἕκαστον τῶν μετοίκων, πολίτην τινὰ Ἀθηναῖον νέμειν προστάτην. καὶ προστάτης, ἱκέτης, ὁ προεστηκὼς τῶν βωμῶν.

Προστάττω, οὐ μόνον τὸ κελεύω, ἀλλὰ καὶ ἔν τινι τάττω. Θουκυδίδης, καὶ γὰρ Φίλιππον τὸν Κλεαρίδου προστάξαντες ἄρχοντα τοῖς Συρακουσίοις.

Προστάττω, καὶ ἐπιτάττω, καὶ πρὸς ἀπαρέμφατον ἀποδίδονται, καὶ τὴν δοτικὴν ὁμοίως φυλάττουσι.

Προστατῶν, ὁ ἐπιγενόμενος. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ. ἀλλ' ὁ προστατῶν χρόνος διῆγε μ' αἰὲν, ὡς θανουμένην.

Πρὸς τέρμασι, πρὸς τὰ τέλη.

Προστεταργωμένην, παρὰ Λυκόφρονι συμπεπλεγμένην. ἡ γὰρ παρ' ἡμῖν σαργάνη, παρ' Ἀττικοῖς ταργάνη λέγεται.

Προστέτηκε, προσκεκόλληκε.

Πρὸς τὴν ἄρκτον πλέομεν, τὸ ἐντελὲς ἦν πρὸς τὴν ἄρκτον ἀφορῶντες.

Προστησάμενος, ἀντὶ τοῦ ἔργον ποιησάμενος. Δημοσθένης, δόγμα κοινῇ προστησάμενοι. καὶ ὁ Θεολόγος, μίαν ἐκ πασῶν ὑπόθεσιν προστησάμενος, καὶ ἀντὶ τοῦ προστάτιν ποιησάμενος.

Προστήσας, προαγαγών.

Πρὸς τῆς Τριάδος, ὅρκος ἐστί. τὸ ὁρκίζειν δὲ ἐν ταῖς διαλέξεσι καὶ τοῖς ἀγῶσι, δικανικοῦ λόγου ἐστὶ, καὶ πολιτικοῦ, οὐκ ἐγκωμιαστικοῦ.

Προστίθημι, τὸ εἰς αὔξησιν τίθημι μέρος τι, οἷον τὸ πηχυαῖον μέτρον ἢ σπιθαμὰς προστίθημι. ὡς καὶ Λιβάνιος, σὺ δ' ἡμῶν μεμνῆσθαι καὶ τιμᾶν δάκρυσι προστιθείς τι μέμψεως. προστίθημι, καὶ τὸ ἀνατίθημι, καὶ προσάπτω, καὶ περιάπτω, καὶ τέλειον ἡγοῦμαι, ἤτοι προσλογίζομαι, καὶ προσαρτῶ.

Προστήσας. Ὅμηρος, οἷον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι, ἤγουν μόνον προστῆσαί φησιν. ἐκ τούτου καὶ προστατεῖν ῥῆμα τὸ πρὸ τῶν ἄλλων ἵστασθαι, εἰ καὶ μὴ εἰς μονομαχίαν, ἀλλ' οὖν εἴς τινα βοήθειαν. τὸ δὲ προστήσας, ἔοικεν ἀπὸ ἱερείου ληφθῆναι ἐνταῦθα. ὃ πρὸ ἑτέρων ζώων ἵσταται, ἀγόμενον ἐπὶ σφαγῇ.

Προστήσας, προαγαγών.

Προστιβάδες. ὁ δὲ κατῴκει ἐν σπηλαίῳ προστιβάδας ἐντετμημένας ἔχοντι κατὰ τὴν πέτραν.

Προστιβάζεται, μερίζεται, προσπορεύεται.

Πρόστιμα, ἐπίχειρα. τοιάδε μὲν τοῖς κακῶς βουλευομένοις, δίδωσι τὰ πρόστιμα, ἡ δίκη. καὶ πρόστιμον ζημίαν, ἐπιτίμιον, παραγραφή. Πολύβιος, παρὰ Ῥωμαίοις θάνατος ἦν πρόστιμον τῷ τῆς ἐφεδρείας λιπόντι τὴν τάξιν. καὶ αὖθις, οἱ δὲ ἔδωκαν τῷ Βασιλεῖ πεντήκοντα τάλαντα, πρόστιμον τῆς ἁμαρτίας.

Προστιμήματα, ἐστὶ μέν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικούντων, ὥσπερ ἡ ἐπωβελία παρ' Ἰσαίῳ ἐν τῷ κατὰ Διοκλέους. ἔστι δὲ καὶ ἄλλα ἃ προστιμᾶται τὸ δικαστήριον, ὡς δείκνυσι Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

Πρόστιμον, ἡ ζημία, καὶ ἡ παραγραφή.

Πρὸς τοῦ Διὸς, ὑπὲρ τοῦ Διός. ἡ γὰρ πρὸς, λαμβάνεται πολλάκις ἀντὶ τοῦ ὑπέρ. καὶ ἀντὶ τοῦ παρά. πρὸς ἄλλης ἱστὸν ὑφαίνεις, ἀντὶ τοῦ ὑπ' ἄλλης, εἴτουν παρ' ἑτέρας τινὸς προστασσομένης, πρὸς σοῦ εἰμὶ, ἀντὶ τοῦ ὑπὲρ σοῦ.

Πρὸς τὸν σωρὸν ἀμᾶσθαι. πρὸς τοὺς μεγάλοις ἔργοις ἐπιτιθεμένους, ἢ ἐπὶ τῶν παρεγγυόντων.

Προστρέπεσθαι, ἀποπέμπεσθαι, τρέπεσθαι ἀφ' ἑαυτοῦ.

Προστρέπω. παρὰ Σοφοκλεῖ, ἀντὶ τοῦ ἱκετεύω μή μ' ἀτιμάσῃς τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.

Προστρίβου σοι μέμψιν. ἀποτρίβομαι δὲ τὴν κατηγορίαν. προστρίβεται μῶμον, ἀπὸ μεταφορᾶς τῶν παρατριβομένων τοίχῳ, ἢ τοιούτῳ τινί. καὶ προστρίβεται τίς τινι πληγὰς, ἤγουν ἐπιθέμενος καὶ τύπτων ῥάβδῳ, ἢ τοιούτῳ τινὶ, ἐργάζεται πληγάς.

Προτροπάδην, προτρεπτικῶς φεύγων ἐκ τοῦ πολέμου.

Προστρόπαιον ἄγος, μίασμα. καὶ προστρόπαια δὲ λέγεται. ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος, τίθησι τὰ ὀνόματα ὁ Ῥήτωρ.

Προστρόπαιος, μέση λέξις. προστρόπαιος γὰρ Ζεὺς ἐν ῥητορικῷ λεξικῷ, ᾧ ἄν τις φασὶ προστρέποιτο δεόμενος. καὶ προστρόπαιος, ὁ ἱκέτης, ὁ πρός τινα δηλαδὴ δεητικῶς τρεπόμενος. τοιοῦτον δέ τι καὶ ὁ χρήστης, ὁ δανείσας τε γὰρ οὕτω καλεῖται, καὶ ὁ ὀφείλων.

Πρόστροχον, στρογγύλον.

Πρόστροποι, προσπεπτωκότες, προστετραμμένοι.

Προστροπή, ἱκετεία.

Προστυχὴς ἐγενόμην, ἄμεινον ἐρεῖς ἢ ἐνέτυχον.

Προστυχὼν, ἀπαντήσας.

Πρόστῳον, τὸ ἔμπροσθεν τῆς στοᾶς.

Πρὸς ὑποτύπωσιν, πρὸς σημεῖον.

Προσυπουργεῖσθαι, ὑπηρετεῖσθαι.

Πρόσφαντος, ἀντὶ τοῦ νεωστὶ καὶ ἐγγὺς φανεὶς, ὅ ἐστι πεφονευμένος, ἐκ τοῦ φῶ τὸ φονεύω, ἀφ' οὗ καὶ ἀρηΐφατος. παρὰ δὲ τοῖς μεθ' Ὅμηρον πρόσφατον, τὸ νεαρόν. καὶ ὡς εἰπεῖν ἐγγὺς φατὸν, ἤτοι φανὲν καὶ δειχθέν. ἢ ἄλλως ἐγγὺς καὶ προσεχῶς φατὸν, ἤτοι λεκτόν. ἐξ οὗ καὶ φατειός. οὐ καθ' ὁμοιότητα καὶ ποταίνιον ὕστερον, τὸ νεωστὶ συμβὰν εἶπον. ταυτὸν θέντες εἶναι τὸ ποτὶ, καὶ τὸ πρὸς ὁμοίως, καὶ τὸ αἶνος, καὶ τὸ φατὸς,

κἀντεῦθεν εἰς ὅμοιον ἦχον τὸ ποταίνιον, καὶ τὸ πρόσφατον. δῆλον δὲ, ὅτι ὥσπερ ἡ φάσις, οὕτω καὶ ὁ αἶνος ἐπὶ λόγου δύναται τίθεσθαι ἁπλῶς.

Προσφᾶσθαι, προσειπεῖν.

Προσφερεῖς, ὁμοίας. ὡς τὸ, ὁ δὲ ἀπαντήσας τοῖς βαρβάροις πυρὶ προσφερής, ἀντὶ τοῦ ὅμοιος.

Προσφέρει τίς τινι δῶρα. προσφέρεται δέ τίς τινι πράως, ἢ τοὐναντίον. ὃ δὴ καὶ σημαίνει διάθεσιν. Ἀριστοφάνης, τέοις πρὸς σὲ καινὰς προσφέρω. προσφέρω εἰς τὸ μέσον. Ἀριστοφάνης, ἀναδέρετε, προσφέρετε, τά τε παλαιὰ καὶ τὰ νέα. προσφέρειν, ἀντὶ τοῦ κομίζειν. προσφέρεσθαι δὲ, ἀντὶ τοῦ ὁμοιοῦσθαι, καὶ ἀντὶ τοῦ μάχεσθαι. Ἡρόδοτος, ἄνδρες Ἴωνες αἵρεσιν ὑμῖν δίδομεν ὑμεῖς, ὁκότερον βούλεσθαι προσφέρεσθε, ἢ Πέρσῃσιν, ἢ Φοίνιξι. καὶ προσφέρω, τὸ ὀνειδίζω.

Προσφέρονται, ἀντὶ τοῦ προστιθῶσι.

Προσφορώτατος, ἐν τῷ καιρῷ ἐπιτηδειότατος, καὶ ἁρμοδιώτατος, ἢ ὁ ἑτοιμότατος.

Προσφθέγγεται, ἀσπάζεται.

Προσφιλεστάτοις, ἀγαπητοῖς.

Πρόσφορα, τὰ ἐπιτηδείως προσφερόμενα.

Προσφορὰ, προσθήκη, πρόσοδος. καὶ προσφορὰ, πρόσοδος.

Πρόσφορα, χρήσιμα. δράσω, καὶ πάνθ' ὅσα πρόσφορ' ἡμῖν πρὸς χάριν.

Πρόσφορον οἰκεῖον, ἁρμόδιον, ἐπιτήδειον.

* Πρόσφυξ, ὁ αὐτόμολος, ὁ προσφεύγων ἐν ἐκκλησίαις.

Προσφὺς, πλεῖόν τι πίεσμα, δηλοῖ τὸ ἐμφύς. ἢ προσφὺς, προσπλακείς.

Προσφῦσα, ἐνδακοῦσα.

Προσφῦσα, ὅμοιόν ἐστι τῷ ἐμφῦσα, ὅ ἐστιν ἐμπλακεῖσα. μᾶλλον δὲ ἐμφαντικώτερον ἐκείνου εἰς ἐπιθετικὴν ἐμπλοκήν.

Πρόσφυγα, καταφυγόντα.

Προσφυεῖς, προσπλακεῖς.

Προσφυὲς, προσοικειούμενον.

Προσφυῆ, προσεοικότα, ἁρμόζοντα.

Προσφυῶς, οἰκείως, ἀκολούθως.

Προσφωνεῖ, προσαγορεύει.

Προσφώνησις, κήρυξις.

Προχαιρετήρια, ἑορτὴ παρ' Ἀθηναίοις, ἀγομένη, ὅτε δοκεῖ ἀπιέναι ἡ κόρη.

Πρὸς χάριν, οὐ πρὸς ἀπέχθειαν, ἀκούει τοῦ δεῖνος λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ εἰπεῖν χαριέντως. ἢ ἀπεχθῶς ἀκούει τοῦ δεῖνος. Δημοσθένης, οὐκ ἂν οὕτω οὔτ' ἐκείνου πρὸς χάριν, οὔτ' ἐμοῦ πρὸς ἀπέχθειαν ἀκούσατε. γράφεται καὶ ἕτερα ὁμοίως τούτοις, οἷον πρὸς ἀλήθειαν, πρὸς ψεῦδος, πρὸς ἀπάτην, πρὸς χάριν, πρὸς τέρψιν.

Πρόσχες, διὰ δύο μὲν σσ ὤφειλε γράφεσθαι. διὰ δὲ τὴν κακοφωνίαν, ἐξέλιπε τὸ ἕν. ὁμοίως καὶ τὸ πρόσχημα, ἀπὸ τῆς προς προθέσεως καὶ τοῦ σχῆμα συντεθὲν, καὶ ὅσα τοιαῦτα ἄλλα, ὁμοίως ἔχει.

Πρόσχες τῇ φωνῇ, ἀπὸ τοῦ σχῶ, ὁ μέλλων σχήσω, ὁ δεύτερος ἀόριστος ἔσχον καὶ κατέσχον, καὶ ἡ μετοχὴ σχών. καὶ ὥσπερ ἀπὸ τοῦ φαγὼν μετοχῆς γίνεται τὸ προστακτικὸν φάγε, καὶ πιὼν πίε, οὕτω καὶ ἀπὸ τοῦ σχὼν σχὲ καὶ κατάσχε, καὶ πλεονασμῷ τοῦ σ σχὲς καὶ κατάσχες καὶ πρόσχες.

Πρόσχημα, καὶ ἡ πρόφασις, καὶ τὸ οἱονεὶ προκάλυμμα.

Προσχήματα, εἶδος ὑποδήματος ἐσχισμένον ἐκ τῶν ἔμπροσθεν.

Προσχηματισμός ἐστι, προσθήκη συλλαβῆς, κατὰ τὸ τέλος. ἔστι δὲ τεσσάρων διαλέκτων ἴδιος, οἷον λόγοισιν ἀντὶ τοῦ λόγοις, μούσαισιν, ἀντὶ τοῦ μούσαις. προσώπατα, ἀντὶ τοῦ πρόσωπα, ἐγὼν ἀντὶ τοῦ ἐγώ.

Πρόσχης, καὶ πρόσχωμεν, θεματικὴν ἔχει τὴν σύνθεσιν. προσέχω γὰρ, οὗ ἀόριστος δεύτερος γέγονεν ἔσχον. ἵνα μὴ συνεμπέσοι μετὰ τοῦ εἶχον παρατατικοῦ ἔχον, οὐκ ὤφειλεν εἶναι χωρὶς αὐξήσεως, καὶ ἐξ ἀνάγκης διὰ τὸ σ τὴν αὔξησιν ἐδέξατο. τὸ ὑποτακτικὸν ἐὰν σχῶ, καὶ πρόσχω, ης, η. ἐνήλλακται δὲ αὐτοῦ ὁ τόνος, ἐπεὶ ἀτοπίαν τινὰ ἐν τῇ πλάσει αὐτοῦ ἐδέξατο. οὕτω κατάσχης, καὶ κατάσχωμεν, καὶ παράσχης, καὶ παράσχωμεν.

Προσχοαὶ, αἱ θυσίαι.

Προσχόμενον, προτείναντα.

Προσχόντες, προσέχω, μέλλων προσέξω, ὁ πρῶτος ἀόριστος ἄχρηστος, ὁ δεύτερος προσέσχον, ἡ μετοχὴ ὁ προσχὼν, ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ προσχόντες, ὃ σημαίνει πλησιάσαντες.

Πρόσχορδα, σύμφωνα.

Προσχὼν, ἀντὶ τοῦ ἐλλιμενίσας, καὶ προσορμίσας. προσέσχεν ἡ ναῦς τῷ λιμένι. καὶ προσχὼν τῷ λιμένι, ἀπέβη τῆς νεώς. προσχὼν τῷ ἀνθρώπῳ δεινὰ πάσχοντι, ἀντὶ τοῦ τὸν νοῦν τρέψας πρὸς ἐκεῖνον τὸν δυστυχοῦντα.

Προσχωρεῖ, συμμίσγεται.

Πρόσχωροι, περίοικοι.

Πρόσω καὶ ὀπίσω, ἤγουν τὰ παρεληλυθότα, καὶ μέλλοντα, συνυπακούεται τὸ ἄρθρον τά.

Πρόσω, καὶ ἅμα ὀπίσω ὁρᾶν, παρ' Ὁμήρῳ συμβολικῶς εἴρηται. ὡς ἐκ μεταφορᾶς τῶν ζώων, ἃ τοὺς τραχήλους ῥαδίως λυγίζουσιν, ὡς ἔχειν βλέπειν καὶ τὰ ἔμπροσθεν, καὶ τὰ κατόπιν.

Προσωδεστέρου, δυσωδεστέρου, ἄνευ τοῦ ι. τὸ δὲ γραφόμενον μετὰ τοῦ ι, προσῳδεστέρου, παρὰ τὸ οἴδημα γεγονὸς τὸ ὀγκωδέστερον δηλοῖ παρὰ τῷ Ἱπποκράτει.

Πρόσω, ἔμπροσθεν.

Προσωδίαι εἰσὶ δέκα, δηλονότι ὀξεῖα, βαρεῖα, περισπωμένη, μακρὰ, βραχεῖα, δασεῖα, ψιλὴ, ἀπόστροφος, ὑφὲν, καὶ ὑποδιαστολή. τούτων δὲ τῶν προσωδιῶν γίνεται ἡ διαίρεσις εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα, καὶ εἰς πάθη. τόνοι μὲν οὖν εἰσι τρεῖς, ὀξὺς, βαρὺς, περισπώμενος. χρόνοι δύο, μακρὸς, καὶ βραχύς. πνεύματα δύο, δασὺ, καὶ ψιλόν. πάθη τρία, ἀπόστροφος, ὑφὲν, καὶ ὑποδιαστολή. ἡ ὀξεῖα, τόπους ἢ συλλαβὰς ἔχει τρεῖς, τὴν ἐπὶ τέλους, ἢ τὴν λήγουσαν, τὴν πρὸ τοῦ τέλους, τουτέστι τὴν παραλήγουσαν, καὶ τὴν τρίτην ἀπὸ τοῦ τέλους, ἣν ὀνομάζομεν προπαραλήγουσαν. καὶ παρὰ τοῦτο λέγεται ἡ λέξις ὀξύτονος, οἷον καλὸς, σοφὸς, δυνατὸς, παροξύτονος. ἡ καὶ βαρύτονος, παρατελεύτως καλεῖται, οἷον Ἰωάννης, τεῖχος. προπαροξύτονος, οἷον Γρηγόριος, Θεόδωρος. λέγεται δὲ τόνος παρὰ τὸ τείνειν τὴν φωνήν. ἡ περισπωμένη τόπους ἢ συλλαβὰς ἔχει δύο, τὴν ἐπὶ τοῦ τέλους, οἷον Θωμᾶς, Λουκᾶς. καὶ τὴν πρὸ μιᾶς τοῦ τέλους, οἷον Κῆπος, δῆμος, μῆκος. καὶ καλεῖται ὄνομα περισπώμενον, τὸ ἔχον ἐπὶ τέλους, τουτέστιν ἐπὶ τῆς τελευταίας συλλαβῆς τὴν περισπωμένην. τὸ δὲ ἔχον ἐν τῇ μιᾷ πρὸ τοῦ τέλους τὴν περισπωμένην, καλεῖται προπερισπώμενον. ἡ δὲ βαρεῖα συλλαβικὸς τόνος ἐστὶ, καὶ οὐ κυρίως, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον ἐπὶ τέλους ἐτίθετο. ἀλλ' ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται, ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ γίνεται, οἷον ἄνθρωπος καλός. ἰδοὺ εἰς τὸ λος ἐτέθη ἡ ὀξεῖα, ὅτι ἐπὶ τέλους εὑρέθη. ἐὰν δὲ εἴπῃς καλὸς ἄνθρωπος, ἰδοὺ ὧδε εἰς τὸ λος ἐτέθη ἡ βαρεῖα διὰ τὴν συνέπειαν, ἢ συνακολούθησιν, καὶ ἀποκρέμασιν τῆς λέξεως, καὶ τῆς διανοίας.

Προσωδία, καὶ προσῴδιον, ὁ ὕμνος.

Προσωδία, ὁ τόνος ἡ χειρονομία, καὶ ἡ τοῦ ὀργάνου φωνὴ, παρὰ τὸ εἴδω τὸ γινώσκω. ἐξ αὐτοῦ ἀοιδὴ, καὶ κράσει τοῦ αο εἰς ω μέγα, ᾠδὴ, καὶ ἐξ αὐτοῦ ᾠδία καὶ προσωδία, παρὰ τὸ προσᾴδειν καὶ ἁρμόζειν τῇ ὑποκειμένῃ λέξει, ἢ παρὰ τὸ πρὸς αὐτὴν ᾄδεσθαι τὰ ποιήματα. ᾠδὰς γὰρ οἱ παλαιοὶ τὰ ποιήματα ἐκάλουν.

Προσῴδιον, λιτανεία μετὰ ὕμνων, παρὰ τὸ προσιέναι μετὰ τούτου τοῖς Θεοῖς. ἰστέον, ὅτι τῶν μελῶν καὶ τῶν ὕμνων τὰ μὲν καλεῖται προσῴδια, τὰ δὲ ὑπορχήματα, τὰ δὲ στάσιμα. καὶ προσῴδια μὲν τὰ λεγόμενα ᾄσματα, εἰσφερομένων εἰς τὸν βωμὸν τῶν ἱερείων. ὑπορχήματα δὲ, ἅτινα πάλιν ἔλεγον ὀρχούμενοι, καὶ τρέχοντες. στάσιμα δὲ, ἃ ἑστῶτες ὕστερον ἔλεγον ἀναπαυόμενοι.

Προσωθεῖται, προστρίβεται.

Προσώκειλαν, προσώρμισαν.

Προσώπασιν, ἀντὶ τοῦ προσώποισι, μεταπλάσας λέγει, ὡς καὶ τὸ ἐγκάτοις, εἰς τὸ ἔγκασι μεταπέπλασται. σημείωσαι δὲ, ὅτι οὐχ ὥσπερ ἐν τῷ λιτῷ λιτὶ, καὶ κλάδῳ κλαδὶ, καὶ ἐρυσάρμασιν ἐρυσάρματες, καὶ τοῖς ὁμοίοις, τὸ κατάρχον μὲν σύμφωνον τῆς ληγούσης μένει, ὁ δὲ ἐφεξῆς μεταπλασμὸς τὴν τῆς ἀπαθοῦς λέξεως ἰσοσυλλαβίαν τηρεῖ, οὕτω καὶ ἐπὶ τῶν προκειμένων γέγονεν. ἀλλὰ συλλαβὴν ἀπετέλεσεν ἡ τῶν εἰρημένων ποιητικῶν δοτικῶν μετάπλασις ἀναγκαίως, πρὸς ἀναλογίας ἔμφασιν. τοῖς δὲ εἰρημένοις ὅμοιον καὶ τὸ ὀνείρασιν, ἔτι δὲ καὶ ἄστρασιν. ὅπερ εἰ ἀπὸ τοῦ ἀστὴρ ἀστέρος ἐκλίθη, ἀστράσιν ἂν ἦν, ὡς τὸ πατράσιν, ἀνδράσιν. οὕτω δ' ἂν καὶ τὸ μήλοις μήλασιν εἴποι ἂν, ὁ φράσας τὸ μηλάτων ἀπάργματα, ἤγουν μήλων; ὅ ἐστι θρεμμάτων ἀπαρχάς. εἰ δέ τις νοήσοι καὶ ἄρρητον εὐθεῖαν τὸ πρόσωπας, οὐ δοτικὴ τῶν πληθυντικῶν τὸ προσώπασι, οὐκ ἂν καινοπραγοίη, ἐνθυμούμενος τὸ γόνας γόνατος, καὶ δόρας δόρατος, καθ' Ἡρωδιανόν.

Προσωπεῖον, πρόσχημα, ἡ νῦν καλουμένη τῶν γυναικῶν προσωπίς.

Προσωπεδοῦντες, ἢ προσεμπεδοῦντες, ἐπιβεβαιοῦντες.

Προσώπη, προσοψίς.

* Προσωπὶς, πόλις Αἰγύπτου.

Προσωποποιία ἐστὶν, ὡς ὅταν τὶς τοῖς ἀψύχοις πρόσωπα, ἐθ' ὅτε καὶ λόγους ἁρμοδίως] προσάπτῃ, ὡς τὸ οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Προσωποποιία, ὅταν τὶς πρόσωπον ὑποθέμενος, ἢ ὑποδὺς ὡς ἐκ προσώπου τινὸς εἴπῃ.

Πρόσωπον, ἐπὶ Θεοῦ ἡ ἐπιφάνεια αὐτοῦ. Δαβὶδ, πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά. καὶ ἡ λύσις τῶν πονηρῶν, καὶ τῶν ἀγαθῶν ἡ χορηγία.

* Πρόσωπον, νῆσος οὐ πόρρω Καρχηδόνος.

Προσωπορεία, προκοπὴ ὁδοῦ.

Προσώπουτα, πολέμου ἀγγεῖον χαλκοῦν, ἔχον ἐπὶ τοῖς χείλεσι πρόσωπα, καὶ ἐν ᾧ τὰ ἱερὰ ἔπεμπον.

Προσώπατα, ἐσώπατα.

Προσωτέρω, περαιτέρω.

Προσώχθικε, προσκέκρουκε, προσκέκοφεν, ἀπὸ τοῦ τὰ ἐπινηχόμενα ταῖς ὄχθαις προσκρούεσθαι.

Προσώχθισα, ἐβδελυξάμην, δυσηρεστήθην.

Προσώχθισα, ἐμίσησα, προσέκοψα, περιεκάκησα, προσήγγισα.

Πρὸς ὦσιν, πρὸς αἴσθησιν, ἢ πρὸς ὄψιν, οὐ καλῶς.

Προταινὶ, προσφάτως, προφρόνως.

Προταίνιον, πρὸ μικροῦ, ἢ παλαιόν.

Προταμοίμην, ἐν Ὀδυσσείας σ', ἀντὶ τοῦ πρὸ σοῦ ἀροτριάσαιμι. καὶ ὡς εἰπεῖν προκόψαιμι. κατὰ τὰ πάντα ἔχων ἴσα, ὅμως προβαλοίμην τῇ ἀρετῇ.

Προταμὼν, κόψας, ἢ τὸ σκληρὸν τῆς τροφῆς προκατεργασάμενος.

Πρόταξις ψιλῶν, ὅταν τῶν ἄλλων ἐν πολέμῳ οὗτοι προτάττωνται. ὑπόταξις δὲ, ὅταν ὑποτάττωνται. προσένταξις δὲ, ὅτε καὶ ἐμπλεκόμενοι τῇ φάλαγγι, παρ' ἄνδρα τάττωνται. λέγεται δὲ καὶ παρένταξις τοῦτο.

Προτάξεως, φανερᾶς μάχης.

Προτάξω, προκρινῶ.

Πρότασις, ὅτι πρότασίς ἐστι λόγος ἐξ ὅρων δύο τῶν σημαινομένων τὶ περί τινος δηλῶν, ἢ ὡς ὑπάρχον, ἢ ὡς οὐχ ὑπάρχον. τρόποι δὲ ἁπλῶς δύο προτάσεων ἁπλῆ κοινωνία, τρεῖς ὅρους ἐχουσῶν, ἐξ ὧν ἀνάγκη, τὸν ἕνα δίς τε εἰλῆφθαι καὶ ἐν ἀμφοτέραις ὑπάρχειν. σχῆμα δὲ τρόπος ὡδὶ, τὸ μέσον ἔχων. πρότασις ἡ προτεινομένη ἐρώτησις, πρόβλημα τὸ προβληθὲν ἐρώτημα. διαφέρει δὲ τῷ τρόπῳ μόνον. συνίστανται δὲ καὶ ἐξ ἀντιφάσεων. πρόβλημα καὶ πρότασις τῶν αὐτῶν εἰσι δηλωτικὰ, καὶ ἐν τοῖς αὐτοῖς. τῷ δὲ τρόπῳ τῆς ἐκφορᾶς τῆς κατὰ λέξιν μόνον αὐτοῖς ἡ διαφορά. τὸ γὰρ αὐτὸ ἐρώτημα, μετὰ μὲν τοῦ πότερον λεγόμενον, πρόβλημά ἐστι. μετὰ δὲ τοῦ ἆρά γε, πρότασις. καὶ εἰσὶν αὐτὰ διαλεκτικὰ προβλήματα, καὶ διαλεκτικαὶ προτάσεις. πρόβλημα μὲν, οἷον πότερον ὁ κόσμος σφαιροειδὴς, ἢ οὔ; πρότασις δὲ, ἆρά γε ὁ κόσμος σφαιροειδής ἐστι, τοῦ ἢ οὐ προτιθεμένου.

Προ-

Digitized by Google

Προτεθείμεθα, ἀντὶ τοῦ ποιοῦμεν. παρὰ τῷ Ἀπολλωνίῳ. θεῖναι γάρ, τὸ ποιῆσαι.

Προτεθημένον, ἡπλωμένον.

Προτείνειν, δωρεῖσθαι, χαρίζεσθαι.

Προτείνω, καὶ προτείνω σοι τόδε τὸ πρᾶγμα. προτείνειν ἐπὶ προβλήματος, οἷον προτείνει τις πρόβλημα, καὶ τὸ διδόναι. ἀποτείνειν δέ, τὸ ἄγειν εἰς μῆκος, οἷον ἀπέτεινε λόγον μακρόν. προτείνει πολλὰ κεφάλαια τοῦ δικαίου.

Προτέλεια, ἡμέραν οὕτως ὀνομάζουσιν, ἐν ᾗ εἰς τὴν ἀκρόπολιν τὴν γαμουμένην παρθένον ἄγουσιν οἱ γονεῖς εἰς τὴν Θεόν, καὶ θυσίας ἐπιτελοῦσι.

Προτέλεια. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας, τὰ πρὸ τοῦ τελεσθῆναί τι τῶν εἰς τὸ θεῖον ἀναφερομένων γινόμενα, ἢ διδόμενα.

Προτέλειον, ἡ προπαίδεια. καὶ ὅστις δὲ οὐ προτέλειον ἡγεῖται τὰς Μούσας, ἀλλὰ τὸ κράτος αὐτὸ τῆς σοφίας ἐν ταύταις ἐστί. καὶ οὐδ᾽ ἔτι περὶ τὸν αἰνίττονταί ποτε συνιέναι βούλεται, καὶ ὑπὸ τούτου κατέχεται πολλὰ καὶ ἀγαθὰ αὐτῷ γένοιτο. τέλος λέγεται καὶ ὁ γάμος, καὶ προτέλεια, τὰ ὑπὲρ τοῦ γάμου θύματα. ἀλλὰ καὶ τῶν Διωνίδος γάμων προθυσάσθω. καὶ προτέλεια τοῦ μοιχοῦ, ὁ ἀνὴρ γενέσθω.

Προτελειωσαμένη, προθυμησαμένη.

Προτεμενίσματα, προπύλαια, ἢ προάστεια.

Προτένθαι, παρὰ τῷ Ἀριστοφάνει, οἱ προλαμβάνοντες καὶ προεσθίοντες τὰ ὄψα, πρὶν εἰς ἀγορὰν κομισθῆναι, καὶ μεταπιπράσκοντες πλείονος. οἱ νῦν μετάβολοι καλούμενοι, οἱ λίχνοι, ἢ ἀκρατεῖς. προτένθης, ὁ προγεύστης, ὃ ἐκ τοῦ ἔθους γίνεται. οὐ μόνον ὁ βασιλικός, ἀλλὰ καὶ ὁ κατὰ λιχνείαν.

Προτένθης, ὁ λίχνος. Αἰλιανός, προτένθης καὶ ὀψοφάγος.

Προτενὲς δόρυ, προτεταμένον.

Προτενίσματα, προπόλαια.

Πρότ᾽ ἰοντα, προγεγονότα.

Πρό τε παίδων, καὶ πρὸ γυναικῶν, ἀντὶ τοῦ ὑπὲρ παίδων, καὶ ὑπὲρ γυναικῶν.

Προτέρα, ἐπὶ τάξεως. προτεραία δέ, ἐπὶ μόνης ἡμέρας. Πλάτων ἐν Φαίδωνι, ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης.

Προτεραία, ἡ πρώτη. καὶ προτεραῖος, πρότερος ἐπὶ δύο, πρῶτος ἐπὶ πολλῶν, πρώτιστος δὲ οὐ λέγεται. οὐδὲ γὰρ ὑπερθετικὸν ὑπερθετικῷ συνάπτεται, ἐκράτησε δὲ τοῦτο παρὰ τοῖς Γωσιν, ὡς καὶ παρ᾽ Ὁμήρῳ, ἅ σοι πρωτίστῳ δίδομεν, εὖτ᾽ ἂν πτολίεθρον ἕλωμεν.

Προτεραίτερος, ἀντὶ τοῦ πρότερος.

Προτερήσαντες, ἀντὶ τοῦ πρότεροι γεγονότες.

Προτέρημα, πρόκριμα, προτίμησις.

Πρότερον λέγεται κατὰ φύσιν, κατὰ χρόνον, κατὰ τάξιν, καὶ κατὰ τιμήν. πρότερον ἐπὶ δύο τινῶν ἔχει τὴν θέσιν.

Προτέρους πόδας, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας τ᾽, ἢ τοῦ κυνὸς λέγει, ἢ τὸ πρόσθιον μέρος τῶν ποδῶν τοῦ Ὀδυσσῆος.

Προτέρω, ἀντὶ τοῦ προσωτέρω. καὶ προτέρως, ἀντὶ τοῦ εἰς τοὔμπροσθεν. Ὅμηρος, οὐδ᾽ ἄρα μοι προτέρως νῆες κίον.

Προτέρωσε, μακροτέρω.

Προτετύχθαι, προγεγονέναι.

Πρὸ τῆς δίκης, προτιμότερον τῆς δίκης, οἱ θεοσύλαι κολάζονται, τὸ κέρδος πρὸ τῆς δίκης τιθέμενοι.

Πρὸ τῆς νίκης τὸ ἐγκώμιον ᾄδεις, ἐπὶ τῶν τὰ πράγματα προλαμβανόντων.

Πρὸ τῆς πόλεως, ἔμπροσθεν τῆς πόλεως.

Προτὶ ἄστυ, εἰς τὴν πόλιν.

Προτιάπτω, ἤγουν προσάπτω. καὶ ὡς εἰπεῖν, προσκολλῶ. ἐξ οὗ λαβόντες, οἱ μεθ᾽ Ὅμηρόν φασι προσάπτεσθαί τινι αἰτίασιν, καὶ ὅσα τοιαῦτα.

Προτιβάλλεαι, ὅ ἐστι προσβάλλῃ. μάχιμος λέξις, ἀρειφίλη. ἀφ᾽ ἧς ἡ κατὰ πόλεμον προσβολή, ἴσον ὂν τῷ ἐπιπλήττεις. καὶ τῷ προτιβάλλεαι, παθητικῶς ῥηθέντι. ὅμοιον καὶ τὸ σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι.

Προτίδεγμαι, προσδέχομαι.

Προτιείδειν, ἐγκλίνειν.

Προτιειλεῖν τὸν ἄνδρα, παρ᾽ Ὁμήρῳ, ἤγουν εἴλει καὶ στρέφει.

Προτιθέμενοι, προτείνοντες, παρὰ τῷ Ἱπποκρ.

Προτίθημι, τὸ προτιμῶ. καὶ προτίθημι τὸν νεκρὸν εἰς μέσον ἐπὶ ὀλοφυρμοῖς. προτίθημι καὶ περὶ τοῦ δέ τινος πράγματος, ὡς τι περὶ αὐτοῦ σκέψασθαι.

Προτιμῶ, τὸ φροντίζω, καὶ λόγον ποιῶ, γενικῇ συντάσσεται. Ἀριστοφάνης, οὐδὲν προτιμῶ σου. προτιμῶ καὶ προκρίνω, τοῦ νόθου τὸν γνήσιον.

Πρότιον, πρὸς τὸ ἴδιον.

Προτιόσσομαι, προορῶμαι. προτιόσσομαι δηλοῖ τὸ προσβλέπω. ἢ τὸ οἶδα, καὶ μαντεύομαι, καὶ προορῶμαι.

Προτιόσσεο, μηδ᾽ ἐρέεινε, ἤγουν πρόβλεπε. καὶ μηδὲ προσφώνει, ὡς ἐκ μέρους εἰπεῖν. διὰ τί δὲ ταῦτα, ἵνα μηδὲν τῶν πεπραγμένων εἰδέναι δοκοῦσα, μηδὲ ἀδικηθείη ὑπό τινων, Ὅμηρος ἐν ψ᾽ τῆς Ὀδυσσείας.

Προτιπτυσσοίμεθα, ἀσπαζοίμεθα, παρακαλοῖμεν.

Πρότμησις, ὀμφαλός. τὸ παρ᾽ ἡμῖν ἦτρον, διὰ τὸ πρῶτον τέμνεσθαι ἐν τοῖς βρέφεσι.

Προτόγονος, νέος.

Προτολεῖον, ὕπαρχον.

Προτολμίζεσθαι, προέρχεσθαι.

Προτομαί, εἰκόνες βασιλέων.

Προτομή, ἐπὶ ζώων ἀλόγων, οὕτω λέγεται, ὡς ἐπὶ ἀνθρώπων πρόσωπον, καὶ ἐπὶ χειρὸς μηχανικοῦ. προτομὴ λέγεται τὸ ἔμπροσθεν μέρος. ἔστι δὲ τοῦ χειρὸς ἡ κατασκευή.

Πρότονα, κατὰ μέν τινας σχοινία, δι᾽ ὧν τὰ ἱστία πῇ μὲν ἀνέλκονται, πῇ δὲ χαλῶνται. μάλιστα δὲ τὰ συνδέοντα τὸ κέρας πρὸς τὸν ἱστόν, ὥς φασιν οἱ εἰδότες. ἢ πρότονα, καὶ πρότονοι ἀρσενικῶς, τὰ ἐκδεδεμένα τοῦ ἱστοῦ σχοινία, οἷς τείνουσιν αὐτὸν τὴν ἐναντίαν τῷ ἀνέμῳ, ἵνα μὴ ὑπὸ τῆς βίας αὐτῶν θραυσθῇ, καὶ δι᾽ ὧν χαλῶσιν αὐτόν, καὶ τῇ ἱστοδόκῃ ἁρμόζουσιν. ἢ πρότονοι, τὰ ἐξ ἑκατέρου μέρους τοῦ ἱστοῦ ἐπὶ τὴν πρῷραν καὶ τὴν πρύμναν ἐκτεινόμενα σχοινία. ἢ πρότονα οὐδετέρως, κατὰ μεταπλασμὸν λέγουσι σχοινία, τὰ δι᾽ ὧν ὁ ἱστὸς ἀποδεσμεῖται, ὡς ἂν ἔχῃ βεβαίως ἵστασθαι. οἱ δὲ παλαιοί φασι κάλωας, ἀπὸ τοῦ καρχησίου εἰς πρῷραν καὶ πρύμναν διατείνοντας.

Προτόνιον, ἱμάτιον, ὃ ἡ ἱέρεια ἀμφιέννυται. ἐπιτίθεται δὲ ἀπὸ τῆς ἱερείας τῷ σφάττοντι. προτόνιον δὲ ἐκλήθη, ὅτι πρώτη Πανδώρα μετὰ τῶν ἀδελφῶν κατεσκεύασε τοῖς ἀνθρώποις, τὴν ἐκ τῶν ἐρίων ἐσθῆτα.

Προτορύμῳ, ἐν τῷ ἀκρορύμῳ, ὅπου ὁ ζυγὸς δεσμεῖται.

Προτοῦ, ἀντὶ τοῦ πρώην.

Προτραπέσθαι ἄχεϊ ἤθελον. Ὅμηρος λέγει, ἤγουν χώραν ἢ μᾶλλον ἐκτροπὴν δοῦναι λύπῃ, καὶ ἄλλως δὲ εἰπεῖν, ἤθελον μὴ ἀντίον ἰέναι τῷ ἄχεϊ, ἀλλὰ προτραπέσθαι αὐτῷ, καὶ οἷον προτραπῆναι εἰς φυγήν, καὶ κατανωτίσασθαι ἐν τῷ ἀποστῆναι μὲν τῆς μάχης, καθεσθῆναι δὲ πρὸς ὥραν ἐν τῷ οἴκῳ.

Προτρέπεται, μεταβάλλει, παρὰ τῷ Ἱπποκράτει.

Προτροπεσθάριοι, οἱ ἐπὶ τροπὴν ἔχοντες.

Προτρέπει τίς τινα, ἐπειδὰν εἰς ἔργον αὐτόν τις διεγείρει. προτρέπεται δέ τις Θεόν, ἀντὶ τοῦ ἱκετεύει.

Προτρέπω σε ποιεῖν, ἀεὶ μετὰ ἀπαρεμφάτου. προτρέπω ἐστίν, ὅτε τὴν ἐμὴν γνώμην δίδωμι, καὶ παρακινῶ τινα εἴς τι.

Προτρέπω, κινῶ, γυμνάζω, διερεθίζω, διεγείρω, παροξύνω, ἐξορμῶ, παρορμῶ, παροτρύνω, ἐποτρύνω, θαρσύνω, ἐπείγω, ἀναγκάζω, βιάζω, ἐπισπεύδω, ἐπισπέρχω, πάντα ταῦτα τὰ ῥήματα ἐπὶ παρακινήσεως λέγονται. ἐκ τοῦ ἐναντίου, ἀποτρέπω, ἀπέχω, ἀνασειράζω, ἀναχαιτίζω. ἀνακρούω, ἀναστέλλω, ἐμποδίζω, συστέλλω, χαλινῶ, κατέχω, ἀπείργω, ἀνείργω, καταρραθυμῶ. ἐκ τούτων ὀνόματα προτροπή, καὶ ἀποτροπή, καὶ πρόκλησις, καὶ διέγερσις, καὶ ἐξόρμησις, καὶ κατοχή, καὶ ἐποχή, τοὐναντίον καὶ ἐμπόδιον καὶ ἐμπόδισμα καὶ συστολή.

Προτρεμβεῖς, δριμεῖς, καὶ ὀξεῖς.

Προτριταία, ἡ ἐπάνω ἡμέρα. Θουκυδίδης ἐν δευτέρᾳ, τὴν τρίτην πρὸ τῆς ἐκφορᾶς.

Προτρόπια, θυσίας εἶδος.

Προτροπάδην, προθύμως, ἀμεταστρεπτί, ἢ εἰς τοὔμπροσθεν. Ἀγαθίας, παραδόντες δὲ τὰ νῶτα τοῖς πολεμίοις, ἔφευγον προτροπάδην, ἀλκῆς ἁπάσης ἐπιλελησμένοι.

Προτροπή, παράκλησις, καὶ τὰ ὅμοια.

Πρότροπος, οἶνός τις τοῦ γλεύκους, τὸ πρόρρυμα.

Προτρυγία, ἑορτὴ Διονύσου, καὶ Ποσειδῶνος.

Προτύπως, ἀκολούθως.

Προτυχών, προστυχών, παρατυχών.

Πρὸ τῶν ὅλων, πρότερος τῶν ὅλων.

Προῦ, προσέρχου.

Προύβα, τὸ λευκόν.

Προύβη, προσέβη.

Προυγελεῖν, προπηλακίζειν, ὑβρίζειν.

Προὔγραφε, καὶ προυγράφη, κατηγορήθη.

Προυδιδάξατο, ἀντὶ τοῦ προεδιδάξατο.

Προύθηκα, προέθηκα.

Προυκινδύνευεν, ὑπεραπέθνησκεν. ὁ δὲ προυκινδύνευε τοῦ πλήθους οὐ στρατηγικῶς, ἀλλὰ στρατιωτικῶς, ἀντὶ τοῦ ἁπλῶς.

Προυλέσι, πεζοῖς ὁπλίταις.

Προῦμορ, εἶδος οἴκου.

Προυνείκους, σημαίνει τοὺς ὑβριστάς, καὶ τοὺς ἄνδρας τοὺς ἱσταμένους ἐν τῇ ἀγορᾷ, καὶ φέροντας τὰ ὤνια, καὶ λαμβάνοντας ὑπὲρ τούτων μισθόν. καὶ εἰ μὲν τοὺς ὑβριστὰς σημαίνει, γίνεται παρὰ τὴν πρὸ πρόθεσιν, καὶ τὸ νεῖκος πρόνεικος, καὶ πλεονασμῷ τοῦ ν. εἰ δὲ τοὺς ἄλλους, παρὰ τὸ ἐνείκω Βοιώτιον, ὃ σημαίνει τὸ ἐνέγκω, γίνεται προένεικος. καὶ κράσει τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον, προύνεικος.

Προύνικος, ἀκίνητος τοῦ ψελλοῦ. προύνικος ὁ ἀκίνητος. πόρνος, τὸ αἰδοῖον, ὁ κύριος τοῦ ἅρματος καλεῖται παραιβάτης.

Προυνούστερος, ἀντὶ τοῦ προνοητικώτερος.

Προύνους, βουνούς.

Προυξενεῖς, ξενίζεις.

Προὔπεμψε, προέπεμψε.

Προὖπτον, πρόδηλον, φανερόν.

Προύρα, πλεύμων, ἢ πνεύμων.

Προυργιαίτερον, προφανὲς καὶ φανερόν, καὶ οἷον πρὸ τῶν ὀφθαλμῶν κείμενον, τὸ πρὸ τοῦ ἔργου αἱρετώτερον, ἐκ τῆς πρὸ προθέσεως, καὶ τοῦ αἱρῶ τὸ προαιροῦμαι.

Προυργιαίτερον, καὶ προυργιαίτατον, ἀναγκαιότατον, προτιμότατον. προυργιαίτατον δέ, τὸ πρὸ παντὸς ἄλλου ἔργου γινόμενον.

Προὔργου, τῶν ἀναγκαίων, καὶ τῶν πρὸ τοῦ ἔργου. οἷον τὸ μὲν ἔργον αὐτὸς ὁ γάμος. τὰ δὲ πρὸ τοῦ ἔργου τὰ εἰς τὸν γάμον ἀναγκαῖα.

Προὔργου, πρὸ ἔργου, συμφέρον, πλέον.

* Προῦσα, τῆς Προυσιάδος διαφέρει. ἡ μὲν γὰρ Προυσιὰς Βιθυνίας, ἀπὸ Προυσίου τοῦ Ζιηλάτου Βιθυνῶν βασιλέως, ἡ Κίος πρότερον ὀνομασθεῖσα. ἡ δὲ Προῦσα, καὶ αὐτὴ μὲν πόλις μικρὰ Βιθυνίας, κτίσμα Προυσίου, τοῦ Κῦρον πολεμήσαντος.

Προύσελα, προύτελα, προτελῆ.

Προύστησαν, προέστησαν.

Προυτένθευσαν, προελιμβεύσαντο, προελίχνευσαν, προυθέμευσαν, ἡμέραν προέλαβον τὴν προθεσμίαν, ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν τοῦ κέρδους. Ἀριστοφάνης.

Προυτρέπετο, ἐκ τοῦ προτρέπω, καὶ τὸ παθητικὸν προτρέπομαι, καὶ ὁ παρατατικὸς προετρεπόμην προετρέπου προετρέπετο, καὶ κράσει τοῦ ο καὶ ε προυτρέπετο ἀττικῶς.

Προὔτυψαν, προέτυψαν, κρᾶσις Ἀττική.

Προὔτυψαν, προῆλθον, ἢ προέσχον.

Προὔτυψαν ἀολλέες, ἀντὶ τοῦ προέκρουσαν, προενέβαλον εἰς πόλεμον. καὶ προὔτυψεν, ἤγουν προενέπεσεν. ἡ δὲ λέξις τοῦ προτύπτειν, καὶ ἐν Ἰλιάδι, τὴν πολεμικήν, ὡς δηλοῖ τό, Τρῶες δὲ προὔτυψαν. καὶ ἄλλως δὲ προτύψαι, τὸ μὴ ἐντὸς που τύψαι, ἀλλὰ πρὸ τοῦ ἀκρωτηρίου τῆς ῥινός, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας ω, ὡς τὸ ἀνὰ ῥῖνας δὲ οἱ ἤδη δριμὺ μένος προὔτυψεν, ἤγουν προενέπεσε τὴν ῥισίν. ὃ δὴ προπάσχει ὡς τὰ πολλά, ὁ μέλλων δακρύειν.

Προὔφειλες, οὐδὲν ἄλλο ἐκ τοῦ προὔφειλες ἐκδεκτέον, ἢ μόνον τὸ ὤφειλες, ἐχρεώστεις.

Προὔχειν, προέχειν τι λέγειν, ἢ τι πράττειν. χρὴ φράζε μοι τέχνα γὰρ τέχνας ἑτέρας προὔχει.

Digitized by Google

Προὔχεσθαι, ὅτι καὶ τὸ προφασίζεσθαι λέγεται, δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ προὔχοιο, ἀντὶ τοῦ προφασίζοιο. ἐκ δὲ τούτου καὶ προχάνας φασὶ, τὰς προφάσεις λέγεσθαι. αὐτὸ μέντοι ἴσως, ἀπὸ τοῦ προχαίνειν. ἐπεὶ καὶ ταυτὸν δοκεῖ προχαίνειν καὶ προφάσκειν εἰπεῖν. τὸ μὲν, ἐκ τοῦ προηγουμένου. τὸ δ᾽ ἐκ τοῦ ἀποτελέσματος. διὸ καὶ ὁ μὴ δυνάμενος φάσκειν, ἀχάνης λέγεται.

Προὔχοιο, προφητίζοιο.

Προὔχνου, παντελῶς.

Προὔχοντο ἐννέα ταύρους, ἤγουν παρεῖχον, προεβάλλοντο, πρὸ ἑαυτῶν εἶχον ὥστε σφάξαι ἐν γ᾽ τῆς Ὀδυσσείας, λέγεται καὶ προΐχοντο.

Προὔχων, προέχων.

Προφαίνων, προλέγων, προδηλῶν.

Προφανεῖς, προφανέστεροι.

Προφανέντες, προελθόντες.

Πρόφαντα, προφητικά.

Πρόφαντον, λόγιον, θεοπρόπιον, προδεδηλωμένον.

Πρόφαντος, ἐπιφανὴς, καὶ ἐπίσημος, ἔνδοξος, περιφανής.

Προφανῶς, προθύμως.

Προφασίζομαι, προσβάλλομαι, ὑπολογίζομαι, σκήπτομαι, ὑπονοῶ, προμηθοῦμαι, προνοοῦμαι, προφασίζω, ἴσω. λατινιστὶ, ἐξκούσω.

Προφασίζεσθαι. ὃ λέγεται παρ᾽ Ἀττικοῖς σκήπτεσθαι. αἰτιατικῇ συντάσσεται.

Προφασίζεσθαι, τὸ προτείνειν προφάσεις.

Πρόφασις, αἰτία, ἀφορμή.

Πρόφασις κυρίως, ὁ προτεινόμενος διὰ προσώπου λόγος, ἐπὶ κατηγορίᾳ τινὸς, καὶ ἀπὸ τούτου ἁπλῶς, ἡ αἰτία.

Πρόφασις, καὶ ἡ ἀληθὴς καὶ ἡ ψευδὴς αἰτία.

Πρόφασσα, ἤτοι πρόθυμος, ἐννοοῦσα καὶ προνοηθεῖσα.

Πρόφερε, ὀνείδιζε.

Πρόαγε, προκόμιζε. ὡς τὸ, πρόφερε ὅμοιον.

Προφέρειν, κυρίως ἐπὶ ὀνείδους λέγεται, οἷον προφέρω σοι δυσγένειαν. προφέρειν, καὶ τὸ ὑβρίζειν, καὶ προτείνειν.

Προφέρειν παρ᾽ Ὁμήρῳ, ἀρχὴν ἐνδέδωκε τῆς τοῦ προφορικοῦ λόγου κλήσεως. ὡς καὶ τὸ ὀνείδεά τε προφέρεις. τὸ μέντοι παρ᾽ Ἡσιόδῳ προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου, ἑτέραν ἑρμηνείαν ἔχει. ἔστι δὲ καὶ ἕτερον προφέρειν, ἐξ οὗ ὁ προφερέστερος. χρῆσις δὲ Ἀφροδίτης ἡ χρυσοφόρος, ὡς καὶ χάλκεος Ἄρης, διὰ τὸ φόρημα, ἢ ἡ καλή. ἢ ὅτι χρυσῷ κατασφράττεσθαι, ὡς καὶ Ζεὺς τὴν Δανάην χηρεῦται, καθὰ καὶ ἑτέρα τὶς γυνὴ διὰ ἵππον προὔδωκε τὸ κάλλος, ὡς ἡ τοῦ Πηρόθου μήτηρ. καὶ τὶς διὰ κύκνον, ὡς ἡ Λήδα ὑποπτεύεται. καὶ ἄλλη διὰ βοῦν, ὡς καὶ ἡ Εὐρώπη, καὶ κύων διὰ γενεῆς ὑπηγάγετό τινα εἰς ὅμοιον πάθος. ὁποία τὶς ἡ τοῦ Τρωϊκοῦ Φοινοδάμαντος, ἣν Κρημισσὸς ὁ ποταμὸς λέγεται ζεῦξαι λέκτροις, εἰκασθεὶς κυνί.

Προφερεῖσθαι, τὸ ταῖς διαζομέναις τὸν στήμονα παραδιδόναι.

Προφερεῖς, οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι.

Προφερέστατον, βέλτιον.

Προφερέστεροι, κρείττονες, ὑπερέχοντες, κρείσσονες, βελτίους.

Προφητεία. ἡ μέν ἐστι πνευματικὴ, ἡ δὲ διαβολική. λέγονται γὰρ παρ᾽ ἐκείνοις, ὁμωνύμως αἱ προφητεῖαι. ἡ δὲ μέση τούτων φυσική τις, ἢ τεχνική. ἡ δὲ, κοινὴ καὶ δημώδης. τῆς μὲν οὖν πνευματικῆς, προηγουμένως μὲν τοῖς Ἁγίοις μέτεστι, δι᾽ οἰκονομίαν δὲ καὶ τοῖς μὴ τοιούτοις, ὡς τῷ Φαραὼ, καὶ τῷ Βαλαὰμ, καὶ τῷ Καϊάφᾳ. τῆς δὲ διαβολικῆς, τοῖς τούτων μόνων θεραπευταῖς. αὐτοὶ γὰρ οἱ ἀλευρομάντεις, καὶ χειροθομάντεις, καὶ ἡ διὰ δρυὸς πυθία. ἡ Δωδώνης ἱέρεια, καὶ ἡ διὰ σπλάγχνων, καὶ πτήσεων, καὶ κλαγγῶν ὀρνέων, συμβόλων τε, καὶ παρμῶν καὶ χληδόνων καὶ βροντῶν, μυῶν τε καὶ γαλῆς, καὶ τρισμῶν, ξύλων τε καὶ ὤτων ἤχων, καὶ παλμῶν σώματος, καὶ δι᾽ ὀνομάτων νεκρῶν τε, καὶ ἄστρων καὶ ὑδάτων, καὶ ἄλλων μυρίων.

Προφήτης ἐστὶν, ὁ δι᾽ ἐνεργείας πνευματικῆς τὰ μέλλοντα δηλῶν.

Προφήτης ἐστὶν, ἄνθρωπος θεῖος, παρεξετηκὼς, πνευματοφόρος.

Προφθάνω, προάγω, ἐγκαταλαμβάνω.

Προφορεῖσθαι, λέγεται τὸ παραφέρειν τὴν στήμονα τοῖς διαζομένοις. εἴρηται δὲ παρὰ τῷ Ἀριστοφάνει.

Προφορικὸς, προφορικὸς λόγος ἐστὶ ῥημάτων σύνθεσις. κατὰ περίφρασιν δὲ λέγεται συμπερασματικὸς, ὡσανεὶ περίφρασίς ἐστι βεβαίωσις, ἤγουν ἀπόδειξις τῶν ἤδη σαφηνισθέντων.

Προφράγματα, τὰ προσκήνια.

Πρόφρασσα, ἐνόησάν τινες εἶναι θηλυκόν. οὐκ ἔστι δέ. Φιλόξενος γὰρ ἐν τῷ περὶ μονοσυλλάβων φησὶν, ὅτι ἐστὶν ἰδιοτύπου ῥήματος χαρακτὴρ, ὡς παρὰ τὸ βήσω βῆσσα, οὕτως ἀπὸ τοῦ φρῶ φρῆσσα, καὶ φράσσα καὶ ἐν συνθέσει Ἰλιάδος κ, σὺν σοὶ δῖα θεὰ, ὅτε οἱ πρόφρασσα παρέστης. σημαίνει δὲ τὸ προδιανοηθεῖσα, πρὶν ἐκεῖνον προσκαλέσασθαι, αὐτεπάγγελτος ἢ πρόθυμος.

Προφυλακὴ τοῦ κυρίου, εἰς τέσσαρας φυλακὰς διαιρεῖται ἡ νύξ. ἑκάστη δὲ ἔχει ὥρας τρεῖς.

Πρόφυσιν, βλάστημα, παρὰ τῷ Ἱπποκράτει.

Πρόφρων, πρόθυμος, φρόνιμος.

Προχάζοιο, προβαίνοις, ἀναποδίζοις.

Προχάνη, σκῆψις, πρόφασις, καὶ καλύπτρα.

Προχαιριστήρια, ἡμέρα ἐν ᾗ ἐν τῇ ἀρχῇ πάντες ἀρχομένων καρπῶν φύεσθαι, λήγοντος ἤδη τοῦ χειμῶνος, ἔθυον τῇ Ἀθηνᾷ. τῇ δὲ θυσίᾳ ὄνομα προχαιριστήρια. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερωσύνης.

Πρόχασον, πρόελθε.

Προχέα, πρόφασιν.

Προχέει, ἐκπέμπει.

Προχειρίζω, πᾶσι γνώριμον ποιῶ.

Προχειροῦμαι, διατεινίζω. Ἀριστοφάνης.

Πρόχειρον, τὸ κατημαξευμένον, τὸ πᾶσι γνώριμον. αἰνίττεται καὶ τὸ πρόχειρον.

Πρόχειρος, ἀκρατὴς, ὁ πρόχειρος ὢν τῇ γνώμῃ, διὰ τὴν ἐμπειρίαν. οὐ μέλλειν ἐφηδεῖν, ἀλλ᾽ ἀπαντᾶν, καὶ ναυμαχεῖν τοῖς πολεμίοις. καὶ ὁ ἕτοιμος, πρόχειρος λέγεται.

Πρόχειρος, ὁ ἁπλοῦς καὶ ἀφύλακτος.

Προχειρίσαι, ἐπιλέξαι.

Προχειροτονία, ἔοικεν Ἀθήνησι τοιοῦτόν τι γίνεσθαι, ὁπόταν τῆς βουλῆς βουλευσάσης, εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη, πρότερον γίνεται χειροτονία ἐν τῇ ἐκκλησίᾳ. πότερον δοκεῖ περὶ τῶν προβουλευθέντων σκέψασθαι τὸν δῆμον, ἢ ἀρκεῖ τὸ προβούλευμα.

Προχέοντο, τὸ προήρχοντο, μεταφορικὸς ὁ τρόπος. κυρίως γὰρ προχέοντο, ἐπὶ τῶν ὑδάτων λέγεται. δηλοῖ τὸ τῶν Ἀχαιῶν, οἷον ὑγρὸν πρὸς διακίνησιν. εἴληπται δὲ ἀπὸ ὑδάτων συλλειβομένων ποθὲν εἰς πεδιάδα. τοιοῦτον καὶ ἐν Ὀδυσσείᾳ τὸ, ἱππόθεν ἐκχύμενοι.

Προχθήσεσι, ταῖς εἰς τὴν θάλασσαν προχύσεσι.

Πρόχνυ, τοῦτ᾽ ἔστι παντελῶς. ἢ προγόνυ, ὅ ἐστι πρόρριζον. πρόχνυ ἐπίρρημα ποιότητός ἐστι, καὶ δηλοῖ ἐπὶ γόνυ. καὶ ὡς εἰπεῖν προγόνυ, καὶ κατὰ συγκοπὴν καὶ τροπὴν πρόχνυ.

Προχοαὶ, αἱ τῶν ποταμῶν ἐξοδευτικαὶ ἀφέσεις εἰς τὴν θάλασσαν, καὶ παντὸς ὕδατος ἐκροή.

Προχοὴ, ἡ τοῦ ὕδατος πρόχυσις. προχόη δὲ τὸ ἀγγεῖον. Ἀριστοφάνης ἐν νεφέλαις, εἶτ᾽ ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέαις ἀρύεσθε προχοῆσι.

Προχοὴ, τῶν ποταμῶν οἱ συμβάλλοντες τόποι τῇ θαλάσσῃ λέγονται. Ὅμηρος, ὡς δ᾽ ὅτ᾽ ἐπὶ προχοῆσι.

Προχοΐδας, τὰς ἀμίδας.

Πρόχοιο, προφασίζοιο, ἢ προβάλλοιο, καὶ σκεπάζοιο, παρὸ καὶ τὰς ἀσπίδας προβάλους ἔλεγον.

Πρόχοος, ἐν Ὀδυσσείας σ᾽, ξέστης ἐστὶ, ποτίζειν χρήσιμος. οὐ μὴν κατὰ τὴν ἐν α ῥαψῳδίᾳ, δι᾽ ἧς ὕδωρ χερσὶν ἐπιχέεται.

Πρόχοος δὲ θηλυκῶς, ὁ ξέστης παρὰ τὸ προχέειν. ὅθεν καὶ προχοΐδιον, καὶ συναιρέσει προχοίδιον, ὡς βοΐδιον βοίδιον, τὸ ἱμάτιον θοιμάτιον, ῥοΐδιον ῥοίδιον, καὶ ἄλλα διάφορα παράγονται ἐκ τοῦ χέω, ὧν ἐστι καὶ ὁ χοεὺς μέτρον τι χοᾶ. οὗ τὸ ἐντελὲς χοέα, ὡς Πειραιέα Πειραιᾶ. ὁ δὲ αὐτὸς χοεὺς καὶ χοῦς ἐλέγετο. ὁμωνύμως τῷ κατὰ γῆν. ὅθεν καὶ δίχωον ποτήριον, τὸ χωροῦν δύο χοᾶς. ἔλεγον δὲ καὶ Ἀθηναῖοι ἑορτήν τινα χοᾶς, συναιροῦντες ἐκ τοῦ χοΐας. ὅθεν καὶ χοὴ ἐπὶ νεκρῶν, ἐκ τοῦ χέειν. πρόφερε κραπερὸν μένος, ἤγουν φανερὸν, καὶ διάδηλον ποίει. ὅθεν παρὰ τοῖς μεθ᾽ Ὅμηρον λόγος προφορικὸς ὁ εἰς φανερὸν προαγόμενος, καὶ μὴ κατὰ τὸν ἔνδον ἐνδιάθετον ἀφανὴς ὤν.

Προχόῳ, τῇ ἐπιχύσει, καὶ ἀγγείῳ τινὶ εἰς τοῦτο ἐπιτηδείῳ κωθωνοειδεῖ. ὡς ἐν ἐπιγράμματι.

Πρόχυσιν, παρὰ Ἡροδότῳ τὸ ἀποσπᾶσαι πρόχυσιν λέγουσι.

Πρόχυσις, τὸ μεταξὺ χῶμα.

Προχύτας. οἱ μὲν κριθὰς, οἱ δὲ τὸ ὕδωρ, ὃ εἰώθασιν ἐμβάλλειν εἰς τὸ οὖς τοῦ ἱερείου, ἐπὶ τοῦ ἐπινεύειν τὸ ἱερεῖον.

Προχύτας, ὅλας ἀπαρχάς.

Προχύτης, ποτίζοντι.

Προχωρῶ, τὸ προκόπτω, καὶ προβαίνω.

Προψάτης, πανώλεθρος.

Προωδὼν, ὁ ἐξέχων τοὺς ὀδόντας.

Προωθεῖ, ἤτοι εἰς τὸ ἔμπροσθεν κινεῖ βίᾳ.

Προώλης, ἐπανώλης.

Προῶμαι, ἐάσω, ἐνδώσω, παραχωρήσω. πρόωρος, ὁ πρὸ τῆς ὥρας καὶ νεαρός. ἔξωρος δὲ, ὁ παρηβηκὼς καὶ γηράσας.

Προώμεθα, προδώσωμεν, ἐάσωμεν, παραχωρήσωμεν.

Πρώωνες, οἱ προνενευκότες τόποι τῶν ὀρῶν.

Προῶνται, αὐθυπότακτον.

Πρόωσις, ὤθησις.

Προώρας, τὰ πρώτα κλήματα.

Πρόωρον, πρὸ καιροῦ.

Πρόωπος, πρόσκοπος.

Προωχὴς ἵππος, ὁ ἐκ τῶν ὄπισθεν μετέωρος, καὶ τῷ ἀναστήματι καὶ τῇ ἱππασίᾳ.

Πρύανος, νέος.

Πρυλέες, οἱ ἐν μάχῃ πεζοὶ ὁπλῖται, κατὰ γλῶσσαν Γορτυνίων, ὥς φασιν οἱ παλαιοί.

Πρυλέες, δηλονότι ἔχει διάθεσιν πρύλης, γινομένην ἐκ τοῦ περῶ περύω, τὸ ὁδεύω, περύσω πρύσω, καὶ πρύλης, ὡς δαμάσω δάμαλις. ἴσως δὲ συντελεῖ τι πρὸς τὴν τοιαύτην κλίσιν καὶ τόνωσιν, καὶ τὸ κύριον ὁ πρύλης, ὁ παρὰ Λυκόφρονι. καὶ μὴν ἄλλοι, ἐν οἷς καὶ Ἡρωδιανὸς, πρυλὶς γράφουσιν ὀξυτόνως, καὶ κλίνουσι κανονικῶς πρυλέος πρυλεῦς, καὶ ἔστιν ἀσφαλέστερον τοῦτο. ἀπὸ γὰρ τοῦ πρύλις πρύλεες ὤφειλεν εἶναι, ὡς ὄφεες, ἀλλὰ μὴν διῄρηται πρυλέεες, ὡς διασεβέες.

Πρυλάσεις, ἐπὶ τῆς ἐκφορᾶς τῶν τελευτησάντων, παρὰ τῷ ἱερεῖ.

Πρύλιν, πυρρίχην, ἢ ὁπλίτην.

Πρυλὶς, ἦν μάντις τὶς, τῇ Ἴσῃ, ἤτοι τῇ Λέσβῳ, υἱὸς τοῦ Καδμήλου καὶ Κάδμου, ἤτοι Ἑρμοῦ καὶ Ἴσσης τινὶς νύμφης, ὃς προσενεχθεῖσι τοῖς Ἕλλησι τῇ Λέσβῳ, ὑπέθετο τὸν τρόπον τῆς Ἰλίου ἁλώσεως διὰ μαντείας. εἶπε γὰρ τὴν κατασκευὴν τοῦ δουρείου ἵππου δώροις πεισθεὶς ὑπὸ Παλαμήδους, πρὸς ὃν λέγει ὁ πρύλι, ὡς μὴ ὠφελέσει τὸν πρύλιν φυτεῦσαι καὶ γεννῆσαι ὁ Κάδμος, ἤτοι ὁ Ἑρμῆς. οὕτω λεγόμενος παρὰ Βοιωτοῖς ἐν τῇ Ἴσῃ, καὶ Μιτυλήνῃ τῇ περιρρύτῳ, ἤτοι τῇ κυκλουμένῃ ὑπὸ θαλάσσης. φυτεῦσαι δὲ Ποδηγέτην, καὶ Ἑρμέα ὁδηγὸν τῶν Ἑλλήνων.

Πρύμνα, πρυμνόθεν. πᾶν γὰρ τὸ πρόσγειον κάτωθεν, πρύμνον λέγεται.

Πρύμνη, τὸ ἔσχατον καὶ ὀπίσθιον μέρος τῆς νεὸς, παρὰ τὸ εἰς μέρος τὸ τελευταῖον μένειν.

Πρύμνῃ νηὶ, παρὰ τὸ πρύμνη. οἱ δὲ πλείους τῶν ἑρμηνέων, ἀντίπτωσιν τὸ σχῆμά φασιν, ἵνα λέγῃ νηὸς παρὰ πρύμνῃ. ἢ πρύμνῃ ἐπὶ νηὶ, ἀντὶ τοῦ ἐν πρύμνῃ τῆς νηὸς. ὅμοιον τῷ, ἀλλ᾽ οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ, ἀντὶ τοῦ Ἀτρείδου τῷ θυμῷ.

Πρυμνήσια, τὰ ἀπόγεια τὰ πρὸς τῇ γῇ δεσμούμενα σχοινία τὴν ναῦν, ἃ πείσματα λέγονται, ὡς τῆς νηὸς πειθομένης αὐτοῖς.

* Πρυμνησία πόλις Καρίας, ἣν ἔκτισε Μίμαιθος. τὸ ἐθνικὸν Πρυμνησιεύς.

Πρυμνὸν, τὸ ἔσχατον, ὡς ἀπὸ τοῦ περῶ περύω τὸ πέρατον. ἐξ οὗ καὶ ἡ τῆς νηὸς πρύμνη. καὶ πρυμνόθεν τομὴ, ἡ πρόρριζος. καὶ πρυμνότατον, κατώτατον

Digitized by Google

νᾶον παρ' Ὁμήρῳ, ἤγουν ἔσχατον πρὸς τῇ κεφαλῇ δηλαδή. λέγεται δὲ πρυμνὸν, καὶ τὸ ἐπικάτω, οἷον τυχὸν ῥίζης, ἢ τοιούτου τινός. ὅλως δὲ εἰπεῖν πρυμνὸν, τὸ ἔσχατον.

Πρυμνώρειαν, τὸ κάτω μέρος τοῦ ὄρους.

Πρυτανεῦσαι, διοικῆσαι, προστατεῦσαι, φυλάξαι, βασιλεῦσαι, ταμιεῦσαι. κυρίως γὰρ ἐπὶ τούτου τοῦ σημαινομένου τάσσεται ἡ λέξις. πρύτανις γὰρ, ὁ σιτοφύλαξ, οἱονεὶ πυροταμίας, καὶ συγκοπῇ καὶ τροπῇ πρύτανις.

Πρυτανεῖα, τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλαι. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ πρυτανεῖα. ἦν δὲ ἀργύριόν τι, ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων, καὶ ὁ διώκων. καὶ πρυτανείας, ἐστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία, ἤτοι ἐκ τριάκοντα καὶ ἕξ, ἢ τριακονταπέντε.

Πρυτανεῖα, τὰ διδόμενα ἀπὸ τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια.

Πρυτανεῖον, τὸ κοινὸν ταμεῖον, καὶ οἰκίσκος παρὰ τοῖς Ἀθηναίοις, ὅθεν αἱ κοιναὶ διεργεσίαι καὶ σιτήσεις ἐδίδοντο. πρυτανεῖα δὲ πληθυντικῶς, τὰ καταβαλλόμενα ὑπὸ τῶν διωκόντων δίκην. ἦν δὲ τὸ ἐπιδέκατον τοῦ τιμήματος. πρυτανεία δὲ θηλυκῶς, χρόνος. εἰς δέκα γὰρ πρυτανείας ὁ χρόνος διῄρητο, ὅτι δέκα φυλαὶ ἦσαν παρ' αὐτῇ. καὶ ἐπρυτάνευεν ἑκάστη φυλὴ κατ' ἐνιαυτὸν ἅπαξ.

Πρυτανεῖα, μέταλλα, ἀγορὰς, λιμένας, μισθοὺς, δημοσιόπρατα, τούτων πλήρωμα τάλαντ' ἐγγὺς δισχίλια.

Πρυτανεία, πρόσοδος εἰς τὰ δημόσια καταταττομένη. ἣν οἱ δικασάμενοί τισι καὶ ἡττηθέντες κατέβαλλον, ὡρισμένην ζημίαν κατατιθέντες ἕκαστος.

Πρυτανεῖς, τὸ δέκατον μέρος τῆς βουλῆς τῶν πεντακοσίων. καὶ πεντήκοντα ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα, πρυτανεῖς ἐκαλοῦντο. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλαις αἱ δέκα φυλαὶ, κλήρῳ λαχοῦσαι.

Πρυτάνεις, οἱ προεστῶτες τῆς σιτήσεως, καὶ τοῦ δήμου ἄρχοντες, ἢ ὑπηρέται.

Πρυτανεύοντα. κυρίως μὲν ἀντὶ τοῦ πρύτανιν ὄντα, ἀντὶ δὲ τοῦ διοικοῦντα.

Πρυτανεύσητε, σκέψησθε, πράξητε, χρηματίσητε.

Πρύτανις, διοικητὴς, προστάτης, φύλαξ, βασιλεὺς, ἄρχων, ταμίας, ἔξαρχος.

Πρῷ, ἀντὶ τοῦ πρωΐ.

* Πρώανα, πόλις Θεσσαλικὴ, οὐδετέρως λεγομένη.

Πρῷζον, τὸ προχθεσινὸν, γίνεται πρωΐζον, καὶ κατὰ συναίρεσιν πρῷζον.

Πρώην, καὶ πάλαι, τῷ παρῳχημένῳ συντάσσεται, οἷον πάλαι ποτ' ἦσαν, πρώην ἐλήλυθε.

Πρωθῆβαι, οἱ ἐν τῇ πρώτῃ ἡλικίᾳ ὄντες, παρὰ τὴν ἥβην καὶ τὸ πρῶτον.

Πρωθήβης, ἄρτι ἀκμάζων, νέος.

Πρωθήβης, καινότερον ἐπὶ θηλυκοῦ διὰ τοῦ η δοκεῖ ἔχειν τὴν λήγουσαν καὶ γὰρ τὸ ἀρσενικὸν ὁ πρωθήβης, καὶ τὴν γενικὴν ἔχει εἰς ου. τὰ δὲ τοιαῦτα εἰς ις ἔχει τὸ θηλυκὸν, οἷον ὁ δεσπότης τοῦ δεσπότου ἡ δεσπότις, ὁ τοξότης τοῦ τοξότου ἡ τοξότις, οὕτως οὖν ὤφειλεν εἶναι καὶ πρωθῆβις. ἔοικε δὲ ἡ ὁμοιοφωνεῖν καὶ ὁμοιογραφεῖσθαι Ἀττικῶς τῷ ἀρσενικῷ. ἢ καὶ ἄλλως, ὥσπερ ὁ ἀποίητος ἡ ἀποιήτου, ὁ ἀθάνατος ἡ ἀθανάτου. οὕτως ὁ πρώθηβος καὶ ἡ πρωθήβη. τὸ δὲ πρώθηβος, ὅμοιον τῷ ἔφηβος, ἄνηβος, ἄκρηβος, παρὰ τῷ Θεοκρίτῳ. καὶ ἔξηβος, παρὰ τῷ Αἰσχύλῳ.

Πρωΐα, ἡ πρωϊνὴ κατάστασις.

Πρωϊαίτερον, θᾶττον. ἢ ἀντὶ τοῦ πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον.

Πρωΐ, ἔχει ἐναντίον τὸ ὀψέ. πρωῒ καὶ ὀψὲ λέγομεν, ἐκ πρωΐας καὶ ὀψίας. ἔστι δὲ πρωῒ, καὶ ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ. Θουκυδίδης ἐν τῇ τρίτῃ, πρωῒ ἐσβαλόντες, καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος, ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς.

Πρωῒ δ' ὑπ' ἠοῖ δισυλλάβως. ὡς δὲ τὸ πρωῒ πρόσκειται τὸ ὑπ' ἠοῖ, ὡς ἂν ὁ ὄρθρος νοεῖται. ἄλλως γάρ φασι πρωῒ λέγεται καὶ τὸ ἕως ἕκτης ὥρας. Φιλήμων οὖν φησι, μεμίσθωται δείλης πρωΐας, ἤτοι περὶ τοιαύτην πρωΐαν, ἀφ' ἧς ἡ δείλη ἄρχεται. ὅθεν σημείωσαι, ὅτι τὸ ἐπέκεινα τῆς τοιαύτης ὥρας, ἀκριβῶς δείλη ὀψία λέγεται, καὶ ὅτι ὥσπερ ἀπὸ τῆς ἠέως γίνεται ὁ ἠῷος, καὶ ἐκ τοῦ ἠοὺς ἠῷος, οὕτω καὶ ἀπὸ τοῦ ἠόος γενικῆς, ἠοῖος, ὡς ἄλλος ἀλλοῖος, καὶ τὰ τοιαῦτα. καὶ πρωϊαίτερον, θᾶττον, πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον.

Πρωϊαίτερον, καὶ πρωϊαίτατον πρὸ τοῦ δέοντος καιροῦ. Ἀριστείδης, τῶν ἱερῶν πάλιν γὰρ αὐτὸ πρωϊαίτερον τοῦ δέοντος, ἢ λούεσθαι, ἢ ἐσθίειν.

Πρωΐζα, προχθεσινά.

Πρωϊζὸν, πρὸ ὀλίγου.

Πρώϊμος, πρωϊνὸς, καὶ πρωϊνῶς, καὶ πρώϊον.

Πρώϊον, ἕωθεν ὄρθρου, ἢ πρόσφατον.

Πρώϊον, ἐκ τοῦ πρωΐ. ὡς καὶ τὸ πρώϊμος, καὶ τὸ πρωΐζα, προϋπάρχει δὲ αὐτῶν μονοσύλλαβον τὸ πρῷ, ὃ δηλοῖ κατὰ Παυσανίαν τὸ πρωῒ, ἢ πρὸ καιροῦ. καὶ πρῷ μονοσυλλάβως, ἀντὶ τοῦ πρωΐ.

Πρῶκα, τὴν σταγόνα τῆς δρόσου Δωριεῖς λέγουσι.

Πρώκεα, δῶρα.

Πρῶκες, σταγόνες, ψεκάδες, σταλαγμοί.

Πρωκτὸς λουτροῦ. παροιμιακόν. τοῦτο ἐπὶ τῶν ἐπὶ κακῷ τῷ ἑαυτῶν νικώντων, ἢ ἐπὶ τῶν ἀεὶ μολυνομένων καὶ βιαζομένων καθαίρεσθαι, ὁ γὰρ πρωκτὸς πλυνόμενος, περιγίνεται τῆς καθάρσεως. καὶ ἔτι μολύνεται, καὶ μᾶλλον ἐν τῇ ῥύσει τῆς γαστρός. εἴρηται δὲ ἀπὸ τῶν τὴν γαστέρα φερομένην ἐχόντων, καὶ ἐν τῷ ἀπολούεσθαι νικωμένων τῇ φορᾷ.

Πρωκτοτηρεῖν, τὸν πρωκτὸν τηρεῖν.

Πρωκτὸς, ὁ κῶλος. παρὰ τὸ προωθεῖν τὰ τῆς γαστρός. καὶ παροιμία, εἰς πρωκτὸν κωὸς βλέπε, τοῦτο ἐπέλεγον τοῖς ὀφθαλμιῶσι.

Πρωκτοτηρεῖν, τοὺς πρωκτοὺς τῶν πορνευόντων τηρεῖν. ἀπείρητο δὲ τοῖς τοιούτοις δημηγορεῖν.

Πρωλυθίαι, παρειμένοι, παραλελυμένοι.

Πρωλύθιον, ὁ ἐπιφερὴς, καὶ ἐπίστομα.

Πρῷ μονοσυλλάβως, σημαίνει τὸ πρὸ καιροῦ, καὶ τὸ ἕωθεν.

Πρῶνες, ὀρῶν ἐξοχαὶ, βουνοί. ὡς ἐν ἐπιγράμματι.

Πρῷον δὲ, τὸ πρώϊμον δισυλλάβως.

Πρώονες, ἐξ εὐθείας μέν ἐστι τῆς πρώων. συστέλλει δὲ τὸ ω τῆς εὐθείας, ἵνα δάκτυλος ἀπαρτισθῇ. ὡς μὴ δὲ κανόνος κωλύοντος. πρὼν δέ ἐστι τὸ πρωτότυπον, καὶ κλίνεται πρωνὸς, ὡς κλωνός. δηλοῦσι δὲ οἱ πρῶνες κατὰ Παυσανίαν, ὄρους ἐξοχὰς, βουνοὺς, λόφους, καὶ γίνεταί φησιν ἀπὸ τοῦ πρῶσθαι. Διονύσιος δὲ ὁ περιηγητὴς, πρηῶνάς φησι.

Πρώονες, πλεονασμὸν ἔχουσι τοῦ ο μικροῦ. προϋπάρχει δὲ τὸ πρὼν, πρωνὸς, ὃ δηλοῖ τὸν ὑψηλὸν τόπον, ὡς ἀπὸ τῆς πρωΐων μετοχῆς κατὰ τοὺς παλαιοὺς, ἐκδρομῇ τοῦ τ καὶ κράσει τῶν λοιπῶν φωνηέντων. ἢ πρώονες, ὀρῶν ἐξοχαί. ὧν ἡ κλῆσις ἐκ τοῦ πρώων πρώονος. οὗ ἡ κίνησις ἀνάπαλιν ἔχει πρὸς τὸ κόων κόωνος, κύριον. ἐκεῖνο μὲν γὰρ βραχυπαράληκτον ὂν, φυλάσσει τὸ ω ἐν τῇ γενικῇ. τοῦτο δὲ συστέλλεται, καθ' ὁμοιότητα τοῦ Μαχάονος, Ἰξίονος, καὶ τῶν ὁμοίων. δῆλον δὲ, ὅτι καὶ πρηὼν πρηῶνος, καὶ πρὼν πρωνὸς φαμέν. ὧν κοινότερον μὲν ὁ πρὼν, ποιητικώτερα δὲ ὁ πρώων, καὶ ὁ πρηών.

Πρῷρα, ἐκ τοῦ πρόορα, κράσεως γενομένης τῶν δύο ο εἰς ω. σημαίνει δὲ τὸ ἐμπρόσθιον, παρὰ τὸ πρότερον τοῦ ῥέοντος, ἤτοι τοῦ ὕδατος ἅπτεσθαι.

Πρῷρα, τὸ ἔμπροσθεν τῆς νεώς. καὶ πρώραθεν, καὶ πρωράτας τῆς νηὸς, καὶ πρωρεύς.

Πρωράχθη, ἡ μεταφορὰ ἀπὸ τῶν πλοίων. ἐκεῖνα γὰρ ἐν τῇ πρώρᾳ τὸν φόρτον φέρει, καὶ ἐπαιρόμενα ἐγκαθίζεται τῇ θαλάσσῃ. φυσικῶς δὲ οἱ γέροντες ἐπὶ τὸ πρόσωπον φέρονται. πρῷρα δὲ, τὸ πρόσωπον.

Πρωρεῖ, κηδεύει, ἐκρεῖ. προρᾷ, φοβεῖται.

Πρῶτα στοιχεῖα, ὁ ἀλφάβητος. καὶ ταῦτα μέντοι κακὰ κακῶς περὶ γραμμάτων φησιν, ὅτι οὐδ' αὐτὰ καλῶς διὰ δυσγένειαν.

Πρῶτα φύσει, αἱ ἀρχαί. ἔσχατα δὲ φύσει, τὰ πολὺ τῶν ἀρχῶν ἀφεστῶτα. ἔστι δὲ ταῦτα προβλήματα, τοῖς μὲν ἐπιχειροῦσι χαλεπὰ δειχθῆναι, τοῖς δὲ ἀποκρινομένοις ῥάδια. τὰ μὲν γὰρ πρῶτα, τὸ χαλεπὸν ἔχει, ὅτι μὴ οἷόν τε αὐτὰ δι' ἄλλων δεικνύναι, τῷ τὰ μὲν δεικνύμενα δείκνυσθαι διὰ πρώτων, τῶν δὲ πρώτων μὴ εἶναί τι πρῶτον. γίνεται γὰρ ἡ τῶν ἀρχῶν γνῶσις, οὐ δι' ἀποδείξεως, ἀλλὰ δι' ὁρισμοῦ. ὁρίσασθαι γὰρ δεῖ πρῶτον τὴν ἀρχὴν, τί ποτέ ἐστι, καὶ τοῦτο αὐτὴν ὑποθέμενος, εἶναι χρῆσθαι αὐτῇ εἰς τὴν δεῖξιν τῶν μετ' αὐτὴν, διὰ τοῦτο δυσεπιχείρητοι αἱ ἀρχαὶ, καὶ οὐ ῥᾴδιαι δειχθῆναι. τὰ δὲ ἔσχατα, ὅτι διὰ πολλῶν μέσων δείκνυται. πρῶτον δὲ λέγεται σχῆμα, ἐπὶ τῶν συλλογισμῶν, οὐχ ὡς αἴτιον, οὐδὲ ὡς γεννητικὸν ἐκείνων, ἀλλὰ τῇ τάξει. καὶ τελειότερον ὂν, οὐ τῷ γεννᾶν ἐκεῖνα καὶ παράγειν, ἀλλὰ τῷ πλείονα δύνασθαι, καὶ ταῖς ἀποδεικτικαῖς οἰκειότατον ἐφόδοις εἶναι.

Πρωταγωνιστεῖν, πρῶτον ἀγωνίζεσθαι.

Πρώτας, θύρας λέγει Ὅμηρος, τὰς αὐλείους· ἃς ἔθος ἦν τηρεῖσθαι ὑπὸ κυνῶν, τὰς αὐτὰς σαφέστερον καὶ πρόθυρα εἶπεν ἐν μιᾷ λέξει. καὶ σημείωσαι, ὅτι τὸ πρῶτον καὶ τὸ πύματον, ἀντίκεινται.

Πρωτόλειαι, αἱ ἀπαρχαί. κυρίως μὲν τῆς λείας, ἤγουν τῆς αἰχμαλωσίας. καταχρηστικῶς δὲ πᾶσα ἀπαρχή.

Πρωτερική, εἶδός τι συκῆς πρωΐμου, καὶ πεδίον τι οὕτω καλεῖται.

Πρωτεὺς, Ποσειδῶνος υἱὸς, τῷ γένει Αἰγύπτιος. εἰς Φαλάγραν τῆς Παλλήνης καὶ Θρᾴκης ἐλθὼν ἐξ Αἰγύπτου, Τορώνην γαμεῖ. ἐξ ἧς αὐτῷ Τμῶλος, καὶ Τηλέγονος, οἱ καταπαλαίοντες τοὺς ξένους ἀνῄρουν. ὧν τὴν ξενοκτονίαν μὴ φέρων ὁ Πρωτεὺς, τῷ αὐτοῦ πατρὶ Ποσειδῶνι ηὔξατο, πάλιν καταστῆσαι αὐτὸν εἰς τὴν Αἴγυπτον. ὁ δὲ ὑπακούσας αὐτῷ, σπήλαια ἐκ τοῦ χάσματος τῆς Παλλήνης ποιήσας, ὑποκάτωθεν θαλάσσης, οὕτω διήγαγεν αὐτὸν ἀβρόχως, μέχρις Αἰγύπτου. Ἡρακλῆς δὲ περὶ Θρᾴκην διερχόμενος, καὶ καταπαλαίσας, ἀνεῖλε τὸν Τμῶλον, καὶ τὸν Τηλέγονον. ὅπερ μαθὼν ὁ Πρωτεὺς ὁ τούτων πατὴρ, οὐ γελᾷ μὲν ὅτι παῖδες ἦσαν αὐτοῦ. ὅτι δὲ ξενοκτόνοι, οὐδὲ δακρύει. τὸ δὲ ἀληθές. μὴ φέρων ὁ Πρωτεὺς τὰς ξενοκτονίας αὐτῶν, ἔρριψεν ἑαυτὸν κατά τι χάσμα τῆς Παλλήνης, καὶ ἀναιρεθεὶς οὔτε δακρύει, οὔτε γελᾷ.

Πρωτεύω, ἀμεταβάτως. πρωτεύω δὲ τοῦ δήμου μεταβατικῶς, πρωτεύω πρωτεῖον, δευτερεύω δευτερεῖον, ἱερεύω ἱερεῖον, ἀριστεύω ἀριστεῖον, βραβεύω βραβεῖον, καλλιστεύω καλλιστεῖον. τὰ ἀπὸ τῶν διὰ τοῦ ευ ῥημάτων διὰ τοῦ ειον γινόμενα οὐδέτερα, διὰ τῆς ει διφθόγγου γράφεται.

* Πρώτη, ὀξυτόνως, νῆσος ἀπὸ τῆς σφακτηρίας, καὶ πύλου, τὸ ἐθνικὸν, Πρωταῖος.

Πρώτη ἱσταμένου, Ἀθηναῖοι οὕτως ἠρίθμουν τὰς ἀπὸ νουμηνίας. ὁμοίως ἡμῖν λέγοντες, πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, μέχρι τῶν δέκα. μεθ' ἣν, πρώτην ἐπὶ δέκα, εἶτα δευτέραν ἐπὶ δέκα, καὶ ἑξῆς ἄχρι εἰκοστῆς, ἡ αὐτὴ δὲ καὶ εἰκάς. μεθ' ἣν ἑνδεκάτην φθίνοντος, ἢ δεκάτην, ἢ ἐννάτην, ἢ ὀγδόην, ὡς ἔτυχεν ἔχων ὁ μὴν, καὶ ἑξῆς ἀναλύοντες ἄχρι δευτέρας. οὕτω γὰρ Ἀθηναῖοι ἠρίθμουν, οὐ προστιθέντες, ἀλλὰ ἀφαιροῦντες, καὶ ἀναλύοντες μέχρι τετράδος, Σόλωνος ἡγησαμένου πρὸς τὰ τῆς σελήνης φῶτα, οὕτω μειούμενα. μετὰ δὲ δευτέραν ἀκτέον ἕνην, τουτέστι τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν. ἄλλως. πέμπτη, πετρὰς, οὐ προσέθηκε τὸ φθίνοντος, οὕτω γάρ φασιν Ἀθηναῖοι μετροῦσιν ἀπὸ πρώτης

ἐκ

ἕως δευτέρας, προστιθέασι τὸ ἱσταμένου. ἀπὸ ἑνδεκάτης, ἕως ἐννεακαιδεκάτης, τὸ ἐπὶ δέκα, εἶτα ἡ μεγάλη εἰκάς. ἀπὸ εἰκοστῆς πρώτης, ἕως εἰκοστῆς ἐννάτης, τὸ φθίνοντος. τὴν δὲ τριακοστὴν, ἕνην τε καὶ νέαν. ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ, καὶ τοῦ νέου φωτός. ταύτας δὲ καὶ δημητριάδας προσηγόρευσαν, τὴν οὖν εἰκοστὴν δευτέραν ἐκάλουν ἐννάτην φθίνοντος, τὴν εἰκοστὴν τρίτην ὀγδόην, τὴν εἰκοστὴν τετάρτην ἑβδόμην, τὴν κ' πέμπτην ἕκτην, τὴν εἰκοστὴν ἕκτην πέμπτην, τὴν εἰκοστὴν ἑβδόμην τετάρτην, τὴν εἰκοστὴν ὀγδόην τρίτην, τὴν εἰκοστὴν ἐννάτην δευτέραν. εἶτα τὴν τριακοστὴν, ἕνην καὶ νέαν, ἐν ᾗ οἱ τόκοι ἀπῃτοῦντο, ἐπεὶ ἐν αὐτῇ τελεῖται ὁ μὴν, καὶ ἀρχὴν ἔχει τοῦ ἑτέρου μηνὸς τῆς σελήνης, ὥστε ἡ μὲν εἰκοστὴ ἕκτη, παρ' αὐτοῖς πέμπτη ἀκούει· ἡ δὲ εἰκοστὴ ἑβδόμη, τετρὰς λέγεται. τὰς δὲ τριάκοντα ἡμέρας τῆς σελήνης, εἰς τρεῖς δεκάδας Ἀθηναῖοι διαιροῦσι. καὶ τὴν μὲν πρώτην, ὡς ἡμεῖς ἀπαριθμοῦνται. τὴν δὲ δευτέραν, οὕτω. πρώτη ἐπὶ δέκα, δευτέρα ἐπὶ δέκα, ἄχρι τοῦ ἐννέα. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι, τὴν δὲ εἰκάδα πρώτην, ὑστέραν δεκάδα. καὶ τὴν μετ' αὐτὴν ἐννάτην φθίνοντος, ἕως δευτέρα φθίνοντος, ἥτις ἐστὶν εἰκοστὴ ἐννάτη. τὴν δὲ τριακάδα, ἕνην καὶ νέαν φασί.

Πρ^άτησι, θύρησιν, ἐπ' ἄκρου τοῦ οὐδοῦ, ἐπ' ἄκραις ταῖς θύραις.

Πρώτιστος, πρῶτος, καὶ τὸ συγκριτικὸν οὐκ ἔχει. τὸ δὲ ὑπερθετικὸν πρώτιστος, χαρακτῆρι μόνῳ, ἐπειδὴ τὰ ὑπερθετικὰ τριγενῆ εἰσι. τὰ δ' οὐδέτερα, οὐκ ἔχει.

Πρωτόαλος, πρωτόπλους.

Πρωτόβαθρον, τὸν προεδρείας ἀξιωθέντα.

Πρωτόβολος ἵππος, ἐκ τοῦ βάλλειν, ἢ ἐκ τῆς βολῆς. οὗ χρῆσις ἐν τῷ, τὰ τέλεια ἐπὶ πλείστων γενῶν. καὶ καταρτυκότα λειπογνώμονα καλεῖται. διὰ τὸ μηκέτι ἔχειν ὀδόντας τοὺς γνώμονας καλουμένους, οἷς ἐπιγινώσκουσιν οἱ ἔμπειροι τοὺς πρωτοβόλους. ὁ δὲ τοῦτο γράψας Ἀριστοφάνης λέγει, καὶ Ἀττικὴν τινα δωδεκηίδα θύεσθαι, λεγομένην λειπογνώμονα, οἷον τελείαν. καὶ ὅτι ἔνιοι τὸν ῥηθέντα ὀδόντα οὐ γνώμονα καλοῦσιν, ἀλλὰ γνῶμα. οἷον νέα δ' ἔτ' ἐστὶν οὐχ ὁρᾷς, καὶ γνῶμ' ἔχει. καὶ πάλιν, καὶ γνῶμα γοῦν βέβληκεν, ὡς οὖσα ἑπτέτης. ἔστι δὲ τὸ γνῶμα, κατὰ τὸ βρώμη βρῶμα. οὕτω γὰρ καὶ ἐκ τοῦ γνώμη γνῶμα.

Πρωτογόνους ἄρνας, καὶ τὰ τοιαῦτα πρωτογεννήματα, ἡ κοινὴ γλῶσσα καλεῖ.

Πρωτογόνων, πρώτων φανέντων.

Πρωτογυναῖκες, οἱ μὴ ἀνηγμένοι γυναῖκας.

Πρωτοκλισία, ἡ πρώτη καθέδρα.

Πρωτόλεια εἰσι, τὰ τῆς λείας πρῶτα, καὶ τῶν λαφύρων ἃ οἱ ἄριστεῖς λαμβάνουσιν. ὡς Ἀγαμέμνων τὴν Χρυσηίδα, Ἀχιλλεὺς δὲ τὴν Βρυσηίδα, Αἴας δὲ τὴν Τέκμησσαν.

Πρωτώλη, πρώτη, ἢ πτερόν.

Πρωτολήδεσθαι, τὸ πρῶτον ἀποπειρᾶσθαι.

Πρωτόλειον, ἀπαρχήν.

Πρωτολογία, πάσης κατηγορίας αὐτοῦ ἀποφαίνει πρωτολογίαν.

Πρωτομέδεια, διὰ τὸ πρωτεύειν τῶν ἄλλων στοιχείων καὶ βασιλεύειν αὐτῶν, ὡς ἐξ αὐτοῦ γεγενημένων, ὡς εἴρηται ὄνομα Νηρηίδος.

Πρωτόνεω, οἱ πρῶτον πλέοντες, ἢ πρῶτον εἴς τινα τόπον καταπεπλευκότες.

Πρώτονος, πρῶτος νέος.

Πρωτόμφαλον, τὸ τῆς ἀσπίδος μέσον.

Πρωτοπαγῆ, πρώτως πεπηγότα.

Πρωτόπλοος ναῦς, οὐ μόνον ἡ ἐκ καινῆς ναυπηγηθεῖσα, ἀλλὰ καὶ ἡ πρώτη κατὰ τὸ πλεῖον, ἢ μετὰ πρώτου τινὸς πλεύσασα, ὅ ἐστι ναυάρχης.

Πρωτοπραξία, τὸ πρῶτον ἀπαιτούμενον, τὸ πρῶτον εἰσπραττόμενον.

Πρῶτος, πολλοστὸς, πόστος, κορυφαῖος, ἔσχατος, καὶ ὕστατος, ὑπερθετικά. πρόσπολος, ὁ δοῦλος. πρόπολος δὲ, ὁ νεωκόρος. ἀρσενικὰ δὲ καὶ ἀμφότερα. ἀμφίπολος δὲ ἡ δούλη θηλυκόν. καὶ οὕτω μέν τινες διαφορὰν προσπόλου καὶ ὁμοιπόλου τίθενται. ἀλλ' εὑρίσκονται καὶ ἐνηλλαγμένως λεγόμενα, τουτέστιν ἀμφότερα, καὶ ἀρσενικῶς καὶ θηλυκῶς.

Πρῶτον, ἐπὶ πολλῶν. πρότερον δὲ ἐπὶ δύο. καὶ τῷ μὲν πρώτῳ, ἀκολουθεῖ ὁ ὕστατος. τῷ δὲ, ὁ ὕστερος, οὕτω καὶ ἐπὶ τῇ πρώτῃ καὶ προτέρᾳ.

Πρωτοστάτης, ὁ πρῶτος. παρὰ τὸ κέρας τῆς παρατάξεως τεταγμένος.

Πρωτότοκος, προπαροξυτόνως ὁ πρῶτος τεχθεὶς, καὶ δηλοῖ πάθος ἡ λέξις. πρωτοτόκος δὲ κατὰ δρᾶσιν, ἡ πρώτως τεκοῦσα παροξυτόνως.

Πρωτοτύπως, ὁ ἀκολούθως πρωτουργός.

Πρώτους. ἀκμάζοντας, νέους.

Πρωτὼ, ὄνομα Νηρηίδος, παρὰ τὸ πρώτως ἐπιβαίνειν τῆς θαλάσσης, ἢ παρὰ τὸ πρωτεύειν. πρωτεύει γὰρ τὸ ὕδωρ, ὡς φασι πάσης ὕλης.

ΤΟ Π. ΜΕΤΑ ΤΟΥ Τ.

Πταίει, πίπτει, ἁμαρτάνει, σφάλλει.

Πταίη, πταίσοι.

Πταίειν, δοτικῇ, καὶ προσκρούειν.

Πταίρειν, καὶ πτάρνυσθαι λέγεται κατὰ παραγωγὴν, ὁμοίως τῷ ὄρνυσθαι καὶ τοῖς τοιούτοις, καὶ ὅτι ἐκ τοῦ πτῶ παράγεται κατὰ ὀνοματοποιΐαν, ὥσπερ καὶ τὸ πτύρω ἐπὶ ἵππων, ἐξ οὗ καὶ ὁ πτυρμός. ἰστέον, ὅτι καὶ εἴρηται παρ' Ἡροδότῳ σημειώδης πταρμὸς, εἶτ' ὄντι ὡς Ἱππίας ὁ Πεισιστράτου ἔπταρε καὶ ἔβηξε μεῖζον τοῦ συνήθους. καὶ ὥσπερ ἐκ βυτησθέντων τῶν ὀδόντων εἷς ἔπεσε, καὶ ἦν σημεῖον.

Πταίω, τὸ προσκόπτω, παρὰ τὸ πέσω, συγκοπῇ πτῶ, καὶ κατὰ παραγωγὴν πταίω, ἀπὸ τοῦ πίπτειν πολλάκις τοὺς προσπταίοντας.

Πτακὲς, ἢ πτακίδες, δειλοὶ, ἐπτηχότες, καὶ πτακισμός.

Πτακωρεῖν, πτήσσειν, δεδοικέναι.

Πταλὸν, ἐφ' ᾧ ἡ σταφυλὴ πατεῖται.

Πτάμενος, διελθών.

Πτὰξ, πτακὶς, πτὼξ, δειλός.

Πταρμός. Ἀριστοφάνης, κᾆτα πῶς οὐκ ἔπταρον, ἀντὶ τοῦ οὐκ ᾐσθόμην. ὁ πταρμὸς γὰρ, κεφαλῆς αἴσθησις. ἐπεὶ οἱ θίγοντες τοῦ μυκτῆρος λεπτῷ κάρφει, πτάρνυνται, ἢ ὀσφραίνονται προσενεγκόντες. οὕτω φησὶν, ἢ ψαύομεν πληγῇ, ὃν τρόπον ἅπτεται κάρφος μυκτήρων.

Πταρμῶν, οἱ μὲν εἰσὶν ὠφέλιμοι, οἱ δὲ βλαβεροί. Ὅμηρος, ἐπ' ἀγαθῷ τὸν πταρμόν φησιν. οὐχ ὁράας ὅ, μοι υἱὸς ἔπταρε. καὶ Θεόκριτος, τῷ Σιμιχίδῃ οἱ ἔρωτες ἐπέπταρον.

Πτάσω, ἔπτη, ἔδραμε.

Πτελέα ἐστὶ, τόπος μέσον Ἐφέσου, καὶ Μιλήτου. καὶ δένδρον. ὅθεν πτελεατικὸν οἶνον λέγομεν, ἢ τὸν ἐκ τῶν δένδρων, παρ' ὅσον ταῖς παρακειμέναις πτελέαις ἀναπλέκονται, ἢ Ἐφέσιον.

Πτελεάδες, πτελεώδες.

Πτέλεθρον. ἤτοι πλέθρον, ἤτοι διάστημά ἐστι ποδῶν ἑκατὸν, ἤτοι πήχεων ἑξηκονταέξ, καὶ διμοίρου. εἰ δὲ ἀπίθανος, Ἄρης μὲν ἑπτὰ ἐπισχεῖν πτέλεθρα ἐν τῷ πεσεῖν. Τιτυὸς δὲ ἐν ᾅδου ἐπὶ ἐννέα κεῖσθαι πτέλεθρα. ἔστιν ἐκεῖνο μὲν τῇ φαντασίᾳ δοῦναι, τοῦτο δὲ τῇ ἀκριβείᾳ. ἣν ὁ μῦθος αἰτεῖν δοκεῖ.

Πτελεὸς, ἢ πτεχεὸν, οὐδετέρως. ἔστι καὶ Ἰωνίας πόλις καὶ Τρωάδος. ἔστι δὲ καὶ τῶν περὶ Θετταλίαν Ἀχαιῶν. καλεῖται δέ φασιν οὕτως, ὅτι πολλὰς ἔχει πτελέας. ὁ πολίτης πτελεάτης, καὶ πτελεύσιος, καὶ πτελεύς. ἔστι δὲ καὶ πτελέα, δῆμος φυλῆς Ἀττικῆς, τῆς λεγομένης Οἰνηΐδος, ἧς ὁ δημότης Πτελεάσιος. ὁ δὲ Στράβων λέγει, ὅτι τὸ Πτελεὸν κτίσμα ἐστὶ τῆς ἐκ Πτελεοῦ τοῦ θετταλικοῦ, ὃν ὁ Ποιητὴς ἀρσενικῶς προήγαγε. διὸ λεχεποίην αὐτὸν ἔφη, τουτέστι πολυβότανον. οὗ ἡ πόα χρήσιμος λέξασθαι, ἤτοι ἐγκαθευδῆσαι. ἔστι δέ φησι δρυμῶδες χωρίον ἀοίκητον, πτελεάσιμον καλούμενον.

Πτερὰ καὶ ἀετοὺς καλοῦσι τὰς τῶν ἱερῶν στέγας, ὥς φησιν Ἴων ἐν Ἀγαμέμνονι.

Πτερὰ, πτέρυγες, ἢ οἰκοδομήματα ἱερῶν ἐκ λίθων.

* Πτερύγια, βλαστήματα τοῦ ἐπιπεφυκότος ἔξωθεν ὑμένος τοῖς ὀφθαλμοῖς, ὃς ἀπὸ τοῦ περιστέου καταφερόμενος ἐπὶ τὴν στεφάνην ἀφικνεῖται.

Πτερευγοτύραννος, ὄρνις ποιὸς, ἐν Ἰνδικῇ Ἀλεξάνδρῳ δοθείς.

Πτερίδες, τῶν νυμφῶν τινὲς οὕτω καλοῦνται, ἀπὸ τῆς πόας.

Πτερίνῳ, πτερωτῷ.

Πτερνιεῖ, παγιδεύει.

Πτέρις, βοτάνη ξηραντικῆς δυνάμεως. ὅθεν ἔμβρυά τε φθείρει καὶ ἐκβάλλει, καὶ πλατείας ἕλμινθας ἀναιρεῖ.

Πτέρνα, τοῦ ἀρότρου τὸ σιδήριον, τὸ κατατεῖνον ὑπὸ τὴν γύην τοῦ ποδὸς, καὶ τὰ ἔσχατα μέρη τῶν ὀρῶν.

Πτέρνα, ὁ δόλος καὶ ἡ ἐπιβουλή. καὶ πτερνίζω, τὸ καταβάλλω.

Πτερνίζει, ἀπατᾷ, ἢ λακτίζει.

Πτερνισμὸς, δόλος, ἀπάτη, ἐπιβουλή.

Πτερνὶς, τὰ τιθμέλια τῶν ἱατρικῶν λεκανίδων. ἃ μέχρι νῦν προσδέουσιν ἁλυσειδίοις μακροῖς ἐν τοῖς ἰατρείοις, καὶ εἶδος ἱέρακος.

Πτερνοβάτης, τῶν ἰατρικῶν τις ἐπιδέσμων.

Πτεροδόνητα, παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ ταχέα.

Πτεροδόνητος, πτεροῖς πληχθείς.

Πτερόεντα, ταχέα, κοῦφα.

Πτερόεντι, ταχεῖ, ταῖς τοῦ ἀνέμου ὠκείαις συστροφαῖς.

Πτερόεντες λόγοι, διὰ τὸ ταχὺ καὶ διὰ τὴν ἐν αὐτοῖς ἁρμονίαν, καὶ εὐσυνθεσίαν, καὶ ὅτι τέμνουσι τὸν ἀέρα κατὰ τὸ πτερόν. ἴσως δὲ, ὅτι καὶ τοὺς λογίους ὑψοῦντες ἐξαίρουσι.

Πτεροῖ, ἐξαίρει.

Πτερὸν, σκηνή.

Πτερονόμος, τοῖς πτέρνοις νομῶσα καὶ νεμομένη. ὅθεν καὶ νέμειν, τὸ ἐπιστροφὴν ἄγειν.

Πτεροφοίτωρ, τάχος ἔχει. τίς γὰρ πτεροφοίτορος ἀτεχνῶς ἐς τὸν ὑπερουράνιον ἱέμενος τόπον, ὅπου τὸ τῶν ἐπτερωμένων νέμεται γένος.

Πτεροφόροι, τέλος τι στρατιωτικὸν, ἢ ὡς διὰ τῶν ἐν τοῖς λόφοις πτέρωσιν. καλοῦνται δὲ οὕτω καὶ τῶν ἐν Αἰγύπτῳ ἱερέων τινές.

Πτέρυγες εὐθυντῆρες, τὰ πηδάλια, καὶ μέρος χιτῶνος τὰ περὶ τὰ κράσπεδα. δηλοῖ δὲ καὶ τῶν πηδαλίων τὰ πλατέα, καὶ τὰ χείλη.

Πτέρυγες, ἢ πτερύγες, κατὰ Ἀρίσταρχον, μέρος ἐστὶ σώματος, περὶ ὃ τὰ πτερὰ τινασσόμενα, κατὰ τῶν ἐν τῇ ἀγορᾷ. οὐ γὰρ πτέρυγες ἐκ τῶν ἀετῶν, ἀλλὰ πτερὰ ῥίπτονται κάτω.

Πτερυγίζεις, κοῦφα καὶ μάταια διαλέγῃ, ἀπὸ τῶν νεοσσῶν, ἃ πειράζουσι μὲν τὰς πτέρυγας, ἵπτασθαι δὲ οὐ δύνανται, ἢ κοῦφα λαλεῖς, ἢ ματαιοπονεῖς. ἀπὸ μεταφορᾶς τῶν ὀρνέων τῶν μὴ δυναμένων πέτεσθαι, διὰ τὸ βραχὺ τῆς ἡλικίας. ἄλλως. ἀντὶ τοῦ πειράζεις πολλὰς ἀνηνύτους ὁρμὰς, καθάπερ καὶ οἱ νεοττοὶ πειράζοντες τὴν πτέρυγα, καὶ γυμνάζοντες, ἄπρακτον ἔχουσι τὴν τῆς πτήσεως φοράν.

Πτερύγιον, ἀκρωτήριον, πτέρυξ.

Πτερύγος, ἀπὸ εὐθείας τῆς πτερὺξ, ὃ δηλοῖ οὐ τὰ πτερὰ μόνα. τὸ μόριον δὲ μετὰ τῶν περικειμένων πτερῶν. καθὰ δηλοῖ καὶ Ἡρωδιανὸς εἰπὼν, ὅτι τὰ εἰς υξ θηλυκὰ μονοσύλλαβα μὲν ὄντα ὀξύνεται, στὺξ, νὺξ, θρὺξ. ὑπὲρ μίαν δὲ ὄντα συλλαβὴν βαρύνεται, κάλυξ, ἄντυξ, πομφόλυξ. τὸ πτερὺξ σεσημείωται ὑπὸ Ἀριστάρχου ὀξυνθὲν, διὰ τὸ ἐννοίας περιεκτικῆς εἶναι.

Πτερυλίδων, τῶν ἀκρίδων, παρὰ τὸ τέσσαρα ἔχειν πτερά. ὀρταλίχων δέ τινες τῶν ἀλεκτρυόνων κατὰ τὴν Βοιωτῶν διάλεκτον.

Πτέρυξ, διαφέρει πτέρυξ καὶ πτερύξ. πτέρυξ λέγεται, τὸ ὅλον μέρος. πτερὺξ δὲ, τὸ ἄκρον. ἢ ὅτι τὸ πτερὺξ ὀξυτόνως περιεκτικήν τινα ἔννοιαν σημαίνει, ἤγουν ὅλην. καὶ περιεκτικόν ἐστι πολλῶν πτερῶν, πτέρυξ δὲ, μέρος τι τοῦ πτεροῦ παροξυτόνως. ἢ πτέρυξ, ἡ σὰρξ, ᾗ ἐκφύεται τὰ πτερά. πτερὺξ δὲ, τὸ πτερύγιον, δι' οὗ πέτονται.

Πτερυξαμένη, διασείσασα.

Πτερύσσεται, ταῖς πτέρυξι τὸν ἀέρα πλήττει.

Πτερωτὰ ζῶα, αἰετὸς, ἀλεκτρυὼν. καὶ τὰ ἄλλα τὰ γινωσκόμενα πᾶσι.

Πτερωτὴς, ἀλείπτης, κυφιστής. καὶ πτερόεις, καὶ πτερωτός.

Πτερωτοῖς, πετανοῖς.

Πτῆμα, πτῆσις αἰωνῶν. περιφερὲς δὲ τὴν πτῆμα τῶν οἰωνῶν.

Πτῆναι, ταχέως ἐνεχθῆναι.

Πτηνὸν, τὸ ὄρνεον, τὸ ἱπτάμενον.

Πτήξαντα, τὴν ὄψιν εἰς τὸ ἔδαφος καταβαλόντα.

Πτῆξεν, εἰς φόβον ἤγαγε.

Πτήξω, τὸ φοβοῦμαι, καὶ δειλιῶ.

Πτήσσειν κυρίως, τὸ φεύγειν, καὶ φοβεῖσθαι. λέγεται δὲ ἐπὶ ὀρνίθων. καὶ πτήσσει, πτοεῖται. καὶ πτήξωμεν, κρυβῶμεν.

Πτῆσις, ἡ τῶν ὀρνίθων πέτασις.

Πτήσσω, τὸ φοβοῦμαι.

Πτῶται, πέτεται. καὶ πτηνὰ ζῶα, τὰ πετώμενα.

Πτῖλα, τὰ ἄρμενα.

Πτίλος, ὁ μαδαρὸς τοῖς βλεφάροις.

Πτίλον, πτερὸν ἁπαλώτερον. καὶ ἄπτιλα, τὰ ἀπτέρωτα. εἰώθασι δὲ οἱ δυσεμεῖς, πτερῷ χρῆσθαι πρὸς τὸ ἐξεμέσαι. τῶν πτερῶν τὰ μὲν καλεῖται πτίλα, τὰ δὲ ὠκύπτερα.

* Πτίλωσις, παχύτης τῶν βλεφάρων τυλώδης ἐνερευθής, οἷς συμβαίνει πολλάκις καὶ τῶν τριχῶν ἀπόπτωσις.

Πτισάνη, ἡ κεκομμένη, καὶ λελεπισμένη κριθή. πτισάνη δὲ, καὶ τὸ πίτυρον.

Πτίσατε, ἀποδερματίσατε.

Πτίσσω, τὸ τύπτω. ὅπερ κυρίως ἐπὶ τοῦ σίτου λέγεται. ἀφ᾽ οὗ πτισάνη, τὸ κοινῶς πίτυρον.

Πτόησις, δειλία.

Πτοία, ὁ φόβος ἐπὶ θηλυκοῦ. διὰ τῆς οι διφθόγγου.

Πτοίαν, ἢ πτοῖον, θόρυβος, ἡ ταραχή.

Πτοιώμενον, πτοιᾶσθαι λέγεται τὸ παρορμᾶσθαι, πρὸς τὰ ἀφροδίσια.

* Πτολεμαῒς, πόλις Φοινίκης. ἐκαλεῖτο δὲ πρότερον Ἀκή, ἀπὸ τῆς ἰάσεως τοῦ γενομένου δήγματος Ἡρακλεῖ ὑπὸ ὄφεως. ὁ πολίτης, Πτολεμαΐτης, καὶ πτολεμαιεύς.

Πτολεμίζωμεν, πολεμίζωμεν.

Πτολέμοιο, πολέμου.

Πτολίεθρον Τροίης ἔπερσεν, ἀρχή ἐστι τῆς τοῦ πτολιπόρθου Ὀδυσσέως συνθέσεως. διὰ γὰρ ταύτην ἐκεῖνος πτολίπορθος ἐπωνόμασται. ὅτι δὲ αὐτὸς εἷλε τὴν Τροίαν διὰ τῆς τοῦ δουρείου ἵππου μηχανῆς, δῆλον. λέγει γὰρ ὁ Ποιητὴς, σῇ δ᾽ ἥλω βουλῇ πόλις Πριάμοιο. Τροίης πτολίεθρον, περίφρασίς ἐστιν, ἀντὶ τοῦ τῆς Τροίας.

Πτολιπόρθιον, ἔχει πρωτότυπον τὸν πτολίπορθον, ὡς ὁ κάπριος τὸν κάπρον.

Πτολίπορθον λέγει Ὅμηρος τὸν Ὀδυσσέα, ὅτι διὰ τῆς αὐτοῦ μηχανῆς ἑάλω τὸ Ἴλιον. κατ᾽ ἐξαίρετον δὲ οὕτως αὐτὸν λέγει, διὰ τὸ μέγεθος τοῦ Ἰλίου.

Πτολίπορθος Ὀδυσσεὺς παρὰ τῷ Ποιητῇ λέγεται, οὐχ ὡς πολλῶν πόλεων πορθητής. τοῦτο γὰρ μᾶλλον τῷ Ἀχιλλεῖ πρέπον, ἀλλ᾽ ὡς πορθητὴς διὰ τοῦ δουρείου ἵππου τῆς ἰδίως οὕτω λεγομένης πόλεως, ἤτοι Τροίας. ἢ λεχθήσεται πτολίπορθος διὰ μίαν πόλιν κορυφαίαν τὴν Ἴλιον, ἣ τῆς τοῦ Ὀδυσσέως βουλῇ ἥλω.

Πτολίπορθος, ἀνδρεῖος, πόλεις πορθῶν.

Πτόλις, ὥς φασιν οἱ παλαιοὶ, Κυπρίων ἐστὶ τῶν ἐν Σαλαμῖνι λέξις.

Πτόλις, ναῦγος ἢ πόλις.

Πτόρθος, ἔοικε κλάδος εἶναι πλατὺς, καὶ ἐπιμήκης. καὶ δοκεῖ οὕτω λεχθῆναι, παρὰ τὸ διαπετάσαι, καὶ τὸ ὄρθιον, οἱονεὶ διαπεπτασμένος εἰς ὀρθόν.

Πτόρμιον, ταχὺ, φρόνιμον.

Πτορισμὸς, φροντισμός.

Πτῶ, τὸ φοβοῦμαι, καὶ πτοῆσαι.

Πτόω ἐκ τοῦ πτῶ, ποιῶ, καὶ ὑπερθέσει πτοῶ. πτοήσω. ἔνθεν τὸ ἐπτοήθην, ἀντὶ τοῦ καταπέπτωκε. τὸ δὲ πτόω, λέγεται καὶ πτοιῶ. ἐξ οὗ καὶ τὸ διεπτόησε, καὶ πτοία, ἡ πτόησις.

Πτύγμα, δίπλωμα. ἐν ἐπιγράμματι, καὶ πέπλων ὀλίγων πτύγμα θεμιστοδίκη.

Πτύελον, σκεῦος ἐπιτήδειον πρὸς λουτρὸν, ἢ πτύσμα.

Πτυκτίον, βιβλίον.

Πτυκτῶν, πτυσσομένων.

Πτύξαγρις, καὶ πύξαρις ὁ καρκίνος διὰ τὸ τὰς πτύχας, ἢ τὰ πυξία τῶν ὀστρέων ἀγρεύειν. λέγεται γὰρ ἔνδον τῶν πτυχῶν τίθεται λιθίδιον μικρὸν, ὅπως ῥᾷον διὰ τοῦ ποδὸς ἐφελκύσῃ τὴν ὀστρεακὴν σάρκα.

Πτύξωμαι, καλύψωμαι, σκεπάσωμαι.

Πτύον, πτυάριον, ἢ θρῖναξ ξύλον, ᾧ διαχωρίζουσι τὸν σῖτον.

Πτυόφιν, ληφθὲν ἀντὶ τοῦ πτύου, κατὰ πτῶσιν γενικὴν ἐν τῷ ν′ τῆς Ἰλιάδος, ὡς τὸ ἀπὸ πλατέος πτυόφιν. ὅτι δὲ τὸ πτύον καὶ πτέον ἔλεγον οἱ ὕστερον Ἀττικοὶ, Αἴλιος Διονύσιός φησιν. ἕτεροι δέ τις λέγει πτέον, ὡς οἱ ἄλλοι. πτύον δὲ Σοφοκλῆς, ἀκολουθῶν δηλαδὴ τῷ Ποιητῇ.

Πτύοχλον, ὑπόδημα ἀνδρεῖον.

Πτύρεται, κλᾶται, κλαδαίνεται, σείεται, φοβεῖται, φρίττει.

Πτυρμὸς, φρίκη, καὶ τὰ ὅμοια.

Πτύσσεσθαι, τὸ διπλοῦσθαι. ὅτι δὲ πτύσσειν λέγεται τὸ διπλοῦν, δῆλον καὶ ἐκ τοῦ πτύξασα καὶ ἀσκήσασα χιτῶνα. τοῦ δὲ τοιούτου πτύσσειν, παράγωγον καὶ ἡ πτὺξ καὶ ἡ τραγικὴ πτυχὴ, καὶ περιπτυχή. καὶ τὸ πύκα δὲ, ὅπερ ἐστὶ πυκνῶς, ἐξ οὗ καὶ ὁ πύξος πυκνότατος ὤν. ἐξ οὗ δὴ πίπτειν δοκεῖ εἶναι τὸ πτύσσειν κατὰ παραγωγὴν, ἵνα ᾖ ὡς ὄρω ὀρύσσω, ἀμῶ, ἀμύσσω, ἐπτύσσοντο ἔγχεα ἀπὸ χειρῶν σειόμενα.

Πτύσσω τὸ ἔνδυμα, ὃ δηλοῖ κοινῶς διπλῶ. καὶ πτύσσω τὴν θύραν, ἤγουν κλείω. ἀφ᾽ οὗ πτύχες αἱ θύραι, καὶ τὰ κοινῶς διπλώματα, καὶ δίπτυχα. καὶ προσπτύσσομαι, τὸ ἀσπάζομαι. καὶ ἀναπτύσσω, ἀνοίγω. καὶ ἀπὸ τούτου τὸ φανερῶ καὶ ἑρμηνεύω, καὶ ἀνακαλύπτω. καὶ περιπτύσσομαι, τὸ περιλαμβάνω. πτύσσω, παρὰ τὸ πετῶ πετύσσω, καὶ συγκοπῇ πτύσσω. τὸ γὰρ πτύσσειν, οὐδέν ἐστιν ἄλλο, ἢ τὸ ἐπιπίπτειν ἕτερον ἑτέρῳ. καὶ ἐν Ἰλιάδος ν̄, ἔγχεα δὲ ἐπτύσσοντο.

Πτυχαὶ, αἱ τῶν ὀρῶν ἀποκλείσεις, καὶ τὰ διάφορα τῆς ἀσπίδος, ἐπ᾽ ἀλλήλοις ἐλάσματα, καὶ ἀνεμιμένων πόλοιο παμφαῶν πτυχῶν, μύστους ὀρᾷ.

Πτύχας ἐξ ἀσπίδος, διῆλθεν Ἕκτορος δόρυ, ἤγουν θέσεις, τὸ ῥηθὲν σάκος, λέγεται ἑπτάπτυχον καὶ ἑπταβόειον.

* Πτυχία, νῆσος παρὰ τῇ Κερκύρᾳ.

Πτύω, τὸ ἐν τῷ στόματι ὑγρὸν ἐξάγω. καὶ πτύω τινὰ εἰς τὸ πρόσωπον. ἀφ᾽ οὗ καταπτύω, καὶ διαπτύω, καὶ ἀποπτύω. καὶ πτύελον, τὸ ὑγρὸν, τὸ πτυόμενον. Ἀριστοφάνης, κατάπτυσον. ἡ κατὰ ἐνταῦθα, σημαίνει ἐπίτασιν. καὶ πτύον, τὸ κοινῶς πτυάριον. καὶ πτύσσω τὸ ἔνδυμα, ὃ δηλοῖ τὸ κοινῶς διπλῶ. καὶ πτύσσω τὴν θύραν, ἤγουν κλείω. ἀφ᾽ οὗ πτύχες, αἱ θύραι, καὶ τὰ κοινῶς διπλώματα, καὶ δίπτυχα. καὶ προσπτύσσομαι, τὸ ἀσπάζομαι. καὶ ἀναπτύσσω, τὸ ἀνοίγω. καὶ ἀπὸ τούτου, τὸ φανερῶ καὶ ἑρμηνεύω, καὶ ἀνακαλύπτω. καὶ περιπτύσσομαι, τὸ περιλαμβάνω. καὶ πτυχαὶ, τὰ περιβλήματα, καὶ αἱ κατασκηνώσεις ψιλά.

Πτωΐδες, νύμφαι.

Πτώϊος, ὁ Ἀπόλλων, καὶ πτοῖος. ἐστὶ καὶ πτοῖος, ὁ φόβος.

Πτῶκα, δειλόν. καὶ πτῶκας, δορκάδας, ἢ ἐλάφου νεβρούς, ἢ λαγωούς.

Πτωκαζέμεν, δειλιᾶν.

Πτωκὰς, κύπειρος παρασιμμία. ἢ πόα, διὰ τὸ χθαμαλὴ εἶναι.

Πτώματα ἐλαιῶν, ἤτοι τὸν καρπὸν τὸν ἀποπεπτωκότα τῶν φυτῶν, ἢ αὐτὰ τὰ δένδρα, κατά τινα τύχην πεπτωκότα.

Πτῶμα, ἐπὶ νεκροῦ τιθέασιν οἱ νῦν. οἱ δ᾽ ἀρχαῖοι οὐχ οὕτως, ἀλλὰ πτώματα νεκρῶν, ἢ οἴκων.

Πτῶμα, σῶμα ἄνευ τῆς κεφαλῆς.

Πτὼξ, ἐλλειπῶς παρὰ τῷ Ποιητῇ ἐρρέθη, κατὰ τὸ πλῆρες πτῶκα λαγωὸν λέγει. οὕτω καὶ βροτὸν μέντοι τὶς εἰπὼν, οὐκ ἐντελῶς ἔφη. πλῆρες δὲ τὸ βροτὸς ἀνὴρ, ὅ ἐστι φθαρτός. κατὰ τὸ βροτοὶ ἄνδρες. καθὰ καὶ λαγωὸς πτὼξ, ὁ ὑποπτώσσων, καὶ δειλός.

Πτὼξ, λαγωοῦ συνήθως ἐπίθετον κατ᾽ ἐξαίρετον, ὡς ὅτε τὶς εἴπῃ μόνον τὸ πτὼξ, λείπει τότε τὸ κύριον ὁ λαγωὸς, ὡς ἐν τῷ βροτοὶ ἄνδρες μόνον λεχθὲν τὸ βροτοὶ, ἐλλειπές ἐστι τοῦ ἄνδρες.

Πτωσκαζέμεν, Δωρικῶς. πτωσκάζειν, τὸ φοβεῖσθαι. καὶ πτωσκαζέμεναι.

Πτώσσω, παρ᾽ Ὁμήρῳ. ὡς τό τί πτώσσεις; ἐκ δὲ τοῦ πτώσσω, γίνεται τὸ πτώσκω, ἐκεῖθεν τὸ πτωσκάζω καθ᾽ ὁμοιότητα τοῦ ἀλίσκω ἀλισκάζω, καὶ ὅτι πτήσσω μὲν κοινὸν καὶ Ἀττικόν, πτώσσω δὲ Ἰωνικὸν, οὕτω καὶ ῥήσσω ῥώσσω, ἐξ οὗ καὶ ῥὼξ ῥωγὸς, ὡς τὸ ἀνὰ ῥῶγας μεγάροιο. ἐκ δὲ τοῦ πτώσσω καὶ ὁ πτὼξ τόπος, ἤγουν ὁ ἔχων πτῶκας πολλούς.

Πτώσσειν, πτήσσειν φασὶν οἱ μεθ᾽ Ὅμηρον. καὶ γίνεται ἀπὸ μὲν τοῦ πτώσσειν, ὁ πτωχὸς, καὶ ὁ πτώξ. ἀπὸ δὲ τοῦ πτήσσειν, τὸ καταπτηχέναι, καὶ ὁ καταπτηχώς. τοιαύτης δὲ σχηματοποιίας καὶ τὸ ἔρρωγε, καὶ διερρηχὼς καὶ ῥῆγμα καὶ ῥωγαλέος.

Πτώσσειν, τὸ πτωχεύειν. πτώσσειν, τὸ ῥοπάλην φεύγειν, ἐξ οὗ πτὼξ ὁ λαγωός.

Πτώσσοντες, δειλιῶντες. καὶ πτώσσουσαν, δειλιῶσαν, κρυπτομένην.

Πτωτὸν, τὸ πίπτον.

Πτωχεύειν, ἀπὸ τοῦ πτώσσειν, καὶ προσπίπτειν τοὺς δεομένους. ὅθεν πτωχὸς, καὶ πτωχεία. διενήνοχε δὲ πτωχεία πενίας. ἡ μὲν γὰρ πενία, μεμετρημένη ἐστὶν ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα. ἡ δὲ πτωχεία, παντελὴς τῆς κτήσεως ἔκπτωσις. καὶ ὁ μὲν πένης παρὰ τὸ πένεσθαι, ὅ ἐστιν ἐνεργεῖν, καὶ ἐκ τοῦ πορίζεσθαι τὰ χρειώδη εἴρηται. ὁ δὲ πτωχὸς, παρὰ τὸ πτώσσειν πάντας. εἴρηται δὲ πενία διὰ τὸ ἐκ τοῦ πονεῖν ἔχειν τὸ ζῆν. πτωχεία δὲ, ὡς εἴρηται διὰ τὸ πτώσσειν πάντας ἀνθρώπους.

Πτωχίστερος, ὡς λαλίστερος.

Πτωχοποιὸς, ὁ τὸν πτωχὸν ποιῶν.

Πτωχὸς, ὁ ἐκπεπτωκὼς τοῦ ἔχειν, ἐπαίτης, παρὰ τὸ πτώσσειν πάντας, ὅ ἐστι ταπεινοῦσθαι.

Πτωχὸς μέν ἐστιν, ὁ ἀπὸ πλούτου κατελθὼν εἰς ἔνδειαν. πένης δὲ, ὁ ἐξ ἀρχῆς ἐν ἐνδείᾳ ὢν, καὶ διαρέστως τῷ κυρίῳ κυβερνήσας τὴν τοιαύτην περίστασιν.

ΤῸ Π′. ΜΕΤᾺ ΤΟΥ̃ Υ′.

Πυανεψιὼν, ὄνομα μηνός. καὶ πυανοψία, Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμου, καὶ ὑμεῖς πυανοψίαν ταύτην τὴν ἑορτὴν καλοῦμεν. οἱ δὲ ἄλλοι Ἕλληνες πανοψίαν, ὅτι πάντας εἶδον τοὺς καρποὺς τῇ ὄψει. πυανεψιῶνος δὲ ἑβδόμῃ τὰ πυανέψια Ἀπόλλωνι ἄγεσθαί φασι. δεῖ δέ φασι λέγειν πυανέψια καὶ τὸν μῆνα πυανεψιῶνα. πύανα γὰρ ἕψουσιν ἐν αὐτοῖς, καὶ ἡ εἰρεσιώνη πλέκεται.

Πυάνιον, τὸ διὰ τοῦ γάλακτος ῥόφημα. οἱ δὲ πανσπερμίαν ἑψημένην ἐν γλυκεῖ.

Πυανοὶ, κύαμοι, καὶ πᾶν ὄσπριον.

Πύαρ, πιτύα.

Πυγαῖος ὁ ἀκόλαστος παρὰ τὴν πυγήν.

Πυγαῖα τὰς σπείρας τῶν κιόνων, καὶ τοῦ σώματος ἡμῶν τὰ κατὰ τὸ ἱερὸν ὀστοῦν. καὶ πυγαῖος, ὁ ἀκόλαστος.

Πυγμαίοισι, πυγονίαις. ἔθνος δέ ἐστι πρὸ τῆς Αἰγύπτου μικροφυῶν ἀνθρώπων.

Πύγαργος, εἶδος ἀετοῦ παρὰ τὸ πυγὴν ἔχειν ἀργὴν, καὶ λευκήν.

Πύγαργον, δειλὸν, ἢ αἰσχρὸν, ἢ ἅρπαγα. εἰσὶ γὰρ μελάμπυγες πύγαργοι, εἴδη ἀετῶν κατ᾽ Ἀρχέλαον, ἀφ᾽ οὗ ὁ ἅρπαξ πύγαργος. ὁ δὲ αἰσχρὸς καὶ συνουσιαστικὸς τόπος, λέγεται πύγαργος

γος κατὰ ἀντίφρασιν, ὁ μὴ ἀργὴν ἔχων τὴν πυγὴν, ἀλλὰ κινῶν αὐτὴν ἐν τῷ συνουσιάζειν. ὁ δὲ δειλὸς πάλιν πύγαργος λέγεται, ὁ λευκὴν ἔχων τὴν πυγὴν, ἐκ τοῦ ἐναντίου τῇ παροιμίᾳ τῇ λεγούσῃ, οὔπω μελαμπύγῳ τετύχηκας. ἐάν γὰρ οἱ μελάμπυγοι, καθάπερ Ἡρακλῆς. οἱ δὲ λευκόπυγοι πάντες ἀσθενεῖς, καὶ δειλοὶ, καὶ ἄνανδροι. Θεία δὲ ἡ Ὠκεανοῦ τοῖσι Διὸς τέκνου παισὶν, εἶπε περὶ Ἡρακλέους, οὔπω μελαμπύγῳ τετυχήκατε.

Πύγελα, πόλις περὶ τὴν Ἔφεσον.

Πύγελλα, τόπος, ὁ παρ' ἡμῖν λεγόμενος φύγελλα.

Πυγὴ, τὸ περὶ τὸν πρωκτὸν μέρος. Ἀριστοφάνης, γυμνάζομαί γε καὶ ποτὶ πυγὴν ἅλλομαι. ἐν γὰρ τῷ γυμνάζεσθαι καὶ πηδᾶν, εἰώθασιν οἱ πόδες τοῦ πηδῶντος ἅπτεσθαι τῆς πυγῆς. καὶ παροιμία, εἰς κυνὸς πυγὴν ὁρᾷ, ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμοὺς, ἤτοι ὀφθαλμιώντων ἐπέλεγον, ἐς κυνὸς πυγὴν ὁρᾶν, καὶ τριῶν ἀλωπέκων.

Πυγιδίων, ὀνύχων. Ἀριστοφάνης.

Πυγμὴ, ἐπὶ τῆς χειρὸς, ὅταν ἔχῃ τις συνεσταλμένους τοὺς δακτύλους. καὶ ἀπὸ τούτου ὁ ἀγὼν, ὃν διὰ τῆς πυγμῆς ἠγωνίζοντο. ἦσαν δὲ πάντες οἱ ἀγῶνες οὓς ἠγωνίζοντο πέντε, δίσκος, πυγμὴ, δίαυλος, ἅλμα, καὶ πάλη. καὶ πύκτης, ὁ τῇ πυγμῇ χρώμενος. καὶ πυκτικὸς, ὁ ἐπιτηδείως ἔχων εἶναι πύκτης. καὶ πυκτεύω, ἀγωνίζομαι τοιοῦτον ἀγῶνα. καὶ πὺξ παίειν, ἐπιρρηματικῶς ἀντὶ τοῦ διὰ τῆς πυγμῆς. καὶ πυγμαῖος, ὁ πυγμῇ σύμμετρος, ἤγουν ὁ βραχύς.

Πυγμαῖοι, ἔθνος πόρρω τῆς Αἰγύπτου, τῷ μεγέθει πάνυ μικροὶ, οἷον πηχυαῖοι.

Πυγμαῖοι, οὐ δὲ πηχυαῖοι, τὸ μέγεθός εἰσι. παρωνομασμένοι γάρ εἰσι πυγόνιοι. πυγούσιον δὲ διάστημα τὸ ἀπὸ ἀγκῶνος ἕως τοῦ μικροῦ δακτύλου, ἢ καὶ τῶν δακτύλων συνεσταλμένων. ἱστορεῖται δὲ, ὅτι καὶ κέρατα περιτίθενται, καὶ ἐν σχήματι κριῶν, ὡς Ἑκαταῖός φησι κρόταλα ψοφοῦσι, καὶ οὕτω τοὺς πυγμαιομάχους γεράνους ἀμύνονται, καταφρονούσας ἄλλως τοῦ μήκους.

Πυγμαίων, ὁ Ἄδωνις παρὰ Κυπρίοις.

Πύγματος, ἔσχατος, ἄστατος.

Πυγμὴ, πάλη, σύγκλεισις δακτύλων, γρόνθος.

Πυγόνος, τοῦ πήχεος. ἔστι δὲ ἡ πυγὼν ἀπὸ τοῦ ὠλεκράνου ἄχρι τοῦ μικροῦ δακτύλου.

Πυγόριζαι, οὕτω καλοῦνταί τινες τῶν ῥιζῶν.

Πυγοσκελὶς, ζῶόν τι, καὶ ὁ βραχύς.

Πυγοστόλος. Ἡσίοδος, οἱ μὲν τὴν μαυλίστριαν. οἱ δὲ αὐτὴν τὴν ἑταίραν, τὴν περὶ τὴν πυγὴν στολιζομένην. τουτέστιν ἐκεῖνα τὰ μέρη πανούργως τοῖς ἱματίοις. στέλλειν γάρ ἐστι τὸ συγκοσμεῖν. ἄλλοι δὲ τὴν κοσμοῦσαν τὰς χεῖρας. πυγούσιον γὰρ ὁ πῆχυς κεκλασμένων τῶν δακτύλων.

Πυγοστόλος, ἀκόλαστος, πόρνος.

Πυγούσιον, ὁ πῆχυς κεκαμμένων τῶν δακτύλων.

Πυγὼν, μέτρον τὸ ἀπὸ τοῦ ὠλεκράνου, ὅπερ ἐστὶν ὁ ἀγκὼν, ἕως ἔξω τῆς χειρὸς ἐπικεκαμμένων τῶν δακτύλων, καὶ σπιθαμή.

Πυδαρίζειν, ἐπὶ τοῦ ἅλλεσθαι, ἤτοι ποδαρίζειν. καὶ πυδαρίζειν, ὡς ὄνομα καὶ ὄνυμα αἰολικῶς. ἢ πυγαρίζειν, παρὰ τὴν πυγήν. καὶ τροπῇ πυδαρίζειν, ὡς γνόφος καὶ δνόφος. δηλοῖ δὲ τὸ λακτίζειν, ὡς τὸ ἀπεπυδάρισα μόθωνα, περιεκκόκυσα παρὰ τοὺς πόδας.

* Πύδης, πόλις καὶ ποταμὸς Πισιδίας. τὸ ἐθνικὸν Πυδήσιος.

* Πύδνα, πόλις Μακεδονίας.

Πυελίδα, τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον.

Πυελίον, πύελος, χαλκῆ.

Πύελος, συνήθως ἡ λεκανίς. οὐκ ἂν ἴσως αὕτη παρὰ τὸ πτύειν γίνοιτο, ἀλλὰ παρὰ τὸ πυὸν, ὅ ἐστιν ἀπάνθισμα γάλακτος, ὡς τοιούτου ἀγγείου ξυλίνου, χρησιμεύοντος εἰς ὑποδοχὴν πυοῦ τοῖς νομεῦσι.

Πύελος, ἡ λεκάνη. Ἀριστοφάνης, ἀλλ' ἄθρει κατὰ τῆς πυέλου τὸ τρῆμα, ἡ πύελος ἔχει τρώγλην, δι' ἧς ἀπολουόμενοι ἐκχέουσι τὸ θερμόν.

Πυέλους, τὰς ἐμβάσεις λέγει Ἀριστοφάνης. πύελος γὰρ ὄρυγμα. ἐμβατή.

Πυὴρ, ἀναπεπλησμένον.

Πυθάγγελος, τραγῳδίας ποιητὴς μοχθηρὸς, καὶ ἄσημος.

Πυθαγόρου μαθηταὶ, οἱ μὲν ἦσαν περὶ θεωρίαν καταγινόμενοι, οἵπερ ἐκαλοῦντο σεβαστικοί. οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵπερ ἐκαλοῦντο πολιτικοί. οἱ δὲ, περὶ τὰ μαθήματα τὰ γεωμετρικὰ, καὶ ἀστρονομικὰ, οἵπερ ἐκαλοῦντο μαθηματικοί. τούτων οὖν οἱ μὲν αὐτῷ συγγενόμενοι τῷ Πυθαγόρᾳ, ἐκαλοῦντο πυθαγορικοί. οἱ δὲ τούτων μαθηταὶ, πυθαγόρειοι. οἱ δὲ ἄλλως ἔξω ζηλωταὶ, πυθαγορισταί.

Πυθεῖον, τὸ μαντεῖον. πύθια δὲ, τόπος καὶ ἑορτὴ ἑλληνικὴ, καὶ πανήγυρις.

Πύθεσθαι, τὸ σήπεσθαι. πύθω γὰρ σημαίνει τὸ σήπω, τὸ ἐρωτῶ, τὸ ἀκούω, καὶ τὸ μανθάνω, ἐξ οὗ καὶ τὸ πυνθάνω, καὶ πυθέσθαι, ὃ δηλοῖ τὸ μαθεῖν ἢ ἀκοῦσαι, γενικῇ συντάσσει ὁ ποιητής.

Πυθέσθαι, ἐρωτῆσαι, μαθεῖν, ἀκοῦσαι. ἐκ τοῦ πεύθω, πεύσω, ὁ δεύτερος ἀόριστος ἔπυθον, ἐπυθόμην ἐπύθου ἐπύθετο, καὶ τὸ ἀπαρέμφατον πυθέσθαι. Ἀριστοφάνης, ἀλλὰ βραχέα σου πυθέσθαι βούλομαι.

Πυθία, ἡ μάντις. πύθια ὄνομα ἑορτῆς Ἀγαμέμνονος τῷ Ἀπόλλωνι.

Πυθία ἐπὶ τρίποδος καθημένη, χρησμῳδεῖ. καλεῖται δὲ τὸ μέρος, ἐν ᾧ κάθηται ὅλμος.

Πυθιὰς βοᾷ, ἡ μετ' αὐλοῦ γινομένη βοή.

Πύθιον, ἱερὸν Ἀπόλλωνος, καὶ πύθιος, ὁ Ἀπόλλων. πύθιον δὲ καὶ τὸ ὕδωρ, παρὰ Θουκυδίδῃ.

Πυθμένα ἐλαίας, τὴν ἀρχὴν καὶ τὴν ῥίζαν.

Πυθμένες, βάσεις αἱ κατὰ τῶν δένδρων.

Πυθμένοθεν, οὐδὲ ὅλως. γέγονε δὲ τοὔνομα παρὰ τὸν πυθμένα τῶν ἀγγείων, ὡσεὶ καὶ ὁλοκλήρως ἔλεγεν, ἤτοι λέγειν παντάπασιν, ἢ ἐξ ἀρχῆς, ἢ παντελῶς, παρὰ τῷ Ἱπποκράτει.

Πυθμὴν, ἡ ῥίζα, ἢ παρὰ τὸ φύω οἱονεὶ φυτμὴν, ὅθεν καὶ ὡς ἀνάφυσις τοῦ φυτοῦ, ἢ καὶ παρὰ τὴν οἱονεὶ σῆψιν, ἣν τὸ ζωογόνον πάσχει κατὰ τῆς γῆς σπέρμα, πρὸ τῆς ἀναφύσεως, ὡς ἀπὸ τοῦ πύθω τὸ σήπω.

Πυθμὴν, ὁ καὶ πυῶνδαξ παρὰ τοῖς μεθ' Ὅμηρον, ὅθεν παροιμία τὸ ἀπυώδακωτος, οὐ τραπεζοῦται κύλιξ, ἤγουν ἀπυθμένιστος. Σοφοκλῆς, καὶ τὴν λαβὴν τοῦ ξίφους πυώδακα εἴρηκεν, ὥς φησι Παυσανίας. Αἴλιος δὲ Διονύσιος καὶ αὐτὸς πυώδακα τὸν πυθμένα εἰπὼν λέγει, καὶ ὅτι πτερνίδες τὰ πυθμένια τῶν λεκανίων. τοῦτο δὲ ἴσως ἀπὸ τῆς πτέρνης ἐν ἐσχάτῳ κειμένης. ἀπὸ τοῦ πύθω δὲ, ὁ πυθμὴν, ὅ, τε ἐν φυτοῖς, ὅ, τε ἐν σκεύεσι διὰ τὴν ἐκεῖσε σῆψιν. ἐκ τοῦ πύθω γὰρ, τὸ σήπω, πυθμήν.

Πυθμὴν, τὸ κάτω μέρος τῶν κοίλων ἀγγείων, καὶ πυθὼν πυθῶνος, καὶ ἡ πυθὼ τῆς πυθόος καὶ πυθοῦς, τὸ μαντεῖον τοῦ Ἀπόλλωνος, καὶ ὁ τόπος ἐν ᾧ τὸ μαντεῖον. καὶ πύθια, ὁ ἐν Πυθοῖ ἀγών. καὶ πύθια τόπος. καὶ πύθιος Ἀπόλλων, ὁ ἐν πυθοῖ τιμώμενος, ὥσπερ καὶ ὀλύμπιος Ζεὺς, ὁ ἐν τῇ ὀλυμπίᾳ τιμώμενος. καὶ πύθων, πύθωνος.

Πίθοιτο, σημαίνει δύο, καὶ τὸ ἔροιτο, καὶ τὸ μάθοι.

Πυθοίατο, πεύθομαι ἐνεστὼς ποιητικῶς, πυνθάνομαι κοινῶς, παρατατικὸς ἐπευθόμην καὶ ἐπυνθανόμην, πεύσομαι μέλλων, καὶ πευσοῦμαι, ὡς φεύξομαι φευξοῦμαι, ἐπυθόμην μέσος ἀόριστος δεύτερος, ἀφ' οὗ πυθοίμην, τὸ τρίτον τῶν πληθυντικῶν πύθοιντο, καὶ ἰωνικῶς πυθοίατο.

Πυθόληπτος, ὁ ὑπὸ τοῦ πυθίου ληφθείς.

Πυθομένοις, παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ σηπομένοις κεῖται. καὶ τὸ πύον ἐντεῦθέν φησι λέγεσθαι Μύκλος ὁ νεαπολίτης. ἔστι γὰρ τοῦτο σεσηπὸς αἷμα. καὶ ἡ Πυθὼ δὲ κατά τινας, ἢ ἀπὸ τοῦ πευστικῶς ἔχοντας, ἐπὶ τοὺς χρησμοὺς ἔρχεσθαι. ἢ καὶ ἀπὸ παιδός τινος πυθικῆς, ἢ ὄνομα Πυθὶς, θυγατρὸς Δελφοῦ.

Πυθόμενος, ἐρωτήσας.

Πύθονται, ἐρωτήσουσιν, ἀκούσουσι.

Πύθω, παρὰ τοῖς ποιηταῖς, σήπω.

Πυθὼ, πόλις Φωκίδος, ἔνθα τὸ μαντεῖον. ἀπὸ τοῦ πυνθάνεσθαι τῶν μαντειῶν οὕτω κληθεῖσα, ἢ ἀπὸ τοῦ ἐκεῖσε σήπεσθαι τὸν δράκοντα.

Πυθὼν, ὀξυνόμενον μὲν καὶ θηλυκὸν, ὁ τόπος. βαρυνόμενον δὲ καὶ ἀρσενικὸν, ὁ δράκων.

Πύθων, ὁ ἐγγαστρίμυθος, ἡ ἐγγαστρίμαντις, ὁ Βυζάντιος τὸ γένος.

Πύθων, δαιμόνιον μαντικόν.

Πυθῶνα πετρήεσσαν, λέγει Ὅμηρος, διὰ τὸ πετρῶδες αὐτὴν ὄρος τὸν Παρνασσόν. ἐκαλεῖτο πάλαι μέν ποτε παρνασσία νάπη, ἀπὸ Παρνασσοῦ ὄρους τοῦ παρακειμένου. εἶτα πυθὼν ἐκλήθη, διὰ τὸν ἐκεῖ τοξευθέντα ὑπὸ Ἀπόλλωνος, καὶ σαπέντα δράκοντα, ὡς ἐκ τοῦ πύθω τὸ σήπω. ἢ διὰ τὸ δύνασθαι τοὺς ἐκεῖ χρωμένους πυθέσθαι τὰ μέλλοντα, ἤτοι μαθεῖν. ὅθεν καὶ πύθιος Ἀπόλλων, ὁ ἐκεῖ τιμώμενος. καὶ ἑορτὴ λαμπρὰ, καὶ ἀγῶνες τὰ πύθια. καὶ προφῆτις πυθιάς. καὶ πυθιάζειν, ἔτι πυθαΐζειν, τὸ μαντεύεσθαι. ὕστερον μέντοι Δελφοῖς ἡ πυθὼν ἐκλήθη, ἔτι καὶ Δελφοὶ, τὸ ἐκεῖ ἔθνος. ἔστι δὲ καὶ Πυθὼ, ἡ πόλις δίχα τοῦ ν, ὡς Λητὼ καὶ Σαπφώ. καὶ δῆλον ἐκ τοῦ πυθῶδε, καὶ τοῦ πυθοῖ.

Πυΐον, τὸ γάλα.

Πύκα, συχνῶς, ἐπιμελῶς.

Πύκα, ἐπιμελῶς. πύκα δὲ τρέφε, καὶ πύκα ποιητοῖο, τοῦ ἐπιμελῶς κατεσκευασμένου. καὶ πυκινὸν λέχος, τὸ ἐπιμελείας ἠξιωμένον, διὰ τὸ ἐκ πολλῶν ἱματίων εἶναι.

Πυκάζει, καλύπτει, σκεπάζει. καὶ πυκάζουσι, στεφανοῦσι.

Πυκάζεις, συχνάζεις.

Πυκάζεν, ἐσκέπασε, περιεκάλυψεν, ἀπὸ τοῦ πτύσσω πτυκάζω, καὶ πυκάζω. Ὅμηρος, Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο, ἤγουν τὰς τοῦ Ἕκτορος φρένας ἐκάλυψεν, ἢ ἐπάχυνωσεν ἡ λύπη.

Πυκάζουσι, τουτέστι πεπυκνωμένοις, στενοχωρουμένοις.

Πυκάζουσι, κοσμοῦσι, σκιάζουσι, στεφανοῦσι. Θεόκριτος, στεφάνοισι τὰ δώματα πάντα πυκάσδεν, ἀντὶ τοῦ πυκάζειν.

Πυκάσαι κυρίως μὲν, τὸ πυκνῶσαι. ἄλλως δὲ, καὶ τὸ σκεπάσαι, ὅ ἐστι καλύψαι.

Πυκασμὸς, δασύτης γεννήματος.

Πύκ' ἐβάλλετο, πυκνῶς ἐβάλλετο.

Πυκιμήδη, ἡ συνετόβουλος, ἡ βαθυγνώμων. ἀπὸ τοῦ πύκα, καὶ πυκνῶς, ἢ συνετῶς, ἢ ἐπιμελῶς, καὶ τοῦ μήδω τὸ βουλεύομαι.

Πυκιμήδεος, συγκοπὴν ἔπαθεν ἐκ τοῦ πυκινομήδεος. οὐ γάρ ἐστιν εἰπεῖν πρὸς ἀκρίβειαν, ὡς πύκα σύγκειται.

Πυκινὴ, ἄνευ τοῦ ἄρθρου καλῶς, ἀντὶ τοῦ πυκνὴ, καὶ συνετὴ κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, καὶ ἀντὶ τοῦ δυνατή.

Πυκινὴ βουλὴ, ἡ στερεὰ ἐκ μεταφορᾶς τῶν πυκνῶν σωμάτων, ἃ δυσπαθέστερά εἰσι τῶν ἀραιῶν.

Πυκινόφρων, πολύφρων, σώφρων.

Πυκινὸν λόχον, ὁ Ποιητὴς λέγει οὐ μόνον ὡς κατὰ σύνεσιν γινόμενον, ἀλλὰ καὶ ὡς δέον ὂν τοὺς ἐλλοχῶντας πυκνοῦν ἑαυτοὺς ἵνα λανθάνωσι, διὸ καὶ λόχον εἶσάν φησιν, ὅ ἐστιν ἐκάθισαν, ὡς ἐλλοχόντων κεῖσθαι. οἷον ὀφειλόντων κατὰ τὸ ὑποκαθῆσθαι, ἵνα ὑποκρύπτωνται.

Πυκνὰ, τὰ συνεχῆ, καὶ συνετά. ἡ γὰρ φρόνιμος διάνοια, πεπυκνωμένη ἐστὶν, ὥσπερ τοὐναντίον ἡ ἔξηχος ἠραιωμένη. τὸ ἀρσενικὸν, ὁ πυκνὸς, τοῦτο ἐκ τοῦ πυκινός. ὅθεν καὶ πυκινὴν βουλὴν, τὴν πυκνὴν καὶ συνετὴν καὶ σώφρονα, ἢ ἐκ τοῦ πτύσσω πτυκνὸς καὶ πυκνός. τὸ δὲ πυκνὸς, ἐκ τοῦ πύκα ἐπιρρήματος, ὃ σημαίνει τὸ ἐπιμελῶς ἔχειν, τοῦτο ἐκ τοῦ πτύσσω, τὸ ἀσφαλίζω, πτύκα καὶ πύκα.

Πυκναίοις, παλαιοῖς.

Πυκνὰ ῥωγαλέην, πυκνὰς ῥαγάδας ἔχουσαν.

Πυκνίτης, τόπος Ἀθήνησιν, ἔνθα ἐκκλησίαζον οἱ Ἀθηναῖοι. πνὺξ γὰρ τόπος ἐν Ἀθήναις, ἔνθα ἡ ἐκκλησία συνεκροτεῖτο. τὸν δῆμον δὲ

ὥσπερ

Digitized by Google

ὥσπερ πολίτλυ τῆς πυκνὸς εἶπε. πνὺξ δὲ λέγεται, παρὰ τὸ πυκνοῦσθαι ἐκεῖ τὰς βουλάς, ἢ ἀπὸ τοῦ πεπυκνῶσθαι ταῖς καθέδραις.

Πυκνί, παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ ἐν ἐκκλησίᾳ.

Πυκνοὶ καὶ θαμέες παρ' Ὁμήρῳ, ἐκ παραλλήλου τὴν αὐτὴν σημασίαν ἔχουσι.

Πυκνός, ὁ δασύς.

Πυκνότης, σύνεσις, φρόνησις.

Πύκνωσις, κατὰ προςάστην καὶ ἐπιστάτην, συνέστι πύκνωσις κατὰ μῆκος, καὶ κατὰ βάθος. κατέχει δὲ ὁ πεπυκνωμένος ἀνὴρ, πήχεις δύο. ὁ δὲ ἁπλῶς τεταγμένος, πήχεις τέσσαρας.

Πύκται, γρόνθοι, ἀγωνισταί.

Πυκτεύω, τὸ ἀγωνίζομαι πάντα τὸν ἀγῶνα.

Πύκτης πόλεμος, ἀνένδοτος.

Πύκτης, παγκρατιαστής, ἀθλητής. καὶ πυκτεῖον, ἐν ᾧ πύκται ἀγωνίζονται.

Πυκτίον, τὸ βιβλίον. ἀπὸ τοῦ πυκτίζω, ὅ ἐστιν ἀσφαλίζεσθαι καὶ συγκλείεσθαι. πυκτεῖον δὲ, ἐν ᾧ εἰσὶ τὰ πυκτία, δίφθογγον. καὶ ἐν ᾧ πύκται ἀγωνίζονται. πυκτίον δὲ, τὸ πινακίδιον, καὶ πυκτίζω.

Πυκτὸς πίναξ, παρ' Ὁμήρῳ τὴν ἐπιστολὴν παρὰ τοῖς ὕστερον δηλοῖ. εἰς ἣν γεγραφυῖα ἡ Σαπφώ, ἔγραψεν οὕτω. ἔστι φύσις θήλεια, βρέφη σώζουσα ὑπὸ κόλποις αὐτῆς. ταῦτα δ' ἄφωνα, βοὴν ἵστησι γεγωνόν, καὶ διὰ πόντιον οἶδμα. ὃν δὴ γείφον μὴ λύσαντας καλῶς τοῦ ἀκούσαντος, ἀλλὰ νενοηκότος εἰς πόλιν καὶ ῥήτορας διαρολήτοντας, ἡρμηνεύσεν ἐκείνη, ὡς θήλεια φύσις ἐστὶν ἡ ἐπιστολή. βρέφη δὲ, τὰ γράμματα περιφέρει. ἄπερ ἄφωνα ὄντα, τοῖς πόρρω λαλεῖ.

Πυλαγόραι, κατὰ πόλιν ἔπεμπον τὰς δύσοντας καὶ συνεδρεύσοντας, εἰς τὴν πυλαίαν, εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων. καὶ ἦσαν οἱ πεμπόμενοι πυλαγόραι, καὶ ἱερομνήμονες. λέγουσι δὲ, ὅτι Πυλάδης πρῶτος ἐκρίθη ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ. καὶ ἐξ αὐτοῦ τοὔνομα σχεῖν τὸν τόπον. ἀπῆσαν δὲ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν, καὶ Πυλαγόρας. Ἀριστοφάνης θεσμοφοριαζούσαις. ἀγαθὰ μεγάλα τῇ πόλει ἥκειν, φέροντας τοὺς Πυλαγόρας, καὶ τὸν ἱερομνήμονα, καὶ εἰσὶν οἷον ἱερεῖς γραμματεῖς, μνήμονας γὰρ τούτους ἐκάλουν, φόροις τὰ μνήμων, καὶ ἐπίσκοπος ἦσαν ὁσίων.

Πύλαι οὐρανοῦ, αἱ νέφη.

Πύλαι δικαιοσύνης, αἱ διάφοροι τῆς ἀρετῆς ἰδέαι. δι' ἐκείνων γὰρ δυνατὸν ἀξίως ὑμνῆσαι τὸν ὅλων Θεόν. καὶ Δαβίδ, ἀνοίξατέ μοι πύλας δικαιοσύνης.

Πύλαι, κατὰ συνήθειαν ὁμηρικῶν, αὐτὸς ὁ τῆς εἰσόδου τόπος. σανίδες δὲ, αἱ θύραι, ὀχεὺς δὲ ὁ μοχλός.

Πύλαι ἐπὶ τείχους, θύραι ἐπὶ οἰκίας.

Πυλαιηδέες, αἱ ἐν κάλλει κρινόμεναι τῶν γυναικῶν καὶ νικῶσαι.

Πυλαίμαρχος, πολέμαρχος, καὶ ὄνομα κύριον.

Πυλαιεῖς, τοὺς ψεύστας. Ῥόδιοι.

Πυλαιστάς, τοὺς μηδὲν ὑγιὲς μήτε λέγοντας, μήτε πράσσοντας, διὰ τὸ παραγενέσθαι τοιούτους τινὰς ἀνθρώπους εἰς τὸν προειρημένον τόπον.

Πύλαιος, ὁ ἔξω τῆς πύλης.

Πύλας ἠελίου, λέγει Ὅμηρος, τὰς οἷον συγκλεισάσας ἐκεῖ ἥλιον γενόμενον πρὸς δυσμαῖς, ὡς δὴ πύλας εἰσδυόμενος, ὡς ὑπό καλύμματός τινας, γίνεται ἀφανής, ὡς ἐν Ὀδυσσείᾳ τοῦ ω μεγάλου.

Πύλαργα, τὰ στελέχη.

Πυλάρταο, τῇ πύλῃ προσηρτημένου, καὶ κρατεροῖο τοῦ τὰς πύλας ἰσχυρῶς ἐπαρτιῶντος, ἢ ἡρμοσμένας ἔχοντος. λέγει δὲ ἐπὶ τοῦ ᾅδου, πυλωροῦ ἰσχυροῦ.

Πυλάρτης, κύριον ὄνομα, καὶ τοῦ ᾅδου ἐπίθετον. ἢ πυλάρτης ᾅδης, ὁ τὰς πύλας ἀραρυίας ἔχων διὰ τὸ ἐκεῖθεν δυσεξίτητον.

Πυλάρτην τὸν ᾅδην, φησὶν Ὅμηρος, ἀντὶ τοῦ ἀδιεξόδευτον. παρὰ τὸ τὰς πύλας ἀραρυίας εἶναι αὐτῷ, τουτέστιν ἡρμοσμένας.

Πύλας ἱεράς, ἀντὶ τοῦ ἐν τῇ πύλῃ, ποιητικὸν τὸ σχῆμα. καὶ, τίμα χρὴ μητέρος αὐτοῦ, ἀντὶ τοῦ τίμα χρὴ τὴν μητέρα ἐπαινεῖν.

Πύλας οὐρανοῦ, Ὅμηρος τὰ νέφη λέγει.

Πυλαΐδες ἀγοραί, ὅταν συνίασιν οἱ Ἀμφικτύονες εἰς τὴν λεγομένην πυλαίαν ἐν τῇ πανηγύρει.

Πυλαυρός, πυλωρός.

Πυλαωρούς, θυρωρούς, οἱ πλείονες λέγουσι. λέγοντες θύρας μὲν ἐπὶ οἴκου, πύλας δὲ ἐπὶ πόλεως λέγεσθαι. παρατηρητέον δὲ, ὅτι οὐ μόνον ἀνθρώποις προσλαλεῖται τὸ πυλωροί, ἀλλὰ καὶ κυσὶ τὸ τοιοῦτον ἀπηλλάχασιν ὄνομα.

Πυλεών, στεφάνων.

Πυλίδρον, πυλωρόν.

Πύλη, θύρα. καὶ πύλη ἐπὶ τείχους. παρὰ Θουκυδίδῃ, θύρα δὲ, ἐπὶ οἴκου.

Πύλη ἡ εἴσοδος τῆς οἰκίας, ἤγουν τὸ ἐν ταῖς θύραις διάστημα, καὶ ἡ θύρα. καὶ Πύλαι, ὄνομα πόλεως, ἣ τις ὠνομάσθη ὕστερον Θερμοπύλαι. καὶ πυλαία, ἡ ἐν ταῖς πύλαις γινομένη σύνοδος τῶν Ἀμφικτυόνων, καὶ πυλαγόραι, οἱ πεμπόμενοι ἀπὸ τῶν μετεχουσῶν πόλεων τῆς Ἀμφικτυονίας. ἀπὸ τῆς πύλης, καὶ πυλῶν πυλῶνος, τὸ περιέχον τὰς πύλας τῶν οἰκοδομημάτων, καὶ τὰ προπύλαια.

Πύλη, λέγεται ἡ ἐν διεξόδῳ πόλεως οὖσα καὶ ναῶν, καὶ μεγαλοπρεπῶν οἴκων ὑπάνοιξις, θύρα δὲ, ἐπὶ τῶν τυχόντων οἰκημάτων, θύριον δὲ καὶ θυρὶς θυρίδος, τὸ ἰδιωτικῶς λεγόμενον παραθύριον.

Πυληγόροι, πυλῶναι, καὶ οἱ τῶν πανηγύρεων ἐπιμεληταί.

Πυλήν, πόλις Αἰτωλίας.

Πύλιγγες, αἱ ἐν τῇ ἕδρᾳ τρίχες, καὶ ἴουλοι, βόστρυχοι, καὶ κίννοι.

Πυλλέ, θραύει, λέγει, διαβοᾷ, θρυλλεῖ.

Πύλοι τρεῖς, κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα, Μεσσηνίας, Τριφυλίας, Ἀρκαδίας. ὁ δὲ Γεωγράφος, παρ' ᾧ καὶ ἀρσενικῶς ὁ πύλος λέγεται φησιν, ὅτι ὑπόκειταιό Νέστωρ τὸν τριφυλιακὸν Πύλον οἰκῶν. καὶ ὅτι πύλοι τρεῖς ἱστοροῦνται ἐν Πελοποννήσῳ, καθότι καὶ ἔπος εἴρηται, ἐστὶ Πύλος πρὸ Πύλοιο. πύλος γε μὲν ἐστιν ἔκασοι δὲ τὸ παρὰ σφίσιν ἠμαθόειν, καὶ πειρῶνται δεικνύειν, ἀπὸ ποταμοῦ παραρρέοντος, καὶ γνωρίσματα δεικνύουσι γερήνιον τόπον, καὶ γέροντα ποταμόν, καὶ ἄλλον γερόντιον, ἐξ ὧν πιστοῦσθαι τὸ ἐπίθετον εἰρῆσθαι, γερήνιον Νέστορα. λέγει δὲ, καὶ ὅτι παρ' ἑκάστῳ πύλῳ ποταμὸς ἠμαθόεις. ἀλλαχοῦ δὲ, ὅτι ποταμὸς πρὸς ἄρκτον ἀμαθοῦς, ὅθεν ἠμαθόεις πύλος. ἀμαθώδη γὰρ τὸν ποταμόν, ἢ τὴν χώραν εἰπεῖν, ψεῦδός φασιν. ὁ δ' αὐτὸς φησι, καὶ ὅτι οὐκ ἄν ἀγνοοίη τις ἠμαθόεντα πύλον κληθῆναι. καὶ διότι δίναδης καὶ στενὸς ἐστὶν ὁ τῆς ἐκεῖ θαλάσσης αἰγιαλός. κακεῖνος δὲ λέγει, ὅτι παρ' εἰς Νέστορος πύλος, ὁ λεγόμενος τριφυλιακὸς καὶ ἀρκαδικὸς καὶ λεπρεατικός, πλείους ἢ τριάκοντα σταδίους ἀπὸ θαλάσσης, ὡς δηλοῖ καὶ ὁ πεμφθεὶς ἄγγελος ἐν Ὀδυσσείᾳ, ἐπὶ τοὺς ἑταίρους Τηλεμάχου πρὸς τὸ ἐκείνου πλοῖον, καλῶν αὐτοὺς ἐπὶ ξενία.

Πυλοιγενέες, ἀπὸ τοῦ πύλου γίνεται, πλεονασμῷ τοῦ ι, ὅμοιος τῷ ὁλοίτροχος ὁλοοίτροχος, ὁδοδόκος ὁδοιδόκος, ὁδοπόρος ὁδοιπόρος. ὃ δὲ οὐκ ἔξω λόγου, ἢ διὰ τοῦ η γράφεσθαι, τροπῇ τοῦ ο εἰς η.

Πύλον, παρὰ μὲν Ὁμήρῳ οὐκ ἔστιν ἀναντιρρήτως εὑρεῖν, λεγομένην κατὰ γένος ἀρσενικόν. ὁ μὲν Γεωγράφος, καὶ ἄλλοι τὸν πύλον φασί.

Πύλον ἱερὰν λέγει, ἤτοι ἁπλῶς κατὰ κοινὸν ἐπίθετον. ἱεραὶ γὰρ ἅπασαι πόλεις. ἢ διὰ τὰς ἐκεῖ θυσίας.

Πύλον δὲ καταστῆσαι, ἀντὶ τοῦ εἰς πύλον ἀπαγαγεῖν, ὅπερ ἡμεῖς ἀποκαταστῆσαί φαμεν.

Πύλος, ὄνομα πόλεως. ἦσαν δὲ δύο πόλεις, οὕτω λεγόμεναι.

Πύλος. Ἀριστοφάνης, τοῖς ἐκ Πύλου ληφθεῖσι. Πύλος χωρίον τῆς Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας ἔλαβεν αἰχμαλώτους, προανύσαντος τὸν πόλεμον Δημοσθένους καὶ Νικίου. εἰκὸς οὖν τούτους διὰ τὸν αἰχμαλωτισμοῦ φόβον. καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ, καὶ ἀφ' ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν. πολὺ δὲ μετὰ τὴν ἅλωσιν συγκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχροὺς τε καὶ ἰσχνοὺς καὶ δυσώδεις γεγονέναι. ἰστέον δὲ, ὅτι τρεῖς ἐπωνυμίας ἔχει ὁ πύλος, κορυφάσιον, σφακτηρία, ἄλλοι δὲ ἄλλως λέγουσι περὶ ταύτης τῆς ἱστορίας. ἐμοὶ δὲ αὕτη ἀρέσκει, καὶ ἀρκοῦντως ἔχει.

Πύλου ἠμαθόεντος, ἀντὶ τοῦ ἠμαθοέσσης. εἰ μή τις ἀρσενικῶς ὀνομάσει τὸν πύλον. τοιοῦτόν τι ἐν Ὀδυσσείᾳ ὑλήεντι Ζακύνθῳ, ἀντὶ τοῦ ὑληέσσῃ, καὶ φωκαίων ὀλοώτατος ὀδμή, καὶ πικρὸς, καὶ νεκρὸν δάμαρτα.

Πυλωλάκτας, κακῶν μεστός.

Πυλών, στέφανος.

Πύλῳ ἐν νεκύεσσι, παρ' Ὁμήρῳ. ἰστέον, ὅτι ὥσπερ φθογγὴ φθόγγος, χολὴ χόλος, τιμὴ τίμος, παρὰ τῇ κωμωδίᾳ τίμημα, ποθὴ πόθος, ὠνὴ ὦνος, βολὴ βόλος, καὶ ἕτερα, οὕτω πύλη πύλος ἀρσενικῶς, οἷον ἐν πύλῳ βαλών. οὐ γὰρ ἐν τῇ πύλῳ πόλει τὸν ᾅδην ὁ Ἡρακλῆς ἔβαλεν, ἀλλὰ ἐν τῇ τῶν νεκρῶν πύλῃ. διὸ καὶ ἑρμηνεύων ἐπάγει, τὸ, ἐν νεκύεσσι βαλών.

Πυλωρεῖ, φυλάσσει.

Πύματος, ἔσχατος.

Πυνδαξ, ὁ πυθμὴν παρὰ τοῖς μεθ' Ὅμηρον. ὅθεν παροιμία τὸ, ἀπυνδάκωτος οὐ κατεάγεται κύλιξ, ἤγουν ἀπυθμένιστος. Σοφοκλῆς δὲ, καὶ τὴν λαβὴν τοῦ ξίφους πύνδακα εἴρηκεν, ὥς φησι Παυσανίας.

Πυνθάνομαι, ὃ παρὰ τοῖς ποιηταῖς πεύθομαι λέγεται. εἰ μὲν τὸ μανθάνω καὶ τὸ ἀκούω, γενικῇ. πυνθανόμαι ἐνεστώς, ἐπυνθανόμην παρατατικός, πεύσομαι μέλλων, ἐπυθόμην ἀόριστος, πέπυσμαι παρακείμενος. ὅτε ἀντὶ τοῦ ἀκούω λαμβάνεται, ἀποδίδοται πρὸς ἀπαρέμφατον. οἷον, πυνθάνομαί σε ἀγαθὸν ὄντα, καὶ πυνθάνομαί σε ποιεῖν τόδε, ὅτε δὲ ἀντὶ τοῦ ἐρωτῶ καὶ ἀκούω, γενικῇ. τὸ μὲν πυνθάνεσθαι, ἀντὶ τοῦ ἐρωτᾶν ποιεῖ τὴν πεῦσιν. τὸ δὲ μανθάνειν, καὶ ἀκούειν, ποιεῖ τὴν πίστιν. Ὅμηρος δὲ ἐπύθοντο μάχης φησί, μετὰ γενικῆς, ἀντὶ τοῦ ἤκουον. ὁμοίως παρὰ τοῖς Ῥήτορσι καὶ Ποιηταῖς λαμβάνεται ἐπὶ τοῦ ἀκούειν καὶ μανθάνειν. ὡς τὸ, αἰσχρὸν γὰρ τὸ δίς ἐστι καὶ ἐσσομένοισι πυθέσθαι. καὶ πεύθετο γὰρ Κύπρον δὲ μέγα κλέος, καὶ πευθόμενος ἧχι ἕκαστος ἀπώλετο καὶ ἐκείνου γὰρ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων. ἐν γὰρ τούτοις ἅπασιν, ἐπὶ τοῦ ἀκούειν κεῖται τὸ πυνθάνεσθαι. σημαίνει ὅτε τὸ πυνθάνεσθαι, τὸ διδάσκειν καὶ ἱστορεῖν. ἐκ δὲ τοῦ πεύθω, γίνεται πύθω, τὸ μανθάνω καὶ ἀκούω, ἐξ οὗ καὶ τὸ πυνθάνω.

Πυνικούς, τοὺς ἑφθοὺς ἐρεβίνθους καὶ φακούς.

Πυνιάζειν, περαίνειν, ὡς ἀρραίνειν.

Πυνίος, ὁ ξάκτης.

Πυνίους, κυάμους ἑφθούς.

Πύξ, ἀπὸ τοῦ πτύσσω πτύξω, ἀποβολὴ τοῦ ω γίνεται. πτύσσοντες γὰρ τοὺς τῆς χειρὸς δακτύλους, καὶ οὕτω στρυφνοῦντες, εἰς πύκνωσιν, οἱ πυγμάχοι ἀθλοῦσιν, εἰς γρόνθον συστρέφοντες. ὅπερ κόνδυλόν φασιν οἱ σοφοί, ῥῆμα τὸ παράγοντες. ἐξ αὐτοῦ τὸ κονδυλίζειν, ἤγουν τοιούτῳ κονδύλῳ παίζειν. καὶ παροιμίαν προφέροντες τὴν δὸς ἄρτον τυχὸν καὶ κόνδυλον ὄψον ἐπ' αὐτῷ, ἤγουν χορήγησον τὸ ἀρκοῦν παιδίῳ, ἤ τινι τοιούτῳ προσώπῳ. καὶ εἰ μὴ ἀρκεῖται, ἀλλ' ὀχλεῖ εἰς πλεῖον, τότε δὴ ἐπίβαλλε, ἀντὶ τοῦ ὄψου, ἐκ δὲ τοῦ τοιοῦν πτύσσω, ἀφ' οὗ τὸ πύξ, καὶ τὸ πυκνὸν γίνεται. καὶ ὁ πύγος, καὶ ταῦτα ἐκ τοῦ πτύξω. ἡ δὲ πυγμή, καὶ ὁ πυγμάχος, καὶ ἡ πυγμαχία, καὶ τὰ ἐξ αὐτῶν πυγμαχεῖν ἐκ τοῦ ἔπτυχα μέσου παρακειμένου σύγκειται, διὸ καὶ ἔχουσι τὸ γ.

Πυξίδα, δίπτυχα.

Πυξίον, χρῶμά τι ἱματίου.

Πυξίς, τεῦχος ἰατρικόν, καὶ κυρίως ἡ ἐκ πύξου γενομένη. καταχρηστικῶς δὲ, ἡ ἐξ οἱασδήποτε ὕλης, καὶ χαλκοῦ οὖν καὶ μολύβδου.

Πυξίς, τὸ πινακίδιον.

Digitized by Google

Πύξος, εἶδος φυτοῦ. Πυογενὴς, καὶ πυλογενὴς, ὁ ἐν τῇ Πύλῳ γεννηθείς.

Πῦον, τὸ ἕλκος. ἀφ᾽ οὗ ἔμπυον, τὸ ἑλκῶδες.

Πυὸς, τὸ πρῶτον γάλα, δὲ ἑψόμενον πήγνυται, καὶ ἡμεῖς χυτρίτην λέγομεν. τὸ μεταβεβληκὸς εἰς αἷμα, τὸ γαλακτῶδες ὑγρὸν, γάλα νέον, μετὰ χθεσινοῦ γάλακτος ἀμελχθέν.

Πῦρ πυρὸς, ἔστιν ἐπὶ τῆς εὐθείας τὸ πυ μακρόν. ἐπὶ δὲ τῆς γενικῆς βραχὺ, πρὸς διαστολὴν ἑτέρου σημαινομένου. ἔστι γὰρ πυρὸς τὸ πυ μακρὸν, καὶ σημαίνει τὸν σῖτον. τὸ δὲ πῦρ, φῦρ τί ἐστιν, ὅτι φυσώμενον ἐξάπτεται. ἢ παρὰ τὸ φύω, τὸ ἀναβλαστάνω, φῦρ. τί γὰρ πυρὸς εὐφυέστερον ἡνίκα ἐπιλάβηται ὕλης; φύει γὰρ, λαβόμενον ὕλης. ἐκ δὲ τοῦ πῦρ πυρὸς πυράζω, ὁ μέλλων πυράξω, ὄνομα ῥηματικὸν πυρακτὸς, καὶ ῥῆμα πυρακτῶ, ἐξ οὗ ἐπυράκτεον. λέγεται δὲ καὶ πῦρ κήλεον, τὸ καυστικὸν, καὶ ἀποβολῇ τοῦ ι κήλεον, ὁμοίως τῷ τέλειον τέλεον.

Πῦρ ὀφθαλμοῖσι δεδορκὼς, ἀντὶ τοῦ ὡς πῦρ βλέπων. καὶ ἔστιν ὅμοιον τῷ πυρὶ λαμπετόωντι εἶκτην.

Πυράγρια, τὰ θωράκια.

Πυράγραν, τὸν χαλκευτικόν τινες καρκῖνόν φασι, διὰ ὁμοιότητα λαβῆς. σχηματισμὸς δὲ αὐτῆς, κατὰ τὴν κρεάγραν.

Πυραὶ, καύματα.

Πυρὰ θυληκῶς, τὸ πῦρ τὸ ἐπὶ νεκρῷ ἀπτόμενον, καὶ ὁ τόπος ἔνθα τὸ πῦρ ἅπτεται.

Πύρα, πόλις τῶν ἐν Λέσβῳ.

Πυραὶ, πυρκαϊαί.

Πύραινος, πῦρ ἐνδυόμενος. λέγεται δὲ καὶ τὸ ἀγγεῖον, ἐν ᾧ φέρεται τὸ πῦρ οὕτω.

Πυρακτέον ἐν πυρὶ παρ᾽ Ὁμήρῳ, ἐτυμολογικῶς πέφρασται.

Πυρακτῶν, ἐμπυρσεύων, σφοδρῶς καίων.

Πυραμηδὴς, πυροειδής.

Πυραμίδες, οἰκοδομήματα γεωμετρικὰ, ἐπὶ τὰ κάτω κατερχόμενα.

* Πυραμίδες, ἐν Αἰγύπτῳ κτίσμα, εἰς ὃ λέγεται ἀνηλωκέναι κρομμύων καὶ σκορόδων καὶ τυροῦ τάλαντα μύρια πεντακόσια. ὠνομάσθησαν δὲ πυραμίδες ἀπὸ τῶν πυρῶν, οὓς ἐκεῖ συναγαγὼν ὁ Βασιλεὺς ἔνδειαν ἐποίησε σίτου κατὰ τὴν Αἴγυπτον.

Πυραμὶς, οἰκία τίς. τὴν πυράμην ἅμην λέγομεν ἡμεῖς οὐκ ὀρθῶς.

Πύραμος, ὄνομα τόπου, καὶ ποταμὸς Κιλικίας. οὗ τὸ εὖρος, σταδίου.

Πυραμοῦς, εἶδος πλακοῦντος, ἐκ μέλιτος ἑφθοῦ, καὶ πυροῦ πεφρυγμένου. ὡς σησαμοῦς, ὁ διὰ σησάμου. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς ἐν τοῖς συμποσίοις, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω, ταῦτα ἐλάμβανεν ἔπαθλον, ἡμέτερος ὁ πυραμοῦς.

Πυραμύα, ἡ μέλισσα.

Πυράνδρου μηχανήματα. ὁ Πύρανδρος οὗτος ἐγένετο πονηρὸς, καὶ συκοφάντης.

Πύρασος, πόλις Φθίας, κατὰ τὸν ἐθνικογράφον, κληθεῖσα οὕτω, διὰ τὸ τὴν χώραν εἶναι πυροφόρον, ἤτοι σιτοποιόν. διὸ καὶ Δημήτερος αὐτὴν τέμενος ἐκάλεσεν ὁ Ποιητὴς, ὡς πολύκαρπον δηλαδὴ, καὶ εὔκαρπον. τοῖς γὰρ τοιούτοις ἀγαθοῖς, ἡ Δημήτηρ ἐπιστατεῖν ἐλέγετο.

Πύραυνον, εἰς ὃ ἂν πῦρ ἐναύηται. δαδίον, ἢ βόλβιτον ἢ τοιοῦτόν τι. οἱ δὲ τὴν θερμάστριν.

Πύραυνος, ὁ χυτρόπους, παρὰ τὸ πῦρ ἰαύειν ἐν αὐτῷ.

Πυραύστης, ἐκ τοῦ αὔω. ζωΰφιον καταπετόμενον φλογὸς, καὶ οὕτως ὀλλύμενον. ὅθεν καὶ παροιμία πυραύστου μόρος, ἐπὶ τῶν ῥᾳδίως καὶ ἀκουσίως θνησκόντων ἀγεννῶς ἐξ ἀφροσύνης.

Πυράφλεκτος, ὅτε δηλοῖ τὸ περὶ τὴν Θεοτόκον θαῦμα, λέγεται πυράφλεκτος. ὡς ἐν τῷ, βάτος ἐν ὄρει πυράφλεκτος. ὅτε δὲ τὴν ἐξαφθεῖσαν Χαλδαϊκὴν κάμινον, λέγεται πυρίφλεκτος. ὡς ἐν τῷ, κάμινον παῖδες πυρίφλεκτον πάλαι, δροσοβολοῦσαν ἀπέδειξαν.

Πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες, ὅ ἐστιν ἀσφαλῶς διὰ τῆς πυκνώσεως. εἰκάζεται δὲ πύργῳ ἡ τοιαύτη σύνταξις, ἴσως διὰ τὸ ἐοικέναι λίθοις, δι᾽ ὧν πύργος γίνεται. ἴσως δὲ καὶ διὰ τὸ ἑτερομήκει τετραγώνῳ, τυπτέσιν ἐν πλινθίου σχήματι. ἢ πυργηδὸν, στιχηδὸν, κατὰ τάξιν.

Πυργηρούμενοι, τὰ τείχη φυλάττοντες.

Πυργήρως, μετεώρως, ὡς πύργος, καὶ ἐν φρουροῖς πυργίαν κάτω.

Πυργῆτις, βοτάνη.

Πύργιον, μέρος τριήρους.

Πυργίσκοι καὶ θησαυροφυλάκια, σκεύη κατ᾽ οἶκον, καὶ ἀποπυργίζω. Διαγόρας ἔγραψεν ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ Θεῖον δόξης. ἄθεος γὰρ ἦν τὸ πρότερον.

Πυργῖται, οἱ Κρῆτες.

Πυργοβάρεις, προμαχεῶνες, οἱ ὀχυρώτατοι τῶν πύργων, καὶ τείχη ὀχυρά.

Πύργον αὐτῆς φησι Θεόκριτος, τὸν Ἀχιλλέα, ἤγουν τεῖχος πολέμου. παρασυλήσας τοῦτο ἐξ Ὁμήρου, εἰπόντος, ὃς μέγα πᾶσιν ἕρκος ἐστὶ πολέμου.

Πύργος, παρὰ τὸ ὑπεράνω γῆς ἵστασθαι. σημαίνει δὲ, ὅτε μὲν κυρίως τὸν πύργον. ὡς τὸ πύργῳ ἐφεστήκει γοόωσα. ὅτε δὲ τὸ τεῖχος, ὡς τὸ, ὡς εἶδον Ἑλένην ἐπὶ πύργον ἰοῦσαν. καὶ τὴν τάξιν, ὡς τὸ εἰ δέκα πύργοι Ἀχαιῶν. καὶ ἐπίρρημα, πυργηδόν. καὶ μέρος τι τοῦ τείχους, ὡς τὸ, τοῦ γὰρ δὴ πρὸς πύργον ἴσαν, Ἰλιάδος μ΄. ὅτε δὲ μεταφορικῶς, ἀσφάλειαν καὶ φυλακὴν, ὡς ἐν τῷ, τοῖος γάρ σφιν πύργος ἀπώλετο.

Πύργοι, τάξεις.

Πυργοῦχος, μέρος τι τῆς νεώς.

Πυργοῦται, ὑψοῦται. Δαμάσκιος, τοῖς ἐπὶ μήκιστον εὖ μάλα πυργώσασι τὴν φιλοσοφίαν τοῖς περὶ Πυθαγόραν, Πλάτωνα, τοῖς δὲ νεωστὶ, Πορφυρίῳ. Ἰαμβλίχῳ, Συριανῷ.

Πυργοφόρος, ἡ Ῥέα. ὡς ἐν ἐπιγράμματι, Ῥέας πυργοφόρον δίκελον εἰσορόω. καὶ Αἰσχύλος, ὦ τραγικὸν φρόνημα, καὶ ὀφρυόεσσαν ἀοιδὴν πυργώσας στιβαρῇ, πρῶτος ἐν εὐεπίῃ.

Πυργώσας, ἀντὶ τοῦ ὑψώσας, αὐξήσας, μεγαλύνας, ἐπὶ τὸ σεμνότερον ἀγαγὼν τὰ ποιήματα, ἢ μεγάλα εἰπών.

Πύρδαλον, ὀψοποιεῖον, ὀπτανεῖον. καὶ τὸ καυστικὸν ὄργανον, ἢ ξύλον, ἢ μαγειρεῖον, ἢ λείψανον. οἱ δὲ, πύρδαμον.

Πύρδανα, τὰ λείψανα, καὶ τὰ ζώπυρα τοῦ πυρός.

Πυρέας, πυρπολήσας, ἐμπυρεύσας τὴν πόλιν, ἀπὸ τῆς πυρὸς εὐθείας.

Πυρεῖον, ἀγγεῖον κεράμιον εἰς πυρὸς ἔνθεσιν.

Πύρεθρον, εἶδος βοτάνης, ἧς ἡ ῥίζα καυστικὴν ἔχει δύναμιν, καὶ ὀδόντων ἐψυγμένων ὀδύνας πραΰνει, καὶ πρὸς τῶν κατὰ περίοδον ῥιγῶν, ἀνατρίβεται μετ᾽ ἐλαίου, καὶ τοὺς ναρκώδεις τε καὶ παρειμένους ὠφελεῖ.

Πυρεῖον, θυμιατήριον. οἱ δὲ Ἕλληνες κατέλιπον πυρεῖα. καὶ δᾷδα δόντες Σίνωνι, σκοπὸν ἐσόμενον, ὁ δὲ τὰ πυρεῖα καὶ τὸν πυρσὸν ἀνίσχει τοῖς πολεμίοις. ὁ δὲ Ἡράκλειος, τάς τε πόλεις καθῄρει, καὶ τὰ πυρεῖα διέστρεφε τὰ Περσῶν. καὶ Σοφοκλῆς, πυρεῖα ὁμοῦ τάδ᾽ ἐκείνου θησαύρισμα σημαίνει τόδε, τὰ δὲ δακτυλικὰ διὰ τοῦ ι.

Πυρένεσιν, ἅρμασι.

Πυρετὸς, φλογισμὸς, καῦμα. τὸ δὲ σῶμα, πῦρ λέγει.

Πυρήϊα φησὶν Ἀπολλώνιος, τὰ προστριβόμενα ἀλλήλοις πρὸς τὸ πῦρ ἐγγενᾶν.

Πυρὴ ἐμπλησέμεν ἐσθλῶν, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἐσθλὰ λέγειν δοκεῖ, μέλι, ἄνθη, χλαίνας, ὅπλα, καὶ τοιαῦτά τινα. τοῦ πυρῆς ἐπέβησαν, ὁμοιότης καὶ ἐν τῷ ἀοιδῆς ἐπέβησαν, ἤγουν ᾄδειν ἐδίδαξαν. μάλιστα δὲ ἐν τῷ δόξης, οὔποτε τῆς δ᾽ ἐπιβάντες, ἀντὶ τοῦ οὔποτε τοῦτο δοξάσαντες. πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα, ὧν καὶ τὸ κακῶν ἐπιβασκέμεν.

Πυρὴν πυρῆνος, τὸ ὀστοῦν τῆς ἐλαίας.

Πυρήνη, ὄρος παρῆκον Ἑσπερίαν, καὶ Ἰβηρίαν, ὅπερ ἐστὶν ἀσφάλεια τοῦ τόπου. καὶ πυρηναῖα ὄρη.

* Πυρία, πᾶσα ἡ ἔξωθεν ἡμῖν προσπίπτουσα θερμασία, εἴτ᾽ ἀπὸ πυρὸς, εἴτ᾽ ἐν λουτροῖς γένοιτο.

Πυρία, ἡ ἐν τοῖς σπλάγχνοις γινομένη, ταύτῃ χρῶνται οἱ πολλοὶ, ἐπὶ τῆς ἐν τῷ βαλανείῳ πυέλου. καὶ ἔχει μὲν τὸ ἔτυμον ἀπὸ τοῦ πυροῦσθαι, οὐ μὴν τὸ ἀκριβὲς καὶ δόκιμον. πυέλους γὰρ οἱ ἀρχαῖοι καλοῦσιν, ἀλλ᾽ οὐ πυρίας.

Πυριατὸν, τὸ ἑφθὸν πυρί. ὃ γίνεται ἐκ τοῦ πρώτου γάλακτος.

Πυριατὸς, συνεστός.

Πυρίβια, τὰ εἰς τὸ πῦρ πίπτοντα ζωΰφια. τῶν γὰρ ζώων τινὰ χωρὶς μίξεως γίνονται. ὡς τὰ πυρίβια καὶ ὁ φοίνιξ, καὶ αἱ ἄλλαι.

Πυριβρεμέτης, ὁ χαλινός. Τιμαχίδας δὲ, ἤτοι ὁ πυρὶ βρέμων, ἢ διὰ πυρὸς βρέμοντος γεγονώς.

Πυρίεφθα, τὸ πρῶτον τοῦ γάλακτος.

Πυρίη, ὅσαι τῆς μάζης συμπιέζουσι τῇ χειρὶ εἰς τὸ στόμα λαμβάνουσαι.

Πυρίηκέα, πῦρ ἔχοντα, πεπυρωμένα, πυρίνην τὴν ἀκμὴν καὶ τὸ ἄκρον ἔχοντα, ἢ ἔχουσαν.

Πυρίθους καὶ Θησεὺς, ὁ μὲν Διὸς υἱὸς, ὁ δὲ Ποσειδῶνος φιλίαν ποιησάμενοι, ἁρπάσαι συνέθεντο τὴν Διὸς θυγατέρα. ἁρπάσαντες οὖν τὴν Ἑλένην, παρέθεντο ἐν Ἀφίδναις τῆς Ἀττικῆς Αἴθρᾳ τῇ Πιτθέως μὲν θυγατρὶ, μητρὶ δὲ Θησέως. Κάστωρ δὲ καὶ Πολυδεύκης οἱ τῆς Ἑλένης ἀδελφοὶ πορθήσαντες τὴν Ἀττικὴν, Αἴθραν λαμβάνουσιν αἰχμάλωτον. ἁρπαγείσης δὲ πάλιν ὑπ᾽ Ἀλεξάνδρου τῆς Ἑλένης συναπῆρεν αὐτῇ Αἴθρα ἐπὶ Τροίαν.

Πυρίκαυστος, πεπυρωμένος.

Πυρικρόταφος, ὁ μετὰ πυρὸς κεκροτημένος σίδηρος.

Πυριλαμπὴς, πτηνόν τι μικρὸν, ὃ ἐν τῷ σκότει λάμπει. καλεῖται δὲ ὑπ᾽ ἐνίων καὶ λαμπυρίς.

Πυρίμαχος, ὁ ἐν τῇ μάχῃ ἀνίκητος, καὶ λίθος ἀπὸ τοῦ συμβεβηκότος, πυρίμαχος.

Πυρῖναι, τὰ ἐν ταῖς τῶν ἐλαιῶν ὀστᾶ.

Πυρίνας, τοὺς διαπύρους κόχλακας, ἢ θρόμματα διακαῆ παρὰ τῷ Ἱπποκράτει. καὶ πυρίνας, τοὺς χόνδρους. εἴρηται δὲ ἐπὶ λιβανωτοῦ, ἀπὸ σκωρίας σιδήρου παρὰ τῷ Ἱπποκράτει.

Πύρινον ἅρμα, τὸ θερμουργὸν δηλοῖ. καὶ ἄλλως δὲ φράσαι, τὸ αὐτῆς ὀξὺ καὶ δραστικόν.

Πύρινος πόλεμος, ὁ Ῥωμαίων πρὸς Κελτίβηρας συσταθείς. θαυμαστὴν γὰρ εἶχε τὴν ἰδιότητα, διά τὴν συνέχειαν τῶν ἀγώνων. τοὺς γὰρ κατὰ τὴν Ἑλλάδα πολέμους καὶ τοὺς κατὰ τὴν Ἀσίαν, ὡς ἐπίπαν μάχη κρίνει, σπανίως δὲ δευτέρα. καὶ τὰς μάχας αὐτὰς εἷς καιρὸς ὁ κατὰ τὴν πρώτην ἔφοδον καὶ σύμπτωσιν τῆς δυνάμεως. κατὰ δὲ τοῦτον τὸν πόλεμον, τἀναντία συνέβαινε τοῖς προειρημένοις. τοὺς μὲν γὰρ κινδύνους ὡς ἐπίπαν ἡ νὺξ διέλυε τῶν ἀνδρῶν, οὔτ᾽ εἴκειν τῇ ψυχῇ, οὔτε παρακαθιέναι τοῖς σώμασι βουλομένων διὰ τὸν κόπον, ἀλλ᾽ ἐξ ὑποστροφῆς καὶ μεταμελείας, αὖθις ἄλλας ἀρχὰς ποιουμένων. τόν γε μὴν ὅλον πόλεμον καὶ τὴν συνέχειαν τῶν ἐκ διαστάξεως διακρίσεων, ὁ χειμὼν ἐπιπόνως διεῖργε. καθόλου γὰρ εἴ τις διανοηθείη πύρινον πόλεμον, οὐκ ἂν ἕτερον, ἢ τοῦτον νοήσει.

Πυρνὸς, ὁ ψωμός. κοινοτέρως ἡ τροφὴ ἀπὸ τοῦ πυροῦ, ὅ ἐστι τοῦ σίτου.

Πυρίνῳ σίτῳ. γέρανοι γεωργοῦ κατενέμοντο χώραν ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ. πυρὸς γὰρ, ὁ σῖτος. Ὅμηρος, πυροί τε, ζειαί τε, ἰδὲ εὐρυφυὲς κρῖ λευκόν, ἔζων ἐν πᾶσι λαγώοις. καὶ πυρῶν, καὶ πυριάτων, ἄξια τῆς γῆς ἀπολαύοντες, καὶ τὸν Μαραθῶνι τροπαίου.

Πυρίον, τὸ σαρὸν, ἢ θυμιατήριον.

Πυρισμαράγοις, τοῖς ἀπὸ πυρὸς ἠχοῦσι.

Πυρίσσω, ἀμεταβάτως.

Πυρισφάραγον λέγει Θεόκριτος ἐν σύριγγι, ὡς ἐν τῷ πυρὶ τῆς καρδιακῆς θέρμης σπαρασσόμενον, καὶ ἀναφλεγόμενον.

Πυρίτης ἄρτος, ὁ τοῦ σίτου. καὶ θυληκῶς πυρίτης λίθος, τὸ ἐκ τοῦ πυρίτου λίθου φῶς, ἄφαντον λέγεται.

Πυριφλεγέθων, ποταμὸς ἐν τῷ ᾅδῃ κατὰ τὴν τῶν Ἑλλήνων δόξαν. οἶμαι δὲ, τὸ ἄσβεστον πῦρ

Digitized by Google

πῦρ λέγει, ἢ τὸν ἐν τῇ γραφῇ πύρινον ποταμόν. Πυρίφλεκτος, ὡς ἐν τῷ κάμινον παῖδες πυρίφλεκτον πάλαι. πυράφλεκτος δὲ, ὡς ἐν τῷ, βάτος ἐν ὄρει πυράφλεκτος. ἐφλέγετο γὰρ, οὐ κατεφλέγετο δέ.

Πυρκαϊά, φλὸξ, ἐμπυρισμός.

Πύρνα ἀγείρειν, δέδωκεν ἀφορμὴν τοῖς ὕστερον, ἀγύρτας εἰπεῖν τοὺς πτωχούς. καὶ ἀγυρτάζειν, τὸ πτωχεύειν. καὶ μητραγυρτεῖν δὲ, τὸ μετὰ τυμπάνων, καὶ τινῶν τοιούτων περιϊέναι, καὶ ἐπὶ τῇ μητρὶ ἀγείρειν τροφὰς δηλαδή. ὅ ἐστιν ἐπὶ τῇ Ῥέᾳ πύρνα, ἤγουν τοὺς ψωμούς. ὅτι πύρινά ἐστι κατὰ τοὺς παλαιοὺς, αἱ σιτώδεις τροφαί,

Πύρνηται, ἐσθίηται.

Πύρνοι, ζειαὶ σιτώδεις, ἢ ὁ κατειργασμένος σῖτος, ἄλλοι χόρτος, ἄλλοι μαγίδα. καὶ οὐδετέρως πύρνα, ὡς τὸ ἐπυρνάωσαν πύρνα. καὶ τὰ κυηστήρια ἀγγεῖα.

Πύρνον, ἔχει γένος ἄδηλον. ἄδηλον γάρ φασιν εἶναι. εἰ δὲ καὶ πύρνα εὕρηται παρὰ τῷ Ποιητῇ, ὑποπτεύεται καὶ οὕπω ἡ λέξις, μήποτε καὶ μεταπέπλασται ὡς τὰ σταθμὰ, καὶ κέλευθα καὶ δεσμά. λέγει δὲ πύρνον, τὸν πύρινον ἄρτον, ὅ ἐστι σίτινον ἄρτον, ἢ ψωμὸν κατὰ τοὺς παλαιούς.

Πύρνος, τὸ απόκλασμα τοῦ ἄρτου.

Πυροδαίσιον, μαγειρεῖον.

Πυρόεις, ὁ πυρός. καὶ πυρόεις ἀπολάμπεται ἀστήρ. Ἀπολλώνιος, ὅτι ὁ ἀστὴρ ὁ Ἄρνης, ὑπὸ μὲν Ἑλλήνων Ἄρης λέγεται, ὑπὸ δὲ Αἰγυπτίων καὶ ἀστρονόμων πυρόεις, ὑπὸ Χαλδαίων Ἡρακλῆς.

Πυρόεσσαν ἐπίπνουν, ἤγουν πῦρ πνέουσαν.

Πύρινοι, κεκινημένοι.

Πυρολαμπὶς, ζῶον πτηνὸν ἐν σκότει λάμπον.

Πυρορραγὴς κέραμος, ὁ ἐν πυρὶ ῥηγνύμενος. ὁ γὰρ κέραμος πυρραγὴς γενόμενος σαθρὸν ἠχεῖ.

Πυρὸς ἄνθος, τὸ λαμπρότατον.

Πυρὸς δηΐοιο, ὑπὸ τοῦ πυρὸς τοῦ πολεμικοῦ.

Πυρὸς δέμας, ὀξέως καὶ ἰσχυρῶς.

Πυρὸς μένος, τὸ πῦρ περιφραστικῶς.

Πυρὸς αὐγῇ, ὁ καταυγαζόμενος καὶ καταφωτιζόμενος τόπος ὑπὸ τοῦ πυρός.

Πυρὸς καὶ πυροῦς, πολλὴ διαφορὰ παρὰ τοῖς ῥήτορσι.

Πυροὺς λέγουσι θύειν τῇ Ἀφροδίτῃ. ἐπεὶ οἱ ἑφθοὶ πυροὶ πρὸς συνουσίαν ἐγερτικοί. καὶ πυρὸς, ὁ σῖτος καὶ ὁ ξανθός.

Πυροφόρος ἄρουρα, τὴν ἁπλῶς σπερματοφόρον δηλοῖ.

Πυροφόρων, σιτοφόρων.

Πῦρ παλάμης, ὁ ταχέως τι ἐπινοῶν, καὶ παλαμώμενος ἴσα πυρί.

Πυρπολεῖν, ἢ τὸ πυρσεύειν ἐστὶ καὶ πῦρ καίειν. διὰ τοὺς πελάζοντας, ἢ καὶ τὸ μεθ' ἡμέραν τεκμηριοῦσθαι τόπον, τῷ τοῦ πυρὸς σημείῳ καπνῷ.

Πυρπολεῖται, ἐμπυρίζεται. καὶ πυρπολεῖ τὴν οἰκίαν, ἤγουν καίει.

Πυρράζει, οὐρανός.

Πυρραία, λόφος ἐν δοτίῳ. οἱ δὲ πυρραίαν εἶναι μοῖραν τῆς Θεσσαλίας λέγουσιν, ἀπὸ Πύρρας τῆς Δευκαλίωνος, ὥς φησι Σουΐδας. δοκοῦσι δὲ εἰς ταύτην καταφυγεῖν οἱ διαφεύγοντες τῶν κενταύρων.

Πυρραίη, θέτιδος ἐπώνυμον.

Πύρρακος, κατ' ἐρυσίχθονα γεγονώς.

Πυρραλὶς, ὄρνις ποιός.

Πυρριάδαι, οὕτως ἐκαλοῦντο οἱ νῦν μολοσσοὶ, ἀπὸ Πύρρου τοῦ ἠπειρώτου.

Πυρρίας. ὄνομα δούλου, ἀπό τινος δούλου, ὡς καὶ ξανθίας, ἀπὸ Ξανθίου τινός. ὧν ὁ μὲν πυρρὸς ἦν τὴν κόμην, ὁ δὲ ξανθός.

Πυρρίας, τῶν ὄφεων τὶς, ἀπὸ χρώματος.

Πύρριχα, χλαμὺς, ἢ πελτάριον.

Πυρρίχη, ἡ ἐνόπλιος ὄρχησις, κρητικὴ μάλιστα καὶ σεμνὴ, ὡς ἐν τοῖς περὶ κουρήτων γέγραπται. ἡ δὲ καὶ σίκιννις κωμικωτέρα. ἣν πρῶτοί φασιν ὠρχήσαντο Φρύγες ἐπὶ Σαβαζίῳ Διονύσῳ, ὀνομασθεῖσαν κατὰ τὸν Ἀρριανὸν, ἐπὶ μιᾶς τῶν ὀπαδῶν τῆς Κεβέλης νυμφῶν, ᾗ ὄνομα ἦν Σίκιννυς. ἰστέον δὲ, καὶ ὅτι κατὰ τοὺς παλαιοὺς, τὴν ῥηθεῖσαν κουρητικὴν, ἢ πυρριχικὴν ὅπλισιν οἱ πλείους μὲν ἐς Κρῆτας ἀνάγουσι, τινὲς δὲ Νεοπτολέμῳ ἀνατιθέασι τὴν αὐτῆς εὕρεσιν, ἕτεροι δὲ Κάστορι, καὶ ἄλλοι Διονύσῳ. ἔτι ἰστέον, ὅτι ἡ κατὰ μάχην ὀρχηστικὴ πρὸς ἔνδειξιν ἐπετηδεύετο θάρρους, ἵνα δοκοῖεν οἱ οὕτω κινούμενοι, καταπαίζειν τῶν πολεμίων. καὶ ἴσως τοιοῦτόν τι καὶ Ἄρηϊ μέλπεσθαι, ὡς τῆς μολπῆς θαρραλεότητα ἐνδεικνυμένης, καὶ ἀλυπίαν τινὰ, ὥς τινές φασι κατὰ Πλάτωνα.

Πυρρίχιος, ἐκ δύο βραχειῶν δίχρονος, οἷον λόγος. πυρρίχιος μέτρον καλεῖται, ἢ διὰ τὸ μεθ' ὅπλων μᾶλλον χρῆσθαι τοὺς χρωμένους αὐτῷ, ἢ διὰ τὸ τὸν Πύρρον πρῶτον νικήσαντα, ὑμνηθῆναι τούτῳ τῷ μέτρῳ, ὅπερ ἐκ τοῦ πυρριχίου μᾶλλον σύγκειται.

Πύρριχος, ἀντὶ τοῦ πυρρὸς λέγουσι Δωριεῖς.

* Πυρρὸν, χρῶμα ἐγγύτατον τῷ ξανθῷ· διαφορὰ δ' ἀλλήλων τῷ τὸ μὲν, λευκότερον εἶναι, τὸ δὲ, στιλπνότερον. καὶ ἔστι τὴν χρόαν, ὁποία ἡ σανδαράκη.

Πύρρος, ὄνομα κύριον. καὶ πυρκὴ, τὸ τῆς ἐλαίας ὀστοῦν. καὶ πύρρα, μία πόλις τῶν ἐν τῇ Λέσβῳ. καὶ πυρὸς ὁ σῖτος δι' ἑνὸς ρ, καὶ πυραμοῦς εἶδος πλακοῦντος, ἐκ μέλιτος ἑφθοῦ καὶ πυρῶν πεφυραμένος. καὶ πυρρὸς διὰ δύο ρρ, ὁ πυρώδης. καὶ πυρσὸς, ἡ εἰς ὕψος αἰρομένη φλόξ. καὶ πυρσὸν τὸ πυρῶδες, καὶ πῦρ πυρός. ἀφ' οὗ ἔμπυρος ἥλιος ὁ πυρώδης. καὶ ἔμπυροι λέβητες, οἱ ἐπὶ τοῦ πυρὸς πεπαγμένοι. οὓς Ὅμηρος ἐμπυριβήτας λέγει καὶ αἴθωνας. καὶ ἄπυροι, οἱ διὰ θέαν μόνην καὶ τέρψιν εἰργασμένοι, οὓς καὶ ἀνθεμόεντας ὁ αὐτὸς λέγει.

Πυρρὸς, ὁ πυρώδεις ἔχων τοὺς ὀφθαλμοὺς, ἢ τὰς τρίχας, καὶ τὴν πρόσοψιν. ἐπὶ δὲ τοῦ θηλυκοῦ καὶ οὐδετέρου, οὐδὲν παραλλάττεται. ἡ πυρρὸς ὁ ξανθός. καὶ παροιμία, ἅπαξ πυρρὸς καὶ μὴ δέκατον χλωρὸς, ἐπὶ τῶν δανειζόντων.

Πυρρόθριχω, ἡ εὐθεῖα ὁ πυρρόθριχος, ὡς ὁ μάρτυρος, ὁ φύλακος. τῶν Ἰώνων δὲ τοῦτο ἐστι, τὸ τὰς γενικὰς ποιεῖν εὐθείας.

Πυρσαῖς γέννυσι, ταῖς ξανθαῖς θριξί.

Πυρσανίδες, οὕτω νύμφαι καλοῦνται.

Πυρσεύει, πῦρ ἐξάπτει. καὶ πυρσεύω σοι τὴν σωτηρίαν, ἀντὶ τοῦ ἐκφαίνω καὶ ἀνάπτω, καὶ ἄνωθεν δεικνύω τὸ κάλλιστον.

Πυρσοὶ, λαμπάδες, πυρκαϊαὶ, λαμπτῆρες, φρυκτωρίαι.

Πυρσοκουρσολέοντος, πυρροκεφάλου, ξανθοτρίχου.

Πυρσολεῖφοι, ἢ πυρσόλειφθοι, οἱ ὑπὸ πυρὸς μεμαδισμένοι.

Πυρσοφόρον, ἀγγεῖον εὐμεγέθες, εἰς ὃ ξύλα ἐτίθεσαν πεπυρωμένα. ἢ ὁ τὸ πῦρ φέρων, ἀπὸ τοῦ πρώτου βωμοῦ ἐπὶ τὰ ἱερὰ, καὶ φυλάττων μὴ ἀποσβεσθῇ. σημαίνει δὲ τὴν λαμπαδηφόρον.

Πυρσῷ, πυρί.

Πυριθαλπῆ πέτραν λέγει Ἀπολλώνιος, τὴν ὑπὸ πυρὸς καιομένην.

Πυρφόρος, ὁ πῦρ φέρων. πυρφόρους δὲ ἔλεγον τοὺς ἱερέας, τοὺς τὸ ἐπιβώμιον πῦρ ἀνάπτοντας.

Πυρόλοφοι ἱμάντες, οἱ παροπτηθεισῶν βυρσῶν τεμνόμενοι.

Πυρῶν, φλέγων, ἢ καίων.

Πυρῶσαι, τὸ ἐμπρῆσαι. ὡς τὸ πυρώσω τὰς Ἀθήνας. κεῖται δὲ ἡ λέξις παρὰ Σοφοκλεῖ ἐν τῷ ἀμφικίονας ναοὺς πυρώσων ἦλθεν, ἤγουν καύσων.

Πύρωσις, δοκιμασία.

Πύρωσον τοὺς νεφρούς μου, ἀντὶ τοῦ φλέξον, ἢ καῦσον.

Πυσανία, πανσπερμία ἑφθή.

Πύσει, σήψει. Ὅμηρος, σέο δ' ὀστέα πύσει ἄρουρα κειμένου ἐν Τροίῃ. σημειωτέον, ὅτι τῶν ἐπὶ ξένης τελευτώντων ἀπεκομίζετο τὰ ὀστᾶ εἰς τὰς πατρίδας.

Πύσμα, ἐρώτημα, καὶ ἀξίωμα.

Πύσματα, ὅτι τὰς ἐρωτήσεις τὰς τί ἐστι τὸ προκείμενον ἐξεταζούσας, πύσματα ἔθος λέγειν τοῖς νεωτέροις. οἷον τί ἐστιν ἄνθρωπος; διαλεκτικὴ δὲ πρότασίς ἐστι, πρὸς ἣν ὁ ἐρωτώμενος δύναται ἀποκρίνεσθαι, ναὶ ἢ οὔ.

Πύσσαχος, ξύλον καμπύλον τοῖς μόσχοις περὶ τοὺς μυκτῆρας τιθέμενον, ὃ κωλύει θηλάζειν.

Πύστεις, ἐρωτήσεις. ὡς τὸ πάσης ἐρωτήσεως καὶ πύστεως, ὁ χρησμὸς ἀνέστειλεν αὐτούς. πύστις καὶ ἡ φήμη.

Πύστις, ἡ μάθησις, παρὰ τὸ πέπυσμαι, πύσις, καὶ πλεονασμῷ τοῦ τ πύστις.

Πυταὶ Λάκωνες, τὰ ἐρυθρὰ ἱμάτια.

Πυτίζω, πταίω.

Πυτίοις, εἰρεσίαις, ἢ κώπαις, παρὰ τῷ Ἱπποκράτει.

Πυτίνη, πλέγμα ἀπὸ θαλλῶν. ἅπερ διϊπετὴς ὁ νεόπλουτος ἔπλεκε. καὶ ἀλλαχοῦ φησι, διϊπετὴς πυτίναι μόνον ἔχων πτερὰ, ἠρέθη Φύλαρχος. πυτίνη οὖν, ὅπερ παρ' ἡμῖν λέγεται φλασκίον. * καὶ πλεκτὸ λάγυνος οἴνου. Ἡσύχιος.

Πύω καὶ πυριάτω, παρὰ τῷ Ἀριστοφάνει, πυριάτης, τὸ πυρίεφθον ὑπό τινων προσαγορευόμενον, ὃ κατασκευάζουσιν ἐκ τοῦ πρώτου γάλακτος μετὰ τὸν τόκον. πύον δαινύμενοι, καὶ ἐμπιπλάμενοι. πυριάτην δὲ, ὅθεν τισὶν ἔδοξε πύον μὲν εἶναι, τὸ πρῶτον γάλα οὕτωσι ἐλάμβανον. πυριάτην δὲ τὸ ἑφθὸν γάλα. ὁ δὲ Παλαμήδης, τὸ αὐτὸ λέγων εἶναι γράφει. ἔθος δὲ τοῖς ποιηταῖς, ἐπαλλήλαις λέξεσιν ἰσοδυναμούσαις χρῆσθαι.

ΤΟ' Π. ΜΕΤΑ' ΤΟΥ' Ω.

ΠΩ', καὶ πώμαλα, τὰ τῷ ο παραληγόμενα ἐπιρρήματα, ἀποκοπῇ τῆς θεν καὶ ἐκτάσει τοῦ ο εἰς ω γίνεται παρὰ Δωριεῦσιν, οἷον αὐτόθεν αὐτῶ, τουτόθεν τούτω, οὕτω καὶ πόθεν πῶ. καὶ παρὰ Σώφρονι, πῶ τις ὄνον ὠνάσηται; ἀντὶ τοῦ πόθεν. τὸ δὲ πώμαλα παρὰ Ἀττικοῖς, προσλήψει τοῦ μαλα γίνεται, οἷον, ἢ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός; καὶ ἢ μάλ' ἐλαφρὸς ἀνήρ. τὸ δὲ πόθεν, ἐπὶ τῆς οὐ ἀρνήσεως λέγεται, οἷον ἔγραψε, πόθεν. ἀντὶ τοῦ οὔ. καὶ κατὰ τοιαύτην σημασίαν τὸ πώμαλα, παρὰ Ἀττικοῖς σημαίνει τὸ οὐδαμῶς. καὶ τὸ πώποτε, ἀπὸ τοῦ πω ἐπιρρήματος. ἔστι δὲ καὶ ῥῆμα παρὰ Αἰολεῦσιν, οἷον χαῖρε καὶ πῶ, ὅπερ λέγεται ἐν ἑτέρῳ σύμπωθι. ἔστι δὲ τρίτης συζυγίας, ὡς μυρῶ, διδῶ, πῶ, ὅταν γένηται πῶθι, ἐπαύξησίς ἐστιν, ὡς ζῆθι καὶ ζῶθι.

Πῶ, ποῦ, ὅθεν πόθεν Δωριεῖς.

Πῶ οὐ γάρ πω τοίους ἴδον ἀνέρας, τὰ ἐγκλινόμενα εἴποτε τόνου κληρονομήσουσιν, ὀξὺν αὐτὸν ἔχουσιν, οἷον φημί σοι, σοί φημι, καὶ τὰ ὅμοια, διὸ καὶ τὸ πώποτε καλῶς δι' ὀξείας ἐκφέρεται τάσεως, καὶ τὸ πώμαλα.

Πώγων πώγωνος, Τροιζήνιος λιμὴν, οὕτω καλούμενος.

Πώγων καὶ ὑπήνη, δοκιμώτερα ἢ γένειον. τὸ δὲ γενειὰς κοινόν.

Πωγωνίας ἐστὶν, ἀστεροειδὲς πυρὸς ἄθροισμα, ἔμπροσθεν ἔχον τὰς ἀκτῖνας.

Πωγωνίας, ὁ μέγας πώγων.

Πώγων, παρὰ τὸ πήσσω πέπηγα, πήγων καὶ πώγων, ὁ πεπηγὼς καὶ ἑδραῖος τόπος. καὶ πωγωνίας, καὶ πωγωνήτης, τὸ νη, ἡ.

Πωγωνήτης, ὁ Ζεὺς καὶ πωγωνήτης.

Πῶεα, ποίμνια, βοσκήματα.

Πωλαὶ, ἀντὶ τοῦ πράσεις.

Πωλέαι, ἐκ τοῦ πωλεῖται τρίτου προσώπου γίνεται, κατ' ἔνδειαν τοῦ τ, καὶ ἀποβολὴν τοῦ ι. διὸ καὶ παροξύνεται καθὰ καὶ ἐν τῇ β' ῥαψῳδίᾳ τὸ μυθέαι. εἰ μή τις ἴσως καὶ τοῦτο καὶ ἐκεῖνο προπαροξύνειν ἐθέλῃ, ὡς ἀναδραμόντα εἰς ὁμοιότητα τοῦ τύπτεται, λείβεται, καὶ τῶν ὁμοίων. ὅτι δὲ τὸ πωλεῖν οὐκ οἶδε γράφειν Ὅμηρος διὰ τοῦ ο μικροῦ, ἐκδηλότατόν ἐστι.

Πωλειά, χαίτη.

Πωλεία, ἡ τοῦ ἵππου παίδευσις. καὶ πώλειος φύσις.

Πωλεῖται, συνεχῶς ἐπὶ τὸν αὐτὸν τόπον παραγίνεται· τὸ δὲ καθ' ἡμᾶς πωλεῖσθαι, περνᾶσθαι λέγουσι.

Πωλίσκετο, ἀνεστρέφετο πωλῶ διὰ τοῦ ω μεγάλου, κατὰ ἀκολουθίαν Ἀττικήν. ἀφ' οὗ πολίσκομαι Ἰωνικῶς, ὡς ζωΐσκω, φθινυθίσκω, ποθίσκω, ὁ παρατατικὸς πολισκόμην χωρὶς αὐξήσεως κατὰ τὴν τῶν Ἰώνων συνήθειαν, τὸ τρίτον πολίσκετο. ἐκ τοῦ πολῶ πωλῶ, τὸ συναναστρέφομαι πωλίσω, καὶ πλεονασμῷ τοῦ κ πωλίσκω, καὶ ἔχει πάθη δύο, συστολήν, ἤτοι ἀφαίρεσιν κατὰ Ἴωνας τοῦ ι, καὶ ἔκτασιν Ἀττικὴν κατὰ Ποιητὰς τοῦ ο μικροῦ εἰς ω μέγα, ὡς καὶ τὸ ἐπιπωλεῖτο.

Πωλεύμην, ἀντὶ τοῦ συνανεστρεφόμην. ἐκτείνει συνήθως τὸ ο μικρόν, εἰ καὶ τὸ πολεύειν, ἐν τῷ Ἰθάκης κατὰ ἄστυ πολεύει, συνέστειλε τὴν ἀρχουσαν, ὥσπερ τὸ ἀμφιπολεύειν ὁ Ποιητής.

Πωλευτικὸς, παιδευτικός.

Πωλεύω, ἵππων ἐπιμελοῦμαι.

Πωλήσεαι, φοιτήσεις, παραγενήσῃ, ἀναστρέψεις.

Πωληταὶ, καὶ πωλητήριον, οἱ μὲν πωληταὶ, ἀρχή τίς ἐστιν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἑκάστης φυλῆς. διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη, καὶ μέταλλα, καὶ μισθώσεις, καὶ τὰ δημευόμενα. πωλητήριον δὲ καλεῖται, ὁ τόπος ἔνθα συνεδρεύουσιν οἱ πωληταί.

Πωλητὴς, ὁ πιπράσκων.

Πωλία, χαλκοῦν τι πῆγμα. φέρει δὲ ἐπὶ τῶν ὤμων, τὰς τῶν λευκιππίδων πώλους, δύο δὲ εἶναι παρθένους φασί.

Πωλικῷ, γενναίῳ, ἢ παιδικῷ, ὡς τὸ πωλικῷ σκιρτήματι.

Πωλικὸς, ὁ γενναῖος. καὶ πωλικὸν δῆγμα, τὸ φρύαγμα.

* Πῶλις, καὶ Σῶος, πόλεις ἐν νήσοις, ὁ μὲν Πωλίτης, ὁ δὲ Σωικός.

Πωλοδαμνεῖν, ἐπὶ ἀλόγων λέγεται. ἐπὶ δὲ ἀνθρώπων τὸ παιδαγωγεῖν, καὶ παιδοτριβεῖν. ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης, ὁ λεγόμενος βαίουλος.

Πωλοδαμαστὴς, γυμναστής.

Πωλοδαμνῶ, τὰς πώλους δαμάζω.

Πῶλοι κυρίως, τὰ γεννήματα τῶν ἵππων καὶ τῶν ἄλλων κτηνῶν, ἅπερ ἔθος ἔχομεν κολακεύειν.

Πωλίον, τὸ πτηνόν.

Πῶλος, τὸ ζῶον, καὶ ἡ ἑταίρα. πώλους γὰρ αὐτὰς ἔλεγον, οἷον Ἀφροδίτης πώλους, ἢ τὰς καὶ τὰς νέας. καὶ παρθένους.

Πωλούμενοι, συνερχόμενοι.

Πῶλος, ὁ ἀείδαρος, ἢ ὁ νέος ἵππος.

Πωλοῦσι, Δίδυμός φησιν ἀντὶ τοῦ πορνεύουσι φανερῶς. πωλεῖν γὰρ τὸ παρέχειν ἑαυτὸν τοῖς βουλομένοις. ὅθεν καὶ τὸ πορνεύειν, ὅπερ ἐστὶ περνᾶν.

* Πώλυψ καὶ πολύπους ἰχθύς. ὁ πώλυψ συνεργεῖ μὲν ἀφροδισίοις, σκληρὸς δέ ἐστι καὶ δύσπεπτος. Ἀθήναιος. καὶ πώλυψ ἐστὶ σὰρξ ῥινὶ ἐπιφυομένη, μυξῶδες ὑγρὸν ἀφιεῖσα, ἐπιφράττουσα τὴν ἀναπνοήν. Πολυδεύκης.

Πωλῶ, ἀποδίδομαι, ἀποκηρύττω, διατίθεμαι, ἐξαργυρίζω.

Πωλῶ, τὸ πιπράσκω, διὰ τοῦ ω μεγάλου. παρὰ τὸ πολῶ, τὸ συναναστρέφομαι, καὶ ἐπιφοιτῶ. ὁ γὰρ πωλῶν καὶ πωλούμενος, περὶ τὸν αὐτὸν τόπον ἀναστρέφεται. ἵνα θεωρῆται, ὑπὸ πάντων. ἐπὶ δὲ τοῦ κινοῦμαι, ἢ περιπατῶ, διὰ τοῦ ο μικροῦ. ἀμφότερα δὲ ἐν τῇ συνθέσει τὴν ἰδίαν φυλάττει γραφήν, ὡς ἀρτοπώλης, καὶ τὰ ὅμοια, σεσημείωται τὸ ἀπεμπολῶ, καὶ τυρπωλῶ. τὸ μὲν ἀπὸ τοῦ πωλῶ τὸ πιπράσκω, διὰ τοῦ ω μεγάλου γράφεται. τὸ δὲ ἀπὸ τοῦ πολῶ τὸ συναναστρέφομαι, διὰ τοῦ ο μικροῦ, ὥσπερ εἴληπται καὶ τὸ ἄρνυσθαι ἀπὸ τῶν ἀρνῶν, οὕτω καὶ ἀπὸ τῶν ὑπὸ τοῖς ζώοις πώλων εἴρηται τὸ πωλεῖν. ἀρέσκει δέ τισι καὶ ἀπὸ τῶν ὄνων, κατ' ἔκτασιν τῆς ἀρχούσης τῆς ὠνεῖσθαι παράγεσθαι.

Πῶμα, γίνεται παρὰ τὸ πῶ τὸ κτῶμαι. φυλάσσει γὰρ πᾶν πῶμα κατά τινα. ἔχει ἀναλογίαν πρὸς τὸ κῶ, κῶμα.

Πώμαλα, οὐδαμῶς. ἔστι δὲ Ἀττικόν. ἔστι γὰρ ἐπίρρημα ἀρνήσεως.

Πῶμα, σκέπασμα. πόμα δὲ, τὸ πινόμενον μικρόν.

Πώμαλα, ἅπαξ Δημοσθένης εἶπε, σὺ δὲ ὡς ποιητικὸν πάρες. πώμαλα, οὐδαμῶς, ἐπίρρημα ἀρνήσεως. ἔστι δὲ Ἀττικόν.

Πῶμι, τὸ πίνω, ὁ μέλλων πώσω, ὁ παρακείμενος πέπωκα.

Πῶμοι, τοῦ μοι.

Πωμήριον, τὸ τοῦ τείχους ἀκόνισμα.

Πῶννα, γραφίον, λύπη.

Πῶον, ὅρος.

Πῶπαι, φοραί. Δωριεῖς.

Πωπολία, ἡ ἀναφορὰ τοῦ πυρός.

Πώποτε, ἀντὶ τοῦ ποτέ.

Πώπανα, εἶδος πλακοῦντος.

Πωρεῖν, κυδεύειν, πενθεῖν.

Πρωρῆσαι, λυπῆσαι, καὶ τὰ ὅμοια.

Πῶρος, ἀπολίθωσις ὑγροῦ. καὶ πωρῶ ῥῆμα, τὸ σκληρύνω καὶ λιθοποιῶ.

Πῶρος, πάθος τί ἐστιν, ὥς φησιν Ἀντίμαχος.

Πωρὸς, ὁ τυφλός. καὶ πώρωσις, ἡ τύφλωσις καὶ ἀναισθησία.

Πωριαῖος, ταχύς.

Πωρωθεὶς, ἀπολιθωθεὶς, ἢ ἀναισθητήσας.

Πῶς οἴει αὐδῶς ἔχω, καὶ πῶς οἴει με διψῶντα, παρὰ Συνεσίῳ. καὶ οἶμαι ἀντὶ τοῦ ὑπολαμβάνω. ποτὲ μὲν λαμβάνει τὴν οἰκείαν σύνταξιν, καὶ ἀπαρεμφάτῳ συντάσσεται. ὡς καὶ Συνέσιος, οἶμαί σου τὴν θεσπεσίαν ψυχὴν, καὶ πρὸ ἀρχῆς εὖ πράττειν. καὶ Λιβάνιος, τίνα γάρ οἴει με γενέσθαι πειθόμενον. ποτὲ δὲ λέγεται ἀναπολύτως, ὡς καὶ Συνέσιος. οὐ γὰρ οἶμαι νομίζεται, νυμφευτηρίαις βαδίζειν ἐπ' ἐκφοράν. καὶ Δημοσθένης, ἀλλ' οἶμαι καθήμεθα μηδὲν ποιοῦντες. τοῦτο δὲ δεῖ φυλάττειν, ὅτι τὸ ὅσα ἀεὶ παρὰ τοῖς Ἀττικοῖς, πρὸς ῥῆμα ὁριστικὸν ἀποδίδοται.

Πῶς. Ὅμηρος ἀεὶ μέν πως μοι ἐπιπλήσσεις. εἰ μὲν ἐγκλίνεται τὸ πῶς, ἐπιεικῶς ἐρρέθη. εἰ δὲ περισπᾶται, θαυμαστικῶς ἔχει. τὸ δὲ ἐπιπλήσσεις ἀγοραῖς, διὰ τοῦ σχολὴν δηλοῖ ἱστορίας τινὸς ἐπιπλήξεώς τε, καὶ πλήξεως. εἴη οὖν τοιαύτη ἐπίπληξις, πλῆξις ἀέρος κατά τινος ἐν λόγοις.

Πῶς, πῆ, ποτὲ, πόθεν, πόθι, ταῦτα πυσματικὰ ὄντα βαρύνεται. ἀόριστα δὲ ὀξύνεται, καὶ ἐν τῇ συντάξει ὑποτασσόμενα ἐγκλίνονται, οἷον ἦλθές πως, ἦλθές πη, ἦλθές ποθεν, ἦλθές ποθι, αἴκε ποθι Ζεύς.

Πῶς, καὶ ὅπως, ἐρωτηματικόν. ὡς τὸ, πῶς ἔχει τὰ τῶν ἀγρῶν. καὶ πρὸς τοῦτο ἔμφασιν ἔχον τοῦ κατὰ πολύ. Ἀριστοφάνης ἐν πλούτῳ, ἐγὼ δὲ τοῦ τρόπου πῶς εἰμ' ἀεὶ, ἤγουν λίαν ἐμὸς ὁ τρόπος. ἔστι δὲ καὶ ἀντὶ τοῦ κατά τινα τρόπον. ὅπερ καὶ ἀεὶ ἐγκλίνεται. Ἀριστείδης ἐν παναθηναϊκῷ, δοκῶν γε δήπως εἰς Ἕλληνας τελεῖν. καὶ ἀμφότερα δὲ τό, τε ἁπλῶς ἐρωτηματικόν. καὶ τὸ κατά τινα τρόπον. καὶ πῶς, καὶ ὅπως γράφονται, ὅπη ὁ ῥυθμὸς ἀπαιτεῖ. πῶς ἦλθες, ἦλθές πως.

Πῶς δοκεῖς, ἀντὶ τοῦ λίαν. Εὐριπίδης, κάπτα πῶς δοκεῖς ἐκ γαληνῶν προσφθεγμάτων.

Πωσαχῶς, ποσαπλῶς.

Πωσειδῶ, ἀντὶ τοῦ Ποσειδῶνα λέγουσι Δωριεῖς.

Πῶς κεν τοι, πῶς ἂν γένοιτο.

Πωτᾶσθαι, πέτεσθαι.

Πωτώμεναι, διατρίβουσαι, διακινοῦσαι.

Πωτῶντο, παρ' Ὁμήρῳ ἐν τῷ μ' τῆς Ἰλιάδος, οὐκ ἀρέσκει τισὶ νοεῖν, ἀντὶ τοῦ ἐπέτοντο. σκληρὸν γὰρ δοκεῖ, καὶ αὔθαδες ἐπὶ πέτρων εἰπεῖν προπετῶς τὸ πέτεσθαι, ἀλλὰ μᾶλλον ἀντὶ τοῦ ἔπιπτον. φησὶ γάρ, νιφάδες πίπτουσιν. οὕτω μέν τινες οἱ καὶ διὰ τοῦ ω μεγάλου τὴν ἄρχουσαν γράφουσι, πρὸς διαστολὴν τοῦ ποτῶ, ἢ δηλοῖ τὸ πέτομαι. ὡς τὸ ἔνθα καὶ ἔνθα ποτῶνται. ὅτι δὲ δύναται νοηθῆναι ἡ λέξις, καὶ ἀντὶ τοῦ ἐπέτοντο, δηλοῖ ἐν τῇ ἑξῆς ῥαψῳδίᾳ. ἔνθα λίθον ὕψι ἀναθρώσκοντα, πέτεσθαι λέγει.

Πώϋγγες, αἱ αἶθυιαι, αἱ κληθεῖσαι βύγγες, παρὰ τὴν βοήν, καὶ τὴν ἰυγήν.

Πῶυ, ζητεῖται πῶς κλίνεται. φαμὲν ὅτι ἀκολούθως τῷ μέθυ μέθυος μέθυϊ, καὶ πῶυ πώυος πώυϊ. τούτου δὲ οὕτως ἔχοντος, ζητεῖται πῶς ὁ Ποιητὴς τὴν ὀνομαστικὴν εἶπε, πῶυ, ὡς τὸ μέθυ. Οὐκέτι μέντοι ἐπὶ τῆς πληθυντικῆς ὀνομαστικῆς καὶ αἰτιατικῆς ἐφύλαξε τὸ υ μόνον, ἀλλ' εἶπε καὶ πώεα καλά. φαμὲν οὖν, ὅτι ἀφ' ἑτέρας εὐθείας πεποίηκε τὴν αἰτιατικὴν ἀπὸ τοῦ πώας, ὡς τὸ κώας. πὰρ δ' ἐτίθει δέπτνόν τε μέγα, καὶ κώας ἐπ' αὐτόν. ὥσπερ οὖν ἀπὸ τῆς κώας ὀνομαστικῆς ἡ πληθυντικὴ αἰτιατικὴ γίνεται, εἶτα κατὰ διαίρεσιν κώεα, οὕτω καὶ ἀπὸ τῆς πώας γίνεται κατὰ συνήθη διαίρεσιν αὐτῆς, πώεα μήλων. Ἡρωδιανός.

Πῶυ, πώεος, λέγεται παρὰ τὸ πῶ τὸ κτῶμαι, ἢ παρὰ τὸ πῶ τὸ πίνω. ἢ παρὰ τὴν πόαν, ἣν νέμεται. ἔστι δὲ πῶυ μὲν πλῆθος προβάτων. ποιμὴν δὲ, ὁ κατανέμων αὐτά. διὸ καὶ ποιμαίνειν λαὸν ὁ Βασιλεὺς λέγεται, οὐ μὴν αἰπολεῖν. πολλῷ δὲ μᾶλλον οὐδὲ βουκολεῖν. τὸ γὰρ βουκολεῖν ταυτόν ἐστι τῷ ἀπατᾶν. πολλάκις καὶ ὡς φαῦλον λαμβάνεται.

Πῶυξ, ποιὸς ὄρνις, ὡς ὁ Ἀριστοτέλης ἐν τῷ περὶ ζώων ἱστορίας.

Τέλος τοῦ π στοιχείου.

ἈΡΧΗ͂ ΤΟΥ͂ Ρ.

ΣΤΟΙΧΕΙ͂ΟΥ ΤΟῪ ΑΥ̓ΤΟ͂Υ ΜΕΤᾺ ΤΟΥ͂ Α.

Ρῶ, τὸ στοιχεῖον, παρὰ τὸ ῥέω. ὑγρὸν γάρ ἐστι, καὶ εὐμάλακτον, καὶ ὡς ἔλαιον ῥεῖ ἐν τοῖς μέτροις τὰ ἀμετάβολα.

Ρ, διά τι λέγουσί τινες φωνῆεν καὶ σύμφωνον εἶναι, διὰ τὸ δύνασθαι αὐτὸ καὶ δασύνεσθαι καὶ ψιλοῦσθαι. καὶ ὅτι τὰ εἰς α λήγοντα καθαρὰ θηλυκὰ, ἔχοντα τὸ α, εἰ μετὰ τοῦ ρ, τηρεῖ αὐτὸ καὶ ἐπὶ γενικῆς. εἰ δὲ σύμφωνον ἔχουσι πρὸ τοῦ α, τρέπουσιν αὐτὸ εἰς η, οἷον δόξα δόξης. καὶ διὰ τοῦτο λέγομεν αὐτὸ μὴ εἶναι σύμφωνον, ἀλλὰ φωνῆεν. ἀλλὰ δῆλον, ὅτι σύμφωνόν ἐστιν, ἐπεὶ πᾶν φωνῆεν καθ' ἑαυτὸ φωνὴν ἀποτελεῖ. τὸ δὲ ρ, οὐ δύναται καθ' ἑαυτὸ φωνὴν ἀποτελεῖν, δῆλον ὅτι οὐκ ἔστι φωνῆεν, ἀλλὰ σύμφωνον. καὶ ἄλλως, ὅτι οὐδέποτε ἐν μιᾷ συλλαβῇ τρία εὑρίσκονται φωνήεντα. ἐὰν οὖν εἴπωμεν τὸ ρ φωνῆεν εἶναι, εὑρεθήσεται ἐν τῷ ῥεῦμα, καὶ ῥοῦς, τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ. ὅπερ ἐστὶν ἀδύνατον, οὐκ ἄρα τὸ ρ φωνῆέν ἐστιν, ἀλλὰ σύμφωνον.

Ρ, διπλοῦν τριχῶς εὑρίσκεται, ἢ ἀπὸ συνθέσεως, ὡς ἐπίρρημα. ἢ ἀπὸ αὐξήσεως χρονικῆς, ὡς τὸ ἔρριψα. ἢ φυσικῶς, ὡς τὸ ἔρρε, θάρρος, πυρρός. ἐν οὖν τοῖς ἀπὸ συνθήκης ἢ αὐξήσεως. τοῦ μὲν προτέρου ψιλουμένου, τοῦ δὲ δευτέρου δασυνομένου. διὰ τὸ καὶ πρὸ τῆς συνθέσεως, ἢ τῆς αὐξήσεως δασύνεσθαι. ζητητέον εἰ καὶ τῶν ἐκ φύσεως, τὸ μὲν χρὴ ψιλοῦν, τὸ δὲ δασύνειν.

Ρὰ, σημαίνει τὸ εὐχερές. τινὲς δὲ ἀπὸ τοῦ ῥέα σχηματίζουσιν αὐτὸ, οἷς καὶ ὁ τόνος, καὶ ἡ παράδοσις ἀντίκειται, καὶ ἡ τῶν Αἰολέων διάλεκτος. ὁ τόνος μὲν, ὅτι εἰ ἦν ἀπὸ τοῦ ῥέα, ὤφειλε περισπᾶσθαι. ἡ παράδοσις δὲ, ὅτι οὐκ ὤφειλεν ἔχειν τὸ ι. ἡ τῶν Αἰολέων δὲ διάλεκτος, ὅτι εἰ ἦν ἀπὸ τοῦ ῥέα, οὐκ ὤφειλον οἱ Αἰολεῖς προστιθέναι τὸ β, καὶ λέγειν βρᾶ. τότε γὰρ προστιθέασι τὸ β τῷ ρ, ἡνίκ' ἐπιφέρεται τὸ κ, ἢ τὸ τ, ἢ τὸ ζ. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι τὸ ῥάδιον λέγεται βράδιον Αἰολικῶς, ὡς ἐπιφερομένου τοῦ δ, ἐκ τούτου γίνεται κατὰ ἀποκοπὴν, καὶ εὐλόγως ἔχει τὸ ι. οὐδὲν δὲ ξένον, εἰ δύο συλλαβῶν γέγονεν ἀποκοπή. καὶ γὰρ πολλάκις καὶ δύο συλλαβῶν γίνεται ἀποκοπή. οἷον μακάριος μάκαρ, προπάροιθεν πρόπαρ. οὕτως οὖν καὶ ῥάδιον, ῥᾶ. τὸ δὲ ῥάδιον,

Digitized by Google

ῥάδιον, ἔχει τὸ ι προσγεγραμμένον. ἐπειδὴ δὲ εὑρίσκεται τὸ ι, κατὰ διάστασιν ἐν τῷ ῥηΐδιον, ὃ σημαίνει τὸ εὔκολον, καὶ εὐχερές. καὶ ὅτι ἀπὸ τοῦ ῥέα γίνεται ῥάδιον, καὶ τροπῇ τοῦ ε εἰς τὸ η ῥηΐδιον. ἢ ἀπὸ τοῦ ῥᾶος, ῥάου, εἰσὶ γὰρ παράγωγα, καὶ διὰ τοῦ διον, καὶ διὰ τοῦ ιδιον. ἀλλ' εἰ ἦν ἀπὸ τοῦ ῥᾶος, οὐκ ὤφειλε τρέψαι τὸ α εἰς η ἐν τῷ ῥηΐδιον. τὰ γὰρ διὰ τοῦ διον ἀπὸ πρωτοτύπου φωνῆεν ἔχοντα τὸ α, οὐ τρέπεται, ὡς κεφάλαιον καὶ ἐλάδιον καὶ πηλάδιον. καὶ οὐ λέγεται κεφαλήδιον, καὶ ἐλήδιον, καὶ πηλήδιον.

Ῥά. ἰστέον, ὅτι χαίρει μάλιστα ὁ Ποιητὴς τῷ ῥὰ συνδέσμῳ, καὶ ὅτι ἐγκλίνεται, καὶ ὅτι κατὰ τοὺς στοιχικούς ἐστιν ἕτερον ῥά. ὃ σημαίνει μὲν τὸ εὐχερῶς. ὥς φασι, γίνεται δὲ ἀπὸ τοῦ ῥᾴδιον κατὰ ἀποκοπήν, διὸ καὶ ὀξύνεται, καὶ σὺν τῷ ι γράφεται, καὶ οὐδὲ ἐγκλίνεται. λέγεται δὲ φασι καὶ σὺν τῷ β, βρά. ἐπεὶ καὶ τὸ ῥάδιον αἰολικῶς, βράδιον λέγεται.

Ῥὰ, σύνδεσμος ἐγκλίνεται, οἷον ὃς ῥα νόθος.

Ῥὰ δὴ, σύνδεσμος. ἄλλοι μὲν ῥὰ θεοί τε, καὶ ἀνέρες, καὶ παρὰ ἰατροῖς ῥιζίον τί.

Ῥᾶας, ῥᾴμασι.

* Ῥάβα. πόλις πρὸς τῷ Ἰονίῳ κόλπῳ, τὸ ἐθνικὸν ῥαβαῖος.

* Ῥάβεννα, πόλις Ἰταλίας.

Ῥαβάττειν, ἄνω καὶ κάτω βαδίζειν. τινὲς δὲ τύπτειν, καὶ ψόφον ποιεῖν, καὶ φράσσειν τοῖς ποσὶ, καὶ ῥάσσειν.

Ῥάβδιδαι, τὰ διδασκαλεῖα.

Ῥαβδμῶες, θεράπαιναι.

Ῥάβδοι, καὶ τὸ σύνηθες, καὶ ἡ διάφυσις τῆς γῆς, ὡσεὶ φλέβες. καὶ ὀβολοὶ δὲ οἱ περιτιθέμενοι τοῖς Ὁμήρου στίχοις, καὶ οἱ τῶν φοινίκων κλῶνες. καὶ ὁ βραβευτὴς, ῥαβδονόμος.

Ῥάβδον χρυσέην δίδωσιν ὁ Ποιητὴς τῷ Ἑρμῇ, ᾗ τῶν μὲν ὄμματα θέλγει, τοὺς δὲ ὑπνώοντας ἐγείρει. καὶ λέγει ὡς ταύτῃ κινήσας ἦγε τὰς ψυχὰς, ὡς εἶναι καὶ ταύτην ἐνέργειαν τῆς ἑρμαϊκῆς ῥάβδου. γίνεται δὲ ῥάβδος, παρὰ τὸ ῥαδίως ποιεῖν βαδίζειν. ὡς ἐν ἀρχαίοις ὑπομνήμασι φέρεται. ἔνθα πρόσκειται, καὶ ὅτι βέλτιον ἀπὸ τοῦ ῥαπίζειν, ἵνα τῷ μὲν πρώτῳ λόγῳ προπερισπᾶται ἡ λέξις, διὰ τὸ ῥᾷον, τῷ δευτέρῳ δὲ παροξύνηται.

Ῥάβδος, πᾶσα θεία ῥάβδος παρ' Ὁμήρῳ, μέγα τι καινὸν δρᾷ. οἷον ἡ τῆς Ἀθηνᾶς εἰς Ὀδυσσέα, ποτὲ μὲν νέον ποιοῦσα, ποτὲ δὲ γέροντα. ἡ δὲ χρυσορράπιδος Ἑρμοῦ, ἐπὶ τοῖς ἐγρηγορόσιν ἢ καθεύδουσιν. ἡ τῆς Κίρκης, κατὰ τῶν πινόντων κυκεῶνα. οὕτω δὴ καὶ τὸ τοῦ Ποσειδῶνος σκηπάνιον, ἤτοι σκῆπτρον.

Ῥάβδον, οἱ μὲν ἀπὸ τοῦ ποιεῖν ῥᾷον βαδίζειν γίνεσθαί φασιν. οἱ δὲ πλείους τῶν παλαιῶν, ἀπὸ τοῦ ῥαπίζειν αὐτὴν παράγουσι. διὸ καὶ παροξύνουσι. τινὲς δὲ προπερισπῶσι, διὰ τὸ ῥᾷον φάμεναι γίνεσθαι, παρὰ τὸ ῥᾷον βαδίζειν ποιεῖν. ἕτεροι δὲ κατὰ τὸ ῥαπίζειν λέγοντες αὐτὴν γίνεσθαι, φασὶν ὅτι καὶ τὸ α πρὸ τοῦ β συστέλλεσθαι θέλει, ἁβρὸς, ἄβδηλος, ἀβαρβαραία, ἐπιγράβδην. οὕτως οὖν φασι καὶ ῥάβδος, σεσημείωται τὸ ἄβαλε.

Ῥαβδοφόροι, ῥαβδοῦχοι.

Ῥάγα, ἀκμὴ, βία, ὁρμὴ, καὶ ἣν ἡμεῖς ῥῶγα, θηλυκῶς, Ἀττικοὶ ῥάγα.

* Ῥάγα. πόλις ἐν Μηδείᾳ.

Ῥάγανον, ῥάδιον, θύελλαι.

Ῥαγὰς, σπήλυξ, ἡ σταφυλίς. ῥωγὰς ῥάγαται, ῥάνναται.

Ῥαγδαῖον, ἐπὶ ὑετοῦ λέγεται, ὅταν σφοδρὸς κατέρχηται καὶ μετ' ἤχου. λέγεται δὲ καὶ ἐπὶ πυρὸς, ἐπεὶ ἐξ Οὐρανοῦ κατέρχεται σὺν ἤχῳ, ὡς ὕδωρ.

Ῥαγδαῖον, τὸ ὀξὺ, καὶ ὁρμῆς μεστὸν, ἢ ἀθρόον, σφοδρὸν, ἰσχυρὸν, φοβερὸν, σκληρόν.

Ῥαγεῖσα, δηλοῖ ποτὲ καὶ τὸ ἀθρόως ὁρμήσασα, ὡς τὸ περιρραγεῖσαν τῷ μείζονι. ἀλλὰ καὶ ἡ αἱμορραγία, καὶ αὕτη παρὰ τούτῳ σύγκειται, παρὰ τῷ Ἱπποκράτει.

* Ῥαγὴ, σχίσμα, ῥῆγμα.

Ῥαγήσεται, ἐκπηδήσει.

Ῥαγῶσαι, τεμεῖν.

Ῥαγίζοντι, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ τὰς ῥάγας ἀναλέγουσι, ῥαγολογοῦσιν αὐτάς.

Ῥαδαλὸν, εὐδιάσειστον, χαῦνον, ἁπαλόν.

Ῥαδάμανθυς, ἢ ὅτι περὶ τὰ ῥόδα ἐμάνη τὰ ὑπὸ τοῦ ταύρου προϊέμενα, ἢ ὅτι ἐν Ῥόδῳ παρὰ ταῖς Ἡλιάδεσιν ἐπαιδεύθη.

Ῥάδαμνος, κλάδος τοῦ ψιλοῦ. ῥάδαμνος, κλάδος, καὶ βλαστὸς, ῥῶπος ποικίλος φόρτος.

Ῥαδαμάνθυος ὅρκον, τὸν ἐπὶ χηνὶ καὶ κυνὶ, καὶ τοῖς τοιούτοις ὅρκον.

Ῥαδαμεῖ, βλαστάνει.

Ῥαδανᾶται, πλανᾶται.

Ῥαδάνη, κρόκος, ὁμοίως ῥοδάνη.

Ῥαδανίζειν, τὸ τινάσσεσθαι, καὶ κινεῖσθαι, τὸ παρὰ ταῖς γυναιξὶ λεγόμενον, ὡς Ἡρακλέων ἐν ὑπομνήματι σ' Ἰλιάδος.

Ῥάδανον, ῥάδιον, ἀπὸ τοῦ ῥαδίως δονεῖσθαι.

Ῥαδανῶροι, οἱ τῶν λαχάνων κηπουροί. Ταραντῖνοι.

Ῥάδεσ, τὸ ἀμφοτέρως ἐγκεκλιμένον.

Ῥαδία ἡ θάλαττα πλεῦσαι, ἀντὶ τοῦ πλευσθῆναι. οὕτω καὶ εὐπετὲς τὸ ἔργον ἀνύσαι, ἤγουν ἀνυσθῆναι. καὶ ποταμὸς ῥᾴδιος διαπεράσαι ταῖς ποταμηγοῖς ναυσὶν, ἀντὶ τοῦ διαπλευσθῆναι.

Ῥαδίαι, ὑπόδημα ποιὸν, οἱ δὲ σανδάλιον.

Ῥαδιανώτερον, κοῦφον, ἐλαφρότερον, παρὰ τὸ δαμάζεσθαι ῥᾷον, ἢ ἐκ τοῦ ῥέω, ῥεάδην, ἐξ οὗ ῥαδινός.

Ῥάδικα, ῥάβδον, βακτηρίαν. ἐπειδὴ τὰ βοτὰ ταύτῃ ἐλαύνεται. ἡ βάτος, ἀπὸ τοῦ ἐπ' αὐτῇ βαίνειν. Νίκανδρος.

Ῥαδινὴ ἱμάσθλη, ἡ λεπτὴ καὶ μακρὰ, κατὰ τοὺς παλαιοὺς, καὶ διὰ ταῦτα καὶ λιγυρά. δοκεῖ δὲ γίνεσθαι, ἢ παρὰ τὸ ῥᾷον δινεῖσθαι, ἤτοι κάμπτεσθαι διὰ λεπτότητα. ἢ παρὰ τὸ ποιεῖν τοὺς ἵππους ῥᾷον ἰέναι, πλεονασμῷ τοῦ δ. δῆλον δὲ καὶ ὅτι συγκέκοπται ἡ ἱμάσθλη, διὰ τὸ εὐφωνότερον. τὸ γὰρ ἐντελὲς ἱμαμάσθλη, ὡς οἷον εἰπεῖν, ἱμὰς ἱμάσθλη, τουτέστι λῶρος μεμαλαγμένος.

Ῥαδινῆς, εὐφερῆς. Ἀνακρέων δὲ, ἐπὶ πάχους ἔταξε τὸ ῥαδινόν, ῥαδινοὺς πώλους, Ἴβικος δὲ ἐπὶ τῶν τὸν οὐρανὸν βασταζόντων κιόνων ῥαδινοὺς, εὐμεγέθεις λέγει. Στησίχορος ἐπὶ τοῦ εὐτόνου, ῥαδινοὺς δ' ἔπεμπον ἄκοντας.

Ῥάδιον, τὸ εὔκολον. ῥᾷον, τὸ εὐκολώτερον. ῥᾷστον, τὸ εὐκολώτατον. ῥᾴδιος, ὁ εὔκολος, καὶ ὁ κοῦφος, καὶ ἀφελής. καὶ ῥαδίως, ἐπίρρημα, ἀντὶ τοῦ ἀφελῶς. Δημοσθένης, ἐδόκει γὰρ λέγειν ῥαδίως εἰσηγούμενος, ἀντὶ τοῦ κούφως καὶ εὐήθως.

Ῥαδιουργεῖν, σημαίνει τὸ μετὰ πανουργίας τι διαπράττεσθαι.

Ῥαδιουργία, ἡ εὔκολος δρᾶσις, καὶ ἡ πονηρία, καὶ ἡ πλαστογραφία, καὶ ἡ δολιότης, καὶ ἡ θρασύτης, καὶ ἡ εὐκολία. λέγεται δὲ κυρίως ἐπὶ τῶν ῥᾳδίως πάντα ἐργαζομένων. κατεχρήσατο δὲ τῇ λέξει ἐπὶ τῆς πονηρίας, ὁ Φιλόστρατος. ταυτὸν ἐγένετο ἐπὶ τῆς πανουργίας, καὶ τοῦ πανούργου. ἔστι γὰρ πανοῦργος κυρίως μὲν, ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, ἤγουν ὁ δραστήριος, καὶ ἐνεργής. κατεχρήσαντο δὲ τῇ λέξει οἱ παλαιοὶ, καὶ ἐπὶ τοῦ ἐν κακοῖς νοήμασι, καὶ ἔργοις ἐπιβούλου.

Ῥαδίως, εὐκόλως, εὐχερῶς.

Ῥαδίως, κοινῶς. Ποιητικῶς δὲ ῥεῖα, καὶ ῥηϊδίως.

Ῥαζεῖν, καὶ ῥοίζειν, κυρίως τὸ ὑλακτεῖν. μετῆκται δὲ ἀπὸ τούτου ἐπὶ τοὺς πικραινομένους καὶ σκαιολογοῦντας, φέρεται ἐν ῥητορικῷ λεξικῷ.

Ῥάθαγος, τάραχος, ἦχος, θόρυβος, ψόφος.

Ῥαθαίνεται, ῥαίνεται, βρέχεται.

Ῥαθάμιγγες, σταγόνες, ῥανίδες, καὶ ὁ ἀπὸ τῶν ἵππων κονιορτός.

Ῥαθάμη, ῥᾳστώνη, ῥαθυμία.

Βαθαμίζεσθαι, ῥαίνεσθαι.

Ῥαθαπυγίζειν, τὸ πλατεῖ ποδὶ εἰς τὰ ἰσχία ῥαπίζειν. ἴσμεν δὲ καὶ τό ποτε πυγὴν ἄλλεσθαι τοιοῦτον δηλοῖ, κείμενον παρὰ τῷ κωμικῷ. εἰ καὶ ἄλλως, ὡς γυμνάσματός εἶδός τι ἐκεῖνο αὐτὸ παραλαλεῖ. τοιοῦτον δὲ παρ' Ὁμήρῳ, τὸ λὰξ ἔνθορεν ἰσχίῳ. βλέπε ἐκεῖ λὰξ ἔνθορε. σημαίνει καὶ τὸ σιμῷ τῷ ποδὶ τὸν γλουτὸν παίειν, οὗ χρῆσις παρὰ τῷ Κωμικῷ ἐν τῷ τὰς πρεσβείας ἀπολαύνεις ἐκ τῆς πόλεως ῥαθαπυγίζων. καὶ ῥαθαπυγίζειν, τὸ ῥόθον, ἤτοι ἦχον ποιεῖν ἐν τῇ πυγῇ. καὶ ῥοθοπυγισμὸς, τὸ αὐτό. καὶ ῥαθαπυγίζων, παρὰ τῷ Ἀριστοφάνει, τῇ πυγῇ ῥόθον ποιῶν, τουτέστι πυγὴν τῇ χειρὶ παίων, ἢ τῷ ποδὶ τύπτων. ἄλλως. λάθρα τύπτων, κατὰ τῆς πυγῆς τῇ πλατείᾳ χειρὶ, καὶ πλατεῖ τῷ ποδὶ, τῇ πυγῇ ῥόθον ποιῶν.

Ῥαθασσόμενοι, ῥαινόμενοι, πληττόμενοι.

Ῥαθυμία, ἡ ἀμέλεια, ἡ ῥᾳστώνη.

Ῥάθυμος, ὁ ἀναπεπτωκὼς, παρὰ τὸ ῥεῖν τὸν θυμὸν, ἢ παρὰ τὸ ῥᾷον θυμοῦσθαι. ἢ ὁ μὴ πονητικὸς, ἀλλὰ ἔκλυτος, ἄλλοι ἐπὶ τοῦ μεγάλου θυμοῦ κέχρηνται τῇ λέξει.

Ῥαθυμῶ, ἀναπίπτω, ὑπτιάζω.

Ῥαθυμῶ ἐγὼ, καὶ κατερραθυμῶ, ἤτοι ῥαθυμεῖν ποιῶ, καὶ ἀνίημι. Φιλόστρατος ἐν εἰκόσιν, ἔοικε τοῦτο διαφεύγειν τὴν χεῖρα κατερραθυμοῦντος. ῥαθυμεῖν, τὸ ἀργεῖν, ἢ καὶ τρυφᾶν, ἢ τὸ τοῖς ἀφροδισίοις σχολάζειν.

Ῥαθώδημα, ψεῦσμα.

Ῥαῖ, ῥᾷστον, ῥαδίως.

* Ῥαία, πόλις μεταξὺ Σκυθίας, καὶ Ὑρκανίας.

Ῥαιβίας, αζήμιος δῆμος.

Ῥαίαν, ὑγείαν.

Ῥαιβοειδέα, καμπύλον, παρὰ τῷ Ἱπποκράτει.

Ῥαιβὸς, ὁ διεστραμμένος, ὁ πλάγιος, παρὰ τὸ ῥᾷον βαίνειν κατ' ἀντίφρασιν. ἢ παρὰ τὸ ῥαίω τὸ φθείρω, καὶ τὸ βαίνω, ῥαιβὸς, ὃν καλοῦσιν οἱ πολλοὶ σκελλὸν, καὶ διεστραμμένον.

Ῥαιβώσας, κάμψας.

Ῥαιδεῖται, σκώπτει.

Ῥαιδῆλες, ἐμφανεῖς.

Ῥαίδιον, τὸ φορεῖον. καὶ ῥαῖδον, ἅρμα σκεπαστόν.

Ῥαίδια, σανδάλια. οἱ δὲ, ὑποδήματα γυναικεῖα.

Ῥαίδος, ὄνομα θηρίου.

Ῥαίεται, φθείρεται.

Ῥαικακηρεῖς, στρεβλοκέρατοι.

Ῥαίκαρος, χαλεπός.

Ῥαικὸς, Ῥωμαῖος. Ἐπίχαρμος, φιλεῖ εἶναι Γραικὸς, ἀποβολῇ τοῦ γ ῥαικός.

Ῥαίνει, μιλτοῖ.

Ῥαίνοντο, ἐκβάλλοντο, κατεγράσσοντο.

Ῥαιξία, τόπος ἴδιος ἰατροῦ ἐν Ταραντίνοις.

Ῥαῖον, συγκριτικὸν, ἢ ἕτερον.

Ῥαιστάζει, πονεῖ, ὠθεῖ.

Ῥαίσας, τῆς νόσου λέγει, μὴ κουφισθείς.

Ῥαῖσαι, τὸ ἐκ νόσου ἀνασφῆλαι καὶ ἀναρρωσθῆναι.

Ῥαίσας, ἀντὶ τοῦ κουφισμὸν σχὼν τῆς νόσου, οὕτω Δημοσθένης ἐν φιλιππικοῖς.

Ῥαιστῆρα, θηλυκῶς κρατηρίαν λέγει Ὅμηρος σφῦραν μεγάλην. οὐ λεπτουργὸν, ἀλλ' οἵαν ἐξελαύνειν τὰ χαλκευόμενα. Ἰωνικῶς δὲ εἴρηται ὁ ῥαιστήρ. οὕτω καὶ ὁ Σοφοκλῆς, σωτῆρα τύχην φησί.

Ῥαιστεῦσα, διαφθαρεῖσα.

Ῥαιστὸν, ὑπερθετικὸν, φθαρτόν.

Ῥαίστωρ, κρατήρ.

Ῥαῖσον, βέλτιον σχῶ.

Ῥαιφάσσει, ἀγνοεῖ.

Ῥαίω, φθείρω.

Ῥακὰ, ἀντὶ τοῦ σὺ ἑρμηνεύεται τῇ Σύρων γλώττῃ. τινὲς δὲ τῇ Ἑβραίων φωνῇ, κατάπτυστον ἑρμηνεύουσι.

Ῥακεάζει, ἱματιοξηραίνει.

Ῥάκελος, σκληρός.

Ῥάκη, ἀποσκορακίσματα, καὶ ἀποσπάσματα, ἱμάτια.

Ῥακκὰ, κενός.

Ῥα-

Digitized by Google

Ῥάκια, ἐνδεδυμένος, ἤγουν διεῤῥωγότα ἱμάτια.

Ῥακίδες, ὀρόδαμνοι, κλάδοι.

Ῥακκίζειν, τὸ διαιρεῖν τὰ μέλη τῆς ῥάχεως, ἢ παίειν.

Ῥακκίζων, ὁ διακόπτων.

Ῥακιοσυῤῥαπτάδη, ὁ τὰ ῥάκη συῤῥάπτων.

Ῥακλεός, σκληρός.

Ῥάκος, ἀπὸ τοῦ ῥήσσω ῥήξω ἔῤῥηχα, παρακείμενος, τὰ ῥάκεα γίνεται, τροπῇ τοῦ η εἰς α, καὶ τοῦ δασέως εἰς ψιλόν. καὶ ὅτι τὸ ῥάκος βράκος φασὶν οἱ Αἰολεῖς. χρῆσις δὲ τοιαύτη παρὰ Σαπφῷ ἐν τῷ τίς δ' ἀγροιῶτις θέλγει νόον, οὐκ ἐπισταμένη τὰ βράκεα ἕλκειν, ἐπὶ τῶν σφυρῶν, ἤγουν ποία γυνὴ χωριτικὴ ἐζωσμένη, ἀγροικιώτερον ἐφέλκεται ἐραστήν. ἢ ῥάκος, τὸ διεῤῥωγὸς ἱμάτιον, ἀπὸ τοῦ ῥήσσω. τρίβων δὲ, τὸ ἀποβεβληκὸς τὰς κροκύδας, εἴτουν κρόκας, ὃ καὶ σιμονίζον οἱ ἰδιῶται φασι. καὶ ἔστι τούτου μὲν ἀρχὴ ἡ ἐκ τοῦ τρίβω τριβή, παρώνυμον ὁ τρίβων, οὗ ὑποκοριστικὸν τὸ τριβώνιον.

Ῥακτρίοις κέντροισιν, ἀντὶ τοῦ ταῖς κώπαις, διὰ τὸ ἀράττεσθαι, καὶ ἐν Φιλοκτήτῃ τοῦ ἐν Τροίᾳ μέλη βοῶν ἄναυδα. καὶ ῥακτήρια, ἀντὶ τοῦ ψοφώδη. καὶ θορυβώδη. καὶ ῥακτήρια, τὰ τύμπανα.

Ῥακτήριον, ὄρχησίς τις.

Ῥάκτοι, φάραγγες, πέτραι, χαράδραι.

Ῥακτός, λόφος.

Ῥακτρία, τὰ ῥαβδία, ἐν οἷς τοὺς καρποὺς ἀπαράσσουσι.

Ῥαχχίζειν, τὸ διαιρεῖν τὰ μέρη τῆς ῥάχεως, ἤγουν διακόπτειν.

* Ῥακώτης, οὕτως ἡ Ἀλεξάνδρεια πρότερον ἐκαλεῖτο. ὁ πολίτης, Ῥακωτίτης.

Ῥάμματα, βοστρύχια, σταφυλὶς Μακεδόνες.

Ῥαμάς, ὁ ὕψιστος Θεός.

Ῥαμά, ὑψηλά.

Ῥαμβάς, ὁ δήμιος.

Ῥαμνουσίας, ἀκτάς, δῆμος ἐν τῇ Ἀττικῇ, ὅπου νέμεσις τιμᾶται.

Ῥαμνουσίαν νέμεσιν. ἰστέον, ὅτι ἐν ῥαμνοῦντι νεμέσεως ἵδρυτο ἄγαλμα δεκάπηχυ, ὁλόλιθον, ἔργον Φειδίου, ἔχον ἐν τῇ χειρὶ μηλέας κλάδον.

Ῥάμνος, πᾶσα ἄκανθα. κυρίως δὲ, ἡ τῶν ῥόδων.

Ῥαμοσαίτης, κατάρατος.

Ῥαμφαδέκται, τὸ πυκτεύειν.

Ῥαμφάξω, ῥυγχωδήσω.

Ῥαμφή, κοπὶς μάχαιρα, ἢ τὰ τῶν ὀρνέων ῥύγχη.

Ῥαμφησταί, ἰχθεῖς ποιοί.

Ῥαμφίς, νεὼς εἶδος.

Ῥαμψόν, καμπύλον, βλαισόν.

Ῥάμφος, ἐπὶ ὀρνέων τὸ χεῖλος, ὥσπερ ἐπὶ συῶν ῥύγχος.

Ῥάνα, ἄρνα. Ῥωμαῖοι δὲ βάτραχον.

Ῥανίδες, κυρίως αἱ ἀπὸ κεράμων ἢ τοιούτων τινῶν καταῤῥέουσαι.

Ῥανίς, σταλαγμός.

Ῥανᾶται, πλανᾶται, σπείρεται.

Ῥαντίζει, σκόπτει.

Ῥαντίζω, ἐκ τοῦ ῥαίνω ῥανίζω, καὶ πλεονασμῷ τοῦ τ ῥαντίζω.

Ῥαντόν, ποικίλον.

Ῥάξ, ῥάγα ἡ τῆς σταφυλῆς, ἣν ἡμεῖς ῥῶγα καλοῦμεν.

Ῥᾷον, εὔκολον, εὐχερές, κοῦφον.

Ῥαόνως καὶ ῥάως, εὐκόλως.

Ῥαότερον, μὴ λέγε. λέγε δὲ ῥᾷον. συγκριτικὸν γάρ, συγκριτικοῦ οὐκ ἔστι.

Ῥαπάτην, καλάμην, καὶ τοὺς ἐν αὐτῇ αὐλοῦντας ῥαπατάλους.

Ῥαπίδα λέγει Ἀριστοφάνης, τὸν φυσητῆρα.

Ῥαπίδες, κρηπῖδες, ὑποδήματα, περόναι.

Ῥαπιδοποιόν, τὸν Ποιητὴν Δωριεῖς, ἢ ποικιλτήν, ἢ τὸν τὰς ῥαπίδας ποιοῦντα.

Ῥαπίζει, σκώπτει, ἀλοᾷ, παίζει, μαστιγεῖ, τύπτει.

Ῥαπίς, ἡ ῥάβδος. ἀφ' ἧς ὁ Ἑρμῆς χρυσόῤῥαπις.

Ῥαπίσαι, τὸ πατάξαι γνάθον ἁπλέστῳ χειρί.

Ῥάπται, φάραγγες, χαράδραι, γέφυραι.

* Ῥάπται, μητρόπολις τῶν ἐν τοῖς Αἰθιόπων.

Ῥάπτειν, μηχανᾶσθαι, κατασκευάζειν.

Ῥάπτειν φόνον, ποιητῇ μὲν χρήσιμον, κακόζηλον δὲ ἐν λόγῳ πεζῷ.

Ῥαπτὸν ἀεικέλιον παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ω, ὑφ' ἓν ἀναγνωστέον. ἵνα δηλοῖ τὸν ἀεικελίως ῥαπτόν, τοιοῦτον ἐν Ἰλιάδι. σὺν ἄλλοις, τὸ τοξότα λωβητόρ.

Ῥάπτου ὀνόματα καὶ τῶν αὐτοῦ σκευῶν, ἀκέστης Ἀττικόν, ῥάπτης κοινόν, ἠπητὴς ποιητικόν. ἀκέστρα, ἡ κοινῶς βελόνη. τὸ δὲ ῥαφίς, ἀδόκιμον. βεστοπράσης, ὁ ῥάπτης. βέσται γὰρ παρὰ Ῥωμαίοις, τὰ ἱμάτια. καὶ βεστιάριον, ἐν ᾧ τὰ βασιλικὰ ἱμάτια φυλάσσεται.

Ῥάπτω, ἀκοῦμαι, ὀπῶ. ῥάπτω μέντοι καὶ ῥάμμα, αὐτὸ τὸ ἐῤῥάφθαι, ἐν χρήσει. Ἀριστοφάνης, ἢ ναυπηγεῖν, ἢ ῥάπτειν, ἢ χυτροποιεῖν.

Ῥάριον, πεδίον. * ἐν Ἐλευσῖνι. καὶ ῥαρία γῆ, καὶ ῥαριὰς ἡ Δημήτηρ.

Ῥάρος, τὸ βρέφος. οἱ δὲ ὄνομα τόπου, οἱ δὲ τὴν γαστέρα. καὶ ῥάριον, ἢ ῥάρος, ὁ ἰσχυρός, καὶ ὄνομα τοῦ Τριπτολέμου πατρός.

Ῥάσατε, ἀντὶ τοῦ ῥάνατε, παρ' Ὁμήρῳ, ὡς μὴ λιθοστρώτου, ἴσως ὄντος τοῦ τῆς Εἰλαπίνης δαπέδου. θέμα δὲ τοῦ ῥάζω, ἐξ οὗ τοῖχοι ἐῤῥάδαται. ὁμοίως τῷ ὠνομάδαται, καὶ τοῖς τοιούτοις ὡς γὰρ βῶ βάζω, οὕτω καὶ ῥῶ ῥάζω. ἐκ δὲ τοῦ τοιούτου ῥῶ, καὶ ῥαίνειν γίνεται, ὅθεν ῥάσατε, ἤγουν ῥάνατε. ἐκεῖθεν καὶ τὸ παρὰ τῷ Δειπνοσοφιστῇ ῥάσμα, οἷον Δημήτριος ὁ Φαληρεὺς τάδε καὶ τάδε φαῦλα πράσσων ῥάσμά τε μυρίων πίπτειν ποιῶν ἐπὶ γῆν. τὸ μέντοι Ὁμηρικὸν ἀρχαῖόν φασιν ἔθος ἦν, ὡς δῆλον ἐκ τοῦ, ἀλλὰ ξενῶνα οἶδε καὶ ῥανὸν δόμους. στρῶσον δὲ κοίτας, καὶ πυρὸς φλέξον μένος, κρατῆρά τ' αὔρου, καὶ τὸν ἥδιστον κέρα. ἐκ δὲ τοῦ ῥάζειν, γίνεται ὄνομα ὁ περιῤῥηδής. ἰστέον δὲ, καὶ ὅτι ἐστὶν ἐκ τοῦ ῥῶ καὶ ἄλλον τρόπον παράγωγον ῥάσσω, ὡς φάσσω. καὶ δηλοῖ τὸ ἐῤῥωμένως καταπίπτω, ἀφ' οὗ καὶ ὁ καταῤῥάκτης, ἐπὶ τοῦ ὀρνέων, καὶ ἐπὶ τῶν ποταμίων. μεταφορικῶς δὲ, καὶ ἐπί τινων ἄλλων καταῤῥασσόντων.

Ῥᾷστα, εὐχερῆ, εὔκολα.

Ῥαστάζει, πονεῖ, ὠθεῖ, ταράττεται.

Ῥαστωνεύεται, ῥαθυμεῖ, ἀμελεῖ, καταφρονεῖ.

Ῥᾷστον, τὸ εὐκολώτατον. ἐξ οὗ καὶ ῥαστώνη, ἡ ἄνεσις συντάσσεται μετὰ ἀπαρεμφάτου, οἷον ῥᾷστον ἀνύσαι. ῥᾷστον διελθεῖν, καὶ περάσαι εἰς Ἕλληνας.

Ῥαστώνη, ἡ νωθρία, ὅθεν καὶ τὸ ἐῤῥαστωνευμένως ἐπίῤῥημα, ἀντὶ τοῦ ῥαθύμως. καὶ ῥαστώνη, καὶ ἡδονή. ῥαστώνη, καὶ εὐκολία.

Ῥαστώνη, ἡ εὐκολία, καὶ ἡ ἀμέλεια, καὶ ἡ ἄνεσις καὶ ἡ ἡδονή.

Ῥᾶστωρ, κρατήρ.

Ῥᾶσφιν, τὸ ἐντελὲς ἄρασφιν, κατὰ ἔλλειψιν τοῦ α.

Ῥαταμίγγες, ποιητικῶς λεπταὶ σταγόνες, μικροὶ αἱματηροὶ θρόμβοι, παρὰ τὸ ῥᾷον θαμίζειν. καὶ τούτων μὲν αἱ ῥαθάμιγγες, ὧν ἴσως ῥῆμα τὸ ῥαθαμίζειν, ἕτερον παντελῶς ὄν, παρὰ τὸ ῥαθαπυγίζειν. ἐκεῖνο γὰρ οὐκ ἀπέοικε τοῦ λὰξ ποδὶ κινεῖν, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται. ἔστι γάρ φασι σκινθαρίζειν μὲν τὸ τῷ μέσῳ δακτύλῳ παίειν μυκτῆρά τινος.

Ῥατάναν, τορύναν.

Ῥατίζει, πρεσβεύει.

Ῥατιχεύειν, καταρᾶσθαι.

Ῥαυλόν, ἄγραυλον, ἄγροικον.

Ῥαφαίτης ἐστὶ νοητός, ὁ τοὺς εἰσελθόντας εἰς τὴν γῆν τῆς ἐπαγγελίας πάλιν ἐξελθεῖν βιαζόμενος.

* Ῥαφανέαι, πολίχνιον Συρίας. ὁ πολίτης Ῥαφανεώτης. τῶν εἰς ώτης. ἐθνικῶν κατὰ πολλὰ τὸ ι. πρὸ τοῦ ω. ἔχει. Πηλιώτης, Φθιώτης. σπάνια δὲ τὸ ε. καὶ σχεδὸν ἀπὸ τῆς ει συσταλέντα. Ἡρακλεώτης. οὕτω καὶ Ῥαφανεώτης.

Ῥαφανίδα λέγουσιν οἱ Ἀττικοί. ἡμεῖς δὲ ῥάφανον. πάλιν δὲ ῥάφανον, ἣν ἡμεῖς κράμβην. εἴρηται δὲ ῥαφανίς, παρὰ τὸ ῥαδίως φαίνεσθαι. λόγος γάρ, ὡς σπειρομένη θᾶττον ἀνίησι.

Ῥαφανιδωθῆ, οὕτω τοὺς μοιχοὺς ᾐκίζοντο ῥαφανίδας λαμβάνοντες καθίεσαν εἰς τοὺς πρωκτοὺς αὐτῶν, καὶ παρατίλλοντες αὐτούς, τέφραν θερμὴν ἔπασσον, βασάνους ἱκανὰς ἐργαζόμενοι.

Ῥάφανος, κράμβη.

Ῥαφανουροί, κηπουροί.

Ῥαφάσσει, πλανᾶται.

Ῥαφίς, ἡ βελόνη, καὶ ὄνομα ἰχθύος.

Ῥαφίς, ὑπόδημα, περόνη, καὶ ἄγριόν τι λάχανον λαμψανῶδες, καὶ ἡ ῥάβδος.

Ῥαφίῳ, καὶ κεντηρίῳ, ᾧ διακεντοῦντες οἱ τεχνῖται τῶν τοιούτων ἐπιτηδείους ὀπὰς τῇ τοῦ λίνου διαιρέσει παρασκευάζουσι, παρὰ τῷ Ἱπποκράτει.

Ῥᾶφοι, ὄρνεις τινές.

Ῥαχάδην, ἐπὶ τῆς ῥάχεως.

Ῥαχάς, χωρίον σύνδενδρον καὶ μετέωρον, διὰ τὸ ψόφον ἀποτελεῖν καταπνεόμενον.

Ῥᾶχετρον, ῥάχις, ὡς πλευρὸν καὶ πλευρά. οἱ δὲ τὴν ῥάχιν τοῦ ἱερείου.

Ῥαχήλ, κύριον, ἑρμηνεύεται ἀμνάς, ἢ ποιμαίνουσα.

Ῥαχθέντος, σπαραχθέντος.

Ῥαχίας, τὰς ἐν τῇ θαλάσσῃ πέτρας. ἢ ῥαχία, τόπος ὑψηλός.

Ῥαχίζειν, παίειν τὸ ἱερεῖον, ἢ τὸ εἰκαίως καὶ ῥαδίως ψεύδεσθαι.

Ῥαχίζων, διακόπτων. διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπήν, κατὰ τὴν ῥάχιν γίνεσθαι.

Ῥᾶχι, τὸ στέμφυλον.

Ῥᾶχις, ὁ μὲν Ἀπολλόδωρος ἀπὸ τοῦ ῥῆξις εἶναι, καὶ τὰ δεξιὰ μέρη διακρίνειν ἀπὸ τῶν εὐωνύμων. ὡς δέ τινες, τράχις διὰ τὴν τραχότητα τῶν συνεστηκότων αὐτῇ κονδύλων.

Ῥαχίς, ἄκρα ὀσφύς, ἢ ἄκανθα τοῦ νώτου.

Ῥαχιστήρ, ψεύστης, ἀλαζών, μεγαλουργός, μεγάλα κακουργῶν, μεγάλα ψευδόμενος.

Ῥαχοί, χοιράδες, στυβαί, στάγματα. ἔνιοι τοὺς σφακέλους τῶν ξύλων. ἄλλοι τὰς μυρικίνας ῥάβδους. ἔστι δὲ καὶ ἀκανθῶδες φυτόν, ἀφ' οὗ τὸ περίφραγμα.

Ῥᾶχος, ὁ σκόλοψ, ὁ ἀκανθώδης καὶ ἐπὶ τῶν ἀμπέλων. ἐπεὶ ἀποξύεται ἐν τῷ ἀποτέμνεσθαι, καὶ ῥαγῶσαι.

Ῥαχός, Ἕλλην. δηλοῖ δὲ παρὰ τοῖς βαρβάροις τὸν ἐλεύθερον, καὶ ὁ φραγμὸς τῶν τοίχων.

Ῥᾶψαι, συνθεῖναι.

Ῥαψῳδίαι, τὰ τμήματα, ἢ γράμματα τῆς ποιήσεως Ὁμήρου καλοῦνται, διὰ τὸ κατά τινα συνθήκην τεχνικὴν ῥάπτεσθαι, οἷον τὴν ᾠδήν. καὶ φέρεται εἰς τὴν τοιαύτην ἔννοιαν Ἡσιόδου ῥῆσις αὕτη, ἐν μέτρῳ ἡρῴῳ, ἐν Δήλῳ τότε πρῶτον, ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ Μέλπομεν ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν. ὅτι δὲ καὶ παρὰ τὴν ῥάβδον ἡ ῥαψῳδία εἴρηται, οἱονεὶ ῥαβδῳδία τις οὖσα, φασὶ τοῦτο καὶ οἱ παλαιοί, ἀκολουθοῦντες Καλλιμάχῳ εἰπόντι, τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινόμενον. δαφνίνη δὲ ἦν ἡ ῥάβδος, ἣν κατέχοντες ἐποιοῦντο τὰς τοιαύτας ᾠδάς, καὶ τὴν αἰτίαν, οἱ τῆς γραμματικῆς ἐξηγηταὶ λέγουσι. καὶ οὕτω μὲν τὰ Ὁμηρικὰ εἰκοσιτέσσαρα γράμματα, καὶ ῥαψῳδίαι ἐλέγοντο, μερικαί τινες οὖσαι περιπέτειαι, ὥς φασιν οἱ παλαιοί, καὶ μικραὶ ὑποθέσεις. αἱ δὲ αὐταὶ ῥαψῳδίαι καὶ ποιήματα ἐκαλοῦντο, ὡς μέρη. ποίησις μὲν γὰρ ἡ ὅλη βίβλος. ποίημα δὲ τόδε τὸ γράμμα, ἤγουν ἥδε ἡ ῥαψῳδία, τὸ α τὸ β, καὶ τὰ λοιπά. οἱ δὲ πλείους τῶν παλαιῶν τὴν, τε ὅλην ὁμηρικὴν ποίησιν ῥαψῳδίαν λέγουσι, καὶ ῥαψῳδοὺς τοὺς αὐτὴν ᾄδοντας. ἔτι δὲ καὶ ῥαβδῳδοὺς διὰ τὴν ἄνω ῥηθεῖσαν δαφνίνην ῥάβδον, διὰ δὲ τὴν αὐτὴν καὶ στιχῳδούς. στίχοι γὰρ ὑπό τινων αἱ ῥάβδοι ἐλέγοντο. ἀλλὰ καὶ ἀρνῳδούς, ἐπειδὴ οἱ ἀγωνιζόμενοι ἐν ᾠδῇ ὁμηρικῇ, καὶ νικῶντες ἄρνα ἐλάμβανον ἔπαθλον. Πινδάρῳ ἀρέσκει, οὐκ ἀπὸ ῥάβδου, ἀλλὰ ἐκ τοῦ ῥάπτειν τοὺς ῥαψῳδοὺς λέγεσθαι.

Digitized by Google

περιφράζων γὰρ τοὺς ῥαψωδοὺς, ῥαπτῶν ἐπέων ἀοιδοὺς αὐτοὺς λέγει.

Ῥαψωδοὶ, ὑπόκειται ἐπῶν.

Ῥαψώδημα, ψεῦσμα, φλυαρία.

Ῥαψωδὸς, Σοφοκλῆς Οἰδίποδι, ὅπως ἔφη τὴν σφίγγα. καὶ οἱ τὰ Ὁμήρου ᾄδοντες ποιηταὶ, ῥαψωδοὶ καλοῦνται.

Ῥᾴων, εὐγενές. ἔστι γὰρ ὁ ῥᾴων, ἡ ῥᾴων, καὶ τὸ ῥᾷον. καὶ ἀντὶ ἐπιρρήματος λαμβάνεται. ῥᾴων ἐγένετο, ἀντὶ τοῦ ἀνεκουφίσθη τῆς νόσου ὁ Ἰουλιανός. καὶ ἐγενόμην αὐτίκα ῥᾴων, ὥστε μοι γενέσθαι κουφοτέραν τὴν νόσον. ῥᾴων ἡ νόσος ἐγένετο. ῥᾷον συγκριτικὸν, λαμβάνεται καὶ ἀντὶ ἐπιρρήματος, γράφεται καὶ ῥᾴως καὶ ῥᾳόνως.

ΤΟ Ρ. ΜΕΤΑ ΤΟΥ Ε.

Ῥέα, ῥᾳδίως, εὐχερῶς.

Ῥέας πόρος, παρὰ τὸν Ἀδριακὸν κόλπον, ἔνθα τιμᾶται ὁ Βόσπορος.

Ῥέα, ἡ γυνὴ τοῦ Κρόνου. καὶ ῥέα, εὐκόλως, καὶ ῥεῖα.

Ῥέβας, ποταμός.

* Ῥεάτιον, πόλις Ἰταλίας.

Ῥεβέκκα, κύριον, καὶ ἑρμηνεύεται ὑπομονή.

Ῥεγεῖς, οἱ βαφεῖς.

Ῥεγεωνάριος, γειτονιάρχος.

Ῥέγμασι, τοῖς βάμμασι.

Ῥέγξιν, καὶ ῥέγκος, ὠνοματοπεποίηκε παρὰ τὸν γινόμενον ψόφον. ὥσπερ καὶ τὸ ῥέγκειν, παρὰ τῷ Ἱπποκράτει.

Ῥέγος, τὸ βάμμα, ἁλιπόρφυρον ῥέγος.

Ῥέγχω, οὐδεὶς Ἀττικῶν, ἀλλὰ ῥέγκω. Ἀριστοφάνης ἐν Νεφέλαις, οἱ δὲ οἰκέται ῥέγκουσιν, ἤγουν βαθέως ὑπνώττουσι.

Ῥέδα, πράττει, θύει.

Ῥεδίη, τράχηλος, ἢ ῥεδέρη.

Ῥεδίων, ἁρμάτων.

Ῥεῖ δ' αἵματι γαῖα, ἀντὶ τοῦ αἷμα ἔρρεεν ἐν τῇ γῇ.

Ῥεῖν αὐδὴν, παρ' Ὁμήρῳ τὴν τοῦ λόγου δηλοῖ δαψιλείαν, ὡς ῥύδην, καὶ ἀπαρεμποδίστως προϊόντος, καὶ κατὰ ῥεῦμα προχεομένου καὶ ῥέοντος.

Ῥείθρων, ῥευμάτων, καὶ ῥείθρων.

Ῥέει, ζέει, πλέει, Ἰακὰ ταῦτα διῃρημένα. λέγουσι ῥεῖ, ζεῖ, πλεῖ.

Ῥέζει, πράττει, θύει, ῥέξει, πράξει. ῥέξομεν, ποιήσομεν. ῥεχθὲν, πραχθέν.

Ῥέζειν, κυριολεκτεῖσθαι δοκεῖ καὶ ἐπὶ νεκρῶν, καθὰ καὶ τὸ χοὰς χέεσθαι. διό φασιν ἔνθα ὄϊν ἀρνειὸν ῥέζειν, θῆλύν τε μέλαιναν. ἔστι δὲ καὶ τὸ ἱερεύειν, οἷον ὄϊν ἱερεύσομεν παμμέλαινα.

Ῥέζισκον, ἔπραττον.

Ῥέζω, σημαίνει τρία, τὸ πράττω, τὸ θύω, καὶ τὸ τῇ χειρὶ καταψῶ. ὡς τὸ, χειρί τέ μιν κατέρεξε.

Ῥέθεα. ἰστέον, ὅτι οἱ μὲν ἄλλοι τὰ μέλη φασὶν, Αἰολεῖς δὲ μόνοι κατὰ τοὺς παλαιοὺς τὸ πρόσωπον ῥέθος καλοῦσιν. ἐπεὶ δι' αὐτοῦ ῥεῖα, ἤγουν εὐκόλως τὸ ἦθος διαφαίνεται. ὅθεν καὶ παρ' Ὁμήρῳ τὸ ψυχὴ ἐκ ῥεθέων πταμένη. τινὲς δὲ, ἐκ τῶν βελῶν νοοῦσι. πνευματοποιὸς γάρ φασιν ἡ ψυχὴ οὖσα, κατὰ πᾶν οἰκεῖ τὸ σῶμα. ἕτεροι δὲ ῥέθος νοοῦντες τὸ πρόσωπον, ὑστατον φασιν ἐντεῦθεν τὸ πνεῦμα ἀναχωρεῖν.

Ῥέθη, κυρίως τὸ πρόσωπον, παρὰ τὸ ῥᾷον τὰ ἤθη αὐτοῦ φαίνεσθαι, καταχρηστικῶς πάντα τὰ μέλη. καὶ παρὰ τῷ Ἀπολλωνίῳ τὰ πρόσωπα.

Ῥεῖα ζώειν, τὸ ἀπόνως καὶ οὐχ ὑποδυσκόλως, ἀλλὰ κατὰ ἔμφρονα ῥᾳστώνην.

Ῥέα διαχεῖται. λέγεται καὶ ῥεῖα, καὶ γράφεται παρὰ τὸ ῥέω ῥέα, καὶ πλεονασμῷ τοῦ ι ῥεῖα.

Ῥεία, θεά.

Ῥείακεν, εὐχερῶς.

Ῥεῖθρον, ἐπὶ τοῦ ῥεύματος οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλὰ ἐπὶ τοῦ τόπου, καθ' οὗ ὁ ποταμὸς φέρεται. ῥεῦμα δὲ καὶ ῥόθιον, αὐτὸ τὸ ὕδωρ.

Ῥείθρῳ ὑπὸ νηΐῳ ὑλήεντι, φασὶν οἱ παλαιοὶ ῥεῖθρον κατὰ κύριόν τι ὄνομα καλεῖσθαι τὸν ἐν Ἰθάκῃ λιμένα, διὰ τὸν εἰς αὐτὸν ἐκ τοῦ νηΐου καταρρέοντα χείμαρρον. τὸ δὲ νήϊον, ὄρος Ἰθάκης, νεῶν δεκτικὸν, ὅθεν καὶ τὴν Ἰθάκην ὑπονήϊον. ἔχει δὲ ἡ ἱστορία οὕτως. Νήϊον ὄρος Ἰθάκης κάθυγρον, ὅπερ εἰς τὸν ὑποκείμενον ἀπορρέον λιμένα, ἐκ τοῦ συμβαίνοντος τῷ λιμένι.

Ῥηνοπόρος, τὰς ἀσπίδας τορῶν, ἢ τιτρώσκων.

Ῥεῖρος, παλαίπωρος.

Ῥέσεις, εἰσὶ τὰ ἀποφθέγματα τῶν σοφῶν, καὶ οἱ λόγοι, οἷον μηδὲν ἄγαν, γνῶθι σαυτὸν, καὶ τὰ ἑξῆς.

Ῥείτης, ὁ ῥέων, καὶ ῥειτός.

Ῥειτοὶ, ἐν τῇ Ἀττικῇ δύο εἰσὶν, οἱ πρὸς τῇ Ἐλευσῖνι ῥειτοὶ ῥωγμοί. καὶ ὁ μὲν πρὸς τῇ θαλάττῃ, τῆς πρεσβυτέρας θεοῦ νομίζεται. ὁ δὲ πρὸς τὸ ἄστυ, τῆς νεωτέρας. ὅθεν τοὺς λουτροὺς ἁγνίζεσθαι τοὺς θιάσους.

Ῥειώνη, ἡ Ἥρα.

Ῥέκος, ζῶμα.

Ῥεκτὸς, ἀνδρεῖος, ἢ χιτών.

Ῥεκτῶν, ἀπομάκτρων, ἢ ἱματίων.

Ῥεμβασμὸς, ἀχαλίνωτος ἔννοια, καὶ ζωῆς ἀφανισμός.

Ῥέμβεται, πλανᾶται, γυρεύει. καὶ ῥεμβέσθω ὁμοίως.

Ῥεμβόνας, σφενδόνας.

Ῥεμεῖ, ὀδυνᾷ, σήπει.

Ῥεμφθῆναι, ῥέμβεσθαι.

Ῥέμφος, τὸ στόμα, ἢ ἡ ῥίς.

Ῥένδα, ζώνη, λωρίον, ὃ οἱ Βασιλεῖς διαζώννυνται.

Ῥέξαι, τὸ βάψαι, καὶ οἷον μεταποιῆσαι, θῦσαι.

Ῥέξας, παρὰ τὸ ἔρδω τὸ θύω, ὑπερβιβασμῷ ῥέδω, τροπῇ δωρικῇ ῥέζω, ὁ μέλλων ῥέξω. σημαίνει δὲ τρία, τὸ πράττω, ὡς τὸ, μέγ' ἐν Ἄργει ἔρεξας. τὸ θύω, ὡς τὸ, ἄλλος ἄλλῳ ἔρεζε θεῶν. καὶ τὸ τῇ χειρὶ καταψῶ, ὡς τὸ, χειρί τέ μιν κατέρεξε.

Ῥέον, ἑτοιμότερον, καὶ εὐχερέστερον. ἔνιοι μέντοι, τὸ εὐφορώτερον, παρὰ τῷ Ἱπποκράτει.

Ῥεόντων, παρερχομένων. ῥαιόντων δὲ τῶν φθειρομένων, δίφθογγον.

Ῥεὸς, ῥεῦμα, θηρίον.

Ῥέπειν, καὶ ἡ ῥοπὴ ἐξ αὐτοῦ, καὶ ἕλκειν. ὡς καὶ καθέλκειν καὶ ὁλκὴ, λέξεις εἰσὶ σταθμητικαί.

Ῥέπει, ἐβαρεῖτο.

Ῥέπις, ῥέψις, ῥέπου.

Ῥέπω, πρὸς τὴν ναυτιλίαν. ῥέπει, κλίνει. Ἀριστοφάνης, ὁ χρησμὸς εἰς τοῦτο ῥέπει, ἤγουν φέρεται, ἀποβλέπει, ἐκ μεταφορᾶς τοῦ ζυγοῦ.

Ῥερυπωμένα, παρ' Ὁμήρῳ. κοινότερον ἐρρέθη. τὸ γὰρ Ἀττικὸν, ἐρρυπωμένα.

Ῥεῦσεν, ἐδίωκε.

Ῥεῦμιν, βρέφος νεογνόν.

Ῥεύσαντα, ἐγκλίναντα.

Ῥευσαλέον, ῥέον.

Ῥευστὸν, χυτόν.

Ῥεφὰν, εἴδωλον.

Ῥεφία, ἐστεγασμένα.

Ῥέχθεον, ἐστέναζον.

Ῥεχθὲν, πραχθὲν, συντελεσθέν.

Ῥέψας, κλίνας, στεγάσας.

Ῥέω, ἐν πρώτῳ προσώπῳ συναίρεσιν οὐ δέχεται, ἀλλὰ μόνον ἐν τῷ δευτέρῳ καὶ τρίτῳ ῥέω, ῥέεις ῥεῖς, ῥέει ῥεῖ. παρατατικὸς ἔρεον ἔρεες ἔρεις, ἔρεε ἔρει. ὁμοίως καὶ τὸ πλέω, καὶ τὸ χέω.

Ῥέωνος, εὔωνος ἀνδρός.

ΤΟ Ρ. ΜΕΤΑ ΤΟΥ Η.

Ῥῆβας, ποταμὸς Βιθυνίας. ὠνομάσθη δὲ Σαλμυδησσὸς, ἀπὸ τοῦ συρρέοντος εἰς αὐτὸν ποταμοῦ.

Ῥήγεα, πάλλια βαπτὰ, ὑπὸ Ῥωμαίων βεβαμμένα ἱμάτια. ῥηγεῖς γὰρ, οἱ βαφεῖς.

Ῥηγεὺς, ὁ βαφεύς.

Ῥηγῆσι, σχίσμασι. ῥήγμασι, παρὰ τῷ Ἱπποκράτει.

Ῥηγίας, ποταμός.

Ῥήγιον, πόλις Σικελίας, καὶ τόπος ἔξω τῆς Κωνσταντίνου πόλεως.

Ῥηγῖνος, τοὺς δειλοὺς, ῥηγίνους ἔλεγον.

Ῥῆγλαι, σίδηρα, ὡς ῥάβδοι.

Ῥῆγμα, πτῶσις ἀνέμου κατὰ μῆκος, τραύματα, ὕλη, στάλαγμα.

Ῥήγματα, σχίσματα.

Ῥηγμὶν, ὁ αἰγιαλὸς, ᾧ τὰ κύματα προσρήσσονται. ὥς που φησὶν ὁ ποιητὴς, χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει.

Ῥηγμὶν, καὶ θὶν ποιητικὰ, αἰγιαλὸς κοινόν. λέγεται δὲ ῥηγμὶν, διὰ τὸ ῥήγνυσθαι ἐν αὐτῷ τὰ κύματα.

Ῥηγμῖνα τῆς θαλάσσης καλεῖ Ὅμηρος, διότι καὶ ἐν αὐτῇ ὡς ἐν τῷ αἰγιαλῷ κύματα ῥήγνυται, ὡς εἶναι καθόλου.

Ῥηγμῖνα, ἔνθα κῦμα ῥήγνυται, καὶ λέγει που ῥηγμῖνα ὁ Ποιητὴς τὴν τῆς θαλάσσης ἐπιφάνειαν, ἥ φησι καὶ εὐρέα νῶτα θαλάσσης. οὕτω καὶ ἐν Ὀδυσσείᾳ λέγει κώπαις τύπτεσθαι ἁλὸς, ῥηγμῖνα βαθεῖαν.

Ῥήγνυμι, Ἀττικοί. Ἕλληνες δὲ ῥηγνύω, καὶ ῥήσσω, καὶ ῥηγνύμενον, ἐκ τοῦ ῥήγνυμι.

Ῥηγνύειν, καὶ καταρράσσειν, ἐπὶ ὑδάτων λέγεται.

Ῥηγνύμενον, προρρησσόμενον, φθειρόμενον.

Ῥήγνυσκε, πτῶσις ἀνέμου, ἢ τραύματος ὕλη.

Ῥήγνυται, διαιρεῖται, κατακόπτεται.

Ῥῆγος, τὸ βαπτὸν ἱμάτιον, ἢ ὕφασμα. οἱ καὶ ἄλλως ῥήγεα, τὰ περιστρώματα, καὶ πάντα τὰ βαπτά· παρὰ τὸ ῥῆξαι, ὅ ἐστι βάψαι, κατὰ τοὺς παλαιοὺς, κατὰ γλῶσσάν τινα.

Ῥηγῶν, βοηθῶν.

Ῥηΐα, καὶ ῥηΐδια, εὐχερῶς, μάλα ῥᾳδίως.

Ῥηϊδίως, ῥᾳδίως, εὐκόλως.

Ῥηΐδιον, ἀπὸ τοῦ ῥέα ῥεΐδιον, καὶ κατ' ἔκτασιν ῥηΐδιον. Ἡσίοδος, ῥηΐδιον γὰρ ἔπος εἰπεῖν.

Ῥηΐτερος, εὐχερέστερος.

Ῥήϊστον, εὔκολον.

Ῥηΐτερον πολεμίζειν, ἀντὶ τοῦ εὐπολεμητότερον.

Ῥηΐτερος, εὐκολώτερος.

Ῥηλαιμὸς, τόπος.

Ῥῆμα, οὔποτε χωρὶς ὀνόματος λέγεται δηλοῦν ἔννοιαν, εἰ μὴ ἐξ αἰθέρος ἐνεργοῦν ᾖ, οἷον ἀστράπτει, βροντᾷ. προκατειλημμένος γάρ ἐστιν ὁ λογισμὸς, τίς ἐστιν ὁ ἀστράπτων, καὶ οὐ ζητεῖ τοῦτον. καὶ πάλιν τὰ ἄλλα μέρη τοῦ λόγου οὐ δύναται ἀπαρτίζειν χωρὶς ῥήματος. ὁ Βαρῖνος ἐρχόμενος ἐνταῦθα παρέβαινε. χωρὶς εἰ μὴ ῥῆμα εἴη δυνάμενον νοεῖσθαι ἔξωθεν, οἷον ὁ ἄγγελος ἀγαθὸς ἀνήρ. νοεῖται γὰρ ἔξωθεν τὸ ἐστί. καὶ τὸ, ὡς ὀφθαλμοὶ παιδίσκης, νοεῖται ἀφορῶσι.

Ῥήματα τὰ μὲν μετὰ δοτικῆς συντασσόμενα, ἢ μετὰ ἑτέρας πτώσεως, ἢ μετὰ ἀπαρεμφάτου ἐνεστῶτος, ἢ τῶν ἄλλων καὶ διαλελυμένως, ὡς ἐπὶ τὸ πλεῖστον οὕτω συντάσσεται, οἷον πολεμῶ τῷ δεῖνι, καὶ εἰς πόλεμον ἦλθον τῷ δεῖνι, καὶ μάχομαι, καὶ εἰς μάχην ἔρχομαι. καὶ δεῖ ποιεῖν, καὶ δέον ἐστὶ ποιεῖν, εἰσὶ καί τινα αἰτιατικῇ συντασσόμενα. ἃ διαλελυμένως καὶ μετὰ γενικῆς, οἷον ἐλπίζω ἀγαθὰ, καὶ ἐλπίδα ἔχω ἀγαθῶν. καὶ προσδοκῶ ἀγαθὰ, καὶ προσδοκίαν ἔχω ἀγαθῶν.

Ῥήματα ἃ ἀπρόσωπα εἰώθαμεν ὀνομάζειν, ταῦτα ἐστι, δεῖ, χρὴ, ἀπόχρη, πρέπει, προσήκει, ἐνδέχεται, δοκεῖ, συμφέρει, συμβαίνει, ἐπέρχεται, μέλει, μεταμέλει, ἔξεστι, καὶ μέτεστι, καὶ ὅτι τούτοις ἐστὶν ὅμοιον. οὐ γὰρ πολὺς τούτων ὁ ἀριθμός. ταῦτα τὰ ῥήματα, ἔχοντα μὲν χαρακτῆρα καὶ τύπον τρίτου προσώπου, ὄντα δὲ οὐδενός. τοῦτο δὲ πάσχουσιν, ὅτι μὴ δὲ πρῶτα καὶ δεύτερα ἔχει. ἐκείνων γὰρ ὄντων, καὶ ταῦτα τρίτον ἐνέφαινε πρόσωπον. ἃ καὶ ὅτι μηδενός ἐστι προσώπου, κἀντεῦθεν ἂν μάθοις τὰ τρίτα πρόσωπα, ἅτε οὐ δὴ τὰ δεύτερα, καὶ τὰ πρῶτα

Digitized by Google

τα ἀμεταβάτως, ἀληθείᾳ ἀεὶ συντάσσεται. τύπτω γὰρ ἐγὼ λέγω, καὶ τύπτεις σύ, καὶ τύπτει ἐκεῖνος. τὸ δὲ ἐγὼ καὶ σὺ καὶ ἐκεῖνος. ἀληθεῖα δήπου. τοῦτο δὲ ἐπ' οὐδενὸς ἀλήθεια ἐμφαίνεται. δεῖ γάρ μοι χρημάτων λέγομεν, οὔτε τοῦ μοί, οὔτε τοῦ χρημάτων ἀληθείας ὄντων, καὶ οὐδή που δεῖ τις προσυπακούομεν, κἂν μὴ λέγωμεν. καὶ αὖθις, καλῶς ζῆν τὸν ἀγεννῆ χρή. μὴ δὲ ἐνταῦθα ἀληθείας ἐμφαινομένης, καὶ οὐδή που χρή τις.

Ῥηναία, ἐστι νῆσος πλησίον Δήλου.

Ῥῆνες, πρόβατα, ἡ ἀληθεῖα ῥὴν ῥηνὸς ῥῆνες.

Ῥήνη, ποιμὴν, καὶ πόλις.

Ῥήνικας, ἀρνακίδας, παρὰ τῷ Ἱπποκράτει.

Ῥῆνος, ὄνομα ποταμοῦ.

Ῥῆξαι, διελεῖν, καταβαλεῖν, ἀπολύσαι, ἀράξαι.

Ῥηξάτω, κραξάτω.

Ῥηξηνορία, ἡ ἐκ ῥωμαλεότητος ἀνδρία. καὶ ῥῆξις ἀνέρων, ἀνθισταμένων.

Ῥηξίφλοιον, τὸ ῥῆσσον τὸν φλοιόν.

Ῥηξήνωρ, ἐλλειπτικῶς ἔχει διὰ ἀνάγκην συνθέσεως. ὥστε γὰρ ἐστι ῥηξήνωρ ὁ ῥήσσων ἐν ἠνορέῃ συννοητέον τὸ φάλαγγας ἀνδρῶν. ῥηξήνωρ γὰρ πάντως ὁ ῥηγνύων φάλαγγας. ὥστε ῥηξήνωρ, ὁ ῥήσσων ἀνέρας.

Ῥηξήφρονα, καταβαλόντα τὴν φρένα.

Ῥηξίφλοια, τὰ ῥήξαντα τὸν φλοιόν.

Ῥησάμενος, διομολογησάμενος.

Ῥήσαντο, ἐψηφίσαντο. οἱ δὲ, ἐτύπτοντο.

Ῥησείδιον, ἡ μικρὰ ῥῆσις.

Ῥήσεις, νόμοι, δόγματα, λόγοι, λέξεις, ψηφίσματα.

Ῥησίαρχος, ὃς ἐρέει τὰ θέσφατα, ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηκεν, ἢ ὡς Ἀσκληπιάδης ἐν ἕκτῳ τραγῳδουμένων, ἄριστον αὐτὸν γεγονέναι ἀλήθειαν εἰπεῖν. ἐγένετο δὲ καὶ ἕτερος.

Ῥησίας, ὁμιλίας.

Ῥησίδιον, λεξίδιον.

Ῥῆσις καὶ τὸ ῥῆμα, καὶ τὸ εἰρηκέναι, καὶ τὰ ἐξ αὐτῶν. ἐκ τοῦ ῥῶ, τὸ λέγω γίνονται.

Ῥησκομένων, λεγομένων.

Ῥῆσον. Ὅμηρος μὲν Ἠϊονέως ἱστορεῖ. οἱ νεώτεροι δὲ, Στρύμονος τοῦ κατὰ Θρᾴκην φασὶ ποταμοῦ. καὶ Εὐτέρπης, μούσης υἱόν. λέγουσι δὲ καὶ χρησμὸν αὐτῷ ἀποκεῖσθαι, εἴγε ἐν Τροίᾳ βοτάνης φάγοιεν οἱ ἵπποι αὐτοῦ. καὶ τοῦ ἐκεῖσε πίοιεν ὕδατος, ἀπρόσμαχον αὐτὸν ἔσεσθαι. Πίνδαρον δὲ τοῦ φασὶν ἱστορεῖν, ὅτι μίαν ἡμέραν πολεμῶν μεγάλα κακὰ ἐνεδείξατο τοῖς Ἀχαιοῖς. τὰ δὲ πελώρια συλλογιστικῶς ἀμεγέθη τὸν Ῥῆσον εἶναι ὑποδηλοῖ. κἀκεῖνο ἰστέον, ὡς ὁ μῦθος οὐ μόνον τὴν ῥηθεῖσαν Μοῦσαν Εὐτέρπην μητέρα ποιεῖ, ἀλλὰ καὶ ἑτέρας, Καλλιόπης μὲν γὰρ ἢ Κλειοῦς Ὀρφεὺς, Λίνος δὲ Τερψιχόρης, Θαλείας Παλαίφατος, Ἐρατοῦς Θάμυρις. Μελπομένης, καὶ Ἀχελάου, Σειρῆνες. Πολυμνίας, Τριπτόλεμος.

Ῥῆσος, ποταμὸς Τρῳάδος.

Ῥήσσει, τέμνει, σχίζει, τύπτει, κροτεῖ.

Ῥήσσοντες, παρ' Ὁμήρῳ ἐν τῷ σ' τῆς Ἰλιάδος, ἀντὶ τοῦ σφοδρότερον τὴν γῆν ποσὶ παίοντες. ὃ δὴ καὶ αὐτὸ ἐν Ὀδυσσείᾳ οἰκεῖον ὀρχησταῖς κατὰ τὸ, πέπληγον χορὸν, καὶ παίσατε, ὃ ἐν Ὀδυσσείᾳ κεῖται.

Ῥήσσω, τὸ ῥηγνύω. ὃ λέγεται ἐπὶ φωνῆς, καὶ ἐπὶ ἱματίων, ἢ τοιούτων, ὅταν διασπᾶτις αὐτά.

Ῥητῆρα, διδάσκαλον.

Ῥητὴν, τὴν ὡρισμένην ἡμέραν τοῖς Θεοῖς εἰς θυσίαν σημαίνει.

Ῥητὴ κρίσις, ἡ κακίστη συμφωνία.

Ῥητίνη, κύριον, καὶ τὸ τῆς πεύκης ὑγρόν.

Ῥητοὶ, ἢ ἔνδοξοι ταξάμενοι.

Ῥητὸν, τὸ τεταγμένον, ὃ ἄν τις τάξηται. καὶ ῥησάμενοι, ταξάμενοι.

Ῥήτορες, λέκται, οὐχ οἱ συνήγοροι μόνοι.

Ῥητορικὴ γραφή. Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην, ἔοικε ῥητορικὴ γραφὴ καλεῖσθαι. ἡ γὰρ ῥήτορος γράψαντός τι, ἢ εἰπόντος, ἢ πράξαντος παράνομον. ὥσπερ λέγεται πρυτανικὴ, ἡ κατὰ πρυτάνεως. καὶ ἐπιστατικὴ, ἡ κατὰ ἐπιστάτου. ἴσως δὲ κατὰ τοῦτο, καὶ ῥητορικαί τινες καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ τῶν ῥητόρων γραφαὶ εἰσάγονται. ὡς Ἀντιφῶν ἐν τῷ κατὰ πρυτανέων, εἰ γνήσιος, ὑποσημαίνει.

Ῥητορικὴ τέχνη, ἡ πειθοῦς δημιουργός. πιστευτικῆς, περὶ δίκαια καὶ ἄδικα μετὰ λόγου καὶ ἐμπειρίας, ἢ δύναμις τεχνικὴ πιθανοῦ λόγου, ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν, ἢ τὸ πιστικῶς εἰπεῖν, κατὰ τὸ ἐνδεχόμενον.

Ῥητὸς μισθὸς, ὁ ὡρισμένος. ὅθεν καὶ ῥῆτραι, αἱ ὡρισμέναι συνθῆκαι. ὡρισμένος, ὅν τις ὑπέστη, ἐκ τοῦ μισθοῦ σύγκειται τὸ μισθαρνεῖν.

Ῥῆτραι, συνθῆκαι διὰ λόγων, ἢ δίκαι, ἢ ὁμιλίαι.

Ῥητρεύω, ῥητορεύω.

Ῥήτρη ἐστὶ, συμφωνία καὶ συνθήκη ἐπί τισι ῥητοῖς, ὅ ἐστιν ὡρισμένοις. οἱ μέντοι μετὰ τὸν Ὅμηρον, ῥήτρην τὴν δημηγορίαν φασὶ, καθὰ καὶ ὁ Λυκόφρων.

Ῥήτρησι, δημηγορίαις.

Ῥητορεύω, ῥήτωρ καὶ ῥητορεία.

Ῥήτωρ, δυνατὸς ἐν λόγοις. ἢ καλλιεπείας ῥημάτων δημιουργὸς, καὶ συνθέτης.

Ῥήτωρ, τὸ παλαιὸν ἐκαλεῖτο, ὁ δήμῳ συμβουλεύων, καὶ ὃ ἐν δήμῳ ἀγορεύων. ὕστερον δὲ ὁ παρ' ἑνός τινος καλούμενος ἐν δικαστηρίῳ, ὡς ὑπεραπολογησόμενος, καὶ συνηγορήσων ἐκείνῳ. ὃς καὶ συνήγορος, καὶ δικολόγος καλεῖται. ῥήτωρ καὶ ὁ κατὰ ῥήτορας γράφων, καὶ ὁ ῥητορικός. λαμβάνεται δὲ τὸ ῥήτωρ, καὶ ἐπὶ διαβολῆς. ὁ ῥήτωρ δὲ ἀναπτυσσόμενος ἐτυμολογικῶς, ὕδατος παραβάλλεταί πως ῥεύμασιν. ἐκ τοῦ ῥέω γὰρ, ὡς ῥύδην χέων τὴν αὐδήν.

Ῥητῶς, σαφῶς, φανερῶς.

Ῥῆχη, στάσις, ἐξουσία.

Ῥηχθέντα, καταβληθέντα, χωρισθέντα.

Ῥηχιάδαι, οἱ τοὺς καταδίκους εἰς ῥαχίας βάλλοντες.

Ῥηχίησιν, οἷον πλημμύρη. καὶ γὰρ καὶ ἡ ῥηχίη, οἷον πλημμύρα τίς, παρὰ τῷ Ἱπποκράτει.

Ῥηχίς, ἄκρα.

Ῥηχὸς, φραγμός.

Ῥῆψ, ὀνομαζών.

ΤΟ Ρ. ΜΕΤΑ ΤΟΥ Ι.

Ῥῖγα, ἀκρωτήρια ὄρθια, καὶ τὰ εἰς θάλασσαν ἐγκείμενα, ἢ μάλα ἀχερῶς, πάνυ.

Ῥῖγα, σιώπα.

Ῥιγεδανὸν, καὶ κρυερὸν, τὸ λυπηρὸν καὶ φοβερὸν λέγεται.

Ῥιγεδανὸς, ὁ φρικώδης.

Ῥιγέω ῥιγῶ ποιητικῶς, τὸ φοβοῦμαι. ῥιγόω δὲ, ῥιγῶ, ἐπὶ κρύους. ῥιγῶ, τὸ φρίττω καὶ φοβοῦμαι ποιητικῶς, τῆς πρώτης συζυγίας τῶν περισπωμένων, αἰτιατικῇ συντάσσεται. ἐνεργοῦσα δὲ ἀμεταβάτως. Ἀριστοφάνης, οὐκ ἀλλ' ἐνεργοῦσα ἔτη τρισκαίδεκα, ῥιγῶ ῥιγώσω, ἐπὶ τοῦ κατὰ σῶμα πάθους ἐκ κρύους. ῥιγῶ δὲ ῥιγήσω, ἐπὶ τοῦ κατὰ ψυχὴν δέους, ὅθεν ῥίγησεν. ἔστι δὲ ἐν ἀμφοτέροις τὸ ει μακρὸν, ἀφ' οὗ καὶ ῥῖγος.

Ῥίγιον, τὸ φρικτὸν, διὰ τὸ ῥῖγος.

Ῥίγιόν σοι ἔσται, ἀντὶ τοῦ φοβηθήσῃ κεῖται. καὶ φρίξεις, καὶ ἀντὶ τοῦ ῥιγώσεις, ἐκ τοῦ ψύχους. Ὅμηρος ἐν Ὀδυσσείᾳ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται, εἰ δὲ πρὸς τῇ ἑσπέρᾳ, ῥίγιον ἔσται, χειμέριος ἄρα καὶ νῦν δηλοῦται, ἢ ὁ ἐγγὺς χειμῶνος καιρός.

Ῥίγιον, χαλεπώτερον, ἀλγεινότερον. ἀπὸ τοῦ ῥιγοῦν καὶ τοῦ ῥίγους, ὥσπερ λυγρὸν, ἀπὸ τοῦ λίαν ὑγρόν. ἐκ τῶν ὑγρῶν γάρ φασι, καὶ τῶν ψυχρῶν, τὰ ἀλγεινά. ἐκ δὲ τῶν θερμῶν, τὰ ἡδέα.

Ῥιγίστη, κρήνη τῆς Σινώπιδος.

Ῥίγιστος, φρικτός. ὡς Στὺξ φρικτὴ, διὰ τὸ τιμωρεῖσθαι τοὺς ἐπιόρκους.

Ῥίγησεν, ἐφοβήθη.

Ῥιγνὸν, ῥιγεδανὸν, φρικῶδες.

Ῥῖγος, πρωτότυπόν ἐστι τοῦ ῥίγιστος.

Ῥῖγος, τὸ ψῦχος, ἀπὸ τοῦ φρίσσω φρῖγος, καὶ ἀποβολῇ τοῦ φ ῥῖγος, καὶ ῥιγίον ἡ νόσος.

Ῥιγῶσαι, κατὰ τρίτην συζυγίαν παρὰ τῷ Ποιητῇ, καὶ τοῖς μετ' αὐτὸν ἐπὶ ψύχους. ἐπὶ μέντοι φόβου ῥιγῶ ῥιγήσω λέγεται. ἀφ' οὗ τὸ ῥιγηλὸν, τὸ φρικτὸν, ᾧ ἴσον τὸ ῥίγιον, καὶ ῥιγεδανὴ Ἑλένη.

Ῥιδαεῖ, σκυβαλίζει.

Ῥῖενα, πηγὴ, λιβάς.

Ῥῖζα, οὕτω καλεῖται βοτάνιόν τι ἄκαυλον, καὶ ἀνανθὲς, καὶ ἄκαρπον, ἔχον τρία φύλλα, κατὰ πάντα προμήκη κατὰ τῆς γῆς κείμενα, δυοῖν δακτύλοιν τὸ μέγεθος.

Ῥῖζα, δι' ἧς ῥέει τὸ ζῆν ἄνω τοῖς δένδροις.

Ῥίζαιον, τόπος * πρὸς τὸν Εὔξεινον πόντον. καὶ Ῥίζην ὄρος.

Ῥίζαν βάλλε πικρὴν, παρ' Ὁμήρῳ, ὅ ἐστιν ἐπιτίθησι. ταύτην δὲ τὴν ῥίζαν οἱ μὲν ἀχίλλειαν ἐκάλεσαν, οἱ δὲ ἀριστολόχειαν, ἣν καὶ ἰχαιμον λέγουσι.

Ῥίζαν λευκὴν, τὴν τοῦ δρακοντίου, παρὰ τῷ Ἱπποκράτει.

Ῥίζειν, τρώγειν, καίειν, μυσιλλᾶσθαι, θηλάζειν.

Ῥιζιμαίως, παρὰ τὴν ῥίζαν.

* Ῥιζοῦς, πόλις Θεσσαλίας.

Ῥίζουχος, σπερμογόνος.

Ῥιζῶν νεάζων, ἐρετρεῖς.

* Ῥίζων, πόλις τῆς Ἰστρίας, καὶ ποταμὸς ὁμώνυμος.

Ῥικᾶ, ἐξαπατᾷ, τρόπον τινὰ τὴν ἕξιν ῥινᾷ.

Ῥικνὴν ὄψιν, φρικτήν.

Ῥικνοὶ, ἱκανοὶ σαρξὶν, ἐπικεκαμμένοι, σκαμβοὶ, σκολιοί.

* Ῥικνὸν, σῶμα καὶ δέρμα τὸ ῥυτιδούμενον ἅμα συστολῇ, καθάπερ ἐπὶ τῶν γερόντων ὁρᾶται.

Ῥικνοῖσι, ῥυσσοῖς. ἡ δὲ λέξις παρὰ Καλλιμάχῳ, ναὶ μὰ τὸ ῥικνὸν σῦφαρ ἐμόν.

Ῥικνὸν, ῥυσσὸν, παρὰ τῷ Ἱπποκράτει.

Ῥικνὸς, ὁ διεσχισμένος, ῥικνοῖς ἐπισκάζουσα πόδεσι.

Ῥικνοτέρους, ἀσθενεστέρους.

Ῥικνοῦται, λεπτύνεται ἐπὶ τῶν ὀστέων τῶν γερόντων.

Ῥικνοφυεῖς, τὰς στρόβλας, καὶ πεπιεσμένας.

Ῥικνοῦσθαι, τὸ ἀσχημόνως κινεῖσθαι.

Ῥικνώσεται, ῥισσωθήσῃ.

Ῥῖμβαι, ῥοιαὶ μεγάλαι. ἄμεινον δὲ διὰ τοῦ ξ ξίμβαι.

Ῥίμβησις, ἀγκύλη τοῦ ὤμου. οἱ δὲ τὸν βραχίονα τοῦ ἱερέως.

Ῥίμφα, εὐκόλως, ἢ ταχέως, παρὰ τὸ ῥίπτειν ἑαυτὸν διὰ τάχους.

Ῥὶν, καὶ ῥὶς, ἡ μύτις, καὶ κλίνεται ῥινός.

Ῥίνεαι, αἱ μέλαιναι ἰσχάδες.

Ῥῖνες, πληθυντικῶς λέγει Ὅμηρος, διὰ τοὺς αὐτόθι δύο πόρους. ἀπὸ δὲ τῶν τοιούτων δοκεῖ λέγεσθαι ἐπὶ ἀπάτης τὸ ῥινᾷν, ὡς ἐκ μεταφορᾶς τῶν δι' ὀσφρήσεως ἀπατωμένων, ἢ καὶ ἀπατώντων. ἡ δὲ χρῆσις περὶ λέξεως καὶ παρὰ Παυσανίᾳ, ὅς φησιν ὅτι ῥινᾷν, τὸ ἐξαπατᾷν. Μένανδρος, ἔγωγε ἐπίσταμαι ῥινᾷν.

Ῥίνη, ἰχθύος δορά.

Ῥινηλάτην, ὄνον τὸν καθικνούμενον τῇ ὀσμῇ.

Ῥινόβατος, ἰχθὺς ποιός.

Ῥινοβόλους, ἀνέμους, τοὺς διὰ τῆς ἀνέδρας φύσας.

Ῥινοδέψου, βυρσοδέψου.

Ῥινοὶ, καλοῦνται αἱ ἀσπίδες, ὅτι ἐκ βοείων βυρσῶν εἰσιν. ὁμοίως δὲ καὶ τὰ τῶν ἀνθρώπων δέρματα.

Ῥινόκερως, τὸ τετράπουν θηρίον, καὶ ποιὸς ὄρνις ἐν Αἰθιοπίᾳ.

Ῥινηλατεῖν, ἐπὶ τῆς ἀνιχνεύσεως τῶν κυνῶν.

Ῥινὸς, θηλυκῶς καὶ ἀρσενικῶς λέγεται, κατὰ τὰ ἀντίγραφα.

Ῥινὸς τὸ δέρμα, ἀπὸ τοῦ ῥίνη, ὅπερ εἶδος ἰχθυός ἐστιν. ἢ παρὰ τὸ ῥίον, τὸ ἀκρωτήριον. ὁ δὲ Μιλήσιος Ὧρος λέγει, ὅτι ῥῆνος λέγεται, ὅτι δι' αὐτοῦ ῥέουσιν οἱ ἱδρῶτες.

Ῥινόσιμος, τὴν κόμην ἀνάδετος, ἢ τὴν ῥῖνα σιμὸς καὶ πατζός.

Ῥινότερος, σημαίνει τὸν διακόπτοντα, καὶ τιτρώσκοντα τοὺς ῥινοὺς. ῥινοὶ δὲ καλοῦνται, αἱ ἀσπίδες.

Ῥινοτηρία, μέρος τι τῆς νεώς.

Ῥινοπύλη, μικρὰ πύλη.

Ῥινοτόμος, ὁ τὰ δέρματα τέμνων.

Ῥινοτόρος Ἄρης, ὡς ἄν τις εἴποι Βυρσοτόμος κατὰ τοὺς παλαιούς. δεῖ γάρ φασιν ἀσπίδος διατορῆσαι

ῥινὸς,

ῥινὸς, εἴσω σώματος ἀφικέσθαι. ἢ καὶ ὅτι ῥινὸν, ἤτοι χρῶν πρῶτον τέμνει τῶν πληττομένων, εἶτα τοῦ βάθους ἀφικνεῖται. δῆλον δὲ, ὅτι ταλαυρινὸς αὐτὸς ὢν ὁ Ἄρης, τουτέστι ταλαύρινον ἔχων.

Ῥινοχόος, χώνη.

Ῥινοφαρήτας, συνθήκας.

Ῥινώτερος, τὸ ὅπλον.

Ῥινῶ, παλαιῶ, ὡς τὸ ἐρρίνησεν ὁ οἶνος. ῥινῶ, τὸ μετὰ τῶν ῥινῶν τέμνω.

Ῥῖξαι, αἱ θέσεις τοῦ ὀφθαλμοῦ, καὶ πάντων τῶν φυτῶν.

Ῥιξικάζεται, ῥικάζεται, στροβεῖται.

Ῥῖον, ἐστὶν ὄρος, ἤτοι ἀκρωτήριον. τὸ δὲ ἱερὸν μνημεῖον.

* Ῥῖον, πόλις Μεσσήνης ἢ Ἀχαΐας, καὶ ἄλλα Αἰτωλίας. ἢ καὶ μολυκρικὸν ἐκαλεῖτο.

Ῥῖπαια, ὄρη σκυθικά. ὅθεν βορρᾶς ὁ ἄνεμος πνεῖ.

Ῥῖπες, σημαίνει τὰ κατεσκευασμένα πλέγματα ἐκ τῆς οἰσύας, ἢ ψίαθοι, ἴσως ἀπὸ τοῦ ῥύπτεσθαι ἐν παντί. καὶ ῥίπεα, πλέγματί ἐστιν ἐκ λυγῶν.

Ῥίπη, καὶ στρατίη βαρυτόνως λέγονται, πρὸς διαστολὴν τῆς ῥιπῆς, ὃ δηλοῖ τὴν ὁρμὴν τῆς στρατιᾶς τοῦ λαοῦ. τάχα δὲ καὶ πληθυντικῶς λέγεται ῥίπαι, ἐὰν ὁ Στράβων περὶ ταύτης λέγῃ, ὅτι ῥίπαι οὐκ οἰκοῦνται. τὴν δὲ χώραν, ῥιπίδα καλοῦσιν. τὸ ἐθνικὸν ταύτης ῥιπαῖος. τῆς δὲ στρατίης, ἥτις ἀπὸ ἡρωΐδος οὕτω καλεῖται, στρατιεὺς ὁ πολίτης, καὶ στρατιάτης. Στράτιον μέντοι πόλις Ἀκαρνάνων. οὗ ὁ πολίτης στρατιώτης, καὶ στράτιος.

Ῥίπη, πόλις. * Ἀρκαδική. καὶ ῥίπαια, ὄρος. * ὑπερβορέων.

Ῥιπὴ, φορὰ, ὁρμὴ, κίνησις, παρὰ τὸ ῥίπτω, ῥιπτὴ ἡ ῥιπτολένη. τίθεται δὲ ἡ λέξις ἐπὶ τοῦ ῥίπτεσθαι τὰς βίας τῶν πνευμάτων.

Ῥιπίδιον, μέρος τῆς νεώς.

Ῥιπίζεται, ἀντὶ τοῦ ὀπτᾶται. τὸ γὰρ πῦρ οἱ ἄνθρωποι ἐρρίπιζον, ἵνα ὀπτήσωσιν. Ἀριστοφάνης.

Ῥιπίζει, φυσᾷ, πνεῖ, πνοὴν πέμπει, ἀνακαίει.

Ῥιπίζω, ῥίπτω, κινῶ.

Ῥιπὶς, τὸ πλατὺ πλέγμα, ὃ στρεφόμενον κινεῖ ἀέρα.

Ῥιπὶς, τοῦ σκέλους τὸ ἀκροκώλιον.

Ῥιπιστὰ, διαπνεόμενα.

Ῥῖπον, μικρόν.

Ῥῖπος, τὸ καλαμόφυλλον, ἢ ἔδαφος, πρὸς κοίτην.

Ῥιπτάζω, διαρρίπτω.

Ῥίπτασκε, γίνεται ἐκ τοῦ ῥίπτω. λέγεται δὲ καὶ ἐπὶ δίσκου βολῆς, καὶ τῶν τοιούτων.

Ῥίπτασκον, ἔχει πρωτότυπον τὸ ῥίπτω, ἐξ οὗ ῥιπτάζω, κατὰ ἑτέραν παραγωγήν.

Ῥίπτασκον, κατὰ συγκοπὴν Ἰωνικὴν ἐκ τοῦ ῥιπτάζεσκον. τοῦτο δὲ ἐκ τοῦ ῥιπτάζω ῥιπτάσκω.

Ῥιπτοῦμαι Ἀττικοὶ, παθητικῶς. ῥίπτω δὲ ἁπλῶς Ἕλληνες. ῥιπτῶ δὲ, τὸ μετὰ σφοδρότητος ῥίπτω, ὁμοίως καὶ ῥιπτοῦμαι.

Ῥίπτω, ἀκοντίζω, μεθίημι.

Ῥὶς, ἐπὶ ἀνθρώπων, ῥύγχος ἐπὶ κυνῶν ἢ χοίρων, ῥάμφος ἐπὶ ὀρνέων. ἐν συνθέσει δὲ, εὔρριν κύων. καὶ ῥινηλατεῖν, ἐπὶ τῆς ἀνιχνεύσεως τῶν κυνῶν.

Ῥίς ἐστιν, ὄργανον ὀδμῆς.

Ῥίσαντες, φιλονεικήσαντες.

Ῥίσκοι, εἶδός τι μυῶν.

Ῥίουσα, λυπουμένη.

Ῥίστρον, πτύον.

Ῥιχνοῦσθαι, κινεῖσθαι ἀσχημόνως.

Ῥὶψ, ῥιπὸς, τὸ ῥιπίδιον.

Ῥίψασπις, ὁ δειλὸς, ἀπὸ τοῦ ῥίπτειν τὴν ἀσπίδα.

Ῥιψοκίνδυνος, παράβολος, τολμηρός.

Ῥιψοκινδύνως, παραβόλως, τολμηρῶς.

ΤΟ Ρ. ΜΕΤΑ ΤΟΥ Ο.

Ῥόα, τὰ ἐκ τῆς συκαμίνου, τὰ μόρα, ἅτινα ἄορα ξηρανθέντα, καὶ κοπέντα, τοῖς ὄψοις ἐπιπάσσεται, καθάπερ ὁ κυρίως ὀνομαζόμενος ῥοῦς, παρὰ τῷ Ἱπποκράτει.

Ῥόα, καὶ ῥοιὰ, ἡ ῥοΐδέα.

Ῥοαὶ, ῥεύματα, ῥεῖθρα, πηγαὶ, ἱππόδρομος, τοὺς καλαμῶνας, πηγὰς, χεύματα.

Ῥοβδεῖ, ἀναρριπτεῖ, μετ᾽ ἤχου.

Ῥοβλεῖ, ῥοφεῖ, πνεῖ.

Ῥόβιλλος, βασιλίσκος, ὄρνις.

Ῥόγαν, τὸν φονέα, τὸν αὐτόχειρα.

Ῥόγα, ῥοδωνία χώρα. ῥοδωνιὰ δὲ, τόπος ἐν ᾧ εἰσὶ ῥόδα, ὡς καὶ κρινωνιά.

Ῥογεῖ, ὀργᾷ, ἀκμάζει, δαμάζει.

Ῥογεὺς, βαφεύς.

Ῥογία, ἀκέστρια.

Ῥογκίειν, ῥεγκεῖν. Ἐπίχαρμος.

Ῥογοὶ, ὅροι σιτικοὶ, σιτοβολῶνες.

Ῥογχάζειν, παρὰ τὸ ῥοχθεῖν, τὸ ἠχεῖν.

Ῥοδανὸν, λέγει Ὅμηρος, τὸ οἱονεὶ ῥοανὸν, ὡς ῥοώδη, πλεονασμῷ τοῦ δ. οἱ δὲ γράφουσι ῥοδαλὸν καὶ φασὶν οὕτω λέγεσθαι, διὰ τὸ ῥᾷον ἅλλεσθαι φυτὰ ἐξ αὐτοῦ, πλεονασμῷ συνήθει τοῦ δ, ἢ ὡς κραδαλὸν, ἤγουν εὐκράδαντον, καὶ εὐκίνητον, ἀποβολῇ τοῦ κ, ὡς δοκάσατο δοάσατο. ἄλλοι δὲ καὶ τὸ ῥοδαλὸν, ἐπὶ εὐκινήτου νοοῦσι διὰ λεπτότητα δονάκων. ὅθεν φασὶ καὶ ἐπὶ γυναικῶν ῥοδανίζειν, τὸ συνεχῶς τινάσσειν τὴν κρόκην. εἰσὶ δέ τινες οἵ φασιν, ὑφὲν ῥοδαλὸν δονακῆα, ἤγουν ἰσχυοκαλαμώδη, ἕν τι νοοῦντες διὰ τῶν δύο. ὁμοίως τῷ χορῷ καλὴ πολυμίλη, ἤγουν καλλίχορος. δονακῆα δὲ λέγει, τὸν δόνακας ἔχοντα, οἳ διαφέρουσι καλάμων, ὅτι λεπτότατος μὲν ὁ δόναξ. ἁδρὸς δὲ ὁ κάλαμος. καὶ ὁ μὲν δόναξ, ὡς ἐπιπολὺ ποτάμιος, οὐ μὴν καὶ ὁ κάλαμος, καὶ δόναξ μὲν συριγκταῖς χρήσιμος. κάλαμος δὲ αὐληταῖς. Αἴλιος δὲ Διονύσιος εἰπὼν ὡς δόναξ, καὶ τὸ λύριον ἐπάγει. τὸ γὰρ παλαιὸν ἀντὶ τοῦ κέρατος ὑπετίθεντο κάλαμον. ἐμφαίνει δὲ τοιοῦτόν τι ὁ Κωμικὸς ἐν βατράχοις, ὑπολύριον εἰπὼν δόνακα. Ὀππιανὸς δὲ, ἰξοφόρους λέγει δόνακας.

* Ῥοδαὶ, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ῥοδαιάτης.

Ῥόδαμνοι, κλῶνες, βλαστοί.

Ῥοδεία, ταινία, ὁ ἐκ ῥόδων στέφανος.

Ῥόδεα, ἐρυθρά.

Ῥόδεον, εὔχρουν, εὐώδες, εὐειδές.

Ῥόδη, αὐτὸ τὸ δένδρον.

* Ῥόδη, πόλις Ἰβηρίας. τὸ ἐθνικὸν, Ῥοδαῖος.

Ῥόδια, ὑπόδημα ἀνδρεῖον, καὶ ἀμπέλου εἶδος.

* Ῥοδία, πόλις Λυκίας. τὸ ἐθνικὸν, Ῥοδιὰς, Ῥοδιεὺς ῥοδιαῖος.

Ῥοδιακὸν, ποτηρίου καὶ ἐκπώματος εἶδος.

Ῥόδιον, μύρον.

Ῥοδοδάκτυλος, ἡ ῥοδόχροος ἡμέρα, ἡ τὰ ἔργα λαμπρὰ δεικνύουσα. ῥοδοδάκτυλος ἠὼς, ἐπ᾽ αἶαν ἐσκίδνατο.

Ῥοδόεντα, πυῤῥά.

Ῥόδον, τὸ ἄνθος. ῥοδωνιὰ, ὁ τόπος. ῥοδῆ δὲ, τὸ φυτόν. Ἀρχίλοχος, ἔχουσα θαλὸν μυρσίνης, ἀφείπετο ῥοδῆς τε καλὸν ἄνθος. τὸ διπλοῦν ρρ οὐχ ἁπλῶς εὑρίσκεται διπλασιαζόμενον, οἷον θάῤῥος, πύῤῥος. ἀπὸ αὐξήσεως χρόνου, οἷον ἔρριψα. καὶ ἀπὸ συνθήκης, οἷον ἐπίῤῥημα, πλὴν οὐ διαπαντὸς ἐν ταῖς συνθήκαις εὑρίσκεται διπλοῦν. εὐροῶ γὰρ, εὔροια εὐρωστία, ὅτι εἰς σύμφωνον δοκεῖ λήγειν τὸ β. τὰ γὰρ εἰς σύμφωνον λήγοντα, εἶτα μετὰ τῶν ἀπὸ τοῦ ρ ἀρχομένων συντιθέμενα, οὐ διπλασιάζονται, οἷον ῥοῦς, εὔῤῥους. διπλασιάζεται δὲ τὸ ρ, ἐφ᾽ ὧν μόνον λήγει μὲν εἰς φωνῆεν ἡ λέξις. συντίθεται δὲ μετὰ τῶν ἀπὸ τοῦ ρ ἀρχομένων, οἷον ῥοῦς καταῤῥους, ῥῆμα ἐπίῤῥημα. αἴτιον δὲ, ὅτι τὸ μὲν ρ, ἡμίφωνόν ἐστι. τὰ δὲ φωνήεντα, χασμωδίαν ποιοῦσι. τὸ δὴ τῆς χασμωδίας ἡ φύσις ἐκφεύγουσα, διπλασιάζει τὸ ρ. πρόσρημα δὲ καὶ εὔρους, καὶ μυρία ὅσα οὐ διπλασιάζονται, χασμωδίαν οὐδεμίαν ἔχει.

Ῥόδον. ἰστέον δὲ, ὅτι τε θεῖόν τι, καὶ οὐχ ἁπλῶς ἐκ τῶν κατ᾽ ἀνθρώπους τὸ ῥηθὲν παρ᾽ Ὁμήρῳ ὑπόκειται ῥοδόεν ἀμβρόσιον ἔλαιον, καὶ ὅτι ἐκ τῶν κάτω καὶ τὰ θεῖα Ὅμηρος κοσμεῖ. σεμνὸν γὰρ ἀνθρώποις τὸ ῥόδον. διὸ οὐ μόνον ζεφύρῳ ἀνεῖσθαι λέγεται ἄγαλμα, καὶ γῆς καλεῖσθαι ἄστρον, καὶ ἀνθέων βασιλεὺς, ἀλλὰ καὶ εἰς μύρου θειοτέρου σκευὴν ἐγκρίνεται. Ἀθήναιος δὲ λέγει, ὡς Ἀρκάδες μὲν εὐόμφαλον αὐτὸ καλοῦσιν, ἤγουν εὔοσμον. Νίκανδρος δέ που, ἀκανθοβόλον, ὡς ἀκάνθας προβολὴν ἱστορῶν, καὶ ὡς οὐκ ἀγλαφύρως, Ἀλεξανδρεύς τις ποιητὴς εἴρηκεν, οἴλην, ἕρπυλον, τὴν καὶ ζυγίδα, λευκὸν κρίνον, ἠδ᾽ ὑάκινθον πορφυρέην. καὶ ῥόδον, ἠαρινοῖσιν ἀνοιγόμενον ζεφύροισιν, οὗπερ ἕτερος, τὰ φύλλα γελᾶν τῷ ζεφύρῳ φησίν. ὡς δὲ μύρων μὲν χρῆσιν οἶδεν ὁ ποιητὴς, ἔλαια δ᾽ αὐτὰ καλεῖ, μετ᾽ ἐπιθέτου. καὶ ὡς μυρίσασθαι μὲν Ἀλκαῖος λέγει. τὸ δ᾽ ὄνομα μύρωμα, καὶ οὐ μύρισμα, καὶ ὅτι Σόλων ἐκώλυεν ἐν νόμοις τοὺς ἄνδρας μυροπωλεῖν, καὶ ὅτι Λάκωνες ἐξέλαυνον τοὺς μύρα σκευάζοντας, καὶ ἔρια βάπτοντας, τοὺς μὲν ὡς διαφθείροντας τοὔλαιον. τοὺς δὲ, ὡς διαφανίζοντας ἐρίων λευκότητα. καὶ ὅτι τὸ ῥόδον, ὑστεροῦν λευκοίου, ὃ πρῶτον ἀνθέων ἐκφαίνεται. ἔτι δὲ καὶ Ναρκίσσου, πρῶτον παύεται.

Ῥοδόπους, ὄρος.

* Ῥοδόπη, πόλις Ἰωνίας. τὸ ἐθνικὸν Ῥοδοπεύς.

Ῥόδος, ἡ νῆσος, παρὰ τὸ πολὺ ῥοῦν αὐτόθι δονεῖσθαι, πρὶν φανῆναι τὴν νῆσον. * ἐκαλεῖτο Ὀφίουσα καὶ Αἰθραῖα.

Ῥοδόπηχυς, ῥηθὲν πρὸς ὁμοιότητα τοῦ ῥοδοδάκτυλος. τούτῳ δὲ ζήλῳ καὶ Λυκόφρων τὸ αὐτὸ περιφράζων ἔφη. ἠὼς μὲν, αἰπὺν ἄρτι φηγίου πάγον, κραιπνοῖς ὑπερποτᾶτο Πηγάσου πτεροῖς.

Ῥοδωνιὰ, ὁ τῶν ῥόδων τόπος. ῥόδον δὲ, τὸ ἄνθος. ῥοδῆ, αὐτὸ τὸ δένδρον.

Ῥοδῶπις, ἡ ῥοδόφθαλμος.

Ῥοθιάζουσιν, ἀθρόον καὶ μετὰ κτύπου φωνῆς ὁρμῶσι, καὶ ἐσθίουσι. θαυμαστικῶς δὲ παρὰ τῷ Ἀριστοφάνει, οἷον μετὰ ῥόθου, καὶ ψόφου ἐσθίουσι.

Ῥοιὴν, ῥύσιν.

Ῥοθεῖν, ὁρμᾷν, τρέχειν, λέγειν, διώκειν.

Ῥοθιάζειν, ἐλαύνειν, ἀπὸ τοῦ ψόφου τῆς εἰρεσίας. οἱ δὲ τὴν ἀνακοπὴν τοῦ ὕδατος, ῥόθον φασί.

Ῥόθιον, τὸ κῦμα, ἀπὸ τοῦ ταχέως ῥεῖν, ἀπὸ τῶν ἐρεσσόντων μετήνεγκεν ὁ Ποιητὴς, ὅταν συνεχῶς ὑπὸ πολλῶν ἐρετῶν ἐπιπλέον προέρχεται ἡ ναῦς εἰς τὸ πρόσθεν. καὶ ἄλλως, ῥόθιον, αὐτὸ τοὔδωρ, οὐ μόνον ἐπὶ ποταμοῦ, ἀλλὰ καὶ τὸ μετὰ κτύπου κῦμα. ἄλλως, ῥόθιον, ἐπίθετον κύματος, ῥοθοῦντος κατὰ ὀνοματοποιΐαν. οἱ δὲ μεθ᾽ Ὅμηρον, τὸ ῥεῦμα οὕτω καλοῦσιν. οἱ δὲ ὕστερον Ἀττικοὶ, τὴν σύντονον εἰρεσίαν οὕτω φασί. καὶ ῥοθιάζειν, τὸ ἐρέσσειν εὐτόνως. ἐλέγετο δὲ ῥοθιάζειν, καὶ ὅτε οἱ ναῦται ἐπὶ κώπαις δέκα τυχὸν, ἢ καὶ πλείοσι παίοντες, εἶτα ἅμα παυσάμενοι, ὡς ἐκ συνθήματος, ἅπαξ ἀνεφώνουν.

Ῥόθος, θόρυβος.

Ῥοθῶ, τὸ ἠχῶ.

* Ῥοιὰς, ἐστὶν ὀφθαλμοῦ, ἡ τῆς ἐγκανθίου σαρκὸς δαπάνησις, ἢ τὸ δάκρυον ἀποῤῥεῖ.

Ῥοία, κυλίστρα τῶν ἵππων, παρὰ τῷ ποταμῷ, καὶ ψάμμῳ.

Ῥόιαγξ, φάραγξ.

Ῥοιβδῶ, τὸ ῥοφῶ, καὶ ῥοιβδήσω, ἐξ οὗ καὶ ἀναῤῥοίβδησις.

Ῥοιβδεῖν, καὶ ἀναῤῥοιβδεῖν, τὸ μετὰ ἤχου πέμπειν.

Ῥοιβδήσει μετὰ ἤχου ἀναδώσει, παρὰ τῷ Λυκόφρονι.

Ῥοιδαμὸς, ὁ ἀσπάραγος.

Ῥοιδμὸς, ποιὸς ψόφος.

Ῥοίδνας, δάκνας.

Ῥοΐδιον, διαιροῦντες λέγουσιν οἱ ἀμαθεῖς. ἡμεῖς δὲ ῥοίδιον.

Ῥοίζημα, ἤχημα.

Ῥοιζεῖ, διώκει, ὁρμᾷ, τρέχει.

Ῥοιζηδὸν, σφοδρῶς μετὰ ἤχου.

Ῥοίζησεν, ἤχησεν, ἐσύρεν.

Ῥοῖζον φησὶν Ὅμηρος κατὰ γένος θηλυκὸν Ἰωνικῶς. φησὶ γὰρ πολλῇ ῥοίζῳ πρὸς ὄρος, τρέπε πίονα μῆλα, ὥσπερ δὲ ἡ ῥοῖζος, οὕτω καὶ παρά τισι καὶ ἡ λιμός. Ἰστέον δὲ, ὅτι κατὰ μέντοι

Ποιητὴν ῥοίζειν λέγεται ποιμήν. τουτέστι συρίττειν ἐν τῷ ἐξάγειν ποίμνιον, ἢ ὅλως νέμειν. οἱ δὲ παλαιοί, καὶ ἄλλας ἔχουσι λέξεις ἰσοδυνάμους ποιμενικάς. Παυσανίας δὲ ψιττάζειν λέγει, τὸ ποιμενικῶς φθέγγεσθαι.

Ῥοικά, καμπύλα. Ῥόμματος, ῥοφήματος ἢ ῥομφήσεως, παρὰ τῷ Ἱπποκράτει.

Ῥοικὸν, λαγωβόλον, καὶ ῥόπαλον τὸ εἴσω νεῦον, καὶ στραβὸν, ὃ καὶ ῥοῖβον λέγεται παρά τισι.

Ῥοίκου κριθοπομπία. Ἐρατοσθένης ἐν τῷ ἐννάτῳ τῶν Ἀμαθουσίων, βασιλέα τοῦτον αἰχμάλωτον γενόμενον, εἶτα ὑποστρέψαντα πρὸς ἑαυτὸν, τῇ πόλει Ἀθηναίων κριθὰς ἐκπέμψαι φησίν.

Ῥοῖ, ῥεύματι, ὁ ῥοῦς, τοῦ ῥοός, τῷ ῥοΐ. ῥοῖ ποταμοῦ, καὶ ῥοῖ θαλάσσης ι. ῥοῇ δὲ αἵματος, καὶ ῥοῇ δακρύων, η.

* Ῥοῖξος, ἐπίνειον Κιλικίας, ἐπὶ ταῖς ἐκβολαῖς τοῦ Σάρου ποταμοῦ. τὸ ἐθνικὸν, Ῥοΐξιος, ἢ ῥοιξίτης.

Ῥοίσκος, τὸ στεγὸν τοῦ σταυροῦ.

Ῥοισμὸς, ὁ τῶν ἵππων ῥυμός.

Ῥοιτειάδος ἀκτῆς, ἀπὸ Ῥοιτείας τῆς Πρωτέως θυγατρός. ῥοίτειον δὲ καὶ σίγειον ἀκρωτήρια τῆς Ἰλίου.

Ῥοίτειον, πόλις ἐπὶ λόφῳ. συνεχὴς δὲ τῷ ῥοιτείῳ ἠὼν, ἐφ' ᾗ μνῆμα, καὶ ἱερὸν Αἴαντος, καὶ ἀνδριὰς, ὃν Ἀντώνιος μὲν εἰς Αἴγυπτον ἐκόμισε, χαριζόμενος τῇ Αἰγυπτίᾳ Κλεοπάτρᾳ, σὺν ἄλλοις ἀναθήμασιν. Ἄρατος δὲ λέγει μετὰ τὸ ῥοίτειον, τὸ σίγειον, πόλις κατεσκαμμένη, καὶ τὸ ναύσταθμον, καὶ τὸ ἀχαϊκὸν στρατόπεδον, καὶ ὅτι ἡ παραλία ἀπὸ ῥοιτείου μέχρι σιγείου καὶ τοῦ μνήματος τοῦ Ἀχιλλέως, ἐνάντης εὐθυπλοῒ ἑπτὰ στάδια. πρὸς δὲ τῷ σιγείῳ Ἀχιλλέως μνῆμα, καὶ Πατρόκλου, καὶ Ἀντιλόχου, καὶ ἐναυλίζουσι πᾶσι καὶ τῷ Αἴαντι οἱ Ἰλιεῖς.

Ῥοίτιον, ἀκρωτήριον τῆς Τροίας. ῥοιτιάδος ἔνδοθεν ἄκρης.

Ῥοιὼ, Σταφύλου τοῦ υἱοῦ Διονυσίου θυγάτηρ γίνεται, ᾗ ἐμίγη ὁ Ἀπόλλων. γνοὺς δὲ ὁ Στάφυλος, βαλὼν εἰς λάρνακα πρὸς τὴν θάλασσαν ἀφῆκεν. ἐξελθούσης δὲ τῆς λάρνακος ἐπὶ Εὔβοιαν παρά τι ἄντρον, παῖδα γεννᾷ καὶ Ἄνιον καλεῖ, διὰ τὸ ἀνιαθῆναι δι' αὐτόν. τοῦτον δὲ ὁ Ἀπόλλων ἤνεγκεν εἰς Δῆλον, ὃς Δωρίππην γήμας, γεννᾷ τὰς οἰνοτρόπους, Οἰνὼ, Σπερμὼ, καὶ Ἐλαΐδα, αἷς Διόνυσος ἐχαρίσατο ὁπότε βούλοιντο οἶνον, σπέρματα, καὶ ἔλαιον λαμβάνειν. Φερεκύδης δέ φησιν, ὅτι Ἄνιος ἔπεισε τοὺς Ἕλληνας παραγενομένους εἰς αὐτὸν, αὐτοῦ μένειν τὰ ἐννέα ἔτη. δεδόσθαι δὲ αὐτοῖς παρὰ τῶν θεῶν, τῷ δεκάτῳ ἔτει πορθῆσαι τὴν Ἴλιον.

Ῥόμβος, τροχίσκος, ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες, καὶ οὕτως κτύπον ἀποτελοῦσι.

Ῥομβωτὸν, ἐπίμηκες.

Ῥόμβῳ, περιφορᾷ, κινήσει.

Ῥομβώδης, ὄνομα παρατάξεως, καὶ τὸ πολεμικὸν τῆς νηὸς σίδηρον.

Ῥομελίας, μετέωρος, περιτομῆς ἐναροίζει. τοῦτο αὐτὸ καὶ ἰχθύς τις τῶν πλατέων, καὶ ὁ ἐν τοῖς δεσμοῖς γόμφος.

Ῥόμιξα, εἶδος ἀκοντίου.

Ῥόμοξ, σκώληξ ἐν ξύλοις.

Ῥομφαία ἐστὶ νοητὴ, λόγος πνευματικὸς σῶμα χωρίζων ἀπὸ ψυχῆς, ἢ κακίας καὶ ἀγνωσίας.

Ῥομφαία, ἐράκιον, ἀμφωτήριον μάχαιρα, ξίφος, ἢ ἀκόντιον μακρόν.

Ῥομφάζει, βαστάζει.

Ῥομφεῖς, ἱμάντες οἷς ῥάπτεται τὰ ὑποδήματα.

Ῥόνειν, κρίνεσθαι.

Ῥόος, ῥοῦς, ῥύμη, ῥεῦμα.

Ῥοπαῖς, κλίσεσι.

Ῥοπαλίζει, στρέφει, κινεῖ, ὡς ῥόπαλον.

Ῥόπαλον, βακτηρία, ῥάβδος. γίνεται δὲ ἀπὸ τοῦ ῥέπω, ὡς οἷα ῥέπον εἰς μέρος, καὶ μὴ ὀρθὸν κατὰ τὸ τῆς Ἑκάβης παρ' Εὐριπίδῃ σκολιὸν σκίπωνα. ὅμοιον δέ τι καὶ ἡ καλαύροψ κάλον ἐκείνη, τουτέστι ξύλον αὖ ῥέπον κατὰ ὁμοίαν ἐτυμολογίαν, καὶ τὸ παρὰ Θεοκρίτῳ ῥοικὸν λαγωβόλον, τοιοῦτόν τι δοκεῖ τοῖς πλείοσιν εἶναι, καὶ ἀπὸ τοῦ ῥέπειν γίνεσθαι αὐτό.

Ῥοπὴ, ἡ ἀπό τινος εἴς τι μετάκλισις, ἢ εἴ τι μεταβολὴ ῥοπή ἐστι κατὰ τὸ ἀκαριαῖον τῆς συντομίας καὶ ταχυτῆτος.

Ῥοπή ἐστιν, ἀδιάστατος κίνησις.

Ῥοπήϊα, σύμφυτος τόπος. καὶ ῥοπήρια ὁμοίως.

Ῥοπτίον, κλειδίον.

Ῥόπτρον φασὶ δίκης ἐπεστί τινα, ἤγουν θεόθεν τιμωρία, ὡς ἀπὸ τοῦ ῥόπτρου, ὅπερ ἐστὶ κατὰ τοὺς παλαιοὺς πλῆγμα, ἢ ῥόπαλον. ἢ καὶ ἄλλως. πάγη. ῥομφαία, εἶδος ξίφους, ἢ ἐπίπαστρον. διὸ Λυσίας κρίνον θύρας αὐτὸ εἶναι δηλοῖ ἐν τῷ ἔδησε τὸν ἵππον, ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ κατὰ Ἀνδοκίδου, ἐν τῷ περὶ ἀσεβείας τοῦτο εἰπών.

Ῥορτῶν, ῥομφημάτων, ἢ πάντων τῶν ὁπωσοῦν ῥοφουμένων παρὰ τῷ Ἱπποκράτει.

Ῥοσπερία, τορύνιον.

Ῥουβοτὸς, ῥόφημα.

Ῥουγὸς, πρόσωπον.

Ῥουδὸν, ῥαδιστικόν.

Ῥουμάζεται, φρίττει.

Ῥοῦν, ῥεῦμα.

Ῥοῦτο, τοῦτο. Μακεδόνες.

Ῥοῦς, ῥοῦ, ὡς πλοῦς πλοῦ, καὶ μὴ ῥόος, ἐπὶ θαλάσσης, καὶ ἐπὶ ποταμοῦ. ῥίαξ μέντοι, ἐπὶ μόνου ποταμοῦ. ῥοὴ δὲ, ἐπὶ δακρύων, καὶ αἵματος.

Ῥοφεῖ, καταπίνει. ῥοφῶ, τὸ πίνω. ἐκροφῶ δὲ, ὅταν ἀπλήστως πίνω, καὶ οὐκ ἐῶ τι τοῦ πινομένου. ῥοφῶ, οἱ Ἀττικοὶ ῥοφῶ λέγουσι βαρυτόνως. οὐχ ὑγιῶς. ὁ γὰρ μέλλων ῥοφήσω. ἔστιν οὖν ῥοφῶ, οἱ δὲ Δωριεῖς ῥυφῶ, ἀπὸ τοῦ ῥοφεῖν, ὃ ῥυφεῖν λέγουσιν Ἴωνες, καὶ Δωριεῖς κατὰ τοὺς παλαιούς. Αἴλιος δὲ Διονύσιος ῥόφειν φησὶ λέγεσθαι, ὡς γράφειν. καὶ ῥόφουσιν, ὡς γράφουσιν.

Ῥόφιον, κῦμα.

Ῥόχανον, σκυταλίδα. παρεκτήριος, ἢ ἀποξύουσι τὸ μέτρον.

Ῥοχθεῖ, ἠχεῖ, κλύζει.

Ῥόχθει, ἀντὶ τοῦ ἐρόχθει, κατὰ συστολὴν, ἢ τῆς ἐστὶ τῶν Ἰώνων.

Ῥοχθεῖ, ψοφεῖ. ῥοχθεῖ τὸ κῦμα, σημαίνει πρὸς τὴν ξηρὰν ἀντικρούει.

Ῥοχθεῖν, ὠνοματοπεποίηται, καθὰ καὶ τὸ ξερὸν, καὶ τὸ ἐρευγόμενον, καὶ τὸ παλιρρόθιον, καὶ τὸ βέβρυχε.

Ῥοώδης, ὁ ἔχων ῥεῦμα.

Ῥοώδη, τὰ ὀστᾶ παρὰ τῷ Γαληνῷ.

ΤΟ Ρ. ΜΕΤΑ ΤΟΥ Υ.

Ῥύακες, ὑδρηγοί, ῥεύματα.

Ῥύαξ, τὸ ῥυάκιον. ἔστι δὲ καὶ περικεφαλαίας πύργος.

* Ῥυὰς, ὅρα ῥοιάς.

Ῥύγχος, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ῥάμφος.

Ῥυάχετον, θόρυβον ἢ τὸν ῥέοντα ὀχετόν.

Ῥύβδην, δαψιλῶς, ἢ ταχύτητι, ἢ μετ' ἤχου σφοδροῦ.

* Ῥύβδος, φρούριον Σικελίας.

Ῥυγχιάζειν, διαστρέφειν, ῥυγχάζειν.

* Ῥύγχαι, χωρίον Εὐβοίας.

Ῥυδεῖν, περιπλέκεται.

Ῥύδην, ἀκόλως, ἢ ἀθρόως ἐπιτρέχοντες.

Ῥυδὸν ἀφνειὸς, τουτέστιν ὀχύδην πλουτῶν, καὶ ἐπίρροιαν ἔχων πλούτου. ὡς τὸ, ῥυδὸν ἀφνειοῖο, ἀντὶ τοῦ ἄγαν πλουσίου, ἀπὸ τοῦ περιρρεῖν τὸν πλοῦτον.

Ῥυδία, ῥοά, ἢ ῥοιά.

Ῥυδὸν, ἢ ῥύδην, χύδην, δαψιλῶς, ῥευστικῶς, σφοδρῶς.

Ῥυδωμένην, ῥοφωμένην.

Ῥύειν, ἢ ῥύεσθαι συνήθως Ὁμήρῳ ἐπὶ τοῦ φυλάσσειν τίθεται. Παυσανίας δὲ καὶ ἐπὶ θυσίας κεῖσθαι τὴν λέξιν λέγει. ὅθεν καὶ ἀναρρύειν φησὶ τὸ θύειν. καὶ ἡ θυσία, ἀνάρρυσις. δῆλον δὲ, ὅτι ἐπὶ τοῦ ἕλκειν ἡ λέξις λέγεται, ὡς δηλοῖ καὶ τὸ ῥυστάζειν ἀπ' αὐτοῦ γεγονός. τοῦτο δὲ τοῦ ε πλεονάσαντος, ἐρύειν λέγεται. καὶ ἴσως ἀπὸ τοῦ ῥύειν, τὸ ἑλκύειν καὶ ἀνάρρυσις, ἡ θυσία, ὥσπερ ἀπὸ τοῦ ἐρύειν τὸ ἀνερύειν γίνεται. ἰστέον δὲ, ὅτι ἐκ τοῦ ἐρύω γίνεσθαι δοκεῖ καὶ τὸ ἀρύω, τροπῇ τοῦ ε εἰς α, κατὰ τὸ Ἄρτεμις Ἄρταμις. ἐκ δὲ τοῦ ἀρύειν καὶ ὁ παρὰ τῷ Κωμικῷ ἀρύβαλλος, καὶ ἡ ἀρύταινα, καὶ ἀρύστιχος, καὶ ἀρύσαμα, καὶ ἀρυστῆρες.

Ῥύειν, καὶ βίαν ποτὲ δηλοῖ. ὅθεν καὶ τὸ ῥυστάζειν τροπικῶς τὸ κατὰ βίαν ἕλκειν. καὶ ῥυστακτὺς, ὁ βίαιος ἑλκυσμός. καλῶς ἂν καὶ βιὸς, τὸ τόξον λέγοιτο, διὰ τὸ βίᾳ ῥύεσθαι. ἐκ δὲ τοῦ τοιούτου ῥύειν καὶ ὁ τοῦ χαλινοῦ ῥυτήρ. δῆλον δὲ, ὅτι τὸ ῥυστάζειν, βίαιον δηλοῖ ἑλκυσμὸν γυναικῶν, ὡς ἐπὶ πολὺ καὶ τὸ ἑλκύσαι.

Ῥύεο, ῥῦσαι, ἐκ τοῦ ῥύω, τὸ παθητικὸν ῥύομαι, ὁ παρατατικὸς ἐρυόμην, τὸ δεύτερον ἐρύου. καὶ τὸ προστακτικὸν ῥύου, καὶ Ἰωνικῶς ῥύεο.

Ῥύεσθαι, ἐκ θανάτου ἕλκειν, ἤγουν σώζειν.

Ῥύεται, σκέπει, φυλάττει, σώζει.

Ῥύζα, βία, ἡ τοῦ τόξου τάσις.

Ῥύζειν, ὑλακτεῖν.

Ῥύζουσι, διαμωκῶνται, μισοῦσι, γογγύζουσι.

Ῥυζῶν, πενθῶν, διὰ τὸ τοὺς πενθοῦντας ἄναυδόν τινα ἦχον προφέρειν.

Ῥυῇ, ἀντὶ τοῦ ῥεύσει.

Ῥυῆνα, ἄρνα. Κύπριοι.

Ῥυήσεται, φθαρήσεται. ῥέω, καὶ αἰολικῶς ῥεύω, ῥεύσω ἔρρευσα, ὁ δεύτερος ἀόριστος ἔρρυον, ὁ παθητικὸς ἐρρύην, τὸ τρίτον ἐρρύη, καὶ ὁ μέλλων δεύτερος ῥυήσομαι ῥυήσῃ ῥυήσεται, καὶ ἀπορρυήσεται.

Ῥυήσονται, φθαρήσονται. ὡς τὸ, ἡ δὲ χεὶρ ῥυήσεται.

Ῥυήτω, ἐκ τοῦ ῥύηθι ῥυήτω.

Ῥυηφενὴς, ὁ ἄγαν πλούσιος, παρὰ τὸ ῥύδην καὶ τὸ ἄφενος, ὃ σημαίνει τὸν πλοῦτον.

Ῥυηφένεια, ὁ πλοῦτος. καὶ ῥυηφενέων ἀνδρῶν τῶν πλουσίων, παρὰ τὸ ῥυῆναι τὸν ἄφενον. σύγκειται δὲ ἡ λέξις, παρὰ τὸ ῥύδην καὶ ἄφενος, τουτέστι τὴν τοῦ πλούτου ῥύσιν.

Ῥυθῆναι, ἐρεχθῆναι, ὃ δηλοῖ ἐξαιρεθῆναι.

Ῥυθμίζει, κανονίζει, εὐθύνει, παιδεύει.

Ῥυθμὸς, ἁρμονία, ἀκολουθία, παίδευσις. ἢ ἡ τῆς κινήσεως τάξις, ἀπὸ τοῦ ῥύω ῥύσω, ῥηματικὸν ὄνομα ῥυσμὸς, καὶ τροπῇ τοῦ σ εἰς θ ῥυθμός. ἢ ἐκ τοῦ ἐρύω, τὸ ἑλκύω, ἐρυσμὸς, καὶ ἀφαιρέσει τοῦ ε καὶ τροπῇ ῥυθμός. ἢ ῥυθμὸς, κανὼν, μέτρον, τρόπος, μέλος εὔφωνον, ἀκολουθία, τάξις, σύγκρισις.

Ῥυκάνη, ἀλθητήριον, χειρομήριον, ἀμυντήριον, τεκτονικὸν ἐργαλεῖον.

Ῥυθμοποιὸς, ὁ μέλη καὶ ῥυθμοὺς ποιῶν.

Ῥῦμα, παρὰ τὸ ῥύεσθαι, τὰ βοηθήματα, παρὰ τῷ Ἱπποκράτει.

Ῥῦμα, τὸ ἐλαφρὸν καὶ πυκνὸν, ὁλκός.

Ῥυμβάδας, λαιγγάστας, διεσχισμένας.

Ῥυμβονᾶν, διασκορπίζειν.

Ῥυμβόνες, αἱ εἱλύσεις καὶ κινήσεις τῆς σπείρας, οἱονεὶ τὰς κοτυλώδεις καμπάς. ὡς τὸ, ῥυμβόνας ἀπαλέησιν ἐπηρεφέας βολίδεσσιν, Ἀπολλώνιος. ἢ ῥυμβόνας τὰς ἑλκύσεις τῆς σπείρας τὰς περιδινήσεις. ὡς Εὐριπίδης ἐν Πειρίθῳ, σὲ τὸν αὐτοφυῆ πάντων θεῶν αἰθέρα ῥύμβῳ, τουτέστι κινήσει. ὅθεν καὶ τὸ κινούμενον τροχίσκιον ὑπὸ τῶν φαρμακίδων ῥύμβιον καλεῖται. οὕτω δὲ λέγουσι τὰς περιφερεῖς κινήσεις. καὶ παρ' Εὐπόλιδι, ὦ ῥύμβοις μαστίξας ἐμέ.

Ῥύμβος, ὁ δῖνος, ἀπὸ τοῦ ῥύω. ἀφ' οὗ ῥύσις καὶ ῥυσμὸς, εἶτα ἐλλείψει τοῦ σ καὶ πλεονασμῷ τοῦ β ῥύμβος. ὡς τὸ, ῥύμβῳ καὶ τυμπάνῳ, Ῥεῖαν Φρύγες ἱλάσκονται. μυστικῷ σανιδίῳ, ὃ στρέφουσιν εἰς τὸν ἀέρα, καὶ ἦχον ἐμποιοῦσι. ῥύμβος δὲ καὶ ῥόμβος διχῶς λέγεται. ἔστι δὲ τροχίσκος, ὃν τύπτοντες ἱμᾶσι καὶ στρέφοντες ποιοῦσι περιδονεῖσθαι καὶ ψόφον ἀποτελεῖν. ῥύμβον δὲ αὐτὸν Εὔπολις εἶπε, καλεῖται δὲ καὶ βρυτήρ.

Ῥύμη, φορὰ βιαία, φυλακὴ, τάξις ἔρημος. ἢ ῥύμη, ἡ ὁρμή. ἔστιν οὖν ῥέω καὶ ῥύω ῥύσω ῥύμη.

Ῥύμιγξ, χείμαρρος.

Ῥύμμα, σμῆγμα, καὶ ἡ σμηγματοδοκὶς, σμηγματοθήκη.

Ῥύμμασι, καθάρμασι, τρίμμασι.

Ῥυμὸς, τάξις, ἢ ἐμμέλεια, παρὰ τὸ ῥύω, τὸ ἑλκύω, ὃς λέγεται παρ' Ἡσιόδῳ ἰσοβοεὺς, ...

Digitized by Google

τὸ μεταξὺ κατὰ μῆκος ξύλον τοῦ ἅρματος, ἤγουν τὸ προηρτημένον τῷ ζυγῷ ὀρθὸν ξύλον. παρὰ τὸ ἐρύω ἐρύσω, ῥηματικὸν ὄνομα ἐρυσμὸς, καὶ ἀποβολῇ τοῦ ε καὶ σ ῥυμὸς, τὸ μέσον τῶν ἵππων ξύλον, ᾧ συνδέδεται ὁ ζυγός. ἢ ῥυμὸς, ὁ προσηρτημένος τῷ ζυγῷ κανὼν, εἰς ὀξὺ λήγον. τὸ μέσον ξύλον.

Ῥυμοτομεῖται, εἰς ὀρθὸν κόπτεται.

Ρυνδάκη, ὀρνίθιον, ἡλίκον περιστερά.

Ῥυνδακίδας. ῥύνδακος, τόπος ἐστὶ Φρυγίας, οὗ μνημονεύει Βακχυλίδης. ταῖς δὲ ἀληθείαις, ποταμός ἐστι τοῦ Βελάρεω κατὰ τὴν εἴσοδον. Καλλίμαχος δὲ ἱστορεῖ περὶ ποταμοῦ, ἐν τῷ περὶ τῶν κατὰ τὴν Ἀσίαν ποταμῶν. καὶ Δημήτριος ὁ Σκήψιος ἐν τῷ αὐτοῦ διακόσμῳ. ἄλλως. Ῥυνδακὸς, ποταμὸς Φρυγίας, ὁ νῦν μέγιστος, πρὸς ᾧ κατὰ τὴν ἔξοδον, καὶ Αἰγαίωνός τινος Μυσοῦ τάφος.

Ῥύομαι, παθητικὸν ὂν τῇ προφορᾷ, ἐνεργητικὴν ἔχει τὴν σημασίαν. ῥύομαί σε γὰρ φαμὲν, οὐχὶ ῥύομαι ὑπὸ σοῦ.

Ῥύονται, σώζουσι.

Ῥύπα, μεταπλασμὸν ἔπαθεν. ὡς γὰρ ὁ ζυγὸς τὸ ζυγὸν, καὶ τὰ ὅμοια. οὕτω καὶ ὁ ῥύπος τὸ ῥύπον. οὗ ἡ εὐθεῖα παρὰ Θεοκρίτῳ εἰπόντι, ἅπαν ῥύπον. Ὅμηρος δὲ λέγει ῥύπα, τὰ ῥύπου μετέχοντα.

* Ῥύπαι, πόλις Ἀχαϊκὴ, λέγεται καὶ ῥυπαίη.

Ῥυπαίνει, σμήχει, καθαρίζει, πλύνει. ῥυπαίνω, καὶ τὸ μολύνω καὶ ὑβρίζω.

Ῥύπων, ῥύπον, πῖνον.

Ῥυπαρὸν, αἰσχρόν.

Ῥυπαρὸς, περίψηφος, αἰσχροκερδής.

Ῥύπας, τοὺς ἐν τῇ Ἀρκαδίᾳ Ἀχαιούς.

Ῥυπάω, ῶ, τὸ ῥύπου πληροῦμαι. καὶ ῥυπὸν, ἱμάτιον τὸ ῥύπου μετέχον. ῥυπέω δὲ ῥυπῶ, μεταβατικόν. καὶ ῥυπαίνω, τὸ μολύνω.

Ῥυποκανδάλους, τοὺς ἀεὶ ῥυπῶντας, καὶ ῥυπαρούς.

Ῥύπος, ὁ τῷ χρωτὶ ὑπὼν σπίλος. καὶ ῥῦπον Ἀττικοὶ, τὸν εἰς τὰς σφραγίδας κηρὸν λέγουσιν. εἴρηται δὲ ῥύπος, παρὰ τὸ χροῦς, καὶ τὴν ὑπὼν μετοχὴν, ὁ ὑπὼν τῷ χρωτί.

Ῥυπόω, ὅμοιον τῷ ὀρόω καὶ βοόω. ὡς δηλοῖ τὸ, τὰ ῥυπόωντα καθῆραι, γραφὲν κατὰ τὸ ὁρόωντα, καὶ βοόωντα.

Ῥυππαπαὶ, ἐπίφθεγμα ναυτικὸν παρασκευαστικὸν, ἢ παρακελευσματικὸν κωπηλασίας, ἢ ψόφου ἐστὶ μίμημα, τοῦ ἀπὸ τῶν κωπῶν ἀποτελουμένου. ἔστι δὲ ἐπίρρημα ναυτικὸν, ὃ ἐν τῇ κωπηλασίᾳ φασὶν, ὡς παρακέλευσμα.

Ῥύπτει, σμήχει, καθαίρει. ῥύπτω γὰρ, τὸ καθαίρω. ὅθεν κάθαρσις.

Ῥύπτομαι, ἀντὶ τοῦ σμήχομαι, τουτέστι ζῶ μεταφορικῶς. τῷ γὰρ ζῶντι ἕπεται τὸ ῥύπτεσθαι. ῥύμματα γὰρ τὰ σμήγματα. καὶ Ὅμηρος, ῥύμματα πάντα κάθηρε. καὶ ῥύπτεσθαι, τὸ σμᾶσθαι. ὡς Ἀριστοφάνης, ἐξ ὅτου ἐγὼ ῥύπτομαι.

Ῥυρρεῖν λέγεται, τὸ ὁμοῦ τρέχειν, ἀμεταβάτως.

Ῥυσαὶ, αἱ μὴ λεῖον ἔχουσαι τὸ δέρμα καὶ ἀτραφὲς, καὶ διὰ τοῦτο τεταννυσμένον, ἀλλὰ ἀπολελυμένον, ὡς συνιζάνον κοιλότητας ἐμποιεῖν. ἢ ῥυσαὶ, αἱ ἀπογεγηρακυῖαι, καὶ ῥυτίδας ἔχουσαι. ῥυτίδες δὲ καλοῦνται, αἱ ἐπὶ τοῦ μετώπου τοῦ δέρματος συστροφαὶ, παρὰ τὸ ἐρύω ἐρυτὶς. καὶ ῥυτὶς, ἡ συνελκυσμένη σάρξ.

Ῥῦσαι, φύλαξαι.

Ῥύσατο, ἠλευθέρωσεν, ἐλυτρώσατο.

Ῥῦσθαι, ἀπὸ τοῦ ῥύεσθαι. οὗ θέμα τὸ ῥύω, καὶ πλεονασμῷ τοῦ ε, γίνεται ἐρύω. ἐπενθέσει δὲ τοῦ ι ἐρείω.

Ῥῦσθαι, συνῄρηται ἀπὸ τοῦ ῥύεσθαι, οὗ θέμα τὸ ῥύω.

Ῥυσὴ, ἡ γραῦς. ὡς τὸ, ῥυσαί τε, χωλαί τε.

Ῥῦσια, δηλοῖ τὰ ἀντί τινων ῥυόμενα, ὅ ἐστιν ἑλκόμενα, καὶ ἀντὶ τῶν ἁρπαθέντων, ἁρπαζόμενα, ὡς τε ῥύσια ἐλαύνειν ὁ Νέστωρ λέγει, τὸ ἐρυσιάζειν, καὶ λαμβάνειν ἀνθαρπάγματα, ἤγουν ἐνέχυρα χρέους. ἢ ῥύσια, τὰ ἀντί τινος ἐνέχυρα διδόμενα ὑπὲρ τῆς ἀξίας, ἢ ἐνεχειρήματα σωτήρια. ὡς τὸ, ῥύσι' ἐλαυνόμενος, Ἰλιάδος λ. ἀντὶ τοῦ ἐνέχυρα, τὰ ἀντί τινων ἑλκόμενα. ἅπερ ἀντὶ τῶν ἡρπασμένων ἁρπάζονται. λέγεται ῥύσια, καὶ τὰ ὑπὲρ ὑγείας καὶ εὐτυχίας, εὐχαριστήρια, παρὰ τὸ ῥύεσθαι. ὡς παρὰ Διονυσίῳ τῷ περιηγητῇ. ῥύσια δ' Ἀπόλλωνι χοροὺς ἀνάγουσιν ἅπασαι.

Ῥυσιάζει, ἀντενεχειράζει.

Ῥυσίαν βολὰν, τὴν τῶν τόξων τάσιν, ἀπὸ τοῦ ἐρύσαι, ἢ τοῦ ῥύσιον.

Ῥυσίλλας, τὰς ῥυτίδας.

Ῥυσίοις, ἐνταφαῖς ἑλκυσταῖς, ὑπὸ τῶν λοιπῶν γινομέναις.

Ῥύσιον, ἑλκυστὸν, λύτρον, τίμημα. ἢ τὸ ἕνεκα ἐνεχύρου κατεχόμενον, παρὰ τὸ ῥύεσθαι τὸ κατεχόμενον.

Ῥύσις, φιάλη χρυσῆ, καὶ ξύλινόν τι σταθμίον, ἡ ἀπόρροια.

Ῥύσκεσθαι, γίνεται ἀπὸ τοῦ ῥύω ῥύσω πλεονασμῷ τοῦ κ, ῥύσκω ῥύσκομαι, τὸ ἀπαρέμφατον, ῥύσκεσθαι.

Ῥυσμὸς, εἰκὼν, ἰδέα, σχῆμα, θέσις. ὡς τὸ, σχῆμα δὲ οἱ Ἀσίης ῥυσμὸς πέλει, κῶνος δέ ἐστιν, ὁ ἀπὸ πλατείας βάσεως εἰς ὀξὺ λήγων.

Ῥυσμοῦσθαι, συγκρίνεσθαι.

Ῥυσοῖσι, ῥερυσκόσι, γεραιοῖς.

Ῥυσὸς, ὁ ῥυτίδας ἔχων, παρὰ τὸ ἐρύσω μέλλοντα, ὁ συνελκυσμένην τὴν σάρκα καὶ ῥυτιδῶν.

Ῥυσοῦται, γηράσκει, γεγήρακε.

Ῥυστάζειν, τὸ μετὰ βίας ἕλκειν, παρὰ τὸ ῥύω ἢ ἐρύω. ἔστι δὲ τὸ μετὰ βίας καὶ ἀνάγκης ἕλκειν, καὶ μίγνυσθαι γυναικί. καὶ Λυκόφρων ῥυσταμάτων λέγει.

Ῥυστάζειν, βίαιον δηλοῖ ἑλκυσμὸν γυναικῶν ὡς ἐπὶ πολὺ, καὶ τὸ ἑλκύσαι.

Ῥυστακτὺς, ἡ αἰκία, ὁ βίαιος. οὗ τὸ ῥῆμα, ῥυστάζειν.

Ῥύστης, σωτὴρ, λυτρωτής. ῥυστὸν, τὸ δόρυ. Κρῆτες.

Ῥυτὰ, τὰ χαλινὰ, ἀπὸ τοῦ ἐρύω, τὸ ἑλκύω. κυρίως δὲ τὰ λεγόμενα ῥέτηνα. καὶ ῥυτὰ, τὰ τόξα, καὶ τὰ ῥέοντα.

Ῥυτὰ συνεσταλμένως, εἶδος ποτηρίου. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, ἐκπεπταμένως παρ' ἡμῖν λεγόμενα. ὁμοίως Κρατῖνος ἐν ὥραις. καὶ ῥυτὰ, στέμφυλα. καὶ πήγανον λευκὸν, ἢ πόπανα, ἢ εἶδος φιαλῶν, καὶ τὰ ἱερὰ τὰ ἠπατοσκόπα, ἢ τὰ ἑλκυστά.

Ῥυτὴρ, ἑλκυστὴρ, ἀπὸ τοῦ ἐρύω ἐρυτὴρ, καὶ ἀποβολῇ τοῦ ε ῥυτήρ. Ἰλιάδος η, ἐν δὲ ῥυτῆρσι τάνυσθεν, παρὰ τὸ ῥύειν, ὅ ἐστιν ἑλκύειν. ἢ ῥυτὴρ, χαλινὸς, λῶρος, καὶ ὁ ἐλευθερωτὴς, ἀπὸ τοῦ ῥύω. ἢ ῥυτὴρ, ὁ ἱμὰς κυρίως, καὶ τὰ ἡνία, παρὰ τὸ ῥύεσθαι τοὺς ἵππους καὶ τοὺς ἐποχουμένους, ὅπερ ἐστὶ σώζειν.

Ῥυτῆρες οἰστῶν, ἤγουν τοξόται, οἱ ἑλκυσταί. ὅθεν εἶεν ἂν οἰοΐστοι, ὅ ἐστιν ἑλκυστοὶ, διὸ καὶ γωρυτὸς θύλακος, ἡ τοξοθήκη, ὡσοῖόν φασι χωρητὸς, τουτέστι χωρῶν τόξον ῥυτόν.

Ῥυτίδα, σπίλον.

Ῥυτίδες, τὰ ἐπὶ τοῦ προσώπου τῶν γεγηρακότων ζαρώματα.

Ῥύτιον τὸ ἐν τῇ Κρήτῃ, προπαροξύνεται μὲν ὡς τὸ στάδιον, διὰ διχρόνου δὲ γράφεται. τὸ μέντοι Τρωαδικὸν ῥοίτειον, ὅπερ καὶ ἄκρα καὶ πόλις Τρωάδος ἐστὶν, ἐξήλλακται ὥσπερ τῇ τοπικῇ διαστάσει, οὕτω καὶ ταῖς δυσὶ διφθόγγοις, ἐν αἷς γράφεται. ἐθνικὸν δὲ καὶ τούτου καὶ ἐκείνου, ῥοιτιεύς. περὶ τοῦ ῥηθέντος Τρωϊκοῦ ῥοιτείου, ὅτι τε πόλιν ὁμώνυμον ἐπὶ λόφου εἶχε καὶ ἠόνα συνεχῆ, ἐφ' ᾗ μνῆμα καὶ ἱερὸν Αἴαντος, ἀλλαχοῦ δηλωθήσεται.

Ῥῦτο, ἐρύσατο, ἔσωσε.

Ῥυτοὶ λίθοι, οἱ μεγάλοι, καὶ μὴ φορητοὶ, ἀλλὰ ἑλκυστοί. ὡς τὸ, ῥυτοῖς λάεσσιν, ἤγουν τοῖς ἑλκυστοῖς λίθοις διὰ τὸ μέγεθος, οὓς οὐκ ἔστι δηλαδὴ φέρειν, ἀλλὰ ἕλκειν διὰ τὸ πολὺ τοῦ μεγέθους. οἱ λέγοιντ' ἂν ὡς εἰκὸς καὶ κατωρυχέες, διὰ τὸ ἐξαρκεῖν ἐπί τι μὲν ὀρωρύχθαι κατὰ γῆς.

Ῥυτομεῖται, εἰς ὀρθὸν κόπτεται.

Ῥυτὸς, ὁ ῥέων, καὶ ὁ ἑλκυστὸς, ὡς τὸ ῥυτοῖσι λάεσσιν, ἀπὸ τοῦ ἐρύω, τὸ ἑλκύω.

Ῥυτὸν κρατοῦντες ἐν ταῖς χερσίν. ἔστι δὲ τὸ ῥυτὸν εἶδος ποτηρίου.

Ῥύτορας, τοὺς θαλλοὺς τοὺς καθαρτηρίους.

Ῥύτρα, λυτήρια, σωτήρια, σῶστρα.

Ῥύτρυς, χύτας.

Ῥύψις, ἡ κάθαρσις.

Ῥύψωμεν, σμήξωμεν, καθάρωμεν. ἐκ τοῦ ῥύπτω, τὸ καθαίρω.

Ῥύω, τὸ φυλάσσω, εὔχρηστον. οἷον ῥύω σε τῆς φυλακῆς. ῥύω δὲ ἑλκύω ἄχρηστον.

ΤΟ' Ρ'. ΜΕΤΑ' ΤΟΥ Ω'.

ΡΩ̃, σημαίνει ἑπτά. ῥῶ, τὸ λέγω. ἐξ οὗ ῥῆσις καὶ ῥῆμα, ὁ λόγος. καὶ ῥήτωρ, ἀπὸ τοῦ ἔρρηκα, ὁ παθητικὸς ἔρρημαι. ῥῶ, τὸ ῥέω. ἐξ οὗ ῥέεθρον καὶ ῥεῖθρον. ῥῶ, τὸ ὑγιαίνω. ἐξ οὗ ῥώμη, καὶ ῥῶσις, ἡ ὑγεία. ῥῶ, τὸ πράττω. ἐξ οὗ καὶ ῥέζω, τὸ πράττω. ῥῶ, τὸ φθείρω. ἐξ οὗ ῥαῦς καὶ γραῦς, ἡ διεφθαρμένη. ῥῶ, τὸ ὁρμῶ. ἐξ οὗ καὶ ῥώσασθαι, τὸ ὁρμῆσαι. ῥῶ, τὸ σπεύδω. ἐξ οὗ καὶ ῥώσασθαι, τὸ σπουδάζειν.

Ῥωγαλέον, ἀπὸ τοῦ ῥήσσω, οὗ μέσος παρακείμενος ἔρρηγα, καὶ τροπῇ τοῦ η εἰς ω ἔρρωγα, ἐξ οὗ καὶ διερρωγὸς ἱμάτιον, καὶ χιτών. ῥωγαλέος χιτὼν δὲ, ὁ πολεμικὸς θώραξ, καθ' ὁμοιότητα τοῦ ἱματισμοῦ. ἐπεὶ καὶ ὅπλα ἐνδύεσθαί φαμεν. καὶ ῥωγαλέα ἱμάτια, τὰ διερρηγμένα, τροπῇ τοῦ μακροῦ εἰς μακρόν. οὕτω δὲ καὶ πήρη πυκνὰ ῥωγαλὴ, ἡ πολύσχιστος.

Ῥωγάς. οἱ μὲν τὴν ὀρσοθύραν, οἱ δὲ τὴν ἐκπομάδα, οἱ δὲ τὰς θυρίδας. ἄλλοι, κλίμακας, καὶ αὐτοὺς τοὺς βαθμοὺς τῶν κλιμάκων. ἢ ῥωγὰς ῥωγάδος, ἡ διεσχισμένη πέτρα.

Ῥῶγες μεγάροιο, ῥήγματα, δίοδοι, θυρίδες θηλυκῶς, ἀπὸ τοῦ ῥὼξ ῥωγός. αὐτὸ δὲ ἀπὸ τοῦ ῥήσσω ῥήξω. τινὲς καὶ οὐδετέρως τὸ ῥῶγας ἐνόησαν, ὡς τὸ κῶας.

* Ῥωγμὴ τῶν καταγμάτων ἐστὶν, ὅταν διακοπὴ ἐπιπόλαιος, εὐθεῖα, καὶ ἤτοι στενὴ, ἢ πλατεῖα.

Ῥωγμὸς, ὄγκος, κοῖλος τόπος, ῥῆξις.

* Ῥωγμοὶ Κιλικίας ἐπίνειον.

Ῥωγοὶ, ἔθνος.

Ῥώδιγγες, πληγαὶ ὕφαιμοι διακεκομμέναι. οἱ δὲ, μώλωπες.

Ῥωδίον, τὸν ἐρωδιόν.

Ῥώεσθαι καὶ πονεῖσθαι, ταυτόν. ἤγουν τὸ ἐρρωμένως καὶ μετὰ πόνου τι ποιεῖν. καὶ ῥώοντο, ἀντὶ τοῦ ἐρρωμένως ἐκινοῦντο.

Ῥώεται, σπουδάζει.

Ῥώθωνες, μυκτῆρες.

Ῥώκομαι, ὀργίζομαι, λυποῦμαι. Λάκωνες.

Ῥωκῶσα, πρίουσα τοὺς ὀδόντας.

Ῥῶμα, ῥώμην, ἰσχὺν, ὅρμημα. ὡς γνῶμα γνώμην.

Ῥωμαλέος, ἰσχυρὸς, ἀνδρεῖος.

Ῥωμαλεότητι, ἰσχυρότητι, ἀνδρειότητι. ῥωμαλεότητι τοῦ κρείττονος.

Ῥώμη, ἡ ἰσχὺς, ἡ ὑγεία, καὶ πόλις. ἐπὶ μὲν τῆς ὑγείας, παρὰ τὸ ῥῶ, οὗ ὁ μέλλων ῥώσω, ἔρρωκα ῥῆμα, καὶ ὄνομα ῥώμη. ὡς γνώσω γνώμη. ἐπὶ δὲ τῆς πόλεως, ἀπὸ Ῥώμου καὶ Ῥωμύλου τῶν Αἰνείου παίδων.

Ῥώνια, φρύγανα.

Ῥώνιξ, ποταμίας νεὼς εἶδος.

Ῥώνιος, ἄξιος, πλούσιος.

Ῥώννυμι, ῥώσομαι, ἐρρώσθην, καὶ τοῦ ὑπερσυντελίκου τὸ δεύτερον ἔρρωσο, εὔχρηστον ἐν τῷ προστακτικῷ, τὸ τρίτον ἐρρώσθω ἄχρηστον, ὄντος τοῦ πρώτου καὶ τῶν λοιπῶν. ἔρρωται δέ.

Ῥωννύουσιν, ἐνδυναμεῖ, ὑγείαν παρέχει.

Ῥωξάνη, ὄνομα κύριον.

Ῥὼξ, εἶδος σκορπίου, καὶ κλίνεται ῥωγός. ἢ ζῶον μικρὸν, ῥαγὶ σταφυλῆς ὅμοιον. περιφερὲς γάρ ἐστιν, ὡς οἱ ἑωρακότες φασί. καὶ ῥὼξ, τὸ χίσμα, καὶ ἀπορρῶγες, καὶ κόκκος, καὶ εἶδος φαλαγγίου.

Ῥώοντο, ὥρμουν, ἐρρωμένως ἐκινοῦντο, ὁρμὴν ἐλάμβανον.

Ῥωπεύειν, ῥωποπωλεῖν. ἴσως δὲ καὶ ἐπὶ τοῦ μεταβάλλεσθαι.

Ῥωπήϊα, καὶ ῥῶπας εἰπεῖν, ταυτόν. καὶ ὅτι ῥωπήϊα μὲν παρὰ τοῖς παλαιοῖς, δρυμοῦ φρύγανα. ἢ καὶ ἄλλως, λεπτά τινα φυτὰ εὐλύγιστα παρὰ τὸ ῥέπειν. ἔστι γὰρ ὥσπερ βλέπω βλέψω βλὲψ, καὶ βλὼψ κατ' ἔκτασιν. ἐξ οὗ παραβλὼψ, οὕτω καὶ ῥέπω ῥέψω ῥὼψ, ἐξ οὗ τὰ ῥωπήϊα. ἄλλως.

Ῥωπήϊα, καὶ ῥωπάκια. οἱ θάμνοι. καὶ ῥώπια, τὰ ὑστερήμια. Ῥωπητήριον, παρορμητήριον.

Ῥωπεῖς, τῶν τελεστῶν τις καὶ πατερῶν οὕτω καλεῖται.

Ῥωπικὸν, τὸ ἐπίκτητον, καὶ ὡραῖον.

Ῥωπικὰ, τὰ παρεμπορεύματα.

Ῥωποπώλης, ὁ μυρεψός. ῥῶπες γὰρ, ὕλη καὶ ὑλώδη φυτὰ, ἢ θάμνοι καὶ σύμφυτος τόπος, ἢ μίγματα, ὅσα ζωγράφοις, βαφεῦσι, καὶ μυρεψοῖς χρησιμεύουσιν. ἢ ῥῶψ ἐστι, βοτάνη ἁπαλὴ παρὰ τὸ ῥέπω ῥέψ, καὶ τροπῇ τοῦ ε εἰς ω ῥώψ, ὡς βλέπω βλέψω, βλέψ καὶ βλώψ, καὶ τὸ παραβλῶπες, ῥῶπας δ' ὑπέχουσι δασείας, καὶ ῥωπογράφους, τοὺς ταῦτα ὑπογράφοντας, καὶ τὸν κοῦφον φόρτον ῥῶπον λέγουσιν. ὅθεν ῥώπια, τὰ ὑστερήμια.

Ῥωπόρρηξ, ὁ τὸν κόπον ῥηγνύων.

Ῥωπορρυκτεῖν, ῥηγνύειν τὸν ῥῶπον, οὕτω τὸν κόπον.

Ῥῶπος μέντοι, ὁ λεπτὸς καὶ εὐτελὴς φόρτος. ὡς δὲ Αἴλιος Διονύσιός φησι καὶ ποικίλος. γέλγη δέ φησιν αὐτὸν ἔλεγον οἱ παλαιοί. ὅθεν καθὰ ὁ ῥωποπώλης, οὕτω καὶ γελγοπώλης. ἡ δὲ λέξις τοῦ ῥώπου, παρά τε Δημοσθένει καὶ ἑτέροις. κεῖται δὲ καὶ παρὰ τῷ Στράβωνι. ἐκ τούτου δὲ καὶ ῥωποπερπερὴ φράσις προσερρέθη, ἐπὶ χυδαιότητι καὶ φλυαρίᾳ σκοπούμενος. οὗ παραγωγὴ, κατὰ τὸ δακτυλήθρα, καὶ τὰ ὅμοια.

Ῥωρὸς, σφοδρὸς, καὶ τὰ χάρμα.

Ῥωσαμένω, ἀντὶ τοῦ ῥωσάμεναι δυϊκῶς.

Ῥώσασθαι, ἐπιθέσθαι, ὁρμῆσαι, ἐπείγεσθαι.

Ῥῶ καὶ ῥῶσθαι, τὸ ἐρρωμένως κινεῖσθαι, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ.

Ῥῶσθαι, σπουδάζειν.

Ῥωσθεὶς, ἰσχύσας, ὑγιάνας τὴν διάνοιαν.

Ῥῶσις, ἡ ὑγεία.

* Ῥωσκομένως, ῥωμαλαίως.

Ῥωσὸς, πόλις. καὶ ῥῶς, ἡ ῥωτία.

Ῥωστὴρ, ὁ ἐν δυνάμει ὑγιὴς, ἀπὸ τοῦ ῥῶσις. ἢ ῥαιστὴρ, ἡ σφῦρα.

Ῥωστήριον, παρορμητήριον, φρενῶν κίνημα. ῥῶσαι γὰρ, τὸ εἰς ἀλκὴν παρορμῆσαι.

Ῥωστικὸν, ὁρμητικόν.

Ῥῶστρον, ἔμβολον.

Ῥῶται, ἵσταται.

Ῥωτάζειν, τῷ ρ στοιχείῳ συνεχῶς χρῆσθαι.

Ῥώτιγγες, πληγαὶ ὕφαιμοι διακεκομμέναι.

Ῥώχειν, βρύχειν τοῖς ὀδοῦσι.

Ῥωχμὸς, ἡ κατὰ γῆν ῥῆξις, ἥτις καὶ ῥῆγμα λέγεται, ὥσπερ βρεχμὸς καὶ βρέχμα, καὶ πλεχμὸς καὶ πλέγμα. ἢ ῥωχμὸς, τόπος κεχαραγμένος ὑπὸ ὀμβρίων ὑδάτων. Ὅμηρος Ἰλιάδος ψ', ῥωχμὸς ἔην γαίης. γίνεται δὲ ὁ ῥωχμὸς, παρὰ τὸ ῥήσσω ῥηγμὸς, καὶ μεταθέσει τοῦ γ εἰς χ, καὶ τοῦ η εἰς ω ῥωχμὸς.

Ῥώψ, εἶδος φυτοῦ.

Τέλος τοῦ ρ στοιχείου.

ἈΡΧῊ ΤΟΥ͂ Σ.

ΣΤΟΙΧΕΙ͂ΟΥ ΤΟ͂Υ ΑΥ̓ΤΟ͂Υ

ΜΕΤᾺ ΤΟΥ͂ Α.

Σίγμα τὸ στοιχεῖον, παρὰ τὸ σίζω σίγα καὶ σίγμα, ἀπὸ τῆς περὶ τὸν φθόγγον δυνάμεως. τὸ σι, ἰῶτα. τὰ γὰρ εἰς α λήγοντα ὀνόματα τῶν στοιχείων, ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι. οἷον ἄλφα, βῆτα, γάμμα, δέλτα.

Σᾶ, τὰ σῶα λέγουσι μονοσυλλάβως, καὶ ὑγιῆ, καὶ ἀκέραια, ἀπὸ τοῦ σῶον συναιροῦντες. καὶ σῶον σῶν, καὶ σῶοι σοῖ. παρὰ δὲ Θουκυδίδῃ, δισυλλάβως. οἷον, σῶοι.

Σαβάζειν, εὐάζειν, βακχεύειν.

Σαβάζιον. τὸν Διόνυσον Θρᾷκες καλοῦσι. καὶ σάβους τοὺς ἱεροὺς αὐτῷ. ἐκεῖνος, δὲ ὁ σαβάζιος, ἐπὶ τοῦ περιφρονεῖν, συμβουλεύειν καὶ κοιμηθῆναι Φρύγες τὸν σαβάζιον τιμῶσι. τίς δέ ἐστιν ὁ θεὸς, ὁ Ἡρακλεώτης ἐν τῷ δωδεκάτῳ περὶ Ἡρακλείας φησί. φαίνεται γὰρ ἐξ ὧν εὑρίσκομεν συλλογιζόμενοι πολλαχόθεν, ὅτι Διόνυσος καὶ σαβάζιος, εἷς ἐστι θεός. τυχεῖν δὲ τῆς προσηγορίας ταύτης, παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν, οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων τινὲς ἀκολουθοῦντες, τὸν εὐασμὸν, σαβασμὸν λέγουσι. καὶ Φρύγες τὸ εὐάζειν, σαβάζειν φασὶ, καὶ ἐκ τούτου σάβαζον, τὸν Διόνυσον. σάβους δὲ ἔλεγον, καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους, καὶ τοὺς βάκχους τοῦ Θεοῦ. ὁ αὐτὸς δὲ, ὕας καὶ εὔιος καλεῖται. ἔστι δὲ καὶ εἶδος ὀρνέου, ὃ καλεῖται φρύγιλος.

Σαβάζιος, ἐπώνυμον Διονύσου. οἱ δὲ, υἱὸν Διονύσου. καὶ σαβὸν ἔνιοι καλοῦσιν αὐτόν. φρὺξ δὲ ὁ Σαβάζιος.

Σάββατόν ἐστιν, ἠρεμία ψυχῆς λογικῆς, καθ' ἣν πέφυκε μὴ ὑπερβαίνειν τοὺς τῆς φύσεως ὅρους. Ἄλλως.

Σάββατον, ἀργία, κατάπαυσις. ἑβδόμη δὲ ἡμέρα ἐτύγχανε τοῦ κυκλικοῦ διαστήματος. τῆς ἑβδόμης τοῦ Ἰουδαϊκοῦ τὴν ἡμέραν γεραίροντος πόνων ἀνάπαυλαν. αἰδοῖ τοῦ σεβάσματος, ἀργίαν δὲ εἶχε τὸ σάββατον, ἀλλὰ τὴν πνευματικὴν ἐργασίαν πολλαπλασίονα ἐπετέλουν. σάββατον δὲ δευτερόπρωτον. ἐπειδὴ διάπορον μὲν ἦν τὸ πάσχα. πρῶτον δὲ τῶν ἀζύμων, εἰ οὖν σάββατον εἴρηται, μὴ θαυμάσῃς. σάββατον γὰρ πᾶσαν ἑορτὴν ἐκάλουν, καὶ διὰ τοῦτο εἴρηται σάββατον σαββάτων. ὀψὲ δὲ σαββάτων, καὶ οὐ σαββάτῳ λέγει ὁ Εὐαγγελιστὴς, διότι σάββατα πᾶσαν τὴν ἑβδομάδα ἔλεγον, ἵνα τὴν ἑσπέραν τῆς ἡμέρας ἐκείνης δηλώσῃ. καὶ γὰρ ἔθος ἡμῖν λέγειν, ὀψὲ τῆς ὥρας ἦλθες, καὶ ὀψὲ τοῦ καιροῦ. ἐκ τούτου δηλοῦται τὸ πόρρω καὶ βραδὺ τῆς περαιωθείσης ἑβδομάδος. πληροῦται δὲ ἑβδομὰς ἑκάστη, ταῖς μετὰ τὸ σάββατον ἡλίου δυσμαῖς.

Σαβὰ, τόπος. ὡς τὸ ἐκ σαβὰ ἥξει. καὶ αἰθιοπικὸν ἔθνος, καὶ ἡ αἰχμαλωσία.

* Σαβαὶ, πόλις μεγάλη, πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης καὶ φρούριον. τὸ ἐθνικὸν σαβαῖος.

Σαβαὼθ, δυνάμεων, στρατιῶν. Ἡσαΐας, εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ἢ ὁ παντοκράτωρ.

Σαβακὸς, ὁ σαθρός. Χῖοι.

Σαβακτίδες, ὀστράκινα ζώδια.

Σαβακῶς, αὐστηρῶς, ξηρῶς, τραχέως.

Σαβάξας, διασκεδάσας, διασαλεύσας.

Σαβὲκ, τὸ παρ' ἡμῖν χρυσολάχανον. ἡ ἄφεσις ἀπὸ τῆς σύρας.

Σαβελλιανοὶ, ἀπὸ Σαβελλίου. οὗτοι τριώνυμον ἔλεγον μίαν ὑπόστασιν ἐν θεότητι, τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱὸν καὶ πνεῦμα δογματίσαντες. οἱ παράφρονες συναιροῦντες τὰς τρεῖς ὑποστάσεις, ὅ ἐστι συγχέοντες, ἓν πρόσωπον λέγοντες τὰ τρία.

Σαβῆρον, τὸν δακτύλιον.

Σάβηττοι, κώνωπες.

Σάβος, βακχεία.

Σάβυττος, εἶδος ξυρήσεως εἰς καλλωπισμόν. πότερον δὲ τοῦ πώγωνος ἢ τῆς κεφαλῆς, ἄδηλον. τινὲς δὲ τὸ γυναικεῖον.

Σαγάδην, τὸν θύλακον. ἄλλοι δὲ σάκταν λέγουσιν, ὁδοιπορικὸν θύλακον.

Σάγανα, σκεπάσματα, περιβόλαια.

Σάγαρις, κοπὶς, πέλεκυς μονόστομος. λέγεται καὶ χωρὶς τοῦ σ, σάγαρι. Ξενοφῶν, ὁ δὲ ἄνδρα συλλαβὼν, ἧκεν ἔχοντα τόξον περσικὸν, καὶ φαρέτραν, καὶ σάγαριν, οἵαν αἱ ἀμαζόνες ἔχουσι. καὶ ἐν ἑτέροις, λυσιφλεβῆ τε σάγαριν. κατὰ δέ τινας, καὶ ἄροτρον.

* Σαγαρτία, χερρόνησος, παρὰ τῇ Κασπίᾳ θαλάσσῃ.

Σαγγάρεις, ἀντὶ τοῦ πελέκεις, καὶ τὰ ἐκ χειρὸς ὅπλα λέγουσιν Ἴωνες.

Σαγγάριος, ποταμὸς Φρυγίας. ὁ δὲ Μυρλεανὸς, σάγγαρον αὐτόν φησι λέγεσθαι. Ἑρμογένης δὲ ἐν τῷ περὶ Φρυγίας φησὶ, σάγγαν τινὰ ἀσεβήσαντα περὶ τὴν Ῥέαν, μεταβαλεῖν εἰς τοῦτο τὸ ὕδωρ, καὶ ἀπ' αὐτοῦ τὸν ποταμὸν, σαγγάριον κληθῆναι. πλησίον δὲ αὐτοῦ, ὀρείας Δήμητρος ἱερόν ἐστιν, ὥς φησι Ξάνθος. Γάιος Ὕπατος Ῥωμαίων διερχόμενος, ἐγεφύρωσε τὸν σαγγάριον ποταμὸν, τελέως κοῖλον ὄντα καὶ δύσβατον, καὶ παρ' αὐτὸν τὸν ποταμὸν ἐστρατοπεδεύσατο.

Σαγδὰς, εἶδος μύρου, ἢ ψίγδας.

Σάγη, περιβόλαιον, σκέπη, ἡ σάγη, τὸ τοῦ ὄνου ἐπίθεμα. ὡς τὸ, ἐπ' αὐτὸν ἐπίθει τὸν γόμον, τὴν σάγην τε τοῦ κτήνους. Ἰώσηπος, Ῥαχὴλ δὲ κατατίθησι τοὺς τύπους εἰς τὴν σάγην τῆς φερούσης αὐτὴν καμήλου. καὶ σάγη, τὸ ὅπλον. καὶ πανσαγία, ἡ πανοπλία. Ἀριστοφάνης Ἀχαρνεῦσι, τίς γοργὸν ἐξήγειρεν ἐκ τοῦ σάγματος. ἐν γὰρ τῇ ἀσπίδι ἐνετύπωτο ἡ γοργώ. λέγει οὖν, τίς ἐξήγαγεν ἐκ τῆς θήκης τὸ ὅπλον. καὶ Σοφοκλῆς, κάλλιστα τεύχη ἐν καλλίστοις σάγμασι.

Σαγηνεία, ἡ ἁλιεία. καὶ σαγηνευτὴρ, ὁ ἁλιεύς. ὡς τὸ, αἰγιαλῖτα πρέποντε. σαγηνευτῆρες ἔθηκαν δῶρα βασιλεῖ νομάδων σάγων πορφυρῶν πλῆθος, καὶ πόρπας χρυσείας.

Σαγηνεύειν, θηρεύειν, αἰχμαλωτίζειν, ἢ ἁλιεύειν, περιλαμβάνειν, συνάγειν.

Σαγήνη τὸ δίκτυον, ἢ. σαγίνη δὲ τὸ ὅπλον ι. ἢ σαγήνη, πλέγμα τι ἐκ καλάμων εἰς θήραν ἰχθύων. Λάκωνες.

Σαγὶς, πήρα.

Σαγλῶδες, πλαδαρὸν σῶμα.

Σάγμα, τὸ ἔλυτρον τῆς ἀσπίδος, ἢ ἡ θήκη τοῦ ὅπλου.

Σάγος, μέρος τι τῆς πανοπλίας.

Σάγουρον, γυργάθιον.

Σάγρα, ποταμὸς Λοκρίδος.

Σάγραι, ἔθνος Αἰθιόπων.

Σαγρὶς, κόνις, ἢ πέλεκυς.

Σαγύριον, ἄρτου κλάσμα.

Σαδδουκαῖοι, αἵρεσις Ἰουδαίων, λέγουσα μὴ εἶναι ἀνάστασιν, μήτε ἄγγελον, μήτε πνεῦμα. παχύτεροι γὰρ οὗτοι, καὶ περὶ τὰ σωματικὰ ἐπτοημένοι. Σαδδουκαῖοι δὲ, ἑρμηνεύεται δίκαιοι. σεδὲκ γὰρ, ἡ δικαιοσύνη.

Σάθα, μοῖρα.

Σαθεύει, θάλπει.

Σαθάρυγα, ταραχήν.

Σάθεα, τὰ ἀσθενῆ.

Σάθη, τὰ ἀνδρεῖα ἀναγκαῖα.

Σαθρὰ, ἀσθενῆ, κεκλασμένα.

Σάθραξ, φθείρ.

Σαθρὸς, σημαίνει τὸν σεσαπημένον, ἐκ τοῦ σήπω σήψω, ὁ δεύτερος ἀόριστος, ἔσαπον, καὶ ἐκεῖθεν σαπρός. κατὰ πλεονασμὸν τοῦ ρ, καὶ τροπὴν τοῦ π εἰς θ, ἢ ἀπὸ τοῦ σαθεῦσαι σαθρὸς, καὶ σαθρὸς κατὰ ἀντίφρασιν, ἢ παρὰ τὸ σείεσθαι ῥᾳδίως, ἢ παρὰ τὸ σείεσθαι τὰ ἄρθρα. ἐτυμολογεῖται δὲ, παρὰ τὸ σεσημμένον ἔχειν τὸ ἄρθρον.

Σαθὼν, ὑποκόρισμα ἐπὶ παιδίων ἀρρένων, ἐπὶ τοῦ αἰδοίου.

Σαὶ, τὸ κινεῖσθαι ἁπλῶς.

Σαικὶς, δειλός.

Σαίκτας, θύλακας, μαρσίππους. ἔνιοι, αὐλοθήκας.

Σαίνειν καὶ ὑλάειν, ἐπὶ κυνῶν κυρίως λέγονται. ἐξ οὗ παράγωγον τὸ ὑλάσσειν, καὶ τὸ ὑλακτεῖν. ὧν ἀγριώτατον ἡ ὑλακή. ἐξ οὗ κύνες ὑλακόμωροι. πρᾶυ δέ ἐστι τὸ σαίνειν, παραχθὲν ἐκ τοῦ τὸ οὐραῖον τηνικαῦτα σείεσθαι. ἀπὸ γὰρ τοῦ σαίω σῶ, ἐξ οὗ τὸ σείω, ἐξ αὐτοῦ καὶ τὸ σαίνω κυριολεκτούμενον ἐπὶ τῶν κυνῶν. ἰστέον δὲ, ὅτι ἐκ τοῦ σέω, οὗ παράγωγον τὸ σείω, καὶ τὸ σαίνω προῆλθε, καὶ τὸ σεῦθω. ἀφ' οὗ σιταίνειος ἄρτος, καὶ σπλία, ἧς χρῆσις, καὶ παρὰ τῷ κωμικῷ. ἐκεῖθεν δὲ καὶ τὸ σόω, οὗ σύνθετον παράγωγον, ὁ λαοσσόος Ἄρης. ὅπερ εἰκὸς γινόμενον σούω προσλήψει τοῦ υ, χεῖν ῥῆμα ἐκ κινήσεως λακωνικὸν, τὸ ἀπέσσευεν, ἤγουν ἀφώρμησεν, ἀπῆλθεν, ἀπέθανε. καὶ τὸ σούσθω δὲ παρὰ Σοφοκλεῖ, ἐκ τοῦ σούω θέματος ὥρμηται. σοῦσθαι δὲ ἐκεῖθεν, καὶ κράσει σοῦσθαι. ἔτι ἐκ τοῦ σέω σῶ ἐκείνου τοῦ πρώτου, καὶ τὸ σεύω τὸ ὁρμῶ. τὸ δὲ σαίνειν, σύνθετον τὸ σαίνουρον πρὸς ἀναλογίαν τοῦ λόφουρον. ἴσως δὲ ὁ σάννας, καὶ σάννος ὁ εὐήθης, ἐξ αὐτοῦ.

Σαίνει, κυρία λέξις ἐπὶ κυνῶν, θέλγει, κολακεύει. ὅθεν σαίνουροι, οἱ τὰς οὐρὰς συνεχῶς κινοῦντες ἵπποι καὶ κύνες λέγονται. καὶ σαίνω, τὸ καλλωπίζω, καὶ ἐρεθίζω. ἐκ τούτου πορσαίνω πορσανῶ.

Σαίνεις δάκνουσα, καὶ κύων λαίθαργος εἶ, ἐπὶ τῶν ὑποκρινομένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρα.

Σαι-

Digitized by Google

Σαπικρίζει, ἐκζέφει.

Σαιοὶ, πολέμιοι νεκροὶ, καὶ ἔθνος οἱ πρόσπερον κίκονες.

Σαίνυρον, συντίθεται πρὸς ἀναλογίαν τοῦ λόφυρον. παλαιὰ δὲ χρῆσις, ὑρὰν παίζει καὶ τὸ ἀνδρεῖον αἰδοῖον. ὅθεν καὶ γυνὴ μύζουρις, ἡ αἰσχροποιὸς παρὰ τὸ μυζουοῦ ὑρὰν, ὅ ἐστι θηλάζειν. ὡς δὲ κύων ἐπὶ μοιχίᾳ θῆλεος κεῖται, ἡ εἰρησομένη κυύουρα δηλοῖ. εἰς δὲ τὸ ὕστατα, σημείωσαι ὅτι καὶ εἶδος ὀστρέου βορβορώτατον ἐλέγετο οὕτως, κατὰ τὸ κείσοντα ὅτι τὸ ὠφέλιον ὄστρεον, ὃ καλεῖται παρὰ τῶν Αἰολέων ὡς Ἀφροδίσιος, ἐν τῇ κατὰ Ἀλεξάνδρειαν Φάρῳ γίνεται.

Σαῖπος, ἡ ἁλιάστικὴ ἐλαία.

Σαίρειν ἄσαρον, Εὐριπίδης ἐν Ἑκάβῃ, σαίρειν τε δῶμα, κερκίσιν τ' ἐφεστάναι.

Σαισαχθία, ἡ Ἑλλάσιν πρότερον.

Σαῖς, κῦρος, κάρος.

Σαῖτιν, οἴνῳ μίζοντι.

Σαιτὸς, ἐλαία θλαστή.

Σακάδιον, εἶδος μουσικοῦ ὀργάνου.

Σακαιοὶ, οἱ Σκύθαι.

Σακαία, σκυθικὴ ἑορτή.

Σάκασα, σαρῶσα.

Σακέλλα, ὅπου τὸ χρυσίον τίθεται. καὶ σακέλλιον ὁμοίως.

* Σακέλλιον. βαλάντιον, μαρσίπιον. ἐξ οὗ καὶ Σακελλάριος.

Σακεσφόροι, ὁπλοφόροι, ἀσπιδηφόροι, ἀπὸ τοῦ σάκος, ὅ ἐστιν ἀσπίς. τὸ δὲ σάκος, ἀπὸ σάκων τῶν πρώτων εὑρόντων. ἢ ἀπὸ τοῦ σάγων σάγος καὶ σάκος. οἱ δὲ Σάκοι, ἔθνος εἰσὶ Θρᾴκης.

Σακέσπαλος, πολεμικὸς, ἀπὸ τοῦ πάλλειν τὴν ἀσπίδα.

Σάκες, οἱ Θρᾷκες. Θεόπομπος, καὶ τὸν πατέρα αὐτοῦ σάκα προσαγορεύει. καὶ Ἀριστοφάνης, νόσον νοσοῦμεν τὴν ἐναντίαν σάκα. οὗτος δέ ἐστιν ἀκίστωρ τραγῳδίας Ποιητής. ἐκαλεῖτο δὲ σάκας, διὰ τὸ ξένος εἶναι. σάκες γὰρ, οἱ Θρᾷκες ὠνομάζοντο.

* Σάκας ἐπεκλήθη Ἀμμώνιος ὁ φιλόσοφος Ἀλεξανδρεὺς, ὃς ἀπὸ Χριστιανῶν γέγονεν Ἕλλην, ὥς φησι Πορφύριος.

Σακέρδως ῥωμαϊστὶ, ὁ ἱερεὺς σάκρα γὰρ παρ' αὐτοῖς λέγεται τὰ ἱερά: σακέρδως οὖν, ὁ τὰ ἱερὰ ἔρδων, ἐλλείψει τοῦ ρ. λέγεται δὲ καὶ σέκω τὸ σφάζω. δύναται δὲ παρ' αὐτοῖς εἶναι, ὁ τέμνων ἐν τῷ ἔρδειν.

Σάκη ὁμοιοστηλίνθάνσες, κεραμιδώσαντες.

Σακίτας ἄρνας λέγουσιν, οὓς ἔτι γάλακτος δεομένους οἱ νομεῖς τῶν μητέρων χωρίζοντες, ἰδίᾳ βόσκουσι, καὶ ἰδίῳ σηκῷ κλείουσι.

Σακκίζειν, ἐπὶ τοῦ ἐκκενῶσαι διὰ κλοπῆς τοὺς σάκκους. ὁποῖόν φασι τοῖς ἐργάταις: ὥσπερ ἔλεγε χαλκοδερμιστής. τὰ γὰρ σάκη, ἐπίχαλκα λέγει.

Σάκκιον, λεπτὸν, ἀσθενές.

Σακκινόσοχοι, δασύπρωκτοι.

Σακκοδερμιστής, ὄψιν σάκκος ἔχων. οἱ δὲ σκώληκα, παρόσον δερμιστὴς οὗτος. βέλτιον δὲ τὸν χαλκοῦν ἔχοντα δέρμα νοεῖν.

Σάκκος ἀνεδέξατο, πολλὰ παρ' Ὁμήρῳ: οἱ παλαιοί φασι τὸν σάκον, καὶ δι' ἑνὸς γράφεσθαι κ, ὃν καὶ σάκταν φασί. καθὰ δηλοῖ καὶ ὁ Κωμικὸς, ὡς ἀπὸ τοῦ σάττω τὸ φορτίζω. δ'. δέ εἰσιν εἰς κος ὀνόματα διὰ δύο κκ, σάκκος, λάκκος, μάκκος, κόκκος.

Σάκοιτοι, οἱ ἱστῶντες τὸν κέραμον.

Σάκος, ὁ σάγων: καὶ σάκος, ἡ ἀσπίς: ἀφ' οὗ οἱ νεώτεροι σάγην, τὴν πανοπλίαν.

Σάκος αἴγειον, ἀντὶ τοῦ τεῦχος αἴγειον. θέλει δὲ εἰπεῖν τὴν πήραν, κατὰ μετάληψιν.

Σάκος γέρον, τὸ παλαιὸν, καὶ ὡς εἰπεῖν γηραιόν. ἅπαξ δὲ καὶ τοῦτο εἶπεν ὁ Ποιητής. λέγειν δέ που καὶ Αἰσχύλον αὐτό φασιν οὕτω. γράμματα γέρον. καὶ Σοφοκλῆς πληθυντικῶς, σὺ γὰρ γέροντα βουλεύεις, ἤγουν παλαιά.

Σακοφόροι, ὁπλοφόροι.

Σάκταρον, ἐμφερὲς ἐστὶ κόμμι, γενόμενον ἐν τῇ Ἰνδικῇ, διαλυτικόν.

Σάκτας, θύλακος. γίνεται δὲ ἀπὸ τοῦ σάττω, τὸ φορτίζω. ὅρα καὶ ὅτι ἀρχαῖον ἔθος δέρμασιν ἀντὶ σάκων χρῆσθαι, εἰς ἀλφίτων φυλακήν.

Σάλα, φροντὶς, βλάβη.

Σαλαβακχὼ, πόρνης ὄνομα. ἀπὸ δὲ ταύτης, καὶ τὰς καταφερεῖς εἰς τὰ ἀφροδίσια, οὕτως ἔλεγον Ἀττικοί.

Σαλαβὰρ, μάγειρος. Λάκωνες.

Σαλάβη, καὶ θύρα, ὀπὴ, φροντίς.

Σαλάβης, θυρῶν ὀπάς.

Σαλαγεῖ, ταράσσει. ἡ γὰρ φροντὶς, σάλα λέγεται.

Σαλάγη, βοή.

Σάλαγξ, ἰχθὺς ἀγαθὸς καὶ μεταλλικὸν σκεῦος, ὥσπερ ἔλεγε σιδηροπλάστης.

Σαλαΐζειν, κόπτεσθαι.

Σαλαΐζω, θρηνῶ.

Σαλαὶς, κωκυτός.

Σακτὸς, ὁ τεθησαυρισμένος, ὁ πολυχρόνιος, καὶ ἤδη ἀποκείμενος, καὶ χιτῶνος εἶδος, καὶ θύλακος.

Σακωθάκη, ἔνδυμα σκυθικόν.

Σάκωσε, κατέκλεισε.

Σαλακωνεία, ἡ βλακεία.

Σαλακύρωκ, λύθον.

Σαλάκων, ὁ πτωχὸς, ἀλαζών.

Σαλακωνίσαι, σαλακωνῆσαι ἔλεγον τοὺς διαθρυπτομένους Σαλάκωνας, ἀπὸ τοῦ ἁβρῶς καὶ μετὰ θρύψεως βαδίζειν. ὁ δὲ Θεόφραστος, Σαλακῶνά φησιν εἶναι τὸν δαπανῶντα, ὅπου μὴ δεῖ.

* Σαλαμάνδρα, ζῶον ὡς σαύρα τὸ μέγεθος, ψυχρότατον τὴν φύσιν, ὡς καὶ τὸ πῦρ εἰς δυόμενον, τὴν φλόγα σβεννύειν, καὶ αὐτὸ μὴ πίμπρασθαι.

Σαλαμβάδες, αἱ θυρίδες, αἱ ἀεὶ ἐν σάλῳ οὖσαι, ἢ παρὰ τὸ δι' αὐτῶν εἰσβαίνειν τὸ φῶς.

Σαλάμβη, ἡ ὀπὴ δι' ἧς τὸ σέλας βαίνει, ἡ πύλη καπνοδόχη, θυρὶς, ἢ ψοφός.

Σαλαμβὼ, ἡ Ἀφροδίτη, παρὰ Βαβυλωνίοις.

Σαλαμὶν κυπρία λέγεται, ἣν Τεῦκρος οἰκήσας, μετὰ τὴν τῆς Τροίας ἅλωσιν, ὁμωνύμως τῇ πατρίδι καὶ αὐτὴν Σαλαμῖνα ἐκάλεσε. Σαλαμὶν νῆσος, πρὸς τῇ Ἀττικῇ μῆκος ἑβδομήκοντα ἢ ὀγδοήκοντα σταδίων ἔχουσα πόλιν ὁμώνυμον. ἐκλήθη δὲ καὶ πιτυοῦσα, ἀπὸ φυτῶν.

Σαλαμινίαι, δύο εἰσὶ νῆες, ὑπηρέτιδες παρὰ τοῖς Ἀθηναίοις, ἡ πάραλος, καὶ ἡ σαλαμινία. ὧν ἡ μὲν σαλαμινία, τοὺς ἐκκαλουμένους εἰς κρίσιν ἦγεν. ἡ δὲ πάραλος, τὰς θεωρίας ἀπῆγεν, τουτέστι τὰ εἰς θυσίαν πεμπόμενα.

Σαλάνθη, φαρέτρα.

Σαλάξαι, κατακλύσαι, κινῆσαι.

Σαλαχθὲν, σεισθέν.

Σαλεύω, κυρίως ἐπὶ νεὼς λέγεται, ὅταν ἐπ' ἀγκύρας ἱσταμένη ὑπὸ τῶν κυμάτων ταράττεται. σάλος γὰρ, ἡ ταραχὴ τῆς θαλάσσης.

* Σαλεύσας, βουλευσάμενος.

Σαλεὺς, ἄλη, βλάβη.

Σαληνὸν, Σοφοκλῆς Ἀνδρομέδᾳ, ἀντὶ τοῦ παστὸς, ἢ βαρβαρικὸν χιτῶνα. οἱ δὲ καὶ μεσόλευκον αὐτὸν εἶναί φασι.

Σαλία, πλέγμα, καλάθῳ ὅμοιον. ὃ ἐπὶ τῆς κεφαλῆς φοροῦσιν αἱ Λάκαιναι, οἱ δὲ θολία.

Σαλιβάσα, τῇ θαλάσσῃ ἀπελθοῦσα.

Σαλιξ, ἀρκεῖ.

Σάλιξ, ἰτέα. Ῥωμαῖοι.

Σάλπα, δρυσοφοῦσα.

Σάλιον, φρόντισμα.

Σάλμα, σησάμη.

Σάλμοξις, ὁ Κρόνος, καὶ ὄρχησις, καὶ ᾠδή.

Σαλμυδησσὸς, ποταμὸς Θρᾴκης, εἰσβάλλων εἰς τὸν Εὔξεινον πόντον. ὅθεν καὶ πέλαγος σαλαμυδήσιον.

Σαλμωνὶς, καὶ σαλμώνιον, ἀκρωτήριον. Κρήτης.

* Σαλομὼν, ἀπὸ τοῦ σαλὴμ, ὅ ἐστιν εἰρήνη. ἐν γὰρ τοῖς ἐκείνου χρόνοις εἰρήνη ἦν.

Σάλος, ἡ τῆς θαλάσσης ταραχὴ, καὶ γαλήνη ἡ νηνεμία, καὶ κῦμα τὸ ταύτης ῥεῦμα. καὶ φρὶξ τὸ ἐπάνω ἐστηκὸς αὐτῆς, ὅταν πνέηται ὑπὸ ψυχροῦ καὶ θρασέως ἀνέμου.

Σάλουσα, φροντίζουσα.

Σάλπη, ἰχθύς ποιός, ὃν καὶ βοῦν καλοῦσι.

Σαλπιγγολογχυπηνάδαι, σάλπιγγας καὶ λόγχας καὶ ὑπήνας ἔχοντες.

Σαλπίγγων εἴδη ἕξ φασι. πρώτη, ἣν εὗρεν Ἀθηνᾶ. διὸ καὶ σάλπιγξ Ἀθηνᾶ παρὰ Ἀργείοις τιμᾶται, καὶ παρὰ Λυκόφρονι, τὸ ἐπίθετον. δευτέρα δὲ, ἡ στρογγύλη παρ' Αἰγυπτίοις, ἣν Ὄσιρις εὗρε καλουμένη φασὶ χνούην. χρῶνται δὲ αὐτῇ πρὸς θυσίαν, καλοῦντες τοὺς ὄχλους δι' αὐτῆς. τρίτη, ἡ Γαλατικὴ χωνευτή. οὐ πάνυ μεγάλη, τὸν κώδωνα ἔχουσα θηριόμορφόν τινα, καὶ αὐλὸν μολύβδινον, εἰς ὃν ἐμφυσῶσιν οἱ σαλπισταί. ἐστι δὲ ὀξύφωνος, καὶ καλεῖται ὑπὸ τῶν Κελτῶν, κάρνυξ. τετάρτη, ἡ παφλαγονικὴ, ἧς ὁ κώδων, βοὸς ἦν προτομή. βαρύφωνος, ἀναφυσητή. καλεῖται δέ φησι βόϊνος. πέμπτη, ἡ μηδικὴ, τὸν αὐλὸν ἔχουσα καλάμινον, τὸν κώδωνα, βαρύφωνον, ὀγκόφωνος. ἕκτη, τυρσηνικὴ, ἧς εὑρεταὶ Τυρσηνοί, ὁμοία φρυγίῳ αὐλῷ τὸν κώδωνα κεκλασμένον ἔχουσα, λίαν ὀξύφωνος, ἧς καὶ Σοφοκλῆς ἐν τῷ μαστιγοφόρῳ μέμνηται.

Σαλπιγκτὴς, ὁ τῆς σάλπιγγος φωνοβόλος.

Σάλπιγξ, σιγηνοσάλπιγξ, ἀντὶ τοῦ κήρυξ. τινὲς ὄρνιν ποιὸν, καὶ ὄργανον πολεμικὸν, καὶ θαλασσίαν σάλπιγγα. παρὰ Ἀρχιλόχῳ δὲ, τὸν στρόμβον. ἐκδέχονται δὲ καὶ σάλπιγγας Ἀθηνᾶς, ἱερὸν παρὰ Ἀργείοις.

Σάλπιγξ, παρὰ τὸ σαλπίζω. τοῦτο παρὰ τὸ ἕπω, τὸ λέγω, ἕψω ἕψ, ὀπὴ ὀπίζω, καὶ μετὰ τοῦ σέλας, ὃ σημαίνει τὴν λαμπηδόνα, σελαπίζω καὶ σαλπίζω. καὶ σάλπιγξ σαλπιγκτὴς, τὸ δόκιμον διὰ τοῦ κ, οὐχὶ δὲ διὰ τοῦ σ. καὶ τὸ σαλπίσαι διὰ τοῦ σ παραιτοῦ, διὰ δὲ τοῦ ξ λέγε.

* Σάλπιγξ, ἱερατικὸν ὄργανον. ἱερεῖς γὰρ ἐχρῶντο τῇ σάλπιγγι.

Σαλπίζειν τὸν οὐρανὸν λέγει Ὅμηρος, ὥσπερ καὶ διὰ στόματος. εἰ δὲ εἶπε βροντῆσαι τὸν οὐρανὸν, οὐδὲν ἐλάλει παράδοξον.

Σαλπίζω, ἀμεταβάτως. τὸ σαλπίζω δὲ τὰ πεπραγμένα, ἀντὶ τοῦ διαφημίζω, μεταβατικῶς αἰτιατικῇ συντάσσεται.

Σαλύγα, ἡ συνεχὴς κίνησις.

Σαλῶος, ὁ πεφροντισμένος.

Σάμα, μνῆμα. Δωριεῖς δὲ στοιχεῖον.

Σαμαίνα, εἶδος νεὼς, ὑὸς ἔχουσα προτομήν.

Σαμαίνεται, σφραγίζεται, παρὰ Ἐπιχάρμῳ.

Σαμακία, κοσμαρίου εἶδος.

Σάμαξ, ὕλη τις δρυώδης, οἷον βούτομον. οἱ δὲ φορμὸν, καὶ οἱ πλείους, ἀπὸ τοῦ σάττεσθαι. ἔνιοι δὲ τὴν βούτομον καλεῖσθαι σάμακα. καὶ τοξικὸς κάλαμος, ἀφ' οὗ τὰ λεπτὰ συνάγοντες, στιβάδα ποιοῦσι.

Σαμάρεια, πόλις.

Σαμβὰ, ὀσφῦς, ὀφρύς.

Σάμβαι, θύραι, σάμβαλα.

Σάμβαλα, σάνδαλα.

* Σάμβυκαι. ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον. οἱ δὲ, ἰαμβύκαι. ταύτην τὴν ἰαμβύκην, πρῶτος Ἴβυκος ἐφεῦρεν, ἐστι δὲ εἶδος κιθάρας τριγώνου.

Σαμβύκη, οὐ μόνον τὸ μουσικὸν ὄργανον, οὗ μέμνηται Ἰόβας, ἀλλὰ καὶ πολιορκικὸν, οὗ Βίτων.

Σάμεια, τὰ ἐν ταῖς ὤαις τῶν ἱματίων παράσημα. Λάκωνες.

Σαμένορα, τὸν βραβευτὴν τῶν σφαιριζόντων.

Σάμερα, σάμερον, σήμερον, ναῦ.

Σάμη, νῆσος περὶ Κεφαλληνίαν. λεγομένη καὶ Σάμος. καὶ ὁ πολίτης αὐτῆς σαμαῖος. ὁ μέντοι τῆς ἰώας σάμου πολίτης, σάμιος λέγεται.

Σάμη, καὶ σάμος λέγεται.

Σαμία, εἶδός τι ἀμπέλου.

Σαμία γῆ, ἰατρικὸν μίγμα ὅμοιον τῇ ἐρετριακῇ.

Σαμιακὸς τρόπος, δύο δηλοῖ ἡ λέξις. ἓν μὲν τὸ ἐπὶ διαβολῇ τῶν Σαμίων θρυλούμενον, ὡς καταπαγόντων. ἕτερον δὲ, ὅτι αἱ λεγόμεναι σάμιαι ναῦς κατέστρωντο δι' ὅλου. Δίδυμος δὲ, τὰς σαμίας ναῦς ἰδιαιτέραν παρὰ τὰς ἄλλας ναῦς τὴν κατασκευὴν ἔχειν. εὐρύτεραι μὲν γάρ εἰσι

Digitized by Google

εἰσι τὰς γαστέρας. τοὺς δὲ ἐμβόλους σεσήμανται, ὡς δοκεῖν ῥύγχεσιν ὑῶν ὁμοίως κατεσκευάσθαι, οἷον ἰχθυοφόρους εἶναι. διὸ καὶ ἐπὶ ταύτης λέγεται ναῦς δέ τις ὠκυπόρος σαμία, ὑὸς εἶδος ἔχουσα.

Σαμίθη, ῥόφηματι, ὡς Γλαυκίας ὁ ἰατρός.

Σαμινὰ, θαμινὰ, συνεχῶς. Λάκωνες.

Σαμίων ἄνθη, ἐπὶ τῶν ὑστάταις ἡδοναῖς χρωμένων.

Σαμίων ὁ δῆμος. Ἀριστοφάνης Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους. οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων σπάνει τῶν πολιτευομένων, ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν Σαμίων πολιτείᾳ. ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ κδ γράμματα ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν τρίποδι. τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς Ἰώνων γράμμασιν, Ἀρχίνου δ' ἀθηναίου, ἐπὶ ἄρχοντος Εὐκλείδου. τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Ἀριστοφάνης, πρὸ τοῦ Εὐκλείδου, καὶ ἐπὶ Εὐκλέους. περὶ δὲ τοῦ Πείσαντος ἱστορεῖ Θεόπομπος. οἱ δὲ, ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔστιζον.

Σάμμα, ὄργανον μουσικὸν παρὰ Ἰνδοῖς.

Σάμνιον, τόπος.

Σαμοθράκη, πρότερον ἐκαλεῖτο ἡ Λευκοσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθράκης πολιτείᾳ. ὕστερον δὲ ἀπὸ Σάου τοῦ Ἑρμοῦ, καὶ Ῥήνης παιδὸς, Σάμος προσωνομάσθη κατὰ παρένθεσιν τοῦ μ. Θρακῶν δὲ οἰκησάντων αὐτὴν, ἐκλήθη Σαμοθράκη.

Σάμον, ἣν ὁ Γεωγράφος εἶναί φησι τὴν νῦν Κεφαλληνίαν. ἔστιν εὑρεῖν καὶ ἐν τῇ Ὀδυσσείᾳ. λέγεται δὲ καὶ σάμη, ἧς ὁ πολίτης σαμαῖος. οἱ δέ φασι, καὶ ὅτι ἡ μὲν νῆσος σάμος λέγεται μόνον. ἡ δὲ πόλις, καὶ σάμος καὶ σάμη. ἔστι δὲ καὶ ἰωνικὴ σάμος, ἡ παρὰ τῷ περιηγητῇ, καὶ θρηϊκίη σάμος.

Σαμονία. οἱ δὲ σαμορνία, ἡ Ἔφεσος.

Σαμυλὶς, ἡ πρόπολις, ὑπὸ τῶν μελισσουργῶν.

Σαμφόραι, ἰδίως καλοῦνται ἵπποι, ἐγκεχαραγμένοι τὸ σ. οἱ γὰρ Δωριεῖς τὸ σ, σαμ λέγουσι.

Σαμψοῦχος, πλείστη γίνεται ἐν Αἰγύπτῳ. ἄλλοι δὲ Μάραθον καλοῦσιν αὐτήν.

* Σαμψύραι, σπάθαι βαρβαρικαί.

Σαμώσῃ, κεραυνώσῃ.

Σάναπτιν, τὴν οἰνιώτην. Σκύθαι.

Σανδαία, τροπὴ ἀπὸ γῆς. ἔνιοι δὲ τὸν Λίβα ἄνεμον.

Σάνδαλα, ἐπὶ γυναικὸς καὶ πέδιλα.

Σανδαλαράχη, χρώματος εἶδος.

Σανδαλώπη, ἡ Σαρδὼ πάλαι.

Σανδαράκη, τροφή τις τῶν μελισσῶν, ὡς Ἀριστοτέλης.

Σανδαροφάγος, ὑπὸ Ἀλεξάνδρου ποταμὸς μετωνομάσθη, καὶ ἐκλήθη Ἀκεσίνης, καὶ εἶδός τι μεταλλικόν.

Σάνδυξ, χρῶμα κόκκινον.

Σανθεὶς, αἰθόμενος, γνούς.

Σανίδες, αἱ ἔχουσαι, τουτέστι θύραι εὖ ἀρηρυῖαι, ἐνίοτε παρ' Ὁμήρῳ.

Σανίδεσσιν, οὕτω λέγονται τὰ ὑπερμήκη ξύλα, καὶ πλατέα, οἷον τανίδες, παρὰ τὴν τάσιν.

Σανίκες, θεοφιλές.

Σανιόπληκτος, αἰδοιόπληκτος.

Σανὶς, θύρα, λεύκωμα, ἐν ᾧ αἱ γραφαὶ Ἀθήνησιν ἐγράφοντο πρὸς τοὺς κακούργους. τίθεται δὲ καὶ ἐπὶ τοῦ σταυροῦ.

Σάνιστα, τροφὸς, τιθήνη.

Σαννάδας, τὰς ἀγρίας αἶγας.

Σαννίον, τὸ αἰδοῖον, ἀντὶ τοῦ κέρκιον, παρὰ τὸ τῇ κέρκῳ σαίνειν. τὸ γὰρ αἰδοῖον ἔσθ' ὅτε οὐρὰν ἔλεγον, ὡς Εὔπολις.

Σαννὶς, δρυοσάνδραξ. Θούριοι.

Σάννορος, μωρὸς, παρὰ Ῥίνθωνι. Ταραντῖνοι.

Σάνουροι, τὰς οὐρὰς σαίνοντες.

Σάξαι, καὶ θάπτειν, νάξαι, νύσσειν.

Σάξασθαι, ὁπλίσασθαι, πλήσασθαι.

Σαοῖ, βοηθεῖ, καὶ σώζει.

Σαοσίμβροτος, ὁ σώζων τοὺς ἀνθρώπους.

Σαόφρων, σώφρων.

Σαοφροσύνη, τουτέστι σωφροσύνη. παρὰ μὲν τοῖς ὕστερον ἀρετὴ, περὶ ἡδονὰς καὶ λύπας. Ὅμηρος δὲ, σύνεσιν φρόνησιν οἶδεν αὐτήν. διὸ καὶ ἐναντία τῇ χαλιφροσύνῃ ἐστὶν, ὥσπερ καὶ ὁ σαόφρων, ἐναντίος τῷ χαλίφρονι, καθὰ καὶ ὁ περίφρων.

Σαοφροσύνης ἐπέβησαν, ὅμοιον τῷ ἀναιδείης ἐπέβησαν, καὶ τὸ, ὄφρα εὐφροσύνης ἐπιβῆτον.

Σάπαι, ἔθνος θράκιον.

Σάπειρες, ἔθνος σκυθικὸν οὕτω κληθὲν, διὰ τὸ πολλὴν παρ' αὐτοῖς γίνεσθαι τὴν σαπφείρην λίθον.

Σαπέρδας. σαπέρδας πέντε, καὶ τέσσαρας πέρκας. Λυκόφρων, σαπέρδαι αἱ ἀφύαι καλάμοις διηρημέναι, καὶ τεταριχευμέναι. ἢ σαῦρα τεμάχη, ἃ ἰόνδην Παφλαγόνες καλοῦσιν. αἱ πέρκαι δὲ, εἶδος ἰχθύος, καὶ αὐτὸ τεταριχευμένον. καὶ ἔοικεν ἀπὸ τούτου καὶ ὁ σαπέρδης, τὰ ἀπὸ τῶν ἀφυῶν νῦν ταρίχη σημαίνειν. οἱ δὲ ἀκριβέστεροι, σαπέρδην φασὶ τέμαχος τεταριχευμένου ἰχθύος, τὸν γὰρ καρκῖνον ἰχθὺν, σαπέρδην οἱ Ποντικοί φασι.

Σάπιθος, θυσία. Πάφιοι.

Σαπρᾶς, παλαιᾶς, καὶ ἀρχαίας. κυρίως μὲν σαπρὸν οἱ παλαιοὶ ἔλεγον, τὸ σεσηπὸς διὰ τὸν χρόνον, χρῶνται δὲ αὐτῷ καὶ ἀντὶ τοῦ ἀρχαίου καὶ παλαιοῦ.

Σαπρία, σῆψις,

Σάθρωμα, τυδράκιν.

Σαπριοῦσι, σήπουσι.

Σαπρὸν, παλαιὸν, αἰσχρὸν, ἀκάθαρτον.

Σαπρὸν, τὸ σεσηπὸς, παρὰ τοῖς Ἴωσι.

Σαπρὸς, καὶ σαπρία, ὁ ἀφανισμὸς, ἀπὸ τοῦ σήπω. ὡς λέπω λεπρός.

Σαπυλλεῖν, σαίνειν. Ῥίνθων.

Σαπφόραι, οἱ ἵπποι οἱ σῖγμα ἔχοντες περὶ τὸν μηρὸν, καὶ διὰ τοῦ μ καὶ π γράφεται.

Σαπώριον, τόπος.

Σαράβαρον, ἐσθὴς περσική. ἔνιοι δὲ, τὸ βρακίον λέγουσι.

Σαράβαρα, τὰ περὶ τὰς κνημίδας ἐνδύματα.

Σάραβος, τὸ γυναικεῖον αἰδοῖον.

Σάραγος, ὑπηρέτης. ὁ σαρῶν τὰς δημοσίας στοάς.

Σαραπεῖον, τὸ τοῦ σαράπιδος ἱερόν.

Σαράπους, ἡ διεστηκότας καὶ διεστῶτας ἔχουσα τοὺς δακτύλους τῶν ποδῶν, παρὰ τῷ Ἱπποκράτει.

Σαράπις, περσικὸς χιτὼν μεσόλευκος. ὡς Κτησίας, καὶ διαρρηξαμένη τὸν σάραπιν, καὶ τὰς τρίχας καθημένη, ἐτίλλετό τε καὶ βοὴν ἐποίει. καλεῖται δὲ καὶ ὁ Πλάτων οὕτω.

Σαραπίους, τὰς μαινίδας. Περγαῖοι.

Σαραφὶν, γνώσεως πληθυσμὸς, ἢ σοφίας χύσις.

Σαργάνη. σχοινίον καὶ πλέγματα γυργαθώδη. ἔστι δὲ καὶ εἶδος πυρίδος, παρὰ τὸ σάγω σαγάνη, καὶ πλεονασμῷ τοῦ ρ, σαργάνη.

Σάγανος, ὁ ἀγροῖκος.

Σαρδανάπαλος υἱὸς Ἀνακυνδαράξου, Βασιλεὺς Νίνου περσικῆς χώρας, ὃς ἐν μιᾷ ἡμέρᾳ Ταρσὸν καὶ Ἀγχιάλην ἔκτισεν, ἐκτράπελος ταῖς τρυφαῖς. φασὶ γὰρ αἰσχρῶς αὐτὸν καλλωπίζεσθαι, τοῖς τε οἰκείοις μὴ ὁρᾶσθαι, εἰ μὴ εὐνούχοις καὶ κόραις. πεπυρπολημένου δὲ τοῦ οἴκου, ἔνδον εὑρεθεὶς ἀπέθανεν. Ἀπολλόδωρος δὲ ταῦτά φησιν, ἐγγεγράφθαι ἐπὶ τῷ τάφῳ αὐτοῦ Ἀσσυρίοις γράμμασι. Σαρδανάπαλος Ἀνακυνδαράξου παῖς, Ταρσόν τε καὶ Ἀγχίαλον ἔδειμεν ἐν ἡμέρᾳ μιᾷ. πῖνε, ὄχευε, ὡς τἄλλα οὐδενός ἐστιν ἄξια. ὁ δὲ Ἑλλάνικος ἐν τοῖς περσικοῖς, δύο φησὶ Σαρδαναπάλους γεγονέναι. εἰς τὸ αὐτὸ, Περσῶν Βασιλεὺς, ὃς ἐν τρυφῇ ὑπερίζετο τὴν εὐδαιμονίαν. λέγει δὲ περὶ αὐτοῦ, ὅτι ἐν μιᾷ ἡμέρᾳ δύο πόλεις ἔκτισε τῆς Λυκίας, Ταρσὸν καὶ Ἀγχιάλην. ἦν δὲ τῷ βίῳ τρυφηλὸς, καὶ τῷ εἴδει ἐκτράπελος, καὶ τῷ σχήματι ἀλλόκοτος. διὸ λέγουσιν ἐν τῷ τάφῳ αὐτοῦ ἐπιγεγράφθαι τοῦτο τὸ ἐπίγραμμα. εὖ δε δαὼς ὅτι θνητὸς ἔφυς, ὂν θυμὸν ἄεξε τερπόμενος θαλίῃσι, θανόντι οὔτις ὄνησις. καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύων. ταῦτ' ἔχω ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἐρώτων τέρπν' ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται. ἡ δὲ σοφὴ βιότοιο παραίνεσις, οὐδέποτε ἐσθλή. κεκτήσθω δ' ὁ θέλων σοφίης τὸν ἀπείρονα πλοῦτον.

Σαρδανάπαλλος, γελωτοποιός.

Σάρδις, καὶ οἱ πολῖται, καὶ ἡ πόλις, διὰ τοῦ ι, ὥσπερ καὶ τὸ πόλιες καὶ ὄφιες.

Σαρδάνιον, ὅτινες σαρδόνιον γράφουσιν. ἐξ οὗ καὶ διεσαρδόνησεν, ἤγουν διεγέλασεν, οὐκ ἐπὶ διαχύσει. δηλοῖ μὲν τὸ ἄκροις χείλεσι σεσηρέναι τὸν ἔσω δακνόμενον θυμῷ, ἢ λύπῃ, ἵνα ἡ Σαρδάνιον μὲν Ὁμηρικῶς. καὶ σαρδόνιον δὲ κατὰ τοὺς ἄλλους, τὸ σεσηρὸς καὶ σαρκαστικόν. καὶ οἱ μέν φασι τὴν λέξιν εἰλῆφθαι ἀπὸ τοῦ δοθέντος ὑπὸ Διὸς τῇ Εὐρώπῃ φύλακος ἡφαιστοτεύκτου, ὃς τοὺς παραβάλλοντας ξένους τῇ Κρήτῃ συλλαμβάνων, ἰδίως φασὶν ἐτιμωρεῖτο πηδῶν εἰς πῦρ, καὶ θερμαίνων τὸ στῆθος, ὁποῖόν τι περὶ τοῦ κρητικοῦ Τάλω τοῦ χαλκοστήθου φασί τινες καὶ χαλκόποδος, καὶ περιπτυσσομένου, καὶ καιομένων ἐκείνων, αὐτοὺς σεσηρώς. ἀλλ' οὗτος μὲν ὁ λόγος οὐ πάνυ διευκρινεῖ τὴν λέξιν, ἄλλοι μόνον δίδωσιν ὑπονοεῖν, ὅτι παρὰ τὸ δαίειν, ἤτοι καίειν, καὶ παρὰ τὸ σαίρω ἔσαρον. ὅθεν καὶ σεσηρέναι γίνεται τὸ σηρδάνιον, οἱονεὶ τὸ δεινὸν καὶ καῖον. ἕτεροι δέ φασιν ἐν Σαρδοῖ νήσῳ σέλινον, οὐ τοὺς ἐμφαγόντας ξένους μετὰ σπασμοῦ ὄλλυσθαι. ὡς εἶναι σαρδόνιον, ἤγουν σαρδάνιον γέλωτα, μετ' ὀδύνης. ὁποῖόν τινα γελᾶν λέγονται οἱ τετρωμένοι τὰς φρένας.

Σάρδονες, ἐν κυνηγετικῷ μέρει τινὰ δικτύων δηλοῦνται.

Σάρδονται, διαπίπτονται.

Σαρδὼ, ἐν Πασιφάῃ τὸ σαρδόνιον, ἡ σφραγὶς εἴρηται.

Σαρδὼ, νῆσος, ἐν ᾗ βοτάνη γίνεται ὁμοία σελίνῳ. ἧς οἱ γευόμενοι σπασμῶν συνεχόμενοι ἀκουσίως γελῶσι, καὶ οὕτω τελευτῶσι. Τίμαιος δέ φησιν ἐκεῖ ὑπὲρ ἑβδομήκοντα ἔτη γεγονότας τοὺς γονεῖς αὐτῶν θύουσι τῷ Κρόνῳ, γελῶντες καὶ τύπτοντες τοῖς ξύλοις, καὶ πρὸς ἀχανεῖς κρημνοὺς κατωθοῦντες. ὅθεν ὁ σάρδιος γέλως ἐλέχθη. ἄλλοι δέ φασιν, ὅτι ἐκεῖ οἱ θνήσκοντες μειδιῶσιν ἀκουσίως, πρὸς τὴν ὑπὸ τῶν παίδων αὐτῶν ἀφορῶντες ἀπάνθρωπον τελευτήν. ὅθεν ἡ παροιμία.

Σαρδωνύχιον, καὶ σάρδιον, ὀνόματα λίθων.

Σαρῆτον, ὁ σάραπις, καὶ εἶδος χιτῶνος.

Σαρὶν, σαρὸν, φυτόν τι γινόμενον ἐν τοῖς κατ' Αἴγυπτον ἕλεσι.

Σαρὶν, ὀρνέου εἶδος, ὅμοιον ψάρῳ.

Σαρὶρ, κλάδος φοίνικος. Λάκωνες.

Σάρισσα, εἶδος ὅπλου, ἀκοντίου μακροῦ ἑλληνικοῦ, λέγεται καὶ σπάθη βαρβαρική. Μακεδόνες.

Σαρκάζειν. κυρίως μὲν τὸ διὰ τῆς τῶν χειλέων δήξεως χλευάζειν. ὁ δὲ Ἱπποκράτης, καὶ τὸ ἄκροις τοῖς χείλεσι συνιομένοις ἀποτίλλειν τί.

Σαρκάζοντες, καὶ διανοίγοντες, ὥσπερ τὰ κυνίδια, ὅταν προσλιπαρῇ τινα καὶ ἀφέλκῃ τοῖς ὀδοῦσιν. Ἀριστοφάνης ἐν εἰρήνῃ.

Σαρκάζω, σημαίνει τὸ ψευδέσι λόγοις μέχρι τῶν σαρκῶν κινεῖσθαι.

Σαρκασμός ἐστι, σχῆμα χλευαστικὸν μέχρι τοῦ σεσηρέναι τοὺς ὀδόντας, καὶ παραφαίνειν ἄλογον ὑπουλότητα. ὅπερ ἦν εἰκὸς ποιῆσαι τὸν Ἀχιλλέα λέγοντα, τοῖς μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου εἵλετο.

Σαρκασμὸς, δακνηρὰ εἰρωνεία, ὅθεν καὶ τὴν κλῆσιν ἔχει, ὡς οἷά τι θηρίον σαρξὶν ἐμφυέν. Πολυδάμας παρ' Ὁμήρῳ βαλὼν ἔγχει τινὰ, χλευάζει λέγων. οὐ μὰν αὖτ' οἴω μεγαθύμου Πανθοίδαο, τουτέστιν ἐμοῦ χειρὸς ἀπὸ στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα, ἀλλά τις Ἀργείων κόμισε χροΐ.

Σαρκήρη, στάχυν τὸν ἐκ σαρκῶν συνηρμοσμένον καὶ οὐκ ἐκ χειλῶν συνεστῶτα, οἷον ἄνθρωπον.

* Σαρκίον, ἡ σάρξ.

Digitized by Google

Σαρκοβόρα, σαρκοφάγα.

Σαρκοκόλλα, φυτοῦ δάκρυον.* γεννωμένου ἐν Περσίδι, ἐοικὸς λιβανωτῷ λεπτῷ, δύναμιν ἔχον κολλητικὴν τραυμάτων, καὶ ἐφεκτικὴν τῶν ἐν ὀφθαλμοῖς ῥευμάτων.

* Σάρκινος. ἀπὸ τῶν πτηνῶν ἡ νυκτερὶς μόνη σαρκοτίκτει, τῶν λοιπῶν ᾠοτοκούντων. ὥσπερ πάλιν καὶ ἐπὶ τῶν τετραπόδων, ἡ χελώνη μόνη ᾠοτοκεῖ.

Σαρκὸς ἀπόθεσις, ἡ σαρκικὴ ἡδονή.

Σαρκῶν, σπερμολόγος, στερρώς.

Σάρματα, καλλύσματα, καὶ κόπρια παρὰ Ῥίνθωνι.

Σάρμοι, θέρμοι. Καρύστιοι.

Σαρμὸς, σωρὸς γῆς, καὶ κάλυμμα. ἄλλοι ψάμμον, ἄλλοι χόρτον.

Σὰρξ, αἷμα πεπηγὸς ὑπὸ φύσεως, ἢ στοιχείων συνδρομή. σὰρξ, οὐσία ῥευστὴ, ἐξ αἵματος καὶ φλέγματος, καὶ χυμοῦ καὶ χολῆς συνισταμένη, ἤγουν ἐξ ἀέρος καὶ γῆς καὶ πυρὸς καὶ ὕδατος, συστᾶσιν ἐκ θερμοῦ καὶ ψυχροῦ. καὶ ξηροῦ καὶ ὑγροῦ. ὁ ἥλιος, τὸ θερμὸν καὶ ζωτικὸν, ὁ ἀὴρ τὸ ψυχρὸν, ἡ γῆ τὸ ξηρὸν, τὸ ὕδωρ τὸ ὑγρόν. σύρκα λέγουσιν οἱ Αἰολεῖς τὴν σάρκα, διὰ τὸ σύρεσθαι ἀπ' αὐτῆς τὸ δέρμα.

Σαρὸν, ἀριθμός τις παρὰ Βαβυλωνίοις, ἢ κάλλυντρον.

Σάρον, ἤτοι σάρωτρον, καὶ ὄφελμα ἐκαλεῖτο κατὰ τοὺς παλαιοὺς ἐν ἀντιφράσει. οὐ γὰρ ὀφέλλονται, ἤτοι αὔξονται τὰ σαρούμενα. διὸ καὶ τὸ σάρον παραιρεῖ, καὶ μειοῖ. τοιοῦτον δέ τι καὶ τὸ σαροῦν, διὰ τὸ πρωτότυπον σαίρω. ἐξ οὗ καὶ σήραγγες γῆς, καὶ σεσηρέναι ῥῆμα, καὶ χείλη σεσηρότα, ἐφ' ὧν πάντων σχίσμα τι φαίνεται, καὶ μείωσις ὁλότητος. ἐπεὶ οὐδέν τι τῶν σεσηρότων ἐστὶ συνεχές. ἀλλὰ τῇ διεχείᾳ πάσχει ἀπέλασίν τινα τῆς ὁλότητος.

Σαρούμενον, κλυδωνιζόμενον, Λυκόφρων. ἀπὸ τοῦ σαίρω, τοῦτο παρὰ τὸ αἴρω, τὸ κουφίζω. πᾶς γὰρ ὁ κλυδωνιζόμενος αἴρεται καὶ κουφίζεται, ὁ μέλλων σαρῶ, καὶ μετάγεται εἰς ἐνεστῶτα, καὶ γίνεται σαρῶ σαρώσω, καὶ ἐπὶ τοῦ χανεῖν σάρμα γὰρ τὸ χάσμα φασίν. ἀφ' οὗ καὶ ὁ γέλως σαρδώνιος. καὶ σαρωνίδες. αἱ κοῖλαι δρύες.

Σαρπηδὸν, ἀηδὸν, χελιδόν. Αἰολεῖς συστέλλουσι τὰς κλητικὰς τῶν εἰς ων ληγόντων ὀνομάτων.

Σαρπηδόνα, οὕτω διὰ τοῦ Γλαύκου γενεαλογεῖ ὁ ποιητής. Βελλεροφόντου παῖδες, Ἴσανδρος, καὶ Ἱππόλοχος, καὶ Λαοδάμεια. τούτων Ἴσανδρος μὲν ἀνῃρέθη μαχόμενος. Ἱππολόχου δὲ παῖς ὁ Γλαῦκος Λαοδαμείῃ δὲ παρελέξατο Ζεὺς, ἡ δ' ἔτεκεν ἀντίθεον Σαρπηδόνα χαλκοκορυστὴν, ὥστε ἀνεψιὸς ὁ Γλαῦκος τῷ Σαρπηδόνι. καὶ οὕτω μὲν ὁ Ποιητής. οἱ δὲ νεώτεροι Εὐρώπης καὶ Διὸς υἱὸν Σαρπηδόνα λέγοντες, καὶ ἀδελφὸν αὐτὸν ἱστοροῦντες Μίνωος, ἄλλον ἐκεῖνον Σαρπηδόνα γενεαλογοῦσι παλαιότερον, ὥς φασιν οἱ ἀκριβέστεροι.

Σαρπηδόνιον, τὸ μέγα, καὶ ἡ ἐν Ὀρασήκῃ, καὶ Κιλικίᾳ πέτρα ὑψηλοτάτη.

Σαρπηδονία, πόλις τῆς Ἀττικῆς, ἀπὸ Σαρπηδόνος τοῦ τῆς Θράκης Βασιλέως. ἔστι καὶ ἑτέρα Σαρπηδονία πέραν τῆς Κιλικίας.

Σαρπηδὼν, κόσμος ἀπὸ μέρους τῶν Θεῶν. ἔστι δὲ ἀπὸ λίθου σαρπηδονίου καλουμένου, καὶ ὄνομα κύριον.

Σάρπους, κιβωτούς. Βυθινοὶ δὲ ξυλίνους οἰκίας.

Σαῤῥυφθεῖν, μωραίνειν.

Σάρσαι, ἅμαξαι.

Σαρσίτηος χορὸς, πρὸς μύλον ποιούμενος τὴν χορείαν. Λάκωνες.

Σαρῶ, κοσμίζω.

* Σαρώματα, φιλοκαλύματα. καὶ σάρωσις, ὁμοίως.

Σαρῶνες, τὰ τῶν θηρατῶν λίνα.

Σαρωνία Ἄρτεμις, Ἀχαιὸς Θησεῖ, ἀπὸ τοῦ ἐν Τροιζῆνι σαρωνικοῦ κόλπου.

Σάρων, λάγνος τινὲς δὲ, τὸ γυναικεῖον αἰδοῖον.

Σαρωνὶς, καὶ σαρωνικὸν πέλαγος. ἐπειδὴ Σάρων τὶς κυνηγὸς ἐπιδιώκων ἐκεῖσε κατεκρημνίσθη εἰς θάλασσαν. διὰ τοῦτο σαρδωνικὸν ἐκλήθη τὸ πέλαγος.

Σάρωσον. ἐπειδὰν ἀκούσῃς τινὸς λέγοντος, κέλευσον παρακόρησον λέγειν, ὅτι οὐδὲ σάροι λέγουσιν, ἀλλὰ κόρημα, καὶ κάλλυντρον.

Σασαλαγγεῖ, θρηνεῖ.

Σάσαι, καθίσαι. πάφιοι.

* Σατὰν, ὁ διάβολος καὶ σατανᾶς, κατὰ τὴν Ἑβραίων γλῶσσαν, ὁ ἀποστάτης λέγεται.

Σαπφείδες, σαπφρνίδες, κόσμος κεφαλῆς γυναικεῖος.

Σατεῖς, τὸ ἐπ' ἔτος. Δωριεῖς.

Σάτιλλα, πηλείας, τὸ ἄστρον.

Σατῖναι, αἱ ἅμαξαι.

Σατόραι, σκάφαι βοτρύων, παρὰ Λάκωσις.

Σάτον, σιτικὸν μέτρον.

Σατισόεις, ποταμὸς ἐν Λελεγείᾳ. οἱ δὲ Λέλεγες Καρῶν γένος, πλησιόχωροι αὐτοῖς ὄντες. ἔστι δὲ καὶ Κιλικίας ποταμός.

Σατὸς, ἐπετός.

Σάτρα, σηπία.

Σατράπης, Βασιλεὺς, ἢ στρατηγὸς, ἢ ἄρχων.

Σατριὰς, ἔθνος Αἰθιόπων.

Σάττα, κάλυμμα κεφαλῆς γυναικείας.

Σάττιν, ὄνομα τόπου.

Σάττω, φορτίζω.

Σάτυροι, μορφαὶ ἀφριτεῖς.

Σατύριον, πόα τὶς συνεργὸς πρὸς τὰς ἀφροδισίας ὁρμάς. καὶ ζῶον τετράπουν, λιμναῖον.

Σατυρισμοὶ, οἱ περὶ τὰ ὦτα προμήκεις ὄγκοι τῶν ἀδένων. ἔνιοι δὲ τὰς τῶν αἰδοίων ἐντάσεις λέγουσι, παρὰ τῷ Ἱπποκράτει.

Σάτυρος, χορευτὴς τοῦ Διονύσου, παρὰ τὸ σάθη σάθυρος καὶ σάτυρος, ὡς ἅλμη ἁλμηρός. καταφερὲς γὰρ τὸ γένος τῶν σατύρων, καὶ σάτυρος ζῶον.

Σάτων, μόδιος γέμων, ἤγουν ἓν ἥμισυ μόδιον ἰταλικόν.

Σαυάδαι, σαῦδοι. Ἀμερίας τοὺς σειληνοὺς οὕτω καλεῖσθαί φησιν ὑπὸ Μακεδόνων.

Σαυκὸν, ξηρόν. Συρακούσιοι.

Σαυκρὸν, ἁβρὸν, ἐλαφρὸν, ἄκρον, τρυφερὸν, σεμνὸν, σοβαρόν.

Σαυκρόποδες, ἁβρόποδες.

Σαυλὰ, κοῦφα, ἥσυχα, τρυφερά.

Σαυλάτωρ, δορατοθήκη.

Σαυνὰ, ἁπαλά.

Σαῦρα, τὸ ἑρπετὸν ζῶον, καὶ ἰχθὺς μέγιστος σαυρός.

Σαῦροι, ἔθνος θρᾴκιον.

Σαυρίδιον, ἡ καρδαμὶς βοτάνη, ἀπὸ τοῦ κατὰ σχῆμα ὁμοιότητος, ἥτις ἐστὶ καὶ κάρδαμον ὀνομαζομένη, παρὰ τῷ Ἱπποκράτει.

Σαυρῖται, εἶδός τι ὄφεων.

Σαυρίγγη, πόα τὶς, καὶ τὸ ζῶον ἡ σαύρα.

Σαυροβριθὲς ἔγχος, ἐκ τοῦ σαυρωτῆρος, βαρύ. καὶ Αἰσχύλος. ὀπισθοβριθὲς ἔγχος ἔφη.

Σαῦρος, ἀρσενικῶς, καὶ θηλυκῶς σαῦρα.

Σαυρωτήρ ἐστι σιδήρεον κοῖλον, ἐξ ἄκρου ὀξὺ, ὃ ἐντιθέμενον τὸ ὀπίσω ἄκρον τοῦ δόρατος, ὀρθὸν αὐτὸ κατὰ σκόλοπας, ἤγουν σταυρὸν ἑστάναι ποιεῖ πηγνύμενον κατὰ γῆς. ὅθεν καὶ τὴν κλῆσιν ἔχει, ὡς οἷα σταυρωτὴρ δόρατος. οἱ δὲ παλαιοὶ λέγουσι σαυρωτὴρ, τὸ ἐν τῷ ἑτέρῳ ἄκρῳ τοῦ δόρατος ἔσχατον ὀπίσθιον σιδήρεον κέντρον. παρ' Ὁμήρῳ δὲ σαυρωτὴρ καλεῖται καὶ οὐρίαχος. παρὰ δὲ ἑτέροις, καὶ κρόσφος, ἢ γρόσφος, διὰ τοῦ γ. ἔτι δὲ στύραξ ὁ σαυρωτὴρ ὀνομάζεται, ἀφ' οὗ δηλαδή ἐστι τὸ δόρυ στῆναι, οἱονεὶ στήραξ. καὶ κατὰ τροπὴν στύραξ, ὥσπερ καὶ στῶ στήσω, στῆλος καὶ στύλος.

Σαυσάκας, τυροὺς ἁπαλοὺς διατρόφους. δοκοῦσι δὲ οὗτοι ἐπιφόρους ποιεῖν πρὸς συνουσίαν.

Σαυσαρὸν, ψιθυρόν.

Σαυσιαλεῖ, μυστιγᾶται, ἠλεῖοι.

Σαυτὸν, ἀντωνυμία σύνθετος δευτέρου προσώπου, καὶ ἐμαυτὸν σύνθετος πρώτου προσώπου, καὶ ἑαυτὸν τρίτου προσώπου. εἰσὶ δὲ τριγενεῖς, καὶ εὐθείας οὐκ ἔχουσι, καὶ τίθεται ὅταν αὐτοπάθεια γένηται. οἷον ἐμαυτὸν τύπτω, καὶ σαυτὸν τύπτεις, καὶ ἑαυτὸν τύπτει. ἐπὶ δὲ τῶν πληθυντικῶν οὐκ ἐν συνθέσει, ἀλλὰ ἐν παραθέσει τίθενται, οἷον ἡμᾶς αὐτοὺς τύπτομεν, καὶ ὑμᾶς αὐτοὺς τύπτετε, καὶ σφᾶς αὐτοὺς τύπτουσιν. εὕρηται δὲ ἑαυτοὺς τύπτουσιν, ὅπερ ἀλόγως γέγονε.

Σαυτοῦ, σαυτῷ, σαυτὸν, κατὰ κρᾶσιν λέγομεν.

Σαυτορία, σωτηρία, ἀμεριά.

Σάφα, ἐκ τοῦ σαφέα κατὰ συγκοπήν. λαμβάνεται δὲ ἀντὶ τοῦ σαφῶς. Ἀριστοφάνης, οὐκ οἶδα σάφα τοῦθ' ὅπως ἔχει.

Σαφηνιεῖ, ἑρμηνεύσει, διατρανιεῖ, ἐκ τοῦ σαφηνίζω, ὁ μέλλων σαφηνίσω, καὶ ἀττικῶς σαφηνιῶ σαφηνιοῦμαι, σαφηνιεῖ.

Σαφηνίζω, καὶ διασαφῶ, σημειῶ, καὶ σημειοῦμαι.

Σαφῶς, ἀληθῶς, ἀκόλως, φανερῶς.

Σαυχμὸν, σαχνὸν, χαῦνον, σαθρὸν, ἀσθενές.

Σαψὶς, ὁ ἀγαθὸς δαίμων, παρὰ Ἀρμψι.

Σάω, σάω δ' ἑτέρας ἑταίρους. ἔστι ῥῆμα σάω, τὸ σώζω, τροπῇ γίνεται σάω, τὸ παθητικὸν σαόμαι, ἐσαόμην ἐσάου, καὶ τροπῇ δωρικῇ τοῦ ου εἰς ω, καὶ συναρχομένως σάω. ἢ ἐκ τοῦ σάωζε, κατὰ ἀποκοπὴν, ἵνα κατὰ μὲν τὸ ἀναύξητον ἰωνίζηται ἡ λέξις. κατὰ δὲ ἀποκοπὴν αἰολίζηται. οὕτω καὶ οὗτα, ἐκ τοῦ οὔταζεν.

Σαώζει, σώζει.

Σάωσεν, ἐκ τοῦ ἐσάωσα, καὶ συναιρεθὲν ἔσωσα.

Σαώσομεν, σώσομεν.

Σαὼ, ὄνομα Νηρηΐδος. λέγεται διὰ τὴν σωτηρίαν τῶν πλεόντων.

Σαωκὶς, ἡ Σαμοθράκη οὕτως ἐκαλεῖτο τὸ πρότερον.

Σαωμένη, θεωροῦσα.

Σάωμεν, σώσωμεν.

Σὰς, ἥλιος. Βαβυλώνιοι.

Σαώτερος, κεῖται παρ' Ὁμήρῳ ἀντὶ τοῦ σῶος, ἤτοι ἀβλαβὴς, ἀζήμιος.

Σαώτερος. ἰστέον δὲ, ὅτι τεσσάρων ὄντων τούτων, τοῦ σάος ὁ ὑγιὴς, τοῦ σῶς κατὰ συναίρεσιν, τοῦ σόος, διὰ τοῦ ο μικροῦ Ὁμηρικῶς, καὶ τοῦ σῶος διὰ παραλήγοντος τοῦ ω μεγάλου, χρῆσις κεῖται ἐνταῦθα τοῦ σάος, ἐν τῷ σαώτερος, ὥς κε νέηαι, ἤγουν ὅπως ἀνεκρωτηρίαστος ἀπονοστήσῃς.

ΤΟ' Σ'. ΜΕΤΑ' ΤΟΥ Β'.

Σβέννυμι, σκοτῶ, τυφλῶ, ζοφῶ, ἀσβολῶ, ἀμαυρῶ, σκοτίζω, ἀμβλύνω, ἀχλυῶ, ταῦτα πάντα ἐπὶ ζοφώσεως λέγονται.

Σβέσαι μένος, ἡ μεταφορὰ κυριωτάτη ἐστὶ καὶ κατὰ τοὺς παλαιοὺς εἰπεῖν ἔμψυχος. σβέσις γὰρ πάντως τοῦ ἐνθέρμου μένους, ὁ ψυχρὸς θάνατος.

Σβέσαι, παῦσαι, καταςβέσαι.

Σβέω, σβένω, σβεννύω, σβέννυμι.

ΤΟ' Σ'. ΜΕΤΑ' ΤΟΥ Ε'.

Σέας, σκώληκας, οὐχ εὕρηται ἡ εὐθεῖα ἐν χρήσει, ἀλλ' αἱ πλάγιαι παρὰ Ἀριστοφάνει, καὶ ὑπὸ τῶν σέων καμπτόμενοι, ἡ εὐθεῖα τῶν πληθυντικῶν σέας σεῖς.

Σεβωμὰ, ἐπιστροφὴ πονηρά.

Σέβασμ' ἔχει, καὶ τὸ ἄγαμαι, καὶ τὸ τέθηπα, ἐπικεχυμένα ἀλλήλοις κατὰ σημασίαν ἰσοδύναμον, εὕρηται παρ' Ὁμήρῳ.

Σεβασμιάζειν, διασεβεῖν.

Σέβας ἐστὶν, ἡ μετὰ πίστεως προσκύνησις. λατρεία δὲ, ἡ διὰ τῶν ἔργων θεραπεία.

Σεβάσατο, κεῖται παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐτίμησεν, ἀφ' οὗ παρὰ τοῖς ὕστερον σεβαστός.

Σεβάσατο τό γε θυμῷ, ἤγουν ἐξεπλάγη, ὡς φρικτὸν ὄν, ἢ καὶ ἄλλως σεβάσατο ἐν θυμῷ κατά γε τοῦτο. εἰ καὶ ἄλλως ἐμελέτησε κατ' αὐτοῦ, ἐκ τοῦ σέβω τὸ σεβάζω.

Σεβαστὸς, προσκυνητὸς, τιμητός. * ὃς κατὰ τὴν Ῥωμαίων γλῶσσαν Αὔγουστος λέγεται.

Σεβέννιον, τὸ ἐπ' ἄκρῳ τῷ φοίνικι φλοιῶδες γενόμενον.

Σέβεσθε παρ' Ὁμήρῳ, ἀντὶ τοῦ αἰδεῖσθε. ἢ καὶ ἐκπλήττεσθε, ἐφ' οἷς δηλαδὴ ποιεῖτε. οὕτω

γὰρ

Digitized by Google

γὰρ ἐπὶ τιμῆς τότε ἡ λέξις ἔκειτο, ὅθεν καὶ σέβας ἡ ἔκπληξις, ἔνθα ἄλλοις καὶ ἐν τῷ σέβας μ' ἔχει εἰσορόωντα.

Σέβηται, λαξεύηται, ἢ αἴδηται.

Σεβῖνος παρὰ τῷ Ἀριστοφάνει, παρὰ τὸ βινεῖν ἴσως κωμωδεῖται ἐπὶ μαλακίᾳ.

Σέβις, πηξίς.

* Σεβίσαι, ἀντὶ τοῦ εὐλογῆσαι παρ' Ἀριστοφάνει.

Σεβιστὸν, τιμητόν.

Σέβω, καὶ σέβομαι γράφεται. τὸ σέβειν, ἡρμόζεν ἐπὶ τῶν Θεῶν μᾶλλον, ὅθεν εὐσεβὴς καὶ ἀσεβὴς καὶ εὐσέβεια.

Σεγάνιον, γυργαθῶδες πλέγμα, παρὰ Ῥοδίοις.

Σέδας, καθέδρας.

Σεδὲκ, πόλις Μωαβιτῶν. ἑρμηνεύεται δὲ μελέτησις.

Σειλίσαι. Φρύνιχος ἐν κρονίῳ, ἄγαμαι Διονυσου στόματος, ὡς σειλίσαι κεκομμένα πολλάκις. Αἰσχύνης, τὶς ὑπῆρχε σείλου καλούμενος ἀλαζὼν, καὶ ἐν τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν, πενόμενος καθ' ὑπερβολὴν, ὡς τοὺς παραπλησίους τούτῳ καλεῖσθαι.

Σεῖες, Ἀττικὸν καὶ σείας, ἀπὸ τῆς σοῦς ἀρχῆς τοῦ εὐθείας, ὥσπερ καὶ ὑέας, ἀπὸ τοὺς ὑοῦς. Λουκιανὸς ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον, καὶ συμβούλους τοὺς σείας ἐπὶ τὴν ἐξέτασιν παραλαμβάνεις.

Σειήρετον, συνέδριον.

Σέθεν. Δωριεῖς ἀντὶ τοῦ σοῦ λέγουσι. Πίνδαρος, τραπέζαισί τ' ἀμφιδεύτατα κρεῶν σέθεν διεδάσαντο, καὶ φάγον.

Σείεις, ἐξαπατᾷς Ἀττικοί.

Σειθονίη, ἡ Θεσσαλία.

Σεῖν, θεῖν. Λάκωνες.

Σεῖο, ἀντὶ τοῦ σοῦ Ἰωνικῶς, καὶ ποιητικῶς.

Σειομένους, καθαλλομένους.

Σείραιος οἶνος. ὁ ἐκγλεύκους ἑψημένος, ὁ γλυκύς.

Σειληνὸς, ὁ Διόνυσος, παρὰ τὸ σείεσθαι ἐν τῷ ληνῷ. σειληνὸς, ὁ γέρων, καὶ σειληνοὶ, οἱ τῶν σατύρων γέροντες, παρὰ τὸ σεσηρέναι καὶ χαίνειν γίνεται σέρηνος, καὶ μεταθέσει τοῦ λ εἰς ρ, καὶ πλεονασμῷ τοῦ ι σειληνός. ἢ παρὰ τὸ σείεσθαι λίαν σειληνὸς, ὁ γέρων.

Σείνεται, κακοποιεῖ.

Σεῖον στυγὸν, ἀπὸ τοῦ παρακολουθοῦντος, συνεχῶς καὶ ἐπιστεπαμένως ἔβρεχον.

Σειρὰ, ἡ ἅλυσις, παρὰ τὸ εἴρω, τὸ συμπλέκω, γίνεται εἰρὰ, καὶ πλεονασμῷ τοῦ σ σειρά.

Σειραὶ, πλέγματά τινα ἀπὸ σχοινίων, ἢ σπάρτων, ἢ κανάβεως, ἢ ἄλλοθεν, κεκοίνωται δὲ ἡ λέξις, ὡς δηλοῖ παρ' ἡμῖν τὰ σειράδια.

Σειράζω, ἅλυσιν ἕλκω.

Σειραίνω, σημαίνει τὸ ξηραίνω.

Σειραφόρος ἵππος, ὁ ἔξω τοῦ ζυγοῦ.

Σειρὴν, πλεκτὴν, εἶδός τι σχοινίου λέγει, ἴσως δὲ καὶ ἱμάντος. οἱ παράσειροι ἵπποι, καὶ οἱ ἀνασειραζόμενοι. ἐφυλάχθη ἡ λέξις καὶ παρὰ τοῖς ὕστερον. σειραὶ τοίνυν ἐλέγοντό τινες πεπλεγμέναι διὰ σχοινίων φυτῶν δηλαδή. ἐντεῦθεν δὲ, εἰλῆφθαι δοκεῖ καὶ ἡ ἰδιωτικῶς σέρα, ἡ τὰς θύρας κλείουσα. πάλαι μὲν σχοῖνος οὖσα, τὸ αὐτὸ εἰπεῖν σειρὰ πλεκτή. ὕστερον καὶ ἐπὶ ξυλίνων μοχλῶν, τῶν ἐντὸς παρανουμένη, ἢ παραφθειρομένη, ἵνα ᾖ ὥσπερ δειρὰ δερὰ, οὕτω καὶ σειρὰ σερὰ, ἰδιωτικῶς.

Σειρὴν χρυσείην, καὶ αἰγείην κυνέην, κατάχρησις ὀνόματος παρὰ τῷ Ποιητῇ. σειρὰ γὰρ ἐπὶ τοῦ σχοινίου τάσσεται, καὶ κυνέη παρ' αὐτῷ κέκληται, ὅτι ἐκ δέρματος κυνὸς γίνεσθαι αὐτὴν ἔθος ἦν, οὐκ ἐξ αἰγὸς, ὥσπερ πολλαχοῦ λέγει.

Σειρῆνες, θυγατέρες γεγόνασι Τερψιχόρης μούσης, καὶ Ἀχελώου ποταμοῦ μεταξὺ ῥέοντος Αἰτωλίας, καὶ Τ'ρκωνίας τῆς καὶ Ἀμβρακίας, νῦν δὲ Νικοπόλεως.

Σειρήνεια μέλη, γλυκύτατα.

Σειριᾷ, φλεγμαίνει, καροῦται.

Σειρίδας, τὰς σειράς.

Σείριναι. Λυκοῦργος περὶ τῆς διοικήσεως, σειρήνας. σείριον ἐκάλουν λεπτὸν ἱμάτιον, διαφανὲς, οἷον θέριστρον, καθά φασιν οἱ γλωσσογράφοι. καὶ σειρὴν δὲ, ὁ λεπτὸς καὶ διαφανὴς χιτὼν, διότι ἔστιν τότε, ὅτε ἐστὶν ὁ σείριος. ἔστι δὲ καὶ Σεῖρις πόλις Ἀττικὴ, καὶ τάχα τὰ ἔνθεν ὑφάσματα, ἤ τινα ἄλλα σείρινα. εἶπεν ὁ ῥήτωρ, ἐν ἐνίοις μέντοι, χωρὶς τοῦ ε γράφεται σίρινα.

Σείριος, ὁ κυνάστρος.

Σείριος, ὄνομα ἀστέρος, ἢ ὁ ἥλιος. σήριος δὲ κύριον, ἢ. σείριος δὲ παρὰ τὸ εἴρω, τὸ λέγω γίνεται εἴριος, καὶ σείριος. λέγει γὰρ ἐκμηνύει ἡμῖν τὸν καιρὸν τοῦ θέρους.

Σείριον, καυστικὸν, ἀπὸ τοῦ σείριος, ἢ ἀπὸ τοῦ σειραίνω, τὸ ξηραίνω.

Σείριος, ἤτοι παρὰ τὴν ζέσιν ζείριος, ἢ παρὰ τὸ ἐκκενοῦν ἡμᾶς, ἱδρῶσι ῥεομένους. σειροῦν γὰρ, τὸ κενοῦν, ἢ τοῦ σεσηρέναι αἴτιος, τοὺς συνεχῶς διασεσηρέναι καὶ χάσκειν ποιεῖ, ἢ παρὰ τὸ σείρεσθαι καὶ πάλλεσθαι. ὁμοίως δὲ καὶ πάντα τὰ ἄστρα, σείρια λέγοιντο, οἱονεὶ τείρεά τινα ὄντα, ἢ διὰ τὸ τείρειν, τὸ δαμάζειν, ἢ ὅτι τέρατά εἰσι καὶ σημεῖα τῶν πλοϊζομένων. οἱ μέντοι ἀστρόλογοι τοὺς ἐν κινήσει ὄντας ἀστέρας, στίλβοντας καλοῦσιν. εἶναι δὲ τὸ ἄστρον, οἱ μὲν τοῦ Ὠρίωνος κυνὸς, οἱ δὲ τῆς Ἠριόνης, οἱ δὲ τῆς Ἴσιδος, οἱ δὲ Κεφάλου. ὁ δὲ Δημοσθένης κύριον ὄνομα εἶναί φησι.

Σειρομάστης, ὁ λῶρος, ἢ εἶδος ἀκοντίου.

Σειρομαστῶν, δορυφόρων, καὶ εἶδος λόγχης.

Σειρὸν, τὸ ἀνδρεῖον θέριστρον, Σικυώνιοι.

Σηροφόρος Οἰωνὸς, ἡγεμονικός.

Σεῖσαι, συκοφαντῆσαι, ἀπὸ τῶν τὰ ἀκρόδρυα σειόντων.

Σεισάχθεια, τὸ βάρος, παρὰ τὸ ἀποσείεσθαι τὸ ἄχθος. σημαίνει δὲ καὶ τὸ χρέος. ἡ σεισάχθεια, χρεῶν ἦν ἀποκοπὴ, παρὰ Ἀθηναίοις. τινὲς δέ φασι τόκων μετριότητα εἶναι, καὶ μέτρων ἐπαύξησιν, καὶ τιμὴν τοῦ νομίσματος.

Σεῖς, πόλις, καὶ κλίνεται σείως. καὶ σειουντία χώρα.

Σεισμὸς, κίνησις γῆς, ὑπὸ πνεύματος ἔνδον ἀποληφθέντος, καὶ βιαίως ῥυέντος, διὰ τὸ κωλυθῆναι περὶ τὰ κοῖλα. σισμὸς δὲ, ὁ βρασμὸς καὶ ἦχος ι, ἀπὸ τοῦ σίζω, τὸ ἠχῶ.

Σισόφελος, τὸ τῶν τροχίλων εἶδος.

Σεῖστρον, παίγνιον. καὶ σεῖστρος, εἶδος βοτάνης.

Σείσων, ἄγγος κεραμικὸν, ἐν ᾧ τοὺς κυάμους φρύγουσι.

Σειφὰ, σκοτία. Κρῆτες.

Σείω, τὸ ταράσσω· σείω, ἐκ τοῦ σῶ σείω καὶ σείω, ὡς πλέω πλείω, καὶ πνέω πνείω, ἐπὶ σεισμοῦ λέγεται. σείει δὲ ὁ Θεὸς τὴν γῆν μεταβατικῶς.

Σείω, κατασείω, σοβῶ, κλονῶ, χαμάζω, διαλλάττω, θρέττω, καὶ θορυβῶ.

Σεκάτες, πόρρωθεν.

Σεκούανα, σικύα, καὶ σεκουάνη, ἐλαίας εἶδος, οὕτω Λάκωνες.

Σέκτον, τὸ ἄθροισμα τῶν πλουσίων.

Σελαγεῖ φῶς, λάμπει.

Σελαγεῖται, ἀντὶ τοῦ καταλάμπεται, παρὰ τῷ Ἀριστοφάνει κεῖται, καὶ σὺν πεύκαις σελαγεῖ, ἤγουν μετὰ λαμπάδων, καὶ δάδων, καὶ πυρὸς χορεύει.

Σέλας, λαμπηδὼν, παρὰ τὸ σαλεύεσθαι τῇ πνοῇ τὸ καιόμενον. καὶ κεραύνιον πῦρ. οἱ δὲ τὴν ἀστραπὴν, οἱ δὲ τὸ φῶς. ἢ παρὰ τὸ σεύω, τὸ ὁρμῶ.

Σελάσει, φλέγει, λαμπαδίζει.

Σελασία, Ἄρτεμις, καὶ τόπος τῆς Λακωνικῆς, ὅθεν εἰκὸς κληθῆναι τὴν Ἄρτεμιν.

Σελασφόρος, λαμπροφόρος.

Σελάτης, κοχλίας.

Σελάχεσι, τοῖς ἐκ τῶν ἰχθύων λεπίδας μὴ ἔχουσι, καὶ ζωοτοκοῦσι, παρὰ τῷ Ἱπποκράτει.

Σελάχιον. κόμμα ἰχθύος. ἢ τὰ σελάχια λεγόμενα. τινὲς δέ φασι σελάχη λέγεσθαι, ὅσα ἄποδά εἰσιν, ὠοτοκεῖ. σέλαχος δὲ λέγεται, τὸ ἐκ τοῦ σελαχίου ὀψάριον.

Σελάχη, εἴδη θαλασσίων θηρίων.

Σέλγη, πόλις.

Σελευκὶς, εἶδος ἐκπώματος, ἀπὸ τοῦ Βασιλέως κληθὲν, καὶ ὑπόδημα γυναικεῖον, καὶ ὄρνεον ἀκριδοφάγον.

Σελήνη, τὸ φέγγος, ἥτις μετὰ τῶν ἀστέρων ἐτάχθη φωτίζειν τὴν νύκτα, οὐχ ὡς τῇ ἡμέρᾳ πάντοτε ὑπὸ γῆν ὄντες. εἰσὶ γὰρ καὶ ἐν ἡμέρᾳ ἀστέρες ἐν οὐρανῷ ὑπὲρ γῆν, ἀλλ' ὁ Ἥλιος τούτους ἅμα καὶ τὴν Σελήνην τῇ σφοδροτέρᾳ αἴγλῃ ἀποκρύπτων, οὐκ ἐᾷ φαίνεσθαι. τοῖς φωστῆρσιν οὖν τούτοις τὸ πρωτόκτιστον φῶς ὁ Δημιουργὸς ἐναπέθετο, οὐχ ὡς ἀπορῶν ἄλλου φωτὸς, ἀλλ' ἵνα μὴ ἀργὸν ἐκεῖνο μένῃ τὸ φῶς. Σελήνη, παρὰ τὸ σέλας ἀεὶ νέον ἔχειν. ὅθεν καὶ ἔνος, ὁ ἐνιαυτός. σέλας δὲ, παρὰ τὸ σαλεύεσθαι τῇ πνοῇ.

Σεληνάς, πόπανον, τῷ ἄστρῳ ὅμοιον πέματι.

Σεληνὶς, φυλακτήριον, ὅπερ ἐγκρεμᾶται τοῖς παιδίοις.

Σεληπιάδαο, σεληπίου υἱοῦ.

Σελίαρ, φοῖνιξ.

Σελίδες, τὰ μεταξὺ διαφράγματα τῶν διαστημάτων τῆς νεώς. καθάπερ καὶ ἐν τοῖς βιβλίοις, τὰ μεταξὺ τῶν περιγραφῶν.

Σέλινον, τὸ γυναικεῖον αἰδοῖον, ἢ καὶ βοτάνη ἑλεόθρεπτος.

Σεληνουσία, κράμβης εἶδος.

Σελίνου στέφανος, πένθει προσήκων. διὰ τοῦτο καὶ ἐν τῷ ἰσθμικῷ ἀγῶνι, στεφάνῳ ἐχρήσαντο αὐτῷ.

Σελὶς, πτυχίον καταβατὸν βιβλίου, ἢ ἔνδοξον.

Σελλάδαι, γένος ἰθαγενῶν.

Σελληγορεῖ, εὐχερείας ἀναφώνημα.

Σελλήεις, ποταμὸς Θεσπρωτίας, ἀφ' οὗ καὶ τὸ ἔθνος Σελλοὶ, καὶ ἄλλος τῆς Τρωάδος. οἱ δὲ ἀναγινώσκοντες κατὰ συναλοιφὴν, ἀμφὶ δὲ Σελλοὶ, οὐχ ὑγιῶς ἀκούουσι τὸ ἔθνος.

Σελληϊάδεω, Σελλέως υἱὸς, ὁ μάντις, Βατουσιάδης τὸ ὄνομα.

Σελλίζεσθαι, ψελλίζεσθαι. τινὲς δὲ σελλίζει, ἀλαζονεύει.

Σελλὸς, ἐθνικὸν, ὀξύνεται λόγῳ τοιούτῳ. τὰ εἰς λος φασὶν ἑτέρῳ λ παρεληγόμενα, οὗ τὸ ε προηγεῖται, ὀξύνονται. κιλλὸς εἶδος χρώματος, πολλὸς, κυλλὸς, φελλὸς, οὕτω καὶ Σελλὸς ἐθνικὸν, ἢ Ἑλλὸς κατὰ Πίνδαρον. ἀμφιβάλλεται γὰρ ἡ γραφὴ, διὸ καὶ ὁ Γεωγράφος, λέγει περὶ τούτου, ὅτι οὐκ ἔστι διϊσχυρίσασθαι, διὰ τὴν ἀμφιβολίαν. καὶ σημείωσαι ὅτι ὅσοι μὲν Ἑλλοὺς οἴδασι δίχα τοῦ σ συναλείφοντες γράφουσι παρ' Ὁμήρῳ, ἀμφὶ δὲ σ' ἐλλοὶ ναίουσιν ὑποφῆται, ἤγουν περὶ σὲ νέουσιν οἱ ἐλλοὶ, σοὶ ὑποφῆται. ὅσοι δὲ σελλοὺς γράφουσι, δίχα συναλοιφῆς οὕτω νοοῦσιν. ἀμφὶ δέ σοι σελλοὶ, ναίουσιν ὑποφῆται. καὶ οὗτοι μέν φασι σελλοὺς λέγεσθαι, ὡς ἀπὸ ποταμοῦ Σελλήεντος. ἐκεῖνοι δὲ ἐλλοὶ τὸ ἔθνος ἀπὸ Ἔλλου Θεσσαλοῦ, ἀφ' ὧν καὶ ἑλλοπίαν, τὸν περὶ Δωδώνην τόπον καλεῖσθαι. πλείους δὲ, οἱ σελλοὺς γράφοντες μετὰ τοῦ ἐν ἀρχῇ σ. ὑποφῆται δὲ, ζήτει ταύτην τὴν λέξιν, εἰς τὸ ὑποφῆται.

Σέλματα, τὰς τῶν ἐρετῶν καθέδρας λέγουσι, τὰ σελιδώματα. καθόλου δὲ τὸ πλατὺ ξύλον, σέλμα λέγεται, καὶ σελίδωμα. ὅθεν καὶ τὰς σελίδας τῶν ῥαψωδιῶν, διὰ τὸ πλάτος φαμέν.

Σέλμενοι, γενόμενοι.

Σελμὶς, ὁρμία, τριχίνη, καὶ τὰ ἰκρία.

Σελμῶν, ὄνομα βάρβαρον, ἀπὸ τοῦ ἕλκω, ὁ παθητικὸς παρακείμενος εἷλμαι. ἐξ αὐτοῦ εἱλμὼν, ἀποβολῇ τοῦ ι ἑλμὼν, καὶ πλεονασμῷ τοῦ σ σελμὼν, ἢ ἀπὸ τοῦ ἐλεύθω ἑλμὼν, καὶ σελμών.

Σέλπιδες, σχεδίαι.

Σέλπον, σίλφιον.

Σελχοὶ, Πέρσαι.

Σεμαλία, ῥάκη. Ἀργεῖοι.

Σεμαχωνίτης, λίμνη.

Σεμέλη, παρὰ τὸ σέλας μέλειν, ἤγουν φροντίζειν. Δία γὰρ ᾐτήσατο μετὰ ἀστραπῶν καὶ βροντῶν συγγενέσθαι αὐτῇ, οὗ γενομένου καὶ κεραυνωθείσης, ἐσείσθη τὰ μέλη, καὶ ἐντεῦθεν Σεμέλη.

Σεμέλη, τράπεζα. παρὰ δὲ Φρυνίχῳ, ἑορτή.

Σεμελοιρίδαι, οἱ ἄνευ κελύφους. οὓς ἔνιοι λίψακας.

Σέμελος, κοχλίας.

Σεμίαρ, χιτὼν ἢ πλὰξ, ἀντὶ στέγης ἐπικείμενος, ὡς Λάκωνες.

Σεμί-

Digitized by Google

Σεμίδαλις, παρὰ τὸ σμῶ, τὸ καθαίρω, καὶ τὸ ἄλις. τουτέστι τὸ ἄλις σμῆμα, τὸ πάνυ καθαῖρον, οἱονεὶ τὸ λεπτομερέστατον.

Σεμίραμις, περιστερὰ ὄρνεος ἑλληνιστί.

Σεμιράμεια τείχη, διφθόγγως. ἱεριχουώτια δὲ, ῑ.

Σεμνὰ τῆς σῆς παρθένου μυστήρια. Σοφοκλῆς, τὰ ἄρρητα καὶ ἀνεξήγητα μυστήρια.

Σεμναὶ θεαὶ, τὰς εὐμενίδας οὕτως ἔλεγον, καὶ ἐριννύας, ἐπὶ εὐφημισμῷ.

Σεμνὴ, τιμία, Σώφρων.

Σεμνεῖον, οἶκος ἱερὸς, ἤγουν μοναστήριον.

Σεμνολόγημα, σεμνὸν, κατάστυγνον, καὶ ἥσυχον. δηλοῖ δὲ καὶ ἔνδοξον καὶ θαυμαστὸν καὶ ἄξιον ἐντροπῆς καὶ μέγα, καὶ ἕξιν ἔχον.

* Σεμνοπροσωπεῖς, τουτέστι σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἄνθρωποι σεμνοὶ μὲν φανῆναι, οὐ κατὰ τὴν πρόσοψιν δὲ ἔχοντες καὶ τὰ ἐπιτηδεύματα.

Σεμνύνεσθαι κομπάζεσθαι, μέγα φρονεῖν, λαμπρύνεσθαι.

Σεμνύνομαι, ἐπαίρομαι. Ἀριστοφάνης. μὴ δ' αὐθαδῶς σεμνυνόμενος χαλέπαινε, δρᾶμα ποιήσας Ἄρεος μεστόν.

Σεμνύνω ἕτερον μεταβατικῶς, καὶ αἰτιατικῇ. σεμνύνομαι παθητικῶς δοτικῇ. οἷον σεμνύνομαι τοῖς δε.

Σέμπαδα, ὑποδήματα.

Σεόδ' ἕξεται, ὅττι κεν ἄρχῃ, φράσις δυσμίμητος, ληφθεῖσα ὡς ἀπὸ πείσματος, ὅ ἐστι σχοίνου, ἀρχομένου μέν ποθεν, συνδέοντος δὲ πρὸς τῷ ἑτέρῳ ἄκρῳ ἄλλο τί. καὶ δηλοῖ ὡς ἔκ τινος ἀγαθὸς λόγος τελεσφορηθεὶς, ὑφ' ἑτέρου ἀρχὴν μὲν ἀλλοθεν ἔχειν. ἔχεται δέ πως καὶ τοῦ ἀποτελέσαντος αὐτὸν, καὶ δοκεῖ αὐτοῦ μάλιστα εἶναι, ὃς ἴσχυσε τὸν ἀγαθὸν λόγον εἰς τέλος ἀγαγεῖν.

Σεπτὰ, ἅγια, θαυμαστὰ, σεβάσμια.

Σεπτάζειν, σέβειν.

Σεπτοὶ, μεταβαλλόμενοι.

Σεπτυὶς, πυξίς.

Σεραφὶμ, δυνάμεις ἅγιαι, δοξολογικαὶ Κυρίου. ἐπὶ μὲν ἑνικοῦ δίφθογγον, ἐπὶ δὲ πληθυντικοῦ ῑ.

* Σεραφεὶμ. ἐμπρησταὶ. ἔμπυρα στόματα, ἢ θερμαίνοντες. γνώσεως πληθυσμὸς. ἢ σοφίας χύσις.

Σεργοὶ, ἔλαφοι.

Σερήτιον, ἡ σειρίς.

Σειρὶς, ζωστήρ.

Σειρίδες, σειραί.

Σειρίζω, στειρίζω, στειρίζομαι.

Σέριφος. Ἀριστοφάνης, τὴν Λακεδαίμονα σέριφον. ἔστι δὲ καὶ πόα σέριφος λεγομένη καὶ ὁ ἐπτερωμένος μύρμηξ. καὶ ὁ ἥλιος.

Σέρκος, ἀλεκτρυών. καὶ ἀλεκτοροειδεῖς σέλκεις.

Σερμοὶ, θερμοί.

Σερὸς, χθὲς, ἠλεοί.

Σέρρειον, τεῖχος. καὶ στεῖρον ὀνόματα χωρίων.

* Σέρρεις. εἶδος λαχάνων, τὰ παρ' ἡμῖν στείρικα λεγόμενα, αἱ πικρίδες παρ' ἄλλοις. ἢ μᾶλλον τ' ἀληθέστερον εἰπεῖν, μακεδονήσια.

Σέρπεις, γέρανος, πολυρήνιοι.

Σέρφος, σκωληκῶδες ζωΰφιον, ἢ μυρμηκῶδες. τούτῳ δὲ νέμονται τὰ ὄρνεα. καὶ ἡ παροιμία, ἔνεστι κἀν μύρμηκι, κἀν σέρφῳ χολή.

Σέρφον, ἐξηγοῦνται καρπὸν τὸν σέρφον, ἔστι δὲ θηρίδιόν τι μικρόν. Κρατῖνος δὲ μύρμηκά φησι τὸν σέρφον. οἱ δὲ ζωΰφιον κωνωπῶδες. ἀφ' οὗ ἡ παροιμία, ἔστι κἀν μύρμηκι κἀν σέρφῳ χολή. παρεγγυῶσα, μηδὲ τῶν μικρῶν καταφρονεῖν.

Σὲς, ἔλαθες. Πάφιοι.

Σεσαγμένην, πεπληρωμένην, πεφορτωμένην.

Σέσακται, ἔσαλται. καθὸ καὶ ἡμεῖς τὴν στολὴν, σάγην λέγομεν.

Σεσαλαγμένον, σεσαγμένον, ἐπεσαγμένον.

Σεσαρυῖα, τοῦτο δοκεῖ τῷ καταπεπτηυῖα. Σαίρω γάρ ἐστι, τὸ μειδιῶ, ὁ μέλλων σαρῶ, ὁ μέσος παρακείμενος σέσηρα καὶ σέσαρα σεσηρυῖα, ἤγουν ἀκούσιόν τι μειδίασμα πάσχουσα, καὶ οἱονεὶ σαίρουσα ὑπὸ λεπτοσαρκίας, καὶ τῆς τοῦ δέρματος ῥυτιδώσεως, παρ' Ἡσιόδῳ.

Σεσάχθαι, ἐσκευάσθαι, καθοπλίζεσθαι. σάγη γὰρ ἡ καθόπλισις.

Σεσεῖσθαι, τεταράχθαι, ἀπαρέμφατον τοῦ παρακειμένου, ἐκ τοῦ σείω σείσω, σέσεικα, σέσεισμαι, σαι, ται, τὸ ἀπαρέμφατον σεσεῖσθαι.

Σεσιλίθαι, ἀλαζονεύεσθαι. καὶ σκώπτεται ἀπὸ Αἰσχίνου τοῦ Σειλοῦ.

Σεσίλη, πόα τίς.

Σέσηπας, ἐκ τοῦ σήπω, μέσος παρακείμενος, Ἀριστοφάνης, σέσηπας, ἤγουν διεφθάρης.

Σεσήκασμαι, πεπλάνημαι.

Σεσημασμένῳ, ἀντὶ τοῦ ἐσφραγισμένῳ.

Σεσημειωμένον, διασεσυρμένον.

Σέσηπε δοῦρα, ἀττικόν. Ἀθηναῖοι γὰρ πληθυντικοῖς οὐδετέροις ἑνικὰ ἐπάγουσι ῥήματα. τὸ μέντοι σπάρτα λέλυνται, κοινόν. διὸ οὔ φασιν οἱ παλαιοὶ, ὅτι ἐνὶ στίχῳ ἔθηκε τὴν Ἀτθίδα καὶ τὴν κοινὴν χρῆσιν.

Σεσηπυῖα, διερρωγυῖα.

Σεσηρακότα, κεχηνότα, χαίροντα, γελῶντα.

Σεσηρὸς, τὸ ἐκστρεμμένον καὶ διεστηκὸς ἐπὶ πλεῖστον τοῖς χείλεσιν. ὅπερ καὶ ἐκπεπληγμένον λέγεται παρὰ τῷ Ἱπποκράτει.

Σεσηρὼς, ὁ γελῶν καὶ ὁ χάσκων. καὶ σεσηρότας λέγει Ἀριστοφάνης, ἡ μεταφορὰ, ἀπὸ τῶν κυνῶν. ὅταν γὰρ ὀργίζωνται, σεσήρασιν ἀλλήλοις.

Σεσιμωμένος, σεσοβημένος, τεθορυβημένος, ἄτακτος, τῇ κινήσει τεταραγμένος.

Σεσόγχωσις, Βασιλεὺς τῶν Αἰγυπτίων κοσμοκράτωρ γεγονὼς, ἠθέλησε γνῶναι τοὺς ἀρχαιοτέρους τῶν ἀνθρώπων, καὶ τροφόν τινα γλωττοτομήσας, ἀπέκλεισε μετὰ βρέφους. αὐξηθέντος, οὖν καὶ βοῶντος βὲκ, ἤκουσε καὶ ἔγνω ὁ Βασιλεὺς, ὅτι ἀρχαιότεροι ἦσαν οἱ Παφλαγόνες. παρ' αὐτοῖς δὲ ὁ ἄρτος βὲκ λέγεται. συνθέτως δὲ εἶπεν ὁ Ἀριστοφάνης τὴν λέξιν, βεκκεσέληνε. ἐπεὶ καὶ οἱ Ἀρκάδες προσέληνοι ἐλέγοντο.

Σέλοψ, ποιὸς ἰχθύς.

Σέσυφος, πανοῦργος.

Σεσωρευμένα, βεβαρημένα.

Σεσωσμένος, γυναικὶ συγγεγονώς.

Σεὺς, σημαίνει τὸν σκώληκα. οὐχ εὕρηται δὲ ἐν χρήσει ἡ εὐθεῖα, ἀλλ' αἱ πλάγιοι, ὡς παρὰ Ἀριστοφάνει, ὑπὸ τῶν σέων κατακαμπτόμενος. ὤφειλε δὲ περισπᾶσθαι, ὡς χῆνες χηνῶν, ἀλλὰ σεσημείωται καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐννέα, ὥσπερ καὶ τὸ οὐδένες οὐδένων, καὶ τὸ φῶδες φώδων. Χοιροβοσκός,

Σεύαμενος, ἀπὸ τοῦ σευσάμενος, κατὰ συγκοπήν.

Σεύεσθαι, οὐ μόνον τὸ ὁρμᾶν, καὶ παρορμᾶν, ἀλλὰ καὶ τὸ διώκειν.

Σεύειν, τὸ παρακινεῖν, καὶ παρορμᾶν, ἤδη δὲ καὶ ὀρίνειν. καιρία δὲ αὕτη ἡ λέξις, ὡς ἐν ποιήσει.

Σεὺς, ἀντὶ τοῦ Θεοὺς λέγουσι Δωριεῖς, ὡς οἱ Λακεδαιμόνιοι, τοὺς Διοσκόρους ὀμνύοντες, νὴ τὼ σιὼ φασι, τουτέστι μὰ τοὺς Θεούς.

Σεύω, ἀπὸ τοῦ σῶ γίνεται σεύω, ὁ πρῶτος ἀόριστος ἔσευσα. ὅθεν τὸ σευάμενος, ἀπὸ τοῦ σευσάμενος κατὰ συγκοπήν.

Σεχὲς, τοῦ Ἑρμοῦ ἀστήρ. Βαβυλώνιοι.

Σέψασθαι, σεχθῆναι, θαυμάσαι.

Σέω, οὗ παράγωγα τὸ σείω, καὶ τὸ σαίνω, καὶ τὸ σήθω. ἀφ' οὗ σηταίνειος ἄρτος, καὶ σηλία, ἧς χρῆσις καὶ παρὰ τῷ Κωμικῷ. ἐκεῖθεν καὶ τὸ σόω, οὗ σύνθετον παράγωγον. ὁ λαοσσόος Ἄρης, ὅπερ εἰκὸς γενόμενον σύω, προσλήψει τοῦ υ, χεῖν ῥῆμα ἐκ κινήσεως λακωνικὸν τὸ ἀπέσσυεν, ἤγουν ἀφώρμησεν, ἀπῆλθεν, ἀπέθανε. καὶ τὸ σοῦθω δὲ παρὰ Σοφοκλεῖ, ἐκ τοῦ σόω θέματος ὥρμηται σοέσθω γὰρ ἐκεῖθεν, καὶ κράσει σούσθω. ἔτι ἐκ τοῦ σείω σῶ, ἐκείνου τοῦ πρώτου, καὶ τοῦ σύω τὸ ὁρμῶ. τοῦ δὲ σαίνειν, σύνθετον τὸ σαίνουρον, πρὸς ἀναλογίαν τοῦ λόφουρον. ἴσως δὲ καὶ ὁ σάνας καὶ ὁ σάνος ἐξ αὐτοῦ παρῆκται, ὃς εὐήθη σημαίνει.

ΤΟ' Σ'. ΜΕΤΑ' ΤΟΥ' Η'.

ΣΗ, τρίχει.

Σήγιστρον, τὸ τῶν ἀλόγων σκέπασμα.

Σηγὼρ, ὄρος καὶ πόλις, ἐν ᾗ διεσώθη Λὼτ, φεύγων τὸν τῶν Σοδομιτῶν ἐμπρησμόν.

Σηγὼρ, ἐκ παραδόσεως διὰ τοῦ η, κατὰ δὲ τὴν ἐτυμολογίαν, διὰ τοῦ ῑ. καὶ γὰρ ἑρμηνεύεται μικρὰ, ἢ ταπεινὴ, ἤγουν παρὰ τὸ σιγᾶν. ὁ γὰρ ταπεινὸς, ὁ μὴ δυνάμενος, καθ' ἑαυτὸν σιγᾷ.

Σηδὸν, γλαυκὸν ἔλαιον.

Σηδρακεῖ, κτυπεῖ.

Σήθω, ἐκ τοῦ σῶ, ὃ δηλοῖ τὸ σείω. ἐστὶ παράγωγον ῥῆμα σήθω, τὸ κοσκινίζω, ὃ δηλοῖ τὴν αὐτὴν κίνησιν συνεχῆ, τὴν ἐν τῷ κοσκίνῳ.

Σηκάζεσθαι κατὰ τοὺς παλαιοὺς. οὐχ ἁπλῶς ἐπὶ πάντων θρεμμάτων, ἀλλὰ κυρίως ἐπὶ ἀρνῶν. καὶ σηκὸς, ὁ τόπος τῆς αὐτῶν στάσεως. εἰ καὶ οἱ μεθ' Ὅμηρον ἐπὶ ναοῦ τὴν λέξιν ἔθεντο τοῦ σηκοῦ ἀλόγως ποιοῦντες. σημείωσαι δὲ ὡς εἰπὼν ὁ Ποιητὴς ἐπὶ Τρώων τὸ σηκάζεσθαι, ἀντὶ τοῦ ἐγκλεισθῆναι τῇ πόλει, καὶ τῇ λέξει παραχρησάμενος, τολμηρότερον.

Σήκασθεν, ὡς εἰς σηκὸν κατεκλείσθησαν.

Σηκάνη, πόλις Σικελίας.

Σηκαναὶ, τὰ χλωρὰ ῥαβδία.

Σηκάσθησαν, συνεκλείσθησαν.

Σηκίλαι, αἱ ταμίαι, παιδίσκαι.

Σηκὶς, οἰκογενὴς, δοῦλος, ἢ δούλη. οἷον ἐκ τοῦ σηκοῦ.

Σηκοὶ, περὶ οὓς ἡ τῶν ἀρνῶν, ἢ τῶν ἐρίφων στάσις, ἀπὸ τοῦ ἵστασθαι. ἵνα εἶεν οἱονεὶ στηκοί τινες, ὅθεν καὶ σήκιται ἄρνες. καὶ οὕτω μὲν παρὰ τῷ Ποιητῇ. οἱ δὲ μεθ' Ὅμηρον, καὶ ἐπὶ ναοῦ τὴν λέξιν ἔθεντο τὸν σηκόν. φασὶ γοῦν ἡρώων. οἷον ὃς τόνδε ἔχεις τὸν σηκὸν, ἵλεως γενοῦ. ἐλέγοντο δέ φασι καὶ σηκίδες, οἰκογενῆ παιδισκάρια. κατὰ δὲ Αἴλιον Διονύσιον, σηκίλη, καὶ σηκὶς κυρίως, ἡ ἐν ἀγρῷ ταμεῖον φυλάττουσα. οἷον φησιν ἡ τοῦ Λαέρτου γραῦς. δοκεῖ δὲ σταθμόν τινα δηλοῦν ὁ σηκὸς, ὡς ἡ ἀντισήκωσις δηλοῖ, ἀντιστάθμησίς τις οὖσα ἐπεὶ καὶ τὸ στῶ στήσω, ἐπὶ σταθμήσεως λέγεται. καθ' ὃν λόγον ὁ Μενέλαος μεταστήσειν ἔφη τὰ τοῦ Τηλεμάχου δῶρα.

Σηκοκόρος, ὡς νεωκόρος. σηκὸς δὲ ἡ μάνδρα τὸ παλαιὸν, παρὰ τὸ στήκω στηκὸς καὶ σηκός. ὅθεν καὶ σταθμοὶ, αἱ τῶν ζώων ἐπαύλεις. οἱ δὲ ὕστερον, καὶ ἐπὶ ναοῦ ἔθεντο τὴν λέξιν μὴ ἀπαξιώσαντες τοὔνομα, διὰ τὸ καὶ ἐν βωμῷ τοιαῦτα ζῶα ἐπὶ θυσίᾳ ἵστασθαι.

Σηκολόαι, λησταί.

Σήκονις, χώρα.

Σηκὸς, ἐπιγράφεταί τις λόγος, ἐν ᾧ δῆλόν ἐστιν, ὡς περὶ ἐλαίας ἐκκοπείσης ὁ λόγος ἐστί. γράφει δὲ καὶ ταυτὶ ὁ ῥήτωρ, ὃς δύο ἔτη ἐγεώργησεν οὔτε ἰδίαν ἐλαίαν, οὔτε μορίαν, οὔτε σηκὸν παραλαβών. μήποτε οὖν τὰς μὲν ἰδιωτικὰς, ἐλαίας καλοῦσι, τὰς δὲ δημοσίας, μορίας. σηκὸν δὲ, ὡς ἔοικε καὶ μορίαν ὀνομάζουσι τὴν αὐτήν.

Σηκὸς, ὁ ναὸς, καὶ ἡ τῶν προβάτων ἔπαυλις, στηκός τίς ἐστι, καὶ γὰρ σταθμός ἐστιν, ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῷ τὰ ἀγάλματα.

Σηκουάνοι, καὶ σηκολάκιοι, ἔθνη.

Σηκυῖα, τὸ σηκυαστήριον.

Σηκῷ, οἴκῳ, ἐν ᾧ ἔφηβοι γυμνάζονται, ἢ βαθεῖ τόπῳ.

Σηκωτὴρ, ὁ ἀναφορεὺς τοῦ ζυγοῦ.

Σήλατο, ἔσεισεν, ἐτίναξε, κατέβαλεν, ἔρρηξε.

Σήλεκτος, χαμοδικαστής.

Σήλια, τὰ μικρὰ πιθάρια, καὶ σκεῦος ἀρτοποιητικόν.

Σῆμα, τὸ σημεῖον, καὶ ὁ τάφος, ἢ ναοῦ εἶδος.

Σῆμα, καὶ τὰ παρ' αὐτοῦ, οἷον ἄσημος. καὶ ἄσημον ἀργύριον, τὸ μὴ κεχαραγμένον. ἐπίσημος, ἀρίσημος τὸ αὐτὸ ποιητικῶς, καὶ παράσημος.

Σημαία, τὸ φλάμουλον, ἢ σημεῖον.

Digitized by Google

Σημαίνω σοι τάδε, ἀντὶ τοῦ δηλῶ. καὶ σημαίνω, τὸ ἄρχω. παρ' Ὁμήρῳ, ἄλλοισι δὴ ταῦτ' ἐπιτέλλεο, μὴ γὰρ ἐμοί γε σήμαινε.

Σημαίνειν, προστάττειν, ἄρχειν, δεικνύειν, δικάζειν, βουλεύεσθαι, σαλπίζειν.

Σημάντορες, ἡγεμόνες, παρὰ τὸ σημαίνω, τὸ προστάσσω. Ἰλιάδος α', μὴ γὰρ ἔμοιγε σήμαινε. καὶ σημάντορες, ἡνίοχοι.

Σήμαντρα, αἱ σφραγῖδες.

Σημασία, δήλωσις, καὶ φανέρωσις.

Σήματα ἀναγνώσῃ, ἀντὶ τοῦ ἀναγνωρισάσῃ. ἔμπεδά δὲ σήματα, τὰ μὴ εἰκότα καὶ κατά τινα στοχασμὸν, ἀλλὰ τεκμηριώδη, καὶ ἀληθῆ.

Σήματα, τέρατα, σημεῖα. Ἀττικοὶ δὲ μνήματα.

Σημαχίδαι, δῆμος τῆς Ἀντιοχίδος φυλῆς.

Σημεῖόν ἐστι, θαῦμα οὐκ εἰθισμένον.

Σημεῖόν ἐστι, πράσεως τινὸς παρηλλαγμένης τὴν κοινὴν τῶν ἀνθρώπων συνήθειαν ἐπίδειξις.

Σημεῖόν ἐστι, σύνθημα πρὸς ἄπταιστον γνῶσιν. εἴρηται δὲ παρὰ τὸ σημαίνειν, τὸ ἀγνοούμενον πρᾶγμα. δεῖ δὲ τὸ σημεῖον παρεῖναι, καὶ κατ' ἐνεστὸς θεωρεῖσθαι. τὸ δὲ ὑπ' αὐτοῦ σημαινόμενον πρᾶγμα, τοῖς τρισὶ πολλάκις συγκαταμερίζεται χρόνοις. ἔστι γὰρ καὶ παρόντα παρόντων σημεῖα, ὡς ὁ ἐξιὼν ἐκ τῆς οἰκίας καπνὸς, τοῦ ἔνδον καιομένου πυρός. ἔστι δὲ καὶ παρόντα μελλόντων, ὡς ἡ ὁρωμένη τῶν νεφῶν συνδρομὴ, τοῦ ἐσομένου ἐπὶ τὴν γῆν ὑετοῦ. ἔστι δὲ καὶ παρόντα παρεληλυθότων, ὡς τὰ τῆς ἀνθρακιᾶς λείψανα, τὸ κεκαῦσθαι ὑπ' αὐτῆς τὴν πυρκαϊάν. ἡ μέντοι γραφὴ τὰ παράδοξα, καὶ παραστατικὰ σημεῖα καλεῖ.

Σήμερον, κοινῶς, τήμερον Ἀττικῶς, ἐπίρρημα καιροῦ παραστατικὸν, πᾶσι χρόνοις συντάσσεται, χωρὶς τοῦ ὑπερσυντελίκου, καὶ μέλλοντος.

Σημῆνασθαι, σφραγίσασθαι.

Σημόκοινος, ἡ ἀνατολή.

Σήμων, παρὰ τὸ σῶ, τὸ σωρεύω.

Σῆνα, θυσία. Λάκωνες.

Σὴν χάριν πράττω τάδε, λέγουσιν Ἀττικοὶ, ἀντὶ τοῦ εἰπεῖν, διὰ τὸ σὸν θέλημα ποιῶ τάδε, καὶ σοῦ ἕνεκεν ποιῶ τάδε.

Σήνασα, προσγελάσασα, προσπαίξασα.

Σηνιαστήριον, τὸ κόσκινον.

Σηνίκη, ἄτροχος ἅμαξα, καὶ τὸ τετράπουν ζῶον σαύρᾳ παραπλήσιον, καὶ ζῶον πολύπουν, ὅμοιον τοῖς κατοικιδίοις ὄνοις.

Σηνοῦροι, ταῖς οὐραῖς σαίνοντες.

Σηπεδὼν, σῆψις.

Σῆπες, ζῶα ἑρπετὰ, οἱ ὄφεις.

Σῆπες, σκώληκες, ἡ εὐθεῖα ὁ σήψ, τοῦ σηπός.

Σὴς, ὁ σκώληξ, καὶ κλίνεται σητός.

Σηπετοῦ, σηπεδόνος.

Σηπία, εἶδος ἰχθύος.

Σηπιὰς, ἀκρωτήριον ἐν Ἰωλκῷ, οὕτω καλούμενον διὰ τὸ τὴν Θέτιν ἐνταῦθα εἰς σηπίαν μεταβληθῆναι διωκομένην ὑπὸ Πηλέως.

Σηπιαλὶς, εἶδος ἀμπέλου.

Σηπόοντο, ὁρμὴν ἐλάμβανον.

Σήπω, παρὰ τὸ σὴς σητὸς, ὃ σημαίνει τὸν σκώληκα. σήπω καὶ σήπω, ὁ μέλλων σήψω, ὁ ἀόριστος ἔσηψα, ὁ δεύτερος ἔσαπον, ὁ δεύτερος παθητικὸς ἐσάπην.

Σὴρ, ὁ σκώληξ, καὶ κλίνεται σηρός. καὶ σηρικὰ ἱμάτια, τὰ μεταξωτά.

Σήραγγες, κοιλώδεις τόποι, ἢ τὰ χάσματα τῆς γῆς, ὁ σήραγξ τοῦ σήραγγος.

Σήραγξ, ὁ βαθὺς, καὶ κρημνώδης τόπος. σήραγξ, καὶ σήραγγες, αἱ ὑπὸ γῆν ὑπομήκεις ἐκρήξεις, οἱονεὶ φλέβες τινὲς οὖσαι τῆς γῆς, ἃς ὑποτρέχον τὸ ὕδωρ διέξοδον ζητεῖ. ἐντεῦθεν σηραγγώδης τόπος εἴρηται, ὁ κοῖλος καὶ διατετρημένος, ἀπὸ τοῦ σεσηρέναι.

Σηρὰ, σκύλα, ἢ δεσμὸς πλεκτός.

Σήραμβος, εἶδος κανθάρου.

Σῆρες, ζῶα νήθοντα τὴν μέταξαν. ἢ ὄνομα ἔθνους, ὅθεν ἔρχεται καὶ τὸ ὁλοσηρικόν.

Σηριγγώδεα, χαῦνα, ἀραιὰ, πολλοῖς τρήμασι διειλημμένα. ταῦτα δὲ τὰ τρήματα, σήριγγές τε καὶ σήραγγες ὀνομάζονται, καὶ τὸ τοιοῦτον σῶμα, σηριγγῶδές τε καὶ σηραγγῶδες.

Σηρίον, θηρίον.

Σησάγγιον, χωρίον τι τοῦ Πειραιέως, οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν γεωργοῖς.

Σησαμῆ, παρὰ τὸ ἐν τοῖς γάμοις ἔθος. ἐδόκουν γὰρ ἐν τοῖς γάμοις σήσαμον διδόναι, ὅς ἐστι πλακοῦς γαμικὸς, ἀπὸ τοῦ σησάμου πεποιημένος διὰ τὸ πολύγονον, ὥς φησι Μένανδρος. σησαμοῦς δὲ καὶ σησαμῆ διαφέρει. σησαμοῦς μὲν γὰρ, εἶδος πλακοῦντος. σησαμῆ δὲ, ἣν φαμὲν ἡμεῖς σησαμίδα. σήσαμα δὲ, καὶ μήκωνες, καὶ σισύμβρια φύλλα, αἷς στεφανοῦνται οἱ νυμφίοι, καὶ σησαμοῦντια πόπανα.

Σησάμιον καὶ σησαμοῦντα, τὰ ψαιστὰ καὶ σησαμοῦντα τεύχη.

Σησαμὶς, ἡ οὕτω δὴ καλουμένη παρὰ τῷ Ἱπποκράτει.

Σησαμία, εἶδος φυτοῦ.

Σήσαμος, πόλις Παφλαγονίας. Ὅμηρος, καὶ σήσαμον ἀμφενέμοντο.

Σησαμοῦντες, ἄλλο σησαμοῦς, καὶ ἄλλο σησάμη. σησαμοῦς μὲν, εἶδος πλακοῦντος. σησάμη δὲ, ἣν ἡμεῖς καλοῦμεν σησαμίδα. ἴτρια δὲ καὶ πυρώδη πλάσματα.

Σησίδα, τὴν κατ' οἶκον διάκονον λέγουσιν, ἢν καὶ θεράπαιναν.

Σῆσιν, ταῖς σαῖς.

Σῆσιν ἔχε φρεσὶν, ἐν ταῖς σαῖς φύλασσε διανοίαις, καὶ κατὰ ψυχῆς ἔχε καὶ διαμνημόνευε.

Σηστὸς, * Πόλις πρὸς τῇ Προποντίδι. ἐπὶ τῆς πόλεως διὰ τοῦ η γράφεται. ἐπὶ δὲ τοῦ σειομένου, διὰ διφθόγγου.

Σῆστρα, κόσκινα, ἢ κύμβαλα.

Σητάνειος, ὁ καθαρὸς ἄρτος. * ἐκ τοῦ σήθω, τὸ κοσκινίζω. καὶ Σητάνιος πυρὸς, ὁ τοῦ ἐνεστηκότος ἔτους, τουτέστιν ὁ κατὰ τὸ ἔαρ ἐσπαρμένος, ὁ ἐπέτειος.

Σηταῖον, σεσημένον. καὶ σηταῖον χωρίον.

Σητείους, νέους.

Σητόβρωτα, ὑπὸ σκώληκος βεβρωμένα.

Σητοδοκίδες ψίχαι, ἢ πτηνὰ ζῶα.

ΤΟ' Σ'. ΜΕΤΑ' ΤΟΥ Θ'. ΚΑΙ Ι'.

Σθεναρὰ, ἰσχυρά.

Σθενία, ἀγών τις ἐν Ἄργει οὕτω προσηγορεύετο.

Σθένος, δύναμις. καὶ σθένω, τὸ δύναμαι.

Σιάδες, θυσία, παρὰ Λάκωσι.

Σίαι, πτῆσαι. Πάφιοι.

Σιαλενδεὶς, ποιὸς ὄρνις, παρὰ Καλλιμάχῳ.

Σίαλος χοῖρος, ἐντρόφιος παρὰ τὸ ἅλις σιτεῖσθαι αὐτὸ δὲ τὸ συὸς, σιάλοιο ψαδοπαρηχεῖται.

Σιαγόνες, ὅτι σείονται περιαγόμεναι, ἢ παρὰ τὸ σιγᾶν, ἐν αἷς ἐστὶ σιγᾶν, καὶ λέγειν ἀνοιγομέναις, ἢ παρὰ τὸ τὰ σιτία ἄγνυσθαι δι' αὐτῶν.

Σιαλίδων, διαλόγων.

Σιαλίζειν, ὅπερ ἴσον τὸ καταπτᾶν, ἑτέρου ἐσθίοντος, ἢ καὶ περὶ δεῖπνον διαλεγομένους καταπίνειν τὸν σίαλον.

Σιαλὶς, βλέννος. Ἀχαιοί.

Σίαλον, ἁπαλοτροφέα φασὶν οἱ παλαιοὶ τὸν ἤδη χοῖρον ἁπαλοτροφέα λεγόμενον, πρὸς διαστολὴν τῶν συάγρων. σίαλος γὰρ ὁ ἐν οἴκῳ τρόφιμος, παρὰ τὸ σιτεῖσθαι ἅλις.

Σιαλοπάλλαγος, ὁ παράληρος, καὶ ἀνόητος.

Σιαλὸρ, θαλίς. Λάκωνες.

Σιάλου δαιδὸς, καὶ σιάλου αἰγὸς, τοῦ λιπαροῦ. σιπόδει, ἤτοι τῷ ἐκ τῶν σιτανείων πυρῶν, ἢ διασεσησμένων καὶ καθαρῶν, παρὰ τῷ Ἱπποκράτει.

Σίαλος, λέγουσιν οὕτω καλεῖσθαι, διὰ τὸ σιτεῖσθαι ἅλις. καὶ σίαλος, ὁμοίως ὁ σιτευτὸς χοῖρος, παρὰ τὸ σιτεῖσθαι ἅλις.

Σιαλόχους, τοὺς προσραίνοντας σίαλον, ἐν τῷ προσδιαλέγεσθαι.

Σιαλώδη, λιπαρὰ πίονα, παρὰ τῷ Ἱπποκράτει.

Σίαλωμα, μέρος τι τοῦ ὅπλου τοῦ καλουμένου θυραιοῦ.

Σιαλῶσαι, ποικίλαι.

Σίαρ, θίασοι. Λάκωνες.

Σιβαία, ἡ σίββα, πήρα.

Σίβδαι, αἱ ῥοιαὶ, πλεονασμῷ τοῦ β.

Σιβδία, σιδία.

Σίβληθρα, πόπανα τὰ περικεκνισμένα.

Σὶ βόλε, τί θέλεις. Κύπριοι.

Σίβυλλαι, τρεῖς ἐγένοντο. ὧν ἡ μέν ἐστιν ὡς Φιλήτας ὁ Ἐφέσιος διὰ τῆς ποιήσεως φησιν, Ἀπόλλωνος ἀδελφή. δευτέρα δὲ, ἡ Ἐρυθραία. τρίτη δὲ, ἡ Σαρδιανή. καὶ Βάκιδες ὁμοίως τρεῖς. ὁ μὲν ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκάς. Θεόπομπος δὲ ἐν τῇ ἐνάτῃ τῶν φιλιππικῶν, τά, τε ἄλλα πολλὰ περὶ τοῦ Βοιωτοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ Λακεδαιμονίων μανείσας τὰς γυναῖκας ἐκάθηρεν, Ἀπόλλωνος αὐτοῖς τοῦτον καθαρτὴν δόντος.

* Σίβυλλα. Ῥωμαϊκὴ λέξις ἐστὶν, ἑρμηνευομένη προφῆτις, ἤγουν μάντις. ὅθεν ἑνὶ ὀνόματι αἱ θήλειαι, μάντιδες ὠνομάσθησαν. Σίβυλλαι τοίνυν ὡς πολλοὶ ἔγραψαν, γεγόνασιν ἐν διαφόροις τόποις καὶ χρόνοις, δέκα τὸν ἀριθμὸν.

Σιβυλλιᾷ, χρησμῶν ἐρᾷ, καὶ ἐπιθυμεῖ. ἢ παραληρεῖ. ἐπειδὴ ἡ Σίβυλλα μακρόβιος, ἢ τοῖς χρησμοῖς ἥδεται. ἢ ἀπατᾶται, μαντικῶς ἔχει, χρησμοὺς φαντάζεται. χρησμολόγος γὰρ ἡ ἐρυθραία ἦν Σίβυλλα. ἢ μέγα φρονεῖ, καὶ ἐπαίρεται.

Σιβυλλαίνω, ἐνθεάζω.

Σιβύνη, ὅπλον δόρατι παραπλήσιον. * ἀκόντιον ῥωμαϊκόν.

Σίγα, σιώπα, ἡσύχως ἔχε. ἔχ' ἀτρέμας, ἡσυχίαν ἄγε, ταυτὸ σημαίνει, σιωπῆσαι πρὸς σὲ, οὐκ ἂν δυναίμην.

Σιγάζοντος. Ξενοφῶν ἐν ἀναβάσει, ἐπὶ τοῦ σιγᾶν λιπαροῦντα.

Σιγαλόεντα, ἤτοι ἀδιάσειστα, ἢ λαμπρὰ καὶ ποικίλα τῇ κατασκευῇ, ἢ τὰ μεγάλως καὶ ποικίλως κατεσκευασμένα. τὰ θαυμαστὰ, καὶ σιωπὴν ἐκ τοῦ θαύματος ἐντιθέμενα, οἱονεὶ σιγαλόεντά τινα ὄντα.

Σιγαλόεντα, τὰ σιγὴν δηλαδὴ ἐμποιοῦντα δι' ἔνδειξιν. ἢ σιγηλὰ καὶ ἄκτυπα, δι' ἁπαλότητα. Ἕρμιππος δὲ, καὶ ἀμύγδαλα σιγαλόεντα λέγει τὰ εὔθραυστα, ὁποῖα τὰ λεγόμενα θάσια.

Σιγαλόεντα δώματα λέγει, τὰ ἐμποιοῦντα σιγὴν τῷ βλέποντι, διὰ τὸ θαυμαστὰ εἶναι. ἔνιοι σιγαλόεντα, τουτέστι κατεστιγμένα πρὸς κάλλος, ἐλλείψει τοῦ γ. ἢ ἁπαλὰ, καὶ μὴ ψοφοῦντα. ἢ σιγὴν ποιοῦντα τῷ βλέποντι, διὰ τὸ εὖ πεποιῆσθαι. ὅθεν καὶ οἶκοι σιγαλόεντες, οἱ ἄλλως ἠχήεντα δώματα λέγονται.

Σιγαλφοί, οἱ ἄφωνοι, καὶ οἱ ἄγριοι τέττιγες.

Σιγαλώματα, τὰ περιαπτόμενα ταῖς ὠαῖς.

Σίγειον, πόλις ἐστὶ τῆς Τρωάδος, οὐκ ἄπωθεν τοῦ Ἰλίου.

Σιγέρπης, λαθροδάκτης.

Σίγη, θίγγανε. Λάκωνες.

Σιγὴ, παρ' Ὁμήρῳ κεῖται ἐν Ὀδυσσείας ω', καὶ λέγεται κατὰ σχῆμα ἐλλειπτικὸν, οἷον σιγὴ νῦν, λείπει ἔστω. εἰ δὲ περισπᾶται τὸ σιγῆ, δηλοῖ σιγῇ νῦν ἔχετε, ἢ μένετε.

Σιγὴ, ἀναλόγως δοκεῖ ἐκτείνειν τὴν παραλήγουσαν, ὡς ἐκ τοῦ σίσιγα μέσου παρακειμένου, οὗ τὸ θέμα σίζω κείμενον ἐν Ὀδυσσείᾳ. εἰ δὲ καὶ ὁ τοῦ αὐτοῦ θέματος ἐνεργητικὸς παρακείμενος ὁ σέσιγα παράγει τὸ σίχος ὁ ἀπόπτυστος, καὶ πλεονασμῷ τοῦ κ σικχὸς, κατὰ τὸ βάζω βάξω βέβαχα βάχος καὶ βάκχος, εἴη ἂν καὶ αὐτὸ ἀνάλογον. δῆλον δὲ, ὅτι ἐκ τοῦ σικχὸς καὶ ῥῆμα ἐστὶ σικχάζω.

Σιγηλὸς, ἄφωνος.

Σιγηλὸς, ὁ σιωπηλός.

Σιγημονᾷς, σιγᾷς.

Σιγηρῶς, σιγηλῶς, ἡσύχως.

Σίγκηρες, ὑπηρέται, βάρβαροι.

Σίγλαι, ἐνώτια.

Σίγλον, νόμισμα περσικὸν, δυνάμενον ὀκτὼ ὀβολοὺς Ἀττικοὺς, καὶ εἶδος ἐνωτίων. Ξενοφῶν ἐν ἕκτῃ ἀναβάσεως λέγει. δύναται δὲ ὁ σίγλος δύο δραχμὰς Ἀττικάς.

Digitized by Google

Σιγλοφόρων, στάσις ἀνύχων. τὰς χαταχλεῖδας τῶν ἐνωτίων σίγλα φασίν. οἱ δὲ αὐτὰ τὰ ἐνώτια. ἔστι δὲ νόμισμα σαρδονικὸν δυνάμενον ὀκτὼ ὀβολοὺς Ἀττικούς.

Σίγρον, λιμὴν Τενέδου ἡρῷον ἔχων σίγρου Ἀρτέμιδος. οὕτως Ὧρος.

Σίγραι, τῶν ἀγρίων συῶν οἱ βραχεῖς, καὶ σιμοί.

Σιγωὼν, μικρὰ ἀσπίς.

Σίγυμνον, σημείωσαι, ὅτι ὥσπερ εἶδος ἀκοντίου ἡ αἰγανέα, οὕτω καὶ σίγυμνον παρὰ Λυκόφρονι καὶ γαῖον, ἢ γαῖος δόρυ, ὁλοσίδηρον παρὰ τῷ Παυσανίᾳ. ἢ ἐμβόλιον ὁλοσίδηρον. καὶ ἡ ἀγκύλη δὲ, ἀκόντιόν ἐστι τί. ὅθεν καὶ οἱ ἀκοντισταὶ, ἀγκυλισταί. ἀπ' αὐτῆς δ' ἔτι ἐκηβόλον μεσάγκυλον παρωνόμασται. ὡς δηλοῖ παρ' Εὐριπίδῃ, τὸ τρῶσαι μὲν τόξοισι καὶ μεσαγκύλοις, σφενδόναις θ' ἐκηβόλοις.

Σιγωῦες ἰχθῦς ἀναχόμενοι. Ἀπολλώνιος ἀλλαχοῦ μὲν ἀσπιδίσκια μικρὰ πελτάρια λεγόμενα. ἐνταῦθα δὲ δόρατα ὁλοσίδηρα. ταῦτα δὲ ἐπεποίητο εἰς θήραν συῶν τὸ παλαιὸν, διὰ τὸ ἄγαν θερμὸν καὶ ἰσχυρὸν τοῦ ζώου. ἔνθεν καὶ σιγυννος εἴρηται, σὺν καινός τις ὤν, ὁ τοὺς σῦς καίνων, οἱονεὶ κεντῶν. καὶ οἱ Κύπριοι δὲ τὰ δόρατα, σιγυῦνς φασί.

Σιγυῦνς καλοῦσιν οἱ Κύπριοι, τὰ ἀκόντια. ἄλλοι δὲ τὰ ὁλοσίδηρα ἀκόντια.

Σιγῶ, καὶ σιωπῶ, μεταβατικῶς τὰ ἀπόρρητα, αἰτιατικῇ. σίγα προστακτικὸν, ὃ καὶ παροξύνεται. σῖγα, ἀντὶ τοῦ σιωπηλῶς ἔχε, προπερισπᾶται, ἐπὶ βραχὺ τὸ γα ἐστί.

Σιγῶ, σιγὴ, σιωπή. σῖγα ἐπίρρημα ἀντὶ τοῦ σιωπηλῶς γίνομαι, τὸ βλάπτω. ἀφ' οὗ σῖνος, τὸ βλάβος. σίνηπι, ὃ καὶ νάπυ λέγεται. σῖτος, ἀφ' οὗ σιτοπώλης, σιτώνης, Σινώπη χώρα, Σίμων σιμωνίδης. Σιδὼν, ὄνομα πόλεως. Σικανοὶ, οἱ Σικελοὶ, σίδηρος. Σιὼν, ἡ Ἱερουσαλήμ. Σισάρα, κύριον. σισύρα, ἡ γοῦνα. Σίδη, ἡ ῥόα, καὶ ὄνομα πόλεως. σύμβλον, τὸ τῶν μελισσῶν οἴκημα. σίκυα, οἱ νῦν ἰδίως πέπονες, καὶ τὰ κοινῶς τετράγκουρα, Σίβυλλα, ἡ προφῆτις. Σινὰ, ὄνομα ὄρους. σίελος, τὸ κοινῶς σάλος ἀρσενικῶς. ὃ σίαλον λέγεται οὐδετέρως, διὰ τοῦ α παρ' Ἀττικοῖς, σιγηλὸς Ἀττικῶς διὰ τοῦ λ. παρὰ δὲ τοῖς ἄλλοις Ἕλλησι διὰ τοῦ ρ, σιλλὸς, ὁ μωρός. σιλαίνω, τὸ μωραίνω. σιφλὸς, ὁ ἐπίψογος. σίντης, ὁ βλαπτικός. σιπύα, σιτηρὸν ἀγγεῖον. σιῤῥὸς, ὁ λάκκος. σιμὸς ὁ τὴν ῥῖνα ἔχων συνιζηκυῖαν, καὶ μὴ ἐκκρεμαμένην. σιτηρέσιον, τὸ διδόμενόν τισιν εἰς τροφήν. σίγειον, πόλις τῆς Τρωάδος, οὐκ ἄπωθεν τοῦ Ἰλίου. σιτίζω τὸ παιδίον, ἀντὶ τὸ ψωμίζω. ἀφ' οὗ καὶ ἐπισιτίζεσθαι. σιτοφύλακες, ἀρχή τις Ἀθήνησι, ἥ τις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται, καὶ τὰ ἄλφιτα, καὶ οἱ ἄρτοι.

Σίδαι, ῥοιαί.

Σίδαιον, ἑτεροκρανές.

Σιδαρέοι, παρὰ Ἀριστοφάνει ἐν νεφέλαις, σιδαρέοι Θεοὶ, ὡς ἐν Βυζαντίῳ. ἔτι εἰσὶν ἐν τῷ λεπτῷ νομίσματι. ᾧ σιδηρῷ ὄντι καὶ ἐλαχίστῳ, ἐχρῶντο οἱ Βυζάντιοι.

Σιδάρεος, χαλκοῦς.

Σίδειος, ὁ τῆς σίδης καρπός. σίδη δὲ, ὁ τῆς ῥοιᾶς φλοιὸς, ἤ.

Σίδη. Θεόφραστος φυτὸν ἕτερον τῆς ῥοιᾶς φησιν εἶναι τὴν σίδην. φύεσθαι δὲ, ἐν τῷ Νείλῳ.

* Σίδη, πόλις Παμφυλίας. ἔστι δὲ αὕτη. μητρόπολις τῶν κατὰ Παμφυλίαν πόλεων, κληθεῖσα οὕτως ἀπὸ Σίδης, θυγατρὸς μὲν Ταύρου, γυναικὸς δὲ Μάλου. ὁ πολίτης, σιδήτης.

Σιδηρέα ψυχὴ, καὶ σιδήρεος ἔνδοθι θυμὸς, οὐ μόνον ἀπήνειαν δηλοῖ, ἀλλά που καὶ στεῤῥότητα, τοιοῦτον καὶ τὸ χάλκεον ἦτορ. τοιοῦτος δέ τις νοῦς καὶ ἐν τῷ ὀφθαλμοὶ, ὡσεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος.

Σιδήρεον οὐρανὸν ἵκει, ὅμοιον μέν ἐστι τῷ, αὐτὰρ δ' οὐρανὸν ἵκεν, ὅπερ ἐν Ἰλιάδι ἐπὶ μάχης κεῖται. Σιδήρεον δὲ οὐρανὸν δηλοῖ, τὸν ἐν ἄλλοις χάλκεον, ὡς ἀδιάφορον ὂν, οὕτως εἰπεῖν.

Σιδηρᾶν, ὡς ἀργυρᾶν, περισπωμένως.

Σιδηρεῖτην τέχνην, τὴν πολεμικήν. ἄλλοι δὲ τὴν ἀνδρείαν φασὶν, ἤγουν τὴν χαλκευτικήν. ἔτι δὲ καὶ πόαν, τὴν ἐλξίνην καλουμένην. καὶ λίθος, ἀφ' οὗ οἱ μεταλλεῖς φασι γίγνεσθαι τὸν σίδηρον.

Σίδηρος, ἀπὸ τοῦ σίζω, τὸ ἦχον ἀποτελῶ. τὸ δὴ, ἤ. σίδαρος γὰρ Δωρικῶς λέγεται, ἢ Αἰολικῶς. τὸ δὲ σιδηρᾶ ἐστι κτητικὸν, ἀπὸ τοῦ σιδηροῦς.

Σιδηροῦς ἀνὴρ, στεῤῥὸς ἀνὴρ, καὶ ἀτέραμνος.

Σιδηροφόρων, πρὸς τὸ σιδήρειον ἦτορ ἀφορᾷ. τὸ δὲ κὰκ πέτρας, πρὸς τὴν στερεωτέραν λίθου καρδίαν σιδήρεος ἐν φρεσὶ θυμὸς, καὶ κῆρ αὐτῇ ἐστὶν ἀτέραμνον. σημείωσαι, ὅτι τὰ ἠθικὰ ταῦτα ὁμηρικά. ἡ παροιμία βαρύτερον μεταλαβοῦσα, ἔφη τὸ ἀναίσχυντος καὶ σιδηροῦς ἄνθρωπος, ὅτι καὶ θρασύτητος λάλημά ἐστι σίδηρος, δηλοῖ Ἀριστοτέλης ἐν τῇ κατ' αὐτὸν ῥητορικῇ, φάμενος γυναῖκα θρασεῖαν σιδηρῶ, τὸ οἰκεῖον φορεῖν ὄνομα.

Σιδιοειδοῦς, ὠχρᾶς ὡς σίδου. παρὰ τῷ Ἱπποκράτει.

Σιδίῳ, κόκκῳ ῥοιᾶς.

Σιδίων, ἐκ τῶν λεπύρων τῶν ῥοιῶν. Ἀριστοφάνης, ἐκ τῶν σιδίων βατράχους ἐποίει, καὶ ἐκ τῶν δερμάτων τροχοὺς καὶ ἁμάξια.

Σιδόνιοι, Φοίνικες. καὶ οἱ τὴν ἐρυθρὰν οἰκοῦντες θάλασσαν.

Σιδουντιὰς, κώμη τῆς Κορινθίας.

Σίδριμνον, εὔζωνον.

Σιδὼν, πόλις ἐστὶ Φοινίκης, καὶ κλίνεται σιδῶνος. φυλάττει δὲ τὸ ω μέγα ἐν τῇ γενικῇ. οἷον, ἐκ μὲν Σιδῶνος πολυχάλκου εὔχομαι εἶναι. καί τοι τὸ τοπικὸν αὐτῆς, πανταχοῦ κατὰ συστολὴν ὁ Ποιητὴς προάγει, τὸ σιδόνιος, τὸ σιδονίη. πολύχαλκος δὲ Σιδὼν λέγεται, ἢ διὰ τὸ ὀχυρὸν, ἵνα δηλοῖ ἡ λέξις τὴν στεῤῥάν. ἢ ἡ πλουσία, διὰ τὴν ἐν αὐτῇ πορφύραν. χαλκὸς γὰρ περὶ αὐτὴν οὐ γίνεται. καὶ ἄλλοι δὲ τόποι τῆς Φοινίκης πορφυροφόροι εἰσίν. ἐπαινεῖται γοῦν καὶ ἡ τυρία πορφύρα.

Σιεὶρ, ὄρος.

Σίελη σκοτοδίνη. καὶ ἀντὶ τοῦ σκοτοδινιῶ.

Σίζε, σίζω ὠνοματοπεποίηται. ὀνοματοποιΐα δὲ ἐστὶ, φωνῆς μίμησις πρὸς τὴν ποιότητα τοῦ ὑποκειμένου ἤχου, ὡς τὸ σίζε.

Σίζειν, ὀνοματοποιεῖται πρὸς ἦχον στοιχείου σ, ὥσπερ ζέειν, κατὰ τὸ ζ. καὶ τὸ ξέειν, κατὰ τὸ ξ. καὶ ὁ ῥοῖζος, κατὰ τὸ ρ στοιχεῖον.

Σιζοῦς, ἄγναφος.

Σίζουσα, ἀντὶ τοῦ ζέουσα.

Σίκα, ὗς. Λάκωνες.

Σικανίαν, τὴν Σικελίαν φασί τινες, περὶ ἣν ἡ πλείων τοῦ Ὀδυσσέως γέγονε πλάνη, διὸ καὶ Ὀδυσσεὺς οὐκ ἀφυῶς αὐτῆς μέμνηται. ἣν δὴ Σικανίαν οἰκίσαι καὶ καλέσαι λέγονται Ἴβηρες, ἐλθόντες ἀπὸ Σικανοῦ ποταμοῦ. Διόδωρος δέ που ἐν τῷ δωδεκάτῳ βιβλίῳ εἰπὼν, περί τε Σικελῶν καὶ Σικανῶν διαφορὰν οἶδεν, ὡς προεῤῥέθη, Σικελοῦ καὶ Σικανοῦ.

Σικανίαν, τὴν Σικελίαν φασί τινες, ἣν οἰκίσαι καὶ καλέσαι λέγονται Ἴβηρες, ἐλθόντες ἀπὸ Σικανοῦ ποταμοῦ.

Σικανοὶ, χοροί τινες.

Σικανὸς, πονήρευμα ἐνεδρευτικὸν, αἴτιον, κεκρυμμένον, παρὰ τῷ Ἱπποκράτει.

Σικελία, τρία ἀκρωτήρια ἔχει, Πάχυνον, Πελωρίδα, καὶ Λιλύβαιον. ὅθεν τρινάκρια ἐκλήθη ἡ Σικελία.

Σικελίζειν, ἀυστηρεύεσθαι. οἱ δὲ, πονηρεύεσθαι.

Σικελοί. διαφορὰν φασί τινες Σικελιωτῶν καὶ Σικελῶν, τὸ τοὺς μὲν Ἕλληνας, τοὺς δὲ βαρβάρους εἶναι. φησὶ γοῦν Αἴλιος Διονύσιος, ὅτι Ἰταλοὶ μὲν, οἱ βάρβαροι. Ἰταλιῶται δὲ, οἱ ἐπῳκηκότες Ἕλληνες τὴν Ἰταλίαν. οὕτω καὶ Σικελοί φασι καὶ Σικελιῶται διαφέρουσιν. οὐκ ἔτι δὲ ἀνάλογον Θεσσαλοί φασι καὶ Θεσσαλιῶται πρὸς ἀλλήλους ἔχουσιν, ἀλλ' ἐκ τοῦ ἐναντίου σχεδόν. ἔθνος γάρ τι τῶν ὑπεροικούντων τὴν Θετταλίαν βαρβάρων, Θεσσαλιῶται καλοῦνται.

Σικελοὶ ὁμοίως τοῖς Κολοφωνίοις δοτικῇ χρῶνται ἀντὶ γενικῆς, τῆς παρὰ προθέσεως ἔξωθεν λαμβανομένης. οἷον, δέξαι ἱερεῖα, ἀντὶ τοῦ παρὰ τῆς ἱερείας. καὶ Ὅμηρος, Θέμιδι δὲ καλλιπαρήῳ δέξατο δέπας, ἀντὶ τοῦ παρὰ τῆς Θέμιδος. καὶ δέξατο οἱ σκῆπτρον πατρώϊον, ἀντὶ τοῦ παρ' αὐτοῦ.

Σικελὸς, ὁ ἐξ αὐτῆς τῆς Σικελίας. Σικελιώτης δὲ, ὁ ἐξ ἀλλοδαπῆς ὢν, ἔπειτ' ἐν Σικελίᾳ διατρίβει, ἢ κατοικεῖ.

Σίκερα, οἶνος συμμιγὴς ἡδύσμασιν. ἢ πᾶν πόμα ἐμποιοῦν μέθην, μὴ ἐξ ἀμπέλου δὲ σκευαστὸν, ἀλλὰ συνθετόν.

Σίκημα, σίκημά ἐστι τὸ ἐξαίρετον χωρίον τοῦ Ἰωσὴφ, παρὰ τοῦ Ἰακὼβ δεδομένον, τύπος τῆς διαθήκης τῆς μόνῳ δοκούσης τῷ Ἰσραὴλ δεδωρῆσθαι. ἔστι δὲ ὀνοματόπου. γράφεται δὲ ἀπὸ παραδόσεως τὰ δύο ιι εἰς τὸν πεντηκοστὸν ἔννατον ψαλμὸν, εἰς δὲ τὸ ἄλλο ἐτυμολογικὸν ἔγκειται καὶ αὕτη ἡ προφητικὴ ῥῆσις γεγραμμένη.

Σίκιννος, σατυρικὴ ὄρχησις, ἐμμελία δὲ τραγικὴ, κόρδαξ δὲ κωμική. ὡς Ἀριστόξενος ἐν πρώτῳ περὶ τραγικῆς ὀρχήσεως. εἴρηται δὲ σίκιννις, παρὰ τὸ σείεσθαι καὶ κινεῖσθαι, ἢ ἀπὸ τοῦ Σικανοῦ, τοῦ Ἀθηναίων Βασιλέως.

Σίκινος, νῆσός τις πρὸ τῆς Εὐβοίας, τὸ πρότερον Οἰνοίη καλουμένη, διὰ τὸ εἶναι αὐτὴν ἀμπελόφυτον. μετωνομάσθη δὲ ὕστερον ἀπὸ τοῦ Σικίνου, υἱοῦ Θόαντος καὶ Νηΐδος νύμφης.

Σίκκα, κούφη.

Σίκλαι, ἐνώτια.

* Σίκλον ἀργυρίων ε. Μωϋσῆς φησιν ἐν τῇ Παλαιᾷ.

Σίκλος, οἱ τέσσαρες ὀβολοί.

Σικλὸς, βάρβαρος σικός.

Σικουνία, χώρα.

Σίκυα, τὰ ἀγγεῖα. καὶ σικυήλατον.

Σικυλλιᾶν, τὸ τοὺς κροσσοὺς ἀποσείεσθαι.

Σικύνδαροι, τὰ προσκυνήματα.

Σικύην, ἄτμητον κολοκυνθίδα, ἀδιαίρετον. παρὰ τῷ Ἱπποκράτει.

Σικυώνης σπόγγον, τὸ ἔνδον λέγει τῆς κολοκυνθίδος. παρὰ τῷ Ἱπποκράτει.

Σικὺς, ὁ γναφεύς.

Σικυώνια, ὑποδήματα γυναικεῖα, καὶ ψέλλια.

Σικυὼν, κατὰ τὸν Γεωγράφον μηκώνη πρότερον ἐκαλεῖτο. πρὸ δὲ τούτου, αἰγιαλοί. μέμνηται μηκώνης καὶ Ἡσίοδος ἐν Θεογονίᾳ. παραῤῥέει δὲ τὴν Σικυωνίαν Ἀσωπὸς, ἐκ τῆς Κηλώσσης λαμβάνων τὴν ἀρχὴν, καὶ ποιῶν τὴν Ἀσωπίαν χώραν. Ἀσωποὶ ποταμοὶ τέσσαρες, κατὰ τὴν γεωγραφικὴν ἱστορίαν. λέγεται δὲ καὶ θηλυκῶς καὶ ἀρσενικῶς ἡ Σικυών. ἐκλήθη δέ ποτε Τελχινία, διὰ τὸ τοὺς ᾀδομένους Τελχῖνας, καὶ αὐτόθι οἰκῆσαι, εὐδαίμων ἡ σικυών. καὶ δηλοῖ αὐτὸ καὶ παροιμία λέγουσα, εἴη μοι τὰ μεταξὺ Κορίνθου καὶ σικυῶνος. Ἄδραστος δὲ πρῶτα ἐβασίλευεν αὐτόθι, ἐπειδὴ ἐκπεσὼν Ἄργους, ἐκεῖ κατέστη, καὶ ὑπέταξεν αὐτοὺς οὐκ εἰωθότας ἄρχεσθαι. διὸ πρῶτα ἐμβασιλεύειν ἐῤῥέθη, διὰ τὸ αὐτῷ πρώτῳ ἐκείνοις ὑποταγῆναι.

Σικυώνη, τέσσαρα ταῦτα σημαίνει. κολοκυνθίδα τὴν ἀπιοειδῆ. κολοκυνθίδα τὴν κατοικίαν, καὶ τὴν ἀπύθμενον, καὶ μονοειδῆ σικύαν, παρὰ τῷ Ἱπποκράτει.

Σικχαίνομαι, τῷ ἐντιναυτίας ἄξιον τοὔνομα. ἀλλ' ἐρεῖς βδελύττομαι, ὡς Ἀθηναῖος.

Σίκχαι, κράσπεδα.

Σικχαζόμενος, σκωπτόμενος.

Σικχὸς, ὁ μικρὸς σῖτος, ἢ ὁ ἀηδής.

* Σικχὸς, σκώπτης. ἢ ἀνόρεκτος, καὶ ἀσθενής.

Σιλαίνω, τὸ μωραίνω. ὅθεν σιλλὸς, ὁ μωρός.

Σίλαρος, ποταμός.

Σίλβαι, ῥοιαί.

Σίλβη, εἶδος πέμματος ἐκ κριθῆς, σησάμης, καὶ μήκωνος.

Σιλβία, σιδία.

Σιλγῖνοι, οἱ σάτυροι.

Σίλγης, κολυμβητής.

Σιλήνει, μυλίζει, σκώπτει, σιωπᾷ.

Σιλήνιαι, τῆς Σαλαμῖνος πλησίον τοῦ λεγομένου τροπαίου.

Digitized by Google

Σιληποδρδῶν, σιδηροπορδῆσαι, στρωῖσαι, ἀβρύνεσθαι, θρύπτεσθαι, χλιδᾶν.

Σίκλος, τετράδραχμον Ἀττικόν.

Σίλαι, ἔμμετρον σκάμμα.

Σιλλία, τείχωμα. ἢ λεῖον.

Σιλλεῖ, ἀναξαίνει, λυπεῖ.

Σιλλοῖ, μωκᾶται, ψέγει, κακολογεῖ.

Σίλλοι, ἐπισκώμματα κατὰ τροπὴν τοῦ τ εἰς σ, τίλλοι τινές. τίλλειν δὲ τὸ σκώπτειν, ὡς λέγει Ἀνακρέων. τίλλει τοὺς κυάμους ἀσπιδιώτας, οἷον σκώπτει καὶ χλευάζει. δηλοῖ καὶ χλευαστικὸν ποίημα παρὰ τὸ διασείειν τοὺς ἰλλούς, καὶ διασυρεῖν τῷ σχήματι τῶν ὀφθαλμῶν. ἴλλοι γὰρ λέγονται οἱ ὀφθαλμοί. καὶ σιλλαίνειν, τὸ στραβίζειν. ὁ γὰρ σίλλος, λοιδορίας καὶ διασυρμοὺς τεφρασμένους ἀνθρώπων ἔχει. μέλος δ' ἐστί.

Σιλλογραφῆσαι, μιμολογῆσαι.

Σίλλουρος, ἰχθύς.

Σιλλόν, λακαίας χοινίον.

Σιλλός, ἀναφαλλαντὸς, μῶμος, κακολογία, καὶ χλευασμός.

Σίλλυμα, κροσσοί. οἱ δὲ τὰ ἀνθέμια, καὶ κοροκόσμια.

Σίλλυβον, ἀκάνθιον, ἁδρὸν, καὶ ἐδώδιμόν τι, καὶ τῶν βιβλίων τὸ δέρμα, σίλμη Πλάτωνος.

Σιλὸς, ἢ πρῖνος. οἱ δὲ τὸν σωρόν.

Σίλφιον, ξηρόν. οἱ δὲ νεκρόν.

Σίλφιον, εἶδος βοτάνης ἡδυόσμου. καὶ μάλιστα τὸ κυρηναϊκόν.

Σίλφιον, παρὰ τῷ Ἀριστοφάνει, τὸ ἐν Λιβύῃ γινόμενον, θεραπεύει δὲ πολλά. ἐστὶ δὲ καὶ πολυτίμητον. καὶ ἐν πλούτῳ, οὐδ' ἂν εἰ δοίης γέ μοι τὸν πλοῦτον αὐτόν, καὶ τὸ βάττου σίλφιον. σίλφιον δὲ, ῥίζα ἡδύοσμος, προσάρτημα.

Σίλφη, ὁ σκώληξ.

Σιλωάμ, ἀπεσταλμένος.

Σίμαι, τῆς κιθάρας τὰ ἄκρα, καὶ ἐν ταῖς ὀροφαῖς θέσεις τινές.

Σιμαίθα, ἑταίρας μαγειρικῆς ὄνομα.

Σιμαὶ, αἱ μέλισσαι.

Σίμβλαι, ὅπου αἱ μέλισσαι τὸ μέλι τιθέασι, κύψελαι.

* Σιμέσιον. τὸ παρ' ἡμῖν, ἤτοι τῆς σάου τὸ ἥμισυ. σιμὸς γὰρ ὁ κολοβὸς, τὸ κεκολοβωμένον ἀπὸ τοῦ νομίσματος.

Σιμήχειρ, σχῆμα τραγικόν.

Σιμικίνθιον, τὸ παρὰ τοὺς πόδας σανδάλιον. τινὲς δὲ τὸ φακιόλιον λέγουσι. κυρίως δὲ τὸ ῥινόμακτρον, ὅ ἐστι τὸ μαξομάνδυλον. ἢ ζωνάρια τῶν ἱερέων.

Σίμιον, αἰγιαλός.

Σιμιχίδας παρὰ Θεοκρίτῳ, οὐκ ἀπὸ τοῦ σιμοῦ, ἀλλ' ἀπὸ Σιμίχου πατρωνυμικοῦ.

Σιμόεις, ποταμὸς Τροίας.

Σιμὸς, εἷς τῶν Ἀλευάδων. οὗτος ἐστὶ τῶν δοκούντων συμπρᾶξαι τῷ Μακεδόνι.

Σιμὸς, παρὰ τὸ σῖγμα σιγμὸς, καὶ σιμός. καὶ γὰρ τοῦ σιμοῦ ἡ ῥὶς, δοκεῖ τὸν τύπον τοῦ σῖγμα μιμεῖσθαι.

Σιμοῦ νῶτα, ἀντὶ τοῦ μεταβάλλει τὰ νῶτα. σιμὰς δὲ ἔλεγον τὰς μετεώρους ἀναβάσεις.

Σίμον, τὸ πρόσαντες χωρίον.

Σιμὸς, τυφλός.

Σιμοῦσι, μέμφονται.

Σιμωνίδης, υἱὸς Λεωπρέπους.

Σίμωρ, παρὰ Πάρθοις καλεῖταί τι μυὸς ἀγρίου εἶδος, οὗ ταῖς δοραῖς χρῶνται πρὸς χιτῶνας.

Σινᾶ, ὄρος, ὅπερ τῇ Ἑβραίων γλώττῃ Ἄγαρ καλεῖται.

Σινάμωροι πολεμίζουσι θυρωροὶ, ἐν δευτέρῳ Ἀνακρέων. μεμωρημένοι φησὶ πρὸς τὸ σίνεσθαι, ἐξ οὗ ἠκούσμεθα τοῦ ἐξάπαντος κακουργεῖν, προαιρουμένως. οἱ μὲν Ἀττικοὶ λέγουσιν ἀμοργεῖν, τὸ λιχνεύειν. καὶ Φερεκράτης τὰ τοιαῦτα κλέμματα, σιμορεύματα καλεῖ. Ὦρος.

Σινάμορος, κακόχολος.

Σίναπυ, οὐδεὶς τῶν Ἀττικῶν ἔφη. οὐ μὴν οὐδὲ τὸ σίνηπι, ὃ λέγεται οὕτω, ἐπειδὴ σίνεταί φησιν ὁ Δειπνοσοφιστὴς τοὺς ὦπας ἐν τῇ ὀδμῇ, καθὰ καὶ κρόμυον, δι' οὗ τὰς κόρας μύομεν. ὅτι δὲ ἐκ τοῦ σίνηπί ἐστι καὶ ῥῆμα κωμικὸν σιναπῶ, οἷον τὸ θυγάτριόν μου σεσινάπηκε διὰ τῆς ξένης, ἤγουν ἐδριμύξατο, ὁ αὐτὸς ῥήτωρ δηλοῖ.

Σιναρὸν, τὸ κεκακωμένον καὶ βεβλαμμένον, πονηρόν. οἱ δὲ σιντὶς, περὶ τὸ δρᾶν.

Σινὰς, ἡ φθαρτική.

Σινδὶς, ἡ Σκυθία, καὶ ἡ πόρνη.

Σίνδικον, διάσφαγμα τὸ τῆς γυναικός.

Σίνδις, γέρων.

Σίνδοι, ἔθνος Ἰνδικόν. ἔστι δὲ πόλις ἐκεῖ, Σίνδικος λιμὴν λεγομένη.

Σινδοκύθορνοι, ὑπόδημα ποιόν.

Σινδοὺς, χιτῶνας, σινδόνας.

Σινδρῶν, πονηρῶν, βλαπτικῶν. οἱ δὲ, ἀπελευθέρους, ἢ δούλους.

Σίνεσθαι, κακουργεῖν, βλάπτειν, ἢ βλάπτεσθαι.

Σίνες, σίνις, κλέπτης, κακοῦργος, λῃστής.

Σινέσκοντο, ἔβλαπτον.

Σίνεται, βλάπτεται.

Σίνηπι, παρὰ τὸ σίνειν τοὺς ὦπας. καὶ σινάπιξ, γογγυλίς.

Σινιάσαι, σεῖσαι, κοσκινῆσαι. καὶ τὸ κόσκινον δὲ, σινιατήριον.

Σινόδους, θὴρ, ὁ σινόμενος τοῖς ὀδοῦσιν.

Σίνομαι, τὸ βλάπτω.

* Σινόμωρα, κακοήθη, πονηρὰ, βλαβερά.

Σίνος, βλάβος. οἱ δὲ ἡμίονος.

Σιντηΐς, ἡ λῆμνος. Τυρσηνοὶ γὰρ αὐτὴν πρῶτοι ᾤκησαν, βλαπτικώτατοι ὄντες, ἢ τὴν ὑπὸ βαρβάρων οἰκηθεῖσαν. καὶ Ὅμηρος, ᾤχετο δ' ἐς λῆμνον μετὰ σίντιας ἀγριοφώνους. Ἑλλάνικος δέ φησι, σίντιας ὀνομασθῆναι τοὺς Λημνίους, διὰ τὸ πρώτους ὅπλα ποιῆσαι πολεμικὰ, πρὸς τὸ σίνεσθαι τοὺς πλησίον καὶ βλάπτειν.

Σίντην, ἥρεσεν. Ὁμήρῳ, οἰκειῶσαι τῷ λέοντι, διὰ τὸ αὐτοῦ βίαιον. ᾧ λόγῳ καί τινες ἄνδρες ἐλέγοντο, καθ' Ὅμηρον σίντιες ἄλλως ἐκεῖνοι κλινόμενοι. ὁμαία δέ τις ἔννοια, καὶ λῃστὴν τὸν σίνιν παρήγαγε.

Σίντης, ὁ βλαπτικὸς λέγεται διὰ τοῦ η, ὡς χρύσης, τὸ δὲ ἐθνικὸν διὰ τοῦ ι, καὶ ἔχει τὴν κλίσιν, ὡς ὄφις. ὅτι δὲ πρὸς ἄλλαις κλίσεσι, καὶ σίντοι ἐλέγοντο οἱ τοιοῦτοι σίντιες, ὁ Γεωγράφος φησίν, ὡς δὲ καὶ σίνις σίνιδος ὕστερον λῃστὴς δίχα τοῦ τ, αἱ ἱστορίαι δηλοῦσι, περιάδουσαι καὶ αὐτὸν καθὰ καὶ Σκίρωνα, καὶ τὸν Πιτυοκάμπτην, καὶ τὸν κακὸν, καὶ τὸν λίβυν Ἀνταῖον, καὶ τοὺς τοιούτους. καί εἰσιν ἀληθῶς φερώνυμοι, τὸ σίντιες, οἱ παρ' Ὁμήρῳ, καὶ ὁ σίνις, ἐπὶ κακῷ μέν τοι, ἵνα καὶ αὐτοὶ ὡς βλαπτικοὶ κατὰ τὴν παροιμιαζομένην σιδηρῷ θρασεῖαν ἐκείνην γυναῖκα, φέροιεν τὸ οἰκεῖον ὄνομα. ἡ ἱστορία καὶ ἄλλως, προσοικειοῖ τῷ Ἡφαίστῳ τὴν Λῆμνον, οὐ μόνον διὰ τοὺς ἐν αὐτῇ γῆθεν ἀναβαίνοντας κρατῆρας τοῦ πυρὸς, ἀλλὰ καὶ διότι χαλκεῖς ἄνδρας ἤνεγκέ ποτε ἡ νῆσος, οἱ πρῶτοι χαλκευσάμενοι βέλη. διὰ τοῦτο σίντιες ἐπεκλήθησαν, διὰ τὸ σίνεσθαι, ἤτοι βλάπτειν τῇ εὑρέσει τῶν ὅπλων. οἱ τοιοῦτοι καὶ ἄφαρ λέγονται κομίσασθαι τὸν Ἥφαιστον πεσόντα. δηλοῖ δὲ ὁ λόγος, ὡς εἰ καὶ ἄλλοθι τοιαῦτα εἰσὶ πυρὰ, ὅμως οἱ λήμνιοι οἰκειῶνται τῷ Ἡφαίστῳ μάλιστα, καὶ διὰ τὴν χαλκευτικὴν τέχνην. δι' οὖν καὶ κλυτοτέχνην αὐτὸν λέγουσιν, ὡς οὐ μόνον πῦρ αὐτόματον ἔχοντες, ἀλλὰ καὶ ὡς τοῦ πυρὸς ἐπιμελούμενοι, καὶ διὰ τὴν τέχνην περιποιούμενοι αὐτόν. ἔστι γὰρ κομίσασθαι τὸ ἐπιμεληθῆναι. ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια. καὶ κομιδῇ ἐπίρρημα, ἀντὶ τοῦ λίαν, καὶ ἐν πάσῃ ἐπιμελείᾳ. καὶ ἄλλως δὲ σίντιες οἱ λήμνιοι, καθότι πειραταὶ ἦσαν, ὡς ἡ ἱστορία φησὶν, ὥστε εἶναι καὶ αὐτοὺς λήμνια κακά. καθάπερ ὕστερον αἱ γυναῖκες, αἱ τοῖς ἀνδράσιν ἐν Λήμνῳ εἰς φόνον ἐπεβούλευσαν. καὶ ἄλλως δὲ, ὡς οἱ Λήμνιοι ἄγριοι, δηλοῖ καὶ παροιμία, λημνίαν χεῖρα εἰποῦσα τὴν ἀπαραίτητον. καὶ λήμνιον βλέπειν, ἀντὶ τοῦ δεινὸν καὶ πυρῶδες. ἐκεῖθεν δὲ καὶ λήμνιον κακὸν, ἢ ἀπὸ τῆς κατὰ στόμα δυσωδίας τῶν λημνιάδων, ἢ μᾶλλον ἀπὸ τῶν θρυλλουμένων φόνων.

Σινώπη, πόλις ἐστὶν * διαφανεστάτη τοῦ Πόντου κτίσμα Μακριτίου κῴου, ὁ πολίτης Σινωπεύς, καὶ σινωπίως. εἴρηται δὲ ἀπὸ Σινώπης, τῆς Ἀσωποῦ θυγατρὸς, ἣν ἐκόμισε Ζεὺς ἀπὸ Ἀσσυρίας εἰς τὸν Πόντον, βουλόμενος αὐτὴν διαφθεῖραι, ὀμόσας δώσειν αὐτῇ ὃ βούλεται. ἡ δὲ τὴν παρθενίαν ᾐτήσατο. ὁ δὲ Ἄνδρων φησὶ, μίαν τῶν Ἀμαζόνων φυγοῦσαν εἰς Πόντον παρὰ τὸν Βασιλέα τοῦ τόπου, πίνουσάν τε πλεῖστον οἶνον, προσαγορευθῆναι σινώπην. μεταφράσει δὲ τοῦτο σημαίνει, τὴν πολλὰ πίνουσαν.

Σινώπη Ἡρόδοτος ἐν τρίτῳ περὶ κωμῳδουμένων φησὶν, ὅτι σινώπη ἡ ἑταίρα, ἄβυδος ἐλέγετο, διὰ τὸ γραῦς εἶναι.

Σίνων, ἀνεψιὸς ἤτοι ἐξάδελφος ἦν Ὀδυσσέως, ὡς ἐκ τῆς ἱστορίας, ζήτει Αἴσιμον καὶ Σίσυφον, εἰ βούλει καλῶς εἰδέναι περὶ αὐτοῦ.

Σιοκόρος, νεωκόρος, θεοκόρος, θεραπευτὴς Θεῶν.

Σίον, λάχανον ἐμφερὲς σελίνῳ.

Σίορ, Θεός. Λάκωνες.

Σιπαλὸν, ἀκάθαρτον, εἰδεχθέστατον.

Σιπαλὴ, ἐπάργεμος βλοσυρὰ, δεινή. ἀπὸ τοῦ στιλβὰς ἐπὶ τῶν ὀφθαλμῶν ἔχουσα.

Σίπαλος, ὁ ἄμορφος. καὶ σιπαλὸς, χαλεπὸς, καὶ τὰ ὅμοια.

Σίπται, σιῶπαι, μεσάπιοι.

Σιπτοὶ, πυκνοὶ, καὶ στερροί. Ἀριστοφάνης.

Σιπτῶναι, ἀπεικάσαι.

Σιπύη, σιδηροῦν ἀγγεῖον, ἀρτοθήκη.

Σιπυίδα, πυξίδα. δηλοῖ δὲ καὶ ἄλλως κεραμεοῦν τι σκεῦος, ἐν ᾧ ἐμβάλλεται ἄλφιτα, παρὰ τῷ Ἱπποκράτει.

Σιπύη, ἡ ἀρτοθήκη, κανίσκιον, οἱονεὶ σιτοβοΐα τις οὖσα.

Σίπυλον. οἱ μὲν πόλεως ὄνομα, οἱ δὲ ὄρος περὶ τὴν Λυδίαν, ὅθεν ὁ Πέλοψ λέγουσι.

Σίρα, Πάρθοι μεγάλα, καὶ πλεκτὸν ἱμάντωμα ἐν ταῖς ναυσίν, οἱ δὲ τὰ ῥάκκη.

Σιραγγῶδες, σαθρόν.

Σιραιοῖς, σιροῖς, βραχέσι.

Σιραίῳ, τῷ γλυκεῖ ἑψήματι, παρὰ τῷ Ἱπποκράτει. * ἕψημα δὲ, τὸ ἑψημένον γλεῦκος.

Σίραμφος, τὸ ῥύγχος.

Σιρβαίρνον, βρέφος ἀπὸ ξένης ἀνηνεγμένον καὶ τεθραμμένον.

Σίρβηνον, πόπανόν τι, ὃ παρετίθετο τῇ Ἀφροδίτῃ.

Σίραιον, τὸ ἑψημένον γλεῦκος, βραχὺ δ' ἔχον παράπικρον, ὅτε καθεψηθῇ.

Σιρία, ἀσφάλεια. Λάκωνες.

Σίρις, ἀπαίδευτος.

Σίρις, πόλις Ἰταλίας, ἡ πρότερον οὕτω καλουμένη, εἶτα πολίειον, Σίρις δὲ ὠνόμασται, ἀπὸ Σίριδος θυγατρὸς Μόργητος, τοῦ Σικελίας Βασιλέως, γυναικός τε Σκίνδου. ἢ ἀπὸ Σίριδος μιᾶς τῶν Νηρηΐδων, ἢ ἀπὸ τοῦ παραρρέοντος αὐτῇ ποταμοῦ.

Σιροὶ, τὸ ἐπιτήδειον ἀγγεῖον εἰς ἀπόθεσιν πυρῶν, καὶ τῶν ἄλλων ὀσπρίων.

Σιρομάστης, λόγχη, δόρυ, ῥομφαία.

Σιρὸς, ἡμίονος, πίθος, δεσμωτήριον.

Σιροὺς, τοὺς σιριεῖς. οἱ δὲ τάφρους ἐσκεπασμένας.

Σιρομάστης, σκεῦός τι σιδηροῦν, ὅπερ οἱ τελῶναι πρὸς ἔρευναν ἔχουσι, λαβὴν ξυλίνην ἔχον.

Σιρὸς, ὁ λάκκος, ἢ βαθύτατον ὄρυγμα.

Σισαμὶς, τὸ παρὰ τοῖς ἰατροῖς λεγόμενον σήσαμον.

Σίσαυνον, τὸν ὀξύνον οἶνον.

Σισάριον, κοσμάριον χρυσοῦν γυναικεῖον, ὡς ἁλυσείδιον.

Σίσαχθοι χρεῶν, ἀποκοπαί.

Σισίλαρος, πέρδιξ. Περγαῖοι.

Σίσιλος, νόμισμα καθάπερ σκωληκίασις, καὶ ζῶόν τι.

Σισίνδιος, γέρων.

* Σισμὸς, ἐκ τοῦ σίζω, τὸ ἦχον ἀποτελῶ. ἀπὸ τοῦ ἐκ πυρὸς σιδήρου εἰς ὕδωρ βεβλημένου, καὶ ποιὸν ἦχον ἀποτελοῦντος.

Σισοκοῦρα, ῥοιά. φασηλῖται.

Σισογάρδοσις, ἀγορᾶς σφήγξ.

Σισορβάκος, τράχουρος, ὁ ἰχθύς.

Σισύμβρια, φύλλα οἷς ἐστεφανοῦντο οἱ νυμφίοι.

Σίσυ-

Digitized by Google

Σίσαρα, δόρυ.

Σισύρα, χλαίνης εἶδος ἁπλῆς, οἷον ἐξωμίς, ἢ ἁπλοΐς ἤ τι τοιοῦτον, καὶ ἄλλως χειμαῖνοι ὅπως τὰς σισύρας ἀφείλοντο. τινὲς δὲ ἱμάτιον τραχὺ, καὶ παχὺ περιβόλαιον ἀγροικικὸν, δουλικὸν, παλαιόν. ἢ χιτὼν δερμάτινος. Βορέην δὲ λέγουσιν Ἡλίῳ περὶ ταύτην ἔριν γενέσθαι, ὁπότερος ἀνδρὸς ἀγροίκου ὁδοιποροῦντος τὴν σισύραν ἐκδύσῃ. πρὸς δὲ τὴν διαφοράν. ἔν τισι καὶ σισύρα, σισύρνα, ἐκ τρίτου τὸ αὐτό. πλὴν ὅτι ἡ μὲν σισύρα δοκεῖ, βαπτὴ εἶναι, ἐκ δερμάτων αἰγείων. ἡ δὲ χλαῖνα, ἀπὸ ἐρίων. διαφέρουσι δὲ σισύρνα καὶ σισύρα καὶ σίσυς. σισύρα μὲν ἐστὶ τὸ ἐξ αἰγείων δερμάτων ἔχον ἔτι τὰς τρίχας σκέπαστρον. τὴν δὲ σισύρναν, οἱ κατὰ Λιβύην λέγουσι, τὸ ἐκ τῶν κῳδίων ῥαπτόμενον ἀμπεχόνιον. σίσυς δέ ἐστι παχὺ ἱμάτιον, εὐτελὲς, μικρὸν, ἐπιτήδειον εἰς ἓν ἅπτεσθαι, οἷον ἐξωμίδιον. Ἐρατοσθένης δέ φησιν, ὅτι καθάπερ τὸ δένδρον τὸ αὐτὸ καὶ ἄνδραχνον, καὶ ἀνδράχνην καλοῦμεν, οὕτως ἔοικε σισύραν καὶ σίσυν ἐπὶ τοῦ αὐτοῦ μεταχειρίζεσθαι. καὶ τρίτην προσλαμβάνουσι σισύρνην οἱ κατὰ Λιβύην, τὸ ἐκ τῶν κῳδίων ἀμπεχόνιον καλούμενον. ἡ σισύρα καλεῖται παρὰ μέν τισιν, ἡ βαπτὴ, ἔστι δὲ περιβόλαιον ἐκ δερμάτων συνερραμμένων προβάτων ἐχόντων τὰ ἔρια. οἱ δὲ ἀκριβέστεροί φασι. χλαῖναν παλαιὰν εἶναι ἁπλοΐδα. τὴν αὐτὴν δὲ καὶ σισύραν καλοῦσι καὶ σισύρναν.

Σισύρνα ἐστὶ παχὺ περιβόλαιον, ἢ δερμάτινον ἱμάτιον. Λυκόφρων, σισυρνοδῦται καρκῖνοι.

Σίσυρος, γράμματος εἶδος.

Σισύραις. Ἀριστοφάνης, ἐν πέντε σισύραις ἐγκεκορδυλημένος. στερεὰ περιβλήματα παχέα τῶν καλουμέναις ἐμφερῆ σύραις. ἔστι δὲ, καὶ μικρὰ περιβλήματα.

Σίσυς λέγεται, πᾶν εὐτελὲς ἱμάτιον. σισύρα δὲ, τὸ ἐκ δέρματος ἔντριχον, ἢ τὸ ἁπλῶς ἐξ ἐρίων ἱμάτιον. σύρα δὲ τὸ ἄτριχον δερμάτιον. ὅθεν σισυρνοδῦται καρκῖνοι, παρὰ Λυκόφρονι.

Σίσυφος, Ὀδυσσεὺς ἐκ Σισύφου λέγεται εἶναι. Αὐτόλυκος γὰρ Αἴσιμον καὶ Ἀντίκλειαν γεννᾷ. ἥτις Ἀντίκλεια ὑπὸ Σισύφου διεπαρθενεύθη. οὗτος ὁ Αὐτόλυκος κλεπτοσύνῃ πάντας ὑπερέβαλε. κλέπτων γὰρ πάντων ἵππους καὶ βόας καὶ ποίμνια, τὰς σφραγίδας αὐτῶν μετεποίει, καὶ ἐλάνθανε τοὺς δεσπότας αὐτῶν. ὡς φησι καὶ Ἡσίοδος, πάντα γὰρ ὅσσα λάβεσκεν ἀείδηλα τίθεσκε. Σίσυφος δὲ μονογράμμῳ τυπώματι, τὸ αὐτοῦ ὄνομα ἐγχαράττων ταῖς τῶν ἑαυτοῦ ζώων ὁπλαῖς καὶ χηλαῖς ἐπεγίνωσκεν. Αὐτόλυκος δὲ ἀφελόμενος, καὶ τῶν τοιούτων ζώων τινὰ, τὰς σφραγίδας μετεποίησεν. ὡς δὲ καὶ οὕτω λαθεῖν οὐκ ἴσχυσε, τὸν Σίσυφον φίλον αὐτῷ ἐποίησεν. ὁ δὲ λάθρα τῇ αὐτοῦ μιγεὶς θυγατρὶ Ἀντικλείᾳ, ἐγκυμονῆσαι τὸν Ὀδυσσέα, ὕστερον δὲ ἔγημε Λαέρτην.

Σῖτα, ἐκ τοῦ σῖτος μεταπεποίηται, ἢ ἀπὸ τοῦ σιτία.

Σιτανίου, τοῦ ἐκ τοῦ ἐνεστηκότος ἔτους πυροῦ, τουτέστι κατὰ τὸ ἔαρ ἐσπαρμένου, παρὰ τῷ Ἱπποκράτει.

Σῖτα, καὶ σιτία, τὰ βρώματα.

Σιταρίς, ὄρνεον.

Σιταρχία, τὸ εἰς ὀψώνιον διατεταγμένον δαπάνημα. ὁ δὲ τούτων ἐπιμελούμενος, σίταρχος.

Σιτίσκοιτο, ἐσιτοῦντο, ἤσθιον, ἠρίστουν.

Σιταρὸν ἀγγεῖόν ἐστιν, ἡ σιτύα. ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις Κωμικοῖς.

Σιταρέσιον, τὸ διδόμενόν τισιν εἰς τροφήν.

Σιτασμὸς, ἡ διατροφή. ἐπισιτισμὸς δὲ, ῑ.

Σιτίσας, θρέψας.

Σίττ' ὁ λίπαργος, ἐπίφθεγμα βουκολικόν. ὅπερ λέγουσιν οἱ βουκόλοι. ὁμοίως καὶ τὸ ψίττα, ὁ λίπαργος.

Σιτία, δαπάνημα, βρῶμα σιταρέσιον.

Σιτίζειν, ψωμίζειν.

Σιτυΐδες, θυσία τὶς Νύμφαις ἐπιτελουμένη.

Σιτομετρεῖσθαι μὴ λέγε, ἀλλὰ διαλελυμένως, σῖτον μετρεῖσθαι.

Σιτοβαχῶνες, ὅρια.

Σιτοδία, λιμὸς, ἔνδεια σίτου.

Σιτοκάπηλοι, σιτοπῶλαι.

Σιτοχλονεῖσθαι, ὑπὸ δίψους ἐνοχλεῖσθαι. οἱ δὲ, ὑπὸ δίψους κλαίεσθαι, καὶ τὸ φαγεῖν.

Σιτόκουρος, ὁ ἄχρηστος, καὶ μάτην τρεφόμενος.

Σιτομνημονεῖν, ἀντὶ τοῦ τὰ σῖτα μετρεῖν. παρόσον ἀπεγράφοντο οἱ λαμβάνοντες παρὰ τῶν δεσποτῶν τὰ τεταγμένα μέτρα.

Σίτου ἐκβολὴ, ἡ πρώτη ἔκφυσις τῆς χλόης.

Σιτοποιὸς, ἀρτοκόπος, ἢ πίστρια.

Σῖτος καλεῖται, ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν, ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔστι καὶ ἐκ Σόλωνος.

Σῖτον ἔδοντες, παρ' Ὁμήρῳ, πρὸς διαστολὴν ἴσως ἐρρέθη ἑτέρων βροτῶν, μὴ τοιούτων, ὁποίους καὶ τοὺς μακροβίους Αἰθίοπας ἡ ἱστορία φησίν, οἳ ἄρτον ἔδοντες, Κόπρῳ αὐτὸν εἴκασαν. ἦσαν δὲ καὶ οἱ ἐξ ἀκρίδων ζῶντες, καὶ οἱ ἐξ ἰχθύων, οἳ καὶ ἀκριδοφάγοι διὰ τοῦτο, καὶ ἰχθυοφάγοι ἐκαλοῦντο.

Σῖτος, ὁ ἀκατέργαστος. ἐπὶ δὲ βρώματος, οὐδετέρως τὸ σῖτον λέγεται.

Σιτοῦμαι, αἰτιατικῇ, δηλοῖ τὸ ἐσθίω. Ἀριστοφάνης, σιτεῖσθαι μαλάχης μὲν πτόρθους. σιτοῦμαι, τὸ τρώγω. ἐπισιτοῦμαι δὲ, τὸ ἐφόδια λαμβάνω, ἤγουν μετὰ τὸ φαγεῖν λαμβάνω καὶ ἀπέρχομαι.

Σιτοῦμαι ἄρτον, σιτίζω δὲ ἕτερον.

Σιτοφύλακες, ἀρχή τις ἦν Ἀθήνησιν, ἥ τις ἐπεμελεῖτο, ὅπως ὁ σῖτος διαπραθήσεται, καὶ τὰ ἄλφιτα, καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν πεντεκαίδεκα μὲν ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης φησί.

Σίττα, ἐπιφώνημα αἰξί.

Σίττας, ὄρνις ποιός. ἔνιοι δὲ, τὸν ψιττακὸν λέγουσι.

Σίττον, οἱ μὲν γλαῦκα, ἢ κίτταν, ἢ ἱέρακα.

Σιττύβαι, δερμάτιναι στολαὶ, τὰ μικρὰ ἱμαντάρια.

Σιτῶ, τὸ διατρέφω.

Σιτωνῶ, σῖτον ἀγοράζω. καὶ σιτῶναι, οἱ τὸν σῖτον ὠνούμενοι, καὶ καπηλεύοντες.

Σίφα, χωρία.

Σίφνα, ποιὸς ἰχθύς.

Σιφνεὺς, σημαίνει ὡς οἶμαι τὸν ἀσπάλακα. Λυκόφρων.

Σιφνιάζειν, καταδακτυλίζειν. διαβέβληνται γὰρ οἱ Σίφνιοι, ὡς παιδικοῖς χρώμενοι. σιφνιάσαι οὖν, τὸ σκιμαλίσαι. * ἅπτεσθαι τῆς πυγῆς δακτύλῳ.

Σιφλὸς, ἀντὶ τοῦ κεκακωμένος κεῖται παρ' Ἀπολλωνίῳ. οἱ δὲ τὸν κακόποδα, καὶ ἐπιμωμητὸν ἀπέδοσαν. σιφλὸς δὲ ὁ μῶμος.

Σιφλὸς, τυφλὸς, ἀσθενὴς, ἐπίψογος, μωμητός. σιφλὸς δὲ κυρίως, ὁ σεσιμωμένος τοὺς ἴλλους. καταχρηστικῶς δὲ, καὶ ἐπὶ ἄλλου μέρους τοῦ σώματος πλεονασμῷ τοῦ φ.

Σιφλώσειε, τυφλώσειεν, ἐπίψογον ποιήσειε. σίφλος γὰρ καλεῖται ὁ ψόγος.

Σίφνιοι, ἀκάθαρτοι, ἀπὸ Σίφνου τῆς νήσου.

Σίφνον, τὴν γῆν Ἀθηναῖοι, καὶ ἡ Δημήτηρ, καὶ σιπύα.

Σίφνιος ἀρραβὼν, περὶ τῶν σιφνίων ἄτοπα διεδίδοτο, ὡς τῷ δακτύλῳ σκιμαλιζόντων. δηλοῖ οὖν τὸν διὰ δακτυλίου αἰδούμενον ἐπὶ τοῦ κακοσχόλου.

Σιφνὸς, κενός.

Σιφῶμαι, τήκομαι.

Σίφων, παρὰ τὸν ποιὸν ἦχον, τὸν ἐν τῷ ἀποσπᾶν καὶ πίνειν, ἢ παρὰ τὸ σίζω.

Σίφων, ῥυπαρὸς ἄνθρωπος, καὶ λίχνος, ἢ εἶδος θηρίου μυρμηκοειδὲς, καὶ ὄργανον σκόλοπι ὅμοιον. ἐν ᾧ τοὺς μαρασίππους ἐπισκοποῦσι, καὶ τῶν σταχύων καὶ τοῦ πυροῦ οἱ καδίσκοι, καὶ οἷς οἱ κάπηλοι τὸν οἶνον χρῶνται, καὶ ὄργανόν τι εἰς πόσιν ὑδάτων ἐν τοῖς ἐμπρησμοῖς.

Σιχὰ, χωρία.

Σιχαβαττεῖν, τὸ μετὰ σπουδῆς ἐπιέναι. οἱ δὲ τὸ κενεμβατεῖν.

Σιχθαρεῖς. λιβυκαὶ ὀρχήσεις.

Σιχθοὶ, οἱ σαθροί.

Σιὼ, οὕτω τοὺς Διοσκόρους, οἱ Λακεδαιμόνιοι σιοὺς ἔλεγον. ὡς Ἀθηναῖοι Θεοὺς, Δήμητρα καὶ Περσεφόνην.

Σιὼν, εἰ μὲν σημαίνει τὴν πόλιν, γράφεται διὰ τοῦ ι, κατὰ παράδοσιν. εἰ δὲ σημαίνει τὸ κύριον ὄνομα, γράφεται διὰ τοῦ η.

Σιωπὴ, παρὰ τὸ σιγὴ καὶ τὴν ὄπα, τὴν φωνὴν, γίνεται σιγηοπὴ, καὶ ἀποβολῇ τοῦ γ, καὶ κράσει τοῦ η καὶ ο εἰς ω μέγα σιωπὴ, ὡς ὀγδοήκοντα ὀγδώκοντα.

ΤΟ' Σ'. ΜΕΤΑ' ΤΟΥ Κ'.

ΣΚάζω, τὸ χωλεύω ἀμεταβάτως. καὶ σκάζει, ἀντὶ τοῦ καταμφιβάλλει.

Σκάζειν, ἐκ τοῦ κῶ τὸ κοιμῶμαι, γίνεται κατὰ παραγωγὴν, καὶ πλεονασμὸν συνήθη τοῦ σ. οἱονεὶ γὰρ κεῖσθαι, μελετᾷ ὁ σκάζων. καὶ ὅτι οὐ μόνον, ἐν ἀρχαῖς λέξεων πλεονάζειν εἴωθε τὸ σ, ἀλλὰ καὶ ἐν μέσῳ, καθὰ δῆλον ἐκ τοῦ ἐλατοῦ ἐλαστροῦ, καὶ τοῦ κομοῦ κοσμοῦ, καὶ τοῦ βλήτρον ἀμφίβληστρον, καὶ τοῦ βωτοῦ βωστροῦ, καὶ ἑτέρων.

Σκαθύρματα, σκαριφίσματα, σκαλεύματα.

Σκαιὰ χεὶρ, καὶ ὁ ἀπ' αὐτῆς σκαιὸς, καὶ ἐπαρίστερος ἄνθρωπος. ποτὲ δὲ καὶ ἀνόητος, ἀπὸ τοῦ σκάζειν φασὶν, ὅ ἐστι χωλεύειν. ὅθεν καὶ σκαμβὸς, ἵνα ἡ σκαιὰ χεὶρ, ἡ σκάζουσα, παρὰ τὸ ἐνεργεῖν, ὡς ἀνυστικωτέρας οὔσης τῆς δεξιᾶς. ὡς καὶ τὰ δυτικὰ σκαιὰ λέγονται. καὶ ὅτι καὶ σκαιὸς, ὄνομα κύριον. ἐξ οὗ καὶ σκαιαὶ πύλαι τρωϊκαὶ, φανεῖται ἐν ἄλλοις.

Σκαιὰς πύλας, καὶ Δαρδανίας ἐνίοτε Ὅμηρος λέγει, τὸ μὲν ἀπὸ Δαρδάνου, τὸ δὲ ἀπὸ Σκαιοῦ, οὕτω καλουμένου τεχνίτου, ἢ ὅτι δυτικαί. σκαιὰ γὰρ ἤτοι ἀριστερὰ, τὰ δυτικά. ἢ διότι σκαιαὶ, ἤτοι ἐπαρίστεροι τοῖς Τρωσὶν ἐγένοντο, δεξαμένοις κατ' αὐτὰς τὸν δούρειον ἵππον.

Σκαιὸν ῥίον, παρ' Ὁμήρῳ, ὃ καὶ μικρὸν λίθον φησὶν, ὡς πρὸς σύγκρισιν ἄλλων ἐκεῖ μειζόνων ἀκρωτηρίων. νοητέον δὲ, ὅτι τῷ οὕτω νοουμένῳ σκαιῷ, ὡς δηλαδὴ ἀριστερῷ, τὸ δεξιὸν ἀντίκειται, ὅπερ ἐστὶν ἀνατολικόν. ἰστέον, ὅτι σκαιὸν ἄνθρωπον Ἀττικοὶ, τὸν ἀπαίδευτόν φασι, καὶ ἀνόητον. ὡς δηλοῖ σαφῶς καὶ ὁ Κωμικός. ἀκολούθως δὲ καὶ τὸ σκαιὸν πρᾶγμα, τὸ μὴ κατὰ νοῦν ἀποβεβηκός. γίνεται δέ φασι παρὰ τοῦ σκάζειν. ἵνα ᾖ σκαιὸς, ὁ σκάζων εἰς μάθησιν, ὡς ἀνόητος. ἐξ αὐτοῦ δὲ καὶ σκαιοσύνη, καὶ σκαιοβατεῖν, τὸ σκαιῶς καὶ ἀρρύθμως βαίνειν.

Σκαιοὺς τοὺς ἀμαθεῖς, τοὺς δυσπαρακολουθήτους ἔλεγον, ἢ τοὺς μωροὺς, ἀπὸ τῆς σκαιᾶς, καὶ τοὺς ἀπαιδεύτους, καὶ πονηροὺς, καὶ φαύλους, καὶ ἀριστερούς.

Σκαίρω, τὸ σκιρτῶ, ἀμεταβάτως. σκαίρειν τὸ ἐμμελῶς κινεῖσθαι. ὅπερ Ἀττικῶς ἀσπαίρειν λέγεται, καὶ ὀρχηστικῶς. ὅθεν καὶ σκαρθμὸς, καὶ εὔσκαρθμος ἵππος, καὶ σκαίρος, καὶ σκαρδαμύττειν. καὶ σκαίρειν ποσὶν, εὔρυθμόν τινα καὶ ὀρχηστικὴν κίνησιν δηλοῖ. οὐ μὴν καὶ τὸ σπαίρειν, ὃ πλεονασμῷ τοῦ α ἀσπαίρειν λέγεται. παρὰ Θεοκρίτῳ δὲ τὸ νέμεσθαι. ἐκεῖνο γὰρ σκαρθμὸν δηλοῖ, καὶ κίνησιν ἐπιθανάτιον, ὁποῖος καὶ ὁ σφαδασμός. ὡς δὲ οὐ μόνον ἐν ὀρχηστικῇ, ἀλλὰ καὶ ἐν τῇ ἄλλως κινήσει, ὁποία καὶ ἡ βαδιστική.

Σκαίρονται, σκιρτῶσι, πηδῶνται.

Σκαιωρία, ὄρχησις, χορεία, καὶ καιρία παιδιά, καὶ τὰ ὅμοια.

Σκάλα, κλίμαξ, ἀνάβασμα. * ῥωμαϊστὶ, ὁ ἀναβολεύς.

Σκαλαθαρβία, ἀκηδία.

Σκαλαθύρει, σκαλεύει, ἢ λάθρα πλησιάζει ἀκολασταίνων. σκαλαθύρων, ὁ σκαλεύων.

Σκαλαθύραι, συνουσιάσαι. Ἀριστοφάνης.

Σκαλαθυρμάτια, σκαλεύματα σμικρὰ, καὶ λεπτὰ παντάπασι νοήματα, καὶ μαθήματα, σκαριφήματα. ἔγκειται δὲ καὶ τὸ ἄθυρμα, οἱονεὶ παίγνια, καὶ οὐδὲν ἀξιόπιστα.

Σκαλαπάζει, ῥέμβεται, βαδίζει.

Σκάλατος, ὁ σκαφιστός.

Σκα-

Digitized by Google

Σκαλεύει, κινεῖ, ἀναστρέφει, ὀρύσσει.

Σκαλεύω, ὡς τὸ ἐφ' ἡμοῖς αὐτοὺς ἐσκαλευκότες φαινόμεθα. σεσαλευκότες, ἐρευνήσαντες, παρὰ τὸ σάλος σαλεύω.

Σκαληνιεῖς, ὀχετοί, ἔντερα.

Σκαλίς, σκαφίον.

Σκαλλίον, κυλίκιον, μικρόν. οἱ δὲ σκαλλόν.

Σκάλλοντες, σκάπτοντες.

Σκαληνόν, σκολιόν, πολύγωνον. τοῦ γὰρ τριγώνου εἴδη τρία, ἰσόπλευρον, ἰσοσκελές, σκαληνόν.

Σκαληνόν, γεωμετρικὸν σχῆμα. * δίκην σκάλας.

Σκάλοπας, μύας τινάς, οὓς φαμὲν σπάλακας, Ἀριστοφάνης λέγει.

Σκάλοψ, ὁ σπάλαξ λέγεται παρὰ Ἀττικοῖς, ὡς λέγει Νικοκλῆς.

Σκάλοπας, ὡς παρὰ Ἀριστοφάνει, ὁ κεκαλυμμένους ἔχων τοὺς ὦπας.

Σκαλμός, περὶ ὃν δεσμοῦσι τὰς κώπας πάσσαλον. ὑποσκαλμὶς δέ, ἡ τοῦ σκαλμοῦ βάσις.

Σκάλμη, μάχαιρα θράκιος. καὶ σιδηρολάβον δὲ αὐτὴν τινες λέγουσι.

Σκαλτομίζειν, λαμπυρίζειν.

Σκαλῶ, σκαλαβῶ.

Σκαλώνια, τὰ ἀσκωρώνια, καὶ ἀκμαῖα. ἃ σκαμβὰ καὶ καμπύλα.

Σκάμαια, κύων.

Σκαμβισνίδαι. Λυκοῦργος ἐν διαδικασίᾳ κροκωνικῶν. ἔστι δὲ δῆμος τῆς Λεοντίδος.

Σκαμβή, παρὰ τὸ σκαιῶς προβαίνειν. ἢ παρὰ τὸ σκάπτω, τὸ κατορύσσω. ὁ γὰρ διεστραμμένος, πολλὰ κατορύσσει κατὰ τοῦ πλησίον.

Σκαμάνδριον ἐκάλει τὸν παῖδα Ἕκτωρ, ὁμωνύμως ἀνδρί τινι Τρωϊκῷ, οὗ καὶ αὐτοῦ ἐμνήσθη ὁ Ποιητής, κατὰ παρωνυμίαν τὴν ἀπὸ τοῦ ποταμοῦ Σκαμάνδρου, ὥσπερ καὶ Σιμοείσιός τις, παρὰ τῷ Ποιητῇ παρονομάζεται τῷ Σιμόεντι ποταμῷ. καὶ τὶς Ἰδαῖος τῇ Ἴδῃ τῷ ὄρει. καὶ οὕτω μὲν ὁ Ἕκτωρ. οἱ δὲ Τρῶες χάριτας εἰδότες τῷ προμάχῳ πατρί, Ἀστυάνακτα τὸν υἱὸν ἐκάλουν τρόπῳ διωνυμίας. οὐχ ὅτι ὁ ὑπονήπιος τοῦ ἄστεος ἄναξ ἦν τῆς Ἰλίου, ἤτοι φροντιστής, καὶ ἀνακῶς, ἤγουν ἐπιμελῶς ἔχων αὐτοῦ, εἰ καὶ ὁ Ἕκτωρ ἐπεύξεται Ἰλίου ἶφι ἀνάσσειν αὐτόν, ἀλλὰ διὰ τὸν πατέρα. ἐπειδή φησι μόνος ἐρύετο Ἴλιον Ἕκτωρ.

Σκάμανδρος, λέγεται οἱονεὶ κάμανδρος. καμάτου γάρ ποτε ἀνδρὸς τοῦ Ἡρακλέους παρεμυθήσατο, ἡνίκα εἰς Ἴλιον ἐστρατεύσατο. ἢ καὶ διότι ἀνδρὸς ἐκείνου σκάμμα, τὸν Ξάνθον ἐκ γῆς προήγαγε. σκάψας γάρ φασι ποτὲ τὴν γῆν Ἡρακλῆς ἐν τῷ διψῆν, πηγὰς ἐξέφηνε ποταμοῦ ὃς διὰ τοῦτο ἐκλήθη Σκάμανδρος. διώνυμον δὲ εἶναι τὸν ποταμόν, ἐπισημαίνεται ὁ Ποιητής. Σκάμανδρος γάρ, καὶ Ξάνθος καλεῖται.

Σκαμβάλλει, ἀκηδιᾷ.

Σκαμβάλυξ, σκαμβός, στρεβλός.

Σκαμβηρίζοντες, ὀλισθαίνοντες.

Σκαμβὶς, θερμοπότις. Λάκωνες.

Σκάμβηκες, σκόλοπες, χάρακες.

Σκαμβωνίδαι, δῆμος τῆς Λεοντίδος φυλῆς.

Σκαμμάδες, πόρναι.

Σκάμματα, ἀγῶνες, στάδια.

Σκαμμωνία, βοτάνη.

Σκαμφυσεῖ, μεμψιμοιρεῖ, ἀγανακτεῖ.

Σκάναμα, τόπος πρὸς τὸ εὖ στιβάσασθαι.

Σκανδάληθρα, τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξυλάρια.

Σκανδαλίσει, ἀντὶ τοῦ ὑβρίσει. ὡς καὶ ἐν τῷ Εὐαγγελίῳ, ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων.

Σκάνδαλον, παρὰ τὸ σχάζω, ὃ σημαίνει τὸ χωλαίνω. λέγεται καὶ σκάνδαλον, ἡ διαστροφή. καὶ σκάνδαλον, τὸ σκάζον περὶ τὴν ἀλήθειαν.

Σκανδαλοθείσας, καὶ σκάνδαλον, τὸ ἐν ταῖς μυάγραις.

Σκάνδαλος, ἐμποδισμός.

Σκάνδεια, πόλις Κυθήρων.

Σκανδεία, παρ' Ὁμήρῳ γράφουσιν, ἀντὶ τοῦ ἐν σκανδείᾳ. ἔστι δὲ ἡ Σκάνδεια, ἐπίνειον Κυθήρων, κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα. καθ' ὁμοιότητα τοῦ Ἄθυρα, ὃν αὐτὸς ἐπίνειον περὶ τὸ Βυζάντιόν φησι. τὰ δὲ Κύθηρα, νῆσός φησι πρὸς τῇ Κρήτῃ, ἔχουσα πόλιν ὁμώνυμον, ἀπό τινος Κυθήρου κληθεῖσαν. ἧς παρώνυμος δοκεῖ εἶναι καὶ ἡ Κυθέρεια. ἱστορεῖται δὲ καὶ πορφυροῦσα ἡ τοιαύτη νῆσός ποτε κληθῆναι, διὰ τὸ κάλλος τῶν ἐν αὐτῇ πορφυρῶν.

Σκάνδιξ, λάχανον ἄγριον. παρὸ καὶ σκανδικοπώλην, τὸν Εὐριπίδην λέγουσι. ἐπειδὴ λαχανοπωλητρίας υἱὸν αὐτὸν εἶναί φασι.

Σκάνδυκες, σκόλοπες, χάρακες.

Σκανδεύεσθαι, ἐπαριστερεύεσθαι.

Σκάνθαν, κράββατον.

Σκάνιξ, ἐπαρίστερος.

Σκάνος, αἰτία, κώλυμα.

Σκαπάνη ἐστί, δίκελλα. σκαφίον, τὸ κοινῶς λεγόμενον τζαπίον, ὃ οἱ Ἀττικοὶ ἄμην. χρῶνται δὲ αὐτῷ πάντες μὲν οἱ ἀθληταί. μάλιστα δὲ οἱ πύκται. ἄλλως.

Σκαπάνην, ἤγουν δίκελλαν, ἢ λισγάριον. ἢ σκαφίον, ὃ οἱ Ἀττικοὶ ἄμην λέγουσιν. οἱ γὰρ γυμνασταὶ τούτοις ἐχρῶντο ὑπὲρ γυμνασίας, τῇ σκαπάνῃ σκάπτοντες, καὶ τὰ ἄνω μέρη ἀναρρωννύντες.

Σκαπανήτης, ὁ σκαφεύς, καὶ σκαπανεύς.

Σκαπάνιον, ἡ βακτηρία. ἄλλοι, σκίπωνα.

Σκάπαρδος, ὁ ταραχώδης καὶ ἀνάγωγος.

Σκάπερδα, ἐν τοῖς Διονυσίοις ἀγομένη, πηγνυμένης δοκοῦ ἀνδρομήκους, καὶ τετρημένης, ἢ διήρηται διὰ χοινίου. καὶ δύο οἱ ἀγωνιζόμενοι ἀντίους ἀλλήλοις τοὺς νώτους ἔχοντες. καὶ πᾶν τὸ δυσχερές, σκάπερδα λέγεται. καὶ ὁ πάσχων, σκαπέρδης.

Σκαπερδεῦσαι, λοιδορῆσαι.

Σκάπετος, τάφρος. ἄλλοι, τάφος.

Σκάπος, κλάδος, καὶ ἄνεμος ποιός.

Σκάπτει, ὀρύττει.

Σκάπτω τὴν γῆν, μεταβατικῶς αἰτιατικῇ.

Σκάραιβον, αἱμοποιόν.

Σκαρδαμύττειν, τὸ κοινῶς βλεφαρίζειν. καὶ τὸ σκιρτᾶν, παρὰ τὸ μύω, καὶ τὸ σκαίρειν, τὸ κινεῖν. παρὰ τὴν συνεχῆ κίνησιν τῶν βλεφάρων, ἃ δὴ τὸ μύειν παρέχει.

Σκαρθμός, ἡ τῶν ποδῶν κίνησις.

Σκαρθμοί, κινητοί, σκαρισμοί.

Σκαρθμοῖς, κινήσεσι, δρόμοις, κρηπῖσι, λακτισμοῖς, καὶ υἱὸς Ταύρου ἀναγράφεται.

Σκαρία, παιδία.

Σκαρίδες, εἶδος ἑλμίνθων.

Σκαρίζεται, ταράττεται, βράζει.

Σκαριφᾶσθαι, ξύειν, σκάπτειν, γράφειν. ὅθεν καὶ ὁ σκάριφος.

Σκαριφήσασθαί ἐστι, τὸ ἐπισεσυρμένως τὶ ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν.

Σκαριφισμοῖς, συνεστυμμένοις καὶ συγνοῖς, παρόσον οὐκ ἀνηδέοις οἱ φιλόσοφοι διαλέγονται, ἢ οἷον σκαρισμοῖς καὶ λεπτολογίαις, σκιαγραφίαις. σκαριφεύειν γάρ, τὸ τοὺς ζωγράφους ὑποτυπῶσαι πρῶτον τοὺς γραφομένους. καὶ σκαριφήσασθαι, ἐπὶ τὸ ἐπισεσυρμένως τὶ ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν σκιαγραφεῖν. εἰσὶ δὲ καὶ οἱ Φιλόσοφοι λόγοι, ὥσπερ σκιαὶ καὶ αἰνίγματα διὰ τὸ ἀερῶδες αὐτῶν καὶ λεπτόν. ἴσως δὲ ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ σκάριφος, ἤγουν τὸ κάρφος καὶ φρύγανον. μᾶλλον δὲ ἡ γραφίς. Ἀριστοφάνης.

Σκάριφος, ξέσις, γραφή, μίμησις ἀκριβὴς τύπου.

Σκάρκη, θραίκης τὸ ἄγριον.

Σκαρπαδεῦσαι, κρῖναι.

Σκάρτας, παχύς. οἱ δὲ σκέπας.

Σκαρφᾶσθαι, σκεδάννυσθαι.

Σκάρφη, κεῖταί φασιν ἐγγὺς Θερμοπυλῶν. ὠνόμασται δέ, ἀπὸ σκαρφείας ἐνδόξου τινὸς γυναικός. κατὰ δὲ τὸν Γεωγράφον, ἐφ' ὕψους ἡ σκάρφη κεῖται, χώραν εὔκαρπον καὶ εὔδενδρον ἔχουσα. καλεῖται δέ φησι νῦν φαρύγαι, καὶ ἔχει φαρυγαίας Ἥρας ἱερόν. λέγει δέ, ὅτι Σκάρφη καὶ εἶτα Νίκαια, καὶ αἱ Θερμοπύλαι. καὶ ὅτι Σκάρφεια, σταδίοις δέκα ὑπέρκειται θαλάσσης, διέχουσα Θρονίου σταδίους τριάκοντα καὶ ὅρα ὅτι καὶ Σκάρφην τὴν αὐτὴν λέγει, καὶ Σκάρφειαν.

Σκαρφῶν, εἶδος καμίνου ἐν τῷ μεταλλικῷ.

Σκατοφάγον, λέγει Ἀριστοφάνης, τὸν ἀναίσθητον. εἴρηται δὲ ἀπὸ τῶν παρὰ Βοιωτοῖς βοῶν, οἳ διὰ πολλὴν ἀναισθησίαν, σκατὰ ἤσθιον. ἑτερόκλιτος δέ ἐστιν ἡ σκατὸς γενική, ἀπὸ εὐθείας τῆς σκώρ.

Σκάφαι, ὀψοπλυνία.

Σκάφαλος, ἀντλητήρ.

Σκαφηφόροι, οἱ μέτοικοι οὕτως ἐκαλοῦντο. σκάφας γὰρ ἔφερον ἐν τοῖς παναθηναίοις, ἵνα ὡς εὔνοι ἀριθμῶνται, μετέχοντες τῶν θυσιῶν.

Σκαφίδα, Ἀττικοὶ μὲν τὴν ποιμενικὴν σκάφην, καθ' ὥσπερ λέγουσι γαυλοί τε σκαφίδες τε, τετυγμένα τοῖσιν ἄμελγεν. Ἱπποκράτης δὲ τὴν θαλασσίαν κόγχην τὴν παραμηκεστέραν φησίν, ἣν οἱ πολλοὶ μύα καλοῦσι.

Σκάφας, τὰ ξύλινα ἀγγεῖα λέγουσι.

Σκαφίον, πτύον, καὶ εἶδος κουρᾶς τῆς κεφαλῆς. ὃ κείρεσθαί φασι τὰς ἑταιρευούσας. εἶναι δὲ περιτρόχαλον καὶ ἰατρικὸν ἐπίδεσμον.

Σκαφίς, ὁ καδίσκος ἐν ᾧ καταχέονται αἱ γυναῖκες. ἐκαλεῖτο δὲ οὕτως, ἐπεὶ καὶ σκάφη εἶδός τι πλοίου, καὶ ὁμοιότροπός ἐστι τῷ πλοίῳ ὁ καδίσκος. ἔστι δὲ καὶ κουρᾶς εἶδος, καὶ ὑσμινύης γεωργικῆς.

Σκάφος, παρὰ τὸ σκάπτω τὸ κοιλαίνω, σκάψω, ἔσκαφα. ἐξ αὐτοῦ σκάφος, ἀπὸ μεταφορᾶς τῶν σκαπτομένων, καὶ γινομένων βαθέων.

Σκαφώρη, ἡ ἀλώπηξ.

Σκεδάζει, σκορπίζει ἀθετεῖ, ταράττει, ἐγχέει, καταργεῖ.

Σκεδαννύω, ἀπὸ τοῦ σκεδάω πρωτοτύπου ἀχρήστου θέματος, καὶ κατὰ παραγωγὴν σκεδάννω, καὶ καθ' ἑτέραν αὖθις σκεδαννύω. τὰ γὰρ ἀπὸ καθαροῦ τοῦ πρωτοτύπου παραγόμενα, διὰ δύο νν γράφεται, ὡς τὸ σκεδάω σκεδαννύω, σβέω σβεννύω, καὶ τίω τιννύω.

Σκεδάσας, σκορπίσας, καὶ σκεδάζω.

Σκεθνῶ, σκίδνημι, σκίδναμαι, σκίδνασαι, σκίδναται, σκίδνασθαι. καὶ τοῦ σκεδῶ, οὐ μόνον τὸ σκεδάζω παράγωγον, ὡς καὶ τοῦ ἰσῶ τὸ ἰσάζω, ἀλλὰ καὶ τὸ σκεδαίω, πρὸς ὁμοιότητα τοῦ ἰσῶ ἰσαίω.

Σκεθρόν, ἀκριβές.

Σκειρά, ἑορτὴ Ἀθηνᾶς. καὶ σκειράφια, τὰ κυβεῖα, ἤτοι ἐπεὶ σκείραφός τις ἐστὶν ὄργανον κυβευτικόν, ἢ ἀπὸ Σκειράφου τινὸς κυβευτοῦ, ἢ ὅτι ἐν τῷ τῆς σκειράδος Ἀθηνᾶς ἱερῷ οἱ κυβευταὶ ἔπαιζον.

Σκειρὰς Ἀθηνᾶ. Σκιρόν φασι τὸν Ποσειδῶνος υἱόν, γήμαντα Σαλαμῖνα τὴν Ἀσωποῦ.

Σκειράξαι, κρεωφαγῆσαι.

Σκείρατες, οἱ προύνικοι, καὶ κυβευταί.

Σκειρίτης, λόχος οὕτω καλούμενος, ὁ προκινδυνεύων. ἦν δὲ Ἀρκαδικός.

Σκειρόμαντις, ὁ ἐπὶ σκείρωσι μαντευόμενος, τόπος δὲ ἦν οὗτος, ὅθεν τοὺς οἰωνοὺς ἔβλεπον.

Σκείρων, λατύπη, ἢ σκληρόν.

Σκεῖρος, ῥύπος, καὶ ὁ δριμὺς τυρός, καὶ ἄλσος, καὶ δρυμός. Φιλητᾶς δέ, τὴν πυρρώδη γῆν.

Σκείρων, ἄνεμος, ἀπὸ τῶν σκειρωνίδων πετρῶν καταπνέων.

Σκειρωνία, πέτρα.

Σκείρων, ὄνομα λῃστοῦ. σκήρων δὲ ἐθνικόν, ἦν.

Σκειρώσασθαι, σκληροῦσθαι.

Σκελεαί, τὰ τῶν σκελῶν σκεπάσματα. Πάρθοι, σαράβαρα.

Σκελέεσθαι, ἄγαν σκληρῶς διακεῖσθαι.

Σκελερδεία, Ἄνθεια ἡ νῆσος.

Σκελεταί, σκίλλα.

Σκελετός, κατάξηρος. παρὰ τὸ σκέλλω, τὸ ξηραίνειν.

Σκέλεφερ, βολβοῦ ὄνομα. Λάκωνες.

Σκελίπερον, νήπιον. Ἀρχίλοχος.

Σκέλισμα, τὸ ἀείμνημα.

Σκελίς, τὸ ἀπὸ τῆς ῥάχεως, ἕως τοῦ ὑπογαστρίου.

Σκε-

Digitized by Google

Σκελιφρός, ξηρός, προσεσταλμένος.
Σκελίδες, τὰ περιμήκη τμήματα.
Σκέλλισμα, δρόμημα.
Σκελλὸν, διεστραμμένον.
Σκελλόμενα, σκελετευόμενα.
Σκέλλω, σημαίνει τὸ ξηραίνω.
Σκέλος, τὸ ἀπὸ τοῦ ἀστραγάλου μέχρι τοῦ γόνατος, τὸ ἄσαρκον μέρος τοῦ σώματος.
Σκέλος, τάττεται ἐπὶ τοῦ φορτικοῦ, καὶ μέρος τι τῆς νεώς.
Σκελοῦνται, σκελετευθήσονται.
Σκελῶν, ποδῶν.
Σκέμμα, διάνοια, σκέψις.
Σκένακας, ἀνωνύμους.
Σκεπάζω, ἐκ τοῦ σκέπω, τοῦτο παρὰ τὸ χέθω τὸ κωλύω, χέπω, καὶ τροπῇ καὶ πλεονασμῷ τοῦ σ σκέπτω. ἢ παρὰ τὸ σκιά, καὶ τὸ ἔπω.
Σκεπαρνηδὸν, ἐκκεκλασμένως. καὶ γὰρ ὁ σκέπαρνος αὐτὸς ἐπίδεσμος, ἀπὸ τῶν τεκτονικῶν ὀνομάσθαι δοκεῖ, παρὰ τῷ Ἱπποκράτει.
Σκέπαρνον εὔξοον, δύναται καὶ κατὰ ἐνεργητικὴν σημασίαν εἶναι τὸ εὐξέον. ὥσπερ καὶ βέλος ὠκύμορον, τὸ ὠκυθανατοῦν.
Σκέπαρνον, ἐπιδέσμου ἰατρικοῦ ὄνομα.
Σκέπας, σκέπη, ὑποδοχή.
Σκεπᾶσθαι, θερμανθῆναι.
Σκεπινὸς, ἰχθὺς ποιός.
Σκέπτετο, ἀπεκρούετο, ἐφυλάσσετο, παρετήρει, περιεβλέπετο, προφασίζετο.
Σκέπτεσθαι, τὸ βουλεύεσθαι.
Σκέραφος, λοιδορία, βλασφημία.
Σκέρβολλε, λοιδόρει. δηλοῖ δὲ καὶ τὸ κερτομεῖν. κεῖται δὲ ἡ λέξις παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ μὴ ποίκιλλε. καὶ Καλλίμαχος, σκέρβολλα μυθήσαντο.
Σκερὸς, αἰδοιολείκτης.
Σκερολίγγες, λεκασταί, ἢ ὀπισταί.
Σκευάζω, ἀντὶ τοῦ κακουργῶ, καὶ πανουργεύομαι, αἰτιατικῇ συντάσσεται. σκευάζομαι δὲ, τὸ τὰ ἐπιτήδεια κυρίως συλλέγω ἐπ' ἐξόδῳ, ὃ καὶ ἀντὶ τοῦ ὁπλίζεσθαι λαμβάνεται, αἰτιατικῇ συντάσσεται. Ξενοφῶν, ἔδοξεν αὐτοῖς συσκευασμένοις ἃ εἶχον, καὶ ἐξοπλισαμένοις προϊέναι εἰς τὸ πρόσθεν.
Σκευὴ ὀξυτόνως τὸ ἔνδυμα, ὅθεν καὶ σκευάζομαι τὸ ἐνδύομαι. σκεύη δὲ, τὰ εἰς ὑπηρεσίαν ἐπιτήδεια, οἷον λέβητες καὶ χύτραι, καὶ τὰ τοιαῦτα.
Σκευὴν βελτίων ἀλεωρὴν, σκευὴν, πανοπλίαν. βελτίων δὲ ἀλεωρὴν, σκέπην. Ἀριστοφάνης.
Σκεύη φέρουσι, παρὰ τῷ Ἀριστοφάνει. ἡ δὲ γραφὴ τριχῶς, ἢ γράφεται σκευηφοροῦσιν, ἢ σκεύη φέρουσιν, ἢ σκευοφοροῦσιν, ἀντὶ τοῦ σκευοφόρους ἄνδρας ποιοῦσι.
Σκευοποιοὺς, τοὺς τὰ πρόσωπα ποιοῦντας. σκευώρημα, πλάσμα, κακουργία, κατασκευή, τὸ γινόμενον κατασκεύασμα εἰς βλάβην.
Σκευωρῶ, τὸ ἐπιβουλεύω. καὶ σκευώρημα, ἡ ἐπιβουλή.
Σκεῦος, παρὰ τὸ χῶ τὸ κρατῶ καὶ φυλάττω, χεῦος καὶ σκεῦος. ἢ παρὰ τὸ κεύθω, τὸ κρύπτω.
Σκεῦος, ἀγγεῖον ἅπαν. καὶ τὸ σκευοῦσθαι, ἑτοιμάζεσθαι.
Σκευοφόροι λέγονται, οἱ τὴν ἀποσκευὴν φέροντες. ἀποσκευὴ δέ ἐστιν, ἡ κοινῶς λεγομένη κατοῦνα, ἤτοι τὰ πρὸς ὁδὸν χρησιμεύοντα σκεύη.
Σκευοφορῶ, σκεύη φέρω, ἤγουν χύτρας, πίνακας, καὶ τὰ ὅμοια. Ἀριστοφάνης, σκευηφοροῦσιν ἑκάστοτε ἐν κωμῳδίᾳ.
Σκέψασθε, ἀντὶ τοῦ θεάσασθε, προσδέχετε. Ἀριστοφάνης.
Σκέψις ἐστιν, ἡ μετὰ λόγου ζήτησις. σκέψις ἐστὶ, λογισμῶν ἀντίθεσις εἰσπρακτέα.
Σκηκὸς, πόας εἶδος καὶ ζώου.
Σκήλη, ἐκ τοῦ σκέλλω ἔοικε γίνεσθαι. εἰ γὰρ ἐκ τοῦ σκέλλω ἦν, ὅθεν καὶ τὸ σκέλλος καὶ σκελετὸς, διὰ διφθόγγου ἂν εἶχε τὴν παραλήγουσαν, ὡς καὶ τὸ ἀναγγείλη, καὶ ἀνατείλη, καὶ τὰ ὅμοια.
Σκημπτίσθω, κατακλινέσθω, παρὰ τῷ Ἱπποκράτει.
Σκηνή ἐστιν ἡ μέση θύρα τοῦ θεάτρου, περισκήνια δὲ, τὰ ἔνδοθεν τῆς μέσης θύρας χαλκᾶ κάγκελλα. καὶ ἵνα σαφέστερον εἴπω, σκηνὴ ἡ μετὰ τὴν σκηνὴν εὐθὺς, καὶ τὰ περισκήνια, ἡ ὀρχήστρα. αὕτη δέ ἐστιν ὁ τόπος ἐκ σανίδων ἔχων τὸ ἔδαφος. ἐφ' οὗ καὶ θεατρίζουσιν οἱ μῖμοι. εἶτα μετὰ τὴν ὀρχήστραν. βωμὸς ἦν τοῦ Διονύσου, τετράγωνον οἰκοδόμημα, κενὸν ἐπὶ τοῦ μέσου, ὃ καλεῖται θυμέλη παρὰ τὸ θύειν. μετὰ τὴν θυμέλην ἡ κονίστρα, τουτέστι τὸ κάτω ἔδαφος τοῦ θεάτρου. σκῆνος, οἰκητήριον, ἢ σῶμα.
Σκηνὴ, ἡ πρόσκαιρος κατοικία. καὶ σκήνωμα. σκηνῶ, τὸ πρὸς καιρὸν οἴκησιν ποιοῦμαι, ἢ ἁπλῶς, ἀντὶ τοῦ οἰκῶ καὶ κατασκηνῶ.
Σκηνῶ, ὅτινες μὲν ψυχὴν, τινὲς δὲ φάλαιναν.
Σκῆνος, ἔοικε δὲ σκεῦός τι εἶναι. ὅπερ οἱ μὲν κόσμον τινὰ γυναικεῖον εἶναί φασιν, οἱ δὲ σκιάδιον. ῥητορική. σκῆνος, καὶ τὸ σῶμα παρὰ τὸ σκήνωμα, καὶ σκηνὴν εἶναι τῆς ψυχῆς, οἷον οἰκητήριον.
Σκηνορραφεῖον, τὸ δερματορραφεῖον. καὶ σκηνορράφος.
Σκηνῶ, παρὰ τὸ σκηνή. τοῦτο παρὰ τὸ χῶ τὸ κρατῶ, χηνὴ καὶ σκηνή, ἡ κρατοῦσα καὶ φυλάττουσα ἡμᾶς. οἱ δὲ, δέρματα καὶ ζωστῆρας καὶ δοκοὺς, οἷς καταπήγνυται πᾶσα ἡ σκηνή. οἱ δὲ, εἶδος κόσμου γυναικείου, οἱ δὲ, σκεῦός τι οὕτω καλούμενον, οἱ δὲ τὴν νῦν δελφικὴν καλουμένην. καὶ σκηνευτὴς, ὁ σκηνήν τινα οἰκῶν.
Σκηνώματα, οἶκοι, τόποι, ἢ καὶ τὰ σώματα.
Σκηνῶντες, σύσκηνοι. λέγονται δὲ καὶ σκηνῶται.
Σκηπάνιον, σκῆπτρον, ῥάβδος.
Σκηπήϊον, πτύον.
Σκήπτομαι, τὸ ἐρείδομαι. ἀφ' οὗ σκῆπτρον, καὶ σκηπτάνιον, τὸ ἐπιτήδειον ξύλον εἰς τὸ ἐρείδεσθαι. καὶ σκῆπτρον βασιλικὸν, ἤγουν ῥάβδος, ἐν ᾗ ἐρείδεται ὁ βασιλεύς. καὶ σκήπτομαι, τὸ προφασίζομαι, αἰτιατικῇ συντάσσεται. καὶ σκῆψις, ἡ πρόφασις. καὶ σκήπτω ἄχρηστον. μετὰ δὲ προθέσεως ἐν χρήσει, οἷον κατασκήπτει κεραυνὸς, ἀντὶ τοῦ σφοδρῶς καὶ βιαίως καταφέρεται. ἀφ' οὗ σκηπτὸς πᾶς, ὁ οὕτω καταφερόμενος κεραυνός. καὶ ἐν σκήπτει ὁμοίως ἐπὶ κεραυνῶν, καὶ χαλάζης σφοδρῶς καταφερομένης. καὶ ἐγκατέσκηψεν ὑετὸς, ἀντὶ τοῦ λαῦρος καὶ πολὺς κατηνέχθη. καὶ ἐπισκήπτω, τὸ ἐντέλλομαι, καὶ ἐξορκίζω. καὶ ἀποσκήπτειν, ἀπὸ ὅλου εἰς μέρος ἓν τὸ λυποῦν συνάγεσθαι. ἀφ' οὗ ἀπόσκημμα, τὸ κοινῶς ἀπόστημα. καὶ σκήπτομαι, τὸ προφασίζομαι. τινὲς γὰρ τῶν πολιτῶν. ἡνίκα χρημάτων ἦν εἰσφορὰ πρὸς τὴν πόλιν, τὴν ἐμπορίαν ἐπροφασίζοντο, τὴν εἰσφορὰν βουλόμενοι φυγεῖν. ἀζήμιοι γὰρ οὗτοι διεφυλάττοντο, ὥς φησιν Εὐφρόνιος. ὡς τὴν πόλιν ὠφελοῦντες πλεῖστα διὰ τῆς ἐμπορίας. διὸ καὶ ὁ συκοφάντης παρὰ τῷ Ἀριστοφάνει λέγει, ὅτι ὅταν γένηταί τις καιρὸς πολέμου καὶ εἰσφορᾶς, ἔμπορον ἐμαυτὸν ἀποκαλῶ. ἄλλως. ὅταν φησὶν ἀνάγκη γένηται πράγματος, σκήπτομαι ὥστε ἔμπορος εἶναι. προφασίζομαί φησιν, ὅτε πέμπομαι εἰς τὸν πόλεμον.
Σκηπτὸς, ὁ κεραυνὸς ἐγκατασκήψας.
Σκηπτοῦχος, κατὰ φύσιν ἐρρέθη, παρὰ τὸ ἔχειν σκῆπτον, ὃ σκᾶπτον Πίνδαρος λέγει. καὶ ὡς μὲν πρὸς τὸ σκῆπτρον ἔλλειψιν δοκεῖ ἔχειν τοῦ ρ, διὰ καλλιφωνίαν. εἰ δὲ ἀπὸ τοῦ σκήπτω γίνεται, ἀνελλειπῶς ἔχει.
Σκῆπτρα, οὐ μόνον βασιλεῦσιν, ἀλλὰ καὶ δικασπόλοις. ἔστι γὰρ τὸ σκῆπτρον, οὐ μόνον βασιλείας, ἀλλὰ καὶ θέμιδος.
Σκήπτρῳ ἐλαύνειν, ἀντὶ τοῦ πλήττειν εἴρηκεν. Ὅμηρος, δῆλον δὲ ὅτι καὶ ἵππον ἐλαύνειν τὶς λέγεται. καὶ σίδηρον, καὶ τεῖχος ἐλάσαι τῇ πόλει, πολυσήμαντος ἡ λέξις.
Σκηπτώνιον, ἡ ῥάβδος.
Σκηρίπτεσθαι, τὸ ἐπερείδεσθαι. σκηρίπτω, τὸ ἐρείδομαι καὶ ἐπιστηρίζω. ὅθεν σκήριπτον, καὶ σκῆπτρον κατὰ συγκοπήν.
Σκηρὸν, σκληρὸν, τραχύ.
Σκῆψαι, πεσεῖν.
Σκῆψις λέγεται ἀεὶ, ἡ ψευδὴς πρόφασις. ὡς Δημοσθένης, οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις, ἔθ' ἡμῖν ὑπολείπεσθαι, ἤγουν πρόφασις ψευδής. καὶ σκήπτεσθαι, τὸ προφασίζεσθαι, καὶ τὸ προφάσεις ψευδεῖς συντιθέναι. καὶ σκῆψις, πόλις ἐν Τροίᾳ, ἧς μνημονεύουσιν ἄλλοι τε, καὶ Ἔφορος ἐν τῇ πεντεκαιδεκάτῃ.
Σκιά, παρὰ τὸ κίω, τὸ ἀκολουθῶ, κιά, καὶ πλεονασμῷ τοῦ σ σκιά, ἡ συνακολουθοῦσα. καὶ σκιόεις, ὁ σκιὰν ἀποτελῶν.
Σκιά, σκίασις, ἐπιφάνεια τοῦ χρώματος, ἀντίμορφος.
Σκιαγραφούμενον, τὸ ἀμυδρῶς καὶ ὀλιγοστῶς καταλαμβανόμενον.
Σκιαγραφία, ἐπὶ τῆς μήπω κεχρωματισμένης ζωγραφίας. καὶ σκιαμαχεῖν, καὶ σκιὰν γυμνάζεσθαι, τὸ μόνον τινὰ γυμνάζεσθαι, οὐ σὺν ἄλλῳ ἐξ ἀνάγκης ἔχει τὴν γυμνασίαν, οἷον πυγμὴν, ἢ πάλην. δίσκον δὲ καὶ δίαλμα, καὶ δρόμον. ἐπεὶ καὶ μόνον ἔστι γυμνάζεσθαι. σκιαμαχεῖν ἐπὶ τούτων οὐ λέγεται.
Σκιαγράφος, ὁ Ἀπολλόδωρος.
Σκιαδεὺς, τινὲς δὲ σκίαινα, εἶδος ἰχθύος.
Σκιάδιον, σκέπασμά τι, ὅπερ ἐφόρουν αἱ κανηφόροι γυναῖκες παρὰ τοῖς Ἀθηναίοις ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια, ὑπὲρ τοῦ μὴ καίεσθαι τὰς ὄψεις ὑπὸ τοῦ Ἡλίου. * ἢ ὅπερ ἡμεῖς καμηλαύκιον λέγομεν.
Σκιάζει, σκεπάζει.
Σκίαθος, νῆσος τῆς Θεσσαλίας, ἐγγὺς Εὐβοίας, ἧς καὶ Σιμωνίδης μέμνηται.
Σκιὰς, ἡ ἀναδενδράς. καὶ σκηνὴ, ὠροφωμένη, καὶ τὸ θολῶδες σκιάδιον. ἐν ᾧ ὁ Διόνυσος κάθηται, καὶ τὸ πρυτανεῖον. καὶ κλάδοι εὐμεγέθεις, σκιάδαι λέγονται. καὶ ἡ τοῦ σώματος σκιά, ὅθεν καὶ τὰς ὥρας ἐτεκμαίροντο.
Σκίασεν, ἐκάλυψεν.
Σκιαμαχεῖν, ἐπὶ μόνης τῆς πάλης, καὶ τῆς πυγμῆς. δίσκον γὰρ καὶ δίαλμα, καὶ δρόμον ἔστι καὶ μόνον γυμνάζεσθαι. ταῦτα δὲ χωρὶς γινόμενα, σκιομαχεῖν καλεῖται.
Σκιὰ ὄνου, παροιμία ἐπὶ τοῖς περὶ μηδενὸς ἀξίου μαχομένοις.
Σκιάποδες, ἔθνος λιβυκόν. οἵ φασι τοὺς πόδας, ὥσπερ οἱ χῆνες ἔχουσι πλατεῖς. καὶ ὅταν ᾖ θέρμη, ὕπτιοι ἀναπεσόντες, καὶ ἄραντες τὰ σκέλη, σκιάζονται τοῖς ποσί.
Σκιαρά, ἡ Κεφαλληνία.
Σκιὰς, τὸ ᾠδεῖον ἐκαλεῖτο τῶν Λακεδαιμονίων, κατὰ τὴν ἀρχαίαν φωνήν. οἶκος γάρ ἐστι στρογγύλος. τοὺς δὲ τοιούτους διὰ τὸ τὴν ὀροφὴν ἔχειν μιμήματα τῶν σκιαδίων, σκιάδας οἱ πάλαι προσηγόρευσαν. ἐπεὶ δὲ μετωνόμασαν σκιάδης, καὶ τὸ πολὺ πλῆθος τῶν Ἑλλήνων θολιὰς ἐκάλουν αὐτάς, καὶ τοὺς οἴκους τοὺς περιφερεῖς οἱ μὲν θόλους, οἱ δὲ θολιὰς προσαγορεύουσι.
Σκιαστὴς, ὀρχηστὴς, παρὰ Λάκωσιν ὁ Ἀπόλλων, τελφούσιος δὲ παρὰ Βοιωτοῖς.
Σκιαυγεῖ, ἀμβλυώττει, παρὰ τῷ Ἱπποκράτει.
Σκιδαρὸν, ἀραιόν.
Σκίδνασθαι ποιητικῶς, ἀντὶ τοῦ σκορπίζεσθαι. ἐκ τοῦ σκιδνῶ, σκίδνημι, τὸ τρίτον τῶν πληθυντικῶν σκιδνᾶσι, τὸ παθητικὸν σκίδναμαι, ἐσκίδνατο, καὶ ἐσκίδναντο.
Σκιερὸν, κατάσκιον, ἀκριβὲς, εὔσκιον, ἢ σκιὰν ἔχον.
Σκιθακὸς, ἰχθὺς, ὁ καὶ τράχουρος.
Σκίλλα, σκαμωνία, θανατοφόρος μυῶν.
Σκιλλεῖον, σκιάδιον.
Σκίλλος, ἰκτῖνος.
Σκίλλωνται, ἰδάνωνται.
Σκιλήματι, σκελιτείᾳ, συμπτώσει, παρὰ τῷ Ἱπποκράτει.
Σκιμάλισε, τῷ μέσῳ δακτύλῳ συναρμόσας τὸν μέγαν, καὶ πλήξας ἐφύβριζε. ἢ κατεδακτύλισε. σκιμαλίσαι γάρ ἐστι κυρίως, τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν βουλόμενοι ἐφυβρίσαι τινά, τὸν μέσον δάκτυλον δείξωσιν αὐτῷ.
Σκιμαλίσω, ἐξουθενίσω, ἢ χλευάσω τῷ μικρῷ δακτυλίῳ, ὡς τῶν γυναικείων πυγῶν ἅψομαι. εἴρηται δὲ ἡ λέξις καὶ παρὰ τῷ Ἀριστοφά-

Digitized by Google

στοφάνει ἐν εἰρήνῃ. ἐλέγετο τὸ τῷ μικρῷ δακτύλῳ τῶν ὀρνίθων ἀποπειρᾶσθαι, εἰ ᾠοτοκοῦσι.

Σκιμβάζω, χωλαίνω.

Σκιμβασμὸς, φιλήματος εἶδος.

Σκιμβάδες, ὕλη εὔθετος εἰς τοίχων ἐπίθεσιν, σκέπης χάριν.

Σκιμβόλος, ἠλίθιος.

Σκιμβὸς, χωλός.

Σκίμποδα, τὸν κράββατον λέγουσιν Ἀττικοί. οἱ δέ φασι σκιμπόδιον, ἰδίως δὲ λέγουσι τὸ χωλὸν κραβάτιον. σκιμπάζειν γὰρ τὸ χωλαίνειν, παρὰ τοῖς παλαιοῖς εἴρηται, παρὰ τὸ σκαμβοὺς ἔχειν τοὺς πόδας.

Σκίμπους, τὸ μέσον τοῦ κραββάτου. μεταφορικῶς δὲ καὶ ὅλος ὁ κράββατος, ἀπὸ τοῦ σκηνὴ, καὶ τὸ ποὺς, γίνεται σκηνίπους, καὶ συγκοπῇ σκίμπους. λέγεται δὲ καὶ ὁ σκίμπος, χωρὶς τοῦ υ, ὡς ἀρτίπος, αἰελόπος, σκινίπους τις ὢν, ὁ σκηνῶν σώματι.

Σκίμπτει, σκίμπτεται, χαλεπαίνει, ἐρείδεται, ἐμπίπτει. καὶ σκίμπτεσθαι, ὁμοίως.

Σκίμφθη, δύο δηλοῖ, παρὰ τῷ Ἱπποκράτει. τὸ, τε διῃρέθη, καὶ τὸ ἐμπελάσθη.

Σκίμψαι, τύψαι, κατασχάσαι, διελεῖν, παρὰ τῷ Ἱπποκράτει.

Σκίμψαι, ἐμπαγῆναι, ἐκπλαγῆναι, ἐμπελασθῆναι.

Σκίμψαιτο, λάβοιτο.

Σκινδαλμοὺς, λέγουσι τὰς λεπτολογίας, ἀπὸ τῆς σχίσεως τῶν καλάμων. σκινδαλμὸς κυρίως, τὸ περὶ τὸν φλοιὸν τοῦ καλάμου ξύσμα.

Σκινδαρεύεσθαι, κακοσχολεύεσθαι, δακτυλίζεσθαι, σκιμβαλίζεσθαι, σκιδαρῆσαι, τὰ αὐτά.

Σκινδάριος, ὄρχησις οὕτω καλουμένη.

Σκίνδαροι, τὰ προσκυνήματα.

Σκίνδαρος, ἡ ἐπανάστασις νυκτὸς, ἀφροδισίων ἕνεκα.

* Σκινδαψὸς. ὄργανον μουσικόν.

Σκινθαρίζειν, ἔνιοι σκαρίζειν. δηλοῖ γὰρ τὸ τῷ μέσῳ δακτύλῳ τὸν μυκτῆρα παίειν. ὡς Δίδυμος.

Σκινθίζεται, λακτίζεται.

Σκιοειδέα, σκιοειδῆ.

Σκιόεν, σκιερὸν, μέλαν, βαθύ.

Σκιόεντα, σύσκια, σκοτεινὰ, ὑψηλὰ, ἢ τὰ μεγάλην σκιὰν ποιοῦντα.

Σκίουρος, ζῶον, ὁ καὶ καμψίουρος. ἄλλοι, ἵππουρος.

Σκιόεντα, ἐπὶ μεγάρων λέγεται, ἀπὸ τοῦ παρακολουθοῦντος λέγει τὰ δασέα, καὶ σκιᾶς ἀποτελεστικὰ, διὰ τὸ τῆς ὕλης λάσιον.

Σκίπει, νύσσει.

Σκίπων, σκίπωνος, ἡ βακτηρία, ἤγουν ἡ ἐπερειστικὴ ῥάβδος.

Σκίρα, ἑορτὴ παρ᾽ Ἀθηναίοις, ἀφ᾽ ἧς καὶ ὁ μὴν σκιρροφοριών. ὥς φασιν οἱ γράψαντες περί τε ἑορτῶν καὶ μηνῶν.

Σκιράφιον, τὸ κυβευτήριον· ἐπειδὴ διέτριβον ἐν σκίρῳ οἱ κυβεύοντες.

Σκιρεῖται, σκίρρος ἐστὶν, ἢ λατύπη.

Σκιροφόρια, ὄνομα ἑορτῆς.

Σκίρρον, τὸ ῥυπῶδες ἐπὶ τῶν τυρῶν. ἀπὸ τούτου καὶ τὰ λίαν προσεχόμενα, ἐνεσκιρῶσθαι λέγεται.

* Σκίρρος, ὁ ἀντίτυπος ὄγκος καὶ ἀνώδυνος.

Σκίρρος, ὁ γύψος. καὶ σκιρρίται, οἱ γυψεμπλάσται.

Σκιρρωθὲν, σκληρυνθέν.

Σκιρροφοριὼν, ὄνομα μηνὸς παρὰ Ἀθηναίοις. λέγεται δὲ παρὰ τὸ φέρειν σκίραν, ἐν αὐτῷ τὸν Θησέα, ἤγουν γύψον. ὁ γὰρ Θησεὺς ἀπερχόμενος κατὰ Μινωταύρου, τὴν Ἀθηνᾶν ποιήσας ἀπὸ γύψου ἐβάσταζεν. ἐπεὶ οὖν τῷ μηνὶ τούτῳ ἐποίησε. λέγεται σκιρροφοριών.

Σκιρτᾶν, τὸ ἀρρύθμως κινεῖσθαι. ἀπὸ τοῦ σκαίρειν γὰρ, τὸ ἐμμελῶς κινεῖσθαι καὶ ὀρχιστικῶς. ἀφ᾽ οὗ καὶ σκαρδαμύττειν, καὶ ὁ σκάρος. σπαίρειν δὲ καὶ ἀσπαίρειν λέγεται Ἀττικῶς, ὃ ἐπὶ τῶν σφαττομένων ζώων καὶ λακτιζόντων λέγεται.

Σκιρτᾶν. κακὸς μὲν πρὸς τὸ σκαίρειν, κυρίως δὲ ὂν εἰς ἐλαυνομένας ἵππους. ἔστι δὲ σκιρτᾶν, οὐ τὸ ἁπλῶς θέειν, ἀλλὰ τὸ ἀνέτως καὶ δίχα ἐπιστροφῆς καὶ πηδητικῶς, καὶ οἷον ὀρχηστικῶς κατὰ τοὺς καλπάζοντας.

Σκιρτᾶν λέγεται, καὶ τὸ ἀποδυσπετεῖν, καὶ ἀντιτείνειν, καὶ ἀντιβαίνειν, καὶ ἀντερείδειν. σκιρτᾶν λέγεται καὶ τὸ πηδᾶν καὶ εὐφραίνειν, καὶ τὸ χαίρειν.

Σκίρται, λόχος ἀνδρῶν ἑξακοσίων. οἱ αὐτοὶ καθ᾽ αὑτοὺς ἐστρατεύοντο, καὶ οὐχ ἅμα τοῖς ἄλλοις Λακεδαιμονίοις.

Σκίρτησις, ἰσχὺς, δύναμις, καὶ τὰ ὅμοια.

Σκιρωθῆναι φαμὲν, ἐπὶ τοῦ ῥύπου, τοῦ σφόδρα ἐμμένοντος, καὶ δυσεκπλύτου.

* Σκίρωμα. πάθος περὶ τὸ ἧπαρ ἀνίατον. ὅθεν καὶ ἧπαρ τὸ σκιρωθὲν τῷ πάθει ἀχθηδόνι.

Σκίρων σκίρωνος, ὄνομα κύριον.

Σκίταλοι, ἀπὸ τῶν ἀφροδισίων καὶ τῆς προυνικίας τῆς νυκτερινῆς, θεούς τινας ἐσχημάτισε· Θεὸν δέ φησι πεπλάσθαι τὸν νόμον.

Σκιτυπίαι, σκηναί.

Σκιφίας, εἶδος ἰχθύος.

Σκιφίνιον, πλέγμα ἐκ φοίνικος.

Σκίφος, τὸ ξίφος, διαιρέσει τοῦ ξ εἰς κσ, καὶ ὑπερθέσει.

Σκιούδρια, εἶδος κογχυλίου.

Σκίψαι, ὀκλάσαι. Ἀχαιοί.

Σκιώνη, χωρίον Θράκης, πολέμιον Ἀθηναίοις, ἣν ἐφρούρουν ἐπιεικῶς, ἣν πολιορκήσαντες ἀπετείχησαν.

Σκληρὰ, κατεσκληκότα. καὶ τὰ ἀπ᾽ αὐτῶν πάντα κατὰ τὸν αὐτὸν λόγον, παρὰ τῷ Ἱπποκράτει.

Σκληραγωγία, ἄσκησις, παρὰ τὸ σκληρῶς ἄγεσθαι.

Σκληρὸς οἶνος, λέγεται καὶ σκληρὸς λόγος, καὶ σκληρὰ ψυχή.

Σκληρὸς, νόσημά τι ἀραχνίδων ἐν τοῖς σμήνεσι, πρὸς τὸ σήπεσθαι τὰ κηρία.

Σκληρωπᾶν, σκελετεύειν, σκορδινᾶσθαι, διατείνεσθαι. καὶ μάλιστα τὸ μετὰ χάσμης τεινόμενον, παρὰ τῷ Ἱπποκράτει.

Σκληρωπεῖ, σκληρὸν καὶ ἀπαθῆ εἶναι συγχωρεῖ.

Σκληφροὶ, οἱ ἰσχνοὶ, καὶ λεπτοὶ τοῖς σώμασι.

Σκνῖπες, ζῷά εἰσι βραχύτατα, ὅμως ἀργαλεώτατα, οὐ γὰρ μόνον κνησμοὺς ἐμποιοῦσιν ἀηδεῖς, ἀλλὰ καὶ εἰς τὰ ἐντὸς βιάζεται, διὰ τῶν μυκτήρων καὶ ὤτων. σίνεται καὶ κόρας ὀφθαλμῶν, εἰ μὴ φυλάξαιτό τις.

Σκνιπὸς, καὶ σκνιφὸς, ὁ μικρολόγος καὶ φειδωλὸς, παρὰ τοὺς σκνῖπας, καὶ τὴν τούτων σμικρότητα.

Σκνιφὸς, κατὰ διαφορὰν οἱ πολλοὶ λέγουσι, τὸν γλίσχρον καὶ μικροπρεπῆ περὶ τὰ ἀναλώματα. οἱ δ᾽ ἀρχαῖοι, σκνῖπα καλοῦσιν, ἀπὸ τοῦ θηριδίου τοῦ ἐν τοῖς ξύλοις κατὰ βραχὺ κατεσθίοντος.

Σκνίφος, ἄκρα ἡμέρας καὶ ἑσπέρας, Ἠλεῖοι.

Σκνὶψ, ζῷον χλωρόν τε, καὶ τετράπτερον. * ζῷον κωνωπῶδες. ζῷον μικρὸν ξυλοφάγον.

Σκοβαδὲς, ἔδεσμά τι.

Σκογχύλας, γογγυσμοὺς, ἐνθορυσμούς.

Σκοιὰ, σκοτεινὰ, τινὲς κολόροβοι.

Σκοίδιον, σκιάδιον.

Σκοῖδος, ἀρχή τις παρὰ Μακεδόσι, τεταγμένη ἐπὶ τῶν δικαστηρίων. ἡ λέξις κεῖται, ἐν ταῖς ἐπιστολαῖς Ἀλεξάνδρου.

Σκοίθης, διάβολος, Ἀττικοί. λάλος, στωμύλος.

Σκοιὸν, ἰσχυρὸν, δασὺ, μαλακὸν, βαθὺ, μέγα, χλωρὸν, ποικίλον, σύσκιον.

Σκοῖπος, ἡ ἐξοχὴ τῶν ξύλων, ἐφ᾽ ὧν εἰσιν οἱ κέραμοι.

Σκόλεφρε, κατακεκαυμένε τὰς τρίχας.

Σκοὶψ, ψώρα.

Σκολιὰ, σκαμβὰ, οὐκ ὀρθὰ, ἄδικα, δυσχερῆ, ἐπικαμπῆ, ἄνισα, δύσκολα.

Σκολιὰ, τὰ συμποτικὰ ᾄσματα.

Σκολιὸς, παρὰ τὸ σκάζω τὸ χωλαίνω, ὁ μὴ εὐθεῖαν ὁδὸν πορευόμενος, ἀλλὰ διεστραμμένην, ἢ παρὰ τὸ σκαιὸς, ἢ παρὰ τὸ σκέλλω, ὃ σημαίνει τὸν σκολιὸν πόρον. λέγουσι καὶ τὸν ἀπὸ Βυζαντίου πλοῦν, ἕως τοῦ στομίου τοῦ Πόντου, ἔνθα εἰσὶν αἱ Κυάνεαι πέτραι, ἢ διὰ τὸ σκαμβὸν εἶναι, καὶ οὐκ ἴσον. ἔοικε δὲ τῷ ξ στοιχείῳ, καὶ θηρίῳ ἕρποντι.

Σκολλὶς, κορυφὴ ἡ καταλελειμμένη τῶν τριχῶν. τινὲς δὲ, μᾶλλον πλόκαμον.

Σκολοῖς, δρεπάνοις.

Σκολόπαξ, ὄρνις ποιός.

Σκολόπενδρα, ζῷον καὶ ἐνάλιον, καὶ χερσαῖον.

Σκολοπώνυμον, τὸν σταυρώσιμον, ἀπὸ τῶν σκολόπων.

Σκόλοπες, ὄρθια ὀξέα ξύλα, σταυροὶ, χάρακες.

Σκόλος, ἀκάνθης εἶδος.

Σκολοφρὴ, κατακεκαυμένη.

Σκολόφρον, θρανίον.

Σκόλοψιν, ὡς ὄπτησιν. τὸ γὰρ παλαιὸν, τοὺς κακουργοῦντας ἀνεσκολόπιζον, ὀξύνοντες ξύλον διὰ τῆς ῥάχεως καὶ τοῦ νώτου, καθάπερ τοὺς ὀπτωμένους ἰχθῦς ἐπὶ ὀβελίσκων.

Σκόλοψ, τὸ ὀρθὸν ξύλον, ὥσπερ σταυρός. ἀπὸ τοῦ σκόλοψ ἀνεσκολοπίσθη, ἀντὶ τοῦ ἐσταυρώθη.

Σκόλυβος, ὁ ἐσθιόμενος βολβός.

Σκολύθριον. Πλάτων τίθησιν ἀντὶ τοῦ ὑφ᾽ ἡμῶν λεγομένου ὑποποδίου. ὑπὸ ποιητῶν δὲ ὑποθρόνιον. Πλάτων, ὥσπερ οἱ τὰ σκολύθρια τῶν μελλόντων καθιζήσεσθαι, ὑποσπῶντες χαίρουσι καὶ γελῶσιν, ἐπειδὰν ἴδωσιν ὕπτιον ἀνατετραμμένον. τινὲς δὲ ἐπὶ τῶν μικρῶν διφριδίων ἐξεδέξαντο τὴν λέξιν.

Σκόλυμος, λάχανον ἄγριον ἀκανθῶδες.

Σκολύπτειν. ἐκτίλλειν, κολούειν.

Σκολύφρα, σκυθρωπὴ, σκληρὰ, ἐργώδης, δυσχερής.

Σκολύψαι, κωλῦσαι, κολοβῶσαι, σπαράττειν, ἐκτίλλειν.

Σκομβρίσαι, γογγύσαι, καὶ παιδιᾶς ἀσελγοῦς εἶδος.

Σκόμβροι, εἶδος ἰχθύων, παρόμοιοι τοῖς μικροῖς θύννοις.

Σκόμβροι, θράκιον ἔθνος.

* Σκορακίζειν, εἰς κόρακας ἀποπέμπειν.

Σκορδινᾶσθαι, τὸ παρὰ φύσιν τὰ μέρη ἐκτείνειν, μετὰ τοῦ χασμᾶσθαι διακλώμενον λέγεται. γίνεται δὲ παρὰ τὸ τοὺς ἐγειρομένους ἐξ ὕπνου, ὅταν χασμώδεις ὄντες ἐκτείνωσι τὰς χεῖρας. ὅπερ καὶ παρὰ τοὺς ἄλλους πως βασανιζομένους, καὶ διαστρεφομένους τὰ μέλη. οἷον σκορδινᾶσθαι, δινεῖσθαι, ἀπὸ κόρου ὕπνου καὶ τροφῆς, ἢ καρδινᾶσθαι τὴν κεφαλήν. Ὦρος.

Σκορόβυλος, κάνθαρος.

Σκοροδάλμη, ἡ πικρία τοῦ σκορόδου καὶ τῆς ἅλμης, τὸ μετὰ τῆς ἅλμης, τρίμμα τῶν σκορόδων, εἴτ᾽ οὖν ἡ δριμύτης.

Σκοροδίσαι, τὸ πρὸ τῆς μάχης σκορόδοις ἀνατρίψαι τοὺς ἀλεκτρυόνας.

Σκόροδον, εἴρηται ἴσως σκαιόν τι ῥόδον ὂν, παρὰ τὸ σκαιὸν ὄζειν. σκοροδίοις, τινὲς παρὰ τῷ Ἀριστοφάνει τοῖς τῶν σκορόδων καυλοῖς, οὐχ ἁπλῶς τοῦτο εἴρηται, ἀλλ᾽ ἵνα δείξῃ ὅτι τοσαύτῃ μεταβολῇ κεχρήμεθα, ὥς τε ἃ πρότερον ἐσθίομεν ἀγαπητῶς, τούτοις νῦν ἀφοδεύοντες ἀποματτόμεθα.

* Σκορόδου φίσιγρα, τὸ ἔξωθεν λέμμα.

Σκοροδὼν, ὁ τόπος ἐν ᾧ τὰ σκόροδα φύεται. διὸ καὶ ὀξυτόνως γράφεται.

Σκορπίζω, ἐκ τοῦ καρπὸς καρπίζω. καὶ σκορπίζω ἐκ μεταφορᾶς εἴρηται ἡ λέξις, ἐπεὶ ὁ καρπὸς σκορπίζεται.

Σκορπιὸς, σημαίνει τρία. τὸν χερσαῖον, καὶ γίνεται παρὰ τὸ σκορπίζειν τὸν ἰόν. καὶ τὸν θαλάσσιον, καὶ γίνεται ἐκ τοῦ πλήττειν, καὶ τὸν ἰὸν ἐπιβάλλειν, ἢ παρὰ τὸ σκαιῶς ἕρπειν. σημαίνει καὶ τὸν ἀστέρα, καὶ λέγουσιν ἀπὸ τῆς πρὸς τὸν χερσαῖον ὁμοιότητος. ἐπειδὴ ὅτε ἐναντίος ἐστὶν ὁ ἥλιος, τότε τὰ σπέρματα ἐπὶ τὴν γῆν σκορπίζομεν σπείροντες, ἢ ἐπειδὴ ἐκ τοῦ κόλπου σκορπίζει τὰ σπέρματα.

Σκορπιοῦται, ἀγριαίνεται, ἐρεθίζεται.

Digitized by Google

Σκοτομία, ζόφος. Ἀχαιοί.

Σκόσωσι, ὅταν συσκοτάσῃ ἡ σκοτία.

Σκοτδίει, δραπετεύει.

Σκότα κατὰ Παυσανίαν, τὰς χίσεις ἐκάλουν οἱ ζωγράφοι. ὅθεν ἀπεσκοτωμένα φησὶ, τὰ ἐζωγραφημένα, καὶ κεχωρισμένα ἐλέγετο.

Σκοτία, μέρος τι παρὰ τοῖς ἀρχιτέκτοσι, προσαγορευόμενον τρίγλυφον, καὶ Ἀφροδίτης σκοτίας ἱερὸν κατ' Αἴγυπτον.

Σκοτίζω, τὸ σκότον ποιῶ. σκοτόω δὲ σκοτώσω, τὸ τύφλωσιν ἐπάγω. ἐπισκοτῶ δὲ ἐπισκοτήσω, τὸ ἐπιπροσθῶ, ὡς ὅταν ἡ Σελήνη ἐπισκοτῇ τὸν Ἥλιον ἐν ταῖς ἐκλείψεσι.

Σκότιος, ὁ μὴ φυσικὸς υἱὸς, ἤγουν ὁ κοινῶς κόπελος, ᾧ ἐναντίον ὁ γνήσιος, ἤγουν ὁ ἐκ γαμετῆς. τῷ δὲ γνησίῳ ἐναντίον ὁ νόθος, ἤγουν ὁ υἱοθετός.

Σκοτοδινιῶ, σκυθρωπάζω, ἀμεταβάτως.

Σκοτίβορον, σαπρὸν, σκοτεινόν.

Σκοτοδινιάσας, σκότους καὶ ἴλιγγος πληρωθείς.

Σκοτόμαινα, νύξ ἐστιν, ἐν ᾗ μαίνεται καὶ ἀκαταστατεῖ τὰ οὐράνια.

Σκοτομήνιος νὺξ, οὐχ ἁπλῶς ἡ ἀσέληνος, ἀλλὰ καθ' ἣν ἡ σελήνη ἀποσκοτοῦται, φασὶν ἐγγίσασα ἡλίῳ πρὸς σύνοδον.

Σκότος, οὐκ οὐσία τίς ἐστιν, ἀλλὰ συμβεβηκός. φωτὸς γάρ ἐστι στέρησις.

Σκότος, ἀρσενικῶς παρὰ τοῖς Ἀττικοῖς. παρὰ δὲ τοῖς κοινοῖς οὐδετέρως, τὸ σκότος.

Σκότος, λεπτὸν ἄχρι τοῦ ἐγκεφάλου, τὴν ἀπὸ τῆς ἀθυμίας σκότωσιν διαδυομένην, λέγει ὁ Θεολόγος.

Σκότος ἐστὶ, διττὸν, διττοῦ φωτὸς στέρησις. ἄλλως. σκότος ὠνόμασται ἀπὸ τοῦ σκιάζειν. οἱ δέ φασι σκοπός ἐστιν, ὅτι δεῖ προσκοπεῖσθαι τὸν προσερχόμενον ἐν τῷ αὐτῷ, οὕτως Ἡράκλειτος. ὁ δὲ Ἡρωδιανὸς, παρὰ τὸ σχέθειν ἡμᾶς πολλάκις προϊέναι, ὅ ἐστιν ἐπισχεῖν. Ὧρος.

Σκότος, ἀπὸ τοῦ σκάζειν. Ἡρακλείδης δὲ ὁ ποιητικὸς, ἀπὸ τοῦ προσκόπτειν τὸν ἐπερχόμενον ἐν αὐτῷ. ὁ δὲ Ἡρωδιανὸς, παρὰ τὸ σχέθειν ἡμᾶς, ὅ ἐστιν ἐπισχεῖν πολλάκις προϊέναι.

Σκότος παρὰ τῇ θείᾳ γραφῇ, ποτὲ μὲν, ἡ ἄγνοια. ποτὲ δὲ, αἱ συμφοραὶ, καὶ φῶς ὡσαύτως ἡ γνῶσις, καὶ ἡ τῶν κακῶν ἀπαλλαγή.

Σκῦλαι, κνῆσαι.

Σκρινιάριος, ὑπογραφεύς. σκρίνιον γὰρ τὴν δρυφακτικὴν λάρνακα οἱ Ῥωμαῖοι καλοῦσι.

Σκύβαλον, οἷον κυσίβαλόν τι ὂν, τὸ τοῖς κυσὶ βαλλόμενον καὶ ῥυπτόμενον.

Σκυβαλίζεται. ἐξουθενεῖται, ἀπελίζεται, ἀποδοκιμάζεται, παραρρίπτεται.

Σκύβα, λάχανον, ἡ λαψάνη. τινὲς δὲ, σκοῦβα.

Σκύβαλα, κόπρος.

Σκυβαλισμὸς, ἐκφαύλισμα. καὶ τὸ ἀδόκιμον, ἐκ μεταφορᾶς τῶν σκυβάλων τῶν ἀχύρων.

Σκυδάσκια, εὔκλος.

Σκυδίζει, λακτίζει.

Σκυδικαὶ, Πολέμων παρὰ Ἑρμοδώρῳ γεγράφθαι φησίν. ὑποδήματα δὲ φορεῖν τὴν ἐλευθέραν σκυδικὰς λευκὰς καὶ μαθλήτινας.

Σκυδμαίνειν, τὸ σκυθρωπάζειν, καὶ ὀργίζεσθαι. κυρίως ἐπὶ τῶν λεόντων, ἐπὶ τοῖς ἀφαιρουμένοις σκύμνοις ὀργιζομένων. ἀπὸ οὖν τοῦ σκύμνος καὶ τοῦ μενεαίνειν, γίνεται σκυδμαίνειν. ἢ ἀπὸ τοῦ τῆς περὶ τὸ πρόσωπον συστολῆς τοῦ σκύλους, ὅ ἐστι δεῖγμα, ὃ συμβαίνει ἐπὶ τῶν ὀργιζομένων, Ὅμηρος Ἰλιάδος ω.

Σκύδνος, ἡ λοιδορία, ἡ ὀργὴ, ἡ σκυθρωπότης.

Σκυζᾷν, λέγεται ἐπὶ κυνῶν, ὅτε καθεύδοντες ὑποφωνοῦσι.

Σκύζεσθαι, παρὰ τοῖς ποιηταῖς, τὸ χώεσθαι, ἤγουν τὸ ὀργίζεσθαι μετὰ ἀγανακτήσεως ἀμυντικῆς.

Σκύζεσθαι, τὸ χόλῳ αἱρεῖσθαι. γίνεται δὲ ἴσως μὲν καὶ παρὰ τὸ κύων, πλεονασμῷ τοῦ σ, ἵνα ᾖ σκύζεσθαι τὸ κύνεόν τινα ἔχειν ἦθος, ἢ κυνώπα εἶναι. ὅθεν καὶ τὸ ἐπισκύνιον. μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς, παρὰ τὸν σκύθην, ὡς τῶν σκυθῶν μάλιστα ἑτοίμων ὄντων χολᾶν.

Σκυζομένην, λυπουμένην, ὀργιζομένην.

Σκύθαι, οἱ ἄβιοι. ὡς Ἀρριανός φησιν, οἰκοῦσι τὴν Ἀσίαν αὐτόνομοι, διὰ πενίαν καὶ δικαιότητα. ὅτι δὲ ἀμφίβολον εἴτε Ἀσιανὰ τὰ ῥηθέντα ἔθνη, παρὰ τῷ Ποιητῇ, εἴτε καὶ Εὐρωπαῖα, ἐπαμφοτερίζουσι γὰρ, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται, οὐκ ἔστι ῥᾳδίως ἐπαγωγίσασθαι. καὶ οὕτω μὲν ἕτεροι. ὁ δὲ Γεωγράφος φησὶν, ὅτι οἱ παρ' Ὁμήρῳ ἄβιοι οὕτω λέγονται, διὰ τὸ χωρὶς εἶναι γυναικῶν. ἀπέχονται δὲ ἐμψύχων, μέλιτι χρώμενοι, καὶ γάλακτι, καὶ τυρῷ. διὸ καὶ καλοῦνται θεοσεβεῖς, καὶ καπνοβάται. καὶ ἄβιοί φησιν, ὡς ἀνέστιοι καὶ ἁμαξικοί. λέγει δὲ καὶ νομάδας αὐτοὺς, καὶ ἀτελεῖς, καὶ αὐτάρκεις πάντας, κοινὰ ἔχοντας καὶ γυναῖκας καὶ τέκνα. ἄμαχοι δέ εἰσι καὶ ἀνίκητοι, οὐδὲν ἔχοντες ὑπὲρ οὗ δουλεύουσι.

Σκυθικαὶ, εἶδός τι ὑποδήματος εἰσὶν αἱ σκυθικαί. καὶ Ἀλκαῖος ἐν ὀγδόῳ, σκυθικὰς ὑποδησάμενος.

Σκυθικὸν ξύλον, τὴν διάπυρον, ἔνιοι τὴν θαψίαν.

Σκυθικός. Κρατῖνος, σκυθικὸν ἔφη τὸν Ἱππόνικον, διὰ τὸ πυρρὸν εἶναι, ἐν ᾧ ξανθίζονται αἱ γυναῖκες, καὶ βάπτουσι τὰ ἔρια.

Σκυθιστὶ χειρόμακτρον. οἱ σκύθαι τῶν λαμβανομένων πολλοῖς, ὧν τὰς κεφαλὰς ἐκδέροντες ἦσαν, ἀντὶ χειρομάκτρων ἐχρῶντο.

Σκύθραξ, μεῖραξ, ἔφηβος.

Σκυθράσει, σκυθρωπάζει.

Σκυθρὸς, στυγνὸς τὰς ὄψεις, χαλεπὸς, ὠμὸς, σκυθρωπός.

Σκυθρωπάσαι, πλεονασμός ἐστι τοῦ ρ. σκυθωπάσαι γάρ ἐστι, παρὰ τὸ σκυθικοὺς ἔχειν ὦπας. ἢ σκυθρωπὸς, παρὰ τὸ σκίζω τὸ ὀργίζομαι. καὶ τὸ ὢψ ὠπὸς ὁ ὀφθαλμός. ἢ παρὰ τὸ χύτρα καὶ τὸ ὢψ, γίνεται χυθρωπός. καὶ πλεονασμῷ τοῦ σ καὶ τροπῇ τοῦ χ εἰς κ, τουτέστιν ὁ ἀφανὲς πρόσωπον κεκτημένος.

Σκυθρωπὸς, στυγνὸς, λυπηρός.

Σκυλαίας, τὰ σκῦλα καὶ λάφυρα. οἱ δὲ τὰς πανοπλίας.

Σκύλα, ἓξ κεφαλὰς εἶχεν. τὰ δὲ ἄνω ἀνθρώπου. περὶ τὸ Ῥήγιον οὖσα τῆς σικελίας. ἧς πλησίον ἡ Χάρυβδις περὶ Μεσσήνην. ὥσπερ αἱ Γοργόνες ἐν Ταρτυσσῷ τῆς Ἰβηρίας. κἂν τινες ἐν Ταρτάρῳ ταύτας λέγουσι, πτερωταὶ καὶ αὐταὶ, καὶ δρακοντώδεις, ἔχουσαι βοστρύχους, ὡς αἱ ἅρπυιαι ἐν Θράκῃ, ὦτα ἄρκτων, σώματα γυπῶν, πρόσωπα κόρκων ἔχουσαι. καὶ ἡ ἔχιδνα περὶ Λυδίαν, στέρνα καὶ κεφαλὴν κόρη, τὰ δὲ κάτω ὄφις. ὡς καὶ ὄρθος Γηρυόνου, κύων ἐν ἐρυθείᾳ δύο κυνῶν κεφαλὰς ἔχων, ἑπτὰ δρακόντων. καὶ Ἀστέριος, καὶ Μινώταυρος, ἐν Κρήτῃ, βοὸς ἔχων πρόσωπον, τὸ δὲ ἄλλο σῶμα ἀνδρός.

Σκύλαξ, σχῆμα ἀφροδισιακὸν, ὡς τὸ τῶν φοινικιζόντων.

Σκῦλα, τὰ τῶν νεκρῶν λάφυρα. λάφυρα δὲ, τὰ ἐκ τῶν πολεμίων ἔτι ζώντων λαμβανόμενα.

Σκύλλα, περὶ τὸ Ῥήγιον τῆς Σικελίας ἐστὶν ἀκρωτήριον, ἐξέχον εἰς θάλασσαν, οὗ κάτωθεν πέτραι πολλαὶ καὶ μεγάλαι ἔχουσαι κοίλους τόπους. καὶ σπήλαια, ἐν οἷς καταμένουσι θηρία θαλάσσης. τῶν δὲ πλοίων ἐν ταῖς πέτραις ἀκοντιζομένων, ἐκ τοῦ τῆς Χαρύβδεως ὕδατος, καὶ συγκλωμένων τοὺς ἄνδρας ἐσθίουσιν. ἡ δὲ Χάρυβδις καὶ ἡ Σκύλα, πλησίον εἰσίν. ἡ μὲν Χάρυβδις περὶ Μεσσήνην ἐστὶν, ἡ δὲ σκύλα περὶ τὸ Ῥήγιον, ὡς ἔφην. τὸ δὲ Ῥήγιον Ἰόκαστος ἔκτισεν Αἰόλου, ὥς φησι Καλλίμαχος, ῥήγιον ἄστυ λιπὼν Ἰοκάστου Αἰολίδαο. Ἡρακλῆς οὖν σοφὸς ὢν, καὶ στρατηγὸς, ἐκεῖ παραπλέων τοὺς τόπους μετὰ τῶν Γηρυόνου βοῶν, ἀπώλεσεν αὐτόθι τινὰς ἐξ αὐτῶν, καὶ ἀνακαθαίρει τὸν τόπον τισὶ μηχαναῖς, ὅθεν καὶ ἐμυθεύσαντο τὴν Σκύλαν αὐτὸν ἀνελεῖν. Φόρκυς δὲ, ἤτοι ἡ θάλασσα, ὁ ταύτης πατήρ. ἡ γὰρ θάλασσα δυσχερῆ ταύτην ἐποίει. λαμπάσιν αὐτὴν πάλιν ἀνεζώωσεν, ἢ κινήσεσι, καὶ χρόνοις πάλιν τὴν ὑφ' Ἡρακλέους ἀνακάθαρσιν, καὶ τὸ μηχάνημα ἡ θάλασσα χέασα, μετέστρεψεν εἰς τὴν ἀρχαίαν δυσχέρειαν.

Σκυλεῦσαι πόθεν δηλοῦται, παρὰ τοῖς παλαιοῖς σκῦλον τὸ δέρμα λέγεται. ἀφ' οὗ ἴσως καὶ σκυλεύειν κυρίως, τὸ ἐν πολέμῳ βύρσας, ὅ ἐστι βοείας ἀσπίδας λαμβάνειν. ἐξ οὗ ὡς ἀπὸ μέρους καὶ ἐπὶ πάσης πολεμικῆς σκευῆς, τὸ σκυλεύειν ἐλέχθη. οὗ ἡ ἀναλογία κατὰ τὸ ξύλον ξυλεύω, ἀφ' οὗ καὶ ἡ ξυλεία. ὡς δηλοῖ ὁ γράψας τὰ πεντήκοντα πλοίων πεντηρικῶν ξυλεῖα. δοκεῖ δὲ αἰολικὸν εἶναι τὸ σκῦλον, ὡς φαίνεται ἀπὸ ῥητορικοῦ λεξικοῦ, ἐν ᾧ κεῖται καὶ ὅτι ἀποσκολύπτειν, τὸ ἀφαιρεῖν τὸ δέρμα. ὅθεν καὶ τὸ σκυλεύειν μεταφορικῶς.

Σκυλεύσας, αἰχμαλωτεύσας.

Σκυλεῦσαι νεκρὸν, καὶ ἀποδύσαι τεύχεα λέγεται, ὡς δηλοῖ τεύχεα, οὐκ ἀποδύσαι. καὶ πάλιν σκυλεῦσαι, ὡς τὸ ἀπὸ τεύχεα δῦσαι, περίφρασίς ἐστι τοῦ συλᾶν, ᾧ μυριαχοῦ χρῆται ὁ Ποιητὴς, ἤτοι ἡ ποίησις.

Σκυλῆναι, ξηρανθῆναι.

Σκυλλεῖν, τὸ τοῖς ὄνυξι σπᾶν.

Σκυλλὶς, κληματίς.

Σκύλλος, κυρίως ἐπὶ κυνὸς νεογνοῦ. εἴρηται δὲ ἀπὸ τοῦ ἐπισχεῖν τὴν ὑλακὴν, σχόλαξ τις ὤν.

Σκυλμανεῖς, θυμωθήσῃ.

Σκυλοδέψιος, ὁ τὰς βύρσας βυρσεύων.

Σκύλον, δέρμα, κώδιον. οἱ δὲ, ῥάκκος καὶ τριβώνιον, ἢ δέρμα ἄρκτου, καὶ τὸ τοῦ κασανίου κάλυμμα.

Σκύλσις, θυμὸς, σάλος, ταραχή.

Σκύμνος, ὁ τοῦ λέοντος σκύλαξ.

Σκυμνοὺς. ὀξυτονουμένης μὲν τῆς πρώτης συλλαβῆς, τὸ τοῦ λέοντος ἔκγονον. βαρυνομένης δὲ, τὰ τῶν ἄλλων ζώων.

Σκυμαλίσαι κυρίως, τὸ τὸν μέσον Δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὄρνεου ἐμβαλεῖν.

Σκύνιον λέγεται ἡ ὀφρύς. καὶ ἐξ αὐτοῦ γίνεται σκυνίζω καὶ σκύζω.

Σκωυίζει, λακτίζει.

Σκυξιφὸν, σκυφόν.

Σκύρβια, κρόμμυα.

Σκυρθαλιάς. Θεόφραστος, τοὺς ἐφήβους οὕτω φησὶ καλεῖσθαι. Διονύσιος δὲ τοὺς μείρακας.

Σκυρθάλιος, νεανίσκος.

Σκυρία δίκη. Ἀρτεμίδωρος ἰδίως φησὶν, ἡ Θησέως καλεῖται τελευτή. φυγόντα γὰρ αὐτὸν εἰς σκύρον, ἐκεῖ κατακρημνισθῆναί φασι.

Σκῦρος, νῆσος τῶν κυκλάδων, καὶ πόλις τῆς νῦν μὲν Φρυγίας, πρότερον δὲ Κιλικίας. σκύρος γὰρ, ἡ λατύπη.

Σκύρος, πόρος, παρὰ τῷ Ἱπποκράτει.

Σκυρωθῶσι, λιθωθῶσι.

Σκυρωτὴ ὁδὸς, ἡ ἀπόκροτος.

Σκυτάλαι, βακτηρίαι, καὶ αἱ ἱππικαὶ ἶλαι, καὶ ὄφεων εἰσὶ φλαγέλλια, λῶροι. πίνακες, ἐφ' οἷς ἡ δίκη γράφει τὰ τῶν ἀνθρώπων ἁμαρτήματα, ἢ θύλακες δερμάτινοι.

Σκύτα, τὰ κατὰ τὴν σκυταλίδα τοῦ αὐχένος, παρὰ τῷ Ἱπποκράτει. * τὸ μεταξὺ τῶν τενόντων καὶ τοῦ τραχήλου. ἄλλοι τὸν μεταξὺ τοῦ μετώπου καὶ τῶν ὀφρύων τόπον, ὃς καὶ ἐπισκήνιον λέγεται. καὶ ἡ κεφαλὴ, καὶ τὸ τῆς κεφαλῆς δέρμα.

Σκυταλίδες, οἱ κόνδυλοι τῶν δακτύλων.

Σκυτάλη, λακωνικὴ ἐπιστολὴ, ἡ βακτηρία. ἐφόρουν γὰρ βαρείας βακτηρίας οἱ Λάκωνες. ὁ δὲ Δίδυμος σκυτάλια τὰς βακτηρίας, αἷς τὰ σκύταλα τύπτουσιν, ὅ ἐστι τοὺς τραχήλους. ἢ σκυτάλη λακωνικὴ ἐπιστολή. οὗτοι γὰρ μέλλοντες πέμπειν στρατηγὸν εἰς τὸν πόλεμον, ἐποίουν δύο ῥάβδους. ἰσομήκεις. καὶ τὴν μὲν τῷ στρατηγῷ μέλλοντι ἐξιέναι εἰς πόλεμον ἐδίδουν, τὴν δὲ παρ' αὐτοῖς εἴων, καὶ ὅτε βούλοιντο ἀπόρρητόν τι σημᾶναι τῷ ἀπόντι στρατηγῷ, ταύτῃ λευκὸν δέρμα περιελίξαντες, ἔγραφον εἰς αὐτό. καὶ ἀνελίττοντες, παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. τοῦτο δὲ ἐποίουν, ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. ὁ δὲ στρατηγὸς λαβὼν αὐτὸ, καὶ περιελίξας τῇ παρ' αὐτῷ ῥάβδῳ, ἀνεγίνωσκε. λέγεται οὖν καὶ ἡ ἐπιστολὴ, καὶ αὐτὸ τὸ ξύλον. ἔστι δὲ καὶ εἶδος ὄφεως.

Digitized by Google

Σκυταλίδες, εἶδος καρίδων.

Σκυταλὶς, καμπτῶν τι εἶδος, ὅ ἐστι ζῶόν τι.

Σκυταλωμένη, ξύλῳ τυπτομένη.

Σκυταλίδα, αὐλοποιόν.

Σκυτεὺς, σαγγάριος, καὶ καλιγάριος, σκυτοῤῥάφος.

Σκύτη Βλέπειν ποιήσω. λέγει Ἀριστοφάνης, ὅ ἐστι πληγάς σοι ἐμβαλῶ. παροιμία δὲ ἐλέγετο ἐπὶ τῶν δειλιώντων, καὶ ὑποψιαστικῶς διακειμένων, πρὸς τὰ μέλλοντα κακά.

Σκυτίζει, σπαράττει.

Σκυτίνη, περίζωμά τι ἀπὸ λώρων. παρὰ τὸ σκύτος, ὅ ἐστι δέρμα.

Σκυτίνη ἐπικουρία, Ἀττικοὶ ἐπὶ τῶν ἀσθενούντων βοηθημάτων.

Σκυτίνων καθημένων. Διεζωσμένοι γὰρ εἰσήεσαν οἱ Κωμικοὶ ὑποκριταὶ, οἱ δὲ αἰδοῖα δερμάτινα τοῦ γελοίου χάριν, ἀνωτέρω τῶν ἰσχίων καὶ τῶν αἰδοίων παρακείμενα.

Σκυτοδέψης, δερματοπλέκτης, ὁ τὰς βύρσας κατασκευάζων.

Σκύτος, τὸ δέρμα. καὶ σκυτοδέψης, παρὰ τὸ ξύω ξύτος, εἶτα διαλύσει τοῦ ξ καὶ ὑπερθέσει, γίνεται σκύτος τὸ ξυόμενον. οὐδὲν γὰρ οὕτω ξύεται. ἢ παρὰ τὸ σχίζω σχίτος καὶ σκύτος, κατὰ ἐναλλαγὴν καὶ τροπήν. ἐσχισμένον γάρ ἐστιν ἅπαν. σκύτος δὲ λέγεται, πᾶν τὸ μεταξὺ τῶν τενόντων τοῦ τραχήλου δέρμα, ὡς Παρθένιός φησι. τινὲς δέ φασι σκῦτος λέγεσθαι τὸν νωτιαῖον μυελόν. οἱ δὲ, τὸν μεταξὺ τῶν ὀφρύων καὶ τοῦ μετώπου τόπον. οἱ δὲ, τὸ ἰνίον, ὅπερ ἐπισκύνιον καλοῦμεν. ἄλλοι δὲ, τὸ τῆς κεφαλῆς δέρμα, παρ' ὃ καὶ σκύτος εἴρηται ἡ κεφαλή.

Σκυτοτομεῖ, δέρματα τέμνει. Ἀριστοφάνης, σκυτοτομεῖ καθήμενος.

Σκυφοκώνακτος. Ἐπίχαρμος, ἐν τοῖς μησὶ τοῖς σκύφοις περιφορητήν.

Σκύφος, εἶδος ποτηρίου, ἢ ἔκπωμα.

Σκωληκίζονται, κινοῦνται ὡς οἱ σκώληκες.

Σκώληξ, παρὰ τὸ μὴ ἔχειν κῶλον, ἤγουν ὀστέον. κατὰ ἀντίφρασιν, πλεονασμῷ τοῦ σ.

Σκωλοβάτης, ὄνομα θηρίου μικροῦ, πλησίον ἐρυσίβης, τὸ γινόμενον ἐν τῇ ἅλῳ, καὶ τῷ σίτῳ λυμαινόμενον.

Σκῶλον, ἐμπόδιον, σκάνδαλον. καὶ σκῶλος, εἶδος ἀκάνθης.

Σκῶλος, ἀκάνθης εἶδος, ἢ πυρωθεῖσα, στερεωτέρα γίγνεται.

Σκῶλος. ἀρσενικῶς κώμης ὄνομα. καὶ ὁ ἐξ αὐτῆς σκώλιος καὶ σκωλιεύς. οἱ δὲ παλαιοί φασιν, ὅτι Σκῶλος κώμη τῆς Παρασωπίας χώρας, ὑπὸ τῷ Κιθαιρῶνι. ἢ κατά τινας, ἐν τῇ τῶν Πλαταιῶν τόπος τραχὺς καὶ δύσοιτος. ὅθεν καὶ παροιμία, εἰς Σκῶλον μήτ' αὐτὸς εἶναι, μήτ' ἄλλον ἕπεσθαι. καὶ Πενθεὺς δὲ ἐκεῖθέν φασι καταγόμενος, διεσπάσθη ὑπὸ τῶν βακχῶν. ἢ Σκῶλος καὶ Τέγυρα. πόλεις Βοιωτίας.

Σκῶλος, ῥάβδος, ὁ κανδαλος, ἢ σκώληξ. οἱ δὲ, σκόλοψ, ἢ ῥάβδος, ἢ ἀποξυσμός. πάσσαλος ὥς τε σκῶλος, περίκαυστος. ἢ ἀκάνθης εἶδος, παρὰ τὸ σκέλλω, τὸ ξηραίνω. ἔστι δὲ καὶ πόλις ἐν Βοιωτίᾳ.

Σκώλοψ, ξύλον ὀξυμμένον, ἢ ἄκανθα.

Σκώμμασι, λοιδορήμασι, γέλωτος χάριν.

Σκῶμμα, τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας γινόμενον γελοῖον, τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν, χωρὶς τινος ὕβρεως διατραπελον. τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον.

Σκῶπες λέγονται, ἢ παρὰ τὸ σκαιὰν ὄπα ἔχειν, κακόφωνοι γάρ. ἢ παρὰ τὸ ἐν σκιᾷ, ὅ ἐστιν ἐν νυκτὶ ἀφιέναι ὄπα. ἢ ἄλλως, παρὰ τὸ ἐν τοιαύτῃ σκιᾷ ὦπα ἔχειν ἐνεργόν. νυκτὸς γὰρ μάλιστα βλέπουσι. καὶ δοκοῦσι σκῶπες εἶναι, ἃς κούφους, ἢ γούφους οἱ Ῥωμαῖοί φασι τινὲς δὲ κῶπας γράφουσι δίχα τοῦ σ. ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φέρεται, ὅτι καθὰ αἱ ὦτοι τὸ ὄρνεον, οὕτω καὶ οἱ σκῶπες ὀρχήσει ἁλίσκονται. καὶ ὅτι καὶ γένος ὀρχήσεως ἀπ' αὐτῶν καλεῖται σκώψ. λαβὼν τοὔνομα ἐκ τῆς περὶ τὸ ζῶον ἐν τῇ κινήσει ποικιλίας. καὶ ὅτι χαίρουσιν οἱ σκῶπες καὶ ὁμοιότητι, καὶ ἀπ' αὐτῶν σκώπτην φαμὲν τὸ συνηκάζειν, καὶ καταστοχάζεσθαι τῶν σκωπτομένων, διὰ τὸ τὴν ἐκείνων ἐπιτηδεύειν προαίρεσιν.

Σκωπεύματων, σχῆμα τῆς χειρὸς πρὸς τὸ μέτωπον τιθεμένης, ὥσπερ ἀποσκοπούντων.

Σκώπτει, γελαιάζει, παίζει, ληρεῖ.

* Σκωπτόλαι, φιλοσκώμμονες.

Σκωραμίς. ἀμὶς μὲν ἐν ᾧ οὐροῦσι. σκωραμὶς δὲ, ἐν ᾧ ἀποπατοῦσι.

Σκωρία, ἡ γαιώδης ὑποστάθμη.

Σκωρίδες, γρᾶες.

Σκωρνυφίαν, τὸ σκάνδαλον ἐν μησίν. ἐν δὲ στιχάσι, τὰ ὀστιώδη χρεία.

Σκῶρ, τὸ κόπρον. τῶν καθ' ἡμᾶς σοφιστῶν, ὁ ἐνδοξότατος ἔν τινι τῶν λόγων τῶν ἑαυτοῦ γέγραφε, τὸ σκοπός. ἀγνοήσας, ὅτι ἡ ὀρθὴ πτῶσίς ἐστι τὸ σκῶρ. αἱ δὲ πλάγιαι τοῦ σκάτος καὶ τῷ σκάτει. Ἀριστοφάνης, καὶ σκῶρ ἀεὶ νῶν. ὅντως ἂν σκατοφάγου τὸ ἁμάρτημα.

Σκώπτω, τὸ λοιδορῶ καὶ εἰρωνεύομαι, καὶ διασύρω. ἀφ' οὗ σκώμματα, αἱ λοιδορίαι. καὶ ὁ Κωμικὸς δοκεῖ γενέσθαι ἀπὸ τούτου. σκωπτικοὶ γὰρ οἱ Κωμικοί. καὶ σκώπτης, ὁ λοίδορος.

Σκῶψαι, μέμψαι.

Σκώψ, ὄρνεον κόβαλον, καὶ μιμηλὸν, ὅμοιον γλαυκί. φασὶ δὲ ἀπὸ τοῦ ζώου τούτου τὸ σκώπτειν εἰρῆσθαι. τινὲς δὲ κακόφωνον λέγουσι τὸ ὄρνεον, παρὰ τὸ σκαιὰν ἔχειν ὄπα, οὕτως Ὦρος ὁ μιλήσιος.

ΤΟ' Σ'. ΜΕΤΑ' ΤΟΥ' Μ'.

Σμαραγεῖ, λαμπρὸν ἠχεῖ, ψοφεῖ, καὶ κτυπεῖ, ἀπὸ τοῦ ῥα ἐπιτατικοῦ μορίου, καὶ τοῦ μαρμαίρειν τὸ λάμπειν. ἢ ἀπὸ τοῦ σμάραγος, σμαραγῶ, τοῦτο παρὰ τὸ σπαράσσω σπάραγος, καὶ σμάραγος, ψόφος, ἦχος. κυρίως γὰρ σμάραγος, ὁ ἀπὸ σπαραγμοῦ ἦχος. ἔστι δὲ καὶ ἕτερον σμαραγῶ, καὶ σημαίνει τὸ λάμπω. ἐξ οὗ καὶ σμάραγος, ὁ λαμπρότατος λίθος. παρὰ τὸ μέρω, τὸ λάμπω, ὁ μέλλων μαρῶ, κατὰ παραγωγὴν μαράσσω, πλεονασμῷ τοῦ σ σμαράσσω. καὶ ῥηματικὸν ὄνομα σμάραγος, καὶ σμάραγδος.

Σμαραγεῖν, εἰ καὶ τὸ πλέον ἐπὶ ὑδάτων ἤχου λέγεται, ἀλλὰ καὶ ἐπὶ βροντῆς, εὕρηται παρὰ τῷ Ποιητῇ.

Σμαράγνα, μάστιγξ, ῥάβδος, καὶ χωρὶς τοῦ σ.

Σμάρδικον, στρουθίον.

Σμαρίδες, γρᾶες, ἰχθύδια μικρὰ ἄριστα. οἱ δὲ, τὰς μαινίδας.

Σμαρκὸν, καθαρὸν, βρωτικὸν, δριμύ.

Σμερδαλέα κτυπέων. Σοφοκλῆς ἐντεῦθεν λαβὼν ἔφη, τὸ μέγας κτύπος, ἄφατος διόβολος, ἐν οἷς δηλοῖ ἐκεῖνος, καὶ ὅτι βέλη Διὸς, οὐ μόνον κεραυνοὶ καὶ τὰ τοιαῦτα, ἀλλὰ καὶ βρονταί. ὅμως καὶ τοὺς ῥαγδαίους ὑετοὺς, καὶ μάλιστα τοὺς χειμερίους τούτῳ λόγῳ δύσομβρα βέλη λέγει.

Σμερδαλέα, οὐ μόνον τὰ τοῖς μέρδουσιν, ὅ ἐστι βλέπουσι καταπληκτικὰ, διὰ τὸ μὴ ἂν αἱρετά τινι τὰ κάτω εἶναι, ἀλλ' ἴσως καὶ παρὰ τὸ τοὺς βλέποντας ἀλεείνειν αὐτά.

Σμερδαλέος δράκων, δηλοῖ τὸν τῇ ὄψει καταπληκτικόν. ἀπὸ τοῦ μέρδω τὸ βλέπω, καθά φασιν οἱ παλαιοί. ὅτι γε καὶ ὁ δράκων αὐτὸς, ὁμοίως ἀπὸ τοῦ δέρκω λέγεται. λέγεται δέ ποτε καὶ ἐπὶ τοῦ ἁπλῶς καταπληκτικοῦ ἡ λέξις, οἷον ὅτε εἴποι, σμερδαλέον κονάβησαν. καὶ σμερδαλέον δ' ἐβόησε, τὸ δὲ σμερδαλέον, καὶ σμερδνὸν λέγεται. καθίσταται δὲ ἡ λέξις οὕτω, μερίζω, καὶ κατὰ συγκοπὴν μέρζω, καὶ δωρικῶς μέρδω, τὸ πανταχοῦ μερίζω, καὶ διαπετάννυμι τὴν ὄψιν. καὶ μετὰ τοῦ ζα κατὰ συγκοπὴν σμέρδω, κατὰ τοὺς παλαιοὺς γραμματικούς. Ἄλλως. Σμερδαλέος καταπληκτικὸς, φοβερός. ἐκ τοῦ σμερδνὸν, σμερδναλέος, καὶ ἀποβολῇ τοῦ ν σμερδαλέος. καὶ σμερδνὸν, τὸ καταπλητικὸν ἀπὸ τοῦ μερίζειν τὴν ψυχὴν τῶν ὁρώντων τῷ φόβῳ, καὶ μὴ ἐᾶν αὐτὴν ἐν τῷ μένειν. παρὰ τὸ μερίζω μεριδνὸς, καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ.

Σμερδικὴ, καταπληκτική.

Σμερδνὸν, δεινὸν, καταπληκτικὸν, πολεμικὸν, σκυθρωπόν.

Σμέρδνος, λῆμα, ῥώμη, δύναμις, ὅρμημα.

Σμέρδος, ἰχθύος εἶδος.

Σμῆγμα, τὸ καθάρισμα. μίγμα δὲ ἰῶτα.

Σμηκτίδα γῆν, τὴν κιμωλίαν, παρὰ τῷ Ἱπποκράτει.

Σμῆλαι, ῥίψαι.

Σμηλακεῖ, φωνεῖ.

Σμηνίον, ἡ πρόπολος.

Σμηνοκόμος, μελισσουργός.

Σμῆνος, οὐ μόνον ἐπὶ πλήθους λέγεται μελισσῶν ἀλλὰ καὶ τὸ σίμβλον, ἤτοι τὸ ἀγγεῖον, ἐν ᾧ τὸ μέλι ἀποτιθέασιν αἱ μέλισσαι, σμῆνος καλεῖται. καὶ ἑσμὸς μετὰ δασέως πνεύματος, ὡς δηλοῖ παρὰ Ἀριστοτέλει ὁ ἀφεσμός.

Σμῆνος ἀοιδαῖς, παρὰ τῷ Ἀριστοφάνει, κυρίως μὲν τὸ σύστημα τῶν μελισσῶν. Ὅμηρος δὲ κέχρηται τῇ τροπῇ, ἐπὶ γλωττίας ἐπαινῶν τὸν Νέστορα, τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. ὅπερ ἐστὶν ἑσμὸς, ταπέστι σμῆνος τῶν Ἀριστοφάνους ᾠδῶν.

Σμηρία, κισσὸς, χαλκιδεῖς.

Σμήριγγας, τὰς τρίχας, παρὰ τὸ μείρω τὸ μερίζω, μέριγξ καὶ μήριγξ. εἰς πολλὰ γὰρ καὶ λεπτὰ αἱ τρίχες ἐμερίσθησαν, καὶ πλεονασμῷ τοῦ σ σμήριγξ.

Σμήρινθον, ὄρνις ποιός.

Σμήρινθοι, σπάρτα, σχοινία.

Σμήριξ, πόα, καὶ εἶδος ἀκάνθης.

Σμῆσον, τὸ τοῦ ὀμφαλοῦ μέρος.

Σμήχω, τὸ καθαίρω διὰ τοῦ η, καὶ γίνεται ἀπὸ τοῦ σμῶ, ὃ σημαίνει τὸ καθαίρω, ὁ μέλλων σμήσω, καὶ ἐκβολῇ τοῦ σ καὶ προσθέσει τοῦ χ, εἰς ἐνεστῶτα μεταβέβληται.

Σμικρὰ φρονεῖ, ἀντὶ τοῦ ταπεινοφρονεῖ, ᾧ ἐναντίον τὸ ὑψηλὰ φρονεῖν, καὶ μέγα φρονεῖν, ἀντὶ τοῦ μεγαλοφρονεῖν, καὶ ὑψηλοφρονεῖν.

Σμικρίζεσθαι, διαιτᾶσθαι.

Σμικρὸν, καθαρὸν, δριμὺ, μικρὸν, ὑπὸ τοῦ ὀβολοῦ τίμιον, ἐλάττῃ ὅμοιον.

Σμικύθης, ὁ Θρακῶν βασιλεὺς, ἢ ὡς κίναιδος κωμωδεῖται, παρὰ τῷ Ἀριστοφάνει.

Σμίλαξ, εἶδος φυτοῦ, σμικρὸν, ἀκανθῶδες, ὃ λέγομεν περιπλοκάδα.

Σμιλακτεῖ, φωνὴν ἀποτελεῖ.

Σμιλεύματα, τὰ ἐκβαλλόμενα ἀπὸ σμίλης, ἀντὶ τοῦ διαγλύμματα, ἐρεθίσματα. Ἀριστοφάνης. καὶ σμιλεύω τὸ τέμνω.

Σμίλη, ἰατρικὸν ἐργαλεῖον.

Σμίλλα, ἡ δίκελλα. καὶ τὸ σμικάριον.

Σμίλος, νῆσος καὶ δένδρον. οἱ δὲ, πρῖνος. ἄλλοι, σμίλακα, ᾗ στεφανοῦνται.

Σμινδύρεια, εἶδος ὑποδημάτων γυναικείων.

Σμίνη, ἐργαλεῖον γεωργικόν. καὶ ἑτέρα, διὰ τοῦ ι γράφεται. σμίνθος ὁ μῦς, κατὰ διάλεκτον.

Σμινθίων, ὄνομα κύριον.

Σμινθεὺς, ἐπίθετον Ἀπόλλωνος, οὕτω καλοῦσι Κρῆτες τοὺς μύας. ζήτει τὴν ἱστορίαν ἐν τῷ ά τῆς Ἰλιάδος.

Σμίνθα, ὁ κατοικίδιος μῦς.

Σμίνθυροι, οἱ τὰς οὐρὰς σαίνοντες.

Σμινύη, σκαφίδιον, δίκελλα.

Σμιρδεὺς, μέτρον οἰνικὸν εἰς πεντάπολιν Λιβύης.

Σμιρὶς, ἄμμου εἶδος, ᾗ σμήχονται οἱ σκληροὶ τῶν λίθων. καὶ δένδρον.

Σμογερὸν, σκληρὸν, ἐπίβουλον, μοχθηρόν.

Σμοῖος, χαλεπὸς, φοβερὸς, στυγνός.

Σμοιὸς, κύριον ὄνομα, αἰσχροποιὸς οὗτος εἰς γυναῖκας.

Σμοκορδοῦν, τὸ σχηματίζεσθαι τὰς γυναῖκας.

Σμοκόρδους, τοὺς τὰς ὀφρῦς ἐγκοίλους ἔχοντας.

Σμορδοῦν, συνουσιάζειν.

Σμυγερῶς, τὸ ἐπιπόνως, ὀδυνηρῶς, καὶ ὡς εἰπεῖν, καυστικῶς ἀπὸ τοῦ σμύχω τὸ καίω. ὅθεν τὸ σμύξαι περὶ νῆας, τοῦ σμύχω δεύτερος ἀόριστος ἔσμυγον. ὅθεν τὸ σμυγερόν.

Σμυγερὴ, ἅμα ἐπίπονος καὶ αἰσχρά. Ἡσίοδος.

Σμυδρὸς, διάπυρος, σίδηρος.

Σμυκτὴρ,

Σμυκτὴρ, ὁ μυκτήρ.

Σμυλίχη, τοῦ ζυγοῦ τὸ τρίμμα, ἐν ᾧ ὁ ἰστοβοεὺς καθήρμοσται.

Σμύλλα, σαύρα.

Σμυνδαρίδια, ὑποδήματα ἀπὸ σκυτέως τινὸς Σμινδυρίδου, ἢ τὰ πολυτελῆ.

Σμύξαι, τὸ καῦσαι, ἢ καπνὸν ἐκ πυρὸς ἀναδοῦναι, ὃ καὶ τύφεσθαι λέγεται. ἐξ αὐτοῦ δὲ καὶ χόλον ὑποσμύχειν, ἢ φθόνον εἴληπται. ἐκεῖθεν δὲ τὸ σμυγερὸν, ἤτοι ἐπίπονον, ὡς ἀπὸ μέσου παρακειμένου, ἢ δευτέρου ἀορίστου, τοῦ ἔσμυγα καὶ ἔσμυγον.

Σμύρνα, φυτόν.

* Σμύρνα, πόλις Ἰωνίας, ἣν πρῶτος ἔκτισε καὶ ᾤκησε Τάνταλος. καὶ τότε μὲν ναύλοχον, ὕστερον δὲ σμύρνα προσηγορεύθη ἀπὸ σμύρνης ἀμαζόνος κατασχούσης τὴν Ἔφεσον.

Σμύραινα, ἰχθύς.

Σμυδὸς, σκυθρωπός.

Σμυρναῖος, ὁ ἀπὸ σμύρνης.

Σμυρνίον, τοῦ ἱπποσελίνου ὁ καρπὸς, καὶ αὐτὴ ἡ βοτάνη.

Σμύρνος, ὁ ἄρσην ἰχθύς. καὶ ἡ θήλεια σμυρναία.

Σμύσσεται, ἀπομύσσεται.

Σμῦς, ὁ μῦς.

Σμυρία, ἡ πρόπολος λυσικράτου.

Σμύχω, τὸ καίω, μέλλων σμύξω, ἔσμυχα, διὰ τοῦ υ.

Σμύχεσθαι πυρὶ, ὅ ἐστι καίεσθαι, πολύχρηστόν ἐστι. γίνεται δὲ ἐξ αὐτοῦ καὶ τὸ σμυγερόν. δοκεῖ δὲ τοῦ σμύχειν προϋπάρχειν τὸ σμῶ, οὐκ ἐξ οὗ κινεῖται τὸ σμήχω, ὅ ἐστι καθαίρω. ἀλλ᾽ ὅθεν τὸ σμῶξαι, ἤγουν πλῆξαι. καὶ ἡ ἐξ αὐτοῦ σμώδιγξ. ἵνα ᾖ ὥσπερ ψῶ ψύχω, τρῶ, τρύχω, οὕτω καὶ σμῶ σμύχω, τὸ οἱονεὶ πλήττω.

Σμώγη, ῥανὶς, τὸ τυχόν. Ἀμερίας, βούγλωσσον.

Σμώδιξ, ὁ ὕφαιμος μώλωψ. ὑποτρέχοντος γάρ φασιν αἵματος κατ᾽ ὀλίγον ἐξοίδηκε. καὶ γίνεται ἀπὸ τοῦ σμῶξαι, ὥς φασιν οἱ παλαιοί. ὅπερ κατὰ διάλεκτον τὸ πλῆξαι δηλοῖ. ἢ ἀπὸ τοῦ μῶλος ἡ κακοπάθεια τροπῇ τοῦ λ, εἰς δ, ἢ οἱονεὶ ἡ σμώδιξ, ἤγουν ὕφαιμος οἴδησις. ὡς τὸ σμώδιγξ ἐξυπανέστη, ἤγουν κάτωθεν εἰς εὐθύ. δηλοῖ γάρ φασιν ἐνταῦθα ἡ μὲν ὑπὸ, τὸ κάτωθεν. ἡ δὲ ἐξ, τὸ εἰς εὐθύ. ἡ δὲ ἀνὰ, τὸ εἰς ὕψος. ὡς καὶ ἐν τῷ ὑπερεξαναδύς.

Σμωδικοῦ, μωλωπικοῦ, τοῦ πρὸς τὰς σμωδικάς. ὅπερ ἐστὶ μώλωπας ἁρμόζοντος, παρὰ τῷ Ἱπποκράτει.

Σμωθύοντα, περαιούμενα, ζέοντα, πομφόλυγας ποιοῦντα.

Σμῶ, τὸ καθαίρω. καὶ σμῶ, τὸ πλήσσω.

Σμώμενος, σμηχόμενος.

Σμώνη, ἡ τοῦ ἀνέμου πληγή. ἀπὸ τοῦ σμῶ ῥήματος, τοῦ σημαίνοντος τὸ πλήσσω.

Σμῶξαι, τὸ παπαῖξαι κατὰ Ἴωνας.

Σμωχεῖν, ἐνεργεῖν μετὰ σπουδῆς.

ΤΟ Σ. ΜΕΤΑ ΤΟΥ Ο.

Σοάνα, ἀξίνη. Πάφιοι.

Σοβάδες, ὑπερήφανοι, ἄστατοι, μαινόμεναι, ἢ μιαινόμεναι.

Σοβαρεύεται, ἐξιτήλως, καὶ ἔξω τοῦ δέοντος ἐπαίρεται.

Σοβεῖν διώκειν, τρέχειν, ἀπολαύειν.

Σοβαρεύεσθαι, ὑπερηφανεύεσθαι.

Σοβαρὸς, ἐπηρμένος, καὶ μέγα φρονῶν. ἢ σοβαρὸς, αὐθάδης ὑπερήφανος, σεμνός.

Σοβὰς, ἡ πόρνη. ἀπὸ τοῦ σοβῶ, τὸ κινῶ.

Σοβεῖται, σαλεύεται.

Σοβέω, σοβῶ, τὸ πεπαῤῥησιασμένως χωρῶ. ὡς τὸ, ὁ γὰρ ἰδὼν τὸν πορνότριβα σοβοῦντα διὰ τῆς ἀγορᾶς. καὶ ἀναράσσω, καὶ ἀναγείρω.

* Σόβη. ὄνομα θηλυκόν. ἡ ἐξ ἱππείων τριχῶν περικεφαλαία.

Σόβηρα, τόπος.

Σοβῶ, τὸ κινῶ, καὶ μαίνομαι.

Σογδιατὴ, καὶ σογδινὴ χώρα.

Σόγχος, λάχανον ἄγριον.

Σόδομα, πήρωσις, τύφλωσις, ἢ στείρωσις, ἑστῶσα σκοπὴ, ὁμοίωμα, ἔκκλησις, καὶ θεμέλιος.

Σόης, σώζῃς.

Σόθρυς, ὄρος.

Σοὶ πάντες μαχόμεσθα, παρ᾽ Ὁμήρῳ, ἤγουν διὰ σέ. ὅμοιον τῷ σοὶ ζῶ, ἤτοι διὰ σέ.

Σοιδηνώδεις, βάκχαι, διὰ τὸ σεσοβεῖσθαι ἐν τῷ βακχεύειν. σόος γὰρ, ἡ ὁρμὴ καὶ φορά.

Σοίθης, ψίθυρος, ἀλαζὼν, διάβολος.

Σοίκιδες, κώνωπες.

Σοῖο, καὶ σεῖο, παρὰ Ποιηταῖς κατὰ τοὺς ἀκριβῶς ἀναγινώσκοντας διαφέρει. σοῖο μὲν γάρ ἐστι, συνάρθρος ἀντωνυμία, οἷον μνήσεο πατρὸς σοῖο. ἡ δὲ σεῖο οὐ συνάρθρος. σεῖο δ᾽ ἔκειν ζώου, καὶ τρὶς τόσα δοῖεν ἄποινα, ἀντὶ τοῦ σοῦ ζῶντος καὶ τρὶς τοσαῦτα δοῖεν ἄποινα, οὐκ ἔτι σοῦ ζῶντος. καὶ φυλάττεται ταῦτα ἄκρως παρ᾽ Ὁμήρῳ.

Σόλος, ὁ δίσκος.

Σοκᾷ, βροχίζει, ὀχλεύει.

Σολὴν, ποταμὸς, καὶ κλίνεται σολῆνος. σωλὴν δὲ, τὸ σωληνάριον μέγα.

Σολία, χώρα. σωλεία δὲ, ἡ τοῦ οἴκου, μέγα καὶ δίφθογγον.

Σολοίκια, τὰ ἐνδύματα.

Σολοικισμὸς, ὁ τοῦ σώου λόγου αἰκισμός. διαφέρει δὲ ὁ βαρβαρισμὸς τοῦ σολοικισμοῦ. ὅτι ὁ μὲν βαρβαρισμὸς ἐν λέξει γίνεται: ὁ δὲ σολοικισμὸς ἐν λόγῳ. τὸ γὰρ περὶ μίαν λέξιν ἁμαρτάνειν, βαρβαρισμός ἐστι. τὸ δὲ περὶ πλείονας, σολοικισμός.

Σόλοι, ἔθνος ἀφ᾽ ὧν τὸ σολοικίζειν, καὶ ὁ σολοικισμός. καὶ σόλοι, ἡ κυπρικὴ πόλις, οἱ δὲ τῆς Κιλικίας.

Σολοικίζειν, Κροῖσος μετὰ τὴν σόλωνος ἐρώτησιν ἐν Κιλικίᾳ γεγονὼς, σόλους πόλιν ᾤκισεν, ἐν ᾗ καί τινας τῶν Ἀθηναίων κατῴκισεν. οἳ χρόνῳ βαρβαρωθέντες ἐλέγοντο σολοικίζειν, ἀφ᾽ οὗ καὶ σολοικισμός.

Σόλοικον, τὸ ἀμαθές. ἢ σόλοικος, ἐπισεσυρμένος, ἀδιάφορος.

Σολοιτύπος, μυδρακτύπος, καὶ χαλκός τις ἐν Κύπρῳ.

Σολομῶν, σολομῶντος, σόλων, κύριον. οὗτος ἦν νομοθέτης ἐν Ἀθήναις, ἀπὸ τούτου σόλοι ἔθνος. ἀφ᾽ ὧν τὸ σολοικίζειν. καὶ ὁ σολοικισμός. σόλος, ὁ δίσκος. σόδομα, τόπος. ὁ ἀπὸ τούτων σοδομίτης, σοβαρὸς, ὁ ἐπηρμένος, καὶ ἀλαζών. σοβῶ, τὸ ταράσσω. σοβὰς γυνὴ, ἡ μανική. σορὸς, ὁ τάφος. ἀφ᾽ οὗ, ἐνσοριάζω, τὸ ἐνταφιάζω. σόλυμα, τόπος καὶ ἕτερα.

Σόλος, ὁ δίσκος, παρὰ τὸ σῶ τὸ ὁρμῶ, καὶ κινῶ. ἀπὸ γὰρ τοῦ σῶ, τὸ σείω, ὁ μέλλων σώσω.

Σολουντὶς, ἄκρα τῆς Λιβύης.

Σόλυμοι, ὅμορον ἔθνος Λυκίοις, πολέμιον αὐτοῖς. διὸ καὶ ὁ Βελλεροφόντης σταλεὶς ὑπὸ Ἰοβάτου ἠρίστευσε κατ᾽ αὐτῶν, γενναίως πολεμήσας. ὑστέρως δὲ σόλυμα, πόλις Ἀσσυρίων, κτισθεῖσα μετὰ τὴν ἅλωσιν τοῦ ἐν Ἱεροσολύμοις ἱεροῦ. καὶ ὄνομα δὲ ὄρους Λυκιακοῦ, ὡς δηλοῖ καὶ τὸ τοῦ Γεωγράφου, κώρυκος αἰγιαλὸς περὶ Λυκίαν. εἶτα Φάσηλις τρεῖς ἔχουσα λιμένας, πόλις ἀξιόλογος. ταύτης ὑπέρκειται ὄρος τὰ σόλυμα.

Σόλυμος, ὁ κίλιξ.

Σόμαρα, τόπος.

Σομὸρ, μέτρον γῆς.

Σομφῶδες, βοωῶδες, ἢ χαῦνον.

Σοναρὸν, ῥωμαλέον.

Σόοι, σωτήριοι, ὑγιεῖς, ὁλόκληροι, σωζόμενοι.

Σόορ, τυρός.

Σόος, παρὰ τῷ ποιητῇ, ἀεὶ συστέλλει τὴν παραλήγουσαν. ὡς ἀπὸ τοῦ σέω, τὸ ὁρμῶ. ὃ προσλήψει τοῦ υ, γίνεται σεύω. καὶ ἔστι σόος, οἱονεὶ ὁ τὰς φυσικὰς ὁρμὰς ἔχων. ἀκολούθως δὲ καὶ τὸ λαοσσόος Ἀθηνᾶ. καὶ αὐτὸ συστολὴν ἔχει τῆς παραληγούσης. οὕτω δὲ καὶ παρὰ Θεοκρίτῳ, τὸ δορισσόος Κάστωρ, καὶ δυσσοα θρέμματα. ἔτι ἰστέον, ὅτι καὶ ῥῆμά ἐστι σόω διὰ τοῦ ο μικροῦ. οὗ τὸ προστακτικὸν σοῦσθω, παρὰ Σοφοκλεῖ, ἐκ τοῦ σοέσθω συναιρεθέν. ἐντεῦθεν δὲ καὶ τὸ ἀπέσσυα δωρικόν. ὡς δηλοῖ, ἐῤῥεῖ τὰ καλὰ, Πίνδαρος. ἤγουν ἀφώρμησεν, ἀπῆλθεν, ἐκ τοῦ αὐτοῦ σόος, κράσεως γενομένης τῶν δύο οο, εἰς ω, ὡς ἐν τῷ πρόορα πρῶρα, ἀποτελεῖται τὸ σῶς. οἷον νῦν τοι σῶς καὶ αἰπὺς ὄλεθρος. ἢ καὶ ἀπὸ τοῦ σάος, ἐξ οὗ τὸ σαώτερος γίνεται κατὰ κρᾶσιν σῶς, ᾧ προστεθέντος τοῦ ο μικροῦ ἐν τῇ παραληγούσῃ, γράφεται μετὰ παραληγούσης μακρᾶς παρὰ τοῖς ὕστερον τὸ σῶος, οὐ μὴν παρὰ τῷ ποιητῇ.

Σοῦται, φεύγει, διώκεται.

Σοποδυτίτης, θεὰ ἡ ἔφορος τῆς μανίας.

Σορδισμὸς, τὸ μὴ καθαρῶς διαλέγεσθαι, ἤτοι ἑλληνίζειν.

Σορέλλη, σκῶμμά τι ἐπιχωριάζον εἰς τοὺς γέροντας, ἀπὸ τῆς σοροῦ.

Σορεύει, συνάγει.

Σορηδὸν, ὁμοῦ, παρὰ τὸν σωρόν.

Σόρνιξα, εὔζωμον.

Σορόα, παλινούρου εἶδος.

Σοροπηγοῖς, τουτέστι τοῖς ποιοῦσι σοροὺς τοῖς νεκροῖς. ἄλλως. τοῖς σοροποιοῖς, τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσι.

Σορὸς, θηλυκῶς, ἐπὶ τοῦ τάφου τίθεται. καὶ διὰ τοῦ ο μικροῦ γράφεται ἐν τῇ παραληγούσῃ. ἐπὶ δὲ τῶν καρπῶν, ἀρσενικῶς διὰ τοῦ ω μεγάλου.

Σορὸς, μνῆμα, θήκη ἡ τῶν λειψάνων, παρὰ τὸ σεσυρμέναι τὰ σώματα ἐν αὐτῇ, ἢ παρὰ τὸ κωλύω, σορὸς, ἡ κωλυτική.

Σορὸς, φασὶ παρὰ τὸ ἔσω ὀρύειν, ἢ ἐρύειν, ὅ ἐστι φυλάσσειν τὸν τεθέντα. ἅπαξ δέ φασιν εἴρηται τῷ Ποιητῇ ἡ λέξις. ἀφ᾽ ἧς καὶ σορέλλη παρὰ Ἀριστοφάνει, σκῶμμα εἰς γέροντα, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ, ἐξ αὐτῆς καὶ σοροπηγὸς, πρὸς ὁμοιότητα τοῦ ναυπηγός. δηλοῖ δὲ ἡ σορὸς καὶ αὐτὸ καθ᾽ αὑτὴν γέροντος σκωπτικῶς, ὡς δῆλον ἐκ τοῦ γράψαντος τὸ, γηράσασα καὶ ἤδη οὖσα σορός. τοῦ δὲ σορέλλης σαφέστερον εἰς σκῶμμα, τὸ, τυμβογέρων, παρὰ τῷ Κωμικῷ.

Σορωνὶς, ἐλάτη παλαιά.

Σὸς, σὴ, σὸν, ἀντωνυμία παράγωγος. παράγεται ἀπὸ τοῦ σὺ, σοῦ, πρωτοτύπου ἀντωνυμίας. ὥσπερ καὶ ἀπὸ τοῦ ἐγὼ ἐμοῦ, ἐμὸς ἐμὴ ἐμόν. καὶ ἀπὸ τῆς ὃς οὗ, ὁ ὃς, ὃ σημαίνει τὸ ἐκεῖνος. ἡ ἣ, καὶ τὸ ὅν. κλίνεται δὲ ἡ ἣ, ὡς ἡ τιμή.

Σόσσος, ἡ διόπτρα, καὶ τὸ σταδιαῖον διάστημα.

Σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεὸς, ἠδ᾽ ὑπάλυξεν. ἐκ παραλλήλου ταυτοδύναμοι κεῖνται λέξεις, τὸ ἐκφυγεῖν καὶ τὸ ὑπαλύξαι παρ᾽ Ὁμήρῳ.

Σοῦ, σοὶ, σὲ, ἀντωνυμίαι τοῦ δευτέρου προσώπου ἐγκλίνονται. οἷον ἤκουσά σου, ἔδωκέ σοι, ἐδίδαξά σε, ὕβρισά σε.

Σοῦ, ἴε, τρέχε, ὅρμα.

Σουβίον, τόπος.

Σουγλάριον, ἐργαλοθήκη.

Σούκινος, ὁ λύγχος.

Σοῦκλαι, φοινικοφάλανοι.

Σούμωρος, κεχορτασμένος, πλήρης.

Σουνεπιπᾶσθαι, συνακολουθῆσαι.

Σουνιεὺς, σουνιεῖς, δῆμος.

Σουνιάρατε, ᾧ ἐν τῷ σουνίῳ ἀρῶνται καὶ εὔχονται. Σούνιον δὲ ἀκρωτήριον τῆς Ἀττικῆς.

Σουνιέρακε, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ σουνιάρατε. φαίνεται δὲ εἶναι Ποσειδῶνος τὸ ἐπίθετον. καὶ ἐν ἱππεῦσιν, ὦ δελφίνων μεδέων σουνιάρατε, παρὰ τὸ ἐν σουνίῳ ἄκρῳ τῆς Ἀττικῆς τὰς εὐχὰς, καὶ τὰς ἀρὰς δέχεσθαι.

Σοῦσα, τὰ κρίνα παρὰ Φοίνιξι. καὶ σοῦσον τὸ κρίνον, κατὰ Φρύγας.

Σούνιον ἱερὸν, ἤγουν ἀκρωτήριον Ἀθηναίων. ἴσως ἱερὸν λέγεται, ἐπεὶ Ζεὺς σουνιεὺς ἐτιμᾶτο ἐκεῖ. ὃν διθυραμβικῶς παίζων ὁ Κωμικός. καλεῖ σουνιάρατον.

Σοῦσα, καὶ ἐκβάτανα, τῆς Περσίδος χώρας πόλις. ὧν ἐν μὲν τῇ ἑτέρᾳ ἐχείμαζε Βασιλεὺς ὁ μέγας. ἐν δὲ τῇ ἑτέρᾳ, ἐθέριζε.

Σοῦθε, ὁρμᾶθε, πορεύεσθε.

Σούθω, παρακινείσθω. ἔστι ῥῆμα σόω, οὗ τὸ προστακτικὸν, σούθω παρὰ Σοφοκλεῖ, ἐκ τοῦ σοέσθω συναιρεθέν. Σουσίας, ὁ ἵππος κατὰ σύρους.

* Σούσινον, τὸ ἀπὸ τῶν κρίνων σκευαζόμενον ἔλαιον, ὅπερ καὶ κρίνινον λέγουσι.

Σοῦσις, ἡ πόρευσις. ἄλλοι τὸ ἴς, ἡ ὁρμή.

Σουφίρ, χώρα ἐν ᾗ οἱ πολύτιμοι λίθοι, καὶ ὁ χρυσὸς ἐν Ἰνδίᾳ.

Σοφηνή, τόπος.

Σοφία ἐστί, τοῦ θεωρητικοῦ τῆς φιλοσοφίας. φρόνησις δὲ, τοῦ πρακτικοῦ. σοφία δὲ φρονήσεως διαφέρει. τῷ τὴν μὲν σοφίαν εἶναι δύναμιν τοῦ θεωρητικοῦ τῆς φιλοσοφίας. τὴν φρόνησιν δὲ, τοῦ πρακτικοῦ. ἰστέον, ὅτι ἡ μὲν σοφία ἐνεργεῖ, ὅπως δήποτε τῶν πραγμάτων ἐχόντων. ἡ φρόνησις δὲ ἀνενέργητος μένει, τῆς Προνοίας ἄλλως οἰκονομούσης τὰ πράγματα, ἢ τῶν διδασκομένων οὐχ ὑπακουόντων, ἢ οὐκ ἐπαϊόντων. ἡ σοφία ἀνθρωπίνη ἐστὶν, ἡ ἐμπειρία τῶν κατὰ τὸν βίον πραγμάτων.

Σοφία ἐστὶν ἐπιστήμη θείων καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῶν τούτοις αἰτίων.

Σοφίζεσθαι, καταψεύδεσθαι.

Σοφίζομαι, τὸ σοφιστικῶς λέγω, ἤγουν διὰ ἐπιχειρημάτων ἀποδείκνυμί τι. καὶ τὸ ἐφευρίσκω, καὶ μηχανῶμαι. σοφίζομαι ὑφ' ἑτέρου, ἀντὶ τοῦ διδάσκομαι, ὅπερ ἔχει ἐνεργητικὸν τὸ σοφίζω, ὅθεν καὶ σοφιστής. σημαίνει δὲ τέσσαρα, τὸν φιλόσοφον, τὸν διδάσκαλον, τὸν ῥήτορα, καὶ τὸν ἀπατεῶνα.

Σοφίζομαι ὑπό τινος, ἀντὶ τοῦ σοφὸς γίνομαι. καὶ σοφίζομαι ἐπὶ ἐνεργητικῆς σημασίας, τὸ παραλογίζομαι καὶ ἀπατῶ, ὃ καὶ κατασοφίζομαι λέγεται.

Σοφίζεται, τεχνάζεται. Ἀριστοφάνης.

Σοφίζει. Ἀριστοφάνης, ἀλλότρια σοφίζει, τεχνάζει. σοφίαν γὰρ ἔλεγον, τὰς τέχνας.

Σοφίζω σε, ἀντὶ τοῦ σοφόν σε ποιῶ, καὶ τὴν σοφίαν ἐντίθημι.

Σοφίης, τῆς περὶ τὴν τέχνην σχολῆς.

Σόφισμά ἐστι, λόγος σοφιστικός, ἢ λόγος δολερὸς, ἢ συλλογισμὸς αἱρετικός.

Σόφισμα θετταλικὸν, ἐπὶ τῶν μὴ διθυμαχούντων ἐν παραπτάξεσι παροιμιάζεται, ἀλλὰ κακουργούντων. Παυσανίας δὲ, εἰς τοῦτο σαφέστερον φράζων φησί. θετταλικὸν σόφισμα, ἐπὶ μάχης, καὶ ἐπὶ σχήματος, καὶ ἐπὶ παρακρούσεως, καὶ ἄλλων μυρίων τάττεται, ἀπὸ αἰτίας τοιαύτης. Ἀράτῳ κατιόντι, ὁ Θεὸς ἔχρησε φυλάξασθαι μὴ λάθωσιν αὐτὸν οἱ ἐξ ἐναντίας ἀρχῇ μείζονι καὶ λαμπροτέρᾳ κατ' αὐτοῦ χρησάμενοι. ὁ δὲ, ἑκατόμβην ἀνδρῶν εὔξατο θύσειν τῷ Ἀπόλλωνι. κατορθώσας δὲ ἃ ἐβούλετο, ἀνεβάλλετο ἀεὶ τὴν θυσίαν, διὰ τὸ μὴ ἱεροπρεπὲς εἶναι ὅθεν ἡ παροιμία ἐπὶ τῶν διατριβόντων τὰς ὑποσχέσεις, ἢ καὶ ἄλλως παρακρουόντων. ὁ δὲ αὐτὸς Παυσανίας ἱστορεῖ, καί τινα Ἔμβαρον ἐπὶ ἀρχῇ σοφίσασθαι. ἱδρύσατο γάρ φησι, Μουνυχίας Ἀρτέμιδος ἱερόν. ἄρκτου δὲ γενομένης ἐν αὐτῷ, καὶ ὑπὸ Ἀθηναίων ἀναιρεθείσης, λοιμὸς ἐπεγένετο. οὗ ἀπαλλαγὴν ὁ Θεὸς ἐχρησμῴδησεν, εἴ τις τὴν θυγατέρα θύσει τῇ Ἀρτέμιδι. Βάρος δὲ, ἢ Ἔμβαρος ὑποσχόμενος οὕτω ποιήσειν, ἐπὶ τῷ τὴν ἱερωσύνην τὸ γένος αὐτοῦ διὰ βίου ἔχειν, διακοσμήσας τὴν θυγατέρα αὐτοῦ, ἀπέκρυψεν ἐν ἀδύτῳ. αἶγα δὲ ἐσθῆτι κοσμήσας, ὡς τὴν θυγατέρα ἔθυσεν. ὅθεν εἰς παροιμίαν φησὶ περιέστη, Ἔμβαρός εἰ, τουτέστι νουνεχὴς, φρόνιμος. τῶν δὲ παλαιῶν τις ὀκνήσας περὶ τοῦ θετταλοῦ σοφίσματος πολυλογῆσαι, φησὶ θεσσαλικὸν σόφισμα, ὡς πανούργων καὶ ποικίλων μαρτυρουμένων τῶν ἐκεῖ, ὡς εἶναι κατ' αὐτὸν θετταλικὸν σόφισμα, μὴ τοῦτο ἢ ἐκεῖνο, ἀλλὰ ἁπλῶς τὸ πανούργημα. καθὰ ἐμφαίνει καὶ Εὐριπίδης ἐν τῇ μονομαχίᾳ τῶν παίδων τοῦ Οἰδίποδος. ὡς δὲ καὶ ἀνδραποδισταὶ οἱ Θετταλοὶ, λαλεῖ καὶ ὁ Κωμικός, τοῦτο σόφισμα θετταλικὸν φάναι τὸν ἐκ Θετταλίας σοφιστήν.

Σοφιστὴς, ὁ ῥήτωρ, καὶ ὁ φιλόσοφος, καὶ ὁ παραλογιζόμενος, καὶ ἀπατεών, καὶ διδάσκαλος, καὶ ὁ ἐφευρετής.

Σοφιστὰς λέγουσι, τοὺς πεπαιδευμένους. Ἀριστοφάνης δὲ τοὺς μετεωρολέσχας λέγει. οὕτω δὲ λέγουσι πάντας τοὺς ἀπὸ τῶν μαθηματικῶν ὁρμωμένους.

Σοφιστικός ἐστι λόγος, ὁ δολερός.

Σοφιστομανοῦσιν, ἐκ περιουσίας ἐπιθυμοῦσιν ἔχειν οἱ σοφισταὶ καὶ διδάσκαλοι, διὰ φυεῖς μαθητὰς καὶ πολλούς.

Σοφὸς, φρόνιμος, φιλότεχνος, καὶ ἐξαιρετικὸς, καὶ ὁ τῶν θείων ἔμπειρος.

Σόφος, κάλος, ὄξυς, βράδυς, λεῦκος, βῶμος, καὶ τάχυς, σκλῆρος, χῶλος, καὶ τὰ ὅμοια, Αἰολεῖς τὰ δισύλλαβα ὀξυτόνως παρ' ἡμῖν λεγόμενα, βαρυτονοῦσι.

Σοφῶς, δεξιῶς, καλῶς.

Σοφώτατος τῶν ἡλικιωτῶν λέγει, καὶ σοφώτατος τῆς ἡλικίας, ἀντὶ τοῦ πάντων τῶν εἰς τὴν αὐτὴν ἡλικίαν πλουτούντων.

Σόω, διὰ τοῦ ο μικροῦ, ἐν τῷ, ἢν γάρ δή με σόωσι θεοί καὶ οἴκαδ' ἵκωμαι. ἐξ οὗ καὶ τὸ σόος ἔοικε γίνεσθαι. καὶ τὸ λαοσόος. ἡ δ' αὐτὴ γραφὴ κεῖται ἐν τῷ, νῆας δ' ἰσόη καὶ λαὸν Ἀχαιῶν.

Σοώμην, ὁρμώμην.

Σοωναύτης, ποταμὸς περὶ Ἡράκλειαν, οὕτως ὠνομασμένος. ἐπειδὴ πάντας τοὺς ναυτιλλομένους διασώζει, ἀπαθεῖς ἔχων καὶ ἠρεμαίους λιμένας.

ΤΟ Σ. ΜΕΤΑ ΤΟΥ Π.

Σπᾶ, ὁλοιὸς ῥίζης, ἢ ἐρυθρόδανον, ἢ τὸ φυτὸν τοῦ φοίνικος, καὶ ὄργανον μουσικόν.

Σπάδακες, κινέες.

Σπαδαχεῖ, σπαράττει.

Σπάδιον, ἀντὶ τοῦ στάδιον λέγουσι Δωριεῖς.

Σπάδων, ὁ εὐνοῦχος, παρὰ τὸ σπᾶσθαι τὶ μέρος αὐτοῦ. καὶ σπαδωνισμὸς, ὁ εὐνουχισμός.

Σπάδων, τὸ σπάσμα τοῦ Ψελλοῦ.

Σπαδῶνες, τὰ σπάσματα.

Σπάζει, σκύζει, Ἀχαιοί.

Σπαθᾶν, ἀπὸ τῶν πάνυ σπουδαίων γυναικῶν εἴληπται, ἀπὸ τοῦ συντόμως κινεῖν τὰς ὑφαντικὰς σπάθας.

Σπάθη, μάχαιρα, ξίφος· σπαθητὸν, γυναικεῖον.

Σπάθη, τὸ ὑφαντικὸν ἐργαλεῖον, παρὰ τὸ κατασπᾶν τὴν κρόκην.

Σπάθαι, αἱ τῶν πλευρῶν, ἀπὸ τοῦ σπᾶσθαι πρὸς ἐπικαμπίαν.

Σπάθημα, πύκνωμα, ἀπὸ τῶν ταῖς σπάθαις κατακρουόντων τὰ ὕφη.

Σπαθίζεσθαι, μύρῳ ἀλείφεσθαι.

Σπαθλίνης, κατὰ ἐλάφων τὶς οὕτω καλεῖται, ἡ ἡλικίαν ἐλάφου.

Σπαθὶς, ἱμάτιον σπάθῃ ὑφασμένον.

Σπαθίσματα, τὰ σπαδωνίσματα.

Σπαθῶσι, σκορπίζωσι.

Σπαθῶ, δαπανῶ, καταναλίσκω, μειῶ, κενῶ, κολούω, κολοβῶ, ταυτὸ σημαίνει. ἐκ τούτων ὀνόματα, μείωσις καὶ ἐλάττωσις. οἷς ἐναντίον ἡ ἐπίδοσις, καὶ ἡ αὔξησις.

Σπαίρει, ἅλλεται, σκιρτᾷ, πηδᾷ.

Σπαιρόντων, τὴν ψυχὴν ἐκπνεόντων.

Σπαίρω, ψυχορραγῶ.

Σπαίρω, καὶ ἀσπαίρω, τὸ κινοῦμαι, κατὰ πλεονασμὸν τοῦ α. καὶ σημαίνει ἄμουσόν τινα κίνησιν, ὡς ὁρῶμεν ἐν ἰχθύσιν. ἀπὸ δὲ τοῦ σπαίρειν καὶ σπαρίζειν. ὅρα δὲ, ὅτι ἀσπαίρειν ἐπὶ βοὸς εἶπε σπωμένου Ὅμηρος, καὶ οὐκ ἐθέλοντος ἕπεσθαι τοῖς ἄγουσιν. ἐντεῦθεν δὲ ἡ λέξις μετῴνεκται εἰς τοὺς ἐν τῷ θνήσκειν ἀσπαίροντας. ἐξ οὗ καὶ σπαρίζειν, ἀρχηστότερον ὂν τοῦ σκαρίζειν παρὰ τοῖς παλαιοῖς.

Σπάκα, κύνα, ἢ σφίγξ.

Σπάλαξ, ἢ ἀσπάλαξ, εἶδος ἀρουραίου μυὸς, ἐκ γενετῆς τυφλοῦ. καὶ ἵππων εἶδος οἱ σπάλακες.

Σπαλακία, νόσος ἡ περὶ τοὺς ὀφθαλμοὺς, πήρωσις.

Σπάλαθρον, σκάλανθρον.

Σπαλεὶς, ἀντὶ τοῦ σταλείς. καὶ σπολὴν, ἀντὶ τοῦ στολήν. Αἰολεῖς ἀντὶ τοῦ τ τῷ π χρῶνται.

Σπαλήτιον, τόπος.

Σπαλίδα, ἀντὶ τοῦ ψαλίδα. καὶ σπέλλιον, ἀντὶ τοῦ ψέλλιον λέγουσιν Αἰολεῖς.

Σπαλύσσεται, σπαράσσεται, φαρύσσεται.

Σπανίαν, τὴν σπανιότητα, ἀνόσιαν τὴν ἰσότητα.

Σπανίζεται, σκορπίζεται, ἀπορεῖ.

Σπανίζεται, λείπεται, ὑστερεῖται.

Σπάνιον, τὸ ὀλίγον. ἐκ τοῦ σπάνιος. τοῦτο ἀπὸ τοῦ σπανίζω, ὃ σημαίνει τὸ ἐλαττῶ, καὶ φθείρω. τοῦτο παρὰ τὸ σπάνις, ἡ λεῖψις. τοῦτο παρὰ τὸ σπῶ σπαίνω, σπαῖνις καὶ σπάνις.

Σπανὸν, τὸ τίμιον, καὶ πολὺ ἄξιον.

Σπαράγμασι, ξεσμοῖς, ταραχαῖς, ἀποβολαῖς, δαρμοῖς.

Σπαρασσόμεθα, ξεόμεθα, ταραττόμεθα.

Σπαραβάραι, οἱ γερροφόροι.

Σπαράσιον, ὄρνεον ἐμφερὲς στρουθῷ. ἔνιοι σκίψ.

Σπαργᾷ, ἀντὶ τοῦ ὀρέγεται, καὶ ἐπιθυμεῖ, Γωνεῖς λέγουσι.

Σπαργαί, ὀργαί, παρὰ τῷ Ἱπποκράτει.

Σπάργανον, παρὰ τὸ σπαράσσω, σπαράγανον καὶ σπάργανον. λέγονται δὲ αἱ πρῶται φασκίαι σπαργανώματα. ἔνθα δεσμοῦνται οἱ παῖδες ῥυθμιζόμενοι ἐπὶ τὸ ὀρθότερον.

Σπάρνακα, ὀρίγανον.

Σπαργᾶν λέγεται, ὅτε οἱ μαστοὶ πλήρεις ὦσι γάλακτος.

Σπαργοῦσι, πλημμυροῦσιν, ἀποστάζουσι.

Σπαργῶν, ὁ πλήρης καὶ δεόμενος ἐκκενώσεως.

Σπαρνὰς, σπανίους, ἀραιὰς, διεσπαρμένας.

Σπάρνιοι, αἱ θαλάττιαι πέτραι.

Σπαρνὸν, σπάνιον, ὀλίγον.

Σπαρνοπόλιος, ὀλιγοπόλιος.

Σπάρξαι, σπαργανῶσαι, σπαράξαι.

Σπασμὸς, ἡ παλίρροια, καὶ τὸ πάθος.

Σπασάμενος, ἑλκύσας, ἀγρεύσας.

Σπάρτα, τὰ σχοινία, ὡς ἀπὸ παλαιοῦ ἔθους. ἐοίκασι γὰρ ὃ δὴ καὶ νῦν πολλαχοῦ γίνεται, σπάρτοις φυτοῖς χρῆσθαι οἱ παλαιοὶ εἰς πλοκὴν σχοινίων. καὶ ἦν ἐν λόγῳ σπάρτος ἰβηρικὴ παρὰ τοῖς παλαιοῖς. λέγει δέ που καὶ γῆν σπαρτοφόρον ὁ Γεωγράφος, καὶ σχοινοπλοκικὴν σπάρτου. καὶ μέχρι δὲ νῦν εἶδός τι σχοινίου οἱ ἰχθυοβόλοι σπαρτίνας ὀνομάζουσι. καὶ ὁ κωμικὸς τοῦτο παρεμφαίνει ἐν τοῖς ὄρνισιν, ἔνθα παίζων περὶ τῆς Λακωνικῆς σπάρτης, ὡς παρωνυμημένης ἀπὸ φυτοῦ σπάρτου φησὶ μὴ ἂν δεηθῆναι σπάρτης χρείαν ἔχων, ἤτοι μὴ δεηθῆναι σπαρτίνου πλέγματος, ἐὰν ἄλλην ἔχῃ χρείαν, ἤτοι δεσμὸν κλίνης.

Σπάταγγαι, οἱ μεγάλοι ἐχῖνοι οἱ θαλάσσιοι.

Σπαταγγίζειν, σπαράσσειν.

Σπαταλᾷ, τρυφᾷ, καὶ σπαταλῆς, μαστιγωτίης.

Σπατείων, δερματίνων.

Σπάρτην Ἡρόδοτος λέγει, ὅτι ἐν Λακεδαίμονι σπάρτη πόλις ἀνδρῶν ὀκτακισχιλίων μάλιστα. ἕτεροι δέ φασιν, ὅτι Λακεδαίμων πόλις ἐνδοξοτάτη τῶν ἐν Πελοποννήσῳ, ἡ σπάρτη πρότερον, ἀπὸ Σπάρτης υἱοῦ Ἀμύκλαντος. οἱ δέ φασι Λέλεγες οἱ συνοικήσαντες τὴν πόλιν διεσπαρμένοι τὸ πρὶν, εἶτα ἐκεῖ συνῆλθον, καὶ ᾤκησαν εἰς ταυτό. οἱ δέ τινες χώραν φασὶ τὴν Σπάρτην λακωνικὸν, κληθὲν ἀπὸ τῶν μετὰ Κάδμου σπαρτῶν, οἳ ἐκπεσόντες εἰς τὴν λακωνικὴν, ἀφ' ἑαυτῶν τὴν Σπάρτην ὠνόμασαν. ἀνδρειότατοι δὲ πάλαι ποτὲ οἱ Σπαρτιᾶται. ἔστι δέ φασι καὶ Σπάρτον ὄρος, καὶ Σπάρτα κώμη περὶ Εὔξεινον. τινὲς δὲ λέγουσιν, ὅτι βασίλειον ἡ Σπάρτη, λέγοντες καὶ ὅτι τῶν κατὰ Πελοπόννησον πόλεις ἐνδοξόταται, Ἄργος τε Σπάρτη τε.

Σπάρτην καλλιγύναικα λέγει Ὅμηρος, διὰ τὴν Ἑλένην.

Σπατίασον διεσπασμένον, καὶ ὕχρον.

Σπατάζει, τῶν σπατείων ἕλκει, τῶν δερμάτων τῶν τιτθῶν.

Σπατίλη, ἡ ἀνθρωπίνη κόπρος. ἢ τὸ ἀπόξυσμα τῶν βυρσῶν τὸ μικρὸν, ὃ ἐκβάλλεται ὑπὸ τῶν σκυτίων.

Σπατίγλη, τὸ ὑγρὸν διαχώρημα, παρὰ τῷ Ἱπποκράτει.

Σπατίλη, τὸ ὑγρὸν διαχώρημα.

Σπατίλουροι, οἱ τὸ οὐρὰν εἰς τὸ σπατίλην ἐκτιθέντες.

Σπά-

Σπάτος, δέρμα, σκύτος.

Σπάρτωλος, πόλις ἐστὶ τῆς Βοττικῆς.

Σπαύονθες, οἱ Σαλαμίνιοι.

Σπέα, τὸ σπέος, τοῦ σπέεος καὶ σπέους. τὰ πληθυντικὸν τὰ σπέεα, καὶ συγκοπῇ σπέα.

Σπείδω ἐνεργητικῶς, τὸ χέω. Ἱμέριος, πάσας δέ σοι πηγὰς δακρύων ἐκ ἔσπεισα. παθητικῶς τὸ φιλιοῦμαι.

Σπεῖμα, χοινίον.

Σπειόμεν, πορευθῶμεν, ἀκολουθήσωμεν.

Σπεῖό μοι, τουτέστιν ἑφέπου μοι. ὡς ὅτε πατρὶ ἅμ' ἕσπετο Τυδέϊ δίῳ ἐς Θήβας.

Σπεῖον, σπήλαιον. σπύλωνες, οἱ πρὸς τῇ βάσει λίθοι, καὶ τῆς νεὼς σκεῦός τι, καὶ σύστρεμμα ἐκ χοινίου, ἢ ῥάκκη καὶ ἱμάτια, καὶ ἱστία. ἄλλοι, εἶδος ἱματίου μεγέθους γυναικείου.

Σπεῖος, αὗται εἰσὶ μόναι παρὰ τῷ Ποιητῇ εἰς ους λήγουσαι, ἀπὸ τῶν εἰς ος οὐδετέρων. ἀεὶ γὰρ ἐντελῶς λέγεται τείχεος, σάκεος. τὸ δὲ αἴτιον ὁ ἀλήθεια, καθὸ σπέος, καὶ δέος, εἰ προσέλαβεν ἡ γενικὴ ἑτέραν ε σπέεος, καὶ δέεος, κακόφωνον ἂν ἐγίνετο. ἔνθεν ἐποίησε δέους, σπέους, καὶ πλεονασμῷ τοῦ ι, δείους καὶ σπείους.

Σπείους, ὡς ἀπὸ τοῦ δέους δείους, οὕτως ἀπὸ τοῦ σπέους σπείους.

Σπεῖρα, ἡ τῶν ὄφεων συστροφή. καὶ σπεῖρα, τραχικὰ ἀμφιβλήματα, ἤτοι ῥάκη. ὅθεν ὁ μὲν ψευδοδίκαιος Ὀδυσσεὺς κακὰ σπεῖρα ἀμφιβέβληται. φασὶ τριχῶς τὸ σπεῖρον, πολυτελὲς ἱμάτιον, ῥάκος.

Σπεῖρα, τὰ ἱμάτια, παρὰ τὸ ἐνσπειρεῖσθαι, καὶ συσφίγγεσθαι ἐν αὐτοῖς.

Σπεῖραι, σειραί, δράγματα, ἕλικες, συστροφαὶ τοῦ χοινίου, καὶ τὰ μαλάγματα τῶν νεῶν.

Σπεῖρα, σύνταξις, πλῆθος στρατευμάτων. * τάξις στρατιωτική.

Σπειρηδὸν, ἀντὶ τοῦ περιπεπλεγμένως, ἢ κυκλοτερῶς, καὶ δίκην ὄφεως. ἐπὶ τοιαύτῃ δὲ σημασίᾳ καὶ συσπειραθεὶς, ἀντὶ τοῦ συντυλιχθείς.

Σπείρημα, τὸ τῶν ὄφεως ἕλιγμα, παρὰ τὸ σπειρᾶν τὸ ἑλίσσειν καὶ ἐνσπειρεῖσθαι, καὶ συστρέφεσθαι αὐτοῖς. καὶ σπεῖρον, τὸ ἱμάτιον. καὶ σπειρίμασι, ἱμάτια.

Σπείρω, ἀπὸ τοῦ σπῶ τὸ κατασπῶ. σπειρομένη γὰρ ἡ γῆ δέχεται τὰ σπέρματα. παράγωγόν ἐστι τοῦ σπῶ. ἅμα γὰρ τῷ καταβληθῆναι τὴν σποράν, σπᾶται ὑπὸ τῆς γῆς τὸ χωρῆσαι εἰς αὐτήν, οὕτω Φιλόξενος.

Σπειρῶ, μέλλων σπερῶ, παρακείμενος ἔσπαρκα, παθητικὸς ἔσπαρμαι, σαι, ται. Ἀριστοφάνης, πλεῖστος ἔσπαρται λόγος.

Σπεῖσαι, τὸ δι' ὑγρῶν θῦσαι. σπείσασθαι δὲ, τὸ τοῖς πολεμίοις φιλιωθῆναι. ὁμοίως τὸ σπένδω καὶ σπένδομαι. οὗ ὁ μέλλων σπείσομαι, ὁ ἀόριστος ἐσπεισάμην.

Σπεῖσαι, παρὰ τὸ πῖσαι, ὅ ἐστι ποτίσαι τὴν γῆν τῷ οἴνῳ.

Σπεῖσις, ἡ σπονδὴ, ἡ θυσία.

Σπείσω, θύσω.

Σπειὼ, ὄνομα νηρηΐδος. λέγεται δὲ ἡ ἐπακολούθησις.

Σπέλεθον, τὸ κόπρον. Ἀριστοφάνης, τῶν σπελέθων κοινωνοῦμεν. καὶ ἀλλαχοῦ, κατάξαι βουλόμενος ἐν σκότῳ, λάβοι τῇ χειρὶ σπέλεθον ἀρτίως κεχεσμένον.

Σπελλάμεναι, στελλάμεναι.

Σπένδαμνον, ξύλον.

Σπένδω, τὸ χέω. ὡς τὸ, πολλὰ τῶν δακρύων κατέσπεισα. σπένδω, τὸ σπονδὴν ποιῶ, καὶ ἀμφω ἐνεργητικῶς γράφεται. σπένδομαι, τὸ φιλιοῦμαι. σπένδω, τὸ μετὰ θυσιῶν φιλιοῦμαι καὶ καταλλάσσομαι καὶ θεῷ καὶ ἀνθρώποις. σπονδὴ, ἡ θυσία. σπονδαὶ πληθυντικῶς, αἱ φιλιώσεις, καὶ αἱ διαλλαγαὶ, προϋπαργμένης ἔχθρας τινὸς, οἷον φασιν, αἱ Ἀθηναῖοι πρὸς Λακεδαιμονίους σπονδὰς ἔθυσαν πεντετεῖς.

Σπένδω, τῷ τεθνεῶτι χοὰς προσάγω. σπένδομαι δέ σοι, ἀντὶ τοῦ καταλλάττομαι, δοτικῇ μόνῃ. καὶ σπένδω λοιβὰς, ὡς λέγω λόγον. καὶ τὸ σπένδειν ἐπὶ τῶν ὑγρῶν λέγεται.

Σπέος, παρὰ τὸ σβέω ἐτυμολογοῦσιν οἱ παλαιοί, ἵνα εἴη σβέος τι, διὰ τὸ τῶν σπηλαίων ἀφώτιστον. ἐξ αὐτοῦ δὲ ἔοικε συγκεκόφθαι τὸ σπέος.

Σπέος, σπήλαιον, ἄντρον, τὸ ἀφώτιστον οἴκημα, διὰ σβέσιν τοῦ φωτός.

Σπεργανῆσαι, σπαράξαι.

Σπέργυς, παρὰ τὸ πρέσβυς τροπῇ τοῦ β εἰς γ, πρέσγυς. καὶ ὑπερθέσει σπέργυς. ὡς ἐν τῷ περὶ παθῶν.

Σπέργουλος, ὀρνιθάριον ἄγριον.

Σπέργδην, ἐρρωμένως.

Σπερηδὼν, εἴλησις, περιπλοκή.

Σπερμαίνω, γεννῶ.

Σπέρμα ἐστὶ, ψυχῆς θεραπευτικῆς ποίημα. καὶ γέννημα. ἢ ὑγρὸν, ἢ πνευματῶδες ἐκ μεταβολῆς αἵματος, ἐπιτήδειον πρὸς ζωογονίαν. ἢ περίττωμα τῆς ἐσχάτης τροφῆς τὸ ἄριστον. δηλοῖ δὲ τὸ σπέρμα καὶ τὸν καρπὸν παρὰ τῷ Ἱπποκράτει. εἴρηται δὲ σπέρμα, παρὰ τὸ συνεσπαρμένην ἔχειν ἐν ἑαυτῷ τὴν δύναμιν τοῦ πλειόνατος. καὶ σπερμαίνειν, τὸ παιδοποιεῖν.

Σπερματίας, ὁ μέγας σικυός.

Σπερματικόν ἐστι, δύναμις ψυχῆς, σπερματικοῦ σώματος παρασκευαστική.

Σπερμολόγος καὶ σπερμονόμοι, εἶδός ἐστιν ὀρνέου, λωβώμενον τὰ σπέρματα. ἐξ οὗ οἱ Ἀττικοὶ σπερμολόγους ἐκάλουν, τοὺς περὶ ἐμπόρια καὶ ἀγορὰς διατρίβοντας, διὰ τὸ ἀναλέγειν τὰ ἐκ τῶν φορτίων φασὶν ἀπορρέοντα, καὶ διαζῆν. ἐκ τούτων δὲ τὴν αὐτὴν ἔλαχον κλῆσιν, καὶ οἱ οὐδενὸς λόγου ἄξιοι.

Σπερμολόγοι, ὄνομα. οἱ ἐκ τοῦ ὀρύττειν τὰ σπέρματα καὶ ἐσθίειν, οὕτως ὠνομάσθησαν.

Σπέρξομαι, ὀργισθήσομαι.

Σπειρόμενος σῖτος, μικρόν. σπειρώμενος δὲ ὄφις, ὅ ἐστιν ἐντυλισσόμενος, μέγα.

Σπερχνεῖν, σπεύδειν, θυμοῦσθαι, ἀπειλεῖν, διώκειν.

Σπέρχει, σπουδάζει, κατεπείγεται, συστρέφει.

Σπερχειὸς, ὄνομα ποταμοῦ Θεσσαλίας.

Σπερχθεὶς, ἀντὶ τοῦ θυμωθεὶς καὶ ταραχθεὶς λέγουσιν Ἴωνες.

Σπερχνὸς, τραχὺς, σπουδαῖος. ἄγαν ἐγκείμενος πρός τι, ἢ ἐπειγόμενος.

Σπερχόμενος, ἐπειγόμενος.

Σπερχυλλάδην κέκραγας, ἀγανακτήσας ὑλακτεῖς ἄγαν, παρὰ τὸ σπέρχεσθαι.

Σπέρχω, σημαίνει τὸ κατεπείγομαι, σπεύδω, καὶ συστρέφω. ἴσως ἀπὸ τοῦ περιέχεσθαι. συμπεριέχω ἦν, καὶ κατὰ συγκοπὴν σπέρχω.

Σπέρχων, ἐπείγων, κελεύων.

Σπὲς, καὶ ἔνισπες, προστακτικὸν ἀντὶ τοῦ εἰπέ. ὡς σχές. εἴρηται ἀπὸ τοῦ σπῶ, ὃ σημαίνει τὸ λέγω, ὁ μέλλων σπήσω, ὁ δεύτερος ἀόριστος ἔσπον, ἡ μετοχὴ σπών, καὶ τὸ προστακτικὸν, σπὲ, καὶ πλεονασμῷ τοῦ σ, σπές. πλεονάζει δὲ τὸ μονοσύλλαβον.

Σπέσθαι, τὸ ἀκολουθῆσαι, ἀπὸ τοῦ ἕπεται. τὸ ἀπαρέμφατον ἕπεσθαι, καὶ πλεονασμῷ τοῦ σ, ἕσπεσθαι καὶ σπέσθαι.

Σπέσθαι, δευτέρου ἀορίστου ἐστὶν, ὅμοιον τῷ πτέσθαι παρὰ Σοφοκλεῖ, καὶ τῷ σχέσθαι.

Σπέται, ἵσταται.

Σπέτε, εἴπατε.

Σπεύδεται, ἐριθεύεται, ἐριθίζεται.

Σπεύδω, ἀντὶ τοῦ σπουδάζω ἐγώ. ἐπισπεύδω δὲ ἕτερον, ἤγουν ἐπείγω. καὶ σπεύδειν, τὸ ἀγωνίζεσθαι. σπεύδειν καὶ τὸ βοηθεῖν τινι, καὶ συναίρεσθαι.

Σπεύσαιτο, παρακαλέσειεν.

Σπευσανδρίδαι, γένος ἰθαγενῶν.

Σπεῦσεν, ἔκαμεν, ἐταλαιπώρησεν, ἐκακοπάθησε.

Σπεύσομαι, παρ' Ὁμήρῳ παθητικῶς ἐλέχθη. δῆλον δὲ ὅτι σπεύσω ἐστὶ τὸ κοινόν.

Σπήεσσιν, ἐκ τοῦ σπέος. ἡ δοτικὴ τῶν πληθυντικῶν σπέεσι, καὶ ἐκτάσει σπήεσσι, καὶ ἐν σπέσι κατὰ συγκοπήν.

Σπήλαια, οἰκοδομητοὶ λαβύρινθοι, καλεῖται δὲ καὶ κυκλώπεια.

Σπήλαιον, παρὰ τὸ σπῶ τὸ κατασπῶ, καὶ τὸ λᾶας ὁ λίθος. σπήλαιον γὰρ οὐδέν ἄλλο ἐστὶν, ἢ λίθος κατεσπασμένος.

Σπῆλιγξ, τὸ σπήλαιον. ἐτυμολογεῖται δὲ σπήλαιον, παρὰ τὸ ἐσπασμένους τοὺς λᾶας εἶναι. καὶ ὑποκοριστικῶς σπῆλιγξ, ἡ ἐσπασμένη λᾶϊξ, ἤτοι λιθίς. ὅθεν καὶ ἄμεινον γράφεται, διὰ τοῦ ι τροπῇ τοῦ δίχρονου εἰς δίχρονον, διὰ τοῦ υ σπήλυγξ γράφεται.

Σπήλυγγες, τὰ βεβρωμένα τῶν πετρῶν, παρὰ τὸ σπᾶν. ἢ αἱ ὑπὸ τὰς πέτρας κοιλάδες.

Σπίγγος, ἰχθὺς, καὶ σπίγγον, σπίνον.

Σπιγνὸν, μικρὸν, βραχύ.

Σπιδὲς, μέγα, πλατὺ, εὐρύ.

Σπιδνὸν, πυκνὸν, συνεχὲς, πυκνός.

Σπίζα, ὀρνιθάριον στρουθῷ ἐμφερές.

Σπίζια, τὰ ὄρνεα ἅπαντα.

Σπιζίας, εἶδος ἱέρακος.

Σπιζίτης, εἶδος αἰγιαλίου ὀρνέου.

Σπιθαμὴ, μέτρον τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου, ἐπὶ τὸν μικρὸν διάστημα ἐκταθέν.

Σπιθίαι, σανίδες νεώς.

Σπίκανον, σπάνιον.

Σπίλα, χορδαὶ ἐξ ἐντέρων.

Σπίλαι, αἱ ἐν τοῖς ἱματίοις κηλίδες.

Σπίλα, στέμφυλα.

Σπιλάδες, οἱ παλαιοί φασιν αἱ παράλιαι πέτραι, παρὰ τὸ σπιλοῦσθαι τῇ ἄχνῃ. * οἱ δὲ, αἱ ἐν ὕδατι κοῖλαι πέτραι.

Σπιλὰς, πετρατίς.

Σπίλαξ, μῶλος ὁπλατανώδης.

Σπῖλον, νῆσον, παρὰ τῷ Λυκόφρονι.

Σπῖλος, ῥύπος ἱματίου, ἢ μολυσμός.

Σπῖλος, καὶ τοῦτο φυλάττω. λέγει δὲ κηλίς.

Σπῖλος, πρῖνος, κηλὶς, πέτρα πορώδης. χοιράς, γῆ κεραμική.

Σπῖλοι, τραχεῖς τόποι. καὶ σπιλῶσαι, ῥυπῶσαι.

Σπινδῆρα, ἄροτρον.

Σπινθάρυγες, αἱ λαμπηδόνες.

Σπίννος, εἶδος ὀρνέου.

Σπινθὴρ, ἀκοντισμὸς, πυρὸς ἀποβολή.

Σπλάγχνα, τουτέστιν ἐνδόσθια, σπλῆνα, καρδίαν, ἧπαρ. τοῦτο γὰρ δηλοῖ τὸ σπλάγχνα ἐπάσαντο, δηλοῦντες ἐνδελεχῶς ἐκ ψυχῆς τελεῖν τὴν θυσίαν. ἢ σπλάγχνα, οἱονεὶ πέλαχνα, διὰ τὸ πλησίον ἀλλήλων ὑπάρχειν, καὶ ἐφάπτεσθαι, καὶ διὰ τὸ σπᾶν τὴν τροφήν. Ὧρος.

Σπλάγχνον, ἡ καρδία. ἀφ' οὗ καὶ εὔσπλαγχνος, ὁ εὐκάρδιος, καὶ ἀνδρεῖος. ἄσπλαγχνος δὲ, ὁ ἀκάρδιος καὶ δειλός.

Σπλαγχνεύειν, τὸ σπλάγχνον μεταλαβεῖν.

Σπλεκοῦν, πλησιάζειν, συνουσιάζειν, περαίνειν.

Σπληδὼ, σποδὸς, λεπτὴ κόνις.

Σπλὴν, ἀπὸ τοῦ εἰς ἑαυτὸν ἐπισπᾶσθαι τὰ φαυλισθέντα τῶν ὑγρῶν.

Σπλῆνες, οἱ ὑπὸ τῷ λέβητι ἕλικες. καὶ παρὰ τοῖς ἰατροῖς, τὰ ἐπιμήκη ὀθόνια.

Σπογγιὰν, καὶ σπόγγον λέγομεν.

Σπόγγοι, οἱ κατὰ τὴν φάρυγγα ἀδένες, παρὰ τῷ Ἱπποκράτει.

Σπόγγος, διὰ τὸ ἀποσπᾶν τὰ ὑγρά.

Σπόδει. Ἀριστοφάνης τὰς λαγόνας σπόδει, ἤγουν κάθαιρε. σποδεῖν γὰρ κυρίως, τὸ τοὺς βωμοὺς καθαίρειν.

Σπόδησον, ὄπτησον, φλέξον.

Σποδιὰ, καὶ σποδὸς, ἡ στάκτη, παρὰ τὸ σβέω σβέσω, σβεδὸς καὶ σποδὸς, ἡ ἀμαυροῦσα τὴν φλόγα.

Σποδεῖν, σπαίειν, συγγίνεσθαι.

Σποδέοντο, ἐμάχοντο, ἐτύπτοντο.

Σποδιὰ, λαύρα ἡ τὰς ὁδοὺς τρίβουσα, ἢ ἐν ταῖς ὁδοῖς τριβομένη.

Σπονδεῖος, ἐκ δύο μακρῶν τετράχρονός ἐστιν οἷον ἥρως. σπονδεῖος δὲ καλεῖται, ἐπειδὴ σπένδοντες τοῖς Θεοῖς, καὶ ζητοῦντες ἀγαθόν τι παρ' αὐτῶν τούτῳ τῷ μέτρῳ χρώμεθα.

Σπονδεῖον, ἀγγεῖον ἐν ᾧ τοῖς εἰδώλοις οἶνον ἀπέσπενδον. λοιβεῖον, ἐν ᾧ ἔλαιον.

Σπόνδισον ταχέως, παρὰ τῷ Ἀριστοφάνει πλῆξον, καῦσον ὡς ἐν σποδῷ.

Σποδίτῃ ἄρτῳ τῷ ἐγκρυφίᾳ καλουμένῳ, παρὰ τῷ Ἱπποκράτει.

Σποδομένων ἀλλαχοῦ, ἀντὶ τοῦ τυπτομένων. παρὰ δὲ Λυκόφρονι, φλεγομένων.

Σποδὸν, ἀλλαχοῦ στάκτην. παρὰ δὲ Λυκόφρονι πυρκαϊάν.

Στο-

Digitized by Google

Σπολάδα. Ἀριστοφάνης σὺ μὲν σπολάδα καὶ χιτῶνα ἔχεις. πρὸς τὴν σπολάδα, ὅτι διφθέρα, Σοφοκλῆς ἐν Αἴαντι Λοκρῷ, κατάστικτον κυνὸς σπολὰς, καὶ βύρσα, παρδαληφόρον δέρος. Καλλίστρατος δὲ, οἷον ἔφαπτον δερμάτινον. Εὐφρόνιος δὲ, χιτῶνα δερμάτινον. παρήχθη δὲ ἴσως ἐκ τοῦ ἐπιφέρεσθαι οὐκ ἐξὸν ἐνεζῶσθαι διφθέραν. τὸ Σοφόκλειον ἐπὶ τοῦ δέρματος εἴρηται, τοῦ κρεμαμένου πρὸς τῇ τοῦ Ἀντίνορος οἰκίᾳ.

Σπόλια, τὰ παρατιλλόμενα ἐρίδια, ἀπὸ τῶν σκελῶν τῶν προβάτων.

Σπολεῖσα, σταλεῖσα.

Σπόμενοι, μετελθόντες.

Σπονδαὶ ἄκρητοι. σπονδὰς ἀκρήτους λέγει, διότι ἀκράτῳ οἴνῳ ἔσπενδον, αἰνιττόμενοι τὸ τῆς γνώμης ἀμιγὲς ψεύδει, καὶ ἄδολον.

Σπονδὰς, συνθήκας, ὅρκια. ἢ θυσίας, καὶ ἐκχύσεις οἴνου.

Σπονδὴ ὁ ἐπιχεόμενος ταῖς θυσίαις οἶνος. συνθήκη, ὅρκος.

Σπονδοῦνται παρὰ τῷ Ἀριστοφάνει. ἀντὶ τοῦ κινοῦνται.

Σπονδύλη, ἡ γαλῆ, παρ' Ἀττικοῖς.

Σπόνδυλοι, οὐ μόνον διὰ τοῦ π καὶ τρισυλλάβως, ἀλλὰ καὶ διὰ τοῦ φ τετρασυλλάβως. σφονδυλίων γάρ φησιν Ὅμηρος.

Σπότια, πέμμα. ὃ τινὲς, στατίας.

Σποράδην, ἐσπαρμένως.

Σποράδες νῆσοι, ἢ διὰ τὸ σποράδην κεῖσθαι, ἢ ἀπὸ τοῦ σπαρτὴν καὶ σπαρτόν. * ἃς ἔνιοι κυκλάδας λέγουσιν. αἱ ἐν τῷ Αἰγαίῳ. εἰσὶ δὲ δώδεκα.

Σποράδες, διάφοροι, οὐχ ὁμογενεῖς ἄλλαι ἄλλοις συμβαίνουσαι, παρὰ τῷ Ἱπποκράτει.

Σποργαὶ, ἐρεθισμοὶ εἰς τὸ τεκεῖν.

Σποργίλος, ὄνομα κουρέως. μνημονεύει αὐτοῦ Πλάτων ἐν σοφιστῇ. τὸ σποργίλου κουρεῖον, ἔχθιστον στέγος.

Σπορθύγγια, βίβλια, τὰ διαχωρήματα τῶν αἰγῶν, ἅτινες σπυρίδας καλοῦσι.

Σπόρον, πυρόν. Ἀπολλώνιος.

Σπορτία, ἑορτὴ ἀγομένη.

Σπόρτυλον, τόκον.

Σπουδάζω, σπεύδω, ἐπείγομαι, κατεπείγομαι.

Σπουδάζειν, τὸ ἐναντίον τῷ παίζειν. σπουδάζω, τὸ φιλοσοφῶ. ἐξ οὗ καὶ σπουδαῖος, ὁ φιλόσοφος. δηλοῖ καὶ τὸ σπεύδω, οἷον σπουδάζω ποιῆσαι τόδε, σπουδάζω πρὸς σὲ ὅταν ἀξιῶ ἐπιμελείας τοῦ σώματος. σπουδάζω περὶ σὲ, ὅταν ἐπιμελοῦμαι περὶ σὲ πραγμάτων.

Σπουδαῖός ἐστιν ὁ ὀλιγοδεής. ὅς τις θανάτου καὶ θνητῆς φύσεως ἐστὶ μεθόριος, τὸ μὲν ἐνδεὲς, διά τε τὸ σῶμα, διά τε τὴν γένεσιν αὐτὴν ἔχων, ὀλίγων δὲ, διὰ τὴν λογικὴν ἐγκράτειαν δεῖσθαι δεδειγμένος. ἢ ὁ τελείαν καὶ ἀγαθὴν ἔχων τὴν αὐτοῦ ἀρετήν.

Σπουδαξ, ἀλεκτερίβανος.

Σπουδαρχίαι, κατὰ σπουδὴν ἄρχοντες.

* Σπουδαρχιάσας, ἐπιθυμήσας ἄρξαι, σπουδάσας, ἐπιμεληθεὶς τυχεῖν τῆς ἀρχῆς, καὶ σπουδαρχίδης σπουδάζων περὶ τῆς ἀρχῆς.

Σπουδή ἐστι, σύνταξις εἰς τὰ προκείμενα.

Σπουδῇ ἐξήλασαν, ἀντὶ τοῦ ἐν δυσχερείᾳ ἐδίωξαν. ὅθεν καὶ ἀλλαχοῦ ἀσπουδεὶ ἔφη, τὸ δίχα πολλῆς ἀγωνίας καὶ δυσχερείας. καὶ ἄτερ σπουδῆς, ἀντὶ τοῦ δίχα καμάτου. ἐξ οὗ ἐν Ἰλιάδι ἀσπουδεὶ, ἀντὶ τοῦ απονητί. οἷον μὴ μὰν ἀσπουδεί γε νεῶν ἐπιβαῖεν ἕκηλοι.

Σποῦσμα, σπουδὴ, σπούδασμα.

Σπυράδες τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα, παρὰ τῷ Ἱπποκράτει. * καὶ σπύραθοι, τὸ αὐτό.

Σπυρθὶς, σπυρθίζειν, σπᾶσθαι καὶ ἀγανακτεῖν, σπυραδίζειν, καὶ σφύζειν.

Σπυρὶς, τὸ τῶν πυρῶν ἄγγος.

Σπυρίχνιον, πλεκτόν τι ἐκ οἰσυΐνων.

Σπῶ, τὸ μεταλαμβάνω, συντάσσεται γενικῇ. οἷον ἔσπασα τοῦ ὕδατος. ἐπισπῶμαι δὲ ἄλλον, αἰτιατικῇ τὸ μεταλαμβάνω. κατασπῶμαι δὲ, καὶ ἀνασπῶμαι, καὶ διασπῶμαι, ὑφ' ἑτέρου. ὁ μέλλων κατασπασθήσομαι, ἐπισπάσομαι δὲ ἄλλον. ἐσπάσθην δὲ ὑφ' ἑτέρου.

Σπώμενος, συντριβόμενος.

ΤΟ Σ. ΜΕΤΑ ΤΟΥ Τ.

Σταβαλοκόμαν, οὐλοκόμην.

Σταβατῖναι, κωπεῶνες.

Σταβόλχον, ἄστραβον.

* Σταγειρίτης, ὁ Ἀριστοτέλης. ἀπὸ τῆς πόλεως Σταγείρων. Πισίδης.

Στάγην, κάρδοπον.

Σταγόνες, ἐπὶ τοῦ ὑετοῦ. νιφάδες, ἐπὶ τῆς χιόνος. πλῆθος τῶν νιφάδων, νιφετός.

Σταγὼν, παρὰ τὸ στῶ ῥῆμα. οὐ παράγωγον στάζω. οἷον οὐ ῥύδην, ἀλλὰ στάσιν τῆς φορᾶς τοῦ ὑγροῦ λαβούσης.

Σταδιεῦς, Διοσκουρίδης φησὶ, σταδίοις ἀναμετρῶν τὸν περίπατον, παρὰ τῷ Ἱπποκράτει.

Σταδαῖα, ἑστηκότα, ὄρθια.

Σταδία, ἡ λυχνία.

Στάδιον ὀργυιαὶ ἑκατὸν, ἢ στάδιον τὸ κατ' εὐθεῖαν εἰς μῆκος τεταμμένον, καὶ ὁ τόπος ἐν ᾧ ἔτρεχον. ἦν δέ φασι πηχέων τριακοσίων διάστημα. ὃ στάδιον, κατὰ τὸ ἀρχαῖον ἐκαλεῖτο ὁ αὐλός. ὅθεν δίαυλος, τὰ δύο στάδια, ἀπὸ τοῦ δύο αὐλῶνας ἔχειν. καὶ διαυλωνίζειν λέγουσι τοὺς ἀνέμους, ὅταν διά τινος ὁμαλοῦ καὶ στενοῦ διαπνέωσι. καλεῖται δὲ στάδιον διὰ τὴν στάσιν, ἑστῶτες γὰρ ἐθεῶντο. οἱ δέ φασι περιττὸν εἶναι τὸ σ. εἶναι γὰρ τάδιον, παρὰ τὴν ἐν τῷ δρόμῳ τάσιν.

Στάδιον θώρηκα παρὰ τῷ Ἀπολλωνίῳ, λέγουσιν ὅτι οὐκ ἦν ἁλυσιδωτὸς, ἀλλὰ σταδιαῖος. ἀπὸ τῆς στάσεως ἐσχημάτισαι. τινὲς δὲ στάδιον τὸν ἀπαγῆ, ὃν καὶ ὁ Καλλίμαχος λέγει στάδιον δ' ὑφίεσο χιτῶνα.

Σταδίη, ἡ ἐν τῇ συστάσει μάχη. ἢ ἀπὸ τοῦ διαστήματος τοῦ ὁρισθέντος, ἢ ἀπὸ τοῦ στάντα τὸν Ἡρακλέα τοῦ δρόμου διαπνεῦσαι.

Στάζει αἵματος, Ἀττικῶς, ὡς ἐπὶ τοῦ ὕδατος. καὶ στάζει σταλαγμοὺς φόνου, ὡς παρὰ Σοφοκλεῖ. φονία δὲ χεὶρ στάζει θυηλῆς Ἄρεος, ἀντὶ τοῦ αἵματος.

Σταθερὸν ἦμαρ παρὰ τῷ Ἀπολλωνίῳ ἀντὶ τοῦ καυματηρὸν καὶ θερμόν. λέγει δὲ τὴν μεσημβρίαν, ἐκ τοῦ συμβαίνοντος, ἐπειδὴ μεσουρανήσας ὁ ἥλιος θερμαίνει πάντα, διὰ τὸ πανταχόθεν ἐπίσης ἀπέχειν τῶν ὑποκειμένων. ἢ διὰ τὸ ἑστηκέναι. ἥττον γὰρ δοκεῖ τότε κινεῖσθαι ὁ ἥλιος.

Σταθεῦσαι, Ἀττικοί. στατεῦσαι, Ἕλληνες. δηλοῖ δὲ τὸ ἱστάμενον φλέγεσθαι, ἢ τὸ τῷ πυρὶ ἡσυχῇ χλιᾶναι κρέας. καὶ τὸ ὀπτῆσαι. ἔστι δὲ ποιητικόν. ἐξ οὗ καὶ ὄνομα σταθευτὸς, ἀπὸ τοῦ στατὸς, καὶ τοῦ εὕω τὸ καίω.

Σταθευτὸς, ὁ περιφλογισμένος ἠρέμα.

Σταθεύειν, τὸ μὴ λίαν ὀπτῆσαι, ἀλλὰ πυρὶ χλιᾶναι.

Σταθευτὸν, τὸ μὴ λίαν ὀπτόν.

Σταθῆναι, καὶ στῆναι διαφέρει. σταθῆναι μὲν τὸ ὑφ' ἑτέρου, οἷον ἐστάθη ὁ ἀνδριάς. ἔστη δέ τις κατ' ἰδίαν ὁρμὴν καὶ προαίρεσιν.

Σταθηρὸς, ἰσχυρός.

Σταθμὰ, ἐπὶ ζυγοῦ. σταθμοὶ καὶ οἱ οἶκοι, ἔνθα ἑστήκασιν ἵπποι, ἢ βόες. ἤγουν οἱ κοινῶς σταῦλοι, οἱ καὶ οὐδετέρως λέγονται τὰ σταθμά.

Σταθμᾶσθαι καὶ σταθμίζειν ἐπὶ ζυγοῦ, ἀριθμεῖν ἐπὶ ψήφου. μετρεῖν, ἐπὶ μεδίμνου. σταθμῶμαι, καὶ τὸ στοχάζομαι.

Στάθμη, σπαρτίον ἐστὶ λεπτὸν, ὃ μίλτῳ κεχρισμένον, ἢ ἑτέρῳ χρώματι, γραμμὰς ἄγει τῇ ἑκατέρωθεν τάσει, δι' ὧν τὰ ξύλα εὐθύνονται, ἐξ αὐτῆς καὶ παροιμία, τὸ στάθμης ἀκριβέστερος. ὡς εἴ τις εἴποι, ὀρθότερος τῆς ὀρθότητος, ἢ κανόνος εὐθύτερος. ὁ δὲ τόνος τῆς στάθμης συντελεῖ τι εἰς τὴν κολώνην. ὡς γὰρ σταθμὸς στάθμη, οὕτω καὶ κολωνὸς κολώνη. ὁμοίως καὶ ὀρθὸς, ὀρθή. ναυπηγὴν ὑποτίθεται στάθμην ἐπιτηδὲς, ὡς τοῦ ναυπηγοῦ μάλιστα ἔχοντος ἀνάγκην, ἀπορθοῦν τὰ ξύλα δι' αὐτῆς ἀκριβέστατα, ἐνθυμουμένου ὡς ὀλίγον διὰ ξύλον ἀΐδ' ἐρύκει. διὸ οὐχ ἁπλῶς εἶπεν ἰθύνει, ἀλλὰ ἐξιθύνει, τουτέστι λίαν ἐξορθοῖ. ἐπιτατικὴ πολλαχοῦ δέδεικται καὶ ἡ ἐξ πρόθεσις. οὐ μόνον δὲ ἡ ῥηθεῖσα παροιμία ἐκ τῆς τεχνικῆς εἴληπται στάθμης, ἀλλὰ καὶ ἕτεραι. οἷον τὸ λευκὴ στάθμη, ἀντὶ τοῦ ἄδηλος στάθμη, κατὰ Παυσανίαν. οὐ γὰρ ἀκριβῶς διαφαίνει ὀρθότητα ἡ λευκὴ στάθμη. διὸ καὶ αὕτη ἡ παροιμία λέγεται ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων. οἷον τοῖς λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι, οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴν στάθμην. καὶ ὅρα, ὡς οὐ πάντη ἀσφαλῶς ἡ τοιαύτη γραφὴ ἔχει. ὡς γὰρ ἐν λευκῷ λίθῳ οὐκ ἄν τις τεκμήραιτο στάθμην λευκὴν, οὕτως οὐδ' ἐν μέλανι μέλαιναν, ἢ ἐν ἐρυθρῷ ἐρυθρὰν, καὶ ὁμοίως ἐπὶ τῶν λοιπῶν χρωμάτων. ἑρμηνεύεται δὲ ἡ στάθμη παρὰ τῶν παλαιῶν, κανὼν, γνώμων. ἦν δὲ ἱστατικὴ στάθμη καὶ ἐν θεάτροις τῶν δρομέων. Ἄλλως.

Στάθμη, κανών ἐστι τεκτονικὸς, ἤτοι σχοινίον μεμιλτωμένον, ὡς τὰ πολλὰ, οὗ ἔργον τὸ ἰθύνειν. οὐκ ἀεὶ δὲ μιλτοῦται, ἀλλὰ καὶ μελαίνεται. σπάνιον δὲ λευκὴ, διὰ τὸ κατ' αὐτὴν ἐν τοῖς ὑπολεύκοις τῶν σωμάτων ἄσημον. καὶ οὐκ εὐδιάρθρωτον εἰς ἀπόρθωσιν γνώσεως, ὅθεν καὶ παροιμία. φησὶ γὰρ Αἴλιος Διονύσιος οὕτω, λευκὴ σταθμὴ, ὁ μηδὲν διακρίνων, μηδὲ διαγινώσκων.

Σταθμία, φλιαὶ, καὶ ἐπίθετον Ἀθηνᾶς.

Σταθμὸς, ὀξύνεται κανόνι τοιούτῳ, τὰ εἰς μος λήγοντα, ἔχοντα πρὸ τοῦ μ τὸ θ ὀξύνεται, μνηστηθμὸς, πορθμὸς, σκαρθμὸς, ἰθμός. τὸ κρῆθμος, οἱ μὲν τοῦ Ὁμήρου ὑπομνησταὶ βαρύνεσθαί φασιν εἰς ἰδιότητα. ἐν δὲ τοῖς ἀντιγράφοις τοῦ Λυκόφρονος σταθμοὶ, αἱ ἐν ἀγροῖς καταγωγαί. καὶ ἐκ τούτου μὲν συντίθεται τὸ βούσταθμον. ἐκ δὲ τοῦ δηλοῦντος ἁπλῶς τόπον στάσεως, τὸ ναύσταθμον εἴρηται.

Σταθμὸς, ἡ ἀγροτικὴ κατοικία, ὅ ἐστιν ἔπαυλις, ἣν ὁ Σοφοκλῆς μεταπλάσας σταθμὰ λέγει. λέγεται δέ ποτε καὶ ἐπὶ ζυγοῦ, τοῦ τὰ βάρη ταλαντεύοντος, καὶ ἐπὶ παραστάσει οἰκίας. ὅτε μέντοι ἐκ τοῦδε τοῦ τόπου εἰς τόνδε, σταθμοὶ τοσοίδε λέγονται, τοπικὸν ἔχει διάστημα. δηλοῖ ὁ σταθμὸς, ὡς εἴ τις εἴποι στάσιν, ἢ μονὴν, ἢ τὴν λεγομένην ἀλλαγήν. σταθμὸν καὶ παραστάδα λέγει Ὅμηρος τῶν θυρῶν κυπαρίσσινον, ᾧ ἐκλίνατο Ὀδυσσεύς.

Σταθμὸς σηκοῦ ἔοικε διαφέρειν, καθότι κοινὸν μὲν ἁπλῶς ὁ σταθμὸς, σηκὸς δὲ μάλιστα ὁ τῶν νεογνῶν. ὅθεν καὶ σηκῖται ἄρνες λέγονται.

Σταθμοὶ, τὰ ἐν τοῖς ἀγροῖς ζῳοστάσια, αἱ ἐπαύλεις, καὶ ὅλως κατοικίαι ἀγροικικαί. πολλὴ δὲ χρῆσις παρὰ τῷ Ποιητῇ. τίθησι δέ που τὴν λέξιν καὶ ἐπὶ ζυγίου. καὶ μέρος δὲ θυρῶν ἐν Ὀδυσσείᾳ οἱ σταθμοὶ, οὓς παραστάτιδας ὁ τραγικός φησιν. αἱ δὲ ἱστορίαι σταθμοὺς οἴδασι λέγειν καὶ τὰς ὡρισμένας, εἴτουν τεταγμένας ἐνοδίους ἀναπαύλας, τοῖς εἴτε ἱππεῦσιν, εἴτε πεζοδρόμοις. ἃς καὶ ἀλλαγὰς ἔλεγόν τινες. οὕτω γὰρ, τοσοίδε σταθμοὶ ὁδευθῆναι λέγονται πρός τινων. καὶ τοσούσδε σταθμοὺς εἶναι, ἀπὸ τοῦ δεῖ τινος τόπου εἰς ἄλλον φαμέν.

Σταθμοῦχος, ὁ τῆς οἰκίας κύριος, καὶ ξενοδόχος.

Σταινίον, τὸ ἱερὸν ὀστοῦν, καὶ τὸ ὑπογάστριον.

Σταιρὸν, ξηρὸν, θερμὸν, ἄκρατον.

Σταὶς, φύραμα ἀλεύρου, πυροῦ. ἢ σταὶς, ὃ ἀπομάττονται οἱ μάγειροι, ὅπερ ἐκάλουν χειρόμακτρον. ὃ μετὰ τὴν ἐργασίαν ἐπερρίπτουν ταῖς κυσί.

Σταιτῖα, πέμματος εἶδος.

Σταίτιος ἄρτος, ὁ ἐξ ἀλεύρου. καὶ σταιτίνος, καὶ σταιτίτης.

Στακτὴ, τὸ λεπτότατον τῆς Σμύρνης.

Στακτικὸν, πεμμάτιον πλακουντῶδες. ἄλλοι δὲ, ἀγγεῖα διϋλίζοντα νειλῷον ὕδωρ.

Στακτὸν, τὸ διϋλισμένον.

Σταλάει, στάζει, ὅθεν καὶ σταλαγμός. σταλάει ποιητικῶς, στάζει καὶ ἐπιστάλαζει κοινῶς.

Σταλεηδόνες, σταλαγμοί.

Σταλεὶς, πεμφθείς.

Στάλιν, ταμεῖον κτηνῶν.

Digitized by Google

Σταθμᾶσαι, ἐλθεῖν, ἑτοιμάσαι.

Σταλίδας, τοὺς χάμακας, ἢ χάρακας.

Σταλαγμοῦ, κατασπάσεως τῆς ἀπὸ τῆς κεφαλῆς, παρὰ τῷ Ἱπποκράτει.

Στάληξ, ὁ σταλαγμός. στάλιξ δὲ, ὁ σκόλοψ ἰῶτα.

Σταλίζομαι, ἐπὶ τῆς στήλης βόθρον ἔστηκα.

Στάλικες, πάσσαλοι, ξύστραι, στῆλαι.

Σταμαγορεῖς, ὅταν ἐν ὑφῇ πλείονες συρραφῶσι στήμονες.

Σταμῖνες, τὰ καταστρώματα τῆς νηὸς, ἐφ᾽ ὧν ἱστάμεθα. Ἀρίσταρχος δὲ ὀρθὰ ξύλα λέγει, στήμοσιν ἐοικότα.

Σταμνία, οἱ μὲν ἀμαθεῖς ἐπὶ τῶν ἀμίδων τάττουσιν. οἱ δ᾽ ἀρχαῖοι, ἐπὶ τῶν οἰνηρῶν ἀγγείων.

Σταμνίου υἱὸς, παρὰ τῷ Ἀριστοφάνει κεῖται ἐν βατράχοις, δέον εἰπεῖν υἱὸς Διὸς, σταμνίου εἶπε παρ᾽ ὑπόνοιαν. ἐπειδὴ ὁ οἶνος ἐν σταμνίῳ βάλλεται. ὁ δὲ Διόνυσος εἰς τὸν οἶνον ἀλληγορεῖται. σταμνία δὲ καὶ στάμνους τοὺς ἀμφορεῖς τοῦ οἴνου φασίν. ἔπαιξεν οὖν, ἐπεὶ ὁ κέραμος ἐν ἑαυτῷ βαστάζει τὸν οἶνον, καὶ φέρει.

Στάμνος, ὑδρία, κάλπη, κάλαθος.

Σταμνοῦροι, οἱ τοῖς ἐφήβοις προστιθέμενοι ἐλαίου στάμνοι.

Στάμνος, μέτρον τί.

Σταῖν, ἀντὶ τοῦ ἔστησαν. ἐκ τοῦ στὰς στάντος γέγονε, καθὰ καὶ φθὰν ἀντὶ τοῦ ἔφθασαν, ἐκ τοῦ φθὰς φθάντος. καὶ τὸ φὰν ἀντὶ τοῦ ἔφησαν, ἐκ τοῦ φὰς φάντος.

Σταίνει, στείνεται, συμβέβυσται.

Σταίνης, δύστηνος.

Σταιρεῖ, βάπτει.

Σταιρτίμας, τὰ σῖτα ἄλευρον γεγενημένα. ἡ γὰρ ζύμη, στέαρ λέγεται.

Σταῖρτοι, αἱ τάξεις τοῦ πλήθους.

Στασάμενον, δασωσάμενον.

Στασάνη, ἐγγύη, ὑποθήκη.

Στάσις, θέσις, χορὸς, συνέδρα, ἐργαστήριον.

Στασιάζειν. ὁ μὲν Ἡρωδιανὸς πλεονασμὸν λέγει εἶναι τοῦ α. ἀπὸ τοῦ στάσις στασιάζω. ὁ δὲ Ὧρος λέγει, ὅτι τοὔνομα ἔλαβεν ἀπὸ τοῦ ἵστασθαι καὶ συστρέφεσθαί τινας περιττοτέρους πρὸς ἀλλήλους.

Στάσιμον, τὸ μέλος τοῦ χοροῦ. ὅταν γὰρ ὁ χορὸς μετὰ τὴν πάροδον διατίθηταί τι μένων ἀκίνητος, πρὸς τὴν ὑπόθεσιν ἂν εἰκότως στάσιμον λέγοιτο.

Στασιώτης, Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. περὶ τοίνυν ὧν ἀπόλεξις κατηγόρηκεν ὡς στασιώτης ἦν ἐγὼ καὶ ὁ πάππος ὁ ἐμός. ἔοικε νῦν ὁ Ῥήτωρ ἰδίως ἐπὶ τοῦ δορυφόρου κεχρῆσθαι τῷ ὀνόματι.

Στάσκεν, ἠγωνίσατο.

Σταπὰ, μακρά.

Σταπεύει, θάλπει.

Σταπὶ, πάρνη, κάρδοπος.

Στατὴρ τετράγραμμον, ἤγουν ἥμισυ οὐγγίας.

Στατὴρ, εἶδος νομίσματος. Ἀριστοφάνης, στατῆρσι δ᾽ οἱ θεράποντες ἀρτιάζομεν, ἤγουν παίζομεν ἄρτια, ἢ περιττά. ὅπερ ἐν τῇ συνηθείᾳ ζυγὰ καὶ ἄζυγα λέγομεν.

Στατίδιον, τὸ πενταμνοῦν. καὶ διαστάτους τυροὺς, τοὺς διαστάμνους.

Στατίδας, ναύτας εἰς πόλεμον.

Στατίζονται, ἱερῶνται, αὐλίζονται, ἵστανται.

Στατίζουσι, στάσιν ἔχουσι.

Στατίνη, ἡ ἐκ στέατος πεποιημένη, καὶ ἁπλῆ.

Στατοὶ, ἀρχῆτις.

Στατὸς, σκάφη. ἄλλοι δὲ τὰς πέντε μνᾶς.

Στατὸς ἵππος, ὁ τῆς ἀγέλης ἀποσπασθεὶς καὶ ἐν φάτνῃ ἐφ᾽ ἱκανὸν στὰς, καὶ ἀναπαυθείς. τὸ δὲ τοιοῦτον στῆναι, καὶ τὸ ὑποστάσιον ποιεῖ, καὶ τὸ βουστάσιον, καὶ τὸ βούσταθμον, ἃ ἐν ἁπλότητι σταθμοὶ λέγονται. καὶ σταθμὰ δὲ κατὰ γένους μεταπλασμόν. καὶ ζωϊκὸν δὲ σηκὸν, ὡς οἷον στηκόν τινα. ἀφ᾽ οὗ καὶ ὁ ναὸς σηκὸς, περὶ ὃν δηλαδὴ ἱερεῖα ἵστανται.

Στατήρια, ἐμπλίκτρια.

Στατὺς, τὸ νόμισμα.

Σταυέριος, ὁ σκολιός.

Στάυηξ, ἱέραξ.

Σταυροτύπως, σταυροειδῶς.

Σταυροὶ, ὀρθὰ καὶ ἀπωξυμμένα ξύλα, τὰ καὶ σταυρὰ παρὰ τοῖς μὴ λαλοῦσιν ἀγενῶς. γίνονται δὲ παρὰ τὴν εἰς ἀέρα στάσιν, καὶ παρὰ τὸ εἰς ἀέρος ἵστασθαι. οἱ δὲ αὐτοὶ καὶ σκόλοπες λέγονται. ἀφ᾽ ὧν τὸ ἀνασκολοπίζεσθαι, καὶ ἀνασταυροῦσθαι.

Σταύρωσίς ἐστι Χριστοῦ, νέκρωσις τοῦ παλαιοῦ ἡμῶν ἀνθρώπου, καὶ λύσις τῆς ἡμῶν κατακρίσεως, καὶ ἐγκατάλειψις εἰς ζωὴν ἐπανάγουσα.

Στάφος, σκάφος, λεκάνη.

* Σταφυλὴ, φλεγμονὴ τοῦ κίονος, καθ᾽ ἣν, κατὰ τὸ ἄκρον, μείζων καὶ περιφερὴς γινόμενος, ὁμοιοῦται σταφυλῇ.

Σταφύλη, ὅπερ ἐστὶν ὄνομα παρὰ τοῖς ἀρχιτέκτοσιν ἐπὶ τῆς καθιεμένης μολίβδου τιθέμενον. Ὅμηρος, σταφύλῃ ἐπὶ νῶτον ἔχουσα.

Σταφυλὴ, ὁ βότρυς. σταφύλη δὲ ἡ ἐπικαθιεμένη. παρὰ τῶν τεκτόνων μόλυβδος.

Σταφυλίζειν, τὸ συνιάζειν τὰς ὤας τοῦ ἱματίου.

Σταφυλῖνος ἄγριος, ὃν ἔνιοι κέρας καλοῦσι, καὶ ζῶον ἡλίκον σφονδύλη.

Σταφύλῃ ἐπὶ νῶτον ἐΐσας, οὕτως ἴσας καὶ ἀναλόγους τοῖς νώτοις, ὥσπερ στάθμη. σταφύλη γὰρ ὁ τεκτονικὸς διαβήτης. οἱ δὲ τὴν στάθμην λέγουσιν. ἔστι δὲ ἡ στάθμη, σχοινίον λεπτὸν χριόμενον μίλτῳ ἢ μέλανι, ᾧ σημειούμενοι ἀπορθοῦσι τὰ ξύλα.

Σταφυλοβολεῖον. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους. ἐστι δὲ καλούμενον πατητήριον, ὡς Ἀνδροτίων, ἢ Φίλιππος ἐν τῷ γεωργικῷ.

Σταχάνη, ἡ τρυτάνη, Δωρικῶς παρὰ τὴν στάσιν.

Στάχυς, ἰατρικὸς ἐπίδεσμος, καὶ πόα τὶς καὶ τῆς σιτηρεσίας ἡ ἔκφυσις, καὶ παρὰ τοῖς ναυπηγοῖς, τὸ ἐπὶ τῆς φάλαγγος μετεωριζόμενον.

Στέαρ, τὸ τῶν κερασφόρων ὃ καὶ θρύπτεται ψυχθέν. πιμελὴ δὲ, ἐπὶ τῶν μὴ ἐχόντων κέρατα.

Στέαρ πυροῦ, ἡ σεμίδαλις. καὶ στέαρ, τὸ πεπηγμένον λίπος, παρὰ τὴν στάσιν, καὶ πῆξιν.

Στέαρ ἐστὶ νοητὸν, ἡ ἐκ τῆς κακίας τῷ ἡγεμονικῷ παχύτης ἐπισυμβαίνουσα.

Στέαρ ἡδυωτὸν, τὸ ἐν ἀρώμασί τε καὶ ὕδατι ἑψηθὲν, παρὰ τῷ Ἱπποκράτει.

* Στεάτωμά ἐστι παρὰ φύσιν πιμελῆς συναύξησις.

Στεγάζω, παρὰ τὸ στέγη. τοῦτο παρὰ τὸ στέγω, τὸ ὑπομένω.

Στεγανόμιον, δηλοῖ παρ᾽ ἡμῖν τὸν τόπον ἐν ᾧ ἑστιῶνται. παρ᾽ Ἀττικοῖς δὲ τὸν μισθὸν τοῦ πανδοχέως, καὶ τὸ ἐπικοκκάζειν ὕβρει, ἢ κατά τινας ἐπιμηκάζειν. ὅθεν παρ᾽ Ἀριστοφάνει, τὸ ἀοιδὸς ἐπιπικοκκάστρια. λέγει δὲ καὶ λαπίζειν παρὰ Σοφοκλεῖ, τὸ συρίζειν. καὶ βαυβᾶν, τὸ κοιμᾶσθαι. ἡ δὲ προυκαλεῖτό με βαυβᾶν μετ᾽ αὐτῆς.

Στεγανώματα, τὰ ἐν τοῖς τοίχοις, οἱ λεγόμενοι σύνδεσμοι.

Στεγανὸς, ὁ ἐστεγασμένος καὶ ἐσκεπασμένος, παρὰ τὴν στέγην. λέγεται δὲ στεγανὸν, καὶ τὸ στεγανώτερον. καὶ στεγανόποδες ὄρνιθες, οἱ ἐν ὕδασι διατρίβοντες, καὶ τοὺς πόδας ἔχοντες στεγανούς. ὡς αἱ μεταξὺ τῶν δακτύλων διαφυχωρίαι, δερμάτια εἰλημμένα εἰσί. καὶ στεγανώματα ἐν τοῖς τοίχοις, οἱ ἔνδεσμοι. τὸ δὲ στέγη, παρὰ τὴν συν πρόθεσιν, καὶ τὸ τέγγω τὸ βρέχω, ἡ ὑπὸ τῶν βροχῶν συντεγγομένη.

Στεγανώτερον, στερρώτερον. ὡς τὸ, τὸν στεγανὸν ἐμάλαττεν οὐρανόν.

Στεγανώτερον, σιωπηλότερον.

Στεγαστὴρ, τὸ θεῖόν πον ἕψημα.

Στέγει, βαστάζει, ὑποφέρει, ὑπομένει. καὶ στέγειν, τὸ συνέχειν. ὅθεν καὶ στέγη, ἡ περιέχουσα.

Στεγητὴν, τὴν πόρνην.

Στέγη, γαστήρ.

Στεγναὶ, στερεαὶ, ταπειναί.

Στέγω, τὸ καρτερῶ, καὶ βαστάζω, καὶ φέρω. στέγω σε, καὶ ἀνέχομαί σου, καὶ στέγω τὰ τοιαῦτα ἀκούειν, καὶ ἔτι ἀνέχομαι ἀκούων.

Στεῖζας, ἰμῆς.

Στέθματα, τὰ στέμματα.

Στεῖβον, ἀντὶ τοῦ ἐπάτουν, ἔτριβον τοῖς ποσίν. ὅθεν καὶ στίβος, ἡ ὁδὸς, ἢ καὶ τρίβος λέγεται. καὶ στιβὰς, ἡ στρωμνὴ ἡ καταπεπατημένη.

Στείβω, κυρίως τὸ καταπατῶ. ὡς τὸ στεῖβον δ᾽ ἐν βόθροισιν. ὅθεν ἡ στιβὰς, ἥτις ἐστὶν εὐτελὴς στρωμνή.

Στειδεὺς, ὁδευτής.

Στεῖλαι, ἐπιχειρῆσαι, παρὰ τῷ Ἱπποκράτει.

Στείλαντο παρ᾽ Ὁμήρῳ. στέλλεσθαι παρὰ μὲν τοῖς ὕστερον, καὶ ἐπὶ πορείας τίθεται. στέλλεται γοῦν τὶς ὁδόν τινα. στείλαντο δὲ ἱστία, ἀντὶ τοῦ συνέστειλαν εἴρηται. σημαίνει δὲ καί τινα κοσμιότητα τὸ στέλλειν, ὡς δηλοῖ ὁ στολμὸς, καὶ ὁ εὐσταλὴς, ἀπὸ τοῦ Ὁμηρικοῦ στέλλειν. καὶ περικαλύπτειν.

Στείλεαν, τὴν μακρὰν ῥάφανον. Ἀριστοφάνης ἐν κιθαρῳδῷ.

Στειλειὴ, ὀπὴ πελέκεως, εἰς ἣν ὀξύπονος ἐνείρεται, ἤγουν ἐμβάλλεται στελεὸς, ὃς οὐδετέρως λέγεται τὸ στελεόν. καὶ πλεονασμῷ διχρόνων, ὁ στειλειὸς, καὶ τὸ στειλειόν. ὅθεν καὶ ἡ στειλειὰ, δι᾽ ἧς στέλλεται τὸ δι᾽ οὗ, ἢ ἐμβαλλόμενον.

Στειλειὸν οὐδετέρως, τὸ ἐνιέμενον ξύλον εἰς τὴν θηλυκῶς λεγομένην στειλειὰν, ἤγουν εἰς τὴν ὀπὴν τοῦ σιδήρου.

Στείνομαι, ὀδυνῶμαι, στένω.

Στεινὸν, λεπτὸν, στενόχωρον.

Στεινὸς, ὁ στενὸς ποιητικῶς. καὶ στεῖρα, ἡ μὴ δυναμένη συλλαβεῖν ἐν γαστρί. καὶ στειλειὸς, τὸ τῆς ἀξίνης ξύλον.

Στεῖνος ἐν τῷ μ τῆς Ἰλιάδος, τὸ μεταξὺ τῆς τάφρου καὶ τοῦ τείχους, βαρυνόμενον κανόνι τοιούτῳ. τὰ εἰς ος οὐδέτερα βαρύνεται, νάπος, νέμος, κλῖτος τεῖχος. οὕτως οὖν καὶ στεῖνος.

Στείνω, τὸ στενάζω. στεῖνος εἰώθασι λέγειν, τὴν στενὴν ὁδόν. λέγει δὲ τὴν ὑπὸ πολλοῦ πλήθους στενοχωρίαν.

Στεινωπὸς κυρίως, ἔνθα οὐκ ἔχουσι διαπετάννυσθαι εἰς θέαν, ἀλλ᾽ ἀποστενοῦνται οἱ ὦπες. ἰστέον δὲ, ὅτι τε τῷ στεινωπὸς ἐναντίον ἐστὶ τὸ εὐρωπός. καὶ ὅτι ὡς ἐπὶ πολὺ στενωπὸς ἐλλειπτικῶς λέγεται, κατὰ στέρησιν τοῦ ὁδὸς, ἢ ῥύμη, ἢ τόπος.

Στείομεν, πρωτότυπον τὸ στέομεν.

Στειπτὸν, τὸ βάσιμον. ἀπὸ τοῦ στείβω, τὸ περιπατῶ.

Στεῖρα, ἡ στερουμένη τοῦ τίκτειν, ἢ ἡ τοῦ κυῆσαι στάσιν ἔχουσα. καὶ τὸ ἐξέχον τῆς πρώρας ξύλον κατὰ τὴν τρόπιν.

Στεῖρα βοῦς θύεται τοῖς κάτω οἰκείως, διὰ τὸ ἄγονον. οὕτω δὲ καὶ ὄϊς οὐχ ἁπλῶς μέλας, ἀλλὰ καὶ πάνυ μέλας διὰ τὸ σκοτεινὸν τῶν ἐν ᾅδου.

Στεῖραν, τὴν τρόπιν λέγει Ὅμηρος. ἀπὸ τοῦ στερὸν, πλεονασμῷ τοῦ ι. ἐντεῦθεν δὲ καὶ τὸ στεῖρα βοῦς, ἡ γυνή.

Στειριεῖς, δῆμος φυλῆς τῆς Πανδιονίδος.

Στείρωμα, τρόπις.

Στείχω, καὶ διαστείχω, τὸ διέρχομαι. Εὐριπίδης, ποίαν ἢ ταύταν ἢ κείναν στείχω, ἤγουν ὁδόν. καὶ στείχειν, καὶ ἀναστείχειν πρὸς οὐρανὸν ἥλιος λέγεται, διὰ τὴν κατὰ στοῖχον ὅ ἐστι τάξιν πορείαν αὐτοῦ. ὅθεν καὶ στοιχεῖον τῶν τις μεγάλων ἡμετέρων σοφῶν λέγει αὐτόν.

Στείω, ποιητικὸν, ἀπὸ τοῦ στῶ ἵσταμαι κοινὸν στείω, τὸ τρίτον τῶν πληθυντικῶν στείομεν. καὶ στεύομεν, ὡς δεύομαι. τὸ δέομαι, ἀντὶ τοῦ ὑφίσταμαι, ἤγουν ὑπισχνοῦμαι, ἀφ᾽ οὗ τὸ στεῦμαι κατὰ συγκοπήν. καὶ τὸ στεῦτο, ἐπὶ τοῦ παρατατικοῦ, εἰ καὶ ἐπὶ σημασίας ἀορίστου λαμβάνεται.

Στελεγγιδοποιὸς, ὁ χαλκεύων, καὶ ποιῶν τὰς στελεγγίδας. ἄλλοι, στελεγγιδοποιὸς, ἢ στελεγγὶς τὸ κτένιον.

Στελγίσματα, ἀποξύσματα. στελγίδες γὰρ, αἱ ξύστραι, αἱ τοῦ σώματος τὰς πληγὰς ἀποξύουσαι, κἂν πρὸς τὸ γυμνάζεσθαι, καὶ προπαλαίειν δέῃ τὴν στελγίδα.

Στέλγη, ξύστρα.

Στελεὸν οὐδετέρως, τὸ τοῦ πελέκυος ξύλον.

Στελεὸς καὶ στελειὸς, τὸ ἀξινοκράτημα. * καὶ ἡ ὀπὴ τοῦ πελέκεως εἰς ἣν ἐντίθεται τὸ ξύλον.

Στε-

Digitized by Google

Στελέχη, οἱ κλάδοι. καὶ στέλεχος, ὁ κορμὸς τοῦ δένδρου.

Στελεχία, πρέμνα.

Στελὶς, ὡς ἐν τῷ περὶ φυτῶν, τὴν ἰξίαν ὑπὸ Εὐβοέων.

Στελλάνδρα, ἡ κόρη.

Στέλμα, σῶσμα.

Στέλλεσθε. Ὅμηρος, ἄλλοι στέλλεσθε κατὰ στρατόν. τουτέστιν ἐπεὶ ἐγὼ μενῶ, ὑμεῖς διευτρεπίζεσθε εἰς ἀγῶνα, καὶ ὡς εἰπεῖν κοσμήθητε. τοιοῦτο γάρ τι τὸ στέλλεσθαι, καὶ τὰ ἐξ αὐτοῦ. ὁ στόλος, καὶ ὁ στολμὸς, ἡ στολή.

Στελλόμενοι, ἀντὶ τοῦ περιστελλόμενοι, καὶ ἀσφαλιζόμενοι.

Στέλλω, τὸ διευτρεπίζω, καὶ κοσμῶ. στέλλομαι δὲ ἐπὶ θαλάττης, τὸ πορεύομαι, ἤγουν ἐστειλάμην τὸν δὲ τὸν πλοῦν. ἀποστέλλομαι δὲ ὑφ' ἑτέρου, ἀντὶ τοῦ πέμπομαι, οἷον πορεύσομαι, οἷ ἀπεστάλην. στέλλω καὶ ἀποστέλλω σοι τὸν ὑπηρέτην. ἀναστέλλω σε δὲ τῆς ὁρμῆς, ὡς τὸ κωλύω. καὶ διαστέλλω τόδε τοῦδε, ἀντὶ τοῦ διαχωρίζω, συστέλλω καὶ καταστέλλω καὶ περιστέλλω, καὶ παθητικῶς μεταστέλλομαι, αἰτιατικῇ μόνῃ.

Στέλλω, ἔστελλον, ἔσταλκα, ἐστάλκειν, ἔστειλα, ἔσταλον, στελῶ σταλῶ. κανών ἐστι λέγων, ὅτι καθόλου εἰ ὁ παρατατικὸς ἀπὸ μακρᾶς ἄρχεται φύσει ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἄρχονται καὶ οἱ λοιποὶ παρῳχημένοι. οἷον φθείρω, ἔφθειρον, ἔφθαρκα, ἐφθάρκειν, ἔφθειρα, ἔφθαρον, φθερῶ, φθαρῶ. ἐλεέω, ἠλέουν, ἠλέηκα, ἠλεήκειν, ἠλέησα. ἔστειλαν, ἀντὶ τοῦ συνέστειλαν. στέλλουσιν ἱστία οἱ ἐρέται, ἤγουν συστέλλουσι.

Στέλμα, στέφος, στέμμα.

Στελμόνια, ζώματα.

Στελύπην, ἀσφόδελον.

Στεμβάζειν, λοιδορεῖν, χλευάζειν.

Στέμμα, τὸ προσειλημμένον ἔριον τῷ θαλλῷ, καὶ στεφάνωμα.

Στεμματιαῖον, δίκηλόν τι ἐν ἑορτῇ, πομπέων δαίμονος.

Στέμφυλα κυρίως λέγεται, τὰ ἀποπιέσματα τῶν ἐλαιῶν. περιπίσματα δὲ, τὰ ἐκ τῶν σταφυλῶν ἀποπιεζόμενα. εὑρίσκεται δὲ καὶ ἀνάπαλιν τὰ στέμφυλα, ἐπὶ τῶν σταφυλῶν. καὶ τὰ περιπίσματα, ἐπὶ τῶν ἀμπελῶν.

Στεναγὴν, πεπυκνωμένην.

Στεναγμὸς, παρὰ τὸ στενάζω. τοῦτο παρὰ τὸ στενάχω, τοῦτο παρὰ τὸ στένω.

Στενάζειν, λυπεῖν. τινὲς δὲ πατάξαι τὸ ἱερὸν ὀστοῦν. ἄλλοι παίειν, ἁπλῶς. οἱ δὲ, καταμανθάνειν τὰ στήθη.

Στενάξαι, τινὲς πλῆξαι, καὶ παῖσαι. οἱ δὲ στένιον, τὸ στῆθος.

Στεναχῆλαι, δαμάζεσθαι.

Στενάχω, καὶ στοναχῶ, τὸ αὐτό. εἰσὶ δὲ καὶ ἀμφότερα ποιητικά.

Στένεται, καὶ παραστένεται, θυμοῦται, περιττῶς, καὶ πέραν τοῦ δέοντος ὀργίζεται.

Στενολεσχεῖ, λεπτολογεῖ.

Στενοπόρος, στενὴ ὁδός.

Στενυγρῶσαι, στεγνῶσαι. τινὲς δὲ τὸ συναγαγεῖν τῶν ὑγρῶν τὰς διεξόδους, καὶ ξηράναι, παρὰ τῷ Ἱπποκράτει.

Στένυτρον, δυσπωδέστερον, καὶ συριγγῶδες.

Στένω, καὶ ἀναστένω, παρὰ τοῖς Ἀττικοῖς, τὸ αὐτό. ὥσπερ τὸ μένω, καὶ ἀναμένω ταυτόν.

Στένω, κοινὸν, καὶ στενάζω. στενάχω δὲ ποιητικὸν, καὶ στεναχίζω. καὶ στεναχέω στεναχῶ, ἀπὸ τοῦ στενῶ, στόνος Ποιητικόν. καὶ στονόεις, καὶ στονόεσσα. ἀπὸ τοῦ στενάζω, στεναγμὸς κοινὸν, ἀπὸ τοῦ στενάχω στοναχὴ παρὰ Ποιηταῖς. στενάζω, τὸ στεναγμὸν ἀποπέμπω. στενάζω δὲ τὸν τεθνηκότα, μεταβατικῶς αἰτιατικῇ.

Στενωπὸς, ἡ ἀγυιὰ, καὶ πλατεῖα, καὶ ἄμφοδος.

Στεντόρειος, λόγος ὁ φωνητικός.

Στέντορος, μεγαλοφωνίαν σημαίνει. φασὶ δὲ αὐτὸν τινὲς μὲν ἀρκάδα, τινὲς δὲ θρᾶκα εἶναι. Ἑρμεῖ δὲ περὶ μεγαλοφωνίας ἐρίσαντα ἀναιρεθῆναι. εὑρεῖν δὲ αὐτὸν λέγουσι καὶ τὴν ἐκ κόχλου βαφήν. ἢ μᾶλλον τὴν διὰ κόχλου βοὴν, ἐν ταῖς μάχαις.

Στεπτήρια, στέμματα, ἃ οἱ οἰκέται ἐκ τῶν κλάδων ἐξῆπτον.

Στεργάνος, κόπρος.

Στέργηθρον, φίλτρον, καὶ πόα τις.

Στέργω, τὸ ἀγαπῶ, αἰτιατικῇ. στέργω δὲ τὸ ἐμμένω, καὶ πρόσκειμαι, καὶ ἀρκοῦμαι, δοτικῇ. στέργω κυρίως ἐπὶ τοῦ φυσικοῦ φίλτρου, καὶ μὴ ῥαδίως καταλυομένου. ἀφ' οὗ στοργὴ, καὶ φιλοστοργία, ἐπὶ πατέρων, καὶ μητέρων, καὶ παίδων.

Στερεαὶ, τινὲς τῶν δικαστικῶν ψήφων. ἄλλοι δὲ, ἀστέρας.

Στερέμνιον, ἰσχυρὸν, δυνατόν.

Στερεὸς, τὸ στεῤῥὸς τοῦ στερεός ἐστι συγκοπὴ στερὸς, καὶ πλεονασμῷ τοῦ ρ στεῤῥός. ἐμοὶ δὲ δοκεῖ μᾶλλον τὸ στερεὸς ἀπὸ τοῦ στεῤῥὸς εἶναι, κατὰ πλεονασμὸν τοῦ ε. τὰ γὰρ εἰς ναι ἀπαρέμφατα, ποιεῖ εἰς ρος ὄνομα ἰσοσύλλαβον, οἷον μιῆναι μιαρὸς, διῆναι διερὸς, ῥυπῶσαι ῥυπαρὸς σπαθῆναι σπαθηρὸς, στῆναι στηρὸς, καὶ πλεονασμῷ τοῦ ρ στεῤῥὸς, καὶ τοῦ ε πάλιν στερεός.

Στέρεσθαι, καὶ στερεῖσθαι, ὡς ξύρεσθαι καὶ ξυρεῖσθαι λέγομεν.

Στερέσθαι, καὶ στερίσκειν, τὸ ἀποστερεῖν.

Στερέσω, ἀντὶ τοῦ στερήσω κοινῶς λέγεται. ὁμοίως τῷ ποθέσω καὶ ποθήσω.

Στέρησις, ἀποστέρησις, ἁρπαγή.

Στερηθέμεν, στερηθῆναι.

Στερηφουμένη, παρθενευομένη.

Στερίφοις, ἀνισχύροις, ἀγόνοις, στείροις.

Στερίσκω, νοσφίζω, χηρῶ, ἀποστερῶ.

Στερίφη, ἄγονος, στεῖρα, μὴ τεκοῦσα, μὴ δὲ τίκτουσα.

* Στέρνα χθονὸς, καὶ νῶτα χθονὸς, τὰ πεδιώδη καὶ εὐρέα. καθάπερ αὖ πάλιν αὐχένας, τὰ στενά. Σοφοκλῆς. στερνοῦχου χθονὸς, ἀντὶ τοῦ γῆς ἐπιπέδου.

Στερναία, ὁδὸς ἡ ἱπποχοοῦντις, ἡ πολεμία καὶ στερητικὴ τῶν πάντων.

Στέρνιξ, ἐνστερνιώνη.

Στερνόμαντις, ὁ ἐγγαστρίμυθος πύθων.

Στερνοτυπόμενοι, εἰς τὰ στήθη καμπτόμενοι.

Στέρνον, τὸ στῆθος, ἀπὸ τοῦ στεῤῥὸν εἶναι. ἔνθεν ἡ μὴ τίκτουσα, στεῖρα λέγεται. καὶ στεῖρα, ἡ τρόπις.

Στέρξις ἐστὶ, τήρησις εὐνοίας, ἢ ἀγαπήσεως.

Στεροπὴ, καὶ ἀστραπή. καὶ ἀστεροπὴ, τὸ αὐτό ἐστιν. ἀλλὰ τὸ μὲν στεροπὴ, ἀπὸ τοῦ στερίσκειν ὀπὸς καὶ φωνῆς, διὰ τὸ πολλοὺς γίνεσθαι ἐμπλήκτους, καὶ ἐμβροντήτους, ἀπὸ τῶν ἀστραπῶν. ἀστεροπὴ δὲ ἀπὸ τοῦ ὀπτεσθαι, καὶ βλέπεσθαι, ὡς ἀστήρ. ἀστραπὴ δὲ, ἀπὸ τοῦ ὡς ἀστέρας ἰάπτειν καὶ πέμπειν.

Στέριφον, παρὰ τὸ στεῤῥὸν τὸν νοῦν εἶναι ἐν αὐτῷ. ἐκεῖ γὰρ ἡ καρδία καὶ τὸ ζωτικὸν, ὅθεν ὁ νοῦς τὰς δυνάμεις ἀρύεται.

Στεῤῥὸν, ἰσχυρὸν, ἀσφαλὲς, βέβαιον.

Στέρφνιον, σκληρὸν, στερεόν.

Στερφοπέπλου παρὰ Λυκόφρονι, τοῦ λεοντῆν ἐνδεδυμένου. στέρφος γὰρ, τὸ λέοντος δέρμα. καὶ στέρφεσιν, αἰγείοις δέρμασιν. ἔνθεν καὶ στερφῶσαι. Ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε, τὸν ἔχοντα δέρματα. ὅθεν καὶ παρ' Αἰσχύλῳ ἀξιοῦσι γράφειν μελανοστέρφων γένος, οὐχ ὥς τινες μελανοστέρνων. οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. ὅθεν καὶ τὸ κεράμιον στέρφος λέγεται.

Στερχανά, περίδειπνον. Ἠλεῖοι.

Στέρψανον, ἀξίνη, πέλεκυς.

Στέρω, Ἀττικόν. στερῶ, κοινόν. τὸ δὲ στερίσκω, ποιητικόν. ὅμως παρὰ τῷ Συνεσίῳ εὑρίσκεται. οἷον ἄρα οὕτως στερίσκεται. καὶ ὥσπερ στέρομαι ἐνίοτε γενικῇ, ἐνίοτε δὲ αἰτιατικῇ συντάσσεται, ὁμοίως στεροῦμαι. ἀλλὰ τὸ στέρω βαρύτονον, οὐ συντίθεται μετὰ προθέσεως. τὸ περισπώμενον δὲ συντίθεται μετὰ προθέσεως, ὡς στερῶ, καὶ ἀποστερῶ σε τὰ χρήματα, ἢ τῶν χρημάτων.

Στεῦται, διαβεβαιοῦται, ὑπισχνεῖται. παρὰ τὸ στεύω στεύομαι, στεύῃ στεύεται, στεῦται κατὰ συγκοπήν. γίνεται ἀπὸ τοῦ στέω στεύω κατὰ τὸ χέω χεύω. ἀφ' οὗ παθητικὸν στεύεται, καὶ ἐν συγκοπῇ στεῦται. στέω δὲ κυρίως, τὸ ὑφίσταμαι, ὑπομένω ἀσφαλῶς, κίονος δίκην.

Στεῦτο παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἵστατο, χρησαμένου φασὶ τοῦ διασκευαστοῦ τῇ λέξει, παρὰ τὴν συνήθειαν τοῦ Ποιητοῦ, παρ' ᾧ κεῖται τὸ στέωμεν. ὅθεν ὡς εἰκὸς στέετο, καὶ πλεονασμῷ στεύετο, καὶ συγκοπῇ στεῦτο. Ἄλλως.

Στεῦτο ἐνίοτε κεῖται ἐπὶ ὑποσχέσεως, ὡς ἐν τῷ στεῦται γάρ τι ἔπος ἐρέειν Ἕκτωρ. ἀντὶ γὰρ τοῦ ὑπισχνεῖσθαι, δηλοῖ καὶ ὑφίστασθαι, καὶ ἐνίστασθαι, καὶ ἐνστατικῶς λέγειν, παρ' Ὁμήρῳ. γίνεται δὲ παρὰ τὸ στέω, οἷον στέωμεν καὶ ἐλεγξώμεθα, καὶ πλεονασμῷ τοῦ υ στεύω, ἐξ οὗ στεύετο, καὶ ἐν συγκοπῇ στεῦτο.

Στεφάνη, περικεφαλαίας εἶδος, καὶ κόσμον γυναικεῖον δηλοῖ. τίθεται δὲ καὶ ἐπὶ ἐξοχῆς ὄρους, ὡς ἐν τῷ, ὃν κατὰ στεφάνης ποταμὸς χείμαῤῥος ὤσει. καὶ στεφάναι δὲ πύργων, παρὰ τοῖς Ῥήτορσι λέγονται, οἷον στέφανον κεκάρσαι πύργων. διὸ πρὸς διαστολὴν Στεφάνης εὐχάλκου ὁ Ποιητής φησι.

Στεφάνην, ἢ τὴν τοῦ ὄρους ἐξοχήν φησιν Ὅμηρος ἐν τῷ ν' τῆς Ἰλιάδος, ἢ κατά τινας τὴν πλατύτητα, ὅθεν καὶ ἡ κοινὴ φράσις Στεφανίαν τινὰ πέτραν καλεῖ, σημαίνει καὶ εἶδος κοσκίνου, ὡς παρὰ Ἀριστοφάνει εἴρηται.

Στεφανίτης, ἀπὸ τοῦ Στέφανος, τοῦτο παρὰ τὸ στέφω. στεφανίτην δὲ λέγουσιν Ἀττικοὶ τὸν ἀγῶνα, ἐφ' ᾧ στέφεται ὁ νικῶν. Χοιροβοσκός. Στεφανίων, εἶδος κολοιοῦ.

Στέφανον καλάμου, προέκρινεν Ἀριστοφάνης ἐν ταῖς νεφέλαις, ὡς ἁπλούστερον ὄντα, καὶ ἀπερίεργον. ἢ ὅτι αὐτῷ στέφονται οἱ Διόσκουροι. λιτὸς γὰρ καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ.

Στεφανῶ, ταινιῶ, ἀναδῶ.

Στέφος, ὁ στέφανος.

Στέφω, τὸ κοσμῶ. καὶ περιστρέφειν, ἐπὶ τοῦ κυκλοτεροῦς κόσμου. ὅθεν στέφος, καὶ στέμμα, καὶ στεφηφόρος, καὶ στέφανος, καὶ στεφανίτης, ὁ στεφανωμένος. καὶ στεφανοῦν, τὸ στεφάνῳ τιμᾶν. καὶ παρὰ Δημοσθένει, στεφανῶ τοὺς νικῶντας, ἀντὶ τοῦ ἁπλῶς τιμῶν. συντάσσεται δὲ τὸ στέφω αἰτιατικῇ καὶ δοτικῇ. οἷον στέψον τὴν κελέβαν, ἀντὶ τοῦ στεφάνωσον τὴν κελέβην, ἤγουν ξύλινον ποτήριον παρὰ Θεοκρίτῳ, στέφω τὴν κεφαλὴν τῷ διαδήματι. στέψαι, καὶ τὸ πληρῶσαι. ὡς Ὅμηρος, κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.

Στεφανῶ στεφάνῳ τοὺς νικῶντας, Ἀττικῶς λέγεται. στεφανοῦται, κοτίνῳ στεφάνῳ. καὶ στεφανωσάμενος καλάμῳ λευκῷ.

Στῇ, παρέστη, ἔστη.

Στῆ, ψῆφος. οἱ δὲ, στηνὰς. δηλοῖ δὲ καὶ στενοχωρίαν καὶ λιθοκοπίαν.

Στηβύασιν, ἀδολεσχεῖν.

Στηδὸν, γλαυκόν.

Στῶν, ἵστημι, παρατατικὸς ἵστην, ἀόριστος ἔστην, μετοχὴ στὰς στάντος. τὸ ὑποτακτικὸν, ἐὰν στῶ στῇς στῇ, καὶ προσθήκῃ τοῦ η ἐὰν στήῃ.

Στήθεσι λασίοισι, πεπυκνωμένοις λογισμῷ καὶ εὐψυχίᾳ.

Στηθήνιον, μέρος τι στήθους, καὶ τὸ ὑποχορηστικόν.

Στηθίας, ὄρνις ποιός.

Στῆθος, παρὰ τὸ ἑστηκέναι. διότι ἕστηκεν ἀσάλευτον, ἢ ὅτι ἐν αὐτῷ τὸ ἡγεμονικὸν ἕστηκεν, ἢ ὅτι δι' αὐτοῦ τὰ σιτία διωθεῖται.

Στῆθος, καὶ τὸ στηθάνιον. τὸ μέσον τοῦ στήθους. καὶ στήλη, κυβοειδὴς λίθος, ἐπίγραμμά τινα ἔχων. καὶ ἀπὸ ταύτης στηλιτεύειν, ἰδίως ἐπὶ κατηγορίας. καὶ στηλιτευτικοὶ λόγοι. καὶ ἀναστηλοῦν, τὸ ἀνιστᾶν, ἐν τῷ φανερῷ τιθέναι. καὶ στηρίζει ὁ Ἥλιος, ἀμεταβάτως. καὶ στηρίζω τινὰ μεταβατικῶς. καὶ Στησίχορος κύριον. καὶ στῆσαι, τὸ παῦσαι τῆς ὁρμῆς. καὶ τὸ ζυγοστατῆσαι. ὡς παρ' Ὁμήρῳ, Τρώων ἀνδ' ἑκατόν τε διηκοσίων τε, ἕκαστος στήσεσθαι ἐν πολέ-

Digitized by Google

σταθμῷ, ἔγεν ἀντίσταθμοι, καὶ ἰσοβαρεῖς ἑκατὸν καὶ διακοσίων ἕκαστος ὑπῆρχε, ἐν τῷ πολέμῳ γενέσθαι.

Στήθεα δ' ἱμερόεντα παρ' Ὁμήρῳ, συνεκδοχὴ, ἀπὸ τῶν πολλῶν ἓν σημαίνοντα. τουτέστι, τὸ στῆθος.

Στήθεσφι, ἀντὶ τοῦ περὶ τὰ στήθεα, κατὰ προσχηματισμὸν τῆς φι συλλαβῆς. Ὅμηρος Ἰλιάδος β', ἱδρώσει μέν τευ τελαμὼν, ἀμφὶ στήθεσφι.

Στηθοειδεῖ μαχαιρίῳ, τῷ σμιλίῳ φησὶν Ἱπποκράτης.

Στῆλαι δὲ προβλῆτες παρ' Ὁμήρῳ, ἃς καὶ ἔχματα πύργων εἶπε, τὰ ἐξέχοντα τῶν θεμελίων, ἢ αὐτοὶ οἱ θεμέλιοι, ἐφ' ὧν τὸ τεῖχος ἵσταται. φησὶ γὰρ ἃς Ἀχαιοὶ πρώτας ἐν γαίῃ θέσαν. ἕτεροι δέ φασι στήλας προβλῆτας, τὰς λεγομένας ἀντηρίδας.

Στῆλαι, ἐλέγοντο τὰ ἀγάλματα, καὶ εἰκόνες, ἀνδριάντες δὲ, οἱ ἐκ χαλκοῦ γενόμενοι τύποι τινῶν. κύρβεις δὲ, τετράγωνά τινα ὑψοῦ ἱστάμενα. ἐν οἷς τοὺς νόμους ἔγραφον. ἀπὸ δὲ τοῦ στήλη γίνεται στηλιτεύω, τὸ ὑβρίζω. ἰδίως δὲ ἐπὶ κατηγορίας λέγεται. ὅθεν στηλιτευτικοὶ λόγοι, οἱ ὑβριστικοί.

Στήλη, παρὰ τὸ στῶ στήσω. σημαίνει δὲ τὸν ἐν τῇ κεφαλῇ κείμενον τοῦ τεθνεῶτος λίθον, ἐξ οὗ καὶ στηλίτης. καὶ στηλιτεύω, τὸ θριαμβεύω, ὡς πολίτης πολιτεύω. παρὰ τὸ στῶ στήσω γίνεται καὶ στήμων. τὸ δὲ στῶ, σημαίνει τὸ ὑπομένω.

Στήληκα, τὴν νύσσαν.

Στηλίδια, οἱ τεθειμένοι ὅροι.

Στηλίτας, οὕτως ἐκάλουν Ἀττικοί. οἵ τινες ἐπ' αἰτίᾳ τινὰς ἐστηλογράφησαν.

Στηλιτευθείσης, φανερωθείσης, δημοσιευθείσης.

Στηλιτεύοιντο, καταβάλλοιντο.

Στῆλοι, οἱ λίθοι τοῦ τείχους, οἱ προεστῶτες κάτωθεν, πρὸς ἀντέρεισμα, καὶ θεμέλιοι.

Στῆμα, ἐν ναυτικοῖς ὀνόμασιν ἀναγέγραπται, καὶ ἐπὶ φυτοῦ τίθεται. καὶ τὰ ὅμοια.

Στημπίον, ὃ ὑμεῖς κατάστημον, ἢ πολύστημον.

Στημονίας κικίννους, τοὺς στήμοσιν ὁμοίους.

Στήμων, τὸ στημόνιον, παρὰ τὸ στῶ στήσω στήμων, ὡς φιλῶ φιλήσω φιλήμων.

Στημονίζω, λεπτύνω.

Στηνῶσαι, χαλεπῶς, ἢ σκληρῶς ἔχειν.

Στηνία, ἑορτὴ Ἀθήνησιν. ἐν ᾗ διασκώπτουσι καὶ λοιδοροῦσι.

Στηνίον, στῆθος.

Στηνιῶσαι, βλασφημῆσαι, λοιδορῆσαι.

Στῆραι, τὰ λίθινα πρόθυρα.

Στήριγγες, ἐρείσματα. οἱ δὲ, τὸ δίκρουν ὅπερ ὑποτιθέασι τῷ τῆς ἁμάξης ζυγῷ. οἱ δὲ βάκτρον.

Στηρανταχομένη, τὰς χεῖρας ὑπὸ τὸ πρόσωπον ἀνατείνασα.

Στηριγμένον, ἱστάμενον.

Στηρίζω τινὰ, μεταβατικῶς.

Στηρίξαι, στῆσαι, ἐνερεῖσαι, ἁρμόσαι, ἐγγίσαι, κρύψαι.

Στῆσαι, καθίσαι, κληρῶσαι.

Στήσασα μύλην, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἤγουν παύσασα τοῦ ἀλήθειν.

Στῆσαι, τὸ παῦσαι τῆς ὁρμῆς.

Στήσασθαι, τὸ δανείσασθαι οὕτως ἔλεγον. ἐπὶ σταθμῷ γὰρ πάλαι ἐδάνειζον. καὶ στάσιμον, τὸ δεδανεισμένον.

Στησίφυλλον, τηλέφυλλον τὸ φυτόν.

Στῆτα, γυνή.

Στητῶδες, στεατῶδες, παρὰ τῷ Ἱπποκράτει.

Στιάζει, λίθοις βάλλει.

Στῖαι. αἱ ψῆφοι παρὰ Σικυωνίοις καλοῦνται. ἡ ἐσχάρα οὖν καὶ ὁ βωμὸς, ἐκ ψήφων κατεσκεύαστο. Καλλίμαχος, πολυστίοντι μέτωπον.

Στιβαρὸν, τὸ πυκνὸν, καὶ στερεόν.

Στιβαρὸν, τὸ συνεσφιγμένον καὶ στερρόν. καὶ στιβὰς στιβάδος, ἡ ἐκ χόρτων στρωμνὴ, ἔτι τούτων.

Στιβὰς, καταπεπιλημένη στρωμνή. γίνεται δὲ παρὰ τὸ στείβειν, ὃ σημαίνει τὸ καταπατεῖν. ὡς δηλοῖ καὶ ἡ παρὰ τῷ Σοφοκλεῖ στιπτὴ φυλλάς. πυκνὸν δὲ λέγεται τὸ ἄγαν στιβόμενον.

Στιβὰς, ἀπὸ ῥάβδων καὶ χλωρῶν χόρτων στρῶσις, καὶ φύλλων. ἢ χαμαικοίτη.

Στιβδὸς, μαστιγίας, δραπέτης.

Στιβεύειν, ἰχνεύειν, πατεῖν, πορεύεσθαι. καὶ στείβειν ὁμοίως.

Στίβη, ἡ ἑωθινὴ πάχνη. παρὰ τὸ στείβω, τὸ καταπατῶ, καὶ πυκνοποιῶ. ὅθεν καὶ στίβη, ἡ ἐν τῷ καταπατεῖσθαι πυκνουμένη ὁδὸς, πυκνοῦται γὰρ καὶ ἡ δρόσος παχνουμένη. ἕρση μετὰ δασέος πνεύματος, Ἀττικῶς ἡ δρόσος.

Στίβη, ἀράχνη, καὶ χρῶμα μεταλλικὸν μέλαν. καὶ στίβη, ἡ βοτάνη.

Στιβιᾶν, ῥιγοῦν.

Στιβίζουσι, στιβάζουσι, δραπετεύουσι. καὶ στιβᾶν, ἐπὶ τοῦ πατεῖν. καὶ στίβειν, τὸ ἰχνεύειν.

Στίβοντες, πατοῦντες.

Στίβος, ἡ ὁδός. ἀπὸ τοῦ στίβω, τὸ περιπατῶ. καὶ ἡ τοῦ ἴχνους ζήτησις.

Στίγματα, αἱ πληγαὶ, ἢ ποικίλματα.

Στιγματίας, ὁ οἰκέτης. ὡς στιζόμενος καὶ μαστιζόμενος, οἷα Ἀχαρήσιμος.

Στιγμὴ, διανοίας ἀπηρτισμένης σημεῖον. γίνεται δὲ παρὰ τὸ στίζω στίξω στιγμή. ἵστησι γὰρ τὴν φωνήν. τὸ δὲ ἀπηρτισμένης, ἀντὶ τοῦ πεπληρωμένης. στιγμαὶ δέ εἰσι τρεῖς, τελεία, μέση, καὶ ὑποστιγμή. καὶ τελεία ἐστὶ, σημεῖον διανοίας ἀπηρτισμένης. μέση δὲ, σημεῖον, πνεύματος ἕνεκεν παραλαμβανόμενον, τουτέστι, χάριν ἀναπνοίας. ὑποστιγμὴ δέ ἐστι, σημεῖον διανοίας μηδέπω ἀπηρτισμένης, ἀλλ' ἔτι ἐνδεούσης. διαφέρει δὲ στιγμὴ ὑποστιγμῆς, χρόνῳ. ἐν μὲν γὰρ τῇ στιγμῇ, πολὺ τὸ διάστημα. ἐν δὲ τῇ ὑποστιγμῇ, παντελῶς ὀλίγον. στιγμαὶ δὲ κατὰ Νικάνορα, ὀκτώ. τελεία, ὑποτελεία, ἀτελὴς, ἄνω πρώτη, ἄνω δευτέρα, ἀνυπόκριτος, ἐνυπόκριτος, ὑποδιαστολή. διαφέρει δὲ στιγμὴ τῆς ὑποδιαστολῆς. ὅτι ἡ μὲν στιγμὴ τὴν φωνὴν διΐστησιν. ἡ δὲ ὑποδιαστολὴ, ἅμα τῇ φωνῇ, καὶ τὴν διάνοιαν. εἴρηται δὲ παρὰ τὸ στίζω στιγὴ, καὶ πλεονασμῷ τοῦ μ στιγμή. ἔτι ἐπάνω τοῦ ι καὶ τοῦ υ, εἰώθασι γράφεσθαι δύο στιγμαὶ, ἡγουμένου ἢ ἑπομένου φωνήεντος. οὐκ ἐν διφθόγγῳ δὲ, ὡς ἐν τῷ Ἰάκωβος, ἀΐδιος, υἱὸς καὶ ἐν τοῖς ὁμοίοις, οὕτως καὶ οἱ Λατῖνοι, ἐπὶ τοῦ ι ἐπιγράφουσι σημεῖον. ὅμοιόν πως τῇ ὀξείᾳ, προηγουμένου ἢ ἑπομένου φωνήεντος ὅπως ἂν διαγνωσθῇ καὶ διακριθῇ ἀπ' αὐτῶν. ὅτι τὸ ι οὐ μεθέρχεταί ποτε εἰς δύναμιν τοῦ συμφώνου, ὥσπερ παρὰ τοῖς Λατίνοις μετέρχεται. καὶ δῆλον τοῦτο, ἐν τῷδε τῷ ὀνόματι Ἰωάννης, ὅπερ ἑλληνιστὶ ἐκφερόμενον τετρασύλλαβον ὑπάρχει. λατινιστὶ δὲ τρισύλλαβον. κανονίζουσι γὰρ αὐτὸ λέγοντες, ι καὶ υ τιθέμενα ἐν τῇ ἀρχῇ τῆς συλλαβῆς ἑπομένου φωνήεντος, ἀντὶ συμφώνου λαμβάνεται.

Στιγνοῖν, τὸ χωρίον.

Στιγών, μαστιγίας.

Στίδιον, κόκκος ῥοιᾶς.

Στιδεὺς, ὁ δᾳδοῦς.

Στίζεται, μαστίζεται.

Στίζω, κεντῶ. ἐξ οὗ στιγμὴ, καὶ στικτὸν, καὶ καταστικτόν. καὶ στικτὸν, τὸ λαμπρὸν, καὶ ἔτι ἐπὶ στιγμῆς. καὶ ἀπὸ τούτου στίζω τὸ κεντῶ. καὶ στικτὸν, τὸ κοινῶς κεντητὸν, καὶ τὸ ποικίλον, ὡς τὸ δέρμα τῆς παρδάλεως.

Στικτέος, καρτερικός. ἀπὸ τοῦ στίζω, τὸ μαστίζω.

Στιλβῶσαι, ἀστράψαι.

Στίλβω, λάμπω. καὶ τὸ στιλβηδόνα πέμπω. στίλβω δὲ τὸ ξίφος μεταβατικῶς, αἰτιατικῇ. καὶ στίλβει τι ὁ χρυσὸς, ἀντὶ τοῦ στίλβειν ποιεῖ.

Στίλβοντες ἐλαίῳ, ἀντὶ τοῦ στιλπνοὶ, ὡς εἰ καὶ ἔλαιον αὐτῶν ἀπέσταζε, κατὰ τὸ ἀπελείβετο ὑγρὸν ἔλαιον. στίλβειν, ἐπὶ τῶν λαμπρῶν καὶ λείων, καὶ οἷον ἀκτῖνας τῆς λαμπρότητος ἀφιέντων. καὶ στιλβηδὼν, ἡ τῶν τοιούτων λαμπρότης. καὶ στιλπνὸν, τὸ στιλβηδόνος μετέχον. καὶ περιστίλβει τι ὁ χρυσὸς, ἀντὶ τοῦ στίλβειν ποιεῖ.

* Στιλβωνίδης, ὁ λαμπρὸς ἀπὸ βαλανείου, καὶ καλλωπισμένος. ἢ ὄνομα κύριον.

Στίλος, ἢ κτίλος, ὁ προηγούμενος τῆς ποίμνης κριός.

Στιλπνὸς, ἀπὸ τοῦ στίλπω, ὡς θάλπω θαλπνὸς, καὶ τέρπω τερπνός. ἐκ δὲ τοῦ στίλπω, καὶ ὄνομα κύριον ὁ Στίλπων. ἄρρητον δὲ τὸ στίλπω, ῥητὸν δὲ ἀντ' αὐτοῦ τὸ στίλβω. ἐξ οὗ καὶ στιλβηδών. οὕτω διφορεῖται καὶ τὸ καλύπτω. φαίνεται γὰρ καλύβω εἶναι, ὡς δῆλον ἐκ τοῦ καλύβη. πλὴν ὅσον στίλπω μὲν, κοινότερον τοῦ στίλβω. τοῦ μὲν τὸ καλύβω συνηθέστερον. αὐτὸ δὲ ὑπονοεῖται, καὶ καλύσσω καλύξω λέγεσθαι, ἀφ' οὗ τὸ κάλυξ κάλυκος. ἔχει δὲ διφόρησιν ὁμοίαν, καὶ τὸ βλάπτω. λέγεται γὰρ αὐτὸ καὶ βλάβω, ὡς τὸ βλάβεται δὲ γούνατα ἰόντι. πολλὴ δὲ καὶ ἄλλη χρῆσις τοῦ βλάπτεσθαι, ποιητικὴ μᾶλλον. ἰδιῶσι δὲ καὶ κοινή. ἐβλάβη γὰρ φαμὲν, καὶ βλαβεὶς βλαβέντος, οἷς συμφωνεῖ καὶ ἡ βλάβη.

Στιλπνότης, ἡ λαμπρότης, ἡ λαμπηδὼν, καὶ στιλβηδόνος.

Στίμμι, εἶδος βάμματος.

Στίξας, σημεῖον ποιήσας, μαστιγώσας.

Στίξασθαι, περιστήσασθαι ἐν κύκλῳ.

Στὶξ μὲν ἐξ ἀνδρῶν πεντακοσίων, κατὰ τοὺς παλαιούς. ὑλαμὸς δὲ, τάξις ἐκ τεσσαράκοντα ἀνδρῶν, φάλαγξ ἀπὸ ἑκατὸν εἴκοσι. πύργος δὲ ἡ ἐκ τριακοσίων ἑξήκοντα τάξις, αὕτη τετραγωνοειδῶς πυκνουμένη. Ὅμηρος δὲ ἐν τῇ ἐπιπωλήσει ταύτῃ, χρῆται ταύταις ταῖς λέξεσιν, ἐν γ' τῆς Ἰλιάδος. λαμβάνει δὲ αὐτὰς ἐπὶ τῆς ἁπλῶς κατὰ πλῆθός τινα τάξεως. ἐν οἷς λέγει, στίχας ἀνδρῶν καὶ ὑλαμὸν ἀνδρῶν, καὶ πυκινὰς φάλαγγας, καὶ πύργους Ἀχαιῶν. γίνεται δὲ ἡ στὶξ ἀπὸ τοῦ στείχω, διὰ τὸ τῆς πορείας εὔτακτον. ὑλαμὸς δὲ, παρὰ τὸ ὅλον τὸ συνεστραμμένον, ὡς τὸ ὅλον κεκλήγοντος, ἐξ οὗ καὶ ὁλόθριξ. ἵνα δηλοῖ ὑλαμὸς, στρατοῦ συστροφήν. φάλαγγες δὲ παρὰ τὸ φαλάγγια, ὥς φασιν οἱ παλαιοί. οὕτω δὲ παρ' ἐκείνοις ἐκαλοῦντο τὰ ξύλα, ὅθεν αἱ στρατιωτικαὶ φάλαγγες. ἐπεὶ ξύλοις οἱ πάλαι καὶ ῥοπάλοις, καὶ κορύναις ἐμάχοντο. διό φασι μὲν καὶ ἡμεῖς τὰ ἐκ ξύλων οἰκοδομήματα, φάλαγγας καλοῦμεν. καὶ μήποτε διὰ τοῦτο, καὶ τὰ ἐν τοῖς δοκοῖς τῶν οἴκων τεχνουργοῦντα ἀράχνια, φαλάγγια λέγεται. ἴσως δὲ καὶ τὰ τοῖς πλοίοις ὑποτιθέμενα ἕρματα, ἐντεῦθεν οἱ παλαιοὶ φαλάγγια λέγουσιν. Ἀριστοτέλης δὲ καὶ ἐπὶ δακτύλου τὴν λέξιν τίθησιν. οὗ τὸ μὲν καμπτικόν φησι κόνδυλον. τὸ δὲ ἄκαμπτον, φάλαγξ. ὁ δὲ πύργος καθ' ὁμοιότητα τῶν οἰκοδομουμένων λέγεται, διὰ τὴν τῶν στρατιωτῶν πύκνωσιν.

Στίον, ὅ ἐστι ψηφὶς, λίθος. στίαι γὰρ, αἱ παρὰ τῇ θαλάσσῃ ψηφῖδες. καὶ στιῶδες, τὸ σκληρὸν παρὰ τῷ Ἱπποκράτει.

Στίπιον, τὸ τῆς ἐλαίας ὀστοῦν.

Στιπτῆς ἕδρας, ὀδευομένης ὁδοῦ.

Στιπτοὶ γέροντες, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ πυκνοί. εἴρηται δὲ, ἀπὸ τῶν ἐσθήτων, αἵ τινες ὑφανθεῖσαι εἰς πυκνότητα συνάπτονται, ἢ ἀντὶ τοῦ στερεοὶ καὶ πεπιλημένοι. ἀπὸ τοῦ στίβειν, ὅ ἐστι πατεῖν.

* Στίππυον, καὶ στυππεῖον, τὸ ἄκλωστον λίνον.

Στιτθὸν, εἶδος ἀκρίδος.

Στίφη, πλήθη, συστήματα, τάγματα.

Στιφρὸς, πυκνὸς, εὐθαλής.

Στῖφος, τὸ τάγμα. σύστημα, τάξις πολεμική, ἢ φάλαγξ, συστροφὴ, πλῆθος συστάσεων.

Στιφραὶ, ξηραὶ, προσεσταλμέναι, παρὰ τῷ Ἱπποκράτει.

Στιχάει, παραγίνεται. ἀπὸ τοῦ στείχω, τὸ ἐν τάξει παραγίνομαι, γίνεται περισπώμενον δευτέρας συζυγίας στιχῶ. ἐξ οὗ καὶ στὶξ ἡ τάξις τῶν τεσσαράκοντα ἀνδρῶν, ἐκ τοῦ στείχω στείξω, ἢ ἀπὸ τοῦ στίζω στίξω ἔστιχα.

Στίχας, τὰς τάξεις λέγει Ἀριστοφάνης, τοὺς στίχας ὁρμᾷς γε τῶν δὲ τῶν λαῶν.

Digitized by Google

Στίχες, αἱ στρατιωτικαὶ τάξεις. τοῦτο τὸ ἀληθείᾳ ἑνικὴ στίξ, γινομένη ἀπὸ τοῦ στείχω στείξω. προαγομένη δὲ ἄλλως διὰ διφθόγγου. ἐπεὶ μηδὲν ὄνομα εἰς δίφθογγον λήγει μετὰ διπλοῦ ἀπαθῶς, διὰ καὶ ἡ τῆς γυναικὸς ἀλήθεια σεσίγηται. ἡ δέ γε θρίξ καὶ ἡ αἴξ, ἀπὸ συναιρέσεως ἔχουσι τὰς διφθόγγους.

Στιχηδὸν, κατὰ τάξιν.

Στίχος, ὁ ἔμμετρος λόγος, καὶ ὁ παρὰ Ῥωμαίοις ὄρδο. καὶ στιχίζω, τὰ στίχους πλέκω.

Στιχίζω, στίχους γράφω, στοιχίζω δὲ, τὸ περισπῶ, δίφθογγον.

Στίχας, ἡ ἐπίστιχος τάξις.

Στίχουσι, βαδίζουσι. στίχει, διατρέχει.

Στλεγγίδες, αἱ τρίπλατρα, οἷς ἐν τοῖς βαλανείοις τριβόμενοι, τὸν ῥύπον ἐκξέομεν. Λυκόφρων, λιτῇ στλεγγίσματα.

Στοαὶ, σημεῖα, τὰ ἐπιμήκη.

Στοβάζειν, κακολογεῖν.

Στοβὸς, λοιδορία, ὄνειδος.

Στοὰ, ἀπὸ τοῦ στοιά. στοαὶ δὲ αἱ καμάραι. ἢ τὸ λεγόμενον προσκλιτόν.

* Στοὰ, ἡ ἐν Ἀθήναις διατριβὴ διὰ τοῦ ο. στωϊκοὶ δὲ, οἱ ἀπ' αὐτῆς, διὰ τοῦ ω. ἥτις ὠνομάζετο πεισιανάκτειος, ὕστερον δὲ ζωγραφηθεῖσα, ποικίλη ἐκλήθη.

Στοιβάζω, συνάγω.

Στοιβὰς, ἡ στρωμένη. ἡ τρυφῆς θρύψις, παρὰ τὸ στοιβάζω.

Στοίβη, σύνθεσις, καὶ εἶδος χόρτου.

Στοιχεῖα, γραμματικοὶ μὲν τὰ γράμματά φασι. φιλόσοφοι δὲ, πῦρ, ὕδωρ, ἀέρα, καὶ γαῖαν, ἐξ ὧν τὰ σώματα συνίστανται, καὶ εἰς ἃ ἀναλύεται. ἰστέον, ὅτι τὰ στοιχεῖα, τετραχῶς ἑρμηνεύονται. πόῤῥω, προσεχῆ, καὶ προσεχέστατα. καὶ πόῤῥω μὲν, ὡς τὸ πῦρ, ἡ γῆ, τὸ ὕδωρ, καὶ ὁ ἀήρ. προσεχῆ δὲ, τὸ θερμὸν, τὸ ψυχρὸν, τὸ ξηρὸν, καὶ τὸ ὑγρόν. προσεχέστατα δὲ, τὸ αἷμα, τὸ φλέγμα, ἡ ξανθὴ χολὴ, καὶ ἡ μέλαινα. ἅτινα διὰ τὴν ἄκραν αὐτῶν οἰκείωσιν, προσεχέστατα ὀνομάζονται. Στοιχεῖόν ἐστιν, σύστασις οὐσίας, κατ' ἐναντιότητα ἑκατέρας. Στοιχεῖόν ἐστιν, οὐσία ἁπλῆ κτίσεως τετάρτη μοῖρα, ὡς ὁ Ἀπόστολος Παῦλος, οὐκέτι γινώσκομεν Χριστὸν κατὰ σάρκα. τουτέστιν, ἐν οὐσίᾳ ῥευστῇ. ἡ ἁπλῆ καὶ ἄποιος οὐσία, πάντη ἀπαθής ἐστιν, ἐξάπτουσα τὸ ἑαυτῆς βούλημα, εἰς Ἀγγέλους, εἰς ψυχὰς, εἰς ἕτερα νοητὰ καὶ ἀθάνατα, εἰς αἰσθητὰ, εἰς γῆν, εἰς ὕδωρ, εἰς πῦρ, εἰς ἀέρα, εἰς ψυχρὸν, εἰς ξηρὸν, εἰς ὅ,τι ἂν βούλοιτο στοιχεῖον. ἔστι καὶ ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνὴ, ἢ φωνῆς ἐλλιπίδος φθόγγος ἐλάχιστος. διὰ τί εἶπεν ἀμερὴς, Διότι οὐ μερίζεται, ὡς ἡ συλλαβή. παρέπεται δὲ τῷ στοιχείῳ τέσσαρα, ὄνομα, σχῆμα, χαρακτὴρ, δύναμις. στοιχεῖον δὲ εἴρηται, παρὰ τὸ στείχω, τὸ ἐν τάξει πορεύομαι.

Στοιχείωσις, ἡ πρώτη μάθησις, καὶ ἡ Διατύπωσις, καὶ ἡ διάταξις, καὶ ἡ ὁδηγία. ἢ στοιχείωσίς ἐστιν, ἡ ἐκ διαφόρων συντεθεῖσα μονοειδὴς θεωρία.

Στολάρχης, ὁ τοῦ στόλου ἄρχων, ὁ ναύαρχος.

Στολὴ, ἀπὸ τοῦ στέλλω, ἀποβολῇ τοῦ ἑνὸς λ. κυρίως ἀποστέλλειν ἐστὶ, τὸ διὰ νεὼς ἐκπέμπειν. ὅθεν καὶ στόλος, ὁ πολλῶν πλοίων ἀπόπλους. καταχρηστικῶς δὲ, καὶ τὸ δι' ἑτέρου τινὸς ἐκπέμπειν ἐν αὐτῷ, Ὧρος. παρὰ τὸ στέλλω οὖν τὸ πλέω, γίνεται στόλος.

Στολμὸν, χιτῶνα, στολισμὸν σώματος.

Στόλοκρον, τὸ περικεκομμένον τὰς κόμας, καὶ γεγονὸς ψιλὸν, εἴτε δένδρον, εἴτε ἄνθρωπος. δηλοῖ δὲ καὶ ἀναιδὲς, καὶ σκληρόν.

Στολοκρατὲς, τὸ τῆς ἰοῦς μέτωπον, διὰ τὰ κέρατα.

Στολισμὸς, ἱματισμὸς, κόσμος.

Στόλοι, τὰ ἄκρα τῶν τομῶν καὶ ὀξέα, χάρακες ἀπότομοι.

Στόλος, ἡ διὰ θαλάσσης πορεία, καὶ τὸ τῶν νεῶν πλῆθος. καὶ ἡ διὰ γῆς πορεία, καὶ αὐτὴ ἡ στρατιά.

Στολυξώδης, μικρολόγος.

Στόμα καθ' Ὅμηρον, ὁ τόπος τῶν προμάχων. οὕτω γὰρ τάξεις εἶχον οἱ ἀριστεῖς, Μηριόνης τημέτας οὕτως φάλαγγας, οὐραγὸς δηλονότι ὤν. οὐρὰ γὰρ κατὰ Ξενοφῶντα, τὰ ὀπίσω τῆς φάλαγγος, καὶ τὰ ἄλλα παρὰ Εὐσταθίῳ.

Στόμα, παρὰ τὸ τέμνω, τὸ κόπτω, τὸ τέμνον τὰ σιτία.

Στόμα θανάτου, τάφος λέγεται. Ὅμηρος, χάνοι γάρ ἂν γῆ ἅπασιν, ὅταν πάντες δαμῶσι.

Στόμα ὑσμίνης, καὶ στόμα πολέμου. Ὅμηρος, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος. ἔχει δέ τι ἀστειότητος τὸ πολέμου στόμα δύμεναι, εἴ τις ὑπονοήσει, ὡς ὁ Ἀχιλλεὺς τροφὴν μὲν εἰς τὸ ἐκείνου στόμα οὐκ ἤθελεν. αὐτὸς δὲ πολέμου στόμα δῦναι ἐπιθυμεῖ, ὃ πολλοὺς κατεμασήσατο ἀριστεῖς. τοιοῦτον γὰρ δηλοῖ τὸ αἱματόεντος, καινὸν οὐδὲν εἰ στόμα λέγει πολέμου, τὸ τῆς μαχομένους ἐπεδίον. ὡς γὰρ οὐρὰ στρατοῦ, τὸ ὄπισθεν. ἐξ οὗ καὶ τὸ οὐραγαγεῖν καὶ οὐραγὸς, οὕτω καὶ τὸ στόμα, ἐν ᾧ οἱ πρόμαχοι ἵστανται.

* Στόμα παρὰ τῇ θείᾳ Γραφῇ, τῆς διανοίας ἡ προθυμία.

Στομάργου, ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ὁ Διοσκουρίδης οὕτω γράφει, καὶ δηλοῦσθαί φησι τοῦ λαλοῦντος μανικῶς. οἱ δὲ ἄλλοι συμάργου γράφουσι, καὶ ὄνομα κύριον ἀκούουσι, παρὰ τῷ Ἱπποκράτει.

Στόμαχος, δι' οὗ καταπίνομεν τὴν ὑγρὰν καὶ ξηρὰν τροφὴν, ἤτοι στόμα ἐστὶ τῶν χεομένων. ἢ ὅτι τὰ ἀπὸ τοῦ στόματος, εἰς τοῦτον χεῖται. ἢ σιτόμαχος, ὁ τοῖς σιτίοις μαχόμενος. θλίβουσι γὰρ αὐτόν. ἢ ὁ θλίβων ἔμπαλιν ταῦτα.

Στομάχου θέμεθλα, τὴν αὐτοῦ θέσιν λέγει Ὅμηρος, στόμαχον καὶ νῦν φράζων, οὐ τὸ τῆς κοιλίας στόμα κατὰ τὸ ὕστερον, ἀλλὰ τὸν λεγόμενον βρόχθον, περὶ τὰ τοῦ λαιμοῦ ἔσχατα.

Στομβάζω, τὸ διὰ τοῦ στόματος βάζω, ἤγουν τὸ πλατὺ, καὶ ὄγκον ἔχοντι στόματι λέγω.

Στόμβον, βαρύηχον, βαρύφωνον, παρὰ τῷ Ἱπποκράτει.

Στόμια, τὰ χαλινὰ ποιητικῶς. στόμιον δὲ, ἐπὶ φρέατος, καὶ ἐπὶ ἄλλων τινῶν.

Στομοδόκον, στωμύλον.

Στόμους, λοιδορίας. ἐγὼ στόμους φημὶ, τὰς διὰ στόματος ὕβρεις καὶ στωμυλίας.

Στομύλος, πολυλάλος, φλύαρος, δεινὸς αἰσχρός.

Στομφάζοντας, ἐπ' ἔργῳ γελῶντας. καὶ στομφάσαι, τὸ ἀλαζονεύεσθαι. σύνθετος δὲ ἡ λέξις, ἀπὸ τοῦ στόματος καὶ τῆς ὄμφακος.

Στομφάζω, τὸ λαυραγορῶ, ἀμεταβάτως.

Στόμφακα, λέγει τὸν Αἰσχύλον ὁ Ἀριστοφάνης, ἤγουν σκληρόν. παρὰ τὸ στόμα, καὶ τὸν ὄμφακα, οἷον τραχύ. κρημνοποιὸν δὲ, μεγάλας λέξεις ποιοῦντα.

Στομωμάτων, χαραγμάτων. τινὲς δὲ στοβασμάτων, λοιδοριῶν. στόμος γὰρ, καὶ ἡ λοιδορία.

Στομώσεις, ὀξυνεῖς, ἢ ἄστομον ποιήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν.

Στομώσῃς αὐτὸν, παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ ἄστομον ποιήσῃς αὐτόν. στομόω, στομώσω.

Στοναχὰς, στεναγμούς.

Στοναχίζεσθαι, ὠνοματοπεποίηται. καὶ δηλοῖ ποιάν βοήν τινα, καθὰ καὶ τὸ στένειν ἐπὶ θαλάσσης, παρὰ Σοφοκλεῖ λεγόμενον. οὐ μόνον γὰρ ἐπὶ θρήνου ἡ λέξις τίθεται, ἀλλὰ καὶ ἐπὶ ἁπλῶς θορύβου.

Στόνοι, τὰ ἔσω τῶν κεραμίων, καὶ στρογγύλα.

Στόνος, στεναγμὸς, λύπη, ἀπὸ τοῦ στένω. καὶ στονόεντα, τὰ τῶν πολλῶν στεναγμῶν αἴτια.

Στόνυξ ἐστὶ κυρίως, τὸ ἄκρον τοῦ δόρατος. καταχρηστικῶς δὲ, πᾶν τὸ εἰς ὀξὺ λῆγον.

Στωύναξι, κέρασι.

Στόνυχες, τὰ εἰς ὀξὺ λήγοντα, καὶ τὰ ἄκρα τῶν ὀνύχων.

Στορβάζειν, κακολογεῖν.

Στοργὴ, φιλία ἔμμονος. παρὰ τὸ στέργειν, τὸ ἐμμένειν.

Στορέννυμι, στορέω, στορένω, στορεννύω, στορέννυμι.

Στορέσας, ὑποστρώσας, κατακοιμίσας, καταπραΰνας.

Στορευσεῦντι παρὰ Θεοκρίτῳ, αἵον χ' ἀλκύονες στορεσεῦντι, ἀντὶ τοῦ στορέσαιεν, ἤγουν κατακοιμήσαιεν.

Στορεὺς, γαλήνοποιὸς, καὶ τὸ ἀντὶ τοῦ σιδήρου τρύπανον ἐμβαλλόμενον ξύλον, ῥάμνου, ἢ δάφνης.

Στορέω, στορέσω, στορέσαι, πρωτότυπόν ἐστι τοῦ στρῶσαι καὶ καταστρῶσαι, ἀφ' οὗ καὶ τὰ στρώματα. καὶ στορῶ στορέσω, καὶ καταστορῶ καταστορέσω, τὸ γαληνιῶ. καὶ στορέσας μετοχὴ, στορῶ στορέσω συγκοπὲν, ἀλλοιοῖ τὴν συζυγίαν. στρῶ γὰρ στρώσω γίνεται. ἀγαθὸν δὲ πτωχῷ στόρεσμα, ἤτοι στρῶμα.

Στορέσαι, κυρία λέξις ἐπὶ κλίνης, λέγεται καὶ ἐπὶ γαληνιώσῃ θαλάσσῃ, καὶ ἀνθρακιὰν ἐστόρεσε Πάτροκλος. ἔστι δὲ θέμα τοῦ ῥήματος, τὸ στορῶ. καὶ συγκοπὲν καὶ γενόμενον, μετέπεσεν εἰς τρίτην συζυγίαν, στορῶ καταπραΰνω.

Στόρθυγξ, ἡ ἐπιδορατὶς, καὶ τὸ ὀξὺ τοῦ δόρατος.

Στόρνη, ζώνη.

Στορνῦσα, καθ' ὁμοιότητα παράγεται τοῦ ὄρνυσθαι, καὶ τῶν ὁμοίων. ὡς γὰρ ὄρω, ὄρνω, ὀρνύω, ὄρνυμι, οὕτω στορῶ, στορνύω, στόρνυμι. ἐξ οὗ στορνὺς, οὗ θηλυκὸν ἡ στορνῦσα. δῆλον δὲ, ὅτι ταυτόν ἐστι στορέσαι, καὶ στόρνυσθαι, παρὰ δὲ τοῖς ὕστερον καὶ στρῶσαι. συγκοπὲν ἐκ τοῦ στορῶ, καὶ μεταπεσὸν ἐκ πρώτης συζυγίας τῶν περισπωμένων εἰς τρίτην, ὅθεν καὶ τὸ στρῶμα, καὶ τὸ τῆς νηὸς κατάστρωμα.

Στορτίαν, τὴν ἀστραπήν.

Στορχάζειν, εἰς σηκοὺς κατακλείειν τὰ βοσκήματα.

Στοχάζομαι τεκμαίρομαι. παράγεται δὲ ἐκ τοῦ στείχω, τὸ κατὰ τάξιν σκοπῶ, καὶ βλέπω, καὶ βαδίζω. στοχάζεσθαι γὰρ λέγεται, τὸ πρὸς ἀλήθειαν ὁδὸν τὸν λογισμὸν ἀπευθύνειν. ὅθεν παράγεται καὶ ὁ στοχασμός.

Στυμμὰ, αὐστηρά.

Στῦπος, ἡ τοῖς τετελευτηκόσιν ἐπὶ τῶν φορείων σκηνή.

Στοχασμὸς, παρὰ τὸ στείχω στοχάζω. στοχασμὸς γὰρ λέγεται. καὶ στοχάζειν, τὸ πρὸς ἀλήθειαν ὁδὸν τὸν λογισμὸν ἀπευθύνειν.

Στραβάλιος, ὁ στρογγυλίας καὶ τετράγωνος ἄνθρωπος. Ἀχαιοί.

Στράβηλοι, κοχλίαι.

Στραβεὺς, κωμῳδός.

Στραβήλῳ, τῷ κόγχῳ, ἐσάλπιζον.

Στραβός. ἰστέον δὲ, ὅτι τὰ κατὰ τὸν στραβὸν οἱ παλαιοὶ καὶ οὕτω φράζουσιν. οἱ μὲν ὅτι βλεπεδαίμων ὁ διεστραμμένος τὰς ὄψεις, καὶ οἷον ὑπὸ δαίμονος πεπληγώς. Παυσανίας δὲ, προστίθησι καὶ ὅτι τοὺς σωκρατικοὺς οὕτως ἔλεγον. ἄλλοι δὲ, ὅτι ἰλλὸς, πλάγιος, διεστραμμένος, στραβός. καὶ ἰλλώπτειν καὶ ἐνιλλώπτειν, τὸ ὑγροῖς ὥς φησιν Αἴλιος Διονύσιος, καὶ ἐπιμύουσι, καὶ κατακεκλασμένοις ὄμμασιν ἐμβλέπειν. Παυσανίας δὲ, ἐνίλλειν τὸ ὀφθαλμοῖς καταμωκᾶσθαι, καὶ ἰλλώπτειν. καὶ ἐπιλλεῖν, τὸ μυκτηρίζειν. καὶ καταλλώπτειν, τὸ καταμυκτηρίζειν. καὶ τοιαῦτα μὲν τὰ τοῦ φολκοῦ.

Στραγγαλῶδες, διεστραμμένον.

Στραγγαλίας, διαπλοκὰς, διεστραμμένας, δολιότητας.

Στραγγαλίδες, τὰ δύσλυτα ἅμματα. ὑμεῖς γὰρ ἀεὶ στραγγαλίδες ἐσφίγγετε.

Στραγγεύομαι, πιέζομαι, θλίβομαι. Ἀριστοφάνης, τί ταῦτα ἔχων στραγγεύομαι. τὸ ἔχων, περιττὸν Ἀττικῶς.

Στραγγὸς, στρεβλὸς, ἄτακτος, ἢ στόμα.

Στραγγουρία, ἡ δυσουρία. * ὅταν τις ὀλίγον ἀποκρίνῃ οὖρον συνεχῶς, δηλοῖ γὰρ τὴν κατὰ στράγγα τῶν οὔρων ἀπόκρισιν.

Στραγγεύει, διαβάλλει, οὐκ εὐθὺς πορεύεται.

Στράγξ, ἡ ἐπισχεθεῖσα ῥύσις. παρὰ τὸ στάζω, στάξω, στάξ, καὶ πλεονασμῷ τοῦ γ ρ στράγξ.

Στράνθανα, ὀξέα.

Στράγξ, σταγών.

Στράπτει καὶ ἀστράπτει, Ἀττικῶς γράφεται. ὥσπερ στάχυς καὶ ἄσταχυς, καὶ σταφὶς καὶ ἀσταφὶς, καὶ πᾶς καὶ ἅπας.

Στράταρχος, στρατηγός.

Digitized by Google

Στρατεία, ἡ στράτευσις. στρατιὰ δὲ, τὸ στράτευμα. στρατόπεδον δὲ κυρίως, ὁ τόπος ἐν ᾧ ἵσταται τὸ στράτευμα. καταχρηστικῶς δὲ, καὶ αὐτὸ τὸ στράτευμα.

Στρατεύω, στρατοπεδεύω ἀμεταβάτως. στρατεύειν, τὸ στρατιώτην εἶναί τινα. ἐκστρατεύειν δὲ, ἀντὶ τοῦ εἰς πόλεμον ἐλθεῖν.

Στρατεύω, τὸ στρατιὰν κινῶ, στρατεύομαι δὲ παθητικῶς, ἀντὶ τοῦ ἐν τοῖς στρατιώταις τάττομαι, ὁ μέλλων στρατεύσω.

Στρατὴ, πόρνη.

Στρατήγημα, τὸ καταπολεμῆσαι.

* Στρατηγιᾶν, ἐπιθυμεῖν τῆς στρατηγίας.

* Στρατήγιον, τὸ στρατόπεδον Ἀττικῶς. καὶ ὁ τόπος τοῦ στρατοῦ.

Στρατηλάτης, ἡγεμὼν, ἄρχων στρατοῦ.

Στρατίη, πόλις Ἀρκαδίας.

Στράτιον, πολεμικὸν, ἢ φοβερὸν, καὶ ἐπίθετον Διός.

Στράτιον, παρὰ τῷ Ἀριστοφάνει, τὸ εἰς πολλοὺς τῶν στρατευομένων διῆκον. ἐχρῶντο γὰρ καὶ κύλιξιν ἐν τοῖς στρατεύμασι.

Στρατιώτης, ὁ ἐν τῷ στρατῷ ἀριθμούμενος.

Στρατιωτὶς, ποτάμιος πόα.

* Στρατιώτης, βοτάνη ἔνυδρος, ἄνευ ῥίζης ἐπιπολάζουσα τοῖς ὕδασι. ψυχρὰ ἐστὶ τὴν δύναμιν. ἔστι δὲ καὶ χερσαία.

Στρατολογῶ, στρατεύω.

Στρατόπεδον κυρίως, ἔνθα διάγει ὁ στρατὸς, ἀπὸ τοῦ στρατὸς, καὶ τὸ πέδον ἡ γῆ. λέγεται δὲ στρατόπεδον, καὶ αὐτὸ τὸ στράτευμα.

Στρατὸς, τὸ συνεστραμμένον πλῆθος τῶν πολεμούντων. παρὰ τὸ στρέφω, ἔνθεν ἔστραπται, στραπτός. καὶ στρατὸς ὁ ἀπερίστρεπτος, ἢ ὁ συνεστραμμένος καὶ συνδεδεμένος ὄχλος. ἀλλὰ μὴν οἱ Αἰολεῖς στροφὴν λέγουσι τὸ ῥῆμα, καὶ στρατὸν λέγουσι τὸ συνεστραμμένον πλῆθος, ἢ παρὰ τὸ στερρῶς ἵστασθαι, στρατός. ἢ παρὰ τὸ στερρῶς ἄττειν, ἤγουν ἐφάλλεσθαι. ἱστέον δὲ, ὅτι τῆς περὶ τὸ στράτευμα τάξεων καὶ ἡγεμονικῶν, ὁ μὲν πέντε ἀνδρῶν ἀριθμὸς, καλεῖται πεμπάς. ὁ δὲ ἄρχων, πεμπάδαρχος. ὁ δὲ τῶν δέκα δεκὰς, καὶ δεκάδαρχος. ὁ δὲ τῶν πέντε καὶ εἴκοσι λόχος, καὶ λοχαγός. ὁ τῶν πεντήκοντα, πεντηκοστύς. καὶ πεντηκόνταρχος, ὁ τῶν ἑκατὸν τάξις, καὶ ταξίαρχος. ὁ τῶν πεντήκοντα καὶ διακοσίων, σύνταγμα καὶ συνταγματάρχης. ὁ τῶν πεντακοσίων πεντακοσιοστὺς, καὶ πεντακοσίαρχος. ὁ τῶν χιλίων χιλιοστὺς, καὶ χιλίαρχος. ὁ τῶν δισχιλίων, μεραρχία, καὶ τέλος, καὶ μεράρχης, καὶ τελάρχης. ὁ τῶν τετρακισχιλίων, φύλαξ καὶ φαλαγγάρχης. ὁ τῶν μυρίων μυριοστὺς, καὶ μυρίαρχος. αἱ δύο διφαλαγγαρχίαι, τετραφαλαγγαρχία, ἀνδρῶν μυρίων ἑξακισχιλίων, καὶ ὁ ἄρχων τετραφαλαγγάρχης. τὸ μέντοι πεζικὸν ἅπαν στράτευμα, ὁμωνύμως τοῖς μερικοῖς τάγμασι λέγεται φάλαγξ, καὶ ὁ ἡγούμενος στρατηγός. τοῦ δὲ ἱππικοῦ, ἵππαρχος. τὸ δὲ συναμφότερον, πεζοί τε καὶ ἱππεῖς, στρατιά. τῆς δὲ στρατιᾶς, τὸ μέτωπον λεγόμενον, ὃ καὶ πρῶτον ζυγὸν καλοῦσι πρωτοστάται. καὶ ὁ ἡγούμενος πρωτοστάτης, οἱ δὲ παρ' ἑκάτερα τεταγμένοι κέρατα, δεξιόν τε καὶ εὐώνυμον, οἱ αὐτοὶ καὶ παραστάται. ὁ δὲ ἀρχὸς ὁμωνύμως. οἱ δὲ ὄπισθεν αὐτῶν, ὡς ἐπὶ τὸ βάθος τεταγμένοι, ἐπιστάται. τὸ δὲ ἐπὶ τούτοις πρὸς τὸ βάθος ἔσχατον ζυγὸν, οὐρὰ καὶ οὐραγία καὶ οὐραγός. ὁ αὐτὸς δὲ ὀπισθοφύλαξ, ἡ συνήθεια πεντηκοντοφύλακα αὐτὸν καλεῖ. ὁ δὲ γε τοῦ παντὸς στρατοῦ ἡγεμονεύων, Βασιλεύς.

Στρατόφιν, ἀντὶ τοῦ στρατοῦ. Ὅμηρος Ἰλιάδος κ'. ἀεί μιν ποτὶ νῆας, ἀπὸ στρατόφιν προτιειλεῖν, ἀντὶ τοῦ ἀπὸ στρατοῦ, κατὰ προσχηματισμὸν τῆς φι συλλαβῆς.

Στρατόωντο, ἐστρατοπεδεύοντο.

Στραφῆναι, ἀναστραφῆναι, ἢ στραφθῆναι.

Στρέβλαι ναυτικαὶ, τὰ ξύλα τῶν νεῶν, ἐν οἷς διασφηνοῦνται γομφούμενα. Ἀττικοὶ δὲ τὰ βασανιστήρια.

Στρέβλη, παρὰ τὸ στρέφω στρέβλη, ὡς στήλη. καὶ στρεβλὸν, τὸ στραβὸν, οὕτω Εὔπολις.

Στρεβλοὶ, οὓς καὶ στραβοὺς ὀνομάζουσι παρὰ τῷ Ἱπποκράτει.

Στρεβλὸν, καμπύλον, σκολιόν.

Στρεβλοῦται, αἰκίζεται, βασανίζεται.

Στρεβλῷ κόγχῳ, ᾧ ἐσάλπιζον.

Στρέμμα, εἶδος τέμματος.

Στρέμματα, περὶ νεῦρα.

Στρεπτὴ γλῶσσα βροτῶν, λέγει Ὅμηρος, ἀντὶ τοῦ ὑγρὰ καὶ εὐλύγιστος. ὅθεν καὶ γλῶσσα λέγεται, οἱονεὶ κλῶσσα, διὰ τὸ εὔκλαστον. ἢ καὶ ἄλλως στρεπτὴ, ἡ ἐπὶ τὰ ἐναντία ἐπιχειροῦσα, καὶ ἐπ' ἄμφω μεταγομένη, ὅπερ σαφέστερον ἑρμηνεύων ὁ Ποιητὴς, πολέες δ' ἔνι μῦθοι, ἤγουν ἔνεισι. καὶ οὐ μόνον πολέες, ἀλλὰ καὶ παντοῖοι, καὶ ἔτι σαφέστερον. ἐπέων δὲ πολὺς νομὸς. αἰνίσσεται δὲ διὰ τούτου ὁ Ποιητὴς καὶ τὴν ἑαυτοῦ εἰς τὸ λέγειν δύναμιν, καὶ τὸ πολύφωνον, καὶ ἀμφίγλωσσον.

* Στρεπταίγλαν, τὴν στρέφουσαν τὴν αἴγλην, καὶ ἀφανίζουσαν.

Στρεπτοὶ καὶ Θεοὶ αὐτοὶ, ἀπόφθεγμα, λέγουσιν οἱ παλαιοί. ἔστι δὲ κατ' αὐτοὺς ἀπόφθεγμα, βιωφελής τις προφορὰ δι' ὀλίγων λέξεων, οἷον, γνῶθι σαυτόν. καὶ ἐγγύη, πάρα δ' ἄτα, καὶ τὰ ὅμοια. τὸ δὲ ἐπιχείρημα τοῦτο, ἐκ τοῦ μείζονος εἴληπται.

Στρεπτὸν χιτῶνα παρ' Ὁμήρῳ, οἱ μὲν ἐπὶ ἱματίου νοοῦσι, λέγοντες στρεπτὸν τὸ κλωστόν. οἱ δὲ ἐπὶ θώρακος κρικωτοῦ ἤτοι ἁλυσειδωτοῦ. ἡ δὲ λέξις κεῖται καὶ ἐν τῇ φ' ῥαψωδίᾳ. ὅτι δὲ καὶ σώματος κόσμος τὸ στρεπτὸν, δηλοῦσι σαφῶς οἱ παλαιοί.

* Στρεπτὸς, περιδέῤῥαιος κόσμος.

* Στρεπτοὺς, πλακουντῶν εἶδος.

Στρεύγει, ἀνιᾷ, καταγωνίζεται, προσδιατρίβει, βραδύνει.

Στρεύγεσθαι, τὸ τήκεσθαι λιμῷ, παρ' Ὁμήρῳ. καὶ οἷον κατὰ στράγγα ὑποῤῥεῖν, ὁποῖόν τι καὶ τὸ ἀπολιβάζειν, ὃ ταυτόν ἐστι τῷ λείβεσθαι, ἤτοι κατά τι λιβάδιον, ὑγροῦ ῥεῖν εἰσφοράν.

Στρεύγεσθαι, στραγγίζεσθαι. τουτέστι κατ' ὀλίγον κινεῖσθαι, ἢ ἐκλείπειν, ἢ ταλαιπωρεῖν. οἶμαι ἀπὸ τοῦ στραγγεύεσθαι, συγκοπῇ τοῦ α, καὶ ἀποβολῇ τοῦ ἑνὸς γ καὶ ὑπερθέσει, στρεύγεσθαι. ὃ καὶ ἀπολιβάζειν φασὶν οἱ μεθ' Ὅμηρον, οἱονεὶ κατὰ λιβάδα ὑποῤῥεῖν.

Στρευγομένοις, φθειρομένοις, καὶ καταπονουμένοις στρεβλουμένοις, ἢ καὶ προσδιατρίβουσιν. ὅθεν καὶ στράγξ, ἡ κατὰ βραχὺ πρόθεσις τοῦ ὕδατος. οὕτω Δίδυμος, ἐντεῦθεν καὶ ἡ στραγγουρία, ἀπὸ τοῦ κατὰ στράγγα οὐρεῖν.

Στρέφανον, ἀξίνη καὶ πέλεκυς.

Στρεφεδίνηθεν, συνεστράφησαν.

Στρέφειν, στρόφον παρέχειν, παρὰ τῷ Ἱπποκράτει.

Στρέφειν λέγεται, τὸ ὑποστρέφειν καὶ ἀναστρέφειν. στρέφειν ἐπὶ νοῦ, τὸ ἀναλογίζεσθαι καὶ ἐνθυμεῖσθαι. στρέφειν καὶ τὸ καταστρέφειν τὸν βίον, ὥσπερ δὴ τὸ κυκλεῖν, ἐπὶ πρώτης συζυγίας λαμβάνεται, ἀντὶ τοῦ στρέφειν ἐπὶ νοῦν, καὶ ἀναλογίζεσθαι. κυκλοῦν δὲ, ἐπὶ τρίτης συζυγίας, τὸ περικυκλοῦν καὶ περιστοιχίζεσθαι.

Στρέφηται, τὸ οἷον ἐνοικεῖ ἐν τῷ περὶ ὁρῶν καὶ τόπων καὶ φύσεων, παρὰ τῷ Ἱπποκράτει.

Στρεφθέντα φιλεῖ λέγειν Ὅμηρος, οὐ μὴν στρεφέντα. ὡς Εὐριπίδης θρεφθῆναι εἶπεν, ἀντὶ τοῦ τραφῆναι. προτιμῶνται γὰρ οἱ σοφοὶ τὴν καίριον τραχυφωνίαν, τῆς ἀκαίρου λειότητος, ὡς δηλοῖ τὸ βρεχθῆναι τὴν γῆν παρὰ Δίωνι, ἀντὶ τοῦ βραχῆναι. καὶ τὸ θαφθεῖσι, παρ' Ἡροδότῳ, ἀντὶ τοῦ ταφεῖσι. καὶ ἄλλα, καὶ κρυφθεὶς, καὶ βλαφθείς.

* Στρεφοδικοπανουργία, συντέθειται ἡ λέξις, παρὰ τὸ στρεβλὸν ἦθος, καὶ συκοφαντικόν.

Στρέφος, στρέμμα, δέρμα, βύρσα. Δωριεῖς.

Στρεφοῦραι, τῶν Ἰνδῶν γένος τι. οἳ καλοῦνται κοψίλοι.

Στρέφω, σημαίνει καὶ τὸ πανουργεύειν. στρέψον προστακτικὸν ἐκ τοῦ στρέφω, ὁ μέλλων στρέψω, ὁ παρακείμενος ἔστρεφα, ὁ παθητικὸς ἔστραμμαι.

Στρέφωσις, κάλυψις ἀγγείων, δέρματι γινομένη.

Στρέψα, πόλις ἐστὶ τῆς Θράκης.

Στρέψασα, καὶ ἀντὶ τοῦ κλέψασα. πολλοὺς δηθαλάμους καταστρέψασα ἐμούς.

Στρεψαῖοι, ἔθνος περὶ Μακεδονίαν.

Στρεψεδινεῖν, ἐκ τοῦ στρέφειν καὶ δινεῖν συγκέκοπται, ταυτοσήμων λέξεων ὁποῖαι καὶ ἄλλαι. ὡς ἀλλαχοῦ ἐν τῇ πρώτῃ ῥαψωδίᾳ κεῖνται, ὅπου καὶ περὶ καπυροῦ ἐῤῥέθη, ὡς ἐκ τοῦ καίειν καὶ πυροῦν | ταυτολογικῶς ἡ λέξις συντέθειται. ἀφ' ἧς καὶ καπυρίδια, παρὰ τῷ Δειπνοσοφιστῇ. τὰ καλούμενά φησι στάκτα. καὶ ὅρα τὴν ἐπὶ τοῦ ἄρτου χρῆσιν παλαιὰν τοῦ στάκτου. ἐν δὲ τῷ τοιούτῳ καὶ φοῦρνον ἐκεῖνό φησι κοινότερον. οὗ παρώνυμον ἱστορεῖ Φουρνίκιον ἄρτον, καθὰ τοῦ κλιβάνου, τὸν κλιβανίκιον.

Στρεψιάδες, Ἀριστοφάνης, στρεψιάδη μὲν ἡ κλητική. ἀλλ' ἵνα παίξῃ εἰς τὸ ὄνομα, διέστρεψε τὴν κλητικὴν, καὶ ὡς ἄγροικος ἔπταισε.

Στρεψίμαλλος ἄνθρωπος κατὰ τοὺς παλαιοὺς, ὁ μὴ ἁπλοῦς, ἀλλὰ ὡς εἰπεῖν στρόφις, ὡς ἀπὸ ἐρίων δηλαδὴ ἐχόντων συνεστραμμένους τοὺς μαλλούς. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι οὐ μόνον οὖλαι, ἀλλὰ καὶ ἐπιστροφίδες αἱ συνεστραμμέναι τρίχες.

Στρέψις, στροφὴ, ἀπάτη.

Στρεψοδικῆσαι, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ διὰ στροφῆς καὶ ποικιλίας λόγων τὸ δίκαιον διαφθείρειν. ἢ στρεψοδικῆσαι, τὸ στρέψαι τὰς δίκας. πρὸς ταύτην δὲ καὶ τὸ ὄνομα πεποίηται τῷ γέροντι, Στρεψιάδης.

Στρεψοδικοπανουργίας, συνέθηκεν Ἀριστοφάνης, παρὰ τὸ στρεβλὸν ἦθος, καὶ συκοφαντικὸν, καὶ τὴν δίκην, καὶ τὴν πανουργίαν.

Στρηνὲς, σαφὲς, ἰσχυρὸν, τραχὺ, συχνὸν, ὀξὺ, ἀνατεταμένον, στρηνόν. ἢ στρηνὲς, τὸ ἀνατεταμένον καὶ μέγα, καὶ ὀξὺ, καὶ διάτορον. ὄνομα δὲ ἀντὶ ἐπιῤῥήματος κεῖται παρὰ τῷ Ἀπολλωνίῳ.

Στρηνιᾶν, ἀτακτεῖν. καὶ στρηνιῶντες, παρὰ τὸ στερεῖν καὶ ἀποσπᾶν τὰς ἰδίας, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων.

Στρηνιῶ, ἀμεταβάτως.

Στρηνιῶντες, πεπλεγμένοι. δηλοῖ δὲ καὶ τὸ διὰ πλοῦτον ὑβρίζειν, καὶ βαρέως φέρειν.

Στρηνὸν, οἱ μὲν τὸ ὀξὺ καὶ ἀνατεταμένον. Νικόστρατος δὲ, τὸ τραχὺ, καὶ προσαντὲς τῇ ἀκοῇ φθέγμα.

* Στρῆνος, ἐν τῇ παλαιᾷ τοῦτο κεῖται. τὸ στρῆνός σου ἀνέβη ἐν τοῖς ὠσίμου, τουτέστιν ἡ σοῦ ἀταξία, ἡ ὑπερηφανία, ἡ ἀκολασία.

Στριβιλικίγξ, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ οὐδὲ ῥανίδα. στρίβος δὲ καλεῖται, ἡ λεπτὴ καὶ ὀξεῖα βοή. λίκιγξ δὲ, ἡ ἐλαχίστη βοὴ τοῦ ὀρνέου. λέγει δὲ, ὅτι οὐδὲ ἐλάχιστόν σοι μέρος μεταδίδωμι.

Στρίγλος, τὰ ἐντὸς τοῦ κέρατος νυκτιφοίτων. καλεῖται δὲ καὶ νυκτοβόα, οἱ δὲ νυκτικόρακα.

Στρίγλος, ταχίον.

Στριφνὸς, ἐσφιγμένος, στερεός.

* Στρίφνος, τὸ νευρῶδες κρέας τῶν βοῶν. ἔστι δὲ καὶ βοτάνη ἄβρωτος, Ἰώβ. στρίφνος ἀμάσητος, ἀκατάποτος.

Στρόβει, ἀνάκρινε, καὶ δοκίμαζε, περίφερε τῇδε κἀκεῖσε ἐπὶ πολλὰ, πυκνόν τι, καὶ συνεστὸς ποιήσας, καὶ φρόνιμον σκεψάμενος. Ἀριστοφάνης, καὶ στροβεὺς, ἐργαλεῖον κναφικόν. φησὶν οὖν Ἀριστοφάνης, περίαγε αὐτὸν, καὶ στρέφε. τοῦτο γὰρ καὶ ἐργαλείου τὸ ἔργον.

Στροβεῖ, ταράσσει, κινεῖ, περισοβεῖ.

Στρόβιλον, στρογγύλον. στρόβιλος δὲ, τὸ περιφερὲς διχότομον τοῦ ᾠοῦ.

Στροβελὸν, σκολιὸν, καμπύλον.

Στροβανίσκος, τρίπους.

Στρόβιλος, ὁ ἄνεμος ι. στρόβηλος δὲ νῆσος, η.

Στρόβιλον, οἱ μὲν πολλοὶ τὰ ἐδώδιμον. λέγουσι δὲ καὶ αὐτὸ τὸ δένδρον. οἱ δὲ ἀρχαῖοι, τὴν βίαιον τοῦ ἀνέμου εἴλησιν καὶ συστροφὴν. στρόβιλον καλοῦσι. καὶ συστροβῆσαι, τὸ συστρέψαι, οὕτως οὖν ἡμῖν ῥητέον. τὸ δὲ ἐδώδιμον, πιτύων καρπόν. τὸ δὲ δένδρον, πίτυν. καὶ γάρ ἐστι πίτυς, τὸ ἐκκεκωκισμένον.

Digitized by Google

νον. ἔτι νῦν χόχωνα λέγουσιν οἱ πολλοὶ ὀρθῶς.

Στροβῆσαι, συστρέψαι, ἐκφοβῆσαι.

Στρόβιλοι, καταιγίδες, καὶ τὰ ὅμοια.

Στροβούμενος, συστρεφόμενος.

Στροβοῦντα, συστρέφοντα.

Στρογγύλην μήλην, τὴν σπαθομήλην, παρὰ τῷ Ἱπποκράτει.

Στρογγύλου, τοῦ μυρτιδανοῦ. αὐτὸν γὰρ οὕτω γράφει, καὶ τὸ ἰνδικὸν, ὃ καλοῦσι Πέρσαι πέπερι. ἐν αὐτῷ δέ ἐστί τι στρογγύλον, ὃ καλοῦσι μυρτιδανὸν, παρὰ τῷ Ἱπποκράτει.

Στροιβεῖν, ἀντιστρέφειν.

Στροίβηλος, ἔπαρμα πληγῆς ἐν κεφαλῇ.

Στροιβὸς, δεινός.

Στρομβίδες, νῆσοι. Δείναρχος τυραννικῷ. νῆσοι τινές εἰσι μεταξὺ Ζακύνθου καὶ Ἤλιδος κείμεναι.

Στρόμβος, ῥόμβος, ἀπὸ τοῦ περιστρέφεσθαι. καὶ στροβεῖ, σπαράττει, κινεῖ.

Στρόμβον, τινὲς μὲν ἄστακον νοοῦσιν, ἀπὸ τοῦ στρομβεῖσθαι, καὶ δινούμενον περιφέρεσθαι. ἔστι ρεῖ δὲ, τὴν παιζομένην βέμβικα. ἣν καὶ στρόβον βούλονται λέγειν οἱ ἰδιωτίζοντες. ἄλλοι τὸν ῥόμβον. τινὲς δὲ λίθον στρογγύλον.

Στρωμνὴ, παρὰ τὸ στορέσαι. ὃ σημαίνει τὸ στρῶσαι, γίνεται στρεμνὴ, καὶ συγκοπῇ στρωμνή.

Στροπὴ, ἀστραπή. Πάφιοι.

Στρουθία μὲν λέγονται, πάντα τὰ μικρότατα τῶν ὀρνίθων. στρουθὸς δὲ κυρίως, ὁ λεγόμενος στρουγλίτης.

Στρούθης, Σατράπης Βασιλέως ἦν.

Στρουθίον, πόας ῥίζα ἐπίθετος πρὸς ἐρίων ἔκπλυσιν.

Στρουθὸς, ὄρνεον.

Στροφάδας λέγουσι κεκλῆσθαι, διὰ τὸ τοὺς Βορεάδας αὐτόθεν ὑποστρέψαι, στραφέντας εἰς τὸ ὀπίσω, λαβὼν παρὰ Ἀντιμάχου. οἱ δὲ στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθεν ηὔξαντο τῷ Διῒ καταλαβεῖν τὰς ἁρπυίας. κατὰ δὲ Ἡσίοδον, καὶ Ἀντίμαχον, καὶ Ἀπολλώνιον οὐ κτείνονται πάρος πλωτὰς καλέοντες, αἱ πλωταὶ νῆσοι μετωνομάσθησαν στροφάδες. μέμνηται αὐτῶν καὶ Ἀντίμαχος ἐν τῇ λυδῇ. ὅτι δὲ ηὔξαντο, οἱ περὶ Ζήτην τῷ Διῒ στραφέντες, λέγει καὶ Ἡσίοδος.

Στροφάλιγξ, ἡ συστροφὴ, ὡς παρὰ τὸ λάϊγξ λαίγγα, οὕτω στρέφω στρόφος στρόφιξ, καὶ πλεονασμῷ τοῦ γ καὶ τῆς αλ συλλαβῆς στροφάλιγξ, καὶ ῥῆμα στροφαλίζω. στρόφος δὲ λέγεται, ὁ τῆς πήρας κρεμαστὴρ, παρὰ τὸ ἐστράφθαι, καὶ πᾶν τὸ στρεφόμενον.

Στροφαῖος Ἑρμῆς λέγεται, παρὰ τὸ στρέφεσθαι καὶ πανουργεῖν. λέγεται καὶ ἐμπολαῖος, καὶ κερδῷος, δόλιος, ἡγεμόνιος, ἐναγώνιος, διάκονος. ἄλλως. στροφὸν, ἐπεὶ στροφοὶ λέγονται, καὶ οἱ συμπεπλεγμένοι, καὶ δολεροὶ λόγοι. στροφαῖον δὲ ἐκάλουν ἱδρυμένον, παρὰ τῇ θύρᾳ τὸν δαίμονα. ἅμα δὲ παρὰ τὸ στρέφειν τὰ πράγματα. οἱ δὲ τὸ τοιοῦντες, πανοῦργοι. ἐπωνυμία δὲ τοῦτο Ἑρμοῦ, παρὰ τὸ ταῖς θύραις ἱδρῦσθαι ἐπὶ φυλακῇ τῶν κλεπτῶν. οὗτοι γὰρ ὀπίσω τῶν θυρῶν εἰώθασι καὶ ἀναδύεσθαι, καὶ ὅλως πανουργεύεσθαι.

Στροφάλιγγι, τῇ συστροφῇ.

Στροφάλιγγα κονίης, καὶ ἀέλλαν εἰπεῖν, ταυτόν ἐστιν. ἐπεὶ καὶ τὸ στρέφειν καὶ τὸ εἰλεῖν, ὅμοια. ὧν τὸ μὲν τὴν στροφάλιγγα παράγει, τὸ δὲ, τὴν ἀέλλαν.

Στρόφιγγα, τὸν στροφέα.

Στροφέα, σπόνδυλον τὸν ὀδόντα, λέγει ὁ Ἱπποκράτης τοῦ Ψελλοῦ, στροφέα δέ γε σπόνδυλόν φησί που τὸν ὀδόντα.

Στρόφιγξ, τὸ τῆς θύρας στροφίγγιον. ὃ καὶ θυραῖος λέγεται.

Στρόφιον, τὸ τῆς γυναικὸς ἐνώτιον. ἢ τὸ στρογγύλον ζωνάριον. Ἀριστοφάνης, τὸ στρόφιον ἤδη λύομαι.

Στρόφις, ἀπὸ τοῦ στρόφιγγος. ἡ μεταφορὰ παρὰ τῷ Λουκιανῷ, οἷον ἄστροφος, καὶ ἀκίνητος. ἐν τοῖς πράγμασι. λέγεται δὲ στρόφιγξ, τὸ τοῖς σωλῆσιν ἐμβαλλόμενον, ὥστε τὴν τοῦ ὕδατος ἐπέχειν, ὅτε τὶς θελήσει, καὶ αὖ πάλιν ἀνιέναι φοράν.

Στρόφοι, τὰ λεπτὰ τειχίδια.

Στρόφος, ἐκ τοῦ στρέφω. καὶ ἀπ' αὐτοῦ τὸ στροφῶ, κατ' ἔκτασιν, καὶ δηλοῖ τὸ στρέφω, οὕτω καὶ τρέπω τρόπος τροπῶ, τρέχω τρόχος τροχῶ, καὶ νέμω νόμος νωμῶ τὸ παρέχω. ἐξ αὐτοῦ δὲ, καὶ τὸ κινῶ. ὡσαύτως δὲ καὶ πέλω πόλος πωλῶ, τὸ ἀναστρέφομαι. καὶ αὐτὸ γὰρ καὶ τὸ πωλέσκω, διὰ τὸν τοιοῦτον κανόνα, μεγεθύνονται παρὰ τῷ ποιητῇ.

Στρόφος, σχοινίον ἐστραμμένον, ἤτοι κλωστόν. ἢ καὶ ἱμὰς τοιοῦτος, ἀφ' οὗ ἀείρεται, ἤτοι βαστάζεται καὶ κουφίζεται ἡ πήρα. διὸ καὶ ἀορτὴρ λέγεται, οὕτω καὶ τελαμών τις λέγεται ἀσπίδος ἀορτήρ. ὅτι δὲ στρόφος οὐ μόνον ὁ ποιητικὸς, ἀλλὰ καί τι νόσημα ζωϊκὸν, δηλοῖ καὶ ὁ κωμικὸς, ἐν τῷ στρόφος μ' ἔχει ὦ ἄνερ, καὶ ὀδύνη τὴν γαστέρα. δῆλον δὲ καὶ ὡς ἐκ τοῦ στρόφος, ἡ στροφὴ, κατὰ τὸ χόλος, ἡ χολή.

Στρύβλην, στρυπτηρίτιν, ἐν τῷ περὶ αἱμορροΐδων, καὶ συρίγγων, στρυμάργου. οἶδε καὶ ταύτην τὴν γραφὴν ὁ Διοσκουρίδης οὐ μόνον τὴν στομάργου, ἀλλὰ καὶ τοῦτο, οὐχ ὡς κύριον ὄνομα ἐξηγεῖται, ἀλλὰ τὸν μανικῶς ἐπτοημένον περὶ τὰ ἀφροδίσια δηλοῦσί φασιν. εἰρῆσθαι γὰρ παρὰ Ἱπποκράτει, καὶ ἄλλα πολλὰ, κατὰ τὸν αὐτὸν τρόπον ἐπιθέματα.

Στρύμη, πόλις.

Στρυμόνιοι, οἱ Βυθινοὶ τὸ πρότερον.

Στρυμόνιος, ὁ Βορρᾶς.

Στρύμοξ, ξύλον μεμηχανημένον ἐν τοῖς λῃνοῖς, πρὸς τὴν τῶν σταφυλῶν ἔκθλιψιν.

Στρυμὼν, ποταμός.

Στρυφνὸν, στερεὸν, ἰσχυρὸν, αὐστηρὸν, ἐπεστυμμένον, πυκνόν.

Στρυφνὸς, ὁ στύφων, καὶ τὸν οἶνον ἔπινε τὸν στρυφνὸν, καὶ βοσαίνη τίς. λέγεται δὲ καὶ μάζα.

Στρωματεὺς, ἰχθύς ποιὸς ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.

Στρωματεὺς, ἀδόκιμον. ἡ κλίνη. καὶ στρωματόδεσμος, ἀρχαῖον καὶ δόκιμον. καὶ στρωματεὺς ἰχθὺς ποιὸς ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. λέγεται οὖν καὶ ἐπὶ τῶν τριῶν ὀνομάτων.

Στρωμνὴ, παρὰ τὸ στρῶ στρώσω, ἢ παρὰ τὸ στορῶ στορέσω, ὃ σημαίνει τὸ γαληνιῶ γίνεται στορεμνὴ, καὶ συγκοπῇ στρωμνή. ἀπὸ δὲ τοῦ στορῶ, γίνεται στρωννύω. καὶ στρωτὴρ λέγεται μὲν ἐν τῇ συνηθείᾳ τὸ πλέγμα, τὸ ἀπὸ τῶν παπύρων εἰς σκηνὰς καὶ καλύβας πεποιημένον. οἱ δὲ Ῥήτορες στρωτῆρας καλοῦσι τὰ μικρὰ δοκίδια, τὰ ἐπάνω τῶν δοροδόκων τιθέμενα, ἢ τὰ εἰς ὀροφὰς πεποιημένα. ἄλλοι δὲ πλέγμα λέγουσι τὸν στρωτῆρα, τὸν ἀπὸ ῥάβδων εἰς ὀροφὴν πεποιημένον.

Στρωματίζειν, τὸ ἐπισάττειν ὄνῳ.

Στρωματίτην, ἔρανόν τινα, ἐν ᾧ ἑαυτοῖς παρεῖχον τὰ στρώματα.

Στρωννύμενον, ἐστρωμένον.

Στρωννὺς, λαγώς.

Στρωτὴρ, τὸ πλέγμα, τὸ ἀπὸ τῶν παπύρων, εἰς σκηνὰς καὶ καλύβας πεποιημένων.

* Στρωτὴρ. τὰ μικρὰ δοκίδια, τὰ ἐπάνω τῶν δοκῶν τιθέμενα, στρωτῆρας ἔλεγον.

Στρωφᾶσθαι, ἀντὶ τοῦ στρέφεσθαι, διάγειν, ἀπὸ τοῦ στρέφω στρωφῶ, στρωφάομαι, ῶμαι ποιητικῶς.

Στρωφᾶν, νήθειν, κλώθειν.

Στρῶφι, τόπος.

Στυαγὸν, τὸ στύμμα, παραγώγως.

Στυγεῖν, οὐ μόνον ἐπὶ τοῦ μισεῖν, καὶ ἐπὶ τοῦ φρίσσειν. ὅθεν καὶ στυγητὸς, καὶ ὁ στυγερός. ὡς τὸ, στυγέει δὲ καὶ ἄλλος, ἀλλὰ καὶ ἐπὶ τοῦ λυπεῖσθαι. ἀφ' οὗ πλεονασμῷ καὶ παραγωγῇ τὸ στυγνάζειν, καὶ ὁ στυγνός. Ἀντίλοχος οὐ μαθὼν θανεῖν τὸν Πάτροκλον, κατέστυγε μῦθον ἀκούσας.

Στυγερὸν, σημαίνει μὲν καὶ τὸ μισητὸν, καὶ τὸ ἐπίφοβον. παρὰ τῷ Ἀπολλωνίῳ δὲ, ἴσως καὶ τὸ ἐπίπονον.

Στυγέων, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ δεδοικώς. καὶ Ὅμηρος, τάγε στυγέουσι Θεοί περ. καὶ αὖθις, τόν γε στυγέουσι καὶ ἄλλοι.

Στυγητὸς, μισητός.

Στυγητὰ Θεοῖς, τὰ ἐν ᾅδου, ἐπειδὴ αὐτὰ μὲν θνητότητός εἰσι τόποι. οἱ δὲ θεοὶ αἰὲν ἐόντες, καὶ αἰειγενέται, καὶ οὐρανίωνες, διὰ τοῦτο στυγοῦσι τὰ κάτω, καὶ τὰ ὑπὸ γῆν. διὸ καὶ Στὺξ ἐν ᾅδου πεπλάσθαι εἶναι.

Στυγνάζω λέγεται, τὸ λυποῦμαι.

Στυγνὸν, ἀργὸν, ὠμὸν, χαλεπόν.

Στυγνὸς, κατηφὴς, ἤτοι ἄξιος λύπης.

Στύγνωσον, χώρισον.

Στυγὸς ὕδωρ, τῆς κρήνης τοῦ ᾅδου τὸ ὕδωρ. ἢ ὁ τῶν Θεῶν ὅρκος.

Στυλῆσαι ἔντεα, τὸ σκυλεῦσαι.

* Στυλίτης, ὁ ἐπὶ κίονος ἱστάμενος.

Στυλὶς, μέρος τι τῆς ἡμιολίας νεώς.

Στυλοβάτης, τοῦ κίονος ἡ βάσις.

Στυμνὰ, σκληρά.

Στύμος, στέλεχος, κορμός.

Στυμφαλίδας, τὰς σιδηροπτέρους ὄρνιθας, οὐκ ἠδυνήθη ἀπώσασθαι Ἡρακλῆς, εἰ μὴ κρόταλον χαλκοῦν ψόφον ποιῶν ἐφόβησε. πλωΐδες δὲ ὄρνιθες καλοῦνται, διὰ τὸ ἐν τῇ λίμνῃ αὐτὰς νήχεσθαι τῆς Ἀρκαδίας, ἃς Ἡρακλῆς ἀπεδίωξε. στύμφαλος δὲ, πόλις Ἀρκαδίας. στυμφαλὶς δὲ λίμνη. καὶ Ὅμηρος, στύμφαλόν τ' εἶχον. στυμφαλίδες δὲ λέγονται περὶ αὐτὴν ὄρνιθες, ἃς πλωΐδας εἶπεν Ἀπολλώνιος. οὕτω δὲ αὐτὰς ὀνομάζει καὶ Σέλευκος ἐν συμμίκτοις. καὶ Χάρων αὐτοῦ τοῦ Ἀπολλωνίου γνώριμος ἐν τῷ περὶ ἱστοριῶν τοῦ Ἀπολλωνίου. ἰδίως δὲ Μνασέας φησὶ, στυμφάλου τινὸς ἥρωος, καὶ ὄρνιθος γυναικὸς γενέσθαι στυμφαλίδας θυγατέρας, ἃς ἀνελεῖν τὸν Ἡρακλέα, ὅτι οὐ προσεδέξαντο αὐτὸν, καὶ ἐξένισαν τοὺς Μολίονας. Φερεκύδης δέ φησιν οὐ γυναῖκας, ἀλλὰ ὄρνιθας εἶναι καὶ ἀναιρεθῆναι ὑπὸ Ἡρακλέους, πλαταγῆς δοθείσης αὐτῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς. ὁμοίως καὶ Ἑλλάνικός φησι. τὴν δὲ στυμφαλίδα λίμνην φασὶ, διὰ βερέθρων ἐκδοθεῖσαν, ξηρανθῆναι.

Στυμφὴ, ἡ χαλκίς.

Στύφηλος, καὶ διὰ τοῦ α τὰ πλείω λέγεται στύμφαλος. προάγεται δὲ καὶ ἀρσενικῶς, καὶ θηλυκῶς. ἔστι δὲ οὐ μόνον πόλις ἀρκαδικὴ, ἀλλὰ καὶ πεδίον ὁμώνυμον καὶ πηγή. ὧν ἐθνικὸν,

Στυμφάλιος. ἐξ οὗ καὶ στυμφαλία Ἄρτεμις, καὶ λίμνη, καὶ γυνή. ὅθεν Στράβων μέμνηται καὶ αὐτὸς λίμνης στυμφαλίδος, λέγων καὶ ὅτι ἐνταῦθα τὰς ὄρνις μυθολογοῦσι, τοῖς ὑπὸ Ἡρακλέους τοξεύμασι, καὶ τυμπάνοις ἐξελαθείσας. ὅπερ τοῖς μεγάλοις ἄθλοις προσελογίσθη τοῦ ἥρωος.

Στὺξ, ἡ ἱστορουμένη παρὰ τοῖς Ποιηταῖς ψυχροτάτη παραδίδοται, καὶ οἷα ποιεῖν ῥιγοῦν τὸν εἰς αὐτὴν βάψαντα. καὶ ἡ κατὰ τὸν μῦθον δὲ πλουτώνειος στὺξ τῷ περατέρῳ συγκατέψυκται. ἀφ' οὗ κατὰ τοὺς παλαιοὺς καὶ τὸ περιστυγίζειν, ἐπὶ τῶν ἄγαν ῥιγούντων λέγεται. καὶ στυγερῶς, ἀντὶ τοῦ φρικτῶς, κρυερῶς. παρὰ τὴν στύγα, τὴν ψυχρὰν ἐν ᾅδου πηγήν. ἀφ' ἧς τὸ στυγέειν, οὗ μέλλων στυγήσω ἐξ ὧν τὸ στυγέωμεν, τὸ στυγερόν. τοῦ στυγήσω δὲ, τὸ στυγητόν.

Στὺξ, πηγὴ ἐν ᾅδου κατὰ τὸν μῦθον ἀστείως πλασθεῖσα, διὰ τὴν τῆς λέξεως δεξιότητα. ἐπειδὴ στυγητά εἰσι τὰ ἐν ᾅδου, τουτέστι φρικτά. ἡ δὲ ἱστορία, πηγὴν αὐτὴν οἶδεν ἐν Φενεῷ, ἢ Νωνάκρει τῇ περὶ Ἀρκαδίαν. ὅτι δὲ ὁ Γεωγράφος λιβάδιον αὐτὴν ὀλεθρίου ὕδατος λέγει, καὶ ὅτι ψυχρότατον τὸ κατ' αὐτὴν ὕδωρ, ὃ μηδὲν ἀγγεῖον στέγειν εἶχεν ἐξ ὀστράκου δηλαδὴ, εἴτε ὑέλου, πλὴν εἴπερ ἀπὸ κέρατος. παράγεται δὲ ἀπὸ τοῦ στυγὸς τοῦ μύθου στυγὸς, οὐ μόνον τὸ στυγεῖν, ὅ ἐστι μισεῖν καὶ φρίττειν, καὶ ὁ στυγητὸς, ἀλλὰ καὶ ὁ στυγνὸς, ὃ δηλοῖ καὶ τὸ στυγνάζοντα, ὅ ἐστι λυπούμενον, καὶ τὸ μισητὸν, παρὰ Σοφοκλεῖ. παρ' ὃ καὶ στύγιος δόμος, τὰ κάτω. ἐκ δὲ τοῦ στυγεῖν, τὸ στυγνάζειν ἐστὶ πλεονασμῷ τοῦ ν, καὶ παραγωγῇ συνήθει.

Στὺξ, λίμνη τοῦ ᾅδου παρὰ τὸ στυγεῖσθαι. ἔστι δὲ καὶ ἐν Ἀρκαδίᾳ ἑτέρα, διακόπτουσα πάντα τὰ ἀγγεῖα, πλὴν τῶν κερατίων.

Στύξαιμι, ἢ ἀντὶ τοῦ φρίξαιμι, καὶ μισήσαιμι, ἢ ἀντὶ τοῦ εἰς μῖσος καὶ ἔκπληξιν ἀγάγοιμι. παράγεται δὲ ἢ ἀπὸ τοῦ στύγω στύξω, ἢ ἐκ τοῦ στυγέω, ῶ, ήσω, κατ' ἀπέλασιν τοῦ η τῆς παραληγούσης στύγσω, καὶ τροπῇ τοῦ γ εἰς κ στύκσω, εἶτα τροπῇ τοῦ κ καὶ σ εἰς ξ στύξω, ἐξ οὗ καὶ ἔστυξα, καὶ τὸ στύξαιμι.

Στυ-

Digitized by Google

Στυγοῦσι, φοβοῦνται, μισοῦσι. καὶ στυγέων, ἀντὶ τοῦ δεδοικώς. καὶ Ὅμηρος, στυγέουσι θεοί περ. ἔστυγον αὐτὴν, ἀντὶ τοῦ ἔφριξαν. κατὰ τὸ στυγέει δὲ καὶ ἄλλος, ἤγουν φρίξῃ. ὅθεν καὶ Στὺξ, φρικτὴ πηγὴ, ἡ ἐν ᾅδου. ἀφ' ἧς οἷα φρικτῶς, οὐ μόνον ὁ στυγητὸς παρῆκται, καὶ ὁ στυγερὸς τὰ κοινὰ, ἀλλὰ καὶ ὁ στύραξ. Εὐκράτης γοῦν φασι στρατηγὸς Ἀθηναίων, Στύραξ ἐπεκαλεῖτο διὰ τὸ στυγεῖσθαι, ὡς δωροδόκος καὶ προδότης, διὸ κακὸς ὢν, καὶ κακῶς ὤλετο, ἤγουν ἀναιρεθεὶς, ἢ πιὼν κώνειον.

Στυγεραὶ ἐριννῦς, αἱ φρικταὶ, καὶ ὡς εἰπεῖν κρυεραὶ, καὶ ῥιγεδαναὶ, παρὰ τὴν στύγα, τὴν ἐν ᾅδου πηγήν. δαιμόνια δὲ τιμωρητικὰ αἱ ἐριννῦς, μάλιστα μὲν ἐκδικοῦσαι τὰ εἰς γονεῖς ἁμαρτήματα, δοκοῦσαι δὲ καὶ τοῖς λοιποῖς ἐπεξιέναι ἀδικήμασιν, ὡς αἱ ποιήσεις δηλοῦσιν. ὅτι δὲ πτερωταὶ πλάττονται, διὰ τὸ κατ' ἀλληγορίαν πάνυ ταχὺ τῆς θεόθεν δίκης καὶ ἀφύκτου, καὶ ὅτι τρεῖς εἰσι, καὶ τίνα ταύταις τὰ ὀνόματα, καὶ ὅτι ἄγριαι κατὰ δημίους, καὶ ὅτι μέλαιναι διὰ τὸ ἀφανῶς ἐπιέναι τοῖς κακοῖς. καὶ ὅτι τανύποδες, διὰ τὸ οἷον μακροσκελὲς, καὶ ὑπὸ πλατὺ τῆς διαβάσεως, καὶ ταχὺ, καὶ ἀκίνητον, καὶ ὅτι παρὰ τὸ ἐρῶ ἐπιτατικὸν, καὶ τὸ ἀνύειν αὐταῖς τὸ ὄνομα, ὡς ἄγαν ἀνυστικαῖς, ἢ σπουδαίαις. ἀνύειν γὰρ καὶ τὸ σπεύδειν παρ' Ἀττικοῖς, ἢ ὡς τὰς ἀρὰς ἀνύουσαι, ἢ ὡς οἷον ἐλίνυες ἀντιφραστικῶς, αἳ μάλιστα γοργαὶ, καὶ ὅσαι ἄλλαι τούτων ἐτυμολογίαι, ζητητέον ἐν τοῖς παλαιοῖς. παρ' οἷς καὶ ἀεὶ παρθένοι λογοποιοῦνται, διὰ τὸ μὴ ληπταὶ εἶναι προσώποις, καὶ ἀεὶ ὁρῶσαι πάντα τὰ ἐν βροτοῖς πάθη, καὶ ὡς εἰπεῖν ἄλαστοι, διὸ καὶ μνήμονες αἱ αὐταί. ὅθεν καὶ Ζεὺς ἀλάστωρ, καὶ ὁ φθονερὸς δαίμων ἀλάστωρ ἐπενοήθη λέγεσθαι. αἱ δὲ αὐταὶ καὶ σεμναὶ καὶ δειναὶ καὶ δεινῶπες καὶ ἔκφοβοι, ἔτι δὲ καὶ ποίνιμοι, διὰ τὸ κατ' αὐτὰς φοβερόν. λέγονται καὶ Εὐμενίδες κατ' ἀντίφρασιν, αἳ καὶ χαλκόποδες λέγονται, διὰ τὸ ἀκάματον, ἔτι δὲ καὶ βαρὺ τῆς ἐπεμβάσεως, καὶ μετάδρομοι κακῶν ἔργων. ἔτι δὲ καὶ λωβητῆρες ὑστεροφθόροι, ὡς μετὰ τὸ πραχθῆναί τι κακὸν ἐπάγουσαι λώβην αὐταί. καὶ ἄφυκτοι δὲ κύνες, διὰ τὸ οἷον ἰχνηλατεῖν, εἶτα καὶ δάκνειν τοὺς κακούργους. καὶ ἄϋπνοι δὲ, διὰ τὸ νηφάλιον καὶ ἀνύστακτον ἐπὶ τοῖς ἁμαρτάνουσι, καὶ μάλιστα τοῖς φονεύουσι. διὸ καὶ μίαν τούτων, Τισιφόνην καλοῦσιν, ἐπεὶ δίκας αὐτῇ τίνουσιν οἱ φονεῖς.

Στυγερὴ γαῖα, ἡ κατὰ ᾅδην. ἡ γὰρ ἄνω, φίλη μήτηρ. καὶ διὰ τοῦτο Δύμυτος τόπος. καὶ ἄλλως δὲ, ἄταφος εἴη ἂν γαῖα στυγερὴ, ὡς καὶ ἐριννύες στυγεραί.

Στυπάζει, βροντᾷ, ψοφεῖ, ὠθεῖ.

Στύπεα, στέλεχος, κορμὸς, καὶ τοῦ ὀφθαλμοῦ τὸ σῶμα, καὶ τὸ κῆτος, καὶ ὁ ψόφος τῆς βροντῆς.

Στυπεῖον, τὸ τυπτόμενον λινάριον, κατὰ πλεονασμὸν τοῦ σ. τυπεῖον γὰρ, καὶ αὐτὸ ἀπὸ τοῦ τύπτω.

Στύπιον, εἶδος λινοῦ.

Στυππειοπώλης, ὁ τὰ στυππεῖα πωλῶν, ταυτέστι καννάβινα λίνα. δηλοῖ δὲ ὁ Ἀριστοφάνης τὸν Εὐκράτην, ὃς στύπαξ ἐκαλεῖτο, διὰ τὸ στυππειοπώλης εἶναι.

Στύπος, τὸ πρέμνον καὶ στέλεχος. ἐξ οὗ καὶ ἀπεστύπαζον, καὶ ἔχμα, καὶ κώλυμα.

Στυππέϊνον, τετρασυλλάβως οὐ χρὴ λέγειν, ἀλλὰ στύππιον.

Στυπτηρία, χαλκῖτις, ἣν ἁπλῶς οὕτως ὀνομάζομεν χαλκῖτιν, παρὰ τῷ Ἱπποκράτει.

Στύρα, κεῖται κατὰ τὸν Γεωγράφον, πλησίον Καρύστου καὶ αὐτὴ, καὶ τὸ ῥηθὲν Μαρμάριον, ἐν ᾧ τὸ ῥηθὲν λατόμιον. τὸ ἐθνικὸν, Στυρεύς. τὸ δέ γε Στυράκιον, ἄλλο τι παρὰ τὸ στύρα ἐστὶν, ὄρος Κρήτης ὄν. ὁ μέντοι στύραξ, φυτόν ἐστιν, ἐξ οὗ ἀκοντίσματά φασι στυράκινα, ἐοικότα τοῖς κρανείοις. κατεστράφη δὲ τὰ Στύρα ὑπὸ Φαίδρου Ἀθηναίων στρατηγοῦ. καὶ πόλεις μὲν αὗται τῶν περὶ Ἐλεφήνορα, κοινῶς δὲ οἱ ὑπ' αὐτὸν Ἄβαντες.

Στυρακίζειν, κεντρίζειν.

Στυρακίῳ ἀντὶ βαλάνου χρησάμενος εἰς τὸν μοχλὸν, ἀντὶ τοῦ βαλάνου.

Στύραξ, τὸ κάτω τοῦ δόρατος τραχήλιον, ὃ καταπηγνύειν εἰς τὴν γῆν εἰώθασι.

Στύραξ τί σημαίνει, βλέπε σαυρωτήρ. χρῆσις τούτου καὶ παρὰ Θουκυδίδῃ εἰπόντι, ἀνοῖξαί τινα τὴν πύλην πλαταιαῖς ἀκοντίου στύρακι.

Στυφαλμεῖν, σκυραλίζειν.

Στυφελὴ, ἡ τραχώδης ἀκτή. στυφελὴν χθόνα λέγουσι τὴν τραχεῖαν, καὶ σκληράν. οὕτω Κλειτόριοι λέγουσιν, ὥς φησι Ζηνόδοτος ἐν γλώσσαις. Κυρηναῖοι δὲ τὴν χέρσον. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ χαλεποῦ. ὡς τὸ, ἀπὸ στυφελοῦ Ἀφροδίτης.

Στυφελίζω, ποιητικὴ λέξις, ἐκ τῶν κάτωθε ἄνω μετῆκται. δηλοῖ δὲ τὸ στρυφνῶς, ἢ ἐστυμμένως, ὅ ἐστι στυφέως ἐλίσσειν.

Στυφελισμοὺς, ὀργὰς, λοιδορίας, ὕβρεις, μέμψεις. Ἀριστοφάνης.

Στυφελοὶ πάγοι, ἀντὶ τοῦ σκληροί.

Στυφελίζειν δηλοῖ, τὸ στρυμνῶς καὶ ἐστυμμένως συστρέφειν.

Στυφελίζω, σείω, ἀσκῶ, διώκω, κινῶ.

Στύφλα νάσσονται κλίτη. λέγονται δὲ τὰ τραχέα κλίματα, Λυκόφρων.

Στυφοκόμπος, ὁ μάχιμος ὄρτυξ, παρὰ τὸ στερεῶς κόπτειν. ὄνομα ὀρνέου ἔπλασεν Ἀριστοφάνης, παρὰ τὸ κολάπτειν τὴν κεφαλὴν, ὃ συμβαίνει τοῖς ὄρτυξι.

Στύφος, κέρδος.

Στυφρὸν, στερέμνιον, βαρύ.

Στυχιοῦσι, διατυποῦσι.

Στύψαι, στυγνάσαι.

Στύψις, κόλλησις.

Στωϊκοὶ φιλόσοφοι, οἱ ἐκ τῆς στοᾶς. ἐκεῖ γὰρ ἦν αὐτῶν τὸ διδασκαλεῖον.

Στώμιξ, δοκὶς ξυλίνη.

Στωμοδόκον, στωμύλον.

Στωμυλίαν λέγει Ἀριστοφάνης, σκώμματα, κολακείαν, πανουργίαν.

Στωμυλιοσυλλεκταδὴ, ὁ πολυλογίας συνάγων.

Στωμύλλεσθαι, τρανῶς λαλῆσαι.

Στωμύλματα, περιλαλήματα.

Στωμύλος, ὁ ἐπιτήδειος τὴν γλῶτταν, καὶ πεπαιδευμένος, καὶ ὁ λάλος. καὶ ἔστι λέξις τῶν μέσων, καὶ ἐπὶ ἐπαίνου καὶ ψόγου. καὶ στωμύλος, ὁ μετὰ χάριτος πιθανολογῶν. καὶ στωμύλον φθέγμα, τὸ ὅμοιον. στωμύλος, καὶ ὁ πολυλόγος, καὶ φλύαρος, καὶ κομψὸς, καὶ πιθανολόγος. ἢ ὁ μετὰ γέλωτος ἐμπαίζων τινὰ, καὶ διασύρων.

Στωνυμέναι, διαστρέφουσαι στωπώνως.

ΤΟ Σ. ΜΕΤΑ ΤΟΥ Υ.

Σύαγροι, ὅπερ ἴων ἀνὴρ διαλύσας, σύες ἄγριοι ἐρεῖ. σύας εἴποι τις ἂν ἐνειρχθέντας εἰς σφαγήν.

Σύαγρος οὐ ῥητέον. σῦν ἄγριον οἱ ἀρχαῖοι λέγουσι.

Σύαγχος, ῥίζα ἐν ᾗ οἱ σῦς θηρεύονται.

Συάδες, αἱ ὕες, ἐσχηματισμένως.

* Συάκιον, εἶδος ἰχθύος.

Συανία, λοιδορία, καὶ ἡ διὰ χειρὸς μάχη.

Σύαρον, τὸν κλῶνα.

Σύαρτον, βούγλωσσον.

Σύας, κύων τις πολυῤῥήνιος.

Συβαρίζειν, παρὰ τὴν Συβαριτῶν τρυφήν. φασὶ γὰρ τοὺς Συβαρίτας πολυτελέσι χρῆσθαι τραπέζαις. ἔστιν οὖν ἀντὶ τοῦ τρυφᾶν. ἢ παρὰ τὰ συβάρια ἐπιφθέγματα, ἅ εἰσι παρ' Ἐπιχάρμῳ.

Σύβας, λάγνος.

Σύβακα, συώδη.

Συβάλλας, ὁ καταφερὴς πρὸς τὰ ἀφροδίσια.

Σύβαρις, ὄνομα πόλεως, ἣν κατῴκουν Ἴωνες, μηδὲν ἕτερον σπουδάζοντες ἢ ἀεὶ τρυφᾶν. ἐκ τούτων ἡ παροιμία ἐπὶ τῶν τρυφώντων, καὶ ταῖς ἡδοναῖς διεῤῥυηκότων, ὅτι συβαριτικῇ πρόσκεινται τῇ τραπέζῃ. σύβαρις οὖν Ἰωνικὴ κατέχει τὴν Φοινίκην, ἀντὶ τοῦ πάντες οἱ Φοίνικες τρυφῶσι, κατὰ τοὺς κατοικοῦντας τὴν Σύβαριν Ἴωνας.

Συβαρνὶς, περίκομμα.

Σύβαρις Συβάριδος, πόλις Ἰταλικὴ, καθ' ἣν τρυφηλοὶ ἐγένοντο ἄνθρωποι.

Συβαριτικὴ, τρυφηλή. καὶ ἡ τράπεζα ἣν συβαριτική. τρυφηταὶ γὰρ, οἱ Συβαρῖται.

Συβήνη, ἡ δερματίνη αὐλοθήκη, ἢ ἡ φαρέτρα.

Συβότης, ὁ συοτρόφος, χοιροτρόφος, ὁ χοιροβοσκός. καὶ ὄνομα κύριον.

Συβόσια, τὰ τῶν συῶν νόμια.

Σύβρα, ἐπὶ βοῶν. σημαίνει δὲ τὰς ῥυπαρόν τι ἐχούσας.

Συβριακὸν, τὸ πολυτελές.

Συβριάζειν, ἀπὸ τοῦ συβαρίζειν ἐν ὑπερθέσει. συβαρῖται γὰρ ἐπὶ τρυφῇ διεβέβληντο.

Συβριασμὸς, ὁ ἐν εὐωχίᾳ θόρυβος τῆς Ἐρεχθηΐδος φυλῆς.

Συβροὶ, ἰσχνοὶ, λαγαροὶ, τάφροι.

Συβώτας, Σπεύσιππος ὁ φιλόσοφος, ζῶόν τι.

Συβώτης, Ἀττικοὶ καὶ συβωτεῖν, οὐ συφορβὸς, οὐδὲ συφορβεῖν.

Συγγενεῖς, νῦν παρὰ Ἴωσι κασίγνητοι λέγονται.

Συγγενές ἐστι, τὸ ἐκ τοῦ αὐτοῦ γένους ὁμοτρόπως ὑπάρχον. συγγενές ἐστι, τὸ οὐδαμῶς διαφέρον τοῦ ἑτέρου, ἢ κατὰ βελτίωσιν, ἢ κατὰ μείωσιν. ἀλλ' ὁμοίως ἔχον.

Συγγένεια, ἡ σχέσις, καὶ συνάψις τῶν συγγενῶν, ὥσπερ ἱκετεία, ἡ δουλεία: καὶ τὸ πλῆθος τῶν οἰκετῶν.

Συγγένεσθε, ἀντὶ τοῦ συμμαχήσατε, παρὰ Σοφοκλεῖ.

Συγγενήσομαι, συμβουλεύσω.

Συγγίνομαι, συνομιλῶ.

Συγγινώσκω σοι τῆς ἀναισθησίας.

Συγγινωσκόμενοι, πειθόμενοι.

Σύγγνωθί μοι, ἤγουν συγγνώμων γενοῦ μοι, καὶ δίδου ἐμοὶ συγγνώμην.

Συγγνωμονεῖν μὴ εἴπῃς, συγγινώσκειν δὲ, καὶ συγγνώμης ἀξιοῦν. ὡσαύτως καὶ συγγνῶναι, καὶ συγγνώμης ἀξιῶσαι. καὶ κατὰ συγγνώμην ἵσταται κάλλιον λέγειν, ἢ συγγνώμης ἄξιόν ἐστι.

Συγγνωμονῆσαι οὐ χρὴ λέγειν, ἀλλὰ συγγνῶναι.

Συγγνώμων, ἐλεήμων.

Σύγγονος, ἀδελφός.

Συγγραμμάτων, βίβλων.

Συγγράφει τίς τινι, κοινωνῶν αὐτῷ τοῦ γράφειν. συγγράφεται δὲ, ὅστις τὰ καθ' ἑαυτὸν γινόμενα γραφῇ παραδίδωσι.

Συγγραφεῖς ἄνδρας ᾑροῦντο, ἵνα συγγράψωσι τοὺς μεθέξοντας τῆς τῶν τετρακοσίων ἀρχῆς, καὶ τοὺς τῶν τριάκοντα. ἐκαλοῦντο δὲ οἱ αὐτοὶ καὶ καταλογεῖς. εἰθισμένον ἦν παρ' Ἀθηναίοις, ὁπότε δέοι πλῆθός τι αἱρεῖσθαι, εἰς ῥητὴν ἡμέραν εἰσφέρειν γνώμας εἰς τὸν δῆμον, ὡς Ἰώσηπός φησι. τοῦτο δὲ καὶ πρὸ τῆς καταστάσεως τῶν νῦν ἔλεγον, καθὰ Θουκυδίδης ἐν τῇ ὀγδόῃ.

Συγγραφεὺς, ὁ τὰ ἐφ' ἑαυτοῦ γινόμενα ἱστορῶν.

Συγκαθιέναι ἐρεῖς, μὴ συγκαταβαίνειν.

Συγκαλεῖται, συνεδρεύει.

Συγκαλέσας, συναριθμήσας.

Συγκαρβαλώσας, συστρέψας.

Συγκατάθεσις, συμφώνησις.

Συγκαταβαίνει εἰς τὰς σκέψεις, συγκαταβαίνειν εἰς διδασκαλίας μὴ εἴπῃς, ἀλλὰ συγκαθιέναι, καὶ συγκαθήκειν εἰς τὸ παίζειν, ἢ εἰς ἄλλο τι.

* Συγκατάβασις. ὅταν μὴ ὡς ἐστὶν ὁ Θεὸς φαίνηται, ἀλλ' ὡς ὁ δυνάμενος αὐτὸν θεωρεῖν, οἷός τέ ἐστιν, οὕτως ἑαυτὸν δεικνύει. ἐπιμετρῶν τῇ τῶν ὁρώντων ἀσθενείᾳ τῆς ὄψεως τὴν ἐπίδειξιν.

Συγκαγχρῆσαι, συγχέαι.

Σύγκειται, ἀντὶ τοῦ συντεθειμένον ἐστὶ, καὶ ἡρμοσμένον ἐστίν. ἀφ' οὗ συγκείμενα, τὰ συντεθειμένα, καὶ ἡρμοσμένα, καὶ ἀπὸ τοῦ τὰ συμπεφωνημένα, οἷον παρὰ τὰ συγκείμενα ἐποίησεν,

Digitized by Google

σεῖ, ἤγουν τὰ συμπεφωνημένα. καὶ τὰ συντιθέμενα δὲ καὶ συντεθειμένα, ἐπὶ τῶν δύο τούτων σημαινομένων λαμβάνεται κατὰ ταύτην τὴν ἀκολουθίαν.

Συγκεκλεισμένοι, πολιορκούμενοι.

Συγκεκορδυλισμένα, συνηθροισμένα.

Συγκέκραμαι, παρὰ τῷ Ἀριστοφάνει, μεταφορικῶς ὡς ἀπὸ οἴνου καὶ ὕδατος τῆς συγκράσεως γενομένης.

Συγκέχυται, συντετάρακται.

Συγκηδεσταὶ, οἱ τῆς νύμφης καὶ τοῦ γαμβροῦ γονεῖς.

Σύγκλητος, τῶν ἐκκλησιῶν, αἱ μὲν ἔξωθεν κατὰ μῆνα ἐγίνοντο. εἰ δέ τι ἐξαίφνης κατεπείξειεν, ὥστε γενέσθαι Ἐκκλησίαν, αὕτη ἐκαλοῖτο σύγκλητος ἐκκλησία. Δημοσθένης κατὰ Αἰσχίνου.

Σύγκλυδες, γείτονες.

Συγκλύδων, συμμίκτων, ἢ τινῶν μεμιγμένων.

Συγκοιμᾶσθαι, συνελθεῖν.

Συγκοίτιον, τὸ ἑταίρᾳ συγκοιμηθείσῃ μίσθωμα.

Συγκολλητὴς ψιθύρων, ἀντὶ τοῦ ψιθυροπλάστης. Ἀριστοφάνης.

Συγκομιδὴ, ὡς ἐπὶ καρπῶν. Θουκυδίδης ἐν τρίτῃ, καὶ ἐν συγκομιδῇ καρποῦ ἦσαν. καὶ Λυσίας ἐν τῷ πρὸς Ξενοκράτην, συγκομίσας δὲ δῶρα, καὶ ἀποδοὺς τὸν ἀγρόν.

Συγκομίζειν, ἀντὶ τοῦ θάπτειν, ἀπὸ τῶν συναγομένων καρπῶν εἰς τὰς ἀποθήκας. ἐπ' ἐκείνων γὰρ λέγεται κυρίως τὸ συγκομίζειν, καὶ ἡ συγκομιδή.

Συγκομιστοὶ, ἤγουν ἄρτοι ῥυπαροὶ, διὰ τὸ πάντα τὰ ἄλευρα ὁμοῦ συγκομίζεσθαι, καὶ μὴ διακρίνεσθαι, παρὰ τῷ Ἱπποκράτει.

Συγκομμάτιον, σκευασία τις παρὰ τοῖς ὀψαρτυταῖς.

Συγκοπὴ, ἡ ἐκ τῆς μέσης λέξεως ἆρσις. οἷον, κατέκτανε, κάκτανε.

Συγκόψαι, ἐπὶ τὸ πληγαῖς αἰκίσασθαι, οὕτω οἱ μεταγενέστεροι.

Σύγκρασις, ποτὲ μὲν τὴν ἕνωσιν δηλοῖ, ποτὲ δὲ τὴν σύγχυσιν.

Συγκρητίσαι, συγκρητίσαι λέγουσιν οἱ Κρῆτες, ὅταν ἐνωθεῖσιν αὐτοῖς γένοιτο πόλεμος. ἐστασίαζον γὰρ ἀεί. Δοὺξ δὲ πρῶτον ὑπὸ Ῥωμαίων δουλωθεὶς, κατὰ τὸν μιτριδατικὸν πόλεμον, εἷλε δὲ τὴν νῆσον ὁ κληθεὶς κρητικὸς διὰ τοῦτο.

Συγκριθῶμεν, ὁμοιωθῶμεν.

Συγκρίνει, σαυισοῖ.

Συγκρινομένη, πρὸς ἰσότητα δοκιμαζομένη.

Σύγκρισις, μίξις, γένεσις, ὁμοίωσις, ἀντιπαράθεσις.

Περὶ συγκριτικῶν, καὶ Ὑπερθετικῶν.

Συγκριτικὰ, καὶ πρὸς ἕνα ἔχει τὴν σύγκρισιν, καὶ πρὸς πολλούς. οἷον τιμιώτερος τοῦδε. καὶ τιμιώτερος τῶνδε. συγκρίνειν ἐστὶ, τὸ παρατιθέναι καὶ παραβάλλειν ἓν πρόσωπον ἑνὶ προσώπῳ, ἢ δῆμον ὅλον, ὡς ἓν πρόσωπον ἑνὶ δήμῳ, καὶ ἀποδεικνῦναι θάτερον θατέρου, ἢ βέλτιον ἢ χεῖρον, ἤ τι τοιοῦτον. ὑπερτιθέναι δέ ἐστι, τὸ ἕνα πολλῶν ὑπεράνω τιθέναι, εἴτε κατὰ ψόγον, εἴτε κατὰ ἔπαινον, ἤ τι τοιοῦτον. γίνεται δὲ δὴ, τά τε συγκριτικὰ καὶ τὰ ὑπερθετικὰ τῶν ὀνομάτων, ἐκ μόνων τῶν ἐπιθέτων, ἃ καὶ τριγενῆ λέγονται. ταῦτα γὰρ μόνα ποιότητάς τινὰς, ἢ ποσότητας μόνον δηλοῦντα, τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται. ταῦτα δέ ἐστι τὸ σοφὸς, τὸ δίκαιος, τὸ αἰσχρὸς, τὸ μέγας, ἀλλ' οὐχ ὡρισμένα ὡς τὸ δίπηχυ, τρίπηχυ, καὶ τὰ τοιαῦτα. καὶ σοφοῦ σοφώτερος τίς ἐστι, καὶ μεγάλου μείζων. λέγομεν τοίνυν ἀπὸ μὲν τῶν ἐπιθέτων, σοφὸς μὲν τὸ ἐπίθετον, σοφώτερος δὲ τὸ συγκριτικὸν, σοφώτατος τὸ ὑπερθετικὸν, ἀπὸ δὲ τοῦ φίλου, οὐ φιλώτερος καὶ φιλώτατος, ἀλλὰ φίλτερος καὶ φίλτατος, κατὰ συγκοπήν. καὶ τὰ μὲν εἰς ος ἐπίθετα οὕτω ποιεῖ τὴν σύγκρισιν, διὰ τοῦ ω μεγάλου ἢ διὰ τοῦ ο μικροῦ. οἷον ἅγιος ἁγιώτερος ἁγιώτατος, ὅσιος ὁσιώτερος ὁσιώτατος, ἱερὸς ἱερώτερος ἱερώτατος, φιλόσοφος φιλοσοφώτερος φιλοσοφώτατος, λόγιος λογιώτερος λογιώτατος, γραμματικὸς γραμματικώτερος, γραμματικώτατος, ἀνδρικὸς ἀνδρικώτερος ἀνδρικώτατος, φρόνιμος φρονιμώτερος φρονιμώτατος, τίμιος τιμιώτερος τιμιώτατος, ὠφέλιμος ὠφελιμώτερος ὠφελιμώτατος, ῥητορικὸς ῥητορικώτερος ῥητορικώτατος, καὶ ἄλλα πολλά. Τὰ διὰ τοῦ ωτερος καὶ ωτατος, εἰ μὲν ἔχουσι τὴν πρὸ τοῦ ω συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω μεγάλου γράφεται, εἰ δὲ μακρὰν, κἄν τε φύσει, κἄν τε θέσει διὰ τοῦ ο μικροῦ. φύσει μὲν, οἷον ἰφθιμότερος ἰφθιμότατος, γριφότερος γριφότατος, ἀλυπότερος ἀλυπότατος, στανότερος στανότατος, ἀψυχότερος ἀψυχότατος, λιπότερος λιπότατος, πραότερος πραότατος, καὶ ἄλλα πολλά. Τὰ δὲ εἰς ης, εἰς ους κλινόμενα τριγενῆ, διὰ τοῦ εστερος ποιεῖ τὰ συγκριτικὰ, καὶ διὰ τοῦ εστατος τὰ ὑπερθετικά. οἷον ἀληθὴς ἀληθέος καὶ ἀληθοῦς, ἀληθέστερος ἀληθέστατος, συνήθης συνηθέστερος συνηθέστατος. ἔτι δ' ὅτι καὶ ἀπὸ τῶν εἰς ος οὐ μόνον διὰ τοῦ ωτερος, ἀλλὰ καὶ διὰ τοῦ εστερος, ὡς ἄφθονος ἀφθονώτερος καὶ ἀφθονέστερος. καὶ ὑγιεινὸς, ὑγιεινότερος καὶ ὑγιεινέστερος. ἀπὸ τῶν εἰς υς, ὥς τινες, οὐ μόνον ἀπὸ τῆς εὐθείας, ὡς βαρὺς βαρύτερος, ἀλλὰ καὶ ἀπὸ τῆς γενικῆς τοῦ βαρέος βαρεώτερος. ταῦτα μέντοι σπανίως εὑρίσκονται. τούτων γε μὴν τῶν εἰς υς ὀνομάτων, τινὰ μὲν ἁπλῆν ποιεῖται σύγκρισιν, τινὰ δὲ διπλῆν, ἔστιν ἃ καὶ τριπλῆν. καὶ ἁπλῆν μὲν, ὡς τὸ εὐρὺς εὐρύτερος εὐρύτατος. διπλῆν δὲ, ὡς τὸ ἡδὺς, καὶ γλυκὺς, καὶ ὠκύς. ταῦτα μὲν γὰρ οὐ μόνον ἡδύτερος ἡδύτατος, γλυκύτερος γλυκύτατος, ὠκύτερος ὠκύτατος, ἀλλὰ ἡδίων ἥδιστος, γλυκίων γλύκιστος, καὶ ὠκίων ὤκιστος, τούτοις δὲ ὁμοίως καὶ αἰσχρὸς, καὶ ἐχθρὸς, οὐκ αἰσχρότερος, καὶ αἰσχρότατος μόνον, καὶ ἐχθρότερος καὶ ἐχθρότατος· ἀλλὰ καὶ αἰσχίων αἴσχιστος, ἐχθίων ἔχθιστος. τριπλῆν δὲ, ὡς βραχὺς, βραδὺς, στ[illegible]αχὺς, ταχὺς καὶ ἐγγὺς ἐπίρρημα. βραχύτερος γὰρ καὶ βραχύτατος, καὶ βραδύτερος βραδύτατος, καὶ στ[illegible]αχύτερος στ[illegible]αχύτατος, καὶ ταχύτερος ταχύτατος, καὶ ἐγγύτερος ἐγγύτατος, βραχίων βράχιστος, βραδίων βράδιστος. καὶ βάρδιστος Ποιηταὶ λέγουσιν, ὡς τὸ κράτιστος, κάρτιστός ἐστι. καὶ ταχίων τάχιστος, καὶ παχίων πάχιστος, καὶ ἐγγίων ἔγγιστα, καὶ ἔτι βράσσων, ὅπερ ἄμφω δηλοῖ, τό τε βραχίων, καὶ βραδίων. καὶ θάσσων ταυτόν ἐστι τῷ ταχίων. καὶ πάσσων, τῷ παχίων, καὶ ἆσσον, τῷ ἔγγυον. πρὸς οἷς, καὶ τὸ ῥάδιον, ὅπερ οἱ Ποιηταὶ ῥηΐδιον λέγουσι, ῥᾷον ῥᾷστος ποιεῖ. πρὸς μὲν τούτοις, καὶ ἕτερα ἐστὶν ἐπίθετα ὀνόματα, ἃ ἀφ' ἑαυτῶν μὲν οὐ ποιεῖ, δανείζεται δὲ παρ' ἑτέρων ὀνομάτων ἀρρήτων. τὸ μὲν γὰρ καλὸς τὸ κάλλιστος ἔχει, καὶ βελτίων βέλτιστος. ὧν τὸ βελτίων οἱ Ποιηταὶ βέλτερος λέγουσι, καὶ ἀρείων ἄριστος, καὶ ποιητικῶς φέρτερος φέριστος, καὶ λώϊον λῷστον. καὶ ἔτι συγκριτικὰ μόνα ὑπερθετικῶν ἔρημα, κρείσσων, καὶ κρέσσον αἰολικῶς, καὶ ἀμείνων. καὶ τὸ μὲν καλὸς ταῦτα. τὸ δὲ κακὸς ποιεῖ μὲν καὶ οἴκοθεν τὸ κακίων κάκιστος, ἔχει δὲ καὶ τὸ ἔξωθεν τὸ χείρων χείριστος, ὧν τὸ χείρων, οἱ Ποιηταὶ χερείων καὶ χερειότερος λέγουσι. τὸ δὲ μέγας, τὸ μείζων καὶ μέγιστος, τὸ μικρὸς, τὸ ἐλάττων, ἐλάχιστος, καὶ ἔτι τὸ ἥσσων δίχα ὑπερθετικοῦ. τὸ πολὺς δὲ, τὸ πλείων πλεῖστος. καὶ τὸ ὀλίγος, τὰ αὐτὰ τῷ μικρῷ. Οὐ μόνον δὲ ἀπὸ ὀνομάτων γίνεται συγκριτικὰ, ἀλλὰ ἤδη καὶ προθέσεων, ὅπερ ἀπὸ τῆς πρὸ πρότερός τε καὶ πρότατος, ὃ καὶ πρῶτος γίνεται. καὶ ἀπὸ τῆς ὑπὲρ ὑπέρτερος ὑπέρτατος. καὶ ἔτι ἀπὸ ἐπιρρημάτων, ἐκ προθέσεων καὶ αὐτῶν παρηγμένων. ἀπὸ τοῦ ἄνω ἀνώτερος ἀνώτατος. ἀπὸ τοῦ κάτω δὲ κατώτερος καὶ κατώτατος, καὶ τοῦ πάρος παροίτερον καὶ παροίτατον. καὶ ἔτι ἀπὸ τῆς ἀπὸ ἀπώτερον ἀπωτάτω. καὶ ἔτι ἀπὸ τοῦ μάλα, τό, τε μᾶλλον καὶ μάλιστα, καὶ ταῦτα μέντοι ταῦτα. Ποιηταὶ δὲ τῇ ἑαυτῶν ἀδείᾳ καὶ πρὸς ταῦτα καταχρησάμενοι, καὶ ἀπὸ συγκριτικῶν συγκριτικὰ ἔπλασαν, καὶ ἐξ ὑπερθετικῶν ὑπερθετικά. ὡς τό τε ἄρειον ἀρειότερον προσεῖπον, καὶ τὸ λώϊον λωΐτερον, καὶ τὸ μεῖζον μειζότερον, καὶ τὸ ὑπέρτερον ὑπερτερώτερον, καὶ χερειότερον, καὶ πλειότερον, καὶ τοῦ ῥᾷον ῥᾴτερον. ἔτι δὲ πρὸς τούτοις, καὶ ἀπὸ τοῦ πρώτου ὑπερθετικοῦ ὄντος, ὕπερον ὑπερθετικὸν, τὸ πρώτιστος εἵλκυσαν. τούτοις δὴ πᾶσι τοῖς συγκριτικοῖς καὶ ὑπερθετικοῖς, τὴν ἀνάλυσιν εἴς τε τὸ μᾶλλον καὶ μάλιστα γενομένην ἴσμεν. σοφώτερος γὰρ ἕτερον ἑτέρου λέγομεν, τὸν μᾶλλον ἐκείνου σοφόν. καὶ σοφώτατον, τὸν μάλιστα πάντων σοφόν. ὅθεν δὴ καὶ ταυτόν ἐστιν εἰπεῖν σοφότερος ὅδε τοῦδε. καὶ σοφὸς μᾶλλον τοῦδε. καὶ ἔτι σοφώτατος ὅδε πάντων, καὶ σοφὸς μάλιστα πάντων ὅδε. ἔστι δ' ὅτε πρὸς τῷ συγκριτικῷ μᾶλλον τιθέασιν, ὡς Εὐριπίδης· θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος, ἢ ζῶν. καὶ ἐν τοῖς ὑπερθετικοῖς Ὅμηρος ὑπερθετικὰ ἐπιρρήματα τίθησιν, ὡς τὸ οἰωνοπόλων ὄχ' ἄριστος, καὶ πολλὸν ἄριστος. ἐνίοτε δὲ καὶ τὸ συγκριτικὸν καὶ τὸ ὑπερθετικὸν, ἀντὶ ἀπολύτου τιθέασιν, ὡς Εὐριπίδης. εἰ μὲν γὰρ εἰς γυναῖκα σωφρονεστέραν, ἀντὶ τοῦ σώφρονα. καὶ ὅταν λέγω συνετώτατον λόγον εἶπεν ὁ δεῖνα. οὐ γὰρ πάντων συνετώτατον λέγω, ἀλλὰ πάνυ συνετὸν λέγω. δεῖ δὲ τὴν σύγκρισιν καὶ ὑπέρθεσιν ἐν ἐκείνοις προβαίνειν, ἔνθα καὶ ἄμφω τὰ τιθέμενα πρόσωπα τοῦ αὐτοῦ μετέχει, περὶ οὗ τὴν παραβολὴν ποιούμεθα.

Συντάσσεται τὸ συγκριτικὸν, ἢ γενικῇ. ὡς ὅταν λέγωμεν σοφώτερος ὅδε τοῦδε, ἢ τῷ ἢ, μεταξὺ τιθεμένου. καὶ μετὰ ταύτης πάλιν πτώσεως ἢ τὴν καὶ συγκριτικὸν, ὡς τὸ σοφώτερος ὁ δεῖνα ἢ ὁ δεῖνα, καὶ τὸ Ὁμηρικὸν ἐκεῖνο. ἀρείοσιν ἠέπερ ὑμῖν ἀνδράσιν ὡμίλησα. ἢ ὅπερ ἀττικώτερον μετὰ τοῦ ἢ τῆς κατὰ προθέσεως, σὺν αἰτιατικῇ κειμένης, ὡς ὅταν λέγω, γυνὴ μεῖζον ἢ κατὰ γυναῖκα φρόνημα ἔχουσα. καὶ στερεωτέρα ἢ κατὰ γυναῖκα. καὶ μεῖζον τὸ ἔργον, ἢ κατὰ τὴν ἐμὴν δύναμιν.

Συγκριτικὰ καὶ ὑπερθετικὰ συντάσσονται γενικῇ. καὶ οὐ λαμβάνονται ἔξωθεν προθέσεις. συγκριτικὸν οὐ δύναταί ποτε λέγεσθαι χωρὶς ἐκείνου, μεθ' οὗ συγκρίνεται. πρὸς ἓν γὰρ ἀφορᾷ, ὅπερ ἐστὶν ἄδηλον, ὁποῖόν ἐστιν εἰ μὴ περιλαμβάνεται τῷ λόγῳ ἐπὶ τοῦ Θεοῦ. λέγεται ἐξαιρέτως συγκριτικὰ μόνα, μὴ περιλαμβανομένων τινῶν εἰς σύγκρισιν. οἷον τὸ κρεῖττον, οὐδὲ γάρ ἐστιν ἑνός τινος κρεῖττον, ἀλλὰ πάντων. ἔτι τὰ τοῦ συγκριτικοῦ ἐπιρρήματα μετὰ τοῦ ἢ καὶ ἀπαρεμφάτου συντάσσονται. χαλεπώτερα ὕβρισεν, ἢ ὥστε δύνασθαι καλῶς ζῆν. ἔστι δ' ὅτε καὶ τοῦ ὥστε λείποντος οὐδὲν παρὰ τοῦτο ἡ σύνταξις βλάπτουσα. ὡς Σοφοκλῆς, τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν. Ἐπὶ πάσης συγκρίσεως τρία ἐμφαίνεταί τινα. ἢ πρόσωπα, ἢ πράγματα. καί τοι τῆς συγκρίσεως ὁλοσχερεῖ λόγῳ ἐπὶ δύο γινομένης. οἷον ἂν λέγω, οὗτος γνωριμώτερός ἐστιν ἐμοὶ ἢ σοὶ, τρία φημὶ πρόσωπα. ἂν δὲ λέγω, οὗτος σοφώτερός ἐστιν ἐμοῦ, οὐδὲν ἕτερον λέγω, ἢ ὅτι οὗτος μᾶλλον ἔχει τὴν σοφίαν ἢ ἐγώ. καὶ ἐμφαίνω κἀνταῦθα τρία τινά, τοῦτον, καὶ ἐμὲ, καὶ τρίτην σοφίαν. Τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν, οἱ Ἀττικοὶ παραλαμβάνουσιν, ὡς παρὰ Φιλοστράτῳ, πλειόνων ζωγράφων, ἀντὶ τοῦ πολλῶν. πολλάκις καὶ ἁπλοῦν, ἀντὶ συγκριτικοῦ. οἷον ἀγαθὸν ἀντὶ τοῦ ἀγαθώτερον. χρῶνται δὲ οἱ Ἀττικοὶ πολλάκις καὶ ὑπερθετικῷ ἀντὶ συγκριτικοῦ. ἀντὶ γὰρ τοῦ εἰπεῖν θηριωδέστερον πάντων, θηριωδέστατον πάντων λέγουσιν. Ἀττικῶν ἐστι, τὸ μετὰ ἁπλοῦ ὀνόματος ἐκπληροῦν συγκριτικὸν ὄνομα. οἷον ἀντὶ τοῦ εἰπεῖν σοφώτερος ὁ δεῖνα τοῦ δεῖνος, εἴποι ἂν, μᾶλλον σοφὸς τοῦ δεῖνος. καὶ πάλιν μετὰ ἁπλοῦ ὀνόματος καὶ ὑπερθετικοῦ ἐπιρρήματος δηλοῦν ὑπερθετικὸν ὄνομα. οἷον ἀντὶ τοῦ εἰπεῖν σοφώτατος πάντων, εἴποι ἂν μάλιστα πάντων σοφός. τὸ δὲ ὑπερθετικὸν, ἀεὶ γενικῇ πληθυντικῶν συντάσσεται. ὡς τὸ Ἀτρείδη κύδιστε φιλοκτεανώτατε πάντων. πρὸς τὰ ὁμογενῆ μέντοι τῷ ὑπερτιθεμένῳ δεῖ τὴν ὑπέρθεσιν γίνεσθαι. ὥσπερ ἐνταῦθα, Ἀτρείδης ἄνθρωπος ὢν, πάν-

Digitized by Google

πάντων ἀνθρώπων φιλοχρημάτων ὑπερτίθεται. ἀλλ᾽ ἔνθα ἂν μὴ ὁμογενῆ τὰ παρατιθέμενα ᾖ, ἀλλ᾽ ἐν πολλῶν μὴ ὁμογενῶν ὑπερτίθεται, συγκριτικῶς τοῦτο προφέρομεν. ὡς ὅταν φῶ, δεινότερον πάντων θηρίων τὸν ἄνθρωπον εἶναι. οὐ γὰρ δεινότατον. ὅτι μὴ δ᾽ ὁμογενῆ τῷ ἀνθρώπῳ ἐστὶ τὰ θηρία. Τοῦτο μέντοι τὸ ὑπερθετικὸν, ἐνίοτε καὶ ἑνικῇ γενικῇ συντάσσεται, ὅπερ ἐστὶ καινοπρεπὲς, ὅταν ἐμφαντικὸν πλῆθος ᾖ. οἷον πρεσβύτατος τοῦ ἑλληνικοῦ ὁ Νέστωρ εἰς Τροίαν ἦλθε. τὸ γὰρ πλήθους ἢ στρατοῦ δηλοῖ, ὃ πλῆθος ἐμφαίνει. καὶ ἄλλως δὲ, ὅταν μὴ πρὸς πρόσωπον ὅπερ ἡ γενική ἐστι παραβάλληται, ἀλλὰ πρὸς ἄλλα τινὰ τῶν περὶ αὐτό. οἷον καὶ τότε ἄριστα ἑαυτοῦ διελέχθη ὁ Νέστωρ. τὸ γὰρ ἄριστον οὐ πρὸς αὐτὸν τὸν Νέστορα παραβάλλεται, ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ δημηγορίας πάσας. ὡσανεὶ ἔλεγε τό τε ἄριστα τῶν ἄλλων ἑαυτοῦ δημηγοριῶν διελέχθη ὁ Νέστωρ. ἔστι δ᾽ ὅτε ὑπερθετικὸν, οὐδὲ πρὸς γενικήν τινα ἀποδίδοται. οἷον, ἕσπερος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστὴρ, ἀντὶ τοῦ εἰπεῖν κάλλιστος τῶν ἀστέρων, κάλλιστος ἀστὴρ εἶπεν ἀπὸ τοῦ αὐτοῦ ὀνόματος, ἀντὶ γενικῆς τὴν εὐθεῖαν μεταβαλών. ἔστι δὲ ἐν τῇ ἐννοίᾳ ταυτόν. ὁ γὰρ κάλλιστος τῶν ἀστέρων, ἀστήρ ἐστιν. ἔστι δὲ καί τινα ὀνόματα ἀπολύτως λεγόμενα, ἃ τοσαύτην οἴκοθεν ἔχει τὴν ὑπεροχὴν, ὥστε οὐδὲ δεῖται γενικῆς πρὸς ὑπέρθεσιν ἐλθεῖν, ἀλλὰ αὐτόθεν γενικῇ πληθυντικῶν συντάσσεται. ὡς τὸ δῖα θεάων, καὶ ἔξοχος, καὶ κορυφαῖος ἁπάντων. καὶ μόνος ἁπάντων. ὧν τὸ, τε κορυφαῖος καὶ τὸ μόνος, ὑπερθετικά ἐστιν, ὅτε ποιεῖ κορυφαιότατος, καὶ μονώτατος, οὐκ ἀναγκαίως. οὔτε γὰρ τῆς κορυφῆς ἀνώτερόν τι εὑρίσκεται, οὔτε τοῦ μόνου μονώτερον. διὰ τοῦτο οὐ συγκριτικὰ ποιοῦσιν, ἀλλὰ ὑπερθετικὰ μόνα. ἐπεὶ δὲ τὰ μὲν ὀνόματα καὶ συγκριτικῶς προφέρονται. ὡς τὸ σοφὸς σοφώτερος, τὰ δὲ ῥήματα οὐ δύνανται συγκριτικῶς προφέρεσθαι, ἐνταῦθα καὶ τὸ μᾶλλον τῷ ῥήματι. ἂν δὲ λέγω οὗτος μᾶλλον φιλεῖ ἐμὲ, ἢ σὲ, τρία πρόσωπα λέγω. ἂν δὲ λέγω οὗτος μᾶλλον οἶδε φιλεῖν, ἢ μισεῖν, τρία λέγω. τὸν ἄνθρωπον, τὴν φιλίαν, καὶ τὸ μῖσος. δυνάμεθα μὲν οὖν ἐν τῷ οὗτος γνωριμώτερός ἐστιν ἐμοὶ ἢ σοὶ, τότε συγκριτικὸν ὄνομα καὶ τὸ ῥῆμα εἰς ἓν ῥῆμα συνάψαι, καὶ τὸ μᾶλλον προσθεῖναι, καὶ εἰπεῖν. οὗτος ἔγνωσται μᾶλλον ἐμοὶ, ἢ σοί. καὶ αὖθις. οὗτος μᾶλλον φιλεῖ ἐμὲ, ἢ σέ. τὸ ῥῆμα εἰς ὄνομα καὶ ῥῆμα ἀναλῦσαι, καὶ τὸ μᾶλλον ἀποβάλλειν. οἷον οὗτος προσφιλέστερος ἐστὶν ἐμοὶ, ἢ σοί. δυνάμεθα δὲ καὶ τὸ συγκριτικὸν ὄνομα καὶ τὸ μᾶλλον θεῖναι. οἷον, οὗτος σοφώτερός ἐστιν ἐμοῦ μᾶλλον, ἢ σύ. ἔνθα καὶ δύο συγκρίσεις ὁμοῦ γίνονται, μία μὲν ἡ τούτου πρὸς ἡμᾶς ἀμφοτέρους, ἑτέρα δὲ ἡ ἐμοῦ πρὸς σέ. ἔνθα καὶ οὐ δυνάμεθα τό, τε συγκριτικὸν καὶ τὸ ἐστὶν, ἓν ῥῆμα ποιῆσαι, καὶ μετὰ τοῦ μᾶλλον εἰπεῖν, οὗτος σεσόφισται μᾶλλον ἐμοῦ, ἢ σοῦ. διὰ τὸ προϋποκεῖσθαι τὸ ἕτερον μᾶλλον, καὶ σύγχυσιν ἐν λόγῳ καὶ ἀσάφειαν γίνεσθαι.

Συγκροτῶ, ἐπὶ τῶν χαλκέων κυρίως, καὶ ἀπὸ τούτου ἐπὶ τῶν συμφωνούντων. συγκροτήσω, συγκροτισμός.

Σύγκρυμα, χρέως, δάνειον. τινὲς τὴν σύμμικτον λοπάδα.

Συγκρουστὰ ἱμάτια, ὧν ἡ κροκὶς ἀναστρέφεται.

Συγκυκάω, συνταράττω. Ἀριστοφάνης, ἐς ταυτὸν ἡμᾶς συγκυκήσας τρυβλίον, ἤγουν συνταράξας.

Συγκύρημα, * καὶ συγκυρία, συντύχημα.

Συγκυροῦντα, διαφέροντα.

Συγκύρσεται, συντεύξεται.

Συγχαίρειν, τὸ συνήδεσθαί τινος ἀγαθοῖς.

Συγχάσαι, συγχωρῆσαι.

Σύγχει, ἤγουν συνέχεε Ὅμηρος, ἀλλ᾽ οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.

Συγχεῖ νόμον καὶ ἔθος, καὶ ἀνατρέπει νόμον καὶ πολιτείαν, καὶ ἀναιρεῖ βουλὴν καὶ νόμον καὶ προβούλευμα, παρὰ Δημοσθένει. καὶ περὶ μὲν δὴ τοῦ προβουλεύματος ὡς ἀνήρηκε μηδὲν ἥγηται. καὶ κινεῖ νόμον καὶ τὸ ψήφισμα, καὶ τὰ τῶν πατέρων διδάγματα καὶ ὅρια. καὶ λύει δημοκρατίαν καὶ νόμον καὶ ἐκκλησίαν, ὁμοίως καὶ καταλύει. ὡς καὶ Ἀριστοφάνης, ὅτι καταλύει τὰς δημοκρατίας εἷς ὤν. ταῦτα πάντα ὡς ἓν καὶ ἐπὶ τοῦ αὐτοῦ.

Συγχεῦαι, συγχέαι, συγκόψαι, συντρίψαι.

Συγχειμωθέντα, συνενεχθέντα.

Συγχίας, τὸ πρὸς ἄγκιστρον μέρος τῆς ὁρμιᾶς.

Σύγχυσις, μῖξις, θόρυβος, ἀφανισμός. ἡ σύγχυσίς ἐστι, τὸ ἐκ διαφόρων συνεστὸς, καὶ τὴν ἑκάστου ἰδιότητα μὴ γνωρίζον.

Συγχωρῶ κοινῶς, ἀντὶ τοῦ ἀφίημι. Ἀττικῶς δὲ, ἀντὶ τοῦ συνέρχομαι, καὶ συμφωνῶ, ὡς τὸ, γνώμῃ δὲ μιᾷ συνεχώρει τὴν.

Συγχωρῶ σοι τοῦ ἁμαρτήματος, καὶ τὸ ἁμάρτημα.

Συγχωρῶ, τὸ ἐπιτρέπω, καὶ τὸ μὲν ἐπιτρέπω δοτικῇ, ὁμοίως τῷ συγχωρῶ. προτρέπω δὲ αἰτιατικῇ, σημαίνει δὲ τὸ ἀφίημι, τὸ συγχωρῶ, τὸ ἐπιτρέπω, τὸ ἐνδίδωμι. ταῦτα καὶ ἐπὶ τοῦ αὐτοῦ, καὶ πρὸς ἀπαρέμφατον ἀποδίδομεν.

Σὺ δὲ, σώθεο, σὺ δὲ κατάθου.

Σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο. σὺ δ᾽ ἐγκατάθου ταῖς φρεσί.

Σύδην, ταχέως καὶ ὁρμητικῶς.

Συζῶ, ὁμοῦ ζῶ.

Συζυγεῖν, τὰ ὑποζύγια ὑποφωνεῖν ἐν τῷ ἕλκειν.

Συζυγία, ἐκ τῆς σὺν προθέσεως, καὶ τοῦ ζυγός. καλεῖται δὲ διὰ τὸ συνεζευγμένα ἔχειν ἑκάστην σύμφωνον ἀλλήλαις, δι᾽ ὧν ἑκάστη παράγεται.

Συζυγία, συνέλευσις, καὶ συμφωνία δύο συλλαβῶν εἰς μίαν συλλαβὴν, ἢ ἀκόλουθος ῥημάτων κλίσις.

Συζῶ, τότε τίθεται, ὅτε ἀπὸ γεννήσεως συμπαρατείνεταί τινι τὸ πρᾶγμα ἐκεῖνο, ᾧ συζεῖ. οἷον, πενίᾳ συνέζησεν. ὡς ἔφαμεν καὶ παρὰ Συνεσίῳ, συνεζηκὼς ἀρετῇ.

Σύζωσμα, ἐν τῷ μεταλλικῷ τὸν ἐκρέοντα χαλκόν.

Συῆλαι, τόποι βαρβαρώδεις.

Συηνίας, αἰσχρὸς, σκαιὸς, ἀμαθής.

Συηνία, κανηνία, ἀμαθία, σκαιότης, παρὰ Φερεκράτει. καὶ συηνεῖν, Πλάτων τὸ ἀμαθῶς ἀναστρέφεσθαι, καὶ συώδες τι ποιεῖν.

Σύθεν, ὥρμησαν.

Σύθι, ἐλθέ.

Συθνὸν, κεκρυμμένον.

Συΐ, συάγρῳ.

Σῦκα, τὸ συκοφαντεῖν παράγει, τὸ χείριστον, καὶ τὸ φυτὸν, καὶ κάρπιμον. ἔτι καὶ τὸ συκάζειν, ἤγουν ἐπηρεαστικῶς πιέζειν. ἢ τοὺς ὑπευθύνους, κατὰ τὸν Κωμικὸν, ἢ ἑταιρικούς τινάς. καὶ παροιμίαν γεννᾷ, τὴν ὁμοιότερος σύκου, ἐπὶ τῶν πάντῃ παρῳκηκότων κατ᾽ ὄψιν. φύει δὲ καὶ τὸ συκίνη ἐπικουρία, ἐπὶ τῶν ἀχρείων βοηθεῖν.

Σύκα, ἐπαναστάσεις σαρκώδεις, ἐν τοῖς τῶν βλεφάρων τόποις γενόμεναι παρὰ τῷ Ἱπποκράτει.

Συκάζω, τὸ τὰ σῦκα συνάγω. καὶ συκάζειν, τὸ ἐκλέγειν τὰ σῦκα, ἀπὸ τῶν συκῶν.

Συκαλὶς, τὸ ὀρνίθιον, ἐν σύκων καιρῷ ἁλισκομένη, ἣν Ἐπίχαρμος ἐν δυσὶ λ᾽ ἔγραψε.

Συκαμήδωρος, μωρός.

Συκάμινα, ἡ παρ᾽ ἐνίοις μορέα, τὸ δένδρον, καὶ ὁ καρπός.

Συκάνης, συνετὸς τῆς συκομορέας.

Συκάστρια, συκοφάντρια.

Συκέας, πρωτότυπόν ἐστι τοῦ συκᾶς εἰπεῖν, κατὰ συναίρεσιν. ἔστι δὲ ὥσπερ ἀμυγδαλέα ἀμυγδαλῆ, κτητικῶς φασὶ παρὰ τὸν καρπὸν ὄντος τοῦ χαρακτῆρος, οὕτω καὶ συκέα συκῆ, διὰ τὸν κατ᾽ αὐτὰς καρπὸν τὰ σῦκα. οὕτω δέ φασι καὶ ῥοδῆ περισπωμένως παρ᾽ Ἀρχιλόχῳ, παρ᾽ ᾧ κεῖται καὶ τὸ, ῥοδῆς καλὸν ἄνθος.

Συκεάτης, ὁ Διόνυσος.

Συκῆ, καὶ ἀμυγδαλῆ, καὶ πάντα τὰ τῶν δένδρων ὀνόματα, τὰ ἀπὸ συναιρέσεως ἐπὶ τέλους ἔχοντα τὸν τόνον, περισπῶνται. συκέα γὰρ συκῆ, καὶ ἀμυγδαλέα ἀμυγδαλῆ, καὶ πάντα δὲ τὰ τῶν δένδρων ὀνόματα περισπῶνται, καὶ ψιλογραφοῦνται, πλὴν τοῦ ἐλαία, καὶ συκομμορέα.

Συκῆ, τὸ δένδρον. καὶ ὁ καρπὸς αὐτῆς σῦκα. καὶ συκάζειν, τὸ συκαῖς ἐντρυφᾶν. ἐρινεὸς δὲ, ἡ ἀγρία συκῆ.

Συκῆν, εὕρεμα Διονύσου φασὶ, διὸ συκίτης Διόνυσος ἐν Λάκωσι.

Συκῆς, ἐν τῷ πρώτῳ τῶν γυναικείων, καὶ πυρίαν συκῆς, ἀπὸ ῥίζης, ἐν ἴσῳ τῷ συκίας, ὅ ἐστι συκαμίνου. ὅπερ ἑτέρωθι ὥσπερ ἐξηγούμενός φησι μορέου ῥίζης.

Σύκινοι ἄνδρες, ἤγουν ἀσθενεῖς καὶ ἀχρεῖοι. ὅτι τὸ τῆς συκῆς ξύλον, εὔθραυστον, ἀσθενὲς, καὶ ἀδύνατον. ὅθεν καὶ παροιμία, συκίνη ἐπικουρία, ἡ μηδὲν ὠφελοῦσα, ἀπὸ μεταφορᾶς τῆς συκῆς.

Σύκινον, ἴσον τῷ ἀσθενεστάτῳ. τὸ γὰρ ξύλον τῆς συκῆς ἀσθενὲς, καὶ χαῦνον. ὅθεν καὶ συκίνη ἐπικουρία, ἀντὶ τοῦ ἀσθενὴς, καὶ ἀνωφελής. ἢ σύκινον, τὸν συκοφάντην κεκαλυμμένως λέγει Ἀριστοφάνης, ἀπὸ τῆς συκῆς σχηματίσας τὸ ὄνομα.

Σύκιον, τὸ τῶν ἰσχάδων ἀφέψημα.

Συκίδας, τὰς ἐχούσας ἐν τοῖς δακτυλίοις συκάς.

Συκίνη μάχαιρα, συκοφάντρια.

Συκοαιτεῖν, κολακεύειν.

Συκομορέα, τὸ δένδρον.

Συκοπαδίας, ὁ συκοφάντης.

Συκοφάνται. λοιμοῦ γενομένου ἐν τῇ Ἀττικῇ, ὅτι λάθρα τὰς συκᾶς τὰς ἀφιερωμένας τοῖς θεοῖς ἐκαρποῦντο. μετὰ δὲ ταῦτα εὐθηνίας γενομένης, κατηγόρουν τούτων τινὲς, καὶ ἐκεῖθεν συκοφάνται λέγονται. ἄλλως. ἀπείρητο Ἀθήνησι, μὴ ἐξάγειν ἐντεῦθεν ἀλλοσέ που σῦκα. βουλομένων οὖν τινῶν ἐξενεγκεῖν, ἱστάμενοι ἐν ταῖς τῶν πυλῶν ἐξόδοις ἄνδρες πανοῦργοι, τὸ τούτων ἐξήλεγχον τέχνασμα, ὃ περὶ τὴν ἐξαγωγὴν ἐποίουν. ἐκαλοῦντο οὖν συκοφάνται, ὡς τὰ σῦκα φαίνοντες. ἐπεκράτησεν οὖν ἐξ ἐκείνου τοὔνομα, πρὸς πάντας τοὺς πανούργους.

Συκοφαντία, ἡ ψευδὴς κατηγορία. καὶ συκοφαντεῖν, τὸ ψευδῶς κατηγορεῖν. ἡ συκοφαντία ἐστὶν, ἡ οὐκ ἀληθὴς κατηγορία.

Συκοφάνται, οὕτω καλοῦνται οἱ ἐπηρεάζοντες, ἀπὸ τοιαύτης αἰτίας. τὸ παλαιὸν ἀπειρημένον ἦν σῦκα ἐξάγειν ἐκ τῆς Ἀττικῆς, τοῦ φυτοῦ κατ᾽ ἀρχὰς θαυμαζομένου. τοὺς σμικρὸν οὖν διερευνῶντας τὸ τοιοῦτον, οὕτως ὀνομασθῆναι λέγουσιν ἀπὸ τῆς ὀπώρας. παραχθεῖν οὖν τοῖς ὁπωσοῦν μάτην ἐγκαλοῦσι τὸν ὀνομάσαντα, ἅμα καὶ τοῦ φαίνειν τὸ ἐγκαλεῖν, ἢ εἰς δίκην εἰσάγειν δηλοῦντος. ὅτι δὲ ἀπὸ τούτων γέγονεν, ἐκ τῶνδε δῆλον. συκαστὰς γὰρ, τοὺς φυλεγκλήμονας, καὶ συκοβίους, καὶ συκωροὺς, καὶ συκολόγους, καὶ φιλοσύκους, καὶ συκώδεις, καὶ συκόπαιδας, ἴσως ἀπὸ τοῦ πάντας ἐγκλήματα ἐφέλκεσθαι.

* Συκοφάσοις, συκοφάντας.

Συκχάδαι, ῥάπη.

Συκχάδες, εἶδος ὑποδήματος.

Σύκχοι, ὑποδήματα φρύγια.

Συλᾷ, ἐκδύει, συλεύει.

Συλαγωγῶν, ἀπογυμνῶν.

Συλαγνεύσας, συμπορνεύσας.

Σύλαιον, θύλακον.

Σύλαι, αἱ συλλήψεις παρὰ Δημοσθένει ἐν τῷ περὶ στεφάνου.

Συλᾶν, ἀφαιρεῖσθαι, γυμνοῦν, σκυλεύειν.

Συλεύειν, κεῖται παρ᾽ Ὁμήρῳ καὶ ἐπὶ κλοπῆς, οὐ τοίνυν ἡ λέξις μόνον δηλοῖ τὸ λαφυραγωγεῖν.

Συληθεὶς, ἀφαιρεθείς.

Συλήσων, ἀντὶ τοῦ ἐκδύσων κατὰ τοὺς παλαιούς. ἢ σκῦλα καὶ λάφυρα ληψόμενος. ἰστέον δὲ, ὅτι ἐκ τοῦ τοιούτου συλᾶν εἴληπται καὶ τὸ ἐπὶ τοῦ κλέπτειν. ἐπειδήπερ ὡς ὁ ἐν μάχῃ συλῶν μετὰ βίας ὑφαιρεῖται τὰ σκῦλα, οὕτω πως καὶ ὁ

κλέ-

κλέπτων. ἀμφότεροι γὰρ καθὰ καὶ οἱ λῃσταὶ παραβάλλουσι τὰς σφῶν κεφαλὰς τῷ κινδύνῳ.

Συλαβὰς ὁδοῦ, τοὺς συλῶντας καὶ ἐκδύοντας.

Συλλαβεῖν, ἐκ τοῦ λήβω ἀχρήστου, ὁ μέλλων λήψω, ὁ δεύτερος ἀόριστος ἔλαβον, καὶ τὸ ἀπαρέμφατον λαβεῖν. ἔχει δὲ διττὴν τὴν χρῆσιν παρὰ τοῖς ἀρχαίοις. πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. εἰ μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ συλλαμβανομένου. ὥσπερ παρὰ τῷ Ἀριστοφάνει, συλλαβεῖν τὸν ἄνδρα τοῦτον. καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, οὐχὶ συλληψόμεθα. ἐὰν δὲ πρὸς δοτικὴν, σημαίνει φιλίαν καὶ συμμαχίαν. ὡς Ἰσοκράτης ἐν ταῖς παραινέσεσιν, ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, ἴσον τῷ συναγωνιζομένην. ἐπάγει γοῦν καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον.

Συλλαβὴ, συμπλοκὴ στοιχείων κατάληλος, ὑφ' ἕνα τόνον, καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη. ἢ φωνὴ ἄσημος, συγκειμένη ἀπὸ φωνήεντος καὶ ἀφώνου, ἢ ἀφώνου καὶ φωνήεντος. ἢ συλλαβή ἐστιν, ἀνθρωπίνης φωνῆς ἄρθρον ἐγγράμματον.

Συλλαβὼν, ἀντὶ τοῦ ἐγκυμονήσας. καὶ συλλαβὼν, ἀντὶ τοῦ συνάξας. καὶ συλλαβὼν, ἀντὶ τοῦ νοήσας.

Συλλαβῶν ἡ μὲν μακρὰ, ἢ φύσει μακρά ἐστιν, ὡς τὸ ἥρως, καὶ τὸ Αἴας. ἢ θέσει, ὡς τὸ ὄπτω, καὶ ἔξω. ἡ δὲ βραχεῖα, ἢ φύσει βραχεῖα, ὡς τὸ λέγε καὶ λόγος. ἢ διχρόνῳ συνεσταλμένῳ ὄντι, κανόνι. ἢ ἔθει, ὡς τὸ ἡδὺς, καὶ τὶς, καὶ λάας. ἡ δὲ κοινὴ, ἢ τὸ μακρὸν εἰς βραχὺ τρέπεται, καταπεραιούμενον μὲν εἰς μέρος λόγου, ἔχον δὲ τὴν ἑξῆς ἀρχομένην ἀπὸ φωνήεντος, ὡς τὸ δεῦτε δὴ ἐννέπετε. ἢ τὸ βραχὺ εἰς μακρὸν, διχῶς δέ. ἢ γὰρ περαιοῦται μὲν εἰς μέρος λόγου, τὴν δὲ ἑξῆς ἀδιαφόρως ἔχει ἀρχομένην. οἷον, Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή. ἢ ἐπιφέρεται δύο σύμφωνα, τὸ μὲν ἡγούμενον ἄφωνον, τὸ δὲ ἑπόμενον ἀμετάβολον. οἷον Πάτροκλέ μοι δειλῇ. σημεῖα δὲ τῆς μὲν μακρᾶς συλλαβῆς, τόδε -- τῆς δὲ βραχείας, τόδε ῠ. τῆς δὲ κοινῆς, εἰ μὲν ἀντὶ μακρᾶς λαμβάνεται, τόδε L, εἰ δὲ ἀντὶ βραχείας τόδε. ⅂

Συλλαμβάνει, βοηθεῖ.

Συλλαμβάνω, τὸ κατέχω, καὶ κρατῶ. καὶ συλλαμβάνομαι, τὸ βοηθῶ, ἀφ' οὗ συλλήπτωρ, ὁ βοηθός. καὶ συλλαμβάνει ἡ γυνὴ ἐν γαστρί. ἀφ' οὗ σύλληψις.

Συλλαμβάνειν, κυρίως μὲν λέγεται ἐπὶ τῶν βασταζόντων βαρύ τι, καὶ ὑπ' ἀλλήλων βοηθουμένων. καταχρηστικῶς δὲ ἀπὸ τούτου, καὶ ἐπὶ τῶν ἄλλην τινὰ βοήθειαν βοηθούντων. ἀφ' οὗ καὶ συλλήπτωρ, ὁ βοηθός. καὶ τὸ συνεφάπτεσθαι, ἐπὶ τῆς αὐτῆς λέγεται σημασίας.

Συλλαμβάνει ἡ γυνὴ παιδίον, ἤγουν σὺν αὐτῇ ἕτερον λαμβάνει.

Συλλαμβάνειν, τὸ κυοφορεῖν. ὅθεν καὶ σύλληψις ἡ κυοφορία, παρὰ τῇ θείᾳ Γραφῇ.

Συλλαμβάνει, ὁ δεῖνα τῷ δεῖνι, ἤγουν βοηθεῖ, ὃ καὶ συνεπιλαμβάνει λέγεται. Θουκυδίδης ἐν τῇ δευτέρᾳ. καὶ λόγῳ καὶ ἔργῳ συνεπιλαμβάνειν αὐτοῖς. καὶ συλλαμβάνει λέγεται, ὅταν τινά τις κρατήσῃ.

Συλλαμβάνομαί σοι τοῦ δέ τινος, ἐπὶ βοηθείας. οἱονεὶ σύν σοι λαμβάνομαι, ἤτοι ἅπτομαι.

Συλλέγειν, τὸ συνάγειν καὶ συναθροίζειν, ὅθεν συλλογὴ καὶ σύλλογος. ὧν ἡ μὲν συλλογὴ, ἐπὶ ἐμψύχων λέγεται. ὁ δὲ σύλλογος, ἐπὶ ἀψύχων. συλλέγω αἰτιατικῇ καὶ δοτικῇ, ὁ βάσκανος συλλέγει φθόνον ἐμοί. συλλεχθεὶς, κάλλιον ἢ συλλεγείς. Ἀριστείδης ἐν τῷ παναθηναϊκῷ, πρός γε τὸν συλλεχθέντα, τοῦ ναυτικοῦ ἀριθμόν. συλλέγομαι εἰς τὴν μνήμην πάντα.

Συλλελογισμένα, ἀπὸ συλλογισμῶν.

Συλλήβδην, ὁμοῦ συλλαβὼν, ἀθρόως. ἀπὸ τοῦ λήβω λήψω λήψομαι λήβδην, καὶ συλλήβδην.

Συλλήπτορα, συναγωνιστήν.

Συλλήπτωρ, βοηθὸς, ἀντιλαμβανόμενος. παρὰ τὸ λήβω, τὸ λαμβάνω.

Συλλοχίας, ἀθροίσματα. ἡ μεταφορὰ δὲ, ἀπὸ τῶν εἰς τοὺς λόχους συνειλεγμένων, παρὰ τῷ Ἱπποκράτει.

Σύλλιρ, θύλακον.

Σύλληψίς ἐστι, διαφόρων λέξεων ὑπὸ πληθυντικῆς ἰδιότητος. ἐν τῇ συλλήψει ζητοῦνται τέσσαρα, λέξις συλλαμβάνουσα, λέξις συλλαμβανομένη, ἡ ἰδιότης τοῦ ῥήματος, ἢ ἐπιθέτου πληθυντικοῦ. σύνδεσμος, ἰδιότης ἰσάζουσα μετὰ τῆς λέξεως τῆς συλλαμβανομένης. κατὰ τέσσαρας τρόπους γίνεται ἡ σύλληψις, ἐν γένει, ἐν ἀριθμῷ, καὶ προσώπῳ, καὶ ἐν πτώσει. ἐν γένει, τὸ ἀρσενικὸν γένος συλλαμβάνει τὸ θηλυκὸν καὶ τὸ οὐδέτερον, οἷον ὁ ἔριφος, καὶ ἡ αἲξ, καὶ τὸ ἀρνίον μέλανες. τὸ θηλυκὸν, συλλαμβάνει τὸ οὐδέτερον, οἷον ἡ ὄρνις, καὶ τὸ ὑποζύγιον ἰσχυραὶ, ἢ στερεαί. ἀλλ' ἐνίοτε μὲν συλλαμβάνεται τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν διὰ τοῦ οὐδετέρου, τῇ αἰτίᾳ τῆς τοῦ μείζονος σημασίας, οἷον ὁ ἀνὴρ καὶ ἡ γυνὴ ζῶά εἰσι λευκά. ἐν ἀριθμῷ, ὁ πληθυντικὸς ἀριθμὸς συλλαμβάνει τὸν ἑνικὸν, οἷον οἱ στρατιῶται καὶ ὁ τριβοῦνος πολεμοῦσιν. ἐν προσώπῳ, τὸ πρῶτον πρόσωπον συλλαμβάνει τὸ δεύτερον καὶ τὸ τρίτον, οἷον ἐγὼ καὶ σὺ καὶ Βαρῖνος, ἀναγινώσκομεν. τὸ δεύτερον συλλαμβάνει τὸ τρίτον, οἷον σὺ καὶ Βαρῖνος ὑπονοεῖτε. ἐν πτώσει, ἡ ὀνομαστικὴ συλλαμβάνει ἑτέραν πτῶσιν μετὰ προθέσεως, οἷον ὁ ἵππος μετὰ τοῦ ὄνου τρέχουσιν. ἔστι δὲ διπλῆ ἡ σύλληψις, ὁμοία καὶ ἀνομοία. ὁμοία ἐστὶν, ἥτις γίνεται ἐν ὁμοίαις πτώσεσιν. οἷον ἐγὼ καὶ ὁ Βαρῖνος λέγομεν. ἀνομοία, ἥτις γίνεται ἐν ἀνομοίαις λέξεσιν, οἷον ὁ ἄγγελος μετ' ἐμοῦ φθεγγόμεθα.

Συλλογισάμενος, συναγαγὼν τὸν λογισμὸν, καὶ θεωρήσας.

Συλλογισμός ἐστι, λόγος ἐν ᾧ τεθέντων λόγων τινῶν, ἕτερόν τι ἐξ ἀνάγκης περαίνεται.

Συλλογισμὸς διαλεκτικός ἐστιν, ὁ ἐξ ἐνδόξων συλλογισμός.

Σύλλογος, σύνοδος ἀνθρώπων, ἄθροισμα.

Σύλλογος, ἡ ἐκ τῆς αὐτῆς πόλεως συναγωγὴ τῶν ἀνθρώπων, ἐπὶ τῷ βουλεύσασθαι.

Σύλον, ἐνέχυρον.

Συλῶ, τὸ κλέπτω. Φιλόστρατος, καὶ συλῶν με διέλαθεν, οὐ μὴν ἠγνοήθη σεσυληκὼς, ἤγουν κεκλοφώς.

Συλῶ, συλᾷς, δευτέρας συζυγίας τῶν περισπωμένων. ἱεροσυλῶ δὲ, τῆς πρώτης. συλᾶν τεύχεα, φανερῶς που ὁ Ποιητής φησι, τὸ ἐκδύειν ὅπλων τὸν κείμενον.

Συλῶ, τὸ κλέπτω, ἀφ' οὗ ἱερόσυλος. συλῶ, τὸ σαλεύω. Ὅμηρος, ἀνὴρ ὃς πρῶτος ἐσύλα τεῖχος Ἀχαιῶν. συλῶ τὸ ἀφαιρῶ, καὶ αἰχμαλωτίζω.

Συλῶ, τὸ σαλεύω, ὡς παρ' Ὁμήρῳ κεῖται. ἀνὴρ ὃς πρῶτος ἐσύλατο τεῖχος Ἀχαιῶν. ἀφ' οὗ ἄσυλον ἱερὸν, ἔνθα ὁ καταφυγὼν ἀσυλίαν ἔχει.

Σύμβαθυ, τὸ ἀπὸ συμβάσεως ὁρισθέν.

Συμβαίνει τὶ, ἀντὶ τοῦ κατὰ συμβεβηκὸς γίνεται. καὶ συμβαίνει τίς τινι, ἀντὶ τοῦ συμβιβάζεται καὶ συμφωνεῖ, καὶ συνήθης ἐστὶν ἐπὶ τῶν ἑνουμένων, καὶ ἁρμοττομένων. συμβαίνει μοι τόδε, ἀντὶ τοῦ ἐπέρχεταί μοι, δοτικῇ συντάσσεται. συμβαίνει ἀντὶ τοῦ ἁρμόττει καὶ προσήκει, οἷον ἡ τῆς χώρας ἡμῶν φύσις τῇ φύσει τῶν ἀνδρῶν συμβαίνουσα φανήσεται. καὶ συμβαίνει τίς τινι, ἤγουν συμφωνεῖ.

Συμβακχεύσει αὐτῷ, ἤγουν μανήσεται μετ' αὐτοῦ.

Συμβάλλειν, μάχιμόν ποτε καὶ αὐτὸ, καὶ ἡ ἀπ' αὐτοῦ συμβολή. ἔστι δ' ὅτε καὶ τὸ ἁπλῶς ὁμοῦ ἰέναι δηλοῖ. οὕτω γὰρ ὕδατα συμβάλλειν λέγεται. ὅθεν καὶ συμβολὴ ποταμῶν, ἣν καὶ ξυνέσιν ὁ Ποιητὴς λέγει. καὶ παθητικῶς δὲ συμβάλλεσθαι, τὸ συγκροτεῖν καὶ βοηθεῖν ὁμοῦ ἰόντα. ὅθεν καὶ συμβολὴ, ἡ ἐπὶ ἐράνου καὶ δείπνου. ἐξ αὐτοῦ ἀσύμβολον παρ' Ἀθηναίῳ, τὸ δωρεὰν καὶ δίχα ἐράνου οὔ τις ὑστερήσας, καὶ παῖξιν ἄνευ φύσει λίποι. ἔτι συμβάλλειν τὸ συναντᾶν. ὅθεν καὶ οἱ κατὰ μαντείαν ἐνόδιοι σύμβολοι. καὶ ἀνὴρ ἀσύμβολος παρὰ τῷ ἀφροδισιεῖ Ἀλεξάνδρῳ, οἱονεὶ ὁ δυσοιώνιστος, καὶ ἀπαίσιος, ἢ ἄλλως ἀσυντελὴς, ἐκ τοῦ συμβάλλεσθαι τὰ εἰς ὠφέλειαν. ὅθεν καὶ τὰ πολιτικὰ συμβόλαια, ὡς τινος καὶ αὐτὰ γινόμενα συμβολῆς, καθὰ καὶ ἡ συμβολὴ πρὸς ὁμοιότητα ἐράνου. ἐπεὶ καὶ ἐν τῇ βουλῇ πολλῶν ἀγρομένων, καὶ συμβολήν τινα ποιησαμένων λογικὴν, κυροῦται τὸ δοκοῦν κράτιστον βούλευμα. ἐπεὶ δὲ συμβάλλειν καὶ τὸ συγκρίνειν, ἀκολούθως ἐξ αὐτοῦ ἀξύμβλητος, ὁ ἀσύγκριτος, ὁ καὶ ἀπαράβλητος. ἢ καὶ ᾧ οὐκ ἔστιν ἀπαντῆσαι. καὶ νοεῖν δέ ποτε τὸ συμβάλλειν, ἐξ οὗ καὶ σύμβολα, οὐ μόνον τὰ σκυμνειώδη ἁπλῶς, ἀλλὰ καὶ ἰδίως τὰ μαντικά.

Συμβάλλειν, τὸ συννοεῖν, καὶ στοχάζεσθαι. συμβάλλειν, τὸ συναντᾶν κυρίως ἐν τῷ πολέμῳ, δοτικῇ συντάσσεται. συμβάλλειν τὸ συνέρχεσθαι, συμπλέκεσθαι, καὶ συῤῥήγνυσθαι, καὶ συμπίπτειν, ἐπὶ πολέμου καὶ μάχης καὶ ποταμῶν, καὶ τὸ μιγνύναι καὶ συναντᾶν.

Συμβάλλειν ἐπὶ μίξεως ποταμῶν, οὐχ ἥκιστα δὲ καὶ ἐπὶ στρατευμάτων. λέγεται δὲ ἐκ τοῦ τοιούτου ῥήματος τροπικῶς συμβολὴ, καὶ ἡ ἐκ κοινοῦ καθ' Ἡσίοδον εἰπεῖν δαπάνη. ὅθεν καὶ ἀσύμβολον δεῖπνον, εἰς ὅπερ οὐδὲν δεδαπάνηκεν ὁ φαγών.

Συμβάλλειν μάχεσθαι, λέγει Ὅμηρος, τὸ συνάψαι εἰς πόλεμον. ἐξ οὗ καὶ πολεμικὴ συμβολή. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ ἰδεῶν.

Συμβάλλειν κεῖται, παρὰ τῷ Ἀριστοφάνει ἐν ἐκκλησιαζούσαις, ἀντὶ τοῦ μεταδιδόναι καὶ χαρίζεσθαι.

Συμβάλλομαι, τὸ συναίρομαι, καὶ ἐπικουρῶ συνθετικῶς προφερόμενον, ἐνέργειαν σημαῖνον δοτικῇ συντάσσεται, οἷον συμβάλλονται ἡμῖν πρὸς τοῦτο. καὶ ἀντὶ τοῦ ἁρμόττει καὶ προσήκει. συμβάλλομαι, ἀντὶ τοῦ συντελῶ, καὶ ἀντὶ τοῦ νοῶ. συμβαλεῖν, ἀντὶ τοῦ κατανοῆσαι, καὶ ἀντὶ τοῦ κατανοηθῆναι.

Συμβάλλεσθαι, καὶ συμβαλεῖν, οὐ μόνον τὸ νοῆσαι, καὶ τὸ κατὰ μάχην συμμίξαι, ἀλλὰ καὶ τὸ ἀντιβολῆσαι, ἤτοι συναντῆσαι.

Σύμβαμα, κατηγόρημα, συμβεβηκός.

Σύμβαμα, ἀπὸ τοῦ βίβημι, τὸ πορεύομαι. ἢ σύμβαμα κατὰ γραμματικοὺς, πρότασις ἐξ ὀνόματος καὶ ῥήματος αὐτοτελῆ διάνοιαν ἀπαρτίζουσα, οἷον ὁ Ἰωάννης περιπατεῖ. παρασύμβαμα δέ ἐστι, πρότασις ἐξ ὀνόματος καὶ ῥήματος, οὐκ αὐτοτελῆ διάνοιαν ἀπαρτίζουσα, οἷον ὁ Ἰωάννης μέλλει. φύσας οὖν τις Ἰωάννης περιπατεῖ, οὐδενὸς ἑτέρου χρήζειν ἔδειξεν. εἰπὼν δὲ Ἰωάννης μέλλει, περί τινος αὐτῷ παρέλιπεν εἰπεῖν.

Συμβάμεν, συμφωνεῖν.

Συμβαρτικαῖς, περσικαῖς, ὑπερηφάνοις, πολυτελέσι.

Συμβὰς, συμφωνήσας, πεισθείς.

Συμβάσεως, εἰρήνης.

* Συμβατήριοι, εἰρηνικοὶ, φιλικοί.

Συμβέβληται, ἀπαντᾷ, συνενήνεκται, γενήσεται, ὠφελεῖ, συμβεῖ.

Συμβέβληται ἡ ζωγραφία ἐκ χρωμάτων, ἤγουν ἥρμοσται καὶ συμπέπλεκται, παρὰ τῷ Φιλοστράτῳ.

Συμβεβυσμένοι, πυκνώσαντες. Ἀριστοφάνης, πρὸς τοῖς τειχίοις ξυμβεβυσμένοι.

Συμβεβηκός ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, συμβεβηκός ἐστι, σημαντικὴ φωνὴ ἐπουσιώδης, κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορουμένη.

Συμβεβηκός ἐστιν, ὃ ἐνδέχεται ὑπάρχειν, ἢ μὴ ὑπάρχειν. συμβεβηκός ἐστιν, ὃ οὔτε γένος ἐστὶν, οὔτε εἶδος, οὔτε διαφορὰ, οὔτε ἴδιον ἀποφαντικῶς. συμβεβηκός ἐστι, τὸ ὑφιστάμενον ἐν ὑποκειμένῳ, ᾧ οὔτε γένος ἐστὶν, οὔτε εἶδος, οὔτε διαφορὰ, οὔτε ἴδιόν ἐστι. πρόσκειται δὲ τῷ ἐν ὑποκειμένῳ ὑφιστάμενον, ἵνα καὶ τὰ ὄντα,

καὶ τὰ

Digitized by Google

καὶ τὰ ἄτομα χωρίσωμεν. συμβεβηκός ἐστι, τὸ δυνάμενον δίχα τινὸς βλάβης ἀπογενέσθαι.

Συμβίκη, εἶδος ὀργάνου.

Σύμβλω, σύμφωνα λέγειν.

Συμβῆναι, συνομολογήσασθαι.

Συμβῆσαι, κοπῶσαι.

Συμβιβάζει, εἰς φιλίαν ἄγει, ἢ συλλαλεῖ.

Συμβιβασθέντες, διδαχθέντες, διαλεχθέντες.

Συμβίβασις, πεῖσις, διδαχή, πίστις.

Συμβιβάσω, διδαξάτω.

Συμβιβῶ σε, συνάπτω σε, διδάσκω σε, συμπαρίσταμαί σοι.

Συμβληΐδος, σύμβλους καλοῦσι τὰ ἀγγεῖα, ἐν οἷς κηροπλαστοῦσιν αἱ μέλισσαι. συμβληΐδος οὖν πέτρας, ἐν ᾗ μελισσουργοῦσιν ἐν τοῖς ὄρεσιν, οἱονεὶ σύμβλων τάξιν ἐχούσης.

Συμβλημένος, συναντήσας.

Σύμβληντο Βασιλῆες, ἤγουν συνήντησαν.

* Συμβλητά. σύγκρισιν ἐπιδεχόμενα, καὶ τὰ δυνάμενα γνωσθῆναι.

Σύμβλον κυρίως ἐστίν, ἡ θήκη ἔνθα αἱ μέλισσαι ἀποτίθενται τὸ μέλι.

Σύμβολα, σημεῖα, τέρατα, μαντεύματα, οἰωνίσματα.

Συμβολαί, μάχαι.

Συμβολαίας δίκας, τὰς κατὰ συμβόλαιον.

Συμβολατεύειν, συναλλατεύειν.

Συμβολικὰ προβλήματά εἰσιν, ὅσα διὰ τῶν αἰσθητῶν σημαίνουσιν ἐπὶ τὰ νοητά. τὰ δὲ πάντα εἰσίν, ἠθικά, φυσικά, θεολογικά. τὰ οὖν ἠθικά, ἐν αὐτῷ κατανοεῖ. τὰ δὲ φυσικά, ἐν τοῖς πράγμασι. τὰ δὲ θεολογικά, ὑπὲρ κόσμον. πάντα δὲ ταῦτα ἐν τῷ ἡγεμονικῷ θεωρεῖται, τὰ μὲν ἠθικά, περὶ τὸ ἦθος. τὰ δὲ φυσικά, δόγματά εἰσι. τὰ δὲ θεολογικά, περὶ τὰς πίστεις.

Συμβολικὴ δικαιοσύνη ἐστί, τὰ ἐν τῷ νόμῳ τῆς ἀληθείας σύμβολα.

Σύμβολον, πέντε τινὰ ἀλλήλοις παράκειται. σύμβολον, σημεῖον, τεκμήριον, εἰκών, καὶ ὁμοίωμα. διαφέρει δέ, ὅτι σύμβολον καὶ σημεῖον ἐπὶ τῆς φύσει λέγεται, καὶ ἐκ τῆς ἡμετέρας ἐστὶ διανοίας, οἷον ἐν πολέμῳ σάλπιγγος ἦχος, ἢ πυρὸς αὐγή. τὰ δὲ λοιπὰ τρία ἐπὶ τῆς φύσει. διαφέρει δὲ καὶ ταῦτα, ὅτι εἰκὼν μὲν καὶ ὁμοίωμα, τὴν τοῦ πράγματος φύσιν εἰκονίζουσιν, οὐ μὴν ἀπαραλλάκτως. τὸ δὲ τεκμήριον, ἀναγκαίως ἕπεται τῷ πράγματι μόνῳ, μηδὲν τῶν συμβεβηκότων ἔχον ἐν ἑαυτῷ. οἷον πυρός, καπνός. καὶ τοῦ τετοκέναι γυναῖκα, τὸ γάλα.

Σύμβολον, ἐξ οὗ ἐστιν ἡμᾶς συμβαλεῖν καὶ γνῶναι, ὡς ἐπὶ τοῦ πολέμου ἡ σημαία. ἰδόντες γὰρ αὐτήν, συμβάλλομεν, τουτέστι νοοῦμεν, ὅτι πόλεμος προσελαύνει. ἔστι δὲ τῇ θέσει, τὸ δὲ τεκμήριον τῇ φύσει. οἷον ὁ καπνὸς τεκμήριον τοῦ πυρός, καὶ τὸ γάλα τοῦ τετοκέναι τὴν γυναῖκα. φυσικῶς γὰρ παρέπεται τῇ γυναικὶ τετοκυίᾳ, τὸ γάλα ἔχειν. καὶ τῷ πυρὶ ἀναπτομένῳ, τὸ καπνίζειν.

Σύμβοτον, σύννομον. σύνηθες.

Συμβόται, συνομόται.

Συμβουαδεῖ, ὑπερμαχεῖ, Λάκωνες.

Συμβουλευτικὰ πάντα, οἷον τὸ φθεγξώμεθα, τὸ ποιήσωμεν, τὸ δεῦρο ἔχουσιν ἔξωθεν, καὶ τὸ ἵνα νοούμενον. οἷον δεῦρο ἵνα ποιήσωμεν τόδε. δεῦρο ἵνα φθεγξώμεθα τόδε.

Συμβουλή, γνώμη, δόσις. ἡ συμβουλή ἐστιν, εἰσήγησις τοῦ συμφέροντος.

Συμβουλευσίς ἐστι, παραίνεσις ἑτέρῳ ὑπὲρ πράξεως, τίνα δεῖ τρόπον πράττειν.

Συμβουλεὺς, ἁλιευτικὸν σκεῦος, περὶ ὃ τὰ λίνα πλέκουσι.

Συμβουλεύω, ὑποτίθεμαι. καὶ συμβουλεύω σοι ἀγαθά, τὸ πρόσωπον δοτικῇ, τὸ πρᾶγμα αἰτιατικῇ συμβουλεύω ἐνεργητικῶς, ἀντὶ τοῦ εἰς συμβουλὴν τῷδε καθίσταμαι. συμβουλεύομαι καὶ παθητικῶς, ἀντὶ τοῦ συμβούλῳ χρῶμαι. Λιβάνιος ἐν μελέτῃ τῇ τοῦ φιλαργύρου, συμβουλευόμενον τοῖς ἐπιτηδείοις, ἣν τινα τέχνην αὐτῷ δοτέον. σύμβουλος, συμβουλεύω, καὶ συμβουλεύομαι, καὶ συμβουλία.

Συμβῶμεν, ἀντὶ τοῦ συμβιβασθῶμεν. Ἀριστοφάνης, ἀνάμενον, ἵνα συμβῶμεν. καὶ ὁ Θεολόγος, συμβῶμεν ἀλλήλοις καὶ συνέβησαν, ἀντὶ τοῦ συνεβιβάσθησαν.

Σύμη, νῆσός φασι καρικὴ, καὶ πόλις ὁμώνυμος. ἀπὸ Σύμης τῆς Ἰαλύσου. ἱστορεῖται καὶ ὅτι μεταποντίς τε καὶ αἴγλη ὠνομάσθη ποτέ. λέγεται δὲ καὶ πέρδικας μαχίμους φέρειν. τὸ ἐθνικὸν αὐτῆς, συμαῖος.

Συμμάρψας, συλλαβών, δήσας.

Συμμαχίς, τόπος, καὶ ναῦς.

Συμμαχεῖν, καὶ ἐπιμαχεῖν διαφέρει. συμμαχεῖν μὲν γὰρ λέγουσι, τὸ σὺν ἑαυτοῖς φησὶ Δίδυμος, εἴτ' αὐτοῖς ἐπίοιεν πολέμιοι, εἴθ' ἕτεροι ἐπιστρατεύοιεν. ἐπιμαχεῖν δέ, ὅταν τοὺς ἐπιόντας ἀμύνωνται μόνον. καὶ συμμαχῶ, καὶ ἐπιμαχῶ. καὶ συμμαχία, καὶ ἐπιμαχία.

Σύμμαχος, βοηθός.

Συμμεμαρτυρημένη, συνειλημμένη.

Συμμετρία, ἔνδυμα γυναικεῖον ποδήρες, οὐκ ἔχον σύρμα.

Σύμμετρον, τὸ μεμετρημένον, μήτε ὑπερβολὴν ἔχον, μήτε ἔλλειψιν, καὶ τὸ ἀναλογίαν ἔχον πρός τι. ὅθεν καὶ ἀσύμμετρος, ἡ τοῦ τετραγώνου διάμετρος τῇ πλευρᾷ, ἤγουν οὐδεμίαν ἀναλογίαν ἀριθμοῦ πρὸς τὴν πλευρὰν ἔχουσα. καὶ σύμμετρον, τὸ ἴσον μέτρον τινὶ ἔχον. οἷον περὶ τὸν Νεῖλον οἱ πήχεις ἀθύρουσι, παιδία σύμμετρα τῷ ὀνόματι, ἤγουν πηχυαῖα.

Σύμμετρον, τὸ μήτε ὑπερβάλλον, μήτ' ἐλλεῖπον, καὶ τὸ ἀνάλογον πρός τι, καὶ ἰσόμετρον τινί.

Συμμιγνῦναι λέγεται, τὸ συνέρχεσθαι, καὶ συνάπτειν, καὶ συμβάλλειν, κατὰ νόμον πολέμου, δοτικῇ συντάσσεται. συμμιγνῦναι λέγεται, καὶ τὸ κατὰ φιλοφροσύνην τὰς δεξιὰς προτείνειν.

Συμμίσγειν, ὁμιλεῖν, συνουσιάζειν.

Συμμορία, καὶ συμμεριστής, ὁ μετά τινος μετέχων τινός.

Συμμορία, ἡ πληθύς. ἢ ἡ συνέλασις, ἢ ἡ φατρία, ἢ τὸ σύνταγμα. ὁ δὲ Δημοσθένης, ἑξήκοντα ἄνδρας ἔχειν λέγει τὴν συμμορίαν. Ὑπερίδης δέ, πεντεκαίδεκα.

Συμμυολόγους, ἀντὶ τοῦ σιωπῶντας.

Συμμῶν, σιωπῶν.

Συμπάντων, ὁμοῦ πάντων.

Συμπαραινέσας ἔχω, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ παρῄνεσα Ἀττικῶς.

Συμπαρομαρτοῦσαν, συνακολουθοῦσαν.

Συμπάσχομεν τῷ δυστυχοῦντι, οὐ μέν τοι ἡμεῖς δυστυχοῦμεν, ἀλλὰ ἀλγοῦμεν. συμπάσχομεν τῷ πυρέττοντι, οὐ μέν τοι πυρέττομεν.

Συμπαταγήσαν, συνεκρότησαν, συνέκρουσαν τὰς χεῖρας πλατείας ποιήσαντες.

Συμπατεῖν, τὸ ἀμφοτέροις τοῖς ποσὶ πατεῖν.

Συμπειραθέντες, συρραφέντες.

Συμπεπερονημένους, συρραφέντας περόνῃ.

Συμπεριγενόμενον, συμπεριλαμβανόμενον.

Συμπεσεῖν, τὸ συμβῆναι. ἢ συγκροτῆσαι μάχην, καὶ ὁμοῦ πεσεῖν.

Συμπεσεῖν, τὸ συγκροῦσθαι εἰς μάχην. συμπεσεῖν τὸ ὁμοῦ γενέσθαι ἐπί τινων ἐρχομένων εἰς πόλεμον ἀλλήλοις, καὶ συρρηγνυμένων. ὡς τὸ συμπεσόντες ἐξ ἑωθινοῦ, μέχρι δείλης ἐμάχοντο.

Συμπεσεῖν, καὶ ἐπὶ μεγάλων σωμάτων, παρ' Ὁμήρῳ λέγεται, ὑψόθεν καταρασσομένων εἰς ἄλληλα. οἷον νεφελῶν, ἢ λίθων ὀρεινῶν, ἢ τοιούτων τινῶν, οἱ δὲ μεθ' Ὅμηρον, τὴν λέξιν καὶ ἐπὶ τυχηρῶν ἀποβάσεων τιθέασι. λέγεται δὲ συμπεσεῖν, καὶ τὸ ἅμα πεσεῖν.

Συμπεφυλλεστευμένος, συντεθλιμμένος.

Συμπίπτειν λέγεται, τὸ συμμίγνυσθαι ἐπὶ πολέμου κυρίως. ὡς τὸ συμπεσόντα ἄμφω τὰ στρατεύματα ἐμάχοντο, ἀντὶ τοῦ συμβάλλοντα καὶ συμμίξαντα. καὶ παρ' Εὐριπίδῃ, συμπεσόντες μάχην καρτερὰν συνῆψαν. συμπίπτειν λέγεται, καὶ τὸ συμβαίνειν καὶ ἁρμόττειν καὶ συμφωνεῖν. ὡς καὶ Ἀριστείδης, ἕτερον δ' ὅτι συμπίπτει τῇ πάσῃ φιλανθρωπίᾳ τῆς πόλεως, ὁ τῶν ἔργων ἐξετασμός.

Συμπιτνεῖ, συμπίπτει.

Συμπλάττομεν, ψευδόμεθα.

Συμπλευσάντων, ὁμονοησάντων.

Συμπληγάδες, αἱ παρ' Ὁμήρῳ πλαγκταί.

Συμπνευσμός, ὁμόνοια.

Σύμπλους, συνοδευτής.

Συμποδίζει, κωλύει.

Συμποθέν, καταποθέν.

Σύμπορπον τὸν μὴ ῥαφαῖς συνειλημμένον κατὰ τοὺς ὤμους χιτῶνα.

Συμπόσιον, τόπος εὐωχίας, καὶ πόσεως.

Συμπράξει, βοηθήσει, συνάρξει, συλλαβεῖ.

Σύμπτωμά ἐστι, πᾶν τὸ ἐπὶ προτεραίῳ τινὶ ὑφεστηκότι νοσήματι. σύμπτωμά ἐστιν, ἐξάλλαξις τοῦ κατὰ φύσιν, ἢ συνάντημα.

* Σύμπτωσις, συμβολή, σύμμιξις, ἐκ δύο μερῶν γινομένη.

Συμφανές, φανερόν.

Συμφέρει μοι ἀπραγμοσύνη, καὶ συμφέρει μοι μηδὲν πολυπραγμονεῖν.

Συμφέρον, τὸ συνοῖσον, καὶ τὸ σύμφορον, καὶ μέση λέξις ἡ συμφορά.

Συμφέρον, καὶ συμφόρον λέγε.

Συμφέρεσθαι μάχῃ, ἤγουν συμβάλλειν εἰς πόλεμον, καὶ συνάγεσθαι. ἀφ' ὧν συμβολή τε, ὁ πόλεμος. καὶ τὸ συνάγομεν Ἄρηα. καὶ συμφερτὴ ἀνδρῶν, ὅ ἐστι συνοιστὴ κατὰ τοὺς παλαιούς, ἐκ δὲ τοῦ ῥηθέντος ῥήματος, καὶ τὸ λεγόμενον συμφέρον, εἴπερ συνοῖσον γίνεται.

Συμφερτὴ ἀρετὴ πέλει ἀνδρῶν, καὶ μάλα λυγρῶν. ὅπερ ἀπὸ τοῦ ἐλάττονος εἴληπται δηλοῦν, ὡς καὶ οἱ μάλα δειλοὶ ἀλλήλοις συμφερόμενοι, καὶ εἰς ἓν ἐρχόμενοι, γενναῖα δρῶσι.

Συμφέρω, οὐ μόνον τὸ εἰς συμφέρον τινὶ εὑρίσκομαι, ἀλλὰ καὶ τὸ συνέρχομαι. ὡς τό, τῷ γὰρ χρόνῳ νοῦν ἔχον συμφέρειν τοῖς κρείττοσι. καὶ συμφέρουσιν ἐπὶ πληθυντικοῦ, τὸ ὁμοῦ πράγματά τινα φέρουσιν. Ἀριστείδης ἐν τῷ παναθηναϊκῷ, θεοὶ συμφέροντες παρεῖχον, οἱ μὲν φυτά, οἱ δὲ σπέρματα.

Συμφέρων, ὁ ὠφέλιμος, καὶ σύμφορος. καὶ ἀπὸ τοῦ συμφέρων, συμφερόντως. ἀπὸ δὲ τοῦ σύμφορος, συμφόρως, συμφορά, οὐ μόνον ἡ συμβᾶσά τινι δυσχέρεια, ἀλλὰ καὶ ἡ συνέλευσις.

Συμφῆσαι, ἀνάψαι.

Σύμφημι, συναινῶ, συνομολογῶ.

Συμφήτωρ, μάντις, μάρτυς.

Συμφθείς, συντριβείς.

Συμφορά, μέση λέξις, ὥσπερ ἡ τύχη.

Συμφράσατο, ἐκ τοῦ φράζω, ἀντὶ τοῦ συνεσκέψατο. σημαίνει δὲ δύο, τὸ θεᾶσθαι καὶ βλέπειν. ὡς τό, τὸν δ' ἐφράσατο προσιόντα. σημαίνει καὶ τὸ διανοεῖσθαι, ὡς τὸ φράζεο Τυδείδη καὶ χάζεο. παρὰ δὲ τοῖς κοινοῖς σημαίνει τὸ λέγω.

Συμφοιτητὴν, τὸν συμμαθητὴν λέγει ὁ Σόλων. συμφιλολόγον δέ, δεινῶς βάρβαρον, καὶ Αἰγύπτιον.

Συμφόρησις, συμφορά, συντυχία, σύμπτωμα, ἀτυχία, σύναξις.

Σύμφρασις, δύο ἢ πλείονα περὶ τοῦ αὐτοῦ πράγματος, ὁμοία λύσις, ἤγουν συγκατάθεσις, καὶ συνομολογία.

Συμφορίας, συμπεφορημένους, συμμίκτους.

Σύμφορον, ἁρμόζον, καλόν, συμφέρον, σύμφωνον.

Σύμφορος λιμός, ὁ συμπίπτων καὶ συνών.

Συμφράδμονες, ὁμόφρονες, σύμβουλοι.

Σύμφρα, θυσία τῷ Ἀπόλλωνι τελουμένη.

Συμφραδῆμεν, καταπληχθῆναι.

Συμφυΐα, ἕνωσις τῶν συμπεπλεγμένων, εἰς ἑνὸς σώματος ὁμοφυῶν.

Συμφυλετῶν, συγγενῶν, ὁμοεθνῶν.

Σύμφυλον, πῆγμα.

Συμφυράσουσι, συμμιγήσονται.

Συμφύς, τὴν τῶν δύο εἰς ἓν συνδρομὴν σημαίνει, καὶ τὰ συμπεφυκότα ἐπὶ τῆς αὐτῆς σημασίας.

Digitized by Google

Σύμφυτον, συμπορευόμενον, συνόν.

Σύμφυτος, ἡ νεκτάριος ῥίζα. ἔνιοι ἐλένιον. ἔνιοι δὲ, μηδικήν.

Συμφωνῶ, συνᾴδω, συμβαίνω, ὁμοφωνῶ, στοιχῶ, συντίθεμαι.

Συμφωνῶ εὐδαιμονοῦντι, καὶ εὐδαιμονῶ.

Συμφωνῶ σοι, οἷον ὁμολογῶ σοι, διαφωνῶ, τὰ ἐναντία λέγω. οἷον χάριν τοῦ διαφωνεῖν αὐτὸν αὐτῷ, ταῦτα ἔπαθε, ὥστε τἀναντία αὐτὸν αὐτῷ λέγειν.

Συμφωνῶ τῷδε, σύμφωνός εἰμι τῷδε.

Συμψῆσαι, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ συγχέαι τὴν κόνιν, ὡς μὴ σημεῖον, ἢ τύπον ἀπολείπεσθαι τοῖς παιδερασταῖς, ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο.

Συμψήσας, λαμβάνουσιν Ἴωνες ἀντὶ τοῦ συντρίψας.

Συμψηθεὶς, βλαβεὶς, σταθείς.

Συμψηρᾷ, συμψηλαφᾷ.

Σύμψηφος, ὁ τὰ αὐτὰ φρονῶν, καὶ κατατιθέμενος.

Σὺν, ξὺν, ἅμα, ὁμοῦ, καὶ ἀντὶ τοῦ ἐς, καὶ μετὰ, ἀπὸ καὶ ὅρος, καὶ ἐπὶ τοῦ ὁμοῦ.

Συνάγει, τὸ συναθροίζει, αἰτιατικῇ συντάσσεται. ἐπὶ τῶν ὀφρύων ἐμφαντικώτερον. οἷον συνάγει τὰς ὀφρῦς.

Συνάγω, τὰ διῃρημένα συνάπτω.

Συναγέσκεο, συναγώγιον, συμπόσιον ἦθυ.

* Συνάγκεια. ὁ σύνδενδρος τόπος.

Συνάγω, συναθροίζω, ἀγείρω, συλλέγω, νέω, σωρεύω, συστέλλω, κτῶμαι.

Συναγείρεται ἵππους ἐκ πολλῶν, ἤγουν ἐπιλέγδην συνάγει. εἰ δὲ γράφει συναείρεται, τὸ συζευγνύειν, καὶ ὁμοῦ αἴρειν ἡ λέξις δηλοῖ. ὡς καὶ τὸ συνδ' ἤειρεν ἱμᾶσιν, ἐξ οὗ καὶ παρήορος, καὶ ἄορες, καὶ ὄαρες αἱ γυναῖκες. φασὶ δὲ οἱ παλαιοὶ, ὡς οἱ οὕτω συνεζευγμένοι ἵπποι, ἄμιπποι ἐκαλοῦντο καὶ ἴσως καὶ ὁ παρὰ τῷ Σοφοκλεῖ Βορέας ἄμιππος, εἰ καὶ δύσκολος.

Συναγελάζονται, συνδιάγουσι, συννέμονται.

Συναγηγερκὼς, συναθροίσας, συνάξας.

Σύναγμα, ἤτοι ἐπίπαγός τις, ἢ ἐναιώρημα, ἢ ὑπόστασις, ἢ πόρος. καὶ ἄμεινον ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν λέγεται, παρὰ τῷ Ἱπποκράτει.

Συναγορεύει, ὑπὲρ αὐτοῦ λέγει.

Συναγρίδα, θαλάσσιος ἰχθύς.

Συναγρόμενοι, συναγόμενοι.

Συναδικῶ σοι τὸν δεῖνα. ἰστέον ὅτι πάντα τὰ μεταβατικὰ ῥήματα καὶ ἀμετάβατα, τῇ σὺν προθέσει συναπτόμενα, καὶ ἕτερον παραλαμβάνουσι πρόσωπον κατὰ δοτικὴν ἐκφερόμενον. μεταβατικὰ μὲν, οἷον συναδικῶ σοι τὸν δεῖνα, συναθετῶ, συνεχθραίνω. ἀμετάβατα δὲ, οἷον συναθλῶ σοι, συμπαίζω σοι, συνακμάζω σοι.

Συνᾴδει, συμφωνεῖ.

Σὺν Ἀθηνᾷ, καὶ χεῖρα κίνει. παροιμία ἐπὶ τῶν μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένους ἀργεῖν.

Συναΐδιος, συνυπάρχων.

Σύναιμος, ὁ ἀδελφός. ὁ τοῦ αὐτοῦ αἵματος.

Σύναινος, ὁμόδοξος.

Συναίνυτο, συνελάμβανε.

Συναινῶ, τὸ συμφωνῶ, καὶ ἐπινεύω, ᾧ ἐναντίον τὸ ἀναίνομαι. συναινῶ φημὶ καὶ κατανεύω. ὁμοίως, ἀντὶ τοῦ κατὰ πολὺ αἰνῶ, καὶ ἀποδέχομαι, καὶ τίθεμαι τοῖς δέ τισι. Θουκυδίδης, Ἀριστώνυμος δὲ τοῖς μὲν ἄλλοις κατῄνει.

Συναίρεσίς ἐστι, δύο φωνηέντων φυλαττομένων συναλοιφή, οἷον Δημοσθένεϊ Δημοσθένει, Λητοΐ Λητοῖ.

Συναίρεσις στοιχείου, ἱερὸν ἱρόν, δῖιος δῖος.

Συναίρεσις συλλαβῆς, ἢ μᾶλλον κρᾶσις, Ἑρμέας, Ἑρμῆς.

Συναιρῶ, καὶ συναιροῦμαι, τὸ δύο τινὰ εἰς ἓν συνάγω.

Συναιρέω, συναιρῶ. ὁ μέλλων συναιρήσω, συνῄρηκα, συνῄρημαι, συναιρέθην. ποῖα ῥήματα εὑρίσκονται ἐν τῷ παθητικῷ ἀορίστῳ μὴ φυλάττοντα τὴν παραλήγουσαν τοῦ παθητικοῦ παρακειμένου; τὰ εἰς ρ ἅπαντα περισπώμενα, οἷον συναιρῶ, διαιρῶ, αἱρῶ. καὶ τὰ ἔχοντα τὸ ρ μετὰ ἐπιπλοκῆς συμφώνου παραληγόμενα τῷ α. οἷον στρέφω, τρέψω, ἔστρεψα ἔστραμμαι ἐστρέφθην, ἐστράφθην. καὶ τρέφω ὁμοίως.

Συναίρομαί σοι τὴν δυστυχίαν, ἀντὶ τοῦ μετὰ σοῦ δυστυχῶ. συναίρομαί σοι τὸν κίνδυνον, ἀντὶ τοῦ μετὰ σοῦ κινδυνεύω.

Συνηρημένοις, συμβαλλομένοις.

Συναίρω ἐνεργητικῶς μὲν οὐ γράφεται, παθητικῶς δὲ σημαῖνον ἐνέργειαν. οἷον συναίρομαι. καὶ λαμβάνεται ἀντὶ τοῦ βοηθῶ, καὶ ἀναλαμβάνω. καὶ ὅτε μὲν λέγεται ἀντὶ τοῦ βοηθῶ, δοτικῇ. ὅτε δὲ ἀντὶ τοῦ ἀναλαμβάνω, αἰτιατικῇ. ὡς καὶ Δημοσθένης, ἑτοίμως συναρᾶσθαι τὰ πράγματα.

Συναίχμος, ὁ σύμμαχος.

Συνακτήριον, συνάθροισμα.

Συνάλματα, συμπηδήματα.

Συνάλλαγμα, συνάξις. ἢ γαμικὸν συμβόλαιον.

Συναλλακτὴς, φιλιαστής.

Συναλλάσσωμεν, συνάγωμεν.

Συναλλάττω, λέγεται ἐπὶ συμφωνίας γάμου, ἀφ' οὗ συνάλλαγμα.

Συναλοιφή ἐστι, δύο συλλαβῶν κατὰ τὰ φωνήεντα ἕνωσις, γίνεται δὲ κατὰ τρόπους ἑπτὰ, ἁπλοῦς μὲν τρεῖς. κατὰ ἔκθλιψιν, οἷον ἐπὶ ἐμὲ, ἐπ' ἐμέ. καὶ ὅταν ἐκθλιβομένου βραχέος φωνήεντος συνεκθλίβεται καὶ ὁ χρόνος αὐτοῦ κατὰ κρᾶσιν, οἷον τὰ ἐμὰ τἀμά. καὶ ὅταν φωνήεντος φθειρομένου βραχέος, ὁ χρόνος αὐτοῦ τῷ γειτονοῦντι βραχεῖ φωνήεντι προσελθὼν, ἐκτείνῃ αὐτό. κατὰ συναίρεσιν, οἷον νηρηΐδος νηρῇδος. καὶ ὅταν τὸ πλῆρες μὲν τῆς γραφῆς φυλάττηται, καὶ ἡ δύναμις, ἐνδεῖ δὲ μόνον ἡ τῶν συλλαβῶν ποσότης. γίνεται δὲ καὶ κατὰ συνθέσεις τέσσαρας, κατὰ ἔκθλιψιν, καὶ κρᾶσιν. οἷον, καὶ ἐγὼ κἀγώ. τέθλιπται γὰρ τὸ ι. κέκραται δὲ ὁ τοῦ α καὶ ε χρόνος εἰς α μακρόν. κατὰ ἔκθλιψιν, καὶ συναίρεσιν. οἷον, ἐγὼ, οἶδα, ἐγᾦδα. τέθλιπται τὸ ο, συναιρεῖται δὲ τὸ ω, προσγραφέντος καὶ τοῦ ι. κατὰ κρᾶσιν καὶ συναίρεσιν, οἷον ὁ αἰπόλος ᾡπόλος. κέκραται γὰρ τὸ ο καὶ α εἰς ω. συνῄρηται δὲ τὸ ω καὶ ι. κατ' ἔκθλιψιν δὲ καὶ κρᾶσιν καὶ συναίρεσιν, οἷον οἱ αἰπόλοι, ᾡπόλοι. τέθλιπται μὲν γὰρ τὸ ι τῆς διφθόγγου, κέκραται δὲ τὸ ο καὶ α εἰς ω, συνῄρηται δὲ τὸ ω καὶ ι.

Συνανακραθεῖσα, συγκεραθεῖσα.

Συνανοίσατε, συνενέγκατε.

Συναντέσθην, ἀντὶ τοῦ συναντήσθην, ὡς ἀπὸ τοῦ ἀντῶ ἀντήσω. οὐ χρῆσις καὶ παρὰ τῷ Ποιητῇ.

Συναντέσθην ἀλλήλοισιν, ἣν δ' ἂν οὐκ ἔξω ἀναλογίας, οὐδὲ τὸ ἀλλήλοισι συναντήσθην, ὡς ἀπὸ τοῦ ἀντήσω. οὐ καὶ αὐτοῦ χρῆσις, παρὰ τῷ Ποιητῇ.

Συναντώμενος, ἔχει θέμα τὸ ἄντω ἄντομαι.

Συνάορος, σημαίνει τὴν γαμετήν. σύγκοιτον, σύζυγον, συνηρμοσμένην, παρὰ τὸ συναρηρέναι. ἢ συνάορός τίς ἐστι, καὶ συνόμιλος, μεταθέσει τοῦ α.

Συναπάγεται, συμπορεύεται, συνέρχεται.

Συναπηρτισμένος, πεπληρωμένος.

Συνάπτουσ' ἡνίας. Ἀριστοφάνης, τὰς συναπτούσας καὶ δεσμούσας τὰ ὑποδήματα.

Συνάπτω ἕτερον ἑτέρῳ, καὶ συνάπτω ἐγώ τινι, ἤγουν ἑνοῦμαι, συνάπτομαί σοι μάχην.

Συναράμενος, συναγωνιζόμενος, συμβαλλόμενος.

Συνάρασθαι Ἀττικῶς, συντάσσεται αἰτιατικῇ. Δημοσθένης, δεῖ τοίνυν ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι τὴν ἀκαιρίαν ἐκείνου τοῦ καιροῦ ὑμέτερον νομίσαντες, συνάρασθαι τὰ πράγματα.

Συναράσσει, συγκρούει, συμπίπτει.

Συνασπίζων, συμμαχῶν.

Συνηράκται, συγκέκοπται.

Συνάρθρος, μετὰ ἄρθρου τοῦ προηγουμένου τῶν ὀνομάτων.

Συναρία, συνοδία ἀλλόφυλος.

Συνάρξει, συμπράξει, βοηθήσει, συλλαβεῖ, ἑνώσει.

Συνάρξις, συνουσία, καὶ τὰ ὅμοια.

Συνάρσις, συναφὴ, ἁρμονία.

Συναρτῶν, συνάπτων.

Συνασπιεῖται, συνασπίζει, συμμαχεῖ.

Συνασπισμὸς, ἡ συνάφεια, ἡ βοήθεια.

Συναυλία λέγεται, ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγουσιν, ἢ ὅταν κιθάρα καὶ αὐλὸς συμφωνεῖ, ἢ ἕτερα ὄργανα.

Συνάφεια, σύζευξις, ἕνωσις.

Συναχθεῖται, συλλυπεῖται.

Συνάψας, συνδήσας, ἑνώσας, συμμίξας.

Συνδεῖ κάλλιον, ἢ δεσμεῖ. Ἀριστοφάνης ἐν ἐν Βατράχοις, συνδεῖτε ταχέως, τουτονὶ τὸν κυνοκλόπον.

Συνδεῖν, τὸ ἀμφοτέρας τὰς χεῖρας δεσμεῖν, καὶ συνερείδειν. ὁμοίως τὸ ἀμφοτέρας ἐρείδειν τὰς χεῖρας. ὥσπερ συμπατεῖν, τὸ ἀμφοτέροις τοῖς ποσὶ πατεῖν. ἡ γὰρ σὺν πρόθεσις σύνελευσιν δηλοῖ, τῶν ἐλάχιστον δύο.

Συνδεδραμηκότων, συνελθόντων.

Συνδεόμενος, συνδεδεμένος.

Σύνδεσις, δηλοῦται ποτὲ, καὶ οἷον πυκνότης, καὶ σφίγξις, παρὰ τῷ Ἱπποκράτει.

Συνδέοντες, συνδεσμοῦντες.

Συνδέσαι, συγκοιμηθῆναι.

Σύνδεσμοι ἀεὶ τὰ ὅμοια συνάπτουσιν. οἷον ὄνομα ὀνόματι, καὶ εὐθεῖα πτῶσιν εὐθεῖαν, καὶ γενικὴ γενικῇ, καὶ ῥῆμα ῥήματι, καὶ χρόνον χρόνῳ τὸν αὐτὸν, καὶ ἔγκλισιν ἔγκλισιν τὴν αὐτὴν, καὶ πρόσωπον προσώπῳ τῷ αὐτῷ.

Συνδ' ἤειρεν ἱμᾶσι, συνέδησε δὲ τὰς ἀγωγὰς τῶν ἵππων.

Συνδήσας ἄρα τὼ χεῖρε, συνδήσας δὴ τὰς χεῖρας.

Συνδιαίνεται, συνδιπλοῦται, παρὰ τῷ Ἱπποκράτει.

Συνδιαιωνίζειν, συνδιάγειν εἰς αἰῶνας.

Συνδιαφέρω, τὸ μετά τινος ὑποφέρω, ὁ μέλλων συνδιοίσω, ὁ ἀόριστος συνδιήνεγκα.

Συνδιενεγκεῖν, τὸ διαβαστάσαι φορτίον, ἢ καὶ φροντίδα τινά.

Συνδιεξέρχου, συνεκπέρα.

Σὺν δ' ἡμῖν δαῖτα ταράξῃ, συνταράξῃ ἡμῖν τὴν εὐωχίαν.

Συνδιημερεύσαιεν, τὴν ἡμέραν συνδιάγοιεν.

Σύνδικοι. Ἰσαῖος ἐν τῷ κατὰ Ἐλπαγόρου, σύνδικοι ἦσαν πρὸς οὓς τὰ δημευόμενα ἀπεφέροντο. καὶ Λυκοῦργός φησι περὶ αὐτῶν, μήποτε ἦν ἀρχή τις ἡ καθισταμένη μετὰ τὴν ἐκ Πειραιῶς, κάθοδον οἱ σύνδικοι.

Σύνδικος, σύμφωνος, ἢ συνήγορος βουλῆς.

Σύνδικοι, οἱ ἐν ταῖς δίκαις βοηθοί.

Συνδοτικὸν, συνδεδογμένον.

Σύνδουλος, ὁμόδουλος.

Συνδούμενος, συνδεδεμένος, συνυπάρχων, συνών.

Συνδραμεῖν, συνθέσθαι, βοηθῆσαι.

Συνδρομεῖν, τὸ μετὰ δρόμου ἀλλήλοις πελάσαι.

Συνδυασμὸς, συζυγία.

Συνδυάσω, συζευχθῶ, κοινωνήσω, συμπράξω, λέγεται δὲ καὶ παρὰ τὸ δύο, τὸ ὑπεισέρχομαι, δυάζω.

Συνέαξεν, ὃ δηλοῖ τὸ συνέκλασε, συνέθλιψεν. ἐκ τοῦ ἄγω γίνεται.

Συνεβάλλοντο, συνέθεντο.

Συνέβη, ἐπὶ μέσου, κακῶν δηλαδὴ καὶ καλῶν. καὶ συνέβη, ἀντὶ τοῦ κατὰ σύμβαμα γέγονε. συνέβη, καὶ ἀντὶ τοῦ συνεφώνησε.

Συνέηκα, ἔστι ῥῆμα ἱέω ἱῶ τὸ πέμπω, παράγωγον ἵημι, ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧκα καὶ ἕηκα, ἐκτάσει Ἀττικῇ διὰ τοῦ η γράφεται. ὁ γὰρ παρακείμενος διφθογγογραφεῖται, ὡς δηλοῖ ὁ ἀφεικὼς μετοχὴ, καὶ τὸ ἀφεικέναι ἀπαρέμφατον.

Συνέβημεν, συνεχωρήσαμεν.

Συνεδεῖσθαι, συγκαθίσαι.

Συνέδρου, ἡ στάσις, ἣν νῦν στατίωνα λέγουσι.

Συνεδρεύουσι, συνέρχονται, εἰς βουλὴν συνάγονται.

Συνέδριον, δικαστήριον.

Συνέηκεν, ἀντὶ τοῦ συνέβαλεν, ἔφη Ὅμηρος. καὶ σύνεσιν δέ που ποταμῶν λέγει, τὴν συμβολήν. οἱ δὲ μετὰ τὸν Ὅμηρον, ἐπὶ φρονήσεως, καὶ τὸ συνέηκε, καὶ τὴν σύνεσιν τιθέασι. λαβόντες ἐξ Ὁμήρου τὴν ἀφορμὴν, ὃς τὴν λέξιν τοῦ συνέηκεν ἐν πολλοῖς ἐπὶ τοῦ νοεῖν τίθησι.

Digitized by Google

Συνῄδει, συνῄσχει.
Συνεθέμεθα, ὡμολογήσαμεν, συνῳδάσαμεν.
Συνέθετο, συνέπηξατο.
Συνέθλασε, συνέτριψε.
Συνέθρισε, συνέτεμε, λεπτὰ ἐποίησεν, ἀπὸ τοῦ θρίσαι, ὅ ἐστι τεμεῖν.
Συνείκανα, συνοδος.
Συνείλας, συνειλήσας.
Συνειλεγμένα, συνηγμένα, συνηθροισμένα.
Συνειλοχὼς, συναγαγών.
Συνειλέοντες, συλλαβόντες.
Συνείληχας, συγκεκλήρωσαι.
Συνειλόχασι, συνήθροισαν.
Συνειλόμενα, συστρεφόμενα.
Συνείνησις, συνείδησις, διάθεσις.
* Συνεῖναι, γινικῷ, νοῆσαι. καὶ συνεῖναι αἰσθανθῆναι.
Συνείπετο, ἠκολούθει.
Συνείρκατο, ἐδέδετο.
Συνεῖρα, παρὰ τὸ εἴρω, τὸ συμπλέκω, ὁ μέλλων ἐρῶ, ὁ ἀόριστος εἶρα, καὶ συνεῖρα, καὶ παρενεῖρα, καὶ ἐνεῖρα, τὸ ἐμπερόνησα, συνήρμοσα, συνέπλεξα, συνῆψα.
Συνείρει, συνάπτει, συγκολλᾷ.
Συνείρεται, συνίστασθαι, συνεισφορεῖ.
Συνεῖσι, συναινέσασι.
Συνεισέφρησε, συνεισήνεγκε.
Συνίεισιν, ἐπὶ ἑνικοῦ, καὶ συνίεισιν ἐπὶ πληθυντικοῦ προσώπου λέγεται. Ἀριστοφάνης, μετὰ σοῦ τὰ πλεῖστα συνίεισι.
Συνέκδημος, συνοδοιπόρος.
Συνεκδοχὴ, λέγεται ἀπὸ τοῦ κυρίως σημαινομένου ἕτερόν τι τῶν ὑπὸ τὸ αὐτὸ γένος ὄντων παριστῶσα. καὶ ἔστι ποικίλη, ἔχει δὲ ἀναφορὰς πολλάς. ἡ μὲν γὰρ ἀπὸ ὅλου δηλοῖ τὸ μέρος, ἡ δὲ ἀπὸ μέρους τὸ ὅλον, ἡ δὲ ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, ἡ δὲ ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον, ἡ δὲ ἀπὸ συμβόλου τὸ κύριον, ἡ δὲ ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον, ἡ δὲ ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον, ἡ δὲ ἀπὸ τοῦ γένους τὸ εἶδος, ἡ δὲ ἀπὸ τοῦ εἴδους τὸ γένος, ἡ δὲ ἀπὸ τῶν πολλῶν τὸ ἕν, ἡ δὲ ἀφ' ἑνὸς τὰ πολλὰ, ἡ δὲ ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ἡ δὲ ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον. πῶς ἀπὸ ὅλου τὸ μέρος, ὡς τὸ βόας αὔας, ἀντὶ τοῦ ἀσπίδας τῶν ἐκ βοείων βυρσῶν. ἀπὸ μέρους τὸ ὅλον, ὡς τὸ λευκώλενος Ἥρα. ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, ὡς τὸ χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, ἀντὶ τοῦ χρυσῆν πανοπλίαν. ἀπὸ τοῦ ἑπομένου συμβαίνοντος τὸ προηγούμενον, ὡς τὸ ἑζόμενοι λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσιν. ἀπὸ τοῦ συμβόλου τὸ κύριον, ὡς τὸ σκῆπτρον τὴν βασιλείαν. ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον, ὡς τὸ λῦσαι δὲ παρθενίην ζώνην. ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον, ὡς τὸ ἐναρίζω τὸ σκυλεύω. ἀπὸ γένους τὸ εἶδος, ὡς τὸ ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον. ἀπὸ εἴδους τὸ γένος, ὡς τὸ ἀΐω τὸ αἰσθάνομαι. ἀπὸ πολλῶν τὸ ἕν, ὡς τὸ στήθεα μαρμαίροντα. ἀφ' ἑνὸς τὰ πολλὰ, ὡς τὸ πέρσεν Ὀδυσσεὺς ἱερὸν Τροίης πτολίεθρον. ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ὡς τὸ πᾶσα πόλις ἐταράχθη. ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον, ὡς τὸ οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν Κύριον. Τρία ζητεῖται ἐν τῇ συνεκδοχῇ, τὸ ὅλον, τὸ μέρος, ὁποῖον ἂν γένηται ἐν αἰτιατικῇ πτώσει. ἡ ἰδιότης. οἷον ἡ γυνὴ ἡ κεκομμένη τὴν χεῖρα, καὶ ὁ Αἰθίοψ ἐστὶ λευκὸς τοὺς ὀδόντας.
Συνέκυρσαν τοῖσδε, ἤτοι κατὰ συγκυρίαν ἐνέτυχον.
Συνεκύρωσεν, ἐβεβαίωσε.
Συνελάβετο, συνεβοήθησεν, ἢ κατὰ γαστρὸς ἔχει.
Συνεληλακότες, ἐλάσαντες.
Συνελάσωμεν, συμβάλωμεν.
Συνέλεξε δροῦς, ἀντὶ τοῦ συνήγαγεν. Ὅμηρος.
Συνέλευσις, σύνοδος.
Συνελόντες, συνάγοντες.
Συνελόντι φάναι, συντόμως λέγειν, ἢ εἰπεῖν.
Συνελόχησε, συνέδρευσε.
Συνελὼν, ἀντὶ τοῦ συντάξας, συνειλήσας, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας υ. κεῖται ἡ λέξις καὶ ἐν Ἰλιάδι. ἐν τῷ ἀμφοτέρας ὀφρῦς, συνέλε λίθος. ἐντεῦθεν εἴληπται καὶ τὸ, συνελόντα φάναι, παρὰ τοῖς ὕστερον. καὶ τὰ παρὰ τοῖς γραμματικοῖς συνῃρημένα. καὶ ἡ συναίρεσις, δι' ἧς αἱ λέξεις ἐκ πλατυτέρων καὶ ἀναπεπταμένων συνάγονται εἰς βραχύτερον.
Συνέμποροι, σύνοδοι, σύμφωνοι.
Συνέμυσε, συνέτριψε.
Συνενεγκεῖν, λέγεται τὸ λυσιτελεῖν, καὶ συμφορεῖν.
Συνενηνεγμένος, συνελθών.
Συνενεχθέντων, τεθέντων, συλληφθέντων.
Συνέντης, συνεργός.
Συνεξεβράσθη, συνεξεβλήθη.
Συνεοχμὸν κεφαλῆς εἰπεῖν, καὶ συνοχὴν, ταυτόν ἐστιν. ἤγουν συγκόλλησιν, συγκράτησιν. προϋπάρχει δ' αὐτῶν τὸ ἔχειν. ὅθεν καὶ τὸ ἔχμα, περὶ οὗ προείρηται. προϋπόκειται δὲ τοῦ συνεοχμοῦ ὁ ὀχμός. ἐξ οὗ καὶ ὀχμάζειν, τὸ συνέχειν. ὡς τὸ, μέσον δ' ὀχμάζῃς. καὶ προσοχμάσας δέμας. ἀστράγαλον δὲ οὐ τὸν ἐν ποσὶ λέγει. τοὺς γὰρ τοιούτους ὡς Ἀριστοτέλης φησὶν, οὔτε ἀνθρώπους ἔχειν, οὔτε τι τῶν μονύχων, καὶ ἀκεράτων, ἀλλὰ τὸν σπόνδυλον, ὅς ἐστι κεφαλῆς καὶ αὐχένος συνεοχμὸς, ἤγουν συνοχμός. πλεονάζει γὰρ τὸ ε. καὶ συνοχὴ τραχήλου, καὶ κεφαλῆς, τῷ ἰνίῳ συναπτῶν, καὶ καλούμενος θέσις ἐγκεφάλου. καὶ ἰστέον, ὅτι καθάπερ ὁ σπονδύλου δηλωτικὸς ἀστράγαλος, παρὰ τὸ ἀστραβὲς ἐτυμολογεῖται, οὕτω καὶ ὁ κατὰ πόδας, καὶ ὅτι ἐκ τοιούτων ἀστραγάλων καὶ ἀστραγαλίζειν, καὶ μάστιγες ἀστραγαλωταὶ, δῆλον.
Συνεπαρτυμένος, συνημμένος.
Συνεπεράνθη, ἐπληρώθη, πέρας ἔλαβε.
Συνεπέρανε, συνετέλεσε.
Συνέπεσεν, ἀντὶ τοῦ συνέβη, ἐπὶ κακοῦ, καὶ ἐπὶ συμπτώματος. οἷον συνέπεσέ μοι ἡ ζημία, συνέπεσέ μοι ἀποβαλεῖν τῶν παιδίων τὸ φίλτατον. καὶ συνέπεσεν ἀλλήλοις τὰ στρατεύματα. ὅταν δηλονότι καὶ ἄμφω κινηθῶσι, καὶ εἰς ταυτὸν ἔλθωσι.
Συνεπέστη, συνέβη, ἔτυχε.
Συνεπιτιθεμένων, συνεδρευόντων.
Συνεπλάκη, συνήφθη. ἢ μετὰ γυναικὸς, ἢ πρὸς ἀνδρὸς πάλη.
* Συνεπλήθυνεν, ἐπλημμύρησεν.
Συνεπισχύει, συμβοηθεῖ.
Συνερανισάμενος, συμπληρούμενος.
Συνεργεῖ, βοηθεῖ.
Συνεργὸς μὲν ὀξυτόνως, ὁ περί τι ἔργον ἀνεπιτήδειον συμπονῶν. συνέργος δὲ παροξυτόνως, ὁ αὐτὸ μετιὼν, οἱονεὶ σύντεχνος.
Συνερείδειν, ὁμοίως τὸ ἀμφοτέρας ἐρείδειν τὰς χεῖρας.
Συνερέωσειν, συλλέγειν συγκεχυμένους.
Συνέρεσθαι, συνερωτᾷν.
Συνέριθος κυρίως, ὥσπερ καὶ ἔριθος, ἡ συνεργαζομένη ἔριον, καταχρηστικῶς δὲ, καὶ ἡ ἁπλῶς συνεργαζομένη.
Συνέριθος Κύπρις, συνέργος καὶ συμπράκτρια.
Συνέριθος, ὁ βοηθός.
Συνερείσαντα, συνάψαντα.
Συνέρξει, οἷον συγκλείσει, παρὰ τῷ Ἱπποκράτει.
Συνέρσαι, συγκαθίσαι μετά τινος, ἢ συγκαθεῖρξαί τινι.
Συνερόμενος, συμβαλλόμενος.
Συνέρρεον, συνέτρεχον.
Συνέρρηκται. ῥῆμά ἐστιν, ἐξ οὗ ὁ ῥηγμίν. ὡς γὰρ ὁ ῥηγμὶν κύμασιν, οὕτω κακοῖς ὁ Ὀδυσσεὺς συνέρρηκται παρ' Ὁμήρῳ.
Συνερρώγει, συνεκεκρότητο.
Συνέρχεται, συνάγεται.
Συνίες, ἐκ τοῦ συνίημι τὸ γινώσκω. ὁ δεύτερος ἀόριστος συνῆν. ἡ μετοχὴ συνεὶς συνέντος. καὶ τὸ προστακτικὸν, σύνες, νόησον, γνῶθι.
Σύνεσίς ἐστιν, ἐπιστήμη συμβλητῶν καὶ ἀποσυμβλήτων. ἢ ἐπιστήμη συμβλητέων. τῇ δὲ συνθέσει χρώμενοι εἰς τὸ τὰ συμβλητέα συνάγεσθαι εἰς ἓν ὑπὸ τῆς συνέσεως, οἱ περὶ τοὺς ὁρισμοὺς ἀκριβεῖς. σύνεσίς ἐστιν, ἡ παρακολούθησις ψυχῆς εἰς ἓν. ὀξέως συνάγουσα τὰς τῶν πραγμάτων ἐννοίας διὰ παρακολουθήσεως ἑκάστῳ πράγματι, τὸ οἰκεῖον καὶ πρέπον ἐξευρίσκουσα. ἡ σύνεσις, νόησις.
Συνέσκληκε, συμπέπηγε.
Συνεσκολυμμένον, συγκεκαλυμμένον.
Συνεσποδωμένον, συγκεκαμμένον.
Συνεστάλη, πεφόβηται, ἐδειλίασε.
Συνεστηκὼς, συνηγμένος.
Συνέστησεν, ἐκόσμησεν, ἐπήνεσε.
Σύνεστιν, ἀντὶ τοῦ συνυπάρχει. καὶ ἀντὶ τοῦ διαλέγεται, καὶ ἀντὶ τοῦ συντυγχάνει, καὶ ἀντὶ τοῦ συνουσιάζει. σύνετε, νοήσατε.
Συνεστύβας, συνεσκυθρώπακας.
Συνέταξεν, ἐνετείλατο, παρήγγειλε.
Σύνετε, νοήσατε.
Συνετέλεσα, ἀπώλεσα.
Συνετελέσθησαν, ἐπληρώθησαν.
Συνετιῶ σε, σοφιῶ σε.
Σύνετο, συνῆκε.
Συνετὸς, σοφὸς, συγκεκροτημένος.
Συνετὸς, χιτὼν, ὁ συμβλητός.
Σὺν εὐαγεῖ, σὺν τῷ ἀγαθῷ.
Συνευδοκοῦσι, συγκοινωνοῦσι.
Συνεύνους, συγκοίτους, συναποδήμους.
Συνεφάπτομαί σοι τοῦ ἔργου, συναίρομαί σοι τοῦδε. εἰ μή τι τοῦ πένθους σοι συνηράμην.
Συνεφεῖ παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ συνάγει τὰ νέφη.
Συνεφίαζεν, εἴα, ἐκάλει. λέγεται καὶ συνεφόρμα.
Συνεφύροντο, συνεμολύνοντο.
Συνέχεεν, ἔμιξεν.
Συνεχὲς, ἀδιάλειπτον.
Συνέχεται, συμπλέκεται.
Συνέχευεν, ἠφάνιζεν, συνέχεεν.
Συνεχῆ, ἀναγκαῖα, πυκνά.
Συνεχόμεναι, κρατούμεναι.
Σὺν ἐχμωτῇ, σὺν ἁρμολογῇ τοῦ τραχήλου, καὶ τῆς κεφαλῆς τῶν σφονδύλων.
Συνεχόμενον, ἐναντιούμενον. ἢ ἀρρωστοῦν.
Συνέχου, κράτει.
Συνεχώρησαν, συνωμολόγησαν, συνεπάθησαν.
Συνεχῶς, ἐνδελεχῶς, πυκνῶς, ἀεὶ, ἀδιαλείπτως.
Συνέψεσθαι, ἀκολουθῆσαι, ἢ ἀκολουθεῖν.
Συνεψήθη, συνεπλατώθη.
Συνεψία, συμπλέκτρια, ἢ συνομιλήτρια.
* Συνεψιάζουσα, συμπαίζουσα.
Συνεωρακότες, συσκεψάμενοι.
Συνηβολία, ὑπαντήσει, συντυχίᾳ. Ὅμηρος.
Συνηβολίη, τὸ σύμβολον, ἢ ἡ συμβουλή.
Συνήγορος, προστάτης ὑπέρ τινων λόγων. ἔοικε γὰρ παρ' Ἀθηναίοις τινὰς χειροτονεῖσθαι συνηγόρους, ἐπὶ τοῦ ἀγορεύειν. ὡς Ἀντιφῶν φησι.
Συνήδεται, συγχαίρει, ἐφήδεται.
Συνήθεια, ἔθος.
Συνήθεις, ὁμοιοτρόπους, ἐν ὁμοίοις ἤθεσι τεθραμμένους.
Συνήθλησαν, συνηγωνίσαντο.
Συνῆκα, ἐκ τοῦ συνίημι. ὁ μέλλων συνήσω, ὁ ἀόριστος συνῆκα. καὶ ὤφειλεν εἶναι σύνηκα, ἀλλὰ πᾶς παρῳχημένος ἀοριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος, καὶ ἀπὸ φύσει μακρᾶς, τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει. οἷον ἧκα συνῆκα. πλὴν τοῦ οἶδα σύνοιδα. ἐκ τούτου συνέηκα, πλεονασμῷ τοῦ ε Ἀττικῶς.
Συνήλασε, συνεχώρησεν, ἐδίωξε.
Συνηλάσατο, ἐφιλιοῦτο.
Συνῆλθον, τὰ ζῶα ἐπὶ τῷ ὀχεῦσαι, καὶ συνῆλθον οἱ φοιτηταὶ πρὸς ἀλλήλους, ἐπὶ τῷ διαλεχθῆναι. καὶ συνῆλθε ἐναντίον, ἀντὶ τοῦ συνέβη. οἷον, νῦν πάντα τὰ δεινὰ συνῆλθον, ἀντὶ τοῦ συνέβησαν.
Συνήλυσις, συνδρομὴ ἐπὶ τὸ αὐτό.
Συνημμένοι, συνηνωμένοι.
Συνήμονας λέγει Ἀπολλώνιος, τοὺς συνήθεις, καὶ ἑταίρους, ἀπὸ τοῦ συνῆναι.
Συνημοσύνας. Ἰλιάδος χ', συνθήκας, παρὰ τὸ ἧσθαι μέλλοντα τὸ εἰς αὐτὸ ἀφικνεῖσθαι τὰ τῆς διανοίας.
Συνήνεγκε, συνεβάλλετο.
Συνηπίστατο, ἠπίστατο, ποιητικά. χρὴ ἐν ἀπίστασε καὶ συνηπίστασε.

Digitized by Google

Συνεσείχθη, προσεγένετο.

Συνεχομίαν, συνόντα. παρὰ τῷ Ἱπποκράτει.

Συνήορος γίνεται παρὰ τὸ ἀείρω τὸ ζεύγνυω. ἐξ οὗ καὶ ὁ παρήορος. ὁ μέντοι ἐν Ἰλιάδι μετήορος, ἀπὸ τοῦ ἀείρω τὸ κουφίζω καὶ ἐπαίρω γίνεται.

Συνήργης, συνεχόμενος.

Συνηρέθην, ἐκ τοῦ συνήρημαι παθητικοῦ παρακειμένου. ζήτει τὸν κανόνα ἐν τῷ καθηρέθην.

Συνηρετμεῖν, ἀντὶ τοῦ συμφωνεῖν λαμβάνεται, ἀπὸ μεταφορᾶς τῶν τὴν εἰρεσίαν ἐρεσσόντων, καὶ μὴ ἐναντιουμένων.

Συνηρεφὲς, ἐπικεκαλυμμένον, ἐσκιασμένον παρὰ τῷ Ἱπποκράτει.

Συνηρὲς, σύσκιον.

Συνηρηρομένα, συνηρμοσμένα. ὡς καὶ ἐν τῷ μοχλικῷ εὑρήσεις.

Συνηρημένον, τὸν κρατοῦντα, ἢ συμπληρούμενον.

Συνηρτίζοντο, συνηθροίζοντο.

Συνηθείης, συγχαρείης.

Συνησπικότων, συμπεφραξάντων.

Συνήσω, πεισθήσομαι.

Συνθάκων, συγκαθέδρων.

Συνθεῖναι, τὸ ἐξ ἐπιβολῆς συμπεπηγέναι συνθεῖναι.

Σύνθεμα, σημεῖον ἀφορμῆς. δραματούργημα, σύμβλημα.

Σύνθεο, συντίθεμαι ἐνεστώς, συνετιθέμην παρατατικὸς, συνθήσομαι μέλλων, συνεθέμην ἀόριστος, ἀφ' οὗ σύνθου προστακτικόν. καὶ κατὰ διάλυσιν τῆς ου διφθόγγου εἰς ε καὶ ο, σύνθεο.

Συνθέσθαι, ἐν ἄλλοις μὲν ἐπὶ συμφωνίας καὶ συνθήκης. οἷον, σύνθεο καί μοι ὄμοσσον. τίθεται καὶ ἐπὶ συγκαταθέσεως ἡ λέξις παρ' Ὁμήρῳ. λέγει γὰρ, αὐτὰρ ὃν ἄλλοι σύνθεθ' Ἀργεῖοι μῦθον τ' ἐγνῶτε ἕκαστοι. ἤγουν συγκατάθεσθέ μοι ἀναμνησθέντες ὧν ἐλέγετε.

Συνθεσίας, τὴν συνθήκην φασὶν οἱ μεθ' Ὅμηρον, ἡ ἀναλογία κατὰ τὴν ἐξεσίην.

Σύνθεσίς ἐστιν ἀπόδοσις τῆς ἰδιότητος, ἑνὶ, ἢ πολλοῖς συμπεπλεγμένοις, οὐκ αἰτίᾳ φωνῆς, ἀλλὰ τῆς σημασίας. οἷον τὸ μέρος εἰς μερίδας ἔκοπτον, καὶ ὁ Λαυρέντιος καὶ ὁ Βαρῖνος ἐθαύμαζον. τρία ζητεῖται ἐν τῇ συνθέσει, ἓν ὑποκείμενον, ἢ πλείονα συμπεπλεγμένα. ἡ ἰδιότης, ἡ ἀπόδοσις τῆς ἰδιότητος, ἰσάζουσα μετὰ τῆς σημασίας, καὶ ἀνισάζουσα μετὰ τῆς φωνῆς. οἷον ἡ πενία κακόν. γίνεται δὲ ἡ σύνθεσις, ἐν γένει καὶ ἐν ἀριθμῷ. οἷον τὸ πλῆθος βαδίζουσιν, ὁ Βαρῖνος καὶ ὁ Λαυρέντιος διαλέγονται, καὶ ἡ πενία κακόν.

Συνθετὰ, συντεθειμένα.

Σύνθετο φρεσὶν, ἀντὶ τοῦ ἐπιμελῶς ἤκουσε. νοῦς γὰρ ὥσπερ ὁρᾷ, οὕτω καὶ ἀκούει.

Συνθεύσεται, ἀστείως εἴρηται παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. οὐ γὰρ συνδραμεῖταί φησιν ἡμῖν τὸ βουληθὲν, ἀλλὰ δηλονότι σκεδασθήσεται ἀφ' ἡμῶν, οὐκ ἀνύδοιμεν αὐτό. Δοκεῖ δὲ καὶ Ἀμφίνομος, αὐτὸν μὲν νοῆσαι τὸ τοῦ Τηλεμάχου μέρος, τοὺς δὲ μνηστῆρας, εἰς πέλειαν ἐχομένην τῷ κραταιπόδι τῷ ἀετῷ.

Συνθήκη, ἐπὶ τῶν ἡνωμένων καὶ ἁρμοττομένων. καὶ ἡ συμφωνία, ὃ καὶ σύνθημα λέγεται. καὶ ποιητικῶς, συνθεσία καὶ συλλαβή.

Συνθῆκαι, διὰ τριῶν τελοῦνται, λόγων, ἔργων, χειρῶν. λόγων μὲν, οἷον δι' ὅρκων. ἔργων δὲ, διὰ τῶν ἐν βωμοῖς θυσιῶν. χειρῶν δὲ, ἐπειδὴ αἱ πίστεις διὰ τῶν δεξιῶν γίνονται. καὶ Ὅμηρος, δεξιαὶ ᾗς ἐπέπιθμεν.

Συνθήματα, μαθήματα, ποιήματα.

Σύνθημα, συνθήκη, σύσσημον, λόγος ἐν πολέμῳ ἐπὶ γνωρισμῷ τῶν οἰκείων διδόμενος.

Σύνθημά ἐστιν, ὅπερ συντίθενται ἐν τοῖς πολέμοις, ἐρωτῶντες ἀλλήλοις ἀνθυπακούειν, ἵνα τούτοις διαγινώσκωσι τίνες ἴδιοι, καὶ τίνες ἀλλότριοι.

Συνθηματιαῖοι, οἱ ἠργολαβημένοι, καὶ ἐκδεδομένοι, ἐκδόσιμοι.

Συνθήσῃ, συντάξῃ.

Σύνθου, κατάθου.

Συνθραύεσθαι, συντρίβεσθαι.

Συνθήξω, συναντήσω.

Συνία, ταραχή.

Συνιδρῶτι, συγκαμάτῳ.

Συνίζησις γίνεται, ὅταν δύο μακρὰ ἀντὶ ἑνὸς μακροῦ παραλαμβάνεται. ὡς τὸ ἢ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ὑπεροπτεύεις. ἰδοὺ γὰρ τὸ η καὶ τὸ ου μακρὰ ὄντα, ἀντὶ ἑνὸς μακροῦ παραλαμβάνεται. ἢ ὅταν τὸ μακρὸν καὶ τὸ βραχὺ, ἀντὶ ἑνὸς μακροῦ. ὡς τὸ, μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος. ἰδοὺ γὰρ τὸ ληϊάδε, συνίζησίς ἐστι τῆς λη καὶ ι συλλαβῆς μακρᾶς καὶ βραχείας οὔσης, ἀνθ' ἑνὸς μακροῦ παραλαμβανομένη. ἢ τὸ βραχὺ καὶ μακρὸν, εἰς βραχὺ, ὡς τὸ δενδρέῳ ἐφεζόμεναι ὄπα λειριόεσσαν ἱεῖσι. τὸ γὰρ δρεῳ βραχὺ καὶ μακρὸν ὂν, ἀντὶ βραχέος παραλαμβάνεται. ὥστε εἶναι τὸ δενδρέῳ δάκτυλον. ἰστέον δὲ, ὡς ἡ συνίζησις, φωνήεντος ἐπιφερομένου γίνεται, ἤγουν καθαρευουσῶν τῶν συλλαβῶν, οὐκ ἔτι δὲ συμφώνων. συνίζησίς ἐστι, δύο συλλαβῶν εἰς μίαν συλλαβὴν ἕνωσις, μηδενὸς συμφώνου ἀνὰ μεταξὺ αὐτῶν παρεμπίπτοντος. ἢ ὅταν δύο συλλαβαὶ σύμφωνον μεταξὺ ἀλλήλων μὴ ἔχουσαι ἀντὶ μιᾶς παραλαμβάνονται. τρόποι δὲ συνεκφωνήσεως, ἤτοι συνιζήσεως τέσσαρες οἱ ἀναγκαιότατοι. ἢ γὰρ δύο μακραὶ εἰς μίαν μακρὰν παραλαμβάνονται. ὡς ἐν τῷ, ἢ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις. καὶ πάλιν, βουκόλ' ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας. ἢ βραχεῖα καὶ μακρὰ εἰς μίαν μακράν. ὡς ἐν τῷ, ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες. καὶ τὸ, ὥρη γὰρ τ' ὀλίγη πέλεται νεκύων τ' ἀγορεύειν. ἢ δύο βραχεῖαι εἰς μίαν μακράν. ὡς ἐν τῷ, νέα μέν μοι κατέαξε Ποσειδάων ἐνοσίχθων, καὶ Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον. ἢ δύο βραχεῖαι εἰς μίαν βραχεῖαν, ὡς ὁ τοιοῦτος ἔχει στίχος, ἀλλὰ τεὸν ὄν ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον, ἔστι δ' ὅπου βραχεῖα καὶ κοινὴ ἀντὶ βραχείας καὶ κοινῆς παραλαμβάνονται, ὡς τὸ, δενδρέῳ ἐφεζόμεναι ὄπα λειριόεσσαν ἱεῖσι. καὶ τὸ χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ ἐλίσσετο πάντας Ἀχαιούς, διαφέρει δὲ συνίζησις συναλοιφῆς. ὅτι ἡ μὲν συναλοιφὴ, ὡς λέγεται, καὶ φαίνεται, ἡ δὲ συνίζησις, ἐντελῶς μὲν λέγεται, κατὰ κρᾶσιν δὲ λαμβάνεται.

Συνίασι, καὶ συνιᾶσι, μετὰ τῆς συν προθέσεως λέγομεν. ἀλλὰ τὸ συνίασι σημαίνει τὸ συνέρχονται. τὸ δὲ συνιᾶσι, τὸ γινώσκουσι καὶ νοοῦσι, ἐπαΐουσι, καὶ αἰσθάνονται.

Συνιδεῖν, ἀντὶ τοῦ κατανοῆσαι.

Συνίημι, τὸ νοῶ, αἰτιατικῇ. συνίημι δὲ τὸ αἰσθάνομαι, γενικῇ. ὡς τὸ τοῦ μνηστῆρος συνιέντα, ἀντὶ τοῦ αἴσθησιν λαβόντα. συντάσσεται καὶ μετὰ μετοχῆς. οἷον, συνίημι πάσχων καλῶς, καὶ συνίημι καταγελώμενος. συνίημι, ης, ησι, ετον, ετον, ιεμεν ιετε, συνιᾶσι. παρατατικὸς, συνίουν, εις, ει, ετον, ιέτην, ιεμεν, ιετε, συνίεσαν, ἄχρηστα. συνῆκα, ας, ε, ατον, τον, καμεν, κατε, κασι. ὁ δεύτερος ἀόριστος τῶν ὁριστικῶν ἄχρηστος. τὸ προστακτικὸν σύνες. τὸ εὐκτικὸν συνείην. τὸ ὑποτακτικὸν, ἐὰν συνῶ. ἡ μετοχὴ, συνιείς. ὁ δεύτερος ἀόριστος, συνείς.

Συνίσεις, ἀντὶ τοῦ συγκλείεις.

Συνίσταται, καὶ ἀντὶ τοῦ πέπηγεν, ᾧ ἐναντίον τὸ χαυνοῦται, καὶ συνίσταται, τὸ ὕπαρξιν ἔχον, καὶ φύσιν εἰς τὸ εἶναι. συνίσταται, καὶ ἀντὶ τοῦ ἀποκαθίσταται. συνίσταταί τίς τινι, ἀντὶ τοῦ σὺν αὐτῷ ἵσταται. καὶ συνίσταταί τίς τινι, ἤγουν φίλος γίνεται. καὶ συνίσταται, ἀντὶ τοῦ ἀρχὴν λαμβάνει. ὅθεν ἀσύστατον ζήτημα, τὸ μὴ ἀρχήν τινα καὶ λαβὴν δυνάμενον παρέχειν τοῖς μεταχειρίσασθαι βουλομένοις, καὶ ἀντὶ τοῦ συνέρχεται καὶ συνίσταταί τίς τινι, ἀντὶ τοῦ γνώριμος γίνεται. οὗ τὸ ἐνεργητικὸν, συνίστημι.

Συνίστιος, τῇ φιλίᾳ καὶ τῇ προστασίᾳ τῇ σῇ τὸν θαυμάσιον συνίστημι. καὶ ἄλλως συνίσταται λέγεται, ἀντὶ τοῦ ὑφίσταται καὶ ἐν ὑπάρξει ἐστί, καὶ ἀντὶ τοῦ πέπηγε, καὶ συνεστηκώς ἐστι. καὶ συνίσταταί τίς τινι, ἀντὶ τοῦ σὺν αὐτῷ ἵσταται. καὶ συνίσταται, ἀντὶ τοῦ συμβιβάζεται, καὶ φίλος γίνεται.

Συνίστημι τῇ φιλίᾳ καὶ τῇ ἀγαθότητι τῇ σῇ τὸν Λαυρέντιον, ἐκ πολλοῦ μοι μαθητὴν ὄντα. συνίστημι, καὶ παρίστημι, καὶ ἀνθίστημι. ἀποδοτικῆς εἰς αἰτιατικὴν, συνίστασί τις τινά τινι, μαρτυρῶν αὐτῷ χρηστά.

Συνιστορῶ, σύνοιδα.

Συνίστωρ, ὁ ἐπιστήμων, ὁ γνώστης, μάρτυς, συνόμιλος, συμπράκτωρ.

Σύνιτε, συνέλθετε.

Συνιῶν, νοῶν, φρονῶν.

Συνναυθλοῦμαι, διαπεραιοῦμαι.

Συννεφὲς, σκοτεινόν.

Σύννοιά ἐστι, διάνοια μετὰ λύπης, ἄνευ λόγου.

Συννόει, ἐννόει, ἐνθυμοῦ.

Σύννομα, σύνδρομα, ὁμόφρονα.

Σύννους ἄνθρωπος, ὁ νενηφώς. καὶ ἀεί τι σκεπτόμενος. καὶ μὴ διαχεόμενον τὸν νοῦν ἔχων. ὅθεν σύννοια ἡ σκέψις. ὡς φαμὲν, ἐπὶ συννοίᾳ ὁ ἄνθρωπος βαδίζει, τουτέστι μετὰ σκέψεως περιπατεῖ.

Συνόβαυνοι, συναυλιστήρια καὶ κοιμητήρια.

Σύνοδος, ἡ ἐκ πολλῶν πόλεων συναγωγὴ ἐπί τινι, ὡς Θουκυδίδης, ἀεὶ σύνοδοι ἐπὶ τὸ ἱερὸν ἐγένοντο.

Σύνοιδα δεινὰ εἰργασμένοι. καὶ σύνοιδα ἐμαυτῷ δεινὰ εἰργασμένῳ, σύνοιδά σοι φόνον.

Συνομολογῶ, καὶ συναινῶ, εἴποις ἂν συγκατατίθεμαι, συμμαρτυρῶ, πείθομαι, ὁμογνωμονῶ, ὁμοδοξῶ, σύμφημι, συνέπομαι, συνδοκῶ, ἐπινεύω, σύμψηφός εἰμι, συνεπαινῶ, ἐπέχομαι. ὁμόφωνος καὶ σύμφωνός εἰμι καὶ συμφέρομαι, ὑπόχομαι, συμπράττω, συναγωνίζομαι, καὶ τὰ παραπλήσια. τὸ ἐναντίον, ἐναντιοῦμαι, ὑπεναντιοῦμαι, ἀντιλέγω, ἀντιτείνω, ἀντικρούω, ἀπειθῶ, ἀντιδιίστημι τῇ γνώμῃ, ἀλλοδοξῶ, ἑτεροδοξῶ, ἀρνοῦμαι, ἀποφαίνω, ἀπολέγω, ἀπαγορεύω, ἀναγορεύω, ἀποστέργομαι, ἀνταγωνίζομαι, ἀντιπράττω, διαφωνῶ, ἐρίζω, διαφέρομαι. τάχα δὲ ταχύτερον ἐπὶ μὲν τοῦ προτέρου, τὸ συνελθεῖν, ἐπὶ δὲ τοῦ δευτέρου τὸ ἀπελθεῖν.

Σύνοιδά σοι χρηστόν τι, οὐ σύνοιδά σε ἀγαθὸν ὄντα, διὰ τὸ ἐκεῖσε μὲν δηλαδὴ συντάσσεσθαι τὴν σὺν πρόθεσιν, πρὸς τὸ σοί. ἐνταῦθα δὲ μὴ ἔχειν ὅπου συναφθήσεται αἰτιατικῆς οὔσης. ἐπὶ δὲ πλήθους, καὶ ἀμφότερα. οἷον πολλοί συνίσασί σοι τὰ βέλτιστα, καὶ πολλοὶ συνίσασί σε βέλτιστον, ἀντὶ τοῦ ὁμοῦ πάντες ἐπίστανται σε τοιοῦτον. Ἀριστείδης ἐν τινι τῶν ἱερῶν, ὡμολόγει αὐτοῖς δέ ποτε μηδένα που τῶν τέκνων συνειδέναι τοσαῦτα τιμηθέντα.

Συνοικεῖται, σύνοικοι.

Συνοίκια, τὰ πλείονα ἑστία.

Συνοίμιον ὕμνον ἄειδον. Ἀπολλώνιος, σύμφωνον καὶ συνῳδόν. οἴμη γὰρ ἡ ᾠδή.

Συνοίσεσθαι, τὸ κατὰ συμφορὰν συγκομισθῆναι, καὶ εἰς ἓν ἐλθεῖν καὶ συμβαλεῖν.

Συνοιχήσεται, συναναιρεθήσεται.

Συνοκλάζει, ζεῖ.

Συνοχωχὲ, νόσος, λοιδορία, μάχη.

Συνοχωκότε, ἐπισυμπεπτωκότες, συνηγμένοι. συνοχωχὴ γὰρ ἡ σύμπτωσις.

Συνολκὴ, ἀναπνευστικὴ, ἀναληπτική.

Συνομαρτεῖ, συνακολουθεῖ.

Συνομαρτεύει, σύνεστι, καὶ τὰ ὅμοια.

Συνόμιλος, σύλλογος, σύντροφος.

Σύνοπος, σύνοδος.

Σύνοπται, συνόηται, ὁραταί.

Σύνοπτρον, σύνοψις ἄστρων.

Συνορᾶν, ἀντὶ τοῦ κατανοεῖν.

* Συνορινόμενοι, ἐπιθυμοῦντες ἐπεκτεινόμενοι.

Συνορίνεται, ταράσσεται, θορυβεῖται.

Σύνορος, συγγείτων.

Συνόσα, ὁμοῦ.

Συνουλοτικὴ, φαρμακίς.

Συνοῦται, λυπεῖται.

Σύνοφρυς, μεγαλόφρων, μεγάλαυχος.

Συνοχὴ, ἀσθένεια, ἀδημονία, ταραχή.

Συνοχὴ, ὁδοῦ στενότης, καὶ ἀπὸ ἁρμονίας εἰς στενὸν σύμπτωσίς τε, καὶ σύγκλεισις. κατὰ δὲ τοὺς παλαιοὺς εἰπεῖν, συνοχή ἐστι τὸ

τῶν παιδίων συμμαθητεύειν, ὅπερ μάλιστα τὸ κατὰ τὴν καμπτῆρα, ἤτοι τὴν νύσσαν.
Συνουσία, ἁπλῶς μὲν ἡ ὁμιλία καὶ συναναστροφή, ἰδίως δὲ ἡ μετὰ γυναικὸς μίξις.
* Συνωψις, ἡ κατὰ πρόσωπον ὁμιλία.
Συστρέψασθαι, συστρέψαι.
Σύστρεμμα, πλῆθος, στράτευμα.
Συσ[illegible], οἱ ἐν ἐξόδοις τῶν πόλεων ἐπὶ τῶν ἀρχόντων ἀποχωρητισμοί.
Σύνταξις, ἡ κατάλληλος συνθήκη τῶν λέξεων, καὶ ὁ φόρος παρ᾽ Ἀθηναίοις, καὶ ἐπὶ παντὸς, κατὰ τάξιν καὶ ἁρμονίαν γινομένου.
Σύνταξις, ἡ στρατιὰ, ἡ διοίκησις, ἡ σύνθεσις.
Σύνταξις, διαφόρων πραγμάτων ἕνωσις, καὶ τὸ λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. ἢ ἀντὶ τοῦ συντεταγμένη οἴκησις.
Σύνταξον, παράσχου.
Συντάργανες, συντεταραγμένοι.
Συντάττου τῷ δεσπότῃ, ἀντὶ τοῦ εἰς τὴν αὐτὴν τάξιν τάσσου, καὶ ἐξ ἴσου ποιῶ, καὶ συντάττεται τὸ πρᾶγμα.
Συντέθεικα, συνεθέμην.
Συντεθραμμένου, συγγενοῦς, ὁμοτρόφου.
Συντέθρυπται, συμπέπτωκε.
Συντείνας, σπουδάσας.
Συντελείας, κακίας.
Συντελέσθαι, πληροῦσθαι.
Συντελεῖς, χρήσιμοι. ἢ ὅτε οἱ τριηραρχοῦντες ταῖς μισθοῖς, ἅμα ἐπιμελοῦντο, συντελεῖς ἐλέγοντο. ἢ οἱ συνδαπανῶντες, καὶ συνεισφέροντες. τὸ πρᾶγμα, συντέλεια καλεῖται.
Συντεμεῖν, συντελέσαι.
Συντέρμων, συντελεστής.
Συντεταγμένως, μετὰ τάξεως, καὶ σπουδαίως, καὶ ἐναργῶς, καὶ μετὰ συγκροτήματός τινος, παρὰ Ἀριστοφάνει.
Συντετῆσθαι, ἐξυφᾶσθαι.
Συντετμημένου, συγκεκομμένου, συντόμως εἰρημένου.
Συντεταραγμένου, συγκεχυμένου.
Συντέτακα, προσ[illegible].
Συντέτηκεν χρυσῷ χαλκός. ἐνέπεσεν ὕβρις ἀνθρώπῳ.
Συντετυχημένοι, συντυγχάνοντες.
Σὺν τῷ, σὺν αὐτῷ.
Συντιμηθῆναι, ὅταν καλεῖται τὸ πολλῆς τιμῆς γενέσθαι τὰ ὤνια.
Συντίθημι, τὸ μὲν ἁπλῶς τὸ δ᾽ ἔτι ποιῶ. ὡς τὸ συνέθηκε λόγους, ἀντὶ τοῦ εἰς ἁρμονίαν ἤγαγε. συντίθημι, τὸ συναρμόζω. καὶ συντίθεταί τις, ἀντὶ τοῦ συναρμόζεται. καὶ συνάγω. ὡς πάντα συνθεὶς χρήματα. συντίθεμαι δὲ, τὸ ὁμολογῶ. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης, συντιθέμενος ἥξειν εἰς τὴν ὑστεραίαν. συντίθεται πράγματα, ἀντὶ τοῦ συναρμόζεται.
Συντίθημι, τὸ δημιουργῶ, καὶ ἐργάζομαι λόγον, ἢ ἐπιστολὴν, ἢ ὅμοιόν τι τούτου. ὅθεν καὶ τοὔνομα συνθήκη. συντίθημι, τὸ συμπλάττω, καὶ συσκευάζω, οἷον μηχανὴν, ἢ ἐπιβουλὴν, ἢ δόλον κατά τινος. ὡς καὶ Σοφοκλῆς, κλαίων δοκεῖς μοι καὶ σὺ συνθεὶς τάδε, ἀντὶ τοῦ συμπλάσας, καὶ συσκευάσας. συντίθημι καὶ τὸ ἅμα τίθημι, καὶ ἐν ταυτῷ, ὅπερ δηλοῖ συνέχεια.
Συντομία ἐστὶ, φράσις ἔχουσα τὰ ἀναγκαῖα τοῦ δηλουμένου πράγματος. οἷον κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται γυμνοῦ, ἀτὰρ τά γε τεύχεα ἔχει κορυθαίολος Ἕκτωρ. καὶ ἄλλα πολλά.
Συντόμως, διὰ βραχέων.
Συντονία, σύστασις. πύκνωσις.
Σύντονον, σφοδρὸν, ἰσχυρὸν, συνεχές.
Συντριβὸς, συνδιατρίβουσα, συνοῦσα.
Συντρίβω, κατάγω, κατακλῶ.
Συντρίβει, συνθλᾷ.
Σύντριμμα, ἁμάρτημα.
Σύντροφον, συνανάτροφον.
Συντροχᾶσαι, κατανύσαι, πληρωθῆναι, ἀπὸ μεταφορᾶς τῶν τροχῶν.
Συντυγχάνω, τὸ ἐρχόμενος συγκρούω τινί. ἐπιτυγχάνω ἀγαθοῦ. ἀποτυγχάνω ἐναντίον τούτου. συντυγχάνω ἀντὶ τοῦ ἐντυγχάνω. ἀλλὰ οὐκ ἐντυγχάνω λέγε, ὡς κρεῖττον. τὸ γὰρ συντυγχάνω, ἀντὶ τοῦ κατὰ τύχην συμβαίνω κυρίως. Θουκυδίδης, οὕτω πῶς συνέτυχον.
Συντυχία, συνέντευξις.
Συντυχίζειν, συνασωρεύειν.
Συνῳδὰ, σύμφωνα, * μετὰ δοτικῆς. καὶ συνῳδόν.
Συνῳδεία, συγχορεία.
Συνωθεῖ, ἐπὶ τῶν ἀμφοτέραις ταῖς χερσὶν ὠθούντων. ἢ συνωθεῖ, ἤτοι συνελαύνει. καὶ παρὰ Ἀριστοφάνει, ἐπὶ τῆς αὐτῆς σημασίας τὸ ὠστιζόμεθα, ἀντὶ τοῦ ἐλαυνόμεθα.
Συνῳκισμένων, συνεληλυθότων.
Συνωμάρτησε, συνηκολούθησε.
Συνώμεθα, ἐστὶ μὲν ποιητικὴ λέξις, δηλοῖ δὲ τὸ συνθώμεθα, μᾶλλον δὲ συμβῶμεν, ἀπὸ τοῦ συνιέναι. καὶ γίνεται ἀπ᾽ αὐτοῦ ἡ συνωμοσύνη, ὃ δηλοῖ συνθήκην, καὶ συμβίβασιν.
Συνώμεθα, ἀντὶ τοῦ συνθήκας ποιησώμεθα.
Συνωμοσία, ἡ μεθ᾽ ὅρκων φιλία.
Συνώνυμά ἐστιν, ὅσα καὶ τῷ ὀνόματι καὶ τῷ ὁρισμῷ, ἢ τῇ ὑπογραφῇ τοῦ ὀνόματος κοινωνοῦσιν. οἷον τὸ ζῶον δηλοῖ καὶ τὸν ἄνθρωπον καὶ τὸν ἵππον. καὶ κατὰ τὸ ὄνομα τοῦτο, ἤγουν τοῦ ζώου, συνώνυμά εἰσιν. ἕκαστος γὰρ αὐτῶν καὶ τὸ ὄνομα καὶ τὸν ὁρισμὸν τοῦ ζώου δέχονται, ὑπογράφουσι δὲ τὰ συνώνυμα οὕτω. συνώνυμά εἰσιν, ὧν τό, τε ὄνομα κοινὸν, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός.
Συνώνυμόν ἐστιν, ὧν τό, τε ὄνομα κοινὸν, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός. οἷον ζῶον, ὅ, τε ἄνθρωπος, καὶ ὁ βοῦς. καὶ κοινῷ γὰρ ὀνόματι προσαγορεύονται τῷ ζῶον. καὶ λόγος δὲ, ὁ αὐτὸς τῆς οὐσίας, τουτέστιν ὁ ὅρος.
Συνάπη, πόλις τοῦ Πόντου, ὠνομασμένη ἀπὸ τῆς Ἀσωποῦ θυγατρὸς Συνάπης, ἣν ἁρπάσας ὁ Ἀπόλλων κατὰ Φιλοστέφανον ἀπὸ Βοιωτίας, ἐκόμισεν εἰς τὸν Πόντον, καὶ μιγεὶς αὐτῇ ἔσχε Σύρον. ἀφ᾽ οὗ οἱ Σύροι.
Συνωρίδα, ἅρμα δίπωλον.
Συνωρίδος, δυάδος.
Συνωρὶς, ἅρμα ἐκ δύο ἵππων, ἢ συζυγία.
Σύνωρον, σύμφωνον, ὁμολογούμενον, ἢ συγγενῆ.
Συνωχωκότε, συμπεπτωκότε, ὡς παρωχηκὼς λέγεται, ἀντὶ τοῦ παρεληλυθὼς, οὕτω συνωχηκὼς, ἀντὶ τοῦ συνεληλυθώς. ἀναυξήτως δὲ κατὰ Ἴωνας συνοιχηκὼς, εἶτα ἐκβολῇ τοῦ ι, τροπῇ τοῦ η εἰς ω, ὡς ἐν τῷ οἴχωκα, ὄλωλα. παρὰ Σοφοκλεῖ, συνοχωκώς. Ἄλλως.
Συνοχωκότε, δηλοῖ μὲν τὸ συμπεπτωκότες, γίνεται δὲ ἀπὸ τῆς ξυνοχῆς, ἥτις παρὰ τῷ Ποιητῇ δηλοῖ τὴν ἀπὸ πλατέος εἰς στενὸν σύμπτωσιν, ὅπου ξυνοχὰς λέγει ὁδοῦ. σκοπητέον δὲ εἴ τι καὶ τὸ οἴχωκεν ἐνταῦθα συμβάλλεται, ὃ κεῖται παρ᾽ Ἡροδότῳ. καὶ ὁ βυσαύχην ὁ Θερσίτης ὑπογράφεται. Διονύσιος γὰρ ὁ αἴλιος φησιν, ὅτι βυσαύχην, ὁ τοὺς ὤμους συνέλκων ἐπὶ τὸν τράχηλον. Παυσανίας μέντοι φησὶν, ὅτι βυσαύχην, ὁ τὸν αὐχένα συνέχων, καὶ τοὺς ὤμους ἀνέλκων.
Συόαι, βάρβαροι.
Συοβαύβαλοι, συῶν αὐλητήρια καὶ κοιμητήρια.
Συοβοιωτοί, οἱ Βοιωτοὶ σύες.
Συὸς ἀγρίου, συάγρου.
Συοφόρβια, συῶν ἀγέλαι, ἢ χοίρων ἀσφαλεῖς δεσμοί.
Συοφορβὸς, ὁ σῦς τρέφων.
Συπαλεττίτειος, δῆμος φυλῆς Κεκροπίδος.
Συπαλητίους, κακούργους.
Σύραι, πολυτελεῖς.
Συρακοσία τράπεζα, πολυτελής.
Συρακοῦς. καὶ τὰς κλεινὰς Συρακοῦς, ἀποβολῇ ἐκ τοῦ Συρακούσας.
Σύρας, μαχαίρας, ὅτι πολυτελεῖς διὰ τὸ παροικεῖν αὐτοὺς Πέρσαις. εἰ μὴ ἀντὶ τοῦ συβαρεῖς, καὶ μή ποτε σύβρας. συβράζειν γὰρ, τὸ θρύπτεσθαι, καὶ χλιδᾶν φασί.
Συρβάβυττα, τὸν τάραχον. καὶ σύρβη.
Συρβηνεὺς, ὁ ταραχώδης, ἀπὸ τῶν αὐλητῶν μετὰ θορύβου. ἢ πένης, διὰ τὰς κενὰς αὐλοθήκας, καὶ φαρέτρας. καὶ συρβηνέων χορὸς, ὁ τεταραγμένος καὶ συνῳδὴς, ἀπὸ τοῦ τοῖς κυσὶν ἐπιφωνουμένου.
Σύρβα, μετὰ θορύβου.
Σύργαστρος, ὑοφορβὸς, ἐργάτης. καὶ ὄνομα βαρβαρικόν.
Συρενίη, παρὰ τοῖς Ἴωσιν ὀνομάζεται λάχανόν τι σελίνῳ ἐοικὸς, ἢ βρῶμα διὰ στέατος καὶ μέλιτος.
Σύρη, πλῆθος, σύρματα, ναυμαχίας.
Συρία, ἡ παχεῖα χλαῖνα, ἤτοι ἀπὸ τοῦ σισύρης. ἢ ὅτι ἐν Καππαδοκίᾳ γίνεται, ὑφὶ δὲ σύροι.
Συρία, μία φασὶ τῶν κυκλάδων καλουμένη. καὶ Σῦρος, ἐν ἐκτάσει τῆς παραληγούσης. φησὶ γοῦν ὁ Γεωγράφος, ὅτι ὁ Σῦρος μηκύνει τὴν πρώτην συλλαβὴν, ἣν Συρίαν λέγει ὁ Ποιητὴς, ἐξ ἧς Φερεκύδης ὁ Βαβυλώνιος. ὥστε καθὰ Ψύρα Ψυρία, νῆσος πρὸ τῆς Χίου, οὕτω καὶ τῆς Σύρος, Συρία.
Συρίγγιον, τροχοῦ κένωμα, δι᾽ οὗ ἐνίεται ὁ ἄξων.
Σύριγξ, ὀπή τις ἐπιμήκης δοράτων φυλακτική. ἣ καὶ δουροδόχη λέγεται. σημείωσαι δὲ τὴν ὁμωνυμίαν τῆς σύριγγος. οὐ μόνον γὰρ σύριγξ ποιμενική, ἔτι δὲ καὶ ποδὸς ἕλκος. ὡς Θεόκριτος, καὶ ἐκ πόλεως κρυπτὸς ὑπόνομος κατάγων εἰς ὕδωρ. ἀλλ᾽ ἰδοὺ καὶ αὕτη σύριγξ δουροδόχος. ἰστέον δὲ, ὅτι ὁ ῥηθεὶς ὑπόνομος, ὃς καὶ ἔμβολος, συντεθεὶς μὲν, ποιεῖ συριγγέμβολον. συγκοπεὶς δὲ διὰ τὸ δύσφωνον, λέγεται τοῖς κοινολεκτοῦσι συρέμβολος. καθὰ καὶ τὸ τετράδραχμον, τέτραχμον, εἴρηται καὶ ἄλλα ὁμοίως. οὕτω δὲ καὶ Ἀλκιμέδοντα κατὰ τὴν παρατήρησιν τῶν παλαιῶν, τὸν ἡνίοχον τοῦ Αὐτομέδοντος ἄλκιμον εἶπε συγκόψας ὁ Ποιητὴς, ἐρεῖ δὲ τὴν λέξιν οὕτω καὶ ἐν τοῖς ἑξῆς. φησὶ γὰρ, ἵππους δ᾽ Αὐτομέδων τε, καὶ Ἄλκιμος ἀμφέποντες ζεύγνυον.
Συρίζειν, τὸ διὰ σύριγγος μέλπειν. ὥσπερ σαλπίζειν, τὸ διὰ σάλπιγγος φωνεῖν. καὶ αὐλεῖν, τὸ δι᾽ αὐλοῦ μέλπειν, συρίζω, καὶ τὸ κατὰ Σύρους λέγω, ἢ φρονῶ. συρίττω ἐπὶ τοῦ συριγμοῦ τοῦ διὰ τοῦ στόματος ἀμεταβάτως. καὶ συρίττω μεταβατικῶς, ἐπὶ χλευασμοῦ. οἷον συρίττω τινὰ, ἀντὶ τοῦ χλευάζω. καὶ τῶν συριττομένων ἐστὶν, ἐπὶ τοῦ τῶν ἐμπαιζομένων. διαφέρει δὲ τὸ ᾄδειν, τοῦ συρίζειν, καὶ τοῦ αὐλεῖν, καὶ τῶν τοιούτων. τῷ τὰ μὲν, μέλος ἔχειν μόνον, τὸ δὲ ᾄδειν, ἐπὶ λόγου λέγεσθαι ἐμμελοῦς.
Συρίῃ ἐνὶ γαίῃ, τῇ περὶ Πόντον, ἡ νῦν λεγομένη Σύρος νῆσος. ἔστι δὲ τῶν κυκλάδων.
Συρίοις, κύβοις. μή ποτε Σύριον λέγει τὸν Πέρσην, λεγόμενον διὰ τὸ Συρίαν λέγεσθαι τὴν γῆν τὴν ἀπὸ Φοινίκης μέχρι Βαβυλῶνος.
Συρίσκος, ἀγγεῖόν τι πλεκτὸν, εἰς ὃ σῦκα ἐμβάλλουσι. τινὲς δὲ ὑρίσκον.
Συριστὴς, γέρανος ἄρρην.
Συρκέσι, σαρξὶν, Αἰολεῖς.
Σύρκιζε, σάρκαζε.
Συρμαία, ἀγών τις ἐν Λακεδαίμονι ἔπαθλον ἔχων συρμαίαν. ἔστι δὲ βρωμάτιον διὰ στέατος, καὶ μέλιτος, λέγεται δὲ καὶ συρμαϊσμός.
Συρμαία, τὸ καθαρτικὸν δι᾽ ἐμέτων καὶ κοιλίας. καὶ συρμαΐζειν, τὸ κενοῦσθαι. καὶ συρμαίαν βλέπων, ἀντὶ τοῦ ναυτιῶν.
Συρμαίαν μετρεῖν παρὰ τῷ Ἀριστοφάνει, οἱ μὲν ἀξιοῦσι χυλὸν βοτάνης εἶναι τὴν συρμαίαν, ᾧ χρῶνται Αἰγύπτιοι πρὸς διάρροιαν. ἄλλως, φαίνονται τοῦ χυλοῦ τῆς συρμαίας πίνειν οἱ Αἰγύπτιοι, πρὸς διάρροιαν, ὡς Δίδυμος. ἀλμαία, ἐκ ῥαφανίδων Αἰγυπτιακὴ, πρὸς κάθαρσιν ἐπιτήδειος.
Συρμαϊσμὸς, βρωμάτιόν τι ἐστι διὰ στέατος καὶ μέλιτος, καὶ ἔστι πρὸς κάθαρσιν ἐπιτήδειον. ἔστι δὲ καὶ πόμα δι᾽ ὕδατος, καὶ ἁλῶν.
Συρματὶς, στρατιὰ ἡ τὰ συμψήματα καὶ φρύγανα σύρουσα, καὶ συλλέγουσα.
Σύρμιον, λάχανόν τι σελίνῳ ἐοικός.
Συρμιστὴρ, ξυλοπώλης.
Συρράσσει, συμπίπτει.
Συρράδος, νόθος, μικτὸς, εἰκαῖος.

Συῤῥεῖν λέγεται, τὸ ὁμοῦ βρέχειν. ἐπιῤῥεῖν δὲ, τὸ πυκνὰ στρέφεσθαι ἄλλα ἐπ' ἄλλοις.

Συῤῥέφη, συσκέπη.

Σύρτεις, δύο εἰσὶν ἐν τῇ Λιβύῃ. εἰσὶ δὲ πηλώδεις, γίνονται δὲ ἀμπώτης εἰς αὐτάς. καὶ ἐν τῷ Ὠκεανῷ εἰσὶ τόποι ὅπου κατασύρονται οἱ πλέοντες, καὶ ἀπόλλυνται.

Σύρτης, χαλινός.

Σύρτις, φθορὰ, καὶ λίμνη.

Συρφετὸς, ἄχυρα, ἢ φρύγανα, ἢ ἄλλα τινά. ὥσπερ παρὰ τὸ ὕω ὑετὸς, πνίγω πνιγετὸς, οὕτω καὶ συρετός. καὶ πλεονασμῷ τοῦ φ, συρφετός. ἢ συρφετὸς, ὁ ἀγυρτώδης ὄχλος, ἢ λόγος. ἢ ἡ ἐξ ἀνέμου συλλεγομένη κόπρος.

Σύρφος, ἢ σέρφος, θηρίδιον μικρὸν, ὁποῖον ἐμπίς.

Σύρω, σκύλω, προσάγομαι. ἢ σύρω, τὸ ἕλκω, ἀφ' οὗ διασύρω, καὶ περισύρω, τὸ κατηγορῶ. ἀπὸ μεταφορᾶς τῶν βίᾳ ἑλκόντων τινὰς, καὶ ὑβριζόντων. καὶ παρασύρω, καὶ ἀνασύρομαι τὸν χιτῶνα, ἀντὶ τοῦ ἀνέλκω. καὶ ἐπισύρομαι, ἀντὶ τοῦ ἐπάγομαι, καὶ μετ' ἐμαυτοῦ ἕλκω. καὶ ὑποσύρω. καὶ συρμὸς, ἡ ἐν χειμῶνι βιαία κίνησις τῶν ἀνέμων. καὶ σύρτις σύρτεως, τόπος ἔνθα πλημμυρὶς γίνεται, καὶ οἷον ἀνάπωσις. καὶ σύριγξ σύριγγος, ὄργανον ἐμπνευστόν. καὶ συριγκτὴς, ὁ τῇ σύριγγι χρώμενος. ὡς σαλπιγκτὴς, ὁ τῇ σάλπιγγι. καὶ σύριγξ ἐν τοῖς ἅρμασι, τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον, καὶ ἡ ὀπὴ τοῦ τροχοῦ.

Σῦς, τοὺς Ἱπποκράτους υἱοὺς ἔλεγον, καὶ Παναιτίου, καὶ Μέμνονος εἰς ὑωδίαν κωμῳδοῦντες.

Συῶν ἐπιβήτορα, περίφρασις τοῦ κάπρου.

Σῦς, καὶ ὗς, ὁ χοῖρος. κάπρος δὲ καὶ χλούνης, καὶ χαυλιώδους, ὁ ἄγριος. καὶ τὰ ἔγγονα τούτου δελφάκια. καὶ συθῆραι. οἱ τοὺς σῦς θηρῶντες. καὶ συὸς τύπον, παροιμιακῶς. ἐπείπερ τὰ σάμια πλοῖα, συὸς τύπον εἶχον ἐν ταῖς πρώραις.

* Συσσεισμὸς, λαῖλαψ, συστροφὴ ἀνέμου.

Συσκευάζω, τὸ σκαιωρῶ, ἀφ' οὗ καὶ σκευὴ, ἡ σκαιωρία. καὶ συσκευάζομαι, ἀντὶ τοῦ κακουργῶ, καὶ πανουργεύομαι. καὶ σκευὴ, ἡ πανουργία. ἢ συσκευάζομαι, τὸ τὰ ἐπιτήδεια συλλέγω. καὶ Ξενοφῶν, ἔδοξεν οὖν συσκευασαμένοις ἃ εἶχον καὶ ἐξοπλισαμένοις, προϊέναι τὸ πρόσθεν.

Σύσκανα, τὰ συσσίτια.

Συσκευάζει, λόγῳ ἐπιβουλεύει. καὶ συσκευὴ, ἡ ἐπιβουλή.

Συσκευάζεσθαι, τὸ πρὸς τὴν ὁδὸν εὐτρεπίζεσθαι. Ξενοφῶν, καὶ συσκευάζεσθαι σιτία ἡμερῶν εἴκοσι.

Σύσκηνος, σύνοικος.

Σύσκια, σύνδενδρα.

Συσπαστὸν, τῶν τραγικῶν τι ἐγχειρίδιον ἐκαλεῖτο, ὡς Πολέμων φησὶ, τὸ συντρέχον ἐν Αἴαντος ὑποκρίσει.

Συσπλαγχνεύεται, συγγενεύεται τῶν σπλάγχνων.

Συσσίτιον, εὐωχία, ἄριστον. καὶ συσσίτια τὰ δεῖπνα, ἃ κοινῇ ποιοῦσι Λακεδαιμόνιοι. καλεῖται δὲ φιλίτια, ἐπεὶ φιλίας ἐστὶ συναγωγά.

Σύσσημον, σημεῖον.

Σύσσιτον Παύσωνα καλεῖ Ἀριστοφάνης, ἤγουν σύντροφον καὶ διαιτητήν. ὁ Παύσων δὲ ἐπὶ πενίᾳ κωμῳδεῖται ζωγράφος ὤν.

Συσσοίη, ἡ ἀνεμπόδιστος φθορά.

Συστάδην μάχονται, οἱ συλλαβόντες τὴν μάχην ἐγγύθεν. ἀκροβολίζονται δὲ οἱ μακρόθεν βέλεσι μαχόμενοι. ἀφ' οὗ ἀκροβολισμός.

Σύσταθμοι, ἰσόσταθμοι, παρὰ τῷ Ἱπποκράτει.

Συστήσασθαι, πήξασθαι.

Συστάσεις, σύνοδοι, συμφωνίαι.

Συστατῶν, συγκροτῶν, συνιστῶν, καὶ τὰ ὅμοια.

Σύστενον, στενοχωρημένον, τρίχινος χιτών. ἢ ῥυπαρὸς, Ἀντίμαχος.

Συστολή ἐστιν, ὅταν τὰ ἐκτεινόμενα δίχρονα συσταλῇ. ἢ τὰ μακρὰ, ἢ τὰ ἀντίστοιχα αὐτῶν μετατεθῇ. οἷον φυσίζοος, ἀντὶ τοῦ φυσίζωος. ξερὸν, ἀντὶ τοῦ ξηρόν.

Συστομώτερον σκάφης, παροιμία ἐπὶ τῶν τὰς σκάφας φερόντων μετοίκων, διὰ τὸ ἀπαῤῥησίαστον, οἷς οὐδὲ χανεῖν ἐφίετο.

Συστρεμμάτων, θορύβων, πλάνων.

Συστρέφει τὶς ἑτέρου χεῖρα, ἢ τράχηλον. συστρέφονται δὲ οἱ στρατιῶται, ἐπειδὰν ὑπὸ τῶν πολεμίων σκεδασθέντες αὖθις πειρῶνται στρέφεσθαι. ὅθεν καὶ συστροφὴ, καὶ σύστρεμμα.

Συστραφέντες, συνελθόντες.

Συστρὸς, ἀπὸ τοῦ στροβῶ. σημαίνει, τὸ περιερχόμενος κύκλῳ.

Συστροφὰς, φύματα σκληρίας. παρὰ τῷ Ἱπποκράτει.

Συστροφὴ, ἴλιγξ ὑδάτων. ἢ σκοτισμός.

Συσχολαστὰς, ἐσχάτως ἀναττικόν. χρὴ δὲ συμφοιτητὰς λέγειν.

Συτιάσει, ἱκετεύει.

Σύτο, ὥρμησεν, ὁρμᾷ, ἀνῆλθεν, ἀνηκόντισε.

Σύφακα, γλεῦκος.

Συφακίζειν, ὀπωρίζειν.

Σύφαρ, καὶ λεβηρὶς, τὸ τοῦ ὄφεως δέρμα. Λυκόφρων δὲ ἀντὶ τοῦ γέρων εἶπεν, ἀπὸ τοῦ ὀφείου δέρματος. γηράσας γὰρ ὁ ὄφις, καὶ πρὸς ὀπὴν ἐλθὼν, ἀποδύεται τὸ δέρμα.

Σύφαρ, γῆρας τὸ ὑπέρτατον. οἱ δὲ τὸ τοῦ ὄφεως, καὶ τὸ ἐῤῥυτιδωμένον σῦκον, τὸ ἐπὶ τοῦ γάλακτος τροφάδες.

Συφεοῦ, πλεονασμὸν ἔπαθεν ὁποῖον καὶ τὸ ἀδελφεὸς ἀδελφειός.

Συφεὸς, τὸ χοιρομάνδριον.

Συφεός ἐστι, συῶν εὐνή.

Συφορβὸς, ἅπαξ εἴρηται τῷ Ποιητῇ ἐν τῇ φ' τῆς Ἰλιάδος ῥαψῳδίᾳ. ὡς παρασημειοῦνται οἱ παλαιοί.

Συχνοὶ καὶ συνεχεῖς παρ' Ἀττικοῖς διαφέρουσι. συχνοὶ μὲν γὰρ λέγονται οἱ πολλοὶ, καὶ ἐν ταυτῷ ἀθρόοι. ὡς καὶ Συνέσιος, συχνοὶ παρ' ἡμῖν καὶ ἰδιῶται καὶ ἱερεῖς, πλαττόμενοί τινας ὀνείρους. συνεχεῖς δὲ, οἱ ἐπάλληλοι καὶ πυκνοὶ, οἷον συνεχεῖς νόσοι τῷ ἀνθρώπῳ ἐγγίνονται.

ΤΟ' Σ'. ΜΕΤΑ' ΤΟΥ Φ'.

Σφαγεῖον, τὸ ἀγγεῖον, εἰς ὃ τὸ αἷμα τῶν σφαζομένων ἱερείων δέχονται.

Σφαγὴ, καὶ ὁ τόπος ἐν ᾧ σφάζεταί τις, καὶ ἡ ἐνέργεια αὐτή.

Σφάγιον, πρόβατον, θῦμα, ἢ τόπος ὃς τὸ τῶν ἱερείων ὑποδέχεται αἷμα.

Σφαγὴ, ὁ κατὰ τὴν κατακλεῖδα τόπος.

Σφαγία, ἡ τῆς ἱερουργίας ἡμέρα.

Σφαγὶς, τὸ προκάρδιον, καὶ ἡ τομή.

Σφαδάζειν Ἀττικοὶ, ἐπὶ τοῦ χαλεπῶς φέρειν καὶ σχετλιάζειν λέγουσι. Ξενοφῶν, ἐπὶ τὸ ἀλγεῖν. ἔνιοι δὲ τὸ σπαίρειν ἐκδέχονται, οἱ δὲ τὸ χαλεπῶς φέροντα πηδᾶν. οἱ δὲ, ἁπλῶς τὸ δυσφορεῖν, ἢ πᾶν τὸ μετὰ βίας. ἄλλοι τὸ σφαδάζειν σημαίνειν λέγουσι, τὸ δυσθανατεῖν, καὶ ματαίως σπᾶσθαι, καὶ χαλεπαίνειν μετ' ὀργῆς στενάζειν. σφαδάζων, πανουργιζόμενος.

Σφαδασμὸς, σπασμὸς, καὶ τὰ ὅμοια.

Σφαδανὸν, σφοδρὸν, καταπληκτικόν.

Σφάζω, ἐκ τοῦ φῶ φάζω, καὶ πλεονασμῷ τοῦ σ σφάζω, κατὰ τὸ μικρὸν σμικρὸν, καὶ μέρδω σμέρδω, καὶ μῶ σμῶ. σημαίνει δὲ τὸ σφάζω, τὸ ἀναιρῶ, καὶ τὸ φονεύω.

Σφαίλειν, πλῆσαι.

Σφαῖραν, ἢ πάλλαν ἔῤῥιψεν, ὡς ταυτὸν ὂν εἰπεῖν, καὶ πάλλαν ἀπὸ τοῦ πάλλεσθαι. Ῥωμαῖοι μέντοι πύλαν τὴν σφαῖραν φασὶ, καὶ ἰδιωτικῶς πάλλαν. σκοπητέον δὲ, εἴπερ ἡ κατὰ σφαῖραν αὕτη παιδιὰ, ἡ λεγομένη ἐφετίνδα ἐστί. τοιαύτη λέγεται παρὰ τοῖς παλαιοῖς, ὅταν ἄλλῳ προσδείξαντες τὴν σφαῖραν, ἄλλῳ ἀφῶσιν. ἡ δ' αὐτὴ καὶ φεννὶς ἐλέγετο. ἔστι δέ φασι φεννὶς, παιδιὰ διὰ σφαίρας ὁπηνίκα ἑτέρῳ προσδεικνύντες, εἶτα ἄλλῳ ἀφιᾶσι τὴν σφαῖραν, ὥσπερ φενακίζοντες.

Σφαιρηδὸν, περιφερὲς, στρογγύλον, ὡς σφαῖρα.

Σφαιρωτὴρ, σανδαλίου ζινίχιον, οἷον τὸ λωρίον τοῦ ὑποδήματος. ἐν τῷ ῥητορικῷ οὕτως εὗρον.

Σφακελίζω, τὸ φλεγμαίνω. Ἀριστείδης ἐν Μιλτιάδῃ, τοῦ πάθους αὐτῷ σφακελίσαντος. σφάκελος δὲ, ὁ μετὰ φλεγμονῆς σπασμός.

Σφακελίζοντες, διασπῶντες, πηδῶντες, ὑποτρέμοντες. σφαδάζειν γάρ ἐστι, τὸ σπᾶσθαι. καὶ τὸ σφακελίζειν δὲ ἐντεῦθεν, τὸ ἀλγεῖν μετὰ σπασμοῦ. καὶ σφακελισμὸς, παραπληξία, ἢ ἡ σῆψις τῶν μυελῶν. γίνεται δὲ ἐκ τοῦ σφακελισμοῦ, καὶ σπασμός. λέγεται δὲ σφάκελος, καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. λέγεται δὲ καὶ ὁ σφυγμὸς, καὶ ὁ παλμός. σφάκελον δὲ ἔνιοι, τὴν σῆψιν τῶν ὀστέων.

Σφάκελος, φθορὰ πᾶσα, καθ' ὃν ἂν γένηται τρόπον.

Σφάκελος, ἐν τοῖς προκειμένοις περὶ τῶν ἐν κεφαλῇ τρωμάτων. κεφαλαλγὶς δὲ, καὶ σφάκελος, ἣν ἡ κρόμμυμα πολέμιον. ἐν δὲ τοῖς πλείστοις, ἄντικρυς σφάλερος γέγραπται, παρὰ τῷ Ἱπποκράτει.

Σφάκια, τῆς ἀμπέλου τὰ κλήματα.

Σφακὸς, χόρτος ὃν τὰ κτήνη ἐσθίει. οἱ δὲ, τὸ ἐπὶ τῶν δρυῶν ἐπιγεννώμενον, ὃ καλοῦσι βρύον εὖ. ἐκεῖνος γὰρ φακὸς λέγεται.

Σφακώδη κλιτὺν, καθ' ἣν ὁ φακὸς ἐφύετο. ἔστι δὲ ἄγριον φυτόν.

Σφαλάσσειν, τέμνειν, κεντεῖν.

Σφαλεῖεν, ἀποτύχοιεν, ψευσθεῖεν.

Σφαλερὸν, ἐπικίνδυνον, σαθρὸν, ἀβέβαιον.

Σφάλλεσθαι, τὸ καταπίπτειν. καὶ σφάλλειν, τὸ καταῤῥίπτειν, οἷς τὸ ἐναντίον ἀνασφάλλειν.

Σφάλλον, καλάκλυσον.

Σφάλλω σε, ἤγουν ποιῶ σε πεσεῖν. σφάλλομαι ἐγὼ, ἀμετάβατον, καὶ σφάλλομαι τῆς ἐλπίδος. σφάλλομαι, ἀποτυγχάνω. Ἀριστοφάνης, ἢν δὲ σφαλῶμεν, ἐπιτετρίφθαι τὸ παράπαν.

Σφάλλει, ἀμεταβάτως. καὶ σφάλλει ἕτερος ἕτερον. ὡς ὁ Θεολόγος, σφάλλει τοὺς συνετούς. καὶ σφάλλειν λέγεται τὸ συμποδίζειν καὶ ῥίπτειν. ἐξ οὗ καὶ σφέλας, τὸ ὑποπόδιον. τούτου δὲ τὸ ἐναντίον, ἀνασφάλλειν. ὃ δηλοῖ τὴν ἐκ τοῦ πτώματος ἔγερσιν. ἀποσφάλλειν δὲ, τὸ πόῤῥω ποιεῖν, καὶ ἀποπλανᾶν.

Σφαλλὸς ἐστὶ ξύλον, ποδῶν δεσμευτήριον. οἱ δὲ, κορμὸν, ἢ δίσκον. ἄλλοι δίσκον δίεστιγμένον, μολίβδινον ἔχον κρίκον. ὃ δεσμοῦντες ὑπὲρ τὴν κεφαλὴν, ῥίπτουσιν ἐν τοῖς ἀγῶσι.

Σφάλμα, ἁμάρτημα.

Σφάνιον, κλινίδιον.

Σφαραγεῦντο παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ ἐτείνοντο κατὰ τοὺς παλαιοὺς, ἢ κατεπονοῦντο, ἢ ἐσπαράττοντο, νοεῖται κατά τινα ἦχον. ὅθεν καὶ Πίνδαρος ἐπὶ πολυήχου τὸ ἐρισφάραγε τίθησι. σφαραγεῦντο, ἦχον προΐεντο, ὀνοματοπεποίηται ἡ λέξις.

Σφαραγίζω, τὸ ἠχῶ. ὡσαύτως δὲ ὀνοματοπεποίηται.

Σφάραγον, ὁ Ἀττίων τὸν φάρυγγα, ἀπὸ τοῦ περὶ αὐτοῦ γινομένου ψόφου.

Σφαραγεῦντο, ἦχον προΐεντο, ὀνοματοπεποίηται ἡ λέξις. ἔνθα καὶ ὁ βρόγχος, ᾧ τὴν φωνὴν ἀφιέμεθα, ἀσφάραγος καλεῖται. καὶ σφαραγίζω, τὸ ἠχῶ. ὡσαύτως δὲ ὀνοματοπεποίηται.

Σφὰς, αὐτοὺς, αὐτὰς, αὐτά.

Σφάττεσθαί ἐστι, τὸ δι' ἡντιναοῦν αἰτίαν φονεύεσθαι, καὶ ἐπ' ἀνθρώπου τάττεται.

Σφὲ, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ σφέας κατὰ ἀφαίρεσιν, ἀντὶ τοῦ αὐτούς.

Σφέας. τὸ σφέας, κατὰ πλεονασμόν ἐστι τοῦ ε. ἢ τὸ σφᾶς, κατὰ συναίρεσιν. καὶ λέγεται, ὅτι τὸ σφέας κατὰ πλεονασμὸν γίνεται τοῦ ε, διὰ τὸν κανόνα τὸν λέγοντα, καθόλου ἐν πληθυντικῷ ἀριθμῷ, ἡ τοῦ τρίτου προσώπου ἀντωνυμία, ἀρχομένη ἀπὸ τοῦ σφῶ, ἐνδεῖ συλλαβῇ, κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον, τοῦ πρώτου καὶ δευτέρου προσώπου, οἷον ἡμεῖς, ὑμεῖς, σφεῖς, ἡμῶν ὑμῶν σφῶν, ὑμῖν, ἡμῖν, σφῖν. οὕτω καὶ ἡμᾶς ὑμᾶς σφᾶς. ὥστε τὸ σφέας, κατὰ πλεονασμόν ἐστι τοῦ ε, ἀπὸ τοῦ σφᾶς.

Σφέδανον, ἤγουν σπουδαιὸν, σπουδαστικῶς.

Σφεδανὸν, ἐπιτεταμένον, σπουδαῖον τοῦτο, σφοδρὸν. ὀξύ.

Σφεδανῶν, φονεύων, ὀλλὺς, κτείνων, τινὲς ἐπεισπώμενον. ἄλλοι σύνθετον εἶναι ἐκ τοῦ σφὲ

καὶ

καὶ δανὸν, ὅ ἐστι κτείνων. ἔστι δὲ ῥηματικόν.

Σφέες, σφέας, σφέων, Ἰωνικῶς. σφεῖς, σφῶν, σφᾶς, κοινῶς.

Σφεζόμενοι, ἐπικαθεζόμενοι.

Σφεδρὸν, καθαρὸν, ἀώδες.

Σφηλὸν, λοξὸν, πυκνὸν, ἀκίνητον, προσφυὲς, δριμύ.

Σφεῖς, ἀντὶ τοῦ οἱ αὐτοί. ἐπὶ τῆς εὐθείας τῶν πληθυντικῶν, τῆς πρωτοτύπου ἀντωνυμίας.

Σφείων ποιητικῶς, ἐπὶ τῆς γενικῆς, ἀντὶ τοῦ σφῶν. ἀπὸ τοῦ σφέων, πλεονασμῷ τοῦ ι σφείων.

Σφέλα, ἢ βελῶν ἐντινάγματα δυνάμενα σφῆλαι, ὅ ἐστιν ἐμποδίσαι, καὶ μετακινῆσαι, ἢ τὰ ἁπλῶς ὑποπόδια. παρὰ τὸ ἐσφηνῶσθαι, ὥς φασιν οἱ παλαιοί. καὶ τοῦτο μὲν οὕτω νοοῦντες, φασὶ τὸ πολλὰ αἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν. ἐκ παλαισμάτων πλευραὶ, ἀποτρίψουσι βαλλόμενοι. δηλοῖ ὅτι πολλὰ σφέλα κατὰ σκοπὸν μὲν, ἀμφὶ τὸ τοῦ Ὀδυσσέως κάρη πεμπόμενα. τῇ δὲ τοῦ Ὀδυσσέως παρεκκλίσει ἐν σκήπτοντα, ταῖς αὐτοῦ πλευραῖς ἀποτρίψουσιν, αἱ ὑπὸ πληττόμεναι πλευραί. ἀστείως δὲ ἔφρασεν, ὡς τὰ σφέλα αἱ πλευραὶ ἀποτρίψουσι, καὶ οὐχὶ αὐτὰ τὰς πλευράς, διὰ τὸ στερεωτέρας εἶναι τὰς πλευράς. ἔτι δὲ καὶ ἄλλως ἑρμηνεύουσιν, ὅτι πολλὰ σφέλα, τουτέστιν ὑποπόδια. ἢ καὶ ἁπλῶς βέλη, τὰ δι' ὀστῶν ἢ ξύλων ἢ τοιούτων τινῶν ἀμφὶ κάρη αἰρόμενα. τὸ τῶν βαλλόντων δηλαδὴ ἀποτρίψουσιν, αἱ τοῦ ξένου πλευραί. ὡς τῶν βαλλόντων ὑπὲρ κεφαλῆς αἴρειν εἰωθότων τὰς χεῖρας, διὰ τὸ τῆς βολῆς ὑψόθεν γενναιότερον, ὅτε πέμπειν εἰς βολὴν αὐτὰ μέλλοιεν. ἕτεροι δὲ, ἀμφικαρῆ γράφουσιν ἐν ἑνὶ μέρει λόγου, καὶ περισπωμένως. ἵνα ᾖ σφέλα, τουτέστιν ὑποπόδια ἀμφικαρῆ, τὰ ἀμφικέφαλα, καὶ οἷον κεφαλὰς ἀμφοτέρωθεν ἔχοντα, τὰς ἐν αὐτοῖς ἐξοχὰς καὶ λαβάς.

Σφέλας, ἢ ὑποπόδιον, ἢ καὶ ἁπλῶς κατὰ τοὺς παλαιοὺς, βλῆμά τι σφῆλαι δυνάμενον.

Σφέλμα, τὸ ἄνθος τῆς φρίνου.

Σφενδάλης, δῆμος τῆς Ἀττικῆς.

Σφενδάμνινοι, ἰσχυροὶ, καὶ στερεοί. τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον. ἀντὶ τοῦ σφενδονῆσαι. Ἄλλως. Τὸ σφενδάμνινοι, ταυτόν ἐστι τῷ πρίνινοι. σφένδαμνος γὰρ εἶδος ἰσχυροῦ ξύλου. ἔστι δὲ καὶ εἶδος καννάβεως, ἡ σφένδαμνος. ἡ γὰρ σφενδόνη, ἀπὸ καννάβεως γίνεται.

Σφενδόνην. ἐν μὲν τῷ περὶ Πάρθων, τὸ ἀπὸ τῆς τοὺς λίθους βαλλούσης σφενδόνης ὠνόμασεν. ἐν δὲ τῷ περὶ ἀφόρων, τὸν καλούμενον φύλακα. δηλοῖ δὲ καὶ τὸ γυναικεῖον περίσφυρον, καὶ ὅσα τούτοις παραπλήσια.

Σφενδόνης κῶλα ἐρίοις συνέπλεκον, οὐ νεύροις πάλαι, ὡς οἱ ὕστερον, ἵνα ἐρίου ὑπενδιδόντος ἐκτείνοιντο αὐτὰ ἐν τῇ ἀπορρίψει. σημείωσαι παρ' Ὁμήρῳ ἐν τῷ ν τῆς Ἰλιάδος, ὡς ἐν περιφράσει ἄωτον οἰὸς εἰπὼν τὸ ἔριον, προσέθετο τὸ εὔστροφον, ἵνα μὴ ἄωτον οἰὸς ἀντινοήσωμεν, τὸ ἀκατέργαστον ἔριον. ὡς ἂν δὲ αὖ πάλιν μὴ τὸ ἁπλῶς ἐξ ἐρίου νῆμα νοηθείη, ἐπήγαγε τὸ εἶδος τὴν σφενδόνην, ἥτις καὶ αὐτὴ εὔστροφον οἰὸς ἄωτον οὖσα ἔχει διαφορὰν ἰδικὴν, τὸ πετροβολεῖν, ἵνα ᾖ σφενδόνη εὔστροφον οἰὸς ἄωτον πετροβόλον. ἐτυμολογία δὲ αὐτῆς τὸ σπαδεῖν. ἀφ' οὗ καὶ σφεδανόν. ἐπισπεύδει γὰρ οἷον αὐτὴ καὶ κατεπείγει τὴν τῶν λίθων ἄφεσιν.

Σφέρται, τὰ ἄφορα δένδρα.

Σφετέραις, ἀντωνυμία ἐστὶ τρίτου προσώπου, ἀντὶ τοῦ ταῖς ἐκείνων, καὶ ἀεὶ τίθεται οὕτω. Ἡσίοδος δὲ ἐπὶ δευτέρου αὐτὸ ἔταξεν, ἐν τῷ σφέτερον πατέρα ὑμνείουσαι, ἀντὶ τοῦ ὑμέτερον. ἐκεῖνο δὲ παρ' Ὁμήρῳ, αὐτῶν σφετέραις, ἀντὶ συνθέτου κεῖται ἀντωνυμίας τῆς ἑαυτῶν, ἢ ἀντὶ τοῦ σφῶν αὐτῶν, ὁποίαις μάλιστα χαίρει ὁ Ποιητὴς, οἷα τὰς συνθέτους μὴ εἰδώς.

Σφετερίζεται, ἰδιοποιεῖται. σφετεριζόμενος, ἰδιοποιούμενος. ἀπὸ τοῦ σφέτερος, σφὲ ἑνικὸν, καὶ σφῶ δυϊκὸν, αἰτιατικὴ ὄντα ἐγκλίνονται. καὶ σφεῖς, καὶ σφῶν, καὶ σφίσι, καὶ σφᾶς, πληθυντικὰ τρίτου προσώπου. σφὲ καὶ αὐτόν, παρὰ Ποιηταῖς σφεῖς, καὶ αὐτοί. παρὰ μόνῳ τῷ Θουκυδίδῃ, καὶ Πλάτωνι, σφῶν καὶ σφίσι, καὶ σφᾶς, παρὰ πᾶσι τοῖς Ῥήτορσιν. οὐ μόνον δὲ σφεῖς, καὶ σφῶν, καὶ σφίσι, καὶ σφᾶς γράφεται, ἀλλὰ καὶ σφεῖς αὐτοί, καὶ σφῶν αὐτῶν, καὶ σφίσιν αὐτοῖς. καὶ σφᾶς αὐτούς. δηλοῦσι δὲ ἁπλᾶ μὲν κείμενα, τὸ αὐτοὶ, αὐτῶν, αὐτοῖς, αὐτούς.

Σφέτερον πατέρα παρ' Ἡσιόδῳ, κεῖται ἀντὶ τοῦ ἡμέτερον. καὶ σφέτερον, ὃ πολλοὶ ἔχουσιν. ἐὸν δὲ, ὃ μόνον ἔχει τίς.

Σφετρίδες, ἐπιβλήματα.

Σφέων, αὐτῶν.

Σφῆ, αὐτῇ.

Σφήκεια, ἡ Κύπρος. πρότερον γὰρ σφήκεια ἐκαλεῖτο, ὥς φησι Στέφανος ἐν τῷ περὶ Κύπρου, ἀπὸ τῶν ἐνοικησάντων ἐκεῖσε ἀνδρῶν, οἳ ἐκαλοῦντο σφῆκες. ἐκαλεῖτο δὲ καὶ κεραστία. ὡς Μένανδρος ἐν τῷ περὶ Κύπρου λέγει, διὰ τὸ ἐνοικῆσαι αὐτῇ ἄνδρας οἳ εἶχον κέρατα. ὡς δὲ Ξεναγόρας ἐν τῷ περὶ νήσων, διὰ τὸ ἔχειν πολλὰς ἐξοχὰς, ἃς κέρατα καλοῦσι, κεραστία ὠνομάσθη.

Σφηκία, λέγεται ἡ συνθήκη τοῦ μέλιτος τῶν σφηκῶν. ὡς τὸ σφηκία ἀθυνουμένη.

Σφῆκες, καὶ τὰ μικρὰ καὶ εἰς ὀξὺ συνηγμένα ξύλα.

Σφηκίσκον ἡμμένον παρὰ τῷ Ἀριστοφάνει, ἐπιτετήδευται ἡ λέξις παρὰ τὸν σφῆκα. τὰ γὰρ μικρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ συνηγμένα, σφηκίσκους καλοῦσιν. ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνεσταλμένην ἔχουσιν, ἰσχνοὶ ὄντες ὄπισθεν. καὶ τοὺς λαγαροὺς δὲ τοῖς σώμασιν ἀνθρώπους, καὶ μὴ προκοιλίους, σφηκώδεις φασίν. ἄλλως. σφηκίσκον ὠξυμμένον ξύλον. ἐπεὶ καὶ ὁ σφὴξ, ὀξὺς ἐκ τῶν ὄπισθεν.

Σφηκισμὸς, εἶδος αὐλήσεως. εἰρημένος ἀπὸ τῆς ἐμφερείας τῶν βομβῶν.

Σφηκίωσις, καλιὰ σφηκῶν.

Σφηκοὶ, οὐ κεχυμένοι τῇ σαρκώσει, ἀλλὰ συνεσφιγμένοι. ἔνιοι δὲ, ῥωμαλέους.

Σφηκὸς λόφου, τὸ ἄκρον τοῦ λόφου. τὸ ἐπὶ τῶν ὤτων ἀποκρεμάμενον τοῦ λόφου, τῆς περικεφαλαίας, τὸ συνεσφιγμένον. λόφουρον δὲ, οἷον λόφου οὐράν.

Σφηκοῦσθαι χρυσῷ, καὶ ἀργύρῳ. τὸ σφίγγεσθαι οἷά τινι σφηκώματι, τῷ ἀπὸ χρυσοῦ καὶ ἀργύρου λεπτοτάτῳ ἑλκύσματι. ἐκ δὲ τῆς τῶν σφηκῶν κατὰ τὸ μέσον ἐντομῆς, εἴληπται τὸ σφηκοῦσθαι.

Σφηκῶ, τὸ δεσμεύω.

Σφηκώδεις, λεπτοὶ κατὰ τὸ μέσον, ὡς σφῆκες. ἢ πικροί. ἐπεὶ καὶ τὸ ζῷον πικρόν ἐστι σφόδρα. ἅμα μὲν ὅτι καὶ δριμύτεροι, ἅμα δὲ, ὅτι καὶ ἰσχνότεροι γίνονται οἱ λιμώττοντες, καὶ σφῆκες σκληροὶ καὶ λεπτοὶ, μάλιστα τὰ κάτω τῶν γαστέρων, διὰ τὸ γοργὸν καὶ ἀκίνητον. τοιοῦτοι γὰρ οἱ σφῆκες τὸ μέσον.

Σφηκώδεις, οἱ κάτισχνοι τοῖς σώμασι. καὶ γὰρ οἱ σφῆκες, τὴν κοιλίαν ἐπισυνηγμένην ἔχουσι.

Σφήκωμα, τόπος τῆς περικεφαλαίας, ὅπου τὰ πτερὰ δίδεται. ἄλλως, τὸ πλέγμα. οἷον ὅτι ἐπιμελῶς τοῖς ἱμᾶσιν ἐνδέδεται. καὶ Ὅμηρος, πλοχμοί θ' οἳ χρυσῷ τε, καὶ ἀργύρῳ ἐσφήκωντο.

Σφηκῶσαι, τὸ δῆσαι, οὕτω Φρύνιχος. ὅθεν καὶ σφηκούμενος, στρεβλούμενος, βασανιζόμενος.

Σφῆλαι, πλανῆσαι, βλάψαι, ἀπατῆσαι.

Σφήλειεν, ἀποτυχεῖν ποιήσειεν.

Σφηλὸν, λοξὸν, πυκνὸν, ἀκίνητον. ἄσφηλον δὲ, τὸ ἀκίνητον.

Σφῆλος, βαρύνεται, κανόνι τούτῳ. τὰ εἰς λος δισύλλαβα κύρια τῷ η παραληγόμενα βαρύνονται, τῆλος, μῆλος, σφῆλος. ἐπιθετικὰ δὲ, ποτὲ μὲν ὀξύνονται, οἷον πηλὸς, χηλὸς, κηλὸς, βηλὸς ὁ οἶκος. ποτὲ δὲ καὶ βαρύνονται, δῆλος, ζῆλος, ἐν οἷς καὶ ἧλος.

Σφηνὰς, ἰχθὺς ποιὸς θαλάττιος.

Σφηνοῦται, φράττεται, στρεβλοῦται.

Σφὴξ, ἐπὶ ἀρσενικοῦ, ζωύφιόν τι μελίττῃ ἐμφερές. καὶ σφηκεία, ἡ συνθήκη τοῦ μέλιτος τῶν σφηκῶν. καὶ σφηκῶ, τὸ δεσμεύω. καὶ σφηκίας, ὁ περὶ τὴν ὀσφὺν λεπτός. καὶ σφίσι, ταῖς ἰδίαις. ἢ ἀληθεία σφὴ. καὶ σφὴν σφηνός. καὶ ἐσφηνωμένον δέρμα, τὸ πεπυκνωμένον. καὶ σφηκίσκος, τὸ εἰς ὀξὺ ἐξεσμένον ξύλον, ὡς παρὰ τῷ Ἀριστοφάνει ἐν σφηξίν. ὅμοιον σφηκίᾳ, ἀντὶ τοῦ σφηκώδεις εἰσὶ καὶ κεντρώδεις. ἐν σχήματι γὰρ σφηκῶν εἰσάγονται.

Σφῆσι, ταῖς ἰδίαις, καὶ ταῖς ἑαυτοῦ. ἰστέον ὅτι εἴτε θηλυκοῦ γένους εἴη, εἴτε μὴ, ὥστε σημαίνειν τὸ αὐταῖς, ἢ τὸ αὐτοῖς. διὰ τοῦ ι γράφεται, παρὰ τῇ ποιητικῇ ἀκριβείᾳ. εἰ μήπου ἀντὶ τοῦ ἰδίαις λαμβάνεται, αὐτὸ γὰρ ἀπὸ τοῦ ὁ σφὸς, ἡ σφὴ, ταῖς σφαῖς, ἔχει τὸ η ἐν τῇ παραληγούσῃ. ὁμοίως τῷ, ᾗσι φρεσὶ, καὶ σῇσι.

Σφήττιοι, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.

Σφηττίῳ ὄξει, τῷ δριμυτάτῳ ἀπὸ δήμου. πικροὶ γὰρ οἱ σφήττιοι, καὶ συκοφάνται. ἢ παρὰ τοὺς σφῆκας, θυμικοὶ γάρ. ἢ ὅτι δριμὺ ὄξος, παρὰ σφηττίοις ἐγίνετο.

Σφίκται, οἱ κίναιδοι, καὶ ἁπαλοί.

Σφιγκτὴρ, χιτὼν, Ταραντῖνοι.

Σφὶγξ ἦν κατὰ τὸν Ἑλλήνων μῦθον, τερατῶδες ζῷον ἀνθρωπόμορφον.

Σφίδαι, χορδαὶ μαγειρικαί.

Σφὶν, ἀντὶ τοῦ σφίσι λέγουσιν Ἴωνες.

Σφίσι θυμὸς ἰαίνεται λευσσόντων, δοκεῖ σολοίκως ἔχειν. λείπουσι γὰρ ὤφειλεν εἰπεῖν. ἔστι δὲ τοιοῦτον σχῆμα, καὶ ἐν τοῖς κατὰ τὸν Κύκλωπα, ὅτε εἶπε. ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ, δεισάντων φθόγγον βαρύν. καινοπρεπὲς γὰρ αὐτὸ, σόλοικον δὲ οὐκ ἄν. χρυσίον δὲ τοιούτοις σχήμασιν, ὅτε τι συγχέει πάθος τὴν ψυχήν. ὡς ἐνταῦθα μὲν τὸν Ὀδυσσέα τὸ πολὺ σέβας, ὡς αὐτὸς λέγει, τουτέστιν ἡ ἔκπληξις. ἐκεῖ δὲ τὸ δέος, ὡς δηλοῖ τὸ δεισάντων.

Σφισίμολος, διαφορὰ τῆς κινήσεως.

Σφίσιν, ἀντὶ τοῦ αὐτοῖς, ἢ αὐταῖς. ἐπὶ τῆς πρωτοτύπου ἀντωνυμίας.

Σφιττοὶ, δῆμος ἐν Ἀθήναις τῆς ἀκαμαντίδος φυλῆς.

Σφόδελος, ἡ ἄλιμος. δασὺ ἄνθος ἔχον σκιερόν. οἱ δὲ, σῖτον.

Σφοδελοφόρους, τοὺς μετοίκους.

Σφόδρα, πάνυ, πολὺ, ἄγαν λίαν, ἐπίρρημα ἐπιτάσεως. ἀπὸ τοῦ σῶ τὸ κατασῶ, σπόδρα καὶ σφόδρα.

Σφοδρὸν, εὔτονον, ἰσχυρὸν, ὀξὺ, στιβαρὸν, δεινὸν, χαλεπόν.

Σφοδύλη, σίλφη τίς ἐστι, βδέλη προσομοία. Ἀριστοφάνης ἐν εἰρήνῃ.

Σφονδύλη, ὅμοιόν τί φασι σαλαφίῳ εἶναι, ὀσμὴν φαύλην προϊέμενον, εἴ τις ἅψεται αὐτῆς. καὶ σφόνδυλος, τράχηλος.

Σφόνδυλος, παρὰ τὸ ἐσφίχθαι πρὸς ἀλλήλους. μυελὸς αὖτε σφονδυλίων ἐκπαλθος.

Σφορτὸν, λιμόν.

Σφὸς, Δωρικῇ διαλέκτῳ, ἀπὸ τοῦ σφέτερος.

Σφοὺς λέγει Ὅμηρος, οὐ ἡ εὐθεῖα εἰ καὶ πρόχειρος εἰς χρῆσιν ὁ σφός. ὅθεν καὶ χρυσὴ δοτικὴ σφοῖσι, τοῖς ἰδίοις. καὶ αἰτιατικὴ σφοὺς, καὶ θηλυκὸν ὡς εἰκὸς σφή. ἐξ οὗ καὶ σφῇ ἀρετῇ. καὶ σφῇσι κεφαλαῖς, ταῖς ἰδίαις.

Σφραγίδες, αἱ ἐπὶ τῶν δακτυλίων, καὶ τὰ τῶν ἱματίων σημεῖα.

Σφραγιδονυχαργοκομήτας, παρὰ Ἀριστοφάνει. τοὺς κόμῃ καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι, τῶν ὀνύχων ἐπιμελουμένους, καὶ ὁσημέραι ξύοντας αὐτοὺς, ὑπὲρ τοῦ ἐκλάμπειν ἄγαν, ὃ πάσχουσιν οἱ τῷ καλλωπίζεσθαι σχολάζοντες μόνον.

Σφραγίζω, σημαίνω, παρασημαίνομαι.

Σφραγὶς, χελώνη, καὶ ὁ ἐν τῷ δακτυλίῳ λίθος, ἢ σήμαντρον.

Σφριγαὶ, ἀπειλαὶ, ὀργαί.

Σφριγόωσαι σθένει, ἀκμάζουσαι. ῥωμαλεώτεραι τῇ δυνάμει ἐγένοντο, εὐτονοῦσαι, ἐρρωμένως ἐκινοῦντο, τεταμέναι τῇ δυνάμει, σφριγῶσαι. σφριγανὸν γάρ ἐστι, τὸ ἰσχυρὸν καὶ στερεόν.

Σφριγῶσα, πεπυκνωμένη, συνεστηκυῖα, ἰσχύουσα.

Σφρυγᾷ, τὸ ἀκμάζω, σφρυγῶ σφύζω, ἀμεταβάτως. σφριγᾷ, ἀκμάζει, νεάζει, ἀνθεῖ.

Σφυγμὸς, φλεγμονή. κυρίως δὲ ὁ παλμὸς τῶν ἀρτηριῶν.

Σφυδρά, ἡ περιφέρεια τῶν ποδῶν.

Σφυδὼν, ἰσχυρὸς, εὔρωστος, σκληρός.

Σφύζει, πηδᾷ, φλεγμαίνει, καίεται, σέλλεται ἡ φλέψ.

Σφυρὰ, ἑρμηνεύων ὁ Ποιητής φησι, πέρας τῶν ὄπισθεν τοῦ ποδὸς τενόντων, κάτω μὲν τὴν πτέρναν, ἄνω δὲ τὰ σφυρά.

Σφυρὰ καλὰ παρ' Ὁμήρῳ, ὅρα ὅτι ἄλλο μὲν τὸ καλὰ σφυρὰ ἔχειν, ἄλλο δὲ καλλίσφυρος. τὸ μὲν γὰρ σύνθετον, ἐπὶ γυναικός. καλὰ δὲ σφυρὰ, ἰδοὺ καὶ ἐπὶ ἥρωος εἴρηται. σφυρὰ δὲ λέγεται, τὰ ἀπολήγοντα πρὸς τῷ ἀστραγάλῳ, ἐκ πλαγίου ἐξέχοντα. Ὅμηρος σαφῶς καὶ ἀναίκτως τὴν τῶν σφυρῶν τάξιν δηλοῖ εἰπὼν, μηροὶ κνῆμαί τε καὶ σφυρὰ ὑπένερθεν, οἷς ὑπόκεινται πόδες. ὁ δὲ εἰπὼν ὅλον, πόδας ἐκ μέρους τὸ ὅλον ὀνομάζει.

Σφυράδες εἰσὶ, τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα. Εὔπολις, σφυράδων πολλῶν ἀναμέστη. ἡ δὲ σφυρὰς, κυάμου ἔχει τὸ μέγεθος.

Σφυρήλατος, σφύραις ἐληλασμένος, οὐ χωνευτός.

Σφυρήματα, τὰ σιδήρια. ὅτι οὐ χεῖται. σφυροδέτῳ, ἡ λέξις παρὰ τοῖς τὰ ἱπποτραφικὰ γεγραφόσι.

Σφύριον, καὶ ἐπισφύριον, κτητικόν, καὶ γίνεται ἐκ τοῦ σφυρόν. τὰ δὲ γινόμενα διὰ τοῦ ι ὑποκοριστικὰ, εἰ μὲν ὦσι δακτυλικὰ, πρὸ μιᾶς ἔχει τὸν τόνον. εἰ δὲ τριβράχεα, προπαροξύνεται, καὶ διὰ τοῦ ι γράφεται.

Σφυρὸν, σφοδρὸν, ἢ τὸ ἐπάνω τῶν ἀστραγάλων.

Σφύρωσις, διάρωσις. ἢ ἐν κύκλῳ τὰ πέλματα.

Σφῶ, ὑμεῖς, ἢ ὑμᾶς.

Σφωΐτερον παρ' Ὁμήρῳ, ἀντὶ τοῦ σὸν, δυϊκὴ ἀντωνυμία ἀντὶ ἑνικῆς. σφωϊτέροισι, κακῶς ἐχρήσατο ὁ Ἀπολλώνιος ἐν τῷ δευτέρῳ. ἔδει γὰρ εἰπεῖν τεοῖσι. καὶ ἐν τῷ τρίτῳ, σφωϊτέρης δυϊκὸν, ἐπὶ ἑνικοῦ ἐχρήσατο. ἔδει γὰρ εἰπεῖν ἧς, ἵνα ᾖ τῆς ἑαυτοῦ. καὶ ἀλλαχοῦ σφωϊτέρους, ἀντὶ τοῦ ἑοὺς, ἐν τῷ αὐτῷ βιβλίῳ.

ΤΟ Σ. ΜΕΤΑ ΤΟΥ Χ.

Σχαδόνες, τὰ τῶν κηφήνων κηρία, καὶ ζῶον ἄπτερον ἄπουν. κατὰ δέ τινας τὰ κηρία τῶν μελιττῶν, ἔνθα οἱ σκώληκες. οἱ δὲ, τὴν ὑπερβάλλουσαν ἡδονήν.

Σχαδὼν, κυβευτικὸς βόλος.

Σχαλίδες, δι' ὧν χάδοσι τὰ δίκτυα ὀρθὰ ἑστῶτα.

Σχαλίσαι, θηλάσαι. καὶ ἀνίσχαλον, τὸ ἄτοκον καὶ ἀθήλαστον.

Σχάσαι. τὸ σχάσαι, τρία ταῦτα σημαίνει, ἀμύξαι, ἐκκρῖναι, χαλάσαι, παρὰ τῷ Ἱπποκράτει.

Σχασάμενος παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ καταπαύσας. ἀπὸ μεταφορᾶς τῶν ἀποσχιζομένων, καὶ διαχεομένων ὑδάτων. ἄλλως, καταλύσας, κατασπάσας, ἀποστάς. τοῦτο ὡς διαστεῖλαι, καὶ σχίσαι τὸ ὕδωρ τῇ κώπῃ ἐρεσσούσῃ. καὶ Πίνδαρος, κώπαν ἤδη μοι σχάσαι. καὶ Εὐριπίδης, σχάσον δὲ δεινὸν ὄμμα. ἄλλως, στήσας καταπαύσας. σχάσαι γὰρ, τὸ τὸν κωπηλατοῦντα στῆσαι κώπην.

Σχάσας, καταπαύσας, στήσας, ἀτρεμήσας. καὶ Πίνδαρος, κώπην σχάσας, ἀντὶ ἀτρεμήσας. ἔνιοι δὲ σχάσας, ἀντὶ τοῦ ἁπλώσας.

Σχαστήρια, ὁρμητήρια. καὶ μέρος τι ἐν τῇ νηΐ.

* Σχάσθαι, ἐκ τῆς κατὰ φύσιν θέσεως εἰς ἑτέραν ἀθρόως μεθίστασθαι.

Σχεῦδαι, ἰχνόφωνοι.

Σχεδάζω, παρὰ τὸ σχεδιάζω, τὸ ἐκ τοῦ παραχρῆμά τι ποιῶ.

Σχέδην, ἡσυχῆ, βάδην.

Σχεδία κυρίως, ἡ μονόξυλος, ἢ ὀλιγόξυλος. οὕτω καλουμένη, διὰ τὸ σχεδὸν, ἤγουν ἐγγὺς, καὶ οἷον αὐθωρὸν συμπεπῆχθαι αὐτοσχεδίως, καὶ μὴ ἀναβεβλημένως. ἡ δὲ ῥηθεῖσα τοῦ Ὀδυσσέως σχεδία, ὁ πολύδεσμος, οὐκ ἦν φασι σχεδία κυρίως. ἡ μὲν γὰρ σχεδία πηδάλιον οὐκ ἔχει.

Σχεδιάζω, καὶ αὐτοσχεδιάζω, τὸ ἀμελήτως λέγω, ἢ γράφω. λέγεται δὲ σχεδιάζω, καὶ τὸ ψεύδομαι. καὶ κατασχεδιάζω, τὸ καταψεύδομαι. σχεδιάζει, ἐκ τοῦ παρατυχόντος, καὶ ἀσκέπτως λαλεῖ. ὅθεν σχέδιον, ἐξ ἑτοίμου πρόχειρον.

Σχεδίη, συνάφεια, κοινωνία.

Σχέδιοι, ἀτελεῖς.

Σχέδιον, τὸ δόρυ, ὃ μὴ ἀκοντίζεται. ἢ τὸ ἀν[illegible]ειτῶς γενόμενον, ἢ ἐκ τοῦ σύνεγγυς.

Σχεδόθεν, ἐγγύθεν.

Σχεδὸν, σημαίνει τὸ πλησίον, καὶ τὸ ἄντικρυς, ἐπίρρημα διστακτικόν. ἤγουν ἀντὶ τοῦ ἴσθι, καθὰ λέγεται τὸ λευκὸν, ἐνίοτε μὲν ἐπὶ χρώματος, ἐνίοτε δὲ ἐπὶ σώματος, τοῦ μετέχοντος αὐτοῦ. οὕτω καὶ τὸ σχέτλιον, ἐνίοτε μὲν λέγεται ἐπὶ κακοῦ, ἐνίοτε δὲ ἐπὶ τοῦ μετέχοντος αὐτοῦ, καὶ διὰ τοῦτο ἀθλίου. ὅθεν καὶ σχέτλιος ἄνθρωπος, ὁ ἄθλιος. ἀφ' οὗ καὶ τὸ σχετλιάζειν, καὶ σχετλιασμός.

Σχεδὸν, καὶ σχεδίην λέγεται. οἷον τύψιν δὲ σχεδίην, τύπτην, ἢ πληγήν. καὶ ἔστιν ὅμοιον τῷ ἀμφαδίην, ἐκ τοῦ ἀμφαδόν. καὶ σχεδὸν ἀντὶ τοῦ ἐγγύς. καὶ ἀκριβέστερον δὲ εἰπεῖν, ἐχομένως, ὃ σχεδίην λέγεται. Ἄλλως.

Σχεδὸν, ὅ ἐστιν ἐγγύς. ἐξ οὗ σχέδην ἐπίρρημα. καὶ ἡ σχεδία ναῦς, καὶ ὁ σχέδιος λόγος, καὶ τὸ κοινῶς καλούμενον σχεδάριον, ὃ σχεδίων λόγων ἐστὶν ἐδάφιον.

Σχέδος, παρὰ τὸ σχέω σχέδος, καὶ σχέδος. οἱονεὶ τὸ διασχέον καλῶς, καὶ διαμερίζον τὰς λέξεις, καὶ τοὺς λόγους. ἢ παρὰ τὸ σκεδάζω σκεδάσω, σκέδος, καὶ σχέδος. διασκεδαζόμεναι γὰρ αἱ λέξεις, καὶ οἱονεὶ μεριζόμεναι εἰς λεπτὰ διὰ τοῦ λόγου, εἰς γνῶσιν παραλαμβάνονται.

Σχεδρὸς, τλήμων, καρτερικός.

Σχέθε, ἐκ τοῦ σχέθω, ὁ παρατατικὸς ἔσχεθον, καὶ τὸ προστακτικὸν σχέθε, ἀπὸ τοῦ σχῶ σχέθω, καὶ κλίνεται ἄχρι τοῦ παρατατικοῦ, κατὰ πᾶσαν ἔγκλισιν.

Σχέθεν, ἔμενεν, ἐκρατύνθη, ἐπέσχε.

Σχεῖν. ἔχω, ὁ μέλλων ἕξω, ὁ δεύτερος ἀόριστος ἔσχον, ὁ μέλλων δεύτερος σχῶ, σχεῖς, σχεῖ, τὸ ἀπαρέμφατον σχεῖν.

Σχελίδα, τὴν ἄγχουσαν. λέγεται γὰρ οὕτω παρὰ τῷ Ἱπποκράτει.

Σχελίδας, βοὸς πλευρά. ἢ ἁπλῶς τὰ πλευρικὰ, ὡς Αἰσχύλος λέγει καὶ Ἀριστοφάνης.

Σχέλινος, ἀγρία κυπάρισσος. οἱ δὲ, ἄρκευθος.

Σχελυνάζει, φλυαρεῖ.

Σχέμα, σχῆμα. Ἀχαιοί.

Σχενδυλόληπτοι, οἱ ὑπὸ σχεδύλης εἰλημμένοι. ἐσχενδυλῆσθαι γὰρ ἔλεγον, τοὺς ἐν τοῖς ταύροις ἀπὸ τοῦ χαλκευτικοῦ ὀργάνου, ὃ σχενδύλη λέγεται.

Σχέο μοι ὦ αἰήτα, ἐπίσχες, ἢ ἀνάσχου μοι.

Σχέραφος, βλασφημία, λοιδορία.

Σχερίη, ἡ σχερία, ἡ τῶν Φαιάκων χώρα, ἡ νῆσος. καὶ ἡ κυρὰ, τὸ πρότερον οὕτως ἐκαλεῖτο.

Σχερὸν κῦμα, ἕτοιμον, Ἀμερίας.

Σχερὸς, ἀκτὴ, αἰγιαλός.

Σχὲς, καὶ πρόσχες, προστακτικόν. γίνεται δὲ ἐκ τοῦ ἴσχημι, καὶ τοῦτο ἐκ τοῦ σχῶ, ὁ μέλλων σχήσω. ὁ δεύτερος ἀόριστος ἔσχην, ἡ μετοχὴ σχεὶς σχέντος. τὸ προστακτικὸν, σχέθι καὶ σχές.

Σχέσει, τῇ οἷον συνοχῇ, ἐν περισχέσει, καὶ σχέσει, καὶ ἐπιθέσει, καὶ στέξει. ὅταν δὲ εἴπῃ διαφέρει μέντοι τί καὶ σχέσει σώματος, τὴν οἷον ἕξιν δηλοῖ, παρὰ τῷ Ἱπποκράτει.

Σχέσις πολλαχῶς λέγεται. ἢ γὰρ κατὰ τέχνην ἐστὶν, ὡς ἡ τοῦ διδασκάλου πρὸς τὸν μαθητήν. ἢ κατὰ τύχην, ὡς ἡ τοῦ δεσπότου πρὸς τὸν δοῦλον. ἢ κατὰ προαίρεσιν, ὡς ἡ τοῦ φίλου πρὸς τὸν φίλον. ἢ κατὰ φύσιν, ὡς ἡ τοῦ πατρὸς, πρὸς τὸν υἱόν.

Σχετικὴ, κατασχετικὴ, οἰκείωσις.

Σχετλιάζει, δυσχεραίνει, ἢ βλασφημεῖ, δυσπετεῖ.

Σχετλιάζων, ἀδικούμενος.

Σχετλιασμοὶ, δυστροπίαι, δυσφημίαι, ὀδυνηραί.

Σχέτλιος παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας φ', δοκεῖ τὸν ἄδικον σημαίνειν, διὰ τὸ τὸν Ἡρακλέα τοιοῦτον φανῆναι. δύναται καὶ τὸν σφοδρὸν δηλοῦν, καὶ ἄξιον σχέσθαι, καὶ τλῆναι. καὶ σχέτλιος κυρίως, ὁ ὀφείλων σχέσθαι καὶ τλῆναι, ὅ ἐστιν ἐπιμεῖναι, ἵνα οὕτως ᾖ σχέτλιος, ὁ μὴ τλὰς, ἤτοι καρτερήσας. ἢ καὶ ἄλλως σχέτλιος, οὐχ ὑβριστικὴ λέξις, ἀλλὰ καρτερίας, ὅ ἐστι φερεπονίας σημαντική. ἵνα δηλοῖ τὸν ἀνέχεσθαι καὶ τλῆναι δυνάμενον. οἱ δὲ παλαιοὶ, καὶ ταῦτά φασι. σχέτλιός ἐστι μὲν ὁ ἄξια ποιῶν ἀγανακτήσεως, ὅθεν καὶ τὸ σχετλιάζειν. λέγεται δὲ οὕτω καὶ ὁ καρτερικὸς, ἤγουν σχετικὸς καὶ ὑπομονητικός. καὶ ὡς εἰπεῖν, οὔτε πόνου λήγων, καὶ ὁ ἐπέκεινα δὲ τοῦ δέοντος εἴς τι ὁρμῶν, καὶ πάνυ δραστήριος. ὃν ἔδει σχέσθαι καὶ τλῆναι. ἢ καὶ ἄλλως σχέτλιος, ὁ ἐφεκτικὸς καὶ πληκτικὸς, καὶ μὴ εὐκίνητος, καὶ ἀπειθής. διὸ καὶ Αἴας τὸν Ἀχιλλέα σχέτλιον εἰπὼν, νηλῆ λέγει ἐκεῖνον. ἡ δὲ νεωτέρα χρῆσις, ἐκαινοτόμησε, σχέτλιον ἑρμηνεύσας τὸν ἄδικον.

Σχέτλιος, δοκεῖ ἐνίοτε τὸν ἄδικον λέγειν Ὅμηρος. δύναται δὲ καὶ τὸν σφοδρὸν, καὶ ἄξιον σχέσθαι, καὶ τλῆναι σημαίνειν.

Σχέτλιον Δία λέγει Ὅμηρος, ὡς σχετλιοποιὸν, καὶ τοῦ σχετλιάζειν πολλοῖς γινόμενον αἴτιον. σχέτλιος ἔοικε λέγεσθαι ὁ πλέον τοῦ δέοντος, καὶ ἐφ' οἷς οὐ καιρὸς προθυμούμενος, καὶ ὡς εἰπεῖν ὁρμητίας, ὃν ἔδει σχέσθαι καὶ τλῆναι, καὶ μὴ ὁρμῆσαι εἰς τὰ παρόντα. ἔστι δὲ ὅτε σχέτλιος καὶ ὁ πολλὰ ἀνασχόμενος καὶ τλάς. σημαίνει δὲ καὶ ὡς πρός τινα ὑποσχόμενον, εἶτα δὴ ἀπατήσαντα. λεχθείη ἂν τὸ, σχέτλιος πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσε. νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο. ὡς τὸ ὦ φίλοι, ἤδη σχήσει, τουτέστιν ἐφέξει ἀνήρ. ὁ δὲ χεῖρας ἀάπτους, καὶ δύο ὁ δεῖνα ἔβη κενὰ εὔγματα εἰπὼν, ἤγουν κενεαυχὴς, κενὰ καυχησόμενος, ὡς εἰς βοήθειαν. Ἀγέλαος δὲ τοῦτο λέγει, ὡς τοῦ μυθικοῦ Μέντορος ἀφανισθέντος. καὶ σχέτλιοι, χαλεποὶ καὶ ἀνηλεεῖς.

Σχέτλιος ἐν τῇ τῆς Ἰλιάδος σ', οὐκ ἐπὶ ἀδικίᾳ ῥηθὲν, ἀλλὰ δι' οἶκτον ληφθὲν, ἀντὶ τοῦ τάλας, τλήμων, ἐπίπονος, πολλὰ ἀνασχόμενος, καὶ ἀνατλάς. σχέτλιος ἄνθρωπος, ἤγουν ἄθλιος. ὅθεν τὸ σχετλιάζειν, καὶ σχετλιασμοί.

Σχετλίου, ἐν Ὀδυσσείᾳ ἐτυμολογῶν ὁ Ποιητὴς, ἐπήγαγε τὸ, οὐδ' ἔτλη τὸ τοῦ ἀνδρὸς φυλάσσειν δῶμα. δηλῶν, ὅτι σχέτλιος κυρίως ὁ ὀφείλων σχέσθαι καὶ τλῆναι, ὅ ἐστιν ἐπιμεῖναι. ἵνα οὕτως ᾖ σχέτλιος, καὶ ὁ μὴ τλὰς, ἤτοι καρτερήσας.

Σχῆμά ἐστι λόγος ἐξηλλαγμένος τοῦ ἐν ἔθει κατά τινα πλάσιν, κόσμου ἢ χρείας χάριν. κάλλος μὲν τοῖς λόγοις περιτίθησι, διὰ τῆς ποικιλίας καὶ μεταβολῆς τοῦ λόγου, καὶ σεμνοτέραν ἀπεργάζεται τὴν φράσιν. χρείαν δὲ, εἰς τὸ ἐξαίρειν καὶ ἐπιτεῖναι τὰς ποιότητας, καὶ δυνάμεις τῶν πραγμάτων. καὶ ἀπ' αὐτοῦ πολυσχήμων, εὐσχήμων, ἀσχήμων, μεγαλοσχήμων, κακοσχήμων.

Σχηματίζομαι, τὸ προσποιοῦμαι, καὶ πλάττομαι. ἐξ οὗ σχηματισμὸς ἡ προσποίησις.

Σχηματοβόλον, ἐπὶ τῶν δικαστῶν τούτους ἐλάμβανον.

Σχήσει, τίθεται παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας χ', ἀντὶ τοῦ ἐφέξει, κωλύσει.

Σχήσειν, ἐλλιμενίσειν. Ἀριστοφάνης, ποῦ σχήσειν δοκεῖς, ἤγουν νομίζεις.

Σχήσειν, κεῖται παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐπισχεῖν, ἢ ἀνέξεσθαι.

Σχήσεσθαι, ἀνθέξειν, ἀντιστῆναι. παρὰ τὸ σχῶ τὸ κρατῶ, γίνεται σχῆμι.

Σχήσεσθαι, κεῖται καὶ ἀντὶ τοῦ ἀφέξεσθαι παρὰ τῷ Ἀπολλωνίῳ. καὶ παρ' Ὁμήρῳ, σχήσασθαι κρατερὸν βέλος, ἤγουν ὑπομεῖναι. εἰ δὲ γὰρ οὐδὲ ἔφησι δηθ' ἂν σχήσεσθαι. λέγοι ἂν πάντως ἀνασχήσεσθαι, τὸ ἀνασχέσθαι.

Σχή-

Digitized by Google

Σχήσουσι, κωλύσουσι, παύσουσιν, ἐφέξουσι.

Σχηπτείαν ἄγκυραν, ὁρμητηρίαν.

Σχίδα, σχῖδος, σινδόνος ῥῆγμα.

Σχίδαξ, παρὰ τὸ σχίζω. σημαίνει δὲ τὸ ἐσχισμένον ξύλον.

Σχίδια, ὠμόλινα.

Σχῖδος, τὴν ἀπόσχισιν.

Σχίζα, ἡ λαμπάς.

Σχιζογυάνδρους, τοὺς συκοφάντας.

Σχιζόποδες, τῶν ὀρνέων τὰ ἔνυδρα.

Σχῖνος, εἶδος σμαράγδου εἰργασμένου.

Σχίζω, ξέω, λειῶ, τορνεύω, πρίζω, ξυπῶ. ταῦτα ἐπὶ ξυλουργίας λέγεται.

Σχινέας, σχινατίων ἀγών τις Ἐπιτάφιος, ἐν Λακεδαίμονι.

Σχίνδαν, θερμάστριον.

Σχινδυλήσει, σχήματι καλάμου. οὕτω δοκεῖ καὶ ὁ σκινδαλμὸς εἰρῆσθαι παρὰ τὸ ἐσχίσθαι.

Σχίνον διατρώγων. εἰώθασι τὴν σχῖνον τρώγειν οἱ καλλωπιζόμενοι ἕνεκα τοῦ λευκαίνειν τοὺς ὀδόντας.

Σχινοκέφαλος, εἶδος φυτοῦ.

Σχῖνον, τὴν σκύλλαν. ἣν διαμασσῶνται οἱ καλλωπιζόμενοι, ἕνεκα τοῦ λευκοῦν τοὺς ὀδόντας. ἀφ' οὗ καὶ τὸ σχινίζεσθαι.

Σχῖνος, τὸ ψίλιον καὶ ἡ σκίλλα, καὶ εἶδος φυτοῦ.

Σχινοῦσα, νῆσός ἐστιν ἡ σχινοῦσα, Φωκίδος.

Σχίζας, κυρίως ἔλεγον οἱ παλαιοί, τὰ ἐπὶ ταῖς θυσίαις τιθέμενα ξύλα. ὡς Ὅμηρος, καῖε δ' ἐπὶ σχίζης ὁ γέρων.

Σχισμή, διαχώρησις.

Σχιστά, τὰ γράμματα καὶ τὰ κρόμμυα.

Σχιστόν, προσκεφάλαιον.

Σχιστός, χιτὼν ποιὸς γυναικεῖος κατὰ τὸ στῆθος, πόρπῃ συνεχόμενος.

Σχοίατο παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐπισχοῖεν ἑαυτούς, ἀπὸ τοῦ ἐσχόμην, τὸ εὐκτικὸν σχοίμην. τὸ τρίτον τῶν πληθυντικῶν, σχοῖντο, καὶ ἰωνικῶς σχοίατο. κατὰ ἀκολουθίαν τοῦ πεποιήατο.

Σχοίην, Ἀττικῶς ὁμοίως τῷ περιπατοῖμι περιπατοίην.

Σχοινὴς, ἀρέντα, καὶ ξένη, Ἀφροδίτης ἐπίθετα. ὅτι ἡ σχῖνος βοτάνη μασωμένη, τοὺς ὀδόντας μὲν καθαίρει, κινεῖ δὲ πρὸς τὰ ἀφροδίσια. ἀρέντα δὲ λέγεται, ὅτι δύο ξένους ἁρμόττει πρὸς μίαν συνάφειαν γαμικήν. ξένη δέ, ὅτι φιλοποιεῖ.

Σχοῖνον, ἢ ἀπό τινος ὁμωνύμου ἀνδρός, ἢ ἀπὸ σχοίνων φυομένων αὐτόθι. λέγεται δὲ καὶ ἀπὸ Σχοινέως τὴν κλῆσιν σχεῖν, τοῦ πατρὸς Ἀταλάντης. ὁ δὲ Στράβων φησί, σχοῖνος χώρα θηβαϊκή, ἐν ὁδῷ τῇ ἐπὶ Ἀνθηδόνα, διέχουσα Θηβῶν ὅσον πεντήκοντα στάδια. ῥεῖ δὲ ποταμὸς δι' αὐτῆς, Σχοῖνος καλούμενος.

* Σχοινία, αἱ ἐπιβουλαὶ παρὰ τῷ Δαβίδ. σχοινία ἁμαρτωλῶν, περιεπλάκησαν.

Σχοινίον, ἐκ τοῦ σχοῖνος. τοῦτο ἐκ τοῦ σχῶ, τὸ κρατῶ. καὶ σχοινοφόρος, ἐκ τοῦ σχοῖνος, καὶ τοῦ φέρω. τὸ δὲ σχοῖνος, μέτρον ἐστὶ γεωμετρικόν. σημαίνει δὲ τρία. τὴν πόαν, ἢ νομήν, ὡς τὸ Ἀσωπὸν βαθύσχοινον. καὶ μέτρον περσικόν, ὃ παρὰ Πέρσαις παρασάγγης λέγεται, ἀπὸ μεταφορᾶς. καὶ ἡ κατ' ἀνθρωπείαν κάθοδος. ὡς ὁ ψαλμῳδός φησι, τὴν τρίβον μου, καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας. ἐκ γοῦν τῆς σχοίνου, τοῦ μετρικοῦ σπαρτίου, καὶ τὰ μετρούμενα τῶν χωρίων, σχοινίσματα λέγεται.

Σχοίνικος, ὁ Ἀμφιαράου ἡνίοχος, καὶ ὄρνις τις, καὶ φυτόν.

Σχοινίην, φωνὴν τὴν σαθρὰν καὶ διερρωγυῖαν.

Σχοῖνον, ἡδύοσμον τὴν ἀρωματικήν, σχοῖνον λέγει Ἱπποκράτης.

Σχοῖνον, οὐ μόνον τὸ θαμνῶδες φυτόν, ἀλλὰ καὶ εἶδός τι σκίλλης. εἰ μὴ ἄρα καὶ πάσης σκίλλης τὸν βολβόν, παρὰ τῷ Ἱπποκράτει.

Σχοῖνόν φησιν Ἀριστοφάνης ἐν τῷ Πλούτῳ, τὴν σκίλλαν. διττικὰ γὰρ βούλεται πάντα εἶναι. ἀλλὰ ἕτερόν τι ἡ σκίλλα ἐκ τῶν Θεοφράστου. καὶ σχοῖνος παρὰ τὸ σχίζεσθαι καὶ δακρύειν. ἡ αὐτὴ γὰρ τῇ μαστίχῃ.

Σχοῖνος, εἶδος φυτοῦ μεθ' οὗ πλέκουσι τὰς σπυρίδας.

Σχοινοτενές, τὸ μακρόν, καὶ ὀρθὸν λέγουσιν Ἴωνες.

Σχοίνων, τῶν αὐλητικῶν νόμων τίς.

Σχολάζω, τὸ ἀργῶ, καὶ τὸ ἐνδιατρίβω, καὶ ἐπιμένω. ὅθεν σχολαστής, ὁ μαθητής. σχολάζω, τὸ ἀφίσταμαι καὶ καταπαύομαι, γενικῇ συντάσσεται. οἷον σχολάσας τῶν κοσμικῶν πραγμάτων. σχολάζω δὲ τὸ ἐπιμένω, δοτικῇ. Λουκιανός, τοῖς ὅρκοις ἐσχόλαζε.

Σχολάζω, τὸ εἰς τὴν σχολὴν παραγίνομαι, σχολάζω τὸ ἠρεμῶ, καὶ ἀφίσταμαι ὀχλήσεως. ὅθεν σχολεῖον, τὸ παιδευτήριον τῶν γραμμάτων, καὶ συσχολαστὴς ὁ συμμαθητής.

Σχολαιὸν ἔργον, τὸ διατριβὴν ποιούμενον.

Σχολαῖον, ἡσύχιον, βραδύ.

Σχόλια, σεμνολογήματα.

Σχολαστικός, ἀπὸ τοῦ σχῶ τὸ κρατῶ, σχάζω καὶ σχολάζω. ὁ ἐν τῇ διακρατήσει διάγων.

Σχολή, ἀργία. ἀφ' οὗ ἀσχολία, καὶ ἡ διατριβή. ἀφ' οὗ σχολεῖον.

Σχολή, ἡ ἀργία, καὶ ἡ ἄνεσις. ἀσχολία δέ, ὁ περισπασμός. σχολὴ καὶ ἡ διατριβή. ἐξ οὗ καὶ σχολεῖον, καὶ σχολάζω, τὸ ἐνδιατρίβω καὶ ἐπιμένω. διατριβὴ δὲ λέγεται, καὶ ἡ ἐπιμονή, καὶ ὁ καταγέλως. καὶ σχολαστής, ὁ μαθητής. ὡσαύτως καὶ ἀπὸ τοῦ σχολὴ ἡ ἀργία, σχολάζω τὸ ἀργῶ.

* Σχολῇ γ' ἄν, ἀντὶ τοῦ οὐδ' ὅλως. βραδέως, οὐδαμῶς.

Σχολὴν ἄγω, καὶ εὐσχολῆς ἔχω, οὐ σχολάζω.

Σχόλιον εἴρηται, διὰ τὸ κατὰ σχολὴν παρατίθεσθαι, πρὸς σαφεστέραν ἑρμηνείαν, τῶν δυσνοήτων ῥημάτων.

Σχομένη, κατασχεθεῖσα, ἀνατείνασα τὰς χεῖρας, καλύψασα τὸ πρόσωπον.

Σχόμενος περὶ δουρί, κατασχεθεὶς καὶ συλληφθεὶς ὑπὸ τοῦ δόρατος.

Σχόντες, ἀντὶ τοῦ λαβόντες. καὶ σχόντες, ἀντὶ τοῦ ἐλλιμενίσαντες.

Σχῦρος, ἐχῖνος.

Σχώμεθα, κατασχεθῶμεν.

Σχῶνται, ἀπόσχωνται.

ΤΟ' Σ'. ΜΕΤΑ' ΤΟΥ Ω'.

ΣΩ, μονοσύλλαβον, ἀντὶ τοῦ οἱ σῶοι. ὡς παρὰ Θουκυδίδῃ. ἡ δὲ συνήθεια γράφει σῶοι.

Σῷ αὐτοῦ κράατι τίσεις, ἀντὶ τοῦ τῇ σῇ κεφαλῇ ἀνταποδώσεις, ἤγουν τῇ ζωῇ σου ζημιωθήσῃ. καὶ ὡς οὕτω φασὶ κεφαλικῶς τιμωρηθήσῃ.

Σῶ, σώω.

Σωαλδεῖ, παραληρεῖ.

Σωβῆρις, ναῦς πορθμίς. ἔνιοι τὴν παλαιάν.

Σωγάσαι, σῶσαι.

Σωΐσκω, οὐκ ἀπὸ τοῦ σώω βαρυτόνου, ἀλλὰ ἐκ τοῦ σωῶ σωΐσω ἀχρήστου, πλεονασμῷ τοῦ η, ὁμοίως τῷ ζωΐσκω, καὶ τοῖς τοιούτοις. ἐν οἷς καὶ τὸ κλαιέσκω, ἀφ' οὗ τὸ κλαίεσκε, καὶ τὸ ποθέεσκε, καὶ σωΐεσκον, ἔσωζον. ἢ ἀπὸ τοῦ ἔσωον, ἢ ἀπὸ τοῦ σώζω.

Σώετο, ἀντὶ τοῦ ἐσώζετο, κατὰ συγκοπήν.

Σώζω. ἀφ' οὗ σωτήρ, καὶ σωτηρία, τὸ φυλάσσω καὶ τὸ ῥύομαι. σώζω τινά, ἀντὶ τοῦ σωτὴρ αὐτοῦ γίνομαι, καὶ ῥύομαι αὐτόν. ὅτι ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν. ὡς τὸ ῥύομαι, οἷον σώζω σε φόνου. σώζω, καὶ τὸ φυλάττω. καὶ σώζεταί τις ὑπό τινος σώζοντος αὐτόν. καὶ σώζεται, ἀντὶ τοῦ φυλάσσεται. καὶ ἔτι σώζεται, ἀντὶ τοῦ ζῇ. σώζομαι, ἤγουν ἐν σοὶ σώζομαι. ὥσπερ ἂν ἐσωζόμην ἐν πᾶσι. σώζεταί τις ἔν τινι, ὅταν ἐν αὐτῷ ἡ σωτηρία αὐτοῦ ᾖ, ὡς σωζομένου αὐτοῦ δηλονότι σώζεσθαι καὶ αὐτόν.

Σώζω, ἐκ τοῦ σώω, πλεονασμῷ τοῦ ζ'. ἢ ἐκ τοῦ σάος σαόζω, καὶ κράσει σώζω. Σημείωσαι ὅτι τὸ σώζω, χωρὶς τοῦ ι λέγει ὁ Δίδυμος. ὥσπερ γὰρ ἀπὸ τοῦ ἕω τὸ κάθημαι γίνεται ἕζω, οὕτω ἀπὸ τοῦ σώω τὸ ὑγιαίνω, γίνεται σώζω πλεονασμῷ τοῦ ζ. ἀλλ' ἡ παράδοσις ἔχει τὸ ι. τὸ δὲ σώζω, ὅτε μὲν γίνεται ἀπὸ τοῦ σῶος σωΐζω, ὡς λεῖος λειΐζω, καὶ κατὰ συναίρεσιν σῴζω, ἔχει τὸ ι. ἡνίκα δὲ ἀπὸ τοῦ σάος σαόζω, καὶ κράσει σώζω, οὐκ ἔχει προσγεγραμμένον τὸ ι. δεῖ δὲ γινώσκειν, ὅτι ἡνίκα ἀπὸ τῆς σω συλλαβῆς ἄρχεται ἐπιφερομένου τοῦ ζ', ἔχει προσγεγραμμένον τὸ ι, σῴζω σῴζομαι ἔσῳζον. ἡνίκα δὲ μὴ οὕτως ἔχει, οὐ προσγράφεται, οἷον σαώζω.

Σωκόνδας, ὁ γαμικὸς οἶκος.

Σῶκος, ὁμωνυμεῖ τῷ Ἑρμῇ. ἀναπτύσσεται δὲ ἡ λέξις αὕτη ἀπὸ τοῦ σώζειν, ἢ καὶ ἄλλως ἀπὸ τοῦ σωκῶ, ὃ παρὰ Σοφοκλεῖ ἀντὶ τοῦ ἰσχύω κεῖται. ἢ ἀπὸ τοῦ σάειν οἶκον, ὅ ἐστι σώζειν. ὅπερ οὐκ ἀποδέχονται οἱ παλαιοί, ὡς μὴ δὲ προσγράφοντες τὸ ι ἐν τῷ σῶκος.

Σῶκος, ἤτοι ὁ ἰσχυρός. σώκειν γὰρ τὸ ἰσχύειν, σοούμενος ὠκέως, τουτέστιν ὁρμῶν ταχέως. Ἄγγελος γὰρ ὁ Θεός.

Σῶκος ἐπὶ Ἑρμοῦ, ὁ Τυραννίων ὀξύνει πρὸς ἀποφυγὴν κυρίου τοῦ ὦ Σῶκε Ἱππάσου υἱέ. ἀντιλέγεται δέ. τὰ γὰρ εἰς κος δισύλλαβα ἀπαρασχημάτιστα ὄντα, εἰς γένος θηλυκὸν φύσει μακρᾷ παραληγόμενα, βαρύνεται, οἷον φῶκος θῶκος. σεσημείωται δὲ τὸ σηκός. οὐκ ἀρέσκει δὲ τοῖς παλαιοῖς οὐδὲ τὸ ἐκ τοῦ σάοικος κραθῆναι τὴν λέξιν. ἵνα ᾖ σῶκος ὁ σώζων τοὺς οἴκους, ὡς ἂν μὴ πρόσκειταί φασιν, ἤγουν προσγράφηται ἐν τῇ παραληγούσῃ τὸ ι, τῆς παραδόσεως οὐχ οὕτως ἐχούσης. διὸ καὶ ἁπλούστερον ἐτυμολογοῦντες αὐτό φασιν, ὥσπερ θάσσω θᾶκος, καὶ σάω σάκος, οὕτω καὶ σώω σῶκος, ὁ σωστικός. σωκῶ παρὰ Σοφοκλεῖ ἐν τῇ Ἠλέκτρᾳ ἀντὶ τοῦ δύναμαι. οἷον, μόνη γὰρ ἄγειν, ἤγουν φέρειν, οὐκ ἔτι σωκῶ λύπης ἀντίρροπον ἄχθος.

Σωλῆνες, οἱ στεγαστῆρες καὶ τῶν ὀστρακοδέρμων τι γένος κογχυλίων. τάσσεται δὲ καὶ ἐπὶ τῶν μορίων.

Σωλίγξ, δραμεῖν.

Σωλῦς, ὗς, σῶμα, πτῶμα, δέμας.

Σῶμά ἐστι, κατὰ μὲν τοὺς ἔξω, πᾶν τὸ τριχῇ διαστατόν, ἤγουν τὸ ἔχον μῆκος, καὶ πλάτος, καὶ πάχος. κατὰ δὲ τοὺς πατέρας, σῶμά ἐστι πᾶν τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι γενόμενον. σῶμα εἴρηται διττόν, ποτὲ μὲν ὑλικόν, ποτὲ δὲ ἄϋλον. σῶμα ὑλικόν ἐστι τὸ δι' ἁφῆς κρατούμενον, καὶ φθορᾷ ὑποκείμενον.

Σῶμά ἐστιν ἄϋλον τὸ ἀνέπαφον, καὶ μὴ ψηλαφούμενον.

Σῶμα, παρὰ τὸ σῆμα, ὃ σημαίνει τὸν τάφον, κατὰ Πλάτωνα. τάφον γὰρ εἶναι τὸ σῶμα τῇ ψυχῇ. δίκην γὰρ τάφου ἐνθάπτεται ἡ ψυχὴ τῷ σώματι. ἐκτροπῇ τοῦ μακροῦ εἰς μακρόν.

Σῶμαι, ἕρπω, Δωριεῖς.

Σῶμα, καθαρόν ἐστι, τὸ μηδὲν φαῦλον κατ' ἐνέργειαν πράττον. νοῦς δὲ καθαρός, ἐν πρακτικῇ, ὁ μὴ ἔχων ἐμπαθῆ νοήματα. κατὰ δὲ θεωρίαν, ὁ μηδὲν ψευδὲς δόγμα ἔχων, καὶ δεύτερον ὁ μηδὲν ἀγνοῶν. σώματος κινήσεις εἰσὶν ἕξ. γένεσις, φθορά, αὔξησις, μείωσις, ἀλλοίωσις, ἀπὸ τόπου μετάβασις. ὁ νοῦς μόνον ἀλλοιοῦται, οὐ κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὰς ἕξεις, οἷον ἐπιστήμας κακίας. ὁμοίως καὶ κινεῖται οὐ τοπικῶς ἀλλὰ ἀπὸ τοῦδε τοῦ νοήματος ἐπὶ τόδε τὸ νόημα, καὶ τὰ ἑξῆς.

* Σωμασκεῖν, συγκροτεῖν, διεξετίζειν, ὠδύνειν ἑτοιμάζειν.

Σωμάλοιφος, ὁ κατειλημμένος σώματι τὰ σκύτινα αἰδοῖα.

Σωμασκῶ, τὸ σῶμα γυμνάζω.

Σωματοφύλαξ, δορυφόρος, νωτοφόρος. καὶ ὁ βασιλικὸς φύλαξ.

Σῶν, σῶον. ἡ βλάστησις, ἀπὸ τοῦ σεβύεσθαι, Ἀττικοὶ δὲ σωζόμενοι.

Σώοντες, σώζοντες, κρύπτοντες.

Σώοντο, ὡρμῶντο, ἤρχοντο.

Σῷος, προσγεγραμμένον ἔχει τὸ ι, ὥσπερ πατρῷος, μητρῷος. σῶος ὁ ὁλόκληρος, ὃ παρὰ τοῖς Ἀττικοῖς σῶς λέγεται. λῷον, λώϊος, ἑῷος, παππῷος. οὕτω καὶ σῶος. ἐκ τούτου καὶ σώ-

Digitized by Google

ζω, ἤδη καὶ προσγράφεται τῷ τοῦ σῶος προσγεγραμμένῳ τῷ ρῶν.

Σώρακον, ἀγγεῖον, εἰς ὃ σῦκα ἐμβάλλεται, ἢ ξυλοκανθήλια.

Σωρεύει, συνάγει. ὅθεν σωρεία, ἡ σώρευσις.

Σωρηδὸν, κατὰ σύστημα σεσωρευμένον. λέγεται δὲ ἐναριθμητόν.

Σωρεία, πλῆθος.

Σωρηχ, ἐκλεκτή.

Σωρος, κυρίως τὸ ἐκ μικρῶν σπερμάτων συναγόμενον πλῆθος. παρὰ τὸ σῶ, ὅ ἐστι σώζω, συνάγω.

Σωρὸς, πλῆθος ἀψύχων συνηθροισμένων. σωρεύω σωρεία, ἡ σώρευσις. σάφρων, σῶος ὁ ὁλόκληρος, ὃ παρὰ τοῖς Ἀττικοῖς σῶς λέγεται, σωλὴν τὸ σωληνάριον. σώζω, ἀφ' οὗ σωτὴρ, καὶ σωτηρία, Σωτήριχος, Σωσίστρατος, Σωσιφάνης, ὀνόματα κύρια. σῶκος ἐπίθετον τοῦ Ἑρμοῦ. Σωσάννα, Σωκράτης Σώστρατος, Σωμὰν, πόλις. ὁ ἀπὸ ταύτης Σωμανίτης. σῶμα, σωμάτιον, σώτειρα ἡ σωστική. σῶστρα, τὰ ἐπὶ σωτηρίᾳ τινὸς διδόμενα. Σωφὰρ, ὄνομα λίθου. σωρηδὸν, ἀντὶ τοῦ δίκην σωροῦ, καὶ ἕτερα.

Σωρωνὶς, ἐλαία, καὶ πόλις.

Σῶς, εὕρηται φασὶ καὶ θηλυκῶς. Ἀριστοφάνης, ὅπου παρ' ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη. λέγουσι δὲ καὶ σᾶ τὰ σῶα οἱ παλαιοί. παρ' οἷς καὶ σᾶ ἡ σῶα. Εὐριπίδης ἐν Ὑψιπύλῃ, ἄφθιμα καὶ σᾶ καὶ κατεσφραγισμένα. καὶ Ἀριστοφάνης, ἡ μάζα γὰρ σᾶ καὶ τὰ κρέα.

Σῶς, οὐχὶ σῶος, καὶ σῶν οὐχὶ σῶον, καὶ σῶς οὐχὶ σώους, σῶοι δὲ μόνον. ἐπὶ δὲ τοῦ θηλυκοῦ, ἡ αἰτιατικὴ τῶν πληθυντικῶν μόνη συναιρεῖται. σῶς γὰρ λέγομεν, οὐχὶ σῶας. ὡσαύτως καὶ ἐπὶ τοῦ οὐδετέρου μόναι, ἥτε εὐθεῖα τῶν ἑνικῶν, καὶ ἡ αἰτιατικὴ συναιροῦνται. σῶν γὰρ λέγομεν, οὐχὶ σῶον. σῶα δὲ καὶ σᾶ, παρὰ Θουκυδίδῃ.

Σωσίαι, δύο εἰσίν. ὁ μὲν Πυθίδος, ὁ δὲ Παρμενίωνος.

Σῶσιν, ἀντὶ τοῦ σήθουσιν, ἤγουν σείουσιν. οἱ δὲ Ἀττικοὶ τὸ σῶ, τῶ λέγουσιν, ὡς σήμερον τήμερον.

Σῶστρα, σωτήρια, μήνυτρα, λύτρα, ὕμνος, ᾠδή.

Σωτρώματα, τὰ τοῦ τροχοῦ ξύλα. καὶ ὁ ἐπὶ τούτοις σίδηρος, ἐπίσωτρον.

Σωσίβιοι, οἱ κόβιοι. καὶ σωσίοικος, ὁ τοὺς οἴκους σώζων.

Σώσικες, οἱ ἑφθοὶ κύαμοι.

Σωσόλεθρος, ὁ πρόδηλος καὶ φανερὸς, καὶ μέγας, καὶ τέλειος.

Σώστελος, σωθῆναι ἄξιος.

Σῶται, ὁρμᾶται, ἔρχεται, πορεύεται.

Σώτειρα, ἡ Ἀθηνᾶ παρὰ τοῖς Ἕλλησι. κατὰ Γαληνὸν, ἀντίδοτός τις.

Σωτέος, σωθῆναι ἄξιος.

Σωτεύματα, σωτρεύματα.

Σωτὴρ, ὁ τοῦ ἁλὸς χόνδρος. καὶ ὁ Ζεὺς, καὶ ὁ ἐλευθέριος, ἢ λυτρωτής.

Σωτηριακὸν, τὸ εἰς ἐκφορὰν νεκροῦ διδόμενον.

Σωτηρία, ὄνομα παρώνυμον ἀπὸ τοῦ σωτῆρος. τοῦτο ἀπὸ τοῦ σώζω σώσω σέσωκα σέσωσμαι σέσωσται, σωστὴρ καὶ σωτήρ.

Σωτήριος, ὁ οὔριος ἄνεμος.

Σωτηρίου, ἐξιλασμοῦ.

Σωτῆρος Διός. οὕτω τὸν τρίτον κρατῆρα καλούμενον.

Σωφράστορες, σωφρονέστεροι.

Σωφρονίζεται, σεμνύνεται.

Σωφρονιστῆρες, οἱ ἔσωθεν τῶν ἄλλων ὀδόντων διαφυόμενοι, κατὰ τὴν τοῦ φρονεῖν ὥραν περὶ εἰκοστὸν ἔτος ὁ δὲ Ἀριστοτέλης καλεῖ αὐτοὺς κρατῆρας.

Σωφρονισταὶ, ἄρχοντές τινες χειροτονητοὶ, δέκα τὸν ἀριθμὸν, ἑκάστης φυλῆς. ἐπεμελοῦντο δὲ τῆς τῶν ἐφήβων σωφροσύνης.

Σωφρονῶ ἐγὼ, σωφρονίζω δὲ ἕτερον μεταβατικῶς, αἰτιατικῇ. σωφρονεῖ τις, ὅταν ἐκτὸς μανίας ᾖ.

Σωφροσύνη ἐστὶν, ὁμολογία τῶν τῆς ψυχῆς μερῶν, πρὸς ἄλληλα. σωφροσύνη ἐστὶν, ἐπικράτεια ἡδονῶν. σωφροσύνη ἐστὶ, καθολικὴ πασῶν τῶν ἀρετῶν ἐπωνυμία.

Σωφροσύνη, καὶ σαοφροσύνη, παρὰ μὲν τοῖς ὕστερον, ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας. Ὅμηρος δὲ σῶαν φρόνησιν οἶδεν αὐτήν., διὸ καὶ ἐναντία τῇ χαλιφροσύνῃ ἐστίν. ὥστε ὁ σαόφρων ἐναντίως τῷ χαλίφρονι, καθὰ καὶ ὁ περίφρων.

Σωφροσύνη ἐστὶν, ἀνδρείας στήλη, ἀσελγείας δὲ πέλυξ, ὀφθαλμῶν ἡνίοχος, ἀνοίας δὲ ἐπίσκοπος, λογισμῶν περιτομὴ, ἀκολασίας δὲ ἐκτομὴ, φύσεως ἀντίζυγος, καὶ πυρώσεως ἀντίθετος, ἔργων ἔπεργος, καὶ ἐγκρατείας συνεργὸς, καρδίας καμπτὴρ, ἀρχῆς γνώμη.

Σώφρων, καὶ σοφροσύνη, καὶ σωφρονεῖν, ἐπὶ τῶν μὴ σεσαλευμένων τὸν νοῦν. σωφρονεῖν, καὶ τὸ ἐν παρθενίᾳ διάγειν, καὶ τῷ γάμῳ νομίμως χρῆσθαι. ἀλλὰ καὶ τὸ κατὰ πάντα, σῶα καὶ ὑγιῆ φρονεῖν. ὡς τὸ σωφρονεῖν ὑπολαμβανόμενος, παρὰ Φαλάριδι.

* Σωφρονιστῆρες ὀδόντες, οἱ ἀπὸ τοῦ ι ἤ ἔτους, ἄχρι τοῦ κς' φυόμενοι, ἡνίκα ἂν δὴ σωφρονεῖν ἄρχωνται οἱ ἄνθρωποι.

Σωχὶς, εἶδος ἀμπέλου.

Σωχὸς, ὁ τῶν Κυρηναίων πατήρ.

Σώχω, τὸ τρίβω. παρὰ τὸ σῶ, σώχω.

Σώω, τὸ ὁρμῶ. ὡς τὸ σώεσθαι στροφάδην, παρὰ τῷ Ἀπολλωνίῳ.

Τέλος τοῦ σ στοιχείου.

ἈΡΧΗ͂ ΤΟΥ͂ Τ.

ΣΤΟΙΧΕΙ͂ΟΥ ΤΟ͂ ΑΥ̓ΤΟ͂ ΜΕΤᾺ ΤΟΥ͂ Ἀ.

Ταῦ τὸ στοιχεῖον, ὅτι ἐκτεταμένας ἔχει τὰς χαρακτῆρος τοῦ στοιχείου τῆς ἐντυπώσεις. ἀπὸ γὰρ μακρᾶς τῆς ἄνωθεν τοῦ ι, τὸ γράμμα ἐστίν. ἐντεῦθεν καὶ ταὼς ὁ τεταμένα ἔχων τὰ πτερά. τὸν δὲ Ἀλιροθίου πέλεκυν φησὶ μιμησάμενος, ἐνετυπώσατο τὸ γράμμα.

Τὰ, ταῦτα, ἅτινα, αὐτὰ ἀναφορικῶς. ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν.

Τάα, ἅτινα, ἢ τοιαῦτα.

Τὰ ἁνδάνοντα, τὰ ἀρέσκοντα.

Τὰ αἰχίω, τὰ χείρω.

Τὰ ἀμείνω, τὰ κρείττονα.

Τὰ βάθη, τὰ ἀχώρητα, τὰ ἀκατάληπτα.

Ταβεὴλ, ἀγαθὸς Θεοῦ.

Ταβάλα, ταβῆλα. ὑπὸ Πάρθων οὕτω καλεῖται ὄργανον κρεβάνῳ ἐμφερὲς, ᾧ χρῶνται ἐν τοῖς πολέμοις ἀντὶ σάλπιγγος.

* Τάβλα. ὄνομα παιδιᾶς. ταύτην ἐφεῦρε Παλαμήδης εἰς διαγωγὴν τοῦ Ἑλληνικοῦ στρατοῦ. σὺν φιλοσοφίᾳ πολλῇ. τάβλα γάρ ἐστιν, ὁ γήϊνος κόσμος. ιβ'. δὲ, ὁ Ζωδιακὸς ἀριθμός. τὸ δὲ ψηφιβόλον, καὶ τὰ ἐν αὐτῷ ἑπτὰ κοκκία, τὰ ἑπτὰ ἄστρα τῶν πλανητῶν. ὁ δὲ πύργος, τὸ ὕψος τοῦ οὐρανοῦ, ἐξ οὗ ἀνταποδίδοται πᾶσι πολλὰ καλὰ καὶ κακά. ἄλλοι δὲ ἄλλως λέγουσι.

Ταγαῖος, ὁ ἐξ ἐπιταγῆς τι ποιῶν.

Ταγαῖς, ἀρχαῖς, ἡγεμονίαις.

Τάγανα, ταῦτα, Κρῆτες.

Ταγατίζων, κιχλίζων.

Ταγὴ, βασιλικὴ δωρεά. καὶ ἡ σύνταξις τῶν πρὸς τὸ ζῆν ἀναγκαίων.

Τάγηνον, τοῦτο Ἰωνικῶς τινὲς τήγανον λέγουσι. καὶ ὁ Ἡρωδιανὸς ἀπὸ τοῦ τήκω τήγανον, καὶ καθ' ὑπέρθεσιν. οἷον ἐμοῦ δὲ ὥσπερ ἐπὶ ταγήνου ἔσιζεν ἡ καρδία, καὶ κατετήκοντο αἱ σάρκες, καὶ συνάγματα ἐχώρει κατὰ τῶν γνάθων τὰ δάκρυα.

Ταγηνίας, πέμμα ἐστὶ τῶν ἀπὸ τηγάνου ἐκ στέατος ὑγροῦ, καὶ τυροῦ, καὶ μέλιτος, καὶ ἀσταφίδος.

Τάγιλος, φαῦλος, κῆρυξ, πρεσβευτὴς, ὀξὺς, ταχὺς, βάσιμος.

Ταγοὶ, προστάται, ἀρχηγέται, ἡγεμόνες.

Ταγόναγα, Μακεδονική τις ἀρχή.

Τάγυρι, τὸ βραχύτατον καὶ ἐλάχιστον. οἷον, ψιλὰ λέγουσιν. Εὔπολις αἰξί, μαθόντι δὲ μὴ τάγυρι μουσικῆς.

Τἀγχέλεια λέγει Ἀριστοφάνης, τὰς ἐγχέλεις. ἢ λείπει τὰ κρέα. ἵν' ᾖ, τὰ ἐγχέλεια κρέα.

Τὰ δ' ἄποινα, τὰ δὲ λύτρα.

Τάδε, ἀντὶ τοῦ ὧδε, παρὰ Θεοκρίτῳ. ὁ τράγος τάδε, δηλονότι αὐτὸν ὁδήγει.

Τἀδελφῷ, τῷ ἀδελφῷ.

Τάδ' ἔρημα φοβεῖται. τὰ δὲ πρόβατα ἔρημα γενόμενα τῇ τοῦ ποιμένος φυγῇ.

Τὰ διάβολα, τοὺς διαλογισμούς.

Ταθεὶς, ἐκταθείς.

Τὰ ἴδια πράσσω, καὶ τὰ ἴδια πράττε, καὶ τὰ ἴδια πραττέτω μὴ λέγε, ἀλλὰ τἀμαυτοῦ πράσσω, καὶ τὰ σαυτοῦ πράττε, καὶ τὰ αὑτοῦ πραττέτω. οὕτω γὰρ Ἀττικοὶ λέγουσι.

Ταὶ, ἀντὶ τοῦ αἱ ὁμοίως τοὶ, ἀντὶ τοῦ οἱ, Δωρικῶς. Θεόκριτος, τᾶμαι ταὶ δάφναι.

Ταιναρία, παρὰ Λακεδαιμονίοις, ἑορτὴ Ποσειδῶνος, καὶ ἐν αὐτῇ ταιναρισταί. ταίναρον γὰρ, πεδίον Λακωνικῆς.

Ταίναρον, ἀκρωτήριον τῆς Λακωνικῆς.

Ταίναρος. Φερεκύδης φησὶν, ὅτι Ἔλατος ὁ Ἰκάρου γαμεῖ Ἑρμιόνην τὴν Δαμασίκλου, τούτων δὲ γίνεται Ταίναρος. ἀφ' οὗ Ταίναρος καλεῖται ἡ πόλις, καὶ ἡ ἄκρα, καὶ ὁ λιμήν.

Τοῖν θεοῖν, ταῖς θεαῖς.

Ταινία, στενόν τι καὶ ἐπίμηκες ὕφασμα, κανόνα, ρον δὲ εἰπεῖν, φασκία.

Ταινίαι, ἐκ ὑφασμάτων λέγονται καὶ ζωνῶν, αἷς γυναῖκες περιδέονται.

Ταινιοῦσθαι, στεφανοῦσθαι, ταῖς ταινίαις ἀνάπτεσθαι. Ἀριστοφάνης, νικήσαντα ταινιοῦσθαι.

Ταινίουσαι, στεφανοῦσαι.

Τὰ κατ' ἐμὲ, ἤγουν τὰ ἐμά. καὶ τὰ κατ' αὐτοὺς, ἤτοι τὰ αὐτῶν.

Τάκεαι ὀφθαλμοὺς, ἀντὶ τοῦ τήκεις τοὺς ὀφθαλμοὺς, Δωρικῶς.

Τὰ κέρατα, τὰ ἄκρα.

Τακτικὰ ὀνόματα, οἷον τὰ σημαντικὰ τάξεως, ὁμογενέσι καὶ ὁμοειδέσι, τοῖς κυρίοις καὶ προσηγορικοῖς ὀνόμασι συντάσσεται, οἷον ὁ πρῶτος ἀνὴρ, ἡ πρώτη οὐσία, τὸ πρῶτον εἶδος.

Τακτικοῖς, στρατιωτικοῖς, πολεμικοῖς.

Τακτονίας, τὰ τῶν μαγείρων ξηρὰ ἀρτύματα, διὰ τὸ ἐνταῦθα καὶ νίτρον πωλεῖσθαι.

Τακῶνες, τροχίσκοι στέατος κεκομμένοι μεθ' ἁλῶν, καὶ ξηρῶν καὶ ἀρτυμάτων.

Τάλα, μέγα.

Ταλαεργὸν, τοῖς ἡμιόνοις οἰκεῖόν ἐστι μάλιστα, τὸ ἐπώνυμον. βόες γὰρ καὶ ἵπποι οὐχ οὕτω ταλαεργοί, ὧν ὡς τὰ πολλὰ τὸ ἀγελαῖον, καὶ ἀνετόν. ἄλλως δὲ καὶ φερέπονοι, αἱ ἡμίονοι μάλιστα.

Ταλαιδίας, ἀγὼν γυμνικός.

Ταλαίνης, ἀθλίας, ταλαιπώρου.

Ταλαϊονίδης, ἀπὸ τοῦ ταλαὸς ταλαίων. καὶ ἀπὸ τούτου ταλαϊονίδης, ὁ Ἄδραστος, υἱὸς τοῦ Ταλαοῦ.

Ταλαϊονίδην ὁ Ποιητὴς καλεῖ, ἤγουν τὸν υἱὸν Ταλαοῦ. ἔοικε δὲ διώνυμος εἶναι Ταλαὸς ὁ οὕτω καλούμενος, ἐξ οὗ πατρωνυμικὸν ἐστὶ ὁ Ταλαΐδης, καὶ ὁ Ταλαίων. ὅθεν ὁ Ταλαϊονίδης. εἰ δέ γε μὴ διωνυμεῖ, ἀλλὰ μοναχῶς λέγεται Ταλαὸς, πλεονασμὸν ἔπαθε δύο συλλαβῶν ὁ Ταλαϊονίδης, ἀπὸ τοῦ Ταλαοῦ γεγονὼς, ὡς καὶ οἱ παλαιοί φασι.

Ταλαιὸς, ὁ Ζεὺς ἐν Κρήτῃ.

Ταλαιπείριον, οἱ τραγικοὶ τὸ ταλαίπωρον λέγουσιν. ἢ ὁ πολλόθεν πεπειραμένος, οἷονεὶ, ὁ πολλὴν πεῖραν ὑπομείνας, ταλαιπείριος, ἢ ὁ πολλὰ πεπληγὼς, καὶ πολλῶν πεπειραμένος.

ἢ τα-

περὶ τὸ πλόδεν τετραχέναι ὑπ ταλαιπείριος. πλεονασμῷ τοῦ ι, ταλαιπείριος.

Ταλαίπωρος, τλητικός, ὑποτλικός. ταλαίπωρος παρὰ τὸ τλῆναι τὸν πῶρον, ὅ ἐστι πάνθος. ὅτι δὲ πῶρος τὸ πάνθος ἐστί, καὶ Ἀντίμαχός φησι. πῶρος τὰ ἀλόχοισιν οἷς τεκέεσσιν ἕκαστος.

Ταλαιπωρῶ, καὶ ἀμετάβατον καὶ μεταβατικὸν ῥῆμα· οἷον, ὑμόνον ἐγὼ ταλαιπωρῶ, ἀλλὰ καὶ τὸν δεῖνα ταλαιπωρῶ. Ἰσοκράτης, καὶ πάντας ἡμᾶς ταλαιπωρήκεν ἡμᾶς. ὃ καὶ ταλαιπωρῶμαι λέγεται.

Ταλαίφρων, καρτερικός.

Ταλακάρδιοι, τλητικός, ὑπομονητικὸς κατὰ τὴν καρδίαν.

Ταλανίζω, θρηνῶ.

Ταλαντεύω, σταθμῶμαι, ζυγοστατῶ. ἀντισηκῶ, ἀντισταθμίζω, ἐπὶ ξυγάνης τοῦτο λέγεται.

Ταλαντεύουσι τὰ τέκνα, ἤγουν δοκιμάζουσι, σταθμίζουσι.

Ταλαντιαῖον, βαρύ.

Ταλάντιον, τόπος, ὡς Ἀρτεμίδωρος.

Τάλαντον, τό, τὸ ὄργανον, καὶ τὸ ταλαντευόμενον. ὅθεν καὶ σταθμός, ὀργανικῶς νοεῖται. καὶ παρὰ τοῖς ὕστερον, ἡ ζυγάνη καὶ ὁ ζυγὸς γίνεται. τῆς ῥηθείσης λέξεως. τὸ μὲν τάλαντον, ὅθεν ἐρρέθη. ζυγάνη δὲ παρὰ τὸ ζεύξαι, σταθμὸς δέ, παρὰ τὴν στάσιν. ἵσταται γὰρ ἐν ἰσότητι τὰς ὁλκὰς, καθέντων τὸ ἄνισον. ζυγὸς δέ, κατὰ μεταφοράν. ὡς τὸ πλάστιγγων ἐνὶ κανόνι καθ᾽ ἓν ζυγὸν συνηγμένων. πλάστιγγες δέ, διὰ τὸ κατ᾽ αὐτὰς πλάτος.

* Τάλαντον κατὰ Διόδωρον. μνῶν ἐστίν ξ. ἡ δὲ μνᾶ δραχμῶν ρ. ἡ δὲ δραχμὴ, ὀβολῶν ἕξ. ὁ δὲ ὀβολὸς χαλκῶν. ς. ὁ δὲ χαλκὸς λεπτῶν ζ. καὶ τάλαντον παρὰ τῇ θείᾳ γραφῇ, ἡ ἄνωθεν τιμωμένη ἑκάστῳ θεία χάρις.

Τάλαντον, ὅτι ἐπὶ ζυγοῦ κυρίως ἐστὶ τὸ τάλαντ, ἤτοι καρτερικὸν τὸ ὄργανον. καὶ ὅτι ὁμωνύμως τῷ ὀργάνῳ λέγεται τάλαντον, καὶ τὸ ζυγοστατούμενον. καὶ ὅτι τὸ ῥέπειν κυριώτατα λέξις ἐπὶ τὸ κάτω βαρεῖσθαι ἀντισηκούμενον. ἀφ᾽ οὗ καὶ ἐπιρρεπὴς πλάστιγξ, καὶ δίκη καὶ φιλία. καὶ ὅτι τὰ μεσαῖα, καὶ πρόσηκα, δυσυχίας τίθεται σύμβολα. θνητῶν τος γὰρ οὗτος τὰ περὶ γλῶ. ἡ δὲ μετέωρος πλάστιγξ ἀτυχίαν δηλοῖ, καὶ ἐνηρτημένην ζωὴν, διὸ τὸ τῆς ἀπὸ μακρόβιον. καὶ ὅτι τάλαντον ἑνικῶς, καὶ τάλαντα πληθυντικῶς κατὰ παλαιὰν παρατήρησιν, οὐκ ἐπὶ ἀργύρου, ἀλλ᾽ ἢ ἐπὶ πλάστιγγων. οἷον ἀλλ᾽ ἔχον ὡς τε τάλαντα γυνὴ χερνῆτις, ἢ ἀπὸ χρυσοῦ. οἷον, θῆκε δύο χρυσοῖο τάλαντα, καὶ φέρειν δέκα πάντα τάλαντα. τάλαντον καὶ τὸ ὄργανον, καὶ τὸ ἐν αὐτῷ σταθμιζόμενα. δι᾽ ὧν τάλας ἐστὶν ὁ σταθμός, διὰ πάχων βάρος ἐξ αὐτοῦ. τάλαντον σημαίνει τὸ πλατὺ, καὶ τὸ πλάδες τοῦ ζυγοῦ, ἐν ᾧ τίθεται τὰ σταθμώμενα.

Ταλαοί, πλατεῖς, καὶ τὰ καθημερινὰ εἰδότες. Ἀριστοφάνης, μὴ φροντίζοντες δὲ τὰ μέλλοντα.

Ταλαόρια, τοξάμενα.

Ταλαὸς, ὑποστατικὸς, ἰσχυρὸς, βίαιος.

Ταλαπείριος, τλητικὸς κατὰ τὴν πεῖραν. ἡ πολλὰ διαπεπειραμένος. οἱ δέ, ἀφιγμένος.

Ταλαπενθεία, ὑπομένουσα τὰ πένθη.

Ταλαερινὸς Ἄρης, τουτέστι τάλανα ῥινὸν ἔχων. ῥινοτόρος ἐν ἄλλοις γίνεται. καὶ ὅτι ἀπὸ τοῦ ῥινοῦ καὶ βόες λαεινοὶ καὶ ταῦροι, οἱ μέγα καὶ παχὺ δέρμα ἔχοντες, καὶ ὅτι οὐδὲν σεμνὸν Ἄρει τῷ ῥινοτόρῳ.

Τάλαρος, ὡς μὲν γίνεται ἀπὸ τοῦ τάλας καὶ τὸ αἴρω, οἱονεὶ ὁ τλήμων, φέρειν τὰ ἐν αὐτῷ, δῆλον. ἴσως δὲ λεχθεὶς ἀντὶ τοῦ καὶ κάλαθος, εἰ καὶ ἄλλως διαπρεπικῶς καρπὸς συγκομισθεὶς ὁ κάλαθος, ὡς καὶ ὁ παρὰ τῷ Καλλιμάχῳ δηλοῖ. ἣν δέ τις φασὶ τάλαρος, ὁ καὶ τυροκομεῖον λεγόμενος.

Τάλαρος, ὁ καλαθίσκος. ἀπὸ τοῦ ταλαὸς εἶναι καὶ καρτερικός, ἤγουν βασταχτικὸς τοῦ ἐνὼς ὄγκου.

Τάλας, σημαίνει τὸν ἄθλιον. παρὰ τὸ τάλω τὸ κακοπαθῶ.

Ταλαύνης, δεινὸς τλῆναι, ἔχων θῦμα ταλάου. ἐκ δὲ ἐν συγκοπῇ τὸ τλῆ. τλῆσον. τὸ δέγε ταλάω ταλάσω ἐξώρμηται τὸ μὲν ὁ ταλαὸς τὸ κύριον, τὸ δέ, ὁ τάλας. ὅθεν κατὰ ἀναγραμματισμὸν, καὶ ἄτλας. ἐκ τοῦ ταλάσω δέ, γίνεται ὁ ταλασίφρων. καὶ ταλασιουργὸν ἐπὶ γυναικῶν, τὸ ἐμμένειν ἔργοις, καὶ ταλασία. ἴσως δὲ καὶ ἡ παρὰ τῷ τραγικῷ τάλις, τουτέστι μελλόγαμος παρθένος, μελλονύμφη. ὡς καὶ αὐτὸ ταλασίαν ἀσκοῦσα.

Ταλασία, τὰ ἔρια. ἀφ᾽ οὗ καὶ ταλασιουργοί, οἱ ἐριουργοί, τὸ σι, ι. τὰ δὲ τοιοῦτοι κύρια ὑπερδισύλλαβα προπαροξύνονται, διὸ τὸ γράφεται. χωρὶς τῆς παρὰ τὸ κλέος, καὶ τῆς ἀπὸ τῆς εἰς ευς γινομένων, οἷον Προκόπιος Γεώργιος.

Ταλασιουργία, τῶν ἐρίων τὰ ἔργα.

Ταλασίφρων, γίνεται ἀπὸ τοῦ τάλω ταλάσω, ταλασίφρων, ὡς βλάψω βλαψίφρων. ὅθεν καὶ ὁ τάλας γίνεται, καὶ ἡ ταλασία, καὶ τὸ τάλασιον, καὶ ταλασιουργία.

Ταλασίφρων, ἐκ τοῦ ταλάσω. οὗ χρῆσις παρὰ τῷ ποιητῇ, ὃ συγκοπὴν καὶ τρέπειν, ποιεῖ τὸ τλήσω. ἐξ οὗ πλησικάρδιος καὶ πλησίπονος. ταλασίφρονα Ὀδυσσέα εἶπεν, ταυτόν ἐστι τῷ τλήμονα. ἴσως δὲ καὶ κατὰ διπλόῳ ἐπαίνῳ, τλήμονα, καὶ φρόνιμον ἡ λέξις δηλοῖ ἄνδρα. καθ᾽ ὁμοιότητα τοῦ δαίφρων, ὅτι δαΐσοι σημαίνει καὶ φρόνιμον.

Ταλάσσης, ἀντὶ τοῦ ὑπομένης. καὶ ταλασίφρων, ὁ καρτερόφρων καὶ γενναῖος.

Ταλάσω, φυματοποιόν ἐστι τοῦ κατὰ συγκοπὴν τλῶ τλήσω.

Ταλαυρινὸς, ὁ δηλοῖ τὸν ἄτολμον καὶ ἰσχυρὸν καὶ ὑπομονητικὸν, καὶ καρτερικὸν ἐν μάχῃ. Ἀρίσταρχος μὲν ψιλοῖ τὸ ρ, λέγων ὑ σύνθετον εἶναι σχηματισμὸν, ἀλλὰ ἔννοιαν ἁπλῆν. Τρύφων δὲ ἀρέσκεται σύνθετον εἶναι τὴν λέξιν. παρὰ τὸ ταλαὸν, καὶ τὸ ῥινὸς, διὸ καὶ δασύνουσι τὸ ρ λέγουσιν οἱ παλαιοί, καὶ ὅτι ἃ σελεκτὸν τὸ ἐπὶ τέλους φωνῆεν, εἶτα καὶ παρέλκει, φυλάττεσθαι τὸ πνεῦμα.

Ταλάφρονα, τλητικὸν κατὰ τὰς φρένας. οἱ δὲ, ἰσχυρογνώμονα.

Ταλαῶ, ταλαὸς ταλαῶ. καὶ πλεονασμῷ τοῦ ο, ταλαώω, ὡς μίνω καὶ ἀνδρογύνω.

Ταλθύβιον, καὶ Εὐρυβάτην, κήρυκας τοῦ Βασιλέως φησὶν ὁ Ποιητής. καὶ ὀτρηρὼ θεράποντας, ὅ ἐστι σπουδαίως παρὰ τὸ ὀτρύνω, ἢ ἀπὸ τοῦ ξω ξέω τὸ δειλῶ καὶ συστέλλομαι, γίνεται ῥηματικὸν ὄνομα τρηρός. ὡς σφάλλω σφαλερὸς, καὶ κράσει ξηρὸς, ὁ δειλός. ἀφ᾽ οὗ παρώνυμον ξήρων, μετὰ τοῦ στερητικοῦ α, ἄξηρος, ὁ μὴ δειλιῶν, ἀλλὰ δραστικὸς, καὶ ἐρρωμένος τὴν γνώμην. καὶ μεταθέσει, ὀτρηρός. παρῆκται δὲ Ταλθύβιος μέν, ἀπὸ τοῦ θάλλειν, κατὰ τὴν βοὴν, οἱονεὶ θαλθύβιος. Εὐρυβάτης δέ, παρὰ τὸ εὖ βάζειν. καὶ ἐν Ὀδυσσείᾳ δὲ κῆρυξ ὁμοίως, Εὐρυβάτης Ἰθακήσιος. καὶ Τρωικὸς δέ τις κῆρυξ, Περίφας λέγεται, ὡς περιττὸς φωνῶν. ὁ δ᾽ αὐτὸς καὶ Ἠπύτου υἱὸς, παρὰ τὸ ἠπύειν καὶ αὐτοῦ κληθέντος ὡς κήρυκος. ἠπύειν γὰρ, τὸ φωνεῖν. καὶ αὐτὸ δὲ τὸ κῆρυξ, ἐκ τοῦ γηρύω, τὸ φωνῶ παράγεται.

Ταλικὴς, ἀναιδής.

Τάλιξ, ὄρνις.

Τάλιον, ἡ μελλόγαμος παρθένος, καὶ κατωνομασμένη τινί. οἱ δέ, γυναῖκα γαμετὴν, οἱ δέ, νύμφην.

Τάλλα, τἄλλα.

Τάλω, τὸ κακοπαθῶ.

Τάλως, ὁ ἥλιος.

Ταλόω τάλως τάλω, καὶ πλεονασμῷ τοῦ ο ταλόω.

Ταμὰ, τὰ ἐμά.

Ταμὰς, γαμβρός.

Ταμίει, τέμνει.

Ταμεῖαι, οἱ τῶν δημοσίων χρημάτων, καὶ πάντων τῶν κοινῶν φροντίζοντες καὶ φύλακες, ταμιοῦχοι.

Ταμεῖα, ἀπόκρυφα οἰκήματα.

Τάμεν, ἀόριστος δεύτερος, καὶ τάμητε ὑποτακτικόν. ἡ μετοχὴ ταμών καὶ προταμών. ἐκ τοῦ τέμνω. τὸ τέμνω Δωρικόν.

Ταμέσθαι, ἀπομερίσαι, ἐπιτιμῆσαι.

Ταμεσίχροα, τέμνοντα τὸν χρῶτα. ἀπὸ μέρους δὲ λέγει τὴν σάρκα.

Ταμεσίχροα χαλκὸν, ὡς τμητικὸν τοῦ χροός. παρὰ τὸ ταμῶ ταμέσω, ἐξ οὗ κατὰ συγκοπὴν, τμῶ τμήσω.

Τάμισον, πυετίαν, παρὰ τῷ Ἱπποκράτει.

Ταμισάτι, τελικάδε.

* Ταμιάθις, πόλις Αἰγύπτου. λέγεται θηλυκῶς.

Ταμίας, ὁ δεσπότης. παρὰ τὸ ἀποτεμνῆσθαι αὐτῷ τὴν τοῦ οἴκου ἐξουσίαν. ἢ παρὰ τὸ τέμνειν αὐτὸν καὶ ἀπομερίζειν τοῖς ἄλλοις. Ζεὺς ταμίας πόλεως, ταμίας, ἔφοροι, φύλακες, ταμιοῦχοι, διοικηταί. ἀρχὴ γάρ τις παρὰ Ἀθηναίοις ἦσαν οἱ ταμίαι, δέκα τὸν ἀριθμόν. παραλαμβάνουσι δὲ οὗτοι, τό, τε ἄγαλμα τῆς Ἀθηνᾶς, καὶ τὰς νίκας, καὶ τὸν ἄλλον κόσμον, καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς. ὡς Ἀριστοτέλης. ἐστὶ καὶ ἄλλοι ταμίαι ἄρχοντες χειροτονητοί, ἐπὶ τὰς ἱερὰς καὶ δημοσίας τριήρεις. ὅτι δὲ καὶ τοῖς τριηράρχαις παρέποντο ταμίαι, δεδήλωκεν Εὔπολις.

Ταμίας λέγει Ὅμηρος, ὑ γενικῶς θησαυροφύλακας, ἀλλὰ σίτου δοτῆρας. ἐν τῇ σ᾽ τῆς Ἰλιάδος. ταμίαις, ἐφόροις φύλαξι.

Ταμίαν, Ἀττικοὶ οἰκονόμον, καὶ ἐπίτροπον Ἕλληνες.

Ταμίαν ἀνέμων ἑρμηνεύων ὁ Ποιητὴς ἐπάγει, ἠμὲν παυέμεναι, ἠδ᾽ ὀρνύμεν, ὅν ἐθέλησι. τουτέστι, τὸν μὲν οἷον ἀποκρύπτειν, τὸν δὲ προβάλλεσθαι. ὁποῖόν τι καὶ οἱ ταμίαι ποιοῦσι. τὰ μὲν προτιθέντες, τὰ δ᾽ ἀποτιθέμενοι.

Ταμίας, τοῦ ταμία κλίνοντες, ἁμαρτάνουσι, δέον τοῦ ταμίε. μόνως γὰρ τὰ ὑπὲρ δύο συλλαβὰς εἰς ας λήγοντα ἢ εἰς ρας, πάντως τὴν γενικὴν εἰς ου ἔχει. οἷον Μειδίας Μειδίου, Διαγόρας Διαγόρου. οὕτως ἄρα καὶ ταμίας ταμίου.

Ταμιεύεται, διοικεῖται, ἀποκρύβει.

Ταμίη, ἡ φροντίστις τοῦ οἴκου, διοικήτρια, ἢ κελλαρία τινί. καὶ ἀρχὴ Ἀθήνησι.

Ταμιοῦχος, οἰκονόμος.

Ταμιράδαι, ἱερεῖς τινὲς ἐν Κύπρῳ.

Τάμισος, ἡ πιτύα.

Τάμνε, σημαίνει τέσσαρα. λαμβάνεται γὰρ ἐπὶ τοῦ διατέμνειν, ἐπὶ τοῦ παρελαύνειν, ἐπὶ τοῦ θῦσαι, καὶ ἐπὶ τοῦ ὅρκους ποιεῖν.

Τάμνειν ὅρκια, παρ᾽ Ὁμήρῳ καὶ Ἡροδότῳ, τὸ θῦσαι. τὰ ἐπὶ ὅρκῳ σφάγια δηλοῖ. Ἰωνικὴ δὲ ἡ λέξις τὸ τέμνειν ἐπὶ τοῦ θύειν, καὶ τὸ ἔταμον, καὶ τὰ ὅμοια. καὶ τέμνειν, ἐνέκοψε.

Τάμνοντες, διατέμνοντες, ποιοῦντες. τέμνοντ᾽ ἀμφὶ περιμήκυνον.

Ταμόντες ὅρκια πιστά, ἀντὶ τοῦ τελέσαντες, θύσαντες. τοῦτο γὰρ δηλοῖ τὸ ταμόντες. διὰ τομῆς γὰρ ζώων θυομένων, οἱ ἐπὶ μεγάλοις ὅρκοι ἐγίνοντο. ἀεὶ τοίνυν ὅπου λέγει ὁ Ποιητής, κατὰ διάλεκτον Ἰωνικὴν, ὡς παρὰ Ἡροδότῳ ἐστὶν ἀκρῖν.

Τάμον, ἀόριστος δεύτερος, ἐκ τοῦ τέμνω, ὡς ἄνω.

Τάμωμεν, ποιήσωμεν.

Ταναηκέα χαλκὸν, τὸ ξίφος λέγει Ὅμηρος. καὶ ἔστι ταυτὸν ταναηκέα χαλκὸν εἰπεῖν, καὶ τανυήκεος ἄορ. ὧν δηλαδὴ ταναὸν τὸ ἀκόνημα, διὰ τὸ τῷ σιδήρῳ προμήκεις, ἢ τὰ εἰς τανυσμὸν ἥκοντα. ἤων τανὴ δίολα ἀκή, τουτέστιν ὀξύνας τοῦ σωμάματος.

Ταναὰς, ταρηκέσας. ἀπὸ τοῦ εἰς μῆκος τεταννύσθαι.

Ταναγρα, ἀγγεῖον χαλκοῦν, ἐν ᾧ ἤρτυον τὰ κρέα.

Ταναγρῖδαι, οἱ Ταναγραῖς.

Ταναγραῖον φυλὴ, κατὰ τὸ ὁμοιότητα Ἔφορος λέγει δαιτίνα ἐν Ταναγρᾳ ταχύνοντα, ὃς ἐλέγετο κατ᾽ αὐτούς.

Ταναηκέα, διόλου ἠκονημένα, ὀξέα. ἐπὶ τοῦ ταμμένην τὴν ἀκμὴν ἔχοντα.

Τανηκέος, μακρᾶ, τοῦ μακρὰν λαβὴν ἔχοντος.

* Τάναϊς πόλις ὁμώνυμος τῷ ποταμῷ. Στράβων. κατὰ δὲ τὰς εἰς τὴν λίμνην τὴν Μαιῶτιν ἐκβολὰς τοῦ Ταναΐδος, πόλις Ἑλληνικὴ ἐκτισται Τάναϊς, ἥτις καὶ ἐμπόριον ὀνομάζεται.

Ταναὸν, ἰσχυρὸν, ὀξὺ, λεπτὸν, σκληρὸν, μέγα, ὑγρὸν, μακρόν.

Ταναοδείρων, μακροτραχήλων.

Ταναύποδα, ὀρθόποδα. τεταμένοις τοῖς ποσὶ, κατὰ τὴν ὁδοιπορίαν.

Τανάφορον, ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσι.

Τανδιομείοις παρὰ τῷ Ἀριστοφάνει, δῆμος τῆς Αἰγηΐδος φυλῆς. ἀπὸ Διόμου ἐρωμένου τοῦ Ἡρακλέους. ἔστι δὲ ἡράκλειον αὐτόθι. περὶ οὗ φασι δηλοῦν, ὅτι Διόμος Ἡρακλῆς ἐγένετο.

Τάνδον, τὸ ἔνδον.

Τανηλεγέος θανάτοιο, παρὰ τὸ λέγω, τὸ κοιμῶμαι, ταναλεγὴς καὶ τανηλεγής. παρὰ τὸ τῆλε τηλελεγὴς, καὶ τηνηλεγὴς, ὁ μακρὸν κοίμημα ἔχων, ταπῆσιν αἰώνιον. ἢ ὁ μακρὰν ἀφροντιστίαν παρέχων.

Τανθαλύζει, τρέμει, Δωριεῖς. οἱ δὲ, σπαίρει.

Τανθάριον, ἐρύθημα.

Τανθρηνία, παρὰ τῷ Ἀριστοφάνει ἐν σφηξὶ, τὰ τῶν σφηκῶν ἀνθρηνίων σμήνη. ἀνθρηνίας δὲ, τὰς μελίσσας. οἱ δὲ ἕτερον ζῷον κηροποιὸν, ὅμοιον σφηκί. οἱ δὲ τοὺς τόπους ὅπου κατοικοῦσιν οἱ σφῆκες.

Τανίφυλλος, μακρόφυλλος.

Τανίσφυρος, ὀρθόσφυρος, εὔσφυρος, λεπτόσφυρος.

Τανύοντο ὑπὸ ποιητῇ Ὁμήρῳ, ἀντὶ τοῦ συντεταμένως ἔτρεχον, καὶ οὐχ ἁπλῶς ἐβηματίζον. ὃ καὶ πλίσσεσθαι ἐν Ὀδυσσείᾳ Αἰολικῶς λέγεται. οἷον, αἳ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσι. καὶ ἐν Ἰλιάδι, ἐν δὲ ῥυτῆρσι τάνυσθεν, ἤγουν ἐπιστασμένως ἔδραμον. ἀπολλαχοῦ ἐπὶ τρεχόντων ἵππων κεῖται, ὡς τότε μάλιστα συντεινομένων.

Τανόδρυσος, ὁ τρόμου παρασκευαστικός.

Τανούφη, λεπτουφή.

Τανταλάσσεται, δάκρυα στάζει. Ἱστορία.

Τάνταλον οἱ Θεοὶ ἐπὶ ἑστίαν ἐκάλεσαν εἰς ἔρανον, ὅ ἐστι τὴν εὐωχίαν παρασκευάσαντες. ἐπειδὴ οὖν καὶ αὐτὸς ὁ Τάνταλος τῷ τοῦ ἐράνου τρόπῳ ἀντεισφέρειν τι τοῖς Θεοῖς εὐωχίαν ἠπόρησεν, ἀσεβοῦς ἐπιχειρήματος πρόφασιν τὸ ἄπορον ἔσχε. διακόψας γὰρ τὸν Πέλοπα ἐγκαθῆκε λέβητι, καὶ ἑψήσας τοῖς Θεοῖς παρέθηκε. μόνην δὲ Δήμητραν τῶν κρεῶν ἀγνοίᾳ μεταλαβεῖν λέγουσι. τινὲς δὲ Θέτιδα. γνωρίσαντα δὲ τὸν Δία Ἑρμῇ προστάξαι, ἐγκαθεῖναι πάλιν λέβητι τὰ κρέα, καὶ ὑγιῆ τὸν παῖδα ἀποδοῦναι. ὁ δὲ Βακχίδης, τὸν Πέλοπα τὴν Ῥέαν λέγει ὑγιάσαι, καθεῖσαν διὰ τοῦ λέβητος. τῷ δευτέρῳ ἀκουστέον, οὐ καὶ ὑγιὴς ἀνεδόθη.

Ταντάλωθεὶς, τὰ τοῦ Ταντάλου παθών. καὶ ταντάλωθῆναι λέγεται, καὶ ἐταντάλωθη ἐκεῖνος.

Τάν τῷ μύρῳ παρὰ τῷ Ἀριστοφάνει, Ἀττικῶς ἀντὶ τοῦ ἐν μυροπωλείῳ. ἀπὸ τῶν πωλουμένων τοὺς τόπους καλοῦντες.

Τανυγλώχινες οἰστοὶ, ἀντὶ τοῦ ὀξυγώνιοι, μακρογώνιοι. γλωχὶν γὰρ ἡ γωνία, ὡς ἀλλαχοῦ δηλοῦται.

Τανύγλωσσοι, μακρόφωνοι, ἢ τεταμμένην ἔχοντες τὴν γλῶτταν.

Τανύει, ἐκτείνει, ἕλκει, τείνει.

Τανυήκεας ὄζους, παραγωγήν φασι μόνην ἔχει, ἀπὸ τοῦ τανύω, καὶ δηλοῖ τοὺς μακρούς. ἐν μὲν τῷ τανύηκες ἄορ ἔγκειται τῇ λέξει φασὶ τὸ ἀκὴ, ὅ ἐστιν ὀξύτης. γίνεται γὰρ παρὰ τὸ τανύω, καὶ τὴν ἀκὴν τὴν ὀξύτητα.

Τανύεσθαι τράπεζαν λέγων ὁ Ποιητὴς, ἐμφαίνει μήπω κυκλοτερεῖς εἶναι τότε τὰς τραπέζας, ἀλλὰ τεταννυσμένας.

Τανύοντο, ἐξετείνοντο, ἔτρεχον. οὐ τανύοντο, ἐπὶ τῶν οὐρανῶν ἐξετείναντο, διὰ σιδηρείαν. τανύοντο διὰ φλογὸς Ἡφαίστοιο.

Τανύπεπλον τὴν Ἑλένην λέγει Ὅμηρος, οὐ μόνον ὡς συννήσασαν Ῥωμαϊκῶς καὶ ἐπισύρουσαν κάτω τὸν πέπλον, ὅς ἐστιν γυναικεῖον ἱμάτιον, ἀλλὰ καὶ ὡς εὔσαρκον καὶ οὐκ ἰσχνὴν, ἀλλὰ τείνουσαν, καὶ ἐξαπλοῦσαν, καὶ ἐμπιπλῶσαν τὸν πέπλον, τῷ εὖ διεστηκέναι αὐτῇ τὴν φυὴν τοῦ σώματος.

Τανύποδα λέγει Ὅμηρος, οὐ μόνον τὰ μακρόποδα, ἀλλὰ καὶ τεταμένως τοῖς ποσὶ βαδίζοντα. ταυτὸ δ' εἰπεῖν μακρὰ βιβάντα.

Ταχύποδας, ταχέας.

Τανυπτέρυγας, τὰς καλύπτρας. διὰ τὸ περὶ τὸ πρόσωπον περιπετάσθαι.

Τανύσας, ἐκτείνας, ἁπλώσας. καὶ τανύει, ἐκτείνει.

Τανυσίπτεροι, κοινὸν ἐπίθετον πτηνῶν, ἃ πετόμενα τανύουσι τὰ πτερά.

Τανυστὺς, λέξις μὲν ποιητικὴ καὶ αὐτή. γίνεται δὲ, ἀπὸ τοῦ τανύειν. κεῖται παρ' Ὁμήρῳ ὑπὸ ἀναλογίαν τοῦ ὀϊζὺς, ῥυστακτὺς, βρωτὺς, ἐδητὺς, καὶ τῶν ὁμοίων.

Τάνυσσα, ἐνέτεινα.

Τανυσσάμενος, ἐκταθείς.

Τανύσας, ἁπλώσας, ἐκτείνας, κρεμάσας.

Τανύτριχα, δασύτριχα, λεπτότριχα.

Τανύφλοιο, Ἰλιάδος π'. τὴν μακρὸν φλοιὸν ἔχουσαν, εὔωνον.

Τανύω, ἀπὸ τοῦ τείνω.

Τὰ νῶτα, τὰ ὀπίσθια.

Ταξάμενοι, ὁρίσαντες.

Τάξις ἐστὶν, ἐργασία ὁμοιότητος τῶν πρὸς ἄλληλα πάντων ὄντων, συμμετρία κοινωνίας πρὸς τὸ παθεῖν.

Τάξις, ἡ ἐπὶ ὀφειλομένοις χρήμασι καταβολή. ἡ ἀκολουθία, καὶ εἱρμός.

Τάξος, δένδρον τι ὀρεινόν.

Τάξω, συντάξω, θήσω.

Ταπεινὸς, ἢ παρὰ τὸ θάπτω. ὁ δεύτερος ἀόριστος ἔθαφον θαφεινὸς, καὶ τροπῇ ταπεινός. ἢ ὥσπερ ἐκ τοῦ ὄρος γίνεται ὀρεινὸς, οὕτως ἀπὸ τοῦ ἔδαφος ἐδαφεινός. καὶ κατὰ ἀφαίρεσιν τοῦ ε, καὶ τροπῇ τῶν συμφώνων ταπεινός. ἢ παρὰ τὸ πέδον πεδεινὸς, καὶ κατὰ τροπὴν τοῦ δ εἰς τ καὶ τοῦ ε εἰς τὸ α πατεινὸς, καὶ κατὰ ὑπέρθεσιν. ἢ παρὰ τὸ δάπεδον δαπεδεινὸς, καὶ κατὰ συγκοπὴν, καὶ τροπήν. ἢ παρὰ τὸ πατῶ γίνεται πάτος, οἱονεὶ ὁ πατούμενος, καὶ ἐκεῖθεν πατεινὸς, καὶ ἐν ὑπερθέσει. ἢ παρὰ τὸ τάπης τάπητος ταπητεινὸς, καὶ κατὰ συγκοπὴν, ταπεινός.

Ταπεινοφροσύνη ἐστὶ, τὸ πάντας ἡγεῖσθαι ὑπερέχοντας ἑαυτοῦ, κατὰ τὸν ὅρον τοῦ Ἀποστόλου. ταπεινοφροσύνη ἐστὶν, ἡ ἑκάστου πρὸς τὸν Θεὸν θέσις ἐκ παραλλήλου τῆς ὑπερεχούσης, καὶ ποιητικῆς αἰτίας ἐπίγνωσις, καθ' ἣν ἡ πρὸς ἀλλήλους τῶν ἀνθρώπων γίνεσθαι πέφυκε συνδιάθεσις, καὶ ἡ πλημμελημάτων δίδοσθαι τοῖς ὀφείλουσιν ἄφεσις. ἴδε γάρ φησιν ὁ Δαβὶδ, τὴν ταπείνωσίν μου καὶ τὴν θλίψιν μου, καὶ τὰ ἑξῆς.

Ταπεινόφρων ἐστὶν, ὁ περὶ δόξαν ἐγκρατής. οὐ ταπεινόφρων ἐστὶν, οὐχ ὅς τις μικρὰ διαλέγεται, καὶ τοῦτο πρὸς ὀλίγους καὶ ὀλιγάκις. οὐδ' ὅς τις ταπεινῶς προσαγορεύει τὸν ἀτιμότερον, ἀλλ' ὅς τις περὶ Θεοῦ μετρίως φθέγγεται. καὶ τὰ μὲν εἰπεῖν οἶδε, τὰ δὲ κατέχει, τῶν δὲ ὁμολογεῖ τὴν ἄγνοιαν, καὶ παραχωρεῖ τοῦ λόγου τῷ πιστευθέντι, καὶ εἶναί τινα πνευματικώτερον δέχεται, καὶ διαβεβηκότα μᾶλλον ἐν θεωρίᾳ.

Τάπησι, ποικίλοις στρώμμασι.

Τάπητες, ἐπιβόλαια, ἢ στρώμματα. οὕτως Ἀριστοφάνης.

Τάπιδες, τάπητες.

Τάπις, προσκεφάλαιον.

* Ταπίχειρα, τὸν μισθὸν, τὰς ἀμοιβάς.

Τὰ πρόσω, τὰ ἔμπροσθεν.

Τὰρ, σύνδεσμος, δὲ, δὴ, ἄρα, καὶ δὴ, ταχέως.

Τἆρα τἆλλα, καὶ τὰ ἄλλα δέ.

Τἆρα, ἅ τινα δή.

Ταρακίνα, ἔθνος, ἡ πόλις.

Τάρανδος, ζῶον ἐλάφῳ παραπλήσιον, οὗ ταῖς δοραῖς εἰς χιτῶνας χρῶνται Σκύθαι.

Ταραντεινὸν, λεπτὸν καὶ διαφανὲς ἱμάτιον, οὐ πάντως πορφυροῦν, ὥς τινες ὑπέλαβον. καὶ ταραντιναὶ βαφαί.

Ταραντῖνοι, ἱππεῖς τινὲς ὀνομάζονται. οἱ δὲ τοὺς ἀκοντιστὰς, ἢ τοὺς ψιλοὺς ἱππεῖς. ὡς καὶ Ἵππαρχος.

Ταραξικάρδιον, τὸ τῇ καρδίᾳ ταραχὴν ἐμποιοῦν.

Ταραξιππόστρατον λέγει τὸν Κλέωνα Ἀριστοφάνης, πονηρὸς, τὸν ταράξαντα τὸ πλῆθος τὸ ἱππικόν.

Τάρας, πόλις Ἰταλίας, ἀπὸ Τάραντος τοῦ Ποσειδῶνος. ἔστι δὲ Λακώνων ἄποικος.

Ταράσσει, δονεῖ, κυκᾷ, σείει, κατασείει, σοβεῖ, κλονεῖ, χειμάζει, διαλλάττει, θράττει, θορυβεῖ. καὶ ταράττουσι, θορυβοῦσι.

Ταραχὺ, ἐτυμολογεῖται μὲν παρὰ τὸ ῥᾷον χεῖσθαι. παράγεται δὲ παρὰ τὸ ταράσσω, τοῦτο παρὰ τὸ ῥῶ τὸ φθείρω, ῥάσσω. μετὰ τοῦ στερητικοῦ α, ἀράσσω. καὶ πλεονασμῷ τοῦ τ, ταράσσω ταράξω τετάραχα. τὸ ῥᾷ, βραχύ. διότι, τὰ διὰ δύο σσ ἐκφερόμενα παράγωγα ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα, δίχρονῳ παραληγόμενα, συστέλλει αὐτὸ, οἷον ἀνάσσω, πατάσσω, ταράσσω.

Ταραχή ἐστι ψυχῆς, ἡ τῶν παθῶν μετὰ σφοδρότητος ἐπικράτησις.

Ταρβαρέον, δεινὸν, φοβερόν.

Ταρβεῖ παρὰ Ποιηταῖς, ἤγουν τρέμει.

Ταρβῆσαι, κατὰ μέν τινας ὀνοματοποιεῖται. ἕτεροι δὲ σύνθετον αὐτὴν λέξιν φασίν, ἀπὸ τοῦ ταράσσω, καὶ τοῦ βοῦ, ἐπισπαράσσονται γὰρ τὴν βοὴν οἱ φοβούμενοι, καὶ οὐκ αἴρεται αὐτοῖς ἡ βοὴ, οὐ δέ εἰσι βοὴν ἀγαθοὶ, ἀλλ' ὡς τὰ πολλὰ καὶ ἄφωνοι καθίστανται.

Τάρβος, σημαίνει τὸν φόβον τρισὶ παραγωγαῖς. ὁ Ἡρωδιανὸς τοῦτο ὑπέλαβε, πρῶτον, ἐκ τοῦ ταράσσω τάραβος, καὶ συγκοπῇ τάρβος, παρὰ τὸ ταράσσειν τὴν ψυχήν. δεύτερον, ἐκ τοῦ τρέω ὁ δεύτερος ἀόριστος ἔτραπον, τράπος καὶ τάρβος. οἱ γὰρ εὐλαβούμενοι φεύγουσι τρέσαντες, ἐκ τοῦ τείρω τὸ κατατονῶ. ὁ δεύτερος ἀόριστος ἔταρον, τάρος, καὶ πλεονασμῷ τοῦ β τάρβος, καὶ ῥῆμα ταρβῶ. ταρβήσαντες, ἀντὶ τοῦ ἐφοβήθησαν.

Ταργαίνειν, ταράσσειν.

Ταργάναι, πλοκαὶ, συνδέσεις, πέδαι.

Τάργανον, ὄξος. Λυδοί. ἢ τὰ ταράττον, ἢ τὸ ἐπὸ στεμφύλων πίμα καὶ πόα, ἢ καὶ σκορπίουρος.

Τάργανον, παρὰ τὸ γάρον. σημαίνει δὲ τὸ τετασμένον λαρδίον. τινὲς δὲ τῶν Ἰώνων τὸ ταρακτὸν καλοῦσι.

Ταρήφη, κόφινος μέγας. οἱ δὲ, νεκροφορικὸν ἀγγεῖον.

Τάριχος, οὐδετέρως λέγουσιν οἱ Ἀττικοί.

Τάριχος, παρὰ τὸ ἐν τῇ ταριχείᾳ ἐχνεῦσθαι. ἢ παρὰ τὸ γάρον ἔχειν. τροπῇ τοῦ γ εἰς τ. καὶ ταριχεύειν, καὶ τήκειν καὶ ξηραίνειν.

* Τάριχος τὸ κρέας τὸ ἁλσὶ πεπασμένον.

Ταρχύει, ἀκύνει.

Ταρμύξασθαι, φοβηθῆναι.

Τάρνη, πόλις ἐν Λυδίᾳ. οἱ δὲ, ἐν Μυσίᾳ. ὅθεν ἦν Ἑρμείας ὁ Ἀριστοτέλους τοῦ Φιλοσόφου γνώριμος.

Ταρνὸν, κολοβὸν, κολοβοῦρον.

Ταρόμματα, τὰ ἀροτρώματα, παρὰ τὸ ἀροτριοῦν τὰ προηροτριωμένα. λέγουσι δ' ἔνιοι, τὰ ἄλφιτα, καὶ τὸν λιβανωτὸν, ἀρόμματα.

Τάρπημεν ἐδητύος, ἠδὲ ποτῆτος. ὅ ἐστιν ἐκορέσθημεν. ἢ μᾶλλον ἡδύνθημεν, διὰ τοῦ φαγεῖν, καὶ πιεῖν. παράφρασίς ἐστι σαφὴς τοῦ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο.

Ταρπῆναι, ἀντὶ τοῦ κορεσθῆναι. λέγεται ἐνίοτε ταρπῆναι. συνήθως γενικῇ συνέταξεν Ὅμηρος ἐν Ὀδυσσείας ψ', ἢ κατ' ἐλλειψιν τῆς

διὰ τὸ προθέσεως. ἢ διὰ τὸ λυφθῆναι τὸ τερπῆναι, ἀντὶ τοῦ κορεσθῆναι.

Τάρπη, καὶ αὐτὴ βέλος ἐς τὰς τάρπας ῥίπτειν, κοφίνους μεγάλους, ἢ νεκροφορικὰ ἀγγεῖα, παρὰ τὸ αἴρω τι. αἴρω οὖν, ὁ μέλλων ἀρῶ, ἐξ αὐτοῦ ἄρη, καὶ πλεονασμῷ τοῦ τ ἄρπη καὶ τάρπη.

Τάρπησαν, ἐτέρφθησαν. τάρπημεν ἐτέρφθημεν, ἐκορέσθημεν. οἶμαι δὲ ἀπὸ τοῦ τρέφω θρέψω, ὁ ἀόριστος δεύτερος ἔτραφον, ὁ παθητικὸς ἐτράφην, ἐτράφημεν, καὶ Ἰωνικῶς τάρπημεν. καὶ ἔχει ἀφαίρεσιν, καὶ ὑπερβιβασμὸν, καὶ τροπὴν τοῦ δασέος εἰς ψιλόν.

Τάρπησαν ὁρώμενοι ὀφθαλμοῖς παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ὁρῶντες. παθητικῶς ῥηθὲν καθ' ὁμοιότητα τοῦ θνήσκοντας ὁρῶτο. διττὸς δὲ ὁ νοῦς. ἢ γὰρ ἐτάρπησαν ἐν ὀφθαλμοῖς, ἢ ὁρῶντες τοῖς ὀφθαλμοῖς.

Ταρρόθος, βοηθὸς, ἀρωγός.

Ταρροὶ, τάλαροι καὶ ταρσοὶ καὶ τὰ πλατύσματα τῶν κωπῶν. αὐτὸ τὸ πτέρωμα, καὶ Θουκυδίδης οὕτως εἴρηκε. καὶ ταῤῥῶμα, τὴν κωπηλασίαν, οὕτως Ἀριστοφάνης.

Ταρροὶ, τὰ ἀγγεῖα τῶν τυρῶν.

Ταρρὸς Ἀττικῶς, τὰ ἐξ οἰσύων πλέγματα οὕτω καλεῖται. τοὺς γὰρ καλάθους τοὺς γεωργικοὺς, ταλάρους καλοῦσιν. Ἀριστοφάνης δὲ κρεμάθραν ἐκάλεσεν, ἐφ' ἧς ὁ Σωκράτης ἐκρέματο. ἄλλως, ταρρὸς μετέωρόν τι ξύλον, ἐφ' οὗ ἀλεκτορίδες κοιμῶνται.

Ταρσοὶ, οἱ καλαθίσκοι ἐν οἷς τυροκομοῦσι. κληθέντες οὕτω παρὰ τὸ τέρσαι τὸ ξηραίνειν, ἐν οἷς τερσαίνονται οἱ τυροί, οὓς καὶ πλεκτοὺς ταλάρους λέγει Ὅμηρος. οἱ δὲ παλαιοὶ, τὸν τοιοῦτον ταρσὸν, καὶ ταρρὸν λέγουσιν. οἱ ταρσοὶ βρῖθον τυρῶν, κατὰ γενικὴν ἡ σύνταξις, ἀντὶ τοῦ ἔγεμον, ἢ βάρος εἶχον ὑπὸ τῶν τυρῶν. ἡ δὲ κοινὴ διάλεκτος τυροῖς βρίθειν λέγει, ὁμοίως τῷ ἄνθεσι βρίθειν. λέγεται δὲ ὁ ταρσὸς, καὶ τυροψύκτης.

Ταρσὸς ποδὸς, τὸ κάτω πλατύ. λαμβάνεται δὲ καὶ ἐπὶ χειρὸς, ἀπὸ τοῦ τέρσω τὸ ξηραίνω. τοιοῦτον γὰρ τὸ μέρος, ὀστῶδες ὄν. ἔτι δὲ καὶ ἐπὶ πτέρυγος ὀρνέων ἡ λέξις αὕτη κεῖται, καὶ ἐπὶ μέρους στιχῶν. σημαίνει δέ ποτε καὶ πόλιν.

Τάρταρος, ὃς πεπέρανται καὶ κατέψυκται ἀὴρ ὢν καθ' Ὅμηρον. ἠερόεντα γὰρ αὐτὸν λέγει. ἠεροειδὴς ἐστὶν ἤτοι σκοτεινὸς, καὶ οὐ λάμπεται. ἀὴρ μέντοι ὑπόγαιος καὶ ἀνήλιος, καὶ διὰ τοῦτο ψυχρός. ἐξ οὗ καὶ τὸ σφόδρα ῥιγοῦν, ταρταρίζειν φασὶ λέγεσθαι. ἢ ἀπὸ τοῦ τείρω, τὸ δαμάζω. ὁ δεύτερος ἀόριστος ἔταρον, τάρος γίνεται, καὶ κατὰ ἀναδίπλωσιν τάρταρος. ὥσπερ ἀτηρὸν, ἀταρτηρὸν, δάπτω δαρδάπτω.

Ταρτημόριον, δίχαλκον. τὸ γὰρ ὄγδοον τοῦ ὀβολοῦ, ταρτημόριόν τινες καλοῦσιν, οἷον διχάλκου ἄξιον.

Ταρτησία μύραινα παρὰ τῷ Ἀριστοφάνει, μύραινα δαίμων φοβερά, παρὰ τὸ μύρεσθαι. παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου. ταρτησίαν δὲ εἶπε, πρὸς τὸ ἐκπληκτικώτερον, διὰ τὸ ἐκτετοπισμένον. λέγουσι δὲ ταρτησίαν γαλῆν, ἀντὶ τοῦ μεγάλην. ἡ δὲ ταρτησὸς, ἰβηρικὴ πόλις, περὶ τὴν ἄορνον λίμνην. μύραινα δὲ, ἰχθὺς θαλάσσιος. ἀντὶ δὲ τοῦ εἰπεῖν ἔχιδναν, μύραιναν εἶπε.

Ταρτησὸς, πόλις περὶ τὰς Ἡρακλέους στήλας.

Ταρφεῖα, κυρίως μὲν ἐπὶ δάσους φυτῶν δυναμένων ζῶα τρέφειν. ἐπεὶ τάρφος ἁπλῶς, τὸ δάσος, ταρφέες μέντοι ὀϊστοί. καὶ ταρφέ' ἀμειβόμενοι καταχρηστικῶς δηλοῦσι, τὸ ἁπλῶς πυκνόν.

Ταρφειὰς, Ἀρίσταρχος ὀξυτόνει, ὡς πυκνάς. ὁ δὲ Θρᾷξ Διονύσιος, ὁμοίως τῷ ταχείας παρὰ τὸ τάρφους ἐρωτικῶς, οὐ πολλαὶ ἦσαν χρήσεις. καὶ δῆλον, ὅτι ἀναλόγως μὲν ἀναγινώσκει ὁ Θρᾷξ. ἐπεκράτησε δὲ μᾶλλον ἡ Ἀριστάρχου ἀνάγνωσις.

Ταρφθήμεναι, τερφθῆναι.

Τάρφη, διὰ τῆς ὕλης πυκνότητα. ταρφέα γὰρ τὰ πυκνά. καὶ τάρφος, τὸ δάσος. Ὅμηρος, βαθείης τάρφεσιν ὕλης.

Τάρφεσι προπαροξυτόνως, ὡς δάσεσι. καὶ ἔστιν ἡ εὐθεῖα αὐτοῦ τὸ τάρφος, ὡς δάσος, δηλοῦν ὕλης πύκνωμα. ἐξ οὗ ἐστι ταρφῶσαι, ὅ ἐστι τραφῶσαι ζῶα. ἐξ αὐτοῦ δὲ ταρφὺς ὀξυτόνως, ὁ πυκνὸς, ὡς δασύς. οὗπερ οὐδέτερον τὸ ταρφύ.

Ταρφίεντα, ἐντάφια, τεφρώδη.

Ταρφίαι, πυκναὶ, συνεχεῖς.

Ταρφρεῦσαι, διορύξαι, περισκάψαι.

Ταρφὺς, στάχυς.

Τάρχη, τάραξις.

Ταρχάνιον, ἐντάφιον.

Ταρχύσωσι, θάψωσι. τὸ θέμα ταρχύω. ταρχύσαι, τὸ θάψαι. ταρχύσωσι, τουτέστιν ἐνταφιάσωσι μετὰ συνήθους ταραχῆς.

Τὰ σὰ γουνάθ' ἱκάνομαι, ὅ ἐστιν ἵκω, ἱκετεύω δηλαδή.

Τᾶς οὐ τλάσας, τῆς οὐχ ὑπομονητῆς.

Τάσις, ὤθησις, σεισμός.

Τὰς σφετέρας, τὰς αὐτῶν.

Τὰ στίγματα, τὰ παθήματα, τὰ ἕλκη.

Τὰς ὠτειλὰς, τὰ τραύματα.

Τά, τε πρόσσω, ἤγουν τὰ παρεληλυθότα.

Τά, τε ὀπίσσω, καὶ τὰ μέλλοντα νοεῖν, τοῦ φρονιμοῦ ἐστι.

Τάτ' ἐόντα, καὶ τὰ νῦν ὄντα.

Τάπης, κατ' ἴσως.

Τάτ' ἐσσόμενα, καὶ τὰ μέλλοντα.

Τά τε ἄλλα, ἤγουν καὶ κατὰ τὰ ἄλλα.

Τατθίον, μαθὸς, τιτθίον.

Τάττω, τὸ εἰς τάξιν καθιστῶ. ὡς καὶ Δημοσθένης εἰς τίνα τάξιν αὐτὸν Αἰσχίνης τὸ πρῶτον. καὶ ἔτι τάττω τὸ καταλέγω, καὶ καταριθμῶ, καὶ ἐγγράφω. οἷον τοῖς ἀγαθοῖς φίλοις σε κατατάττω. Αἰσχίνης. τάττειν καὶ τὸ προστάσσειν Ποιητικῶς. τάττειν καὶ τὸ κρίνειν. ὡς καὶ Δημοσθένης, εἰσὶ νόμοι βαρέα τάττοντες τἀπιτίμια.

Τατύρας, ὁ φασιανὸς ὄρνις.

Ταυγέταις, πύλαις ταῖς μεγάλαις.

Ταῦθοῖ, καὶ ταυτοῖ Δωρικὸν εἶναι δοκεῖ, εἰ καὶ παρ' Ἀττικοῖς τέτραπται. οὕτω δὲ καὶ τὸ ἐνταῦθα.

Ταυληρόντα, ἱμάντα, Ἡρακλέων.

Ταυρείη ἀσπὶς, ἐκ τοῦ ἐπιπολάζοντος καὶ προσφαινομένου μέρους καλεῖται. ὡς καὶ ἡ βοείη. τοιοῦτον δὲ καὶ ἡ κυνέη καὶ ἡ ἰκτιδέη, καὶ τὰ τοιαῦτα.

Ταύρειον, στόμα ἀπὸ Αἰγειταύρου ποταμοῦ. Σοφοκλῆς Τροιζηνίας πάρα, καὶ κτηνῶν ὑόεσσα.

Ταυρεία, ἑορτή τις ἀγομένη Ποσειδῶνος.

Ταυρόκρανοι ποταμοί φασιν, ἐτυποῦντο. ἢ ὅτι μυκηθμῷ εἰσὶ παραπλήσιοι παρὰ τὰς ἐκβολάς. καὶ Ὅμηρος, τὰς δ' ἔκβαλε θύραζε μεμυκὼς ἠΰτε ταῦρος. ἢ ὅτι σχίζουσι τὴν γῆν, ὡς οἱ βόες. ἢ διὰ τὸ τὰς νομὰς περὶ τοὺς ποταμοὺς εἶναι. ἢ διὰ τὸ καμπὰς ποιεῖν κεράτων.

Ταυρόμορφον παρὰ Λυκόφρονι, πλοίου τύπωμα.

Ταῦρος λέγεται, ὡς οἷόν τις ταῦρος, ἢ ὡς τείνων. οὐ γὰρ λόγῳ ἰδιότητος, ἐξ οὗ τείνειν.

* Ταῦρος, τὸ αἰδοῖον τοῦ ἀνδρός. καὶ ἀταυρώτη, ἡ ἄμικτος καὶ ἁγνή.

Ταῦροι κεκριμένοι παρ' Ὁμήρῳ, οἱ ἐπίλεκτοι. ταῦτα γὰρ ἔδει θύεσθαι.

Ταῦροι παμμέλανες τῷ Ποσειδῶνι θύονται, διὰ τὸ ὕδατος μέλαν, ὃ δηλοῦται ἐν τῷ πορφύρεον κῦμα, πόντον μέλανα, καὶ ἠεροειδέα, καὶ ἰοειδέα. ὃ καὶ αὐτὸ ταυτὸν ἐστὶ τῷ πορφυροῦν μέλανα.

Ταυροπόλον, τὴν Ἄρτεμιν. ὅτι ὡς ταῦρος περιεισι πάντα. ἢ ὅτι τὸν ὑπὸ Ποσειδῶνος ἐπιπεμφθέντα Ἱππολύτῳ ταῦρον, ἐξοίστρησεν ἐπὶ πᾶσαν γῆν. ἢ ὅτι ἡ Ἰφιγένεια φυγοῦσα ἀπὸ Σκυθίας, ἐν Ἀττικῇ ἱδρυσαμένη τὸ ἄγαλμα, ταυροπόλον Ἄρτεμιν προσηγόρευσε.

Ταῦρος, ὄρος ἐπὶ χώρας κείμενον, ἐν ᾧ εἰσὶ βάλανοι πρὸς τροφὴν τῶν συῶν. λοιπὸν ἐξ αὐτοῦ τοῦ ὄρους εἰσφορὰς ἔφερον, ἃς ταυρικὰς προσόδους φασί. καὶ ταῦροι ἀργᾶντες, ὅ ἐστι λευκοὶ, ἐν Πινδάρῳ θύονται τῷ Ποσειδῶνι. δύναται μὲν καὶ τοῦτο εἶναι, διὰ τὴν πολιὰν ἅλα. οἱ δὲ παλαιοὶ, ἀργᾶντας, τοὺς διαλίπους, οὕτοι τιμελὴν λευκὰς νοοῦσι, καθότι καὶ κρήδεμνα λιπαρὰ, τὰ λευκὰ, καὶ λεῖα.

Ταῦρος θυσία προσφυὴς Ἀλφειῷ ποταμῷ, καθὰ καὶ Ποσειδῶνι. θύεται δὲ καὶ τῇ Ἀθηνᾷ βοῦς ἀγελαία, ἤτοι ἀδάμαστος, ἄθετος, καὶ καθ' Ὅμηρον ἀδμῆτις. οἱ δὲ παλαιοὶ λέγουσιν οὕτω συντόμως, ὡς οἰκεῖος ὁ ταῦρος ποταμίῳ ῥεύματι τά, τε ἄλλα, καὶ ὅτι βίαιός ἐστι τοῖς κέρασιν ἀναβάλλων τὴν γῆν. ἐξ οὗ καὶ ταυρηδὸν ἐπίῤῥημα παρὰ τῷ Κωμικῷ, ἀντὶ τοῦ ἀγρίως. καθὰ ἐκ τοῦ κύκλος τὸ κυκληδόν. οἷον καὶ περιβλέψας κυκληδὸν τὸ πλῆθος, ἔφη. δοκεῖ καὶ ῥῆμα ἐκ τοῦ ταύρου εἶναι, τὸ ταυροῦν. ὅθεν καὶ γυνὴ ἀταυρώτη, ἡ ἄζυξ, καὶ μὴ ὑπὸ ἀνδρὶ γινομένη, ὡσεὶ καὶ δάμαλις ὑπὸ ταύρῳ. ἦν δὲ καὶ ποταμοῦ ὄνομα Τροιζηνίου ταῦρος. ἐξ οὗ καὶ ὕδωρ ταύρειον, παρὰ Σοφοκλεῖ, παρ' ᾧ φασὶ καὶ κρήνη τὶς ὑόεσσα καλεῖται. ὅτι δὲ καὶ κύριον ὄνομα ὁ ταῦρος, οὐ μόνον ὁ κατὰ Κρήτην ἱστορούμενος ἐκεῖνος, ἀλλὰ καὶ ἄλλοι ὀνομαστοὶ, δῆλον ἐκ τῶν παλαιῶν. ταῦρος δὲ καί τι σωματικὸν, ἐξ οὗ οἱ Κωμικοὶ τὸν λάσταυρον, ἤγουν λασιόταυρον ληροῦσι.

Ταῦρος λέγεται ἐν τοῖς ἄστροις τεθῆναι, διὰ τὸ Εὐρώπην ἀγαγεῖν ἐκ Φοινίκης εἰς Κρήτην διὰ τοῦ πελάγους, ὡς Εὐριπίδης φησὶν ἐν τῷ Φρίξῳ. χάριν δὲ τούτου ἐν τοῖς ἐπιφανεστάτοις ἐστὶν, ὑπὸ Διὸς τιμηθείς. ἕτεροι δέ φασι βοῦν εἶναι τῆς Ἰοῦς μίμημα, χάριν δὲ ἐκείνης ὑπὸ Διὸς ἐτιμήθη τὸ ἄστρον.

Ταύρους ὅτι τοῖς ποταμοῖς ἱέρευον, καθίεσαν δὲ καὶ ἐν ταῖς δίναις ζωοὺς ἵππους, ὃ δὴ καὶ ἐπὶ Ξάνθου ἐποίουν οἱ Τρῶες. ὅτι δὲ οἰκειότητα ἔχει ὁ ταῦρος πρὸς τὸ ὑγρὸν, καὶ διὰ τοῦτο καὶ Ποσειδῶνι θύεται, εἴρηται ἀλλαχοῦ. δηλοῖ δὲ τοῦτο καὶ Ἡρόδοτος, ἐν οἷς φησὶ, σφαγιασάμενοι τῇ θαλάσσῃ ταῦρον. καὶ ἵππος δὲ, ὡς ταχύτατον ζῶον προσήκει τοῖς ὠκυῤῥόοις ποταμοῖς.

Ταύρους καὶ αἶγας, ὁ Χρύσης τῷ Ἡλίῳ Ἀπόλλωνι θύει. τοὺς μὲν, ἤτοι τοὺς ταύρους, ὡς ἐργατικοὺς τῆς γῆς, καὶ Ἡλίῳ συμπράττοντας εἰς τὸ ζωογόνον καὶ ἀναδοτικὸν τῶν καρπῶν. αἶγας δὲ, διά τε τὸ ὁρμητικὸν τοῦ ζώου, καὶ εἰς ὕψος ἀλτικὸν, ὅγε καὶ ἀπὸ τοῦ ἀΐσσειν ὀνομάζεται. ἀλλὰ καὶ διὰ τὸ τὰ ἐξ αἰγῶν κέρατα εὔθετα εἶναι εἰς τόξων ποίησιν. τοξότης δὲ καὶ ὁ Ἀπόλλων, ἐρεῖ ὁ Ποιητής. ὅτι δὲ καὶ ἄρνες αὐτῷ ἐθύοντο, δηλώσει Ἀχιλλεὺς, οἰόμενος ἀρνῶν καὶ αἰγῶν κνίσσῃ θεραπευθήσεσθαι τὸν Ἀπόλλωνα. καὶ Πάνδαρος δὲ ἄρνας πρωτογόνους θύσειν αὐτῷ εὔχεται. καὶ ἐν σπονδαῖς δὲ, ἄρνα λευκὸν Τρῶες Ἡλίῳ ἱερεύουσιν. ὅτι δὲ καὶ προβάτων χαίρει ποιμνίοις, ἐν τῇ Ὀδυσσείᾳ λέγεται. ταῖς γὰρ ἀγέλαις ἐκεῖ, τῶν τοῦ Ἡλίου βοῶν καὶ προβάτων πώεα συννέμονται. οὐκ ἀποστέργει δὲ οὐδὲ ὄνους. Ὑπερβόρειοι οὖν, ὡς Πίνδαρος ἱστορεῖ, τοιαῦτα ἐκείνῳ κνώδαλα ἔθυον κατὰ Ἡρόδοτον, καὶ Πέρσαι ἵππον αὐτῷ ἱέρευον, ὡς ταχυτάτῳ, τὸ ἐν τοῖς πεζοῖς ταχύτατον. καὶ ὅλως εἰπεῖν, νόμιον ἔχοντες οἱ Ἕλληνες τὸν Ἀπόλλωνα καὶ ζωοτρόφον, πάντων ἐκείνῳ τῶν τοιούτων ἀπήρχοντο.

Ταυροφάγον τὸν Διόνυσον, Σοφοκλῆς ἐν Τηρεῖ. ὅτι τοῖς τὸν διθύραμβον νικήσασι, βοῦς ἐδίδοτο, ἢ τὸ ὠμηστήν. ἀφ' οὗ καὶ ἐπὶ τὸν Κρατῖνον μετηνέχθη τοὔνομα.

Ταυροφθόγγοι, παραπλήσια βουσὶ φθεγγόμενοι.

Ταυροχολία, ἑορτὴ ἐν Κυζίκῳ.

Ταυρὼ, ἡ ἐν ταύροις Ἄρτεμις.

Ταύρωσον, ταῦρον ποίησον.

Ταῦς, μέγας, πολύς.

Ταῦσας, μεγαλύνας, πλεονάσας.

Ταῦσιμον, μάταιον.

Ταῦτα μὲν θεοῦ ἐν γούνασι κεῖται. τοῦτο λέγεται ἐπὶ πραγμάτων ἀποβάσεως ἀδήλων. ἀντὶ τοῦ ἐν δυνάμει, ἢ ἱκεσίᾳ Θεοῦ κεῖται.

Ταῦτα μὲν δὴ ταῦτα, παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ ταῦτα τοῦτον τὸν τρόπον ἔχουσι.

Ταῦ-

Digitized by Google

Ταῦτά τοι, ἀντὶ τοῦ διὰ ταῦτα. Ἀριστοφάνης· ταῦτά τοι ποιοῦσιν ὑγρὰν νεφελᾶν.

Ταῦτ' ἄρα, Ἀττικοὶ ἀντὶ τοῦ διὰ ταῦτα. λείπουσι γὰρ αἱ προθέσεις παρ' Ἀττικοῖς.

Ταύταυος, ὄρνις ποιός.

Ταυτίας, αὐλὰς μεγάλας.

Ταύτῃ ἔσω, τοιοῦτον τρόπον.

Ταύτῃ τοι, τούτῳ τῷ τρόπῳ, τούτου ἕνεκεν.

Ταϋγέτη, καὶ Ἠλέκτρα, Ἄτλαντος ἐγένοντο θυγατέρες. ταύταις ὁ Ζεὺς συγγενόμενος, ἐτέκνωσεν ἐκ μὲν Ταϋγέτης Λακεδαίμονα, ἐκ δὲ Ἠλέκτρας Δάρδανον.

Ταύτῃ τοι, καὶ ταῦτά σοι, ἀντὶ τοῦ διὰ τοῦτο. γίνεται γὰρ τὰ ἐπιρρήματα ἀπὸ δοτικῆς τῶν ἑνικῶν, καὶ ἀπὸ εὐθείας τῶν οὐδετέρων.

Ταυτί, ταῦτα, Ἀττικῶς.

Ταυτοεπεῖν, ταυτολογεῖν.

Ταυτολογία ἐστί, λέξεων παράλληλος θέσις, τὸ αὐτὸ σημαινουσῶν. οἷον, ὀξύς ἐστι καὶ ταχύς, ἀλλ' οὐ νωθὴς καὶ βραδύς.

Ταυτόν, ὅμοιον, παραπλήσιον. ταυτὸν μετὰ δοτικῆς συντάσσεται, ταυτὸν λέγε, μὴ τὸν αὐτόν. τὸ γὰρ ταυτόν, ὂν κατὰ συναλοιφήν, ταυτὸ γέγονε. γράφεται καὶ ταυτὸν καὶ ταυτὸ ἐπαγομένου τοῦ συμφώνου, καὶ ἐπαγομένου φωνήεντος, οἷον ταυτόν τι ποιεῖς, καὶ ταυτό τι ποιεῖς, καὶ ταυτὸν ἐποίησε, καὶ ταυτὸ ἐποίησεν. ὡσαύτως καὶ τὸ τοιοῦτόν τι λέγε, καὶ τοιοῦτό τι, καὶ τοιοῦτόν ἐστιν.

Ταυτότης ἐστὶν ἀπαραλλαξία, καθ' ἣν ὁ τοῦ σημαινομένου λόγος τῷ παντὶ κέκτηται ἴδιον μηδενὶ τρόπῳ διαφορᾶς γνωριζόμενον. ταυτότης, κατὰ τρεῖς τρόπους λαμβάνεται. ἔστι γὰρ ταυτὸν τῷ γένει. ὡς ὅταν εἴπωμεν, ταυτὸν εἶναι τῷ γένει τὸν ἄνθρωπον καὶ τὸν ἵππον, καθὸ ἀμφότερα ζῷά εἰσι. πάλιν, ἔστι ταυτὸν καὶ τῷ εἴδει, ὡς ὅταν εἴπωμεν τὸν Πέτρον καὶ τὸν Ἰωάννην, ταυτὸν εἶναι τῷ εἴδει, καθὸ ἀμφότερα ζῷά εἰσι.

Ταφεῖς, θεωροὶ θαυμαστοί, ἢ οἱ νεκροτάφοι.

Ταφῆες, κπεραῖαι, ἀγχιστεῖς.

Ταφήϊον, καθ' ὁμοιότητα παρῆκται τοῦ πολεμήϊον, ἤγουν κατὰ πλεονασμὸν τοῦ η, οὐ κατὰ διάλυσιν ὡς τὸ πρεσβήϊον.

Τάφιοι, λῃσταί. τοὺς ταφίους πρότερον τηλεβόας φασὶ καλεῖσθαι. κληθῆναι δὲ αὐτοὺς ταφίους, ἀπὸ Τάφου τινὸς βασιλέως. καὶ οὗτοι δὲ τὸ ἀνέκαθεν, Φοίνικες τῶν μετὰ Κάδμου σταλέντων.

Τάφος λέγεται καὶ δαίς, ἐπὶ νεκρῷ παρ' Ὁμήρῳ.

Τάφος οὐ κατά τινας ὁ μετὰ τὸ ταφῆναί τινα περίδειπνος, ἀλλ' ἁπλῶς ὁ ἐπὶ νεκρῷ. ἐπὶ γοῦν Πατρόκλου μήπω ταφέντος, τάφος τοιοῦτος γίνεται. ὃς πρὸς ἑσπέραν γενόμενος, καὶ δόρπος, ὑπὸ τοῦ Ποιητοῦ λέγεται. ὡς δηλοῖ τὸ δορπήσομεν ἐνθάδε πάντες. καὶ δόρπον ἐφωπλίσαντο ἕκαστοι. τὸ δ' αὐτὸ καὶ δαῖτα, καὶ ἀλλαχοῦ λέγει Ὅμηρος, οὐχ ἁπλῶς μέντοι, ἀλλὰ στυγερὰν, ὡς ἐπὶ νεκρῷ γενομένην, ὃς ἐκ στυγὸς κατὰ μῦθον ἄπεισιν. οἱ δὲ γλωσσογράφοι φασίν, ὅτι Κύπριοι καὶ τὸν φόνον τάφον καλοῦσιν. ἕτεροι δὲ καὶ τὴν ταφήν, τάφον λέγεσθαι οἴονται. ὡς καὶ τὴν χολήν, χόλον. οἷον τάφου μνῆμα, οἷον ταφῆς μνημόσυνον.

Τάφος, νῆσος μία τῶν ἐχινάδων νήσων. ὅθεν λησταὶ τάφιοι, κατὰ τοὺς παλαιούς. ἐλέγοντο δὲ οἱ αὐτοὶ καὶ τηλεβόαι. ἢ διότι λῃζόμενοι, τῆλε τὰς βόας ἀπῆγον. ἢ ὅτι οὐ τοῖς πλησιοχώροις μόνον, ἀλλὰ καὶ τοῖς τῆλε, καὶ μακρὰν οὖσιν ἤτοι μάχην συνιστῶν, ἢ καὶ ἀρίφωνοι, καὶ τῆλε τυγχάνουσι μακρὰν βοὴν ἐξιχνεύοντες. εἰς τούτους Ἀμφιτρύων ὁ πατὴρ τοῦ Ἡρακλέους ἐστράτευσε, λῃσαμένους βόας τῆς γυναικὸς Ἀλκμήνης, ἔχων συστρατευόμενον καί τινα κέφαλον ἄνδρα φυγάδα ἐξ Ἀθηνῶν, ἀφ' οὗ χρησιμεύσαντός τι ἐν τῷ τότε πολέμῳ, Κεφαλληνία ἐν δυσὶ λλ ἡ χώρα ἐκλήθη πρὸς διαστολήν, ἵνα τὸ ἐθνικὸν ὁ κεφαλλήν, ἔχῃ διαφορὰν πρὸς τὴν ἐν τῷ σώματι κεφαλήν. κεῖται δὲ ὁ κεφαλλὴν παρὰ Σοφοκλεῖ, ἐν τῷ ὦ ξεῖνε κεφαλλήν. ἦρχε δὲ τῆς Κεφαλληνίας ὁ Ὀδυσσεύς.

Τάφος ἡ νῆσος, ἔχει ὁμωνυμίαν πρὸς τὸ θάμβος, ὅπερ καὶ αὐτὸ τάφος λέγεται. ὡς τὸ τάφος δ' ἔλε πάντας, ἤγουν θάμβος καὶ ἔκπληξις. ἐξ οὗ καὶ τὸ ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς, ἤτοι ἐκπλαγείς.

Τάφρος, σημαίνει τὸ περὶ τὸ τεῖχος ὄρυγμα. ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον. * καὶ τάφρη, θηλυκὸν παρ' Ἡροδότῳ, ὀρύξαντες τάφρην εὐρεῖαν.

Ταφρεῦσαι, διορύξαι.

Ταφών, ἐκ τοῦ θάπτω θάψω. οὐ ὁ δεύτερος ἀόριστος ἔθαπον. καὶ ἀλλαγῇ τῶν δύο ἀφώνων εἰς τὰ αὐτῶν ἀντίστοιχα ἔταφον. ἐπί τε νεκρικῆς ταφῆς, καὶ ἐπὶ ἐκπλήξεως δὲ μεταφορικῶς. ὅθεν καὶ τάφος οὐ μνῆμα μόνον, ἀλλὰ καὶ ἔκπληξις. καὶ ἡ μετοχή, ταφών. ὥσπερ δὲ τὸ ἔθαπτον, ἀφ' οὗ τὸ τεθαπτέναι ἀφώνων ἐναλλαγὴν ὑπέσχεν εἰς τὰ ἀντιστοιχοῦντα. οὕτω καθὰ καὶ ἐτάρφθη δηλοῦται, καὶ ἄλλα εὑρίσκονται παρὰ τοῖς Ἴωσι. τὸ γοῦν ἐντεῦθεν, ἐνθεῦτε φασί. καὶ τὸν χιτῶνα, κιθῶνα, καὶ τὸν βάτραχον βάθρακον. οὕτω καὶ χύτρα κύθρα λέγεται.

Τάχα, ἀντὶ τοῦ ταχέως, Ποιηταί. οἱ δὲ Ῥήτορες, ταχέως, καὶ τάχιστα, καὶ ἐν τάχει. τὸ δὲ τάχα, ἀντὶ τοῦ ἴσως, καὶ ἀμφότεροι. ὅπερ καὶ μόνον τίθεται, καὶ μετὰ τοῦ ἴσως. ποτὲ καὶ μετὰ τοῦ τοῦ, τοῦ δηλοῦντος τὸ ἴσως ἐκ παραλλήλου. οἷον τάχ' ἂν γέγονε, καὶ τάχ' ἴσως. καὶ τάχα τοῦ, καὶ ἴσως τοῦ.

Τάχα. σημειοῦνται οἱ παλαιοὶ μηδέποτε παρὰ τῷ Ποιητῇ διστακτικῶς εὑρίσκεσθαι, ἀλλὰ ἀντὶ τοῦ ταχέως ἀεὶ παραλαμβάνεσθαι. γενόμενον κατὰ συγκοπήν, ὡς σαφέα σάφα, ἀντία ἄντα, λιγέα λίγα, ὠκέα ὦκα. οὕτω ταχέα τάχα.

Τάχα που, ἀντὶ τοῦ ἴσως, ἐκ παραλλήλου.

Τάχει, καὶ σὺν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ ταχέως, καὶ διὰ τάχους, καὶ διὰ ταχέων, ἐπὶ τοῦ αὐτοῦ.

Ταχή, βοή.

Ταχινοί, γοργοί.

Ταχίνης, λαγωός, καὶ ἔλαφος.

Τάχος ἦλθε, καὶ ταχὺ λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ ταχέως ἦλθε.

Ταχύ, καὶ βραδύ, καὶ διὰ ταχέως, καὶ διὰ βραδέως λέγουσιν Ἀττικοί. ἀντὶ τοῦ εἰπεῖν, ταχέως καὶ βραδέως.

Ταχυβάμονας ὅρκους, ἀντὶ τοῦ βραδεῖς. βέλτιον δὲ τοὺς ἐν ἔρωτι γινομένους. ἀβλαβεῖς γὰρ οἱ ἐπιορκήσαντες.

Ταχυπώλων, ταχεῖς ἵππους ἐχόντων.

Ταχύς, ταχύτερος, ταχύτατος. ταχὺς ταχίων τάχιστος. καὶ ταχὺς τάσσων, ταχὺς ταχύτερος ταχίων τάσσων καὶ θάσσων.

Ταχὺς ταχίων, τάσσων, καὶ θάσσων, πρὸς διαστολὴν τῆς τάσσων μετοχῆς, καὶ τὸ ἐπίρρημα. ἔτι δὲ καὶ τὸ οὐδέτερον θᾶσσον. ὁμοίως καὶ μακρὸς μακρίων μάσσων. καὶ βραδὺς βραδίων βράσσων. καὶ παχὺς παχίων πάσσων. καὶ ἐλαχύς, ἢ κατὰ Καλλίμαχον ἐλαχὸς ἐλαχίων ἐλάσσων.

Ταχύ, καὶ σὺν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ ταχέως, καὶ διὰ τάχους, καὶ διὰ ταχέων, ἐπὶ τοῦ αὐτοῦ.

Ταχύ, ἀντὶ τοῦ ταχέως, καὶ διὰ ταχέων, καὶ ὅτι τάχιστα, καὶ ὡς εἶχε τάχους καὶ ἐν τάχει, καὶ ὡς τὸ πολύ, καὶ ὡς τὸ ἐπὶ πολύ. καὶ ὡς ἐπὶ τὰ πολλά, πάντα ἀντὶ ἐπιρρήματος λαμβάνονται.

Ταχύς, καὶ ταχὺ οὐδέτερον. ποσαχῶς ἀποτελοῦσι τὰ εἰς σ ἀρσενικὰ οὐδέτερα; τετραχῶς. ἢ γὰρ ἀποβολῇ τοῦ σ γίνεται, ὡς ἐπὶ τοῦ ταχὺς ταχύ, φιλόπολις φιλόπολι, μέγας μέγα, ἢ τροπῇ τοῦ σ εἰς ν, ὡς καλὸς καλόν, σοφὸς σοφόν. ἢ κατὰ τροπὴν τοῦ σ εἰς ν, καὶ συστολῇ τοῦ α, ὡς μέλας μέλαν. ἢ κατὰ συστολὴν μόνον, ὡς τὸ ἀσεβὴς ἀσεβές, εὐγενὴς εὐγενές, καὶ ἀληθὴς ἀληθές.

Ταὼν πόθεν; παρὰ τὸ τείνειν τὴν οὐράν. τὸ γὰρ ζῷον ἐναβρυνόμενον τῷ ἑαυτοῦ κάλλει, τοῖς ὀρῶσι τὴν οὐρὰν ἐξαπλοῖ ἀποθαυμάζειν. τινὲς δὲ ἀπὸ τοῦ ταὸς βούλονται εἶναι, κατὰ πλεονασμὸν τοῦ ω, καὶ ἐναλλαγῇ τοῦ τόνου, ἀλλ' οὐκ ἔστιν· ἐπειδὴ τὸ ταώς, ὥς φησιν Ἡρωδιανός, διὰ τοῦ ω μικροῦ οὐκ ἔστι συνήθης τοῖς Ἕλλησι. καὶ λέγουσί τινες, ὅτι ὤφειλεν εἶναι ταώς, ὡς λαὸς λεώς.

Τάως, ταώς, Κρῆτες. καὶ δασέως τὸ ὄρνεον ταώς.

ΤΟ Τ. ΜΕΤΑ ΤΟΥ Ε.

Τε σύνδεσμος παρὰ μὲν τοῖς κοινοῖς, καὶ τοῖς Τραγικοῖς Ποιηταῖς, καὶ τοῖς Κωμικοῖς, οὔποτε περιττὸς τίθεται· παρὰ δὲ τοῖς τῷ ἡρωϊκῷ μέτρῳ χρωμένοις πολλάκις, ὡς παρὰ Ἡσιόδῳ, ὄντε διὰ βροτοὶ· καὶ παρ' Ὁμήρῳ πολλαχοῦ ἔστιν εὑρεῖν.

Τὲ σύνδεσμος, ἐγκλίνεται. οἷον καὶ ταῦτα περιπατοῦνται.

Τὲ ἀντὶ τοῦ σέ, λέγουσιν Αἰολεῖς καὶ Δωριεῖς. τέ, παρ' Ἴωσι πλεονάζει καὶ παρέλκει. Ἡρόδοτος, ἐπεί τε ἐγένετο ταῦτα, ἀντὶ τοῦ ἐπεί.

Τέγγει, βρέχει.

Τέγγεσθαι, εἴκειν, ἐνδιδόναι.

Τέγγω, τὸ βρέχω, καὶ διαβρέχω. πολλὴ δ' ἐπὶ κύματος ἀγῇ τέγγει πόδας.

Τεγγύρος, ὄρνεον ποιόν.

Τεγέα, πόλις Ἀρκαδίας.

Τεγέας γνώρισμα, ὁ Στράβων τοιοῦτόν φησι. Κεγχρεαὶ κεῖνται ἐπὶ τῇ ὁδῷ τῇ ἐκ Τεγέας εἰς Ἄργος, διὰ τοῦ Παρθενίου ὄρους. λέγει δὲ καὶ ὅτι ἡ Τεγέα μετρίως συμμένει. εὐδαίμων δὲ, ὁ Τεγεατικὸς τόπος. διὸ καὶ παροιμία ἐντεῦθεν, εὐδαίμων ὁ Κορίνθιος, ἐγὼ δὲ εἴην Τεγεάτης. τῷ μέντοι Γεωγράφῳ ἀρέσκει Τενεάτης, ἐνταῦθα γράφεσθαι. ἀπὸ Τενέας κώμης φησὶ Κορινθίας, ἐν ᾗ Τενεάτου Ἀπόλλωνος ἱερόν. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι Τενεάται ὅμοροι Κυπαρισσεῖς. ἀμφοτέρας δὲ τὰς χώρας ταύτας Καύκωνες κατεῖχον. καὶ ὅτι ἐν τῇ Λεπρεάτιδι, Καύκωνός ἐστι μνῆμα, καὶ ὅτι ἐν τῇ Δυμαίᾳ ποταμὸς Καύκων θηλυκῶς.

Τεγείδιον, κοσμάριον ποιὸν γυναικεῖον.

Τέγη, στέγη, οἴκημα.

Τέγνωσος, ἀκροατήριον, Κύπριοι.

Τεγέους. ὅρα ὅτι Ὅμηρος γυναικείους θαλάμους, οὐ μὴν καὶ τοὺς τῶν ἀνδρῶν ὠνόμασε τεγέους, κατὰ τὸ ἀνωγείους, ἐπεὶ τέγει ἑτέρῳ οἶκοι ἀναστάντας ὑπερῴους, πολυστέγους πολυορόφους, ἵνα μὴ διοδευομένων φασὶ κατοπτεύωνται αἱ γυναῖκες. γίνεται δὲ τὸ τέγεος, ἀπὸ τοῦ τέγος τέγεος, καὶ ἀποβολῇ τέγεος. ὡς τέλος τέλεος τέλεος. ὥσπερ δὲ μικρὸς σμικρός, οὕτω καὶ τέγος στέγος, ἐξ οὗ τὸ στέγω ῥῆμα. ἰστέον δέ, ὡς εἰ καὶ ἀπὸ τοῦ τέγους ὃ γίνεται ἀπὸ τοῦ τέγγω, παράγεται τὸ στέγος, ἀλλὰ ἐξ αὐτοῦ αὖθις ὁ ὅλος οἶκος παρονομάζεται, διὰ μέσου τοῦ στέγειν ῥήματος. ὡς ὑποδηλοῖ καὶ Εὐριπίδης, ἐν οἷς πάλιν λέγει, ὅτι ὄχλον στέγει δῆμος.

Τεγκτούς, χρηστούς.

Τέγξω, κατασκευάσω.

Τεγοῦν, Λυδοὶ τὸν λῃστήν.

Τεῖν, σοί.

Τεθαλυῖα, ἀπὸ τοῦ θάλλω, ὁ μέλλων θαλῶ, ὁ παρακείμενος τέθαλκα, ὁ μέσος τέθηλα. καὶ ἡ μετοχή, τεθηλώς, τὸ θηλυκὸν τεθηλυῖα· καὶ τεθαλυῖα κατὰ συστολὴν τοῦ η εἰς α.

Τεθαγμένοι, μεμεθυσμένοι.

Τεθάξαι, μεθύσαι.

Τεθαλῶτα, θάλλοντα.

Τεθέαμαι, ἑώραμαι, πεπείραμαι. ἰστέον δὲ ὡς ἡ δευτέρα συζυγία τῶν περισπωμένων, ἡ καθαρόν, ἢ μετὰ τοῦ ρ ἔχει τὸ α, ἀναγκαίως ἀεὶ τὸν παθητικὸν παρακείμενον δίχα τοῦ σ ἐκφέρει. ὡς δῆλον ἐν τοῖς ἄνω. μὴ ἔχουσα δὲ οὕτω, μετὰ τοῦ σ τοῦτον ποιεῖ, ὡς γεγέλασμαι, καὶ τὰ παραπλήσια. οὕτω καὶ τὸ ἐλήλαμαι ἐλήλασμαι ὄν, ὡς μήτε καθαρὸν ἔχον τὸ α, μήτε μετὰ τοῦ ρ, ἐκβολῇ τοῦ σ ἐλήλαμαι γέγονε. καὶ διὰ τοῦτο ἐπὶ τῆς μετοχῆς ἐνεβιβάσθη ὁ τόνος. ὥσπερ

οἱ ἐ-

οἱ ἀνηλημμένοι. καὶ ἐκ ἀληλεμμένος γράφοντες ἁμαρτάνουσι.

Τεθεληκέναι, ἀλεξανδρεωτικὸν τὸ ὄνομα. διὸ ἀφετέον Ἀλεξανδρεῦσι, καὶ Αἰγυπτίοις αὐτό, ἡμῖν δὲ ῥητέον, ἠθεληκέναι.

Τέθηλεν, ἐθαύμασεν, ἐνεφύη.

Τεθηλέμεθα, ἀνεφύημεν.

Τέθηλε, μέσος παρακείμενος, ἐκ τοῦ θάλω θαλῶ, τέθαλκα, ἄχρηστος. μέσος τέθηλα, εὔχρηστος. Ἡσίοδος, τοῖσι τέθηλε πόλις.

Τεθήπασιν, ἐξεπλάγησαν, ἐθαύμασαν.

Τεθηπότες, ἐπτοημένοι, δειλιάσαντες. τεθηπότες, μέσος παρακείμενος τοῦ θάπω. ὅπερ ἄγει οἶδε τοὺς συμπαθεῖς εἰς ἔκπληξιν. ἀφ' οὗ καὶ θάπος, καὶ Ἰωνικῇ ἐναλλαγῇ τῶν στοιχείων, τάφος, ἡ ἔκπληξις. καὶ θαπὼν μετοχὴ ἐνεργητικοῦ δευτέρου ἀορίστου. καὶ κατὰ ὁμοίαν ἐναλλαγὴν τῶν ἀφώνων, ταφών, ὁ ἐκπλαγείς. ὅτι δὲ Ἰώνων ἰδία ἡ τοιαύτη τῶν δασέων καὶ ψιλῶν ἀντιμεταχώρησις εἰς τὰ σύστοιχα, δηλοῦσι μὲν καὶ τὰ τοῦ γλυκέως Ἴωνος Ἡροδότου, τὸ ἐντεῦθεν, τὸ κιθών, τὸ βάθρακος, καὶ ἕτερα, οἷον ἀκάνθια, ἀχάντια. καὶ ἡ τοῦ κύθω δὲ λέοντι παρὰ τῷ Κωμικῷ, εἰς τοιοῦτον πίπτει ἰωνισμόν, εἴπερ ἀπὸ τοῦ κέχυται γίνεται, διὰ τὴν ἐκεῖθεν κατὰ φύσιν χύσιν. Ἰωνικῶς δὲ ἰδιωτικῶς καὶ τὸ ἐκ τῆς χύτρας σωπεθὲν μονόκυθρον. οὐ μακρὰν τούτων, οὐδὲ τὸ πάσχα ἐκ τοῦ φάσκα καλλιφωνηθέν.

Τεθήσεται, Ἡρακλέων, δακεθήσεται.

Τεθήσατο, ἐθηλάσατο.

Τέθιγεν, ἔψαυσε.

Τεθηγμένον, ἠκονημένον.

Τεθμὸς, ὁ νόμος, ἐκ τοῦ τέθειμαι τέθειται τέθειται, τεθμός.

Τεθναίην, ἐκ τοῦ τέθνημι, ὁ μέλλων θνήσω. ὁ δεύτερος ἀόριστος ἔθνην, ὡς ἔστην. ἡ μετοχὴ ὁ θνὰς τοῦ θνάντος, ὡς στὰς στάντος. τὸ εὐκτικὸν θναίην, ὡς σταίην, καὶ κατὰ ἀναδίπλωσιν τεθναίην. ὁμοίως τεθνάναι τὸ ἀπαρέμφατον ἐκ τοῦ τεθνηκέναι κατὰ συγκοπήν. ἔστι γὰρ τέθνακα ὡς ἕστακα.

Τεθνάκαμες παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ τεθνήκαμεν.

Τεθνάναι, τέθνημι, τὸ πληθυντικὸν τέθναμεν, καὶ τὸ ἀπαρέμφατον τεθνάναι. ἢ τέθνημι, ὁ παρατατικὸς ἐτέθνην. ἡ μετοχὴ τεθνὰς τεθνάντος, τὸ ἀπαρέμφατον τεθνάναι.

Τεθνᾶσι, χρᾶσιν ἔπαθεν, ὁποῖον καὶ τὸ βεβάασι βεβᾶσι, καὶ ἑστάασιν ἑστᾶσι.

Τέθνατε, κακονίζεται ὡς τέτλαθι.

Τέθνηκα, ἀπὸ τοῦ τέθνημι, πρώτης συζυγίας ὂν καὶ αὐτὸ τῶν εἰς μι. οὐ καὶ ὁ παρακείμενος τέθνηκα, ὡς τέθεικα, διὰ τῆς ει διφθόγγου, καὶ ἀποβολῇ τοῦ κ τέθνεια. ἐκ τούτου ἀποβολῇ τοῦ ι γίνεται τέθνεα, καὶ ὁ τεθνεώς. καὶ πάλιν τροπῇ τοῦ α εἰς η, γίνεται τεθνηὼς διὰ τοῦ η. καὶ ἔστι τὸ μὲν τεθνεὼς κοινόν, τὸ δὲ τεθνειώς, ποιητικὸν ἐκ τοῦ τέθνεια παρακειμένου.

Τεθνεώς, ἐκ τοῦ θνῶ θνήσω. ὁ παρακείμενος, τέθνηκα. ἡ μετοχὴ τεθνηκώς, καὶ συγκοπῇ τεθνηώς.

Τεθνῶτος, ἐκ τοῦ τεθνεὼς τεθνεῶτος, κατὰ συναλοιφήν.

Τεθολωμένον, μεμυρισμένον.

Τεθολωμένος, καὶ ἐπὶ χαρᾶς Φερεκράτης μύρμηκανθρώποις, γελῶντα καὶ χαίροντα, καὶ τεθολωμένον. καὶ ἐπὶ λύπης, ὑπὸ τῆς ἀνοίας ἀνεθολοῦτο δ' ἡ καρδία.

Τεθολώς, ἀνάπλεως, ἀμιξίας.

Τεθορεῖν, διαπηδῆσαι.

Τεθοωμένον, ὀξυμμένον. καὶ ἐθόωσα, ὤξυνα.

Τεθραύσμαι, συγκέκλασμαι, ἀπὸ τοῦ θραύω.

Τέθραπται, πέπηγε.

Τεθρᾶσθαι, ὀχεῦσθαι.

Τεθραυσμένος, πεπληγμένος.

Τεθρηδὼν, πορφύς.

Τεθριπποβάμων, ἡ στολωτὴ ὁρμὴ τοῦ ἅρματος.

Τέθριππον, τετράϊππον ἅρμα.

Τεθυιάς, ἀχαριστοῦσα.

Τεθυμένον, τὸ κεκαυμένον ὑπὸ πυρός.

Τεθυλλαμένον, πεφραγμένον ἀπὸ τῆς θυέλλης.

Τεθυμιασμένον, εὐῶδες.

Τεθυωμένον ἑανόν, παρ' Ὁμήρῳ ἐν τῷ ξ τῆς Ἰλιάδος, ὡς ἄν τις εἴπῃ, μεμυρωμένον, ἢ μεμυρισμένον. ἀπὸ τοῦ θύω τοῦ εὐωδῶ, οὗ μέμνηται καὶ ὁ περιηγητής. ἢ παρὰ τὸ θύος, ὃ ἐν τῇ ι ῥαψῳδίᾳ κεῖται. Ὅμηρος μὲν γὰρ μύρῳ μὲν χρῆσιν οἶδε, κλῆσιν δὲ ἀγνοεῖ. ὁποῖον δὲ τὸ βρένθειον, καὶ ἡ ξίρις, καὶ τὸ ἴρινον, καὶ τὸ ἀμαράκινον, καὶ τὸ ῥόδινον, καὶ τὸ μεγαλεῖον, προπεπισμένως κατὰ τοὺς παλαιούς. οἱ κατὰ τοὺς ἀκριβεστέρους προπαροξυτόνως, ἐν δυσὶ λλ, μετὰ τοῦ παραλήγοντος ἰῶτα.

Τέθωκε, τεθυμίαται.

Τεθωγμένοι, μεμεθυσμένοι.

Τεκελεθὴν, τὴν ἅμαξαν.

* Τεγισμὸς, ἀπὸ τῆς πόσεως τῆς γινομένης τῷ μορίῳ ὅτε ἔπονθεν, δι' ἣν καὶ ῥαθυμοῦμενοι σφοδρῶς ἀποπατεῖν, ἐξανίστανται συνεχῶς.

Τείνω, τὸ ἐξαπλῶ, αἰτιατικῇ συντάσσεται τείνω, τὸ τανύω. καὶ τείνειν, τὸ ἀφορᾶν. καὶ τείνειν, ἀντὶ τοῦ ἀποδιδόναι. τείνω τενῶ, τέτακα.

Τείνω, τὸ ἐξαπλῶ, διὰ διφθόγγου. τιταίνω τὸ αὐτό, ι συστέλλεται δὲ διὰ τὸν ἀναδιπλασιασμόν.

Τεινωδῶ, τὸ τραγῳδῶ.

Τεῖον, ποῖον, Κρῆτες.

Τείρω, ἔχει κινήσεις τινάς, καθὰ καὶ τὰ τείρεα, ὅπερ ἐστὶν ἄστρα. ἐκεῖθεν δὲ καὶ τὰ κατ' οἴκους τέραμνα, ὡς τηρόμενα εἰς γλυφήν, καθὰ δηλοῖ τὸ ἔγλυφα. καὶ ὁ τερηδών, τὸ ζωΰφιον, ὃ καὶ ξύλοις ἐμφύεται, καὶ ὀστοῖς. καὶ ὁ τέρην, οὗπερ οὐδέτερον μὲν τέρεν, ἢ δάκρυον, ἤ τι ἄλλο. θηλυκὸν δέ, τέρεινα. οἷον παρειαὶ μόσχων τέρειναι, σάρκες, ἤγουν ἁπαλαί. τὸ δὲ τείρειν στέρησις, ὥσπερ ἀτηρής, οὕτω καὶ ἀτέραμνον, ἤγουν δυσέψητον ὄσπριον, καὶ οὐ καὶ ἦθος ἀτέραμνον, τὸ ὠμὸν καὶ ἀνύπεικτον. καὶ ὕδατα δὲ ἀτέραμνα, τὰ πυκνοῦντα, καὶ οὕτω σκληροῦντα.

Τείρεα, τὰ ἄστρα. παρὰ τὸ εἴρω τὸ λέγω, εἴρεα, καὶ τείρεα, πλεονασμῷ τοῦ τ. καὶ γὰρ τὰ ἄστρα σημαίνουσί τινα σημεῖα. ἢ παρὰ τὸ τέρας, τὸ σημεῖον. σημαντικὰ γάρ ἐστι τῶν μελλόντων. ἢ παρὰ τὸ τείρω, τὸ καταπονῶ. πολλοὶ γὰρ ἐκ τῶν ἀστέρων κατεπόθησαν, καὶ γεγόνασιν ἀστρόβλητοι, ὥσπερ καὶ ἐμβρόντητοι. καὶ Τειρεσίας ὁ μάντις, παρὰ τὸ εἴρω τὸ λέγω, ἢ παρὰ τὸ τείρεα. πολλάκις γὰρ οἱ μάντεις ἐκ τῶν ἀστέρων τι λέγουσιν. ἢ παρὰ τὸ τείρεσθαι, οἱονεὶ ὁ καταπονούμενος ἐκ τῆς στερήσεως τῶν ὀφθαλμῶν. τυφλὸς γὰρ ἦν.

Τείρεται, καταπονεῖται, βλάπτεται. τείρω γὰρ τὸ δαμάζω.

Τέκεα, τέκνα.

Τειχηόεσσαν, καλὰ τείχη ἔχουσαν.

Τειχεσιπλῆτα, τινὲς διὰ τοῦ β γράφουσι. ἀμφοτέρων μία ἡ ἔννοια. ἔστι δὲ τειχεσιπλήτης μὲν ὡς ἄν τις εἴπῃ, πολιορκητής, ὁ τοῖς τείχεσι πελάζων ἐπὶ πορθήσει. τειχεσιβλήτης δέ, ὁ καταβάλλων τὰ τείχη.

Τειχομαχεῖ, πολιορκεῖ.

Τεῖχός ἐστι νοητόν, ἀπάθεια ψυχῆς λογικῆς, ἀπρόσιτος δαίμοσι.

Τεῖχος, κατὰ τὸν τοῖχον, ἐκ τοῦ τεύχω γίνεται τεῖχος οὐδετέρως, τὸ τῆς πόλεως. τοῖχος δὲ ἀρσενικῶς, ὁ τῆς οἰκίας, καὶ τὰ τειχία ὁμοίως.

Τεῖχος τειχίσαι, διαφέρει τοῦ πολίσαι. οὐ γὰρ πᾶς ὁ τειχίζων ἤδη καὶ πολίζει. διὸ Ἕλληνες μὲν τεῖχος ἐτυχήσαντο. Ποσειδῶν δὲ καὶ Ἀπόλλων, τεῖχος ἐπόλισαν ἥρῳ Λαομέδοντι.

Τειχοφύλαξ, ἥρως τις ἐν μυρρίνῃ.

Τέως, καθ' ὁμοιότητα ἐστὶ τοῦ ἕως ἕως. δηλοῖ δὲ τὸ ἐν τοσούτῳ, ἐν ὅσῳ.

Τέκεν, ἔτεκεν, ἐγέννησε.

Τεκέεσσι, τέκνοις, ἰδίοις.

Τεκμαίρομαι, παρ' Ὁμήρῳ εὕρηται ἀντὶ τοῦ τελειῶ, ἐκ τοῦ τέκμωρ, τὸ τέλος. οἶον πομπήν τεκμαίρομαι. τὸ τεκμαίρομαι, αἰτιατικῇ συντάσσεται. Λουκιανός, ἀπὸ τῆς κνίσσης τεκμαιρόμενος τὴν εὐδαιμονίαν, καὶ τεκμαίρεται παρ' Ἡσιόδῳ, ἀντὶ τοῦ βουλεύει. τεκμαίρω, σημαίνει τὸ κατασκευάζω, καὶ τὸ σημειοῦμαι.

Τεκμαίρεσθαι, ἀντὶ τοῦ σημειοῦσθαι. ἀφ' οὗ καὶ τέκμαρ, τὸ σημεῖον, ὡς οἱ μεθ' Ὅμηρον λέγουσι.

Τέκμαρ, πέρας, τέλος.

Τεκμήριόν ἐστι, σημεῖον ἄλυτον, ἀναμφίβολον. ὡς τὸ γάλα ἔχειν πολύ, τὸ τετοκέναι. εἰκὸς δὲ σημεῖον οὐκ ἀναμφίβολον. ὡς τό, νυκτὶ κλέπτην ἐφίστασθαι.

Τεκμήριόν ἐστιν, ἀπόδειξις ἀφανοῦς λόγου συλλογιστικός, ἀληθής. λόγος ἐμφανιστικὸς τῶν προγινωσκομένων.

Τεκμηριοῦσθαι, σκέπτεσθαι, φράζεσθαι.

Τέκμωρ, τέλος φανερόν, μαρτύριον, σημεῖον. τὰ δὲ εἰς ωρ λήγοντα ὀνόματα, οὐδέτερά εἰσι ταῦτα, ἔλωρ, τέκμωρ, ὕδωρ.

Τέκνον φίλε, παρ' Ὁμήρῳ Ἀττικῶς ἐσχημάτισται. δύναται τοῦτο καὶ διὰ στιγμῆς ὀρθοῦσθαι εἰς τὸ κοινότερον, ἵνα λέγῃ ὅτι τέκνον, ὦ φίλε.

Τεκνοῦσα, τέκνον ἔμβρυον ἔχουσα.

Τεκνώσει, εὔτεκνον ποιεῖ.

Τεκταίνεσθαι βουλήν, ἀπὸ τῶν τεκτόνων μετῆκται, ὡς τὸ βουλὰς ὑφαίνειν, ἀπὸ τῶν ἱστουργῶν.

Τεκταίνεται, ξύλα ἐργάζεται.

Τεκτήνατο, κατεσκευάσατο, οἶμαι ἐκ τοῦ τέκτων τεκταίνω. ὁ μέλλων τεκτανῶ, ὁ ἀόριστος ἐτέκτηνα. ὁ μέσος ἐτεκτηνάμην, ἐτεκτήνω ἐτεκτήνατο. καὶ Ἰωνικῶς, τεκτήνατο.

Τεκτονική ἐστι τέχνη περὶ ξύλα καταγινομένη, θρόνων ποιητική, καὶ πολλῶν ἄλλων.

Τέκτονος υἱὸν παρ' Ὁμήρῳ, οἱ μὲν ἀκριβέστεροι ἐπίθετόν φασιν. οἷον τέκτονος λεγομένου, καὶ τοῦ ναυπηγοῦ, ὡς δηλοῖ τὸ τεκτήνατο νῆας ἐΐσας. ὥστε εἶναι ἐνταῦθα δύο πρόσωπα, υἱὸν μὲν Φέρεκλον, πατέρα δὲ τὸν Ἁρμονίδην. τινὲς δὲ ἐνόησαν ὄνομα κύριον τὸ τέκτονα, καὶ τρία φασὶ πρόσωπα. ἵνα ὁ μὲν Φέρεκλος εἴη Τέκτονος υἱός. ὁ δὲ Τέκτων, υἱὸς τοῦ Ἅρμονος. καὶ ὅρα δὲ ὅπως οἰκεῖα ναυπηγοῖς τὰ ὀνόματα πλάττει, φερόμενα τὰ ξύλα, καὶ ὧν δὲ συναρμόττει αὐτά. οὕτω δὲ καὶ Δάρητά τινα ἔλεγεν ἱερέα.

Τέκτων δούρων, οἰκοδόμος, καὶ ναυπηγός. καὶ ἁπλῶς ἅπας ὁ ὁπωσοῦν διακείμενος περὶ σχίζην ξύλων.

Τέλα, σπεῦδε.

Τελαμὼν, ὁ λῶρος, ὁ ἀναφορεὺς τοῦ ξίφους, καὶ τῆς ἀσπίδος. ἀπὸ τοῦ τλῶ τὸ καρτερῶ, ὡς καρτερικὸς καὶ ἰσχυρὸς καὶ βασταχτικός.

Τελαμῶνας φησὶν ὁ Ποιητής, τοὺς ἀναφορεῖς ἐν τῷ σ τῆς Ἰλιάδος. εἰ δὲ ἀργύρεοι τῶν φασγάνων μαχαιρῶν οἱ ἀναφορεῖς, ὅμως ἱμάντας, καὶ οὕτω νοητέον αὐτούς, ἀναλόγως τῇ ὑποκειμένῃ τῆς ἀσπίδος ὕλῃ.

Τελαμώνιοι κόνδυλοι, οἱ προσδεόμενοι τοῦ τελαμῶνα, ἢ μεγάλοι, χαλεποί.

Τελαμὼν, ἀσπίδος. νῦν λῶρος πλατύς, δι' οὗ ἀσπὶς ἀνεφέρετο. διὸ καὶ ἀναφορεὺς ὁ αὐτὸς ἐλέγετο. λέγεται δὲ τελαμὼν ἀσπίδος, καὶ πρὸς διαστολὴν ἑτέρων ἐρρέθη, ὧν εἷς καὶ ὁ τοῦ ξίφους.

* Τελαμὼν, πόλις Τυρρηνίας, τὸ ἐθνικόν, Τελαμώνιος.

Τελάσσαι, τολμῆσαι, τλῆναι.

Τελεώτατον, ἐντελέστερον.

Γελγὴ, ὁ καλούμενος ῥωπὸς κακῶς. ἔστι γὰρ γελγή.

Τελαίνειν, κομιδῆς ἀξιοῦν.

Τελέθουσι, τελῶ, τὸ πράττω, καὶ τὸ ὑπάρχω. ἀφ' οὗ κατὰ παραγωγήν, τελέθω. ὡς ἀπὸ τοῦ νέμω νεμέθω, καὶ φλέγω φλεγέθω, καὶ θάλλω θαλέθω. ὀξύτονον τὸ θ εἰς τὸ τ, καὶ τὸ α εἰς τὸ η, καὶ γίνεται τηλέθω.

Τι-

Τέλεια, καὶ τέλη, τὰ ἀναλώματα, καὶ τὰ συνέδρια τῶν ἐν ἀρχῇ.

Τέλεια ἱερὰ, τὰ ἐνιαύσια. οἱ δὲ, τὰ εἰς ἡμέρας δέκα ὑπερβεβηκότα.

Τελείετο, ἢ ἐκ τοῦ τελῶ τελείω, ὡς χρῶ χρείω θῶ θείω. ἢ ἐκ τοῦ τελέω τελείω, ὡς σέω σείω. ἐτελειόμην, τὸ τρίτον ἐτελείετο, καὶ Ἰωνικῶς τελείετο.

Τελεῖν, τὸ τάττεσθαι, καὶ τὸ καταλέγεσθαι. τελεῖν, καὶ τὸ εἰσπράττειν, καὶ ἀπαιτεῖν. καὶ τελέσω, ἀντὶ τοῦ πράξω. καὶ τετελεσμένον, τὸ πεπραγμένον. καὶ συντέλεια, τὸ τέλος. καὶ συντελεστής, ὁ τελειῶν.

Τελεῖν, καὶ τὸ λαμβάνειν φόρους, καὶ τὸ διδόναι, καὶ τὸ πράττειν, καὶ τὸ ἑορτάζειν, καὶ τὸ καταλέγεσθαι, καὶ συναριθμεῖσθαι. καὶ τελεῖ εἰς τοὺς Ἕλληνας, ἀντὶ τοῦ Ἕλλην ἐστί. καὶ τελεῖ εἰς τοὺς Ῥωμαίους, ἀντὶ τοῦ Ῥωμαῖός ἐστι. τελεῖ εἰς τοὺς ἀστοὺς, ἀντὶ τοῦ ἀστός ἐστι. καὶ ὁ Βάρβαρος τελεῖ εἰς τοὺς Ἕλληνας, ἀντὶ τοῦ Ἕλλην ἐστί.

Τελεῖν, καὶ τὸ ἐπιτελεῖν, καὶ ἐκπληροῦν. τελεῖν, καὶ τὸ μυεῖν. ὅθεν καὶ τελεῖται. καὶ τελούμενος, ὁ τὰ ἄδυτα μυούμενος. ὡς καὶ παρὰ Δημοσθένει, σὺ μὲν ἐτέλεις, ἤτοι ἐπῳδὰς ᾖδες, ἐγὼ δ' ἐτελούμην.

Τέλειόν ἐστι, τὸ συμπληρούμενον τῷ ἰδίῳ λόγῳ τῆς φύσεως. ἀτελὲς δὲ, τὸ ἐναντίον.

Τελεῖν, ἀναλίσκειν. ὡς ἐν τῷ περὶ παθῶν δοκεῖ λέγειν παρὰ τῷ Ἱπποκράτει.

Τέλειοι, οἱ γεγαμηκότες.

Τέλειος, τελεσιουργὸς ὁ Ζεὺς, καὶ ὁλόκληρος.

Τελειώσεις, ἁγιάσεις.

Τελειῶ, ἀνύω, ἐπανύω, διανύω, ἀνύτω, ἀπεργάζομαι, περαίνω, τελευτῶ, ἀπαρτίζω, διαρτίζω.

Τελείων, οὐ μάτην ὁ Ποιητὴς προσέθετο. οὐδεμίαν γὰρ λέξιν εἰκῇ παραρρίπτειν οἶδεν, ἀλλ' ὅτι τοῖς θείοις ὡς τελείοις, προσάγειν χρὴ τέλεια. ἢ καὶ πρὸς ἀντιδιαστολὴν εἶπε τοῦτο τῶν ἀρνῶν οὐ τελείων ὄντων. ἀτελεῖς γὰρ οἱ ἄρνες εἰσί. ὁ μέντοι ἀρνειὸς, τέλειός ἐστι.

Τελενικίσαι, ἐν σκίφοις τὸ κενῶσαι, ἀπὸ Τελενίκου τινός. ὡς τὸ εἰκὸς πένητος παντελῶς. καὶ λέγεταί τις τελενίκιος ἠχὼ, ἐκ μεταφορᾶς ἀπὸ τῶν κενῶν ἀγγείων.

Τέλεον, τὸ τέλος καὶ πέρας.

Τελεστινὸν, τὸ ξηρὸν σῦκον.

Τελέσαι, δοῦναι.

Τέλεσαν δῶρα. Ὅμηρος, οὐκ ἔτι δῶρα τέλεσαν. δηλοῖ μὲν τὸ ἐτελείωσαν, εἰς τέλος ἤγαγον. γέγονε δὲ τοῖς ὕστερον ἀφορμὴ τοῦ εἰς φορολογικὴν λέξιν θεῖναι τὸ τελεῖν. οἷον ἐτέλεσεν ὁ δεῖνα τὸ δέτι.

Τελεσθῆναι, τὸ ἀναλωθῆναι. οὕτως Ἀντιφῶν.

Τελεσιαζόμενα, θυόμενα, καὶ τελούμενα.

Τελεσία, ἡ μετὰ ξίφους ὄρχησις. ἀπὸ τοῦ εὑρόντος Τελεσίου.

Τελέσιος ἡμέρα, ἡ ἐσχάτη.

Τελεσιουργεῖ, τὸ ἔργον εἰς πέρας ἄγει.

Τελεσφόρος, οὐ χρόνου ἐστὶν ἁπλῶς ἐπίθετον, ἀλλὰ ἐνιαυτοῦ. ὃς τὰ κατ' αὐτὸν πάντα εἰς τέλος ἄγει. λέγει δέ τις καὶ τὴν θείαν δίκην τελεσφόρον, διὰ τὸ αὐτῆς ἐνεργὸν, καὶ πρακτικὸν, καὶ ἐν πᾶσι διῆκον.

Τελεσφόρος, τέλειος μάντις, ἐγγαστρίμυθος.

Τελεθία, θυσία τις ἐν Λίνδῳ.

Τελεσφορεῖ, ἐντελῶς ἄγει.

Τελέσωμεν, πράξωμεν.

Τελεταὶ, ἑορταὶ, θυσίαι, μυστήρια.

Τελετὴ, θυσία μυστηριώδης.

Τελεῦντι, ἀντὶ τοῦ τελοῦσι, Δωρικῶς.

Τελευταιότατα λέγειν, ἁμάρτημα τῶν παρὰ παιδείαν δοκούντων συντάξειν. ἐπεὶ γὰρ ἀρχαιότατον ὅρον λεγόμενον παρὰ τοῖς ἀρχαίοις, ᾠήθησαν καὶ τοῦτο δεῖν. ἀλλὰ σὺ τελευταῖον λέγε.

Τελευτὴ, παρὰ τοῖς παλαιοῖς, τὸ τέλος τοῦ ἔργου, καὶ τελευτᾶν, τὸ εἰς τέλος ἀγαγεῖν. ἡ τελευτὴ, εἰ καὶ φανερῶς τὸ ἁπλῶς τέλος, ἀλλὰ συνδυασθὲν ποτὲ μετὰ ζωῆς, ἢ βιότου, ἢ βίου δηλοῖ τὸν θάνατον. Ἄλλως.

Τελευτὴ ἁπλῶς μὲν, τέλος παντὸς πράγματος. καὶ τελευτᾶν, τὸ πληροῦν. ἐπὶ δὲ θανάτου, χρεία προσθήκης. οἷον, τελευτὴ βίου, καὶ τελευτᾶν ζωήν. ὕστερον μέντοι ταῦτα κατά τι ἰδιάζον, δίχα προσθήκης ἐπὶ θανάτου κεῖνται, ὡς καὶ συμφορά. ἣν μὲν ὅτε χρηστὴν ἐδήλου φορὰν, ἤτοι ἀπόβασιν. ὡς τὸ ἐπὶ συμφοραῖς γεγηθός μοι ἕρπει, δάκρυον ὀμμάτων ἄπο. ἡ δὲ νεωτέρα χρῆσις, οὐ μέσως ἔχειν ἀφῆκε τὴν λέξιν, ἀλλ' ἐπὶ κακοῦ περιώρισε. συμφορὰν λέγουσα τὴν ἐπὶ οὐκ ἀγαθοῖς τύχην.

Τελευτήσῃς τε, καὶ ἔρξῃς παρ' Ὁμήρῳ, ἐκ παραλλήλου ταυτὸν δηλοῦσιν αἱ λέξεις. ἢ μᾶλλον τὸ σχῆμα ὑστερολογία ἐστὶν, ἤγουν πρωθύστερον. πρῶτον γὰρ τὸ ἔρξῃς· εἶτα τὸ τελευτήσῃς. ἔρξειν μὲν γὰρ τὸ ἁπλῶς πράξειν. τελευτήσειν δὲ, τὸ καὶ εἰς τέλος τὴν πρᾶξιν ἀγαγεῖν.

Τελευτῶ τὸ ἔργον. καὶ τελευτῶ, ἀντὶ τοῦ ἀποθνήσκω, ἐφ' ᾧ συνυπακούεται τὸν βίον. ἵνα ᾖ τελευτῶ τὸν βίον. τελευτῶ γὰρ λέγεται, καὶ τελευτῶ τὸν βίον. ὥσπερ καὶ καταστρέφω, καὶ καταστρέφω τὸν βίον. ἔστι δὲ τὸ τελευτᾶν καὶ τὸ καταστρέφειν, καὶ ἔτι τὸ μεταλλάττειν, καὶ ἀποψύχειν, τὰ αὐτά. δηλοῖ γὰρ τὸ ἀποθνήσκειν. ἢ τελευτῶ, ἀντὶ τοῦ τέλος λαμβάνω. τελευτῶ δὲ τὸ ἔργον, ἀντὶ τοῦ τελειῶ μεταβατικῶς. αἰτιατικῇ συντάσσεται.

Τελευτῶν ἐποίησα, καὶ τελευτῶντες ἐποιήσαμεν. ὡσαύτως ἐπὶ τῶν ἄλλων ἀριθμῶν, οἱ κοινοὶ τελευταῖον λέγουσι. τέλεος καὶ τελέως, ἐπίρρημα.

Τελευτήσας, ἀντὶ τοῦ καταντήσας.

Τελεῶ, δῶ, παρέχω.

Τελήεσσας, τέλειος κοινόν. τελήεις ποιητικόν. ἀπὸ τοῦ, τελόεις τελήεις, ὡς ἀπὸ τοῦ χρύσος χρυσόεις. καὶ τροπῇ τοῦ ο εἰς η, τελήεις. τὸ θηλυκὸν τελήεσσα. οὕτω γίνεται καὶ τὸ μεσήεις. ἀπὸ τοῦ μέσος γὰρ μεσόεις, καὶ τροπῇ τοῦ ο εἰς η μεσήεις.

Τεληέσσας ἑκατόμβας, τὰς ἐπιτελεστικὰς τῶν γινομένων εὐχῶν θυσίας, ἢ τῷ ἀριθμῷ πλήρεις.

Τέλθει, ἐν ᾠδῇ τέρπει.

Τέλθεια, ὀνείδη, καὶ πόλις, καὶ ἔθνη, τέλη, οὐσίαι.

Τέλθος, χρέος.

Τελισκόμενος, τελειούμενος, πληρούμενος, ἐν θυσιῶν.

Τέλλεται, κατὰ ἀφαίρεσίν ἐστι τοῦ σ ἀντὶ τοῦ στέλλεται.

Τέλλεται, ἐπιτελεῖ, φαίνεται, γίνεται, ἀνίεται.

Τελλίην, ὁ δεῖνα, Ταραντῖνοι.

Τελλὶς, ὅλον, τάξις, μέρος.

Τέλλον, ἐποίουν, ἔμελλον.

Τέλμα, τόπος πηλώδης ὕδωρ ἔχων. καὶ τέλματα, τὰ πηλώδη, καὶ τελευταῖα τοῦ ὕδατος, ἢ βάθρα. Ἰσαῖος δὲ εἶπε τὰ γεωργήσιμα χωρία. καὶ τελμῖνα καλεῖ, τὸν ἐκ τελμάτων πηλόν.

Τέλμασι παρὰ τῷ Ἀριστοφάνει εἴχετ' ἐν τοῖς τέλμασι, ἀντὶ τοῦ ἐν τοῖς φρέασι. κυρίως δὲ πηλῶδες, καὶ μὴ ἔχον ὕδωρ.

Τελμῖνος, μολύσματος, πηλώδους.

Τελμισσεῖς, ἔθνος περὶ Λυκίαν. ἢ Τελμισσεῖς κατά τινας, οἰκοῦσιν ἐν Καρίᾳ, ἀπέχοντες ἑξήκοντα σταδίους Ἁλικαρνασοῦ, ὡς Πολέμων. Τελμισσὸς δὲ πόλις ἐν Λυκίᾳ, ἀπὸ Τελμισσοῦ τοῦ Ἀπόλλωνος, καὶ μιᾶς τῶν Ἀντήνορος θυγατέρων.

Τελμὶς, ὁ ἐκ τῶν τελμάτων πηλός.

Τέλος, πολυσήμαντόν ἐστι. φασὶ γὰρ ἀνάλωμα, καὶ τάξις, καὶ ἀρχὴ, καὶ γάμος. καὶ ἐκ τοῦ δηλοῦντος μὲν τὸ ἀνάλωμα, γίνεται ἀτελῆ κατὰ Παυσανίαν, τὰ ἀδάπανα, ὡς καὶ πολυτελῆ, τὰ πολυδάπανα. ἐντεῦθεν δὲ καὶ εὐτελὴς, ὁ φειδωλός φασι, καὶ ὀλιγοδάπανος, ὡς πολυτελὴς ὁ πολυδάπανος ἐκ τοῦ σημαίνοντος. ἤδη δὲ καὶ ἀρχὴν, αἱ μυστικαὶ τελεταί. καὶ τὸ τελεῖσθαι, ἀντὶ τοῦ μυεῖσθαι, ἡ κατὰ ἀρετὴν τελειότης. καὶ οἱ κατὰ αὐτὴν τέλειοι. καὶ οἱ ἐν τέλει, τουτέστιν οἱ ἀρχικοί. καὶ τάσσοντες, ἤτοι κοσμήτορες. ὡς τὸ, τοῖς ἐν τέλει βεβῶσι πείσομαι. ἐκ δὲ τοῦ λοιποῦ τέλους, ὃ σημαίνει τὸν γάμον, τὰ προτέλεια, ὧν χρῆσις μὲν μόνη παρὰ Αἰλίῳ Διονυσίῳ, ἑρμηνεία παρὰ Παυσανίᾳ εἰπόντι, ὅτι προτέλεια, ἡ πρὸ τῶν γάμων θέα. ἴσως τὰ λεγόμενα θεώρετρα. ἐκεῖθεν δὲ καὶ τέλειοι, οἱ γεγαμηκότες. καὶ τελειωθῆναι, τὸ γῆμαι. δῆλον δὲ, ὅτι καὶ τὸ τοῦ παντὸς πράγματος πέρας, τέλος λέγεται. ἀφ' οὗ καὶ ἡ τελευτὴ, προσλαβοῦσα τὸ υ πρὸς διαφορὰν τῆς τελετῆς. καὶ τὸ τελευτᾶν ῥῆμα. ὡς τὸ, τελευτήσῃς τε καὶ ἔρξῃς. καὶ τὸ τελειοῦν. ὡς τὸ, τῇ νῦν ὁρμῇ τελειωθέν. καὶ τὸ τελήεν, καὶ ὁ ἐν τοῖς τοιούτοις τέλειος. καὶ ἡ συντέλεια, καὶ τὸ παντελὲς, ἤδη δὲ καὶ ἡ λυσιτέλεια. δοκεῖ δὲ ὑπὸ σεμνότητος λέξεως τοῦ τέλλειν τὸ τέλος γίνεσθαι. ὁποῖον ἂν ἐκεῖνο εἴποι τίς. προανατέλλει γάρ πως ἁπάσης πράξεως, ὁ κατὰ τὸ τέλος. καὶ αὐτοῦ ἕνεκα τὰ πρὸ αὐτοῦ. ἑξαχῶς δὲ τὸ τέλος εἴρηται παρὰ τοῖς παλαιοῖς. σημαίνει γὰρ τὸ στρατιωτικὸν σύνταγμα, καὶ τὸ τῶν πραγμάτων πέρας, καὶ τὴν ταῖς πόλεσι φοιτῶσαν πρόσοδον, καὶ τὸ ἀξίωμα. ὡς παρὰ Θουκυδίδῃ, καὶ Ξενοφῶντι. καὶ παρὰ Εὐριπίδῃ δὲ, ἐν τῷ, τοῖς τέλει βεβῶσι πείσομαι. δηλοῖ δὲ καὶ τὸ δαπάνημα. ὡς Εὐριπίδης, μάτην δ' εἰκὸς ὂν τὸ δ' ἐκβαίη τέλος. καὶ τὴν μυστικὴν, καὶ θυσίαν τελειοποιὸν ἑορτήν. ὅθεν καὶ ἡ τελετὴ λέγεται. καὶ τελεῖσθαι, τὸ μυεῖσθαι. καὶ τελούμενοι, οἱ τὰ μυστικὰ διδασκόμενοι. σύστοιχον δὲ τῇ τοιαύτῃ σημασίᾳ, καὶ τὸ δηλοῦν τὴν θυσίαν τέλος. οὗ χρῆσις καὶ παρὰ Σοφοκλεῖ. τέλος, καὶ τὸ πλήρωμα καὶ ἡ ἑορτή. καὶ ὁ διδόμενος τοῖς βασιλεῦσιν ἐτήσιος φόρος. ἀφ' οὗ συντέλεια, ἡ συνεισφορά. τέλη δὲ πληθυντικῶς, αἱ ἀρχαί. καὶ τέλος θανάτοιο, πρὸς διαστολὴν εἴρηται. οὐ γὰρ ἅπαν τέλος νεκρικόν ἐστιν. ἀλλὰ τοῦ θανάτου. ὥσπερ οὐδὲ πᾶσα τελευτὴ θάνατος, ἀλλὰ ἡ τοῦ βίου. τέλος γάμου, ὁ γάμος περιφραστικῶς, ἢ ἡ τεκνοποιΐα.

Τελοῦντα, τεταγμένον.

Τέλος ἐστὶ, τὸ τυχεῖν τοῦ σκοποῦ.

Τέλος ἐστὶ κατὰ Ἀριστοτέλην, οὗ ἕνεκα τὰ ἄλλα, αὐτὸ δὲ μηδενὸς ἕνεκεν. ἢ οὕτω, τέλος ἐστὶ, δι' ὃ τὰ ἄλλα, αὐτὸ δὲ διὰ μηθέν.

Τελοῦσιν, ἀντὶ τοῦ τελοῦνται. ἐνεργητικὸν ἀντὶ παθητικοῦ, παρὰ τοῖς Ποιηταῖς.

Τέλσας, στροφάς. τέλη, πέρατα.

Τέλσον, τέλος, καὶ ἔσχατον, παρὰ τῷ Ἱπποκράτει.

Τέλσον ἀρούρης Ἰλιάδος ν. παρὰ τὸ τέλλω, αἰολικὸς μέλλων τέλσω. ὡς κέλλω κέλσω.

Τελχὶν, οὐ μόνον ὁ ἰσχὺν ὑπὲρ ἄνθρωπον ἔχων μιαρὸς καὶ κακοῦργος, ἀλλὰ καὶ τοὺς νῦν Κρῆτας, καὶ τὴν Κρήτην Τελχινίαν λέγουσι. τελχὶν καὶ ἡ εἰς θάνατον καταφορά. καὶ τελχινώδης, ὁ τραχηλιώδης. καὶ τελχιταίνει, ἀντερείζει, σκληροτραχηλεῖ. λέγονται δὲ τελχῖνες, οἱ φθονεροὶ, καὶ πονηροί. καὶ βάσκανοι δαίμονες. παρὰ τὸ θέλγω τὸ ἀμαυρῶ καὶ σκοτίζω, θελγῖνές τινες ὄντες. ἢ παρὰ τὸ θέλγειν, καὶ ἀπατᾶν τοὺς ἀνθρώπους.

* Τελχὶς, πόλις Αἰθιοπίας πρὸς τῇ Λιβύῃ.

Τελῶ, τὸ ποιῶ, καὶ τὸ ὑπάρχω. ἀφ' οὗ κατὰ παραγωγὴν τελέθω, τελῶ, καὶ πράττω. ὁ κρείττων μετὰ τοῦ ἐκ, ἤγουν ἐκτελῶ.

Τέλωρ, πελώριον, μακρὸν, μέγα.

Τέμαχος κρέως, ἢ ἄρτου, ἢ πλακοῦντος. οὐκ εἴποις, ἀλλὰ τόμος. τὸ γὰρ τέμαχος, μόνον ἐπὶ ἰχθύων. Ἀριστοφάνης ἐν Πλούτῳ, πολύ τι χρῆμα τεμαχῶν, καὶ κρεῶν ὀπτωμένων. διὰ γὰρ τοῦ εἰπεῖν καὶ κρεῶν, ἐδήλωσεν ὅτι τὸ τεμαχῶν, ἐπὶ ἰχθύων λέγει. καὶ τεμάχη, τὰ κόμματα τῶν ἰχθύων, καὶ τέμαχος ἰχθύος. ἰδίως δὲ τεμαχίτας ἰχθῦς, τοὺς μεγάλους καὶ κατακοπτομένους.

Τεμένη, ναοὶ, ἱερά. ἢ τὰ ἀφωρισμένα κατὰ τιμὴν χωρία. παρὰ τὸ τέμνω τέμνος, καὶ πλεονασμῷ τοῦ ε, τέμενος, ὁ ἀποτετμημένος καὶ ἀποκεχωρισμένος τόπος τῶν θεῶν.

Τέμενος, γῆ ἀποτετμημένη τῶν πέριξ, κοινῶς μέντοι πᾶς τόπος, παρὰ τῷ ποιητῇ, ὃς τῶν ἄλλων ἀφώρισται.

Τέ-

Τέμενος, οἱ μεθ' Ὅμηρον ἐπὶ ναοῦ οἴδασιν. ὁ δὲ ποιητὴς, οὐδὲ ἱερὸν ἁπλῶς τόπον λέγει τὸ τέμενος, ἀλλὰ τὸν κατὰ ἀποτομὴν ὄντα τινός. καὶ τέμενος, ὁ ἀποκεκομμένος τόπος τινὶ, ἢ θεῷ, ἢ ἀνθρώπῳ.

Τέμενος τάμον, ἤγουν ἀφώρισαν εἰς κτῆσιν ἰδίαν ἔξοχον ἄλλων, ὡς ἀριστεῖον, Ὅμηρος.

Τέμενος, ἱερὸς τόπος ἀποτομὴν τῆς περιοχῆς ἔχων. οὗ μέρος βωμὸς, ἀφ' οὗ τὰ θυόμενα ἔθυον, διὸ θυόεις λέγεται. ἐπεὶ καὶ θύος τὸ θυόμενον. δῆλον δὲ, ὅτι οὐκ ἀεὶ παρὰ τῷ Ποιητῇ τὸ τέμενος ἱερῶται, ἀλλὰ τόπος ὁ ἀποτομὴν τῆς περιοχῆς ἔχων, ἐκαλεῖτο τέμενος.

Τεμένωρον, τεμένους φύλακα.

Τέμεσα, πόλις καλαυρὶς, ἀριστόχαλκος. περὶ ἧς φησιν Ὅμηρος, εἰς Τεμέσην κατὰ χαλκὸν, ἄγω δ' αἴθωνα σίδηρον. ταύτην δὲ καὶ οἱ Βάρβαροι καλαυροί τε καὶ ἕτεροι, τέμεσαν ἐπικαλοῦσι. Λυκόφρων δὲ ἐκάλεσε τάμασαν.

Τέμμειν, τυθῆν, τιμᾶν.

Τέμμαπα, στεφανώματα.

Τέμνει τὶς ἀμπέλους, ὁ κλαδεύων. ἐκτέμνει δὲ, ὁ ἀφανίζων.

Τέμνηξ, πόρρω.

Τέμνονται, ἀμέλγονται.

Τέμπη, τὰ μεταξὺ τῆς Θετταλίας ὀρῶν περὶ τὸν Ὄλυμπον, καὶ τὴν Ὄσσαν στενά. καθόλου δὲ καὶ ἐν πᾶσι τοῖς ὄρεσιν, αἱ γενόμεναι διαβολαί, ὡς Διονύσιος ὁ περιηγητὴς, τυμάτης παρὰ τέμπεα κέρνης. λέγει δὲ τὰς καταδύσεις καὶ φωλεύσεις τῶν ὀρῶν, τοὺς διύγρους τόπους. τέμπη καὶ τὰ στενὰ τῶν ὀρέων λέγεται, τέμπη καὶ τὰ μεταξὺ τῶν ὀρῶν στενώματα. οἱονεὶ τρέπη τινὰ ὄντα, τὰ μεταστροφὰς καὶ καμπὰς ἔχοντα.

Τεμπῦροι, ἀρχὴ ἐπιμελουμένη τῆς τῶν γυναικῶν ἀκοσμίας.

Τέμνω, μέλλων τεμῶ, παρακείμενος τετέμηκα, ἀλλὰ ἡμαρτημένος ἐστὶ παρακείμενος. τέμνειν τάμνειν λέγουσιν οἱ Ἴωνες, τέμνω τὸ κόπτω.

Τέναγος, νῆσος Τροίας.

Τέναγος, ὁ πηλώδης τόπος. κυρίως γῆ ἐπιπόλαιον ὕδωρ ἔχουσα, ἢ πηλῶδες ὕδωρ.

Τένει, ζῶναι.

Τέναρος, κακοῦργος, συκοφάντης.

Τένεα, κόρυζα.

Τένδειν ὅπερ ἐστὶν ἔδειν ἐσθίειν πλεονασμῷ τοῦ τ, κατὰ τὸ, τὸν ὂν πόδα τένδει, τὸν προτένθην ἐποίησεν, ὅ ἐστι προγεύστης. ὁ δὲ δέαξος παρὰ τὸ ἔδειν, οὐ μὴν ἀλέατρος. ἐκεῖνος γὰρ μάγειρός ἐστι παρὰ τοὺς ἐλαιοὺς, ὧν χρῆσις ἐν τῷ ἐν ἐλαιοῖσιν ἔχειν.

Τενέδιος ξυνήγορος, ὁ ἀπότομος καὶ σκληρός.

Τενέδιον βέλος, ἀντὶ τοῦ τενέδιος πέλεκυς. παροιμία δέ ἐστιν, ἐπὶ τῶν ἀποτόμως τι πραττόντων. ἔτι ἄρα τὸ πρᾶγμα τενεδίῳ πελέκει συνέκοψαν.

Τένεδος, νῆσός ἐστι πρὸ τῆς Τροίας κειμένη. οὔπω δὲ πρότερον τοῦτο εἶχε τὸ ὄνομα. Κύκνου γὰρ τοῦ Ποσειδῶνος Τέννης ἦν, καὶ Λευκοθέα παῖδες. καὶ ἡ μὲν μήτηρ αὐτῶν οὐκέτι ἦν. ἐπέγημε δὲ ὁ κύκνος φυλονόμην, ἢ ὡς ἔνιοι Πολύβοιαν. ἡ Φυλονόμη δὲ, καὶ γὰρ εἰς ἄνδρας ἐτέλει ἤδη ὁ Τέννης, ἐρασθεῖσα αὐτοῦ, λόγους περὶ συνουσίας ἠνέγκατο πρὸς αὐτόν. τοῦ δὲ τὰ πρὸς τὴν φύσιν δίκαια τηρήσαντος, κατηγορήσατο πρὸς τὸν πατέρα αὐτοῦ, ὅτι τεθελήκοι αὐτὴν βιάσασθαι. ὁ δὲ πιστεύσας τῇ κατηγορίᾳ, συλλαβὼν τὸν παῖδα ἐνέβαλεν εἰς λάρνακα, καὶ ἔρριψεν εἰς τὴν ὑποκειμένην θάλασσαν. ὃν διὰ σωφροσύνην, καὶ διὰ τὸ εἶναι ἔγγονον, ἔσωσεν ὁ Ποσειδῶν. τὴν γὰρ λάρνακα προσενεχθεῖσαν τῇ Λυκόφρυι νήσῳ ἐποίησεν. ἣν οἱ ἐπιχώριοι θεασάμενοι, καὶ ἀφελόντες τὸ ἐπίθεμα, μαθόντες τὸ γεγονὸς, οὐ μόνον ἑαυτῶν βασιλέα τὸν Τέννην κατεστήσαντο, ἀλλὰ καὶ ἀπ' αὐτοῦ Τένεδον τὴν νῆσον προσηγόρευσαν.

Τενεκοῦντι, ἐνοικοῦντι, Αἰολεῖς.

Τένης, παρὰ τὸ τείνω τὸ τανύω. ἢ παρὰ τὸ στένω τὸ στενάζω, τένης.

Τενθρηδὼν, ζῶον τῶν ἐντόμων καὶ κεντροφόρων, παραπλήσιον σφηκί. ἔνιοι ἀγρίαν μέλισσαν.

Τένθης, λίχνος. τένθειν γὰρ, τὸ ἐσθίειν.

Τενθρήνιον, κηρίον, ἢ πολὺ, καὶ κενόν, καὶ ἀραιόν.

Τενθῖνοι, λίθοι πλατεῖς.

Τένθαι, λωποδύται, μοιχοί.

Τένθης, γαστρίμαργος.

Τενίαι, ζῶναι, στέφανοι, ἢ δεσμοὶ, διαδήματα.

Τέννει, στένει, βρύχεται.

Τέννος, στέφανος ἐλαΐνος, ἐρίοις πλεγμένος.

Τένοντες, τὰ διατεταμένα νεῦρα ἀπὸ κεφαλῆς, ἕως τῶν ποδῶν, καὶ ἡ συνάφεια τῶν νευρίων.

Τενοντοσεῖς, νωτοσκοπεῖς, ἀποκτενεῖς.

Τένοντας, τραχήλους, τὰ διατεταμένα νεῦρα. ὁ τράχηλος μὲν τένων λέγεται, ἀπὸ τῆς τάσεως. αὐτὰ δὲ τὰ νεῦρα, ἀπὸ τοῦ τείνω.

Τένος, καὶ μύκονος, νῆσοί εἰσι τῶν Καλυδνῶν.

Τένων, τὸ ἐν τῷ τραχήλῳ νεῦρον.

* Τένοντες ἀπονευρώσεις.

Τεὸν, τὸ σὸν δωρικῶς. τροπῇ τοῦ σ εἰς τ, καὶ πλεονασμῷ τοῦ ε, τὸν τεὸν, τεὸ ἀντὶ τοῦ τίνος. τεὸν, ἐπὶ δευτέρου προσώπου, ἑὸν ἐπὶ τρίτου.

Τεὸς φθόγγος, ἡ σὴ φωνή.

Τεπτὰ, ἑπτά.

Τέρα, καὶ τερῶν, Ἀττικοί, ὡς κρέα κρεῶν. τέρατα δὲ καὶ τεράτων, ἁπλῶς Ἕλληνες.

Τέραμνα, τὰ ξύλινα στέγη λέγονται.

Τεραμένη, τρέμει, παρὰ τῷ Ἱπποκράτει.

Τέραμνος, κυψέλη.

Τέρας, ἐνίοτε σημεῖον δηλοῖ, ὡς παρ' Ὁμήρῳ. φράζεο δὴ Μενέλαέ φησιν, εἴτε ἡμῖν τόδ' ἔφηνε θεὸς τέρας, ἢ σοὶ αὐτῷ. τέρας τὸ σημεῖον εἰπών. οὐ γάρ τι παρὰ φύσιν ἐπράχθη, ἵνα καὶ τέρας εἴη ἐν τῷ ὁ τῆς Ὀδυσσείας.

Τέρας, ἐστὶ πρᾶγμα ἔκπληξιν ὑπὲρ τὸ θαῦμα τοῖς ὁρῶσι παρέχον.

Τερατοσκόπος, τερατουργὸς, μάντις, θαυματοποιός.

Τεράστιοι θεοὶ, ἐπὶ σημείῳ τεταγμένοι.

Τερατεία παρὰ τῷ Ἀριστοφάνει, ψευδολογία. καὶ τερατολογεῖν, ἀπίθανα διηγεῖσθαι. καὶ λέγειν πράγματα ἐπέκεινα τῶν ἀνθρωπίνων.

Τερατευόμενος, ψευδόμενος. καὶ μηδὲν ἀληθὲς, μηδ' ὑγιὲς λέγων, παρὰ τῷ Ἀριστοφάνει.

Τερατουργεῖ, παράδοξα ποιεῖ, ἢ τέρατα ἐργάζεται.

Τέρεινα, Λυκόφρων. καὶ Ἀπολλώνιος, τερείνης ἄνθεα γαίης ἔστι δὲ πόλις, ὅθεν Ἡρακλείδης ὁ τερειναῖος. τὸ δὲ τέρην γίνεται παρὰ τὸ τείρω, τὸ καταπονῶ. σημαίνει δὲ τὸν τρυφερὸν καὶ ἁπαλὸν, ἢ τὸν θερμόν. ὡς τὸ τέρεν κατὰ δάκρυ χέουσα. παρὰ τὸ θέρω θέρεν, καὶ τέρεν, τὸ ὥσπερ τεθερμασμένον, καὶ διακεχυμένον. καὶ τέρεν, τὸ ἁπαλὸν, παρὰ τὸ διακεχύσθαι, καὶ μὴ τραχὺ εἶναι.

Τερείνης, τῆς ἁπαλῆς, καὶ χλωρᾶς.

Τέρεν δάκρυ, τὸ ἐκτειρομένης ψυχῆς.

Τέρεν δάκρυον, τὸ ἐκ τειρομένης δηλαδὴ καρδίας. ἢ καὶ ἄλλως, τὸ τερενοποιὸν, ἤγουν μαλακτικὸν, τὸ μαλακοποιὸν δι' ἀνάπαυσιν. τέρεν τὸ ἁπαλὸν, ἐκ δὲ τούτου τὸ νέον.

Τέρενα χρόα, τέρενα λέγονται, τὰ ἁπαλά. κατὰ κοινωνίαν τοῦ τ πρὸς τὸ θ, οἷον θέρενα. τὰ γὰρ ἁπαλὰ εὐθέρμαντα, τὰ δὲ σκληρὰ, ἀτέραμνα.

Τέρεμνα, οἰκήματα.

Τέρεμνος, ἰσχυρός. ἢ στέρεμνος.

Τερετίσματα, ἢ τερετίματα, ᾠδαὶ ἁπαλαὶ, ἠχητικαὶ, ἢ μυρολογίαι ἠχημέναι.

Τέρετρον, ὃ δέλετρον. καὶ τέλετρον ἀσιανή τις γλῶσσά φησι παραφθείρουσα. ὠνοματοπεποίηται παρὰ τὸν ἦχον, τὸν ἐν τῷ τρυπᾶν ἀποτελούμενον. γίνεται δὲ ἀπὸ τοῦ τερῶ τερέσω τὸ τρυπῶ. ὃ καὶ μίμησιν ἔχει ἤχου, καθὰ καὶ τὸ τρῶ. οὐ παράγωγον, ὥσπερ τὸ τρύχω, οὕτω καὶ τὸ τρύω. ἐξ οὗ καὶ ἡ τρύμη, ἡ παρὰ τῷ Κωμικῷ. καὶ τρυμαλιὰ, ἡ ὀπὴ τῆς βελόνης, καὶ ζυγοῦ τρυπάνη. καὶ ἀτρυτώνη, Ἀθηνᾶ. καὶ τὸ τρυπᾶν. ἐκ δὲ τοῦ τοιούτου τρῶ, καὶ τρίβω, ὡς θλῶ θλίβω, καὶ τὸ τετραίνω, ὃ ἔργον ἐστὶ τῶν τερέτρων. τέτρηνε δὲ πάντα καὶ ἥρμοσεν ἀλλήλοις. ἔστι γὰρ τρῶ, ἐξ οὗ παράγωγον τὸ τρανὸς, καὶ τρανὲς, καὶ κατὰ ἀναδιπλασιασμὸν, τετραίνω, ὡς τρέμω τρεμαίνω. ἔοικε δὲ γίνεσθαι τὸ τρῶ, ἐκ τοῦ τείρω κατὰ συγκοπὴν, ἢ ἐκ τοῦ τορῶ, ἀπὸ δὲ τοῦ τοιούτου τρῶ, καὶ τρώγειν. ὅθεν ὁ τράγος, καὶ τορὸς λόγος, καὶ ὁ τεκτονικὸς τόρος, καὶ τὸ τορεύειν.

Τερετίζειν, καὶ τιττίζειν ἐπὶ τεττίγων. ἢ τερετίζειν, τοῖς μουσικοῖς χρηματίοντι κατήθισται τὸ λεγόμενον τέρεν. ἀφ' οὗ τερετίζειν λέγεται τὸ ᾄδειν, κατὰ ἀλλοίωσιν τοῦ α εἰς ε. καὶ τερετίσματα, ᾠδαὶ ἁπαλαὶ, ἢ ᾄσματα ἔκλυτα. ἀπὸ μεταφορᾶς τοῦ τέττιγος, ἢ τῆς ἀηδόνος.

Τερηδόνων, σηπεδόνων, ἢ σκωλήκων.

*Τερηδών ἐστιν ὅσου κατάτρησις ἀπὸ φθορᾶς, οἱονεί τις τρηδὼν οὖσα.

Τερθρεία, γοητεία, περιττάθεια.

Τέρθεται, ξηραίνεται, καίεται.

Τερθροὶ, οἱ εἰς τὸ κέρας τοῦ ἱστίου ἑκατέρωθεν δεδεμένοι, οἷς τὸ ἀρμενον ἕλκουσι.

Τέρθρον, ὁ λεγόμενος ἀρτέμων, ἔνιοι δὲ, τὸ ἄκρον τοῦ κέρως, καὶ στέγη οἰκίας. τινὲς δὲ τὸ ἔσχατον καὶ ὑψηλόν. ἢ τέρθρον σχοινίον τι τοῦ πλοίου λεπτὸν, οἷον τέρετρον. διατετρύπηται γὰρ κατὰ τῶν ἄκρων σινδόνων. τινὲς δέ φασι τὰ ἄνω τρυμμάτια τοῦ ἐπὶ τῷ ἱστῷ ὀργάνου, ἀφ' οὗ ἤρτηται τοῦ ἱστοῦ ἡ κεραία. ἐκ τούτου γίνεται τερθρεία, ἡ λεπτολογία. ἄλλοι δέ φασι τερθρείαν, τὴν φλυαρίαν, τὴν ἐν τοῖς δύο μέρεσι καλουμένην μάχην. σημαίνει δ' ἔτι καὶ τὴν ἀπάτην, καὶ περιεργίαν.

Τερθρωτὴρ, ὅπου ὁ πρωρεὺς προορᾷ τὰ ἐν τῇ θαλάσσῃ.

Τερίκαρπον, μεγαλόκαρπον.

Τερίμη, τάφρος.

Τερίνη, τετριμμένη. οἱ δὲ, τερπωλή.

Τέρμα, σημεῖον, τέλος ζωῆς, καμπτὴρ, ἔσχατον.

Τερματίζει, τελειοῖ, ὁρίζει.

Γερμάτων, τελευταίων.

Τέρμενθοι, οἱ τῷ τερμίνθου καρπῷ παραπλήσιοι, κατὰ τὸ δέρμα συνιστάμενοι παρὰ φύσιν ὄγκοι.

Τερμέρια κακὰ, τὰ μεγάλα.

Τέρμιοι, ἄστατοι.

Τερμιεὺς ὁ Ζεὺς, ὡς πάντων ἀρχὴ καὶ τέρμα.

Τερμινθὸς καὶ τέρμινθος, ἐμφερὲς λίνῳ φυτὸν· ἐξ οὗ πλέκειν φασὶν Ἀθηναίους ὁρμιὰς χρειώδεις εἰς τὰ πάντα, καὶ εἰς ἀλεξιφάρμακα.

Τερμιόεσσα, ἀπὸ τοῦ τερματίζουσα, οἷον μεγάλη καὶ τελεία.

Τερμιόεντα, ποδήρη καὶ εὔμετρον, τὸ μέχρι τῶν ποδῶν τερματιζόμενον.

Τέρμις, πούς.

Τέρμονα, φραγμὸν, τέλος.

Τέρακα, τοὺς κάκους τοῦ φυτοῦ τὸν καυλόν.

Τέρπεαι ἄλγεα πάσχων. παρὰ φύσιν λέγεται, πρὸς ἔνδειξιν τοῦ μεθήμονος. ὃς δέον ὂν λυπεῖσθαι, ἐφ' οἷς πάσχει, ὁ δὲ τέρπεται. τελχῶς ἀμελεῖ τις τοῦ συμφέροντος, κατὰ τὸν Ποιητήν. ἢ νήπιος ὢν, ὁ χαλίφρων, ἢ ἑκὼν μεθιείς. ἔστι δὲ νήπιος μὲν, ὁ ἔτι κατὰ παῖδα φρονῶν. χαλίφρων δὲ, ὁ μὴ παῖς μὲν, ἄλλως δὲ μὴ πυκνὸς, ἀλλὰ χαῦνος, καὶ τὰς φρένας κεχαλασμένος. ἑκὼν δὲ μεθιεὶς, ἤτοι μεθήμων, ἢ ἠμελημένος, καὶ ῥάθυμος.

Τέρπειν, οὐδέν τι ἄλλο ἐστὶν, ἢ τὸ ἐξ ἀθυμίας εἰς γλυκυθυμίαν μετατρέπειν, κατὰ μετάθεσιν ἀμεταβόλου. καὶ συντελεῖ αὐτὸ εἰς τὸ τερπικέραυνος, ἤγουν ὁ τρέπων κεραυνοῖς.

Τέρπεσθαι, μετάθεσίς ἐστι τοῦ ρ, παρὰ τὸ τρέπεσθαι, καὶ μετάγεσθαι τὴν ψυχὴν ἀπὸ τῶν βιωτικῶν φροντίδων, ἢ ἀπὸ τοῦ θεραπεύω τὸ τέρπω.

Τερπιάδης, Τερπίου υἱὸς ὁ φήμιος, πατρωνυμικῶς.

Τερπικέραυνος, ὁ τρέπων τοὺς ἐναντίους τῷ κεραυνῷ, κατὰ μετάθεσιν τοῦ ρ.

Τερπνὰ, ἡδέα.

Τερπνὸς, παρὰ τὸ τέρπω τερπὸς, καὶ πλεονασμῷ τοῦ ν, τερπνός. ἐκ δὲ τοῦ τερπνὸς, γίνεται τερπνότης. ἢ παρὰ τὸ τέρπειν τὸν νοῦν.

Τερπωλὴ, τέρψις.
Τερπώμεθα, τρεπώμεθα.
Τέρρατον, ἔσχατον, ἡδὺ, τερπνόν.
Τερρινὸν, τερμέρης.
Τερσαίνω, ἐκ τοῦ τέρσω. ὁμοίως τῷ ῥῶ ῥαίνω, καὶ τοῖς τοιούτοις. ἐκ τοῦ τείρω δὲ τέρσω, Αἰολικοῦ ἀναδραμόντος εἰς θέμα, γίνεται τέρσω. ἀφ' οὗ τὸ τερσαίνω. τείρεται γὰρ πᾶς τὸ ξηραινόμενον, καὶ ἥκει πρὸς κάκωσιν. ἐκ δὲ τοῦ τέρσω, δεύτερος ἀόριστος τὸ ἔταρσον, καὶ ἐξ αὐτοῦ ὁ ταρσὸς, καὶ ὁ ταῤῥὸς, καὶ πόλις Ταρσός.
Τερσαίνεσθαι, τὸ ἐν Ἡλίῳ ξηραίνεσθαι.
Τέρσεσθαι, τὸ ξηραίνεσθαι. καὶ τέρσω, τὸ ξηραίνω. ἐξ οὗ καὶ τερσαίνειν, καὶ τῶν τυροποιούντων ταρσὸς, καλαθίσκος, ἐν ᾧ ὁ τυρὸς τέρσεται. καὶ ὁ τοῦ ποδός. κατὰ δέ τινας, καὶ ἡ τῶν κυλίκων τερσός. ὅτι δὲ ὁ τῆς τυροποιίας ταρσὸς καὶ ταῤῥὰς λέγεται, κατὰ τὸ πυρσὸς καὶ πυῤῥὰς, δηλοῖ ὁ κωμικὸς ἐν τῷ, εἶτ' ἀπὸ ταῤῥοῦ τοὺς Θεοὺς ὑπερφρονεῖς.
Τέρτα, ἡ τρίτη.
Τέρυ, ἀσθενὲς, λεπτόν.
Τέρυες ἵπποι, οὕτω λέγονται, ὅσοι οὐδ' ὀλοφάγοι εἰσί.
Τερύνης, τετριμμένος ὄνος καὶ γέρων, ἢ δυσπαλαίλητος γέρων.
Τερίσκεται, νοσεῖ, φωνεῖ.
Τερίσκετο, ἐτείρετο.
Τέρφη, λέπυρα.
Τέρχνεα, φυτὰ νέα, ἢ ἐντάφια.
Τερψιμβρότου, τοῦ τοὺς βροτοὺς, ἤτοι τοὺς ἀνθρώπους τέρποντος.
Τέρψις, τερπνότης.
Τεσσαρακοστή ἐστι, σύμβολον καθαρισμοῦ τοῦ ἡμετέρου σώματος, εἰς παρασκευασίαν δοχῆς τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ. τάφος γὰρ τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ ἐστι, τὸ σῶμα τὸ λογικόν. ἡ δὲ ἀνάστασις αὐτοῦ, ζωὴ πάντων ἀνθρώπων.
Τέσσαρες τεσσάρων τέσσαρσι τέσσαρας, οἱ. καὶ αἱ. τέσσαρα τεσσάρων, τέσσαρσι τέσσαρα, τά.
Τεσσίχον, τὸ μικρόν.
Τεστηλῆι τε τύμβῳ, στήλῃ, τῷ τάφῳ.
Τέτα, λίαν. κάρτα.
Τεταγών. ταίζω ποιητικῶς. ἀπὸ τούτου γίνεται δεύτερος ἀόριστος, ἔταγον ἐν χρήσει. ὡς ἀπὸ τοῦ σφάζω τὸ ἐσφάγην, ἀφ' οὗ μετοχὴ, ταγών. καὶ κατὰ ἀναδιπλασιασμὸν, τεταγὼν, ἤγουν τείνας, ῥίψας. ταίζω γὰρ σημαίνει τὸ τείνω. μέλλων, ταίξω. ὁ μέσος παρακείμενος, τέταγα. ἀόριστος δεύτερος ἔταγον, καὶ κατὰ ἀναδιπλασιασμὸν, τέταγον. ἡ μετοχὴ, τεταγών. οἱ δὲ τεχνικοὶ ἐθάῤῥησαν εἰπεῖν, καὶ ὡς ἐκ τοῦ τῶ τὸ λαμβάνω γίνεται ταίζω, κατὰ παραγωγήν. ὡς φρῶ φράζω, ῥῶ ῥάζω, τὸ ῥαίνω. καὶ ἐξ αὐτοῦ τεταγὼν, κατὰ τὴν ῥηθεῖσαν ἐπιβολήν. ἵνα ἦ ποδὸς τεταγὼν, ἀντὶ τοῦ λαβὼν ἔῤῥιψεν. ἄλλοι δὲ τὸ τεταγὼν, ἀπὸ τοῦ τῶ ἀχρήστου. ἀφ' οὗ τὸ τέταμαι, καὶ ἐτάθην. κοινῶς μὲν τείνω καὶ τανύω, Ποιητικῶς δὲ ταίζω. ὡς ἀπὸ τοῦ χῶ ἀχρήστου, κοινῶς μὲν χωρῶ. ποιητικῶς δὲ, χάζομαι, τὸ ἀναχωρῶ. ἔστι δὲ τὸ ταίζω, κατὰ ποιητικὴν μὲν παραγωγὴν, ὅμως καὶ παρ' αὐτοῖς τοῖς Ποιηταῖς ἄχρηστον. ἀπὸ τούτου δὲ γίνεται β' ἀόριστος ἔταγον ἐν χρήσει. ἀφ' οὗ μετοχὴ, ταγὼν, καὶ τεταγών. οἱ τεχνικοὶ, ἐκ τοῦ τῶ τὸ λαμβάνω παράγουσιν. ὅθεν καὶ τὸ τῆ, ὅ ἐστι δέξαι, λάβε. τῶ γάρ φασι ῥῆμα. ὅθεν παράγωγον, ταίζω, ἐξ οὗ τεταγών.
Τέτακα, κεκέρδακα, τῆς πέμπτης συζυγίας. τέταγκα, καὶ κεκέρδαγκα, κατὰ τὴν ἀκολουθίαν ὀφείλονται εἶναι.
Τετακῶς, τετολμηκώς.
Τεταμένον, ἡπλωμένον.
Τέτανος, κονία, χρίσμα, ἄσβεστος.
Τετάνυστο, ἐκτέτατο, ἐπέκειτο.
Τεταργανωμένη, συμπεπλεγμένη, συνειλημμένη. ἡ γὰρ παρ' ἡμῖν σαργάνη, παρὰ Ἀττικοῖς ταργάνη καλεῖται.
Τετάργη, φασγάνων εἴδη.
Τετάργισο, ἐχορέυθη, ἐπλήσθη.
Τεταρπόμενοι, συνήθως γενικῇ συντέτακται παρὰ τῷ Ποιητῇ ληφθὲν, ἀντὶ τοῦ κορεσθέντες. ἢ καὶ ἄλλως κατὰ ἔλλειψιν. ἵνα λέγῃ, ὅτι τερφθέντες διὰ τοῦ φαγεῖν, καὶ πιεῖν. ἐκ περιττοῦ δὲ μετὰ τὸ τεταρπόμενοι κεῖται τὸ φίλον ἦτορ. Ὅμηρος ἐν τῷ ι.
Τετάρσωνται, πεπλάτυνται. ταρσὸς γὰρ πᾶν τὸ πεπλατυμένον, παρὰ τῷ Ἱπποκράτει.
Τεταρτημόριόν ἐστι, τὸ τέταρτον μέρος τοῦ ὀβολοῦ, τουτέστι χαλκοὶ δύο. ὁ γὰρ ὀβολὸς ὀκτὼ χαλκοῦς ἔχει. τριτημόριον δὲ, τοὺς ἓξ χαλκοῦς.
Τέταρτος, παρὰ τὸ τέσσαρας ἀριθμοὺς ἔχειν.
Τετάρτῳ, μέτρῳ τῶν ὑγρῶν.
Τέταρτον, ἥμισυ. τὸ τέταρτον, ἡμιστάτηρον.
Τετάχαται, ἐκ τοῦ τέτακται Ἰωνικῶς, τὸ δὲ τέτακται ἐκ τοῦ τάσσω ταίξω. καὶ τετεύχαται Ἰωνικῶς, ἐκ τοῦ τεύχω τεύξω, τέτευχα τέτευγμαι, τὸ τρίτον τέτευκται καὶ τετεύχαται.
Τέταχας, ἐτύπωσας, ἔδειξας.
Τετελεσμένος, ὁ τὰ θεῖα μεμυημένος.
Τετελεσμένον, ὅπερ ἀπὸ τοῦ κοινότερον λεγομένου πλείους γίνεται. ὅθεν καὶ τὸ τελεῖν οἱ μεθ' Ὅμηρον, ἱερὰν οἴδασι λέξιν, ὡς ἀπὸ τοῦ τέλους. ὅθεν ἡ τελετή. ἐξ οὗ τελεῖσθαι, τὸ μυεῖσθαι, καὶ οὕτως ἐντελέστατα ἔχειν. ἢ καὶ ἄλλως τελεῖσθαι, ὡς ἀπὸ τοῦ τέλλειν, ὅπερ ἐστὶν ἀνατέλλειν, καὶ ἡλίου ἀνατέλλοντος δίκην ὑπερῆρθαι τῶν κάτω, διὰ τὸ τετελέσθαι, ταυτὸν δὲ εἰπεῖν μεμυῆσθαι. τελεῖσθαι γοῦν τινες ἐλέγοντο Διονύσῳ, κατὰ τὰ ἐν τοῖς πάλαι φλύαρα μυστήρια. ἔτι δὲ καὶ Δήμητρι, καὶ Περσεφόνῃ. καὶ γοῦν καὶ παλλάδιον τετελεσμένον, κατὰ τοιαύτην σημασίαν ἐλέγοντο.
Τετελεσμένον, οὐ τὸ ἤδη τελεσθέν φησιν Ὅμηρος, ἀλλὰ τὸ τελεσθῆναι πεφυκὸς, καὶ δυνάμενον.
Τετέλεσται, γεγένηται. οἱ δὲ, γεγάμηκε.
Τέτευκται, κατεσκεύασται.
Τετεύξεται, ἀντὶ τοῦ γενήσεται. καὶ ἐκ τῶν ὁμοίων λαβόντες οἱ μεθ' Ὅμηρον ὠνόμασαν τὸν μετ' ὀλίγον μέλλοντα. ταυτὸν γὰρ τὸ μετ' ὀλίγον μέλλειν, καὶ τὸ ταχὺ τετεύξεσθαι.
Τετεύχατο Ἰωνικῶς φασι καὶ Ἀττικῶς. τοιαύτης δὲ σκευωρίας καὶ τὸ ἐπώχαται, ἀπὸ τοῦ ὦκται.
Τέτευχε τιμῆς, ἀδόκιμον λέγειν. τὸ δὲ τετύχηκε, δόκιμον. τὸ γὰρ τέτευχεν ἀντὶ τοῦ κατεσκεύαζέν ἐστι.
Τετεῦχθαι, ποιητικὸν, διαφορὰν πάνυ πολλὴν ἔχον, πρὸς τὸ τεῦξαι. αὐτὸ μὲν γὰρ κατασκευήν τινα δηλοῖ. τὸ δὲ τετεῦχθαι, ὅπλισιν.
Τέτηκα, μέσος παρακείμενος, ἐκ τοῦ τήκω.
Τετιημένος, ἦτορ ἤγουν τετιμωρημένος. λέξις ἐστὶ ποιητικὴ, ἀπὸ ἀῤῥήτου ἐνεστῶτος τοῦ τιῶ τιήσω. τοιοῦτον δὲ καὶ τὸ βεβιημένος, καὶ τὸ λελιημένος, ἀντὶ τοῦ ἐπιθυμῶν. τετιημένος δὲ ἦτορ, ὁ κατὰ ψυχὴν πάσχων, πρὸς διαστολὴν τοῦ κατὰ σῶμα.
Τετιημένοι, τεταλαιπωρημένοι. ἐκ τοῦ τιέω, τὸ λυπῶ καὶ τιμωρῶ, ὁ μέλλων τιήσω.
Τετιηότες, ἤγουν λελυπημένοι, τετιμωρημένοι.
Τετίησθον, ἤγουν τεταλαιπώρησθε, κατὰ τοὺς παλαιούς.
Τετιμένος, ἢ ἐκ τοῦ τετιμημένος συγκέκοπται, ἢ ἐκ τοῦ τίω τὸ τιμῶ.
Τέτλαθι, καρτέρησον, ὑπόμεινον. ἐκ τοῦ τλῶ τλῆμι, τὸ πληθυντικὸν τλᾶμεν. τὸ προστακτικὸν τλᾶθι, καὶ κατὰ ἀναδιπλασιασμὸν, τέτλαθι. ἢ ἐκ τοῦ τλῆθι γέγονεν, ἀναδιπλασιασμῷ καὶ συστολῇ τῆς παραληγούσης, τέτλαθι, ὑπόμεινον. τέτληκα παρακείμενος, καὶ ἐκβολῇ τοῦ κ τέτλαα. πᾶς γὰρ παρακείμενος διὰ τοῦ κ ἔχων τὴν λήγουσαν, καὶ μακρᾷ παραληγόμενος, εἰ ἀποβολὴν τοῦ κ ποιήσει, συστέλλει τὴν παραλήγουσαν. τὸ τρίτον τέτλαε. ἀφ' οὗ τὸ προστακτικὸν, τέτλαε, καὶ κατὰ μεταπλασμὸν τέτλαθι, ὡς δέδιθι. εἰ γὰρ ἀπὸ τοῦ τλῆθι ἐγένετο κατὰ ἀναδιπλασιασμὸν, εἶχε τὴν παραλήγουσαν μακράν.
Τέτλαθι τέκνον ἐμὸν, καὶ ἀνάσχεο κηδομένη περ. καὶ τὸ δῶρόν τοι καὶ ἐγὼ τέκνον φίλε δίδωμι. πολλάκις Ὅμηρος μέμνηται χάριν, ἐναλλάσσων τὸ γένος, ὡς ἐν τούτῳ. προτιθεὶς γὰρ οὐδέτερον, ἐπήνεγκεν ἀρσενικὸν τὸ φίλε. τῆς δ' αὐτῆς ἀναλογίας κἀκεῖνο ἔχεται. ἦλθε δ' ἐπὶ ψυχὴ θηβαίου Τειρεσίαο σκῆπτρον ἔχων. τὸ γὰρ ἔχων οὐ πρὸς τὴν ψυχὴν, ἀλλὰ πρὸς τὸ γένος τοῦ σώματος, τουτέστι πρὸς τὸν Τειρεσίαν ἥρμοσε. πολλάκις οὐ πρὸς τὸν λόγον, ἀλλὰ πρὸς τὸ σημαινόμενον ποιεῖται τὴν ἀπάντησιν. ὡς ἐν τούτῳ, πᾶσιν ὀρίνθη θυμός. ἐκίνηθεν δὲ φάλαγγες ἐλπόμεναι παρὰ ναῦσιν, ἀμύμονα Πηλείωνα. τὸ γὰρ ἐλπόμενοι οὐχ αἱ φάλαγγες, ἀλλ' οἱ ἄνδρες, ἐξ ὧν αἱ φάλαγγες γίνονται.
Τετλαίη. ἀναδιπλασιάζεται ὡς τεθναίη.
Τέτλαμεν, τοῦτο δύναται εἶναι καὶ συγκοπῇ καὶ κινήσει. βεβήκαμεν βέβαμεν, τετλήκαμεν τέτλαμεν. ἀξιοῖ Φιλόξενος εἶναί τι καὶ τέτλημι ῥῆμα περὶ παθῶν.
Τέτμης, εὕρης, καταλάβης.
Τέτορε. Ἡσίοδος, ἡ δὲ γυνὴ τέτορ' ἤβωοι, ἀντὶ τοῦ τέσσαρα. οὐδεὶς δὲ ἀπαιτήσει τὸ ἑνικὸν τοῦ τέτορε. τὸ τέτορε δὲ ἐστι δυϊκόν.
* Τετορήσω, ἀντὶ τοῦ σαφηνιῶ, ὅ ἐστι δηλώσω. τορῶς γὰρ σαφῶς, καὶ ἀληθῶς, ἢ ἀκριβῶς.
Τετραβάμων, τετράπους.
Τετραβαρῆ, πλίνθων καὶ πάγμα. Ἀλκαῖος.
Τετράγκων, ὄργανον πολεμικόν.
Τετράγυος, οὗ ἑκάστη τῶν τεσσάρων πλευρῶν γύην εἶχεν. ἵνα ἢ τετράπλεθρός φασι, τετράγωνος, ἰσόπλευρος. γύη δὲ ἢ γύης ἀρσενικὸν, μέτρον γῆς. οἱ δὲ παλαιοί φασιν, ὅτι γύη καὶ μέτρον γῆς, καὶ μέρος ἀρότρου. ὥστε ἀρσενικὸν ὁ γύης.
Τετράγυον, διάστημά τι ὅσον ἣν ἀροτριᾶν ἂν εἰκὸς δι' ἡμέρας τοὺς ἀγαθοὺς ἐργάτας, καὶ χρωμένους βουσὶν ὁμοίοις. ὁ δὲ παραφράσας τετράπλεθρον, ἡρμήνευσε τὸ τετράγυον.
Τετράγυον, τεσσάρων ὀργυιῶν. γύης δὲ μέτρον ἕκτον σταδίου. καὶ ἐν τῷ ἀρότρῳ τὸ κύρτωμα τοῦ ἰσοβοίως, γύης. ἔνιοι γύην, τὸ ὀργυιαῖον μέτρον.
Τετράγωνα βέλη, τὰ τέσσαρας γλωχῖνας ἔχοντα, παρὰ τῷ Ἱπποκράτει.
* Τετράγωνος, ἀσταθὴς, ἑδραῖος.
* Τετραδεῖον, τὸ ἐκ τεσσάρων συνεστώς. τετράδιον δὲ καὶ τετράδυον, ἐκ τοῦ δὶς, καὶ τέτταρα. καὶ ἐκ τοῦ δύο καὶ τέτταρα.
Τετραδισταὶ. σύνοδοι νέων συνήθων, κατὰ τετράδα γινομένη. * καὶ οἱ ἐπίπονον βίον διάγοντες ἀπὸ τοῦ Ἡρακλέους, ὃς τετετράδι γεννηθεὶς, πολλοὺς πόνους ἔτλη.
Τετράδυσιν, ἀηδόνα.
Τετράδων, ὀρνεόν τι. Ἀλκαῖος.
Τετραενὲς, ἀντὶ τοῦ τετραετὲς λέγουσι Δωριεῖς.
Τετραέλικτον ἅλμαν, ἤγουν τρικυμίαν.
Τετραελίκωπες, τέσσαρας ὀφθαλμοὺς ἔχουσαι ναῦς.
Τετραέλιξ, τετράκις περιειλημμένος, ἢ πολύελιξ, ἢ φυτόν τι.
Τετράζων, εἶδος χαλινοῦ.
Τετραθέλυμνον, ὅ ἐστι τετράπτυχον, τετράθετον σάκος.
Τετραῖον, ὀρνιθάριόν τι. Λάκωνες.
Τετρακίνη, ἡ ἀργία θρίδαξ.
Τετράκολος, τετράπους.
Τετρακτύς ἐστιν, ἣν καὶ ὅρκον οἱ Πυθαγόρειοι ποιοῦνται. καθὼς Εἰρηναῖος ἐν τοῖς κατὰ Οὐαλεντίνου ἔγραψε, βυθὸς καὶ σιγὴ, νοῦς καὶ ἀλήθεια. τινὲς δὲ τὰ τέσσαρα στοιχεῖα ὑπέλαβον λέγεσθαι ὑπὸ τῶν πυθαγορείων, τὴν τετρακτύν.
Τετράκωμος, μέλος τι σὺν ὀρχήσει πεποιημένον, εἰς ἡρακλέα ἐπινίκιον. ἐκαλοῦντο δὲ, τέσσαρες κῶμοι. Τέτραλον, τετράιππον.
Τετραμμέναι, ἀπεστραμμέναι, πρὸς αὐτοὺς τὰς ὄψεις ἔχουσαι.
Τετρανθίας, τετράγωνος, καὶ ἰσχυρός.
Τετράνθα, τετράγωνόν τι σχῆμα. δηλοῖ δὲ καὶ τοὺς τέσσαρας χαλκούς.

Digitized by Google

Τετράοροι, τέσσαρες ἐπὶ τοῦ τεθρίππου ὑπεζευγμένοι.

Τετραόρχαι, οἱ βασιλεῖς.

Τετραπιλυρίδες λέγονται παρ' Ἴωσιν, αἱ ἀκρίδες, παρὰ τὸ τέσσαρα ἔχειν πτερὰ, δύο μὲν ἔξω μείζω, ἐλάσσω δὲ ἔνδοθεν ἕτερα δύο.

Τετραποδισταὶ, οἱ ἐπίπονον βίον ζῶντες.

Τετραπτερυλλίδων, τῶν ἀκρίδων, παρὰ τὸ ἔχειν τέσσαρα πτερά.

Τέτραπτο πρὸς τὸ ἰθὺ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀντικρὺ ἵστατο, ἀντιπρόσωπος κατ' εὐθύ. οὐ μὴν ἀραξ, ὅ ἐστιν ἐκ πλαγίων.

Τέτραπται, ἔστραπται.

Τετραρχίαι. τεσσάρων μερῶν ὄντων τῆς Θετταλίας, ἕκαστον μέρος τετρὰς ἐκαλεῖτο. ὄνομα δέ φασιν εἶναι ταῖς τετράσι, Θετταλιῶτιν, Φθιῶτιν, Πελασγιῶτιν, καὶ Ἑστιῶτιν.

Τετράθρυφον, τὸ εἰς τέσσαρα κλάσματα τεμνόμενον. τρύφος γὰρ, τὸ κλάσμα.

Τετραφάληρον, ἐξηγητικόν ἐστι τοῦ ἀμφίφαλον. ἡ γὰρ ἀμφοτέρωθεν ἔχουσα φάλους, ἤγουν ἐκ δεξιῶν καὶ ἀριστερῶν, καὶ αὖθις ἔμπροσθεν καὶ ὄπισθεν, κατὰ μὲν δύο συζυγίας τὴν ἔμπροσθεν ὄπισθεν τὴν δεξιοαριστερὰν, λεχθείη ἂν ἀμφίφαλος. κατὰ δὲ τὴν καθ' ἕκαστον τετράδα, εἴη ἂν τετραφάληρος.

Τετραφάληρον, καὶ ἀμφίφαλον ἐξηγούμενοι οἱ παλαιοί φασιν, ὅτι φάλοι μὲν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι. φάλαρα δὲ, κρίκοι τινὲς τῆς περικεφαλαίας, ἐν ταῖς παραγναθίσιν, ὡς εἶναι διαφορὰν ταύτην φάλων καὶ φαλάρων. τινὲς μέντοι ταυτὰ ὑπέλαβον ἀμφότερα. ὡς εἶναι, τὸ τετραφάληρον, ἐξηγητικὸν τοῦ ἀμφίφαλον. ἡ γὰρ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχουσα τοιαῦτα, καὶ αὖ πάλιν ἐν τοῖς ἔμπροσθεν, καὶ ὄπισθεν, ἀμφίφαλος μὲν, ἤγουν δίφαλός ἐστι τῇ συζυγίᾳ, τετραφάληρος δὲ, τοῖς καθ' ἕν. ὅτι δὲ φάλαρα, καὶ ἵππων ἐστὶ κόσμος προμετωπίδιος, ὡμολόγηται, γινόμενος καὶ αὐτὸς ἀπὸ τοῦ φάω τὸ λάμπω. ὅθεν καὶ φάλιον, τὸ λευκόν. ἐξ οὗ ἵππος τις φάλιος, ὁ τὸ μέτωπόν φασιν ἔχων λευκόν. καὶ ἄνθρωπος φάλιος, οὗ περὶ τὸ μέτωπον τρίχες λευκαί. τινὲς δὲ καὶ ἄλλως περὶ τοῦ φάλου φράζοντες, ἀνάστημά φασιν αὐτὸν περικεφαλαίας προμετωπίδιον. καὶ ἀσπιδίσκιόν τι μικρὸν, καὶ λαμπρὸν, ἢ ἧλον λαμπρόν.

Τετράφαλος, ἡ ἔχουσα τέσσαρας φάλους ἢ φάληρα. φάληρα γὰρ, οὐ μόνον παραγναθίδες ἵππων καὶ χαλινὰ, ἀλλὰ καὶ τὰ ἐπὶ τῇ περικεφαλαίᾳ κόσμια.

Τετράφαται, ἐκ τοῦ τέτραπται τρίτου προσώπου τοῦ παρακειμένου, τροπῇ τοῦ π εἰς φ, καὶ προσθήκῃ Ἰωνικῶς, τετράφαται.

Τετράφθω, ἀναχωρείτω.

Τετράφυον, τετραπάλαιστον.

Τετραχηλισμένα, πεφανερωμένα.

Τετραχίζειν, ἐπὶ τετάρτῳ μέρει τι ποιεῖν.

Τέτραχμα, τετράδραχμα.

Τετράψομαι, εἰς ἐκεῖνο τραπήσομαι.

Τετράωροι, ἢ κατά τινας τετράορες ἵπποι, οἱ τέσσαρες ὁμοῦ συνεζευγμένοι. ἀείρω γὰρ, τὸ συζευγνύω. ὥσπερ αὖ ξυνωρὶς, δύο ἵππων σύζευξις, ξυνωρίς τις οὖσα. ἢ τετράωροι, ἀντὶ τοῦ τέσσαρες ὀρούοντες. οἱ δὲ τοιοῦτοι καὶ τετράσυροι λέγονται, παρὰ τὴν συρὰν, ἀφ' ἧς καὶ ἄσυρος ἵππος ὁ ἄδετος. καὶ παράσυρος, ὁ παρήορος. οἶδεν οὖν φασιν Ὅμηρος καὶ τὸ τέτρωρον, καθὰ καὶ πρὸ τέως τὸν κέλητα, εἰ καὶ μὴ ποιεῖ χρωμένους αὐτοῖς τοὺς ἥρωας. ἰστέον ὅτι τοῦ τετράορος πρωτότυπον τὸ ἄορ ἄορος. ὅθεν ἄορες, αἱ γυναῖκες. Ἡρόδοτος λέγει, ὅτι τέσσαρας ἵππους ζευγνύναι παρὰ Λιβύων Ἕλληνες μεμαθήκασι.

Τετριμμαίνω, δειλιῶ. Ἀριστοφάνης, τετριμμαίνω καὶ πεφόβημαι.

Τετριμαίνειν, κατὰ ἀναδιπλασιασμὸν ἀντὶ τοῦ φρίττειν, καὶ δεδιέναι. τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα, τῶν ἄγαν εὐλαβουμένων.

Τετρήγει. ταράττω, μέλλων ταράξω. ὁ παρακείμενος, τετάραχα. ὁ ὑπερσυντέλικος, ἐτεταράχειν. ὁ μέσος ἐτεταράγειν, ἀφαιρέσει τετεταράγει. καὶ συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς η. τετρήγει.

Τετρημένος, τὴν ψυχὴν τετιμωρημένος, ἐκπεπληγμένος, ἢ συγκεχυμένος.

Τετρήνας λύχνους. Λυκόφρων, διατρυπήσας.

Τέτρηνεν, ἐτρύπησεν.

Τετρήχει, ἀπὸ τοῦ τραχὺς τραχύνομαι κοινῶς. λέγεται δὲ ἐπὶ θαλάττης κυρίως, ὅταν τοῖς κύμασιν ἀπὸ τῶν ἀνέμων ἐγείρῃ, καὶ ἀνώμαλος γένηται. ποιητικῶς δὲ τρήχω. ἀφ' οὗ τὸ τετρήχει ἐπὶ ὑπερσυντελίκου, ἀντὶ τοῦ ἐτετάρακτο ἁπλῶς, κατὰ μεταφορὰν παρ' Ὁμήρῳ. ἢ τετρήχει, κατὰ ὀνοματοποιίαν τοῦ τετάρακτο, ἢ τετρήχαντο, ἀπὸ τοῦ τετάραχε συγκοπῇ, καὶ τροπῇ τοῦ α εἰς η.

Τετρηχὼς, ὁ δεδαμασμένος, τετρηχότος, τραχυνομένου, καὶ σφοδροῦ ὄντος.

Τετρηχυῖα ἀγορὰ, ἤγουν ταραχώδης. τοιαύτη γὰρ ἡ δημοτικὴ ἄθροισις.

Τετρηχυῖα ἀγορὴ, ἡ ὑπὸ τοῦ θορύβου τεταραγμένη. ἐκ τοῦ ταράττω ταράξω, τετάραχα. καὶ συγκοπῇ καὶ τροπῇ τέτρηχα, καὶ ἡ μετοχὴ ὁ τετρηχὼς, ἡ τετρηχυῖα, τὸ τετρηχός.

Τετρίγει, ὠνοματοπεποίηται, καθὰ ἐπὶ τῶν συμμάχων ὁ χρόμαδος. ὡς δὲ καὶ χιὼν τετριγέναι λέγεται πατουμένη, δῆλόν ἐστι. τέτριγε δὲ καὶ ὀδόντας ὁ θυμομαχής. ἀεὶ δὲ ζυγὸς ποτὶ τρίζει. ἀλλ' Ὁμήρῳ ἔδοξε τὸ κρίγειν, ἐν τοῖς ἑξῆς εἰπεῖν ἐπ' αὐτῷ. ὡς δὲ καὶ διαφορὰ τίς ἐστι τοῦ τρίζειν, ὃ καὶ ἐπὶ μυῶν καὶ νυκτερίδων λέγεται, καὶ τοῦ ἑτέρου τρύζειν, ὅθεν ἡ τρυγών.

Τετριγῶτας, μίμησίς ἐστι φωνῆς τῶν νεοττῶν, ἥτις ἁπαλωτέρα τοῦ τρίζειν ἐστίν. ἀφ' οὗ γίνεται ἡ τρυγών. τελειότερον δέ φασι τοῦ τετριγέναι τὸ ἰαχεῖν. ὅθεν τὰ μὲν νήπια τετριγῶτα. Ζηνόδοτος μέντοι φησὶν ἀντὶ τοῦ τετριγῶτας, τιτίζοντας γράφει. οὐ κρίνας αὐτὸ τοῦ τετριγέναι καιριώτερον. καί τοι φασὶν οἱ παλαιοὶ, ὅτι ἁπλῶς μὲν τιτίζουσιν οἱ νεοσσοὶ, κατεσθιόμενοι δὲ τρίζουσιν. ἔστι δὲ τρίζειν, τὸ λεπτὸν ἠχεῖν κατὰ τὰς νυκτερίδας, αἳ καὶ αὐταὶ τρίζειν λέγονται. Ἄλλως.

Τετριγῶτας, ποιὰ φωνή. ἰστέον ὅτι τὰς εἰς ως μετοχὰς τῶν παρακειμένων οἱ μὲν κοινοὶ ἀεὶ διὰ τοῦ ο μικροῦ κλίνουσιν. οἱ δὲ Ποιηταὶ ἐνίοτε μὲν διὰ τοῦ ω μεγάλου, ἐνίοτε δὲ διὰ τοῦ ο μικροῦ, πρὸς τὴν χρείαν τοῦ μέτρου. λέγει ἔτι Ὅμηρος καὶ ψυχὰς τετριγυίας, καὶ στρουθοὺς τετριγῶτας.

Τετριγυῖα, τετρωμένη, τρίζουσα.

Τετρικότεσσι, κεκοπωκόσι.

Τετριμμένη, πεπατημένη ὁδός.

Τετριμμένον, λεπτὸν, διεφθαρμένον.

Τέτρομος, τρόμος ῥιγώδης. παρὰ τῷ Ἱπποκράτει.

Τετροπωμένους, νενικημένους.

Τέτροφεν, ὀρθῶς καὶ τῷ ο παραλήγεται, καὶ τὸ φ σύμφωνον ἔχει, ὡς μέσος παρακείμενος, ἐκ τοῦ τρέφω γινόμενος. τὸ μέντοι κέκλοφα, τῷ μὲν ο εὐλόγως παραλήγεται, ὡς ἀπὸ δισυλλάβου μέλλοντος τοῦ κλέψω, οὗ τὸ τῆς παραληγούσης ε ὀφείλει τρέψειν αὐτὸ εἰς ο. τὸ δὲ φ οὐκ ἀναλόγως ἔχει. ὤφειλε γὰρ κέκλοπα εἶναι, κατὰ τὸ σύμφωνον τοῦ ἐνεστῶτος. ἔοικε δὲ συνδραμεῖν καὶ αὐτὸ πρὸς τὸ τέτροφα, καὶ τὸ κέκλοφα, ὃ ἀμφοτέρως λέγεται, ὡς δηλοῖ τὸ κεκλοπώς. καὶ γὰρ κέκλοφά ἐστι καὶ κέκλοπα.

Τετρυμμένα, ἀντὶ τοῦ καταπεπονημένα ὑπὸ τοῦ καμάτου, παρὰ τῷ Ἀπολλωνίῳ.

Τετρυφάλεια, περικεφαλαία.

Τετρυχημένος. ἔστι ῥῆμα τρύχω. ἐξ οὗ τρυχῶ περισπώμενον συζυγίας τρίτης, τρυχώσω, τετρύχωμαι τετρυχωμένος.

Τετρωμένη, πληγεῖσα.

Τετρυωμένος, τετρυχωμένος, δεδαπανημένος ἐν κακοῖς.

Τετρώβολον, πολυτίμητον. οὕτω γὰρ λέγουσι, τὸ τετρωβόλου πωλούμενον.

Τέτρωρον, παρὰ τὸ ἀρηρέναι καὶ ἡρμόσθαι τοῖς ἵπποις ἑαυτῷ.

Τέττα, προσφώνησίς ἐστι φιλεταιρικὴ νέου πρὸς μείζονα, ἀμετάφραστος κατὰ τοὺς παλαιοὺς, καὶ ἀμετάληπτος, ἤγουν μὴ ἔχουσα εἰς ἑτέραν λέξιν μεταλαμβάνεσθαι. οἱ δέ φασιν ὅτι, ὥσπερ βάττω βαττίζω βάττης, οὕτω τέττω τεττίζω τέττης, καὶ ἡ κλητικὴ τέττα. τὸ δὲ τεττίζω, γράφει Ζηνόδοτος, ἐν τῷ τὰς ἐλεεινὰ κατέσθιε τεττίζοντας. τινὲς δὲ σχετλιαστικὸν νοοῦσι τὸ τέττα, ἀποκοπὴν ἀπὸ τοῦ τέτλαθι.

Τέττιγες. Ὅμηρος παραβολικῶς ἐκ τῶν τεττίγων τοὺς τρωϊκοὺς ἐτίμησε ῥήτορας. οἱ δὲ ὕστερον Ἀθηναῖοι πραγματικῶς τέττιξιν ἐσέμνυνον ἑαυτοὺς τεττιγοφόροι ὄντες. τέττιγι γὰρ χρυσῷ ἐχρῶντο κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν. ὡς ὁ Θουκυδίδης φησὶν, εἰς σύμβολον τοῦ γηγενεῖς εἶναι. δῆλον δὲ ὅτι, οἱ τέττιγες ἀναίμονοι, καὶ ψυχροὶ τὴν κρᾶσιν, καθὰ καὶ οἱ γέροντες. καὶ ᾠδικοὶ δὲ καθὰ καὶ οἱ ἀγορηταί. διὸ παρ' Ὁμήρῳ πρὸς μόνην συνέχειαν λαλιᾶς, καὶ ῥοῖζον ἀπηχῆ, καὶ λειρίαν ἠχὼ καὶ φωνῆς πρόσωπον εἴληπται ἡ ποιητικὴ παραβολή.

Τεττίγων ἀνάμεστα. ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν, ὥσπερ τοὺς κρωβύλους. Ἄλλως. οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον. διότι οἱ τέττιγες μουσικοὶ ὄντες ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει.

Τεττιγοφόρος. ἔθος ἦν τοῖς Ἀθηναίοις τὸ πάλαι, τέττιξι χρυσοῖς ἀναδεῖσθαι τὴν κόμην. ὡς Θουκυδίδης.

Τέττιξ, μουσικώτατον ζῶον. παρὰ τὸ τερετίζω, τὸ μουσικῶς φωνῶ, τερέτιξ καὶ συγκοπῇ, τέττιξ. ἢ παρὰ τὸ τάττω τάζω, τάττιξ, ὁ τεταγμένον ἔχων καιρὸν ἐν τῷ ᾄδειν.

Τέττορε. Ἡσίοδος, ἡ δὲ γυνὴ, τέττορ' ἡβώοι, ἀντὶ τοῦ τέσσαρα. οὐδεὶς δὲ ἀπαιτήσει τὸ ἑνικὸν τοῦ τέττορε. τὸ τέττορε, ἐστὶ δυϊκόν.

Τετυγμένον δέπας, ἤγουν εὔτυκτον. καὶ τετυγμένα, πεποιημένα.

Τετυχεῖν, χρήσιμον μὲν εἰς μόνον μέλλον. γίνεται δὲ ὅθεν καὶ τὸ τετύκοντο. καὶ ἔστι δευτέρου μέλλοντος ἀπαρέμφατον τοῦ τύχω, ἢ τετύχω Ἰωνικῶς. ἢ μᾶλλον ἐκ τοῦ τεύχω, γίνεται τύχειν, καὶ ἀναδιπλασιασμῷ καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν κατὰ Ἴωνας, τετυχεῖν.

Τέτυκται, κατεσκεύασται.

Τετύκοντο, τεύχω ἐνεστὼς, ἔτευχον παρατατικὸς, τεύξω μέλλων, τέτευχα παρακείμενος, ἔτευξα ἀόριστος πρῶτος, ἔτυχον δεύτερος ἀόριστος, ἐφ' ἑτέρας σημασίας. ἐτυκόμην δὲ ποιητικῶς, ἐπὶ τῆς τοιαύτης σημασίας, καὶ κατὰ ἀναδιπλασιασμὸν, ἐτετυκόμην. τὸ τρίτον τῶν πληθυντικῶν, ἐτετύκοντο, καὶ τετύκοντο. αἱ ἀναδιπλώσεις τῶν δευτέρων ἀορίστων, Ἰώνων εἰσί. παρακείμενος παθητικὸς, τέτευγμαι, καὶ ἐκβολῇ τοῦ ε τέτυγμαι, ἐτετύγμην ὑπερσυντέλικος, ἐτύχην ἀόριστος, καὶ ταῦτά εἰσι ποιητικά. κοινὰ δὲ ἐν τῇ σημασίᾳ τοῦ ἔτυχον. τυγχάνω ἐνεστὼς, ἐτύγχανον παρατατικὸς, τεύξομαι μέλλων, ἔτυχον ἀόριστος, τετύχηκα παρακείμενος. ἐξ οὗ τυχίζω, τὸ κτίζω. καὶ τύκιον, ἐργαλεῖον οἰκοδομικόν.

Τετύλωται, ἐμπέφρακται.

Τετυρωμένον, συγκείμενον ἀπὸ τοῦ τετυρωμένου γάλακτος.

Τετύσκων, ἐμφανίζων.

Τετύφασι, διὰ τί ἔχει μακρὸν τὸ α. ἐπειδὴ καθόλου τὰ εἰς σι λήγοντα ῥήματα μακρῷ θέλουσι παραλήγεσθαι, οἷον γράφουσι, λέγουσι, κίχρησι, ζευγνύουσιν. οὕτως οὖν καὶ τετύφασι. παρὰ δὲ Ποιηταῖς εὑρίσκονται τὰ εἰς σι λήγοντα, συνεσταλμένον ἔχοντα τὸ υ μέχρι χρόνου.

Τετύφωμαι, ἀντὶ τοῦ ἔξω τῶν φρενῶν γέγονα, ἢ ἀπὸ μεταφορᾶς τῆς βροντῆς. σημαίνει γὰρ τὸ ἐμβεβρόντημαι.

Τετυφῶσθαι, μεμηνέναι.

Τετυφωμένος, καὶ ὁ ἀλαζὼν, καὶ ὁ ἐμβρόντητος, καὶ ἔξω τῶν φρενῶν. ἐκ μεταφορᾶς τοῦ κεραυνωθέντος Τυφῶνος. Δημοσθένης, ληρεῖν καὶ τετυφῶσθαι δόξαιμι.

Τετύφωται, ἀπόλωλεν, ἐμπέφρυσται, ἐμβεβρόντηται, ἐπηρώθη.

Τετυχηκὼς, δῆλον ὅτι ἐκ τοῦ τυχῶ δευτέρου μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα γέγονεν Ἀττικῶς, ὁ τετύχηκα παρακείμενος. ὅθεν ὁ τετυχηκώς. οὕτω πῶς καὶ ὁ γεγραφηκὼς κινεῖται, καὶ συνδεδραμηκώς.

Τετύχησι, τύχῃ, παρατύχῃ.

Τετιμένοι, ὑστερημένοι, ἐνδεῶς ἔχοντες.

Τεῦ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ τινὸς. ὡς τὸ ἱδρώσει μὲν τευ ἵππος, ἀντὶ τοῦ τινός.

Τεῦ, ὄνομα ἀόριστον γενικῆς. ἀντὶ τοῦ τινὸς λέγεται, καὶ ἀντὶ τοῦ τεῦ.

Τευθὶς, τέμμα πλακουντῶδες. καὶ εἶδος ἰχθύος θαλαττίου.

Τεῦκροι, οἱ Τρῶες, καὶ οἱ Ποιηταί.

Τεῦκρος, ἀδελφὸς νόθος Αἴαντος τοῦ Τελαμῶνος.

Τευκτὸν, χειροποίητον, κατεσκευασμένον.

Τευμᾶται, τεχνάζει, τιμᾶται.

Τευμήσατο, παρεσκευάσατο, ἐτεχνήσατο.

Τεύμης, ποταμὸς Θηβῶν.

Τευμησία, περὶ τῆς τευμησίας ἀλώπεκος, οἱ τὰ Θηβαϊκὰ γεγραφότες ἱκανῶς εἰρήκασι.

Τευμησσὸς, ὄρος Βοιωτίας.

Τεῦξαι, ποιῆσαι, κατασκευάσαι.

Τευξόμεθα, τύχωμεν.

Τευτᾷ, τεχνᾶται.

Τευτάζειν, πραγματεύεσθαι, ἢ σκευωρεῖσθαι. ἢ στρατεύεσθαι, καὶ πολὺ διατρίβειν ἐν τῷ αὐτῷ. σημαίνει καὶ τὸ φροντίζειν. ἄλλοι λέγουσι σημαίνειν τὸ ἐπιστρεφῶς τι πράττειν, ἢ ἐνεργεῖν. σημαίνει καὶ τὸ σπουδάζειν, καὶ τὸ ἡσυχάζειν.

Τευτάζων, καὶ αὐτὸς καὶ κατὰ τὸ πολλάκις προστρέπειν τοὺς ὑπ' αὐτὸν εἰς φυγὴν, ἤγουν τῷ αὐτῷ λόγῳ προσλιπαρῶν. ἢ τευτάζειν λέγεται, κατὰ Αἴλιον Διονύσιον, τὸ ἐπὶ πολὺ προσεδρεύειν τῷ αὐτῷ πράγματι.

Τευτασμὸν, στρατηγίαν.

Τεύτλιον καὶ τεῦτλον Ἀττικοὶ, οὐ σεῦτλον.

Τεύχεα λέγει, τὰ τῆς νηὸς ὅπλα. ἐνίοτε μὲν παρὰ τὸ τεύχεσθαι, ὅ ἐστι κατασκευάσασθαι.

Τεύχονται, σάττονται, ὁπλίζονται.

Τεῦχος, τὸ ἀγγεῖον. τεύχη δὲ πληθυντικῶς τὰ ὅπλα, καὶ τὰ τῆς νεώς.

Τέφρα, παρὰ τὸ τύφω τὸ καίω, ἡ κεκαυμένη σποδία.

* Τεφρώσας, ἐμπρήσας, σποδώσας.

Τεχθήσομαι, ἐκ τοῦ τέκω τέξω, τέτυχα τέτεγμαι, ἐτέχθην τεχθήσομαι, καὶ τεχθησόμενος.

Τεχνάζειν, μηχανᾶσθαι. τέχνη, ἡ ἐπιστήμη, καὶ ἡ μέθοδος, καὶ ὁ δόλος.

Τέχνη. ἰστέον δὲ ὅτι ὁ μῦθος οὐδεμίαν τῶν τεχνῶν ἀδέσποτον ἀφίησιν, ἀλλὰ πάσαις δαιμόνιά τινα ἐφιστᾷ. οἷον ταῖς χειρωνακτικαῖς τὴν Ἀθηνᾶν, τοῖς μαχίμοις τὸν Ἄρην, τῇ ναυτιλίᾳ τὸν Ποσειδῶνα, καὶ ἡ ἀλληγορία θεραπεύει τὰ τοιαῦτα, καθάπερ αὐτῇ δοκεῖ. καὶ αὐτὰ δὲ τὰ στοιχεῖα οὕτω πῶς ὁ μῦθος ἀπομερίζει, μέλειν τῆς γῆς λέγων Νύμφαις καὶ Δήμητρι, θάλασσαν δὲ ἀφιεὶς Ποσειδῶνι καὶ Τρίτωνι, καὶ τοῖς ἀμφὶ τὸν Νηρέα ὑπὸ τῷ Διὶ ποιῶν ὅσον ἀνώτερον.

Τέχνη ἐστὶν, ἐμπειρία ὁδῷ καὶ τάξει βαδίζουσα. τῶν δὲ τεχνῶν διαφοραί εἰσι δύο. αἱ μὲν γὰρ αὐτῶν εἰσι λογικαὶ, αἱ δὲ πρακτικαί. καὶ λογικαὶ μὲν, οἷον γραμματικὴ, ῥητορική. πρακτικαὶ δὲ, οἷον τεκτονικὴ, χαλκευτικὴ, καὶ αἱ ταύταις παραπλήσιαι.

Τέχνημα, τέχνης, καὶ τεχνάσματος, διαφέρει. τέχνη μὲν γὰρ λέγεται, ἡ ἀκριβὴς ἐπιστήμη τοῦ πράγματος, ἣν ἔχει ὁ τεχνίτης. τέχνημα δὲ, ὅ καὶ τεχνούργημα, τὸ ἐξ αὐτῆς τῆς τέχνης παρὰ τοῦ δημιουργοῦ, καὶ τοῦ τεχνίτου κατασκευασθέν. τέχνασμα δὲ, ὁ δόλος καὶ ἡ ἀπάτη. σπανίως δ' εὑρίσκεται, καὶ παρ' Ἴωσιν γραφόμενον. Ἀττικῶς δὲ οὐχ εὕρηται.

Τεχνήσασθαι, τὸ μετὰ τέχνης τινὸς κατασκευάσαι. καὶ τεχνήσασθαι, τὸ κακουργῆσαι. καὶ τέχνημα, τὸ ἀπὸ τέχνης. τέχνασμα, τὸ κακούργημα.

Τεχνησάμενος, ὁ μετὰ τέχνης κατασκευάσας τι.

Τεχνολογία ἐστὶ, παραποίησις ἑκούσιος τῆς τῶν λόγων φύσεως. ἐπὶ σκοπῷ τοῦ περιγενέσθαι.

Τέῳ, ἀντὶ τοῦ τινὶ, πλεονασμὸν ἔχει τοῦ ε. ὁμοίως τῷ ὁτέοισι, καὶ τοῖς τοιούτοις. πλεονασμὸν δὲ ἔχει τοῦ ε. αὐτὸν δὲ εἰπεῖν τέῳ, καὶ τῷ. καὶ γενικὴ πληθυντικῶν, τέων.

Τεωρεῖς, δραπέται, κακοῦργοι, λῃσταί.

Τέωρος, συκοφάντης, καὶ τὰ ὅμοια.

Τέως, ἀντὶ τοῦ ἐν τοσούτῳ, τέως γὰρ ἐπίρρημα χρονικὸν, ὅπερ ἔχει ἀνταποδοτικὸν τὸ ἕως. λαμβάνεται δὲ τὸ ἕως, καὶ ἀντὶ τοῦ μέχρι, καὶ ἀντὶ τοῦ ἐν ὅσῳ χρόνῳ. καὶ τέως ἀντὶ τοῦ ἀληθῶς καὶ ὁμολογουμένως. τέως, ἀντὶ τοῦ κατὰ τὸ παρόν. Ἀριστοφάνης, τέως μὲν οὖν ἐκρινόμεθα. καὶ τέως, ἀντὶ τοῦ λοιπόν. τί μὴ τέως αἱρεῖ τῶν φαινομένων τὸ ἄριστον. καὶ τέως, ἀντὶ τοῦ μέχρι τοῦ νῦν. Συνέσιος, τέως μὲν, ἐπράττομεν εὖ. καὶ τέως, ἀντὶ τοῦ ὅμως.

ΤΟ' Τ. ΜΕΤΑ' ΤΟΥ Ζ. ΚΑΙ' Η.

Τζυμβλώπτω, γλαμῶ, λημμῶ.

Τῆ, ἀντὶ τοῦ λάβε, ὡς παρ' Ὁμήρῳ. Κύκλωψ, τῆ πίε οἶνον, καὶ τῇ, ἀντὶ τοῦ ταύτῃ.

Τῆ, ἀντὶ τοῦ λάβε ὡς εἴρηται. ἀπὸ τοῦ τῶ θέματος, ἀῤῥήτου ὄντος. ὡς ἀπὸ τοῦ δρῶ, τὸ δρᾶ ἀντὶ τοῦ πράττε. καὶ ἀπὸ τοῦ ζῶ τὸ ζῆ προστακτικῶς καὶ αὐτό. ἐξ οὗ τὸ ζῆθι γίνεται, ἐκ τοῦ τοιούτου προστακτικοῦ καὶ ἡ τήθη γίνεται κατὰ τοὺς παλαιοὺς, ὡς λέγουσα τῷ βρέφει, τῆ θῆ. τουτέστι, λάβε, θήλασον.

Τῇ ἁδρόσητι, τῇ ὑψηλότητι.

Τῇ ἀλίσθῃ, τῇ ἁμάξῃ.

Τῇ ἄλλως, τῇ ματαίως.

Τήβεννα, ἱμάτιον. ἢ χλαμὺς, ἣν φοροῦσι Τύραννοι. * καὶ πόλις.

Τήβεννος, εἶδος περιβολαίου παρὰ Ῥωμαίοις.

Τήβηθ, τρίτος μήν.

Τήγανον, παρὰ τὸ τήκω τήκανον καὶ μεταθέσει τοῦ κ εἰς γ, τήγανον.

Τηγανίτης, ἄρτος ἐπὶ τηγάνου γεγονὼς, καὶ μετὰ τυροῦ ὀπτώμενος.

Τῆδε, ἀντὶ τοῦ ἐνθάδε λέγουσιν Αἰολεῖς.

Τῇ ἐπιούσῃ ἐρεῖς, οὐ προσθεὶς ἡμέρᾳ, τῆς ἐπιούσης δὲ ἡμέρας.

Τῇ ἱμὲν, ἤγουν ἐνταῦθα ἐλθεῖν, ἧκεν δή. ὅ ἐστιν, ὅποι ἂν σὺ ἡγεμονεύῃς. παρ' Ὁμήρῳ, καὶ Ἡσιόδῳ.

Τηθαλλάδους, γυναικοτρόφους, ὑπὸ τηθῶν τεθραμμένους.

Τήθας ἐκάλουν τὰς μάμμας. καὶ τηθελὰς, τοὺς μαμμοθρέπτους.

* Τήθεα, τὰ ὄστρεα.

Τήθη, ἡ τοῦ πατρὸς καὶ τῆς μητρὸς μήτηρ, ἐπιτίθη δὲ, ἡ ὑπὲρ αὐτὴν. καθ' ὁμοιότητα τοῦ πάππου. καὶ ὅτι ἀνεψιοὶ καὶ ἀντανέψιοι οἱ αὐτοί. δηλοῦντες δὲ ἐξαδέλφους. καὶ ὅτι θεῖος, πατρὸς ἢ μητρὸς ἀδελφὸς, ὃς καὶ νέννος. καὶ ὅτι ὁ πάτρως καὶ ὁ μήτρως ἰακὰ μᾶλλον, οἵπερ εἰσὶ θεῖοι ἐκ πατρὸς καὶ μητρός. καὶ ὅτι κηδεσταὶ μὲν οἱ κατ' ἐπιγαμίαν οἰκεῖοι. συγκηδεσταὶ δὲ, οἱ ἀδελφὰς γεγαμηκότες. καὶ ὅτι τηθαλλαδοῦς, ὃν οἱ παλαιοὶ μαμμόθρεπτον λέγουσι, παρὰ τὴν τήθην Ἀττικῶς, τὴν ἀνωτέρω ῥηθεῖσαν. ἣν ὡς δηλοῖ Αἴλιος Διονύσιος, ὀκνοῦσιν οἱ Ἀττικοὶ μάμμην καλεῖν, ὡς τῶν πολλῶν οὕτω τὴν μητέρα καλούντων. λέγει δὲ ὁ τὰ συγγενικὰ συγγραψάμενος, καὶ ὅτι ἄπφυς παρά γε τοῖς Ἀττικοῖς βάρβαρόν ἐστιν. ἔστι δὲ ἄπφυς, ὃ πατρὸς δηλοῖ ὁ Θεόκριτος, ἀφ' οὗ ἄπφυς τις δηλαδή. λέγει δὲ ἐκεῖνος καὶ ἀπφὰν τὴν ἀδελφήν. καὶ ἀπφίον, ὑποκόρισμα μειρομένης, καὶ ἄλλα τινά. ὅτι δὲ καὶ ἐξανέψιοι ἐλέγοντο, ὧν οἱ πατέρες ἀλλήλων ἀνεψιοί, εὕρηται καὶ αὐτὸ ἐν τοῖς παλαιοῖς. περὶ δὲ γενιάδης καὶ μάμμης, καὶ οὕτω φασί τινες, τήθην οἱ Ἕλληνες, τὴν πατρὸς ἢ μητρὸς μητέρα. οἱ παλαιοὶ ἀκύρως, μάμμην, καὶ μαῖαν. μάμμην γὰρ οἱ Ἀττικοὶ καὶ μαμμαίαν, τὴν μητέρα καλοῦσιν. ἣν δὲ οἱ παλαιοὶ τήθην, τηθίδα. μαῖαν δὲ ὡς ἡμεῖς, τὴν ὑπὸ Γυναικῶν ὀμφαλοτόμον. ὅτι δὲ ὁ πάτρως καὶ ὁ μήτρως. πατράδελφοι καὶ μητράδελφοι ἑρμηνεύονται, καὶ ὅτι τοὺς τῆς μητρὸς γονεῖς μήτρωας εὑρήκαμεν, πάτρωας δὲ, οἱ κατὰ πατέρα πρόγονοι. ὁ δὲ τηθαλλαδοῦς, σκῶμμα ἀηδείας ἔχει. ὡς τῶν ὑπὸ τιτθῶν τεθραμμένων, διὰ τὸ ἀνειμένον τῆς τροφῆς. διὸ καὶ ὁ αὐτὸν ἐρωτηματικῶς τὸ ὀκνεῖν λαλεῖν, οὕτω σφόδρα τηθαλλαδοῦς ὀνειδίζων, κέχρηται τῇ λέξει, παίζων εἰς ἀνδραποδώδη τινὰ φησὶ, καὶ οἷον γραοτροφῆ. εἰ δέ τινες φασὶ προσηγορίαν συγγενείας εἶναι κατὰ τὸ ἀνεψιαδοῦς πλανῶνται, ἀλλ' ἔστιν ἄλλων. ὡς εἴτις ἐμπληκτόν τινα παίζων, ἐμπληκταδοῦν ὀνοματοποιήσει, ἢ τὸν μωρὸν μωροδαλῶν. ἔτι δὲ καὶ ὅτι μαῖα καὶ ἁπλῶς πρεσβυτέρα γυνὴ ἐλέγετο. ἣν δ' αὐτὴν, καὶ τήθην καὶ τηθία καὶ τηθίβιος, δηλοῦσιν οἱ παλαιοί.

Τηθηνὸς, ἐράσμιον.

Τηθύα, συνάγει ἃ προχέουσιν οἱ ποταμοὶ, καὶ εἶδος ὀστρέων.

Τηθὺς τηθύος, ἡ γῆ παρὰ τὸ τίθη, ἃ δηλοῖ τὴν τροφὴν. ἡ γὰρ γῆ πάντα τρέφει. ἢ ὅτι κυρία ἐστὶ τῆς ὑγρᾶς οὐσίας, ἀφ' ἧς πάντα τρέφεται. ἡ δὲ τίθη γίνεται παρὰ τὸ στῆθος, ἀφ' οὗ τὸ βρέφος τρέφεται. οἱονεὶ στήθη τὶς οὖσα. ἢ παρὰ τὸ τῆ, ὃ δηλοῖ τὸ λάβε, καὶ τὸ θῶ τὸ θηλάζω, κατὰ τοὺς παλαιούς. οἱονεὶ, ἡ λέγουσα τῷ βρέφει, λάβε, θήλασον.

Τηκεδανοῖο, τηκομένου, τήκοντος.

Τήκεσθαι, κυρίως λέγεται ἐπὶ χιόνος, καὶ κηροῦ. καὶ Δωρικῶς, τάκεσθαι. καὶ παρὰ Θεοκρίτῳ, τί τὺ τάκεαι, ἀντὶ τοῦ τήκῃ, ἤγουν φθείρῃ. τήκω γὰρ, τὸ κατὰ μικρὸν ἀναλίσκω.

Τηλαυγὲς, τηλεσκόπον, καθαρόν.

Τηλαύγημα, ἀρχὴ λαμπρά. * ἢ ἀρχὴ λέπρας ἐν τῇ τοῦ σώματος ἐπιφανείᾳ.

Τηλαυγεῖν, τὸ ἐκ τοῦ μακρόθεν φωτίζειν. ὅθεν τηλαυγὲς, μακρὸν διαυγές.

Τηλεβόαι, οἱ πρότερον τὴν Ἀκαρνανίαν οἰκοῦντες, ἄνδρες λῃστρικώτατοι τὸν τρόπον. οὗτοι εἰς Ἄργος ἐπελθόντες, τὰς τοῦ Ἠλεκτρύωνος βόας ἀπήλασαν τοῦ πατρὸς Ἀλκμήνης. γενομένης δὲ μάχης, καὶ ὁ Ἠλεκτρύων καὶ οἱ τούτου παῖδες ἀνῃρέθησαν. διὸ Ἀλκμήνη μετανέστη καὶ ἀνεκήρυξε τὸν ἑαυτῆς γάμον, τῷ τιμωρησαμένῳ τὸν πατρῷον φόνον. τιμωρησάμενος δὲ Ἀμφιτρύων, ἔγημεν. ἡ ἱστορία σαφῶς παρ' Ἡσιόδῳ. περὶ δὲ τῆς μάχης Ἡρόδωρος ἱστορεῖ, ὅτι Περσέως καὶ Ἀνδρομέδας τέσσαρες παῖδες ἐγένοντο, Ἀλκαῖος. Σθένελος, Μήστωρ, Ἠλεκτρύων, καὶ κοινὴν ἔχον τὴν βασιλείαν, μετὰ τὸν Περσέως θάνατον. Μήστορος δὲ θυγάτηρ Ἱπποθόη. ἧς καὶ Ποσειδῶνος, Πτερέλαος. τοῦ δὲ, Τηλεβόας, καὶ Τάφος. ὡς δέ τινες Πτερέλα τοῦ Τηλεβόα ἐγένοντο παῖδες, οἱ καλούμενοι Τηλεβόαι. ἐλθόντες δὲ ἀπῄτουν Ἠλεκτρύονα τὰ τῆς μάμμης ἑαυτῶν τοῦ μητρὸς Ἱπποθόης. ἀντιστάντες δὲ αὐτοῖς οἱ Ἠλεκτρυωνίδαι, ἀνῃρέθησαν ὑπ' αὐτῶν Πτερέλα παῖδες Τηλεβόας, καὶ Τάφος. ἀφ' ὧν ἡ νῆσος. Τηλεβόαι οὖν οἱ Τάφιοι. ἤτοι ὅτι τῆλε οἰκοῦντες ἀπὸ τοῦ Ἄργους, τὰς βοῦς ἀπήλασαν, ἢ ἀπὸ τοῦ Τηλεβόου τοῦ Πτερέλα τοῦ βασιλέως υἱοῦ. οὗ ἀδελφὸς Τάφιος, ἀφ' οὗ καὶ ἡ νῆσος.

Τῆλε, ἐπίῤῥημα χρόνου δηλωτικὸν, καὶ δηλοῖ τὸ πόῤῥω. καὶ γίνεται ἐκ τοῦ τηλόσε σύγκοπον τῶν ος συλλαβῶν. ἐκ τούτου καὶ Τηλέμαχος, ἀπὸ τοῦ τῆλε ἵστασθαι κατὰ τὴν ἱστορίαν.

Τη-

Digitized by Google

Τηλέγονος ἔγημε Κασιφόνην τὴν θυγατέρα Κίρκης. ἢ Κίρκην μὲν ἀναιρεῖ Τηλέμαχος, μὴ φέρων αὐτῆς τὰ προστάγματα. ἀναιρεῖται δὲ ἢ αὐτὸς ὁ Τηλέμαχος, ὑπὸ Κασιφόνης.

Τηλεδαπὸς γίνεται ἀπὸ τοῦ τῆλε καὶ τοῦ ἔδαφος. οἷον, νῆσος τηλεδαπὸς, ἧς τῆλε καὶ μακρὰν τὸ ἔδαφός ἐστι. τοιαύτην δὲ παραγωγὴν ἔχει καὶ τὸ ἡμεδαπὸς, καὶ ἀλλοδαπός. ὁ τοῦ ἡμετέρου δηλαδὴ ἐδάφους, καὶ τοῦ ἄλλοθεν ἐδάφους. ὁμοίως καὶ τὸ ποδαπὸς ὁ ξένος. οἷον, ποίου ἐδάφους, ἤτοι χώρας, γῆς.

Τηλεθάον, ἐκ τοῦ θάλλειν γίνεται, ὡς οἷα θαλέθον. τὸ ὅμοιόν ἐστι, τὸ ἐριθηλές.

Τηλεθάοντας. τοῦτο ὡς ἐπὶ φυτῶν εἶπεν Ὅμηρος. ὧν ἐστιν ἴδιον, τὸ θαλέθειν τε καὶ θάλλειν.

Τηλεθόωσα κόμη Ἀχιλλέως, οὐχ ἁπλῶς, ἀλλὰ εἰς ἔμφασιν ὀῤῥέθη θάλλουσ. σκοπητέον γὰρ, οἵαν εἶχε κόμην ἐκεῖνος. ἄλλως τε καὶ ἐπιμελημένην, καὶ ἐς τοσοῦτον ἄκυρον. ὅρα δὲ, ὡς οὐ μόνον δένδρεα τηλεθόωντα καὶ ἐλαῖαι τηλεθόωσαι, καὶ ὕλη τηλεθόωσα, ἀλλὰ ἰδοὺ καὶ κόμη τηλεθόωσα. καίτοι ἐπαλλάττουσιν ἀλλήλαις ἡ κόμη, καὶ τὸ τηλεθόωσα. κόμαι τε γάρ ποτε τῶν δένδρων λέγεται τηλεθόωντα φύλλα. τηλεθόωσα ὕλη, ὅ ἐστι θαλλέθουσα, ἤτοι θάλλουσα. ὃ δὴ μάλιστα τῶν ἀειθαλλῶν ἐστι.

Τηλεκλῆα, ἡ δὲ μεγαβρόντην. πέπλακε ταῦτα τὰ ὀνόματα Ἀπολλώνιος, οὐκ ἀπὸ ἱστορίας ἔλαβεν. οὕτω Ταῤῥαῖος.

Τηλεκλειτοὶ, πόῤῥω ἔνδοξοι.

Τηλεμάχῳ, καὶ ἐμοὶ διαπτέμεν. πρὸς ἐμὲ καὶ τὸν Τηλέμαχον ἔστω ὁ λόγος.

Τήλεμος, ὁ μάντις παρὰ Θεοκρίτῳ. οὗτός ἐστιν ὁ παρ' Ὁμήρῳ Εὐρυμίδης, ἢ Εὐρύμαχος καλούμενος. ὃς μαντοσύνῃ ἐκέκαστο. ὃς ἐμαντεύσατο τῷ Κύκλωπι ὑπὸ Ὀδυσσέως τυφλωθῆναι.

Τηλέπυλος, ἡ μεγάλη. τῶν γὰρ τοιούτων φασὶ, πολὺ διεστῶσιν αἱ πύλαι. ἢ ἡ ᾠκισμένη τῆλέ που. τινὲς δὲ τηλέπυλόν φασι τὴν μακρόπυλον, οὐ τῷ διαστήματι, ἀλλὰ τῷ πλάτει τῶν πυλῶν, ἢ τῷ μήκει. ἄλλοι δὲ ὡς ἀνωτέρω ὑπελαβόθη, τὴν διὰ σταδίων πύλας διαφόρους ἐχούσας. οὐ πάνυ μέν τοι ἀφεστηκυίας, ἀλλ' ὥστε τῆς φωνῆς ἐξακούεσθαι τῶν εἰσελαυνόντων. καθ' ὁμοιότητα τὸ ἄστυ τε γέγωνε βοήσας. εἰσὶ δὲ οἳ κύριον ὄνομα πόλεως τὴν Τηλέπυλον ἐδέξαντο. τὸ τηλέπυλον καὶ ὑψίπυλον, ἴσως ταυτόν. ὑψίπυλον δὲ λέγει ὁ Ποιητὴς, ἀντὶ τοῦ μεγάλην.

Τηλεσκόπος, ὁ πόῤῥω ὁρῶν.

Τηλεφανεῖς σκοπιαὶ, ἀφ' ὧν ἐστιν ἰδεῖν τὰ πόῤῥω. αὗται γὰρ εἰς ὕψος εἰσὶ, καὶ τὰ μακρὰν καταφανῆ.

Τηλέφιον, εἶδος βοτάνης. ὅπερ ἀείζωον ἄγριον καὶ ἀνδράχνην ὀνομάζουσι. Ῥωμαῖοι δὲ, ἰλλέκεβραι παρὰ τῷ Ἱπποκράτει.

Τήλεφος, ὄνομα κύριον. ἐκλήθη δὲ διὰ τὸ θηλάσαι αὐτὸν ἔλαφον.

Τηλία, σανὶς βαθεῖα, ἐν ᾗ τὰ ἄλφιτα ἐν τῇ ἀγορᾷ ἐπίπρασκον.

Τηλία, περιφέρεια τοῦ κοσκίνου. ἢ σανὶς πλατεῖα, ἐφ' ἧς ἄλφιτα ποιοῦσι. τινὲς δέ φασι τηλίαν, ξύλον πλατὺ, εἰς ὃ οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπιξηραίνουσιν. ἄλλοι δὲ τηλίαν, τὸ τῆς καπνοδόχης στόμα. ὅ ἐστι περιφερές. καὶ τηλία ἐστὶν ἡ ἀῤῥύπωτος σανίς. ἐὰν δὲ ῥυπωθῇ, ἀψὶς γίνεται. λέγει οὖν, ὅτι εἰ μὴ ὁ δακτύλιος τοσοῦτον ἔχει ῥύπημα, ὡς δοκεῖν εἶναι ἐν τηλίᾳ τὸ ῥύπημα. Ἄλλως.

Τηλία, σανὶς ἡ λεγομένη κάρδοπος. τηλία δὲ, ἡ σηλία. ὥσπερ τὸ σήμερον, τήμερον. καὶ δὴ καὶ ἰδίως ἐκαλεῖτο τηλία, περίφραγμα σανίδων ἐν τῇ ἀγορᾷ, ἐν ᾧ ἄλφιτα ἐπιπράσκοντο.

Τήληδα, οὕτως ἐκάλουν τὴν συνηρμοσμένην.

Τηλικαῦτα, τοιαῦτα.

Τηλίκος εἰμὶ, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ'. οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμὶ, ὥστ' ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι. ἤγουν, οὐκ εἰμὶ τοιαύτης ἡλικίας, ὥστε εἰς πᾶν ἔργον πείθεσθαι τῷ κελεύοντί μοι κατὰ τοὺς ἀγροὺς, ὡς ἅτε δηλαδὴ γέρων ὤν. σημάντορα λέγει τὸν ἐπιτάττοντα.

Τηλικοῦτος, ἐπὶ ποσοῦ καὶ σωματικοῦ μεγέθους λαμβάνεται.

Τηλικώτατον, πρεσβύτατον, πόῤῥωτατον.

* Τῆλις, εἶδος ὀσπρίου (τὸ φῖνουμ γραίκουμ λατινιστί) ἥτις ἑφθὴ ἐπιχεομένη ὄλισθον ἐμποιεῖ τοῖς ποσὶ τῶν ἀνθρώπων ἐπισφαλῆ. ὅπερ Ἰώσηπος πρὸς τὴν πολιορκίαν ἐμηχανήσατο.

Τηλόθι πάτρης, πόῤῥω τῆς πατρίδος.

Τηλοτάτω. εἶχε μὲν ὀρθῶς εἶναι τηλεστάτω, ἀπὸ τοῦ τῆλε.

Τηλοῦ, ἐπίῤῥημά ἐστι, καὶ σημαίνει τὸ πόῤῥω. γίνεται δὲ παρὰ τὸ τέλος, τελοῦ, καὶ τροπῇ τοῦ ε εἰς η, τηλοῦ. τὰ γὰρ ἐπὶ τέλους συντείνοντα μεγεθύνεται. ἐκ τούτου καὶ τὸ γεννῶ γεννήσω γεννητὸς, γίνεται τηλυγέννητος. καὶ συγκοπῇ, τηλύγετος.

Τηλύγετος, μονογενὴς, καὶ τηλύγετος ἐν μάχῃ, ἤγουν μόνος. καὶ τηλύγετος παῖς παρὰ τοῖς παλαιοῖς, οὐ μόνον μεθ' ὃν οὐκ ἔστι τεκνώσασθαι, ἢ ὁ μόνος υἱὸς, ἀλλὰ καὶ ὁ τῆλε ὄντι τῷ πατρὶ γεννηθεὶς ἢ αὐξηθεὶς μετὰ γέννησιν. παράδειγμα τοῦ προτέρου, ὁ Τηλέγονος, ὁ τῆλε ὄντι τῷ Ὀδυσσεῖ γεννηθεὶς ἐκ τῆς Κίρκης. τοῦ δευτέρου δὲ Ὀρέστης ὁ Ἀγαμεμνονίδης, καὶ ὁ Τηλέμαχος τοῦ Ὀδυσσέως. ᾧ οὕτω ἐπέσει τὸ ὄνομα, ἐπειδὴ τῆλε μαχομένου τοῦ πατρὸς ἀνετράφη.

Τηλυγέτων ἀποικιῶν, τῶν μακρὰν ἀπεχουσῶν.

Τηλωπὸν, τὸ μακρόθεν φαινόμενον.

Τημελεία, θεραπεία, ἐπιμέλεια.

Τημελῆσαι, θάλψαι, φιλοκαλῆσαι, σπουδάσαι, καὶ τημελήσαντες, καὶ τημελούμενον.

Τήμερα, ὁ σημερινὸς, καὶ ἔστι τεταγμένως ἐπὶ σώματος. τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. Ἀριστοφάνης, οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερα.

Τήμερον Ἀττικοὶ, οὐ σήμερον λέγουσι. τήμερον εἶναι, καὶ τήμερον ἔχον, κρεῖττον ἢ τὸ νῦν εἶναι, καὶ τὸ νῦν ἔχον.

Τῆ μῇ, ἔχει τὸ ι κατὰ τὴν λήγουσαν, κατὰ δὲ τὴν ἀρχὴν οὔ. οἷον, ἀμφὶ δέ τοι τῇ μῇ κλισίῃ. ἔστι γὰρ τῇ ἐμῇ. καὶ ἐκθλίβεται τοῦ ἄρθρου τὸ ι, καὶ κιρνᾶται τὸ η καὶ ε εἰς η, καὶ ἔστι χωρὶς τοῦ ι. ὡς τὸ, δῖε Μενοιτιάδη τῷ μῷ κεχαρισμένε θυμῷ. ἔστι γὰρ τῷ ἐμῷ. καὶ ἐκθλίβει τὸ ι τοῦ τῷ ἄρθρου, καὶ κιρνᾷ τὸ ω καὶ ε εἰς ω μέγα, καὶ γίνεται τῷ μῷ, χωρὶς τοῦ ι.

Τῆμος καὶ οἶμος, ποιητικά ἐστιν ὁμοιόσημα τῷ τότε καὶ ὅτε. τῆμος δὲ, τὸ τηνικαῦτα σημαίνει.

Τήνα, Δωρικῶς οὕτω λέγεται. ἀπὸ τοῦ κεῖνα, ἐκβολῇ τοῦ ι, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ τοῦ κ εἰς τ, καὶ τοῦ η εἰς α.

Τὴν, ἐπὶ μὲν τοῦ ἄρθρου, τὴν γυναῖκα δὲ οὐχ εὗρον. ἐπὶ δὲ τῆς ἀντωνυμίας, ὡς τὸ τήνδ' ἀμπέλαγος ἄνεμοι φέρον, ἀντὶ τοῦ ταύτην.

Τὴν ἀρχὴν, ἀντὶ τοῦ κατ' ἀρχάς. Κύπριος, εἴθε μὴ δὲ τὴν ἀρχὴν βιβλίον ὑπῆρχεν ἡμῖν.

Τὴν ἄλλως, καὶ ἄλλως, ἀντὶ τοῦ μάτην. καὶ ἁπλῶς τὸ ἄλλως, ἀντὶ τοῦ κατ' ἄλλον τρόπον.

Τὴν δ' ἐγὼ οὐ λύσω, ἀντὶ τοῦ ταύτην δὲ ἐγώ. καὶ ἔστιν ἄρθρον θηλυκὸν, μεταπεσὸν εἰς ἀντωνυμικὴν σημασίαν. τὰ γὰρ ἄρθρα εἰ μὴ ἔχει ἐπαγόμενον ὄνομα, εἰς ἀντωνυμικὴν μετάγονται σύνταξιν.

Τήνελλα, ἐφύμνια, τὰ ᾀδόμενα τοῖς νικῶσι.

Τηνεῖ δρύες, ἐκεῖ δρύες. ἢ τηνεῖ ἀντὶ τοῦ ἐκεῖ, καὶ τήνη ἀντὶ τοῦ ἐκείνη.

Τήνελλα, μίμημα ἐπιφθέγματος αὐλοῦ τὸ τήνελλα. Ἀρχίλοχος, τήνελλα καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεις, αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύο.

Τήνελος εἶ. Ἀριστοφάνης νεφέλαις, τουτέστιν ἁρμονία λύρας. μουσικώτατος. ἢ τήνελλος, κρουμάτιον ἐπινίκιον.

Τηνεσμὸς, νόσημα περὶ τὰ ἔντερα.

Τὴν ἀπειρέσιον, τὴν ἄσχολον.

Τὴν ἠϊόνα, τὸν αἰγιαλόν.

Τήνης, ἕως, Ταραντῖνοι.

Τηνικαῦτα, τότε, τῆμος. τηνικαῦτα μὲν, ἀντὶ τοῦ τότε. τηνικάδε δὲ, ἐπὶ ὥρας.

Τηνία, ἔχιδνα. ἄλλοι δὲ τὴν στηθοδέσμην.

Τὴν κύλικα, τὴν φιάλην, τὸ ποτήριον, τὴν παῖδα τὴν παρθένον.

Τὴν λιμὸν, Δωριεῖς. σὺ δὲ τὸν λιμὸν φάθι.

Τῆνος τήνα τῆνο, Δωρικῶς ἀντὶ τοῦ ἐκεῖνος ἐκείνη ἐκεῖνο.

Τῆνος, νῆσος μία τῶν κυκλάδων, ἐν ᾗ ὄφεις καὶ σκορπίοι δεινοὶ ἐγίνοντο. ἢ ὅτι ἡ Τῆνος δριμύτατα σκόροδα φέρει. ἡ Τῆνος δὲ αὕτη, θηριώδης δοκεῖ εἶναι. καὶ Εὔπολις πόλεσι, Τῆνος δ' αὕτη πολλοὺς ἔχουσα σκορπίους. Καλλίστρατος δὲ ἐπὶ τὸ σαφὲς κατηνέχθη. ὡς σκοροδοφόρου τῆς γῆς οὔσης, διὸ καὶ τὸ παρὰ Ἀντιμάχῳ. Τήνου τ' ὀφιοέσσης, οὐκ ἀλόγως ἔχειν δοκεῖ.

Τὴν προσήκουσαν, τὴν ὀφειλομένην.

* Τὴν ταχίστην, ἐπίῤῥημα ἀντὶ τοῦ ταχέως.

Τὴν φειδὼ, τὸ φείδεσθαι.

Τῆξις, φθίσις, νόσος. παρὰ τὸ τήκεσθαι.

Τῇ ὀρέξει, τῇ ἐπιθυμίᾳ.

Τήποδα, λέβητα τρισκελῆ, χαλκίον.

Τῇ πρὸς ἀκτῖνα, τῇ ἀνατολῇ.

Τηρᾶς, ὁ τηρῶν τὰ ἡδονὴν ἐγεῖραι δυνάμενα. καὶ ἀκρασίᾳ ἡδονῶν εἰλημμένος.

Τηρία, ὄρος Τρωάδος. καὶ Τηρίας, ποταμὸς Σικελίας.

Τηρῶ, σημαίνει δύο. τὸ παραφυλάττω, ἤτοι τὸ κοινῶς λεγόμενον παρακάθημαι. ὡς καὶ Λιβάνιος, καὶ τηρήσας ἀφίεντα δίσκον, ἀντὶ τοῦ παραφυλάξας. καὶ τηρῶ νυκτὸς φυλακὴν, ἀντὶ τοῦ φοβούμενος φυλάττω. καὶ Ἀριστοφάνης ἐν νεφέλαις, αἵ τινες τηροῦμεν ὑμᾶς, ἤγουν φυλάττομεν.

Τῆς δ' ἦν τρεῖς κεφαλαὶ, ἀντὶ τοῦ ἦσαν παρ' Ἡσιόδῳ. Βοιωτῶν λέγεται γλώσσης εἶναι. οἳ ἑνικὰ ῥήματα, πληθυντικοῖς ὀνόμασι συντάσσουσι.

Τῆς, ἐπὶ μὲν τοῦ ἄρθρου, τῆς μὲν ἰῆς στίχος ἦρχε. ἐπὶ δὲ τῆς ἀντωνυμίας, ὡς τὸ, τῆς ἤκετο πάντα. ἀντὶ τοῦ ταύτης.

Τῆς ἄλης, τῆς πλάνης.

Τῆς δὲ τῆς φύσεως, ταύτης τῆς φύσεως.

Τῆς ὑπερώας, τῆς οὐρανίσκου.

* Τῆτες, καὶ τῆτα. τούτῳ τῷ ἔτει. Ἀριστοφάνης.

Τῆτα, ἀπορία, ἔνδεια, στέρησις.

Τήτθη, ἡ τοῦ πατρὸς, ἢ ἡ τῆς μητρὸς μήτηρ. ἣν ἔνιοι μάμμην φασί.

* Τητινὴ, χθεσινὴ, καὶ οὐδέτερον, τητινόν.

Τῆ τοῦτον ἱμάντα, ἀντὶ τοῦ δέξαι, λάβε. ἔστι ταίω τῶ, ὃ σημαίνει τὸ δέχομαι. ταίεις ταῖς, ταίετε. καὶ κράσει τοῦ α καὶ ε εἰς η Δωρικῶς, τῆς καὶ τῆ. τοῦτο ὁ παρατατικὸς, ἔταον ἔταες ἔταε, καὶ τὸ προστακτικὸν, ταῖε. καὶ κράσει Δωρικῇ, τῆ κύκλωψ, τῆ πίε οἶνον.

Τήτυμα, ἀληθῆ.

Τητώμενος, στερούμενος, στερισκόμενος. τητῶμαι γὰρ, τὸ στερίσκω.

Τηΰγετον, ἤγουν ταΰγετον, ὄρος ἐστὶ Λακωνικὸν, ὑψηλὸν καὶ ὄρθιον. μικρὸν ὑπὲρ τῆς Λακωνικῆς θαλάσσης. ἐρύμανθος δὲ, ὄρος τε καὶ ποταμὸς περὶ Ἀρκαδίαν. ἔνθα ὁ ἐρυμάνθιος ταῦρος, ὁ κατὰ Ἡρακλέους.

Τηϋσίην ὁδὸν λέγει ὁ Ποιητὴς, τὴν ματαίαν, ἁλίαν κατὰ τὴν ποίησιν. ὃ δὴ ἐν Ὀδυσσείᾳ κεῖται, ἀπὸ τοῦ δύω δεύσω εἶναι. τροπῇ τοῦ δ εἰς τ, καὶ διαλύσει τῆς ευ διφθόγγου. κατὰ τὸ εὔκομος, ἠΰκομος. καὶ εὖτε, ἠΰτε.

Τηΰσιην ὁδὸν ἐλθης. ἔστι δὲ τῆς λέξεως τοιαύτη σχηματεία. δεύω, τὸ ὑγραίνω δεύσω δευσίη. καὶ κατὰ διάλυσιν τῆς ἀρχῆς, Δηυσίη. ὥσπερ εὔκομος, ἠΰκομος, καὶ Ταΰγετον τηΰγετον ὄρος ἀρκαδικὸν, καὶ τροπῇ τοῦ δ εἰς τ, τηυσίη. φιλεῖ δὲ τὸ δ τοιαύτην τροπὴν, ὡς δηλοῖ καὶ τὸ χάρις χάριδος χάριτος, θέμις θέμιδος θέμιτος. καὶ πλεονασμῷ τοῦ σ, θέμιστος. καὶ τὸ οὐθέτερον, καὶ ἐξουδενῶ ἐξουθενῶ. ἔστι δὲ τηυσία ὁδὸς, ἡ ὑγρὰ κέλευθος. καὶ ἁλία κατὰ μετάληψιν, ματαία.

ΤΟ Τ. ΜΕΤΑ ΤΟΥ Ι.

Τιάρα, κόσμος ἐπικεφάλαιος, ἣν οἱ Βασιλεῖς ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις. οἱ δὲ στρατηγοὶ, κεκλιμένην. Δημάρατος δὲ ὁ Λακεδαιμόνιος, ὃς δὴ μετὰ Ξέρξου ἦλθεν ἐπὶ

τοὺς

τῆς Ἀθήνας, ἐπί τινος ἀμελείας συγχωρήσαντος αὐτῷ τοῦ Βασιλέως, ὃ θέλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῇ τῇ τιάρᾳ εἰς Σάρδεις εἰσελάσαι, ὡς Φύλαρχος ἐν ἑνδεκάτῃ. τὸ αὐτό φασιν εἶναι καὶ κίταριν. Θεόφραστος δ' ἐν τῷ περὶ βασιλείας Κυπρίων, τὴν κίταριν ὡς διάφορον λέγει. Ἄλλως.

Τιάραν πᾶσι Πέρσαις ἐξῆν φορεῖν, ἀλλ' οὐκ ὀρθήν, ὡς Κλείταρχος ἐν τῇ δεκάτῃ. μόνοι δὲ οἱ τῶν Περσῶν βασιλεῖς, ὀρθαῖς τιάραις ἐχρῶντο. ἔστι δὲ αὕτη καθὰ προείπομεν ἡ τιάρα, τοῖς μὲν ἄλλοις ἔθος, καὶ ἐπτυγμένην καὶ προβάλλουσαν εἰς τὸ μέτωπον ἔχειν. τοῖς δὲ βασιλεῦσιν, ὀρθήν.

Τιάρις, λόφος τῆς περικεφαλαίας. ἢ ὁ περιτιθέμενος κεφαλῇ. καμελαύκιον.

Τιάσα, κρήνη ἐν Λακεδαιμονίᾳ, τινὲς δέ, ποταμόν.

Τί. οἱ ἀπὸ τῆς στοᾶς τοῦτο τὸ τί, γένος τοῦ ὄντος τίθενται. τὸ γὰρ τί, δῆλον ὅτι καὶ ὄν. εἰ δὲ ὄν, τὸν τοῦ ὄντος ἀναδέχοιτο ἂν λόγον. διὸ καὶ γενικώτερον αὐτό φασιν εἶναι. κατηγορούμενον οὐ κατὰ σωμάτων μόνον, ἀλλὰ καὶ κατὰ ἀσωμάτων.

Τί, ζητεῖ οὐσίαν πράγματος. οἷον τί τόδε ἐστίν; ἄνθρωπος τυχὸν ἢ ἵππος. τὸ τίς δέ, ὑπόστασιν, καὶ πρόσωπον. οἷον, τίς ὅδ' ἐστί; Σωκράτης τυχὸν ἢ Πλάτων, καὶ τίς πόθεν εἰς ἀνδρῶν; ἐν τούτῳ γὰρ ὁ ἐρωτῶν οἶδε μὲν ὅτι ἀνὴρ κατὰ τὴν ἐρώτησιν, ζητεῖ δὲ τοὔνομα, ᾧ ἂν οὗτος τῶν ἄλλων ἀνδρῶν χωρίζοιτο. ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾷ κύριον, ἀλλὰ καὶ σὺν ἐπιθέτῳ ἐνίοτε κύριον. [οἷον τίς ὅδ' ἐστίν, ὁ ἡδὺς Λυκιανός. διὰ τοῦτο οὐκ ὀνόματι μόνον κυρίῳ τὸ τίς ὑποτάσσεται, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιθέτῳ. οἷον, Βαρῖνος ἐποίησε τόδε. καὶ ὁ Λυκιανὸς ἡδύς τίς ἐστι, κατὰ ταῦτα λέγεται καὶ τὸ ὅστις, καὶ τὸ ὁποῖός τις. καὶ τὸ μὲν ὅστις, νοεῖται ἐπὶ κυρίου ὀνόματος. τὸ δὲ ὁποῖός τις, ἐπὶ ἐπιθέτου. ὡς παρὰ Λυκιανῷ, τὸ δὲ ὅλον οἱ δῆμοι οὐκ ἐξετάζοντες ὁποῖός τις ἐστίν, ὁ τοῖς πράγμασιν ἐφεστηκώς, εἴτε καλὸς δηλονότι, εἴτε τὸ ἐναντίον. ἀπερθετικῶς λέγεται.

Τί δήποτε, διὰ τί.

Τί, πολλαχοῦ κεῖται κατὰ παρολκήν. οἷον, κεδνόν τι, καὶ ἔτι, καὶ ὕπο τι. καὶ ναῦς χαλκεμβόλους ὁμοῦ τι διηκοσίας.

Τί διαφέρει κάλλιον λέγειν, ἢ τίνι διαφέρει.

Τί, ὄνομα οὐδέτερον, καὶ λαμβάνεται ἀντὶ τοῦ διατί.

Τί τις ἂν εἴποι, οἱ δόκιμοι τόδε. τί ἄν τις εἴποι, κοινόν.

Τί φθονέεις ἐρίηρον ἀοιδόν. τὸ φθονεῖν, ἐπὶ κωλύσεως, καὶ μέμψεως.

Τί δαί, Ποιηταὶ μέχρι ἕνεκεν διφθόγγῳ γράφουσιν. οὐχ ὥς τινες οἴονται ἀντὶ τοῦ καὶ τοῦτο δεχόμενοι, ἀλλὰ αὐτὸν ὂν τῷ διὰ τοῦ ε ψιλοῦ γραφομένῳ. τοῦτο δὲ καὶ οἱ πεζοὶ γράφοντες, ἔστιν οἷς χρῶνται, ὅταν εἰπόντες τὸ τί δαί, εὐθὺς στίξωσι.

Τί δαί, σύνδεσμος ἐρωτηματικός. διὰ δὲ τὴν ἔκτασιν διφθόγγῳ γράφεται.

Τιβάθων, τιμώμενος.

Τιβαρηνοί, ἔθνος σκυθικόν, πλησιόχωροι Χαλύβων. οὗτοι δικαιότατοι, καὶ οὐδέποτε μάχην τινὶ συνέβαλον, εἰ μὴ πρότερον κατήγγειλαν καὶ ἡμέραν, καὶ τόπον, καὶ ὥραν τῆς μάχης.

* Τιβαρανία, χώρα πρὸς τῷ Πόντῳ.

Τιβαρηνοί. ἐν τῇ τῶν Τιβαρηνῶν γῇ, αἱ γυναῖκες ὅταν τέκωσι, τημελοῦσι τοὺς ἄνδρας ὥσπερ λεχούς, ὡς ἱστορεῖ Νυμφόδωρος ἐν τισὶ νόμοις.

Τίβδαινον, φίλον.

Τιβὴν τιβῆνος, λέγεται ὁ τρίπους, τριβήν τις ὤν, κατὰ ἀποβολὴν τοῦ ρ παρὰ τὸ ἐπάνω τριῶν βάσεων κεῖσθαι.

Τιβδεῖ, φοβεῖται, τρέμει.

* Τιβεριάς, πόλις τῆς Ἰουδαίας, πρὸς τῇ Γεννησαρέτιδι λίμνῃ. ἐκτίσθη δὲ ὑπὸ Ἡρώδου.

Τρίβηνος, λέβης, τρίπους.

Τί γάρ, τί οὖν. κατά φησιν δηλοῖ, ἀντὶ τοῦ πῶς γὰρ οὔ, διατί γὰρ οὔ.

Τιγάς, εἶδος ἀμπέλου.

Τίγγα, Διοκλῆς ἐν μελίτταις. Ἡρακλέων δὲ ἡ διαλλῶν, ὅτι βαρὺ τὸ κιντάβαρι λέγει.

Τιγόνιον, ἢ τεττιγόνιον, εἶδός τι τεττίγων, ὡς Ἀριστοτέλης.

Τίγρις, ποταμὸς Περσῶν, καὶ ὁ τοῦ ποταμοῦ ῥοῖζος, καὶ ζῶον παρὰ μὲν Ἰουδαίοις, φοράδει. παρὰ δὲ Ἕλλησι, τίγρις.

Τί δαί, τί γὰρ ἄλλο, ἢ τί γὰρ Κρῆτες. Βοιωτοὶ δὲ ἐνθάδε, Ἀττικοί, διατί δή.

Τί δόσορε, τί ποιεῖτε, Ταραντῖνοι.

Τίει, τιμᾷ, σέβεται, αἰδεῖται.

Τίεσκε μύθους, ἐτίμα τοὺς λόγους.

Τιή, καὶ ὁτιή. δῆλον ὅτι ἐπέκτασίς τίς ἐστιν ἐν τοῖς τοιούτοις τὸ η, ἑτεροία μέντοι παρὰ τὴν ἐν τῷ νυνὶ καὶ τοῖς ὁμοίοις. ἢ μᾶλλον γέγονε κατὰ πλεονασμόν, ὥσπερ ἐπεὶ ἐπειή. οἷον, ἐπειὴ πολὺ φέρτερός ἐστι, καὶ τιή, ὡς Ἀττικῶς ἔχει τὴν διὰ τοῦ η ἐπέκτασιν. καθὰ καὶ τὸ ἐπειὴ δῆλον ἐν τοῖς ἑξῆς. ὁμοιοῦται δὲ ταύταις καὶ τὸ αὖ, γινόμενον ἐκ τοῦ ὦ.

Τιάνη, ἡ βασίλισσα.

Τιήρη, τὸ ὀξύ. Πέρσαι.

Τιτιβεῖν, τιμωρεῖσθαι.

Τιὴ τί δή, παράλληλα Ἀττικῶς, καὶ παρ' Ὁμήρῳ. τιὴ τί δὴ λείπεσθαι ἄριστοι.

Τιθαιβώσσειν, κυρίως ἐπὶ μελισσῶν, τὸ ἀποτιθέναι βόσιν ἑαυταῖς. ὅ ἐστι, συμβολοποιεῖν.

Τίθαι, τιθασαί, τελείαι, ἐργάτιδες, πρᾳεῖαι.

Τιθασεύει, ἡμεροῖ, πραΰνει.

Τιθεῖ νόον, ἤγουν τίθησι νόον. ἀρχή ἐστι τοῦ λέγειν συνθέτως νουθετεῖν. εἰ καὶ βαρυτόνως τίθει γράφεται, σημαίνει μὲν τὸ αὐτό. ἐνήλλακται δὲ χρόνος ἀντὶ χρόνου, ἀντὶ ἐνεστῶτος δηλαδὴ παρατατικός, ἐν τῷ ν' τῆς Ἰλιάδος.

Τίθεμαι, καὶ τίθημι, τὸ ποιοῦμαι καὶ καθίστημι. οἷον, τίθεμαι καὶ τίθημι νόμους, ἢ ψήφους, ἢ σπονδάς. τίθεμαι καὶ τὸ νομίζω, καὶ κρίνω, καὶ ἄγω, οἷον ἐν τοῖς φίλοις σε τίθεμαι. τίθεμαι τὸ συμφωνῶ, καὶ συγκατατίθεμαι. Συνέσιος, ἀλλὰ βούλεσθαι τὸ δίκαιον καὶ τὰ δέοντα, καὶ συντίθεσθαι τοῖς ἀδικουμένοις, καὶ οὐκ ἀφαιρήσεται. τίθεται καὶ φθόνος, ἡ μέμψις. καὶ ἀνεπίφθονος, ἄμεμπτος.

Τιθέντες, ποιοῦντες, παρασκευάζοντες.

Τίθον, ἰσόθεον.

Τιθράσιαι γοργόνες, ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ. οὐκ εἰκῇ δὲ τοῦτο εἶπεν ὁ Ἀριστοφάνης, ἀλλὰ ἐοίκασι τὸν δῆμον διαβάλλειν τοῦτον ὡς κακοπράγμονα. εἰσὶ δὲ οὗτοι, ἀπὸ Τίθραντος τοῦ Πανδίονος παιδὸς ἐπώνυμοι. εἰς δὲ τὴν Αἰγηίδα φυλὴν κατανενέμηνται. Ἄλλως.

Τιθράσιος, τόπος τῆς Λιβύης, ἔνθα αἱ Γοργόνες διέτριβον.

Τίθετι. τὰ προστακτικὰ τῶν εἰς μι, διχῶς κανονίζεται. καὶ ἀπὸ τοῦ παρατατικοῦ, ὥσπερ καὶ ἐπὶ τῶν εἰς ω, καὶ ἀπὸ τῆς μετοχῆς. οἷον, ἵστην ἵστης ἵστη, καὶ τὸ προστακτικόν, ἵστη. ὡς δὲ ἀπὸ τοῦ ἱστὰς ἱστάντος, ἵσταθι. οὕτως ἀπὸ τοῦ τιθεὶς τιθέντος, τίθετι.

Τιθέω τιθῶ, καὶ ἐτίθεον ἐτίθουν, ἐτίθεες ἐτίθεις, ἐτίθεε ἐτίθει. ἐτίθην δὲ ἐτίθης ἐτίθη, οὐ λέγομεν.

Τιθήμεναι, ἔκτασις ἀντὶ τοῦ τιθέναι. τοῦτο καὶ Ἀττικόν ἐστι.

Τιθήμενον. ὡς τοῦ μέτρου ἐπιτάξαντος, ἐφύλαξε τὸ η τοῦ τίθημι ἐνεστῶτος. καὶ οὐκ ἔτρεψεν αὐτό, λόγῳ τῶν εἰς μι. κεῖται παρ' Ὁμήρῳ. τιθήμενον δέ, παρατιθέμενον. ὅ ἐστι, καθοπλιζόμενον.

Τιθήνη, γίνεται παρὰ τὸ θῶ θήσω τὸ θηλάζω. ἀναδιπλασιασμῷ, θιθῶ. καὶ τροπῇ τοῦ δασέος εἰς ψιλόν, τιθῶ, διὰ καλλίονα φωνήν. τὴν δὲ τιθήνην, καὶ τιθηνόν φασιν οἱ παλαιοί. λέγοντες καὶ ὅτι τίτθη καὶ τροφὸς καὶ τιθηνή, διαφέρουσι παρὰ τοῖς μὴ πενιχροῖς. τίτθαι γὰρ βαρυτόνως, ἢ τιτθαὶ ὀξυτόνως, αἱ τοὺς τιτθοὺς παρέχουσαι. ὅπερ ἐστὶ μαστούς, ἐξ ὧν καὶ βρέφος ὑποτίτθιον, τὸ ὑπομάζιον. τιθηναὶ δὲ καὶ τροφοί, αἱ φασὶν ἄλλον πόνον κατὰ τὸν ἀπογαλακτισμὸν ἀναδεχόμεναι. ἤγουν περιφέρουσαι, καὶ προσπαίζουσαι τοῖς τροφίμοις, καὶ ἄλλως ἐπιμελῶς ἐκτρέφουσαι, καὶ τοιαῦται μὲν αὗται. ὁ δὲ τιτθός, πλεονασμὸν ἔχει τοῦ τ', ἐπείπερ ἐκ τῆς ταχυφωνίας, γίνεται γὰρ ἀπὸ τοῦ ἐντίθεσθαι στόμασι βρεφικοῖς.

Τιθηνοκόμοι γένος, τοὺς Αἰθίοπας. ἐπεὶ μέλανες καὶ κομῶνται.

Τιθηνῶ, τὸ τρέφω.

Τιθῆσι, τιθεῖ.

Τιθιᾶσθαι, τιμᾶν.

Τίθρασα, χαλεπά, τραχέα.

Τιθήνας, τροφούς, παρὰ τὸν τιτθόν, ὃς σημαίνει τὸν μαστόν, γίνεται τιτθήνη. καὶ ἀποβολῇ τοῦ τ, τιθήνη. ἢ παρὰ τὸν θήσω μέλλοντα τὸ τρέφω, ῥηματικὸν ὄνομα θήνη. καὶ διπλασιασμῷ, τιθήνη.

Τιθηνῶ, τὸ τρέφω.

* Τιθύμαλλος,, εἶδος βοτάνης δριμυτάτης. παρὰ Λάκωσιν ὀνομαζομένης. τιθύμαλλος Λακωνικός. εἴρηται δὲ ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμούς.

Τιθωνὸν καλόν, ἱστοροῦσιν ἡρπαγμένον ὑπὸ τῆς Ἠοῦς, ὥσπερ Γανυμήδην ὑπὸ τοῦ Διός. ὅτι δὲ οὐ μόνον ἀνδρεία καὶ αἱ λοιπαὶ ἀρεταὶ ἄνδρας τε καὶ γυναῖκας ἀπηθανάτισαν, ἀλλὰ καὶ διὰ κάλλος πολλοὶ περιάδονται, οὐδεὶς ἀγνοεῖ. ὅτι δὲ κάλλος ὁμώνυμον εἶναι, δηλοῖ καὶ ὁ γράψας, ὅτι τὸ κάλλος καὶ ἐπὶ ἀλεκτρυόνος λέγεται αὐτῷ, τέτραξ ὁ μείζων μέγεθός ἐστιν ὑπὲρ ἀλεκτρυόνα, μέγιστα ἔχων ἑκατέρωθεν τῶν ὤμων ἠρτημένα, ὡς καὶ οἱ ἀλεκτρυόνες τὰ κάλλαια. ἄλλως. Τιθωνὸς κατὰ τὸ μυθικὸν καὶ τὴν ἱστορίαν, ἦν ἀδελφὸς Πριάμου ἀμφιμήτριος. ὁ μὲν γὰρ Πρίαμος, ἦν Λευκίππης, ὁ δὲ Τιθωνός, Ῥοιοῦς τῆς Κασάνδρας υἱός, ἢ Στρυμοῦς. ἀμφότεροι δὲ ἐκ πατρὸς Λαομέδοντος. φασὶ γοῦν, ὅτι τοῦτον τὸν Τιθωνὸν σύνευνον ἔσχεν ἡ ἡμέρα. ἐξ οὗ γεννᾷ Ἀμέμνονα, καὶ Ἠμαθίωνα. ἀθάνατον τὸν Τιθωνὸν ποιήσασα, ἐπελάθετο ποιῆσαι καὶ ἀγήρω. γηράσαντα τοῦτον τῷ ταλάρῳ καὶ λίκνῳ, ἤτοι κοιτίῳ αὐτὸν περιστρεφόμενον δίκην βρεφυλλίων καθεύδειν, ὡς τέττιγα μετέβαλε.

Τιθωνός, ἡ ἡμέρα, παρὰ τὸ τιθασός, τὸ σημαῖνον τὸ ἥμερος. σημαίνει καὶ τὸν γέροντα παρὰ Ἀριστοφάνει, ἔστι καὶ ὄνομα κύριον παρ' Ὁμήρῳ.

Τιθωνὸς ὑπεργηράσας. οἱ λίαν πρεσβῦται, Τιθωνοὶ ἐσκώπτοντο, ὡς ἀπὸ τοῦ Ἰαπετοῦ καὶ Κρόνου, αὐτοὶ καὶ Κρόνοι τε καὶ Ἰαπετοί. ληροῖ δὲ ὁ μῦθος περὶ Τιθωνοῦ, καὶ ὅτι γῆρας ἐν ταλάρῳ ἢ καρτάλῳ δηλουμένῳ, ἐν ταῖς τοῦ Κωμικοῦ ἐκρεμάσθη, ὡς ἂν δηλαδὴ μὴ φαίνοιτο τοῖς πολλοῖς, ἢ εἰς τέττιγα μετεβλήθη.

Τί ἱκανόν, τί ὄφελος.

Τίκεν, τίαν.

* Τί κοινὸν κυνὶ, καὶ βαλανείῳ. παροιμία ἐστὶ τῶν ἀναρμοδίων. Λυκιανός.

Τίκτω, μέλλοντα οὐκ ἔχει, καὶ τὸ τίκτομαι ὡσαύτως. ἀπὸ δὲ τοῦ τέκω ἀχρήστου δηλοῦντος τὸ τίκτω, γίνεται μέλλων τέξω ἄχρηστος, καὶ τέξομαι παθητικόν. ἔχει δὲ σημασίαν ἐνεργητικήν. καὶ ἀποτέξεται, ἀντὶ τοῦ γεννήσει, ὁ δεύτερος ἀόριστος, ἔτεκον. ἡ μετοχή, ὁ τεκὼν τοῦ τεκόντος, συντάσσεται δὲ αἰτιατικῇ καὶ δοτικῇ. Ἡσίοδος, τίκτουσι δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσι.

Τίκτειν, κυρίως ἐπὶ γυναικός, τὸ γεννᾷν ἐπὶ ἀνδρός. ὅθεν καὶ γεννήτωρ καὶ γεννέτης ὁ πατήρ. Ὅμηρος δὲ τῷ τίκτειν καὶ ἐπὶ ἀνδρὸς χρῆται. ὡς ἔχει τό, ὃν ἀθάνατος τέκετο Ζεύς.

Τιλίαι, αἴγυροι.

Τιλλά, πτερά.

Τίλλω ἐνεργητικῶς τὸ ἀνασπῶ καὶ ξαίνω. τίλλομαι δὲ παθητικῶς, καὶ τὸ ἀνασπῶ καὶ ἀνασπῶμαι. ὡς παρὰ Θεοκρίτῳ, ποιήσεις με αὐτίκα τῖλαι εἰς λεπτά, ἤγουν διασπαράξαι καὶ τεμεῖν τὸν στέφανον δηλονότι.

Τιλφώσσιον, ὄρος μικρὸν ἀπέχον τῆς Κωπαΐδος λίμνης.

Τίλλειν, παρὰ μὲν Ὁμήρῳ ἄλεκτον ἔχει. ὁ δὲ παρὰ τῷ Κωμικῷ τιλμός, καὶ τὸ ἐκτίλλειν καὶ παρατίλλειν, ἐξ ὅπερ αὐτὸς γίνεται, σκῶμμα ἔχει παικτικόν τι τοῦτο, τίλλων τρίχας.

Τίλ-

Τίλλει ἑαυτὸν λέγεται τις, τὸ τῆς ἑαυτοῦ τρίχων ἐπιλαμβάνεσθαι, καὶ σπαράττειν τὰς κόμας.

Τιλλομένη, λοιδορουμένη.

Τίλματα, σπάσματα. τὰ δὲ σπάσματα περὶ τὰς ἶνας γίνεται τῶν μυῶν, ἐπιπλεῖον παθούσας, ὡς ἐνίας ῥαγῆναι, καὶ καλοῦσι ἰδίως οἱ νεώτεροι τῶν ἰατρῶν τὰ τοιαῦτα παθήματα, τίλματα. Γαληνός.

Τίλμος, παιδιά.

Τίλτον, εἶδος ταριχίου.

Τιμᾷ τις ἀρετήν, ἀντὶ τοῦ ἐργάζεται.

Καὶ ἐπαινεῖ σιωπήν, ἀντὶ τοῦ σιωπᾷ.

Τιμαλία, ἡ μικρὰ τιμή.

Τί μαθών, τί βουλόμενος.

Τιμαλφής, ἔντιμος, τιμὴν ἀλφαίνουσα, ἤτοι τιμῆς ἀγομένη. Γαῖ φοίνιξι ἔσπερμ᾿ τινὲς μὲν τὴν Γαῖαν. Αἰσχύλος δὲ ἐν ἐπιγόνοις, ἐπὶ τοῦ ἐντίμου.

Τιμαίνεται, τιμήματι.

Τιμαλφέστατον παρὰ Λυκόφρονι, πρᾶγμα ἄγαν τίμιον, τὸ τιμιώτερον καὶ λαμπρότερον, τὸ τιμὴν εὑρίσκον πλείστην. ὃ δὴ συμβέβηκε τῷ χρυσῷ, ἀλφεῖν γὰρ τὸ εὑρίσκειν. καὶ τιμαλφούμενος, ὁ τιμὴν εὑρίσκων.

Τί μάναξ, ὁ σφηκώς. ὁ δὲ αὐτὸς καὶ Θεόδωρος.

Τιμάω, τιμήσω.

Τί μέλλω, τί βραδύνω.

Τιμή ἐστιν, ἡ καθ᾿ ἐν τῶν γερῶν ἀξίωσις. καθάπερ δὲ, ὁ παρὰ τῶν πολλῶν ἔπαινος. γέρας δέ ἐστιν, ἆθλον ἀρετῆς. ἔστι δὲ καὶ ἡ παρὰ τῶν πολλῶν τιμὴ παρακειμένη. ὥσπερ τῷ κλέει ἡ δόξα.

Τιμή, ἤγουν ποινή. γίνεται ἐκ τῶν τίω τὸ τιμωρῶ. ἢ καὶ ἀπὸ τοῦ τίω, τὸ ἀνταποδίδωμι. ὅθεν καὶ τὸ τιμᾶν ἀποτινύμεν, καὶ τὸ τιμὴν τίνειν. ἐτυμολογικῷ τρόπῳ. Πίνδαρος μέν τοι πολλαχοῦ ποινήν, τὴν ὑπὲρ καλοῦ ἀμοιβήν. δύναται δὲ καὶ ἄλλως τιμὴ νοηθῆναι, καὶ τὸ παρὰ τοῖς ὕστερον λεγόμενον τίμημα. ἵνα λέγῃ Εὐρύμαχος παρ᾿ Ὁμήρῳ ἐν χ᾿ τῆς Ὀδυσσείας, ὡς τιμησόμεθα τὰ δαπανηθέντα, ἰδίᾳ καὶ χωρὶς ἕκαστος ἀγαγόντες, ἐν συναλλαγῇ, χαλκὸν καὶ χρυσὸν κατὰ τὸ ἀνάλογον, ἕως ἂν τὸ κῆρ ἰανθῇ. ἡ δὲ τοιαύτη τιμὴ κωμικώτερον, τίμιος λέγεται. ὥσπερ χολὴ χόλος, ὠνὴ ὦνος. καὶ ἡ τιμὴ παράγει τὸν ἐπιτίμιον, ὅς ἐστιν ὁ ἔντιμος. ὁ δὲ ἐπιτίμιος τοῦ ἐπιτιμίου, ὅς ἐστιν ὁ ἐπιζήμιος καὶ ἐπίπληκτος. ἀφ᾿ οὗ καὶ τὸ ἐπιπλήξειν, ἐπιτιμήσειν φαμέν. καὶ ἐπιτίμησον τῷ δεῖνι, ἀντὶ τοῦ ἐπίπληξον. καὶ νοητέον ἐκεῖθεν, ὅτι τὸ ἐπιτίμιος ἀρσενικὸν ἐστὶν οὐδέτερον, τὸ κοινῶς λεγόμενον ἐπιτίμιον. ἵνα ᾖ ὥσπερ ἐγκώμιος λόγος, ὡς παρὰ Πινδάρῳ πολλαχοῦ, καὶ ἐγκώμιον ἀπ᾿ αὐτοῦ σύγγραμμα. δηλαδὴ οὕτω καὶ ἐπιτίμιος ἀνήρ, καὶ τὸ ἐπιτίμιον πρᾶγμα, ἢ λόγιον.

Τιμή ἐστι, δόσις ἀγαθῶν ἐν ταῖς δι᾿ ἀρετὴν πράξεσι διδομένων ἀξίωμα ἀπ᾿ ἀρετῆς σχῆμα. συνδόσματος τήρησις ἀξιώματος.

Τιμῆς καὶ ὕλος παρὰ τῷ Ποιητῇ, ἐν οἷς παράλληλος ὁ αὐτὸς νοῦς.

Τιμήεις χρυσός, διὰ τὸ ὑπερέχειν τῶν λοιπῶν ὑλῶν.

Τίμημα, ἀντὶ τοῦ ἐνέχυρον, καὶ οἷον ἀποτίμημα. ὡς Λυσίας. τίθεται δὲ ἀντὶ τοῦ οἷον κεφάλαιον. ὡς ἐν τῷ περὶ τῶν συμμοριῶν Δημοσθένης. λέγεται δὲ καὶ τὸ ἐκ τῆς οὐσίας εἰσφερόμενον παρ᾿ ἑκάστου τίμημα. ἐν δὲ τῷ κατὰ Μειδίου, ἐπὶ τιμωρίας εἴρηται. ῥητορική.

Τιμὴν ἀρνύμενοι. τιμὴν τὴν τιμωρίαν φασὶν οἱ παλαιοὶ φιλοσοφώτερον. ὡς γὰρ ὁ ἀδικηθεὶς χρήματα πολλάκις πρὸς τοῦ ἀδικήσαντος ἀρνυται, καὶ ζημίαν τῆς εἰς αὐτὸν ἀδικίας ἀντικαταλλάσσεται, ἢ τυχὸν καὶ κόλασιν ἀντιλαμβάνεται ὕβρεως ἐκ τοῦ ὑβρίσαντος, οὕτω καὶ οἱ Ἕλληνες πολιορκοῦντες τὴν Τροίαν, τιμωρίαν ταύτην τοῖς βασιλεῦσιν ἀντικαταλλάσσονται, τῆς ὑπὲρ Τρώων πεπλημμελημένης εἰς τὴν Ἑλένην ἁρπαγῆς. τὸ δὲ ἐπᾶνον ὅτι τιμῶ, ἤγουν κλέος ἀγαθὸν ἐκ Τρώων ἀρνύμενοι σοί τε καὶ τῷ Μενελάῳ, φαῦλον μέν τοι προφανὲς ἔχει. φησὶ καὶ ὅτι πολεμοῦμεν ὄφρα σὺ χαίρῃς, ἐκ ἀρέσκει τοῖς παλαιοῖς. βούλονται τοὺς Ἕλληνας πρὸς Τρώων τιμωρίαν καὶ δίκην, εἰς ἐκδίκησιν ἀποφέρεσθαι.

Τιμήοροι, ἥρωες καὶ ἔφοροι.

Τιμήσεως, ζημίας.

Τιμηταί, οἱ τιμώμενοι τὴν ἑκάστου οὐσίαν.

Τιμητικὸν πινάκιον, τὸ τοῖς δικάζουσι τιμώμενον, ἐν ᾧ γράφουσι τί χρήσιμον. Ἀριστοφάνης.

Τιμηρέειν, τιμηπολεῖν.

Τίμιος, παρὰ τὸ τιμή.

Τιμιουχῶν, ἔχων τὴν τιμήν. πιπεῖσι, τιμῶν.

Τιμόθεος, πλούσιος ἅμα καὶ ὄλβιος, ἀνὴρ στρατηγὸς Ἀθηναῖος, τεῖχος οἰκοδομήσας, εἰς τοσοῦτον ἦρθη τῆς τύχης, ὡς τὴν δαίμονα ἐν ὄψει φαίνεσθαι αὐτῷ. καὶ ἐν Ἀθήναις ἐν εἰκόσιν ἐποίουν αὐτὸν κοιμώμενον οἱ ζωγράφοι, καὶ τὰς τύχας φερούσας αὐτῷ εἰς δίκτυα πόλεις, καὶ πορθούσας αὐτάς, αἰνιττόμενοι τὴν εὐδαιμονίαν αὐτοῦ, ὃς ὑψηλὸν πάνυ πύργον ἐποίησεν ὡς πλείστος.

Τιμιοτίχης, ἀντὶ τοῦ τί κατ᾿ ἐμοῦ ἔχεις. καθ᾿ ὅμοιον τρόπον καὶ τὸ ἐχθρῷ ἐπιχαίρει τις.

Τιμῶντας, τιμίους ὄντας.

Τιμοῦχος, ἔντιμος, ἀξιόλογος, καὶ ἀρχὴν ἰσχυρότατος, μέγιστος.

Τιμῶ, οὐ μόνον τὸ δοξάζω, ἀλλὰ καὶ τὸ τιμωρίαν ἐπιτίθημι τινί, ἀπὸ δοτικῆς εἰς γενικήν. ἔξ καὶ τὸ τίμημα, ἡ τιμωρία. τιμῶμαι δὲ παθητικῶς, καὶ ἐπὶ ἐνεργητικῆς σημασίας καὶ ἐπὶ παθητικῆς. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ, τιμᾶται δ᾿ ἐμοὶ ἀνὴρ θανάτου. καὶ Δημοσθένης, ἢ ἐγὼ τάχιον ὅτιοῦν τιμῶμαι, ἂν μὴ τὰ δίκαια φῶ πρὸς ὑμᾶς. καὶ τιμῶμαι τὸν τὸ δεῖνος, ὡς τοῦ παντὸς τιμῶμαι τὰ σά. ἤγουν, εἰς λόγον τιμήματος τοῦ παντὸς ἄξια κρίνω. ὅπως ἔχει καὶ τὸ πόσου τιμᾶται ταῦτα τὰ ὤνια. ἤγουν, πόσου τιμήματος εἰσὶν ἄξια. ὅθεν καὶ τίμημα, ἡ τῶν ὠνίων ἀξία. λέγεται τίμημα, καὶ ἡ τελευταία, διὰ τὸ τὰς τῶν παλαιῶν οὐσίας δεῖ τινος ποσοῦ τιμᾶσθαι ταῖς τῶν παλαιῶν οὐσίας. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ, ὑπὸ τὰς ἀπὸ τῶν μεγάλων τιμημάτων, ἀλλὰ τὰς ἐπιεικεστάτας τὴν φύσιν. τίμημα δὲ καὶ ἡ πρόσοδος. Δημοσθένης, τὸ τίμημα τῆς πόλεως.

Τιμῶ, ἀγάλλω, ἀξιῶ, δοξάζω, κυδαίνω, πρεσβεύω, σέβω, σεβάζομαι, γεραίνω, τίω, τιμῶ, γεραίρω, πυτσοσήμαντα.

Τιμωρεῖν ἐστι, τὸ τιμὴν αἴρειν τοῖν ὑπέρ τινος, ἢ αἴρειν. ὅθεν ὁ τιμάορος, ὅ ἐστι τιμωρὸς τιμῆς ἐσται. δηλοῖ μὲν τὸ τιμῆεις. ἔξ καὶ ἐκράθη. ἔχει δὲ προσγεγραμμένον τὸ ι, καθὰ καὶ τὸ αἰγλήειν, αἰγλῆς, καὶ ἀπ᾿ αὐτοῦ τὸ χρυσὸν αἰγλήεντα. καὶ ἐξῆν μὲν ἐπὶ τοῦ φωνήεντα βέλεμνα παρὰ Πινδάρῳ εἶναι τὰ φωνήεντα. ὁ δὲ φωνεῦντα λέγει, ὡς ἀπὸ τοῦ φωνήεντα, κατὰ κρᾶσιν ὁμοίαν, τῷ πλέονα, πλεῦνα. θεὸν θεῦν. ὡς τὸ θεῦν Ἄρτεμιν, καὶ ἐρέβεος ἐρέβευς, καὶ Ὀδυσσέος Ὀδυσσεῦς.

Τιμωρεῖν ἀλλήλοις, ἤγουν βοηθεῖν. τιμωρῶ, ἐνεργητικῶς ὡς ἐπὶ τὸ πολύ, βοηθῶ. σπανίως δὲ τὸ κολάζω, παρὰ μόνοις Ποιηταῖς. τιμωροῦμαι δὲ ὡς ἐπὶ τὸ πολὺ μὲν τὸ κολάζω. σπανίως δὲ τὸ βοηθῶ. ἔστι δὲ τοῦτο μόνον τῶν Ποιητῶν. τιμωρία καὶ ἡ κόλασις, καὶ ἡ βοήθεια. καὶ ἀτιμώρητος, ὁ ἀκόλαστος, καὶ ὁ ἀβοήθητος. καὶ τιμωροῦμαι παθητικῶς τὸ κολάζω, αἰτιατικῇ συντάσσεται, τιμωρῶ δὲ, τὸ βοηθῶ, καὶ ἐκδικῶ, δοτικῇ.

Τιμῶς, ἀντὶ τοῦ τιμαίης. τὸ ἀφαιρεῖν τὸ η τῶν Ἀττικῶν. Ἀττικῶς ἐστι.

Τίν ἀντὶ τοῦ σοί λέγουσι Δωριεῖς. ὡς Θεόκριτος, τίν γὰρ ποταείσομαι, ἀντὶ τοῦ σοὶ γὰρ προσλαλήσω.

Τιναχσιπήλιξ, σεισολόφος.

Τίνειν, ἀποδοῦναι.

Τινδαλίην τυρεῖ, ἀθέρμω.

Τινδῶ παρὰ Λυκόφρονι, τῷ κήτει καὶ τῷ χωρήματι. παρὰ τὸ τίνω τὸ ἀνταποδίδωμι, καὶ τὸ θῶ τὸ τίθημι, Τιθωνὸς καὶ τινδὸς. πᾶν χώρημα. καὶ ἡ γαστήρ, πρὸς ἣν τίνομεν καὶ ἀποτιθέμεθα.

Τίνι διαφέρει τόδε, καὶ τόδε μὴ λέγε, ἀλλὰ τί διαφέρει. καθὰ καὶ Δημοσθένης, τί δῆλον, ἢ ἰλάδερον εἶναι διαφέρει.

Τιννύμενον, ἀπαιτούμενον, ἀποδιδόμενον.

Τίννυνται, τιμωρεῖνται.

Τιννύω, τὸ ἐκτίνω. ἀφ᾿ οὗ τιννύμεναι, παθητικῶς ἀεὶ ἀντὶ τοῦ λαμβάνω, παρὰ τῷ Εὐριπίδῃ, τιννύμεναι δίκην, τιννύμεναι φόνον.

Τινόλεον, διάπυρον, διάφορον, διεφθαρμένον, ἀφανές.

Τινών, ἐφθόν.

Τίνυ μοι μήκιστα γένηται. ἀντὶ τοῦ τίνα μοι κακὰ μείζω γενήσεται. εἰ δὲ γράφεται μήκιστα, ἐρωτᾷ τί ἄν μοι γένοιτο μῆχος, ἤτοι μηχανή.

Τίνω, σημαίνει τὸ ἀποδίδωμι. ἀπὸ τοῦ τίω κατὰ πλεονασμὸν τοῦ ν, ὡς τίω τίνω. λέγεται καὶ ἐκτίνω.

Τίξον, δεῖξον.

Τιόμην, τίμιος ἦν.

Τίοιτο, τιμηθείη.

Τίον μέσον ἡμέρας, ἐπίμων.

Τί ὀνήσω, τί ὠφελήσω.

Τίπτε, ἀντὶ τοῦ τίποτε. τὰ δύο ψιλά, εἰς δύο ἀντίστοιχα δασέα ἔτρεψεν Ὅμηρος, ὡς ἐν τῷ τίφθ᾿ οὕτως εἴσηται. γίνεται δὲ τὸ τίπτε, ἀπὸ τοῦ τί ποτε κατὰ συγκοπήν. καὶ τίπτε δέ σε χρειώ, ἀντὶ τοῦ τίς δέ σε χρεία καταλαμβάνει.

Τί πράττεις, τί ποιεῖς.

Τίρεα, τὰ ἄρεα.

Τί ῥέζεις, τί πράττεις.

Τίρεται, καταμολωεῖται, καταπονεῖται.

Τίρεος, θέρος, Κρῆτες.

Τίρυνθα, ἱερὰν πόλιν Ἄργους λέγουσι. Κυκλωπες δὲ αὐτὴν ἐτείχισαν διὸ καὶ ἱερὴν λέγει.

Τίρυνθα τειχιόεσσαν λέγει, διὰ τὸ εὐτειχίσθαι. δοκεῖ δὲ ὑπὸ Κυκλώπων τειχισθῆναι τῆς κατὰ τὸ Ἄργος, οἱ καὶ ἐγχειρογάστορες ἐκαλοῦντο καὶ χειρογάστορες, οἷα χειροτέχναι, καὶ τοῖς ἐκ χειρῶν ἔργοις τὴν γαστέρα πληροῦντες. ἀλλὰ τοῦτο τῆς ἱστορίας. ὁ δὲ μῦθος τερατολογῶν γαστρὸς ἑκάστῳ αὐτῶν ἐκτεινομένας τὰς χεῖρας, ὑπὸ τούτων γοῦν φασι τῶν Κυκλώπων τειχισθῆναι τὸ Ἄργος, οὐ μὴν ὑπὸ τῶν Σικελῶν, οἷς οὐδὲν κοινὸν πρὸς ταῦτα, τοῖς μόνους ὄντας. ἢ κατά τινας. ὧν ἑκάστῳ εἷς ὀφθαλμὸς ἐνέκειτο μετώπῳ κατὰ Ἡσίοδον. οἷς καὶ σπήλαια ἐν τῇ Ἀργείᾳ χώρᾳ ἐπονομάζονται. καλεῖται δέ φασι Τίρυνς, ἀπὸ Τίρυνθος ἀδελφοῦ Ἀμφιτρύωνος. ἐκαλεῖτο δὲ πρότερον Ἅλιεῖς, διὰ τὸ πολλοὺς ἁλιεῖς οἰκεῖν ἐκεῖ. κατὰ δὲ Παυσανίαν, Ἁλιεῖς περὶ Τίρυνθα, οἱ τὰ παρὰ θάλασσαν τῆς Πελοποννήσου οἰκοῦντες. ὁ γεωγράφος, ὀρμητήριον Προίτου τὴν Τίρυνθα λέγει. τειχισθεῖσαν διὰ Κυκλώπων, οὓς ἑπτὰ φασι γαστερόχειρας καλουμένους, τρεφομένους δὲ ἐκ τῆς τέχνης, μεταπεμφθέντας ἐκ Λυκίας ἐλθόντας.

Τιρύνθιον Ἄργος, τὰς Μυκήνας.

Τιρυνθιοπλίνθευμα, ἀντὶ τοῦ τεῖχος. ὑπὸ Κυκλώπων δὲ κατεσκεύαστο.

Τίς, ἐν ὀνόμασι μόνον ἐγκλίνεται, καὶ αἱ αὐτοῦ πτώσεις καὶ ἀριθμοί, καὶ τὸ οὐδέτερον. οἷον, ἄνθρωπός τις, ἤκουσά τινος, ἔδωκά τινι, εἶδον τινά, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. καὶ ἰσοδυναμοῦντα τούτοις, τὸ πῇ, καὶ τὸ τῇ. οἷον, ἤκουσά τι λέγοντος, ἀντιλεξάτω φράσαντι, ταῦτα δὲ ἐγκλινόμενα ἀόριστά ἐστι, τὰ δὲ κατὰ φύσιν τόνον ἔχον, πυσματικὰ γίνεται. πόθεν τίς τίνος τίνι τίνα, καὶ τὰ πληθυντικὰ τίνες, τίνες τίνων τίσι τίνας.

Τίς, ἐνίοτε μὲν ἀόριστόν ἐστιν, ὅτε ἐγκλίνεται, οἷον, ἤρηκέ τις, καὶ ἐπὶ τῆς γενικῆς ὀξύνεται. οἷον, τινὸς ἀνθρώπου ἀφόρησεν ἡ χώρα. ἐνίοτε δὲ ἐρωτηματικόν ἐστιν, ὅπερ οὐκ ἐγκλίνεταί ποτε, καὶ τὴν γενικὴν παροξύνονον ἀεὶ ἔχει.

Τίς γένωμαι, ποῖ τράπωμαι. τάττεται καὶ ἐν ἀπορίᾳ, μετὰ ὑποτακτικοῦ συντασσόμενον.

Τίς ἦ κεῖται Ἀγαμέμνονι, οὐ μόνον ἀντὶ τοῦ ὑπάρχει κεῖται, ἀλλὰ καὶ ἀντὶ τοῦ πορίζοιτο, ὡς ἀπὸ τοῦ ἀωρεινῶς. ὅθεν καὶ ἴσαν, ἀντὶ τοῦ ἐπορεύθη. καὶ ἦν ἀντὶ τοῦ ᾖλθε. καὶ ἰὼν μετοχὴ ἐν Ὀδυσσείᾳ.

Τίς θεός ἐστι, παρ᾿ Ὁμήρῳ ἐν Ὀδυσσείας ρ᾿, ἰδιωτικῶς ἔχει. λείπει γὰρ ἴσως, τὸ τί ἂν γίνοιτο ἢ τί

ἢ τί ἂν ἐρεῖς. ἵνα λέγῃ ὅτι, οὐλόμενε, τί γενήσεται, εἰ Θεός ἐστι.

Τῖσαι, ἀποδοῦναι.

Τίσαιον, ἀκρωτήριον Θεσσαλίας. οἱ δὲ Θεσπρωτίας.

Τίσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε. ἤγουν ἐκδικῆσαι ὡς καὶ προείρηται ὑπὸ Νέστορος, τὴν ἐξ ἀρχῆς ἁρπαγιμαίαν αὐτῆς ὁρμὴν, καὶ τὸ ὕστερον μεταμέλον. πολλαχοῦ γὰρ ὁ Ποιητὴς στενάχουσαν αὐτὴν ποιεῖ, ἐφ' οἷς ἡρπάγη, καὶ μεταμέλον τιθεμένην.

Τίσασθαι, τιμωρήσασθαι. διαφέρει γὰρ τοῦ τίσειν, τὸ τιμωρήσειν. τιμωρεῖν μέν ἐστι, τὸ ἀπαμύνειν καὶ βοηθεῖν. τιμωρήσασθαι δὲ, τὸ τὸν προυδικηκότα κολάζειν, ὡς ἀμύνειν καὶ ἀμύνασθαι.

Τίσασθαι Ἀλέξανδρον κακότητος, ἀντὶ τοῦ ἕνεκεν τῆς κακίας, Ἀττικὴν ἔχει ἔλλειψιν. πλεονάζουσιν οἱ μεθ' Ὅμηρον τῷ τοιούτῳ σχήματι. ὁποῖον καὶ τὸ θαυμάσαι δίκαιον τὸν Ἰσοκράτην τῆς τέχνης.

Τίσανδρος, παρὰ τὸν τίσω μέλλοντα. ἢ ἀπὸ τῆς τιμῆς, τιμήσανδρος καὶ συγκοπῇ.

Τίσει, ἀντὶ τοῦ ἀποδώσει, καὶ ἀντὶ τοῦ τιμήσει.

Τίσειαν, ἔχει τριπλῆν ἔννοιαν, ὡς πρὸς τὰ γ' τοῦ τίω σημαινόμενα. ἤγουν, πρὸς τὸ τίω τὸ τιμῶ, πρὸς τὸ τίω τὸ ἀνταποδίδωμι, καὶ πρὸς τὸ τίω, τὸ τιμωρίαν δίδωμι.

Τίσειαν, εὐκτικὸν μέν ἐστιν Αἰολικὸν, ἔπεσε δὲ καὶ εἰς χρῆσιν κοινήν. κανονίζεται δὲ καὶ αὐτὸ καὶ τὰ ὅμοια ῥήματα, ἐκ πρώτων ἀορίστων ἐνεργητικῶν ληγόντων εἰς α, ἐπενθεθείσης τῆς ει διφθόγγου πρὸ τοῦ α, καὶ τῆς ἀρχούσης ἀποβληθείσης. οἷον, ἔλεξα λέξεια, ἔτυψα τύψεια. οὕτω γοῦν καὶ ἔτισα τίσεια. εὔχεται δὲ τὰ τοιαῦτα ῥήματα κατὰ τοὺς παλαιοὺς σύντομον τοῦ πράγματος ἄνυσιν, καὶ τούτῳ μόνον διαφέρουσι τῶν κοινῶν εὐκτικῶν. οἷον, τὸ μὲν τύψαις ἢ λέξαις, ἀόριστον ἔχει τὸν ἐπιθυμητὸν καιρὸν τοῦ εὐκταίου πράγματος. ὁ δὲ εἰπὼν τύψειας ἢ λέξειας, εὔχεται τάχιον ἀνυσθῆναι, ὃ εὔχεται. διό φασιν οὐ δεῖ λέγειν ἡμᾶς πρός τινα τὸ ζήσειας εὐκτικῶς, ἤ τι τοιοῦτον, ἵνα μὴ δοκῶμεν εὔχεσθαι, τάχιον αὐτὸν ἐλθεῖν εἰς τέλος τοῦ καλῶς ζῆν.

Τίται, εὔποροι, ἢ κατήγοροι τῶν ἀρχόντων.

Τιταίνειν, ὅ ἐστι τείνειν. παράγει μὲν καὶ τοὺς Τιτᾶνας, κατὰ τὸν Ἡσιόδου μῦθον.

Τιταίνει. τῶ, ἄχρηστον θέμα καθάπερ οὐ χρηστὸν, οὐδὲ τὸ τῶ τὸ λαμβάνω. ἐξ οὗ καὶ Κύκλωψ τῆ πίε οἶνον. ἐκ δὲ τοῦ προτέρου τῶ, παράγωγα ἓν μὲν τένω, ἐξ οὗ τὸ τείνω. ἔτι καὶ ὁ τένων ἐκ τοῦ τένω. ἕτερον δὲ ταίνω διὰ διφθόγγου, ὡς ῥῶ ῥαίνω, καὶ ἀναδιπλασιασμῷ, τιταίνω. ὅθεν φῦλον δαιμόνιον οἱ Τιτᾶνες.

Τιταίνεται τείνεται, ἕλκεται. παρὰ τὸ ταίω τῶ, καὶ ἐκτείνω ταίνω κατὰ παραγωγὴν καὶ ἀναδιπλασιασμὸν, τιταίνω. καὶ τιταίνομαι, τὸ ἕλκομαι.

Τιταινόμενος, σχῆμα ὠθοῦντος δηλοῖ. ὃς χεῖράς τε καὶ πόδας τιταίνει βιαζόμενος.

Τιταίνεσθαι εἰς δρόμον, τὸ σπεύδειν ἐστὶν, ὡς παρ' Ὁμήρῳ.

Τιτακίδαι, δῆμός ἐστι τῆς Αἰαντίδος φυλῆς. μή ποτε δὲ ἀπὸ τοῦ Τιτακοῦ ὠνόμασται, οὗ μέμνηται Ἡρόδοτος. τὸ δὲ Τιτακίδαι καὶ Θυργοῦνδοι, φρατρίαι τινὲς καὶ γένη ἄδοξα. εἰς γὰρ εὐτέλειαν ἐκωμῳδοῦντο. οὐχὶ δὲ δῆμοι, ὥς τινες οἴονται,

Τιτὰν, ἀπὸ τοῦ τιταίνειν, ἤγουν ἐκτείνειν. ἢ τιτὰν, ὁ Ἀπόλλων καὶ ὁ Τιθωνὸς, ὃς καὶ αὐτὸς ἀλληγορεῖται εἰς τὸν Ἥλιον. ἄμφω γὰρ ἐκ τοῦ τιταίνω. ἵνα καὶ ὁ Τιθωνὸς εἴη τιτωνὸς, διὰ τὸ πανταχοῦ τὸ αὐτοῦ φῶς ἐν ἡμέρᾳ τιταίνεσθαι. ἀὴρ γὰρ ὑπὸ Ἡλίου πεφωτισμένος, ἡ ἡμέρα ἐστί. φασὶ δὲ Ἱερώνυμόν τινα ἱστορεῖν ὅτι, Τιθωνὸς ὁ ἀδελφὸς Πριάμου εἰς βαθὺ γῆρας ἐλάσας καὶ ζῆν μηκέτι ἐθέλων, ᾐτήσατο παρὰ τῆς Ἠοῦς θάνατον, συνοικῶν αὐτῇ δι' ἔρωτα. ἡ δὲ ἀδυνατοῦσα, ἤδη γὰρ ἐνεγράφη τοῖς ἀθανάτοις ὁ Τιθωνὸς, εἰς τέττιγα μετέβαλεν αὐτὸν, ὡς ἂν ἥδοιτο τῆς αὐτοῦ φωνῆς εἰς τὸ διηνεκὲς ἀκούουσα. ἕτεροι δέ φασι τὴν ἠῶ ἐρασθεῖσαν τοῦ Τιθωνοῦ ἁρπάσαι αὐτὸν, καὶ ἐντείλασθαι, ὅπερ ἂν βούλοιτο ἀγαθὸν ζητῆσαι, τὸν δὲ προελέσθαι ἀθανασίαν, καὶ λαβεῖν μὴ ἐπιζητήσαντα καὶ τὸ ἀεὶ νέον, ἐπειδὴ γηράσαι τότε δὴ μαθεῖν ὡς ἀτελῆ ἐζήτησεν, εἶχε γὰρ ἀθάνατον κακὸν τὴν τοῦ γήρως κάκωσιν. ὅθεν αἰτῆσαι τὴν εἰς ἄλογα μετάστασιν, καὶ λιτανεύσαντα τυχεῖν τοῦ μεταπεσεῖν εἰς τέττιγα. διὸ καὶ ψυχρὸς ὁ τέττιξ ὡς ἐκ τοῦ Τιθωνοῦ τοῦ πεμπέλου. καὶ πολύφωνος, διὰ τὰς πολλὰς λιτὰς τοῦ Τιθωνοῦ. ἡ δὲ παροιμία, ἐπὶ τῶν δυστυχῶν γερόντων τίθησι τὸ τοῦ Τιθωνοῦ ὄνομα. ὡς δηλοῖ ὁ εἰπὼν, γέροντα ἄνδρα Τιθωνὸν σπαράττων, καὶ ταράττων καὶ κυκῶν.

Τιτανίδα γῆν, οἱ μὲν τὴν πᾶσαν. οἱ δὲ τὴν Ἀττικὴν, ἀπὸ Τιτᾶνος ἑνὸς τῶν Τιτάνων, ὃς μόνος οὐκ ἐστράτευσεν ἐπὶ τοὺς Θεούς. Τιτᾶνες δὲ οἱ καταχθόνιοι δαίμονες, ἢ ἀπὸ τοῦ τίνω τὸ ἀνταποδίδωμι. Τιτὰν καὶ τιτᾶνες οἱ οὕτω διαπραττόμενοι, ὥστε δοῦναι τιμωρίαν, ἢ παρὰ τὸ τιταίνω, οἱονεὶ οἱ τείνοντες τὰς χεῖρας, εἰς τὸ κόψαι τὰ αἰδοῖα τοῦ πατρὸς Κρόνου, ἤγουν τοῦ Οὐρανοῦ. τὸ δὲ τιταίνεται, σημαίνει τὸ τείνεται, καὶ ἕλκεται, παρὰ τὸ τιταίνω κατὰ ἀναδιπλασιασμὸν, ἢ ἀπὸ τοῦ τανύω.

Τιτάνοιό τε λευκὰ κάρηνα, ἀντὶ τοῦ λευκόγεων χωρίον. τίτανος γὰρ, ἡ λευκή ἐστι γῆ.

Τίτανος, ἡ ἄσβεστος. τίθεται δὲ καὶ ἀντὶ τοῦ γύψου, ὃν καλοῦμεν σκίρρον.

Τιτανωτὴ χρόα, γυψωτή. ἢ λευκόχροος.

Τίταξ, ἔντιμος, ἢ δυνάστης. οἱ δὲ βασιλεύς.

Τιταρήσιον, ὄνομα πόλεως, ἢ κύριον. Ἡσίοδος ἐν ἀσπίδι.

Τιταρήσιος, ποταμὸς Ἠπείρου.

Τιτᾶσθαι, στερήσασθαι.

Τιτήναις, βασιλίσσιν, ἢ Ἕκτορος λύτροις.

Τιτῆνες, οὐρανοῦ παῖδες.

Τιτηνίδα ῥίζαν λέγει Ἀπολλώνιος, ἐπεὶ τῶν Τιτάνων ἦν ὁ Προμηθεύς. διὸ τὴν ῥίζαν ἔφη τιτανίδα, διὰ τὸ ἐκ Προμηθέως βεβλαστηκέναι, ὃς εἷς ἦν τῶν Τιτάνων, διὰ τούτων δὲ τερατεύεται τὰ περὶ τὴν τομὴν τῆς ῥίζης, καὶ τὸ συμπάσχειν τὸν Προμηθέα ἐπὶ τῇ ταύτης τομῇ.

Τιτηνίδος αἴης, τοῦ Τιτᾶνος ποταμοῦ. ἀφ' οὗ καὶ ἡ χώρα Τιτηνὶς κέκληται. Ἀπολλώνιος, ἑκὰς τιτηνίδος αἴης.

Τιτῆνας ἐπίκλησιν καλέεσκεν, ἀπὸ τοῦ μέλλειν αὐτοὺς τιμωρίαν τίνειν, ὑπὲρ τῆς τοῦ πατρὸς ὕβρεως ὑπὸ τοῦ Διός. ἢ ἀπὸ τοῦ τιταίνειν τὴν ψυχὴν ἑαυτῶν, ὅ ἐστι βλάπτειν μέλλοντας τιμωρεῖσθαι ὑπὸ τοῦ Διὸς, διὰ τὴν αὐτῶν ἀδικίαν καὶ ἐπανάστασιν. Τιτᾶνες γὰρ οἱ ἄδικοι καὶ βλαβεροί. ὅθεν καὶ τιτᾶνες ὀνομάζονται οἱ μωραίνοντες φάσκει. Ἡσίοδος δὲ τιταίνοντάς τισι, καὶ τιμωρίαν λαμβάνοντας ὑπὲρ ὧν ἠδίκησαν. ἢ τιμωρίαν παρέχοντας, ἢ θελήσαντας τιμωρίαν ἀποτίσαι τὸν πατέρα παρεκτείνοντα τὴν ὕβριν, καὶ τίσεως ἄξια ποιοῦντα.

Τιτθὶς, ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφή. καὶ τίτθη μὲν, ἡ μαστὸν παρέχουσα. τιθηνὸς δὲ καὶ τροφὸς, ἡ μετὰ τὸν ἀπογαλακτισμὸν ἐπιμέλειαν ποιουμένη τοῦ παιδός.

Τιτιγόνιον, ὅμοιον τέττιγι.

Τιτίει, τιμᾷ.

Τιτυσκόμενοι, κατεστοχαζόμενοι. σημαίνει καὶ τὸ ἑτοιμάζειν. ὥστε τὸ, ὣς εἰπὼν, ὑπ' ὄχεσφι τιτύσκετο. ἔνιοι δὲ καὶ ἐπὶ τοῦ ψυχικῶς στοχάζεσθαι, τιτύσκετο δὲ φρεσὶν ᾗσι.

Τίτλος, πτυχίον ἐπίγραμμα ἔχον.

* Τίτλος διαφέρει κεφαλαίου. καὶ ὁ μὲν Ματθαῖος ἔχει τίτλους ξή. κεφάλαια τνέ. ὁ δὲ Μάρκος. τίτλους μή. κεφάλαια. λϛ'. ὁ δὲ Λουκᾶς τίτλους πγ'. κεφάλαια τμή. ὁ Ἰωάννης, τίτλους ιή. κεφάλαια σλβ'. καὶ τιτλάριον, δέλτος. σχεδάριον. πινακίδιον.

Τιτόρμος, οὗτος αἰπόλος ἀνὴρ διαβεβοημένος ἐπὶ ἀνδρείᾳ καὶ μεγέθει.

Τιτρᾶται, τρυπᾶται, διανοίγεται.

Τιτρώσκω, νύττω, βάλλω. γίνεται δὲ, παρὰ τὸ τρώω τρώσω τρώσκω, καὶ κατὰ ἀναδιπλασιασμὸν, τιτρώσκω.

Τιτυβίζει, ὡς χελιδὼν φωνεῖ.

Τιτύπαι, αἱ ἐμπύλαι, αἱ πλάναι.

Τιτύρας, ὄρνις ποιὸς, ὁ τιτυρώδης.

Τίτυρος, σάτυρος, κάλαμος.

Τιτυρῖνος, μόναυλος, ἢ αὐλὸς καλάμινος.

Τίτυς, ὀρνίθιον βραχὺ κατὰ Αἴλιον, ἐκ τοῦ τιτίζειν. ἢ καὶ Πᾶν φησι μικρὸν ὀρνίθιον, ὑπὸ τῶν παλαιῶν οὕτω καλεῖται. ἕτερος δέ τίς φησι, καὶ ὅτι κατὰ μίμησιν, ἤτοι ὀνοματοποιίαν. ὅθεν ἴσως τιτιγόνιον, ζωΰφιον παρὰ τῷ αὐτῷ, ὅμοιον τέττιγι. δῆλον δὲ καὶ ὅτι τραχύτερον τοῦ τιτύζειν, τὸ τιτυβίζειν. ὃ ἐπί τινων περδίκων ἱστορεῖται λέγεσθαι, καθάπερ ἐπὶ ἑτέρων τὸ κακκαβίζειν. ὅθεν παρὰ τῷ Κωμικῷ ἐπίρρημα, τὸ κικκαβᾶν.

Τιτύσκεσθαι φρεσὶ, πρὸς διαστολὴν ἐρρέθη τοῦ τόξῳ τιτύσκεσθαι, ἢ σφενδόνῃ. λέγεται γὰρ ἐπὶ τοιούτων μάλιστα τὸ τιτύσκεσθαι. λέξις ποιητικὴ, ἀχρεία λόγῳ πεζῷ.

Τιτύσκεται, κατεστοχάζεται.

Τιτύσκετο ὑπ' ὄχεσφι χαλκόποδε ἵππω παρ' Ὁμήρῳ, ἤγουν ὑπέζευξεν ἅρματι. τοῦτο γὰρ δηλοῖ τὸ τιτύσκετο. λέξις ἀμεταχείριστος πεζολεκτοῦντι ῥήτορι, γινομένη ἀπὸ τοῦ τύκω τὸ κατασκευάζω, πλεονασμῷ τοῦ σ, καὶ ἀναδιπλασιασμῷ Ἰωνικῷ. ἵνα λέγῃ τὸ ζευγνύειν περιφραστικῶς, τιτύσκειν ὑπ' ὄχεσφι. ἤγουν, σκευάζειν ὑφ' ἅρματι.

Τιτυσκόμενοι, κατεστοχαζόμενοι, βλέποντες. ἐκ τοῦ τύκω τύσκω τιτύσκω κατὰ ἀναδίπλωσιν. ἀφ' οὗ τιτύσκομαι τιτυσκόμενος.

Τιτυσκόμεναι. ὥσπερ ἀλύσκω, ἐκ τοῦ ἀλύω τὸ ἀλυσκάζω, οὕτω καὶ τύκω τύσκω, πλεονασμῷ τοῦ σ, καὶ κατὰ ἀναδίπλωσιν τιτύσκω. ἀφ' οὗ τιτύσκομαι, καὶ τιτυσκόμενοι, ὅ ἐστι τεύχοντες, τεχνώμενοι.

Τιτὼ, οὕτω λέγεται ἡ ἡμέρα. παρὰ γὰρ τὸ τιτὰν τιτᾶνος γίνεται τιτανίς. καὶ ἐκεῖθεν ὑποκοριστικὸν, τιτώ. ὡς ὑψιπύλη ὑψὼ, καὶ εἰδοθέα εἰδώ.

Τί ὑμῖν διαφέρει, τί ὑμῖν μέλει.

Τῖφαι, αἱ ὀλύραι. καὶ τίφεσιν, ἐν τοῖς ἕλεσι.

Τιφαίας, τὰς τῶν θηρῶν καταδύσεις.

Τίφια, ὄρνεα τὰ ἐν τοῖς ἕλεσι γινόμενα.

Τίφην καλοῦσι, τὴν καλουμένην σίλφην. ἔστι δὲ ζῶον κανθαρῶδες.

Τίφ' οὕτως, ἀντὶ τοῦ τί ποτε οὕτως.

Τῖφος, ὁ κάθυγρος τόπος καὶ ἕλος, ἀπὸ τοῦ τύφεσθαι, ὅ ἐστι πύθεσθαι, καὶ κρύπτεσθαι τοὺς ἐν ὑλώδεσιν ὄντας τόπους, παρὰ Ἀπολλωνίῳ.

Τῖφυς, ὁ ἐφιάλτης νεάλυς, καὶ ὁ τῆς Ἀργοῦς κυβερνήτης.

Τί φῶ, τί εἴπω.

Τιχίζομαι, σκέπτομαι.

ΤΟ Τ. ΜΕΤΑ ΤΟΥ Λ.

Τλάθι, ὑπόμεινον.

Τλαίην, τλῆμι τλῆς τλῆσι, μέλλων τλήσω. ἀόριστος δεύτερος, ἔτλην, ης, η. τὰ πληθυντικὰ, ἔτλημεν ἔτλητε. τὸ προστακτικὸν, τλῆθι. ἡ μετοχὴ, τλὰς τλάντος. τὸ εὐκτικὸν, τλαίην τλαίης τλαίη. Ἄλλως. τλαίη, καὶ τετλαίην κατὰ ἀναδιπλασιασμὸν, θέμα δὲ αὐτοῦ τὸ τλῆμι. οὕτω δὲ καὶ ἐκ τοῦ θνῶ θνῆμι, ἔθνην, θνὰς θνάντος θναίην. καὶ κατὰ ἀναδιπλασιασμὸν, τεθναίην. ἄλλως δὲ κλίσιν ὁμοίαν ἀναδιπλασίαστον ἔχουσι, τὸ κλῦθι κατά τινας, καὶ τὸ δῦθι. ἔτι καὶ τὸ ἵληθι, ἐκ τοῦ ἵλημι ἀρρήτου θέματος. τὸ δέ γε δίδωθι δέ μοι κλέος ἐσθλὸν, ἐξ εὐχρήστου ἐνεστῶτος προῆκται, τοῦ δίδωμι διδοὺς διδόντος. ἔχει δὲ ἀναγκαίαν ἔκτασιν τῆς παραληγούσης. καθὰ καὶ τὸ πιμπλὰς πιμπλάντος πίμπλαθι, καὶ τροπῇ πίμπληθι. οὕτω δὲ καὶ ἴηθι. τὸ δὲ τέθνασιν, οὗ τρίτον τὸ τεθνάτω, γεγονὸς ἐκ τοῦ τεθνὰς τεθνάντος, ἐνέμεινε τῇ βραχείᾳ παραλήξει, ἐπειδὴ οὐκ ἔσχεν ἀνάγκην τινὰ μετρικήν. τούτων δὲ διαφέρει, τὸ ἄλλως δὲ βιότω, ἤγουν ζήτω, ὡς Δωρικόν. βιούτω γὰρ, τὸ κοινὸν, ὡς χρυσούτω. καὶ Δωρικῇ ἐναλλαγῇ τῆς ου εἰς ω, βιώτω.

Τλαιπαθὲς, ταλαίπωρε.

Τλα-

Digitized by Google

Τλασίφρονα, ὑπομονητικόν.
Τλῆθα, ὡραία.
Τλήθυμος, ἰσχυροκάρδιος.
Τλημαθεῖν, ταλαιπωρεῖν, πονεῖν.
Τλήμονες, ποτὲ μὲν οἱ ἄτολμοι, ποτὲ δὲ ἡ λέξις, καὶ τοὺς ταλαιπώρους καὶ δυστυχεῖς.
Τλήμων, παρ' Ὁμήρῳ ὁ καρτερός, τλήμονα θυμὸν ἔχοντες. παρὰ δὲ τραγικοῖς, τλήμων ὁ δυστυχής.
Τληπόλεμος, ἄρης καὶ ἕτερος παρὰ τὸν τοῦ Ἡρακλέους υἱόν.
Τλῆσις, τόλμα, θράσος.
Τλησίπονος, τολμηρὸς, καρτερικός.
Τλῆτε φίλοι, ὑπομείνατε καρτερῶς. ἐκ τοῦ τλῶ, γίνεται τλῶ.
Τλῶ, τὸ ὑπομένω καὶ καρτερῶ, καὶ τὸ τολμῶ. ὁ μέλλων τλήσω. β' ἀόριστος, ἔτλην.

ΤΟ Τ. ΜΕΤΑ ΤΟΥ Μ.

Τμάγεν, διεκόπησαν, ἐσκορπίσθησαν, ἄρνες καὶ ἔριφοι ποιμένος. καὶ Τρῶες τμαγέντες, πάσας πλῆσαν ὁδούς. ὅτι δὲ καὶ ἐπὶ φιλίας ἐστὶ τὸ διατμηγῆναι, δῆλον ἐκ τοῦ ἀρθμήσαντε διέτμαγον. ἤγουν, φιλιωθέντες διεχωρίσθησαν.
Τμάριον, ὄρος Ἀρκαδίας.
Τμάριος Ζεὺς, ἐν Δωδώνῃ.
Τμάγας, γητόμος, ἀροτὴρ, καὶ τμῆγος ἀρότου, βύτμημα.
Τμήγω, τὸ διαχωρίζω.
Τμήδην παραχθὲν, ἀναλόγως τῷ παραβλήδην καὶ ὑποβλήδην, καὶ τοῖς ὁμοίοις, τὸ ἐπιπολάζον δηλοῖ τῆς πληγῆς.
Τμηθεῖσα, κοπεῖσα.
Τμῆξαι, τεμεῖν, λαβεῖν.
Τμῆσις, ἐπὶ συνθέτου λόγου, ἀνάλυσις εἰς δύο λέξεις. οἷον, ἄκρα πόλις, ἀντὶ τοῦ ἀκρόπολις.
Τμητὸς, τμῆμα.
Τμῶλος, ὄρος Λύδιον ὑψηλόν. διὸ νιφόεντα λέγει αὐτὸν ὁ Ποιητής. ἐκ τούτου δὲ ῥέει ὁ ὑμνούμενος χρυσόρρους Πακτωλός.

ΤΟ Τ. ΜΕΤΑ ΤΟΥ Ο.

Τὸ ὁ τὸ ἄρθρον, οὐδέποτε κουφίζεται, ἀλλὰ ἀεὶ συναλείφεται. καὶ εἰ μὲν μετὰ τοῦ ι, εἰς οι δίφθογγον, οἷον τὸ ἱμάτιον, θοἰμάτιον. εἰ δὲ μετὰ τοῦ α, εἰς α. οἷον τὸ ἀληθὲς τἀληθές. εἰ δὲ μετὰ τοῦ ε, ἢ ο, εἰς ου δίφθογγον. οἷον τὸ ἔμπροσθεν τοὔμπροσθεν, τὸ ἔπος τοὔπος. εἰ δὲ μετὰ τοῦ ο, εἰς ου ὁμοίως. οἷον, τὸ ὄνομα τοὔνομα, καὶ πάντα μὲν τὰ ἄρθρα συναλείφονται. τὸ μὲν ο τῆς εὐθείας τοῦ ἀρσενικοῦ μετὰ τοῦ ε, εἰς α, οἷον ὁ ἕτερος, ἅτερος. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων πτώσεων, τοῦ ἑτέρου θατέρου. τὸ δὲ ω τῆς δοτικῆς, μετὰ μόνου τοῦ α, συναλείφεται εἰς αὐτὸ πάλιν τὸ α. οἷον, τῷ ἀνδρὶ τἀνδρί. ἐπὶ δὲ θηλυκῶν, τὸ η καὶ ε, εἰς α, οἷον ἡ ἑτέρα ἁτέρα, καὶ ἐπὶ τῶν ἄλλων πτώσεων ὁμοίως.
Τοάκης, χιτὼν σχιστός.
Τὸ αὐτὸ, εἰ μὲν διαλελυμένον ἐστὶ, δύο σημασίας ἔχει. ἐν δὲ τῇ συναλοιφῇ, μίαν τὴν ἀπαράλλακτον ὁμοίωσιν. ὅθεν ἐπὶ τὸ ταὐτῷ γάλακτι, ἀπόστροφος τίθεται. οὐ γὰρ εἰς ἓν μέρος συναλείφεται ἐνταῦθα, ὥσπερ ἐπὶ τῆς ἀπαραλλάκτου ὁμοιώσεως, ἐν ᾧ οὐ τίθεταί ποτε ἀπόστροφος, ἀλλὰ τοιοῦτόν ἐστιν. οἷον, ἐπὶ τἀναγκαίῳ, ἐπὶ τἀγαθῷ. διὰ τοῦτο εἰς τὸ ἐκ μιᾶς τε καὶ ταὐτοῦ πατρὸς, οὐ τίθεταί ποτε ἀπόστροφος εἰς τὸ ταὐ, ὅτι ἀπαράλλακτον ἔχει τὴν ὁμοίωσιν. ὁ γὰρ αὐτὸς ἦν ἀεὶ πατήρ. ταὐτῷ δὲ γάλακτι ψιλοῦται, ὥσπερ ἐπὶ τἀγαθῷ, καὶ τἀναγκαίῳ. εἰ γὰρ καὶ ὅμοιόν ἐστι καθάπαξ. λευκὰ γὰρ ἅπαντα γάλακτα, ἀλλ' ὅπερ οὗτος τυχὸν προλαβὼν πέπωκε, καὶ ὁ μεθ' ὕστερον τοῦτο ποιῆσαι βουληθεὶς, ἕξει ποτέ.
Τόβλικον, χρυματίου μίμησις.
Τόγε ἦκον, ὅσον δυνατόν.
Τόγ' εἰς αὐτὸν, ἀντὶ τοῦ κατὰ τὴν αὐτοῦ δύναμιν. Κύπριος, τὸ γ' αὐτὸν κουφίζεται, τῶν ὅσα δηνὰ καὶ πρᾶξαι, καὶ λέξαι.
Τὸ γοῦν ἐφ' ἡμῖν, ἀντὶ τοῦ κατὰ τὴν ἡμετέραν δύναμιν, ἢ προαίρεσιν.
Τὸ δὲ ἀπὸ τούτου, ἀντὶ τοῦ μετὰ ταῦτα. Ἡρόδοτος, τὸ δὲ ἀπὸ τούτου Ἕλλησι δὴ μεγάλων κακῶν αἰτίους γενέσθαι.
Τόδε μοι κρήηνον ἐέλδωρ. Ἀρίσταρχος δύο μέρη λόγου εἶναι ταῦτα λέγει. ὁ δὲ Ἡρωδιανὸς ἕν. ὁ δὲ Ἀρίσταρχος, ὀξύνει τὸ δε, ὁμοίως τῷ το, ἵν' ᾖ δύο μέρη λόγου. ἐπειδὴ ἡ παράδοσις Ἀριστάρχῳ.
Τὸ δ' αὐτὸ, τὸ αὐτὸ δὲ, ὁμοίως δέ.
Τὸ δεῖν, τὸ δέον.
Τὸ δέ τοι κὴρ εἴδεται εἶναι. τουτέστι, θανάτῳ εἰκάζεται ὑπὸ σοῦ ἡ κινδυνώδης μάχη.
Τὸ δήϊον, τὸ πολέμιον.
Τόδ' ἱκάνω. τόδε σημαίνει τοπικὴν πτῶσιν, ἰσοδυναμεῖ δὲ τῇ εἰς προθέσει, ἤγουν εἰς τοῦτο τὸ χωρίον, ὅ ἐστι, τόπον. καὶ ἔστιν αἰτιατικῆς πτώσεως. καὶ τόδ' ἱκάνεις, ἤγουν εἰς τόδε τὸ χωρίον, ἢ κατὰ τόδε τὸ δῶμα ἐλλειπτικῶς. ὅπερ κοινότερον τῇδε λέγεται, ὅ ἐστιν ἐνταῦθα, ἐλλειπτικῶς καὶ αὐτὸ πάντως. τὸ γὰρ τῇδε ἱκάνεις, ὡς εἴπερ λέγει τις ἐν τῇδε τῇ οἰκίᾳ, ἢ τῇ ὁδῷ, ἢ τοιοῦτόν τι.
Τὸ ἐνσώματον, τὸ μετὰ σώματος.
Τὸ ἠλύσιον, ὁ παράδεισος.
Τὸ ἤνυστρον, μέρος τῆς κοιλίας τῶν μηρυκωμένων.
Τοὶ, ἀντὶ τοῦ σοὶ Δωρικῶς. εἴρηται δὲ πολλάκις περισσὸν παρὰ τοῖς Ποιηταῖς. καὶ τοὶ, ἀντὶ τοῦ οἱ Δωρικῶς. καὶ τοὶ σύνδεσμος ἐγκλίνεται, οἷον καίτοι.
Τοὶ δεδαίαται, ἀντὶ τοῦ οἵτινες μεμερισμένοι εἰσὶ, Δωρίδι καὶ Ἰάδι διαλέκτῳ. καὶ ἔστιν Ἰωνικὸν μὲν τὸ δεδαίαται, Δωριέων δὲ τὸ τοὶ, οὗ μὲν εὐθεῖα ἄρρητος, τὸς. ὅθεν ἐκβολῇ μὲν τοῦ τ, ὃς τὸ κοινὸν, ἀπελάσει δὲ τοῦ ς, ὁ.
Τοιατὶ, ἀντὶ τοῦ τοιαῦτα. Μάξιμος, τοιατὶ λέγοντες, ἔξιν τινὰ θεωρίας τῇ ψυχῇ προστίθενται.
Τοιγὰρ, τοιγαροῦν, σύνδεσμος.
Τοίδε γε, ἐκεῖνοι δὲ, ἢ οὗτοί γε.
Τὸ ἱερὸν, τὸ θεῖον.
Τοίη, ἀντὶ τοῦ τοιαύτη.
Τοίην δ' αὖ κεφαλὴν ποθέω, συνεκδοχὴ ἀπὸ μέρους τὸ ὅλον. ἀπὸ γὰρ κεφαλῆς, τὸν ἄνδρα σημαίνει. καὶ ὅταν λέγῃ λευκώλενον, τὴν καλήν. καὶ εὐκνήμιδας, τοὺς εὐόπλους.
Τοιθορύκτρια, ἡ τοὺς σεισμοὺς ποιοῦσα.
Τοιθορύσσειν, σείειν.
Τοίκεν, οἵτινες ἄν.
Τοίνυν, ἀντὶ τοῦ διὰ τοῦτο.
Τοινισαφράσαι, ἀγγεῖλαι, εἰπεῖν.
Τοῖο, αἱ διὰ τοῦ οιο γενικαὶ, κατὰ μὲν ἄλλους θετταλικαί εἰσιν. ἐν δὲ τοῖς Ἀπίωνος καὶ Ἡροδώρου, Βοιωτῶν φέρονται γλώτταις, τοῖο, οἷο, καλοῖο.
Τοῖος, ὁ τοιοῦτος.
Τοῖσδεσσιν, ἀντὶ τοῦ τοῖς, Ἰωνικόν ἐστι. τῇ μὲν προφορᾷ ἐοικὸς μεταπλασμῷ. τῷ δὲ κατ' ἀρχὴν περισπωμένῳ τόνῳ, πλεονασμὸν δηλοῦν τῆς τελευταίας συλλαβῆς. τοῖσδεσσιν εἰ μὲν ἀπὸ τοῦ τοῖσιν, ὅ ἐστι τούτοις γίνεται, κοινῶς ἔχει τὴν μέσην λέξιν παρεμπεσοῦσαν. εἰ δὲ ἀπὸ τοῖσδε, πάντη οὕτω καινόσχημόν ἐστι, τὸ μὴ μόνον τὸ ι ἐπεκτατικῶς τεθῆναι, ἀλλὰ ὅλην τὴν σιν συλλαβήν. αἴτιον δὲ ἡ δοτικὴ τῶν πληθυντικῶν ἀεὶ πρὸ τοῦ τελικοῦ αὐτῆς ι, τὸ σ φιλοῦσα ἔχειν, ἢ δυνάμει ἢ ἐνεργείᾳ.
Τοιοῦτος, ἔχει ἀναφερόμενον τὸ οἷος, προτάσσεται δὲ καὶ ἐπιτάσσεται. πολλάκις δὲ καὶ τὸ ὥστε. Συνέσιος, τὸν μὲν ὅτι τοιοῦτός ἐστιν, ὥστε εἰ μὴ πεποίηκεν, ἐποίησεν ἄν.
Τοιοῦτο, ταυτὸ, τοσοῦτον, εἰ μὲν ἔχῃ φωνῆεν ἔμπροσθεν, μετὰ τοῦ ν. εἰ δὲ σύμφωνον, χωρὶς τοῦ ν.
Τοιούτῳ δὲ ἔοικας, ἐπεὶ λύσαιτο φάγοι τε, εὕδειν μαλακῶς. Ὅμηρος ἐν τῷ ω τῆς Ὀδυσσείας. διττὴν ἔχει ἔννοιαν. ἢ γὰρ ὅτι τοιοῦτος εἶ οἷος λούεσθαι, ἢ μετὰ τὸ ἐμφαγεῖν κοιμᾶσθαι, οὐ μὴν καὶ ἔργοις ἐπιπρέπεις ἀνδρικοῖς, ἢ ὅτι τοιοῦτος ἤγουν Βασιλεῖ ἔοικας, οὐ νῦν οὕτως ὡς ἔχεις, ἀλλ' ὅτι ὁ τοιοῦτος λύσαιτο καὶ φάγοι, ὥστε ἀναπεσεῖν εἰς ὕπνον.
Τοὶ ῥα, οἵτινες δή.
Τοιχοδιφήτωρ, τοιχωρύχος.
Τοῖχος, παρὰ τὸ τεύχω τὸ κατασκευάζω, γίνεται τεῦχος καὶ τοῖχος.
Τοιχωρύχος, καὶ τοιχωρύκτης, κλέπτης, λῃστής.
Τοιχωρυεῖ, τοίχους οἰκιῶν διορύσσει.
Τοίως, ἰσχυρῶς, καλῶς, ἀκριβῶς.
Τόκα, ἀντὶ τοῦ τότε λέγουσι Δωριεῖς.
Τοκάδερ, ἔγκυος.
Τοκάδα. Εὔβουλος τὸ κηρύκειον, ἢ τὴν μάχαιραν. λεγόμενόν τι κατακοίλωμα τὸ πέρας καὶ ἀνωτάτω τῶν καλῶν ῥημάτων.
Τόκεν, δίωκεν.
Τὸ κατὰ γᾶς ξίφος, θηρίδιον σκολοπένδρᾳ ὅμοιον.
Τοκέες, πατέρες, γονεῖς.
Τοκεὺς, ὡς παρὰ τὸ ἔχω τὸ συνέχω καὶ σφίγγω, γίνεται ὀχεὺς, οὕτω καὶ παρὰ τὸ τέκω, τοκεύς.
Τόκος, γένεσις.
Τὸ κρήγυον, τὸ ἀληθές.
Τὸ κῦρος, ἡ ἐξουσία, ἡ δεσποτεία.
Τὸ λαιὸν, τὸ ἀριστερόν.
Τολμητίας, προπέτης, αὐθάδης, ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν ἐπιχειρῶν.
Τολμῶ λέγειν, καὶ τολμῶ ποιεῖν. ἐκεῖνος μέγα πρᾶγμα ἐτόλμησε. τολμῆσαι, σημαίνει τὸ ὑπομεῖναι.
Τὸ λοιπὸν, καὶ τοῦ λοιποῦ, ἀντὶ τοῦ εἰς τὸ μετὰ ταῦτα.
Τολόται, οἱ δημόσιοι ὑπηρέται. τοὺς δ' αὐτοὺς καὶ σκύθας ἔλεγον, καὶ σπευσίμους, ἀπὸ τοῦ συντάξαντος αὐτοὺς ῥήτορος.
Τὸ λωίον, τὸ καλούμενον κρατίνιον, μεῖζον πολυσύνθετον. ἀπὸ τοῦ μεγαρέως Τολωνοῦ. ἔστι δὲ προγενέστερος Κρατίνου.
Τόλυξ, αἰδοῖον.
Τολύπαις, μηχαναῖς, ἐργασίαις. καὶ τολυπεύειν, μηχανᾶσθαι, ποιεῖν, ἀθροίζειν, ταλαιπωρεῖν. ἀπὸ μεταφορᾶς τῶν τὰ ἔρια ἐργαζομένων, καὶ δεσμευόντων αὐτά. τολύπη γὰρ, ἡ ἐργασία.
Τολύπευμα, τὸ κατασκευαστὸν καὶ περιειλημμένον ἔριον.
Τολύπευσα, κατεργασάμην.
Τολυπεῦσαι κατὰ τοὺς παλαιοὺς τὸ συγκεφαλαιώσασθαι, καὶ κατεργάσασθαι. ὅθεν καὶ τὴν Πηνελόπην δόλους τολυπεύειν ἐρεῖ. γίνεται δὲ ἡ λέξις ἀπὸ τῆς τολύπης, ἥτις ἐστὶ κατειργασμένον, καὶ ξανθὲν ἔριον, καὶ ἀσκηθὲν εἰς τὸ κλωσθῆναι. ἰστέον δὲ, ὡς ἡ τολύπη, καὶ ἄγμα λέγεται, τὸ καὶ κάταγμα παρὰ Σοφοκλεῖ. εἴρηται οὖν, ὅτι ἄγμα οὐ μόνον σύντριμμα, ἀλλὰ καὶ κατειργασμένον ἔριον. ὅτι δὲ καὶ βήρηξ ἡ αὐτὴ ἐλέγετο, δηλοῖ ὁ εἰπὼν, βήρηκες φρυάγματα μαζῶν, καὶ αἱ τολύπαι τῶν ἐρίων. ὅτι δὲ τολύπη καὶ μάζης ἦν εἶδος, δηλοῖ ὁ γράψας τὸ καρδαλύμη, καὶ τολύπη, καὶ ἀχίλλειον. ἔνθα ἐννοητέον, ὡς ὁμώνυμος λέξις καὶ ἡ καρδαλύμη. πόλις τε γὰρ ἐν Ἰλιάδι, καὶ νῦν ἰδοὺ μάζα. καὶ ὅτι ἐξ ἀχιλλείων κριθῶν, ἐποιεῖτο ἡ μάζα τὸ ἀχίλλειον.
Τολύπη κατὰ τοὺς παλαιοὺς, ἐρίων σφαῖρα. ὅθεν τὸ τὰ πολλὰ εἰς τέλος ἓν συγκεφαλαιοῦν, τολυπεύειν λέγεται. ὡς καὶ ἐν Ὀδυσσείᾳ κεῖται τὸ κατεργάζεσθαι. παρόσον καὶ ἡ τολύπη κατείργασται. τὸ δὲ λέγειν τολυπεύειν, τὸ κακοπαθεῖν, ὡς ἀπὸ τολύπης θανατηρᾶς βοτάνης, οὐχ ὁμηρικόν. τά τ' ἄλλα, καὶ ὅτι οὐδὲ παθητικὴ παρ' αὐτῷ λέξις, τὸ τολυπεύειν, οὔτ' ἐνταῦθα, οὔτε ἐν Ὀδυσσείᾳ. ἐνεργητικῶς οὖν εἴρηται, τὸ ὅσα τολύπευσεν. οὐκ ἐναντίον, τὸ καὶ πάθεν ἄλγεα.
* Τολύπη, ἡ ἀγρία κολοκυνθή.
Τόμαρος, τὸ ἐν Δωδώνῃ ὄρος, καὶ προφήτης, καὶ ἱερεὺς, καὶ θύτης, καὶ μάντις.
Τόμα καὶ τομεῖον, ἢ τομεὺς καλεῖται, σιδηροῦν ἐργαλεῖον δίχηλον, ᾧ οἱ χαλκεῖς πρὸς ἄλλα τέ τινα, καὶ πρὸς τὸ ἀναβάλλειν καὶ μοχλεῦσαι ἥλους χρῶνται, ὡς παρὰ τῷ Ἱπποκράτει.
Τὸ μεταξὺ, τηνικάδε.
Τὸ μελάνδρυον, τὸ μέσον τοῦ ξύλου, διὰ τὸ εἶναι

Digitized by Google

λῦτον τοῦτο τὸ μέρος. ἄλλοι δὲ διαστείλαντες τὸ μελανδρυὸς, εἰς δύο μέρη λόγου ἀποδεδώκασι τὸ μέλαν τῆς δρυὸς μέρος μέλαν εἶναι, καὶ ἄσηπτον διαμένειν.

Τομαῖς, τμητὴς, ἤγουν ὁ τέμνων.

Τομὴν παρ' Ὁμήρῳ λέγουσι, τὸ ἐν τῷ ὄρει λελειμμένον σύῤῥιζον, οὗ τὸ σκῆπτρον ἀποτέτμηται.

Τόμοι, οἱ τόμοι.

Τόμος, ὁ κόπτων. τομὸς δὲ, ὁ κοπεύς. καρατόμος Ἑλλάδος, ἡ ὑφ' Ἑλλήνων καρατομηθῆναι θέλουσα. ἢ καρατόμος Ἑλλάδος, ἡ ἐν Σκυθίᾳ τοὺς Ἕλληνας ἀναιροῦσα. τὰ τοιαῦτα, δύο τόνους ἐπιδέχονται. τὰ μὲν ἐνεργητικὰ τὸν παροξύτονον, τὰ δὲ παθητικὰ τὸν ὀξύτονον.

Τόμουροι, ὑφ' ὃ κεῖται ἱερὸν τὸ ἐν Δωδώνῃ κατὰ Θεσπρωτίαν. ἐξ οὗ τόμουροι, οἱ ὑπὸ τοῦ Ποιητοῦ λεγόμενοι ὑποφῆται Διός, ἀνιπτόποδες, χαμαιεῦναι. καὶ αἱ μαντεῖαι, τόμουραι. βέλτιον γάρ φασι τομούρας, ἢ θέμιστας γράφειν. θέμιστες γὰρ οὐ τὰ μαντεῖα, ἀλλὰ αἱ βουλαὶ, καὶ τὰ βουλεύματα, καὶ τὰ νομοθετήματα. τοῖς δὲ ῥηθεῖσι τομούροις, καὶ ὁ παρὰ τῷ Λυκόφρονι συνονομάζεται τόμουρος νημερτέστατος, ἤγουν ὁ τὸ μὴ ὂν ὁρῶν μαντικῶς.

Τομώτερος, ὀξύτερος, δυνάμενος τέμνειν.

Τὸν, ἀντὶ τοῦ τοῦτον. καὶ ὃν, κατὰ τοὺς λέγουσι ποιηταί.

Τὸν, ἄρθρον ἀρσενικὸν προτακτικὸν, πτώσεως αἰτιατικῆς. ἢ τοῦτον, ἢ ὅντινα.

Τοναία, Ἄλεξις παλλακῇ. ἡ γὰρ ἐπιπολὺ τῆς φωνῆς ἀπότασις καλεῖται τοναία.

Τόνδε, ἓν μέρος λόγου. εἰ γὰρ ἦν δύο, ὤφειλεν εἶναι τὸν δέ.

Τὸν πέλας, τὸν πλησίον λέγομεν.

Τονθορύζω, ψιθυρίζω, ἠρέμα γογγύζω, ἢ λάθρα φθέγγομαι, ὑποτρίζω, τὰ χείλη κινῶ.

Τονθρύζω, καὶ τονθρυσμὸς Ἀττικοὶ, οὐ σὺν τῷ ο τονθορύζω, καὶ τονθορυσμός. ἔστι δὲ τονθρύζω, τὸ κρύφα καὶ κατ' ἐμαυτὸν μετὰ γογγυσμοῦ τι λέγω. τονθρύζω καὶ τὸ ἡσυχῇ λαλῶ, καὶ ὑπόπτως, καὶ τὸ ψιθυρίζω.

Τόνθων παρὰ Κορίννῃ, ἐπὶ νωτιαίου κρέως τὸ ὄνομα.

Τὸν ὀπισθόπατον, τὸν ὀπίσω, τὸν τελευταῖον, τὸν ἔσχατον.

Τὸν οὐδὸν, τὸν βατῆρα, τὸν ὁδοποιόν.

Τόνος, τὰ τῶν κραββάτων χοινία. τροπικῶς δὲ δηλοῖ τὴν τῆς φωνῆς τάσιν. καὶ Ἀριστοφάνης, τοῦ τόνου οὐκ ἔτ' ἐνόντος.

* Τόνος, νεῦρον. τόνοι, τὰ περιτεταμένα σώματα ταῖς σαρξὶν, οἷον φλέβας, νεῦρα, καὶ τὰ ὅμοια, τόνους ὀνομάζει, ἀπὸ τοῦ περιτετάσθαι. ἐνίοτε δὲ τὰ νεῦρα μόνον. ἔνιοι δὲ τοὺς ὑμένας ἔφασαν. Ἐρωτιανὸς παρ' Ἱπποκράτει.

Τὸν ῥά, τὸν δή.

Τὸν σὸν, τὸν ἴδιον.

Τόνῳ, λίαν πέρατι.

Τόξα, αὐτὰ βάλλοντα, καὶ τὰ βαλλόμενα, καὶ τὰ τούτων δεκτικά. ὡς χοῖνιξ, καὶ μέδιμνον, τὸ μετροῦν καὶ τὸ μετρούμενον. ὅτι δὲ τῷ τοῦ τόξου ὀνόματι καὶ τὸ οἰστοὺς συμπεριλαμβάνει Ὅμηρος, καὶ ὅλως πᾶσαν τοξικὴν σκευωρίαν, διὸ καὶ τὰ τόξα πληθυντικῶς φησι, δηλοῦσι τὰ ἐπαγόμενα. λαβοῦσα γάρ φησι τὰ τόξα ἔτυπτε. καὶ ταχέες δ' ἐκπίπτουσιν οἰστοί. οὐ γὰρ τόξου ἐκπίπτουσιν οἰστοὶ, ἀλλὰ φαρέτρας. τόξοις ἄρα ἔτυπτεν, ἤτοι φαρέτρᾳ. καὶ μετ' ὀλίγα δὲ συνάγεσθαί φησι παρὰ τῆς Λητοῦς τὰ τόξα, ὅ ἐστι, τὰ βέλη παρ' Ὁμήρῳ.

Τοξευμάτων, βελῶν, παρὰ τῷ Ἱπποκράτει.

Τόξων εὖ εἰδὼς, ταυτόν ἐστι τῷ εἰδήμων ὢν, καὶ ἐπιστήμων τῶν τόξων. διὸ καὶ γενικῇ συντάσσεται πανταχοῦ. τὸ μέντοι ἐπαγόμενον, τόξων εὖ εἰδότες ἶφι μάχεσθαι, δίδωσι καὶ ἄλλως νοεῖν. εἰ γὰρ τοῦτο συμβιβασθείη οὕτω πως εὖ εἰδότες, ἤτοι μεμαθηκότες ἶφι μάχεσθαι, διὰ τῶν τόξων, λειπούσης τῆς διὰ προθέσεως, δύναταί τις εἰπεῖν καὶ τὸ τόξων εὖ εἰδότες, ἀντὶ τοῦ διὰ τῶν τόξων τεχνῖται ὄντες. ἵνα δὲ μὴ ἀπεναντίας ἥκῃ τις τῇ καθωμιλημένῃ ἀρεσκείᾳ τῶν παλαιῶν, θεραπευτέον καὶ τὸ τόξων εὖ εἰδότες ἶφι μάχεσθαι. καὶ τὸ τόξων εὖ εἰδὼς ἐπίσης, ἵνα ὥσπερ τόξων εὖ εἰδὼς λέγεται κατὰ τοὺς παλαιοὺς, ὁ τοῦ τοξεύειν ἴδρις. οὕτω καὶ τόξων εὖ εἰδότες, οἱ τῆς τοξείας εἰδήμονες. τόξα γὰρ ἐνταῦθα τὴν τοξείαν δηλοῖ. ἢ τόξων εὖ εἰδὼς, ἀντὶ τοῦ τοξεύειν εὖ εἰδὼς, ἐναλλαγῇ.

Τοξάζεαι παρ' Ὁμήρῳ ἐν χ'. κακῶς ἀνδρῶν τοξάζεαι, ἀντὶ τοῦ, ἀτέχνως τοξάζῃ κατὰ τῶν ἀνδρῶν.

Τοξεύω, τὸ ἁπλῶς βέλος πέμπω. τοξεύω δὲ ἐπὶ σκοπὸν, καὶ τοξεύω κατὰ τοῦ δεῖνος.

Τοξεύομαι, ἀποστεροῦμαι.

Τοξίον, βωμὸς τοῦ Ἀπόλλωνος τοῦ ἐν Σικυῶνι. βέλτιον δὲ ἀκούειν τὴν ἐν Δελφοῖς νάπην λεγομένην· ἐκεῖ γὰρ καὶ ὁ δράκων κατετοξεύθη, καὶ ὁ ὀμφαλὸς τῆς γῆς, τάφος ἐστὶ τοῦ Πύθωνος.

Τοξοποιεῖν τὰς ὀφρῦς, ἀντὶ τοῦ σκυθρωπάζειν.

Τοξοσύνη, ὁμοίως τῷ μαντοσύνῃ, καὶ τοῖς τοιούτοις ἐσχημάτισται.

Τοξότα λωβητὴρ παρὰ τῷ Ποιητῇ, οὐχ ἁπλῶς ὕβρις ἐστί. τοξόται γὰρ καὶ Ἀπόλλων, καὶ ἡ Ἄρτεμις, καὶ τῶν ἡρώων οἱ κράτιστοι, Ἡρακλῆς, Ἴδας, Εὔρυτος, καὶ κατὰ Τροίαν Φιλοκτήτης, Τεῦκρος, Μηριόνης. ἀλλ' ὑφ' ἓν νοητέον τοξολωβητήρ. ἵνα λέγῃ, ὦ φαῦλε τοξότα. ταυτὸν δὲ εἰπεῖν ὦ ἀχρεῖον τὴν τοξικὴν. καὶ κατὰ τὸν λόγιον Κωμικὸν φάναι, λωβητὰ τέχνης τῆς εἰρημένης δηλαδή.

Τοξόται περιιδόμενοι, Σκύθαι, καὶ Σπευσίνιοι, οἱ δημόσιοι δοῦλοι Ἀθήνησιν, ἀπὸ Σπευσίνου τοῦ πρώτου καταστήσαντος αὐτοὺς ἐπὶ τὴν ὑπηρεσίαν.

Τοξότης, πολεμιστής.

Τόξου πῆχυν, τὸ ὅλον τόξον. κατὰ ἀντιπέπτωσιν τῆς νευρᾶς.

Τὸ ὄντως, τὸ ἀληθῶς.

Τὸ ὅσον ἐπ' ἐμοὶ, τὸ κατὰ δύναμιν τὴν ἐμήν.

Τοπάζω, καὶ ὑποτοπάζω, ὃ δηλοῖ τὸ ὑπονοῶ καὶ στοχάζομαι.

Τοπάσαι, ὑπονοῆσαι, ὑπολαβεῖν.

Τοπαστέον, ὑποληπτέον, ὑπονοητέον.

Τοπήϊα, ὅπλα νεώς. χοινία, τοπεῖα, κάλοι.

Τοπάζετε, εἰκάζετε, ὑπονοεῖτε.

Τὸ παράπαν, παντελῶς.

Τὸ πάροιθεν, τὸ πρὸ τούτου.

Τροπεῖα λέγουσι, τὰ χοινία. Στράττις Μακεδόσι, τὸν πέπλον δὲ τοῦτον ἕλκουσι δεσμεύοντες τοπείῳ ἄνδρες.

Τὸ πλέον, τὸ μετὰ τοῦτο, τὸ δεύτερον, τὸ μεταξὺ, τὸ τρίτον, καὶ τὰ τοιαῦτα, εἰ μὴ ἔχουσιν ἐπαγόμενον ὄνομα, πρὸς ὃ ἀποδοθήσεται τὸ τό, ἐπιῤῥήματά εἰσι. τοιοῦτόν ἐστι καὶ τὸ ἐξ ἅπαντος, τὸ ἐξ αἰῶνος, καὶ τὰ τοιαῦτα. εἰ γὰρ μὴ ἐπάγοιτο γενικὴ, πρὸς ἣν ἀποδοθήσεται ἡ ἐξ, οἷον ἐξ ἅπαντος τρόπου, ἢ τοιοῦτόν τι, ἐπιῤῥήματά εἰσι.

Τόπος, παρὰ τὸ πατῶ πάτος καὶ τόπος. ἢ παρὰ τὸ τύπος, τροπῇ τοῦ υ εἰς ο. ἢ παρὰ τὸ τῶ, τὸ λαμβάνω, καὶ δέχομαι. ἢ τόπος ἐστὶ, πέρας τοῦ περιέχοντος, καθὸ περιέχει τὸ περιεχόμενον. ἄλλως, τόπος ἐστὶν, ἤτοι τὸ τοῦ περιέχοντος πέρας, ἢ κενὸν μετεχόμενον ὑπὸ σώματος. ἢ τόπος ἐστὶν, εἶδος, πεποιημένον σχῆμα.

Τὸ Προμηθὲς, τὸ προνοητικόν.

Τὸ προσεχὲς, τὸ ἐγγύς.

Τὸ πρῶτον, τὸ πρεσβύτατον.

Τοπυργίαις, ἐμπυρισμοῖς.

Τοπῶ, τοπάζω, ἤγουν τόπους τινὰς καὶ ἀρχὰς νοημάτων ἔχω, εἰς τὸ ὑπονοεῖν τὸ δέ τι.

Τὸ ῥὰ, ὅπερ δή.

Τόρβηλος, μεμψίμοιρος.

Τόργιον, ὄρος ἐν Σικελίᾳ, ὅπου νεοττεύουσιν οἱ γῦπες. ἀφ' οὗ καὶ αὐτοὶ τόργοι.

Τόργος, εἶδος γυπὸς αἱματοῤῥόφου. ἔστι καὶ ὁ γὺψ, παρὰ Σικελιώταις.

Τορελλῆ, ἐπιφώνημα θρηνητικὸν, σὺν αὐλῷ θρακικόν.

Τορεύει, γλύφει. τορῶ, τὸ τρυπῶ, τορεύω. τορεία, ἡ πόρθασις.

Τορκιμὸν, τὸ βαρὺ, καὶ μισητόν.

Τόρμη, εὐθὺς δρόμος κατὰ τὴν ὄχθην, καὶ τροπὴ, καὶ σύμπας.

Τορμὶς, ἡ δέσποινα.

Τόρμος, ἡ πλήμνη τοῦ τροχοῦ, εἰς ἣν ὁ ἄξων.

Τόρνος, ξύλον στρογγύλον, παρὰ τὸ τείρω τορῶ. ἐκ τούτου τορνώσω, τὸ περιγράψω, καὶ κατασκευάσω. ὡς τὸ, τόρνωσάν τε δὲ σῆμα, θεμείλιά τε προβάλοντο. Ἰλιάδος ψ'.

Τορνῶμαι πρὸς μέτρον, ἀντὶ τοῦ περιγράφομαι.

Τορνώσασθαι κυρίως, τὸ κυκλοτερῶς διαγράψαι, ὡς ἀπὸ τοῦ τόρνου. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἁπλῶς περιγράψαι. ὡς δηλοῖ καὶ τὸ, ἔδαφος τορνώσεται νηός.

Τορνώσεται παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ περιγράψει. μᾶλλον μὲν οὖν κατασκευάσει τορνοειδὲς, ἤτοι στρογγύλον, καὶ οὐ κατὰ τὰς ἰδίως λεγομένας μακρὰς ναῦς. ἰστέον δὲ, ὡς οἱ πλείους μὲν ταυτὸν εἴδασι τόρνον καὶ τόρον. εἴρηται δὲ παρὰ τοῖς παλαιοῖς ὁ τόρος, καὶ ἐργαλεῖον φρεωρυχικὸν, ἢ λιθοκοπικόν φασι σκεῦος.

Τορὸν, τὸ ὑψηλὸν ἐπὶ φωνῆς, καὶ διάτορον, ἀφ' οὗ διάκτορος Ἑρμῆς.

Τορῖνος, τόρνος. Ταραντῖνοι.

Τόρος, ἐργαλεῖον φρεωρυχικὸν, εἰς ὃ ὁ στελεὸς ἐμβάλλεται.

Τορὸς, ἔντροχος, τομὸς, συνετός. ἔνιοι σαφὴς, ὡς παρὰ Σοφοκλεῖ. σημαίνει δὲ καὶ ἐργαλεῖον φρεωρυχικὸν, σκαφείῳ παραπλήσιον.

Τορὸν, ὀξύ.

Τόρτυρα, τῶν κεραμείων περιμήκης πυθμήν.

Τορτυρόμενον, νιφόμενον.

Τορῷ ἐργαλείῳ, ὀξεῖ, ἀκριβεῖ, στενῷ, ἰσχυρῷ, μεγάλῳ.

Τορύνη λέγεται, κινητήριον τῆς χύτρας, παρὰ τῷ Ἀριστοφάνει. σημειωτέον δὲ, ὅτι τορύνη πανταχοῦ ἐκτείνεται, εἰ μὴ παρ' Εὐπόλιδι.

Τορῶ, τορήσω. ἐξ οὗ τὸ ἀντετόρησε, καὶ συγκοπῇ τρῶ τρώσω. οὕτω στορῶ στορέσω, ἐξ οὗ τὸ στρῶ στρώσω, οἷον ὑπὸ δ' ἔστρωτο ῥινὸς βοός. ἐξ οὗ οἱ Βασιλικοὶ στρῶται, οἱ παρὰ Πέρσαις ἐπλεόναζον.

Τορῶς, σαφῶς, καὶ ἀκριβῶς.

Τόσος, ὄνομα ἀναφορικόν. ποίου εἴδους τῶν ἀναφορικῶν; ἀνταποδοτικοῦ. διὰ τί; ἐπειδὴ τὰ ὑπὲρ μίαν συλλαβὴν ἐρωτηματικὰ, ἀποβάλλοντα τὸ κατ' ἀρχὰς σύμφωνον, ἀναφορικὰ γίνεται. οἷον τοῖος οἷος, τόσος ὅσος. καὶ πάλιν προσλαμβάνοντα τὸ τ κατ' ἀρχὰς, ἀνταποδοτικὰ γίνεται. οἷον, οἷος τοῖος, ὅσος τόσος, ἅτινα πάλιν ὀξυτονούμενα ἀόριστα γίνεται. οἷον πόσος ποσὸς, τόσος τοσὸς, καὶ τὰ λοιπά.

Τοσοῦτον χρόνον ποιῶ τόδε, ἀντὶ τοῦ ἐπὶ τοσοῦτον χρόνον. καὶ πόσον χρόνον δεμνίοις πέπτωχ' ὅδε, ἤγουν πόσον ἐπὶ χρόνον κεῖται ἐν τοῖς δεμνίοις, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὅτι δὲ ἡ ἐπὶ πρόσθεσις νοεῖται ἐπὶ τούτοις, δῆλον ἀπὸ τοῦ πολλὰ τοιαῦτα ἐνίοτε λέγεσθαι μετὰ τῆς ἐπὶ, οἷον ἐπ' ὀλίγον. ἐπὶ πολὺ εἱστήκει ἄφωνος, ἤγουν ἐπὶ πολὺ μέρος χρόνου, τουτέστι, πολὺν χρόνον.

Τὸ σαὶς, τὸ ἄλευρον.

Τόσῳ μᾶλλον, τοσούτῳ μᾶλλον.

Τὸ τάχος, συντόμως.

Τότε, ἀντὶ τοῦ εἶτα ὁ Χρυσόστομος λαμβάνει. σὺ πρῶτος ἀπολαύεις ἀγαθῶν ἐὰν υἱὸν ἔχῃς καλὸν, τότε καὶ ὁ Θεός.

Τότε καὶ ὅτε, πᾶσι χρόνοις συντάσσεται, πλὴν τοῦ ὑπερσυντελίκου.

Τὸ τεῦχος, τὸ σκεῦος.

Τοῦ, εἰ μὲν λαμβάνεται ἀντὶ τοῦ τινὸς, ἐγκλίνεται. οἷον παρά του, ἀντὶ τοῦ παρά τινος. εἰ δὲ ἀντὶ τοῦ τίνος ἐρωτηματικοῦ, οὐδέποτε ἐγκλίνεται.

Τοῦ θράσους, καὶ τῆς ἀναιδείας, ἀντὶ τοῦ ὢ θράσος, καὶ φεῦ τῆς ἀναιδείας, Ἀττικῶν ἐστι.

Τοῦ δ' ἐφέξειν, γράφεται παρὰ τῷ Ἀριστοφάνει καὶ ὑφέξειν, οἷον ὑποχεῖν τι, ὑπισχνούμενός τι, ἐπιχεῖσε, ἢ τίνος χάριν. παρὰ δὲ τοῖς τραγικοῖς, ἔφεσις ἢ πρόφασις. τί προ-

τὶ προφασιζόμενος συγκλείησε. καὶ τὸ παρ' Ὁμήρῳ, οὐδέ τινα ἄλλον μῦθον ποιήσασθαι ἐπιχειρεῖν ἰδυῖα.

Τύδυνοι, αἱ τοποτηρηταὶ παρὰ Τύρκοις.

Τῦμαι, τόμα.

Τοὔμπαλιν, τὸ ἐναντίον, ἀνάπαλιν, ἔπειτα, πάλιν.

Τουλεὸν, τὸ τραπέζιον, ἐν ᾧ ἦσαν οἱ ἀλλᾶντες. ἐλεοὶ γὰρ λέγονται αἱ μαγειρικαὶ τράπεζαι. καὶ Ὅμηρος, ἐν ἐλεοῖσιν ἔθηκεν.

Τοὔλυτρον, τὴν θήκην λέγει Ἀριστοφάνης. τὸ ἐντελὲς, τὸ ἔλυτρον.

Τοὔνεκα, τούτου ἕνεκα.

Τοὔργον, τὸ ἔργον.

Τυνὴ, σὺ, Λάκωνες.

Τοὔνομα τοὐμὸν, ἀντὶ τοῦ τὸ ὄνομα τὸ ἐμὸν, κατὰ συναλοιφὴν, ἥτις ἐστὶ δύο φωνηέντων διῃρημένων εἰς μίαν συλλαβὴν ἕνωσις, καὶ ἔστιν ἰδία Ἀττικῶν. ὁμοίως τοὔπος ἀντὶ τοῦ τὸ ἔπος. τοὔνδυμα, τὸ ἔνδυμα. τοὔλαιον, τὸ ἔλαιον. τοὐπίσημον, τὸ ἐπίσημον. τοὔργον, τὸ ἔργον.

Τὺν τετράδι πεπεμμένου παρὰ τῷ Ἀριστοφάνει. ἡ τετρὰς ἐνομίζετο τοῦ Ἑρμοῦ. καὶ καθ' ἕκαστον μῆνα ταύτῃ τῇ ἡμέρᾳ ἐπετίθεντο τῷ Ἑρμῇ. ἔξω γὰρ τῶν ἑορτῶν ἱεραί τινες τοῦ μηνὸς ἡμέραι νομίζονται Ἀθήνησι θεοῖς τισίν. οἷον νουμηνία καὶ ἑβδόμη Ἀπόλλωνι, τετρὰς Ἑρμῇ, καὶ ὀγδόη Θησεῖ.

Τοῦ παντὸς ἀξιόλογον, τοῦ παντὸς κύριον.

Τοὐπτάνιον παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἐπὶ τὸ Πρυτανεῖον εἶπεν εἰς τοὐπτάνιον, τουτέστι τὸ μαγειρεῖον.

Τοὔργον, τὸ ἔργον. κατὰ συναίρεσιν τῶν φωνηέντων.

Τὺς, ἄρθρον προτακτικὸν καὶ ἀντὶ τοῦ οὓς, καὶ ἀντὶ τοῦ τίνας.

Τυσία, βοτάνη τίς ἐστιν. ἡ ἀνθύλλια ὅμοια σελίνῳ ἐν τοῖς ποταμοῖς τρεφόμενα. κατὰ δέ τινας τὰ πρὸς τοῖς ποταμοῖς φυόμενα βρύα.

Τυσοὶρ, φύσκη πλήρης κρημνῶν στέατος αἵματος.

Τοὺς ἐμβόλους, τὰ ἔμβολα τῶν νεῶν, καὶ ἐπὶ τῶν θηλειῶν.

Τοὔσχατον, τὸ ἔσχατον καὶ μέγιστον.

Τύτας, ἀντὶ τοῦ ταύτας λέγουσι Δωριεῖς.

Τυτὶ, ἀντὶ τοῦ τοῦτο δεικτικῶς, καὶ Ἀττικῶς.

Τοῦτις, ὁ κόσσυφος. τουτοπύθιον, τοῦτο πρῶτον καὶ ἔσχατον.

Τοῦτο μὲν, τοῦτο δὲ, ἅμα μὲν, ἅμα δέ. Συνέσιος, τοῦτο μὲν ὡς ὑγιαίνει, τοῦτο δὲ ὡς ἀναγινώσκει.

Τοὔψον, τὸ βρῶμα. καὶ τοὔψον, ὀπτὸν, καὶ τὸ ὄψον. ἐκάλουν δὲ τὸ ἰχθύδιον.

Τόφρα, σημασίας πέντε ἔχει, τὸ εὐθέως, τὸ ἕως, τὸ τηνίκα, τὸ ὄφρα, καὶ τὸ ἐν τοσούτῳ.

Τόφρα, καὶ ὄφρα, ποιητικὰ ἐπιρρήματα, τὴν αὐτὴν ἔχουσι σημασίαν, τῷ τέως καὶ ἕως, τηνίκα, ἡνίκα.

Τόφρα, ἀντὶ τοῦ ὄφρα κεῖται πολλαχοῦ. τὸ ὄφρα ποτὲ μὲν τὸ ἵνα δηλοῖ. Ὅμηρος, ὄφρα μὴ ἀσπερμὸς γένηαι. ποτὲ δὲ προηγούμενόν ἐστιν ἀνταποδοτικὸν ἔχων τὸ τόφρα. Ὅμηρος, ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ.

Τοῦφος, τάφος.

ΤΟ Τ. ΜΕΤΑ ΤΟΥ Ρ.

ΤΡάγαι, Αἰολεῖς οὕτω λέγονται, ἀπὸ λίμνης, ἣ καλεῖται Τράγη.

Τραγαλέον, διερρωγότα.

Τραγᾶν. οὕτω τὸ ἀκαρπεῖν τινὲς τῶν γεωργικῶν. οἱ δὲ, μελῶν νόσον καὶ τῆς φωνῆς τὸ πάθος.

Τραγάσιον, ἐν τῇ Τροίᾳ ἀπὸ Τραγάσου τοῦ πατρὸς Φιλονομίας τῆς ἐραθείσης Τέννου.

Τραγασαῖα, ἀπὸ τοῦ τρώγειν. ἔπαιξεν Ἀριστοφάνης, ἅμα δὲ καὶ ὡς ἀπὸ πόλεως. τραγασαίου δὲ, διὰ τὴν τῶν τράγων δυσωδίαν εἶπεν ἐξῆς.

Τραγεῖν, ἰστέον ὅτι τραχύτερον τῇ φωνῇ τὸ ἔτραγον, τοῦ ἔφαγον. ὡς καὶ τοῦ φαγεῖν, τὸ τραγεῖν. καὶ τοῦ ὁ φάγος, ὁ τράγος. καὶ ὅτι τοῦ φαγεῖν μὲν πρωτότυπον θέμα τρῶ, ὅθεν τὸ τρώγω. ὡς καὶ τοῦ ἀνώγω, τὸ ἄνω, ἤγουν τελειῶ. ἐξ οὗ τὸ ἀνύω. τοῦ δὲ φαγεῖν προσεχὲς μὲν θέμα, τὸ φάγω, ἢ φήγω. πρωτόθετον δὲ τὸ φῶ, ἤγουν φονεύω, συντρίβω, κλῶ, θλῶ. ἀφ' οὗ καὶ ἄλευρον μυλήφατον.

Τραγεῖρον, πόας εἶδος.

Τράγη, πεπληγμένη, πεπηγυῖα.

* Τραγήματα, τὰ μετὰ τὴν εὐωχίαν τῇ τραπέζῃ τιθέμενα.

Τραγηφόροι, αἱ κόραι Διονύσῳ ὀργιάζουσαι, τραγῆν περιηπτόμεναι.

Τραγίζειν, τὸ τραγᾷν τῇ φωνῇ, τοὺς ἀκμάζοντας τῶν παιδίων.

Τραγικὴ σκηνὴ, πῆγμα μετέωρον, ἐφ' οὗ ἐν θεάτρῳ τινὲς περιϊόντες ἔλεγον. λέγεται δὲ καὶ ἡ τραγικὴ τέχνη σκηνή.

Τραγικὴ, τραγῳδῶν ἄσματα.

Τραγικὸς, πίθηκος, παροιμία ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων.

Τραγιστὰς, τοὺς τὰ ἱερεῖα κλέπτοντας.

Τράγοι, γράφει ὁ γραμματικὸς Ἀριστοφάνης. περὶ ὀνομασίας ἡλικιῶν μήλων, τοιαῦτα. τῶν αἰγῶν μὲν τέλειοι, τράγοι, καὶ ἔξαλοι. ἡ δὲ ἐχομένη ἡλικία, χίμαροι. τὰ δὲ νεώτατα, ἔριφοι. ὁ δὲ Ποιητὴς ἐν Ὀδυσσείᾳ, τὰ τέλεια μὲν προγόνους καλεῖ. τὰ δὲ μετὰ ταῦτα, μετάσσας. τὰ δὲ ἔτι νεώτερα, ἕρσας. καὶ ἐσσῆνες δὲ καλοῦνται, ἡλικία τὶς καὶ πρητῆνες, καὶ ἐπιπρητῆνες. τῶν δὲ προβάτων τὰ μὲν τέλεια ὄϊες, καὶ κριοὶ, καὶ ἀρνοί. τὰ δὲ νέα, ἄρνες, καὶ ἀμνοί. βοῶν δὲ, ταῦροι μὲν οἱ τέλειοι, καὶ ἐνόρχαι. ὧν οἱ χαλεπώτατοι καὶ διὰ ἀκμὴν μονάζοντες, ἀτιμαγέλαι καλοῦνται. αἱ δὲ θήλειαι, βόες μόνον. τὰ δὲ νέα, δαμάλαι. καὶ δαμάλιες, καὶ μόσχοι. καὶ πόριες, καὶ πόρτιες, καὶ πόρτακες. λέγει δὲ, καὶ ὅτι κατὰ τὴν δάμαλιν Σοφοκλῆς ἔφη γηγενῆ βούβαλιν. καὶ Αἰσχύλος, λεοντοχόρταν βούβαλιν. λεόντων, σκύμνοι, καὶ λεοντιδεῖς καλοῦνται. παρδάλεων, σκύμνοι, καὶ παρδαλιδεῖς. ἄρκτων, σκύμνοι, καὶ ἀρκιλοι. βουβάλων δὲ, πῶλοι. κυνῶν δὲ, καὶ λύκων, σκύλακες. ὑστρίκων δὲ καὶ τῶν τοιούτων, ὄβρια καὶ ὀβρίκια.

Τραγομάσχαλοι, οἱ δύσοσμοι τράγοι. οἱ γὰρ ἄρρενες τῶν αἰγῶν τοιοῦτοι.

Τραγοπάγων, πόας εἶδος.

Τραγορίγανον, ὄριον, ὅπερ οἱ ἐσθίοντες πολλάκις γίνονται κατωφερεῖς. διὸ οὕτως εἴρηκε Νίκανδρος, ἔνθα ἀγροτέρης τραγοριγάνου.

Τράγος, παρὰ τὸ τρώγω. πολύφαγον γὰρ τὸ ζῶον. ἢ παρὰ τὸ τραχὺ δέρμα ἔχειν.

* Τράγος, τραγᾷν καὶ τραγίζειν, τὸ τῇ ἥβῃ προσεγγίζειν, ὁπηνίκα οἱ μὲν ὄρχεις ὀγκοῦνται, ἡ δὲ φωνὴ τραχυτέρα γίνεται. ὑπὸ δὲ καὶ τῶν ὀρχέων ὁ τραφέστερος ὁ δεξιὸς ὑπάρχει, καὶ πρῶτος μὲν ἐν τῷ τραγᾷν διαφυσηθεὶς, ἀρρενοτόκους ποιεῖ, ἀτροφώτερος δὲ, καὶ ὕστερον ἀρξάμενος ἐξαίρεσθαι, θηλυγόνους. Γαληνός.

Τράγους, σατύρους. διὰ τὸ τράγων ὦτα ἔχειν.

Τραγῳδία λέγεται, ἡ ποίησις τῶν τραγικῶν. τραγῳδία, καὶ τὸ πάθος αὐτὸ, καὶ συμφορά. τραγῳδία καὶ ἡ τῶν τραγῳδῶν σεμνότης, καὶ φαντασία, καὶ ἀπόδειξις. παράγεται δὲ τραγῳδία καὶ τραγῳδὸς, ἀπὸ τοῦ τραγᾷν, ὃ δηλοῖ τὸ βαρέως βοᾷν.

Τραγῳδικὸν, ἀντὶ τοῦ ἐμπαθὲς κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἐπειδήπερ ἡ τραγῳδία, ἐμπαθῶν πραγμάτων ἀπαγγελτική.

Τραγῳδοῦσιν, ἤγουν τὰς τραγῳδίας καὶ δράματα ποιοῦσι.

Τρακταίζω, τὸ λευκαίνω, καὶ κατασκευάζω. ἐξ οὗ τὸ τρακτὸν, ὁ κηρὸς ὁ πεποιημένος λευκός.

Τράλλεις. οὕτως ἐκαλοῦντο μισθοφόροι Θρᾷκες τοῖς Βασιλεῦσιν, οἱ τὰς φονικὰς χρείας πληροῦντες.

Τραλλὸν, πικρόν.

Τράμπις, ναῦς, ἄκατος, πορθμίς. τινὲς πλοῖα βαρβαρικά.

Τραμπύια, πόλις Ἠπείρου. ἔνθα μετὰ νόστον Ὀδυσσεὺς ἀπῆλθε, καθὰ καὶ Ὅμηρός φησι.

Τράμην. οἱ μὲν, τὸ τρῆμα τῆς ἕδρας. οἱ δὲ, τὸ ἀπὸ τοῦ τύπου μέχρι τῆς ἀρχῆς τοῦ βαλάνου χωρίον.

Τρανὲς, σαφὲς, ἀληθές.

Τρανίαν ἐν ὁδῷ μεγάλην.

Τρανιψοὶ, ἔθνος θράκιον.

Τρανὸν, ἐξαμηνιαῖον πρόβατον.

Τρανὸς, παρὰ τὸ στερρὸς, μακρὸν τὸ α τὰ εἰς νος, ὀξύτονα δισύλλαβα τῷ α παραληγόμενα, ἐκτείνουσιν αὐτὸ, τρανὸς φανός.

Τράπεν, ἔτρεψε.

Τράπεζα κυρίως, οὐχὶ ἡ ἐπὶ τριῶν ἱσταμένη, ἀλλὰ ὡς γράφει Ἀθηναῖος, ὁ κατὰ τεσσάρων. δηλοῖ καὶ τὸ τῆς λέξεως ἔτυμον. τετράπεζα γὰρ, καὶ συγκοπῇ διὰ εὐφωνίαν τράπεζα. ὥσπερ καὶ τετράδραχμον, τέτραχμον κατὰ παλαιούς. καὶ φύσησις, φύσις. διὰ τὸ ζωτικῷ πνεύματι διαφυσᾶσθαι τὰ ζῶντα.

* Τράπεζα, πόλις Ἀρκαδίας, ἐγγὺς Τρικολώνου. οἱ πολῖται Τραπεζεῖς.

Τράπεζαι παρὰ τοῖς παλαιοῖς, καὶ δεύτεραί τινες ἐκαλοῦντο. αἱ δὲ ἦσαν τῶν τραγημάτων, ἃ καὶ τρωγάλια ἐλέγοντο.

Τραπεζῆες κύνες, οἱ καὶ τραπεζῆται, οὓς ἀγλαΐας ἕνεκεν κομόωσιν ἄνακτες. ἐν δὲ ῥητορικῷ λεξικῷ, ἑρμηνεία τῆς λέξεως κεῖται αὕτη. τραπεζῆες, παράσιτοι, οἰκοτρεφεῖς. οἷς παράφρασις τὸ, ἃς τρέφον ἐν μεγάροισι. δῆλον δ' ὅτι πρωτότυπον τοῦ τραπεζήτης κύων, ὁ ἐνταῦθα τραπεζεύς. ἐξ οὗ καὶ ἔστιν ἐκεῖ, ἡ ει δίφθογγος. ὁ μέντοι ἀργυραμοιβὸς τραπεζίτης, οὐκ ἐκ τοῦ τραπεζέως, ἀλλ' ἐκ τῆς τραπέζης γίνεται.

Τραπέζιον, παρὰ τοῖς γεωμέτραις, σχῆμα, τὸ τὰς μὲν δύο πλευρὰς ἀπεναντίας πρὸς ἀλλήλας ἔχον ἀνίσους. τὰς δὲ ταύτας ἐπιζευγνυούσας, ἴσας.

Τραπεζίτης, κολυμβιστὴς, κερματιστὴς, δανειστής.

* Τραπεζίτην Πάριν, τὸν παραβάντα τὴν τράπεζαν καὶ ἀτιμάσαντα τὴν Μενελάου.

Τραπεζοκόρος, ὁ παράσιτος.

Τραπεζοποιὸς, ὁ περὶ τὸ συμπόσιον πάντων ἐπιμελούμενος. Τραπεζῶν, σκευῶν, ἀκουσμάτων. οὕτω Μένανδρος, ῥητορικῇ.

Τραπεζοφόρος, ἱερωσύνης ὄνομά ἐστι. καὶ ὅτι αὕτη τε, καὶ ἡ κόσμῳ συνδιέπουσα, πάντα τὰ τῆς Ἀθηνᾶς ἱέρεια.

* Τραπεζοῦς, πόλις πρὸς τῷ Εὐξείνῳ Πόντῳ, ἐμπόριον μέγα. Σινωπέων ἄποικος. ἐκαλεῖτο καὶ Οἰζηνίς. Ἐν ταύτῃ μέλι ἀπὸ τῆς πύξου φησὶν Ἀριστοτέλης γίγνεσθαι ἐν τῷ περὶ θαυμασίων ἀκουσμάτων βαρύοσμον, ἀφ' οὗ τοὺς φαγόντας, ὑγιαίνοντας μὲν, ἐξίστασθαι, τοὺς δὲ ἐπιλήπτους, εὐθέως ἀπαλλάττεσθαι. Ἔστι καὶ Ἀρκαδίας πόλις Τραπεζοῦς, ἀπὸ Τραπεζοῦντος παιδὸς Λυκάονος, ὡς Παυσανίας ὀγδόῳ. ἔστι καὶ ἄλλη πλησίον τοῦ Ἀραβικοῦ κόλπου. ὁ πολίτης, Τραπεζούντιος, ὡς Σελινούντιος. καὶ ἡ χώρα Τραπεζουντία. λέγεται καὶ Τραπεζούσιος, ὡς ἀμαθούσιος.

Τραπεζὼν, ἱέρειά τις Ἀθήνησι.

Τραπείομεν παρ' Ὁμήρῳ ἐν γ' τῆς Ἰλιάδος, ἢ ἀντὶ τοῦ μεταβληθῶμεν μετατραπῶμεν, ἐκ μίσους τοῦ νῦν, εἰς φιλίαν. ὡς ἀπὸ τοῦ τρέπω, ἢ μᾶλλον ἀπὸ τοῦ τέρπω, ἀντὶ τοῦ τερφθῶμεν, ἡδυνθῶμεν τῇ φιλότητι. ὃ διασαφῶν ἐπάγει, τὸ εὐνηθέντες, πρὸς διαστολὴν ἑτέροιας φιλότητος.

Τραπελιζόμενος, ἢ τροπαλιζόμενος, συνεχῶς ἀναστρεφόμενος.

Τραπέουσιν, ἀντὶ τοῦ πατοῦσιν. ὅθεν φασὶ καὶ τραπηταὶ οἱ πατοῦντες τὰς σταφυλάς. γίνεται δὲ παρὰ τὸ τρέπειν ἡ λέξις. ἐπεὶ πατουμένη τρέπεται εἰς ἄλλο τι ἡ σταφυλή. εἰς

Digitized by Google

Οἶνον γὰρ τρεπομένη, ἀπὸ πηκτοῦ εἰς ῥυτόν. ἰστέον δὲ, ὅτι τὸ τραπεῖν μὲν σταφυλὰς, ποιητικὴ τραχεῖα λέξις. τὸ δὲ πατεῖν, ἀνάπαλιν. κοινὴ γάρ ἐστι καὶ λεία.

Τράπηκι, δόρατι.

Τραπεῖν, ληνοπατεῖν.

Τραπῆναι, τραφῆναι, πησθῆναι.

Τραπητὸς, ὁ οἶνος.

Τραπομένους, τρεπομένους.

Τραπῶ, ἀπέλθω.

Τραρὸν, ταχύ.

Τρασιὰ λέγεται, ὁ τόπος, ὅπου ψύχεται τὰ σῦκα, καὶ ταριχεύεται, ἢ ἡ σανίς.

Τραυλίζω, νηπιωδῶς λέγω. Ἀριστοφάνης, πάνυ τραυλίζοντος τραυλίσαντι, ψελλίσαντι. ἀντὶ τοῦ ἄσημον ἀφιέντι φωνήν.

Τραυλὸν, ἡδὺ, λεπτόν.

Τραυματίαι, σφαγαὶ, τετρωμένοι.

Τραῦμα, παρὰ τὸ τρῶ, τὸ τιτρώσκω, τρῶμα, καὶ τραῦμα. ἐτυμολογεῖται δὲ, παρὰ τὸ ῥέειν δι' αὐτοῦ τὸ αἷμα.

Τραύξανα, τὰ ἀπὸ τῆς φάτνης ἀποπίπτοντα τῶν ἵππων, ἢ τῶν βοῶν, ἢ τῶν ἄλλων κτηνῶν λείψανα. σημαίνει δὲ καὶ τὰ ἀκανθώδη, καὶ ξηρὰ ξύλα.

Τραύσανον. ξηρὸν πᾶν, ἢ φρύγανον.

Τραῦσος, ἔθνος σκυθικόν. οἳ τοὺς μὲν γεννωμένους ἀτιμάζουσι, τοὺς δὲ τελευτῶντας καταφημίζουσι.

Τράφαλλος, ὁ χλωρὸς τυρός. οἱ δὲ, τραφαλλίδα καὶ τροφαλλίδα.

Τραφάσιοι παρ' Ἴωσι λέγονται, οἱ τριπλάσιοι, τρίφωνοι.

Τράφεν, ἀντὶ τοῦ ἐτράφησαν, ἐκ τοῦ τρέφω θρέψω ἔθρεψα. ὁ δεύτερος ἀόριστος ἔτραφον, ὁ παθητικὸς ἐτράφην. τὸ πρῶτον τῶν πληθυντικῶν, ἐτράφημεν. ἐκ τούτου ἀφαιρέσει Ἰωνικῇ καὶ συγκοπῇ τράφεν, ἀντὶ τοῦ ἐτράφησαν.

Τραφερὰ, ἡ ξηρὰ γῆ, ἡ πεπηγυῖα, ὡς πρὸς τὴν θάλατταν. θρέψαι γὰρ τὸ πῆξαι.

Τραφερὸν, πηκτὸν, τρόφιμον, λευκὸν, ξηρὸν, πεπηγμένον.

Τραφέτην, τάρφεσιν, τρόπος ἐστὶν ἐτυμολογικός, ἐτραφέτην γὰρ τὸ ῥῆμά ἐστιν. ἀφ' οὗ τάρφος γίνεται, ἢ τὸ δάσος τὸ δυνάμενον τρέφειν ζῶα. ὃ δὴ μετατεθὲν, καὶ τὴν παρὰ τοῖς λογίοις τάφρον ποιεῖ.

Τραφηξ κυρίως, ἡ πλατεῖα σανίς. ἔνθα καὶ τοὺς νεοζύμους ἄρτους τιθέασιν. ἢ τραφηξ κυρίως, ἡ ὑπέπλαστος σανὶς, ἐν ᾗ τοὺς ἄρτους πρὸς τοὺς κλιβάνους ὑπάγουσι. Λυκόφρων δὲ ἁπλῶς, τὸ ξύλον λέγει. τραφηξ καλεῖται καὶ τὸ χεῖλος τοῦ πλοίου, ἐν ᾧ οἱ σκαρθμοὶ τίθενται.

Τράφος, τάφος.

Τράχε, πορδοῦ.

Τραχηλιάσας, ἐναντιωθεὶς, ἀπειθήσας.

Τραχηλιῶ, ὑψῶ τὸν αὐχένα.

Τραχηλίζειν λέγεται, τὸ διχοτομεῖν, ἤγουν τὸ διὰ τῆς ῥάχεως σχίζειν. τετραχηλισμένοι στησόμεθα, ἤγουν φανεροὶ καὶ ἀνακεκαλυμμένοι.

Τράχηλος, παρὰ τὴν τραχύτητα. ὀστώδης γὰρ τὸ μέρος, ἢ παρὰ τὸ δι' αὐτοῦ τρέχειν τὴν τροφὴν, οἷον τρόχαλος. ἢ ὅτι τῆς ῥάχεως ὅλος ἐστὶ τράχηλος. ἢ παρὰ τὸ τραχὺς καὶ τὸ ἧλος, ὁ τραχεῖς ἥλους ἔχων. ὅτε δέ φησιν Ὅμηρος, ἁπαλοῦ δι' αὐχένος, κατ' ἀντίφρασιν λέγει. οὕτως Ὧρος. ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ, τράχηλον λευκὸν σημαίνειν τι τῶν θαλασσίων πορφύρων, οὕτω Ποσίδιππος.

Τραχήλους, τὰς πορφύρας. ἔνιοι, τοὺς σπονδύλους τῶν κογχυλίων.

Τραχὶν, πόλις Θεσσαλίας, ἡ νῦν Ἡράκλεια καλουμένη.

Τραχὺς, σημαίνει τὸν σκληρὸν, ἀπὸ μεταφορᾶς τῆς ῥάχεως. αὕτη γὰρ ὀστώδης ἐστὶν, ἢ παρὰ τὸ τάραχος ταραχὺς, καὶ τραχύς. ὁ γὰρ τραχὺς τάραχον ποιεῖ.

Τρεῖν, φοβεῖσθαι, φεύγειν.

Τρεῖς τριῶν τρισὶ τρεῖς, οἱ καὶ αἱ. τρία τριῶν τρισὶ τρία. τά.

Τρεῖς, πᾶς ἀριθμὸς ἐντὸς τῶν χιλίων θέλει ἔχειν στοιχεῖον, εἴτε φωνῆεν, εἴτε σύμφωνον, ἐκ τῶν ἐντὸς τῆς δεκάδος. καὶ γὰρ τὸ δύο ἔχει τὸ δ, καὶ τὸ πεντήκοντα ἔχει τὸ ε καὶ τὸ η καὶ τὸ α, τὸ δὲ ὀκτὼ δοκεῖ ἀντικεῖσθαι. ἀλλὰ καὶ τοῦτο δύναμιν ἔχει ἐκ τῶν ἐντὸς τῆς δεκάδος. λέγουσι γὰρ οἱ Φιλόσοφοι, ὅτι τὸ ὀκτὼ, καὶ ὀγδοὰς λέγεται, παρὰ τὸ ἄγειν δύο τετράδας. οἱονεὶ ἀγωδυὰς, καὶ ὀγδοάς. τὸ δὲ α καὶ τὸ γ καὶ τὸ δ ἐκ τῶν ἐντὸς τῆς δεκάδος εἰσί. κατὰ τοῦτο, τὸ τρεῖς, διὰ τῆς ει διφθόγγου γράφεται, ἵνα σχῇ τὸ ε. εἰ γὰρ ἐγράφετο διὰ τοῦ ι, οὐκ ἔμελλεν ἔχειν τὸ στοιχεῖον. ἐν δὲ τῇ συνθέσει, ἤγουν ἐν τῷ τρισκαίδεκα, ἀποβάλλει τὸ ε. ἔχει γὰρ ἄλλα στοιχεῖα ἐκ τῶν ἐντὸς τῆς δεκάδος. οἷον τὸ α τοῦ καὶ συνδέσμου, καὶ τὸ δ καὶ τὸ ε τοῦ δέκα.

Τρεῖς ἄνδρες, καὶ τρεῖς γυναῖκες, καὶ τρεῖς, ῥῆμα. οὗ τὸ θέμα τρέω τρῶ, τὸ φοβοῦμαι. τρισὶν ἔπεσι πονεῖ, ἤγουν ἐργάζεται κοινῶς. Ἀττικῶς δὲ αἰτιατικῇ. Θουκυδίδης, καὶ κατὰ πόλιν ἤδη ἐν στάσει ὄντες, ὅμως τρία ἐπαντεῖχον.

Τρεῖς λίθους, παρὰ τῷ Ἀριστοφάνει. καὶ γὰρ παροιμία, τρεῖς εἰσὶν ἱκανοὶ πρωκτὸν ἐκμάξαι λίθοι. τινὲς δὲ προστιθέασι καὶ τοῦτο, ὥς φασιν, ἂν ὦσι τραχεῖς, ἂν δὲ λεῖοι, τέτταρες. ἔνιοι δέ φασι τοῦτο λελέχθαι, ἐπεὶ οἱ χέζοντες, τρεῖς λίθους παρατιθέασι, καὶ ὥσπερ λάσανον ὑπ' αὐτῶν ποιοῦσιν. ἀναγκαιοτέρα δὲ ἡ πρώτη ἐστὶν ἐξήγησις. τὸ δὲ γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε, καὶ τὸ κατειβόμενον στυγὸς ὕδωρ, ὅστε μέγιστος ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι, φασὶν οἱ παλαιοὶ ὡς διὰ τριῶν ἦν ἔθος ὀμνύειν. καὶ ὅτι δράκων Ὁμήρου προϋποθεμένου, οὕτως ἔταξε, Δία, Ποσειδῶνα, καὶ Ἀθηνᾶν. οἱ δὲ Δία, Ποσειδῶνα, καὶ Δήμητραν. ὡς Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἀλλαχοῦ δέ φησιν Ὅμηρος, Ζεῦ πάτερ καὶ Ἀθηναίη, καὶ Ἄπολλον. καὶ ἴστω Ζεὺς, ξενίη τε τράπεζα, ἱστίη τε Ὀδυσσέως. ἐγίνετο δέ τι τοιοῦτον, καὶ κατὰ τὰς θυσίας.

Τρέμηνα, ἡλικία.

Τρέμω, ἐπὶ τρόμου. τρέμω δὲ τὸν θάνατον, ἀντὶ τοῦ φοβοῦμαι, μεταβατικῶς αἰτιατικῇ συντάσσεται.

Τρέπομαι, τὸ νικῶ, καὶ τροπὴν ποιοῦμαι, καὶ καταβάλλω, οἷον τρέπομαι τοὺς πολεμίους. τὸ μεταβαίνω, οἷον ἄλλην ὁδὸν τρέπομαι. τρέπω δὲ τὴν ὀργὴν ἀπὸ τοῦ δεῖνος τόδε, καὶ τρέπω τὸν πρωκτὸν πρὸς τοῦτον, ἤγουν εἰς τοῦτον, καὶ ὡς τοῦτον Ἀττικῶς. ἐπιτρέπω σοι τόδε, ἀντὶ τοῦ δίδωμί σοι φροντίζειν αὐτοῦ. προτρέπω σε, ἤτοι παρακινῶ σε μὴ βουλόμενον. καὶ μετὰ ἀπαρεμφάτου. λαμβάνεται δὲ ἀπὸ μείζονος προσώπου πρὸς ἔλαττον, μὴ ἔχον ἐξουσίαν πράττειν, ὃ προετράπη. οἷον, προέτρεψεν ὁ ἡγούμενος τῷ θυρωρῷ ποιῆσαι τόδε.

Τρεπτότροπος, τροπῆς.

Τρεσάντων, ἀντὶ τοῦ εἰς φυγὴν τραπέντων, ὡς δηλοῖ τὸ ἐν δὲ φόβον ὦρσεν, ὅ ἐστι φυγήν. ὅθεν καί τις ἐν Ἀθηναίοις ἐπὶ δειλίᾳ κωμῳδούμενος, τρέσας ἐκαλεῖτο. καθὰ καί τις ἕτερος διάρροιαν πάσχων γαστρὸς, χέσας ἐλέγετο.

Τρέστης, δειλός.

Τρέφειν, ἔχειν, πηγνῦναι. καὶ τρέφεται, ὁμοίως.

Τρεφθῆναι, προτιμηθὲν τοῦ τραπῆναι παρὰ τῷ Ποιητῇ, διὰ τὸν τῆς τραχυφωνίας ὄγκον. οὕτω δὲ καὶ στρεφθεὶς, καὶ βλαφθείς. καὶ τὸ ἐδρύφθη καὶ ἐβρέχθη, καὶ τὸ ἐθρέφθη, ἀγαπητὰ τοῖς κατὰ τὸν Ποιητήν.

Τρέφοιν, γίνεται οὕτω, τρέφων, τρέφοντος. τὸ Ἀττικὸν τρέφοιμι τρέφοις τρέφοι. πλεονασμῷ τοῦ η Ἀττικῶς, τρεφοίην τρεφοίης τρεφοίη, τὸ πρῶτον πρόσωπον συγκοπῇ τοῦ η τρέφοιν.

Τρέφω, βουκολῶ, ἑστιῶ, εὐωχῶ, σιτίζω, ψωμίζω, τιθηνῶ, βόσκω, ταυτόν.

Τρέφειν, τὸ σιτίζειν, καὶ τὸ ἀνατρέφειν. ὥσπερ τὸ ἄγειν καὶ ἀνάγειν. ἀφ' οὗ ἀναγωγὸς, ὁ ἐστερημένος ἀγωγῆς. τέτροφεν ἅλμη, ὅ ἐστι πέπηγεν. ἰστέον ὅτι τὸ τέτροφεν ὀρθῶς καὶ τῷ ο παραλήγεται, καὶ τὸ φ σύμφωνον ἔχει, ὡς μέσος παρακείμενος, ἐκ τοῦ τρέφω γενόμενος.

Τρέφομαι, δοτικῇ συντάσσεται, καὶ ὅτε πρὸς τὸν τρέφοντα λέγηται, καὶ ὅτε πρὸς τὴν τροφήν. οἷον τρέφομαί σοι, ἤγουν ὑπὸ σοῦ. καὶ τρέφομαι ἄρτῳ. τὸ δὲ σιτοῦμαι, δηλοῖ τὰ ἐσθίω. ὡς παρ' Ἀριστοφάνει, πῶς σὺ κυνὸς βορὰν σιτούμενος μάχῃ σὺ κυνοκεφάλῳ.

Τρέφεσθαι συνίστασθαι. Πλάτων, τὰ ζῶα συντρέφεται. ἀντὶ τοῦ συνίσταται, πήγνυται.

Τρέφεται, τίθεται καὶ ἀντὶ τοῦ πήγνυται, καὶ πυκνοῦται, καὶ οὕτω συνίσταται. ὅτι δὲ τὸ τρέφεσθαι καὶ ἐπὶ τοιούτου σημαινομένου νοεῖται, δῆλον, ἐξ οὗ καὶ τρόφι κῦμα εἴρηται.

Τρέχειν, ἀγωνίζεσθαι.

Τρέχνος, στέλεχος, κλάδος, φυτὸν, βλάστημα.

Τρέχω, θέω, τροχάζω. τρέχω ἐπὶ δρόμου. τρέχω ἐπὶ τὸ βραβεῖον. καὶ τρέχω τὸν περὶ ψυχῆς, ἤγουν δρόμον μεταβατικῶς, αἰτιατικῇ. τρέχω ἐπὶ τὴν ἀγορὰν, καὶ τρέχω στάδιον.

Τρέψαι, μετέβαλον.

Τρέψειαν, νικήσειαν, πατάξειεν.

Τρέψομαι, ἔξω πορδήσομαι, διαίξω.

Τρέω τρῶ, τὸ φοβοῦμαι.

Τρηγαλέον, διερρωγότα.

Τρῆμα, ἢ τὸ τοῦ κόσμου λέγει. ἢ αὐτὸ τὸ τρῆμα. τὸ αἰδοῖον Ἀριστοφάνης.

Τρήματα, τρυπήματα.

Τρηματικοῖς, κυβευταῖς. ἀπὸ τῶν ἐν τοῖς κύβοις τρημάτων.

Τρηρὸν, ἐλαφρὸν, δειλὸν, ταχὺ, πλεῖον μικρόν.

Τρήρων, περιστερά. ὅπερ Ὅμηρος ἐπίθετον τίθησιν, αὐταῖς ταῖς περιστεραῖς, ὡς δειλαῖς.

Τρῆσις ἡ τρύπησις. τρητὸς, ὁ τετρυπημένος.

Τρητὰ λέχη, πρὸς διαστολὴν τῶν στιβάδων, τὰ τεχνηθέντα. αἱ γὰρ στιβάδες εἰκαίως πεποιημέναι, οὐδέν τι τοιοῦτον πάσχουσιν. ἢ τρητὸν λέχος, παρὰ τὸ τετρῆσθαι. κατὰ τὰ ἐνήλατα, εἰς ἃ ἐμβάλλεται ἡ σπάρτος. ἢ παρὰ τὸ τετρῆσθαι τοὺς πόδας, εἰς οὓς ἐμβάλλεται τὰ ἐνήλατα.

Τρητοῖο λίθοιο. εἰώθασιν ἐπὶ τῶν λιμένων τρυπᾶν λίθους, ἵνα ἐξ αὐτῶν τὰ ἀπόγεια σχοινία ἐξάπτωσιν οἱ ναῦται.

Τρητοὶ λοβοὶ, τὰ ἀλόβια, τὰ γὰρ ἐνώτια, ἐλλόβια, διὰ τὸ ἐν τοῖς λοβοῖς ἐνίεσθαι.

Τρητοκουρήτας, γνησίας γυναῖκας. οἱ δὲ, παρθένους.

Τρητὸν ἔλαιον, διὰ τὸ κοίλωμα ἔχειν τὸν ἄγριον ἔλαιον.

Τρητοῖς ἐν λεχέεσσι, τοῖς κατὰ τὰς ἁρμογὰς τετρημένοις, ἢ ἱμάντας, τοῖς ἱμᾶσι γὰρ ἐνετείνοντο αἱ κλῖναι. ὡς καὶ τὰ βάθρα.

Τρηχὶν, ἤτοι τραχὶν, πόλις θετταλικὴ ὑπὲρ τὴν οἴτην, κτισθεῖσα μὲν ὑπὸ Ἡρακλέους, ὀνομασθεῖσα δὲ διὰ τὴν τραχύτητα. ὄνομα δὲ ὄρους ἡ οἴτη. τοῦτο δὲ γράφεται καὶ ἄλλως οὕτω. Ἡράκλεια, Λακεδαιμονίων κτίσμα, τραχὶν ποτὲ καλουμένη. διέχει δὲ τῆς ἀρχαίας τραχῖνος περὶ ἓξ στάδια, πρὸς ταῖς Θερμοπύλαις ἐντὸς τῶν στενῶν, περίπυστος δὲ ἡ τραχίν. μάλιστα δὲ, διὰ τὸν Ἡρακλέα, ὃς ἐκεῖ που ᾤχετο πυρὶ ἀεννάῳ ἐπιρρίψας ἑαυτόν.

* Τρηχύσματα, τρηχύσματα ἐν τῷ χρωτὶ κεγχρώδεα, τοῖσιν ὑπὸ κωνώπων γινομένοις ἀναδήγμασιν ἴκελα.

Τρηχὺς, ὁ τραχύς.

Τρηχὺ νόημα, σκληρὸν νοῦν.

Τρία, κατὰ τοῦ πολλοῦ τοῦτο προστίθεται.

Τρία θηραμένους. ἄντικρυς τὰ τοῦ θηραμένους ἐπὶ ζημίᾳ ἐκτέθηκεν.

Τρίαινα, δόρυ τρεῖς ἔχον ἀκμάς.

Τριαινατῆρες, ἀντὶ τοῦ ἀροτριοῦντες.

Τριακοντούτης ἄνθρωπος Ἀττικοὶ, οὐ τριακονταέτης. καὶ ἐπὶ τῶν ἑξῆς ἀριθμῶν ὁμοίως.

Τριακοντουτίδας. τὰς πόρνας λέγει Ἀριστοφάνης, καὶ κατατριακοντουτίσαι, εἰς συνουσίαν λαβεῖν, ὡς ἐν ἱππεῦσι.

Τριάντος, πόρνη λαμβάνουσα τριάκοντα, ὅ ἐστι λεπτὰ εἴκοσι.

Τριὰξ, τριακάς.

Τριάς

Digitized by Google

Τριάς ἐστι, κατὰ μὲν φυσικὴν ἀκολουθίαν, μονάδων σύνθεσις. κατὰ δὲ τὴν θεϊκὴν οὐσίαν, ὑπεράριθμος ὕπαρξις.

Τριακάς. τοῖς τετελευτηκόσιν ἤγετο ἡ τριακὰς ἡμέρα, ἡ μετὰ θάνατον. καὶ ἐλέγετο τριακάς, ὡς Ὑπερείδης ἐν τῷ περὶ τοῦ ἱππέως κλήρου δηλοῖ.

Τριακάδας, ἑνικῶς τε καὶ πληθυντικῶς τὴν ἡμέραν καλοῦν.

Τριακάτιοι, οἱ εὔφημοι, καὶ τὸ σύστημα αὐτῶν.

Τριάσσειν, τὸ νικᾶν. ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν. τῶν ἐν ταῖς τρισὶ πάλαις τὴν νίκην καρπουμένων. καὶ ἀτρίακτος.

Τριαχθῆναι λέγουσιν οἱ παλαιστρικοί, ἀντὶ τοῦ τρὶς πεσεῖν. ἢ τὸ τρὶς στοχάσαντα νικηθῆναι, στάδιον, δίαυλον, καὶ δολιχόν.

Τρίβακος, ἡ τριβή.

Τρίβακον, ἱμάτιον.

Τρίβανον, λήκυθον.

Τρίβαλλοι, οἱ ἐν τοῖς βαλανείοις ἀναγώγως διατριβόμενοι. οἱ δὲ, τοὺς εἰκαίως τὸν βίον κατατρίβοντας.

Τριβή, διατριβή, ἡ βραδυτής.

Τρίβολα, στρεπτά, στωμύλα.

Τρίβολοι, ἀκάνθης εἶδος. ὅθεν καὶ τὸ τοῖς ἵπποις ἐν τοῖς χαλινοῖς ἐντιθέμενον.

Τρίβολον ἄκοντα, τρίαιναν.

Τρίβοντες, ληοῦντες, ἢ φανερὰν ποιοῦντες, ἢ λείαν.

Τριβολεκτράπελα, ἐκ τοῦ τρίβειν καὶ ἐκτράπελος σύγκειται. ἀντὶ τοῦ σκληρά, καὶ ἀπαίδευτα, καὶ ἀπόβλητα, καὶ ἀνώμαλα.

Τρίβος, παρὰ τὸ τρίβω. ἡ καταπεπατημένη ὁδός. ἢ παρὰ τὸ τρῶ, τὸ καταπονῶ, καὶ τὸ τρίβω.

Τριβοῦνος, ἔμπειρος.

Τρίβω, προστρίβω σοι δὲ μέμψιν, καὶ ἀποτρίβομαι τὴν κατηγορίαν, ἀντὶ τοῦ ἀπολύομαι.

Τρίβωνα, στολισμόν.

Τρίβων, στολὴ ἔχουσα σημεῖα, ὡς γράμμα.

Τρίβειν, εἴη ἂν ταυτὸν τῷ στείβειν. διὸ καθὰ τρίβεται κατὰ ποσὶ βοῶν, οὕτω στείβονται νέκυες ποσὶν ἵππων. ὅθεν καὶ ταυτὸν στίβον καὶ τρίβον εἰπεῖν. τὸ μὲν ἐκ τοῦ στείβειν, τὸ δὲ ἐκ τοῦ τρίβειν. ὧν ἀνάπαλιν ἡ ἀστιβὴς ὁδός, καὶ ἡ ἄτριπτος. ἑρμηνεία τῆς λέξεως, κεῖται αὕτη. τὸ δὲ τρίβεσθαι, ἔοικεν ὠνοματοπεποιῆσθαι καθ' ὁμοιότητα τοῦ, τετρίγει δ' ἄρα νῶτα. καὶ γίνεται ἀπὸ τοῦ τοιούτου τρίβειν, ὥσπερ τρίβος ἡ ὁδός. καὶ τρίβων τρίβωνος, τὸ τετριμμένον ἱμάτιον. οὕτω καὶ τριβακὸς κοινότερον, ὁ ἐντριβὴς πράγμασιν. ὁ δ' αὐτὸς καὶ τρίβειν τρίβωνος Ἀττικῶς. ὡς τὸ καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε. τοῦ τοιούτου δὲ τρίβων σύνθετον, καὶ τὸ συντρίβειν. ὑπὲρ σημασίαι πολλαί. αἱ μὲν κυριολεκτικῶς, αἱ δὲ κατὰ μεταφοράν. τὸ δὲ ἐπιτρίβειν ἐκεῖθεν ὂν καὶ αὐτό, δριμύτερόν τι τοῦ συντρίβειν σημαίνει. ὡς δηλοῖ καὶ τὸ σύνθετον ὁ ἐπίτριπτος. ὅτι δὲ καὶ τῷ χρόνῳ τὸ τρίβειν ᾠκείωται, οὐκ ἄδηλόν ἐστιν. τρίβειν γάρ τις λέγεται χρόνον, καὶ συνθέτως χρονοτριβεῖν. ἀπ' αὐτοῦ δὲ καὶ οἰκότριβες, οἱ οἰκογενεῖς δοῦλοι, διὰ τὸ ἐγκεχρονικέναι (ὥς φησιν ὁ γραμματικὸς Ἀριστοφάνης) οἴκῳ, καὶ κατατετρῖφθαι. μετενήνεκται δέ φησιν ἀπὸ ἱματίων ἢ στρωμάτων ἢ τινῶν ἄλλων χρονίων σκευῶν. τῷ δὲ ῥηθέντι ἐπιτρίπτῳ, παρωμοίωται. καὶ τὸ παρὰ τῷ κωμικῷ τρῖμμα, συγγενὲς ὂν τῷ ἐξ ἐπιτοῖς λίθου κροτάλῳ. οὐ τριβομένου, πετάλη καταπίπτει. φησὶ γοῦν λέγειν, γενήσῃ τρῖμμα κρόταλον. τὸ δὲ τρίβειν χρόνον, οὐ μακράν ἐστιν, οὐδὲ τὸ μή τι διατρίβειν ἐμὸν χόλον.

Τρίβων, ἔμπειρος. Ἀριστοφάνης ἐν νεφέλαις, καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε.

Τριβωνευόμενοι, ἤτοι τριβὰς ἐμποιοῦντες. ἢ ἀντὶ τοῦ τεχνάζοντες, τρίβωνες εἶναι πραγμάτων. τρίβος γάρ, ὁ ἔμπειρος. καί τοι σοὶ τριβωνότερα τὰ τοιάδε, καὶ ἀκριβέστερα.

Τριβώνιον, τὸ παλαιὸν καὶ τετριμμένον ἱμάτιον λέγουσι. τὸ γὰρ τρίβακον ἱμάτιον, οὕτω καλοῦσιν οἱ Ἀττικοί. ὀπὰς δὲ τὰς τρώγλας, ἔνθεν καὶ ὦπες οἱ ὀφθαλμοί, ἀνοίγματα γάρ ἐστι.

Τριβωνοφόρος, ὁ φορῶν στολὴν, ἔχουσαν σημεῖα ὡς γραμμάτια. τρίβων γὰρ λέγεται, παρὰ τὸ ἤδη τετρῖφθαι ἐκ διαφόρων.

Τρίγανον, εἶδος μέτρου παρὰ τοῖς γεωμέτραις.

Τριγγένητος, ἡ Ἀθηνᾶ μυθικῶς. ὅτι ἐν Τρίτωνι ποταμῷ Λιβύας ἐγεννήθη. ὡς καὶ Ὅμηρός φησιν, κἂν οὐ μυθικῶς, Διὸς θυγάτηρ, κυδίστη τριτογένεια. καὶ Αἰσχύλος μυθικῶς εἶτ' ἀμφὶ χεῦμα γενεθλίου πόρου Τρίτωνος, ἐν τόποις Λιβυστίοις. ἢ ὅτι κατὰ Ἐρατοσθένην, τρίτῃ τοῦ μηνὸς ἐγεννήθη. διὸ παρὰ Ἀθηναίοις, ἡ τρίτη ἱερὰ τῆς Ἀθηνᾶς. ἢ ὅτι ἐκ τῆς τριτοῦς, ἤγουν τῆς κεφαλῆς ἐγεννήθη τοῦ Διός. τριτὼ γὰρ Βοιωτικῶς ἡ κεφαλή. ἢ ὅτι ἡ αὐτή ἐστι τῇ σελήνῃ. ἡ δὲ σελήνη, ἀπὸ συνόδου τριταία φαίνεται. ἢ ὅτι αὐτή ἐστι τῷ ἀέρι. τρίτος γὰρ ὁ ἀήρ. γεννᾶται γὰρ καὶ μεταστρέπεται, ἔαρι, θέρει, χειμῶνι. τὸ γὰρ παλαιόν, τριμερὴς ἦν ὁ χρόνος. ἢ ὅτι ἡ αὐτή ἐστι τῇ φρονήσει, γεννηθεῖσα ἐκ τῆς τρίτης κεφαλῆς, τρεῖν παρέχει τοῖς ἐναντίοις. ἢ ὅτι κατὰ Δημόκριτον, τρία ταῦτα χαρίζεται, βουλεύειν καλῶς, κρίνειν ὀρθῶς, πράττειν δικαίως.

Τριγκῶσαι, ἢ θριγγῶσαι, φράξαι.

Τρίγλα, ἰχθὺς θαλάσσιος, καὶ τόπος τίς.

Τρίγληνα, ἤτοι ἀξιοθέατα, καὶ πολλῆς γλήνης ἄξια, ἤγουν θέας. ὅθεν καὶ γλήνεα πολλὰ κεχάνδει, ἤγουν ἐχώρει. ἢ ἐκ τριῶν τινῶν ζώων σύνθετα. οἱ δέ φασι τριόφθαλμα, ἃ οἱ Ἀττικοὶ τριόττια καὶ τριόττιδα καλοῦσιν. οἱ δέ τινες τριῶν ἔχοντα χαρίτων ἐκτυπώματα. τοῦτο δὲ οὐ καλῶς. οὐ γὰρ οἶδε χαρίτων ἀριθμὸν ὁ Ποιητὴς κατὰ τοὺς ὕστερον. ἰστέον δέ, ὅτι οἱ ἀξιοθέατα εἰπόντες τὰ τρίγληνα, καὶ οἱ τριόφθαλμα διὰ τὴν γλήνην οὕτως ἐνόησαν, δι' ἧς ὀφθαλμοῦ κόρη δηλοῦται, γινομένη κατὰ συγκοπὴν ἐκ τοῦ γαλήνη.

* Τριγλίς, εἶδος ἰχθύος, καὶ κλίνεται τριγλίδος. ὀκανών, τὰ γὰρ εἰς ις δισύλλαβα, ἔχοντα πρὸ τοῦ ις ἀμετάβολον, ἐὰν κλίνωνται διὰ τοῦ δ', ὀξύνονται, οἷον σμαρίς τριγλίς, μενίς. εἰ δὲ διὰ τοῦ τ, βαρύνονται, ἐν ἐπιγράμματι.

Τριγλῶχιν, Ἐρατοσθένης ἐν γ' γεωγραφικῶν, νῆσον εἶναι ἐν τῷ Ἴστρῳ φησὶ τρίγωνον, ἴσην τῇ Ῥόδῳ, ἣν Πεύκην λέγει διὰ τὸ πολλὰς ἔχειν πεύκας. καὶ τὴν μὲν κορυφὴν τοῦ τριγώνου αὐτῆς, πρὸς τὸ ῥεῦμα οὖσαν τοῦ ποταμοῦ, ἀγκῶνα ἐκάλεσε, τὴν δὲ βάσιν τὴν πρὸς τὴν θάλασσαν, ὄρος.

Τριγλώχιν ὀϊστός, ὁ τῆς Φιλοσοφίας τριπλοῦς τρόπος. ὁ ἠθικός, ὁ φυσικός, καὶ ὁ μαθηματικός, οἷς χρώμενος ὁ Ἡρακλῆς, λόγους ἐπιτυχῶς βάλλει, κατά τε ἀνδρῶν καὶ θεῶν, ἤτοι ἐπιτυγχάνει Φιλοσοφίας λόγῳ, τῶν θείων τε καὶ ἀνθρωπίνων καταλήψεων. γλωχὶν δὲ ξίφους, ἡ γωνία. ὅθεν γίνεται κατὰ τοὺς παλαιούς. ὡς οἷον γωνιόχιν τίς οὖσα, καὶ ἐν συγκοπῇ, καὶ τροπῇ γλωχίν, ἡ γωνίαν ἔχουσα. ἢ καὶ ἄλλως, παρὰ τὸ κλῶ, οἱονεὶ κλωχίν τις ἡ κεκλασμένη. ταυτὸν δὲ εἰπεῖν κλάσμα ἔχουσα. ἡ δὲ γωνία, ὅτι ἀπὸ τοῦ γόνυ κατ' ἔκτασιν γίνεται, δηλοῦσιν αὐτὸ οἱ παλαιοί.

Τρίγονοι, τρίτην γενεὰν ἐπισχόντες, ἢ οἱ τρεῖς.

Τριγχός, περίφραγμα, στεφάνη, τειχίον.

Τρίγωνον δικαστήριον. κατ' Ἀριστογείτονα ὄνομά ἐστι δικαστηρίου.

Τρίγωνος ἀρσενικῶς, μουσικὸν ὄργανον, ψαλτηρίῳ τὴν ἐξάρτησιν ὁμοίαν ἔχον.

Τρίδειρον, τὴν Σικελίαν λέγει Λυκόφρων, ἣν καὶ Θρινακίαν καὶ Τρινακίαν καλοῦσι. τρία γὰρ ἀκρωτήρια ἔχει, Λιλύβαιον, Πάχυνον, καὶ Πελώριον.

Τριέσπερος Ἡρακλῆς λέγεται, ὅτι Ἀμφιτρύων ἐπὶ Τηλεβόας ἐστράτευσεν, ἐκδικῆσαι θέλων τὸν ἀδελφὸν Ἀλκμήνης, καὶ τοῦ πατρός. ταύτης Ζεύς, τρεῖς ἑσπέρας εἰς μίαν μεταβολὼν, συνεκάθευδε τῇ Ἀλκμήνῃ. κατὰ δὲ τὴν αὐτὴν ἑσπέραν, καὶ Ἀμφιτρύων πάλιν νοστήσας, καθεύδει τῇ γυναικί. ἡ δὲ διδύμους παῖδας γεννᾷ, ἐκ μὲν Διὸς Ἡρακλέα, ἐκ δὲ Ἀμφιτρύωνος Ἰφικλέα. διὰ τοῦτο τρισέσπερον αὐτὸν καλεῖ ὁ Λυκόφρων. οὕτω τινὲς φάσκουσιν. ἐγὼ δὲ τρισέσπερον τὸν Ἡρακλέα λέγω καλεῖν Λυκόφρονα, διὰ τὸ ἐν τῷ κήτει τρεῖς ἡμέρας ποιῆσαι, ἃς ἑσπέρας καλεῖ, διὰ τὸ ἀφώτιστον καὶ σκοτεινὴν εἶναι τὴν τοῦ θηρίου γαστέρα. τὸ δὲ περὶ τοῦ Διὸς οὕτω νοητέον τίς. Βασιλεὺς τρεῖς ἡμέρας συνέχαιρε, καὶ συνεκάθευδεν Ἀλκμήνῃ, ἀποδημήσαντος Ἀμφιτρύωνος. ἐπεὶ δὲ τὰ καθεύδειν μετὰ γυναικὸς νυκτός ἐστιν ἔργον, ἐμυθεύσαντο ὅτι τὰς τρεῖς ἑσπέρας μίαν ἑσπέραν ἐποίησε.

Τρίετες, καὶ τετράετες, καὶ τὰ ὅμοια προπαροξύτονα, χρόνου ἐστὶ δηλωτικά.

Τρίζειν, ἐπὶ ψυχῶν λέγει Ὅμηρος ἐν Ὀδυσσείᾳ, κυριολεκτούμενον ἐπὶ νυκτερίδων. τρίζω δηλοῖ ὀδυνηράν τινα φωνὴν, καὶ ἐπαλγῆ ἀφιέναι.

Τρίζωας, τρεῖς γενεὰς ἐξήγαγε.

Τρίζω, παρὰ τὸ τρῶ, τρίζω παράγωγον. δηλοῖ δὲ ὀδυνηράν τινα φωνὴν, καὶ ἐπαλγῆ ἀφιέναι. ὅθεν καὶ τετριγῶτας, Ἰλιάδος β.

Τριήμερος, θεσμοφόρια ὑπὸ Λακώνων.

Τριημιολία ναῦς, μακρὰ ἄνευ καταστρώματος.

Τριήρ, ὁ νόμος, τριήραρχος.

Τριηραρχεῖν, ναύαρχος εἶναι. Ἀριστοφάνης, τριηραρχεῖν πλούσιος οὐδεὶς θέλει.

Τριήρεις, πλοῖα πολεμικά, ἃ καλοῦνται λίβυρνοι.

Τριηράρχημα, τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα, ἐπιτριηράρχημα δέ, τὸ ἀναλισκόμενον μετὰ τὸν τῆς τριηραρχίας χρόνον.

Τριθαλλίαι, μεγάλως τοῦ θάλλειν αἰτίας.

Τρικαλίνδοτο, τρικυλίνδοτο, ῥητορική.

Τρίκαρπον, τριετῆ.

Τρικέφαλον γηρυονῆα. οἱ μὲν γηρυόνην τὸν χειμερινὸν ὠνόμασαν καιρόν. οἱ δέ, τὸν χρόνον. θέλουσι γὰρ καὶ τὰς τρεῖς κεφαλὰς ἔχειν αὐτόν. τά τε ἐσόμενα, τά τε ἐνεστῶτα καὶ τὰ παρεληλυθότα. ἢ τὴν σελήνην. ἡ αὐτὴ δέ ἐστι τῇ Ἑκάτῃ, τρίμορφος δέ ἐστιν ἡ θεός. ἐστὶ δὲ ὁ Γηρυόνης Καλλιρρόης τῆς Ὠκεανοῦ καὶ Χρυσάορος. Στησίχορος δὲ ἓξ χεῖρας ἔχειν φησί, καὶ ἓξ πόδας, καὶ ὑπόπτερον εἶναι.

Τρικέφαλος, ὁ Ἑρμῆς λέγεται. ὥσπερ διδάσκων τὰς ὁδούς, καὶ ἔχων ὑπογραφὴν ποῖ μὲν αὕτη φέρει ἡ ὁδός, ποῖ δὲ αὕτη. ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ἦν δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον ἑρμῆν, Πατροκλείδης.

Τρίκκη, πόλις Θεσσαλίας. ἀπὸ Τρίκκης θυγατρὸς μὲν Πηνειοῦ ποταμοῦ, γυναικὸς δὲ Ὑψέως. ταύτην τρίκκαλά τινές φασιν ἄρτι καλεῖσθαι. οἱ δὲ παλαιοὶ τρίκαλα οὐδετέρως διὰ ἑνὸς κ πόλιν Σικελίας ἱστοροῦσι. περὶ δὲ τρίκκην κατὰ τὸν Γεωγράφον ἱερὸν Ἀσκληπιοῦ ἀρχαιότατον, καὶ ἐπιφανέστατον, ὅμορον Δόλοψι καὶ τοῖς περὶ Πίνδον χωρίοις.

Τρίκοκκα, τριόφθαλμα, πολυειδῆ.

Τρίκκος, ὀρνιθάριον. καὶ ὁ βασιλεύς, ὑπὸ Ἠλείων.

Τρικόλυβον, νομισμάτιόν τι.

Τρικόνητος, ὁ πολλάκις ἀπολέσθαι ἄξιος. καὶ καταχωσθῆναι.

Τρικόρινθος, ἀνδρεῖος ἥρως.

Τρικότυλος οἶνος, οὗ τρεῖς κοτύλαι ὀβολοῦ πωλοῦνται.

Τρίκουρος, ὁ ἐπὶ τρία ἔτη κεκαρμένος κριός. ὁμοίως καὶ ὁ μὴ κεκαρμένος.

Τρίκταιρα, ἡ τριττύα, θυσία, ἐνυαλίῳ. θύεται δὲ πάντα τρία, καὶ ἔνορχα.

Τρικτύα, τριάδα. ἔνιοι θυσία κάπρου, κριοῦ, καὶ ταύρου.

Τρίκυζα, πολλῆς δεόμενα λιτανείας.

Τρικυμία λέγεται, ὅταν ἐν τῇ θαλάσσῃ τρία κύματα, εἰς ἓν συναρθῇ. καὶ τρικυμία ἡ σφοδροτάτη καὶ δεινοτάτη τῆς θαλάσσης ταραχή. παρὰ τὸ τρέω τὸ φοβοῦμαι, καὶ τὸ κῦμα, ὁ ἐκ τῶν κυμάτων φόβος.

Τρίλ-

Digitized by Google

Τρίλλιστος νύξ, ἐν δυσὶ τῶν κατά τινα τῶν ἀντιγράφων, ἡ πολυλιτάνευτος. ἐκ τοῦ τρία, ὃ δηλοῖ τὰ πολλά, καὶ τοῦ λίσσεσθαι, τὸ παρακαλεῖν. καὶ ἡ λιτὴ ἀπὸ τοῦ αὐτοῦ ῥήματος γενομένη, εἰ μὴ ἄρα ἐκ τοῦ λιτῶ παράγεται, ὑποστολὴν ἔπαθε τοῦ σ.

Τρίλλιστος, πολυλιτάνευτος.

Τρίμηνοι πυροί, οἱ καὶ σηταμήνιοι λεγόμενοι.

Τρίμιτον, τὸ ἀσπάθητον ἱμάτιον.

Τρίμισκον, ἱμάτιον ἀσπένδιον.

Τριμίτινα, ὑφάσματα τρίμιτα.

Τρίμμα, τὸ ἀρωματίζον πόμα, ἐν γάμοις γινόμενον, καὶ ἐν θεατρικοῖς ἀγῶσι.

Τρίμμα, Ἀριστοφάνης· τετριμμένος ἐν λόγοις, καὶ ἐν τοῖς πράγμασι.

Τρίμορφος Ἑκάτη, παρόσον μετέχει οὐρανοῦ καὶ γῆς καὶ ᾅδου.

Τρίμνων, τριῶν μνῶν ἄξιον.

Τρινακρία, ἡ Σικελία. διὰ τὸ τρεῖς ἄκρας ἔχειν, Πάχυνον, Λιλύβαιον, καὶ Πέλωρον. ὅθεν τρινάκριον πέλαγος.

Τριοβολιμαῖος, τριῶν ὀβολῶν ἄξιος, εὔωνος.

Τρίογδον, μέτρον τι παρὰ Ταραντίνοις.

Τρίοδος, καὶ τριόδου πληθυντικῶς, ἰδίως τὰς τρεῖς ὁδούς, καὶ τρίαινα.

Τριολύμπιον ἅρμα, τὸ ἐκ τριῶν ὀλυμπιάδων ἐζευγμένον.

Τριόνυχον δόρυ, ἤγουν τρίαινα, παρὰ Λυκόφρονι.

Τριοπηλίς, δέσμη σκορόδων.

Τριόπιον, ἡ ἀπολήγουσα χώρα τῆς Κνίδου. ἀπὸ Τριόπου τοῦ πατρὸς Ἐρισίχθονος.

Τριόπιον, ἡ Κνίδος. καὶ ἱερόν, ἔνθα ἑορτάζουσι.

Τριόροφα, τρίστεγα.

Τρίοψ, ὁ ὑπὸ τῶν Πυθαγορικῶν ἐν Δελφοῖς τρίπους.

Τρίορχος καὶ τριόρχης, καὶ κορφυός, καὶ μελανοδέτης, ἤγουν μέλας καὶ ἁλίαιτος, καὶ περηνός, εἴδη ἀετοῦ.

Τριόρχης, ὄρνεόν ἐστιν. Ἀριστοφάνης, ἡ θεὶς ἐπὶ τοῖσιν ἑαυτοῦ παισὶ τοῖς τριόρχαις. καὶ τριόρχης, εἶδος ἱέρακος.

Τριπαῖα, ἡ ἐναντία πνοή. οὕτω Σοφοκλῆς εἴρηκε.

* Τρίπαλαι. ἐπίρρημα χρονικόν, ἢ δηλωτικὸν χρόνου.

Τριπατρεῖς, οἱ πρῶτοι γεννώμενοι.

Τρίπεζαν, τὴν τράπεζαν, Βοιωτοί.

Τρίπλακα μαρμαρέην ἀσπίδα ἔφη Ὅμηρος, ὅ ἐστι τρίθετον κατὰ τρεῖς πλάκας.

Τριπλῆ, τετραπλῆ, τριπλασίονα, καὶ τετραπλάσια.

Τρίποδι χρῆται Ἀπόλλων μαντευόμενος, διὰ τοὺς καιροὺς τῶν πραγμάτων. ὡς τό, ὅς τ' ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα. τινὲς δὲ οὕτω φασὶ κτήσασθαι τὸν Ἀπόλλωνα τὸν τρίποδα. ἁλιεῖς ἐν Μιλήτῳ τινὲς μισθῷ βόλον ἔρριπτον. ἵνα τὸ ἀναφερόμενον εἴη τοῦ ἀγοράσαντος τὸν βόλον. συμβέβηκε γοῦν ἀντὶ ἰχθύων τρίποδα χρυσοῦν περιλαβεῖν αὐτοὺς τῷ δικτύῳ. ἐφιλονείκουν οὖν περὶ αὐτοῦ, οἱ μὲν ἁλιεῖς, ὡς ἰχθῦς πεπράκασιν οὐ τρίποδα. οἱ δὲ ἀγοράσαντες ἔλεγον, ὡς πᾶν τὸ ἀνιόν, καὶ πᾶν ὅτι τύχοι ὠνήσαντο. οὕτως οὖν αὐτῶν φιλονεικούντων, ἔδοξεν ἐρωτῆσαι τὸν Ἀπόλλωνα. ὁ δὲ ἀνεῖλεν αὐτοῖς ταῦτα, ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς, ὃς σοφίῃ πάντων πρῶτος, τούτῳ τρίποδα δῶ. προσήγαγον οὖν αὐτὸν τοῖς ἑπτὰ σοφοῖς. ἕκαστος δὲ τούτων παρῃτεῖτο σοφὸς εἶναι. διόπερ ἐγνώκασιν ὡς σοφωτέρῳ πάντων ἀναθεῖναι αὐτὸν τῷ Ἀπόλλωνι. ὅθεν φασὶν ἐσχηκέναι αὐτὸν τὸν τρίποδα. χρυσοῦς δέ ἐστιν ὁ τρίπους, ὅτι τιμία ἡ ὕλη, καὶ οἱ ᾀδόμενοι χρησμοὶ τίμιοι. ὃν δὲ τρόπον ἐν Δελφοῖς εὑρέθη τὸ μαντεῖον, Διόδωρος ἐν τῷ ἑκκαιδεκάτῳ τῶν ἱστοριῶν βιβλιοθήκης, οὕτω πως φησίν. ὄντος γὰρ χάσματος ἐν τούτῳ τῷ τόπῳ, καθ' ὃν ἦν τὸ ἄδυτον, καὶ περὶ τοῦτον γενομένων αἰγῶν, διὰ τὸ μή πω κατῳκεῖσθαι τοὺς Δελφοὺς αἰεὶ τῷ χάσματι τὴν προσιοῦσαν καὶ προσβλέψασαν αὐτῷ, σκιρτᾶν θαυμαστῶς, καὶ προΐεσθαι φωνὴν διάφορον. τὸν δὲ ποιμένα θαυμάσαι. καὶ προσελθόντα τῷ χάσματι, ταυτὸ παθεῖν ταῖς αἰξί. καὶ προλέγειν τὰ μέλλοντα. τῆς δὲ φήμης διαδοθείσης, πλείους ἀπαντᾶν ἐπὶ τοῦτον τὸν τόπον, καὶ τοὺς πλησιάζοντας ἐνθουσιάζειν. δι' ἃς αἰτίας νομισθῆναι τῆς γῆς εἶναι τὸ χρηστήριον. καὶ πολλῶν ἀφανιζομένων διὰ τὸν ἐνθουσιασμόν, προφῆτιν μίαν καταστῆσαι. ταύτῃ δὲ κατασκευασθῆναι μηχανήν, ἐφ' ἣν ἀναβαίνουσαν ἀσφαλῶς μαντεύεσθαι, ἔχουσαν τρεῖς βάσεις. ἀφ' ὧν αὐτὴν τρίποδα κληθῆναι. θεσπιῳδεῖν δέ, τὸ ἀρχαῖον παρθένον λέγεται, διὰ τὸ ἁγνόν. ὕστερον δέ, Ἐχεκράτη τῆς χρησμολογούσης ἐρασθῆναι διὰ τὸ κάλλος, καὶ συναρπάσαντα βιάσασθαι τοὺς Δελφούς. διὸ νομοθετῆσαι γυναῖκα πεντήκοντα ἐτῶν παρθενικῇ σκευῇ χρηστηριάζειν, καθάπερ ὑπόμνημά τι τῆς παλαιᾶς προφήτιδος. οἱ δὲ τρίποδες, δάφνῃ ἦσαν ἐστεμμένοι.

Τριπόδων οἱ μὲν ἐμπυριβῆται, οἱ δὲ αἴθωνες ἴσως λέγοιντ' ἄν, ὡς πυρὶ αἰθόμενοι, καὶ οὕτω χρήσιμοι. οἱ δὲ ἀναθεματικοί, πρὸς κάλλος ἀνατιθέμενοι ἐν οἴκοις, ἢ ναοῖς, ἄχραντοι πυρὶ φυλαττόμενοι. οὓς ἀπύρους ἐνταῦθά φησιν ὁ Ποιητής, πρὸς διαστολὴν τῶν ἐμπυριβητῶν. ἕτεροι δὲ ἀπύρους μὲν νοοῦσι τοὺς μήπω πυρὶ ὁμιλήσαντας. αἴθωνας δὲ τοὺς ἤδη πυρωθέντας. λέβητες δὲ ἕτεροι ὄντες τριπόδων, ὡς δηλοῖ σαφῶς καὶ ἐν Ὀδυσσείᾳ. λέγονται ἄλλως, αἴθωνες διὰ τὸ ἐκ τοῦ γεγανῶσθαι λαμπρόν, ὡς ἀπὸ τοῦ αἴθω τὸ λάμπω. ὅτι δὲ ἐντιμότεροι λεβήτων οἱ τρίποδες, δηλοῖ ὁ Ποιητὴς ἐν τῷ ι. ἑπτὰ μὲν ἀπύρους τρίποδας. αἴθωνας δὲ λέβητας εἴκοσι, πρὸς τοῦ βασιλέως ὑπισχεῖσθαι τῷ Ἀχιλλεῖ.

Τριπολέμειος ἀγὼν τελεῖται παρὰ τοῖς Ῥοδίοις. ἐγκωμιαστικῶς δὲ ὁ Πίνδαρος τὸν ἀγῶνα ἡλίῳ τελούμενον εἰς τὸν Τηλέμαχον μετήγαγε. τελεῖται γάρ, μηνὸς γορπιαίου εἰκοστῇ τετάρτῃ ἡμέρᾳ. ἀπέδει δὲ τῶν Νεμέων ἡμέραις ἕξ. ἀγωνίζονται δὲ παῖδες καὶ ἄνδρες. ὁ δὲ στέφανος, λεύκη δέδοται.

Τρίπολις, εἶδος πέμματος, καὶ πόλις.

Τρίπολος νειός, ἡ τρίτον ἐστραμμένη. πολεῖν γάρ φασι τὸ ἀναστρέφειν. καὶ ὅρα, ὅτι τὸ μὲν πωλεῖν, διὰ τοῦ ω μεγάλου παρὰ τῷ Ποιητῇ. ὥσπερ τὸ πωλέσκω, καὶ ἡ εὔπωλος γῆ. ἡ δὲ τρίπολος διὰ τοῦ ο μικροῦ.

Τρίπολον γῆν ἔφη ὁ Ποιητής, διδάσκων οὕτω χρῆναι τὴν γῆν τέμνειν. ἦρος μὲν γὰρ πολεῖται, καθ' Ἡσίοδον. θέρους δέ, νεᾶται. καὶ τρίτος περὶ αὐτὴν κάματος, ὅτε τοῦ σπείρειν καιρός. ὅτι δὲ καὶ εἰς πλείω βωλοστροφεῖται, πολλαχοῦ ἡ πεῖρα δηλοῖ.

Τριπονῆται, ἑορτή τις.

Τρίπος συγκοπῇ αἰολικῇ τοῦ υ. ἔστι δὲ τρίπους κρατὴρ μέγας τρεῖς πόδας ἔχων.

Τριπτήρ, ᾧ τὴν σταφυλὴν τρίβουσιν. ὑπὸ δὲ Σικελῶν, ὁ δοίδυξ.

Τριπτὴρ τριπτῆρος, πιθάκνη ἐκ πέτανος, οἷα τὰ ἐπιλήνια. καὶ πόλιν σημαίνει τοὔνομα.

Τρίπτυχος, ἡ τρεῖς πτυχάς, ἤτοι θέσεις ἔχουσα. καὶ ὡς εἰπεῖν, τριθέλυμνος, διὰ στερρότητα πρὸς ἀσφάλειαν. ἔστι δὲ ταύτης παραγωγὴ ὁμοία πως, πρὸς τὸ δίπτυχα, οἱονεὶ δίπτυχα ποιήσαντες.

Τρὶς ὄλβιος, τρὶς μακαριστός. ὄλβος γὰρ ἡ εὐδαιμονία. τρὶς εὐδαίμων, μακαριστός.

Τρίς, ἐπὶ τοῦ πολλάκις.

Τρισαλιτήριος, ἁμαρτωλός.

Τρισκελῆ, χαλκία.

Τρισπόλιον, βοτάνη τις.

Τριστάται, οἱ παρὰ χεῖρα τοῦ βασιλέως, οἱ ἔχοντες λόγχας ἀνὰ τρεῖς, κατὰ χεῖρα.

Τριωσή, τὸ ἀρσενικόν, τριωσός. ἐξ οὗ καὶ ῥῆμα, τρισσῶ τριωσώσω.

Τριωσός, εἶδος ὄφεως.

Τριστοιχεί, ἐπὶ τρεῖς τάξεις.

Τριταγωνιστής, ὁ Αἰσχίνης, ὡς ἀδοκιμώτατος τῶν ὑποκριτῶν, ἐν τῇ τάξει κατηριθμούμενος.

Τρίτην ἡμέραν λέγουσιν οἱ Ἀττικοί, οὐχὶ τρίτης, οὐδὲ τρίτῃ. Ξενοφῶν, χθὲς καὶ τρίτην ἡμέραν, καὶ τρίτον ἔτος, οὐχὶ τρίτῳ ἔτει.

Τριτῆες γενεήν, οἱ ἀπὸ τῆς Τριτέων πόλεως κύνες. ἥ ἐστι πλησίον Φωκίδος.

Τρίτη θεσμοφορίων. πῶς ἅμα μὲν λέγει τρίτην θεσμοφορίων εἶναι, ἅμα δὲ μέσην, τεττάρων οὐσῶν ἡμερῶν.

Τριτημόριον, οἱ ἓξ χαλκοί. τριτημόριον ἐλέγετο, καὶ ἐπὶ τῆς μοίρας, καὶ ἐπὶ νομίσματος ἀργυροῦ.

Τριτογένεια, ἀλληγορικῶς ἡ φρόνησις. ἐπεὶ κατὰ Δημόκριτον τρία γίνεται ταύτης ἐξ αὐτῆς, τὸ εὖ λογίζεσθαι, τὸ λέγειν καλῶς τὸ νοηθέν, καὶ τὸ ὀρθῶς πράττειν αὐτό. τελείας γὰρ ὄντως φρονήσεως, τὸ νοῆσαι, τὸ εἰπεῖν, τὸ ποιῆσαι, καὶ πάντα καλῶς. ὁ δὲ μῦθος οὕτω λέγει αὐτήν, ὡς ἐν τρίτῃ μηνὸς γεννηθεῖσαν. ἢ ὡς ἐκ τῆς τοῦ Διὸς κεφαλῆς γενομένην. τριτὼ γάρ φασι κατὰ γλῶσσαν Κρητῶν ἡ κεφαλή. ὡς δὲ ἀπὸ τοῦ Τρίτωνος λιβυκοῦ ποταμοῦ καλεῖται οὕτω, ἀλλαχοῦ δηλοῦται. καὶ οὐ μόνον εἰς πάθος ἀναλύεται τριτογένεια, ὡς γεννηθεῖσά ποθεν, ἀλλὰ εἰς ἐνέργειαν, ὡς δεδήλωται ἐν τῷ τρία γεννῶσα, οὕτω διχῶς καὶ ἡ ἠριγένεια. καὶ γὰρ ἡ τὸ ἦρ γεννῶσα καὶ ἡ ἐν ἦρι γενναμένη. ἢ κατὰ τὸν κωμικὸν τριτογενής, ἡ τὸ τρεῖν γεννῶσα τοῖς ἐχθροῖς.

Τριτογένεια παρὰ τῷ Ἀριστοφάνει, εἶδος ὀρχήσεως, ἣ καλεῖται ἐνόπλιος. διὰ δὲ τὸ εἰς Ἀθηνᾶν ταύτην τελεῖσθαι, τριτογένεια κέκληται. τριτὼ γὰρ ἡ κεφαλὴ παρ' Αἰολεῦσιν. ἐγεννήθη δὲ Ἀθηνᾶ, ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν, οἱ πρότερον μὲν ὡπλισμένοι, καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες. οἱ ὕστερον δέ, ἔμπροσθεν τῶν ποδῶν ἔφερον.

Τριτοκούρη, ἡ πάντα συντετέλεσται τὰ εἰς τοὺς γάμους. τινὲς δὲ γνησία παρθένος.

Τριτομηνίς, ἡ τρίτη τοῦ μηνός.

Τρίτον ἡμίδραχμον, αἱ δύο δραχμαί, καὶ τριόβολον.

Τριτοπάτορες. Δήμων ἀνέμους εἶναί φησι. Φιλόχορος δέ, τριτοπάτορες. Φανόδημος δέ φησιν, ὅτι μόνοι Ἀθηναῖοι θύουσι, καὶ εὔχονται αὐτοῖς, ὑπὲρ γενέσεως παίδων. ἐν δὲ τοῖς Ὀρφέως φυσικοῖς, τοὺς τρίτους πατέρας, Ἀμαλκείδην, Πρωτοκλεῖαν, καὶ Πρωτοκρέοντα, θυρωροὺς καὶ φύλακας ὄντας τῶν ἀνέμων. ὁ δὲ τὸ ἐξηγητικὸν ποιήσας, οὐρανοῦ καὶ γῆς φησιν αὐτοὺς εἶναι. ὀνόματα δὲ αὐτῶν, Κόττος, Βριάρεως, καὶ Γύγης.

Τρίτος κρατήρ, Σοφοκλῆς Ναυπλίῳ, καταπλέοντι. ἐν ταῖς συνουσίαις ἐκιρνῶντο κρατῆρες τρεῖς. καὶ τὸν μὲν πρῶτον, Διὸς ὀλυμπίου καὶ θεῶν ὀλυμπίων ἔλεγον. τὸν δὲ δεύτερον, ἡρώων. τὸν δὲ τρίτον, σωτῆρος.

Τριτοστάτης, Ἀριστοφάνης ἐν σκηναῖς. κατασκευαζούσαις, τριττύς, τριάς.

Τρίττα, οὕτως ἡ Κνωσσὸς ὠνομάζετο.

Τριττύα λέγεται παρὰ τοῖς παλαιοῖς, θυσία ἐκ τριῶν ζώων, οἷον δύο μήλων καὶ βοός, ὡς Ἐπίχαρμος. ἢ βοός, αἰγὸς καὶ προβάτου, ἢ κάπρου, κριοῦ, καὶ ταύρου. ἡ δὲ τοιαύτη καὶ βούπρωρος φασὶν ἐλέγετο, διὰ τὸ προηγεῖσθαι αὐτῆς, οἷα νηὸς πρώραν τὸν βοῦν. φράζει δέ τινα τριττύαν καὶ ὁ κωμικός, ἐν τῷ βουθυτεῖ, ὗν καὶ τράγον καὶ κριόν. ἐλέγετο δὲ καὶ δωδεκάκις θυσία, ἡ ἐκ δώδεκα ζώων. ἡ δ' αὐτὴ καὶ διὰ τοῦ η δωδεκάκις. ὡς δὲ καὶ ἑκατόμβη ἐλέγετο, ἡ ἐξ ἑκατόν. καὶ χιλιόμβη, ἡ ἀπὸ χιλίων.

Τριττύς, τὸ τρίτον μέρος τῆς φυλῆς. αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττύς, καὶ ἔθνη, καὶ φατρίας. καὶ τριττυάρχης, ὁ ἄρχων τῆς τριττύος.

Τριτώ, ῥεῦμα, τρόμος, φόβος.

Τρίτων, ὄνομα ποταμοῦ, παρὰ τὸ τρεῖν τὸ φοβεῖσθαι, ὁ φόβου ἐμποιητικός. ἢ παρὰ τὸ ῥεῖν. ἢ

παρὰ

Digitized by Google

παρὰ τὸ ἐκ τριῶν γενέσθαι τρίων, καὶ πλεονασμῷ τοῦ τ, τρίτων. καὶ γὰρ ἕκαστος ποταμὸς τριῶν τινῶν μετέχει, γῆς, ἀέρος, ὕδατος.

Τρίτων, πόλις Λιβύης. ἔστι δὲ καὶ Βοιωτίας. δοκεῖ δὲ ἡ Ἀθηνᾶ παρὰ θατέρᾳ αὐτῶν γεγενῆσθαι. ἀφ' οὗ καὶ τριτογένεια λέγεται. οὕτω τινές. οἱ δὲ, ἡ τὸ τρεῖν, ἤγουν τὸ φοβεῖσθαι τοῖς ἐναντίοις ποιοῦσα.

Τρίτων, υἱὸς Ποσειδῶνος καὶ Ἀμφιτρίτης. τὰ μὲν ἄνω μέχρι τοῦ ὀμφαλοῦ ἄνθρωπος, τὰ δὲ ἐξ ὀμφαλοῦ μέχρις οὐραίου, δελφίς. καὶ οἷον εἰπεῖν, ὥσπερ ἰχθυοκένταυρος. Λυκόφρων τὸν Τρίτωνα, Ποσειδῶνα καλεῖ.

Τρίτωνος ἐκβολαῖς, παρὰ Λυκόφρονι. Τρίτων ὁ Νεῖλος, ὅτι τρὶς ὠνομάσθη. πρότερον γὰρ Ὠκεανὸς ἐκαλεῖτο. δεύτερον, Ἀετὸς, ὅτι ὀξέως ἐπέρρει. τρίτον, Αἴγυπτος. τὸ Νεῖλος δὲ νέον ἐστὶν, ἀπὸ τοῦ νέαν ἄγειν ἰλὺν, καὶ χερσοῦν τὸ πέλαγος.

Τριτωνίς. τρίτωνες τρεῖς, Βοιωτίας, Θεσσαλίας, Λιβύης. ἐν δὲ τῷ κατὰ Λιβύην, ἐτέχθη ἡ Ἀθηνᾶ.

Τριφάλεια, κόρυς ἡ ἔχουσα τρεῖς φάλους, ἤγουν ἀναστήματα.

Τριφάσιοι, τριπλάσιοι, τρίφωνοι.

Τριφερανθείς, ἀντὶ τοῦ μαλακῶς τεθείς.

Τριφύλακτον νύκτα, κατὰ τοὺς παλαιοὺς ὁ Ποιητὴς βούλεται εἶναι τὴν νύκτα, ὅ ἐστι τριῶν φυλακῶν, τριμερῆ ποιῶν αὐτὴν, καθὰ καὶ τὴν ἡμέραν. ὅτε εἴπῃ ἔσσεται ἠὼς, ἢ δείλη, ἢ μέσον ἦμαρ.

Τρίφυλλα, πολύφυλλα. καὶ πόα δέ τις μηδικὴ, οὕτω καλουμένη.

Τρίφυλλοι, οἱ καύκωνες.

Τριφυὸν, τριπλοῦν.

* Τριχὰ, τριχῶς.

Τριχάϊκες, Δωριεῖς. ἐπεὶ οἱ μὲν Εὔβοιαν, οἱ δὲ Πελοπόννησον, οἱ δὲ Κρήτην ᾤκησαν. ἕτεροι δέ φασι τοὺς πολεμικοὺς, καθ' ὁμοιότητα τοῦ κορυθάϊκι πολεμιστῇ. οὐ δηλαδὴ αἱ τῆς περικεφαλαίας τρίχες ἀΐσσουσι, τουτέστι σείονται κατὰ τὸν πόλεμον. ὡς δοκεῖν οὕτω, τῷ τριχαϊκοπολεμιστῇ, ἀναγινώσκεσθαι καθ' ὑφέν. ἄλλοι δὲ τοὺς τριλόφους φασὶν, οἷς λόφοις, τρίχες ἔνεισιν. εἰσὶ δὲ οἳ καὶ κούφους ὀρχηστὰς εἶπον τοὺς τριχάϊκας. ἐπεὶ καὶ ἀρετὴ Κρητῶν ἡ κατὰ πόλεμον ὀρχηστική. ὁ δὲ Γεωγράφος οὕτω καλεῖσθαι μόνους τοὺς κατὰ Κρήτην Δωριεῖς ἐμφαίνων, δηλοῖ ὀνομασθῆναι οὕτως οὐ μόνον διὰ τριλοφίαν, καὶ ὅτι τρίχινοι αὐτοῖς λόφοι, ἀλλὰ διότι ἐκ Παρνασοῦ ἐλθόντες, τρεῖς ᾤκησαν.

Τριχάνη, ἡ τρίτη φυλακή.

Τριχαπτὸν, τὸ βομβύκινον ὕφασμα, ὑπὲρ τῶν τριχῶν τῆς κεφαλῆς ἁπτόμενον, ἢ πολύτιμον.

Τρίχες, παρὰ τὴν τραχύτητα, θρίχες τινὲς οὖσαι. οἱ δὲ ἀπὸ τοῦ τρίζειν ἐν τῇ κουρᾷ. οἱ δὲ, ἀπὸ τοῦ πλήθους. οἱ δὲ, ἀπὸ τοῦ τρύχεσθαι, καὶ ἀφαιρεῖσθαι συνεχῶς.

Τρίχες, διαφέρουσι τῶν ἐρίων. τρίχες γὰρ, τῶν αἰγῶν, καὶ συῶν. ἔρια δὲ, τὰ τῶν προβάτων.

Τρίχες, χαίτη, λάχνη, λάχνωσις, κόμη. τὰ ἐναντία, λειοκάρηνος, ἀναφαλαντίας, φαλάκρα. πλόκαμοι, βόστρυχες. θρίχες αἱ τῶν γυναικῶν, καὶ τὰ ἐπὶ τριχῶν χρειώδη, κτένες, στλεγγίδες.

Τρίχηνον, τρικόρυφον.

Τριχθὰ, καὶ τετραχθά. ἐκ τοῦ τρίχα καὶ τοῦ τέτραχα γίνεται, πλεονασμῷ τοῦ θ, διὰ τραχυφωνίαν πλείονα. ὃ δὴ γίνεται καὶ ἐπὶ τοῦ ὄχθος καὶ ὄχθη. καὶ ἐν αὐτοῖς γὰρ ἀπὸ τοῦ ἐξέχειν γινομένοις, πλεονασμὸς τοῦ θ ἐστὶν, ὡς ἐν τῷ ὀχθεῖν κατά τινας. ὃ παρ' Ἡσιόδῳ κεῖται, καὶ ἐν τῷ χθὼν χθονός. ὀξύνεται δὲ, ὡς τὸ δηθά.

Τριχθάδες, αἱ χαλκίδες Ἡρακλέων μεμβράδες.

Τρίχινον, παρὰ τὸ τρύχω τὸ καταπονῶ. τὸ καταπονεῖν, καὶ ἀλγύνειν τὸ σῶμα.

Τριχίδες, εἶδος ἰχθύων, ἃς θρίσσας καλοῦμεν. ὡς τὸ, ἔβη τε νύχθ' ὅλην τριχίδων πεπλησμένος.

Τριχοβρωτήριον, ὃ τοὺς τῶν περικεφαλαίων λόφους διαβιβρώσκει.

Τριχόβρωτες, σῆτες, θρὶξ, σκώληξ κατεσθίων τὰς τρίχας. καὶ περισπωμένως δὲ λέγεται, τριχοβρῶτες.

Τριχολογεῖν, τὸ τὰς τρίχας ἀναλέγεσθαι, καὶ περὶ αὐτῶν φροντίζειν.

Τρίχορδον, ὄργανον.

Τριχοκόμος, ὁ τριχῶν ἐπιμελούμενος.

Τριχοτρῶκται, ζωΰφια τὰ τὰς τρίχας κατεσθίοντα.

Τριώβολον, τὸν δικαστικὸν μισθὸν λέγουσιν. ἐπεὶ τριώβολον ἐλάμβανον.

Τριώδελον, τριῶν ἡμιμναίων σταθμός.

Τριχώδη, ὄργανα πολιορκητικὰ πρὸς χώρησιν ἐπιτήδεια.

Τριώροφα, τρίστεγα.

Τριώλαξ, ἀγὼν παρθένων δρόμου.

Τριώτης, περιτραχήλιος κόσμος, καὶ μή ποτε παρὰ τοὺς ὄσσους, οἱονεὶ ὁ τρεῖς ἔχων ὄσσους, ἤγουν ὀφθαλμούς.

Τριχῶς, τριττῶς, ὑπομνηστικῶς.

Τριχῶσαι, θάψαι.

Τριψημερεῖν, στρατεύεσθαι, καὶ παρέλκειν τὰς ὥρας.

* Τρίψης, ἀντὶ τοῦ κατατρίψεις, διατελέσεις.

* Τρίψις, τῶν ποταμῶν ἡ πορεία. Δαβὶδ, ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν.

Τροία τρὶς ἐπορθήθη, πρῶτον διὰ τοὺς ἵππους τοῦ Λαομέδοντος. δεύτερον, κατέδραμον ταύτην αἱ Ἀμαζόνες, ὥς που φησὶν Ὅμηρος. ὡς ἀπὸ Πριάμου τ' ἦλθον Ἀμαζόνες ἀντιάνειραι. τρίτον δὲ, διὰ Ἑλένην πορθηθεῖσα, τελείως ἠφανίσθη. αὐτὴν δὲ τὴν Τροίαν ἔλεγον μὴ δύνασθαι Ἕλληνας πορθῆσαι, εἰ μὴ τὰ ὀστᾶ τοῦ Πέλοπος ἐνέγκωσι, καὶ τὸν υἱὸν Ἀχιλλέως Νεοπτόλεμον, καὶ τὸν Φιλοκτήτην. ἤγαγον ἅπαντας. Φιλοκτήτης δὲ ἀντιστάντα αὐτῷ τὸν Ἀλέξανδρον πρὸς τοξείαν, τοξεύσας αὐτὸν, πρῶτον μὲν κατὰ λαιὰν χεῖρα, εἶτα τὸν δεξιὸν αὐτοῦ ὀφθαλμὸν ἐκβαλὼν, καὶ τρίτον τοὺς πόδας βαλὼν ἀνεῖλε.

Τροίαν ἱερὰν λέγει Ὅμηρος, ὅτι ὑπὸ Ἀπόλλωνος καὶ Ποσειδῶνος ἐκτίσθη. ὅθεν καὶ ἱερὸν πτολίεθρον Τροίης, ὡς θεόκτιστον λέγεται.

Τροιζὴν, πόλις οὐκ ἄσημος, ἧς πρόκειται νησίδιον. καλεῖται δὲ, ἀπὸ Τροιζῆνος υἱοῦ Πέλοπος, ἡ δ' αὐτή ποτε καὶ Ἀφροδισιὰς, καὶ Σαρωνία, καὶ ἡ Ποσειδωνία, ἡ Ποσειδωνιὰς, ὡς ἱερά φασι Ποσειδῶνος, ἢ Ἀπολλωνιάς. ἔστι δέ φασι καὶ ἑτέρα ἐν Ἰταλίᾳ Μασσαλιωτική. τῆς δὲ Τροιζῆνος ταύτης λιμὴν ᾄδεται ὁ Πώγων. ὅθεν καὶ ἐπὶ τῶν ἀτρίχων, τὸ γένειον, καὶ ψευδομένων τὸν ἀνδρικὸν Πώγωνα. λέγεται παροιμιωδῶς, τὸ πλεῦσαι εἰς Τροιζῆνα. ἱστορεῖ καὶ Ἀθήναιος τροιζήνιον οἶνον, ὃς λέγεταί φησιν ἀγόνους ποιεῖν τοὺς πίνοντας. λέγων καὶ περὶ τὴν Ἀχαΐαν ἀμπέλου τι γένος εἶναι, ἀφ' ἧς οἶνος ἐκτρίβεται, ποιῶν ἐξαμβλοῦν τὰς ἐγκύμονας γυναῖκας.

Τρομεοίατο, καθὰ καὶ τὸ τρομέονται, ἀπορίαν ἔχει διὰ τί μὴ ἐκτείνουσι τὴν ἄρχουσαν, ἵνα ᾖ, ὡς στρέφω στρόφος στρωφῶ, νέμω νόμος νωμῶ, τρέπω τρόπος τρωπῶ. οὕτω καὶ τρέμω τρόμος τρωμῶ διὰ τοῦ ω μεγάλου, ἀλλὰ μὴ διὰ τοῦ ο μικροῦ. ὁμοίας ἀπορίας ἐστὶ, καὶ τὸ δέμω δόμος δομέω δομήσω. ἀλλαχοῦ διαλέλυται ἡ ἀπορία.

Τρομέουσι φρένα, διέσταλται τοῦ κατὰ σῶμα τρόμου.

Τρομέονται, γίνεται ἐκ τοῦ τρέμω τρόμος τρομῶ, οὐχ ὑπάγεται δὲ τῇ ἀναλογίᾳ τοῦ, τρόπος τροπῶ, καὶ τοῦ στρόφος στροφῶ. ἐκεῖνα μὲν γὰρ δευτέρας συζυγίας τῶν περισπωμένων, τοῦτο δὲ τῆς πρώτης. τρόμος ἐπὶ δειλίας, ὁμοίως καὶ τὸ τρομέειν.

Τρόμος, εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι εἰδικοῦ. γίνεται παρὰ τὸ τρέμω, τοῦτο παρὰ τὸ θέρμω, τὸ θερμαίνω.

Τρόμος, εὐλάβεια, δέος, φυγή.

Τρόνα, ἢ θρόνα, ἀγάλματα, ἢ ῥάμματα, ἄνθινα.

Τρόνοι, στύπποι, στήμων, ἀρπεδόνη, ἢ τρακτός.

Τροπαγὸς, ὁ ἀπητιμασμένος.

Τροπαία, ἡ Ἥρα. διὰ τὸ τὰ τρόπαια, ὅ ἐστι τὰ νικητήρια, μὴ μόνον Διῒ ἀνατίθεσθαι, ἀλλὰ καὶ τῇ Ἥρᾳ. καὶ ὥσπερ ὁ Ζεὺς πανομφαῖος, οὕτω καὶ ἡ Ἥρα πανομφαία. ὡς δὲ καὶ γένος γένεια.

Τροπαὶ ἠελίου ἐν Ὀδυσσείᾳ, οἷον ὅθι τροπαὶ ἠελίου, ἀντὶ τοῦ κειμένη, ἤγουν Συρία νῆσος πρὸς τροπὰς ἡλίου. ἤτοι πρὸς τὰ δυτικὰ μέρη τῆς Ὀρτυγίας. ὅτι δὲ τὸ τρέπεσθαι καὶ ἐπὶ τοῦ δύειν κεῖται, δηλοῖ τὸ ἐπὶ ἡλίου λεχθέν. τὸ ἂψ οὐρανόθεν προτράπηται. ἕτεροι δέ φασι σπήλαιον εἶναι ἐκεῖ, δι' οὗ τὰς τοῦ ἡλίου, ὡς εἰκὸς ἐσημειοῦντο τροπάς. ὃ καὶ ἡλίου διὰ τοῦτο σπήλαιον ἔλεγον.

Τροπαῖον παρὰ τοῖς Ἀττικοῖς, προπερισπωμένως παρείληπται.

Τροπαῖον οἱ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν, οἱ δὲ νεώτεροι, προπαροξύνουσιν, ὡς παρ' Ἀριστοφάνει ἐν Θεσμοφοριαζούσαις, γυναῖκες, οὐκ ἀρήξετ' οὐ πολλὴν βοὴν στήσεσθε καὶ τρόπαιον. καὶ οἶμαι κατ' ἀναλογίαν τοῦτο μᾶλλον παρὰ σφίσι προφέρεσθαι, ὡς ἀπὸ τοῦ τρίτη τὸ τριταῖον, καὶ ἀπὸ τοῦ οὐρὰ τὸ οὐραῖον. ἔστι δὲ τρόπαιον, ὃ ἐν ταῖς νίκαις οἱ παλαιοὶ ἐποίουν, τοῖχον, ἢ λίθον μέγαν ἱστάντες, καὶ γράφοντες ἐν τούτῳ ἃ κατὰ τῶν ἀντιπάλων ἔργα δεδράκασιν. ἐκαλεῖτο δὲ τρόπαιον, διὰ τὸ ἐπὶ τῇ τροπῇ τῶν ἐχθρῶν γεγενῆσθαι.

Τροπαιουχῶ, ἀριστεύω.

Τροπαλισμὸς, μεταβολὴ, καὶ τὸ ἐκ συμβόλων ὑποδέχεσθαι.

Τροπαλὸν, τραχύ.

Τρόπεον ὄχεα, ἤγουν ἔτρεπον. ἐκ τοῦ τροπῶ, τῆς δευτέρας συζυγίας τῶν περισπωμένων.

Τροπέοντο, ἐπάτουν. ἀπὸ τούτου καὶ ὁ οἶνος λέγεται τραπητός.

Τρόπηλις, ἡ τῶν σκορόδων δέσμη, ἀπὸ τοῦ εἰλεῖσθαι. ἐν δὲ τοῖς καιροῖς τῆς ἑορτῆς, ἤσθιον σκόροδα, ἕνεκα τοῦ ἀπέχεσθαι ἀφροδισίων, ὡς μὴ μύρου πνέοιεν.

Τροπῆς ἀποσκίασμα, ἀντὶ τοῦ ἀλλοιώσεως, καὶ ὁμοίωμα φαντασίας. ῥητορική.

Τρόπηκος, μερὶς τῆς κώπης, ὃ τρόπηξ οὗ ἐπιλαμβάνονται οἱ ἐρέσσοντες. ὥστε ἀπὸ μέρους τὴν κώπην.

Τροπίας οἶνος, ὁ τετραμμένος καὶ ἐξεστηκώς.

Τροπίδια τὰ εἰς τρόπιν νεὼς ἐντιθέμενα ξύλα.

Τροπικώτερον, θεωρητικώτερον, ἀλληγορικῶς. μεταφορικῶς, οὐκ ἀληθῶς.

Τρόπιν, ὡσανεὶ ἔλεγεν Ἀριστοφάνης, τὴν ῥίζαν. ἐπεὶ τῶν δρυόχων, ὁ τρόπις ἵσταται πρῶτον. ἄλλως, τρόπιν ἀντὶ τοῦ μέρος, ἀπὸ μεταφορᾶς τοῦ σκάφους. οἱ δὲ τὴν ἀρχήν. ἔπαιξε δὲ πρὸς τὸ σκάφος.

Τρόπις λέγεται, τὸ ὑποκάτω τοῦ πλοίου ξύλον, καὶ στεῖρα λέγεται. ὡς στερεώτατον τῶν λοιπῶν καὶ συνέχον τὰ πάντα. ἐνίοτε ὅλον πλοῖον σημαίνει.

Τροποὶ, ὀξυτόνως ἤτοι κοινότερον εἰπεῖν τροπωτῆρες, ἱμάντες οἷς ἡ κώπη πελάζουσα, ἐνείρεται τῷ ἰδιωτικῶς λεγομένῳ σκαλμῷ. λέγεται καὶ ἐπικωπητήρ. γίνεται δὲ παρὰ τὸ τρέπεσθαι, ὅ ἐστι στρέφεσθαι, κάμπτεσθαι, κλώθεσθαι. εἰλεῖσθαι, γυροῦσθαι. τρόπος δὲ βαρυτόνως ἐπὶ ἤθους, ὥσπερ τρόχος κατὰ τοὺς παλαιοὺς ὁ Ἄγγελος, ἔτι καὶ ὁ δρόμος. τροχὸς δὲ ὀξυτόνως ἐπὶ τοῦ ἅρματος καὶ ἀπήνης.

Τρόπον τινὰ, ἀντὶ τοῦ τοῦτον τὸν τρόπον.

Τρόπος, ἦθος, γνώμη, προαίρεσις.

Τροποῦσθαι, ἁρμόζεσθαι, μεταβάλλεσθαι, τρέπεσθαι.

Τροπωτῆρες, οἱ ἱμάντες οἱ ἐν τοῖς πλοίοις, ἐν οἷς αἱ κῶπαι περὶ τοὺς σκαλμοὺς στερεδέονται. τροπὸς δὲ ὁ τροπωτὴρ παρὰ τὸ τρέπειν τὰς κώπας.

Τροπώσομαι, νικήσω, πλήξω.

Τρύεται, ἰσχναίνεται, τήκεται.

Τρῦροι, δρόμοι, στάδιοι.

Τρυ-

Digitized by Google

Τρυφωνίδαι, εἶδος κροκωτοῦ.

Τροφαλίδα, οἱ μὲν τὸν ἐπιμήκη τυρὸν, οἱ δὲ τροχὸν τυροῦ σικελικοῦ. πολυθρέμμων δὲ Σικελία, διὸ τυρὸν πολλοῦ καὶ κάλλιστον ἔχει.

* Τροφεῖα, τὰ ὀφειλόμενα τοῖς τροφεῦσι.

Τροφεὺς, ὁ τρέφων, τρόφιμος, ὁ τρεφόμενος ὑπὸ τοῦ τροφέως. ὥσπερ ἐγὼ γέγονά ποτε τρόφιμος τῶν μαδίκων παιδεύθεν.

Τροφὴ, παρὰ τὸ τρέφω, τὸ πηγνύω, ἡ πηγνύουσα καὶ ἀσφαλῆ ποιοῦσα τὰ σώματα. λαμβάνεται καὶ ἐπὶ τῆς ἀγωγῆς, καὶ παιδείας. καὶ τραφὲν ἀντὶ τοῦ ἀχθὲν, καὶ παιδευθέν. καὶ ἐπὶ τῆς πολιτείας. Πλάτων, τῶν περὶ τὴν τροφὴν καὶ γέννησιν. τροφὴν μὲν γὰρ βρῶμα, καὶ πόμα λέγομεν. γέννησιν δὲ, τὰ ἀφροδίσια. ἐν δὲ τρίτῳ πολιτείας, καὶ ὑπὸ τῷ σοφωτάτῳ Χείρωνι τεθραμμένος, ἀντὶ τοῦ πεπαιδευμένος.

Τροφῆς, χάραξ, σκώληξ.

Τρόφι, ἀντὶ τοῦ τρόφιμον. ἤτοι στάσιμον, πεπηγὸς. ἐκ τοῦ τρέφειν.

Τροφίμη, δέσποινα, ἡ μήτηρ.

Τρόφι κῦμα, τὸ τεθραμμένον καὶ συνιστάμενον, ὅ ἐστιν ἀτραφές.

Τροφιώδεις, ἔχον ἐμφερόμενά τινα πεπηγότα, παρὰ τὸ τρέφεσθαι ὅ ἐστι τὸ πήγνυσθαι, παρὰ τῷ Ἱπποκράτει.

Τρόφιμον, ὃ ἡμεῖς δεσπόσυνον. καὶ τρόφιμον ἀνδρὸς δακτύλιον.

Τροφιοῦται, παχύνεται.

Τροφὸς, νεώτερος δεσπότης, ἡ μήτηρ.

Τροφόεντα κύματα, ἢ τραφόεντα. γράφεται γὰρ διχῶς, τὰ μεγάλα καὶ ἀτραφῆ, ἢ τὰ ἀπαγῆ καὶ στερεά, ἐκ τοῦ τρέφω. ἐξ οὗ καὶ τροφὴ, ἡ τὸ σῶμα συμπηγνύουσα. Ἄλλως.

Τροφόεντα κύματα παρ' Ὁμήρῳ, πελώρια ἶσα ὄρεσσι, ὃ καὶ σημειωτέον διὰ τὴν εὔτακτον παραύξησιν. μεῖζον μὲν γὰρ φρικὸς, τὸ ἁπλῶς τροφόεν κῦμα. πλεῖον δὲ, τὸ πελώριον. ἔτι δὲ μεῖζον, τὸ ἶσον ὄρεσσιν, καὶ ὡς εἴποι τις, πέλας ὄρους.

Τροφώνιος, ἀνὴρ ἦν πάνυ φιλόδοξος. ποιήσας οὖν ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα, εἰσελθὼν ἐμαντεύετο, καὶ λιμαγχονηθεὶς ἀπέθανεν. ἐγκατοικήσαν δὲ δαιμόνιόν τι, τὰς μαντείας ἐτέλει. εἰσήρχοντο οὖν ἐντὸς οἱ χρησόμενοι, ἔχοντες ἐν ταῖν χεροῖν πόπανα, ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες, μηδὲν ὑπ' αὐτῶν δυσχερὲς πάχωσιν. ὁ δὲ εἰσιὼν ἐκεῖσε, λοιπὸν οὐκέτι ἐγέλα, διὰ τὴν τῶν ὄφεων ἔκπληξιν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀγελάστων, καὶ συνωφρυωμένων, τὸ ἐς Τροφωνίου μεμάντευται.

Τροχαδίσαι, σανδάλια. ἀπὸ αἰγείου δέρματος.

Τροχαία, μέσα ἐν κύβοις. ἡ ὁδὸς, ὡς ῥινθων.

Τρόχαλοι, οἱ ἤδη περιόντες.

Τροχαλὸν, τροχαῖον, τραχὺ, ἢ περιτρέχον.

Τρόχαλον γέροντα λέγει Ἡσίοδος, δίκην τροχοῦ κεκαμμένον, καὶ κεκυφότα. τρόχαλοι ἰδίως οἱ κόλχακες, οἱ καὶ κρεμάδια λέγονται. ἤγουν οἱ ποτάμιοι, καὶ θαλάττιοι λίθοι.

Τροχαῖος, ἐκ μακρᾶς καὶ βραχείας τρίχρονος, οἷον δοῦλος, ἧμος. τροχαῖος καλεῖται, ἀπὸ μεταφορᾶς τῆς ἐξ ὕψους εἰς ταπεινὸν ἡκόντων λίθων, οἳ καὶ τρέχειν τὸν βαδίζοντα παρασκευάζουσιν. ἢ διὰ τὸ τοὺς περιτρέχοντας τοὺς βωμοὺς, τοιούτῳ μέτρῳ ᾄδειν.

Τροχαντῆρες, πρὸς τὰ πηδάλια. καλεῖται τῆς πρύμνης μέρος.

Τροχαντὴρ, τῆς τοῦ μηροῦ κεφαλῆς ἡ ἔξω ἔκφυσις.

Τροχάσας, σπεύσας, δραμὼν, προλαβών.

Τροχηματεῖ, ἐλαύνει.

Τροχιαὶ, αἱ τῶν τροχῶν χαράξεις.

Τροχίλος, ὄρνεόν ἐστι. λέγεται δὲ παρὰ τὸ τρέχω.

Τροχίας, πορείας, ἄγγελος, ἀκόλουθος.

Τροχιθεῖσαι, ἀπὸ τοῦ τροχὸς, ὅπερ ἐστὶν ὄργανον βασανιστικὸν, διατεῖνον τὰ σώματα τῶν βασανιζομένων.

Τρόχμαλος, ἡ ἐκ λίθων στρογγύλων, αἱμασιά, ἡ περιῳκοδομημένη τοῖς χωρίοις, τρόχμαλα γὰρ κυρίως λέγονται, οἱ μικροὶ λίθοι. οἱ κάχληκες παρὰ Λυκόφρονι.

Τροχόεν, τροχοειδὲς, στρογγύλον.

Τροχοὶ, δρόμοι, παρὰ τῷ Ἱπποκράτει.

Τροχὸν στέατος, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας φ, ὥσπερ καὶ τυροῦ ἀκριβέστερον, ἤπερ κύκλον εἰπεῖν. ἐπίπεδον γὰρ ὁ κύκλος καὶ ἀβαθὲς, οὐ τοιοῦτος δὲ ὁ τροχός, ὅθεν καὶ οἰκειότερος ὥσπερ ἐπὶ τυροῦ, καὶ ἐπὶ κηροῦ δὲ τοῦ κατὰ τὰς σειρῆνας, οὕτω καὶ ἐπὶ στέατος. ἀρχαῖον δὲ ἔθος τροχοειδῶς καὶ τὰ στέατα στρογγύλεσθαι. ἴσως δὲ τῷ στέατι καὶ πιμελὴ νῦν συννοεῖται, ὧν διαφορά. ὅτι στέαρ μὲν τὸ τῶν κερασφόρων, ὃ καὶ θρύπτεται ψυχθέν. πιμελὴ δὲ ἐπὶ τῶν μὴ ἐχόντων κέρατα.

Τροχός τις ἦν, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο. Ἀριστοφάνης, ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον εἰπεῖν, ἃ πεπανούργηκας.

Τροχοποιεῖν, τροχοὺς ἁμάξης ποιεῖν, ἢ ἄλλου τινός.

Τροχὸς, παρὰ τὸ τρέχω τροχὸς, ὡς παρὰ τὸ δραμεῖν δρόμος. ἐπὶ μὲν τῶν ἁρμάτων, ἐκ δίφρου πεσὼν ἐξεκυλίσθη. ἐπὶ δὲ τοῦ κεραμικοῦ ἐργαλείου, Ἰλιάδος σ. τρόχος δὲ βαρυτόνως, ἐπὶ τοῦ δρόμου. ἡ τρόχος παροξυτόνως, κατὰ τὸ παθητικὸν, ὁ τρεχόμενος.

Τροχόωσαι, τρέχουσαι.

Τρόχων, δρόμων, καὶ τὰ ὅμοια.

Τρύβλιον, εἶδος ὀξυβάφου. ἢ ποτήριον μυστηρίου.

Τρύγα, οἶνον ἀδιήθητον ἀπὸ ληνοῦ.

Τρυγαβόλια, εἰς ἀκάρπους ξηροὺς ἀπετίθεντο.

Τρυγαῖος, ὄνομα κύριον, ὃ ὁ μὲν Ἡρωδιανὸς προπερισπᾷ. οἱ δὲ λοιποὶ, ὡς Τίμαιος προπαροξύνουσι. καὶ παρὰ τὴν τρύγα πεποίηται, ἁρμόζον τοῖς γεωργοῖς.

Τρυγᾶν, ἐπὶ καρπῶν λέγεται, καὶ ἐπὶ κάλλους, καὶ ἐπὶ παντὸς οὗ τινος ἀπολαύει τις, καὶ τρυφᾷ.

Τρυγεῖ, ξηραίνει.

Τρυγέρανος, φάσματι ἐοικώς.

Τρυγεροὺς, τρυγώδεις, ὀξεῖς.

Τρύγη, ὁ δημητριακὸς καρπός. τὰ πεπονημένα καὶ ἐκτετριμμένα ἀπὸ τοῦ τρύχω. καὶ τρύγοιπος, ὁ ὑλιστὴρ, παρὰ τὸ ἰποῦσθαι τὴν τρύγα.

Τρυγητὴρ, ὁ τρυγῶν, ὡς ἰατήρ.

Τρύγητος, ὁ καιρὸς, τρυγητὸς, ὁ τρύγος.

Τρύγη, ὁ πυρὸς, καὶ ἡ κριθὴ, καὶ πᾶς ἄλλος καρπός. καὶ ποιὰ βοτάνη.

Τρυγῆλα, τρώγλη.

Τρύγηλλος, οἰκοδόμημα μεταλλικὸν κατασκευαζόμενον.

Τρύγμα, δίπλωμα.

Τρυγοδαίμονες παρὰ τῷ Ἀριστοφάνει, οἱ Ποιηταί. ἐπειδὴ τὴν τρύγα χριόμενοι, ἵνα μὴ γνώριμοι γένωνται, οὕτω τὰ αὐτῶν ᾖδον ποιήματα κατὰ τὰς ὁδοὺς, ἁμάξης ἐπικαθήμενοι. διὸ καὶ παροιμία, ὡς ἐξ ἁμάξης λαλεῖ, ἤγουν ἀναισχύντως ὑβρίζει. τοῦτο δὲ ἐποίουν, οἱ Κωμικοὶ Ποιηταί. ἄλλως, οἱ Κωμικοὶ παρὰ τὸ κακοδαίμονες. ἐπεὶ πολλοὶ τῇ αἰσχροποιίᾳ ἐχρῶντο. κακοδαίμονας δὲ, παρ' ὅσον ἀφέμενοι τῶν θείων, περὶ τὸ σκώπτειν τρέπονται. τρύγοιπος, ὁ ὑλιστὴρ ὁ σάκκινος.

Τρυγῳδεῖν, κωμῳδεῖν.

Τρυγὼν, ἰχθὺς θαλάσσιος. ἧς τὸ κέντρον δηλητήριον, καὶ ὄρνις, καὶ ἡ διὰ γυναικῶν μῖξις, καὶ σώτροφος.

Τρυγοὺς, τὰς τρυγόνας.

Τρύειν, κατατρίβειν, καταπονεῖν.

Τρύζειν, τὸ πολυφωνεῖν, ἢ πολυλογεῖν. ἐξ οὗ καὶ τρυγὼν, ἣν ἡ παροιμία ἐπὶ σκώμματι τῶν πολυλογούντων παραλαμβάνει. λαλιστέρους τρυγόνων τοὺς τοιούτους καλοῦσα.

Τρύζει, ψιθυρίζει, γογγύζει, ἀσήμως λαλεῖ. καὶ ἐπὶ τρυγόνων λέγεται.

Τρύζειν μὲν ἐπὶ τρυγόνων, αἳ ἀπὸ τοιούτου ῥήματος γίνονται. τρίζειν δὲ ἐπὶ νυκτερίδων, ὧν καὶ ἴδιον δοκεῖ ὁ Ποιητὴς λέγειν, τὸ ἀλλήλαις συνέχεσθαι, ὃ καὶ ἴδιον ὁρμαθοῦ. ὁμοίως δὲ τρίζειν ἐπὶ χιόνος. ὅθεν καὶ χιὼν τετριγυῖα.

Τρύζεσκεν, ἔτρυζε, τουτέστιν, ὠλόλυζε. Θεόκριτος, ἁ δ' ὀλολυγὼν τηλόθεν ἐν πυκινοῖσι βάτων τρύζεσκεν ἀκάνθαις. ἤγουν ἡ ἀηδὼν ἡ τὸν Ἴτυν ὀλοφυρομένη.

Τρύζοντα, καταπονήσοντα, ἀνιάσοντα.

Τρυλλὶς, ζῶον, ῥύσις.

Τρυμαλιαὶ, τρύπαι.

Τρυμαλῖτις, Ἀφροδίτη.

Τρύμη, παρὰ τῷ Ἀριστοφάνει, ὁ περιτετριμμένος ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανον καλοῦμεν. τρύμα καὶ τρύμην τὴν ὀπὴν φασι. θέλει οὖν εἰπεῖν λεπτολόγος, καὶ εὔστομος, ὡς τρύπανον. τρύμη οὖν, τρύπανον, ὡς πάντων περιγενόμενον, καὶ τριὸς, καὶ παλαίστωρος, ἢ τριμάλια.

Τρωὴς, ἐφίππιος στήμων.

Τρὺξ, ὁ νέος οἶνος, παρὰ τὴν τρύγην. καὶ γλεῦκος ἀδιήθητον.

Τρύξοντα, θέμα μὲν τὸ τρύχω. αὐτὸ δὲ παράγεται ἐκ τοῦ τρύω. τοῦτο δὲ ἐκ τοῦ τρῶ, τοῦ συγκοπέντος ἐκ τοῦ τορῶ, ὃ δηλοῖ τὸ τρυπᾷν.

Τρυπᾷν, τρίβειν.

Τρυπάνη, ἐργαλεῖον τεκτονικόν.

Τρυπήλα, τρώγλη.

Τρυπῷ, ἐκ τοῦ τρυπῶμι τρυπῷς γίνεται διαλεκτικῶς. διὸ καὶ προσγεγραμμένον ἔχει τὸ ι. ἐκτρυπῆσαι κατὰ Παυσανίαν, τὸ μετὰ βίας ἐξελθεῖν. Αἴλιος δὲ Διονύσιος εἰστρυπᾷν φησι τὸ παρεισελθεῖν, καὶ λάθρα μετὰ βίας ἐξελθεῖν.

Τρυσιβίου γαστρὸς, κεκολασμένης, καὶ καταπονούσης.

Τρύσιππον, ὃ τοῖς τετριμμένοις καὶ ἀχρήστοις ἵπποις ἐπιβάλλεται. ὃ κατὰ Αἴλιον Διονύσιον, τρυσίππειον τετρασυλλάβως, ἔγκαυμα ἵππου γεγηρακότος ἐπὶ τὰς γνάθους, ὅμοιον τροχῷ. ἔοικεν οὖν τὸ εἴτε τρύσιππον, εἴτε τρυσίππειον, θεραπεία, ἢ σημεῖον γηραιοῦ ἵππου, δι' ἐγκαύσεως.

Τρύσκει, τρύχει, ξηραίνει.

Τρύσις, νόσος, πόνος.

Τρυσμὸς, γογγυσμός.

Τρυσνὸν, νοσερὸν, λεπτὸν, ἀσθενές.

Τρυτάνη, ὁ ζυγὸς ἡ στατήρ ἡ δωρικῶς λεγομένη, ἧς ἑκατέρωθεν τὰ τάλαντα, αἱ, καὶ πλάστιγγες. κυρίως δὲ τρυτάνη, ἡ γλωσσὶς τῆς ῥάβδου τοῦ ζυγοῦ, αὖθις εἰς τὸ ὀπίσω.

Τρυφάλεια μὲν πρὸς διαστολὴν ἀφάλου, ἡ ἔχουσα τρεῖς φάλους, ἵνα ᾖ τρίφαλος, καὶ τροπῇ τοῦ ι εἰς υ, τρύφαλος. ἀνάπαλιν πρὸς τὸ δύφρος, δίφρος ἄφαλος ἐν χρήσει κεῖται, οὐ μὴν καὶ τρύφαλος. τριφάλεια, ἐπίθετον περικεφαλαίας οὖσα, ἀντὶ αὐτῆς ἐκείνης λαμβάνεται.

Τρύφακτος, ἔνιοι διὰ τοῦ δ. δρῦς γὰρ τὸ ξύλον.

Τρυφαλίδες, ἢ τροφαλίδες, τὰ τμήματα τοῦ ἁπαλοῦ τυροῦ.

Τρυφερὸς, νέος, ἁπαλὸς, ἢ ψιλός.

Τρυφὴ, γαστριμαργία, πολυφαγία, εὐωχοφαγία.

Τρυφὴ, παρὰ τὸ θρύπτω τὸ διακλῶ θρυφὴ καὶ τρυφὴ, ἡ διακλῶσα καὶ ἀφανίζουσα ἡμῶν τὸ σῶμα. καὶ τρυφὲν, ἀντὶ τοῦ διακλασθέν.

Τρυφή ἐστι φιλήδονος λιχνεία, καὶ πλεονασμὸς περίεργος, πρὸς ἡδυπάθειαν ἀεὶ μένων.

Τρυφηλοῖς, ἐπιθυμητοῖς.

Τρύφος, καλασίρις, ἔνδυμα γυναικεῖον.

Τρύφος, ἐπὶ ἄρτου λέγεται, δύναται δὲ καὶ ἐπὶ ἄλλων. ὡς δηλοῖ τὸ τριχθὰ καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρὸς. τὸ γὰρ διατρυφὲν, τρύφος ἂν εἴη. τρύφος, τὸ κλάσμα. τρύφος γίνεται, ἀπὸ τοῦ θρύπτω. τρυφὴ δὲ, ἀπὸ τοῦ θρύπτομαι.

Τρυφῶ ἀμεταβάτως, τὸ ἐν τρυφῇ διάγω, καὶ τρυφῶ τοὺς λόγους.

Τρυφῶ, ἐπὶ τοῖς λόγοις, καὶ ἐντρυφῶ τῇ σῇ θέᾳ. καὶ αἰτιατικῇ, καὶ γενικῇ, κατὰ τὴν μερικὴν σύνταξιν. ὡς τὸ ἔφαγον τοῦ ἄρτου, καὶ ἔπιον τοῦ οἴνου, μέρος δηλονότι. οὕτω καὶ τρυφῶ τῶν παρὰ σοὶ

κα-

κελῶν, μέρος δηλονότι. τρυφῶ καὶ τρυφὴ, καὶ χλιδῶ καὶ χλιδὴ, Αἰσχύλος ἐν Προμηθεῖ, χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι. Συνέσιος ἐν τῷ περὶ βασιλείας, γαῦρος τε, καὶ χλιδῶντας. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ, καὶ ζῶμα τὸ μὸν οὐ χλιδαῖς ἠσκημένον. Ἄλλως.

Τρυφῶ, συζυγίας δευτέρας τῶν περισπωμένων, συντάσσεται δοτικῇ. οἷον τρυφῶ ἐπὶ τοῖς λόγοις, καὶ ἐντρυφῶ τῇ σῇ θέᾳ.

Τρυφῶ λέγεται, τὸ ἀπολαύω. καὶ ἀπὸ τούτου τρυφὴ ἡ ἀπόλαυσις. τρυφῶ λέγεται καὶ τὸ βλακεύομαι. ἀφ' οὗ καὶ τρυφὴ, ἡ βλακεία. τρυφῶ καὶ τὸ αὐθαδιάζομαι. καὶ τρυφὴ, ἡ αὐθάδεια.

Τρυφώματα, θρέμματα, Γαῦλοι.

Τρύχεται, καταπονεῖται κακοπαθεῖ, ταλαιπωρεῖται, ἐκνευρίζεται. ἐκ τοῦ τρύχω τρύχομαι, τρύχω τὸ δαμάζω.

Τρυχηρὰ, ῥακώδη.

Τρυχίνοις, ῥακίοις.

Τρύχνον, τὴν πόαν λέγουσι θηλυκῶς. στρύχνον δὲ σὺν τῷ σ, οὐδαμῶς ἕτερον.

Τρυχνοῦν, καταπονεῖν, ἰσχναίνειν, παρὰ τῷ Ἱπποκράτει.

Τρυχόμενος, καταπονούμενος, ἀνιώμενος, δαπανώμενος.

Τρύχωσα, τρύχουσα, ἐπιτρίβουσα.

Τρωαὶ, κάλλιον ἢ Τρωάδες.

Τρωὰς, τὸ μὲν τρωαὶ, σημαίνει τὰς τρωϊκὰς ἢ γυναῖκας, ἢ ἵππους. τὸ δὲ δμωαὶ, τὰς δούλας. καὶ οὐκ ὤφειλεν ἔχειν τὸ ι. ὅτι ἐστὶ τρὼς τρωὸς, καὶ δμὼς δμωὸς, χωρὶς τοῦ ι.

Τρώα, ἀρπεδόνη.

Τρωγάλια, τὰ τραγήματα. Λάκωνες.

Τρωγάλιον, δέρμα, τὰς μελικοκκίδας.

Τρῶγες, θηρία, τὰ ἐν τοῖς ὀσπρίοις.

Τρώγλη, παρὰ τὸ τρώγω γίνεται τρώγλη, τὸ διαβεβρωμένον καὶ τετρυπημένον μέρος τοῦ τείχους.

Τρώγλη, αἴγλη, ζεύγλη. τὰ εἰς λη θηλυκὰ, ἐπιπλοκὴν ἔχοντα τοῦ γ, εἰς ἢ λήγει, Ἀθηναῖος λέγει. διδάσκει δὲ ἀκολούθως τῷ Ὀππιανῷ, καὶ ὅτι ἡ τρίγλη, τριγόνοις γοναῖς ἐπώνυμος οὖσα, οἱονεὶ τριγονή ἐστι, τρὶς τίκτουσα τοῦ ἔτους. τρίτον δέ φασι τεκοῦσα ἄγονός ἐστι, γίνεται αὐτῇ σκωλήκιά τινα κατὰ τὴν ὑστέραν, ἃ τὸν γόνον καταδίει. ὅτι δὲ ἐκ τοῦ τρίγνη γέγονε τρίγλη, τροπῇ συνήθει τοῦ ν εἰς λ, πιστὸν γίνεται καὶ ἐκ τοῦ νεογινὸς νεογιλὸς, καὶ ἐκ τοῦ νίτρον λίτρον. καὶ τοῦ φίντατος κύριον, φίλτατος παρὰ Πινδάρῳ.

Τρωγλοδύται, οἱ εἰς τὰς τρώγλας οἰκοῦντες.

Τρώγω, ἐσθίω, ἔδω, βιβρώσκω, γαστρίζομαι, δαίνυμι, εὐωχοῦμαι, δαίω, σιτοῦμαι, σίνδω, εἰλαπινάζω, ἀριστῶ, δειπνῶ, θοινῶμαι, ταυτὸν δηλοῦσι.

Τρώγω, τὸ ἐσθίω. ἀφ' οὗ τρώξιμον ποιητικῶς, τὸ δυνάμενον βρωθῆναι. καὶ τρῶκται, παρὰ Φιλοστράτῳ, οἱ πολλὰ ἐσθίοντες, ἤγουν οἱ κοινῶς φάγοι. τρώγω παράγωγόν ἐστιν ἀπὸ τοῦ τρῶ τὸ βλάπτω, σημαίνει τὸ κατεργάζεσθαι τὰ βαλλόμενα, καὶ μὴ ἐᾶν ὑγιῆ, ἅτινα ἂν τρώγῃ τίς.

Τρώγει, ὀνοματοποιεῖται ἐπὶ ἀλόγων τραχύτητα ἔχον, καὶ ἐστερόντα πολλὴν πρὸς τὸ ἐσθίειν. ὅπερ ἐπὶ λογικῶν μάλιστα λέγεται. δῆλον ὡς ἐκ τοῦ τρώγειν, οὗ δεύτερος ἀόριστος τὸ ἔτραγον, καὶ τράγος γίνεται. ζῶον, τοῦτο βορώτατον. ἵνα ᾖ τάγος ὡς εἰπεῖν, φάγος. παράγωγα τοῦ τρώγειν, καὶ τὸ τραγεῖν, καὶ τὰ τρωγάλια, καὶ τὸ τράγημα. καὶ ἐξ αὐτοῦ ῥῆμα, τὸ τραγηματίζω.

Τρώει, ἀντὶ τοῦ βλάπτει. γίνεται δὲ ἐκ τοῦ τρῶ τοῦ συγκοπέντος ἐκ τοῦ τείρω. ἐκ τούτου δὲ παρὰ τοῖς ὕστερον καὶ τὸ τιτρώσκω, ὁμοίως τῷ γνῶ γινώσκω παρῆκται, καὶ τὸ τρῶμα, καὶ ἡ τρώμη ἐπὶ βλάβης, Ἰωνικῶς. τρώσητε, ἀντὶ τοῦ βλάψητε, παρ' Ὁμήρῳ. ἐξ οὗ καὶ τρώμη, ἡ τρῶσις Ἰωνικῶς.

Τρῶες, οἱ τὴν Ἴλιον οἰκοῦντες. καὶ οἱ τὴν Τρωάδα χώραν.

Τρώεσθαι, τραυματίζεσθαι.

Τρωθῇ, βλαβῇ, κακωθῇ, παρὰ τῷ Ἱπποκράτει.

Τρωθεὶς, πληγείς.

Τρώζειν, ψιθυρίζειν, συνουσιάζειν.

Τρωΐλου, τοῦ παιδὸς τῆς Ἑκάβης καὶ Πριάμου. φασὶν ὅτι ἐρασθεὶς ὁ Ἀχιλλεὺς ἐν λόγοις, ἔργῳ δὲ Ἀπόλλωνος ἐδίωκεν αὐτόν. προσφυγόντα δὲ τῷ Θυμβραίου Ἀπόλλωνος ναῷ, Ἀχιλλεὺς ἐβιάζετο αὐτὸν ἐξελθεῖν. ὡς δ' οὐκ ἐπείθετο, προσελθὼν ἀνεῖλε τῷ βωμῷ. ὅν φασι καὶ τιμωρῶν ὁ Ἀπόλλων, αὐτόθι παρεσκεύασεν ἀναιρεθῆναι. καὶ οὕτω μὲν ληροῦσι περὶ τοῦ Τρωΐλου. ἐγὼ δὲ τοῦτον τὸν Τρωΐλον, καὶ βαθεῖαν ἔχοντα τὴν ὑπήνην, καὶ μελάγχρουν ἐπίσταμαι. οὐκ οἶδα δὲ εἰ ὁ Θετταλὸς Ἀχιλλεὺς οὕτως ἐρωτικὸς ἦν, ὡς βαθυγενείων ἐρᾶν. νέος μὲν οὐχ ὁ Τρωΐλος καὶ ὡραῖος, μελάγχρους δὲ καὶ δασυγένειος, καὶ Ἀχιλλέως ἐρώντων ἀνάξιος. μετὰ δὲ τὴν ἀναίρεσιν Μέμνονος ἐξελθὼν ἐκ τῆς Τροίας, συμβάλλει τῷ Ἀχιλλεῖ, καὶ ἀναιρεῖται ὑπ' αὐτοῦ. καὶ ἐγένετο ἐν τῇ Τροίᾳ δι' αὐτὸν πένθος πολὺ, οἷον ὑφ' Ἕκτορος.

Τρώϊοι ἵπποι, οὐχ ἁπλῶς τρωϊκοί. οὐ γὰρ ἔχουσί τι ἐξαίρετον οἱ τῆς Τροίας ἵπποι, ἀλλὰ οἱ τοῦ Τρωὸς, οἳ καὶ ἀθάνατοι ἐλέγοντο.

Τρῶκται, ἤγουν κερδαλέοι παρ' Ὁμήρῳ, ἐν τῷ τῆς Ὀδυσσείας ό.

Τρώκτης, ἀποστερητὴς, ἀπατεὼν, ἐκ παντὸς κερδαίνων. τρώκτης, ὁ ἐπὶ βλάβῃ τινὸς ἅμα ἐγκαταμίσγων. σφόδρα γὰρ ἅμα σεσηρὼς, καὶ γελῶν. ἐκ τοῦ τρώκτης γίνεται καὶ τρωκταίσαι, τὸ κακουργῆσαι. καὶ Ὅμηρος, οὕτω τοὺς Φοίνικάς φησι.

Τρωκτοῖσιν, ὠμοῖς ἐσθιομένοις, παρὰ τῷ Ἱπποκράτει.

Τρῶμα φαμὲν, οὐ τὴν ἁπλῶς, ἀλλ' ἐν πολέμῳ βλάβην. ἀφ' ἧς καὶ ἐπέντρωμα συνθέτως ἐν τοῖς τοῦ Ἀθηναίου, ὃ δοκεῖ ἐρεθισμόν τινα δηλοῦν τρυφητικὸν, ἐν τῷ, ἵνα μὴ καταιγισμοὺς λέγω καὶ τὰ ἐπεντρώματα, ἃ προφέρεται πολλάκις ὁ Ἐπίκουρος. καὶ γὰρ τοὺς γαργαλισμοὺς, καὶ τὰ νύγματα. δῆλον δ' ὅτι ὥσπερ γνῶ γνώω, δῶ δώω, οὕτω καὶ τρῶ τρώω.

Τρῶμα, καὶ τρώμη, ἐπὶ βλάβης Ἰωνικῶς, ὁμοίως τῷ βρῶμα βρώμη.

Τρωπᾶσθαι, εἰς τοὐπίσω ἀναστρέφεσθαι, ἀπὸ τοῦ τρέπεσθαι.

Τρωπάσκετο, τὸ προστακτικὸν φεύγειν παρὰ τοῖς ὕστερον. τὸ τρωπῶ δὲ ἐκτείνει τὴν ἄρχουσαν. ὡς τὸ στρωφᾶν, καὶ τρωχᾶν.

Τρωπῶσα, τρέπουσα τὴν φωνήν.

Τρὼς, γεννᾷ Ἶλον, Ἀσσάρακον, καὶ Γανυμήδην. καὶ Γανυμήδην μὲν μυθικῶς ἁρπάζει ὁ Ζεύς. Ἶλος δὲ γεννᾷ Λαομέδοντα. Λαομέδων δὲ, Πρίαμον. Πρίαμος, Ἕκτορα, καὶ Κασάνδραν, Κρέουσαν, καὶ τοὺς λοιπούς. Ἀσσάρακος δὲ πάλιν, γεννᾷ Κάπυν. Κάπυς, Ἀγχίσην. Ἀγχίσης, Αἰνείαν.

Τρώσας, πλήξας, τοξεύσας.

Τρῶες αἰτιατικῇ χρῶνται ἀντὶ γενικῆς. οἷον, τὸν ἵππον τὸν Ἀλέξανδρον, ἀντὶ τοῦ Ἀλεξάνδρου. καὶ Ὅμηρος γυναῖκα τιθήσατο μαζὸν, ἀντὶ τοῦ γυναικός. καὶ Τρῶας δ' ἐς στίχας οὖλος Ἄρης ὦρνυε μετελθὼν, ἀντὶ τοῦ τῶν Τρώων. καὶ Ἑλλήνων στρατὸν, ἀντὶ τοῦ τὸν Ἑλλήνων. καὶ ἀδελφὸν αἷμα, ἀντὶ τοῦ ἀδελφοῦ. ταῦτα δέ τινες ἀντὶ κτητικῶν φασιν. οἷον γυναικεῖον μαζὸν, καὶ τρωϊκὰς στίχας, καὶ ἑλληνικὸν στρατὸν, καὶ ἀδελφικὸν αἷμα.

Τρῶας ἕκαστον, Ἀττικῶς ἔχει. τὸ μὲν κοινὸν, Τρώων ἕκαστον.

Τρῶες, καὶ Δάρδανοι. φασὶν οἱ παλαιοὶ, εἰς δύο διῃρῆσθαι τὴν Τρώων ἀρχὴν, ἀπὸ Ἀσσαράκου καὶ Ἴλου ἀνέκαθεν. ὕστερον δὲ κληθῆναι τὸ μέν τοι μέρος, ἀπὸ τοῦ Δαρδάνου. τὸ δὲ, ἐκ Τρωός. ὅτι δὲ οἱ Δάρδανοι καὶ δαρδάνιοι τετρασυλλάβως λέγονται, κατὰ τὴν κίνησιν τοῦ Αἰπολὸς αἰπόλιος, ὀρθὸς ὄρθιος, καὶ τῶν ὁμοίων. Τρώεσσι καὶ γυναίκεσσιν Αἰολικῶς, ἀντὶ τοῦ Τρωσί, καὶ γυναιξὶ κοινῶς.

Τρώσκεσθαι, ἐκτιτρώσκει παρὰ τῷ Ἱπποκράτει.

Τρωτὸς, παθητός.

Τρώχων, ἀντὶ τοῦ ἔτρεχον, ἀπὸ τοῦ τρωχῶ. οὐ ἡ γραφὴ ὁμοία τῷ στρωφῶ, καὶ τρωπῶ, καὶ τοῖς ὁμοίοις.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Υ.

Τύ, ἀντὶ τοῦ σὲ λέγουσι Δωριεῖς. ὡς τὸ τύδ' ἀποισῶ, ἀντὶ τοῦ σὲ ἀποκομίσω. καὶ ἀντὶ τοῦ σὺ λέγουσιν Αἰολεῖς καὶ Δωριεῖς.

* Τύανα, μητρόπολις ἐν Καππαδοκίᾳ.

Τυβηκτὶς, κακοχόλος.

Τύγη, δομάτιον, στέγη, οἰκία. καὶ στέγεοι, ὑπερῷοι ὑψηλοὶ, ἢ οἶκοι, στοαί.

Τυγχάνει, ἀντὶ τοῦ ὑπάρχει. μετὰ τοῦ ὢν τίθεται ἐκ παραλλήλου. οἷον φίλος τυγχάνει ὢν, καὶ ἐχθρός μοι τυγχάνει ὢν, Ἀττικῶς. εὑρίσκεται δὲ, καὶ χωρὶς τοῦ ὢν, ὡς παρὰ ἄλλοις τε πολλοῖς, καὶ παρὰ Λιβανίῳ ἐν ἐπιστολῇ. ὥσπερ οὐδ' εἰ κυβερνήτης ἐτύγχανες, ἠξίουν ἄν σε τοῦτο. γίνεται ἐπὶ τοῦ κυρῶ παρὰ ποιηταῖς, ὥσπερ ἔφημεν.

Τυγχάνω κατηγοροῦσα Ἀττικῶς, ἀντὶ τοῦ κατηγορῶ. καὶ τυγχάνω συννοούμενος, ἀντὶ τοῦ συννοῶ. Σωκράτης τυγχάνει περιπατῶν, ὁ διαλεγόμενος.

Τυγχάνω. ῥήματα βαρύτονα τὰ εἰς ανω, ἄχρι τοῦ παρατατικοῦ κλίνονται.

Τύδαι, ἐνταῦθα, Αἰολεῖς.

Τυδεὺς, παρὰ τὸ τυτθόν. μικρὸς γὰρ ἦν τῇ ἡλικίᾳ.

Τυδῆ, οὐκ ἀπὸ τοῦ τυδέα συνῄρηται, ἀλλ' ἀποκέκοπται ἐκ τοῦ τυδῆα, καθάπερ ἀρέσκει τοῖς τεχνικοῖς. οὕτω δὲ καὶ τὸν Ὀδυσσῆα, ὀδυσσῆ ἐστιν εἰπεῖν, καὶ ἕτερα ὅμοια.

Τύϊγγα, ὀρνιθαρίοντι.

Τυΐ, ὧδε, Κρῆτες.

Τυκάνη, ἀπὸ τοῦ τύκω τυκάνη παράγωγον, ᾗ ἀλοῶσι τοὺς ἀστάχυας. ἣν κατὰ μεταφορὰν, οἱ κοινοὶ δουκάνην φασί.

Τύκος, ἐργαλεῖόν τι, ᾧ τοὺς λίθους περιτύκουσιν, ἢ ξέουσι.

Τυκτῇσι βόεσσιν, ὅ ἐστι τεχνιτευμέναις βύρσαις, οὐ μὲν ζώσι βουσὶν, ἀλλ' ἁπλῶς βοείαις, αἷς στρώννυνται. ἰστέον δὲ, ὅτι ὃν τρόπον λέγει βοῦν τὴν ἀσπίδα, οὕτω καὶ βοῦν τυκτὴν πάντως. καὶ ἐκείνην καὶ ταύτην, ὅ ἐστι τευκτὴν, τεχνητήν. ἀπὸ γὰρ τοῦ τεύχω, καὶ ἡ τέχνη παράγεται. ὥσπερ καὶ τυκτὸν, τοῦτο τευκτόν ἐστι κατὰ τὸ πλῆρες. καὶ ἡ τέχνη δὲ ὁμοίως. ἴσως δὲ καὶ ὡς πύλαι ποιηταὶ, καὶ τράπεζα ξεστὴ καθ' ὑπακοὴν τοῦ εὖ, οὕτω καὶ νῦν, τυκταὶ βόες, οἱ εὔτυκτοι. τὰς δὲ ῥηθείσας τυκτὰς βόας, καὶ βόας αὔας, ταυτόν ἐστι βῶν ἀζαλέην εἰπεῖν, καὶ βοῶν αὔην, πρὸς διαστολὴν τῆς ζώσης βοός.

Τυκτὸν δάπεδον, ἢ τὸ εὔτυκτον καθ' ὁμοιότητα τοῦ κρητῆρα τετυγμένον, ἢ τὸ μὴ φύσει τοιοῦτον, ἀλλὰ σκευασθὲν εἰς γυμνασίαν.

Τυκτὸν δάπεδον, δῆλον ὡς οὐκ ἀπεοικὸς ποιητὴν αὐλὴν εἰπεῖν καὶ τυκτὸν δάπεδον, τουτέστιν οὐ φύσει τοιοῦτον ὂν ὁποῖον ἦν, ἀλλὰ ἐξ ἐπιτεχνήσεως τεκτόνων.

Τυκτὸν κακὸν, ὡς ὑφ' ἡμῶν αὐτῶν τευχόμενον, καὶ μὴ φύσει ἡμῖν ἐγγινόμενον, καθὰ τὸ ἐσθίειν, τὸ πίνειν, τὸ ὑπνοῦν, καὶ τὰ ἄλλα. ἡ γὰρ φύσις, ἥμερον ἔταξε ζῶον ἄνθρωπον, εἰ καὶ αὐτὸς ἑαυτὸν εἰς μάχιμον μετατεύχει. καὶ κακοποιὸς γίνεται δι' Ἄρεος.

Τύκω, ἑτοιμάζω.

Τύλαι, αἱ ἐν ταῖς χερσὶ φλυκταίναι ὡς περισσά τινα καὶ ἐν τοῖς ὤμοις.

Τύλαρος, μάνδαλος.

Τύλεφος, βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων ὅτε εἰς Τροίαν ἀπήρχοντο τῶν Ἑλλήνων καὶ δηούντων τὴν αὐτοῦ γῆν ἀντὶ τῆς Τροίας, Ἀχιλλεὺς ἔτρωσε. καὶ πάλιν ἀποροῦντα τοῦ θεραπεύσοντος, τῆς Πυθίας ὁ τρώσας ἰάσεται ἀνειλούσης, παραγενόμενον εἰς Θετταλίαν, τῷ χρησμῷ πεισθεὶς, θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ αὐτὸν ὕστερον, πεποίηκεν Εὐριπίδης ἐν δράματι, πήραν ἔχοντα καὶ προσαιτοῦντα.

Τύλη, τῆς καμήλου ἀπὸ τῆς ῥάχεως, τὸ ἄκρον δέρμα.

Τυλιλὸς, δερμάτιον. βαλάντιον.

Digitized by Google

Τυλίττω, καὶ ἀνατυλίττω.

Τύλον, ἀρσενικῶς ἔλεγον τὸν ὦμον τὸν τετυλωμένον, καὶ πεπιλημένον, καὶ τετριμμένον, ἐκ τῆς σαρκός. ὁποῖον πολλάκις ἐπὶ τοῦ ὤμου γίνεται τοῖς ἀχθοφόροις, ἐκ τοῦ βαστάζειν τι συνεχῶς. καὶ Τηλεκλείδης, τραχήλου τύλον εἶπε, καὶ τὸν τύλον, ἀπὸ τοῦ ἀχθοφορεῖν γεγενημένον. ἄλλως, τὴν ἀπὸ τοῦ ἀχθοφορεῖν ἐν τῷ τραχήλῳ γινομένην τοῦ τραχήλου σκληρότητα, ἐκ μεταφορᾶς τῶν ἀχθοφόρων ζώων. καὶ τύλον τὸ αἰδοῖον. οἱ δὲ, ξύλον.

Τύλος, νενεκρωμένη σάρξ.

* Τυλοῦται, τραυματίζεται. παχύνεται.

Τύλωμα, τύμμα.

Τυλῶν, κἂν εὕροις τοῦ, σὺ κνέφαλον λέγε.

Τυμβὰς γυνή, τυμβάδας ἔλεγον τὰς φαρμακίδας, ἀντὶ τοῦ περὶ τοὺς τύμβους διατρίβειν, καὶ τοὺς νεκροὺς ἀκρωτηριάζειν.

Τύμβος, ὁ τάφος, παρὰ τὸ τύφεσθαι ἐκεῖ τὸ νεκρὸν σῶμα, τουτέστι καίεσθαι. καὶ τυμβοχοεῖ, θάπτει χωστῷ τάφῳ.

Τυμβογέροντες, πέμπτῃ ἡλικίᾳ γερόντων. ὡς καὶ Θεόφραστος, παραπλῆγες καὶ τῇ διανοίᾳ παρηλλαγμένοι.

Τυμβοχοὴν εἶπεν Ὅμηρος, τὸν τύμβου ἀναχωματισμόν. τινὲς δὲ βαρύνουσι, τυμβοχόην λέγοντες, καὶ ῥῆμα τὸ τυμβοχοῆσαι.

Τυμβεῦσαι χοὰς πατρὶ, ἀντὶ τοῦ τῷ τύμβῳ ποιῆσαι τοῦ τάφος.

Τυμβεῦσαι τάφῳ, οὐκ ἔχει παρολκὴν, ἀλλὰ διαστολὴν πρὸς ἑτεροῖα τυμβεύματα. καὶ θαλάσσῃ γὰρ τυμβεύεσθαί τις λέγεται βυθισθεὶς ἐκεῖ. καὶ εἰς θηρίων δὲ γαστέρας εἰ καταφάγωσιν αὐτόν. οὕτω δὲ καὶ γύπες τυμβεύουσι κατὰ γαστέρων, ὅσα καὶ τινῶν ταύρων τὴν ὑπ' αὐτῶν διασπωμένους, καὶ οὕτω καταστωμένους. διὸ καὶ τάφους ἐμψύχους ἐτόλμησάν τινες εἰπεῖν αὐτούς.

Τυμβωρύχος, λωποδύτης νεκρῶν.

Τύμμα, πληγή.

Τυνύμεναι δίκην αἵματος, ἤγουν λαμβάνουσαι δίκην αἵματος. τουτέστι, κολάζουσαι διὰ φόνον. τινύμεναι φόνον, ἤγουν φονεύουσαι.

Τύμπανα, ξύλα ἐφ' οἷς ἐτυμπάνιζον. ἐχρῶντο γὰρ ταύτῃ τῇ τιμωρίᾳ. ἢ βάκτρα παρὰ τὸ τύπτειν, ἤγουν ξύλα οἷς τύπτονται ἐν τοῖς δικαστηρίοις οἱ τιμωρούμενοι.

Τύμπανον, ἐκ δερμάτων ἐστὶ γινόμενον καὶ κροῦον, ὃ κατεῖχον αἱ βάκχαι.

Τύμπανόν ἐστι νοητὸν, νέκρωσις ἑκούσιος σώματος, σωφροσύνη Ποιητική.

Τυμπανίζεται πλήσσεται, ἐκδέρεται, ἰσχυρῶς τύπτεται.

Τυμφαῖοι, οἱ ἠπειρῶται, ἔθνος. καὶ Αἴθικες ὁμοίως. ὧν καὶ Ὅμηρος μέμνηται λέγων, αἰθίκεσσι πέλασσε.

Τυνδάρεος, εἰ καὶ παρὰ τοῖς ὕστερον, ἐκτείνει τὴν λήγουσαν Ἀττικῶς, ἀλλὰ παρὰ τῷ Ποιητῇ κοινῶς κλίνεται. ὡς δηλοῖ τὸ, Τυνδαρέου κούρη. οὕτω καὶ ἐν Ἰλιάδι, πηνελέοιο φησὶν ἄνακτος. ὃν πηνελεὼν ἐν ἐκτάσει τῆς ληγούσης φασὶν οἱ Ἀττικοί.

Τύνη, ἀντὶ τοῦ σὺ Δωρικὸν, πλεοναζούσης τῆς νη συλλαβῆς. ὡς ἐπὶ τοῦ ἐγὼ ἐγώνη, κατὰ τοὺς παλαιούς. ἢ τύνη ἀντὶ τοῦ σὺ Δωρικῶς, ἔγνωσται παρ' Ὁμήρῳ, καὶ παρ' Ἡσιόδῳ. ὁμοίως τὺ ἀντὶ τοῦ σὺ Δωρικῶς, πεζογράφοις ἄχρηστον.

Τυννὸς, μικρὸς, τηλικοῦτος.

Τυννουτοὶ πλοιαρίῳ, κεῖται παρὰ τῷ Ἀριστοφάνει, συνάγων τοὺς δακτύλους καὶ τὴν παλάμην κοιλάνας, φησὶν ὁ Ἡρακλῆς, ἀντὶ τοῦ μικρῷ.

Τυντλάζειν, εἰς πηλὸν ἐμβαίνειν. ἢ ἐπιρραίνειν πηλῷ. τύντλος γὰρ ὁ πηλώδης τόπος, ἢ πηλὸς, καὶ τάραχος. ἢ τυντλάζειν, τὸ αὐτὸ λέγειν.

Τύξιν, τεῦξιν, παρασκευήν.

Τυπάδι, σφύρᾳ.

Τυπάζειν, κόπτειν.

Τύπαι, ἑορτή τις.

Τύπαις, πληγαῖς.

Τυπίας, οὕτω καλεῖται τῶν τοῦ χαλκοῦ τις τροχῶν.

Τυποῖ, πλάττει, γλύφει.

Τύπος, παρὰ τὸ τύπτω γίνεται. ὥσπερ εἰς τὸ βουλευτήριον τυπτόμενος ὁ μόλιβδος, τύπον ποιεῖ, καὶ εἰκόνα ἀποτελεῖ. τύπος δέ ἐστι, προσδοκωμένη δήλωσις, διὰ μιμήσεως δεικτικῶς τὸ μέλλον ὑποφαίνων.

Τυπεῖ, ψοφεῖ, κτυπεῖ, κροτεῖ, πλήσσει.

Τυπήσει, πλήξει.

Τυπτόντων, καὶ ἀφαιρείσθων, κατὰ συγκοπὴν λέγεται. ἀπὸ τοῦ τυπτέσθωσαν, καὶ ἀφαιρείσθωσαν, καὶ ὅσα τῆς ἀκολουθίας ταύτης.

Τύπτω, ἱμάσσω, μαστίζω, ξαίνω, παίω, πατάσσω, αἰκίζομαι, ἀλλοιῶ, θείνω, δέρω, ταυτοσήμαντα.

Τύπτομαί σοι, ἀντὶ τοῦ ὑπὸ σοῦ, πάντα τὰ μεταβατικὰ ῥήματα, τὰ παθητικὴν σημασίαν ἔχοντα, δοτικῇ προφερόμενον ἔχει τὸ πρόσωπον τὸ τὴν ἐνέργειαν ποιοῦν, νοουμένης δὲ δοτικῆς ἀντὶ τῆς γενικῆς, μετὰ τῆς ὑπὸ προθέσεως. οἷον τύπτομαί σοι, ἀντὶ τοῦ ὑπὸ σοῦ. γέγραπται τῷ δεῖνι λόγος, ἀντὶ τοῦ ὑπὸ τοῦ δεῖνος.

Τύπτω σοι τὸν δεῖνα, πάντα τὰ μεταβατικὰ καὶ ἀμετάβατα ῥήματα, ὅταν ἔξωθεν ἐμφαίνῃ πρόσωπον, οὗ τινος πρὸς χάριν ἡ ἐνέργεια τοῦ ῥήματος γίνεται, δοτικῇ τὸ πρόσωπον ἐκεῖνο ἐκφέρεται. οἷον τύπτω σοι τὸν δεῖνα, τουτέστι σοῦ χάριν. ἀρδεύω σοι τὸν κῆπον, ἅπτω σοι τὸ πῦρ. ἀμετάβατα, ὡς ὅταν λέγωμεν, οἷον ἥλιος ἡμῖν ἀνέτειλε, καὶ ἄνεμοι ἡμῖν πνέουσι, τουτέστι χάριν ἡμῶν.

Τυπτήσει, κάλλιον ἢ τύψει, καὶ παίσει. Ἀριστοφάνης, οὐ γάρ με τυπτήσεις.

Τύπτοισα, ἀντὶ τοῦ τύπτουσα, Δωρικῶς.

Τυπῶντες, χοροί τινες.

Τύραννος λέξις, ἐπὶ Ὁμήρου ἐγνοεῖτο. ἢ καὶ ὕστερον εὑρεθεῖσα, ἐπ' ἀγαθῷ ἐλέγετο. τοῖς γὰρ ἐννόμοις βασιλεῦσι κλῆσις ἦν καὶ αὕτη. ὡς δηλοῖ παρὰ Σοφοκλεῖ Οἰδίπους τύραννος, ἡ μέντοι μεταγενεστέρα χρῆσις διορίσασα τοῖς ἀγαθοῖς μὲν βασιλεῦσιν, ἀπεκλήρωσε τὸ πρεσβεῖον τῆς παλαιᾶς λέξεως τὸ βασιλεὺς, καθὰ καὶ μάλιστα τὸ ἄναξ. τό γε τυραννεῖν, ἀποτάξασα τοῖς μὴ κατὰ νόμον ἄρχουσιν, ἐπέρριψε. σημείωσαι παρ' Ὁμήρῳ οὖν, ὅτι οὐκ ἠξίωσεν ἄνακτα τὸν Ἔχετον εἰπεῖν, ἀλλ' ἁπλῶς βασιλέα, ὅ ἐστιν ἄρχοντα. ὁ γὰρ ἄναξ, θεία λέξις ἀπὸ τοῦ ἀνακῶς ἔχειν τῶν ὑπηκόων γινομένη. ὅ ἐστιν, ἐπιμελῶς.

Τύραννός ἐστιν, ἄρχων πόλεως κατὰ τὴν ἑαυτοῦ διάνοιαν.

Τύραννος, ὁ βιαίως μοναρχήσας. βασιλεὺς δὲ, ὁ ἐννόμως καὶ δικαίως κρατῶν. τυραννῶ, καὶ τυραννεύω λέγομεν.

* Τύρας, πόλις καὶ ποταμὸς ἐν τῷ Εὐξείνῳ πόντῳ.

Τυρβάσαι, κυρίως τὸ τὸν πηλὸν ταράξαι. τυρβήσεις, ἀντὶ τοῦ ταράξεις.

Τύρβη, ἀπόλαυσις, ἢ θόρυβος, ἢ τάραξις.

Τυρβηνὸς, ἐπίθετον τοῦ Ἀπόλλωνος.

Τύρβησιν, Ἠλεῖοι τὸν αἰέρα.

Τυρεύω, τὸ μηχανῶμαι καὶ ταράττω.

Τυρὴν, τόπος τις Κλαζομενίων.

Τυρικίλοι, αὐλοὶ καλάμινοι.

Τύρις, ὁ περσικὸς χιτὼν, ἢ ποταμὸς ἐκδιδοὺς εἰς τὸν Βορυσθένη.

Τυρὶς, ὁ περίβολος τοῦ τείχους.

Τυρόεντα, πλακοῦντα.

Τυρόκνηστις, μαχαίριον, καὶ σχῆμα ἀκόλαστον. καὶ ἡ πόλις ἀπὸ γυναικός τινος οὕτως ὠνόμασται, εἰς τυροὺς πρώτης συμπηξάσης τὸ γάλα.

Τυρός. παρὰ τὸ τυρεῖν κατὰ τροπήν. γάλα γὰρ τυρούμενόν ἐστιν ὁ τυρὸς, καὶ τυρεύω, τὸ κατασκευάζω. καὶ τυρεύεται, καὶ τυρεῖται, ἀντὶ τοῦ συνίσταται, καὶ συμπήγνυται. καὶ τυρευθέντα ταραχθέντα.

Τυροκομεῖον, τάλαρος, ἐν ᾧ ὁ τυρὸς τῆς ἐπιμελείας τυγχάνει.

Τυρρηνικὰ σανδάλια, κάττυμά τι ὑψηλὸν οὕτω καλεῖται.

Τυρρηνοὶ δεσμοὶ, οἱ λῃστρικοὶ καὶ χαλεποί.

Τυρσηνικὸν πέλαγος, μεταξὺ τῆς Ῥηγίου καὶ Μεσσήνης κεῖται. οὐ καλῶς εἴρηται.

Τύρσις παρὰ Λυκόφρονι, τὸ τεῖχος. ὅτι Τυρσηνοὶ πρῶτοι τειχοποιίαν εὗρον. Ἄλλως.

Τύρσις, πόλις παρὰ Πινδάρῳ, κυρίως δὲ τεῖχος. λέγονται γὰρ πρῶτοι Τυρσηνοὶ τὴν τῶν τειχῶν κατασκευὴν εὑρηκέναι.

Τυττὸν, τὸ μικρόν. ἐκ μεταφορᾶς φασι τῶν ὑποτυττίων, ἤγουν ὑπομαζίων βρεφῶν. τροπῇ συνήθως τοῦ ι εἰς υ. ἐκ τοῦ τυττὸν γίνεται καὶ Τυδεὺς, ὁ μικρὸς τὸ δέμας, κατὰ συγγένειαν τοῦ θ καὶ τοῦ δ, ἣν δηλοῖ σὺν ἄλλοις μυρίοις καὶ τὸ Προμηθεὺς καὶ Ἐπιμηθεὺς, γινόμενα ἐκ τοῦ μήδω. καὶ τὸ μηδεὶς, μηθεὶς.

Τύρσος, τὸ ἐν ὕψει οἰκοδόμημα.

Τυρὼ ἡ Σαλμωνέως, γεννήσασα δύο παῖδας ἐκ Ποσειδῶνος, παρὰ τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις κατέλιπε. τὸν μὲν οὖν ἕνα κύων ἀφαιρεθέντων αὐτῆς τῶν τέκνων, παρέχουσα θηλὴν ἔτρεφε. τὸν δὲ ἕτερον, ἵππος κατὰ τὸ μέτωπον ἐπάτησεν. ἐπελθόντες οὖν οἱ ἱπποφορβοὶ, ἀνελόμενοί τε τὰ παιδία, ἔτρεφον. καὶ ὠνόμασαν τὸν μὲν, ἐπεὶ ἐκ συνδρομῆς αἵματος ἐπελιώθη, Πελίαν. τὸν δὲ ἕτερον, ἐπεὶ κύων κατηλέησε, Νηλέα.

Τυρωθέντα, ταραχθέντα, κινηθέντα.

Τύωσι, ἱκετεύει.

Τυταίνη, ὄργανόν τι ᾧ χρῶνται εἰς τὴν ἀλοητὸν τοῦ σίτου.

Τυτθὸν ἐοῦσαν, ὅμοιον τῷ κοτύλην τυτθόν. ἤτοι μικρὰν, κατὰ τὸ κλυτὸς Ἱπποδάμεια.

Τυτθὸν ὑπ' ἐκ θανάτοιο φέρεσθαι τοὺς ναυτιλλομένους, ἀορίστως φησὶν Ὅμηρος. Ἀνάχαρσις δὲ καὶ δακτύλοις μετρεῖ τὸ διάστημα. ὃς ἐρωτήσας ἐν τῷ πλέειν, ὁπόσον ἐστὶ πάχος τῶν σανίδων τοῦ τῆς νηὸς ἐδάφους, καὶ μαθὼν ὡς τόσοι δάκτυλοι, ἔφη, ὅτι τόσον καὶ τοῦ θανάτου ἀπέχομεν. Ἄρατος δὲ τὸ ὁμηρικὸν παραφράζων φησὶν, ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει. καὶ τυτθὸν, ὀλίγον. τυτθὸς λέγεται ὁ μαστὸς, καὶ ὑπομάζια παιδία, τὰ βρέφη. ὅθεν γίνεται τυτθὸν, τὸ ἐπ' ὀλίγον. καὶ τιτθὴν λέγουσι, τὴν ὀλίγην, ἢ μικράν.

Τυτὼ, ἡ γλαύξ.

Τυφεδανοὶ παρὰ τῷ Ἀριστοφάνει, ἐπεὶ τυφογέροντας εἰώθασι λέγειν τοὺς παραληροῦντας, καὶ ἀξίους τετύφθαι.

Τύφθητι πόθεν κανονίζεται; ἐκ τῆς γενικῆς τῆς μετοχῆς, οἷον τυφθεὶς, τυφθέντος, τύφθητι. ὧν γὰρ εἰς σ ὀξύτονον ἡ μετοχὴ, διὰ τοῦ ντ κλίνεται, τούτων εἰς θι γίνεται τὸ προστακτικὸν, χωρὶς τοῦ θεὶς δὸς ἐς. ἡ δὲ παραλήγουσα ἡ αὐτή ἐστι τῇ παραληγούσῃ τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ. οἷον τυφθεὶς τυφθέντος, τύφθητι ἐτύφθημεν. γνοὺς γνόντος, γνῶθι ἔγνωμεν. τιθεὶς τιθέντος, τίθετε ἐτίθεμεν. οὕτως εἷς ἕντος ἴθι ἴμεν. κλίνεται γὰρ ὁ παρατατικὸς οὕτως, ἦν εἷς εἶ, ἴτον ἴτην, ἴμεν ἴτε ἴσαν.

Τυφεδανὸς, τετυφωμένος.

Τυφθεῖσα. ἰστέον, ὡς ἐὰν ἡ μετοχὴ εἰς σ ὀξύτονον ᾖ, διὰ τοῦ ντ κλινομένη, καθαρόν ἐστι τὸ θηλυκὸν, καὶ εἰς ην λήγει. οἷον λεχθεὶς λεχθέντος λεχθεῖσα, δοὺς δόντος δοῦσα, στὰς στάντος στᾶσα. ἐὰν δὲ εἰς σ μὲν ὀξυτόνως ᾖ, μὴ κλίνηται δὲ διὰ τοῦ ντ, οὐκ ἔχει τὸ θηλυκὸν καθαρὸν, οὐδὲ εἰς ην λῆγον, ἀλλὰ εἰς μι. οἷον τετυφὼς τετυφότος τετύφοιμι. ἐὰν δὲ κλίνηται διὰ τοῦ ντ, καὶ οὐκ ἔχῃ εἰς σ ὀξύτονον τὴν λήγουσαν, ἡ μετοχὴ οὐκ ἔχει τὸ θηλυκὸν καθαρόν. οἷον τύψας τύψαντος τύψαιμι, λέξας λέξαντος λέξαιμι.

Τύφεται, καίεται, καπνίζεται τυφόμενον.

Τυφεῖσας, μεμαραμμένας.

Τύφιον, ὄρος Βοιωτίας.

Τυφλῖνος, ἰχθὺς νειλώειος, καὶ ὄφεως εἶδος.

Τυφλὸς, σημαίνει τὸν ἐστερημένον τῶν ὀμμάτων. τυφλὸς γὰρ κυρίως, ὁ μετὰ τὸ γεννηθῆναι τυφλωθείς. παρὰ γὰρ τὸ ἀπολωλεκέναι τὸ φῶς γίνεται, ἢ παρὰ τὸ τύπους τῶν ἰλλῶν ἔχειν. καὶ τυφλοπατεῖται τυφλὸς πλάττεται.

Τυ-

Digitized by Google

Τυφλομανία, μικτὸν ἐκ φρενίτιδος καὶ ληθάργου πάθημα, παρὰ τῷ Ἱπποκράτει.

Τυφλόω τυφλῶ ἔσερον. τυφλώττω δὲ ἐγὼ, ἀντὶ τοῦ τυφλός εἰμι. Ἀριστοφάνης, εἶτα ἐξετύφλωσεν αὐτόν. καὶ ὑπνώττω, τὸ αὐτὸ σημαίνει.

Τυφλώδης, ἐντὸς καθεζόμενος. παρὰ τῷ Ἱπποκράτει.

Τυφλῶν ὀνείρων, ἤτοι τῶν ἀπατηλῶν. καὶ ἴσως πέπλασται τοῦτο, δοιαὶ γὰρ πύλαι ψευδαίων εἰσὶν ὀνείρων, ἢ ὅτι μύουσι προσδιαλέγονται.

Τυφογέροντες. οἱ τοιοῦτοι καὶ τύφοι, καὶ τυφεδανοὶ σκώπτονται. εἰ καὶ ἄλλως τὰ τοιαῦτα συμβιβάζονται, διὰ τὸ δεῖν εἶναι ἤδη τύφεσθαι τοὺς τοιούτους. ἤγουν καίεσθαι, νεκρικῶς. ὅθεν καὶ τυμβογέροντες, οἱ αὐτοὶ καὶ σορόπληκτοι, καὶ σοροπλῆγες.

* Τυφογέρων, ἐσχατόγηρως. ἢ ὑπερήφανος, τυφωμένος γέρων.

Τύφοι, σφῆκες.

Τυφόμεναι μέλισσαι, ἀντὶ τοῦ καπνιζόμεναι. σημαίνει δὲ καὶ τὸ καιόμεναι. εἰώθασι δὲ καπνίζειν κόνυζαν.

Τύφος, ἀλαζονία, ἔπαρσις, κενοδοξία.

Τύφος ἐστὶν, ἄναψις καρδίας, ἣν ἐγείρει κουφότης.

Τυφλότης ἐστὶν, ἄγνοια τοῦ νοῦ, ταῖς τε πρακτικαῖς ἀρεταῖς, καὶ τῇ τῶν γεγονότων θεωρίᾳ, μὴ ἐπιβάλλουσα.

Τυφρηστὸς, πόλις ἐστὶν ἐν τοῖς ἐσχάτοις τῆς Μεναλίας. ἀπὸ Τυφρηστοῦ βασιλέως. ἢ τυφρηστός τις οὖσα, ἀπὸ τῆς Ἡρακλέους τέφρας.

Τύφω, τὸ καίω.

Τυφωέα, ἡ κατὰ τὸν τυφωέα παραβολὴ, μυθικῶς μὲν ἐναντιουμένους ἔχει τὸν Δία, καὶ τὸν Τυφωέα. ὃν ὁ μῦθος ἑκατογκέφαλον ἀναπλάττει. νικῶντα δὲ τὸν Δία λέγει κεραυνοῖς ἱμάσσοντα, καὶ τοιαύταις πληγαῖς, ὧν συμμετέχει καὶ ἡ γῆ, κατασκηπτόντων εἰς αὐτήν. ἡ δὲ μυθικὴ ἀναίδεια καὶ ὁ κατ' αὐτὴν λῆρος, καὶ ταῦτά φησιν. ἡ γῆ ἀγανακτοῦσα ἐπὶ τῷ φόνῳ τῶν Γιγάντων, διαβάλλει τὸν Δία τῇ Ἥρᾳ. ἡ δὲ τῷ Κρόνῳ τὸν Δία ἐξεῖπε, καὶ αὐτὸς ἔδωκεν αὐτῇ ᾠὰ, τῷ ἰδίῳ χρίσας θορῷ, καὶ κατὰ γῆς ἐκέλευσεν ἀποθέσθαι, ἀφ' ὧν ἀναδοθήσεται δαίμων, ἀποστήσων τὸν Δία τῆς ἀρχῆς. ἡ δὲ ὡς εἶχεν ὀργῆς, ἔθετο αὐτὰ ὑπὸ Ἄριμαιον τῆς Κιλικίας. ἀναδοθέντος δὲ τοῦ Τυφῶνος, ἡ Ἥρα διαλλαγεῖσα τῷ Διῒ, τὸ πᾶν ἐκφαίνει. ὁ δὲ κεραυνώσας τὸν Τυφῶνα, τὴν σικελικὴν Αἴτνην (ὄρος δὲ αὕτη πυρικαὲς) αὐτῷ ἐπέθηκεν. οἶδε τὰ μυθικὰ ταῦτα καὶ Πίνδαρος. καὶ τοιαῦτα μὲν τὰ τοῦ μύθου. ἡ δὲ ἀλληγορία, Δία μὲν τὸν ἀέρα νοεῖ. Τυφωέα δὲ, πνεῦμα ὑπόγειον πυρόεν καὶ καυστικὸν, ἐκ τοῦ τύφω τὸ καίω ὀνομασθέν. ὃς δὴ Τυφωεὺς τοιοῦτος ὢν, ἐναντιοῦταί ποτε τῷ Διῒ, ὅτε δηλαδὴ ἑαυτὸν ἐκκαύσας, καὶ τὴν γῆν ἀναρρήξας, ἀναδράμῃ, καὶ κυκήσας τὰ περὶ γῆν. εἶτα καὶ ἐν μετεώροις, τῷ ἀέρι τῷ Διῒ ἐμπεσὼν, οὐράνιον ἄχος κατὰ τὴν τραγῳδίαν γένηται, οὐ κατακρατεῖ δὲ εἰς τέλος ὅμως τοῦ Διὸς, ἀλλὰ μαραίνεται, μὴ ἔχων εἰς τὸ πᾶν τὸν ψυχρὸν ἀέρα στέγειν. καὶ οὕτω ἡττᾶσθαι τοῦ Διὸς λέγεται. ὅθεν οἱ κεραυνοὶ ἐκ τοῦ ἀέρος πίπτουσι. καὶ μάλιστα ἔνθα τυφωνικὰ ἐπιχωριάζει πνεύματα, πόλεμος κινεῖσθαι πιστεύεται, μεταξὺ Τυφωέος καὶ Διός. τοιούτοις δὲ τόποις ἐν Ἀρίμοις, καὶ τὰ Ἄριμα, ἔνθα ὁ Τυφωεὺς εὐνάζεσθαι λέγεται, τουτέστι διατρίβειν, καὶ αὐτόθι αἰκίζεσθαι. εἰ μὴ ἄρα εἶναι κατὰ τοὺς παλαιοὺς, εὐφήμως ὁ τοῦ τυφωέος λέγεται τάφος. ἢ ἀργίαν ἐκείνου δηλοῦσιν αἱ εὐναὶ, ὥσπερ καὶ τὴν τοῦ Ἀχιλλέως τὸ κεῖσθαι. τὸν δὲ Τυφωέα τοῦτον οἱ μεθ' Ὅμηρον Τυφῶνα καλοῦσι. παρ' οἷς καὶ δικατάληκτόν ἐστιν ὄνομα τοῦτο. τυφῶς γὰρ μετὰ τοῦ σ, καὶ τυφῶν μετὰ τοῦ ν, ἐν τόνῳ περισπωμένῳ. εἰ δὲ καὶ τυφάων ὁ αὐτὸς ὀνομάζεται, τετραχῶς ἄρα σχηματίζεται τὸ δαιμόνιον. τυφωεὺς γὰρ, καὶ τυφάων τυφάονος, καὶ κατὰ κρᾶσιν τυφῶν, καὶ τυφῶς. τοιοῦτόν τι, καὶ ὁ ταῶς.

Τυφωθεὶς, ἐπαρθεὶς, ὑπερηφανεύσας.

Τυφωεὺς, Ἡσίοδος αὐτὸν γῆς γενεαλογεῖ. Στησίχορος δὲ, Ἥρας μόνης κατὰ μνησικακίαν Διὸς τεκούσης αὐτόν. οἱ δὲ Τυφωέα φασὶ σημαίνειν, τὸν ταραχωδῶν πνευμάτων τὴν ἀνάδοσιν τὴν ἐκ τῆς γῆς.

* Τυφωμανία, μικτὸν ἐκ φρενίτιδος καὶ ληθάργου πάθημα. λήθαργος παρακοπτικὸς, ἢ παρακοπὴ ληθαργική.

Τυφῶν, δαίμων ἑκατοντακέφαλος πολεμισθεὶς καὶ κεραυνωθεὶς τῷ Διῒ, ὥς φησι μυθικῶς Λυκόφρων. Πίνδαρος μὲν, λέγων ἑκατοντακεφάλου Τυφῶνος ὀμβρίμου. Αἰσχύλος δὲ πάλιν περὶ τούτου φησὶ, δεινοῖσι γαμφηλαῖσι συρίζων φόνον, ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας. ἀλληγορικῶς δὲ καὶ στοιχειακῶς τυφῶν ἐστιν, ὁ τύφος, καὶ ἡ κενοδοξία, ἑκατὸν κεφαλὰς ἔχουσα, τουτέστι πολλοὺς τρόπους ἐπάρσεως. κεραυνοῦται δὲ καὶ τιμωρεῖται καὶ καταβάλλεται τῷ Διῒ, ἤτοι τῷ σώφρονι λογισμῷ. ἢ τυφῶν ἐστι στοιχειακῶς, ἡ μετὰ τὸν τοῦ χάους καὶ τοῦ ἐρέβους διάλυσις, καὶ κίνησις τῶν πνευμάτων καὶ ἐκπλήρωσις. ἥτις ὑπερεχέθη καὶ ἐπαύθη ὑπὸ Διὸς, ἤτοι τοῦ εὐκράτου ἀέρος καὶ οὐρανοῦ. μετὰ γὰρ τὸ εὐκρατωθῆναι καὶ συστῆναι τὸν οὐρανὸν εὔρυθμον, ἐπεχύθησαν τὰ τυφωνικὰ καὶ πυρώδη πνεύματα. ἐπὶ δὲ τοῖς κοίλοις καὶ κιστηρίσι τόποις, ἐξαιρέτως δὲ ἐν τῷ Σικελικῷ, ἡμέρᾳ μὲν καπνὸς φαίνεται. κατὰ δὲ τὸν καιρὸν τῆς νυκτὸς, πῦρ τὰς τοῦ ὄρους πέτρας ῥηγνύον καὶ κυλίον εἰς τὴν θάλασσαν. οἱ μὲν ὅτι ἐν τῇ Σικελίᾳ ὁ Ζεὺς τὸν Τυφῶνα κατεταρτάρωσεν. οἱ δὲ ἐν Λαοδικίᾳ. ἄλλοι δὲ ἐν Κιλικίᾳ, καὶ ἕτεροι ἐν Βοιωτίᾳ λέγουσι τοῦτον ταρταρωθῆναι. Ἀρτέμων δὲ ὁ ἱστορικός φησιν, ὥσπερ ἐγὼ, ὅτι πᾶν ὄρος πυρὸς ἔχον ἀνάδοσιν, καθάπερ ὑπὸ τυφῶνι καίεται. εἰς ὃ πάντων οἱ λόγοι συντρέχουσι τῶν μυθικῶν, ἐν διαφόροις τόποις λεγόντων ταρταρωθῆναι τὸν τυφῶνα. ὁ μὲν Πίνδαρος τῷ τυφῶνί φησιν ἐπικεῖσθαι τὴν Αἴτνην. ὁ δὲ Καλλίμαχος τῷ Ἐγκελάδῳ. ἔνιοι δὲ ἐν Πιθηκούσαις φασὶ τὸν Τυφῶνα, ἄλλοι ἐν Φρυγίᾳ, οἱ δὲ ἐν Σικελίᾳ, οἱ δὲ ἐν Αἰγύπτῳ, ὡς καὶ Ἡρόδοτος. οἱ δὲ ἐν τῷ ὄρει τὸ κατὰ Βοιωτίαν.

Τυφῶν, παρὰ τὸ τύφω τὸ καίω. τυφῶν γάρ ἐστιν ἡ τοῦ ἀνέμου σφοδρὰ πνοή. ὃς καὶ εὐρυκλύδων καλεῖται. ἢ παρὰ τὸ τύφος, τυφῶν, οὐχ ἡ φλὸξ ἐκ τοῦ ἀέρος, ἀλλ' ἡ ἐκ τῆς ἀναθυμιάσεως συστροφὴ πρὸ τοῦ ἐκπυρωθῆναι. ὡς Πλάτων ἐν Φαίδωνι. καὶ τυφῶνος, πυρώδους δαίμονος.

Τυφῶν, κεραυνὸς βίαιος, πολὺς, καὶ πνευματώδης. ἢ πνεῦμα καπνῶδες ἐρρωγὸς ἀπὸ μέρους. λέγεται καὶ διὰ τοῦ σ. τυφώς.

Τυφῶς ἐκβαίνει, οἷον ἀθρόως ἐκβαίνειν μέλλει. τοὺς δὲ καταιγιδώδεις ἀνέμους, τυφὼς καλοῦσι. τούτῳ ἐνόμιζον μέλανα ἄρνα σφαγιάζειν, ὅπως λήξῃ τὸ πνεῦμα. παρὰ τῷ Αἰσχύλῳ δὲ τοῦτο.

Τυφῶς, γῆς μὲν ἐστιν υἱός. ἴσχυσε δὲ τοσοῦτον, ὡς μὴ ἀνθρώποις μόνοις δοκεῖν φοβερὸς, ἀλλὰ καὶ τοῖς θεοῖς. καὶ εἰς ἀλόγων ἰδέας μετέβαλον τὰς ἰδέας, διὰ τὸν ἐκείνου φόβον. ἢ τυφῶς, ὁ κατὰ θάλασσαν ὑφ' οὗ τὰ πλοῖα φθείρεται. εἰσὶ δὲ τρία, τυφῶν, πρηστὴρ, κεραυνός. καὶ τυφαονία, πέτρα ἐστὶν ὑψηλὴ ἐν τῷ Καυκάσῳ. Καύκασος δὲ, ὄρος σκυθικόν.

Τυφῶς τυφῶ τυφῷ τυφῶν. ὡσαύτως καὶ πάντων τῶν μονοκλίτων αἱ αἰτιατικαὶ εἰς ν λήγουσι, κατὰ τὸν κανόνα τὸν λέγοντα, πᾶσα εὐθεῖα εἰς σ λήγουσα, ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰσοσύλλαβον, εἰς ν αὐτὴν ἔχει λήγουσαν. σεσημείωται ἐν μὲν τοῖς ἀρσενικοῖς, τὸ ἄθω. ἐν δὲ τοῖς θηλυκοῖς, τὸ κῶ.

Τυχάζεσθαι, στοχάζεσθαι.

Τυχεῖν, καὶ τὸ τυγχάνειν, μετὰ μετοχῆς τάττονται, καὶ λαμβάνονται ἀντὶ τοῦ ἐκ τοῦ κατὰ τύχην. ἰστέον δὲ ὅτι ἐπὶ τῶν τοιούτων εἰς τὸ ῥῆμα τῆς μετοχῆς ἀεὶ συντάσσεται ὁ λόγος. οἷον ἔλαθε ποιήσασα, ἀντὶ τοῦ ἐποίησε. καὶ ἔτυχεν ἀναλώσασα, ἀντὶ τοῦ ἀνάλωσε. καὶ τυχεῖν μὲν καὶ ἀποτυχεῖν, μετὰ γενικῆς συντάσσεται. εὐτυχεῖν δὲ καὶ περιτυχεῖν, μετὰ δοτικῆς. τυχεῖν αἰτιατικῇ Ἀττικῶς. τὸ δ' αὖ δύνασθαι πρὸς θεῶν χρήζω τυχεῖν.

Τύχε πολλὰ, ἀντὶ τοῦ προσεγένοντο εὐτυχῶς. καὶ κατὰ συγκυρίαν ἀγαθήν. καὶ σημειοῦνται οἱ παλαιοὶ, ὅτι τὸ μὲν ῥῆμα τὸ τυχεῖν οἶδεν Ὅμηρος. τύχην δὲ, οὐκ ἔτι τὸ ἐκ τοῦ τοιούτου ῥήματος ὄνομα. ὥσπερ καὶ τὸ λέγειν εἰδὼς, λόγον φασὶν οὐκ οἶδεν. οὕτω καὶ γράψαι μὲν οἶδεν, οὐκ ἔτι δὲ καὶ τὸ ἐξ αὐτοῦ ὄνομα οἷον γράμμα, καὶ γραφήν. τὸ γράφω μέντοι, ἐν Ὀδυσσείᾳ εἰδὼς, οἶδε καὶ ἐξ αὐτοῦ τὸ γλαφυρόν.

Τύχη, λέγεται κυρίως ὅταν ἄλλο ἐνεργῇ τις, εἶτ' ἄλλο συμβῇ. τύχαι παρ' Ἕλλησι καὶ αἱ ταπειναὶ τάξεις τῶν ἀνθρώπων καὶ ὑποτεταγμέναι, καὶ αἱ ὑψηλαὶ καὶ ἐπικρατοῦσαι. ὑπὸ τῆς τύχης γὰρ ἐνόμιζον ταῦτα γίνεσθαι τοῖς ἀνθρώποις, καὶ οὐκ ἀπὸ ἀβουλίας καὶ κακοβουλίας. διαφέρει ἡ τύχη τοῦ αὐτομάτου. τὸ τὴν μὲν τύχην, τοῦτο ὅπερ εἴρηται εἶναι. τὸ δὲ αὐτόματον, ὅταν γένηταί τι, μηδαμῶς ἐνεργοῦντος μηδενὸς ἄλλου.

* Τύχη ἐστὶ, φορὰ ἐξ ἀδήλου εἰς ἄδηλον· καὶ τοῦ αὐτομάτου αἰτία διὰ μόνης πράξεως. καὶ ἀπρονόητος κόσμου διοίκησις, παρ' Ἕλλησιν. οἱ δὲ Χριστιανοὶ Θεὸν ὁμολογοῦμεν διοικεῖν τὰ πάντα, καὶ Πολύβιος φησί.

* Τύχη. οὐκ ἀνθρώπων βουλαῖς, ἀλλὰ τῇ ἐκ Θεοῦ ῥοπῇ πρυτανεύεσθαι τὰ ἀνθρώπεια, ὃ δὴ τύχην καλεῖν εἰώθασιν ἄνθρωποι, οὐκ εἰδότες ὅτου δὴ ἕνεκα τῷ προϊέναι τὰ ξυμβαίνοντα, ᾗπερ αὐτοῖς οὐκ ἔνδηλα γίνεται. τῷ γὰρ ἀλόγῳ δοκοῦντι εἶναι, φιλεῖ τὸ τῆς τύχης ὄνομα προσχωρεῖν.

Τυχήσω ποιητικὸς μέλλων ἀπὸ τοῦ τυχέω ῥήματος ἀχρήστου. τυχήσας μετοχὴ, ἀντὶ τοῦ ἐπιτυχὼν, καὶ τετυχηκώς. τὸ δὲ τυχῶ, ἐκ τοῦ δευτέρου μέλλοντος τοῦ τεύχω, τυχήσω ποιητικῶς, ἐπιτεύξομαι. καὶ ἐπὶ ἀορίστου τυχήσας, ἀντὶ τοῦ ἐπιτυχών.

Τυχηρότερον, εὐτυχέστερον. ὅθεν καὶ τυχηρῶς λέγεται, τὸ ἐπιτυχῶς. τύχην γὰρ ἁπλῶς, τὴν ἀγαθὴν τύχην καλοῦσι.

Τυχήσας παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας φ, ἢ ἀντὶ τοῦ τυχὼν, ἢ κατὰ τύχην, ἢ καὶ ἄλλως εὐτυχῶς συναντήσας. κατά γε μόνον ἀλλήλους ἰδεῖν καὶ δῶρα δοῦναι καὶ ἀντιλαβεῖν. ἄλλως γὰρ οὐκ ἦν εὐτυχὲς, τὸ μὴ καὶ ξενίζειν γνῶναι ἀλλήλους οἰκειακῇ, εἰ καὶ ἐν ἀλλοτρίᾳ εἰκὸς ἦν, καὶ συμφαγεῖν. οἷον ἐν τῷ Ὀρτιλόχου οἴκῳ, ἔνθα συμβλήτην ἀλλήλοις.

Τυχθεὶς, κατασκευασθείς.

Τυχθῆναι, γενέσθαι, ἐπιτυχεῖν.

Τύχιος ἐποίησεν Αἴαντι σάκος, αἰόλον, ἑπταβόειον. Ὅμηρος μεταλαβὼν τῆς τοῦ Κυμαίου τοῦ τυχίου φιλοφροσύνης ἐνέθετο αὐτὸν τῇ ποιήσει, εἰς μνήμην τοῖς ἐντυγχάνουσιν. ὁ δὴ καὶ μόνον τῷ τυχίῳ ἀντιδοῦναι ἴσχυσεν.

Τύχοι, λιθοξοϊκὰ ἐργαλεῖα.

Τυχὸν, ὡς φθάσει. ὡς λάχοι, ἢ πολλάκις.

Τυχύον, ἔνιοι τὸν Ἑρμῆν. ἄλλοι δὲ τὸν περὶ τὴν Ἀφροδίτην δαίμονα.

Τύχουσι, τεύχουσι.

Τύχων, πυλῶνα τὸν ἐσφηνωμένον. τύχους γὰρ καὶ τοὺς σφῆνας καλοῦσι. καὶ τύχων τύχωνος, δαίμων περὶ τὴν Ἀφροδίτην.

Τύψαι, τὸ διὰ χειρὸς πατάξαι, ἢ τρῶσαι.

Τύψεια, ποιήσεια. Αἰολεῖς τὰ εὐκτικὰ τοῦ πρώτου προσώπου ἀορίστου ἐνεργητικοῦ, διὰ τοῦ εια προφέρουσιν. οἷον γράψαιμι γράψεια, καὶ τῷ μὲν πρώτῳ προσώπῳ οὕτοι μόνοι κέχρηνται. τῷ δὲ δευτέρῳ καὶ τρίτῳ οἱ Ἀθηναῖοι, οἷον τύψειας τύψεις, τύψειαν τὸ τρίτον τῶν πληθυντικῶν.

Τύψον, ἔκχεε, ἐκκένωσον, τρῶσον, δάμασαν.

Τυψῶ περισπωμένως δωρικῶς, οὕτω καὶ ἐπὶ τοῦ ἄλλων πάντων.

ΤΟ Τ. ΜΕΤΑ ΤΟΥ Ω.

Τῶ, ἀντὶ τοῦ ἀληθείᾳ.

Τῶ, σημαίνει πέντε, ὄνομα, ἄρθρον, ἀντωνυμίαν, σύνδεσμον αἰτιολογικὸν, καὶ ῥῆμα. οἷον ὄνομα σοὶ οὔτε τῷ ἄλλῳ ἀντὶ τοῦ τινί. ἄρθρον, οἷον τῷ Βαρίνῳ, ὃς τοῦτο τὸ λεξικὸν συνελέξατο. καὶ Λαυρεντίῳ τῷ μαθητῇ, ὃς ἔπειτα δοὺξ τῆς Οὐρβίνου καὶ Φλωρεντίας τῆς μεγάλης πόλεως κυβερνήτης γεγονὼς, ἄωρος ἀποθανὼν τὰ δίδακτρά μοι ἀποδοῦναι οὐκ ἠδυνήθη. δυϊκῆς δὲ ὂν ἀληθείας καὶ αἰτιατικῆς, βαρύνεται, οἷον τὼ ὀφθαλμώ. ἀντωνυμίαν, ὡς τὸ, τῷ μὲν εἰσάμενος, προσέφη νεφεληγερέτα Ζεύς, ἀντὶ τοῦ, τούτῳ ὁμοιωθείς. σύνδεσμον δὲ αἰτιολογικὸν, ὡς τὸ, τῷ οὐκ ἂν βασιλῆας ἀνὰ στόμ' ἔχων ἀγορεύοις, ἀντὶ τοῦ διότι. ῥῆμα δὲ, οἷον Κύκλωψ τῆ πίε οἶνον, ἀπὸ τοῦ θέματος, καὶ ἀντὶ τοῦ οὕτως. ὡς τὸ, τῷ κεν τάχ' ἡμύσειε πόλις Πριάμοιο ἄνακτος. σημαίνει, καὶ τὸ ἐξ αὐτοῦ τοῦ τόπου. τῷ, αὐτόθι.

Τὼ δ' εἰς ἀμφοτέρω, (παρ' Ὁμήρῳ ἐν Ἰλιάδι,) Διομήδεος ἅρματα βήτην. σχῆμα καινὸν, ἤγουν οὗτοι ἀμφω εἰς τὸ τοῦ Διομήδους ἔβησαν ἅρμα. ἡ τοιάδε ὑπέρβασις τῆς προθέσεως, οὐ πάνυ συνήθης. ὡς εἰ δὲ τὸ εἰπεῖν, οἱ δ' ὡς ἅπαντες νῆα μίαν ἔβησαν. καὶ ὅμως ἐκ τούτου εἴληπται παρὰ τοῖς ὕστερον τὸ κατ' ἄλλος ἀλλομέρος, καὶ τὴν αὐτὸς ἐμαυτοῦ τύχην, καὶ ὅσα τοιαῦτα.

Τὼ τοι προφρονέως ἐρέω, ἀντὶ τοῦ διὰ. ἐναλλαγή.

Τὼ χεῖρε. οἱ Ἀττικοὶ τὰ τοῦ γένους θηλυκοῦ δυϊκὰ, ἀρσενικῶς προφέρειν εἰώθασιν, οἷον τὼ πόλεε, τοῖν πολέοιν. καὶ ἐν τῇ γενικῇ τῶν ἑνικῶν κέχρηται. καὶ Εὐριπίδης, οὔτ' ἐλπίδος γὰρ οὔτε τῆς δόξης ὁρῶ θάρσος. καὶ Συνέσιος, ἢ πάντως ἀπὸ μιᾶς γέ του συμφορᾶς. καὶ Σοφοκλῆς οὔτε τοῦ κλύων σάλπιγγος.

Τωθάσω, σκώψω.

Τωθάζει, ἤγουν σκώπτει, καὶ χλευάζει. λοιδορεῖ, καυχᾶται. τωθάζω, σημαίνει καὶ τὸ ἐμπαίζω, καὶ ἀπατῶ, καὶ τὸ χολάζω.

Τῶκεν, ἀντὶ τοῦ οὕτως κεῖται παρ' Ὁμήρῳ.

Τῶκε τοι παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ̄, τουτέστιν οὕτως ἄν σοι.

Τῶν πέλας, τῶν πλησίον.

Τῶν ἀκεραίων, τῶν ἡσύχων.

Τῶν δὲ πάροιθεν, τῶν προτέρων.

Τῶν ἐν τέλει, τῶν ἀρχόντων ἐν τῷ δήμῳ.

Τῶν ἐπὶ σκηνῆς, τῶν θεατρικῶν.

Τῶν οἰνάρων, τῶν τῆς ἀμπέλου φύλλων.

Τῶν ὄπισθεν, ἀντὶ τοῦ, ὑπὲρ τούτων.

Τῶν παρεκτὸς, τῶν ἔξωθεν.

Τῶν πλωτήρων, τῶν πλεόντων τῶν αὐτῶν.

Τῶν πτίλων, τῶν πτερῶν.

Τῶπιν, μέτρον δεκαχοίνικον.

Τῶρά, διὸ δή.

Τὼς, ἀντὶ τοῦ οὕτως. χρῆσις παρὰ Σοφοκλεῖ, ἐκ δὲ τούτου γίνεται ὧς, ἀποβολῇ τοῦ τ̄ ὀξυνόμενον καὶ αὐτὸ, ὁμοίως τῷ καθώς.

Τὼς ἀντὶ τοῦ ὡς λέγουσι Δωριεῖς, καὶ ἀντὶ τοῦ, τούς. ὥσπερ παρὰ Θεοκρίτῳ, τὼς δ' οὐδέν ποτ' ἐλέξαθ' ὁ βουκόλος. καὶ τὼς κύνας, καὶ τὼς ταύρως, ἀντὶ τοὺς κύνας, καὶ τοὺς ταύρους.

Τῷ φύσαντι, τῷ γεννήσαντι.

Τέλος τοῦ τ̄ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Υ.

ΣΤΟΙΧΕΙΟΥ ΤΟΥ ΑΥΤΟΥ

ΜΕΤΑ ΤΟΥ Α.

Υ τὸ στοιχεῖον, ὅτι αἱ ὑάδες τὸ πρόσωπον τοῦ ταύρου, ὃ ἐπιπλατυνόμενον ἀπὸ τοῦ μετώπου λεπτύνεται ἐξ ἀμφοτέρων ἀπὸ τῶν κάτω, ὥσπερ καὶ τὸ γράμμα.

Υ παρὰ τῷ Ἀριστοφάνει. διὰ τῶν ψιλῶν τούτων ὑ δείκνυσιν, ὅτι χοιρείων κρεῶν ὀσμῆς ᾔσθετο. ἄλλως, ὖ ὖ, ἐπίρρημα θαυμαστικόν. ὀσφραινόμενος τοῦτό φησιν.

Υ καὶ ᾱ, εἰς ῡ μακρὸν κιρνᾶται. οἷον βότρυας βότρυς, ἰχθύας ἰχθῦς.

Υ καὶ ε̄, εἰς ῡ κιρνᾶται. οἷον βότρυες βότρυς, ἰχθύες ἰχθῦς.

Υάδες, ἐπὶ τῶν τοῦ ταύρου κεῖνται κεράτων. ἢ διὰ τὸν ἀδελφὸν Ὕαντα οὕτω κληθεῖσαι, ἢ διότι τῷ ῡ στοιχείῳ παρεμφερεῖς εἰσιν, ἢ ὅτι ὑετοῦ ἐπισημασίας δηλοῦσι. τινὲς δὲ, Δωδωνίδας νύμφας αὐτάς φασι Διονύσου τροφοὺς, αἷς ἡ Ἰνὼ διὰ τὸν τῆς Ἥρας φόβον παρακατέθετο τὸν Διόνυσον, ὅτε καὶ Λυκοῦργος αὐτὰς ἐδίωξε συμπεριϊοῦσας ἐκείνῳ, καὶ κατανεμήσας τὴν ἄμπελον. τιθέασι δέ τινες αὐτῶν καὶ ὀνόματα Ἀμβροσίαν, Εὐδώρην, Αἰσύλην, καὶ τοιαῦτά τινα. ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται, καὶ ὅτι ὑάδες βάκχαι τιθῆναι τοῦ Διονύσου. καὶ τὸν Διόνυσον ὕην φασὶν ἀπὸ τούτων τινές. ὕης δὲ τοῦ Σαβαζίου, ἐπίκλησις. οὕτω μὲν καὶ τὰ κατὰ τὰς ὑάδας.

Ὕαινα, τετράπουν ζῶον, καὶ ἰχθύς.

Ὑακίζει, βρέχει, ἢ ὑετίζει, ἢ ὕει.

Ὑακίνθινον, ὑπομελανίζον, πορφυρίζον.

Ὑακίνθια, ἑορτὴ ἐν Λακεδαίμονι.

Ὑακινθίδες, ἐπώνυμοι Ἀπόλλωνος ἀπὸ Ὑακίνθου.

Ὑάκινθος, πόας εἶδος, τὸ ὑακινθόχρωμον, τὰ ὑακίνθια. εἴρηται δὲ, ἀπὸ τοῦ Ὑακίνθου.

Ὑακινθίνῳ, τῷ ὑακίνθῳ. ἔστι δὲ ἄνθος μέλαν, καὶ μαλακόν.

Ὑαλέν, λαμπρὸν, ὑαλίζον.

Ὑάλη, ὕαλος, βόμβυξ, σκώληξ, ὑαλίας, ἢ ὑαλιάδες, εἰκαῖος, βλοσυρός.

Ὑάλικος, κῶμος Διονύσιος.

Ὑαλκάδαι, χορὸς παίδων, Λάκωνες.

Ὑαλόεν, διαφανὲς, λαμπρὸν.

Ὕαλος, παρ' Ἀττικοῖς, ὃς ὕελος λέγεται παρὰ τοῖς κοινοῖς.

Ὕαλος, τὴν ὕαλον λέγει. Ἀριστοφάνης, κατασκεύασμά ἐστιν ὑάλου τροχοειδὲς παχύ. εἰς τοῦτο πεπηχυνθέν. ὅπερ ἐλαίῳ χρίοντες καὶ θερμαίνοντες, προσάγουσι θρυαλλίδα, καὶ οὕτως ἅπτουσιν. ὅτι δὲ ὕαλος θηλυκῶς καὶ διὰ τοῦ ᾱ, διὸ τὸ χ̄. Ὅμηρος δὲ οὐκ οἶδε τὸ ὄνομα, ἀλλὰ παρ' αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν, ὕαλος δὲ οὔ.

Ὕαμα, βάθος.

Ὑάμπολις, εἰ μὲν ἀπὸ τῶν Ὑάντων ὠνόμασται. τῶν περὶ Βοιωτίαν, οὐκ ἔστιν ἀκριβῶς εἰπεῖν, οὐ πολλὴν ἔχει λόγον παρὰ τοῖς παλαιοῖς. φασὶ γὰρ τοὺς ἐγχωρίους καὶ σὺν τῷ σ̄ λέγειν αὐτὴν ὑσάμπολιν. ἡ δὲ γεωγραφικὴ ἀκρίβεια παραδίδωσιν, ὅτι ἀνεμώρεια ἀνωτέρω ῥηθεῖσα, ὑάμπολις μετωνομάσθη. εἰς ἣν ἐξέπεσον ἐκ Βοιωτίας ὕαντες. ἑτέρα δὲ αὕτη τῆς ἐν Παρνασῷ φησὶν ὑαμπόλεως. καὶ ὅρα τρεῖς ἐντεῦθεν ὑαμπόλεις ἀναφαίνονται. ἡ τε ὁμηρικὴ αὕτη, ἥ τε μετωνομασθεῖσα ἐξ Ἀνεμωρείας ὑάμπολις, καὶ τρίτη ἡ παρνασία. ἐν ἄλλοις φησὶν ὁ Γεωγράφος, ὅτι ὕαντες τῆς Φωκίδος ὑάμπολιν ἔκτισαν.

Ὑανέος, εἰκαῖος, βλοσυρὸς, χαλεπὸς, ὕπτιος.

Ὑανία, τύρβη, μάχη, ὕβρις, ἀγερωχία.

Ὑαντίου Ὀγχηστοῖο, τοῦ Βοιωτικοῦ. ὕαντες γὰρ τὸ πρὶν ᾤκουν τὴν Βοιωτίαν, Ὀγχηστὸς δὲ πόλις τῆς Βοιωτίας, ἱερὰ Ποσειδῶνος. Ὅμηρος, Ὀγχηστόν θ' ἱερὸν ποσιδήϊον ἀγλαὸν ἄλσος. ὑάντιον δὲ, ἀντὶ τοῦ βοιώτιον. Ὕαντες γὰρ Βοιωτίας ἔθνος βάρβαρον. ὅθεν καὶ παροιμία, ὗς Βοιωτία.

Ὕαξ, ἢ οἴαξ, πηδάλιον, ὀδηγός.

Ὑαργίδες, αἱ ἀειδεῖς βάκχαι, αἱ ἀργεῖαι.

Ὕασιν, ὑοῖς, ὑέσιν, ὑοῖς.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Β.

Ὕβαδαι, ἔστι δὲ δῆμος τῆς Λεοντίδος.

Ὑββάλλειν, ἀντὶ τοῦ ὑποβάλλειν, αἰολικῶς.

Ὑββάλλειν ψιλοῦσιν, αἰολικὴν εἶναι τὴν λέξιν λέγοντες. ἴστεον δὲ, ὅτι ὥσπερ τὸ καταβαλεῖν συγκοπὲν ἔτρεψε δωρικῶς τὸ ψιλὸν εἰς μέσον, ἤγουν τὸ τ̄ εἰς β̄, οὕτω καὶ τὸ ὑποβαλεῖν. ὡς γὰρ καταβαλεῖν καββαλεῖν, οὕτως ὑποβαλεῖν ὑββαλεῖν.

Ὑββαλὴς, καταφερὴς, λάγνος.

Ὕβλα, πόλις Σικελίας.

Ὑβλήσιος, μάντις.

Ὑβλιὸν, τὸν κυρτὸν, καμπύλον, γυρόν. οἱ δὲ ὑβὸς κυρτὸς, ὑβριστής.

Ὑβοὶ, κυρτοὶ, καὶ ὕβωμα, τὸ κύρτωμα παρὰ τῷ Ἱπποκράτει.

Ὑβὸν, ἀντὶ τοῦ κυρτὸν λέγουσι Δωριεῖς.

Ὑβρίζω, τὸ ἄτιμόν τι ποιῶ εἴς τινα.

Ὕβρεις, τραύματα, ὀνείδη.

Ὑβρίζωσι, καὶ ὑβρίζω εἰς σὲ, ὅταν τινὰ τῶν σῶν ὑβρίζω, ὡς ἀναφέρεσθαι τὴν ὕβριν ἐπὶ σέ. ὕβρισεν εἰς τὸν δεῖνα, ἤτοι ὑβριστικὰ ἐποίησεν. Ἀριστοφάνης, τοῦ πλουτεῖν δ' ἐστὶν ὑβρίζειν.

Ὑβρίζω, κακολογῶ, λοιδορῶ, λοιδοροῦμαι, διαλοιδοροῦμαι, κερτομῶ, κωτίλλω, πομπεύω, προπηλακίζω, χλευάζω, σκώπτω, διασύρω, τωθάζω, κατηγορῶ, κακολογῶ, ἐπιπλήττω, κωμωδῶ, ταυτὸν σημαίνουσιν.

Ὑβρίζω, ὅθεν ὕβρις. ὕβριν Ἡσίοδος ἀντιτίθησι τῇ δίκῃ, ὡς ταυτὸν δυναμένην τῇ ἀδικίᾳ.

Ὑβριστὴς, ὑπερήφανος, ἀγνώμων.

Ὑβριστοδίκαι, οἱ μὴ θέλοντες εἰσάγειν τὰς δίκας παρὰ Ἀττικοῖς.

Ὕβρις, ὄρνεον νυκτερινόν.

Ὕβρις ἐστὶν, ἀδικία πρὸς ἀτιμίαν φέρουσα.

Ὕβρις, οὐ μόνον ἐν λόγοις, ἀλλὰ καὶ ἡ κατὰ πᾶν ἔργον αἰσχρόν. ὑβρισταὶ γοῦν καὶ οἱ κακολογοῦντες. ὑβρισταὶ δὲ ὡς μάλιστα καὶ αἰσχρουργοῦντες.

Ὑβώμασι, κυρτώμασι.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Γ.

Ὕγεμος, συλλαβή. Σαλαμίνιοι.

Ὑγεία Ἀθηνᾶ. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἔστι δὲ ἐπώνυμον τῆς Ἀθηνᾶς. καὶ γὰρ ὑγεία καλεῖται, καὶ νίκη, καὶ ἱππία, καὶ ἐργάνη.

Ὑγείαν, τρισυλλάβως οἱ λέγοντες ἁμαρτάνουσι, δέον ὑγίειαν τετρασυλλάβως. μόνως γὰρ οὕτως οἱ ἀρχαῖοι εἰρήκασιν.

Ὑγιᾶ κρεῖττον, ἢ ὑγιῆ. διὰ τὸ τοὺς Ἀττικοὺς ἀεὶ εἰς ᾱ τὴν τούτων συναίρεσιν ποιοῦσιν, οὔσης καθαρᾶς τῆς ἀληθείας. τοὺς δὲ κοινοὺς εἰς η̄. τὸ αὐτὸ γίνεται καὶ ἐπὶ τῆς ἀληθείας καὶ αἰτιατικῆς, τῶν πληθυντικῶν. τῶν δὲ οὐδετέρων, τὰ ὑγιᾶ γὰρ φαμέν. ὡσαύτως ἐπὶ τοῦ χρέος. καὶ κλέος. καὶ ταῦτα γὰρ εἰς ᾱ τὴν τε ἀληθῆ καὶ αἰτιατικὴν τῶν πληθυντικῶν ἔχουσι. χρέα γὰρ καὶ κλέα λέγομεν.

Ὑγιάζω, καὶ ὑγιάζομαι.

Ὑγιᾶ γράφουσιν οἱ Ἀττικοί. καὶ τὸν ἐνδεᾶ, καὶ τὸν ἀκλεᾶ, καὶ ἐπὶ τῶν οὐδετέρων ὁμοίως. τὰ ὑγιᾶ καὶ τὰ ἀκλεᾶ, καὶ τὰ ἄλλα ὅσα τρία ἐν διαστάσει ἑξῆς ἔχουσι φωνήεντα, εἰς ᾱ ποιεῖ τὴν κρᾶσιν.

Ὑγιαίνω τῷ σώματι, καὶ τὸ σῶμα. καὶ ὑγιὴς καὶ ὑγίεια, καὶ ὑγεία. καὶ ὑγιεινὸν φάρμακον, τὸ ὑγείας παρεκτικὸν, καὶ ὑγιεινὸν σῶμα, τὸ ἐν ὑγείᾳ ὄν. καὶ ὑγιεινῶς ἔχω, ἀντὶ τοῦ ἐν ὑγείᾳ διάκειμαι.

Ὑγίεια

Ὑγίεια σώματός ἐστι, συμμετρία τῶν ἐν σώματι στοιχείων.
Ὑγίεια καθόλου ἐστὶν, εὐστάθεια τῶν κατὰ φύσιν δυνάμεων καὶ ἐνεργειῶν.
Ὑγίεια ἐστὶ, διάθεσις κατὰ φύσιν ἐνεργείας ποιητική.
Ὑγίεια, ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ πεφυραμένα. καὶ πᾶν τὸ ἐκ Θεοῦ φερόμενον ἄστε μύρον, ἄστε θαλλὸς, ἡ ὑγίεια.
Ὑγιὴς, τέλειος, σῶος.
Ὑγίης, ὁ ἐν ὑγρῷ ὢν, καὶ ζῶν, οἷον ὑγρείης. ὅθεν διερὸς ὁ ζῶν, καὶ ἀλίβας ὁ νεκρός. οὕτως Ἡρωδιανός.
Ὑγιοῦν, τὸ σαροῦν. καὶ τὸ θεραπεύεσθαι.
Ὑγιῶς, ὀρθῶς, σώως, ὁλοκλήρως, ἐρρωμένως, καὶ εἴ τι ὅμοιον.
Ὑγλιῆναι, φυσῆσαι.
Ὑγρὰ κέλευθα, διὰ τὸ στέλλειν τῆς κατὰ ξηρὰν. κέλευθα ἐπὶ γῆς. ὥσπερ αὖ πάλιν καὶ ἐπὶ θαλάσσης ὁδός. τὸ δὲ κέλευθα μεταπλασμὸν γένους φασὶν οἱ παλαιοὶ, μεταπλασθέντος τοῦ ἡ κέλευθος εἰς τὸ κέλευθον, γίνονται δὲ τοιαῦται πολλαί. ὥσπερ γὰρ καὶ τοὺς μηροὺς, μηρὰ λέγει ἡ ποίησις. καὶ τοὺς ῥύπους ῥύπα. οὕτω καὶ τὰ ζυγὰ, τὰ δεσμὰ, καὶ τὰ τράχηλα, καὶ τὰ λύχνα, καὶ διέφρασαν οἱ παλαιοί. μεταβολὴ δὲ γένους, καὶ ὁ ἰσθμός. καὶ τέρταρος παρὰ Πινδάρῳ. καὶ παρὰ Ἡσιόδῳ, ὑδατόεις τάρταρα.
Ὑγρὴν κέλευθον, Ὁμηρικῶς τὴν διὰ θαλάσσης ὁδόν. ταφρὴν δὲ, τὴν διὰ ξηρᾶς.
Ὑγρὸν ἔλαιον, ὃ καὶ λίπα φασὶν ἐλλειπτικῶς, ἐν τῷ ἀλειψάμεναι λίπ' ἐλαίῳ, καὶ λοέσσατο, καὶ λίπ' ἀλείψειν, καὶ ἄλοιφὴν λέγει, ἐν τῷ ἀμφὶ δ' ἐλαίῳ χεύσομαι. οὐ γὰρ δεινὸν ἀπὸ χροὸς ἐστιν ἀλοιφή. ὡς εἶναι ταυτὸν κατὰ πολυωνυμίαν ἔλαιον καὶ ἀλοιφὴν, καὶ λίπα, δῆλον ἐκ τῶν ἐνταῦθα λεγομένων, ὡς καὶ ἐψυχρολύοντο οἱ παλαιοί. ὅτι δὲ καὶ θερμοῖς ἐχρῶντο λουτροῖς, ἐν πολλοῖς δηλοῖ ὁ Ποιητής.
Ὑγρίλη, τὸ οὖρον, Διονύσιος.
Ὑγρὸς, ὁ εὐκαταφερὴς εἰς ἡδονάς.
Ὑγυλὸν, ὑγιές.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Δ.

Ὑδαλὶς, ὑδροπίων.
Ὑδαρὲς, τὸ ὑδαρόν.
Ὑδαρεῖ, ὑδρωπικῷ. καὶ ὑδατίδες, αἱ σταγόνες.
Ὑδατωσύσησιν, ὑδερώδεσιν. ἢ ἐξυδατώσαις τὸ αἷμα, καὶ ὑδατώδη καθαιρομέναις, παρὰ τῷ Ἱπποκράτει.
Ὕδατος, ἐκ τοῦ ὕδατος διαθέσεως σεσιγημένης. ὡς φρέατος, ἐκ τοῦ φρέατος.
Ὑδατόχλοα, ὡς καὶ ὑδατόχλωρα λέγεται παρὰ τῷ Ἱπποκράτει.
Ὑδατώδεα, τοὺς ὑδρωπικούς. παρὰ τῷ Ἱπποκράτει.
Ὑδατοτροφέων, ὑπὸ ὕδατος αὐξομένων, ἢ τρεφομένων.
Ὕδει παρ' Ἡσιόδῳ, ἀντὶ τοῦ ὕδατι.
Ὑδέονται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ᾄδονται, καὶ λέγονται.
Ὑδέουσιν, ὑμνοῦσιν.
Ὕδερον, τὸν ὕδρωπα.
Ὕδη, διὰ τοῦ σ φασί τινες πόλιν εἶναι, ἐν ᾗ ᾤκει Ὀμφάλη, βασίλειον Λυδῶν, τὰς νῦν Σάρδεις.
Ὕδης, συνετὸς, ὁ Ποιητής.
Ὕδναι, ἔγγονοι, σαύτροφοι.
Ὕδνης, εἰδὼς, ἔμπειρος.
Ὑδνόφυλλος, ἡ ἐπὶ τοῖς ὕδνοις φυομένη πόα.
Ὑδνῶ, τὸ τρέφω. καὶ ὑδνεῖν, τὸ τρέφειν.
Ὕδρα, νῆσος ἀπελὴς Δολόπων. καὶ θηρίον πολλὰς ἔχον ὄφεων ὄψεις, πολυκέφαλον.
Ὑδραλὴς, μεταβολος.
Ὕδρῃ, ἐνύδρος ὄφις. οἱ δὲ τὸν χέρσυδρον.
Ὑδραίνα, εἰς θυσίαν ἀκραιφνὲς, ῥεῖθρον, καὶ καθαρόν.
Ὑδρανὸς, ὁ ἁγνιστὴς τῶν ἐλευσινίων.
Ὑδραίνειν, ποτίζειν, ἀντλεῖν.
Ὑδραίνεσθαι, ὕδωρ φέρουσαι. ἤγουν ὑδραινομένην.
Ὑδρωσαμένη, λουσαμένη, ἢ περιερραμμένη, ἢ ὕδατι περιχεαμένη.
Ὑδρηχόες, ἰχθύες.
Ὑδρεία κυρίως, τὸ εἰς ὕδωρ ἐπίθετον ἀγγεῖον.
Ὑδρεῖον, ἡ μικρὰ ὑδρία. ὑποκοριστικῶς παρὰ τῷ Ἱπποκράτει.
Ὑδροφόροι, μέτοικοι.
Ὑδρίσκη, ὑδρία.
Ὑδροδόχοι, λάκκοι.
Ὑδρόμυλοι, ὑδραλετία ἀπὸ ὕδατος.
Ὕδρος, ὄφις.
Ὑδροῦσα, Ἠχέως οὕτως ἐκαλεῖτο.
Ὑδροχόας, ἁμάρας.
Ὑδροφορία, ἑορτὴ Ἀθήνησι πένθιμος, ἐπὶ τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολομένοις.
Ὑδρορρόα καλεῖται, τὸ μέρος τῆς στεφανίδος, δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται, ἢ ὁ στενὸς τόπος. λέγεται δὲ καὶ ὑδρορρόαι. ὡς τὸ, τὸ δὲ εἰς τὰς ὑδρορρόας συνωσθέντες αὐτὰς, διὰ τούτων ἐσώζοντο εἰς τὰς ναῦς. καὶ Ἀριστοφάνης, διὰ τῶν ὑδρορροιῶν. οἱ κοῖλοι τόποι, δι' ὧν χωρεῖ τὸ ὕδωρ ἐξ ὑετοῦ.
Ὕδρος, εἶδος ὄφεως δακόντος τὸν Φιλοκτήτην. οὐ τὸ θανάσιμον, ὥστε μὴν ῥαδίως ἰάσιμον.
Ὕδρωψ, καὶ ὕδερος, εἴδη νοσημάτων. ἐκ μὲν τοῦ ὕδρωπος, ὑδρωπικός. ἐκ δὲ τοῦ ὑδέρου, ὁ ὑδερικός.
Ὑδῶ, τὸ ὑμνῶ καὶ λέγω. καὶ ὕδειν, τὸ ὑμνεῖν καὶ λέγειν.
Ὕδωρ ἐστὶ, στοιχεῖον καταφερὲς, ψυχρὸν, ὑγρὸν, θρεπτικόν. ἢ ὕδωρ ἐστὶ, ῥευστικὴ καὶ ἀπέραντος χύσις. ὕδωρ τὸ υ παρὰ μὲν τοῖς ἄλλοις Ποιηταῖς, μακρὸν, παρὰ δὲ τοῖς τραγικοῖς βραχύ. ὡς τὸ ἀνὴρ, καὶ ἕτερα. γίνεται δὲ ὕδωρ, παρὰ τὸ ὕω τὸ βρέχω, ὕδωρ, πλεονασμῷ τοῦ δ. καὶ ὕδωρ αὐτοπαγὲς, τὸ συνεστηκὸς ἐν τοῖς ἱεροῖς. ἢ τὸ αὐτομάτας πηγὰς ἔχον.
Ὕδωρ, ὑδραίνω, ὑδρεία, ὑδρευσις. ὑδρεία δὲ τὸ ἀγγεῖον, δι' οὗ ὕδωρ κομίζεται.
Ὕδωρ καὶ γαῖα γένοισθε, ἀντὶ τοῦ νεκρωθείητε, καὶ ζωογόνου καὶ πνευματώδους θερμοῦ στερηθείητε.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Ε.

Ὑελεῖν, ληρεῖν μωραίνειν.
Ὑελέψεις, ὑελοτέχναι.
Ὕελος, ὕαλος.
Ὑὲς, χοῖροι.
Ὗεν, ἔβρεχεν.
Ὑεὺς, ὁ σαβάζιος.
Ὕεσις, στολὴ, Πάφιοι.
Ὑεσάκα, ἱματισμός.
Ὑετὶς, ὑδρεὶς, Ταραντῖνοι.
Ὑετὴς, ὁ αὐλητὴς, Μαρσύας.
Ὑετὸς, δρόσος, ὕδωρ, παρὰ τὸ ὕω τὸ βρέχω, ὗτος, καὶ πλεονασμῷ τοῦ ε, ὑετός.
Ὑὴ, ἡ Σεμέλη, ἀπὸ τῆς ὕσεως. καὶ ὑὲ, δηλέ.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Η, Θ.

Ὑηνεῖς, ὑηκόντι καὶ ὀζῶδες ποιεῖς. καὶ ὑηνία, σκαιότης, καὶ ἀμαθία. καὶ ὑηνῶν, σκαιῶν, καὶ ἀμαθῶν.
Ὑηνία, ἡ μωρία. τινὲς δὲ ὑηνίαν, τὴν ἐκ τῶν χοίρων δυσωδίαν φασίν.
Ὕης, Ζεὺς, ὄμβριος.
Ὕησον, σάλευσον.
Ὕηται, ὗς, Ταραντῖνοι.
Ὕης, ἐπίθετον Διονύσου. ὡς Κλείδημος, ἐπειδὴ ἐπιτελοῦμεν τὰς θυσίας αὐτῷ, καθ' ὃν ὁ Θεὸς ὕει χρόνον. ὁ δὲ Φερεκύδης, τὴν Σεμέλην, ὕην λέγει. καὶ τὰς τοῦ Διονύσου τροφοὺς, ὑάδας.
Ὑθλεῖν, τὸ φλυαρεῖν. ὅθεν ὕθλος, ἡ φλυαρία.
Ὕθλος, ἡ φλυαρία. καὶ ὑθλεῖν, τὸ φλυαρεῖν.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Ι, Κ.

Ὕϊα, υἱὸν, τέκνον.
Υἱῖ, ἀπὸ τοῦ υἱεῦ, κατὰ συγκοπήν. ὡς τὸ Ἀχιλλεῖ, ἀπὸ τοῦ Ἀχιλλέϊ, καὶ ἐπὶ τῆς γενικῆς υἷος, ἀπὸ τοῦ υἱέος. ὅπερ ἀεὶ διὰ τοῦ ο μικροῦ γράφεται, καὶ ἐπὶ τῆς αἰτιατικῆς ὁμοίως.
Υἱάσιν, ὀφεῖλον εἶναι υἱέσιν, ὡς ἀπὸ τοῦ υἱεὺς, υἱέος, ὅμως συνεξέδραμε τοῖς συγγενικοῖς, τῷ πατράσι καὶ μητράσιν. οὕτω δὲ καὶ τὸ πάτερ ὀφεῖλον ὀξύνεσθαι κατὰ τὴν οἰκείαν διάθεσιν, βαρυτονεῖται, διὰ τὰ οἰκεῖα συγγενικά. τὸ μῆτερ καὶ θύγατερ, καὶ σῶτερ, ἢ πρὸς τὸ πάτερ συνεκδρομὴ ἐβαρύνθη. καθ' ὅμοιον δὲ λόγον, καὶ τὸ χωρὶς ἐπίρρημα ὀξυνόμενον καὶ τὸ λικριφίς. ὅμως εὕρηται μετὰ τὴν ἀποβολὴν τοῦ σ, χῶρι λεγόμενον βαρυτόνως, καθ' ὁμοιότητα τοῦ αὐτόθι καὶ ὅθι.
Υἱδοῦς, ὁ τοῦ υἱοῦ υἱὸς, καὶ υἱιδοῦς, καὶ υἱωνὸς καὶ υἱωνή. λέγεται δὲ υἱὸς φυσικὸς, ὁ ἐκ πορνείας τινὶ γεγονώς. ᾧ ἐναντίον ὁ γνήσιος, ᾧ πάλιν ἐναντίος ὁ νόθος. ὃν υἱοθετόν φασιν.
Υἱέα, ἐν ἐπιστολῇ ποτε Ἀλεξάνδρου τοῦ σοφιστοῦ εὗρον τοὔνομα τοῦτο γεγραμμένον, καὶ σφόδρα ἐμεμψάμην. οὐ γὰρ ἐπεὶ υἱέως καὶ υἱεῖ ἐστιν, διὰ τοῦτο καὶ τὸν υἱέα εὕροι τις ἂν, ἀλλὰ τὴν αἰτιατικὴν υἱὸν λέγουσιν οἱ ἀρχαῖοι. τοῦτο δὲ καὶ Φιλόξενος, ἐν τοῖς πέντε περὶ τῆς Ἰλιάδος συγγράμμασι διαψιλεύσασ' ἐπέφηνεν, ἀδόκιμον μὲν εἶναι τὸν υἱέα, δόκιμον δὲ τὸν υἱόν.
Υἱέως, οἱ ψευδαττικοί φασιν οἰόμενοι ὅμοιον εἶναι τῷ Θησέως, καὶ Πηλέως.
Υἱίδιον, ἀπὸ τοῦ υἱοῦ ὡς ἀπὸ τοῦ πατρὸς πατρίδιον.
Υἱεζεὺς, ἤτοι ἀὴρ, ἐντελῶς ἔχει. ὅτε μέν τοι κατὰ μόνας κεῖται τὸ ὕειν, ἐλλείπει τότε, ὁμοίως τῷ ἀστράπτει, καὶ βροντᾷ, καὶ τοῖς τοιούτοις.
Ὕες, συστέλλει τὸ δίχρονον. ἐπεὶ τὰ εἰς υς τοιαῦτα, συστέλλει τὸ υ ἐν ταῖς πλαγίαις, μῦς μυὸς, δρῦς δρυός. οὕτως οὖν καὶ σῦς, καὶ ὗς, συὸς καὶ ὑός.
Ὑετὸς ἡ καταφορὰ τοῦ ὄμβρου, καὶ τὸ καταφερόμενον ὕδωρ. καὶ ὄμβρος ὁμοίως, ἐπὶ τῶν δύο τούτων σημαινομένων. νιφετὸς, ἐπὶ μόνου τοῦ πράγματος, οὐκέτι καὶ ἐπὶ τῆς καταφερομένης χιόνος. χιὼν γὰρ λέγεται ἡ καταφερομένη. νιφάδες δὲ, ἐπὶ χιόνος.
Ὑετός ἐστι, ψεκάδων ἄθροισμα.
Υἱεῖς, υἱοί.
Υἷες Ἀχαιῶν, οἱ Ἕλληνες περιφραστικῶς.
Υἱὴν, τὴν ἄμπελον, ἢ υἱόν.
Υἱήν, ποιὰ βοτάνη.
* Υἱδοῦς, ὁ υἱοῦ υἱὸς, ὁ ἔγγονος.
Ὑϊκὸν, ὑὸς ἴδιον, χοίρου ἔργον. Ξενοφῶν ἐν ἀπομνημονεύμασιν.
Ὕλη, ὅμιλος.
Υἱοθεσία, ὅταν τὶς θετὸν υἱὸν λαμβάνῃ, καὶ τὸ ἅγιον βάπτισμα.
Υἱοθετεῖ, υἱοποιεῖται, τεκνοποιεῖται.
Υἱὸν, ἀναδενδράδα.
Ὑϊκὸν δέρμα, οὐχ εὕρηται ἐν χρήσει, εἰ μὴ παρὰ Ἀξιονίκῳ, ἡμάρτηται δέ. οὐδέποτε γὰρ λέξις σημαίνουσα μέρος σώματος, ἔχει εἰς κον τὸ κτητικὸν, ἀλλὰ διὰ καθαροῦ τοῦ ον. οὐ γὰρ λέγομεν χοιρικὸν κρέας, ἀλλὰ χοίρειον. οὐδὲ ἀνθρωπικὸς πούς, ἀλλὰ ἀνθρώπειος. οὕτως οὐ δεῖ λέγειν ὑϊκὸν, ἀλλ' ὕειον δέρμα. ἀποροῦσι δέ τινες λέγοντες, διὰ τί αἰάντειος υἱὸς λέγεται, αἰάντειος δὲ ἀδελφὸς οὐ λέγεται, καὶ ἐστιν εἰπεῖν, ὅτι τῶν κτητικῶν ἀντωνυμιῶν, πρὸς μείζονας λαμβάνεται ἡ σχέσις, καὶ πρὸς ἴσον, καὶ πρὸς ἥττονα. πρὸς μείζους μὲν, οἷον ὁ ἐμὸς δεσπότης. πρὸς ἴσον δὲ, οἷον ὁ ἐμὸς ἀδελφός. πρὸς ἥττονα δὲ, οἷον ὁ ἐμὸς δοῦλος. ἐπὶ δὲ τῶν κτητικῶν ὀνομάτων, οὐδὲν τοιοῦτον εὕρηται. ἀεὶ γὰρ πρὸς ἥττονα θέλει εἶναι ἡ σχέσις, καὶ οὔτε πρὸς μείζονα, οὔτε πρὸς ἴσον. οὐδεὶς γὰρ λέγει Ἀριστάρχειος πατὴρ ἢ φίλος, Ἀριστάρχειος δὲ ἀγρὸς λέγεται. τούτου χάριν αἰάντειος μὲν υἱὸς λέγεται, ἐπεὶ πρὸς ἥττονά ἐστιν ἡ σχέσις. αἰάντειος δὲ ἀδελφὸς, οὐ λέγεται πρὸς ἴσον γάρ. ὥσπερ γὰρ τὸ ὑδροφόρος

παρο-

παροξυτόνως μὲν σημαίνει ἐνέργειαν, προπαροξυτόνως δὲ πάθος. τὸ μὲν γάρ ἐστιν ὁ φέρων τὸ ὕδωρ, τὸ δὲ τὸ ἀπὸ ὕδατος φερόμενον. ἄρα καὶ ἐν πᾶσι τοῖς ἀπὸ ῥημάτων συντιθεμένοις, τοιοῦτον εἶναι εὑρίσκομεν, φασὶν ὅτι ἐπίταν. ὅτι δὲ ἔνια μόρια παραβαίνοντα τὸν λόγον, ὡς αἱ προθέσεις καὶ τὰ ἐπιτατικά. οἷον ἐπίσκοπος, καὶ ζάχρυσος, ἐνέργειαν σημαίνει οὐ πάθος, καὶ προπαροξύνεται, καὶ τὰ ὅμοια, ὥσπερ τὸ ναύβατος. παροξυτόνως μὲν παθητικός, προπαροξυτόνως δὲ ἐνεργητικός. τὸ μὲν γὰρ δηλοῖ τὸν ἐμβαίνοντα ἐπὶ τὴν ναῦν, τὸ δὲ τὸν ὑπὸ τῆς νηὸς βαινόμενον. ἄρα καὶ τὰ λοιπά, τὸν αὐτὸν λόγον φυλάττει.

Ὕιος ἄποινα, ἤγουν υἱοῦ. ὡς ἀπὸ εὐθείας, τῆς υἷς υἱός, καὶ υἷος κατὰ κρᾶσιν.

Ὑἱὸς, παρὰ τὸ ὕω, τὸ βρέχω. ὁ τοῦ πατρὸς καὶ τῆς μητρὸς ὢν εὐφρασία. ἢ υἱὸς κυρίως ἐστί, δευτερότης ὑποστάσεως ἐν ταυτότητι φύσεως, ἢ αὔξησις προσώπων. ὁ μονογενής. ἢ πρόοδος φύσεως εἰς συγγένειαν γνωριζομένη. ἔστι δὲ ὄνομα πρός τι, τῶν ἀφ' οὗ ἐστι λεγόμενον.

Ὕις τοῦ υἷος, καὶ υἷος. τῷ υἷι, τὸν υἷια καὶ υἷα, οἱ υἷιες, τῶν υἱῶν, καὶ υἷων. τοῖς υἷισι, καὶ υἱᾶσι, τοὺς υἱίας, καὶ υἷιας, ὦ υἷιες, καὶ υἷες. καὶ ἄλλως, ὁ υἱεὺς, τοῦ υἱέος, τῷ υἱέι, καὶ υἱεῖ, τὸν υἱέα, ὦ υἱεῦ. τὼ υἱέε καὶ υἱῆ, τοῖν υἱέοιν, καὶ υἱοῖν, ὦ υἱέε υἱῆ. πληθυντικὰ, οἱ υἱέες, καὶ υἱεῖς, τῶν υἱέων καὶ υἱῶν, τοῖς υἱέσι. ὥσπερ δρομέσιν ἀποβολῇ τοῦ ῡ, τοὺς υἱέας καὶ υἱεῖς, ὦ υἱέες καὶ υἱεῖς. ὁ υἱὸς, τοῦ υἱοῦ, τῷ υἱῷ, τὸν υἱὸν, ὦ υἱέ. ὡς ὁ λόγος τοῦ λόγου.

Ὑιωνὸς, υἱοῦ υἱός. ὅ ἐστιν ἔκγονος.

Ὑἱώσεις, αἱ υἱοθεσίαι. καὶ υἱώσατο, ἀντὶ τοῦ υἱὸν θετὸν ἐποίησε. καὶ υἱῶσαι, ἡ χρῆσις παρὰ Αἰολεῦσιν.

Ὑκελὸν, ὑγιές.

Ὕκος, ἐρυθρῖνος.

ΤΟ' Υ'. ΜΕΤΑ' ΤΟΥ' Λ'.

Ὑλαγμὸς, βοή.

Ὑλάει, θρυλλεῖ.

Ὑλάζεσθαι, ξυλίζεσθαι.

Ὑλακὴ, ὑλαγμὸς, βοή.

Ὑλακόμωροι κύνες, κατὰ μὲν Ἀρίσταρχον οἱ ὀξύφωνοι. ἐπεὶ καὶ μῶρον ἐν ἄλλοις ἐδηλώθη λέγεσθαι τὸ ὀξὺ, ὃ ἐξεστάθη ἐν τῷ ὑλακόμωροι. κρεῖττον δέ φασιν ἀποδιδόναι, οἱ περὶ τὴν ὑλακὴν μεμορημένοι, ὅ ἐστι πεπονημένοι. ἐκπαθέντος καὶ πάλιν τοῦ ο τῆς παραληγούσης. ἢ καὶ οἱ περὶ ὑλακὴν ὄντες. παρὰ τὴν ὤραν, τὴν φυλακὴν, ἵνα εἶεν ὑλακόωροι, πλεονάσαντος δὲ τοῦ μ ὑλακόμωροι. ἀπὸ δὲ τῆς τοιαύτης ὤρας, καὶ τοῦ ἐξ αὐτῆς ῥήματος τοῦ ὠρεῖν, ὁ πυλωρὸς, καὶ ἀρκύωρος, καὶ τὰ ὅμοια.

Ὑλακόμωροι, οἱ περὶ τὸ ὑλακτεῖν μεμορημένοι. ὅπερ ἐστὶν ἴσον τῷ πεπονημένοι, οἱ βαρύφωνοι, ὀξύφωνοι.

Ὑλακτεῖν, ἐπὶ κυνός. καὶ ὑλακόμωροι κύνες, οἱ τῇ ὑλακῇ μεμορυμένοι, ἤγουν ἀποκεκληρωμένοι.

Ὑλακτεῖν δὲ, καὶ ὑλάειν δῆλον ὅτι διαφορά εἰσι, πρωτότυπον δὲ τὸ ὑλάειν. δεύτερον δὲ ἀπ' αὐτοῦ τὸ ὑλάσσειν. ἐξ οὗ ὄνομα ὑλακτὸς, καὶ ἀπ' αὐτοῦ ῥῆμα τὸ ὑλακτεῖν. ὅμοια τῷ τάσσω, ἄτακτος, ἀτακτῶ.

Ὑλακτῶν, μετὰ μανίας κράζων.

Ὕλαον, ὑλάκτουν.

Ὑλαλοῦν, ὑλακτοῦν.

Ὕλας, Ἡρακλέους ἐρώμενος. υἱὸς Θειοδάμαντος τοῦ Δρύοπος. οὕτω Μνασέας. Ἑλλάνικος δὲ Θειομένητα Θειοδάμαντος καλεῖ. ὁ δὲ Ἀπολλώνιος, Θειοδάμαντος τὸν Ὕλαν φησὶν υἱὸν εἶναι. Ἑλλάνικος δὲ Θειομένους. Ἀντικλείδης δὲ ἐν δηλιακοῖς ἱστόρησεν, οὐ τὸν Ὕλαν εἰς τὴν ὑδρείαν ἐξεληλυθέναι, ἀλλὰ τὸν Ὕλον, καὶ ἀνάρπαστον γενέσθαι. ἐγένοντο δὲ πολλοὶ ἐρώμενοι Ἡρακλέους, Ὕλας, Φιλοκτήτης, Δίομος, Περιθόας, καὶ Φρύξ. ἀφ' οὗ πόλις Λιβύης. Σωκράτης δὲ ἐν τῷ πρὸς εἰδόθεον, φησὶ τὸν ὕλαν ἐρώμενον Πολυφήμου, καὶ οὐχ Ἡρακλέους γενέσθαι. Ὄνασος δὲ ἐν πρώτῳ ἀμαζονίδων, ἀληθέστερον τὴν ἱστορίαν ἐκτίθεται. οὐχ ἡρπάσθαι αὐτὸν ὑπὸ Νυμφῶν, ἀλλὰ κατηνέχθαι εἰς κρήνην, καὶ οὕτως ἀποθανεῖν.

Ὑλάσασθαι, ξύλα συναγαγεῖν.

Ὕλασσα, ἡ ξυλία καὶ φρυγανισμός.

Ὑλάστριαι, καὶ οἱ λαζόμενοι, οἱ ξύλα συλλέγοντες. καὶ ὑλοφόροι, οἱ ξυλοφόροι. καὶ ὑλιουργοὶ, οἱ ὑλοτόμοι.

Ὑλᾶται, ἐστερήθη, ἀπέθανεν.

Ὑλέες, οἱ ἐν Κρήτῃ Κυδώνιοι.

Ὕλη ἐστί, τὸ ὑποκείμενον πάσῃ γενέσει, καὶ φθορᾷ, καὶ ταῖς ἄλλαις μεταβολαῖς.

Ὕλη παρ' Ὁμήρῳ ἐν καταλόγῳ, ἀπὸ Ὕλης θυγατρὸς Θεσπιέως, ἢ ὅτι ὑλώδης ἐστί. φασὶ γὰρ οἱ παλαιοί, ὅτι ὕλη καὶ εἰλέσιον καὶ ἐλεὼν, ὑλώδεις εἰσὶ τόποι Βοιωτῶν, καὶ ἑλώδης. ὁ Γεωγράφος δέ φησιν ὅτι ἐλεὼν, κώμη ταναγρική, ἀπὸ τῶν ἑλῶν καλουμένη. καὶ ὅτι ἕλος καὶ ἐλεὼν καὶ εἰλέσιον, διὰ τὸ ἐπὶ ἕλεσιν ἱδρῦσθαι.

Ὕλη λέγεται παρὰ τοῖς Φιλοσόφοις, ἡ ἀνείδεος, καὶ ἡ τοῦ ἀνδριάντος ὕλη, οἷον ὁ χαλκός. παρὰ δὲ τοῖς Ποιηταῖς, ὕλη, τὸ ἄλσος. παρὰ δὲ τοῖς Ῥήτορσιν, ὕλη λόγων, ἡ ὑπόθεσις αὐτῶν. ἄλσος μὲν καὶ δρυμὼν καὶ λόχμη, τὸ ἐπὶ στερεᾶς γῆς. ἕλος δὲ, τὸ λιμνῶδες, καὶ καλαμῶδες. σημαίνει δὲ ἡ ὕλη τρία, τὰ ξύλα, καὶ τὸν σύνδενδρον τόπον, καὶ ὄνομα πόλεως.

Ὑλήεντι Ζακύνθῳ, ὅμοιόν ἐστι τῷ, ἠμαθόεντι Πύλῳ. ὑλήεις δὲ, τουτέστιν ὕλην ἔχουσα, καὶ οὐ τραχεῖα κατὰ τὴν Ἰθάκην. ἥτις κραναὴ λέγεται, διὰ τὴν τραχύτητα.

Ὕλην ἄγειν, παρὰ τῷ Ποιητῇ δύναται καὶ ἀντὶ τοῦ κλᾷν καὶ θραύειν εἶναι, κατὰ τὸ νέα μέν μοι ἔαξε Ποσειδῶν. τὸ δὲ τοιοῦτον ἄγειν, καὶ ἀγνύειν λέγεται.

Ὑλήωροι, οἱ ἐν τοῖς ὄρεσι διατρίβοντες.

Ὑλήωροί, τέκτονες.

Ὕλην χιοσίαν, τὸν στέφανον.

Ὑληρεὺς, νομεὺς, ἐν ὕλῃ φυλάττων.

Ὕλης μητέρα, εἶδος σκώληκος ὃ καλεῖται ὑλομήτρα. ἄλλοι δὲ βόμβυκα.

Ὑλήτης, οἴνου εἶδος.

Ὕλιγγες, λόγχαι.

Ὕλις ὕλιος, μεταπλασμός ἐστιν ἀπὸ τοῦ ὕλη τοῦ μακροῦ, γίνεται παρὰ τὸ ὕεσθαι, ὅ ἐστι βρέχεσθαι, ἡ δι' ὑγροῦ αὐξανομένη.

Ὑλίμη, μαχητίς.

Ὑλίαι, τὰ πρὸς καττύμασι δέρματα.

Ὑλίας, τοὺς καρπατίμους τόμους.

Ὑλλεῖ, θρυλλεῖ, λέγει.

Ὑλλήων ἔθνος, περὶ τὴν Ἰλλυρίαν, ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους καὶ Μελίτης ὠνομασμένον.

Ὑλλικὸς λιμὴν, ἀπὸ Ὕλλου τοῦ Μελίτης καὶ Ἡρακλέους.

Ὕλλος, ὁ υἱὸς τοῦ Ἡρακλέους.

Ὕλλος, ποταμὸς Λυδίας.

Ὕλογος, στρατὸς. Περγαῖοι.

Ὕλοι, σπόνδυλοι.

Ὑλομανούντων, μεμηνότων. περὶ τὴν ὕλην, τῇ ὕλῃ χαιρόντων.

Ὑλοτόμος, ξυλοτόμος.

Ὕλῳ ἰχθυόεντι, ὄνομα ποταμοῦ, ἰχθύας ἔχοντι.

Ὑλωρὸς, ὕλην φυλάσσων.

ΤΟ' Υ'. ΜΕΤΑ' ΤΟΥ' Μ', Ν'. Ξ', Ο', καὶ Π'.

Ὑμὰ, ὑμέτερα.

Ὑμεδαπῶν, τοῦ ὑμετέρου ἐδάφους.

Ὑμέναιος, λαμβάνεται παρ' Ὁμήρῳ καὶ ἀντὶ τοῦ γαμήλιος ᾠδή. ὡς τὸ ὑμέναιος ὀρώρει καὶ πολὺς δ' ὀρυγμαδὸς ὀρώρει. γίνεται δὲ ἡ λέξις, ἢ παρὰ τὸ ὑμνεῖν, ὡς οἷον ὑμναιός τις, ἢ παρὰ τὸ ὁμοῦ ναίειν τοὺς νυμφίους, ὡς οἷον ὁμόναιος. ἢ παρὰ τὸν παρθένειον ὑμένα, ὡς παραδηλοῖ καὶ τὸ ὑμήν. ὦ ὑμέναιε ὦ, παρὰ τῷ κωμικῷ. οὐ δὴ διαλέκτῳ ὑμένος χρῆσις καὶ παρὰ τῷ δειπνοσοφιστῇ, ἐν τῷ ἐξήλαυνόν τινες τὸν ἄργυρον, εἰς ὑμένος ἰδέαν, ἤγουν ἄγαν ἐλαύνοντες λεπτότατον ἐποίουν ὑμένος δίκην. καὶ ἄλλως, ὑμέναιος ὑπὸ Ὑμεναίου τινὸς ἀργείου, ὃς παραπλέων Ἀθήνας, ἔπαυσε βίαν, ἣν λῃσταὶ πελασγοὶ ἐπῆγον παρθένοις Ἀττικαῖς, αἳ γάμῳ νομίμῳ ὕστερον ἐκδοθεῖσαι, ᾠδὴν ᾖσαν ἐπ' αὐτῷ, ἣν ὁμωνύμως ἐκάλουν ὑμέναιον. καὶ ἐξ αὐτοῦ πᾶς ὁ ἐν γάμῳ ὕμνος, ὑμέναιος. ἕτεροι δὲ περικαλλῆ τινα νεανίαν ἱστοροῦσιν ὑμέναιον πρὸ ὥρας θανόντα, καὶ εἶναί τινα λόγον αὐτοῦ ἐν τοῖς γάμοις, ὃν καλεῖσθαι ὑμέναιον.

Ὑμενεοῖ, εἰς γάμους ἄγοιτο, παρὰ τῷ Ἀριστοφάνει.

Ὑμένιον, λεπτόν.

Ὑμενῶδες, λεπτότατον καὶ οἷον εἰπεῖν ἀερῶδες. ὁ γὰρ ὑμὴν, ὑφὴν τίς ἐστιν. ἢ ὕφασμα εἶναι, λεπτὸν ὑμένα.

Ὑμὴν, ἀντὶ τοῦ ὑμετέραν φησὶν Ὅμηρος, εὖ ναιομένην πόλιν ὑμήν. ἐν Ὀδυσσείᾳ δὲ ὑμὰ κτήματα λέγει, τὰ ὑμέτερα. ὥστε ἔοικεν εὐθεῖα εἶναι ὁ ὑμὸς, ὁ ὑμέτερος, εἰ καὶ μὴ ἐν χρήσει εὕρηται. ὥσπερ καὶ σφὸς ὁ ἴδιος, αὐτὸ μὲν σεσίγηται, ἔχει δὲ κινούμενα ἐξ αὐτοῦ. ὅτι δὲ καὶ ἁμός ἐστιν ὁ ἡμέτερος ἐν πρώτῳ προσώπῳ, δηλοῖ ὁ γράψας ἁμὸν πατέρα.

Ὑμήττιος Ἀπόλλων, ὁ ἐν Ὑμηττῷ τιμώμενος. καὶ ὑμήττιος Ζεὺς, παρὰ Ἀττικοῖς.

Ὑμήττιον μέλι, τὸ εὔχρηστον πρὸς ἰατρείαν. ὑμήττιος, τόπος Ἀττικῆς, ἐν ᾧ λέγεται εὔχρηστον μέλι γίνεσθαι.

Ὕμιν, εἶδος ἐνδύματος.

Ὕμμες, ἀντὶ τοῦ ὑμεῖς λέγουσιν Αἰολεῖς. ἡ τοῦ ὕμμι ψίλωσις, καὶ ὀξυτόνησις, καὶ ἡ ἐν αὐτῷ διπλόη τοῦ μ, καὶ ἡ ἐκκοπὴ τοῦ ν, Αἰολέων εἰσίν.

Ὑμμητὸς, ὄρος Ἀττικόν.

Ὑμνεῖν λέγεται, τὸ εὐφημεῖν καὶ ἐξαίρειν. καὶ ἐπὶ θείων καὶ ἀνθρωπίνων τιθέμενον. λέγεται ὑμνεῖν, καὶ τὸ ᾄδειν. λέγεται καὶ τὸ θρυλλεῖν. λέγεται ὑμνεῖν καὶ τὸ μνημονεύειν. καθὸ καὶ Σοφοκλῆς, βαιὰ μὲν, ἀεὶ δ' ὑμνούμενά μοι, ἀντὶ τοῦ ἀεὶ μνημονευόμενα ἐμοί.

Ὑμνηπολείτω, ἀντὶ τοῦ ὑμνείτω.

Ὕμνος, ἡ πρὸς τὸν Θεὸν ᾠδή. ἀφ' οὗ ὑμνοπόλος παρὰ τοῖς Ποιηταῖς, ταυτὸν τῷ ἀοιδοπόλος, ἤγουν ὁ Ποιητής.

Ὕμνος προσῳδίας, ὕμνος ἐγκωμίου, ὕμνος παιᾶνος, καὶ τὰ ὅμοια.

Ὕμνος ἐστὶν, αἶνος ἐμμελής.

Ὑμνίον, τὸν ἀμόλγην Διόνυσον.

Ὑμνοθέται, ποιηταί.

Ὑμνοποΐαι, σύνοδοι τῶν ἐπ' ἔτος γεγαμημένων.

Ὑμνῶ, γεραίρω, μεγαλύνω, σεμνύνω, καὶ ἀποσεμνύνω, δοξολογῶ, ταυτόν.

Ὕμοιον, ἀντὶ τοῦ ὅμοιον λέγουσιν Αἰολεῖς.

Ὕμος, ἀντὶ τοῦ ὑμέτερος Δωρικῇ διαλέκτῳ. καὶ ὕμες ἀντὶ τοῦ ὑμεῖς οἱ αὐτοὶ λέγουσιν.

Ὕναν, τὴν εἰρήνην.

Ὕνις, τὸ τοῦ ἀρότρου σιδήριον, καὶ κλίνεται ὕνεως.

Ὑνναρεὺς Ζεὺς, ἀπὸ τοῦ ὑνναρίου ὄρους.

Ὕννος, πῶλος, ὁ ἐν τῇ γαστρὶ νοσήσας πρὶν κυηθῆναι.

Ὕντωσαν, συμπαρῆσαν.

Ὕξον, βοήθησαν.

Ὑοβότης, συοβόσκης.

Ὑολὸς, τόπος συῶν βορβορώδης.

Ὑομουσίας. Ἀριστοφάνης, ἔγωγε θαυμάζω τῆς ὑομουσίας, τῆς χοιρωδίας, τῆς ἀπαιδευσίας.

Ὑοσκύαμος, ὃν οἱ πίνοντες μαίνονται, καὶ ὑοσκυαμᾷν, τὸ μεμηνέναι καὶ παραπαίειν. ὡς Φερεκράτης κοριανοῖς. ἔστι δὲ ὁ ὑοσκύαμος, εἶδος βοτάνης.

Ὑομεμνία, ἑορτή τις ἐν Ἄργει.

Ὑομένη, βρεχομένη.

Ὕον, ὅμοιον.

Ὑοχαὶ, τὸ βορβορῶδες ὕδωρ.

Ὑπαγγέλλω, τὸ ὑπαγορεύω, καὶ ὑποφωνῶ, ἀπὸ ἐλάττονος καὶ αὐτοπροσώπου, πρὸς μεῖζον λεγόμενον.

Ὕπαγε, ἀντὶ τοῦ ἄπελθε. Ἀριστοφάνης, ὕπαγε θᾶττον ἀφ' ἡμῶν.

Ὕπαγε ζυγὸν, ἀντὶ τοῦ ὑπὸ τὸν ζυγὸν ἦγεν. ὡς τὸ ὑπὸ ζυγὸν ἄγαγεν ὠκέας ἵππους.

Ὑπά-

Digitized by Google

Ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ, ἀντὶ τοῦ ἀναχωρεῖτε. Ἀριστοφάνης.

Ὑπάγειν, τὸ ὑπὸ ζυγὸν ἄγειν βοῦς, ἢ ἵππους, ἢ τι τῶν τοιούτων. καὶ λέγομεν ὑπάγειν, ἀντὶ τοῦ προάγειν. ὥσπερ ὑφηγητὴν, ἀντὶ τοῦ προηγητήν. ὑπάγειν, καὶ τὸ ὑποβάλλειν λέγεται. ὑπάγει, τὸ ἠρέμα καὶ κατὰ μικρὸν ἄπεισιν. ὑπάγει, καὶ τὸ ὑποβάλλει, καὶ ὑποτίθησιν. οἷον, ὑπάγει συλλογισμοὺς ὡς ἐχθρὸς, ἀντὶ τοῦ ὑποβάλλει. καὶ ὑπάγει τὴν κρηπῖδα τῷ τοίχῳ, ἀντὶ τοῦ ὑποτίθησιν. ὑπάγει, ἀντὶ τοῦ ἀπέρχεται, καὶ ἀντὶ τοῦ ἐγκαλεῖ, καὶ ἀντὶ τοῦ ἐξαπατᾷ, ὑπάγοντος τοῦ κέρδους αὐτόν. τὸ ὑπάγειν τοῦ πορεύεσθαι διαφέρει. ὑπάγειν μὲν γάρ ἐστι, τὸ ὑπὸ ζυγὸν ἄγειν, καὶ δουλοῦν βόας, ἢ ἵππους. καὶ Ὅμηρος, ὕπαγε ζυγὸν ὠκέας ἵππους. πορεύεσθαι δὲ, τὸ βαδίζειν. τὸ δ' ὑπ' Ἀριστοφάνους λεγόμενον ὑπάγειν, ἀντὶ τοῦ προάγειν ἐστὶν, ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ. ὥσπερ γὰρ ὑπογραμμὸν ἀντὶ τοῦ προγραμμόν. καὶ ὑφηγητὴν, ἀντὶ τοῦ προηγητὴν, οὕτω καὶ ὑπάγειν, ἀντὶ τοῦ προηγεῖσθαι λέγουσι. καὶ Εὔπολις, σὺ δ' ὑπάγεις τοὔμπροσθεν.

Ὑπαγορεύει, λαλεῖ. μεταβατικῶς καὶ ἀμεταβάτως.

Ὑπαγορία, συμβουλία.

Ὑπαγωγεὺς, τὸν ξυστῆρα λέγουσι. πλατὺ δέ ἐστι σιδήριον, ᾧ ξύουσι τὸν πηλόν. ὁ δὲ ὑπαγωγεὺς, ὥς τινες σιδηροῦν τι οἷον πτυΐδιον, ᾧ ἐχρῶντο οἱ κονιαταί. οἱ δὲ, ἐργαλεῖον οἰκοδομικὸν, ᾧ ἀπευθύνουσι τὰς πλίνθους πρὸς ἀλλήλας. τινὲς δὲ αὐτὸ παράξυστον καλοῦσιν. εἰ μὴ ἄρα πηλόν τινα ὑπαγωγέα καλοῦσι. τοιοῦτον γάρ τι καὶ Ἕρμιππος ἐν τοῖς τριμέτροις ἐμφανίζει.

Ὑπαγωγὴ, ὑποχώρησις.

Ὑπάγων, ὑπὸ δίκην ἄγων.

Ὑπαγμένοι, δοῦλοι, ὑπουργοί.

Ὑπαὶ, πρὸ τοῦ καὶ ναῦ, ὑπαὶ πόδα.

Ὑπαὶ δέους, ὑπὸ τοῦ δέους.

Ὑπαιδράσειεν, ὑπόψειαν.

Ὑπαὶ πτερύγων, ἀντὶ τοῦ μετὰ πτερύγων. Ἡσίοδος, αἴγες μὲν γελόωντες ὑπ' αὐλητῆρος ἕκαστος. Ἀρχίλοχος, ᾄδων ὑπ' αὐλητῆρος.

Ὑπαὶ δὲ ἴδεσκεν. ὅ ἐστιν, ἐπεβλέπετο, παρασύρων ἴσως τὸ βλέμμα, λόγῳ βλοσυρόποτος, κατὰ χθονὸς ὄμματα πήξας. ὑπάρξει παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ω, ἀντὶ τοῦ προκατάρξει, οὕτω καινῶς καὶ προωτοθέτως, λεγόμενον παρὰ τῶν παλαιῶν. ὅπερ οἱ μεθ' Ὅμηρον καὶ κατάρχειν φασὶν, ἀφ' ὧν καὶ ἡ καταρχὴ τῶν ἔργων, καὶ ὑπαρχὴ, ὡς δηλοῖ καὶ τὸ ἐξ ὑπαρχῆς. λέγει δὲ ἡ ῥηθεῖσα γνώμη, ὅτι θέμις, τουτέστι, δίκαιον ἀντιξενίζειν τὸν ὑπάρξαντα κατὰ τὸ δόμεν, ἤγουν δὸς, ὅσκεν δῶ, τὸ ἡσιόδειον, καὶ ἵνα χάρις χάριν εἴη ἡ τίκτουσα κατὰ τὸ ἐν ἄλλοις ῥηθὲν χαρίτων ἴδιον.

Ὕπαιθα λιάσθη, ἀντὶ τοῦ εἰς τὸ ἰθὺ καὶ ἀντικρὺ, καὶ ἔμπροσθεν. ἐκ πλαγίων γὰρ νοῆσαι τὸ ὕπαιθα. οὐκ ἀρέσκει τοῖς παλαιοῖς. λιάσθη δὲ, οὐ τὸ ἐξέφυγεν, ἀλλὰ κατεκλίθη. ὡς τὸ, ὁ δ' ἄρα πρηνὴς ἐλιάσθη.

Ὑπ' αἰθέρι, παρ' Ὁμήρῳ ἐν τῷ ρ̄ τῆς Ἰλιάδος, ἀντὶ τοῦ ὑπὸ αἰθρίᾳ, καὶ καθαρῷ ἀέρι, καὶ ἀνεφέλῳ. διαστέλλει γὰρ ἐνταῦθα φανερῶς, αἰθέρα καὶ ἀέρα. οὗτος μὲν γὰρ σκοτεινός. διὸ καὶ ἠέρα τὴν ἀορασίαν φαμέν. ἐκεῖνος δὲ λαμπρὸς, καὶ ὡς ἐρρέθη ἀνέφελος.

Ὕπαιθρα, ἄνακτα ἐποίπνυον, ἤγουν ἐπονοῦντο ἔμπροσθεν τοῦ Ἡφαίστου παρ' Ὁμήρῳ.

Ὕπαιθρον, μὴ λέγε. τὸ δὲ γὰρ ὑπαίθριον, τετρασυλλάβως.

Ὑπαίθριον, ὑπὸ τὸν ἀέρα.

Ὑπαιθριάζει τὰς νεφέλας λέγει Ἀριστοφάνης, ἤγουν σκορπίζει, διδίαν ἄγει.

* Ὑπαικάλλων, σαίνων.

Ὑπαικαλύσας, ὑποστρέψας.

Ὑπαλίχαζεν, ἐκ πέζας ὑποχώρει.

Ὑπαινίττεται, ἐμφαίνει, δηλοῖ.

Ὑπαίρω τὸν ὅρκον, ἀντὶ τοῦ προαίρω.

Ὑπακοή ἐστι, παντελὴς ὑποταγὴ ἰδίου θελήματος.

Ὑπαίξας, ὑφορμήσας.

Ὑπακοῦσαι, ἀντὶ τοῦ ὑποταγῆναι, καὶ συντάσσεται δοτικῇ. καὶ ὑπακοῦσαι, ἀντὶ τοῦ ἁπλῶς ἀκοῦσαι, καὶ συντάσσεται αἰτιατικῇ.

Ὑπακτέον, πορευτέον. ἐκ τοῦ ἄγω ἀκτέον καὶ ὑπακτέον.

Ὑπάλειπτρον, ἐλασμάτιον, ᾧ ἄν τις ὑπαλείψαιτο τοὺς ὀφθαλμοὺς, παρὰ τῷ Ἱπποκράτει.

Ὑπάλειψον, ἀντὶ τοῦ ἔγχρισον, Ἀριστοφάνης.

Ὑπαλλαγή ἐστιν, ὅταν ἐπιτιμήσαντες τῷ πρώτῳ ὀνόματι, ἕτερον προσλάβωμεν. οἷον, οὐκ ἔστι τοῦτο φιλανθρωπία, ἀλλ' ἔρως. καὶ οὐκ ὀργίζετο, ἀλλ' ἐμαίνετο.

Ὑπάλλειπτον, ἔγχριστον φάρμακον παρὰ τῷ Ἱπποκράτει.

Ὑπαλευάμενος, φυλαξάμενος.

Ὑπαλύξαι, ἐκφυγεῖν, ἐκκλῖναι.

Ὑπαλλάττειν, τὸ μὴ κύριον, ἀντὶ τοῦ κυρίου λέγειν.

Ὑπαλεύω, ἀντὶ τοῦ ἀπαλεύω, ἐκφεύγω.

Ὑπαλύξας, ἐκκλίνας.

Ὑπαναχωροῦσιν, ἡσυχῇ καὶ βάδην, τουτέστιν ἐπὶ πόδα ἔρχονται, ἢ χολαίῳ ποδί.

Ὑπ' ἀνέρος, ὑπ' ἀνδρός.

Ὑπ' ἀνθερεῶνος, τὸν ὑπογένειον τόπον.

* Ὑπανθηρὸν, τὸ ὕφαιμον καὶ ὑπέρυθρον.

Ὑπαιτοῖντο παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ μετὰ βίας ἀπαιτοῖντο.

Ὑπαντιάξας, ἐξ ἐναντίας, ἀντὶ τοῦ ὑπαντιάσας, συναντήσας.

Ὑπαντιάζει, ἀπαντᾷ. ὑπαντῆσαι, ἐπὶ ὁδοῦ λέγεται. ἀπαντῆσαι δὲ, τὸ περιτυχεῖν δίκῃ. οἷον ἀπάντησε κατὰ τὴν δίκην.

Ὑπάντλεια, χαλκὰ ἀγγεῖα, κάδοι.

Ὕπαντροι, οἱ ὑπὸ τὸ σπήλαιον.

Ὑπανύεσθαι, ὑπουργεῖν.

Ὑπ' ἄξοσι φῶτας πίπτειν, πρηνεῖς ἐξ ὀχέων. δηλοῖ τοὺς ἐξ ἁρμάτων πίπτοντας, εἶτα πιεζομένους τοῖς τῶν φευγόντων ἱππέων ἄξοσι.

Ὑπαπίει, ὑποστρέφει.

Ὑπ' ἀπειρίας, ὑπὸ ἁμαρτίας.

Ὑπαποστρέχειν, ὀπίσω τρέχειν.

Ὕπαρ, ἀλήθεια, καὶ οὐκ ὄναρ.

Ὕπαρ, τὸ μεθ' ἡμέραν ὄναρ ἐν ἡμέρᾳ. οἷον φανερῶς, ἐναργῶς, ἀληθές.

Ὑπάργυρον, τὸ κινάμωμον.

* Ὕπαρ ἐναργὴς ὄψις καὶ ὅρασις. ἡ δ' ἀπειρίη κακὸς θησαυρὸς καὶ κακὸν κειμήλιον τοῖσιν ἔχουσιν αὐτὴν καὶ ὄναρ καὶ ὕπαρ.

* Ὕπαρ, ἐγρήγορσις, ὀπτασία ἀληθὴς, οὐκ ἐν ὀνείρῳ ἀλήθεια, οὐκ ὄνειρος. οἷον ὕπαρ, οὐκ ὄναρ φαινόμενον.

Ὑπαρκτὰ, μόνιμα, ὑπάρχοντα, παρὰ τὸ ὑπάρχω.

Ὕπαρνος, ποίμνη ἄρνας ἔχουσα.

Ὑπάρξαι, τὸ, τε γενέσθαι καὶ τὸ κατάρξασθαι.

Ὑπάρξει, ἀντὶ τοῦ προκατάρξει. οὕτω καινῶς, καὶ πρωτοθέτως λεγόμενον παρὰ τῶν παλαιῶν. ὅπερ οἱ μεθ' Ὅμηρον καὶ κατάρχειν φασίν. ἀφ' ὧν καὶ ἡ καταρχὴ τῶν ἔργων, καὶ ἡ ὑπαρχή. ὡς δηλοῖ καὶ τὸ ἐξ ὑπαρχῆς. λέγει δὲ Ὅμηρος ἐν Ὀδυσσείᾳ ὅτι θέμις, τουτέστι δίκαιον ἀντιξενίζειν τὸν ὑπάρξαντα, κατὰ τὸ δόμεν, ἤγουν δός. ὅσκεν δῶ, τὸ ἡσιόδειον. καὶ ἵνα χάρις χάριν εἴη ἡ τίκτουσα κατὰ τὰ ἐν ἄλλοις ῥηθέντα, χαρίτων ἴδιον.

Ὑπάρχει ἔχων, ἤγουν ἔχει Ἀττικῶς. ὁμοίως ἔχων κυρεῖ.

Ὕπαρχος, οἰκονόμος, πολέμου στρατηγός. * ὁ ὑφ' ἑτέρου ἀρχόμενος, ὁ ὑποτεταγμένος ἑτέρῳ. ὁ μὴ ὢν αὐτοκράτωρ.

Ὑπαρχούσαν, προγεγονυῖαν.

Ὑπάρχω, τὸ προκατάρχω. ὡς τὸ ὑπῆρξεν ἀδίκου μάχης. καὶ ὑπαρχὴ, ἡ προκάταρξις. καὶ ἀντὶ τοῦ εἰμὶ καὶ ὑπάρχω, τὸ ἀρχήν τινα ἄρχω.

Ὑπάρχω, πελῶ, χρηματίζω, εἰμὶ, τυγχάνω, ταυτόν.

Ὑπασπίδια προποδίζων, ὑπὸ τὴν ἀσπίδα τιθεὶς τοὺς πόδας, καὶ οὕτως προβαίνων.

Ὑπασπισταὶ, δορυφόροι, παρὰ τὴν ἀσπίδα. ἢ καὶ βοηθοὶ, καὶ ὑπηρέται.

Ὑπάσσιαι, ἔμπροσθεν.

Ὑπάτη, ὑψηλὴ, δυνατή.

Ὕπατε κρειόντων, βασιλεῦ βασιλευόντων.

Ὑπάτῳ, ἀνωτάτῳ, παρὰ τὸ ὕπατος ὃ σημαίνει τὸν ὑπερέχοντα καὶ ὑψηλόν. παρὰ τὴν ὑπὸ πρόθεσιν δηλοῦσαν τὸ ὑπεράνω, ὑπόστατος, καὶ συγκοπῇ ὕπατος.

* Ὑπάτη, χορδὴ μουσικὴ, βαρὺν φθόγγον ἀποτελοῦσα.

Ὕπατον μήστωρα παρ' Ὁμήρῳ, ἢ ὑφ' ἓν νοητέον, ἵνα δηλοῖ τὸν ὕπατον ἐν βουλευταῖς, ἢ ἰδίᾳ μὲν τὸν μήστωρα, ἰδίᾳ δὲ τὸν ὕπατον. αὐτὸ δὲ διχῶς νοεῖται. ἢ γὰρ ἁπλῶς πάντων ὕπατον, ἢ τῶν ἀρχόντων. κατὰ γὰρ τὸ ὕπατε κρειόντων. μήστωρ δὲ Ζεὺς, ὁ ἐν ἄλλοις μητιόεις καὶ μητίετα.

Ὑπ' αὐλὴν, ὑπ' οἶκον.

Ὕπαφρον, τὸ μὴ φανερὸν, ὕπαφρον λέγουσι, καὶ τὸ τὴν ὑγρασίαν ἔχον ἐμφερῆ ἀφρῷ. ἔνιοι κρύφιον καὶ ὕπουλον, τὸ ὕπαφρον.

Ὑπαχθέντες, ὑποβληθέντες, πεισθέντες, ἀπατηθέντες.

Ὑπέασιν, ἐληλύθασιν.

Ὕπεα, τὰ ὀπίσθια.

Ὑπέδυ, ὑπεισῆλθεν.

Ὑπεδείδισαν, ἔστι τοῦ μὲν ἐδείδισαν ἀρχὴ τὸ δεδίω. ἐξ οὗ ἐπενθέσει τοῦ ι, δειδίω. ὅθεν δειδία, ἡ νύξ. ὑπεδείδισαν, ἤγουν ἐδειλίασαν.

Ὑπεζύγωται, ὑπέζευκται, παρὰ τῷ Ἱπποκράτει.

Ὑπεδίσμευεν, ὑπεξέκειτο.

Ὑπεζευγμένος, ὑποτεταγμένος.

Ὑπεζωσμέναι, ἀναπείσαντες.

Ὑπέθηκε τὴν οὐσίαν ὁ δανειζόμενος. ὑπέθετο δὲ ὁ δανείζων.

Ὑπέθην, ἔμπροσθεν ὑπεκθήμην.

Ὑπέθεντο, συνεβουλεύοντο.

Ὑπεθωρήσσοντο λόχῳ, ἀντὶ τοῦ λάθρα καὶ κρύφα καὶ δολίως ὡπλίζοντο. δόλος γάρ τις ὁ λόχος. διὸ καὶ φησὶ, δόλον οὔτι προνόησαν. διὸ καὶ ἵζονται οἱ λοχῶντες. καὶ λόχον καθίζειν λέγεται ὁ λοχαγός. καὶ ἔστιν οἰκεῖον ἐπὶ δολιευομένων εἰπεῖν, τὸ οἱ δ' οὔπω πείθοντο, λόχῳ δὲ ὑπεθωρήσσοντο. ἔχει δέ τινα ὁμοιότητα πρὸς τὸ ὑπεθωρήσσοντο, καὶ τὸ ὑφαιρεῖν καὶ τὸ ὑφελέσθαι, ἃ καὶ αὐτὰ δόλον δηλοῖ, κλεπτικὸν μέντοι ἐκεῖνα.

Ὑπεδόμην, ἀντὶ τοῦ ὑπόπτευσα.

Ὑπείκει, ὑπακούει, ὑποχωρεῖ, ὑποτάσσεται.

Ὑπειλημμένη, ἀντειλημμένη, ὑπονενοημένη, ὑπειλεγμένη.

Ὑπειλλήθωσιν, ὑποσυστραφῶσι παρὰ τῷ Ἱπποκράτει.

Ὑπείνεχεν, ὑπέβαλεν, ὑπεῖχεν.

Ὑπεῖξά σοι, ὑπεχώρησά σοι.

Ὑπειπεῖν, ἀντὶ τοῦ προειπεῖν, καὶ ὑπολαβὼν, ἀντὶ τοῦ προλαβών.

Ὑπείπομεν, ἀντὶ τοῦ προείπομεν. καὶ ὑπειπεῖν, τὸ προαγορεύεσθαι.

Ὑπεὶρ ἅλα, ὑπὲρ τὴν ἅλα, ὑπὲρ τὴν θάλασσαν.

Ὑπείρεχον, ἀντὶ τοῦ ὑπερεῖχον. ἔστι ῥῆμα ἔχω, ὁ παρατατικὸς εἶχον, ποιητικῶς, μετὰ τῆς ὑπὲρ προθέσεως, ὑπέρεχον. καὶ πλεονασμῷ τοῦ ι, ὑπείρεχον.

Ὑπείρων, ἐκ μόνης τῆς ὑπὲρ προθέσεως παρῆκται. καθὰ καὶ ἐκ τῆς ἀντὶ, ὁ ἀντίος, μετὰ δὲ τῆς ἐν, καὶ ἐναντίος. οὕτω δὲ καὶ τῆς ἀνὰ, ἴσως ὁ ἄνιος. καὶ ἐκ τῆς ἀμφὶ, ὁ ἀμφιος χόριον. καὶ ἐκ τῆς περὶ ὁμοίως, ὁ πέριμος. καὶ ἐκ τῆς ὑπὸ, ὕπιος, ὁ παρὰ Ἀρριανῷ ποταμός.

Ὑπεῖχεν, ὑπέλαβεν.

Ὑπ' ἐκ Διὸς αἶσαν, παρὰ τὸ ἐκ Διὸς εἱμαρμένον.

Ὑπεκδράμω, φεύγω.

Ὑπέκειντο, ὑποκείμενοι ἦσαν.

Ὑπέκθεσις, ὑπόθεσις.

Ὑπεκινοῦντο, κατηνοίγοντο, ἢ ἐπτοοῦντο.

* Ὑπέκκαυμα, ἡ ὕλη τῆς φλογὸς, ἡ τροφὴ, τῶν παθῶν ὑπεκκαύματα, αἱ τροφαὶ τῶν παθῶν, αἱ τρέφουσαι τὰ πάθη.

Ὑπέκλινεν, ὑπέπαξεν.

Ὑπε-

Ὑπεκπέμπω, τὸ λαθραίως πέμπω τινά, συνεφελκομένης τῆς ἐκ προθέσεως, συντάσσεται μετὰ αἰτιατικῆς καὶ γενικῆς. Εὐριπίδης, λάθρα με ὑπεξέπεμψε Τρωϊκῆς χθονός.

Ὑπεκπροθέων, ὑπεκτρέχων.

Ὑπεκρεῖ, ὑπερέχει, ὑπερβάλλει.

Ὑπεκρούσω παρὰ τῷ Ἀριστοφάνει, ἐφθέγξω, ἀνεκρούσω. ἀπὸ μεταφορᾶς τῆς κιθάρας, ἢ τινὸς ἄλλου τοιούτου ὀργάνου.

Ὑπεκστῶμεν, ὑποχωρήσωμεν.

Ὑπέκτρεμον, τὸ ἔτρεμον.

Ὑπεκφυγέειν, καὶ ἀλύξαι παρ' Ὁμήρῳ φανερῶς ταυτολογοῦνται, διὰ σύγχυσιν τὴν τοῦ λέγοντος. ὅτι δὲ τὸ ἀλύξαι οὐ μόνον κοινότερον αἰτιατικῇ συντάσσεται, ἀλλὰ καὶ γενικῇ, δηλοῖ Σοφοκλῆς ἐν τῷ, οὐκ ἀλύξετον μόρου κακίστου.

Ὑπέλαιον, γλοιός.

Ὑπέλαβεν, ὑπεδέξατο.

Ὑπέλθοι μέλαθρον, ἀντὶ τοῦ εἰσέλθοι κεῖται παρ' Ὁμήρῳ, καὶ δοκεῖ κυριώτερον εἶναι τὸ ὑπέλθοι τοῦ εἰσέλθοι.

Ὑπελύσαο, λύω λύσω, ἔλυσα ἐλυσάμην, ἐλύσω καὶ διαλύσει Ἰωνικῇ ἐλύσαο, καὶ ὑπελύσαο.

Ὑπέμβρυον, νεογνὸν βρέφος.

Ὑπέμεινεν. Ὅμηρος, οὐδ' ὑπέμεινεν, ἀντὶ τοῦ οὐκ ἐκαρτέρησεν. ὅπερ ἀνέμεινε φασὶν οἱ μεθ' Ὅμηρον. ὅτι δὲ ἐκ τοῦ τοιούτου ὑπομένειν καὶ οὐ ὑσμίνη κατά τινας, ἤδη προγέγραπται.

Ὑπεμνάασθε, ἀντὶ τοῦ ὑπούλως, καὶ ψευδῶς, καὶ οὐ κατὰ νόμον ἐμνηστεύεσθε. ὥσπερ καὶ τὸ δμωαῖς παρευνάζεσθε, ἀντὶ τοῦ παρὰ τὸ δέον συγκοιμᾶσθε.

Ὑπεμνήμυκεν, ἀντὶ τοῦ κατὰ πάντα ἐστύγνακεν, ἢ μᾶλλον τεταπείνωται, καταβέβληται, τοῦτο δὲ εἰς γραφὴν μὲν πεζὴν οὐχ ἕλκεται. γίνεται δὲ ἐκ τοῦ ἠμύω τὸ ἐπικλίνω, ἤμυκε, καὶ Ἀττικῶς, ἐμήμυκε, καὶ πλεονασμῷ τοῦ ν, ἐμνήμυκεν, ἀντὶ τοῦ κάτω οἷον κεῖται, καὶ συγνάζων κατακέκλιται. ὅτι δὲ τοῦ ἠμύω πρωτότυπόν ἐστι τὸ μύω, ἐκδηλότατόν ἐστιν. αὐτὸ δὲ ἐπὶ βλεφάρων καὶ χειλέων, καὶ τινῶν ἑτέρων λέγεται. μέλλων δὲ αὐτοῦ, μύσω. ἐξ οὗ μύες, καὶ μυῶνες, οἱ κατὰ σῶμα. καὶ μύες τὸ ζωΰφιον. ἐκ δὲ τοῦ μύειν καὶ ποτήριον ἡ ἄμυστις. ἀφ' οὗ ἐστιν ἀμαρεὶ πιεῖν. καὶ ῥῆμα τὸ ἐκμυστίζειν, τὸ ἐφ' ἓν πνεῦμα πίνειν. ὡς τὸ, ἔπινε κἀξεμύστισε. καὶ ὥς φησιν Ἀθήναιος, ὡς καὶ τὸ, ἔπινον δὲ τὴν ἄμυστιν μετὰ μέλους μεμετρημένου πρὸς ἀκύστατον χρόνου.

Ὑπεμνήμυκεν. ἔστιν ἠμύω τὸ ἐπικλίνω, καὶ καταπίπτω. ὁ παρακείμενος, ἤμυκα. ὁ Ἀττικὸς ὤφειλεν εἶναι ἠμύμηκα. ἀλλ' ἐπεὶ ὁ Ἀττικὸς παρακείμενος ἀεὶ ἀπὸ βραχείας ἄρχεται, συνεστάλη τὸ η εἰς ε, καὶ ἐγένετο ἐμύμηκε καὶ πλεονασμῷ τοῦ ν διὰ χρείαν ποιητικὴν γίνεται ἐμνήμυκε, καὶ ὑπεμνήμυκεν.

Ὑπ' ἐμοὶ, ὑπὸ τὴν ἐμὴν ἐξουσίαν.

Ὑπεμφαίνοι, φανεροί.

Ὑπεναντίος, ἐχθρός.

Ὑπενεγκεῖν, τὸ ὑπομεῖναι.

Ὑπένερθεν, ὑποκάτωθεν. λέγεται καὶ χωρὶς τῆς ὑπὸ, ἔνερθεν, καὶ ἔτι νέρθεν χωρὶς τοῦ ε, ἐπὶ τοῦ αὐτοῦ, δηλοῖ κυρίως τὸ κάτωθεν. ὁ δ' ἀντιγέγωνεν ἔνερθεν. λέγεται δὲ ἐνίοτε, καὶ ἀντὶ τοῦ κάτω, κατὰ ποιητικὴν ἐξουσίαν.

Ὕπενες, εἰς τετάρτην.

Ὑπ' ἐνεσίησι, βουλαῖς.

Ὑπενηνεγμένον, ὑποκείμενον.

Ὑπενόθευσεν, ὑπέφθειρεν.

Ὑπεξάγει, ἀντὶ τοῦ ὑπεκφεύγει.

Ὑπεξαιρῆσαι, ἀντὶ τοῦ ὑπεξελὸν, ἀνελλιπές ἐστι. τοῦ γὰρ ἀορίστου μὴ ὄντος λέγω τοῦ ᾔρησα, οὐδὲ ἡ μετοχὴ αἱρήσας, τὸ οὐδέτερον αἱρῆσαν.

Ὑπεξαλέασθαι, ὑπεκκλίνειν.

Ὑπεξέθαυτο, ὑπεκέκαυτο.

Ὑπεξέφερε, προέτεινε, προεβάλλετο.

Ὑπεξήκριζον, ὕβριζον.

Ὑπεξῆλθον, ἀντὶ τοῦ κρυφίως ἔφυγον.

Ὑπεξηρήσθω, αἱρῶ αἱρήσω, ᾕρηκα ᾕρημαι, ᾑρήμην. τὸ προστακτικὸν, ᾕρησο ᾑρήσθω, καὶ ὑπεξηρήσθω.

Ὑπεξίσταμαι καὶ ἐξίσταμαι, τάσσεται ἐπὶ ὁδοῦ. ἐπανίσταμαι δὲ ἐπὶ καθέδρας, οἷον ὑπεξίσταμαί σοι τῆς ὁδοῦ. ὑπανίσταμαι δέ σοι τῆς καθέδρας.

Ὑπεξίει, ὑπεξίσταται.

Ὑπεξίστησι, μεθίστησιν.

Ὑπεξυρημένον τὸ γένειον, ἀντὶ τοῦ μετρίως παρατετιλμένον.

Ὑπεπίπτων παρὰ τῷ Ἀριστοφάνει, οἷον ἤσελγαιν, ἀντὶ τοῦ κατέφιλουν. πιττοῦν δέ ἐστι κυρίως, τὸ τὰς πλατείας ναῦς πίσσῃ χρίειν. ἔνθεν οὖν μετήνεγκε τὴν λέξιν. ἢ ἀντὶ τοῦ ἐκίνουν, συνῆλθον.

Ὑπέπισα, ὑπεπόπασα.

Ὑπεπόδισεν, ἀνεπόδισεν.

Ὑπέρα, τὸ ἐξηρτημένον τοῦ κέρατος τοῦ ἱστοῦ χοινίον, ᾧ ἀνίσταται, καὶ τείνεται τὸ χοινίον, ἢ παρὰ τὸ ὑπεράνω εἶναι.

Ὑπὲρ, γενικῇ μὲν ἐπὶ βοηθείας. οἷον ὑπὲρ Κτησιφῶντος ὁ λόγος. αἰτιολογίας, ὁμοίως τῇ περὶ, ὑπὲρ ἃ εἶπον πάλιν ἐρῶ. καὶ ὅταν τὸ ἐπάνω δηλοῖ, ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον. αἰτιατικῇ δὲ τὸ πλέον καὶ ἐπέκεινα, καὶ ὅλως ὑπερκείμενον ἀποφέρεται. οἷον ὑπὲρ ἄνθρωπόν τι ἐστιν ὁ Θεὸς εἰδέναι. ἢ ὑπὲρ πατρίδος ἀποθανεῖν βέλτιστόν ἐστιν. ἡ ὑπὲρ ἐνίοτε συντεθειμένη ῥήματι, ἢ ὀνόματι, ἀντὶ τοῦ λίαν ἐπιρρήματος λαμβάνεται, οἷον ὑπερθαυμάζω, ὑπερφιλῶ, ὑπέρσοφος, ὑπέρβιος. τὴν ὑπὲρ, ἔξωθεν λαμβάνουσιν οἱ Ἀττικοί. οἷον, ὧν ἔπαθεν ὀργὴν ἔχει, ἀντὶ τοῦ ὑπὲρ ὧν ἔπαθεν ὀργὴν ἔχει. ὑπεὶρ ἀντὶ τοῦ ὑπὲρ, πλεονασμῷ τοῦ ι γίνεται.

Ὑπεραγασθεὶς, ὑπερθαυμάσας.

Ὑπεράγον, διαφέρον.

Ὑπεραγονάστας, εἱμαρμένας, κρόκας, οἷον ὑπερστήμονας.

Ὑπέραγχος, ὑπερήφανος.

Ὑπεραέα ἄελλαν, οὐ μόνον τὴν ἄγαν πνεύσασαν λέγει ὁ Ποιητὴς, ἀλλὰ καὶ τὴν ὕπερθεν ὅ ἐστιν ὑψόθεν. ὁποῖός τις καὶ βορρᾶς, ἐξ ὑψηλοῦ καταπνέων καὶ αὐτός. ἢ καὶ ἄλλως εἰπεῖν, ὑπεραὴς, ἤγουν ἄνωθεν, ὡς ἐν καθέτῳ καθιεμένη, ὅ ἐστι καταφερομένη τῆς γῆς σφόδρα οὖσα, καὶ ἀπαραφύλακτος ὁποῖοί τινες καὶ οἱ στρόβιλοι.

Ὑπεραεῖ, ἀὴς καὶ ἐν συνθέσει ὑπεραὴς, τοῦ ὑπεραέος καὶ ὑπεραοῦς, τῷ ὑπεραεῖ, καὶ ἡ αἰτιατικὴ ὑπεραέα καὶ ὑπεραῆ.

Ὑπέραι, σκώληκές τινες.

Ὑπεραίρω, τὸ νικῶ, καὶ ὑπερβαίνω, καὶ γενικῇ, καὶ αἰτιατικῇ συντάσσεται. αἰτιατικῇ μὲν ὡς παρὰ τῷ Θεολόγῳ. πάντας ὑπεραίρειν ἐσπούδασαν, εἰς ταυτὸ δηλαδὴ συντεῖνον.

Ὑπεραίρεται, ὑψοῦται.

Ὑπέρακμος, μέγας.

Ὑπὲρ ἅλα, ὑπὲρ τὴν θάλασσαν.

* Ὑπεραλγῆ χόλον, ἄγαν ὀδυνηρόν.

Ὑπεράλλεται, ὑπερπηδᾷ.

Ὑπεράλμενον, ὑπεραλλόμενον.

Ὑπερανάστης, μετανάστης, μεταβάτης.

Ὑπερανέστηκεν, ὑπερβέβηκεν, ἐκ τοῦ ὑπέρ.

Ὑπέραντλα, πολλὰ πλήρη.

Ὑπέρας λέγει Ὅμηρος, χοινία οἷς τὸ κέρας μετάγεται, ἢ μᾶλλον σαφέστερον τὰ ἄνω εἰς ἄκρον τοῦ κέρατος ἑκατέρωθεν δύο χοινία, οἷς οἱ ναῦται τὸ κέρας μετάγουσιν. οἱ δὲ παλαιοὶ τὴν ὑπέραν, χοινίον ἑρμηνεύσαντες κέρατος τοῦ κατὰ τὸν ἱστὸν, ᾧ ἀνίσταται καὶ κατατείνεται.

Ὑπερασπίζω, βοηθῶ, ἀντιλαμβάνω.

Ὑπερασπιῶ, προΐσταμαι.

Ὑπὲρ αἶσαν, ἐξαίσιον ἀλλαχοῦ λέγει ὁ Ποιητής. ἰστέον δὲ ὅτι τοῦ κατ' αἶσαν οὐδὲ ὑπὲρ αἶσαν μίμημα παρὰ Σοφοκλεῖ τὸ γνωτὰ κοὐκ ἄγνωτά μοι.

Ὑπεράχθεο, ἤγουν ὑπερβολικῶς ἄχθος ἔχε.

Ὑπερβαίῃ, ἀντὶ τοῦ παραβαίῃ, καὶ ὑπεραίρει, καὶ νικᾷ.

Ὑπερβάλλειν, καὶ ὑπερβολὴ, κυρίως μὲν ἐπὶ τοῦ ὑπερακοντίζειν. ἢ ὑπεροϊστεύειν, ἢ ὑπὲρ τὸ μέτρον δισκεύειν. μεταφορικῶς δὲ, καὶ ἐπὶ ἑτέρων ὑπεροχῶν, ἢ καὶ ἐπὶ ἀσυμμετριῶν.

Ὑπερβάλλεσθαι, ἀντὶ τοῦ νικᾶν, καὶ ἀντὶ τοῦ ὑπερτίθεσθαι.

Ὑπέρβαν, ὑπερῷαν.

Ὑπέρβασαν, οὐκ ἐκ τοῦ ὑπερβαίνειν, ἀλλὰ ἐκ τοῦ πρωτοτύπου βῶ. ἐξ οὗ καὶ ἡ βάσις, καὶ ἡ ὑπερβασία.

Ὑπερβασία, παραβασία, ἀδικία, καὶ τὸ ὑπὲρ τὸ δίκαιον πράττειν. γίνεται παρὰ τὸν βέβαμαι παρακείμενον, βέβασαι, βασία. καὶ ὑπερβασία, κυρίως, ἐπὶ τῶν ὑπερβαινόντων τοὺς ἰδίους ὅρους. ταῦτα δὲ καὶ ἐπὶ τῆς ὑπερηφανίας. δοκοῦσι γὰρ οἱ ὑπερήφανοι, ποιεῖν τι ὑπὲρ ἑαυτῶν. ὑπερβασία καὶ τὸ ὑπερβαίνειν, ὃ ταυτόν ἐστί πως τῷ ὑπερπηδᾷν. ἧς καὶ παρ' Ἡσιόδῳ χρῆσίς ἐστιν, ἐν τῷ ὑπερβασίαι δ' ἀλεγειναί.

Ὑπερβατόν ἐστιν, ὅτε ἐντίθεται λέξις ἐν μέσῳ. ὡς ἐν τούτῳ αἱματόεις ὥστις τε λέων κατὰ ταῦρον ἐδηδὼς, ἀντὶ τοῦ λέων ταῦρον κατεδηδώς. καὶ λέξιν μὲν οὕτως ὑπερβιβάζει ἐνίοτε, καὶ ὅλον λόγον. ὡς ἐν τούτῳ, Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες σμερδαλέον κονάβησαν, ἀϋσάντων ὑπ' Ἀχαιῶν, μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο. τὸ δὲ ἑξῆς ἐστιν, Ἀργεῖοι δὲ μέγ' ἴαχον, μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.

Ὑπέρβιον, ὑπερβιῶς, οἷον ἄγαν βιαίως, ἢ ὑπερβαλόντως τῇ βίᾳ, ὑπερηφάνως.

Ὑπέρβιος ὕβρις, ἡ ἐκ μεγαλοδυνάμων ἀνδρῶν. καὶ ὕπερθεν πάσης δυνάμεώς ἐστιν.

Ὑπερβολή ἐστι, φράσις ὑπερβαίνουσα τὴν ἀλήθειαν. αὐξήσεως χάριν ἢ μειώσεως. αὐξήσεως μὲν, οἷον ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα, καὶ Διὸς αὐγάς. καὶ ἵπποι χιόνος λευκότεροι, θείειν δ' ἀνέμοισιν ὁμοῖοι. καὶ μελάντερον ἠΰτε πίσσα, καὶ τὰ ἑξῆς. μειώσεως, οἷον Διὶ φίλος ἦν, ἐπὶ αἰσχρᾶς γυναικὸς, ἣν ὁ πατὴρ φίλησεν οὐδεπώποτε, παρ' ἧς τὸν ἄρτον ὁ κύων οὐ λαμβάνει, μέλαινα δ' οὕτως, ὥστε καὶ ποιεῖν σκότος. καὶ πάλιν ὑπερβολή ἐστιν, ὅταν τις τὸν γοργῶς τρέχοντα εἴπῃ, τρέχει ὡς ἄνεμος, καὶ τὸ λευκὸν εἴπῃ, ὡσεὶ χιών.

Ὑπερβλήδην, ὑπεράγων ὑπερβλύζει.

Ὑπερβολὴν, τὴν ἀναβολὴν καὶ ὑπέρθεσιν, ὡς ἐν τῷ περὶ Στεφάνου Δημοσθένης.

Ὑπέρβολος. λυχνοποιὸς ὢν, πάνυ πανοῦργος ἦν. οὐ γὰρ χαλκῷ μόνον ἐχρῆτο πρὸς τὴν τῶν λύχνων κατασκευὴν, ἀλλὰ καὶ μόλιβδον ἐνετίθει, ἵνα πολὺ βάρος ἔχοντες πλείονος ἄξιοι ὦσι, καὶ οὕτως ἠπάτα τοὺς πριαμένους.

Ὑπεργυῖον, ὑπέρμηκες, μέγα.

Ὑπερδεᾶ, ὑπεραγόντως ἐνδεᾶ, ἢ ἐλάσσονα κατὰ δύναμιν.

Ὑπερδειπνεῖ, ὑπερτρυφᾷ.

Ὑπερδέα δῆμον λέγει Ὅμηρος, τὸν ἀπτόητον καὶ ὑπερκείμενον δέους, ἐκ τοῦ ὑπερδεέα, κατὰ συγκοπήν. ἄλλως γὰρ περισπᾶσθαι ὤφειλε κατὰ συναίρεσιν, ὡς τὸ εὐφυέα καὶ εὐφυᾶ, ὑγιέα ὑγιᾶ.

Ὑπερδέξιον χωρίον, οἷον χαλεπώτατον. Ξενοφῶν.

Ὑπέρδεσμα, ἐνέχυρα ὑποδήμασι.

Ὑπέρδικον, τὸν ἄκρως δίκαιον, καὶ σφόδρα δίκαιον.

Ὑπὲρ Διὸς αἶσαν καὶ ὑπὲρ Θεὸν, ταυτόν. τὸ γὰρ ὑπὲρ αἶσαν, καὶ ὑπὲρ μόρον παραφράζων ὁ πολύφωνος Ποιητὴς φησίν. πῶς ἂν καὶ ὑπὲρ Θεὸν εἰρύσασθαι Ἴλιον.

Ὑπὲρ δύναμιν, πάνυ βιαίως.

Ὑπερέβη καὶ ἁμάρτῃ, ἐκ παραλλήλου δηλοῦται τὸ αὐτό. ἐπεὶ καὶ ὑπερβασία, καὶ ἁμαρτία τῆς αὐτῆς ἐννοίας εἰσίν. ἄλλως δὲ ἁμαρτεῖν μὲν τὸ ὁπωσοῦν ἀστοχῆσαι τοῦ δέοντος. ὑπερβολὴν οὕτω παθεῖν. ληφθὲν μεταφορικῶς, ἐκ τῶν μὴ βαινόντων δικαίως, ἀλλὰ ὑπερβαινόντων, ταυτὸν δ' εἰπεῖν παραβαινόντων. εἰκὸς δὲ εἰλῆφθαι τὴν λέξιν ταύτην καὶ ἐκ τῶν ἀδικούντων ἐν τῷ ὑπερβαίνειν τὰ πεπηγμένα ὀροθέσια. οὐ μόνον ὑπούλως διὰ τοῦ ἠρέμα ὀρογλυφεῖν, ἀλλὰ καὶ θρασύτερον διὰ τοῦ ὑπερπηδᾷν. ὅθεν ταυτὸν ὑπερβασίαν καὶ παραιβασίαν εἰπεῖν.

Ὑπερέθεντο, ἀντὶ ἐβουλεύσαντο. καὶ ὑπερέθεντο, ἀντὶ τοῦ ὑπέρθεσιν ἐποιήσαντο.

Ὑπέρεια, ἡ τῶν Φαιάκων πόλις, καὶ κρήνη.

Ὑπερείδει, στηρίζει, καταφρονεῖ.

Ὑπέρειπε, κατέβαλεν. ἀπὸ τοῦ ἐρείπειν.

Ὑπερείσατε, στηρίξατε.

Ὑπε-

Digitized by Google

Ὑπερεκπέμπειν, κυρίως τὸ ὑπερβαίνειν τὸν σκοπὸν ἐν τῷ ἀφιέναι τὸ βέλος. αἰτιατικῇ συντάσσεται.

Ὑπερεκπίπτει, ἀντὶ τοῦ νικᾷ. ὡς ὁ Θεολόγος, ὑπερεκπίπτει πᾶσαν ἔννοιαν καὶ χρόνου καὶ φύσεως.

Ὑπερεκστήξει, ὑπερσταθήσεται.

Ὑπερέκτισις, ὑπεραπότισις.

Ὑπερεμάνησαν, ἀντὶ τοῦ λίαν ἐχάρησαν, κεῖται παρὰ τῷ Ἀριστοφάνει.

Ὑπερενεγκεῖν, τὸ ὑπερτερῆσαι καὶ ὑπένερθεν φέρεσθαι.

Ὑπερένεγκαν, ὑψώθησαν.

Ὑπερέλασις, ὑπέρθεσις, ὑπερβολή.

Ὑπερένδοξος, ἄγαν ἔνδοξος.

Ὑπερέξουσι, μείζονες ἔσονται.

Ὑπερέπταισο, ὑπερείπταισο.

Ὑπέρεπτεν, ἤσθιεν.

Ὑπέρευγε, ὑπερκαλῶς.

Ὑπερεπύπαζον, πύπαξ ἐπεφώνουν. ὃ ἡμεῖς ποππύζειν λέγομεν, Ἀριστοφάνης.

Ὑπερέσχε τῆς Τροίας, τῷ ὑπεράνω αὐτῆς ἔχειν, ἐσκέπασεν, ἐφύλαξεν.

Ὑπερέχειν σπλάγχνα Ἡφαίστου, ταυτόν ἐστι τῷ ὑπὲρ ἄνω ἔχειν τοῦ πυρός. πῦρ γάρ, ὁ Ἥφαιστος, καὶ ἔστιν ὁ τρόπος μετωνυμία. τὸ εἰπεῖν δηλονότι ἀντὶ πυρός, τὸν αὐτοῦ ἐπιστάτην Ἥφαιστον, ὡς καὶ ὅτε ὁ Ἄρης αὐτὸς ἐκεῖνος λέγεταί τινα ἀναιρεῖν. ἢ Ποσειδῶν βυθίζει τὴν ναῦν. μετωνυμία γὰρ καὶ ταῦτα εἰσίν.

Ὑπερέσχεν, ἀνέτειλεν.

Ὑπερέσσεται, περιέσται, κρατήσει.

Ὑπερέχει σου, ἀντὶ τοῦ ὑπερμαχεῖ καὶ ὑπερασπίζει σου. Ἀριστοφάνης, καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν.

Ὑπερέχω, γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. ὑπερέχειν τὸ περιεῖναι καὶ νικᾶν, γενικῇ. οἷον, ἀλλὰ καὶ τῶν οἷστισιν οὖν πρὸς ἀλλήλους γενομένων ὑπερέχουσιν. αἰτιατικῇ, ὑπερεῖχεν ἐκείνους τῇ ῥώμῃ μὲν οὐδαμῶς. ὃ ἀττικῶς προέχω λέγεται.

Ὑπερζέσας, ἀναφλεχθείς.

Ὑπερηγάσθη, ὑπερεθαύμασεν.

Ὑπερηκόντισα, ἐνίκησα, ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις νικώντων.

Ὑπερήκρισας, ὑπεράγαν ἐπήδησας.

Ὑπερήμεροι, οἱ ἐν ταῖς καταδίκαις πρὸς ἔκτισιν ἡμέραν λαβόντες, καὶ μὴ ἐκλυσάμενοι. οἱ δίκην ὀφείλοντες ὁποιανοῦν τοῖς ἑλοῦσι καὶ μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προθεσμίαις, ὑπερήμεροι ἐκαλοῦντο. τὸ δὲ πρᾶγμα, ὑπερημερία.

Ὑπερήμερος, ἐκπρόθεσμος.

Ὑπερήνωρ, ταυτόν ἐστι τῷ ἀγήνωρ. ὃς καὶ αὐτὸς τροπικός ἐστιν ἀνήρ. ὥσπερ καὶ ἐπιθετικῶς ταυτόν, οἱ ἀγήνορες καὶ οἱ ὑπερηνορέοντες.

Ὑπερηνορεόντων, ἀνδρείων, ὑπερηφάνων.

Ὑπερῆρε, κατεξανίστατο.

Ὑπερήσει, ὑπερπέμψει, ὑπερβήσεται, ἀπὸ τοῦ ἵημι. μέλλων, ἥσω. μετὰ τοῦ ὑπέρ, ὑπερήσει.

Ὑπερησία, πόλις φασὶν Ἀχαΐας, ἀπὸ ὑπέρηνος ὀνομασθεῖσα υἱοῦ Δυκάονος. οἱ δὲ καλέσαντες αὐτὴν Ὑπέρειαν, καλῶς εἶπον. ὑπέρεια γάρ φασι πηγὴ Μεσσηΐδος, καὶ πόλις σικελική.

Ὑπερήφανος, ὑπερόφρων, ἀγνώμων.

Ὑπερηφανία ἐστὶν, οἴδημα καρδίας.

Ὑπερήφανός ἐστιν, ὁ ἐπὶ τοῖς μὴ προσοῦσιν αὐτῷ κομπάζων, καὶ ὑπὲρ ὅ ἐστι φαίνεσθαι παρασκευάζων, ὑπέρφρων, ἀλαζών.

Ὑπερηφερὲς, μετεωροφόρον.

Ὑπερθεῖ, ὑπερέχει, ὑπερτρέχει.

Ὑπερθέτης, εἰ γέγονε παρὰ τὴν σύγκρισιν, καὶ ὑπέρθεσιν, ἐλέγετ' ἂν συγκριτικὸν, καὶ ὑπερθετικὸν, ὡς παρὰ τὸ φθίσις φθισικὸν, παρὰ μέντοι τὸ σύγκριτος, καὶ ὑπέρθετος τὴν συγκρίτης, καὶ ὑπερθέτης. ἐξ οὗ συγκριτικὸν, καὶ ὑπερθετικόν.

Ὑπερθέμενοι, ἀντὶ τοῦ ἀναβαλλόμενοι, ἀναβιβάσαντες. Λυσίας, ὑπερθέμενοι παῖδας καὶ γυναῖκας, εἰς Σαλαμῖνα συνήθροιζον.

Ὑπέρθεον, ὑπὲρ τὸ Θεῖον, ἢ παρὰ τοῦ Θεοῦ γνώμην.

Ὑπερθέοντας, ὑποτρέχοντας.

Ὑπερθετικὰ πρὸς πλείους τὴν σύνταξιν ἔχει. ἢ ὁμοφυεῖς τε καὶ ὁμογενεῖς, ἢ ὁμοίους κατὰ βίον ἢ ἐπιτήδευμα, ἢ ἀξίωμα, οὐ λέγεται δέποτε μετὰ τοῦ ἧττον, ἢ μετὰ τοῦ ἄγαν, ἢ μετὰ τοῦ λίαν, ἢ μετὰ τοῦ πολλῷ, ἢ μετὰ τοῦ μᾶλλον. τὰ δὲ συγκριτικὰ λέγεται.

Ὑπερθετικὸν λέγεται χωρὶς ἐκείνου, καθ' ὃν ἔχει τὴν ὑπέρθεσιν, ἐπεὶ οὐκ ἀφορᾷ πρὸς ἕν, ἀλλὰ πρὸς πάντα. οἷον κάλλιστος πάντων.

Ὑπερθορεῖν, οὐ μόνον τὸ ὑπερβῆναί τι πηδητικῶς, ἀλλὰ καὶ ὑπερβολικῶς ἀναπεῖσαι.

Ὑπέρθυμος, μεγαλόψυχος, γενναῖος.

Ὑπερθύριος, ὁ ἐπάνω τῶν θυρῶν τόπος.

Ὑπεριδεῖν, ὡς ἐπὶ τὸ πολὺ μὲν, γενικῇ συντάσσεται. παρ' Ἀττικοῖς δὲ, καὶ αἰτιατικῇ ἐστιν ὅτε. ὅπερ καὶ ἐπὶ τοῦ ὑπερφρονῶ γίνεται. Ἀριστοφάνης ἐν νεφέλαις, ἔπειτ' ἀπὸ ταρροῦ τοὺς Θεοὺς ὑπερφρονεῖς.

Ὑπερίκνοντο, ἔνιοι ὑπὲρ δύναμιν ἵκνουν. καὶ ὑπερικνοῦντο διὰ τὴν χαρὰν, ὅ ἐστιν ἐξετείνοντο.

Ὑπερικταίνοντο ἀντὶ τοῦ ἄγαν ἐσφάλλοντο, ἔτρεμον, ἀνεπάλλοντο κατὰ Ἀρίσταρχον, ἢ ὑπερεξετείνοντο, ἄγαν ἐκινοῦντο. παρὰ τὸ ἴκταρ ὅ ἐστιν ἐγγύς. ὡς ἡ παροιμία, οὐδ' ἴκταρ βάλλει, ἀντὶ τοῦ οὐδ' ἐγγὺς τοῦ σκοποῦ γίνεται. καὶ ἔστιν ἐπίρρημα ἴκταρ, ὡς ὕπαρ. ὡς δέ φησιν Ἀθήναιος, ἴκταρ ὄνομα ἰχθύος. ζητητέον τὸ γένος αὐτοῦ εἴτε ἄρρεν ἐστὶ κατὰ τὸ μάκαρ, εἴτε θῆλυ κατὰ τὸ δάμαρ, εἴτε οὐδέτερον κατὰ τὸ νέκταρ, ἀπὸ τοῦ ἴκται, ἀφ' οὗ κατὰ ἐναλλαγὴν τῶν ψιλῶν εἰς δασέα, καὶ ὁ ἰχθύς.

Ὑπεριόνα, ὑπὲρ ἡμᾶς ἰόντα. ὁ Ἥλιος. ἀπὸ τοῦ ὑπὲρ ἡμᾶς ἰέναι.

Ὑπέρινος, ὑπερκεκαθαρμένος.

Ὑπέρινον, τὸ σφόδρα λεπτόν. ἰνῶ ἐστι ῥῆμα, τὸ ἐκκενῶ καὶ λεπτύνω, καὶ ὀξύνω. ὅθεν καὶ ὑπέρινον ἄνδρα λέγομεν, τὸν λεπτὸν, καὶ κενόσαρκον.

Ὑπεριππία, ἀγών τις παρθένων.

Ὑπέριππε, κατίσειεν.

Ὑπεριχύουσαι, ὑπερβάλλουσαι.

Ὑπερίων ὁ Ἥλιος. ἢ πατρωνυμικῶς, ὁ κατὰ Πίνδαρον ὑπεριονίδης. ἐξ οὗ ὑπεριονίων, ὁ τοῦ Ὑπερίονος υἱός. καὶ κατὰ συγκοπὴν ὑπερίων. οὕτω γὰρ αὐτὸν ὁ μῦθος γενεαλογεῖ. ἢ ἐπιθετικῶς ὁ ὑπὲρ ἡμᾶς ἰών. καὶ ὤφειλεν εἶναι ὑπεριὼν ὀξυτόνως, ὡς μετοχικὸν ὄνομα. μετέπεσε δὲ διὰ ἀποφυγὴν συνεμπτώσεως, εἰς καθαρὸν ὄνομα. ὁποῖον καὶ τὸ Ἀμφίων, καὶ τὰ τοιαῦτα. οὕτω δὲ καὶ ἐκ τῆς ἐλθὼν μετοχῆς, Εὐέλθων βαρύτονον παρὰ Ἡροδότῳ κύριον Ὄνομα.

Ὑπερκακεῖν, ὃ νῦν ἐκκακεῖν.

Ὑπερκέραθοι, οἱ τὰ ὑπὲρ κεφαλῆς δεχόμενοι.

Ὑπερκατάληκτον μέτρον ἐστὶ, τὸ ἔχον ὅλους τοὺς πόδας ἀπηρτισμένους, ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα ἢ καὶ πόδα.

Ὑπερκαύστρα, ἡ τῆς Ἀθηνᾶς ἱέρεια.

Ὑπερκείμενον, ἀνακείμενον.

Ὑπερκείσῃ, ἀνασάλλεις.

* Ὑπερκέρωσις. ὑπερκέρωσίς ἐστιν, ὅταν ἐκ τοῦ ἑτέρου μέρους μόνον ὑπερέχωμεν τῶν πολεμίων.

Ὑπὲρ κεφαλῆς, ὑπεράνω τῆς κεφαλῆς.

Ὑπερκόμπως, ὑπερηφάνως.

Ὑπερκόσμια, ὡς Ἄγγελοι καὶ τὰ μέλλοντα ὑπὲρ τὸν κόσμον.

Ὑπεκρύσω, παρ' Ἀριστοφάνει ἐν πλούτῳ, δίπτερον πρόσωπον τοῦ μέσου ἀορίστου ὑπεκρυσάμην, ὑπεκρύσω.

Ὑπερκύδαντας, λέγουσί τινες ὅτι μετοχή ἐστιν, ἐκ τοῦ κυδαίνω ἐκύδανα, κυδάνας κυδάναντος, καὶ συγκοπῇ καὶ συνθέσει ὑπερκύδας ὑπερκύδαντος. τινὲς δὲ, ὅτι ὄνομά ἐστι, καὶ μᾶλλον ὄνομα δεῖ λέγειν ἤπερ μετοχήν.

Ὑπερκύδαντας, ἄγαν ὑπερενδόξους.

Ὑπερκυάνεον, λίαν κυάνεον.

Ὑπερμαζῶ, οὐ μόνον τὸ μεγάλους μαστοὺς ἔχω, ἀλλὰ καὶ τὸ ὑπερτρυφῶ, Λουκιανὸς, ὑπερμαζᾷς γὰρ ὦ ἀλήμαντε.

Ὑπερεμάνησαν, ἀντὶ τοῦ εἰς ἔρωτα ὑπερβολικὸν ἐνέπεσον, καὶ ἀντὶ τοῦ ὑπερηγάπησαν.

* Ὑπὲρ μᾶλλον, ἐκπερισσοῦ.

Ὑπέρμαχος, ὁ ὑπέρ τινος μαχόμενος, ἀπόντος ἐκείνου. ἐξ οὗ ὑπερμάχεται συντασσόμενον γενικῇ. σύμμαχος, ὁ συμπράττων τὰ τῆς μάχης, ἐξ οὗ συμμαχῶ.

Ὑπερμενεῖ, τῷ ὑπεράγοντι κατὰ τὸ μένος. τουτέστι τῇ ἰσχύϊ ὑπερκρατεῖ.

Ὑπερμενέοντας καὶ ἀγήνορας εἰπεῖν, δῆλον ὡς ταυτόν.

Ὑπερμενέοντα, ὑπερηφανοῦντα, ὑπερέχοντα τῇ δυνάμει.

Ὑπέρμορα, ἐπιρρηματικῶς, ἀντὶ τοῦ παρὰ τὸ καθῆκον, ὡς καλὰ ἀντὶ τοῦ καλῶς, καὶ ἔξοχα ἀντὶ τοῦ ἐξόχως. σύγκειται δὲ ἀπὸ τῆς ὑπέρ, καὶ τοῦ μοῖρα τὸ καθῆκον. τριχῶς δὲ ἡ μοῖρα παρ' Ὁμήρῳ λαμβάνεται. ἐπὶ τῆς εἱμαρμένης, τοῦ μερίδος, καὶ τοῦ καθήκοντος.

Ὑπέρμορον, ἓν μέρος λόγου Ἀρίσταρχος δέχεται. ὁμοίως τῷ ὑπέρβιον ὡς ἐπίρρημα ληφθὲν, ἀντὶ τοῦ ὑπερμόρως. ἔχει δὲ καὶ πληθυντικὸν ἐν τῷ ἔνθα κεν Ἀργείοις ὑπέρμορα νόστος ἐτύχθη. ὅμοιον τῷ, οὐ μὲν καλὰ χόλον ἔνθεο θυμῷ, ἀντὶ τοῦ οὐ καλῶς. ἐγχωρεῖ δὲ καὶ κατὰ διάλυσιν ὑπὲρ μόρον γράφεσθαι μόρου νοουμένου, τοῦ μεμοιραμένου, τουτέστι τοῦ μοιριδίου.

Ὑπερνεμεῖς, ὑπεροργᾷς.

Ὑπερνήχεται, ὑπερέχει, ὑπερβαίνει.

Ὑπερνικᾷ, ἀντιμάχεται.

Ὑπέρογκον, μέγα, ὑψηλὸν, ὑπέρμετρον.

Ὑπεροιησάμενοι, ὑπερηφανοῦντες.

Ὑπερόλβη, κόρος, ὕβρις.

Ὑπεροπλίει, ψιλίζεται.

Ὑπεροπλία, ἡ ὑπερηφανία.

Ὑπεροπλίσσετο, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ', τουτέστιν οὐδεὶς τὸν φίλον ὑπερηφανίσει, ὡς οἱ παλαιοί φασιν. ἢ δι' ὑπεροπλίαν βλάψει.

Ὑπέροπλον, οὐ μόνον τὸ θρασὺ, ἀλλὰ καὶ ὥς φασιν οἱ παλαιοὶ τὸ ὑπὲρ ἑαυτὸ, ἐκ μεταφορᾶς τῶν μεγάλων ὅπλων, καὶ μὴ ἀναλογούντων τοῖς σώμασιν. ὅπως δ' ἂρ ἔχοι σημασίας ἡ λέξις, οὐ πρέπει ἀγαθὸν ἄνδρα ὑπέροπλα λέγειν. ὅρα διότι οὐ μόνον λέγεται ὑπέροπλον ἔργον, ἀλλὰ καὶ ἔπος ὑπέροπλον.

Ὑπέροπλος, οὗ ἡ ἰσχὺς καὶ ὅπλων ἐστὶν ἐπικρατεστέρα. ἀφ' οὗ ὑπεροπλία, ἡ ὑπερηφανία.

Ὑπέροπτον, μέγα, καὶ ὑπὲρ τὸ μέτρον, καὶ τὰ ὅμοια.

Ὑπερόριος, ἐκτὸς τῶν ὁρίων.

* Ὑπερόριον, τὸ παρηλλαγμένον, καὶ πάντη ἀλλότριον.

Ὑπερορῶ, παρὰ μὲν τοῖς κοινοῖς γενικῇ, παρὰ δὲ τοῖς Ἀττικοῖς αἰτιατικῇ συντάσσεται. ὡς Συνέσιος, Πνεῦμα Θεῖον ὑπερορᾷ. μικρολογίαν συμμαχικὴν ὑπερορᾷ, παραβλέπει. ὑπερορᾶν, τὸ καταφρονεῖν. ὁρᾶν δὲ, τὸ θεωρεῖν.

Ὑπερούσιος, ἀγαπητὸς, πεφιλημένος.

Ὑπέροφρυς, ὑπέροπτος.

Ὑπεροχὴ, ἐξοχὴ, ὑπερβολή.

Ὑπέροχον, περισσὸν, δεινὸν, μεῖζον.

Ὑπεροψία, λέγεται ἡ παρόρασις, καὶ ἡ καταφρόνησις. ἐξ οὗ καὶ ὑπερόπτης, ὁ ἀλαζών.

Ὑπερπαθήσας, πάνυ λυπηθείς.

Ὑπερπέμπειν, κυρίως τὸ ὑπερβαίνειν τὸν σκοπὸν ἐν τῷ ἀφιέναι τὸ βέλος.

Ὑπερπηδᾷ, καὶ διαπηδᾷ αἰτιατικῇ. ἐπιπηδᾷ καὶ προσπηδᾷ δοτικῇ. καταπηδᾷ, γενικῇ.

Ὑπερπλουτεῖν, τὸ λίαν πλουτεῖν. ἡ γὰρ ὑπὲρ πρόθεσις, ἐνίοτε τὸ λίαν σημαίνει.

Ὑπερράγη, διερράγη.

* Ὑπέρροον, τὸ ἀπὸ ὕψους ῥέον. ὑπερῷον δὲ, τὸ ἀνώγεον.

Ὑπερσυντέλικός ἐστι, παρακείμενος πεπληρωμένος. γίνεται δὲ ἀπὸ τοῦ παρακειμένου καὶ ὁ ἐνεργητικὸς καὶ ὁ παθητικός. ἐνεργητικὸς, οἷον τέτυφα ἐτετύφειν, τροπῇ τοῦ α εἰς ειν, καὶ αὐξήσει τοῦ ε. παθητικὸς, τροπῇ τοῦ αι εἰς ην, καὶ αὐξήσει τοῦ ε ὁμοίως, οἷον, τέτυμμαι ἐτετύμμην. ὅτε δ' ὁ παρακείμενος ἄρχεται ἀπὸ

φωνήεντος αὐξηθέντος, ἢ διφθόγγου, ἄρχεται καὶ ὁ ὑπερσυντέλικος ἀπ᾽ αὐτοῦ τοῦ φωνήεντος, ἢ διφθόγγου. οἷον ἧκα ἥκειν, ὤρυχα ὠρύχειν εἶχα εἴχειν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων, ἀλλὰ οὐχ οὕτως ἐν τῷ Ἀττικῷ ὑπερσυντελίκῳ. ὅτι κοινόν ἐστι, τὰ ἀπὸ βραχέος φωνήεντος ἀρχόμενα ῥήματα ἐν τῷ Ἀττικῷ ὑπερσυντελίκῳ χρονικῶς αὐξάνεσθαι. οἷον, ἀγήοχα ἠγηόχειν.

Ὑπέρπαππος, μεγαλώνυμος. καὶ ὑπέρτερον ἄχος Ἰλιάδος λ῀ ὑψηλότερον.

Ὑπέρστεγος, ὑπεράνω τῆς στέγης.

Ὑπερτεῖς, Κρητικῶν πόλεων ἐπίθετον.

Ὑπερτελής, ὑπὲρ τὸ τέλος ἀφικομένη.

Ὑπερτέλλοντες, ἀνατέλλοντες, ὑπερφαίνοντες τῶν ἄλλων ἄστρων.

Ὑπερτενής, ὑπερανατείνουσα, ὑψηλή.

Ὑπερτέρα, ὑψηλοτέρα. οἱ δὲ, νεωτέρα, ἢ πρεσβυτέρα.

Ὑπερτερία, τὸ ἄνωθεν τῆς ἁμάξης ἐπιτιθέμενον.

Ὑπέρτερα χρέατα, ἐκτὸς τοῦ σώματος πρὸς τὴν σύγκρισιν τῶν ἐντός.

Ὑπερτερίησι, νεωτερισμοῖς, ὑπερηφανίαις.

Ὑπερτερέστερος, νεώτερος.

Ὑπέρτερον, ἔσχατον, ὕστερον, νεώτερον, ἀγενῆ.

Ὑπερτερῶν, δεσπόζον.

Ὑπέρτεχνον, σπουδαῖον.

Ὑπερτιθέναι ἐστὶ, τὸ ἕνα ὑπὲρ ἄνω τιθέναι πολλῶν, ἢ πάντων, εἴτε κατὰ ψόγον, ἢ ἔπαινον.

Ὑπερτίθεσθαι, τὸ ἀναβάλλεσθαι, καὶ ἐπιμένειν τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων.

Ὑπερτίθημι, τὸ προάγω καὶ τιμῶ. οἷον, ὑπερτίθημι τῶν φιλοσόφων τὸν Σωκράτην.

* Ὑπέρτονον. βοήσομαι τὴν ὑπέρτονον βοὴν, τουτέστι τὴν μεγάλην, καὶ ὑψηλὴν, καὶ ὑπερέχουσαν.

Ὑπέρυδρον, τὸ ἄγαν πεπληρωμένον τοῦ παρακεχυμένου ὕδατος, παρὰ τῷ Ἱπποκράτει.

Ὑπέρυθρον, πυρακτής.

Ὑπέρυθρος, μετρίως ἐρυθρός.

* Ὑπερφαλαγγίασις, ὑπερφαλαγγίασίς ἐστιν, ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς φάλαγγος ὑπερέχωμεν τῶν πολεμίων.

Ὑπέρφασις, ὑπερηφανία, μεγαλορρημοσύνη.

Ὑπερφερής, ὑπερβαλλής.

Ὑπερφίαλοι νέοι, ἐνίοτε οἱ παράσπονδοι, καὶ ἄπιστοι. οἱ ὑπὲρ τὴν ἱερὰν φιάλην ποιοῦντες κατὰ τὸν Ποιητήν.

Ὑπερφίαλοι, ὑπερήφανοι. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς φιάλης. τὸ γὰρ πληθύον αὐτῆς ὑπερφίαλον, ἀντὶ τοῦ ὑπέρμετρον. φιάλη δὲ εἶδος λεβητώδους ἀγγείου.

Ὑπερφιάλως, λαμβάνεται ἐνίοτε παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ μεγάλως.

Ὑπερφιλῶ, τὸ λίαν φιλῶ. ἡ ὑπὲρ γὰρ πρόθεσις, τὸ λίαν σημαίνει.

Ὑπερφλύζει, ἀναρρεῖ, ἐκφυσᾷ.

Ὑπερφρονῶ, καταφρονῶ, αἰτιατικῇ. Ἀριστοφάνης, τοὺς Θεοὺς ὑπερφρονεῖς. καὶ γενικῇ. Ἀριστοφάνης, τῶν καθεστώτων νόμων ὑπερφρονεῖν δύνασθαι, ἀντὶ τοῦ καταφρονεῖν.

Ὑπερφυᾶ τέχνην λέγουσι, τὴν ὑπερβάλλουσαν, θαυμαστὴν, καὶ λαμπρὰν, Ἀριστοφάνης.

Ὑπερφυῶς, ὑπεράγαν.

Ὑπερφυής, μεγαλοπρεπής, ἢ ἔκσπονδος.

Ὑπερφύς, ὑπεργεννηθείς.

Ὑπερφωνῶ, καὶ καταφωνῶ, καὶ περικαλῶ, καὶ περιηχῶ, αἰτιατικῇ συντάσσονται. καταλαλῶ δὲ καὶ καταβοῶ, γενικῇ.

Ὑπέρχειλον, ὑπέρμεστον.

Ὑπερχέων, ὑπερέχων.

Ὑπερχολήσει, πολλῆς πληρωθῇ χολῆς, παρὰ τῷ Ἱπποκράτει.

Ὑπερχειλές, ὑπερμεμετρημένον.

Ὑπέρχολος, ὑπερβαλλόντως ὀργιζόμενος.

Ὑπέρχομαι, τὸ ὑποκάτω τινὸς ἔρχομαι, καὶ ἀπὸ τούτου τὸ κολακεύω.

Ὑπέρχρεως, ὁ πολλῷ πλείω τῆς οὐσίας ὀφείλων.

Ὑπερῴα, ὁ οὐρανίσκος. παρὰ τὸ ὑπ᾽ αὐτοῦ ὁρμᾶσθαι τὴν τροφήν. ἐρωὴ γὰρ ἡ ὁρμή. μετενήνεκται δὲ ἀπὸ τῶν ὑπερῴων οἰκοδομημάτων, καὶ τῶν μετεωρισμένων ὑπὲρ τὴν ἔραν τὴν γῆν. ἡ αὐτὴ δὲ ἐτυμολογία καὶ ἐπὶ τοῦ ὑπερῴου. ὑπερῷον γὰρ τὸ μετέωρον, τὸ ὑπὲρ τὴν ἔραν.

Ὑπερώησαν ἵπποι παρ᾽ Ὁμήρῳ, δύναται μὲν ὡς ἐκ τοῦ ὑπερῴου νοηθῆναι, ἀντὶ τοῦ ὀρθοὶ ἔστησαν. ὡς εἰς ὕψος καὶ ὡς εἰπεῖν ἀνεπάλθησαν. ἀρέσκει δὲ μάλιστα δηλοῦν τὸ ἀφώρμησαν, ἀνεχώρησαν, ἀνεπόδισαν, ἀπὸ τοῦ ἐρωὴ ἡ ὁρμή. ὅθεν ἐρωῶ.

Ὑπερώησαν ἵπποι, ἤγουν ὑπεχώρησαν. ἀπὸ τοῦ ἐρωῶ ἐρωήσω.

Ὑπερώϊον, καὶ ταβώϊον, ἀντὶ τοῦ ὑπερῷον καὶ ταβῷον λέγουσιν Ἴωνες. αὐτῶν γάρ ἐστι τὸ μὴ ἐκφωνούμενον ι ἐκφωνεῖν. Ἡσίοδος χρηΐζειν ἀπίοντος λέγει, ἀντὶ τοῦ χρήζειν.

Ὑπερῷον λέγεται, τὸ ὑπερκείμενον οἴκημα. ὦα γὰρ κατὰ γλῶσσαν τὰ οἰκήματα. διὸ καὶ κλίμακος δέεται ὑψηλῆς ἡ τοῦ ὑπερῴου ἄνοδός τε καὶ κάθοδος. ὡς δηλοῖ, τὸ κλίμακα δ᾽ ὑψηλὴν κατεβήσατο ὑπερῴοιο. ἔχει δὲ ὑπογεγραμμένον τὸ ι, ὡς δῆλον κολακεύω.

Ὑπερώφθη, παρώφθη.

Ὑπεσάκκιζεν, ὑπήθει τῷ σάκκῳ. ἔνιοι προΐκοντο.

Ὕπεσις, ταπείνωσις, ἔνδοσις.

Ὑπεσπιλωμένον, ὑποπικασμένον, ἢ πεποικιλμένον.

Ὑπέστα, ἀντὶ τοῦ ἐγένετο. καὶ ὑπέστα, ἀντὶ ὑπέμενε.

Ὑπέσταν, ἀντὶ τοῦ ὑπέστησαν, καὶ ὑπέσχοντο, ἐπηγγείλαντο, καὶ ὑπέμειναν. ἡ δὲ λέξις μετενήνεκται, ἀπὸ τῶν κιόνων οἷς βάρη ἐπίκειται. ὡς γὰρ οὗτοι τοῖς ἐπικειμένοις ὑφίστανται, οὕτω καὶ ὁ ὑπισχνούμενος βάρει τινὶ ἑαυτὸν ὑπέθετο. Ἰωνικὴ ἡ λέξις, κειμένη καὶ παρ᾽ ἄλλοις, ἐν οἷς καὶ Ἡρόδοτος. ὅς που φησὶ, τίς ἄν μοι ὑποστὰς τελέσειεν.

Ὑπεστηλάμην, παρῃτησάμην.

Ὑπέστην παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ὑπεσχόμην, ἀνεδεξάμην. ἐκ μεταφορᾶς τοῦ κίονος τοῦ ὑποκάτω στάντος, καὶ ἀνέχοντος τὰ ἐπικείμενα.

Ὑπεστοναχίζετο γαῖα, ὑπεκάμπτετο, ἐκινεῖτο.

Ὑπεστόρηται, ὑπέστρωται, ἥπλωται.

Ὑπέσχε δίκην, Ἀττικόν. τὸ δὲ παρέσχε, βάρβαρον.

Ὑπεσχηκώς, ὑποστάς.

Ὑπεσχέθη. Κύπριος, ὑπέστη δοῦναι τὴν βίβλον. καὶ ἀντὶ τοῦ ἐκρύβη, Πλούταρχος, καὶ προσιοῦσιν αὐτοῖς μετὰ σπουδῆς ὀφθῆναι, φοβηθεὶς ὑπέστη. καὶ ἀντὶ τοῦ ἐδουλώθη, ὅπερ καὶ δοτικῇ συντάσσεται.

Ὑπέσχηται, ἐπήγγελται.

Ὑπέσχετο, ὑπηγγείλατο. ἔχω μέλλων ἕξω, παρατατικὸς εἶχον. ὁ δ᾽ ἀόριστος ἀόριστος προσέλαβεν ἀντὶ τοῦ ι τὸ σ, καὶ ἐγένετο ἔσχον, ἐσχόμην, ἔσχου, ἔσχετο, καὶ ὑπέσχετο, ἵνα μὴ συνεμπέσῃ τῷ παρατατικῷ εἶχον.

Ὑπέσχε χεῖρα Κρονίων, ἀντὶ τοῦ ὑπεράνω θήσει, σκεπάσει. οὕτω δέ φασιν οἱ μεθ᾽ Ὅμηρον, ἀντὶ ὑπερέχειν ὑμῶν τὴν χεῖρα Θεός. καὶ ἐπὶ νίκης τὸ ὑπερσχεῖν τιθέασιν, ὥσπερ καὶ τὸ ὑπερέχειν.

Ὑπέσχετο, κοινῶς λεχθέν. τὸ γὰρ ποιητικὸν ὑπέστη λέγεται. λέγει καὶ ὑπίσχεται ὁ Ποιητὴς ἱερὰ καλά. ἐκ δὲ τούτου, τὸ ὑπισχνεῖται γίνεται συνήθει πλεονασμῷ τοῦ ν.

Ὑπέσχεθε χεῖρα. ὑποσχέθειν, ἐστιν ὑποσχεῖν, τὸ ὑπτιάσαι τὴν δεξιὰν εἰς ὑποδοχὴν, καὶ ὡς εἰπεῖν ὑποκάτω σχεῖν τοῦ διδομένου.

Ὑπετέθυπτο, ὑπεκαίετο, καὶ ἐκέκνιστο.

Ὑπετόπαζεν, ἀντὶ τοῦ ὑπενόει.

Ὑπεύδιος, ὁ ἐν εὐδίᾳ καὶ ἡσυχίᾳ ὤν.

Ὑπεύθυνος, ἔνοχος, ὑποκείμενος.

Ὑπέφηνεν, ὑπέδειξεν, ἐφανέρωσεν.

Ὑπεχάλκισα, πρὸς χαλκοῦ ὑπεθέμην.

Ὑπέχει τίς τινι δίκην, ἤγουν ὑποκείμενον ἑαυτὸν ἔχει εἰς δίκην. ὅπερ ἐνίοτε μὲν τετελεσμένην ἔχει τὴν σύνταξιν. οἷον ὑπέχω σοι δίκην. ἐνίοτε δὲ ἀτελῆ, οἷον ὑπέχω δίκην. ὅτε ἐξ ἀνάγκης ἡ δοτικὴ συνυπακούεται. ὑπέχειν λέγεται, τὸ ὑποτείνειν, καὶ ὑπερδιδόναι, καὶ ἁπλῶς διδόναι καὶ ἐκτείνειν. οἷον ὑπέχει τὶς δίκην, ἢ εὐθύνην, ἢ λογισμόν. καὶ ὑπέχει τὰ ὦτα ἡ θάλασσα, οὐκ ὑποκείμενον ἔχει, ὑπέχω, τὸ ὑποτίθημι, ὡς τὸ ὑπασχὼν τὴν χεῖρα. καὶ ὑπέχει τὰ ὦτα τοῖς λεγομένοις, καὶ τὸ δίδωμι, ὡς τὸ ὑπέχω δίκην.

Ὑπέχεται, προμηθεῖται.

Ὑπέχευεν, ὑπέβαλεν, ὑπέχυσεν.

Ὑπεψύχθη, μετρίως ὑπανείθη τῆς πυρετικῆς θερμότητος. παρὰ τῷ Ἱπποκράτει.

Ὑπεψωισμένοι, ἀκμαῖοι πρὸς τόκον. ἀπὸ τῶν συκῶν τῶν διὰ τὰς ψῆνας πεπείρων.

Ὑπηγάγετο, ὑπάτασεν, ὑπέμεινεν.

Ὑπηνέγκασι, ἀντὶ τοῦ ὑπέμεινε, αἰτιατικῇ μόνῃ συντάσσεται.

Ὑπηλάτων, τῶν ὑπὸ ἐλάτων ἔνιοι φύλλων.

Ὑπήλλαξεν, ὑπεχώρει.

Ὑπήλυθεν, ὑπέδυσεν, ὑπεισῆλθεν.

Ὑπῆν, ὑπῆρχεν.

Ὑπήει, ὑπομένει, ὑποφέρει.

Ὑπήνεγκαν. Ὅμηρος, ἀλλά με ὑπήνεγκαν πόδες. ἤγουν, ὑπεξήγαγον ταχέες.

Ὑπηνέμια καλεῖται, τὰ δίχα συνουσίας καὶ μίξεως. καὶ τὰ ψαδνὰ καὶ ἀβέβαια.

Ὑπηνέμους, σκεπηνούς.

Ὑπηνέμιον, ἄνεμον, ὑετὸν, καὶ τὰ ὅμοια.

Ὑπήνη, ἢ κοινῶς τὸ γένειον κατά τινας, ἢ καὶ ἄλλως. μύσταξ μέν φασιν, αἱ τοῦ ἄνω χείλους τρίχες. αἱ δὲ κάτω, πάππος. τὸ δὲ ἐξ ἀμφοῖν, ὑπήνη. καὶ ὁ κωμικὸς οὕτω νοεῖ, ἐν οἷς λέγει, μολώνην τινὰ τὴν ὑπήνην. ἥβη δὲ, ὅτι οὐ μόνον ἡλικία νεωτερικὴ, ἀλλὰ καὶ τόπος σωματικὸς, οὗ παρώνυμον καὶ τὸ ἐφήβαιον, καὶ τὸ ἡβηδὸν ἐπίρρημα. καὶ ῥῆμα παρὰ τῷ Κωμικῷ τὸ ἡβυλλιᾶν, καὶ προθήβης. καὶ ὁ ἄνηβος, καὶ ὁ ἄκρηβος, καὶ τὰ τοιαῦτα.

Ὑπηνήτης, ἀκμαῖος, ἀρτιγενής. ὑπήνη γὰρ λέγεται, ἡ τοῦ ἄνω χείλους τρίχωσις, ὑπάνη τις οὖσα, παρὰ τὸ ἄνω ὑπεῖναι. μύσταξ δὲ λέγεται, ἡ ὑπὸ τῶν μυκτήρων τρίχωσις.

Ὑπηνιάζον, ὑπήνεμον.

Ὑπηοίη, ὑπὸ τὸν ὄρθρον, πρὸ τῆς ἕω.

Ὑπηοίη στίβη, ἤγουν ἑωθινὴ πάχνη, ὑπὸ νότου ἠελίοιό τε. ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῖ.

Ὑπήρατος, λογομάχος, ὑπέρλαμπρος.

Ὑπηρέσια, τῶν κωπηλατούντων δέρματά τινα, ὡς προσκεφάλαια, ἐφ᾽ ὧν καθέζονται.

Ὑπηρέτης, κυρίως μὲν ὁ ναύτης, καὶ ὁ δοῦλος.

Ὑπηρέσιον, ὁ διδόμενος μισθὸς τοῖς ὑπηρετοῦσι, τοῖς στρατευομένοις καὶ ἐρέσσουσι, καὶ δουλεύουσιν. ἀπὸ τοῦ ὑπηρετῶ. ὑπηρέσιον κυρίως, ἐφ᾽ οὗ καθίζουσιν οἱ ἐρέται. ἔστι δὲ καὶ ὄνομα πόλεως.

Ὑπηρέσιον, ἡ σανὶς τῆς καθέδρας τῶν ἐρεσσόντων.

Ὑπήτριον, ὑπογάστριον, ἐφήβαιον.

* Ὑπηρετήσιον, τὸ παρ᾽ ἡμῖν, ᾧ χρώμεθα εἰς ἀπόπατον. οἱ δὲ ἀμίδα λέγουσιν. κυρίως δὲ ὑπηρετήσιον ἐστιν ἔνθα καθέζονται οἱ ἐρέσσοντες.

Ὑπηρετῶ, καὶ ὑπηρετοῦμαι, ἐπὶ τοῦ αὐτοῦ. ὧν τὸ μὲν λέγεται κοινῶς. τὸ δὲ ὑπηρετοῦμαι, παρὰ τοῖς Ἀττικοῖς. δηλοῖ δὲ τὸ διακονῶ, καὶ εἰ παθητικῶς προφέρεται, ἀλλ᾽ οὖν ἐνεργητικὴν σημασίαν ἔχει, καὶ δοτικῇ συντάσσεται. ὡσαύτως καὶ τὸ λοιδορῶ καὶ λοιδοροῦμαι, καὶ σκοπῶ καὶ σκοποῦμαι. εἰ γὰρ καὶ αὐτὰ παθητικῶς προφέρονται, ἀλλ᾽ οὖν ἐνεργητικὴν ἔχουσι σημασίαν. καὶ ἀνακαλῶ, καὶ ἀνακαλοῦμαι, ὁμοίως τοῖς ῥηθεῖσιν ἀνωτέρω λέγεται.

Ὑπηχεῖ, βομβεῖ.

Ὑπήχθην, ἦλθον.

Ὑπηῶ, κατὰ τὸν καιρὸν τῆς ἠοῦς, ἤγουν ἕωθεν, ὄνομα ἀντὶ ἐπιρρήματος.

Ὑπιδέσθαι, ἀντὶ τοῦ ὑποπτεῦσαι.

Ὑπιδόμενοι, ὑφορώμενοι.

Ὑπίσχεται, πρωτότυπόν ἐστι τοῦ ὑπισχνεῖται. ὑπίσχω γὰρ, ὑπισχνῶ λέγομεν.

Ὑπισχνεῖται, ὁμολογεῖται, συντίθεται, ἐπαγγέλλεται.

Ὑπισχνεῖται καὶ κατανεύει Ζεὺς, τοῖς ἄνωθεν σημείοις.

Ὑπισχνοῦμαι, λέγε. τὸ δὲ ὑπόσχομαι, βάρβαρον. ἐὰν ὑπόσχωμαι, ἐν χρήσει. ὑπισχνοῦμαι, ὑποσχήσομαι, καὶ ὑποστήσομαι, ὑπεσχόμην, καὶ ὑπέσχημαι, ὑπισχνοῦμαι, ἐπὶ καλοῦ. οἷον, ὑπισχνοῦμαι ὠφελήσειν σε. καὶ ὑπισχνοῦμαι, ἐπαγγέλλομαι, ἐγγυῶμαι, δέχομαι.

Ὑπι-

Digitized by Google

Ὑπίσχομαι, πρωτότυπόν ἐστι τοῦ ὑπισχνοῦμαι. ἐξ οὗ καὶ τὸ ὑπίσχεται ἀντὶ εἰκάσω. ὡς ἴκω ἱκνῶ, οἴχω οἰχνῶ, οὕτως ὑπίσχω ὑπισχνῶ.

Ὑπιωγαί, ὑπαγωγαί, ὑποδρομαὶ τῆς πέτρας διὰ σκέπην, σκεπηνὰ μέρη.

Ὑπνοῖ, κοιμᾶται.

Ὑπνομαχεῖν, Ξενοφῶν καὶ Σαυίσιος ἐν ἐπιστολῇ. σὺ δὲ ἀνθίστασθαι, ἢ ἀντιπράττειν τῷ ὕπνῳ λέγε, ἢ ὕπνου κρατεῖν.

Ὕπνος λέγεται ἐρᾶν χάριτος, διότι ἐπίχαρι καὶ τὸ τοῦ ὕπνου πάθος. καὶ ὡς ἂν Εὐριπίδης εἴπῃ, φίλον θέλγητρον καὶ ἡδὺ, ἐνδέοντι προσιών. ἕτεροι δὲ τὸ χάριτος τὸν ὕπνον ἐρᾶν, αἴνιγμα εἶναι ὡς οὐδὲ κοιμωμένῳ ἐπιληστέον χάριτος. ἄλλοι δὲ αἰνίττεσθαί φασι τὸ συμβαῖνον, ὡς ἐπὶ πολὺ περὶ τοὺς τυχόντας χαρίτων. κατὰ γὰρ τὸν Κωμικὸν, παρά τισιν ἅμα τετέλεσται καὶ τέθνηκεν ἡ χάρις. ἢ καὶ οὕτως ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις. καὶ Πίνδαρος, παλαιὰ μὲν εὕδει χάρις. ὅθεν καὶ λήθης παῖδας ἔνιοι γενεαλογοῦσι τὰς χάριτας. χαρίτων δὲ ἁπλῶς μίαν Πασιθέην φασὶ λέγεσθαι, εἰς αἴνιγμα τοῦ δεῖν εἶναι πανταχοῦ θεῖν. καὶ μὴ κεκρύφθαι τὴν χάριν, ἀλλὰ προλάμπειν ἤμασι πάντα. καὶ μὴ δὲ γηρᾶν, ἀλλὰ ἀκμάζειν ἀεὶ, καὶ ὁπλοτέραν εἶναι κατὰ τὸν Ποιητήν. καὶ ἄλλα πολλὰ ἐν τῷ ξ' τῆς Ἰλιάδος.

* Ὕπνος, ἀργία αἰσθήσεων, γιγνομένη ὑπὸ τῆς ἀνενεχθείσης ἀναθυμιάσεως ἐν τοῖς κοίλοις τοῦ ἐγκεφάλου, ἐπὶ ἀναπαύσει τοῦ ζώου. ἢ ὕπνος ἐστὶν, ἀτονία τοῦ αἰσθητικοῦ πνεύματος. ἔστι δὲ ὕπνος, παρὰ τὸ ὑπονοστεῖν. ἐν αὐτῷ γὰρ αἱ αἰσθήσεις ὑποχωροῦσιν.

Ὕπνος ἐστὶν αἰσθητὸς ἄνεσις ψυχῆς χαλωμένης ἀπὸ τοῦ σώματος, καὶ τὴν στάσιν ὑπεκλυούσης, τὸ μὴ φέρειν ἀδιάλειπτον τὸν διὰ τοῦ σώματος πόνον.

Ὕπνος ἐστὶ, θανάτου σκιὰ, νυκτὶ φίλος, καθημερινὴ μελέτη.

Ὕπνος ἐστὶν, ἀτονία τοῦ αἰσθητικοῦ πνεύματος.

Ὕπνος ἐστὶν, ἄνεσις ψυχῆς κατὰ φύσιν ἀπὸ τῶν περάτων, ἐπὶ τὴν ἀρχήν.

Ὕπνου δῶρον, ὕπνος, ἀνάπαυσις.

Ὑπνοῦσα, ὑπνωτικῶς ἔχουσα, ὕπνῳ κοιμωμένη, παρὰ τῷ Ἱπποκράτει.

Ὑπνόω ὑπνῶ, καὶ ὑπνώττω, τὸ αὐτό.

Ὑπνῶ, καὶ ὑπνώττω, ἀμεταβάτως, τὸ κοιμῶμαι. κοιμίζω δὲ ἕτερον μεταβατικῶς. ὁ καὶ κοιμῶμαι γράφεται, ποιητικῶς. ἀφυπνίζω δὲ καὶ ἐξυπνίζω, τὸ ἐξ ὕπνου ἀνίστημί τινα.

Ὕπνῳ δεδμημένος λέξαι, πρὸς διαστολὴν εἴρηται τοῦ ἄλλως πῶς λέγεσθαι. ὃ δὴ πολυσήμαντόν ἐστιν. ὕπνον ἀπείρονα λέγει ὁ Ποιητής, τὸν βαθὺν, καὶ διὰ τοῦτο πολὺν καὶ ἀσύμμετρον, ὡς πρὸς τὸ σύνηθες.

Ὕπνος, ἀντὶ τοῦ ἀγρυπνία ἐνίοτε τίθεται.

* Ὕπνος, ἐπὶ Θεοῦ, ἡ μακροθυμία. Δαβίδ. ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς Κύριε.

Ὑπὸ πρόθεσις, τὴν ὑποκάτω σχέσιν δηλοῦσα, Ἀττικῶς μὲν συντάσσεται δοτικῇ. κοινῶς δὲ, μετὰ αἰτιατικῆς. οἷον, ὑπὸ τῷ Ἡλίῳ, καὶ ὑπὸ τὸν Ἥλιον. ὑπὸ γενικῇ, αἰτιολογοῦσα τὸ ποιητικόν. οὐδὲ ὑπὸ πενίας εὐεργετῶ, καὶ ἔτι τὸ ὑποκάτω σημαίνουσα.

Ὑπὸ τὴν πρόθεσιν, συνήθως ὁ ποιητὴς δοτικῇ συντάσσει. ὡς ἐν τῷ, ὑπὸ δὲ θρῆνος ποσὶν ἦεν, ἤγουν, θρῆνος ἦν ὑπὸ τοῖς ποσί. δύναται δὲ καθ' ὑπερβατὸν εἶναι, ὅτι θρῆνος ὑπῆν τοῖς ποσίν.

Ὑπὸ πρόθεσις, δοτικῇ συντάσσεται Ἀττικῶς. ὡς ἐν τῷ, καταχρύψασα, ὑπὸ κόλπῳ καὶ ὑπὸ Ἀγχίσῃ βουκολέοντι. καὶ ὑφ' ἡνιόχῳ εἰωθότι, καμπύλον ἅρμα οἴσουσι.

Ὑπακταίνοντο, ἔτρεμον.

Ὑποβάθρα, κρηπὶς, θεμέλιος, ὑπόβασις.

Ὑποβαίνει, ἐλαττοῦται.

Ὑποβάλλει, ὑπουλότητά τινα ἐμφαίνει, καὶ δολιότητα. ὑποβάλλει γοῦν ὀφθαλμοὺς, ὑπούλως βλέπων, καὶ ὡς εἰπεῖν ὑπόβλωψ. καθ' ὁμοιότητα τοῦ παραβλώψ. ἔτι δὲ καὶ τοῦ βλοσυρὸς, ὃς δηλαδὴ τὸ βλέμμα ὑποσύρει. καὶ ὑπόβλητος, ὁ ὑποβολιμαῖος, ὁ μὴ τῇ ἀληθείᾳ ὅσα καὶ μητρὶ γνήσιος. καὶ ὑποβολιμαῖον βρέφος, τὸ ὑποβληθὲν λάθρα τῇ γενέσει, οὐ μὴν γεννηθὲν ὑπ' αὐτῆς. καθ' ὑποβάλλει δέ τις καὶ βλάβῃ τινὰ, ἤγουν λεληθότως βλάπτει. λέγεται δὲ ὑποβάλλειν, καὶ τὸ ὑποκρούειν, ὅ ἐστιν ἐμποδίζειν ἐν τῷ λέγειν, καὶ τὸ δι' ἑρμηνέως λαλεῖν. ἐξ ὧν καὶ τὸ ὑποβάλλειν παρὰ τῷ Ποιητῇ. καὶ ὑποβολεὺς, ὁ ἑρμηνεύς. ἐξ αὐτοῦ δὴ καὶ ὑπόβολον οὐ μόνον τὸ νομικὸν, ἀλλὰ καὶ ἐπὶ τόκῳ ἐνεχυρασθέν. καὶ τὸ ὑποβλήδην δὲ λαλεῖν, ἐξ αὐτοῦ προάγεται, καὶ ὑποβαλὼν λόγον, ἀντὶ τοῦ λαλήσας. πρὸ τοῦ λαβεῖν τέλος τὰ προλαλούμενα. τοῦτο δὲ καὶ ὑπολαβεῖν λέγεται, ὑπολαβὼν δὲ ὁ δεῖνα, εἶπεν.

Ὑποβάλλειν ἐπὶ γυναικῶν, ὅταν τὰ ἀλλότρια βρέφη ἰδιοποιῶνται. καὶ ἀπὸ τούτου ἁπλῶς, ἐπὶ τῶν τὰ ἀλλότρια ὡς οἰκεῖα λαμβανόντων. ἀφ' οὗ ὑποβολιμαῖος υἱός. καὶ ὑπόβλητος λόγος παρὰ Σοφοκλεῖ, ὁ ὑποβολιμαῖος, καὶ οὐ γνήσιος. καὶ ὑποβάλλει τίς τινι λόγους, κατά τινος, ἢ λάθρα ὑποτίθεται. καὶ ὑποβάλλω τῷ οἴκῳ κίονα, ἤγουν ὑφιστῶ. καὶ ὑποβάλλειν, τὸ ἑρμηνεύειν, καὶ τὸ διακόπτειν ἑτέρου λόγον τινὰ, καὶ ὑποτιθέναι τὸν ἑαυτοῦ, καθὸ λέγεται ὑποβάλλειν τὸ παραινεῖν καὶ εἰσηγεῖσθαι. ὑποβάλλειν καὶ τὸ ὑπέχειν καὶ ἐφιέναι. ὑποβάλλει τὶς τὰ ὦτα τοῖς λόγοις. ὑποβάλλεσθαι οὐχ εὕρηται παρὰ τοῖς Ἀττικοῖς.

Ὑποβάλλειν ὑποβλήδην, ὅ ἐστιν ὑποβλητικῶς. καὶ ὡς ἐν περικοπῇ διεξοδικοῦ λόγου. ὑποβάλλειν, τὸ ἄλλου λέγοντος, μὴ ἀνέχεσθαι ἀπαρτισθῆναι τοὺς λόγους, ἀλλὰ ὑποβάλλειν τοὺς ἑαυτοῦ.

Ὑποβάσιμον, ὑπόβαρον.

Ὑπόβασις, ὁ ἐνδότατος χιτὼν, ἢ περίζωμα.

Ὑποβάτην, ὑποβατὸν, τὸ ὑποπόδιον.

Ὑποβιβασθὲν, ὑποπεπτωκός.

Ὑποβλεπόμενος, ὑπονοῶν, ἐχθραίνων.

Ὑποβλήδην, ὑποβαλὼν λόγον ὑποκρουστικῶς. ἄλλοι, ὑπολαμβάνων.

Ὑποβολεῦσιν ἐχρῶντο, ὅ ἐστιν ἑρμηνεῦσιν.

Ὑποβολὴ, ὁ κατά τινος λεγόμενος λόγος λαθραίως. καὶ ὑποβάλλει ὁ δεῖνα λόγον κατὰ τοῦ δεῖνος, ἀντὶ τοῦ λαθραίως ὑποσπείρει.

Ὑποβολιμαῖοι, οὐ γνήσιοι, ἀλλὰ νόθοι, καὶ ἀλλότριοι, ὑποβαλλόμενοι, καὶ εἰσποιητοί.

Ὑποβορβόριον, ἡ στύξ.

Ὑπόβολον, ὑποκείμενον, πρὸς δάνειον καὶ τόκον.

Ὑπόβρυχα, ἢ ἐκ τοῦ ὑπόβρυξ ὑπόβρυχος γίνεται, ἢ ἐκ τοῦ ὁ ὑπόβρυχος, οὗ ἡ αἰτιατικὴ τὸν ὑπόβρυχον. καὶ κατὰ μεταπλασμὸν ὑπόβρυχα.

Ὑποβρύχιον, τὸ ὑπὸ τὸ ὕδωρ βυθισθὲν, παρὰ τὸ βρέχω.

Ὑπογαίδιον, ὑπόγειον, τύμβος.

Ὑπὸ γαμφηλαῖς, ὑπὸ ταῖς σιαγόσιν.

Ὑπογενειάζων, λιπαρῶν τοῦ γενείου, ἁπτόμενος.

Ὑπογεγραμμένη, ἐγκεχριμένη.

Ὑπόγειον, ὑπὸ τὴν γῆν.

Ὑπογλυκαίνων, ἡδύσμασι χρώμενος, καὶ ἀρτύμασι, λόγοις κολακευτικοῖς καὶ γλυκέσι.

Ὑπογλωττὶς, εἶδος στεφάνου. καὶ πάθος τι κατὰ τὴν γλῶτταν, καὶ μέρος ἐνστόμιον.

Ὑπογλωχίαν, ὑπὸ τὴν γωνίαν.

Ὑπογνύθα, τὸ καθῆσθαι τὰς χεῖρας ἔχοντα ὑπὸ γνάθον.

Ὑπογραμμὸς, τύπος, μίμημα.

Ὑπόγραμμα, τὸ ἁρμάτιον ὑπόμνημα, ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσι. καὶ ὑπογεγραμμένη, ἐστιβασμένη, Ἀριστοφάνης.

Ὑπογραφή ἐστιν, ὁρισμὸς τυπώδης, ἢ ὁρισμὸς ἀσθενής. οἷον ἄνθρωπός ἐστι ζῶον φύσει πολιτικόν. ἢ λόγος σύντομος δηλωτικὸς συμβεβηκότων.

Ὑπογραφῆναι, εἰσαχθῆναι.

Ὑπογραφίων, τῶν ἐπὶ τῷ σώματι δεδανεισμένων.

Ὑπογράφω, καταβάλλομαι, σκιαγραφῶ, βεβαιῶ.

Ὑπόγυιον, λέγεται τὸ ἐγγύτερον καὶ πρόσφατον, τὸ ὑπὸ γυῖον καὶ τὴν χεῖρα ὄν. ἐξ οὗ καὶ ὑπὸ γυίου παράδειγμα, ἤγουν ἐκ τοῦ πλησίον.

Ὑποδ' ἄρειον, ἤγουν ὑφῄρουν. τὸ θέμα ὑφαιρῶ, ὃ δηλοῖ τὸ κλέπτω, καὶ λάθρα λαμβάνω. παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ὑποκάτωθεν εἷλκον.

Ὑπὸ δάων, ὑπὸ λαμπάδων.

Ὑποδέμενος, ὑποδεχόμενος.

Ὑποδεέστερος, ταπεινότερος.

Ὑποδεὴς, ἐνδεὴς, καταδεὴς, ἐπίφοβος.

Ὑπόδειγμα, σημεῖον.

Ὑποδεικνύει, ἀντὶ τοῦ ὑποζωγραφεῖ, ὑποδεῖξαι βούλομαι τῷ λόγῳ καθάπερ, ἐπί τινος γραφῆς.

Ὑποδεῖσθε, ὑποδεσμεύσατε.

Ὑπόδειγμα. οὐδὲ τοῦτο ὀρθῶς λέγεται, παράδειγμα δέ.

Ὑποδενδριάζειν, τὸ ἐξ ἀφανοῦς καὶ αἰφνιδίως ἐπιφαίνεσθαι.

Ὑποδέξασθαι, ὁ Ποιητὴς κοινότερον τὸ ἀντιστῆναί φησιν. ὁμοίως τὸ, σὺ μὲν τόνδε δέδεξο μελήσουσί μοι ἵπποι.

Ὑποδέραια, ὑποτραχήλια.

Ὑποδερὶς ὑποδερίδος, ὁρμίσκος, πλόκιον, γυναικεῖος κόσμος.

Ὑποδέσματα, ἐνέχυρα.

Ὑποδ' ἔτινε, ὑπέβαλεν.

Ὑποδέχομαι, τὸ ὑποτιθεὶς τὰς χεῖρας δέχομαι. καὶ τὸ δεξιοῦμαι καὶ φιλοφρονοῦμαι.

* Ὑπόδημα, τουτέστι τὸ σαρκικὸν φρόνημα τοῦ ἰδίου θελήματος. λύσον τὸ ὑπόδημα τῶν ποδῶν σου, ὁ Θεὸς πρὸς Μωϋσῆν.

Ὑπόδημα, ἐκ τοῦ ὑποδεῖσθαι, ὥσπερ ἐκ τοῦ ἀναδεῖσθαι καὶ διαδεῖσθαι τὸ ἀνάδημα, καὶ τὸ διάδημα. δῆλον δὲ, ὡς ἐπὶ ποδῶν μὲν τὸ ὑποδεῖσθαι. ἀναδεῖσθαι δὲ καὶ ἀναδέσμη ἐπὶ κεφαλῆς.

* Ὑποδήματα, καὶ ὑποπόδιον, ἡ ἐνανθρώπησις τοῦ Κυρίου. ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου.

Ὑποδῆσαι, ἐνεχυρασθῆναι, Ἰταλιῶται.

Ὑποδησάμενος, ἐπὶ ὑποδημάτων. καὶ ὑπολυσάμενος, ἐπὶ τοῦ ἐναντίου. Ἀριστοφάνης, κατάθου θοἰμάτιον, ἔπειτα ὑπόλυσαι.

Ὑποδιαίρεσίς ἐστιν, ἡ τῶν διαιρεθέντων εἰδῶν διαίρεσις. οἷον τοῦ ζώου τὸ μὲν θνητὸν, τὸ δὲ ἀθάνατον. καὶ τοῦ θνητοῦ, τὸ μὲν χερσαῖον, τὸ δὲ ἔνυδρον. καὶ τοῦ χερσαίου, τὸ μὲν πεζὸν, τὸ δὲ πτηνόν. καὶ τοῦ πεζοῦ, τὸ μὲν λογικὸν, τὸ δὲ ἄλογον.

Ὑποδιδάσκαλος, ὁ τῷ χορῷ καταλέγων. διδάσκαλος γὰρ αὐτὸς ὁ Ποιητής.

Ὑποδιήγησις, ὅτε διηγεῖταί τις ὅμοιόν τι τοῖς προκειμένοις πράγμασιν.

Ὑπόδικος, ὑπεύθυνος, χρεώστης, ἔνοχος δίκης.

Ὑποδμὸς, ὑποτεταγμένος, δοῦλος. περιττὴν ἔχει τὴν πρόθεσιν.

Ὑποδουμένη παρ' Ἀριστοφάνει, ὑποδήματα βαλοῦσα.

Ὑπόδρα ἰδὼν, ἀντὶ τοῦ δραστικὸν, δριμύ. ὡς ἀπὸ τοῦ δρῶ τὸ πράττω. μάλιστα δὲ ὡς ὀρθῶς δοκεῖ τοῖς παλαιοῖς, ἀντὶ τοῦ ὑποβλεπτικῶς. παρὰ τὴν ὑπὸ πρόθεσιν, καὶ τὸ δρῶ τὸ βλέπω, καὶ οἱονεὶ διορῶ ἐξ οὗ φασι καὶ τὸ δέρκω παράγωγον. ὅθεν καὶ τὸ δραθάνειν, ὅ ἐστι τὸ κοιμᾶσθαι. οἱονεὶ ἡ τοῦ βλέπειν ἀπόθεσις. καὶ δραπέτης. ὁ οἷον ἐκπετασθεὶς τοῦ ὁρᾶν καὶ μὴ βλεπόμενος διὰ τὸ φυγεῖν. ἐκ τοίνυν τοῦ τοιούτου ῥήματος δρῶ, τὸ ὑπόδρα. ὡς τὸ, ὑπόδρα, ὡς τῆς ὄψεως μὴ κατὰ φύσιν ἐχούσης τοῖς ὀργιζομένοις, ἀλλ' ἄπως παρατιθεμένης, καὶ ὑποβαλλομένης. ὅθεν καὶ βλοσυρὸς λέγεται, ὁ τὸ βλέμμα ὑποσύρων, ὁποῖόν τι καὶ οἱ φύσει τὰς ὄψεις διεστραμμένοι πάσχουσι. πλὴν οὗτοι μὲν ὑποβλέπειν λέγονται, καὶ ὑπόδρα βλέπειν. ἐκεῖνοι δὲ, παραβλέπειν. ὅθεν καὶ παραβλῶπες ὀνομάζονται. ἰστέον δὲ, ὅτι δοκεῖ ἀπὸ τοῦ ῥηθέντος δρῶ γίνεσθαι καὶ τὸ ἀθρῶ. ἵνα ᾖ ἀδρῶ, τὸ ἄγαν ὁρῶ, καὶ κατὰ συγγένειαν τοῦ δ πρὸς τὸ θ, ἀθρῶ. καθὰ καὶ ἐκ τοῦ μήδω γίνεται ὁ Προμηθεὺς, καὶ ἐκ τοῦ οὐδενὸς τὸ ἐξουθενῶ.

Ὑποδρακὼν, ὑποπτεύσας.

Ὑποδραμὼν, ὑφαρπάσας.

Ὑποδρασίας, τὰς ἔχθρας.

Ὑπόδρα, ποιητικῶς ἐπίρρημα, ἀντὶ τοῦ ταυρηδὸν ὑφορῶμαι.

Ὑποδρασίν, ὑποψία.
Ὑποδρήσσουσιν, ὑπουργοῦσιν, ὑπηρετοῦσιν.
Ὑποδρόμον, ὑποστοχασμόν.
Ὑποδρόμους, στόμια. * ἢ τοὺς τόπους, ἐν οἷς ἔθεον οἱ ἵπποι.
Ὑποδύεσθαι, δειλιᾶν.
Ὑποδῦναι, ὑπεκδῦναι.
Ὑποδύντες, ὑπεισελθόντες.
Ὑποδυσφορεῖ, τὸ ὑποδυσχεραίνει.
Ὑποδύτης, τὸ ἐσώτερον ἱμάτιον.
Ὑπόεικεν, ἀνεχώρει.
Ὑπείξομαι, ὑποχωρήσω.
Ὑποέστης, χιτών.
Ὑποειγμένη, ὑπείκουσα, θεραπεύουσα.
Ὑποζάκοροι, νεωκόροι.
Ὑποζασταθείς, ὑποκατασχών.
Ὑποζύγια λέγονται, βόες καὶ ἡμίονοι, καθάπερ καὶ ἵπποι, ὅτι ὑπὸ ζυγὸν ἤγοντο.
Ὑποζυγιώδης ἄνθρωπος, ὁ μὴ ἐκ τῆς ἑαυτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως. ὥσπερ καὶ τὰ ὑποζύγια. εἴποις δ' ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα, Ἀριστοφάνης.
Ὑποθαλπόμενοι, ἀντὶ τοῦ ἐξαπατώμενοι. Γώσηππος, ταῖς δὲ ὑποθαλπομέναις ἐλπίσιν.
Ὑποθέσθαι, συμβουλεῦσαι.
Ὑπόθεσίς ἐστι, πρᾶγμα ὁμολογούμενον, πρὸς κατασκευὴν ἑτέρων λαμβανόμενον. ἀρχὴ ἀναπόδεικτος, συγκεφαλαίωσις λόγου.
* Ὑποθέτης. ἀρχηγός, σύμβουλος.
Ὑπόθευ, ὑπόθου, συμβούλευσον.
Ὑποθεῦσον, Ῥόδιοι ἐπὶ θυσίας.
Ὑποθήβας εἶχον ἐϋκτίμενον πτολίεθρον. οἱ πλείους νοοῦσιν ὑπὲρ Θήβας οὐκ ἐν δυσὶ μέρεσι λόγου, ἀλλὰ ὑφ' ἕν, ὑποθήβας λέγοντες. ὅτι πολλοὶ τόποι καλοῦνται μετὰ προθέσεων. οἷον ἐπικνημίδιοι, ὑπερβόρεοι, παραποτάμιοι, προποντὶς, παρωκεανῖται. ὑποχαλκὶς πόλις Αἰτωλίας. οὕτω καὶ ὑποθῆβαι, πολισμάτιόν τι διὰ τὴν τοῦ τόπου θέσιν, οὕτως ὠνομασμένον. ὡς γὰρ ὑποχαλκὶς πόλις αἰτωλικὴ, διὰ τὸ ὑπὸ τὸ ὄρος φασὶ τὴν Χαλκίδα κεῖσθαι, οὕτω καὶ ὑποθῆβαι, αἱ ὑπὸ τὰς βοιωτικὰς Θήβας. φασὶ δὲ οὕτω καλεῖσθαι τὰς ποτνίας τῆς Βοιωτίας, ἔνθα αἱ τοῦ θρακὸς Διομήδους ἵπποι ἐμάνησαν κατά τινας. μάλιστα οὖν κατὰ τὸν Γεωγράφον, ἐφ' ὧν μυθεύεται ὁ ποτνιεὺς Γλαῦκος, ὑπὸ ἵππων διασπασθῆναι, ἃς Εὐριπίδης ἵππους φησίν. αἱ δὲ ῥηθεῖσαι πότνιαι, καὶ δισυλλάβως ἐκφέρονται, πότνιαι λεγόμεναι.
Ὑποθήβας δέ τινές φασι, τὰς ὑποκειμένας κώμας ταῖς ἑπταπύλοις Θήβαις. ἑπτάπυλοι γὰρ αἱ Βοιώτιαι, ὥσπερ καὶ αἱ Αἰγύπτιαι ἑκατόμπυλοι. ἕτεροι δὲ ὑπὸ Θήβας, τὰς ἐλάττους Θήβας. ἃς δηλαδὴ ἠλάττωσαν οἱ ἐπίγονοι, τῶν ἑπτὰ ἐπὶ Θήβας. δῆλον δὲ, ὅτι αἱ ὑποθῆβαι τῶν Θηβῶν εἰσὶ παρώνυμοι. αὗται δὲ οὕτω καλοῦνται, ἢ ἀπὸ Θήβης Ἀσωποῦ τοῦ ποταμοῦ θυγατρὸς, ἢ διὰ τὸ θεῦσαι τὴν βοῦν, ἤτοι δραμεῖν μέχρις ἐκεῖ τὴν ὁδηγὸν τοῦ Κάδμου, ἣν ἐκεῖνος θύσας τὴν πόλιν ἐκάλεσεν ἀπὸ τῆς θέσεως, ἤτοι τοῦ δρόμου τῆς βοὸς, ἐφ' ἧς ἡ Βοιωτία κατά τινας ὠνόμασται.
Ὑποθήκη, καὶ παραθήκη, διαφέρουσι. καὶ δάνειον, χρῆσις, καὶ ὑποθήκη μέν ἐστι, τὸ ἐνέχυρον. λέγεται δὲ καὶ ἡ συμβουλή. παραθήκη καὶ παρακαταθήκη, τὸ δοθέν τινι πρὸς συντήρησιν καὶ φυλακήν. δάνειον, τὸ λαβεῖν ἀργύριον ἔκ τινος ἐπὶ τόκον. χρῆσις δὲ, καὶ κίχρησις, τὸ ζητῆσαι παρά τινος πρὸς βραχὺ ἱμάτιον, ἢ ἄλλο τι, ἀφικέσθαι πρὸς γαμήλια τυχὸν, ἢ καὶ ἄλλην ἑστίασιν.
Ὑποθημοσύνη, ταυτὸν τῇ ὑποθήκῃ ἐστὶ, καὶ ἐκ τοῦ αὐτοῦ ἄμφω παράγονται ῥήματος.
Ὑποθεῖν, ὑποτρέχειν. Ἀριστοφάνης, ὑποθεῖν οὐκ ἐῶ, ὑποτρέχειν, ὑποσκελίζειν, καὶ ἐμποδὼν ἵστασθαι.
Ὑποθήμων, ὑποθέσεις κακογράφων.
Ὑποθήσομαι, διδάξω.
Ὑποθησόμεθα παρ' Ὁμήρῳ, συμβουλεύσομεθα. ἡ ἀρχή ἐστι τῆς ποιητικῆς ὑποθημοσύνης τῆς ἀγαθῆς, ἡ ἀντίκειται ἡ κακοθημοσύνη, ἐπὶ δὲ καὶ τῆς παρὰ τοῖς ὕστερον ὑποθήκης. καὶ τοῦ νουθετεῖν, ὅπερ ἐστὶν νοῦν ἐντιθέναι, ἤγουν ἐμβάλλειν. ἴσως δὲ καὶ τῆς ἐνθυμοσύνης.
Ὑποθησόμενον, ἀντὶ τοῦ ὑποχεθέντα. Ἡρόδοτος, ἔπεμψεν Ἀρισταγόρης Μιλήτου τύραννον, συντηρίην ὑποθησόμενον ἡμῖν.
Ὑποθύμιος Στέφανος, ὑποτράχηλος.
Ὑποιατιθείς, ὑποστρατευθείς.
Ὑποΐσθαι, ὑπονοεῖν.
Ὑποικουρῶν, ἀντὶ τοῦ ὑποστρεφόμενον. καὶ ἐνδομυχῶν, καὶ σωίστη, καὶ γεγάμηται.
Ὑποικουροῦσα, εἰς βάθος οἰκοῦσα.
Ὑπὸ Ἴλιον ἦλθον, ἀντὶ τοῦ ἐπὶ Ἴλιον, ἐναλλαγὴ προθέσεως. ὁμοίως ὑπὸ τὸν καιρὸν ἐκεῖνον, ἀντὶ τοῦ κατὰ ἐκεῖνον τὸν καιρόν.
Ὑποίσω, τὸ ὑπομενῶ. καὶ ὑποιστὸν, τὸ ὑπομονητικόν, καὶ ἀνύποιστον. καὶ ὑποίσει, ὑφέξει, ὑπομενεῖ, βαστάσει.
Ὑποκαθεῖναι τὰς ὀφρῦς, οἷον παύσεσθαι χαλεπαίνοντα. τὸ γὰρ ἀνατείνειν τὰς ὀφρῦς, ὀργῆς ἐστι σημεῖον.
Ὑποκαθῆσθαι, ἐνεδρεύειν.
Ὑποκάλυκα, ὑπὸ τὴν κλεῖδα τοῦ πυρός.
Ὑποκείμενα, αἰσθητά εἰσι πράγματα ὑλικὰ, ἀφ' ὧν ἡμῖν καὶ τὰ νοήματα διὰ τῆς κατ' ἐνέργειαν αἰσθήσεως ἐγγίνεται.
Ὑποκείμενον λέγεται, αὐτὴ ἡ οὐσία. καθ' ὑποκειμένου δὲ λέγεται, ὅταν τὰ καθόλου τῶν μερικῶν κατηγορῆται, ὡς τὸ χρῶμα τοῦ λευκοῦ. καθ' ὑποκειμένου γὰρ, καὶ συνωνύμως κατηγορεῖται. ἐν ὑποκειμένῳ δὲ, ὡς ἐν ταῖς οὐσίαις τὰ συμβεβηκότα. οἷον, ὡς τὸ λευκὸν ἐν κύκλῳ. διττὸν δὲ τὸ ὑποκείμενον, τὸ μὲν πρὸς ὕπαρξιν, τὸ δὲ πρὸς κατηγορίαν. καὶ πρὸς ὕπαρξιν μὲν ὑποκεῖσθαι λέγουσι, τὴν οὐσίαν τοῖς συμβεβηκόσι. πρὸς κατηγορίαν δὲ, τὰ μερικὰ τοῖς καθόλου.
Ὑποκείσεται, ὑποβληθήσεται.
Ὑπόκειται, τὸ ὑπέχει καὶ τὸ ἐνέχεται, ἐπὶ δίκης δοτικῇ συντάσσεται. οἷον πολλοῖς ἐγκλήμασιν ὑπόκειται ὁ στρατηγός. ἀφ' οὗ καὶ ὑπέχει.
Ὑποκεντά, ὑπομονητικά.
Ὑποκέοιτο, ὑποκείσεται.
Ὑποκεύθεα, ὑποκοίλια.
Ὑποκηρυξάμενος, τὸ ὑπὸ τῷ κήρυκι τῷ δημοσίῳ στῆναι, καὶ ποιῆσαί τι διὰ τοῦ κήρυκος φανερόν.
Ὑπὸ κίνσον, ὑπὸ τέλος.
Ὑποκλοπέοιτο παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας χ', καιριωτάτη λέξις εἰς δήλωσιν ἐπικρύψεως. πρωτότυπον δὲ τούτου ὁ κλοπεύς. ὃ κεῖται παρὰ Σοφοκλεῖ ἐν τῷ, φιλεῖ δ' ὁ θυμὸς πρόσθεν ηὑρῆσθαι κλοπεύς. καθὰ καὶ ἐκ τοῦ ἡνιοχεύω γίνεται ἡνιοχεύς, καὶ ἡγεμονεύω ἡγεμονεύς.
Ὑποκομψίας, ὁ τὸ κομψὸν ὑποφαίνων.
Ὑποκόπιον, τοῦ χοροῦ τῆς στάσεως χῶραι αἱ ἄτιμοι.
Ὑποκορίζεται, κολακεύει, ὑποκρίνεται. ὑποκοριζόμενοι, Ξενοφῶν ἀντὶ τοῦ διασύροντες.
Ὑποκορίζομαι, τὸ μετὰ σεμνολογίας σμικρύνω. Ἀριστοφάνης ἐν πλούτῳ, νιττάριον καὶ βάτιον ὑπεκορίζετο. καὶ τὸ κοινῶς κολακεύω.
Ὑποκοριστικὸν, ἐλαττώσεως ῥῆμα. καὶ ὑποκορισμὸς, μείωσις μεγέθους. εἴρηται δὲ ἀπὸ τοῦ ταῖς κόραις ἐοικέναι. αὗται γὰρ φιλοῦσιν ἐκλύτῳ φύσει κεχρημέναι, εἰς κολακείας τρόπον πάντας μικροπρεπῶς προάγειν εἰς νεότητος κομιδῇ ἔνδειξιν. πολλὰ τοιαῦτα παίζεται ἐν κωμῳδίᾳ, μέχρι καὶ αὐτῶν τῶν ὀνομάτων, καὶ μάλιστα εἰ τύχοι ἑταιρῶν προφέρεσθαι ὀνόματα, ὡς ἡ κλονάριον, καὶ μυσάριον, καὶ λεόντιον, καὶ τὰ τοιαῦτα.
Ὑπὸ κρασὶν, ὑπὸ ταῖς κεφαλαῖς.
Ὑποκρέκειν, ἐπὶ ἵππων πορεία τίς.
Ὑποκρίνεται, ἀντὶ τοῦ ἀποκρίνεται κεῖται παρ' Ὁμήρῳ. ἰστέον δὲ, ὅτι Ὅμηρος οὐκ οἶδε τὴν λέξιν ἀποκρίνεσθαι. διὸ ἀντ' αὐτοῦ τῷ ὑποκρίνεσθαι κέχρηται. φασὶ δὲ καὶ τὸν παρὰ τοῖς δραματικοῖς ὑποκριτὴν οὕτω λέγεσθαι, διὰ τὸ πρὸς τὸν χορὸν ἀποκρίνεσθαι. γίνονται δὲ καὶ ἄμφω αὗται αἱ λέξεις ἐκ τοῦ κρίνειν, ὅ ἐστι διαχωρίζειν. ἑαυτὸν δὲ ἀποκρίνων, ἢ ὑποκρίνων, ὅ ἐστι τῶν ἄλλων ὑποχωρίζων, καὶ ὁ κατὰ τὸν Ὅμηρον ὑποκρινόμενος, κατὰ δὲ τοὺς ὕστερον ἀποκρινόμενος. ἔστι δὲ καὶ ὁ κατὰ τοὺς μεθ' Ὅμηρον ὑποκρινόμενος καὶ ὁ ἐξ αὐτοῦ παραγόμενος. ὑποκριτὴς, λαλοῦσιν ἅπερ λαλοῦσιν. ἔστι δὲ ὑποκρινόμενος καὶ ὑποκριτὴς, παρὰ τοῖς ὑστερογενέσι ῥήτορσιν, ὁ μὴ ἐκ ψυχῆς λέγων ἢ πράττων, μὴ δὲ ἅπερ φρονεῖ. ὁποῖοι πρώτως καὶ μάλιστα οἱ τῆς θυμέλης οἱ σκηνικοί.
Ὑποκριθῆναι, ἀποκριθῆναι.
Ὑποκρίνεταί τις ἑαυτῷ τι, ἀντὶ τοῦ ὑπολογίζεται, καὶ ἐν ἑαυτῷ κρίνει. ὡς τὸ, ἐγὼ ἀναστὰς ὑπεκρινόμην ἐμαυτῷ τὸ ὄναρ.
Ὑποκρίνεταί τις ἀρετὴν, ἢ ἄλλο τι, ὅπερ οὐκ ἔχει, καὶ βιάζεται δοκεῖν ἔχειν. ὅθεν καὶ ὑποκριτὴς ὑποκρίνεται, ἤγουν σχηματίζεται καὶ ἐξεικάζει ἑαυτῷ. ἀφ' οὗ ὑποκριταὶ παρὰ τοῖς δραματουργοῖς, οἱ σχηματιζόμενοι, καὶ οἱ ἐξεικάζοντες ἑτέρους ἐν ἑαυτοῖς. γίνεται δὲ ἀπὸ τοῦ ὑποδύεσθαι ἑτέρου κρίσιν, ἤγουν ὑπόληψιν.
Ὑποκρίνομαι, καὶ μετὰ προσποιήσεως, καὶ σχηματισμοῦ τι ποιῶ. καὶ ὑπόκρισις, τὸ αὐτὸ ἐπίπλαστον ἔργον. ὑποκρίνομαι, καὶ τὸ ἀποκρίνομαι, καὶ ὑπόκρισις τὸ αὐτό.
Ὑποκρίνονται μνηστῆρες, ἀντὶ τοῦ ἀποκρίνονται, Ἰωνικῶς. καὶ ὑποκριτής φασιν ἐντεῦθεν, ὁ ἀποκρινάμενος τῷ χορῷ. δοκεῖ δὲ καὶ Ἀττικὴ ἡ λέξις εἶναι. φησὶ γοῦν Θουκυδίδης, οὐδὲν ὑπεκρίνατο.
Ὑπόκρισίς ἐστι, κακία λανθάνουσα, ἢ φιλίας προσποίησις. ἢ μῖσος, σχήματι φιλίας ἐγκεκαλυμμένον. ἢ ἔχθρα δι' εὐνοίας ἐνεργουμένη. ἢ φθόνος ἀγάπης χαρακτῆρα μιμούμενος. ἢ φιλαμαρτήμων διάθεσις, τῇ τῶν κατ' ἀρετὴν ἠθῶν προσβολῇ, τοὺς θεωμένους λανθάνουσα. ἢ βίος, ἀρετῆς πλάσματι, ἀλλ' οὐ πράγματι τὸ κόσμιον ἔχων. ἢ δικαιοσύνης προσποίησις, τῇ τοῦ εἶναι δοκήσει συντηρουμένη. ἢ τρόπος ἠθικῆς φιλοσοφίας, τὴν κατ' ἀρετὴν συγκαλύπτων τῆς γνώμης λανθάνουσαν στέρησιν. ἢ ἀπάτη, ἀληθείας ἔχουσα μόρφωσιν, ἣν οἱ τὸν ὄφιν τὴν τῶν ἠθῶν σκολιότητα μιμούμενοι ἐπιτηδεύουσιν.
Ὑποκριτὴς, μάντις. καὶ ὁ ἐν τῇ σκηνῇ ἀποκρινόμενος.
Ὑποκρουνιδία, θυσία τὶς παρὰ Κνιδίοις.
Ὑποκρούειν, ἀντιφθέγγεσθαι, ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ λέγεται ἐπὶ τῶν θορυβούντων. ὅπερ ἡμεῖς φαμὲν, ἐκκρούειν καὶ κωλύειν. Ἀριστοφάνης, βοᾶν, ὑποκρούειν, λοιδορεῖν.
Ὑποκρουσταλίς, εἶδος τοῦ λίνου σπέρματος.
Ὑποκρούσωσί σε παρὰ Ἀριστοφάνει, ὑποβάλλωσί σε λαμβάνωνταί σου.
Ὑποκυδὲς, ὑποφρύδιον.
Ὑπόκυκλα, τοὺς ἀστραγάλους, τοὺς ὑποτιθεμένους τῷ πυθμένι τῶν τριπόδων.
Ὑπόκυκλος τάλαρος, ὁ περίτροχος καὶ περιφόρητος τοῖς ὑποκάτω τροχίλοις, ἢ κυκλοτερής.
Ὑποκυσαμένη, ἐγκύουσα.
Ὑποκυησαμένη, ὑπογάστριος ἔχουσα ἐγκοίλιον.
Ὑπολαβὼν, ὑπονοήσας. καὶ ἀντὶ τοῦ διακρίνας, καὶ ἀντὶ τοῦ λογισάμενος ἐπ' ἀμφιβόλῳ. καὶ ἀντὶ τοῦ διακόψαι τὸν λόγον, καὶ ἀποκριθείς. καὶ ἀντὶ τοῦ λαβὼν, καὶ ἀντὶ τοῦ ἁπλῶς ἀπολογισάμενος. καὶ ἀντὶ τοῦ μετὰ ἀπάτης λαβών.
Ὑπολαβὼν, ἡ δὲ ὑπὸ, ὑστεροχρονίαν δηλοῖ.
Ὑπολαμβάνω, τὸ ἡγοῦμαι καὶ νομίζω. κυρίως πρὸς ἀπαρέμφατον μετὰ αἰτιατικῆς συντασσόμενον, ὑπολαμβάνω σε ἀγαθὸν εἶναι. καὶ δίχα ἀπαρεμφάτου, ὑπολαμβάνω σε χρηστόν. ὑπερλαμβάνω οὐχ εὕρηται οὔτε μὴν ἐνλαμβάνω, οὔτε εἰσλαμβάνω.
Ὑπολαμβάνω, δοξάζω, δοκῶ, ἡγοῦμαι, οἶμαι, στοχάζομαι, οἰωνίζομαι, συμβάλλω, λογίζομαι, εἰκάζω, ταυτοσήμαντα.
Ὑπολάϊ, ὄρνις τὶς τῶν σκωληκοφάγων.
Ὑπολαλεῖ, ψιθυρίζει.
Ὑπολαιὸν, ὑποδεξιόν.

Ὑπο-

Ὑπολαμπτῦρα, Ἑκάτη ἐν Μιλήτῳ.
Ὑπολαπάξας, ὑποκενώσας.
Ὑπολείβεται, ὑποστάζει, ὑποῤῥεῖ, παρὰ τῷ Ἱπποκράτει.
Ὑπολείπει, ἐκλείπει.
Ὑπολείπεταί μοι τόδε, ἤτοι ὑπόλοιπόν μοί ἐστι.
Ὑπολευκαίνονται ἀχυρμιαὶ παρ' Ὁμήρῳ, ἀσφαλῶς εἴρηται εἰς ἔμφασιν τοῦ ξανθὴ Δημήτηρ. ὑπόλευκον γάρ πως καὶ τὸ ξανθόν. ὅθεν καὶ κριθὴ λέγεται λευκόν. καί τοι οὐ πάνυ λευκὸν ὄν.
Ὑπολῇς, εἶδος ὄρνιθος, ἢ λαΐς.
Ὑποληκεῖν, ὑποκρούειν.
Ὑποληπτέον, ἤγουν ἀποκριτέον. ὡς οἱ παλαιοί φασι, καὶ νομιστέον.
Ὑπόληψίς ἐστιν, ἡ παχυμερὴς γνῶσις. καὶ ἡ δόξα καὶ εἰκασία, καὶ ὑπόνοια.
Ὑπολίζοντες μεγέθει, ἐλάσσοντες ὀλιγώτεροι.
Ὑπόλινον, τὸ ὅρμινον.
Ὑπολισποῖσι, συῤῥαφεῖσι.
Ὑπολίσποις παρὰ τῷ Ἀριστοφάνει ἐν ἱππεῦσιν. οἱ Ἀθηναῖοι πάντες λεπτοὶ ἐτύγχανον τὰ ὀπίσθια ἀπὸ Θησέως. ὑπόλισπα δὲ, τὰ τετριμμένα. κοινῶς γοῦν τοὺς Ἀθηναίους λισποπύγας φασί. καὶ πλάττονται τὸν περὶ Θησέως μῦθον, ὅτι ἑλκόμενος ὑπὸ Ἡρακλέους, κατέλιπεν ἐπὶ τὴν πέτραν τὴν πυγήν. νῦν δὲ οἰκείως εἶπεν, ἐπὶ τῶν ἐρεσσόντων διὰ τὴν καθέδραν λεπτοπύγων ὄντων, ἄλλως ἐστενομένοις. τοιαῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν, διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν.
Ὑπόλιτα πετάσαι καλὸν δαίδαλεον, ἀντὶ τοῦ ὑποπετάσας, ἤτοι ὑφαπλώσας καὶ ὑποθέμενος εἰς καθέδραν. ἔστι δὲ τὸ λιτὰ, γένους οὐδετέρου, πτώσεως αἰτιατικῆς. καὶ ἡ εὐθεῖα τὸ λιτόν. λῖτα δὲ ὕφασμά τι λιτὸν, οἷον τυχὸν λίνεον. καί τινες ποικίλον μᾶλλον κατ' ἀντίφρασιν τὸ λῖτα βούλονται εἶναι, διὰ τὸ τὸν Ποιητὴν προθεῖναι καλὸν δαιδάλεον. ἔστι δὲ ἡ περιεργία τῆς κλίσεως τοῦ λῖτα τοιαύτη, λιτὸν λιτοῦ, λιτῷ καὶ ἐν μεταπλασμῷ λιτί, ἀπὸ τελικοῦ δοτικῆς εἰς τελικὴν τῆς αὐτῆς. οἷον, λιτὶ κάλυψε. καὶ αἰτιατική, κατ' ἀκολουθίαν δῆθεν κλίσεως λῖτα, ἐν ὁμοιότητι τοῦ βοῒ βόα, πόδα, διὸ βαρύνεται. πᾶσα γὰρ αἰτιατικὴ δισύλλαβος, εἰς α λήγουσα βαρύνεται. ἄλλως γε μὴν διὰ τὸν μεταπλασμὸν ὀξύνεσθαι ὤφειλεν. οἱ γὰρ μεταπλασμοί, μεταβιβάζειν τοὺς τόνους οὐ βούλονται, χωρὶς τοῦ μητιέτας, μητίετα αἰολικοῦ.
Ὑπολιφὸν, ὀλισθηρόν.
Ὑπολογίζομαι, καὶ ὑπόλογον τίθεμαι. Ἀριστείδης ἐν λευκτρικῶν τρίτῳ, καὶ περιίδωμεν μηδένα ὑπόλογον θέμενοι.
Ὑπολογίζεσθαι δηλοῖ, τὸ ὑποπτεύειν, καὶ ὑφορᾶσθαι. δηλοῖ καὶ τὸ ὑπὸ τὸν λογισμὸν στρέφειν φροντίδα τινά. καὶ ὑπολογίζεσθαι δηλοῖ καὶ τὸ προφασίζεσθαι, καὶ σκήπτεσθαι, ὡς παρ' Ἀριστείδῃ, ὥστε ὑπὲρ δι' ἀσθένειαν σώματος οἷόν τε ὑπολογίσασθαι πρός γε αὐτὸν τὸν σωτῆρα. ἀντὶ τοῦ προφασίζεσθαι.
Ὑπολύειν κυρίως, τὸ ἐξυπολύειν ἐπὶ ὑποδημάτων. σπανιάκις δὲ καὶ ἀντὶ τοῦ ἁπλῶς λύειν.
Ὑπολύω τὸν πόδα, ὑπολύω τὸν βοῦν, ἤγουν ὑπὸ τὸν ζυγὸν ὄντα δεδεμένον λύω.
Ὑπομάζιον, τὸ θηλάζον παιδίον.
Ὑπομάλλῃ, ὑμάλλῃ.
Ὑπομαλανδριῶδες, εἶδός τι τριχός.
Ὑπόμβρον, ὕφυγρον, ὑπόπυον παρὰ τῷ Ἱπποκράτει.
Ὑπομελάθρα, Ἀρτέμιδος ἐπίθετον, ὡς ὁ μαύδιος.
Ὑπομειδιῶντι, γελῶντι.
Ὑπομένειν, ἀντὶ τοῦ ἁπλῶς μένειν. καὶ ὑπομένειν, ἀντὶ τοῦ ἐκδέχεσθαι.
Ὑπομένω, ἀνέχομαι, καρτερῶ, στέγω, φέρω.
Ὑπὸ μηνιθμὸν, ὑπὸ τὴν ὀργήν.
Ὑπομηλαφῆσαι, ὑποψηλαφῆσαι.
Ὑπομιμνήσκω, ἀπὸ αἰτιατικῆς εἰς γενικήν. ὡς ὁ Θεολόγος, πάλιν ὑπομιμνήσκω σε τοῦ βαπτίσματος. καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. Λιβάνιος, οὐχ ἵνα τὰς συμφορὰς ὑπομνήσω τὴν πόλιν.
Ὑπομιμνήσκω. τοῦτο ἀπὸ ἐλάττονος προσώπου λέγεται πρὸς ὑψηλότερον. ἀναμιμνήσκω δὲ τοῦ δε, ἤγουν ἐπέβαλλον τῆς μνήμης. καὶ τούτων αὖθις εἰς μνήμην ἄγω.
Ὑπομνηματιστὴς, ὁ ὑπομνήματα λέγων.
Ὑπομνήσασθαι, γενικῇ συνταχθὲν μετ' αἰτιατικῆς. καὶ ἔστιν οὕτω σύνηθες. τοιοῦτον δὲ καὶ τὸ, τὸν δεῖνα ἀναμιμνήσκειν τοῦ δέ τινος.
Ὑπόμνησίς ἐστιν, ἀνάληψις, ἐκ λήθης τινὸς σύμβασις.
Ὑπομονὴ, καρτερία.
Ὑπομύσαρα, δυσειδῆ καὶ ἄξια τοῦ μυσάττεσθαι.
Ὑπονέμεσθαι, ἐξαπατᾶν.
Ὑπονηΐαι, τόποι δένδρα ἔχων. ἐν οἷς ἐδείσμευον τὰς ναῦς.
Ὑπονοεῖ, ὑποπτεύει.
Ὑπονησαμένη, κολυμβήσασα, ὑπελθοῦσα. παρὰ τῷ Ἱπποκράτει.
Ὑπονοθεῦσαι, ὑποφθεῖραι.
Ὑπόνοια, ὑπερηφανία, θράσος.
Ὑπόνοια, καὶ ὑπονοεῖν. ἡ ὑπὸ πρόθεσις ἐντελοῦς διανοίας ἔλλειψιν δηλοῖ. ὑπονοεῖν οὖν, τὸ μὴ τελείως νοεῖν τὸ προκείμενον.
Ὑπονομεύοντες, ἀντὶ τοῦ ὑπὸ νόμους ὀρύττοντες.
Ὑπονομαὶ, κλοπαὶ, ὀχετοί.
Ὑπονοστήσας, ἐπανελθὼν, ὑποστρέψας.
Ὑπὸ νύκτα, ἀντὶ τοῦ κατὰ νύκτα.
Ὑπονύσσεται, καταπονεῖται.
Ὑπόξηρα, ὑπόκηλα, ταπεινότερα. παρὰ τῷ Ἱπποκράτει.
Ὑπόξηρος, γρυπὸς τὴν ῥῖνα. διὰ τὸ ταπεινότερα τὰ περιξ εἶναι τοῦ ὑψώματος. παρὰ τῷ Ἱπποκράτει.
Ὑπόξυλος, ὁ κίβδηλος. ὡς ὑπόχαλκος.
Ὑποοργὸς, ὑπουργός.
Ὑποπαθὼν, ἠρέμα παθών.
Ὑποπεζία, ταπείνωσις.
Ὑποπέμπειν, τὸ κρύφα καὶ λαθραίως ἀποστέλλειν. αἰτιατικῇ συντάσσεται.
Ὑποπεπτῶτε, ἀντὶ τοῦ ὑποκείμενοι. ἀπὸ τοῦ ὑποπεπτωκότες, κατὰ συγκοπὴν ὑποπεπτῶτες. εἶτα κατὰ πλεονασμὸν τοῦ η, ὑποπεπτηῶτες. ὡς τετιηότες, καὶ ἐν τούτῳ γὰρ πλεονάζει τὸ η. ἀπὸ γὰρ τοῦ τίω τέτια. ἀφ' οὗ τετιὼς, εἶτα τετιηώς.
Ὑποπεπτηῶτες πετάλοις. ἢ τοὺς ὑποπεπτωκότας δηλοῖ, ἀποβολῇ τοῦ κ, καὶ τροπῇ τοῦ ω εἰς η, ἢ τοὺς ὑποπεπτημένους. ἐκ τοῦ πτῶ πτήσσω. ἐφύλαξε δὲ τὸ ω τῆς εὐθείας. ἰστέον γὰρ ὅτι, αἱ εἰς ως μετοχαὶ τὰ πολλὰ μὲν τρέπουσι τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ. πολλάκις δὲ φυλάσσουσι τὸ ω, καὶ ἐν ταῖς πλαγίαις. καθ' ὁμοιότητα τῶν εἰς ως ὀξυτόνων ὀνομάτων. ὅσα διὰ τοῦ τ κλίνονται. ἔστι καὶ τετριγῶτα ἐκτείνει τὴν παραλήγουσαν ἐν τῷ κατήσθιε τετριγῶτας. ὁμοίως καὶ τὸ ἀλεξέμεναι μεμαῶτας. φαίνεται δὲ ἐκ τοῦ πεπτηκὼς πεπτηκῶτος συγκοπὲν τὸ πεπτὼς πεπτῶτος. οἷος πεπτῶτα ἀδελφὸν, παρὰ Σοφοκλεῖ. εἰ μὴ ἄρα ἐκ τοῦ πεπτωκότα συγκέκοπται κατὰ τὸ βεβρῶτες, ἤγουν βεβρωκότες αἵματος λίπος. καὶ ἄλλως. ὑποπεπτηῶτες, ἀντὶ τοῦ ὑποκείμενοι. ἀπὸ τοῦ ὑποπεπτωκότες κατὰ συγκοπὴν, ὑποπεπτῶτες ὡς παρὰ Σοφοκλεῖ. εἶτα κατὰ πλεονασμὸν τοῦ η ὑποπεπτηῶτες, ὡς τετιηότες. καὶ ἐν τούτῳ γὰρ πλεονάζει τὸ η. ἀπὸ γὰρ τοῦ τίω τέτια. ἀφ' οὗ τετιὼς, εἶτα τετιηὼς, γράφεται τετικώς.
Ὑποπεράτωσις, τελείωσις.
Ὑποπερκάζουσιν, ὅ ἐστι μελαίνονται. δηλοῖ δὲ τὴν τοῦ περκάζειν σημασίαν. καὶ ὁ περκνὸς εἴτε ἀετὸς, εἴτε ἄλλο τι.
Ὑποπεσεῖν, ἀντὶ τοῦ ὑποκάτω πεσεῖν τινὸς, ἢ ὑποπαγῆναι.
Ὑποπιέζω, τὸ συνθλίβω.
Ὑποπιάζομεν, ταπεινοῦμεν, μαραίνομεν, ὑπωπιασμὸς γὰρ, ταπείνωσίς ἐστι σώματος.
Ὑποπίσαι, ὑποποτίσαι.
Ὑπὸ πλάκῳ, ὑπὸ τῷ πλάκῳ, ὄρει Κιλικίας.
Ὑπόπλεως, μεστὸς, ἔμπλεως.
Ὑποποιεῖσθαι, τὸ ὑφ' ἑαυτὸν ἕλκειν, καὶ τὸ ὑποχειροῦσθαι.
Ὑποποιοῦμαι, τὸ προσποιοῦμαι, καὶ περιποιοῦμαι, αἰτιατικῇ συντάσσεται. παραποιῶ τὴν γραφήν σου, αἰτιατικῇ.
Ὑπὸ πραπίδων, ὑπὸ τῶν φρενῶν.
Ὑποπτεύω σε κακὸν ὄντα περὶ ἐμέ. ὕποπτος εἰμὶ ὁ δεῖνα, ἤτοι ὑποπτεύεται. ἡ γὰρ λέξις, παθητικὴν σημασίαν ἔχει.
Ὑποπτεύω, ὑπονοῶ, τοπάζω, ὑποτοπάζω.
Ὑποπτέρων ὀνείρων. Διονύσιος ὁ σίδιος πρῶτον ταύτῃ τῇ ἐπιβολῇ ἐχρήσατο, ᾗπερ χρῶνται οἱ Γραμματικοὶ, ὡς τύμβος τυμβίδιος, ταῦρος ταυρίδιος, ξίφος ξιφίδιος, πτερὸν πτερίδιον. ἔχειν οὖν εἰπεῖν καὶ τῶν ὑποπτεριδίων ὑπὲρ τῶν ὑποπετεριδίων. οὕτως Ἡρωδιανός.
Ὑπόπτερος, κοῦφος. καὶ ὑπόπτερος, ὁ ταχύς.
Ὕποπτος, ἐχθρός.
Ὑπόπτωσις, κατάπτωσις.
Ὑποργηθεῖσα, ὑποχριθεῖσα.
Ὑπόρια, τὰ ὑπὸ τὰ ὄρη.
Ὑπορίνους, τοὺς ὑπὸ ῥινὶ φθεγγομένους.
Ὑπὸ ῥιπῆς, ὑπὸ τῆς ὁρμῆς.
Ὑπόῤῥηνον, ὕπαρνον, ἔγγυον. ῥῆνες γὰρ, οἱ ἄρνες.
Ὑπορρόφιοι, ὑπόστεγοι.
Ὑποῤῥάπτεις λόγους, συντίθης.
Ὑπορύπτω, τὸ λαθραίως ὑπὸ τοὺς θεμελίους ὑποσκάπτω.
Ὑποσακίζειν, ὑπηθεῖν τῷ σάκκῳ, καὶ τὸ προσκόπτειν.
Ὑποσείουσι, κάτωθεν ἕλκουσι.
Ὑποσήκεται, ἤγουν σήπεται κατὰ μικρόν.
Ὑποσιώπησίς ἐστιν, ὅταν μέλλῃ τὶς ἐπιφέρειν βραχύ τι, καὶ λοιδορίας ἐχόμενον. μὴ βούλοιτο δὲ διὰ τὸ ἐπαχθὲς αὐτὸ λέγειν, ἀλλὰ δι' αἰνιγμάτων σημαίνειν.
Ὑποσκελίζω, αἰτιατικῇ. οἷον, οὐ ξυνεὶς πῶς αὐτὸν ὑποσκελίζει.
Ὑποσκελίσει, ἀπατήσει, χλευάσει.
* Ὑποσκέλισον, τῆς ὁρμῆς κώλυσον.
Ὑποσκιάζειν, ὑπεξαίρειν, ἀναλογοῦν. καὶ ὑποσκιάζειν τοὺς ὀδοῦς φασὶν, ἤτοι τὸ προκόπτειν, καὶ ἀναλογοῦν.
Ὑπόσκοπον χέρα, Αἰσχύλος. ὥσπερ οἱ ἀποσκοποῦντες, οὕτω κελεύει σχηματίσαι τὴν χεῖρα, καθάπερ τοὺς Πᾶνας ποιοῦσι. σχῆμα δέ ἐστιν ὀρχηστικὸν ὁ σκοπός.
Ὑπὸ σκήπτρῳ, ὑπὸ τῇ Βασιλείᾳ.
Ὕποσμος, ὀσφραινόμενος.
Ὑποσμύχει, ὑποκαίει, θλίβει, ἀνιᾷ, καταπονεῖ, καὶ ἠρέμα ὑποκαίει.
Ὑποσμύχειν, τὸ ἠρέμα λάμπειν. οἷον, ὑποσμύχονται ὀπωπαί. τὸ ὑποσμύχουσιν, ἀπὸ τοῦ μυχοῦ τοῦ σκοτεινοῦ τόπου, καὶ ἀφεγγοῦς. ἢ τὸ τυφλώττειν καὶ μεμυκέναι.
Ὑποσμύχονται παρὰ τῷ Ἀπολλωνίῳ, ὅπερ ἐστὶν ὑπὸ βάθους ἠμαύρωνται. ἔστι δὲ ὑποσμύχειν, καὶ τὸ ἠρέμα ὑποκαίειν, οἱονεὶ ὑποκέκαυνται.
Ὑπόσπονδος, ὑπὸ φιλίαν τεταγμένος.
Ὑπόστα, ὑπόμενε.
Ὑποστάθμη, τρυγία, τρύξ.
Ὑποσταίη, ὑπόσχοιτο.
Ὑποστάλῃ Θεὸς, ἀντὶ τοῦ ὑπόσχηται, ἐγγυήσηται. καθὸ σημαινόμενον λέγει ὁ Ποιητὴς, δῶρα τὰ μὲν δίδοι, τὰ δὲ ὑπέστη, τουτέστιν ὑπέσχετο.
Ὑποστὰς, ἀντὶ τοῦ δεξάμενος, καὶ ἀντὶ τοῦ ὑπομείνας, καὶ θαῤῥήσας. καὶ ἀντὶ τοῦ ὑποσχεθεὶς, καὶ ἀντὶ τοῦ δημιουργηθείς.
Ὑποστὰς, ἀντὶ τοῦ συνταξάμενος καὶ ὑποσχόμενος.
Ὑπόστασίς ἐστι, κατὰ τὴν Ἐκκλησιαστικὴν καὶ Ἀποστολικὴν παράδοσιν, τὸ πρόσωπον, ἤγουν ὁ χαρακτήρ. καθά φησιν ὁ Ἀπόστολος, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. τουτέστι, πρόσωπον ὁμοούσιον τοῦ χαρακτῆρος, καὶ τῆς ὑποστάσεως αὐτοῦ τοῦ Πατρός. πρόσωπα δὲ καὶ χαρακτῆρας λέγομεν ἐπὶ Θεοῦ, ἀσώματος καὶ ἀπει-

ἀπερίγραπτος, καὶ ἀσχημάτιστος. ὑπόστασίς ἐστιν, οὐσία μετὰ ἰδιωμάτων. ἡ οὐσία τίς τῶν καθέκαστα, περιληπτικὴ τῶν ἐν τῷ οἰκείῳ ἀτόμῳ πάντων ἰδιωμάτων.

Ὑπόστασίς ἐστι, πρᾶγμα ὑφεστός τε, καὶ οὐσιῶδες, ἐν ᾧ τὸ τῶν συμβεβηκότων ἄθροισμα. ὡς ἐν ἑνὶ ὑποκειμένῳ καὶ ἐνεργείᾳ ὑφέστηκε.

Ὑπόστασίς ἐστι, συνδρομὴ τῶν περὶ ἕκαστον ἰδιωμάτων.

Ὑπόστασίς ἐστιν, ἡ ὑπὸ τῆς οὐσίας συνεχομένη.

Ὑπόστασίς ἐστιν, οὐσία τῶν οἰκείων ἰδιωμάτων, οἷον ὁ δεῖνα.

Ὑπόστασίς ἐστι, τὸ ἰδιοπροσώπως ὑφεστός.

Ὑπόστασίς ἐστιν, οὐσία μετὰ ἰδιωμάτων, ἀριθμῷ τῶν ὁμογενῶν διαφέρουσα, οἷον ὁ δεῖνα.

Ὑπόστασίς ἐστι, τὸ καθ' ἑαυτὸ διωρισμένως τῶν ὁμογενῶν τε, καὶ ὁμοειδῶν ὑφεστός.

Ὑποσταχύοιτο, ἀντὶ τοῦ αὔξοιτο δίκην σταχύων. ἐκ τοῦ στάχυος, τὸ ὑποσταχύεται.

Ὑποστειλάμενος, ὑποκρυψάμενος, φοβηθείς. καὶ ὑποστειλάμην, παρῃτησάμην, ὑπεκρυψάμην.

Ὑποστέλλεται, ἀναδύεται, ὑποκρίνεται, δολιεύεται.

Ὑπόστερνον, ὑπογάστριον.

Ὑποστέρνοιο, ταυτὸν τῷ ὑπὸ στέρνον. ἵνα ἡ πρόθεσις ἀντὶ προθέσεως, στέρνον καὶ στῆθος εἰπεῖν, οὐκ ἀνομοίως ἔχει. διὸ ταυτὸν τὸ στέρνου τυχεῖν, καὶ στῆθος βαλεῖν.

Ὑπόστημα, πλῆθος.

Ὑποστήσας, ἀντὶ τοῦ ὑποβαλλόμενος.

Ὑποστήτω Ἀχιλλεύς, ὡς παρ' Ὁμήρῳ, ἤγουν ὑπ' ἐμὲ ὡς ὑψηλότερον αὐτοῦ στήτω. βασταζέτω, ἀχθοφορησάτω με. καὶ ἄλλως δὲ φράσαι, ὡς δεδαημένος ἐμοί. εἴτε φιλίας νόμῳ, εἴτε ὡς ἀρυκρείοντι, ὑπ' ἐμὲ στήτω.

Ὑποστήτω μοι, παραχωρησάτω, ὑπειξάτω.

Ὑποστρέφω χάλλιον, ἢ ἀναστρέφω. ὑπόστρωμα, Ἀττικοί, οὐ περίστρωμα.

Ὑποσύνην λέγει Ὅμηρος, τὴν ἱππικὴν ἀρετήν. ἤτοι τὴν ἡνιοχικήν, ἄλλο οὖσαν παρὰ τὴν ἠνορέην, ἤτοι τὴν ἀνδρείαν.

Ὑπόσφαγμα, ὅλον τοῦ μέλανος τῆς σηπίας, τὸ οἷον ὑπόθρυγον. παρὰ τῷ Ἱπποκράτει.

Ὑποστολή, δειλία, φυγή.

Ὑπόστροφον, ἀφιγμένον, ὑποστρέφοντα.

Ὑπόστρωμα, περίστρωμα.

Ὑποσχεῖν, ὑπολαβεῖν.

Ὑπόσχεσις, κεῖται παρ' Ὁμήρῳ καὶ ἀντὶ τοῦ κατάνευσις.

Ὑπόσχομαι παθητικῶς, ἀντὶ τοῦ ὑπισχνοῦμαι. ὑπόσχω δὲ ἐνεργητικῶς, ἀντὶ τοῦ ἐὰν παράσχω ἢ ἵνα παράσχω, ἢ ἐκπέμψω.

Ὑποσχοῦμαι, οἷον ὑποσχοῦμαι διδόναι σοι τὰ ὠφελημένα, καὶ ὑποσχοῦμαι δώσειν. ὡς καὶ παρ' Ἀριστοφάνει, ἅπαντας ἡμᾶς πλουσίους ὑποσχόμενος ποιήσειν.

Ὑπόσχου, ἀντὶ τοῦ συγκατάθου. μέσος ἀόριστος δεύτερος παθητικός, ἀπὸ τοῦ σχοῦ, καὶ ὑποσχόμενος, τὸ ἐπηγγειλάμενος. καὶ ὑπισχόμενος, διαβεβαιούμενος, ἐπαγγελλόμενος, ἀπὸ τοῦ ἴσχω.

Ὑποσχὼν θήλεας ἵππους, κυρίως φραδὲν ἀντὶ τοῦ ὑποβαλών, καὶ ὑποθέμενος τοῖς ἄρρεσιν ἵπποις εἰς ὀχείαν. καὶ οὐκ ἔστιν ἑτέραν κρείττονα εἰς τοῦτο λέξιν εἰπεῖν. τοιοῦτος δέ τις νοῦς ὑπεστι καὶ τῷ ὑποσχεῖν λόγοις τὰς ἀκοάς, καὶ χεῖρα τοῖς διδομένοις ὑποσχεῖν. ἔστι δὲ τὸ ὑποσχὼν θήλεας ἵππους, διασαφητικὸν τοῦ ἔκλεψεν. οὐ γὰρ ἵππους φησὶν ὑφείλετο Ἀγχίσης, ἀλλ' ἐσοφίσατο γονὴν ἐξ ἐκείνων λαβεῖν διὰ λαθραίας ὀχείας. καὶ ἔστι τοῦτο κλοπή τις οἰκονομική, οὐ πάνυ τιμωρητὸν ἔχουσα.

Ὑποταγή ἐστιν, ἀδιάκριτος πάθων πρὸς τὴν τῶν προσαχθέντων ἀλύπως ἀναπτεροῦσα κατόρθωσιν.

Ὑποταγή ἐστι, φύσεως λογικῆς ἡ πρὸς τὴν γνῶσιν τὴν τοῦ Θεοῦ ἑκούσιος συγκατάθεσις. ἡ ὑποταγή ἐστιν, ἀδυναμία φύσεως λογικῆς, μὴ ὑπερβαινούσης τοὺς τῆς οἰκείας καταστάσεως ὅρους. οὕτω γὰρ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, κατὰ τὸν Παῦλον.

Ὑποτάττομαι τῷ δεῖνι, ἀντὶ τοῦ ὑπήκοός εἰμι καὶ ὑπόκειμαι, καὶ ὑπήκω. καὶ ὑποτάττω, τὸ ἕτερον ποιῶ ὑπ' ἐμαυτόν.

Ὑποτείνει, ἤτοι ὑποβάλλει, καὶ ὑποφαίνει. οἷον ἐλπίδας χρηστὰς ὑποτείνει.

Ὑποτεμοῦμαι τὰς ὁδούς σου. Ἀριστοφάνης, οὐκ ἐῶσε προλέγειν, προλήψομαι, νικήσω. ὑποτέμνεται τὰ δέρματα, ἵνα παχέα φαίνηται. διαφέρει γὰρ τὸ τέμνειν τοῦ ὑποτέμνειν. ὅταν γὰρ ὑποτέμνῃ, παχύτερον φαίνεται, ἀσθενέστερον δέ ἐστι. τέμνειν δέ, τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν. τὸ γὰρ ἀνώμαλον τῆς τομῆς, παχύτητος δόξαν ἐργάζεται.

Ὑποτεμνόμενος τὸν πλοῦν, ἀντὶ τοῦ διὰ τῶν συντομωτάτων πλέων, ἵνα καταλάβῃ τὸν διωκόμενον. οὕτω Ξενοφῶν.

Ὑποτέτροφεν, ὑπέτροφεν.

Ὑποτίθεται, συμβουλεύει.

Ὑποτίθημι, τὸ ἐνεχυράζω, καὶ ἐνέχυρον τίθημι, δίδωμι. ὅθεν καὶ ὑποθήκη τὸ συγκεχυρασμένον. ὑποτίθεμαι δέ, τὸ εἰσηγοῦμαι, καὶ παραινῶ, καὶ συμβουλεύομαι, ὃ κοινῶς καὶ ἐνεργητικῶς γράφεται.

Ὑποτίθησι τὰ ἐνέχυρα ὁ δανειζόμενος. ὑποτίθεται δέ, ὁ λαμβάνων ταῦτα, ἤγουν ὁ δανείζων. καὶ ὑποτίθημι τὸ ὑποβάλλω, καὶ τὸ συμβουλεύω. καὶ ὑποκείμενος λόγος, ὁ κατὰ συμβουλὴν λεγόμενος.

Ὑποτιμήσεως, προφάσεως.

Ὑποτίτθια, θηλάζοντα, γαλουχούμενα παιδία.

Ὑποτονθορύζει, γογγύζει.

Ὑποτοπάζειν, τὸ στοχάζεσθαι καὶ ἐνθυμεῖσθαι.

Ὑποτοπάζω, νομίζω, οἶμαι, λογίζομαι, ἡγοῦμαί σε σωνιέναι.

Ὑποτοπεῖσθαι, ὑπονοεῖν.

Ὑποτρέχει τὸν ζυγόν, ἀντὶ τοῦ ὑπερέρχεται.

Ὑποτρέχοντες, ὑπεισερχόμενοι, ᾄδοντες.

Ὑποτρέσαι, ἀποφυγεῖν διὰ δέος.

Ὑπότριμμα, ἔκ τε φοινίκων καὶ μέλιτος καὶ ἄλλων τινῶν ἀρτυμάτων, ἀπὸ τῆς γινομένης ἐν αὐτοῖς τρίψεως.

Ὑπότρομός εἰμι, ἤγουν πεφοβημένος.

Ὑποτροπίη, ὑποστροφή, τουτέστι φυγή. παρὰ τῷ Ἀπολλωνίῳ.

Ὑπότροπος, ὁ ὑποστραφείς, καὶ παλινοστήσας. ὡς τό, ὑπότροπος ἵκετο δῶμα. ἐκ παραλλήλου ταυτὸν δηλοῦσιν, ὑπότροπος ὁ οἴκαδε ὑποστραφείς. ἐξ αὐτοῦ καὶ ὑπότροπα νοσήματα, τὰ φιλυπόστροφα. ἔστι καὶ ὑπότροπος, ὁ ἐν καλῷ νοσήσας, καὶ σῶος ἐξ ὑποστροφῆς ἐπανελθών. ὅθεν ἄλλως παρ' Ἱπποκράτει, τὸ ἐπ' ἀγαθῷ, ὑποτροπιάζειν νόσους. Ὅμηρος, οὐ γάρ μιν ἔφαντο ὑπότροπον ἐκ πολέμου ἵξεσθαι.

Ὑποτρύζει, ὑποβάλλει.

Ὑπὸ Τυδείδη κλονέοντο. συνήθης Ὁμήρῳ σύνταξις Ἀττικὴ ἡ ἀντίπτωσις, ἡ αὐτὴ οὖσα τῷ ὑπὸ Τυδείδου.

Ὑποτύφεσθαι, τὸ καίεσθαι.

Ὑποφαίνει, φανεροῖ, δεικνύει.

Ὑποφῆται, ἱερεῖς, προφῆται, χρησμολόγοι, μάντεις.

Ὑποφέρειν, τὸ ὑπομένειν.

Ὑποφῆται, ὡς ὑποφητεύοντες προφητεύοντι τῷ ἐκεῖσε Διΐ. χαμαὶ γάρ φασι δοραῖς ἐγκοιμώμενοι δι' ὀνείρων τοῖς χρωμένοις χρηματίζουσιν ἐκ Διός, καθὰ καὶ Λυκόφρων ἱστορεῖ, ὃς καὶ τόμουρον τὸν εὔπλους μάντιν λέγει, ὁμωνύμως τοῖς ἐν Δωδώνῃ. τόμουροι γὰρ οἱ ἐκεῖ τοῦ Διὸς ὑποφῆται. καὶ τόμουραι, αἱ μαντεῖαι. ζήτει εἰς τὸ σελλὸς τὴν λέξιν.

Ὕπουλος, δόλιος, φαινόμενος δῆθεν, εἰρηνικός.

Ὑποφέρονται, ὑποβάλλονται.

Ὕπουλος ἄνθρωπος, ἀπὸ μεταφορᾶς τῶν τραυμάτων, ὑπονεμομένης οὐλῆς. οἷον ὁ μὴ προφανὴς πονηρός. ὑπόουλος γάρ, ὁ ἐγγὺς τοῦ ὑγιανθῆναι μώλωψ, ὕπουλος, δόλιος φαινόμενος.

Ὕπουλα γόνατα, καὶ ὕπουλον πόδα, καὶ ὕπουλον χεῖρα, καὶ σῶμα, τὸ φλεγμαῖνον διά τινας πληγάς, καὶ ἐγγὺς τοῦ ἀφίστασθαι ὄν. ῥητορική.

Ὑπουργεῖ, ὑπηρετεῖ.

Ὑποφήτης, προφήτης. καὶ ὑποφητεύω.

* Ὑποφθάλμια, τὰ ὑπὸ τοῖς ὀφθαλμοῖς ἐπανεστηκότα ὀστᾶ, οἱ δὲ ὑπώπια καλοῦσιν.

Ὑποφθαμένη, τουτέστι φθάσασα, καὶ προλαβοῦσα.

Ὑποφόνια χρήματα, τὰ διδόμενα τοῖς φόνου κατηγοροῦσιν. ἦν δὲ παλαιὸν ἔθος. καὶ τὸ ποινὴν ἐστὶν ὅπερ δίδοσθαι ὑπὲρ φόνου, καὶ μὴ ἀνάγκην εἶναι φεύγειν ἀεὶ τὴν πατρίδα τὸν πεφονευκότα. ἔφη Ὅμηρος δύο ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς ἀνδρὸς ἀποφθιμένου, ἐν τῷ σ̄ τῆς Ἰλιάδος.

Ὑπόφορος, ὑπεύθυνος, ὑπὸ τέλος.

Ὑποφύεται θρίξ, ὅταν τοῦ δέρματος ἀναστῇ, καὶ εἰς ὄψιν γένηται. ὁμοίως καὶ ὑποφύεται τοῖς ἄρτι γεννηθεῖσιν ἐρίφοις κέρατα, καὶ ὑποφύονται τῷ βρέφει ὀδόντες.

Ὑποφύσεις, παραφυάδες φαύλων λογισμῶν ἔξωθεν φυόμενοι.

Ὑποφωνῆσαι, ὑποδεῖξαι.

Ὑποχαλῶ, ἐνδίδωμι.

Ὑπὸ χεῖρα. γράφεται, καὶ ὑποχείριος.

Ὑποχείριος παρ' Ὁμήρῳ, τουτέστιν εἰς χεῖρας ἔλθοι, ὑπὸ ταῖς ἐμαῖς χερσὶ γένηται. οἱ δὲ παλαιοὶ καὶ δίχα προθέσεως οἴδασι τὴν λέξιν ταύτην. ὡς δηλοῖ ὁ γράψας οὕτω. χείριος, ὑπήκοος, τιθασός, χειροήθης, χρήσιμος. καὶ χείριον, τὸ χειρόηθες, ὑπήκοον, ὑποχείριον, ὥστε ἡ τοιαύτη γραφὴ ῥητορικῶς οἶδε καὶ τοὺς δούλους ὑποχειρίους καλεῖσθαι.

Ὑποχόνδρια, τὰ ἀκροστάθια. τὰ ὑπὸ τὴν λαγόνα.

Ὑπόχρυσον, ἤγουν μετρίως χρυσοῦν.

Ὑποχυτῆρες, τρυβλία, δι' ὧν τὸ ἔλαιον εἰς λύχνους ἐπιχέουσι.

Ὑποχωρέω ὑποχωρῶ, δοτικῇ καὶ γενικῇ συντάσσεται. Ἀριστοφάνης, κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου.

Ὑποχωρῶ, τὸ ἐκκλίνω καὶ ὑπεξίσταμαι. ὡς παρὰ τῷ Θεολόγῳ, καὶ ὡς καλῶς ῥαγεὶς ὑπεχώρησεν. ὑποχωρῶ σοι, Ἀριστοφάνης.

Ὑποψάφαρα, σομφοειδῆ, ὑπομέλανα. παρὰ τῷ Ἱπποκράτει.

Ὑποψάφαρα, τραχύτερα. τὸ γὰρ ψαφαρόν, ἔγκειται τῷ ὀνόματι παρὰ τῷ Ἱπποκράτει.

Ὑποψιθυρίζει, γογγύζει.

Ὑπόψιος, ἢ τὸν ἐπονείδιστον δηλοῖ καὶ ὕποπτον ὅν τινες ὑποβλέπονται ὑπόδρα ὁρῶντες διὰ τὸ μῖσος, ἢ τὸν τοὺς ἄλλους ὑποβλεπόμενον διὰ δειλίαν. τινὲς δὲ γράφουσιν ἐπόψιον, ἢ τὸν ἐν ὄψεσι πάντων ἀσχημόνως φυγόντα. κυρίως μέντοι ἐπόψιον, ἐπὶ τόπου λέγεται ὑψηλοῦ.

Ὑπτιάζειν, καὶ τὸ ὕπτιόν τινα καὶ ῥάθυμον εἶναι. καὶ τὸ ὡσανεὶ θρύπτεσθαι. ὑπτιάζειν καὶ τὸ ὡραΐζεσθαι.

Ὕπτιος, ὁ ἐπὶ νῶτον κείμενος. παρὰ τὸ ὄπτω, ὄπτιος καὶ ὕπτιος. τὰ γὰρ ὕπτια ἐνθεώρηται.

Ὑπωμεὶξ, τὸ ὑποκείμενον ἂν οὕτω λέγοιτο, τῇ ἐπωμίδι τῷ ὤμῳ.

Ὑπωμοσία, τὸ ὑπερτίθεσθαι δίκην, καὶ ἀναβάλλεσθαι προφάσει χρώμενον, ἀποδημίᾳ, ἢ νόσῳ, ἤ τινι τῶν παραπλησίων μεθ' ὅρκου οὕτως ἐλέγετο. καὶ τὸ ποιεῖν τοῦτο, ὑπομνύσθαι.

Ὑπώπια λέγει, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἁπλῶς μέρη, τὴν πρόσοψιν. καὶ οὕτω μὲν ὁ Ποιητής. οἱ δὲ ὕστερον ὑπώπιά φασι, τὰς περὶ τοὺς ὀφθαλμοὺς πληγάς. ἐξ ὧν ὡς ἐκ μέρους καιριωτάτου, καὶ τὸ ὑποπιάζειν. καὶ σώματος ὑποπιασμὸς μεταφορικῶς, ὁ κατὰ σύνταξιν. ὅτι δὲ ὑπώπια αἱ περὶ ὀφθαλμοὺς πληγαὶ μεθ' Ὅμηρον, δῆλον καὶ ἀπὸ σκώμματος παλαιοῦ. παθόντος γάρ τινος πρόσκομμα καὶ ἐρωτηθέντος τί τοῦτο, καὶ ἀμαθῶς εἰπόντος ὡς ὑπώπιον πάθος, ἀκούσας τῶν τις καὶ ἀστείων, καὶ ἔσω λόγου καὶ τὴν κεφαλὴν ἐς νέωτα ταινίαις διαλαβὼν ὃ ἐστι φασκίαις, καὶ ἐρωτηθείς τι πάθοι, πρόσκομμα ἔφη, καὶ οὕτω τοῖς ἀκροαταῖς ἐκίνησε γέλωτα, ὡς ἐπίσης γελοῖον ὄν, ὑπώπια φάναι πα-

Digitized by Google

παθεῖν περὶ πόδας. καὶ πρόσκομμα περὶ πρόσωπον, τὸ ἐπὶ ποδῶν μὲν κυριολεκτεῖται τὸ πρόσκομμα, ἐπὶ προσώπου δὲ, τὸ ὑπώπιον. ὅπερ ἀπαρτᾶται καθ' ὁμοιότητα τοῦ ἐνώπιον, μετώπιον. ἔτι δὲ καὶ παρώπιον, τὸ ἀντήλιον. τὸ δὲ δέρμα περὶ τὰς ὄψεις τῶν ἵππων, ὥς φησιν Αἴλιος Διονύσιος. ὅπερ οἱ θεωρητικοὶ, πάρωπον λέγουσιν. ἰστέον δὲ, ὅτι ὥσπερ γελοῖον κατάγειν εἰς πόδας τὸ ὑπώπιον, οὕτω καὶ τὸ ἀνάγειν, εἰς ὀφθαλμοὺς τὸ ῥαιβόν. ῥαιβοὶ μὲν γὰρ, οἱ ἐρραισμένοι τὴν βάσιν. ἐξ ῥαιβοὶ πόδες, οἱ ἀπεναντίας τοῖς βλαισοῖς. ῥαιβόττει δὲ ἐπὶ ὀφθαλμοῦ ἄνω ποιεῖ, ὅ φασι τὰ κάτω.

* Ὑπώπια, οἱ τύλοι, οἱ γινόμενοι ἐν ταῖς χερσὶν ἀπὸ τῆς ἐργασίας. λέγεται δὲ ὑπώπια καὶ τὰ ἀφ' οἱασδηποτοῦν πληγῆς τραύματα.

Ὑπωπιασμέναι, σφοδρῶς πληγεῖσαι, παρὰ τὰ ὑπώπια, ἅ εἰσιν ἐγκαύματα ὄψεων. καὶ χρίσματα, ἅπερ κορδύλας φασίν.

Ὑπώρειαν, διαφέρειν φασὶ τοῦ πεδίου. οὔτε γὰρ πάντη πεδιὰς ἡ ὑπώρεια, ἀλλὰ καταντέρα μὲν κορυφῆς. μετεωροτέρα δὲ πεδιάδος.

Ὑπωρόφιοι ἐσμὲν παρ' Ὁμήρῳ, ὑμτῷ. σαφέστερόν ἐστι τὸ αἰδέσθαι μέλαθρον. ὅμοιον γὰρ καὶ εἰπεῖν αἴδεσαι μέλαθρον, καὶ αἴδεσαι τοὺς ὑπωροφίους ἡμᾶς. ἀλλὰ τοῦτο μὲν καὶ ἀνόητον, ἐκεῖνο δὲ ὑποδύσκολον. ὡς οἷά τι αἴνιγμα οὔπερ ὁ νοῦς τοιοῦτος. αἴδεσαι τοὺς ὑπὸ τὸ αὐτό σοι μέλαθρον ἱκέτας. διὰ τὸν καὶ ἕρκιον, καὶ ἐφέστιον, καὶ ἱκέσιον, ὑπωρόφιοι, χρῆσιν ἔχει δύο τοῦ. τὸ ἐντελὲς γὰρ, ὑποωρόφιοι. τὸ δὲ αὐτὸ γίνεται ἐν τῷ ἀκρώρεια, καὶ ὑπερώρεια.

Ὑπῶς, ἀρτίως.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Ρ.

Ὕραξ, μίγδην, ἀναμίξ.

Ὑρεῖ, φοβεῖται.

Ὑρία, χώρα ἐστὶ πλησίον Αὐλίδος κατὰ τοὺς παλαιούς. ἣν δέ ποτε καὶ πολίδιον, αὐτὴν ὁ κτίσας Ὑριεὺς ἐκαλεῖτο. ὁ πολίτης δὲ αὐτῆς, Ὑριάτης. ἔστι δὲ Ὑρία καὶ περὶ Ἰαπυγίαν καλαβρικὴ πόλις Κρητῶν κτίσμα, ἡ λεγομένη καὶ Οὔριον ὕστερον.

Ὑριατόμος, ὁ τὰ κηρία τέμνων τῶν μελισσῶν.

Ὕριγγα, πτύον, Σαλαμίνιοι.

Ὑρισίδα, σπυρίδιον, σπυρίς.

Ὑρισσὸς, φορμός.

Ὑρμίνη, πολίχνιον ἦν. οὐκ ἔστι δὲ νῦν, ἀλλὰ ἀκρωτήριον περὶ Κυλλήνην ὀρεινὸν καλούμενον ὅρμινα, ἢ ὕρμινα. ὁ δὲ τὰ ἐθνικὰ ἐκθέμενος, ὑρμίνας δύο εἶναί φησιν, ἀπὸ ὑρμίνης. τὰς ὕστερον διὰ τοῦ ο κληθείσας.

Ὗρον, σμῆνος, Κρῆτες, ἥσυχον.

Ὑρράδιος, κύριον, ὁ πατὴρ τοῦ Πιττακοῦ.

Ὑρράχα, πρίσχη.

Ὑρρῶφθαι, φλυαρεῖν.

Ὕρτακος, πρὸ δύο συλλαβῶν ἔχει τὸν τόνον κανονικῶς. τὰ γὰρ εἰς κος τρισύλλαβα τὴν πρώτην συλλαβὴν ἔχοντα λήγουσαν εἰς ἀμετάβολον, προπαροξύνεται. λάμψακος, ὕρτακος, ῥόνδακος. οὕτως ἐν τοῖς Ἀπίωνος καὶ Ἡρωδιανοῦ.

Ὑρτακὸς, ὄστρεον.

Ὑρτάνα, πῶμα χύτρας.

Ὑρτὴρ, πλωτῆρ.

Ὕρχας, κεράμινα ἀγγεῖα λέγουσιν, ὑποδεκτικὰ ταρίχων δύο ὦτα ἔχοντα.

Ὑρχὴ, ἐφ' ἧς τὰ φορτία φέρουσιν οἱ ναῦται.

Υἱὸς, κυρίως εἴρηται, ὡς ἂν εἴποις οἷος. οἷος γὰρ ὁ Πατὴρ τὴν οὐσίαν, τοιοῦτος ὁ μονογενὴς Υἱός. εἴπερ ἐξ ἀκτίστου ἄκτιστος. εἴπερ ἐκ θνητοῦ θνητὸς, ἢ ἐκ βροτοῦ βροτός. κατὰ δὲ δύο τρόπους πάλιν εἴρηται, ἐπὶ Θεοῦ Υἱότης. φύσει, καὶ χάριτι. φύσει Θεὸς Λόγος, χάριτι δὲ οἱ δίκαιοι.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Σ, Τ.

Ὗς, χοῖρος, ἡ σῦς, καὶ ἰχθὺς, ὗς ἄλοιφαρ, βοῦς. οἱ γὰρ Σκύθαι ἀλείμματι χρῶνται ὑείῳ, καὶ μοσχείῳ στέατι.

Ὕσας, βρέξας.

Ὑσγινὸν, βάμματι.

Ὕσδος, ὁ ὄζος παρ' Αἰολεῦσιν. οὗτοι γὰρ τρέπουσι τὸ ο εἰς υ. καὶ τὸ ζ διαλύουσιν εἰς τὸ σ, καὶ δ. ὡς παρὰ Σαπφοῖ, ἀμφὶ δὲ ὕδωρ ψυχρὸν κελαδεῖ δι' ὕσδων μηλίνων. ἤγουν δι' ὄζων καὶ κλάδων μηλίνων.

Ὕσειμι, ἐκεῖ βαδίζω.

* Ὑθῆσαι, βραχῆσαι ἀπὸ ὑετοῦ.

Ὑθλὸς, σαλὸς, φλύαρος.

Ὕσκλοι, ἀγκύλαι βρόχοι. οὓς ἡμεῖς ὕσκλους τῶν ὑποδημάτων, καὶ τὰς λαγνὰς τῶν ἱματίων.

Ὑσμῖνι, ἀντὶ τοῦ ὑσμίνῃ. ὡς ἀλκὶ, ἀντὶ τοῦ ἀλκῇ, κατὰ μεταπλασμόν. ἀλήθεια γὰρ, ἡ ὑσμίνη.

Ὑσμίνη, ἡ μάχη. καὶ γίνεται ἀπὸ τοῦ ὑπομίμνει, ὑσμίνη. ὑπομίμνει γὰρ καὶ ὑφίσταται ἡ μάχη τὸν πόλεμον τῶν ἀνδρῶν.

Ὑσμῆθες, οὐσίαι.

Ὕσκυθα, ὑὸς ἀφόδευμα.

Ὑσκίνοι, ὑσκάνιοι.

Ὕσπληξ, φραγγέλιον, ἀφετηρία, βούκεντρον. ἢ μύωψ, ὁ πλήσσων τοὺς βοῦς. ὕσπληξ οὖν λέγεται, διὰ τὸ ἀπὸ τῶν τριχῶν τῶν ὑῶν, πλεκτὴ ἐστι τῶν χοίρων γίνεσθαι τὴν μάστιγα. οἶμαι δὲ καὶ ἡ ἀφετηρία, ἐκ τοῦ ἐκεῖσε πλήττεσθαι τῇ μάστιγι τοὺς ἵππους.

Ὑσπολεῖν, συβοτεῖν.

Ὑσσάκους, τοὺς πασσάλους λέγομεν.

Ὑσσέλινον, τὸ νῦν ἀραχναῖον ὄρος, ἐν Ἄργει καλούμενον.

Ὑσσὸς, ἐμβόλιον, ἀκόντιον, ἢ καὶ τὸ ἐξέχον τοῦ ὀμφαλοῦ τῆς ἀσπίδος σιδηροῦ κέντρον, ἤτοι πασσάλιον.

Ὕσσωπον, ἐκ τοῦ ὕω ὕσω, καὶ τὸ ὢψ ὠπὸς, τὸ πρόσωπον. πλεονασμῷ ἑτέρου σ, τὸ ἐπὶ τὴν ὦπα χεόμενον. ἔστι δὲ βοτάνη καθαρτικὴ, ὁμοία σαμψύχῳ.

Ὑστὰς, ἡ δασεῖα ἄμπελος.

Ὑστακυστεῖ, φενακίζει.

Ὑσταλωπιᾷ, νυστάζει.

Ὕστατα, καὶ τύματα, τὰ πάντων ἔσχατα ἐσχάτων, ἢ καὶ ἄλλως πανύστατα.

Ὑστέρα δεκάτη, ἡ ἐξ εἰκάδος ἡμέρα καλεῖται ὑπὸ τῶν Ἀττικῶν, ἣν ἡμεῖς πρώτην καὶ εἰκοστὴν καλοῦμεν. καὶ ὑστέρα ἐπὶ τῆς μήτρας, ἀπὸ τῆς θέσεως. ἢ ἀπὸ τοῦ μὴ εὐθὺς, ἀλλ' ὕστερον ἀποδιδόναι τὰς οἰκείας ἐνεργείας.

* Ὑστεραία, ἡ μετὰ τὴν αὔριον ἡμέρα. καὶ ὑστερίζειν, μετὰ μίαν ἡμέραν ἔρχεσθαι.

Ὑστεροβουλία, μετάνοια, μεταμέλος, ἡ ἐσχάτη βουλή.

Ὑστερόποτμος, ὁ ζῶντι ὁ τάφος, οὐ τεθνηκότι γέγονεν. ἄλλοι τὸν δεύτερον γάμον.

Ὑστερῶ, τὸ ἐλλείπομαι, ὑστερίζω δὲ τὸ ὕστερος ἔρχομαι. ὑστερῶ ὑστερήσω, καὶ ὑστεριῶ ὑστέρησα.

Ὑστίακκος, ποτήριον ποιὸν, Ἰταλιῶται.

Ὑστρία, κωλεός.

Ὕστριξ, ζῶον ὀστρακόδερμον, ἐνάλιον, βρώσιμον.

Ὗστρος, γαστήρ.

Ὑστριχὶς, ἡ ἐξ ὑείων τριχῶν μάστιξ. ἔστι δὲ καὶ ὑστριχὶς θηρίον, τρίχας ἔχον ὑός, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.

Ὑσωπὶς, ἡ σάμψυχος.

Ὑτθὸν, τὸ πυρέφθιον.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Φ.

Ὕφαιμον, αἱματῶδες.

Ὑφαίνει μῦθον, συντίθησι, συντάττει. Ἀριστοφάνης, τίς ὑφαίνειν ἐθελήσει χρυσίου ὄντος. ὑφαίνειν ἤρχετο μύθους, ἀντὶ τοῦ κατασκευάζειν. καὶ ὑφαίνειν, ἀντὶ τοῦ κατασκευάζειν. ἐκ τούτου ὑφάντης.

Ὑφαίνεσκε, καὶ ἀλύεσκεν, ἀντὶ τοῦ ἀνέλυε ἃ ποιητικά εἰσι, πρέποντα τῷ περὶ Πηνελόπης λόγῳ.

Ὑφαίνω, ὕφασμα, ὑφαντικὴ, ὕψος, καὶ ὑψηλός. τὸ ἐναντίον ὁ χαμηλὸς, διὰ τοῦ υ ψιλοῦ γράφονται.

Ὑφαιρῶ, τὸ κλέπτω, καὶ κρυφίως λαμβάνω. παρ' Ὁμήρῳ τὸ ὑφέλκειν, ἐν τῷ μέλλειν ἀποπλέειν τὸ ὑφαιρεῖν λέγεται. οἱ δὲ μεθ' Ὅμηρον, ἐπὶ τοῦ κλέπτειν τιθέασι τὴν λέξιν.

Ὑφαίρεσις, μείωσις, στέρησις.

Ὑφαγορεῖ, μεγαληγόρως.

Ὑφαιρέτρια, μαῖα.

Ὕφαλον, τὸ ἐπὶ τῆς θαλάττης κρυπτόμενον. καὶ ἐπὶ τῆς θαλάττης κείμενος φρούριον, ἢ ἄλλο τι. ἔφαλον δὲ, τὸ ἐπάνω τῆς θαλάσσης φαινόμενον.

Ὑφάντης, ὁ ἐργαζόμενος. ὑφαντικὴ δὲ, ἡ τέχνη. γίνεται δὲ ἀπὸ τοῦ ὑφαίνω. πλεονασμὸς δὲ τὸ αὐτὸ, ἀπὸ τοῦ τλῶ, τὸ καρτερῶ.

Ὑφαλοσφατὶς, ἡ κρυφαία.

Ὕφασμα, ἱστός τις.

Ὕφεαρ, τὸ ἐπιφυόμενον ταῖς πεύκαις, καὶ ἐλάταις.

Ὑφέδρους, ὑδεριῶντας, παρὰ τῷ Ἱπποκράτει.

Ὑφεῖ, ὑπέβαλεν.

Ὑφειμένον, ὑποκεχαλασμένον.

Ὑφείλετο, λάθρα ἔλαβεν, ἤγουν ἔκλεψεν. ἐκ τοῦ ἕλω τὸ λαμβάνω, παρατατικὸς εἷλον, παθητικὸς, εἱλόμην. μετὰ τῆς ὑπὸ προθέσεως ὑφειλόμην, ὑφείλου, ὑφείλετο.

Ὑφειλόμην, ἔκλεψα.

Ὑφειμένος, καθειμένος, ταπεινός.

Ὕφεκτον, ὁ λέβης.

Ὑφέλκεται, προτρέπεται.

Ὑφελοίατο, λάβοιεν.

Ὑφὲν, ἅμα, ὁμοῦ. καὶ πάθος προσῳδιῶν.

Ὑφέντες παρ' Ὁμήρῳ, ἀντὶ τοῦ χαλάσαντες. ἐντεῦθεν, καὶ παρὰ τοῖς μεθ' Ὅμηρον καθυφιέναι, τὸ ἀνίεσθαί τινος ἐνστάσεως, καὶ δίκην καθυφέσεως.

Ὑφέντες, ἐνδόντες, χαλάσαντες.

Ὑφέξει, παραστήσει.

Ὑφέξω δίκην, ἤγουν δώσω. ἐκ τοῦ ὑπέχω, ὁ μέλλων ὑφέξω.

Ὑφέσθαι, ὑποχωρῆσαι, ἧξαι, ὑποχαλάσαι, ἐνδοῦναι. ἡ μεταφορὰ ἀπὸ τῶν σφοδροῖς ἀνέμοις πλεόντων, καὶ ἐνδιδόντων τὰ λαίφη.

Ὕφεσις, ὑπένδοσις, ταπείνωσις, ἐλάττωσις, χάλασις.

Ὑφεσμοὺς, συμποδισμούς.

Ὑφεστάναι, εἶναι, ὑπάρχειν.

Ὕφεσθε, ὑποχαλᾶτε. ἐκ μεταφορᾶς τῶν πλοίων, παρὰ τῷ Ἀριστοφάνει.

Ὑφεστὼς ὀχετὸς, ἐνυπόστατος, ὑποκείμενος.

Ὑφετὸν, ὑπομονητόν.

Ὑφὴ, ἡ ὤα, σῶμα, φυλακή.

Ὑφήγησις, ἐξήγησις.

Ὑφηγοῦμαι, τὸ διδάσκω. ὅθεν ὑφηγητὴς, καὶ τὸ παραινῶ, καὶ τὸ προοδοποιῶ.

Ὑφῆκα, κυρίως ἐπὶ νεῶν, ὅταν χαλάσωσι τὰ ἱστία. καὶ ὑφῆκα τοῖς βουσὶ τὰ μοχλία, ἀντὶ τοῦ κάτω αὐτῶν ἤγαγον.

Ὑφῆναι, κατασκευάσαι.

Ὑφηνάμην, κρεῖττον ἢ ὕφηνα.

Ὑφηνίοχος, πλεοναζούσης τῆς προθέσεως.

Ὑφήφασαι, ἀπὸ τοῦ ὑφάζω, ὑφάσω ὕφακα, ὕφασμαι ὕφασαι, καὶ Ἀττικῶς ὑφήφασαι. ἐπεὶ δὲ ὁ Ἀττικὸς παρακείμενος ἔχει τὰ αὐτὰ φωνήεντα, καὶ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ υ εἰς η, καὶ γέγονεν ὑφήφασαι.

Ὑφιᾶσι, τὸ ὑποβάλλουσιν, αἰτιατικῇ συντάσσεται. ὡς Σοφοκλῆς, ὑφεὶς μάγον τοιόνδε.

Ὑφεὶς, ὑπενδούς.

Ὑφίεμεν, ἐνδιδόαμεν.

Ὑφιέναι, ὑποχαλᾷν, ἐλαττοῦν, μειοῦν.

Ὑφίενται, παρομολογοῦσιν.

Ὑφιζάνειν, ὑποκαθέζεσθαι.

* Ὑφιζήσεις, ὑποχαλάσεις. ἐνδώσεις.

Ὑφίησιν, ὑποχαλᾷ, ὑποχωρεῖ. καὶ ὑφίησι, ἀντὶ τοῦ ὑποβάλλει.

Ὑφίη-

Ὑφίησι, τίθησι, ἀντὶ τοῦ τίθησι. καὶ ὑφίησι λέγουσι Δωριεῖς.

Ὑφ' εἵματος κρύπτουσα χεῖρα, ὁ δὴ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. οἷον, ὑπὸ δένδρον, καὶ ὑπὸ δένδρῳ.

Ὑφίσταμαι, οὐ μόνον ἀντὶ τοῦ ὑπισχνοῦμαι. Θουκυδίδης, ὥσπερ ὑπέστη. ἀλλὰ καὶ ἀντὶ τοῦ ὑποδέχομαι, καὶ ἀντὶ τοῦ ὑπομένω, λογογράφοι. Λουκιανὸς, ὑπόστηθι ὦ Τίμων δι' ἐμέ. ὑφίσταμαι καὶ ἀντὶ τοῦ κρυφίως ἵσταμαι, καὶ ἀντὶ τοῦ ὑποχωρῶ. Λουκιανὸς, ἐγὼ δὲ αὐτὸς ὑμῖν ὑποστήσομαι. ὑφίσταμαι, καὶ τὸ ὑποκάτω τινὸς ἵσταμαι. καὶ ὑφίστημι, τὸ ὑποβάλλω τι.

Ὑφιστὰς, ὑποτιθεὶς.

Ὑφίστασθαι, τὸ ὑπισχνεῖσθαι οἶδεν Ὅμηρος.

Ὑφίστησιν ὁ Θεὸς τὰ πάντα, ὑπόστασιν δοὺς αὐτοῖς.

Ὑφίστηται, ὁ ὑπομένων καὶ πάσχων λυπηρά.

Ὑφίστησον, ὑπόμεινε, καὶ ὑφιστὰς, ὑποστιθεὶς, ὑπομείνας.

Ὑφόλμιον, μέρος τι τοῦ αὐλοῦ πρὸς τῷ στόματι. ἢ αἱ γλωττίδες, καὶ ὑπόθεμά τι.

Ὑφὸρ, χρυσοῦν κοσμάριον.

Ὑφορῶ, ὑφορῶμαι.

Ὑφορῶμαι, τὸ ὑποπτεύομαι. ἐκ μεταφορᾶς τῶν ὑπὸ τοῖς ὅρμοις κρυπτομένων πετρῶν, καὶ ὑπόπτων οὐσῶν τοῖς καταίρουσιν.

Ὑφορῶμαι, τὸ ὑποπτεύω, καὶ ὑποβλέπειν, τὸ ταυρηδὸν βλέπειν.

Ὑφορώμενος, ὑπονοῶν, βλεπόμενος.

Ὑφ' οὗ, παρ' οὗ.

Ὑφόωσιν, ὑφόω ὑφῶ ὑφῶσι, καὶ πλεονασμῷ τοῦ ο, ὑφόωσι.

Ὑφύδριον, ὑποβρύχιον.

Ὑφ' ᾧ, ἐν ᾧ.

Ὕχιος, νύξ.

ΤΟ Υ. ΜΕΤΑ ΤΟΥ Ψ.

Ὑψαγόρης. εἰ καὶ τὸν μεγαληγόρον σημαίνει, καὶ δεινὸν εἰπεῖν, ὅμως οὐκ ἂν ἐπὶ ἐπαίνου ὀρθῶς ῥηθείη πρός τινος. δηλοῖ γὰρ μᾶλλον τὸν ψεύστην καὶ συκοφάντην.

* Ὑψηγόρος, ὑψηλόγος.

Ὑψάγορος, ἐκ τοῦ ὕψους καὶ τοῦ ἀγορῶ γίνεται ὑψάγορος, καὶ τροπῇ. ὁ τὰ ὑψηλὰ, καὶ μεγάλα δημηγορῶν.

Ὑψαύχενες ταῦροι, ἤγουν ὑπερήφανοι.

Ὑψεῖται, τραπεζῖται ἀργυρεῖς.

Ὑψηλὸς, ὑψηρός τις ὢν, εἰς ὕψος ἠρμένος.

Ὑψηλόφρων, εἴη ἂν καὶ ὁ ἑαυτὸν ὑψῶν. ἢ ὁ ἐπὶ τοῖς προσοῦσιν αὐτῷ κατορθώμασι μέγα φρονῶν καὶ ἐπαιρόμενος, κατὰ τὸν φαρισαῖον ἐκεῖνον, καὶ μὴ τοῖς ταπεινοῖς συναπαγόμενος.

Ὑψηρεφὲς, ἐν ὕψει τὸν ὄροφον ἔχον, ἢ ὑψηλὴν ὀροφήν. ἐξ οὗ τὸ μέγα καὶ ὑψηλὸν δηλοῖ.

Ὑψηλῆς, ὑψηλῆς, μεγάλης.

Ὑψηχέες ἵπποι, ὅ ἐστιν ὑψαύχενες. ἢ ὧν ὁ κρότος ὑψοῦ ἠχεῖ.

Ὑψιβρεμέτης, ὁ ἐν ὕψει βρέμων, τουτέστιν ἠχῶν.

Ὑψιβάμονος, ἐν ὕψει βαίνοντος.

Ὕψι, μεῖζον, μετέωρον.

Ὑψίζυγον, τὸ τοῦ Διὸς, τὸ τῆς εἱμαρμένης ἀμφιρρεπὲς δηλοῖ. ὡς ἀπὸ τῶν ταλαντιαίων ζυγῶν, ἃ τιταίνει ὁ τοιοῦτος Ζεύς.

Ὑψίζυγος Ζεὺς, ὁ ἀφ' ὕψους τὰ κάτω κυβερνῶν, καὶ ἀπὸ ζυγῶν κυβερνητικῶν, ἢ ὁ ἄνωθεν ταλαντεύων, οἷον τὰ κατὰ ἀνθρώπους. διὸ λέγει Ὅμηρος, ὅτι ὕπερθεν, ἤγουν ἐκ Θεοῦ νίκης πείρατα ἔχονται. καὶ γίνεται τοῦτο ἀφορμὴ τοῦ γραφῆναι τὸν Δία μεταχειριζόμενον τάλαντα, ὡς ἐν ζυγοστατήματι. τοῦτο δὲ νοεῖν οὐ πάνυ φιλοῦσιν οἱ παλαιοὶ, ζυγὸν εἰδότες ἅρματος καὶ ἁμάξης. ὅθεν καὶ ζυγόδεσμον Ὅμηρός φησιν ἱμάντα, ἢ τὸν ζυγόν φασι τῶν ζώων ζευγνῦντα. εἰδότες δὲ καὶ ζυγὰ, καθέδρας ἐρεσσόντων. ὅθεν φασὶν ὑψίζυγος, ὁ ὕψι καθέδραν ἔχων. καὶ ὅμως οἱ μεθ' Ὅμηρον οἴδασι ζυγὸν, καὶ ἐπὶ σταθμοῦ. καὶ αὐτοὶ παρὰ τὸ δύο ἄγειν ἐτυμολογικῶς τὰς ἑκατέρωθεν δηλαδὴ πλάστιγγας. ἀφ' οὗ καὶ παροιμία τὸ, ζυγοῦ πρὸς δίκην ἀθέστερος.

Ὑψίζυγος, ὁ ὑψηλὸς κυβερνήτης, ὁ ἄνω σταθμίζων τὰ κατ' ἀνθρώπους, ἀπὸ τοῦ ὕψι ἐπιρρήματος, καὶ τοῦ κυβερνητικοῦ ζυγοῦ εἰπεῖν, ὡς ὁ ἐν ὕψει καθήμενος. ὀκνοῦσιν οἱ παλαιοὶ φάμενοι ὀρείαυλον μὲν τὸν ἐν ὄρει διατρίβοντα, καὶ ἐγχείμαργον, καὶ ὅσα τοιαῦτα διφθόγγῳ στοιχεῖν, δίχα γε τοῦ ὀρείγανον, ὃ χαίρει ὄρεσι, καὶ τῶν ὅσοις ἐπάγονται δύο σύμφωνα. οἷον, ὄρειστος, ὀρειδρόμος, ὀρειβρέτης. τὰ δὲ παρὰ τὸ ὕψος καὶ κάλλος, ἐν διχρόνῳ εἶναι μόνῳ, ὑψίκομος, καλλίδρομος.

Ὑψίζυγος, ὁ ἐπὶ μετεώρου θρόνου καθήμενος.

Ὑψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλήν. μεταπλασμὸς δέ ἐστιν, ἀντὶ τοῦ ὑψικέρατον. Ἀριστοφάνης.

Ὑψικέραυνος, ἡ ἐκ πυρὸς πληγή.

Ὑψίκομος, φοῖνιξ, καὶ ὁ ἄνω τὰς τρίχας ἔχων.

Ὑψιμέδων, ἐν ὕψει βασιλεύων.

Ὑψιμετέωρον, ἄνω ὑψηλοῦ.

Ὑψιπέτης, βαρύνεται κατὰ Ἀρίσταρχον πρὸς διαστολὴν τοῦ ὑψιπετοῦς, ὃ δηλοῖ τὸν ἐξ ὕψους πεσόντα. οἱ δὲ περισπῶντες αὐτὸ, ἐκ τοῦ ὑψιπετήεις, ὡς τιμήεις τιμῆς αἰολικῶς, αἰγλήεις αἰγλῆς. πιθανῶς μὲν ποιοῦσιν, ἐπικρατεῖ δὲ ὅμως ἡ τοῦ Ἀριστάρχου γραφή. ὥσπερ δὲ ὑψιπέτης βαρυτόνως, οὕτω καὶ εὐπέτης, ὁ εὖ πετόμενος. οὕτω δὲ ἴσως καὶ προπέτης, ὁ προπετόμενος, καὶ περιττοτέρως εἰπεῖν, ὁ προάλης. εὐπετὴς μέντοι, ὁ εὖ πίπτων, ἤγουν συμβαίνων. ὅθεν καὶ εὐπετὲς πρᾶγμα, τὸ εὔκολον. καὶ προπετὴς, ὁ θρασὺς, καὶ τῶν ἄλλων ἔμπροσθεν πίπτειν ἐθέλων τῇ τάξει.

Ὑψιπόρους, δι' ὕψους τρέχοντας.

Ὑψίπυλον, ὑψηλὰς πύλας ἔχον.

Ὑψιρεφὲς, ὑψηλὴν ὀροφὴν ἔχον.

Ὑψίστολοι, οἱ ἄνω ἐσταλμένοι τοὺς χιτῶνας.

Ὕψιστος, ὁ ἐν τῷ ὕψει ἑστώς.

Ὑψιπλέες, χιτῶνες.

Ὑψιτένων, ὑψαύχην, ὑψηλὸς τῷ φρονήματι.

Ὑψιφοίτης, ὑψηλοπόρος.

Ὑψόθι, ἄνωθι.

Ὑψόροφον, ὑψηλὸν, μέγα.

Ὕψος, παρὰ τὸ ὄπτω τὸ βλέπω ὄψος, καὶ τροπῇ ὕψος· ἀφ' οὗ ἐστιν ὁρᾶν.

Ὑψοῦ, καθὰ διχῶς τηλοῦ καὶ τηλοῦ, καὶ ἄγχι καὶ ἀγχοῦ, οὕτω καὶ ὕψι καὶ ὑψοῦ λέγεται.

Ὑψοῦ, τοῦ ἐν τόπῳ δηλωτικόν ἐστι. τὸ δὲ ὑψόσε, τοῦ εἰς τόπον. Ὅμηρος, ὑψοῦ ἐπὶ ψαμάθοιο.

* Ὑψοῦτε, ἀντὶ τοῦ ὑψηλὸν αὐτὸν κηρύττετε.

Ὑψωσαερθεὶς, ἀντὶ τοῦ εἰς ὕψος ἐλαφρισθεὶς. καιριώτερον δὲ εἰπεῖν μετεωρισθεὶς, ἤτοι γενόμενος μετέωρος, ὅπερ ἀπὸ τοῦ ἀείρω γίνεται.

Ὕω, τὸ βρέχω.

Ὑωλυνύων, μολύνων.

Τέλος τοῦ υ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Φ.

ΣΤΟΙΧΕΙΟΥ ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Φ Τὸ στοιχεῖον, ὅτι φαιὸν, τὸ μέλαν. μέλαν δέ ἐστι τὸ σκοτεινόν. οὕτω καὶ τοῦτο παρὰ τὴν ἐκφώνησιν. κακόφωνον γάρ.

Φάανθεν, ἀόριστος πρῶτος παθητικός. φαίνω φανῶ, πέφαγκα πέφαμμαι, ἐφάνθην, ἐφάνθημεν τὸ πρῶτον τῶν πληθυντικῶν. καὶ συγκοπῇ καὶ ἀφαιρέσει τοῦ ε, καὶ προσθήκῃ τοῦ α, φάανθεν, ἀντὶ τοῦ ἐφάνθησαν, ὡς ἤγερθεν καὶ κόσμηθεν ποιητικῶς, ἢ αἰολικῶς, ἢ δωρικῶς. ὡς τὸ δεινὼ δέ οἱ ὄσσε φάανθεν, ἀντὶ τοῦ φανεροὶ αὐτῷ ἐγένοντο, καὶ ἐφωτίσθησαν οἱ ὀφθαλμοί, διὸ αὐτίκα ἔγνω ἐκείνην οἷα ἀγχίνους. φάανθεν σχηματίζεται οὕτως. τὰ εἰς μὲν πληθυντικὰ τῶν εἰς ην ληγόντων παθητικῶν ἀορίστων, τῷ η παραληγόμενα, ἀποβολῇ τοῦ η καὶ μ, τὸ τρίτον τῶν πληθυντικῶν ποιοῦσιν. οἷον ἐτύφθην πρῶτος ἀόριστος παθητικός, τούτου τὸ πληθυντικὸν ἐτύφθημεν, καὶ ἐξ αὐτοῦ ἀποβολῇ τοῦ η καὶ μ τὸ τρίτον τῶν πληθυντικῶν γίνεται κατὰ τοὺς Αἰολεῖς, ἔτυφθεν, ἀντὶ τοῦ ἐτύφθησαν. οὕτω καὶ ἠγέρθημεν ἤγερθεν, ἐκοσμήθημεν ἐκόσμηθεν, ἀντὶ τοῦ διεκοσμήθημεν. ἐτμάγημεν, ἔτμαγεν, ἐφαάνθημεν ἐφάανθεν.

Φαάντερον, λαμπρότερον.

Φάβα, μέγας φόβος. καὶ τὸ συνήθες ὄσπριον.

Φάβας, φὰψ, εἶδος ὀρνέου παρὰ τῷ Λυκόφρονι, τὰς οἰνοτρόπους λέγομεν, αἳ κατὰ τοῦ Ἀγαμέμνονος τῶν Ἑλλήνων λιμῷ συνεχομένων, μετεπέμψατο τὰς οἰνοτρόπους διὰ Παλαμήδους, αἳ ἐλθοῦσαι εἰς τὸ Ῥοίτιον ἔτρεφον αὐτούς.

Φαβοτύπος, εἶδος ἱέρακος, καὶ περιστερᾶς ἀγρίας σπερμοφάγου.

Φαβρὶς, νησίον πρὸ τῆς Ἀττικῆς.

Φαγανθρώπων, ἀκαθάρτων.

Φαγεδαίνῃ, τῇ φερούσῃ ἕλκη ἀναβιβρωσκόμενα. παρὰ τῷ Ἱπποκράτει.

Φάγαινα, φαγέδαινα νόσος. πάθος ἑλκῶδες, νεμόμενον.

Φαγεῖν, ἁπλῶς λέγομεν. καταφαγεῖν δὲ, πάντα φαγεῖν. ἢ φαγεῖν, τῇ τάξει, καταφαγεῖν δὲ τὸ ἀθρόως. ἄλλο γὰρ φαγεῖν, ἄλλο δὲ καταφαγεῖν.

Φαγεσώριον, πολυφάγον.

Φαγηλὸς, ἀμνός.

Φαγλαὸς, χείμαρρος.

Φάγομαι, τὸ θέμα, φήγω τὸ ἐσθίω, φύξω, ὁ δεύτερος ἀόριστος, ἔφαγον. ὁ μέλλων δεύτερος, φαγοῦμαι ὤφειλεν, ἀλλὰ φάγομαι, ἔδομαι, πίομαι λέγεται. τὰ δεύτερα πρόσωπα, φάγῃ, ἔδῃ, πίῃ.

Φάγονες, σιαγόνες, γνάθοι.

Φάγοντι, ἀντὶ τοῦ φάγωσι, παρὰ Θεοκρίτῳ Δωρικῶς.

Φάγυλλοι, μαστοὶ, μάρσιπποι.

Φάγωρος, ἰχθύς ποιός.

Φαδάσαι, γνάψαι.

Φάεα, ὀφθαλμοί.

Φάε χρυσόθρονος ἠὼς, ἤτοι ἔλαμψε, πρωτότυπόν ἐστι τοῦ φαέθειν, καὶ τοῦ κατὰ τὸν Ἥλιον Φαέθοντος.

Φαέθων, ὁ υἱὸς τοῦ ἡλίου, καὶ ὁ ἕτερος τῶν ἵππων αὐτοῦ. δύο γὰρ ἵπποι φασὶ τῷ ἅρματι τοῦ ἡλίου εἰσίν. ὧν ὁ μὲν Λάμπων, ὁ δὲ Φαέθων ὀνομάζεται.

Φαεινὴν ἀμφὶ σελήνην, οὐ τὴν πλησιφαῆ νοητέον καὶ πληροσέληνον, ἀλλὰ φαεινὴν λέγει κατὰ Ἀρίσταρχον, τὴν φύσει τοιαύτην. κἂν μὴ πλήθουσα εἴη φωτὸς, τρόπος δὲ ἐτυμολογίας ἐστὶ κατά γε τὸ φαεινὴ, καὶ τὸ φαίνεται. καὶ αὐτὸ δὲ φαεινὴν ἀμφὶ σελήνην, τοιοῦτον ἐμφαίνει τρόπον. εἴπερ σελήνη παρὰ τὸ σέλας γίνεται, σέλας δὲ ταυτὸν τῷ φάει. ὃ συστοιχεῖ τῇ φαεινῇ.

Φαεινὸς λέγεται ὁ λεπτὸς. ὡς τὸ μάστιξ φαεινή.

Φαείνω, τὸ λάμπω, ποιητικῶς.

Φαέσασθαι, ἰδεῖν, μαθεῖν.

Φαεσίμβροτος ἠὼς, ἡ φέρουσα φῶς τοῖς ἀνθρώποις.

Φαεσφόρους, φωτοφόρους. φωτὸς παρεκτικὰς, γνώσεως φωτιζούσας.

Φαζακλωίαις, δειλίαις.

Φαζάλη, πάθος σωματικὸν, ὃ γίνεται τοῖς τὴν Ἐρυθρὰν θάλασσαν πλέουσι.

Φάη, οἱ ὀφθαλμοί. ὅτι ἐξ αὐτῶν τὸ φῶς προχεῖται. ἢ ὅτι φωτός εἰσι κριτικοὶ καὶ δεκτικοί.

Φάθι, φημὶ φήσω, φὰς φάντος, φάθι. ἀντὶ τοῦ εἰπὲ, λέγε.

Φαιακία νῆσος, ἡ Κέρκυρα, ἐν ᾗ κεχωσμένον τὸ δρέ-

Digitized by Google

δρέπανον, ἐν ᾧ ὁ Ζεὺς Κρόνον ἐξέτεμεν. ἢ ὅτι ἐκεῖ τὸ δρέπανον ἡ Δημήτηρ ἔβαλε.

Φαὶ, δῆμος.

Φαίαξ, δεινὸς ῥήτωρ, ὡς καὶ ἀποφυγεῖν ἐπὶ θανάτῳ ἐπ' αὐτοφόρῳ κρινόμενος. κωμῳδεῖται δὲ παρὰ τῷ Ἀριστοφάνει, ὡς παρακρούων τὰ μειράκια, καὶ ἐξαπατῶν. συνερτικὸς δὲ ὁ αὐτὸς, ἤγουν συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος ἀκόλως. περαντικὸς δὲ, ὁ πέρας ἐπιτιθεὶς τοῖς λόγοις.

Φαίδει, ὄψει.

Φαίδιμος, ὁ λαμπρός. παρὰ τὸ φαίνω, φαίνιμος, καὶ φαίδιμος.

Φαιδρὸς, καθαρὸς, γεγηθὼς, φανερός.

Φαιδραντὴς, ὁ τὸ ἔδος τοῦ Θεοῦ θεραπεύων.

Φαιδρυνέθω, λαμπρυνέθω, καθαριζέθω. φαιδρύνω γὰρ, τὸ λαμπρύνω.

Φαιδρῷ προσώπῳ, ἀντὶ τοῦ χαρωπῷ. οἱ γὰρ χαρὰν ἔχοντες, λέγονται φαιδροί. ἐπὶ τῶν χαιρόντων, αἱ ὄψεις φαιδραὶ γίνονται. καὶ ἀντιστρόφως, τὰ λαμπρὰ γελᾶν λέγονται, ὡς παρ' Ὁμήρῳ.

Φαῖεν ἂν, ἀντὶ τοῦ εἴποιεν ἄν. φαίην ἂν, ἀντὶ τοῦ εἴποιμι ἄν, φαίησαν καὶ φαῖεν, Αἰολικῶς.

Φαίκανον, πήγανον.

Φαικάσιον, ὑποδήματος εἶδος γεωργικοῦ.

Φαίκελον, φορτίον.

Φαικὸν, ἐλαφρὸν, ἰταμὸν, κοῦφον, λαμπρόν.

Φαικῷ, ἐνεργῷ, ἀκμάζοντι. ἀπὸ τοῦ φαίνειν, οἷον λαμπρόν.

Φαιλόνης, ἢ λινάριον μεμβράϊον, ἢ γλωσσόκομον.

Φαῖμεν, ἀπὸ τοῦ φαίημεν συγκοπῇ, ἐξ οὗ φαῖεν τὸ τρίτον. ὅμοια δὲ τούτῳ, καὶ τὸ δοῖμεν δοῖεν, καὶ τὸ σταῖεν, καὶ τὸ φθεῖεν, καὶ ὅσα τοιαῦτα. ἐν οἷς τὸ ξυγγνοῖεν ἡμαρτηκόσι. οὐ πάντως τὸ τρίτον ξυγγνοῖεν, καὶ τὸ εἴδεμεν τὸ εἰδεῖεν. παρ' Ὁμήρῳ δὲ τὸ φαῖμεν, ἀντὶ τοῦ ἔφημεν εἴρηται.

Φαινακίζει, πλανᾷ, ἀπατᾷ, χλευάζει.

Φαίνεσθαι, δεῖξιν ἐνίοτε μὲν αἰσθητικὴν, καὶ ἐν ἐγρηγόρσει. ἐνίοτε δὲ νοερὰν καὶ ἐν ὕπνῳ. ἀπὸ τούτων δὲ λέγεται καὶ ἐπὶ τοῦ νομίζεσθαι, κατὰ μεταφορὰν ἀπὸ τοῦ φανταστικοῦ, ἐπὶ τὸ λογιστικόν. καθὸ λέγεται παρ' Ὁμήρῳ, ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή, ἤγουν ἔδοξε.

Φαίνεται καὶ ἀντὶ τοῦ φανερῶς πῶς ἐστιν, ἐκ τοῦ φάω φῶ. ἐξ οὗ οὐ μόνον τὸ φααίνω, καὶ τὸ ἐξεφαάνθη, ἀλλὰ καὶ τὸ φαίνω. ὡς χρῶ χραίνω, καὶ ῥῶ ῥαίνω.

Φαίνεται ἀντὶ τοῦ δοκεῖ, ὅπερ καὶ πρὸς ἀπαρέμφατον ἀποδίδοται, οἷον φαίνεταί μοι ὁ ξένος εἶναι πανοῦργος. καὶ Πλάτων, φαίνεταί μοι τῶν πολιτικῶν μόνος ὀρθῶς ἄρχεσθαι. καὶ ἀντὶ τοῦ δῆλός ἐστιν, ὅπερ καὶ πρὸς μετοχὴν συντάσσεται. Ἀριστείδης, οὗτος οὐ πολλῷ τινι τοῦ Λυκούργου φαίνεται ἡμῖν δεύτερος γεγονώς. καὶ Θουκυδίδης, φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη.

Φαινόλα, τὸ ὕφασμα.

Φαινόλης, χιτών. οἱ δὲ παλαιοὶ ἐφεστρίδα, ὡς τὸ τὴν φαινόλαν ἀποδύσασθαι. τουτέστι, τὸ ἱμάτιον παρὰ τὸ φαίνεσθαι ὅλος.

Φαινὸν, φωτεινόν.

Φαινύλιος, ὄνομα ἥρωος.

Φαίνω, τὸ λάμπω. καὶ φαίνω, τὸ δεικνύω, καὶ τὸ κατηγορῶ. ὅθεν καὶ συκοφάντης, ὁ κατηγορῶν τινος ψευδῆ.

Φαίνω ἐνεστὼς, ἔφαινον παρατατικὸς, φανῶ μέλλων, ἔφηνα ἀόριστος. φαίνομαι ἐνεστὼς, ἐφαινόμην παρατατικὸς, φανοῦμαι μέλλων, καὶ φανήσομαι. καὶ τὰ παθητικῶς φανθήσομαι, πέφασμαι παρακείμενος. ἐφάνην δεύτερος ἀόριστος, ἐφάνθην ποιητικῶς, πέφηνα. κανονίζεται δὲ οὕτως, φαίνω τὸ δεικνύω. φανῶ, δείξω. ὁ παρακείμενος πέφαγκα, ἄχρηστος, ὁ μέσος πέφανα. καὶ τροπῇ τοῦ ᾱ εἰς η̄, πέφηνα. καὶ λαμβάνεται εἰς μόνην παθητικὴν σημασίαν, ἀντὶ τοῦ ἐδείχθην, τὸ φῆ η̄. παραλήγουσαν τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι. ἐπεὶ γὰρ ὁ μέλλων Αἰολικῶς φαίνσω προφέρεται, καὶ παραλήγεται τῷ θέσει μακρῷ. ὁ δὲ μέσος παρακείμενος ἐπεὶ τὴν ἀπὸ θέσεως ἔκτασιν οὐκ εἶχεν, ἐξ ἀνάγκης εἰς τὴν φυσικὴν ἔκτασιν μετέπεσεν, ἵνα μὴ βραχύτερος ᾖ τοῦ μέλλοντος. ὥσπερ ἐστὶ καὶ τύψω, τέτυφα, καὶ ἄλλα, καὶ γέγονα, πέφανα, διὰ τοῦ μακροῦ φᾶ. εἶτα καὶ τὸ ᾱ εἰς η̄ ἐτράπη διὰ τὸ εὐφωνότατον, καὶ γέγονε πέφηνα.

Φαίνομαι ἐγὼ παθητικῶς, ἀντὶ τοῦ δείκνυμαι, καὶ φαίνομαι ἀντὶ τοῦ δοκῶ. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου.

Φαιὸν χρῶμα, τὸ σύνθετον ἐκ μέλανος καὶ λευκοῦ, ἤγουν μύϊνον.

Φαιοὺς ἄρτους, ῥυπαρούς.

Φαιρίδδειν, σφαιρίζειν.

Φαιρωτὴρ, κυτός.

Φαιστὸς, οὐ μόνον πόλις Κρήτης, ἀλλὰ καὶ ἀκρωτήριον Γόρτυνος. καὶ ὀξύνεται πρὸς διαστολὴν τοῦ βαρυτόνου Φαίστου, τοῦ κυρίου, ὀνόματος, ὃς καὶ ἔκτισεν αὐτὴν, υἱὸς ὢν Ῥοπάλου, υἱοῦ Ἡρακλέους, ὡς ὁ ἐθνογράφος λέγει. ὃς καὶ Πελοποννησίοις φαιστὸν ἱστορεῖ. Φαίστιον δέ φασιν εἶναι σοφὸν τὸν Ἐπιμενίδην, ὃς καθαρμοὺς δι' ἐπῶν ἐποίησε. διεῖχε δὲ κατὰ τὸν Γεωγράφον Γόρτυνος στάδια ἑξήκοντα. θαλάσσης δὲ, κ. κατεσκάφη δὲ ὑπὸ Γορτυνίων, εἰς διάφορον σύνεσιν τοῦ φαιστὸς, καὶ φαῖστος. θετέον σὺν ἄλλοις ἀλλαχοῦ δηλουμένοις, καὶ τὸ Ἀθηναῖος τοπικὸν, καὶ Ἀθήναιος κύριον. καὶ ἐπαινετὸς τὸ ἐπίθετον, καὶ ἐπαίνετος. καὶ νόμος τὸ κοινὸν, καὶ νομὸς ὁ κατὰ τόπον. καὶ πλησίος ὁ ἐγγίζων, καὶ Πλήσιος κύριον ἀνδρὸς ἱεροῦ.

Φακεὶ, διάνοιξις.

Φάκελος, φορτίον ξύλων.

Φακῆ, ὥσπερ τὸ συκῆ ἀπὸ τοῦ συκέα περισπῶσι, καὶ τὸ ἀμυγδαλῆ ἀπὸ τοῦ ἀμυγδαλέα, οὕτω φακῆ ἀπὸ τοῦ φακέα.

Φακῆ, παρὰ τὸ αἰκίζειν τὰ φάη. ὡς ὁ ἰατρικὸς λόγος μαρτυρεῖ, φακιακή τις οὖσα. ἢ φακάκη, ἡ τὰ φάη κακοῦσα.

Φάκκει, ὀφθαλμοί.

Φακὸς, βρύον τὸ ἐν τῇ λίμνῃ. καὶ μέλασμά τι ἐν τῇ ὄψει. καὶ μέρος τοῦ χαλινοῦ, καὶ ἡ λεπτὴ τῆς μεταλλικῆς λίθου. καὶ ἰατρικὸν σκεῦος.

Φάκται, λινοί, συπύαι, πύελοι.

Φακτεῖν, φράττειν. φρακτὸς γὰρ, ὁ φραγμός. καὶ τὸ μέτρον, φάκτον.

Φακός ἐστιν, ὁ ἀνέψητος, φακῆ δὲ ἡ ἑψημένη. περισπᾶται δὲ, ὥσπερ τὸ συκῆ, ἀμυγδαλῆ, καὶ τὰ τοιαῦτα. Θεόκριτος, κάλλιον ὦ 'πιμελητὰ φιλάργυρε τὸν φακὸν ἕψειν.

Φαλὰ, κόσμος τῆς περικεφαλαίας. παρὰ τὸ φάω φῶ φάσω, ὄνομα φαλός. καὶ φαλὰ, διὰ τὸ λαμπρότατον, ἡ κόρυθος φαλός. τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας. εἰσὶ γάρ τινες ἧλοι λαμπροὶ, ἕνεκα κόσμου τῆς περικεφαλαίας. φαλὸν γὰρ, τὸ λαμπρὸν, ὅθεν καὶ φαλακρὸς, ὁ ἔχων φαλὸν τὸ κάρα. καὶ φάλαρα τὰς προμετωπιδίους ἀσπιδίσκους. τὴν κόσμησιν τὴν κατὰ τὸ μέτωπον τῶν ἵππων. ἢ τὰ τῶν γνάθων σκεπάσματα. ἀπὸ τοῦ φάος φαλὸς καὶ φάλαρος.

Φάλαγγες αἱ λεγόμεναι καμαστραὶ, ἀράχνιόν τι φάλαγξ. λέγουσι δὲ τὰ ἄκρα τῶν δακτύλων φάλαγγας.

Φαλάγγωμα, πομπή τις ἐν τοῖς Διονυσίοις.

Φαλαγγῶσα, τεθηριωμένη, ἐρεθισμένη.

Φάλαγξ, οὐ μόνον στρατιωτικὸν σύστημα, ὅπερ καὶ μόνον τῆς λέξεως ταύτης οἶδε σημαινόμενον ὁ Ποιητὴς, ἀλλὰ καὶ ὁ ἀράχνης παρὰ τοῖς ὕστερον, οὐ μόνον ὁ μείζων, ἀλλὰ καὶ ὁ ὑποχοριζόμενος εἰς φαλάγγιον. τῆς δὲ τοιαύτης φάλαγγος συχναὶ μὲν αἱ χρήσεις. Αἴλιος δὲ Διονύσιος παράγει τοιαύτην ἐκ τοῦ Κωμικοῦ Πλάτωνος. ἐοίκασιν ἡμῖν οἱ νόμοι τοῖσι λεπτοῖς ἀραχνίοισιν. ἃ τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει.

Φάλαγξ, ζῶον παραπλήσιον ἀράχνῃ. ὃ δὴ καὶ αὐτὸ ὑφαίνειν δοκεῖ.

Φάλαγξ, τάξις. καὶ τὰ τῶν δακτύλων ἄρθρα, καὶ νεὼς ὑπερείσματα. φάλαγξ, τὸ ἐπιμηκὲς καὶ στρογγύλον ξύλον.

Φάλαι, ὅρα, σκόπει.

Φάλαινα, ζωΰφιόν ἐστι ταῖς λυχνίαις ἐπιπετόμενον. ὃ καὶ πυραστούμενος καὶ ψῶρα καλεῖται. λέγεται δὲ φάλαινα, παρὰ τὸ εἰς φῶς ἅλλεσθαι. ἔστι δὲ καὶ φάλαινα κητώδης ἰχθύς. κατὰ ἀποκοπὴν φάλαι εἶπεν Λυκόφρων. καὶ φάλαινα, θηρίον θαλάττιον.

Φάλακον, ποίημα αὐτοσχέδιον, ἐπὶ τῷ φαλῷ ᾀδόμενον.

Φαλακραῖον κλάδον, ξύλον ἐκ Φαλάκρας. τέσσαρα γὰρ ἀκρωτήρια τῆς Ἴδης, Πέργαμος, Λεκτὸν. Γάργαρον, Φάλακρα.

Φαλάκραι, νύμφαι τινές.

Φαλακρὸς, ὁ τὸ ἄκρον ἔχων φαλὸν, ὅ ἐστι λευκὸν, παρὰ τὸ φάος. φάλιον γὰρ τὸ λευκόν.

Φαλακρὰ, τὰ στρογγύλα μετὰ λειότητος, παρὰ τῷ Ἱπποκράτει.

Φαλακρώνιος, εἶδος ἱέρακος.

Φάλανθοι, φαλακροί. ἄνθος γὰρ ἡ λευκὴ θρίξ.

Φαλάνθη, ἱερουργός.

Φάλαρα, οἱ νῦν λεγόμενοι φάλοι. παρὰ τὸ φάλιον, τὸ λευκὸν, ἢ παρὰ τὸ φάειν ἅλις. παρὰ δὲ τοῖς ὕστερον φάλαρα. καὶ κόσμος ἵππου προμετωπίδιος. οὐ χρῆσις πολλαχοῦ, καὶ διὰ τοῦ η̄. φάληρα γάρ. οὕτω καὶ παρὰ τῷ Ποιητῇ ἐν τῷ π̄ τῆς Ἰλιάδος φάλαρα. ὡς δῆλον ἐκ τοῦ τετραφάληρος. οὐ ἐτυμολογία, τὸ φάλοις ἀρηρέναι. ἢ φάλαρα, τὰ περὶ τὰς γνάθους σκεπάσματα λέγουσι Δωριεῖς.

Φαλαρεὺς, δῆμος τῆς αἰαντίδος φυλῆς.

Φαλάρικα, εἶδος λόγχης.

Φαλαρίδας, οἱ μὲν γένος ὀρνίθων. οἱ δὲ, τὰς ἐν τῇ φαληρίδι γενομένας ὄρνιθας.

Φάλαρος παρὰ Θεοκρίτῳ, ὁ λευκός. καὶ Ὅμηρος κύματα δ' αὖ φαληριόωντα, ἤγουν λευκαινόμενα. καὶ τὸ ἐν τῷ μετώπῳ δὲ ὁμοίως φαλληρὸν καλοῦσι.

Φαληρεὺς, λιμὴν τῆς Ἀττικῆς. φαληρικὰς δὲ ἀφύας, ὅτι πληθυντικῶς λέγουσιν ἀφύας. Ἀρίσταρχος δὲ οὐκ ἀποδέχεται πληθυντικῶς.

Φάληρα, λευκὰ, ἀφρίζοντα, φρίσσοντα.

Φαληριόωντα πρὸς τὸ χρῶμα, οἱονεὶ τὰ λευκανθίζοντα τῷ ἀφρῷ. φάλιον γὰρ τὸ λευκόν. ἐξ οὗ καὶ οἱ φάλοι, καὶ τὰ λάφυρα. καὶ ἡ παρὰ Λυκόφρονι φαληριῶσα σπίλος, τουτέστι λευκὴ νῆσος.

Φαληρὶς, τῇ Ἀφροδίτῃ ᾠκείωται, οὐ μόνον κωμικώτερον διὰ τοὺς ἰθυφάλλους καὶ τοὺς φαλλοὺς, καὶ ὡς γοργότερον ἔφη τις, διὰ τὴν συνέμφασιν τοῦ φαλλοῦ, ἀλλὰ καὶ διὰ λευκότητα τὴν ἐν τῷ ζωϊκῷ σπέρματι, οὕπερ ὁμοίως ἔγκειται τῷ τῆς φαληρίδος ὀνόματι. φάλιον γὰρ τὸ λευκόν. ἐξ οὗ καὶ τὰ φάλαρα.

Φαληρὶς, ὀρνεόν ἐστι λιμναῖον ἀφρητές. ἐσχημάτισε δὲ Ἀριστοφάνης παρὰ τὸν φαλόν.

Φάληρος, τύραννος Σικελίας, ἔκτισε τὴν ἐν Ἰταλίᾳ Νεάπολιν. λέγει δὲ τὴν Παρθενόπην ἐκεῖ πεσεῖν. Διόδωρος δὲ ὁ σικελὸς καὶ Ὀππιανὸς τὴν νεάπολιν ὑφ' Ἡρακλέους φασὶ κτισθῆναι. καὶ φησὶν ὁ Ὀππιανὸς ἐν τοῖς κυνηγετικοῖς, νεόπεδον Ἡρακλῆος, τὴν Νεάπολιν λέγων.

Φαλίζει, θέλει.

Φαλλικὰ ᾄσματα λέγονται, τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη. ἔστι δὲ εἰς Διόνυσον, ἢ εἰς ἄλλον καρπόν. Ἀριστοφάνης, ᾄσομαι φαλλικόν.

Φαλικρὸν, ἄκρατον.

Φαλιόπουν, λευκόπουν. φαλιοὶ γὰρ οἱ λευκομέτωποι.

Φαλίττει, μωραίνει.

Φαλὶς, κάνναβις.

Φαλίσσεται, λευκαίνεται, ἀφρίσσει.

Φάλκη, ὁ τῆς κόμης αὐχμὸς, ἢ νυκτερίς.

Φάλλα, ἄκρα τῆς Εὐβοίας.

Φάλλη, ἡ πεπωμένη ψυχή.

Φαλλίκων, ὄρχημά τι. οἱ δὲ, μέλος. ἄλλοι ᾠδὴν αὐτοσχέδιον ἐπὶ τῷ φαλλῷ ᾀδομένην.

Φαλλὸς, ξύλον ἐπιμηκες ἔχον ἐν τῷ ἄκρῳ σκύ-

σκύτινον αἰδοῖον ἐξηρτημένον. ἵσατο δὲ ὁ φαλλὸς τῷ Διονύσῳ, κατά τι μυστήριον. περὶ δὲ τοῦ φαλλοῦ τοιαῦτα λέγεται. Πήγασος ὁ ἐκ τῶν Ἐλευθήρων, Ἐλευθῆραι δὲ πόλις εἰσὶ Βοιωτίας, λαβὼν τοῦ Διονύσου τὰ ἀγάλματα, ἧκεν εἰς τὴν Ἀττικήν. οἱ δὲ Ἀττικοὶ οὐκ ἐδέξαντο μετὰ τιμῆς τὸν Θεόν, ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς ταῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ Θεοῦ, νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν, καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δ' ἀπεῖπον, πρὸς τὴν νόσον κρείττω γενομένην πάσης μαγγανείας καὶ τέχνης, ἀπεστάλησαν θεωροὶ μετὰ σπουδῆς. οἱ δὴ ἐπανελθόντες ἔφασαν ἴασιν εἶναι μόνην ταύτην, εἰ διὰ πάσης τιμῆς ἄγοιεν τὸν Θεόν, πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι, φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν, καὶ τούτοις ἐγέραιρον τὸν Θεόν. ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως καὶ ὅτι παίδων γενέσεως αἴτιος ὁ Θεός. ἡ δονὴν γὰρ καὶ ἀφροδίσια. μέθη ἐξανίστησι. τοιγαροῦν καὶ ὁ Λάϊος ἐκδὺς ἑαυτὸν μέθῃ, εἰς τὰ βακχεῖον πασῶν, ἐφύτευσε παῖδα. φαλλὸς δὲ ὁ πέος. ζήτει παρὰ τῷ Ἀριστοφάνει ἐν Ἀχαρνεῦσι.

Φαλὸν, τὸ στερεὸν κύκλωμα τοῦ στέρνου. οἱ δὲ τὸν μωρόν.

* Φάλος, βῶλος. ἢ λόφος, ἡ ὑπερέχουσα πέτρα ἐν θαλάσσῃ.

Φάλος ἐστὶ μικρὸς ὀμφαλὸς, οὗ ἐκδεῖται ὁ λόφος. οἱ δὲ περὶ Ἀππίωνα καὶ Ἡρόδωρον οὕτω φασί. φάλοι, ὀμφαλοὶ ἀσπίσι μικραῖς παραπλήσιοι, καὶ κεῖνται κατὰ τὸ μέτωπον, ὑπερέχοντες τῶν ὀφρύων, ἀποσκιάζοντες τὴν τοῦ ἡλίου αὐγὴν, οἷα τῶν παλαδίων, καὶ τῶν Κορυβάντων κόρυθες. δηλοῖ Ὅμηρος λέγων, τὸν δ' ἔβαλε κόρυθος φάλον, ἐν δὲ μετώπῳ πῆξεν.

Φάλος κόρυθος, ἀσπιδίσκιον, ἢ ἀστερίσκος τις προμετωπίδιος, λευκὸς καὶ λαμπρὸς, ἐκ τοῦ φάλιον τὸ λευκὸν, αὐτὸ δὲ παρὰ τὸ φάειν λίαν. ὅθεν καὶ φαλακρὸς, ὁ τῇ κάρᾳ φάλιος, ἤτοι λαμπρὸς. ὡς καὶ ἐν Ὀδυσσείᾳ σκώπτει τὶς τὸν Ὀδυσσέα. καὶ πέτρα δὲ φαλαρῶσα παρὰ Λυκόφρονι, ἡ λευκὴ νῆσος. καὶ κύματα παρ' Ὁμήρῳ φαληριόωντα, τὰ λευκά.

Φαλύγματα, ὑγράσματα.

Φαλωέει, λαμπρύνει.

Φαλύσσεται, καταρρήσσει, περιέρχεται.

Φαλωθεὶς, παραβατεὶς.

Φαμάξεις, φύσεις.

Φάμην, φήμην.

Φαμὲν, λέγομεν.

Φάμμη, ἄλφιτα.

Φαμμάστρια, τὰ ψευστά, καὶ ἑορτή τις.

Φὰν, ἀντὶ τοῦ ἔφησαν, ἐκ τοῦ φὰς φάντος.

Φάνει, εἰ μὲν σημαίνει τὸ λέγειν, παροξύνεται βραχέος ὄντος τοῦ α, καὶ ἐστὶν ἐνεστὼς καὶ παρατατικὸς ἀπὸ τοῦ φημί. εἰ δὲ σημαίνει τὸ φαίνειν, περισπᾶται μακροῦ ὄντος τοῦ ᾱ, καὶ ἐστὶν ἀόριστος πρῶτος ἀπὸ τοῦ φαίνω φᾶναι, ἀντὶ τοῦ εἰπεῖν ἀεί. ἐμφῆναι δὲ, ἀντὶ τοῦ δεῖξαι. ἐμφαίνω γὰρ τὸ δεικνύω.

Φᾶναι, καὶ φῆναι Ἰωνικῶς, ὡς μιᾶναι καὶ μιῆναι.

Φαναῖος Ἀπόλλων, Ἀχαιὸς ἐμφάλη. παρὰ Χίοις οὕτω λέγεται.

Φανᾶν, θέλειν.

Φάναοι, ἄρνες.

Φάνας, ἐκλάμψας, ἢ τὰς ἐλλάμψεις.

Φανὲν λέγεται, τὸ παραστὰν καὶ δόξαν.

Φανθὲν δὲ, τὸ φαντασθὲν ὀνείρῳ. ἐξ οὗ γίνεται τὸ φάντασμα.

Φανερῶ, δηλῶ, σημαίνω. ἀποσημαίνω, μηνύω, ἐμφανίζω, ταυτόν.

Φανήη, ἀόριστος δεύτερος τοῦ ὑποτακτικοῦ παθητικοῦ. φαίνω, μέλλων φανῶ, ἀόριστος πρῶτος ἔφηνα, ὁ δεύτερος ἔφανον, ὁ παθητικὸς ἐφάνην, τὸ προστακτικὸν φάνηθι. τὸ εὐκτικὸν φανείην, τὸ ὑποτακτικὸν ἐὰν φανῶ, ῇς, ῇ, καὶ πλεονασμῷ τοῦ η, φανήη.

Φανὴν χλαῖναν, τουτέστι λαμπράν.

Φάνης φάνητος, τὸν δὴ καλοῦσι φάνητα, ὅτι πρῶτος ἐν αἰθέρι φαντὸς ἐγένετο Ὀρφεὺς, οὕτως Ὦρος.

Φανθεὶς, καὶ ἀποφανθεὶς, Ἀττικοί. οὐ φανεὶς, οὐδὲ ἀποφανεὶς.

Φανθὲν, διαφέρει τοῦ φανέντος. τὸ μὲν γὰρ φανὲν λέγεται καὶ ἐπὶ νυκτὸς, καὶ ἡμέρας. τὸ δὲ φανθὲν ἐπὶ νυκτὸς ἀεί. ὡς καὶ Λιβάνιος, χρηστῆς ἀπολαύσας νυκτὸς δι' ὀνειράτων γινομένης, ἡμέρας ἔλεγον τοῖς φίλοις, ὡς ἔσται τὸ ἔργον τὸ φανθὲν ἄγον.

Φάνιον, τόπος εἰς ὃν τὰ καθάρματα ἐξέβαλον, ῥητορική.

Φανὸν, τὸ φαινόμενον φωτεινὸν καὶ λαμπρόν. Ἀττικοὶ δὲ, λυχνοῦχον ἐκάλουν, ὃ ἡμεῖς νῦν φανόν.

Φανὸς, ἐπὶ τῆς λαμπάδος, ἀλλὰ μὴ ἐπὶ τοῦ κερατίνου λέγε. τοῦτο δὲ λυχνοῦχον λέγε.

Φανὸς, ὃς καὶ πανὸς λέγεται, παρὰ τὸ φαίνω. παράγεται, καὶ τὸ φόνιον δὲ ἐκ τοῦ φανοῦ παράγωγον. οὗ ἡ χρῆσις παρὰ Μενάνδρῳ, οὗ φανίου τὸ ὑποκόρισμα παράγει καὶ τὸ ἰδιωτικῶς λεγόμενον φανάριον.

Φαντάζεσθαι, ἐπὶ τοῦ ἀνατυποῦσθαι λέγεται, καὶ ἀναπλάττειν, καὶ τῶν ἐπὶ ὕπνῳ ὁρωμένων. φάσματα τὰ ἐν ὕπνῳ φαινόμενα λέγεται, καὶ ὅσα φαντάζουσι τὰ δαιμόνια νύκτωρ, ἢ μεθ' ἡμέραν ἐν ταῖς ἐρημίαις, ἀπὸ τοῦ ἀέρος λαμβάνοντα μορφὰς, οἵας ἂν θέλωσι. λέγε οὖν φάσμα, ὡς Ἀττικὸν, καὶ μὴ φάντασμα. φαντάζω δὲ, καὶ φαντάζομαι. εὕρηται δὲ καὶ φαντάζομαι τὸ ἁπλῶς φαίνομαι.

Φαντάζομαι, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ συκοφαντοῦμαι.

Φαντάσας, δείξας.

Φαντασία ἐστὶ, κίνησις ψυχῆς, ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως. ἡ τύπωσις τοῦ ἡγεμονικοῦ. ἡ συμπλοκὴ δόξης καὶ αἰσθήσεως.

Φαντασία ἐστὶ, δύναμις τῆς ἀλόγου ψυχῆς.

Φαντασία, φαοστασία τις τῶν ἀφανῶν, στάσις περὶ θεωρίαν καταγινομένη. οἷον, ἁπλῇ προσβολῇ ἐπιβάλλει ὁ νοῦς περὶ τὰ Θεολογικὰ ἀσωμάτως θεολογεῖσθαι. παρεμπεσοῦσα ἡ φαντασία, ὑποτίθεται καὶ σῶμα εἶναι τὸ Θεῖον, καὶ σχῆμα καὶ μέγεθος, καὶ θόρυβον ἐμποιεῖ τῇ ψυχῇ, τοῦ μὴ ἀσωμάτως θεολογῆσαι.

Φάντες, φίλη λέξις τοῖς Ποιηταῖς. τὸ μέν τοι φάμενοι, καὶ κοινόν ἐστιν Ἀττικῶς. ταύτης τῆς ἀκολουθίας καὶ τὸ ἔφη καὶ ἔφατο, καὶ τὸ φῆ καὶ φάτο.

Φάντι, ἀντὶ τοῦ φασὶ Δωρικῶς.

Φαντίζοιτο, φαίνοιτο.

Φάντος, εἰπόντος, ἢ πλάτανος φανωτάτη, περιφανὴς, λαμπρά.

Φανῶ, ἀποδείξω.

Φάο, προστακτικὸν, φάο μὴ δ' ἐπισκεῦθε. ζήτει τὸ φάο γινόμενον ἐκ τοῦ φάτο ἐνδείᾳ τοῦ τ.

Φαορκὶς, τρυγίς.

Φάος, πᾶσι παρέξω, ἀντὶ τοῦ ἐγγὺς ἔξω. οὗ ἐναντίον τὸ ἀφέξω, ἀντὶ τοῦ παρεκτὸς χήσω. καὶ φάος, τὸ φῶς, τὸ φᾶ βραχύ. καὶ φάρος ὄνομα φάρος δὲ τὸ ἱμάτιον ἐνίοτε μὲν μακρὸν, ἐνίοτε δὲ βραχὺ, ὡς τὸ καλὸν τὸ ἴσον, τὸ ἀνὴρ, τὸ ὕδωρ, τὸ ἀὴρ, τὸ Ἄρης. ὡς δείκνυται ἐν τῷ ἄρες βροτολοιγέ. τὸ ἡμῖν, καὶ ἕτερα.

Φάπην, τὴν Παφίην.

Φάραγξ, κοιλὰς ὀρεινὴ, καὶ τὸ ἀπόσχισμα τῆς γῆς. ὃ τὸ παρεμπίπτον ὕδωρ πίνει, καὶ τὸ τῆς γῆς βάραθρον, ὃ ἐὰν εἰς αὐτὸ ὕδωρ ἐμπέσῃ, ἀφανὲς ποιεῖ. εἰς ἄδηλον γὰρ τὸ ὕδωρ καταναλίσκεται.

Φαρετραῖον, τῆς φαρέτρας τὸ κάλυμμα.

Φάραι, ὑφαίνειν, πλέκειν.

Φαραιδάκη, μυρίκη.

Φάραγμα, φραγμός.

Φαρέεσι παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ φωτισμοῖς.

Φαρέτρα, ἡ φέρουσα τὰ τιτρώσκοντα, ὅ ἐστι βλάπτοντα. καὶ ἰοδόχος Ἰωνικῶς, ἡ δεχομένη τοὺς βλάπτειν δυναμένους ἰούς. παροξύνεται δὲ ἰοδόχος, καθὰ καὶ τὸ ξενοδόχος. ἐνεργητικὸν γάρ ἐστι, καὶ οὐ πάθος δηλοῖ. Ὁμήρου δὲ εἰπόντος, οἱ μεθ' Ὅμηρον καὶ ἰοστόχον φαρέτραν συνέθεντο, πρὸς ἀναλογίαν ἴσως τοῦ πολιούχου, καὶ ἑστιούχου.

Φαρέτρα λέγεται, τὸ οἰστοδόχον ὅπλον, ἐν ᾧ δηλαδὴ βάλλονται τὰ βέλη. λέγεται δὲ φαρέτρα, παρὰ τὸ φέρειν τὰ τρῶσαι δυνάμενα.

Φαρετρεὼν, τοξότης.

Φάρη, ἱμάτια, νεφέλαι.

Φάρην, ὁ τὰ ἐθνικὰ γράψας διὰ τοῦ ι εἰδέναι φαίνεται. ὡς ἀπὸ τῆς στοιχειακῆς ἀκολουθίας. τὰ δὲ πλείω τῶν ἀντιγράφων, διὰ τοῦ η γράφουσι. καὶ ἔχει τοῦτο λόγον ἐκ τοῦ ἐθνικοῦ. ὡς γὰρ Σπάρτη. Σπαρτιάτης, οὕτω Φάρη Φαριάτης.

Φάρικον, φάρμακον σύνθετον θανάσιμον.

Φαρινὸν, τὸ ἐρεοῦν.

Φάρις, ὄνομα πόλεως.

Φαρκάζει, κλέπτει.

Φάρκες, νεοσσοί.

Φαρκιδῶδες, ῥυτιδῶδες, παρὰ τῷ Ἱπποκράτει.

Φαρκιδούμενοι, συνάζοντες.

Φαρκὶς, ῥυτὶς ἡ ἐκ τοῦ γήρως γινομένη. ἢ ῥίζα πρὸς ῥυτίδας ποιοῦσα, ἢ στολίς.

Φάρκτα, φυλακὴν σκεύαζε.

Φάρμακα μητιόεντα, ἢ τὰ κατὰ σύνθεσιν εὑρημένα, ἢ τὰ δραστικὰ, καὶ ὡς εἰπεῖν μέρμηρα. τουτέστι, βουλῆς δεόμενα εἰς ἀποφυγήν.

Φάρμακα, ἀντὶ τοῦ βαφὰς λέγουσιν Ἴωνες.

Φάρμακα, τὰ θεραπεύοντα καὶ τὰ φθείροντα, φάρμακα καὶ τὰ χρώματα. φαρμακεία δὲ ὡς ἐπὶ πολὺ, ἡ διὰ δηλητηρίου τινὸς γενομένη βλάβη. γοητεία δὲ, τὸ ἐπὶ ἀνδρός. φαρμακὶς ἐπὶ γυναικός. καὶ ἄλλως. φάρμακον, μέση λέξις ἐπί τε μὴ ἀγαθοῦ λαμβανομένη, παρὰ τὸ φέρειν ἄχος, καὶ ἐπὶ ἀγαθοῦ, παρὰ τὸ φέρειν ἄκος.

Φαρμακεύεται, σκευάζεται, ἀρτύεται.

Φαρμακίδας γυναῖκας, τὰς Θετταλὰς καλοῦσιν. ὅτι διαβάλλονται οἱ Θετταλοί. ὡς καὶ μέχρι τοῦ νῦν, φαρμακίδες αἱ Θετταλαὶ καλοῦνται. φασὶ δὲ, ὅτι Μήδεια φυγοῦσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ, καὶ ἐνέφυσαν.

Φαρμακίδες, ὡς μεμύθευται, τὴν σελήνην ταῖς ἐπῳδαῖς κατασπῶσι. τοῦτο δὲ ποιεῖν δοκοῦσιν αἱ Θετταλαὶ, σφαλῆσαι τῆς ὑπολήψεως. καθὸ Ἀγλαονίκη Ἡγεμόνος θυγάτηρ ἔμπειρος οὖσα τῆς ἀστρολογίας, καὶ εἰδυῖα τὰς ἐκλείψεις τῆς σελήνης, ὁπότε μέλλοιεν γενήσεσθαι, ἔφασκε τὴν Θεὸν κατασπᾶν, καὶ παραχρῆμα περιέπιπτε συμφοραῖς τῶν οἰκείων τινὰ ἀποβάλλουσα, καὶ δίκην δοῦσα τοῦ ἁμαρτήματος. ὅθεν κατὰ τὸν βίον λέγεται παροιμία ἐπὶ τῶν συμφοραῖς κεχρημένων, ὅτι τὴν σελήνην κατασπᾷ.

Φαρμακὶς, ἐπὶ γυναικὸς φαρμακίδος. καὶ εἶδος φαρμάκου, ἢ ἀκρίς.

Φάρμακοι, καθαρτήριοι. οἱ περικαθαίροντες τὰς πόλεις, ἀνὴρ καὶ γυνή.

Φαρμακὴ, ἡ χύτρα, ἣν ἡτοίμαζον τοῖς καθαίρουσι τὰς πόλεις.

* Φάρμακον, παραμυθία. ὁμιλία. θεραπεία. εἴρηται ἀπὸ τοῦ φέρειν ἅμα ἄκος. ἢ εἴρηται ἀπὸ τῶν ἀνθέων.

Φαρμακὸς ἀνὴρ παρὰ Ἀθηναίοις, ὁ μάγος, καὶ φαρμακὶς γυνή. καὶ φαρμακὸς, ὁ τὸ δηλητήριον διδούς.

* Φαρμακὸς, ὁ ἐπὶ καθαρμῷ τινι πόλεως ἀναιρούμενος, ὃν λέγουσι κάθαρμα.

Φαρμάκων τρεῖς ἰδέαι παρ' Ὁμήρῳ. ἐπίπαστα, ὡς ἐπὶ Μενελάου ὥς περ ἤπια φάρμακα εἰδὼς, πάσσεν ὁ Μαχάων. καὶ χριστὰ, οἷον ἰοὺς χρίεσθαι. καὶ ποτιστὰ κατὰ τὸν Αἰσχύλον, τουτέστι ποτὰ ἢ πότιμα. ὡς ἐπὶ Ἑλένης ἐν Ὀδυσσείᾳ, τῷ κρατῆρι ἀναμιγνύσης φάρμακα. ἐκ δὲ τῆς τοιαύτης λέξεως, οὐ μόνον τὸ φαρμακεύειν ἰατρικὴ λέξις, ἀλλὰ καὶ φαρμάσσειν, τὸ στομοῦν σίδηρον ἐκ βαφῆς. καὶ τὸ ἁπλῶς βάπτειν, καὶ τὰ βαφεῖα φαρμακῶνες, παρὰ τοῖς παλαιοῖς. οἶδε δὲ καὶ τρεῖς βελουλκίας Ὅμηρος, ἐκτομὴν ἐπὶ Εὐρυπύλου, καὶ διωγμὸν ἐπὶ Διομήδους, καὶ ἐξολκὴν ἐπὶ Μενελάου.

Φαρ-

Φαρμάξαι, ὀξῦναι, βάψαι.

Φαρμάξας, ἀποστήσας, γοητεύσας, ἰατρεύσας. ῥητορική.

Φαρμάξασα, ἀπατήσασα.

Φαρμάσσειν παρ' Ὁμήρῳ, οὐ μόνον τὸ βάπτειν, ὅθεν καὶ φαρμακῶνες τὰ βαφεῖα, ἀλλὰ τὸ στομοῦν καὶ στερροποιεῖν. στομοῦται γὰρ σίδηρος ταύτῃ τῇ βαφῇ. φησὶ γοῦν ὕδατι ψυχρῷ βάπτει φαρμάσσων.

Φαρματτόμενος, κολακευόμενος, ἀλειφόμενος.

* Φαρμουθὶ παρ' Αἰγυπτίοις μήν. ὁ κατὰ Ῥωμαίους Ἀπρίλλιος.

Φαρνάκης, στρατηγὸς Περσῶν, Φαρναβάζου υἱός.

Φᾶρος, ἐσθὴς, καὶ ἱμάτιον, ταυτόν. πλὴν ὅτι τὰ μὲν εἰσὶ κοινὰ, τὸ δὲ φᾶρος ποιητικόν. λέγονται δὲ ταῦτα ἐπὶ τοῦ ἁπλῶς ἐνδύματος. χλαῖνα δὲ περιβεβλημένον ἔνδυμα. καὶ ἐπάνω πάντων τῶν ἄλλων, εἴτε παχεῖά ἐστιν, εἴτε λεπτή. καὶ ἀπὸ λεπτῶν ἐρίων. χιτὼν, τὸ ὑπὸ χλαίνῃ ἱμάτιον, τριβώνιον δὲ καὶ ῥάκος, τὸ τετριμμένον. φᾶρος, τὸ ἁπλῶς ἔνδυμα. ἰστέον ὅτι παρ' Ὁμήρῳ καὶ τὸ ἐπιτιθέμενον ἐν κλίνῃ, χλαῖνα λέγεται. ὡς τὸ, ἐπὶ δὲ χλαῖναν βάλε κοιμηθέντι.

Φᾶρος, ἢ τὸ ἁπλῶς ὕφασμα παρὰ τὸ τῇ ὑφῇ ἀρηρέναι. διὸ καὶ προπερισπᾶται, διὰ τὴν συναίρεσιν, ἀνάπαλιν πρὸς τὸ τοπικὸν, ἢ τὸ ἁπλῶς ὑφαινόμενον, ὡς γενέσθαι ὕστερον δι' αὐτοῦ φάρος, εἴτουν ἱμάτιον. καὶ φᾶρος ἔδειξε παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ω, ἢ ἀντὶ τοῦ ἡλίῳ ἔφηνεν, ἢ εἰς φῶς ἤγαγε.

Φαροῦν, ἀροτριᾶν.

Φάρσαλος, πόλις Θεσσαλίας.

Φάρσος, τρύφος, κλάσμα πτερύγιον, ἀκρωτήριον.

Φάρυγξ ἐστὶν, ὁ ἐκ τοῦ ἔμπροσθεν. ὁ δὲ στόμαχος, ἐκ τοῦ ὄπισθεν, προσπεφυκὼς τοῖς τοῦ τραχήλου σπονδύλοις. καὶ ὁ μὲν φάρυγξ, ἐμφύεται εἰς τὸν πνεύμονα· ὁ δὲ στόμαχος, εἰς τὴν κοιλίαν. μεταξὺ δὲ φάρυγγος, καὶ γλώσσης, ἐπιγλωττὶς, ἐπιπωματίζουσα τοῦ φάρυγγος τὸ στόμα. Ποσειδώνιος δέ φησι κατὰ ῥοπὴν τῆς τροφῆς, σκέπεσθαι ὑπὸ τῆς ἐπιγλωττίδος τὸν βρόγχον.

Φαρύγαθον, ὁ κατὰ τὰ παρίσθμια τόπος.

Φαρυγγίδα, ἀντὶ τοῦ γαστριμαργίαν.

Φαρυμὸς, τολμηρὸς, θρασύς.

Φαρύνει, λαμπρύνει.

Φαρῶ, τὸ ἀροτριῶ. ἀπὸ τοῦ ἀρῶ, πλεονασμῷ τοῦ φ.

Φάσγανον, παρὰ τὸ σφάζω φάσγανον. καὶ ὑπερθέσει. ἢ σπάγανόν τι ὂν, παρὰ τὴν σπάσιν. ἢ παρὰ τὸ φᾶσθαι, ὅ ἐστι φονεῦσαι.

Φᾶς, εἰπών.

Φάσακες, συκοφάνται.

Φᾶσθαι ἶσον ἐμοὶ, ἤγουν ἰσῶσαι τοὺς ἑαυτοῦ λόγους τοῖς ἐμοῖς κατὰ πρόσωπον. καὶ ἑαυτὸν ὅμοιον ἐμοὶ ποιῆσαι παρ' Ὁμήρῳ.

Φᾶσι, δοτικὴ μετοχῆς, βαρύνεται. φασὶ ῥῆμα ὀξύνεται, ἡ μὲν μετοχὴ βαρύνεται. ἐπειδὴ πᾶσα δοτικὴ πληθυντικὴ εἰς ι λήγουσα, δισύλλαβος ἀνεπίκτατος, ἐπὶ μὲν ὀνομάτων ὀξύνεσθαι θέλει, οἷον βουσὶ, Τρωσὶ, πλὴν τοῦ πᾶσιν. ἐπὶ δὲ μετοχῆς βαρύνεσθαι. οἷον, δοῦσι, βᾶσι, στᾶσιν. οὕτως οὖν καὶ τὸ φᾶσι.

Φασιανοὺς οἱ μὲν ἵππους λέγουσιν, οἱ δὲ ὄρνεα, ἔνιοι ἵππους, χάραγμα ἔχοντας φασιανοῦ, ὡς ἀλεκτρυόνος. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ καταψευσάμενον, οἰκεῖον ἂν τῇ τοῦ νεανίσκου σπουδῇ. οἱ δὲ περὶ Ἀρχῖλον, ὀρνέων γένος. οἱ δὲ ὅτι φᾶσις ποταμός ἐστι Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται.

Φασίμη, κύλιξ. παρὰ τὴν φάσιν, τὴν ἔνδειξιν.

Φάσις, λέγεται μὲν καὶ ἐπὶ δημοσίου ἐγκλήματος, ὁπόταν τις ἀποφύγῃ τῶν δημοσίων ἔχοντά τινα μὴ πριάμενον. λέγεται δὲ καὶ ἐπὶ τῶν ὀρφανικῶν οἴκων. ὅταν γὰρ μὴ ἐκμισθώσειεν οἱ ἐπιτροπεύομενοι τὸν οἶκον, ἔφαινεν αὐτοὺς ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα, ἵνα μισθωθῇ. ἔφαινε δὲ καὶ εἰ ἐλάττονος, ἢ κατὰ τὴν ἀδείαν, ἐμεμίσθωτο.

Φασιανοὶ, ἀλεκτρυόνες, καὶ ὄρνεις τινές.

Φάσις, ὄνομα δίκης οὕτω καλουμένης. ἔστι δὲ καὶ ποταμὸς Κόλχων.

Φασκάδες, ὄρνεις ποιοί.

Φάσκει, λέγει. φάσκοντες, λέγοντες. φᾶσθαι, λέγειν. φασὶ, λέγουσι.

Φάσκειν, ἀγορεύειν, εἰπεῖν, εἰρηκέναι, ὁμοίως εἰσὶ νοημάτων δηλωτικά.

Φάσκος, τὸ ἐπὶ τῶν δρυῶν γινόμενον.

Φασκώλιον, δερμάτινον βαλάντιον, οἷον θυλάκιον. καὶ φάσκελος, ἡ ἱματιοφορὶς, ὥς φησιν Αἴλιος Διονύσιος.

Φάσμα, τὸ φάντασμα, τὸ σῆμα. εἴρηται δὲ παρὰ τὸ φαίνειν καὶ δηλοῦν.

Φασσοφόνῳ, τῷ τὰς φάσσας φονεύοντι. ἔστι δὲ εἶδος περιστερᾶς, ὑπὸ τὴν τρυγόνα.

Φάσσωνας, τὰ λαίφη, τὰ ἄρμενα, παρὰ τὸ φῶ τὸ λαμπρύνω. λευκὰ γάρ. ἢ παρὰ τὸ φυσᾶσθαι ὑπ' ἀνέμων, φύσσωνες, καὶ φάσσωνες.

Φατὲ, λέγετε.

Φάτης, ψεύστης.

Φατίζει, λέγει, χωρίζει.

Φατνεῖς, εἶδος ὀρχήσεως.

Φάτις, ἡ φήμη. ἀπὸ τοῦ πέφαται, ὡς ἀπὸ τοῦ πέφασαι, ἡ φάσις. καὶ ἐκ τοῦ πέφαμαι, ἡ φάμα Δωρικῶς, καὶ ἡ φήμη κοινῶς.

Φάτνη, παρὰ τὸ φαγεῖν γίνεται. ὥσπερ αὖ ἡ κάπη, ἐκ τοῦ κάπτειν, ὅπερ ἐστὶν ἐσθίειν, οἷον ἱππείησι κάπησι. χρῆσις δὲ τοῦ κάπτειν, παρὰ τῷ Κωμικῷ. ἐνέκαψε γάρ φησιν ἐκεῖνος.

Φάτνης τὸ πρωτόθετον, τὸ φαγεῖν, ἢ τὸ πάσασθαι κατὰ τοὺς παλαιοὺς, ὅ ἐστι γεύσασθαι. ὅθεν φατνωτόν φασι, τὸ σανιδωτόν. καὶ φατνώματα, τὰ διγλυφα σανιδώματα τῆς στέγης.

Φατνωτὸν, τὸ σανιδωτόν. φατνώματα, σανιδώματα, στέγη διάγλυφα.

Φατοὶ, τεθνεῶτες, ῥητοί.

Φατὸς, στοίβη, φήμη.

Φάω, φημὶ τὸ λέγω. σημαίνει καὶ τὸ φωνῶ, ὁ μέλλων φήσω. ὁ δεύτερος ἀόριστος ἔφην, ὁ μέσος ἐφάμην, ἔφασο, καὶ ἔφαο. ὅθεν καὶ Ἰωνικῶς τὸ προστακτικὸν φάο, τὸ τρίτον ἔφατο, καὶ συγκοπῇ φάτο, τὸ ἀπαρέμφατον φᾶσθαι.

Φατρία. σύνταγμα, ὅρος, οἷον πατρία. ὅταν ἀφ' ἑνὸς καὶ εὐγενοῦς ἀνδρὸς, ὡς πατρὸς κατὰ διαδοχὰς ἐπέκτασιν λάβῃ τὰ γένη, ὥστε ἐπί τινα ἀναφέρεσθαι, ὡς Ἡρακλεῖδαι. καὶ Ἀχαιμενίδαι, ἀπὸ Ἀχαιμένου παρὰ Πέρσαις.

Φάτριν, τόπον ὕπαιθρον ἐρείπιον, φάνα.

Φαῦδαι, γένη Σκυθῶν.

Φαύειν, ποιεῖν.

Φαύζειν, φρύγειν.

Φαυλίζει, καταπτύζει, ἐξουδενεῖ.

Φαυλία, ἡ κότινος. καὶ ἁπλῶς, εἶδος ἐλαίας.

φαυλίζω, ἐνεμέσιζε δὲ, καὶ ἀπεφαύλιζε τὰ λεγόμενα.

Φαύλια μῆλα, τὰ μεγάλα.

Φαυλίον, ἁδρὸν, καλόν.

Φαῦλιξ, ὀρθός.

Φαύλιος, σικελικὸς Θεός.

Φαυλίστρια, ἡ καταγελῶσα.

Φαῦλος, ἄριστος δρομεὺς, ὀλυμπιονίκης, ὁπλιτοδρόμος, περιώνυμος, ὃν ἐκάλουν ὀδόμετρον, ἦν δὲ καὶ πένταθλος. ἀφ' οὗ καὶ ἐπίγραμμα τοιόνδε. πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε φαῦλος, δίσκευσε δ' ἑκατὸν, πέντ' ἀπολειπομένων. ἐγένετο δὲ καὶ ἕτερος ἀθλητὴς ὀγδόην ὀλυμπιάδα νικήσας, καὶ τρίτος λωποδύτης. μέμνηται δὲ τούτου Ἀριστοφάνης.

Φαῦλον, τὸ κακὸν, καὶ τὸ εὐτελὲς, καὶ μικρὸν, καὶ οὐδαμινόν. φλαῦρον δὲ μόνον τὸ κακόν. καὶ φαῦλον λέγομεν τὸν κακόβιον, καὶ πονηρὸν ἄνδρα, τὸν διαστελλόμενον πρὸς τὸν σπουδαῖον.

Φαῦλος ἐπὶ θηλυκοῦ κάλλιον, ἢ φαύλη. Φιλόστρατος, οὐ φαύλου συνέσεως.

Φαύλως, ἀχρεῶς, μετὰ ῥαστώνης. δηλοῦνται δὲ ἐκ τῆς λέξεως καὶ τὸ ἁπλοῦν, καὶ τὸ κακόν. Ἀριστοφάνης, ὧδε φαύλως.

Φαῦνος, φαίνων αὐτόν.

Φαυὸν, ἀκανθῶδες φυτόν.

Φαυφόροι, Αἰολεῖς, ἱέρειαι.

Φαῦρος, κοῦφος.

Φαύσκω, ἀντὶ τοῦ φάσκω. καὶ μετὰ τοῦ ρ, φραύσκω Αἰολεῖς λέγουσι.

Φαύσιγγες, οἱ ἐκ τοῦ πυρὸς ἐν ταῖς κνήμαις σπῖλοι. οὕτως Ἀριστοφάνης, δηλοῦσι δὲ καὶ αὐγὰς, καὶ ἀκτῖνας. ἄλλοι δὲ, αἱμορροΐδας, καὶ φλυκταίνας, καὶ λαμπηδόνας.

Φαῦσις, φῶς, φέγγος, φωταυγία.

Φαῦσμα, σπλάγχνα ἐκ σίτων πεποιημένα. καὶ αἱ ἀπαρχαὶ τῶν πεμμάτων.

Φάων, τῶν εὐμόρφων.

ΤΟ Φ. ΜΕΤΑ ΤΟΥ Ε.

ΦΕ'βεσθαι, καὶ τὸ φοβεῖσθαι, ἀντὶ τοῦ φεύγειν ἀεὶ κεῖται παρὰ τῷ Ποιητῇ. ὡς τὸ ἀτυζόμενοι φοβέοντο.

Φέγγεται, καταλάμπεται. Ἀριστοφάνης, φλογὶ φέγγεται λειμών. ὅθεν καὶ φέγγος.

Φέγγος, φῶς ἡμέρας. φέγγος σελήνης.

Φεὰ πόλις περὶ τὴν Ἦλιν, περὶ ἣν Ἰάρδανος ῥέει ποταμός. λέγεται καὶ Φειὰ πόλις Ἠλείας, ἣν Ὅμηρος μετὰ τοῦ ι γράφει, φειᾶς πὰρ τείχεσι. τὸ δὲ ἐθνικὸν ταύτης, φιεὺς καὶ φιάτης, καὶ φιαῖος.

Φειδαλφιτῆσαι, φειδωλὸν περὶ τὰ ἄλφιτα γενέσθαι.

Φείδεσθαι, ἐλεεῖν.

Φειδικόμισος, ἡ διὰ μαρτύρων πίστις.

Φειδιππίδιον, παρὰ τῷ Ἀριστοφάνει, τὸ ὑποκορίζεσθαι φιλούντων ἔθος. κολακεύει δὲ νῦν τὸν υἱὸν, καὶ προσποιεῖται φιλεῖν ὁ Στρεψιάδης.

Φείδομαι, παρὰ τὸ φεύγειν τὸ δῦναι. ἢ παρὰ τὸ φεύγομαι φεύδομαι, καὶ τροπῇ τοῦ υ εἰς ι φείδομαι.

Φείδοντο κέντρων οὐδέν. ἤγουν οὐδαμῶς ἐφείδοντο. φείδομαι, τὸ ἀκριβολογοῦμαι καὶ ὑποστέλλομαι, καὶ ἐλεῶ. ὅθεν φειδωλός.

Φειδωλὴ, ἡ φειδὼ ἐρρέθη, γενομένη ἐκ τοῦ φειδὼ κατὰ πρόσληψιν συλλαβῆς, ὁμοίως τῷ τερπωλὴ, καὶ παυσωλή. καὶ ἔστιν αὕτη μὲν μονογενής. ἡ δὲ φειδὼ, χεὶρ, ἢ ψυχὴ, ἢ γνώμη, ἔχει καὶ ἀρσενικὸν γένος καὶ οὐδέτερον.

Φειδώλιον, δίφρος, σφέλας, χόρτος.

Φειδωλὸς, παρὰ τὸ φείδομαι, καὶ τὸ δοῦμαι, φειδωδός τις ὢν, καὶ τροπῇ τοῦ δ εἰς λ φειδωλὸς, φειδόμενος κνιπός.

Φείδων, ὄνομα κύριον.

Φειδὼ, πρόνοια, φεισμονὴ, εὐσπλαγχνία. σημαίνει δὲ καὶ τὴν φροντίδα.

Φεῖσαι, ῥῦσαι, σῶσαι.

Φεισὼν, ποταμὸς Παραδείσου, ὃ ἑρμηνεύεται στόμα κόρης. παρὰ δὲ Ἕλλησι Γάγγης.

Φελλέα. τὰ πετρώδη καὶ αἰγίβοτα χωρία, φελλέας ἐκάλουν. Κρατῖνος ὥραις, καὶ Ἀριστοφάνης νεφέλαις.

Φελλεῖς ἔλεγον Ἀττικοὶ, τοὺς πετρώδεις τόπους, οἵτινες κάτωθεν μέν εἰσι πετρώδεις, ἐπιπολῆς δὲ ὀλίγην ἔχουσι γῆν.

Φελλέως, Ἀριστοφάνης ἐν νεφέλαις, ἐκ τοῦ Φελλέως. τόπος οὕτω καλούμενος ἐν Ἀττικῇ, οὐ μὴν ἀλλὰ καὶ περὶ τὸν Διόνυσόν ἐστι τὶς ἑορτὴ τοῖς Ἀθηναίοις, Φέλλως καλουμένη, ἥτις τῶν Διονυσίων ἄρχεται. Λουκιανὸς δὲ ἐν τῷ περὶ τῆς συρίης Θεοῦ, φαλλούς φησιν Ἕλληνες τῷ Διονύσῳ ἐγείρουσιν, ἐπὶ τῶν καὶ τοιόνδε τι ἄνδρας μικροὺς, ἐκ ξύλου πεποιημένους μεγάλα αἰδοῖα ἔχοντας. καλέεται δὲ τάδε νευρόσπαστα.

Φελόνης, εἰλητὸν τομάριον βέμβρανον, ἢ γλωσσόκομον, ἢ χιτώνιον.

Φελγυνεῖ, ἀσωτεύει, ληρεῖ.

Φελλὸς, ὄρος ἐστὶν ἐν Ἰταλίᾳ, ἐν ᾧ γίνονται πεῦκαι ὑπερμεγέθεις. ἐκ τούτων τῶν δένδρων γίνεσθαι τοὺς φελλοὺς, οἷς κέχρηνται πρὸς κουφισμὸν τῶν σωμάτων.

Φελλίνιοι, ὀροβάκχαι.

Φελλίνας, κοῦφος, ἀπὸ τοῦ φελλοῦ.

Φελλεὺς, σκληρὸς, καὶ πετρώδης τόπος.

Φελλάντας, λίθος σκληρὸς ἀπὸ τόπου.

Φελεῦρον, ἐπιπλέον.

Φενάκη, τὸ προκόμιον, οἷον τοῦ φαινομένου κρανίου τὸ ἄκος, καὶ σκέπη. φενάκη δὲ κυρίως, ἡ προσθετὴ καὶ ἐπιτηδευτὴ κόμη, ἀπὸ τῶν κατερρυκιῶν γυναικῶν καὶ οὕτως ἐπαπατησῶν διὰ τὸ ἐπείσακτον τῆς κόμης.

Φενακίζω, τὸ ἐξαπατῶ. φενακισμὸς, καὶ φέναξ, ὁ ἐξαπατῶν, λογογράφοι. φενάκη δὲ ποιητικώτερον.

Φενακισθέντες, χλευασθέντες, ἀπατηθέντες.

Φενακισμοῖς, ἀπατήμασι.

Φενεὸς κατὰ τὸν ἀναγραψάμενον τὰ ἐθνικὰ, πόλις Ἀζανίας. μέρος δὲ Ἀρκαδίας οἱ Ἀζᾶνες. λέγεται φησὶ καὶ ἀρσενικῶς ὁ Φενεός. κεῖται δὲ, ὑπὸ τὸ ὄρος τὴν Κυλλήνην. ὁ δὲ Γεωγράφος λέγει, ὅτι περὶ ταύτην Στυγὸς ὕδωρ. Ἡρόδοτος δέ φησιν, ὅτι Νώνακρις πόλις Ἀρκαδίας, ἔνθα λέγεται τὸ τῆς Στυγὸς ὕδωρ, ὀλίγον φαινόμενον στάζον ἐκ πέτρας εἰς ἄγκος. καὶ σημείωσαι ὅτι οὐ διαφωνοῦσιν αἱ ἱστορίαι. Ἀρκαδικὴ γὰρ μοῖρα καὶ ἡ Ἀζανία. καὶ ὁ Φενεὸς, καὶ ἡ Νώνακρις.

Φεννίον, ἡ μηδικὴ ὁδός. Παμφίλιοι.

Φενίς, παιδιὰ διὰ σφαίρας γινομένη. ἐστὶ καὶ φενίνδα, ἀπὸ τοῦ φενακίδα, κατὰ συγκοπὴν ἀπὸ τῆς ἀφέσεως τῶν σφαιριζόντων, ἀπὸ τοῦ φενακίζειν ἐν τῷ ῥίπτειν, καὶ μὴ ῥίπτειν ἐκεῖσε, ἀλλ᾽ ἑτέρωσε. ἢ ἀπὸ Φενεστίου τοῦ εὑρόντος αὐτήν.

Φέννος, θάνατος, ἐνιαυτός.

Φεραὶ, ὠνομάσθησαν, ἀπὸ Φέρητος υἱοῦ Κρηθέως τοῦ Ἀδμήτου πατρός. ἢ ἀπὸ Φερᾶς θυγατρὸς Αἰόλου. δύο δὲ ἦσαν Φεραὶ, ἡ μὲν ἀρχαία, ἡ δὲ νέα, διέχουσαι ἀλλήλων σταδίους ὀκτώ. εἰσὶ δέ φασι καὶ ἕτεραι τρεῖς Φεραὶ, Ἰαπυγίας, Αἰτωλίας, καὶ Παρθυαίων.

Φεραυγὴς, παμπόλαμπρος, ὁ φέρων τὴν αὐγήν.

Φέρβεται, βιβρώσκει, καταναλίσκει, παρὰ τῷ Ἱπποκράτει.

Φέρβω, ἐπὶ ἀλόγων. ὡς τὸ ἐσθίειν καθάπερ εἴρηται. διὸ καὶ φορβάδες ἵπποι, κοινότερον ἀπ᾽ αὐτοῦ. καὶ φορβὴ, ἡ τούτων τροφή. ἐπεὶ καὶ φορβὰς γῆ παρὰ Σοφοκλεῖ. καὶ φορβὰς δὲ γυνὴ κωμικῶς, ἡ πολλοῖς ὁμιλοῦσα, τροφῆς χάριν. προϋπάρχει δὲ ὥσπερ τοῦ φερεσβίου τὸ φέρειν βίον. κατὰ τὸ ῥᾶστα τὸν βίον φέρειν. οὕτω καὶ τοῦ φέρβειν, ζωογόνον γὰρ ἡ φορβὴ, ὡς προσφερὴς καὶ αὐτὴ βίῳ, ἧς παράγωγον κατά τινας καὶ ἡ φορβεία, ἤγουν τὸ περιστόμιον, καὶ τὸ στόμιον. ῥωμαϊκῶς δὲ εἰπεῖν, καπίστριον. ἵνα ἢ ὥσπερ ἀρὴ ἡ ἀπειλὴ, καὶ ἐπενθέσει τῆς ει διφθόγγου ἀρειὴ, οὕτω καὶ φορβή. ὅθεν παρὰ τῷ Κωμικῷ ἐμπεφορβειωμένος. οὐ χρὴ ἀγνοεῖν, καὶ ὅτι τὴν φορβειὰν οἱ παλαιοὶ καὶ παρὰ τὸ φέρειν βίον φασίν, ὀξυτόνως δὲ ἡ φορβὴ, κανόνι τοιούτῳ. τὰ εἰς η λήγοντα θηλυκὰ μετὰ συμφώνου τοῦ ο παραληγόμενα, ὀξύνεται ἐὰν ἀπὸ τοῦ ῥήματος γίνηται μὴ τῷ ο μόνῳ παραληγομένου, οἷον στρέφω στροφὴ, τρέπω τροπὴ, ῥέπω ῥοπὴ, σπονδὴ, νομὴ, ὁλκὴ, πλοκή. οὕτω καὶ φορβή. καὶ πόρπη, παρὰ τὸ πείρω γίνεται, ἅπερ οὐ τῷ ι παραλήγεται. διὸ καὶ βαρύνεται.

Φερεὰ Ἀθήνησι, ξενικὴ Θεός. οἱ δὲ τὴν Ἑκάτην.

Φέρε, καὶ τὸ δεῦρο, καὶ τὸ ἴθι, καὶ τὸ ἄγε, καὶ εἰς συμβουλευτικὰ ὑποτακτικὰ, καὶ εἰς προστακτικὰ συντάσσονται. Ἀριστοφάνης ἐν νεφέλαις, φέρ᾽ ἴδω τί ὀφείλω. ὁ αὐτὸς ἐν τῷ αὐτῷ, φέρε δή μοι φράσον. συνηγοροῦσιν ἐκ τίνων, καὶ πάλιν ἐν τῷ αὐτῷ, δεῦρ᾽ ἔλθ᾽ ἵνα κλάῃς. Πλάτων ἐν Γοργίᾳ, ἴθι δὴ καὶ τόδε ἐπισκεψώμεθα. καὶ πάλιν ἐν τῷ αὐτῷ, ἴθι δή μοι ἀπόκριναι. καὶ πάλιν, ἀλλ᾽ ἄγ᾽ ἐπειδὴ τοῦτ᾽ ἀπετελέσαμεν, ἀναμνησθῶμεν πόθεν δεῦρο ἐξετράπημεθα. τίθεται δὲ ἔστιν ὅτε τὸ ἄγε καὶ τὸ φέρε ἀσυντάκτως, ἐπιφερομένων ἐρωτήσεων. Πλάτων ἐν Γοργίᾳ, φέρε δὴ ῥητορικὴ περὶ τίνα τῶν ὄντων τυγχάνει οὖσα.

Φερέγγυος, ὁ βεβαιωτὴς παρὰ τοῖς Ἴωσι.

Φερέγγυοσος, φερέγγυος, ἀξιόπιστος, ἐγγυητὴς, φέρων τὸ βέβαιον, ἀσφαλής. φέρειν λέγεται, καὶ τὸ λαμβάνειν. καὶ μισθοφόρος, ἀπὸ τούτου.

Φέρειν χάριν, ἤγουν τὰ κεχαρισμένα ποιεῖν, Ἀττικόν ἐστι καὶ κοινόν. τὸ μέντοι εἰπεῖν φέρειν ἦρα, ἢ ἐπίηρα, ποιητικόν.

Φέρειν, λαμβάνειν, βαστάζειν, ὑπομένειν.

Φέρεκλος, τέκτονος υἱὸς Ἁρμονίδου. ὃς ὑπὸ Ἀθηνᾶς φησιν ἔξοχα φιλούμενος, χερσὶν ἠπίστατο Δαίδαλα πάντα τεύχειν. ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας ἀρχεκάκους. αἳ πᾶσι κακὸν ἐγένοντο Τρώεσσιν, οἷ τ᾽ αὐτῷ. ἰστέον ὡς φέρεται λόγος ὅτι Λακεδαιμονίοις λοιμῷ πιεζομένοις ἔχρησεν Ἀπόλλων, ἐξιλάσκεσθαι τὸν τοῦ Ταύρου, ἤγουν τὸν Ἰλιέων δαίμονα. Μενέλαος οὖν ἀφικόμενος εἰς Ἴλιον, ἐποίει τὸ προσταχθέν. κἀκεῖθεν συμπλεύσαντος αὐτῷ Ἀλεξάνδρου, συμπαραγέγονεν εἰς Δελφούς. καὶ αὐτὸς μὲν ἐζήτει χρησμὸν λήψεσθαι περὶ παίδων γενέσεως. Ἀλέξανδρος δὲ περὶ γυναικὸς ἐμαντεύετο. χρᾷ οὖν αὐτοῖς ἡ Πυθία, τίπτε δύο βασιλῆες, ὁ μὲν Τρώων, ὁ δ᾽ Ἀχαιῶν, οὐκ ἔθ᾽ ὁμαφρονέοντες ἐμὸν δόμον εἰσανέβητε; ἤτοι ὁ μὲν πώλοιο γόνον διζήμενος ἀνδρῶν, αὐτὰρ ὁ πῶλον ἑλεῖν, τί νεμήσῃ ὦ μεγάλε Ζεῦ. τοὺς δὲ μὴ νοήσαντας τὸ λόγιον, χωρισθῆναι. διὸ καὶ Ὅμηρός φησιν, ὅτι αἱ νῆες κακὸν ἐγένοντο τοῖς Τρωσί. καὶ τῷ ναυπηγησαμένῳ, ἐπεὶ οὔ τι Θεῶν ἐκθέσφατα ᾔδη. τὸν δὲ ῥηθέντα δηλαδὴ χρησμὸν, ἢ ἃ ὤφειλεν εἰδέναι. πυθέσθαι γὰρ ἐχρῆν καὶ μαθεῖν θεόθεν εἰ ναυπηγητέον. οἱ δέ φασιν, ὅτι θέσφατα λέγει ὧδε ὁ Ποιητὴς, τὸν χρησμόν. ὃς δοθεὶς τοῖς Τρωσὶν, ἐκέλευε ναυτιλίας μὲν ἀπέχεσθαι. γεωργίᾳ δὲ προσέχειν τὸν νοῦν, μή ποτε θαλάσσῃ χρώμενοι, σφᾶς τε αὐτοὺς, καὶ τὴν πόλιν ἀπολέσωσι.

Φέρενα, οὕτω κατὰ διάλεκτον. οἱ γὰρ Αἰολεῖς λέγουσι τὴν φερνὴν, φέρενα. ἴσως προφερέστερον παρὰ τὸ φέρειν. προῖξ γάρ ἐστιν. ἢν γὰρ ἠλογημένον τὸ φέρνιξ προῖξ, ἀπὸ τοῦ φέρειν ὄνησιν.

Φερέοικος, καὶ φέροικος, ὁ κοχλίας, καὶ ἡ χελώνη.

Φερέσβιος, ζωοποιός. ὡς φερέπονος.

Φέρεσθαι, ἀντὶ τοῦ βαστάζεσθαι εἴρηται κυριολεκτικῶς. οὕτω δὲ καὶ τὸ φέρων ἀντὶ τοῦ βαστάζων. ἄγεται μὲν γὰρ τὰ ἔμψυχα, φέρεται δὲ τὰ μὴ τοιαῦτα. ὧν καὶ ὁ φόρτος, καὶ ὁ γόμος παρά τε Ἀθηναίῳ καὶ ἄλλοις. ἔστι δὲ καὶ ὁ παρὰ τῷ Κωμικῷ ἐν τῷ καὶ τὸν φόρτον, ἐκφύγοιμεν ἂν, ἤγουν τὴν φορτικότητα. ὃς δὴ φόρτος ἔχει τι συγγενὲς πρὸς τὸ γῆς ἐπώσιον ἄχθος. ὁ μέντοι τῷ φορτηγός, ταυτίζεταί πως τὸ φέρειν καὶ τὸ ἄγειν. ἐπεὶ καὶ ἀγώγιμα καθαρῶς τὰ φορτία λέγονται.

Φέρεσκον, ἔφερον.

Φερέτρῳ, τῇ τῶν νεκρῶν κλίνῃ. παρὰ τὸ φέρειν κείμενον ἐν φερέτρῳ.

Φερεφάττα, Πλάτων μόνος Περσεφόνη, καὶ Φερσεφόνη οἱ λοιποί. περσέφασσα δὲ, ποιητικώτερον.

Φέρητος, ὄνομα κύριον.

Φέριστον, ἐξοχώτατον. ἢ ἀγαθὸν, βέλτιστον κράτιστον.

Φέρμια, ἃς ἔνιοι ἀστίλας, τὰς ἐκ σχοίνων πλεκομένας, καὶ ἰχθυηρὰ ἀγγεῖα, οἷον σπυρίδα.

Φερνὴ, ἡ τῆς γυναικὸς προῖξ, ἢ δωρεὰ γυναικὶ διδομένη. οἷον προθεὶς πατὴρ φερνάς. ἣν Ὅμηρος καὶ μείλια ἢ ἐπιμείλια λέγει, διὰ τὸ τὸν ἄνδρα μειλίσσειν, ἤτοι κατὰ μέλι γλυκαίνειν. ὥσπερ ἕδνα εἴρηται, παρὰ τὸ τὴν νύμφην ἥδειν ἡδανά τινα ὄντα. καὶ ἐν συστολῇ καὶ συγκοπῇ ἕδνα. ἰστέον, ὅτι Ἀρίσταρχος μὲν ἓν μέρος λόγου λαμβάνει τὸ ἐπιμείλια, ὡς τὸ ἐπιφέρνια. Ἀπολλόδωρος δὲ διαλύει λέγων, ἐπιδώσω μείλια. τὸ δὲ ἐπιμείλια κατὰ Ἡρόδωρον προπαροξύνεται. τὰ γὰρ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικὰ, εἰ ἔχει τὴν τρίτην ἀπὸ τέλους ἤτοι παραλήγουσαν φύσει μακρὰν, διὰ τοῦ ι ἐκφερομένην, ἢ μόνον ἢ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται, οἷον Ἴλιον, εἴριον, ποίμνιον, λήϊον. οὕτω καὶ μείλιον. σπάνια δὲ τὰ παροξύτονα, ὡς τὸ ἰνίον. τειχίον δὲ, καὶ κλειδίον, ὑποκοριστικά.

Φέρνια ἰχθύων σπυρίδες. Μένανδρος ὁ προσιὼν γέρων ἁλιεὺς, παρ᾽ οὗ τὸ φέρνιον τρίτην ταύτην ἑωριάμεθα ἡμέραν.

Φέροιεν, ἢ ἄγοιεν παρ᾽ Ὁμήρῳ, φανερὰν διαφορὰν δηλοῖ τοῦ ἄγειν καὶ φέρειν. λέγεται δὲ ὡς ἐπὶ τὸ πολὺ ἄγεσθαι μὲν τὰ ἔμψυχα καὶ βαδιστικά. φέρεσθαι δὲ τὰ βασταζόμενα, ὅθεν καὶ τὸ φοράδην ἐπίρρημα. καὶ φέρτερον τὸ νεκροφόρον κλινίδιον, καὶ ἐκφορὰ ἡ ταφή. καὶ φορεῖται, καὶ ἀναφέρειν, τὸ ἀνανήφειν. ἢ τὸ ἐναντίον καταφέρεσθαι. οἶδε καὶ ὁ κωμικὸς διαφορὰν τῶν δύο τούτων ῥημάτων, ἄγομαι, φέρομαι, τὰ χρήματα ἐνεχυράζομαι.

Φέρομαι, ἀντὶ τοῦ βασταζόμενος ἄγομαι. ἀποφέρομαι, ἀντὶ τοῦ ἀποβαλὼν φέρω, καὶ φέριστος ὑπερθετικόν. καὶ φέρει ἡ γῆ τόδε, ἤγουν ἀναφορεῖ κατὰ τόδε.

Φερόνικος, παρὰ τῷ Πινδάρῳ, ὄνομα ἵππου νικήσαντος. ὑμνεῖ γὰρ ὁ Πίνδαρος φερόνικον ἵππον τοῦ Ἱέρωνος.

Φέροντες κομίζομεν παρὰ Σοφοκλεῖ, ἤγουν ἁπλῶς βαστάζοντες διασώζομεν. τὸ γὰρ φέρειν ἐνταῦθα τὸ βαστάζειν. δηλοῖ δὲ τὸ κομίζειν, τὸ ἀπεσταλμένον διασώζειν.

Φερράσει, ἀποφέρει.

Φερσεφόνη, παρὰ τὸν φέρσω μέλλοντα. ἡ φέρουσα πάντα, καὶ φθείρουσα. ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ, ἡ τῆς Δήμητρος θυγάτηρ, ἡ φέρουσα τὸ ἄφενος, τουτέστι τὸν πλοῦτον, διὰ τὸν καρπὸν, ἀπὸ τοῦ φέρειν ὄνησιν. ἢ ἀπὸ τοῦ φθείρω φθέρσω, αἰολικοῦ ῥήματος.

Φερπάζει, φέρει.

Φέρτρον, νεκρικὸν φορεῖον. ἅπαξ δέ φασιν εἶπε τὴν λέξιν Ὅμηρος. κυριολεκτεῖται δὲ τῇ ἐτυμολογίᾳ, εἴγε τὸ φέρειν ἐπὶ ἀψύχου. ὅθεν καὶ ἀναφέρειν τὸ ἀπὸ παρανοίας ἀνασφάλλειν. καὶ εἴη ἂν φέρτρον ὁ νεκροφόρος σκίμπους. ἔοικε δὲ φερτήριον τετρασυλλάβως εἶναι τὸ ἐντελές. ἐξ οὗ συγκέκοπται τὸ φέρτρον, ὁμοίως τῷ θρεπτήριον, θρέπτρον. οἷον, οὐδὲ τοκεῦσι θρέπτρα φίλοις.

Φέρτερον, κρεῖττον ἢ ταχύτερον, ἀπὸ τῶν ἀχθοφόρων, καὶ ἀφαυρότερος.

Φέρτυς, Ἆθλος, Θύριοι.

Φέρω, σημαίνει τὸ βαστάζω τι ἐπὶ τῶν ὤμων. φέρω τὸ ὑπομένω καὶ ἀνέχομαι, καὶ φέρω τὸ κομίζω. συμπλακὲν προθέσεσιν ἕτερόν τι σημαίνει. καὶ φέρω ἀντὶ τοῦ φέρομαι, καὶ φέρω τὸ κέκτημαι. Εὐριπίδης, ἐν τούτῳ κάμνουσιν αἱ πόλεις, ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ, μηδὲν φέρηται τῶν κακιόνων πλέον. καὶ φέρει ἡ γῆ καρποὺς, ὅθεν εὐφορία. φέρω, ἄγω, καὶ ἐπάγω. καθὸ λέγεται ἡμέρα θάνατον ἢ βίον φέρειν. καὶ τὸ ὑπομένω, ἀφ᾽ οὗ συγκριτικὸν φέρτερος, ὁ μᾶλλον φέρειν δυνάμενος τὰ προσπίπτοντα. ὡς βέλτερος, ὁ μᾶλλον ἐπιβάλλων τοῖς πράγμασι. καὶ τὸ ὑπερθετικὸν βέλτιστος. καὶ ἀντιφερίζειν ἐξ ἐναντίας τῷ φέροντι τὸ ἴσον. καὶ ἰσοφαρίζειν, ἐπὶ τοῦ αὐτοῦ. ἤτοι ἀπὸ τῶν φερόντων ἐναντία ὅπλα. ἢ ἀπὸ τῶν ὑποζυγίων. καὶ ἰσοφόροι, οἱ τὸ ἴσον φέρειν δυνάμενοι.

Φερώνυμος, ἀληθεύων τῷ ὀνόματι.

Φέρω χάριν, ἤγουν χαρίζομαι. ὅπερ ἀλλαχοῦ λέγεται, ἦρα φέρειν.

Φέρω, μέλλων οἴσω, παρακείμενος ἐνήνοχα, ἀόριστος ἤνεγκα, καὶ ἀναφέρω. τὸ βαστάζω, ἐξ οὗ καὶ ἀνάφορον, τὸ κοινῶς λεγόμενον ἁμαξιμάριον, ἀπὸ τοῦ ἄνω φέρεσθαι. Ἀριστοφάνης, εἰ μὴ καθαιρήσει τις τἀνάφορον, ἀποπαρδήσομαι. ἀπὸ τούτου καὶ δυσανάφορος ὕπνος, ὁ δυσβάστακτος, ἀπὸ δὲ τοῦ φέρω, καὶ εὔφορος ζυγὸς ὁ ἐλαφρός. ᾧ ἐναντίον ὁ δύσφορος, καὶ δυσφορῶ ῥῆμα, τὸ βαρύνομαι. καὶ φέρει μέν τις βιβλίον, φέρεται δὲ ἐπί τινα πρᾶξιν. ἐκφέρει τις νεκρὸν, ἢ ψῆφον. ἐκφέρεται δὲ ὁ τοῦ δέοντος ἔξω φερόμενος. προσφέρει τίς τινι δῶρα. προσφέρεταί τις τινὶ πράως, ἢ τοὐναντίον. ὃ δὴ σημαίνει διάθεσιν, διαφέρει μὲν Ἥλιος Σελήνης. διαφέρεται δέ τις πρὸς ἀδελφὸν, περὶ πατρῴου κλήρου. ἐπὶ ἀψύχων, κυρίως τὸ βαστάζειν ἄγειν, ἐπὶ ἐμψύχων κομίζειν. φέρω σε εἰς τὴν πόλιν. ὑποφέρω δὲ ἀντὶ τοῦ ὑπομένω, αἰτιατικῇ μόνῃ. καταφέρομαι τοῦ ἐχθροῦ, γενικῇ. προσφέρω καὶ προσφέρομαί σοι, καὶ διαφέρομαι, καὶ ἀντιφέρομαι, τὸ ἐναντιοῦμαι, αἰτιατικῇ μόνῃ. ὑποφέρομαι δὲ κλέος, αἰτιατικῇ μόνῃ.

Digitized by Google

Φέρω, καὶ τὰ ἐξ αὐτοῦ κολλώμενα ταῖς ὅλαις προθέσεσιν. ἐκείνων γὰρ σὺν ἑτέροις πολλοῖς πρόεισιν ὁ ἐμφερὴς, ἤγουν ὅμοιος. καὶ τὰ ἐξ αὐτοῦ, καὶ τὸ εἰσφέρειν, ὃ κοινότερον εἰσοδιάζειν λέγεται. καὶ εἰσφορὰ, ἡ δημοσία συνεισφορά. καὶ τὸ ἐκφέρειν, ὃ καὶ ἐπὶ τοῦ θάπτειν ἐστὶν, ὅτε λέγεται. ὅθεν καὶ ἐκφορὰ, ἡ ταφή. ἐκφέρει δέ τις μυστήριον, ὅπερ ἐχρῆν εἶναι ἀνέκφορον. ταυτὸν δ' εἰπεῖν, ἀνέξοιστον. ἐκεῖθεν καὶ τὸ συμφέρον, ὅπερ ἐστὶ συνοῖσον, καὶ σύμφορον, καὶ μέση λέξις ἡ συμφορὰ, καὶ προσφέρειν. καὶ τὸ ἀπ' αὐτῆς πρόσφορον, καὶ ἡ προσφορά. καὶ προσφέρειν καὶ προσφορὰ, καὶ ἀναφέρειν καὶ ἀναφορά. καὶ ἀναφέρειν ἀπὸ μανίας ἢ κάρου, ὃ ταυτόν ἐστι τῷ ἐγρηγορέναι, ᾧ ἐναντίον τὸ καταφέρεσθαι. οὗ τὸ ἐνεργητικὸν ἔχει ποτὲ καὶ ψόγον ἐν τῷ καταφερὴς, ὅπερ ἐστὶ λάγνος. καὶ μὴν καταφέρεταί τις τινὸς, καὶ ὡς κατήγορος. ὅθεν καταφορὰ, ἡ ἐν κατηγορίᾳ πίστις, καὶ καταφορικὸς λόγος, ὡς εἰπεῖν, τοπικός. ὁμοίας ἀρχῆς καὶ τὸ διαφέρειν, καὶ διαφέρεσθαι, ἤγουν τὸ ἐναντιοῦσθαι. ὅθεν διάφορος οὐ μόνον τὸ κοινὸν, ἀλλὰ καὶ ὁ ἐχθρός. καθὸ Φίλιππος διάφορος τῷ παιδὶ Ἀμύντᾳ λέγεται. καὶ διαφορὰ οὐ μόνον ἡ ἑτεροιότης, ἀλλὰ καὶ ἡ μάχη. φέρουσαι παρ' Ὁμήρῳ ἐν τῷ γ' Ἰλιάδος. ὅρα ἐνταῦθα καὶ τὸ φέρειν ἐνεργητικῶς τε λεχθὲν, ἅμα καὶ παθητικῶς, ἐν τῷ φέρουσαι καὶ προσφέρονται.

Φετμαῖς, ἐντολαῖς, παραγγελίαις.

Φεῦ, ἐπίρρημα θαυμαστικὸν συντάσσεται πρὸς γενικήν. οἷον φεῦ τῆς ἐμῆς ἀσθενείας.

Φεῦ λέγεται καὶ ἐπὶ ἡδονῆς, οἷον φεῦ κάλλους, φεῦ μεγέθους.

Φεῦ, φεῦ. ἐστὶ μὲν σχετλιαστικόν. καὶ θαυμαστικὸν κεῖται πολλάκις, ὡς παρὰ τῷ Ἀριστοφάνει.

Φεύγει τὶς διωκόμενος ὑπό τινος. καὶ φεύγει φυγαδευόμενος καὶ ἐξοριζόμενος. καὶ φεύγει κατηγορούμενος. ἐκφεύγει δὲ, ἀντὶ τοῦ διωλισθαίνει. διαφεύγει δὲ, ὅταν κρατηθεὶς διολισθήσῃ, ἢ παραδράμῃ διωκόμενος. ἐξέφυγεν, ἀντὶ τοῦ ἐξελύσατο αὐτόν, φεύγω ἄχρηστον. ὅπερ σημαίνει τὸ ἐκκλίνω, καὶ τὸ κατηγοροῦμαι. οἷς ἀντίκειται τὸ διώκω ῥῆμα.

Φεύγω μετὰ τῆς ἀπὸ προθέσεως, σημαίνει τὸ κατηγορούμενον ἀπολυθῆναι τῆς αἰτίας. μετὰ τῆς κατὰ δὲ, ἐπὶ συνηθείᾳ εἴς τινα προσδραμεῖν. μετὰ δὲ τῆς διὰ, τὸ διὰ μέσον πολλῶν ἐκφυγεῖν. φεύγω ἐνεστὼς, ἔφευγον παρατατικός. φεύξω μέλλων ἄχρηστος. ἀφ' οὗ φεύξομαι, ὁ παρακείμενος, πέφευχα ἄχρηστος. ὁ μέσος, πέφευγα εὔχρηστος. ὁ δεύτερος ἀόριστος, ἔφυγον. φεύγω σε, ἤγουν διὰ σέ. φοβοῦμαί σε, ἤγουν διὰ σέ. φεύγω τὸ κατηγοροῦμαι. καὶ φυγὴ, ἡ κατηγορία. ἀποφεύγω, ὅταν νικήσας ἀπολυθῶ τῆς κατηγορίας. καὶ ἀποφυγὴ, ὡσαύτως.

Φεύγει, καὶ ἀποφεύγει, διαφέρει. φεύγει μὲν γὰρ δίκην, ὁ κατηγορούμενος. καὶ γὰρ ὁ κατηγορῶν διώκει. ἀποφεύγει δὲ, ὁ νικήσας καὶ λυθεὶς τῆς κατηγορίας.

Φεύγειν, αὐτομολεῖν λέγουσιν Ἀθηναῖοι.

Φεύγω, ἀποδιδράσκω, δραπετεύω, ἀλεείνω, ἀλεύω, φυλάττομαι, ταυτόν.

Φεύγω φόνου, ἀντὶ τοῦ κατηγοροῦμαι.

Φευκτὰ, φεύξιμα.

Φευκταῖοι, ἀποτρόπαιοι.

Φεύξει γραφάς. διώκειν καὶ φεύγειν ἔλεγον, ἐπὶ τῶν κατηγόρων, καὶ τῶν ἀπολογουμένων. ἐδίωκον μὲν γὰρ οἱ κατήγοροι, ἔφευγον δὲ οἱ κατηγορούμενοι.

Φέψαλοι, καὶ φεψάλυγες, σπινθῆρες αἴψα φερόμενοι, ἐκ τῶν καιομένων ξύλων, οἷς οὐκ ἂν εἴη μὴ καὶ καπνὸν συναναφέρεσθαι. οὐ πάρεργον δὲ εἰπεῖν καὶ ὅτι ἐκ τοῦ φέβω, ψω, ὁ φέψαλος λέγεται. οὗ δηλαδὴ φέβεταί τις τὸ αἷμα, ἤγουν φεύγει.

Φεψάλυκές εἰσιν οἱ σπινθῆρες. ὡς Καλλίας δηλοῖ, ἀλλ' οὐδὲ μοιχῷ καταλέλειπται φεψάλυξ. καὶ παρὰ Ἀρχιλόχῳ δὲ κεῖται, πηρὸς δὲ ἦν αὐτῷ φεψάλυξ.

Φεψάλῳ πυρκαϊᾷ, ἣν φεύγει τὶς ψαύειν, καὶ προσεγγίζειν.

ΤΟ' Φ'. ΜΕΤΑ' ΤΟΥ' Η'.

ΦΗ', ὥσπερ ἔλεγεν.

Φηγαιεῦσι, δῆμος τῆς Αἰαντίδος φυλῆς.

Φήγινον ὄρος, περὶ τὸν Ὠκεανὸν, ἤτοι δρῦς ἔχον. τὸ δὲ φυγός. ἡ δρῦς παρὰ τὸ φήγω. πρὸ γὰρ τῆς εὑρέσεως τοῦ ἄρτου, βαλάνους καὶ ἀκρόδρυα, τουτέστιν ὀπώρας ἤσθιον οἱ ἄνθρωποι.

Φηγὸς, ὅ ἐστι δρῦς, ὡς τοῦ Διὸς ἱερὰ, καὶ ὡς τὰ, πάλαι τίμιον φυτὸν, καὶ ὡς ἰσχυρὸν καὶ πολυχρόνιον. καί πως κατὰ τὸ ὕψος συγγενὲς τῇ ὑψηλῇ Τροίᾳ. ἦν δὲ καὶ ἄλλως αἰδέσιμος ἁπλῶς ἡ δρῦς, διὰ τὸ ἀρχέγονον τῆς τροφῆς, ἣν ἐπόρισεν, ὅτε οἱ παλαιοὶ βαλανηφαγεῖν εἶχον ἀνάγκην. ὁποῖοι καὶ οἱ Ἀρκάδες, οὓς ὁ χρησμὸς κατ' ἐξαίρετόν τι βαλανηφάγους ἐλάλησεν. ὅτι δὲ ὥσπερ τοῖς ζώοις, οὕτω καὶ τοῖς δένδροις κλήσεως ἡ δρῦς μετέδωκε, δηλοῖ ὡς ἐν ὀλιγίστῳ φάναι, ὁ δρυμὼν, ὃς καὶ δρυμὸς λέγεται καὶ ὕστερον τὸ δρυμὸν, καὶ ὁ δρυοκολάπτης, καὶ τὰ δρύκαρπα, καὶ τὰ δρύφακτα, καὶ αἱ δρυπεπεῖς ἐλαῖαι, ὧν δὴ δύο λέξεων αἱ μὲν δρυπέπεις. ἢ κατά τινας δρυπεπεῖς, περισπωμένως. οὕτω λέγεται παρὰ τὸ ἐνδρυὶ πεπανθῆναι, ἤγουν φυτῷ ἐλαίνῳ, αἵτινες ἐλαῖαι καὶ γεγίρμοι κατά τινας ἐλέγοντο. τὰ δὲ δρύφακτα, παρὰ τὸ δρυσὶν, ὅπερ ἐστὶ ξύλοις φράσσεσθαι. φηγὸς, ἀπὸ τοῦ φαγεῖν. ὡς δὲ τὸ φήγιον ὄρος, ἡ φηγὸς παράγει, ὃ πολλὰς δρῦς εἶχεν, οἶδεν ἡ ἱστορία. ὑπονοεῖται δὲ κατὰ ἀλληγορίαν φηγὸς, καὶ ὁ φυγαλεὺς Διόνυσος, τῇ φηγῷ παρωνυμεῖσθαι, διὰ τὰς ἀναδενδράδας ἀμπέλους.

Φηγὸν, τὴν βάλανον. παρὰ τὸ φάγω φαγὸν, φηγὸν λεγομένην. οἱ γὰρ ἀρχαῖοι πρὸ τοῦ σίτου εὑρεῖν, βαλάνους ἤσθιον καὶ ὀπώρας. ἄλλως, φηγὸς, εἶδος ὃ τὰς ἀγρίας βαλάνους φασὶν ἔχειν. περιεσταλμένως δὲ τὸ αἰδοῖον βούλεται λέγειν. ἐπεὶ καὶ αὐτὸ τινὲς βάλανον καλοῦσι.

Φηγέσιον, Λυσίας ἐν τῷ περὶ τοῦ βατράχου φόνου.

Φηδῶσαι, ἀπατῆσαι, φθεῖραι, ἀπολέσαι.

Φηληκόθρεπτον, ὑπὸ ὄλυνθον τῆς συκῆς τεθραμμένον.

Φήληξ, ὄλυνθος, σῦκον, καὶ ἰσχὰς διαφέρει, φήληξ, τὸ ἄγριον σῦκον λέγεται. ὄλυνθος, τὸ ἥμερον μὲν, ἄωρον δέ. σῦκον δὲ τὸ ὥριμον. ἰσχὰς τὸ ξηρανθέν.

Φηληξ, ὁ ὄλυνθος. κυρίως μὲν οὖν ὁ ἤδη σκληρὸς, καὶ πάρωρος, ὁ ὄψιν μὲν πεπάσεως ἔχων, ἄωρον δὲ ὤν. καὶ μήποτε φήληξ τίς ἐστιν, ὁ ἀπατεὼν καὶ ψευδόμενος τὴν ὄψιν εἰς βρῶσιν. καὶ φῆλος, ὁ ἀπατεών. Μένανδρος ἁλιεῦ, δι' οἰκίας φήλων γερόντων. καὶ φηλώματα, ἐξαπάται παρ' Ἀντιφῶντι.

Φηλήτησι, λῃσταῖς.

Φῆλον, ἀπατηλὸν, ληθαργὸν, κακοῦργον, ἐπίβουλον.

Φηλώματα, ἐξαπατήματα. φηλοῦν γὰρ τὸ ἀπατᾶν. καὶ φηλώσεις, τὸ ἀπατήσεις. ἔνθα καὶ φήληξ, τὸ ἠρέμα πεπανθὲν σῦκον. καὶ φήληκας δὲ φαμὲν, τὰ ἐξαπατῶντα τὰς ὄψεις σῦκα, ὡς εἴη πέπειρα.

Φηλῶ, τὸ ἐξαπατῶ, συζυγίας τρίτης. ἀφ' οὗ φηλώματα, αἱ ἐξαπάται.

Φηλώσας, ἀπατήσας, ἀπὸ τοῦ φηλόω, ῶ, τὸ ἀπατῶ. ἀπὸ τῶν φηλίκων, ἤτοι τῶν ἀγρίων σύκων ἐλέχθη, ἅτινα ὠμὰ καὶ ἄχρηστα ὄντα, τῇ ἰδέᾳ πέπειρα φαίνονται.

Φηλώσης, ἀπατήσης. ἀπὸ φήληκος τοῦ ἀώρου σύκου.

Φήματα, ῥήματα, φάσματα.

Φημάσωμεν, βοήσωμεν.

Φήμ' ἐγὼ, ὅτε ἀναβιβάζεται ὀξεῖα, πάλιν ὀξεῖα ὀφείλει τίθεσθαι οὐ μὴν περισπωμένη, ἄτοπον γάρ. ὥσπερ ἐνταῦθα, τὸ φήμ' ἐγὼ, καὶ τὸ χρής' ἔδρασε, καὶ τὸ δεῖν' ἄττα, καὶ τὰ τοιαῦτα. ἀλλὰ καὶ ὅτε περισπωμένη, ἔν τινι λέξει κεῖται μονοσυλλάβῳ, εἰ μὲν πρὸ δύο συλλαβῶν ἐστι τόνος, ἐγκλινέσθω. οἷον οὔτοι τι μῦθον τοιῆς, οὐκ ἔστι τῷ πράγματι ἐν αὐτῷ. εἰ δὲ πρὸ τριῶν συλλαβῶν ἐστιν ὁ τόνος, ἄτοπον τὴν περισπωμένην ἀναβιβάζειν καὶ ὀξεῖαν ποιεῖν. ὡς ἐν τῷ ἕνεκά σου μύθους λέγει, καὶ τοῖς τοιούτοις. χρὴ γὰρ ἀκίνητον τηρεῖν τὴν περισπωμένην, καὶ μὴ διὰ τὸν πρὸς τὴν ἀνάγνωσιν κρότον ἄτοπά τινα καὶ ἀνάρμοστα πάνυ καινοτομεῖν. ἔνθα δὲ ἀνάγκη τίς ἐστι, καὶ οὐκ ἂν ἄλλως ἔχῃ ῥηθῆναι, οὐ καινόν ἐστι καινοτομῆσαί τι. οἷον, ἐπὶ τοῦ μέμνηταί μου, καὶ τῶν τοιούτων. ἄνευ δ' ἀνάγκης τοιαῦτα καινοτομεῖν, οὔ μοι δοκεῖ λόγον ἔχειν.

Φημένη, τὸ διαφανές. ὡς ἐν δευτέρῳ περὶ γυναικείων.

Φήμη, λόγος ἐστὶ δηλωτικὸς μέλλοντός τινος, ἐξ αὐτομάτου λαλουμένη.

Φήμη. καὶ παρ' αὐτῆς, οἷον ἀπόφημος, βλάσφημος, κακόφημος, δύσφημος, εὔφημος, πολύφημος.

Φημὶ, ἀεὶ πρὸς μέλλοντα καὶ ἐνεστῶτα συντάσσεται. Θουκυδίδης ἐν τῇ δευτέρᾳ, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι, καὶ ἐν τῇ τετάρτῃ. ταῦτα δὲ ἔχων, ἔφην ἢ ἄξειν Λακεδαιμονίους ζῶντας, ἢ αὐτοῦ ἀποκτενεῖν. καὶ Ἀριστείδης ἐν τῷ πέμπτῳ τῶν ἱερῶν, ἀντὶ πάντων ἔφη τιμᾶσθαι χρημάτων αὐτῆς. εἰ δὲ περὶ παρῳχημένου πράγματος δεῖ λέγειν, τότε τὸ ἔφην πρὸς παρῳχημένον τίθεται.

Φημὶ, καὶ εἰμί. τὰ εἰς μι ῥήματα πάντα βαρύνεται, πλὴν τοῦ φημὶ, καὶ εἰμί. φημὶ τὸ λέγω, τῆς δευτέρας συζυγίας. ἠμὶ δὲ κατὰ ἀφαίρεσιν τοῦ φ, τῆς πρώτης.

Φημὶ ἐν ῥήμασιν ἐγκλίνεται, οἷον ἐγώ φημι, ἄνθρωπός φησιν.

Φῆμιν, ἀπὸ τοῦ φημίζω, φημίσω, καθὰ τὸ αὔλιν, ἐκ τοῦ αὐλίζω. τὸ μέν τοι διὰ τοῦ η γραφόμενον, οὐ τὴν ἁπλῶς ἀνθρωπίνην δηλοῖ λαλιὰν, ἀλλά τινα θειοτέραν δηλωτικὴν τοῦ μέλλοντος. ὁποία καὶ ἡ ὄσσα, καὶ ἡ κληδὼν, καὶ ἡ ὀμφή. καθὰ δηλοῖ σαφῶς ἡ Ὀδύσσεια, ἐν ᾗ καὶ δήμοιο φῆμις, τὸ ἐκ τοῦ λαοῦ ὄνειδος.

Φήμην, φάσθω, ἐτυμολογικῶς ἐρρέθη παρ' Ὁμήρῳ. Διὸς δὲ τέρας ἀλληγορικῶς μὲν, τὸ ἐξ αἰθέρος. τοιοῦτον πῶς ἐρρέθη δίχα νέφους βροντή. ἄλλως δὲ διὰ τὸ πᾶν τέρας ἀνάγεσθαι εἰς ἐκεῖνον, καθὰ καὶ πᾶσαν ὀμφήν. διὸ καὶ πανομφαῖος ἐλέγετο Ζεύς.

Φημίζεται, μαντεύεται, λέγει.

Φήμιον ἡ παλαιὰ ἱστορία διδάσκαλον γενέσθαι λέγει τοῦ ποιητοῦ ἄνδρα σοφὸν, καὶ μούσαις κάτοχον. διὸ καὶ τὸν Ἰθάσιον ἀοιδὸν ὁ Ποιητὴς οὕτω πλάττει καλεῖσθαι, ἐγκατατιθέμενος τῇ ποιήσει τὸ τοῦ διδασκάλου ὄνομα. οἷα κειμηλίῳ, λαμπρῷ εἰς κλέος ἀείμνηστον. γέγονε δὲ Φήμιος, Τερπίου υἱός. ὅθεν Τερπιάδης, πατρωνυμικὸν ὄνομα.

Φῆμις ἀδευκὴς, οὐ καθὰ καὶ ἐν ἄλλοις ἐγράφη διὰ τοῦ ι τὸ τέλος, ὡς ἡ μῆνις. ἀδευκὴς δὲ νῦν ἡ ἡ ἀδόκητος παρὰ τὸ δέκω, ἢ ἡ δακνηρὰ καὶ πικρά. ἵνα λέγηται φῆμις ἀδευκὴς, ὡς καὶ καπνὸς ἀδευκής. λέγει Ὅμηρος καὶ δήμου φῆμιν διὰ τοῦ ι, τὴν δημοτικὴν συνέλευσιν ἐπὶ δημηγορίᾳ. καὶ ἔστι τῆς αἰτιατικῆς ταύτης ἡ εὐθεῖα ἡ φῆμις.

Φῆμις λέγεται, ἐκ τοῦ φημίζω, σω, ἡ κατὰ ἀνθρώπους φῆμις.

Φῆναι, ἀντὶ τοῦ δεῖξαι, καὶ ἀντὶ τοῦ εἰπεῖν, ἀπὸ τοῦ φᾶναι.

Φήνη, καὶ Αἰγύπτιος παρ' Ὁμήρῳ, ἐπὶ στερήσει τῶν τέκνων κλαίουσι λυπούμενοι. Ὀδυσσεὺς δὲ τὸν παῖδα χῶν, κλαίει χαίρων. πρὸς μόνην οὖν τὴν ὀξύτητα τοῦ κλαυθμοῦ, ἡ παραβολή. καὶ τὸ ἐξάκουστον τῆς βοῆς ἐκ τῆς κλαγγῆς.

Φῆρας ὀρεσκῴους λέγει Ὅμηρος, τοὺς Κενταύρους, τουτέστι φῆρας ὀρειφοίτας. αἰολικὴ δὲ ἡ λέξις κατὰ τοὺς παλαιούς.

Φήρεα, αἱ παραμήκεις ὑπὸ τὰ ὦτα ἀδενώδεις ἐξοχαὶ, οἵας καὶ οἱ σάτυροι ἔχουσιν. ἔνιοι δὲ καὶ φῆρες, καὶ θῆρες, παρὰ τῷ Ἱπποκράτει.

Φῆρες ἀντὶ τοῦ θῆρες. ὡς τῶν Αἰολίων ὑπολεγόντων

των. ἰστέον ὅτι ἡ τοῦ θ μετάληψις εἰς τὸ φ, καὶ Ἀττικῆς ποτε διαλέκτου ἐστίν. ἐκεῖνοι γὰρ τὸ θλᾶν, φλᾶν λέγουσι. τὸ μέντοι φλίσεται τὸ ἐν Ὀδυσσείᾳ, καὶ τὸ παρὰ Θεοκρίτῳ ἐν ἀδωνιαζούσαις, αἰολικὸν καὶ αὐτό.

Φηρητιάδην, ἢ μάλιστα τὸν Ἄδμητον λέγει, τὸν Φέρητος μὲν υἱὸν, πατέρα δὲ Εὐμήλου, ἢ καὶ αὐτὸν ἴσως τὸν Εὔμηλον, ὡς ἔγγονον φέρητος. οὗπερ ἡ ἄρχουσα ἐξέπεσε, ἐν τῷ φηρητιάδης διὰ τὸ μέτρον.

Φηρία, θηρία, Αἰολεῖς.

Φῆρος, ἡ τῶν ἀρχαίων Θεῶν τροφή.

Φηρσὶν, ἀντὶ τοῦ θηρσὶ, τροπῇ τοῦ θ εἰς φ Αἰολικῶς.

Φῆσιν, κατὰ ἐπέκτασιν τῆς σι συλλαβῆς, ἀπὸ τοῦ ἐὰν φῶ φῇς φῇ φῆσι.

Φηρσὶ, Κενταύροις.

Φήσομαι, λέξω. φησὶ λέγει. φῇς, λέγεις.

Φηστὸ, στρόφιγξ.

ΤΟ Φ. ΜΕΤΑ ΤΟΥ Θ.

Φθαίη, ἀντὶ τοῦ προλάβοι.

Φθάνος, φθάσας. ἐκ τοῦ θέω τὸ τρέχω πλεονασμῷ τοῦ φ φθῶ, ἐστὶ φθῶ, σημαῖνον τὸ καταλαμβάνω.

Φθάνει, προήκει, προλαμβάνει, ἀναλίσκει.

Φθάνω, τὸ προλαμβάνω, καὶ τὸ καταλαμβάνω. καθὸ σημαινόμενον, τὸ οὐκ ἂν αὐδ᾽ ἀκὴς φθάνοις ἰὼν εἰς τὸ δικαστήριον. ἤγουν οὐκ ἂν ἀρκοίης, οὐ καταλαμβάνοις τοὺς ἕλκοντας, τουτέστι τοσοῦτόν σε ἕλξουσι συντόμως, ὡς μὴ δύνασθαί σε καταλαμβάνειν τοὺς ἕλκοντας. ἀπὸ μεταφορᾶς τούτου λέγεται καὶ ἐφ᾽ ἑτέρων. οἷον οὐκ ἂν φθάνοιτε ἀποθνήσκοντες, ἤγουν ἀνάρπαστοι γενήσεσθε. καὶ οὐκ ἂν ἀρκοίητε πρὸς τὴν τοῦ θανάτου συντομίαν. οὕτως ὑμᾶς ἕλξουσι δηλονότι μετὰ τάχυντος. ἰστέον δὲ ὅτι τὸ φθάνειν, ὅτε μὲν πρὸς τὸ τέλος λέγεται τῆς κινήσεως, τὸ καταλαμβάνειν δηλοῖ. ὅτε δὲ πρός τινα ἐρίζονται, τὸ προσλαμβάνειν.

Φθαρτὸν, θνητόν.

Φθατήση, φθάση.

Φθέγγεσθαι, καὶ τὸ φθέγμα, κυρίως ἐπὶ ἀνθρώπων, φθέγγομαι τὸ λέγω. ἀποφθέγγομαι, τὸ συνεσταλμένα καὶ βραχέα λέγω. ὅθεν ἀποφθέγματα, οἱ βραχεῖς καὶ ὀλιγοσύλλαβοι λόγοι. ὡς τὸ πλείους κακοὶ, πᾶν μέτρον ἄριστον.

Φθὰς, καὶ περιφὰς, ἐκ τοῦ φθῆμι ῥήματος ἀχρήστου. ἐξ οὗ καὶ φθάμενος, ὡς ἱστάμενος. καὶ φθαίη, ὡς ἱσταίη.

Φθὰς, ἀπὸ τοῦ φθάζω, σω, ἢ ἀπὸ τοῦ φθῆμι, ἔφθην ὁ δεύτερος ἀόριστος. φθὰς, καὶ ἀποφθὰς, μετοχή. ἀντὶ τοῦ προφθάσας, προλαβών.

Φθάμενος. ἐστὶ φθῶ τὸ καταλαμβάνω, οὗ παράγωγον φθῆμι ὁ παθητικὸς ἐνεστὼς, φθάμαι. ἡ μετοχὴ, φθάμενος. ἢ ἐκ τοῦ ἐφθάμην, φθάμενος.

Φθέγμα, ὁ μὲν Ὦρος διὰ ἑνὸς γ λέγει γράφεσθαι. ὁ δὲ Ἡρωδιανὸς, διὰ δύο, φθέγγμα, καὶ ἴσως παρὰ τὸ φθέγγομαι. τὸ φθέγγεσθαι, κατὰ πλεονασμὸν τοῦ θ γίνεται. παρὰ τὸ εἰς φῶς ἄγειν τὰ τοῦ νοῦ.

Φθεῖ, θνήσκει.

Φθεὶρ, παρὰ τὸ φθείρω, ἡ ἀπὸ φθορᾶς σωματικῆς γινομένη. λέγεται δὲ φθεὶρ, καὶ ὁ τῆς πίτυος καρπὸς, τὰ λεγόμενα στροβίλια.

Φθείρειν, τὸ ἀφανίζεσθαι καὶ τὸ βλάπτειν. καθὸ λέγεται ἐφθάρθαι δικαστήρια.

Φθείρεται, πλανᾶται, ἀπόλλυται.

Φθειροκομίδης, φθειρῶν γέμων.

Φθείρομαι, ἔρρω, οἴχομαι, φθίνω, ταυτόν.

Φθειρῶν τ᾽ ὄρος ἀκριτόφυλλον. ὁ μὲν Τεχνικὸς διὰ τοῦ ι γράφεσθαι λέγει, ὅτι παρὰ τὸ φθεὶρ γέγονε τοῦ υἱοῦ τοῦ Ἐνδυμίωνος. ἕτεροι δὲ διὰ διφθόγγου λέγουσι, παρὰ τὸ φθεὶρ, ὃ σημαίνει τὴν πίτυν. εἰσὶ γάρ τινες πίτυες φθεῖρας ποιοῦσαι. τὸ ὄρος τὸ ἔχον φθεῖρας, τουτέστι πίτυας. οἱ δὲ παρὰ τὸ φθεὶρ λέγουσιν ὁ ληστὴς, τουτέστιν ὁ φθείρων, οἱονεὶ τὸ ὄρος τῶν ληστῶν. οἱ δὲ ὅτι φθεῖρες λέγονται οἱ θῆρες, παρὰ τὸ φθείρειν τὸ ὄρος τῶν θηρῶν.

Φθείρειν, τὸ ἀφανίζειν, καὶ τὸ βλάπτειν, καθὲ λέγεται ἐφθάρθαι τὰ δικαστήρια.

Φθεισήνωρ, δηλοῖ τὸν φθείραντα τοὺς ἄνδρας. ὃ δὴ σημαίνει καὶ ὁ φθισίμβροτος, καὶ ὁ ἐναρίμβροτος. καὶ ὁ ἀνδρειφόντης, καὶ ὁ βροτολοιγός. γίνεται δὲ ἀπὸ τοῦ φθείρω φθείσω.

Φθεῖται διὰ διφθόγγου, ἀπὸ τοῦ φθέω, ῶ, παράγεται. οὗπερ οὐ μόνον τὸ φθείρω παράγωγον, ὡς τοῦ φθῶ τὸ φθείρω, ἀλλὰ καὶ τὸ φθίνω, ὁμοίως τῷ κλῶ κλίνω.

Φθέωμεν, ἤγουν φθῶμεν, προλάβωμεν.

Φθέῤῥω, ἀντὶ τοῦ φθείρω Αἰολεῖς λέγουσι. φθεῖρου σκωπτικὸν, ἀντὶ τοῦ μετὰ φθορᾶς ἀπαλλάττου. Ἀριστοφάνης ἐν πλούτῳ, ἀλλὰ φθείρου, καὶ μὴ γρύξῃς.

Φθῆ, ἤγουν φθαίη. ὁμοίως τῷ σταίη στῇ, βαίη βῇ.

Φθῆσιν, ἀντὶ τοῦ φθῇ. καὶ κοινότερον εἰπεῖν φθαίη, καὶ προλάβῃ.

Φθήσονται γίνεται ἢ ἐκ τοῦ φθῶ φθήσω, ἢ μᾶλλον ἐκ τοῦ φθῆμι. ὅθεν ὁ παραφθάμενος, καὶ τὸ φθὰς, καὶ τὸ ἔφθη. τὸ δέ γε ἔφθασε, καὶ τὰ κατ᾽ αὐτὸ, δοκεῖ ἐκ παραγώγου τοῦ φθῶ φθάζω γίνεσθαι. τὸ δὲ φθῶ, ἐκ τοῦ φῶ, τὸ φαίνω, πλεονασμῷ τοῦ θ. ἢ ἐκ τοῦ ὁμοίου φῶ, καὶ τοῦ θῶ, τίθημι, ἤγουν ποιῶ. τὸ γὰρ φθάσαι γενέσθαι τέφανται καὶ τέθηται.

Φθία, τὰ νῦν Φέρσαλα. οἱ ἀπὸ ταύτης Φθιῶται. Φθῖοι δὲ οἱ περὶ Μεθώνην, οἱ ὑπὸ τῷ Φιλοκτήτῃ ἦσαν.

Φθία πόλις, καὶ μοῖρα θετταλική. ἀπὸ Φθίας γυναικὸς, ἢ ἀπὸ φθίου υἱοῦ Ποσειδῶνος. ὁ πολίτης αὐτῆς φθιώτης, καὶ φθῖος. ἢ φθίαν, ἤγουν τὰ νῦν κατά τινας λεγόμενα Φέρσαλα, τὴν τοῦ Ἀχιλλέως πατρίδα ἐριβώλακα λέγει, ἤγουν μεγαλόβωλον. ἔτι δὲ βωτιάνειραν, ἤτοι θρεπτικὴν ἀνδρῶν. ὀνομάζει αὐτὴν καὶ μητέρα μήλων, ἤγουν προβάτων καὶ θρεμμάτων, διὰ τὸ πίονα εἶναι τὴν ἐκεῖσε γῆν. ὁ δὲ πολίτης αὐτῆς λέγεται φθιώτης. εἰσὶ δέ τινες φθῖοι παρὰ τῷ Ποιητῇ ἕτεροι παρὰ τοὺς φθιώτας. ὁ δὲ τὰ ἐθνικὰ γράψας, ἀπὸ φθίας γυναικὸς, ἢ φθίου υἱοῦ Ποσειδῶνος καὶ Λαρίσσης κληθῆναι τὴν Φθίαν φησί. λέγει καὶ ὅτι πόλις καὶ μοῖρα Θετταλίας ἡ φθία. καὶ ὅτι τὸ τοπικὸν φθιώτης, καὶ φθῖος λέγεται. καὶ Αἰλιανὸς δὲ μέμνηταί τινος φθίας παρθένου, ἧς φησιν ἐρασθεὶς Ζεὺς, μετέβαλε τὴν μορφὴν εἰς περιστεράν.

Φθιάδος, θετταλικῆς.

Φθιακὸν, τμητικόν.

Φθιμένων, ἀποθανόντων.

Φθίνα, ἡ ἐρυσίβη, καὶ εἶδος ἐλαίας.

Φθίνοντος μηνὸς Ἀττικοὶ, οὐχ ὑπολείποντος. φθίνω, τὸ φθείρομαι.

Φθινόπωρον, τροπὴ ἡ μετὰ τὸ θέρος, ἢ νόσος.

Φθινόπωρον, ὁ ἀπὸ τῆς πέντε καὶ δεκάτης Αὐγούστου μηνὸς, ἕως τῆς πέντε καὶ δεκάτης Δεκεμβρίου. οἱ δὲ, ἀπὸ τῆς εἰκοστῆς δευτέρας Αὐγούστου, ἕως πάλιν εἰκοστῆς δευτέρας Δεκεμβρίου.

Φθινὰς ἡμέρα, τὴν ἱσταμένην τρίτην, τριμόριον λέγει.

Φθινάσμασι, φθίσεσι.

Φθίνοντος, λήγοντος, παυομένου ἀναλισκομένου.

Φθίνοντος μηνὸς, λήγοντος τοῦ μηνός. φθίνων δὲ μὴν καλεῖται, ὁ ἀπὸ εἰκάδος ἕως τριακάδος. μέσος δὲ μὴν, ὁ ἀπὸ δεκάδος ἕως εἰκάδος. ἱστάμενος δὲ μὴν, ὁ ἀπὸ πρώτης ἕως δεκάτης.

Φθίνουσαν, ἐλαττουμένην.

Φθινύουσι, φθείρονται.

Φθινύθειν, μέση λέξις ἐστί. δηλοῖ γὰρ τὸ φθείρειν, καὶ ἀπολύειν, καὶ φθείρεσθαι, καὶ ἀπόλλυσθαι, ὡς παρ᾽ Ὁμήρῳ δῆλον ἐστι.

Φθῖοι, οἱ ὑπὸ Πρωτεσιλάῳ τεταγμένοι.

Φθίους ὁ Γεωγράφος, οὐ τοὺς περὶ Μεθώνην μόνους φησὶ λέγεσθαι, ἀλλὰ κοινῶς τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ καὶ τῷ Πρωτεσιλάῳ, καὶ τῷ Φιλοκτήτῃ.

Φθῖσα, ἡ λεπτή. ἀπὸ φθίσεως.

Φθῖσαι, καὶ τὸ ἀποῤῥαῖσαι, ταυτὰ νοοῦσι. καθὰ καὶ τὸ θάνατόν τε, μόρον τε. καὶ τὸ μενοικέα, πολλήν.

Φθείσεσθαι, θανεῖν.

Φθισήνωρ, ἡ τοὺς ἄνδρας διαφθείρουσα, ἢ τὴν ἀνδρείαν.

Φθίσθω, ἔχει ἀπαθὲς καὶ ἄκρατον φθιέσθω. ἐξ οὗ κατὰ κρᾶσιν, ἢ συγκοπὴν τὸ φθίσθω.

Φθισίβροτος, ἡ διαφθείρουσα τὸν ἄνδρα. παρὰ τὸ φθίω φθίσω.

Φθίσις, ἡ σῆψις.

Φθίσων, εἰς φθίσιν ἄξων, καὶ φθέρσων, καὶ φθερῶν.

Φθιτοὶ, φθαρτοὶ, θνητοὶ, νεκροὶ, ἢ εἴδωλα.

Φθίω, τὸ φθείρω. ὥσπερ μαστίω, εὕρηται παρ᾽ Ὁμήρῳ.

Φθίω φθίσω, ὡς τίω τίσω. καὶ φθίσις ὡς τίσις, καὶ φθισήνωρ. ἐκ δὲ τοῦ φθῶ φθείω, ὡς κῶ κείω. ἐξ οὗ τὸ κείσεται. καὶ χῶ χείω, τὸ χωρῶ. ἀφ᾽ οὗ τὸ οὐδὸς δ᾽ ἀμφοτέροις. ὁ δὲ χείσεται, ἤγουν χωρήσει.

Φθιῶται ἐκαλοῦντο, οἱ τοῦ Ἀχιλλέως ἀπὸ τῆς Φθίας χώρας. φθιώτης. φθῖοι δὲ, οἱ τοῦ Πρωτεσιλάου, ἀπ᾽ ἀνδρὸς φθίου τοὔνομα.

Φθόγγος ἐστὶν, ἀδιόρθωτος ἐπαγγελία.

Φθογγὴ, φθέγμα, ἢ φωνή.

Φθόης, τροχίσκους παρὰ τῷ Ἱπποκράτει.

Φθονεῖς, ζηλοῖς, βασκαίνεις.

Φθόη, τὴν νῦν φθίσιν λεγομένην, οὕτως ἐκάλουν. ὡς Δημοσθένης. ἢ ὄνομα πάθους, ἐξ αἵματος ἀγωγῆς.

Φθοατήσει, φθάσῃ καθίσασθαι.

Φθόϊς, πλακοῦς, καὶ τὰ πρὸς λεπτὸν ἀληλεσμένα, καὶ τὸ ἀποῤῥέον ψῆγμα τοῦ χρυσίου.

Φθοῖς παρ᾽ Ἀττικοῖς, πλακούντιον πλατὺ καὶ περιφερὲς, ὃ παρ᾽ Ἕλλησι λέγεται πόπανον. Ἀριστοφάνης ἐν πλούτῳ, τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας. φθόϊς φθοῖς, φθόϊος φθοῖος. πληθυντικὰ φθόϊδες φθοῖς, φθόϊδας φθοῖς.

Φθονεῖν, ταυτὸν μὲν κατὰ πολυωνυμίαν τῷ μεγαίρειν, σαφέστερον δὲ ἐκείνου. ἔστι μὲν παρ᾽ Ὁμήρῳ ἐν τῷ γ τῆς Ἰλιάδος, τὸ μέμφεσθαι, καὶ ἐμποδίζειν, ὡς καὶ ἐν Ὀδυσσείᾳ. ὅτι δὲ καὶ ἄλλως ἐποίησις καὶ οἱ ποιητικώτεροι τῶν ἱστορικῶν, φθονερὸν τὸ Θεῖόν φασι φῦλον, δηλοῖ καὶ Ἡρόδοτος.

Φθονέοιμι ποδῶν ἅψασθαι, ἀντὶ τοῦ μεμφοίμην. πολλαχοῦ γὰρ ὁ φθόνος, καὶ ἐπὶ μέμψεως τίθεται.

Φθόνος ἐστὶ, τάξις ἀφρούντων τῶν πέλας, ἢ λύπη ἐπὶ τῇ τῶν πέλας εὐπραγίᾳ, ἢ λύσις τῆς φίλης ἁρμονίας. φθόνος ἐστὶ, λύπη ἐπὶ φίλων ἀγαθοῖς ἢ οὖσιν, ἢ γεγενημένοις.

Φθόνος ἐστὶ, λύπη ἐπ᾽ ἀλλοτρίοις καλοῖς. ὥσπερ κακία, ἡδονὴ ἐπ᾽ ἀλλοτρίοις κακοῖς.

Φθονῶ, βασκαίνω, μεγαίρω, ζηλῶ, ζηλοτυπῶ, ταυτοσήμαντα. καθὰ καὶ τὸ θάνατόν τε, μόρον τε. καὶ τὸ μενοικέα πολλήν.

Φθονῶ σοι τοῦδε, καὶ φθονῶ σοι μόνον. καὶ φθονῶ τῆς σῆς ἀρετῆς, καὶ τῆς σῆς εὐτυχίας.

Φθονερὸν λέγεται, ἐπὶ τῶν χρωμένων τῷ φθόνῳ. ἐπίφθονον δὲ, ἐπὶ τῶν φθονουμένων. ὥσπερ φοβερὸν, τὸ φόβον ἐμποιοῦν. ἐπίφοβον δὲ, τὸ φοβούμενον.

Φθορά ἐστι, λύσις συνεχείας τοῦ φυσικοῦ εἴδους. οὐ ταυτὸν δὲ φθορὰ, καὶ φθαρτὴ οὐσία. ἡ μὲν γὰρ φθορὰ, διάλυσιν σημαίνει τῶν συντεθέντων καὶ ἡρμοσμένων. ἡ δέ γε φθαρτὴ οὐσία, τὸ ὑποκείμενον δηλοῖ πρᾶγμα, ᾧ καὶ ἡ φθορὰ ἐνδεχομένως ἐπισυμβαίνει.

Φθορά ἐστι, κίνησις ἀπὸ τόπου εἰς τόπον. ἢ φθορά ἐστιν, ἡ ἀπὸ τοῦ ὄντος, ἐπὶ τὸ μὴ ὂν μεταβολή. λέγεται δὲ παρὰ τὸ φθίσθαι ῥᾷον, ἤτοι σήπεσθαι εὐχερῶς, ἢ φθορά ἐστι λύσις καὶ διάλυσις τοῦ κατὰ σύνθεσιν συγκειμένου πράγματος.

Φθορὸν αἷμα, τῶν ἀμαθῶν τινὲς ἰατρῶν λέγουσιν οὕτω, σολοικίζοντες, δέον δὲ λέγειν διεφθαρμένον αἷμα. τὸ γὰρ διέφθορεν, ἀντὶ τοῦ διέφθειρε.

Φθόσις, φθίσις.

Digitized by Google

ΤΟ' Φ'. ΜΕΤΑ' ΤΟΥ' Ι'.

Φία, πιονία.

Φιαλεῦδαι, γένος Ἀθήνησι.

Φιαλεῖς, τῷ ἔργῳ ἐπιβαλεῖν. Ὅμηρος, αὐτὰρ γὰρ ἐφίαλε τοῖσδ' ἔργα, ἀντὶ τοῦ ἐπεβάλλετο. καὶ φιαλοῦμεν, τουτέστι τῷ ἔργῳ ἐπιβαλοῦμεν, ἐπὶ τοῦτο ὁρμήσομεν. φιαλεῖν γὰρ τὸ ἄρχεσθαι τοῦ πράγματος. ὡς Ἀριστοφάνης, ἄγε δὴ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως ἔργῳ φιαλοῦμεν δεξάμενοι τοῖς Θεοῖς. ἄλλως, φιαλεῖν, τὸ τῇ φιάλῃ πιεῖν.

Φιάλη, κατὰ μετάθεσιν τοῦ π εἰς φ, πιάλη τις οὖσα. παρὰ τὸ πίω, ἡ τὸ πιεῖν ἄλις παρέχουσα, ὅ ἐστι δαψιλῶς.

Φιαλοῦμεν, Ἀριστοφάνης ἔργῳ φιαλοῦμεν. οἷον ἐπιθῶμεν τῇ φιάλῃ ἐπὶ τῶν ἔργων, ἢ ἔργῳ ἐπιβαλοῦμεν. ἢ ὅτι φιαλεῖν κυρίως ἐστὶ, τὸ ἄρχεσθαι πράγματος. ἄλλως, φιαλοῦμεν, τοῦ ἔργου ἐπιλαβώμεθα, καὶ προθυμηθῶμεν, ἐπὶ τοῦτο ὁρμήσωμεν, καὶ σπείσωμεν καὶ εὐφρανθῶμεν.

Φιαρὸς, Καλλίμαχος, φιαρὴ τοῦμος ἀνέχεν ἕως. παρὰ τὸ φάος φαερὸς, τροπῇ τοῦ ε εἰς ι, καὶ ὑπερθέσει φιαρός.

Φιάρην, λαμπρὸν ὑπὸ ὑγρότητος, παρὰ τῷ Ἱπποκράτει.

Φιβάλεως, τόπος Ἀττικῆς, ἄλλοι Μεγαρίδος. ἀμφιβάλλεται γάρ. γένος δὲ συκῆς ἡ φίβαλις, ἐπιτήδειον εἰς ξηρασίαν ἰσχάδων. ἐπεὶ ἀπὸ τοῦ ἰσχναίνεσθαι ἰσχὰς καλεῖται. καὶ τοὺς ἰσχνοὺς τῶν ἀνθρώπων φιβάλους καλοῦσιν. ὁ δὲ τόνος φιβάλεως, προπαροξυτόνως. ὡς κορώνεως, πελέκεως.

Φιβάλιος, εἶδος συκῆς παρὰ τῷ Ἱπποκράτει.

Φίβλα, πόρπη, φικίον, περόνη.

Φιδάκνη, πιθάριον μικρὸν, καὶ στενόν.

Φιδίτια, συσσίτια.

Φίδνα, ῥίζα ἡ Ἀχίλλειος καλουμένη.

Φῖκα ὀλοήν, τὴν σφίγγα λέγει. αὕτη δέ ἐστι θυγάτηρ Χιμαίρας καὶ Τυφῶνος. ἀπ' αὐτῆς δὲ ἐκλήθη καὶ τὸ φίκιον, ἔνθα κατῴκει. Λύκος δ' αὐτὴν ἐν τῷ περὶ Θηβαίων, ὑπὸ Διονύσου πεμφθῆναί φησι. φῖκα δὲ αὐτὴν οἱ Βοιωτοὶ ἔλεγον.

Φικιῶν, προθηβῶν.

Φιλαίμων, φιλῶν τὸ αἷμα.

Φιλαίτατος, φίλος σφόδρα.

Φίλαι, ἀντὶ τοῦ ἀγάπησον, μέσου ἀορίστου πρώτου, ὡς ἀπὸ τοῦ φίλημι ῥήματος. ὅθεν πρῶτος μέσος ἀόριστος ἄρρητος, ἐφιλάμην. οὗ προστακτικὸν, φίλαι. ἄλλως, φίλαι, Ἰλιάδος κ, νῦν αὖτ' ἐμὲ φίλαι Ἀθήνη, ἀντὶ τοῦ φιλοφρόνησον, καὶ φίλον ἥγησαι δευτέρου προσώπου, Ἰωνικῶς.

Φιλαίτιοι, μεμψίμοιροι.

Φιλακριβοῦντες, μετ' ἀκριβείας διαχωρίζοντες, φιλακροάμονες.

Φίλα φρονεῖν, περιφραστικῶς φιλεῖν. οἷον πατρὶ φίλα φρονέων.

Φίλαθεν, Δωρικόν. ἀντὶ τοῦ ἐφιλήθησαν. ὥσπερ κόσμηθεν.

Φιλαθήναιος, προπαροξυτόνως δεῖ. ἐπεὶ τὰ εἰς ος λήγοντα προπερισπώμενα ἁπλᾶ, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. οἷον δῆμος ἀριστόδημος, πῶλος ἐχέπωλος. καὶ Ὅμηρος Θαλυσιάδην ἐχέπωλον. κνεφαῖος, ἀκροκνέφαιος, ὀμφαῖος πανόμφαιος, ἀρχαῖος φιλάρχαιος. οὕτω καὶ φιλαθήναιος.

Φιλακίζεται, χαριεντίζεται.

Φιλαλλήλιοι, οἱ φιλοῦντες ἀλλήλους.

Φιλαληθέα μυθήσασθαι, ἡ Ἀττικῶς ἀντὶ τοῦ φίλον ἐστὶ τἀληθῆ εἰπεῖν. ἢ φίλα τὰ ἀληθῆ, ὥστε εἰπεῖν αὐτά. καὶ παρ' Ὁμήρῳ, αἰεί σοι φίλα ἐστὶ κακὰ μαντεύεσθαι. καὶ ἐστι τὸ φίλα Ἀττικῶς ἀντὶ ἑνικοῦ τοῦ φίλον.

Φιλαμένη Δημήτερα, ἀπὸ τοῦ φιλῶ φιλήσω, ὁ ἀόριστος πρῶτος κατὰ συγκοπὴν ἐφίλα. ὁ μέσος ἐφιλάμην. ἡ μετοχὴ φιλάμενος, καὶ τὸ θηλυκὸν φιλαμένη.

Φιλάνθρωπος, φιλανθρωπεύομαι, φιλανθρωπία.

Φίλαξ, δρῦς νέος, Ἠλεῖοι.

Φιλαπεχθήμων, φιλομίσητος.

Φιλαργυρία ἐστὶν, ἀκόρεστος ἡδονὴ περὶ κτῆσιν χρυσίου, προκριτικοῦ Θεοῦ καὶ τῶν ἁπάντων, στέργειν ἀναπείθουσαν χρυσὸν τὸν κατ' αὐτὴν πεποιημένον νοῦν.

Φιλαταίριος, εἶδος βοτάνης. ἣν καὶ Ἀπαρίνην ὀνομάζουσι παρὰ τῷ Ἱπποκράτει.

Φιλαυτία ἐστὶν, ἡ τοῦ σώματος φιλία.

Φιλαῦρα, τὰ κακὰ τὰ ἄτοπα.

Φιλαυτία, τὸ πάντα πρὸς τὰ ἑαυτῷ ἀρέσκοντα πράττειν.

Φίλαυλος, ὁ τοὺς αὐλοὺς καὶ τὰ μέλη φιλῶν.

Φίλε τέκνον, Ἀττικῶς ῥηθέν. τὸ δὲ εἰπεῖν φίλον τέκνον, εἰ καὶ συνήθες, ἀλλ' ἰδιωτικόν.

Φιλέεσκεν, ἐφίλει, ἐφιλοφρονεῖτο. φιλέω φιλήσω. καὶ οἱ Δωριεῖς τρέπουσι τὸ η εἰς δύο εε, φιλεέσω, πλεονασμῷ τοῦ κ φιλεέσκω. ὁ παρατατικὸς ἐφιλέεσκον, ες, ε, καὶ ἀφαιρέσει φιλέεσκε.

Φιλεῖ ἀναγινώσκειν, ἤγουν εἴωθε.

Φιλεῖν, τὸ ἁπλῶς φιλεῖν. ἐρᾶν δὲ, τὸ διαπύρως φιλεῖν. ποθεῖν δὲ, τὸ τοῦ πρότερον παρόντος, νῦν δὲ ἀπόντος εἰς ἐπιθυμίαν ἔρχεσθαι. φιλεῖν παρὰ τῷ Ποιητῇ, καὶ ἐπὶ ξενοδοχικῆς φιλοφροσύνης τίθεται. οἷον χαῖρε ξεῖνε παρ' ἄμμι φιλήσεαι, ἀντὶ τοῦ ξενοδοχηθήσῃ φιλικῶς. τοιοῦτον καὶ τὸ, χρὴ ξεῖνον παρεόντα φιλεῖν.

Φιλεῖ γάρ πως, τέρπεται γάρ πως.

Φιλέθιος, φιλοπαίγμων, φιλοπάλαιστρος.

Φιλεκήδωτον, κηδεμονικόν.

Φιλένδολος, ἐλεήμων.

Φιλέουσα, φιλοῦσα.

Φίλεργος, φιλόπονος.

Φιλεριστῆσαι, φιλονεικῆσαι.

Φιλέριδες, οἱ ἀγαπῶντες ἐρίσασθαι.

Φίλεχθρος, φιλόμισος.

Φιλέταιρος, πεφιλημένος.

Φιλέψιος, παρ' Ἀριστοφάνει πένης ὢν, λέγων ἱστορίας ἐτρέφετο. τερατώδης δὲ καὶ λάλος διαβάλλεται, ὡς ὁ Κωμικὸς Πλάτων.

Φιληδονία ἐστὶν, ἀντίδοσις εὐνοίας. ἡ εὔνοια ἀντιπεπονθυῖα, ἡ διάθεσις ἀντιδιδομένη, ἡ ὁμόνοια καὶ συμφωνία ἐν βίῳ.

Φιληδονία ἐστὶ, φιλία ἡδονῶν.

Φίληθεν, ἐφιλήθησαν.

Φιληλιαστὴς, ἀντὶ τοῦ φιλόδικος. ἀπὸ τοῦ μεγίστου δικαστηρίου τῆς ἡλιαίας. ὅπερ οὕτω καλεῖται, ἀπὸ τοῦ ἐν αἰθρίᾳ δημηγορεῖν, καὶ ἐν ὑπαίθρῳ εἶναι καὶ ἡλίῳ βάλλεσθαι.

Φιλήμεναι, ἀπὸ σεσιγημένου ῥήματος γίνεται τοῦ φίλημι. ἐξ οὗ καὶ τὸ φιλατο, ἀντὶ τοῦ ἠπάτησε. καὶ τὸ νῦν αὖ με φίλαι Ἀθήνη. οὕτω γάρ τινες γράφουσι τῶν ἀκριβεστέρων, καὶ οὐ φίλεε. ἐκ τοῦ τοιούτου ῥήματος καὶ τὸ φιλῆναι, ὡς στῆναι. ἐξ οὗ φιλήμεναι, ὡς στήμεναι.

Φίλην φιλίαν, τὴν προσφιλεστάτην.

Φιλήρετμοι, φιλόκωποι, φιλοναῦται.

Φίλησα, ἐξένισα, ἠγάπησα.

Φιλησίους, κλεπτοσύνας.

Φιλήτην, παράγουσί τινες τῶν παλαιῶν σχολιαστῶν Ἡσιόδου. ἵνα ἡ φιλήτας ὁ παρ' Ἡσιόδῳ μὴ ἀπὸ τοῦ φηλῶ φηλήσω τὸ ἀπατῶ, αὐτὸ γὰρ τρίτης ἐστὶ συζυγίας, ὡς δηλοῖ παρὰ Λυκόφρονι τὸ φηλήσας πρόμον, ἀλλὰ ὁ κλέπτης παρὰ τὸ ὑφελεῖν, οἱονεὶ ὑφειλήτης, διὰ διφθόγγου. καὶ ἀφαιρέσει τοῦ υ, καὶ ἀποβολῇ τοῦ ε, φιλήτης διὰ τοῦ ι.

Φιλήτης, ὀξυνόμενον μὲν σημαίνει τὸν ἐραστήν. παροξυνόμενον δὲ, τὸν κλέπτην.

Φίλτρον, τὸ φιλίαν ἐμποιοῦν. ὥσπερ μίσητρον, τὸ ἐμποιοῦν μῖσος. φόβητρον, ἤγουν χωρήσει τὸ φόβου ποιητικόν. θέλγηθρον, τὸ παρακινοῦν εἰς τέρψιν.

Φιλία ἐστὶν, ὁμόνοια ὑπὸ καλῶν καὶ δικαίων, προαίρεσις βίου τοῦ αὐτοῦ. ὁμοδοξία περὶ προαιρέσεως, καὶ πράξεως.

Φιλιάζετο, ἐχωρίσθη αὐτοῦ.

* Φιλίδα, σύριγγα.

Φιλίσιον, τὸ αὐτὸ καὶ τοῦτο ἔοικεν εἶναι τῇ τε Παρίνῃ, καὶ τῷ Φιλεταιρείῳ. παρὰ τῷ Ἱπποκράτει.

Φιλίων, ὁ φίλτερος. καὶ γίνεται ἐκ τοῦ φίλος, ὁμοίως τῷ καλὸς καλίων. κεῖται παρὰ Σοφοκλεῖ. τούτου τὸ ὑπερθετικὸν, ἐν τῷ φιλίστων ἐκγόνων.

Φίλιος Ζεὺς, ὁ τὰ περὶ τῆς φιλίας ἐπισκοπῶν.

Φίλιπποι, μοιχοί.

Φιλόγελως, φιλόγελω Ἀττικοί. φιλογέλωτος δὲ Ἕλληνες.

Φιλογυνὴς Ἀττικοὶ, οὐ φιλογύναιος.

Φιλογυνία ἐστὶν, ἐπιθυμία γυναικικῆς συνουσίας ἄμετρος.

Φιλόδακρυς, Ἀχιλλεύς. διὸ καὶ ἀγαθός ἐστιν ἥρως κατὰ τὴν παροιμίαν, ἀγαθοὶ ἀριδάκρυες ἄνδρες.

Φιλόδικος, φιλοπράγμων.

Φιλοζωία ἐστὶν, ἐπιθυμία ζωῆς.

Φιλοθεάμονες, φιλοθεωρηταί.

Φιλόθακος, ἀργή.

Φιλοθερσίδης, Φιλοθέρσου παῖς.

Φιλοΐστωρ, φιλῶν ἱστορεῖν.

Φιλοκαλία, φιλοῦσα τὰ σπάργα.

Φιλόκαλος, φιλόκοσμος.

Φιλιὸς, ὁ ἀποτρόπαιος κατ' εὐφημισμόν.

Φίλοι, προτείνουσι Δία φίλιον. οἱ δὲ συνοικοῦντες, ἐφέστιον. οἱ δὲ ἐν μιᾷ τάξει, καὶ ἐν μιᾷ συμμορίᾳ καταλεγόμενοι, ἑταιρεῖον. οἱ δὲ ξένοι, ξένιον. οἱ δὲ ἐνόρκους συμφωνίας ποιοῦντες, ὅρκιον. οἱ δὲ δεόμενοι, ἱκέσιον. οἱ δὲ ἀδελφοὶ, ὁμόγνιον.

Φίλοιφος, παχητής.

Φιλοκέρτομε, φιλῶν σκώπτειν.

Φιλοκηδὴς, ὁ κηδεμονικός.

Φιλοκνήμιδες, φίλοπλοι.

Φιλοκομπῶν, μεγαλορρημονῶν, ἑαυτὸν ὀψῶν.

Φιλοκτέανος, φιλοχρήματος, φιλοκτήμων.

Φιλοκρινεῖ, διακρίνει, δοκιμάζει.

Φιλολάμπαδος, ἡ Ἄρτεμις.

Φιλοθύται εἰσὶν, οἱ δυσιδαίμονες, οἱ θύοντες ἀεὶ τοῖς Θεοῖς, νομίζουσιν ἐκ τούτου ἀβλαβεῖς ἔσεσθαι.

Φιλολογεῖν, ἀδόκιμον, ἀλλὰ φιλοσοφεῖν, κἂν ὁ φιλόλογος, καὶ ἡ φιλολογία εὕρηται ἐν χρήσει.

Φιλομειδὴς, ὅπερ Ἡσίοδος ἐκ τῶν τοῦ Κρόνου μηδέων ἐτυμολογεῖ. ὡς Βοιωτικῶς δὲ, διὰ τῆς ει διφθόγγου γράφεται ἐν τῇ παραληγούσῃ, καὶ διπλασιάζει τὸ μ διὰ τὸ μέτρον κατά τινα τῶν ἀντιγράφων.

Φιλομειδὴς, φιλόγελως, παρὰ τὸ μέδειν, τὸ βασιλεύειν, τοῦ φιλεῖν, κατὰ πλεονασμὸν τοῦ ι. ἢ παρὰ τὸ μειδιῶ τὸ γελῶ.

Φιλομύθῳ, πεπλασμένῳ λόγῳ.

Φιλονεικῶ, ἐρίζω, ἁμιλλῶμαι, ἀνταίρω, ἀντιφιλοτιμοῦμαι, ταυτόν.

Φιλονεικῶ, δοτικῇ συντάσσεται. καὶ γίνεται ἀπὸ τοῦ φιλῶ τὸ ἀγαπῶ, καὶ τοῦ νείκη ἡ φιλονεικία. ὅθεν φιλόνεικος, ὁ διὰ λόγου μαχόμενος.

Φιλόξενον, ὁ μὲν εἶπεν πρὸς τὸν ἀγαθὸν τρόπον. ὁ δὲ ὡς κύριον. καὶ γὰρ ὁ φιλόξενος ἐκωμῳδεῖτο, ὡς πόρνος.

Φιλόξενός ἐστιν, ὃς οἶδεν, αὐτὸς ὢν ξένος.

Φιλοπευστεῖν, ἀκούειν, μανθάνειν, ἐρωτᾶν.

Φιλόπολις, κοινόν. Ἀττικὸν δὲ, τὸ φιλόπατρις.

Φιλοπονία ἐστὶ, διάθεσις ἐξεργαστικὴ τῶν ἐπιβαλλόντων. ἢ ἕξις ἀποτελεστικὴ, οὗ ἂν προέληται καρτερία, ἑκούσιος ἕξις, ἀδιάβλητος πρὸς πόνον.

Φιλόπονος, φιλεργὸς, ὁ περὶ τὸ πονεῖν πρόθυμος.

Φιλοπότης. ἰστέον ὅτι διαφέρει φιλοπότου, φιλοπότης μὲν διὰ τοῦ ο μικροῦ, ὁ φιλῶν πότους καὶ συμπόσια. φιλοπώτης δὲ διὰ τοῦ ω μεγάλου, ὁ φιλῶν πολλὰ πίνειν. πῶμα γὰρ τὸν ποτὸν, καὶ οὐ πόμα.

Φιλόπυστος, φιλοπράγμων.

Φιλοκτήτης ἐν Λήμνῳ καθαίρων βωμὸν τῆς Χρυσῆς Ἀθηνᾶς, ἐδήχθη ὑπὸ ὕδρου, καὶ ἀνίατα τραυματισθεὶς ἰάθη αὖθι ὑπὸ τῶν Ἀχαιῶν, εἰδότων ὡς οἱ τοῦ Ἡφαίστου ἱερεῖς ἐθεράπευον τοὺς ὀφιοδήκτους. λέγει δὲ ἡ ἱστορία, καὶ ὅτι εἵμαρτο μὴ ἁλῶναι τὴν Ἴλιον, δίχα τῶν Ἡρακλέους τόξων, ἅπερ εἶχεν ὁ Φιλοκτήτης. διὸ καὶ μνησθέντες αὐτοῦ οἱ Ἀχαιοὶ μετεκαλέσαντο.

Φίλος θυμὸς, ὅμοιον τῷ φίλον ἦτορ. καὶ φίλη χεὶρ, καὶ φίλα γυῖα. καὶ φίλα γούνατα, παρ' Ὁμήρῳ.

Φίλος ἐστὶν, ὁ τῶν φίλων τὰ μυστήρια γινώσκων. ἢ ὁ τὴν ψυχὴν διατρέφων. ἢ ὁ τὰς περιστάσεις τοῦ φίλου κοινοποιούμενος.

Φίλος ἐστὶν, ὁ οὕτως ἔχων τὸν φιλούμενον ἀπόντα, ὡς παρόντα. φίλος ἐστὶν, ὁ ταῖς περιστάσεσιν ἀεὶ κατὰ δύναμιν κοινούμενος.

Φίλος λέγεται καὶ ἐπὶ τοῦ φιλουμένου.

Φίλος, ἀεὶ βραχύ, παρὰ δὲ τοῖς ποιηταῖς ἐνίοτε καὶ μακρόν.

Φιλοσωματία ἐστὶ, φιλία ἄμετρος σώματος.

Φιλοσοφεῖν, σπουδάζειν, ἢ πονεῖσθαι.

Φιλοσοφεῖν, ἀντὶ τοῦ πονεῖσθαι. φιλοσοφεῖ δὲ τοῦτο, ὅπως κατασφράξηται τὸν γάμον.

Φιλοσοφία ἐστὶ, γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων. φιλοσοφία ἐστὶν ὁμοίωσις κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. φιλοσοφία ἐστὶ, μελέτη θανάτου. φιλοσοφία ἐστὶ, τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν. φιλοσοφία ἐστὶ, φιλία σοφίας. φιλοσοφία ἐστὶ, κάθαρσις ψυχῆς ἀπὸ σώματος, τοῦ ζῶντος ἔτι συνισταμένου.

Φιλόσοφοι, Μενέλαοι, ποθούμενοι, δηλούμενοι, κοινοί. Δωριεῖς δὲ, φιλοσόφοι Μενελάοι, ποθουμένοι, δηλουμένοι λέγουσι.

Φιλόσοφος, ὁ φιλῶν λόγους, καὶ σπουδάζων περὶ παιδείαν. οἱ δὲ νῦν ἐπὶ τοῦ ἐμπείρου τιθέασιν, οὐκ ὀρθῶς.

Φιλοσοφῶ, τὸ τὴν ἀληθῆ σοφίαν ἀσκῶ ἀμεταβάτως. καὶ φιλοσοφῶ τοῦτο μεταβατικῶς, ἤγουν ἀσκῶ. καὶ φιλοσοφεῖ τοῦτο παρὰ Μενάνδρῳ, ὅπως κατασφράξηται, ἤγουν φάσκει. καὶ παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, ταῦτά μοι περὶ Θεοῦ πεφιλοσοφήσθω τὰ νῦν, ἤγουν εἰρήσθω. καὶ πεφιλοσόφηται παρ' αὐτῷ ἐν πολλοῖς ἄλλοις, ἀντὶ τοῦ τεθεολόγηται.

Φιλόστροφος, ἀμετάβολος.

Φιλοσύμμαχος, φιλολοίδορος, μάχιμος.

Φιλότης, καὶ ἡ τῶν φίλων συνάθροισις κυρίως, καὶ ὁ φίλος. σημαίνει δὲ καὶ τὴν συνουσίαν.

Φιλοτησία, πρόποσίς τις μετὰ τὸν δεῖπνον ὑπὲρ φιλίας.

* Φιλοτησία, ἡ φιάλη ἡ διδομένη ἐν τοῖς πότοις, καὶ φιλοτησίαν προπίνειν ἐστὶν, ἡνίκα τὶς ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος, τὸ λοιπὸν παράσχῃ φίλῳ, καὶ τὴν φιάλην χαρισάμενος.

Φιλοτήσια ἔργα, ἀφροδίσια, τὰ συνουσιαστικά.

Φιλοτησία, φιλία, δεξίωσις.

Φιλότητα λέγει Ὅμηρος, τὴν φιλίαν. φιλοῦμαι, διαλλάττομαι.

Φιλότητα, παράσχῃ παρ' Ὁμήρῳ, τουτέστι φιλικὰ δῶρα.

Φιλοτιμία, ἀντὶ τοῦ φιλονεικία. καὶ φιλότιμος, ἀντὶ τοῦ φιλονίκου λαμβάνεται.

Φιλοτιμία, δωρεά. ἢ πλεονεξία, ἢ κενοδοξία.

Φιλοτίμως, μεγαλοδώρως, ὑπερμέτρως, ἐπιμελῶς. καὶ φιλοτιμεῖται, ἐπιδαψιλεύεται, μεγαλοφρονεῖ, σπουδάζει, ἀγαπᾷ.

Φιλοτιμία ἐστὶν, ἕξις ψυχῆς προσεκτικὴ πάσης δαπάνης, ἄνευ λογισμοῦ.

Φιλοτιμία ἐστὶ, πόθος ἄμετρος τιμῆς.

Φιλοτιμία λέγεται, ἡ ἐπίδειξις. καὶ φιλοτιμεῖσθαι ῥῆμα τὸ ἐπιδείκνυσθαι, καὶ ἐνδείκνυσθαι. λέγεται φιλοτιμία, καὶ ἡ φιλονεικία, καὶ ἡ ἔρις. καὶ φιλοτιμεῖσθαι, τὸ ἐρίζειν καὶ φιλονεικεῖν. καὶ διαφιλοτιμεῖσθαι, τὸ διαμάχεσθαι. ὡς καὶ Συνέσιος, τοσοῦτόν ἐστι τὸ διαφιλοτιμεῖσθαι καλόν. φιλοτιμία λέγεται, καὶ ἡ δεξίωσις, καὶ ἡ φιλοφρόνησις. καὶ φιλοτιμεῖσθαι, τὸ δεξιοῦσθαι, καὶ φιλοφρονεῖσθαι. ὅσα ἀπὸ τῶν εἰς μι κανονίζεται, ταῦτα καὶ ἀκριβέστερα παρ' Ἀττικοῖς. φιλοτιμία δέ ποτε μὲν κενοδοξίαν δηλοῖ, ἐκ τοῦ φιλεῖν τιμᾶσθαι. ποτὲ δὲ μεγαλοψυχίαν. ποτὲ δὲ χάριν, ἢ δωρεάν.

Φιλοτιμεῖται, ἐπιδαψιλεύεται, μεγαλοφρονεῖ, σπουδάζει, ἀγαπᾷ, ἐπαίρεται, πλουτεῖ.

Φιλοτιμοῦνται πρὸς ἀλλήλους ἄνθρωποι, περὶ ἀρχῶν καὶ τιμῶν, ἤγουν φιλονεικοῦσι, παρὰ Λουκιανῷ.

Φιλοτίμως, μεγαλοδώρως, ὑπερμέτρως, ἐπιμελῶς.

Φιλοῦσιν, εἰώθασι.

Φιλοῖμεν, φιλέω φιλῶ, καὶ ἡ μετοχὴ, ὁ φιλῶν τοῦ φιλοῦντος, καὶ τὸ εὐκτικὸν φιλοῖμι. τὸ πληθυντικὸν πρῶτον φιλοῖμεν φιλοίημεν Ἀττικόν ἐστι. τὸ γὰρ ῥηθὲν φιλοῖμι, τροπῇ τοῦ μι εἰς ην φιλοίην γίνεται, εἶτα τὸ πληθυντικὸν πρῶτον, φιλοίημεν, οὕτω τὸ ἀναβιῴην παρὰ Ἀριστοφάνει. καὶ φιλῶ τὸ ἀγαπῶ, καὶ τὸ καλῶς διατίθεμαι πρός τινα, οὗ ἐναντίον τὸ μισῶ. φιλῶ καὶ τὸ στόματί τινα, ὃ ἐναντίον οὐκ ἔχει. φιλεῖ καὶ τόδε γίνεσθαι παρ' Ἀττικοῖς, ἤγουν εἴωθε, καὶ ὅσα ἀπ' αὐτοῦ. φίλος υἱὸς, φίλη μητρί. φίλος, ὁ οἰκεῖος, καὶ κατὰ γένος προσήκων ὡς παρ' Ὁμήρῳ. καὶ φίλα γυῖα, καὶ φίλαι χεῖρες.

Φιλοφρονεῖν, τὸ τὰς δεξιὰς ἀλλήλοις ἐμβάλλειν.

Φιλοφροσύνη, προθυμία, διάθεσις, σπουδή, ἀγάπη. παρὰ τὸ φίλα, ἢ φίλια φρονεῖν.

Φιλοφροσύνη, φιλοφρόνησις, φιλία.

Φιλοφρονέστατα, φιλικώτερα, φιλοφρονούμενα, παραμυθούμενα.

Φιλοχρηματία ἐστὶν, ἐπιθυμία ἄπληστος καὶ ἄμετρος χρημάτων.

Φιλοχωρῶν, τὴν χώραν ἀγαπῶν.

Φιλοψευδῆ. τὸν Δία ἐκάλεσεν Ὅμηρος, ἤγουν ἀπατεῶνα ψεύδειν εἰδότα, ἤγουν ἀπατᾶν.

Φιλοψευδής. ἰστέον ὅτι τὰ ὑπὲρ μίαν συλλαβὴν ὀξύτονα κατὰ τοὺς παλαιοὺς, καὶ ἐν τῇ συνθέσει ὀξύνονται. οἷον σαφὴς ἀσαφὴς, ἀθλητὴς καὶ φιλαθλητὴς, ἐραστὴς ἀντεραστὴς, ψευδὴς φιλοψευδὴς, ποδὴς καταποδής. χωρὶς τοῦ ἀληθὴς, τοῦτο γὰρ τὸ σύνθετον φιλαλήθης. καὶ τοῦ κριτὴς, οἷον ὀνειροκρίτης, ταῦτα γὰρ μεταβολὴν τόνου ἔπαθον.

Φιλόψυχον, δειλόψυχον.

Φιλόω, φιλῶ τὸ ἀγαπῶ, φιλώσω. ἐξ οὗ φιλωθεὶς, φιλήτης, ὁ ἀπατεών.

Φίλτατα, τὰ ὄμματα, καὶ προσφιλέστατα.

Φίλτατοι, φιλικώτατοι.

Φίλτατος κατὰ συγκοπήν. καὶ φιλαίτατος εἴρηται παρὰ τοῖς Ποιηταῖς. ὡς παρὰ Θεοκρίτῳ, ὤρατος δ' ὁ πάντα φιλαίτατος.

Φίλτρα, κυρίως μὲν λέγεται, τὰ ἐπὶ μαγγανείᾳ γινόμενα φάρμακα, ἤγουν τεύματα ἐπὶ τῷ ἐφελκύσασθαι ἁπλῶς καὶ τὰ ζῶα, ὅθεν γίνονται αἱ τῶν ἡδονῶν ἀπολαύσεις. ὡς παρὰ Θεοκρίτῳ, πάντα τὰ φίλτρα. καὶ ἡ ἁπλῶς γινομένη τισὶν ἐκ ψυχῆς ἀγάπη.

Φίλτρον ἐστιν, ἡ ἐνδιάθετος περὶ τὸ καταθύμιον χρῆσις δι' ἡδονῆς, καὶ προσπαθείας ἐνεργουμένη. ἢ φίλτρον, ἡ φιλία.

Φιλύδρα, ἡ φιλοῦσα τὸ ὕδωρ.

Φιλυδρίας, ὁ φιλῶν τὸ ὕδωρ.

Φίλυρα, φυτὸν ἔχον φλοιὸν βύβλῳ παπύρῳ ὅμοιον, ἐξ οὗ τοὺς στεφάνους πλέκουσι.

Φιλυρίδα νῆσον ὁ Ἀπολλώνιος, τὴν τῶν Φιλύρων. ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ κατοικούσης περὶ τούτους τοὺς τόπους. Κρόνου δὲ μιγνυμένου αὐτῇ, ὅτε ἐβασίλευσε Τιτάνων, τὴν Ῥέαν αὐτοὺς ἐπαυτοφόρῳ καταλαβεῖν. ὅθεν τὸν μὲν Κρόνον αἰδεσθέντα, εἰς ἵππον μεταβληθῆναι, τὴν δὲ φυγεῖν εἰς Θεσσαλίαν. Φερεκύδης φησὶν, ὅτι Κρόνος ἀπεικασθεὶς ἵππῳ, ἐμίγη Φιλύρᾳ τῇ Ὠκεανοῦ. καὶ διὰ τοῦτο διφυὴς ὁ Χείρων. Σουΐδας δὲ ἐν πρώτῳ Θεσσαλικῶν, τὸν Χείρωνα Ἰξίονος εἶναι παῖδά φησιν, ἀδελφὸν δὲ Πειρίθου.

Φιλύρινον, ἀσθενές.

Φιλυρὸν, κοῦφες, ἐλαφρόν.

Φιλῶ, τρία σημαίνει. τὸ ἀγαπᾶν, τὸ ξενίζειν, καὶ τὸ φιλοφρόνως χείλη συμβάλλειν, ὥς φασιν οἱ παλαιοί. τὰ μὲν πρῶτα δύο χρηστά εἰσι καὶ Ποιηταῖς.

Φιλῶ, πολλοὺς ἔχει τοὺς παρακειμένους, ὥσπερ καὶ τὸ γηθῶ. ἐφ' ὧν εἷς μὲν παρακείμενος ὁλόκληρος, πεφίληκα, γεγήθηκα. δεύτερος δὲ πέφιλα, γέγηθα. τρίτος παρ' Ἴωσι δίχα τοῦ κ πεφίληα, γεγήθηα. τέταρτος δὲ παρακείμενος τοῦ φιλῶ πεφίληκα. πέμπτος παρακείμενος ἐκ τοῦ πεφίληα, ὁ πεφίλεα δίχα τοῦ ι. οὗ πρὸς ἀκολουθίαν τὸ ἑστεότα ἑστεὼς μετοχή. ἐκ τοῦ στῶ ῥήματος πολλάκις ὑπαλλάττουσι καὶ ἐκ τῶν διαφορὰν παρακειμένων, ἐκ τοῦ ε, εἰς τὸ α. τὸ γοῦν ἑστεα ἑστα λέγουσιν. ἀφ' οὗ μετοχὴ ἑστώς.

Φιλωνίδης, παρὰ Ἀριστοφάνει πλούσιος ἐν Κορίνθῳ. τούτου δὲ προσεποιεῖτο ἐρᾶν διὰ τὸν πλοῦτον, Λαΐς. καὶ ἄλλα πολλὰ λέγουσι περὶ τούτου τοῦ Φιλωνίδου.

Φίλως, ἡδέως.

Φιλώψ, κρήνη, ἢ φίλος.

Φιλωτερίς, κασαναία.

Φιλώτατα, φίλτατα.

Φίμα, κημὸς, παρασόμιον, φιμός.

Φιμοῖ, δεσμεύει, ἐμφράττει, ἄγχει, ἐπιστομίζει.

Φιμοί, κυβευτικὰ ὄργανα. φιμός ἐστιν ὁ καλούμενος κημὸς, εἰς ὃν ἐνεβάλλοντο, γίνεται ἀπὸ τοῦ σφίγγω σφιγμὸς, καὶ φιγμός. καὶ φιμοῖ, ἄγχει ἐπιστομίζει.

Φιμὸς, καὶ ἄφιμος ἵππος, ὁ ἀχαλίνωτος. καὶ δύσφιμος, ὁ δυσχαλίνωτος.

Φὶν, αὐτοῖς, ἢ αὐταῖς.

Φίνακα, δρῦν.

Φίνηται, σωτιθῇ.

Φινέα Ἀγηνορίδην Ἑλλάνικος εἶπε, καθὸ Ἀγήνορός ἐστι παῖς. ὁ δὲ Ἡσίοδος τοῦ Φοίνικος, αὐτόν φησι τοῦ Ἀγήνορος. πηρωθῆναι δὲ λέγουσι τὸν Φινέα ὑπὸ Ἡλίου, ὅτι πολυχρόνιος εἵλετο μᾶλλον εἶναι, ἢ βλέπειν. ἔνιοι δὲ ἀπίθανον οἴονται τοσαύτας γενεὰς ἐζηκέναι Φινέα, ὥστε τοῦ Φοίνικος ὄντα υἱὸν, μέχρι τῶν Ἀργοναυτῶν διαρκέσαι. καὶ ἕτερον τοῦτόν φασι τὸν Φινέα ἕβδομον ὄντα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος, πρὸς ὃν ἀπηντήσαν οἱ ἥρωες, πηρωθῆναι δὲ αὐτὸν, ὅτι ἐπεβούλευσε Περσεῖ. Σοφοκλῆς δὲ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν, Ὤρυιθον καὶ Κράμβιν, πεισθεὶς διαβολαῖς Δίας, τῆς αὐτῶν μητρυιᾶς. ὁ δὲ Ἀπολλώνιός φησι πηρωθῆναι αὐτὸν, καὶ πρὸς τῶν ἁρπυιῶν κακῶς πάσχειν. ὅτι ἀνέδην πᾶσι, καὶ διαρρήδην ἐμαντεύετο. φησὶ γὰρ οὐδ' ὅσσον ὀπίζετο καὶ Διὸς αὐτοῦ. οὐδ' ὅσον ὀπίζετο, οὐδὲ ἐλάχιστον τοῦ Διὸς αὐτοῦ ἐπεστρέφετο, τὰ θεῖα ἐνθυμήματα πᾶσιν ἐμφαίνων. λέγων γὰρ πάντα τὸν νοῦν ἀνθρώποις, οὐδὲ μίαν χρείαν αὐτοῖς τῶν Θεῶν κατελίμπανε.

Φινεὺς, παρὰ τὸ ἶφι καὶ τὸ νοῦ γίνεται, οἱονεὶ ὁ ἰσχυρὸν νοῦν ἔχων.

Φίντης, κύριον Δωρικὸν παρὰ Πινδάρῳ, οἱονεὶ φίλτης. οὗ ἐντελέστερον ὁ φιλήτας, παρηγμένον κατὰ τὸ νικήτας. ὅμοιον δὲ καὶ τὸ φίντατος, ὅπέρ ἐστι φίλτατος, τροπῇ τοῦ ν εἰς λ. οὕτω καὶ τὸ γέντο εἶπεν Ὅμηρος, ἀντὶ τοῦ ἕλετο, κατὰ συγκοπὴν, ἕλτο. καὶ τροπῇ τοῦ λ εἰς ν, ἕντο, καὶ προσθήκῃ τοῦ γ γέντο. τοῦ δὲ φιλίστατος χρῆσις παρ' Ἐπιχάρμῳ, ἐν τῷ φίντατοι ταινίαι.

Φίσκος, δημόσιον ταμιεῖον, πολύχρημον.

Φιτρὸς, ὁ κορμός. ὡς μάλιστα ἔοικεν ὁ φιτρὸς φιτυρός τις εἶναι, ὡς ἀπὸ τοῦ φιτὸ, ὃ δηλοῖ φυτὸν, ἢ φύτευμα, ὡς Ἀριστοφάνης ἐν εἰρήνῃ. πόθεν τὸ φίτυτι, τὸ γένος, τίς ἡ σπορά. πάντως δὲ ἐκ τοῦ φιτύω φιτύσω τὸ γεννῶ, φίτυς ὁ γεννῶν. καὶ τὸ οὐδέτερον φίτυ.

Φίτρον, μέτρον μάταιον, ῥάδιον, καὶ τὸ μέσον τοῦ ῥινίου, τὸ κοῖλον. καὶ ὁ κορμὸς τοῦ ξύλου, παρὰ τὸ φύεσθαι.

Φίττα, ἐπίρρημα τάχους δηλωτικὸν, καθὰ καὶ παρὰ Θεοκρίτῳ τὸ σίττα.

Φίτυ, σπέρμα. καὶ φιτύσαι, γεννῆσαι. καὶ τὸ γέννημα φίτυμα Εὔπολις Αὐτολύκῳ, αὐτὰρ ἤγαγες καινὸν φίτυμα βοῶν.

Φίτυμα, τέκνον, γέννημα.

Φιτύσατο, ἐγέννησε.

* Φιτύσαι, γεννῆσαι, ἐπὶ τοῦ Πατρὸς τίθεσιν, ἐπὶ δὲ μητρὸς οὐκ ἔτι, ἀλλὰ γεννῆσαι.

Φιτύνειν, ἀντὶ τοῦ σπείρειν, ἐπὶ πατρός. καὶ παράγεται ἀπὸ τοῦ φύτης ὁ πατήρ.

Φιτύω, σημαίνει τὸ φυτεύω.

ΤΟ' Φ'. ΜΕΤΑ' ΤΟΥ' Λ'.

Φ Λάζουσιν, ἀσαφῶς καὶ ἀδιαρθρώτως φθέγγονται, παρὰ τῷ Ἱπποκράτει.
Φλᾶν, τύπτειν, ἢ μαλάττειν, καὶ τὸ ἀναμαλάττειν, ἀναφλᾶν, Ἀριστοφάνης.
Φλᾶται, ἀντὶ τοῦ θλᾶται. καὶ φλάσαιμι, ἀντὶ τοῦ θλάσαιμι.
Φλαῦρον, εἰς τὸ φαῦλον.
Φλαυεία, δῆμος τῆς Κεκροπίδος. ἐκ τούτου δὲ τοῦ δήμου ἦν Εὐριπίδης, ὁ τῆς τραγῳδίας ποιητής.
Φλανύσει, φλυαρεῖ, ληρεῖ.
Φλασμὸς, τῦφος.
Φλασμένος, τετυφωμένος.
Φλάω, φλῶ, τὸ τρίβω. Ἀριστοφάνης, ἔπειτ' ἔφλα σκορόδων κεφαλὰς τρεῖς τηλίων, ἤγουν ἔτριβε. καὶ νύττουσι καὶ φλῶσι ἀντικνήμια.
Φλεβάζοντες, βρύοντες, ἀπὸ τοῦ φλέω ῥήματος, ἢ ἀπὸ μεταφορᾶς τῶν φλεβῶν.
Φλέβες, ἀπὸ τοῦ τὸν χυμωδέστατον φλεγμὸν περιέχειν, τουτέστι τὸν τοῦ αἵματος. φλέβες οὖν παρὰ τὸ δι' αὐτῶν βαίνειν τὸ φλογῶδες.
Φλέγεια, ἡ νῦν Πελλήνη.
Φλεγέθω, νεμέθω, τὸ βόσκω. τὰ διὰ τοῦ εθω λήγοντα ῥήματα, μέχρι παρατατικοῦ κλίνεται. ὁμοίως, τὰ εἰς υθω λήγοντα, οἷον μινύθω.
Φλέγειν, ἤγουν λάμπειν.
Φλέγμα, οὐ μόνον τὸν χυμὸν τοῦτον τὸν λευκὸν καὶ ψυχρὸν, ἀλλὰ καὶ τὴν φλόγωσιν δηλοῖ, παρὰ τῷ Ἱπποκράτει.
Φλέγμα κακὸν λέγει Ὅμηρος. καὶ τὴν ἐκ θαλασσίας καυστικῆς θυέλλης πύρωσιν. οὕτω δέ πως καὶ ὁ Ὀππιανὸς τὴν λέξιν λαμβάνει, φλέγμα λέγων τὴν θερινὴν φλόγωσιν. τὸ δὲ κοινῶς λεγόμενον φλέγμα, ἕτερον ἔχει λόγον.
Φλεγμαίνω, φλυαρῶ, ἀμεταβάτως. φλέγει, καίει. φλέγμα κακὸν φέρουσα παρ' Ὁμήρῳ, σημαίνει τὴν κατὰ τὸ φλέγειν ἐνέργειαν. ὁμοίως καὶ τὸν πυρετὸν, ἀντὶ τοῦ πυρὸς ἔλεξεν. Ὅμηρος γάρ τινας λέξεις, ἐπ' ἄλλων πραγμάτων κειμένας, ἐπ' ἄλλα μετατέθεικεν, οἷόν ἐστι τὸ προῤῥηθέν.
Φλέγμας, ἀετὸς ξανθὸς, ὀξύς.
Φλεγματόειν, ἔκρηγμα τῆς φλογός.
Φλεγμὸς, τὸ αἷμα.
Φλεγμονή ἐστιν, ὄγκος ὀδυνηρὸς, καὶ ἀντίτυπος, καὶ θερμός.
Φλεγοίατο, Ἰωνικῶς ἀντὶ τοῦ φλέγοιντο, καὶ τοῦτο ἀντὶ τοῦ φλέγοιεν.
Φλεγοίατο Ἀττικῶς, κατὰ πάθος ἐσχηματίσθη. τέθειν παρ' Ὁμήρῳ, ἀντὶ τοῦ φλέγοιεν.
Φλέγουσι, βλάπτουσι.
Φλέγρα, ὄρος, ἢ πεδίον Θρᾴκης περὶ Πελλήνην, ἔνθα οἱ Θεοὶ, τοὺς Γίγαντας ἐπολέμησαν.
Φλεγύας ἐστὶν ἀετὸς, ἀπὸ τοῦ φλέγειν καὶ λαμπρὸς εἶναι. οἱ δὲ, ὄρνεον παραπλήσιον γυπί. Ἡσίοδος ἀσπίδι, μορφοῖο φλεγύαο, τουτέστι μέλανος ἀετοῦ.
Φλεγυρὰ, ὑβριστικὰ, λαμπρά.
Φλέγυαι, ἀπὸ τῆς εὐθείας τῆς φλεγύας, ὡς μινύας. ἀλλὰ καὶ φλέγυες ἀπὸ τοῦ φλεγὺς, φλεγύος, ὡς νέκυος, ἀσεβεῖς καὶ λῃστρικοὶ ἄνδρες. καὶ οὗτοι δὲ ἦσαν βίαιοι, καὶ ὑβρισταί. ὥστε καὶ τὸ ὑβρίζειν φασὶ δι' αὐτοὺς παρὰ Φωκεῦσι φλεγυᾷν λέγεσθαι.
Φλεγυρὸν, πυρῶδες, τὸ δυνάμενον φλέγειν, παρὰ τῷ Ἱπποκράτει.
Φλέγωμεν, καίωμεν, λαμπρύνωμεν.
Φλεδὼν, καὶ Φλεδωνεία, ἡ φλυαρία.
Φλειάσιον, τὸ φλιάσιον πεδίον.
Φλεδονώδεα, τὸν φλύαρον λέγουσιν, ὡς παρὰ τῷ Ἱπποκράτει. φλεδόνες γάρ. αἱ φλυαρίαι.
Φλεῖ, γέμει, ἀκμάζει, πολυκαρπεῖ.
Φλεκύουσα, φλυαροῦσα, παρὰ τῷ Ἱπποκράτει.
Φλέυ, ἐκ τοῦ φλέω, φλογμῶδες καὶ πυρῶδες. ἔστι δὲ τοῦτο φυτὸν, ὅπερ καὶ πλεκόμενον τίθεται τοῖς ἐλαιηροῖς κεραμίοις, παρὰ τῷ Ἱπποκράτει.
Φλέξαι, κατακαῦσαι.
Φλεὸς, βασκανία, φθορὰ, καὶ ὁ ἥλιος φλοιός.
Φλέψ, μάλωψ, καὶ τὸ ἀναλογοῦν τῷ σώματι.
Φλέω, Διονύσου ἱερόν.
Φλέωσι, λοχμῶδες φυτόν. οὗ μνημονεύει Θεόφραστος. πρόδηλον ὅτι ποτάμιός ἐστι βοτάνη, ὡς βούτομον. ὡς καὶ Θεόκριτος, ἔνθεν βούτομον ὀξύ.
Φληδῶντα, ληροῦντα.
Φλήναφος, καὶ ἡ φλυαρία, καὶ ὁ φλυαρῶν. ὥσπερ λῆρος, καὶ ἡ ληρῳδία, καὶ ὁ ληρῶν. γράφεται δὲ καὶ φλυαρεῖν καὶ φληναφεῖν, ὡσαύτως δὲ φλυαρίαρος καὶ πολύλογος, καὶ πολυλογεῖν κοινά.
Φληναφώδεις, φλύαροι, παρὰ τῷ Ἱπποκράτει.
Φλῆφος, φλύαρος.
Φλιὰ, τὸ πλάγιον τῆς θύρας, αἱ παραστάδες, ἐν ᾧ ἵσταταί τις καὶ ἐπερείδεται, ἐκ τοῦ θλίβω, θλίψω, θλιὰ, καὶ φλιὰ, ὡς θηρσὶ φηρσὶ διὰ τὸ στενὸν τῆς ὁδοῦ.
Φλιὰς, τὰς ἐν ξύλοις ὀρθοῖς ἐμπεπηγμένας. καθὰ δὴ καὶ αἱ τῶν νεύρων φλέβες, παρὰ τῷ Ἱπποκράτει.
Φλιαρὰ, χλιαρά.
Φλιδάνει, διαπίπτει, διαῤῥεῖ.
Φλιδιόωντο, διέποντο, ἐστέμνοντο.
Φλιδόνες, τὰ ἐν τοῖς ἱματίοις σπάσματα, καὶ ῥυτίδες, τινὲς δὲ, σφυγμοί.
Φλιδόωσα, διεῤῥωγυῖα.
Φλίω, μιμητικὸς ἦχος τῶν γαμψωνύχων.
Φλίεθος, καρποφόρος.
Φλιοῦς, ἡ τῶν καρπῶν ἔκλυσις.
Φλίψεται, ἀποθλιβήσεται.
Φλίψις, θλίψις.
Φλόγεα, λαμπρὰ, πυρώδη. παρὰ τὸ φλέγω.
Φλόγεαι, ἐρυθραί. παρὰ τῷ Ἱπποκράτει.
Φλογιᾷ, πυροῦται, μετὰ ἐρυθήματος.
Φλογίδες, κρέα ὀπτὰ, διὰ τὸ φλογίζεσθαι.
Φλογίδια, αἱ κεγχρίδες δι' ἐλαίου σκευαζόμεναι.
Φλογόδερπνοι, ἄνθρακες.
Φλογόλευκον, ἐρυθρόλευκον.
Φλογμὸς, καῦμα ἐκ πυρακτώσεως.
Φλογοῦται, ἀντὶ τοῦ πυροῦται. φλογίζεται δὲ, ἀντὶ τοῦ ἐκκαίεται.
Φλογώματα, τῶν ἄρτων τὰ ἐπικεκαυμένα.
Φλοιὰν, τὴν Κόρην τὴν Θεὸν, οὕτω καλοῦσι Λάκωνες.
Φλοιδιᾷν, πεφρῆσθαι.
Φλειδούμενος, ταραττόμενος.
Φλοῖσβος, κατὰ ὀνοματοποιίαν ἦχος ὕδατος θαλασσίου, ἐν τῇ ἐκκυμάνσει γινόμενος πρὸς τοῖς αἰγιαλοῖς παλινοστοῦντος τοῦ κύματος. διὸ καὶ πολύφλοισβος λέγεται θάλασσα. ἔστι δὲ, ὅτε καὶ ἁπλῶς ἐπὶ θορύβου κεῖται, οἷον ἐπὶ πολέμου. καὶ ἔστι μὲν καὶ ῥῆμα, ὠνοματοπεποιημένον τὸ φλύω. οἷον ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα. ἢ φλοῖσβος, ποιὰ φωνὴ, ἀπὸ τοῦ ἤχου πεποιημένη, ὃν ποιεῖ τὸ κῦμα ἐπικλυζόμενον καὶ ὑποχωροῦν. ἀφ' οὗ πολύφλοισβος θάλασσα, ἡ συνεχῆ ἦχον δηλονότι ποιοῦσα, τῇ παρὰ τῷ αἰγιαλῷ ἐπικλύσει.
Φλοιδούμενος, φλογιζόμενος. γίνεται δὲ ἐκ τοῦ φλογὶ καὶ τοῦ αἰδούμενος, καὶ φλογιδούμενος, ἢ φλοιδούμενος.
Φλοιὸς, τὸ καλούμενον λέπος.
Φλόμος, πόα τὶς, ᾗ καὶ ἀντὶ ἐλλυχνίου χρῶνται. ἡ αὐτὴ δὲ καὶ θρυαλλίς.
Φλονίδες, λεπίδες.
Φλόνος, λοχμῶδες φυτὸν, ᾧ ἀντ' ἐλλυχνίου ἐχρῶντο.
Φλὸξ, ἡ τοῦ πυρὸς, καὶ ἄνθος τί.
Φλουάζει, φλυαρεῖ, ληρεῖ.
Φλοῦκτος, εἶδος ῥοφήματος.
Φλοῦς, φλοιὸς, λεπύχανον, λέπυρον. ἡμάρτηται δὲ, παρὰ γὰρ Ἀθηναίοις οὐ φλοῦς, ἀλλὰ φλεὼς καλεῖται.
Φλυάκια, τὰ ψυδράκια.
Φλύαξ, μέθυσος, μεθυαστὴς, γελοιαστής.
Φλυαρεῖν εἴρηται, ἀπὸ μεταφορᾶς τῶν λεβήτων. ἀπὸ τοῦ φλύειν, ὅ ἐστι καχλάζειν. καὶ ἐκ τούτου τὸν ἀφρὸν ἀποβάλλειν. καὶ Ὅμηρος, ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
Φλύαρος, μωρολόγος, παρὰ τὸ φλύω. ὁ ὑπερζέων τοῖς λόγοις, καὶ ἀναπέμπων ἀκρίτως τὰ ῥήματα. φλύειν γὰρ τὸ ἀναζεῖν. ἔνθα ἡ ἐκ θερμότητος ἀνάζεσις, λέγεται φλυκτὶς. καὶ ἀνὰ δ' ἔφλυε, τὸ ἀνέζεε. καὶ φλύκταιναι, αἱ συνιστάμεναι φῦσαι ἐν τῷ ὕδατι τοῦ ὑετοῦ.
Φλυάσσει, φλυαρεῖ, φλύει.
Φλυδᾷν, ὑγραίνεσθαι, μυδᾷν. παρὰ τῷ Ἱπποκράτει.
Φλυδαρὴν, ὑγράν. παρὰ τῷ Ἱπποκράτει.
Φλυεῖς, δῆμος τῆς Κεκροπίδος. ἐκ τούτου δὲ τοῦ δήμου ἦν Εὐριπίδης, ὁ τῆς τραγῳδίας ποιητής.
Φλύεται, ὑγραίνεται.
Φλύζειν, ἀναζεῖν, φλύζεσθαι.
Φλυζούσῃσι, βλυζούσαις.
Φλυζάκια, ψυδράκια.
Φλυήσιος, ὁ Ἑρμῆς, καὶ ἄλλοι τινές.
Φλυκτὰ, κακὰ, σχέτλια.
Φλυκταίνας, Ἀπολλόδωρος τὰ ἐκ τοῦ πυρὸς ἐρυθήματα, ἢ ἐκ ψύχους. ἢ τοὺς τύλους καὶ τὰ ἐπικαύματα τὰ ἐκ τοῦ πυρὸς διὰ τὸ αὐτουργεῖν τοῦτο παθόντων λέγει. καὶ φλυκταίνας λέγει Ἀριστοφάνης, φύσκας ἐν τῇ χειρὶ, ἐκ τοῦ κωπηλατεῖν.
Φλύον, βιβλίον, καθαρόν.
Φλύσαι, ἀποβαλεῖν, ἐμέσαι, ζέσαι.
Φλύσιος, ἐξανθήσεως τῆς ἐπὶ πλεονεξίᾳ γενομένης, κατὰ τὸ σῶμα.
Φλυσὸς, στοίβη. οἱ δὲ, φλοιός.
Φλύσσει, ἐρυγγάνει.
Φλυσῶσα, μαινομένη.
Φλῶ, τὸ γέμω καὶ εὐκαρπῶ.

ΤΟ' Φ'. ΜΕΤΑ' ΤΟΥ' Ν'.

Φ Νεὶ, δεῖ γινώσκειν ὅτι οὐδέποτε λέξις ἑλληνικὴ ἄρχεται ἀπὸ τοῦ φ καὶ ν. τὸ γὰρ φναίτης, ὄνομα παρ' Αἰγυπτίοις βάρβαρον. τὸ δὲ φνεὶ, ἐπιτετηδευμένον ἐστὶ παρὰ Ἀριστοφάνει, μίμημα ὀρνέων φωνῆς.

ΤΟ' Φ'. ΜΕΤΑ' ΤΟΥ' Ο'.

Φ Οὰ, ἐξανθήματα ἐν τῷ σώματι.
Φοβεῖται, φεύγει, κνίζεται.
Φοβέοντο, ἔφευγον. οὕτω καὶ τὸ φοβεῖσθαι, ἀντὶ τοῦ φεύγειν ἀεὶ κεῖται παρ' Ὁμήρῳ.
Φοβερὸν, τὸ φόβον ἐμποιοῦν, ἐπίφοβον δὲ τὸ φοβούμενον. καὶ φοβερὸν δηλητήριον.
Φοβερὸς, σημαίνει ἐνέργειαν καὶ πάθος. οἷον, φοβερὸς, ὁ φόβον ἐμποιῶν. καὶ φοβερὸς, ὁ περιδεής.
Φοβεστράτη, ἡ φοβοῦσα τὸν στρατόν.
Φοβεύμενος, διωκόμενος.
Φόβη, ἡ θρὶξ παρὰ τὸ φοβεροὺς εἶναι τοὺς κομῶντας. οἱ γὰρ παλαιοὶ τῶν ἀνθρώπων, οὕτω φοβερὰν ἐνόμιζον εἶναι τὴν κόμην, ὥστε φόβην αὐτὴν προσηγόρευσαν.
Φοβῆσαι, ῥῖψαι.
Φοβηθεὶς, εἰς φυγὴν τραπείς.
Φοβήσας, ἔνθουν ποιήσας.
Φόβος ἐστὶν, ἐλπὶς κακῶν. ἐλπὶς δὲ, προσδοκία ἀγαθῶν. προσδοκία δὲ, καὶ ἐπ' ἀμφοτέρων. συντάσσεται δὲ τὰ τρία, ὡς ἐπὶ τὸ πλεῖστον μέλλοντι χρόνῳ. φόβος ἐστὶ ψεκτὸς, ἄλογος ἔκλυσις. ἢ προσδοκία μέλλοντος κακοῦ, ἔκπληξις ψυχῆς. ἢ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων.
Φόβος, υἱὸς Ἄρεος πλάττεται. εἰ καὶ ἀλλαχοῦ ἐν τῷ ἵππους κέκλετο Δεῖμόν τε, Φόβον τε γνῶναι. ὁ γραμματικὸς Ἀντίλοχος, ἵππους Ἄρεως τὸν δεῖμον καὶ τὸν φόβον ποιεῖ. σημείωσαι δὲ καὶ τὸ φόβος ἀταρβὴς, καὶ τὸ ὃς ἐφόβησε ταλάφρονα. διττὸς γὰρ ὁ φόβος. ὅτε τοῦ φεύγοντος, καὶ ὁ ἐκ τοῦ κατόπιν διώκοντος. τοῦ μὲν ὡς πάσχοντος φόβον, ἤγουν φυγὴν διὰ τάρβος, τοῦ δὲ ἐμποιοῦντος καὶ ἀταρβοῦς, ἀεὶ κατ' ἐνέργειαν φοβοῦντος. οὐ μὴν τοῦτο καὶ φοβερὸν ἐπ-

ἕτερον, καὶ Ἄρεος υἱὸς μυθεύεται συμπετοδέστερον, ἑπόμενος αὐτῷ. λέγεται ἔτι καὶ ἐπὶ λαοῦ θορύβου. καὶ φόβος ἡ φυγὴ παρ' Ὁμήρῳ. ὡς τό, φόβος ἔλαβε πάντας. διαιρεῖται δὲ εἰς ἕξ. εἰς ὄκνον, εἰς αἰδῶ, εἰς αἰσχύνην, εἰς κατάπληξιν, εἰς ἔκπληξιν, καὶ εἰς ἀγωνίαν. καὶ φόβον Ἄρεος φορεύσαι εἶπον, ἀντὶ τοῦ ἀπτοήτως φλεγούσας. ἕτεροι δὲ τὰς μὴ φοβουμένας. ὡς γὰρ λύπην φέρειν τὸ μὴ λυπεῖσθαι, οὕτω καὶ φόβον φέρειν τὸ μὴ φοβεῖσθαι. ἄλλοι δὲ φόβον Ἄρεος, τὸν ἐκ σιδήρου καυτῆρα ἐνόησαν. ἄρης γάρ, καὶ ὁ σίδηρος. ἵνα λέγῃ ἐγκεκαῦσθαι αὐταῖς ἀπὸ σιδήρου σφραγῖδα. ἤρεσε δέ τισι καὶ δόρυ ἐνταῦθα εἰπεῖν, τὸν τοῦ ἄρεος φόβον. ὡς δόρατος ἐγκεκαυμένου αὐταῖς εἰς ἐπίσημον. καὶ φόβον δ' ἔχεν, ἀντὶ τοῦ εἰς φυγὴν ἔλαυνεν. ὡς τοῦ ἔχειν καὶ ἐπὶ ἐλάσεως ἱππικῆς πολλαχοῦ νοουμένου, διὰ τὸ δέον εἶναι τὸν ἐλαύνοντα οὕτως, ἢ ἐπέχειν τοὺς ἵππους, ἢ ἔχειν χαλινά.

Φοβοῦμαι, ἀγωνιῶ, δειλιῶ, δέδοικα, δειμαίνω, δείδω, εὐλαβοῦμαι, ὀκνῶ, ὀρρωδῶ, πτώσσω, ὑποστέλλομαι, τρῶ, δειλαίνω, τρέμω.

Φοβῶ, καὶ ἐκφοβῶ. φοβοῦμαι περὶ σοῦ, ἢ περὶ σοί. φοβοῦμαι πρὸς ἀπαρέμφατον τοῦ μέλλοντος συντάσσεται, καὶ πρὸς ὄνομα. οἷον, φοβοῦμαι τεθνήξεσθαι, καὶ φοβοῦμαι θάνατον. Θουκυδίδης, οὐ φοβούμεθα ἐλασσώσεσθαι.

Φοῖβα, ἀγὼν δρόμου.

Φοιβάζει, μαντεύεται.

Φοιβαζόντων, προλεγόντων.

Φοιβάζω, τὸ λαμπρύνω. καὶ φοιβᾶσα, τὸ λαμπρύνουσα, παρὰ τὸ φοῖβον τὸ καθαρὸν καὶ λαμπρόν. καὶ φοιβᾶσθαι, τὸ λαμπρύνεσθαι.

Φοιβάζων, πλύνων, καθαίρων τοῖς ὕδασιν. ὅθεν φοίβη τὸ ὕδωρ, καὶ πᾶν καθαρόν.

Φοιβήσαντες, λαμπρύναντες. τὸ ῥυπαρὸν σῶμα καθάραντες. φοῖβον γὰρ τὸ καθαρόν. ὅθεν καὶ φοῖβος ὁ Ἀπόλλων.

Φοιβητεύειν, χρησμῳδεῖν.

Φοιβήτρια, καθάρτρια.

Φοῖβος, καθαρός, ἀμίαντος, ἢ μαντικός. φοῖβον γάρ, τὸν καθαρόν. Ἡσίοδος δὲ μετωνυμικῶς, φοῖβον αὐτὸν καλεῖ, ἀπὸ Φοίβης.

Φοῖβος ὁ Ἀπόλλων, ὁ οἷον φαόβιος, ἐπεὶ καὶ ἀργυρότοξος. ἢ καὶ παρωνύμως, καὶ ἀπὸ μάμμης φοίβης. ἢ καὶ παρὰ τὴν φοίβην τὴν τρίχα. ὡς ἀκειροκόμης ἐξ αὐτοῦ, ἐρρέθη τραγικῶς, κατ' ἀλληγορίαν τὸ ἡλίου φοίβῃ φλογί.

Φοινήεντα, κεπιδωτὸν ὁ Ἀππίων φησίν. οἱ δὲ φόνιον, ἢ ἐρυθρὸν τῷ χρώματι, ἢ καταπληκτικόν, ἢ φονευτικόν.

Φοίνια, ἐρυσίβη. πυῤῥά.

Φοινικάδες, αἱ ῥάφανοι, ὑπὸ Εὐβοέων.

Φοίνικας πολυιδρείας εἶναι δηλοῖ ἡ Ἱστορία. εἰποῦσα, ὅτι Φερεκύδης ὁ τοῖς ἑπτὰ συγχρονίσας Σοφοῖς, ὁ Σύριος, ἐδίδαξε Πυθαγόραν. αὐτὸς οὐκ ἔσχηκε καθηγητήν, κτησάμενος τὰ τῶν Φοινίκων ἀπόκρυφα βιβλία.

Φοινικελίκτην, καὶ λόγων ἀλαζόνα, ἀπατηλὸν καὶ κάπηλον.

Φοίνικες, γένος τι Ἀθήνησι. λέγεται δὲ καὶ γλύφαι.

Φοινίκη, ἡ Συρία. καὶ φοίνιξ, ὁ σύρος. καὶ φοινικοῦν χρῶμα, τὸ κόκκινον. καὶ φοινίσσω, τὸ κοκκίνω, βάπτω.

Φοινικοῦν, ἐρυθρόν, πυῤῥόν, ἢ τὸ μέλαν. γίνεται παρὰ τὸ φοινίσσω, τὸ βλάπτω.

Φοινίκη, νόσος ἥτις κατ' αὐτὸν τόν τε τῆς Φοινίκης τόπον, καὶ κατὰ τὰ ἄλλα ἀνατολικὰ μέρη πλεονάζει. δοκεῖ δὲ αὕτη ἡ ἐλεφαντίασις εἶναι παρὰ τῷ Ἱπποκράτει.

Φοινικηίδες, αἱ ἀνεμῶναι, ἢ πόα. οἱ δὲ τὰ φοινικᾶ ἐνδύματα.

Φοίνικος ἔρνος, περιφραστικῶς τὸν φοίνικα.

Φοινικοβάλανα, τὸ τράγημα. καὶ εἶδος ἀμπέλου.

Φοινικόλεγνον, Ἴων τὸν Πηνέλοπα τὸ ὄρνεον. τὸν γὰρ τράχηλον, εἶπεν φοινικοῦν. ἡ δὲ λέγνη παρέλκει.

Φοινίκους, μάστιγας. διὰ τὸ τὰ νῶτα φοινίσσειν.

Φοινικόχλοις, ξανθόχλοις.

Φοινικέλικτον, ἀπατηλόν.

Φοινικήϊον, πυῤῥόν.

Φοινικήϊα γράμματα, ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος, τοῦ εὑρόντος αὐτά.

Φοινίκη, ἢ ἀπὸ φοίνικος ἀνδρός, ἢ παρὰ τὸ φοινικοῦν χρῶμα. ὥσπερ καὶ ὅτι πονηροὶ οἱ Αἰγύπτιοι, ὅθεν αἰγυπτιάσαι καὶ αἰγυπτιάζειν, οὐ μόνον τὸ ἐπικαῦσαι, ἀλλὰ καὶ πανουργεῖν καὶ κακοτροπεύεσθαι.

Φοινικολόφου, ξανθολόφου.

Φοινικικὸν τὸ ψεῦδος. ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τοὺς σπαρτούς, καὶ τὸν Κάδμον ψευδῶς λεγομένων.

Φοῖνιξ ὁ Ἀμύντορος, ταῖς τῆς μητρὸς αὐτοῦ ἱκεσίαις μιγεὶς τῇ τοῦ πατρὸς παλλακῇ Κλιτίᾳ, ἢ Φθίᾳ κατά τινας, ἐτυφλώθη παρ' αὐτοῦ. φυγὼν δὲ ὁ Φοῖνιξ, ἦλθε πρὸς Πηλέα, καὶ ὃς ἀγαγὼν αὐτὸν πρὸς Χείρωνα, ἐποίησεν ὑγιῆ γενέσθαι ὑπ' αὐτοῦ. ταῦτα μὲν μυθικά, τὸ δ' ἀληθὲς οὕτως ἔχει. μιγέντα τῇ παλλακῇ γνοὺς αὐτὸν ὁ πατήρ, κατηράσατο μὴ τεκεῖν παῖδας, οὓς καὶ ὀφθαλμοὺς λέγει. φυγὼν δέ, ἦλθε πρὸς Πηλέα, καὶ ὃς ἀγαγὼν αὐτὸν εἰς τὰ ἄντρα τοῦ Χείρωνος, ἔδειξεν αὐτῷ τὸν Ἀχιλλέα ἐκεῖ παιδευόμενον, καὶ παρέδωκεν αὐτῷ αὐτόν, εἰπὼν ὅδε υἱός σου, ἄναγε οὖν αὐτὸν τοῦ λοιποῦ καὶ παίδευε, ὡς χρὴ πατέρα φίλον ἀνάγειν υἱόν, καὶ τοῦτο χάριν ἐμυθεύσαντο, ὅτι ἀπεκόμισεν ὁ Πηλεὺς αὐτὸν πρὸς τὸν Χείρωνα, καὶ ὃς ἐποίησεν αὐτὸν βλέπειν πάλιν. ὁ Ὀππιανὸς δὲ τὰ τέκνα φάεος φίλτερα καὶ βιοτοῖο λέγει. ὅτι δὲ συμβολικῶς χρὴ νοεῖν τὴν τύφλωσιν τοῦ Φοίνικος, τὸ ἄπαιδα γενέσθαι, καὶ οὐχ ὡς οἱ πολλοί φασι πραγματικῶς, καὶ Ὅμηρός φησιν ἐμοὶ συνάδων. φησὶ γὰρ λέγων, ὡς ἀπὸ τοῦ φοίνικος πρὸς τὸν Ἀχιλλέα. ζήτει Ὅμηρον ἐν τῇ Ἰλιάδι.

Φοῖνιξ, ὁ πυῤῥός. ὅθεν καὶ Φοίνικες ἡ ὀπώρα, διὰ τὸ ὁμοιόχροον, ἤδη δὲ καὶ τὸ ἐθνικόν. ἐπεὶ καὶ οἱ ἐρυθραῖοι ἀνέκαθεν οἱ αὐτοί, ὡς ταυτὸν ὂν οὕτως καὶ αὐτούς. ἢ οὕτω καλέσαι, ἐπεὶ καὶ ὅμοιόν ἐστιν ἐρυθρὸν εἰπεῖν χρῶμα καὶ φοινικοῦν. ἴσως δὲ ἐντεῦθεν καὶ φοῖνιξ τὸ ὄνομα, διὰ τὸ ὡς εἰκὸς ἐν τῷ φοινίκεον τῆς χροιᾶς, οἳ καὶ τὸν Ἐρύθραν τὸ κύριον ἐπενοήσαντο.

Φοινίξω, αἱμάξω, βλάψω, πυῤῥώσω, ἀπὸ τοῦ φόνου ἢ τοῦ φοίνικος ἢ ὅτι πυῤῥός.

Φοίνιον, φονόν, δεινόν, ἐρυθρόν.

Φοινίσσα, εἶδος ἀμπέλου.

Φοινίττων, βάπτων αἵματι.

Φοινιχθέντων, αἱμαχθέντων, αἱματωθέντων.

Φοινοδάμας, τὶς Τρώς, συνεβούλευσε τοῖς Τρωσὶν ἐκθεῖναι τὴν Ἡσιόνην τῷ κήτει, εὐλαβούμενος περὶ τῶν θυγατέρων αὐτοῦ τῶν τριῶν, μὴ αὐτὰς ἐκθῶσιν, ἔπεισε τοῦτο πεποιηκέναι. ὁ δὲ Λαομέδων μηνιῶν τῷ Φοινοδάμαντι, ἔδωκε τὰς θυγατέρας ἐκείνου ναύταις ἐν Σικελίᾳ θηρίοις βοράν. οὗ γενομένου, κατὰ γνώμην Ἀφροδίτης ἐσώθησαν. ὧν τῇ μιᾷ ἐν μορφῇ κυνὸς ὁ Κριμισσὸς ποταμὸς ἐμίγη, καὶ ἐγέννησε τὸν Ἐγέστην, ὃς ἔκτισε τρεῖς πόλεις ἐν Σικελίᾳ, τὴν ἀφ' ἑαυτοῦ Ἔγεσταν, καὶ Ἔρυκα, καὶ Ἔντελλαν, ἢ καὶ Ἄπελλαν, ἀπὸ τῆς γυναικὸς ἧς ἔγημε.

Φοινόν, πρωτότυπόν ἐστι τοῦ δηφοινόν, καὶ δηλοῖ τὸ πεφοινιγμένον ὁμοίως τῷ αἵματι.

Φοινικόεις, ὅ ἐστιν ἐρυθρός, καὶ χλαῖνα φοινικόεσσα. καὶ Φοίνικες ἔθνος οἰκῆσαν περὶ ποταμὸν Ἐρύθραν, ἢ περὶ ἐρυθρὰν θάλασσαν.

Φοιταλέην, ἐμμανῆ, μανιωδῶς πορευομένην. φοῖτος ἡ μανία λέγεται. καὶ Εὐφορίων, φοιταλέος διὰ πᾶσαν, ἅδην ἀπέπτυσε κοθόρνῳ. μή ποτε διὰ τοῦτο καὶ τὰς ἑταίρας, φοιτάδας λέγουσι.

Φοιτᾶν, τὸ συχνῶς πορεύεσθαί που. καὶ φοιτᾷ τις εἰς τὸ σχολεῖον. καὶ φοιτᾶν, τὸ προϊέναι κατὰ τοὺς παλαιοὺς λέγεται. Ἀττικοὶ δὲ ὕστερον τὸ εἰς διδασκαλεῖον ἰέναι τὸ φοιτᾶν ἔλεγον, μαίνεσθαι. ὅθεν καὶ φοιτητής, ὁ συνεχῶς πορευόμενος εἰς τὸ σχολεῖον. τὸ φοιτᾶν οἱ μεθ' Ὅμηρον ἐπὶ μαθητῶν ἰδιάζουσι. καὶ φοιτητὴν τὸν μαθητὴν λέγουσιν. ἀλλ' ὁ Ποιητής, τὸ ὁρμᾶν φοιτᾶν λέγει. οὕτω καὶ Ἡσίοδος, εἰ δὲ κατὰ τοὺς παλαιοὺς φοῖτος ἡ μανία, οἰκειότατον εὕρῃ τὸ φοιτᾶν.

Φοιτᾶν, οὐ μόνον ἐπὶ τῶν εἰς διδασκάλους ἰόντων λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν ἐπί τι ἕτερον συνεχῶς. σημαίνει καὶ τὸ μαίνεσθαι.

Φοίτης, ὁ κήρυξ. παρὰ τὸ φοιτᾶν πανταχοῦ.

Φοιτητής, ὁ μαθητής, ὁμιλητής. καὶ πιθανωτέρως κάλλιον λέγειν, ἢ μαθητής. καὶ συμφοιτητής, ὁ συμμαθητής.

Φοιτήτην ἐκ τοῦ φοιτάω, φοιτῶ ὁ παρατατικός. ἐφοίτων, ἐφοίτας, ἐφοίτα, ἐφοιτάτον, ἐφοιτάτην. καὶ τροπῇ τοῦ α εἰς η, ἐφοιτήτην. εἰ δὲ γράφεται φοιτείτην διὰ διφθόγγου, ζητητέον εἴπου εὕρηται φοιτέω, ὡς κομέω, καὶ ποιέω.

Φοιτήσας, παραγενόμενος.

Φοῖτος, ἡ μανία.

Φοιτῶν, ἀναστρεφόμενος.

Φολιά, πάθη. Χρύσιππος δὲ καὶ τὸ σέλινον οὕτω καλεῖ.

Φολκός, ὁ στραβός. ὁ τὰ φάη, τουτέστι τοὺς ὀφθαλμούς, μὴ ὀρθὰ ἔχων, ἀλλὰ ἐστραμμένα τῆς κατὰ φύσιν ὀρθότητος. ἢ φολκός, ὁ δι' ἔλεον ἢ γέλων, τὰ φάη τῶν βλεπόντων ἐφελκόμενος.

Φολίς, καὶ φολίδες, αἱ λεπίδες τοῦ ὄφεως. ἐκ τοῦ λεπίς, ὑπερθέσει πολίς, καὶ μεταθέσει τοῦ φ, φολίς. καταχρηστικῶς δὲ λέγεται καὶ τὰ μικρὰ πτερά. τούτοις γὰρ ἐοίκεσαν. καὶ φολιδωτόν, λεπιδωτόν.

Φολυνή, μολυνή, καταπίμπλησι.

Φόλυες κύνες, οἱ πυῤῥοί.

Φονᾶν, σημαίνει τὸ ἀποκτεῖναι ἐπιθυμεῖν, ἑτοίμως ἔχειν πρὸς τὸ φονεύειν. ἀπὸ τοῦ φονή, ὃ σημαίνει τὸν τόπον, ὅπου οἱ νεκροὶ κεῖνται.

Φονὰς λέγει Ὅμηρος περιληπτικῶς, τοὺς τόπους ἔνθα οἱ φόνοι τῶν κειμένων. γίνεται δὲ ἡ φονή, ἐκ τοῦ φόνου, καθὰ ἐκ τοῦ χόλου ἡ χολή.

Φονεῖς, Ἀττικοί. ἀνδροφόνος, Ἕλληνες.

Φονεύω, ἀναιρῶ, καίνω, κεντῶ, κτείνω, ἀποκτείνω, κτεννύω, κτέννυμι, ἀποκτέννυμι, σφάττω, σφάζω, διαχρῶμαι, διαχειρίζομαι, ταυτόν.

Φονίαις, φονοκτόνοις.

Φονίς, ἰχθύς ποιός.

Φόνον αἵματος παρ' Ὁμήρῳ, περιφραστικῶς ἀντὶ τοῦ αἷμα. ἐκ δὲ τούτου γίνεται φοινὸς αἵματι.

Φόνος, δύναται καὶ τὸ χυτὸν αἷμα λέγεσθαι, καὶ ὁ τόπος ἔνθα οἱ φόνοι τῶν μνηστήρων. ὡς ἐν Ὀδυσσείας χ. γίνεται φόνος, παρὰ τὸ φῶ τὸ φονεύω, φένω, καὶ ἐξ αὐτοῦ φόνος. ἀπὸ τῆς φυσήσεως, καὶ τοῦ ἤχου τοῦ γινομένου ἐν τῇ χύσει τοῦ αἵματος. καὶ φόνος ἔρρευσεν, ἀντὶ τοῦ αἷμα ἔρρευσε.

Φονῶ, τὸ φόνου ἐφίεμαι. φόνος, τὸ ἔργον τῶν φονευόντων, καὶ τὸ ἀπὸ τοῦ φόνου αἷμα. καὶ ὁ τόπος ἐν ᾧ οἱ φονευθέντες κεῖνται. φονεύω, φονεία, φόνευσις. φόνιον ὄμμα, καὶ φονὴ ὁ τόπος, ὅπου οἱ νεκροὶ κεῖνται.

Φονῶντες, πρὸς φόνον θρασυνόμενοι, φονεύειν ἐπιθυμοῦντες.

Φοξὴ χεῖλος, εἰς ὀξὺ ἀνηγμένη, τουτέστιν εἰς ὀξὺ λήγουσα. φοξαὶ δὲ τὸ χεῖλος, αἱ Ἀργεῖαι, ὡς δηλοῖ Σιμωνίδης εἰπών, αὐτὴ δὲ φοξὴ χεῖλος.

Φόξινος, ἰχθὺς εὐθέως γεννώμενος, ἔχων κύημα. τίκτει δὲ ἐν ταῖς προλίμναις τῶν ποταμῶν, ὡς Ἀριστοτέλης.

Φοξός, ὁ ἔχων τὴν κεφαλὴν εἰς ὀξὺ λήγουσαν, ἢ ἀπὸ τῆς ὀξύτητος. ἢ κατὰ τοὺς παλαιούς, ἐξ ὁμοιότητος τῶν πυριῤῥαγῶν ὀστράκων. ἅπερ φοξὰ λέγεται, οἱονεί τινα φλοξά. προμήκης οὖν ἡ κεφαλὴ τῷ Θερσίτῃ.

Φορά, ἡ κίνησις, καὶ φορά, ἡ εὐφορία. οἷον φορὰ σίτου, καὶ φορὰ ῥητόρων. λέγεται δὲ ἀπὸ τοῦ φέρειν, ὃ ποιητικῶς λέγεται φορέειν. ὃ μετὰ τῆς ἐν προθέσεως, οὐ λέγεται. ὄνομα δὲ ἀπ' αὐτοῦ, ὁ ἐμφερής. μετὰ δὲ τῆς εἰς λέγεται εἰσφέρειν, φέρειν, καὶ δηλοῖ τὸ κατὰ μοῖραν καὶ νόμους διδόναι. μετὰ δὲ τῆς ἐκ, ἐκφέρειν, ὃ λαμβάνε-

βάνεται ἐπὶ προφορᾶς λόγου, καὶ ἐπὶ τῆς ἔξω τοῦ πρέποντος φορᾶς, καὶ ἐπὶ νεκροῦ. καὶ μετὰ τῆς σὺν, συμφέρει, ἀφ' οὗ τὸ συμφέρον, ὃ τέλος ἐστὶ τοῦ συμβουλευτικοῦ μέρους τῆς ῥητορικῆς, καὶ ἡ συμφορά. μετὰ δὲ τῆς πρὸ, προφέρειν τὸ ὑβρίζειν, καὶ τὸ προτείνειν. μετὰ δὲ τῆς ἀνὰ. ἀναφέρειν, τὸ εἰς μεῖζον πρόσωπον ἀναφέρειν τὸν λόγον. καὶ μετὰ τῆς κατὰ, καταφέρειν. ἀφ' οὗ καταφορὰ, ἡ κατηγορία. μετὰ δὲ τῆς διὰ, διαφέρειν, τὸ διαφορὰν ἔχειν. καὶ συντάσσεται ἀπὸ αἰτιατικῆς εἰς δοτικήν. καὶ τὸ ὑπομένειν, ὃ καὶ μετὰ τῆς σὺν λέγεται, καὶ δηλοῖ τὸ μετά τινος ὑπομένειν, καὶ ἐπιτηδείως ἔχειν, καὶ φιλικῶς πρός τινα. οἷον, ὁ σπουδαῖος ὀφείλει προνοεῖσθαι ἑαυτοῦ, καὶ τῶν διαφερόντων αὐτῷ. ἀπὸ τούτου, διαφορὰ, καὶ διάφορος, ἐπὶ τοῦ ἐχθρωδῶς διακεῖσθαι πρός τινα, καὶ ἐπὶ τοῦ διαφορὰν ἔχειν. καὶ καὶ μετὰ τῆς μετὰ, μεταφέρειν, καὶ μεταφορὰ, τὸ μετατίθεσθαι ἐφ' ἕτερον τὴν ἁρμόζουσαν λέξιν. καὶ μετὰ τῆς παρὰ, παραφέρειν, καὶ παράφορος, ὁ παραπαίων. καὶ μετὰ τῆς ἀντὶ, ἀντιφέρεσθαι, τὸ ἐναντιοῦσθαι. ὃ ποιητικῶς μὲν λέγεται, καὶ μετὰ τῆς ἐπὶ, ἐπιφέρειν, καὶ ἐπιφορά. καὶ ἐπίφορον πνεῦμα, τὸ ἐπιτήδειον καὶ ἁρμόζον τοῖς πλέουσι. καὶ μετὰ τῆς περὶ, περιφέρειν. καὶ περιφορὰ, ἐπὶ τῆς κύκλῳ φορᾶς. καὶ μετὰ τῆς ἀπὸ παθητικῶς, ἀποφέρεσθαι, τὸ ἀπολαβόντα ἆθλον ἀπιέναι, ἤ τι τοιοῦτον. μετὰ τῆς ὑπὸ, ὑποφέρειν, τὸ ὑπομένειν. ἀπὸ τοῦ φέρειν φέρτερος, ὁ καρτερικώτερος Ποιητικῶς. ὁ μᾶλλον δηλαδὴ φέρειν δυνάμενος τὰ προσπίπτοντα. καὶ φέριστος ὑπερθετικὸν, καὶ ἰσοφορὰ ποιητικῶς.

Φορὰ ῥητόρων, καὶ ἄλλων τινῶν. καὶ φορὰ, ἡ εἰσφορά. Λιβάνιος, ἔπειτα ἐν ταῖς φοραῖς, μὴ μεῖζον ἔστω τῆς νεὼς τὸ φορτίον.

Φοράδες, αἱ θήλειαι ἵπποι.

Φοράδην, ὁ φερόμενος βασταγμῷ.

Φόρβαντα, ἰατρικὰ φάρμακα.

Φορβὰς βοῦς, ἡ νομὰς καὶ ἄτραφής.

Φορβειὰ, περιστόμιον, καπίστριον, ἀπὸ τοῦ φέρειν βίᾳ. λέγεται δὲ καὶ ὁ χειλωτήρ.

Φόρβας, Ἀττικὸς ἥρως.

Φορβειαί εἰσι, τὰ δέρματα τὰ περὶ τὸ στόμα τοῦ αὐλητοῦ προσδεσμευόμενα, ὅπως ἂν σύμμετρον πνεῦμα πεμπόμενον, ἡδεῖαν τὴν φωνὴν τοῦ αὐλοῦ ποιήσῃ.

Φορβὴν λέγουσι, τὴν τῶν ἀλόγων τροφήν. πρωτότυπον δὲ φορβῆς, τὸ φέρειν. ἐξ οὗ καὶ γῆ φορβὸς, καὶ φόρβας κύριον.

Φόρβον, ἀπάνθρωπον.

Φόρβυτα, ὕλα, ἤλειοι.

Φοργάνη, ἡ ἀραιότης.

Φορέοιτε παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ φέρετε, ταυτέστι γεννᾶτε, ἐκφέρετε.

Φορέεσκον, ἤτοι ἐφόρουν καὶ ἔφερον.

Φορεῖν, καὶ οἷον νεκύας φόρεον. ἤτοι ἐνεκροφόρουν. ταυτὸν τῷ φέρειν, ἐπήγαγε γὰρ Ὅμηρος ἐν Ὀδυσσείας χ', ταὶ δ' ἔφερον δμωαί. προσλήψει δὲ προθέσεων γίνεται ἀπ' αὐτοῦ, τό τε ἐκφέρειν καὶ τὸ εἰσφορεῖν.

Φορεύμενα, φορούμενα.

Φορῆναι, ἀπὸ τοῦ φορεῖν, φορέμεναι Δωρικῶς, εἶτα τροπῇ τοῦ ε εἰς η, φορήμεναι ὡς καλήμεναι, καὶ συγκοπῇ φορῆναι.

Φορῆναι, ὅ ἐστι φορεῖν, ἤτοι φέρειν. φοραίνω τὸ θέμα, ἢ φόρημι. ὁμοίως τῷ κίχημι κιχῆναι.

Φορήσεται, οἴσεται.

Φορητὰ, ἐκτὰ, βαστακτὰ, ἃ δύναταί τις φέρειν.

Φορητὸν, τὸν ὑπὲρ τοῦ ἀγροῦ σῖτον.

Φόριγγες, τὰ ὕδνα.

Φορύνετο, τοῦ φορύειν πρωτότυπον εἶναι δηλοῖ τὸ φορύω, καθὰ καὶ τὸ φορύσσειν. τὸ μὲν κατὰ πλεονασμὸν τοῦ σ, τὸ δὲ κατὰ παραγωγήν. ἐξ οὗ καὶ τὸ αἱμοφόρυκτον. δῆλον δ' ὅτι, ἐκ τοῦ φορῶ γίνεται τὸ φορύω, καθὰ καὶ ἐκ τοῦ χῶ τὸ χύω. ἐξ αὐτοῦ δὲ Δωρικῇ προσθέσει τοῦ ν, τὸ φορύνω, καὶ χύνω, κατὰ τὸ πλύνω πλύνω.

Φόριμος, λυσιτελής.

Φορίνη, καὶ ἐπὶ ἀνθρωπίνου δέρματος ἐλέγετο ἡ φορίνη, ὡς Ἀριστοφάνης ἐν γόνασι δῆλον ποιεῖ.

Φορκὸν, λευκὸν, πολιὸν, ῥυσόν.

Φόρκυν, παρὰ τὸ φέρειν καὶ ὁρμεῖν τὰς ὁλκάδας ἐν αὐτῷ, ἤγουν τὰς ναῦς ἐν τῷ λιμένι.

Φόρκυς, δαίμων θαλάσσιος, παρὰ τὸ φέρεσθαι ὠκέως. τὸ δὲ φόρκυν, τρεῖς κλίσεις ἐπιδέχεται. σημαίνει δὲ δύο, τὸν λιμένα, καὶ ὄνομα κύριον.

Φόρκες, χάρακες.

Φορκὶς, μονόφθαλμος.

Φορμηδὸν, κοφινηδόν. φορμός ἐστι, πλέγμα τινὸς μεγάλου εἴδους, ἐν ᾧ ἐκοιμῶντο οἱ πένητες. ἢ κατετίθεντο τὰ ὄσπρια. τάχα δὲ ἡ καλουμένη νῦν καλύβη, ἡ πλεκομένη ἀπὸ καλύβης. ἐκ τούτου δὲ καὶ τὸ φορμηδόν.

Φόρμιγγα, μύρμηκα.

Φόρμιγξ, ἡ κιθάρα. παρὰ τὸ προηγεῖσθαι τῆς οἴμης, προοίμιγξ. πρῶτον γὰρ ἐκιθάριζεν ὁ Ἀπόλλων, εἶτα ἐπῆγον τὴν ᾠδὴν αἱ Μοῦσαι. καὶ φορμίζειν, τὸ κιθαρίζειν.

Φόρμιον, πλέγμα ψιαθῶδες, φορμίθιον.

Φορμίζω, τὸ τῇ φόρμιγγι χρῶμαι. φόρμιγξ, εἶδος μουσικοῦ ὀργάνου. φόρμιξ Αἰολικῶς, ἀντὶ τοῦ φόρμιγξ. ἀποβάλλουσι γὰρ τὸ γ τῶν εἰς ιξ ληγόντων ὀνομάτων. οἷον ἴυξ, ἀντὶ τοῦ ἴυγξ. φάρυξ, ἀντὶ τοῦ φάρυγξ.

Φορμὶς, κυρίως ἡ ψίαθος. παρὰ τῷ Ἀριστοφάνει, τὴν σπυρίδα.

Φόρκυνα, ὡς μόσυνα, μετὰ ἐκτεταμένου τοῦ υ. καὶ φόρκυν δισυλλάβως, ὡς βότρυν λέγει Ὅμηρος.

Φορμίων, στρατηγὸς Ἀθηναίων ναυτικώτατος. καὶ πολλάκις ἀτυχήσας ἐν ναυμαχίαις, καὶ ἐν τῇ πρὸς Λακεδαιμονίους μάχῃ κατορθώσας, πεντήκοντα καὶ ἑπτὰ ναῦς διέφθειρε.

Φορμίσιος· Δίδυμός φησιν, ὅτι φορμίσιος δραστικὸς ἦν, καὶ τὴν κόμην στρέφων, καὶ φοβερὸς δοκῶν εἶναι. διὸ καὶ Αἰσχύλου μαθητήν φησιν αὐτὸν εἶναι ὁ Ἀριστοφάνης. βαθὺς δὲ ἦν, καὶ καθιεὶς τὸν πώγωνα, κωμῳδεῖται δὲ εἰς δωροδοκίαν.

Φορμίσκοι, καλαθίσκοι. πλεκτὰ ἀγγεῖα ἀπὸ τοῦ φορμὸς, ὅ ἐστι προκάλυμμα. ἢ πλεκτὸν ἀγγεῖον. ἐκ φλοιοῦ, ἐν ᾧ εἰώθεσαν ἰσχάδες κομίζεσθαι. ἢ κόφινον σημαίνει.

Φορμὸς, ὁ κόφινος. καὶ φορμίσκος κατὰ Παυσανίαν, λεπτόν τι ἀγγεῖον. φορμὸς, ἤγουν πλέγμα, σπυρὶς, ἐν ᾧ καὶ σῦκα ἔφερον. ἐκ τοῦ φέρω, ἐξ οὗ καὶ φόρτος, καὶ τὸ φορεῖον, καὶ τὸ φοράδην ἐπίρρημα.

Φορμὸς, πᾶν πλέγμα εἴτε εἰς καλαθίσκον ἐστὶ κατεσκευασμένον. εἴτε εἰς ψίαθον, εἴτε εἰς ἕτερόν τι τοιοῦτον.

Φορμορραφούμεθα, ὡς φόρμοι καταρραπτόμεθα.

Φορμοσίκων, παχύς.

Φορολεγῆσαι, φόρους συνάξαι.

Φορολήγητοι, ὑποτελεῖς, λειτουργοί.

Φορολόγος, ὁ ἀπαιτῶν τοὺς φόρους.

Φόρος, ἡ τῶν χρημάτων καταβολὴ, ἢ νέον τέλεσμα.

Φόρος, κυρίως τὸ ὑπὲρ τῆς ἰδίας εἰσφερόμενον γῆς. τέλος δὲ, ἡ ὑπὲρ τῆς ἐμπορίας συντέλεια.

* Φόρος, τὸ πωλητήριον, ὁ τόπος, ἐν ᾧ πωλοῦνται τὰ ὤνια.

Φορὸς ἄνεμος, ὁ τοῖς πλέουσι δεξιός. καὶ φορὸς ἡ συκῆ σύκων, ἤγουν φορὰν σύκων ἔχουσα, καὶ γηφόρος καρπῶν. ὅθεν καὶ πάμφορος γῆ, ἡ πάντα φέρουσα.

Φορτὸν, ἐγκείμενον, βαρύ.

Φορταγωγὸν ναῦν φαμὲν, καὶ φορτίδα, καὶ φορτικήν. Θουκυδίδης ἐν τῇ ἕκτῃ ἐπὶ πλοίου φορτηγικοῦ χρῆται.

Φόρτατον, κακῶν δ' ἔχειν φόρτατον εἴη, Ἰλιάδος ρ'. ἀντὶ τοῦ τῶν δὲ παρόντων κακῶν τοῦτο ἂν εἴη ἄριστον. ἢ ἐκ πολλῶν τῶν προγεγονότων κακῶν τοῦτο ἄμεινον γένοιτο. γράφεται δὲ καὶ φέρτατον, τὸ κάλλιον.

Φορτία, ψωμοὺς, κρέα, τυρούς. λέγει Ἀριστοφάνης ἐν Βατράχοις, οἷς μου κατέφαγες τὰ φορτία, καὶ τἄλλα. τινὲς δὲ ἤκουσαν κόπρια φορτικῶς.

Φορτικὰ, τὰ γελοῖα. καὶ τὰ ὑπερόψιας σκώμματα.

Φορτὶς ναῦς, ἡ πρὸς ἐμπορικὸν φόρτον ναυπηγηθεῖσα.

Φόρτον. Ἀριστοφάνης, ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν. τουτέστι, τὸν φορτικὸν γέλωτα, ἵνα μὴ γελασθῶμεν.

Φορυγανῶδες, συρφετὸς, βόρβορος, ἀκαθαρσία.

Φορυκέα, δένδρον ποιόν.

Φορύετο, ἐμολύνετο, ἐφυρᾶτο τῷ αἵματι. ἐξ οὗ τὸ αἱμοφόρυκτα.

Φορύξαντες, φυράσαντες. παρὰ τῷ Ἱπποκράτει.

Φορύξας αἵματι, ταυτὸν τῷ φύρσας, ἐκ τοῦ φορῶ φορύω. ἐξ οὗ παράγωγον τὸ φορύσσω. τὸ δὲ φορύω, συγκοπὴν παθὸν καὶ μετατεθὲν γίνεται. οὗ μέλλων φύρσω. ἔστι δὲ φορύσσειν, τὸ μεταφέρειν, καὶ μόριον ἐκ μορίου μεθέλκειν.

Φόρυς, δακτύλιος, ὁ κατὰ τὴν ἕδραν.

Φορυσσέμεναι, μολῦναι.

Φορυτὸν, φρύγανον, χοινίον, δέσμην χόρτου συρφετώδους, ἢ φρυγανώδη ἀκαθαρσίαν. ἢ ψιαθῶδες πλέγμα, ἐν ᾧ τοὺς στάχυας ἐμβάλλουσιν. ἢ τὴν ἐκ φρυγάνων στρωμνήν.

Φορυτῷ, τῷ ἀπὸ τῆς γῆς αἰρομένῳ ὑπὸ τῶν ἀνέμων χόρτῳ φρυγανώδει, ἀπὸ τοῦ φορύω. τοῦτο παρὰ τὸ φέρω, ἢ φορῶ.

Φορῶ, ἐπὶ ἐνδύσεως καὶ βαστάγματος πολυκίνητόν ἐστιν, ἔχει γὰρ καὶ μέλλοντα. ἐξ οὗ ἐν τοῖς ἑξῆς, τὸ οἷα ὅπλα οὐδεὶς ὤμοισι φόρησε. καὶ παρακείμενον ἐνεργητικόν. καὶ σύνθετα ῥήματα. τὸ συμφορεῖν, ἀντὶ τοῦ συνάγειν. καὶ παραφορεῖν χάλικας, ἀντὶ τοῦ παρακομίζειν. καὶ διαφορεῖν, τό, τε παρὰ τοῖς ἰατροῖς, καὶ τὸ κωμικόν. καὶ τὸ ἐπιφορεῖν χῶμα, ἢ μάλιστα χοῦν. ἐξ οὗ τὰ ἱστορούμενα μεγάλα χώματα. καὶ τὸ ἀναφορεῖσθαι, καὶ τὸ δυσφορεῖν, ἀντὶ τοῦ δυσανασχετεῖν. καὶ τὸ ἀνάπαλιν αὐτοῦ, εὐφορεῖν, καὶ τὸ εὐφόρησεν ἡ χώρα. καὶ πόλις εὐφόρησεν ἀνδρῶν ἀγαθῶν. ἔχει δὲ παράγωγον τὸ φορύω. ἀφ' οὗ φορυτὸς τὸ πλῆθος, ἐκ τούτου καὶ κηρεσσιφόρητοι, οὓς κῆρες φοροῦσιν, ἤτοι φέρουσι. καὶ παροιμιώδης περιφόρητος ἀρτέμων, καὶ ὁ φορητὸς, καὶ ὁ ἀφόρητος. καὶ οἱ παιζόμενοι ἄρητοι καλοῦνται, οἳ δηλοῦσι καινοεργά τινα ὑποδήματα, καὶ ὁ κατ' αἴνιγμα μεταφορητὸς οἶκος, ὃς δηλοῖ τὸ πλοῖον.

Φορωνεὺς, ὄνος βασιλικός.

Φουαδδεῖ, σωμασκεῖ.

Φουῗξ, σφύσιγξ.

Φοῦσκος, ὀξυκέφαλος.

Φοῦαι, ἀλώπεκες.

Φουλίδερ, παρθένων χορὸς, Δωριεῖς.

Φουλλόμενοι, τιλλόμενοι, Δωριεῖς.

Φόως, φῶς, χαρὰ, σωτηρία.

Φόως ἐρεῦσα, τὴν ἀνατολὴν τοῦ Ἡλίου σημαίνουσα. γίνεται δὲ κατὰ πλεονασμὸν ἐκ τοῦ φῶς, ὡς καὶ ἡ Κόως.

ΤΟ' Φ'. ΜΕΤΑ' ΤΟΥ' Ρ'.

ΦΡάγμασι, καταστρώμασι.

Φραγγελῶ, ἐκ τοῦ φραγγέλιον, ὃ σημαίνει σειρὰν ἐκ σχοίνου πεπλεγμένην, ἢ κέκληται μάστιξ. γίνεται δὲ ἐκ τοῦ ἔθνους. Φράγγελοι γὰρ, ἔθνος Ἰταλίας. φράζειν, καὶ τὸ ἀγγέλλειν, ὡς ἐνταῦθα. φράζειν τὸ συντιθέναι, καὶ δημιουργεῖν λόγους. ἐξ οὗ καὶ φράσις, ἡ ἀπαγγελλία. φράζειν, καὶ τὸ κελεύειν, οἷον χαίρειν φράζομαι.

Φραγμὸς, θριγκός. ἢ καὶ ὁ νόμος.

Φραγμοσύνη, σκέψις, βουλὴ, νόησις.

Φραδέος νόου, φρονίμου, συνετοῦ.

Φράδεν, ἔλεγε.

Φραδάον, ἑρμηνεῦον.

Φραδαῖσι, βουλαῖς.

Φράδη, φράζε, λέγε.

Φράδμων ἀνὴρ, ὅ ἐστιν ἐπιστήμων, γνωστικός. ἐκ τοῦ φράζω.

Φραδῶς, φραστικῶς, φανερῶς.

Φράζεσκε, τύπτεσκε, λέγεσκε, πείθεσκε, σπείρεσκεν, ἀκούεσκεν, οἱ Ἴωνες εἰώθασι σχηματίζειν τὰ τρίτα πρόσωπα, ἐκ τοῦ τρίτου προσώπου

τοῦ παρακειμένου, καὶ τοῦ δευτέρου ἀορίστου ἐνεργητικοῦ, ἀποβολῇ τῆς συλλαβικῆς αὐξήσεως, καὶ τῆς χρονικῆς, καὶ προσθήκῃ τῆς συλλαβῆς. καὶ τοῦτο ἐν τοῖς βαρυτόνοις ῥήμασιν. ἐν τοῖς περισπωμένοις δὲ, καὶ ἐν τοῖς εἰς μι οὕτως. ἐποίει, ποίεσκεν. ἐκβολῇ τοῦ ι τῆς ει διφθόγγου. ἐβόα, ἐβόασκε, συστολῇ τοῦ α. ἐχεύετο, ἐχεύασκεν ἐκβολῇ τοῦ υ. ἐτίθει, ἐτίθεσκε, συστολῇ τοῦ η εἰς ε. ἵστη, ἵστασκε, συστολῇ τοῦ η εἰς α. ἐδίδου. ἐδίδοσκε, συστολῇ τοῦ ω εἰς ο. ὁμοίως ἐζεύγνυ ζεύγνυσκε. τὸ τρίτον πρόσωπον δὲ τοῦ δευτέρου ἀορίστου τῶν βαρυτόνων, καὶ περισπωμένων ῥημάτων πάντων, τὸ ε ἔχει πρὸ τοῦ σκε. οἷον ἔτυπε τύπεσκεν, ἔφλεγε φλέγεσκε.

Φράζεσθαί σε ἄνωγα, ἀντὶ τοῦ φράζε, εἰπὲ συμφέρον, ἀσφαλῶς.

Φράζεσθαι, συμβουλευτικὴ λέξις. ἔστι γὰρ ἐνεργητικῶς φράσαι, τὸ εἰπεῖν. φράζεσθαι δὲ, τὸ βουλευτικῶς σκέπτεσθαι.

Φράζομαι, διὰ φροντίδος ἔχω. Ἀπολλώνιος. ἀλλὰ φίλοι φράζεσθε, ἤγουν διὰ φροντίδος ἔχετε.

Φράζω, ἐνεργητικῶς σημαίνει τὸ λέγω. φράζομαι δὲ παθητικῶς, τὸ σκέπτομαι, καὶ διανοοῦμαι. ἢ φράζω τὸ λέγω, φράζομαι δὲ, τὸ νοῶ, ποιητικῶς. φράσον, ἀντὶ τοῦ εἰπὲ, ποιητικόν. φράσαι, ἀντὶ τοῦ διανοήθητι. Ὅμηρος, σὺ δὲ φράσαι, εἴ με σαώσεις.

Φράσδη, ἀντὶ τοῦ φράζη, Δωρικῶς. Θεόκριτος, φράσδει πάνθ' ἅλιος ἄμμι.

Φράζεο, διανοοῦ, βουλεύου. καὶ φράζονται, σκέπτονται. ἀφ' οὗ φραδὰς νοῦς. ὡς τὸ φραδέος νόου ἔπτυκται. καὶ ἀειφραδής. ὁ ἄγαν συνετός. Ἀειφραδὴς τὸ κύριον. καὶ διέσταλται κατὰ τόνον. καὶ φράδμων, ὁ βουλευτής. οἷς ἐναντίον ὁ ἀφραδής. φράζειν, τὸ λαλεῖν λεκτικῶς. ὅθεν φράσις, καὶ περίφρασις, καὶ παραφραστής.

Φραυίζειν, σωφρονίζειν.

Φράξαι δόρυ δουρὶ, ἀσπίδα ἀσπίδι, σάκος σάκει, κόρυν κόρυθι, ἄνδρα ἀνδρί. δῆλον ὡς συνῆπται μὲν τὸ ἔφραξαν σάκος σάκει, καὶ ἀσπὶς ἀσπίδ' ἔρειδε. σαφέστερον δὲ τοῦτο ἐκείνου. ὅτι δὲ τὸ φράξαι, καὶ τὸ ἐρεῖσαι συνώνυμά εἰσιν ἀλλήλοις, δηλοῖ καὶ ὁ φραγμὸς, ὁ πύκνωσιν ξύλων ἔχων.

Φραξάμενος, κλείσας, ὁπλισάμενος.

Φράξαντες, τοὺς μεθ' Ὅμηρον φρακτικοὺς, καὶ κατάφρακτους ὁπλίτας παρήγαγε. δηλοῖ δὲ ἡ λέξις, τὸ πυκνῶσαι, ἀφ' οὗ καὶ οἱ τῶν γηδίων φραγμοί.

Φρασαίατο, ἀντὶ τοῦ φράσαιντο. Αἰολεῖς ἐπὶ τῶν τρίτων προσώπων τῶν δυϊκῶν εἰώθασι τρέπειν τὸ ἀμετάβολον εἰς α. οἷον πείθοιντο, πειθοίατο.

Φράσαντας, εἰπόντας, δείξαντας, λέξαντας.

Φραδὲν, λεχθὲν, δειχθὲν, καὶ τὰ ὅμοια.

Φρασίζοον, διασκεπτόμενον εἰς ζωήν.

Φράσμων, προσέχων.

Φράσασθαι, φραδιάσαι, συνεῖναι.

Φράσις, λέξις, διάλογος, ἑρμηνεία. φράσις δὲ, γένος Ἀθήνησι.

Φρασσάμενος, σκεψάμενος, νοήσας, λογισάμενος.

Φράσσεται, ἀσφαλίζεται, πληροῦται, ἀντέχεται.

Φρασσόμεθα, βουλευόμεθα, εἴπομεν.

Φράσσω ἄμπελον, ἢ τοιοῦτόν τι. ἤγουν ἕρκος αὐτῇ περιτίθημι. γίνεται δὲ ἐκ τοῦ φρῶ φράσσω. ἐξ οὗ ὁ κατάφρακτος στρατιώτης, καὶ οἱ φραγμοί.

Φραστῆρες, μηνυταί. * εἰδήμονες, ἐπιστήμονες. καὶ οἱ γνώμονες τῶν ἡλικιῶν ὀδόντες.

Φραστὺς, σκέψις, ἔννοια, βουλὴ, φράσις.

Φράτορές εἰσιν, οἱ τῆς αὐτῆς πατρίας μετέχοντες, οἷον πατριᾶς τινος. ὁ γοῦν Ὅμηρος αὐτὴν πάτραν, ἡ μὲν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη. καὶ κατὰ ἀναφορὰν, πάτρη καλεῖται. μεταπέπτωκε δὲ τὰ στοιχεῖα καθάπερ ἐπὶ τοῦ δε, ἐφάτριος Ζεὺς, καὶ ὁ πάτριος.

Φραχθέντες σάκεσιν, ἀντὶ τοῦ κατασφαλισθέντες, πυκνωθέντες. ὡς ἀλλαχοῦ, ἐφράξαντο νῆας τείχει χαλκείῳ, ἐκ τοῦ φράσσω, ἐξ οὗ καὶ οἱ κατάφρακτοι ὁπλῖται.

Φρεάρριος, δῆμος τῆς Λεοντίδος.

Φρέαρ. παρὰ τὸ φλῶ, τὸ ἀναδίδωμι. ἢ παρὰ τὸ φέρω, συγκοπῇ φρῶ φρέαρ, ὡς θείνω θέναρ. ἐξ οὗ φέρεται τὸ ὕδωρ.

Φρεάτεια, τὰ βαθέα ὀρύγματα.

Φρείατα, φρέατα.

Φρεναργίας, φρενήρεις.

Φρενεῖν, φρονεῖν, διδάσκειν.

Φρεμπάρωσις, βλαψίφρων.

Φρένες, οὐ μόνον ἀσωμάτως καὶ νοητῶς ἐπὶ λογισμοῦ, ἀλλὰ καὶ μέρος τι τῶν σπλάγχνων, ὃ καὶ διάφραγμα λέγεται. ἔστι δὲ ὑμὴν ἀποχωρίζων τὸ ἧπαρ ἀπὸ τοῦ σπληνὸς, τοῦ πνεύμονος, καὶ τῆς καρδίας. ἢ καὶ ἄλλως κατὰ τοὺς παλαιοὺς, φρένες εἰσὶν αἱ διεζωκυῖαι τὸν ὑπὸ τῷ πνεύμονι, καὶ τῇ καρδίᾳ τόπον, ὃ καλεῖται καὶ διάφραγμα. συντελεῖ δὲ εἰς τὸ φρονεῖν. ὅθεν καὶ φρενήρης, ὁ φρόνιμος. ἐν δὲ τῷ φλεγμαίνειν, παραφροσύνας ποιεῖ. μέλαινας δὲ φρένας ἔφη ὁ ποιητὴς, διὰ τὸ ἐντὸς αὐτὰς ἐν βάθει κεῖσθαι, καὶ μὴ ὁρᾶσθαι. ἢ καὶ ἄλλως μέλαινας τὰς τοῦ θυμουμένου, καὶ μὴ ἔχοντος ἡμέρως, ἀλλ' οἷον σκοτεινοῦ, καὶ νυκτὶ ἐοικότος.

Φρένες ἔμπεδοι, ἐναντίον τῷ φρένες ἠερέθονται. περὶ οὗ προείρηται.

Φρένας ἐξείλετο Ζεὺς, φανερῶς ἐπὶ ἀφροσύνης κεῖται.

Φρενοῦν, φρονεῖν, διδάσκειν, νουθετεῖν.

Φρενήρης φρόνιμος, ὁ περίφρων, ἀρτίφρων.

Φρενὶ, διανοίᾳ.

Φρενὸς ἔκστασις, ὁ εἰς ἑαυτὸν μὴ ὤν.

Φρενώσας, παραλογισάμενος, ἀπατήσας.

Φρενωφέλιον, παραίνεσις.

Φρένες εἰσὶν, ἐνέργεια ψυχῆς πρός τι τῶν ὄντων, ἀκολούθως φερόμεναι.

Φρένες, οὐ μόνον ὁ λογισμὸς, ἀλλ' ἤδη καὶ ὑμήν τις ὁ ὑπεζωκὼς καλούμενος. τὸ γοῦν μετὰ τὰς σωματικὰς ταύτας φρένας κατεναντία ἐν τῇ ῥάχῃ μέρος τοῦ σώματος, μετάφρενον λέγεται. καταχρηστικῶς καὶ πᾶσαν τὴν ῥάχιν, μετάφρενον λέγουσι.

Φρενήρη, ἀντὶ τοῦ σώφρονα λέγουσιν Ἴωνες. λαμβάνουσι δὲ τοῦτο ἐπὶ τοῦ ἐναντίου.

Φρενοβλάβεια, ἡ τῶν φρενῶν βλάβη.

Φρενοκλοπεῖ, ἐξαπατᾷ.

Φρενοτέκτονος ἀνδρὸς, τοῦ ἐκ τῆς αὐτοῦ φρενὸς τεκταινομένου καὶ συντεθέντος.

Φρεσὶ κέχρηται ἀγαθῇσι, παρ' Ὁμήρῳ, ἔπαινος εὐσεβείας ἐστίν. ἐξ οὗ ἀνάπαλιν ἔστιν εἰπεῖν, ὁ μὴ τοιοῦτος, οὐ κέχρηται φρεσὶν ἀγαθαῖς.

Φρεσὶν ὁρμαίνειν, πρὸς διαστολὴν λεχθὲν τοῦ ἄλλως ὁρμαίνειν, κίνησιν δηλοῖ βουλευτικὴν, ἣ τις ὅταν παύσηται, ἵστασθαι λέγεται.

Φρεωρύχος, φρεατορύκτης. γένος ἦν Ἀθήνησιν. ἢ οἱ τὰ φρέατα ὀρύσσοντες.

Φρὴν, παρὰ τὸ προΐω, τὸ προπέμπω, συγκοπῇ πρῶ καὶ φρῶ. ἐξ οὗ φρὴν, ἀφ' ἧς προΐεται τὰ βουλεύματα. διατί σεσημείωται φρὴν φρενός; οὐδὲν εἰς ην λῆγον ὄνομα μονοσύλλαβον μόνως ἐστὶ θηλυκὸν, ἀλλ' εἰ ἐπιδέχεται τὸ θηλυκὸν γένος, ἐν κοινότητι ἐπιδέχεται. οἷον ὁ χὴν καὶ ἡ χὴν, ὁ ῥὴν καὶ ἡ ῥὴν, σημαίνει δὲ τὸ πρόβατον. τὸ δὲ φρὴν διήλλαξε.

Φρητία, στόμα φρέατος.

Φρήτρη, τινὲς μὲν ἀπὸ τοῦ πατρία παράγουσι κατὰ πλεονασμὸν τοῦ ρ, καὶ συγκοπήν. ἄλλοι δὲ, πρωτεύειν φασὶ τὴν φρατρίαν μετὰ τῶν δύο ρ, καὶ ἐπ' αὐτῆς γίνεσθαι τὴν πατρίαν, ἀποβολῇ τοῦ πρώτου ρ. λέγεσθαι δὲ ἐκ μὲν τῆς φρατρίας τοὺς φράτορας. ἤτοι τοὺς συγγενεῖς, καὶ συμφυλέτας, καὶ τὴν φρήτρην τὴν αὐτὴν οὖσαν τῇ πατρίᾳ, ἥ τις ἐστὶ τρίτον φυλῆς, λεγομένη καὶ τριττὺς, ὡς προείρηται. ἀφ' ἧς φρήτρης. καὶ ἀφρήτωρ παρὰ τῷ Ποιητῇ, ὁ μεμονωμένος συγγενείας, καὶ μὴ ἔχων φρήτρην. καὶ παρὰ τοῖς Ἀττικοῖς φράτωρ, καὶ φράτριον, τόπος ἐν ᾧ οἱ τῆς αὐτῆς φρατρίας συνήγοντο. καὶ ταῦτα μὲν ἐκ τῆς φρατρίας. φρατριάζειν Ἀττικῶς, τὸ εἰς τὸ αὐτὸ συνιέναι. Αἴλιος Διονύσιός φησι πατρία, ἣν Ἴωνες πατρίας. οἱ δὲ Ἀχαιοὶ, φράτερας διὰ τοῦ ε. οὗ φησὶν ἀδελφὰ φρατὴρ. φέρεται, καὶ ὅτι φρατὴρ Ἀττικοί φασιν. Ἴωνες δὲ διὰ τοῦ ω. οἱ δ' αὐτοὶ καὶ φρήτρην. λέγεται καὶ πατρία. ὅθεν καὶ πατριάζειν, τὸ εἰς φρατρίαν συνιέναι.

Φρεάρριος, δῆμος τῆς Λεοντίδος.

Φρίζει, φοβεῖται.

Φρίκα, λεπτοκυμία. ἡ ἀρχὴ τοῦ κύματος.

Φρίκες, χάρακες.

Φρίκη, τρόμος, παλμὸς, ἀπὸ τοῦ φρίσσω.

Φρικνὸν, φρικαλέον, δεινὸν, φοβερόν.

Φριμαγμὸς, οὐκ ἔστιν ὁ χρεμετισμὸς, ἀλλὰ ὁ διὰ τῶν ῥινῶν τῶν ἵππων ἐκπεμπόμενος ἦχος, ὅταν γαυριῶσι.

Φριμασσομένη, χρεμετίζουσα, ἀγερωχουμένη, ἢ ἀτάκτως πηδῶσα. καὶ φριμαγμὸς, ὁ χρεμετισμὸς παρὰ Λυκόφρονι. καὶ φριμασσόμενοι τῷ τράχῳ, ἤγουν ἀποφυσῶντες. καὶ φρυασσόμενοι, φυσῶντες.

Φριμάττεσθαι, ἐπὶ τράγου. φρυάττεσθαι δὲ, ἐπὶ ἵππου. καὶ φρυάγμαθ' ἱππικὰ, Σοφοκλῆς ἐν Ἠλέκτρᾳ.

Φριμεῖται, φριμάσσεται.

Φρὶν, φρένα, διάνοιαν, γνώμην.

Φρὶξ, ἡ ἐπανάστασις τῶν κυμάτων. φρίσσει τις φόβῳ, ἢ ψύχει, ἢ ὀργῇ. ἐμψύχως οὖν τὰς φάλαγγας φρίσσειν φησί. φρὶξ, ἡ ἐξεπιπολῆς κίνησις τοῦ ὕδατος, ὅ ἐστι τοῦ κύματος ἀρχομένου. ἢ τὸ ἐπιπολάζον τῷ κύματι ἀφρῶδες, ὅταν ἄνεμος ἄρχηται πνεῖν. ἢ ἡ πρώτη ἔγερσις τῶν κυμάτων.

Φριξότριχα, ὀρθοῦντα τὰς τρίχας.

Φρίξαν ἔθειραι, ὀρθὴν ἔστησαν τὴν τρίχα.

Φρίσσουσιν, ἀντὶ τοῦ εἰς ὕψος αἴρονται. Ἀπολλώνιος.

Φρίσσειν, δηλοῖ καθόλου πύκνωσίν τινα ὀρθωτικὴν, κατὰ ἡσύχιον κίνησιν. οὕτω γὰρ τρίχες φρίσσουσιν. οὕτω τὸ λήϊον φρίσσει ἀστάχυσι. καὶ στίχες φρίσσουσιν ἀσπίσι καὶ κορύθεσι καὶ ἔγχεσιν. ἐκ τούτου τοῦ ῥήματος γίνεται φρὶξ, καὶ ἐπιφρίξ. ἢ προοίμιόν ἐστι κύματος, μελανία πόντου, ὅτε ἄνεμος χεῖται νέον ὀρνύμενος. καὶ ὅτι ὥσπερ ἀπὸ αἰτιατικῶν τοῦ πατέρα, μητέρα, γαστέρα, γίνονται ἀδελφαὶ, πάτρα, μήτρα, γάστρα. οὕτω καὶ ἀπὸ τοῦ φρὶξ, φρικὸς, φρίκα. παρὰ τοῖς ὕστερον ἡ φρίκα. καὶ ὥσπερ γάστρα, γάστρη, ὡς τὸ γάστρην μὲν τρίποδος πῦρ ἄμφεπεν, οὕτω φρίκα φρίκη Ἰωνικῶς.

Φρίσσειν κυρίως, τὸ ὀξορθοῦν τὰς τρίχας. καὶ φρίσσει, φοβεῖται.

Φρίττει ὁ χοῖρος ταῖς θριξὶ, φρίττει τὸ λήϊον τοῖς ἀστάχυσι, φρίττει ὁ στρατὸς τοῖς δόρασι, καὶ ἡ θάλασσα τοῖς κύμασι. φρίττει δὲ ὁ φοβηθεὶς, ἐπειδὰν αὐτῷ ὀρθαὶ αἱ τρίχες γένωνται, ἔφριξαν αἱ τρίχες. φρίττειν λέγομεν, ἐπὶ τῆς ἐπιφανείας τῆς θαλάσσης, ὅταν ὑπὸ τῶν κυμάτων τραχύνηται.

Φροίμια, προοίμια. προρρήσεις, Ἀττικοί.

Φρόκλος, περίπολος.

Φρονεῖν, τὸ νοεῖν, καὶ τὸ φρόνημα ἔχειν. φρονεῖν τὸ λογίζεσθαί τι, καὶ ἐνθυμεῖσθαι. καταφρονεῖν δὲ, τὸ ἀπελπίζειν, καὶ ὑπερορᾶν. φρονῶ τὰ τοῦ δεῖνος, ἀντὶ τοῦ στέργω καὶ ἀποδέχομαι. καὶ φρονῶ, τὸ φρόνησιν ἔχω ἀμεταβάτως. καὶ φρονῶ τόδε, ἀντὶ τοῦ νοῶ μεταβατικῶς. φρονῶ σοι εὖ, νοῶ σοι καλῶς.

Φρόνημα λέγουσι, τὴν ἐκ τῆς φρονήσεως ἐπιγινομένην τῷ φρονηματικῷ γνῶσιν τοῦ φρονηθέντος. φρόνησιν γὰρ καὶ φρονητὸν καὶ φρονητικὸν καὶ φρόνημά φασι. καὶ φρόνησις μέν ἐστιν ἡ σχέσις. φρονητὸν, τὸ φρονούμενον, καὶ φρονητικὸν, τὸ φρονοῦν. καὶ φρόνημα, ἡ γενομένη ἐκ τῆς φρονήσεως τῷ φρονηματικῷ γνῶσις τοῦ φρονηθέντος πράγματος.

Φρονήσεως ἔργα εἰσὶ, τὸ εὖ βουλεύεσθαι. τὸ κρῖναι τὰ ἀγαθὰ, καὶ τὰ κακὰ, καὶ πάντα τὰ ἐν τῷ βίῳ αἱρετὰ, αἰσχρὰ, καὶ φευκτά. τὸ χρήσασθαι καλῶς πᾶσι τοῖς ὑπάρχουσιν ἀγαθοῖς, τὸ ὁμι-

Digitized by Google

ὁμιλῆσαι ὀρθῶς, τὸ συνειδέναι τοὺς καιροὺς, τὸ ἀγχινόως χρήσασθαι καὶ λόγῳ καὶ ἔργῳ, τὸ τὴν ἐμπειρίαν ἔχειν τῶν χρησίμων πάντων.

Φρόνησις, ἡ φέρουσα ὄνησιν.

Φρόνησίς ἐστι, διάγνωσις τῶν ποιητέων, καὶ οὐ ποιητέων. ἢ ἐπιστήμη διαιρετικὴ καλοῦ τε καὶ κακοῦ, ἵνα τὸ μὲν ἑλώμεθα, τὸ δὲ φύγωμεν. ἢ δύναμις ἐπιστημονικὴ ἀγαθῶν τε καὶ κακῶν, καὶ οὐδετέρων. ἡ ἀρετὴ τοῦ λογικοῦ μέρους τῆς ψυχῆς, περὶ τὰ ποιητέα καὶ μή.

Φρονιμεύεσθαι, μὴ λέγε, φρονεῖν δὲ τὰ ὄντα.

Φρόνις, Ὅμηρος κατὰ φρόνιν ἤγαγε πολλήν. ὁ μὲν Ἡρωδιανὸς παρὰ τὴν φρόνησιν κατὰ συγκοπήν. ὁ δὲ Ὦρος, ἐκ τοῦ φρὴν φρενὸς γενικῆς γίνεται φρόνις.

Φροντίζω, κήδομαι, μέλω, μεριμνῶ, ἐπιστρέφομαι, προτιμῶ, ἀλέγω, πολυωρῶ, μεταποιοῦμαι, σκοπῶ.

Φροντίζω, καὶ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. φροντίζω τοῦτο, ἤγουν σκέπτομαι. Ἀριστοφάνης. τοῦτο πάνυ φροντίζετε, ἤγουν σκέπτεσθε. φροντιῶ, μέλλων Ἀττικός ἐστιν ἐκ τοῦ κοινοῦ μέλλοντος φροντίσω, ἀποβολῇ τοῦ σ φροντιῶ. περισπῶντες γὰρ τὴν τελευταίαν οἱ Ἀττικοὶ ποιοῦσι τὸν ἴδιον μέλλοντα τῆς τετάρτης συζυγίας.

Φρόντις ὄνομα κύριον, τοῦ Πάνθου γυναικός, καὶ ἀρσενικὸν, ὡς ἐν Ὀδυσσείᾳ. βαρύνεται δὲ κανόνι τοιούτῳ τὰ εἰς τις δισύλλαβα, μὴ ὄντα ἐπιθετικὰ, παραληγόμενα τῷ ο ἢ μόνῳ, ἢ σὺν ἑτέρῳ, ὀξύνεται, προιτὶς, κοιτὶς, φροντίς. τὸ φρόντις ὡς κύριον βαρύνεται, πρὸς διαστολήν.

Φροντίς ἐστιν, εἰλιγμός τις, ἡ μέριμνα.

Φροντιστήριον, τὰ διδασκαλεῖα τῶν φιλοσόφων. λέγοιντ' ἂν οὕτω καὶ τὰ παρ' ἡμῖν μοναστήρια, ὡς τῆς ὄντως φιλοσοφίας ἐνταυθοῖ μελετωμένης.

Φροντιστήριον παρὰ τῷ Ἀριστοφάνει, βουλευτήριον, ἡ συνοδός τις καὶ θᾶκος παῦλαν ἔχον. σοφῶν θᾶκος δὲ καλεῖται, ὁ τόπος Ἀττικῶς, ἔνθα πολλοὶ συνέρχονται σκεψόμενοι. φροντισταὶ δὲ ἐκαλοῦντο, οἱ περὶ τὸν Σωκράτην, διὰ τὸ φροντίζειν ἀλλήλων, καὶ διὰ τοῦτο μηδέποτε παύεσθαι τῆς φροντίδος.

Φρονῶ, αἰτιατικῇ συντάσσεται, καὶ τὸ εὖ φρονῶ, ἐπεὶ διαλελυμένον ἐστί. τὸ δὲ ἀφρονῶ, δοτικῇ.

Φροῦδα, ἀφανῆ.

Φροῦδοι, παντελῶς ἀφανεῖς, ἔρημοι. οἷον ἀπεληλυθότες, ἔκδημοι.

Φρουρὰς ᾄδων παρὰ τῷ Ἀριστοφάνει. οἱ φρουροῦντες ἐν τῷ πολέμῳ διὰ τὸ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν, ᾖδον. καὶ οὕτως ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων, φρουρὰς ᾄδειν.

Φρουρέω φρουρῶ, τὸ φυλάσσω καὶ σκοπῶ. Θεόκριτος, μηκέτι τοι φρουρῶμεν ἐπὶ προθύροισιν ἄραστε. φρουρεῖ, φυλάσσει. ὅθεν φρουροὶ, οἱ φύλακες.

Φροῦδος, Ἀττικοί. ἀφανὴς Ἕλληνες. γίνεται δὲ ἀπὸ προθέσεως καὶ τοῦ ὁδὸς, οἱονεὶ ὁ πρὸ ὁδοῦ. ὥσπερ φρουρὸς, ἀπὸ τοῦ προορᾶν.

Φρούριον, τὸ πολίχνιον λέγεται. ὃ καὶ πολίχνη θηλυκῶς καὶ ἔρυμα λέγεται. Φιλόστρατος δὲ, τὸν κρημνὸν λέγει φρούριον, ὡς τὰ τοῦ φρουρίου δυνάμενον.

Φρουρὸς, ὁ προορῶν, παρὰ τὸ προορᾶν. φρούριον δὲ, σημαίνει τὸ κάστρον.

Φρύαγμα, ἡ τῶν ἵππων καὶ ἡμιόνων διὰ μυκτήρων ἠχὴ ἀγρίῳ φυσήματι ἐκπίπτουσα. λέγεται δὲ καὶ ἐπὶ τῆς γελάσεως. καὶ φρυαττόμενος, ἐπαιρόμενος. καὶ φρυάττεσθαι, τὸ καταπλήττεσθαι.

Φρυάττεσθαι, ἐπὶ τῶν φυσώντων ἵππων καὶ γαυρουμένων λέγεται φρυμάσσειν. καὶ φρυάγματα. τὰ φυσήματα τῶν ἵππων.

Φρυάσσεται, ἐπεγείρεται, μεγαλοφρονεῖ, γαυριᾷ. φρυάττεται, ἐπαίρεται.

Φρύγανον, εἶδος φυτοῦ ῥαδίως ὑπὸ τοῦ πυρὸς ἀναπτόμενον. καὶ φρυγανώδης ὕλη, ἡ μετέχουσα τῆς φύσεως τῶν φρυγάνων.

Φρύγες, ἔθνος. Φρυγία, ὁ τόπος, ἐν ᾧ οἱ Φρύγες, καὶ ὁ ἀπ' ἐκείνης φρύξ. Θράκη, καὶ ὁ ἀπ' ἐκείνης Θρᾷξ. καὶ ὁ ἀπὸ τῆς Καρίας, Κάρ. καὶ ὁ ἀπὸ τῆς Κρήτης, Κρής. καὶ ὁ ἀπὸ τῆς Λιβύης, Λίβυς. καὶ ὁ ἀπὸ τῆς Μαγνησίας, Μάγνης.

Φρύγετρον, ξυλίφιον, ᾧ κινοῦσι τὰς πεφρυγμένας κριθάς.

Φρυκτωρεῖ, δαδουχεῖ, λάμπει, ἢ διὰ πυρὸς ἀνατείνεται.

Φρυκτωρία φανὸς, ἡ τῶν πύργων νυκτερινὴ φυλακή. παρὰ τὸν πυρσὸν, καὶ τὸ ὠρεύειν. ἢ φρυκτωρεῖν κυρίως, τὸ διὰ πυρσῶν ἀνατεινομένων, δηλοῦν τι. ἀφ' οὗ φρυκτὸς, ὁ κοινῶς φανός. καὶ παραφρυκτωρεῖν, τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον κεχρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν ἐχθρῶν καὶ πολεμίων, βλάβῃ δὲ τῶν οἰκείων.

Φρυκτὰ, ξηρὰ, ἢ ἰχθύδια ἁπαλά.

Φρυκτὸς, μάντις, κλῆρος, σύμβουλος, πυρσός.

Φρυμάσσειν, ἐπὶ ἵππου. φρυάγματα, τὰ φυσήματα τῶν ἵππων. ἀφ' οὗ φρυάττεσθαι, καὶ φρυάττειν, τὸ διὰ ὑπερηφανίαν καὶ θρασύτητα φυσᾶν τοῖς μυκτῆρσι.

Φρῦνις, κιθαρῳδὸς μιτυληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος παρὰ Ἀθηναίοις κιθαρῳδικῇ νικῆσαι παναθήναια ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείτου μαθητής. ὁ δὲ Ἀριστόκλειτος τὸ γένος ἦν ἀπὸ Θερσάνδρου, ἤκμασε δ' ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα, κιθαρίζειν ἐδίδαξε, καὶ ἄλλα περὶ τούτου λέγουσι.

Φρυνέος, εἶδος βατράχου, παρὰ τὸ ἐμφερὴς εἶναι πρὸς τοὺς ἄλλους, ἢ ἀπὸ τοῦ φέρεσθαι ἀπὸ τῆς λιμνώδους φύσεως ἐπὶ τὸν χερσαῖον.

Φρυγίνδα, παιδιᾶς εἶδος διὰ κυάμων.

Φρύγιον ξύλον, ξηρόν.

Φρυνίχος, καὶ φρυνώνδας, καὶ φρυνίων, καὶ φρύνη, κύρια.

Φρυνώνδας, περιβόητος ἐπὶ πονηρίᾳ, οὐδὲν ἧττον Εὐρυβάτου. καὶ φρυνώνδας ὄνομα κύριον. ἐκ τούτου τοὺς πονηροὺς φρυνώνδας καλοῦσι.

Φρύττω ἄρτον ἐν κλιβάνῳ, ἤτι ἔπτον, ἤγουν ξηραίνω.

Φρῶν, ἢ φρονερῶν, γυναικῶν.

ΤΟ' Φ'. ΜΕΤΑ' ΤΟΥ' Υ'.

Φῦ, ἔφυ, ἐφύψατο.

Φυαῖς, φύσεσι.

Φύγαδε, καθ' ὁμοιότητά ἐστι τοῦ οἴκαδε, καὶ μετατέτλαται. ὡς γὰρ σκέπην σκέπα, καὶ κρόκην κρόκα παρ' Ἡσιόδῳ, οὕτω καὶ φυγὴν φύγα. ἐξ οὗ τὸ φύγαδε. ὁ δὲ Ἀσκαλωνίτης ἀπὸ εὐθείας κλίνει τῆς φὺξ, ὡς στὺξ, στύγα.

Φυγαδεύω, τὸ διώκω. φύζα ποιητικῶς, φυγὴ κοινῶς, καὶ φύξις, τὸ αὐτό.

Φυγαδευτήριόν ἐστι, σῶμα πρακτικὸν ἐμπαθοῦς ψυχῆς, ἀπὸ τῶν κυκλούντων αὐτὴν δαιμόνων ῥυόμενον.

Φυγγάνω, ἀπὸ τοῦ φεύγω γίνεται φευγάνω. καὶ ἐκβολῇ τοῦ ε καὶ πλεονασμῷ τοῦ ν, εἶτα διὰ τὸ ἐπαγόμενον ν, καὶ τροπῇ τούτου εἰς γ, φυγγάνω. οὕτω γίνεται καὶ τὸ τυγχάνω, ἀπὸ τοῦ τεύχω ἀρχήστου. καὶ τὸ ἁνδάνω ἀπὸ τοῦ ἥδω. καὶ τὸ πυνθάνομαι, ἀπὸ τοῦ πεύθομαι. καὶ τὸ ἐρυγγάνω ἀπὸ τοῦ ἐρεύγομαι, καὶ ἕτερα.

Φύγη, φῦσις σώματος, ἡλικία.

Φυγὴ, καὶ ἡ δίωξις, καὶ ἡ κατηγορία, ταυτόν.

Φυγὴ, Ἀριστοφάνης ἐν ταῖς φυγαῖς μετ' ἀνδρός. τόπος τοῦ δικαστηρίου ἀποκεκρυμμένος.

Φυγόσκειν, φεύγειν.

Φύει, γεννᾷ.

Φύεσθαι, βλαστάνειν.

Φῦεν τ' ἄρα οἱ χειρὶ, ἀντὶ τοῦ προσεπέλασεν αὐτῷ, καὶ προσήγγισε τῇ χειρί. ἀπὸ τοῦ φύω, φῦμι. ὁ δεύτερος ἀόριστος, ἔφυν, ἔφυς, ἔφυ.

Φύζα, φόβου ἑταίρου. οἱ παλαιοὶ λέγουσιν, ὅτι ἀεὶ φύζα, ἡ μετὰ δέους φυγή. ὅθεν καὶ ἔλαφοι φυζακιναί. λέγει ὁ Ποιητὴς φύζαν, καὶ τὴν ἔκπληξιν.

Φυζανικὸν, ἐπίθετόν ἐστιν ἐλάφων κοινὸν, διὰ τὸ ἑτοίμους αὐτὰς εἶναι εἰς φύζαν, ἤγουν εἰς φυγήν. καταχρηστικῶς δὲ λέγεται, καὶ ὅταν φύγῃ τις.

Φύημα, κόπρος.

Φυὴ, ἐνίοτε μὲν ἐπὶ τῆς ψυχῆς λέγουσιν. ἐνίοτε δὲ ἐπὶ τοῦ σώματος, καὶ ἐπ' ἀμφοτέρων διττῶς. ἐπὶ μὲν γὰρ τοῦ σώματος, ἢ τὴν ἀναδρομὴν αὐτοῦ δηλοῦντες ἁπλῶς, ὡς ἐν τῷ οὐ δέμας, οὐδὲ φυήν. ἢ τὴν ἁρμοσίαν αὐτοῦ καὶ τὸ κάλλος. ἐπὶ δὲ τῆς ψυχῆς, ἢ τὴν δύναμιν τῶν αἰσθήσεων, καὶ κινημάτων αὐτῆς, ὡς παρὰ Πινδάρῳ, ἐν τούτοις. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ. ἢ τὴν εὐφυΐαν αὐτῆς καὶ δεξιότητα. καὶ φυὴ, βλάστησιν, αὔξησιν ἡλικίας, παρὰ τὸ φύω.

Φυὴν ἐδάην. παρ' Ὁμήρῳ λέγει τὴν φυὴν οὐ μόνον τὴν φύσιν καὶ τὴν εὐφυΐαν, καθ' ἣν πέφυκέ τις πρὸς ἔργον, ἀλλὰ καὶ ἡ κατὰ σῶμα ὑπεροχὴ, καὶ γεραρότης.

Φύκα, σχέτλια, οὐκ ἀνεκτά.

Φύκει, εἶδος κομμωτικὸν γυναικεῖον.

Φύκη, ᾗ τινι τὰς οἰκείας ὄψεις χρίουσι.

Φυκία, τὰ πλατέα καὶ ἁπαλὰ, τὰ ἐπὶ τῷ αἰγιαλῷ κείμενα. βρύα δὲ βοτάναι τινὲς, ἐν τοῖς πετρώδεσι τόποις τῆς θαλάσσης φυόμεναι.

Φῦκος, τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. οἱ δὲ φυκία φασὶ, βοτάνην τὴν ἐν τῷ βυθῷ τῆς θαλάσσης γινομένην. παρὰ τὸ φύεσθαι. φυτὸν γάρ ἐστι, θαλάσσιον. φυκία δὲ θαλάσσια ζῷα, ἢ ὁ ἀφρός. παρὰ τὸ φύω. λέγεται δὲ καὶ τὰ βρύα, φυκία καὶ φυκίς. ἐκτείνει δὲ τὴν ἄρχουσαν τὸ φῦκος.

Φυκιοχαίτην, ψαφαροχαίτην.

Φυκτά. Ὅμηρος. οὐκ ἔτι φυκτὰ πέλονται. παροιμιῶδές ἐστι. λεγόμενον ἐπὶ μεγάλῳ κακῷ.

Φυκτὰ, φευκτά.

Φυκτῆρες, φύλακες.

Φυκοῦντα, φυκοῦς ἀκρωτήριον περὶ τὴν ἀρχὴν τῆς Λιβύης. καὶ πολύχνιον ὁμώνυμον.

Φῦλα, ἔθνη, συγγενικὰ γένη.

Φυλάδα, ἡ Ἑκάτη. φῦλα λέγει Ὅμηρος ἐν δευτέρᾳ ῥαψῳδίᾳ, τὰς φυλάς. φράτρας δὲ, ἃς οἱ Ἀττικοὶ φατρίας ἔλεγον. καθολικωτέρα καὶ περιεκτικὴ ἡ φυλὴ τῆς φατρίας. εἰς τρία γὰρ μέρη τὴν φυλὴν διῄρουν, εἶτα ἕκαστον μέρος φατρίαν ἐκάλουν. ἐλέγετο μὲν οὖν φατρία, τὸ τρίτον μέρος τῆς φυλῆς. φράτορες δὲ ἐλέγοντο, οἱ τῆς αὐτῆς φατρίας μετέχοντες. καὶ φρατρίζειν τὸ τῆς αὐτῆς φατρίας μετέχειν. φατρίαρχος δὲ, ὁ τῆς φατρίας ἄρχων.

Φυλακὴ, ἀπὸ τοῦ φυλάσσω. τοῦτο παρὰ τὸ φυλή. λέγουσι γὰρ, ὅτι τὰς φυλακὰς αἱ φυλαὶ εἶχον, ὅθεν λέγεται καὶ πρώτη φυλακὴ τῆς νυκτὸς, καὶ δευτέρα, καὶ τρίτη. καὶ γὰρ τρεῖς ὥρας ἐφύλαττε μία φυλή. καὶ μετὰ ἄλλας τρεῖς, ἄλλη. ὥστε ἡ φυλακὴ τῆς νυκτὸς τρεῖς ὥρας σημαίνει. φυλὴ δὲ σημαίνει τὸ γένος καὶ γενεάς.

Φυλάκη, πόλις Θεσσαλίας βαρυτόνως, πρὸς ἀντιδιαστολὴν τοῦ δεσμοῦ.

Φυλακοὺς λάθη. Ἰλιάδος ω, φυλακτῆρας, καὶ φύλακας λέγει Ὅμηρος. οἱ δ' αὐτοὶ φύλακοι λέγονται. καὶ σκοποὶ δὲ ἂν εἰκότως. ἔτι δὲ καὶ ὀπτῆρες.

Φυλακτῆρες, τριχῶς λέγονται, φυλακτῆρες καὶ φύλακες κοινῶς. καὶ φύλακοι ποιητικῶς οὓς Ἀρίσταρχος λέγει, οὐ βαρυτόνως φυλάκους προφέρειν, ἀλλ' ὀξυτόνως. καὶ κανόνα παράγει, τὰ εἰς κος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ α, ἐπιθετικὰ ὄντα, ὀξύνονται, μαλακός, φαρμακὸς, ἀνακός. ὅθεν καὶ ἀνακοῖν Διοσκούροιν. καὶ οὕτω μὲν κατὰ Ἀρίσταρχον. ἄλλως δὲ τὸ βαρυτονεῖσθαι τὴν λέξιν πιθανὸν ἐκ τοῦ φύλαξ φύλακος, ἐξ οὗ ὁ φύλακος, ἀναδραμούσης εἰς εὐθεῖαν τῆς γενικῆς.

Φυλακτήριον, τόπος ἔνθα οἱ φύλακες οἰκοῦσι.

Φύλαξ, φυλακτήρ.

Φύλαρχος, ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος τῷ ἱππάρχῳ.

Digitized by Google

Φυλαρχία, πομπή τις.

Φύλαρχον, χορήγιον.

Φυλαὶ, τὰς κατοικίας, ἀποχωρήσεις, καὶ τὰ στρατόπεδα.

Φυλάσιοι, οἱ ἐκ τοῦ δήμου τῆς φυλῆς. φυλὴ γὰρ δῆμος τῆς οἰνίδος. ὁ δὲ Μένανδρος τόπον νομίζει εἶναι φυλὴν. ὁ δὲ φίλαρχος, φρούριον αὐτὸ φησιν εἶναι.

Φυλάσσειν καὶ ῥύεσθαι, ταυτά.

Φυλάσσω, καὶ ῥύομαι, οὐ διαφέρουσι κατὰ νοῦν.

Φυλάσσω, φρουρῶ, τηρῶ, ἀσφαλίζω.

Φυλάττω, τὸ τηρῶ. φυλάττομαι δὲ παθητικῶς τὸ ἐκφεύγω, καὶ τηροῦμαι. καὶ φύλακες, οἱ εἰς τὸ φυλάττειν τεταγμένοι, καὶ φυλακὴ τὸ πλῆθος τῶν φυλάκων, καὶ ἡ ἐνέργεια τῶν φυλασσόντων. συντάσσεται τὸ φυλάττω ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν. οἷον φυλάττω σοι τὴν οἰκίαν. καὶ τὸ παθητικὸν διαφυλάττεται ὁ οἶκος ὑπ' ἐμοῦ. σημαίνει τὸ φυλάττομαι ἔτι, τὸ ἐξασφαλίζομαι, καὶ ἰδιοποιοῦμαι.

Φυλείδης, φυλέως παῖς, ὁ Μέγης.

Φυλέως, ἐκ τῆς φυλῆς, ὅ ἐστιν ὁμόψυχος.

Φυλεὺς. ἰστέον δὲ ὅτι ὁ Πορφύριος, αἰτίαν τοῦ φυγεῖν τὸν φυλέα ἐξ Ἤλιδος εἰς τὸ Δουλίχιόν φησι, τὸ μαρτυρῆσαι Ἡρακλεῖ περὶ τῆς ἀφαιρέσεως τῶν βουκολίων, ὅπερ πάντως ἐλύπει τὸν τοῦ φυλέως πατέρα τὸν Αὐγείαν. γέγονε δὲ τοῦτο, ἡνίκα Ἡρακλῆς τὴν Αὐγείου κόπρον ἐξεκάθηρεν. ἄλλοι δὲ οὕτω. φυλεὺς γάρ φασι μοιχεύσας Τιμάνδραν, ἀδελφὴν Ἑλένης καὶ Κλυταιμνήστρας, ἀπήγαγεν εἰς τὸ Δουλίχιον. ὥστε καὶ εὐλόγως φασὶ διὰ τὴν ἐπιγαμίαν συμμαχεῖ καὶ ὁ Μέγης.

Φυλὴ, τόπος τῆς Ἀττικῆς οὕτω λεγομένη. ἢ καὶ στίγμα, καὶ μέρος πόλεως.

Φυλίης, φυλία ἐστὶν εἶδος ἀγριελαίας, ἄλλοι συκῆς. οἱ δὲ, εἶδος δένδρου, ὅμοιον πρίνῳ.

Φυλιστιείμ, πίπτον ποτίματι, ἤγουν μέθη.

Φύλλα, διὰ δύο λλ, εὐλόγως. δοκοῦσι γὰρ οὕτω λέγεσθαι διὰ τὸ ἐν τῷ φυσᾶσθαι λαλαγεῖν. ἢ πρὸς διαστολὴν τοῦ φύλου, ὃ δηλοῖ τὴν φυλήν.

Φυλλάδα τὴν στιβάδα τῶν φύλλων λέγει Ἀπολλώνιος.

Φυλλάδες, οἱ ξηροὶ κλάδοι, καὶ φύλλα ἔχοντες.

Φύλλα τὰ κηπαῖα καὶ βοτανώδη χλωρὰ ἡδύσματα. παρὰ τῷ Ἱπποκράτει.

Φυλλεῖα ἰχνὰ παρὰ τῷ Ἀριστοφάνει, τὰ ἀπολεπίσματα τῶν λαχάνων. ἰχνὰ δὲ οἷον εὐτελῆ καὶ μεμαραμμένα τῶν λαχάνων φύλλα. τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίουσι. καλεῖται δὲ φυλλεῖα καὶ τὰ τῆς θριδακίνης.

Φύλλια, ὡς παρὰ τῷ Ἱπποκράτει, ἡδύσματα κηπαῖα. οἷον κορίανον, πήγανον, σέλινον.

Φύλλες, ἀλώπεκες.

Φυλλικώδια, τὰ οἱονεὶ θαλακώδεα. καὶ σομφὰ, παρὰ τῷ Ἱπποκράτει.

Φύλλιον, πέταλον, ἢ τὰ ἐκ τῆς γῆς ἄνθη.

Φυλλίδες, τὰ τῶν ἀνθῶν, ἅτινα φύλλα ἐκάλουν.

Φυλλήιον, ἢ φυλλεῖον. ὄρος Μακεδονίας.

Φυλλιναίους ἀγῶνας, ἐν οἷς μὴ τίθεται ἀργύριον, ἤ τι ἄλλο, ἀλλὰ στέφανος.

Φυλλὶς, ποταμὸς Βιθυνίας. Ἀπολλώνιος, προχοὰς φυλληίδας.

Φύλλον παρὰ τὸ φύω τὸ ἀναβλαστάνω, φύαλλον καὶ φύλλον.

Φύλλον, τὸ τοῦ σιλφίου σπέρμα διὰ τὸ πλατὺ εἶναι, ἐν τῷ δευτέρῳ τῶν γυναικείων. προστίθησι δὲ καὶ ὁ Ἱπποκράτης, ποτὲ μὲν λυβικὸν, ποτὲ δὲ αἰθιοπικόν.

Φυλλοροεῖν, συντιθέασιν ἐκ τοῦ ῥέειν τὰ φύλλα. Ὅμηρος προκρίνει τὸ χέειν, ὡς λειότερον, καὶ διὰ τοῦτο οἰκειότερον. διὸ οἱ μεθ' Ὅμηρον φυλλοχόον μῆνά φασι, καθ' ὃν τὰ φύλλα εἰς τὴν γῆν χέονται.

Φυλοβασιλεῖς, ἐκ τῶν φυλῶν αἱρετοὶ, οἱ τὰς θυσίας ἐπιτελοῦντες.

Φυλοκρινεῖ, διακρίνει, καταδικάζει.

Φῦλον, ἔθνος, γένος.

Φύλοπις, ἡ μάχη, καὶ ὁ πόλεμος. καὶ ἐτυμολογεῖται ἀπὸ τοῦ φύλη καὶ τοῦ ὄψ ὀπὸς ἡ φωνὴ, ἡ ἔχουσα δηλαδὴ φυλῶν διαφόρων, ἤτοι γενῶν καὶ ἐθνῶν πολλῶν ὄπας καὶ φωνάς. ἔστι δὲ τὰ τοῦ πολέμου σύμβαμα. οὐ γὰρ πᾶς πόλεμος φύλοπις.

Φύμα, ψάρα, ἢ ἕτερον φύμα.

* Φύμα, ὄγκος παρὰ φύσιν, πρὸς τὸν ἐκτὸς, τόπον ἐπειγόμενος.

Φυώντων, γεννηθέντων.

Φύξηλις παρ' Ὁμήρῳ, εἰ μὲν ὁ φεύγων ἅλις, ἔχεται λόγου τὸ διὰ τοῦ η γράφεσθαι τὴν παραλήγουσαν. εἰ δὲ ὁ φεύγων ἴλας, ἤγουν τὰς ἐν πολέμῳ τάξεις κατὰ τὸν Πορφύριον, ἔχει ἀπορίαν ἡ γραφή.

Φύξιος Ζεὺς, ὁ δυνάμενος ποιῆσαι φυγεῖν τὸν κίνδυνον. λέγεται δὲ καὶ φίλιος, καὶ ἑταιρεῖος, καὶ ὁμόγνιος, καὶ ἐφέστιος, καὶ ἄλλα μυρία καλεῖται. γάμους δὲ πάλιν ποιῶν, γαμήλιος. καὶ ἁπλῶς πρὸς τὰ συμβαίνοντα καὶ γενόμενα μετονομαζόμενος. φεύγων γάρ τις, φύξιον Δία ἐπικαλεῖται. συμβουλευσάμενος δὲ, βουλαῖον, καὶ τὰ ἄλλα ὁμοίως.

Φυξίμηλα δένδρα, τὰ διὰ ὕψος ἐκπεφευγότα ἐσθίεσθαι ὑπὸ τῶν βοσκημάτων.

Φύξιος Ζεὺς παρὰ Θεσσαλοῖς, ἤτοι ἐπειδὴ τὸν ἐπὶ Δευκαλίωνος κατέφυγον κατακλυσμὸν, ἢ διὰ τὸ καταφυγεῖν τὸν Φρίξον εἰς αὐτόν.

Φύξιος Ζεὺς, ὁ βοηθῶν τοῖς φυγάσι, καὶ προσκαταφεύγουσι.

Φύξις, ἀπὸ τοῦ φεῦξις, ἀποβολῇ τοῦ ε διὰ εὐφωνίαν πολλαχοῦ γίνεται. καθὰ καὶ τὸ ἐρυθραίνειν, ἐκ τοῦ ἐρευθαίνειν, ἢ ἀπὸ τοῦ φύγω, ξῶ, οἷα τοῦ φύγω μετενεχθέντος εἰς ἐνεστῶτα.

Φυομένας, γεννωμένας.

Φύοντι, ἀντὶ τοῦ φύουσι, Δωρικῶς.

Φυὸς, φύτευμα γέννημα.

Φύππαξ, ὅπερ ἡμεῖς, βόμβαξ.

Φύρακες, ἐλαφροί.

Φύραμα, ζύμη, σπέρμα, ἢ ζημία.

Φυραντὶς, ὃ ἡμεῖς φύραν.

Φυρᾷν, ζυμοῦν, ἀναμάσσειν τὰ ἄλευρα. ἀφ' οὗ φύραμα, ἡ ζύμη. φυρῶ ἄρτους. φύρω τὸ ἀναμιγνύω, βαρύτονον, καὶ τὸ συγχέω.

Φυρδήσκια, σκωλήκια.

Φύρδην, συγκεχυμένως. φύραμα, στέαρ, ζύμη, σταίς.

Φύρεσθαι, μίγνυσθαι.

Φύρει, μολύνει. ἢ ἐκβρέχει, ἢ ἐκπλύνει.

Φύρκος, τεῖχος.

Φύρμα, κόπρος, ῥύπος.

Φυρμᾶται, πτάρνυται.

Φυρμὸς, μολυσμὸς, ῥύπος, μίασμα.

Φυροῖ, μολύνει, ῥυποῖ.

Φυρτήτης, οἶνος.

Φυρτίζεσθαι, τὸ παίζειν συνεστραμένοις φυρσοῖς, τοῖς ἱματίοις.

Φυρτοῖσιν, εἰκαίοις, συμπεφυραμένοις. οἱ δὲ ἄλφιτα οἴνῳ δεδευμένα συμπεφυρμένοις.

Φύρσω χείλεα αἵματος, ἀντὶ τοῦ διὰ αἵματος, κατὰ προθέσεως ἔλλειψιν. τὸ μὲν κοινὸν φύρσω αἵματι, μετὰ δοτικῆς. ἔστι δὲ φύρσαι, τὸ μολῦναι καὶ συγχέαι. ὅθεν καὶ φύρδην συγκεῖσθαί τινα λέγονται. πρωτότυπον δὲ τὸ φυρᾶσαι. ἀφ' οὗ καὶ φύραμα, τὸ ζύμωμα. ἐκ δὲ τοῦ φυρᾶσαι κατὰ συγκοπὴν τὸ φύρσαι. ἵνα τῷ λόγῳ τοῦτο εἴη, τὸ χείλεα φύρσαι αἵματος ῥηθὲν, πρὸς ὁμοιότητα τοῦ ἄλφιτον φύρσαι ὕδατι.

Φῦσαι, τὰ χαλκευτικὰ φυσήματα, οἱ ἀσκοί.

* Φύσα, πνεύματα δὲ τὰ μὲν ἐν τοῖσι σώμασι φῦσαι καλέονται, τὰ δὲ ἔξω τῶν σωμάτων ἀήρ. φύσας δὲ ἄνευ ψόφου μὲν καὶ περδήσιας διεξιέναι ἄριστον.

Φὺς, γεννηθεὶς, βλαστήσας.

Φύσα, φαρέτρα, καὶ ἰχθὺς ποιὸς ἐν τῷ Νείλῳ γενόμενος. οἱ δὲ τὸ πνεῦμα, καὶ ὁ ἀὴρ, ἢ ἀσκός.

Φυσᾷ, πέπρηται, ἀπήρτηται.

Φυσακτὴρ, ἄρτος ποιός τις ποπανώδης.

Φυσαλλίδες, φυσητήρια, αὐλοί.

Φυσᾶν, ὀγκοῦσθαι, ἢ τὸ σφοδρῶς πέμπειν τὸ πνεῦμα ἐκ τοῦ στόματος. ἀφ' οὗ φυσώδη ὄσπρια, τὰ ἐμποιοῦντα πνεύματα. Ἀριστοφάνης, ἔνδοθεν αὐτὰς ὥσπερ κύστιν φυσᾷ.

Φυσᾷν, τὸ πρίζειν, τὸ μυκᾶσθαι, καὶ τὸ βροντᾷν, ταῦτα τὰ ῥήματα εἰσὶν, ἀπὸ τοῦ συμβεβηκότος γινόμενα.

Φύσας χαλκευτικὰς, τὰ παλαιὰ τῶν ἀντιγράφων δι' ἑνὸς σ γράφουσιν εὐλόγως. ἀπὸ τοῦ φυ γὰρ μόνου διγραμμάτου ἐπιρρήματος ὠνοματοπεποιημένη ἡ λέξις παρῆκται, διὸ οὐκ ἀνάγκη διπλασιάζεσθαι τὸ σ. ἐκτείνει δὲ τὴν ἄρχουσαν. ἰστέον δὲ ὅτι ἡ χαλκευτικὴ φῦσα τραπεῖσα μεταφορικῶς, τὴν ἀλαζονείαν αὐτὴν ὁμωνυμεῖσθαι πεποίηκε διὰ τὴν ἀνεμώλιον κενορρημοσύνην τῶν ἀλαζόνων. ὧν οἱ λόγοι φυσήμασιν ἐοίκασι. διὸ Δημάδει τῷ ῥήτορι παῖς ἐξ Αὐλητρίδος, Δημέας, καὶ φρυαττόμενος ἐπὶ βήματος ἐκ τοιαύτης ἐσκώφθη λέξεως. ἐπεστόμισε γὰρ αὐτὸν Ὑπερίδης εἰπὼν, οὐ σιωπήσῃ μεῖζον τῆς μητρὸς ἔχων τὸ φύσημα. καὶ ἔχισαι τὸ σκῶμμα διχῇ, δηλοῦν ὅτι τε ἀγενής ἐστιν ἐξ Αὐλητρίδος φὺς, καὶ ὅτι μέγα φυσᾷ. ἐκ δὲ τῆς φύσης καὶ ὁ φύσων. ἐπεὶ φυσώμενος πλησιεστίῳ ἀνέμῳ ἐνεργεῖ. ἔτι δὲ καὶ ἡ παρὰ τῷ Κωμικῷ φύσκη. ἐξ αὐτῆς δὲ καί τις ὀψοφάγος λοπαδοφυσητὴς ἐσκώφθη. φύσης δὲ παρώνυμον. καὶ οἱ φύσαλοι, τὰ κήτη.

Φυσγετὸς, συρμός. φύσει δὲ σκληρόν.

Φύσει, βλαστήσει, ἀληθῶς φύει.

Φύσιγγες, εἶδος σκορόδου. ἄλλοι δὲ σκορόδων κεφαλίδας. καὶ οἱ πρόβολοι τῶν ὀρνίθων, καὶ τὰ ἐν ταῖς κνήμαις ἐγκαύματα.

Φύσιγρα, τὸ καλούμενον ἐκκαύλημα, καὶ μᾶλλον τὸ καῦλον, παρὰ τῷ Ἱπποκράτει.

Φυσίζωος, ἤτοι ἡ τὰ πρὸς ζωὴν φύουσα καὶ δωρουμένη. ἢ ὅτι τῷ ὄντι λέγεται χώρα ἐν Λακεδαίμονι οὕτω φυσίζωος. ἐπεὶ ἐκεῖ δοκοῦσιν οἱ Διόσκουροι καταποθέντες, πάλιν ἀναδοθῆναι.

Φυσίζωος γαῖα, ἡ τὰ πρὸς ζωὴν χρήσιμα φύουσα.

Φυσιοῦται, ἐπαίρεται.

Φυσικῇ, ποιότητι.

Φύσις λέγεται, ἡ ἰδιότης ἑκάστου πράγματος. ὡς τοῦ πυρὸς τὸ καίειν, τῆς χιόνος τὸ ψύχειν, καὶ τῆς γῆς τὸ φύειν τὰς βοτάνας.

Φύσις οὐσίας διαφέρει. οὐσία μὲν γάρ ἐστιν, ἡ ἑκάστου ὕπαρξις, φύσις δὲ ἡ ἐνοῦσά τινι δύναμις. οἷον φύσις τῆς γῆς τὸ βλαστάνειν βοτάνας. καὶ φύσις τοῦ πυρὸς, τὸ θερμαίνειν. ἀφ' οὗ εὐφυὴς, ὁ εὖ ἔχων τῆς φύσεως. καὶ ἀφυὴς, ὁ τούτῳ ἐναντίως ἔχων. καὶ εὐφυΐα. καὶ ἀφυΐα. ἰστέον δὲ ὡς οὐ μόνον ἐπὶ ἀνθρώπων ταῦτα λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν, καὶ ἐπὶ γῆς. καὶ γὰρ εὐφυές, καὶ ἀφυὲς φυτὸν λέγομεν.

Φύσις ἐστὶ, τὸ πεφυκός. τουτέστιν, αὐτὸ τὸ ὂν, καὶ κατὰ ἀλήθειαν ἐν πᾶσιν ὑπάρχον.

Φύσις λέγεται, ὅθεν ἡ πρώτη κίνησις ἐν ἑκάστῳ τῶν φύσει ὄντων ἐν αὐτῷ, καὶ ἑτέρῳ ὑπάρχει. ἢ φύσις ἐστὶν, ἀρχὴ κινήσεως καὶ ἠρεμίας. λέγεται δὲ ἐκ τοῦ φύειν τὰς ὑποστάσεις. ἢ φύσις, παρὰ τὸ φύω φύσω, ἡ ἐν ἅπασι φύουσα καὶ κινουμένη. Ἄλλως.

Φύσις ἐστὶ, φθίσεως καὶ αὐξήσεως προσηγορία. φύσιν πολλάκις καλοῦμεν, τὸ τοιῶσδε πεφυκέναι, καὶ οὐκ αὐτὴν πάντως τὴν οὐσίαν. φύσιν δὲ πάλιν ὡς τὰ πολλὰ, τὴν οὐσίαν καλεῖν σύνηθες, καὶ μάλιστα τοῖς ἡμετέροις διδασκάλοις. φέρεται δὲ πολλάκις τὸ τῆς φύσεως ὄνομα, καὶ κατὰ ἀνυπάρκτων. ὡς φύσις λόγου, καὶ φύσις χρόνου, καὶ φύσις ψεύδους κατὰ Βασίλειον. ἡ γὰρ ἀληθῶς φύσις, τουτέστιν ἐν νῷ, τὸ εἶναι τῆς οὐσίας λαμβάνεται.

Φυσιόωντες, ἀναφυσῶντες. σημείωσαι ὅτι ἐν ταῖς μετοχαῖς ἡ ἐπένθεσις τοῦ ω. εἰ μὲν ἔχει τὴν παραλήγουσαν βραχεῖαν, βραχύνει καὶ τὸ πρῶτον ο. οἷον πληθόων, φυσιόων. εἰ δὲ μακρὰν, ἐκτείνει καὶ ἀμφότερα. οἷον αὐδώων.

Φυσιόωντας ἵππους λέγει Ὅμηρος, τοὺς πνευστιῶντας. ὅπερ σημαίνει ἂν καὶ τὸ φρυαττομένους, ἢ καὶ τὸ ἀσθμαίνοντας, ὥς φασιν οἱ παλαιοί. καὶ πνεῦμα ἠρεθισμένους.

Φυσίωσις, ἔπαρσις, ὑψηλοφροσύνη.

Φυσιολογεῖ, περὶ φύσεως διαλέγεται.

Φυσίον, τὸ κανθήλιον.

Φυσιῶν, γάστρων, παχύς.

Φύσκη, ἔντερόν ἐστι παχὺ, εἰς ὃ ἐμβάλλεται ἄλευρα καὶ κρέα, καὶ μάττουσιν. ἐξ οὗ γίνεται ὁ ἀλλᾶς. τῆς δὲ φύσκης μέμνηται Ἀριστοφάνης ἐν ἱππεῦσι.

Φυσητὴρ, ὁ τῶν κητωδῶν ἰχθύων αὐλός.

Φύστα, τὰ ἀναπεφυρμένα μέλιτι ἄλφιτα.

Φύστη, ἡ ἐν ταῖς σκάφαις τριβομένη, καὶ ἠρέμα ἀναδευομένη μᾶζα.

Φυστὴ μᾶζα, ἡ ἐξ ἀλφίτων καὶ οἴνου ὀξυτόνως, ὥς φησιν Ἡρωδιανός.

Φυταλιὰ κατὰ τοὺς παλαιοὺς, χωρίον δενδροφόρον. οὗπερ ἀνάπαλιν ἄρουρα, ἡ γυμνὴ φυτῶν ἄροσις. ἤγουν ψιλὴ, ἐξ ἧς δὴ λέξεως καὶ ψιλοὶ, οἱ ἐν μάχῃ γυμνῆτες. καὶ ψιλίζεσθαι, τὸ ψιλοῦσθαι, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ. λέγεται δὲ καὶ κῆπος, ἡ ῥηθεῖσα φυταλιά. ὁμώνυμος δὲ ἡ λέξις αὕτη. κῆπος δὲ οὐ μόνον εἰς γῆν φυταλιὰ, ἀλλὰ καὶ καλλωπισμὸς κόμης κατὰ Αἴλιον Διονύσιον, καὶ κουρᾶς διάθεσις τῶν ἐν κεφαλῇ τριχῶν. Θουκυδίδης δὲ κήπιόν φησι. Κωμικοὶ δὲ κηποκόμαν, τὸν κῆπον κειρόμενον. ὥσπερ ἕτερον σκαφιόκουρον. καὶ ἔστι παρὰ τῷ Κωμικῷ ἡ λέξις τὸ σκάφιον κείρεσθαι.

Φυταλιάν φησιν Ὅμηρος, τὴν ἀμπελόφυτον καὶ τὴν δενδροφόρον γῆν. ἄρουραν δὲ ἐνίοτε τὴν ψιλὴν ἄροσιν. δηλοῖ δέ ποτε, εἰ καὶ μὴ παρ' Ὁμήρῳ ἡ ἄρουρα, καὶ ποσὸν μέτρου γῆς, ὡς ἀλλαχοῦ γέγραπται.

Φυταλία, ἡ φυτοφόρος γῆ. ἄρουρα δὲ, ἡ ψιλὴ ἄροσις.

Φυταλιάζει, τὸ φυτεύειν δηλοῖ, καὶ πλησιάζειν.

Φυταλίδαι γένος παρὰ Ἀθηναίοις.

Φυτάλμιος Ζεὺς, συγγενὴς, ἢ ζωογόνος.

Φυτάλιμος, φυτὸν φύτιμος, καὶ πλεονασμῷ, φυτάλιμος, καὶ φυταλίμιος.

Φυτεία, ὁ τοῦ φυτεύειν καιρὸς παρὰ τῷ Ἱπποκράτει.

Φυτεύειν, ἐπὶ φυτῶν λέγεται. ἤγουν τὸ τὴν ῥίζαν αὐτῶν καταβάλλειν. ἀπὸ τούτου καταβάλλειν ἀρχὴν ἐν πράγμασι λέγομεν, καὶ ἐπ' ἀνθρώπων. ὡς Εὐριπίδης, ὅπως φυτεύει Πέλοπα. καὶ φυτεύειν, ἀντὶ τοῦ σπείρειν ἐπὶ πατρός. καὶ παράγεται ἀπὸ τοῦ φίτυς, ὁ πατὴρ, καὶ ἔστι τὸ φιτύω. καὶ φιτύω, σημαίνει τὸ φυτεύω, ἀποβολῇ τοῦ ε. Ἡσίοδος, φιτύσασα φαίδιμον υἱόν.

Φυτεῦσαι φυτὸν, παρ' Ὁμήρῳ, ἐτυμολογίας ἔχει τρόπον.

Φυτεύει, ἀντὶ τοῦ ἐπιμελῶς κατεργάζεται.

Φυτευτηρίων, τῶν εἰς τὴν γῆν φυτευομένων ξύλων, παρὰ τῷ Ἱπποκράτει.

Φύτιος, Ἥλιος, ἢ Ζεύς.

Φύτλη, γέννα, γένεσις, γένος. φύτορες, γεννήτορες.

Φυτοκόμος, φυτουργός. καὶ σύνδενδρος τόπος, διὰ τὸ τοῖς φυτοῖς κομᾶν.

Φυτόσκαφος, ἡ τῶν φυτῶν ἐσκαμμένη γῆ. ἐνεργητικῶς δὲ φυτοσκάφος, ὁ τὰ φυτὰ περισκάπτων γεωργός.

Φυτοσμῶν, φεύγων.

Φύτρα, φύσις. οἱ δὲ φυτεία.

Φύω, ὃ σημαίνει τὸ γεννῶ, ὁ μέλλων φύσω, ὁ παρακείμενος πέφυκα, καὶ σημαίνει τὸ ἐγεννήθην. ἔστι δὲ οὐ καὶ τὸ φύσιν ἔχω, καὶ τὸ ὑπάρχω, ἡ μετοχὴ, ὁ πεφυκὼς, ὁ ἀόριστος, ἔφυσα ἄλλον. ὁ δεύτερος ἀόριστος ἔφυν, ἀντὶ τοῦ ἐγεννήθην. καὶ τὸ φυ μακρὸν ἀεὶ, καὶ τοῦ ἀορίστου, καὶ τοῦ παρακειμένου. σημαίνει καὶ τὸ κρατῶ, ὡς τὸ ἐν τ' ἄρα οἱ φῦ χειρί.

Φύω, παρὰ τὸ φῶ, τὸ ποιῶ. σημαίνει δὲ τρία, τὸ ἀναβλαστάνω. τὸ ἀπολήγω, καὶ τὸ κρατῶ.

ΤΟ' Φ'. ΜΕΤΑ' ΤΟΥ Ω'.

Φωγνύναι, τὸ φρύγειν. ἀλλ' ἰσχάδας μοι προσλέγω πεφρυγμένας.

Φῷ, ἀντὶ τοῦ φωτὶ αὐτῷ. Εὐριπίδης Μελεάγρῳ. τὸ μὲν ἐν φῷ, τὸ δὲ κάτω σκότος κακόν. Φῶ, σημαίνει τέσσαρα, φῶ τὸ λέγω. ἐξ οὗ καὶ φωνή. φῶ, τὸ φαίνω. ἐξ οὗ καὶ φῶς. φῶ, τὸ φονεύω. ἐξ οὗ καὶ φόνος. φῶ τὸ θάλπω. ἐξ οὗ καὶ φῶσαι τὸ θάλψαι. τὸ δὲ φῶ τὸ λέγω, παρὰ τὸ φῶς.

* Φῶδες ἢ φωΐδες, ἀποκαύματα ἢ ἐπιφλογίσματα, αἱ φαύσιγγες. τὰ ἐκ τοῦ πυρὸς γινόμενα, μάλιστα δὲ ὅταν ἐκ ψύχους ἐν τῷ πυρὶ καθίσωσι, στρογγύλα ἐπιφλογίσματα.

Φώκαιαν, ἥτις διὰ τὰ κήτη τὰς φώκας οὕτως ὠνόμασται, φαμὲν τὴν ἀσιανήν. ἥτις λέγεται εἶναι Ἰωνίας μὲν ἀρχὴ, Αἰολίδος δὲ πέρας. φώζειν σὺν τῷ ι, σημαίνει τὸ καίεσθαι· Βιθυνοὶ δὲ φώγειν λέγουσι.

Φώκη, θαλάσσιον ζῶόν ἐστι, χερσαίῳ βοῒ μᾶλλον παρόμοιον. ἐρᾷ δὲ συνουσίαν ἀνδρῶν. ἔστι δὲ πρὸς μαγείαν ἐπιτήδειον.

Φωΐδες, αἱ φάσιγγες ὑπὲρ ὧν εἴρηται, παρ' Ἱπποκράτει.

Φωκαΐς, ὄνομα ἔθνους. καὶ τὸ κάκιστον χρυσίον.

Φωλάζει, ἐμφωλεύει.

Φωλάδες, ὀστράκινά τινα βρωμώδη.

Φωλεὸν, διδασκαλεῖον, ἢ οὗ τὰ θηρία κοιμᾶται, ἢ οὗ χορεύουσι καὶ διδάσκουσιν. οἱ δὲ, σπήλαιον.

Φωλεύει, οἰκουρεῖ, κρύπτει.

Φωλεὸς, ὁ σκοτεινὸς τόπος. παρὰ τὸ ἀπολωλέναι τὸ φῶς ἐκεῖσε.

Φωλητηρίοις, φωλητήρια καὶ φωλεαὶ, τῶν θιάσων καὶ συνόδων οἶκοι.

Φωλητὴρ, ὁ ἐν τῷ αὐτῷ τόπῳ καθεζόμενος ἀεί.

Φωλὶς, ἰχθύς ποιός.

Φῶμεν, εἴπωμεν.

Φωνάεντα, φωνὴν ἀφιέντα παρὰ τῷ Πινδάρῳ. οἱ μὲν προσγράφουσι τῷ φα τὸ ι, καὶ ἀκούουσι φωνῇ, τὸ τῇ φωνῇ λεχθὲν, ἢ τὸ φωνηθὲν καὶ πολύθρητον.

* Φωνασκεῖν, διαφωνίαν ἀσκεῖν.

Φωνάσκει, φωνεῖ, ἐπιμελεῖται.

Φωνεῖν, ἐπὶ ἀνθρώπων λέγεται.

Φωνὴ, παρὰ τὸ φῶς, καὶ τὸ νοῦ, ἡ τὰ ἐν τῷ νῷ φωτίζουσα, ἢ τὸ τοῦ νοὸς φῶς, παρὰ τὸ φάος εἶναι τοῦ νοῦ. διὰ γὰρ τῆς φωνῆς, τὰ τῆς ψυχῆς ἐνθυμήματα γινώσκομεν, φαονή τις οὖσα, καὶ φωνή.

Φωνή ἐστι, ῥεῦμα διὰ στόματος ἀπὸ διανοίας. φωνή ἐστιν, οὐ πᾶς λόγος, ἀλλὰ πᾶν, ὃ ψόφον δι' ἀκοῆς ποιεῖ.

Φωνὴ, περιπνευμονικὴ, ἡ κερχνώδης, παρὰ τῷ Ἱπποκράτει.

Φωνὴ, Λογογράφοι. αὐδὴ δὲ Ποιηταί.

* Φωνὴ καὶ κραυγὴ παρὰ τῇ θείᾳ Γραφῇ, ἡ τῆς ψυχῆς προθυμία.

Φωνήεντα λέγονται, διὰ τὸ ἕκαστον αὐτῶν ἀφ' ἑαυτοῦ ἀποτελεῖν φωνὴν, ἤγουν συλλαβήν. ὡς ἐν τῷ α, ἀφ' ἑαυτοῦ ἀποτελεῖ φωνὴν, συλλαβὴν καταχρηστικῶς, καὶ οὐ κυρίως. συλλαβὴ γάρ ἐστι σύλληψις, ἢ σύμφωνου μετὰ φωνήεντος. ὡς ἐν τῷ γράφω, τὸ γρα, συλλαβή ἐστιν, ὅτι σύλληψις συμφώνων μετὰ φωνήεντος, καὶ τῷ φω ὁμοίως συλλαβή ἐστι.

Φῶντα, λάμποντα.

Φωνῶ, τὸ λαλῶ, καὶ καλῶ, αἰτιατικῇ. φωνῶ δὲ τὸ διαλέγομαι, δοτικῇ.

Φὼρ, ὁ λῃστὴς, ὁ κλέπτης.

Φωράσαντες, εὑρόντες, καταλαβόντες.

Φωραθῶσιν, ἐλεγχθῶσι, καταληφθῶσι.

Φωρᾷ, ζητεῖ.

Φωραθεὶς, εὑρεθεὶς, φανείς.

Φωραθῆναι, γνωσθῆναι, λεχθῆναι.

Φωριαμοὺς λέγει Ὅμηρος, τὰς πεπλοδόχους χηλοὺς παρὰ τὸ φάρος, ὥς φασιν οἱ παλαιοί. ὅτι δὲ τοιοῦτοι οἱ φωριαμοὶ, δηλοῖ καὶ τὸ ἔνθα ἔσαν πέπλοι.

Φωριαμὸς, ἢ παρὰ τὸ αὐτόθι τὰ φάρη ἀμᾶσθαι, ὅ ἐστι συνάγεσθαι, ἢ διὰ τὸ τὰς φῶρας ἀπείργειν. ὀξύνεται δὲ ἡ λέξις κανόνι τοιούτῳ. τὰ διὰ τοῦ αμος τριβράχεα μὴ ἐπίθετα ὄντα, βαρύνεται. οἷον κάλαμος, πρίαμος. τὸ ἰταμὸς ἐπίθετον. τὸ ποταμὸς, ἐκ τοῦ ποσαμὸς γέγονεν, ἀφαιρέσει τοῦ σ. ἔτι δὲ τὰ ἔχοντα τὴν ἄρχουσαν μακρὰν θέσει, βαρύνεται, ὄρχαμος, τύραμος, Πέργαμος. τὰ δὲ φύσει, εἰ μὲν εἰσὶ κύρια, βαρύνεται. τύραμος, τέταμος. εἰ δὲ μὴ, ὀξύνεται, χηραμὸς, οὕτω καὶ φωριαμὸς, ἡ κιβωτός.

Φωρίον, κλέμμα, καὶ θρόνου εἶδος.

Φώριος, εἶδος μελίσσης.

Φῶρος, κατάσκοπος.

Φωρυτὸν, συρφετόν. ἢ φρυγάνων σωρὸς, ἢ βόρβορος, καὶ ἀκαθαρσία. καὶ χόρτος τῆς γῆς.

Φωρῶ, τὸ κλέπτοντα καταλαμβάνω. ἀφ' οὗ τὸ ἐπαυτοφώρῳ, ἤγουν ἐπ' αὐτῇ τῇ κλεψίᾳ. καὶ φὼρ, ὁ κλέπτης. φώριον τὸ κλέμμα. Ἀριστοφάνης, ἀλλὰ οὐχὶ φωράσων εἰσέρχομαι, ἤγουν κλέψων.

Φωρῶ, τὸ ὑπονοῶ. καὶ καταφωρῶ, τὸ κατάδηλον ποιῶ. καὶ φωρῶμαι παθητικῶς, τὸ κατάδηλος γίνομαι.

Φωρῶ, ὑπονοῶ, ὑπολαμβάνω, ὑποπτεύω, ὑποπτεύω, ὑφορῶμαι, ἐπὶ ὑπονοίας πάντα λέγεται, ἐκ τούτων παράγεται ὄνομα τὸ ὑπόνομα, καὶ ὑπόληψις, καὶ ὑποψία, καὶ ὕποπτον. ἐκ δὲ τῶν ἑτέρων οὐ παράγεται.

Φῶς ἑτέροις ἔθηκε. φῶς τὴν νίκην φησὶ, διότι οἱ νικώμενοι ὡς ὑπὸ σκότῳ εἰσίν. ὡς καὶ τὸ αἴ κέν τι φόως ἑτάροισι γένοιτο, φῶς καὶ ἐκεῖ τὴν νίκην λέγων. τοῦ δὲ φόως, τὸ σχηματισμὸς κατὰ τὸ γελόως, ὡς καὶ φῶς φόως, οὕτω καὶ γάλως, γαλόως. ἴσως δὲ καὶ Κῶς. Κόως δ' εὖ ναιομένη.

Φῶς ἀληθινόν ἐστι, τὸ φωτίζον, καὶ οὐ φωτιζόμενον.

Φῷς φωδὸς, ἔχει τὸ ι καὶ ὀξύνεται, ὡς δὰς δαδὸς, εἴρηται παρὰ τὸ φῶς, ὅπερ ταυτόν ἐστι τῷ πυρὶ, καὶ σημαίνει τὰ ἐν τοῖς σκέλεσι γινόμενα ἐκκαύματα ἀπὸ τοῦ πυρός. ἔχει δὲ τὸ ι, ἐπειδὴ λέγεται καὶ φωΐδες.

Φὼς, ἀρσενικὸς, ὁ ἄνθρωπος. παρὰ τὸ φῶ τὸ λέγω. μόνος γὰρ ὁ ἄνθρωπος, λογικὸν ζῶον. ἢ ὁ μόνος τὰ τῆς διανοίας φωτίζων τῷ λόγῳ, καὶ ὁ Θεολόγος. φῶς γὰρ τὸν ἄνθρωπον ὀνομάζουσι, διὰ τὴν τοῦ ἐν ἡμῖν λόγου δύναμιν.

Φῶς οὐδετέρως, τὸ φωτίζον καὶ λάμπον. ὃ κατὰ πλεονασμὸν τοῦ ο, λέγεται φόως. γίνεται παρὰ τὸ φῶ, τὸ φαίνω, καὶ λάμπω, φάος, καὶ καθ' ὑπέρθεσιν φόας, καὶ κατὰ συναίρεσιν, φῶς, καὶ κλίνεται διὰ τοῦ τος. ἐπεὶ καὶ τὸ φόας, φόατος κλίνεται. τὰ γὰρ συνῃρημένα τῶν ἐντελῶν φυλάσσει τὴν κλίσιν. οἱ δὲ λέγοντες ἀπὸ τοῦ φάος γέγονε κατὰ κρᾶσιν, οὐκ ἀκριβῶς λέγουσι. τὸ γὰρ φάος εἰς ους ἔχει τὴν γενικήν.

Φῶς ἐστι κυρίως, τὸ ἐν ἑαυτῷ κατὰ πάντα, ἐξ ἑαυτοῦ φωτίζειν δυνάμενον.

Φῶς ἐρεῖν παρ' Ὁμήρῳ, ταυτὸν πῶς ἐστι, τῷ φωσφορεῖν. καὶ ἀγγεῖλαι. ὡς τὸ ἀγγέλλων φάος ἠριγενείης. τοιοῦτον καὶ τὸ Ζηνὶ φόως ἐρέουσα, τουτέστι, τῷ ἀέρι.

Φῶσαι, φῶξαι, φρύξαι, θάψαι.

Φώσκει, διαφαίνει.

Φῶσιν, εἴπωσιν, ἐκ τοῦ φάω, φῶ φημὶ, τὸ ὑποτακτικὸν, ἐὰν φῶ, φῇς, φῇ. τὸ τρίτον τῶν πληθυντικῶν ἐὰν φῶσι. φῶμεν, εἴπωμεν. φῶ, εἴπω, λέξω. καὶ φῶ δεύτερον πρόσωπον ἐκ τοῦ ἐφάμην, ἔφασο, καὶ ἔφω, καὶ φῶ ἀφαιρέσει τοῦ ε.

Φώσκω τὸ λάμπω. φῶσαι, ἀντὶ τοῦ λάμψαι, φὼς ὁ ἀνήρ.

Φώσσων, σινδών. φωσσώνιον λινοῦντι, ἤτοι σινδόνιον, ἢ καὶ τὸ πεφυσημένον ἱστίον τῆς νεώς. ὡς παρὰ Λυκόφρονι, ἄλφιτα καὶ φώσσωνας ὀργυομένους ... ἢ προσώπου τι ἐκμαγεῖον. λέγεται δὲ οὕτω, καὶ ὁ παρὰ Ῥωμαίοις καλεῖται ὡράριον.

Φωστὴρ, θυρίς.

Φωσφόρος ἀστὴρ, παρὰ τῷ Ἀριστοφάνει, τὸ μυστηριακὸν πῦρ, φωσφόρον λέγουσι. λέγει δὲ Ἀριστοφάνης, ἐπεὶ τὴν νύκτα λέγουσιν αἰνιγματωδῶς, διὰ τὸ λαθεῖν τοὺς ἀμυήτους, ἢ ὅτι ἐν νυκτὶ ἄγεται τὰ μυστήρια. ἀξιοῦσι δέ τινες αὐτὴν τὴν λαμπάδα, φωσφόρον ἀστέρα λέγειν.

Φῶτα, ἄνθρωπον. ἢ ὄμματα καὶ θυρίδες.

Φω-

Φωταγωγὸς, ὁ τὸ φῶς φέρων.
Φῶτας ἐννέα, ἀντὶ τοῦ ἄνδρας.
Φωτάδα, γενεά.
Φωτία, λαμπρία, καὶ ὄμματα.
Φῶτιγξ, αὐγὴ, σύριγξ, φλόγιος αὐλὸς, ὡς εἶδος σάλπιγγος.
Φωτίζω. ὁ μέλλων φωτίσω, ὁ ἀόριστος ἐφώτισα.
* Φωτίζειν, αἰτιατικῇ, εἰς φῶς ἄγειν, ἐξαγγέλλειν.
Φωτισμὸς, αὐγὴ, ταλαυγὴς. καταυγάζον.
Φωτολόγιον, τυφλὸν, νεκρόν.
Φωτὸς, ἡμέρας.
Φῶψ, φάος.

Τέλος τοῦ φ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Χ.

ΣΤΟΙΧΕΙΟΥ ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Χ τὸ στοιχεῖον, ὅτι χρομένην ἔχει τὴν ἐκφώνησιν. ἄλλοι δὲ, ἔχει αὐτὸ ἄτον, ὅτι ἔχει ὀξεῖαν καὶ βαρεῖαν, ἀλλήλας κατὰ μέσον σχίζεσας.
Χαβὸν, καμπύλον, στενόν.
Χαβῶνες, στίδια ὀπτώμενα ὑπὸ ἀλδῆς.
Χαβρίας, στρατηγὸς Ἀθηναίων, ὡς φαίνω, φανίας, ἀμύνω ἀμυνίας, οὕτω χαίρω χαρίας. καὶ πλεονασμῷ τοῦ β, χαβρίας.
Χαδεῖν, ἐνεστὼς χάζω, οὗ ὁ δεύτερος ἀόριστος, ἔχαδον, ὅθεν μέλλων δεύτερος χαδῶ, ἐξ οὗ χαδῶν, καὶ χαδεῖν, τὸ χωρῆσαι.
Χάδεν, ἀόριστος δεύτερος, ἐκ τοῦ χάζω, ἤγουν ἐχώρησεν. ὅσον κεφαλὴ χάδεν.
Χαδησίας, Ἀμαζόνας εἶπεν Ἑκαταῖος, ἀπὸ τοῦ χαδῆσαι.
Χάζε, ἀντὶ τοῦ χάζυ δωρικῶς. χάζεο Γωνικῶς, ἀναχώρει. χάζεο, ἀνεχώρει.
Χάζη, προσδέη, χαλᾶται.
Χαιά, ἀγαθή.
Χαίνας, στέαρ.
Χαῖον, ἀργύρεον. Ἀπολλώνιος, χαῖον ταλάμη ἐνὶ τυχύνεσαι χαῖον. οἱ μὲν καμπύλην βακτηρίαν. οἱ δὲ ῥάβδον λαγωβόλον.
Χαμαιτύπη, ἡ χαματυπὶς. δηλοῖ δὲ τὴν ἄδοξον καὶ εὐτελῆ πόρνην.
Χαίνω, τὸ χάσκω ἀμεταβάτως.
Χαίρειν καὶ τὸ ἀγάλλεσθαι, δοκῇ ταυτὸ, διαφορὰν ἔχειν. χαίρει μὲν γάρ τις καὶ ἐπὶ ἐχθρῷ. ἤγουν κατὰ ἐχθροῦ. ἀγάλλεται δὲ ἐπὶ μόνοις ταῖς φιλουμένοις, ὡς εἰ καὶ φιλόκαλος ἐπί τινι καλλωπισμῷ.
Χαίρειν, ἀντὶ εὐφραίνεσθαι. καὶ χαίρειν, ἀντὶ τοῦ ἐνασμενίζειν, ἤγουν ἀντὶ τοῦ ἀσμένως ἐντινι πράγματι προσκεῖσθαι. καὶ χαίρειν, ἀντὶ τοῦ φθείρεσθαι. χαίρω τοῖς τρόποις ἀνδρὸς καλοῦ, χαίρω φειδόμενος, χαίρω ποιῶν τοδέ τι, καὶ χαίρω, τὸ χαρὰν ἔχω, καὶ τίθεται ἀμεταβάτως, ὡς τοῦ σοῦ λέγοντος ταῦτα. χαίρω, ἀντὶ τοῦ χαρὰν ἔχω.
Χαίρειν, τὸν Κλέωνά φασιν ἀπὸ τῆς Πύλου καὶ Σφακτηρίας τοῖς Ἀθηναίοις ἐπιστέλλοντα, χαίρειν προσθεῖναι, ὅπερ γέγονεν ἐν χρήσει. Πλάτων μέντοι ἐν ἀρχῇ τῶν ἐπιστολῶν, τὸ εὖ πράττειν προυθήκεν. οἱ δὲ Πυθαγόρειοι, τὸ ὑγιαίνειν. καὶ τὸ γε τριπλοῦν τρίγωνον, τὸ δι' ἀλλήλων τὸ πενταγράμμον, ᾧ συμβόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ὑγιεῖ πρὸς αὐτῶν ὠνομάζετο. ἄλλως, ἀρχαῖον ἔθος προτάσσειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ γὰρ ὥς τινες, Κλέων οὕτως πρῶτος ἐπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρίας.
Χαίρετον, ἀρχαιοτάτη φιλικὴ προσφώνησις. ἐπιστολιμαία δὲ ἡ ὑστέρα ὡς ὁ κωμικὸς ἐν τῷ πλούτῳ δηλοῖ.
Χαιρέτω, ἐπειδὰν ἀντὶ τοῦ ἐρρέτω λαμβάνηται, ἔχει τινὰ πρὸς τὸ ἐρρέτω διαφοράν. τὸ γὰρ ἐρρέτω, ἐπὶ τῶν ὁμολογουμένως κακῶν λέγομεν. ὥσπερ δὴ τὸ ἐρρέτω φθόνος, καὶ ἐρρέτω φιλονεικία. τὸ δὲ χαιρέτω ἐπὶ τῶν ἀγαθῶν εἶναι δοκούντων, κατ' εὐφημισμὸν λέγεται. ὅτι μὴ χρὴ φανερῶς δυσφημεῖν, κατὰ τῶν τοιούτων. οἷον τὸ χαιρέτω φιλία, χαιρέτω λόγος. ἐπειδὰν ἀηδῶς ἔδη τις ἔχῃ.
Χαιρεφῶν, ἑταῖρος Σωκράτους. ὃς ἐκαλεῖτο καὶ νυκτερὶς, διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος.
Χαιρηδόνα, τὴν χαράν.
Χαιροσύνη, χαρά.
Χαίρω, ἀεὶ ἐνεργητικῶς γράφεται. συντάσσεται δὲ μετοχῇ καὶ δοτικῇ. οἷον χαίρω γράφων, χαίρω ἀκούων, χαίρω τοῖς σαῖς μηνύων, καὶ διηγούμενος. χαίρω τῇ σῇ δίαιτη, χαίρω τῇ γεωργίᾳ. χαίρω σοφίᾳ μεταβατικῶς, ἀντὶ τοῦ πρόσκειμαι.
Χαῖρε. αἱ τῶν παλαιῶν προρρήσεις, αἱ μὲν, ἑωθιναὶ χαῖρε. αἱ δὲ ἑσπεριναί, ὑγίαινε.
Χαίρω, τὸ τραχύνω, ἢ χαλῶ. καὶ κάρχαρος κύων ἐκ τούτου. ὁμοίως δὲ, καὶ τὰ σιδήρῳ τεμνόμενα καὶ χαρασσόμενα, ὀξυνόμενα γίνεται. ὅθεν καὶ χάρακας καλοῦμεν, τοὺς ὀξυμμένους καλάμους, ἢ τὰ ξύλα.
Χαίρω, ἀγάλλομαι, γάννυμαι, γήθομαι, εὐφραίνομαι, ἀγαλλιῶμαι.
Χαίρω θυμῷ, ἀντὶ τοῦ ἐκ ψυχῆς, καὶ ἐκ καί τι ἐπιπόλαιον καὶ προσποίητον.
Χαίρω, τὸ εὐφραίνομαι, ἀμεταβάτως συντάσσεται. χαίρω δὲ τὸ ἐνασμενίζω, δοτικῇ, ὡς τὸ χαίρω τῇ φιλοσοφίᾳ.
Χαίρω οἷς λέγεις. τούτων καὶ τὸ ἥδομαι τοῖς ῥήμασιν οἷς ἤκουσα. καὶ αὖ πάλιν, ἥδομαι τοῖς ῥήμασιν ἃ ἤκουσα.
Χαιρηδόνος ἄξιον παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ χαρᾶς. τῷ τόνῳ δέ ὡς ἀλγηδόνος. ὡς γὰρ ἀπὸ τοῦ ἀλγήσω μέλλοντος ἀλγηδὼν ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαιρήσω χαιρηδὼν χαιρηδόνος.
Χαιρήσειν, ἐκ τοῦ χαιρέω, ἐξ οὗ μετοχὴ κεχαρηὼς, καὶ ὄνομα ὁ Χαιρήμων. ὁ δὲ κωμικὸς καὶ χαιρηδόνα ἐξ αὐτοῦ φησὶ τὴν χαράν.
Χαιριδεῖς, βομβαύλιοι παρὰ τῷ Ἀριστοφάνει, οἱ τοῦ Χαίριδος πεπαιδευμένοι, ἢ μελιτοῦντες. Χαῖρις δὲ αὐλητὴς Θηβαῖος, ἄμουσος. οὗ μέμνηται Ἀριστοφάνης λέγων, ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον. Ἀττικὴ δὲ ἡ συνήθεια, τὸ οὕτω λέγειν ἀπὸ τοῦ χαίριδος χαιριδεῖς, καὶ ἀπὸ τοῦ περιστερᾶς περιστερεῖς.
Χαῖρις, κιθαρῳδὸς γέγονεν αὐλητής. μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν ἀγρίοις. ἔστι καὶ ἕτερος αὐλητὴς, οὗ μνημονεύει Κρατῖνος ἐν νεμέσει.
Χαίτη, οὐ μόνον ἐπὶ ἀνθρώπων κυριολεκτεῖται, ὡς ἐν τῷ κυανοχαίτης Ποσειδῶν, ἀλλὰ καὶ ἐπὶ λέοντος λέγεται. ὅθεν καὶ χαιτήεις καὶ χαιτήεσσα. καὶ ἐπὶ ἵππων. ἀπ' αὐτοῦ δὲ καὶ ἡ θρὶξ λέγεται. ὡς δηλοῖ τὸ ἵπποι καλλίτριχες. γίνεται δὲ χαίτη παρὰ τὸ χῶ καὶ τὸ ἀΐσσω. χέεται γὰρ ἀΐσσουσα ὧδε καὶ ἐκεῖ. καὶ μάλιστα τοῖς δρομοχίταις. κατὰ τὸ ἀμφὶ δὲ χαῖται ὤμοις ἀΐσσονται.
Χαίτας σημαίνει τὰς τρίχας. παρὰ τὸ κρατῶ κράτη. ἀποβολῇ τοῦ ρ, καὶ πλεονασμῷ τοῦ ι, καὶ τροπῇ τοῦ κ εἰς χ, χαίτη.
Χαιτήεις, ὁ χαίτην ἔχων, ἀπὸ τῆς χαίτης, ὥσπερ ἀπὸ τῆς ἔρσης ἐρσήεις, καὶ τιμὴ τιμήεις.
Χαλαβεῖν, φοβεῖν, θορυβεῖν.
Χαλάδος, λιθώδης, ἐξέντερος.
Χάλαζα, πάθος τῶν χοίρων.
Χαλαζά ἐστιν, ὁλοπαγὲς ὕδωρ ὑπὲρ γῆς.
Χαλάζη, ἤτοι ἡ χαλαρός ἐστι, καὶ ἡ χάλαζα νόσημα δέ τι τῶν θρεμμάτων, ὅπερ ζώντων μὲν λανθάνει, ἀποθανόντων δὲ, καὶ τεμνομένων φανερὸν γίνεται. ταῖς σαρξὶ δὲ αὐτῶν ἀναμέμικται, καὶ ἐμφέρεται ἡ χάλαζα. Ἀριστοφάνης, σκελιδομέναι χαλαζῶ.
Χαλαργὸς, τὰ ἄκρα τῶν ποδῶν τῶν ὀνύχων. οἷον ποδαργὸς, ἢ ταχύποδας.
Χάλαρα, ἄλυσις.
* Χαλαρὰ, χαῦνα.
Χαλαίρυπος, ὁ τῶν πλυνομένων ἱματίων ῥύπος.
Χαλάμβριοι ἵπποι, ἀπὸ τόπου τῆς Λιβύης.
Χάλανδρον, κράββατον.
Χαλαστεύουσιν, ὑποχωρεῖ, καὶ ἐνδίδει. ἀπὸ μεταφορᾶς τῶν χαλωμένων προτόνων, ποδῶν δίκην ἀνέμου, ἐν τῷ ἀρμένῳ τοῦ πλοίου.
Χαλαρόν, ὡραῖον.
Χαλάστρη, καὶ χαλάστρα πόλις. ἢ λίμνη τις ἐν Μακεδονίᾳ. ἐξ ἧς τὸ χαλαστραῖον νίτρον κέκληται.
Χαλαζοβολεῖν, τὸ χαλάζη βάλλειν.
Χαλδαῖοι, γένος Μάγων, πάντα γινωσκόντων.
Χαλεπαίνειν, ἤγουν βαρύνεσθαι.
Χαλεπὰ, τὰ καλά. Σόλωνά φασι τὰ περὶ τὸν Περίανδρον πυθόμενον εἰπεῖν, χαλεπὰ τὰ καλά. καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν. ἵνα δὲ τὸ χαλεπὸν ἀκούουσιν, ἐπὶ τοῦ ἀδυνάτου. ἀδύνατον οὖν ἐστιν ἐφ' ἅπαντι ἀγαθὸν εἶναι.
Χαλεπὸν, σημαίνει δύο. τὸ δεινὸν, ὡς τὸ χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός. σημαίνει καὶ τὸ ἀδύνατον, ὡς ἐν Ὀδυσσείας κ. χαλεπὸν δὲ κ' ὀρύσσειν ἄνδρα θνητόν.
Χαλεπεῖ, ἐρεθίζει, ἀπειλεῖ, ἀγανακτεῖ, βλάπτει, εἰς χαλεπότητα ἄγει.
Χαλεπήνας, ἀγανακτήσας.
Χαλέπτει, κακίζει.
Χαλῆ, στενοί, παρ' Ἡσιόδῳ αἰτιατικῇ συντάσσεται.
Χαλεποπαίους λόγους λέγει Ἀριστοφάνης, τοὺς λυπηροὺς, τοὺς χαλέψαι δυναμένους.
Χαλεπῶς λέγεται, ἀντὶ τοῦ ταχέως, καὶ ἀντὶ τοῦ βραδέως, καὶ ἀντὶ τοῦ ὠμῶς, καὶ πικρῶς. καὶ ἀντὶ τοῦ οὐκ εὐπετῶς, καὶ ἀντὶ τοῦ δυσχερῶς καὶ δυσκόλως.
Χαλέρυτον, τὸ ῥύμμα τὸ ἀπὸ τὸ νίτρου γενόμενον, ὅπερ τινες ῥῦμμα λέγουσι.
Χαλέσιν, ὄνυξι.
Χαλεψάμενος, χολωθείς.
Χαλία, ἡσυχία.
Χαλίδιον, πινάκιον.
Χάλικες, οἱ εἰς τὰς οἰκοδομὰς μικροὶ λίθοι.
Χαλίκρητον, λαρὸν μέθυ, τὸν ἄκρατον, τὸν χαλῶντα τὰς φρένας. Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσιν. Αἰσχύλος δὲ τὰς βάκχας χαλιμίας φησὶ λέγεσθαι.
Χάλιμος, φαρμακός.
Χαλιμάδες, ἀναίσχυντοι, καὶ θρασεῖαι.
Χάλιξ, οἶνος ὁ χαλῶν, καὶ ἀνιεὶς ἡμᾶς. καὶ ἀκρόχαλιξ οἰνῷ μεθύων. καὶ Ἐπίχαρμος δέ φησι, χαλικάζειν λέγει τὸ περὶ συνουσίαν ὑφ' ἡδονῆς ἀνίεσθαι καὶ ὑποστέλλειν.
Χαλινοί, τὰ ἡνία. ἢ μᾶλλον ἄλλως, τὸ μὲν ὑποτιθέμενον τῷ στόματι τοῦ ζώου, χαλινὸν λέγεσθαι ποιητής. τοὺς δὲ ὀπίσω κατατεινομένους ῥυτῆρας, ἡνία. παρὰ τὸ ἐνεῖναι τοὺς ἵππους, οἱ ὑπὸ τῷ ἅρματι.
Χαλιπὸν, σκαιόν, ἢ ἀγαθὸν, καὶ δίκαιον.
Χαλίφρων κυρίως, ὁ ἐν μέθῃ ἀφραίνων. χάλις γὰρ, ὁ ἄκρατος οἶνος, παρὰ τὸ χαλᾶν καὶ ἀνιέναι ἀραρυίας τὰς φρένας. ἢ ὁ ἄδης, παρὰ τὸ κεχαλάσθαι τὰς φρένας. καὶ τὰς βάκχας χαλιμάδας ἔλεγον, τὰς χαλωμένας πρὸς συνουσίαν. καὶ χαλιμάζειν ἔλεγον, τὸ περὶ τὰς συνουσίας πάθεσθαι. καὶ καγχαλίζειν, ἀπὸ τοῦ χαλᾶν τὰς φρένας πρὸς τὸ πάθος. καὶ ἀπὸ τοῦ χάλις, ὁ οἶνος.
Χαλίφρων, ὁ χαλιφρὼν, ὁ τὰς φρένας παρημμένος. παρὰ τὸ χαλῶ, ἐξ οὗ καὶ ὁ καγχαλόω.
Χαλιφροσύνας παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀφροσύνας. ἐξ οὗ χαλίφρων, ὁ τὰς φρένας κεχαλασμένος, καὶ ἔκλυτος.
* Χάλκανθος, ὕδωρ ἐστὶ πηγνύμενον ἐν τοῖς κατὰ Κύπρον μεταλλοις, ἰσχυροτάτην ἔχον σύμψιν μετὰ θερμότητος οὐκ ἀγενοῦς, ἐπάγειν μᾶλλον τὰς ὑγρὰς σάρκας περιχεῦσαι τε, καὶ ξηραίνειν δυνάμενον.
Χαλκεῖά ἐστιν, ἑορτὴ παρ' Ἀθηναίοις, ἀγομένη Πυανεψιῶνος. ἐν ᾗ καὶ ἡ χαρμονεῖα κοινῇ. μάλιστα δὲ χαλκεῦσιν, ὥς φησιν Ἀπολλώνιος ὁ Ἀχαρνεύς. Φανόδημος δὲ οὐκ Ἀθηνᾷ φησιν ἄγεσθαι τὴν ἑορτὴν, ἀλλ' Ἡφαί-

στῳ.

τῳ. γέγραπται δὲ καὶ Μενάνδρῳ δρᾶμα χαλκεῖα.

Χαλκεία, τὰ ὅπλα συνήθως. καὶ τὰ ἐκ σιδήρου.

Χάλκει ἐπίσειτρα, τὰ ἔξωθεν τῶν τροχῶν, οἱ κανθοί.

Χαλκέγχεων, πολεμιστῶν.

Χάλκεος Ἄρης λέγεται, ὡς χρυσῆ Ἀφροδίτη. ἀπὸ τοῦ φορήματος, παρ' Ὁμήρῳ.

Χαλκεόφωνον, οὐ διὰ τὸ στερρὸν, ὅπερ ἀλλαχοῦ φωνὴν εἶπεν ἄρρηκτον, ἀλλὰ διὰ τὸ ἐξάκουστον τῆς βοῆς. ἠχητικώτατος γὰρ ἐν τοῖς μετάλλοις χαλκός. κύων δὲ χαλκεόφωνος, ἔχει ἕτερον λόγον κατὰ ποιότητα φωνῆς. ὁποῖα καί τισιν ἀνθρώποις καὶ πτηνοῖς.

Χάλκεος κέραμος, εἱρκτὴ, πίθος καὶ ὅρος.

Χάλκεον ὕπνον, ἢ τὸν ἐκ σιδήρου φησὶν, ἢ τὸν στερὸν διὰ τὸ ἄνετον, ἢ τὸν οὐ μαλακὸν, ἀλλὰ σκληρόν.

Χαλκεύει, τὸ χαλκὸν ἐργάζεσθαι. καὶ χαλκεὺς χαλκέως, ὁ χρυσοχόος.

Χαλκέῳ δ' ἐν κεράμῳ φησὶν Ὅμηρος τὸν Ἄρην δεδέσθαι, ὑπὸ τῶν περὶ Ὦτον καὶ Ἐφιάλτην. οἳ Ἀλωέως μὲν ἦσαν, καὶ Ἰφιμεδείας. ἔδησαν δὲ τὸν Ἄρην ἐν χαλκέῳ κεράμῳ, ἤγουν ἀγγείῳ, οἷον πίθῳ. ἄλλοι δέ φασι δεσμωτηρίῳ στερρῷ Κυπρίοις. λέγοντες τὸ δεσμωτήριον κέραμον. οἱ δὲ πόλιν Καρίας φασὶ τὸν κέραμον, χάλκεον οἷον δοκοῦσαν, καὶ τροπικῶς λεχθεῖσαν διὰ τὸ στερρὸν τοῦ τοιχίσματος. ἔνθα φασὶ δεδέσθαι τὸν Ἄρην τρισκαιδέκατον μῆνα ἕως Ἠερίβοια ἡ τῶν Ἀλωειδῶν μητρυιὰ δυσμενῶς τοῖς προγόνοις ἔχουσα, ἐξήγγειλε τῷ Ἑρμῇ. ὁ δὲ χαριζόμενος τῇ Ἥρᾳ, ἔκλεψε τὸν Ἄρην. ὅθεν οὐκ εἰς Νάξον. ὁ δὲ μῦθός φησι τοὺς μὲν Ἀλωείδας ἐν τῷ κυνηγετεῖν, ἐλάφου μεταξὺ αὐτῶν ἐλθούσης προέσθαι ὡς ἐπ' αὐτὴν τὰ δοράτια. καὶ τοῦ μὲν ἀποτυχεῖν, ἀλλήλους δὲ βαλεῖν. ὁποῖα καὶ ἄλλα ἐγένοντο, καὶ οὕτω θανεῖν. διότι μὲν τὸν Ἄρεος δεσμὸν καθ' ὑπερηφανευσάμενοι τὴν Ἥραν καὶ τὴν Ἄρτεμιν, ἐβιάζοντο. τὸν δὲ Ἄρην ὑπ' αὐτῶν δεδέσθαι φησὶν ὁ μῦθος, διότι αὐτὸς ἀνεῖλε τὸν τοῦ Κινύρα υἱὸν Ἄδωνιν αὐτῆς ὑπ' Ἀφροδίτης παρατεθέντα, καὶ ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας θηρολεκτοῦντα.

Χαλκεῶνα, χαλκεῖον. ἐν ᾧ τοὺς κοττάβους ἐποιοῦντο.

Χαλκεὼν, τὸ ἐργαστήριον τοῦ χαλκέως.

Χάλκη, πορφύρα.

Χαλκηδὼν πόλις.

Χαλκηδάνη, ταύτης ἱερὸν ἐν Σπάρτῃ.

Χαλκῆ μυῖα. εἶδός τι μυίας.

Χαλκήϊος δόμος, τὸ τῶν χαλκέων ἐργαστήριον, ἔνθα εἰσιόντες ἀκωλύτως πτωχοὶ ἐκοιμῶντο παρὰ τὸ πυρί. ὃ δὴ καὶ ἐν τοῖς βαλανείοις ἐγίνετο, καθὰ δηλοῖ ὁ Κωμικός.

Χαλκήρεα, χαλκῷ ἀρηρότα.

Χαλκήρης, ἐκ τοῦ χαλκὸς καὶ τοῦ ἀρῶ, τὸ ἁρμόζω, ἡ τῷ χαλκῷ ἡρμοσμένη, ὡς χαλκοβάρεια, ἡ τῷ χαλκῷ βεβαρυμένη, ὅ ἐστιν ἰσχυρά.

Χαλκίδα καλοῦσι Θεοὶ, ἄνδρες δὲ κιμίνδην. ἐμφαίνει ὁ Ποιητὴς, καθὰ καὶ ἐν ἄλλοις προστάττων φησὶ, καὶ θείαν εἰδέναι διάλεκτον, ὡς μυστογραφής. διὰ τοῦτο γὰρ τῶν διωνύμων τινὰ μεταχειριζόμενος, τὸ μὲν τῶν ὀνομάτων θεοῖς, τὸ δὲ ἀνθρώποις ἀνατίθησιν, ὡς ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ φαίνεται.

Χαλκιδεὺς, δειλός.

Χαλκιδικὴ, σκυθικὴ, τὰ μέταλλα τοῦ σιδήρου ἐκεῖ πρῶτον εὑρεθέντα.

Χαλκιδικὸν δίωγμα, διότι εἰς Χαλκίδα ἐγένετο ἡ ἐκδίωξις.

Χαλκιδικὸς λειμὼν, οἱ μὲν τὴν Κυκλωπίαν κώμην, οἱ δὲ Κύκλωπος λίμνην, καὶ εἶδος ἀλεκτρυόνος.

Χαλκὶς, τὸ ὄρνεον, ὅτι ὑποχαλκίζει κατὰ τὴν χροιὰν τῆς πτήσεως. ἔστι δὲ καὶ πόλις Εὐβοίας.

Χαλκὶς ἐλέγετό φασι πρότερον ἡ Εὔβοια. ἐκλήθη δὲ Χαλκὶς ἀπὸ θυγατρὸς Ἀσωποῦ Κόμβης, τῆς καὶ Χαλκίδος. τινὲς δὲ διὰ τὸ χαλκεῖα πρῶτον παρὰ τοῖς ἐκεῖ ὀφθῆναι. ἐκαλεῖτο δέ φασι τὸ παλαιὸν καὶ Στύμφηλος ὁμωνύμως τῇ Ἀρκαδικῇ. ὁ πολίτης αὐτῆς, Χαλκιδεύς. ταύτης δὲ ἄποικοι, καὶ ἕτεροι μὲν, καὶ οἱ ἐν τῇ Κόμῃ δὲ τῆς Σικελίας, Χαλκιδεῖς. ἦν δὲ καὶ Κορίνθου πόλις Χαλκὶς, καὶ αἰτωλικὴ δὲ, ὅθεν ὁ Ἀχελῷος ῥεῖ. ἦσαν δὲ καὶ ἄλλαι, ὧν μία καὶ συριακή. Ἰάμβλιχος γοῦν ὁ μέγας φιλόσοφος Χαλκιδεὺς ἦν, ἐκ τῆς κοίλης Συρίας. νῦν δὲ θρακικὴ λέγεται Χαλκίς. περιφέρονται δὲ καὶ χαλκικὰ ποτήρια καὶ ἐν τῇ κωμῳδίᾳ. ἐκ ποίας δὲ αὐτά εἰσι χαλκίδος, ζητητέον. ἀνδρείους δὲ τοὺς Εὐβοεῖς Χαλκιδεῖς, ἡ ἱστορία οἶδεν. οἱ γοῦν χρησμοὶ, ἄνδρες, οἳ πίνουσιν ὕδωρ ἱερῆς Ἀρεθούσης οἱ Χαλκιδεῖς λέγονται, ὡς ἄριστοι ὄντες. ἔχει γὰρ καὶ ἡ ἐκεῖ χώρα κρήνην Ἀρέθουσαν.

Χαλκιδεῖς εἰσὶ μὲν ἐπὶ τῆς Εὐβοίας ἄποικοι Ἀθηναίων. εἰσὶ δὲ καὶ ἐπὶ Θράκης οἱ Χαλκιδεῖς, ἄποικοι ὄντες ἀπὸ τῆς Εὐβοίας. πολλὰ δὲ ἦν χωρία τῆς Θράκης, ὑπακούοντα τοῖς Ἀθηναίοις. Ἀριστοφάνης λέγει χαλκιδικὸν ποτήριον.

* Χαλκιδῖτις παρὰ Ἰωσήπῳ ἡ πόρνη, ἀπὸ τῆς εὐτελείας τοῦ διδομένου νομίσματος.

Χαλκίναος, χαλκίοικος.

Χαλκίνδα, τὸ εἰς χαλκὸν κυβεύειν.

Χαλκίον, μακρὸν τὴν ἐλαιηρὰν ἐπίχυσιν.

Χαλκιόπην. Φερεκύδης ἐν ἕκτῳ Αἰητίαν αὐτήν φησι καλεῖσθαι. ἐπώνυμον δὲ αὐτῇ, χαλκιόπη καὶ ὀφιοῦσα.

Χαλκῖτις, στυπτηρία, παρὰ τῷ Ἱπποκράτει.

Χαλκοβάρεια, ἡ τῆς συνθέσεως φύσις, ἴσχυσε προπαροξύνεσθαι καὶ τὸ βαρεῖα, καθὰ καὶ τὸ δασεῖα μετὰ σύνθεσιν. ἔφη γάρ που κύνεσιν ἱπποδάσειαν. ταῦτα δ' ἴσως διὰ τὸ καὶ τὰ ἀρσενικὰ αὐτῶν προπαροξύνεσθαι ὁμοίως τῷ τραχὺς ἄτραχυς, ὀξὺς κάτοξυς, θῆλυς ἄθηλυς. ὡς γὰρ αὐτὰ, οὕτω καὶ χαλκόβαρυς ὡς εἰκὸς, καὶ ἱππόδασυς. ὅθεν χαλκοβάρεια καὶ ὑποδάσεια, ὁμοίως τὸ ἡμίσεια, θήλεια.

Χαλκοβατὲς, τὸ ἰσχυρὰν βάσιν ἔχον. ὅταν δὲ καλὸν αὐτὸ θέλῃ δηλῶσαι, χρυσοῦν τὸ δάπεδον Ὅμηρος λέγει.

Χαλκοθωρήκων, ἔοικε πρὸς διαστολὴν ἑτεροίων τινῶν εἰρῆσθαι θωρήκων, ὡς δῆλον καὶ ἐκ τῶν ἐν διαφόροις ἱστορίαις λινοθωρήκων.

Χαλκογλώχινος, χαλκῆν ἐπιδορατίδα ἐχούσης.

Χαλκοδεσμωτὴρ, χαλκοδέσμιος, ἐπεὶ ὥπλιστο. λέγεται δὲ καὶ χαλκοδεσμήτωρ.

Χαλκόδοντας στόλους, χαλκοῦς ὀδόντας ἔχοντας. ὀδόντας δὲ ἔλεγον τὰ ἔμβολα, ἃ τινὲς ἐμβόλια.

Χαλκοκορυσταὶ, χαλκῷ καθωπλισμένοι.

Χαλκοκνήμιδες, οἷς σιδηραῖ ἦσαν ἢ χαλκαῖ αἱ κνῆμαι.

Χαλκόκρας, τὸ χαλκόκροτον νόμισμα.

Χαλκόκροτος ἡ Ῥέα, διὰ τὰ κύμβαλα.

Χαλκολογεῖν, νομίσματα συλλέγειν.

Χαλκόλοφον ἱππιοχαίτην, τὸ ἐπανάστημα τῆς περικεφαλαίας, ἢ ἐξ ἱππείων τριχῶν ἐκεκόσμητο.

Χαλκοπαρείης, χαλκᾶς παρειὰς ἐχούσης.

Χαλκόπληκτος λέγεται, ὁ ὑπὸ χαλκοῦ πληγείς.

Χαλκόποδες ἵπποι, οὐ μόνον οἱ στερρόποδες, ἀλλὰ καὶ οἱ ἠχόποδες. λέγει δέ που Ὅμηρος, καὶ ἐριγδούπους πόδας ἵππων, καὶ ὑψηχέας ἵππους, ὧν ὑψοῦ ὁ ἦχος ἥκει τῶν ποδῶν. ὅτι δὲ ἠχητικὸς ὁ χαλκὸς, ἐξ οὗ οἱ ἵπποι ὡς ἐῤῥέθη χαλκόποδες, οἱ ἠχόποδες, δηλοῖ μὲν, καὶ τὸ ἤνοπα λέγεσθαι χαλκὸν, ὅ ἐστιν ἔμφωνον. καὶ χαλκεόφωνος κύων, ὡς παρεοικὼς τὸν ἦχον χαλκῷ.

Χαλκὸς, καὶ χρυσὸς, ὁ κείμενος ἀργὸς, χαλκοῦς καὶ χρυσοῦς ἀνδριὰς, ἢ ἄλλο τι ἐκ χρυσοῦ ἢ χαλκοῦ κατεσκευασμένον. ὧν τὰ θηλυκὰ περισπῶνται. οἷον, ἡ χαλκῆ, ἡ χρυσῆ, καὶ ὅσα ἄλλα ἀρσενικὰ εἰς ους, καὶ αἱ εὐθεῖαι τούτων τῶν πληθυντικῶν περισπῶνται. οἷον χρυσοῖ καὶ οἱ χαλκοῖ, καὶ αἱ χρυσαῖ, καὶ αἱ χαλκαῖ.

Χαλκόστομα, χαλκία, κύμβαλα.

Χαλκοτῆρα, κέραμός τις.

Χαλκοτύπους ὠτειλὰς, κατὰ κυρίαν φράσιν. λέγει γὰρ Ὅμηρος χαλκοτύπους τὰς ἀπὸ τῆς τυπῆς ἢ τύψεως χαλκῶν, ἤτοι ξιφῶν. ὁ δὲ εἰπὼν τύπωμα χαλκόπλευρον, τὸ χαλκοῦν κιβώτιον, οὐκ ἐκ τοῦ κυρίως τύπτειν αὐτὸ παρήγαγεν, ἐξ οὗ καὶ τόρμα τροχῷ τυπωτῇ παρὰ Λυκόφρονι. ἀλλὰ τὸ κατακρατεῖν χαλκευτικῷ εἰς τὸ τύπτειν μετέβαλε.

Χαλκοῦν πινάκιον, Ἀθηναῖοι εἶχον ἕκαστος πινάκιον πύξιον ἐπιγεγραμμένον τὸ ὄνομα τὸ αὐτοῦ, καὶ τοῦ δήμου πατρόθεν.

Χαλκοχίτωνες, οἱ ἀλλαχοῦ χαλκοθώρηκες. ἔγνωσται γὰρ ὡς χιτῶνι ἀναλογεῖ τὸ ἐξ ὑφάνσεως, ὁ πολεμικὸς θώραξ.

Χαλκοχιτώνων, τοῖς χαλκοῖς ὅπλοις ὁπλιζομένων. ἀντιδιαστέλλων δὲ πρὸς τοὺς λινοθώρακας, οὕτως αὐτοὺς λέγει Ὅμηρος.

Χαλκώνητος, χαλκῷ ἠγορασμένος.

Χαλκῷ ῥωγαλέον, σιδήρῳ διακοφθησόμενον, ἢ διεσχισμένον, γέγονε δὲ παρὰ τὸ ῥήσσω.

Χάλυβες, ἔθνος Σκυθίας, ὅπου ὁ σίδηρος γίνεται. μέμνηται δὲ αὐτῶν καὶ Καλλίμαχος, Χαλύβων ὡς ἀπόλοιτο γένος. ἐκλήθησαν δὲ ἀπὸ Χάλυβος τοῦ Ἄρεως υἱοῦ.

Χαλυβώνιος, εἶδος οἴνου, ἀπὸ τόπου τινὸς τῆς Συρίας.

Χάλυψος, ὄνομα ἐθνικὸν, παρὰ τὸ χαλέπτω τὸ βλάπτω, χαλέψω.

Χαλώπη, κιθάρα. ἀπὸ γὰρ ὀστράκων χελώνης ἡ κιθάρα γίνεται.

Χαλῶσα, χάσκουσα.

Χαλῶ, ἐκλύω. παραλύω, μαλθακίω, ἀνακλίνω.

Χαμάδι, ἐστὶ μὲν ὡς πολλάκι. δύναται δὲ καὶ διὰ τοῦ σ γράφεσθαι χαμάδις, ὡς πολλάκις. οὕτω καὶ δηθάκι δηθάκις, καὶ αὖθι αὖθις, καὶ χωρὶς χωρί.

Χαμαδύτοι, κοχλίαι.

Χαμᾶζε λέγει Αἴλιος Διονύσιος, ὡς ἀεὶ περισπᾶται. τὸ δὲ χαμᾶθεν, ὡς ἐπὶ πλεῖστον.

Χαμαὶ, ἀντὶ τοῦ ἐν τῇ γῇ, ὡς τὸ χαμαὶ κάθημαι. χαμᾶζε δὲ ἀντὶ τοῦ εἰς τὴν γῆν, ὡς τὸ χαμᾶζε ἔπεσε. χαμόθεν, τὸ ἐκ τῆς γῆς. οἱ δὲ Ἀττικοὶ χαμᾶθεν προπερισπῶσιν, οἷς καὶ αὐτὸς ἕπου.

Χαμαιπετὴς, χαμαὶ ἐῤῥιμμένος.

Χαμαίζηλοι, ταπεινοί. ἢ δίφροι κοιλώδεις καὶ εὐτελεῖς.

Χαμαιλέων, ζῶον ᾠοτόκον, καὶ πεζόν.

Χαμαιτυπὴ, πόρνη ἄδοξος. καὶ χαμαιτυπεῖον, τὸ πορνεῖον.

Χαμαιῤῥεπῶς, χαμαιζήλως, ἢ εἰς τὰ γήϊνα ῥέπων.

Χαμερπὴς, γεωργός. ὁ ἐν τῇ γῇ κοιμώμενος.

Χαμεταιρὶς, πόρνη.

Χαμεῦναι καὶ χαμευνάδες, παρὰ τοῖς παλαιοῖς ψίαθοι καὶ στιβάδες. εἰσὶ δὲ οἵ φασι καὶ ὅτι χαμεῦνα, ἡ ταπεινὴ κλίσις, καὶ κλίσις καὶ στιβάς. καὶ χαμευνάδες, οἱ χαμαὶ κοιμώμενοι.

Χαμεύνη, ταπεινὴ κλίνη, ὅθεν καὶ τὸ ὄνομα εἴληφεν. ἡ δὲ χαμεύνη εὐτελής ἐστι.

Χαμηλὸν, χαμαίζηλον.

Χαμίτης ἄμπελος ἐλέγετο, ἡ χαμαὶ κειμένη.

Χαμὸν, καμπύλον.

Χαμώκοιτος, ὁ εἰς τὴν γῆν κοιμώμενος.

Χαμῶνας, στέαρ. ἢ τὰ ἐκ στέατος τικτόμενα.

Χανὰ, κόσμησις.

Χάναι, τὸ ἀνοῖξαι στόμα.

Χαναὰμ, σάλος. Χαναχὲς, ἐπιηχές.

Χανάκτιον, τὸ μωρὸν, Δωριεῖς. χανδάνει, χαριστέον μέν τοι τῇ ποιήσει. ἰστέον δὲ, ὅτι ἐκ τοῦ χῶ τὸ χωρῶ γίνεται χάζω. ὁ δεύτερος ἀόριστος ἔχαδον. ἐξ οὗ μέλλων δεύτερος αὐθυπότακτος χαδῶ. ὅθεν καὶ κατὰ τὴν συνήθη ἀναδρομὴν χάδω ἐνεστώς. καὶ παράγωγον χαδάνω. καὶ πλεονασμῷ τοῦ ν, διὰ τὴν κρείττονα φωνὴν, χανδάνω, κατὰ τὸ ἁνδάνω.

Χανδὸν πιεῖν Ἀττικοὶ, κεχηνότως δὲ καὶ ἀθρόως Ἕλληνες. καὶ χανδὸν, ἀπλήστως, χωρητικῶς.

Χανδὸν πίνειν, τὸ μὴ αἴσιμα πίνειν. εἴρηται δὲ ἀπὸ τοῦ χανδὸν πίνειν, ὡς ἀπό τινος δοχείου διακεχάσκοντος ἀεὶ πρὸς ὑποδοχὴν ὑγροῦ.

Χανδὸν, καὶ κεχηνότως, τὸ αὐτό.

Χανεῖν, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ εἰπεῖν.

Χανεῖν πρὸς δέλεαρ, ἢ δελέατι, ἀντὶ τοῦ καταπιεῖν τὸ δέλεαρ.

Χαννὸς, τὸ ἐπὶ τὴν ἅμαξαν ἐπιτιθέμενον πλέγμα.

Χάνοι εὐρεῖα χθὼν, εὐρὺ χάσμα ποιήσειεν ἡ γῆ.

Χανύειν, βοᾶν.

Χανύσῃ, βίᾳ καλεῖ.

Χάνωνας, ἄρτους ἐλαίῳ ἀναφυραθέντας κριθίνους, ἢ λάχανα ὀπτά.

Χάονες, ἔθνος Θρᾴκης. ἢ δῆμος τῶν Θεσπρωτῶν, ἢ βάρβαρον ἔθνος. ἄλλως. οἱ μὲν τῆς ἠπείρου, οἱ δὲ τῆς Θρᾴκης τοὺς Χάονας.

Χάος, σημαίνει ἔτι καὶ τὸν ἀέρα. ὡς παρὰ τῷ Ἀριστοφάνει, καὶ ἔστιν ὁ διακεχυμένος ἀήρ.

Χαρά ἐστιν, εὔλογος πρόφασις ψυχῆς. καὶ χαρὰ, ἡ ἡδονή. ἀγαλλίασις, εὐφροσύνη.

Χαράβδη, λίμνη στίου.

Χαραδριοὶ, ὀνοματοπεποίηται τὸ ὄρνεον, παρὰ τὸ ταῖς χαράδραις ἐνδιατρίβειν.

Χαραδριός ἐστιν, εἶδος ὀρνέου. διχῶς δὲ ἐπὶ μὲν ὀρνέου χαραδριὸν, ὀξυτονητέον. εἰ δὲ ἐπὶ τῆς χαράδρας, βαρυτονεῖται. ἐπεί φασιν αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίας ποιοῦνται.

Χαραδροῦται, ὀρύσσεται, κοιλαίνεται.

Χαράδρα κυρίως, ἐπὶ χειμάρρου. ὃς ῥέων χαράττει δραστηρίως τὴν γῆν.

Χαράκης, τιθύμαλλος.

Χάρακες, τάφροι, καὶ ἀκανθώδη φυτά. καὶ οἱ κάλαμοι.

Χαράκια, ὑποστηρίγματα.

Χαρακίζειν, σπαίρειν. μετεωρίζειν, διαιρεῖν.

Χαρακτηρισμός ἐστι λόγος τῶν περὶ τὸ σῶμα ἰδιωμάτων ἐπαγγελτικός. ὃν καί τινες εἰκονισμὸν λέγουσιν. οἷον γυρὸς ἐν ὤμοισι μελανόχροος, οὐλοκάρηνος.

Χαράκωμα λέγεται, ὃ περιεβάλλοντό τινες στρατοπέδῳ ἐπὶ σωτηρίᾳ. Μένανδρος ἀσπίδι, πολλοὶ γὰρ ἐκλελοιπότες τὸν χάρακα, τὰς κώμας ἐπόρθουν. καὶ χαράκωμα, περίφραγμα, τεῖχος. παρὰ τὸ χαρακῶ, χαρακώσω.

Χαρακτὴρ, ἡ σφραγὶς, ὁ τοῦ ὀνόματος τύπος.

Χαρακτήρ ἐστι, διατύπωσις σώματος, δηλοῦσα τὴν ὑπόστασιν.

Χαράκτορι, ὠξυμμένῳ ὑπὸ χαρακτῆρος παρὰ τῷ Ἱπποκράτει.

Χαραμὸς, ἡ τῆς γῆς διάστασις. οἷον χηραμός.

Χάραξιν, ὀξέσι ξύλοις, ἢ καλάμοις, ἢ ἀκανθώδεσι φυτοῖς.

Χαράξαι, κόψαι, κοιλᾶναι, τυπῶσαι.

Χάραξ ἐστὶ ξύλον, ἐν ᾧ τὰς ἀμπέλους δεσμοῦσιν, ὥστε ἵστασθαι καὶ μὴ πίπτειν εἰς τὴν γῆν. ἢ χάραξ ἐστὶ τὸ λεπτὸν ξύλον, ᾧ προσδεσμοῦσι τὴν ἄμπελον ἵνα μὴ ὑπὸ τῶν ἀνέμων συντριβῇ. Ἄλλως.

Χάραξ θηλυκῶς, ἐπὶ τῶν ἀμπέλων. ἀρσενικῶς δὲ ἐπὶ τῶν πρὸς πολιορκίαν.

Χαρακτῆρες τῶν λόγων, τὰ καλούμενα πλάσματα εἰσὶ τρεῖς. ὧν τὸ μὲν ἁδρὸν, τὸ δ' ἰσχνὸν, τὸ δὲ μέσον λέγεται. ὧν καὶ ἐστὶ παραδείγματα Θουκυδίδου μὲν τὸ ἁδρὸν, Λυσίου τὸ ἰσχνὸν, Δημοσθένους δὲ τὸ μέσον. ὧν πάντων καὶ παρὰ τῷ Ποιητῇ παραδείγματα εὑρίσκονται. τὸ μὲν οὖν ἁδρὸν πλάσμα ἐκεῖνό ἐστι, τὸ καὶ τῇ τῶν λέξεων καὶ τῇ τῶν νοημάτων κατασκευῇ, μεγάλας ἔχον ἐμφάσεις. οἷόν ἐστιν, ὣς εἰπὼν συνάγαγε νεφέλας, ἐτάραξε δὲ πόντον χερσὶ τρίαιναν ἑλών. πάσας δ' ὀρόθυνεν ἀέλλας παντοίων ἀνέμων. σὺν δὲ νεφέεσσι κάλυψε γαῖαν ὁμοῦ καὶ πόντον. ὀρώρει δ' οὐρανόθεν νύξ. ἰσχνὸν δὲ τὸ καὶ τῇ ὕλῃ τῶν πραγμάτων, μικρὸν, καὶ τῇ λέξει κατισχνημένον. οἷόν ἐστι τοῦτο. ὣς εἰπὼν, οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ. ἂψ δ' ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης ἐκλίνθη, ἰάχων πατρὸς φίλου ὄψιν ἀτυχθεὶς, ταρβήσας χαλκόν τ' ἠδ' αὖ λόφον ἱππιοχαίτην. μέσον δὲ, τὸ ἑκατέρου τούτων μεταξύ. τοῦ μὲν ἰσχνότερον, τοῦ δὲ ἁδρύτερον. οἷον αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς. ἆλτο δ' ἐπὶ μέγαν οὐδὸν, ἔχων βιὸν ἠδὲ φαρέτρην ἰῶν ἐμπλείην. ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς πρόσθε ποδῶν. μετὰ δὲ μνηστῆρσιν ἔειπε. καὶ τὸ ἀνθηρὸν εἶδος τῶν λόγων ἐστὶ πολὺ παρὰ τῷ Ποιητῇ, κάλλος ἔχον καὶ χάριν, εἰς τὸ τέρπειν καὶ ἥδειν ὥσπερ ἄνθος τι, ἄν τις καὶ λέγῃ. μεστὴ γάρ ἐστιν ἡ ποίησις τῆς τοιαύτης κατασκευῆς. ἡ μὲν δὴ τῆς φράσεως ἰδέα τοιαύτην ἔχει ποικιλίαν παρὰ τῷ Ὁμήρῳ, οἵαν διήλθομεν ὀλίγα παραδείγματα θέμενοι. ἐξ ὧν ἐστι καὶ τὰ ἄλλα κατανοεῖν.

Χαρὴ, χαρά.

Χαρία, βουνός.

Χαρίδαι, γένος ἐξ οὗ ὁ ἱερεὺς τοῦ Κραναοῦ.

Χαρίεια, φίλτρα.

Χαρίεις, τιθείς. τί διαφέρουσιν αἱ μετοχαὶ τῶν ὀνομάτων; διαφέρουσιν. ὅτι πᾶσα μετοχὴ εἰς εις λήγουσα, ὀξύνεται. ὄνομα δὲ, βαρύνεται. οἷον χαρίεις. διὰ τοῦτο καὶ τὸ εἷς ὄνομα περισπᾶται, ἵνα ἐκφύγῃ τὴν ὀξεῖαν τάσιν. καὶ κλίνεται οὕτως. ὁ χαρίεις, τοῦ χαρίεντος, τῷ χαρίεντι, τὸν χαρίεντα, ὦ χαρίεν, καὶ χαρίει κοινῶς, καὶ χαρίεις Ἀττικῶς. τὼ χαρίεντε, τοῖν χαριέντοιν, ὦ χαρίεντε. οἱ χαρίεντες, τῶν χαριέντων, τοῖς χαρίεισι, καὶ χαρίεσι, τοὺς χαρίεντας, ὦ χαρίεντες.

Χαρίεν, δῆλον ὡς ἐπὶ ὀνόματος παροξύνεται, καθὰ δηλοῖ καὶ τὸ χαρίεν πρόσωπον. καὶ παρὰ Ἀθηναίῳ τὸ, ἡνάρκη χαρίεν βρῶμα γίνεται. καὶ ἀπαιτεῖ τοῦτο ἡ ἀναλογία τοῦ τιμῆεν. φωνῆεν, αἰγλῆεν, καὶ τῶν ὁμοίων. τὸ δὲ προπαροξυνόμενον, Ἀττικόν ἐστιν ἐπιρρηματικῶς προενεχθὲν, καὶ ἀντὶ τοῦ χαριέντως νοηθὲν παρὰ τοῖς ὕστερον. ὁ δὲ λέγων χάριεν μέτωπον προπαροξυτόνως, αἰσχύνει τὸ χαρίεν τῆς ἀναλογίας τῷ βαρβαρισμῷ. ταυτὸν δὲ χαρίεν εἰπεῖν καὶ καλόν. καὶ χαρίεν, τὸ μετέχον χάριτος, πρὸ μιᾶς ἔχει τὸν τόνον.

Χαριεντισμός ἐστι, λόγος εὐτράπελος, ἐν ᾧ διαχεῖται ὅ τε λέγων καὶ ὁ ἀκούων.

Χαριεντίζεται, εὐτραπελεύεται. σκώπτει.

Χαρίζεσθαι, κοινῶς μὲν ὡς οἱ πολλοί. ἰδίως δὲ καὶ ὡς ὑπὸ ἀφροδισίων. ἢ ὑπὸ τοῦ ἐν λόγῳ ὑποκατακλίνεσθαι.

Χαροπὸν τὸ ἔχον χαράν. χάριεν, τὸ ἔχον χάριν. ὃ καὶ ἐπίχαρι λέγεται.

Χαριέστερος. πᾶν ὄνομα εἰς εις λῆγον, τὸ συγκριτικὸν ἔχει δύο συλλαβὰς, πλεονάζον τῆς εὐθείας. οἷον χαρίεις χαριέστερος, τιμήεις τιμηέστερος, μορφήεις μορφηέστερος, τολμήεις τολμηέστερος, καὶ τὰ λοιπά.

Χαρίζομαι, μέλλων χαρίσομαι, κοινῶς. καὶ χαριοῦμαι Ἀττικῶς.

Χαρίζομαι, οὐ μόνον τὸ δωροῦμαι, ἀλλὰ καὶ τὸ χάριν τινὶ ποιῶ. οἷον χαριζόμενός σοι ἔπραξα τάδε. χαρίζομαι, χαριοῦμαι, ἐχαρισάμην, κεχάρισμαι.

Χαρίζομαι, καὶ τὸ ἀστεΐζομαι καὶ κομψεύομαι, καὶ εἰρωνεύομαι. καὶ παρὰ Δημοσθένει χαριζομένοις τοῖς στρατηγοῖς, καὶ τριηράρχαις, καὶ ἡμῖν τοῖς πεντακοσίοις. ἀντὶ τοῦ εἰρωνευόμενος, καὶ κομψευόμενος. καὶ ἀπὸ τούτου ἐπιχαρίτως ἐπίρρημα παρὰ Ξενοφῶντι. ἀντὶ τοῦ ἀστείως, καὶ πρὸς χάριν.

Χαριζομένη παρεόντων, χαριζομένη δὲ ἡ τὰ πρὸς χάριν καὶ ἡδονὴν ποιοῦσα. παρεόντα δὲ βρώματα λέγει, τὰ ἐν τῷ ταμείῳ ἀπόθετα, ἤτοι ἕωλα. τὰ γὰρ πρόσφατα ὁ δαιτρὸς παρατίθησιν. ἢ καὶ ἄλλως παρεόντα λέγει, τὰ ἐπὶ πολὺ παραμένοντα, ὁποῖα τὰ ἀλίπαστα. ἰστέον δὲ ὡς τὰ μὲν καθ' Ὅμηρον παρεόντα, ἤγουν τὰ ἐκ τῆς χθὲς τραπέζης ἕωλα λείψανα, μέτρια ὡς εἰκὸς ἂν ἦσαν, καὶ οἷα δεῖσθαι καὶ τῆς ἐπαύριον ἐν ἐδέσμασιν ἐπισκευῆς.

Χαρικλὼ, καὶ Φιλύρα, Νηϊάδες, τὸν Ἀχιλλέα ἔθρεψαν. ὧν ἡ μὲν Χαρικλὼ, γυνὴ Χείρωνος. Φιλύρα δὲ, μήτηρ.

Χάριν καὶ τὴν δωρεὰν, καὶ τὴν ἀντίχαριν λέγει Σοφοκλῆς, ἐν Αἴαντι μαστιγοφόρῳ.

Χάρις. χάρις γάρ ἐστιν ἡ τίκτουσ' ἀεὶ χάριν, καὶ τὴν ἡδονὴν, ὡς ὅταν λέγωμεν τὴν τῶν λόγων χάριν.

Χάρις καὶ ὄνομα θεᾶς, οὗ τινος ἡ αἰτιατικὴ οὐκ ἐκφέρεται δισυλλάβως, ὡς ἐπ' ἐκείνων, ἀλλὰ τρισυλλάβως. οὐ γὰρ χάριν λέγομεν, ἀλλὰ χάριτα.

Χάριν ἐπίρρημα ἀντὶ τοῦ ἕνεκα. συντάσσεται γενικῇ. οἷον χάριν σοῦ τοῦτο ἐποίησα. λαμβάνεται καὶ ἀντὶ τοῦ εἰς χάριν. οἷον, εἰς χάριν σοῦ τόδε ἐποίησα.

Χάριν οἶδά σοι, καὶ χάριν ἔχω σοι, καὶ χάριν ὁμολογῶ λέγομεν, εὐχαριστῶ δὲ οὐδεὶς τῶν δοκίμων εἴρηκεν. εὕρηται δὲ τὸ χάριν ἔχω, οὐ μόνον ἀντὶ τοῦ εὐχαριστῶ, ἀλλὰ καὶ ἀντὶ τοῦ εὐχαριστίαν δέχομαι.

Χάριν ἀγγέλου τοῦ κωλοτίου, τοῦτο ἐποίησα. ἀντὶ τοῦ πρὸς χάριν. καὶ ταυτόν ἐστι τῷ χαριζόμενος τῷ κωλοτίῳ, ἔνθα σημαίνειν οὐκ ἀεὶ ταυτὸν τὸ χάριν καὶ τὸ ἕνεκεν, ἀλλ' εἰ καὶ ἀμφότερα αἰτιολογικά εἰσιν, ὅμως τὸ μὲν χάριν, ἐπὶ τῶν χάριτος ἕνεκεν γινομένων τίθεται. οἷον Ἀχιλλεὺς χάριν Μενελάου ἐστράτευσεν. αὐτὸ δὲ τὸ ἕνεκεν, ἐπὶ τῶν ἁπλῶς διά τι. οἷον Ἕλληνες ἕνεκεν τῆς Ἀλεξάνδρου ὕβρεως ἐπλεύσαν εἰς Τροίαν.

Χαρινάδας, ὄνομα γέροντος παρὰ τῷ Ἀριστοφάνει.

Χάριξον, ἐπισκεύασον.

Χάρις ἐστὶ, πράγματος ὠφελίμου δόσις. ἢ δάνειον ἀναπόδοτον. ἢ εὐεργεσία ἑκούσιος, ἀπόδοσις ἀγαθῶν ὑπουργίας ἐν καιρῷ.

Χάρις, κῦδος, διαφέρει. καθότι κῦδος μὲν ἡ εὔκλεια. χάρις δὲ, ὁμολογία εὐεργεσίας ἐστί.

Χάρις. ἡ ἡδονή. καὶ ἡ δωρεὰ, καὶ ἡ ἀντίχαρις. καὶ ὄνομα Θεᾶς.

Χαρίσασθαι, παρασχεῖν. λέγονται γὰρ αἱ γυναῖκες χαρίζεσθαι, αἱ πρὸς συνουσίαν ἑαυτὰς ἐκδιδοῦσαι.

Χαρίσια, ἐκ τῶν χαρίτων παρωνόμασται. παννυχίδαι δὲ ταῦτα ἦσαν ἐν αἷς πλεῖστον ὅσον χρόνον διηγρύπνουν χορεύοντες, ὅτε πυραμοῦς εἰς ἔπαθλον ἐδίδοτο τοῖς διηγρυπνήκασι, καί τινα τέμματα καλούμενα καὶ αὐτὰ χαρίσια, ἐκ τῆς τῶν ἀναιρουμένων αὐτὰ φασὶ χαρᾶς. Εὔβουλος. εἶτα εὐθὺς ἐξεπήδησα πέττουσα τὸν χαρίσιον. ἡ δὲ ἀναλογία τοῦ πυραμοῦντος, ὡς σησαμοῦς σησαμοῦντος. τῶν τις δὲ παλαιῶν καὶ μάζαν παρωνομάσας ἐπίχαριν χαριτοβλέφαρον ὠνόμασε. δῆλον δὲ, ὅτι καὶ κύριον ὄνομα ὁ Χαρίσιος.

Χάρισμα, δῶρον.

Χαριστήρια, χαρίεντα, δῶρα.

Χάριτες αὗται, αἱ ὀπαδοὶ τῇ Ἀφροδίτῃ πλάττονται καὶ ὑπουργοὶ, ἕτεραι ἴσως παρὰ τὰς τρεῖς, ἃς ἡ τοῦ Ἡσιόδου θεογονία σεμνύνει.

Χαριτογλωττεῖν. τὰ σύνθετα διαλύουσιν οἱ ποιηταὶ, ἀναστρέφοντες καὶ τὰς λέξεις. Εὐριπίδης γὰρ τὸ χαριτογλωττεῖν, γλώσσῃ χαρίζῃ. καὶ τὸ λυσιτελεῖν Σοφοκλῆς, ἔνθα τέλη μὴ λύειν φασίν. ὅσα τῶν ὀνομάτων μόνῳ τῷ α συντίθεται, τούτοις ἡ σημασία στέρησιν παριστάνει. γινώσκει τοῦτον, ὃς τὸν ἄσιτον οὐκ ἀγνοεῖ, καὶ τὸν ἄποτον. οἷς δ' οὐ μόνον τὸ α συντίθεται, ἀλλὰ καὶ τὸ εὖ, τοῦ εὖ τὸ καλὸν δηλοῦντος, ἀνάγκη καὶ τοῦ α τὸ κακὸν ἐν τούτοις γινώσκεσθαι. εὐσεβὴς τοῦτο διδάσκει καὶ ἀσεβής. οὐ γὰρ τὸν μὴ ἔχοντα σέβας οὕτω καλεῖν ἔθος ἔχομεν. τίς γὰρ ἀνθρώπων, ᾧ μηδὲν μηδαμοῦ σέβας ἐστὶν, ἀλλὰ τὸν δυσσεβῆ πάντως. ὅσα τῶν ὀνομάτων τῷ τε α συντίθεται, καὶ τῷ δυς, ἐπειδὰν μὲν τὸ εὖ τὸ καλὸν σημαίνει, ἐκκαλεῖσθαι καὶ τῷ δυς τὸ κακὸν, εὐσεβὴς εἰς δήλωσιν ἥκει, καὶ τὸ δυσσεβής. ἐπειδὰν δὲ τὸ εὖ καλὸν αὐτίκα καὶ τὸ δυς, τὸ δύσκολον. ὥσπερ που καὶ αὐτὸ τὸ εὔκολόν τε καὶ δύσκολον, καὶ εὐχερής τε καὶ δυσχερής, καὶ μυρία ὅσα. δυσθελπτῆ

Digitized by Google

τοῦ χειμῶνά φησιν Ὅμηρος, τὸν ἀθαλπῆ. ὥσπερ ἐκ τοῦ ἐναντίου δυσεβὴς, ὁ ἀσεβὴς τῶν ἐναντίων ὀνομάτων τῷ στερητικῷ συναπτομένων, θάτερον θατέρου λαμβάνει τὴν σημασίαν, ὡς τοῦ καθαροῦ καὶ κιβδήλου ἐναντίων ὄντων. ἀκάθαρτον μὲν τὸ κίβδηλον, καὶ ἀκίβδηλον δὲ τὸ καθαρόν. ἐνίοτε δὲ, τὰ ἐναντία. ὡς τὸ δεσπότης καὶ δοῦλος, τῷ στερητικῷ συναπτόμενα. οἷον τὸ ἀδέσποτον, καὶ τὸ ἀδούλωτον, ταυτὸν σημαίνει. ἀδέσποτον γὰρ, τὸ μὴ ἔχον δεσπότην. καὶ ἀδούλωτον, τὸ μὴ ὂν ὑπὸ δουλείαν.

Χάρμα, τὸ ἐπίχαρμα, καὶ ὁ γέλως, οἷον χάρμα δυσμενέεσσι. δηλοῖ καὶ τὴν ἡδονὴν ἡ λέξις.

Χάρμη, κυρίως ἐστὶ μάχη. ἣν ὑποδύεταί τις οὐχ ὑποπτύσσων, ἀλλὰ χαίρων, καὶ χάρμα ἔχων. καὶ ἄλλως δὲ εἰπεῖν, μελπόμενος Ἄρηϊ.

Χαρμονὴ, χαρὰ, συλλογή.

Χαρμόσυναι, ἑορταὶ Ἀθήνησι, καὶ χαρμόσυνα.

Χαρμοσύνη, ὀνομασία.

Χαρμόφρων, ὁ Ἑρμῆς.

Χαρόνη, χαρεῖνος, ἄμπελος.

Χαροποὶ λέοντες, οἱ τοιούτους ἔχοντες τοὺς ὀφθαλμούς. χρώματος δὲ ὀφθαλμῶν δηλωτικὸν, καὶ τὸ χαροπόν. λεγόμενον καὶ ἐπὶ παρδάλεων. ἀπὸ δὲ τῆς τοιαύτης χαροπότητος, καὶ χάρεων, ὁ λέων. λέγεται δὲ ἴσως κατ' ἀντίφρασιν, μᾶλλον δὲ φοβερὸς ὁ λέων, καὶ οὐ χαρὰν ποιῶν. ἤδη δὲ καὶ κατὰ τὸ θανατοποιὸν, ἐπεὶ καὶ ὁ Χάρων, ἐν ᾅδου διακονεῖ.

Χαροπὸν, καὶ τὸ γλαυκὸν, συνωνύμως λέγεται ἀμφότερα ἐπὶ τοῦ λαμπροῦ.

Χαροπὸν, τὸ χαρὰν ἔχον. χάριεν τὸ ἔχον χάριν, ὃ καὶ ἐπίχαρι λέγεται. ὡς τὸ σφαλερὸν, τὸ ἐπισφαλές. καὶ τὸ ὀδυνηρόν, ἐπώδυνον, καὶ τὸ βλαβερὸν, τὸ ἐπιβλαβές. φθονερὸν δὲ καὶ ἐπίφθονον, οὐ ταυτό. λέγεται γὰρ τὸ φθονερὸν, ἐπὶ τῶν χρωμένων τῷ φθόνῳ. τὸ δὲ ἐπίφθονον, ἐστὶ τῶν φθονουμένων. καὶ φοβερὸν ὁμοίως, τὸ φόβον ἐμποιοῦν. ἐπίφοβον δὲ, τὸ φοβούμενον.

Χαροπὸς περιχαρὴς, εὐόφθαλμος. ἐξ οὗ χαροπή.

Χαρωπὸς, χαρᾶς ἄξιος, ἡ βακτηρία.

* Χαρτοφυλάκιον. τὰ παρὰ τὸ φυλάσσω ἅπαντα, διὰ τοῦ ι γράφεται, καὶ προπαροξύνεται, οἷον χαρτοφυλάκιον, θησαυροφυλάκιον, σκευοφυλάκιον. πλὴν τοῦ σιτοφυλακεῖον.

Χάρυβδις, ἡ ἀναπινομένη θάλασσα, περὶ τὰ Γάδειρα. καὶ πάλιν ῥαγδαιοτέρως ἐπανεκρέουσα. εἴρηται δὲ πᾶν τὸ εἰς χάος καὶ ὄλεθρον κατάγον, οἱονεὶ εἰς χάος βαῖνον.

Χάρων ὁ λέων, ἀπὸ τῆς χαροπότητος.

Χαρώνιον, θύρα μία τοῦ νομοφυλακίου, δι' ἧς οἱ καταδίκοι τὴν ἐπὶ θανάτου ἐξήγοντο.

Χάσις, διάκρισις, χώρησις.

Χάσιος, ἀγαθὸς, χρηστός.

Χάσκοντες, ἀνοίγοντες.

Χασκωρεῖν, περιβλέπειν.

Χασκῶν, πειρατῶν ὁ Διοσκουρίδης ἀναγινώσκει. ὁ δὲ Ἱπποκράτης, εἰρῆσθαι τὰς μήτρας, διὰ τὸ ἀνεστομῶσθαι.

Χάσμα, στόμα, ἢ σχίσμα γῆς.

Χάσμα θηρὸς, ὄψις θηρός. ἢ θαλάσσης πρόσωπον.

Χασσάμενος πελεμίχθη παρ' Ὁμήρῳ, ἀντιστρόφως ἔθηκε τὰ τοῦ λόγου, ὡς οἱ παλαιοί φασιν. ἐχρῆν γὰρ εἰπεῖν, ὅτι οὐδὲ πελεμιχθεὶς χάσατο, ἤγουν μετακινηθεὶς ὑπεχώρησε. καὶ ἔστι τοῦτο πρωθύστερον σχῆμα, ὃ καὶ ὑστερολογία λέγεται. τοιοῦτόν τι, τὸ χαίρειν ἥνπερ τυγχάνων ὑπεσχόμην, ἤγουν ἔτυχον ὑποσχόμενος, Σοφοκλῆς.

Χασιά, τὸν ἀπὸ δήμου. χασιεῖς γὰρ, δῆμος.

Χατέουσιν, ὅ ἐστι στερομένοις, χρῄζουσι, ποιητικὴ λέξις. ὅθεν καὶ χάτις, καὶ χῆτις, ἡ στέρησις, ἣν τινες καὶ χῆτος οὐδετέρως φασί. δῆλον δὲ ὅτι τὸ χατεῖν καὶ χατίζειν, παραγώγως λέγεται.

Χατίζεις, σημαίνει τὸ χρῄσεις, παρὰ τὸ ἔχειν αἰτεῖν. ὁ γὰρ χρῄζων, ἃ οὐκ ἔχει αἰτεῖ. ἢ ἐκ τοῦ αἰτῶ, τὸ ζητῶ καὶ χρῄζω.

Χαυλιόδων, κεχαλασμένους ἔχων τοὺς ὀδόντας, ἐξέχοντας. ἢ κατ' ἐναλλαγὴν τοῦ ρ εἰς τὸ λ. ὁ χαράσσων τοὺς ὀδόντας, καὶ στάχυων.

Χαυλίζων, ἀλαζόνα.

Χαῦνον, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ πλατὺ καὶ μέγιστον. τὰ γὰρ χαῦνα, εἰς πλάτος ἁπλοῦται.

Χαῦνος, παρὰ τὸ χαίνω χανὸς, ὡς φαίνω φανός. καὶ πλεονασμῷ τοῦ υ, χαῦνος, ὁ κεχηνὼς καὶ ἄπυκνος.

Χαυνάκων, χαυνοποιῶν. οἱ δὲ, χαυνολόγων.

Χαυνιάζει, πλανᾷ.

Χαύνωσιν, τὴν λύσιν τῶν δικῶν λέγει Ἀριστοφάνης ἐν ταῖς νεφέλαις, καὶ οἷον ἀπάτην. ἢ χαύνωσιν ἀναπειστηρίαν. ὅταν τοῦ ἀντιδίκου προβάλλοντος λόγους πιθανοὺς, εἰς τοὐναντίον τις αὐτοὺς περιτρέψῃ, καὶ χαύνους καὶ ἀσθενεῖς ποιήσῃ, διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστὰς, ὡς ἄρα ἀληθῆ λέγει.

Χαυῶνες, ἄρτοι ἐλαίῳ ἀναφυραθέντες.

Χάων, παρὰ Θεοκρίτῳ, ἤγουν ἀγαθῶν. χάα γὰρ τὰ ἀγαθὰ, παρὰ Λακεδαιμονίοις. χάον γὰρ τὸ εὐγενὲς, ἢ τὸ ἀρχαῖον λέγουσι.

ΤΟ Χ. ΜΕΤΑ ΤΟΥ Ε.

καὶ τῶν λοιπῶν, μεθ' ὧν συναρμόζεται.

Χέαντες, χέω, ὁ μέλλων χέσω, καὶ χεύσω. πλεονασμῷ τοῦ υ, καὶ χύσω, ἀποβολῇ τοῦ ε. ὁ ἀόριστος ἔχευσα. καὶ ἀποβολῇ τοῦ υ ἔχεσα. πάλιν ἀποβολῇ τοῦ σ ἔχεα, καὶ ἡ μετοχὴ ὁ χέας τοῦ χέαντος.

Χέδροπας, ὄσπρια. χέδροψ γὰρ, τὸ ὄσπριον. ἀπὸ τοῦ χειρίδροψ κατὰ συγκοπήν.

Χέζειν, τὸ ἀποπατεῖν. χεζητιῶν παρὰ Ἀριστοφάνει χέζειν ὀρεχθεὶς. καὶ χεζητιᾷς ὀρέγῃ χέζειν.

Χεά, καλιά λέξις ἐν ποιήσει, ἀπὸ τοῦ χῶ χέω τὸ χωρῶ. ὡς τὸ οὐδὸς ἀμφοτέρους. ὁ δὲ χείσεται, ἤγουν χωρήσει. ὁ διὰ διφθόγγου γράφεται, ὁμοίως τῷ χείσεται. λέγονται δὲ αἱ τοιαῦται χειαὶ τῶν ὀφίων, καὶ εἰλυοὶ, καὶ στόχμαιοι, καὶ αἱμασιαί. ἰστέον, ὅτι ὁ γράψας ὡς ἡ χειά, ἤγουν ἡ κατάδυσις τοῦ ὄφεως, παρὰ τὸ χεῖσθαι γίνεται, ἤγουν χωρεῖν. ἐπάγει, ὡς καὶ χείτιον ἐκεῖθεν, τὸ χωροῦν ἀστραγάλους. ὃ καὶ κείθιον Ἰωνικῶς λέγεται. καὶ ἄλλως χειὰ λέγεται ἐπὶ δράκοντος, φωλεὰ ἐπὶ θηρίων, ὀπὴ ἐπὶ μυρμήκων καὶ μυῶν. νεοττιὰ ἐπὶ μικρῶν ὀρνίθων. ἰλεὸς, ἐπὶ ὄφεως. σταῦλος ἐπὶ ἵππων καὶ κτηνῶν ἑτέρων. ἰδικῶς δὲ ἱππῶνες καὶ ἱπποστάσεις, καὶ ὀνοστάσεις, καὶ σταθμὰ ἐπὶ πάντων, καὶ κτηνοστασία. σηκὸς, ἔνθα ἐγκλείεται τὰ νεογνὰ, ὅταν αἱ μητέρες ἀμέλγωνται, ἢ εἰς νομὴν ἐκπέμπωνται.

Χειλιάστεες, αἱ φυλαί.

Χειλιάκρων. χειλαὶ, αἱ συμπτώσεις τῶν βλεφάρων.

Χεῖλος, παρὰ τὸ χέειν λόγους.

Χειλοῦται, μεγαλύνεται, αὔξεται.

Χειλῶνες, τῶν ἀλεκτρυόνων τινές.

Χειμάζει ἀμεταβάτως. καὶ χειμάζει τις ἐν τῷ δε τῷ τόπῳ, ἤγουν τοῦ χειμῶνος ἐνταῦθα διάγει. καὶ χειμάζει τις τὴν πόλιν, ἤγουν ταράττει.

Χειμάζει, ἀντὶ τοῦ τὸν καιρὸν τοῦ χειμῶνος ἔν τινι τόπῳ διαβιβάζει. καὶ χειμάζει, οὐ μόνον τὸ παραχειμάζειν, ἀλλὰ καὶ τὸ ἐνοχλεῖν.

Χειμάν, χειμῶνα.

Χειμάδα, ἱμάτιον χειμερινόν.

Χειμάμυνα, ἣν Ὅμηρος ἀλεξάνεμον λέγει.

Χειμήουσα, ἐψυχωμένη, ῥιγῶσα. παρὰ τῷ Ἱπποκράτει.

Χείμαρρος, κενὸς ὢν ἐν ἀνομβρίᾳ, πλήθει, ὑετοῖς, πλήρης γίνεται, ὅτε Διὸς, ὅ ἐστιν ἀέρος ὄμβρον καταρρίψαντος εἰς τὰς πεδιάδας, ἀναχέηται ἐξ ὀρέων ῥέων. ἐστὶ γενικὸν μέν τι ὁ ποταμὸς, εἰδικὸν δὲ ὁ χείμαρρος. ὃς γίνεται μὲν ἐκ τοῦ χειμάρροος, ἐξ οὗ κατὰ συγκοπὴν καὶ ἀνάδοσιν τόνου ὁ χείμαρρος, ἑρμηνεύει δὲ πλήθων ποταμός. τοιοῦτος γὰρ ἐρρέθη χείμαρρος.

Χίμαρος, ἔριφος, αἴξ. καὶ χίμαιρα, ἔριφος μέχρι τριῶν μηνῶν, ἢ τεττάρων. χίμαρος, ἐπὶ θηλυκοῦ ἕως ἐνιαυτοῦ, τουτέστιν ἕως ἂν τέκωσι καὶ ἀμελχθῶσιν. ἀφ' οὗ τέξεται ἡ χίμαρος, οὐκ ἔτι χίμαρος λέγεται, ἀλλὰ αἴξ, ἢ χίμαιρα. ταυτὸν γὰρ αἴξ καὶ χίμαιρα. ἐπὶ δὲ τῶν ἀρρένων, ἔριφος καὶ τράγος. οἱ δὲ Ποιηταὶ καὶ ἐπὶ τοῦ ἄρρενος, τὸν αἶγα λέγουσι, καὶ ἔστιν αὐτοῖς κοινὸν ὄνομα τὸ αἴξ, ὡς ἔλαφος, ἄνθρωπος, ἵππος. ὃ δὲ ἐπὶ τούτων ἔριφοι, τοῦτο ἐπὶ τῶν προβάτων ἄρνες, καὶ ἀμνοί. καὶ ὃ αἶγες ἐνταῦθα, τοῦτο ἐπ' ἐκείνων οἶα. ὃ δὲ τράγος ἐπὶ τούτων, τοῦτο ἐπ' ἐκείνων κριός.

Χίμαρος, ὁ τράγος. καὶ χίμαιρα ἐξ αὐτοῦ θηλυκὸν, ἡ ἐν χειμῶνί φασι κυρίως τεχθεῖσα.

Χείμαρος λέγεται πάσσαλος, ὁ ὑπὸ τὴν τρόπιν. οὗ ἐξαιρουμένου, τὸ ὕδωρ παραχωρεῖ. καλεῖται δὲ καὶ εὐδιαῖος. Ἡσίοδος, χείμαρον ἐξερύσκων, ἤγουν ἐκβαλών.

Χειμάροος, ποταμὸς παρακείμενον ἔχει τῷ γένει τὸ εἶδος. ὁμοίως τῷ βοῦς, ταῦρος, καὶ τοῖς ὁμοίοις, καὶ ἐντελῶς πέφρασται. ὅτε μὲν γὰρ μόνον χειμάροος λεχθῇ, λείπει τότε τὸ ποταμός.

Χείμαρροι λέγονται, οἱ μὴ ἀέναον τὸ ὕδωρ ἔχοντες, ἀλλὰ χειμῶνος πληρούμενοι ὑπὸ τῶν συνεχῶν ὄμβρων.

Χειμασία, ζάλη, ταραχή.

Χείμαστρον, χειμερινὸν ἱμάτιον.

Χείμεθλον, τὸ ἐν χειμῶνι γενόμενος ἕλκος.

Χειμερὰς, χειμερινάς.

Χειμεριοῦντες, διαχειμάσοντες.

Χειμεῶ, ῥιγῶ.

Χειμήβοτος, χειμερινὴ ὥρα.

Χειμὼν, ἡ ὥρα. καὶ κίνδυνος, ταραχὴ, ζάλη, διωγμός.

Χειμὼν, χειμάδιος τόπος. ἐφ' οὗ ἄντις δύναιτο χειμῶνος ἐγκαθορμίσασθαι.

Χεὶρ παχεῖα ἀνδρὶ γενναίῳ μᾶλλον ἐπιπρέπει ἢ γυναικὶ, ὅμως παρ' Ὁμήρῳ ἁπλῶς κεῖται παραρρίφθεν ἐπὶ Πηνελόπῃ ἐν Ὀδυσσείας φ.

Χεὶρ παρὰ τὸ ἔχω, τὸ κρατῶ. ἐτυμολογεῖται δὲ παρὰ τὸ ῥᾷον χεῖσθαι, ὅ ἐστι χωρεῖσθαι, ἢ διαχέειν.

Χεὶρ, ἡ δράξ, καὶ τὸ μέλος, καὶ μέρος.

Χειράδες, αἱ μετὰ λίθων καὶ ὅπλων βολαί.

Χειραγωγῶ, τῇ χειρὶ ἄγω.

Χεῖραι, αἱ ἐν τοῖς ποσὶ Ῥαγάδες. καὶ χειρόποδες, οἱ οὕτω τοὺς πόδας κατερρωγότες, οἷον ῥαγόποδες.

Χειραμὸς, σημαίνει τὴν κατάδυσιν, παρὰ Λυκόφρονι.

Χεῖρας ἀφέξει παρ' Ὁμήρῳ, διχῶς νοεῖται. ἢ γὰρ ὅτι οὐκ ἂν Φοῖβος τοῦ καθ' ἡμῶν λοιμοῦ τὰς ἑαυτοῦ χεῖρας ἀπόσχῃ, ἢ ὅτι οὐκ ἂν τὰς τοῦ ἀποτροπαίου Θεοῦ λοιμοῦ τὰς χεῖρας ἀποκωλύσῃ ἡμῶν.

Χεῖρας, νιψάμενος. Τηλέμαχος μέλλων εὔξασθαι, νίπτεται τὰς χεῖρας καθὰ Πρίαμος ἐν τῷ τέλει τῆς Ἰλιάδος. καὶ Πηνελόπη ὑδρυσαμένη καθαρὰ χροῒ εἵματα ἑλοῦσα, εὔχεται. ὡς ἀεὶ καθαρεύειν ἐν τοῖς Θείοις χρεὼν ὄν.

Χεῖρε, τὰς χεῖρας δυϊκῶς.

Χειρὶ ἐπιμασσάμενος, ἀντὶ τοῦ αὐτόχειρ ἁψάμενος.

Χειρίδες χειρῶν, ἤγουν τὰ τῶν χειρῶν καλύμματα ἐκ δερμάτων δηλαδὴ καὶ αὐτὰ ὄντα, ὧν ἡ παραγωγή, ὥσπερ κνήμη καὶ κνημὶς, οὕτω καὶ χεὶρ χειρίς. ἐξ ἧς καὶ ἐγχειρίδιον οὐ μόνον τὸ ξιφίδιον, καὶ τὸ μαχαίριον, καὶ τὸ βιβλίδιον, ὡς τὸ τοῦ Ἐπικτήτου ἐγχειρίδιον, ἀλλὰ ὡς Ἀθήναιος δηλοῖ, καὶ τὸ τῆς θαλασσίας κώπης κράτημα.

Χειριδωτὸς χιτὼν, ὁ ἔχων χειρίδας, ἤγουν μανίκια.

Χειρίζειν, διοικεῖν.

Χείριοι, ὑπήκοος, τιθασσὸς, χειροήθης. χρήσιμος καὶ χείριον, χειροηθὲς, ὑπήκοον, ὑποχείριον. ὥστε ἡ τοιαύτη γραφὴ ῥητορικῶς οἶδε καὶ τοὺς δούλους τοὺς ὑποχειρίους καλεῖσθαι.

Χείριστα, κάκιστα. ἀπὸ τοῦ χείρων χείριστος ὑπερθετικόν. χείρων δὲ κυρίως ὁ κατὰ χεῖρα ἥττων, εἰς ὁ ἄνθρωπος τῶν ἄλλων ζώων διαφέρει, τεχνᾶσθαι δυνάμενος, καὶ χειρότερος.

Χειρίων, ἐλάττων, χείρων.

Χειροβοσκὸν, τὸν διὰ χειρῶν ζῶντα.

Χειροβρῶτι δεσμῷ, τοῖς πυκτικοῖς ἱμᾶσι. διὰ τὸ τὰς σάρκας διακόπτειν, καὶ ἀναλίσκειν.

Χειροβλήματα, δράγματα. οἱ δὲ χειρόβληται.

Χειρογάστορες, οἱ διὰ τῶν χειρῶν ζῶντες.

Χειρογονία, ἡ Περσεφόνη.

Χειρόγραφον, συμβόλαιον, γραμματεῖον.

Χειροδίκαι, οἱ τῇ τῶν χειρῶν δυνάμει πεποιθότες, καὶ δι' ἑαυτῶν ποιοῦντες τὴν ἐκδίκησιν, καὶ τύπτοντες, τουτέστιν ἐν τῇ ἰσχύϊ τὸ δίκαιον ἔχοντες.

Χειρόδοτον, ἀχρημάτιστον δάνειον.

Χειροέργαστος, χειρουργός.

Χειροήθεις, ἥμερον, πρᾶον, ἢ διὰ τὸ χειρώδεις.

Χειροθετεῖ, χεῖρας ἐπιτίθησι.

Χειρόμακτρον, ἢ χειρόμαστρον, μανδήλιον.

Χειρόκμητα, ὑπὸ χειρῶν γεγλυμμένα, ἢ περιεξεσμένα.

Χειρόμακτρον, ὃ παρὰ Ῥωμαίοις καλεῖται μανδήλιον.

Χειρόμαντις, ὁ διὰ τῶν ἐν ταῖς χερσὶ γραμμῶν μαντευόμενος.

Χεῖρον, κάκιστον, ἔλαττον.

Χειρόνιπτρον, τὸ κατὰ χειρὸς ὕδωρ. Ἀριστοφάνης.

Χειρονομεῖν κυρίως ἐστὶ, τὸ νομᾶν διὰ χειρῶν. ὅθεν χειρονομία.

Χειρονομεῖν σκέλεσι, τὸ ποιεῖν τοῖς ποσὶν, ὅπερ ὁ χειρονομῶν.

Χειροπονία, ἑορτὴ ἐν ᾗ τεχνῖται θύουσι.

Χειροπόδες, ῥαγοπόδες.

Χειρὸς ἑλοῦσα, ἢ πέπλον, καὶ τὰ τοιαῦτα, Ἀττικά. ἀντὶ τοῦ ἐκ τῆς χειρὸς, ἢ τὸν πέπλον, ἢ τὰ ἑλεῖν, ἀντὶ τοῦ ἅψασθαι λαμβανομένου.

Χειρότερόν ἐστι, συγκριτικὸν τοῦ συγκριτικοῦ, τὸ γὰρ χεῖρον συγκριτικόν. ἐστὶ δὲ τὰ τοιοῦτον οὐδέποτε ἐν χρήσει παρὰ τοῖς κοινοῖς.

Χειροτονεῖν, καθιστᾶν, ψηφίζειν.

Χειροτονία, ἐκλογή.

Χειρουργεῖ, χερσὶν ἐργάζεται.

Χειρῶ, χειρῶ, τὸ κρατῶ. ὅθεν ἐχειρώσατο τὸν ἐχθρόν. ἐκ τούτου ἀχείρωτον, καὶ δυσχείρωτον.

Χείρων καὶ ἀρείων, ἀντίκεινται.

Χείρων, Ἀττικὴ σύγκρισις. ὡς τὸ ἐγὼ δέ σέθεν πολὺ χείρων. τὸ δὲ χειρότερος, ποιητικὴ λέξις κειμένη πανταχοῦ, κινήσασα συγκριτικῶς τὸ συγκριτικόν. οὐδὲν γάρ τι σημαίνει τὸ χείρων πλέον τοῦ χειρότερον. τοιαῦτα καὶ τὸ ῥήϊστερος, καὶ πλειοτέρη σὺν χειρὶ, καὶ τὰ ὅμοια.

Χειρωνάκτας, χειροτέχνας.

Χειρῶναξ λεὼς, ὁ χειροτέχνης.

Χείρων, Κένταυρος ὁ ἐν τῷ Πηλίῳ οἰκήσας, δικαιοσύνῃ ὑπερένεγκε πάντας ἀνθρώπους, καὶ ἐπαίδευσεν Ἀσκληπιὸν, καὶ Ἀχιλλέα. ἐφ' ὃν Ἡρακλῆς δοκεῖ ἐλθεῖν δι' ἔρωτα, ᾧ καὶ συνεῖναι ἐν τῷ ἄντρῳ, τιμῶν τὸν Πᾶνα. μόνον δὲ τὸν Κένταυρον οὐκ ἀνεῖλεν, ἀλλ' ἤκουεν αὐτοῦ, καθάπερ Ἀντισθένης φησὶν ὁ σωκρατικὸς ἐν τῷ Ἡρακλεῖ. χρόνον δὲ ἱκανὸν ὁμιλούντων αὐτῶν, ἐκ τῆς φαρέτρας αὐτοῦ βέλος ἐξέπεσεν εἰς τὸν πόδα τοῦ Χείρωνος. καὶ οὕτως ἀποθανόντος αὐτοῦ, ὁ Ζεὺς διὰ τὴν εὐσέβειαν καὶ τὸ σύμπτωμα, ἐν τοῖς ἄστροις ἔθηκεν αὐτόν.

Χειρωσάμενοι, καταγωνισάμενοι.

Χειρώσασθαι, ὑποτάξαι, φονεῦσαι.

Χειρωτὸν, ἁλωτόν.

Χήσεται, χωρήσει. ἀπὸ τοῦ χήω, τὸ χωρῶ.

Χεῖσθαι, καὶ τὸ ῥεῖν, κυρίως ἐπὶ ὕδατος λέγεται. ἀπὸ τούτου δὲ καὶ ἐπὶ παντὸς ἁπαλοῦ καὶ λείου. ὅθεν εὐθὺς λέγεται ἁπαλὴ καὶ περιρρέουσα.

Χεῖσθαι λέγεται, οὐ μόνον τὰ ὑγρὰ, ἀλλὰ καὶ στερεά. ὃ καὶ Ἀριστοφάνης ἐπὶ ἀμβροσίας ἔταξε.

Χελεὰρ, χελιδὼν, χελιδονίας. καὶ ἰχθύς ποιός.

Χελεὺς, χελώνη, κιθάρα.

Χέλειον, τὸ ἀπεστρακωμένον τῆς χελώνης δέρμα.

Χέλειος νῶτος, ὀστρακώδης.

Χελιδόνων μουσεῖα παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ βάρβαρα καὶ ἀσαφῆ. καὶ γὰρ παροιμία ἐπὶ τῶν βαρβάρων, καὶ πολυλόγων, καὶ ἐπαχθῶν ἐστι ταττομένη. τοιοῦτον γὰρ τὸ χελιδόνων γένος. πλέον διὰ τὸ πολὺ τῆς ᾠδῆς ἀνιῶν τοὺς ἀκούοντας, ἢ διὰ τὸ μέλος ἄφρασον. ἢ ὑποβαρβάρους χελιδόνων δίκην ἐμμούσους, οὐ μὴν ἐμμούσους, ὥσπερ σειρήνων, ἢ ἀηδόνων μουσεῖα. καὶ ἀλλαχοῦ, ἢ περιβρέμεται θρηϊκία χελιδών.

Χελιδόσι. τοὺς βαρβάρους χελιδόσιν ἀπεικάζουσι, διὰ τὴν ἀσυνήθειαν λαλιάν.

Χελιδόνιον, φάρμακον.

Χελιδόνεως, εἶδος ἰσχάδων.

Χελιδὼν, ἢ παρὰ τὸ τὰ χείλη δονεῖν, ἢ παρὰ τὸ τὰ χείλη οἰδαίνειν, ἢ παρὰ τὸ τοῖς χείλεσιν ᾄδειν. * καὶ τῶν γυναικῶν τὸ μόριον, καὶ τὸ κοῖλον τῶν ἵππων τῆς ὁπλῆς. ἔνιοι καὶ τῶν κυνῶν τὸ αὐτὸ μέρος. καὶ νόμισμα δὲ ἀργυροῦν Πελοποννησιακόν. καλεῖσθαι δὲ χελιδόνα, καὶ τοῦ ἀνθρώπου τὸ ἄνωθεν τοῦ ἀγκῶνος, τὸ κατὰ τὰς καμπάς. λέγεται δὲ χελιδὼν, καὶ ἡ ναῦς ἡ τοὺς εἰς Μασσαλίαν διακομίσασα. καὶ χρησμολόγος δέ τις τῶν πάλαι. καὶ ὁ Κλεοπάτρας κιναίδος.

Χελμὼν, ἰχθύς ποιός.

Χελόνειν, βήσσειν, καὶ χελύσσειν ὁμοίως.

Χελῦι, μουσικὸν ὄργανον.

Χέλυδρός ἐστιν, ἡ θαλασσία χελώνη, ὡς τραχύδερμον διὰ τὸ γῆρας.

Χελωὼ, χεῖλος, καὶ μέρος τῶν ἱερείων.

Χελωνάζειν, χλευάζειν.

Χελώνην ἐσθίειν, ἀντὶ τοῦ τὰ χείλη. Ἀριστοφάνης, οἱ γὰρ ὀργιζόμενοι ἐνδάκνουσι τὰ χείλη.

Χελύσκιον, ξηρὸν, ὑποκοριστικῶς εἴρηται. δηλοῖ δὲ τὸ βραχὺ καὶ ὀλίγον βηχίον. ξηρὸν δέ ἐστιν, ὅταν μηδὲν ὑγρὸν ὥσπερ ἀναχρεμπτόμενον εἰς τὸ στόμα παραγίνηται. παρὰ τῷ Ἱπποκράτει.

Χέλυσμα, τὸ προσηλούμενον τῇ τρόπῃ ξύλον, ἕνεκα τοῦ μὴ πονεῖν τὰ ξύλα, ἐν τῷ καθέλκεσθαι τὰ πλοῖα.

Χέλυς, ἡ λύρα λέγεται, ἧς χορδαὶ, τὴν ὅτε λίνεαι ἦσαν. καὶ Ἑρμῆς δέ φασι πρῶτος Ἀπόλλωνι σκευωρίαν μουσικὴν ἐξ ὀστράκου χελώνης ἐμηχανήσατο εἰς λύσιν μήνιδος τῆς ἐπὶ κλοπῇ τῶν ἐκείνου. διὸ καὶ χέλυς, ἡ αὐτὴ καὶ λύρα, τοῦτο μὲν ὡς οἷον λύτρα τίς, ἐκεῖνο δὲ ὡς ἀπὸ τῆς χελώνης. ἀφ' ἧς χελύω χελύσσω ῥῆμα. ὅθεν καὶ ἡ χέλυς.

Χελύουσα, ἐκπλέουσα, νηχομένη. καὶ γὰρ οἱ νηχόμενοι τοῖς χείλεσι τὸ ὕδωρ παραλείχουσι, κατὰ πλεονασμὸν δὲ τοῦ δ.

Χελώνη, τὸ ὑποπόδιον, καὶ Πελοποννησιακόν. καὶ ἡ στοὰ τῆς νεώς, διὰ τὸ ἐπικαμπές.

Χελωνίας, ἡ ποικίλη κανθαρίς.

Χελωνίδος, εἶδος τῆς θύρας τῆς σκηνῆς.

Χελῶνα, τὴν θαλασσίαν χελώνην οὕτω λέγουσί τινες.

Χελωνοφάγοι, ἔθνος τινές.

Χεμβρὼν, ζυγὴ, ἡ ἑταιρεία.

Χέννιον, ὀρνιθάριόν τι κατ' Αἴγυπτον ταριχευόμενον, καὶ εἶδος ἰχθύος.

Χέραβος, χάσμα γῆς.

Χεραδίως, ἀφθόνως.

Χεράδες, τὰ παραθαλάσσια σκύβαλα, παρὰ τὸ χεῖσθαι ῥαδίως. χεράδες λέγονται καὶ οἱ σωροὶ τῶν λίθων τῶν μικρῶν, τῶν καθ' ἕνα χειρὶ ληφθῆναι δυναμένων.

Χέραδος, κατά τινας ἀκαθαρσία πᾶσα συρρέουσα ἐξ ὕδατος, ὀνομασθεῖσα μιμητικῶς ἀπὸ τοῦ γενομένου ἤχου ἐν τῷ κατασύρεσθαι. οὐδετέρου δὲ γένους τὸ χέραδος, καὶ τὸ κίναδος, ἅπαξ ῥηθὲν ὑπὸ τοῦ Ὁμήρου. ἕτεροι δὲ χέραδος εἶπον, τὸ πλῆθος τῶν θαλασσίων, ἢ παραποταμίων ψήφων. ἄλλοι τὴν μετ' ὀστράκων καὶ λίθων ἰλύν, ἢ τῶν εἰς χερμάδας ἐπιτηδείων λίθων. τοῦτο δὲ ἀλλαχοῦ, ἄσιν καλεῖ, ὅ ἐστι ῥύπον ἐν ὕδατι ξηρὸν, ἢ συντομώτερον κατὰ τοὺς παλαιοὺς, τὸ ἐξ ὕδατος. τινὲς δέ φασιν, ὅτι συνωνυμοῦσιν, ἰλὺς καὶ ἄσις καὶ χέραδος. Πίνδαρος δὲ εἶπεν χεράδι παμφόρῳ, δίδωσι τοῦτο, ὅτι ἐστὶ καὶ ἡ χερὰς τῆς χεράδος, εἰ μὴ ἄρα φιλονεικοῦντές τις καὶ ἐκεῖνο οὐδετέρως κλίνει χεράδει, διὰ διφθόγγου, ὡς τῷ κινάδει, καθ' ὁμοιότητα τοῦ τεῖχος τείχει, καὶ βέλος βέλει.

Χερείων, ποιητικῶς ὁ χείρων. ἐκ τούτου χειρότερος, καὶ χείριστος, καὶ χείριστα κατὰ μετάπλασιν.

Χέρι, ἀντὶ τοῦ χειρί.

Χέρνα, ὀφείλει μὲν ἡ παραλήγουσα συγκοπεῖσα ἐκ τοῦ χερείονα γράφεσθαι διὰ τῆς ει διφθόγγου. νικᾷ δὲ ὅμως τὴν διὰ τοῦ η καὶ ι διφθογγον ἔχειν, κατὰ τὰ πλεῖω τῶν ἀντιγράφων. οὕτω καὶ τὸ χέρηϊ, καὶ χέρηες.

Χέρηϊ, χείρων κοινῶς, χερείων ποιητικῶς, τούτου ἡ δοτικὴ χερείονι. ἀφ' οὗ τὸ χέρηϊ κατὰ συγκοπὴν καὶ τροπῇ τῆς ει διφθόγγου εἰς η. ὁμοίως χέρηες.

Χέρης καὶ χείρονες, οἱ διὰ τῶν χειρῶν πορίζοντες τὸ ζῆν. ὡς καὶ οἱ χερνῆται.

Χέρμα, παῖσμα, χάλιξ.

Χερμάδιον, λίθος χειροπληθὴς, οὗ χεὶρ ἂν κινήσηται, ὅ ἐστιν ἐφάψηται. διὸ καὶ ὁ ποιητὴς, χειρὶ λάβεν ἔφη.

Χερμάδιον λέγει Ὅμηρος, τὸν χειροπληθῆ, καὶ ὅ ἐστι τὴν χεῖρα ἐπιμάσσεσθαι, ἤγουν ἐφάψασθαι, ὥστε καὶ καλύψαι δακτύλοις ἐν τῷ κραταιῶς αὐτοῦ ἔχεσθαι.

Χερμάδος πέτρας παρὰ Λυκόφρονι, ἐν ᾗ τὰ χοινία τῶν πλοίων δέδενται πρὸς τὸν αἰγιαλόν.

Χερμὰς λίθος, ὃν ἡ χεὶρ δύναται χωρῆσαι.

Χερνῆσι, πενιχραῖς γυναιξὶ, καὶ ἀπὸ χειρῶν ζώσι.

Χερνῆτις γυνὴ, Ἰλιάδος μ, ἡ πενιχρὰ, παρὰ τὸ ἐκ τῶν ἰδίων αὐτῆς χειρῶν τρέφεσθαι.

Χέρνιβα, οἷς τὰς χεῖρας νίπτουσι.

Χέρνιβα, τὸ ὕδωρ. ἀπὸ εὐθείας τῆς χέρνιψ. Δημοσθένης, καὶ χερνίβων καὶ κανῶν ἁψόμενον.

Χέρνιβα, τὰ εἰς χειρὸς νίμματα χεόμενα. ὃ μὲν ἡμεῖς ἐν τῇ συνηθείᾳ χέρνιβον φαμὲν, Ἀττικοὶ χερνίβιόν φασι. δόσω τις δεῦρο ὕδωρ καὶ σμῆμα, ἀπὸ τοῦ σμῶ, σμήσω. οὐ παράγωγον σμήχω, γίνεται σμῆμα, οἷς πολλάκις καὶ προσεδίδοτο καθαρτικὸν χειρῶν. τὸ δὲ μετὰ τὴν κάθαρσιν καταπεσὸν ὑγρὸν, ἀπόνιπτρον ἐκαλεῖτο. ἤγουν χειρῶν καὶ ποδῶν ἀπόνιμμα.

Χέρνιβον, Ὅμηρος μὲν ἀσυνήθως ἅπαξ εἶπεν, ἡμῖν καὶ συνήθως τὸ χέρνιπτρον, ὡς παρασημειοῦνται καὶ οἱ παλαιοί, ὅ ἐστι τὸ τοῦ ὑγροῦ ὑποδεκτικὸν ἀγγεῖον, ὃν λέβητα καλεῖν αὐτὸς εἴωθεν. ἄλλως μέντοι χέρνιβα λέγειν ἔθος αὐτῷ, τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ. πρόχοος δὲ, ὁ τὸ τοιοῦτον ὕδωρ χέων λέβης.

Χερνίβων, καὶ κανῶν ἁψόμενον. εἴη ἂν ἀπὸ τῆς ὀρθῆς τῆς χέρνιψ γενικὴ πληθυντικὴ, χερνίβων, τῆς γὰρ χέρνιβος μέμνηνται οἱ κωμικοὶ, καὶ παραλαμβανομένης εἰς τὰς θυσίας. ὁ γοῦν Ἀριστοφάνης ἐν ὄρνισί φησι, παῖ παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.

Χέρνησον, τὴν κατὰ Θρᾴκην κειμένην νῆσον Χερρόννησον λέγουσιν. ἦν δὲ πρότερον νῆσος. κεῖται δὲ ἀντικρὺ τῆς Τροίας, ἔστι καὶ ἑτέρα Χερσόννησος Καρίας. ἔνθεν ἦν Ἀλέξανδρος ὁ περὶ Καρίας γράψας.

Χερνῆτις, ἡ διὰ χειρῶν νήθουσα ἔριον τυχόν. ἀφ' οὗ καὶ ἡ ἔριθος. ταύτης δέ ἐστι καὶ ἀρσενικόν. φασὶ γοῦν οἱ παλαιοὶ χερνῆτις, λάτρις, χειροτέχνης ἀπὸ χειρῶν ζῶν. καὶ πάλιν χερνήτης, πένης χειρόβιος. (τοῦ.

Χερνίψαντο, μέσος ἀόριστος πρῶτος, ἀπὸ τοῦ χερνί-

Χερνίψουσι παρὰ Λυκόφρονι, ἀντὶ τοῦ σφαγιάσουσι, θύσουσιν, ἀπὸ μεταφορᾶς τῶν χερνίβων, οἷς καθαίρομεν τὰς χεῖρας. τὴν θυσίαν χέρνιβα εἶπεν, ὡς ἐκκαθαίρουσαν.

Χέρρονα, ἀντὶ τοῦ χείρονα λέγουσιν Αἰολεῖς.

Χερρόνησος, τῆς Θρᾴκης χωρίον καὶ πόλις ὑποτελὴς τῶν Ἀθηναίων, εὔφορος εἰς πυροῦ γεωργίαν, ὅθεν καὶ ἐσιταγώγουν Ἀθηναῖοι.

Χερσεία, ἐρημία.

Χερσιδάμας, καθὰ καὶ ὁ ἀδάμας, καὶ ὁ Ἀκάμας, καὶ ὁ Ἀθάμας κανόνι τοιούτῳ βαρύνεται. τὰ εἰς ας λήγοντα, ἐκτεταμένον ὑπὲρ δύο συλλαβὰς ὅτε ἔχει τὸ α παραλήγον βαρύνεται.

Χερ-

Digitized by Google

Χερρόνησος, γῆ ἧς θάλασσαν ἐκδέουσα, ἡ μήτε χέρσος, μήτε θάλασσα.

Χερσὶν ἀσπάζονται, ἀντὶ τοῦ ἐπισπῶνται, καὶ ἕλκον τῆς δεξιώσεως εἰς ἑαυτούς. καὶ τοιοῦτον ἀεὶ τοῖς παλαιοῖς ὁ ἀσπασμός ἐστι. καὶ νῦν πολλοῖς τῆς ἐξ ἐθνῶν ἰδεῖν ἐν τῷ ἀλλήλοις συναντᾷν, ἐφαπτομένους τῷ χειρὶ, καὶ τὰ τέθητε πλάζοντας, καὶ τὰς χεῖρας ἐπικυρῶντας, καὶ εἰς κύκλον περιάγοντας καὶ πεπλεγμένας ἠρέμα. καὶ ἔστι τοῦτο αὐτὸς ἀσπασμός: γινομένης δὲ τῆς λέξεως ἀπὸ τοῦ σπάσαι, καὶ κατὰ πλεονασμὸν τοῦ α. καὶ εἴρηται τὸ χερσὶν ἀσπάζεσθαι, πρὸς ἀντιδιαστολὴν τῆς λόγοις ἀσπαζομένων.

Χέρσος, ἡ ξηρὰ γῆ. ἄρυρα, ἡ προξιασμένη. κλίτον, τὸ ἔχον ἀτάχυας χωράφιον.

Χερσωθήσονται, ἐρημωθήσονται.

Χερῶτε, δένδρος δρυός.

Χεῦαι, ἐπιχέαι, καταχῶσαι, ἐπὶ τῆς πλάσματος.

Χεύμενοι, περιβαλλόμενοι.

Χεύοντες, ἀντὶ τοῦ χέοντες. αἱ προθέσεις τοῦ υ τῷ ε ἐπιφερομένῳ φωνήεντος, Αἰολέων ἐστί.

Χεῦε, ῥεῖ.

Χεῦμα, ῥεῦμα, ὕδωρ.

Χέω, καὶ ἐγχέω, ἐπὶ τῆς ὑγρῶν. χέω ἐν πρώτῳ προσώπῳ ὁ περισπᾶται, ἀλλὰ ἐν τῷ δευτέρῳ προσώπῳ καὶ τρίτῳ δέχεται τὴν συναίρεσιν. οἷον χέω, χέεις χεῖς, χέει χεῖ. ὁμοίως ἐν τῷ παρατατικῷ. οἷον ἔχεον, ἔχεες ἔχεις, ἔχεε ἔχει.

Χεῶ, χέω, χεύσω, πλεονασμῷ τοῦ υ. ὁ δεύτερος ἀόριστος, ἔχεον, ὁ μέλλων δεύτερος χεῶ. ἀόριστος παθητικὸς, ἐχέθην, ης, η, ἀλλ' ἡ μὲν ἐχέθην διὰ τὴν κακοφωνίαν. ὁ ἀόριστος ἐνεργητικὸς, ἔχεα, καὶ ἔχευα, ἀλλ' ἡ μὲν ἔχευα, ἡ δὲ ἔχευσα.

ΤΟ' Χ'. ΜΕΤΑ' ΤΟΥ' Η'.

Χη', εἶδος, ἀπορία.
Χῆ, καταχέας. παρὰ τῷ Ἱπποκράτει.
Χηίωνος, οἶκος.

Χηλαῖς, ῥάπτης, πλέκτης, ἡ ῥοφεύς.

Χηλεύματα, κράνη τὰ ῥαπτά, χηλὰς ἔχοντα τοιάς.

Χηλή, ὄνυξ. Ὧρος δὲ λέγει κυρίως τὴν χηλὴν, ἐπὶ τῆς διονύχων ζώων, χηλή τις οὖσα, παρὰ τὸ διεχίσθαι. ὡς ὁπλὴ, ἐπὶ τῆς μωνύχων.

Χηλινὸν, πλεκτόν.

Χηλοδευσεῖν, ἀδολεσχεῖν. οἱ δὲ τρίβειν.

Χηλὸν, κατὰ τοὺς παλαιοὺς, τὴν κιβωτὸν φασὶν οἱ Λάκωνες. Βυσσάλαι, λάρνακα, Μιτυληναῖοι δὲ, ἀντίπηγα.

Χηλὴν μηλὴν δίκρουν κατὰ ἄκρον ἐκτετμημένην, παρὰ τῷ Ἱπποκράτει.

Χηλώνη, μηχανὴ πολέμου.

Χηλώτια, αἱ ῥαφίδες τῆς δικτυοπλόκων.

Χήλωμα, τὴν διχιδῆ γλυφίδα τοῦ βέλους, ἣ προστιθέασιν ἐν τῷ τοξεύειν, τὴν νευρὰν τοῦ βέλους, παρὰ τῷ Ἱπποκράτει.

Χήμη, χάσμη. καὶ μεῖζον.

* Χήμωσις, ἡ ἐπὶ τῷ κερατοειδεῖ ἐρυθρὰ, καὶ σαρκώδης φλεγμονὴ, ἐπαρμα τοῦ περιοφθαλμίου ὑμένος, ὃ καὶ λευκὸν προσαγορεύουσι, πάθος ὅμοιον λευκῇ σαρκί.

Χὴν, γίνεται παρὰ τὸ χαίνειν, διότι τε βορὸς ἐστι, καὶ ὅτι ἰδίως αὐτὸ τῷ χηνὶ χαίνοντι τὸ στόμα, ὅτε ἢ θρασυνέται, ἢ δειλιᾷ.

Χὴν, κοινὸν ἐστι τῷ γένει. ἐστι δὲ καὶ εἰδικὸν, γίνεται παρὰ τὸ ἠχῇ, ὃ σημαίνει τὴν βοὴν, ἠχὴν, ἀφαιρέσει τοῦ η. κρακτικὸν γάρ ἐστι καὶ φωνητικόν.

Χηνίσκος, τὸ τῆς πρύμνας μέρος, ὃ ἀπήρτηνται αἱ ἄγκυραι, ὅ ἐστι τῆς ζωτίδος ἐστὶν ἀρχή. εἰσὶ δ' οἱ μᾶλλον τὸ τῆς πρύμνης ἔφασαν ἄκρον, πρὸς ὃ ἐπιζεύγνυνται αἱ ἐπωτίδες τῆς νεώς, πλὴν ὁποτέρως ἔχει. χηνίσκος ἐκλέγετο, ὅτι χηνὸς κεφαλὴν μορφοῦντες οἱ ναυπηγοὶ, ἐπίδοσαν τῷ ἄκρῳ. τοῦ ἔχει τὸ πλοῖον εἰς χῆνα ἀπηκάζοντες, ἢ τοῦ Φοινίκου χάριν, ὡς ἀβάττιστος αὐτοῖς ἡ ναῦς ἐφεῖτο τοῖς ῥόθοις χηνὸς ὑπερνήσαν τῆς κυμάτων.

Χηνίσκοις, ὄρνεα ποιά. ὅπερ ἔνιοι χηναλώπεκας.

Χηναομνύειν, ἔθος ἦν τὸ κατὰ τῆς τοιούτων ὀμνύειν τοῖς παλαιοῖς.

Χήνημα, κατημύκημα.

Χηνοβοσία, χηνοβοσκία.

Χηνύστρα, αὐτὴν τὴν χάσμην, καὶ τὸ στρατεύεσθαι.

Χηνυσεῖς, βοᾷς, κέκραγας. ἐνίοτε τραγγίζῃ.

Χήπτη, ἐν σπάνει καὶ χρείᾳ εἶ.

Χὴρ, ἐχῖνος.

Χήρα, ἡ ἐστερηθεῖσα τοῦ ἀνδρός. καὶ χηρεύει, ἀντὶ τοῦ ἐν χηρείᾳ διάγει. ἡ χῆραι, αἱ ἔρημαι, καὶ ἀνδρὸς μονωθεῖσαι. ἀπὸ τοῦ χηρῶ χηρώσω, σημαίνει τὸ ἐρημῶ, καὶ ἀφανίζω, καὶ ἐκπορθῶ.

Χηραμβεῖς, λεῖα, χηρῶν οἴκημα.

* Χηραμὶς, ἡ κοίλη κόγχη, ἣν μύακα καλοῦμεν.

Χηραμοὶ, οἱ φωλεοὶ τῆς θηρίων, καὶ αἱ καταδύσεις. σπήλαια.

Χηραμὸν, χῶ τὸ χωρῶ. ἐξ αὐτοῦ χηραμὸς, ὁ φωλεὸς καὶ κατάδυσις.

Χηραμὸς, κατάδυσις, ἡ κοίλη πέτρα. καθὰ ὁ Ποιητὴς ἐξηγᾶται, καὶ μέχρι δὲ ἄρτι πολλοὶ τῆς ἰθαγενῶν, καὶ μάλιστα τῆς κατὰ Πελοπόννησον χηραμοὺς τὰς παρὰ θάλασσαν ῥαγάδας πέτρας φασὶ κατά τινα παραφθοράν. ἑρμηνεύει δὲ Ὅμηρος λέγων, κοίλην πέτραν χηραμόν. κοίλη γὰρ πέτρα, ὁ χηραμός.

Χήρατον, χηρεία.

Χηρεύει, ἀντὶ τοῦ ἐν χηρείᾳ διάγει, καὶ ἀντὶ τοῦ μεμόνωται, καὶ κεχώρισται τῆς ἄλλων.

Χηρὴ ἴονοικον, παρὰ Ἀντιμάχῳ τὸν ἄπεκτον.

Χῆρον λέχος, ἤγουν ἔρημον.

Χηροπαίζουσα, διὰ χειρὸς ἔχουσα.

Χήρωσεν ἀγυιὰς παρ' Ὁμήρῳ, ὅ ἐστιν ἐρήμους ἀνδρῶν ἐποίησεν. ἔνθα ὅρα ὅπως τὸ ἐχήρωσεν οὐκ ἐπὶ λογικῶν, ἢ ὅλως ἐμψύχου τίθεται, ὅπου καὶ νῆσος ἔρημος, ἡ πρὸ τῆς Κυκλώπων χηρεύειν εἴρηται ἀνδρῶν. κυρίως μέντοι χήρα, γυνὴ ἡ μετὰ θάνατον τοῦ ἀνδρὸς, ἢ καὶ γάμου διάλυσιν μηδενὶ συνοικοῦσα. ὅπου καὶ χῆρος ἀνὴρ, ὁ μηκέτι γυναῖκα ἔχων, ὡς ὁ γραμματικὸς Ἀριστοφάνης φησί.

Χήρωσις εἰς γυναῖκα συστέλλεται. ἐξ οὗ καὶ χήρα ἡ τοιαύτη. ἐν γὰρ τῷ χήρωσεν ἀγυιὰς, μεταφορικῶς ἡ λέξις κεῖται. ὅτι δὲ τοῦ χήρα κοινῶς, καὶ χάρη Ἰωνικῶς προὔτειν ἀρσενικὸν ὁ χῆρος, ἀπὸ τῆς παλαιῶν ἔγνωσται. ὅρα δὲ καὶ ὅτι ἐν τῷ ἐχήρωσας, λέγει κοινότερον τὸ ἀνδρὸς, στιγηδὸν, διὰ τὸ πάνυ δῆλον. ὅπως ἐν τῷ ἐχήρωσας ἀγυιὰς, λείπει τὸ ἀνδρῶν, ἢ πολιτῆς, ἢ τοιοῦτόν τι. πολλαὶ δὲ καὶ ἄλλαι τοιαῦται ἐλλείψεις.

Χηρωσταὶ, οἱ μακρόθεν κατὰ γένος προσήκοντες, καὶ οἱ χηρεύοντες τοῦ οἴκου τῆς ἀγχιστείαν κληρονομοῦντες.

Χήτη, φασὶν οἱ παλαιοὶ δῆθεν ἔχει τὸ χῆτος. παρ' Ὁμήρῳ, χήτει ἐν εὐναίῳ κακὰ ἔχει ἀράχνια, συμβολικῶς ἐρρέθη, ἀντὶ τοῦ ἐστερημένη τῆς ἐγκοιμωμένων γίνει ἀράχνιον. ἤγουν ἠμέληται, διὰ τὸ μὴ εἶναι τὸν Ὀδυσσέα. ἕτεροι δὲ λέγουσι θηλυκῶς γίνεσθαι τὸ χάτει, ὁμοίως τῇ σπάνει.

Χητεία, χηρεία.

Χῆτος, ἔνδεια, στέρησις.

ΤΟ' Χ'. ΜΕΤΑ' ΤΟΥ' Θ'.

Χθαμαλὸς, ταπεινὸς, ἴσος, ὁμαλὸς, κοῖλος.
Χθαμαλώτερος, κατὰ σύγκρισιν.

Χθὲς, χθιζὸν, ἐχθές.

Χθεσιφωνῶν, κακολογῶν.

Χθιζά τε καὶ πρωϊζά, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ χθὲς καὶ πρωί. καὶ ὡς κατὰ ἐναγχος. συνεπείμενα δὲ φασι τὰς τοσαύτας χρόνους εἰς βραχὺ κομιδῇ, ὅπως τὸν προσδοκώμενον μηδὲν εἶναι νομίσωσι, καὶ ἅμα ἐξευτελίζων τὸ καύχημα τῶν Ἑλλήνων, ὡς εἰς μάτην τοὺς τοσαύτας χρόνους ἀνυσάντων.

Χθιζὸς, ὁ χθεσινός. καὶ χθὲς, καὶ ἐχθὲς, κεῖται παρὰ τῷ Ποιητῇ. καὶ ἀντὶ τοῦ ἐχθὲς, ὡς πρῶϊ χθιζὸς ἦλθεν, ἀντὶ τοῦ πρώην.

Χθιζὸς, ὁ χθεσινός. Ἀριστείδης, ὁ χθιζὸς ἡμῖν ἑσπέριος. καὶ ἐχθὲς, καὶ πρώην, ἐπὶ τῶν ἐναγχος Τ' πάντων.

Χθόϊος, καὶ χθόνιος, γήϊος, ἐπίγειος.

Χθόνιος Ζεὺς, ὁ ᾅδης.

Χθόνια, ὑπόγεια, κεκρυμμένα, βαρέα, φοβερὰ, μεγάλα.

Χθονίην, νεκρικήν. χθονήρεις, χθονίους.

Χθόα, σῶμα.

Χθόνια λύτρα, τὰ τοῖς νεκροῖς ἐπιφερόμενα, ἐκόμιζον γὰρ ἐπὶ τοὺς τάφους λύτρα.

Χθονίους, ἐναχίδας αὐτὸ χθόνας, καὶ οὐκ ἐπήλυδας.

Χθονίων, ἐπιγείων.

Χθονόπαιδα ὧραι. καθ' ὃ ἐκ γῆς αἱ ὧραι, τὰ φυόμενα ὡς ἡμέρα ἡλίου, καθ' ἱστορίαν.

Χθονός, γῆς.

Χθὼν, ἡ γῆ, ἀπὸ τῆς χύσεως.

Χθὼν παρὰ τὸ διαχεῖσθαι, καὶ χώννυσθαι δαπάσθαι, ἢ παρὰ τὸ χῶ, τὸ χωρῶ.

ΤΟ' Χ'. ΜΕΤΑ' ΤΟΥ' Ι'.

Χιάζειν, σιφνιάζειν.
Χιαὶ, ὑποδήματος ἀνδρείου εἶδος.
Χιαρὸν, χλιαρὸν, θερμόν.

Χιασὶ τεῖλαν, ὡς τῆς χίων καταπαγόντων, καὶ παρατιλομένων.

Χιδὰ, φελκτά.

Χιδαλέον, τυφλὸν, ἄγαμον, περφικός.

Χίδαδον, τὸ παιδίον.

Χίδαι, ἀντὶ τοῦ Κρῆτες.

Χιδᾶν, χιμάζεσθαι, δειλιᾶν.

Χιδρὰ, τὰς χύτας νεογενεῖς, ἢ τὰ ἐξ ὀσπρίων ἄλφιτα. ἢ σῖτος νέος φυτευόμενος. ἢ τὰ ὀσπριώδη σπέρματα.

Χίδρυ, ὄνομα δηλόν.

Χιδρῶν, νέων καρπῶν, καὶ θερμῶν.

Χιλαάγρα, ζωόφιόν τι.

Χιλίαρχος, χιλίων ἄρχων.

Χιλιοστὴ, τέλος ἀπὸ τῆς θυσίας.

Χιλὸς, θηλυκῶς λέγεται. σημαίνει δὲ τὴν τροφὴν, παρὰ τὸ ἔχειν τὸ σῶμα, τουτέστι κρατεῖν. ἢ παρὰ τὸ χεῖλος. χεῖλος δὲ ὁ χόρτος τῆς βοσκημάτων, παρὰ τὸ χεῖσθαι τὴν ὕλην.

Χιλοῦσθαι, παχύνεσθαι, σιτίζεσθαι.

Χιλωθῆναι, χιλίας δραχμὰς ζημιωθῆναι.

Χιλωτὴρ, τὸ τοῖς ὑποζυγίοις ἀπὸ κορυφῆς ἐξαρτώμενον, ἐν ᾧ ἡ τροφή.

Χιμάδιον, χειμώνος.

Χίμαιρα, ἡ ἐν χειμῶνι τεχθεῖσα. οἷον ἕνα χειμῶνα ἔχουσα.

Χίμαιρα, ἣν γυνὴ, θυγάτηρ Ἀμισώδαρος περὶ τόπον Λυκίας τοπαρχοῦντος. αὕτη ἀδελφοὺς ἔχει Λέοντα, καὶ Δράκοντα, καὶ τῆς τῆς Λυκίας εἰς βολὰς κατέχοντας, μετὰ τῆς ὑπ' αὐτοῖς, ἀνήρουν τοὺς παριόντας. διὰ γοῦν τὴν ὁμόνοιαν τρικέφαλον θηρίον τοῦτο ἐκάλεσαν, διὰ δὲ τὸ πολεμικὸν καὶ δραστήριον, πυρίπνουν. τούτοις ὁ Βελλεροφόντης ἀντιστὰς, μόλυβδον ἐμβάλλει τοῖς αὐτῶν στόμασιν. ἤτοι χαλινὸν δυσκίας, πρῶτον δὲ ὁ Λέων ἐπολέμει, ἐκ τοῦ ὄπισθεν δὲ ὁ Δράκων, κατὰ δὲ τὸ μέσον, ἡ Χίμαιρα ἦν, ὡς ἐκείνων ἀδελφή. ἄλλως τὴν Χίμαιραν νοητέον ὡς Ὅμηρος ὑπεμφαίνει, τοὺς Σολύμους, ἔθνος μάχιμον, οὓς εἴκαζε καὶ λέοντι, διὰ τὸ πρόσωπον γενναιοτάτους μάχεσθαι τοῖς Ἀμαζόνας, ἃς χιμαίρᾳ, ἤτοι αἰγὶ παρείκασε, διὰ τὸ κρημνοβατεῖν αὐτὰς δίκην αἰγῶν. καὶ ἐν κρημνοῖς κατοικεῖν τὴν ἐπὶ δρακοντὸς Λυκίων τὴν κατ' αὐτῆς, ἣν διὰ τὸ λαθραῖον, ὄφιν ἐκάλεσε.

Χίμαρος, σημαίνει τὸν τράγον.

Χίμετλα, τὰ ἀπὸ καύματος γινόμενα ἐν τοῖς ποσὶν, ἃ συμβαίνει ἀπὸ χειμῶνος γίνεσθαι. εἴρηται παρὰ τὸ ἐν χειμῶνι τλᾶν.

Χιονόβλητα, τὰ ὑψηλὰ τῆς ὀρῶν. ταῦτα γὰρ πληροῦσθαι συμβαίνει τὴν χιόνα πέφυκεν. ἠώδασι δὲ ταῖς νίφεσι τούτοις ἐπικαθῆσθαι.

Χιονία, λάχαν, ἢ φασιδή.

Χιονίζει, λάκαινα.

Χῖον, τὸν ἐκ Λακαίνης, ἢ ἐκ κύλικος λακαίνης οἶνον.

Χῖος,

Χῖος, ὁ τῆς Χίου πολίτης. Χεῖος ἀπὸ τοῦ χεῖος, ὡς Σάμιος, Λέσβιος.

Χιράδες, ἤτοι ῥαγάδες τῶν χειρῶν, τῇ ἀποβολῇ σαι τοῦ ε τῆς διφθόγγου, τὸ ἐκ τῶν χειρῶν δηλοῦσιν ἀπεληλυθός.

Χῖραι, αἱ ἐν ταῖς πτέρναις ῥαγάδες.

Χιραλέης, τὰς πόδας κατειργασμένας.

Χιτὼν τοῦ Διός, ὡς διά τι τεῦχος. ἤτοι δηλονότι πόλεμος ἐπίκειται εἶναι. διό φησιν, ἡ δὲ χιτῶνα ἐνδῦσα Διὸς τὰ χέρσιν εἰς πόλεμον θωρήσσετο.

Χιτών, ἐπὶ ἀνδρός. χιτώνιον δέ, ἐπὶ γυναικός. Ἀριστοφάνης ἐν πλούτῳ, καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον. Λουκιανὸς ἐν τῷ Λεξιφάνης, τίς οὐκ οἶδεν, ὅτι χιτώνιον μὲν γυναικὸς ἐσθής. γίνεται δὲ παρὰ τὸ χύω, οἱονεὶ χυτών τις ὤν, ὡς ἀμέσως αὐτίκα περικεχυμένος τῷ σώματι. ἢ καὶ ὡς μὴ σαθὸς, ἀλλ' οἷον χυτός τις, διὰ τὸ λεπτὸν, καὶ ὅλως ἁπαφές. διὸ καὶ μαλακὸς λέγεται, πρὸς ἀντιδιαστολὴν τοῦ φάρους. ἐκεῖνο γὰρ οὐκ ἐξ ἀνάγκης μαλακόν, ὡς καὶ τῇ ὑφῇ ἄκρος, καὶ διὰ τοῦτο πυκνὸν μᾶλλον, ἤπερ ὁ χιτών. καὶ ὅρα ὅτι λόγος μὲν μαλακός, ἐν τοῖς πρὸ τούτου ὁ μαλακοποιός, χιτὼν δὲ ὁ μαλακός, ὁ αὐτὸς ὢν ποιητός. σημειοῦνται δὲ οἱ παλαιοὶ ἐπὶ ἀνδρὸς τὸν χιτῶνα λέγεσθαι, καθάπερ τὸν πέπλον ἐπὶ γυναικός, ὡς καὶ αἱ βαθύπεπλοι, καὶ καλλίπεπλοι, ἡ κροκόπεπλος δηλοῦσι. καὶ δῆλον ὅτι οὐ χιτὼν πάντως λέγεται, τὸ ἐκ λίνου μὲν ὑφανθὲν, ἐπικείμενον δὲ αὐτίκα τῷ σώματι. εἴγε καὶ ἐξ οὐλῶν ἐρίων, χιτὼν λέγεται παρὰ τοῖς παλαιοῖς. διαφέρουσι δὲ χιτῶνες, καὶ χλαῖναι, ὅτι αἱ χλαῖναι τῶν χιτώνων παχύτεραι. διὸ καὶ ἀνεμοσκεπέες λέγονται, καὶ ἀπὸ τοῦ χλιαίνεσθαι παρετυμολογοῦνται. καθὰ ἴσως καὶ αἱ χλανίδες. ἡ μὲν δηλαδὴ καὶ αἱ χλαμίδες, ἃς ἐφαπτίδας φασὶν εἰρῆσθαι παρὰ τῷ εἰπόντι, ὅτι εἶχον πορφυρᾶς ἐφαπτίδας, πολλοὶ δὲ καὶ διαχύσεις ζώνας. εἶεν δὲ ἂν καὶ αὐταὶ χλαῖναι, ὡς ἀνεμοσκεπέες, καὶ ἀλεξάνεμοι, χιτὼν οὐκ ἐξ ἀνάγκης μόνον, ὁ τῆς σαρκὸς ἀμέσως ἐχόμενος, ἀλλὰ καὶ ἁπλῶς ἔνδυμα, πλὴν ἁπαφὲς καὶ ἁπαλόν, καὶ ὡς εἰπεῖν χυτόν, ἐξ οὗ παράγωγος ὁ χιτών. δῆλον μὲν καὶ ἐξ ἄλλων πολλῶν, οὐχ ἥκιστα δὲ ἐκ τοῦ ἱστορήσαντος, ὅτι τοῖς τὴν Σιδῶνα οἰκοῦσιν ἐπιχώρια ἦσαν τὸ φορεῖν ἀνθινοὺς χιτῶνας, οὓς ἐξωνοῦνται οἱ ἐκεῖ μίξαις πολυτελέσι. διὸ καὶ ἐκαλοῦντο ὑπὸ τῶν περιοίκων, μιξοχίτωνες, πρός τινα διαστολὴν. ἐπεί φησιν Ὅμηρος τὰς ἀζώνας ἀμφοχίτωνας καλεῖ.

Χιτών, ὁ ζωστός, καὶ γυναικεῖος. ὁ δὲ ἀνδρεῖος, χιτωνίσκος. ὅτινες ἐπενδύτην. τὸ δὲ βραχύ, χιτωνισκάριον. χιτώνιον δέ, καὶ χιτωνάριον, λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελές. Μένανδρος, λελυμένη γὰρ ἡ ἑτέρα, καὶ διαφανὲς χιτωνάριον ἔχουσα. Ἀριστοφάνης, ἐνδῦς τὸ γυναικεῖον τοδὶ χιτώνιον. τοῦτο Αἴλιος Διονύσιος, παρ' ὃ καὶ ὅτι χορταῖος, ὁ δασὺς καὶ μαλακὸς χιτών. καὶ πάλιν χορταῖος χιτών, ποδήρης, ἔχων χειρίδας. ἀλλαχοῦ δὲ ὅτι χιτῶνος εἶδος, καὶ ἡ ἐξωμίς. ἐξωμὶς γάρ φησι χιτὼν ἅμα καὶ ἱμάτιον, τὸ αὐτό. ἄλλος δέ τις ἱστορεῖ καὶ ὀρθοστάδιας χιτῶνας, λέγων ὅτι ὀρθοστάδιοι μὲν οἱ στατοί. συρτοὶ δὲ, οἱ συρόμενοι. ἐκ δὲ τούτων δῆλον, ὡς οὐ χωρεῖται ὁ χιτὼν κατὰ τοὺς ἐνστατικοὺς, ἐπὶ μόνου τοῦ προσεχῶς ἐπικεχυμένου τῇ σαρκί.

Χιτωνίσκον, τὸ ὑποκοριστικὸν τοῦ χιτῶνος. ἐπεὶ ἀρσενικῶς μόνως χιτὼν λέγεται, ἐπὶ δὲ οὐδετέρου χιτώνιος.

Χιών, ἐκ τοῦ χέειν. ὥσπερ καὶ ὁ χειμών, εἰ καὶ ὁ μὲν χειμὼν ἀλόγως φυλάξας τὸ ε τοῦ θέματος προσέλαβε τὸ ι. ἡ δὲ χιὼν κατ' ἄλλην ἀναλογίαν ἐξέπεσε τὸ θεματικὸν ε. ἔστι δὲ ἡ χιών, ἐμπαγὲς ὕδωρ ὑπὲρ γῆς.

Χιονοδήσονται, λευκανθήσονται, λαμπρυνθήσονται.

ΤΟ Χ. ΜΕΤΑ ΤΟΥ Λ.

Χλαβὸν, ἀβαφές.

Χλαῖναι καὶ ῥήγεα ἤχθετο, Αἰολικὸν σχῆμα καὶ Δωρικόν. καί εἰσι παρὰ Πινδάρῳ τοιαῦτα πολλά. Ἀττικὸς δὲ ἀνὴρ οὐκ ἂν οὕτω φράσοι, ἀλλὰ διὰ τὰς χλαίνας ἔρει ἄν, ἡ χθόνιο πληθυντικῶς. Ἄλλως.

Χλαῖναι, περιβλήματά φασιν ἦσαν κλίνης. ἐοίκασι δὲ καὶ διδιπλοῦσθαι, ὡς ἂν πλεῖον χλιαίνοιεν. ὧν πρὸς διαστολὴν, αἱ ἁπλοΐδες. οἱ δὲ τάπητες πολλαχοῦ φαίνονται ὑποκεῖσθαι κατά τι εἶδος στρωμνῆς. ὁποῖα ἴσως καὶ τὰ καλούμενα ἐπάρχια. διὸ καὶ ἡ πολλὴ ἐτυμολογία ἐκ τοῦ πατεῖσθαι αὐτὰ παράγει. εἰ δέ τις μάθοι ἐν τοῖς ἑξῆς τὸ δέμνια θεῖναι, καὶ ῥήγεα ἐμβαλεῖν, τορίσαιτ' ἐφύπερθε τάπητας, ἕτερόν τι νοήσει τὰς τάπητας, οὓς οἱ παλαιοὶ μεταβολαῖς λέξεων, ἐν πρὸς ἐν φράζοντες, ἐφαπλώματα ἑρμηνεύουσι, συγκροτήμενοι ἐκ τοῦ ἐφύπερθεν. λέγονται δὲ φασιν οἱ τάπητες, καὶ δάπιδες, παρὰ τὸ ἐν δαπέδῳ στρώννυσθαι. τὰ δὲ φάρεα γυναικῶν τε καὶ ἀνδρῶν ἱμάτια. χιτῶνες δέ, ἀνδρεῖα ἐνδύματα, καθὰ καὶ τοῦτο φασιν παλαιοί.

Χλαμὸς, χλαῖνα.

Χλαμυραὶ, τυφῶσαι, γρυπῶσαι.

Χλαμυρεὶς, ποῖα. ὁ κυρίως βρόμος.

Χλαμὶς πορφυρᾶ, ἡ χιτών.

Χλανίδιον. καὶ χλανίσκιον λέγομεν.

Χλανιτίδες, αἱ ὅρμοι παρθένων.

Χλανίδες, λεπτὰ ἱμάτια.

Χλάνος, τὸ περὶ τὰς ταχῆλας δάσος.

Χλαρὸν, κόχλαξ.

Χλαρὰ, ψαισὰ ἐν ἐλαίῳ.

Χλαρὸν, ῥυπαρὸν, λεπτὸν, τυχαλέον, ὠχρόν.

Χλεαίνεται, θερμαίνεται.

Χλεμερὸν, χλιαρὸν, θερμόν.

Χλεμύρον, χλοανθοῦν.

Χλεύαζε λέγε, καὶ χλεύη ἡ ἀπάτη, καὶ χλευασία, χλευασμὸς μηκέτι.

Χλευδὸν, χύδην, σωρηδὸν, πληθύοντα.

Χλήδης, σπάδων, θλαδίας, εὔνοχος.

Χληδὰ, φρίκη, ῥῖγος, τυφὴ, ἡ ἀγλαίσματα.

Χλῆδος ἀρσενικῶς, ὁ σωρὸς τῶν ἀποκαθαρμάτων, καὶ ἡ τῶν ποταμῶν, καὶ μάλιστα ἡ τῶν χειμάρρων πρόχυσις. ὁ καὶ χήραδος λέγεται διὰ τοῦ η.

Χλιαρὸν ὕδωρ, τὸ μήτε λίαν θερμὸν, μήτε πάνυ ψυχρὸν διὰ τοῦ ι.

Χλιδὸς, σακκοπάθνιον.

Χλιδῶνες, κόσμοι οὓς αἱ γυναῖκες περὶ τοῖς βραχίοσιν εἰώθασι φορεῖν, καὶ τὰς ταχήλας.

Χλιδωνόσαυρ, κλίδωνας παρὰ τὰς πόδας ἔχοντας. τουτέστι περισκελίδας.

Χλιδῶ, τὸ τυφῶ, καὶ βλακεύομαι. καὶ χλιδὴ, ἡ βλακεία, καὶ ἡ τυφή.

Χλιῶσαι, Ἀττικοί, οὐ χλιᾶναι.

Χλίη, θρύπτη.

Χλιερὸν, τὸ ἔνθερμον.

Χλόα, βοτάνη.

Χλοάζεσθαι, γασρίζεσθαι.

Χλοάζει τὸ λήϊον, ἤγουν ἀνθεῖ. καὶ χλοερόν. χλωρὸν δὲ κάλλιον.

Χλοάνοις, τοῖς κοιλάμασιν, ἐν οἷς ἀναχεῖται τὰ χωνευόμενα.

Χλοάουσι, βλαστήσουσι.

Χλοδὴ, ἔκλυσις, καὶ μαλακία.

Χλοιδᾶν, διέκκεισθαι καὶ τυφᾶν.

Χλοιδῶσι, θρύπτονται.

Χλόη, παρὰ τὸ φλέω, τὸ ἀνατέμπω φλόη, καὶ χλόη, ἡ ἐκ τῆς γῆς ἀνατεμπομένη, καὶ αὔξανουσα. ὅθεν καὶ χλοῦναι, οἱ σύαγροι, οἱ ἐν ταῖς χλόαις ἀναζόμενοι καὶ διατρίβοντες.

Χλοιοῦνται, ὥσπερ καὶ χλωραίνονται ἔλεγε, παρὰ τῷ Ἱπποκράτει.

Χλοηροῖσι λαχάνοις, τοῖς χυτιδίοις, παρὰ τῷ Ἱπποκράτει.

Χλοὸς, χλωρίασις, ὠχρότης.

Χλοωδὸς, ἰχθὺς ὑπὸ Ἰώνων.

Χλουνάζειν, κινυρέσθαι.

Χλοῦναι, λωποδύται, οἱ τῇ χλόῃ ἀναζόμενοι.

Χλούνης, καὶ μονιὸς, καὶ χαυλιόδους, ὁ ἄγριος σῦς λέγεται.

Χλούνω, κατὰ τὸ ἔτυμον χλοεύνην, τὸν ἐν τῇ χλόῃ ἀναζόμενον, ἀβαφῆ, ἢ τὸν ἀφελῆ. οἱ δὲ τὸν τομίαν. ἄλλοι δὲ τὸν ἐπὶ Χλεύῃ χωρίῳ οὕτω καλουμένῳ ἐνδιατρίβοντα.

Χλοῦς, ἡ χλωρότης, παρὰ τῷ Ἱπποκράτει.

Χλοῦνος, χρυσός. καὶ χλοῦς, ὠχρότης.

* Χλώρασμα. χλωρότης λαμπρὸν διαυγουμένη, καὶ ἐπὶ τὸ ὑδαρῶδες ῥέπουσα.

Χλωρεὺς, ὀρνιθάριον χλωρόν.

Χλωρεὶς ἀηδὼν λέγεται, ἢ ὡς ἐν χλωροῖς φασι διατρίβουσα, ἢ ὡς ἅμα τοῖς χλωροῖς φαινομένη. ἔαρος γὰρ φαίνεται. ἢ διὰ τὸ χρῶμα. διὸ φασὶ καὶ παρὰ Σιμωνίδῃ χλωραυχένες, αἱ ἀηδόνες λέγονται.

Χλωροὶ, τουτέστι τῷ ὠχροί. διὸ καὶ τὸν ὠχρὸν παράγεσθαί τινές φασιν ἐκ τοῦ χλωροῦ, μεταθέσει τοῦ ω, καὶ ἀποβολῇ τοῦ λ. ἀποτέλεσμα δὲ τοιαύτης ἐν πολέμῳ χλωρότητος, φυγή. διὸ ἐπάγει ὁ Ποιητὴς, πεφοβημένοι ἐν τῷ τοῦ Γλαύκου, ἤγουν φεύγοντες. ἴσιον δὲ ὅτι, οὐ μόνον ἐπὶ ὠχρότητος ἡ χλωρότης μεταφορικῶς τίθεται, διὰ τὸ χρῶμα, ἀλλὰ καὶ πρόσφατόν ἐστιν, ὅτε καὶ τὸ νεάζον δηλοῖ, διὰ τὸ ἐν τῇ χλόῃ νεοθαλές. οὕτω γὰρ χλωρὸς τυρὸς, ὁ νεοπαγής. ὥσπερ αὖ πάλιν ὁ μὴ τοιοῦτος εἴρηται ξηρός. λέγεται δὲ καὶ γόνυ χλωρὸν, ὁ νεαρὸν, καὶ διὰ τοῦτο θερμὸν, καὶ οὐχ οἷον ἔχουσιν οἱ ξηροὶ καὶ ἀλίβαντες. καὶ λόγοι χλωροί, ἀντὶ τοῦ ἀκμαῖοι, νέοι. ἀπὸ μεταφορᾶς τῶν καλάμων, οἳ ὄντες μὲν χλωροί, ἁπαλοὶ εἰσι, ξηραινόμενοι δὲ ξηροὶ καὶ σκληροὶ γίνονται.

Χλωρὸς, παρὰ τὸ χλοῦ καὶ τὸ ὥρα, ὃ σημαίνει τὴν μορφὴν, χαλαίωρος καὶ χλωρὸς, ὁ κεχαλασμένην ἔχων ὥραν.

Χλωρὸν δέος, χλωροποιὸν, σημαίνει δὲ τὸ νέον.

Χλωρότης, λαμπρὸν διαυγουμένη, καὶ ἐπὶ τὸ ὑδερώδες ῥέπουσα, παρὰ τῷ Ἱπποκράτει.

ΤΟ Χ. ΜΕΤΑ ΤΟΥ Μ, Ν.

Χμαίνει, ἱμείρει.

Χνάνει, λαμβάνει, κνίζει.

Χναῦμα, τὸ βρῶμα.

Χνεμύρεται, κισύρεται.

Χνιαρωτέρα, χνοωτέρα.

Χνισμὸς, νῆσις.

Χνίει, ψακάζει, θρύπτει.

Χνόαι, αἱ χοινικίδες, αἱ τοῦ ἄξονος σύριγγες. χνόη, ὁ τῶν ποδῶν ψόφος.

Χνόος, ἡ ἀκαθαρσία, κατὰ τοὺς παλαιούς. ἤγουν ἐν ἄλλοις, ἀλὸς ἄχνη.

Χνόος, ὁ χνοῦς τοῦ γενείου ἀρξαμένου.

Χνοῦς, τὰ λεπτὰ τῶν ἀχύρων.

ΤΟ Χ. ΜΕΤΑ ΤΟΥ Ο.

Χοαὶ, θυσίαι, καὶ τὸ μελίκρατον, καὶ ἔλαιον.

Χοανεῦσαι, χωνεῦσαι.

Χοάνη, χώνη, τύπος εἰς ὃν μεταχεῖται τὸ χωνευόμενον.

Χόανος. φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων.

Χοάρβυνα, τὰ γράμματα.

Χοὰς, τὰς σπονδὰς τῶν νεκρῶν.

Χοᾶσθαι, καυχᾶσθαι.

Χοάσομαι, ἐπίξομαι.

Χόασπις, ποταμὸς Ἰνδίας.

Χοδιτάειν, ἀποπατεῖν.

Χόδανον, τὴν ἕδραν.

Χόες, ἑορτή τις, παρ' Ἀθηναίοις ἀγομένη Ἀνθεστηριῶνος δωδεκάτη. φησὶ δὲ Ἀπολλόδωρος Ἀνθεστήρια μὲν καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν Διονύσῳ ἀγομένην, κατὰ μέρος δὲ πιθοιγία, χοᾶς, χύτρας.

Χοεὺς, ἐκ τοῦ χέειν, τοιοῦτοιο εἶδος. ἡ κλίσις χοέως χοῶς, ὡς πηρέως, ἱερέως. καὶ χοῦς ἐκ τοῦ αὐτοῦ ῥήματος ὁ αὐτὸς χοεύς, καὶ μόνον ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς. οἷον ζωμὸν τε φέρει ἐν χοῒ χρυσῇ. αὐτὴ δὲ καὶ πρόχους κατὰ συνήθειαν λέγεται. οἷον φιάλην τε λεπτὴν χρυσίου τε πρόχουν.

Digitized by Google

χοῦν. τοῦ χοέως, ἡ αἰτιατικὴ χοᾶ, ὡς τὸν Πειραιᾶ.
Χοή, εἶδος μέτρου. ἐπὶ ὑγροῦ Ἀττικοὶ λέγουσιν. Ἀριστοφάνης ἐν Πλούτῳ. ἓξ χοὰς χωρήσεται.
Χοῇ χέεσθαι, τρόπος ἐστὶν ἐτυμολογίας. οἰκεῖον δὲ νεκροῖς ἡ χοή, ὑμῖν ἡ σπονδή, ἢ ἡ λοιβή. χοὴ θηλυκῶς, καὶ κλίνεται τῆς χοῆς.
Χοΐ, χώματι.
Χοίνικες, αἱ βαθεῖαι πέδαι, καὶ αἱ ἀπὸ μέρους τροφαί.
Χοινίκη τοῦ τροχοῦ, ἐν ᾧ στρέφεται ὁ ἄξων.
* Χοιράς ἐστι σὰρξ ξηρὰ καὶ δύσλυτος.
Χοῖνιξ, μέτρον τι καὶ πέδη, καὶ νάρθηξ.
Χοιρίνημα, τὸ χοιρίδιον.
Χόϊνον, ποτήριον χαλκοῦν.
Χοίας, τὸ ἀθροῖσαι.
Χοϊκός, πήλινος, γήϊος.
Χοιράδες, πέτραι περὶ τὸν Ἑλλήσποντον, ἃς ἐμυθεύοντο συνέρχεσθαι ἀλλήλαις, καὶ εἴργειν τὰς ναῦς εἰσιέναι εἰς τὸν Εὔξεινον πόντον. διὰ διφθόγγου.
Χοιρίδιον, τὸ γυναικεῖον αἰδοῖον λέγουσι.
Χοιρίναις, ἀντὶ ψήφων οἱ δικασταὶ ἐχρῶντο. αὗται δὲ κογχαί τινες θαλάσσιαί εἰσιν, ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσι. χοιροκομεῖόν ἐστιν, ἀγγεῖόν τι κανονωτὸν, ὅπου οἱ χοῖροι τρέφονται.
Χοῖνιξ. λέξις δίσημος ἐπί τε σκεύους τοῦ μετροῦντος, καὶ τοῦ μετρουμένου πράγματος. οὗτος δὲ καὶ μέδιμνος, καὶ τὸ τάλαντον, καὶ ὁ ξέστης, καὶ ἕτερα πολλά. ἡ χοῖνιξ, σκεῦός τι μετρητικὸν σιτηρῶν, μεῖζον τοῦ παρὰ τοῖς παλαιοῖς καλουμένου μέτρου. ἐκ τούτου παρὰ τοῖς ὕστερον, καὶ δεσμὸς ποδῶν ἐκαλεῖτο χοῖνιξ, καθ' ὁμοιότητα ἴσως τῆς κατὰ τὸ σκεῦος στρογγυλότητος. οἱ δὲ παλαιοὶ ἁπλῶς οὕτω φασὶ, χοινίκαι, παχεῖαι πέδαι, ὧν δὴ θεία ἡ χοινίκη παρονομασθεῖσα ἐκ τῆς χοίνικος.
Χοιρογρύλλιος, ὁ ἐχῖνος.
Χοιροκομεῖον, λεπτόν τι πλεκτὸν, ὡς ὀρνιθοτροφεῖον.
Χοιροθλὶψ, ὁ τὸ γυναικεῖον αἰδοῖον ἀποθλίβων. ἢ παρὰ τὰς χοιρίνας, ὡς φιλοδικαστὴν, τὰς χοιρίνας πιέζοντα κωμῳδεῖν.
Χοῖρος, καταφερὴς εἰς ἀφροδίσια. ὅθεν κατὰ Αἴλιον Διονύσιον καὶ κάπραινα γυνὴ, ἡ ὀργῶσα πρὸς μίξεις. χοῖρος καὶ χοιρίδιον καὶ παρὰ τῷ Ἀριστοφάνει. νῦν δὲ χοῖρος φαίνεται, νῦν σαφῶς σημαίνει, ὅτι χοῖρος, τὸ γυναικεῖον αἰδοῖον λέγεται. ἔστι δὲ καὶ κύσθος.
Χοῖρος, καὶ σῦς, ἐπὶ παντὸς χοίρου λέγεται. ὀλάδες τὰ ἔντερα. χόλικες δὲ, αἱ τῶν βοῶν κοιλίαι. Ἀριστοφάνης Βαβυλωνίοις, ἢ βοϊδαρίων τὶς ἀπέκτεινε χολίκων ἐπιθυμῶν.
Χοῖρος καὶ σῦς καὶ ὗς, ἐπὶ παντὸς χοίρου. χλούνης δὲ, καὶ μονιὸς, καὶ χαυλιόδους, καὶ ἔτι κάπρος, ὁ ἄγριος σῦς. ἔστι δὲ τὸ μὲν χλούνης, καὶ μονιὸς, καὶ χαυλιόδους Ποιητῶν. τὰ δὲ ἄλλα λογογράφων.
Χοῖροι τῇ Δήμητρι καὶ τῷ Διονύσῳ ἐθύοντο, ὡς λυμαντικοὶ τῶν Θεοῖν δωρημάτων.
Χοιροσφάγος, θύτης.
Χοιροτροφεῖον, περίζωμα γυναικεῖον, καὶ συφάγον.
Χοιροφόρημα, χοιρίδιον.
Χολᾷ, ὀργίζεται. χολᾶται ἐκ τοῦ χολὴ γίνεται χολάω χολῶ. ἐκ δὲ τοῦ χόλος. γίνεται χολώσω ὅθεν χολωθεὶς, ὀργισθείς. χολὴ καὶ χολά, ἐπὶ μανίας.
Χολάδες, τὰ ἔντερα λέγει Ὅμηρος, ἐπεὶ εἰς αὐτὰ συρρεῖ ἡ ξανθὴ χολὴ, καὶ διαθερμαίνουσα ἐρεθίζει τῇ δριμύτητι ἀποκρίνειν τὰ περιττά.
Χολάδες, οὐ μόνον παρὰ τὴν ξανθὴν χολὴν, ἀλλὰ παρὰ τὴν κοιλότητα, ὥς φασιν οἱ παλαιοὶ, οἱονεὶ κοιλάδες τινές. κοῖλα γὰρ καὶ τὰ ἔντερά εἰσιν, ἢ καὶ ὡς τῆς τροφῆς, ἣν χόλον λέγεσθαι δηλοῖ Ἀθήναιος αὐτόθι, καταναλώσης ὡσανεὶ κολάδες τινές.
Χολαδία, τὸ χολάζειν.
Χολαίνω, σκάζω, σκιμβάζω.
Χολάονται, ἀνθοῦνται.
Χολαργεὺς, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. καὶ χολαργία, καὶ χολαργεὺς.
Χολὰς, ἑορτὴ Διονύσου.

Χολέρα, ἔκκρισις κάτωθεν διὰ γαστρὸς, καὶ ἄνωθεν διὰ στόματος ἔμετος.
Χολήϊον, χολῆς ἀγωγὸν, παρὰ τῷ Ἱπποκράτει.
Χολή, μανία, πικρία.
Χόλικας, τὰ τῶν βοῶν παχέα. ταῦτα οὐκ ἱεροῦτο, ὡς τὸ ἄλλο σῶμα. τινὲς δέ φασι χόλικα, εἶδος ἰχθύος.
Χόλικες, τὰ παχέα ἔντερα. χόλικος δὲ καὶ ἤνυστρου, παρὰ τῷ Ἀριστοφάνει ἐκ παραλλήλου τὸ αὐτό. ταῦτα δὲ ἐγκατώδη κρέατα. ἤνυστρον δὲ, ἡ κάτω κοιλία.
Χόλιξι, κοιλίαις.
Χολοβαφίον. τοῦτο λέγεται ἅμα μὲν ὅτι τὰ φαῦλα βαφέντα χολῇ βάπτεται, ἅμα δὲ τὰ χρυσῷ ἐμφερῶς βεβαμμένα.
Χολόβαφα, τὰ χρυσῷ ἐμφερῶς βεβαμμένα.
Χολόεν, πικρὸν, χολοποιόν.
Χόλον ἐξακέσατο, παρ' Ὁμήρῳ, νόσος μὲν γάρ. οἷον τὸ χολοῦσθαι. τὸ δὲ παύεσθαι τοῦ χόλου, ἀκέσασθαί ἐστι.
Χόλος καὶ μῆνις παρ' Ὁμήρῳ, ἢ διεσταλμένα κατὰ σημασίαν, ὃ καὶ κρεῖττον εἰπεῖν, ἢ καὶ ἄλλως ληφθέντα, ὡς ἰσοδυνάμα. ὁμοίως τὸ πόλεμόν τε, μάχην τε, καὶ θάνατόν τε, μόρον τε.
Χόλος ἐστὶν, ὀργὴ διοιδοῦσα.
Χολοῦται, πικραίνεται, θυμοῦται.
Χολωσέμεν καὶ χολωσέμεναι, ἐκ τοῦ χολώσειν. οἱ γὰρ Δωριεῖς ἀποβολῇ τοῦ ι τῆς εις ην ἀπαρεμφάτων καὶ προσθέσει τῆς μεν ποιοῦσιν εἰς εμεν τὰ ἀπαρέμφατα. οἱ Αἰολεῖς δὲ, εἰς εμεναι, οἷον τύπτειν τυπτέμεν τυπτέμεναι Αἰολικῶς. χολώσειν, χολωσέμεν, χολωσέμεναι.
Χονδράς, χορδάς.
Χονδρεῖον, πίναξ, κέραμος.
Χονδρεύει, σεμίδαλιν ποιεῖ.
Χονδρίλη, ἄγριόν τι λάχανον.
Χονδροκόπια, μύλων, ὅπου ὁ χόνδρος κόπτεται.
Χόνθρος, τραγανός. οὗτος ὁ ἅλιξ, ὁ παχὺς, ἢ μωρός.
Χόνος, ποτήριον χαλκεῖον.
Χοραγείων, διδασκαλείων.
Χορδεύματα καὶ χορδαὶ, καλοῦνται τὰ ἔντερα.
Χορδή, παρὰ τὸ χορδεύειν. χορδὴ δέ ἐστι τὸ λεπτὸν ἔντερον, ὃ εἰώθασι πλέκειν οἱ μάγειροι. χορδὰς καλοῦσι τὰ ἔντερα τῶν τετραπόδων. Ἀριστοφάνης, τάραττε καὶ χόρδευε. διαβάλλει ἐνταῦθα τοὺς στρατηγοὺς ταράττοντας καὶ χορδεύοντας, τουτέστιν εἰς πλοκὰς ἐμβάλλοντας τὴν πόλιν.
Χορδαψός, πάθος ἐντέρων.
Χορδεῦσαι, κακοποιῆσαι, τεμεῖν.
Χορδὴ καλεῖται, τὸ παχὺ ἔντερον τοῦ προβάτου.
Χορεία, ἀοιδὴ ἡ μετὰ χοροῦ λεγομένη ᾠδή. Ἀπολλώνιος, χορείῃ μέλψαν ἀοιδῇ.
Χορεῖον, διδασκαλεῖον, καὶ βωμός τις, καὶ αὔλημά τι, καὶ μέρος τι χωρίου, καὶ τὸ κάλυμμα τὸ συγγενόμενον ἐκ τῆς κοιλίας.
Χορεῖος, ἐκ τριῶν βραχειῶν τρίχρονος, οἷον λόγιος. καλεῖται δὲ οὕτως, ὅτι ἐν τοῖς χοροῖς μᾶλλον ἐχρῶντο τῷ τοιούτῳ μέτρῳ.
Χορεύει, μελῳδεῖ, βακχεύει, ὀρχεῖται.
Χορεύω, χορεία, χοροστάτης, χορηγός.
Χορηγεῖν, τὸ ἀφ' ἑαυτοῦ τινὰ διδόναι. ὅθεν καὶ χορηγεία, ἡ ἑκούσιος δόσις, καὶ εἰς τὰς ἑορτὰς γινομένη.
Χορηγῶ, τὸ ἀπ' ἐμαυτοῦ καὶ χωρὶς ἀνάγκης καταβάλλω.
Χορηγὸς, ὁ διὰ χειρὸς ἄγων.
Χορηγία, δόσις.
Χορηγὸν, παιδίον.
Χορηγὸς, διδάσκαλος, καὶ ὁ ἐπιδούς τι τῶν ἰδίων τοῦ χοροῦ ἐξάρχων.
Χόρια, τὰ τῶν ἀρνῶν καὶ ἐρίφων ἀγγεῖα. ἄλλοι τὰ μέλιτος καὶ γάλακτος γενόμενα βρώματα.
Χορίαμβος, ἐκ μακρᾶς καὶ δύο βραχειῶν, καὶ μακρᾶς ἑξάχρονος, οἷον διφορίων.
Χοροκάλη, καλῶς χορεύουσα.
Χοροίτυπος, ὁ χορευτὴς, ἤτοι ὁ τύπους ἐν τῷ χορεύειν τῶν ποδῶν ποιῶν, ἢ ὁ τύπτων τὸ ἔδαφος.
Χορὸς λέγεται, ὁ τόπος τῆς χορείας, καὶ τῆς ὀρχήσεως, καὶ τὸ χορευτικὸν πλῆθος. καὶ ῥῆμα τὸ χορεύειν.
Χορὸς, ἐνίοτε σημαίνει τὸ χορευτικὸν πλῆθος, ἐνίοτε δὲ τὸν τόπον τὸν τοῖς τοιούτοις ὑποκείμενον. ὡς τὸ τέτληγον δὲ χορόν. ἐνίοτε τὸ κατὰ τὰς τοιούτους χοροὺς ἔργον, ὅπερ ἐστὶ τὸ χορεύειν.
Χοροστασία, χορός.
Χοροῦ ἡγεῖται, χορὸν τρέφει.
Χορταιοβάμων, χορταιὸν τὸ ἔνδυμα τοῦ σειληνοῦ.
Χορτάσαι, παρὰ τὸ χόρτος, ἢ παρὰ τὸν χόρτον, τὸν παραβαλλόμενον τοῖς ὑποζυγίοις.
Χορταῖος, δασὺς χιτὼν, οἷος τῶν σειληνῶν.
Χόρτον, οὐρανοῦ τὸ περιτείχισμα.
Χόρτος, παρὰ τὸ ἐν τῇ χέρσῳ γίνεσθαι, ἢ παρὰ τὸ κείρω κόρτος καὶ χόρτος. καὶ χόρτος αὐλῆς, ὁ τῆς αὐλῆς ὅρος.
Χοῦαι, αἱ κατὰ ἀγροικίαν ἐπαγγελίαι.
Χουμὸν, χυλόν.
Χοῦν καὶ προχοῦν, Ἀττικοί. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ, ἠκρωτηριασμένους προχοῦν εἰς τὸ πέλαγος.
Χοῦς, ἡ λεπτὴ γῆ. κόνιος δὲ, ὁ κονιορτός. ὃ καὶ κονίσαλος λέγεται.
Χοῦς ἐστιν, ἡ παχυτέρα τῶν στοιχείων φύσις. οὕτω νοήσεις καὶ τὸ, εἰς χοῦν θανάτου κατήγαγέ με.
Χοῦς. Ἀριστοφάνης, οἴνου χοᾶ. χοῦς μέτρον Ἀττικὸν χωροῦν κοτύλας ὀκτώ. ἔστι δὲ καὶ ἑορτὴ Ἀθήνησι, κέκληται δὲ ἀπὸ τοιαύτης αἰτίας. Ὀρέστης διὰ τὴν τῆς μητρὸς ἀναίρεσιν, ἧκεν εἰς Ἀθήνας παρὰ τὸν Πανδίονα συγγενῆ καθεστηκότα, ὃς ἔτυχε τότε βασιλεύων τῶν Ἀθηναίων, καὶ αὐτὴν κατέλαβεν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα, ὁ τοίνυν Πανδίων παραπέμψασθαι τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγησάμενος, μὴ καθαρθέντος αὐτοῦ τῶν φόνων, ὡς ἂν μὴ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίνοιεν, ἑκάστῳ τῶν κεκλημένων παρέθηκε χοῦν.
Χουώμενος, λυπούμενος, ὀργιζόμενος.

ΤΟ' Χ'. ΜΕΤΑ' ΤΟΥ' Ρ'.

Χρᾶ, χρήζει, θεσπίζει.
Χραίει, κελεύει.
Χραίνει, μολύνει, σαίνει, χρίει, μιαίνει, ῥυπαίνει.
Χραιματίσαι, κράξαι ὡς ἵππος.
Χραιματισμὸς, ἡ τῶν ἵππων φωνή.
Χραισμεῖν, ὅ ἐστι βοηθεῖν, καὶ φυλάσσειν, χρησιμεύειν. χραισμῶ, ὁ δεύτερος ἀόριστος ἔχραισμον, τὸ ὑποτακτικὸν ἐὰν χραισμῶ, καὶ τὸ ἀπαρέμφατον χραισμεῖν.
Χραίσμετέ μοι, βοηθεῖτέ μοι, ἀπὸ βαρυτόνου τοῦ χραίσμω, ὡς βαίνω βαίνετε. τὸ γὰρ περισπώμενον, χραισμεῖτε.
Χρᾶναι, σκιάσαι, γράψαι, ἐπιτυχεῖν.
Χραίσμετέ μοι. τὸ γὰρ χραισμεῖν κλιτόριοι λέγουσι τὸ ἐπαρκεῖν. ἀπὸ βαρυτόνου δὲ κέκλικε τοῦ χραίσμω, ὡς βαίνω βαίνετε. τὸ γὰρ περισπώμενον χραισμεῖτε. ἄλλως, ἀντὶ τοῦ χραισμεῖν, τὸ ἐπαινεῖν, ἢ παραινεῖν λαμβάνουσι κλιτόριοι. κοινῶς δὲ, τὸ βοηθεῖν.
Χραμαδοῖλαι, χελῶναι, καὶ αἱ νωθρώταται τῶν κινῶν. οἱ δὲ τὰς κοχλίας.
Χραμβαλιαστὺς, γέλως ὁ μετὰ παιδιάν.
Χρᾶν, χρήζειν, μαντεύεσθαι, καὶ τὰ ὅμοια.
Χράνας, μιάνας.
Χρανιεῖσθαι, χρανθήσεσθαι ἐπικαυθήσεσθαι.
Χραῦσαι λέγεται, τὸ ἐπὶ πολῆς ξέσαι εἰς αὐτὸν τὸν χροῦν τοῦ σώματος, καὶ γίνεται ἐπενθέσει, ἤγουν πλεονασμῷ τοῦ υ, ἀπὸ τοῦ χράω. ὡς τὸ ἔχραε κήδην, καὶ μητέρι μοι μνηστῆρες ἐπέχραον. ὡς χράω χραύει, οὕτω καὶ λάω. οἷον ἀσπαίροντα λάων, καὶ κατὰ πλεονασμὸν λαύω. ἐξ οὗ καὶ τὸ ἀπολαύω, καὶ λαυκανίας, ὁ λαιμός. οὕτω καὶ ἄψω, αὔω τὸ πνέω, καὶ φωνῶ, καὶ ψάω ψαύω, καὶ ἐλάω ἐλαύω. ἐξ οὗ τὸ ἐλαύνω.
Χραύσῃ, ἀπὸ τοῦ χρῶ τοῦ σημαίνοντος τὸ ξέω παράγωγον χραύσω, Ἰλιάδος ε'.
Χραύσῃ, ἀντὶ τοῦ ἀμύξῃ, ἐπ' ὀλίγον τὸν χρῶτα ἐπιξύσῃ, ἢ προσεγγίζῃ ἀπὸ τοῦ χρωτὸς, οἷον προσχράσῃ καὶ προσξύσῃ.
Χραῦσις, ἄγκυρα μονόβολος.
Χρᾶται, μολύνεται, καὶ τὰ τοιαῦτα. οὐ χρῆται.
Χραύω, ἐκ τοῦ χράω γίνεται πλεονασμῷ Αἰολικῷ τοῦ υ χραύω. οἷον χραύσῃ μὲν τ' αὐτῆς ὑπεράλμενον.

μενον. καὶ ὅτι καὶ τὸ ἔχρηε, καὶ τὸ παρ' Ὁμήρῳ ἐνέχραεν εἰς τὸ πρόσωπον, καὶ τὸ ἐπέχραε, καὶ τὸ χραῦσαι, καὶ τὰ ἐκ τούτων, χρωτὸς καὶ χροὸς ποιὰν ἐπαφὴν δηλοῦσι. καὶ ὅτι ἐκ τοῦ χράω, χρῶ, παράγωγον τὸ χραίνω. κατὰ τὸ ῥῶ, ῥαίνω. χραίνειν δὲ ἀεὶ ἐπὶ ψόγου. κατὰ τὸ, ἄστυ κἀγορᾶς χραίνων κύκλον. οὐ μὴν καὶ τὸ μολύνειν τοιοῦτον, εἰς ὃ τὸ χραίνειν μεταλαμβάνεται, αὐτοῦ γὰρ τὸ μὲν μολύνων τὴν ὑπήνην, ψογερόν ἐστι. τὸ δὲ ἰχθιδίων, ἀποκνήσας τὰ χρανία, ἐμόλυνεν ἄλφιτρον, τεχνικόν ἐστιν. ὡς ἐπιτηγανίσματα γὰρ δηλαδὴ ἐρρέθη. καὶ τοιοῦτον μὲν τὸ χράω, καὶ χρῶ καὶ χραίνω. ἔστι δὲ καὶ ἑτέρα ὁμοία σχεδὸν εἰς παραγωγῆς ἐν τῷ χραύειν, ὅ ἐστι λίχνως ἐσθίειν, οὗ καὶ Ἀθηναῖος μέμνηται. οἷον πάντα ταῦτ' ἐπεχναιόμεν, καὶ ὁμοῦ τεχναύειν μαινίσι καὶ σηπιδια. ἔστι δὲ χάω, χῶ τὸ χωρῶ. ἐξ οὗ τὸ χαίνω, κατὰ τὸ χρῶ χραίνω, τὸ δὲ χάω, πλεονασμῷ τοῦ ν, καὶ Αἰολικῇ ἐπενθέσει τοῦ υ, γίνεται χναύω. ὡς δὲ ἐκ τοῦ εἰρημένου χῶ γίνεται καὶ ἡ χήμη, τὸ ὄστρακον, διὰ τὸ κεχηνέναι, δῆλον καὶ αὐτὸ ἐκ τῶν τοῦ Ἀθηναίου.

Χράω χρῶ, ἐνεστὼς, τὸ δανείζω, καὶ τὸ μαντεύω, ἔχραον ἔχρων παρατατικὸς, χρήσω μέλλων, ἔχρησα ἀόριστος. Ἀριστοφάνης, χρῆσον σὺ μάκτραν. χράομαι, χρῶμαι ἐνεστὼς ἐπὶ χρείας, ἐχραόμην ἐχρώμην παρατατικὸς, χρήσομαι μέλλων, ἐχρησάμην ἀόριστος, κέχρησμαι παρακείμενος. ἐχρησάμην παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ ἐδανεισάμην. ὡς τὸ, τί ἐχρησάμην.

Χρέα, δάνεια, μαντεύματα.

Χρεαγωγὸς, ὁ ὑπὲρ ἑτέρου τὸν ὀφειλέτην ἄγων.

Χρεία καὶ χρήσιμος, Ἀττικοί. ὁ χρεῖος δὲ, ἤγουν ὁ χρήσιμος. καὶ τὸ χρεῖον, Φιλοσόφων καὶ Ποιητῶν. Σοφοκλῆς, χρεῖ' ἢ λέγουν, ἤγουν χρήσιμα.

Χρείην, τὴν ἔνδειαν. ποτὲ δὲ καὶ τὸ χρέος.

Χρειοῖ, Ἰωνικόν. χρεία γὰρ κοινόν. ὁ δὲ Ἰωνίζων, χρειὼ λέγει. χρέος δὲ οἱ τραγικοὶ, πολλάκις δὲ καὶ χρῆμα.

Χρειὼ ἐμεῖο, ἡ χρεὼ, ὡς ἡ κλειὼ, καὶ ἡ κλωθώ. λέγεται καὶ χωρὶς τοῦ ι χρεὼ βουλῆς ἐμὲ καὶ σέ.

Χρειὼ, τὴν χρείαν φασὶν οἱ ποιηταί. Ὅμηρος, χρειώ με κατήγαγεν εἰς ἀΐδαο χρησόμενον Θηβαίου Τειρεσίαο. δηλοῖ καὶ τὸ κατὰ χρείαν, καὶ μοῖραν λεγόμενον, καὶ τὸ μέλλον.

Χρειῶ, τὸ χρησμωδοῦ, διὰ διφθόγγου. παρὰ γὰρ τὸ χρέος χρέω, καὶ πλεονασμῷ τοῦ ι χρείω.

Χρείων ἐξείης μαντευόμενος, πᾶσιν ἐφεξῆς καὶ τελείως, λέγει ὁ Ἀπολλώνιος.

Χρεμέδα, ἡ γῆ, ὡς Καλλίμαχος.

Χρεμετᾷ, ἠχεῖ.

Χρεμετίζειν ἐπὶ ἵππου. ὀγκᾶσθαι, ἐπὶ ὄνου. καὶ βρωμᾶσθαι, βρυχᾶσθαι ἐπὶ λέοντος. μυκᾶσθαι, ἐπὶ βοὸς, διὰ τοῦ υ ψιλοῦ, καὶ μωκᾶσθαι. μυκῆσθαι δὲ, ἐπὶ αἰγῶν διὰ τοῦ η. ἀφ' οὗ μηκάδες αἶγες παρ' Ὁμήρῳ. καὶ φριμάττεσθαι, ἐπὶ τῶν αὐτῶν διὰ τοῦ ι, καὶ φριμαγμός. γρυλλίζειν, ἐπὶ χοίρου, ὑλακτεῖν ἐπὶ κυνὸς, βαΰζειν, ἐπὶ τῶν σκυλακίων. βληχᾶσθαι, ἐπὶ οἴων. ὠρύεσθαι, ἐπὶ λύκου. ἐφ' ὧν δὲ οὐκ ἔστιν ἴδιον ὄνομα τῆς φωνῆς, οἷον ἄρκτου, παρδάλεως, καὶ τῶν τοιούτων. τὸ βρυχᾶσθαι λέγουσιν ἐπὶ τῶν μικροτέρων, οἷον ἀλωπέκων καὶ ζώων, τὸ ὑλακτεῖν καὶ καὶ γηρύεσθαι. βοᾶν δὲ καὶ φωνεῖν, καὶ Ποιητικῶς βωστρεῖν, ἐπὶ τῆς ἀνάρθρου φωνῆς τῶν ἀνθρώπων, καὶ ἀπὸ τούτου ἐπὶ τῶν μεγάλῃ φωνῇ καλούντων τινάς. λέγειν δὲ καὶ φθέγγεσθαι, καὶ διαλέγεσθαι, καὶ λαλεῖν, καὶ αὐδᾶν, Ποιητικῶς τὸ ἐνάρθρως λέγειν, ἤγουν τῷ προφορικῷ λόγῳ χρῆσθαι.

Χρεμετὶς, ὄνομα ποταμοῦ.

Χρέμπτειν, ὅ ἐστιν ἐν χρῷ πελάζειν, καὶ τὸ χρίειν. ἔτι δὲ καὶ τὸ χρώειν. ὅ ἐστιν ἐπιπίπτειν.

Χρεμὺς, ὁ ὀνίσκος ἰχθύς.

Χρεμψιθέατροι, οἱ εἰσιόντες εἰς θέατρον.

Χρεολυτήσων, χρεωδώσων.

Χρέοντες, προφητεύοντες.

Χρέος, οὐ μόνον ἐπὶ ὀφειλῆς, ὃ καὶ ἐξέτεινον οὐκ ὀλίγοι τῶν παλαιῶν, ἀλλὰ καὶ τὸ χρειῶδες πρᾶγμα. καὶ αὐτὴ ἡ χρεία. οἷον, ἦλθον Τειρεσίαο κατὰ χρέος, ἀντὶ τοῦ χρησμῴδημα.

Χρέος ὀφείλετο, καὶ τὸ χρεῖος ὄφειλον, τὸν χρεωφειλέτην συντιθέασι. τῆς αὐτῆς δὲ ἐννοίας ὄντα τότε ὀφείλειν, καὶ τὸ ὀφέλλειν. διαφέρει κατά τε προφορὰν, καὶ καθὸ οὐκ ἀεὶ ἐπὶ χρέους τὸ ὀφέλλειν, ἀλλὰ καὶ ἐπὶ ἁπλῶς αὐξήσεως τινός.

Χρεῦμα, ῥεῦμα.

Χρεὼ πάντας Ἀχαιοὺς ἐσθλῆς καὶ πυκινῆς βουλῆς, ἢ ἀντὶ τοῦ χρεία βουλῆς ἀγαθῆς, ἢ χρεία βουλῆς εἰς πάντας Ἀχαιούς. χρεὼ, Ἰωνικὴ λέξις, πεζῷ λόγῳ οὐ προσήκουσα.

Χρεώμενοι, πλεονασμὸν ἔχει τοῦ ε κατὰ τὴν ἀρχὴν, ὁποῖον καὶ τὸ μεμνέωτο. οὐ τὸ ἀπαθὲς δίχα τοῦ ε, ὡς δηλοῖ τὸ παρὰ Σοφοκλεῖ, οὐδαμῶς μεμνώμεθα.

Χρεώμενος, πλεονασμὸν ἔχει τοῦ ε κατὰ τὴν ἀρχὴν.

Χρεωστῶ, ὀφείλω, ὀφλισκάνει, ὄφλω.

Χρεὼν, ὅτε μὲν μετὰ ἄρθρου τίθεται ὄνομά ἐστι μονόκλιτον, ὥσπερ καὶ τὸ δέον, μετὰ ἄρθρου λαμβανόμενον, ὄνομά ἐστι. χωρὶς δὲ τοῦ ἄρθρου, ἐπίρρημα.

Χρεὼν γάρ ἐστι γενέσθαι τὸ δέ τι λέγομεν, σημαίνει γὰρ τὸ πρέπον, καὶ ὀφειλόμενον, καὶ ἀκόλουθον. μετὰ δὲ τοῦ ἄρθρου λαμβάνεται ἐπὶ θανάτου.

Χρεωφειλέτης, ὁ τὸ χρῆμα ὀφείλων.

Χρὴ, δεῖ.

Χρὴ δέ. οἶμαι νῦν γοῦν θεωρῆσαι, ὅπως τονοῦται τὸ χρὴ ῥῆμα ὂν, ὡς καὶ ἡ Ἑρμηνεία τούτου δηλοῖ. δοκεῖ γὰρ εἶναι ἀντὶ τοῦ δεῖ καὶ πρέπει. διὸ καὶ ὀφείλει περισπᾶσθαι κατὰ τὸ κνῆ τυρὸν, καὶ ξῆ, καὶ ψῆ κατ' ἄκρας πιλάδος παρὰ Σοφοκλεῖ. ἔτι δὲ ὡς δηλοῖ καὶ ὁ τούτου σύστοιχος ἐνεργητικὸς παρατατικὸς, ὁ ἐχρῆν. καὶ τὸ χρῆναι δὲ ἀπαρέμφατον, ὃ καὶ χρὴν μονοσυλλάβως λέγεται, παρά τε Εὐριπίδῃ, καὶ Σοφοκλεῖ. καὶ οὕτω μὲν ἐχρῆν περισπᾶσθαι τὸ χρῆ. ἴσως δὲ ὀξυτονήθη πρὸς διαστολὴν τοῦ χρῆ, ὅ ἐστι μαντεύεται. οἷον χρῆ μοι τοιαῦθ' ὁ Φοῖβος. εἰκὸς δὲ ἐκ τοῦ χρήζει ἀποκοπὲν αὐτὸ φυλάξαι τὸν ἐκεῖθεν τόνον. γράφουσι δὲ οἱ παλαιοὶ δίχα παραδειγμάτων, ὅτι πᾶσα λέξις δισύλλαβος ἐν ῥήμασιν, εἰ μὲν ἀπὸ τῆς ἀρχῆς πάθη ἀποκοπὴν, περισπᾷ τὴν καταλειπομένην. εἰ δὲ ἀπὸ τέλους, ὀξύνει αὐτὴν, ἐπιρρηματικῶς δηλαδὴ κατὰ τὸ ὠὴ, ὀτιὴ, καὶ κατὰ τὸ ὁμαρτὴ, ὅπερ ὀξύνει Ἀρίσταρχος. τῷ δὲ ῥηθέντι λόγῳ, καὶ εἴπερ ἐκ τοῦ χρῆμι χρῆς χρῆσιν, ἔπαθεν ἀποκοπὴν τὸ χρὴ, ὀξύνοιτο ἄν. ἔστι δὲ εἰπεῖν, καὶ ὥσπερ τὸ ἰδοὺ ῥῆμα. ὡς τὸ, ἰδοὺ με κἀνάθρησον, μεταπεσὸν εἰς ἐπίρρημα ἐξέπεσε καὶ τοῦ περισπᾶσθαι, οὕτω πῶς ἔπαθε καὶ τὸ χρή. καὶ εἴπερ ταῦτα πιθανῶς ἔχει, ἔχοιτο ἂν καὶ ἡ τοῦ ἀπόχρη βαρυτόνησις, ἀναδραμόντος τοῦ τόνου διὰ τὴν σύνθεσιν, ὅπερ ἐν ῥήμασιν οὐκ εἴωθε γίνεσθαι. ὡς δῆλον οὐ μόνον ἐκ τοῦ συνδεῖ καὶ ἀποπλεῖ καὶ τῶν ὁμοίων, ἀλλὰ καὶ τοῦ συμπεινῇ καὶ ἀποψῇ. ὡς δὲ ῥῆμά ἐστι κυρίως καὶ τὸ ἀπόχρη, φαίνεται ἀριδήλως ἐκ τῆς κατ' αὐτὸ συστοιχίας τοῦ ἀπέχρησε, καὶ ἀποχρῶν. ἐξ οὗ ἀποχρώντως ἐπίρρημα.

Χρὴ, ὀξυνόμενον ἐπίρρημα δηλοῖ κατὰ τοὺς παλαιοὺς, τὸ δέον ἐστί. περισπώμενον δὲ, ῥηματικόν ἐστιν ἀπὸ τοῦ χρῶμαι, οἷόν τι χρῆ τούτου. ἔστι δὲ καὶ ἐπὶ μαντείας, οἷον χρῆ μοι τοιαῦθ' ὁ Φοῖβος.

Χρή. Ὅμηρος, οὐδέ τί σε χρὴ ταύτης ἀφροσύνης. δηλοῖ μὲν τὸ οὐ σοι χρεία τοῦ ἀφραίνειν οὕτω.

Χρὴ, ἀντὶ τοῦ πρέπει, βαρύνεται. χρῆ δὲ περισπώμενον, ἀντὶ τοῦ χρησμὸν δίδωσι, καὶ χρᾶν ἀπαρέμφατον. χρᾷ γάρ ἐστι, καὶ τροπῇ τοῦ α εἰς η. χρῆ, καὶ ὁ μὲν Θεὸς χρῆ, ὁ δὲ ἄνθρωπος, μαντεύεται. χρῆ μοι τοιαῦθ' ὁ Φοῖβος, ἀντὶ τοῦ ἔχρησεν, ἀνεῖλε.

Χρήζω, ἀπὸ τοῦ χρέως γίνεται, ὅπερ ποιητικῶς λέγεται χρεῖος, καὶ κατὰ παραγωγὴν καὶ διάλυσιν καὶ τροπὴν τοῦ ε εἰς η χρηΐζω, καὶ χρήζω προσγεγραμμένου τοῦ ι.

Χρήζω, ἡνίκα σημαίνει τὸ χρείαν ἔχω, συντάσσεται γενικῇ, καὶ ἔχει τὸ ι προσγεγραμμένον, οἷον χρήζω πλούτου, καὶ χρήζω πλουτεῖν. χρήζω, τὸ θέλω αἰτιατικῇ.

Χρήζω σοι τόδε, ἀντὶ τοῦ δανείζω, δοτικῇ.

Χρήια, πενία, ἢ χρήματα.

Χρήϊος, πονηρός.

Χρῆμα, πρᾶγμα, ἢ κτῆμα. καὶ χρηματισάμενοι, διαπραξάμενοι. καὶ χρηματίζεσθαι, τὸ χρήματα πράττεσθαι.

Χρηματιεῖ, ποιεῖ.

Χρῆμα προϊκὸς γράφεται, ὥσπερ ἂν ἐρεῖς χρῆμα φρονήσεως, καὶ χρῆμα πολέμου, καὶ χρῆμα νοῦ, ἀντὶ τοῦ μέγεθος.

Χρηματίζει, ἀποκρίνεται, λαλεῖ, πράττει, χρήματα συλλέγει.

Χρηματισμὸς, ὀπτασία, νομοθεσία.

Χρῆμα τῶν νυκτῶν, τὸ μέγεθος τὸ ἐκτεταμένον. ἔθος τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον ἵππος σπάνιόν τι χρῆμα, καὶ γυνὴ σπάνιόν τι χρῆμα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Χρηματίζειν, λέγεται ἐπὶ Θεῶν. τὸ δὲ διαλέγεσθαι, ἐπὶ ἀνθρώπων.

Χρηματίζεσθαι, ἀντὶ τοῦ πλουτεῖν, καὶ ἀντὶ τοῦ χρήματα ἀπαιτεῖν, καὶ ἀντὶ τοῦ ὁμιλεῖν περί τινων μεγάλων. χρηματίζει δὲ ἐνεργητικῶς, ἀντὶ τοῦ καταλέγεται. χρηματίζει βουλῇ καὶ δήμῳ, καὶ ἀντὶ τοῦ ἀνταποκρίνεται τοῖς πρέσβεσιν. ἐχρημάτιζε, καὶ ἀντὶ τοῦ λόγους ἀλλήλοις διδόναι, ἤγουν δικαιολογηθῆναι. Ἀριστοφάνης, χρηματίζειν πρῶτα περὶ Εὐριπίδου, ὅτι χρὴ παθεῖν.

Χρηματίζω, τὸ ὑπάρχω. ὡς τὸ, δι' ὃν οὐρανὸς ἐχρημάτισε, καὶ τὸ χρηματισμοὺς δίδωμι, ἤγουν θείους λόγους. χρηματίζομαι δὲ παθητικῶς, τὸ χρήματα συλλέγω. ἀφ' οὗ χρηματιστής.

Χρή με ποιῆσαι πάντοτε λέγε, οὐ χρή μοι. καὶ Σοφοκλῆς ἅπαξ εἶπε. τὸ δὲ χρὴ, ἀντὶ τοῦ χρεία ἐστὶν, ἀπὸ δοτικῆς εἰς γενικήν. Εὐριπίδης ἐν Ὀρέστῃ, ὅταν δ' ὁ δαίμων εὖ διδῷ τί χρὴ φίλων τινὶ δηλονότι. ἔστι δὲ τοῦτο ποιητικώτερον.

Χρῆν, καὶ ἀντὶ τοῦ ἔπρεπε, κατὰ ἀφαίρεσιν τοῦ ε. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ, χρῆν δ' εὐθὺς εἶναι τὴν τοῖς πᾶσι δίκην, καὶ ἀντὶ τοῦ πρέπει. ὥσπερ τὸ προσῆκεν, ἀντὶ τοῦ ἔπρεπε, καὶ ἀντὶ τοῦ πρέπει ἐστὶν, οὕτω καὶ τὸ χρῆν, ἀντὶ τοῦ ἔπρεπε, καὶ ἀντὶ τοῦ πρέπει ἐστί. τὸ αὐτὸ γίνεται ἐπὶ τοῦ ἔδει χρῆν, καὶ ἐπὶ ἀπαρεμφάτου, ἀντὶ τοῦ πρέπειν. Εὐριπίδης ἐν Ἑκάβῃ, πότερα τὸ χρῆν σφ' ἐπήγαγεν ἀνθρωποσφαγεῖν. χρῶνται δὲ τούτῳ Ποιηταί. λογογράφοι δὲ τῷ χρῆναι ἀεί.

Χρῆναι, δέον εἶναι.

Χρῇς, θέλεις, χρήζεις.

Χρῆσαι, θεσπίσαι.

Χρησάμενος, χράομαι, χρῶμαι, ὁ μέλλων χρήσομαι, ὁ μέσος ἀόριστος ἐχρησάμην, ἡ μετοχὴ ὁ χρησάμενος. ἰστέον δὲ, ὅτι τοῦτο ἐπὶ μὲν τῶν ἐνεργητικῶν δηλοῖ τὸ μαντεύειν. ἐπὶ δὲ τῶν παθητικῶν, τὸ χρείαν ἔχειν, καὶ συντάσσεται ἀεὶ δοτικῇ.

Χρυσηῒς, οὐκ ἐκ τῆς Χρύσης πόλεως ᾐχμαλώτισται, ὥσπερ ἄν τις ὡς εἰκὸς ὑπολάβοι, ἀλλὰ ἐκ τῆς ὑποπλακίου Θήβης, ἀποσταλεῖσα παρὰ τοῦ πατρὸς Χρύσου, ὡς εἴς τι χρησφύγετον ἐρυμνόν. κατὰ δέ τινας εἰς ἑορτὴν Ἀρτέμιδος ἐκεῖ ἀπελθοῦσα, ὁ μέντοι Ἀχιλλεὺς πολεμαρχῶν, καὶ τὰ περὶ τὴν Φρυγίαν ληϊζόμενος, καὶ ταύτην Θήβην εἷλε καὶ τὴν Χρυσηΐδα μετὰ τῶν ἄλλων ἠνδραποδίσατο. ἱστοροῦσι δέ τινες, ὅτι ἐκ τῶν ὑποπλακίων Θηβῶν ἡ Χρυσηῒς ἐλήφθη, οὔτε καταφυγοῦσα ἐκεῖ, οὔτε ἐπὶ θυσίαν Ἀρτέμιδος ἐλθοῦσα, ὡς ὁ τὰ κύπρια γράψας ἔφη, ἀλλὰ πολίτης, ἤτοι συμπολίτης Ἀνδρομάχης οὖσα.

Χρήση, τὸ θέμα χράομαι χρῶμαι. τὰ γὰρ ἐνεργητικὰ ἑτέρας σημασίας, ὁ μέλλων χρήσομαι χρήσῃ τὸ δεύτερον.

Χρῆσθα, ἀντὶ τοῦ χρῆ λέγουσι Δωριεῖς.

Χρῆσθαι, καυχᾶσθαι, πράττειν, προσφέρεσθαι, χρησμῷ χρῆσθαι.

Χρησθήσετ..., χρησιμεύσει.

Χρήσθων, ἀντὶ τοῦ χρήσθωσαν Ἀττικοὶ λέγουσιν, ὡσαύτως καὶ ἐπὶ πάντων τῶν δυϊκῶν ἐν τοῖς προστακτικοῖς παθητικοῖς. οἷον ἐχέσθων, μεμνήσθων, καὶ ὅσα τοιαῦτα. ἐπὶ δὲ ἐνεργητικῶν, οὐ δυϊκοῖς τῶν προστακτικῶν χρῶνται. οἷον ποιείτων, λεγέτων, ἀλλὰ γενικαῖς τῶν πληθυντι-

κῶν

Digitized by Google

κῶν τῶν μετοχῶν. ποιοῦντων γὰρ λέγουσι καὶ λεγόντων, λαμβάνοντες ἔξωθεν τὸ ἔστωσαν, ἤγουν τῶν ποιούντων ἔστωσαν καὶ τῶν λεγόντων ἔστωσαν, ἢ ἀντὶ τοῦ ποιείτωσαν καὶ λεγέτωσαν. τίθεται δὲ ἡ τοιαύτη σύνταξις, οὐ μόνον ἐπὶ τῶν ἀρσενικῶν, ἀλλὰ καὶ ἐπὶ τῶν θηλυκῶν, οὐ θηλυκοῦ γένους οὔσης τῆς τοιαύτης γενικῆς, ἀλλὰ ἀρσενικοῦ.

Χρησιμεῦσαι, μὴ λέγε, ἀλλὰ χρήσιμον γενέσθαι.

Χρήσιμον, τὸ ἐπιτήδειον εἰς χρείαν, ἤγουν τὸ συντελοῦν εἴς τι.

Χρήσιμος, καὶ χρεία Ἀττικοί. ὁ χρεῖος δὲ, ἤγουν χρήσιμος καὶ τὸ χρεῖον, Φιλοσόφων καὶ Ποιητῶν. φασὶ δὲ καὶ οἱ Ποιηταὶ χρειῶ, τὴν χρείαν. Ὅμηρος, χρειὼ με κατήγαγεν εἰς ἀΐδαο.

Χρῆσις, παρὰ τὸ χρῶ χρήσω, διαφέρει δὲ παραδόσεως. χρῆσις μὲν γὰρ λέγεται, ἡ τῶν ἀρχαίων ποιημάτων μαρτυρία. παράδοσις δὲ, ἡ τῶν γραμματικῶν. οἷον τὰ μὲν Ὁμήρου καλεῖται χρῆσις. τὰ δὲ Ἀριστάρχου τοῦ γραμματικοῦ, παράδοσις.

Χρῆσις τοῦ χροός, πάνυ συνήθης Ὁμήρῳ. δῆλον δὲ, ὡς ἐκ τοῦ διαιρετικώτερον γέγονεν ὁ χρὼς συνεκδρῶν κατὰ τὸν ὀξὺν τόνον τῷ ἰδρώς.

Χρησμολογεῖ, προφητεύει, μαντεύεται.

Χρησμολόγος, ὁ τὰ δυσνόητα τῶν χρησμῶν ἑρμηνεύων.

Χρησιμῶ, τροπῇ τοῦ η εἰς α, καὶ μεταθέσει τοῦ διχρόνου χραισμῶ, οὗ ὁ δεύτερος ἀόριστος ἔχραισμον. ὅθεν προστακτικὸν χραίσμω. οὗ χραίσμη, ἀπαρέμφατον χραισμεῖν, ὅ ἐστι βοηθεῖν, χρησιμεύειν, ὅθεν καὶ γίνεται τὸ τοιοῦτον ῥῆμα.

Χρησμὸν, κλυδῶνα.

Χρησμὸν ἔλαβον οἱ Ἕλληνες μὴ πρότερον τὴν Ἴλιον πορθηθῆναι, εἰ μὴ τὰ Πέλοπος ὀστᾶ μετενεχθῶσιν ἀπὸ Ἴλυδος εἰς τὴν Ἑλλάδα, καὶ Νεοπτόλεμον τὸν Ἀχιλλέως υἱὸν, καὶ τὰ τόξα τοῦ Ἡρακλέους, ἅπερ εἶχεν ὁ Φιλοκτήτης εἰς τὴν Ἑλλάδα, εἰ μὴ γὰρ οὕτω γένηται, οὐκ ἂν πορθηθείη τὸ Ἴλιον.

Χρησμοσύνη, ἀπορία, πενία, ἔνδεια.

Χρήστας. Ἀριστοφάνης τοὺς δανειστὰς λέγει. ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας καλεῖ. Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστάς. χρήστας λέγουσι, τοὺς δὲ ὀφειλέτας, χρεώστας.

Χρηστήριον, τὸ μαντεῖον τῶν Θεῶν. μαντεία δὲ καὶ μάντευμα, τὸ ἀπὸ μάντεων ἀνθρώπων. χρησμὸς, ἡ ἐκ Θεῶν μαντεία.

Χρήστης μέση λέξις, ὁ δανείσας τε γὰρ οὕτω καλεῖται, καὶ ὁ ὀφείλων.

Χρήστης, ὁ δανείζων, καὶ ὁ τὸ δάνειον δεχόμενος. δανειστὴς δὲ, μόνον ὁ δανείζων.

Χρηστήρ ἐστιν, ὁ παρέχων χρησμούς.

Χρηστοί, οἱ καταδεδικασμένοι, χρήσιμοι.

Χρῆστος μὲν, κύριον ὄνομα. χρηστὸς δὲ ὀξυτόνως, ὁ ἐπιεικής. καὶ ψυχρὸς μὲν, ὁ ἐψυγμένος. ψύχρος δὲ βαρυτόνως, ποταμὸς Σαρματίας.

Χρηστότης λέγεται, οὐκ ἀγαθότης, οὐδ' ἀγαθοσύνη.

Χρηστότης ἐστιν, ἤθους ἁπλασία, μετ' εὐλογιστίας, ἤθους σπουδαιότης, ἢ αὐτὴ ἡ τοῦ ἀγαθοῦ ἐπιτήδευσις. εὐσπλαγχνία δὲ, ἡ πρὸς τὸ πέλας συνδιάθεσις, τὰ αὐτοῦ ὡς οἰκεῖα ἰδιοποιουμένη.

Χρηστῷ, ἐναντίον ὁ φαῦλος. ἔστι δὲ χρηστὸς, οὗ ἡ ὁμιλία ὠφέλειαν ἐμποιεῖ. φαῦλος δὲ, οὗ ὁ βίος ἄτακτος, καὶ ἀκόλαστος, ὡς καὶ ἄλλους βλάπτεσθαι, ἀπὸ τῆς αὐτοῦ ὁμιλίας. τῷ ἀγαθῷ δὲ ἐναντίον, ὁ κακός. τῷ καλῷ δὲ, ὁ αἰσχρὸς, ἤγουν ὁ δυσειδής.

Χρηστῶς, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ καλῶς, ὠφελίμως, συμφερόντως. καὶ χρηστὸν ἔδεσμα λέγομεν, τὸ εὐηρτυμένον.

Χρῆται, ἢ χρᾶται, δοτικῇ συντάσσεται. Ἀριστοφάνης, πρῶτον τοῖσι χρῆται, πότερα τοῖς χρηστοῖς.

Χρῆται συμφορᾷ, ἀντὶ τοῦ δυστυχεῖ. Πλούταρχος, ἐπειδὴ Ἡρακλῆς ἐχρήσατο συμφορᾷ. οὕτω χρῆται βλάβῃ, ζημίᾳ, ἀνάγκῃ, καὶ ἕτερα.

Χριστός ἐστιν, ἡ κοινὴ ὑπόστασις. τούτου δὲ φύσις Θεότητος καὶ ἀνθρωπότητος.

Χριστός ἐστι, Θεὸς ἐνανθρωπήσας χωρὶς ἁμαρτίας, ἡ μεσίτης Θεοῦ καὶ ἀνθρώπων.

Χριστός ἐστι Θεὸς καὶ ἄνθρωπος, ὁ αὐτὸς καὶ εἷς ὢν καθ' ὕπαρξιν ἀνελλιπῆ τὰ ἑκάτερα.

Χρία, μυρμήκων χάος.

Χρίμπτειν, ἐγγίζειν, ἐρείδειν, ἐκπίπτειν, στηρίζεσθαι, ἐκβαλεῖν, ἀλείφειν, προσπελάζειν.

Χρίσμα, σημαίνει τὸ ἄλειμμα.

Χρίμπτω, σημαίνει τὸ περιβάλλω, καὶ προσπελάζω. κυρίως γὰρ τὸ ταῖς χερσὶ συναντᾶν, καὶ περιβάλλειν καὶ προσεγγίζειν.

Χριμφθέντα, καὶ ἐνιχριμφθέντα, ἤγουν ἐμπελάσαντα. χρίμψαι γὰρ, τὸ πλησίον γενέσθαι.

Χριμφθῆναι, προσπελάσαι, ἐγγίσαι, ἐνορμῆσαι.

Χριστιανός ἐστιν, ὁ τὸ σῶμα διὰ Χριστὸν σταυρώσας σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις, καὶ τὰς αὐτοῦ πάσας φυλάττων ἐντολάς.

Χριστιανισμός ἐστι, καταφρόνησις πραγμάτων τῶν ἐν ἀνθρώποις, ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας.

Χριστιανισμός ἐστιν, ἐπίγνωσις τῆς Εὐσεβείας εἰς ζωὴν αἰώνιον ὁδηγοῦσα.

Χριστιανοῦ ἴδιόν ἐστι, πίστις δι' ἀγάπης ἐνεργουμένη.

Χριστιανοῦ ἴδιόν ἐστι, τὸ καθαρισθῆναι μὲν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἐν τῷ αἵματι τοῦ Χριστοῦ, ἐπιτελεῖν δὲ ἁγιωσύνην ἐν φόβῳ Θεοῦ, καὶ ἀγάπῃ Κυρίου.

Χροανθές, εὐφεγγές.

Χρόα τέρενα, τὴν ὅλην σάρκα λέγει Ὅμηρος, ὡς ἐκ μέρους τοῦ φαινομένου ἐξεπιπολῆς, πρὸς διαστολὴν τῶν ὀστῶν, ἐκεῖνα γὰρ οὐ τέρενα, ἤτοι ἁπαλά. ὥσπερ δὲ ὁ χροῦς, οὕτω καὶ ὁ χρὼς, τὸ προφαινόμενον δηλοῖ τῆς κατὰ ἄνθρωπον σαρκὸς, ἤγουν τὴν χροιὰν, κατὰ τὸ παραδραθεῖν ἡ χροιή. διὸ καὶ πρὸς τὸ ἐν χρῷ ὁμοιότητα ἔχει τὸ χρώζειν. οἷον γόνατα μὴ χρώζειν ἐμὰ, ἤγουν χρωτίζειν, καὶ ἐν χρῷ ἔχειν. ὅμοιον δὲ καὶ τὸ, μάτην κεχρώμεθα, ἤγουν ἱκετεύθημεν κατὰ δεξιὰν, καὶ γόνατα. τοιοῦτον καὶ τὸ χραίνειν κατὰ παραγωγὴν, οὗ πρῶτος μετέχει ὁ χροῦς, ἐξ οὗ τέτραπται τραγικῶς καὶ τὸ, ἀγορᾶς χραίνων κύκλον. συγγενὲς δὲ τοῖς τοιούτοις, καὶ τὸ χρίμπτειν.

Χρόα νίζετο ἅλμην, ἀντίπτωσιν πάσχει. ἡ γὰρ τὸν χρόα ἔσμηχεν ἐκ τῆς ἅλμης, ἢ μᾶλλον τὴν ἅλμην ἐκ τοῦ χροὺς, κατὰ τὸ, ἐκ κεφαλῆς ἔσμηχεν ἁλὸς χνόον, καὶ ἅλμην ὤμοιιν ἀπολούσομαι.

Χρόα, ῥόον, νόον, ἀντὶ τοῦ χροῦν, ῥοῦν, νοῦν, λέγουσιν Ἴωνες.

Χροιά, ἐπιφάνεια μακρά.

Χροιὰν οἱ Ἀττικοὶ ὀξύνουσι, χροιὰν λέγοντες.

Χροΐζεταί σε ἡ καλαμαία, ἡ μάντις, ἤγουν πλησιάζει τῷ χρωτί σου ἡ μάντις. ἔστι γὰρ ἀκρὶς λεγομένη μάντις, ἐν τῇ καλάμῃ γινομένη. ἔστι δὲ χλωρὰ καὶ περιμήκης, τοὺς ἐμπροσθίους πόδας μακροὺς ἔχουσα καὶ λεπτούς. τοῦτο λέγει, ὅτι ἰσχνή τις, καὶ λεπτὴ καὶ μέλαινα συγκοιμηθήσεταί σοι. καλαμαίαν τὴν ἀκρίδα φησὶν, ὅτι ἐν καιρῷ καλάμης ἐσθίει τὸν στάχυν. μάντιν δὲ αὐτὴν φησιν, ὅτι προμαντεύεται λοιμὸν φοινομένη.

Χρόμαδος κατὰ ὀνοματοποιΐαν, ὁ ἐν ταῖς γένυσι ψόφος, καὶ οἷον τρισμός. μάλιστα ἐν ταῖς πληγαῖς γίνεται.

Χρόμη, φρυαγμὸς, ὁρμὴ, θράσος.

Χρόμιος, κύριον παρὰ Θεοκρίτῳ παροξύνουσιν οἱ παλαιοί. τὸ δὲ ἄλιος προπαροξύνουσι λέγοντες, ὅτι κἂν ἐπὶ κυρίων παροξύνεται τὰ τριβράχια, οἷον δολίος, ταχίος, χρομίος. ἀλλὰ σημειώδη τὸ ἄλιος, ξένιος, ἄνιος, καὶ χρόνικος, κύρια μὲν ὄντα καὶ τριβράχεα, προπαροξυνόμενα δέ. τινὲς παροξύνουσιν ἄλιος.

Χρόμις, εἶδος ἰχθύος.

Χρόμοις, χρεμετισμοῖς.

Χρονίζει, διατρίβει.

Χρόνιος λέγεται, ὁ χρόνον πολὺν ἐπιμένων τινὶ πράγματι. Εὐριπίδης, βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις. καὶ χρόνιος, ὁ μετὰ πολὺν χρόνον ἐλθών. Εὐριπίδης, χρόνιος, ἀλλ' ὅμως τάχιστα καλὸς ἐφωράθη φίλοις. καὶ Προκόπιος, δέχου τὴν παροῦσαν ἐπιστολὴν χρονίαν μὲν, ἀλλ' ὅμως θαρροῦσαν.

Χρόνος ἐστὶ, τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα, ἐν ᾧ πᾶσα παραμετρεῖται κίνησις, εἴτε ἀστέρων, εἴτε ζώων, εἴτε οὑτινοσοῦν τῶν κινουμένων.

Χρόνον εἰς τρία διῃρημένον οἶδα, τά γε κατὰ πρώτην διαίρεσιν, εἰς ἐνεστῶτά φημι, καὶ παρεληλυθότα, καὶ μέλλοντα. τούτων ὁ μὲν ἐνεστὼς, οἷα δὴ καὶ ἀκαριαῖός ἐστιν, ὅτε τυγχάνων ἁπλοῦς τε, καὶ ἄτμητος ἔμεινε, τῶν δὲ λοιπῶν ἑκάτερος ὑπὸ διαιρέσει ἔμεινεν. ἀλλ' ὁ μὲν παρεληλυθὼς, ἅτε δὴ ἐγνωσμένος ἡμῖν, καὶ οἱονεὶ πρὸ ὀφθαλμῶν κείμενος, πλατύτερος ἐνταῦθα ἐγένετο, καὶ εἰς χρόνους τέσσαρας διῃρέθη, λέγω δὴ τούτους εἶναι παρατατικὸν, παρακείμενον, ὑπερσυντέλικον, καὶ ἀόριστον. ὁ δὲ μέλλων τῷ μὴ πρόδηλος ἡμῖν γεγονέναι, εἰς δύο μόνους διῃρέθη τοὺς χρόνους. ὧν τὸν μὲν ἁπλῶς μέλλοντα, τὸν δὲ μετ' ὀλίγον μέλλοντα φήσομεν. παρορᾶσθαι γὰρ ἐνταῦθα τῶν λόγων δευτέρους μέλλοντας, ὥσπερ ἀορίστους δευτέρους, ἢ μέσους παρακειμένους, καὶ ὑπερσυντελίκους λέγεσθαι. ταυτὶ γὰρ οὐδεμίαν ἐμποιεῖ τοῖς χρόνοις διαφορὰν, μόνον δὲ τῆς τῶν Ἑλλήνων γλώττης τὸ πλάτος δηλοῦν φαίνεται.

Χρόνος λέγεται, ἡ τοῦ Ἡλίου κίνησις ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ, καὶ ἐνιαυτὸς, καὶ ἔτος. καιρὸς δὲ, μέρος τι χρόνου. ἡμέραι δὲ ἡ τοῦ Οὐρανοῦ κίνησις, ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς ἐπαγομένη τὸν ἥλιον, καὶ μέρη δὲ τούτου τέσσαρα, τὸ Ἔαρ, τὸ Θέρος, τὸ Φθινόπωρον, καὶ ὁ Χειμών.

Χροὸς ἅψαι, τοῦ χρωτὸς κορέσαι.

Χροῦς μὲν, οὐχ εὕρηται παρὰ τῷ Ποιητῇ, ἀλλὰ χρώς. καὶ οἶδεν ἀκολούθως καὶ ταύτην αἰτιατικὴν, χρῶτ' ἀπονιψαμένη. τὰς δὲ ἄλλας κινήσεις, ὡς ἀπὸ τοῦ χροῦς χροὸς ποιεῖ, οἷον χρυσὸν ἔδυνε περὶ χροΐ, καὶ οὐ χροὸς εἴσατο, τουτέστιν οὐδαμοῦ τοῦ κατὰ Ἕκτορα χρωτὸς διῆλθε τὸ τοῦ Αἴαντος δόρυ. καὶ τὰ σύνθετα δὲ, ὡς ἀπὸ τοῦ χροὺς συντίθησιν, οἷον μελαγχροὼς ἐγένετο, καὶ δέρμα εὔχροις, καὶ μελανόχροος αὐλοκαρήνους, καὶ ταμεσίχροα χαλκόν.

Χρωάζει, καλεῖ.

Χρυσαΐζεται, κοσμεῖ.

Χρυσαλὶς, ζῷόν τι. οἱ δὲ τὴν ἀπὸ τῆς κάμπης γινομένην χρυσαλὶν λέγουσι.

Χρυσαμοιβὸς, ἀργυρογνώμων.

Χρυσάμπυκας, χρυσοχαλίνους, χρυσομίτρους, χρυσοδέρμους.

Χρυσάνθεμον, πόα, ἡ καὶ χρυσάνθιμον.

Χρυσάορον, χρυσοῦν ξίφος ἔχοντα.

Χρυσαστήρια, τὰ χωρία εἰς ἃ φοιτῶντες ἐλάμβανον ἱερεῖα καὶ χρησμούς.

Χρυσαυγοῦντα, ἀστράπτοντα, ἢ στίλβοντα.

Χρυσάορ, χρυσοήλιος, χρυσοκίθαρις, ἢ καλλιόμηλος.

Χρυσάωρ ἔτεκε τρικέφαλον Γηρυονῆα.

Χρύσεα, ἀργύρεα, κυάνεα, χάλκεα, ταῦτα Ἰακὰ διαιρούμενα. χρὴ οὖν λέγειν, χρυσᾶ, ἀργυρᾶ, κυανᾶ, τὸν Ἀττικίζοντα.

Χρυσοῦς λέγε, καὶ ἀργυροῦς, καὶ χαλκοῦς, καὶ τὰ ὅμοια. τὸ γὰρ χρύσεος, ἀργύρεος, καὶ χάλκεος, Ἰακά.

Χρύσειον, καὶ εἴ τι ἄλλο ἐκ μετάλλων τροχαϊκὸν κατὰ τὴν θέσιν ὂν, οἱ μὲν Ποιηταὶ πυρριχαϊκὸν ποιοῦσι, τὸ χρύσεον λέγοντες καὶ ἀργύρεον, Ἀττικοὶ δὲ ἰαμβικὸν, τὸ χρυσεοῦν λέγοντες, εἶτα χρυσοῦν. καὶ τοῦτο δῆλον ἐκ τοῦ τὸ κεράμειον, ἔτι κεραμεοῦν λέγει, καὶ τὸ χύτρειον, χυτρεοῦν. ὅσα μὲν γὰρ ἀπὸ μετάλλων, ἴσως διὰ τὴν κεκροτημένην εὔτονον αὐτῶν χύσιν σύνηλον. τὰ δὲ ἀπὸ πηλοῦ, οἷα δὴ εὔθραυστα, ἀσυνάφεια εἴασαν. δοκεῖ οὖν καὶ τὸ κεραμεοῦν, ἐκ τοῦ κεράμειον γινόμενον. καὶ τὴν τῆς παραληγούσης ἔκτασιν ἐπὶ τὴν λήγουσαν μετατιθὲν, τὴν δὲ τῆς ληγούσης συστολὴν, ἐπὶ τὴν παραλήγουσαν ἀναφέρον παρασκευάζειν τὴν ἑαυτοῦ λήγουσαν, καὶ τὸ τοῦ τόνου δέχεσθαι βάρος. ὥσπερ ἐπὶ ζυγοῦ βλέπειν ἐστι, τὴν πλεῖον

βάρος δεχομένην πλάστιγγα, ὡς εἴ τις τοὺς χρόνους αὖθις ἀμείψει, καὶ τὸν πόνον αὖθις πρὸς τὴν προτέραν ἀναδραμεῖν θέσιν.

Χρύσειον δέρας, λέγεται τῇ ἐπαφῇ τοῦ Ἑρμοῦ, τὸ δέρος τοῦ κριοῦ γενέσθαι χρυσοῦν.

Χρύσειον νέφος. φασὶ γάρ τινες, τὰ ἐν ὑψηλῷ ἀέρι, ἃ πυροειδὴς ὢν ὁ αἰθὴρ, χρυσίζειν ποιεῖ. τοιαῦτα δὲ μάλιστα τὰ ἐαρινά.

Χρυσεόπη, ἡ διάχρυσος εἰργασμένη.

Χρυσαλακάτα, καλλιτόξε, ἡ χρυσῷ τῷ βέλει χρωμένη. ἠλακάτην γὰρ, καλοῦσι τὸ βέλος, καὶ τὸ γυναικεῖον ἐργαλεῖον. ἐξ οὗ τὸ νῆμα ἕλκουσιν. ὡς ὁ Ποιητὴς ἐν τῷ, ἠλακάτῃ σπαίνυσο ἰοδνεφὲς εἶρος ἔχουσα. καὶ τὸ ὑποϊστίον, ὅταν λέγῃ, καθ' αὑτοῦ λῖνα χεῦον ἐπ' ἠλακάτας τανύσαντες.

Χρύση, πόλις ἦν, ὥσπερ Κύλλα καὶ αὐτὴ ὁμοίως Ἀδραμυττινή, πλησίον Θήβης. ἥτις κοινῶς μὲν λέγεται Χρύσα, Ἰωνικῶς δὲ Χρύση. καὶ ὅτι πολλαὶ Χρύσαι λέγονται, δηλοῦσιν οἱ παλαιοί. ἐλέγετο δὲ Χρύση, καὶ ἀκρωτήριον περὶ τὴν Ἡφαιστίαν, βλέπον πρὸς Τένεδον.

Χρυσῆ, πᾶν θηλυκὸν εἰς η λῆγον παρεσχηματισμένον ἀρσενικῷ, εἰ περισπᾶται τὸ ἀρσενικὸν, περισπᾶται καὶ αὐτό. οἷον ὁ χρυσοῦς ἡ χρυσῆ, ὁ φοινικοῦς ἡ φοινικῆ. καὶ πᾶν ὄνομα ἰσοσυλλάβως κλινόμενον, εἰ περισπᾶται ἐπὶ τῆς εὐθείας τῶν ἑνικῶν, καὶ ἐπὶ τῆς εὐθείας τῶν πληθυντικῶν περισπᾶται. οἷον ὁ χρυσοῦς οἱ χρυσοῖ. ἡ χρυσῆ αἱ χρυσαῖ, τὸ χρυσοῦν τὰ χρυσᾶ, ὁ φοινικοῦς οἱ φοινικοῖ, ἡ φοινικῆ αἱ φοινικαῖ, τὸ φοινικοῦν τὰ φοινικᾶ.

Χρυσηΐς, ὥσπερ καὶ τὸ Βρυσηΐς, πατρωνυμικῶς ἐρρέθησαν ἀπὸ πατέρων τοῦ τε Χρύσου, καὶ τοῦ Βρυσέως.

Χρυσήλατος, χρυσῷ ἐληλασμένος καὶ κατεσκευασμένος.

Χρυσήνιος, ὁ χρυσᾶς ἡνίας ἔχων. οἱ δὲ καλὰς, ἢ καλλίδιφρος.

Χρυσῆν σειράν. οἱ μέν φασι τὴν δίκην ἁλύσεως ἐπιπλοκὴν τῶν τεσσάρων στοιχείων, κατὰ τὰς ἐν αὐτοῖς ποιότητας, λεγομένην χρυσῆν, διὰ τὸ φύσει πολυτίμητον, καὶ διὰ τὴν ἐκ τοῦ ἡλίου ἐν αὐτοῖς χρυσαυγίαν. ἧς δὴ ἐπιπλοκῆς μεταποιηθείσης, ποτὲ ἄνω φασὶ γενήσεται τὸ πᾶν μεταστοιχειωθὲν, ἢ μεγάλῳ χειμῶνι ἄνωθεν ἐκ Διὸς, ἐν κατακλυσμῷ καὶ ἐξυδατώσει, ἢ μεγάλῳ θέρει, κατ' ἐκπύρωσιν. οἱ δὲ χρυσῆν νοοῦσι σειρὰν, τὰς τοῦ αἰῶνος ἡμέρας. ἃ χρυσῷ οἷον κέκρανται, τῇ τοῦ Ἡλίου λαμπρότητι, καὶ ἁλύσεως δίκην ἀλλήλων ἐξήρτηνται, τὸν καθ' ἡμᾶς βίον δέουσαι, ληψόμεναί ποτε πέρας καὶ αὐταὶ, καὶ τὸ πᾶν ἀναστοιχειώσουσαι, τοῦ Διὸς μένοντος ἀπαθοῦς, ὃν ψυχὴν φασι τοῦ παντὸς οἱ παλαιοί. Πλάτων δὲ αὐτὸν τὸν Ἥλιον, χρυσέαν λέγει σειράν. ὧν ἀνωτάτω μὲν, ὁ τοῦ Κρόνου, πρόσγειος δὲ, ὁ τῆς σελήνης. ἐν οἷς κύκλοις, ἄλλοτε ἄλλως τῶν πλανήτων συνιόντων, πολλαὶ περὶ τὸ πᾶν γίνονται μεταβολαί. οἱ δὲ Στωϊκοὶ τὴν Διὸς ἀπειλὴν, εἰς μόνην ἀλληγοροῦσιν ἐκπύρωσιν. ἐπεὶ Ζεὺς μὲν \ ὁ αἰθήρ. χρυσῆ δὲ σειρὰ ὁ Ἥλιος, εἰς ὃν κάτωθεν, ὥσπερ εἰς καρδίαν ἀποχεῖται ἀναδιδομένη ἡ τῶν ὑγρῶν ἀναθυμίασις, ὅταν χρόνῳ ποτὲ ἀνελκομένη δι' ἀναθυμιάσεως, ὡς εἰκὸς ἡ θάλασσα ἐπιλίπῃ, τότε δὴ τὸ πῦρ τροφῆς ἐφιέμενον, ἀνελκύσει τὰ ἐν βάθει τῆς γῆς ὑγρὰ, καὶ λύσει αὐτὴν τὴν γῆν. καὶ ὁ μὲν Ζεὺς οὐκ ἀνθελκυσθήσεται. τὰ δὲ κάτω μετέωρα γένηται τοῦ πυρὸς κατισχύσαντος. τινὲς δὲ οὐ πολυλογεῖν ἐθέλοντες, φασὶ τὴν ἀπειλὴν ταύτην, αἴνιγμα μοναρχίας εἶναι, καὶ ἑνὸς ἐξῆπται τὰ πάντα, καὶ μιᾶς ἀρχῆς ἤρτηται. ὡς γὰρ ἐν τοῖς κάτω οὐκ ἀγαθὸν πολυκοιρανίη, οὕτω καὶ ἐν τοῖς ἄνω.

Χρύσης. πόθεν Χρύσης; παρὰ τὸ χρυσός. τὸ δὲ χρυσὸς, παρὰ τὸ ῥύω ῥυσὸς, καὶ πλεονασμῷ τοῦ χ, χρυσός. καὶ τί μετέχει τοῦ ῥύω; ὁ γὰρ χρυσὸς διδόμενος ῥύεται τὸν ἄνθρωπον ἀπὸ τοῦ θανάτου.

Χρυσίδες κυρίως, αἱ ἀνατιθέμεναι τοῖς Θεοῖς χρυσαῖ φιάλαι. καταχρηστικῶς δὲ, καὶ πᾶσα ἐκ χρυσοῦ φιάλη, χρυσὶς λέγεται.

Χρυσίνιος Ἄρτεμις ἔχε, ὅ ἐστιν ἔχουσα, κατὰ ἀποκοπήν. ἔστι δὲ ἡ Ἄρτεμις, ἡ αὐτή ἐστι τῇ σελήνῃ. σημείωσαι δὲ, ὅτι Ὁμήρου χρυσίνιον εἰπόντος Ἄρτεμιν, Σοφοκλῆς ἐντεῦθεν λαβὼν, χρυσόνωτον Ἡλίου ἡνίαν φησί.

Χρυσίον, τὸ τῶν παιδίων αἰδοῖον.

Χρυσὶς, ποτήριον. οἱ δὲ, φιάλη χρυσῆ.

Χρυσῖτις, σημαίνει τὸν λίθον, ἔνθα ἀκονῶσι τὸ χρυσίον, καὶ βάσανος ἡ λυδία.

Χρυσόεις, διὰ τί οὐ γίνεται κατὰ συναίρεσιν χρυσοῦς, ἀλλὰ χρυσοῖς. τὸ γὰρ ο καὶ ε εἰς ου κιρνᾶται, ἐπειδὴ πᾶν πρῶτον πρόσωπον εἰς ω λῆγον, ἔχει διὰ διφθόγγου τῆς διὰ τοῦ ε καὶ ι τὸ δεύτερον, καὶ τούτου χάριν ἀπεβλήθη τὸ ε, καὶ ἐγένετο χρυσοῖς. χρυσῶ, χρυσοῖς, χρυσοῖ, χρυσοῦμαι χρυσοῖ. πληρῶ πληροῖς πληροῖ πληροῦμαι πληροῖ, βοῶ, βοᾷς, βοᾷ. τὰ δεύτερα πρόσωπα τοῦ παθητικοῦ ἐνεστῶτος τὰ ἀπὸ τῶν εἰς ω βαρυτόνων ῥημάτων, καὶ τὰ ἀπὸ τῶν περισπωμένων τῆς πρώτης συζυγίας. διὰ τοῦ η ποιοῦσιν, οἷον τύπτομαι, τύπτῃ, ποιοῦμαι, ποιῇ. τὰ δὲ ἀπὸ τῶν περισπωμένων τῆς δευτέρας καὶ τρίτης, διὰ τοῦ α. οἷον βοῶμαι βοᾷ. καὶ διὰ τῆς οι διφθόγγου, οἷον χρυσοῦμαι χρυσοῖ.

Χρυσοχοεῖ χρυσίον παρὰ σοῦ λαβὼν, Ἀριστοφάνης. ἤγουν τὸν χρυσὸν χέει.

Χρυσόθεμις, Λαοδίκη, Ἰφιάνασσα, τρεῖς θυγατέρες τοῦ Ἀγαμέμνονος. καὶ ἔστιν ἡ μὲν Χρυσόθεμις, τοῦ ὀρθοῦ νόμου καὶ καθαροῦ παρώνυμος, διὰ τὴν Θέμιν. ἡ δὲ Λαοδίκη, τῆς κρίσεως τοῦ δικαζομένου λαοῦ. ἡ δὲ Ἰφιάνασσα, τῆς βασιλικῆς ἰσχύος, ἤτοι τοῦ ἶφι ἀνάσσειν. ὅρα ὅτι Ἠλέκτρα ἐνταῦθα οὐ κεῖται, ἀλλὰ φασί τινες τὴν Λαοδίκην ταύτην εἶναι, Ἠλέκτραν ἐπικληθεῖσαν, ἢ κατὰ τρόπον διωνυμίας.

Χρυσόθρονος, καλλίθρονος.

Χρυσοκόλλα, βρῶμά τι ἐκ λινοσπέρμου καὶ μέλιτος, καὶ χρῶμά τι χλωρόν.

Χρυσοκόλλητος σφραγὶς, χρυσοδακτύλιος.

Χρυσοκόμης Διόνυσος λέγεται, διὰ τὸ τοὺς οἰνιζομένους ἀνθρώπους τῆς κόμης ἐπιμελεῖσθαι τῆς ἑαυτῶν, καὶ ἀρὰς ἐντεῦθεν κινεῖν, ἤτοι βλάβας, καὶ ταύταις ἐμμένειν. πολλοὶ γὰρ μεθύοντες, οὐ μόνον τῶν τριχῶν ἐπιμελούμενοι καὶ ξανθίζοντες φαίνονται, ἀλλὰ καὶ μυρίοις ἑαυτοὺς παραδιδόασιν ἀτοπήμασι.

Χρυσόλοφοι, δράκοντες.

Χρυσόλοποι, χρυσᾶς λεπίδας ἔχοντες.

Χρυσόμαλλον ἀρνίον, τοῦ Ἀτρέως φασὶν ἀργυρίδα εἶναι. τουτέστι φιάλην ἀργυρᾶν, ἧς ὁ πυθμὴν ἐμπεπαισμένον εἶχεν ἀρνίον ἐπίχρυσον. φασὶν ὅτι πάλαι ποτὲ περιμάχητον οὐ μόνον ὁ χρυσὸς, ἀλλὰ καὶ ὁ ἄργυρος σπάνιόν τι χρῆμα ἦν.

Χρυσομηλολόνθιον, ζωΰφιόν τί ἐστι κατὰ κάνθαρον ξανθὸν, ὃ κατέχοντες οἱ παῖδες δεσμοῦσιν ἐκ τοῦ ποδὸς, καὶ ἀφιᾶσι πρὸς τὸν ἀέρα.

Χρυσὸν περιχεύεται, τὸν χρυσοχόον συντίθησι.

Χρυσὸν ἀγγείλας ἐπῶν, παρὰ τῷ Ἀριστοφάνει, Ἀττικὴ σύνταξις. ἀντὶ τοῦ ὦ πλοῦτον ἐκ τῶν ἐπῶν ἀγγείλας, ἢ ἀντὶ τοῦ ὦ τιμιώτατον εἰπὼν λόγον.

Χρυσοπήνην, τὴν διὰ χρυσοῦ εἰργασμένην.

Χρυσόπολις, Ἀγαμέμνονος καὶ Χρυσηΐδος παῖδας γεγονέναι φασὶ, Χρύσην, καὶ Ἰφιγένειαν. ὧν ἀπὸ μὲν τῆς Χρύσης ὠνομάσθη Χρυσόπολις ἐν τῇ Προποντίδι. Ἰφιγένειαν δὲ γενέσθαι ἱέρειαν Ἀρτέμιδος. καὶ Χρυσόπολις ἔτι, ἐμπόριον τῆς Χαλκιδονίας. ἔνθα οἱ Ἕλληνες οἱ σὺν Κύρῳ μισθοφορήσαντες, ἔμειναν ἡμέρας ἑπτὰ λαφυροπωλοῦντες, ὥς φασι Ξενοφῶν.

Χρυσόπτερον Ἶριν λέγει Ὅμηρος, τὸν μὲν χρυσὸν τῇ Ἴριδι παρατίθησι, διὰ τὴν λαμπρότητα τῶν χρωμάτων τῆς αἰθερίας Ἴριδος. τὸ δὲ πτερὸν, διὰ τὸ ταχὺ τοῦ γίνεσθαί τε αὐτὴν καὶ ἀπογίνεσθαι. ἣν καὶ ποδήνεμον ἡ ποίησις καλεῖ.

Χρυσοραπὶς, ἡ χέρνιψ, ἀπὸ τοῦ χρυσὸν ἔχειν.

Χρυσόρραπις Ἑρμῆς, οὐ χρυσεορράβδος, ἢ χρυσᾶς ῥαπίδας ἔχων, ὅ ἐστιν ὑποδήματα κατὰ τοὺς παλαιοὺς, ἐξ ὧν καὶ αἱ κρηπῖδες παράγονται.

Χρυσορραγὲς, χρυσοβαφές. καὶ χρυσορραγὲς ἔρνος, τὸ ἀπερρηγμένον, ἢ ἀπεστραμμένον, ἀπὸ τοῦ δένδρου.

Χρυσορρόος, ὄνομα ποταμοῦ.

Χρυσὸς κολοφώνιος, οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάσαντο. καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν κολοφώνιον χρυσὸν, καὶ τάχα ἴσως οἱ ἐκπεσόντες τῆς οἰκείας Λυδῶν, τὰ περὶ Θρᾴκην καὶ Στρυμόνα χρύσεια κατέχον μέταλλα, σύντισιν Ἰώνων, καὶ ἐσπούδασαν περὶ τὸν χρυσόν.

Χρυσότευκτος, ὁ ἐκ χρυσίου κατασκευασθείς.

Χρυσοτρίαινα, περιφραστικῶς τοῦ θαλάττης βασιλέως.

Χρυσοτόρευτα, χρυσόγλυφα.

Χρυσοῦς. Πολέμαρχός φησι δύνασθαι τὸν χρυσοῦν παρ' Ἀττικοῖς, δραχμὰς δύο. τὴν δὲ τοῦ χρυσοῦ δραχμὴν, νομίσματος ἀργυρίου δραχμὰς δέκα. μνᾶς δὲ λέγεσθαι, τοὺς πέντε χρυσοῦς.

Χρυσῶν, δαίμων.

Χρῶ τοῖς βελτίστοις, ἐκ τοῦ δευτέρου προσώπου τοῦ παρατατικοῦ. οἷον ἐχραόμην ἐχρώμην, ἐχράου ἐχρῶ, τὸ προστακτικὸν χρῶ.

Χρῶ, τὸ μαντείας δίδωμι. οἷον ἔχρησεν αὐτῷ ὁ Θεός. καὶ χρῶμαι, τὸ μάντιν ποιοῦμαι. Λιβάνιος ἐν τῇ τοῦ Ἀχιλλέως ἀπολογίᾳ, τῷ Θεῷ χρησάμενος ὑπὲρ τοῦ τραύματος. καὶ ἀμφότερα δοτικῇ.

Χρῶ, τὸ ξέω, τὸ μαντεύομαι, τὸ κτῶμαι, τὸ ἐφορμῶ, τὸ παρέχω. συντάσσεται δὲ τὸ χρῶμαι αἰτιατικῇ Ἀττικῶς. Ἀριστείδης, ἀλλὰ γὰρ οὐκ ἔχω τί χρήσομαι. καὶ γενικῇ ὁ αὐτὸς, ἄριστα χρώμενος τῆς τοῦ μέσου διανοίας. χρᾷ ὁ Ἀπόλλων, ἀντὶ τοῦ χρησμὸν δίδωσι. χρᾶται δὲ παθητικῶς, ἀντὶ τοῦ χρησμὸν λαμβάνει. Ἑρμογένης, χρωμένῳ ἀνεῖλεν ὁ Θεὸς, ἀνδροφόνοις οὐ χρῶ χρωσθῆναι, ἤγουν μολυνθῆναι.

Χρώζω, σημαίνει τὸ πλησιάζω, χρὼς, χρωτὸς, χρωτίζω, ὡς φῶς, φωτός. φωτίζω, ἀποβολῇ τοῦ τ χρωΐζω, καὶ συναιρέσει χρώζω.

Χρῶμα κυρίως, τὸ μετὰ τῆς ὕλης, οἷον ὤχρα, κιννάβαρ. χροιὰ δὲ καὶ χροιά, αὐτὸ τὸ εἶδος τοῦ χρώματος. ἄλλως. χρῶμά ἐστι ποιότης σώματος ὁρατὴ προηγουμένως. καὶ χρῶμα σημαίνει, τὸ ἐν τοῖς σώμασιν, ὡς τὸ λευκὸν χρῶμα, καὶ τὸ μέλαν, καὶ τὰ τούτων μεταξύ. σημαίνει καὶ τὸ ἐν τοῖς μέλεσι. λέγεται γάρ τι καὶ κατὰ μουσικὴν χρῶμα. τρία γὰρ μέρη τῆς μελῳδίας. ἁρμονικὸν εἶναί φασιν, ἃ ἰδίως χρόας καλοῦσι, τήν τε τοῦ μαλακοῦ χρώματος, καὶ τὴν τοῦ διατονικοῦ. καί εἰσι διαφοραὶ, ἄλλαι μὲν τοῦ ἐν τοῖς σώμασι χρώματος. ὡς τὸ συγκριτικὸν καὶ διακριτικὸν ὄψεως, ἄλλαι δὲ τοῦ ἐν τοῖς μέλεσι. τὸ γὰρ ἡμιτονιαῖον, καὶ τὸ μαλακὸν ὁμώνυμα. ὡς Διόδωρος, ὁ δὲ βάρβαρος μαστιζόμενος ὄμμα ἔχων ἄτρεπτον, καὶ χρῶμα καθάπερ θηρίων ἐκαρτέρει.

Χρῶμαι τοῦδε τοῦ πράγματος, ἀντὶ τοῦ ἀπολαύω τούτου τοῦ πράγματος. τὸ τρίτον οὐ χρᾶται, ἀλλὰ χρῆται. τὸ ἀπαρέμφατον, οὐ χρᾶσθαι, ἀλλὰ χρῆσθαι. συντάσσεται δὲ δοτικῇ, οἷον χρῶμαι βιβλίοις.

Χρὼς τρέπεται ἄλλυδις ἄλλῃ, ἀντὶ τοῦ ἄλλοτε ἄλλως. πολύχρωμος δηλονότι γινόμενος κατὰ τὰς πολυπόδων βαφάς. ἐκ τοῦ χροῦς δὲ ἴσως ὁ χρὼς, κατὰ τὸ μοῦσα, μῶσα. εἰ δὲ μὴ περισπᾶται κατὰ τὸ χοῦν, αἰτιατέον τὸν χαρακτῆρα τῶν εἰς ως ὀξυτόνων. καὶ χρὼς, σῶμα, ἰδέα.

Χρῶσαν, τὴν χρησμῳδοῦσαν. Θουκυδίδης, χρῶσαν Λακεδαιμονίοις.

Χρωσθῆναι, μολυνθῆναι.

Χρωστὴρ, ὁ χρωματίζων. ὡς ἐν ἐπιγράμματι, καὶ μολίβδῳ χρηστῆρι κανὼν τύπον ὀρθὸν ὀπάζων.

Χρῶσαι, χρωματίσαι, μολῦναι.

Χρωτὶ, γράφεται διὰ τοῦ ω μεγάλου. χροῒ δὲ διὰ τοῦ ο μικροῦ. ἐκεῖ μὲν γὰρ ἡ εὐθεῖα ὁ χρὼς, τὸ σῶμα, ὡς γέλως. ἐνταῦθα δὲ ὁ χροῦς, ὃ σημαίνει τὸ αὐτὸ, ὡς ὁ βοῦς.

Χρωτίζεται, πλησιάζει, ἢ χρωματίζεται. Ἀριστοφάνης νεφέλαις, νεωτέροις τὴν φύσιν αὐτοῦ πράγμασι χρωτίζεται. λέγεται δὲ ἐπὶ τῶν Μουσικῶν.

Χρῶτο, χράω, χρῶ. καὶ τὸ παθητικὸν Ἀττικὸν χραοίμην, χρώμην, χράοιο, χρῷο, χρῷτο.

ΤΟ

ΤΟ' Χ'. ΜΕΤΑ' ΤΟΥ' Υ', Ω'.

Χύδlω, κεχυμένως, ἀθρόως, εἰκῆ, σωρηδὸν, δαψιλῶς.

Χυλὸς, πεμμάτων ὑγρῶν ἐκπίεσμα.

Χῦμα, ῥεῦμα, πλῆθος.

Χύματα, τὰ ἐπὶ τοῖς τάφοις χεόμενα.

Χυμοὶ, γεύσεις. καὶ χυμοὶ, τὰ ἐν τοῖς ζώοις στοιχεῖα, ἤγουν τὸ αἷμα, τὸ φλέγμα, καὶ τὰ λοιπά. ἀφ' οὗ εὔχυμος τροφὴ, ἡ εἰς καθαροὺς χυμοὺς μεταβαλλομένη. καὶ κακόχυμος, τὸ ἐναντίον. καὶ χύσις, ἀφ' οὗ ἔκχυσις, σύγχυσις, καὶ ἕτερα.

Χυμὸς, σίελος, ἢ τάφου χῶμα.

Χυμῶν, πηγμάτων ὑγρῶν.

Χωίν, τlὼ χεῖρα.

Χῶτο, ἐξεχύθησαν.

Χύριον, δεσμὸς ᾧ δεσμεῖται τὰ χοιρίδια. ἢ κατὰ Αἴλιον Διονύσιον, ξύλον.

Χυρράβιοι, δεσμοὶ συῶν.

Χύρραβος, ὄρνις τις.

Χυρβιάσαι, σκιρτῆσαι.

Χυσοχανοπρώκτους, ἀντὶ τοῦ ἐκλύτους, λέγει Ἀριστοφάνης.

Χυτὴ γαῖα, τὸ χῶμα, ἤτοι ὁ κατὰ τύμβον ἀναχωματισμός. χυτὴ γάρ φασιν, οὐχ ἁπλῶς ἡ πᾶσα γῆ, ἀλλὰ ἡ ἐπὶ νεκροῖς χεομένη. οὐ γὰρ βῶλοι αὐτοῖς ἐπιτίθενται, ἀλλὰ χοῦς, ὅ ἐστι γῆ χυτή. ἢ χυτὴ γαῖα, ἡ χοώδης, ἡ λυτὴ εἰς ξηρὸν χοῦν, ἀφ' ἧς τὰ τῶν τύμβων χώματα, ἤγουν ἀναχωματισμοί.

Χυτlὼ γαῖαν ἐπέχευαν, τρόπου μέν ἐστιν ἐτυμολογικοῦ. δηλοῖ δὲ συνήθως, τύμβου ἀναχωματισμόν. ἐστι δὲ τὸ χώσαντες τὸ σῆμα, ἑρμηνεία τὸ χυτlὼ γαῖαν ἔχευαν, ὅπερ σῆμά ἐστι τεθνεῶτός τινος. χυτlὼ δὲ Ὁμηρικῶς, τlὼ ἐπὶ τοῖς νεκροῖς χεομένlω γlῶ.

Χυτλάζεται, ὡσεὶ ἔλεγε κλύζεται, παρὰ τῷ Ἱπποκράτει.

Χύτλα κυρίως, τὰ μεθ' ὕδατος ἔλαια. καταχρηστικῶς δὲ, τὰ ἐναγίσματα καὶ αἱ χοαί.

Χύτλασον, διάχυσον, ἄλειψαι. χυτλάζειν δὲ, τὸ μιγνύναι καὶ διαχεῖν. χύτλα δὲ κυρίως, τὸ ὑγροῦ ἔτι ἀπὸ ὕδατος ὄντος τοῦ σώματος, ἀλείψασθαι. καὶ χύτλον, τὸ ὑδρέλαιον.

Χυτλῶσαι, λοῦσαι, πλῦναι. χύτλος γὰρ λέγεται, τὸ ἐλαιοδόχον ἀγγεῖον, ἐφ' ᾧ εἶχον οἱ παλαιοὶ τὸ ἔλαιον, ὅπερ μετὰ τὸ λούσασθαι ἐχρίοντο. ἢ χυτλῶσαι, οὐχ ἁπλῶς τὸ ἀλεῖψαι, ἀλλὰ τὸ ἐπὶ λουτρῷ ἀλείψασθαι, χυτλώσασθαι ἔλεγον.

Χυτοὶ, οἱ τῷ δικτύῳ τῶν ἰχθύων περιφερόμενοι.

Χυτὸς λιμlὼ ἐν Κυζίκῳ οὕτω καλούμενος. ἐπεχείρησαν γὰρ οἱ Πελασγοὶ χῶσαι αὐτὸν, ὥς φησι Δηΐλοχος, κατὰ ἔχθος τὸ πρὸς τοὺς Θεσσαλοὺς, ὑφ' ὧν ἐξεβέβλlωτο. οὕτως δὲ ὑπὸ τῶν γηγενῶν φησι κεχῶσθαι αὐτὸν ποιητικῶς.

Χύτραι, τὰ χυτροπώλια.

Χυτραῖον, ὀστράκινον.

Χύτρια, τὰ τῶν χυτρῶν ὀστράκια.

Χυτρίδεαν, χύτραν παρὰ τῷ Ἱπποκράτει.

Χυτρίδιον, μέτρον τί.

Χυτρίνδα, παιδιᾶς εἶδος τοιαύτης. καθέζεταί τις ἐν μέσῳ, εἶτα κύκλῳ περιτρέχοντες οἱ παῖδες περὶ τὸν καθεζόμενον, ποιοῦσιν αὐτὸν περιστρέφεσθαι, ἕως ἅψηταί τινος τύπτοντος αὐτὸν, εἶτα καθέζεται ὁ ληφθείς.

Χυτρίου, τοῦ κρανίου.

Χύτροι, ἑορτὴ παρὰ Ἀθlωαίοις γινομένη τῷ Διονύσῳ. ἄγεται δὲ παρὰ ταύτlω τlὼ αἰτίαν, lὼ καὶ Θεόπομπος ἐκτίθεται γράφων οὕτως. διασωθέντας οὖν τοὺς ἀνθρώπους ὑπὲρ ἐθάρρησαν ἡμέρᾳ, τῷ ταύτης ὀνόματι προσαγορεῦσαι, καὶ τlὼ ἅπασαν εἶτα θύειν αὐτοῖς ἔθος, τῶν μὲν ὀλυμπίων θεῶν οὐδὲν τὸ παράπαν, Ἑρμῇ δὲ χθονίῳ, καὶ τὰς χύτρας, ἣν ἕψουσι πάντες κατὰ τlὼ πόλιν, οὐδεὶς γεύεται τῶν ἱερέων. τοῦτο δὲ ποιοῦσι τῇ ἡμέρᾳ, καὶ τοὺς παραγενομένους ὑπὲρ τῶν θανόντων ἱλάσκεσθαι τὸν Ἑρμῆν. ἤγοντο δὲ ἀγῶνες αὐτόθι οἱ χύτριοι καλούμενοι, καθά φησι Φιλόχορος ἐν τῇ ἕκτῃ τῆς Ἀτθίδος. χύτροι δὲ καὶ οἱ χόες ἐν Ἀθlώαις, ἐν μιᾷ ἡμέρᾳ ἤγοντο τῷ Διονύσῳ καὶ τῷ Ἑρμῇ, οὕτω Δίδυμος.

Χυτρόπους, ἀπὸ τῶν χυτροπόδων τῶν ἐσχαρῶν τῶν μαγείρων, καὶ περιφραστικῶς χύτραν εἶπε.

Χυτρίζειν, ἐν χύτρᾳ τιθέναι.

Χύτρινοι, τὰ κοῖλα τῆς γῆς, δι' ὧν αἱ πηγαὶ ἀνίενται.

Χυτρισμὸς, ἡ τῶν βρεφῶν ἐν ταῖς χύτραις ἔκθεσις.

Χυτῷ λιμένι, παρὰ Ἀπολλωνίῳ χυτὸς λιμlὼ Κυζίκου. χυτὸς δὲ καλεῖται, ὁ περικλεισθεὶς, καὶ λίθοις οἰκοδομηθεὶς, καὶ μὴ αὐτοφυὴς ὤν. καλεῖται δὲ οὕτω, καὶ ὁ ἰλὺν ἔχων καὶ ἄσιν, ἤγουν ἀκαθαρσίαν.

Χ'ὡδάφνις Δωρικῶς, ἀντὶ τοῦ καὶ ὁ Δάφνις. καὶ χ'ὠ μὲν, ἀντὶ τοῦ καὶ ὁ μέν.

Χώεσθαι, συγχεῖσθαι, χολοῦσθαι. καὶ χόεται, θυμοῦται, μέμφεται, ὀνειδίζεται. λέγεται δὲ τὸ χώεσθαι ποιητικῶς, καὶ σκύζεσθαι κοινῶς.

Χώεσθαι καὶ νεμεσᾷν, διαφέρουσιν. ἐκεῖνο μὲν γὰρ εἰκὸς καὶ μὴ δικαίως γίνεσθαι. ἡ δὲ νέμεσις, ἀεὶ σὺν τῷ δικαίῳ ἐστί.

Χωΐδα, στοφlὼ.

Χωλαβεῖ, θορυβεῖ.

Χωλεύει, νοσεῖ, σκάζει.

Χωλεύσειεν, ἀνάπηρον κατά τι τῶν ἄρθρων ποιήσειεν. παρὰ τῷ Ἱπποκράτει.

Χώλοθρον, ἡ κοιλασία.

Χωλοποιὸν εἶπεν Ἀριστοφάνης, διὰ τοὺς τρεῖς Βελλεροφόντlω, Φιλοκτήτlω, καὶ Τήλεφον.

Χωλὸς, χωλεία, καὶ χωλαίνω. λέγεται δὲ χωλὸς, ὁ βεβλαμμένος τὸν πόδα, ἢ μέλος τί. ἐκ τοῦ τὸ κῶλον τὸ οὖς οὖν βεβλαμμένος, τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, καὶ μεταβολῇ τοῦ τόνου. οἷον, χωλός.

Χῶλος δὲ ὄνομα Ῥήτορος, ὡς πῶλος. ἢ κατά τινας ἐκ τοῦ κόλος, τροπῇ τοῦ κ εἰς χ, καὶ τοῦ ο εἰς ω. κόλος γάρ ἐστιν, ὁ μὴ τέλειος. Ὅμηρος. κόλον, δόρυ. καὶ κόλους, κριοὺς, τοὺς ἀποβεβληκότας τὰ κέρατα. χωλὸς οὖν, ὁ μὴ τέλειος. καὶ χωλὸς τὸν ἕτερον πόδα, οὐκ ἐξ ἀνάγκης δηλοῖ, ὡς καὶ κυλλοποδίων καθ' Ἥφαιστον lὼ ὁ Θερσίτης. ἐπὶ πλέον γάρ πως τὸ χωλὸν τοῦ κυλλοῦ. κυλλὸς μὲν γὰρ, ὁ τὰ καίρια βλαβεὶς ἐκ γενετῆς. χωλὸς δὲ κοινῶς, καὶ ὁ ὕστερον ἐκ πληγῆς, ἢ ἄλλως πως ἐξ ἀρτυώσεως παθὼν κύλλωμα. ἑτέρως δὲ θεωρῆσαι, τὸ χωλὸς ἦν ἕτερον πόδα, ἐπίτασίς ἐστι τοῦ γελοίου. ἧττον γὰρ ἄν φασιν ἐγελᾶτο, εἰ ἄμφω τὼ πόδε χωλὸς ἦν. ὅτι δὲ τὸ χωλὸν καὶ ἐπὶ χειρὸς τίθεται, ῥητορικοῦ λεξικοῦ ἐστι παρασημείωσις.

Χωλωθεὶς, ὀργισθείς.

Χωλωτοῖσιν, ὀργίλοις.

Χῶμα, ὕψωμα γῆς, ὄχθη.

Χωματεπάκτης, ὁ τοῖς χώμασιν ἐπικείμενος.

Χῶ, μονοσύλλαβον ῥῆμα, ὃ δηλοῖ τὸ χορῶ. ἐξ οὗ τὸ χαίνω, καὶ τὰ ἀπ' αὐτοῦ. ὡς ἀλλαχοῦ κεῖται, ὧν ἐστι καὶ χανδὸν, καὶ προχάνη ἡ πρόφασις. τὸ τοίνυν τοιοῦτον χῶ, πλεονασμῷ τοῦ σ, σχῶ γίνεται. ἀφ' οὗ καὶ σχῆμα τὸ μαθηματικὸν, ὡς χωρητικὸν ὂν τοῦ ἐμβαδοῦ, καὶ σχέσις, καὶ αὐτὴ δὲ ἡ Ὁμηρικὴ ἐπισχεσία. ὃ γὰρ ἐπίσχει τὶς, καὶ ἄλλως δὲ εἰπεῖν, ὃ περίσχει καὶ κατέχει, χωρεῖται οἷον παρ' ἐκείνῳ. ἐπεὶ οὐκ ἀφίσταται. ἔτι δὲ ἐκ τοῦ χῶ καὶ ἡ χειὰ, προσλήψει δὲ συλλαβῆς, καὶ ἡ χώρα. ἧς παράγωγον τὸ χωρίον. ὅτι δὲ χῶ δοκεῖ παράγωγον εἶναι ἄρρητον, καὶ τὸ χάζω, δῆλον ἐκ τῆς χάσμης καὶ τοῦ χασμᾶσθαι, ὅπερ οὐκ ἐπὶ στομάτων μόνον λέγεται, ἀλλ' ἤδη τροπικῶς καὶ ἐπὶ θύρας ἠνεῳγμένης.

Χ'ὡμὲν, συναλοιφὴ Ἀττικῶς, ἀντὶ τοῦ καὶ ὁ μὲν τὸ α γὰρ καὶ ο, εἰς ω μέγα κιρνᾶται.

Χῶνες, ἔθνος ἰταλικόν. τὸν Ἡρακλῆν φασι κατὰ τὴν Αἰγυπτίων διάλεκτον χῶνα λέγεσθαι, παραγενέσθαι δὲ εἰς Ἰταλίαν, καὶ ἀπ' αὐτοῦ Χῶνας ὀνομασθῆναι τὸ ἔθνος.

Χωνευτήριον, χωνεῖον, καὶ χωνεύω ῥῆμα.

Χώνlω, τὴν Ἰταλίαν οὕτω πάλαι ἔλεγον, ὥς φησιν Ἀντίοχος ὁ Ξενοφάνους ἐν τῷ περὶ Ἰταλίας.

Χωννύω, ἐνεστὼς, ἐχώννυον παρατατικὸς, χώσω μέλλων, ἔχωσα ἀόριστος, χωννύομαι ἐνεστὼς, καὶ χώννυμαι, ἐχωννυόμην παρατατικὸς, χωσθήσομαι μέλλων, κέχωσμαι παρακείμενος, ἐχώσθην ἀόριστος.

Χῶνος, βουνός. τόπος Βόθωνος.

Χ'ὠξυμπόται χ'ὠξυγγενεῖς, ἀντὶ τοῦ καὶ οἱ συμπόται, καὶ οἱ συγγενεῖς.

Χώομαι, τὸ σκύζομαι, καὶ ὀργίζομαι ἐνεστὼς, ἐχωόμην παρατατικὸς, χώσομαι μέλλων, ἐχωσάμην ἀόριστος, ἀπὸ τοῦ χώομαι ἡ μετοχὴ χωόμενος. τὰ δὲ ἐνεργητικὰ τὸ χώσω, καὶ τὸ ἔχωσα, ἐπὶ τῶν χωμάτων λέγεται.

Χώρει, πορεύου.

Χωρεῖν, ἀπελθεῖν.

Χώρησαν, ἀνεχώρησαν.

Χωριαμὸς, κίστη.

Χωρίων, δοχεῖον, κόπρος, καὶ ὄρνις ποιός.

Χωρίζω, διΐστημι, κρίνω, ἀποκρίνω, νοσφίζω, χωρίζομαι, ἀπάγω, ἀφίσταμαι, ταυτόν.

Χωρὶς ἀντὶ τοῦ ἄνευ, καὶ ἀντὶ τοῦ κεχωρισμένως. χωρὶς εἰ μὴ τόδε, ὥσπερ φαμὲν, πλὴν εἰ τόδε, καὶ πλὴν εἰ μὴ τόδε, καὶ ἐκτὸς εἰ μὴ τόδε, καὶ ἐκτὸς εἰ τόδε. τὸ γὰρ πλὴν, καὶ τὸ ἐκτὸς, τὸ χωρὶς δηλοῦσι. Λουκιανὸς ἐν τῇ βίων πράσει. πλὴν εἰ μὴ σκαπανέα, ἢ ὑδροφόρον. πάλιν ἐκτὸς εἰ μὴ κρεῖττον μέντοι εἰ χωρὶς τοῦ μὴ λέγοιτο.

Χωρὶς, ἀντὶ τοῦ ἰδίᾳ. καὶ χωρὶς, ἄνευ καὶ δίχα, κοινά. τόδε ἄτερ, Ποιητικόν.

Χωρίς. τὰ δὲ τῆς τάξεως ἐπιρρήματα τοῖς πτωτικοῖς συντάσσονται πρὸς γενικὴν πτῶσιν. οἷον χωρὶς τοῦδε, καὶ ἑξῆς τοῦδε. καὶ τοῖς ῥήμασι πάλιν. οἷον, χωρὶς κάθημαι, ἐφεξῆς βαδίζουσιν. ἔστι δὲ τῷ χωρὶς ὁμοιόσημον. τὰ δὲ ἄτερ καὶ ἄτερθεν, ποιητικά. ἐξ οὗ καὶ τὸ ἄνευθεν ποιητικὸν, καὶ αὐτὸ πάλιν ὂν, καὶ πάρεξ γεγονὸς ἐκ τῆς παρὰ προθέσεως. τὴν αὐτὴν δὲ σύνταξιν ἔχουσιν ἅπαντα ταῦτα, τάξιν καὶ χωρισμὸν δηλοῦντα.

Χωρίτης, ἀγρώτης, ἄγροικος. ἄλλοι τὸν ὁδηγόν.

Χωροβατεῖ, ἐν τῇ χώρᾳ περιπατεῖ.

Χωρονομεῖ, ὀργίζεται.

Χῶρος, τόπος, ἀγρὸς, ἄνθρωπος, ἢ χωρίον.

Χωρῶ, τὸ ἔρχομαι. ἀφ' οὗ συγχωρῶ, ὅταν ἑκὼν ἀπολύω τί. καὶ παραχωρῶ, ὅταν ἄκων ἀπολύω. καὶ προχωρεῖ, ἀντὶ τοῦ ἀποβαίνει. καὶ ἀναχωρεῖ, ἀντὶ τοῦ ἐπαναστρέφει. καὶ ἀποχωρεῖ, ἀντὶ τοῦ ἀφίσταται. καὶ ὑποχωρεῖ, ἀντὶ τοῦ ὑπεξίσταται. χωρῶ δὲ μόνον, τὸ ὁρμῶ. καὶ χωρῶ, τὸ δέχομαι, οἷον, τοσοῦτον ὕδωρ τὸ ἀγγεῖον χωρεῖ.

Χωσάμενος, χολωσάμενος.

Χώσασθαι, συγχυθῆναι, ὀργισθῆναι, λυπηθῆναι.

Χώσομεν τοῖς λίθοις, παρὰ τῷ Ἀριστοφάνει. τοιοῦτον καὶ τὸ Ὁμηρικὸν, λάϊον ἕσσο χιτῶνα. ἐν ἤθει γὰρ αὐτὸ μεταποίησεν. Ἀλέξανδρος μὲν οὖν ἄξιος τῶν λίθων, Λακεδαιμονίας ἐρασθεὶς γυναικὸς ἐπὶ συμφορᾷ.

Χώω, τὸ λυπῶ καὶ ὀργίζομαι. ἡ παθητικὴ μετοχὴ, ὁ χοόμενος, ὁ χούμενος καὶ Δωρικῶς χώμενος, ὡς μοῦσα μῶσα, καὶ πλεονασμῷ τοῦ ο, χωόμενος.

Τέλος τοῦ χ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ψ.

ΣΤΟΙΧΕΙΟΥ ΤΟ ΑΥΤΟ

μετὰ τοῦ Α. καὶ τῶν λοιπῶν ὧν προηγεῖται.

Ψῖ τὸ στοιχεῖον, ὅτι συριγμὸν ἔχει αὐτοῦ ἡ ἐκφώνησις, καὶ ὅτι ὁ συριγμὸς οὐκ ἐστί τι, ἢ μόνον ψῖ. ἄλλοι δὲ, ὅτι ἑνὸς ψαύει χρόνου διπλοῦν.

Ψάγδας, εἶδος μύρου παρὰ τῷ Ἱπποκράτει.

Ψαγεῖον, ἀγγεῖον.

Ψάγιον, πλάγιον, λοξὸν, ἐπικεκλιμένον.

Ψάδδα, ἡ κινάβρα.

Ψάδιον, κάτωντι.

Ψαδυρὸν, ἀσθενὲς, μαδαρὸν, ψαθυρὸν.

Ψαίναι φθάσαι, κτίσαι.

Ψαθάλλειν, κνήθειν, ψηλαφᾷν. Ψαθία, ψωμία.

Ψαθύρματα, ἀποκόμματα.

Ψαθαρὸν, ἁπαλὸν, εὔθλαστον, σαθρὸν, ξηρόν.

Ψαιδρὸν, φαιδρὸν, ἀραιόν. Ψαιθὸν, ὑποφοινίσσον.

Ψαῖμα, ὀλίγον.

Ψαιύζειν, διὰ ῥιπισμοῦ καταψύχειν. γράφεται καὶ δραπισμοῦ.

Ψαιύθιον, ψεδνὲς, μάταιον, ἁπλὲς, φλύαρον, οἰκτρόν.

Ψαιύρατο, διεσείσατο.

Ψαιύοντες, ψωμίζοντες.

Ψαίνυον, ἀχρεῖον.

Ψαίρειν, τὸ ἀσθενῶς τι ποιεῖν, καὶ ψαίρειν, ἐννήχεσθαι, προσψαύειν.

Ψαιστὴν, μάζαν τὴν ἐν μέλιτι καὶ ἐλαίῳ πεφυραμένην. ἐπεὶ καὶ τὰ ψαιστὰ πάντα, παρὰ τῷ Ἱπποκράτει οὕτω δεῖται.

Ψαιστὸν, κυρίως λέγουσιν ἄλευρον ἐλαίῳ δεδευμένον, καταχρηστικῶς καὶ τὸ πόπανον.

Ψακαλοῦχοι, ψακάδας ἔχουσαι. εἰσὶ δὲ ἔμβρυα.

Ψακὰς, ὄνομα αὐλητρίδος. οὕτω δὲ ἐκαλεῖτο, ἐπειδὴ ἀπὸ πότων θᾶττον ἀπέτρεχε πρὸς ὀλίγον παραμένουσα. ψακὰς γὰρ, ἡ ῥανίς. καὶ ψακάζει, ῥαίνει.

Ψακὰς, τὸ μικρότατον, ὃ καὶ νιφὰς καλεῖται. Ἀριστοφάνης, μὴ δὲ ψακὰς ἦν πάνυ πάμπαν, ἀντὶ τοῦ μὴ ὀβολοῦ ὄντος ἡμῖν διὰ τὸν πόλεμον.

Ψάκελον, μέσα.

Ψάκιον, ἀραιὸν, μακρόν.

Ψάκτην, τὴν ψωκτὴν μάζαν.

Ψακτὴρ, ψήκτρα.

Ψαλάγματα, ψηλαφήματα.

Ψαλακάνθα, τοῦτο ἀδιόριστον δοκεῖ τισιν εἶναι.

Ψαλακτὸν, οὐκ ἀνερεύνητον.

Ψαλάξῃς, κινήσῃς, ἢ κρούσῃς. παρὰ Λυκόφρονι, ψηλαφήσῃς καὶ ἀνακρούσῃς κιθαρίσῃς.

Ψαλάσσει, τινάσσει, ψηλαφᾷ, κινεῖ, ψαύει, ψάλλει. ἀφ' οὗ καὶ ἄψαλακτος, ὁ ἄψαυστος.

Ψαλία, κρίκοι, δακτύλιοι.

Ψαλίδες, ἀψῖδες τῶν στύλων.

Ψαλίθοι, ψήγματα.

Ψάλις, κιθαριστής.

Ψαλίττεται, ἁμιλλᾶται.

Ψαλὶς, τὸ ἅρμενον καὶ καμάρα, καὶ ταχεῖα κίνησις.

Ψάλιων, τῶν χαλινῶν.

Ψάλλιον, Ἀττικῶς. ψέλλιον, δὲ κοινῶς. καὶ ἔστι ψάλλιον μὲν ὁ χαλινὸς, ἢ ὁ κρίκος τοῦ χαλινοῦ, ἢ ἁπλῶς ὁ κρίκος. ψέλλιον δὲ, τὸ τοῖς βραχίοσι περιτιθέμενον κόσμιον.

Ψάλλειν, τὸ διὰ ὀργάνων μουσικῶν, καὶ μάλιστα τοῦ ἰδίως λεγομένου ψαλτηρίου ᾄδειν. ἢ ψάλλειν κυρίως, ἐπὶ χορδῶν καὶ νευρῶν μουσικῆς.

Ψαλλὸς, ὕλη.

Ψάλλω ψαλῶ, ἔψηλα. φησὶ γὰρ ὁ κανὼν, ὡς εἰ περισπαται ὁ μέλλων, τὴν παραλήγουσαν ἐκτείνει ὁ ἀόριστος μόνος. οἷον, ψάλλω, ψαλῶ, ἔψηλα. ὁμοίως φαίνω, φανῶ ἔφηνα, καὶ ἔσπειρα μυρία. ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ τοῦ παρακειμένου εὑρίσκεται τοῦτο, ὡς τὸ πέφηνα, καὶ μέμηνα, καὶ μέμηλα, καὶ τέθηλα.

Ψαλμὸς κυρίως, ὁ τῆς κιθάρας ἦχος. ὃς καὶ ᾠδὴ λέγεται.

Ψαλμῳδὸς, ἐκ τοῦ ἀείδω γίνεται ψαλμοαοιδός. καὶ συγκοπῇ καὶ κράσει, ψαλμῳδός.

Ψαλοίμην, βληθείην.

Ψάλτηρ, ὁ ἀνήρ. ἡ δὲ γυνὴ, ψάλτρια.

Ψάλτιξ, κιθάρα.

Ψαλτήριον, παρὰ τὸ τὰ ψαλλόμενα τηρεῖν.

Ψαλύγων. ἔνιοι ψάλυγας, τὰς καλουμένας ψυχὰς, ἄμεινον δὲ τοὺς ἀσθενεῖς σπινθῆρας.

Ψάμμαθος, ἡ παραθαλάττιος ἄμμος.

Ψάμματα, σπαράγματα.

Ψαμματίζουσα, ψωμίζουσα.

Ψαμμὴν, ἄλφιτα.

Ψαμμίτυχον τὸν Αἰγυπτίων Βασιλέα λέγουσι βουλόμενον διαγνῶναι τίνες τῶν ἀνθρώπων πρωτογενέστεροι, παραδοῦναι ποιμένι δύο βρέφη, κελεύσαντα μηδένα αὐτοῖς μηδὲν φθέγγεσθαι. μόνον δὲ αὐτοῖς αἰγὸς θηλὴν δίδοσθαι. οἱ δύο ἐτῶν διελθόντων, πρώτην φωνὴν ἀφῆκαν τὸ βέκ, οὕτω δὴ λέγεται παρὰ Φρυξὶν ὁ ἄρτος. ἐγνώσθησαν οὖν ἀπὸ τούτου οἱ Φρύγες, γηγενεῖς. οἱ δέ φασιν, ὅτι εὐηθές ἐστιν ὑπολαμβάνειν οὕτω, ἀκούοντες γὰρ οἱ παῖδες βληχομένων τῶν προβάτων ὡς ἂν ὑπὸ τῆς φύσεως ἐνεργούμενοι πρὸς τὸ ἔναρθρον τὴν φωνὴν ἀπέτρεψαν, οἷοι δ' ἦσαν Ἀρκάδες. μόνοι δὲ ἦσαν Ἀρκάδες τῶν Ἑλλήνων φησὶν ἀρχαιότεροι. Ἀπιδανίων δὲ, τῶν Πελοποννησίων ἀπὸ Ἄπιδος τοῦ Φορωνέως. δοκοῦσι δὲ οἱ Ἀρκάδες πρὸ τῆς σελήνης γεγονέναι, ὡς καὶ Εὔδοξος ἐν τῇ περιόδῳ. Θεόδωρος δὲ ἐν εἰκοστῷ ἐννάτῳ, ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς τοὺς Γίγαντας πολέμου Ἡρακλέους, τὴν σελήνην φανῆναι. καὶ Ἀρίστων ὁ Χῖος ἐν ταῖς θέσεσι, καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν πρώτῳ κτίσεως, ταὐτά φασι, καὶ ἔθνος δὲ Ἀρκαδίας, σεληνίτας εἶναι. Μνασέας δέ φησι πρὸ σελήνης Ἀρκάδας βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησὶν, ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν Ἀρκάδων ἐπιθεμένων αὐτοῖς πρὸ τοῦ ἀνατεῖλαι τὴν σελήνην. διὸ κατωνομάσθησαν προσέληνοι. τινὲς δέ φασιν Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους καὶ τοὺς ἀριθμοὺς τῆς σελήνης. ὅθεν καὶ προσελήνους τοὺς Ἀρκάδας κληθῆναι. ἀρκὰς γὰρ, ὁ Ἐνδυμίων.

Ψαμμοδύτης, ἰχθὺς, ὃν καὶ καλλιώνυμον ὀνομάζουσι.

Ψάμμος, ἡ καὶ ἄμμος. τὰ δὲ παράγωγα, ψάμμαθος, καὶ ἄμμαθος ποιητικόν.

Ψαμμοκοσιογάργαρα, παρὰ τῷ Ἀριστοφάνει. οἷον πολλὰ καὶ ἀναρίθμητα. τὸ γὰρ ψαμμοκόσια καθ' ἑαυτὸ ἐπὶ πλῆθος ἐτίθετο παρὰ μὲν Εὐπόλιδι ἐν χρυσῷ γένει οὕτως ἀριθμεῖν θεατὰς ψαμμοκοσίους, παρὰ τὸ ἑξακοσίους ἢ ἑπτακοσίους. ἀπὸ τῆς ψάμμου ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δὲ, ἐπὶ πλῆθος ἐτίθετο ὡς ἐν Λιμνίαις, ἀνδρῶν ἐπακτῶν πᾶσα γάργαρ' ἐστία. καὶ παρ' Ἀριστομένει ἐν Βοηθοῖς, ἔνδον γὰρ ἡμῖν γάργαρα. καὶ παρὰ Σώφρονι, ἁ δὲ οἰκία τῶν ἀργυρωμάτων γάργαρα. καὶ ἐν τῇ τραγῳδίᾳ, χρημάτων τε γάργαρα. θέλουσι δέ τινες καὶ τὸ παρὰ τῷ Ποιητῇ, κάρκαιρε δὲ γαῖα πόδεσσι, τὴν πολλὴν κίνησιν τῶν ποδῶν σημαίνει, οἷον, γάργαρε. καὶ τὸν καρκῖνον δὲ οὕτως ὀνομάζεσθαι, διὰ τὸ πλῆθος τῶν ποδῶν. μέμνηται δὲ καὶ Κρατῖνος ἀρίστων ἀνδρῶν, πᾶσα γαργαίρει πόλις, οἷον πλήθει.

Ψασμὸς, ναυτιασμός.

Ψανὸς, ψαδνός.

Ψάραλλα, ψύγματα.

Ψάρες. εἶδος ὀρνέου. ἄλλοι δέ φασι τὴν λέξιν μηδαμοῦ κεῖσθαι.

Ψάρις, γένος στρουθοῦ, καὶ εἶδος στιήρους.

Ψαροὶ, ποικίλοι. καὶ εἶδος χρώματος.

Ψάρον, τὸ ταχύ. ἀπὸ τοῦ ψαίρειν. ὅθεν καὶ αἰψηρὸς. ἢ τὸ χρῶμα τοιοῦτον.

Ψαστὴς, τὰ ψαιστὰ ῥόδα.

Ψαῦσαι, προκαταλαμβάνειν.

Ψαύειν καὶ ψαθαλεῖν, εἰ καὶ μὴ ἐπὶ νευρᾶς, ἀλλ' οὖν ἐπὶ χορδῶν μουσικῶν κεῖνται, ἀντὶ τοῦ ψηλαφᾶν, καὶ μαλάττειν. τὰ δ' αὐτὰ καὶ ψάλλειν ἐστίν. ὅθεν καὶ ψαλλόμενος, ὁ ἀκροώμενος ψάλλοντος.

Ψαυστῆσαι, προσιτεῖν.

Ψαύειν, σημαίνει τὸ καθάπτεσθαι τῶν ποταμῶν ἑκατέρωθεν παραμειβόντων, καὶ μονονουχὶ τοῦ τείχους ψαυόντων.

Ψαύεται, ψηλαφᾶται.

Ψαυγὲς, θορυβῶδες.

Ψαυκροπόδης, ἐπίθετον τοῦ Ἀρίονος ἵππου. εἴρηται διὰ τὴν ταχύτητα, παρὰ τὸ ψαύειν ἄκροις ποσὶ τῆς γῆς κατὰ δρόμον.

Ψαυκρὸν γόνυ, κοῦφον, ἀπὸ τοῦ ἄκρως ψαύειν.

Ψαυκρὸς καλλωπιστὴς, ταχὺς, ἐλαφρὸς, Ἀραιὸς, ψαύριος, κονιορτὸς, φορητὸς. οἱ δὲ, ψαυρός.

Ψαύω, καὶ προσψαύω τὸ προσεγγίζω διαφέρει. τὸ γὰρ προσψαύω, τὸ μετρίως δηλοῖ, καὶ συντάσσεται γενικῇ, τὸ ψαύω δὲ δοτικῇ εἰς τοιαύτην σημασίαν ἐκληπτέον καὶ τὸ ἅπτομαι, καὶ προσάπτομαι, καὶ χρῶμαι, καὶ προσχρῶμαι.

Ψαύω, κυρίως κεῖται ἐπὶ βραχείας θίξεως. γίνεται δὲ τὸ ψαύειν ἐκ τοῦ ψάω Ἰωνικῇ ἐπενθέσει τοῦ ῡ, ὁμοίως τῷ λάω λαύω, χνάω χναύω, τὸ καταπίνω. ἄω αὔω, τὸ λάμπω. χράω χραύω, ὡς παρ' Ὁμήρῳ τὸ, χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον. καὶ τὰ ὅμοια. καὶ ψαύω τοῦ δεῖνος, καὶ ψαύω τόδε, ὅτι τὰ κατὰ αἴσθησιν ἀμφοτέρως. ὁρῶ δὲ μόνον τόδε.

Ψαφαρὸς, αὐχμηρὸς καὶ κακόχρους. ἔνθα καὶ ψαφαρὴ, ὁμοίως ἡ λεπτή.

Ψάφα κνέφας, καὶ ψαφαρὰ νεφέλη, ἡ σκοτεινή. καὶ ψάφα, λόφοι ὑψηλοί.

Ψαφία, ψωμία.

Ψαφερὸν, ψαθυρὸν, παρὰ τῷ Ἱπποκράτει.

Ψαφοτριβέων, περὶ τοὺς λόγους τριβομένων.

Ψὲ, ἀντὶ τοῦ σφᾶς λέγουσι Δωριεῖς. ὡς παρὰ Θεοκρίτῳ, ἦπα ψὲ κρύβδαν τὰ ποθέσπερα πάσας ἀμέλγες, τὸ ψὲ, ἀντὶ τοῦ αὐτάς.

Ψεάδερ, τῶν ἐλαιῶν τὸ ἀποπίεσμα.

Ψέγει, μέμφεται, διαβάλλει, λοιδορεῖ.

Ψέγος, τάφος. καὶ ἐπιψέγειν, τὸ ἐπικηδεύειν.

Ψέγω, μέμφομαι, κακίζω. ψέγω σε γνώσεως, ἤγουν τῇ ἀπουσίᾳ τῆς γνώσεως. καὶ ψέγω σε τῆς ἀγνωσίας, ἤγουν τῇ παρουσίᾳ τῆς ἀγνωσίας. τοιοῦτόν ἐστι καὶ τὸ ἐπαινῶ σε τῆς γνώσεως, οὐ μὴν ἐπαινῶ σε τῆς ἀγνωσίας.

Ψέδειν, ἐντρέπειν, φροντίζειν.

Ψεδνὴν λάχνην, λέγουσι τὴν λεπτὴν τρίχωσιν. ἐστι δὲ ψεδνὴ μὲν, ἡ λεπτὴ, ἀπὸ τοῦ ψῶ τὸ λεπτύνω, ψεδανὴ, ὡς μηκεδανὴ, καὶ ἐν συγκοπῇ, ψεδνή.

Ψεδόναι, λόγοι.

Ψεδνὸς, ὁ φαλακρὸς, καὶ ψιλὰς τὴν τρίχα.

Ψέδυρος, ψίθυρος.

Ψεδνὸς, μαδαρὸς, ἀραιόθριξ.

Ψειαὶ, ἀλώπεκες, ψῆφοι.

Ψειήματα, παίγνια.

Ψειλεύει, κραπεδεύει.

Ψεινάζει, ἀπορρεῖ.

Ψείρει, φθείρει.

Ψεκάδες, δρόσοι, σταγόνες, καυσιάδες τινὲς οὖσαι τὴν καῦσιν. ὁ δὲ Ἡρωδιανὸς, ψιακάδας, καὶ ψιάδας.

Ψεκτὸν, μεμπτόν.

Ψελλίζειν, ἀσήμως λαλεῖν.

Ψελλιστὴν, λύχνον.

Ψελλὸς, ὁ τὸ σ παχύτερον λέγων.

Ψελὸς, αἰθαλός.

Ψελένοι, σπόνδυλοι.

Ψευδάγγελος, ὁ ψευδῆ ἀγγέλλων.

Ψευδαμάμαξυν. εἶδος ἀμπέλου ἡ ἀμάμαξυς, ἣν λέγουσιν ἀναδενδράδα.

Ψευδατραφάξυος, πλήρης ψευσμάτων. ἀτράφαξυς δὲ, εἶδος λαχάνου, ὃ ταχέως εἰς μῆκος αὔξεται. Ἀριστοφάνης, διαβάλλων μὲν ὡς ψεύστην τὸν Κλέωνα, τῆς δὲ βουλῆς καθαπτόμενος, ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένης διὰ χειρῶν καὶ ῥαδίως, ὥσπερ καὶ τὸ λάχανον αὔξεται.

Ψευδάλιον, ψευδές.

Ψευδεπήσειεν, ψευδολογήσειεν.

Ψεῦδος, παρὰ τὸ ψεύδω, ἢ φεύγω, φεῦγος, καὶ ψεῦδος, ὃ πάντες φεύγομεν. καὶ ψεῦδος, ἀπάτη, πλάνη.

Ψευδοσέληνον, ἡ ἀμαυρὰ σελήνη.

Ψευδώνυμοι ὄνειροι, ψευδολόγοι.

Ψεύδομαι, ἀντισχεδιάζω. καὶ ψεύδομαι, τόδε Παθητικῶς, ἀντὶ τοῦ ψευδῶς λέγω. ὡς τὸ, ἐψευσάμην τὴν ὑπόσχεσιν. Ἀριστοφάνης, ἀλλ' οὐ ψεύδει τούτων οὐδὲν, κἂν σφόδρα βάσκανος ᾖ. καταψεύδομαί σου τόδε, ἤτοι κατὰ σοῦ ψευδῶς λέγω. ἔψευσέ με τῆς ἐλπίδος ἐνεργητικῶς, ἀντὶ τοῦ ψευσθῆναι ἐποίησε. καὶ ἐψεύσθην τῆς ἐλπίδος.

Ψευδομαρτυρέω ψευδομαρτυρῶ, τὸ ψευδῆ μαρτυρίαν λέγω.

Ψευσάμενοι, παραβάντες, ἐπιορκήσαντες, ἐφορκήσαντες.

Ψεύσει, ἀπατήσεις. Ἀριστοφάνης, οὐ ψεύσει γέ με, τουτέστιν οὐκ ἀπατήσεις.

Ψεῦσται, ταυτὸν τῷ ὑπεροπευταί.

Ψέφαρα, ζοφοειδῆ. μέλανα, παρὰ τῷ Ἱπποκράτει. ψέφος γὰρ, τὸ σκότος.

Ψέφος, σκότος, καπνός.

Ψέφει, δέδοικεν, ἐντρέπει, λυπεῖ, φροντίζει.

Ψεφνὸς, καὶ ψεφηνὸς ἀνὴρ, σκοτεινὸς, οὐκ ἐπιφανής. ψέφος γὰρ, τὸ σκότος φησὶ Πίνδαρος.

Ψηγ-

Ψῆγμα, τὸ κατὰ μικρὸν στάζον, ἐξ οὗ καὶ λώδιον, ἢ ψήγματα, τὰ λεπτὰ ἐξ ὧν ὁ χρυσός, παρὰ Φιλοστράτῳ λέγεται, τὰ τῶν αἰγείρων δάκρυα. ἐπεὶ ταῦτα εἰς ἤλεκτρον πήγνυται.

Ψηκεδὼν, κονιορτός.

Ψῆκτρα, ξύστρα, σπάθη.

Ψηλαφῶ, ἐκ τοῦ ἀφάω γίνεται, λέξις αὕτη μουσική. ἐπεὶ κυρίως ἐπὶ χορδῶν τὸ ψηλαφᾷν λέγεται παρὰ τὸ ψαλτήριον ἀφᾷν. ἰστέον δὲ καὶ ὅτι τὸ μὲν τάχιστα ἔπονται, ταυτόν ἐστι τῷ ἀμφέπονται. περιέπονται, περὶ αὐτὰ πονούμενον. ὅρα ὅτι ποιητικὰ τὸ τάχιστα ἔπονται, καὶ τὸ τόξα ἀφόωνται, ὅ ἐστι ψηλαφῶνται, χειριζόμενον, φιλοκαλοῦνται. τάχιστα δὲ ὁ ποιητὴς διασαφῶν, ἐπάγει ἀσπίδα καὶ θώρηκα, καὶ ἀγκύλα τόξα ἀφόωνται. ψηλαφῶ δὲ, ἀντὶ τοῦ διφῶ, ἐρευνῶ, ἐπάζω, ἐξετάζω.

Ψῆλαι, τίλαι.

Ψὴν, εἶδος ζώου μικροῦ συκοφάγου. ἢ ψῆνες, αἱ μικραὶ μυῖαι. ἐξ οὗ τὸ προσεψηνισμένος. ἢ ψῆνες, κωνώπια. ψῆνας γὰρ Ἴωνες λέγουσι, τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα ζωΰφια. τινὲς δὲ ψῆνας λέγουσι, τὰ τῶν φοινίκων σπέρματα.

Ψηνὸν, ἀραιόν.

Ψηνὰ, χαρὰ, γελοῖα, παίγνια.

Ψηνὸς, ψεδνὸν, διάψιλος.

Ψῆρες, εἶδος ὀρνέων.

Ψηροπυρίτας, αὐτόπυρος ἄρτος. οἱ δὲ πυριεφθής. οἱ δὲ κακός.

Ψῆττα, ἰχθύδιον τῶν πλατέων. ἢ ψῆττα, ἣν τινὲς σανδάλιον ἢ βούγλωσσον ὀνομάζουσι.

Ψηφίδες λέγονται, αἱ μικραὶ λιθάδες καὶ λεπταί.

Ψηφίζομαι παθητικῶς, τὸ κρίνω. καὶ διαψηφίζομαι, καὶ ἐπιψηφίζομαι, τὸ ἐπικυρῶ. καταψηφίζομαι δέ σου θάνατον, ἤγουν κατὰ σοῦ ἐπάγω τὴν ψῆφον, ὅπερ ἐναντίον τὸ ἀποψηφίζομαι. καὶ ψηφίζομαι ἔτι, τὸ δόκιμος κρίνομαι. ψηφίζω δὲ ἐνεργητικῶς, τὸ λογαριάζω. Ἄλλως.

Ψηφίζω, ἐπιλογισμοῦ. καὶ ψηφίζομαι, ἀντὶ τοῦ ἀποφαίνομαι. καταψηφίζομαι δέ σου θάνατον, ἀντὶ τοῦ κατὰ σοῦ ἐπάγω τὴν ψῆφον.

Ψῆφος κυρίως, ἡ ἀπόφασις, οὐχ ἡ κρίσις. καὶ κατεψηφίσθη, οὐ κατεκρίθη. ἡ ψῆφος, λόγος, κρίσις, ἀπόφασις διὰ λαλιᾶς.

Ψηφοφορία, ἡ πολλῶν ψῆφος καὶ ἀποδοχή.

Ψηφῶν, φροντίζων. καὶ ψηφολογική.

Ψήχει, καταμάσσει, τρίβει, ξύει, σμήχει, φραύνει. καὶ ψήχομαι τὸν δικαστήν.

Ψιαδεῖν, παίζειν.

Ψιάθια, τὰ ἐν τοῖς δικαστηρίοις ἐπὶ τῶν καθεδρῶν ἐπιστορνύμενα.

Ψίαθος, ἡ χαμεύνη. καὶ τὸ φυτὸν ἐξ οὗ πλέκεται ἡ ψίαθος.

Ψιαρὸν, ὠῶδες. ψιὰς παρ᾽ Ὁμήρῳ, ἡ παρὰ τοῖς κοινοῖς ψεκάς.

Ψιβδεῖ, ὑποπνεῖ, βδεῖ.

Ψίγναι, τρίχες.

Ψιδόνες, διάβολοι, ψίθυροι.

Ψίεσα, ὠδαίμων, μακαρία.

Ψιζομένη, κλαίουσα.

Ψιῆναι, ψέξαι.

Ψιῆσαι, ψωμίσαι.

Ψιθὴν, τὴν ἀπώλειαν.

Ψιθύρα, ἐξ ὧν τὸ συνήθες. καὶ ἥρωος Ἀθήνησιν ὄνομα.

Ψίθυρ, ψίθυρος, παρὰ τὸ ψίθος. λέγεται καὶ ψίθυρος ψιθύρου, καὶ ψιθυρίζω, τὸ τῇ φωνῇ λεπτολογῶ, παρὰ τὸ ψίω, καὶ τὸ θύρα, ὃ σημαίνει περιφραστικῶς τὰ χείλη. ἐκ τούτου ψιθυρισμὸς, ἡ λεπτὴ φωνή. τινὲς δὲ τὸ ψιθυρίζειν, ὠνοματοπεποιῆσθαί φασιν, ὡς τὸ κρίκειν, καὶ σίζειν, ἀπὸ τοῦ τελουμένου ἤχου ὑποφυσῶντος τοῦ ἀνέμου. ὅθεν κυρίως ἐπὶ τῶν ψαδομένων τὸ ψιθυρίζειν λαμβάνουσιν, ἐγκειμένου τοῦ ψύθους ὀνόματος. Καλλίμαχος, σκύλος γυνὴ κατακάσα, καὶ οὐ ψύθος ὄνομα ἔχουσα.

Ψιθία, εἶδος ἀμπέλου, καὶ μύλων τινῶν.

Ψιθυρίζει ἡ πίτυς, ὅταν ῥιπισθῇ τῇ συνόπτι τῶν φύλλων σχιζομένης τῆς φωνῆς. Ἄλλως.

Ψιθυρίζει, ἀντὶ τοῦ ἀνέμου πνέοντος μαλακοῦ, καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος, ὥσπερ προσλαλεῖ τὰ δένδρα. ὅπερ ψιθυρίζειν λέγεται. ὅθεν παρὰ Θεοκρίτῳ, τὸ ἁδύ τι τὸ ψιθύρισμα. ἤγουν τὸ μέλισμα, τὸ λάλημα. καὶ ψίθυρος, ὁ λάλος.

Ψιθυριστὴς Ἑρμῆς. Δημοσθένης ἐν τῷ κατὰ νεαίρας. ἦν γάρ τις Ἀθήνησιν Ἑρμῆς οὕτω καλούμενος. καὶ ψίθυρος Ἀφροδίτη, καὶ Ἔρως.

Ψιθωμίαν Λάκωνες, τὸν ἀσθενῆ.

Ψίλακα καὶ ψιλὸν, λεῖον, πτερὸν, ἢ πτηνόν.

Ψιλάκερ, τὸ ἡγεῖσθαι.

Ψιλὰς πέτρα, κράσπεδον.

Ψιλὰ, τὰ γένεια. σπανοπώγων, καὶ ψιλαῖς, ἀκοσμήτοις.

Ψιλὴ ἄροσις, ἡ ἄφυτος καὶ καθ᾽ ἑαυτὴν μόνην οὖσα, καθ᾽ ὁμοιότητα τοῦ ψιλοῦ στρατιώτου.

Ψιλεῖς, οἱ ὕστατοι χορεύοντες.

Ψιλίοις, πλαγίοις, ὑπτίοις.

Ψιλίον, πτερὸν μικρόν. οἱ δὲ ψέλλιον, ἢ εἶδος ἄνθους.

Ψιλοκόρρης, φαλακρός.

Ψιλὸν, γυμνὸν, ἔρημον, ἁπλοῦς, ἄτριχον, καὶ πᾶν ἀποδεδαρμένον.

Ψιλὸς στέφανος, πτερινὸς, καὶ ὁ ἱππεύς. καὶ ψιλὸς, ὁ ἀδύνατος παρὰ τὸ ψῶ. ὅθεν καὶ καταψίω. οὗ πᾶν ἀπέψισται καὶ ἀφῄρηται.

Ψιλοτάδες, αἱ καλούμεναι ὑποστρώματα καλά.

Ψιλοὺς, γυμνοὺς, σφενδονιστὰς, τοξότας.

Ψίλωθρον, ποδή. ἔνιοι μαδόν. * φάρμακον, πρὸς ψίλωσιν τῶν τριχῶν σκευαζόμενον.

Ψιλῶς, κούφως, ἁπλῶς.

Ψιμαρῶν, ἁδιέων.

Ψὶν, αὐτοῖς, αὐτόν.

Ψινάδες, αἱ ῥυάδες, ἄμπελοι.

Ψινάζει, ἀποῤῥεῖ τὰ ἀσθενῆ τοῦ καρποῦ, φυλλοῤῥοεῖ.

Ψίναθος, ἡ ἀγρία αἴξ.

Ψίνεσθαι, κλαίειν.

Ψίνθος, τέρψις.

Ψινύθιον, φαῦλον.

Ψὶξ, παρὰ τὸ ψίχω, τὸ ἐμβρωματίζω.

Ψίσαι ψωμίσαι.

Ψίσις, ἀπώλεια.

Ψίττον, ταχέως, εὐθέως.

Ψιττάζων ψίττα ἐπιφθεγγόμενος. ὅπερ ἐστὶ ποιμενικὸν ἐπίφθεγμα.

Ψιττακία, εἶδος ὑποδήματος γυναικείου.

Ψιττία, ψωμία Ἀττικοί.

Ψιφὰ, ἑψητὰ, λεπτά.

Ψιφαῖον, ἱστίον. ὅτε δὲ ψίαθος, ἢ μικρὸν ὀρνιθάριον.

Ψίχιννα, ψωμία.

Ψίχαι, αἱ ἀποπίπτουσαι τῶν ἄρτων τεμνομένων ψιχίαι.

Ψόαν, ὀχλεῖαν. καὶ ψόα, τὸ μέρος τοῦ σώματος. * ἐν ταύταις ἔγκεινται οἱ νεφροὶ, δι᾽ ὧν αἱ ὀρέξεις κινεῖσθαι πεφύκασι.

Ψόγια, ψογερὰ, καὶ οὐκ ἄξια ἀκοῆς, ὡς λίαν μεμπτὰ, αἰσχρὰ, ἐπίψογα.

Ψόγξαι, ἀκοῦσαι.

Ψόγος, κατάγνωσις, μέμψις, ὄνειδος.

Ψοδίαν, ψευδῆ. Λάκωνες δὲ, τὸν στόμαχον.

Ψωδίον, σχολίον.

Ψοθάλλειν, ψοφεῖν.

Ψοθίον, αἰθαλῶδες.

Ψοθὸν, μέλαν, θόρυβος.

Ψόθος, ψώρα, ἀκαθαρσία.

Ψόθαρον, αὐχμηρόν.

Ψοθεία, ψώρα.

Ψοίθησις, ἀλαζών.

Ψολόεντι κεραυνῷ βάλε Ζεὺς, παρ᾽ Ὁμήρῳ, τουτέστιν αἰθαλώτι, ἢ ἀσβολοποιῷ. ψόλος γάρ φασιν, ἡ ἀσβόλη.

Ψολοκομπίαις, αἰθαλοκομπίαις, μεγαλοδοξίαις, ψευδολαλίαις, μεγαληγορίαις, καπνοῖς, ἀλαζόσι, κομπασταῖς.

Ψολῶσαι, ψιλῶσαι, ῥινῆσαι.

Ψόμμος, ἀκαθαρσία, καπνός.

Ψοφεῖ, κτυπεῖ, ῥήσσει.

Ψοφοειδῶς, ταραχωδῶς.

Ψοφοδεὴς, δειλὸς, κενοφόβος, ὁ καὶ τοὺς ψόφους, καὶ τὰ ἐλάχιστα φοβούμενος, ἢ καὶ ὁ καταπληξ, καὶ ὁ δεδοικὼς ὁρῶν τὰ πάντα. ὃς καὶ ψόφου αἰσθανόμενος οὐκ ἀπαλλάττεται τοῦ φοβεῖσθαι.

Ψυά. οἱ μὲν ἁπλῶς ἁμαρτάνοντες, διὰ τοῦ ῡ γράφουσιν. οἱ δὲ διπλῆ, διὰ τῆς ο καὶ ἰῶτα διφθόγγου ψοιά. ἔστι δὲ τὸ ὄνομα πολυκίβδηλον.

Ψυγεῖα, ἀγγεῖα ἐν οἷς ὕδωρ ψύγεται, καὶ ὁ τόπος αὐτός.

Ψυδρὰ, ψευδῆ.

Ψύδρα. οἱ Ἴωνες ψύδρακας λέγουσι, τὰς ποικίλας. ὅθεν καὶ ἡμεῖς ψύδρακας καλοῦμεν, τὰ ἐπὶ τοῦ σώματος ἐξανθήματα.

Ψύη, παρὰ τὸ ψαύω, ἡ ἐπιψαύουσα σὰρξ, καὶ ἐξεπιπολῆς οὖσα τοῖς ὀστέοις.

Ψυθιζομένων, γογγυζόντων.

Ψύθιον, ὀλιγοχρόνιον.

Ψῦθος, τὸ ψεῦδος, ἐκβολῇ τοῦ ε, ψῦδος, καὶ τροπῇ τοῦ δ᾽. εἰς θ᾽, ψῦθος. καὶ ψῦθος, ἀραιά. ὀλίγη, ψιθυρίς.

Ψυθῶνες, διάβολοι.

Ψυῖαι, ἀλώπεκες, βασσαρίδες, καὶ αἱ κατὰ τὴν ὀσφὺν σάρκες.

Ψυκτὰ, ἡ μὴ πολλῷ ὕδατι πεφυρμένη μάζα.

Ψυκτὴρ καλεῖται, ὃν ἡμεῖς ψυγέα. καὶ εἶδος ποτηρίου.

Ψυκτηρίαι, οἱ ἀλσώδεις καὶ σύσκιοι τόποι.

Ψύλλαν, Ἀττικῶς ἐπὶ θηλυκοῦ γένους λέγει Ἀριστοφάνης, ὃν ἡμεῖς ἀρσενικῶς ψύλλον καλοῦμεν.

Ψύλλα καὶ Ἄρπιννα, ἵπποι Οἰνομάου. ὧν ἦν Μυρτίλος ἡνίοχος.

Ψύλλας ἀφώνους οὔσας βομβεῖν φησιν Ἀριστοφάνης, ἀλλὰ κωνώπων μᾶλλον τοῦτο ἴδιον. οὐκ ἰδίως δὲ εἶπε τὰς ψύλλας βομβεῖν, οὐ γὰρ προΐεσι φωνήν. κώνωπας δὲ λέγει, τὰς ἐμπίδας.

Ψυλλίον, πόα, ἧς καὶ τὸ σπέρμα ὁμώνυμον.

Ψύλλικοι, εἶδος κυνῶν. καὶ ψύλλικος γύης, ὁ τῶν ψυλλῶν. οἱ δὲ Ψύλλοι, ἔθνος Λιβύης.

Ψύλλος, τὸ παχὺ τὸ συνέχον τὸ τοῦ κάπρου αἰδοῖον.

Ψύξας, ἀμβλυώσας, φυσήσας, ἄνεμον ποιήσας, πνεύσας.

Ψύξασθαι, ῥυήσασθαι, ξηράναι.

Ψυρία, νησίδιον φασι, Χίου ἀπέχον σταδίους ὀγδοήκοντα, λιμένα ἔχον, νεῶν εἴκοσι. λέγεται καὶ ὑδεστέρως τὰ ψύρα.

Ψυρὶς γῆ, λυπρὰ χέρσος.

Ψύττα, ἐπὶ τοῦ ταχέως ἀποδραμεῖν λέγεται.

Ψύτταρον σκαφίον.

Ψύττα, πρόχυμα.

Ψύττη, πτύη.

Ψυττὸν, πτύελον.

Ψυχαγωγεῖν λέγεται, τὸ τὴν ψυχὴν ἐκλείπουσαν καὶ ἐκλελυμένην αὖθις τινὰ ἐπανάγειν. ψυχαγωγεῖ, παραμυθεῖ.

Ψυχαγωγία, ἀναγωγὴ τῶν ψυχῶν. καὶ ψυχαγωγία, παραμυθία. λέγεται δὲ ἡ ἀνάπαυσις τῶν ψυχῶν.

Ψυχάζειν, τὸ ἀναψυχὴν λαμβάνειν ἐκ πνεύματος.

Ψυχὰς, πνεύματα.

Ψυχέμπορος, ὁ τοὺς ἀνθρώπους ἀγοράζων, καὶ αὖθις πωλῶν.

Ψύχεος ἱμείρων, καταψύξεως ἐπιθυμῶν.

Ψυχὴ, ἡ λογικὴ, καὶ ἡ ἐν τοῖς ζώοις τοῖς ἀλόγοις, καὶ ἡ ἐν τοῖς φυτοῖς. ψυχὴ, καὶ ἡ ζωὴ, ὡς παρ᾽ Εὐριπίδῃ. οἷον, ἐπεὶ δ᾽ ἡ Τροία Ἕκτορός τ᾽ ἀπώλετο ψυχὴ, ἤγουν ἡ ζωή. ψυχὴ καὶ ἡ φύσις. ὡς παρὰ Σοφοκλεῖ, τῆς ἐμῆς ψυχῆς γεγὼς, ἤγουν ἐκ τῆς ἐμῆς φύσεως.

Ψυχή ἐστιν οὐσία νοερὰ, ἀνόμοιος, καὶ ἀγνώριστος λογικὴ, σώματος ζωτικὴ, καὶ συστατική. ψυχή ἐστιν, οὐσία λεπτὴ ἄϋλος καὶ ἀσχημάτιστος, εἰκὼν Θεοῦ. καὶ τύπος. ἢ ψυχή ἐστιν, οὐσία ἀσώματος, αὐτοκίνητος. Ψυχή ἐστιν, αἴτιον κινήσεως ζωτικῆς, ἢ ζῶον ἀφανὲς, ἢ πνεῦμα διῆκον ἐν ὅλοις τοῖς μορίοις. ἢ Ψυχή ἐστιν, οὐσία ἀσώματος, νοερὰ, σώματι πολιτευομένη, ζωῆς παραιτία. ἡ ψυχή ἐστι, πνεῦμα αὐ-

Digitized by Google

τοκίνηται, ἔχον ἐν ἑαυτῷ νοῦν καὶ αἴσθησιν, καὶ λόγον. ἡ ψυχή ἐστι, φύσις ζωογονοῦσα τὰ σώματα.
Ψυχθῶναι, καὶ ψυχῶναι, ἢ ψυγῆναι.
Ψυχόλεθρος, ἡ τῆς ψυχῆς ἀπώλεια.
Ψυχόμενος, τῷ ψυχρῷ βρεχόμενος, παρὰ τῷ Ἀπολλωνίῳ.
Ψυχορραγέοντα, ἀποψυχοῦντα.
Ψυχορραγῶ, ἀσπαίρω, λιποψυχῶ.
Ψυχορρόφους, τὰς τὴν ψυχὴν ἐκπινούσας.
Ψυχουλκοὶ, πόα τις, καὶ ψυχουλκούμενοι, τὰς ψυχὰς ἑλκόμενοι.
Ψυχροκομψεύματα, ψυχροφαντάσματα.
Ψυχρὸν, κακὸν, ψύξεως αἴτιον.
Ψυχρολογία, ψευδολογία.
Ψύχω, τὸ ζωογονῶ, καὶ ζωοποιῶ, καὶ τὸ φυσῶ. ὅθεν ψύξασα, ἀντὶ τοῦ φυσήσασα.

ΤΟ Ψ. ΜΕΤΑ ΤΟΥ Ω.

Ψῶ, σημαίνει δ', τὸ ἅπτομαι, τὸ λεπτύνω, καὶ σμικρύνω, τὸ κόπτω, καὶ τὸ καίω. ἐξ οὗ καὶ ψωλὸς, ὁ κεκαυμένος δαλός.
Ψῶ καὶ ψίω, τὸ λεπτύνω, καὶ ψιάω. ἀφ' οὗ ψωμὸς, τὸ ἔλαττον παρὰ τὸν ἄρτον παρ' Ὁμήρῳ.
Ψῶα καὶ ψῶζα, ἀμφότερα τὴν δυσωδίαν σημαίνει. ἄρτι μὲν ἔπλυνον ἐπὶ ψῶαν ἐνέασκον.
Ψωδαρέον, αὐχμηρόν.
Ψώδη, γλῶττα.
Ψώθιον, τὸ ὑποκάτω τοῦ ἄρτου.
Ψωΐζος, ἄφοδος ὑγρὰ, ἡ νόθος δυσωδία. καὶ ἣν καλοῦσι μίνθον. οἱ δὲ, αὐχμὸν, ἢ μόλυσμα.
Ψωΐα, σαπρὰ δυσωδία.
Ψωκτὸν, τράπεζαν.
Ψωλὴ, παρὰ τὸ φυσᾶσθαι κατὰ τὴν ὄρεξιν τῶν ἀφροδισίων, ὅτι καὶ φύσει φυσώδης ἐστί.
Ψωλήκυθος, οὐδενὸς ἄξιος.
Ψωλὸν, παρὰ τῷ Ἀριστοφάνει, λέγουσι τὸν ἀσχήμονα κατὰ παρέκτασιν τοῦ μορίου.
Ψωλὸς, ὁ λεπτόδερμος ὀξυτόνως. καὶ ἀκρόψωλος, ὁ ἐπὶ βραχὺ ποσθῶν.
Ψώμικες, αἱ τοῦ σίτου τὰς ῥίζας ἀπεσθίουσαι.
Ψωμίζεται. Ἀριστοφάνης, ἐπίσταμαι γὰρ αὐτὸν, οἷς ψωμίζεται. ἤγουν οἷς ἀπατᾶται, οἷς χαίρει. τὸ δὲ ψωμίζεσθαι, ἐπὶ τῶν μικρῶν παιδίων λέγεται, ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξουσίᾳ. ὥσπερ αἱ τίτθαι. τίτθας καλοῦμεν, τὰς τιτθὰς, τὰς τῷ γάλακτι θρεψάσας τὰ παιδία. ἐγγύθεν οὖν ἀπὸ τοῦ ψωμίζειν ἀπεικάσατο λέγων, ὅτι κατὰ τὰς τίτθας καὶ σὺ τὸν δῆμον κακῶς τρέφεις. τίτθας οὖν, τὰς τροφὰς, τὰς μάμμας.
Ψωμιεῖ, τρέφει.
Ψώμιξ, σφήκωμα.
Ψωμοὶ, μέρη, τὰ λεπτὰ κόμματα. ὅθεν καὶ ψωμὸς ἄρτου, ὁ παρ' Ἡσιόδῳ βλωμός. ψωμὸς δὲ εἴρηται, παρὰ τὸ ψήχεσθαι ὑπὸ τῶν ὀδόντων, καὶ τρίβεσθαι κατὰ τὰ ψαιστά. ὁ δὲ Ἡρωδιανὸς, παρὰ τὸ ψῶ, τὸ λεπτύνω· δηλοῖ γὰρ αὐτὸ τοῦ ἁπλοῦς τὸ ἐλάχιστον. καὶ ψώρα ὁμοίως, παρὰ τὸ ψῶ. ὃ παράγωγον ψαύω. ἐπειδὴ οἱ τῷ πάθει τούτῳ συνεχόμενοι πολλὴν ἔχουσιν ὁρμὴν πρὸς τὸ ψαύειν καὶ κνήθειν τὰ πεπονθότα τοῦ σώματος μέρη. τὸ ψῶ, σημαίνει τέσσαρα. ψῶ γὰρ τὸ ἅπτομαι. ἐξ οὗ καὶ ψώρα, παρὰ τὸ ἅπτεσθαι καὶ κνήθειν τὰ πεπονθότα μέρη τοῦ σώματος. ψῶ, τὸ λεπτύνω καὶ σμικρύνω. ἐξ οὗ καὶ ψιλὸς στρατιώτης, ὁ ἄοπλος καὶ γυμνός. ψῶ, τὸ κόπτω. ἐξ οὗ καὶ ψωμὸς, ὁ εἰς μικρὰ κεκομμένος. ψῶ, τὸ καίω. ἐξ οὗ καὶ ψωλὸς, ὁ κεκαυμένος δαλός.
Ψωραλέοντα, ψωριῶντα.
Ψωροπίπαλαι, ἰχθύες ἀπαλοῖς.
Ψῶρος, παιδεραστής.
Ψῶσαν, ἀντὶ τοῦ θάλψωσαν Ἴωνες λέγουσιν. ἔστι δὲ παρ' αὐτοῖς, καὶ τὸ ψῶ, ἀγροικικὸν προσφώνημα.
Ψώχοντες, θρύπτοντες, λεπτύνοντες.
Ψώχειν, ἀνακινεῖν, ἀνατρίβειν.
Ψώχω, λεπτύνω, πλύνω, ξαίνω.
Ψωχὸς, γῆ ψαμμώδης.

Τέλος τοῦ Ψ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ω.

ΣΤΟΙΧΕΙΟΥ ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Ὢ Μετὰ τῆς κλητικῆς οὐδέποτε ὀξύνεται, ἀλλὰ καὶ ἔκπληξιν ὁ λόγος ἔχει καὶ θαῦμα. οἷον ὢ Ἡράκλεις, ὢ θαῦμα θαυμάσιον. οὐ γὰρ τὸ ὢ μόνον ἐν τούτοις ἐμφαίνει τὴν ἔκπληξιν, καὶ τὸ θαῦμα, ἀλλὰ μετὰ τῶν κλητικῶν. ὅτε δὲ ἐπάγεται γενικὴ, ἐξ ἀνάγκης ὀξύνεται. τότε γὰρ πάντως ἢ σχετλιαστικόν ἐστιν. οἷον ὢ τῆς ἐμῆς ἀθλιότητος. ἢ θαυμαστικόν. οἷον ὢ ξένε μεγάλου, διὸ καὶ τὴν γενικὴν ἔχει ἐπαγομένην, λαμβανομένου ἔξωθεν τοῦ ἕνεκα.
Ὦ, ὠὴ, ἰὼ, ἐπιρρήματα κλητικὰ πρὸς τὴν κλητικὴν πτῶσιν τάσσεται. οἷον ὦ φίλοι, ὠὴ φίλοι.
Ὦ, ὃ σημαίνει τὸ ὑπάρχω, ἔω λέγουσιν οἱ Ἴωνες. Ὅμηρος, ὃς ἤδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.
Ὦ παρὰ τοῖς παλαιοῖς δασεῖαν εἶχε, καὶ περιεσπᾶτο, ὡς ἐνθουσιαστικόν τι ἐπίρρημα, παρὰ δὲ τοῖς ὕστερον οὐδέτερον τούτων πάσχει. οὔτε γὰρ δασεῖαν, οὔτε περισπωμένην ἔχει, ἵνα μὴ συνεμπέσῃ τῷ ῥήματι, ὃ δηλοῖ τὸ πέμπω, ὅπερ μετὰ συνθέσεως ἰῶ γίνεται καὶ ἀφῶ.
Ὦα, μηλωτὴ, διφθέρα. οἷς γὰρ τὸ πρόβατον. ἐν ῥητορικῷ λεξικῷ δὲ γράφεται, ὅτι ὦαι, αἱ ἔσχαται ἄκραι. ἐν ἄλλῳ δὲ, ὅτι ὦα, ἡ μηλωτὴ κατ' ἔκτασιν, καὶ δῆλον ἐκ τοῦ οἶς, οἶαι, διφθέραι, μηλωταί. οὐ ἐκτείσει καὶ συναιρέσει ὦαι. ὦα δὲ κατὰ Αἴλιον Διονύσιον, ἐπὶ ἱματίου διὰ τοῦ ο μικροῦ.
Ὦας, τὰς κόμας, καὶ τὰς διφθέρας οὕτω φασί.
Ὤασιν, ὠσίν.
Ὦατα, ὦτα, ὦτα.
Ὠάσω, θήσω, ἀκέσομαι.
Ὦ, αὐτοῦ νόῳ, παρ' Ὁμήρῳ. ἤγουν κατὰ ἴδιον αὐτοῦ νοῦν ἐνόμισα.
Ὥς, ἐθέλω δοῦναι, παρ' Ὁμήρῳ. τὸ ὥς, ὅτε δηλοῖ τὸ ὅμως, περισπᾶται.
Ὠγαθέ, ἀντὶ τοῦ ὦ ἀγαθὲ Δωρικῶς.
Ὦ τᾶν, ἀντὶ τοῦ ὦ προσφιλέστατε, ὦ ἑταῖρε.
Ὦ τᾶν, ὦ ἑταῖρε. ἢ ὦ φίλοι, ὅτι οὐ πρὸς ἕνα μόνον τὸ ὦ τᾶν, ἀλλὰ καὶ πρὸς δύο. καὶ Κρατῖνος, ἆρά γε ὦ τᾶν ἐθέλετε.
Ὦ φήμερε, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὦ θνητὰ καὶ ἐφήμερα φρονῶν, καὶ ὑπερφρονῶν τὰ τῶν ἀνθρώπων.
Ὦ φίλος, Ἀττικοὶ ἀντὶ κλητικῆς εὐθεῖαν λέγουσιν, ἀντὶ τοῦ ὦ φίλε.

ΤΟ Ω. ΜΕΤΑ ΤΟΥ Β.

Ὤβαλλετο, διωθεῖτο.
Ὠβάτας, τοὺς φυλέτας.
Ὠβοὶ, τόποι μεγαλομερεῖς.
Ὦβεα, τὰ ὠὰ Ἀργεῖοι. ἢ τὰ ἀργὰ ὦτα.
Ὠβεοκόπτας, τοὺς ὄφεις. ἀπὸ τούτου ὠβέλ. ὠὸν, καὶ τοῦ περσικοῦ τὸ ἐντός.
Ὠβὼν, πόλις Μωαβιτῶν.
Ὤβρατο, ἥμαρτο.

ΤΟ Ω. ΜΕΤΑ ΤΟΥ Γ.

Ὤγανον, κνημὶς, ἀμάρη.
Ὠγενίδαι, ὠκεανίδαι, ὠγὴν γὰρ Ὠκεανός.
Ὠγένιον, παλαιόν. καὶ ὄρος τι.
Ὠγὴν, Ὠκεανός.
Ὠγὴ, κώμη, φάλαγγος τὸ ἔσχατον, τὸ ἄκρον.
Ὤγκωσαν, ἐμετεωρήσαν.
Ὠγμὸς, φωνὴ μετὰ τοῦ ἐκβοηθῆσαι, ἢ μετὰ χειροτονίας.
Ὤγμευον, κατὰ τάξιν ἐθέριζον, παρὰ τὸν ὄγμον.
Ὤγνωτο, ἀνεώγνωτο.
Ὦγον, παρατατικὸς ἐκ τοῦ οἴγω.
Ὠγυγία, κύριον ὄνομα τῆς κατὰ τὴν Καλυψὼ νήσου, ἀπό τινος Ὠγύγου φασὶ βασιλέως ἀρχαίου Θηβῶν.
Ὠγυγίας, τὰς Θήβας λέγουσιν ἀπὸ Ὠγυγίου τοῦ βασιλεύσαντος αὐτῶν. Κορίννα δὲ τὸν Ὤγυγον Βοιωτοῦ υἱὸν εἶπεν. ἀπὸ τούτου δὲ ὠγυγίαι τῶν Θηβῶν πύλαι.
Ὤγυγος, ἀρχαῖος βασιλεὺς Ἀθηναίων. ἀφ' οὗ καὶ ὠγυγίαι πύλαι ἐν Θήβαις. καὶ πᾶν τὸ ἀρχαῖον, ὠγύγιόν φασι, διὰ τὸ πολὺ αὐτὸν γενέσθαι ἀρχαιότατον. Διονύσιος, ὠγυγίῃ τε Θάσος Δημήτερος ἀκτή. ἐξ ἀρχῆς γὰρ τὴν Δήμητραν μεγάλως ἐτίμων.
Ὠγύλοντο, συνεκάμπτοντο.

ΤΟ Ω. ΜΕΤΑ ΤΟΥ Δ.

Ὠδαὶ διάφοροι, παρὰ τῷ Ποιητῇ. αἱ μὲν ἐπὶ θείοις. οἷον, οἱ δὲ πανημέριοι, μολπῇ θεὸν ἱλάσκοντο καλὸν ἀείδοντες, μέλποντες, καὶ παιῶνα. ἕτεραι δὲ ὠδαὶ ἔν τε γάμοις καὶ εἰλαπίναις, καὶ ἁπλῶς εὐωχίαις, ὁποία ἡ ἐν τῇ ὁπλοποιίᾳ μουσικὴ, καὶ ἡ παρὰ τοῖς μνηστῆρσί τε καὶ τοῖς Φαίαξιν. Ἀχιλλεὺς δὲ προϊόντος τοῦ λόγου ἄλλον τρόπον μεταχείρεται τὴν ᾠδὴν ἀείδων κλέα ἀνδρῶν. εἰσὶ δὲ πενθητήριοι ὠδαὶ, καὶ ἀοιδοὶ θρήνων ἔξαρχοι, παρὰ τῷ Ποιητῇ. ὅλως δὲ ὡς οἱ παλαιοὶ σημαίνονται, τέσσαρές εἰσιν ὠδαὶ, παρὰ τοῖς ἥρωσι. σωφρονιστικὴ, ὁποία ἡ τοῦ τῇ Κλυταιμνήστρᾳ συνόντος ἀοιδοῦ. ἐγκωμιαστικὴ, ὡς ἡ μνηστὴρ τοῦ Ἀχιλλέως. θρηνητική. ὀρχηματικὴ, ὡς ἡ τοῦ Νεανίου τοῦ ἐν τῇ ὁπλοποιίᾳ ᾄδοντος. καὶ παιανικὴ, ὁποία ἐστὶν ἡ νῦν παρὰ τῷ Ποιητῇ. φησὶ γὰρ, καλὸν ἀείσαντες παιῶνα.
Ὠδάκτυτον, ἄδακνον, ἀπέραντον.
Ὦδ' ἄφαρ, οὕτω ταχέως.
Ὠδδάγμην, ὠνησάμην.
Ὠδδάξατο, ἐδίδαξεν.
Ὤδδωσεν, ἀπέδοτο.
Ὧδε, ἀντὶ τοῦ ἐνταῦθα, καὶ ἀντὶ τοῦ οὕτω, δασύνεται. γέγονε γὰρ ἑκάτερον ἀπὸ τῆς ὅδε ἀντωνυμίας. ἢ ὧδε, ἀντὶ τοῦ οὕτως, ἁπλῶς δηλαδὴ, καὶ ὡς εἰπεῖν οὕτως. οὐδέποτε γάρ φασιν ὁ Ποιητὴς, τοπικὸν οἶδε τὸ ὧδε, ἀλλὰ πολλάκις παρ' αὐτῷ, ἀντὶ τοῦ οὕτως κεῖται.
Ὧδε εἰπεῖν, ἀντὶ τοῦ συντόμως εἰπεῖν.
Ὧδέ πη, οὕτω πῶς, κατὰ τοῦτον τὸν τρόπον.
Ὤδεε χρόα, ἐκ τοῦ οἰδέω οἰδῶ οἰδήσω, ᾤδηκα, ᾤδημαι. ὅθεν ᾠδημένος, ὁ ἐξωγκωμένος. τὸ ᾤδεε χρόα, ἀντὶ τοῦ ἐξογκοῦτο. εὕρηται δὲ ἐν παλαιοῖς βιβλίοις, ἀντὶ τοῦ ὦζε, ὡς ἀπὸ τοῦ ὄζω, τροπῇ συνήθει τοῦ ζ εἰς δ'. τοῦ δὲ ὄζω κοινῶς μὲν ὁ μέλλων διὰ τοῦ ε. ὀζέσω γάρ. ὁ δὲ κωμικὸς ὀζήσω φησὶ διὰ τοῦ η.
Ὠδείῳ παρὰ τῷ Ἀριστοφάνει. οἱ δ' ἐν ᾠδείῳ δικάζουσι. τόπος δέ ἐστι θεατροειδὴς, ἐν ᾧ εἰώθασι τὰ ποιήματα ἀπαγγέλλειν, πρὶν τῆς εἰς τὸ θέατρον ἐπαγγελίας. τοῦτό δέ φησιν, ὅτι εἰς πάντα τόπον εὑρήσεις δικαστὰς ἐν τῇ Ἀττικῇ. τοῦτο δὲ οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς πλῆθος τῶν δικῶν.
Ὠδὴ, παρὰ τὸ ᾄδειν, λόγος μεμελισμένος. ᾠδὴ, καὶ στροφὴ ἐν παραβάσει παρὰ τῷ Ἀριστοφάνει ἐν νεφέλαις ὀνομάζεται, διὰ τὰς στροφὰς τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾶν, καὶ ᾄδειν εἰς ἕτερον ἀφορῶντα μέρος. ἔστι δὲ ὡς ἐπὶ τὸ πλεῖστον εἰς θεοὺς ἡ ᾠδή.
Ὠδήκαντι ἶνες, ἤγουν ὠγκωμέναι εἰσὶν αἱ φλέβες, ἢ τὰ νεῦρα παρὰ Θεοκρίτῳ Δωρικῶς. ὥσπερ λελήφαντι, ἀντὶ τοῦ λελήφασιν.
Ὠδηκὼς, οἰδήσας, φυσήσας.
Ὠδήσατο, ἐφροντισάμην.
Ὧδί, οὕτω πῶς.
Ὠδίνησεν, ἐγέννησεν.
Ὠδῖνες, πόνοι, ἀλγηδόνες.
Ὠδίνω, τὸ ἐγκυμονῶ. καὶ ὤδινεν, ἀντὶ τοῦ ἐπεθύμει.
Ὠδὶς, παρὰ τὸ ὠθῶ, ὠθὶς τις οὖσα δι' ἧς ὠθεῖται τὸ βρέφος. ἢ ἀπὸ τοῦ ὀδύνη κατ' ἐπαύξησιν τοῦ ο εἰς ω, καὶ τροπῇ τοῦ υ εἰς τὸ ι.
Ὤδοσα, ἐκ τοῦ ὧδε μέρους.
Ὠδύσαντο, ἐθρήνησαν.
Ὤδυσαι, ἤχθεσθη.
Ὠδύσατο, ὠργίσθη. ὠδύζεσθαι γὰρ τὸ ὀργίζεσθαι.
Ὠδώδε, σέσηπεν, ὤζεσεν.
Ὠδῶν, ᾠδῶν.

Digitized by Google

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Ε'.

Ω'Εσεδα, ἐνόμιζεν χεῖσαι, ὠρέτιον.
Ω' ἔπι πολλ' ἐμόγησα, ἀντὶ τοῦ ἐπὶ ὧ πολλὰ ἐμόγησα. καὶ ὄρνιθες ὤς, ἀντὶ τοῦ ὡς ὄρνιθες. τὸ ἀναστρέφειν τὰς λέξεις, Ἰώνων ἴδιον.
Ω'έω, πολίτω.
Ω'ζεν, βοῶν.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Η'.

Ω'Ηδος, ὦ φίλος.
Ω'ρήχθαι, ὀρινοί, ὑπώμοι, ἄθυμοι.
Ω'ησαν, ὑπέλαβον, ᾠήθη. οἴω τὸ ὑπολαμβάνω, καὶ περισπώμενον οἰῶ, μέλλων οἰήσω, ὤισα, ὤημαι, ὁ ἀόριστος ᾠήθην. τὸ γ' ᾠήθη.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Θ'.

Ω'Θεῖν, οἰκεῖον ἐπὶ νέων. ὥσπερ ἐπὶ βορίου τὸ κυλίνδεται. ἢ ὠθεῖν κυρίως, τὸ ἀπὸ χθαμαλωτέρου ἀνάγειν εἰς ὑψηλότερον.
Ω'θησεν, ἔρριψεν, ἀπώσατο, ἀπεστράφη.
Ω'θισμὸς, ὠσμὸς, ἀνατροπή.
Ω'θύλετο, διενοεῖτο.
Ω'θοῦμεν ἐνεργητικῶς, τὸ κοινῶς λεγόμενον κινοῦμεν. ὠθίζονται δὲ παθητικῶς οἱ πρός τι στασιάζοντες ἐλθεῖν πολλοὶ ὄντες, καὶ ὑπ' ἀλλήλων ὠθούμενοι. τὸ διωθεῖται παθητικῶς προφέρεται Ἀττικῶς, καὶ δηλοῖ τὸ παρακρούεται, καὶ παραγογγύζεται. ὃ παραπλήσιον τοῦ παρωθεῖται, ἤτοι παρορᾷ, καὶ περιφρονεῖ, καὶ ὑπερβαίνει. ἀπωθεῖται, ἀντὶ τοῦ ἀποπέμπει, καὶ ἀποσείεται. ἐξωθεῖται, ἤτοι ἐκβάλλει καὶ ἐξωθεῖ. ὅθεν καὶ ἐξώστης ἄνεμος. συνωθεῖ, ἤτοι συνελαύνει. καὶ παρ' Ἀριστοφάνει ἐπὶ τῆς αὐτῆς σημασίας τὸ ὠστιζόμεθα, ἀντὶ τοῦ ἐλαυνόμεθα. προωθεῖ, ἤτοι εἰς τὸ ἔμπροσθεν ὠθεῖ βίᾳ.
Ω'θῶ, τὸ χερσὶν ἀπωθῶ. γράφεται δὲ καὶ ὠθίω ὠθῶ, καὶ ὠθοῦμαι ἐπὶ ἐνεργητικῆς σημασίας.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Ι'.

Ω'Ι, ἀντὶ τοῦ διό, ἢ ᾧ τινι.
Ω'ῖαι, ἄκραι, ἔσχαται, μηλωταί, λάγναι.
Ω'ΐδας, τὰς τῶν μήλων οἰκίδας.
Ω'ίγνυντο, ἐκ τοῦ οἴγω τὸ ἀνοίγω, καὶ πλεονασμῷ, οἴγνυμι. ἐξ οὗ παράγωγον οἰγνύω. ἀφ' οὗ οἴγνυμι, οὗ παθητικὸς παρατατικὸς ᾠγνύμην, τὸ τρίτον τῶν πληθυντικῶν ᾠγνυντο, ἀντὶ τοῦ ἀνεῴγνυντο. ὥσπερ καὶ θόρω, τὸ πηδῶ, θορνῶ, θορνύω, θόρνυμι.
Ω'ϊδαῖς, ὑμνῳδίαις, ᾄσμασιν.
Ω'ΐδεῖον, τόπος ἐν ᾧ πρὶν τὸ θέατρον κατασκευασθῆναι οἱ ῥαψῳδοὶ καὶ οἱ κιθαρῳδοὶ ἠγωνίζοντο.
Ω'ίδησα, ἐφροντισάμην.
Ω'ϊδικὸς, μουσικός.
Ω'ΐδαιν, ὠργιζόμην, ἐν ἐμαυτῷ ἠγανάκτουν.
Ω'ίετο. Ὅμηρος Ὀδυσσείας υ. γόον δ' ᾤετο θυμός, τουτέστιν ἐφαντάζετο γόους ἡ ψυχή.
Ω'ΐζει, ἐπικάθηται.
Ω'ϊζύος, ταλαιπωρίας.
Ω'ϊζυρὰ, μοχθηρά.
Ω'ΐη, πορεύεται.
Ω'ίδην, καὶ οἶδα. διαφορὰν τοῦ ᾠίδην καὶ οἶδα. τὸ μὲν γὰρ οἶδα πρὸς ἀκρίβειαν. τὸ δὲ ᾠίδην, πρὸς νόμισιν παρ' Ὁμήρῳ.
Ω'ϊκίσθαι, ᾤκει.
Ω'ίξαν, οἴγω τὸ ἀνοίγω, οἴξω, καὶ διαλύσει οἴξω, ὦιξα, τὸ τρίτον τῶν πληθυντικῶν, ὤιξαν.
Ω'ίσατο ᾠήθη, ἔδοξεν.
Ω'ίχα, ὁρμά, ὑπώιμα.
Ω'ίχετο, ἐπεχείθη.
Ω'ΐδε, ὑπέλαβεν, ᾠήθη.
Ω'ϊσο, προσεδέχετο.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Κ'.

Ω'Κα, ταχέως, ταχύ, ἐκ τοῦ ὠκέα κατὰ συγκοπήν.
Ω'κα. διέπρησσον ταχέως. τὸ μὲν ὦκα, καὶ τὸ ταχέως, ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῦσι, καθὰ καὶ τὸ ἐσσυμένως.
Ω'καλέη, εἴρηται μὲν καὶ ὠκάλεια. καλεῖται δὲ ὅτι διὰ τὸ ὦκα καὶ συντόμως ἐκεῖθεν παρελθεῖσθαι. ἢ ἀπὸ ποταμοῦ παραρρέοντος. παραρρεῖ γὰρ αὐτὴν ποταμὸς ὁμώνυμος.
Ω'καχήμεναι, λυπησόμεναι.
Ω'κέα ἶρις, ἀναλόγως προῆκται. ὡς καὶ τὸ ἡ γλυκέα, ἡ ἡδέα, καὶ τὰ ὅμοια. ἐκ τοῦ ὠκὺς γὰρ ὠκέος τὸ πληθυντικὸν ὠκέα, ὡς γλυκὺς γλυκέος γλυκέα. οἱ δὲ μεθ' Ὅμηρον ἐπενθέντες τὸ ι, ἐποίησαν ἡδεῖα, γλυκεῖα, καὶ τὰ λοιπά.
Ω'κεανὸς, παρ' Ὁμήρῳ ἀλληγορικῶς, ὁ διανοητὸς κύκλος τοῦ κόσμου, φανερόν τε καὶ ἀφανὲς ὁρίζων, ἤγουν τὸ ὑπὲρ γῆς ἡμισφαίριον, καὶ τὸ ὑπὸ γῆν. ὅτε γάρ πως φησὶ καὶ τὸ φάος τοῦ Ἡλίου, ὅ ἐστιν αὐτὸν τὸν ἥλιον τῷ Ὠκεανῷ ἐμπίπτοντα ἕλκειν τὴν νύκτα. Ὠκεανὸς δὲ λέγεται ἀπὸ τοῦ ὠκέως νάειν. ὥσπερ καὶ Ῥέα, ἣν ῥείην λέγουσιν, ἀπὸ τοῦ ῥέειν. ὡς γὰρ θέα θείη ἐν θεογονίᾳ, οὕτω καὶ ῥέα ῥείη.
Ω'κέες, στρουθοὶ ταχεῖς, διαπρεπεῖς, κοῦφοι.
Ω'κεον, ᾤκουν.
Ω'κέων, ἁμαρτῶν, ἢ ταχέων.
Ω'κειλαν, ὥρμησαν, καὶ ὤκειλε, προσήγγισεν.
Ω'κέοντα, φθαροῦσα.
Ω'κίδες, ἐνώτια.
Ω'κιμον, βοτάνη διώδης. τὸ κοινῶς λεγόμενον βασιλικόν.
Ω'ίμβαζεν, ἐσπάραττεν, ἐθορυβεῖτο, ἐστρατεύετο.
Ω'κιστον, τάχιστον.
Ω'κλασαν τὰ γόνατα, ἤγουν ἔκαμψαν.
Ω'κοδόμουν, ᾠνοχόουν.
Ω'κουν, παρατατικὸς ἐκ τοῦ οἰκέω, οἰκῶ.
Ω'κριόωντο, ὠξύνοντο, ἐτραχύνοντο.
Ω'κτειρεν, ἠλέησεν, ἀόριστος ἐκ τοῦ οἰκτείρω.
Ω'κτείρησεν. οἰκτείρω τὸ ἐλεῶ, ὁ μέλλων οἰκτειρήσω ἐστερημένως, ἀόριστος ᾠκτείρησα, τὸ τρίτον ᾠκτείρησε, γίνεται ἐκ τοῦ οἶκτος. ὅθεν καὶ οἰκτίζομαι.
Ω'κτίσατο. οἰκτίζω, τὸ ἐλεῶ, ὁ μέλλων οἰκτίσομαι. τὰ γὰρ ἐνεργητικὰ ἄχρηστα. ὁ ἀόριστος πρῶτος ᾤκτισα, ὁ μέσος ᾠκτισάμην, ᾠκτίσω, σατο.
Ω'κὺ, ὀξύ, ταχύ.
Ω'κυάλου, ἐπὶ νηός. ἡ ἁλὸς γενικὴ ἐπὶ μὲν κυρίων συντιθεμένη ψιλὸν ἀποφέρει τὸ πνεῦμα. οἷον Ἀρύαλος.
Ω'κυαγεῖς, ἰσοδύν. ὧν ἡ δύναμις ἐπιφανής.
Ω'κυβόαι, ταχυμάχαι.
Ω'κύθοον, πόα τις, ἡ τρίφυλλος καλουμένη.
Ω'κύμοροι ἰοὶ, ἀσυνήθως ληφθέν. κοινῶς μὲν γὰρ ὠκύμορος ἐν παθητικῇ σημασίᾳ, ὁ θνήσκων ὠκύ. νῦν δὲ αὐτοὶ ὠκύμοροι, οἱ θανατοῦντες ὠκύ. τοιούτῳ τινὶ λόγῳ πολύστονος, ὁ ποιῶν, οὐ πάσχων στόνους.
Ω'κύνει, ταχύνει, ὀξύνει.
Ω'κύπετας, ὀξέως πετομένους.
Ω'κυπόροισι, ταχέα δρόμον ἔχουσι, καὶ πλέουσι.
Ω'κυπτέροις, παρὰ τῷ Ἀριστοφάνει, τῶν πτερῶν, τὰ μὲν καλεῖται πτίλα, τὰ δὲ πτερά, τὰ δὲ ὠκύπτερα.
Ω'κὺς πόδας, ταχὺς τοῖς ποσίν.
Ω'κύτης, ταχύτης.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Λ'.

Ω'Λέθριον, ἐφόνιον.
Ω'λέκρανον, ὁ ἀγκών.
Ω'λέναι, αἱ χεῖρες, αἱ παλάμαι, ἀπὸ τοῦ δι' αὐτῶν ὁλοῦσθαι τὰς πράξεις, τουτέστι πληροῦσθαι.
Ω'λενία πέτρα, ὄρος φασὶ τῆς Ἠλίας ἐστί. καὶ ὁ Γεωγράφος δὲ λέγει, ὅτι πέτραν ὠλενίαν εἰκάζουσι τὴν νῦν Σκόλλιν. ὄρος πετρῶδες κοινὸν Δυμαίων, καὶ Ἠλείων. ὁ δὲ γράψας τὰ ἐθνικά, Ὤλενον ἱστορεῖ πόλιν Ἀχαΐας, ἀρσενικῶς καὶ θηλυκῶς, ἀπὸ Ὠλένου υἱοῦ Διός. καὶ ἴσως Ὠλενία πέτρα, τὸ ῥηθὲν ὄρος ἐκ τῆς τοιαύτης ὠλένου.
Ω'λέριον, πόνος.
Ω'λερος, πόλις Κρήτης, πορρωτέρω φασὶ τῆς ἱερᾶς πύτνης, πόλεως καὶ αὐτῆς κρητικῆς. ἔνθα καὶ Ἀθηνᾶ ὠλερία, ἐφ' ᾗ ἑορτή, τὰ ὠλέρια.
Ω'λεσσε κήπος ὀδμήν, ἀντὶ τοῦ ἠλοίωσεν, ἢ ὠλίγωσεν.
Ω'λεσε Κάδμος τὸν δράκοντα μαρμάρῳ, καὶ οὐκ ἀκοντίῳ, ὥσπερ λέγει ὁ Οὐΐδιος ποιητὴς λατῖνος. Εὐριπίδης ἐν τῷ τυράννῳ, γεωπείναις.
Ω'λεσίοικοι, οἱ ἄσωτοι.
Ω'λεσίκαρποι αἱ ἰτέαι, διὰ τὸ ταχέως ἀποβάλλειν τὸν καρπόν. ἢ ὅτι πινόμενος ὁ καρπὸς ἀγόνους ποιεῖ.
Ω'λετο, ἀπώλετο.
Ω'λία, πόλις.
Ω'λίβραξαν, ὤλισθον.
Ω'λίγγην, ἀκαριαῖον, ἐλάχιστον. τάττουσι δὲ Ἀθηναῖοι καὶ ἐπὶ τοῦ νυστάξαι, καὶ τὰς ἐπὶ τῶν βλεφάρων. οἷον ῥυτίδας, ὠλίγγας. τὴν δὲ ὠλίγγην δηλοῦν καὶ πνοὴν καὶ σκιάν, καὶ ἀχαρὲς πνεῦμα. τὸ δὲ ὠλίγγιον, ὀλίγον σημαίνει.
Ω'λιγε, παρεσκεύασεν.
Ω'λισθεν, ἐσφάλη, ὠλίσθησεν.
Ω'λιτήμεροι, ἡμαρτηκὼς τῶν ἡμερῶν.
Ω'λιτὸς, ὁ Νηρέως ἥρως.
Ω'λιτόφρονας, ἀλιτροὺς τῶν φρενῶν, ἀνοήτους.
Ω'λκα, ἐκ τοῦ ἄλοκα γίνεται κατὰ μετάθεσιν. εἶτα κατὰ κρᾶσιν τοῦ α καὶ τοῦ ο, εἰς ω, ὦλκα. ἡ ὀρθεῖα δὲ αὐτοῦ ἀπαθής, ἄλοξ, ἄλοκος. κοινῶς αὔλοκα λέγουσιν, ἀπὸ τοῦ ἀλέγειν. ὅ ἐστι φροντίζειν. γινομένη φροντὶς γὰρ γῆς, καὶ μάλιστα τοῖς γεωπείναις.
Ω'λκα, τὴν αὔλακα. παρὰ τὸ ἕλκω, ἕλξω, ἕλξ, καὶ ὄλξ, καὶ ἐκτάσει ὦλξ.
Ω'λλοι, ἀντὶ τοῦ οἱ ἄλλοι. ἡ τοιαύτη συναλοιφὴ τῆς νεωτέρας Ἰάδος ἐστί. διὸ μέμφονται Ζηνοδότῳ εἰπόντι, ὦλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες. οὐ κέχρηταί γε ταύτῃ Ὅμηρος.
Ω'λλὸς, τὴν τοῦ βραχίονος καμπήν. οἱ δέ, ἀπὸ τῶν διφυῶν, τὸ ἀπὸ τοῦ ὀμφαλοῦ προστιθέμενον σπέρμα.
Ω'λλος, ἀντὶ τοῦ ὁ ἄλλος. τὤλλο, τὸ ἄλλο, Αἰολεῖς λέγουσι.
Ω'λξ, ἡ αὔλαξ ἀπὸ τοῦ ἀλέγω, τὸ λόγον ποιοῦμαι, καὶ φροντίζω, ἀλέξω, ἄλοξ καὶ μεταθέσει, ἄολξ. καὶ ἐν συναιρέσει, ὦλξ, ἡ ἐν λόγῳ δηλαδὴ οὖσα. διηνεκὴς δὲ ὦλξ, ἡ διόλου ἐνηνεγμένη μία, καὶ κοιλανθεῖσα μιᾷ μικρᾷ τομῇ.
Ω'λοφύρεται, θρηνεῖ, στενάζει. ὠλοφύρετο, ἐθρήνει, ἐστέναζεν.
Ω'λυγίων, σκοτεινῶν, κακῶν, μακρῶν, ὀξέων, μεγάλων.
Ω'λώνακτα, ἱλασάμενον.
Ω'λῶστε, ὦ βέλτιστε.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Μ'.

Ω'Μὰ, τὰ παρὰ καιρὸν γινόμενα.
Ω'μὰ δεδήσασθαι παρ' Ὁμήρῳ, ἢ ἀντὶ ὠμῶς, ἢ κατὰ ἔλλειψιν τοῦ κρέατα.
Ω'μαδὶς, ἐπὶ τοῦ ὤμου.
Ω'μέλε, πρόσφθεγμα Ἀττικόν, ἀντὶ τοῦ ὦ κάκιστε, ἢ κακοδαιμονέστατε, ἢ οἰκτρότατε.
Ω'μαλθὲς, ἕλκος πρὸ καιροῦ συναχθέν.
Ω'μάρτησαν, ἠκολούθησαν.
Ω'μβροι, οἱ πονηροί, οἱ ἄθλιοι.
Ωμευνέτει. ὁμευνετέω, τὸ συγκοιμῶμαι, ὁ παρατατικὸς, ὡμευνέτεον ὡμευνέτουν, ὡμευνέτης, ὡμευνέτει.
Ω'μηκότες, προθυμούμενοι.
Ω'μηλεσιὸν, ἐρηρεισμένον.
Ω'μήλυσις, τὸ κρίθινον ἄλευρον, καὶ τὸ ἐξ αὐτοῦ κατάπλασμα, ὅτι οὐ φρυγόμενον ἀλήθεται.
Ω'μην, ἐνόμιζον.
Ω'μήρησεν, ὁμήρους, τὰ ἐνέχυρα. ὡμήρησε δέ

μοι παρ' ἑταίρων ἄγγελος ὠκύς, Ὀδυσσείας π'. ἀντὶ τοῦ συνέτυχεν, ἀπὸ μεταφορᾶς τῶν ὁμοῦ ἐρεσσόντων. Πίος δὲ ἐν ὑπομνήματι τῆς π', ἀντὶ τοῦ συνήντησε. Πίνδαρος δὲ ἐν ὕμνοις, ἐρίφων μεθομήρεον. οἷον ὁμοῦ καὶ μετ' αὐτῶν πορευόμενον. ἢ ὅτι ἀντὶ τοῦ συναντιλαβοῦ καὶ συμβαλοῦ. ἐξ οὗ ὅμηροι, οἱ ἐπὶ καταλλαγῇ στελλόμενοι δι' εἰρήνην καὶ ὁμόνοιαν. οἱ δέ φασι τοὺς ἀρχαίους λέγειν, τὸ συνακολουθεῖν. τοὺς οὖν ἐπὶ ἀκολουθίᾳ τῶν ὡμολογημένων ὄντας, ὁμήρους λέγουσιν.

Ὡμήρησεν, ἀντὶ τοῦ συνήντησεν, ὁμοῦ γέγονεν. ὡς γὰρ οἶνος οἰνηρός, οἶσυπος οἰσυπηρός. ἐξ οὗ ἔρια οἰσυπηρά, τὰ ῥυπώδη, οὕτω φασὶν ἐκ τοῦ ὁμός, Ὅμηρος. ὅθεν ὁμηρῶ ῥῆμα, τὸ συναντῶ. δοκεῖ δὲ καὶ ἄλλως ἡ λέξις μετῆχθαι ἐκ τῶν ὁμοῦ ἐρεσσόντων, ἢ συναρηρότων. Ὅμηρον δὲ ἔφαμεν, ἐξ οὗ καὶ τὰ ἐπὶ εἰρήνῃ λεγόμενα ὅμηρα, εἶτα οἱ ὅμηροι.

Ὠμησταί, ὁ μὲν Τυραννίων ἐβάρυνεν, ὡς συνώθετον ἐκ τοῦ ὠμὰ ἐσθίειν. Ἀρίσταρχος δὲ ὀξύνει κανόνι τοιούτῳ. τὰ εἰς στης τῷ η παραληγόμενα ἔχοντα πρὸ τοῦ τ τὸ σ ὑπὲρ δύο συλλαβάς, ὀξύνονται. ἑρπυστής, ὀρχηστής. ὅτι ὠμηστὴς ἐκ τοῦ ὠμὰ ἐσθίειν γίνεται, τραπέντος Ἰωνικῶς τοῦ δασέος θ εἰς ψιλὸν τ, ὁ Ὅμηρος δηλοῖ εἰπών, θῶας ὠμοφάγους, ὅ ταυτόν ἐστι τῷ ὠμηστάς.

Ὠμηστής, οὐ μόνον ἰχθύων, ἀλλὰ καὶ λεόντων, καὶ τῶν ὁμοίων θηρίων ἐπίθετόν ἐστιν. ὠμησταὶ κυρίως οἱ ὠμὰ ἐσθίοντες.

Ὠμίας, ὁ μεγάλους ὤμους ἔχων, ὁ εὐρύστερνος.

Ὤμιλει, ἐπήρχετο.

Ὡμιλήσαμεν, συνανεστράφημεν, ἢ συνανεστρέψαμεν.

Ὠμίλεσιν, τὰ ἀπὸ τῶν ἀφρύκτων κριθῶν ἄλφιτα καὶ ἄλευρα. τὸ οἷον ὠμὸν ἄλευρον, κυρίως φασὶν ὠμίλησις ὀνομάζεται. καταχρηστικῶς δὲ καὶ τὸ ἄλλως ἄλευρον.

Ὡμιλῆσαι, συγγενέσθαι.

Ὤμιλλα, παιδιά τις, ὅταν κύκλον περιγράψαντες βάλωσιν εἰς αὐτὸν κάρυα, εἶτα ὁ ἐν τῷ κύκλῳ μένων λαμβάνει ἔπαθλον.

Ὠμίσας, ὠμίζω, ὠμίσας, ἀντὶ τοῦ ἐκκλείσας.

Ὦμμαι, ἀόριστος ὤφθην, τὸ τρίτον ὤφθησαν.

Ὤμνυσαν, κρεῖττον ἢ ὤμνυον.

Ὠμοβόρον, ὠμοφάγον.

Ὠμογέρων λέγε, καὶ μὴ παρὰ ἡλικίαν γεγηρακώς.

Ὠμογέρων, ἡλικία πρεσβυτική. μεθ' ἣν ὁ γέρων, εἶτα πέμπελος, ἔπειτα σύφαρ. καθὰ καὶ Λυκόφρων οἶδεν. ἅπαξ δὲ καὶ αὐτῷ Ὁμήρῳ ἡ λέξις εἴρηται. καὶ ἔστιν ὠμογέρων, ὁ μήπω καθεψηθείς, καὶ οἷον ἑφθὸς τῷ γήρᾳ γενόμενος. ἢ ὁ ἄωρος καὶ στερρός, καὶ σκληρός, καὶ μήπω πέπων. ἐξ οὗ ὁ πέμπελος. ζητητέον δὲ εἰ ταυτόν ἐστιν ὠμογέροντα εἰπεῖν, καὶ προπόλιον. ἔστι δὲ προπόλιος κατὰ Αἴλιον Διονύσιον, ὁ θᾶττον καὶ πρὸ τοῦ δέοντος πολιὰς ἐσχηκώς, ἀλλὰ ταῦτα μὲν ἄψογα πρεσβυτικὰ ὀνόματα. ἐν δὲ ἰδέᾳ σκώμματος βλασφημοῦνται οἱ πάνυ γέροντες κρόνοι, ἰαπετοί, τιθωνοί, σαπροί, βεκκεσέληνοι, τυμβογέροντες, παρεξυβλημένοι, ὅ ἐστιν ὑπὸ γήρως ἀχρεῖοι, ὡς ἀπὸ ἐκτετριμμένων γλωσσίδων αὐλοῦ. ἔτι δὲ σορόπληκτοι, καὶ σοροπλῆγες, καὶ σορέλλωες.

Ὠμοδαΐκτον, ὠμοσπάρακτον.

Ὠμοδάλεκτα, ὠμά.

Ὠμόθει, ὅρκοι ἐγένοντο.

Ὠμοθετεῖν ἐστι, τὸ τοῦ ἱερείου ὠμοῦ ἀπάρχεσθαι τῶν μελῶν.

Ὠμοθετεῖτο πάντοθεν ἀρχόμενος ἐς δημὸν παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἔστι νοῆσαι ὡς ἑρμηνείαν τοῦ ὠμοθετεῖν. δῆλον γὰρ ὡς τὰ ὠμὰ ἐτίθεντο ἐς δημόν, ἵνα ῥᾷον ἐκκαίοιντο.

Ὤμοι, οἴμοι, ἐπίρρημα σχετλιαστικόν.

Ὦμοι, τὰ μετάφρενα.

Ὤμοι ἐγὼ δειλός, καινότερον ἐσχημάτισται. τὸ γὰρ κοινόν, ὤμοι τῷ δειλῷ.

Ὤμοιιν, τῶν ὤμων.

Ὤμοκε, τελείως ἄηθες. χρὴ γὰρ ὀμώμοκε λέγειν.

Ὤμοι, ἔστιν ἀναφώνησις λύπης δηλωτική, ἐκ τοῦ οἴμοι. κατὰ ἔκτασιν τοῦ ο εἰς ω, ὤμοι. εἴρηται γὰρ καὶ οἴμοι.

Ὠμοκυδίᾳ, ἐπὶ τῇ τῶν ὤμων δεξιᾷ μέγα φρονεῖ, ἢ τῇ τάξει.

Ὠμόλια, τὰ ἄγρια ὀθόνια.

Ὡμολόγησαν, συνέθεντο.

Ὠμὸν γῆρας, τὸ παρὰ καιρόν. ἵνα δηλοῖ τὸ ὠμὸν γῆρας, ἄωρον πέπανσιν, ὡς εἰ καὶ καρπός τις πεπανθείη κατασαπείς. ὠμογέρων δέ, ὄνομα ἡλικίας εἶναι γεροντικῆς δοκεῖ εὖ ἐχούσης καὶ ὑγιῶς, οὐ μὴν πεπονθυίας γῆρας ἔκ τινος νοσηρᾶς ὠμότητος. καὶ ἔστιν οὕτως ὠμογέρων, ὁ λεγόμενος προπόλιος.

Ὠμόν, τὸ μὴ μεταβολὴν εἰληφὸς εἰς πέψιν. ὡς καὶ τὴν ἔξω τροφήν, ὠμὴν λέγουσιν, οὔτε ἡψημένην, οὔτε ὠπτημένην. ἢ ὡς Φιλόξενος, ὠμὸν τὸ ἐν ταὐτότητι μένον, καὶ ὑπάρχον, καὶ μὴ μεταβληθέν, παρὰ τὸ ὦ τὸ ὑπάρχω.

Ὦμοξεν, ἐστέναξεν.

Ὤμορεν, ὠδύρετο, ἐστέναξεν.

Ὠμοργές, σκληρόν. καὶ ὠμοργός, σκληρός, χαλεπός.

Ὠμόρξατο, ἀπεψήσατο.

Ὦμος, ὅτι καὶ ἐπὶ ἵππου λέγεται ἤδη, καὶ ἐπὶ τῶν λοιπῶν ζώων, ἐδηλώθη καὶ ἐν τῷ, κατωμαδὸν ἤλασεν ἵππους.

Ὦμος, παρὰ τὸ ὦ. τὸ ὑπάρχω, ὁ ὑπομένων τὰ βάρη ἰσχυρῶς, καὶ τὰ φορτία. ἔστι δὲ τὸ μέλος τοῦ σώματος, ἐξ οὗ καὶ ὠμός, ὁ ἀπηνής, καὶ σκληρός.

Ὠμοσπάρακτον λέγει Ἀριστοφάνης, δυνάμενον σπαράξαι τὸν λέγοντα, εἰ πρᾶγμά φησι, σκολιὸν προσπέσοι, οὐκ ἄν ποτε κατορθώσειε, οὐδὲ διανύσειε. καὶ ἄλλως, ἀδιάθετον καταβαλών, καὶ ὠμόν, ὡς πρὸς μάγειρον δὲ τὸ ὠμοσπάρακτον, ἢ τὸ νεοσπάρακτον.

Ὠμοστράγῳ, βυτίνῳ, τρυβλίῳ.

Ὤμοσεν, ὅρκῳ ἔστησεν.

Ὠμότης, ἀπηνότης.

Ὠμοτόκησεν, ἐδυστόκησε, παρὰ καιρὸν ἄωρον τὸ βρέφος προήγαγε.

Ὠμοχθηρέ, ὦ ἐπίπονε.

Ὤμφυλαν, ἐδόξαζον.

Ὠμῷ, τῷ παρὰ καιρὸν γινομένῳ.

Ὠμῷ γήραϊ, τῷ πρὸ τῆς ὥρας γηράσκοντι.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ' Ν'.

Ὤν, ἀντὶ τοῦ οὖν λέγουσι Δωριεῖς.

Ὦν ἔφαγον, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ο, καινῶς ἐσχημάτισται. ἦν γὰρ τὸ ἀκόλουθον οὕτως. ἀλλά μοι ἔργον αὔξεται, οὗ ἔφαγόν τε, ἔπιόν τε. ὁ δὲ πληθυντικῶς ἔφη. ὧν ἔφαγον, δηλῶν τῷ πληθυντικῷ τῆς πτώσεως, τὴν τοῦ ἔργου αὔξησιν.

Ὠνάμην, ὤνασο, ὤνατο, πάνυ ἀδόκιμα διὰ τοῦ α. τὰ γὰρ ἀρχαῖα διὰ τοῦ η, ὠνήμην, ὤνησο, ὤνητο.

Ὠνάμην, ἀπέλαυσα.

Ὦναξ, ἀντὶ τοῦ ὦ ἄναξ Δωρικῶς ὀξύνεται, καὶ οὐ περισπᾶται. τὸ γὰρ α οἱ Δωριεῖς εἰς ω τρέπουσι. τὸν ἄνθρωπον ὤνθρωπον λέγοντες, καὶ τὸ ἄναξ ὦναξ, καὶ τὰ ὅμοια οὕτως. εἰ δὲ ἔστιν Ἀττικὴ συναλοιφή, ἀντὶ τοῦ ὦ ἄναξ περισπᾶται. καὶ πρὸ τοῦ ν ψιλήν, ἀντὶ τοῦ ἐκβληθέντος α.

Ὤνατο, ἀντὶ ἐξεφαύλισεν, ὠνείδισεν, ἐμέμψατο, καὶ ἀντὶ τοῦ ὠφέλησεν. ἐκ τοῦ ὄνημι, καὶ τὸ ὤνητο, διὰ τοῦ η παρῆκται, καὶ ὤνασθαι, καὶ ὠνάμην, καὶ ὠνάμενος, καὶ ὠνήμενος, Αἰολέων διαλέκτῳ.

Ὤναρχος, δήμιος.

Ὠνάσια, ἐναντία φάρμακα.

Ὠνεῖν, πωλεῖν, ἀπολαύειν.

Ὤνδον, ἀντὶ τοῦ ἐκίνουν, καὶ περιῆγον. ἀπὸ τῶν τοὺς μύλωνας κινούντων ὄνων.

Ὠνήσασθαι, καὶ ἀγοράσαι, διαφέρει. ὠνήσασθαι μέν, τὸ πρίασθαί τι τῶν πωλουμένων. ἀγοράσαι δέ, τὸ ἐν ἀγορᾷ διατρίψαι.

Ὠνήσομαι κάλλιον, ἢ ὀνῶμαι, καὶ ὠνήμην. ἢ ὠνάμην. Ἡρόδοτος ἐν τῇ πρώτῃ, τὴν τιμήσιος κτίσας οὐκ ἀπώνητο.

Ὤνησω, ὠφελήσω, ὤνησας ὠφέλησας, ὠνήσομαι τοῦτο ἀργυρίου.

Ὤνητο εἰπὼν Ὅμηρος, καὶ ὤνατο ἐν στίχῳ ἑνί, οὐ μόνον παρισῶσαι καὶ παρηχῆσαι δοκεῖ, ἀλλὰ καὶ διαφορὰν τῶν τοιούτων δοῦναι λέξεων. ἀρέσκει γὰρ τοῖς παλαιοῖς διὰ τοῦ η μὲν γράφειν ἐπ' ὠφελείᾳ ὤνητον. καὶ ὠνήμενος, ἐν Ὀδυσσείᾳ. διὰ δὲ τοῦ α ἐπὶ μέμψεως. οἱ μέν τοι μεθ' Ὅμηρον, ὤνατο διὰ τοῦ α γράφουσι. καὶ ἀπώνατο, ἀντὶ τοῦ ὠφελήθη. θέμα δὲ καὶ τοῦ ὤνητο καὶ τοῦ ὤνατο, τὸ ὄνημι ἄρρητον. ἐπί τε ὠφελείας ὄν, ἐπί τε μέμψεως. ἰστέον δὲ καὶ ὅτι τὸ μέν, οὐκ ἀπώνατο ἥβης τὸν πρὸ ὥρας θάνατον δηλοῖ. τὸ δὲ ὤνατο, παράγει τὸν ὀνειδισμόν. διὸ ἑρμηνεύων τί ἐστιν ὤνατο, ἐπάγει καί μ' ἔφατο ἐλέγχιστον πολεμιστήν.

Ὤνθρωπε, ὤριστος Ἰωνικῶς, ἀντὶ τοῦ ὦ ἄνθρωπε, καὶ ὁ ἄριστος. ἐγὼ δὲ οἶμαι ἐκ συναλοιφῆς ἐπὶ μόνων τῶν εὐθειῶν τοῦτο ποιεῖν αὐτούς, καὶ ἐπὶ τῶν κλητικῶν, ὥσπερ οἱ Ἀττικοὶ ποιοῦσιν. Ἡρόδοτος ἐπὶ τῆς κλητικῆς, οὕτω φησίν, ὤνθρωπε μὴ κτεῖνε Κροῖσον. καὶ ἀλλαχοῦ, ὦναξ Ἡράκλεες, ἀντὶ τοῦ ὦ ἄναξ. καὶ Ὅμηρος, λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους, ἀντὶ τοῦ ὁ ἄριστος.

Ὠνθυλευμένον, τὸ διεσαγμένον ἄρτυμα, ὅπερ ἔνιοι μεμονθυλευμένον.

Ὤνια, τὰ πράσιμα.

Ὤνιον, εὔωνον, ὅπου ταριχοπωλεῖον, ἀντὶ τοῦ ὅπου τὰ διστελῆ πωλεῖται. Ἀριστοφάνης, οὐ τὸ τάριχος ὤνιον.

Ὤννη, οὕτως.

Ὦνος, ἐκ τοῦ ὠνὴ γέγονε, καθὰ ἐκ τοῦ τιμὴ τῖμος, καὶ εἰσὶ ταῦτα, ὦνος, καὶ τῖμος.

Ὠνοῦμαι τόδε τὸ πρᾶγμα τῶνδε, ἀντὶ τοῦ διὰ τῶνδε. καὶ ὠνοῦμαι τῶνδε ἐλλειπτικῶς, μέρος δηλονότι. ὠνοῦμαι ὠνήσομαι, ἐώνημαι, ἐπριάμην.

Ὠνοχόει, ἀντὶ τοῦ ἐγχέων ἐδίδου. ὥστε γὰρ οἰνοχοεῖν κυρίως ἁρμόζει ἐπὶ τοῦ νέκταρος. καταχρηστικῶς δὲ λέγεται. οἰνοχοεῖν γάρ ἐστι τὸ οἶνον ἐγχέοντα διδόναι, ὥσπερ κιρνᾶν. κιρνᾶν μὲν γάρ ἐστι, τὸ μιγνύοντα ἄλλο ὑγρὸν ἄλλῳ διδόναι. τὸ νέκταρ δὲ ἀκέραστον οἱ Θεοὶ πίνουσι. νέκταρ δέ, ὅτι καθ' ἑαυτὸ ἀκέραστόν ἐστιν, ἤτοι καθαρὸν καὶ ἀκραιφνές.

Ὠνυχισμένον, ἀφῃρημένον.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ' Ξ'. ΚΑΙ Ο'.

Ὦξ, ἀντὶ τοῦ ὁ ἐξ Δωρικῶς. Δωριεῖς γὰρ καὶ Ἴωνες κιρνῶσι τὸ ο ἄρθρον μεθ' ἑτέρου φωνήεντος, ἤγουν τοῦ α, ἢ τοῦ ε εἰς ω. Θεόκριτος, Θύρσις ὧδ' ὦξ αἴτινας.

Ὠξυθυμώθη, ὠργίσθη.

Ὠξώλαν, ἔθνος βάρβαρον.

Ὠόγοι, ἐπιφώνημα σχετλιαστικόν, παρὰ Ἴωσιν.

Ὤοντο, ὑπελάμβανον, ἐνόμιζον.

Ὢ οὗτος, ὦ αὐτός, ἢ ὦ σύ.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ' Π'.

Ὦπα. παρ' Ὁμήρῳ, εἰς ὦπα, καὶ τὰ λοιπά, οὐ μόνον λέγει τοὺς ὀφθαλμούς, ἀλλὰ τὴν ὅλην πρόσοψιν, ἥτις καὶ αὐτὴ ἀπὸ τῆς ὄψεως λέγεται, καθὰ καὶ τὸ μέτωπον, καὶ τὸ πρόσωπον. ὅτι δὲ τὸ πᾶν τοῦ κάλλους οἱ ὀφθαλμοί εἰσι, δηλοῖ καὶ ὁ εἰπών, ὅτι διὰ καλῶν γὰρ ὀμμάτων, αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα. ἴσως δὲ τὸ εἰς ὦπα, οὐδὲ μόνον τὸ πρόσωπον δηλοῖ, ἀλλὰ τὴν ὅλην φυὴν τοῦ σώματος, ἐκ τοῦ προσώπου φυσιογνωμῶν, σαφέστερον ἔδειξε τὸ κάλλος τῆς Ἑλένης, ὁ εἰπὼν τραγικός, τὴν καλλίστην χρυσοφαὴς ἥλιος.

Ὠπάζεσθαι, ὁρᾶν, σκοπεῖν.

Ὤπασαν, ἡ λέξις τὸ ἔδωκαν σημαίνει. ἐν ἄλλοις δὲ ὀπάζειν, τὸ κατόπιν διώκειν λέγεται.

Ὤπασεν, ἐχαρίσατο. ἔδωκεν, ἐδωρήσατο.

Ὠπέτον, ὦ γλυκύτατε, ἡδύτατε, προσφιλέστατε. ἐπεὶ καὶ ὁ πέπων μελίχρους.

Ὥπερ, σημαίνει τὸ καθάπερ.

Ὦπες, ὀφθαλμοί.

Ὦπες, οἷον ὀπαί τινες οὖσαι τῆς ψυχῆς, δι' ὧν τὰ καταστήματα τῆς ψυχῆς θεωρεῖται. ὅθεν καὶ ὑπώπια, ἢ ὅτι ὀπῇ καὶ ῥήματι ἐοίκασιν.

Ὠπήσεσθαι, ὄψεσθαι.

Ὤπια, ὀφρύδια.

Ὦπι, ἄνασσα, πυρρὰ πρόθυρος, πῦρ πρὸ τῶν θυρῶν.

Ὠπίζετο, ἐπιστροφὴν ἐποιεῖτο.

Ὠπλὴ, ἡ ἐκ χειρὸς πληγή.

Ὡπλίζετο, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ λέγεται, ἀντὶ τοῦ ἡτοιμάζετο, καὶ ἀντὶ τοῦ ἐσκεύασεν. ὅπλα γὰρ, οὐ τὰ πολεμικὰ μόνον, ἀλλὰ καὶ τὰ παντὸς ἔργου, καὶ ἁπάσης τέχνης ὄργανα.

Ὢ πόποι, φεῦ, παπαί. ἔστι δὲ ἐπίρρημα σχετλιαστικὸν, καὶ λύπης δηλωτικόν.

Ὢ πόποι. οἷον δὴ Θεοὺς βροτοὶ αἰτιόωνται, φανερῶς ἐνταῦθα οὐκ ἐπὶ θρήνου κεῖται, ἀλλὰ σχετλιασμὸν δηλοῖ, καὶ ἀγανάκτησιν, καὶ πάθος τῆς ψυχῆς, ἐπὶ δεινοῖς τισὶ γινομένοις, ἐφ' οἷς ἢ θρηνήσει τις, ἢ ἐκθαμβήσεται, ἢ ἄλλο τι τοιοῦτον πείσεται. ἐκ παραλλήλου δὲ, τὸ ὢ καὶ τὸ πόποι, δηλοῦσι τὸ αὐτὸ, ὡς ἄν τις εἴπῃ, φεῦ, παπαί. καὶ γὰρ καὶ τὸ φεῦ, παπαὶ παράλληλα κείμενα, τὴν αὐτὴν σημασίαν ἔχουσιν. ἔστι δὲ σχῆμα ἐκ παραλλήλου, ὅτε δύο λέξεις ὁμοῦ κεῖνται παράλληλοι, προφορᾷ μόνῃ διαφέρουσαι, σημαίνουσαι δὲ τὸ αὐτὸ, οἷον θάνατον, μόρον τε. ταυτὸν γὰρ αἱ λέξεις ἄμφω δηλοῦσι, καὶ βάσκ' ἴθι, ἀντὶ τοῦ πορεύθητι, ἄπελθε. καὶ ποθέεσκε δ' αὐτὴν, πόλεμόν τε. ὅμοιον καὶ τὸ, πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι, καὶ τὸ λίαν πάνυ, καὶ τυχὸν ἴσως. τοῖς δὲ βιαζομένοις τὸν Ὅμηρον καὶ μετάγουσιν εἰς ἑτέρους ποιητὰς τὰ ἐκείνου, ἀρέσκει λέγειν τὸ, ὢ πόποι, ἀντὶ τοῦ ὦ Θεοί. ἐπειδὴ εὕρηται ἐν τοῖς μεθ' Ὅμηρον, οἱ Θεοὶ πόποι λεγόμενοι, οἱονεὶ ἔποποι κατὰ τοὺς παλαιοὺς, ὡς πάντα διοπτεύοντες, ὁποῖόν τι καὶ τὸ δίοπτα.

Ὠπόλος, ἀντὶ τοῦ ὁ αἰπόλος Δωρικῶς.

Ὠπὸς, ὄνομα γενικῆς πτώσεως. διὸ καί τινες ἠξίωσαν ἀναγινώσκειν ὠπὸς, ὡς θρᾳκός.

Ὦπται, ἐθεάθη.

Ὤπτησαν, ὀπτάω ὀπτῶ, συζυγίας δευτέρας τῶν περισπωμένων, ὃ παρὰ τοῖς Ἀττικοῖς ἀπανθρακίζω λέγεται. ὤπτων παρατατικὸς, ὀπτήσω μέλλων, ὤπτησα ἀόριστος, τὸ τρίτον τῶν πληθυντικῶν ὤπτησαν.

Ὠπφρύναμαι, ηὔφραμαι.

Ὤπυεν, ὡμίλει ἐν συνουσίᾳ, παρὰ τὸ ὁμοῦ ἰέναι ὤμυε, καὶ τροπῇ τοῦ μ εἰς π ὤπυεν.

ΤΟ Ω. ΜΕΤΑ ΤΟΥ Ρ.

καὶ τῶν λοιπῶν, ὧν προτάσσεται.

ΩΡα, ἐφ' ἑκάστου ἔτους τῶν τεσσάρων τμημάτων τοῦ χρόνου, οἷον ἔαρος, θέρους, καὶ τῶν λοιπῶν. καὶ ὥρα, ἡ εὐμορφία. καὶ ἀπὸ μὲν τοῦ ἑνὸς ὡραῖος, ὁ εὐειδής. ἀπὸ δὲ τοῦ ἑτέρου ὡραῖος ποιητικῶς, ὁ καρπὸς, ἤγουν ὁ ἐπὶ τῷ ἁρμόζοντι καιρῷ. καὶ πρόωρος μὲν, ὁ πρὸ τῆς ὥρας καὶ νεαρός. ἔξωρος δὲ, ὁ παρηβηκὼς καὶ γηράσας.

Ὥρα, ἡ φροντίς. Ἡσίοδος, ὤρη γάρ τ' ὀλίγη πέλει, ὅ ἐστι φροντὶς ἐλαχίστη ἐστί.

Ὡραία, ἀκμάζουσα, κάλλος ἔχουσα. καὶ ὡραία τῇ ἡλικίᾳ, τῇ ὄψει.

Ὥρᾳ γάμων, ἐν ἀκμῇ γάμων.

Ὡραῖα, νεκύσια. οἱ δὲ, δαιμόνια. τάσσεται δὲ καὶ ἐπὶ τῶν ἐκ γῆς ὡραίων, καὶ ἐπὶ τῶν καθ' ὥραν συντελουμένων ἱερῶν.

Ὡραία ἡμέρα, ἡ ἑορτή.

Ὡραιδιὸς, ἢ τοῦ αἰθέρος, ἢ τοῦ Οὐρανοῦ, ἢ τοῦ Ἡλίου, φιλοσοφῶν ὁ Ποιητὴς, πυλωροὺς αὐτὰς λέγει τοῦ οὐρανοῦ, καὶ ἐπιτετράφθαι αὐταῖς λέγει τὸν οὐρανὸν, οὐ διὰ τὰ ἐκ τῶν ὡρῶν ἀποτελέσματα. ὡς ἄν τις εἴπῃ ἀστεϊζόμενος, ἀλλ' ὥς τε ἡ μὲν ἀνακλίναι φησὶ πυκινὸν νέφος, ἡ δὲ ἐπιθεῖναι, τουτέστιν ἀνοῖξαι νέφος, οἷά τινα πύλην, καὶ αὖθις ἐπιθεῖναι, τῷ ὄντι γὰρ ὧραί τινές εἰσιν, ὡς ἐπιπολὺ καὶ καιροὶ τεταγμένοι τοῦ νεφελοῦσθαι τὸν οὐρανὸν, εἴτε μή.

Ὡραΐζω, τὸ καλλωπίζω. καὶ ὡραϊσμός, καὶ ὡραία γάμων παρὰ τοῖς Ἀττικοῖς, ἣν οἱ ἄλλοι Ἕλληνες, ἐν ἀκμῇ γάμου λέγουσιν.

Ὡραίην παραγώγως εἶπεν Ἀπολλώνιος, ἀντὶ τοῦ εἰς ὥραν καὶ τὸν δέοντα καιρόν. καὶ Ὅμηρος, ἀναγκαίη γὰρ ἐπείγει.

Ὡραῖον Διόνυσον, τὸν κατὰ καιρὸν φαινόμενον. ἐπεὶ κατὰ τὸν τοῦ ἔαρος καιρὸν τὰς ἑορτὰς αὐτοῦ ἦγον, καὶ τὰ κωμικὰ δράματα ἐν ταύταις εἰσήγετο. αἱ κωμῳδίαι δὲ τῷ Διονύσῳ ἀνάκεινται.

Ὡραίοντο, ὥρμων, ἐπορεύοντο.

Ὡραιοπῶλαι, ὁ τὴν ἀκμὴν πωλήσας, ὀπωροπώλης, ταριχοπώλης.

Ὡραῖος, εὔμορφος, εὔτροπος, εὐσχήμων, εὐπρόσωπος.

Ὡραϊσμὸς, καλλωπισμὸς, κάλλος.

Ὡραίων, τῶν πεπαινῶν, καὶ ὡραίων, τῶν καρπῶν.

Ὡρακιᾶν, τίθεται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὠχριᾶν, ὡς τὸ ὅτι ὡρακιάσας, οὐ γὰρ ἐξελιπόψυχετο.

Ὡρακίζω καὶ ὡρακιῶ, τὸ ὠχριῶ καὶ λειποψυχῶ, καὶ ἐκλύομαι, παρὰ τὸ ἀκκίζεσθαι τὴν ὥραν, ἤγουν τὴν μορφήν. ὥρα γὰρ, ἡ φροντὶς, ἐκ δὲ τῶν φροντίδων ἐκλύεταί τις. τοῦτο δὲ Σοφοκλῆς εἶπεν ἐν Ἀμφιαράῳ σατυρικῷ, ἤγουν τὸ ὠχριᾶσθαι θλιβομένης τῆς ψυχῆς. τοῦτο δὲ πολλοῖς γίνεται.

Ὡράνα, χελιδόνων ὀροφή.

Ὡρανιστὴρ, ἱμάς.

Ὡραπολεῖν, κατὰ τὴν εἰθισμένην ὥραν ἑκάστου ἔτους ἀναπολεῖν. ἀναπολεῖν δὲ λέγουσι, τὸ τρὶς ἀροτριᾶν τὴν γῆν.

Ὠργᾷ, οἰστρεῖ, γαυριᾷ, ἡ πρὸς συνουσίαν ἐπείγεται.

Ὠργάσαι, πηλὸν ἕτοιμον παρασχεῖν.

Ὠργασμένος, μεμαλαγμένος.

Ὤργαπο, κατέπηγε, καὶ ἐν ἑτοίμῳ ἦν.

Ὠργημένον, παρεσκευασμένον, ἕτοιμον.

Ὠργιᾶται, χρήζει, ὀρέγει.

Ὠργυωμένους, ἐκτεταμένους, ἡπλωμένους, ἢ ἀπὸ ὀργυιᾶς, ἤτοι τῆς ἐκτάσεως τῶν χειρῶν, ἢ ἀπὸ τοῦ ὀργῶ τὸ ὁρμῶ. ὀργᾶν δὲ, τὸ ἐκ γῆς συντόμως ὁρούειν τι τῶν βοτανῶν, καὶ μετὰ προγραφῆς δὲ, καὶ δίχα προγραφῆς τοῦ ι, δεῖ γράφειν τὸ ὀργυωμένους. τὰ γὰρ διὰ τοῦ υα θηλυκὰ τῷ ι παραλήγονται, μυῖα, ἅρπυια, μητρυιά, τὸ δὲ ὀργυιά, διφορεῖται.

Ὤργων, ἐπεθύμουν, ἐμίγησαν.

Ὠρδυλευσάμην, ἐμόχθησα.

Ὤρεγεν, ἐδίδου.

Ὠρέες, γυναῖκες.

Ὤρεα, ἀντὶ τοῦ οὔρεα Δωρικῶς, ἢ Ἰωνικῶς.

Ὠρείτης, ὁ πολίτης, παρὰ τὸ ὠρεὺς γίνεται καὶ τὸ κύριον ὄνομα.

Ὠρεῖν, φυλάσσειν. ὅθεν καὶ ὁ θυρωρὸς λέγεται.

Ὠρέξατο ἔγχει χαλκείῳ, ἤτοι ἀνέτεινεν ἔγχος, καὶ ἔτεινεν ἑαυτὸν τῷ ἔγχει.

Ὠρέξατο, ἔτεινε, παρὰ τῷ Ἀπολλωνίῳ, σημαίνει καὶ τὸ ὄρεξιν ἔλαβε, καὶ οἷον πρόθυμος ἐγένετο.

Ὤρεξε χεῖρα, ἤγουν ἐκτείνας ἔδωκεν.

Ὠρέον, πηχυαῖον.

Ὦρες, πύργοι ὠχυρωμένοι, κηδεμόνες.

Ὤρεσσι, γυναιξὶν ἀνδράσι συνεζευγμέναις. ἐκ τοῦ ἀείρω, τὸ ὁμοῦ εἴρω καὶ συζευγνύω. ὡς τὸ σὺν δ' ἤειρεν. ἤγουν συνέζευξε, συνέδησεν. ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα ἄορ, ἡ συνεζευγμένη, καὶ ὁμοῦ οὖσα τῷ ἀνδρὶ γυνή. διὰ δὲ τὴν πρὸς τὸ ξίφος σύμπτωσιν μετατεθὲν τὸ α, γέγονεν ὄαρ. ἐξ οὗ καὶ ἁπλῶς ὀαρίζω, τὸ σύνειμι, καὶ οἷον συνέζευγμαι, καὶ ὁμιλῶ. καὶ ὀαριστὺς, ἡ ὁμιλία, καὶ ὀαριστὴς, ὁ ὁμιλητὴς, καὶ ξυνάορος, κατὰ τὴν τραγῳδίαν ἡ γυνὴ, καὶ ὁ ἀνήρ. καὶ ξυνωρὶς, ἡ συζυγία τῶν ἵππων. καὶ τετράορον φάσμα ταύρου. καὶ τέτρωρον, τὸ τετράζευκτον. καὶ τέτρωρες ἵπποι ἐν Ὀδυσσείᾳ. τὸ δὲ ὄαρ συναιρεθὲν, γέγονεν ὢρ περισπωμένως. ὡς ἔαρ ἦρ, κέαρ κῆρ, ἄολξ, ὦλξ, καὶ πληθυντικῶς ὧρες. οὗ ἡ δοτικὴ ὤρεσσιν, ὡς ἄνδρεσσι, καὶ ὤρεσιν ἀμύνεμεν, τουτέστι ταῖς γυναιξί. καὶ ἄορα, τὰ ξίφη.

Ὤρετο, ὥρμα.

Ὠρεύειν, τὸ τῶν ἀγρείων νομῶν καὶ ἐθνῶν ἐπιμελεῖσθαι.

Ὠρέχθη, ἐπεθύμησεν.

Ὤρη, πάθος. οἱ δὲ, πάχος, καὶ παχύτητα. καὶ ὤρη, καιρὸς, ἢ τῷ καιρῷ, καὶ ἡ ἀκμή.

Ὤρῃ ἐν εἰαρινῇ, ἐντελῶς εἴρηται. ἐν δέ γε τῷ ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ, λείπει τὸ εἰαρινῇ. δῆλον δὲ ὅτι τοῦ εἶαρ, ὅθεν τὸ εἰαρινὴ, προϋπάρχει, τὸ ἔαρ. καθὰ τοῦ ὄνειαρ καὶ τοῦ εἶδαρ, τὸ ὄνεαρ, καὶ τὸ ἔδαρ.

Ὠρημάτων, φυλαγμάτων.

Ὠρήσσοντα, φυλάσσοντα.

Ὠρητὺς, πήρωσις.

Ὦρθεν, ὥρμησεν, ἀνέστη, ἢ ἀνέστησεν.

Ὤρθευε δέμας, ἀνώρθου, ἐθεράπευεν.

Ὥρια, τὰ κατὰ τὴν ὥραν γινόμενα ὡραῖα, ἢ ὥριμα.

Ὠρίατον, πρῶτον ἀκρωτήριον τοῦ ἀστραγάλου.

Ὠριάνεις, ὡραΐζεις.

Ὤριγμα, ὤριγγη, ἑώρα.

Ὠριγνώμενον, ὀρεγόμενον.

Ὠρίγνωτε συβῶτα, τουτέστιν ἄγαν γνώριμε ἐπὶ ἀχρείᾳ τέχνῃ. ὡς εἴ τις εἴπῃ πρός τινα, ὦ ἀρίγνωτε, πτωχὲ, ἤ τι τοιοῦτον. βούλεται γὰρ εἰπεῖν τὸν Εὔμαιον, γνωστὸν ἐπὶ εὐτελείᾳ καὶ οὐδαμινότητι. ὦ πότνια ἀρίγνωτε, τί ἢ δὲ σὺ τόνδε πόλινδε ἤγαγες.

Ὠριεὺς Κλονίαν ἔχων γυναῖκα, ἄπαις ἐτύγχανε. ποτὲ γοῦν Ζεὺς καὶ Ποσειδῶν, καὶ Ἀπόλλων τῷ Ὠριεῖ τούτῳ ἐπεξενώθησαν. καὶ ὃς βοῦν θύσας, αὐτοὺς ὑπεδέξατο, οἱ δὲ ἔφασαν αἰτεῖν, ὃ βούλοιτο. ὡς δὲ παῖδας αὐτῷ γενέσθαι ᾐτήσατο, οἱ τρεῖς τῇ τοῦ σφαγέντος βοὸς βύρσῃ ἐξούρησαν, καὶ ἐξ αὐτῶν ὁ Ὠρίων ἐγένετο κληθεὶς οὕτως, ὡς ἐκ τῶν οὔρων τεχθείς. ὅθεν καὶ τριπάτορον τοῦτον καλεῖ Λυκόφρων. τὸ δὲ Ὠρίωνος ξίφος ὁ Διομήδης εἶχεν. ἐπὶ δὲ Νεοπτολέμου, τριπάτρῳ φασγάνῳ τῷ τριδεσπότῳ λέγει. Ἥφαιστος γὰρ πρῶτον Πηλεῖ τοῦτο ἐχαρίσατο, Πηλεὺς δὲ Ἀχιλλεῖ, ἐξ Ἀχιλλέως τοῦτο Νεοπτόλεμος ἐδέξατο.

Ὠρίζει, ὑπνεῖ, ὁμιλεῖ, φροντίζει, μεριμνᾷ, ἀδολεσχεῖ.

Ὠρίθυια, Ἐρεχθέως θυγάτηρ, ἣν ἐξ Ἀττικῆς ἁρπάσας ὁ Βορέας ἤγαγεν εἰς Θρᾴκην, κἀκεῖσε συνελθὼν ἔτεκε Ζήτην καὶ Κάλαϊν, ὡς Σιμωνίδης ἐν ναυμαχίᾳ. Φινεὺς δὲ Κλεοπάτραν τὴν Ὠριθυίας πρώτην ἔγημεν, μετὰ ταῦτα δὲ Ἰδαίαν τὴν Δαρδάνου, ἥτις ἀπεχθῶς ἔχουσα πρὸς τοὺς προγόνους, λέγω δὲ τοὺς ἀπὸ Κλεοπάτρας υἱοὺς, ἐπειρᾶτο τυφλῶσαι αὐτούς. οἱ δὲ, ὅτι ὁ πατὴρ ἐτύφλωσεν αὐτοὺς, διαβαλλούσης τῆς μητρυιᾶς πρὸς αὐτόν.

Ὡρικὴν ὑληφόρον λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν. ὥρα γὰρ καὶ ἡ ἀκμή. καὶ ὡραῖον φασιν οἱ τραγικοὶ τὸ ἀκμαῖον. κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. ὡρικὸν δὲ μειράκιον καὶ κόρη, ὡς ἐν δαιταλεῦσιν αὐτός.

Ὥριμον, καίριμον. ἢ τὸν καιρὸν διήγειρεν, ἢ ἐτάραξεν.

Ὠρίνθη, διηγέρθη, διεταράχθη.

Ὥρισαν, ἔκριναν, ἀπεφήναντο.

Ὤριστος Ζεὺς, ἀντὶ τοῦ ὁ ἄριστος, Βοιωτικῶς τραπέντος τοῦ α εἰς ω. ἢ ἀντὶ τοῦ ὁ ἄριστος ἐκ συναλοιφῆς Δωρικῶς.

Ὠρίων, ὅτι κυνηγέτης ἄριστος ἦν, καὶ ὡς οὐκ ἐκ τοῦ ὡραῖος εἶναι, ἀλλὰ ἐξ οὔρου, ἢ ὥρας. ἤτοι φροντίδος παρῆκται, ὡς δηλοῖ τὸ, ὅτ' Ὠρίωνα, καὶ ὡς ὑπὸ σκορπίου πληγεὶς τέθνηκεν, ἄλλοι δηλοῦσι, καὶ οἱ τοῦ Ἀράτου ὑπομνηματισταί.

Ὠρίων, ἄστρον μέγιστον, καὶ λαμπρότατον, ὁμώνυμον τῷ ἥρωϊ, ὃς ἐπὶ ἀνδρίᾳ καὶ κάλλει, καὶ μάλιστα τέχνῃ κυνηγετικῇ τεθρύλληται, καὶ κατ' ἔρωτα λέγεται Ἀρτέμιδος σκορπίῳ πληγεὶς καὶ θνήσκων ἀστροθεσίᾳ τιμηθῆναι. περὶ αὐτοῦ διαλαμβάνει καὶ Ἄρατος, καὶ οἱ αὐτοῦ ὑπομνηματισταὶ, εἴτε παρὰ τὴν ὥραν Ἰωνικῇ ψιλώσει, εἴτε παρὰ τὸ ὀαρίζειν, ὡς ὀαρίων, καὶ κατὰ κρᾶσιν, Ὠρίων ὡς ἂν εἴποι τις ὁμιλητὴς, διαφερέσθωσαν οἱ παλαιοί.

Ὠρ-

Ὠρχύπτεται, ὑπερέκυπτε, ἐπαιρόμενα.

Ὤρχωσε. καὶ ὀρχώτης δ' ἐγώ φησι Κρατῖνος. μᾶλλον δὲ διὰ τοῦ ω λέγε, ἢ διὰ τοῦ ἰῶτα. ὤρχισε, Φρύνιχος.

Ὥρμαινεν, ἐκ τοῦ ὁρμῶ παράγωγον ὁρμαίνω, ὁ παρατατικὸς ὥρμαινεν.

Ὡρμεῖσθαι, ὁρμεῖν, τὸ πολεμεῖν.

Ὥρμηνε, διενοεῖτο.

Ὥρμησέ τις τὴν ναῦν, ἤγουν εἰς λιμένα κατήγαγεν. εἰ δὲ προσλάβοι τὴν ἐξ πρόθεσιν, ἐπὶ τῆς καθ' ὁρμὴν κινήσεως, ἀπὸ τοῦ ὁρμάω ὁρμήσω.

Ὡρμῶντο, ἐξήεσαν.

Ὠρνεάζετο, μετέωρον ἐπῆρε τὴν κεφαλήν.

Ὤρνυτο, ὥρμα, διεγείρετο.

Ὡροβισμένοι, κεχορτασμένοι. ἀπὸ τῶν βοῶν.

Ὡρογράφοι, ἱστοριογράφοι. οἱ τὰ κατ' ἔτος πραττόμενα γράφοντες. ὧροι γὰρ οἱ ἐνιαυτοί.

Ὡρολογεῖον λέγειν, ἐστὶ τὸ μετρεῖν Ὀδυσσείας δ. ἔνθ' ἡμέρας πρώτας λέγε, ἀντὶ τοῦ συναρίθμει. ὡρολογεῖον οὖν, ᾧ τὰς ὥρας μετροῦμεν.

Ὠρόθυναν, ἐτάραξαν, καὶ ἠρέθισαν.

Ὦροι, ὠρεῖα, φύλακες.

Ὤρορα, μέσος ἐστὶ παρακείμενος. διὸ χώραν ἔχει ἐνίοτε μὲν ἐπὶ πάθους λέγεσθαι, ἐνίοτε δὲ ἐπὶ ἐνεργείας. ὄρωρα δέ ἐστι τὸ πρότερον ο μικρόν, τὸ δεύτερον ω μέγα. διὰ δὲ τὸ μέτρον, ἐνίοτε ὤρορα γίνεται, κατὰ ἀντίστροφον θέσιν.

Ὧρος, ὁ ἐνιαυτὸς, παρὰ τὰς ὥρας, ἤγουν τὰς τροπάς, ἃς περιέχει. ἢ παρὰ τὸ ὀξὺ καὶ κοῦφον, καὶ μετέωρον εἴρηται. ἐπεὶ καὶ μετέωρος εἴρηται, ὁ κοῦφος. καὶ ὡρογραφίαι, αἱ κατ' ἐνιαυτὸν ἀναγραφαὶ γινόμεναι τῶν ἐν ταῖς πόλεσιν. καὶ ὧρος, ἡ νύξ, ἀπὸ Ὠκεανοῦ.

Ὡροσίδης, ὁ ἀπὸ Ὠρεσίου γεγονώς. οὗτος δέ ἐστι ποταμὸς ἐν τῇ ἐξωγῇ, ὥσπερ Ὠκεανός.

Ὡροσκόπος, ὁ σκοπῶν τὰς ὥρας.

Ὦρσεν, ἐπῆγεν, ἐφώρμα.

Ὤρρα, τηνικαῦτα.

Ὦρσεν. Αἰολεῖς τοὺς τῆς πέμπτης συζυγίας περισπωμένους μέλλοντας βαρύνουσι, καὶ διὰ τοῦ σ ἐκφέρουσι. σπέρσω γάρ φασι καὶ κέρσω, καὶ φθέρσω. οὕτω δὲ καὶ ὄρω ὄρσω τὸ διεγείρω. οὕτω καὶ ἐκ τοῦ ἔρρω τὸ φθείρω, ὁ μέλλων ἔρσω Αἰολικῶς. ἐξ οὗ καὶ τὸ ἀποέρσεν, ἀντὶ τοῦ ἀπέφθειρε. ποιοῦσι δὲ τοῦτο οἱ Αἰολεῖς, πρὸς ἀναλογίαν τῶν λοιπῶν μελλόντων, οἳ δυνάμει, ἢ ἐνεργείᾳ τῷ σ παραληγόμενοι, βαρύνονται.

Ὦρσεν, ἀντὶ τοῦ ὥρμησεν. αἱ συγκοπαὶ κατὰ τὸ μέσον, τῶν Αἰολέων εἰσίν.

Ὦρσεν, ὄρω. ἐξ οὗ ὄρθρος. δοκεῖ δὲ τοιοῦτος εἶναι καιρὸς, ὁ μικρόν τι πρὸ ἡλίου φαύσεως.

Ὦρτ' ἴεναι, ὁμηρικὸς ζῆλος. ἐκεῖνος γὰρ συνεχῶς, βῆδ' ἴεναι, καὶ ὦρτ' ἴεναι φησίν. ὅθεν παρακεκίνηται καὶ Ἡσίοδος. λαμβάνεται γοῦν καὶ παρ' Ἡσιόδῳ, καὶ παρ' Ὁμήρῳ τὸ ὦρτο καὶ τὸ βῆ, ἀντὶ τοῦ ὥρμητο, καὶ παρεκινήθη.

Ὦρτο. ὄρω τὸ διεγείρω, ὁ μέλλων ὀρῶ, ὁ παρακείμενος ὦρκα, ὁ παθητικὸς, ὦρμαι, ὁ ὑπερσυντέλικος ὤρμην, ὦρσο, ὦρτο. εἰ δέ τισι φίλον, κανονιζέσθω καὶ ἀπὸ τοῦ ὤρετο κατὰ συγκοπήν, καὶ ἀπὸ τοῦ ὥρμητο δὲ ὡσαύτως. ἢ ὄρομαι, ὠρόμην ὦρου, ὤρετο, καὶ κατὰ συγκοπήν, ὦρτο, καὶ ἐνῶρτο.

Ὠρτὸς, βωμός.

Ὠρυγὴ, φωνὴ, θόρυβος. κυρίως δὲ ἡ τῶν κυνῶν φωνή.

Ὠρύχαται, ὀρύσσω, μέλλων ὀρύξω, παρακείμενος ὤρυχα, ὁ παθητικὸς ὤρυγμαι, ὤρυξαι, ὤρυκται, καὶ Ἰωνικῶς ὠρύχαται.

Ὠρύεσθαι, κλαίειν, βοᾶν. λέγεται δὲ ἐπὶ λύκων, κυνῶν τε, καὶ λεόντων λιμῷ κλαιόντων, καὶ ἔτι ἐφ' ὧν οὐκ ἔστιν ἴδιον ὄνομα φωνῆς.

Ὤρυξαν, ἔσκαψαν.

Ὠρύω, σημαίνει τὸ κλαίω. παρὰ τὸ αὔω τὸ φωνῶ γίνεται ἀωρύω, καὶ κράσει τοῦ α καὶ ω εἰς ω, ὠρύω.

Ὤρφανσεν, ὠρφάνισεν.

Ὠρχιπέδισας, ἀντὶ τοῦ τῶν ὄρχεων ἧψω, καὶ κατέχες αἰσχρῶς, Ἀριστοφάνης.

Ὤρχμενος, ἄρχω, ἄρχομαι, ἀρχόμενος. καὶ κατὰ συγκοπὴν καὶ τροπὴν, ὤρχμενος.

Ὠρώρει. ὄρω τὸ διεγείρω, παρακείμενος ὦρκα, μέσος ὦρα, καὶ Ἀττικῶς ὄρωρα, ὁ ὑπερσυντέλικος, ὠρώρειν, ὠρώρεις, ὠρώρει.

Ὡρῶ, τὸ φυλάσσω. ὅθεν καὶ ἐπίουρος, ἐπίσκοπος, φύλαξ.

Ὠρωρέχαται. ὀρέγω, ὀρέξω, ὤρεχα, ὤρεγμαι, τὸ τρίτον ὤρεκται, καὶ ὠρώρεκται. ὁ ὑπερσυντέλικος ὠρέκτο, καὶ Ἰωνικῶς ὠρέχατο, καὶ Ἀττικῶς, ὀρωρέχατο, καὶ κατὰ συστολὴν ὠρέχατο, ὡς πεπλέχατο. δηλοῖ δὲ τὸ ἐτέταντο.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ͂ Σ'.

Ὡς, μετὰ ἀπαρεμφάτου συντάσσεται. οἷον, ὡς καὶ Ἀγαμέμνονα θαρσῆσαι ἔργῳ. ὅτε δὲ ἔχει καὶ τὸν τε σύνδεσμον καὶ τὸν καί, μετὰ ὁριστικοῦ συντάσσεται. οἷον, ὁ δεῖνα ὥστε καὶ ἐποίησε τόδε. λαμβανόμενον δὲ ἀντὶ τοῦ εἰς, ἀεί ποτε ἐπὶ ἐμψύχων λαμβάνεται.

Ὡς, ὅτε ἔχει τὸν τε σύνδεσμον, μετὰ ἀπαρεμφάτου συντάσσεται. οἷον, ὥστε γενέσθαι τοιοῦτός ἐστι, ὥστε καὶ νοεῖν καὶ λέγειν τὰ δέοντα, τηλικοῦτος ὥστε ἅπαντας ὑπερβάλλειν. συντάσσεται καὶ εὐκτικῷ. οἷον, ὥστε λέγοι ἄν, καὶ ἔτι ὁριστικῷ. οἷον, ὥστε λέγει.

Ὡς, ἀντὶ τοῦ πρὸς λέγουσιν Ἀττικοί. ὡς τὸν Θεὸν λέγοντες, καὶ ὡς τὸν διδάσκαλον, ἀντὶ τοῦ πρὸς τὸν Θεὸν, καὶ πρὸς τὸν διδάσκαλον.

Ὡς μὲν, ὡς δέ, καὶ ὡς δ' αὖ, ταυτόν ἐστι τῷ ὡσαύτως.

Ὡς οὐκ, ἀντὶ τοῦ λίαν, ἀλλ' ἔχει τινὰ ἔμφασιν τοῦτο, καθὸ γράφεται μετὰ ὑπερθετικοῦ, ὡς μάλιστα.

Ὡς πολύσημον ἐπίρρημά ἐστιν. ἔστι γὰρ παραβολῆς, ἢ ὁμοιώσεως. λαμβάνεται καὶ ἀντὶ τοῦ ὅτι, καὶ ἀντὶ τοῦ ἵνα, ὅτε καὶ ὑποτάσσει, καὶ ἀντὶ τοῦ ἕως, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ πολλῶν ἑτέρων. ἐν τούτοις δὲ πᾶσι δασύνεται, καὶ διὰ τοῦ ω μεγάλου γράφεται.

Ὡς εἶπον, οὕτως ἔγραψα. τὰ παραβολικὰ ἐπιρρήματα, ὁριστικοῖς συντάσσονται.

Ὡς, ἀντὶ τοῦ καθά, ἀντὶ τοῦ οὕτως, ἀντὶ τοῦ ὄντως, ἀντὶ τοῦ ἐπεί, ἀντὶ τοῦ λίαν, καὶ ἀντὶ τοῦ ἵνα. τοῦτο οὖν μόνον τὸ ἀντὶ τοῦ ἵνα, καὶ εὐκτικῷ καὶ ὑποτακτικῷ συντάσσεται. Λουκιανὸς ἐν τῷ Χάρων, ἢ Ἐπισκοποῦντες, ὡς εἰδῶσιν ἄνθρωποι ὄντες. καὶ ἐν τῷ Διογένους, καὶ Ἡρακλέους, ὡς μὴ αἰσχυνοίτο καὶ αὐτὸς λαμβάνων. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ὅτι, καὶ ἀντὶ τῆς εἰς προθέσεως, ἐπὶ κινήσεως καὶ ἐμψύχου. ἅπαξ δὲ, καὶ ἐπὶ ἀψύχου Θουκυδίδης εἶπεν. οἷον, ἀπέπλευσαν ὡς Ἄβυδον.

Ὥστις θαρσαλέος ἐσσί, ἀντὶ τοῦ λίαν θαρσαλέος.

Ὦσαι, διῶξαι, διασεῖσαι, βιάσασθαι, ἀπορρίψαι. καὶ ὠσάμεθα, ἀπωσάμεθα.

Ὡς ἄν, ποτὲ μὲν τὸ καθὰ δηλοῖ. Σοφοκλῆς ἐν Αἴαντι, ὡς ἂν ποιήσῃς, πανταχοῦ χρηστὸς ἔσῃ. ποτὲ δὲ ἀντὶ τοῦ ἵνα, Ἀριστοφάνης ἐν Πλούτῳ, σὺ δ' ὡς ἂν εἰδῇς, ὅσα παρ' ἡμῖν, ἢν μένῃς, γενήσετ' ἀγαθά, πρόσεχε τὸν νοῦν. ποτὲ δὲ ἀντὶ τοῦ ὡς μόνου μηδεμίαν δύναμιν ἔχοντος.

Ὡς ἂν οἷός τε ὦ, ὡς ἂν δυνηθῶ, ὅσον δύναμαι, καὶ ὡς οἷόν τέ ἐστιν, ὡς δυνατόν ἐστιν.

Ὡς τὸν βασιλέα, πρὸς τὸν βασιλέα.

Ὡς δή σφιν, ὡς δὴ αὐτοῖς.

Ὡς δοκέει, ὡς νομίζει.

Ὦσεις, ὠθήσεις.

Ὡς ἐκέλευσας χρὴ λέγειν, καὶ ὡς ὑπέσχου, οὐ μὴν καθὼς ἐκέλευσας, καὶ καθὼς ὑπέσχου, τὸ γὰρ καθὼς διαλυόμενον, κατὰ ὡς γίνεται.

Ὦσεν, ἀνέτρεψεν, ὤθησεν, ἀπέκοψεν, ἀπώσατο, κατέβαλεν.

Ὡς ἔοικεν, ὡς φαίνεται.

Ὡς ἔπος εἰπεῖν, ἀντὶ τοῦ ὡς ἐν ὀλίγῳ εἰπεῖν, καὶ ὡς ἔπος, ὡς λόγος.

Ὡς ἔτι, ἀντὶ τοῦ ἕως, ὡς καὶ παρὰ Γρηγορίῳ τῷ Θεολόγῳ. οἷον, καταγελῶνται πρὸς τὸ παρὸν, ὡς ἔτι ἡ τοῦ Θεοῦ χρηστότης κρύπτεται.

Ὡς ἔφη, οὕτως εἶπεν.

Ὡς ἔχω, εὐθέως.

Ὡς ἡμᾶς, πρὸς ἡμᾶς.

Ὠθεὶς, ἀναστρατεὶς.

Ὤθησεν, ὤθησεν.

Ὦσιν, ὑπάρχωσιν.

Ὡσὴρ, ἑρμηνεύεται σωζόμενος.

Ὥσκεν, ὅπως ἄν. τὸ ὡς, ἀντὶ τοῦ πῶς, τὸ κεν ἀντὶ τοῦ ἄν.

Ὡς μάλιστα, ὡς ὂν δυνατόν.

Ὡς μὲν, ὡς δὲ, ἀντὶ τοῦ ὅτι μὲν, ὅτι δέ.

Ὠσμένῳ, ὠθισμένῳ.

Ὠσμὸς, ἀναστροπὴ, ὤθησις, ὠθισμός.

Ὡς οἶμαι, ὡς νομίζω.

Ὡς οἷόν τε, ὡς δυνατόν.

Ὡς ὅγε, καθὼς οὗτος.

Ὡς ὅτ' ἀοιδὸς ἄειδεν, ἀντὶ τοῦ ἕως ὅτε. καὶ δοκεῖ τὸ ως τοῦτο πρωτότυπον εἶναι τοῦ ἕως, προσλαβόντος Ἀττικῶς τοῦ ε. τοιοῦτον δέ που ἐν Ἰλιάδι καὶ τὸ εἷος, ἀντὶ τοῦ ὅπως. κἀκεῖνο γὰρ προστεθέντος μὲν τοῦ ε, γέγονεν ἕως, εἶτα καὶ εἷος κατὰ διχρόνου ἐπένθεσιν.

Ὥσπερ, καθάπερ.

Ὡς πρὶν, ὡς πρότερον.

Ὥς ῥα, ὡς δή.

Ὡς τὰ πολλά, ὡς ἐπὶ τὸ πλεῖστον.

Ὡς τάχος ἦλθεν, ἀντὶ τοῦ ταχέως Ἀττικῶς.

Ὡς τελέεσθαι οἴω. ἤγουν ὡς νομίζω, στοχάζομαι. στοχαστικὴν τέχνην εἶναι δηλοῖ τὴν μαντικήν, ὡς δοκεῖ καὶ τοῖς μεθ' Ὅμηρον σοφοῖς. καὶ ὅρα τὸ τελέεσθαι, ἀφ' οὗπερ οὐ μόνον ἀτελὲς, τὸ μήπω τελεσθέν. καὶ ἀτέλεστον, τὸ ἀδύνατον τελεσθῆναι, ἀλλὰ ἀποτελεσματικὴ σοφία λέγεται παρὰ τοῖς μεθ' Ὅμηρον. καὶ σοφοὶ ἀποτελεσματικοί.

Ὥστε, μετὰ ἀπαρεμφάτου συντάσσεται. οἷον, ὥστε γενέσθαι.

Ὡς στεροπά, ὡς ἀστραπή.

Ὥστε τευ, ἢ βασιλῆος ἀμύμονος, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας τ'. τὸ ἀκόλουθον τοιοῦτον. ἡ γάρ σοι κλέος, καθὰ ἢ τοῦ Βασιλέως, ἢ τοῦ δέ τινος ἐνδόξου. ὁ δὲ οὐ ποιεῖ οὕτως, ἀλλὰ ἀρκεῖται εἰπὼν τὸ, ἢ βασιλῆος. αἴτιον δὲ τῆς ἐλλείψεως, οὐ μόνον ὁ σχεδιασμὸς, ἀλλὰ καὶ ὅτι βασιλεῖ ἀγαθῷ εἰκάσας τὴν Πηνελόπην, εἰς μεῖζον μὲν πρόσωπον ἀναβῆναι οὐκ ἔχει, εἰς ἔλαττον δὲ κατελθεῖν ὀκνεῖ, διὰ τὸ αἶσχρον. εἰ δὲ ἦν εἰπεῖν, ὥστε τευ, ἢ βασιλῆος ἀμύμονος, ἢ Θεοῖο, ἀλλὰ τοῦτο μέγα κρίνας, καὶ οὐδὲ ἔξω κολακείας ἄκρας ἀφῆκε μὲν οὕτω ποιῆσαι. ἠγάπησε δὲ παραμίξαι τῷ ἀγαθῷ βασιλεῖ τὸν Θεὸν, ὥστε θεοειδής.

Ὠστίζεσθαι, ὠθεῖσθαι.

Ὡς τὸ εἰκὸς εἰκάσαι, ἀντὶ τοῦ ὡς τὸ ἐνδεχόμενον στοχάζεσθαι δίδωσιν.

Ὡς, ὥσπερ, ἠΰτε, ὅπερ ἐστὶ ποιητικὸν, καθὰ, καθάπερ. τὰ παραβολῆς καὶ ὁμοιώσεως ἐπιρρήματα ἔχουσιν ἀνταποδοτικὰ δύο, τὸ ως περισπώμενον, καὶ τὸ οὕτως, ἀλλήλων δὲ διαφόρως ἡγοῦνται καὶ ἕπονται. τὰ μὲν ἐν ταῖς προτέραις συντάξεσιν ἀρχόμενα, τὰ δὲ ἐν ταῖς δευτέραις. οἷον, ὥσπερ ὁ ἑωσφόρος ἐν ἄστροις διαπρέπει, οὕτως ὁ σπουδαῖος ἐν ἀνδράσι διαλάμπει, καὶ ἀνάπαλιν. καὶ χωρὶς δὲ τῆς πρὸς ἄλληλα ἀνταποδόσεως πολλάκις λαμβάνονται. κατὰ τὴν τοῦ λόγου σύνταξιν. οἷον, ὥστε γὰρ ἠΰτε παῖδες νεαροί, χῆραί τε γυναῖκες ἀλλήλοις ὀδύρονται οἶκονδε νέεσθαι. συντασσόμενα δὲ καὶ ταῦτα εἰς ὁμοίωσιν ἢ παραβολήν, παραλαμβανομένοις τοῖς τοῦ λόγου μέρεσιν ἀρκτικὰ γίνονται. οἷον, ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας. καὶ ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων, εἰ δέ που ὑποτακτικῶς συντάσσοιντο, κατὰ τὸν τῆς ἀναστροφῆς συντάσσονται τρόπον. οἷον, Τρῶες μὲν κλαγγῇ ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς, ἀντὶ τοῦ ὡς ὄρνιθες.

Ὦσεν, Ἰλιάδος ε, οὐκ ἐπὶ συνήθους τέθειν σημασίας. ἤγουν τῆς τῶν κάτω ἐπὶ τὰ ἄνω κινήσεως, ἀλλὰ ληφθὲν ἀντὶ τοῦ, ἐξήγαγε, μετὰ τῆς ἐξ προθέσεως μέντοι, ἵνα ᾖ τὸ ἐντελὲς, ἔξωσεν. τὸ ἐναντίον, τὸ προσῶσε, καὶ δίωσεν.

Ὠσθιεῖ, ὠσθίσεις, πιεσθήσῃ. Ἀριστοφάνης, οὐδ' ὠθιεῖ Κλεωνύμῳ. ἀντὶ τοῦ ὑπὸ Κλεωνύμου ἀναγκάζοντός σε κινεῖν.

Ὠσι-

Digitized by Google

Ὠστιζόμεθα, ὠθούμεθα. καὶ Ῥωμαῖοι ὤστια, τὰς θύρας φασὶ, παρὰ τὸ ἔξωθεν τὸν εἰσερχόμενον.

Ὠστίζονται παθητικῶς, οἱ πρός τι σπεύδοντες ἐλθεῖν πολλοὶ ὄντες, καὶ ὑπ' ἀλλήλων ὠθούμενοι. διωθεῖται παθητικῶς προφέρεται Ἀττικῶς, καὶ δηλοῖ τὸ ἀποκρούεται, καὶ παραγκωνίζεται. τὸ παραπλήσιον, τὸ παρωθεῖται, ἤτοι παρορᾷ καὶ περιφρονεῖ, καὶ ὑπερβαίνει. ἀπωθεῖται, ἤγουν ἀποπέμπει καὶ ἀποσείεται. ἐξωθεῖται, ἤτοι ἐκβάλλει, καὶ ἐξορίζει. συνωθεῖται, ἤτοι συνελαύνει. καὶ παρὰ Ἀριστοφάνει ἐπὶ τῆς αὐτῆς σημασίας τὸ ὠστιζόμεθα, ἀντὶ τοῦ συνελαυνόμεθα. προωθεῖ, ἤτοι εἰς τὸ ἔμπροσθεν κινεῖ βίᾳ.

Ὠστρακωμένην, τῷ ὀστράκῳ τοῦ ᾠοῦ ἐσκεπασμένην παρὰ Λυκόφρονι.

Ὥς φάσαν, οὕτως εἶπον.

Ὣς φάτο, οὕτως εἶπεν.

Ὣς φάτο, οὕτως ἔφη, εἶπεν.

Ὦσφρησις, ὀσμή, μετάληψις.

Ὦσχοι, τὰ κλήματα σὺν αὐτοῖς τοῖς βότρυσι, καὶ ὀσχοφόροι, οἱ ταῦτα τῇ σκιράδι Ἀθηνᾷ προσφέροντες ἐν γυναικείαις στολαῖς. καὶ ὀσχοφόριον, τόπος Ἀθήνησιν, ἔνθα καὶ ἱερὸν τῆς Ἀρτέμιδος. καὶ ὀσχοφόρια, ὄνομα ἑορτῆς. ἀπὸ τῆς ὄσχης τῆς κληματίδος.

Ὤσφροντο, ἀντὶ τοῦ ᾔσθοντο. Ἀριστοφάνης, ἐπειδὴ δὲ ὤσφροντο πρεσβῦταί τινες.

Ὠσχοφόρια, παῖδες εὐγενεῖς ἡβῶντες καταλέγονται, οἱ φέροντες τὰς ὤσχας εἰς τὸ τῆς σκιράδος Ἀθηνᾶς ἱερόν. εἰσὶ δὲ κλήματα ἔχοντα βότρυς.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Τ'.

Ὦ τάν, ὦ οὗτος, ὦ τάλαν, ὦ μέλε, ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ τῶν γυναικῶν λέγεται μόνων. παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν. πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τάν, ὡς παρὰ Κηφισοφῶντι. οἱ δὲ Ἀττικοί, τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βραχύνουσι, καὶ βέλτιον. ἀδύνατον γὰρ μίαν λέξιν ἀριθμῆναι δύο ἐχούσας περισπωμένας. Δίδυμος δὲ τὸ πλῆρες εἶναί φησιν ὦ ἔταν, ἀγνοῶν ὡς ἀπὸ τοῦ ἔτος κλητική ἐστιν ἔτα. καὶ δωρικῶς, ἔταν. σημαίνει δὲ, τὸν συνήθη, καὶ φίλον.

Ὠτακουστεῖν, τὸ τὰ κρύφια μανθάνειν διά τινων, ἢ τὸ περιέργως ἀκούειν. καὶ ὠτακουστής.

Ὠτειλή, κυρίως μὲν τραῦμα, τὸ ἐκ τοῦ οὐτάσαι, ὅ ἐστιν ἐγγύθεν τρῶσαι. Ὅμηρος δὲ ἐν τῷ γ τῆς Ἰλιάδος, τὸ ἐκ τῆς βολῆς οὕτως ἐκάλεσε. καὶ μὴν ἄλλως διαφορὰν οἶδε τοῦ οὐτάσαι, καὶ τοῦ βαλεῖν, ὡς ἀλλαχοῦ φανήσεται. διαφέρει δὲ οὐλῆς ὠτειλή, ὅτι ὠτειλὴ μὲν, αὐτὸ τὸ τραῦμα. οὐλὴ δὲ, τύλος, ἢ τύπος, θεραπευθέντος τοῦ τραύματος.

Ὠτειλὴν οὐταμένην, τρόπος ἐτυμολογίας ἐστί. παρὰ τὸ οὐτάζω γὰρ ὠτειλή. τὸ μὲν ω, ἔχουσα Δωρικῶς, τὸ δὲ δίφθογγον, κατὰ Βοιωτούς. σημαίνει ἐνίοτε καὶ τὸ ἁπλῶς τραῦμα. ὀξύνεται δὲ κανόνι τοιούτῳ. τὰ εἰς λη θηλυκὰ μονογενῆ διφθόγγῳ παραληγόμενα ὀξύνεται, εἰ μὴ ἔχει ἔννοιαν συνθέσεως, ὡς τὸ δείδη, σύνθετον ὂν παρὰ τὸ ἐνδεῖν τῇ ὕλῃ. παραδείγματα τοῦ κανόνος ταῦτα, αὐλή, ὠτειλή, ἀπειλή, οὐλή, γινομένη παρὰ τὸ εἰλεῖσθαι.

Ὥστε χερνῆτις γυνή, ἀντὶ τοῦ καθάπερ, ἔχει δὲ τὸ ι. ἔστι γὰρ ὡσεί τε, ἀποβολῇ τοῦ σ καὶ κράσει τοῦ ω καὶ ε, ὥτε.

Ὠτιαφόροι, οἱ τὰς ὠτίδας φέροντες ἐργάται. ὠτὶς δὲ, εἶδος ὀρνέου. ἢ ὠτιαφόροι, οἱ τὰ ὦτα συντεθλασμένοι.

Ὤτοις μὴ λέγε, ὥς τινες τῶν γραμματικῶν, ἀλλ' ὠσί.

Ὠτοκάταξις, κατὰ Αἴλιον Διονύσιον, ὠτοθλασίας, τὰ ὦτα τεθλασμένος ἐν παλαίστρᾳ. καὶ ἀμφωτίδες, κατὰ Παυσανίαν, ἃς οἱ παλαιοὶ παρὰ τοῖς ὠσὶν εἶχον. ἄλλως δέ γε καὶ ἐκπώματος εἶδός αἱ ἀμφωτίδες.

Ὠτοκοπεῖ, κεφαλαλγεῖ, ἐνοχλεῖ λαλῶν.

Ὦτος, κύριόν τε καὶ ὀρνεόν τι παρά τε Ἀριστοτέλει καὶ ἑτέροις. ὡς δηλοῖ καὶ ὁ εἰπών, ὦτος παραπλήσια γλαυκὶ ἔχων περὶ τὰ ὦτα πτερύγια. οἱ δὲ, νυκτικόρακα. Αἴλιος δὲ Διονύσιος, οὕτω περὶ αὐτοῦ φησιν. ὦτος ὄρνεον, ὃ περὶ τὰ ὦτα ἔχει πτερύγια, τοῦτο ἐπαινούμενον καὶ ἀντορχούμενον, ὥσπερ ὁ νυκτικόραξ ἁλίσκεται. διὸ τοὺς χαύνους καὶ κενοδόξους, ὤτους ἐκάλουν.

Ὠτώεντα, γίνεται ἀπὸ τοῦ ὠτός. ἐκτείνει δὲ τὴν προπαραλήγουσαν καὶ αὐτό, καθὰ καὶ τὸ κητώεις, καὶ ἀρώεις, καὶ τὰ ὅμοια, διὰ τὸ πρὸ αὐτῆς μακρόν. τοιαῦτα γὰρ τὰ διὰ τοῦ οεις. μακρὰν γὰρ ἔχοντα τὴν πρὸ τοῦ ο συλλαβὴν, ἐκτείνεται διὰ χρησίαν μέτρου σπονδαϊκοῦ. ἐκείνης δὲ βραχυνομένης, καὶ ἡ παραλήγουσα τὸ αὐτὸ πάσχει, γραφομένη ἐν τῷ ο μικρῷ διὰ δακτύλου ἀπαρτισμόν. τοιοῦτον τὸ σκιόεις, ἐρόεις, ὁ ἐπιθυμητός, κερόεις, ὁ κερασφόρος, καὶ τὰ ὅμοια.

Ὤτρυνε. παρώρμησε, διήγειρεν.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Υ'. ΚΑΙ Φ'.

Ὠὐτός, ἀντὶ τοῦ αὐτός Ἴωνές φασι τῷ ω χρώμενοι ἐν τῇ διφθόγγῳ, ἀντὶ τοῦ α. οἷόν ἐστι καὶ τὸ θωυμάσας, ἀντὶ τοῦ θαυμάσας.

Ὠυγνωιτο πύλαι, Ἰλιάδος θ', ἀντὶ τοῦ ἀνεῴγνυντο, ἀπὸ τοῦ οἴγω οἴγνυ, οἰγνύω.

Ὤφειλον, καὶ ἐκβολῇ τοῦ ι, ὤφελον, ὃ ἐξ ἀνάγκης γράφεται διὰ τοῦ ω μεγάλου. τάσσεται δὲ ἀεὶ μετὰ ἀπαρεμφάτου. λέγεται καὶ μετὰ τοῦ οὐκ. οἷον, οὐκ ὤφελον. καὶ μετὰ τοῦ ὡς, καὶ τοῦ μή, ἢ τοῦ οὐκ προτασσομένου τοῦ ὡς. οἷον, ὡς μὴ ὤφελον, ἢ οὐκ ὤφελον. καὶ ἐπεὶ ἐγένετο τόδε, ὡς οὐκ ὤφελε γενέσθαι δηλονότι. συνυπακούεται γὰρ ἐξ ἀνάγκης τὸ ἀπαρέμφατον. καὶ ἐπεὶ παρεγενόμην, ὡς μὴ ὤφελον παραγενέσθαι δηλονότι. ἀφ' οὗ ἐπὶ δευτέρου ὤφελες, καὶ ἐπὶ τρίτου ὤφελε. λαμβάνεται δὲ ἀντὶ τοῦ ἔπρεπεν.

Ὤφειλον, ἀντὶ τοῦ ἐχρεώστουν, ὃ καὶ ὤφελον λέγεται. καὶ ὤφελεν ἐπὶ τρίτον, ἅτινα ἀεὶ ἀπαρεμφάτῳ συντάσσεται. καὶ τούτων τὸ πρῶτον πρόσωπον ἀπὸ τοῦ ὤφελον, ἀντὶ τοῦ εἴθε διακρίνεται συνεμπίπτον αὐτῷ κατὰ τὴν ἐκφώνησιν, ὅτι ἐκεῖνο μὲν ἢ μόνον λέγεται, ἢ μετὰ τοῦ ὡς. οἷον, ὤφελον, καὶ ὡς ὤφελον. τοῦτο δὲ καὶ μόνον, καὶ μετὰ ἀρνητικοῦ ἐπιρρήματος, καὶ μετὰ τοῦ ὡς, προσόντος καὶ τοῦ ἐπιρρήματος. οἷον ὤφελον, καὶ οὐκ ὤφελον. καὶ ὡς οὐκ ὤφελον, καὶ ἔτι ὡς μήποτ' ὤφελον, καὶ μὴ ὤφελες νικᾶν. καὶ αἴθ' ὤφελες ἄγονός τ' ἔμμεναι, ἄγαμος τ' ἀπολέσθαι.

Ὠφελέω, ὠφελῶ, πάντες οἱ ῥήτορες πρὸς αἰτιατικήν. οἷον ὠφελῶ σε. πρὸς δοτικὴν δὲ μόνον ποιηταί. Αἰσχύλος, τοῖς θανοῦσι χρήματ' οὐδὲν ὠφελεῖ. καὶ Θουκυδίδης ἅπαξ, ὠφελεῖν Ἀθηναίοις τοῖς Λακεδαιμονίοις τρόπῳ ᾧ ἂν δύνανται.

Ὠφέλιμον, τὸ ὠφέλειαν ἐμποιοῦν. τὰ γὰρ εἰς μος, τὰ μὲν εἰσὶν ἐνεργητικά. οἷον ὠφέλιμος. τὰ δὲ παθητικά, οἷον τρόφιμος, ὁ τρεφόμενος ὑπό τινος. καὶ πάλιν τὰ μὲν αὐτῶν εἰσι δυνάμει. οἷον ἰάσιμος, ὁ δυνάμενος ἰαθῆναι. τὰ δὲ ἐνεργείᾳ, οἷον ἀοίδιμος, ὁ ἀεὶ ᾀδόμενος, καὶ ὑμνούμενος.

Ὠφέλουν, εὐεργέτουν.

Ὠφελῶ, ὀνήμι, λυσιτελῶ, συμφέρω.

Ὠφθαλμίασε, τὸν ὀφθαλμὸν ἀπέβαλεν.

Ὤφθησαν, ἐφάνησαν. ὄπτω, μέλλων ὄψω, παρακείμενος ὦφα, παθητικὸς ὦμμαι. ἀόριστος ὤφθην, τὸ τρίτον ὤφθησαν.

Ὤφιλε, ἐπήρχετο.

Ὠφιλόττης, ὦ προσφιλέστατε, ὦ φίλε, ὦ ἑταῖρε.

Ὤφλημα, χρέος.

Ὦφλε, κατεδικάζετο. ἐπὶ τῇ δίκῃ ὤφλησε καὶ τὸ ὤφειλεν.

Ὠφρόν, ἐλαφρόν.

Ὠφρυωμένος, ἐπηρμένος.

Ὠφύια, ἡ δορά, καὶ βοτάνη τίς.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Χ'.

Ὦχα, οἴγω, ὁ μέλλων οἴξω, παρακείμενος ὦχα, ἐκτάσει τοῦ ο εἰς ω, μένοντος καὶ τοῦ ι προσγεγραμμένου.

Ὠχεῖτο, ἐκάθητο.

Ὤχετο, ἔφυγεν, ἀπέδρα, ἀπώλετο, ἐπορεύθη.

Ὤχθησαν, ὀχθῆσαι τὸ ἀχθεσθῆναι, ἢ ὑψωθῆναι τῷ φόβῳ, ἢ τὸν θυμὸν μεταφορικῶς, ἀπὸ τῆς τῶν ποταμῶν ὄχθης.

Ὤχθησαν Θεοί, ἀντὶ τοῦ ἠχθέσθησαν, παρὰ τὸ ἄχθος. ἢ ἐμετεωρίσθησαν, ἀπὸ τοῦ ὄχθου, ὃς μετέωρος ὑπερήρτηται τοῦ ὑπορρέοντος ὕδατος. ἢ ἐβαρύνθησαν, ὡς οἷα ὄχθων αὐτοῖς ἐπικειμένων.

Ὠχλεῖ, ὠθεῖ, νοσεῖ.

Ὤχλησεν, ἐμόχθησεν, ἐκίνησεν, ἐμόχλευσεν, ὤθησεν, ἐνόσησεν.

Ὤχμασαν, κατεῖχον, ἐδέσμευσαν.

Ὠχόμεθα ἐς Θήβην, ἀντὶ τοῦ ἤλθομεν. λαμβάνεται δέ ποτε καὶ ἐπὶ τῶν ἀφανῶν γενομένων. οἷον, ὁ δεῖνα ποιήσας τὸ δεῖνα τι ᾤχετο. ἀλλὰ καὶ ἐπὶ θανάτου. οἷον, πρὸ ὥρας ᾤχετο. ἐξ οὗ καὶ οἰχόμενος, καὶ ἀποιχόμενος, ὁ θανών.

Ὤχουν, ἐκάθηντο.

Ὠχράς, ὠχρίασις, καὶ ὄσπριον λαθύρῳ ἰδικός.

Ὠχριᾶν, λογογράφοι. κάλλιον δὲ ὠρακιᾶν, τὸ ἐκ λειποθυμίας ὠχριᾶν.

Ὦχρος τέμιν εἷλε παρειάς, ἀντὶ τοῦ ὠχρίασις. Ἀρίσταρχος γράφει οὐδετέρως παρειά, ὀξυτόνως λέγων, τὰ ἀπὸ ὀξυτόνου θηλυκοῦ μεταποιούμενα εἰς οὐδέτερα, τοῦ αὐτοῦ σημαινομένου μένοντος, τὸν αὐτὸν φυλάσσει τόνον. οἷον πλευραί πλευρά, πυραί πυρά. οὕτως οὖν φησι καὶ παρειαί παρειά. οὐκ ἀντίκειται δὲ τὸ νευραί, νεῦρα. διάφορα γὰρ αἱ λέξεις σημαίνουσι. προπερισπᾶται δὲ τὸ ὦχρος, εἰς ἀποφυγὴν τοῦ ἐπιθέτου. τὸ γὰρ ἐπίθετον, ὠχρός ἐστιν ὀξυτόνως, ἢ ὡς ὑπερτεθὲν καὶ συναιρεθὲν ἐκ τοῦ ἄχροος. ἢ ὅτι τὰ εἰς ος δισύλλαβα μονογενῆ, ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προσκειμένου τοῦ ι, βαρύνεται, ὦρος, ὦμος, ὦνος. τὸ ᾠδὸς ὀξύνεται, διότι τὸ ι προσγράφεται εἰς τὴν ἀρχουσαν. σημαίνει δὲ τὸ ὦχρος, καὶ εἶδος ὀσπρίου.

Ὠχυρωμένη, ἠσφαλισμένη.

ΤΟ' Ω'. ΜΕΤΑ' ΤΟΥ Ψ'.

Ὦψ, παρὰ τὸ ὄπτω τὸ βλέπω, ὁ μέλλων ὄψω. ἀποβολῇ τοῦ ω, καὶ αὐξήσει ὤψ. σημαίνει δὲ τρία. δύο διὰ τοῦ ω μεγάλου, τὸ πρόσωπον, καὶ τὸν ὀφθαλμόν. σημαίνει καὶ κύριον ὄνομα, ὡς ἐν Ὀδυσσείᾳ, Ὦπος θυγάτηρ. σημαίνει καὶ τὴν φωνὴν διὰ τοῦ ο μικροῦ.

Ὤψατο, εὔξατο, ἐμαρτύρατο, ἴδεν.

Ὤψαιον, ὤπτασαν, εἶχον περιεβλέποντο, ἰδεῖν ἐβούλοντο.

Ὠψά, τὰ ὀπτώμενα.

Ὠψιζόμην, ὀψὲ ἐποίουν, βράδιον ἠρχόμην.

Ὤψων, ἐμαγείρευον, ὤπτων.

Ὤων, τῶν περιστομίων τῶν ἱματίων.

Τέλος τοῦ Ω μεγάλου στοιχείου, καὶ πάσης τῆς Βίβλου.

Digitized by Google

ΕΛΕΓΧΟΣ

Τῶν Παρασταχάδων λέξεων, τῶν ἐν τῷ τοῦ ΒΑΡΙ'ΝΟΥ τοῦ ΦΑΒΩΡΙ'ΝΟΥ Λεξικῷ.

Ἰστέον ὅτι τῶν ἐκτεθέντων ἀριθμῶν, οἱ μὲν τῆς πρώτης τάξεως, δηλοῦσι τὴν σελίδα, οἱ δὲ τῆς δευτέρας, τοὺς κίονας. ὁ 1. δηλονότι τὸν πρῶτον κίονα. ὁ δὲ 2. τὸν β΄. καὶ ὁ 3. τὸν τρίτον.

Α 122.2 ϗ 128.1
Ἀάβυκτοι 1.3
Ἀαίνω 22.1
Ἀάμαι 1.3
Ἀάθη 491.3
Ἀάπτ 132.2
Ἀᾶται 491.3
Ἀβαθὴς 610.3
Ἄβαιον 344.3
Ἀβάκιον 2.2
Ἀβακτέω 2.2
Ἀβακῶ 2.2
Ἀβάλε 148.3 ϗ 643.1
Ἄβατος 259.1
Ἄβδηλος 643.1
Ἄβδηρον 75.2
Ἀβέβαιος 223.3
Ἀβέβηλον 152.2
Ἀβέλτερος 289.1
Ἄβηρυσι 2.3
Ἄβιοι 387.3 ϗ 663.2
Ἀβλὴς 623.3
Ἀβληχρὸν 157.2
Ἄβολις 3.1
Ἄβολος 22.1
Ἀβύτης 616.1
Ἀβρώτω 352.2
Ἀβυρτάκη 402.1
Ἄβυσσος 44.3
Ἀγάγης 225.3
Ἀγάζω 148.3 ϗ 643.1
Ἀγαθὸς 152.2
Ἀγαθὴ 242.2
Ἀγαθωσύνη 751.1
Ἀγαθότης 751.1
Ἀγαίεσθαι 4.1
Ἀγάκλητος 435.1
Ἀγαλέος 345.1
Ἀγαπώλω 556.1
Ἀγαυρὸς 131.3 ϗ 628.1 676.3
Ἄγγαπος 401.1
Ἀγγείδιον 116.3 ϗ 477.3
Ἀγγελιαφόρος 506.2
Ἀγγύλην 445.3
Ἀγελαῖον 688.3
Ἀγελείη 467.2
Ἀγελοτρόφος 387.3
Ἀγένεια 88.3
Ἀγενίζω 19.2
Ἀγέραστος 132.3
Ἀγερέθω 345.2
Ἀγερέω 345.2
Ἀγέρθεν 231.3
Ἀγερμὸς 564.2
Ἀγερτικύβηλις 454.2
Ἀγέτα 345.2
Ἀγήγερκα 575.2
Ἀγήγοχα 575.2
Ἀγῆλαι 601.3
Ἄγλω 39.2
Ἀγήοχα 231.3
Ἀγήραιον 175.3
Ἄγηχα 8.2 ϗ 575.2
Ἄγης 73.3
Ἀγιαζόμενος 8.3
Ἀγιάζω 9.1
Ἀγιαστία 9.1
Ἀγιαστὸς 9.2
Ἀγκάζω 86.2
Ἀγκάζεται 228.1
Ἀγκάλαι 228.1
Ἀγκαλοδαγωγεῖν 9.1
Ἀγκὶς 535.2
Ἀγκοίνη 172.1.2 ϗ 196.3
Ἀγκυληγὺς 445.3
Ἀγκύλοις 401.3
Ἀγκυλισταὶ 657.1
Ἀγκυλόμητις 217.3
Ἀγκυλοχείλης 166.2
Ἄγκυραι 520.1
Ἀγκυρίσας 10.1
Ἀγκυρίτην 490.3
Ἀγκὼν 424.3
Ἀγκώνη 172.1
Ἀγλαΐα 454.3
Ἀγνίζοντες 484.2
Ἀγνισμὸς 397.1
Ἀγνιστικὸν 397.1
Ἀγνοῶ 176.1
Ἀγνοίημι 10.3
Ἀγνοιῶ 345.3
Ἀγνόκοκκον 531.1
Ἄγνυμι 14.2
Ἄγνυμαι 69.3
Ἀγνύω 546.2
Ἀγνῶ 8.3
Ἄγνωμος 3.2
Ἀγνώμων 3.2
Ἄγοιεν 730.2
Ἀγὸν 324.3
Ἄγονα 104.2
Ἀγορὰ 161.2
Ἀγοράζω 159.2
Ἀγοραῖος 274.3
Ἀγαρανομῶ 3.2
Ἀγοράω 345.3
Ἀγορητὴς 12.1
Ἀγορόοντο 11.2
Ἀγορῶν 240.1
Ἄγος 263.2
Ἀγύρης 164.1
Ἄγραυλον 646.3
Ἀγρειάδος 352.3
Ἀγριέλαιον 252.2
Ἄγρικος 12.3
Ἀγριολεχῆναι 12.3
Ἀγριονιτίβιον 646.1
Ἀγριοπηγοὶ 59.3
Ἄγριπος 12.3
Ἀγρίππα 591.1
Ἄγριππον 39.2
Ἀγροῖος 12.2
Ἄγρονος 12.3
Ἀγρυπνεῖν 489.1
Ἄγρω 13.1
Ἄγρωστις 88.1
Ἀγυιὰς 13.2 ϗ 329.3
Ἀγύρη 522.1
Ἀγυρὶς 11.2
Ἀγυρτώδη 13.1
Ἄγχι 135.2
Ἀγχίνοια 290. 3. καὶ 549.3
Ἀγχόνη 153.3
Ἄγχος 611.3
Ἄγχουσα 230.2 ϗ 346.1
Ἀγωγὴ 46.1 ϗ 345.2
Ἀγωνίδαται 607.3
Ἀγώνι… 111.3
Ἀδάμνα 15.1
Ἄδαστος 182.1
Ἀδηκότες 125.3
Ἀδικία 211.3 ϗ 382.1
Ἀδίοπον 209.2
Ἀδμωλεῖ 17.2
Ἀδμωλίδες 15.1
Ἀδμωλῶ 17.2
Ἀδνύμιον 89.2
Ἀδολεσχία 265.1
Ἀδόλεσχος 473.3
Ἄδυλος 537.2
Ἀδρανὴς 219.3
Ἀδράστεια 510.3 ϗ 522.3
Ἀδριάδες 529.3
Ἄδριμυς 624.1
Ἀδρὸν 744.1
Ἄδυμον 602.2
Ἄδω 323.1 ϗ 373.2
Ἀδῶ 16.1
Ἀηδία 19.1
Ἀείζωον 699.1
Ἀείρας 115.2
Ἀείρειν 347.2
Ἀείρω 95.3 ϗ 146.2 ϗ 503.1
Ἄεις 28.2
Ἀεὶς 22.2
Ἀεῖς 22.1
Ἀελπτέων 20.2
Ἄεν 63.1
Ἀέπτως 1.1
Ἀερέθω 247.3
Ἀερείσω 415.1
Ἀερσιπότης 20.3
Ἀερσιπότητος 490.1
Ἀέσαι 20.2 ϗ 125.3
Ἀέσκοντας 20.2
Ἀετίτης 168.1
Ἄετος 138.3
Ἀετὸς 166.2 ϗ 422.2
Ἀέτως 138.3
Ἄζεο 504.3
Ἄζυς 386.3
Ἄζυγα 597.1
Ἄημι 19.3 ϗ 21.2
Ἄηντο 22.2
Ἀῆτις 50.3
Ἀθάδανον 22.2
Ἀθανασίαν 22.2
Ἀθανάτη 635.1
Ἀθαρβωτὸς 131.2
Ἀθερίνα 23.1
Ἀθεστῶ 81.1
Ἀθηρία 389.3
Ἀθηρολοιγὸν 24.1
Ἀθηρόλοον 24.1
Ἄθλος 24.1 ϗ 201.2
Ἄθροος 54.2
Ἄθροισιν 23.2
Ἀθροισμὸν 573.2
Ἀθρῶ 177.3
Ἀθυμώτης 25.1
Ἀθυμῶ 325.3
Ἀθυρμάτιον 24.2
Ἀθυρόστομος 25.1
Ἄθω 24.1
Ἀθώητος 24.3
Ἄθωος 376.1
Αἰανὸς 25.3
Αἰακὴ 77.3
Αἰγαῖαι 26.3
Αἰγανέη 26.2
Αἰγέας 27.2 ϗ 142.3
Αἰγίλων 257.1
Αἰγίδες 282.3
Αἰγιναιοπῶλαι 27.1
Αἰγλῆς 701.2
Αἰγόβοτον 424.1
Αἰγωπὸν 576.1
Αἰδέσιος 231.2
Ἀιδήμων 493.1
Ἀΐδιος 310.1
Αἰδοιέστερον 89.1
Αἰδοιέστατος 28.1
Αἰδοιόπληκτος 652.1
Αἴδομαι 256.2
Ἄϊδρις 379.2
Ἀΐδω 28.2
Ἀΐην 348.3
Ἀϊζόκροτος 239.1
Ἀϊθάλεος 194.3
Ἄϊθαρ 457.1
Ἄϊθε 236.2 ϗ 448.3
Ἀϊθὴρ 133.3
Ἄϊθρανος 82.2
Ἄϊθω 114.2 ϗ 520.1
Ἄϊθω⊥ 174.2
Ἀϊματιὰ 343.2
Αἱματοποίησις 599.3
Αἱματοφόρυκτα 31.2
Αἱμοβαφὲς 31.2
Αἱμορραγίαν 622. 2 ϗ 645.2
Αἱμορροὶς 30.3
Ἀιμὼν 486.3
Ἀινελένη 223.2
Αἴνημι 192.3 ϗ 547.3
Αἰνὴς 103.1
Ἀινίζω 32.1
Ἀινιμᾶσθαι 354.3
Αἶνον 329.2
Ἄινυμι 106.1 ϗ 275.1
Ἄινυσθαι 275.1
Ἀινύω 275.1
Ἄιξ 177.2 ϗ 311.1
Ἀιξωνεῖς 32.3
Ἀιξωνεύεσθαι 32.3
Ἀιονήματα 283.2
Αἰπόλιον 33. 2 ϗ 612.2
Αἵρεσις 33.2.3 ϗ 623.2
Ἀιρέω 415.2
Αἰριθαπὲς 34.2
Ἄϊρος 389.2
Αἰρῶμαι 623.2
Ἄϊς 524.3
Ἄϊσα 263.3
Αἴσημα 514.2
Αἴθυσις 86.2
Αἰθυντικὴ 562.2
Ἀΐθω 33.1 ϗ 155.1
Αἰσία 317.1
Αἰσιμία 35.3
Αἰσιμοῦ 36.2
Αἰσιομήτης 36.2
Αἴσιοι 195.2 ϗ 263.3
Αἰσμάτων 36.1
Αἰσυλοεργὸς 36.1
Αἰσυμνητὴρ 36.2
Αἰχμὴ 36.2
Αἰχμωτερὸς 36.3
Αἴτημι 193.2
Ἀΐτης 22.2
Αἰτία 302.1 ϗ 391.2
Αἴτνη 608.2
Αἰχαιὸς 144.1
Αἰὼν 509.1
Αἰωνῶ 355.2
Αἰώρα 347.2
Ἀκαδημία 336.1
Ἀκακήτης 38.2
Ἀκαλανθὶς 420.1
Ἀκαλαρείτης 330. 2 ϗ 349.1
Ἀκαλύφην 436.2
Ἀκάλυφον 38.1
Ἀκάμαλα 38.3
Ἀκανθοβόλον 647.2
Ἀκανθοπλὴξ 102.1
Ἀκανθυλὶς 39.1
Ἀκαρὶς 39.1 ϗ 87.2
Ἀκαταθύμιος 422.2
Ἀκάτιον 39.2
Ἀκάχημαι 39.3
Ἀκειρόπαστον 41.2
Ἀκέοντο 39.3
Ἄκερως 253.3
Ἀκεσώδαμος 40.2
Ἀκεστὴ 387.3
Ἀκέστωρ 40.2
Ἀκὴ 40.2 ϗ 325.1
Ἀκήδεστοι 40.3
Ἀκηδῆσαι 418.2
Ἀκηδία 40.3
Ἀκηδῶ 40.3
Ἀκήκοα 309.2 ϗ 556.1
Ἄκηλον 38.3
Ἀκηροκόμης 440.2
Ἀκήρωτος 42
Ἀκήσω 40.2
Ἀκηχημένη 144.1
Ἀκιδᾶται 40.3
Ἀκιδνωτὸν 41.1
Ἄκιζω 30.3
Ἀκκισμοὶ 41.2
Ἄκλυτον 477.2
Ἀκλώστους 409.3
Ἀκοὴ 302.2 ϗ 529.1
Ἀκολυθία 451.1
Ἀκοντίλαι 42.3
Ἀκόυεσκε 40.2
Ἀκρίδες 408.2
Ἀκρόβυστος 44.3 ϗ 171.3
Ἀκροθώρακας 376.2
Ἀκροκνέφαιος 733.1
Ἀκρομφάλιον 170.2

Ἀκρονυχία 45.1. & 66.2
Ἀκρόψωλος 756.1
Ἀκρωβελίας 354.3
Ἀκρώνυξ 49.3
Ἀκτὶν 46.1
Ἀκτῖνες 45.3 & 46.1
Ἀκῶ 275.2
Ἀκωχαὶ 72.2
Ἀλαληπὸς 467.2 & 467.2
Ἀλαλκεῖν 47.1
Ἀλᾶν 423.2
Ἀλαὸς 45.2. & 464.3
Ἀλαπαδνὸν 449.1
Ἀλαρίαν 47.2
Ἀλάσκω 350.1
Ἀλάωσε 563.3
Ἄλγος 46.3 & 47.3
Ἀλδω 97.2
Ἀλδῶ 97.2
Ἀλέατος 695.1
Ἀλεγίζω 559.3
Ἀλεὶς 225.3 & 258.1
Ἀλεκτορὶς 48.3
Ἀλεκτορίδης 464.1
Ἀλεκτρυόνες 555.1
Ἀλένττες 49.1
Ἀλεξίμαχος 49.2
Ἀλεξίμορος 426.3
Ἀλέξιος 556.3
Ἀλεόμεθα 49.2
Ἀλέπισος 672.2
Ἀλέπυρα 134.2
Ἀλὲς 48.2
Ἀλευρομάντεις 634.1
Ἀληθερὲς 255.3
Ἀληθὲς 50.1
Ἀληθίζω 50.1
Ἄλθος 50.3
Ἀλίκρας 51.1
Ἀλικρεῶν 330.1
Ἀλιμμα 51.3
Ἀλίπασον 51.1
Ἆλις 57.2
Ἀλίσασα 52.1
Ἀλισκάζω 637.3
Ἀλιταίνω 53 & 52.2
Ἀλιτίμωρος 52.2
Ἀλιτήμωος 52.2
Ἀλιτεία 52.2
Ἀλίτυτος 51.2
Ἀλιπῶ 52.2
Ἀλίω 52.3
Ἀλκάρες 52.3
Ἀλκὴ 190.2 & 493.1
Ἀλκίφρων 155.2
Ἀλκομένη 46.2
Ἀλκυονὶς 53.2
Ἀλκῶ 349.3
Ἀλκω 349.3
Ἀλλαγὰς 668.3
Ἀλλαντοπώλης 53.3
Ἀλλαχόθεν 54.2
Ἀλλαχόσε 54.1
Ἀλλ' ἐσὶ 35.1
Ἀλληγορῶ 12.1
Ἀλλοεθνὴς 629.3
Ἀλλοιῶν 55.3
Ἀλλόριος 55.2
Ἄλλοσε 251.2
Ἀλλοφρονῶν 54.2
Ἄλλη 284.1 & 400.3
Ἀλμυρότης 35.1
Ἄλξ 55.3 & 281.1
Ἀλοᾶν 60.3
Ἀλόβα 706.3
Ἀλοιπὸς 62.2
Ἀλοιπὴ 532.3
Ἀλοιφεῖον 532.3
Ἀλομαι 56.3
Ἀλοσύριον 49.3
Ἀλόσωπος 56.2
Ἀλότειψ 49.3
Ἀλὺς 55.1. & 58.1
Ἄλσω 56.3
Ἄλυδις 65.1
Ἄλυφλος 221.1
Ἄλυς 57.2
Ἀλυσίδιον 434.1
Ἄλφα 1.2 & 2.3 & 28.1
Ἀλφάβητον 635.2
Ἀλφαίνειν 57.3
Ἀλφεῖσθαι 57.3
Ἀλφιτεῖον 57.3
Ἄμα 680.1
Ἀμαδρυάδες 56.3
Ἀμαλακισείω 59.2
Ἀμαλάπτω 352.1
Ἀμαλδύνειν 16.3
Ἀμάλλει 59.2
Ἀμάλλιον 59.2
Ἀμάμαξις 754.3
Ἀμάμηλος 58.3
Ἀμαμιλίδας 297.2
Ἀμαξηλάτης 566.2
Ἀμαξιμάριον 731.1
Ἀμαξόβιοι 387.3 & 528.1
Ἀμαξοφόρετοι 528.1
Ἀμαράκινον 693.2
Ἀμαρπὰς 59.3
Ἀμάρτημα 252.1
Ἀμβιβρότη 165.2
Ἀμβλὺ 163.1 & 549.1
Ἀμβλύτης 456.3
Ἀμβλωμα 276.1
Ἀμβλώσκει 251.2
Ἀμβολοεργός 60.3
Ἀμβρακεύειν 276.1
Ἀμβρότη 4.1
Ἀμελέως 3.1
Ἀμέμαρον 160.3
Ἀμετέως 260.1
Ἀμέργω 108.2 & 546.1
Ἀμεριμνεῖν 143.1
Ἀμες 63.1 & 230.2
Ἀμετροφανίω 284.1
Ἀμήω 640.1 & 660.2
Ἀμηπὸς 60.3
Ἀμητρίδες 174.3
Ἀμίσαλος 63.1
Ἀμισθος 108.2
Ἄμμαθος 754.2
Ἀμμόριον 63.1
Ἀμμῶ 59.2
Ἀμνήμων 257.2
Ἄμνις 63.2
Ἀμοιρία 512.3
Ἄμορφον 37.1
Ἄμος 352.1
Ἄμπαλος 90.2
Ἀμπελοσατεῖν 174.3
Ἀμπελόφυτος 426.3
Ἀμπεχόνιον 659.1
Ἀμπέχω 289.2
Ἀμπυκίζειν 64.1
Ἀμύλαντον 65.1
Ἀμφάδιος 508.3
Ἀμφαμιῶνται 386.3
Ἀμφευύχει 591.3
Ἄμφη 60.3
Ἄμφια 67.3
Ἀμφιβέβηκας 459.1
Ἀμφίβιον 67.1
Ἀμφιδεδινῆσθαι 213.1
Ἀμφιέσομαι 68.1
Ἀμφιετίζεσθαι 269.3
Ἀμφιχαρῆ 685.1
Ἀμφίκιρτον 68.1
Ἀμφιλαχαίνειν 479.1
Ἀμφιλύκη 599.3
Ἀμφίριτος 290.3
Ἀμφιρρηδὴς 596.1
Ἀμφιρρυτικῶς 71.1
Ἀμφιφῶνες 102.2
Ἀμφὸν 222.1 & 276.1
Ἀμφολιεργός 73.1 & 73.2
Ἀμφορκία 72.2
Ἀμφοτεροδέξιον 292.3
Ἀμφιφῶν 102.2
Ἀμφώβολα 534.3
Ἄμφωδα 13.2
Ἀμφωτίδες 72.2
Ἀναβαπτίζειν 203.3
Ἀναβαπτισμὸς 78.3
Ἀναβέβροχεν 73.2
Ἀναβλέπω 406.2
Ἀναβυκάσασθαι 203.3
Ἀναβράζω 163.1
Ἀναβυσθονεῖν 73.1
Ἀναβῶ 411.3
Ἀναγαργαρίζειν 169.3
Ἀναγνάμπτω 179.2
Ἀνάγνωστος 137.1
Ἀναγορεύω 682.3
Ἀναγεία 389.3
Ἀνάγυρον 548.1
Ἀναδασμὸς 86.2 & 189.3
Ἀνάδετος 74.2
Ἀνάζω 108.3
Ἀναθεματικὸν 611.3
Ἀναίσθητος 75.3
Ἀναισιμῶ 36.2
Ἀναίσχυντος 36.2
Ἀνακαίνωσις 75.3
Ἀνακὲς 77.3
Ἀνάκησαι 330.2
Ἀνακινῆσαι 521.3
Ἀνακλιθῆναι 78.2
Ἀνάκλινθρον 316.2
Ἀνάκλιντρον 202.2 & 295.2
Ἀνακινεῖν 76.2
Ἀνακόπτω 58.2
Ἀνακὸς 75.1
Ἀνάκτισις 75.1
Ἀνακυκλέω 455.3
Ἀνακωχὴ 76.3
Ἀνάληπτος 83.2
Ἀνάληφος 86.3
Ἀνάλιτος 86.3
Ἀναλλὰξ 77.1
Ἀναλυτικὰ 77.1 & 487.2
Ἀνάλωμα 77.2 & 86.3
Ἀνάλωσεν 86.3
Ἀνάνδσις 522.1
Ἀνανεῶ 77.3
Ἀνανθὲς 41.3
Ἄναος 86.1
Ἀναπαιδεύω 548.1
Ἀναπάληπτον 48.3
Ἀναπιδύειν 166.1
Ἀναπιπράσκειον 79.1
Ἀναπλήρωμα 608.2
Ἀνάπλους 410.2
Ἀναπνεύω 78.3
Ἀναποψύχειν 113.1
Ἀνάφρασις 79.1
Ἀναπωθάνεσθαι 450.3
Ἀνάρρημα 79.1
Ἀναρροὴ 576.1
Ἄναρσις 79.2
Ἀναρύκα 120.3
Ἀνασχεῖν 79.3 & 411.2
Ἀνασείχειν 269.3
Ἀνασέλλω 633.2
Ἀνάστηθι 80.1
Ἀναστηλοῦν 670.3
Ἀναστένω 670.2
Ἀναστροφᾶν 608.2
Ἀνάσυλος 79.2
Ἀνασυράζειν 581.1
Ἀνασφάλλειν 156.2
Ἀναχόμενος 85.2
Ἀνατλῆναι 81.1
Ἀνατομὴ 576.1
Ἀνατραπῆναι 85.2
Ἀναύδητον 81.3
Ἄναυος 86.1
Ἄναυρον 81.2
Ἀναφαλαντίας 709.1
Ἀναφυσῶντες 750.3
Ἀναχασάμενος 81.3
Ἀναψυγῆναι 82.1
Ἀναψυχθῆναι 82.1
Ἀνδάνον 82.1
Ἀνδρειάντες 671.1
Ἀνδρίκελον 82.3
Ἀνδροκογχυλευτὴς 83.1
Ἀνδρόμηρον 83.1
Ἀνδρόποδας 194.3
Ἀνδροδεσάω 512.1
Ἀνεβλάστησεν 149.3
Ἀνέβωσε 535.1
Ἀνεγείρειν 227.2
Ἀνέγερτος 522.3
Ἀνεγρηγόρει 229.3
Ἀνέζεεν 753.3
Ἀνέθω 87.1
Ἀνειδωλοποίησις 236.1
Ἀνεῖθη 269.3
Ἀνεικέναι 269.3
Ἀνεικτὸς 83.3
Ἀνεικῶς 269.3
Ἀνέκλητον 84.1
Ἀνέκφορον 251.3
Ἀνελίττω 256.2
Ἀνεμοδούλιον 84.2
Ἀνεμόεις 354.2. & 428.3
Ἀνεμοζάλη 20.1
Ἄνεμος 126.2 & 129.3
Ἀνεμώνιος 501.2
Ἀνενδεὴς 379.1
Ἀνέξοισον 251.3
Ἀνεπάλη 244.2
Ἀνεπαίσθη 566.3
Ἀνέπαυσε 209.2
Ἀνεπιστάτως 85.1
Ἀνεπιστήμων 525.1
Ἀνέσως 333.3
Ἀνέχον 85.2 & 105.3
Ἀνέχετο 85.2
Ἀνεῦθεν 85.3
Ἀνέψηκτος 132.3
Ἀνηβάσκειν 344.3
Ἄνηβος 105.1 & 635.1
Ἀνήγω 79.3
Ἄνηθον 87.2
Ἀνήθω 87.1
Ἀνηλιφὴς 48.2
Ἀνήλιτος 351.1
Ἀνηρρίχων 79.2
Ἀνθέκαστος 135.2
Ἀνθερλωὸς 87.2
Ἀνθηδὼν 88.1
Ἄνθησις 41.3
Ἄνθιμος 193.1 & 393.1
Ἀνθίνος 748.2
Ἀνθίστημι 682.3
Ἀνθρακιὰ 258.3
Ἀνθρωπίδης 426.1
Ἀνθρωπικὸς 615.3
Ἀνθρωπίσκος 88.2
Ἀνθρωποειδὲς 88.2
Ἀνθῶν 88.1. & 471.1
Ἄνιγρον 74.2
Ἀνίσω 89.2
Ἀνιχνεύεσθαι 393.2
Ἀνονταίνω 578.2
Ἀνομβρία 305.1
Ἀνομία 522.3
Ἀνοργιάστοις 90.1
Ἀνορεξία 195.1
Ἀνορθῶ 552.3
Ἀνουμῖνος 17.3
Ἄνταλλον 90.3
Ἀνταίτης 409.3
Ἀνταπόδοσις 80.3
Ἀνταίω 355.1
Ἀντειλημμένοι 617.3
Ἀντέστω 598.2
Ἀντέκτισις 90.3
Ἀντεπώρυσε 704.3
Ἄντζαν 517.2
Ἀντήνωρ 355.1
Ἀντηρετεῖν 91.1
Ἀντήρης 308.1
Ἄντησιν 409.3
Ἄντι 625.2
Ἀντίβασις 308.1
Ἀντιβολῆς 573.2
Ἀντιβολία 409.3
Ἀντιδιέστηκα 682.3
Ἀντικομπάσει 622.1
Ἀντιμωλία 517.3
Ἀντίπεδα 164.1
Ἀντιπελάργωσις 92.2
Ἀντιπεπτόνθησις 238.2
Ἀντιπρόσωπον 92.1
Ἀντισταθμίζω 689.1
Ἀντίστερνον 531.1
Ἀντίστιχος 92.3
Ἀντιφατικὴς 93.2
Ἀντιφέρομαι 730.3
Ἀντίχαριν 744.3
Ἀντίχειρος 143.3
Ἄντομαι 355.1
Ἀντομνύειν 545.1
Ἄντω 355.1
Ἀντύποιστον 722.2
Ἀνῶ 561.2
Ἀνώγεον 174.3
Ἀνώγνυμι 94.2
Ἀνώνιμον 523.1
Ἀνώξω 94.2
Ἀνωρυγμένον 90.1
Ἀνωτέρω 94.2
Ἀνωτάτω 549.3
Ἀνωφελὴς 44.3
Ἀνωφερὴς 77.3
Ἀνώφοροι 45.2
Ἀξιοθέατος 339.2
Ἀξιόλογος 95.1
Ἀξιωματικὴ 95.2
Ἀξυλίαι 533.1
Ἀοίδημος 761.3
Ἀοιδὴ 9.2 & 300.2
Ἀοιδῶν 181.1
Ἀοικος 33.1
Ἀορα 95.3 & 534.3
Ἀπαγὴς 290.1
Ἄπαζον 123.1
Ἀπαιθίσειν 177.2
Ἀπαιόλημα 97.1
Ἀπαίσιον 36.1
Ἀπακτόω 97.2
Ἀπαλόπαιδα 221.2
Ἀπαλόστομον 178.2
Ἀπανθίζω 550.3
Ἀπανταχοῦ 48.3 & 607.2
Ἀπαξαπλῶς 98.1
Ἀπαρίσχομαι 117.3
Ἀπαρίνη 733.2
Ἀπαρτιλογεῖν 124.2
Ἄπας 1.1 & 239.2
Ἀπάτης 276.2 & 584.1
Ἀπεικότως 100.1
Ἀπέθερσε 100.1
Ἄπεδα 355.2
Ἀπείθεια 101.2
Ἀπεληστὴρ 163.3
Ἀπειλημμένοι 100.2
Ἄπειμι 238.3 & 267.1
Ἀπειραχῶς 215.2
Ἀπείρων 167.3 & 601.2
Ἀπεκράνισε 424.3
Ἀπελάτης 253.3
Ἀπελέλοιπα 191.1
Ἀπέμαθον 104.1
Ἀπεμύλιζε 515.2
Ἀπενήχω 100.3
Ἀπιπυδάεισα 593.1

Digitized by Google

Α'πείριττον 592. 1
Α'πεῤῥάγλω 110. 1
Α'πέῤῥωγα 110. 1
Α'περωδὸς 263. 1
Α'πεσίμωσε 452. 2
Α'πεσκίμφθαι 267. 3
Α'πέσσουε 655. 2
Α'πέτος 128. 1
Α'πέτυχον 289. 1
Α'πέφθη 609. 2
Α'πεχθάνεσθαι 102. 1
Α'πηλιώτης 386. 1
Α'πλῶ 100. 2
Α'πλῶς 252. 2. 275. 2
Α'πὸ 100. 1. 66. 3. 111. 1. 161. 3. 263. 2. 277. 2. 565. 2
Α'πόβλητον 497. 1
Α'ποβώμια 164. 1
Α'πόγαια 525. 2
Α'πόγεως 175. 1
Α'ποδεικνύειν 111. 3
Α'ποδηλιῶ 108. 1
Α'πόδημος 246. 1. 265. 2
Α'ποδημῶ 265. 2
Α'ποδίωγμα 216. 1
Α'ποδιώξης 504. 2
Α'ποδιδάσκω 104. 1
Α'πόδος 80. 1
Α'πόδοσις 219. 1
Α'ποδρόμους 164. 1
Α'ποθεῶ 388. 2
Α'πόκλαξον 431. 2
Α'ποκόπτω 64. 1
Α'ποκρεπατμὸς 64. 2
Α'ποκρυβῆ 454. 2
Α'πολινόπτεις 476. 2
Α'πολητῶν 191. 1
Α'πολούσομαι 481. 3
Α'πόλεξον 481. 3
Α'πόλωλα 542. 3. 543. 1.
Α'πόμαξα 108. 1
Α'πομιδῆ 499. 3
Α'πομνημόνευμα 108. 2
Α'πόμνυσθαι 545. 2
Α'πόμυσος 164. 1
Α'πομπαῖος 109. 2
Α'πομπὴ 109. 2
Α'πομύζειν 548. 2
Α'πόνιπτο 108. 3
Α'ποπίμπλημι 262. 1
Α'πόπτημι 261. 3
Α'ποπυργίζω 640. 2
Α'ποσμῶξαι 665. 1
Α'ποσυρίττεσθαι 435. 1
Α'πόχωνται 687. 2
Α'ποτελεσματικὴ 760. 3
Α'ποτέξεται 700. 3
Α'πότμον 487. 2
Α'ποτον 744. 3
Α'ποτρίψεσθαι 164. 3
Α'πότειχα 105. 1
Α'πότρωκτον 112. 1. 57. 3
Α'ποφανσῶν 412. 2
Α'πόφημι 112. 3
Α'ποφθὰς 732. 1
Α'ποφρὰς 112. 3
Α'ποφράττω 386. 3
Α'ποφυγὴ 731. 1
Α'πόχρη 560. 1. 645. 3
Α'ποψᾶν 102. 3
Α'πρακτα 113. 2
Α'πρεῖτον 4. 1
Α'προνομὴ 113. 2
Α'πτὰν 113. 3
Α'πτίλα 637. 1
Α'πτω 712. 2
Α'πύθμανοι 4. 2
Α'πυωδάκωτος 639. 3
Α'πύτην 164. 2
Α'πωθέομαι 353. 2. 377. 3
Α'πώλυον 107. 3
Α'πωλόμην 277. 3 543. 2
Α'πώνητο 108. 3
Α'πώξωμαι 544. 2
Α'ραβίζω 281. 3
Α'ράχνην 115. 1
Α'ραιὶς 115. 1
Α'ραξὸς 115. 1
Α'ραρα 356. 3
Α'ραρῶς 121. 3
Α'ραιὸς 177. 1
Α'ράχνιον 115. 2
Α'ργιφὴν 115. 3
Α'ργικέραυνον 538. 1
Α'ργιλώδης 483. 2
Α'ργιμέσας 264. 3
Α'ργὸς 20. 2 116. 1
Α'ργύριον 503. 2
Α'ρδηθμὸν 117. 1
Α'ρεταίνειν 118. 1
Α'ρημι 118. 1
Α'ρήμινον 221. 3
Α'ρηρὼς 115. 2. 118. 2
Α'ρθρέμβολα 24. 3
Α'ειδακρύω 335. 2
Α'ρινικὸν 123. 3
Α'ρισον 536. 3. 621. 3
Α'ριστερεῶν 384. 1
Α'είσημι 193. 1
Α'ειζω 448. 3
Α'ρισον 153. 3. 193. 2
Α'ρκτοφύλακος 162. 3
Α'ρκυωρεῖν 224. 1
Α'ρμώμελα 122. 1
Α'ρνὸς 118. 1. 122. 1
Α'ρνυσθαι 122. 2
Α'ρνύμαι 115. 2
Α'ρότης 122. 3
Α'ρπάλεα 123. 1
Α'ῤῥαβάνην 123. 2
Α'ῤῥενωπῶ 389. 2
Α'ρτικίειν 123. 1
Α'ρτέμωνα 491. 1
Α'ρτίαλα 312. 1
Α'ρτω 146. 3
Α'ρτοπολάειν 124. 3
Α'ρτος 19. 3 340. 1
Α'ρτὸς 124. 3
Α'ρτοσιτεῖν 124. 3
Α'ρτύω 314. 3
Α'ρύτην 204. 3
Α'ρυώνη 149. 2
Α'ρχαῖος 52. 3
Α'ρχεσίμολπον 276. 3
Α'ρχηγὸς 622. 1
Α'ρχησίχορα 276. 2
Α'ρχεο 125. 2
Α'ρχιστράτηγος 49. 2
Α'ρχων 150. 3. 245. 2
Α'ρω 146. 3. 357. 1
Α'ρωγὸς 118. 1
Α'σαλέα 125. 3
Α'σαφὴς 734. 2
Α'σβέσω 328. 1. 328. 3
Α'σβολῶ 653. 3
Α'σελγόχειρον 451. 1
Α'σθμα 157. 2
Α'σθμαλῆ 127. 3
Α'σιδοπόλος 716. 3
Α'σιόγενα 126. 3
Α'σιον 126. 3
Α'σκοπὸς 127. 1
Α'σκοφόροι 127. 2
Α'σματογράφον 611. 3
Α'σμενος 39. 3
Α'σόφηλον 130. 2
Α'σοφος 130. 2
Α'σπιδαποβλὴς 291. 2
Α'σπιδεῖ 668. 1
Α'σπλαγχνος 667. 3
Α'σπρόσεις 379. 1
Α'σσα 128. 2
Α'σσύπερον 301. 2
Α'στυ 134. 1
Α'στακὸν 557. 2
Α'σὰς 129. 3
Α'σαχυς 494. 2
Α'σήλας 730. 2
Α'σιόομαι 744. 2
Α'σισμὸν 129. 1
Α'σόξενος 627. 2
Α'σραγαλωταὶ 681. 2
Α'σριβλὴς 129. 3
Α'σρόβιλον 129. 3
Α'σρασι 328. 1. & 632. 3
Α'σύπος 448. 2
Α'σύμβολος 678. 2. καὶ 306. 3
Α'σύμμετρος 679. 2
Α'συρος 697. 1
Α'σφάλιος 446. 2
Α'σφαλτος 2. 1
Α'σφόδελος 177. 1 & 130. 3
Α'σχημοσύνη 131. 1
Α'σχολεῖμαι 131. 1
Α'σωτίομαι 131. 1
Α'σωτία 576. 3
Α'τάζω 131. 3
Α'ταιωμένον 4. 3
Α'τάλατος 716. 1
Α'τακτος 716. 1
Α'τάλαζος 131. 3
Α'ταρβὴ 144. 1
Α'ταρὸς 131. 3
Α'τασθάλεος 204. 2
Α'τελὴς 132. 1
Α'τερθεν 753. 3
Α'τερπὴς 132. 2
Α'τιμαγέλαι 705. 3
Α'τραπὺς 132. 2
Α'τραχυς 610. 3
Α'τρεκέως 133. 2
Α'τρηρὸς 689. 2
Α'τρητος 133. 2
Α'τρίακτος 707. 1
Α'τριβόμενος 112. 1
Α'τριχα 344. 3
Α'τρῶτος 3. 1
Α'τταγῆνα 134. 1
Α'τταράγους 42. 2
Α'ττω 134. 1
Α'τυχὴς 24. 1
Α'υ 131. 3
Α'υῶ 134. 2
Α'υγημα 476. 1
Α'υδὴ 136. 2
Α'υδήεις 135. 1
Α'υδηέντων 135. 1
Α'υθαδίζομαι 99. 2
Α'υθεντία 221. 2
Α'υθημερινὸς 268. 3
Α'υθημερίσαι 135. 2
Αὐθιν 145. 3
Α'υθμὸς 376. 3
Α'υθόδιον 137. 2
Α'υιον 136. 2
Α'υλημα 132. 1
Α'υλιν 135. 3
Αὔλοκα 757. 3
Αὐξητικὴ 563. 2
Αὐξίφωτος 49. 2
Αὐξομείωσις 420. 1
Αὐξῶ 497. 1
Α'ὐπνος 389. 2
Α'υσηρία 181. 1
Α'ὐσάκι 137. 2
Α'υπεξουσιότης 137. 1
Α'υταδὴς 99. 1
Α'υτοδάξ 535. 3
Α'υτοθάλαμος 361. 2
Α'υτοκράτεια 255. 1
Αὐτοποδητὶ 138. 1
Αὐτοπώλης 567. 3
Α'υτόροφον 290. 2
Α'υτοσχέδιος 138. 2
Α'υτίσε 138. 2
Α'υχένες 138. 3
Α'υχήεις 138. 3
Α'υχμώδης 305. 1
Α'ύω 24. 3 & 134. 1 & 137. 1
Α'υῶ 136. 3
Α'ύω 137. 1
Α'φαρπάζωμεν 139. 2
Α'φάω 142. 1
Α'φένος 242. 2
Α'φεῖναι 140. 1
Α'φεσήκει 243. 3
Α'φες 80. 1
Α'φεσμὸς 664. 3
Α'φεσῶ 328. 3
Α'φέτης 352. 1
Α'φη 35. 1
Α'φίδαιον 555. 3
Α'φίδρυμαι 379. 3
Α'φραδὴς 738. 1
Α'φρίζω 564. 2
Α'φρίτης 599. 3
Α'φρίτις 143. 1
Α'φροσιώνη 398. 1
Α'φύη 519. 2
Α'φυτνίζω 721. 1
Α'φῶ 207. 1
Α'φως 4. 1
Α'χάντιον 428. 2
Α'χαεὶ 144. 1
Α'χαεσία 144. 1
Α'χάτης 20. 3
Α'χελῶϊς 223. 3
Α'χελῶος 144. 2
Α'χερδέσιος 143. 3
Α'χερδος 562. 3
Α'χερῶ 144. 2
Α'χλῦ 144. 2
Α'χλύες 145. 1
Α'χθεσθαι 361. 2
Α'χανέως 145. 2
Α'ψέω 398. 1
Α'ω 74. 3 & 28. 1 καὶ 444. 1
Α'ῶ 260. 2
Α'ὼς 138. 3
Α'ωτον 146. 3

ΑΡΧΗ' ΤΟΥ' Β'.

Βαβαιὰξ 147. 1
Βαβουτικάειος 334. 3
Βαδιὰ 441. 1
Βάδισις 460. 3
Βαδισμὸς 550. 2
Βάδισμα 550. 2
Βάδος 147. 2 & 584. 2
Βάζω 147. 3
Βᾶθι 384. 1
Βάθος 147. 3
Βαθύγειος 170. 3
Βαθύγηρως 174. 2
Βάθωνος 158. 3
Βαίνω 384. 3
Βαίοντες 148. 1
Βαιτίδα 148. 1
Βακίζων 148. 2
Βάκλα 712. 1
Βάκτης 147. 1
Βακτὸς 2. 1
Βάκχαρις 163. 3
Βακχέδεις 148. 2
Βαλαυκάκεις 148. 2
Βαλαχάδιαμα 149. 2
Βαλανεύτης 148. 2
Βαλανηφαγεῖν 731. 1
Βάλανος 148. 2 & 490. 3
Βαλάρα 148. 3
Βαλλίσαι 428. 2
Βαλίζειν 149. 3
Βάλιον 108. 3
Βαλιὸς 441. 3 & 531. 3
Βαλισμὸς 531. 3
Βαμβάκιον 149. 3
Βάμβαλον 149. 3
Βάνδεσι 364. 3
Βάνναξοι 149. 3
Βάννιμα 149. 3
Βαππίραν 151. 1
Βάπτης 697. 3
Βάπτω 188. 3
Βαραγχίζειν 149. 3
Βαρβαρόκωνος 150. 1
Βαργίταν 160. 1
Βαρίω 150. 2
Βάρεων 150. 1
Βάρμιτον 149. 3
Βαρὺ 163. 1
Βαρύτονος 632. 2
Βαρυχνᾶν 334. 3
Βασανιστήρια 438. 2
Βάσθαι 582. 3
Βασιλάστερος 197. 1
Βασιλιᾶν 382. 3
Βασιλίνναν 150. 3
Βάσκω 350. 1
Βασμὸς 147. 3
Βάσραχας 150. 2
Βαταλίζεσθαι 150. 3
Βατιδοσκόποι 151. 3
Βατὶς 150. 3
Βαυκίζεσθαι 151. 1
Βαυκισμὸς 106. 2
Βαυκὸν 538. 1
Βδάλλω 151. 1
Βδέλλιον 151. 1
Βέβαια 575. 2
Βεβαιῶς 171. 1
Βεβηλῶ 151. 2
Βεβρώθω 153. 1
Βέβυσμαι 4. 2
Βὶξ 518. 2 & 655. 2
Βίλεαρ 157. 2
Βελφῖνας 157. 2
Βελφοὶ 154. 2
Βελόνη 646. 1
Βεμβηκιᾶν 154. 1
Βένδιω 212. 3
Βερηδάει 154. 2
Βερίκοκκα 438. 2
Βέω 154. 1
Βήρηξ 703. 3
Βῆσα 34. 2 & 166. 3
Βῆσσα 634. 2
Βιβασὴς 155. 1
Βίβημι 166. 3
Βιβλίνη 155. 2
Βιβλιοπώλαι 476. 2
Βιόδωρος 340. 1
Βισβαία 156. 1
Βλάβειν 232. 3
Βλασίφρων 578. 3
Βλαύσια 156. 3
Βλαυτία 156. 3
Βλάχνον 156. 2
Βλαχῶ 177. 3
Βλαψίφρονα 156. 2
Βλέκυγες 157. 3
Βλένιος 656. 2
Βλέτυες 157. 1
Βλήμενος 90. 1 & 556. 1
Βλησίδιον 73. 2
Βληχᾶσθαι 457. 2
Βλίζω 157. 3
Βλῖνος 157. 2
Βλίτον 157. 3
Βλώψ 437. 1
Βοανεργὲς 377. 1
Βόαξ 167. 2
Βόηξ 167. 2
Βοίω 153. 1
Βολβόλεως 159. 1

Digitized by Google

Βολὴ 149.1 ἢ 153.3
Βολίτινον 262.2
Βόλυ 158.3
Βομβλίας 159.1
Βομούλιος 159.1
Βοξίνυ 159.1
Βουθάκιοι 159.2
Βοσκημαπώδης 159.2
Βοσκητήριον 162.2
Βοτὴρ 292.1
Βοτρύδης 312.1
Βοτρυδὸν 5.2 ἢ 383.1
Βόζωι 714.2
Βουγάϊον 144.3 ἢ 160.2
Βούγγεις 646.2
Βουγῦις 160.2
Βούγλωσσος 161.2
Βουηλάται 162.1
Βουζυγία 160.2
Βυθοίνας 160.2
Βουκάρειος 124.2
Βούκεντρον 421.3
Βοῦκον 158.3
Βυλγίδιον 462.3
Βυλεῖον 161.3
Βουλευταὶ 161.2. καὶ 462.2
Βουλὴ 323.1
Βουλὴ 11.2 ἢ 213.1
Βούπασον 161.3
Βούπορωρος 708.3
Βοῦς 16.1. ἢ 160.1. ἢ 193.3
Βουσάσιον 162.2
Βουπαλίων 518.1
Βούπωμον 651.3
Βουφορβὸς 160.3
Βόω 517.2
Βοωπὸς 158.3
Βραγχιᾷν 163.1
Βράγχος 163.1
Βραδυπὸς 83.1
Βραδύπεις 608.3
Βράχαν 28.3
Βραχίον 652.2
Βρενθισίτλω 163.3
Βρένθυες 163.3
Βρεφόθεν 585.2
Βρέχω 226.2
Βρία 739.3
Βριθοσωὴν 164.2
Βριθὺς 330.3
Βρίθω 164.3
Βροσεῖω 542.1
Βροτὸν 3.1. καὶ 165.1 225.3
Βροτοσωὴν 604.3
Βροῦκα 165.3
Βροῦτοι 165.2
Βρυγγόνειν 165.3
Βρῦθεν 691.1
Βρυλλίω 165.2
Βρωῖοι 61.1
Βρῶμα 166.1 ἢ 461.3 711.2
Βρώμης 308.2 ἢ 462.1
Βρωσείω 362.2
Βρῶσις 558.3
Βρώπτας 558.3
Βρωτὺς 558.3
Βυβλινοπέδιλλος 166.1
Βυθμὼ 166.2
Βυθοδὼν 166.2
Βύξω 166.2
Βυρσωὴν 574.1
Βυρσοπαφλαγὼνα 166.3
Βυρσοπώλης 623.3
Βυρσοτόμος 646.3
Βύσσον 166.3
Βωλὶς 167.1
Βωλοκοπεῖν 174.3
Βῶμαρ 404.1
Βώπη 169.3
Βῶτις 388.1
Βώπωρ 292.1 ἢ 616.1

ΑΡΧΗ ΤΟΥ Γ.

Γ Αγγάλιον 167.3
Γαγγάμη 185.1
Γαγγαμὸς 170.2
Γαγγαμυλκοὶ 168.1
Γάδος 169.2
Γαζῆται 175.1
Γαῖρος 5.2
Γαλαθῆσαι 168.1
Γάλαθος 399.1
Γαλαῖα 168.3
Γαλακτιπόσαι 386.3
Γάλαξ 168.2
Γάλος 148.1
Γαλόως 168.3 ἢ 741.3
Γαμηλία 215.3
Γάμμα 143.3
Γάμπτω 169.2
Γανᾷν 169.2
Γάνος 533.1
Γανύσκω 169.3
Γαργαλὸς 169.3
Γάρον 455.2
Γαρύω 211.2
Γαστροκνήμη 435.3
Γαστροκνήμιον 435.3
Γατὸς 522.3
Γαυνὸς 519.1
Γαύρης 170.3
Γαυριῶσαι 441.2
Γδέπον 176.1
Γδουπῶ 182.2
Γε 170.3
Γέα 172.2 ἢ 174.3
Γεγέρμοι 731.1
Γέγημαι 170.3
Γέγλιθες 517.3
Γεγονὼς 227.2
Γεγονέω 171.2
Γεγονεῖν 171.1
Γεγωνικῶς 21.3
Γεγωνίσκειν 171.2
Γεγωνότερον 171.2
Γεγωρίσκειν 171.1
Γεγὼς 171.2 ἢ 503.3
Γέγω 172.1
Γέισον 171.3
Γελᾶϊς 158.1
Γελγοπώλης 650.1
Γελασσωσῖ, καὶ ἄλλα. 243.1
Γέμα 167.3
Γέμει 558.2
Γένοιτο 329.2
Γερεῶνες 528.1
Γεροντωγωγῶ 548.1
Γεφυρῶ 174.3
Γεῶ 172.2
Γεώργης 174.3
Γεώργημα 174.3
Γῆ 160.1 ἢ 173.2 ἢ 175.1 ἢ 549.3
Γήθειν 11.3
Γηθῶ 227.3
Γηθῶ 175.1
Γήλιγρος 175.1
Γηράναι 175.2
Γηράναι 175.2
Γήρημι 175.2
Γηροβοσκεῖον 175.3
Γηροκόμος 175.3
Γήπος 174.3
Γήτιον 427.2
Γηφόρος 737.2
Γίγνω 603.1
Γιγῶν 176.1
Γλαγερῶν 176.2
Γλαμᾶν 176.2
Γλαμαξιᾷν 176.2
Γλαμώδεις 176.2
Γλαύπις 176.2
Γλαοφῶν 176.2
Γλαύκιον 176.3
Γλαυκῶ 177.2
Γλαφὶς 178.2
Γλάφω 177.3
Γληνὸν 177.3
Γλήχων 157.2
Γλιχρόπεις 35.1
Γλουτὰ 392.1
Γλυκάδιον 549.1
Γλυκαίνω 178.2
Γλυκασμὸς 178.2
Γλύκιον 178.1
Γλύκυσμα 337.3
Γλυκύτης 35.1
Γλυφίαι 178.3
Γλωσσὶς 258.2
Γλωσσογάστορες 178.3
Γναθμὸς 179.1
Γναφάλιον 179.2
Γναφεύειν 179.2
Γνάφος 295.2
Γνοιτὸς 180.1
Γνοὺς 155.3
Γνωσσάσκω 11.1
Γνωσιμαχεῖν 180.1
Γνώσκω 176.1
Γνώπω 156.1
Γοαίνω 180.2
Γόγγρωνα 180.2
Γογγυλιάδοι 180.2
Γογγυλὶς 188.1
Γογγυλίζειν 188.1
Γονὴ 180.3
Γονεῖς 181.2
Γονοῦμαι 181.1
Γορδυλίζειν 181.1
Γοργόνες 379.1
Γόχαλα 176.1
Γουάζω 181.2
Γράδιον 182.2
Γραίνω 168.1
Γραῖς 182.2
Γραμματεῖον 181.3
Γραπτὺς 231.3
Γραφεῖδιον 116.3
Γράω 44.1
Γρέα 174.3
Γρηγορῶ 229.3
Γρῖφος 12.2
Γρὸς 180.2
Γρύσφον 562.2
Γρόνω 183.2
Γρυλλισμὸς 183.1
Γρυπαίνιον 183.2
Γρύπτην 183.2
Γρυπάρης 183.1
Γρυποπώλης 183.1
Γυαὶ 184.3
Γυάλοισιν 264.3
Γυγαῖη 183.3
Γύαλα 448.1
Γυιοκόροι 183.3
Γυῶ 104.3
Γυμνικὸς 351.2
Γυναικωπίπης 550.1
Γυιάνδροι 549.1
Γυὴν 180.3
Γῦον 137.2
Γυρεύειν 184.3
Γύτιν 183.3
Γὺψ 704.3

ΑΡΧΗ ΤΟΥ Δ.

Δ Α 49.3
Δαγκάνω 186.3
Δαγὺς 190.3
Δαῖγμὸς 535.2
Δαίοντος 486.3
Δαίρω 199.3
Δαὶς 187.2
Δαίσκω 207.2
Δαῖος 197.3
Δαιτρὸς 186.2 ἢ 189.3
Δαίω 31.2
Δαῖσον 689.2
Δακρυχέειν 522.1
Δακτυλίδιον 187.2
Δακτυλίζεσθαι 662.1
Δακτυλοδεικτεῖται 187.2
Δαμαλίδιον 434.1
Δάμαρτος 187.3
Δαμεὶς 505.1
Δάπλυτον 339.2
Δαρεῖλω, ἢ ἄλλα 235.3
Δασὸς 184.3
Δασυκέρκως 509.3
Δασύμαλος 600.2
Δασύσκιος 191.1
Δασύθριξ 690.1
Δασῶ 189.3
Δεδαῖται 703.2
Δέδεκα 191.2
Δέδεκα 191.1
Δέδουπα 624.1
Δειήσιος 192.1
Δείδω 144.1 ἢ 192.1
Δεκλινὸν 360.3
Δεῖνα 535.3 ἢ 694.2
Δεῖπς 19.3
Δεῖνος 535.3
Δείπαμεν 192.3
Δείρη 424.3
Δειρὴ 196.2
Δεῖς 197.2
Δέσσα 142.3
Δεκάμνω 353.3
Δεκανία 274.1
Δεκαρχία 191.2
Δεκὰς 194.1
Δεκοδράχμαι 437.2
Δέκω 100.3
Δέλεαρ 157.1
Δέλπα 316.1
Δελφιναφόρον 194.2
Δενδροκολάπτης 194.2
Δενδροφόρος 426.3
Δεξιάδω 195.1
Δεξιοφύλαξ 562.1
Δεξιόσειρος 265.1
Δεξῶ 259.2
Δεοίκω 197.1
Δεοποία 117.1
Δέρεσθαι 479.3
Δερμάτια 669.2
Δέρσα 166.2
Δέσμη 196.2
Δέσμιος 197.3
Δεσπόσαιον 710.1
Δεσποτείω 196.3
Δεστήρ 196.3
Δεῦχος 16.1
Δεῦρος 196.3
Δέω 197.1
Δέω 197.1
Δεσπεῖον 635.3
Δεσπρέω 635.3
Δέσπος 150.3
Δεσπρωταὶ 182.1
Δέφω 16.1
Δέω 135.1 ἢ 191.1
Δηαὶ 200.1
Δήεις 191.2
Δηθάκη 613.3
Δηθάκις 613.3
Δηθοδος 154.2
Δηϊαπείρας 91.2
Δηιὰς 67.2
Δηλεία 221.2
Δηλᾶσθαι 198.1
Δημηγόρος 198.2
Δημιουρὶ 492.2
Δημοκρατία 542.3
Δημοκρατεῖσθαι 198.3
Δημόπρατα 79.1
Δημοσία 299.1
Δημοσίη 317.3
Δημοτικὸς 399.1
Δηρέω 442.1
Δηῶ 16.3
Διαβιβάζειν 200.1
Διαβυκολεῖ 160.3
Διαβρέχω 164.1
Διαγέγονε 200.3
Διάγνωσις 200.3
Διαγρυπνεῖ 203.3
Διάδημον 74.2
Διαδρομαὶ 277.3
Διαδὺς 228.1
Διαίτησις 377.3
Διακαρανεῖ 208.3
Διακεκαυμένη 343.2
Διακελεύομαι 420.3
Διακονίαν 509.2
Διάκορος 202.1
Διακόσια 445.1
Διακονῶ 200.2
Διάκτορον 312.1
Διαλλαγὰς 202.3
Διάλμα 588.3
Διανεῖσθαι 522.3
Διανηνισμὸν 120.2
Διανίσταμαι 200.1
Διανοίγω 200.2
Διαπαλαίειν 567.3
Διαπαρθενεύεται 203.3
Διαπεπραγμένων 168.3
Διαπίτνα 599.1
Διαπηδᾷ 719.2
Διαπλάττειν 606.1
Διαπορία 204.1
Διαπόντιος 241.1
Διαπρεσβεύομαι 631.3
Διαπτᾶσθαι 209.2
Διαρπάζω 123.1
Διασκαλον 205.1
Διασκάπτειν 479.2
Διασκίδνησις 205.1
Διασπαεῖ 110.3
Διαστάσις 669.1
Διαστολία 496.1
Διασχεῖν 210.1
Διάταγμα 205.3
Διάταξις 205.3
Διατὶ 215.3
Διατμήγειν 211.2
Διατονίαν 184.2
Διαφάρσεις 139.2
Διαφιλοτιμεῖσθαι 734.1
Διαφοιτᾶν 237.1
Διάφραγμα 621.1
Διαφρήσεται 207.1
Διαφυλάττεσθαι 740.1
Διάφυξις 205.2
Διάχυσις 207.1
Δίδρημι 140.3
Διδυμάων 128.2
Διέγερσις 683.3
Διεθέασι 203.1
Διειλεγμένος 471.3
Διεκείρθω 202.2
Διέλαβεν 202.3
Διελάσαι 350.1
Διελινήσατο 474.1
Διεξωμύρτων 250.2

Διεξ-

Digitized by Google

Διεξσωλῶς 250.2
Διεπάλωο 575.2
Διεπώσατο 217.1
Διέργασις 207.1
Διεργασμὸς 207.1
Διεσαρδόνησε 652.1
Διεσκηνηφθη 205.1
Διέτης 275.1
Διεχειρίσατο 207.3
Διθυραμβικοὶ 611.3
Διΐππασία 89.1
Δικελλίτις 212.2
Δικέφαλον 295.3
Δικολόγος 646.2
Δίκρυν 212.3
Δικτύπελον 70.2
Δίμεσον 503.3
Δίμορον 215.3
Δίνησις 213.1
Διόλυ 572.1
Διοπομπίας 214.1
Δίπλαξ 214.3
Διπλάρφ 524.1
Διποδισμὸς 215.1
Δὶς 214.1
Δισαγμῷ 265.3
Δισύπατος 212.3
Διχιδῆ 212.2
Διφάσιον 215.3
Διφρηλάτης 64.3
Διφρηφόρος 215.3
Διχασῆρες 424.3
Διχηχῆ 7.1
Διχῶ 430.3
Δίψος 216.1
Δίωξιν 573.2
Διωχμός 89.2
Δμωαὶ 173.1
Δνόφος 49.3
Δοάζω 217.1
Δολιχόδρομοι 206.2
Δονακία 218.1
Δόναξ 399.1
Δορὸς 4.1
Δορύσσειν 343.3
Δορύχνιον 218.3
Δόσορι 700.1
Δουκάνην 711.3
Δυλίδας 474.3
Δυλιχὸν 219.1
Δυραποδόχοις 683.3
Δυροδόκυ 391.1
Δυρολοχὴ 683.3
Δραθάνει 721.3
Δράκα 535.1
Δραπιυργαὶ 220.2
Δρήθω 104.3
Δρήσεια 220.2
Δριναῖα 220.2
Δριμύτης 35.1
Δρομάδ's 220.3
Δρομικὸς 151.1
Δρυμὰ 221.1
Δρυοκολάπτης 731.2
Δρυσοσυνη 604.3
Δύειν 222.1
Δυσαγεία 389.3
Δυσαμάκτυ 222.2
Δυσγένεια 222.3
Δυσδαίμονα 487.2
Δυσεβὴς 744.3
Δυσέγερτος 522.3
Δυσεμπέλιον 411.1
Δυσέψανον 338.1
Δυσήλωτον 58.2
Δύσις 302.3
Δύσοα 665.2
Δυσοσμία 144.1
Δύσπλοια 328.3
Δύσπνους 222.2
Δυσπροσήγορος 127.3
Δυσφροσυνη 398.1
Δυσχείρωτον 746.1
Δωδεκάβοιον 233.1
Δωρύσω 275.3

ΑΡΧΗ' ΤΟΥ Ε'.

Ε'Αγμα 25.2
Ε'αριπολεῖν 174.3
Ε'άων 225.2
Ε'βδελυμένον 250.3
Ε'βδομὰς 650.2
Ε'βεβολέατο 152.3
Ε'βηβώσομαι 501.2
Ε'βίων 155.3
Ε'βλίμην 156.3
Ε'γγελίζω 183.3
Ε'γγηος 170.3
Ε'γγισα 226.3
Ε'γγιῶ 441.1
Ε'γγυπάτω 227.1
Ε'γγυτὶ 227.1
Ε'γερτὸς 227.2
Ε'γήγαρχος 227.3
Ε'γκαινίσαι 397.2
Ε'γκαλύπτομαι, ἢ ἄλλα, 273.2
Ε'γκάτοις 228.1
Ε'γκαφος 42.2
Ε'γκεῖσθαι 228.2
Ε'γκλαστρίδα 312.1
Ε'γκοῖλα 272.3
Ε'γκρανος 228.2
Ε'γκύκληθρον 225.3
Ε'γκυκλίας 229.2
Ε'γκυον 229.1
Ε'γρήγορθι 229.3
Ε'γρήγορσις 238.3
Ε'γρω 13.1
Ε'γχειμάζειν 304.2
Ε'γχειρογάστορες 170.1
Ε'γωγοι 130.3
Ε'δαπνον 231.1
Ε'δάφιον 452.2
Ε'διον 197.2
Ε'δήδατο 231.3
Ε'εδνῦσθαι 232.1
Ε'έθω 87.1
Ε'ζώλιον 232.3
Ε'θειράδες 234.1
Ε'θιμοσυνη 234.2
Ε'θυράζειν 234.3
Εἰαροπότης 235.2
Εἰδέχθεια 235.3
Εἰδωλολάτρης 468.3
Εἶθον 313.1
Εἰκαιομυθία 236.3
Εἶκατι 237.1
Εἴκιος 263.3
Ε'ικονισμὸν 744.1
Εἴκοσι 612.2
Εἰκόσορος 524.3
Εἰλάειν 384.2
Εἰλεὸς 237.3
Εἴλιχα 610.3
Εἴλιγμαι 610.3
Εἴλυ 19.2
Εἴλησαν 258.1
Ε'ιλικνοειδὲς 238.1
Εἰλίπυς 186.3
Ε'λοχρινὴς 238.1
Εἴλυσις 238.1
Εἴλωτες 351.3 ἢ 389.2
Εἰμαρὲς 528.2
Εἴμαρται 251.1
Εἰνύω 407.2
Εἴποσαν 600.2
Εἰρήκη 240.2
Εἰσέπηπτα 584.3
Εἴω 110.1 ἢ 190.3 ἢ 346.2
Ε'κ 109.1 καὶ 119.3 ἢ 248.3
Ε'καδημία 38.2
Ε'κάσατος 244.2
Ε'καπόμπεδον 245.2
Ε'κβαχεύω 148.2
Ε'κβιος 250.1
Ε'κβλητος 245.3
Ε'κβρεκτὸν 273.2
Ε'κέκραξα 419.2
Ε'κηρείωθην 427.1
Ε'κθροιβος 247.1
Ε'κθρώσκω 373.2
Ε'κλαλῶ 466.2
Ε'κλέλοχε 277.2
Ε'κλισρᾶν 296.3
Ε'κλογιζόμενος 248.3
Ε'κλυσις 348.3
Ε'κμάσσειν 68.3
Ε'κνεομένως 560.1
Ε'κορώνα 445.1
Ε'κπαιφάσσειν 566.3
Ε'κπέπαλον 106.3. καὶ 599.1
Ε'κπεπόσιμα 599.1
Ε'κπλεθρον 588.3
Ε'κπολιτεύσαι 251.2
Ε'κρίνθη 96.2
Ε'κροφῶ 648.2
Ε'κστρατεύειν 673.1
Ε'κταδὸν 250.2
Ε'κτέατο 608.3
Ε'κτήμοροι 420.1
Ε'κτομή 728.3
Ε'κσοπίας 63.3 ἢ 177.3
Ε'κυρσε 50.1
Ε'κφοβος 376.1
Ε'κχυσις 753.1
Ε'λάδιον 643.1
Ε'λαιοχονία 441.3
Ε'λαιῶδες 43.3
Ε'λαστὴρ 167.3
Ε'λάττωσις 666.2
Ε'λαττῶ 253.1
Ε'λάχεια 33.1 ἢ 469.2
Ε'λαχὸς 692.2
Ε'λαχὺς 692.2
Ε'λεγχείη 230.2
Ε'λεγχὺς 254.1
Ε'λέσχαινον 473.1
Ε'λευθεριότης 255.1
Ε'λεφήνωρ 255.2
Ε'λήγηειν 531.3
Ε'ληθερὲς 255.2
Ε'λήλυθα 237.3
Ε'λιφερὲς 629.1
Ε'λκω 256.3
Ε'λικτῆρες 257.2
Ε'λιπὶς 257.1
Ε'λοτίαν 257.2
Ε'λύχνιον 372.3
Ε'λοδιὸς 177.2
Ε'λπίνωρ 255.2
Ε'λσὸς 56.3
Ε'μβαμα 149.3
Ε'μβάπαι 258.3
Ε'μβλήματα 252.3
Ε'μβρυοθλάστην 603.1
Ε'μβρωμα 193.2
Ε'μέο 173.1 ἢ 230.3
Ε'μμεσον 266.1
Ε'μμορε 214.3
Ε'μμυσον 266.1
Ε'μμύχιον 271.1
Ε'μπελάτειρα 261.2
Ε'μπειρίβολος 592.1
Ε'μπισος 615.3
Ε'πλεος 595.2 ἢ 606.2
Ε'μπορεία 520.1
Ε'μπροικίζειν 169.1
Ε'μπυρόσκοποι 375.1
Ε'μύω. 718.1
Ε'μφαγεῖν 259.3
Ε'μφορον 331.3
Ε'ναγίσματα 263.2
Ε'νάλλαξις 501.1
Ε'ναλον 263.3
Ε'ναντιόβολος 268.1
Ε'νατόψειν 113.1
Ε'ναράττειν 264.1
Ε'ναρίμβροτος 165.1
Ε'νάσαροι 263.3
Ε'νασμενίζειν 732.2 καὶ 742.1
Ε'ναύω 137.1
Ε'νβύσαι 154.2
Ε'νδαπὸς 59.2
Ε'νδελέχεια 272.3
Ε'νδῆθεν 269.3
Ε'νδιάσκιος 205.1
Ε'νδιατρίβω 206.1
Ε'νδίδωμι 677.2
Ε'νδοσις 194.3
Ε'νδρόμαδες 184.1
Ε'νέθω 287.2
Ε'νεκομβωσάμην 228.3
Ε'νέκω 229.1
Ε'νέπασε 583.2
Ε'νεπίσκημα 227.1
Ε'νέπω 262.1
Ε'νερξις 267.3
Ε'νεσία 255.1
Ε'νεσῶ 19.2
Ε'νέχειρον 722.2
Ε'νην 635.3
Ε'νήλατος 388.1
Ε'νηλεῦσαι 268.2
Ε'νθεμα 269.1
Ε'νθος 402.1
Ε'νθραματὶς 373.3
Ε'νικλᾶν 545.3
Ε'νίλλειν 672.3
Ε'νιφον 5.1
Ε'νιχριμφθέντα 751.2
Ε'ννεάβοιον 245.1
Ε'ννῆμαρ 529.1
Ε'νοίκιον 532.2
Ε'νὸν 539.1
Ε'νορίαι 528.1
Ε'νορῶ 556.1
Ε'νσοριάζω 665.2
Ε'νσώματον 703.2
Ε'νταῦθε 698.2
Ε'ντο 38.1 ἢ 384.1
Ε'ντωπαδίως 274.1
Ε'ξ 126.1 ἢ 249.1
Ε'ξάδιος 531.2
Ε'ξάκι 135.2
Ε'ξεσις 278.3
Ε'ξέτης 275.1
Ε'ξεστίβητος 546.2
Ε'ξέχματα 337.2
Ε'ξήγησις 312.2
Ε'ξήμοιβα 281.1
Ε'ξίδιον 277.1
Ε'ξιθυίη 668.2
Ε'ξίτα 361.2
Ε'ξοιδηκὼς 537.3
Ε'ξόπι 276.1
Ε'ξωτίδα 505.3
Ε'οικα 50.1
Ε'ορτὶς 11.2
Ε'πανάρρυσις 79.2
Ε'πάνειμι 239.1
Ε'πανίλωσις 528.2
Ε'παύλεια 76.1
Ε'πέγκλημα 228.3
Ε'πειλεγμένος 286.2
Ε'πεμβολὴ 259.1
Ε'πένζωμα 711.2
Ε'πέτης 288.3
Ε'πιβλαβὴς 745.1
Ε'πίβολος 149.1
Ε'πιβοσῶ 167.3
Ε'πιβουκόλος 284.3 καὶ 298.3
Ε'πίδημος 265.2
Ε'πιδιώκειν 302.3
Ε'πικληρῖτις 399.1
Ε'πικτηδέην 383.1
Ε'πικύλιον 456.2
Ε'πικωκλύσαι 287.1
Ε'πιλέγδην 296.2
Ε'πιλησμοσυνη 296.2
Ε'πιλήσμων 474.2
Ε'πιληψία 492.1
Ε'πιλογάδην 450.3
Ε'πιμηλίδες 297.1
Ε'πιμενίδιον 553.3
Ε'πίμεσα 264.3
Ε'πιμιξία 297.2
Ε'πιμυθεύεσθαι 502.2
Ε'πιμύλιος 264.3
Ε'πιμύρεται 516.2
Ε'πινήχεται 526.3
Ε'πινυστάζειν 409.1
Ε'πιξιφίσαι 260.1
Ε'πίπαγος 290.1
Ε'πιπαμφαλόωντες 568.2
Ε'πιπηδᾶ 719.3
Ε'πιπλα 99.1
Ε'πίπλυς 214.1
Ε'πιπομάζειν 298.2
Ε'πιπρηνῶνες 705.2
Ε'πιπροίηλε 622.1
Ε'πιπώλησις 434.3
Ε'πίσης 261.3
Ε'πισαλάζει 668.3
Ε'πισατῶ 110.3
Ε'πισατικὴ 646.2
Ε'πίσεαι 222.1
Ε'πισροφίδες 673.3
Ε'πίτειχος 311.2
Ε'πιτιμητικὸς 303.3
Ε'πιτίμιος 302.2 ἢ 701.1
Ε'πίτοξ 303.3
Ε'πίσαγοι 303.3
Ε'πιτειηράρχημα 707.3
Ε'πίσιππος 289.2
Ε'πιτείψεις 303.1
Ε'πιτυχῶς 713.3
Ε'πιφέρνια 232.1
Ε'πιφθέγματα 591.1
Ε'πίφοβον 732.2
Ε'πιχείρημα 304.2
Ε'πιχηλὰς 585.2
Ε'πιψέγειν 754.3
Ε'πίψογος 297.2
Ε'πλάγχθη 248.2
Ε'πλήμμυρε 608.3
Ε'πόγμιος 535.2
Ε'πίκοιον 594.3
Ε'πομφάλιον 170.2
Ε'ποπισὶ 305.1
Ε'ποποι 759.1
Ε'ποσρακισμὸς 253.1
Ε'ποχὴ 633.2
Ε'ποχος 291.2
Ε'φρεσεν 78.3
Ε'φρήναξε 622.2
Ε'παβασίλειαν 150.3
Ε'παίμιαι 351.3
Ε'πώμην 288.1
Ε'πυρνάωσαν 641.1
Ε'πω 239.2
Ε'πώδιον 745.1
Ε'ραβος 114.2
Ε'ρανάρχαι 608.2
Ε'ρασος 239.1
Ε'ραφιώτης 249.3
Ε'ρείκη 357.2
Ε'ρηκτὸν 308.1
Ε'ρηξις 308.1
Ε'ρείσκηπτον 458.3
Ε'ρεκτὸν 414.1
Ε'ρενοβοσκὸς 122.1
Ε'ρεσία 240.1
Ε'ρετικὸς 308.2

Ε'ρέ-

Ε'ρέφω 535.2
Ε'ρημι 5.1
Ε'ρθύρις 123.1
Ε'ρίγμλω 453.1
Ε'ριδα 506.2
Ε'ριθάλλη 427.1
Ε'ρίθυρις 123.1
Ε'ριφία 182.2
Ε'ρκάνη 311.2
Ε'ρμάριον 121.2
Ε'ρμίν 312.3
Ε'ροή 577.1
Ε'ρπη 168.1
Ε'ρρασωνδιμένως 646.2
Ε'ρρλωοβοφικός 118.2
Ε'ρριζε 307.3
Ε'ρρυον 110.1
Ε'ρρω 106.1. & 196.1
Ε'ρσεον 306.1
Ε'ρυθρόλδικον 735.2
Ε'ρύκη 309.1
Ε'ρύσω 427.1
Ε'ρυσόν 181.2
Ε'ρύεσθαι 256.1
Ε'ρχατῶ 314.3
Ε'ρχεῖς 21.2
Ε'ρώτια 483.1
Ε'ρωτηματικά 315.2
Ε'σεῖται 598.3
Ε'σήλαθαι 316.3
Ε'σθήσεις 316.3
Ε'σκεδάδαται 309.2
Ε'σμα 158.3
Ε'σμάγον 665.1
Ε'σμῶν 278.3
Ε'σπαρον & ἄλλα 96.1
Ε'σσῆνες 705.2
Ε'σσόται 734.3
Ε'σιοπάμμων 532.2
Ε'συμμένως 615.2
Ε'σχαρίδες 387.1
Ε'σχατόγηρος 164.1
Ε'σχονδυλῆσθαι 686.2
Ε'σω 273.1
Ε'ταίδης 321.2
Ε'ταίρησις 320.2
Ε'ταιρῶ 320.2
Ε'τεόν 162.2
Ε'τεροθαλὶς 68.1
Ε'τερούσιον 546.1
Ε'τερώνιος 456.1
Ε'τεώνιον 322.1
Ε'τμαγεν 736.2
Ε'τνήτας 322.1
Ε'ξων 279.1
Ε'υάζειν 650.2
Ε'ύαρχος 324.3
Ε'υασμόν 650.2
Ε'υάξιοι 133.3
Ε'υδιάθετοι 560.2
Ε'υειν 331.1
Ε'υελπις 332.2
Ε'υθύζωμον 139.2
Ε'υκάθεδρος 331.1
Ε'υκέαςα 359.1
Ε'υκλῆις 436.1
Ε'ύκοσμον 445.1
Ε'ύλη 727.1
Ε'υμεναίνω 327.2
Ε'υνῆφι 280.1
Ε'υογγον 535.2
Ε'υόμφαλον 647.3
Ε'υπαγὲς 289.3
Ε'υπετὴς 726.2
Ε'υπρεπὴς 502.1
Ε'υπροσήγορος 127.3
Ε'υπρυμνος 508.3
Ε'υροια 510.3
Ε'ύρος 347.1
Ε'υρυβόας 158.2
Ε'υρυγάσορα 32.1
Ε'υρύοψ 330.1
Ε'υρυτιχαιὸς 144.1
Ε'υχίτης 223.1
Ε'ύτε 322.3
Ε'ύτι 243.1
Ε'ύφιμος 734.2
Ε'ύχροια 510.3
Ε'ύχυμος 760.3
Ε'υχωλιμαῖα 326.2
Ε'ύωθεν 4.1
Ε'υῶπες 508.2
Ε'υως 339.1
Ε'φάανθεν 232.3 καὶ 334.2
Ε'φακα 519.1
Ε'φαλον 725.3
Ε'φεδρισμόν 333.1
Ε'φεμοσύνη 333.1
Ε'φεντίδα 684.3
Ε'φέσιμος 333.2
Ε'φέσος 288.3
Ε'φήβαιον 344.3
Ε'φθημημερὶς 588.2
Ε'φθουῦ 334.1
Ε'φίημι 369.3 & 334.2
Ε'φλα 735.1
Ε'φραδον 289.1
Ε'χέβοιον 500.1
Ε'χη 4.1 & 20.2. & 104.3
Ε'χιδνα 277.2
Ε'χινάδες 337.1
Ε'χίνη 337.1
Ε'χμὸς 286.1
Ε'χρλῶ 154.3 & 161.2
Ε'χρυμάτισε 750.3
Ε'ψιά 333.3
Ε'ψω 49.3
Ε'ω 67.3 & 140.1 & 335.2 & 338.3
Ε'ῶς 619.2
Ε'ώργην 50.2
Ε'ωσφόρος 186.3

Α'ΡΧΗ' ΤΟΥ' Ζ'.

ΖΑ'ρβα 475.1
Ζάχρυσος 716.1
Ζεαὶ 343.2
Ζέρεθρον 233.2
Ζηλότυπος 341.2
Ζήμιος 310.1
Ζηρλώφιον 341.3
Ζόλος 151.1
Ζόρκων 196.1
Ζοῦον 342.1
Ζηγηλεῖ 342.1
Ζυμίτης 342.3
Ζωωρίς 759.2
Ζωγρεῖον 233.3
Ζωίδιον 341.3
Ζώνιον 343.2
Ζωνογάςορα 500.1
Ζωρέςερον 343.1

Α'ΡΧΗ' ΤΟΥ' Η'.

ΗΑ'χὴ 378.1
Η'βαδὸν 344.3
Η'βηλιᾶν 720.3
Η'γανον 318.3 & 476.1
Η'γεμονδὶς 29.3 & 354.3
Η'γηγόχην 50.2
Η'γηόχην 720.1
Η'γκυλώμενος 10.1
Η'δανὸς 231.1
Η'δέα 482.3
Η'δεσαν 338.3
Η'δῆος 387.3
Η'ερον 96.2
Η'θένηον 348.2
Η'καχμένος 39.3
Η'χω 66.2 & 141.2
Η'λα 505.2
Η'λαγνεία 89.3
Η'λιγμαι 254.2
Η'λιθερὲς 46.1
Η'λίσιον 351.1
Η'λυγαία 351.3
Η'λω 225.2
Η'μαφορεκτέων 352.1
Η'μερήσιος 134.1
Η'μερήσιος 352.3
Η'μὶ 1 208.1 & 344.2
Η'μίζαρον 341.3
Η'μίκραιραν 446.2
Η'μιλπος 175.1
Η'μίξεσον 240.1
Η'μιοβωλαῖον 534.3
Η'μιπονιαῖον 752.3
Η'νιθα 287.3
Η'νοπε 270.1
Η'οῖος 531.1
Η'οργα 286.2
Η'πηγμαι 286.3
Η'πήτις 40.2
Η'ρανον 294.1
Η'ρεψεν 357.2
Η'ρος 225.3 & 404.1
Η'σβόρε 502.2
Η'σθα 254.1
Η'ταιρικέναι 321.3
Η'ξαῖον 359.3
Η'υγγα 508.3
Η'φα 139.2
Η'χε 85.3

Α'ΡΧΗ' ΤΟΥ' Θ'.

ΘΑλαμὰς 177.1
Θαλὶς 656.2
Θάμιγγα 388.1
Θαμὸς 50.1
Θάμψαι 362.2
Θάνης 511.1
Θάπος 693.1
Θαπῶν 693.1
Θάσος 165.2
Θαψία 383.3
Θάψος 383.3
Θάω 390.1
Θεάφιον 384.3
Θέαφον 384.2
Θέλυμνος 625.1
Θεμαρωέσθαι 385.2
Θεοςύκον 388.1
Θέρμαςριν 640.1
Θέτις, ὅρα. ἄχρις ἐν, ἔχειεν.
Θεώρεξα 76.1
Θήης 259.2
Θηλὴ 23.3
Θηλόπεδον 539.3
Θηράγρα 389.3
Θηραῖος 435.1
Θηρατὴρ 390.1
Θηριακλῶ 602.2
Θλασίας 383.1
Θολὸς 177.1
Θόριξ 444.2
Θορνύω 757.1
Θρασῶ 56.1
Θρηβὴς 372.2
Θριγγῶσαι 707.2
Θρίδακα 163.3
Θρονδιόμενα 373.1
Θυγαξιδοῦς 346.1
Θυλοπαιδδίην 362.2
Θωρηκταὶ 37.3
Θωυμάσας 580.3

Α'ΡΧΗ' ΤΟΥ' Ι'.

Ι'Α 35.3
Ι'αγών 329.2
Ι'ᾶσι 141.1
Ι'ασπις 477.1
Ι'αττατα 147.1
Ι'αττατα 147.1
Ι'αχον 66.3
Ι'βις 449.2
Ι'γμοι 141.1
Ι'δμεν 238.3
Ι'δραίνω 46.1
Ι'δριδες 28.2
Ι'εασι 141.2
Ι'εὶς 103.3
Ι'εὶς 269.3
Ι'ζμεν 309.3
Ι'θαμένης 499.2
Ι'θι 151.2 & 730.1
Ι'θμὸς 390.1
Ι'κερία 524.2
Ι'κτιδίλω 383.1
Ι'λὸς 177.1
Ι'μαῖος 264.3
Ι'μάσθλω 490.3
Ι'μεῖν 384.3
Ι'ολάσα 483.1
Ι'όμορος 230.1
Ι'όνδλω 652.2
Ι'ονθος 384.2
Ι'οςῦλον 728.3
Ι'ουίιος 196.2
Ι'πνολεβήτια 387.1
Ι'πάκης 387.1
Ι'ππόδασυς 743.3
Ι'πποσέλινον 162.2
Ι'ππφόρβιον 389.1
Ι'ρδιον 67.3
Ι'ρις 501.2
Ι's 35.3
Ι'σάλω 215.2
Ι'σηγορία 390.2
Ι'σημερινὸς 455.3
Ι'σθω 235.1
Ι'σοθένατον 390.2
Ι'σοσκελὲς 660.1
Ι'σοψὴς 246.2
Ι'σόχρυσον 660.1
Ι'σω 235.1
Ι'χαιμον 646.3
Ι'ωρα 93.2
Ι'χθυοκένταυρος 709.1
Ι'χθυοφάγοι 652.1
Ι'χνη 90.2
Ι'χνιον 502.3
Ι'ωκὴ 89.2
Ι'ῶτα 1.2 & 25.2
Ι'ωχὴ 394.2

Α'ΡΧΗ' ΤΟΥ' Κ'.

ΚΑβάλα 388.2
Καβαλάριος 388.2
Κάββαλε 63.1
Καγκελωτῶ 428.1
Καγχαλίζειν 742.3
Κάγὼ 448.1
Κάζω 394.3
Καθαρμὸς 121.2
Καθαροφάντης 116.1
Καθεδοῦμαι 232.3
Καθεψιᾶσθαι 234.1
Καθεῖκα 268.3
Καθιμᾶσθαι 284.3
Καθρέπτης 416.1
Καιρόεις 397.3
Καίροσσα 397.3
Καίρωμα 397.3 & 397.3
Κακχᾶν 398.2
Κακοδημοσιών 722.1
Κακοχήμων 686.3
Κακόξοτον 399.3
Κακόχυμος 753.1
Κακώνυμον 224.1
Καλαῖμος 373.1
Καλαμηξίδες 175.3
Καλάσιρις 389.2
Καλλίζω 400.3
Καλλίπρωρος 508.1
Κάλλυθρον 577.1
Καλοιὸν 460.3
Καλόνεον 426.2
Καλύβη 454.2
Καλύκη 65.2
Κάλωιξον 5.3
Καλυπτὴρ 91.1
Καλύσω 400.3
Κάλωνες 526.3
Καμάρα 460.1
Καμινὺς 182.3
Καμινῶ 182.3
Καμπικῦτος 401.3
Κάμπρος 441.1
Καμπτὴρ 140.2
Καμψίυρος 662.1
Κανὰ 328.3
Κανά 541.1
Καννάβιον 166.1
Κανδάνων 622.1
Καξεμύςιζε 718.1
Κάπαχπώσαμεν 290.1
Καπανδὶς 577.1
Κάπη 160.3
Καπηδάλης 220.1
Καπηλεῖον 402.3
Καπνιβάται 663.2
Καπνοδόκη 89.3
Κάππα 150.3
Κάππος 720.3
Κάπριος 339.2
Καπυρίδα 673.3
Κάπω 160.3 & 387.2
Κὰρ 228.1
Κάρα 208.3
Καραβαρᾶν 403.3
Καρδαλύμη 703.3
Κάρδαμον 653.2
Καρδιωγμὸς 403.2
Κάρδοπον 492.2
Καρηβοᾶν 403.3
Καρία 39.1
Καρίδος 44.1
Καρῖδες 488.1
Καριδῶ 44.1
Καριβαρίτης 88.2
Καρκῖνος 488.1
Καρκίνωμα 404.1
Κάρνυξ 660.1
Καροδοκεῖν 403.2
Καπερόφρων 689.2
Κάρυος 405.1
Κάρυον 481.2
Καρωτικῦ 524.3
Κάσαι 156.3
Κασαυβάδα 156.3
Κασαυβὰς 156.3
Κάσον 408.1
Κασόπτα 214.2
Κασωρίδα 156.3
Κασωρίτλω 156.3
Κατὰ 131.3 & 133.3 & 147.3. & 272.2
Καπίβασις 321.2
Καπίβηθι 406.2
Καπίβολος 297.2
Καπαγηράσαι 175.2
Καπαδεὴς 721.2
Καπαδημαγωγῆσαι 198.1
Καπαισάσαο 293.3
Καπαυγὶς 258.1
Καπαίτυξ 594.1

Κα-

Digitized by Google

Καταίφλεξ 407.3
Κατακέρα 295.1
Κατακερματιῶνται 423.1
Κατακόρρης 452.2
Κατέκται 575.3
Κατακαῖς 250.3
Καταλογεῖς 675.3
Καταλλάκτην 116.3
Καταλλακτὴς 49.3
Κατάλυμα 409.1
Καταναρκήσω 560.1
Κατάνδυσις 524.1
Κάταντα 77.3
Καταντικρὺ 98.1
Κατάπασος 583.3
Καταπέλται 587.3
Κατάπλασα 410.2
Καταπλήκμα 411.1
Καταποδῆς 734.1
Καταπολὴ 57.3
Καταπορνεύουσι 320.2
Καταπότια 180.2
Κατάργυρος 412.1
Καταρρὼξ 110.1
Κατερχὴ 717.1
Κατασκευὴ 79.3
Κατασκήπτει 661.2
Κατάστατον 220.2
Κατάσημον 671.1
Καταστιχῶν 671.1
Κατασορῶ 672.2
Κατάστρωμα 525.2
Κατασυμφανὲς 560.1
Καταχέθωμεν 687.2
Καταχῶμεν 411.2
Καταχετικὴ 686.1
Καταξιακοντουτίσαι 706.3
Κατατυμπανώμενος 409.2
Καταφορὰ 42.2
Καταχρηστικῶς 5.3
Κατάχρυσος 412.3
Καταχυτεῖσαι 230.2
Καταχωννὺς 111.2
Κατάχρωσις 151.1
Καταχῶσαι 747.1
Καταψίω 755.2
Κατεαγὼς 7.1
Κατεβιώσετο 99.3
Κατεκλιάθη 717.1
Κατερρήγνυτε 308.2
Κατεμαξευόμενον 121.1
Κατῆσο 396.1
Κατώγαιον 94.2
Κάτοιδα 408.3
Κατουῶα 661.1
Καττίτερος 406.3
Κατώμοτος 244.1
Καυνιάσαι 201.3
Καφῶ 418.3
Κεγχραλέως 583.2
Κειρίαν 572.2
Κεκαπνὼς 334.3
Κίκνα 600.1
Κέκορα 226.3
Κεκρύφαντος 44.3
Κέλαδος 420.1
Κελάρεια 548.3
Κελίον 583.3
Κελλίον 357.2
Κελὸν 420.2
Κελύφη 421.3
Κεμβίρης 466.1
Κεν 457.1
Κένσαι 349.2
Κεραβλογία 423.1
Κεραγέναι 419.2
Κεραελκεῖς 423.1
Κεραΐδες 387.2
Κεραΐτες 383.2
Κεραμιδώσαντες 561.1
Κεράννυμι 208.2
Κερασβόλα 131.3
Κερκέτης 294.2
Κέρρω 418.3
Κερσαῖον 443.3
Κερώμεος 82.3
Κερύττειν 459.1
Κερωφόρος 253.2
Κεσρεῖς 143.1
Κιδαλοπλίται 298.1
Κιδθμὸς 424.2
Κεφαλῆθεν 424.3
Κεχάνδα 177.3
Κέχυδα 228.2
Κέω 6.2
Κεῶ 417.1
Κύβας 425.3
Κῦγχος 427.3
Κυδάσιμος 425.3
Κήθιον 426.1
Κυκὸς 426.3
Κῦρος 400.1 καὶ 417.1
Κυτάς 689.3
Κιγκλὶς 212.2
Κιδάφη 428.1
Κυκεῶνα 417.1
Κίκυ 452.2
Κικυμὶς 467.1
Κύμβαξ 467.2
Κιμερὶς 221.1
Κυμίνδην 466.3
Κιμωλίαν 465.3
Κινάμμαν 457.3
Κινηξίνδα 436.1
Κινοσίφυλλον 239.2
Κυνία 612.3
Κίρης 431.1
Κις 41.1
Κίξιον 430.2
Κίχημι 430.3
Κιχεῖσι 389.3
Κίχεισις 722.1
Κίω 83.3
Κλαγγάζειν 431.2
Κλάγγω 296.3
Κλαδεύειν 431.2
Κλαδευτεία 156.1
Κλάδῃ 463.2
Κλαδὶ 479.3
Κλαιέσκω 687.2
Κλαῖος 432.3
Κλαρεῶται 388.1
Κλάσεις 432.1
Κλειδίον 434.1
Κλεματισμὸς 432.3
Κλεόμβροτος 165.2
Κλεπτικὸν 432.3
Κλεπτίστερον 168.1
Κλεψιγαμεῖν 81.2
Κλήγω 418.3
Κληδόνιον 546.3
Κλησία 433.3
Κλητορίζειν 490.2
Κλητορὶς 490.3
Κλητοτεχνίαν 658.2
Κλιβανίκιον 673.3
Κλίβανος 157.1
Κλίθρα 433.1
Κλιμακίας 433.3
Κλιμακωτὸν 433.3
Κλινήρης 434.1
Κλινοκαθέδριον 434.1
Κλιντήριον 434.2
Κλιτοριάζειν 434.2
Κλῖτος 433.2
Κλίω 432.3
Κλόνιν 531.1
Κλοπεύειν 434.2
Κλοπεὺς 722.2
Κλοπιμαῖα 11.2
Κλῦμι 434.3
Κλυτοπεύειν 434.2
Κλωπιτεύω 435.2
Κλώσης 408.1
Κνάφαλλον 179.2
Κναφεῖον 435.3
Κνάφος 180.1 καὶ 388.3
Κνῆσις 441.2
Κνῆσμα 436.1
Κνησμονὴ 436.1
Κνίδην 38.3
Κνηζιθμὸς 249.1
Κνίσος 521.3
Κνιπὸς 495.3
Κνουπεὺς 437.3
Κνυθμὸς 438.1
Κνυσμὸς 533.1
Κοβαλεία 437.1
Κόης 437.2
Κοιλίδιον 447.1
Κοιλόπους 177.3
Κοιμιτὸ 682.3
Κοινωνοφύλαξ 361.2
Κόκκινον 429.3
Κοκκοβόας 438.2
Κοκκύζειν 15.1
Κολλίανδρον 443.2
Κόλλυς 101.1
Κολόκυνθα 451.2
Κόλον 42.2 καὶ 438.3
Κολόπενδρα 67.2
Κόμουροι 439.3
Κολυμβήθρα 51.2. καὶ 172.2
Κολυφῶν 439.3
Κόλχακες 710.1
Κομάραι 441.1
Κομβία 375.3
Κόμβος 228.3
Κομήτης 344.1
Κομιδὴ 326.2
Κομιδῇ 299.2
Κονῶν 475.2
Κοναβέω 593.1
Κονδὰς 38.3
Κονδυλισμὸς 441.2
Κόνδυλος 441.2
Κονδράντης 125.3
Κόνδυλον 42.2
Κόνθυροι 446.1
Κονία 355.2
Κόνιδας 442.1
Κόνιον 442.1
Κονίποδα 441.3
Κονωπὶς 230.2
Κονξίβιον 159.2
Κόον 461.2
Κόπανον 393.3
Κόπιλος 662.3
Κοπὴ 550.2
Κοράκινον 444.2
Κορακόποδα 445.1
Κοράμβλη 447.2
Κορωνηφόρος 256.3
Κοράσιον 527.2
Κόρδαν 332.2
Κόραι 224.3 καὶ 424.1
Κορίαμβλον 443.2
Κόριθρον 573.2
Κορίσιον 443.2
Κορκορυγεῖν 208.3
Κόρος 417.3 καὶ 442.3
Κόρρης 123.3
Κόρσην 295.3
Κορσωτὴρ 443.3
Κορυδαλίδες 444.1
Κορυστὴς 444.2
Κορφυὸς 708.1
Κορῶ 400.2
Κορώνεως 733.1
Κόσμηθεν 20.2
Κόσμος 172.3 καὶ 560.1
Κότιλον 437.2
Κοτινάδες 252.2
Κότινος 333.2
Κοτταβία 445.2
Κότταβος 106.3. καὶ 445.2
Κοττοὶ 626.2
Κοτυληδονόφιν 630.2
Κοτυλήρυτον 456.1
Κοτὺς 422.1
Κοῦκκος 438.1
Κουλεὸν 317.2
Κουλεόπτερα 446.1
Κουωπῶ 757.1
Κουράτορες 141.1
Κουρεῖον 593.1
Κουρεῦτις 111.2
Κούριμος 446.3
Κουρὶς 477.1
Κοῦρον 443.3
Κουρσωτῆρας 446.1
Κουρύβαντες 378.2
Κοῦφας 65.1
Κοῦφον 163.2
Κόχλακα 477.1
Κοχυδεῖν 166.1
Κοῶ 437.1
Κράββατος 473.3
Κραδαίνειν 202.1
Κραδαλὸν 647.2
Κράμιον 164.2
Κράντωρ 137.3
Κραπαὶ 403.1
Κραταίβιος 448.2
Κραταιγύαλον 448.2
Κραταίτονος 448.2
Κράτεια 469.1
Κράτεσφι 447.2
Κρατίνιον 603.3
Κρατίζεσθαι 182.1
Κράτος 137.3
Κρέα 18.3
Κρεάγρα 343.2
Κρεαπορνίθειε 449.1
Κρεκτοῖς 372.1
Κρεμάθρα 4.2 καὶ 553.2
Κρεμάστρα 4.2
Κρέμυμαι 250.2
Κρεουργὸς 124.1
Κρεπάλη 601.2
Κρέσιμος 377.3
Κρεωφαγία 561.1
Κρήγιον 703.2
Κρήμνη 150.2
Κρηπὶς 44.1
Κρημνὸν 321.3
Κρησφύγετα 271.1
Κριβανίτης 460.2
Κρίγη 296.3
Κρίδα 394.1
Κριθοδέται 357.1
Κρίκε 297.3
Κρικωτὸ 673.2
Κριτίδες 669.3
Κρόβιον 452.1
Κρόκα 405.1
Κροκάλαι 192.3
Κροκόμαγμα 248.3
Κρόσαφος 452.2
Κρόσφος 653.2
Κρότωμα 406.3
Κροτωτὸν 564.2
Κρότος 452.2
Κροῦδα 51.1
Κρουνηδὸν 5.1
Κρουπεζία 452.3
Κρουπεζοφόρος 452.3
Κρύβαντες 459.3
Κρύφελλα 460.2
Κτασία 82.2
Κτάσις 82.2
Κτῶμι 49.3
Κτωνοποδεῖν 465.2
Κτηνοστάσια 532.2
Κωτίαν 99.3
Κτιστά 145.3
Κτύλφ 125.2
Κτῶ 82.2
Κυάνεια 751.3
Κυανώπιδος 458.3
Κυβάλλης 460.2
Κυβεία 459.3
Κυβῆλιν 5.1
Κῦβος 61.3
Κύθος 46.1
Κύκησις 455.2
Κυκλόθεν 72.1
Κύκλωθεν 298.2
Κύκνος 173.3
Κυλίκιον 456.2
Κυλλοποδίων 459.2
Κυλοιδιᾶν 296.1
Κυλύτεραν 429.1
Κῦμα 84.2
Κυμινοκύμβιξ 504.3
Κυναδάλας 457.3
Κυνάστρον 128.3
Κυνδαλισμὸς 298.1
Κυνδαλοπαίστην 457.3
Κυνέρα 651.1
Κυνῆ 448.1
Κυνηλαγμὸς 237.2
Κυνοκαύματα 460.3
Κυπάζω 101.3
Κύμβος 459.2
Κύστην 92.3
Κύστιν 178.2
Κῦτος 525.2
Κυφωνισμὸς 460.2
Κυψελὶς 424.3
Κύω 260.2 καὶ 454.2
Κυῶ 45.2
Κῶ 228.2
Κώληξ 461.3
Κωλόσιξον 320.1
Κῶλον 320.1
Κώλυσις 461.3
Κωμάζειν 196.1
Κωμήτης 196.1
Κῶμος 196.1
Κωμωδίαν 611.3
Κωμωδία 759.2
Κωνᾶν 462.2
Κῷος 196.1
Κώπαιον 462.2
Κωπήεις 296.1
Κωπωτῆρας 424.3
Κώπελον 466.1
Κωτιλάδας 472.2

ΑΡΧΗ ΤΟΥ Λ.

Λα 156.3
Λαβαντίδα 393.1
Λάγανα 310.2
Λάγαρα 426.1
Λαγαρῶδες 253.1
Λαγέται 5.1
Λαγίδης 464.1
Λαγῶς 177.1
Λάγυνος 383.1
Λάγω 461.1
Λαγὼ 461.1
Λαγῶ 524.2
Λάδος. 479.3
Λᾶδος 479.3
Λαθρηδὰ 464.3
Λάθυρον 115.1
Λαῖγξ 674.2
Λαίμαργος 170.2
Λαιμάτμησις 466.1
Λαιμίων 465.1
Λαιχιωτήριον 469.2
Λάκε 287.1
Λακοχίας 466.1
Λακῦσι 475.1
Λαλήστερον 144.1

Λα-

Λάμια 507.2
Λαμπάδες 505.1
Λαμπούρις 388.3
Λαξευτής 468.3
Λατραβίζειν 253.1
Λάξον 468.3
Λαύσρυς 421.3
Λάχανον 253.2
Λαχάρας 120.1
Λάχνος 469.3
Λαψῆ 106.1
Λάω 463.1
Λεβητεία 387.1
Λέκτον 471.1
Λέωναι 469.2
Λήδιον 441.2
Λειμηρή 292.2
Λεοκάρηνος 709.1
Λεκάνη 463.3
Λεκάστρια 65.1
Λέκυθος 471.1
Λέκται 646.2
Λεκυθήτας 322.1
Λελάβω 65.2
Λελαβών 418.2
Λελάφθαι 467.3
Λελίσθ 472.1
Λεξίδιον 422.2
Λεξομάτ 225.1
Λεοντέη 16.1
Λεοντῆ 386.1
Λεοντίδης 472.2
Λεοντόθυμον 374.2
Λεπαία 266.3
Λεπάση 106.3
Λέπιον 125.3
Λεπιςής 472.3
Λέπος 472.3
Λεπτολογεῖν 502.1
Λεπτόσφυρος 690.1
Λεπτόθριχα 690.2
Λεπτουφῆ 690.1
Λεπτύχανον 443.1
Λέπυρον 443.1
Λέπω 106.3
Λεσβιάδας 473.1
Λέσφη 479.1
Λευκαίνειν 473.1
Λεχενίας 473.1
Λεύκαινον 681.1
Λευκερινεός 310.2
Λευκηΐα 386.3
Λεύκλω 177.2
Λευκόνοτος 116.1
Λευκός 176.3
Λευκόπυγοι 638.1
Λευκοφάντης 116.1
Λευχειμονῶ 466.3
Λευχήμων 61.2
Λέων 525.2
Λεχαίνειν 126.1
Λεωπέτριον 143.1
Λῆα 474.3
Λήβουρνοι 707.3
Ληγοψύχειν 542.3
Λῆδος 479.3
Ληθάνω 477.3
Λήδεδον 474.3
Ληδεδών 474.3
Λήδες 474.3
Λήδιον 479.3
Ληΐςήρ 474.3
Ληκυθισμός 475.1
Ληκυθοφόρον 183.3
Λήμων 176.2
Ληρίας 470.3
Ληρωδία 484.2
Ληρωδός 484.2
Λησικόν 474.3
Λητίσεθαι 620.3
Λήχω 472.1
Λιάθη 717.1
Λιβανομάντεις 375.1
Λιβανωτός 476.2
Λίβυθρα 487.2
Λίβρα 480.1
Λίβυρνος 170.3
Λιβών 349.1
Λίγνα 33.1
Λίγξ 296.3
Λιθίδιον 477.1
Λιθόβολος 532.1
Λιθογλύπτας 477.1
Λιπάρεια 478.1
Λιπίας 478.1
Λιπίσκος 478.2
Λιπώμενος 478.3
Λίρος 471.1
Λιρός 479.1
Λίςρον 296.2
Λίτα 107.2
Λιτόρτης 478.2
Λίτον 142.1
Λιτῶ 632.3
Λιχνεῦς 484.3
Λιψακας 654.3
Λόβιον 480.1
Λογιστεία 480.2
Λογολεσχεῖν 622.1
Λογομαχία 613.1
Λογχαῖος 480.3
Λόγχη 466.1
Λόδριξ 445.3
Λοισθίον 481.2
Λοιχός 430.3
Λοπός 106.3
Λόπιμον 481.2
Λόξον 157.2
Λουτρὴ 148.2
Λουτρών 481.3
Λόφυρον 650.3
Λοφῶ 482.1
Λόχμη 219.3
Λόχος 13.1
Λύγδος 482.2
Λύγη 70.3
Λυγκάσαι 482.2
Λυέμβος 482.2
Λυκέη 7.3
Λύκηνον 483.2
Λύκη 70.3
Λυκίδης 464.1
Λυκόφος 70.3
Λυκοφιλίας 483.3
Λυκόφως 13.3
Λυμικόν 611.3
Λύμον 462.1
Λύσιος 484.2
Λυσίδημος 49.2
Λυσιτέλεια 484.2
Λυσιτελές 484.2
Λύξιχον 16.3
Λύξα 372.1
Λυτρόν 483.3
Λῶ 50.1
Λωβητός 37.3
Λώδιον 755.1
Λώματα 564.2
Λωρίκιον 488.3

ΑʹΡΧΗʹ ΤΟΥ Μʹ.

Μ Ασάθαι 113.3
Μάσημα 490.2
Μασθλάσσω 139.3
Μάσθλης 178.1
Μαθόν 235.1
Μασπεῖς 519.3
Μάσινος 297.1
Μάσω 258.3
Μάραξ 165.2
Μαρίω 490.2
Μασρωπεία 490.3
Μάρης 490.2
Μαχαλίς 490.3
Μασάζω 566.1
Μάξας 384.3
Μαψιδίως 491.3
Μεγαληγορία 492.1
Μεγαλοψυχίας 492.2
Μέγαρα 492.2
Μεγάστρος 493.2
Μέζον 490.2
Μεθίημι 269.3
Μεθυμήριον 758.1
Μέθυ 493.2
Μηλῶ 506.1
Μηράκιον 164.1
Μηρακίσκος 494.2
Μεῖραξ 164.1
Μελαγχολῶς 751.3
Μέλαθρον 29.2
Μελάνδρων 703.3
Μελαναίγης 436.1
Μελανοδίας 708.1
Μελανοςέρνων 670.2
Μελανόπης 379.1
Μελανταίω 457.3
Μελίνος 494.1
Μελίφηβος 160.2
Μελία 120.3
Μελίκηρα 217.2
Μελικτέραν 496.2
Μελίσσιον 496.2
Μελισσόφυλλον 496.2
Μέλιττα 387.1
Μελιτουργεῖν 217.2
Μελιτοῦσα 63.3
Μελίχιος 494.2
Μελλέφηβον 164.1
Μελλισμός 322.1
Μελλονυμφη 689.2
Μελαθῆς 388.3
Μελωδίας 752.3
Μεμαγμένα 171.1
Μεμβράς 143.1
Μεμνώμεθα 498.1
Μεμοθυλλάμενον 758.3
Μεμύσαχα 145.1
Μενδήσιον 585.1
Μένωρ 167.3
Μέρμηρα 108.2
Μεσάγγυλον 657.1
Μεσάτιον 499.3
Μεσαώριον 499.3
Μεσιγύ 92.1
Μεσόγεια 470.2
Μεσομφάλιον 170.1
Μεσόριον 501.1
Μεσονύκτιον 215.3
Μεσοβανεῖς 80.3
Μεσορίας 400.3
Μεσόφρυον 504.1
Μεσπίλοια 89.3
Μεστάζει 306.2
Μετάσας 705.3
Μέσαυλον 499.2
Μετωνομίσαι 266.2
Μετασία 270.3
Μετεωροφρασιώη 621.1
Μεξοχίτωνες 748.1
Μήχει 92.1
Μηδαμῶς 505.1
Μηδιῶ 40.3
Μηδοτιοῦ 559.1
Μήδω 345.3
Μηδὲν 559.1
Μηδοτιῶν 559.1
Μήκονες 448.3
Μήλασιν 632.3
Μηλόβοτον 167.3
Μηλόδρυα 505.3
Μῆλον 67.3
Μηλωθμός 616.1
Μῆρα 409.1
Μηρύσασθαι 506.2
Μητίω 723.1
Μηξόος 144.2
Μηχάγεια 82.2
Μίκον 172.1
Μίλτος 239.1
Μίνυθα 509.1
Μιξοτόλις 40.1
Μισαχνὴ 516.3
Μισθαποδότης 509.1
Μισκίλευδρον 420.2
Μισογύνης 60.1
Μίσος 70.3
Μολιαυθμός 269.2
Μονάκανθοι 57.2
Μοναςήρια 739.1
Μονθυλεύω 405.1
Μονομαχία 513.2
Μονομάχων 230.1
Μονοπώλιον 455.3
Μονοςόχος 388.1
Μόρημα 468.2
Μοσσί 64.1
Μόλιος 473.2
Μυσσίον 593.1
Μῦσος 64.2 & 177.3
Μοχλός 196.2
Μυκάδες 750.1
Μύκητες 262.3
Μύλαξ 187.3
Μύλη 57.3
Μυόχοδα 516.3
Μυρίκη 30.2
Μυρίκης 516.1
Μυρόλεπον 485.2
Μυροπωλεῖα 690.1
Μυσάχνη 145.1
Μυσκέλεδρα 109.1
Μωκεσία 517.3
Μωροδαλεῖν 698.3

ΑʹΡΧΗʹ ΤΟΥ Νʹ.

Ν Αῖχι 135.2
Νάχος 416.2
Νανῶ 283.2
Νάρκισσος 430.2
Ναύβατος 716.1
Ναυός 5.2
Ναύπαχος 290.1
Ναυαρχίδες 520.1
Ναυτιῶ 520.1
Νάφη 519.2
Ναχελές 520.2
Νεκριμαῖα 40.2
Νεκροκτόνας 622.1
Νεκροτέρας 597.3
Νεμίθω 112.3
Νεμίσω 522.2
Νέρακα 519.3
Νέρικα 521.1
Νένιφα 5.1
Νεόραστα 729.3
Νεώσοικος 333.3
Νήβιος 525.3
Νήκηρος 522.1
Νλωῶ 287.2
Νηπιόας 285.3
Νηπίαχος 525.3
Νοτάρειος 181.3
Νυκτεργασία 224.3
Νυμφών 529.3
Νυσαλογερόντιον 529.3
Νύσαλος 530.2
Νύσος 584.1
Νυχθήμερον 360.3
Νυχία 189.2
Νώθαρος 548.1
Νωμελές 285.1
Νώμενος 271.1
Νώσκω 176.1

ΑʹΡΧΗʹ ΤΟΥ Ξʹ.

Ξ Εναγός 532.1
Ξηρύνας 590.1
Ξηροφθαλμία 436.2
Ξίεις 389.2
Ξιφοφόρος 532.3
Ξυάλη 533.1
Ξυλάφιον 452.2
Ξυλουργίας 687.1
Ξυναγωγάς 547.1
Ξυρίας 622.3
Ξυροδόχη 446.1
Ξυροθήκη 446.1
Ξύρομα 256.2
Ξυσμή 534.1

ΑʹΡΧΗʹ ΤΟΥ Οʹ.

Ο Ἄξις 537.1
Οἴδασθαι 540.3
Οἰέω 505.2
Οἴηθεν 537.2
Οἰκόνομον 689.3
Οἰκοσκοπικόν 541.3
Οἰνηρός 758.1
Οἰνομανής 487.1
Οἰνοπλυδής 594.3
Οἰνοπόλος 71.1
Οἰνοπότωρ 619.3
Οἰνοπόν 618.3
Οἰόζωνος 324.3
Οἰονοσκοπικά 67.2
Οἴστρον 109.1
Οἰσόκαρπον 513.1
Οἰσάω 540.3
Οἰστρηλαγέσθαι 541.1
Οἰσύα 541.1
Οἴσιον 541.1
Οἴσεσθαι 541.2
Οἰχμῆν 541.2
Οἰχόμενον 761.2
Οἴχω 284.3
Οἴχωκα 683.2
Οἰῶ 537.2
Οἰωνοθέτης 488.3
Ὀκλασίας 530.1
Ὀκνηρός 542.1
Ὀκρίας 542.1
Ὀκτάμετρον 542.2
Ὀλαθεῖ 542.2
Ὀλβαχηΐα 328.3
Ὀλιθρία 209.2
Ὀλίκω 334.2
Ὀλίσκω 207.2
Ὀλέω 107.3
Ὀλήτη 542.3
Ὀλιγάκι 135.2
Ὀλιγοδεία 542.3
Ὀλιγοθυμεῖν 542.3
Ὀλιγόστιχον 237.2
Ὀλινθος 731.2
Ὀλοανάτηρος 544.2
Ὀλοσήρικον 656.1
Ὀλοφυρόμενος 620.3
Ὀμακόϊον 29.1
Ὀμαρτῶδλω 544.2
Ὀμηλαδόν 544.3
Ὀμήρησιν 546.3
Ὀμήρυς 261.3
Ὀμιχῶ 62.3
Ὀμοβοείων 167.3
Ὀμόβρομοι 4.1
Ὀμογενής 545.2
Ὀμόγονος 740.2
Ὁμοιοκατάληκτοι 351.1
Ὀμομήτριοι 15.3
Ὀματάξιοι 15.3
Ὀμοτῶ 547.1
Ὀμόφυλον 263.1

Ὀμ-

Digitized by Google

Ὀμφαῖον	546.3
Ὀμφαλιστὴρ	170.2
Ὀνάριον	547.3
Ὄνατο	547.3
Ὀνείδιον	521.2
Ὄνειρον	274.1
Ὀνησιφόρον	560.2
Ὀνόκωλον	262.2
Ὀνοματοκλήδην	295.2
Ὀνόπως	548.3
Ὀνυχίσαι	549.2
Ὀξίδιον	348.3
Ὀξυμυρσίνα	516.2
Ὀξύχοινος	543.3
Ὀπάων	405.3
Ὀπηνοῦ	551.1
Ὀπιδοβριδὲς	653.2
Ὀπιδοφύλαξ	673.1
Ὀπλίσαι	51.1
Ὀπτικὴ	550.3
Ὀπώπα	550.3
Ὀπωσιοῦν	551.1
Ὀραβος	114.3
Ὀράμα	328.3
Ὀργὶς	325.3
Ὀργμὸς	552.2
Ὀρειβάτης	726.2
Ὀρειδρόμος	726.2
Ὀρεινὴ	77.3
Ὄρατρος	726.2
Ὀρμιὰ	553.3
Ὀρμὸς	217.2
Ὀρνιθοφυὴς	554.1
Ὀρόγχθες	556.1
Ὀροκωνίσκη	554.2
Ὀρτυγες	256.3
Ὀρχηστικὴ	641.2
Ὀρχίδιον	271.2
Ὄρχις	208.1
Ὄρχος	328.3
Ὄσω 13.2 &	307.3
Ὀσαφαγεῖν	557.2
Ὀσπάκια	253.1
Ὀσπακίνδα	253.1
Ὄσπριον	253.1
Ὀσφράδιον	557.3
Ὀσχεὸς	454.3
Ὀχοφόριον	761.1
Οὐδενὸς	285.1
Οὐδίζω	72.1
Οὖδος	72.2
Οὐδοσιοῦν	559.1
Οὐκόδετον	59.2
Οὐκόθριξ	560.3
Οὖλαι	673.3
Οὐλοτελὴς	360.3
Οὖτοδε	286.2
Οὐράδιον	86.1
Οὐραῖον	709.3
Οὐραγία	673.1
Οὐρανίσκος	35.1
Οὐρανόσε	562.1
Οὐρίαρχος	653.2
Οὐροπύγιον	176.3
Οὐρὸς	176.2
Οὔπμι	39.3
Οὔτιλη	761.1
Οὔτις	559.2
Οὑτοσὶ	246.2
Ὀφέλημα	563.2
Ὀφελτρεῦσαι	563.2
Ὀφρύεσθαι	93.2
Ὀχετικὸν	386.1
Ὀχεύω	564.3
Ὀχλάζω	202.1
Ὀχλημὼν	564.2
Ὀχριᾶσαι	571.2
Ὀχῶ	291.2
Ὀψᾶθαι	582.3
Ὀψιτικὸς	564.3
Ὀψιτοποιία	393.3
Ὀψονόμος	582.3
Ὀψοποιεῖν	393.2
Ὀψοποιὸς	393.2
ΑΡΧΗ ΤΟΥ Π.	
Πάγγελος	532.3
Πάγκακος	569.3
Πάγκαλος	569.3
Παιάων	566.1
Παιδάχια	599.1
Παιδοφίλης	184.2
Παικτὸν	310.3
Παιονίζειν	566.1
Πακτῶσαι	328.3
Παλαιοπράγμων	566.3
Παλαισμοσύνη	220.2
Παλαίστρα	567.3
Παλαιὸς	431.2
Παληκίζω	567.3
Παληκισμὸς	567.3
Παλία	169.1
Παλίγκοτον	568.2
Παλιγκαμπὴς	568.2
Παλιγκυὴς	568.2
Παλικοὶ	567.2
Παλίληπτον	568.3
Παλίμπρατος	568.2
Παλινζωία	568.1
Παλίντιτον	568.2
Πάλλαξ	160.2
Πάλλιχον	569.2
Παλμοσκόπος	569.2
Παμμίαρος	507.2
Πάμμονα	615.2
Παναγίας	569.3
Πανάπορος	571.1
Πανδεὶς	570.3
Πανδοχεὺς	570.3
Πανέστησαν	280.2
Παννύχιον	571.1
Πάννυχον	571.1
Πανέργημα	566.1
Παντοπωλεῖον	170.3
Πανώλης	572.2
Παξαμᾶς	215.1
Πάτηλος & ἄλλα	314.1
Παππαῖος	572.2
Παππῷος	583.2
Παραβαλίταυρος	573.1
Παραβύει	153.1
Παραβύσω	153.1
Παραγγέλσεις	573.3
Παραθύριον	639.2
Παραισία	580.3
Παρακαττύομαι	416.1
Παρακμὴ	42.1
Παρακορεῖν	443.1
Παράκρουσιν	452.3
Παράλλαξ	54.1
Παράλληλοι	455.2
Πάραλος	56.1
Παραμαχαιρίδιον	41.2
Παράμισος	187.2
Παραμπύκια	65.1
Παραμυθεῖσθαι	100.3
Παρανεῖν	622.2
Παράνυμφος	529.2
Παράξυστον	717.1
Παραπικρασμὸς	150.3
Παραπληξία	262.1
Παραπλήρωμα	607.2
Παραπολαύω	578.3
Παραπρεσβεύω	572.3
Παράῤῥησιν	576.2
Παράσημος	299.3
Παρασιτικὴ	577.1
Παρασύμβαμα	678.3
Παράσυρος	697.1
Παράχης	632.2
Παραστατικὸν	751.3
Παρατέλειος	632.2
Παρατιλμὸς	577.3
Παραφρασὴς	738.1
Παράχορδον	575.3
Παρεγγράπτως	574.1
Πάρειμι 238.3 &	267.1
Παρεικτὸς	579.2
Παρεμβάλλειν	259.1
Παρεμβολὴ	259.1
Παρένθεσις 65.1 &	239.1
Παρευδοκιμῶ	580.3
Παρήχημα	574.1
Παρηωρημένος	580.3
Παρείη	733.2
Πάρισα	351.1
Πάρυρος	284.3
Παρωδία	583.1
Παρώλης	285.3
Παρώτιον	725.1
Πάσσαξ	298.1
Παχλωίν	506.2
Πάτειρα	474.3
Παστήριον	669.2
Πατοσκοτούμενοι	274.2
Πατριαρχεῖον	593.1
Πατρίδιον	715.3
Παυσαγία	650.3
Πείλλειν	100.1
Πελάγιος	220.3
Πελαγοδρόμος	617.2
Πελαργοχρῶτες	508.2
Πελλαχνὸν	587.3
Πελλητῆρες	587.3
Πελοήσει	298.1
Πελτάρια	657.3
Πελώριον	710.1
Πεμπάδαρχος	588.1
Πεντάδειν	588.2
Πενθαίνω	586.1
Πενθίλος	521.3
Πενταετηρὶς	195.3
Πεντακοσιομεδίμνοι	199.1
Πεντάμετρον	503.3
Πένταχα	215.3
Πεντηκοντάδεσθαι	196.1
Πεντηκόντορος	188.1
Πεντώχω	260.1
Πένω	588.3
Πέπανον	546.3
Πεπήραμαι	586.1
Πεπηρημένος	591.1
Πεπλώματα	332.3
Πεπόθησμαι	105.3
Περαία	488.2
Πέρας	100.2
Περιάμφοδος	202.3
Περίαπτα	591.3
Περιάνω	597.2
Περιβαρίδες	591.3
Περίβολος	99.3
Περιδέδραται	191.2
Περιδίδασις	594.3
Περιοδικὰ	594.3
Περιπαγὴς	595.2
Περιπίπτω	261.3
Περιπλέγδην	595.2
Περίπλοι	576.3
Περιπλοκάδα	664.3
Περίπλυσις	576.3
Περιπτύσματα	670.1
Περισκαρίζουσι	596.1
Περισκυλία	661.2
Περισπᾶσθαι	593.2
Περίστρωμα	724.1
Περίτριμμα	260.3
Περιτύκεσιν	711.3
Περιφλύει	412.2
Περίφραγμα	646.3
Περιχύτης	148.2
Περιώδυνος	596.1
Περύω	634.3
Πέσκος	54.3
Πέταχνον	599.1
Πετραῖον	599.2
Πετροβολεῖν	685.1
Πετροσέλινον	254.3
Πετρώδης	299.2
Πιττεῖαν	598.3
Πίθομαι	599.1
Πεφατισμένα	567.2
Πεφορινῶσθαι	597.1
Πεφυζὼς	600.2
Πεφύκω	115.2
Πηγέω	601.1
Πῖθος	611.1
Πηλάδιον	643.1
Πηλακίζω	567.3
Πηλὸς	64.2
Πηοσωίη	602.2
Πηρίδιον	602.2
Πητύριοι	602.2
Πηχυαλέα	602.2
Πιάζω	124.1
Πιαλία	602.3
Πιθήκειον	603.1
Πίλνημι	603.2
Πιλωτὸς	603.2
Πῖνος	103.3
Πινῶδες	398.2
Πιππίζειν	604.1
Πιῤῥοπίπτην	427.1
Πιστοκονία	462.2
Πισὸς	556.3
Πισσαλιφὴς	48.3
Πλαστικὴ	305.3
Πλεθριαῖον	606.2
Πλειστάκι	135.3
Πλέκτρον	605.2
Πληθάριον	600.3
Πλυτίνδην	14.1
Πνιγετὸς	684.1
Πνιγμὸς	532.3
Πνικτὸν	532.3
Πνίξ	55.3
Ποδάνιπτρα	533.1
Ποδαργία	115.3
Ποδίον	538.2
Ποδωτὰ	610.2
Ποκάριον	612.2
Πολυσκρόταφοι	164.1
Πολυαγρεία	389.3
Πολύπολιν	267.2
Πολύχνιον	314.2
Πορδικάδαι	584.2
Πόρπαξ	187.3
Ποσῆμαρ	268.3
Ποσαία	315.2
Ποταμὼν	564.2
Πραγματομαθὴς	620.3
Πράκτωρ	186.3
Πρατήριον	642.1
Πρηὼν	601.3
Προαγωγὸς	345.1
Προάμβυλα	584.3
Προανάλωμα	77.1
Προέρματα	19.3
Προαστεῖυ	623.1
Προβατοβοσκὸς	122.2
Προβατογνώμων	179.3
Προβλωσκέμεν	158.1
Προβοσκὶς	159.2
Πρόγραμμα	247.1
Προγραμμὸν	717.1
Προγυμναστὴς	184.1
Προδοχὴ	190.2
Προδόκη	191.2
Πρόδομος	30.1
Προδοσία	624.3
Προδότης	269.2
Πρόδρομοι	62.3
Πρόειμι 238.3 &	242.1
Πρόητο	278.3
Προέμβολος	525.2
Προείμην	278.3
Πρόεις	316.1
Προεψωνισμένος	755.1
Προζύμη	21.3
Προζύμιον	342.3
Προθήβη	344.3
Πρόθυρον	375.2
Προΐαλε	625.3
Προΐᾶσι	630.1
Προΐσθην	410.3
Προιτὶς	739.1
Προκαλίζω	32.2
Προκάρπιον	424.2
Προκκταΐγδην	4[illegible]7.3
Προκοπὴ	626.2
Προλεχίζω	626.3
Πρόναον	167.1
Προπόλεια	623.1
Προπόλιον	758.1
Πρόποσις	192.1
Προσπροκαθειδήσασα	623.2
Προσαγορεία	629.2
Προσαγωγεὺς	506.2
Πρόσαυστες	263.2
Προσβασκάνιον	151.2
Προσδοκήσιμος	293.2
Προσιέμενος	630.1
Προσένταξις	632.3
Προσευχὴ	332.1
Προσεχὴς	672.1
Προσλαζύμεναι	464.3
Προσόμοιον	576.3
Προσοχθίζω	560.1
Προσοχμάσας	681.2
Προσώζεσαν	630.3
Πρότριτα	315.1
Προφύτιδες	244.3
Προχοΐδιον	634.2
Προχῶναι	447.1
Πρυμνόθεν	635.1
Πρυτανικὴ	646.1
Πρώθηβος	635.1
Πρωθύστερον	169.1
Πρωράτας	635.2
Πρωτεῖον	635.3
Πρωτῆρες	410.3
Πρωτογεννήματα	636.1
Πρωτόμαχος	520.2
Πρωτοτόκειαν	222.2
Πρώων	635.2
Ψαλίδα	147.1
Πτακισμὸς	636.3
Πτάνυσθαι	636.2
Πτᾶσθαι	305.3
Πτελεάσιμον	636.2
Πτελεῶδες	636.2
Πτερίδιος	723.3
Πτερόεις	637.1
Πτέσθαι	209.2
Πτέρον	370.3
Πτῆμι	278.2
Πτοιῶ	637.1
Πτυάριον	637.2
Πτύξεως	155.2
Πτύρω	288.1
Πτύσμα	637.1
Πτύχιον	479.3
Πτώσκω	637.3
Πυάμους	240.2
Πυγμαιομάχυς	638.1
Πυγμαχεῖν	639.3
Πυγμαχία	639.3
Πυγμὴ	206.2
Πυγόνιοι	638.1
Πυγούσιον	638.1
Πυθαΐζειν	638.3
Πυθιάζειν	638.3
Πυκάσδειν	638.3
Πυκτίζω	639.1
Πυκτικὸς	151.1
Πυλίδιον	472.1
Πυλὶς	136.1
Πύλωρος	716.1
Πυλωρὸς	146.2
Πύξαρις	637.1

Πυξίδιον 456.2
Πυράζω 640.1
Πυρακτὸς 640.1
Πυρασέμμυρος 727.3
Πυργομάχος 520.2
Πυρινὸς 426.1
Πυριάτη 640.3
Πύρινον 42.1
Πυροειδὴς 640.1
Πυῤῥοπίπης 184.2
Πυρώδης 572.3
Πωδῶ 610.2
Πῶθι 641.3
Πώποτε 641.3
Πωῤῥώτερος 618.2

ἈΡΧΗ͂ ΤΟΥ Ρ.

Ῥ Αβδονόμος 643.1
Ῥαβδωδὰς 646.3
Ῥαγολογοῦσιν 643.2
Ῥαγόποδες 745.3
Ῥάπισμα 445.2
Ῥάσμα 646.2
Ῥέγκω 646.1
Ῥεδέρη 646.1
Ῥεῖα 235.2
Ῥέτινα 649.2
Ῥημίν 642.2
Ῥήσιος 514.3
Ῥητορεία 646.2
Ῥητορεύω 646.2
Ῥιγηλὸν 646.2
Ῥιγμῖνι 299.1
Ῥίγχος 647.1
Ῥιζονύχια 424.3
Ῥικάζειν 647.1
Ῥικνότης 217.2
Ῥιμφαλέως 115.2
Ῥινάζειν 85.1
Ῥῖνθον 165.3
Ῥινόμακτρον 658.1
Ῥινοτομεῖν 145.3
Ῥίπινθον 402.1
Ῥίπτω 647.1
Ῥοδαλονδονακῖα 647.2
Ῥοδάνη 645.2
Ῥοδανίζειν 647.2
Ῥοδὴ 647.2
Ῥοδόειν 647.3
Ῥυάκιον 648.2
Ῥυίσκω 115.2
Ῥύμβιον 648.3
Ῥυποκόνδιλος 659.2
Ῥυποπώλης 183.1
Ῥυσαμάτων 649.2
Ῥυσὸν 649.2
Ῥυφῶ 648.2
Ῥωδωνία 85.1
Ῥωὴ 343.1
Ῥωπάκια 204.3
Ῥωπίζειν 313.3
Ῥωπὸς 693.3
Ῥωπογράφους 650.1
Ῥωποπερπερὴ 650.1
Ῥωποπώλης 650.1
Ῥώσασθαι 649.3
Ῥωτία 650.1

ἈΡΧΗ͂ ΤΟΥ Σ.

Σ Αγλωστὴρ 650.2
Σαγμάρια 110.2
Σαγολαίφεια 465.2
Σάζη 542.2
Σακκοράφιος 40.2
Σάκταν 184.1
Σαλοῦσθαι 204.3
Σανος 655.2
Σβέσις 653.3
Σεβίζω 522.2
Σασίχθων 446.3
Σεισοπυγὶς 201.3
Σεῖστρον 443.2
Σελίδιον 402.2
Σελλάριος 420.3
Σεμνόθενι 220.3
Σέσελι 658.3
Σέσιγα 656.3
Σεσινάπικι 658.1
Σέσυμαι 288.2
Σεῦτλον 698.1
Σημαντήριον 116.3
Σηρδόνιον 652.2
Σίβδην 51.1
Σιγλωσσάλπιγξ 651.1
Σικυήλατον 657.3
Σικυὸς 622.1
Σιμικὸν 292.2
Σιμὸς 177.1
Σινάπιξ 658.2
Σινδόνας 658.2
Σινιαστήριον 658.2
Σίρεον 338.1
Σιτευτὸς 656.3
Σίτλας 312.1
Σιτοδοχεῖον 593.1
Σκαιοσύνη 659.3
Σκαλαβῶ 660.1
Σκαπανεὺς 660.2
Σκαρισμοὶ 660.2
Σκαριφεύειν 660.2
Σκάρος 1.1
Σκάτη 109.1
Σκαφεὺς 660.2
Σκαφιόκουρον 731.1
Σκεδασμὸς 189.1
Σκεδνῶ 541.2
Σκεδῶ 4.2
Σκειράφια 660.3
Σκεπτικοὶ 289.2
Σκερβάλλειν 267.3
Σκερδαμύττειν 276.2
Σκεύω 189.1
Σκηνευτὴς 661.2
Σκηνικοὺς 351.3
Σκηνιταὶ 198.1
Σκηνωταὶ 661.2
Σκιμβαλίζεσθαι 662.1
Σκιμπόδιον 661.3
Σκιόεις 427.3
Σκίνδαψον 157.2
Σκιόθυρα 179.3
Σκιουργὸς 254.2
Σκίουρον 524.3
Σκληρότης 12.3
Σκολοδέφης 101.2
Σκορπίος 453.1
Σκοτεινὸν 33.3
Σκόπωσις 560.1
Σκοῦβα 663.1
Σκουτάριον 375.3
Σκριβέντουμ 118.3
Σκρινίον 663.1
Σκυτάλια 663.3
Σκώπτης 664.3
Σμάραγδος 439.1
Σμαραγῶ 664.2
Σμαράσσω 664.2
Σμέρδω 664.2
Σμερίδω 135.1
Σμῆμα 648.3
Σμηματοδοκὶς 648.3
Σμηματοθήκη 648.3
Σμῆνος 317.2
Σμίγμα 664.3
Σμιλάριον 664.3
Σμιλίῳ 671.1
Σμίνθος 664.3
Σμύρναν 516.2
Σομφοειδῆ 724.3
Σοπεύειν 153.1
Σορόπληκτοι 713.1
Σπαθομίλην 674.1
Σπαράττειν 464.1
Σπαρτίον 425.1
Σπαρτοφόρον 666.3
Σπᾶσμα 666.2
Σπασμὸς 684.2
Σπατίλην 109.1
Σπεκλοῦ 210.1
Σπέλλιον 666.2
Σπερχνὸν 127.3
Σπευσίμους 667.3
Σπίδιον 128.1
Σπίζω 128.1
Σπληνιᾶν 481.3
Σποδησιλαύρα 463.2
Σπολὴν 666.2
Σπυράθιαν 109.1
Σπύραθον 109.2
Σπυρόδας 668.2
Σταδιοδρόμοι 206.2
Σταιήτινος 668.3
Σταιτίτης 668.3
Σταῦλον 434.1
Στεγανόμιον 532.2
Στεγανόποδες 669.2
Στελγίδες 669.3
Στελεγγιδολήκυθος 184.1
Στέμβειν 128.3
Στέμμα 279.1
Στεμφάξαι 128.3
Στενάγω 670.1
Στέναρ 424.3
Στένιον 670.1
Στενὸς 669.3
Στερνομαντείας 272.1
Στέρφος 670.2
Στεφαναία 670.3
Στεφανηφόρος 388.1
Στεφηφόρος 670.3
Στηλήτης 82.3
Στηλιτεύειν 82.3
Στηλιτευτικοὶ 670.3
Στῖλος 427.3
Στιλβηδὸν 671.2
Στιμονίζον 646.2
Στλεγγιζόμενος 101.1
Στοιχάδας 596.1
Στόμβος 419.2
Στόρεσμα 672.3
Στραγγία 496.3
Στρατοπεδεύω 673.1
Στρέβλωσις 24.1
Στρεφεδίνηθεν 584.2
Στρεῖβος 673.3
Στρειφνὸς 421.3
Στροβεὺς 673.3
Στρογγύλα 618.1
Στροφὴ 444.3
Στρυφνὸς 421.3
Στῦλος 427.2
Στύπαξ 623.3
Στώδιον 400.3
Συβώτης 159.2
Συγγυμναστὴς 180.1
Συγκηδεσταὶ 698.2
Συγκυρίαν 296.1
Σύγχορτα 125.3
Συζεῖν 677.3
Συθῆραι 684.1
Συκαλόβον 402.1
Συκάμινον 436.1
Συκαστὰς 677.3
Συκοβίους 677.3
Συκολόγους 677.3
Σῦκον 732.2
Συκοτραγίδης 504.3
Συκώδεις 677.3
Συκωροὺς 677.3
Σύμβασις 121.3
Συμμαθητὴς 736.3
Συμμαχία 295.3
Συμμένω 517.2
Συμπαίστης 566.1
Συμπατριώτην 584.2
Συμπέρασμα 112.2
Συμπενθερία 425.3
Συμπλοκὴ 205.2
Συμπολίτης 199.2
Συμποσιάζω 92.1
Συμποσίαρχος 419.1
Συμπότης 299.3
Συμπράκτωρ 682.3
Σύμποθι 641.3
Συμφερόντως 679.3
Συμφιλολόγον 679.3
Συναγυρμὸν 5.1
Συναγώγιον 680.1
Συναίγδην 26.1
Συναίνεσις 75.2
Συνακμάζω 680.1
Συναρηρέναι 281.1
Συνάριστος 120.2
Συνδημότης 199.2
Συνδιάζω 130.2
Συνέγγυς 227.1
Συνεισφορὰ 731.1
Συνεκφωνήσεως 682.2
Συνέντευξις 683.2
Συνεπιλαμβάνειν 678.2
Συνέπομαι 682.3
Συνέσει 238.3
Συνέστορας 379.3
Συνέφηβος 613.3
Συνίωσεν 102.2
Συνηλικιώτην 584.2
Συνηρμοσίαι 121.3
Συνηρμοσύνη 121.3
Συνθηκοφύλακα 294.3
Συνθιασώτης 575.2
Συννύμφους 238.1
Συνοιστὴ 679.3
Συνοκωχὴ 682.3
Συνομίληκες 311.1
Συνομοσύνη 683.2
Συνουσία 534.1
Συνοχμὸς 337.2
Συνοχωκὼς 683.2
Συνταγματάρχης 673.1
Συντέλεια 671.2
Συντελεστὴς 694.1
Συντελῶ 761.2
Συνωμότην 547.1
Συοβόσκης 716.3
Συρέμβολος 683.3
Συριάζεσθαι 612.2
Συριγγέμβολον 683.3
Συριγκτὴς 683.3
Συριγμὸς 473.2
Συρίττω 683.3
Συρμαΐζειν 683.3
Συρμὸς 683.3
Σύῤῥοια 510.3
Συσκευὴ 684.1
Συσπειραθεὶς 667.1
Σύσσωμος 401.1
Σύστασις 301.1
Συστέλλω 633.2
Σύστημα 301.1
Συσχέτω 504.3
Συφάγον 749.2
Συφοῖσι 350.2
Σύω 101.2
Σφαγιάζομαι 593.1
Σφακελισμὸς 684.4
Σφάττω 736.2
Σφενδονῆται 149.1
Σφενδονοειδὲς 259.3
Σφηλίαν 685.2
Σφίγκται 492.2
Σφιγμὸς 734.3
Σφοδάζω 566.1
Σφραγίδιον 187.2
Σφραγιδοφυλάκειον 638.1
Σφριγανὸν 685.3
Σφυκώμενος 684.2
Σφυρόδετος 686.1
Σχάζω 210.1
Σχανύειν 174.3
Σχεδάριον 686.2
Σχενδύλη 686.2
Σχετλιοποιὸν 686.3
Σχετὸς 131.1
Σχηματισμὸς 686.2
Σχίδιος 723.3
Σχινίζεσθαι 686.3
Σχίσης 687.1
Σχίσμα 490.3
Σχοινίσματα 686.1
Σχοινοπλοκικὴν 666.3
Σχοινοφύρος 686.1
Σχολαστὴς 686.1
Σχολεῖον 161.2
Σχολιότης 322.2
Σχολιόχειλος 7.1
Σωζόπολιν 552.3
Σώκω 92.3
Σωλεία 665.2
Σωληνάριον 665.2
Σωματέμπορος 82.2
Σωμάτιον 688.1
Σώρευσις 688.1
Σωσίοικος 688.1
Σωτὸς 131.1
Σωτρεύματα 688.1
Σώεσθαι 688.2

ἈΡΧΗ͂ ΤΟΥ Τ.

Τ Αγαθῷ 702.3
Τάγμα 621.2
Τάζω 696.2
Ταθαλαδοῦς 698.2
Τακερὸς 489.2
Τάλις 689.2
Ταμήλη 219.3
Ταντεῖνον 284.1
Τανύπτερα 83.2
Ταξείδιον 75.3
Ταξίαρχος 673.1
Ταὸς 692.2
Ταρακτὸν 690.2
Ταραχὴ 690.3
Ταριχεύειν 690.3
Ταριχοπωλεῖον 758.3
Ταρμύσσειν 526.1
Τάῤῥωμα 691.1
Ταρφεῖαι 691.2
Ταρωνουῶτες 505.1
Ταὼς 524.3
Τάττιξ 697.3
Ταυλίζοντες 459.2
Ταυλώματα 221.2
Ταυλωτὰ 221.2
Ταυρεῖν 403.1
Ταυρηδὸν 691.3
Ταυτομολεῖν 137.3
Ταχυβήλων 136.3
Ταχυγράφος 241.2
Ταχύζωμον 139.2
Ταχύπουν 531.3
Ταχυτὴς 83.1
Ταὼς 594.1
Τέγος 418.3
Τέθμιον 385.3
Τείρω 134.1
Τειχίον 472.2
Τειχιόεσσαν 701.3
Τέκω 698.1
Τεκνοποιὸν 694.3
Τελειότης 694.2
Τελεσιάρχην 499.1
Τολέσιλλα 431.1
Τελεσιουργὸς 694.1
Τελέσωρ 187.3
Τέλετρον 695.2
Τελχιταίνη 694.3
Τε-

Τεμαχίζεις 694.3
Τεραπολογεῖν 254.3
Τεραπυργός 695.2
Τερατώδης 252.3
Τερέω 695.2
Τέρψω 693.2
Τερθρείαν 480.2
Τερσίμβροτος 605.2
Τέτμω 321.2
Τετράβοιον 233.1
Τετράγκυρα 657.1
Τετράδραχμον 657.3
Τετραίνω 93.1
Τετρακέφαλος 312.2
Τετράμετρον 353.1
Τετράπλεθρος 696.3
Τετραπλάρω 574.1
Τετράς 705.1
Τετραφαλαγγαρχία 673.1
Τέτραχα 608.2
Τετραχηλισμένοι 706.1
Τετραχθά 709.1
Τετρωβολεῖν 534.3
Τεττιγόνιον 700.2
Τεττίζω 697.3
Τεύχω 697.3
Τεχνικός 132.2
Τεχνίως 698.1
Τεχνούργημα 698.1
Τεχνῶμαι 469.2
Τέων 698.2
Τζαπίον 660.1
Τηγανόστροφον 479.3
Τηθίβιος 698.2
Τηθίδα 698.2
Τηκερός 558.2
Τήκω 698.2
Τηλέθω 693.3
Τηλέκλυτος 435.1
Τηλέφυλλον 671.1
Τηλικόσδε 354.2
Τῆμοσδε 316.2
Τηνικάδε 602.2
Τηράνθεμον 154.3
Τηροκηπεῖν 436.1
Τιγγάβαρι 508.2
Τιθήνεια 315.2
Τίεμεν 266.1
Τιθαβώσσειν 457.3
Τιθασός 418.1
Τιλή 698.2
Τιλμός 701.1
Τίλον 109.1
Τιμάορος 701.2
Τίμαχος 457.1
Τιμιοπωλεῖν 701.2
Τιμωρίς 158.2
Τίποτε 315.2
Τιτθολαβεῖν 157.2
Τιτίζουσαι 697.2
Τλησικάρδιος 689.2
Τμῆμα 703.1
Τοιόσδε 81.3
Τόλμα 519.3
Τομίαν 385.3
Τονθολυγεῖν 166.1
Τοξολωβητήρ 704.2
Τοξοσωίν 215.1
Τοπεῖν 704.2
Τοπίως 482.1
Τορεία 704.2
Τορδύλω 522.2
Τορνδώτη 213.1
Τοσαυτάκι 613.3
Τοσαυταχῶς 315.2
Τούμπαλιν 558.3
Τούπιον 316.1
Τούπίσημον 705.1
Τούπως 703.1
Τούστι 419.2
Τουτονὶ 607.2
Τραβαίαι 133.2
Τραγεῖ 578.2
Τραγέλαφος 386.1
Τραγηματίζω 311.1
Τραγοβάμονα 424.1
Τραγωδός 705.3
Τράκτον 613.2
Τραπεζολοιχός 430.3
Τρατός 133.2
Τράττειν 372.1
Τραφαλίδα 706.1
Τρεμαίνω 695.2
Τρέχω 105.3
Τριακάδες 571.1
Τριακάτος 105.2
Τριάς 219.3
Τρίβλιον 454.2
Τριβόνιον 729.1
Τρίβραχυς 521.2
Τριγλυφίρα 493.3
Τριέμβολον 259.3
Τρίζυγον 340.3
Τρίκκαλα 707.3
Τριχυλίνδοω 707.3
Τριλόφους 709.1
Τριμαλιά 710.3
Τρίμετρον 503.3
Τρίμισα 705.1
Τριόβολον 534.3
Τριός 710.3
Τριπλάρων 574.1
Τρίπυλον 375.2
Τρίσεγα 709.2
Τρίσπερος 535.1
Τρισμόριον 399.3
Τριττυάρχης 708.3
Τριττᾶ 78.1
Τρίφυλλον 162.1
Τριχοβρῶτες 709.1
Τριημερεῖν 206.1
Τριωβολιμαῖος 534.3
Τριώβολον 216.1
Τροπαλιζόμενος 705.3
Τροπικός 455.3
Τροφαλλίς 596.3
Τροχάζειν 609.1
Τροχοειδής 710.2
Τρυγητής 62.2
Τρυγοβίος 419.1
Τρύγος 710.2
Τρύπανον 93.1
Τρυχόω 697.2
Τρύχω 412.1
Τρύω 134.1
Τρώξιμον 711.1
Τρῶες 711.2
Τύκιον 697.3
Τύλας 101.3
Τυλώμαια 184.1
Τυμβίδιος 723.3
Τύμπανον 605.2
Τύππιλος 54.3
Τυρβάσια 81.1
Τυρόγαλα 550.2
Τυροκομεῖον 689.1
Τυρώδες 44.1
Τυφλίας 462.3
Τυφλοπατεῖται 713.1
Τυχὸν 392.2 & 576.1

ΑΡΧΗ ΤΟΥ Υ.

Υ Αλίδας 714.2
Ὕβασις 481.2
Ὑβατίδες 715.1
Ὑδασσύδην 56.2
Ὑδεριᾶν 481.3
Ὑδερίδεσιν 715.1
Ὕδνα 158.3
Ὕδος 461.3
Ὑδρηλοί 115.3
Ὕδρις 715.2
Ὑλάω 143.2
Ὑλουργοί 716.1
Ὑλοφόροι 716.1
Ὑπλήξ 608.2
Ὑπαρχὴ 717.1
Ὑπέλεθρος 84.2
Ὑπεραίσιον 34.3
Ὑπερακόντισις 719.1
Ὑπερβιῶς 718.2
Ὑπέρθεσις 501.1
Ὑπέρθυμος 551.2
Ὑπερίστωρ 391.3
Ὑπερμαρχώτερος 489.2
Ὑπέρμορον 512.3
Ὑπερύλιον 523.1
Ὕπερον 543.2
Ὑπεροπτίειν 217.3
Ὑπεροπλία 6.1
Ὑπέροπλος 6.1
Ὑπεροφίας 281.1
Ὑπερταίω 566.3
Ὑπέρφρων 623.3
Ὑπερχηλοῖς 607.3
Ὑπερώϊδεν 584.3
Ὑπέσφορεν 724.2
Ὑπηνήτης 37.3
Ὑπήρετμος 290.2
Ὑπνίαν 715.2
Ὑπόβλεψ 721.1
Ὑπόβολον 259.3
Ὑποδέρτολον 632.3
Ὑπόδραξ 329.1
Ὑποθρόνιον 666.1
Ὑποκάμισον 287.2
Ὑποκνημίδιοι 295.2
Ὑπόνομος 683.3
Ὑποπλάκιοι 388.3
Ὑποπόδιον 662.3
Ὑποπόλιος 164.1
Ὑπόπολις 45.1
Ὑπόπορτις 187.3
Ὑποποτίσαι 723.2
Ὑποπτερίδιον 723.3
Ὑπορχήματα 632.2
Ὑποσκαλμίς 660.1
Ὑποστάσιον 669.1
Ὑπόστημα 490.3
Ὑποσιγμή 671.2
Ὑποστρέφειν 673.2
Ὑποστροφή 724.2
Ὑποσύρω 684.1
Ὑπόταξις 632.3
Ὑποτοποιῆσαι 133.2
Ὑποτρέψεσθαι 124.3
Ὑποξοπιάζειν 303.1
Ὑποτύπωσιν 631.3
Ὑπουργικός 312.1
Ὑπούργημαι 471.1
Ὑποφαίνεται 303.2
Ὑποφέρω 730.3
Ὑποφῆτα 385.3
Ὑποφητάω 724.3
Ὑποφυάδα 511.3
Ὑπόχαλκος 723.2
Ὑποψία 741.3
Ὑπύνη 424.3
Ὑρίσκον 683.3
Ὑσγινῶ 725.2
Ὑστεροφθόροι 615.1
Ὗς 715.3
Ὑστριχίν 725.2
Ὑφάζω 725.3
Ὑφαντικὴ 382.2
Ὑφέθη 269.3
Ὑφόρμιον 553.3
Ὑψαυχεῖν 309.3
Ὑψικέρατα 422.3
Ὑψόσε 726.2

ΑΡΧΗ ΤΟΥ Φ.

Φ Αείνω 727.1
Φάζω 147.2
Φακιόλιον 658.1
Φάκτον 727.2
Φαλάγγια 311.3
Φαλαιοί 727.3
Φάλιος 697.1
Φαλκίδων 627.2
Φάλκος 525.2
Φάλυον 330.2
Φαλωταί 594.1
Φανδόν 66.1
Φανίδες 84.2
Φανόπτας 534.1
Φάρεα 748.2
Φαρμακεία 511.2
Φαρύγεθρον 100.3
Φάσκελος 729.1
Φασκίας 511.2
Φατνός 222.2
Φατρίαρχος 739.3
Φαυλεπίφαυλος 622.1
Φέαρ 563.1
Φέλανδρυς 120.3
Φενίνδα 730.1
Φερένικοι 122.3
Φέρνιξ 730.2
Φέρτατος 487.2
Φερτήριον 730.3
Φεῦδα 49.3
Φύξιμα 731.1
Φῆλος 731.2
Φῆξη 450.3
Φθαίρω 204.3
Φθέγγω 732.1
Φθησάνωρ 732.3
Φθίσω 732.1
Φθινομετόπωρον 311.1
Φθινοδέσκω 334.2
Φθισικόν 719.1
Φθορᾶς 481.1
Φιγμός 734.3
Φιλαθλητής 734.2
Φιλαίτατος 734.2
Φιλαλέτου 46.2
Φιλαλήθης 734.2
Φιλάρχαιος 733.1
Φιλέτης 734.2
Φίληξ 392.1
Φιλητὰς 617.1
Φιλόθεος 60.1
Φιλοκερδής 84.1
Φιλοκώμας 37.3
Φιλολοίδορος 734.1
Φιλομήλα 534.2
Φιλοναῦται 733.2
Φιλοπαίγμων 733.2
Φιλοπάλαιστρος 733.2
Φιλόπατρις 733.3
Φίλοτις 158.2
Φιλοπράγμων 616.1
Φιλοπροσήγορος 127.3
Φιλοσοργία 670.1
Φιλοσύκης 677.3
Φιλοτεχνίαν 573.2
Φιλόφιλος 622.1
Φιλοχρήματος 733.3
Φιλοψυχία 178.2
Φίλυτρος 266.1
Φίντατος 38.1
Φλασκίον 641.3
Φλογεδέμενος 375.2
Φλύω 375.2
Φόβηθρον 509.2
Φοινικίδα 414.2
Φοινικὸς 75.3
Φοιτάδας 736.3
Φολίδες 736.3
Φολιδωτόν 736.3
Φονεία 736.3
Φόνιον 736.1
Φονοκτονεῖν 622.1
Φοραίνω 180.2
Φορεῖον 737.2
Φορέμεναι 737.2
Φόρημα 611.1
Φορητός 737.2
Φορμίδιον 737.2
Φορτηγός 730.2
Φορτίδα 737.1
Φορτικῶ 737.1
Φορύω 537.1
Φόρκα 208.1
Φορνίκιον 673.3
Φόρνον 673.3
Φόω 731.1
Φραγγέλιον 737.3
Φραδέος 738.1
Φρακτικός 738.1
Φρακτός 727.2
Φράσις 737.3
Φραστικῶς 737.3
Φράστωρ 142.3
Φράτιον 738.2
Φρατριάζειν 142.3
Φρατρίζειν 739.3
Φρατρία 173.2
Φράτριον 142.3
Φρεατωρύχας 738.2
Φρενετιάσις 575.3
Φρενοπλήξ 478.2
Φρυγαλίον 758.3
Φρυγμός 505.2
Φρόνω 99.1
Φρονητικόν 738.3
Φρονητόν 738.3
Φρυγανώδης 739.1
Φρυκτωρεῖν 739.2
Φυγάδες 89.1
Φύγελλα 638.1
Φύγω 542.3
Φυζάκινος 498.2
Φυζινός 542.3
Φυήρας 421.2
Φυκάριον 143.1
Φυκὶς 471.3
Φύλακος 173.1
Φυλλοχόον 740.1
Φύνης 345.2
Φύρσας 737.2
Φυρῶ 460.1
Φύσαλοι 740.2
Φύσωνες 729.2
Φυσώδη 740.2
Φύτευμα 740.2
Φυτουργός 741.1
Φωγνύναι 600.1
Φώζειν 741.1
Φῶκος 687.3
Φωνήεις 52.2
Φῶξαι 741.2
Φωτοφόρος 726.3

ΑΡΧΗ ΤΟΥ Χ.

Χ Αίρεα 469.2
Χαιρήμων 742.2
Χαλίπω 743.3
Χαλινίδας 386.3
Χαλικάζειν 742.3
Χαλιμάζειν 742.3
Χαλιμίας 742.3
Χαλκᾶ 478.2
Χαλκεόφωνος 743.1
Χαλκιδαί 343.3
Χαλκιδῖτις 468.3
Χαλκίοικος 743.2
Χαλκόβαρυς 743.2
Χαλκόδερμοι 743.2
Χαλκοδόρυκες 743.3
Χαλκοκράτος 3.2

Χαλκόπλεφρον 743.3
Χαμᾶθεν 743.3
Χαμαίμηλον 323.1
Χαμαιπύτην 443.3
Χαμαισύκη 589.3
Χαμαιτυπὶς 742.1
Χαμόθεν 743.3
Χανδάνη 743.3
Χάπτω 402.3
Χαρακτηρίζειν 237.1
Χαράσσων 182.2
Χαριτοβλέφαρον 744.3
Χαρτότομον 520.2
Χασμᾶσθαι 753.2
Χάσμης 753.2
Χάτις 745.1
Χαυλιώδους 684.1
Χαυνολόγων 745.2
Χαυνοποιῶν 745.2
Χέψαι 42.2
Χάω 749.3
Χέας 745.2
Χηλαὶ 745.2
Χηλωτὴρ 694.1
Χειμάδιον 394.3
Χειμαίνω 451.2
Χειρὶς 745.3
Χειρόβλητα 746.1
Χειρογρύλιος 607.2
Χειρονέστερον 607.1
Χειρονομία 746.1
Χειροπέδη 745.3
Χειροσκοπικὸν 541.3
Χειροτέχνης 745.1
Χειρουργία 197.2
Χειρουργὸς 746.1
Χείτιον 745.2
Χελιδοῦς 181.1
Χελύσσειν 746.2
Χελώνιον 531.1
Χέρνιπτον 746.3
Χερχρεῖν 31.1
Χηναλώπεκες 747.1
Χηνίδης 464.1
Χῆτις 745.1
Χθιζὰν 576.1
Χιλιόμβη 708.3
Χίμαρροι 27.3
Χιτωνάριον 748.1
Χιτώνιον 748.1
Χλανὶς 194.1
Χλιδὴ 711.1
Χοίρειον 715.3
Χόνδρος 578.3
Χοροστάτης 749.2
Χρηστέον 110.3
Χρονοτριβεῖν 206.1
Χρυσεοκόμας 531.2
Χρυσεοπηλώιτον 588.2
Χρυσολάχανον 650.2
Χρυσόφρυν 380.3
Χρυσωπὶς 196.2
Χυδαῖος 5.2
Χύθραν 372.2
Χυματίζειν 209.1

ἈΡΧῊ ΤΟΥ Ψ.

Ψέγδας 650.3
Ψευδομαρτύριον 248.3
Ψιάδας 527.2
Ψιλίζεσθαι 731.1
Ψιττακὸν 659.2
Ψυχαγωγεῖ 755.3
Ψυχουλκούμενοι 756.1
Ψωδίον 755.2
Ψῶζα 756.1
Ψωμοκόλαξ 42.1

ἈΡΧῊ ΤΟΥ Ω.

Ὀδύζεσθαι 757.1
Ὦζα 536.3
Ὦζησις 42.1
Ὦζω 538.1
Ὠήθην 193.1
Ὠθισμὸς 760.3
Ὠτόμην 539.2
Ὤκιον 676.2
Ὄμβρυσι 544.3
Ὠμηστὴς 426.1
Ὦμιξα 545.1
Ὠμοβόεια 305.3
Ὠμοθέτησον 215.1
Ὠναίμην 226.3
Ὠνὴ 155.3
Ὤνησις 547.3
Ὠνομάδαται 308.2
Ὠρανὸν 558.3
Ὠρέγνυν 551.3
Ὠρὴ 146.2
Ὡρολόγιον 470.1
Ὤρυγα 575.2
Ὠρυθμὸς 682.1
Ὠρυρέχατο 556.1
Ὠστιζόμεθα 683.1
Ὠτάριος 651.1
Ὠτώνει 466.2
Ὠχρίασις 761.3
Ὦω 761.3

ΕΛΕΓΧΟΣ

Παροιμιῶν, τῶν ἐν τῷ τοῦ ΒΑΡΙΝΟΥ τοῦ ΦΑΒΩΡΙΝΟΥ Λεξικῷ.

Ἄβρωτος βίος 4.1
Ἀβρώνειος βίος 4.1
Ἄβυδος 4.2
Ἀβυδηνὸν ἐπιφόρημα 4.1. 5.1
Ἀγαθοὶ ἀριδάκρυες ἄνδρες 733.3
Ἀγαθὴ ϗ μάζα μετ᾽ ἄρτον 4.2
Ἀγαθὰ κυλίκων 4.2
Ἀγαθῶν ἀγαθίδες 4.3
Ἀγαθῶν ἀγαθίδες 409.3
Ἀγαθῶν θάλασσα 9.3
Ἀγαθῶν μυρμηκία 4.3. ϗ 516.1
Ἀγαθῶν πόντος 617.2
Ἀγαθῶν σωρός 4.3
Ἀγαθώνειος αὔλησις 4.3 ϗ 16.2
Ἀγαμεμνόνια φρέατα 5.1. ϗ 4.1
Ἀγέλαστος πέτρα 5.3
Ἄγκυρα ἱερά 10.1
Ἀγνοεῖ ἀράχνη παῖδας, ὡς παιδεύεται 10.3
Ἀγνότερος πηδαλίου 10.3
Ἀγρία μέλιττα 12.3
Ἀγρίου βέβρωκας 12.3
Ἀγρίππου ἀκαρπότερος 12.3
Ἀγρίππου ἀκαρπότερος 39.1
Ἀγροῦ πηγή 13.1
Εἰς ἀγρὸν Μάνης 241.3
Ἀγὼν οὐ δέχεται σκήψεις 14.3
Ἀγὼν πρόφασιν οὐκ ἀναμένει 14.3
Ἀδεὲς δέος δέδοικας 15.1
Ἄδεις ὥσπερ εἰς Δῆλον πλέων 15.3
Ἄδεις ἔχων 30.2
Ἀδμήτου μέλος ϗ ἁρμοδίου 17.2
Ἀδύνατα θηρᾷς 18.2
Ἄδων τὴν σπιθαμὴν τοῦ βίου πρὸς ἄνηθον 18.3
Ἀδώνιδος κῆπος 18.2 ϗ 26.1
Ἀδώνιδος κήπου ἀκαρπότερος 39.1
Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος 19.1
Ἀεὶ τοῖς ἐρῶσιν σωίζομεν 19.3
Ἀεὶ εὖ πίπτουσιν οἱ Διὸς κύβοι 19.1
Ἀεί με τοιοῦτοι πόλεμοι διώκοιεν 19.3
Ἀεί τις ἐν Κύδωνος 19.3
Ἀετὸς ἐν νεφέλαις 21.1
Ἀετοῦ γῆρας Κορύδου νεότης 21.1
Ἀετὸν ἵπτασθαι διδάσκεις 20.3
Ἀετὸν Κάνθαρος μαιεύσομαι 20.3
Ἀηδόνων ἐργαστήριον 21.3
Ἀηδόνων μουσεῖα 746.1
Ἀθηνᾶ τὸν αἴλουρον 23.1
Σὺν Ἀθηνᾷ ϗ χεῖρα κίνει 680.1
Ἀθηνᾶ κάτοχος 23.1
Ἀθηναίων δυσβουλία 23.3
Αἰάντειος γέλως 25.3
Κατ᾽ αἶγας ἀγρίας 407.3
Ἀπ᾽ αἰγείρου Θεά 97.1
Ἐπ᾽ αἴγειρον Θεὰ 97.1
Αἰγύπτιος πλινθοφόρος 3.3
Ἅιδος κυνῆ 28.3
Ἀεί με τοιοῦτοι πολέμιοι διώκοιεν 28.3
Αἰεὶ φέρει τι Λιβύη κακόν 29.1
Αἰετὸς αἴθων 29.1
Αἰετὸς ἐν νεφέλαις 29.1
Αἰετὸν Κάνθαρος μαιεύσομαι 29.1
Αἰθέρα νηνεμον ἐρέσσεις 29.3
Αἰθίοπα λευκαίνεις 477.1
Αἲξ ἑαυτῇ τὴν μάχαιραν 32.2
Αἲξ οὐρανία 26.2
Αἴρειν ἔξω πόδα αἰτίας 33.2
Αἴρειν ἔξω πόδα πηλοῦ 33.2
Ἀκάνθιος τέττιξ 38.2
Ἀκαρπότερος ἀγρίππου 12.3 ϗ 39.1
Ἀκαρπότερος Ἀδώνιδος κήπου 39.1
Ἀκέφαλος μῦθος 40.2
Ἀκριβέστερος στάθμης 668.2
Ἀκρὶς ἀρουραία 182.2
Ἄκρον λάβε, ϗ μέσον ἕξεις 5.1
Ἅλας ἄγων καθεύδεις 53.3
Ἀλέκτωρ πίνει, ϗ οὐκ οὐρεῖ, μύξος οὐ πίνει ϗ οὐρεῖ 515.3
Ἄλευ ἀπὸ μείζονος ἀνδρὸς 50.1
Ἀληλεσμένον βίον ζῇ 105.2
Ἄλις δρυός 52.1
Ἄλις δρυός 105.2
Ἀλλ᾽ ἀτιμήμοι ταῦτα περὶ δρῦν 53.2
Ἄλλος οὗτος Ἡρακλῆς 54.3
Ἀλλοτρίᾳ χειρὶ πρᾶξαι 179.1
Ἀλλοτρίῳ στόματι ἐσθίειν 179.1
Ἀλλότριον ἀμᾷς θέρος 55.1
Ἀλλοτρίοις ἐσθίειν γναθμοῖς 179.1
Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ 55.1
Ἄλλως ἄδεις 55.2
Ἄλλως ἀναλίσκεις ὕδωρ 55.2
Ἐν ἅλῳ δρακάζεις 264.1
Ἀλῶν δὲ φόρτος ὅθεν ἔνθ᾽ ἔβη 53.3
Ἀλωπεκὴν ἐνδύσασθαι 78.2
Ἡ ἁμαξιαία τὴν ἀξησίαν μετῆλθε 21.2
Ἅμ᾽ ἔπος, ἅμ᾽ ἔργον 378.2
Ἀμετρὶ μάζαν ἔδοντες 62.1
Ἐξ ἄμμου σχοινίον πλέκεις 276.1
Ἀμφοξονεῖν 66.1
Ἀμφοτέραις ἀντλεῖν 93.3
Ἀναιμωτὶ [illegible] 75.2
Ἀναίσχυντος ϗ σιδηροῦς ἄνθρωπος 657.2
Ἀναπαυόμενον ὕδωρ 77.3
Ἀνδρίναστος 85.1
Ἀνέρριπται κύβος 85.1
Ἀνεωγμέναι Μουσῶν θύραι 86.2
Ἄννος κρίβανον 450.2
Ἀνοητότεροι λειβηθρίων 47.2
Ἀντλεῖν ἀμφοτέραις 93.3
Ἀντλεῖς ἐκ πίθων 93.3
Ἀντρώνιος ὄνος 93.3
Ἄνω κάτω 94.3
Ἄνω ποταμῶν 94.3
Ἐξ ἀξίου ξύλου ἀπάγξασθαι 95.1
Ἐξ ἀξίου ξύλου κἂν ἀπάγξασθαι 276.1
Ἄπαγε ξένου ἐν χειμῶνι 96.3
Ἀπαίδευτος ὤν, πῶς ἑτέρους παιδεύσεις 310.2
Ἀπαλώτερος τρύχνου 97.3
Ἅπαντα τόλμης πλέα ϗ ἀναισχυντίας 98.1
Ἅπαξ πυρρός ϗ μὴ δέκατον χλωρὸς 72.3
Ἀπειλητῆρες Ἀχαΐδες 100.1
Ἄπιθι ἐς κόρακας 149.2
Ἀπορία ψάλτου βήξ 154.3
Ἀποτίσει χοῖρε γίγαρτα, ἃ κατέφαγες 111.3
Ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ 638.1 639.3
Ἀράβιος ἄγγελος 114.3
Ἀράβιος αὐλητὴς 114.3
Ἀργείους ὁρῶ 115.3
Ἀργεία σφυρά 115.3
Ὅταν ἀργύριον πάντα θεῖ ϗ ἐλαύνεται, οὐτ᾽ ἀνέμοις οὔτε κώπαις πλέομεν 384.2
Ἄρης τύραννος 118.2
Ἄριστα χωλὸς οἰφεῖ 541.2
Ἀρκάδας μιμούμενος 120.2
Ἀρουραία ἀκρὶς 182.2
Ἁρπαγὴ τὰ κόρνα 122.1
Ἀρτέμων περιφόρητος 595.3 ϗ 578.2
Ἀρχὴ σκυρεία 125.2
Ἀρχὴν ἰᾶσθαι πολὺ λῷον ἢ τελευτήν 125.2
Ἀσκὸν δέρειν 551.3
Ἀστραπὴ δι᾽ ἅρματος 129.3
Ἀττικωνικοί 134.2
Αὐτὸς γὰρ εὗρες τοῦ κακοῦ τὴν πυτύαν 602,2
Αὐτὸς ἔφα 138.1
Αὐτὸν κέκρυκας τὸν βατῆρα τοῦ λόγου 148.1 ϗ 148.3 ϗ 150.3
Αὐτὴ κάμινος, αὐτὸς εἵλκυσε καπνὸν 137.1
Αὐτὴ κάμινος, αὐτὸς εἵλκυσε βρόχος 136.3
Αὐταῖς ἀμάλαις 136.3
Ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει 140.1
Ἀφροδίσιος ὅρκος οὐ δάκνει 142.3
Ἀφύα ἐς πῦρ 143.1
Ἀχαΐδες ἀπειλητῆρες 100.1
Ἄχθος ἀρούρης 144.3
Ἀχιλλεία μάζα 145.1
Ἀχρηστος ἐκ Δελφῶν ἐπανήκει 145.2

Β

Βακάντιβος 148.1
Βακάντιβος κακὸς ἰχθύς 148.1
Βάλλ᾽ ἐς μακαρίαν 149.2
Βάλλ᾽ ἐς ὕδωρ 149.2
Βάλλ᾽ εἰς ἅδου 149.2
Βάλλ᾽ εἰς μακαρίαν 96.3 ϗ 97.1
Βάμμα Κυζικηνόν 149.3
Βασιλέως ἐγκέφαλος 214.2
Βάστα κάρας 150.2
Βάτραχος ἐκ σερίφου 151.3
Βαττολογεῖν 151.3
Βέμβηκος δίκην 154.1
Βήξ 154.3
Βίος ἀκανθώδης 155.3
Βίος ἀληλεσμένον 155.3
Βίος ἐξηυλημένος 155.3
Βίος μεμαγμένος 155.3
Βίον ἀληλεσμένον ζῇ 105.2
Καὶ Βλίτυρι ϗ σκινδαψὸς ἄλογιν 157.3
Βοιωτία 714.3
Βυθὸς περιφοιτᾷ 160.3
Βοῦς 160.2 ϗ 162.2
Βοῦς ἐν αὐλείῳ κάθῃ 160.2
Βοῦς ἐπὶ δεσμά 460.3
Βοῦς ἕβδομος 162.2
Βοῦς Κύπριος 162.2
Βοῦν ἐπὶ γλώττης φέρεις 160.2 ϗ 161.3
Βοῦν ἐπὶ γλώττης φέρεις 161.3
Βοῦν ἐπὶ γλώττης φέρει 245.2
Βοῦν ἐπὶ γλώττης ἔχει 162.2
Βοῦν ἕβδομον 226.2
Βούτης 162.2
Βῶλος ἄγρα 167.1
Βῶλος ἄρουρα 361.2
Βωμολοχία 167.1

Γ

Γαλᾶ ὀρνίθων 168.2
Γέλως Σαρδώνιος 179.1
Γέλως σαρδώνιος 215.2 ϗ 652.2
Γενναῖος εἰ ἐκ βαλαντίου 173.2
Οἱ γέροντες δὶς παῖδες 215.2

Γέρα-

Γέρανοι λίθους καταπεπωκυῖαι 173.3
Γῆ θάλατταν συνανamίγνυσι 175.1
Γῆς βάρος 174.3
Γλαῦξ εἰς Ἀθήνας 176.3
Γλαῦξ ἵπταται 177.2
Γλαῦκες Λαυρεωτικαὶ 177.2
Γλαῦκας Ἀθήναζε 176.3
Γλαῦκας εἰς Ἀθήνας 176.3 & 177.2
Γλαύκου τέχνη 177.2
Γλυκὺς ἀπείρῳ πόλεμος 178.2
Γλυκὺ ἧπαρ καὶ πνιξάτω 178.2
Γλυκεῖ ὀπώρα, φυλάλακος ἐκλελειπότος 178.2
Γναθμοῖς γελᾶν ἀλλοτρίοις 175.1
Γναθμοῖς ἐσθίειν ἀλλοτρίοις 179.1
Γνάθος 179.1
Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον 429.3
Γραῦς ἔριφος 182.2
Γύγου δακτύλιος 183.3
Γυμνότερος λεβηρίδος 184.1
Γυμνότερος παττάλου 184.2
Γυμνοφυλακεῖν ἐπιτάττειν 184.2
Γυπὸς σκιά 185.1

Δ

Δαιδάλου ἔργον 186.2
Δεκάτου βόλου 194.1
Δελφῖνα νήχεσθαι διδάσκεις. 194.2
Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχων, δίψῃ δ' ἀπολωλώς 442.1
Δένδρα Ταντάλου 18.2
Δέος ἀδεὲς δέδοικας 15.2
Δεύτερος πλοῦς 197.1
Αἱ δεύτεραι φροντίδες σοφώτεραι 19.1
Δευτέρων ἀμεινόνων 197.2
Δημόκοινος 575.3
Διάνοια Εὔριπος 203.3
Δικαιότερος ζυγάνης 211.3
Δικαιότερον σταχάνης 211.3
Διομήδειος ἀνάγκη 213.2
Διὸς ἐγκέφαλος 214.1 & 214.2
Ἡ Διὸς Κόρινθος 346.2
Δὶς παῖδες οἱ γέροντες 215.2
Δοίδυξ αὔξει 217.1
Δὸς ἄρτον τυχὸν καὶ κόνδυλον ὄψον ἐπ' αὐτῷ 639.3
Ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης 105.1 & 105.2
Ἀπὸ δρυὸς ἢ πέτρας εἶναι 394.3
Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται 533.1
Ἐκ δυοῖν τρία βλέπεις 246.2
Δωδωναῖον χαλκεῖον 224.2
Δωδών 224.2

Ε

Ἕβδομον βοῦν 226.2
Ἐγένετο καὶ Μάνδρωνι συκίνη ναῦς 227.2
Ἐγχέλεις θηρώμενος 230.1
Εἴη μοι τὰ μεταξὺ Κορίνθου καὶ σικυῶνος 657.3
Εἰκῆ τῷ Ἡρακλεῖ 237.1
Εἴληφεν ἡ παγὶς τὸν μῦν 237.1
Εἰς δέον σε εὗρον 242.1
Εἰς τὸν λιμένα 419.2
Εἰς ὅτε δή 243.1
Εἰς κόρακας 242.3
Εἰς κενὸς πυγήν 273.1
Εἰς μακαρίαν 149.2. & 316.1
Ἐκδεδαρμένον δέρεις 246.1
Ἐκτριβῆναι πίτυος δίκην 336.2
Ἑκὼν ἀέκων τε δέ τι πεποίηκα 251.3
Ἑκὼν ἀέκοντι θυμῷ 251.2
Ἐλάφειος ἀνήρ 253.2
Ἐλεύθεραι αἶγες ἀρότρων 255.1
Ἔμβαρος εἶ 275.2
Ἐνδυμίωνος ὕπνος 266.2
Ἔνεστι κἂν μύρμηκι κἂν σέρφῳ χολή 652.3
Ἐννεάψυχος κύων 270.3
Ἐξ ἑνὸς τὰ πάνθ' ὅρα 278.1
Ἔξω Γλαύκου 281.3
Ἐπακτρεῖς 283.3
Ἐπίσπαστον κακόν 299.3
Ἔργα νέων 307.1
Ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων 307.1 & 307.2
Ἐρεβίνθινος Ζωμός 310.1
Ἐριφία γραῦς 182.2
Ἐς τὸν λιμένα 176.1
Ἐς λιμένα 419.2
Ἐς μακαρίαν 316.1
Ἐς κόρακας 418.1 & 317.1 & 457.3
Ἐς κυνόσαργες 317.2 & 457.3
Ἀφ' Ἑστίας ἄρχου 140.3
Ἐξ Ἑστίας ἄρχεσθαι 322.1
Ἑστίᾳ θύομεν 333.3
Ἔσχατος Μυσῶν 320.1
Ἐτήσιον ἄχθος ἀρούρης 175.3
Εὐδαίμων ὁ Κορίνθιος, ἐγὼ δὲ εἴην Τενεάτης 692.3
Εὕδοντι δ' αἱρεῖ πρῶτος 324.2
Εὕδοντι κυρτὸς αἱρεῖ 324.2
Εὐθύτεροι κανόνος 668.2
Εὐρυβάτης 329.3
Εὐρύβατος 329.3
Εὐρυβάτου πρᾶγμα 329.3
Εὐρυβατεύεσθαι 329.3
Εὐτραπελία 167.1
Ἔχων ᾄδεις 27.3

Ζ

Ζεῖ χύτρα, ζῇ φιλία 340.1
Ζυγὸς δίκαιος 131.2
Ζυγὸς δόλιος 726.1
Ζυγοῦ πρὸς δίκην εὐθύτερος 726.1
Ζῶμεν οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα 343.1

Η

Ἠκόνητε 344.3
Ἧλιξ ἥλικα τέρπει, γέρων δέ τε τέρπει γέροντα 350.1
Ἥλικα τέρπει μόνος ἀνθρώπων, ὧν ἀκοῇ ἴσμεν 351.1
Ἥλῳ ἧλον ἐκκρούει 351.3
Ἥμβροτες οὐδ' ἔτυχες 352.2
Ἦν ἄρα καὶ πυρὸς θερμότερος 354.1
Ἡρακλῆς ἄλλος οὗτος 54.3

Θ

Θάλασσα κλύζει πάντα τἀνθρώπων κακά 483.3
Θαλάττῃ ἐκ χαράδρας ὕδωρ 167.1
Θαλάττῃ ἐκ χαράδρας ὕδωρ 361.2
Κατὰ θαλάττης σπείρεις 477.1
Θαλλοφόρος 362.1
Θᾶττον ὁ τοῖχος Ἡρακλεῖ τῷ περινέῳ βρέχει 39.3
Θεαγένους Ἑκάτειον 244.3
Θεμιστόκλειος πανουργία 536.2
Θεσσαλῶν νόμισμα 387.3
Θετταλῶν σόφισμα 388.2
Θετταλικὸν σόφισμα 666.1
Θολερῶς προβαίνεις 371.1
Θρηϊκία χελιδών 746.2

Ι

Ἴδ' ἀμφιὴν πῦρ 378.2
Ἱερείας ἐνύπνιον 380.2
Ἱερὸν ἡ συμβουλή 380.2
Ἴθορος 382.1
Ἀφ' ἱκετηρίας 141.2
Ἰλιὰς κακῶν 384.1
Ἴμβριοι 384.3
Ἱμεραίας ἐνύπνιον 380.1
Ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ' ἐπίβαλλε 389.1
Ἵππον εἰς πεδίον 538.3
Ἱππεῖς λευκοθώρακες 387.2
Ἵππειον θράσος 388.3
Ἰχθὺν εἰς Ἑλλήσποντον ἤγαγες 176.3

Κ

Καδμεία νίκη 394.3
Τὸ Καινέως δόρυ 397.2
Καὶ βλίτυρι καὶ σκινδαψὸς ἄλογοι 157.2
Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον 180.1
Καὶ κόρχορος ἐν λαχάνοις 186.1
Καὶ Μάνδρωνι ἐγένετο συκίνη ναῦς 227.2
Καὶ τῷ τυφλῷ δῆλον 263.2
Καὶ χερσὶ καὶ ἔργοις 167.2
Κακοῦ κόρακος κακὸν ᾠόν 167.3
Κάκιστη κακῶν 167.2
Κακὸν ἐπίσπαστον 300.1
Κακὰ κακῶς 167.2
Καμήλου πρωκτόν 169.1
Κανθάρου σκιά 169.1
Κἂν ἴσαι 169.1
Κανόνος εὐθύτερος 668.2
Ὑπὲρ καπνοῦ θεῖναι πηδάλιον 298.1
Καπνοῦ σκιά 403.1
Κάππα διπλοῦν 402.2
Ἐκ Καρπάθου 448.1
Καρπάθιος λαγών 404.2
Ὁ καρπάθιος τὸν λαγωόν 448.1
Καρπάθιος τὸν μάρτυρα 404.1
Ἐν καρὸς αἴσῃ 270.2
Ἐν καρὶ τὸν κίνδυνον 270.2
Πρὸς κάρα καρίζεις 634.1
Καρικὸν θῦμα 404.1
Πρὸς κέντρα λακτίζεις 634.1
Κενώτερος λεβηρίδος 184.2
Κέπφος 422.1
Κέπφος ὠδίνει 537.2
Κεραμέως πλοῦτος 422.3
Κερκώπη 545.2
Κέστον οὐκ ἔχει 424.2
Κεστρεὺς νηστεύει 424.2
Κωθωνύμου αἶσχος 424.2
Κωθωνύμου κλέος 424.2
Ἐν Κεῷ τις ἡμέρα 270.2
Κήπιδος σκέλος 426.3
Ἐν κηρὸς μοίρᾳ 270.2
Κιλίκων ἀγαθά 4.1
Κιλίκειος ὄλεθρος 429.1 & 620.1
Κιλίκιοι λόγοι 429.1
Κινεῖς τὸν ἀνάγυρον 429.3 & 548.1
Κίχλης κωφότερος 464.1
Κόγχην διεῖλες 435.1 & 437.1
Κοῖλον τοῦ ποδὸς δεῖξαι 437.2
Κοινὸς Ἑρμῆς 438.2
Κοισυροῦσθαι 451.3
Κολοιὸς ποτὶ κολοιὸν ἱζάνει 431.2
Κολωνὸς ὀψὲ ἦλθες, ἀλλ' εἰς τὸν κολωνὸν ἴεσο 440.1
Κόνος ἀρτοξύη 442.2
Κονίην ἀποψησάμενος ἠγωνίζετο 100.2
Κονιορτοῦ κουφότερος 447.1
Κόννου θρύον 442.2
Κόννου ψῆφον 442.2
Κοντῷ πλεῖν 442.2
Κόπρον ἀναθυμιᾷς 612.3
Εἰς κόπρον θυμιᾷς 242.3
Κόραξ ὑδρεύει 442.3
Κορδύλας οὐκ ἄξιος 442.3
Πρὸς κόρυκον γυμνάζεσθαι 630.2
Κορίνθιος ξένος 443.3
Καὶ κόρχορος ἐν λαχάνοις 443.3
Κορώνη τὸν σκορπίον 444.3
Κοσκίνῳ ὕδωρ ἐπιφέρει 761.3
Κουφότερος κονιορτοῦ 447.1
Κρατὴρ δικῶν 448.3
Ὁ Κρὴς τὴν θάλασσαν 245.2
Πρὸς Κρῆτα Κρητίζεις 245.2
Πρὸς κρῆτα κρητίζεις 630.1
Κριὸς τροφεῖα ἀπέτισε 451.1
Κρονικαὶ λῆμαι 451.3
Κρονικαῖς γνώμαις 451.3
Κρόταλος 452.3
Κρότωνος ὑγιέστερος 452.3
Κρωβύλου ζεῦγος 453.1
Κυζικηνῶν βάμμα 149.3
Κυκλώπειος δωρεά 92.3

Ἐκ

Ἐκ κυμάτων αὖθις γαλήνην ὁρῶ 345.3
Ἐν κωνάδρα ἐλάδιον ὕδωρ 457.2
Κύων ἐπὶ δεσμά 460.3
Κύων ζῶν ἀπὸ μαγδαλίας 297.1
Κύων λαίθαργος εἶ 464.3
Κύων ὁ προσσαίνων μὲν, λάθρα δὲ δάκνων 474.2
Ἡ κύων ἐν τῇ φάτνῃ 349.2
Εἰς κυνὸς πυγὴν ὁρᾷ 638.1
Κωίαν δέρειν δεδαρμένην 457.2
Κωνείην φορεῖν 457.2
Κωδάλου χοῖνιξ 461.1
Παρὰ κωφῷ πέρδεις 462.3
Παρὰ κωφὸν ἀποπαρδεῖν 576.3
Κωφότερος Κίχλης 462.3
Κωφότερος τοῦ Τορωναίου λιμένος 462.3

Λ

Λαγὼς καθεύδων 464.1
Λαγὼς τὴν περὶ τῶν κρεῶν τρέχει 79.1
Λαγὼς τὴν περὶ τῶν κρεῶν τρέχει 464.1
Λαλίστεροι τρυγόνων 706.3
Λαυρεωτικαὶ γλαῦκες 177.2
Λεβηρίδος γυμνότερος 184.1
Λεβηρίδος τυφλότερος 184.1
Λεβηρίδος κενώτερος 184.1
Λειβηθρίων ἀνοητότεροι 470.2
Λεπτότερος Λεωτροφίδου καὶ Θουμάντιδος 474.2
Λέσβιον ᾠδὸν 473.1
Λευκὴ στάθμη 473.2
Λευκὴ ψῆφος 473.2
Λεωτροφίδου λεπτότερος καὶ Θουμάντιδος 474.2
Λήθαργος 474.2
Λήθης πεδίον 474.3
Λημῶν χύτραισι 475.1
Λημῶ καὶ κολοκυνταις 475.2
Λημνία δίκη 475.1
Λημνίαν χεῖρα ἀπαραίτητον εἶναι 658.2
Λήμνιον βλέπειν 658.2
Λήμνιον κακὸν 658.2
Λήμνιον πῦρ 475.2
Λήμνια κακὰ 475.2
Λίθον ἕψεις 477.1
Λιμὸς μηλίῳ 477.3
Λίνδιοι τὴν θυσίαν 477.3
Λόγῳ παρθένοι 480.3
Λόγων ἐν πόλει τῶν ἀναιδῶν ἀναιδέστερος 354.1
Παρὰ λύδιον ἅρμα 506.2
Λυκαβηττὸς καὶ Παρνασσῶν μεγέθη 483.1
Λυκείην ἐνεῖθαι 578.2
Λύκος κεχηνώς 483.3
Ἡ λύκου δεκάς 351.3
Λύκων φησόμεθα μᾶλλον, ὑπὲρ τούτων 483.3

Μ

Ἐπὶ τοῦ Μανδροβούλου 302.3
Ἐπὶ τὰ Μανδροβούλου 501.3
Καὶ Μάνδρωνι συκίνη ναῦς ἐγένετο 227.2
Μέγα τι ἄγγελος ἐσθλός 492.3
Μέγα τὸ στόμα τοῦ ἐνιαυτοῦ 491.3
Εἰς Μελίτας ἐκώμασας 242.3
Μεμαγμένη μάζα 497.2
Μέχρι τῶν ἀμφοτίδων 72.2
Μὴ δακρύων 131.3
Μὴδ' ἄλλα διδούς 504.3
Μηδὲν ἄγαν 281.2
Μὴ εἰκῆ τὴν Ἄβυδον 238.2
Μὴ ἱδρῶν 131.3
Κατὰ μήλην μηλῶσαι 409.1
Μηλίῳ λιμῷ 477.3
Μή μοι βαιῶν κακός ἰχθῦς 148.1
Μή μοι τότ' ἔλθῃς 504.3
Μὴ μνησικακῆσαι 371.3
Μήτ' ἐς μελαμπύγου τύχοις 507.1
Μία χελιδὼν ἔαρ οὐ ποιεῖ 507.2
Μισῶ μνάμονα συμπόταν 53.3
Μυκόνιος ἀνὴρ 504.3
Μυκώνιος γείτων 515.1
Μύλος πάντα ἀκούει 515.2
Μύλος 515.1
Μύρμηκες ἀριθμοί 516.1
Μυρμηκίαν ἀγαθῶν 516.1
Μῦς ἄρτι πίττης γευόμενος 516.3
Μῦς λευκός 516.3
Μυσῶν ἔσχατος 320.1
Μυσῶν λείαν 517.1

Ν

Ἀπὸ Νανάκου 519.1
Κατὰ ναῦν τὰ ἄρμενα 409.2
Νεβρίδα φορεῖν 578.3

Ξ

Ξένον ἄπαγε ἐν χειμῶνι 96.3
Ξένας γελᾶν παρειαῖς 179.1
Ξύειν τὸν ἀντιξύοντα 534.1
Τὸν ξύοντα ἀντιξύειν 532.2
Ξυρεῖν τὸν λέοντα 534.1
Ξυστὸν δ' ἐπὶ πασσάλῳ 298.1

Ο

Ὀδύσσεια 536.2
Ὀδύσσειος μηχανή 536.2
Οἷα τὰ ἐπὶ Χαριξένης 303.2
Οἰδίποδος δυσποτμία 223.3
Οἴκοθεν κακουργεῖν 538.3
Οἴκοθεν ὁ μάρτυς 538.3
Οἴκοι λέοντες 538.3
Οἰναῖοι τὴν χαράδραν 539.2
Ἐν ὅλμῳ ἐκοιμήσω 543.2
Ἐν ὅλμῳ ἐκοιμήθη 271.2
Ὁμοιότερος σύκου 677.2
Ὄνῳ βοῦφος ἐπιφοιτᾷ 162.3
Ὄνος ἄγων μυστήρια 548.2
Ὄνου γνάθος 548.3
Ὄνον κείρεις 538.1
Ὄνου πόκον 535.2 καὶ 348.3
Εἰς ὄνου πόκας 240.3 καὶ 548.3
Ἐς ὄνου πόκας 220.3
Ὄνου σκιά 548.3 καὶ 594.3
Ὁπόταν ἀστράψῃ δι' ἅρματος 121.2
Ὀρθότερος τῆς ὀρθότητος 668.2
Τῆς ὀρθότητος ὀρθότερος 668.2
Ὀρνίθων γάλα 168.2 καὶ 754.1
Ὀστράκου μεταπεσόντος 557.3
Ὀστράκου περιστροφή 557.3
Ὅταν ἀργύριον πάντα θεῖ καὶ ἐλαύνεται οὔτ' ἀνέμοις, οὔτε κώπαις πλέομεν 384.2
Οὐδ' ἄλλα δοίης 558.3
Οὐδ' ἂν αἵματι στένων πείσειεν 31.1
Οὐδ' ἂν πείσῃς αὐτὸν, οὐδ' αἵματι κλαίων 31.1
Οὐδ' ἀπὸ παλαιφάτου δρυός 559.1
Οὐδὲν ἱερὸν 559.2
Οὐδ' ἐν σελίνοις 559.2
Οὐδέποτ' ἔχει ἡ θύρα 559.2
Οὐδὲ τὰ τρία Στησιχόρου γινώσκεις 559.1
Οὐδ' ἴκταρ βάλλει 719.2
Οὐθ' ὕεται, οὔτε ἡλιοῦται 559.3
Οὐκ ἀσκίῳ, οὐκ ἀσκίῳ μὲν τ' ἂρ ἐμορμολύττετ' αὐτούς, εἰ τάδ' ἐστ' ἀληθῆ 560.1
Οὐκ ἀπὸ δρυός παλαιφάτου ἢ ἀπὸ πέτρης 105.1
Οὐκ ἐπίσταμαι 300.2
Οὐκ ἔστι φυκτὰ πέλονται 739.3
Οὐκ ὄναρ, ἀλλ' ὕπαρ 560.2
Οὐκ ὠνοῦμαι μυρίων δραχμῶν μεταμέλειαν 465.1
Οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἐσθ' ὁ πλοῦς 465.1 καὶ 561.2
Οὕτω μελαμπύγῳ τετύχηκας 638.1
Ἦ τετυχήκατε 4.1
Οὔτε θέομεν, οὔτ' ἐλαύνομεν 348.2
Ὀφθαλμοῖς ἀλλοτρίοις ἰδεῖν 179.1

Π

Εἰς Πάγας ὁ λύκος 283.1
Ἡ παγὶς εἴληφε τὸν μῦν 237.1
Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι 508.1
Παλλήνη καλῶς τὴν ἀλώπεκα 567.2
Πάντα κάλων κινεῖν 401.1
Πάντα κάλων σείει 571.3
Πάντα λίθον κίνει 401.1
Πάντας ἔσεισε κάλως 401.1
Παραδύομαι 493.2
Παραλύομαι 576.1
Παρδαλέην ἐνεῖθαι 578.2
Παροιμία 162.2
Παροιμία ἀπὸ τοῦ δαπὸς 189.3
Παροιμία λαθοῦσα 120.2
Παρύσατις 583.1
Παρὼν ἀποδημεῖ 583.1
Πᾶσα γῆ πατρὶς 583.2
Ἀπὸ πασσάλου λαβεῖν 298.1
Ἐπὶ πασσάλῳ ἀνακρεμάσαι 298.1
Ἐκ πάτω 584.1
Πάτταλος παττάλῳ ἐκκρούεται 585.1
Παττάλου γυμνότερος 184.2
Πεζῇ βαδίζων 585.3
Πεζῇ βαδίζων σκάπτειν οὐκ ἐπίσταμαι 300.1
Ὡς πεζὸς θεῖ παρὰ λύδιον ἅρμα 482.3
Πελλήναιος χιτών 487.3
Πέπων ἐρινὸς ἄγριος ὢν εἰς βρῶσιν ἄλλους ἐξερινάζεις λόγῳ 310.2
Πέρδικος σκέλος 426.3
Πέρδικος σκέλος 591.1
Περιπόνηρος ἀρτέμων 595.3
Περιφόρητος ἀρτέμων 595.3
Περιφόρητος ἀρτέμων 758.3
Πήχεως τόπον 599.3
Πηδαλίου ἀγνότερος 10.3
Πηλέως μάχαιρα 601.1
Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν 271.2
Εἰς πίθον τετρημένον ἀντλεῖν 243.2
Ἐκ πίθων ἀντλεῖς 93.3
Πίτυος δίκην ἐκτριβῆναι 38.2
Πλεῦσαι εἰς Φοιξήνα 514.2
Πλίνθον πλύνεις 515.2
Πλίνθους πλύνεις 608.3
Ποθεῖς τὸν οὐ παρόντα, καὶ μάτην καλεῖς 610.3
Πόκον ὄνου 612.3
Πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες 372.3
Ἐκ πολλῶν ἀχύρων ὀλίγων καρπὸν συνήγαγον 250.1
Πολλαῖς πληγαῖς δρῦς δαμάζεται 614.1
Πολὺ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου 62.2
Πόλιν ἀναρθώσασα, καὶ πόλιν καταστρέψασα 613.2
Πόλεις παίζομεν 613.3
Πόνον σπείρειν 617.2
Πόντος ἀγαθῶν 617.2
Ποταμὸς θαλάττῃ ἐρίζεις 619.2
Πράγματ' ἐξ ἀπραξίας 620.3
Πρὶν τοὺς ἰχθῦς ἑλεῖν, σὺ τὴν ἅλμην κυκᾷς 622.3
Πρὶν ἢ πτίσαι τὰ ἄλφιτα 622.3
Πρὸ τῆς νίκης τὸ ἐγκώμιον ᾄδεις 633.1
Πρὸς τὸν σωρὸν ἁμᾶσθαι 634.2
Πρωκτὸς λουτροῦ 635.2
Εἰς πρωκτὸν κυνὸς βλέπε 635.2
Πτωχοῦ πήρα οὐ πίμπλαται 602.3
Ἐν Πυθίῳ κρεῖττον ἦν ἀποπατῆσαι 271.3
Ἦν ἄρα καὶ πυρὸς θερμότερος 354.2
Ἐς πῦρ ξαίνεις 76.1
Πυραύστου μόρος 138.3
Πυραύστου μόρος 640.1
Πυρὸν ἐς Κύπρον ἤγαγες 176.3
Πρὸς τὸν σωρὸν ἁμᾶσθαι 631.3
Κατὰ ῥοῦν φέρεσθαι 411.1

Σ

Σαίνεις δάκνουσα 650.3
Σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ 464.1
Ἐν Σάμῳ κομήτας 272.1
Σαμίων ἄνθη 652.1
Σάρδιος γέλως 652.3
Σαρδόνιος γέλως 179.1
Σαρδόνιον γέλωτα 268.2
Ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις 199.2
Σεαυτῷ ζημίαν κηρύσσειν 270.2
Σηρίφων μυσεῖα 246.1
Τὴν σελήνην κατασπᾷ 728.3
Πρὸς σῆμα μητρυιᾶς κλαίεις 629.3

Σίλ-

Σίλφιον βοσκὴν πολυτίμητος 150.3
Σκάφης συςομώτερον 677.3
Σκιὰ ὄνου 661.3
Σκορπίον γὰρ ὀκτώπου ἀνεγείρεις 542.2
Σκύτῃ βλέπειν ποιήσω 664.1
Ἀπὸ Σκυθῶν ῥῆσις 344.3
Εἰς σκῶλον μὴ τ' αὐτὸς εἶναι, μήτ' ἄλλον ἕπεσθαι 664.1
Σόφισμα θετταλικόν 665.2
Ἐπὶ σπείρᾳ χοινίον 300.1
Σπιθάμης ἀκριβέςερος 668.2
Σταχάνης δικαιότερον 211.3
Στέφανον μὲν ἔχων, δίψῃ δ' ἀπολωλώς 442.1
Στόματι ἀλλοτρίῳ ἐσθίειν 179.1
Σύβαρις Ἰωνικὴ κατέχει τὴν Φοινίκην 675.3
Συβαριτικῇ πρόκειται τῇ τραπέζῃ 675.3
Σύκου ὁμοιότερος 677.2
Συκίνη ἐπικουρία 543.1
Συκίνη ἐπικουρία 677.2
Συκίνη μάχαιρα 677.3
Συὸς τύπον 684.1
Συρακουσία τράπεζα 683.2
Συςομώτερον σκάφης 684.1
Σφαῖρα κατ' οὐρανοῦ 622.2

Τ

Ταντάλου δένδρα 18.3
Τενέδιος πέλεκυς 695.1
Τενέδιον βέλος 463.1
Ἐν τετράδι γεννηθῆναι 120.3
Εἰς τετρημένον πίθον ἀντλεῖν 243.2
Ἐς τέφραν γράφεις 418.3
Εἰς τέφραν γράφειν 243.2
Τιθωνὸς ὑπεργηράσαι 700.3 & 702.2
Τοῦτό σοι ἀντὶ ποδὸς 92.3
Τραγικὸς πίθηκος 705.2
Τρεῖς εἰσὶν ἱκανοὶ πρωκτὸν ἐκμάξαι λίθοι 706.2
ἂν ὦσι τραχεῖς, ἂν δὲ λεῖοι τέτταρες 4.1
Τρία κάππα κάκιςα 401.1
Ἐν τριόδοισι 273.2
Ἐκ τριχὸς κρέμαται 251.2
Εἰς Τροιζῆνα δεῖ βαδίζειν 243.2
Εἰς Τροιζῆνα πλεῦσαι 709.2
Ἐς Τροφωνίου μεμάντευται 710.1
Ἐπὶ τροχοῦ δεῖ σ' ἐκεῖ ςρεβλούμενον εἰπεῖν 303.2
Τρυγὼν 543.1
Τρυγόνων λαλίςεροι 710.2
Τρυτάνης δικαιότερος 509.5
Τρύχνου ἁπαλώτερος 97.3
Τυφλότερος λεβηρίδος 184.1

Υ

Εἰς ὕδωρ γράφεις 477.1
Ἐς ὕδωρ γράφειν 296.2
Εἰς ὕδωρ σπείρειν 243.2
Καθ' ὕδατος γράφειν 243.2
Ὗς βοιωτία 714.3

Φ

Φακὸν κόπτεις 608.3
Φέρεσθαι κατὰ ῥοῦν 423.1
Φορεῖν νεβρίδα 578.3
Φρουρᾶς ἄδων 739.1

Χ

Χαλεπὰ τὰ καλά 742.3
Χαμαὶ ἀντλεῖς 608.3
Ἡ μὲν χεὶρ ἐν Αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν Κλωπιδῶν 37.2
Χειρὶ ἀλλοτρίᾳ πρᾶξαι 179.1
Καὶ χερσὶ καὶ ἔργοις 397.3
Χελιδόνων μουσεῖα 746.1
Ἐν χρῷ παραπλέων 274.1
Χύτραν ποικίλλεις 477.1 & 612.3
Χύτραις λημῶν καὶ κολοκύνταις 451.3
Χωλὸς ἄριςα οἰφεῖ 541.2
Περὶ ψυχέων ἐμάχοντο 597.2

Ω

Ὡς ἐξ ἁμάξης λαλεῖ 708.1
Ὡς ἂν ἄπτῃ τις 305.1
Ὡς πεζὸς θεῖ παρὰ Λύδιον ἅρμα 482.3
Ὥσπερ ὄνου ἔχει 507.3
Ὠσὶν ἀλλοτρίοις ἀκούειν 179.2

ΤΕΛΟΣ.

Ἐπιςασίᾳ, Γεωργίου Τραπεζουντίου Ι.Φ. τοῦ Υπομεμα. μετὰ τὸ Ε.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Google